ρλγ Τοῦ αὐτοῦ πρὸς Ἰωάννην ἐπίσκοπον Ἀντιοχείας καὶ τὴν συναχθεῖσαν ἐκεῖ σύνοδον: —

ρλδ Τοῦ αὐτοῦ ἐπιστολὴ πρὸς Ἀκάκιον ἐπίσκοπον [Μελιτηνῆς] περὶ τοῦ ἀποπομπαίου: —

ρλε Τοῦ αὐτοῦ εἰς τὸ ἅγιον σύμβολον: —

ρλς Τοῦ αὐτοῦ πρὸς Νεστόριον, ἡνίκα κατῆλθον οἱ ἑπτὰ εἰς τὴν ἁγίαν Μαρίαν: —

ρλζ Βασιλικὸς νόμος περὶ τῶν προσφευγόντων ἐν ἐκκλησίαι: —

ρλη Ἴσον θείου θεσπίσματος τοῦ εὐσεβεστάτου βασιλέως Θεοδοσίου κατά τε Πορφυρίου καὶ Νεστοριανῶν καὶ κατὰ Εἰρηναίου ἐπισκόπου Τυρίων: —

ρλθ Διάταγμα προτεθὲν παρὰ τῶν ἐπάρχων μετὰ τοῦ θείου πραγματικοῦ κατὰ Πορφυρίου καὶ Νεστορίου καὶ Εἰρηναίου: —

ρμ Κυρίλλου περὶ τῆς ἐνανθρωπήσεως τοῦ θεοῦ λόγου τοῦ υἱοῦ τοῦ πατρός: —

ρμα Συζήτησις περὶ τοῦ αὐτοῦ: —

ρμβ Ὅροι ἐπισκόπων τῶν ἐν Νικαίαι συναχθέντων ἐν τῇ συνόδωι καὶ ἔκθεσις τῆς αὐτῆς συνόδου κατὰ Παύλου Σαμοσατέως: —

ρμγ Δέησις Βασιλείου διακόνου καὶ λοιπῶν μοναχῶν πρὸς τοὺς φιλοχρίστους βασιλεῖς: —

ρμδ Κυρίλλου ἐπιστολὴ πρὸς Κελεστῖνον: —

ρμε Τοῦ αὐτοῦ συνοδικὴ πρὸς τοὺς ἐν Κωνσταντινουπόλει μοναχούς: —

ρμς Ἀναφορὰ Νεστορίου καὶ τῶν σὺν αὐτῷι ἐπισκόπων πρὸς τὸν βασιλέα περὶ τῶν πεπραγμένων παρὰ τῆι ἁγίαι συνόδωι, γραφεῖσα πρὸ τοῦ παραγενέσθαι ἐν Ἐφέσωι τὸν Ἀντιοχείας ἐπίσκοπον: —

V. MP [usque ad 27 Εἰρηναίου: —]

1 ριε P ἐμίσησ M 2 γέννησιν V 4 ἐγκώμιον εἰσ τὸν ἀρχιεπίσκοπον V 5 ριϛ P τυβὶ ς V ς τυβί M καὶ P 6 τοῦ κυ τοῦ σρσ M ἡμῶν om. M ἀρχιεπίσκοπον] ἅγιον M 7 ἐγκώμιον V 8 ριζ P ἀρχιεπισκόπου Ἀλεξανδρείας om. M 10 ριη P Ἐπιστολὴ — Ἀλεξανδρείας] τοῦ αὐτοῦ ἐπιστολὴ M 11 ριθ P 12 ρκ P ἐπιστολὴ om. P δονάτον V 13 ρκα P καὶ — ἐπιστολὴ om. M 14 καὶ πρὸς om. M ἐπίσκοπον om. VM πρὸς om. M 15 ἐπίσκοπον om. M κωνσταντινουπόλεωσ ἐπιστολὴ M 16 ρκβ P ἐπισκόπου — ἐπιστολὴ om. P ἐπισκόπου Ἀλεξανδρείας om. M ἐπίσκοπον om. M 18 ρκγ P πρεσβύτερον VM ἐπίσκοπον P 19 ρκδ P ἐπίσκοπον om. M 20 ρκε P ἐπιστολή in fine coll. M ἐπίσκοπον om. M Μελιτηνῆς falso additum 21 ρκς P ἅγιον om. P 22 om. MP 23 ρκζ P 24 ρκη P τε om. M 27 καὶ¹ om. V

ρμζ Θεῖον γράμμα ἀποσταλὲν τῇι ἁγίαι συνόδωι διὰ Κανδιδιανοῦ τοῦ καὶ τὴν εὐταξίαν τῆς συνόδου ἐγχειρισθέντος: —

ρμη Ἐπίλυσις τῶν δώδεκα κεφαλαίων ῥηθεῖσα ἐν Ἐφέσωι ὑπὸ Κυρίλλου, τῆς ἁγίας συνόδου ἀξιωσάσης αὐτὸν σαφέστερον αὐτοῖς ἐκτρανωθῆναι τὴν τούτων λύσιν: —

ρμθ Κυρίλλου προσφωνητικὸς ταῖς εὐσεβεστάταις βασιλίσσαις περὶ τῆς ὀρθῆς πίστεως: —

ρν Τοῦ αὐτοῦ ἕτερος προσφωνητικὸς ταῖς εὐσεβεστάταις δεσποίναις: —

ρνα Ὑπομνήματα παρὰ τοῖς Ἀνατολικοῖς ἐπισκόποις πραχθέντα κατὰ Κυρίλλου καὶ Μέμνονος καὶ τῆς ἁγίας συνόδου: —

ρνβ Γράμμα τῶν αὐτῶν περὶ τῆς ἀκοινωνησίας σταλὲν τῇι ἁγίαι συνόδωι: —

ρνγ Ἀναφορὰ τῶν αὐτῶν πρὸς τὸν βασιλέα δι' ἧς ἐμήνυσαν τὰ πραχθέντα καὶ τὴν αἰτίαν τῆς βραδυτῆτος τῆς ἀφίξεως τοῦ Ἀντιοχείας: —

ρνδ Ἀναφορὰ πρὸς τὸν βασιλέα Ἰωάννου ἀρχιεπισκόπου Ἀντιοχείας καὶ τῶν σὺν αὐτῶι, ἣν ἀντέγραψαν διὰ Παλλαδίου: —

ρνε Ἐπιστολὴ τῶν αὐτῶν πρὸς τὸν κλῆρον Κωνσταντινουπόλεως: —

ρνς Ἑτέρα πρὸς τὴν ἐν Κωνσταντινουπόλει σύγκλητον: —

ρνζ Ἑτέρα πρὸς τὸν ἐν Κωνσταντινουπόλει λαόν: —

ρνη Ἀναφορὰ τῶν αὐτῶν πρὸς τὸν βασιλέα περὶ τῆς καθαιρέσεως Κυρίλλου καὶ Μέμνονος: —

ρνθ Ἑτέρα ἀναφορά, ἣν δεδώκασι μετὰ τῆς προειρημένης Εἰρηναίωι τῶι κόμητι: —

ρξ Ἑτέρα ἀναφορὰ τῶν αὐτῶν πρὸς τὰς βασιλίδας: —

ρξα Ἐπιστολὴ τῶν αὐτῶν πρὸς τὸν ἔπαρχον: —

ρξβ Ἐπιστολὴ τῶν αὐτῶν πρὸς τὸν πραιπόσιτον: —

ρξγ Ἀναφορὰ τῶν αὐτῶν πρὸς τὸν βασιλέα, ἧς προέταξαν τὸ σύμβολον τῶν ἐν Νικαίαι, ἀναγαγόντες τὰ τυπωθέντα ὑπὸ τῆς ἁγίας συνόδου ἐπὶ τοῖς δοθεῖσιν αὐτῆι λιβέλλοις παρὰ Κυρίλλου καὶ Μέμνονος, ἥτις ἐστάλη Εἰρηναίωι κόμητι καὶ δι' αὐτοῦ ἐπεδόθη: —

ρξδ Ἐπιστολὴ κόμητος Εἰρηναίου πρὸς τοὺς Ἀνατολικοὺς περὶ τῶν πραχθέντων μετὰ τὴν ἐν Κωνσταντινουπόλει εἴσοδον αὐτοῦ καὶ τὴν τῶν ἀναφορῶν ἀπόδοσιν: —

ρξε Τὰ ἀντιλεγόμενα ἐκ τῶν Νεστορίου δυσφημιῶν κεφάλαια ἐν τοῖς κατ' αὐτοῦ γεγραμμένοις πέντε βιβλίοις τῶι ἐν ἁγίοις Κυρίλλωι ἦγουν ἐν μὲν τῶι α̅ κεφάλαια ι̅α̅, ἐν τῶι δευτέρωι ι̅δ, ἐν τῶι τρίτωι ἓξ, ἐν τῶι δ̅ ἑπτὰ καὶ ἐν τῶι πέμπτωι ἑπτά: —

ρξς Ἡ κατὰ τῶν τοιούτων κεφαλαίων πεντάβιβλος ἀντίρρησις ἤγουν οἱ πέντε τόμοι τοῦ ἁγίου Κυρίλλου: —

ρξζ Ἐπιστολὴ Θεοδωρήτου κατὰ τοῦ ἁγίου Κυρίλλου περὶ τῶν γραφέντων παρ' αὐτοῦ δώδεκα κεφαλαίων ἀναθεματισμῶν διαλαμβάνουσα: —

ρξη Ἐπιστολὴ τοῦ ἁγίου Κυρίλλου πρὸς Εὐόπτιον πρὸς τὴν παρὰ Θεοδωρήτου κατὰ τῶν δώδεκα κεφαλαίων ἀντίρρησιν: —

ρξθ Αὐτὰ τὰ τοῦ ἁγίου Κυρίλλου κεφάλαια τῶν ἀναθεματισμῶν δώδεκα, ἔχοντα ἓν ἕκαστον ὑποτεταγμένην τὴν παρὰ Θεοδωρήτου μέμψιν καὶ τὴν παρὰ τοῦ ἁγίου Κυρίλλου πρὸς τὴν μέμψιν ἀντίρρησιν καὶ ἀπολογίαν: —

ρο Τοῦ ἁγίου Γρηγορίου τοῦ θαυματουργοῦ ἐπισκόπου Νεοκαισαρείας κεφάλαια περὶ πίστεως δώδεκα, ἐν οἷς καὶ ἀναθεματισμὸς κεῖται καὶ ἑρμηνεία ἑκάστωι ὑποτέτακται: —

ροα Ἐπιστολὴ τοῦ ἁγίου Κυρίλλου ἀρχιεπισκόπου Ἀλεξανδρείας πρὸς τὸν μακαριώτατον Σούκενσον ἐπίσκοπον τῆς Διοκαισαρέων: —

ροβ Ἕτερον ὑπομνηστικὸν ἀντιγραφὲν πρὸς τὰς πεύσεις ἡμῶν παρ' αὐτοῦ: —

V

35 ἀναθεματισμὸν V

1 = S 1. Latine extat in Collectione CT 1

L III 20 **1** M IIII 588 PG 77, 9 [ep. 1] Κύριλλος πρεσβυτέροις καὶ διακόνοις πατράσι μοναχῶν καὶ τοῖς σὺν ὑμῖν τὸν μονήρη βίον ἀσκοῦσιν καὶ ἐν πίστει θεοῦ ἱδρυμένοις ἀγαπητοῖς καὶ ποθεινοτάτοις ἐν κυρίωι χαίρειν. Ἀφίκοντο μὲν τινὲς κατὰ τὸ εἰωθὸς ἐν Ἀλεξανδρείαι τῶν σὺν ὑμῖν· ἐρομένωι δέ μοι καὶ φιλοπευστοῦντι λίαν εἰ τῆς τῶν πατέρων ἐπιεικείας ἰόντες κατ' ἴχνος καὶ ὑμεῖς αὐτοὶ πίστει μὲν ὀρθῆι τε καὶ ἀμωμήτωι διαπρέπειν ἐπείγεσθε, πολιτείαι δὲ τῆι παγκάλληι κατασεμνύνεσθε καὶ τοῖς τῆς ἀσκήσεως ἐναβρύνεσθε πόνοις, τρυφὴν ἀληθῶς ἡγούμενοι τὸ ὑπέρ γε τοῦ ἀγαθοῦ τληπαθεῖν ἐλέσθαι γεννικῶς, ἀπήγγελλον μὲν ἐκεῖνοι ταῦτά γε ὑμῖν οὕτως ἔχειν, προσέθεσαν δὲ ὅτι τοῖς τῶν προλαβόντων ἀνδραγαθήμασιν ἁμιλλᾶσθε φιλοτιμότερον. ἔχαιρον οὖν ἀναγκαίως ἐγὼ καί μοι διεχεῖτο πρὸς εὐθυμίαν ὁ νοῦς τὰς τῶν ἐμῶν τέκνων εὐδοκιμήσεις οἰκειουμένωι, καὶ σφόδρα εἰκότως. καὶ γάρ ἐστι τῶν ἀτόπων PG 12 παιδοτρίβας μὲν ταῖς τῶν νέων ἐπιγάνυσθαι ῥώμαις κἂν εἴ τι γένοιτο παρ' αὐτῶν τῶν εἰς ἐπαίνους τελούντων τῆι τέχνηι, τοῦτο ταῖς σφῶν αὐτῶν οἷά τινα στέφανον ἀνάπτειν κεφαλαῖς καὶ τῆς ἐκείνων ἀνδρείας μερίζεσθαι τὰ αὐχήματα, ἡμᾶς δὲ πατέρας ὄντας πνευματικοὺς καὶ λόγοις ὑμᾶς ἐπαλείφοντας τοῖς εἰς ἀγαθὴν εὐτολμίαν, ἵνα καταθλήσαντες μὲν τῶν τῆς σαρκὸς κινημάτων παραιτούμενοι δὲ τὸ πίπτειν εἰς ἁμαρτίαν καὶ μὴν καὶ ἡττᾶσθαι πειράζοντι τῶι σατανᾶι κομίσησθε τὸ βραβεῖον, μὴ οὐχὶ δὴ μᾶλλον ἢ ἐκεῖνοι θεοφιλοῦς M IIII 589 **2** ἀναπίμπλασθαι θυμηδίας. οὐκοῦν, καθά φησιν τοῦ σωτῆρος ὁ μαθητής, σπουδὴν 2 Petr. 1, 5-8 πᾶσαν παρεισενεγκόντες ἐπιχορηγήσατε ἐν τῆι πίστει ὑμῶν τὴν ἀρετήν, ἐν δὲ τῆι ἀρετῆι τὴν γνῶσιν, ἐν δὲ τῆι γνώσει τὴν ἐγκράτειαν, ἐν δὲ τῆι ἐγκρατείαι τὴν ὑπομονήν, ἐν δὲ τῆι ὑπομονῆι τὴν εὐσέβειαν, ἐν δὲ τῆι εὐσεβείαι τὴν φιλαδελφίαν, ἐν δὲ τῆι φιλαδελφίαι τὴν ἀγάπην. ταῦτα γὰρ ὑμῖν παρόντα καὶ πλεονάζοντα οὐκ ἀργοὺς οὐδὲ ἀκάρπους καθίστησιν εἰς τὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπίγνωσιν. χρῆναι γὰρ ἔγωγε φημὶ τοὺς οἵπερ ἂν ἕλοιντο τῆς ἐν Χριστῶι νοουμένης ζωῆς τὴν εὐκλεᾶ τε καὶ ἀξιέραστον διαίτειν ὁδόν, πρῶτον μὲν ἁπλῆι τε καὶ ἀλωβήτωι κατασεμνύνεσθαι πίστει, προσεπάγειν δὲ οὕτως αὐτῆι τὴν ἀρετήν, οὗ δὴ γεγονότος πειρᾶσθαι καταπλουτεῖν τοῦ κατὰ Χριστὸν μυ-

Flor. Cyr. 65 ἐκ τῆς πρὸς μονάζοντας πρώτης ἐπιστολῆς, ἧς ἡ ἀρχή· Ἀφίκοντο μέν τινες

VM, P [= hk], S, D [= mn], W R Λ^{t} Λ^{c}

inscr. βιβλίον πρῶτον τῶν πρακτικῶν τῆσ τρίτησ συνόδου SD ἡ κατὰ νεστορίου τοῦ ἀνθρωπολάτρου καὶ ἀσεβοῦσ παρακολουθήσασα πράξισ ἐν ἐφέσωι W ᾱ VSD 2 μοναχοῖσ VSD ἡμῖν VMSR 3 καὶ ποθεινοτάτοις om. M ποθεινοτάτοισ ἀδελφοῖσ D χῶ S 4 ἐν αλεξανδρεία κατὰ τὸ ηὠθὸσ R ἐν ἀλεξανδρεία S ὑμῖν MDWR^{corr} Λ^{tc} ἡμῖν VPSR 5 ὄντεσ S 6 τε om. VR δὲ] τε RΛ^{c} καλλίστη V 7 ἐναμβρύνεσθε P 8 γε om. D ἀληθοῦσ S γεννικῶσ R γενικῶσ VMPSW γενναίωσ D ἀπήγγελον W γε] τε SD om. R 8/9 οὕτωσ ὑμῖν P 8 ἡμῖν R 9 ἁμιλλᾶσθαι VR 9/10 φιλοτιμότεροι V 10 μὲν οὖν D ἐγὼ om. V εὐφημίαν D 11 ἀτοπωτάτων R 12 ἐπιγάννυσθαι VMPSDW γένοιτό τι D τι γένηται V 13 ἔπαινον P συντελούντων D 14/15 πνευματικοὺσ ὄντασ V 15 λόγουσ R 16 ἁμαρτίαν VΛ^{tc} ἁμαρτίασ MPSDWR μὴν καὶ] μὴ P 17 ἢ om. SD ἐκείνων D 19 παρεισενέγκαντεσ DR συνεισενέγκαντεσ S ὑμῶν ἐν τῆ πίστει M 23 ἀκάρπους] ἀπράκτουσ W παρίστησιν SD 25/26 διάγειν VD 26 τε] δὲ M

στηρίου τὴν γνῶσιν καὶ ἀναφοιτᾶν εὖ μάλα πρὸς τελεωτάτην σύνεσιν. τοῦτο γάρ, οἶμαι, ἐστὶν τὸ εἰς ἄνδρα τέλειον καταντῆσαι καὶ εἰς μέτρον ἡλικίας ἐλθεῖν τοῦ πλη- Eph. 4, 13
ρώματος αὐτοῦ. νήψει δὴ οὖν τῇ πρεπούσῃ μοναστᾶις τὰς ἑαυτῶν ὀσφύας εὖ μάλα
διεζωσμένοι κατανδρίζεσθε τῶν παθῶν ψυχικῶν τε ἅμα καὶ σωματικῶν· ἔσεσθε γὰρ οὕτω 4
λαμπροὶ καὶ εὐδόκιμοι καὶ ἐν καλῷ τῆς ἐλπίδος τῆς τοῖς ἁγίοις ηὐτρεπισμένης. ἔστω L III 21
δὲ ἐν ὑμῖν καὶ πρό γε τῶν ἄλλων ἡ πίστις ὀρθὴ καὶ τὸ ἀνεπίληπτον ἔχουσα παντελῶς.
οὕτω γὰρ οὕτω καὶ ὑμεῖς αὐτοὶ τὴν τῶν ἁγίων πατέρων ἰχνηλατοῦντες εὐσέβειαν ἐναυλι-
σθήσεσθε σὺν αὐτοῖς ταῖς ἄνω μοναῖς καὶ σκηνὰς οἰκήσετε τὰς ἐν οὐρανοῖς, ὧν καὶ ὁ θε-
σπέσιος Ἡσαίας διαμέμνηται λέγων· οἱ ὀφθαλμοί σου ὄψονται Ἰερουσαλήμ, πόλις Ies. 33, 20
πλουσία, σκηναὶ αἳ οὐ μὴ σεισθῶσιν. 10

3 Λαμπρὸς μὲν οὖν ὅτι καὶ ἀξιάγαστος ὑμῖν ὁ βίος ὀρθή τε καὶ ἀκαπήλευτος ἐνίδρυται
πίστις, οὐκ ἠγνόηκα, πόθεν; τετάραγμαι δὲ οὐ μετρίως ἀκηκοὼς ὅτι θρύλοι τινὲς εἰς ὑμᾶς
ἀφίκοντο χαλεποὶ καὶ περινοστοῦσι τινὲς τὴν ἁπλῆν ὑμῶν παραλύοντες πίστιν καὶ ῥηματίων
εἰκαίων ἀποπτύοντες ὄχλον ἀναπυνθανόμενοί τε καὶ λέγοντες τὴν ἁγίαν παρθένον πότερόν 14
ποτε θεοτόκον ἢ μὴ κατονομάζεσθαι χρή. καὶ ἦν μὲν ἄμεινον τῶν τοιούτων ὑμᾶς ζητη- PG 13
μάτων εἰς ἅπαν ἀποφοιτᾶν καὶ ἃ μόλις ἐστὶν ὡς ἐν ἐσόπτρωι καὶ αἰνίγματι θεωρούμενα 1 Cor. 13, 12
τοῖς ἀρτίοις τὴν φρένα καὶ βεβηκόσι τὸν νοῦν, μηδὲ ἀνορύττειν ὅλως (τὰ γάρ τοι τῶν
θεωρημάτων ἰσχνότερα τὸν τῶν ἀκεραιοτέρων ὑπερνήχεται νοῦν)· ἐπειδὴ δὲ ἅπαξ οὐκ
ἀνήκοοι τῶν τοιούτων μεμενήκατε λόγων καὶ φιλονεικεῖν εἰκὸς ἐλέσθαι τινὰς καὶ τοῖς τὸν
νοῦν οὐκ ἐρηρεισμένοις οἷά τινα σκόλοπα τὸ ἐπ' αὐτοῖς δὴ τούτοις ἐμπερονῆσαι βλάβος, 20
δεῖν ὠιήθην ἀναγκαίως ὀλίγ' ἄττα πρὸς ὑμᾶς περὶ τούτων εἰπεῖν, οὐχ ἵνα λογομαχῆτε
μᾶλλον, ἀλλ' ἵν' εἴ τινες ὑμῖν ἐπιφύοιντο, ταῖς ἐκείνων εἰκαιολογίαις τὸ ἀληθὲς ἀντε- M IIII 592
ξάγοντες αὐτοί τε διαδιδράσκητε τὴν ἐκ τοῦ πλανᾶσθαι ζημίαν, προσωφελῆτε δὲ καὶ ἑτέ-
ρους, τοῖς καθήκουσι λογισμοῖς ὡς ἀδελφοὺς ἀναπείθοντες τὴν ἄνωθεν ταῖς ἐκκλησίαις καὶ
ἐκ τῶν ἁγίων ἀποστόλων παραδοθεῖσαν πίστιν καθάπερ τινὰ πολύτιμον μαργαρίτην ἐν ἰδίαις 25
ἔχειν ψυχαῖς.

4 Τεθαύμακα τοίνυν εἴπερ ὅλως ἐνδοιάζουσι τινὲς πότερόν ποτε θεοτόκος ἢ μὴ λέγοιτ'
ἂν ἡ ἁγία παρθένος. εἰ γάρ ἐστι θεὸς ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός, πῶς οὐ θεοτόκος
ἡ τεκοῦσα παρθένος; ταύτην ἡμῖν παρέδοσαν τὴν πίστιν οἱ θεσπέσιοι μαθηταί, κἂν εἰ
μὴ τῆς λέξεως πεποίηνται μνήμην· οὕτω φρονεῖν δεδιδάγμεθα παρὰ τῶν ἁγίων πατέρων. 30
καὶ γοῦν ὁ τῆς ἀοιδίμου μνήμης πατὴρ ἡμῶν Ἀθανάσιος τῆς Ἀλεξανδρέων ἐκκλησίας κατα-
κοσμήσας τὸν θρόνον ἐφ' ὅλοις ἔτεσιν τεσσαράκοντα καὶ ἓξ τὸν ἀριθμὸν καὶ ταῖς τῶν
ἀνοσίων αἱρετικῶν εὑρεσιλογίαις ἄμαχόν τινα καὶ ἀποστολικὴν ἀντιτάττων σύνεσιν καὶ οἷον
εὐοσμοτάτωι τινὶ μύρωι τοῖς ἰδίοις συγγράμμασι κατευφραίνων τὴν ὑπ' οὐρανὸν καὶ ἐπ'

VM, P [= hk], S, D [= mn], WR Λ^{t} Λ^{c}

3 αὐτοῦ] τοῦ χῦ D δ' οὖν P μοναστᾶι D 4 διαζοσμένοι R γάρ φησιν S 5 ἔστι S ἔσται R 6 ἡμῖν S ὀρθὴ SDRΛ^{tc} ὀρθὴ καὶ ἀκαπήλευτος VMPW ἀνεπίλημπτον R ἀνεπίπληκτον VMW εἶχε ἀνεπίπληκτον h^{mg} 7 οὕτω² om. PΛ^{tc}, add. h αὐτοὶ om. P 7/8 συναυλισθήσεσθε P 8 ὧν] ὡσ D 9 μου SD 9/10 πόλεισ πλουσίασ D 10 σκηναὶ MSWR σκηνὰσ VPD 11 οὖν om. D ὑμῖν ὅτι καὶ ἀξιάγαστοσ D ὑμῶν W ἐνήδρωται W ἡ D 12 θρύλλοι VPSD θρλοι W εἰς] ὡσ R 13 ἁπλανῆ D om. W ἡμῶν V 14 παραπτύοντεσ SD παραλύοντεσ R παρθένον SDRΛ^{tc} παρθένον μαρίαν VPW παρθένον καὶ θεοτόκον M 15 ποτε om. D ἡμᾶσ R 16 αἰνίγμασι S 17 μὴ VMPW τοι om. VMPDW 18 ἰσχνότερα τῶν θεωρημάτων VMPW τῶν νοημάτων ἰσχυρότερα D τὸν]τὸ R 19 ἑλέσθαι τινὰσ εἰκόσ VP 20 τούτοισ SDR τοῦτο VMPW 21 ὀλίγα ἄττα SWR ὀλίγα τινὰ VMm περὶ τούτων πρὸσ ὑμᾶσ M 22 ἵνα VR 22/23 ἀντεξετάζοντεσ SD 23 αὐτοί τε om. VMPW πλανᾶσθε D προσωφελεῖτε W 24 ἄνωθεν ἐν VMPSW καὶ om. MDWΛ^{tc}, corr. W 25 πολυτίμητον VMDW ταῖσ ἰδίαισ D 27 τοίνυν] γὰρ R ποτε om. D πωσ M 28 ὁ χῦ MWR 29 τεκοῦσα] τεκοῦσα ἡ ἁγία V αὐτὸν τεκοῦσα P τὴν πίστιν παρέδοσαν VMPSW εἰ om. M 31 ὁ τῆσ V 33 εὑρησιλογίαισ WR ἀντιτάσσων SR 34 εὐοσμωτάτην W τὴν ὑπ'] τὸν S

ὀρθότητι καὶ ἀκριβείαι δογμάτων παρὰ πάντων μαρτυρούμενος τὸ περὶ τῆς ἁγίας ἡμῖν καὶ ὁμοουσίου τριάδος συντιθεὶς βιβλίον, ἐν τῶι τρίτωι λόγωι ἄνω τε καὶ κάτω θεοτόκον ἀποκαλεῖ τὴν ἁγίαν παρθένον, καὶ χρήσομαι δὲ ἀναγκαίως ταῖς αὐτοῦ φωναῖς, αὐταῖς λέξεσιν ἐχούσαις ὧδε

Ath. c. Ar. 3, 29 L IIII 24

Σκοπὸς τοίνυν οὗτος καὶ χαρακτὴρ τῆς θείας γραφῆς, ὡς πολλάκις εἴπομεν, διπλῆν εἶναι τὴν περὶ τοῦ σωτῆρος ἐπαγγελίαν ἐν αὐτῆι, ὅτι τε ἀεὶ θεὸς ἦν καὶ ἐστὶν υἱός, λόγος ὢν καὶ ἀπαύγασμα καὶ σοφία τοῦ πατρός, καὶ ὅτι ὕστερον δι' ἡμᾶς σάρκα λαβὼν ἐκ παρθένου τῆς θεοτόκου Μαρίας ἄνθρωπος γέγονεν.

c. Ar. 3, 33 Ier. 1, 5 Lc. 1, 41

Καὶ μεθ' ἕτερα πάλιν· Πολλοὶ γοῦν ἅγιοι γεγόνασι καὶ καθαροὶ πάσης ἁμαρτίας· Ἱερεμίας δὲ καὶ ἐκ κοιλίας ἡγιάσθη καὶ Ἰωάννης ἔτι κυοφορούμενος ἐσκίρτησεν ἐν ἀγαλλιάσει ἐπὶ τῆι φωνῆι τῆς θεοτόκου Μαρίας.

Ἀξίοχρεως μὲν οὖν ὁ ἀνὴρ καὶ θαρσεῖσθαι πρέπων ὡς οὐκ ἂν ἔφη τι τῶν ὅσα ἐστὶν τοῖς ἱεροῖς οὐ συμβαίνοντα λόγοις. πῶς γὰρ ἂν ἁμάρτοι τἀληθοῦς ὁ λαμπρὸς οὕτω καὶ διαβόητος καὶ ἐν αὐτῆι τῆι ἁγίαι καὶ μεγάληι συνόδωι, τῆι ἐν Νικαίαι φημὶ κατὰ
PG 16 καιροὺς συναγηγερμένηι, πρὸς ἁπάντων τεθαυμασμένος; οὔπω μὲν γὰρ τὸν τῆς ἐπισκοπῆς διεῖπε θρόνον, ἐτέλει δὲ μᾶλλον ἐν κληρικοῖς· πλὴν ἀγχινοίας ἕνεκα καὶ τῆς ἄλλης ἐπιεικείας καὶ ἰσχνῆς ἄγαν καὶ ἀσυγκρίτου φρενὸς παρελήφθη μὲν τὸ τηνικάδε παρὰ τοῦ τῆς μακαρίας μνήμης Ἀλεξάνδρου τοῦ ἐπισκόπου, συνῆν δὲ τῶι πρεσβύτηι οἷάπερ υἱὸς πατρί, ποδηγῶν εἰς ἕκαστα τῶν χρησίμων καὶ τὴν ἐφ' ἑκάστωι τῶν πρακτέων ὁδὸν εὖ μάλα παραδεικνύς.

M IIII 593 5

Ἐπειδὴ δὲ τινὰς εἰκὸς δεῖν μὲν οἴεσθαι τὸν ἐπὶ τούτοις ἡμῖν ἐμπεδοῦσθαι λόγον καὶ ἀπ' αὐτῆς τῆς ἱερᾶς καὶ θεοπνεύστου γραφῆς φάναι τε πρὸς τούτωι τὴν ἁγίαν ἐκείνην καὶ μεγάλην σύνοδον μήτε θεοτόκον εἰπεῖν τὴν τοῦ κυρίου μητέρα μήτε μὴν ὅλως ὁρίσαι τι τοιοῦτον, φέρε δὴ φέρε καὶ νῦν, ὡς ἔνι, καταδεικνύωμεν τῆς ἐν Χριστῶι νοουμένης οἰκονομίας τὸ μυστήριον τίνα μὲν τρόπον παρὰ τῆς θείας ἡμῖν κεκήρυκται γραφῆς, τί δὲ καὶ αὐτοὶ λελαλήκασιν οἱ πατέρες τὸν τῆς ἀμωμήτου πίστεως ὅρον ἐκφέροντες, ἐνηχοῦντος
Mt. 10, 20 αὐτοῖς τἀληθὲς τοῦ ἁγίου πνεύματος. οὐ γὰρ ἦσαν οἱ λαλοῦντες αὐτοὶ κατὰ τὴν τοῦ σωτῆρος φωνήν, ἀλλὰ τὸ πνεῦμα τοῦ θεοῦ καὶ πατρὸς τὸ λαλοῦν ἐν αὐτοῖς. ἀποδεδειγμένου γὰρ οὕτως ὅτι θεὸς κατὰ φύσιν ἐστὶν ὁ ἐκ τῆς ἁγίας παρθένου γεγεννημένος, κατοκνήσειν οἶμαι παντελῶς οὐδένα πρός γε τὸ χρῆναι νοεῖν καὶ μὴν καὶ φράσαι ὅτι θεοτόκος ἂν λέγοιτο, καὶ μάλα εἰκότως. ἔχει δὲ οὕτως ἡμῖν τὸ τῆς πίστεως σύμβολον

6 Πιστεύομεν εἰς ἕνα θεὸν πατέρα παντοκράτορα, πάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητήν· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ, γεννηθέντα ἐκ τοῦ πατρὸς μονογενῆ, τουτέστιν ἐκ τῆς οὐσίας αὐτοῦ, θεὸν ἐκ θεοῦ, φῶς ἐκ φωτός, θεὸν ἀληθινὸν

9—11 cf. Exc. Ephes. IIII

VM, P [= hk], S, D [= mn], WRΛ^{t}Λ^{c}

1 ἀκριβείαι] εὐσεβεία V 2 τε om. R 3 καὶ χρήσομαι R κεχρήσομαι VMPSDW ταῖσ αὐτοῦ φωναῖσ ἀναγκαίωσ V 3/4 λέξεσιν αὐταῖσ S 6 παρὰ V ἐπαγγελίαν PDRΛ^{t} ἀπαγγελίαν VMSWΛ^{c} ἀεὶ om. V 9 πάλιν om. V καὶ om. SR 12 οἷα VMPW 13 μὴ ἔστι τοῖσ ἱεροῖσ D ἂν om. VMPWR 14 οὕτοσ D 14/15 κατὰ καιροὺς om. D 21 ἐπεὶ D 22 φανῆναί SΛ^{t} et φάναι et φανῆναι uertit Λ^{c} τοῦτο P 23/24 ὁρίσαι τι τοιοῦτον ὅλωσ D 24 τοιούτων R καὶ νῦν om. P καταδεικνύομεν W ἐν VMPWR ἐπὶ SD 27 αὐτοῖς om. V τἀληθοῦς Λ^{tc} σωτῆρος] κῦ R 29 οὕτως] αὐτοῖσ S ἐστὶν om. R γεγενημένοσ VS, corr. V 30 μὲν οἶμαι V . νοεῖν — φράσαι] εἰπεῖν καὶ νοῆσαι V 31 καὶ — εἰκότως om. VΛ^{t} 32 πιστεύω D 32/33 ποιητὴν πάντων — ἀοράτων D 32 τε om. P 33—13, 5 θῦ τὸν μονογεννῆ καὶ τὰ λοιπὰ V 34 αὐτοῦ] τοῦ πρσ̄ R

ἐκ θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῶι πατρί, δι' οὗ τὰ πάντα ἐγένετο τά τε ἐν τῶι οὐρανῶι καὶ τὰ ἐν τῆι γῆι, τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα σαρκωθέντα ἐνανθρωπήσαντα παθόντα καὶ ἀναστάντα τῆι τρίτηι ἡμέραι, ἀνελθόντα εἰς τοὺς οὐρανούς, ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς· καὶ εἰς τὸ ἅγιον πνεῦμα.

7 Οἱ μὲν γὰρ τῶν αἱρέσεων εὑρεταὶ τοὺς τῆς ἀπωλείας σφίσιν τε αὐτοῖς καὶ μὴν καὶ L III 25
ἑτέροις ὀρύττοντες βόθρους ματαιότητος εἰς τοῦτο κατώλισθον ἐννοιῶν, ὡς οἴεσθαί τε καὶ λέγειν πρόσφατον εἶναι τὸν υἱὸν καὶ ἐν ἴσωι τοῖς κτίσμασιν παρῆχθαι πρὸς ὕπαρξιν παρὰ τοῦ θεοῦ καὶ πατρός. καὶ τὸν πρὸ παντὸς αἰῶνος καὶ χρόνου, μᾶλλον δὲ τῶν αἰώνων τὸν ποιητὴν τῆι κατὰ χρόνον ἀρχῆι περιγράφοντες οὐκ ἐρυθριῶσιν οἱ δείλαιοι, ὑποβιβάζοντες 10
δέ, κατά γε τὸ αὐτοῖς δοκοῦν, τῆς πρὸς τὸν πατέρα καὶ θεὸν ἰσότητός τε καὶ δόξης, τὸ PG 17
προὔχειν αὐτῶι τῶν ἄλλων παραχωροῦσι μόλις, μεσίτην δὲ εἶναί φασι θεοῦ καὶ ἀνθρώπων οὔτε τῆς εἰς λῆξιν ὑπεροχῆς λαχόντα τὴν δόξαν οὔτε μὴν τοῖς τῆς κτίσεως ἐνιζήσαντα μέτροις. τίς οὖν ἄρα ἐστὶν ὁ καὶ τῆς θείας ὑπεροχῆς ἠττώμενος καὶ τῶν τῆς κτίσεως μέτρων ἀνωικισμένος; ἀδιανόητον παντελῶς τὸ χρῆμά ἐστιν, καὶ τόπος ἢ λόγος 15
οὐδεὶς ὁρᾶται μεταξὺ ποιητοῦ καὶ κτίσματος. κατασύροντες τοίνυν αὐτόν, τό γε ἧκον ἐπ' αὐτοῖς, τῶν τῆς θεότητος θώκων, υἱὸν καὶ θεὸν ὀνομάζουσιν καὶ προσκυνεῖσθαι δεῖν οἴον- M IIII 596
ται, καίτοι τοῦ νόμου βοῶντος ἀναφανδὸν κύριον τὸν θεόν σου προσκυνήσεις καὶ Deut. 6, 13
αὐτῶι μόνωι λατρεύσεις, καὶ μὴν καὶ διὰ φωνῆς τοῦ Δαυὶδ θεοῦ λέγοντος τοῖς ἐξ Ἰσραὴλ οὐκ ἔσται ἐν σοὶ θεὸς πρόσφατος οὐδὲ προσκυνήσεις θεῶι ἀλλοτρίωι. Ps. 80, 10

8 ἀλλ' ἐκεῖνοι μὲν οἵάπερ ἁμαξιτὸν ἀφέντες εὐτριβῆ τὴν ἀλήθειαν, ἐπὶ βόθρους ἵενται καὶ 21
πέτρας καὶ ἣι φησιν ὁ Σολομών, τοὺς ἄξονας τοῦ ἰδίου γεωργίου πεπλάνηνται καὶ Prou. 9, 12
συνάγουσι χερσὶν ἀκαρπίαν· ἡμεῖς δέ, οἷς τὸ θεῖον εἰς νοῦν ἐνήστραψε φῶς, τῆς ἐκείνων ἀβελτηρίας τὰ ἀσυγκρίτως ἀμείνω φρονεῖν ἠιρημένοι καὶ τῆι τῶν ἁγίων πατέρων ἑπόμενοι πίστει γεγεννῆσθαι φαμὲν ἀληθῶς ἐκ τῆς τοῦ θεοῦ καὶ πατρὸς οὐσίας τὸν υἱὸν θεοπρεπῶς 25
τε καὶ ἀπορρήτως καὶ ἐν ἰδίαι μὲν ὑποστάσει νοεῖσθαι, τῆι δὲ ταυτότητι τῆς οὐσίας ἑνοῦσθαι τῶι γεγεννηκότι καὶ εἶναι μὲν ἐν αὐτῶι, ἔχειν δὲ πάλιν ἐν ἑαυτῶι τὸν πατέρα. ὁμολογοῦμεν δὲ εἶναι φῶς ἐκ φωτός, θεὸν ἐκ θεοῦ κατὰ φύσιν ἰσοκλεᾶ τε καὶ ἰσουργὸν χαρακτῆρά τε καὶ ἀπαύγασμα καὶ κατὰ πᾶν ὁτιοῦν ἰσομέτρως ἔχοντα καὶ κατ' οὐδένα Hebr. 1, 3
τρόπον μειονεκτούμενον. ἐπαριθμουμένου γὰρ οὕτως τοῦ ἁγίου πνεύματος, ἡ ἁγία 30
τε καὶ ὁμοούσιος τριὰς εἰς μίαν θεότητος ἑνοῦται φύσιν.

9 Ἀλλ' ἡ μὲν θεόπνευστος γραφὴ σάρκα φησὶν γεγενῆσθαι τὸν ἐκ θεοῦ λόγον, τουτέστιν Ioh. 1, 14
ἐνωθῆναι σαρκὶ ψυχὴν ἐχούσηι τὴν λογικήν· ἑπομένη δὲ τοῖς εὐαγγελικοῖς κηρύγμασιν ἡ ἁγία καὶ μεγάλη σύνοδος αὐτὸν ἔφη τὸν ἐκ τῆς οὐσίας τοῦ θεοῦ καὶ πατρὸς γεγεννημένον

32—33 Flor. Cyr. 65 ἡ μὲν θεόπνευστος — λογικήν

VM, P [= hk], S, D [= mn], WRΛ^{t}Λ^{c}

2 τῶι om. MPDW τὰ om. P 3 καὶ σαρκωθέντα MPR καὶ σαρκωθέντα καὶ WΛ^{tc} καὶ παθόντα καὶ ταφέντα P 4 τοὺς om. SR καὶ πάλιν ἐρχόμενον P 8 καὶ ἐν ἴσωι PSDR ἐν ἴσωι τε VM ἐν ἴσωι W παρῆκται S, corr. S^{m2} πρὸσ ὕπαρξιν om. D 9/10 τὸν ποιητὴν τῶν αἰώνων M τὸν om. R 10 τῆι — χρόνον] καὶ κατὰ καιρὸν D 11 γε om. V ἑαυτοῖσ VW τὸν om. DR τὸ] τοῦ S 12 προυπάρχειν V προπροὐχειν M μόλις παραχωροῦσι M 12/13 θῦ καὶ ἀνῶν φασὶν R 14 καὶ^{1} om. VMPW 15 ὑπερανωκισμένοσ SD 15/16 οὐδεὶσ ἡ λόγοσ P τοίνυν]οὖν P γοῦν W 17 θάκων DR 18/19 καὶ — λατρεύσεις om. R 19 τοῦ θῦ P 21 ἁμαξητὸν D 22 ἣι] ὡσ S ὁ om. S 23 εἰς νοῦν om. P 25 γεγενῆσθαι PS ἀληθῶς om. R τὸν μονογενὴ ῦν R 27 τε τῶι MPWR ἐν αὐτῶι μὲν εἶναι V αὐτῶι S 28 δὴ Λ^{c} 29 τε om. P πάντα R καὶ om. SD 30 μὲν γὰρ V 32 γενέσθαι Flor. Cyr. ἐκ θεοῦ om. V θῦ θῦ M 33 ἔχοντα Flor. Cyr. 34 γεγενημένον S

μονογενῆ, τὸν δι' οὗ τὰ πάντα καὶ ἐν ὧι τὰ πάντα, δι' ἡμᾶς τους ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν καταφοιτῆσαι μὲν ἐξ οὐρανῶν, σαρκωθῆναι δὲ καὶ ἐνανθρωπῆσαι παθεῖν τε καὶ ἀναστῆναι καὶ ὅτι κατὰ καιροὺς ἀφίξεται κριτής· ὠνόμαζον δὲ τὸν ἐκ θεοῦ λόγον ἕνα κύριον Ἰησοῦν Χριστόν. ἄθρει δὴ οὖν ὅπως ἕνα λέγοντες υἱόν, κύριον δὲ αὐτὸν καὶ
L III 28 Χριστὸν Ἰησοῦν ὀνομάζοντες, ἐκ τοῦ θεοῦ καὶ πατρὸς γεγεννῆσθαί φασιν εἶναί τε μονογενῆ καὶ
PG 20 10 θεὸν ἐκ θεοῦ καὶ φῶς ἐκ φωτός, γεννηθέντα καὶ οὐ ποιηθέντα καὶ ὁμοούσιον τῶι πατρί. καίτοι τὸ Χριστός ὄνομα φαίη τις ἂν ὡς ἥρμοσε μὲν οὐ μόνωι τῶι Ἐμμανουήλ, ἀλλὰ γὰρ καὶ ἐφ' ἑτέρων αὐτὸ τεθειμένον εὑρήσομεν. ἔφη γάρ που θεὸς περὶ τῶν ἐξειλεγμένων καὶ ἡγιασμένων
Ps. 104, 15 ἐν πνεύματι· μὴ ἅπτεσθε τῶν χριστῶν μου καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε. καὶ μὴν καὶ ὁ θεσπέσιος Δαυὶδ κεχρισμένον εἰς βασιλέα παρὰ τοῦ θεοῦ
1 Reg. 24, 7 διὰ χειρὸς Σαμουὴλ χριστὸν κυρίου τὸν Σαοὺλ ἀποκαλεῖ. καὶ τί τοῦτο λέγω, καίτοι μετὸν
M IIII 597 εὐκόλως τοῖς ἐθέλουσιν ἰδεῖν τοὺς ἐν πίστει τῆι ἐν Χριστῶι δεδικαιωμένους καὶ ἡγιασμένους ἐν πνεύματι τῆι τοιαῖδε κλήσει τετιμημένους; καὶ γοῦν ὁ προφήτης Ἀμβακοὺμ τὸ ἐπὶ Χριστῶι
Hab. 3, 13 μυστήριον καὶ τὴν δι' αὐτοῦ σωτηρίαν προανακέκραγε λέγων· ἐξῆλθες εἰς σωτηρίαν λαοῦ σου τοῦ σῶσαι τοὺς χριστούς σου. οὐκοῦν τὸ Χριστός ὄνομα πρέποι ἂν οὐχὶ μόνωι τε καὶ ἰδικῶς, ὡς ἔφην, τῶι Ἐμμανουήλ, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασιν οἵπερ ἂν εἶεν τῆι τοῦ ἁγίου πνεύματος χάριτι κατακεχρισμένοι. πεποίηται γὰρ ἀπὸ τοῦ πράγματος ἡ φωνὴ καὶ ἀπὸ τοῦ κεχρίσθαι χριστοί. ὅτι δὲ καὶ ἡμεῖς αὐτοὶ τὴν οὕτως εὐκλεᾶ
1 Ioh. 2, 20. τε καὶ ἀξιόληπτον ἀληθῶς καταπλουτοῦμεν χάριν, ἐμπεδοῖ λέγων ὁ σοφὸς Ἰωάννης· καὶ
27 ὑμεῖς χρίσμα ἔχετε ἀπὸ τοῦ ἁγίου. καὶ πάλιν· οὐ χρείαν ἔχετε ἵνα τις διδάσκηι ὑμᾶς, ἀλλ' ὡς τὸ αὐτοῦ χρίσμα διδάσκει ὑμᾶς. γέγραπται δε καὶ
Act. 10, 38 περὶ τοῦ Ἐμμανουήλ· Ἰησοῦν τὸν ἀπο Ναζαρέτ, ὡς ἔχρισεν αὐτὸν ὁ θεὸς πνεύματι ἁγίωι καὶ δυνάμει. καὶ μὴν καὶ ὁ θεσπέσιος Δαυὶδ πρὸς αὐτόν πού
Ps. 44, 8 φησιν· ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀδικίαν· διὰ τοῦτο ἔχρισέν σε ὁ θεός, ὁ θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. τί οὖν ἄν τις ἴδοι τὸ περιττὸν ἐν τῆι ἁγίαι παρθένωι παρὰ τὰς ἄλλας, κἂν εἰ λέγοιτο τεκεῖν αὐτὴν τὸν Ἐμμανουήλ; ἄτοπον γὰρ οὐδέν, κἂν εἰ ἔλοιτό τις καὶ τὴν ἑκάστου τῶν κεχρισμένων μη-
11 τέρα Χριστοτόκον ἀποκαλεῖν. ἀλλ' ἔστι πολὺ τὸ μεσολαβοῦν καὶ ἀσυγκρίτοις διαφοραῖς τῆς τοῦ σωτῆρος ἡμῶν εὐκλείας καὶ ὑπεροχῆς ἀποτειχίζον τὰ καθ' ἡμᾶς. οἰκέται μὲν γὰρ ἡμεῖς, ὁ δὲ κατὰ φύσιν κύριος καὶ θεός, κἂν εἰ γέγονε μεθ' ἡμῶν καὶ ἐν τοῖς καθ' ἡμᾶς οἰκονομικῶς. ταύτηι τοι καὶ ὁ μακάριος Παῦλος Χριστὸν αὐτὸν ὠνόμαζε καὶ θεόν,
Eph. 5, 5 οὕτω λέγων· τοῦτο γὰρ ἴστε γινώσκοντες ὅτι πᾶς πόρνος ἢ ἀκάθαρτος ἢ πλεονέκτης, ὅς ἐστιν εἰδωλολάτρης, οὐκ ἔχει κληρονομίαν ἐν τῆι βασιλείαι τοῦ Χριστοῦ καὶ θεοῦ. οὐκοῦν οἱ μὲν ἄλλοι πάντες, ὡς ἔφην, εἶεν ἂν καὶ μάλα εἰκότως διὰ τὸ κεχρίσθαι χριστοί, μόνος δὲ Χριστὸς καὶ θεὸς ἀληθῶς ὁ Ἐμμανουήλ, καὶ οὐκ

VM, P [= hk], S, D [= mn], WRΛ^{t}Λ^{c}

1 καὶ — πάντα om. VMPW τὸν δι R διὰ om. SΛ^{tc} 2 καταφοιτήσαντα D 4 οὖν om. V πῶσ DR 5 Ἰησοῦν om. W τοῦ om. VMPW γεγενῆσθαι S τε καὶ D 6 καὶ^{2} om. V καὶ3 om. V 7 ὡσ ἥρμοσε μὲν οὐ SD ὡσ ἡρμοσθαι μὲν οὐ R οὐχ ὡσ ἡρμοσμένον [ἡρμοσμένω PW, corr. W] VMPW μόνον SDΛ^{tc} γὰρ om. VDR, corr. V ἑτέρω D ἑκατέρων μᾶλλον δὲ ἐφ' ἑτέρων V 8 που] ὁ P 9 ἅπτεσθαι SR 10 καὶ^{2} om. VMPW κεχρισμένον MPSWΛ^{tc} κεχρισμένοσ VD ἐχρισμένοσ R βασιλεῖαν R τοῦ om. SD 11 ἀπεκάλει S ἐπεκάλει D μετὸν SR μεστὸν D μὲν VMPW 12 εἰσ χν̄ W καὶ ἡγιασμένους om. D 13 ἀββακοὺμ V χν̄ P χῡ R 14 σωτηρίαν] παρουσίαν S προανακέκραγε DΛ^{tc} ἀνακέκραγε S προανακεκράγει VMPWR 17 κεχρισμένοι D 18 ὅτι — αὐτοὶ om. R ὑμεῖσ S 20 ἁγίου VMSWRΛ^{tc} θῡ̄ PD πάλιν om. D καὶ οὐ R 21 διδάξῃ S ἀλλ' ὡς] ἀλλὰ V ημασ R 23 ἐν πν̄ι D καὶ3 om. VMPSW πού om. VMPW 24 ἀδικίαν MPSmWR ἀνομίαν Vn 25 θεός^{1}] θσ̄ M ὁ θεός om. S 26 αὐτῆ R αὐτὸν MPW 27 κἂν] καὶ R 29 τὰ] τὸ W μὲν om. V 31 ὀνομάζει R 32 ἴστε VMPWR ἐστὲ SD inter utrumque uariant Λ^{tc} 33 ὅσ MPDWR ὃ SΛ^{tc} ὅστισ V 34 τοῦ om. VS 34/35 καὶ μάλα εἰκότωσ post χριστοί coll. D om. SΛ^{t} 35 χσ̄ θσ̄ W om. R ἀληθῶς om. P

ἂν ἁμάρτοι τἀληθοῦς, εἴ τις ἔλοιτο λέγειν ὡς αἱ μὲν τῶν ἄλλων μητέρες χριστοτόκοι μέν, οὐ μὴν ἔτι καὶ θεοτόκοι, μόνη δὲ παρ' ἐκείνας ἡ ἁγία παρθένος χριστοτόκος τε ὁμοῦ καὶ θεοτόκος νοεῖταί τε καὶ λέγεται. γεγέννηκε γὰρ οὐ ψιλὸν ἄνθρωπον καθ' ἡμᾶς, σαρκω- PG 21
θέντα δὲ μᾶλλον καὶ ἐνανθρωπήσαντα τὸν ἐκ θεοῦ πατρὸς λόγον. ὠνομάσμεθα μὲν γὰρ καὶ ἡμεῖς αὐτοὶ κατὰ χάριν θεοί· πλὴν οὐχ οὕτω θεὸς ὁ υἱός, φύσει δὲ μᾶλλον καὶ L III 29
ἀληθείαι, κἂν εἰ γέγονε σάρξ. 6

12 Ἀλλ' ἴσως ἐκεῖνο ἐρεῖς· ἆρ' οὖν, εἰπέ μοι, θέοτητος μήτηρ γέγονεν ἡ παρθένος; καὶ πρός γε τοῦτο φαμὲν ὅτι γεγέννηται μὲν ὁμολογουμένως ἐξ αὐτῆς τῆς οὐσίας τοῦ θεοῦ καὶ πατρὸς ὁ ζῶν τε καὶ ἐνυπόστατος αὐτοῦ λόγος καὶ ἄναρχον ἐν χρόνωι τὴν ὕπαρξιν M IIII 600
ἔχει, ἀεὶ συνυφεστηκὼς τῶι γεγεννηκότι ἐν αὐτῶι τε καὶ σὺν αὐτῶι καὶ ὑπάρχων καὶ νοού- 10
μενος· ἐν ἐσχάτοις δὲ τοῦ αἰῶνος καιροῖς, ἐπειδὴ γέγονε σάρξ, τουτέστιν ἠνώθη σαρκὶ ψυχὴν ἐχούσηι τὴν λογικήν, γεγεννῆσθαι λέγεται καὶ σαρκικῶς διὰ γυναικός. ἔοικε δέ πως τῶι καθ' ἡμᾶς τόκωι τὸ ἐπ' αὐτῶι μυστήριον. αἱ μὲν γὰρ τῶν ἐπὶ γῆς μητέρες, ὑπηρετοῦσαι τῆι φύσει πρὸς γένεσιν, ἔχουσι μὲν ἐν μήτραι πηγνυμένην κατὰ βραχὺ τὴν σάρκα καὶ ἀφράστοις τισὶν ἐνεργείαις θεοῦ προιοῦσάν τε καὶ τελειουμένην εἰς εἶδος τὸ ἀνθρώπινον· 15
ἐνίησι δὲ τῶι ζώιωι τὸ πνεῦμα ὁ θεὸς καθ' ὃν οἶδεν τρόπον. πλάττει γὰρ πνεῦμα ἀν- Zach. 12, 1
θρώπου ἐν αὐτῶι κατὰ τὴν τοῦ προφήτου φωνήν. ἕτερος δὲ σαρκὸς καὶ ὁμοίως ἕτερος ὁ ψυχῆς ἐστι λόγος. ἀλλ' εἰ καὶ γεγόνασι μόνων αὗται τῶν ἀπὸ γῆς σωμάτων μητέρες, ἀλλ' οὖν ὅλον ἀποτεκοῦσαι τὸ ζῶιον, τὸ ἐκ ψυχῆς δὴ λέγω καὶ σώματος, οὐχὶ μέρος λέγονται τεκεῖν, οὐδ' ἂν εἴποι τις, φέρε εἰπεῖν, τὴν Ἐλισάβετ σαρκοτόκον μέν, οὐ 20
μὴν ἔτι καὶ ψυχοτόκον· ἐκτέτοκε γὰρ ψυχωθέντα τὸν βαπτιστὴν καὶ ὡς ἓν ἐξ ἀμφοῖν τὸν ἄνθρωπον, ψυχῆς δὴ λέγω καὶ σώματος. τοιοῦτόν τι πεπρᾶχθαι παραδεξόμεθα καὶ ἐπὶ τῆι γεννήσει τοῦ Ἐμμανουήλ. γεγέννηται μὲν γάρ, ὡς ἔφην, ἐκ τῆς τοῦ θεοῦ καὶ πατρὸς οὐσίας ὁ μονογενὴς αὐτοῦ λόγος· ἐπειδὴ δὲ σάρκα λαβὼν καὶ ἰδίαν αὐτὴν ποιησάμενος κεχρημάτικε καὶ υἱὸς ἀνθρώπου καὶ γέγονε καθ' ἡμᾶς, οὐδέν, οἶμαι, τὸ ἄτοπον 25
εἰπεῖν, μᾶλλον δὲ καὶ ἀναγκαῖον ὁμολογεῖν ὅτι γεγέννηται κατὰ σάρκα διὰ γυναικός, καθάπερ ἀμέλει καὶ ἡ τοῦ ἀνθρώπου ψυχὴ τῶι ἰδίωι συναπογεννᾶται σώματι καὶ ὡς ἓν λελόγισται πρὸς αὐτό, καίτοι τὴν φύσιν ἑτέρα παρ' αὐτὸ νοουμένη τε καὶ ὑπάρχουσα κατὰ τὸν ἴδιον λόγον. κἂν εἰ βούλοιτό τις τὴν τοῦ δεῖνος μητέρα λέγειν ὡς ἔστι μὲν σαρκοτόκος, οὐ μὴν ἔτι καὶ ψυχοτόκος, περισσοεπήσει λίαν· τέτοκε γάρ, ὡς ἔφην, συντεθειμένον 30
εὐτεχνῶς ἐξ ἀνομοίων τὸ ζῶιον καὶ ἐκ δυοῖν μέν, πλὴν ἄνθρωπον ἕνα, μένοντος μὲν ἑκατέρου τοῦθ' ὅπερ ἐστίν, συνδεδραμηκότων δὲ ὥσπερ εἰς ἑνότητα φυσικὴν καὶ οἷον ἀνακιρνάντων ἀλλήλοιν ὅπερ ἂν ὡς ἴδιον ἑκατέρωι προσῆι.

7—18 Flor. Cyr. 66 ἀλλ' ἴσως — λόγος

VM, P [= hk], S, D [= mn], WRΛ^{t}Λ^{c}

1 ἂν ἔλοιτο VSD μὲν om. SDΛ^{t} 2 μὴν δὲ P ἐκείναις S 4 τοῦ θῦ D μὲν om. MPW del. V 5 καὶ om. D αὐτοὶ om. V θεοὶ κατὰ χάριν D 5/6 πλὴν — εἰ om. S 7 διὰ θεότητος SD ἡ ἁγία παρθένος Flor. Cyr. 8 πρό S πρῶτον D γεγένηται S 9 λόγος αὐτοῦ V τοῦ θεοῦ λόγος Flor. Cyr. 10 συνεφεστικῶς R συνεφεστὼς SD συνεφεστηκὼς Flor. Cyr. 10/11 καὶ [om. SD Flor. Cyr.] ὑπάρχων καὶ νοούμενος MPSDWR Flor. Cyr. Λ^{tc} συνυπάρχων καὶ συννοούμενος V 12 καὶ γεγεννῆσθαι λέγεται [λέγεται καὶ S] SD 14 γέννησιν S τῆι μήτρα R 15 ἀφράστως D τε om. VMPW τελουμένην R 16 τῶι ζώιωι om. W ὁ om. MPSDW τὸ πνεῦμα V 18 ὁ om. PR τῆς ψυχῆς SD αὗται μόνων S μόνον αὗται DW 19 δὴ λέγω om. RΛ^{t} 20 λέγεται M τὴν ἐλισάβετ φέρε εἰπεῖν S 21 ἕνα D ἐν W om. S ἐξ om. W 22 ἐκ ψυχῆς W δὴ om. W παραδεξώμεθα MPWR, corr. R 22/23 καὶ ἐπὶ — ἐμμανουὴλ παραδεξώμεθα P 23 γενέσει MSWR γεγένηται S 23/24 ἐκ τῆς — οὐσίας ὡς ἔφην P 23 καὶ om. M 26 καὶ om. S ὅτι καὶ V γεγένηται S 27 ἀμέλει om. VMPW 28 ἐστὶν ἑτέρα R 29 καὶ D 30 ἔτι καὶ ἔτι S περιττοεπήσει P περιττοεπῆσ εἶ W περιττοεπῆσ ἦ M περιττοεπὸν ὑπάρχει V 31 ἐντέχνως P ἀτέχνως D δυεῖν D ἕνα ἄνθρωπον P 32 τοῦτο] τὸ R ὥσπερ om. R 32/33 ἀνακιρνώντων P 33 ἂν] ἐστὶν W

PG 24 18 Ὅτι δέ ἐστιν ἀναγκαιοτάτη λίαν ἡ ἕνωσις ἐπὶ Χριστοῦ, καταθρῆσαι ῥᾴον καὶ ἀταλαίπωρον παντελῶς καὶ διὰ πολλῶν ἑτέρων. φέρε γάρ, εἰ δοκεῖ, τὰς τοῦ μακαρίου Παύλου πολυπραγμονῶμεν φωνάς, ἀκριβῆ τὸν νοῦν καὶ ὡς ἔνι λεπτῶς ἐνερείδοντες. ἔφη τοίνυν
L III 32 περὶ τοῦ μονογενοῦς· ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο
Phil. 2, 6-8 τὸ εἶναι ἴσα θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσεν μορφὴν δούλου λαβών, ἐν ὁμοιώ- 5
ματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπεί-
M IIII 601 νωσεν ἑαυτόν. τίς οὖν ἄρα ἐστὶν ὁ ὑπάρχων ἐν μορφῇ τοῦ θεοῦ καὶ οὐχ ἁρπαγμὸν ἡγησάμενος τὸ εἶναι ἴσα θεῷ; ἢ τίνα κεκένωται τρόπον, καθῆκται δὲ ὅπως εἰς ταπείνωσιν καὶ ἐν τῇ τοῦ δούλου μορφῇ; εἰ μὲν οὖν εἰς δύο τέμνοντες τὸν ἕνα κύριον Ἰησοῦν Χριστόν, εἵς τε ἄνθρωπον φημὶ καὶ τὸν ἐκ θεοῦ πατρὸς λόγον, τὸν ἐκ τῆς ἁγίας 10
παρθένου φασὶν ὑπομεῖναι τὴν κένωσιν, ἀποδιιστάντες αὐτοῦ τὸν ἐκ θεοῦ λόγον, προαποδεικνύντων ὅτι καὶ ἐν μορφῇ καὶ ἰσότητι νοεῖταί τε καὶ ἦν τοῦ πατρός, ἵνα καὶ τὸν τῆς κενώσεως ὑπομείνῃ τρόπον, εἰς ὅπερ οὐκ ἦν, καθιγμένος. ἀλλ' οὐδέν ἐστιν τῶν πεποιημένων, εἰ κατ' ἰδίαν νοοῖτο φύσιν, τὸ ἐν ἰσότητι τοῦ πατρός· πῶς οὖν ἄρα κεκενῶσθαι λέγεται, εἰ τὴν φύσιν ἄνθρωπος ὢν γεγέννηται καθ' ἡμᾶς ἐκ γυναικός; ἐκ ποίας, εἰπέ μοι, 15
πρεσβυτέρας ὑπεροχῆς τῆς ἀνθρώπου ι· .ονος εἰς τὸ ἄνθρωπος εἶναι κατέβη; ἢ πῶς ἂν νοοῖτο λαβεῖν, ὡς οὐκ ἔχων ἐν ἀρχῇ, τὴν τοῦ δούλου μορφὴν ὁ φύσει τελῶν ἐν οἰκέταις
14 καὶ ὑπὸ ζυγὰ δουλείας κείμενος; ἀλλὰ ναί, φησίν, ὁ φύσει τε καὶ ἀληθῶς καὶ ἐλεύθερος υἱός, ὁ ἐκ θεοῦ πατρὸς λόγος, ἐν μορφῇ τοῦ γεγεννηκότος ὑπάρχων καὶ ἴσος ὢν αὐτῷ, κατώικησεν ἐν ἀνθρώπῳ γεννηθέντι διὰ γυναικός, καὶ τοῦτό ἐστιν ἡ κένωσις καὶ τὸ τῆς 20
ταπεινώσεως χρῆμα καὶ τὸ ἐν τῇ τοῦ δούλου καθικέσθαι μορφῇ. εἶτα, ὦ βέλτιστοι, τὸ κατοικῆσαι μόνον ἐν ἀνθρώπῳ τὸν ἐκ θεοῦ λόγον ἀρκέσειεν ἂν εἰς κένωσιν αὐτῷ, καὶ ἀσφαλὲς εἰπεῖν ὅτι τε οὕτως ὑπέδυ τὴν τοῦ δούλου μορφὴν καὶ οὗτος αὐτῷ γένοιτ' ἂν
Ioh. 14, 23 ὁ τῆς ταπεινώσεως τρόπος; καίτοι λέγοντος ἀκούω τοῖς ἁγίοις ἀποστόλοις· ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει καὶ ὁ πατήρ μου ἀγαπήσει αὐτὸν καὶ πρὸς αὐτὸν 25
ἐλευσόμεθα καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα. ἀκούεις ὅπως ἐν τοῖς ἀγαπῶσιν αὐτὸν συγκατοικήσειν αὐτῷ καὶ αὐτὸν ἔφη τὸν θεὸν καὶ πατέρα; ἆρ' οὖν καὶ αὐτὸν κεκενῶσθαι δώσομεν καὶ τὴν ὁμοίαν ἀνατλῆναι ταπείνωσιν τῷ υἱῷ καὶ τὴν τοῦ δούλου μορφὴν ἀναλαβεῖν, ὅτι τὰς τῶν ἀγαπώντων αὐτὸν ψυχὰς ἁγίας ποιεῖται μονάς; τί δὲ
PG 25 τὸ πνεῦμα τὸ κατοικοῦν ἐν ἡμῖν; ἆρα καὶ αὐτὸ τῆς ἐνανθρωπήσεως ἀποπληροῖ τὴν 30
οἰκονομίαν, ἣν διὰ μόνου τοῦ υἱοῦ πεπρᾶχθαι φαμὲν τῆς ἁπάντων σωτηρίας ἕνεκα καὶ
15 ζωῆς; ἄπαγε τῆς οὕτω περιττῆς καὶ ἀνονήτου παντελῶς εἰκαιοβουλίας. τεταπείνωκε τοίνυν ἑαυτὸν ὁ ἐν μορφῇ καὶ ἰσότητι τοῦ θεοῦ καὶ πατρὸς ὑπάρχων λόγος, ὅτε γενόμενος
Ioh. 1, 14 σάρξ, καθά φησιν Ἰωάννης, γεγέννηται διὰ γυναικὸς καὶ ὁ γέννησιν ἔχων τὴν ἐκ θεοῦ
M IIII 604

VM, P [= hk], S, D [= mn], WRΛ^{t}Λ^{c}

1 ἀναγκαιότατον D ῥάδιον D 3 φωνὰς] ἀφορμὰς S καὶ om. VMWΛ^{t} λεπτομερῶς V ἐπερείδοντες VD 5/6 ὁμοιότητι S 7 τοῦ οπι. D 8 κατῆλθε V ὅμως R 9 εἰ RΛ^{tc} οἱ VMPSDW οὖν om. S τεμόντες R 10 τοῦ θῦ R 11 ἀποδιιστῶντες V ἀποδιιστόντες P 11/12 προαποδεικνύντες D προαποδεικνύτωσαν V 12 τε καὶ ἦν] γε εἶναι P 12—14 ἵνα — πατρός om. S 13 ὑπομείναι R οὐκ om. M καθηγμένος P 14 ἄρα om. S ἔτι D 15 καθ' ἡμᾶς om. P ἐκ^{2} SDRΛ^{tc} καὶ ἐκ VMPW 16 ὑπεροχῆς πρεσβυτέρας καὶ P ὑπεροχῆς S τῆς τοῦ D τοῦ S 17 ἀρχαῖς R 18 ὑπὸ] οὐχ ὑπὸ V ζυγὸν VPW δούλου V φασιν VMPWΛ^{tc} ἀληθῶς ὑπάρχων PD καὶ om. M 20 κατώκηκεν R 21 καθικνεῖσθαι VMPW 23 οὕτος S οὕτως VPW οὕτω M αὐτῷ om. M 24 κενώσεως D λέγοντος ὡς V 26 πῶς SD 27 αὐτὸν om. V καὶ αὐτὸν ἔφη συγκατοικήσειν αὐτῷ P αὐτῷ om. D 28 δώσομεν SDRΛ^{tc} λέγετε VMPW υἱῷ] θῦ R 29 ἁγίας VPSWRΛ^{tc} ἰδίας D πεποίηται W μονὰς DRΛ^{tc} μονὰς ἰδίας VMPSW 30 τὸ ἅγιον πνα V τὸ^{2} om. R ἐνανθρωπίσεως W ἀποπληροῖ SDRΛ^{tc} ἀπεπλήρου VMPW 31 ἦν] ἢ Λ^{tc} πάντων ἕνεκα σωτηρίας VMPW 32 ἀνονήτου R ἀνοήτου VMPSDW 33 τοῦ — πρσ καὶ ἰσότητι P θεοῦ καὶ om. W 34 καθὼς P ὁ ἰωάννης D γεγένηται S

πατρὸς καὶ τὴν καθ' ἡμᾶς ὑπέμεινε παθεῖν δι' ἡμᾶς. ἐπεὶ διδασκόντων αὐτοὶ κατὰ τίνα
τρόπον ὁ ἐκ θεοῦ πατρὸς λόγος Χριστὸς ἂν νοοῖτο καὶ λέγοιτο πρὸς ἡμῶν. εἰ ἀπό γε L III 33
τοῦ κεχρίσθαι Χριστὸς ὀνομάζεται, τίνα κέχρικεν ὁ πατὴρ τῶι ἐλαίωι τῆς ἀγαλλιάσεως Ps. 44, 8
ἤτοι τῶι ἁγίωι πνεύματι; εἰ μὲν οὖν ἰδικῶς τὸν ἐξ αὐτοῦ καὶ μόνον γεννηθέντα θεὸν λόγον
καὶ τοῦτο εἶναί φασιν ἀληθές, ἀγνοοῦσιν ὅπως καὶ τὴν τοῦ μονογενοῦς ἀδικοῦσι φύσιν καὶ 5
τῆς μετὰ σαρκὸς οἰκονομίας παρασημαίνουσι τὸ μυστήριον. εἰ γὰρ κέχρισται τῶι ἁγίωι
πνεύματι θεὸς ὢν ὁ λόγος, ἐπιδεᾶ πάντως ἁγιασμοῦ καὶ οὐχ ἑκόντες ὁμολογήσουσιν
κατὰ τοὺς ἄνωθεν ἔτι χρόνους ὑπάρχειν αὐτόν, καθ' οὓς οὕπω κεχρισμένος ἀμέτοχος ἦν
ἔτι τῆς ὕστερον αὐτῶι δοθείσης δωρεᾶς. τὸ δὲ ἁγιασμοῦ τητώμενον σεσάλευται κατὰ
φύσιν καὶ οὐκ ἂν νοοῖτο παντελῶς ἡμοιρηκὸς ἁμαρτίας ἤτοι τοῦ δύνασθαι πλημμελεῖν· 10
ὑπομεμένηκεν οὖν ἄρα καὶ τροπὴν τὴν εἰς τὰ ἀμείνω τυχὸν ὁ λόγος. πῶς οὖν ὁ αὐτός Mal. 3, 6
ἐστι καὶ οὐκ ἠλλοίωται; καὶ εἰ θεὸς ὢν ὁ λόγος καὶ ἐν μορφῆι καὶ ἰσότητι τοῦ πατρὸς
ἐχρίετό τε καὶ ἡγιάζετο, φαίη τις ἂν ἴσως ὡς ἀπό γε τοῦ πράγματος εἰς ἐξιτήλους ἐννοίας
ἀπενηνεγμένος ὅτι τάχα που καὶ αὐτὸς ὁ πατὴρ δέοιτ' ἂν ἁγιασμοῦ, μᾶλλον δὲ ἤδη καὶ
μείζων αὐτοῦ πέφηνεν ὁ υἱός, εἴπερ ἡγίασται μὲν αὐτός, ἴσος ὢν αὐτῶι καὶ ἐν μορφῆι πρὸ 15
ἁγιασμοῦ, ὃ δὲ ἀπομεμένηκεν ἐν οἷς ἦν ἀεὶ καὶ ἔστιν καὶ ἔσται, οὕπω τὴν εἰς τὰ ἀμείνω
λαβὼν ἐπίδοσιν διά γε τοῦ ἡγιάσθαι καθ' ὁμοιότητα τοῦ υἱοῦ. μεῖζον δὲ ἤδη καὶ ἀμ-
φοῖν ὁρᾶται τὸ πνεῦμα τὸ ἁγιάζον αὐτούς, εἴπερ ἐστὶν οὐκ ἐνδοιαστὸν ὡς ἁπάσης ἀν-
τιλογίας δίχα τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται. ἀλλ' ἐστὶν ταῦτα λῆρος καὶ Hebr. 7, 7
τερθρεία καὶ ἀποπληξίας ἐγκλήματα. ἁγία γὰρ κατὰ φύσιν ἡ ὁμοούσιος τριάς, ἅγιος ὁ 20
πατήρ, ἅγιος δὲ καὶ ὁ υἱὸς οὐσιωδῶς κατὰ τὸν ἴσον τρόπον, ὁμοίως δὲ καὶ τὸ πνεῦμα.
16 οὐκοῦν ὅσον εἰς ἰδίαν φύσιν, οὐχ ἡγίασται κατὰ μόνας ὁ ἐκ θεοῦ πατρὸς λόγος. εἰ
δὲ δή τις οἴοιτο τὸν ἐκ τῆς ἁγίας παρθένου γεγεννημένον κεχρίσθαι τε καὶ ἡγιάσθαι μόνον
ταύτηι τοι καὶ ὠνομάσθαι Χριστόν, λεγέτω παρελθὼν εἰ ἀπόχρη τὸ χρίσμα πρὸς τὸ ἀπο- PG 28
φῆναι τὸν χριόμενον ἰσοκλεᾶ καὶ ὁμόθρονον τῶι πάντων ἐπέκεινα θεῶι. καὶ εἰ μὲν 25
ἀπόχρη, καὶ τοῦτο ἐροῦσιν ὡς ἐστὶν ἀληθές· κεχρίσμεθα καὶ ἡμεῖς, καὶ μαρτυρήσει λέ-
γων ὁ θεσπέσιος Ἰωάννης καὶ ὑμεῖς χρίσμα ἔχετε ἀπὸ τοῦ ἁγίου. ἐσόμεθα 1 Ioh. 2, 20
δὴ οὖν ἐν ἴσωι τάχα που καὶ ἡμεῖς αὐτοὶ τῶι θεῶι, εἴργει δέ, οἶμαι, παντελῶς οὐδὲν καὶ
συνεδρεύειν αὐτῶι, καθάπερ ἀμέλει καὶ αὐτὸς ὁ Ἐμμανουήλ· εἴρηται γὰρ πρὸς αὐτὸν κάθου Ps. 109, 1
ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. προσ- M IIII 605
κυνείτω καὶ ἡμᾶς ἡ τῶν ἄνω πνευμάτων ἁγία πληθύς· ὅταν γάρ φησιν, εἰσαγάγηι τὸν 31
πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει· καὶ προσκυνησάτωσαν αὐτῶι πάντες Hebr. 1, 6

3—22 Flor. Cyr. 67 τίνα κέχρικεν — λόγος

22—25 οὐκοῦν — θεῶι adferuntur a Cyrillo in apologia XII capitulorum contra Orientales [A 24] 27 [= PG 76, 329], cf. hos ipsos in 20 [PG p. 325] φησὶν ἐν τῶι πρώτωι τόμωι

VM, P [= hk], S, D [= mn], WRΛ^{t}Λ^{c}

1 καὶ $\overline{\text{πρσ}}$ VR, corr. R ὑπομεῖναι R δι' ἡμᾶσ παθεῖν R αὐτῶν MDW καὶ κατὰ D 2—3 ἂν νοοῖτο — Χριστὸς om. MW 2 εἰ μὴ P 3 καὶ τίνα M 4 τῶι om. P τὸν μόνον ἐξ αὐτοῦ V λόγον καὶ θν̄ D 5 τοῦτον Flor. Cyr. φασὶν εἶναι D εἶναι φαμὲν S τάληθές Λ^{t} ἀληθῶς Flor. Cyr. 6 παρασιαίνουσι V 7—12 ἐπιδεᾶ — ὁ λόγος om. Flor. Cyr. 9 εἰσ ὕστερον M ἐσύστερον VW ἠττώμενον VMW σαλεύεται VMPW 10 ἡμοιρηκὼσ MR, corr. R ἁμαρτίαν V 11 ἄρα] ἔτι D τὴν om. VMPW ὁ om. M 13 τε om. Flor. Cyr. ὡς om. VMPW εἰς om. R 14—16 μᾶλλον — ἁγιασμοῦ om. SD 15 μεῖζον M πέφηνεν R Flor. Cyr. ἀναπέφηνεν VP ἀπέφηνεν MW αὐτοῦ VW Flor. Cyr. αὐτὸσ M καὶ πρὸ P πρὸ τοῦ V 16 ὑπομεμένηκεν SD ἐναπομεμένηκεν V ἐν om. Vm καὶ ἔσται om. Λ^{tc} 17 διά γε] δέ γε ει δὲ Flor. Cyr. codd. 18 ὁρᾶται om. R ὡς] καὶ M πάσησ W 18/19 ἀπολογίασ P 19 λῆροσ ταῦτα SD 20 γὰρ ἐστι Flor. Cyr. 21 καὶ κατὰ SD τὸ πνεῦμα τὸ ἅγιον Flor. Cyr. 22 ὅσον VMPWRΛ^{tc} apol. ὅσον ἧκεν SD Flor. Cyr. κατὰ — λόγος om. R 23 οἴεται V ἡγιάσθαι] ἁβάσθαι V 25 ἀλειφόμενον V 26 ἀπόχρη SDRΛ^{tc} ἀπόχρη τὸ χρίσμα VMPW 28 δὴ om. P αὐτοὶ om. R

L III 36 ἄγγελοι θεοῦ. ἀλλ' ἡμεῖς μέν, εἰ καὶ τῶι ἁγίωι κεχρίσμεθα πνεύματι, τὴν μὲν τῆς υἱοθεσίας καταπλουτοῦμεν χάριν, κεκλήμεθα δὲ καὶ θεοί, τό γε μὴν τῆς ἑαυτῶν φύσεως μέτρον οὐκ ἀγνοήσομεν. ἐσμὲν γὰρ ἐκ γῆς καὶ τελοῦμεν ἐν οἰκέταις, ὃ δέ ἐστιν οὐκ ἐν οἷς ἡμεῖς, ἀλλὰ
17 φύσει τε καὶ ἀληθῶς υἱὸς καὶ τῶν ὅλων κύριος καὶ ἐξ οὐρανῶν. καὶ οὐ δήπου φαμὲν ὀρθὰ φρονεῖν ἡιρημένοι σαρκὸς γενέσθαι πατέρα τὸν θεὸν οὐδ' αὖ τὴν τῆς θεότητος φύσιν γεγεννῆσθαι διὰ γυναικός, οὕπω προσλαβοῦσαν τὸ ἀνθρώπινον, συνενεγκόντες δὲ μᾶλλον εἰς ἕνωσιν τόν τε ἐκ θεοῦ φύντα λόγον καὶ τὸν ἐκ τῆς ἁγίας παρθένου τελείως ἄνθρωπον, ἕνα Χριστὸν Ἰησοῦν καὶ κύριον προσκυνήσομεν, οὔτε τῶν τῆς θεότητος ὅρων ἔξω τιθέντες διὰ τὴν σάρκα οὔτε μὴν εἰς ἀνθρωπότητα ψιλὴν καταβιβάζοντες διὰ τὴν πρὸς ἡμᾶς ὁμοίωσιν. οὕτω νοήσεις τὸν ἐκ θεοῦ φύντα λόγον τὴν ἑκούσιον ὑπομεῖναι κέ-
Phil. 2, 8. 7 νωσιν· οὕτω τεταπείνωκεν ἑαυτὸν μορφὴν δούλου λαβὼν ὁ κατὰ φύσιν ἰδίαν ἐλεύθερος·
Hebr. 2, 16. οὕτω σπέρματος Ἀβραὰμ ἐπελάβετο καὶ κεκοινώνηκεν αἵματος καὶ σαρκός. εἰ γὰρ ἄν-
14 θρωπος νοεῖται ψιλὸς καθ' ἡμᾶς, πῶς ἑτέρου παρ' αὐτὸν φυσικῶς ἐπελάβετο σπέρματος
Hebr. 2, 17 Ἀβραάμ; πῶς δὲ τῆς ἰδίας σαρκὸς κεκοινωνηκέναι λέγεται, ἵνα κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῇ; τὸ γάρ τισιν ὁμοιοῦσθαι λεγόμενον ἐξ ἀνομοίου τινὸς ἐπὶ τὸ δεῖν ὁμοιοῦ-
18 σθαι τρέχει. ἐπελάβετο τοίνυν σπέρματος Ἀβραὰμ καὶ κεκοινώνηκεν αἵματος καὶ σαρκὸς ὁ τοῦ θεοῦ λόγος, ἴδιον ποιησάμενος σῶμα τὸ ἐκ γυναικός, ἵνα μὴ μόνον ὑπάρχων θεός, ἀλλ' ἤδη καὶ ἄνθρωπος γεγονὼς καθ' ἡμᾶς νοοῖτο διὰ τὴν ἕνωσιν. οὐκοῦν ἐκ δυοῖν μὲν πραγμάτων ὁμολογουμένως, θεότητός τε καὶ ἀνθρωπότητος ὁ Ἐμμανουήλ· πλὴν εἷς κύριος Ἰησοῦς Χριστὸς εἷς τε καὶ ἀληθῶς υἱὸς θεός τε ὁμοῦ καὶ ἄνθρωπος καὶ οὐκ ἄνθρωπος
PG 29 θεοποιηθεὶς ἐν ἴσωι τοῖς κατὰ χάριν, θεὸς δὲ μᾶλλον ἀληθινὸς ἐν ἀνθρωπείαι μορφῆι πεφηνὼς δι' ἡμᾶς. πιστώσεται δὲ πρὸς τοῦτο ἡμᾶς καὶ ὁ θεσπέσιος Παῦλος λέγων·
Gal. 4, 4 ὅτε δὲ ἦλθεν τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσηι, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν ἡμεῖς. εἶτα τίς ὁ ἀπεσταλμένος ὑπὸ
M IIII 608 νόμον τε καὶ ἐκ γυναικός, ὡς ἔφη, γεγεννημένος, πλὴν ὅτι πάλιν αὐτὸς ὁ πέρα μὲν νόμων
Hebr. 2, 17 ὡς θεός, ἐπειδὴ δὲ κεχρημάτικεν ἄνθρωπος, γεγονὼς καὶ ὑπὸ νόμον, ἵνα κατὰ πάντα τοῖς
Mt. 17, 27 ἀδελφοῖς ὁμοιωθῇ; καὶ γοῦν συνετέλει μὲν ὁμοῦ τῶι Πέτρωι τὸ δίδραγμον κατὰ τὸν Μωσέως νόμον· ὅτι δέ ἐστιν ἐλεύθερος ὡς υἱὸς καὶ νόμου κρείττων ὡς θεός, καὶ εἰ
Mt. 17, 25. 26 γέγονεν ὑπὸ νόμον ὡς ἄνθρωπος, ἐδίδασκε λέγων· οἱ βασιλεῖς τῆς γῆς ἀπὸ τίνων λαμβάνουσι κῆνσον ἢ τέλη; ἀπὸ τῶν υἱῶν αὐτῶν ἢ ἀπὸ τῶν ἀλλοτρίων; Πέτρου δὲ φάσκοντος ἀπὸ τῶν ἀλλοτρίων, ἐπήνεγκεν αὐτός· ἄρα γε ἐλεύθεροί εἰσιν οἱ υἱοί.

Ὄντος δὴ οὖν ἐναργοῦς ὡς οὐκ ἂν λέγοιτο Χριστὸς ἔξω τε σαρκὸς ὑπάρχων καὶ
L III 37 οἷον εἰ κατὰ μόνας ὁ ἐκ θεοῦ λόγος, πρεπούσης δὲ μᾶλλον αὐτῶι τῆς τοιᾶσδε κλήσεως, ὅτε γέγονεν ἄνθρωπος, φέρε δὴ φέρε δεικνύωμεν ἐξ αὐτῶν ἑλόντες τὰς πίστεις τῶν ἱερῶν γραμμάτων

4—12 Flor. Cyr. 68 καὶ οὐ — σαρκός

VM, P [= hk], S, D [= mn], WRΛ$^{tA^c}$

2 τότε γε D 2/3 ἠγνοήσαμεν SD 4 οὐρανῶν SDRΛ^{tc} οὐρανοῦ VMPW 5 πατέρα] παρὰ S οὐδὲ [οὐδ' M] αὐτὴν τὴν MSD αὖ πάλιν Flor. Cyr. 6 γεγενῆσθαι S προλαβοῦσαν S 8 προσκυνήσωμεν MR, corr. R, W τὸν — ὅρον D 12 σαρκὸσ ὁ τοῦ θῦ λόγοσ D 13 πῶσ ὡσ R 14 ἵνα om. S 15 ὁμοιῶσθαι VkWR ὡμοιῶσθαι Mh ἰδεῖν S om. P 15/16 ὡμοιοῦσθαι M 18 ἐν MW δυεῖν D 19 ὁμολογουμένων MPW ὁμολογομένων V τε om. S 20 καὶ^1 om. R καὶ οὐκ ἄνθρωποσ SDRΛ^{tc} οὐ VMPW 21 ἀληθινὸς om. D 22 δὲ om. R πρὸς om. SD 23 δὲ ἦλθεν] διῆλθε M 24 γεννώμενον ἐκ γυναικὸσ VMmW 25 λάβωμεν M ἀποστελλόμενοσ VMPW 26 ἐκ] ἀπὸ P γεγεννημένοσ ὡσ ἔφη R ἔφην D γεγενημένοσ SΛ^{tc} 28 καὶ γοῦν καὶ R συνετέλει RΛ^{tc} συντελεῖ VMPSDW δίδραχμον VMPDW 30 ὑπο R τίνοσ W 32 ἐκ SR αὐτὸσ SRΛ^{tc} ὁ αὐτὸσ D αὐτοῖσ VMPW ἄρα] ἔτι D 34 ἐναργῶσ VR

ὅτι θεὸς κατὰ φύσιν ἐστὶ καὶ εἰς ἑνότητα συνενηνεγμένος, τὴν πρός γε φημὶ τὴν ἰδίαν σάρκα· οὗ δὴ πεφηνότος ἀληθοῦς, θεοτόκος ἂν λέγοιτο πρὸς ἡμῶν καὶ σφόδρα εἰκότως ἡ ἁγία παρθένος.
19 οὐκοῦν ὁ προφήτης Ἡσαίας μόνον οὐχὶ καὶ ἐνανθρωπήσαντα τὸν υἱὸν καὶ ὅσον οὐδέπω παρεσόμενον προκατεδείκνυε λέγων· ἰσχύσατε χεῖρες ἀνειμέναι καὶ γόνατα παρα- Ies. 35, 3-6
λελυμένα· παρακαλέσατε οἱ ὀλιγόψυχοι τῇι διανοίαι· ἰσχύσατε, μὴ φο-
βεῖσθε. ἰδοὺ ὁ θεὸς ἡμῶν κρίσιν ἀνταποδίδωσι καὶ ἀνταποδώσει· αὐτὸς ἥξει καὶ σώσει ἡμᾶς. τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν καὶ ὦτα κωφῶν ἀκούσονται· τότε ἁλεῖται ὡς ἔλαφος ὁ χωλὸς καὶ τρανὴ ἔσται γλῶσσα μογιλάλων. ἄθρει δὴ οὖν ὅπως καὶ κύριον ἀποκαλεῖ καὶ θεὸν ὀνομάζει καίτοι λαλῶν ἐν πνεύματι, ὅτι μὴ ἄνθρωπον ἁπλῶς θεοφόρον ἠπίστατο τὸν Ἐμμανουὴλ οὔτε μὴν ὡς ἐν ὀργάνου τάξει παρειλημμένον, ἀλλὰ θεὸν ἀληθῶς ἐνηνθρωπηκότα. τότε γὰρ τότε καὶ ἀνεώιχθησαν μὲν ὀφθαλμοὶ τυφλῶν, ἤκουσαν δὲ καὶ ὦτα κωφῶν, τότε καὶ ἐλάφου δίκην ὁ χωλὸς ἀνεπήδα, γέγονε δὲ καὶ τρανὴ γλῶσσα μογιλάλων. οὕτως αὐτὸν τοῖς ἁγίοις εὐαγγελισταῖς διακηρύττειν ἐκέλευεν τὸ πνεῦμα λέγον· ἐπ' ὄρος ὑψηλὸν ἀνάβηθι, ὁ Ies. 40, 9-11
εὐαγγελιζόμενος Σιών, ὕψωσον τῇι ἰσχύι τὴν φωνήν σου, ὁ εὐαγγελιζόμενος Ἱερουσαλήμ· ὑψώσατε, μὴ φοβεῖσθε. εἰπὸν ταῖς πόλεσιν Ἰούδα· ἰδοὺ ὁ θεὸς ἡμῶν, ἰδοὺ κύριος μετὰ ἰσχύος ἔρχεται καὶ ὁ βραχίων μετὰ κυρείας. ἰδοὺ ὁ μισθὸς μετ' αὐτοῦ καὶ τὸ ἔργον ἐνώπιον αὐτοῦ. ὡς ποι- PG 32
μὴν ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ καὶ τῶι βραχίονι αὐτοῦ συνάξει ἄρνας. ἐπέφανε γὰρ ἡμῖν ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ἰσχὺν ἔχων τὴν θεοπρεπῆ καὶ βραχίονα μετὰ κυρείας, τουτέστιν ἐν ἐξουσίαι τε καὶ κυριότητι. τοιγάρτοι καὶ ἔφασκε τῶι μὲν λεπρῶι θέλω, καθαρίσθητι, ἥπτετο δὲ τῆς σοροῦ καὶ ἀνίστη τεθνεῶτα τὸν τῆς χήρας Mt. 8, 3
20 υἱόν. συνήγαγε δὲ καὶ ἄρνας· ποιμὴν γάρ ἐστιν ἀγαθός, τὴν ψυχὴν αὐτοῦ θεὶς ὑπὲρ Lc. 7, 14
τῶν προβάτων. τοιγάρτοι καὶ ἔφασκε· καθὼς γινώσκει με ὁ πατήρ, κἀγὼ γι- Ioh. 10, 15. 16
νώσκω τὸν πατέρα, καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων. καὶ M IIII 609
ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἐστιν ἐκ τῆς αὐλῆς ταύτης· κἀκεῖνά με δεῖ ἀγαγεῖν, 28
καὶ τῆς φωνῆς μου ἀκούσουσι καὶ γενήσονται μία ποίμνη, εἷς ποιμήν. ἀρχόμενος δὲ τῶν ἐπ' αὐτῶι κηρυγμάτων καὶ ὁ θεσπέσιος βαπτιστὴς οὔτε θεότητος ὄργανον οὔτε μὴν ἄνθρωπον ἁπλῶς θεοφοροῦντα κατά τινας, θεὸν δὲ μᾶλλον μετὰ σαρκὸς ἢ γοῦν ἐνηνθρωπηκότα τοῖς ἀνὰ πᾶσαν τὴν Ἰουδαίαν εὐηγγελίζετο λέγων· ἑτοιμάσατε Mt. 3, 3
τὴν ὁδὸν κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους τοῦ θεοῦ ἡμῶν. τίνος οὖν 31
ἄρα προστέταχεν ἑτοιμάζεσθαι τὰς ὁδοὺς πλὴν ὅτι Χριστοῦ, τουτέστιν ἐν ἀνθρωπείαι μορφῆι πεφηνότος τοῦ λόγου; ἀπόχρη δέ, οἶμαι, πρὸς πίστιν καὶ ὁ θεσπέσιος Παῦλος, L III 40
ἐπιμαρτυρῶν τε καὶ λέγων· τί οὖν ἐροῦμεν; εἰ ὁ θεὸς ὑπὲρ ἡμῶν, τίς καθ' Rom. 8, 31. 32
ἡμῶν; ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέ- 35

VM, P [= hk], S, D [= mn], WRΛ^{t}Λ^{c}

1 ὅτι καὶ D 2 ἀληθοῦς om. S καὶ σφόδρα VMPWR σφόδρα καὶ μάλα SD 3 καὶ^{1} om. D οὔπω V 4 προκαταδεικνύει R 5 παρακαλεῖσθε SD 6 ἡμῶν — αὐτὸς om. SD 8/9 μογγιλάλων γλῶσσα V μογγιλάλων PWSD μογγιλάλου M 9 οὖν om. W καίτοι MPSDWRΛ^{tc} ἅτε V 11 ἀληθῶς VMPWRΛ^{tc} ἀληθῶς καὶ S καὶ ἀληθῶς καὶ D γὰρ SDR γὰρ δὴ VMPW 12 μὲν om. R τυφλῶν ὀφθαλμοὶ SD 13 μογγιλάλων VPMWSD τοῖσ ἁγίοισ αὐτὸν M 14 ἐκέλευσε SD πνα MSDWR πνα τὸ VP λέγων W 15 τὴν σιὼν VMPW ἐν τῇ P 16 τὴν ἱερουσαλὴμ VMPW 17 βραχίων SDRΛ^{tc} βραχίων αὐτοῦ VMPW 18 μισθὸσ SDRΛ^{tc} μισθὸσ αὐτοῦ VMPW ἐνώπιον αὐτῶν S 19 τῶ MWRΛ^{tc} ἐν τῶ VPSD 20 ὁ^{2} om. VMPSD τὴν om. P 20/21 μετὰ — βραχίονα V 21 ἐν om. PR μὲν om. R 22 ἀνίστει W ἀνίστα SD τεθνεῶτα om. SD 23 συνῆγε P ἑαυτοῦ S τιθεὶσ SD θήσει MW 24 τῶν om. V 26 δεῖ με MWR 27 ἀκούσωσι D ἀκούουσι R γενήσεται VMPΛ^{tc} 28 αὐτοῦ R βαπτιστὴσ ἰωάννησ SD 30 ἐνανθρωπηκότα M τὴν om. V 31 τοῦ — ἡμῶν MSDRΛ^{tc} αὐτοῦ VPW 32 ἄρα om. VMPW ἑτοιμάσαι D ὀνομάζεσθαι R ἀνου V 33 πεφηνότι V μακάριοσ SD 34 τε om. SD τίσ ὁ M 35 ἁπάντων R om. S

δωκεν αὐτόν, πῶς οὐχὶ καὶ σὺν αὐτῷι τὰ πάντα ἡμῖν χαρίσεται; εἶτα, εἰπέ μοι, πῶς ἂν νοοῖτο θεοῦ καὶ ἴδιος υἱὸς ὁ ἐκ τῆς ἁγίας παρθένου; ὥσπερ γὰρ ἴδιον ἀνθρώπου καὶ μὴν καὶ ἑκάστου τῶν ἑτέρων ζώιων τὸ ἐξ αὐτοῦ κατὰ φύσιν γεγεννημένον, οὕτως ἴδιον θεοῦ τὸ ἐκ τῆς οὐσίας αὐτοῦ νοοῖτ' ἂν εἶναι καὶ λέγοιτο. πῶς οὖν ἴδιος θεοῦ υἱὸς ὠνόμασται ὁ Χριστός, ὃς καὶ δέδοται παρὰ τοῦ θεοῦ καὶ πατρὸς τῆς ἁπάν- 5
Rom. 4, 25 των ἕνεκα σωτηρίας καὶ ζωῆς; παρεδόθη γὰρ διὰ τὰ παραπτώματα ἡμῶν καὶ
Ies. 53, 12 αὐτὸς ἀνομίας πολλῶν ἀνήνεγκεν ἐν τῶι σώματι αὐτοῦ ἐπὶ τὸ ξύλον κατὰ
1 Petr. 2, 24 τὴν τοῦ προφήτου φωνήν. πρόδηλον οὖν ὅτι τὸ τῆς ἑνώσεως χρῆμα παραληφθὲν ἀναγ-
καίως ἴδιον υἱὸν ἀποφαίνει τοῦ θεοῦ τὸν ἐκ τῆς ἁγίας παρθένου. σῶμα γὰρ ἦν οὐχ ἑτέρου τινὸς τῶν καθ' ἡμᾶς, ἴδιον δὲ μᾶλλον αὐτοῦ τοῦ ἐκ τοῦ πατρὸς ὄντος λόγου τὸ 10
γεννηθὲν ἐξ αὐτῆς.

21 Εἰ δὲ δὴ ψιλὴν καὶ μόνην ἀπονέμει τις αὐτῶι τὴν ὀργανικὴν ὑπουργίαν, ἀποπέμψει καὶ οὐχ ἑκὼν καὶ τοῦ εἶναι κατὰ ἀλήθειαν υἱόν. ὑποκείσθω γάρ τις τῶι λόγωι, φέρε εἰπεῖν, ἄνθρωπος, ἔστω δὲ αὐτῶι καὶ παῖς τὰ εἰς λύραν τεχνίτης ψάλλειν τε ἄριστα μεμελετηκώς· ἆρ' οὖν ὁ τοιοῦτος καταλογιεῖται τὴν λύραν καὶ τὸ τῆς ὠιδῆς ὄργανον ἐν υἱοῦ τάξει σὺν τῶι 15
PG 33 υἱῶι; καίτοι πῶς οὐκ εὐηθες λίαν τὸ χρῆμά ἐστιν; ἡ μὲν γὰρ εἰς ἔνδειξιν παρελήφθη τῆς τέχνης, ὃ δέ ἐστι καὶ ὀργάνου δίχα τοῦ τεκόντος υἱός. εἰ δὲ δὴ φαῖεν ὅτι παρελήφθη πρὸς ὑπουργίαν ὁ ἐκ γυναικός, ἵνα δι' αὐτοῦ τελῆται τὰ θαύματα καὶ τῶν εὐαγγελικῶν θεσπισμάτων ἀναλάμψηι τὸ κήρυγμα, λεγέσθω καὶ ἕκαστος τῶν ἁγίων προφητῶν θεότητος
Exod. 7, 20 ὄργανον καὶ πρό γε τῶν ἄλλων ὁ ἱεροφάντης Μωυσῆς, ὃς ἀνασχὼν τὴν ῥάβδον μετετίθει 20
14, 21. 17, 6 μὲν εἰς αἷμα τοὺς ποταμούς, διιστὰς δὲ καὶ αὐτὴν τὴν θάλασσαν διὰ μέσων ἰέναι κυμάτων
Ps. 113, 8 ἐκέλευε τοῖς ἐξ Ἰσραήλ, ἐπιφέρων δὲ αὐτὴν καὶ πέτραις ὑδάτων αὐτὰς ἐποίει μητέρας καὶ
1 Tim. 2, 5 πηγὴν ἔδειξε τὴν ἀκρότομον καὶ μεσίτης γέγονε θεοῦ καὶ ἀνθρώπων καὶ νόμου διάκονος
M IIII 612 ἦν καὶ καθηγεῖτο λαῶν. οὐδὲν οὖν ἄρα τὸ περιττὸν ἐν Χριστῶι καὶ πεπλεονέκτηκε μὲν οὐδαμῶς τοὺς πρὸ αὐτοῦ γεγονότας ὡς ἐν ὀργάνων χρείαι τε καὶ τάξει κατὰ τὸν ἴσον 25
Ps. 88, 7 τρόπον παρειλημμένος, πεφλυάρηκε δὲ κατὰ τὸ εἰκὸς ὁ θεσπέσιος Δαυὶδ ἐκεῖνο εἰπὼν ὅτι
τίς ἐν νεφέλαις ἰσωθήσεται τῶι κυρίωι καὶ τίς ὁμοιωθήσεται τῶι κυρίωι
22 ἐν υἱοῖς θεοῦ; ἀλλ' ὅ γε σοφώτατος Παῦλος τελοῦντα μὲν ἐν οἰκέταις ἀποφαίνει Μωσέα, θεὸν δὲ καὶ κύριον ἀποκαλεῖ τὸν ἐκ γυναικὸς οἰκονομικῶς γεγονότα, τουτέστι Χριστόν.
Hebr. 3, 1-6 γέγραφε γὰρ ὡδί· ὥστε, ἀδελφοὶ ἅγιοι, κλήσεως ἐπουρανίου μέτοχοι, κατα- 30
νοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν πιστὸν ὄντα τῶι ποιήσαντι αὐτόν, ὡς καὶ Μωυσῆς ἐν ὅλωι τῶι οἴκωι αὐτοῦ. πλείονος γὰρ οὗτος δόξης παρὰ Μωυσῆν ἠξίωται, καθ' ὅσον πλείονα τιμὴν ἔχει

8—11 Flor. Cyr. 69 πρόδηλον — αὐτῆς

VM, P [= hk], S, D [= mn], WRΑᵗΛᵉ

1 ἑαυτὸν S χαρίσηται MWR 2 νοῆται P καὶ VMPWRΛᵉ om. SDΑᵗ 3 καὶ μὴν καὶ MPSR καὶ μήν VW καὶ D ἑτέρου S καὶ κατὰ SD 3/4 γεγενημένον S 4 ἐκ om. V νοοῖτο SD εἶναι om. PΑᵗᶜ 5 ὁ om. R καὶ om. SD τοῦ om. VMPW καὶ om. Flor. Cyr. πρσ VMPWRΑᵗᶜ σρσ SD 6 γὰρ] δὲ P 8 προφήτου] μακαρίου S τὸ om. SR 9 ἀποφαίνεται M τοῦ om. SD τὸν] τὸ Λᵉ τὸν ἐμμανουὴλ τὸν V 10 ἐκ πρσ MPWR θυ πρσ Flor. Cyr. 13 τις] πωσ V 14 τε] τὰ VMW τε non uertunt Λᵗᶜ 15 ἄρα VMPW σὺν] ἐν M 16 ἄηθεσ M λίαν om. R γὰρ λύρα SDΑᵗᶜ παρελήμφθη R 18 τελεῖται M τελῆτε V τελῆ S 19 ἀναλάβη D ἁγίων om. R 19/20 ὄργανον θεότητοσ M 20 ἄλλων VMPWRΑᵗᶜ ἄλλων ἁπάντων SD μωσῆσ SDR 21 διαχωρίζων V δὲ om. W θάλατταν R 22 ἐκέλευσε SD ἰσραηλίταισ P 25 εἰ ὡσ V τάξει τε καὶ χρεία V τε om. P 25/26 κατὰ — τρόπον ante πεφλυάρηκε coll. P 26 παρειλημμένοσ SRᶜᵒʳʳ παρειλημμένουσ MPDWRΑᵗᶜ καὶ οὗτοσ παραλαμβάνεται V καὶ ὁ V κακεῖνο V τοῦτο SD ὅτι om. PΑᵗ 27 καὶ τίς om. SD 29 καὶ om. S γεγονότα om. R τὸν χν P 30 γέγραπται SD δὲ P ὧδε VMPW ἁγίασ VMW μου ἁγίασ P 32 μωσῆσ D ὅλω SDRΛᵉ om. VMPWΑᵗ 33 δόξησ οὗτοσ VR

τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν. πᾶς γὰρ οἶκος κατασκευάζεται ὑπό L III 41
τινος, ὁ δὲ τὰ πάντα κατασκευάσας θεός. καὶ Μωυσῆς μὲν πιστὸς ἐν ὅλωι
τῶι οἴκωι αὐτοῦ ὡς θεράπων εἰς μαρτύριον τῶν λαληθησομένων· Χριστὸς
δὲ ὡς υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ, οὗ οἶκος ἐσμὲν ἡμεῖς. ἆθρει δὴ οὖν ὅπως
καὶ τὸ τῆς ἀνθρωπότητος αὐτῶι τετήρηκε μέτρον καὶ τῆς ἀνωτάτω δόξης καὶ θεοπρεποῦς 5
ἀξίας ἀπονέμει τὴν ὑπεροχήν. ἀρχιερέα γὰρ καὶ ἀπόστολον εἰπὼν καὶ μὴν καὶ
γενέσθαι πιστὸν τῶι ποιήσαντι αὐτὸν εὖ μάλα διαβεβαιούμενος, τετιμῆσθαι μειζόνως
ἢ κατὰ Μωσέα φησίν, καθ' ὅσον πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας
αὐτόν· εἶτα προσεπάγει πᾶς γὰρ οἶκος κατασκευάζεται ὑπό τινος, ὁ δὲ τὰ
πάντα κατασκευάσας θεός. οὐκοῦν τέτακται μὲν ἐν ποιήμασιν καὶ ἐν τοῖς κα- 10
τεσκευασμένοις ὁ θεσπέσιος Μωυσῆς, κατασκευαστὴς δὲ τῶν ὅλων δέδεικται Χριστός, καίτοι
θεοῦ λεγομένου κατασκευάσαι τὰ πάντα. θεὸς οὖν ἄρα καὶ ἀληθινὸς ἀνενδοιάστως ἐστί.
καὶ Μωυσῆς μὲν ὡς θεράπων ἐν ὅλωι τῶι οἴκωι πιστός, Χριστὸς δὲ ὡς υἱὸς ἐπὶ τὸν
οἶκον αὐτοῦ, οὗ οἶκος ἐσμὲν ἡμεῖς, καίτοι θεοῦ λέγοντος διὰ φωνῆς προφητῶν ὅτι 14
ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω καὶ ἔσομαι αὐτῶν θεὸς καὶ αὐτοὶ 2 Cor. 6, 16
23 ἔσονταί μοι λαός. ἀλλὰ τίς ἂν νοοῖτο, φαίη τις ἂν ἴσως, ἡ διαφορὰ Χριστοῦ καὶ PG 36
Μωυσέως, εἴπερ ἄμφω γεγόνασι διὰ γυναικῶν; πῶς ὁ μὲν οἰκέτης καὶ ὡς ἐν οἴκωι
πιστός, ὁ δὲ καὶ φύσει κύριος ὡς υἱὸς καὶ ἐπὶ τὸν οἶκον αὐτοῦ, τουτέστιν ἡμᾶς; οἶμαι
δὲ ἔγωγε παντί τωι τὸ χρῆμα ὑπάρχειν ἐναργές, εἴπερ ἐστὶν ἐν καλῶι φρενὸς καὶ νοῦν 1 Cor. 2, 16
ἔχει Χριστοῦ κατὰ τὸν μακάριον Παῦλον. ὁ μὲν γὰρ ἦν ἄνθρωπος καὶ ὑπὸ ζυγὰ δουλείας, 20
ὁ δὲ κατὰ φύσιν ἐλεύθερος ὡς θεὸς καὶ δημιουργὸς τῶν ὅλων καὶ κένωσιν ἀνατλὰς τὴν
ἐθελούσιον δι' ἡμᾶς, ἀλλ' οὐχὶ τοῦτο αὐτὸν τῆς θεοπρεποῦς δόξης ἐξοικιεῖ οὔτε μὴν τῆς
ὑπερτάτης καὶ κατὰ πάντων ὑπεροχῆς ἀποσοβήσει· πόθεν; ὥσπερ γὰρ ἡμεῖς τὸ αὐτοῦ M IIII 613
πνεῦμα πλουτήσαντες (κατώικηκε γὰρ ἐν ταῖς καρδίαις ἡμῶν) τετάγμεθα μὲν ἐν τέκνοις Eph. 3, 17
θεοῦ, τό γε μὴν εἶναι τοῦθ' ὅπερ ἐσμέν, οὐκ ἀποβεβλήκαμεν (ἐσμὲν γὰρ ἄνθρωποι κατὰ 25
φύσιν, καίτοι θεῶι λέγοντες ἀββᾶ ὁ πατήρ), οὕτως καὶ αὐτὸς ὁ τῆς τοῦ θεοῦ καὶ πατρὸς Rom. 8, 15
οὐσίας ἀπορρήτως ἐκπεφηνὼς θεὸς λόγος προσλαβὼν τὸ ἀνθρώπινον τετίμηκε μὲν τὴν
φύσιν, οὐ μὴν ἔξω γέγονε τῆς ἰδίας ὑπεροχῆς, μεμένηκε δὲ καὶ ἐν ἀνθρωπότητι θεός.
οὐκοῦν οὐκ ἐν ὀργάνου τάξει παρειλῆφθαι φαμὲν τὸν ἐκ τῆς παρθένου ναόν, ἑπόμενοι
δὲ μᾶλλον τῆι πίστει τῶν ἱερῶν γραμμάτων καὶ ταῖς τῶν ἁγίων φωναῖς σάρκα γεγενῆσθαι Ioh. 1, 14
τὸν λόγον διακεισόμεθα κατά γε τοὺς ἤδη πλειστάκις ἡμῖν προαποδοθέντας τρόπους. 31
οὕτως καὶ τέθεικεν ὑπὲρ ἡμῶν τὴν ἰδίαν ψυχήν. ἐπειδὴ γὰρ ἦν ὁ θάνατος αὐτοῦ τῶι κόσμωι
σωτήριος, ὑπέμεινε σταυρόν, αἰσχύνης καταφρονήσας, καίτοι ζωὴ κατὰ φύσιν ὑπάρχων Hebr. 12, 2
ὡς θεός. πῶς οὖν ἡ ζωὴ τεθνάναι λέγεται; τῆι ἰδίαι σαρκὶ παθοῦσα τὸν θάνατον, ἵνα L III 44

VM, P [= hk], S, D [= mn], WRΛ^{t}Λ^{c}

2 ὁ μωυσῆς P 3 μαρτυρίαν V 4 ὁ οἶκος D πῶς SD 5 αὐτοῦ V δόξης om. SD 8 μωυσέα M 9 εἶτα προσεπάγει MPWR εἶτα προσάγει SD om. V τὰ om. R 10/11 κατεσκευασμένοις MW κατασκευασμένοις PR κατασκευαζομένοις V κατασκευασμοῖς SD 11 μωσῆς R τῶν — χ̄σ̄ SDRΛ^{tc} τούτων ὁ τῶγ ὅλων θ̄σ̄ V τούτων ὁ τῶν ὅλων δέδεικται κ̄σ̄ [κ̄σ̄ om. MW] χ̄σ̄ MPW 13 ἐν ὅλω — πιστὸς ὡσ θεράπων S οἴκω αὐτοῦ SD 14 ὁ οἶκος D τῶν προφητῶν SD 16 μου R νοοῖτο om. P ἴσως om. WR 17 μωσέως PSD ἄμφω om. V γυναικὸς SD 18 καὶ om. W ὡς VMPWRΛ^{tc} καὶ SD καὶ SDRΛ^{tc} om. VMPW αὐτοῦ om. M 19 τωι om. D 20 Ζυγὸν δούλου V 22 ἐθελουσίαν S ἐξοικιεῖ SR ἐξοικειοῖ D ἐξοικίσει VMW ἐξοικήσει P 23 καὶ om. D ἀποσοβεῖ R αὐτὸ SΛ^{tc} 24 κατώκησε VD καὶ τετάγμεθα W μὲν om. W 26 τῶ θ̄ῶ D λέγοντος R 28 οἰκείας M 29 τὸν — ναόν om. R ναόν] υἱὸν V 30 γεγεννῆσθαι VP γενέσθαι D 31 διεισόμεθα P ἡμῖν om. R 32 οὕτω γὰρ SD οὗτος V οὕτι M τέθηκεν P ἰδίαν om. V 32/33 τοῦ κόσμου VMPW 33 ὁ σωτήριος V 34 ὡς] ὁ S

24 φαίνηται ζωή, ζωοποιοῦσα πάλιν αὐτήν. φέρε γάρ, εἰ καὶ ἐφ' ἡμῶν αὐτῶν ὁ τοῦ θανάτου πολυπραγμονοῖτο τρόπος, οὐχ ἅπας τις οὖν τῶν εὖ φρονούντων ἐρεῖ τοῖς ἀπὸ γῆς σώμασιν οὐ συγκαταφθείρεσθαι τὰς ψυχάς; ἀλλ' οἶμαι τοῦτό ἐστιν οὐδενὶ τῶν ὄντων ἐνδοιαστόν· πλὴν ἀνθρώπου θάνατος τὸ συμβεβηκὸς ὀνομάζεται. οὕτω νοήσεις καὶ ἐπ' αὐτοῦ τοῦ Ἐμμανουήλ. ἦν μὲν γὰρ ὁ λόγος ὡς ἐν ἰδίωι σώματι τῶι ἐκ γυναικός, ἐδίδου δὲ αὐτὸ τῶι θανάτωι κατὰ καιρόν, πάσχων μὲν οὐδὲν εἰς ἰδίαν φύσιν αὐτός (ζωὴ γάρ ἐστι καὶ ζωοποιός), οἰκειούμενος δὲ τὰ σαρκός, ἵνα καὶ αὐτοῦ λέγηται τὸ παθεῖν καὶ εἷς ὁ πάντων ἀντάξιος τεθνεὼς ὑπὲρ πάντων ἀγοράσηι τῶι ἰδίωι αἵματι τὴν ὑπ' οὐρανὸν καὶ κατακτήσηται τῶι θεῶι καὶ πατρὶ τοὺς ἀνὰ πᾶσαν τὴν γῆν. καὶ τοῦτο ὡς ἀληθὲς ὁ μακάριος προφήτης Ἡσαίας διακηρύττει λέγων ἐν πνεύματι· διὰ τοῦτο αὐτὸς κληρονομήσει πολλοὺς καὶ τῶν ἰσχυρῶν μεριεῖ σκῦλα, ἀνθ' ὧν παρεδόθη εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ καὶ ἐν τοῖς ἀνόμοις ἐλογίσθη καὶ αὐτὸς ἁμαρτίας πολλῶν **25** ἀνήνεγκεν καὶ διὰ τὰς ἀνομίας αὐτῶν παρεδόθη. εἷς οὖν ὁ πάντων ἀξιώτερος τὴν ἰδίαν ὑπὲρ πάντων τέθεικε ψυχήν, καὶ συνεχώρει μὲν οἰκονομικῶς καταβιβάζεσθαι βραχὺ τῶι θανάτωι τὴν σάρκα, κατήργηκε δὲ πάλιν αὐτὸν ὡς ζωὴ παθεῖν οὐκ ἀνεχομένη τὸ παρὰ φύσιν ἰδίαν, ἵνα καὶ ἐν τοῖς ἁπάντων ἀτονήσηι σώμασιν ἡ φθορὰ καὶ τὸ τοῦ θανάτου παραλύοιτο κράτος. ὥσπερ γὰρ ἐν τῶι Ἀδὰμ πάντες ἀποθνήισκομεν, οὕτω καὶ ἐν τῶι Χριστῶι πάντες ζωοποιηθησόμεθα. εἰ γὰρ μὴ πέπονθεν ἀνθρωπίνως ὑπὲρ ἡμῶν, οὐδὲ ἐνήργηκε θεικῶς τὰ εἰς σωτηρίαν ἡμῶν. λέγεται γὰρ πρότερον μὲν ἀποθανεῖν ὡς ἄνθρωπος, ἀναβιῶναι δὲ μετὰ τοῦτο διά τοι τὸ εἶναι κατὰ φύσιν θεός. εἰ τοίνυν οὐ πέπονθε τὸ τεθνάναι σαρκὶ κατὰ τὰς γραφάς, οὐδὲ ἐζωοποιήθη πνεύματι, τουτέστιν οὐκ ἀνεβίω. καὶ εἰ τοῦτό ἐστιν ἀληθές, ματαία ἡ πίστις ἡμῶν· ἔτι ἐσμὲν ἐν ταῖς ἁμαρτίαις ἡμῶν. βεβαπτίσμεθα γὰρ εἰς τὸν θάνατον αὐτοῦ κατὰ τὰς τοῦ μακαρίου Παύλου φωνὰς καὶ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν ἐσχήκαμεν διὰ τοῦ αἵματος αὐτοῦ.

26 Ἀλλ' εἴπερ ἐστὶν ὁ Χριστὸς οὔτε υἱὸς ἀληθῶς οὔτε μὴν φύσει θεός, ἄνθρωπος δὲ ψιλὸς καθ' ἡμᾶς καὶ θεότητος ὄργανον, σεσώσμεθα μὲν οὐκ ἐν θεῶι, πόθεν; ἑνὸς δὲ μᾶλλον τῶν καθ' ἡμᾶς τεθνεῶτος ὑπὲρ ἡμῶν καὶ δυνάμεσιν ἀλλοτρίαις ἐγηγερμένου. πῶς οὖν ἔτι κατηργήθη θάνατος διὰ Χριστοῦ; καίτοι λέγοντος ἀκούω σαφῶς περὶ τῆς ἰδίας ψυχῆς· οὐδεὶς αἴρει αὐτὴν ἀπ' ἐμοῦ, ἀλλ' ἐγὼ τίθημι αὐτὴν ἀπ' ἐμαυτοῦ. ἐξουσίαν ἔχω θεῖναι αὐτὴν καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν. κατέβη γὰρ μεθ' ἡμῶν εἰς θάνατον διὰ τῆς ἰδίας σαρκὸς ὁ θάνατον οὐκ εἰδώς, ἵνα καὶ ἡμεῖς ἀναβαίνωμεν σὺν αὐτῶι πρὸς ζωήν. ἀνεβίω γὰρ σκυλεύσας τὸν ἅιδην οὐχ ὡς ἄνθρωπος

PG 37 Ies. 53, 12 M IIII 616 1 Cor. 15, 22 1 Petr. 3, 18 1 Cor. 15, 17 Rom. 6, 3 Eph. 1, 7 Ioh. 10, 18 L III 45

1—7 Flor. Cyr. 70 φέρε — ζωοποιός

13—17 Flor. Cyr. 71 εἷς — κράτος

13—16 Orientales adu. Cyrilli XII capita [A 24] 106 [= PG 76, 377] ἐν τῶι πρώτωι τόμωι· 'εἷς — ἰδίαν'.

20—21 ibid. 75 [= p. 353] ἐν τῶι πρώτωι τόμωι· 'εἰ — πνεύματι'.

VM, P [= hk], S, D [= mn], WRΛ[1]Λ[c]

1 ζωοποιοῦσα ζωὴ S εἰ om. DΛ[c] ὑμῶν M 2 πολυπραγμονοῖτο SR Flor. Cyr. *perscrutetur* Λ[1c] πολυπραγμονεῖται VMPW πολυπραγμονείσθω D οὖν om. D φήσει P ἀπὸ γῆς om. V 3 μὴ P om. V οὐ del. M ἐν οὐδενὶ D 4 νομίζεται Flor. Cyr. 5 ὁ λόγος] λόγος S ὅλος R 6 ἑαυτὸν Flor. Cyr. 7 σαρκικὰ S αὐτῆ D 8 ἀγοράσει W 9 ὡς om. VMPW 10 διακηρύσσει R 11 μεριεῖται P 12/13 αὐτὸς — καὶ om. SD 13 ἁμαρτίας SD 13/14 ὑπὲρ πάντων ὁ πάντων — ἰδίαν D 14 καταβιβάζεσθαι SDRΛ[1c] Orient. Flor. Cyr. καταβιάζεσθαι VMPW 15 κατήργει VMPW δὲ om. S τὲ VMPW τὸ om. VMPW 16 ἀτονήσει W ἀσθενήση P 17 καὶ om. S 18 ζωοποιησόμεθα P ζωοποιησώμεθα in ζωοποιηθησόμεθα corr. W μὴ] καὶ P 19 οὐδὲ ἐνήργηκε] ἀλλ' ἐνήργει καὶ P ἐνήργησε PSD μὲν γὰρ R το πρότερον V 19/20 ἀποθανεῖν μὲν D 20 τοι om. VSD θεός om. SD 21 τὸ VMSDWR τιὸ V[corr] P 26 ὑμᾶς P 27 τεθνεώτων P 28 ὁ θάνατος VMPW 30 ἐξουσίαν γὰρ D λαβεῖν πάλιν S 31 μεθ' ἡμῶν om. V ἰδίας om. S 31/32 ἀναβῶμεν VD

καθ' ἡμᾶς, ἀλλ' ὡς θεὸς ἐν σαρκὶ μεθ' ἡμῶν καὶ ὑπὲρ ἡμᾶς. κατεπλούτει δὲ ἡ φύσις ὡς ἐν αὐτῷ δὴ καὶ πρώτῳ τὴν ἀφθαρσίαν καὶ συνετρίβη θάνατος τῷ τῆς ζωῆς σώματι πολεμίου δίκην ἐμβαλών· ὥσπερ γὰρ νενίκηκεν ἐν Ἀδάμ, οὕτω πέπτωκεν ἐν Χριστῷ. καὶ γοῦν ἀναβαίνοντι δι' ἡμᾶς καὶ ὑπὲρ ἡμῶν πρὸς τὸν ἐν οὐρανοῖς πατέρα καὶ θεόν, ἵνα τοῖς ἐπὶ τῆς γῆς βάσιμον ἀποφήνῃ τὸν οὐρανόν, τὰς ἐπινικίους ᾠδὰς ἀνετίθει λέγων ὁ θεσπέσιος μελῳδός· ἀνέβη ὁ θεὸς ἐν ἀλαλαγμῷ, κύριος ἐν φωνῇ σάλπιγγος. Ps. 46, 6-9
ψάλατε τῷ θεῷ ἡμῶν, ψάλατε· ψάλατε τῷ βασιλεῖ ἡμῶν, ψάλατε. ψάλατε PG 40
συνετῶς· ἐβασίλευσεν ὁ θεὸς ἐπὶ πάντα τὰ ἔθνη. ἔφη δέ που καὶ ὁ μακάριος Παῦλος περὶ αὐτοῦ· ὁ καταβὰς αὐτός ἐστιν καὶ ὁ ἀναβὰς ὑπεράνω τῶν οὐρανῶν, Eph. 4, 10
ἵνα πληρώσῃ τὰ πάντα.

27 Ὅτε τοίνυν καὶ θεός ἐστιν ἀληθῶς καὶ βασιλεὺς κατὰ φύσιν, εἴρηται δὲ καὶ τῆς 1 Cor. 2, 8
δόξης κύριος ὁ ἐσταυρωμένος, πῶς ἂν ἐνδοιάσειέ τις θεοτόκον εἰπεῖν τὴν ἁγίαν παρθένον; προσκύνησον ὡς ἕνα, μὴ διελὼν εἰς δύο μετὰ τὴν ἕνωσιν· τότε γελάσει μάτην ὁ παράφρων Ἰουδαῖος· τότε κυριοκτόνος ἔσται κατὰ ἀλήθειαν, ἁλώσεται δὲ πεπλημμεληκὼς οὐκ εἰς ἕνα τῶν καθ' ἡμᾶς, ἀλλ' εἰς αὐτὸν τὸν τῶν ὅλων σωτῆρα θεὸν καὶ δὴ καὶ ἀκούσεται· οὐαὶ M IIII 617
ἔθνος ἁμαρτωλόν, λαὸς πλήρης ἁμαρτιῶν· σπέρμα πονηρόν, υἱοὶ ἄνομοι· Ies. 1, 4
ἐγκατελίπατε τὸν κύριον καὶ παρωργίσατε τὸν ἅγιον τοῦ Ἰσραήλ. Ἑλλήνων δὲ παῖδες κατ' οὐδένα τρόπον τῇ Χριστιανῶν διαμωμήσονται πίστει· λελατρεύκαμεν γὰρ οὐκ ἀνθρώπῳ ψιλῷ, μὴ γένοιτο, θεῷ δὲ μᾶλλον τῷ κατὰ φύσιν, οὐκ ἀγνοοῦντες αὐτοῦ τὴν δόξαν, κἂν εἰ γέγονε καθ' ἡμᾶς μεμενηκὼς ὅπερ ἦν, τουτέστι θεός. δι' αὐτοῦ τε καὶ σὺν αὐτῷ τῷ θεῷ καὶ πατρὶ ἡ δόξα σὺν ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

2 = S 2 [7] A 10. Latinæ uersiones habentur 1) Marii Mercatoris in Collectione Palatina 27; 2) in Collectione CT 2, unde deriuata est Collectio Veronensis 13

1 Τῷ εὐλαβεστάτῳ καὶ θεοσεβεστάτῳ συλλειτουργῷ Νεστορίῳ Κύριλλος ἐν κυρίῳ L III 314
χαίρειν. Ἄνδρες αἰδέσιμοι καὶ πίστεως ἄξιοι παραγεγόνασιν ἐν Ἀλεξανδρείαι, εἶτα μετέδο- M IIII 884
σαν ὡσανεὶ τῆς σῆς θεοσεβείας ἀγανακτούσης σφόδρα καὶ πάντα κινούσης κάλων εἰς τὸ PG 77, 40 [ep. 2]

VM, P [= hk], S, D [= mn], WRΛ^{t}Λ^{c}
1 καὶ om. P ἡμῶν D 2 δὴ om. VMPSW πρῶτον D ὁ θάνατος V 3 πολέμου P 3 τῷ ἀδὰμ V τῷ χῷ V 4 τοῖς οὐρανοῖς S 5 τῆς om. VS βάσιν D ἐνετίθει VMPW 7/8 ψάλατε συνετῶς om. V 8 πάντα om. V δήπου P ὁ om. SD μακάριος om. SDR 9 αὐτοῦ λέγων VMPW τῶν VMPSDWΛ^{tc} πάντων τῶν R 11 τότε S ὅτι τὲ VMW 15 τῶν ὅλων om. VMPW σρᾶ καὶ θῦ V καὶ^{2} om. P 16 ἁμαρτωλῶν P 17 ἐγκατελίπατε D ἐγκατελείπατε R ἐγκατελίπετε VMP ἐγκατελείπετε SW 18 τὴν τῶν SD μωμήσονται D πίστιν SD 18/19 οὐ λελατρεύκαμεν γὰρ ἀνῷ P 19 οὐκ om. MW 21 θῷ πρὶ S θῷ τε καὶ πρὶ MW ἡ om. P τῷ ἁγίῳ καὶ ζωοποιῷ D αἰῶνας τῶν αἰώνων VMPWΛ^{tc} αἰῶνας SDR

VM, P [= hk] SS$_1$, D [= mn], D$_1$ [= m$_1$n$_1$], AWRΛ^{m}Λ^{t}Λ^{c}Λ^{u}
β VMPSD ζ S$_1$D$_1$ inscr. om. VMPS$_1$W κυρίλλου ἐπισκόπου ἀλεξανδρείας πρὸς νεστόριον S κυρίλλου [τοῦ αὐτοῦ κυρίλλου D$_1$] ἐπισκόπου ἀλεξανδρείας [ἐπ. ἀλ. om. D$_1$A] πρὸς νεστόριον ἡνίκα ἔμαθεν αὐτὸν κακῶς φρονεῖν DD$_1$A cf. Λ^{u} κυρίλλου ἀρχιεπισκόπου ἀλεξανδρείας ἐπιστολὴ γραφεῖσα πρὸς νεστόριον εὐσπλαγχνίας καὶ ἀπολογίας μεστὴ ὡσ αὐτοῦ νεστορίου ἐξ ἀρχῆσ αἰτίου γενομένου σκανδάλου πᾶσι χριστιανοῖσ τὸ [l. τῷι] μὴ ὁμολογεῖν αὐτὸν θεοτόκον τὴν ἁγίαν παρθένον ἀλλὰ χριστοτόκον ὡσ τοῦ χριστοῦ μὴ ὄντοσ κατ' αὐτὸν θεοῦ ἀλλὰ μᾶλλον κοινοῦ ἀνθρώπου· παρακαλοῦντοσ δὲ χαρίσασθαι λέξιν τοῖσ σκανδαλιζομένοισ ἐπὶ τῇι αὐτοῦ ἐξηγήσει καὶ θεοτόκον ὀνομάσαι αὐτήν R 25/26 Τῷι — χαίρειν om. Λ^{m} 25 καὶ om. S θεοσεβεστάτῳ SS$_1$DD$_1$AΛ^{tcu} θεοφιλεστάτῳ VMPWR ἐπισκόπῳ συλλειτουργῷ V κύριλλοσ ἐπίσκοποσ DD$_1$A 25/26 ἐν — χαίρειν om. Λ^{u} 25 χῷ P 26 εἶτα μετέδοσαν om. spat. rel. W εἶτα] οἵτινεσ M 27 καὶ τῆσ D κάλων κινούσησ VSS$_1$DD$_1$ πρὸσ SS$_1$

λυπεῖν ἐμέ. βουλομένωι δέ μοι τῆς σῆς θεοσεβείας τὴν λύπην ἀναμαθεῖν ἔφασαν ὅτι
ep. 1 τὴν πρὸς μοναστὰς ἁγίους γενομένην ἐπιστολὴν περιφέρουσι τινὲς τῶν ἀπὸ τῆς Ἀλεξαν-
2 δρείας καὶ ἡ τοῦ μίσους ἀφορμὴ καὶ τῆς ἀηδίας αὕτη γέγονεν. τεθαύμακα τοίνυν εἰ μὴ
ἐκεῖνο μᾶλλον ἡ σὴ θεοσέβεια καθ' ἑαυτὴν ἐλογίσατο· οὐ γὰρ πρότερον ἐμῆς γραφείσης
ἐπιστολῆς ὁ ἐπὶ τῆι πίστει γέγονε θόρυβος, ἀλλ' ἢ εἰρημένων τινῶν παρὰ τῆς σῆς θεοσε- 5
βείας ἢ καὶ μή. πλὴν χαρτίων ἢ γοῦν ἐξηγήσεων περιφερομένων, κάμνομεν ἡμεῖς ἐπα-
PG 41 νορθοῦν ἐθέλοντες τοὺς διεστραμμένους. ἐγγὺς γὰρ γεγόνασι τινὲς τοῦ μὴ ἀνέχεσθαι
λοιπὸν ὁμολογεῖν ὅτι θεός ἐστιν ὁ Χριστός, ὄργανον δὲ μᾶλλον καὶ ἐργαλεῖον θεότητος καὶ
ἄνθρωπος θεοφόρος καὶ τί γὰρ οὐχὶ τῶν τοιούτων ἐπέκεινα; ἦν οὖν ἄρα τὸ χαλεπαί-
νειν ἡμῶν ἐφ' οἷς εἴρηκεν ἢ οὐκ εἴρηκεν ἡ σὴ θεοσέβεια· τοῖς γὰρ περιφερομένοις χαρ- 10
τίοις οὐ σφόδρα πιστεύω. πῶς οὖν ἔνι σιωπῆσαι πίστεως ἀδικουμένης καὶ τοσούτων
διεστραμμένων; ἢ οὐ παραστησόμεθα τῶι βήματι τοῦ Χριστοῦ, οὐκ ἀπολογησόμεθα δὲ
3 τῆς ἀκαίρου σιωπῆς ἕνεκα, καίτοι τεταγμένοι παρ' αὐτοῦ πρὸς τὸ λέγειν ἃ δεῖ; τί δὲ
ποιήσω νῦν (δεῖ με γὰρ βουλεύσασθαι μετὰ τῆς σῆς θεοσεβείας), μηνύοντος τοῦ εὐλαβε-
στάτου καὶ θεοσεβεστάτου τῆς Ῥωμαίων ἐπισκόπου Κελεστίνου καὶ τῶν σὺν αὐτῶι θεο- 15
σεβεστάτων ἐπισκόπων περὶ τῶν ἀπενεχθέντων οὐκ οἶδ' ὅπως ἐκεῖ χαρτίων, πότερόν ποτε
τῆς σῆς θεοσεβείας ἢ μή; γράφουσι γὰρ ὡς πάνυ σκανδαλισθέντες. πῶς δὲ τοὺς ἀπὸ
τῆς Ἀνατολῆς ἐκ πασῶν τῶν ἐκκλησιῶν ἐρχομένους θεραπεύσομεν καὶ τῶν χαρτίων καταγογγύ-
M IIII 885 ζοντας; ἢ τάχα που νομίζει ἡ σὴ θεοσέβεια ὅτι μικρὸς ταῖς ἐκκλησίαις ἀνεφύη θόρυβος
ἐκ τῶν τοιούτων ὁμιλιῶν; πάντες ἐσμὲν ἐν ἀγῶσι καὶ πόνοις τοὺς ἕτερα φρονεῖν οὐκ οἶδ' 20
ὅπως ἀναπεπεισμένους μεθιστάντες εἰς τὸ ἀληθές. ὅτε τοίνυν ἡ τὴν ἀνάγκην ἅπασιν τοῦ
γογγύζειν ἐπενεγκοῦσα ἡ σὴ θεοσέβειά ἐστιν, πῶς αἰτιᾶται δικαίως; τί δέ μου καὶ μάτην
καταβοᾶι καὶ οὐχὶ μᾶλλον ἐπανορθοῖ τὸν ἑαυτῆς λόγον, ἵνα παύσηι σκάνδαλον οἰκουμε-
L III 315 νικόν; εἰ γὰρ καὶ παρερρύη λόγος ὡς ἐπὶ λαοῦ τρέχων, ἀλλ' ἐπανορθούσθω ταῖς ἐπι- 25
σκέψεσιν, καὶ λέξιν χαρίσασθαι τοῖς σκανδαλιζομένοις καταξίωσον, θεοτόκον ὀνομάζων τὴν
ἁγίαν παρθένον, ἵνα θεραπεύσαντες τοὺς λελυπημένους καὶ ὀρθὴν παρὰ πᾶσιν δόξαν
ἔχοντες ἐν εἰρήνηι καὶ ὁμοψυχίαι τῶν λαῶν τὰς συνάξεις ἐπιτελῶμεν. ὅτι δὲ ὑπὲρ
τῆς εἰς Χριστὸν πίστεως πάντα ἕτοιμοι παθεῖν ἐσμὲν καὶ δεσμωτηρίων εἰς πεῖραν ἐλθεῖν
4 καὶ αὐτοῦ τοῦ θανάτου, μὴ ἀμφιβαλλέτω ἡ σὴ θεοσέβεια. ἐπ' ἀληθείας δὲ λέγω ὅτι καὶ πε-
ριόντος ἔτι τοῦ τῆς μακαρίας μνήμης Ἀττικοῦ συντέθειταί μοι βιβλίον περὶ τῆς ἁγίας καὶ ὁμοουσίου 30

29—25, 3 loquitur de Dialogis ad Hermiam, quorum liber sextus est de incarnatione

---

VM, P [= hk], S S_1, D = mn], D_1 [= m_1n_1], AWRΛ^{m}Λ^{t}Λ^{c}Λ^{u}

1 ἔφησαν SS_1A om. R μετέδωσαν R^{mg} 2 τὴν om. D γεγενημένην S_1D_1 γινομένην S τῆς om. PD 3 καὶ ἡ om. S_1 ἀδικίασ SD 4 ἑαυτὴν VMPS_1D_1WR ἑαυτὸν SDA 5 θόρυβος] θρύλλοσ S_1 ἢ om. MPWR περὶ S 6 εἰ RΛ^{tc} χαρτίων τινῶν AR 7 θέλοντεσ V 8 λοιπὸν om. D μᾶλλον δὲ Λ^{m} 9 θεοφόροσ ἀνοσ A τῶν τοιούτων VMPSS_1DWRΛ^{mtc} τούτων D_1A 10 ἡμᾶσ R εἴρηκεν^{1} VSS_1DRΛ^{mtcu} ἢ εἴρηκεν MPD_1WA 11 σφόδρα] πάνυ τι R ἔνι VMPS_1D_1WARΛ^{mu} ἦν SDΛ^{tc} σιωπᾶν R 12 δὲ om. S_1 13 καίτοι γε VS_1D εἶσ SDD_1A δὲ καὶ S_1D_1 14 γάρ με VS_1D_1 γὰρ M μηνύοντι S 15 θεοφιλεστάτου VMPW ῥώμησ V ἐπισκόπου VMPWΛ^{mtc} ἐκκλησίασ ἐπισκόπου S_1DD_1AΛ^{u} ἐπισκόπου ἐκκλησίασ S ἐκλησίασ R 15/16 θεοσεβεστάτων MPWRΛ^{tu} θεοφιλεστάτων VSS_1DD_1AΛ^{c} 16 ἐκεῖ χαρτίων οὐκ οἶδ' ὅπωσ D ἐκεῖ om. S_1 χάρτων V πότερόν ποτε VSDARΛ^{m} πότερον S_1D_1 πρότερον MPWΛ^{tcu} 17 σῆσ εἰσὶ R ἢ μὴ VSS_1DD_1ARΛ^{m} om. MPWΛ^{tcu} ἐκ R 18 ἀνατολικῆσ P χάρτων V 18/19 καταγογγυζόντων SΛ^{t} 19 οὐ μικρὸσ AR ενεφύη R 20 πάντεσ μὲν S πάντεσ γὰρ S_1 ἡ πάντεσ R 21 ὅτι VMkW ἡ om. D πᾶσι A 22 ἐνεγκοῦσα S_1 εἰκαίωσ P τί δέ μου VMPWRΛ^{tu} πῶσ δὲ μισεῖ SS_1DD_1AΛ^{tcu} 23 καὶ] ἢ S_1 ἑαυτοῦ SS_1 . 24 παρρερύη VS_1 παρύη R ὡς om. D ἀλλ' om. V 26 ὀρθῶσ S πᾶσαν S 27 ἐν om. R δὲ]καὶ S περὶ R 28 πάντεσ SA ἑτοίωσ R ἐσμὲν παθεῖν M 29 τοῦ om. S_1D_1R ἀμφιβαλέτω VSS_1DD_1 corr. V δὲ om. R 30 τοῦ τοῦ ἔτι S_1 ἐπὶ S om. R βιβλία MPW

τριάδος, ἐν ὥι καὶ λόγος περὶ τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς, οἷς νῦν γέγραφα, συνωιδός, καὶ ὑπανέγνωμεν αὐτὰ καὶ ἐπισκόποις καὶ κλήρωι καὶ τοῖς φιλακροάμοσι τῶν λαῶν, ἐκδέδωκα δὲ τέως οὐδενί. εἰκὸς οὖν ἐκδοθέντος τοῦ λόγου πάλιν ἐγκαλεῖσθαί με ὅτι καὶ πρὸ τῆς χειροτονίας τῆς σῆς θεοσεβείας συντέθεικα τὸ λογίδιον.

= S 3 A 11. Latine extat in Collectione CT 3

Τῶι δεσπότηι μου θεοφιλεστάτωι καὶ ἁγιωτάτωι συλλειτουργῶι Κυρίλλωι Νεστόριος ἐν κυρίωι χαίρειν. Οὐδὲν ἐπιεικείας Χριστιανικῆς βιαιότερον. ὑπὸ ταύτης γοῦν νῦν διὰ τοῦ εὐλαβεστάτου πρεσβυτέρου Λάμπωνος πρὸς τὸ παρὸν βεβιάσμεθα γράμμα, πολλὰ μὲν εἰπόντος ἡμῖν περὶ τῆς σῆς εὐλαβείας, πολλὰ δὲ ἀκούσαντος, τὸ δὲ τελευταῖον οὐκ ἐνδόντος ἡμῖν, ἕως τὸ παρ' ἡμῶν εἰσεπράξατο γράμμα. καὶ τῆι τοῦ ἀνδρὸς νενικήμεθα βίαι· φόβον γὰρ ὁμολογῶ κεκτῆσθαι πολὺν περὶ πᾶσαν παντὸς ἀνδρὸς Χριστιανικὴν ἐπιείκειαν, ὡς ἐγκαθήμενον αὐτῆι τὸν θεὸν κεκτημένην. τὰ μὲν οὖν παρ' ἡμῶν, καίτοι πολλῶν παρὰ τῆς σῆς θεοσεβείας οὐ κατὰ ἀδελφικὴν ἀγάπην (δεῖ γὰρ εἰπεῖν εὐφημότερον) γεγονότων, ἐν μακροθυμίαι τε καὶ γραμμάτων ἀγάπηι προσρητικῆι· δείξει δὲ ἡ πεῖρα ποταπὸς ἡμῖν ὁ τῆς παρὰ τοῦ εὐλαβεστάτου πρεσβυτέρου Λάμπωνος βίας καρπός. PG 77, 44 [ep. 3] Loofs Nest. 169

Πᾶσαν τὴν σὺν σοὶ ἀδελφότητα ἐγώ τε καὶ οἱ σὺν ἐμοὶ προσαγορεύομεν.

4 = S 11 A 12. Lecta est in concilio Chalcedonensi, cuius Gestorum lectiones non adfero nisi selectas. Latinæ uersiones habentur 1) Marii Mercatoris [Λ^{m}] in Collectione Palatina 26, ad quam proxime accedit uersio Gestorum Chalcedonensium antiqua [Λ^{k}]; hanc correxit Rusticus [Λ^{r}]; 2) in Collectione Quesneliana [Λ^{q}] 66 [uol. v 337—340]; 3) in Collectione CT 6, unde deriuata est uersio Collectionis Veronensis 14 [Λ^{u}] et Gestorum concilii quinti [Λ^{ns}]

Τῶι εὐλαβεστάτωι καὶ θεοφιλεστάτωι συλλειτουργῶι Νεστορίωι Κύριλλος ἐν κυρίωι χαίρειν. Καταφλυαροῦσι μέν, ὡς μανθάνω, τινὲς τῆς ἐμῆς ὑπολήψεως ἐπὶ τῆς σῆς M IIII 888 PG 77, 44 [ep. 4]

4 Flor. Cyr. 1 ἐκ τῆς πρὸς Νεστόριον δευτέρας ἐπιστολῆς, ἧς ἡ ἀρχή· Καταφλυαροῦσι μέν, ὡς μανθάνω, τινὲς τῆς ἐμῆς ὑπολήψεως

Scripta est mense Mechir [d. 26 m. Ian. — d. 24 m. Febr.] 430, subscribitur in SD: Αὕτη ἡ πρώτη ἐπιστολὴ ἀνεγνώσθη ἐν τῆ ἐν ἐφέσω συνόδω ἀνελήφθη ἐν τοῖσ ὑπομνήμασι καθὼς περιέχει

VM, P [= hk], SS_1, D [= mn], D_1 [= m_1n_1], AWR$\Lambda^{m}\Lambda^{r}\Lambda^{c}\Lambda^{u}$

1 ἐν — λόγος] καὶ MPW 1/2 συνωδὸσ VARΛ^{mtc} συνωδὰ MPSS_1DD_1WΛ^{u} 2 ὑπανέγνων μὲν MPSS_1W αὐτῶ SD καὶ² om. ARΛ^{m} κλήρω SS_1DD_1AR Λ^{mtcu} κληρικοῖσ VMPW 3 οὐδέν MPW 4 θεοσεβείας om. R συντέθειται V λογάδιον M in fine add. ἔρρωσο ἐν κυρίω AR alia Λ^{mc}

3 VM, P [= hk], SD [= mn], AWR Λ^{tc}

γ̄ VPSD inscr. ἐπιστολὴ νεστορίου πρὸσ κύριλλον τὸν ἀλεξανδρείασ διὰ λάμπωνοσ πρεσβυτέρου καὶ μονάζοντοσ SD νεστορίου πρὸσ κύριλλον A 6 ἁγιωτάτω δεσπότη μου M om. V τῶ θεοφιλεστάτω A om. MR ἁγιωτάτω μου V om. M 7 ἐν — χαίρειν om. R βιαιότερον VMARΛ^{c} βεβαιότερον PSDW *suauius* Λ^{t} ὑπ αὐτῆσ A οὖν V 9 δὲ καὶ ἀκούσαντοσ VPR δὲ om. V 10 ἡμῖν R 11 χριστιανικῆσ R 12 αὐτὸν R 14 τε om. S ποταμὸσ Vm 16 οἱ] ἡ W

VM, P [= hk], S, D [= mn], ARBEUW $\Delta^{w}\Delta^{m}\Delta^{p}$ [= Ven. 165], $\Delta^{s}\Theta^{p}\Theta^{r}\Lambda^{m}\Lambda^{q}\Lambda^{t}\Lambda^{c}\Lambda^{u}\Lambda^{k}\Lambda^{r}\Lambda^{n}\Lambda^{s}$

δ̄ VP ιᾱ S ιβ D inscr. om. VMPSDR κυρίλλου πρὸσ νεστόριον A ἐπιστολὴ τοῦ ἁγίου κυρίλλου πρὸσ νεστόριον W τοῦ ἁγίου κυρίλλου ἐπισκόπου ἀλεξανδρίασ πρὸσ νεστόριον ἐπιστολὴ E τοῦ ἐν ἁγίοισ κυρίλλου ἀρχιεπισκόπου ἀλεξανδρείασ ἐπιστολὴ πρὸσ νεστόριον τὸν ἐν βεβήλοισ B τοῦ αὐτοῦ ἐπιστολὴ δευτέρα πρὸσ νεστόριον U ἀντίγραφον ἐπιστολῆσ γραφείσησ παρὰ τοῦ θεοφιλεστάτου ἀλεξανδρείασ ἐπισκόπου [ἐπισκόπου ἀλεξανδρείασ Δ^{m}] κυρίλλου πρὸσ νεστόριον ἐπίσκοπον [ἐπ. om. Δ^{m}] μηνὶ μεχὶρ ἰνδικτιῶνοσ τρισκαιδεκάτησ [ιγ' Δ^{m}] Δ^{w}[in prima actione], Δ^{m} ἡ [om. Θ^{pr}] ἐπιστολὴ τοῦ μακαρίου κυρίλλου πρὸσ νεστόριον Δ^{w}[in tertia actione], Θ^{pr} ἀντίγραφον ἐπιστολῆσ ἀποσταλείσησ παρὰ κυρίλλου πρὸσ νεστόριον Δ^{s} 23/24 Τῶι — χαίρειν om. EΔ^{mps} $\Lambda^{mqukrns}$ 23 εὐσεβεστάτω B θεοσεβεστάτω RBΛ^{tc} om. A 23/24 ἐν — χαίρειν om. AR 24 μέν om. WΔ^{ps}

θεοσεβείας, καὶ τοῦτο συχνῶς, τὰς τῶν ἐν τέλει συνόδους καιροφυλακοῦντες μάλιστα, καὶ τάχα που καὶ τέρπειν οἰόμενοι τὴν σὴν ἀκοὴν καὶ ἀβουλήτους πέμπουσι φωνάς, ἠδικημένοι
L III 318 μὲν οὐδέν, ἐλεγχθέντες δέ, καὶ τοῦτο χρηστῶς, ὃ μὲν ὅτι τυφλοὺς ἠδίκει καὶ πένητας, ὃ δὲ ὡς μητρὶ ξίφος ἐπανατείνας, ὃ δὲ θεραπαίνῃ συγκεκλοφὼς χρυσίον ἀλλότριον καὶ τοιαύτην ἐσχηκὼς ἀεὶ τὴν ὑπόληψιν, ἣν οὐκ ἂν εὔξαιτό τις συμβῆναι τισὶν καὶ τῶν λίαν ἐχθρῶν. πλὴν οὐ πολὺς τῶν τοιούτων ὁ λόγος ἐμοί, ἵνα μήτε ὑπὲρ τὸν δεσπότην καὶ διδάσκαλον μήτε μὴν ὑπὲρ τοὺς πατέρας τὸ τῆς ἐνούσης ἐμοὶ βραχύτητος ἐκτείνοιμι μέτρον. οὐ γὰρ ἐνδέχεται τὰς τῶν φαύλων διαδρᾶναι σκαιότητας, ὡς ἂν ἕλοιτό τις διαβιοῦν.
Rom. 3, 14 **2** ἀλλ' ἐκεῖνοι μὲν ἀρᾶς καὶ πικρίας μεστὸν ἔχοντες τὸ στόμα τῶι πάντων ἀπολογήσονται κριτῆι· τετράψομαι δὲ πάλιν ἐγὼ πρὸς τὸ ὅτι μάλιστα πρέπον ἐμαυτῶι καὶ ὑπομνήσω καὶ
PG 45 νῦν ὡς ἀδελφὸν ἐν Χριστῶι τῆς διδασκαλίας τὸν λόγον καὶ τὸ ἐπὶ τῆι πίστει φρόνημα μετὰ πάσης ἀσφαλείας ποιεῖσθαι πρὸς τοὺς λαοὺς ἐννοεῖν τε ὅτι τὸ σκανδαλίσαι καὶ μόνον
Mt. 18, 6 ἕνα τῶν μικρῶν τῶν πιστευόντων εἰς Χριστὸν ἀφόρητον ἔχει τὴν ἀγανάκτησιν. εἰ δὲ δὴ πληθὺς εἴη τοσαύτη τῶν λελυπημένων, πῶς οὐχ ἁπάσης εὐτεχνίας ἐν χρείαι καθεστήκαμεν πρός γε τὸ δεῖν ἐμφρόνως περιελεῖν τὰ σκάνδαλα καὶ τὸν ὑγιᾶ τῆς πίστεως κατευρῦναι λόγον τοῖς ζητοῦσι τὸ ἀληθές; ἔσται δὲ τοῦτο καὶ μάλα ὀρθῶς, εἰ τοῖς τῶν ἁγίων πατέρων περιτυγχάνοντες λόγοις περὶ πολλοῦ τε αὐτοὺς ποιεῖσθαι σπουδάζοιμεν καὶ δοκιμάζοντες ἑαυτοὺς εἰ ἐσμὲν
2 Cor. 13, 5 ἐν τῆι πίστει κατὰ τὸ γεγραμμένον, ταῖς ἐκείνων ὀρθαῖς καὶ ἀνεπιλήπτοις δόξαις τὰς ἐν ἡμῖν ἐννοίας εὖ μάλα συμπλάττοιμεν.

3 Ἔφη τοίνυν ἡ ἁγία καὶ μεγάλη σύνοδος αὐτὸν τὸν ἐκ θεοῦ πατρὸς κατὰ φύσιν γεννηθέντα υἱὸν μονογενῆ, τὸν ἐκ θεοῦ ἀληθινοῦ θεὸν ἀληθινόν, τὸ φῶς τὸ ἐκ τοῦ φωτός, τὸν δι' οὗ τὰ πάντα πεποίηκεν ὁ πατήρ, κατελθεῖν σαρκωθῆναι ἐνανθρωπῆσαι παθεῖν ἀναστῆναι τῆι τρίτηι ἡμέραι καὶ ἀνελθεῖν εἰς οὐρανούς. τούτοις καὶ ἡμᾶς ἕπεσθαι δεῖ καὶ τοῖς λόγοις καὶ τοῖς δόγμασιν, ἐννοοῦντας τί τὸ σαρκωθῆναι καὶ ἐνανθρωπῆσαι δηλοῖ τὸν ἐκ θεοῦ λόγον. οὐ γὰρ φαμὲν ὅτι ἡ τοῦ λόγου φύσις μεταποιηθεῖσα γέγονε σάρξ, ἀλλ' οὐδὲ ὅτι εἰς ὅλον ἄνθρωπον μετεβλήθη τὸν ἐκ ψυχῆς καὶ σώματος, ἐκεῖνο δὲ μᾶλλον ὅτι
M IIII 889 σάρκα ἐψυχωμένην ψυχῆι λογικῆι ἑνώσας ὁ λόγος ἑαυτῶι καθ' ὑπόστασιν ἀφράστως τε καὶ ἀπερινοήτως γέγονεν ἄνθρωπος καὶ κεχρημάτικεν υἱὸς ἀνθρώπου, οὐ κατὰ θέλησιν μόνην

20—23/24 ἀναστῆναι adfert Nestorius in ep. 5
25—p. 28, 18 Flor. R II 57 ἐκ τῆς πρὸς Νεστόριον ἐπιστολῆς $\overline{\beta}$· οὐ γάρ — ὁ λόγος
25—28 Flor. Cyr. 1 οὐ γάρ — ἄνθρωπος

VM, P [= hk], S, D [= mn], ARBEUW$\Delta^{w}\Delta^{m}\Delta^{p}$ [= Ven. 165], $\Delta^{s}\Theta^{p}\Theta^{r}\Lambda^{m}\Lambda^{q}\Lambda^{t}\Lambda^{c}\Lambda^{u}\Lambda^{k}\Lambda^{r}\Lambda^{n}\Lambda^{s}$ 1 συνεχῶσ E καὶ om. AΛ^{tuns} 2 καὶ^{1} om. W πεπόμφασι SD 3 χρησίμωσ DAΛ^{tuns} δὲ] δ' ἄλλοσ E 4 ὡσ θεραπαίνη VMPA 5 εὔξοιτό P 6 ὁ λόγοσ τῶν τοιούτων SDE τῶν τοιούτων λόγοσ UΘ^{r} 6/7 διδάσκαλον καὶ δεσπότην SD 7 μοι VMP ἐκτείνοιτο DΛ^{mkr} 8 βιοῦν A 9 μεστὸν om. V post τὸ στόμα coll. B τὸ om. VMP 9/10 ἀπολογήσονται τῶ τῶν πάντων κριτῆ A 10 τρέψομαι P ὑπομιμνήσκω A 11 κῶ DAΛ^{q} θῶ VMPE τὸν τῆσ διδασκαλίασ M 12 ἀκριβείασ E δὲ A 12/13 ἕνα καὶ μόνον SD 13 δὴ om. PAW $\Delta^{w}\Theta^{pr}$ 14 ἦν R οὐχὶ πάσησ E 14/15 πρὸς — δεῖν] καιρὸσ δὲ τὸ ἀεὶ E 15 τε VΔ^{m} ὑγιῆ SEΔ^{mps} κατευρῦναι VMPSDARBEUW$\Delta^{mp}\Theta^{p}\Lambda^{uns}$ κατευρῆναι Δ^{s} κατευθῦναι $\Delta^{w}\Theta^{r}\Lambda^{qtc}$ *insinuetur* Λ^{mkr} 16 καὶ μάλα ὀρθῶσ τοῦτο SD μᾶλλον P εἰ] ἀεὶ E 16/17 λόγοισ περιτυγχάνοντεσ B 17 σπουδάζομεν VSDEUΘ^{p} καὶ om. EΛ^{t} δοκιμάζομεν R εἰ om. S 18 ταῖς] καὶ ταῖσ W ἀνεπιπλήκτοισ VM, h [corr. h^{mg}], RBEUΘ^{p} ἀνεπιπλάστοισ Δ^{ps} 19 εὐνοίασ SE συμπλάττομεν V$\Delta^{mps}\Theta^{r}$ συμπράττομεν E 20 θῦ VMPBE$\Delta^{wmps}\Theta^{pr}\Lambda^{mqtcks}$ θῦ καὶ SDARUWΛ^{urn} 20/21 γεννηθέντα κατὰ φύσιν $\Delta^{w}\Theta^{r}$ γεννηθέντα Λ^{t} 21 τοῦ om. PAU 22 *per quem et cum quo* Λ^{q} ἐστὶν κατελθεῖν S σαρκωθῆναι τε καὶ ἐνανθρωπῆσαι V 23 τοὺσ οὐρανούσ E$\Delta^{mps}\Theta^{r}$ δὲ καὶ V om. R 23/24 τοῖσ λόγοισ ἕπεσθαι δεῖ U 23 δεῖν R 24 δηλοῖ om. B 24/25 τὸν τοῦ θῦ λόγον BΛ^{qkr} *de uerbum de deo* Λ^{m} 25 μεταποιεῖσθαι S 26 οὐδ' ARE ὅτι om. VΘ^{r} flor. Cyr. flor. R ἄνθρωπον om. P 27 ἐμψυχωμένην VkD$\Delta^{s}\Theta^{r}$ ὁ λόγοσ ἑνώσασ S ἑαυτῶι ὁ λόγος Flor. Cyr. 28 μόνον SnE$\Delta^{mps}\Lambda^{mtkr}$ flor. R

ἢ εὐδοκίαν, ἀλλ' οὐδὲ ὡς ἐν προσλήψει προσώπου μόνου, καὶ ὅτι διάφοροι μὲν αἱ πρὸς ἑνότητα τὴν ἀληθινὴν συνενεχθεῖσαι φύσεις, εἷς δὲ ἐξ ἀμφοῖν Χριστὸς καὶ υἱός, οὐχ ὡς τῆς τῶν φύσεων διαφορᾶς ἀνηρημένης διὰ τὴν ἕνωσιν, ἀποτελεσασῶν δὲ μᾶλλον ἡμῖν τὸν ἕνα κύριον καὶ Χριστὸν καὶ υἱὸν θεότητός τε καὶ ἀνθρωπότητος διὰ τῆς ἀφράστου καὶ ἀπορ-
4 ρήτου πρὸς ἑνότητα συνδρομῆς. οὕτω τε λέγεται, καίτοι πρὸ αἰώνων ἔχων τὴν ὕπαρ- 5
ξιν καὶ γεννηθεὶς ἐκ πατρός, γεννηθῆναι καὶ κατὰ σάρκα ἐκ γυναικός, οὐχ ὡς τῆς θείας αὐτοῦ φύσεως ἀρχὴν τοῦ εἶναι λαβούσης ἐν τῇ ἁγίᾳ παρθένῳ οὔτε μὴν δεηθείσης ἀναγ- L III 319
καίως δι' ἑαυτὴν δευτέρας γεννήσεως μετὰ τὴν ἐκ πατρός (ἔστιν γὰρ εἰκαῖόν τε ὁμοῦ καὶ ἀμαθὲς τὸν ὑπάρχοντα πρὸ παντὸς αἰῶνος καὶ συναίδιον τῷ πατρὶ δεῖσθαι λέγειν ἀρχῆς τῆς εἰς τὸ εἶναι δευτέρας), ἐπειδὴ δὲ δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἑνώσας 10
ἑαυτῷ καθ' ὑπόστασιν τὸ ἀνθρώπινον προῆλθεν ἐκ γυναικός, ταύτῃ τοι λέγεται γεννηθῆναι σαρκικῶς. οὐ γὰρ πρῶτον ἄνθρωπος ἐγεννήθη κοινὸς ἐκ τῆς ἁγίας παρθένου, εἶθ' οὕτως καταπεφοίτηκεν ἐπ' αὐτὸν ὁ λόγος, ἀλλ' ἐξ αὐτῆς μήτρας ἑνωθεὶς ὑπομεῖναι λέ-
5 γεται γέννησιν σαρκικήν, ὡς τῆς ἰδίας σαρκὸς τὴν γέννησιν οἰκειούμενος. οὕτω φαμὲν αὐτὸν PG 48
καὶ παθεῖν καὶ ἀναστῆναι, οὐχ ὡς τοῦ θεοῦ λόγου παθόντος εἰς ἰδίαν φύσιν ἢ πληγὰς ἢ διατρήσεις ἤλων ἢ γοῦν τὰ ἕτερα τῶν τραυμάτων (ἀπαθὲς γὰρ τὸ θεῖον, ὅτι καὶ ἀσώματον), ἐπειδὴ δὲ τὸ γεγονὸς αὐτοῦ ἴδιον σῶμα πέπονθεν ταῦτα, πάλιν αὐτὸς λέγεται παθεῖν ὑπὲρ ἡμῶν· ἦν γὰρ ὁ ἀπαθὴς ἐν τῷ πάσχοντι σώματι. κατὰ τὸν ἴσον δὲ τρόπον καὶ ἐπὶ τοῦ τεθνάναι νοοῦμεν. ἀθάνατος μὲν γὰρ κατὰ φύσιν καὶ ἄφθαρτος καὶ ζωὴ καὶ ζωοποιός ἐστιν ὁ τοῦ θεοῦ λόγος· ἐπειδὴ δὲ πάλιν τὸ ἴδιον αὐτοῦ σῶμα χάριτι θεοῦ, καθά φησιν ὁ Hebr. 2, 9
Παῦλος, ὑπὲρ παντὸς ἐγεύσατο θανάτου, λέγεται παθεῖν αὐτὸς τὸν ὑπὲρ ἡμῶν θάνατον, 21
οὐχ ὡς εἰς πεῖραν ἐλθὼν τοῦ θανάτου τό γε ἧκον εἰς τὴν αὐτοῦ φύσιν (ἀποπληξία γὰρ τοῦτο λέγειν ἢ φρονεῖν), ἀλλ' ὅτι, καθάπερ ἔφην ἀρτίως, ἡ σὰρξ αὐτοῦ ἐγεύσατο θανάτου.

1—5 διάφοροι μὲν — συνδρομῆς adfert Flauianus in ep. ad Leonem [ep. 26]
1—4 Flor. R II 6 καὶ ὅτι — ἀνθρωπότητος ἀληθοῦς
1—3 Flor. Cyr. 2 Theodoret. eran. 2, 167 = flor. Chalc. 12 καὶ ὅτι διάφοροι — ἕνωσιν
1—4 Doctr. patr. 5, 5 ἐκ τῆς πρὸς Νεστόριον ἐπιστολῆς· 'διάφοροι — υἱὸν καὶ κύριον'
2—5 Ephr. ap. Phot. bibl. 229 p. 263ª 26 ἐν..τῇ πρὸς τὸν Νεστόριον α' φησὶν ἐπιστολῇ· 'οὐχ ὡς — συνδρομῆς'
2. 3 Doctr. patr. p. 171, 1 ἐκ τῆς πρὸς Νεστόριον ἐπιστολῆς· 'οὐχ ὡς — ἕνωσιν'
8—10 Flor. Cyr. 3 ἔστι γὰρ — δευτέρας
12—p. 28, 3 Flor. Cyr. 4 οὐ γὰρ — ὁμολογήσομεν
14—19 Doctr. patr. 7, 23 ἐκ τῆς πρὸς Νεστόριον α' ἐπιστολῆς· 'οὕτω φαμέν — νοοῦμεν'

VM, P [= hk], S, D [= mn], ARWBEUΔ^{w} Δ^{m}, Δ^{p} [= Ven. 165], Δ^{c}Θ^{p}Θ^{r}Λ^{m}Λ^{q}Λ^{t}Λ^{c}Λ^{u}Λ^{k}Λ^{r}Λ^{n}Λ^{s}
1 μόνον ΕΛ^{mkr} καὶ] ἀλλ' ΕΛ^{mqtk} 2 ἀληθῆ B om. Λ^{t} συναχθεῖσαι VMPS, ex συνεχθεῖσαι corr. flor. R ἀυφοτέρων V 4 ἕνα — υἱὸν MSRBEUWΔ^{wmps} Θ^{r}Λ^{mqcukrns} flor. RII 57 ἕνα υἱὸν καὶ Χριστὸν καὶ κύριον Λ^{t} Doctr. ἕνα κύριον καὶ υἱὸν καὶ Χριστὸν Θ^{p} Ephr. ἕνα κύριον ἰησοῦν χν̄ καὶ υἱὸν [καὶ υἱὸν om. Flau. Flor. RII 6] P Flau. ἕνα κν̄ ἰησοῦν καὶ χν̄ καὶ υἱὸν DA κν̄ ἕνα χν̄ καὶ υἱὸν V ἐκ θεότητόσ W 4/5 ἀπορρήτου] ἀπερινοήτου B Flau. Λ^{k} [loco altero] 5 τε om. DARΛ^{mtr} 6 καὶ^{2} om. P δὲ καὶ E κατὰ σάρκα om. S 7 post φύσεως add. *in qua consubstantiuus uel coessentialis, id est homousius est patri* Λ^{mkr}, sed adnotat Rusticus *non est in Græco* λαχούσησ SD δεηθείσησ τῆσ V 8 ἑαυτῆσ U 9 προυπάρχοντα Flor. Cyr. λέγειν δεῖσθαι P 10 ἐπεὶ W διὰ om. W 11 ἑαυτῷ ὁ λόγοσ WΔ^{w} Θ^{pr} τὸ ἀνθρώπινον καθ' ὑπόστασιν D τὸ ἀνθρώπινον S τὸ] σῶμα Λ^{mt} σῶμα καὶ Δ^{p} τοι om. W 13 ἐξ αὐτῆσ τῆσ μήτρασ ΕΔ^{mps} Θ^{r} flor R ἐκ τῆσ μήτρασ αὐτῆσ B ἑνωθεὶς] γεννηθεὶσ S 14 σαρκικὴν γέννησιν E σαρκικὴν D 15 καὶ^{1} om W 16 γοῦν om. WΔ^{w} 17 ἴδιον αὐτοῦ D αὐτῷ ἴδιον P ταύτη Δ^{m} ταύτη τοι BΔ^{ps} 19 μὲν om. V ζῶν Flor. Cyr. 20 τοῦ] ἐκ V τὸ ἴδιον αὐτοῦ [αῦ R] πάλιν SDARBU χάριτι θεοῦ om. S 21 Παῦλος] ἀπόστολοσ P *apostolus Paulus* Λ^{mk} 20/21 ὑπὲρ — θανάτου καθά — ὁ παῦλοσ DA 21 αὐτὸν Flor. Cyr. om. flor. R τὸν om. R flor. R 22 ἑαυτοῦ Flor. Cyr. 23 ἡ σὰρξ ἡ SEUΔ^{mps} flor. R

οὕτω καὶ ἐγηγερμένης αὐτοῦ τῆς σαρκός, πάλιν ἡ ἀνάστασις αὐτοῦ λέγεται, οὐχ ὡς πεσόντος εἰς φθοράν, μὴ γένοιτο, ἀλλ' ὅτι τὸ αὐτοῦ πάλιν ἐγήγερται σῶμα.

6 Οὕτω Χριστὸν ἕνα καὶ κύριον ὁμολογήσομεν, οὐχ ὡς ἄνθρωπον συμπροσκυνοῦντες τῷι λόγωι, ἵνα μὴ τομῆς φαντασία παρεισκρίνηται διὰ τοῦ λέγειν τὸ σὺν, ἀλλ' ὡς ἕνα καὶ τὸν αὐτὸν προσκυνοῦντες, ὅτι μὴ ἀλλότριον τοῦ λόγου τὸ σῶμα αὐτοῦ, μεθ' οὗ καὶ αὐτῶι συνεδρεύει τῶι πατρί, οὐχ ὡς δύο πάλιν συνεδρευόντων υἱῶν, ἀλλ' ὡς ἑνὸς καθ' ἕνωσιν μετὰ τῆς ἰδίας σαρκός. ἐὰν δὲ τὴν καθ' ὑπόστασιν ἕνωσιν ἢ ὡς ἀνέφικτον ἢ ὡς ἀκαλλῆ παραιτώμεθα, ἐμπίπτομεν εἰς τὸ δύο λέγειν υἱούς· ἀνάγκη γὰρ πᾶσα διορίσαι καὶ εἰπεῖν
M IIII 892 τὸν μὲν ἄνθρωπον ἰδικῶς τῆι τοῦ υἱοῦ κλήσει τετιμημένον, ἰδικῶς δὲ πάλιν τὸν ἐκ θεοῦ λόγον υἱότητος ὄνομά τε καὶ χρῆμα ἔχοντα φυσικῶς. οὐ διαιρετέον τοιγαροῦν εἰς υἱοὺς
7 δύο τὸν ἕνα κύριον Ἰησοῦν Χριστόν. ὀνήσει δὲ κατ' οὐδένα τρόπον τὸν ὀρθὸν τῆς πίστεως λόγον εἰς τὸ οὕτως ἔχειν, κἂν εἰ προσώπων ἕνωσιν ἐπιφημίζωσι τινές. οὐ
Ioh. 1, 14 γὰρ εἴρηκεν ἡ γραφὴ ὅτι ὁ λόγος ἀνθρώπου πρόσωπον ἥνωσεν ἑαυτῶι, ἀλλ' ὅτι γέγονε σάρξ. τὸ δὲ σάρκα γενέσθαι τὸν λόγον οὐδὲν ἕτερόν ἐστιν εἰ μὴ ὅτι παραπλησίως ἡμῖν
Hebr. 2, 14 μετέσχεν αἵματος καὶ σαρκὸς ἴδιόν τε σῶμα τὸ ἡμῶν ἐποιήσατο καὶ προῆλθεν ἄνθρωπος ἐκ γυναικός, οὐκ ἀποβεβληκὼς τὸ εἶναι θεὸς καὶ τὸ ἐκ θεοῦ γεννηθῆναι πατρός, ἀλλὰ καὶ ἐν προσλήψει σαρκὸς μεμενηκὼς ὅπερ ἦν. τοῦτο πρεσβεύει πανταχοῦ τῆς ἀκριβοῦς πίστεως
L III 322 ὁ λόγος· οὕτως εὑρήσομεν τοὺς ἁγίους πεφρονηκότας πατέρας· οὕτως τεθαρσήκασι θεοτόκον εἰπεῖν τὴν ἁγίαν παρθένον, οὐχ ὡς τῆς τοῦ λόγου φύσεως ἤτοι τῆς θεότητος αὐτοῦ τὴν ἀρχὴν τοῦ εἶναι λαβούσης ἐκ τῆς ἁγίας παρθένου, ἀλλ' ὡς γεννηθέντος ἐξ αὐτῆς τοῦ ἁγίου σώματος ψυχωθέντος λογικῶς, ὧι καὶ καθ' ὑπόστασιν ἑνωθεὶς ὁ λόγος γεγεννῆσθαι λέγεται κατὰ σάρκα. ταῦτα καὶ νῦν ἐξ ἀγάπης τῆς ἐν Χριστῶι γράφω, παρακαλῶν ὡς ἀδελφὸν
PG 49 καὶ διαμαρτυρόμενος ἐνώπιον τοῦ Χριστοῦ καὶ τῶν ἐκλεκτῶν ἀγγέλων ταῦτα μεθ' ἡμῶν καὶ φρονεῖν καὶ διδάσκειν, ἵνα σώιζηται τῶν ἐκκλησιῶν ἡ εἰρήνη καὶ τῆς ὁμονοίας καί ἀγάπης ὁ σύνδεσμος ἀρραγὴς διαμένοι τοῖς ἱερεῦσι τοῦ θεοῦ.

Πρόσειπε τὴν παρὰ σοὶ ἀδελφότητα. σὲ ἡ σὺν ἡμῖν ἐν Χριστῶι προσαγορεύει.

---

7. 8 Doctr. patr. 7, 13 ἐκ τῆς συνοδικῆς Κυρίλλου πρὸς Νεστόριον ἐπιστολῆς· 'ἐὰν δὲ — δύο υἱούς'
11. 12 Doctr. patr. 27, 3 p. 194, 24 [ex Eulogio Alexandrino] 'ὀνήσει — τινές'
14—16 Flor. Cyr. 5 τὸ δὲ σάρκα — εἶναι θεός
18—21 Flor. Cyr. 6 οὕτως — λογικῶς
18 Doctr. patr. p. 172, 12 'οὕτως — πατέρας'

VM, P [= hk], S, D [= mn], ARWBEUΔ^{w}Δ^{m}, Δ^{p} [= Ven. 165 usque ad 25 πεφρονηκότας, inde a 26 = πατέρας Par. 415], Δ^{s}Θ^{p}Θ^{r}Λ^{n}Λ^{q}Λ^{t}Λ^{c}Λ^{u}Λ^{k}Λ^{r}Λ^{n}Λ^{s}

1 τῆς αὐτοῦ Flor. Cyr. τῆσ VMPΛ^{mqtck} 1/2 πεσόντος αὐτοῦ Fl. Cyr. 2 διαφθορὰν Flor. Cyr. flor. R πάλιν τὸ αὐτοῦ E 3 κν̄ ἕνα Ml^{p} ὁμολογήσωμεν mRBEΔ^{mps}Θ^{pr} ὁμολογοῦμεν WΛ^{mqtuk} Flor. R συμπροσκυνῆσθαι R 4 διὰ τὸ WΘ^{r} ἀλλ' ὡς] ἄλλω E 5 μὴ] μὴ δὲ ὡσ U τὸ σῶμα τοῦ λόγου D αὐτῶ MPS^{corr} REUΛ^{qcurns} αὐτὸ VSDA τὸ σῶμα αὐτὸσ Θ^{r} αὐτὸσ BWΔ^{wmps}ΘpΛ^{t} flor. R om. Λ^{mk} 7 ἰδίασ VMPSDBEUΛ^{uns} ἰδίασ αὐτοῦ R om. AWΔ^{wmps}Θ^{pr}Λ^{mqtckr} flor. R 8 παραιτοὺμεθα VMDΘ^{p} Doctr. flor. R λέγειν δύο SΔ^{wmps} Doctr. flor. R 10/11 δύο υἱοὺσ MARΘp 11 ὠνησε MP ὠφέλησε V δὲ — τρόπον] κατ' οὐδένα γὰρ τρόπον V δὲ κατ' οὐδὲν S 12 λόγον] τρόπον P εἰ] ἢ S εἰσ VMBEWΘ^{pr} ἐπιζημιώσωσί D 13 ἡ om. V πρόσωπον ἀνθρώπου M αὐτῶ S 14 τὸν λόγον γενέσθαι P γεγενῆσθαι τὸν λόγον Flor. Cyr. εἰ μὴ] ἢ B 15 μετασχὼν E κεκοινώνηκεν S τε] δὲ DAΔ^{mps}Λ^{kr} δὲ τὸ flor. R τὸ RE 16 ἐκ γυναικός om. Λ^{m} γεγεννῆσθαι VMPΘp 16/17 ἀλλ' ἐν E 18 εὑρὴσωμεν RΔ^{m} πατέρασ πεφρονηκότασ P πεφρονηκότας Flor. Cyr. τὲ θαρσήσασι P τεθαρρήκασι EWΔ^{wpms}Θ^{pr} Flor. Cyr. τεθαρσήκαμεν U 18/19 εἰπεῖν θεοτόκον SU 19 ἡ P τῆς om. AR τὴν om. WΔ^{wmps}Θ^{pr} 20 λαχούσησ SRB ἁγίου αὐτοῦ Flor. Cyr. 21 ψυχωθέντοσ τὲ DΛ^{tuns} ὧι] ὡσ E καὶ om. RBΛ^{m} γεγενῆσθαι S γεννηθῆναι WΔ^{wmps}Θ^{pr} 22 δὲ καὶ M ὡσ ἐξ V γράφων παρακαλῶ WΔ^{w}Θ^{pr} 23 διαμαρτύρομαι WΔ^{w}Θp τοῦ θῦ VME θῦ P *dei* Λ^{m} *deo* Λ^{tuns} ἀγγέλων αὐτοῦ VMP 24 καὶ^{1} om. AR 25 διαμένοι VMPDAB διαμείνη SREU διαμένη WΔ^{wmr}Θ^{pr} διαμιένει Δ^{s} τοῖσ τοῦ θῦ ἱερεῦσι B 26 om. SDRBUWΔ^{wmps}Θ^{pr}Λ^{mqukrns} πρόσειπε δὲ A ἐρρῶσθαί σε καὶ μνημονεύειν τοῦ κῦ σὺν αὐτοῖσ καὶ οἱ σὺν ἡμῖν λίαν προσαγορεύουσιν A σοὶ P κῶ VMP

5 = S 12 A 13. Latinae uersiones habentur 1) Marii Mercatoris in Collectione Palatina 25; 2) in Collectione CT 7, unde deriuatae sunt uersiones Collectionis Veronensis 15 et Gestorum concilii quinti

1 Τῶι εὐλαβεστάτωι καὶ θεοσεβεστάτωι συλλειτουργῶι Κυρίλλωι Νεστόριος ἐν κυρίωι PG 77, 49 χαίρειν. Τὰς μὲν καθ' ἡμῶν ὕβρεις τῶν θαυμαστῶν σου γραμμάτων ἀφίημι ὡς μακρο- [ep. 5] Loofs Nest. θυμίας ἀξίας ἰατρικῆς καὶ τῆς διὰ τῶν πραγμάτων αὐτῶν κατὰ καιρὸν πρὸς αὐτὰς ἀπο- 173—180 κρίσεως· ὃ δέ γε σιωπῆς οὐκ ἀνέχεται, ὡς μέγαν φέρον, εἰ σιγηθείη, τὸν κίνδυνον, 7 τούτου, καθὼς ἂν οἷός τε ὦ, οὐ πρὸς μακρολογίαν ἀποτεινόμενος, ποιήσασθαι πειράσομαι τὴν διήγησιν σύντομον, τὸν τῆς σκοτεινῆς καὶ δυσπέπτου μακρηγορίας ναυτιασμὸν φυλαττόμενος. ἄρξομαι δὲ ἀπὸ τῶν πανσόφων τῆς σῆς ἀγάπης φωνῶν, αὐτὰς αὐτολεξεὶ 10 παραθείς. τίνες τοίνυν αἱ τῆς θαυμαστῆς τῶν σῶν γραμμάτων διδασκαλίας φωναί;

Ἡ ἁγία φησὶν καὶ μεγάλη σύνοδος αὐτὸν τὸν ἐκ θεοῦ πατρὸς κατὰ φύσιν γεννηθέντα p. 26, 20—23 υἱὸν μονογενῆ, τὸν ἐκ θεοῦ ἀληθινοῦ θεὸν ἀληθινόν, τὸ φῶς τὸ ἐκ φωτός, τὸν δι' οὗ τὰ πάντα πεποίηκεν ὁ πατήρ, κατελθεῖν σαρκωθῆναι ἐνανθρωπῆσαι παθεῖν ἀναστῆναι. 14

2 Ταῦτα τῆς σῆς θεοσεβείας τὰ ῥήματα καὶ γνωρίζεις ἴσως τὰ σά· ἄκουε δὲ καὶ τὰ παρ' ἡμῶν, M IIII 893 ἀδελφικὴν ὑπὲρ εὐσεβείας παραίνεσιν καὶ ἣν ὁ μέγας ἐκεῖνος Παῦλος τῶι φιλουμένωι παρ' αὐτοῦ Τιμοθέωι διεμαρτύρατο· πρόσεχε τῇ ἀναγνώσει, τῇ παρακλήσει, τῇ διδαχῇ. 1 Tim. 4, 13. τοῦτο γὰρ ποιῶν καὶ σεαυτὸν σώσεις καὶ τοὺς ἀκούοντάς σου. τί δέ 16 μοι τὸ πρόσεχε βούλεται; ὅτι τὴν τῶν ἁγίων ἐκείνων ἐξ ἐπιπολῆς ἀναγινώσκων παράδοσιν συγγνώμης ἀξίαν ἠγνόησας ἄγνοιαν, παθητὸν αὐτοὺς εἰρηκέναι νομίσας τὸν τῶι 20 πατρὶ συναίδιον λόγον· ἔγκυψον δέ, εἰ δοκεῖ, τοῖς ῥητοῖς ἀκριβέστερον καὶ τὸν θεῖον ἐκεῖνον τῶν πατέρων εὑρήσεις χορὸν οὐ τὴν ὁμοούσιον θεότητα παθητὴν εἰρηκότα οὐδὲ πρόσ- PG 52 φατον γεννητὴν τὴν τῶι πατρὶ συναίδιον οὐδὲ ἀναστᾶσαν τὴν τὸν λελυμένον ναὸν ἀναστήσασαν. κἄν μοι τὰς ἀκοὰς εἰς ἀδελφικὴν ἰατρείαν παράσχῃς, αὐτάς σοι τὰς τῶν ἁγίων πατέρων φωνὰς παραθέμενος τῆς κατ' ἐκείνων ἀπαλλάξω συκοφαντίας καὶ τῆς κατὰ 25 τῶν θείων γραφῶν δι' ἐκείνων.

3 Πιστεύω τοίνυν φασί, καὶ εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν υἱὸν αὐτοῦ L III 323 τὸν μονογενῆ. σκόπησον ὅπως τὸ κύριος καὶ Ἰησοῦς καὶ Χριστὸς καὶ μονογενὴς καὶ υἱὸς πρότερον θέντες τὰ κοινὰ τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος ὡς θεμελίους ὀνόματα

---

5 subscribitur in Collectione C: *scripta est mense Iunio indictione quarta decima* [430]
24—p. 30, 4 adferuntur ab Eutherio in Coll. Casinensi 291 [uol. 4 p. 216, 36—217, 2]

VM, P [= hk], S, D [= mn], AWRΛ^{m}Λ^{t}Λ^{c}Λ^{u}

ε̄ VP ιβ̄ S ιγ̄ D νεστορίου πρὸσ κύριλλον inscr. A Ἴσον ἐπιστολῆσ νεστορίου πρὸσ τὸν πάππαν κύριλλον ἥτισ πᾶσιν ἀπήρεσεν ἐν τῇ ἁγία συνόδω inscr. D 4/5 Τῶι — χαίρειν om. Λ^{m} 4 εὐλαβεστάτω καὶ θεοσεβεστάτω ARΛ^{u} εὐλαβεστάτω [εὐσεβεστάτω S] καὶ θεοφιλεστάτω SDΛ^{tc} εὐλαβεστάτω W δεσπότη μου τῶ [τῶ om. P] θεοφιλεστάτω καὶ [καὶ om. P] ἁγιωτάτω VMP 4/5 ἐν — χαίρειν om. WRΛ^{uns} 5 θαυμασίων M 6 ἄξια WR πατρικῆσ M γραμμάτων Λ^{t} αὐτῶν om. R καιροὺσ W 7 μέγα R φέρων P σιγηθῆναι S 8 τούτου VMPSDWR τοῦτο Λ^{tcu} τοῦτο οὐκ ἀποκρύψομαι ἀλλὰ A καθ' ὅσον MW ἂν om. W οὐ VMPAWRΛ^{tcu} om. SD σοῦ Λ^{m} 9 δυσπέμπου P 10 ἀγάπης] διδασκαλίασ S 11 αἱ om. MWR σου τῶν γραμμάτων V τῶν γραμμάτων σου M 12 θεοῦ πατρὸσ VMPWRΛ^{m} θεοῦ καὶ πατρὸσ SDΛ^{tcu} τοῦ θεοῦ καὶ πατρὸσ A 13 τοῦ φωτὸσ MPS 15 δὲ VDAWRΛ^{tcu} δὴ MPSΛ^{m} τὰ^{2} VMPA τὴν D om. S ταῦτα WR 16 παῦλοσ ἐκεῖνοσ PS 17 διδαχῇ VMPSWR διδασκαλία DA 19 ἐπιστολῆσ V 20 αὐτὸν SD 21 λόγον om. S τοῖσ ῥητοῖσ ἀκριβέστερον εἰ δοκεῖ DA 22 ὁμοούσιον SDAWRΛ^{mu} ὁμοούσιον τοῦ πατρὸσ VMPΛ^{tc} 22/23 εἰρηκότασ οὔτε WR 23 γεννητὴν SDAΛ^{mcu} γέννησιν VMPWRΛ^{t} 25 πατέρων DAWRΛ^{u} ἐκείνων VMP om. S *illorum patrum* Λ^{mtc} 26 ἁγίων P 27 πιστεύω VMPWRΛ^{tcu} Eutherius πιστεύομεν SDAΛ^{m} τοίνυν φασὶ A τοίνυν SDΛ^{tcu} φασὶν Λ^{m} Euth. φησὶν VMPWR καὶ SAWΛ^{mtu} Euth. om. VMPDRΛ^{c} 28 ὅτι SD καὶ ιῦ̄ καὶ χῦ̄ MSDAWRΛ^{cu} καὶ ιῦ̄ χῦ̄ PΛ^{mt} ιῦ̄ χῦ̄ V *et Christus* Euther. 29 θέντα S

τότε τὴν τῆς ἐνανθρωπήσεως καὶ τῆς ἀναστάσεως καὶ τοῦ πάθους ἐποικοδομοῦσι παράδοσιν, ἵνα τῶν ὀνομάτων τῆς φύσεως ἑκατέρας κοινῶν τινων σημαντικῶν προκειμένων μήτε τὰ τῆς υἱότητος καὶ κυριότητος τέμνηται μήτε τὰ τῶν φύσεων ἐν τῶι τῆς υἱότητος
4 μοναδικῶι συγχύσεως ἀφανισμῶι κινδυνεύηι. τούτου γὰρ αὐτοῖς παιδευτὴς ὁ Παῦλος γεγένηται, ὃς τῆς ἐνανθρωπήσεως τῆς θείας τὴν μνήμην ποιούμενος καὶ μέλλων τὰ τοῦ πάθους ἐπάγειν, πρότερον θεὶς τὸ Χριστός, τὸ κοινόν, ὡς μικρῶι πρότερον ἔφην, τῶν φύσεων ὄνομα, προσάγει τὸν λόγον ἀμφοτέραις πρεπώδη ταῖς φύσεσιν. τί γάρ φησιν;
Phil. 2, 5. 6 τοῦτο φρονείσθω ἐν ὑμῖν ὃ καὶ ἐν Χριστῶι Ἰησοῦ, ὃς ἐν μορφῆι θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῶι. ἀλλ', ἵνα μὴ τὰ καθ' ἕκαστον λέγω, ὑπήκοος ἐγένετο μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. ἐπειδὴ γὰρ
ἔμελλεν τοῦ θανάτου μεμνῆσθαι, ἵνα μὴ τὸν θεὸν λόγον ἐντεῦθέν τις παθητὸν ὑπολάβηι, τίθησιν τὸ Χριστός, ὡς τῆς ἀπαθοῦς καὶ παθητῆς οὐσίας ἐν μοναδικῶι προσώπωι προσηγορίαν σημαντικήν, ὅπως καὶ ἀπαθὴς ὁ Χριστὸς καὶ παθητὸς ἀκινδύνως καλοῖτο, ἀπαθὴς μὲν θεότητι, παθητὸς δὲ τῆι τοῦ σώματος φύσει.

5 Πολλὰ λέγειν περὶ τούτου δυνάμενος καὶ πρῶτόν γε τὸ μηδὲ γεννήσεως ἐπὶ τῆς οἰκονομίας, ἀλλ' ἐνανθρωπήσεως τοὺς ἁγίους ἐκείνους μνημονεῦσαι πατέρας, τὴν τῆς βραχυλογίας ἐν προοιμίοις ὑπόσχεσιν χαλινοῦσαν τὸν λόγον αἰσθάνομαι καὶ πρὸς τὸ δεύτερον
6 τῆς σῆς ἀγάπης κινοῦσαν κεφάλαιον, ἐν ὧι τὴν μὲν τῶν φύσεων ἐπήινουν διαίρεσιν κατὰ τὸν τῆς ἀνθρωπότητος καὶ θεότητος λόγον καὶ τὴν τούτων εἰς ἑνὸς προσώπου συνάM III 896 φειαν καὶ τὸ τὸν θεὸν λόγον δευτέρας ἐκ γυναικὸς μὴ φάσκειν δεδεῆσθαι γεννήσεως καὶ τὸ πάθους ἄδεκτον ὁμολογεῖν τὴν θεότητα. ὀρθόδοξα γὰρ ὡς ἀληθῶς τὰ τοιαῦτα καὶ ταῖς τῶν αἱρέσεων πασῶν περὶ τὰς δεσποτικὰς φύσεις ἐναντία κακοδοξίαις. τὰ λοιπὰ δὲ εἰ μέν τινα σοφίαν κεκρυμμένην ἐπήγετο ταῖς τῶν ἀναγινωσκόντων ἀκοαῖς ἀκατάληπτον, τῆς σῆς ἐστιν ἀκριβείας εἰδέναι· ἐμοὶ γοῦν τὰ πρῶτα καταστρέφειν ἐδόκει. τὸν γὰρ ἐν τοῖς πρώPG 53 τοις ἀπαθῆ κηρυχθέντα καὶ δευτέρας γεννήσεως ἄδεκτον πάλιν παθητὸν καὶ νεόκτιστον οὐκ οἶδ' ὅπως εἰσῆγεν, ὡς τῶν κατὰ φύσιν τῶι θεῶι λόγωι προσόντων τῆι τοῦ ναοῦ συναφείαι διεφθαρμένων ἢ μικροῦ τινος τοῖς ἀνθρώποις νομιζομένου τοῦ τὸν ἀναμάρτητον ναὸν καὶ τῆς θείας ἀχώριστον φύσεως τὴν ὑπὲρ ἁμαρτωλῶν γέννησίν τε καὶ τελευτὴν ὑπομεῖναι ἢ
Ioh. 2, 19 πιστεύεσθαι τῆς δεσποτικῆς οὐκ ὀφειλούσης φωνῆς πρὸς Ἰουδαίους βοώσης· λύσατε τὸν
L III 326 ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν, οὐ· λύσατέ μου τὴν θεότητα καὶ ἐν τρισὶν ἡμέραις ἐγερθήσεται.

Πάλιν πλατῦναι κἀνταῦθα βουλόμενος, τῆι τῆς ἐπαγγελίας ἀναστέλλομαι μνήμηι·
7 ῥητέον δ' οὖν ὅμως βραχυλογίαι χρησάμενον. πανταχοῦ τῆς θείας γραφῆς, ἡνίκα ἂν

VM, P [= hk], SD [= mn], AWR $\Lambda^{m}\Lambda^{t}\Lambda^{c}\Lambda^{u}$

1 τότε om. VWR τῆσ ἀναστάσεωσ καὶ τοῦ πάθουσ VMSWRΛ^{mcu} Euther. τοῦ πάθους καὶ τῆσ ἀναστάσεωσ PDAΛ^{t} 2 τῆσ φύσεωσ ἑκατερασ DAΛ τῶν φύσεων ἑκατέρων VMP τῶν φύσεων ἑκατέρασ SR ἑκατέρασ τῶν φύσεων W προκειμένων σημαντικῶν S 3 θεότητοσ S καὶ κυριότητος om. V θεότητοσ P 4 μοναδικῶσ SD κινδυνεύηται VMP τοῦτο R αὐτὸσ VMP 5 ἐγένετο WR ὃς] ὁ MP τὴν om. S 6 κοινὸν VMPSWRΛ κοινὸν τῶν δύο DA εἶπον WR τῶν om. A 8 τοῦτο] τοῦ S 9 τὰ om. VMPA 11 παθητὸν τίσ WR ὑπολάβοι SDA 13 καὶ^{2} om. R (οὐ)κ ἀκινδύνωσ M καλοῖτο VMPAΛ^{mtcu} ἐκκαλοῖτο W ἐκαλεῖτο R νοοῖτο SD 14 θεότητοσ S 15 ἐπὶ WR πρότερόν V μηδὲ DAWRΛ^{mtc} μὴ VMPSΛ^{u} 16 ἀλλὰ καὶ D ἐκείνουσ τοὺσ ἁγίουσ A ἀπομνημονεῦσαι h ἀπομνημονεύεται k 18 τὴν μέν] καὶ τὴν V 19 postulatur ἓν πρόσωπον 20 καὶ τὸν τοῦ θεοῦ λόγου R μὴ om. S φάσκειν om. SD 21 τοῦ VMP ἀνεπίδεκτον VMP εἶναι ὁμολογεῖν A 22 λοιπὰ δὲ SDAWR δὲ λοιπὰ VMP 23/24 ἔστι τῆσ σῆσ ἀκριβείασ WR δ'οὖν S 26 εἰσήγαγεν R 27 τοῖς om. P τοῦ VPA τὸ MSDWR 28 φύσειυσ ἀχώριστον WR γένεσίν M 29 οὐκ ὀφειλούσησ φωνῆσ SDA φωνῆσ οὐκ ὀφειλούσησ WR οὐκ ὀφειλομένησ φωνῆσ VMP 30 οὐ om. D 31 ἐγερθήσομαι W 32 πλατύνεσθαι P συστέλλομαι PAΛ^{u} στέλλομαι M 33 δ'οὖν S γοῦν VM οὖν PWR δ' DA χρησαμένουσ P χρησάμενοσ M χρησάμενοι WR

Ἰησοῦν Χριστὸν καὶ θεὸν καὶ ἄνθρωπον τὸν αὐτὸν οὐδὲ ἐπινοίαις οὐδὲ λογισμοῖς διιστάμενον, ἵνα μὴ τὰ ἑνωθέντα λογισμοῖς διαστήσαντες οἰκονομίαν σωτήριον ἀρνησώμεθα.
PG 1369 εἰ γὰρ ἕνωσις θεοῦ καὶ ἀνθρώπου διὰ τῆς οἰκονομίας γνωρίζεται, ὁ τὴν ἕνωσιν διαστήσας τὴν οἰκονομίαν ἠρνήσατο. πιστεύσωμεν οὖν τῆς οἰκονομίας τοῖς θαύμασιν, ἵνα πιστευθεὶς ὁ Χριστὸς τοῖς ὁμολογοῦσι ταύτην τὴν χάριν βασιλείαν οὐρανῶν δωρήσηται, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι τοῦ Χριστοῦ, ὧι ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

74 = S 108 A 146

L III 983
M V 181

Ἀκακίου ἐπισκόπου Μελιτηνῆς ὁμιλία λεχθεῖσα ἐν Ἐφέσωι

Ὁρῶντί μοι, ἀγαπητοί, τὸ φαιδρὸν τοῦτο καὶ πνευματικὸν τῆς ἁγίας συνόδου συνέδριον χαίρειν τε ὁμοῦ ἐπέρχεται καὶ θαρρεῖν, χαίρειν μὲν ὅτι πάντων ἐλάχιστος ὢν ἐν τῶι μεγίστωι τούτωι τῆς σοφίας πελάγει τὸ πενιχρὸν τοῦτο τοῦ λόγου σκάφος ἰθύνειν ἐπείγομαι, θαρρεῖν δὲ ὅτι τὰ τῆς ἐπαναστάσεως ταχέως θραυσθήσεται κύματα καὶ τῆι γαλήνηι τῆς τοῦ κυρίου εἰρήνης πρὸς τὸ οἰκουμενικὸν τῆς ἐκκλησίας ἐπιστρέψει συνέδριον. εἰ γὰρ δώδεκα ὄντες τοῦ κυρίου μαθηταί, ὅτε αὐτοῖς τὸ σκάφος ὑπὸ τῆς βίας τῶν ἀνέμων ἠλαύνετο, ὁμοῦ τῶι βοῆσαι πρὸς τὸν κύριον τοῦ χειμῶνος ἀπηλλάττοντο, πόσωι μᾶλλον τοῦτο νῦν ἐλπίζειν ἡμῖν ἀναμφίβολον, ὅτε τοσοῦτοι τοῦ κυρίου μαθηταὶ ἐπὶ τὸ αὐτὸ συνδραμόντες ταῖς οἰκείαις ἐκδυσωπήσουσι φωναῖς τὸν κύριον, ὅτε ὁ μέγας οὗτος πάρεστι καὶ σοφὸς κυβερνήτης οὔτε βίας ἀνέμων εὐλαβούμενος οὔτε ζάλης ταραχάς, ἀλλὰ σὺν τέχνηι πολλῆι τοὺς συνερέτας ἐπὶ τὸ πηδάλιον ἄγων καὶ τούτου συνεφάπτεσθαι πείθων
Mc. 4, 38. 39 καὶ πολλῆι τῆι συμφωνίαι πρὸς τὸν δεσπότην βοῶν οὐ μέλει σοι ὅτι ἀπολλύμεθα; καὶ ταχέως τῆι παρ' αὐτοῦ φωνῆι πρὸς τὸν σάλον τῶν κυμάτων δυσωπῶν λέγει· σιώπα πεφίμωσο. θαρρεῖν οὖν ἡμῖν καὶ εὐχαριστεῖν ἐπὶ τοῖς παροῦσιν ἁρμοδιώτατον, ὅτιπερ
L III 986 ἡ δόξασα κατὰ τῆς ἀληθείας γεγενῆσθαι ἀντίπνοια τοὺς τῆς οἰκουμένης φωστῆρας ἐπὶ τὸ
2 Cor. 2, 15 αὐτὸ συνδραμεῖν παρεσκεύασεν, ὧν ὁ μὲν βίος Χριστοῦ εὐωδία ἐστὶ τῶι θεῶι, ἡ δὲ διάνοια πρὸς μίαν καὶ τὴν αὐτὴν τῆς ἀληθείας συνῆπται ἐκφώνησιν. οὐ γὰρ ἄλλα μὲν τοὺς προσερχομένους διδάσκομεν, ἄλλα δὲ περὶ τῶν διδασκομένων πιστεύομεν, ἀλλ' ἡμῖν εἷς κύριος Ἰησοῦς Χριστὸς ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ, θεὸς λόγος, ὁ αὐτὸς πρὸ μὲν πάντων τῶν αἰώνων ἐκ μόνου πατρός, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν ἐν τῆι τοῦ δούλου μορφῆι, ἄνω μόνος ἐκ μόνου, κάτω μόνος ἐκ μόνης, τὰ αὐτὰ ἀμφότερα * * θεικῶς, ἀνθρωπίνως δὲ τῶι ἡμετέραι σαρκὶ καὶ νηπιότητι τεχθῆναι, ὁ αὐτὸς ἀπαθὴς θεότητι, παθὼν δὲ ὑπὲρ
Phil. 2, 7 ἡμῶν ἑκουσίως σαρκί, οὐκ ἀκουσίως τὴν οἰκονομίαν δεξάμενος, ἀλλ' ἑαυτὸν κενώσας ἑκουσίως λαβὼν τὴν τοῦ δούλου μορφήν. καὶ λαβὼν διὰ τί; ἵνα σε σύμμορφον τῆς οἰκείας

V, P [= hk], AWΛ[t]Λ[c]

1 λόγοις W 2 τὰ] τὸν W 3 ἕνωσις — οἰκονομίας] *unitione dei et hominis dispensatio* Λ ἀνῶν PW 4 τῆς οἰκονομίας Λ τῆ οἰκονομία VPA τὴν οἰκονομίαν W 5 τὴν χάριν ταύτην P 6 χάριτι — αἰῶνασ [αἰῶνας τῶν αἰώνων Λ] ἀμήν ΑΛ om. VW χάριτι καὶ φιλανθρωπία τοῦ κῦ καὶ θυ καὶ σωτῆροσ ἡμῶν ἰῦ χῦ μεθ' οὗ δόξα κράτοσ τιμὴ αἶνεσισ καὶ μεγαλοπρέπεια τῶ ἀνάρχω αὐτοῦ πρι καὶ τῶ παναγίω καὶ ἀγαθῶ καὶ ζωαρχικῶ καὶ ζωοποιῶ πνι τῆ ἁγία καὶ ὁμοουσίω καὶ ἀδιαιρέτω καὶ ἀχωρίστω τριάδι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνασ τῶν αἰώνων ἀμήν P

V, P [= hk], S, D [= mn], AW

οδ V ξε P ρδ' D 8 μελετίνησ W 10 θαρεῖν P 11 σοφίας VPAW φιλίας SD τοῦτο om. SD 12 κύματα ταχέως θραυσθήσεται P 13 τῆς[2]] τὸ τῆς W συνέδριον SD πέλαγος VPAW 15 ἐκυμαίνετο V τὸν om. VD 16 ἡμᾶς D ἀμφίβολον S 17 τὸν χν W ὅτι SD 19 συνεργάτασ VP τοὺτω VA 20 συμφωνεία P μέλλει SDW 22 ἔπεισιν ἐπὶ V 24 παρεσκεύασεν VPAW συνεκάλεσεν SD 26 ἡμῖν om. V 28 ἐσχάτου W δὲ om. S 29/30 τὰ αὐτὰ — τεχθῆναι om. W spatio relicto 29 τὰ αὐτὰ VPA τὰ SD malim ὁ αὐτός lacunam posui, supplendo e. g. τῶι μὲν γεγεννῆσθαι ἐκ πατρὸς ὢν 30 τῶ A τῆ VPSD τεχθῆναι om. D 31/32 καὶ ἑκουσίως P

L III 327 δειλίας καὶ βοηθείας ἀγγελικῆς ἐνδεᾶ. καὶ σιωπῶ περιτομὴν καὶ θυσίαν καὶ ἱδρῶτας καὶ πεῖναν, ἃ τῇι σαρκὶ μὲν ὡς δι' ἡμᾶς συμβάντα προσκυνητὰ προσαπτόμενα, ἐπὶ δὲ τῆς θεότητος ταῦτα καὶ ψευδῆ λαμβανόμενα καὶ ἡμῖν ὡς συκοφάνταις δικαίας κατακρίσεως αἴτια.

8 Αὗται τῶν ἁγίων πατέρων αἱ παραδόσεις· ταῦτα τῶν θείων γραφῶν τὰ παραγγέλματα· οὕτω τις καὶ τὰ τῆς φιλανθρωπίας τῆς θείας καὶ τὰ τῆς αὐθεντίας θεολογεῖ· ταῦτα
Tim. 4, 15 μελέτα· ἐν τούτοις ἴσθι, ἵνα σοῦ ἡ προκοπὴ φανερὰ ἦι πᾶσιν, ὁ Παῦλος πρὸς πάντας φησίν. τῆς δέ γε τῶν σκανδαλιζομένων φροντίδος καλῶς μὲν ποιεῖς ἀντεχόμενος καὶ χάρις τῆι τῶν θείων μεριμνητικῆι σου ψυχῆι καὶ τῶν παρ' ἡμῖν φροντιζούσηι· γίνωσκε δὲ πεπλανημένον σαυτὸν ὑπὸ τῶν ἐνταῦθα παρὰ τῆς ἁγίας συνόδου καθηιρημένων, ὡς
PG 57 τὰ Μανιχαίων φρονούντων, ἢ τῶν τῆς σῆς ἴσως διαθέσεως κληρικῶν. τὰ γὰρ τῆς ἐκκλησίας καθ' ἑκάστην προκόπτει καὶ τὰ τῶν λαῶν ἐν ἐπιδόσει διὰ τὴν τοῦ Χριστοῦ χάριν
Ies. 11, 9 τοσαύτηι, ὡς τὰ τοῦ προφήτου τοὺς βλέποντας τὰ πλήθη βοᾶν· πλησθήσεται ἡ γῆ τοῦ γνῶναι τὸν κύριον ὡς ὕδωρ πολὺ κατακαλύψαι θαλάσσας. τά τε τῶν βασιλέων ἐν ὑπερβαλλούσηι χαρᾶι πεφωτισμένου τοῦ δόγματος, καὶ ἵνα συνελὼν ἐπιστείλω, ἐκείνην ἐπὶ ταῖς θεομάχοις ἁπάσαις αἱρέσεσιν καὶ τῆι τῆς ἐκκλησίας ὀρθοδοξίαι καθ'
2 Reg. 3, 1 ἑκάστην εὕροι τις ἂν παρ' ἡμῖν τὴν φωνὴν πληρουμένην· ὁ οἶκος Σαοὺλ ἐπορεύετο καὶ ἠσθένει καὶ ὁ οἶκος Δαυὶδ ἐπορεύετο καὶ ἐκραταιοῦτο.

9 Ταῦτα τὰ παρ' ἡμῶν ὡς ἀδελφῶν πρὸς ἀδελφὸν συμβουλεύματα· εἰ δέ τις
1 Cor. 11, 16 φιλονεικεῖ, κεκράξεται καὶ δι' ἡμῶν πρὸς τὸν τοιοῦτον ὁ Παῦλος ἡμεῖς τοιαύτην
M IIII 1000 συνήθειαν οὐκ ἔχομεν οὐδὲ αἱ ἐκκλησίαι τοῦ θεοῦ. πᾶσαν τὴν σὺν σοὶ ἐν Χριστῶι ἀδελφότητα ἐγώ τε καὶ οἱ σὺν ἐμοὶ πλεῖστα προσαγορεύομεν. ἐρρωμένος ὑπερευχόμενος ἡμῶν διατελοίης, δέσποτα τιμιώτατε καὶ θεοσεβέστατε.

VM, P [= hk], S, D [= mn], AWRΛ^{m}Λ^{t}Λ^{c}Λ^{u}

1 καὶ A τὲ καὶ VMPSDWR ἐνδεᾶ SDAWR ἐπιδεᾶ VMP 2 πείνην R πεῖναν καὶ δίψαν V προσκυνητὰ MPSAWRΛ προσκυνητῶσ V πρόσκειται D συναπτόμενα VMP προσάπτομεν WR 3 ταῦτα ψευδῆ καὶ WR 5 καὶ ταῦτα D τῶν — τὰ VPA τῶν — γραφῶν SWR τὰ τῶν — γραφῶν D 7 ἢ φανερὰ A παρὰ πᾶσιν A ἐν πᾶσιν WR 7/8 ὁ — πάντασ SDAWRΛ καὶ πρὸσ πάντασ καθὰ ὁ παῦλοσ VMP 8 ποιῶ M 9 ἡμῶν S 10 δὲ μᾶλλον σαυτὸν πεπλανημένον S 10—11 ἐνταῦθα — κληρικῶν] τῆσ σῆσ διαθέσεωσ κληρικῶν περὶ τῶν ἐνταῦθα παρὰ τῆσ ἁγίασ συνόδου καθηρημένων ὡσ τὰ μανιχαίων φρονούντων D 11 φρονούντων PSDAWRΛ^{tcu} νοσούντων VMΛ^{m} ἢ τῶν SDAWRΛ^{mtc} ἡμῶν P ὑμῶν VM 11/12 τῆς ἐκκλησίας om. V 12 τὰ] κατὰ R 12/13 ἐπιδόσει — τοσαύτη [τοσαῦτα S] SDAWR ἐπιδόσει τοσαύτη — χάριν VMP 12 χῡ VMPSWRΛ^{mcu} θῡ DAΛ^{t} 13 τὰ^{II} παρὰ W τοὺς om. VMP 14 τε VMPSWRΛ^{mt} δὲ DAΛ^{cu} 15 ὑπερβαλούσῃ MSm πεφωτισμένων VMP 16 θεομάχοισ SDAWRΛ om. VMP · 17 πληρουμένην τὴν φωνὴν S 19 τὰ A om. VMPSDWR ἀδελφῶ in ἀδελφοῦ corr. S ἀδελφοὺσ D ἀδελφόνσ S 19/20 φιλονεικεῖ SDAWRΛ^{tcu} δοκεῖ φιλονεικεῖν VMP 21 οὔτε A χῡ A 21—23 πᾶσαν — θεοσεβέστατε om. VMP *ipsi gloria in sæcula sæculorum* Λ^{m} 22 ἐν χῷ AWRΛ^{tcu} om. SD 22/23 ἐρρωμένος — θεοσεβέστατε om. S 23 καὶ ὑπερευχόμενοσ DΛ^{u} δέσποτα WΛ^{tcu} δέσποτά μου R πάντα μοι DA

6 = S 13 A 23. Latinae uersiones extant Dionysii exigui [uol. V p. 236—244; Λ^{d}, in anathematismis Λ^{d} et Λ^{u}] et in Collectione TC 8 [$\Lambda^{t}\Lambda^{c}$], unde deriuatae sunt eae quas habent Collectio Veronensis 17 [Λ^{u}] et Gesta Concilii quinti [Λ^{σ}]

1 Τῶι εὐλαβεστάτωι καὶ θεοφιλεστάτωι συλλειτουργῶι Νεστορίωι Κύριλλος καὶ ἡ συνελθοῦσα σύνοδος ἐν Ἀλεξανδρείαι ἐκ τῆς Αἰγυπτιακῆς διοικήσεως ἐν κυρίωι χαίρειν. Τοῦ σωτῆρος ἡμῶν λέγοντος ἐναργῶς ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ οὐκ ἐστίν μου ἄξιος καὶ ὁ φιλῶν υἱὸν ἢ θυγατέρα ὑπὲρ ἐμὲ οὐκ ἐστίν μου ἄξιος, τί πάθωμεν ἡμεῖς οἱ παρὰ τῆς σῆς εὐλαβείας ἀπαιτούμενοι τὸ ὑπεραγαπᾶν σε τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ; τίς ἡμᾶς ἐν ἡμέραι κρίσεως ὀνῆσαι δυνήσεται ἢ ποίαν εὑρήσομεν τὴν ἀπολογίαν, σιωπὴν οὕτω τιμήσαντες τὴν μακρὰν ἐπὶ ταῖς παρὰ σοῦ γενομέναις κατ' αὐτοῦ δυσφημίαις; καὶ εἰ μὲν σαυτὸν ἠδίκεις μόνον τὰ τοιαῦτα φρονῶν καὶ διδάσκων, ἤττων ἂν ἦν ἡ φροντίς· ἐπειδὴ δὲ πᾶσαν ἐσκανδάλισας ἐκκλησίαν καὶ Ζύμην αἱρέσεως ἀήθους καὶ ξένης ἐμβέβληκας τοῖς λαοῖς καὶ οὐχὶ τοῖς ἐκεῖσε μόνοις, ἀλλὰ γὰρ καὶ τοῖς ἁπανταχοῦ (περιηνέχθη γὰρ τῶν σῶν ἐξηγήσεων τὰ βιβλία), ποῖος ἔτι ταῖς παρ' ἡμῶν σιωπαῖς ἀρκέσει λόγος ἢ πῶς οὐκ ἀνάγκη μνησθῆναι λέγοντος τοῦ Χριστοῦ μὴ νομίσητε ὅτι ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν, ἀλλὰ μάχαιραν. ἦλθον γὰρ διχάσαι ἄνθρωπον κατὰ τοῦ πατρὸς αὐτοῦ καὶ θυγατέρα κατὰ τῆς μητρὸς αὐτῆς; πίστεως γὰρ ἀδικουμένης, ἐρρέτω μὲν ὡς ἕωλος καὶ ἐπισφαλὴς ἡ πρὸς γονέας αἰδώς, ἠρεμείτω δὲ καὶ ὁ τῆς εἰς τέκνα καὶ ἀδελφοὺς φιλοστοργίας νόμος καὶ τοῦ ζῆν ἀμείνων ἔστω λοιπὸν τοῖς εὐσεβέσιν ὁ θάνατος, ἵνα κρείττονος ἀναστάσεως τύχωσιν κατὰ τὸ γεγραμμένον. L III 395 M IIII 1068 PG 77, 105 [ep. 17] Mt. 10, 37 M IIII 1069 8 15 Mt. 10, 34. 35 PG 108 Hebr. 11, 35 21

2 Ἰδοὺ τοίνυν ὁμοῦ τῆι ἁγίαι συνόδωι τῆι κατὰ τὴν μεγάλην Ῥώμην συνειλεγμένηι προεδρεύοντος τοῦ ὁσιωτάτου καὶ θεοσεβεστάτου ἀδελφοῦ καὶ συλλειτουργοῦ ἡμῶν Κελεστίνου τοῦ ἐπισκόπου καὶ τρίτωι σε τούτωι διαμαρτυρόμεθα γράμματι, συμβουλεύοντες ἀποσχέσθαι τῶν οὕτω σκαιῶν καὶ ἐξεστραμμένων δογμάτων ἃ καὶ φρονεῖς καὶ διδάσκεις, 25

Flor. Cyr. 7 ἐκ τῆς πρὸς Νεστόριον τρίτης ἐπιστολῆς, ἧς ἡ ἀρχή· Τοῦ σωτῆρος ἡμῶν ἐναργῶς λέγοντος

VM, P [= hk], S, D [= mn] ARWHBUZ$\Lambda^{d}\Lambda^{t}\Lambda^{c}\Lambda^{u}\Lambda^{\sigma}$

inscr. om. VMPU ἴσον ἐπιστολῆσ κυρίλλου ἐπισκόπου ἀλεξανδρείασ πρὸσ νεστόριον περὶ τῆσ ἀκοινωνησίασ SD τοῦ αὐτοῦ πρὸσ νεστόριον A ἐπιστολὴ κυρίλλου ἐπισκοπου ἀλεξανδρειασ πρὸσ νεστόριον $\bar{\gamma}$ παραινετικὴ ὥστε εἰ μὲν πισθείη καὶ καθύπογράψειεν τοῖσ τεταγμένοισ ἐν τῆ ἐπιστολὴ ἐκκλησιαστικοῖσ κεφαλαίοισ κοινωνικὸν ἐπίσκοπον αὐτὸν εἶναι· ει δε μὴ. ξένον καὶ ἀκοινώνητον τυγχάνειν αὐτὸν παρὰ τοῦ τῆσ ῥωμαίων ἐπισκόπου κελεστίνου R ἐπιστολὴ κυρίλλου πρὸσ νεστόριον ἐπιφωνητικὴ τρίτη W ἐπιστολῆ κυρίλλου ἐπισκόπου ἀλεξανδρείασ πρόσ νεστόριον τὸν αἱρετικόν H τοῦ ἐν ἁγίοισ κυρίλλου ἀρχιεπισκόπου ἀλεξανδρείασ ἐπιστολὴ πρὸσ τὸν αὐτὸν δυσσεβῆ νεστόριον B τοῦ ἁγίου κυρίλλου ἀρχιεπισκόπου ἀλεξανδρείασ ἐπιστολὴ πρὸσ νεστόριον ἐπίσκοπον κωνσταντινουπόλεωσ Z

$\bar{\varsigma}$ VP $\bar{\imath\gamma}$ S $\bar{\imath\delta}$ D 4 καὶ θεοφιλεστάτωι om. V θεοσεβεστάτω RW 5 ἐν Ἀλεξανδρείαι om. W ἐν κυρίωι χαίρειν om. V 6 ἐναργῶς om. RW ὑπὲρ ἐμὲ om. A 7 καὶ ὁ φιλῶν — ἄξιος om. PW 8 πάθομεν M πάθοιμεν P θεοσεβείασ S ἀπειθούμενοι RW τοῦ RW ὑπεραγαπᾶν σε VMPΛ^{dtcuo} ὑπεραγαπᾶσθαι SDARWHBUZ 9 Χριστοῦ om. RWΛ^{σ} ποίαν οὕτωσ DA 10 τὴν om. VB σιωπὴ H τιμήσαντες] σιγήσαντεσ AR σιωπήσαντεσ W 10/11 γινομέναισ H 11 βλασφημίαισ κατ' αὐτοῦ P δυσφημίαισ V τὰ om. HZ, corr. H καὶ VPSRWHBUZΛ^{tcuo} ἡ DAΛ^{d} 12 ἦν om. SDH ἡ om. P ἐπεὶ P 13 ἄχθουσ V om. M τε καὶ RW om. M ξένην VMS μόνον VMPZ 14 γὰρ om. V καὶ ποῖοσ RW 14/15 τῶν παρ' ἡμῖν VMP 15 σιωπῆσ VMPS μεμνῆσθαι VMP τοῦ χῦ λέγοντοσ VMP τοῦ χῦ RW 15/16 μὴ — ὅτι] οὐκ A 16 εἰρήνην ἦλθον βαλεῖν SD τῆσ γῆσ Z ἀλλὰ VSAHΛ^{d} οὐκ ἦλθον βαλεῖν εἰρήνην ἀλλὰ MPDRWBUZΛ^{tcuo} 18 ὡς ἕωλος] ἕλεοσ H ἕωλον καὶ ἐπισφαλὲσ S 19 ὁ om. RW 20 ἔσται DA 20/21 τύχωσιν ἀναστάσεωσ B 22 ὁμοῦ PARWHUZ ὅμωσ M ἅμα VSDB 23 ὁσιωτάτου καὶ om. DA καὶ θεοσεβεστάτου om. Z θεοφιλεστάτου RW 24 σοι SD τοῦτο WH om. V διαμαρτυρώμεθα M 25 ἀποσχέσθαι μὲν VP οὕτωσ εἰκαίων U οὕτωσ κενῶν HΛ^{tu} διεστραμμένων VH σου δογμάτων DA

ἀνθελέσθαι δὲ τὴν ὀρθὴν πίστιν τὴν ταῖς ἐκκλησίαις παραδοθεῖσαν ἐξ ἀρχῆς διὰ τῶν ἁγίων
Lc. 1, 2 ἀποστόλων καὶ εὐαγγελιστῶν, οἳ καὶ αὐτόπται καὶ ὑπηρέται τοῦ λόγου γεγόνασιν. καὶ
ep. 10 εἰ μὴ τοῦτο δράσειεν ἡ σὴ εὐλάβεια κατὰ τὴν ὁρισθεῖσαν προθεσμίαν ἐν τοῖς γράμμασι
L III 318 τοῦ μνημονευθέντος ὁσιωτάτου καὶ θεοσεβεστάτου ἐπισκόπου καὶ συλλειτουργοῦ ἡμῶν τῆς
Ῥωμαίων Κελεστίνου, γίνωσκε σαυτὸν οὐδένα κλῆρον ἔχοντα μεθ' ἡμῶν οὐδὲ τόπον ἢ
λόγον ἐν τοῖς ἱερεῦσιν τοῦ θεοῦ καὶ ἐπισκόποις. οὐ γὰρ ἐνδέχεται περιιδεῖν ἡμᾶς ἐκκλη-
σίας οὕτω τεθορυβημένας καὶ σκανδαλισθέντας λαοὺς καὶ πίστιν ὀρθὴν ἀθετουμένην καὶ
διασπώμενα παρὰ σοῦ τὰ ποίμνια τοῦ σώιζειν ὀφείλοντος, εἴπερ ἦσθα καθ' ἡμᾶς ὀρθῆς
δόξης ἐραστὴς τὴν τῶν ἁγίων πατέρων ἰχνηλατῶν εὐσέβειαν. ἅπασι δὲ τοῖς παρὰ τῆς
σῆς εὐλαβείας κεχωρισμένοις διὰ τὴν πίστιν ἣ καθαιρεθεῖσι λαικοῖς τε καὶ κληρικοῖς κοι-
Coll. Veron. νωνικοὶ πάντες ἐσμέν. οὐ γάρ ἐστι δίκαιον τοὺς ὀρθὰ φρονεῖν ἐγνωκότας σαῖς ἀδικεῖ-
ep. 3, 2 σθαι ψήφοις, ὅτι σοὶ καλῶς ποιοῦντες ἀντειρήκασιν. τοῦτο γὰρ αὐτὸ καταμεμήνυκας
M III 1 1072 ἐν τῇ ἐπιστολῇ τῇι γραφείσηι παρὰ σοῦ πρὸς τὸν τῆς μεγάλης Ῥώμης ἁγιώτατον καὶ
συνεπίσκοπον ἡμῶν Κελεστῖνον. οὐκ ἀρκέσει δὲ τῇι σῇι εὐλαβείαι τὸ συνομολογῆσαι
μόνον τὸ τῆς πίστεως σύμβολον τὸ ἐκτεθὲν κατὰ καιροὺς ἐν ἁγίωι πνεύματι παρὰ τῆς
ἁγίας καὶ μεγάλης συνόδου τῆς κατὰ καιροὺς συναχθείσης ἐν τῇι Νικαέων (νενόηκας γὰρ
καὶ ἡρμήνευσας οὐκ ὀρθῶς αὐτό, διεστραμμένως δὲ μᾶλλον, κἂν ὁμολογῆις τῇι φωνῇι τὴν
λέξιν), ἀλλὰ γὰρ ἀκόλουθον ἐγγράφως καὶ ἑνωμότως ὁμολογῆσαι ὅτι καὶ ἀναθεματίζεις μὲν
τὰ σαυτοῦ μιαρὰ καὶ βέβηλα δόγματα, φρονήσεις δὲ καὶ διδάξεις ἃ καὶ ἡμεῖς ἅπαντες οἵ τε
κατὰ τὴν Ἑσπέραν καὶ τὴν Ἑώιαν ἐπίσκοποι καὶ διδάσκαλοι καὶ λαῶν ἡγούμενοι. συνέθετο
δὲ καὶ ἡ κατὰ τὴν Ῥώμην ἁγία σύνοδος καὶ ἡμεῖς ἅπαντες ὡς ὀρθῶς ἐχούσαις καὶ ἀνεπιλήπ-
PG 169 τως ταῖς γραφείσαις ἐπιστολαῖς πρὸς τὴν σὴν εὐλάβειαν παρὰ τῆς Ἀλεξανδρέων ἐκκλη-
σίας. ὑπετάξαμεν δὲ τούτοις ἡμῶν τοῖς γράμμασιν ἅ σε δεῖ φρονεῖν καὶ διδάσκειν
καὶ ὧν ἀπέχεσθαι προσήκει. αὕτη γὰρ τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας ἡ
πίστις, ἣι συναινοῦσιν ἅπαντες οἵ τε κατὰ τὴν Ἑσπέραν καὶ τὴν Ἑώιαν ὀρθοδόξοι ἐπίσκοποι.

V, P [= hk], S, D [= mn], ARWHBUZΛ^{d}Λ^{t}Λ^{c}Λ^{u}Λ$^{\sigma}$

1 ἀνελέσθαι P 2 γεγόνασι τοῦ λόγου S καὶ] ἢ RWHΛ$^{tcu\sigma}$, corr. H 3 θεοσέβεια S θεοσέβεια καὶ εὐλάβεια Z 4 μνημονευθέντος om. D 4/5 ὁσιωτάτου καὶ θεοσεβεστάτου [καὶ θ. om. SΛ^{u}] — τῆσ ῥωμαίων [τῆσ ῥωμαίων ἐκκλησίασ B] κελεστίνου SRBUZΛ$^{tcu\sigma}$ ὁσιωτάτου καὶ θεοσεβεστάτου ἀδελφοῦ καὶ συλλειτουργοῦ ἡμῶν ἐπισκόπου τῆσ ῥωμαίων [τοῦ τῆσ ῥωμαίων ἐκκλησίασ ἐπισκόπου V] κελεστίνου VMP ὁσιωτάτου — ἐπισκόπου κελεστίνου τοῦ συλλειτουργοῦ ἡμῶν DA ὁσιωτάτου — ἐπισκόπου καὶ συνύπουργοῦ ἡμῶν κελεστίνου H ὁσιωτάτου ἐπισκόπου τῆσ ῥωμαίων καὶ θεοφιλεστάτου συλλειτουργοῦ ἡμῶν κελεστίνου W 5 μηδένα SDHUZ οὔτε Z 6 οὐδὲ VRW παριδεῖν Z 7 οὕτω om DA καὶ[1] ἢ A 8 διασπώμενα — σοῦ] διασπώμεναι ταράσσουσι H τὰ om. Z 8/9 ὀρθῆς — ἐραστὴς om. S 9 πατέρων om. RW 10 εὐλαβείας] εὐσεβείασ S 10/11 κεχωρισμένοισ — ἢ ἣ καὶ RH] — λαικοῖσ — κληρικοῖσ [κληρικοῖσ τε καὶ λαικοῖσ RUΛ$^{\sigma}$] κοινωνικοὶ [κοινωνοὶ H] — ἐσμέν VMPSRHBUZΛ$^{dtcu\sigma}$ κεχωρισμένοισ διὰ τὴν πίστιν κοινωνικοὶ — ἐσμέν W κεχωρισμένοισ [κεχωρισμένοισ κοινωνοῦμεν ἡμεῖσ D] ἣ καθαιρεθεῖσι κληρικοῖσ διὰ τὴν πίστιν ἣ λαικοῖσ κοινωνικοὶ πάντεσ ἡμεῖσ ἐσμέν DA 12 σοὶ] οἱ VM om PS φρονοῦντεσ DA 13 τῇ γραφείσῃ ἐπιστολῇ M ἁγιώτατον τῆσ μεγάλησ ῥώμησ P τῆσ μεγάλησ] μέγαν Z καὶ VPDHBUZΛ^{d} om MSARWΛ$^{tcu\sigma}$ 14 ἐπίσκοπον S τὸ] τοῦ D 15 σύμβουλον R καιρὸν P 16 ἁγίασ καὶ μεγάλησ SDAHBUZΛ$^{dtcu\sigma}$ μεγάλησ καὶ ἁγίασ RW μεγάλησ VMP τῆσ om. S κατὰ καιροὺσ om. W συνηγμένησ S νικαέων πόλει BΛ$^{\sigma}$ 17 ἑρμήνευσασ H ἡρμήνευκασ DABUZ ἑρμήνευκασ S διεστραμμένα M 18 καὶ ἑνωμότωσ κατενόμοτον H ὁμολογῆσαι σε H ἀναθεματίσεισ W ἀναθεματήσεισ R 19 ωυρία H καὶ βέβηλα om. H βδελυρὰ RW *abominanda* Λ$^{\sigma}$ πάντεσ VMPDH τε om. VMP 20 τὴν^{2} om. RWH 21 μεγάλην ῥώμην B ῥωμαίων AZ ἁγία om VMPB ὡς om. RΛ^{tu} 21/22 ἀνεπιπλήκτωσ R 22 ταῖσ ἐπιστολαῖσ ταῖσ γραφείσαισ [πεμφθείσαισ W] RW 23 ἅ σε Λ$^{dtcu\sigma}$ ἃ τὲ VMSDARWHBUZ ἅ γε P 24 ἀποσχέσθαι SDUZ 24/25 ἡ τῆς — ἐκκλησίασ πίστισ H 24 καὶ ἀποστολικῆς om. A 25 τὴν^{2} om. RW ὀρθόδοξοι om. RWΛ$^{\sigma}$

3 Πιστεύομεν εἰς ἕνα θεὸν πατέρα παντοκράτορα, πάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητήν· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ, γεννηθέντα ἐκ τοῦ πατρὸς μονογενῆ, τουτέστιν ἐκ τῆς οὐσίας τοῦ πατρός, θεὸν ἐκ θεοῦ, φῶς ἐκ φωτός, θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῶι πατρί, δι' οὗ τὰ πάντα ἐγένετο τά τε ἐν τῶι οὐρανῶι καὶ τὰ ἐν τῆι γῆι, τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα καὶ σαρκωθέντα καὶ ἐνανθρωπήσαντα, παθόντα καὶ ἀναστάντα τῆι τρίτηι ἡμέραι, ἀνελθόντα εἰς τοὺς οὐρανούς, ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς· καὶ εἰς τὸ ἅγιον πνεῦμα.

Τοὺς δὲ λέγοντας 'ἦν ποτε ὅτε οὐκ ἦν' καὶ 'πρὶν γεννηθῆναι οὐκ ἦν' καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο, ἢ ἐξ ἑτέρας ὑποστάσεως ἢ οὐσίας φάσκοντας εἶναι ἢ τρεπτὸν ἢ ἀλλοιωτὸν τὸν υἱὸν τοῦ θεοῦ, τούτους ἀναθεματίζει ἡ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία.

'Επόμενοι δὲ πανταχῆι ταῖς τῶν ἁγίων πατέρων ὁμολογίαις αἷς πεποίηνται λαλοῦντος ἐν αὐτοῖς τοῦ ἁγίου πνεύματος καὶ τῶν ἐν αὐτοῖς ἐννοιῶν ἰχνηλατοῦντες τὸν σκοπὸν καὶ βασιλικὴν L III 399
ὥσπερ ἐρχόμενοι τρίβον φαμὲν ὅτι αὐτὸς ὁ μονογενὴς τοῦ θεοῦ λόγος ὁ ἐξ αὐτῆς γεννηθεὶς τῆς οὐσίας τοῦ πατρός, ὁ ἐκ θεοῦ ἀληθινοῦ θεὸς ἀληθινός, τὸ φῶς τὸ ἐκ τοῦ φωτός, ὁ δι' οὗ τὰ πάντα ἐγένετο τά τε ἐν τῶι οὐρανῶι καὶ τὰ ἐν τῆι γῆι, τῆς ἡμετέρας ἕνεκα σωτηρίας κατελθὼν καὶ καθεὶς ἑαυτὸν εἰς κένωσιν ἐσαρκώθη τε καὶ ἐνηνθρώπησε, τουτέστι σάρκα λαβὼν ἐκ τῆς ἁγίας παρθένου καὶ ἰδίαν αὐτὴν ποιησάμενος ἐκ μήτρας τὴν καθ' ἡμᾶς ὑπέμεινε γέννησιν καὶ προῆλθεν ἄνθρωπος ἐκ γυναικός, οὐχ ὅπερ ἦν, ἀποβεβληκώς, ἀλλ' εἰ καὶ γέγονεν ἐν προσλήψει σαρκὸς καὶ αἵματος, καὶ οὕτω μεμενηκὼς ὅπερ ἦν, θεὸς δηλονότι φύσει τε καὶ ἀληθείαι. οὔτε δὲ τὴν σάρκα φαμὲν εἰς θεότητος τραπῆναι φύσιν οὔτε μὴν εἰς M IIII 1073
φύσιν σαρκὸς τὴν ἀπόρρητον τοῦ θεοῦ λόγου παρενεχθῆναι φύσιν. ἄτρεπτος γάρ ἐστιν καὶ ἀναλλοίωτος παντελῶς ὁ αὐτὸς ἀεὶ μένων κατὰ τὰς γραφάς, ὁρώμενος δὲ καὶ βρέφος καὶ Mal. 3, 6
ἐν σπαργάνοις ὢν ἔτι καὶ ἐν κόλπωι τῆς τεκούσης παρθένου πᾶσαν ἐπλήρου τὴν κτίσιν ὡς θεὸς καὶ σύνεδρος ἦν τῶι γεγεννηκότι· τὸ γὰρ θεῖον ἄποσόν τέ ἐστιν καὶ ἀμέγεθες καὶ
4 περιορισμῶν οὐκ ἀνέχεται. ἡνῶσθαί γε μὴν σαρκὶ καθ' ὑπόστασιν ὁμολογοῦντες τὸν λόγον, ἕνα προσκυνοῦμεν υἱὸν καὶ κύριον Ἰησοῦν Χριστόν, οὔτε ἀνὰ μέρος τιθέντες καὶ διορίζοντες

19—23 Flor. Cyrill. 7 ἀλλ' εἰ — παντελῶς
21—23 Doctr. patr. 24 p. 170, 15 οὔτε δέ — γραφάς

VM, P [= hk], S, D [= mn], ARWHBUZ $\Lambda^{d}\Lambda^{t}\Lambda^{c}\Lambda^{u}\Lambda^{\sigma}$

1 πιστεύομεν τὸ ἅγιον μάθημα S τε om. P 2/3 γεννηθέντα — μονογενῆ] τὸν μονογενῆ γεννηθέντα ἐκ τοῦ πρσ SD τοῦ πατρὸς — πατρός] τῆσ οὐσίασ τοῦ πρσ μονογενῆ A 4 ποιηθέντα] ποιηθέντα δι' οὗ ἐποίησε τοὺσ αἰῶνασ DA 5 τε om. S τῶι om. Z ἐπὶ τῆσ γῆσ RW 6 καὶ σαρκωθέντα om. A καὶ[2] om. SDAZ καὶ[3] om. A 7 ἡμέρα κατὰ τὰς γραφάσ Z τοὺς om. SRWH οὐρανόν S 8 τὸ πνεῦμα τὸ ἅγιον DA 9 ἐξ om. A 10 ἢ[3]] καὶ V 11 ἁγία καθολικὴ R ἁγία τοῦ Cῦ καθολικὴ W ἁγία S ἐκκλησία ἀμήν H 12 πανταχοῦ VA πατέρων om. RW *martyrum* Λ^{d} αἱσ DARWBUZΛ^{dtc} αἳ VMPS 13 τὸν om. V 14 ἐχόμενοι R αὐτὸς om. VMP λόγοσ τοῦ θῦ W ὁ om. DA 14/15 τῆσ οὐσίασ γεννηθεὶσ P 15 καὶ ὁ S τοῦ om. VPDA 16 ἐγένοντο Z τε om. SBZ ἐπὶ τῆσ γῆσ DAB 17 λαβὼν τὴν A 19 ἀποβαλὼν Z 20 ἐν om. SDAU Flor. Cyr. πρόσληψις Flor. Cyr. μεμένηκεν Z 21 τε om. VSD δὴ PΛ^{d} om. A φύσιν τραπῆναι RW 21, 22 οὔτε μὴν — παρενεχθῆναι φύσιν om. B σαρκὸς εἰσ φύσιν V εἰς σαρκὸς Doctr. 22 ἄρρητον Flor. Cyr. τοῦ om. VMP μετενεχθῆναι SD παραχθῆναι V ἄστρεπτος S μὲν γὰρ Flor. Cyr. 23 παντελῶς om. BΛ^{d} Doctr. ὁ — ἀεὶ μένων SRWU $\Lambda^{dtcuσ}$ Doctr. ὁ — ἀεὶ μὲν ὢν VMZ θαυμαστὸσ ἀεὶ μένων H ὁ — ἀεὶ διαμένων B ὁ — μὲν ἀεὶ ὢν P μένων ὁ αὐτὸσ ἀεὶ DA 23/24 ὁρώμενος — ἔτι] μένων δὲ ἔτι ἐν σπαργάνοισ καὶ βρέφοσ ὁρώμενοσ P 23 καὶ[2] om. V 24 ἐν σπαργάνοισ] ἐσπαργανωμένοσ RWH ὢν] μένων V κόλπῳ MPSRWHU $\Lambda^{tcuσ}$ κόλποισ VDABZΛ^{d} 25 γὰρ] θεῖον H ἄποσόν τέ ἐστιν] ἄπειρόν ἐστι καὶ ἄποσον Z 26 περιορισμῶν VSABZΛ^{d} περιορισμὸν MPDHU$\Lambda^{tcuσ}$ ὁρισμῶν RW γε μὴν] μὲν H λόγον om. B 27 καὶ[1] om. D ὁρίζοντεσ W

PG 112 ἄνθρωπον καὶ θεὸν ὡς συνημμένους ἀλλήλοις τῇ τῆς ἀξίας καὶ αὐθεντίας ἑνότητι (κενοφωνία γὰρ τοῦτο καὶ ἕτερον οὐδέν) οὔτε μὴν Χριστὸν ἰδικῶς ὀνομάζοντες τὸν ἐκ θεοῦ λόγον καὶ ὁμοίως ἰδικῶς Χριστὸν ἕτερον τὸν ἐκ γυναικός, ἀλλ' ἕνα μόνον εἰδότες Χριστὸν τὸν ἐκ θεοῦ πατρὸς λόγον μετὰ τῆς ἰδίας σαρκός. τότε γὰρ ἀνθρωπίνως κέχρισται μεθ' ἡμῶν,
Ioh. 3, 34 καίτοι τοῖς ἀξίοις τοῦ λαβεῖν τὸ πνεῦμα διδοὺς αὐτὸς καὶ οὐκ ἐκ μέτρου, καθά φησιν ὁ μακάριος εὐαγγελιστὴς Ἰωάννης. ἀλλ' οὐδὲ ἐκεῖνο φαμὲν ὅτι κατώικηκεν ὁ ἐκ θεοῦ λόγος ὡς ἐν ἀνθρώπωι κοινῶι τῶι ἐκ τῆς ἁγίας παρθένου γεγεννημένωι, ἵνα μὴ θεοφόρος
Ioh. 1, 14 ἄνθρωπος νοοῖτο Χριστός. εἰ γὰρ καὶ ἐσκήνωσεν ἐν ἡμῖν ὁ λόγος, εἴρηται δὲ καὶ
Col. 2, 9 ἐν Χριστῶι κατοικῆσαι πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς, ἀλλ' οὖν ἐννοοῦμεν ὅτι γενόμενος σάρξ, οὐχ ὥσπερ ἐν τοῖς ἁγίοις κατοικῆσαι λέγεται, κατὰ τὸν ἴσον καὶ ἐν αὐτῶι τρόπον γενέσθαι διοριζόμεθα τὴν κατοίκησιν· ἀλλ' ἑνωθεὶς κατὰ φύσιν καὶ οὐκ εἰς σάρκα τραπείς, τοιαύτην ἐποιήσατο τὴν κατοίκησιν, ἣν ἂν ἔχειν λέγοιτο καὶ ἡ τοῦ ἀνθρώπου ψυχὴ πρὸς τὸ ἴδιον ἑαυτῆς σῶμα. εἷς οὖν ἄρα Χριστὸς καὶ υἱὸς καὶ κύριος, οὐχ ὡς συνάφειαν ἁπλῶς τὴν ὡς ἐν ἑνότητι τῆς ἀξίας ἢ γοῦν αὐθεντίας ἔχοντος ἀνθρώπου πρὸς θεόν· οὐ γὰρ ἑνοῖ τὰς φύσεις [ἡ] ἰσοτιμία. καὶ γοῦν Πέτρος τε καὶ Ἰωάννης ἰσότιμοι μὲν ἀλλήλοις καθὸ καὶ ἀπόστολοι καὶ ἅγιοι μαθηταί, πλὴν οὐχ εἷς οἱ δύο. οὔτε μὴν κατὰ παράθεσιν τὸν τῆς συναφείας νοοῦμεν τρόπον (οὐκ ἀπόχρη γὰρ τοῦτο πρὸς ἕνωσιν
L III 402 φυσικήν) οὔτε μὴν ὡς κατὰ μέθεξιν σχετικήν, ὡς καὶ ἡμεῖς κολλώμενοι τῶι κυρίωι κατὰ
1 Cor. 6, 17 τὸ γεγραμμένον ἓν πνεῦμα ἐσμὲν πρὸς αὐτόν, μᾶλλον δὲ τὸ τῆς συναφείας ὄνομα παραιτούμεθα ὡς οὐκ ἔχον ἱκανῶς σημῆναι τὴν ἕνωσιν. ἀλλ' οὐδὲ θεὸν ἢ δεσπότην τοῦ Χριστοῦ τὸν ἐκ θεοῦ πατρὸς λόγον ὀνομάζομεν, ἵνα μὴ πάλιν ἀναφανδὸν τέμνωμεν εἰς
M IIII 1076 δύο τὸν ἕνα Χριστὸν καὶ υἱὸν καὶ κύριον καὶ δυσφημίας ἐγκλήματι περιπέσωμεν, θεὸν ἑαυτοῦ καὶ δεσπότην ποιοῦντες αὐτόν. ἑνωθεὶς γάρ, ὡς ἤδη προείπομεν, ὁ τοῦ θεοῦ λόγος σαρκὶ καθ' ὑπόστασιν θεὸς μέν ἐστι τῶν ὅλων, δεσπόζει δὲ τοῦ παντός, οὐτε δὲ αὐτὸς ἑαυτοῦ δοῦλός ἐστιν οὔτε δεσπότης. εὐηθες γάρ, μᾶλλον δὲ ἤδη καὶ δυσ-
Ioh. 20, 17 σεβὲς τὸ οὕτω φρονεῖν ἢ λέγειν. ἔφη μὲν γὰρ θεὸν ἑαυτοῦ τὸν πατέρα, καίτοι θεὸς ὢν φύσει καὶ ἐκ τῆς οὐσίας αὐτοῦ· ἀλλ' οὐκ ἠγνοήκαμεν ὅτι μετὰ τοῦ εἶναι θεὸς καὶ ἄνθρωπος γέγονεν ὑπὸ θεῶι κατά γε τὸν πρέποντα νόμον τῆι τῆς ἀνθρωπότητος φύσει. αὐτὸς δὲ ἑαυτοῦ πῶς ἄν γένοιτο θεὸς ἢ δεσπότης; οὐκοῦν ὡς ἄνθρωπος καὶ ὅσον

---

26. 27 adfert Ephraim Antioch. ap. Phot. 229 p. 251^{b} 35

VM, P [= hk], S, D [= mn], ARWHBUZΛ^{d}Λ^{t}Λ^{c}Λ^{u}Λ$^{\sigma}$

1 ὡς om. MP οὔτε V μᾶλλον ἀλλήλουσ V ἀξίας] ἐξουσίασ W 1/2 καινοφωνία V 2 οὐδὲν ἕτερον Z ὀνομάζοντεσ ἰδικῶσ Z ὀνομάζοντεσ P τοῦ θεοῦ MP λόγου P 3 ἰδικῶσ VMPAHUΛ^{dtu} ἰδικῶσ ὡσ SDRWBZΛ$^{c\sigma}$ 3—4 ἀλλ' — σαρκός om. A 4 θῦ VMPZΛ$^{dtc\sigma}$ θῦ [τοῦ θῦ R] καὶ SDRWHBU τότε] οὔτε V τοῖσ ταὐτησ Z ἀνθρώπινον W ἀνο̄σ̄ H κέχρησται S κέχρηται ZΛ^{u} μεθ'] παρ' V 5 τοῦ om. H τὸ om. RW ἐμμέτρου H ἐκ μέρουσ A μέτρου λαμβάνων τοῦτο παρὰ τοῦ πρ̄σ̄ Z 6 μακάριοσ om. RW ἅγιοσ Z εὐαγγελιστὴσ om. VMI' κατώκησεν VMmWHBU 7 ἐν om. VPS superscr. Z γεγενημένω S S νοῆται ὁ Z 9/10 ἐννοῶμεν VMPSARB 10 λέγεται κατοικῆσαι A οὐδὲ κατὰ Λ^{d} τὸ Z 11 γεγενῆσθαι B διοριζόμεθα γενέσθαι PU ἀλλὰ τὴν MP 11/12 ἀλλ' — κατοίκησιν om. MPH, corr. H 12 ἂν om. Z 13 ψυχὴ] εστω M τὸ σῶμα αὐτῆσ V ἴδιον μόνον H κ̄σ̄ καὶ ῡσ̄ καὶ χ̄σ̄ H υσ καὶ χ̄σ̄ καὶ κσ Z 14 τὴν — ἀξίας om. R τῆσ V ἐν MHUΛ^{dteu} θ̄ν̄ SD om. VPAWBZ ἑνότητα V ἔχοντος] ἔχων τῆσ Z 15 ἡ om. VMPA καὶ γοῦν καὶ RW τε om. RWZ 16 καὶ^{1} om. Z 17 τρόπον νοοῦμεν Z 18 ὡς om. B οἰκετικὴν RWΛ$^{\sigma}$ 20 ὡς om. B σημᾶναι VMPRWHB 21 Χριστοῦ] παντὸσ S τέμωμεν RW 22 καὶ υἱὸν SDARWHBUZΛ$^{\sigma u\sigma}$ τὸν υἱὸν VMPΛ^{dt} 23 αὐτοῦ MS εἴπομεν Z θῦ πρ̄σ̄ P 25 καὶ ἤδη DA 26 οὕτω φρονεῖν ἢ λέγειν SARWHBUΛ$^{dtu\sigma}$ οὕτω φρονεῖν καὶ λέγειν D λέγειν οὕτωσ ἢ φρονεῖν ZΛ^{c} οὕτω φρονεῖν VMP 27 οὐχ' R ἠγνόηκεν P μεῖναι VMPΛ^{d} 28 ὑπὸ θῶ VMPSWU ὁ ὑπὸ [ὑπό γε B] θῶ DARBΛ^{d} ὁ ὑπὸ θ̄ν̄ Z οὐ ποθὸν H γε om. AU τῇ φύσει τῆσ ἀνθρωπότητοσ B 29 δ' M om. R αὐτοῦ Λ καὶ om. Λ^{du}

ἦκεν εἷς γε τὸ πρέπον τοῖς τῆς κενώσεως μέτροις, ὑπὸ θεῶι μεθ' ἡμῶν ἑαυτὸν εἶναί
φησιν. οὕτω γέγονε καὶ ὑπὸ νόμον, καίτοι λαλήσας αὐτὸς τὸν νόμον καὶ νομοθέτης Gal. 4, 4
6 ὑπάρχων ὡς θεός. παραιτούμεθα δὲ λέγειν ἐπὶ Χριστοῦ 'διὰ τὸν φοροῦντα τὸν φορούμενον Loofs, Nestor.
σέβω· διὰ τὸν ἀόρατον προσκυνῶ τὸν ὁρώμενον'. φρικτὸν δὲ πρὸς τούτωι κἀκεῖνο εἰπεῖν 'ὁ p. 262, 3. 4. 11. 12
ληφθεὶς τῶι λαβόντι συγχρηματίζει θεός'. ὁ γὰρ ταῦτα λέγων διατέμνει πάλιν εἰς δύο PG 113
Χριστοὺς καὶ ἄνθρωπον ἵστησιν ἀνὰ μέρος ἰδικῶς καὶ θεὸν ὁμοίως. ἀρνεῖται γὰρ ὁμολο- 6
γουμένως τὴν ἕνωσιν, καθ' ἣν οὐχ ὡς ἕτερος ἑτέρωι συμπροσκυνεῖταί τις οὔτε μὴν συγ-
χρηματίζει θεός, ἀλλ' εἷς νοεῖται Χριστὸς Ἰησοῦς υἱὸς μονογενής, μιᾶι προσκυνήσει τιμώμε-
νος μετὰ τῆς ἰδίας σαρκός. ὁμολογοῦμεν δὲ ὅτι αὐτὸς ὁ ἐκ θεοῦ πατρὸς γεννηθεὶς υἱὸς
καὶ θεὸς μονογενής, καίτοι κατὰ φύσιν ἰδίαν ὑπάρχων ἀπαθής, σαρκὶ πέπονθεν ὑπὲρ ἡμῶν 1 Petr. 4, 1
κατὰ τὰς γραφὰς καὶ ἦν ἐν τῶι σταυρωθέντι σώματι, τὰ τῆς ἰδίας σαρκὸς ἀπαθῶς οἰκει- 11
ούμενος πάθη. χάριτι δὲ θεοῦ καὶ ὑπὲρ παντὸς ἐγεύσατο θανάτου, διδοὺς αὐτῶι τὸ Hebr. 2, 9
ἴδιον σῶμα, καίτοι κατὰ φύσιν ὑπάρχων ζωὴ καὶ αὐτὸς ὢν ἡ ἀνάστασις. ἵνα γὰρ Ioh. 11, 25
ἀρρήτωι δυνάμει πατήσας τὸν θάνατον ὡς ἔν γε δὴ πρώτηι τῆι ἰδίαι σαρκὶ γένηται πρω- Col. 1, 18
τότοκος ἐκ νεκρῶν καὶ ἀπαρχὴ τῶν κεκοιμημένων ὁδοποιήσηι τε τῆι ἀνθρώπου 1 Cor. 15, 20
φύσει τὴν εἰς ἀφθαρσίαν ἀναδρομήν, χάριτι θεοῦ, καθάπερ ἔφημεν ἀρτίως, ὑπὲρ παντὸς 16
ἐγεύσατο θανάτου τριήμερός τε ἀνεβίω σκυλεύσας τὸν ἅιδην. ὥστε κἂν λέγηται 1 Cor. 15, 21
δι' ἀνθρώπου γενέσθαι ἡ ἀνάστασις τῶν νεκρῶν, ἀλλὰ νοοῦμεν ἄνθρωπον τὸν ἐκ θεοῦ
γεγονότα λόγον καὶ λελύσθαι δι' αὐτοῦ τοῦ θανάτου τὸ κράτος. ἥξει δὲ κατὰ καιροὺς L III 403
ὡς εἷς υἱὸς καὶ κύριος ἐν τῆι δόξηι τοῦ πατρός, ἵνα κρίνηι τὴν οἰκουμένην ἐν δικαιοσύ- Act. 17, 31
νηι, καθὰ γέγραπται. 21

7 Ἀναγκαίως δὲ κἀκεῖνο προσθήσομεν. καταγγέλλοντες γὰρ τὸν κατὰ σάρκα θάνα-
τον τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ, τουτέστιν Ἰησοῦ Χριστοῦ τήν τε ἐκ νεκρῶν ἀναβίωσιν
καὶ τὴν εἰς οὐρανοὺς ἀνάληψιν ὁμολογοῦντες, τὴν ἀναίμακτον ἐν ταῖς ἐκκλησίαις τελοῦμεν M IIII 1077
λατρείαν πρόσιμέν τε οὕτω ταῖς μυστικαῖς εὐλογίαις καὶ ἁγιαζόμεθα μέτοχοι γινόμενοι τῆς 25
τε ἁγίας σαρκὸς καὶ τοῦ τιμίου αἵματος τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ καὶ οὐχ ὡς
σάρκα κοινὴν δεχόμενοι, μὴ γένοιτο, οὔτε μὴν ὡς ἀνδρὸς ἡγιασμένου καὶ συναφθέντος τῶι
λόγωι κατὰ τὴν ἑνότητα τῆς ἀξίας ἢ γοῦν ὡς θείαν ἐνοίκησιν ἐσχηκότος, ἀλλ' ὡς ζωο-
ποιὸν ἀληθῶς καὶ ἰδίαν αὐτοῦ τοῦ λόγου. Ζωὴ γὰρ ὢν κατὰ φύσιν ὡς θεός, ἐπειδὴ
γέγονεν ἓν πρὸς τὴν ἑαυτοῦ σάρκα, ζωοποιὸν ἀπέφηνεν αὐτήν, ὥστε κἂν λέγηι πρὸς ἡμᾶς 30
ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου καὶ Ioh. 6, 53

3/4 Cyrill. adu. Nestor. 2, 12 = Exc. Eph. VIII. XV
4/5 cf. Cyrill. l. c. 2, 12. Exc. Eph. XV
9—12 Doctr. patr. 7, 24. 8, 15 ἐκ τῆς πρὸς Νεστόριον γ' ἐπιστολῆς· ὁμολογοῦμεν — οἰκειούμενος πάθη
29—p. 38, 3] Doctr. patr. 20, 2 Κυρίλλου ἐκ τῆς πρὸς Νεστόριον β' ἐπιστολῆς· Ζωή — χρηματίσαντος

VM, P [= hk], S, D [= mn], ARWHBUZΛ^{d}Λ^{t}Λ^{c}Λ^{u}Λ$^{\sigma}$

1 ἦκον Z γε] δὲ H τοῖσ μέτροισ τῆσ κενώσεωσ B θν Z ἑαυτὸν om. AW
2 καὶ ὑπὸ νόμον γέγονε S καίτοι — νόμιον om. P 3 δὲ om. M τὸ φορούμενον RZΛ^{tu}
4 τὸ ὁρώμενον ZΛ^{tu} τοῦτο WH ὅτι ὁ Z 6 διίστησιν Z 7 ἐν ἑτέρωι D τις om. H
8 κσ ιῦ χῦ B υἱὸς om. W 8/9 μιᾶι — πατρὸς om. P 9 αὐτὸς ὁ om. VM ὁ om. H
10 κατ' ἰδίαν φύσιν BU 11 ἐν om. R ἀπαθῶς om. P 12/13 τὸ ἴδιον om. W 13 ζωὴ
κατὰ φύσιν ὑπάρχων P κατὰ φύσιν ὑπάρχων V 14 ἓν om. WΛ^{u} 15 τοῦ ἀνθρώπου VSD
ἀνθρωπίνη A 16 ἔφημεν VPRWHUΛ^{teus} δημεν M ἔφην SDABZ 17 γευσάμενοσ H τριή-
μερός τε ἀνεβίω SHBUZΛ^{dteu} τριήμεροσ δὲ ἀνεβίω VMDARWΛ$^{\sigma}$ καὶ ἀνεβίω τριήμεροσ P ἅιδην]
θάνατον V 18 γεγενῆσθαι DAB ἀλλὰ καὶ P ἀλλά γε A 19 γεννηθέντα DA τὸ τοῦ
θανάτου DAB 20 κύριος] χῦ H 21 καθὼσ DZ 23 ἀνάστασιν PD 24 ἐν om. M
25 προσιεμεν MPH τε om. VH δὲ RWZ οὕτωσ ἤδη Z τινόμενοι AWBHZ γιγνόμενοι SD
γενόμενοι VMPRU 26 τε om. SHBZ 27/28 τοῦ λόγου S 28 ἔχοντοσ W 29 ἴδιον A
30 ἓν om. HBΛ^{teu} ταύτην A λέγηται Λ^{c} 31 ἀμὴν VMPRWHUΛ^{t} ἀμὴν ἀμὴν SDAH^{corr}BZΛ^{deus}
μὴ om. V superscr. HU ἀνοῦ τοῦ καθ' ἡμᾶσ B

PG 116 πίητε αὐτοῦ τὸ αἷμα, οὐχ ὡς ἀνθρώπου τῶν καθ' ἡμᾶς ἑνὸς καὶ αὐτὴν εἶναι λογιούμεθα (πῶς γὰρ ἡ ἀνθρώπου σὰρξ ζωοποιὸς ἔσται κατὰ φύσιν τὴν ἑαυτῆς;), ἀλλ' ὡς ἰδίαν ἀληθῶς γενομένην τοῦ δι' ἡμᾶς καὶ υἱοῦ ἀνθρώπου γεγονότος τε καὶ χρηματίσαντος.

8 Τὰς δέ γε ἐν τοῖς εὐαγγελίοις τοῦ σωτῆρος ἡμῶν φωνὰς οὔτε ὑποστάσεσι δυσὶν οὔτε μὴν προσώποις καταμερίζομεν. οὐ γάρ ἐστι διπλοῦς ὁ εἷς καὶ μόνος Χριστός, κἂν ἐκ δύο νοῆται καὶ διαφόρων πραγμάτων εἰς ἑνότητα τὴν ἀμέριστον συνενηνεγμένος, καθάπερ ἀμέλει καὶ ἄνθρωπος ἐκ ψυχῆς νοεῖται καὶ σώματος καὶ οὐ διπλοῦς μᾶλλον, ἀλλ' εἷς ἐξ ἀμφοῖν. ἀλλὰ τάς τε ἀνθρωπίνας καὶ πρός γε τούτωι τὰς θεικὰς παρ' ἑνὸς εἰρῆσθαι διακεισόμεθα, φρονοῦντες ὀρθῶς. ὅταν μὲν γὰρ θεοπρεπῶς λέγηι περὶ ἑαυτοῦ
Ioh. 14, 9 Ioh. 10, 30 ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα καὶ ἐγὼ καὶ ὁ πατὴρ ἓν ἐσμέν, τὴν θείαν αὐτοῦ καὶ ἀπόρρητον ἐννοοῦμεν φύσιν, καθ' ἣν καὶ ἕν ἐστιν πρὸς τὸν ἑαυτοῦ πατέρα διὰ τὴν
Hebr. 1, 3 ταυτότητα τῆς οὐσίας εἰκών τε καὶ χαρακτὴρ καὶ ἀπαύγασμα τῆς δόξης αὐτοῦ· ὅταν
Ioh. 8, 40 δὲ τὸ τῆς ἀνθρωπότητος μέτρον οὐκ ἀτιμάζων τοῖς Ἰουδαίοις προσλαλῆι νῦν δέ με ζητεῖτε ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα, πάλιν οὐδὲν ἧττον αὐτὸν τὸν ἐν ἰσότητί τε καὶ ὁμοιότητι τοῦ πατρὸς θεὸν λόγον καὶ ἐκ τῶν τῆς ἀνθρωπότητος αὐτοῦ μέτρων ἐπιγινώσκομεν. εἰ γάρ ἐστιν ἀναγκαῖον τὸ πιστεύειν ὅτι θεὸς ὢν φύσει γέγονε σὰρξ ἢ γοῦν ἄνθρωπος ἐψυχωμένος ψυχῆι λογικῆι, ποῖον ἂν ἔχοι λόγον τὸ ἐπαισχύνεσθαί τινα ταῖς παρ' αὐτοῦ φωναῖς, εἰ γεγόνασιν ἀνθρωποπρεπῶς; εἰ γὰρ παραιτοῖτο τοὺς ἀνθρώπωι πρέποντας λόγους, τίς ὁ ἀναγκάσας γενέσθαι καθ' ἡμᾶς ἄνθρωπον; ὁ δὲ καθεὶς ἑαυτὸν δι' ἡμᾶς εἰς ἑκούσιον κένωσιν διὰ ποίαν αἰτίαν παραι-
I. III 406 τοῖτο ἂν τοὺς τῆι κενώσει πρέποντας λόγους; ἐνὶ τοιγαροῦν προσώπωι τὰς ἐν τοῖς εὐαγ-
1 Cor. 8, 6 γελίοις πάσας ἀναθετέον φωνάς, ὑποστάσει μιᾶι τῆι τοῦ λόγου σεσαρκωμένηι. κύριος
M III 1080 9 γὰρ εἷς Ἰησοῦς Χριστὸς κατὰ τὰς γραφάς. εἰ δὲ δὴ καλοῖτο καὶ ἀπόστολος καὶ ἀρχιερεὺς τῆς
Hebr. 3, 1 ὁμολογίας ἡμῶν, ὡς ἱερουργῶν τῶι θεῶι καὶ πατρὶ τὴν πρὸς ἡμῶν αὐτῶι τε καὶ δι' αὐτοῦ τῶι θεῶι καὶ πατρὶ προσκομιζομένην τῆς πίστεως ὁμολογίαν καὶ μὴν καὶ εἰς τὸ ἅγιον πνεῦμα, πάλιν αὐτὸν εἶναι φαμὲν τὸν ἐκ θεοῦ κατὰ φύσιν υἱὸν μονογενῆ καὶ οὐκ ἀνθρώπωι προσνεμοῦμεν παρ' αὐτὸν ἑτέρωι τό τε τῆς ἱερωσύνης ὄνομα καὶ αὐτὸ δὲ τὸ χρῆμα.

4—6] Doctr. patr. 22, 13 Εὐβούλου ἐπισκόπου Λύστρων ἐκ τοῦ λόγου τοῦ πρὸς τὸν χάρτην τὸν ἐπιδοθέντα τῶι . . . βασιλεῖ Ἡρακλείωι ὑπὸ Ἀθανασίου τοῦ τῶν Σευηριανῶν ψευδεπισκόπου πονηθέντος αὐτῶι . . . . ἐν τῆι πρὸς . . Νεστόριον δευτέραι ἐπιστολῆι οὕτω πάλιν ἔγραψε· τὰς δέ γε — συνενηνεγμένος.

5] Doctr. patr. 4, 12 in scholio K. ἐν τῆι πρὸς Νεστόριον ἐπιστολῆι φησιν ὅτιπερ οὐκ ἔστι διπλοῦς — Χριστός.

9—12 adfeit Ephraim Antioch. ap. Phot. 229 p. 251^{b} 38 ὅταν — οὐσίας

21—23 idem ibidem p. 260^{a} 6 ἐν τῆι πρὸς Νεστόριον τρίτηι ἐπιστολῆι· τοιγαροῦν — γραφάς

VM, P [= hk], S, D [= mn], ARWHBUZΛ^{d}Λ^{t}Λ^{c}Λ^{u}Λ$^{\sigma}$

1 τῶν VMPZ τοῦ SDARWHB τὸ U 1/2 λογιούμεθα εἶναι DA 2 ἀνθρωπεία V ἐστι VMP 3 υἱοῦ καὶ $\overline{\text{ἀνου}}$ D γενομένου DA τε om. H 4 ἡμῶν om. A ἤδη δυσὶν Z 5 προσώποισ δυσὶ κατὰ μεριζομένου οὐ H οὐ] οὐδὲ DA κἀν ει RH καὶ εἰ W 6 δυοῖν B νοεῖται W νοοῖτο BZ νοεῖτο H συνενηνεγμένοισ R συνηγμένοσ UWΛ^{u}, corr. W 7 ὁ $\overline{\text{ἀνοσ}}$ Z 8 γε RWBU τοῦτο P πρὸσ S 9 λέγηται RWΛ$^{\sigma}$ περὶ αὐτοῦ R παρὰ αὐτοῦ W om. VMP 11 ἐνοοῦμεν V ἐννοῶμεν B 13 τὸ μέτρον οὐκ ἀτιμάζων τῆσ ἀνθρωπότητοσ B 13/14 ζητεῖτε με AB 15 τὸν om. A τε om. DARWZ τῆς om. V 16 μέτρων αὐτοῦ S μέτρον U 17 κατὰ φύσιν θ$\overline{\text{σ}}$ ὢν V ἐμψυχωμένοσ VSDZ 18 τινὰσ RWHΛ$^{\sigma}$ τὰσ — φωνὰσ H 19 γὰρ καὶ A καθ' ἡμᾶσ γενέσθαι SDAB 19/20 καθ' — ἄνθρωπον om. Z 20 ἄνθρωπον — ἡμᾶς om. MP δι' ἡμᾶς om. Λ^{tc} 21 ἂν om. P τοιγαροῦν ἐνὶ B Ephr. 22 πάσας om. A τῆι om. U σεσαρκωμένου Λ^{dtuo} 22/23 εἷσ γὰρ $\overline{\text{κσ}}$ Z Ephr. $\overline{\text{κσ}}$ γὰρ ἐστιν B 23 ἰ$\overline{\text{σ}}$ χ$\overline{\text{σ}}$ εἷσ V 24 αὐτοῦ Λ^{t} 25 τῆς πίστεωσ om. S 25/26 καὶ μὴν — πνεῦμα om. HΛ^{d} 25 ναὶ μὴν καὶ τὴν Z καὶ μὴν U 26 ὡσ $\overline{\text{υν}}$ VMP 27 προσνέμομεν VPΛ^{d} προσνεμοῦμεν μὲν Λ^{tu} ἑτέρωι παρ' αὐτὸν B τε om. MDA ὄνομα] ἀξίωμα Z αὐτὸ om. V δὴ PS^{corr} Z γε H om. V τὸ om. S, corr. S χρῆμα MPSDARWHBΛ^{dtcuo} χρίσμα VB^{ecorr} UZ

γέγονε γὰρ μεσίτης θεοῦ καὶ ἀνθρώπων καὶ διαλλακτὴς εἰς εἰρήνην, ἑαυτὸν ἀναθεὶς εἰς ὀσμὴν εὐωδίας τῶι θεῶι καὶ πατρί. τοιγάρτοι καὶ ἔφασκεν θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι. [ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ εὐδόκησας.] τότε εἶπον· ἰδοὺ ἥκω· ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ τοῦ ποιῆσαι, ὁ θεός, τὸ θέλημά σου. προσκεκόμικε γὰρ ὑπὲρ ἡμῶν εἰς ὀσμὴν εὐωδίας τὸ ἴδιον σῶμα καὶ οὐχ ὑπέρ γε μᾶλλον ἑαυτοῦ. ποίας γὰρ ἂν ἐδεήθη προσφορᾶς ἢ θυσίας ὑπὲρ ἑαυτοῦ, κρείττων ἁπάσης ὑπάρχων ἁμαρτίας ὡς θεός; εἰ γὰρ πάντες ἥμαρτον καὶ ὑστεροῦνται τῆς δόξης τοῦ θεοῦ, καθὸ γεγόναμεν ἡμεῖς ἕτοιμοι πρὸς παραφορὰν καὶ κατηρρώστησεν ἡ ἀνθρώπου φύσις τὴν ἁμαρτίαν, αὐτὸς δὲ οὐχ οὕτως καὶ ἠττώμεθα διὰ τοῦτο τῆς δόξης αὐτοῦ, πῶς ἂν εἴη λοιπὸν ἀμφίβολον ὅτι τέθυται δι' ἡμᾶς καὶ ὑπὲρ ἡμῶν ὁ ἀμνὸς ὁ ἀληθινός; καὶ τὸ λέγειν ὅτι προσκεκόμικεν ἑαυτὸν ὑπέρ τε ἑαυτοῦ καὶ ἡμῶν, ἀμοιρήσειεν ἂν οὐδαμῶς τῶν εἰς δυσσέβειαν ἐγκλημάτων. πεπλημμέληκε γὰρ κατ' οὐδένα τρόπον οὔτε μὴν ἐποίησεν ἁμαρτίαν· ποίας οὖν ἐδεήθη προσφορᾶς, ἁμαρτίας οὐκ οὔσης ἐφ' ἧιπερ ἂν γένοιτο καὶ μάλα εἰκότως; ὅταν δὲ λέγηι περὶ τοῦ πνεύματος ἐκεῖνος ἐμὲ δοξάσει, νοοῦντες ὀρθῶς οὐχ ὡς δόξης ἐπιδεᾶ τῆς παρ' ἑτέρου φαμὲν τὸν ἕνα Χριστὸν καὶ υἱὸν τὴν παρὰ τοῦ ἁγίου πνεύματος δόξαν ἐλεῖν, ὅτι μηδὲ κρεῖττον αὐτοῦ καὶ ὑπὲρ αὐτὸν τὸ πνεῦμα αὐτοῦ. ἐπειδὴ δὲ εἰς ἔνδειξιν τῆς ἑαυτοῦ θεότητος ἐχρῆτο τῶι ἰδίωι πνεύματι πρὸς μεγαλουργίας, δεδοξάσθαι παρ' αὐτοῦ φησιν, ὥσπερ ἂν εἰ καί τις λέγοι τῶν καθ' ἡμᾶς περὶ τῆς ἐνούσης ἰσχύος αὐτῶι τυχὸν ἢ γοῦν ἐπιστήμης τῆς ἐφ' ὁτωιοῦν ὅτι δοξάσουσί με. εἰ γὰρ καὶ ἔστιν ἐν ὑποστάσει τὸ πνεῦμα ἰδικῆι καὶ δὴ καὶ νοεῖται καθ' ἑαυτό, καθὸ πνεῦμά ἐστιν καὶ οὐχ υἱός, ἀλλ' οὗν ἐστιν οὐκ ἀλλότριον αὐτοῦ. πνεῦμα γὰρ ἀληθείας ὠνόμασται καὶ ἔστιν Χριστὸς ἡ ἀλήθεια καὶ προχεῖται παρ' αὐτοῦ καθάπερ ἀμέλει καὶ ἐκ τοῦ θεοῦ καὶ πατρός. ἐνεργῆσαν τοιγαροῦν τὸ πνεῦμα καὶ διὰ χειρὸς τῶν ἁγίων ἀποστόλων τὰ παράδοξα μετὰ τὸ ἀνελθεῖν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν εἰς τὸν οὐρανὸν ἐδόξασεν αὐτόν. ἐπιστεύθη γὰρ ὅτι θεὸς κατὰ φύσιν ἐστίν, πάλιν αὐτὸς ἐνεργῶν διὰ τοῦ ἰδίου πνεύματος. διὰ τοῦτο καὶ ἔφασκεν ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀπαγγελεῖ ὑμῖν. καὶ οὔτι που φαμὲν ὡς ἐκ μετοχῆς τὸ πνεῦμά ἐστιν σοφόν τε καὶ δυνατόν. παντέλειον γὰρ καὶ ἀπροσδεές ἐστιν παντὸς ἀγαθοῦ.

1 Tim. 2, 5 · Eph. 5, 2 · Hebr. 10, 5-7 · Rom. 3, 23 · Ioh. 16, 14 · Ioh. 16, 13 · Ioh. 14, 6 · M III 1081 · Ioh. 16, 14 · L III 407

VM, P [= hk], S, D [= mn], ARWHBUZΛ^{d}Λ^{t}Λ^{c}Λ^{u}Λ$^{\sigma}$

1 καὶ γὰρ γέγονε Z γὰρ om. A θῡ μεσίτης Z τοῦ θῡ H 1/2 τῶ — πρι εἰσ ὀσμὴν εὐωδίασ Z 3 σῶμα — μοι Λ^{o} σῶμα — μοι. ὁλοκαυτώματα — εὐδόκησασ [ἐζήτησασ Z] VMPDAZ ὁλοκαυτώματα — ηὐδόκησασ σῶμα — μοι SRWHBUΛ^{dtuo} 5 τὸ θέλημά σου ὁ θῡ VP τὸ θέλημά σου RWΛ^{t} προκεκόμικε P περὶ S 6 οὐ μᾶλλον γε ὑπὲρ Z γε μᾶλλον om. V γε om. RW αὐτοῦ P πῶσ H ἂν om. VMH, corr. H δεηθείη P 7 ὑπὲρ ἑαυτοῦ] καὶ H ἁπάσησ ἁμαρτίασ ὡσ θῡ ὑπάρχων B ἁπάσησ ὑπάρχων ἁμαρτίασ VMPS ὑπάρχων ἁπάσησ ἁμαρτίασ DZ ὑπάρχων ἁμαρτίασ ἁπάσησ A ἁπάσησ ἁμαρτίασ ὑπάρχων RWHU 8 εἰσ U 8/9 παραφθορὰν HZ^{corr} 9 κατηρρώστηκεν ARW 10 τητώμεθα ἤγουν ὑστερούμεθα B διὰ τοῦτο om. VRW ἀμφίλογον RW 11 τὸ om. S λέγειν δὲ DA προκεκόμικεν PBA γε V αὐτοῦ S 11/12 ἡμῶν τε καὶ ἑαυτοῦ Z 12 καὶ ἡμῶν καὶ S καὶ ὑπὲρ RW ἂν om. PU 13 πῶσ VA οὖν ἂν BU ἂν οὖν Z *eg.* Λ^{d} 14 καὶ - εἰκότωσ om. V 15 παρ' om. VMP 16 Χριστὸν] κν S ἑλεῖν] αἰτεῖν Z 17 αὐτοῦ VZ 18 ἐκέχρητο VMP ἐχρήσατο H ἰδίωι SDARWBUZΛ^{dtcuo} ἁγίω VMPH μεγαλουργίαν VMPDWUΛ$^{\sigma}$ οὐχ ὥσπερ V 19 καί om. Z αὐτῶ ἰσχύοσ St ἢ γοῦν ἐπιστήμησ τυχὸν B 20 ἐφοτουοῦν RW δοξάσουσιν [δοξάσωσιν H] ἐμὲ ARWHBUZ 21 καὶ^{1} om. Z καθδ καὶ H καὶ om. U οὐχ υἱός] οὐ χσ RW ἐστιν οὐκ] οὐκ ἔστιν B 22 ὠνόμασται] ἐστὶ καὶ ὠνόμασται Z ὁ χσ U ἡ om. H 22/23 καὶ προχεῖται — πατρός om. W, add. in mg. m. rec. 23 θεοῦ καὶ om. P καὶ om. M ἐνήργησεν H 23/24 τοιγαροῦν — καὶ] δὲ το αὐτό πνᾱ U 24 διὰ om. R παράδοξα ποιοῦν H 24/25 μετὰ — οὐρανόν om. U 24 τὸν χν SDA 25 τοὺσ οὐνοῦσ Z 26 πάλιν om. P ἰδίου om. VMP ἁγίου AZ, superscr. H 27 ἀπαγγελεῖ VMPSnA ἀναγγελεῖ mRWHBUZ ὅτι που U οὐ τύπου H 28 ἐστὶ] καὶ S γάρ] δὲ H παντὸς om. Z

1 Cor. 1, 24 ἐπειδὴ δὲ τῆς τοῦ πατρὸς δυνάμεως καὶ σοφίας, τουτέστιν τοῦ υἱοῦ, πνεῦμά ἐστιν, αὐτόχρημα σοφία ἐστὶ καὶ δύναμις.

11 Ἐπειδὴ δὲ θεὸν ἑνωθέντα σαρκὶ καθ' ὑπόστασιν ἡ ἁγία παρθένος ἐκτέτοκε σαρκικῶς, ταύτῃ τοι καὶ θεοτόκον εἶναι φαμὲν αὐτήν, οὐχ ὡς τῆς τοῦ λόγου φύσεως τῆς Ioh. 1, 1 ὑπάρξεως τὴν ἀρχὴν ἐχούσης ἀπὸ σαρκός (ἦν γὰρ ἐν ἀρχῇ καὶ θεὸς ἦν ὁ λόγος καὶ PG 120 ὁ λόγος ἦν πρὸς τὸν θεὸν καὶ αὐτός ἐστι τῶν αἰώνων ὁ ποιητής, συναίδιος τῷ πατρὶ καὶ τῶν ὅλων δημιουργός), ἀλλ' ὡς ἤδη προείπομεν, ἐπειδὴ καθ' ὑπόστασιν ἑνώσας ἑαυτῷ τὸ ἀνθρώπινον καὶ ἐκ μήτρας αὐτῆς γέννησιν ὑπέμεινε σαρκικήν, οὐχ ὡς δεηθεὶς ἀναγκαίως ἤτοι διὰ τὴν ἰδίαν φύσιν καὶ τῆς ἐν χρόνῳ καὶ ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς γεννήσεως, ἀλλ' ἵνα καὶ αὐτὴν τῆς ὑπάρξεως ἡμῶν εὐλογήσῃ τὴν ἀρχὴν καὶ τεκούσης γυναικὸς αὐτὸν ἑνωθέντα σαρκὶ παύσηται λοιπὸν ἡ κατὰ παντὸς τοῦ γένους ἀρὰ πέμπουσα Gen. 3, 16 πρὸς θάνατον τὰ ἐκ γῆς ἡμῶν σώματα καὶ τὸ ἐν λύπαις τέξῃ τέκνα δι' αὐτοῦ καIes. 25, 8 ταργούμενον ἀληθὲς ἀποφήνῃ τὸ διὰ τῆς τοῦ προφήτου φωνῆς κατέπιεν ὁ θάνατος ἰσχύσας καὶ πάλιν ἀφεῖλεν ὁ θεὸς πᾶν δάκρυον ἀπὸ παντὸς προσώπου. ταύτης γὰρ ἕνεκα τῆς αἰτίας φαμὲν αὐτὸν οἰκονομικῶς καὶ αὐτὸν εὐλογῆσαι τὸν γάμον καὶ Ioh. 2, 1. 2 ἀπελθεῖν κεκλημένον ἐν Κανᾷ τῆς Γαλιλαίας ὁμοῦ τοῖς ἁγίοις ἀποστόλοις.

12 Ταῦτα φρονεῖν δεδιδάγμεθα παρά τε τῶν ἁγίων ἀποστόλων καὶ εὐαγγελιστῶν, καὶ πάσης δὲ τῆς θεοπνεύστου γραφῆς καὶ ἐκ τῆς τῶν μακαρίων πατέρων ἀληθοῦς ὁμολογίας· τούτοις ἅπασιν καὶ τὴν σὴν εὐλάβειαν συναινέσαι χρὴ καὶ συνθέσθαι δίχα δόλου παντός. ἃ δέ ἐστιν ἀναγκαῖον ἀναθεματίσαι τὴν σὴν εὐλάβειαν, ὑποτέτακται τῇδε ἡμῶν τῇ ἐπιστολῇ.

ᾱ Εἴ τις οὐχ ὁμολογεῖ θεὸν εἶναι κατὰ ἀλήθειαν τὸν Ἐμμανουὴλ καὶ διὰ τοῦτο θεοτόκον τὴν ἁγίαν παρθένον (γεγέννηκε γὰρ σαρκικῶς σάρκα γεγονότα τὸν ἐκ θεοῦ λόγον), ἀνάθεμα ἔστω.

β̄ Εἴ τις οὐχ ὁμολογεῖ σαρκὶ καθ' ὑπόστασιν ἡνῶσθαι τὸν ἐκ θεοῦ πατρὸς λόγον ἕνα τε εἶναι Χριστὸν μετὰ τῆς ἰδίας σαρκός, τὸν αὐτὸν δηλονότι θεόν τε ὁμοῦ καὶ ἄνθρωπον, ἀνάθεμα ἔστω.

γ̄ Εἴ τις ἐπὶ τοῦ ἑνὸς Χριστοῦ διαιρεῖ τὰς ὑποστάσεις μετὰ τὴν ἕνωσιν, μόνῃ συνάπτων αὐτὰς συναφείαι τῇ κατὰ τὴν ἀξίαν ἢ γοῦν αὐθεντίαν ἢ δυναστείαν καὶ οὐχὶ δὴ μᾶλλον συνόδῳ τῇ καθ' ἕνωσιν φυσικήν, ἀνάθεμα ἔστω.

28—30] Ephraim Antioch. ap. Phot. 229 p. 259^{b} 34 ἐν τῷ τρίτῳ κεφαλαίῳ τῶν ἀναθεματισμῶν 'εἴ τις — ἔστω'

VM, P [= hk], S, D [= mn], AR, W [usque ad 21], HBUZΛ^{d}, ΛP [inde ab 22], Λ^{t}Λ^{c}Λ^{u}Λ^{σ}

1 πνεῦμα ἐστί, τουτέστι τοῦ υἱοῦ Z 2 ἐστὶ σοφία V 3 ἐπειδὴ δὲ] καὶ ἐπειδὴ V ἁγία om. H τέτοκε A 4 εἶναι om. WΛ^{uσ} 4/5 τὴν τῆσ ὑπάρξεωσ V ὑπάρξεωσ τὴν R 6 τῶν — δ] ὁ τῶν ὅλων Z καὶ συναίδιοσ Z συναίδιοσ ὢν W 7 ὁ δημιουργὸσ R 7/8 αὐτῷ R 8 καὶ om. UΛ^{d} 9 καὶ om. VMPΛ^{d} χρόνοις Z καιροῖσ τοῦ αἰῶνοσ W 10 αὐτὸσ S 11 ἑνωθέντα σαρκὶ om. RWΛ^{σ} 12 πρὸς] εἰσ S 13 ἀληθῆ S καὶ ἀληθὲσ A ἀποφῆναι A τό om. S 16 ὁμοῦ — ἀποστόλοις om. V ἅμα H ἁγίοις om. RZΛ^{σ} 17 τε om. VMPW ἁγίων om. Z 18 δὲ om. H τῆσ ἐκ τῶν S ἁγίων BZ ὁμολογίασ ἀληθοῦσ M 19 καὶ om. P δεῖ M καὶ συνθέσθαι om. RΛ^{σ} λόγου VMPW 20 ἀναγκαῖα DΛ^{cu} τῇ om. Z 21 subscripsit εἰσὶ δὲ ἃ λέγει ὁ ἅγιοσ ὑποτετάχθαι ἐν τῇ παρούσῃ αὐτοῦ ἐπιστολῇ, τὰ δυοκαίδεκα κεφάλαια τὰ κατὰ [l. μετὰ] τῶν ἀναθεματισμῶν· ἅτινα καὶ ἐτέθησαν ἔμπροσθεν μετὰ τὸ ὅλον συμπέρασμα τῶν ἐν τῇ συνόδῳ πραχθέντων· ὅτι καὶ προεγράφησαν μετὰ καὶ τῶν ἑρμηνειῶν αὐτῶν καὶ τῶν πρὸσ τὰ κεφάλαια τοῦ ἁγίου, τοῦ θεοδωρήτου μέμψεων καὶ τῶν παρὰ τοῦ ἁγίου πάλιν κυρίλλου, πρὸσ τὰσ τοῦ θεοδωρίτου μέμψεισ ἀντιθέσεων: — W 22 sq. numeros om. SDZ διὰ τοῦτο om. P σάρκα γεγονότα om. S 24. 27. 30 ἔστω om. Z hic om. M 25 πατρὸς om. S 26 τε^{2} om. V 28 ὑποστάσεις] φύσεισ H 29 ἤτουν H ἢ R αὐθεντία VEphr. ἢ δυναστείαν om. Ephr. Λ^{t} cf. V 148, 10 δυναστεία V 30 φυσικὴ RZ cf. V 169, 22 A 24, 19

δ Εἴ τις προσώποις δυσὶν ἢ γοῦν ὑποστάσεσιν τάς τε ἐν τοῖς εὐαγγελικοῖς καὶ ἀποστολικοῖς συγγράμμασι διανέμει φωνὰς ἢ ἐπὶ Χριστῶι παρὰ τῶν ἁγίων λεγομένας ἢ παρ' M IIII 1084
αὐτοῦ περὶ ἑαυτοῦ καὶ τὰς μὲν ὡς ἀνθρώπωι παρὰ τὸν ἐκ θεοῦ λόγον ἰδικῶς νοουμένωι προσάπτει, τὰς δὲ ὡς θεοπρεπεῖς μόνωι τῶι ἐκ θεοῦ πατρὸς λόγωι, ἀνάθεμα ἔστω.

ε Εἴ τις τολμᾶι λέγειν θεοφόρον ἄνθρωπον τὸν Χριστὸν καὶ οὐχὶ δὴ μᾶλλον θεὸν εἶναι κατὰ ἀλήθειαν ὡς υἱὸν ἕνα καὶ φύσει, καθὸ γέγονε σὰρξ ὁ λόγος καὶ κεκοινώνηκε Hebr. 2, 14
παραπλησίως ἡμῖν αἵματος καὶ σαρκός, ἀνάθεμα ἔστω.

ϛ Εἴ τις λέγει θεὸν ἢ δεσπότην εἶναι τοῦ Χριστοῦ τὸν ἐκ θεοῦ πατρὸς λόγον καὶ PG 121
οὐχὶ δὴ μᾶλλον τὸν αὐτὸν ὁμολογεῖ θεόν τε ὁμοῦ καὶ ἄνθρωπον, ὡς γεγονότος σαρκὸς Ioh. 1, 14
τοῦ λόγου κατὰ τὰς γραφάς, ἀνάθεμα ἔστω.

ζ Εἴ τίς φησιν ὡς ἄνθρωπον ἐνηργῆσθαι παρὰ τοῦ θεοῦ λόγου τὸν Ἰησοῦν καὶ τὴν τοῦ μονογενοῦς εὐδοξίαν περιῆφθαι ὡς ἑτέρωι παρ' αὐτὸν ὑπάρχοντι, ἀνάθεμα ἔστω.

η Εἴ τις τολμᾶι λέγειν τὸν ἀναληφθέντα ἄνθρωπον συμπροσκυνεῖσθαι δεῖν τῶι θεῶι λόγωι καὶ συνδοξάζεσθαι καὶ συγχρηματίζειν θεὸν ὡς ἕτερον ἑτέρωι (τὸ γὰρ σὺν ἀεὶ προστιθέμενον τοῦτο νοεῖν ἀναγκάσει) καὶ οὐχὶ δὴ μᾶλλον μιᾶι προσκυνήσει τιμᾶι τὸν Ἐμμανουὴλ καὶ μίαν αὐτῶι τὴν δοξολογίαν ἀνάπτει, καθὸ γέγονε σὰρξ ὁ λόγος, ἀνάθεμα ἔστω.

θ Εἴ τίς φησιν τὸν ἕνα κύριον Ἰησοῦν Χριστὸν δεδοξάσθαι παρὰ τοῦ πνεύματος, ὡς ἀλλοτρίαι δυνάμει τῆι δι' αὐτοῦ χρώμενον καὶ παρ' αὐτοῦ λαβόντα τὸ ἐνεργεῖν δύνασθαι κατὰ πνευμάτων ἀκαθάρτων καὶ τὸ πληροῦν εἰς ἀνθρώπους τὰς θεοσημείας, καὶ οὐχὶ δὴ μᾶλλον ἴδιον αὐτοῦ τὸ πνεῦμά φησιν, δι' οὗ καὶ ἐνήργηκε τὰς θεοσημείας, ἀνάθεμα ἔστω.

ι Ἀρχιερέα καὶ ἀπόστολον τῆς ὁμολογίας ἡμῶν γεγενῆσθαι Χριστὸν ἡ θεία λέγει Hebr. 3, 1
γραφή, προσκεκόμικε δὲ ὑπὲρ ἡμῶν ἑαυτὸν εἰς ὀσμὴν εὐωδίας τῶι θεῶι καὶ πατρί. εἴ Eph. 5, 2
τις τοίνυν ἀρχιερέα καὶ ἀπόστολον ἡμῶν γεγενῆσθαί φησιν οὐκ αὐτὸν τὸν ἐκ θεοῦ λόγον, ὅτε γέγονε σὰρξ καὶ καθ' ἡμᾶς ἄνθρωπος, ἀλλ' ὡς ἕτερον παρ' αὐτὸν ἰδικῶς ἄνθρωπον ἐκ γυναικός, ἢ εἴ τις λέγει καὶ ὑπὲρ ἑαυτοῦ προσενεγκεῖν αὐτὸν τὴν προσφορὰν καὶ οὐχὶ δὴ μᾶλλον ὑπὲρ μόνων ἡμῶν (οὐ γὰρ ἂν ἐδεήθη προσφορᾶς ὁ μὴ εἰδὼς ἁμαρτίαν), ἀνάθεμα ἔστω.

ια Εἴ τις οὐχ ὁμολογεῖ τὴν τοῦ κυρίου σάρκα ζωοποιὸν εἶναι καὶ ἰδίαν αὐτοῦ τοῦ ἐκ θεοῦ πατρὸς λόγου, ἀλλ' ὡς ἑτέρου τινὸς παρ' αὐτὸν συνημμένου μὲν οὐτῶι κατὰ τὴν

1—4 cf. ep. 128, 13

VM, P [= hk], S, D [= mn], ARHBUZΛ^{d} ΛPΛ^{t}Λ^{c}Λ^{u}Λ$^{\sigma}$

1 ὑποστάσεων H τε om. Z 2 γράμμασι R διανέμοι V λεγομένην S 3 αὐτῶ V αὐτοῦ PS ἐκ] τοῦ H νοουμένω ἰδικῶσ Z νοουμένων H 4 προσάπτειν H ὡς om. U θεοπρεπῶσ Λ^{t} πατρὸς om. AΛ^{t} cf. V 169, 32 A 24, 19 ἔστω om. RZ 7 ἔστω om. MRZ 9 ὁμολογεῖ] ὁμοῦ λέγει H ὁμοῦ τε V 10 ἔστω om. MZ 11 ἐνεργῆσαι A ἐνεργεῖσθαι Z 12 εὐδοξίαν] δόξαν αὐτῶ Z ἕτερον — ὑπάρχοντα VBΛ$^{\sigma}$ ἔστω om. M 13 τολμήσει V δεῖ V 14 θῶ VH ἑτέρω PSHBUZΛ^{dtcu} ἐν ἑτέρω VMDARΛ^{t} 14/15 τό — ἀναγκάσει om. AΛ^{t} cf. V 148, 22. 169, 56. A 24, 62 ἀεὶ συνπροστιθέμενον V προστεθὲν H 15 ἀναγκάσει VMSRHUZΛ^{P} ἀναγκάσοι B ἀναγκάζει PDΛ^{dtcu} δὴ]γε H τιμᾶν Z 16 ἀνάπτει MSU προσάπτει R *dependit* Λ^{dP} *adhibet* Λ^{tc} *refert* Λ^{us} ἀναπέμπει VPDAHB ἀναπέμπειν Z cf. ll. cc. καθὰ S ἔστω om. M 17 Ἰησοῦν om. Λ^{tc} Χριστὸν om. VMP δεδοξάσθαι λέγει D δοξάζεσθαι Λ^{t} πρσ VM, corr. M 18 τῆι δι' αὐτοῦ om. D δύνασθαι ἐνεργεῖν M 19 κατά τε H πνευμάτων τὲ B εἰς ἀνθρώπους om. Λ^{d} cf. V 169, 59 20 φήσει MS φύσει D ἔστω om. R 21/22 Ἀρχιερέα — πατρί om. V 22 προσκεκόμικε MPSRHBUZΛ^{Jtus} προσκεκομικέναι DAΛ^{tc} cf. V 148, 26. 169, 66 A 24, 80 δὲ MPSRHUZΛ^{P} γὰρ BΛ^{dg} τὲ DAΛ^{tcu} cf. ll. cc. ὑπὲρ ἡμῶν om. Λ^{u} αὐτὸν P 23 καὶ — γεγενῆσθαι φησὶν [λέγει DA] VMPDAΛ^{us} φησὶ καὶ ἀπόστολον ἡμῶν γεγενῆσθαι [γενέσθαι SRZ] SRHBUZ Λ^{tc} cf. ll. cc. οὐχ R 24 ὅτι VMPS καὶ om. H παρ'] πρὸς P ἄνθρωπον ἰδικῶσ M ἀνον̄ R 25 καὶ om. RΛ^{d} cf. ll. cc. αὐτοῦ H τὴν προσφορὰν om. Z 26 μόνων om. S 28 οὐκ H 29 αὐτῶ H κατὰ om. P

ἀξίαν ἢ γοῦν ὡς μόνην θείαν ἐνοίκησιν ἐσχηκότος, καὶ οὐχὶ δὴ μᾶλλον ζωοποιόν, ὡς ἔφημεν, ὅτι γέγονεν ἰδία τοῦ λόγου τοῦ τὰ πάντα ζωογονεῖν ἰσχύοντος, ἀνάθεμα ἔστω.

ιβ̄ Εἴ τις οὐχ ὁμολογεῖ τὸν τοῦ θεοῦ λόγον παθόντα σαρκὶ καὶ ἐσταυρωμένον σαρκὶ καὶ θανάτου γευσάμενον σαρκὶ γεγονότα τε πρωτότοκον ἐκ τῶν νεκρῶν, καθὸ ζωή τέ ἐστι καὶ ζωοποιὸς ὡς θεός, ἀνάθεμα ἔστω.

7 = S 4 A 1. extat uersio Syriaca a Rabbula confecta et a Puseyo in editione Oxoniensi [1877] huius et aliorum Cyrilli libellorum publicata [Σ], adeo tamen ab exemplari recedit, ut eius ad recensionem paruus sit usus. inde a p. 44, 25 libellum totum repetiit ipse Cyrillus in dialogo septimo ad Hermiam [Δ].

Λόγος προσφωνητικὸς πρὸς τὸν εὐσεβέστατον βασιλέα Θεοδόσιον περὶ τῆς ὀρθῆς πίστεως τῆς εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν παρὰ Κυρίλλου ἀρχιεπισκόπου Ἀλεξανδρείας

PG 76, 1133 Τῆς μὲν ἐν ἀνθρώποις εὐκλείας τὸ ἀνωτάτω καὶ ἀσυγκρίτοις διαφοραῖς τῶν ἄλλων ἁπάντων ἀνεστηκός τε καὶ ὑπερκείμενον ὑμεῖς, ὦ φιλόχριστοι βασιλεῖς, καὶ κλῆρος ὑμῖν ἐξαίρετός τε καὶ πρέπων παρὰ θεοῦ τῆς ἐνούσης αὐτῷ κατὰ πάντων ὑπεροχῆς ἐοικὸς Ies. 45, 23 Col. 1, 16 ἐπὶ γῆς τὸ γέρας. κάμπτει μὲν γὰρ αὐτῷ πᾶν γόνυ θρόνοί τε καὶ ἀρχαὶ κυρίοτητές τε καὶ ἐξουσίαι δοῦλον ὑπέχουσαι τὸν αὐχένα καὶ ταῖς καθηκούσαις ἀεὶ δοξολογίαις κατα- Ies. 6, 3 γεραίρουσαι πλήρη τε εἶναί φασι τὸν οὐρανὸν καὶ τὴν γῆν τῆς δόξης αὐτοῦ. ἴδοι δ' ἄν τις καὶ ἐπὶ τῆς ὑμετέρας γαληνότητος τῆς οὕτω περιφανοῦς καὶ ἀνωτάτω πασῶν εὐκλείας διαπρέποντά τε καὶ ἐναργῆ τὸν τύπον. ὑμεῖς γὰρ ἐστὲ καὶ τῶν εἰς λῆξιν ἀξιωμάτων πηγαὶ καὶ ἁπάσης ὑπεροχῆς ἐπέκεινα καὶ τῆς ἐν ἀνθρώποις εὐημερίας ἀρχὴ καὶ γένεσις, καὶ νεύμασι μὲν τοῖς ἡμερωτάτοις τοῦ ὑμετέρου κράτους πρὸς ἔννομόν τε καὶ ἀξιάγαστον καὶ ἀοίδιμον πηδαλιουχεῖται ζωὴν πᾶν ὅσον ἐστὶ τοῖς τῆς βασιλείας θώκοις ὑπεστρωμένον, οἱ δὲ τῆς ζεύγλης οὐκ ἀνεχόμενοι πίπτουσι ῥαιδίως, τῆς ἐνούσης ὑμῖν εὐσθενείας ἡττώμενοι, κἂν ἀστράψῃ μόνον ἡ βασιλέως ἀσπίς, φροῦδα τὰ ἐκείνων, PG 1136 οἴχονται, διολώλασι καὶ τῆς ἐνούσης αὐτοῖς ἀπονοίας τὸν οἰκεῖον εὐθὺς ἀποστήσαντες νοῦν πεσόντες εἰς γόνυ ζητοῦσι τὸν ἔλεον. τοιγάρτοι κεκράτηκε τῆς ὑπ' οὐρανὸν τῶν ὑμετέρων ὑπασπιστῶν ἡ μαχιμωτάτη καὶ ἐμπειροπόλεμος καὶ ἀεὶ νικῶσα πληθύς· ὑμεῖς ἐστὲ τῶν πρὸς ἕω καὶ ἑσπέραν καὶ ὠιδὴ καὶ λύρα καὶ ἁπάσης εὐφημίας ὑπόθεσις· ὑμᾶς οἱ πρὸς νότον καὶ μὴν καὶ ὅσοι βορειοτέραν οἰκοῦσι χώραν, φωναῖς ταῖς χαριστηρίοις στεφανοῦντες οὐ καταλήγουσιν. ἔρεισμα δὲ τὸ ἀκράδαντον τῆς

Flor. Cyrill. 135 ἐκ τοῦ προσφωνητικοῦ λόγου τοῦ πρὸς Θεοδόσιον τὸν εὐσεβέστατον βασιλέα, οὗ ἡ ἀρχή· Τῆς μὲν ἐν ἀνθρώποις εὐκλείας τὸ ἀνωτάτω καὶ ἀσυγκρίτοις διαφοραῖς

1 ἐσχηκότα SΛ^{us} 2 ἔφην AZΛσ cf. V 148, 28 A 24, 96 τὰ om R 3 καὶ ἐσταυρωμένον σαρκὶ om. H 4 καὶ θανάτου — σαρκὶ om. B τε om. S δὲ A 4/5 τέ ἐστι VMSHUZΛ^{d} ἐστι PDARB cf. V 169, 89
VM, P [= hk], S, D [= mn], WU
10 λόγοσ SD κυρίλλου ἐπισκόπου ἀλεξανδρείασ VMP τοῦ αὐτοῦ WU προσφωνητικὸς om. U εὐλαβέστατον SD 11 τῆς — Χριστὸν om. S τὸν χν̄ MW παρὰ — Ἀλεξανδρείας om. VMPWU ζ̄ VP δ̄ SD 13 μὲν om. D ἀνώτατον V ἀσυγκρίτωσ P 14 ἡμῖν WU 15 θεῷ P κατὰ om. S ἐοικόσ VMPWU εἰκὸσ γὰρ SD 16 τε] δὲ S 17 τε om. VMWU ὑπέχουσι SD ἀεὶ VMPWU αὐτῷ S αὐτῶ ἀεὶ D 17/18 καταγεραίρουσι D καταγεραίροντεσ S 18 δὲ SD 19 ἡμετέρασ S ἀνωτάτησ S 20 τόν om. M ἡμεῖσ U 21 πάσησ SD 23 καὶ ἀοίδιμον om. SD πηδαλιουχεῖτε M 24 θάκοισ SD ὑπεστρωμμένον SW 25 ἡμῖν S 26 οἴχεται MW 27 καὶ κεκράτηκε D 29 ἕω SD ἑώαν VMPWU ἕσπερον D 29/30 ὑπόθεσισ εὐφημίασ V μὴν καὶ om. P βορειότερον — τόπον V 31 εὐχαριστηρίοισ D εὐφημοῦντεσ W δὲ om. P ἀκρότατον D

οὕτω θεοφιλοῦς καὶ εὐαγεστάτης ὑμῶν βασιλείας αὐτὸς ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός. δι' αὐτοῦ γὰρ βασιλεῖς βασιλεύουσι καὶ οἱ δυνάσται γράφουσι δικαιοσύνην Prou. 8, 15
κατὰ τὸ γεγραμμένον. ἔστι γὰρ αὐτῶι παναλκὲς τὸ θέλημα καὶ ἐν τῶι κατανεῦσαι μόνον ἡ παντὸς πλήρωσις ἀγαθοῦ, διανέμει δὲ καὶ λίαν ἑτοίμως τοῖς ἀγαπῶσιν αὐτὸν τὰ πάντων ἐξαίρετα τῶν ὅσα ἐστὶν ἀξιόληπτα καὶ τεθαυμασμένα. καὶ ἀπόχρη μὲν εἰς ἀπόδειξιν ὧν ἔφην, τὰ τῶι ὑμετέρωι κράτει δεδωρημένα, δοθησόμενα δὲ ἔτι καθὰ πεπιστεύκαμεν· ὅτι δέ ἐστι κρηπὶς ἀκατάσειστος ταῖς βασιλέων τιμαῖς τῆς εἰς θεὸν εὐσεβείας τὰ αὐχήματα, καὶ ἐξ αὐτῆς πειράσομαι τῆς ἁγίας καὶ θεοπνεύστου πληροφορῆσαι γραφῆς, βραχυλογήσας ὡς ἔνι.

2 Πλεῖστοι μὲν γὰρ ὅσοι γεγόνασι κατὰ καιροὺς οἱ τῆς Ἰουδαίων ἄρξαντες χώρας καὶ τοὺς τῆς παρ' αὐτοῖς βασιλείας διέποντες θρόνους· ἀλλ' οἳ μὲν τῆς εἰς θεὸν αἰδοῦς ἀνοσίως ὀλιγωρήσαντες καὶ τὸν τῆς δικαιοσύνης πρύτανιν παρ' οὐδὲν ποιούμενοι νόμον καὶ τοῖς τῆς φαυλότητος βόθροις ἑαυτοὺς ἐνιέντες οἱ τάλανες κακοὶ κακῶς ἀπολώλασι (παγχάλεπον γὰρ τὸ προσκρούειν θεῶι καὶ κατά τι γοῦν ὅλως ἔξω φέρεσθαι τοῦ εἰκότος λυποῦντας αὐτόν)· ὅσοι γε μὴν τῆς εἰς αὐτὸν εὐσεβείας γεγόνασιν ἐπιμεληταὶ καὶ τῶν ἀρεσκόντων αὐτῶι γνήσιοι φύλακες, νενικήκασιν ἐχθροὺς ἀμογητὶ καὶ κεκρατήκασι τῶν δι' ἐναντίας. τοιοῦτός τις ἦν Ἰωσίας ἐκεῖνος, ὃς αὐτοῖς τεμένεσι καὶ βωμοῖς τοὺς τῶν εἰδώλων κατεμπρήσας θεραπευτὰς γοητείας τε πάσης καὶ ψευδομαντείας τρόπους περιελὼν καὶ τὰ τῆς δαιμονιώδους ἀπάτης καταλύσας παίγνια τοῦ παντὸς ἀξίαν ἀπέφηνε λόγου τὴν ἑαυτοῦ βασιλείαν καὶ ἀξιάγαστον μὲν τοῖς πάλαι, τεθαυμασμένην δὲ καὶ εἰς δεῦρο παρά γε τοῖς εἰδόσι τιμᾶν τὰ οἷς ἂν ὁ θεῖος ἐφήδοιτο νοῦς. ἀλλὰ ταυτὶ μὲν ἅπαντα τοῖς τε ὑμετέροις προγόνοις καὶ ὑμῖν αὐτοῖς εὖ μάλα κατώρθωται, διαμεμνήσομαι δὲ χρησίμως καὶ τῶν Ἐζεκίαι τῶι σοφωτάτωι κατὰ καιροὺς πεπραγμένων· ὀνήσει γὰρ οὐ μετρίως τὴν εὐσεβεστάτην ὑμῶν κορυφὴν τῶν διηγημάτων ἡ δύναμις.

3 Ἀνήρ τις τῶν ἐκ Βαβυλῶνος τῆς Περσικῆς (Ῥαψάκης οὗτος ἦν) εἶλε μὲν ἅπασαν PG 11 37
ὡς ἔπος εἰπεῖν τὴν τῶν Ἰουδαίων χώραν, καταδηιώσας δὲ σὺν αὐτῆι τὴν Σαμάρειαν ἐπ' αὐτὴν ἤιει τὴν Ἱερουσαλὴμ μυριάνδρωι πληθύι τῶν ὑπὸ χεῖρα δορυφορούμενος καὶ φάλαγγα μὲν ἱππικὴν οὐκ εὐχείρωτον ἔχων, μᾶλλον δὲ καὶ δυσάντητον, ὁπλίτην δὲ πεζομάχον ταῖς ψάμμοις ἰσάριθμον. εἶτα τῶι τείχει περιστήσας τὰς ἑλεπόλεις καὶ τὴν τοῦ πολέμου παρασκευὴν ἀπονοίαις τε βαρβαρικαῖς οὐ μετρίως ὠφρυωμένος, αἱρήσειν μὲν κατὰ κράτος ταῖς ἄλλαις ὁμοῦ καὶ αὐτὴν ἔφασκε τὴν ἁγίαν πόλιν καὶ τῆς ἀρρήτου δόξης κατεθρασύνετο καὶ παλιμφήμους ἠφίει φωνάς, ἀκρατῆ καὶ ἀχάλινον ἐπὶ θεῶι τὴν γλῶσσαν ἀνείς. ἔφη γὰρ ὅτι κἂν εἰ βούλοιτο σώιζειν αὐτούς, ἀνόνητον ἔσεσθαι τοῖς ἐπ' αὐτῶι πεποιθόσι τῆς ἐπικουρίας τὴν χάριν. ἐπειδὴ δὲ ἦκον τινὲς ἀπαγγέλλοντες τῶι βασιλεῖ τῆς ἐκείνου σκαιότητος τὰ τολμήματα καὶ τοὺς Περσικοῦ φρονήματος γέμοντας λόγους, τότε δὴ τότε

VM, P [= hk], S, D [= mn], A [inde a 25 ἀνήρ τις, per totum libellum foliorum anguli inferiores abscissi], WU

1 ἐναργεστάτης D ὁ χ̄ς MW 3 γὰρ] καὶ D 5 ἀπόδοσιν V 6 ἔτι VMPWU καὶ ἔτι SD καθάπερ SD 8 γραφῆς πληροφορῆσαι PU, corr. U 11 αὐτῆς S 12 δίκης D 13 φιλαυτότητος D 14 καὶ om. S ὅλως om. SD φέρεσθαι ἔξω S 15 γε μὴν] δὲ V 16 καὶ om. MPSWU 18 ἁπάσης VMPU ψευδομαντίας PU 19 ἀπάτης] ἁπάσης MW 20 τε PSD 21 τε om. V 21/22 ἡμετέροις S 22 κατόρθωται W διαμεμνησόμεθα SD καὶ] κατὰ S τῶν ἐν D 23 σοφῶ SD ὀνήσει γὰρ MSDWU καὶ γὰρ ὀνήσει P καὶ ὀνήσει V οὐ μετρίως SDUΣ om. VMPW 24 τῶν διηγημάτων ἡ MPSDWUΣ ἡ τῶν λόγων V 25 οὗτος ἦν VMPWU οὗτος Α οὗτος ἦν οὗτος SD ἀνεῖλε SDA 27 ἦιει om. W 28 δὲ¹ om. M πεζομάχον [πεζομάχων M] καὶ VMPWU τοῖς AW 29 ψάμμων S ψαλιοῖς W παραστήσας D τὰς om. VMPWU 30 ὀφρυώμενος M ὠφριωμένος Sm κατωφρυωμένος V 31 καὶ — ἀρρήτου] τῆς ἀρρήτου δὲ U 32 καὶ² VMPSWU τε καὶ DA ἐπὶ — ἀνεὶς MPAWU τὴν γλῶσσαν ἀνεὶς ἐπὶ θεῶ V ἐπὶ θεῶ τὴν γλῶσσαν ἀφεὶς SD 34 τὴν χάριν τῆς ἐπικουρίας V 35 τοῦ MSWU τότε² om. V

μόναις ὥσπερ ἐπαλγήσας ταῖς κατὰ θεοῦ δυσφημίαις καὶ τοῦ τὴν πόλιν ἁλῶναι ταύτην ἔσεσθαι πρόφασιν ἐμφρόνως ὑπειληφώς, περιερρήγνυτο τὴν ἐσθῆτα καὶ εἰς τὸν οἶκον ἀνέβη τοῦ θεοῦ, λιταῖς δηλονότι τὴν θείαν ὀργὴν ὑποτρέχων καὶ τῶν ἐπὶ ταῖς δυσφημίαις αἰτιαμάτων ἑαυτὸν ἀπαλλάττων. καὶ τί τὸ ἐντεῦθεν; εὐμενῆ καὶ ἵλεων κατεστήσατο τὸν τῶν δυνάμεων κύριον· νενίκηκε τὸν Ἀσσύριον, οὐχ ἵππον εἰς μάχην ὁπλίσας εὐχάλινον, οὐ τοξοτῶν εὐστοχίαις, οὐ δοράτων βολαῖς οὐδὲ ταῖς τῶν τακτικῶν ἐμπειρίαις τῶν ὑπὸ χεῖρα χρώμενος, ψήφωι δὲ μᾶλλον τῆι παρὰ θεοῦ τῆς τῶν Ἀσσυρίων στρατιᾶς τὸν ἐν
Is. 37, 36 μιᾶι νυκτὶ καθορίσαντος θάνατον. ἐξῆλθε γάρ φησιν, ἄγγελος κυρίου καὶ ἀνεῖλεν ἐκ τῆς παρεμβολῆς τῶν Ἀσσυρίων ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας. καὶ ἀναστάντες τὸ πρωὶ εὗρον πάντα τὰ σώματα νεκρά. οὗτοι τῆς εἰς θεὸν εὐσεβείας καρποὶ καὶ τοῦ μὴ ἀνασχέσθαι φωνῆς, εἰ κατ' αὐτῆς τῆς θείας γένοιτο δόξης.

4 Δεῖν δὲ οἶμαι μάλιστα ταῖς βασιλέων εὐσεβέσιν ἀκοαῖς παλίμφημον μὲν οὐδὲν λαλεῖσθαι κατὰ θεοῦ, ἐκεῖνα δὲ μᾶλλον ὅσα καὶ μώμου παντὸς καὶ διαβολῆς ἐπέκεινα τρέχει καὶ τῆς πρεπούσης δοξολογίας αὐτῶι ποιεῖται τὴν ἔκτισιν. ἄριστα δὲ κἀγὼ τοῦτο εἰδὼς ἔχειν, παρωρμήθην ἀναγκαίως τῆς ὀρθῆς τε καὶ ἀποστολικῆς πίστεως τὴν παράδοσιν ἐγγράψαι μὲν τῶιδε τῶι βιβλίωι, ξένιον δὲ ὥσπερ τι πνευματικὸν προσκομίσαι τῶι ὑμετέρωι κράτει, καὶ αὐταῖς δὲ ταῖς θεοφιλεστάταις ἀληθῶς βασιλίσιν, αἳ τῆι ὑμετέραι γαληνότητι συναστράπτουσιν, ἡ μὲν ταῖς εὐκταιοτάταις ὑμῖν ἐπαυχοῦσα γοναῖς καὶ τῆς
PG 1140 εἰς ἀεὶ διαμονῆς τὰς ἐλπίδας τοῖς σκήπτροις εἰσφέρουσα, ἡ δὲ τοῖς παρθενικοῖς βλαστήμασι συνακμάζουσα καὶ τὰς τῆς εὐκλεεστάτης ὑμῶν βασιλείας οἰκειουμένη φρονῖδας. λίθοι μὲν οὖν Ἰνδικαὶ τὰς ἀοιδίμους ὑμῶν καταφαιδρύνουσι κεφαλάς, ψυχῆς δὲ καὶ νοῦ νοητὸς ἂν γένοιτο κόσμος πίστις ὀρθή τε καὶ ἀκιβδήλευτος, ἣν ὅτι τηρήσετε, τεθαρσηκὼς προσάγω τὸν λόγον ὡς ἔρεισμα νοῦ καὶ ψυχῆς ἀγλάισμα καὶ
Prou. 8, 11 καρδίας στέφανον. γέγραπται γὰρ ὅτι κρείσσων σοφία λίθων πολυτελῶν, πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν. οὐκοῦν διὰ βραχέων εἰπεῖν πειράσομαι τὰ περὶ τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς, καὶ ὅ τί ποτέ ἐστι τὸ ἐπ' αὐτῶι μυστήριον,
Cor. 13, 12 διαρθροῦν ὅτι μάλιστα σαφῶς κατά γε τὸ ἐγχωροῦν τοῖς ἐν ἐσόπτρωι καὶ αἰνίγματι βλέ-
Eph. 4, 7 Phil. 1, 19 πουσι καὶ ἐκ μέρους γινώσκουσι κατὰ τὸ μέτρον τῆς δωρεᾶς τῆς ἐπιχορηγίας τοῦ πνεύματος, καθὰ καὶ ὁ θεσπέσιος γράφει Παῦλος. οὐδεὶς γὰρ λέγει κύριος Ἰησοῦς εἰ
Cor. 12, 3 5 μὴ ἐν πνεύματι ἁγίωι, καὶ οὐδεὶς λέγει ἀνάθεμα Ἰησοῦς εἰ μὴ ἐν Βεελζεβούλ. φαίη δ' ἂν οἶμαί τις· οὐκοῦν ἐπειδή σοι καὶ τῆς ἐπὶ τούτωι κόνεως ἄψασθαι δοκεῖ καὶ τὸν οὕτω διαβριθῆ καὶ δύσοιστον ἀνατλῆναι πόνον, ἀοκνότατα διασάφει τὸν ἀκριβῆ τε καὶ ἀκιβδήλευτον καὶ ἁπάσης αἰτίας ἀπηλλαγμένον ἐπὶ Χριστῶι λόγον. διαφόροις γὰρ δόξαις καταμεθύουσι τινές, παραπλάττοντες εἰς τὸ ἀκαλλὲς τὰ ἐπ' αὐτῶι κεχρησμωιδημένα παρά τε τῆς νέας καὶ ἀρχαιοτέρας γραφῆς. οὐκ ἠγνοήκαμεν οὖν ὡς ἀνεπιτήδευτόν ἐστι τῶν

VM, P [= hk], S, D [= mn], AWU

1 βλασφημίαισ P 3 ἀποτρέπων A 4 κατεκτήσατο SDA 5 νενίκηκε γὰρ PD 6/7 τῶν ὑπὸ χεῖρα om. S 7 χρώμενοσ D χρωμένων VMPSAWU τὸν om. P 9 παρατάξεωσ A τῶν Ἀσσυρίων om. U ἐν μιᾶι νυκτὶ ἑκατὸν MPAWU 10 τὸ VMS^{corr} DU κατὰ τὸ A τῶ PSW 11 οἱ καρποὶ MP γένοιτο VMPWU γένηται A λέγοιτο SD 12 βασιλέωσ A 13 παντὸς om. PA 14 αὐτῶ δοξολογίασ SD 14/15 τοῦτο κἀγὼ ἔχειν εἰδὼσ SD 16 ἡμετέρω S 17 ταῖσ — ἀληθῶσ MPWU ταῖσ ἀληθεστάταισ ἀληθῶσ V ταῖσ ἀληθῶσ θεοφιλεστάταισ SD ἀληθῶσ ταῖσ θεοφιλεστάταισ A βασιλίσσαισ D 18 καὶ ἡ μὲν DA τοῖσ S 19 ἐσαεὶ V 20 εὐκλεωτάτησ MW 21 ἰνδικαὶ MPWU ἰνδικοὶ VSDA 22 ἀκαπήλευτοσ V 23 τεθαρρηκὼσ SDA προσφέρω A 26 ἐνανθρωπίσεωσ W αὐτῆσ SD 27 σοφῶσ S αἰνίγμασι VA, corr. V 29 λέγει P κν̄ ιν̄ D, de A non constat 30 ιν̄ SDW, de A non constat 31 ἄψεσθαι V 32 διαβριθῆ] διακριβῆ P ἀκριβῆ VMPWU ἀληθῆ SDA 33 πάσησ VMPWU ἐν P 24 παραπλήττοντεσ DA κεχρησμοδοτημένα SD 35 οὐκ ἀνεπιτήδευτον VMPWU

ἀτόπων τοῖς ἀσυνέτοις οὐδέν, πίπτουσι δὲ καὶ λίαν ἑτοίμως εἰς πέταυρον ἄιδου κατὰ τὸ γεγραμμένον καὶ εἰς παγίδα θανάτου, μὴ νοοῦντες μήτε ἃ λέγουσι μήτε περὶ τίνων διαβεβαιοῦνται. τίνες δ' ἂν εἶεν οἱ παρ' ἑκάστωι θρύλοι καὶ τὰ σεμνὰ μυθάρια, διειπεῖν ἀναγκαῖον. Prou. 9, 18 1 Tim. 1, 7

6 Οἳ μὲν γὰρ ὅτι πέφηνε μὲν ἄνθρωπος ὁ ἐκ θεοῦ πατρὸς λόγος, οὐ μὴν ὅτι καὶ πεφόρηκε τὴν ἐκ τῆς ἁγίας [καὶ θεοτόκου] παρθένου σάρκα, φρονεῖν τε καὶ λέγειν τετολμήκασι, καταψεύδονται δὲ μόνην τοῦ μυστηρίου τὴν δόκησιν. ἕτεροι δὲ αὖ κατερυθριᾶν σκηπτόμενοι τὸ δοκεῖν ἀνθρώπωι προσκυνεῖν καὶ τὴν ἀπὸ γῆς σάρκα ταῖς ἀνωτάτω δόξαις στεφανοῦν παραιτούμενοι καὶ ἐκ τῆς ἄγαν ἀμαθίας νόθην τινὰ καὶ παρεφθαρμένην νοσοῦντες εὐλάβειαν παρατετράφθαι φασὶ τὸν ἐκ θεοῦ πατρὸς φύντα λόγον εἰς ὀστέων τε καὶ νεύρων καὶ σαρκὸς φύσιν, τὴν ἐκ παρθένου γέννησιν τοῦ Ἐμμανουὴλ πλατὺ γελῶντες οἱ τάλανες καὶ τὸ ἀπρεπὲς καταγράφοντες τῆς οὕτως ἀρίστης καὶ θεοπρεποῦς οἰκονομίας. οἳ δὲ καὶ ὀψιγενῆ τὸν συναίδιον τῶι πατρὶ θεὸν λόγον εἶναι πεπιστεύκασι καὶ εἰς τὸ μόλις ὑπάρξαι διακεκλῆσθαι τότε ὅτε καὶ τῆς κατὰ σάρκα γεννήσεως ἔλαχε τὴν ἀρχήν. εἰσὶ δὲ οἱ καὶ πρὸς τοῦτο μανίας δυσσεβῶς ἠγμένοι, ὥστε καὶ ἀνυπόστατον τὸν ἐκ θεοῦ φασιν εἶναι λόγον, PG 1141 ῥῆμα δὲ ἁπλῶς τὸ κατὰ μόνην νοούμενον προφορὰν ἐν ἀνθρώπωι γενέσθαι· Μάρκελλος δὲ οὗτοι καὶ Φωτεινός. δοκεῖ γε μὴν καὶ ἑτέροις ἐνανθρωπῆσαι μὲν ἀληθῶς τὸν μονογενῆ καὶ ἐν σαρκὶ γενέσθαι πιστεύειν, μὴ μὴν ἔτι καὶ ἐψυχῶσθαι τελείως τὴν ἀναληφθεῖσαν σάρκα ψυχῆι λογικῆι καὶ νοῦν ἐχούσηι τὸν καθ' ἡμᾶς, εἰς ἑνότητα δὲ τὴν εἰς ἅπαν, ὥσπερ οὖν οἴονται, κατασφίγγοντες τόν τε ἐκ θεοῦ λόγον καὶ τὸν ἐκ τῆς ἁγίας παρθένου ναόν, κατοικῆσαί φασιν ἐν αὐτῶι τὸν λόγον καὶ ἴδιον μὲν ποιήσασθαι σῶμα τὸ ἀναληφθέν, ψυχῆς δὲ αὐτὸν τῆς λογικῆς τε καὶ νοερᾶς ἀναπληροῦν τὸν τόπον. ἕτεροι δὲ αὖ πρεσβεύουσι μὲν ταῖς τούτων δόξαις τὰ ἐναντία καὶ ἀντιφέρονται τοῖς φρονήμασιν, ἔκ τε θεοῦ λόγου καὶ ψυχῆς τῆς λογικῆς καὶ σώματος ἤτοι τελείας ἁπλῶς ἀνθρωπότητος συνεστάναι τε καὶ ἀναπεπλέχθαι διαβεβαιούμενοι τὸν Ἐμμανουήλ, οὐ μὴν ἔτι καὶ ὑγιᾶ καὶ ἀμώμητον παντελῶς τὴν ἐπ' αὐτῶι τετηρήκασι δόξαν. καταδιιστᾶσι γὰρ εἰς δύο τὸν ἕνα Χριστὸν καὶ παχεῖαν ὥσπερ αὐτοῖς ἐνιέντες τὴν διατομήν, ἀνὰ μέρος ἑκάτερον μόνον οὐχὶ καὶ ἑστῶτα παραδεικνύουσιν, ἕτερον μὲν εἶναι διατεινόμενοι τὸν ἐκ παρθένου τεχθέντα τελείως ἄνθρωπον, ἕτερον δὲ αὖ τὸν ἐκ θεοῦ πατρὸς λόγον, οὐχ ὅ τί ποτέ ἐστιν ἥ τε τοῦ λόγου φύσις καὶ τῆς σαρκός, διακρίνοντες οὐδὲ μόναις ταῖς εἰς τοῦτο διαφοραῖς ἐμφιλοχωρεῖν ἐθέλοντες (οὐ γὰρ ἂν ἐννοίας τῆς ἀληθοῦς εἰς τοῦτο διήμαρτον, ἐπεὶ μὴ φύσις ἡ αὐτὴ σαρκός τε καὶ θεότητος), ἀλλὰ τὸν μὲν ὡς ἄνθρωπον ἰδίαι τιθέντες καὶ ἀνὰ μέρος, τὸν δὲ ὡς θεὸν φύσει τε καὶ ἀληθῶς υἱὸν ὀνομάζουσι, καίτοι θέλοντες εἶναι Χριστιανοί. καὶ δὴ καὶ λογίδι' ἄττα περὶ τούτου συγγράφοντες εἰπεῖν τετολμήκασιν αὐταῖς λέξεσιν ὧδε

3—12 Flor. Cyr. 135 τίνες δ' ἂν — οἰκονομίας
17—22 Flor. Cyr. 136 δοκεῖ — τόπον

VM, P [= hk], S, D [= mn], AWU

1 δὲ om. V 2 μήτε² om. S 3 θρύλλοι VMPSDAWU ἄσεμνα Flor. Cyr. 4 δεῖ εἰπεῖν A δὴ εἰπεῖν Flor. Cyr. ἀναγκαίωσ A 5 μὲν om. V γὰρ om. A πεφόρεκε DAU πεφόρακε S 6 τῆσ ἁγίασ καὶ θεοτόκου παρθένου SU τῆσ [γῆσ W] καὶ θεοτόκου παρθένου MW τῆσ ἁγνῆσ καὶ θεοτόκου παρθένου P τῆσ ἁγίασ παρθένου καὶ θεοτόκου VDAΣ τῆς ἁγίας παρθένου Flor. Cyr. 6/7 καταψεύδονται — δόκησιν om. A 7 σκεπτόμενοι DA 8 τῆς — δόξης Flor. Cyr. 9 καὶ om. SD νόθον D 10 τε om. S 11 οἱ τάλανες om. S 13 θεὸν om. S εἶναι λόγον S ὑπάρξαι καὶ M 14 ἔλαβε S 15 ἰγμένοι VAU 16 τὸ] τοῦ S 17 φώτιοσ V γε μὴν] δὲ A μὲν VMPWU μὴν S γε μὴν A om. D 18 μὴ] γε Flor. Cyr. ὅτι DAW ἐμψυχῶσθαι VSD, corr. S 19 τῶν W 20 τὸν ἐκ θῦ τε M τὸν ἐκ θῦ A τὸν ἐκ θυ $\overline{\text{πρσ}}$ SD 21 καὶ κατοικῆσαι Flor. Cyr. 22 δ' V om. MPU τε Flor. Cyr. 23 τἀναντία A 24 τῆς om. SD, de A non constat τελείωσ SD 25 ὅτι W 26 τὴν ἑπαυτὸν παντελῶσ D, de A non codstat εἰς δύο om. V 27 διανομήν A ἑκάτερον καὶ SDA καὶ om. W 28 τῆσ παρθένου D 29 λόγου VMPAWUΔ θῦ SD 31 οὐδὲ D ἂν om. P 34 λογίδια ἄττα SA τούτων D

Loofs, Nestoriana p. 217, 18. 19 Ὁ μὲν γὰρ φύσει καὶ ἀληθῶς υἱὸς ὁ ἐκ θεοῦ πατρὸς λόγος ἐστίν, ὁ δὲ ὁμωνύμως τῶι υἱῶι υἱός.

ibid. 20-218, 7 Καὶ μεθ' ἕτερα πάλιν· Οὐ σὰρξ ὁ τοῦ θεοῦ λόγος, ἀλλὰ ἄνθρωπον ἀνειληφώς. ὁ μὲν γὰρ μονογενὴς προηγουμένως καὶ καθ' ἑαυτὸν υἱὸς τοῦ θεοῦ ἐστιν τοῦ πάντων δημιουργοῦ· ὃν δὲ ἀνέλαβεν ἄνθρωπον, οὐ φύσει θεὸς ὤν, διὰ τὸν ἀναλαβόντα αὐτὸν ἀλη- 5
Mt. 11, 27 θῶς θεοῦ υἱὸν ὁμωνύμως αὐτῶι χρηματίζει. τὸ μὲν γὰρ οὐδεὶς ἔγνω τὸν υἱὸν εἰ μὴ ὁ πατὴρ τὸν φύσει τε καὶ ἀληθείαι δηλοῖ ἐκ τοῦ πατρὸς υἱόν, τὸ δὲ λεγόμενον ὑπὸ
Lc. 1, 30. 31 τοῦ Γαβριὴλ μὴ φοβοῦ, Μαριάμ, εὗρες γὰρ χάριν παρὰ τῶι θεῶι, καὶ ἰδοὺ συλλήψηι ἐν γαστρὶ καὶ τέξηι υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν τῶι ἀνθρώπωι ἐφαρμόζει. 10

7 Ἀλλὰ ταυτὶ μὲν ἐκεῖνοι· φρονήσομεν δὲ ἡμεῖς οὐχ ὧδε, πόθεν; ἀναπείσει γὰρ οὐδαμῶς τῶν ἑτεροδόξων ὁ λόγος τροχιὰν ἀφέντας τὴν ἐπ' εὐθὺ διαστείχειν ἑτέραν τὴν ἔξω
PG 1144 σκοποῦ καὶ διεστραμμένην. καὶ εἰ μέν τις ἔλοιτο μακρὸν ἐφ' ἑκάστωι ποιεῖσθαι λόγον καὶ διαρκῆ τὴν βάσανον, οὐκ εὐαρίθμητον μὲν δαπανήσει χρόνον, δυσαχθῆ δὲ ἱδρῶτα καὶ δυσδιάφυκτον ἀνατλὰς κατορθώσει μόλις· παρέντες δὴ οὖν τὸ δεῖν οἴεσθαι μακρὰ καὶ σφό- 15
δρα στενολεσχεῖν καὶ ὀλίγην κομιδῆι τὴν βάσανον ἐπιρριπτοῦντες ἑκάστωι, φέρε λέγωμεν
Mt. 22, 29 καὶ πρό γε τῶν ἄλλων τοῖς δοκήταις· πλανᾶσθε, μὴ εἰδότες τὰς γραφὰς μήτε μὴν
1 Tim. 3, 16 τὸ μέγα τῆς εὐσεβείας μυστήριον, τουτέστι Χριστόν, ὃς ἐφανερώθη ἐν σαρκί, ἐδικαιώθη ἐν πνεύματι, ὤφθη ἀγγέλοις, ἐκηρύχθη ἐν ἔθνεσιν, ἐπιστεύθη ἐν κόσμωι, ἀνελήφθη ἐν δόξηι. δεῖν δὲ οἶμαι τοὺς δι' ἐναντίας ἢ ψῆφον ἐπάγειν 20
τὴν αἰσχίω τοῖς πάλαι καὶ ψευδηγόρους ἀποκαλεῖν τοὺς τῆς οἰκουμένης μυσταγωγούς, οἷς
Mt. 28, 19 αὐτὸς ἔφη Χριστὸς πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, ἢ εἴπερ τοῦτο καταπεφρίκασι δρᾶν, ὀρθὰ μὲν ἐλέσθαι φρονεῖν τὰ ἐπὶ Χριστῶι, φράσαντας δὲ τὸ ἐρρῶσθαι δεῖν ταῖς σφῶν αὐτῶν ἀμαθίαις ἀπρὶξ μὲν ἔχεσθαι τῶν ἱερῶν γραμμάτων, τὴν δὲ ἁπλανῆ τῶν
8 ἁγίων διάιττοντας τρίβον ἐπ' αὐτὴν ἰέναι τὴν ἀλήθειαν. εἴη γὰρ ἂν οὐχ ἕτερον οἶμαί 25
τι τὸ τῆς εὐσεβείας μυστήριον ἢ αὐτὸς ἡμῖν ὁ ἐκ θεοῦ πατρὸς λόγος, ὃς ἐφανερώθη ἐν σαρκί· γεγέννηται γὰρ διὰ τῆς ἁγίας [καὶ θεοτόκου] παρθένου, μορφὴν δούλου λαβών·
Lc. 2, 14 ὤφθη δὲ καὶ ἀγγέλοις, οἳ γεννηθέντα καταγεραίρουσι δόξα τε, φασίν, ἐν ὑψίστοις θεῶι καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία, καὶ μὴν καὶ τοῖς ποιμέσι
Lc. 2, 11. 12 κατασημαίνοντες τὸν δι' ἡμᾶς ἐν σαρκὶ θεὸν λόγον, ἰδοὺ δή, φασίν, ἐγεννήθη ὑμῖν σήμερον 30
σωτήρ, ὅς ἐστι Χριστὸς κύριος, ἐν πόλει Δαυίδ. καὶ τοῦτο ὑμῖν τὸ σημεῖον· εὑρήσετε βρέφος ἐσπαργανωμένον καὶ κείμενον ἐν φάτνηι. οὗ δὲ τόκος ὁ διὰ παρθένου καὶ φανέρωσις ἐν σαρκί, πῶς οὐκ ἀδρανὴς εἰκαιομυθία, πῶς δὲ οὐχὶ μανία καὶ λῆρος τὸ τῆς δοκήσεως ὄνομα τῆς οὕτω σαφοῦς τε καὶ ἐναργοῦς καταγράφειν οἰκονομίας; εἰ γὰρ σκιὰ καὶ δόκησις ἦν καὶ οὔτε σάρκωσις ἀληθῶς οὔτε μὴν τέτοκεν ἡ παρθένος, 35

VM, P [= hk], S, D [= mn], AWU

1 καὶ om. SD υἱὸς] θσ P θεοῦ om. W ἐστὶ λόγοσ SD 3 μεθ' om. S ἀλλ' DA 5 θσ VMPSDWU κ̄σ̄ AΔ 6 θῡ̄ υἱὸν SDAΔ υἱὸν θῡ̄ VMPWU 7 τὲ MPSDAWU τέλειον V παρὰ D 8 τῶι om. VMPWU 9 τέξεισ PD 11 φρονήσωμεν SDAU πόθεν om. V ἀναπείθει D, de A non constat 12 ἀφέντεσ SD, de A non constat εὐθείαν in ἐπ' εὐθείαν corr. V διατρέχειν D 12/13 ἔξω σηκοῦ καὶ M om. V ἔξω σκοποῦ spatio relicto om. W 13 ἕκαστον V ἑκάστου A 14 διαρκῆ μου V μὲν om. S καιρὸν A 15 δυσδιάφευκτον A 16 σθενολεσχεῖν D ἕκαστα D, de A non constat 17 δοκίταισ VA πλανᾶσθαι S 18 ἐν om. P 21 τοῖς] τῆσ A οὖσ V 22/23 καὶ πεφρίκασι A 23 φράσαντασ niΔ φράσαντεσ VMPSnAWU 24 σφῶν om. D μὲν om. D εὔχεσθαι S 25 διάγοντασ VD ὁδὸν DA ἂν om. A 27 γεγέννηται S παρθένου Δ καὶ θεοτόκου παρθένου PSAWU θεοτόκου παρθένου MD παρθένου καὶ θεοτόκου VΣ δούλου μορφὴν M 29 καὶ] om. S 30 ἡμῖν DAW σήμερον om. SD 31 ἡμῖν SU, corr. U 32 εὑρήσετε γὰρ M καὶ om. WU οὗ MPSDWUΣ εἰ θυ VA εἰ Δ ὁ MPWUΔ om. VSDA 33 τῆσ παρθένου U εἰκαιομυθίασ M 35 εἰ] ἡ S

οὐκ ἐπελάβετο σπέρματος Ἀβραὰμ ὁ ἐκ θεοῦ πατρὸς λόγος, οὐχ ὡμοιώθη τοῖς ἀδελφοῖς. Hebr. 2, 16.
σκιὰ γὰρ οὔτι που τὰ καθ' ἡμᾶς ἡ δόκησις, ἀλλ' ἐσμὲν ἐν σώμασιν ἁπτοῖς τε καὶ ὁρατοῖς 17
9 καὶ τὴν γηγενῆ δὴ ταύτην σάρκα κατημφιεσμένοι καὶ φθορᾶς καὶ παθῶν ἠττήμεθα. οὐ-
κοῦν εἰ μὴ γέγονε σὰρξ ὁ λόγος, οὐδὲ ἐν ᾧι πέπονθεν, αὐτὸς πειρασθεὶς δύνα- Hebr. 2, 18
ται τοῖς πειραζομένοις βοηθῆσαι· οὐδὲ γὰρ ἄν τι πάθοι σκιά. οἴχεται δὴ οὖν τὸ PG 1145
σύμπαν ἡμῖν εἰς τὸ μηδὲν ἀληθῶς. ποῖον γὰρ ἔτι νῶτον δέδωκεν ὑπὲρ ἡμῶν ἡ ποίαν Ies. 50, 6
τοῖς παίουσι παρειὰν ὑποστρώσας πρὸς τὰς ἐκ τῶν Ἰουδαίων διεκαρτέρει πληγάς; ἥλοις 7
δὲ διαπεπάρθαι χεῖράς τε καὶ πόδας τὸν οὐκ ἐν σαρκὶ πεφηνότα τίνα δὴ τρόπον οἰηθείη
τις ἄν; ἢ ποίαν, εἰπέ μοι, πλευρὰν διανύττοντες οἱ Πιλάτου δορυφόροι τὸ τίμιον αἷμα συ- Ioh. 19, 34
ναναβλύζον ὕδατι τοῖς θεωμένοις παρέδειξαν; καὶ εἰ χρὴ τούτων τὸ ἐπέκεινα λέγειν, οὔτε 10
ἀπέθανεν ὑπὲρ ἡμῶν οὔτε μὴν ἐγήγερται Χριστός, οὗ παραδεχθέντος εἰς ἀλήθειαν κεκένωται
μὲν ἡ πίστις, οἴχεται δὲ ὁ σταυρός, ἡ τοῦ κόσμου σωτηρία καὶ ζωή, καὶ διόλωλε παντελῶς
ἡ τῶν ἐν πίστει κεκοιμημένων ἐλπίς. εὖ γὰρ ὧδε ἔχειν ἐδόκει καὶ τῶι μακαρίωι Παύλωι.
παρέδωκα γὰρ ὑμῖν, φησίν, ἐν πρώτοις ὃ καὶ παρέλαβον, ὅτι Χριστὸς ἀπέθανεν 1 Cor. 15, 3-8
ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν κατὰ τὰς γραφὰς καὶ ὅτι ἐτάφη καὶ ὅτι ἐγήγερται 15
τῆι ἡμέραι τῆι τρίτηι κατὰ τὰς γραφὰς καὶ ὅτι ὤφθη Κηφᾶι, εἶτα τοῖς δώ-
δεκα, ἔπειτα ὤφθη ἐπάνω πεντακοσίοις ἀδελφοῖς ἐφ' ἅπαξ, ἐξ ὧν οἱ πλείους
μένουσιν ἕως ἄρτι, τινὲς δὲ καὶ ἐκοιμήθησαν· ἔπειτα ὤφθη Ἰακώβωι,
ἔπειτα τοῖς ἀποστόλοις πᾶσιν, ἔσχατον δὲ πάντων, ὥσπερ εἰ τῶι ἐκτρώματι, 19
ὤφθη κἀμοί. καὶ μεθ' ἕτερα πάλιν· εἰ δὲ Χριστὸς κηρύσσεται ὅτι ἐκ νεκρῶν 1 Cor. 15,
ἐγήγερται, πῶς λέγουσιν ἐν ὑμῖν τινὲς ὅτι ἀνάστασις νεκρῶν οὐκ ἔστιν; εἰ 12-15
δὲ ἀνάστασις νεκρῶν οὐκ ἔστιν, οὐδὲ Χριστὸς ἐγήγερται· εἰ δὲ Χριστὸς οὐκ
ἐγήγερται, κενὸν ἄρα τὸ κήρυγμα ἡμῶν, κενὴ [δὲ] καὶ ἡ πίστις ἡμῶν. εὑρι-
σκόμεθα δὲ καὶ ψευδομάρτυρες τοῦ θεοῦ, ὅτι ἐμαρτυρήσαμεν κατὰ τοῦ θεοῦ
ὅτι ἤγειρε τὸν Χριστόν, ὃν οὐκ ἤγειρεν, εἴπερ ἄρα νεκροὶ οὐκ ἐγείρονται. 25
τεθναίη γὰρ ἄν, εἰπέ μοι, τίνα δὴ τρόπον ἡ σκιά; πῶς οὖν ἀνέστησε τὸν Χριστὸν ὁ πατὴρ
σκιὰν ὄντα καὶ δόκησιν καὶ τοῖς τοῦ θανάτου δεσμοῖς οὐχ ἁλώσιμον; οἰχέσθω δὴ οὖν
ὁ ἐκείνων ἔμετος, μῦθον δὲ ἄλλως καὶ ἀνοσίου βουλῆς ἀποβράσματα τὰ παρ' αὐτοῖς ἡγώ-
μεθα. τοὺς γὰρ τοιούτους ἡμῖν προκαταμηνύει γράφων τοῦ σωτῆρος ὁ μαθητής· ὅτι 1 Ioh. 4, 1-3
πολλοὶ ψευδοπροφῆται ἐξεληλύθασιν εἰς τὸν κόσμον, ἐν τούτωι γινώσκετε 30
τὸ πνεῦμα τοῦ θεοῦ· πᾶν πνεῦμα ὃ ὁμολογεῖ Ἰησοῦν Χριστὸν ἐν σαρκὶ
ἐληλυθότα, ἐκ τοῦ θεοῦ ἐστι, καὶ πᾶν πνεῦμα ὃ μὴ ὁμολογεῖ τὸν Ἰησοῦν, ἐκ
τοῦ θεοῦ οὐκ ἐστι. καὶ τοῦτό ἐστι τὸ τοῦ ἀντιχρίστου ὃ ἀκηκόατε ὅτι
ἔρχεται, καὶ νῦν ἐν τῶι κόσμωι ἐστὶν ἤδη. εἰ γὰρ μὴ γέγονεν ἄνθρωπος μήτε

6—10 Flor. Cyr. 137 ποῖον δέδωκε νῶτον — παρέδειξαν

VM, P [= hk], S, D [= mn], AWU

2 οὔτι που] οὐ τόπος D ἡ δόκησις om. S τε om. S 3 ταύτην δὴ SD ταύτην A κατημφιασμένοι U ἠττώμεθα DA 4 πέπονθεν] γέγονε A πειραθεὶς AWcorr 6 δέδωκε νῶτον Flor. Cyr. ἡ ποίαν] ὁποίαν Flor. Cyr. 7 ἐκαρτέρει A 8 δὴ οὖν A om. D 9 ἄν om. M δορυφόροι Πιλάτου Flor. Cyr. 10 χρή τι A Δ 11 μὴν om. P ὁ χ̄ς̄ SD 12 μὲν om. VMPWU διόλωλε μὲν A 13 γὰρ] γε W ἐδόκει ἔχειν A 14 παρέδωκε V ἡμῖν φησὶν U φησιν ὑμῖν PA φησιν W 16 τῆ τρίτη ἡμέρα W κατὰ τὰς γραφὰς om. V 17 ἐπάνω] ἐπέκεινα W πλείονες SD 18 εἶτα ὤφθη SD 19 ὡσ περί P τῶ MW τω VPSDAU 20 φησὶ καὶ S κηρύττεται SD 21/22 εἰ — ἔστιν om. SD 22/23 εἰ — ἐγήγερται om. P 23 ἄρα καὶ A δὲ om. DAΔ γὰρ S ὑμῶν DΣ 24 ὅτι — θεοῦ om. P τοῦ om. A 26 τεθναίη — σκιά om. V τεθναίη] τεθνάναι ἢ MW εἰπέ μοι] εἴποιμι U 28 ἐκείνων ὁ D ἀπόβρασμα U τὰ om. MW παρ' αὐτοῖσ VMPAW ἐκείνων SD 28/29 ἡγώμεθα AUΣΔ ἡγούμεθα VMPSDW 29 προκατεμήνυσε DA 30 γιυώσκεται VAU 31 ὃ om. SW, corr. W 32 καὶ πάλιν πᾶν PW 33 ἀκούετε P

μὴν ἀναβέβηκεν ἐν σαρκὶ πρὸς τὸν ἐν οὐρανοῖς πατέρα καὶ θεόν, οὐδ' ἄν ὑποστρέψειεν ἐξ οὐρανοῦ καθ' ἡμᾶς, ἄνθρωπος δηλονότι καὶ ἐν σαρκί.

PG 1148 10 Τὸ δὲ δὴ καὶ ἑτέρους οἴεσθαί τε καὶ φρονεῖν ἐξ ἀμετρήτου νωθείας γέννησιν μὲν ἀνήνασθαι τὴν διὰ τῆς ἁγίας παρθένου τὸν ἐκ θεοῦ φύντα λόγον καὶ φύσιν μὲν ἀτιμάσαι τὴν καθ' ἡμᾶς, παρατετράφθαι δὲ μᾶλλον αὐτὸν εἰς τὴν ἀπὸ γῆς σάρκα, δυσφημούντων ἐστὶ τὴν οἰκονομίαν καὶ τοῖς θείοις σκέμμασιν ἐπιτιμᾶν ἠρημένων. ὁ μὲν γὰρ τῶν Phil. 2, 7 ὅλων δημιουργὸς καὶ πολὺς εἰς ἔλεον τοῦ θεοῦ λόγος κεκένωκεν ἑαυτὸν δι' ἡμᾶς γενόμε- Gal. 4, 4 νος ἄνθρωπος, γενόμενος ἐκ γυναικός, ἵν' ἐπείπερ αἵματος καὶ σαρκὸς κεκοινώνηκε τὰ παι- Hebr. 2, 14. δία, τουτέστιν ἡμεῖς, καὶ αὐτὸς παραπλησίως μετάσχῃ τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον, καὶ ἀπαλλάξῃ τούτους ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. ὧδε γὰρ ἔφη τὸ γράμμα τὸ ἱερόν· οἳ δὲ τῆς οὕτω παγκάλης καὶ ἀρίστης βουλῆς τὸ ἀπρεπὲς καθορίζουσι καὶ ὥσπερ ἐνὸν αὐτοῖς τὰ ἀμείνω φρονεῖν, καὶ τοῖς τῆς σοφίας ἐπιτιμῶσι σκέμμασι. μὴ γὰρ δὴ χρῆναι λέγουσιν ὠδῖνα καὶ τόκον τὸν ἐκ γυναικὸς καταγράφειν ἡμᾶς τοῦ μονογενοῦς, οἴεσθαι δὲ μᾶλλον τὴν τοῦ λόγου φύσιν εἰς τὸ σαθρὸν δὴ τοῦτο καὶ γηγενὲς μετεστοιχειῶσθαι σῶμα καὶ τροπὴν φαντάζονται τοῦ τροπὴν οὐκ εἰδότος. ἐρήρεισται γὰρ ἡ τοῦ θεοῦ φύσις ἐν ἰδίοις ἀγαθοῖς καὶ ἀκατάσειστον ἔχει τὴν ἐφ' οἷς ἐστι διαμονήν. φύσις μὲν γὰρ ἡ γενητὴ καὶ χρόνῳ παρενεχθεῖσα πρὸς ὕπαρξιν πάθοι ἂν τὴν ἀλλοίωσιν καὶ οὐκ ἔξω λόγου τοῦ καθήκοντός τε καὶ ἀληθοῦς τὸ χρῆμα κείσεται· τὸ γὰρ ἀρχὴν ὅλως τοῦ εἶναι λαχὸν οἱονεί πως ἤδη καὶ συνεσπαρμένον ἔχει τὸ ἀλλοιοῦσθαι δεῖν. θεὸς δὲ ὁ παντὸς ἐπέκεινα νοῦ γενέσεως καὶ φθορᾶς τὴν ὕπαρξιν ἔχων ἐξηιρημένην τε καὶ ὑπερίσχουσαν ἀμείνων ἔσται καὶ τροπῆς, καὶ ὥσπερ τῷι τῆς ἰδίας φύσεως λόγωι παντὸς τοῦ κεκλημένου πρὸς γένεσιν ὑπερανέστηκέ τε καὶ ὑπερφέρεται, καὶ τοῦτο ἀσυγκρίτοις διαφοραῖς, οὕτω καὶ ἐν τοῖς εἰωθόσι συμβαίνειν τοῖς δι' αὐτοῦ γεγονόσιν ὑπερανεστήξει πάλιν, παθεῖν οὐκ εἰδὼς τὸ πεφυκὸς ἀδικεῖν. οὐκοῦν ἐν ἀγαθοῖς μὲν τὸ θεῖον ἀμεταπτώτοις ἐστί, τὰ δέ γε τῆς κτίσεως ἐν ἀλλοιώσει καὶ τροπαῖς καὶ ἀγχίθυρον ἔχοντα τὴν παραφθοράν. καὶ τοῦτο γινώσκων εὖ μάλα καὶ ὡς ἄριστα φιλοσοφῶν ὁ προφήτης Bar. 3, 3 Ἱερεμίας ἀνεφώνει πρὸς θεὸν ὅτι σὺ καθήμενος τὸν αἰῶνα καὶ ἡμεῖς ἀπολλύμενοι τὸν αἰῶνα. καθεδεῖται γὰρ ὥσπερ ἐν ἰδίοις θώκοις τὸ θεῖον ἀεὶ βασιλεῦον καὶ κατακρατοῦν τῶν ὅλων καὶ ὑπὸ μηδενὸς τῶν παθῶν τυραννούμενον, ἡμεῖς δὲ τὴν φύσιν εὐτροχωτάτην τε καὶ εὐπαράφορον κομιδῇ πρὸς ἀλλοίωσιν ἔχοντες καὶ τροπὴν ἀπολλύμεθα τὸν αἰῶνα, τουτέστιν ἐν παντὶ καιρῷι καὶ χρόνῳ φθαρτοί τε ἐσμὲν καὶ τρεπτοί. οὔτ' οὖν τὸ θεῖον ἐν παρατροπαῖς γένοιτ' ἄν ποτε, τῆς ἰδίας ἑδραιότητος ἐξωσθὲν ὑπό του τῶν

12—25 Flor. Cyr. 138 οἳ δὲ — ἀδικεῖν

VM, P [= hk], S, D [= mn], AWU

1 τοῖσ οὐρανοῖσ MPSA καὶ om. M ὑποστρέψη V 3 νώθην V γένεσιν MPAW 4 ἀρνήσασθαι A 5 τῆσ γῆσ VMPW 8 γενόμενος SDΑΣΔ om. VMPWU ἐπεὶ W αἵματος om. S 9 παραπλησίως om. V 12 δουλεία D τὸ ἱερὸν γράμμα M 12/13 τῆς — ὥσπερ] τοῖσ οὕπερ S 12 παγκάλου V 14 τὸν DAΔΣ Flor. Cyr. om. VMPSWU 14/15 ἐκ γυναικὸς om. S 15 θῦ λόγου SD ἐσ SD 16 δὴ om. A φαντάζεσθαι VA 17 τοῦ om. AΔ 18 ἐν Flor. Cyr. μὲν om. A γεννητὴ VPSAW Flor. Cyr., corr. A 19 ὕπαρξιν SDAΔ Flor. Cyr. γένεσιν VMPWU τε] δὲ Flor. Cyr. 20 τοῦ εἶναι om. S ἤδη om. A διεσπαρμένον D 21 νοῦ MSDAUΣΔ Flor. Cyr. νοῦ καὶ φύσεωσ PW νοῦ καὶ φύσεωσ καὶ V 22 ἔχων om. D ὑπερέχουσαν U ὑπερισχύουσαν SDA Flor. Cyr. ἐστὶ DA Flor. Cyr. 23 τὸ V πρὸς γένεσιν om. M 24 δια τούτου A 25 ὑπερανεστήξει] ..... τασ A ὑπερανέστηκε Flor. Cyr. παθεῖν om. A εἰδὼσ VP 27 παραφορὰν VU 28 θν SAΔ τὸν θν̄ VMPDWU 29 καθευδεῖται W θάκοισ SD σαλεῦον V 29/30 κρατοῦν SDA 30/31 εὐτροχοτάτην M ἐντροχωτάτην D 31 τε om. V παράφορον SD 32 καιρῶ SDAΔ καιρῶ τὲ MPWU τὲ καιρῶ V τε om. VD 33 γένοιτ' ἄν ποτε ἐν παρατροπαῖσ VMPW παρὰ τῆσ S ἐξεωθὲν S ἔξωθεν VMPWU του om. DA τε S

παθῶν, οὔτ' ἂν ἡ φθαρτή τε καὶ ἀλλοιουμένη φύσις, τουτέστιν ἡ γενητὴ καταπλουτήσειεν ἂν οὐσιώδη τὴν ἀτρεψίαν οὐδ' ἂν ἐπαυχήσειε τοῖς τῆς θείας φύσεως ἀγαθοῖς ὡς ἰδίοις ἡ κτίσις. ἀκούσεται γὰρ εὐλόγως τί γὰρ ἔχεις, ὃ οὐκ ἔλαβες; ὅτι δέ ἐστιν ἄτρεπ- 1 Cor. 4, 7
τος μὲν καὶ ἀναλλοίωτος παντελῶς ἡ τοῦ λόγου φύσις, ἀλλοιωτὴ δὲ πάντως ἡ γενητή, καταθρήσαι τις ἂν καὶ λίαν εὐκόλως ἀναμελωιδοῦντος ἐν πνεύματι τοῦ μακαρίου Δαυίδ· οἱ οὐρανοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις· καὶ πάντες ὡς ἱμάτιον παλαιωθή- Ps. 101, 27.
σονται καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτούς, καὶ ἀλλαγήσονται· σὺ δὲ ὁ 28
αὐτὸς εἶ καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι. ποῦ τοιγαροῦν μεμένηκεν ὁ αὐτὸς ὁ ἐκ θεοῦ λόγος, εἴπερ ἐστὶν ἀληθὲς εἰπεῖν ὅτι μεθεὶς τὸ ἐρηρεισμένως τε καὶ ἀκλονήτως ἔχειν καταπεφοίτηκε μὲν εἰς ὅπερ οὐκ ἦν, μεταπεποίηται δὲ καὶ εἰς σαρκὸς φύσιν καὶ εἰς τὸ φθείρεσθαι πεφυκός; ἆρ' οὖν οὐχὶ λῆρός τε ἤδη καὶ μανία ταυτί; καίτοι πῶς ἂν ἐνδοιάσειέ τις (ὥρα γὰρ εἰπεῖν ταῖς ἐκείνων ἀμαθίαις ἀντιτείνοντας ἀμαθέστερον) ὡς ἐστιν οὐκ ἀπεικὸς καὶ τὴν ἀπὸ γῆς σάρκα πρὸς τὴν τῆς θεότητος φύσιν ἀναφοιτᾶν δύνασθαί ποτε καὶ τῆς ἀνωτάτω πασῶν οὐσίας γενέσθαι σύστασιν; εἰ γὰρ αὐτὴ τῆς θεότητος ἡ φύσις κατά γε τὴν ἐκείνων ἐμβροντησίαν εἰς τὴν τῆς σαρκὸς μετακεχώρηκε φύσιν, οὐδὲν ὡς ἔοικε τὸ ἀπεῖργον ἔτι τὴν μὲν κάτω τε καὶ ἰδίαν φύσιν ὑπερπέτασθαι τὴν σάρκα, μεταπλάττεσθαι δὲ πρὸς θεότητα καὶ εἰς οὐσίαν τὴν ἀνωτάτω. ἀλλ' οὐ ταῖς ἐκείνων ἀσυνεσίαις τὸ εὐπειθὲς χαριούμεθα, προσκεισόμεθα δὲ μᾶλλον ταῖς θείαις γραφαῖς, καὶ προφήτου μὲν λέγοντος ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱὸν καὶ καλέσουσι Ies. 7, 14
τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ, κατασφραγίζοντος δὲ τὴν προαναφώνησιν τοῦ μακαρίου Γαβριὴλ καὶ τὴν ἄνωθεν ψῆφον τῇι παρθένωι διερμηνεύοντος (μὴ φοβοῦ γὰρ ἔφη, Μαριάμ, ὅτι ἰδοὺ συλλήψηι ἐν γαστρὶ καὶ τέξηι υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν), ἐκ γυναικὸς ἀληθῶς γεγεννῆσθαι πιστεύομεν τὸν Ἐμμανουὴλ καὶ τὸ λαμπρόν τε καὶ ἀξιάγαστον τῆς ἑαυτῶν φύσεως οὐ διωσόμεθα καύχημα, φρονοῦντες ὀρθῶς. ἐπεδράξατο γὰρ ὁ μονογενὴς οὐχὶ τῆς ἰδίας φύσεως (ἦν γὰρ ἂν οὐδέν τι μᾶλλον τὰ καθ' ἡμᾶς ἐν ἀμείνοσιν), ἀλλ' οὐδὲ τῆς ἀγγέλων, ἀλλὰ σπέρματος Ἀβραάμ, καθὰ γέγρα- Lc. 1, 30. 31
πται. ἦν γὰρ οὕτω καὶ οὐχ ἑτέρως τὸ διολισθῆσαν εἰς φθορὰν ἀνασώσασθαι γένος. Hebr. 2, 16

12 Τί δέ; οὐχὶ κἀκεῖνο πρὸς τοῖσδε καταθαυμάζειν ἄξιον; μόνον γὰρ οὐχὶ καὶ τὸ ἐρρῶ- PG 1152
σθαι φράσαντες τῇι θεοπνεύστωι γραφῇι καὶ πνεύμασι πλάνης τὸν οἰκεῖον τινὲς ἀπονέ- 1 Tim. 4, 1
μοντες νοῦν εἰς τοῦτο καθίκοντο δυσβουλίας καὶ μειρακιώδους ἀβελτηρίας, ὡς οἴεσθαι δεῖν τὸν τῶν αἰώνων δημιουργόν, τὸν συναίδιον τῶι θεῶι καὶ πατρὶ θεὸν λόγον, τῇι τῆς σαρκὸς γενέσει συμπαρομαρτοῦσαν ἔχειν τῆς ὑπάρξεως τὴν ἀρχὴν καὶ ὀψιγενῆ φαντάζεσθαι τὸν ἐπέκεινα παντὸς αἰῶνος καὶ χρόνου, ὡς ἐν ἐσχάτοις καὶ μόλις τοῖς τῆς ἐνανθρωπήσεως

3—17 Flor. Cyr. 139 ὅτι δὲ — ἀνωτάτω

VM, P [= hk], S, D [= mn], AWU

1 γεννητὴ PSA, corr. A 2 ἂν om. A οὐσιώδη DAΔ οὐσιωδῶσ VMPSWU 4 μὲν SDAΔ τε VMPWU πάντωσ MPAWU Flor. Cyr. πάντη V παντελῶσ SDΔ γεννητὴ PSU 5 καταθρήσειεν ἂν τισ D μακαριωτάτου P θεοπνεύστου D 6 διαμενεῖσ VA 7 εἰλίξεισ W καὶ αὐτοὺσ S 8 μεμένηκεν ὁ αὐτὸσ PAΔ ἔτι [ὅτι Flor. Cyr.] μεμένηκεν ὁ αὐτὸσ MSDWU μεμένηκεν ὁ αὐτὸσ ἔτι V 9 ἰδεῖν Flor. Cyr. ἐρηρεισμένον P Flor. Cyr. ἐρηρεισμένοσ U τε om A 11 ταυτὸ S ταύτη Flor. Cyr. ἂν om. A 13 ἀπεοικὸς Flor. Cyr. εἰσ SD 14/15 ποτὲ δύνασθαι A 15 ἡ om. V γε om. Flor. Cyr. 16 οὐδὲν ὡς] οὐδενὸς Flor. Cyr. ἔτι] ἐστὶ A Flor. Cyr. ὑπεπετέσθαι S καὶ τὴν Flor. Cyr. 17 δὲ SDAΔ Flor. Cyr. δὲ καὶ VMPWU εἰς om. V Flor. Cyr., corr. V 18 ἀπειθὲσ An προσκεισόμεθα SDAΔ ἐψόμεθα VMPWU 20 προφώνησιν P 23 Ἰησοῦν] ἐμμανουὴλ V γυναικὸσ οὖν V γεγενῆσθαι SAU Ἐμμανουὴλ] ῑ̅ν̅ V 24 ἑαυτοῦ k αὐτοῦ h 25 ἐπελάβετο DA ἦν] ἡ W ἂν om. D 26 ἀλλὰ σπέρματοσ] σπέρματοσ δὲ V καθὼσ MWU 27 οὕτωσ PAU διολισθεῖσαν W ἀνασώζεσθαι A 28 μόνον γὰρ οὐχὶ MSDW μονονουχὶ γὰρ VPAU 29 πλάνοισ U 30 καθήκοντο mW ὡσ om. W δεῖν] μὲν DA 31 τῶν om. SD πρ̅ὶ̅ καὶ θ̅ῶ̅ SD

καιροῖς πατέρα μὲν γενέσθαι τὸν θεόν, συνεισβαλεῖν δὲ ὥσπερ εἰς τὸ εἶναί τε καὶ ὑφεστάναι τῶι ἐκ τῆς παρθένου ναῶι τὸν δι' οὗ τὰ πάντα καὶ ἐν ὧι τὰ πάντα. ἀρ' οὖν οὐχὶ πρὸς λῆξιν ἤδη τὴν ἀνωτάτω διεληλάκασι τῶν κακῶν οἱ μῦθον οὕτω τὸν γραώδη καὶ βδελυρὸν προχειρότατα προσηκάμενοι καὶ τῆς ἀκράτου νωθείας τὸν οἰκεῖον ἀναπλή-
Ps. 13, 3 σαντες νοῦν; τάφος ἀληθῶς ἀνεωιγμένος ὁ λάρυγξ αὐτῶν, ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν· ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν, ὧν τὸ στόμα ἀρᾶς καὶ πικρίας γέμει. τὸν γάρτοι δι' οὗ τὰ πάντα, καὶ προυφεστάναι τῶν πάντων ἀνάγκη νοεῖν.
Ioh. 1, 1-3 τί δὲ δὴ καὶ δρῶιεν ἄν; Ἰωάννου μὲν γράφοντος ἐν ἀρχῆι ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν, καὶ θεὸς ἦν ὁ λόγος. πάντα δι' αὐτοῦ ἐγένετο καὶ χωρὶς αὐτοῦ
Ioh. 1, 1-3 ἐγένετο οὐδέν καὶ πάλιν ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, ὃ ἐθεασάμεθα καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν, περὶ τοῦ λόγου τῆς ζωῆς, καὶ ἡ ζωὴ ἐφανερώθη καὶ ἑωράκαμεν καὶ μαρτυροῦμεν καὶ ἀπαγγέλλομεν ὑμῖν τὴν ζωὴν τὴν αἰώνιον, ἥτις ἦν πρὸς τὸν πατέρα καὶ ἐφανερώθη ἡμῖν, αὐτοῦ δὲ Χριστοῦ τῆς ἰδίας ὑπάρξεως τὴν ἄποπτον ἀρχαιότητα τοῖς Ἰουδαίοις κατα-
Ioh. 8, 57 σημαίνοντος· ἐπειδὴ γὰρ ἔφασκον πεντήκοντα ἔτη οὔπω ἔχεις, καὶ Ἀβραὰμ ἑώρακας; ἀντήκουον ἐναργῶς ἀμὴν ἀμὴν λέγω ὑμῖν, πρὶν Ἀβραὰμ γενέσθαι, ἐγώ εἰμι. οὗ δὲ τὸ ἦν ἔστιν ἐπενηνεγμένου μηδενὸς καὶ μὴν καὶ τὸ εἰμί τέτακται σαφῶς, τίνα τῆς γενέσεως κατίδοι τις ἂν τὴν ἀρχήν; ἢ τίνα δὴ τρόπον ὁ ὢν ἐν ἀρχῆι τῆι παντὸς ἐπέκεινα νοῦ παραδέξαιτο ἂν τὸ ἐν καιρῶι κεκλῆσθαι πρὸς ὕπαρξιν; εἰ μὲν οὖν τις ἕλοιτο τούτοις σχολαιότερον ἀντιφέρεσθαι, χαλεπὸν οὐδὲν τοὺς τῆς θεοπνεύστου γραφῆς παρακομίζοντας λόγους τὰ ἐκ τῆς ἐκείνων ἐμβροντησίας ἀποκρούεσθαι βλάβη, τά γε μὴν οὕτως ἐναργῆ νοσοῦντα τὸν ἔλεγχον καὶ πολὺ λίαν ἔχοντα τὸ ἀκαλλὲς περιττὸν οἶμαί που καὶ φροντίδος ἀξιοῦν. οὐκοῦν ἐπ' ἐκεῖνο ἴωμεν, ὅπερ ἐστὶ τῶν κατεγνωσμένων συγγενές.

13 Παρασημαίνουσι γὰρ τινὲς τῆς ἀληθείας τὸ κάλλος, καθάπερ τι νόμισμα κιβδηλεύοντες
Ps. 74, 6 ἐπαίροντές τε εἰς ὕψος τὸ κέρας καὶ ἀδικίαν λαλοῦντες κατὰ τοῦ θεοῦ κατὰ τὸ γεγραμ-
PG 1153 μένον ἀνύπαρκτόν τε καὶ ἰδικῶς οὐχ ὑφεστηκότα φαντάζονται τὸν μονογενῆ, καὶ οὐκ εἶναι μὲν ἐν ὑποστάσει τῆι καθ' ἑαυτόν, ῥῆμα δὲ ἁπλῶς καὶ λόγον τὸν κατὰ μόνην τὴν προφορὰν γενέσθαι παρὰ θεοῦ καὶ ἐν ἀνθρώπωι κατοικῆσαί φασιν οἱ τάλανες. συνθέντες δὲ οὕτως τὸν Ἰησοῦν, ἀγίων μὲν εἶναί φασιν ἁγιώτερον, οὐ μὴν ἔτι καὶ θεόν. οὐκοῦν,
1 Ioh. 2, 22. καθὰ καὶ ὁ τοῦ σωτῆρος ἐπιστέλλει μαθητής, τίς ἐστιν ὁ ψεύστης εἰ μὴ ὁ ἀρνού-
23 μενος ὅτι Ἰησοῦς οὐκ ἐστιν ὁ Χριστός; οὗτός ἐστιν ὁ ἀντίχριστος ὁ ἀρνούμενος τὸν πατέρα καὶ τὸν υἱόν. πᾶς ὁ ἀρνούμενος τὸν υἱὸν οὐδὲ τὸν πατέρα ἔχει· ὁ ὁμολογῶν τὸν υἱὸν καὶ τὸν πατέρα ἔχει. ἄμφω γὰρ δι' ἀμφοῖν καὶ ἑκάτερος ἐν ἑκατέρωι πρός τε ἡμῶν αὐτῶν καὶ τῶν ἁγίων ἀγγέλων ἐπιγινώσκονται. οὐ γὰρ ἄν τις ἀναμάθοι τί ἐστι πατήρ, εἰ μὴ υἱὸν ὑφεστῶτά τε καὶ γεγεννημένον εἰσδέξαιτο κατὰ νοῦν· ἀλλ' οὐδ' ἂν ὅ τί ποτέ ἐστιν υἱός, ἀναμάθοι πάλιν, εἰ μὴ ὅτι τέτοκεν

VM, P [= hk], S, D [= mn], AWU

1 συνεισβαλλεῖν W συνεισβάλλειν SDA τὲ A 2 τῆς om. D 3 διεληλάκησαν V 4 τῆς om. S ἀκρατοῦσ PWU ἀκήρατου A 5 ἀληθῶς om. A 7 γὰρ P καὶ προυφεστάναι] καὶ ἐν ὧ τὰ πάντα ἕνα P καὶ — νοεῖν om. W spatio relicto ὄντων D de A non constat 8 δὲ om. D δεῖ P ἂν om. S 9 λόγοσ οὗτοσ ἦν ἐν ἀρχῆ πρὸσ τὸν θν̄ SD 10 οὐδεέν V οὐδὲ ἐν nU 12/13 ἀπαγγελοῦμεν V 13 τὴν αἰώνιον ζωὴν M 14 ὑμῖν S τοῖς Ἰουδαίοις om. A 14/15 κατασημάναντοσ MW κατασημήναντοσ VPU 15/16 εἶδεσ A 16 ἀντήκουσαν SDA ἀμὴν² om. P 17 ναὶ μὴν καὶ V καὶ μὴν D 18 δὴ om. D 19 παρεδέξατο A ἕλοιτό τισ M βούλοιτο DA 19/20 σχολαιότερον τούτοισ M 20 σχολαίτερον SA 21 βλάβη SDAWUΔ βέλη VMPΣ 22 ἀκαλέσ A καὶ DAΔ om. VMPSWU 26 καὶ om. W ὑφεστῶτα PS δοξάζουσι S 28 ὡσ καὶ DA 29 τε DA 30 καὶ om. P ἐπέστειλε AΔ 32 πᾶσ ὁ ἀρνούμενοσ τὸν υἱὸν om. V πᾶσ γὰρ P 33 τὸν υἱὸν om. S γὰρ καὶ D 34 ἐν ἑκατέρω ἑκάτεροσ DA γε V αὐτῶν om. U ἐπιγινώσκεται PU 34/35 ἐπιγινώσκονται — ὑφεστῶτά] ἐξαφανίζοντα S 35 τε om. SDA γεγενημένον S 35/36 εἰσδέξεται DA 36 ὁ υἱόσ VMWΔ

ὁ πατήρ, διενθυμοῖτο σαφῶς οὐκοῦν ἀναγκαῖον οἶμαί που καὶ ἀσφαλὲς εἰπεῖν ὡς εἴπερ ἐστὶν ἀνύπαρκτος ὁ υἱός, οὐδ' ἂν τὸν πατέρα πατέρα κατὰ τὸ ἀληθὲς νοήσαιμεν ἄν. ποῦ γάρ ἐστι πατήρ, εἰ μὴ τέτοκεν ἀληθῶς; ἢ εἴπερ γεγέννηκε τὸ μὴ ὑφεστὼς μηδὲ ὑπάρχον ὅλως, τὸ γεννηθὲν ἔσται τὸ μηδέν. τὸ γάρτοι μὴ ὑφεστὼς ἐν ἴσωι τῶι μηδενί,
14 μᾶλλον δὲ παντελῶς οὐδέν. εἶτα τοῦ μηδενὸς ἔσται πατὴρ ὁ θεός; ἀλλ' ὦ βέλτιστοι, φαίην ἂν ἔγωγε πρός γε τοὺς τῶν τοιούτων ἐξηγητάς, ὕθλος εἰκαῖος τὰ παρ' ὑμῶν. ἢ γοῦν ἐρομένωι φράζετε· πῶς ἐξαίρετος ἡ εἰς ἡμᾶς ἀγάπησις τοῦ θεοῦ καὶ πατρός; καὶ εἰ δέδωκεν ὑπὲρ ἡμῶν τὸν υἱὸν τὸν καθ' ὑμᾶς οὐχ ὑφεστηκότα, τὸ μηδὲν ἄρα δέδωκεν ὑπὲρ ἡμῶν, καὶ οὔτε γέγονε σὰρξ ὁ λόγος οὔτε τὸν τίμιον ὑπέστη σταυρὸν οὔτε κατήργηκε τοῦ θανάτου τὸ κράτος οὔτε μὴν ἀνεβίω πάλιν. εἰ γάρ ἐστι τὸ μηδὲν καὶ ἀνύπαρκτος καθ' ὑμᾶς, πῶς ἔν γε τούτοις γένοιτ' ἄν; πεφενάκικεν οὖν ἄρα τῆς ἁγίας γραφῆς ὁ λόγος τοὺς πεπιστευκότας καὶ ἡ τῆς πίστεως ἑδραιότης οἴχεται πρὸς τὸ μηδέν. τί δέ; οὐκ ἐν μορφῆι θεοῦ Phil. 2, 6
ὑπάρχειν τὸν υἱὸν τὸ ἱερὸν ἡμῖν κατεσήμηνε γράμμα εἰκόνα τε αὐτὸν καὶ χαρακτῆρά φησι Hebr. 1, 3
τοῦ γεγεννηκότος; καίτοι πῶς τοῦτό ἐστιν οὐχ ἅπασιν ἐναργές· αἱ δὲ εἰκόνες ὡς τὰ ἀρχέτυπα· δεῖ γὰρ οὕτως αὐτὰς καὶ οὐχ ἑτεροίως ἔχειν. οὐκοῦν εἰ μὴ ἐνυπόστατος ἡ εἰκὼν μήτε μὴν ἐν ὑπάρξει νοοῖτο τῆι καθ' ἑαυτὸν ὁ χαρακτήρ, ἀνυπόστατον εἶναι δώσουσιν ὡς ἐξ ἀναγκαίου λόγου καὶ τὸν οὗπέρ ἐστι χαρακτήρ, καὶ τὸ τῆς εἰκόνος ἀκαλλὲς ἀνα-
15 δραμεῖταί που πάντως ἐπὶ τὸ ἀρχέτυπον. εἶτα εἰπέ μοι, Φίλιππος, χριστομαθὴς ὢν ἄγαν, τὸν ὄντα τε καὶ ὑφεστηκότα πατέρα κατιδεῖν ἠξίου λέγων κύριε, δεῖξον ἡμῖν τὸν Ioh. 14, 8
πατέρα, καὶ ἀρκεῖ ἡμῖν ἢ γοῦν τὸν οὐκ ὄντα καὶ ἀνυπόστατον; ἀλλ' οἶμαι φαίη τις ἂν μελλήσας οὐδὲν ὅτι τὸν ὄντα τε καὶ ὑφεστηκότα. εἴπερ οὖν ἐστι τὸ μηδὲν ὁ PG 11 56
υἱός, ἅτε δὴ μὴ ὑφεστηκὼς κατά γε τὸ ἐκείνων ἀχάλινον θράσος, εἰς εἰκόνα καὶ γνῶσιν ἀκριβῆ τοῦ πατρὸς ἑαυτὸν ἡμῖν ἀνθ' ὅτου παρεκόμιζε λέγων· τοσοῦτον χρόνον μεθ' Ioh. 14, 9. 10
ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με, Φίλιππε; ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα. οὐ πιστεύεις ὅτι ἐγὼ ἐν τῶι πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί ἐστιν; ἐγὼ καὶ ὁ πατὴρ ἓν ἐσμέν. ἀλλ' οὐκ ἂν οἶμαί που τὸν ὑφεστηκότα καταθρήσειέ τις ἔν γε τῶι μὴ ὑφεστηκότι, οὐδ' ἂν ἐννοοῖτό ποτε καὶ ταυτὸν εἰς ἅπαν τῶι μὴ ὑπάρχοντι τὸ ὑπάρχον. ἔσται δὲ ὅπως ἐν υἱῶι μὲν ὁ πατήρ, ὁ υἱὸς δὲ αὖ ἐν τῶι πατρί; ἢ οὐχ ἕτοιμον εἰπεῖν ὡς εἰ μή ἐστιν ὁ λόγος ἐν ὑπάρξει τῆι καθ' ἑαυτόν, κινδυνεύσειεν ἂν καὶ αὐτὸς ὁ πατήρ, ἔχων μὲν ἐν ἑαυτῶι τὸ μηδέν, νοούμενος δὲ ὑπάρχειν ἐν τῶι μηδενί; τὸ γὰρ οὐκ ὂν ὅλως οὐδὲν ἂν νοοῖτο λοιπόν. καὶ οὐκ ἄτραχυς μὲν ὁ λόγος (πλείστην γὰρ ὅσην ἐν ἑαυτῶι τὴν ἀτοπίαν νοσεῖ), περίστησιν δ'οὖν ὅμως εἰς τὸ ἀπηχὲς τῶν δι' ἐναντίας τὸ δόγμα. κατατεθήποι δ' ἄν τις εἰκότως τίνα δὴ τρόπον ἐν τῶι υἱῶι τῶι μὴ λαχόντι τὸ εἶναι τὰ ὄντα πεποίηκεν ὁ πατήρ. εἰ δὲ δή τις ἔροιτο πότερα τοῖς οὖσι τὸ εἶναι καλὸν ἢ γοῦν τὸ μὴ εἶναι τυχόν, φαίη τις ἂν εὐθὺς ὅτι τὸ εἶναι. τοῖς γὰρ

VM, P [= hk], S, D [= mn], AWU

1 σοφῶσ WΔ που om. A 2 πατέρα² om. SΔ 3 ἐστι VMPDAWUΣ ἔτι SΔ ὁ πηρ P γεγένηκε S ὑφεστὸσ MW 4 ὑφεστὸσ MW 6 γε om. SA ἡμῶν S 7 ὑμᾶσ U ἔδωκεν DA 8 ὑφεστῶτα S ἄρα δέδωκεν] παραδέδωκεν P παρέδωκεν MW ἄρα ἔδωκεν V 9 σὰρξ ὁ λόγοσ γέγονεν V κατήργηται A 10 ἀνεβίωσε SD ἀνύπαρκτον VA 12 οὐκ] καὶ A 13 κατεσήμηνε MWU κατεσήμανε VPA ὑπεσήμανε SD αὐτὸν om. A φησι καὶ χαρακτῆρα PDA 14 γεγενηκότοσ S ὅτι αἱ δὲ A 15 ἑτέρωσ V ἐνυπόστατον V 17 ἀκαλὲσ A 18 που om. V 19 τε om. V 20 τὲ καὶ S 21 μελήσασ VPSDAU 22 εἰς] ὡσ Sn 23 ἀκριβῆ om. D προεκόμιζε P τοσούτω χρόνω MW 24 καὶ τὸν D πατέρα μου S 25 ἐστιν om. U 25/26 ἐγὼ — ἐσμέν om. V 26 ἀλλ'] καὶ U που τὸν SDA τοῦτον VMPWU γε om. V 27 ἀλλ' οὐδ' A καὶ ταυτὸν SDAΔ καταυτὸν U κατὰ ταυτὸν VMPW 28 δ' αὖ V δὲ DA 28/29 οὐκ ἑταιμον U οὐκ ἑτυμον A 30 ὁ πατὴρ αὐτὸσ M ὁ πατὴρ U 31 οὐδὲ DA 32 ἐν αὐτῶ S om. VMPWU 33 κατατεθήπη U 34 πότερον M ἑνοῦσι A 35 τυχὸν om. S τοῖσ γὰρ MPSDAWU ὁ γὰρ τοῖσ V

οὐκ οὖσί ποτε τὸ εἶναι διδοὺς ἀγαθὸς ὅτι μάλιστα κεχρημάτικέ τε καὶ ἔστιν ὁ δημιουργός· ἔχοι γὰρ ἂν ὧδε τὸ χρῆμα τῇι φύσει. οὐκοῦν ἐν ἀμείνοσιν ἡ κτίσις ἤπερ ὁ δι' οὗ τὰ πάντα παρήχθη πρὸς γένεσιν· ὃ μὲν γὰρ οὐχ ὑφεστηκέναι λέγεται, τὰ δὲ ὑφέστηκέ τε
Hebr. 4, 12 καὶ ἐν τῶι εἶναι νοεῖται. ὢ τῆς τῶν ἐννοιῶν ἀτοπίας· ἄπαγε τῆς δυσφημίας. ζῶν γὰρ
Ioh. 14, 6 ὁ λόγος τοῦ θεοῦ καὶ ἐνεργὴς καθὰ γέγραπται. τοιγάρτοι καὶ ἔφασκεν ἐγώ εἰμι ἡ ζωή, ἀλλ' οὐκ ἂν νοοῖτο ζωή, μὴ ὑφεστηκώς· ζωὴ δέ ἐστι κατὰ φύσιν, διαψεύσεται γὰρ οὐδαμῶς. τὸ ἄρα μὴ ὑφεστάναι λέγειν τὸν ἐκ θεοῦ πεφηνότα λόγον ψευδηγόρημα
Exod. 3, 14 σαθρὸν καὶ φρενὸς ἀπόβρασμα τῆς ἠλιθιωτάτης. Μωσεῖ γὰρ ἔφασκεν αὐτὸς ἐγώ εἰμι ὁ ὤν. τὸ δὲ ὂν ἀληθῶς οὐκ ἐν ὑποστάσει τῆι καθ' ἑαυτὸ σωιζόμενον πῶς ἂν νοοῖτό ποτε; οὐκοῦν τῶν τῆιδε διειληφότων καθοριοῦμεν εἰκότως τὸ εἰς ἄκρον ἀμαθές.

16 Οὐ μὴν οὐδὲ ἐκείνους ἐπαινέσομεν, φιλοθηρεῖν εὖ μάλα δεδιδαγμένοι τὸ ἀληθές, οἳ τητᾶσθαι λέγουσι ψυχῆς λογικῆς τὴν ἑνωθεῖσαν τῶι λόγωι σάρκα. σαρκὶ γάρ που μόνηι καὶ τὴν ζωτικήν τε καὶ αἰσθητικὴν λαχούσηι κίνησιν ἀμφιεννύντες τὸν λόγον παραφέρουσιν εἰς κόσμον, τὴν νοῦ καὶ ψυχῆς ἐνέργειαν ἀπονέμοντες τῶι μονογενεῖ. καταπεφρίκασι
PG 1157 γὰρ οὐκ οἶδ' ὅπως ψυχωθείσηι ψυχῆι λογικῆι τῆι ἀνθρωπίνηι σαρκὶ κατὰ φύσιν ἡνῶσθαι τὸν λόγον ὁμολογεῖν, τῆς μὲν ἄνωθέν τε καὶ ἀρχαιοτάτης πίστεως τὴν παράδοσιν ὀλίγου παντελῶς ἀξιοῦντες λόγου, θελήσει δὲ μόνηι τῆι κατὰ σφᾶς αὐτοὺς καὶ τοῖς ἀνθρωπίνοις
Rom. 12, 3 δεῖν ἕπεσθαι λογισμοῖς ἀμαθῶς ἠρημένοι καὶ φρονοῦντες ἀληθῶς παρ' ὃ δεῖ φρονεῖν. καὶ τίς ὁ λόγος αὐτοῖς τοῦ τοιοῦδε δόγματος; ἐγὼ φράσω. τὸν θεοῦ μεσίτην καὶ
1 Tim. 2, 5 ἀνθρώπων κατὰ τὰς γραφὰς συγκεῖσθαι φαμὲν ἔκ τε τῆς καθ' ἡμᾶς ἀνθρωπότητος τελείως ἐχούσης κατὰ τὸν ἴδιον λόγον καὶ ἐκ τοῦ πεφηνότος ἐκ θεοῦ κατὰ φύσιν υἱοῦ, τουτέστι τοῦ μονογενοῦς, διαβεβαιούμεθα δὲ σύνοδον μέν τινα καὶ τὴν ὑπὲρ λόγον συνδρομὴν εἰς ἕνωσιν ἀνίσων τε καὶ ἀνομοίων πεπρᾶχθαι φύσεων· ἕνα δ' οὖν ὅμως Χριστὸν καὶ κύριον καὶ υἱὸν ἐπιγινώσκομεν, ἐν ταυτῶι καὶ ὑπάρχοντα καὶ νοούμενον θεόν τε ὁμοῦ καὶ ἄνθρωπον. ἀδιάσπαστον δὲ παντελῶς τὴν ἕνωσιν διατηρεῖν εἰθίσμεθα, τὸν αὐτὸν εἶναι πιστεύοντες καὶ μονογενῆ καὶ πρωτότοκον, μονογενῆ μὲν ὡς ἐκ θεοῦ πατρὸς λόγον καὶ ἐκ
Rom. 8, 29 τῆς οὐσίας αὐτοῦ πεφηνότα, πρωτότοκον δὲ αὖ καθὸ γέγονεν ἄνθρωπος καὶ ἐν πολλοῖς
1 Cor. 8, 6 ἀδελφοῖς. ὥσπερ γὰρ εἷς ἐστι θεὸς ὁ πατήρ, ἐξ οὗ τὰ πάντα, οὕτως καὶ εἷς κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα. θεὸν γὰρ ὄντα κατὰ φύσιν ἐπιγινώσκομεν τὸν δι' οὗ τὰ πάντα λόγον, καὶ εἰ γέγονε σάρξ, τουτέστιν ἄνθρωπος.

17 Ἀλλ' οὔτι που σφόδρα ταῖς ἐν ἡμῖν περὶ τούτου δόξαις τὰ ἐκείνων συμφέρεται. ἕνα μὲν γὰρ ὁμολογουμένως παραδέχονται καὶ αὐτοὶ Χριστὸν Ἰησοῦν, παρωθοῦνται δὲ λίαν, ὡς δυσσεβὲς ὅτι μάλιστα, καταδιστᾶν εἰς δύο τὸν Ἐμμανουήλ· ψυχῆς δ' οὖν ὅμως τῆς ἀνθρωπίνης καὶ λογικῆς τὴν σάρκα γυμνώσαντες, ἡνῶσθαί φασιν αὐτῆι τὸν ἐκ θεοῦ λόγον.

11—25 Flor. Cyr. 140 οὐ μὴν — εἰθίσμεθα

VP [= hk], S, D [= mn], AWU

1 διδούσ DAΔ δούσ VMPSWU τε om. PDA 2 ἔχει D γὰρ] δ' A κτῆσισ S ἤπερ PAU εἴπερ VMSDW 3 γὰρ om. W οὐχ om. M ὑφεστηκότα S τε om. VA 6 διαψεύδεται W 8 ἠλιθιωτάτης] λιθώδουσ V μωσῆ S 9 οὐκ om. VA 10 ποτὲ μὴ ὑφεστηκὼσ [ὑφεστὼσ A] VA καθαριοῦμεν V 11 οὐ μὴν VMSAWU Flor. Cyr. οὔκουν P οὐκοῦν D οὐδὲ om. S ἐπαινέσομεν ἂν MA ἐπαινέσωμεν ἂν DU ἐπαινέσαιμεν ἂν Δ Flor. Cyr. δεδιδαγμένους Flor. Cyr. 12 ἡττᾶσθαι VM 12/13 μόνη καὶ DAΔ Flor. Cyr. μόνη MSWU μόνην VP 15 λογικῆ ψυχῆ V φύσιν] ἀλήθειαν Flor. Cyr. 16 τε om. A 17 αὐτοὺς om. S 19 αὐτοῦ S ἐγώ γὰρ Flor. Cyr. τοῦ θεοῦ Flor. Cyr. 20 ἄνθρωπον Flor. Cyr. συγκεῖσθαι] νοεῖσθαι Flor. Cyr. τε om. DA 21 καὶ om. U ἐκ θεοῦ om. DA 22 μέν om. D 23 ἀνίσην U ὁμοίων S κν̄ ιν̄ DA 24 υἱὸν ὀνομάζεσθαι SD 24/25 καὶ ἀνο͞ῡ ὁμοῦ D 25 ἀδιάστατον DA τηρεῖν S 25/26 καὶ μονογενῆ πιστεύοντεσ V 26 ἐκ om. V 27 πεφηνότα καὶ VMPU καθὰ S 28 ὁ θ͞σ̄ ὁ S ὁ θ͞σ̄ καὶ DA 29 γὰρ om. A 32 ὁμολογοῦμεν ὡσ MPW ιν̄ χ̄ν̄ VM 33 τῆς om. D 34 χωρίσαντεσ καὶ γυμνώσαντεσ V

ἐξεύρηται δέ τις αὐτοῖς πιθανός, ὡς οἴονται, πρὸς τοῦτο λόγος. τὰ γάρτοι, φασί, κατὰ σύνθεσιν πρὸς ἑνὸς τελείου σύστασιν συνδεδραμηκότα μέρη τε καὶ ἐξ ἀτελῶν ὁρᾶσθαι φιλεῖ, τοῦ τελείως ἔχοντος καθ' ἑαυτὸ καὶ ὡς ἐν ἰδίαι φύσει τῆς ἐκ μερῶν συνθέσεως οὐ δεδεημένου. τοιγάρτοι, φασί, παραιτητέον εἰκότως ἄνθρωπον δοῦναι τέλειον τὸν συνενωθέντα τῶι λόγωι ναόν, ἵνα καὶ ἡ σύνθεσις, ἥπερ ἂν ἐπὶ Χριστῶι νοοῖτο τυχόν, ἀκριβῆ τε καὶ ἀδιάβλητον τὸν ἐπ' αὐτῆς ἀποσώιζοι λόγον. καὶ μὴν κἀκεῖνο προσθεῖεν ἄν, ὥσπερ οὖν ἐγῶιμαι πάλιν. εἰ γὰρ ἐξ ἀνθρώπου τελείου, φασί, καὶ τοῦ ἐκ πατρὸς ὄντος λόγου συντίθεμεν τὸν Ἐμμανουήλ, οὐ βραχὺ τὸ δεῖμα, μᾶλλον δὲ ἀδιάφυκτον ἤδη πως ἀναφανεῖται λοιπὸν τὸ καὶ ἀβουλήτως δεῖν δύο μὲν υἱούς, Χριστοὺς δὲ αὖ δύο φρονεῖν τε καὶ λέγειν. εἶτα τί τούτοις ἀντεροῦμεν ἡμεῖς; πρῶτον μὲν ὅτι τῆς πίστεως τὴν οὕτως ἀρχαιοτάτην καὶ ἐξ αὐτῶν τῶν ἁγίων ἀποστόλων διήκουσαν εἰς ἡμᾶς παράδοσιν οὐ ταῖς PG 1160 ὑπερμέτροις ἀκριβείαις καταλύειν ἄξιον οὔτε μὴν ταῖς εἰς ἄκρον ἐρεύναις ὑποφέρειν τὰ ὑπὲρ νοῦν, ἀλλ' οὐδὲ ἥκειν εἰς μέσον οἷά περ τινὰς ὁριστὰς ῥιψοκινδύνως λέγοντας ὡς τὸ δεῖνα μὲν ὀρθῶς, τὸ δεῖνα δὲ αὖ ἑτεροίως ἔχειν. ἐχρῆν δήπου καὶ ἦν ἄμεινον ἀληθῶς ἀπονέμειν μᾶλλον τῶι πανσόφωι θεῶι τῶν ἰδίων διασκέψεων τὴν ὁδὸν καὶ μὴ τοῖς εὖ ἔχειν παρ' αὐτῶι δεδοκιμασμένοις ἀνοσίως ἐπιτιμᾶν. ἀκουσόμεθα γὰρ λέγοντος ἐναργῶς· οὐ γάρ εἰσιν αἱ βουλαί μου ὥσπερ αἱ βουλαὶ ὑμῶν οὐδὲ ὥσπερ αἱ Ies. 55, 8 ὁδοὶ ὑμῶν, αἱ ὁδοί μου· ἀλλ' ὡς ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς, οὕτως ἀπέχει ἡ ὁδός μου ἀπὸ τῶν ὁδῶν ὑμῶν καὶ τὰ διανοήματα ὑμῶν ἀπὸ τῆς διανοίας
18 μου. υἱοὺς δὲ οὔ τι που δύο προσκυνήσομεν, ἀλλ' οὐδὲ Χριστοὺς ἐροῦμεν δύο, κἂν ἐψυχῶσθαι πιστεύωμεν ψυχῆι λογικῆι τὸν ἑνωθέντα τῶι λόγωι ναόν. ὥσπερ γὰρ κατά γε τὸ ἐκείνοις εὖ ἔχειν δοκοῦν κἂν εἰ ἐκ μόνης λέγοιτο τῆς σαρκὸς καὶ τοῦ ἐκ θεοῦ πατρὸς πεφηνότος λόγου, οὐδεὶς αὐτοὺς ἀναπείσει τρόπος ἀνὰ μέρος τὴν σάρκα τιθέντας καὶ ἀνὰ μέρος αὖ τὸν μονογενῆ δυάδα Χριστῶν ὁμολογεῖν, οὕτω κἂν τῆι καθ' ἡμᾶς ἀνθρωπότητι τελείως ἐχούσηι κατά γε τὸν τῆς ἰδίας φύσεως λόγον οἱονεὶ συνενηνέχθαι τε καὶ ἡνῶσθαι λέγωμεν ἀπορρήτως τε καὶ ὑπὲρ νοῦν τὸν ἐκ θεοῦ λόγον, οὐχ υἱῶν δυάδα νοήσομεν, ἀλλ' ἕνα καὶ τὸν αὐτόν, φύσει μὲν ὄντα θεὸν καὶ ἐξ αὐτῆς πεφηνότα τῆς οὐσίας τοῦ θεοῦ καὶ πατρός, ἐν ἐσχάτοις δὲ τοῦ αἰῶνος καιροῖς γενόμενον ἄνθρωπον καὶ διὰ τῆς ἁγίας [καὶ θεοτόκου] παρθένου γεγεννημένον καὶ πρός τε ἡμῶν αὐτῶν καὶ τῶν ἁγίων ἀγγέλων προσκυνούμενον κατὰ τὰς γραφάς.

19 Εἰ δὲ δὴ φαῖεν ὅτι μόνης μὲν ἐδεῖτο τὰ καθ' ἡμᾶς τῆς τοῦ μονογενοῦς ἐπιδημίας, ἐθελή-

---

20—27 Flor. Cyr. 141 υἱοὺς — νοήσομεν διὰ τοῦτο

VM, P [= hk], S, D [= mn], AWU

1 ἐξηύρηται S καί τισ V πιθανὸσ αὐτοῖσ DA περὶ τούτου S φησὶ A 2 δεδραμηκότα VMPW 3 οὐ om. D, de A non constat 4 καὶ δοῦναι D, de A non constat τὸν om. SD 5 σύνθεσισ SDAΣΔ ἕνωσισ VMPWU χῡ P τυχὼν W 6 τὸν om. VMPWU αὐτοῖσ S αὐτῆ DA διασώζοι PDA 7 ἐγῶμαι πάλιν SDΣ ἐγῶμαι AΔ ἡγοῦμαι πάλιν VMPWU φασί om. S τοῦ ἐκ τοῦ VMPW 8 συντίθεμεν DAΔ φήσομεν εἶναι VMPSWU τὸν] τὸ D 9 καὶ om. U δ' αὖ V 10 μὲν om. P ὄντωσ P 11 εἰς] ὡσ U 12 ὑπὲρ μέτρον S καταλύειν VMPSWUΣ καταλιπεῖν DA καταλυπεῖν et καταλιπεῖν Δ codd. εἰς om. P ὑπερφέρειν VMDW 13 εἴκειν S ὁριστὰσ VPSWUΣ ὁριστὰσ καὶ DAΔ 14 μὲν om. S ἑτέρωσ VMPWU χρὴν S δέ που A 15 δὲ μᾶλλον MDΔ δὴ μᾶλλον U 15/16 τοῖσ μὴ τοῖσ U 16 αὐτοῦ P αὐτῶν A δεδοκισμένοισ V 18 μου αἱ ὁδοὶ ὑμῶν A ὁ om. A 20 δύο om. P ἀλλ' om. A 21 ἐμψυχῶσθαι SD πιστεύομεν W πιστεύσωμεν Flor. Cyr. 22 τὸ ἐκείνοις] ἐκείνουσ D ἔχον W εἰ om. S ἔλοιτο A ἕλοιντο D τοῦ ἐκ τοῦ S θῡ καί SDA om. Flor. Cyr. 23 λόγοσ SU τρόπος] λόγοσ S 25 ἰδίας om. Flor. Cyr. λόγον om. S συνενέχθαι V συνηνέχθαι MSWU 26 τε om. SD λέγομεν καὶ ἡνῶσθαί πωσ S λέγομεν P(S) DAW Flor. Cyr. 27 αὐτοῖσ U 29 καὶ θεοτόκου om. Δ γεγενημένον SA καὶ om. S ὑμῶν S αὐτῶν om. U 31 τὰ om. VMW

Bar. 3, 38 σας δὲ ὀφθῆναι τοῖς ἐπὶ γῆς καὶ ἀνθρώποις συναναστραφῆναι παραδεῖξαί τε ἡμῖν τῆς εὐαγγελικῆς πολιτείας τὴν ὁδὸν οἰκονομικῶς ἠμπέσχετο τὴν ὁμοίαν ἡμῖν σάρκα (τὸ γάρτοι θεῖον κατὰ φύσιν ἰδίαν οὐχ ὁρατόν), ἠγνοηκότες ἀλώσονται τῆς ἐνανθρωπήσεως τὸν σκοπὸν
1 Tim. 3, 16 καὶ συνέντες οὐδαμῶς τὸ μέγα τῆς εὐσεβείας μυστήριον. εἰ γὰρ δὴ μόνην ἔχει τὴν ἀφορμὴν τὸ ὀφθῆναι τοῖς ἐπὶ γῆς τοῦ μονογενοῦς ἡ σάρκωσις ἢ γοῦν ἐνανθρώπησις, προσετίθει γε μὴν ἕτερον οὐδὲν τῇ ἀνθρώπου φύσει, πῶς οὐκ ἄμεινον ἤδη πως καὶ σοφὸν τῇ τῶν δοκητῶν συμφέρεσθαι δόξῃ καὶ ἡμᾶς αὐτούς; οἳ σαρκός τε ὁμοῦ καὶ γηίνου σώματος ἀπαμφιεννύντες τὸν λόγον ὠφθαι μὲν ἐπὶ γῆς ὡς ἄνθρωπον μυθοπλαστοῦσιν
PG 1161 οἱ δείλαιοι, ἡμαρτηκότες δὲ τἀληθοῦς ἁλοῖεν ἂν καὶ οὐ σὺν ἱδρῶτι μακρῷ. ἢ οὐκ ἄμεινον ἐροῦσιν, εἰ μηδὲν ὀνίνησι τὴν ἀνθρώπου φύσιν ὁ ἐκ θεοῦ λόγος, καὶ εἰ γέγονε σάρξ, ἀπαλλάττεσθαι μὲν ἀκαθαρσίας σαρκικῆς, δόξαι δ' οὖν ἅπαξ τῷι γηίνωι προσκεχρῆσθαι σώματι διαπεραῖναί τε οὕτως τὸν προτεθέντα σκοπόν; τίς οὖν ἂν γένοιτο λοιπὸν τῆς ἐπιδημίας ὁ λόγος ἢ τίς ὁ τρόπος τῆς ἐνανθρωπήσεως, πέπρακται δὲ ὅτου χάριν, εἴ τις ἔροιτο τυχόν, ἀντακούσεται παρ' ἡμῶν· ἡ θεία διδάξει γραφή. ἴθι δὴ οὖν ὦ γενναῖε, πυθοῦ τῶν ἱερῶν γραμμάτων καὶ ταῖς τῶν ἁγίων ἀποστόλων φωναῖς ἐνερείσας εὖ μάλα τῆς διανοίας τὸν ὀφθαλμὸν ἄθρει καλῶς τὸ ζητούμενον. ἔφη τοίνυν ὁ σοφὸς ἡμῖν
2 Cor. 13, 3 Hebr. 2, 14. Παῦλος, αὐτὸν ἔχων ἐν ἑαυτῷι λαλοῦντα Χριστόν· ἐπειδὴ γὰρ τὰ παιδία κεκοινώνηκεν αἵματος καὶ σαρκός, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσηι τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον καὶ ἀπαλλάξηι τούτους ὅσοι φόβωι θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. καὶ μὴν καὶ ἑτέρωθι τρόπον ἡμῖν ⟨ἕτερον⟩ ἀφηγούμενος
Rom. 8, 3. 4 τὸ γὰρ ἀδύνατον τοῦ νόμου, φησίν, ἐν ὧι ἠσθένει διὰ τῆς σαρκός, ὁ θεὸς τὸν ἑαυτοῦ υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας καὶ περὶ ἁμαρτίας κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί, ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῆι ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα. ἆρ' οὖν οὐχὶ προδηλότατον καὶ οὐδενὶ τῶν ὄντων ἀσυμφανὲς ὅτι καθ' ἡμᾶς γέγονεν ὁ μονογενής, τουτέστι τέλειος ἄνθρωπος, ἵνα τῆς μὲν ἐπεισάκτου φθορᾶς τὸ γήινον ἡμῶν ἀπαλλάξηι σῶμα, τῇι καθ' ἕνωσιν οἰκονομίαι τὴν ἰδίαν αὐτῶι ζωὴν ἐνιείς, ψυχὴν δὲ ἰδίαν τὴν ἀνθρωπίνην ποιούμενος ἁμαρτίας αὐτὴν ἀποφήνηι κρείττονα, τῆς ἰδίας φύσεως τὸ πεπηγός τε καὶ ἄτρεπτον, οἷά περ ἐρίωι βαφήν, ἐγκαταχρώσας αὐτῆι; δεῖν γὰρ οἶμαι τοῖς περὶ τούτων λό-
1 Cor. 13, 12 γοις παραδειγμάτων πολὺ λίαν ἔχουσι τὸ ἀσυμφανές· ὁρῶμεν γὰρ μόλις ἐν ἐσόπτρωι καὶ αἰνίγματι τὰ θεῖά τε καὶ ὑπὲρ νοῦν μυστήρια. εἴη δ' ἂν οὐκ ἄτοπον οἶμαί που τὸ χρῆμα· φέρει γὰρ ἐν ἑαυτῷι τὸν εἰκότα, μᾶλλον δὲ τὸν ἀληθῆ λογισμόν. ὥσπερ οὖν ἐπειδὴ γέγονε σὰρξ τοῦ ζωοποιοῦντος τὰ πάντα λόγου, τὸ θανάτου καὶ φθορᾶς ὑπερφέρεται κρά-

---

VM, P [= hk], S, D [= mn], AWU

1 τῆσ γῆσ MAWU 1/2 εὐαγγελικῆσ SDAUΣΔ ἀγγελικῆσ VMPW 2 ἡμπίσχετο VU ὁμοίαν] ἰδίαν D 4 συνιέντεσ VWU 5 τὸ] τοῦ VW τῆσ γῆσ MPWU εἶτ' οὖν MPSWU ἐνανθρώπωσισ U 6 προσετέθη V ἀνθρωπεία DAΔ πωσ καὶ] πῶσ δ' οὐ V 7 δοκιτῶν V σαρκὸσ] ψυχῆσ S τε om. A 8 ἀπαμφιαννύντεσ M ἐπαμφιεννῦντεσ D 9 ἂν om. VMPWU μικρῶ U 10 εἰ καὶ VMPWU 11 ἅπαξ] ὅμωσ SD κεχρῆσθαι S 12 οὖν om. P 13 ἢ om. D τρόποσ] λόγοσ A 13/14 εἴ τισ — γενναῖε om. W spatio rel. 14 πρὸσ S ἡ — γραφή om. V ἴσθι V 15 πίθου V ἐρείσασ V 16 ἄθρει δὴ V 17 τὸν χν MSDA γὰρ VMPWUΔ δὲ SDA 20 τούτου S 21 καὶ¹] ναὶ U τὸν ante τρόπον add. Scorr τὸν αὐτὸν τρόπον P ἕτερον Δ om. VMPSDAWU 22 τοῦ νόμον - ἠσθένει VMPWU τοῦ νόμου ἐν ᾧ ἠσθένει φησὶ SD φησὶ τοῦ νόμου ἐν ὧ ἠσθένει A 23 πέμψασ υν M ἐκπέμψασ SD καὶ περὶ ἁμαρτίας om. SD 26 προδηλώτατον U ὄντων] πάντων W 27 τελείωσ A γήιονον V 30 ἐν ἐρίω P αὐτὴν SD αὐτῶ U τούτου SD 31 καὶ] τε καὶ VS καὶ ἐν PA 32 ἄτοπον VMkW ἄποπτον hkmg SDAU που om. VMPW 33 φέροι A γὰρ] δὲ SD ἐν om. SD τὴν εἰκόνα D δὲ καὶ VMPWU τὸν om. P 34 ἐγένετο A φθορᾶσ καὶ θανάτου V ἐπιφέρεται W

τος, κατὰ τὸν αὐτὸν οἶμαι τρόπον, ἐπεί τοι γέγονε ψυχὴ τοῦ πλημμελεῖν οὐκ εἰδότος, ἐρηρεισμένην ἔχει λοιπὸν τὴν ἐφ' ἅπασι τοῖς ἀγαθοῖς ἀμεταποίητον στάσιν καὶ τῆς πάλαι καθ' ἡμῶν τυραννούσης ἁμαρτίας ἀσυγκρίτως εὐσθενεστέραν. πρῶτός τε γὰρ καὶ μόνος ἄνθρωπος ἐπὶ γῆς ὁ Χριστός, ⟨ὃς⟩ οὐκ ἐποίησεν ἁμαρτίαν οὐδὲ εὑρέθη δόλος ἐν τῷι στόματι αὐτοῦ, ῥίζα δὲ ὥσπερ καὶ ἀπαρχὴ τεθειμένος τῶν εἰς καινότητα ζωῆς ἀναμορφουμένων ἐν πνεύματι καὶ τὴν τοῦ σώματος ἀφθαρσίαν καὶ τὸ [ἐκ] τῆς θεότητος ἀσφαλὲς καὶ ἐρηρεισμένον, ὡς ἐν μεθέξει καὶ κατὰ χάριν, καὶ εἰς ἅπαν ἤδη τὸ ἀνθρώπινον παραπέμψει γένος. καὶ τοῦτο εἰδὼς ὁ θεσπέσιος γράφει Παῦλος· ὥσπερ γὰρ ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοικοῦ, φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου. εἰκόνα μὲν γὰρ τοῦ χοικοῦ τὸ εὐόλισθον ἔφη πρὸς ἁμαρτίαν καὶ τὸν ἐντεῦθεν ἡμῖν ἐπιρριφέντα θάνατον, εἰκόνα δὲ αὖ τοῦ ἐπουρανίου, τουτέστι Χριστοῦ τὸ ἑδραῖον εἰς ἁγιασμὸν καὶ τὴν ἐκ θανάτου καὶ φθορᾶς ἀνακομιδήν τε καὶ ἀνακαίνισιν εἰς ἀφθαρσίαν καὶ Ζωήν.

1 Petr. 2, 22

PG 1164
1 Cor. 15, 49

21 Ὅλον οὖν ὅλῃ συνηνῶσθαι φαμὲν τῇι καθ' ἡμᾶς ἀνθρωπότητι τὸν ἐκ θεοῦ λόγον. οὐ γάρ που τὸ ἄμεινον ἐν ἡμῖν, τουτέστι ψυχὴν οὐδενὸς ἂν ἠξίωσε λόγου, μόνηι δωρούμενος τῇι σαρκὶ τῆς ἐπιδημίας τοὺς πόνους. ἐπράττετο δὲ δι' ἄμφω καλῶς τῆς οἰκονομίας τὸ μυστήριον· προσεχρήσατο δὲ καθάπερ ὀργάνωι τῇι μὲν ἰδίαι σαρκὶ πρὸς τὰ σαρκὸς ἔργα τε καὶ ἀρρωστήματα φυσικὰ καὶ ὅσα μώμου μακράν, ψυχῆι δὲ αὖ τῇι ἰδίαι πρὸς τὰ ἀνθρώπινά τε καὶ ἀνυπαίτια πάθη. πεινῆσαι γὰρ λέγεται κόπους τε ὑπενεγκεῖν τοὺς ἐκ μακρῶν ὁδοιπορίων πτοίας τε καὶ φόβους καὶ λύπην καὶ ἀγωνίαν καὶ τὸν ἐπὶ τῶι σταυρῶι θάνατον. ἐπαναγκάζοντος γὰρ οὐδενὸς τέθεικεν ἀφ' ἑαυτοῦ τὴν ἰδίαν ψυχὴν ὑπὲρ ἡμῶν, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσηι, σάρκα μὲν τὴν ἰδίαν τῆς ἁπάντων σαρκὸς ἀνταποτιννὺς δῶρον ἀληθῶς ἀντάξιον, ψυχὴν δὲ ψυχῆς ἀντίλυτρον τῆς ἁπάντων ποιούμενος, εἰ καὶ ἀνεβίω πάλιν, ζωὴ κατὰ φύσιν ὑπάρχων ὡς θεός. καὶ γοῦν ὁ θεσπέσιος Πέτρος ἄνδρες ἀδελφοί, φησίν, ἐξὸν εἰπεῖν μετὰ παρρησίας πρὸς ὑμᾶς περὶ τοῦ πατριάρχου Δαυὶδ ὅτι καὶ ἐτελεύτησε καὶ ἐτάφη καὶ τὸ μνῆμα αὐτοῦ ἐστιν ἐν ἡμῖν ἄχρι τῆς ἡμέρας ταύτης. προφήτης οὖν ὑπάρχων καὶ εἰδὼς ὅτι ὅρκωι ὤμοσεν αὐτῶι ὁ θεὸς ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ καθίσαι ἐπὶ τὸν θρόνον αὐτοῦ, προειδὼς ἐλάλησε περὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ ὅτι οὔτε ἐγκατελείφθη εἰς ᾅδην ἡ ψυχὴ αὐτοῦ οὔτε ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν. οὐ γάρτοι θέμις εἰπεῖν φθορᾶι μὲν δύνασθαι κρατεῖσθαί ποτε τὴν ἑνωθεῖσαν τῶι λόγωι σάρκα, κάτοχον δὲ αὖ ταῖς ᾅδου πύλαις τὴν θείαν γενέσθαι ψυχήν. οὐκ ἐγκατελείφθη γὰρ εἰς ᾅδου, καθὰ καὶ ὁ θεσπέσιος ἔφη Πέτρος. οὐ γάρ που τήν γε ἄληπτον παντελῶς καὶ ἀνάλωτον τῶι θανάτωι φύσιν, τουτέστι τὴν

Rom. 14, 9

Act. 2, 29-31

14—24 Flor. Cyr. 142 ὅλον — ποιούμενος

31—p. 56, 8 Flor. Cyr. 143 οὐ γάρτοι — κατεφαίνετο

VM, P [= hk], S, D [= mn], AWU

1 τοι om. V 2 λοιπὸν om. DA 2/3 καθ' ἡμῶν πάλαι SD 3 τυραννευούσησ VMWU τυρανευούσησ P 4 τῆσ γῆσ VP δσ ΣΔ om. VMPSDAWU οὐδὲ γὰρ M 5 κενότητα W 6 ἐν om. S ἐκ SDAΣ om. VMPWUΔ 7 καὶ¹ om. VMPW καὶ³ om. D 8 παραπέμψη MPW παραπέμπει A γένος om. S 9 φορέσομεν SD 11 τοῦ χῦ P 12 ἀνακαίνησιν P 13 τὲ καὶ SD 15 ἐν om. P τὴν ψυχὴν DA Flor. Cyr. ἂν om. SD, de A non constat 16 τοῦ πόνου S τοὺσ τρόπουσ P καλῶσ δι' ἄμφω V 18 τε om. A τὰ om. D 19 τε om. Flor. Cyr. κόπους τε] κόπουσ V καὶ κόπους Flor. Cyr. 21 ἀνθ' P 22 ἵνα μὴν Flor. Cyr. 23 ἀποτινὺσ A δῶρον ἀληθῶσ VMWUΔ Flor. Cyr. ἀληθῶσ δῶρον SDA δῶρον P τῆς om. Flor. Cyr. 24 καὶ ζωὴ A 26 ἡμᾶσ SU 27 ὑμῖν SD 26/27 καὶ τὸ — ταύτης om. Σ 27 ἄχρι — ταύτης om. S 28 ὁ θ̄σ̄ αὐτῶ M 29 τοῦ θρόνου SDA 30 οὐκ PS κατελείφθη V ἡ ψυχὴ αὐτοῦ εἰσ ᾅδην VMPWU 31 γάρ τι Flor. Cyr. 31/32 κρατεῖσθαι δύνασθαί SD 33 ᾅδην VP καὶ om. A 34 γε Δ Flor. Cyr. τε VMPSDAWU

θεότητα τοῦ μονογενοῦς τῶν ὑπὸ χθόνα μυχῶν ἀνακεκομίσθαι φήσομεν. οὐ γὰρ ἂν ἠξιώθη τὸ χρῆμα θαύματος, εἰ μὴ μεμένηκεν εἰς τὸν ἅιδην ὁ ἐκ θεοῦ λόγος, τῇι τῆς θεότητος ἐνεργείαι τε καὶ φύσει παραδόξως καὶ ὑπὲρ λόγον πληρῶν μὲν τὰ πάντα καὶ τοῖς πᾶσιν ἐπιδημῶν. ἀνωτέρω γὰρ τόπου καὶ περιορισμοῦ καὶ μεγέθους μετρητοῦ τὸ θεῖον,
PG 1165 22 αὐτὸ δὲ ὑπὸ μηδενὸς χωρούμενον. παράδοξον δὲ καὶ οὐδενὶ τῶν ὄντων ἀθαύμαστον ὅτι σῶμα μὲν ἀνεβίω τὸ τῇι φύσει φθαρτόν (ἦν γὰρ ἴδιον τοῦ ἀφθάρτου λόγου), ψυχὴ δὲ δὴ πάλιν τὴν πρὸς αὐτὸν λαχοῦσα συνδρομήν τε καὶ ἕνωσιν καταπεφοίτηκε μὲν εἰς ἅιδου, θεοπρεπεῖ δὲ δυνάμει καὶ ἐξουσίαι χρωμένη καὶ τοῖς ἐκεῖσε πνεύμασι κατεφαίνετο. τοι-
Ies. 49, 9 γάρτοι καὶ ἔφασκε τοῖς ἐν δεσμοῖς ἐξέλθετε, καὶ τοῖς ἐν τῶι σκότει ἀνακαλύφθητε. καί μοι δοκεῖ φάναι τι τοιοῦτον καὶ ὁ θεσπέσιος Πέτρος περί τε τοῦ θεοῦ
1 Petr. 3, 17-20 λόγου καὶ τῆς καθ' ἕνωσιν οἰκονομικὴν γεγενημένης αὐτοῦ ψυχῆς· κρεῖττον γὰρ ἀγαθοποιοῦντας, εἰ θέλοι τὸ θέλημα τοῦ θεοῦ, πάσχειν ἢ κακοποιοῦντας, ὅτ καὶ Χριστὸς ἅπαξ ὑπὲρ ἁμαρτιῶν ἀπέθανε, δίκαιος ὑπὲρ ἀδίκων, ἵνα ἡμᾶς προσαγάγηι τῶι θεῶι, θανατωθεὶς μὲν σαρκί, ζωοποιηθεὶς δὲ πνεύματι, ἐν ὧι, φησί, καὶ τοῖς ἐν φυλακῆι πνεύμασι πορευθεὶς ἐκήρυξεν ἀπειθήσασι ποτέ. οὐδὲ γάρ, οἶμαι, φαῖεν ἂν ὡς γυμνὴ καὶ καθ' ἑαυτὴν ἡ θεότης τοῦ μονογενοῦς καταπεφοίτηκε μὲν εἰς ἅιδου, διεκήρυξε δὲ τοῖς ἐκεῖσε πνεύμασιν, ἄποπτος οὖσα παντελῶς (κρεῖττον γὰρ ἀεὶ τοῦ ὁρᾶσθαι τὸ θεῖον), ἀλλ' οὐδὲ δοκήσει καὶ ἐσχηματισμένως εἰς τὸ ψυχῆς εἶδος αὐτὴν μεμορφῶσθαι δώσομεν (παραιτητέον γὰρ πανταχῆι τὴν δόκησιν), ἀλλ' ὥσπερ τοῖς ἔτι μετὰ σαρκὸς συνανεστράφη μετὰ σαρκός, οὕτω καὶ ταῖς εἰς ἅιδου ψυχαῖς διεκήρυξεν, ἴδιον ἔχων φόρημα τὴν ἑνωθεῖσαν αὐτῶι ψυχήν.

23 Καὶ βαθὺς μὲν ἴσως καὶ ἀπόρρητος ἀληθῶς καὶ ταῖς ἡμετέραις διανοίαις οὐχ ἁλώσιμος ὁ τῆς ἐνανθρωπήσεως τρόπος, ἐκεῖνο δ' οὖν ὅμως ἀναλογίζεσθαι πρέπει. τὰ γάρτοι μὴ καθ' ἡμᾶς πολυπραγμονεῖν οὐκ ἀζήμιον, ἀνούστατον δὲ παντελῶς τὸ βασάνοις ὑποφέρειν τὰ ὑπὲρ νοῦν καὶ πειρᾶσθαι νοεῖν ἃ νοεῖν οὐχ οἷόν τε. ἢ οὐκ οἶσθα ὅτι τὸ βαθὺ δὴ τοῦτο μυστήριον καὶ νοῦν ὑπερέχον τὸν ἐν ἡμῖν ἀπεριεργάστωι πίστει τετίμηται; τὸ
Ioh. 3, 9 δὲ ἀσυνέτως λέγειν πῶς δύναται ταῦτα γενέσθαι Νικοδήμωι τε ἐκείνωι καὶ τοῖς κατ' αὐτὸν ἀπονέμοντες, ἀνενδοιάστως παραδεξώμεθα τὰ διὰ τοῦ θείου πνεύματος χρη-
Ioh. 3, 11 σμωιδούμενα, καὶ αὐτῶι δὲ πιστεύσωμεν λέγοντι τῶι Χριστῶι· ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἃ οἴδαμεν, λαλοῦμεν, καὶ ἃ ἑωράκαμεν, μαρτυροῦμεν. οἰχέσθω δὴ οὖν λῆρος μὲν ἅπας μῦθός τε ἀδρανὴς καὶ ψευδοδοξία καὶ κεκομψευμένων ῥημάτων φενακισμός.

16—21 Flor. Cyr. 144 οὐδὲ γὰρ — ψυχήν

VM, P [= hk], S, D [= mn], AWU

1 θόνα U φήσομεν VMPSDWUΣ Flor. Cyr. φησίν AΔ 2 οὐ SDAΔ Flor. Cyr. οὐδὲ MPWU οὔτε V 3 καὶ²] τε καὶ SDA 4 ἀνώτερον VS τόπου καὶ περιορισμοῦ MPSWUΔ Flor. Cyr. μετρου καὶ τόπου [τύπου A] καὶ περιορισμοῦ DA που καὶ περιορισμοῦ καὶ τόπου V μετρητοῦ] μεστοῦ M 5 δὲ] τε DA οὐδενὶ τῶν ὄντων] οὐδενὸσ ἧττον P θαυμαστὸν VMPW 7 δὴ om. MSDAW Flor. Cyr. αὐτὸ PSD 8 χρώμενοσ A ἐκεῖσε πνεύμασι] ἐκεῖ πᾶσι P 9 ἐξέλθατε A 9/10 ἀνακαλύφθητε VMAWUΔ ἀνακαλύπτεσθε V suprascr., PSD 10 τοιοῦτο MWU τε om. V 11 τοῖσ D αὐτῶ P 12 εἰ θέλει D ἐθέλοι V 13 καὶ om. SD ὁ χ̄σ̄ VMWUΔ περὶ A ἁμαρτωλῶν VSDA ἔπαθε A 14 τῶι om. A μὲν om. AΔ θανατωθὴ — ζωοποιηθὴ V 14/15 τῶ πν̄ι D 15 ἐν om. V 16 ἂν om. S ὡς om. U 17 μὲν om. Flor. Cyr. διακηρύξαι A δὲ om. A 19 τῆσ ψυχῆσ D αὐτὸν P πανταχοῦ Flor. Cyr. 20 ἔτι μετὰ σαρκὸσ] ἐπὶ γῆσ V ἀνεστράφη Flor. Cyr. 21 ἐν P ἐκήρυξεν Flor. Cyr. φρόνημα VA αὐτοῦ S 23 ἑνανθρωπήσεως] ἑνώσεωσ Δ 23/24 τὰ γάρτοι] ὡσ τάγε W 24 καθ' ἡμᾶσ μὴ U καθ' ὑμᾶσ A 25 νοεῖν ἃ νοεῖν DAΔ νοεῖν ἃ MPSWU ἃ V 26 δὴ om. PD τουτὶ AΔ ἐν ἡμῖν τῆ ἡμῶν D ἡμῶν A 27 νικοδίου V τε VPSDWU δή A utrumque Δ codd. 28 παραδεξόμεθα PD θείου] ἰδίου S 29 πιστεύσομεν PS τῶι om. VM 31 μὲν om. P δὲ A ῥηματίων SD et ῥημάτων et ῥηματίων Δ codd.

προσίεμεθα γὰρ οὔτι που τὸ κατασίνεσθαι πεφυκός, κἂν εἰ τοῖς ἄγαν ἐξησκημένοις καὶ μὴν καὶ πικροῖς ἡμᾶς κατακροτοῖεν λόγοις οἱ δι' ἐναντίας. ἔστι γὰρ τὸ θεῖον ἡμῶν μυστήριον οὐκ ἐν πειθοῖ σοφίας ἀνθρωπίνης λόγοις, ἀλλ' ἐν ἀποδείξει πνεύ- 1 Cor. 2, 4
ματος.

24 Θεὸς οὖν ὑπάρχων καὶ τῶν ὅλων κύριος κατὰ τὰς γραφὰς ὁ μονογενὴς ἐπέφανεν Ps. 117, 27 PG 1168
ἡμῖν. ὤφθη γὰρ ἐπὶ γῆς καὶ ἐπέλαμψε τοῖς ἐν σκότει, γενόμενος ἄνθρωπος, οὐ δοκήσει Bar. 3, 38
(μὴ γένοιτο· μανία γὰρ τοῦτό γε φρονεῖν ἢ λέγειν), οὔτε μὴν εἰς σάρκα παρενεχθεὶς κατὰ μετάστασιν καὶ τροπήν (ἀναλλοίωτος γὰρ καὶ ἀεὶ κατὰ τὸ αὐτὸ καὶ ὡσαύτως ἔχων ὁ ἐκ θεοῦ λόγος), ἀλλ' οὐδὲ ὁμόχρονον τῇ σαρκὶ τὴν ὕπαρξιν ἔχων (αὐτὸς γάρ ἐστι τῶν αἰώνων ὁ ποιητής), οὔτε μὴν ὡς λόγος ἀνυπόστατος οὐδὲ ὡς ῥῆμα ψιλὸν ἐν ἀνθρώπωι γεγονώς· ὁ γάρτοι καλῶν τὰ οὐκ ὄντα ποτὲ πρὸς ὕπαρξίν τε καὶ γένεσιν προυφέστηκεν ἀναγκαίως· αὐτὸς γάρ ἐστιν ἡ Ζωή, πεφηνὼς ἐκ ζωῆς, τοῦ θεοῦ καὶ πατρὸς ὄντος τε καὶ νοουμένου κατ' ἰδίαν ὑπόστασιν. ἀλλ' οὐδὲ μόνην ἠμπέσχετο σάρκα ψυχῆς ἐρήμην τῆς λογικῆς, γεγέννηται δὲ κατὰ ἀλήθειαν ἐκ γυναικὸς καὶ πέφηνεν ἄνθρωπος ὁ ζῶν καὶ ὑπάρχων καὶ συναίδιος τῶι θεῶι καὶ πατρὶ θεὸς λόγος, μορφὴν δούλου λαβών, καί ἐστιν ὥσπερ ἐν θεότητι τέλειος, οὕτω καὶ ἐν ἀνθρωπότητι τέλειος, οὐκ ἐκ μόνης θεότητος καὶ σαρκὸς εἰς ἕνα Χριστὸν καὶ κύριον καὶ υἱὸν συγκείμενος, ἀλλ' ἐκ δυοῖν τελείοιν, ἀνθρωπότητος δὴ λέγω καὶ θεότητος, εἰς ἕνα καὶ τὸν αὐτὸν παραδόξως συνδούμενος.

25 Ἐρεῖ δέ τις κατὰ τὸ εἰκός· τίνα δὴ οὖν τέτοκεν ἡ ἁγία παρθένος; τὸν ἄνθρωπον ἢ γοῦν τὸν ἐκ θεοῦ λόγον; φαμὲν δὲ ἡμεῖς· καὶ μὴν τοῦτό γέ ἐστιν ἡ πλάνησις καὶ τὸ ἁμαρτεῖν τοῦ πρέποντός τε καὶ ἀληθοῦς. μὴ γάρ μοι διέλῃς μετὰ τὴν ἕνωσιν μηδὲ διιστὰς εἰς ἄνθρωπον ἰδικῶς καὶ εἰς θεὸν λόγον διπρόσωπον ἡμῖν ἀνατύπου τὸν Ἐμμανουήλ, μὴ ἄρα τις ἡμῖν εἰκότως διαμωμήσαιτο φρονεῖν ἑλομένοις ὀρθὸν μὲν οὐδέν, ἐκεῖνο δὲ μᾶλλον ὃ καὶ διὰ τῆς ἁγίας κατεδικάσθη γραφῆς. ὧδε γάρ τις ἔφη τῶν Χριστοῦ Iuda 17-19
μαθητῶν· ὑμεῖς δὲ ἀγαπητοί, μνήσθητε τῶν ῥημάτων τῶν προειρημένων ὑπὸ τῶν ἀποστόλων τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι ἔλεγον ὑμῖν ὅτι ἐπ' ἐσχάτου τῶν χρόνων ἐλεύσονται ἐν παιγμονῇ ἐμπαῖκται, κατὰ τὰς ἑαυτῶν ἐπιθυμίας πορευόμενοι τῶν ἀσεβειῶν. οὗτοί εἰσιν οἱ ἀποδιορίζοντες, ψυχικοί, πνεῦμα μὴ ἔχοντες. οὐ διοριστέον οὖν ἄρα κατ' οὐδένα τρόπον εἴς γε δὴ μάλιστα τὸ δύο φάναι μετὰ τὴν ἕνωσιν καὶ ἀνὰ μέρος ἑκάτερον ἐννοεῖν. ἰστέον δ' οὖν

16—18 Flor. Cyr. 145 καί ἐστιν — συνδούμενος
30—p. 58, 3 Flor. Cyr. 146 ἰστέον — συνδρομήν

VM, P [= hk], S, D [= mn], AWU

1 προσιέμεθα — πεφυκός om. VMPW προιέμεθα A 1/2 κἂν εἰ — ἐναντίας om. A 2 ἡμᾶς om. DU κατακρατοῖεν W κρατοῖεν SD 3 πειθῶ, suprascr. οι V πειθοῖσ SD σοφίασ ἀνθρωπίνοισ VP ἀνθρωπίνησ σοφίασ SDA λόγων A 5 οὖν ἄρα SDA τὰς om. U ἐπεφάνη A 6 τῆσ γῆσ SD σκότω MSA γενομένοισ ἀνοῖσ A 7 γε om. SDA ἢ φρονεῖν ἢ MPW 8 καὶ SDAΔ ἢ VMPWU καὶ² om. V 9/10 ὁ ποιητὴσ τῶν αἰώνων M 10 ὁ om. SD οὔτε A 11 τε om. VMPWU ὑφέστηκεν D προυφεστηκὼσ A 13 ἠμπίσχετο VP 14 ἔρημον MU γεγέννηται SU δὲ VMPWUΔ γὰρ SDAΣ 15 περὶ καὶ θῶ SD περὶ PA ὁ λόγοσ MW 16 ὡσ P οὕτω — τέλειοσ om. PSD οὕτω om. A 17 κν καὶ υν καὶ χν D θν χν A ἀλλ' — τελείοιν om. D ἐν Flor. Cyr. τέλειον Flor. Cyr. 18 ἀνθρωπότητα V δὴ VMWUΔ Flor. Cyr. om. PA τε SD θεότητα V καὶ εἰς Flor. Cyr. 19 οὖν δὴ S δὴ DA 20 γοῦν om. VMΔ ἐκ θεοῦ] θν A δὲ om. D οὖν W μὴν om. V μὴν καὶ MWU 21 ἁμάρτημα V 22 ἰδικῶς] ἀληθῶσ SD εἰς om. A λόγον] ἰδικῶσ D ἡμῖν om. D 23 μὲν ἑλόμενοσ A μὲν οὖν MWU 24 τοῦ χῦ V ἐν χῶ A 26 ἔλεγεν SD ἡμῖν SDW 27 ἐσχάτων SD τοῦ χρόνου MPAU ἐν παιγμονῇ MPW ἐμπαιγμονῇ VU ἐν ἐμπαιγμονῇ SDAΔ 28 οὗτοι δέ P 29 εἴσ γε PSUΔ εἴσ τε VA εἰσ δέ γε MW εἴτε D δεῖ D 30 τὰ D φανῆναι SD νοεῖν V οὖν V Flor. Cyr.

ὅτι θεωρεῖ μέν τινα φύσεων διαφορὰν ὁ νοῦς (ταυτὸν γὰρ οὔτι που θεότης τε καὶ ἀνθρωπότης), εἰσδέξεται δὲ ὁμοῦ ταῖς περὶ τούτων ἐννοίαις καὶ τὴν ἀμφοῖν εἰς ἑνότητα συνδρομήν. οὐκοῦν θεοῦ μὲν ἐξέφυ τοῦ πατρὸς ὡς θεός, ἐκ παρθένου δὲ ἄνθρωπος.
PG 1169 ὁ γὰρ ἐκ θεοῦ πατρὸς ἀπορρήτως τε καὶ ὑπὲρ νοῦν ἀναλάμψας λόγος γεγεννῆσθαι λέγεται καὶ ἐκ γυναικός, καταφοιτήσας εἰς ἀνθρωπότητα καὶ καθεὶς ἑαυτὸν εἰς ὅπερ οὐκ ἦν, οὐχ ἵνα μείνῃ κεκενωμένος, ἀλλ' ἵνα θεὸς εἶναι πιστεύηται καὶ ἐν εἴδει τῶι καθ' ἡμᾶς πεφηνὼς ἐπὶ γῆς, οὐχ ὡς ἐν ἀνθρώπωι κατοικήσας, ἀλλ' ὡς αὐτὸς κατὰ φύσιν ἄνθρωπος γεγονὼς μετὰ τοῦ τὴν ἰδίαν ἀνασώσασθαι δόξαν. καὶ γοῦν ὁ θεσπέσιος Παῦλος τὰ πολὺ τῆς ἀλλήλων ὁμοουσιότητος διεστηκότα τε καὶ ἀμετρήτωι διαφορᾶι διεσχοινισμένα, θεότητά τε καὶ ἀνθρωπότητα, συλλέγων εἰς ἓν οἰκονομικῶς καὶ ἐξ ἀμφοῖν τὸν ἕνα κατασημαίνων Χριστὸν καὶ υἱὸν καὶ θεόν
Rom. 1, 1-4 Παῦλος δοῦλος, φησίν, Ἰησοῦ Χριστοῦ, κλητὸς ἀπόστολος ἀφωρισμένος εἰς εὐαγγέλιον θεοῦ, ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν γραφαῖς ἁγίαις περὶ τοῦ υἱοῦ αὐτοῦ τοῦ γενομένου ἐκ σπέρματος Δαυὶδ κατὰ σάρκα, τοῦ ὁρισθέντος υἱοῦ θεοῦ ἐν δυνάμει κατὰ πνεῦμα ἁγιωσύνης. ἰδοὺ δὴ σαφῶς ἀφωρίσθαι φησὶν ἑαυτὸν εἰς εὐαγγέλιον θεοῦ, καίτοι γράφων ἀναφανδόν·
2 Cor. 4, 5 / 1 Cor. 2, 2 οὐ γὰρ ἑαυτοὺς κηρύσσομεν, ἀλλὰ Χριστὸν Ἰησοῦν κύριον, καὶ πάλιν· οὐ γὰρ ἔκρινά τι εἰδέναι ἐν ὑμῖν εἰ μὴ Ἰησοῦν Χριστὸν καὶ τοῦτον ἐσταυρωμένον.
26 υἱὸν δὲ αὐτὸν ὀνομάσας θεοῦ, καὶ ἐκ σπέρματος τοῦ Δαυὶδ γεγεννῆσθαί φησιν ὡρίσθαι τε διισχυρίζεται καὶ εἰς υἱὸν θεοῦ. πῶς οὖν, εἰπέ μοι, θεὸς ὁ ἐκ σπέρματος ἀναφὺς τοῦ Δαυίδ; ὁ δὲ δὴ καὶ πρὸ αἰώνων καὶ ἀιδίως υἱὸς καθὸ πέφηνεν ἐκ θεοῦ, τίνα δὴ τρόπον εἰς υἱὸν ὡρίσθη θεοῦ, καθάπερ εἰς ἀρχὰς τοῦ ὑφεστάναι παρενεχθείς; ἔφη γὰρ αὐτὸς περὶ ἑαυτοῦ·
Ps. 2, 7 κύριος εἶπε πρός με· υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε, καίτοι τοῦ σήμερον ἀεί πως ἡμῖν οὐχ ὅτι τὸν παρωιχηκότα, τὸν ἐνεστῶτα δὲ μᾶλλον καταδηλοῦντος καιρόν. βαθὺ τὸ μυστήριον, ἀλλὰ τοῖς μὲν ἀνὰ μέρος τιθεῖσι καὶ διορίζουσι δυσέφικτόν τε καὶ ἄπορον ἀληθῶς, τοῖς γε μὴν εἰς ἑνότητα κατασφίγγουσι τὸν Ἐμμανουὴλ ἐγγύς τε ἐλεῖν καὶ ἑτοιμοτάτη λίαν ἡ τῶν ἱερῶν δογμάτων ἀκιβδήλευτος γνῶσις. ὁ γὰρ τῶι φύσαντι συναίδιος καὶ πρὸ παντὸς αἰῶνος υἱὸς ἐπειδὴ καταβέβηκεν εἰς τὴν ἀνθρώπου φύσιν, οὐκ ἀπολισθήσας τοῦ εἶναι θεός, προσλαβὼν δὲ τὸ ἀνθρώπινον, νοοῖτ' ἂν εἰκότως καὶ ἐκ σπέρματος γεγεννῆσθαι Δαυὶδ καὶ νεωτάτην ἔχειν τὴν ἐν ἀνθρωπότητι γέννησιν· ἔστι δὲ οὐκ ἀλλότριον αὐτοῦ τὸ προσληφθέν, ἀλλ' ἴδιον ἀληθῶς. λελόγισται τοιγαροῦν ὡς ἓν πρὸς αὐτόν, καθάπερ ἀμέλει καὶ τὴν ἀνθρώπου σύνθεσιν καταθρήσαι τις ἄν. πέπλεκται μὲν γὰρ ἐξ ἀνομοίων τὴν φύσιν, ψυχῆς δὴ λέγω καὶ σώματος, ἀλλ' οὖν

27—30 Flor. Cyr. 147 ὁ γὰρ — λελόγισται

VM, P [= hk], S, D [= mn], AWU

1 διαφοράν φύσεων W φύσεωσ S Flor. Cyr. ταυτὶ S 1/2 θεότησ — ἀνθρωπότησ MPWUΔ θεότητοσ — ἀνθρωπότητοσ VSDA Flor. Cyr. 2 τούτου S 3 θῦ VMPW ἐξέφυ τοῦ] ἐξ ἐμφύτου VMWU ἐξέφη P 4 τε om. V γεγενῆσθαι S 5 καὶ om. VA ἐν ἀνθρωπότητι V οὐχὶ S 6 εἶναι om. D καὶ erasum S ὢν P τὸ PS 7 φύσιν VMPWUΔ ἀλήθειαν SDA 9 θεότητόσ τε καὶ ἀνθρωπότητοσ S 11 κλητὸς ἀπόστολος om. P 12 θεοῦ om. S 15 δὴ om. D ὡρίσθαι VMW ὡρίσθη U 16 κηρύσσομεν A ῑ̄ν χ̄ν A κ̄ν VMWUΣΔ om. PSD 17 χ̄ν ῑ̄ν V 18 τοῦ om. SD γεγενῆσθαι AU om. S 19 ἀναφυεὶσ D 20 ἀίδιοσ W υἱὸς] θῦ M 21 ἀρχὴν SD ὑφεστάναι] εἶναι postea add. ὑφεστάναι W 21/22 περὶ αὐτοῦ VP πρὸσ ἑαυτὸν S 23 πωσ ἡμῖν ἀεὶ A οὐχ ὅτι] οὐ SDAΔ 22/23 παραδηλοῦντοσ DA 25 τε — ἀληθῶς] ἀληθῶσ καὶ ἄπορον P ἀληθῶσ V^{mg} παντελῶσ V τῶ — κατασφίγγοντι SD 26 ἑτοιμότατοσ S 27 τῶ φύσαντι VMAWU τῶ φύσει S τῆ φύσει P τῶ φῦντι S^{mg} D 28 τὸ MW προσλαβὼν δὲ [δὲ om. SD] MPSDWUΣΔ Flor. Cyr. προελθεῖν εἰσ VA νοοῖτο SD 29 γεγενῆσθαι SA 30 γένεσιν MPSDU Flor. Cyr. ἔστι δὲ] ὥστε V αὐτῶ S 31 αὐτὸ D ἀνθρωπείαν V σύνθεσιν] φύσιν A καταθρῆσαι VMPWU καταθρήσειε A καταθρήσει S καταθρήση D 32 συμπέπλεκται SD μὲν om. V

εἰς νοεῖται τὸ συναμφότερον ἄνθρωπος, ὡς ἀπὸ μόνης μὲν τῆς σαρκὸς ὅλον ἔσθ' ὅτε κατωνομάσθαι τὸ ζῶιον, ψυχῆς δὲ ὠνομασμένης νοεῖσθαι τὸ συναμφότερον. κατὰ τὸν PG 1172
ἴσον οὖν ἄρα τρόπον καὶ ἐπ' αὐτοῦ παραδεξόμεθα τοῦ Χριστοῦ· εἷς γὰρ υἱὸς καὶ εἷς κύριος Ἰησοῦς ὁ Χριστὸς καὶ πρὸ σαρκὸς καὶ ὅτε πέφηνεν ἄνθρωπος.

27 Καὶ τὸν ἀγοράσαντα ἡμᾶς δεσπότην οὐκ ἀρνησόμεθα, κἂν εἰ διὰ τῶν ἀνθρωπίνων ἡμῖν καὶ ἐκ τῶν τῆς κενώσεως ἔσθ' ὅτε μέτρων κατασημαίνοιτο. Ἰουδαίοις μὲν γὰρ ἔφη προσλαλῶν ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός· εἰ τέκνα τοῦ Ἀβραὰμ ἦτε, τὰ Ioh. 8, 39. 40
ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε ἂν· νῦν δὲ ζητεῖτέ με ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα. τοῦτο Ἀβραὰμ οὐκ ἐποίησε. γράφει δὲ καὶ Παῦ- 9
λος περὶ αὐτοῦ· ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ δεήσεις τε καὶ ἱκετη- Hebr. 5, 7. 8
ρίας πρὸς τὸν δυνάμενον σώιζειν αὐτὸν ἐκ θανάτου μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσενέγκας καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας, καίπερ ὢν υἱός, ἔμαθεν ἀφ' ὧν ἔπαθε, τὴν ὑπακοήν. ἆρ' οὖν ἄνθρωπον αὐτὸ δὴ τοῦτο ψιλὸν καὶ κατ' οὐδένα τρόπον ἀνεστηκότα τῶν καθ' ἡμᾶς λογιούμεθα τὸν Χριστόν; μὴ γένοιτο. τὴν δὲ τοῦ θεοῦ σοφίαν καὶ δύναμιν ἀσθενείας εἰς τοῦτο καθικέσθαι δώσο- 15
μεν, ὡς δεδιέναι μὲν θάνατον, ἐξαιτεῖν δὲ τὸ σώιζεσθαι παρὰ τοῦ πατρός, καὶ τοῦ κατὰ φύσιν εἶναι ζωὴν ἐκπέμψομεν τὸν Ἐμμανουήλ; ἢ περιτρέποντες εἰς τὴν ἀνθρωπότητα καὶ εἰς μέτρον φύσεως τῆς καθ' ἡμᾶς τὸ ὡς ἐν λόγοις σμικροπρεπές, δράσομέν τι τῶν ἐπαινουμένων καὶ ἐξ ὧν ἐστι θεός, τὴν ὑπερκόσμιον αὐτοῦ κατοψόμεθα δόξαν, τὸν αὐτὸν εἶναι συνέντες θεόν τε ὁμοίως καὶ ἄνθρωπον ἤτοι θεὸν ἐνηνθρωπηκότα; ἡκέτω δὴ οὖν εἰς μέσον ἡμῖν 20
ὁ δοκιμώτατος Παῦλος, ταυτὶ βοῶν τε καὶ λέγων· σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελείοις, 1 Cor. 2, 6-8
σοφίαν δὲ οὐ τοῦ αἰῶνος τούτου οὐδὲ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου τῶν καταργουμένων, ἀλλὰ λαλοῦμεν θεοῦ σοφίαν ἐν μυστηρίωι τὴν ἀποκεκρυμμένην, ἣν οὐδεὶς τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου ἔγνωκεν. εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν. καὶ μὴν ἐπὶ τούτοις· 25
ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ φέρων Hebr. 1, 3. 4
τε τὰ πάντα τῶι ῥήματι τῆς δυνάμεως αὐτοῦ, καθαρισμὸν τῶν ἁμαρτιῶν ἡμῶν ποιησάμενος, ἐκάθισεν ἐν δεξιᾶι τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς, τοσούτωι κρείττων γενόμενος τῶν ἀγγέλων, ὅσωι διαφορώτερον παρ' αὐτοὺς κεκληρονόμηκεν ὄνομα. καίτοι τό γε εἶναί τε καὶ ὀνομάζεσθαι τῆς δόξης κύριον πῶς οὐ 30
λίαν ὑπερτενὲς καὶ παντὸς ἐπέκεινα γενητοῦ καὶ παρηγμένου πρὸς γένεσιν; καὶ παρίημι μὲν τὰ ἀνθρώπινα (σμικρὰ γὰρ δὴ λίαν), ἐρῶ δ' οὖν ὅτι κἂν ἀγγέλους ὀνομάσαι καὶ ἀρχὰς καὶ θρόνους καὶ κυριότητας ἀπαριθμήσαιτό τις καὶ μὴν καὶ εἰ τῶν ἀνωτάτω διαμεμνήσεται σεραφίμ, κατόπιν ἰόντα τῆς οὕτως ὑπερτενοῦς ὁμολογήσειεν ἂν εὐκλείας, εἴ γε νοῦν ἔχοι τὸν εὖ βεβη- PG 1173

13—20 Flor. Cyr. 148 ἆρ' οὖν — ἄνθρωπον

VM, P [= hk], S, D [= mn], AWU

1 ὅλον] ὅ ἐστιν S 2 κατωνομάζεσθαι W 3 οὖν om. A αὐτοῖς S παραδεξώμεθα VMWU εἶσ γὰρ] εἰ γὰρ S εἰ γὰρ εἶσ D 3/4 κσ̄ καὶ εἶσ υσ̄ D 3 ὁ υἱὸσ P 4 ὁ om. VkA ὅτι P 5 εἰ om. A 6 μέτρων ἔσθ' ὅτε VMPWU κατασημαίνεται D κατασημαίνηται A 7 ισ̄ χσ̄ Vk 8 με ζητεῖτε SD ἄνοσ̄ S 10 ὃς — αὐτοῦ om. P τε om. P 13/14 αὐτὸν δὴ τοῦτον D δὴ τοῦτον A 16 τὸν θάνατον SDA ἐξαιτῶν SD τοῦ Flor. Cyr. 18 μικροπρεπὲσ VSW 19 καὶ om. SD, de A non constat τὸν om. Flor. Cyr. 19/20 συνιέντεσ VMP συνθέντεσ A 20 τε om. U ὁμοῦ SDU Flor. Cyr., de A non constat δὴ om. P 23 σοφίαν θῦ λαλοῦμεν P λαλοῦμεν σοφίαν SD 24 ἀρχόντων] ἀνῶν μᾶλλον δὲ τῶν ἀρχόντων V 25 ἔγνωκεν S ἔγνωκαν D ἐσταύρωσε S καὶ μὴν καὶ VMPWU 27 ἡμῶν SDΣΔ om. VMPAWU 28 τοῖσ ὑψηλοῖσ VMPWU τοσοῦτον V τούτω S 29 κρείττω mA ὅσον VP 30 τό γε MPAWUΔ γε τὸ V τὸ SD 31 ὑπερτελὲσ V γεννητοῦ VSDA παρενηνεγμένου A 32 σμικρὰ — λίαν om. SD ὁρῶ γ' οὖν ὅμωσ A ὅτι om. D ὀνομάσαιτο M om. U 33 καὶ¹ om. SD διαμεμνήσεται MSDWΔ διαμεμνήσετε U διαμεμνήσαιτο PA διαμέμνηται V 33/34 σεραφεὶμ MW 34 ἔχει VMPSDU

κότα καὶ σοφόν. ἔκκριτον γὰρ εἶναι φημὶ τὸ γέρας καὶ δεῖν ἀνακεῖσθαι μόνῃ τῇι τῶν ὅλων βασιλίδι φύσει. πῶς οὖν ἂν γένοιτο τῆς δόξης κύριος ὁ ἐσταυρωμένος, τὸ δὲ ἀπαύγασμα τοῦ πατρὸς καὶ τῆς οὐσίας ὁ χαρακτήρ, ὁ φέρων τὰ πάντα τῶι ῥήματι τῆς δυνάμεως αὐτοῦ, κρείττων ἀγγέλων γεγενῆσθαι λέγεται; τάχα που τὸ ἔλαττον, ὡς ἐγῶιμαι,
Hebr. 2, 9 λαβών, ὅτε πέφηνεν ἄνθρωπος. γέγραπται γὰρ ὅτι τὸν δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν διὰ τὸ πάθημα τοῦ θανάτου δόξῃ καὶ τιμῇι ἐστεφανωμένον. ἆρ' οὖν ἐξώσομεν τὸν ἐκ θεοῦ πατρὸς πεφηνότα λόγον τῆς αὐτῶι[1] πρεπούσης οὐσιώδους ὑπεροχῆς καὶ τῆς πρὸς αὐτὸν ἀκριβοῦς ἐμφερείας, τῆς ἀγγέλων εὐκλείας ἡττώμενον βλέποντες διὰ τὸ ἐκ τῆς οἰκονομίας σμικροπρεπές; οὐ μὲν οὖν. οἶμαι γὰρ δεῖν οὔτε τῶν ἀνθρωπίνων ἀπαλλάττειν παντελῶς τὸν ἐκ θεοῦ λόγον μετὰ τὴν πρὸς σάρκα σύνοδον οὔτε μὴν δόξης τῆς θεοπρεποῦς ἀποστερεῖν τὸ ἀνθρώπινον, εἰ ἐν Χριστῶι νοοῖτο καὶ λέγοιτο.

28 Πλὴν ἐρησομένους οὐκ ἠγνόησά τινας· τίς δὴ ἄρα ἐστὶν ἀληθῶς Ἰησοῦς ὁ Χριστός; ὁ ἐκ γυναικὸς ἄνθρωπος ἢ γοῦν ὁ ἐκ θεοῦ λόγος; καὶ ἠλίθιον μὲν κομιδῇ τὸ διατείνεσθαι περιττὰ καὶ φληνάφοις εἰκαιομυθίαις ἀνταναφωνεῖν, ἐρῶ δ' οὖν ὅτι σφαλερόν τε καὶ οὐκ ἀζήμιον τὸ διατέμνειν εἰς δύο καὶ ἀνὰ μέρος ἱστᾶν ἄνθρωπόν τε καὶ λόγον οὐκ ἀνεχομένης τῆς οἰκονομίας καὶ Χριστὸν ἕνα βοώσης τῆς θεοπνεύστου γραφῆς. χρῆναι γὰρ ἔγωγε φημὶ μήτε τὸν ἐκ θεοῦ λόγον ἀνθρωπότητος δίχα μήτε μὴν τὸν ἐκ γυναικὸς ἀποτεχθέντα ναὸν οὐχ ἑνωθέντα τῶι λόγωι Χριστὸν Ἰησοῦν ὀνομάζεσθαι. ἀνθρωπότητι γὰρ καθ' ἕνωσιν οἰκονομικὴν ἀπορρήτως συνενηνεγμένος ὁ ἐκ θεοῦ λόγος νοεῖται Χριστός, ἀνωτέρῳ μὲν ἀνθρωπότητος, ὡς φύσει θεὸς καὶ υἱός, οὐκ ἀτιμάζων δὲ καὶ τὸ ἐν ὑφέσει γενέσθαι δοκεῖν
Ioh. 14, 9. 10, 30 διὰ τὸ ἀνθρώπινον. τοιγάρτοι ποτὲ μὲν ἔφασκεν ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πα-
Ioh. 14, 28 τέρα· ἐγὼ καὶ ὁ πατὴρ ἓν ἐσμέν, ὁτὲ δὲ αὖ πάλιν ὁ πατήρ μου μείζων μού ἐστιν. οὐ μείων γὰρ ὢν τοῦ πατρὸς κατά γε τὸ ἐν οὐσίαι ταὐτὸν καὶ κατὰ πᾶν
29 ὁτιοῦν τὸ ἰσοστατοῦν, ἐν ἐλάττοσιν εἶναί φησι διὰ τὸ ἀνθρώπινον. κηρύττεται δὲ καὶ διὰ τῶν ἱερῶν γραμμάτων ποτὲ μὲν ὡς ὅλος ὢν ἄνθρωπος σεσιωπημένης αὐτοῦ τῆς θεότητος οἰκονομικῶς, ποτὲ δὲ αὖ πάλιν ὡς θεὸς σεσιγημένης αὐτοῦ τῆς ἀνθρωπότητος·
Phil. 3, 5 ἀδικεῖται δὲ κατ' οὐδένα τρόπον διὰ τὴν ἀμφοῖν εἰς ἑνότητα σύμβασιν. καὶ γοῦν ὁ
PG 1176 θεσπέσιος Παῦλος ὁ Ἑβραῖος ἐξ Ἑβραίων καὶ φυλῆς Βενιαμίν, ὁ κλητὸς ἀπόστολος, ἐπι-
Rom. 1, 1 Col. 3, 5. 3 στέλλει τοῖς διὰ πίστεως δεδικαιωμένοις καὶ κατανεκρώσασι τὰ μέλη τῆς σαρκός, πορνείαν δὴ λέγω καὶ πάθος, ἐπιθυμίαν κακὴν καὶ τὴν πλεονεξίαν· ἀπεθάνετε γὰρ καὶ ἡ Ζωὴ ὑμῶν κέκρυπται σὺν τῶι Χριστῶι ἐν τῶι θεῶι. αὐτός γε μὴν ἔφη
Ioh. 17, 11-13 περὶ τῶν ἑαυτοῦ μαθητῶν· πάτερ ἅγιε, τήρησον αὐτοὺς ἐν τῶι ὀνόματί σου ὧι δέδωκάς μοι, ἵνα ὦσιν ἓν καθὼς ἡμεῖς. ὅτε ἤμην μετ' αὐτῶν, ἐγὼ ἐτήρουν

17—28 Flor. Cyr. 149 χρῆναι — σύμβασιν

VM, P [= hk], S, D [= mn], AWU

1 γένοσ SD 2 πῶς οὖν] ὡσ SD δ' ἂν A κσ̄ τῆσ δόξησ VMPWU 4 τάχα που om. SD ἐγῶμαι SDAΔ οἶμαι U ἡγοῦμαι VMPW 5 ὅτι VMPWU τὸν δὲ om. A 6 ἠλαττωμένον om. SD θανάτου] σταυροῦ SD 7 ἐξώσωμεν W αὐτῆσ S om. VMPWU 8 τῆσ SD καὶ τῆσ VMPAWUΔ τῶν ἀγγέλων VMPWU 9 ἐκ om. VP μικροπρεπὲσ MSW νοούμενον οὔμενουν SD οἶμαι] οὐ U 13 εἰ ἠγνόηκά SD δὲ SD ἀληθῶς om. SDA ισ̄ χσ̄ A 14 γοῦν om. M 15 φληνάφουσ SD εἰκαιομύθοισ V εἰκαιομυθίασ SD 16 ἀνατέμνειν D ἀνεχόμενον S 18 γυναικὸς] παρθένου S τεχθέντα S 19 οὐχ SDΔ Flor. Cyr. ὡσ MPAWU ὡσ μὴ V ἀνθρωπότητα S 20 ἀπορρήτω M συνηνεγμένος V ἀνώτεροσ VS μὲν ὢν DA 21 τὸ καὶ Flor. Cyr. τὸ S 23 καὶ ἐγὼ καὶ Σ Flor. Cyr. ποτὲ Flor. Cyr. πάλιν om. MSD μου om. S μού om. U 25 φασι S διὰ om. Flor. Cyr. κηρύσσεται SD 26 ὢν om. SDA αὐτῆσ S 27 αὖ om. M σεσιγημένησ SDΔ σεσιωπημένησ VMPAWU Flor. Cyr. αὐτῆσ S 28 τοῖν P 29 ὁ¹ om. DA 30 κατανεκρώσασ VMPW τῆσ om. VPW 32 ἡμῶν W γε μὴν] οὖν V 33 οὖσ PAU 34 καὶ ἡμεῖσ DA

αὐτοὺς ἐν τῷι ὀνόματί σου ὧι δέδωκάς μοι, καὶ ἐφύλαξα αὐτοὺς καὶ οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο, εἰ μὴ ὁ υἱὸς τῆς ἀπωλείας, ἵνα ἡ γραφὴ πληρωθῆι. νῦν δὲ πρὸς σὲ ἔρχομαι καὶ ταῦτα λαλῶ ἐν τῷι κόσμωι, ἵνα ἔχωσι τὴν χαρὰν τὴν ἐμὴν πεπληρωμένην ἐν αὐτοῖς. συνίης οὖν ὅπως ἀπὸ μόνης ὥσπερ ἡμῖν τῆς ἀνθρωπότητος ἔν γε τουτοισὶ κατασημαίνεσθαι δοκεῖ; οἰησόμεθα γὰρ οὐδαμῶς κεκρύφθαι τε καὶ ἀποδημεῖν τοῦ κόσμου, καίτοι λέγοντα σαφῶς ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι ὅπου ἐὰν συναχθῶσι δύο ἢ τρεῖς εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμὶ ἐν μέσωι αὐτῶν καὶ πάλιν ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμὶ πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος. ἴδοις δ' ἂν καὶ αὐτὸν τὸν ἱερώτατον Παῦλον καταρραθυμοῦντα πολλάκις τοῦ καὶ ἄνθρωπον δεῖν ἀνακηρύττειν αὐτόν· Παῦλος γάρ φησιν, ἀπόστολος, οὐκ ἀπ' ἀνθρώπων οὐδὲ δι' ἀνθρώπου, ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ καὶ αὖ ἐπὶ τούτοις γνωρίζω δὲ ὑμῖν τὸ εὐαγγέλιον, φησί, τὸ εὐαγγελισθὲν ὑπ' ἐμοῦ ὅτι οὔκ ἐστι κατὰ ἄνθρωπον· οὐδὲ γὰρ ἐγὼ παρὰ ἀνθρώπου παρέλαβον αὐτὸ οὐδὲ ἐδιδάχθην, ἀλλὰ δι' ἀποκαλύψεως Ἰησοῦ Χριστοῦ. καὶ μὴν καὶ ἑτέρωθί φησιν εἰ δὲ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστόν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν. τίς οὖν ἐστιν Ἰησοῦς ὁ Χριστὸς ὁ τὴν οὕτως ἀπόρρητον ἁπλανῆ τε καὶ θείαν ἀποκάλυψιν τῶν ἑαυτοῦ μυστηρίων ἐναστράπτων αὐτῶι; ἆρ' οὐχὶ γενόμενος σὰρξ ὁ λόγος καὶ τὴν ἐκ γυναικὸς δι' ἡμᾶς οὐκ ἀτιμάσας γέννησιν; καίτοι πῶς οὐκ ἀληθὲς ὅπερ ἔφην; μεμνήμεθα γὰρ τοῦ μακαρίου λέγοντος Γαβριὴλ πρὸς τὴν ἁγίαν παρθένον μὴ φοβοῦ, Μαριάμ· ἰδοὺ γὰρ συλλήψηι ἐν γαστρὶ καὶ τέξηι υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. καινὸν δὲ οἶμαι τουτὶ παρὰ τοῦ πατρὸς ὄνομα δεδόσθαι τῶι λόγωι διὰ τῆς ἀγγέλου φωνῆς· προανακεκράγει γὰρ οὕτω καὶ χρησμώιδημα προφητικὸν καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ τὸ καινὸν ὃ ὁ κύριος ὀνομάσει αὐτό. ὅτε τοίνυν ὁ συναίδιος τῶι πατρὶ καὶ πρὸ παντὸς αἰῶνος υἱὸς καὶ μονογενὴς ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς γέγονεν ἄνθρωπος, γεγέννηται δὲ καὶ ἐκ γυναικὸς καὶ ὡρίσθη μὲν υἱός, κεχρημάτικε δὲ καὶ πρωτότοκος καὶ γέγονεν ἐν πολλοῖς ἀδελφοῖς, τότε καὶ ὁ φύσει πατὴρ ὁρίζει τοὔνομα, τοῖς τῆς πατρότητος, ἵν' οὕτως εἴπωμεν, ἑπόμενος νόμοις.

30 Ὁ αὐτὸς οὖν ἄρα καὶ μονογενής ἐστι καὶ πρωτότοκος. ὁ γάρτοι μονογενὴς ὡς θεός, πρωτότοκος ἐν ἡμῖν καθ' ἕνωσιν οἰκονομικὴν καὶ ἐν πολλοῖς ἀδελφοῖς ὡς ἄνθρωπος, ἵνα καὶ ἡμεῖς ὡς ἐν αὐτῶι τε καὶ δι' αὐτοῦ υἱοὶ θεοῦ φυσικῶς τε καὶ κατὰ χάριν, φυσικῶς μὲν ὡς ἐν αὐτῶι τε καὶ μόνωι, μεθεκτῶς δὲ καὶ κατὰ χάριν ἡμεῖς δι' αὐτοῦ ἐν πνεύματι. ὥσπερ οὖν γέγονεν ἴδιον τῆς ἀνθρωπότητος ἐν Χριστῶι τὸ μονογενὲς διὰ τὸ ἡνῶσθαι τῶι

PG 1177

Mt. 18, 20

Mt. 28, 20

Gal. 1, 1

Gal. 1, 11. 12

2 Cor. 5, 16

Lc. 1, 30

Ies. 62, 2

Rom. 8, 29

33—p. 62, 2 Flor. Cyr. 150 ὥσπερ — σαρκὶ ψυχὴν ἐχούσηι τὴν λογικήν

VM, P [= hk], S, D [= mn], AWU

1 ὧι — μοι om. VΣ οὖσ A καὶ¹ om. A 3 λέγω A 4 αὐτοῖσ M ἑαυτοῖσ UΔ συνιεῖσ MAW ὅπως] ὥσπερ A ὥσπερ om. A 5 ἡμεῖσ P τουτοισί] τοὐτοισ εἰ MW τούτοισ U οἰήσομαι VMPWU 6 κόσμου] σκοποῦ W λέγοντοσ SD ἀμὴν² om. SD 7 ὅτι om. A ἂν A δ' ἂν SD 8 ἡμῶν SU καὶ ἕωσ MPAW 9 αὐτὸν] τὸν τὸν U 10 καὶ om. D γὰρ om. A 10/11 ὁ ἀπόστολοσ P 12/13 τὸ — ἐμοῦ VMPWU φησι τὸ εὐαγγέλιον — ἐμοῦ SD τὸ εὐαγγέλιον τὸ — ἐμοῦ φησιν A 15 εἰ δὲ ἐγνώκαμνε S κατὰ σάρκα om. D 16/17 ἁπλανῆ τε καὶ ἀπόρρητον θείαν VMPW 17 ἀπαστράπτων A 18 ἐκ om. A 19 ἀληθὴσ S ὅθεν S γὰρ om. A μακαρίου om. VΣ γαβριὴλ λέγοντοσ V 20 γὰρ om. PU τέξεισ U 20/21 καὶ καλέσεισ — Ἰησοῦν om. A 21 καλέσησ S τοῦτο VMPWU 22 δίδοσθαι SD 22/23 ἀγγέλου — προφητικὸν] προφητείασ V 22 τοῦ ἀγγέλου SDA προανεκεκράγει D 23 τὸ² om. A 24 αὐτῶ AW ὁ om. D καὶ³ om. V ὁ A 25 τοῦ αἰῶνοσ om. V γεγένηται S 26 υἱὸσ SDAΣΔ υἱὸσ θῦ VMPWU 27 τὸ ὄνομα VSDΔ 28 νόμοισ ἑπόμενοσ V 29 οὖν om. M 29/30 ὁ γάρτοι — πρωτότοκοσ om. U 30 οἰκονομικῶσ V ὡς om. SDAU, corr. U 31 καὶ om. VMPWU ἡμεῖσ MPSDWUΔ ἡμεῖσ ὦμεν VA χάριν γενώμεθα W 32 μεθεκτικῶσ V τὲ S 33 ἴδιον γέγονε A τὸ μονογενὲς om. A

Rom. 8, 29 λόγωι κατὰ σύμβασιν οἰκονομικήν, οὕτως ἴδιον τοῦ λόγου τὸ ἐν πολλοῖς ἀδελφοῖς καὶ τὸ πρωτότοκος διὰ τὸ ἡνῶσθαι σαρκί. ἐρηρεισμένον δ' οὖν ἔχων τὸ εἶναι θεὸς καὶ τροπῆς ἀμείνων ὑπάρχων ἀεί, μεμένηκεν ὅπερ ἦν, καὶ ὅτε γέγονεν ἄνθρωπος, τῆι κατὰ πάντων ὑπεροχῆι δόξηι τε τῆι ἀνωτάτω κατεστεμμένος. τοιγάρτοι κεκέλευσται μεθ' ἡμῶν καὶ αὐτὴ τῶν ἄνω πνευμάτων ἡ ἁγία τε καὶ παμμακαρία πληθὺς προσκυνεῖν αὐτῶι. ἦν γὰρ δή που καὶ μάλα εἰκὸς ἀνήνασθαι τὴν προσκύνησιν καὶ κατοκνῆσαι τιμᾶν, τὸ τῆς ἀνθρωπότητος ὁρῶντας σμικροπρεπές, καὶ τὸν δι' ἡμᾶς γενόμενον καθ' ἡμᾶς οὐκ ἀξιῶσαι δοξολογεῖν, ἀποφοιτῶντας ὡς ἀπωτάτω τοῦ πεπλανῆσθαι δοκεῖν. ἄποπτον γὰρ καὶ αὐτοῖς ἦν ἔτι τὸ ἐπὶ Χριστῶι μυστήριον, ἐξεκάλυπτε δὲ τὸ πνεῦμα αὐτοῖς καὶ δυσσεβεῖν οὐκ ἠφίει τοὺς
Hebr. 1, 6 ἡγιασμένους. τοιγάρτοι φησὶν ὁ θεσπέσιος Παῦλος· ὅταν δὲ εἰσαγάγηι τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει· καὶ προσκυνησάτωσαν αὐτῶι πάντες ἄγγελοι θεοῦ. ὁ γὰρ ἰδιότητι φυσικῆι τῆς οἰκουμένης ἁπάσης διενεγκὼν ἔξω τε αὐτῆς ὑπάρχων καθὸ νοεῖται θεός, εἰσβέβηκεν εἰς αὐτήν, μέρος κόσμου πεφηνὼς ὡς ἄνθρωπος, πλὴν οὐ διὰ τοῦτο τῆς θείας ὑπώλισθε δόξης. προσκυνεῖται γὰρ ὡς μονογενὴς κἂν εἰ καλοῖτο πρωτότοκος, ὅπερ ἐστὶν ἐναργῶς τοῖς τῆς ἀνθρωπότητος μέτροις ὅτι μάλιστα πρέπον.

31 Ἆρ' οὖν ὡς ἄνθρωπον προσκυνήσομεν τὸν Ἐμμανουήλ; μὴ γένοιτο. λῆρος γὰρ ἤδη τουτὶ καὶ ἀπάτη καὶ πλάνησις, διοίσομεν δὲ κατ' οὐδὲν τῶν τῆι κτίσει λελατρευκότων
Rom. 1, 25 παρὰ τὸν κτίστην καὶ ποιητήν, οἵτινες μετήλλαξαν τὴν ἀλήθειαν τοῦ θεοῦ ἐν τῶι ψεύδει κατὰ τὸ γεγραμμένον, οἷς εἰ φρονήσαιμεν ἀδελφά, καὶ συνακουσόμεθα πάντως·
Rom. 1, 22.23 φάσκοντες εἶναι σοφοὶ ἐμωράνθησαν καὶ ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου καὶ πετεινῶν καὶ τετραπόδων καὶ ἑρπετῶν. ἢ γὰρ οὐχὶ καὶ ἡμεῖς αὐτοὶ καὶ ἰσουργοὶ καὶ σύμφρονες τοῖς μνημονευθεῖσιν ἐσόμεθα τὴν τοῦ θεοῦ δόξαν ἐν τῶι ψεύδει μεταλλάττοντες ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου, εἰ ὡς ἀνθρώπωι ψιλῶι καὶ ἑνὶ τῶν καθ' ἡμᾶς προσοίσομεν τὴν προσ-
PG 1180 κύνησιν τῶι Ἐμμανουήλ; τί δέ; οὐχὶ καὶ αὐτὴ τῶν ἀγγέλων ἡ ἄνω πληθὺς τοῖς εἰς τοῦτο μανίας ἥκουσι συντετάξεται; ἀνεξίτηλον δὲ οἶμαί που τὴν ἐπὶ τῶι πεπλανῆσθαι γραφὴν καὶ τῆι τῶν ἐθνῶν ἀγέληι περιθήσομεν καὶ δυσαπόνιπτον ἕξει τῶν ἀρχαίων αἰτιαμάτων τὸ βλάβος. πλανᾶται γὰρ οἶμαι καὶ νῦν καὶ οὐδὲν ἧττον ἢ πάλαι, καὶ τὴν εἰς εὐθὺ διαστείχουσαν ἠγνόηκε τρίβον, καὶ περιττός, ὡς ἔοικεν, ὁ μακάριος Παῦλος προ-
Gal. 4, 8.9 σφωνῶν τε αὐτοῖς καὶ λέγων· ἀλλὰ τότε μὲν οὐκ εἰδότες θεὸν ἐδουλεύσατε τοῖς φύσει μὴ οὖσι θεοῖς, νῦν δὲ γνόντες θεόν, μᾶλλον δὲ γνωσθέντες ὑπὸ θεοῦ, πῶς ἐπιστρέφετε πάλιν ἐπὶ τὰ ἀσθενῆ καὶ πτωχὰ στοιχεῖα, οἷς πάλιν ἄνωθεν δουλεύειν θέλετε; ποῖον γὰρ ἔτι θεὸν ἐγνώκασιν, εἰ μὴ φύσει θεὸς ὁ Χριστὸς εἰς ὃν πεπιστεύκασιν; καὶ εἰ λελατρεύκασιν ἀνθρώπωι, τοῖς τῆς ἀρχαίας πλάνης

VM. P [= hk], S, D [= mn], AWU

2 σαρκὶ ψυχὴν ἐχούσηι τὴν λογικήν Flor. Cyr. οὖν W om. U 3 ὅταν V 4 ἀνωτάτη S 5 μακαρία PU δὴ om. A 6 εἰκότως A 6/7 τὸ τῆσ — ὁρῶντασ μικροπρεπὲσ S τὸ τῆσ — ὁρῶντα σμικροπρεπὲσ D ὁρῶντασ τὸ τῆσ — σμικροπρεπὲσ A τὸ τῆσ — σμικροπρεπὲσ [σμικρὸν P] ὁρῶντασ VMPWU 8 ἀποτάτω DA ὕποπτον U ἦν καὶ αὐτοῖσ A αὐτοῖσ ἦν D αὐτῶν εἶναί τι S ἔτι om. A 9 χῡ P ἠφίη A ἐφίει VW 13 αὐτὴν] ἑαυτὸν S 14 ἀπολεῖσθαι S 17 προσκυνήσομεν SDAΣΔ προσκυνήσομεν μόνον VMPWU 18 ἤδη om. SD τοῦτο VMPWU καὶ ἀπάτη om. A διοισόμεθα A καὶ κατ' P τῶν om. S 19 κτίσαντα VMPWU τοῦ θεοῦ om. SDA 20 εἰ φρονήσαιμεν VMPAWU ἐφρονήσαμεν S εἰ συμφρονήσαιμεν D ἀδελφοὶ SD 21 ἠλλάξαντο SD 22 φθαρτοῦ om. D 22/23 ἑρπετῶν καὶ τετραπόδων SD 23 οὐχὶ om. U 24 ἐν — μεταλλάττοντεσ τὴν — δόξαν P μεταλλάσσοντεσ SD 25 ἄνου φθαρτοῦ A εἰ] ἢ SD 26 ἄνω om. V τῆσ V 27 ἀντιτάξεται SD ἀνεξίτηλον SDA ἀνεκζήτητον P τῶν W 28 ἕξει ΣΔ ἔχει VMPSDAWU 29 οἶμαι] ἔτι A καὶ³ SDΔ om. VMPWAU οὐδὲν ἧττον om. A 30 ἠγνοηκέναι VMPW 31 τε] γε U 32 ἀπὸ M 35 πεπιστεύκαμεν S

ἐνέχονται βρόχοις. ἢ οὐκ ἀληθὲς ὃ φημί; ἀληθὲς μὲν οὖν. ἄθρει δὴ οὖν, ὦ φιλόχριστε βασιλεῦ, ὅπως ἐξ ἀναγκαίων ἤδη συλλογισμῶν μόνον οὐχὶ συνωθούμεθα πρός γε τὸ δεῖν ἐμφρόνως ὡς θεῷ τῷι κατὰ φύσιν προσκυνεῖν τῷι ἐκ θεοῦ πατρὸς φύντι λόγωι καὶ ἐν τῷι καθ' ἡμᾶς πεφηνότι σχήματι, τῆς ἀμφοῖν εἰς ἑνότητα συνδρομῆς οὐκ ἀνικάνως ἐχούσης πρὸς τὸ ἀφανίσαι τυχὸν τὸ καὶ ἔσθ' ὅτε λυποῦν εἰς μόνης ἡμᾶς ἀνθρωπότητος ὑποψίαν. προσλαβοῦσα γὰρ ἡ τοῦ λόγου φύσις τὸ ἀνθρώπινον οὐκ ἀνθρωπότης ἔσται ψιλή, νικῶσα δὲ μᾶλλον ἰδίαι δόξηι τὸ προσληφθὲν ἐν ἀκλονήτωι σώιζεται διαμονῆι τῆς θεοπρεποῦς ὑπεροχῆς. ταυτὶ φρονοῦντες οἱ μαθηταὶ προσεκύνουν, λέγοντες ἀληθῶς θεοῦ υἱὸς εἶ, καίτοι βάδην ἰόντα βλέποντες καὶ ἐν σαρκὶ καθ' ἡμᾶς· ἐπ' ἄκρου γὰρ δὴ δίεθει κύματος παραδόξως ὡς θεός. Mt. 14, 33

32 Ἐρεῖ δὲ ἴσως ὁ τῆι τοιᾶιδε δόξηι μαχόμενος· καὶ τίς ἦν ὁ λέγων πρὸς τὴν ἐν τῆι Σαμαρείαι γυναῖκα· ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε, ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν; εἶτα πῶς ἔσται προσκυνητὸς ὁ τοῖς προσκυνοῦσι συντεταγμένος; ἐγὼ δὲ φαίην ἂν ὅτι τὸ τίς ἦν ὅλως ἐπὶ Χριστοῦ λεγόμενον ἀσύφηλόν τε καὶ ἀμαθές· μεμέρισται γὰρ οὐδαμῶς. ὁ δὲ τῶι γυναίωι προσλαλῶν ὁ εἷς τε καὶ μόνος κύριος ἦν Ἰησοῦς Χριστός, ἐκ τῆς προσκυνούσης ἀνθρωπότητος καὶ ἐκ τῆς προσκυνουμένης θεότητος τὸ εἶναί τε καὶ ὀνομάζεσθαι θεός τε ὁμοῦ καὶ ἄνθρωπος ἀληθὲς ἔχων ἐφ' ἑαυτῶι, καθάπερ ἀμέλει φαίη τις ἂν καὶ ἑτέρως περὶ αὐτοῦ. ἦι μὲν γάρ ἐστι θεός, νοοῖτ' ἂν ὑπάρχων αὐτὸς ὁ τῆς δόξης κύριος· ἦι δὲ γέγονεν ὁ κατὰ μέθεξιν τὴν παρὰ θεοῦ δοξαζόμενος ἄνθρωπος, ἐδεῖτο καὶ δόξης, λέγων πάτερ, δόξασόν σου τὸν υἱόν. ἀλλ' εἷς κύριος, μία πίστις, ἓν βάπτισμα κατὰ τὸ γεγραμμένον. ὥσπερ οὖν ἐστι μία πίστις ἡ εἰς Χριστὸν καὶ ἓν ἀληθῶς τὸ βάπτισμα, καίτοι βαπτιζομένων καὶ πεπιστευκότων ἡμῶν εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, κατὰ τὸν αὐτὸν οἶμαι. τρόπον τε καὶ λόγον μία προσκύνησις ἡ πατρὸς καὶ ἐνανθρωπήσαντος υἱοῦ καὶ ἁγίου πνεύματος. ἐξωσθήσεται γὰρ οὐδαμῶς τοῦ προσκυνεῖσθαι δεῖν πρός τε ἡμῶν αὐτῶν καὶ τῶν ἁγίων ἀγγέλων ὁ μονογενής, καὶ εἰ γέγονε σὰρξ καὶ ἐσκήνωσεν ἐν ἡμῖν κεχρημάτικέ τε πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς. ἐπεὶ τίς ἂν εἴη πάλιν ὁ τῆς ἐπ' αὐτῶι πίστεως λόγος; πῶς οὐκ ἄξιον ἰδεῖν; οὐδὲ γὰρ οἶμαι φαῖεν ἂν οἵπερ ἂν ἔλοιντο φρονεῖν ὀρθῶς, ὡς εἰς μόνον πεπιστεύκαμεν τὸν ἐκ θεοῦ πατρὸς φύντα λόγον, ἀπογυμνοῦντες αὐτὸν τῆς σαρκός. οὐδ' αὖ ἐκεῖνο παρήσομεν εἰπεῖν (λελέξεται γάρ)· οὐ γὰρ ὡς εἰς ἕνα τῶν καθ' ἡμᾶς οὔτε μὴν ὡς εἰς ἄνθρωπον ἡ πίστις, ἀλλ' ὡς εἰς θεὸν πράττεται τὸν φύσει καὶ ἀληθῶς ἐν προσώπωι Χριστοῦ. συλλήψεται δὲ τῶι λόγωι καὶ ὁ σοφὸς γράφων Παῦλος· οὐ γὰρ ἑαυτοὺς κηρύσσομεν, ἀλλὰ Χριστὸν Ἰησοῦν κύριον, ἑαυτοὺς δὲ δούλους ὑμῶν διὰ Ἰησοῦ Χριστοῦ, ὅτι ὁ θεὸς ὁ Ioh. 4, 22 Ioh. 17, 1 Eph. 4, 5 PG 1181 Ioh. 1, 14 Rom. 8, 29 2 Cor. 4, 5. 6

12—17 Flor. Cyr. 151 ὑμεῖς — ἑαυτῶι

VM, P [= hk], S, D [= mn], AWU

2 γε om. DA τε S 3 τῶι¹ om. SD θῦ καὶ A 4 τῶι] τοῖσ MW οὐκ ἂν ἱκανῶσ MPS οὐχ ἱκανῶσ D 5 ἐμφανίσαι A καὶ τὸ A τὸ P 6 οὐκ om. W ἀνθρωπότητοσ V 8 ταυτὶ DΔ ταύτη MWU ταῦτα VPSDA 10 κύματα S 11 τῆι om. VMPWU 12 ἡμεῖσ W ἡμεῖς δὲ AΣ Flor. Cyr. 13 ἔσται om. M τεταγμένοσ S 14 ἀσύμφιλόν A Flor. Cyr. καὶ om. S 15 δὲ om. V τε] δὲ V μόνος Ἰησοῦς Χριστὸς ἦν Flor. Cyr. ἦν κύριοσ SD κ̄σ̄ ἡμῶν A, de ἦν non constat 15/16 προσκυνήσεωσ Flor. Cyr. 16 καὶ — θεότητος om. V προσκυνούσης Flor. Cyr. 17 ἀληθῶσ A 18 ἦι] εἰ DA ἐστι θ̄σ̄ VA θ̄σ̄ ἐστι SD ἐστι MPWU αὐτὸσ ὑπάρχων A 19 ἦι] εἰ DA δεξάμενοσ D 21 ἐν χ̄ῳ̄ VMPWU 22 τὸ om. DA 23 καὶ μία SD 23/24 τοῦ ἐνανθρωπήσαντοσ U 24 οὐδαμοῦ D τὸ A 25 τε] γε V εἰ καὶ VMPWU 26 ὡσ ἐν² VMWU ἂν om. A 27 τῆσ — πίστεωσ ὁ λόγοσ VMPWU οὖν οὐκ VMPWU ἂν om. VMPWU 28 εἴπερ V 29 εἰπεῖν om. V 30 οὐ γὰρ] οὐκ A οὔτε γὰρ U ὡσ MSDWUΣΔ om. PA ὡσ VMPSWUΣ om. DA ὡς³ om. DΔ 31 τὲ καὶ A 32 ἑαυτὸν S 32/33 ἱν̄ χ̄ν̄ καὶ κ̄ν̄ S 33—p. 64, 2 ὅτι — Χριστοῦ om. P

εἰπὼν ἐκ σκότους φῶς λάμψαι, ὃς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν πρὸς φωτισμὸν τῆς γνώσεως τῆς δόξης αὐτοῦ ἐν προσώπωι Ἰησοῦ Χριστοῦ. ἰδοὺ δὴ σαφῶς τε καὶ ἐναργῶς ὁ φωτισμὸς τῆς γνώσεως τοῦ θεοῦ καὶ πατρὸς ἐν προσώπωι
Ioh. 14, 9 διέλαμψε τοῦ Χριστοῦ. τοιγάρτοι καὶ ἔφασκεν ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πα-
Ioh. 10, 30 33 τέρα· ἐγὼ καὶ ὁ πατὴρ ἓν ἐσμέν. χαρακτὴρ δὲ ὁ θεῖος οὐ σωματικός, ἀλλ' ἐν δυνάμει καὶ δόξηι τῆι θεοπρεπεστάτηι, τοῦτο δὲ ἦν ἀκραιφνὲς ἐν Χριστῶι. γνωρίζεσθαι δὲ καὶ διὰ τούτων ἠξίου καὶ διὰ τῆς τῶν ὁρωμένων ὑπεροχῆς εἰς ἐννοίας ἀναφοιτᾶν τὰς ἐπ' αὐτῶι τοὺς ἀκροωμένους ἤθελε, κατασμικρυνούσης αὐτὸν ἠρέμα παρά γε τοῖς ἀσυνέτοις
Ioh. 10, 37. τῆς ὁρωμένης σαρκός. εἰ γὰρ οὐ ποιῶ τὰ ἔργα τοῦ πατρός μου, φησί, μὴ
38 πιστεύετέ μοι· εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πιστεύητε, τοῖς ἔργοις μου πιστεύετε. φάναι δὲ οἶμαι ταυτὶ τὸ τηνικάδε Χριστὸν οὐκ ἀσυντελὲς εἰς ὄνησιν εἰδότα τὸ χρῆμα. ἐπειδὴ γὰρ ὤιοντο θεὸν μὲν οὐκ εἶναι κατὰ φύσιν τὸν δι' ἡμᾶς ἐνηνθρωπηκότα, ψιλὸν δὲ ἁπλῶς ἄνθρωπον καθ' ἡμᾶς ἀπαράδεκτόν τε διὰ τοῦτο τὴν ἐπ' αὐτῶι πίστιν ἐποιοῦντο τινές, ἀναγκαίως τὸ δεῖμα καὶ τὸν ἐπὶ τούτοις ὄκνον ὑποτεμνόμενος τῆι τῆς θεότητος φύσει τὴν πίστιν ἀνατιθεὶς ὡς ἐν προσώπωι πατρὸς καὶ οὐχὶ τῆι καθ' ἡμᾶς
Ioh. 12, 44. σμικροπρεπείαι προσνέμων ἔφασκεν· ὁ πιστεύων εἰς ἐμὲ οὐ πιστεύει εἰς ἐμέ,
45 ἀλλ' εἰς τὸν πέμψαντά με, καὶ ὁ θεωρῶν ἐμὲ θεωρεῖ τὸν πέμψαντά με. ἆρ' οὖν οὐκ ἴσον εἰπεῖν· ὦ τῶν ἐμῶν κατήκοοι λόγων, μὴ μικρὰ καὶ χαμαιριφῆ τὰ εἰς ἐμὲ δοξάζετε, ἴστε δὲ ὅτι τὴν εἰς αὐτὸν ἐμὲ τὸν ὁρώμενον ἐν σαρκὶ προσιέμενοι πίστιν οὐκ εἰς ἄνθρωπον ἁπλῶς ἔσεσθε πεπιστευκότες, ἀλλ' εἰς αὐτὸν τὸν πατέρα δι' ἐμοῦ τοῦ κατὰ πᾶν ὁτιοῦν ἴσως τε καὶ ἀπαραλλάκτως ἔχοντος υἱοῦ, σαρκωθέντος μὲν δι' ὑμᾶς καὶ περί-
PG 1184 βλημα σμικροπρεπὲς οἰκειουμένου τὴν ἀνθρωπότητα, τό γε μὴν ἰσοφυές τε καὶ ἰσουργὸν καὶ ἐν ταυτότητι δόξης ἀδιαλώβητον παντελῶς ἔχοντος πρὸς αὐτόν;

34 Μάθοι δ' ἄν τις καὶ ἑτέρως αὐτὸν τὴν πίστιν οὐ διωθούμενον, ἀλλὰ τομῆς τινος δίχα καὶ διαφορᾶς εἰσδεδεγμένον αὐτὴν ὡς ἐν ἰδίωι προσώπωι, καὶ εἰ γέγονεν ἄνθρωπος. ἐπειδὴ γὰρ τὸν ἐκ γενετῆς ἰᾶτο τυφλὸν καὶ τὸ γλυκὺ μέν, ἄηθες δ' οὖν ἐνεφύτευσε φῶς αὐτῶι, παρὰ πάντων εἰκότως ἐθαυμάζετο. ἀλλ' ὁ μὲν τοῦ πάθους ἀπηλλαγμένος παρὰ
Ioh. 9, 35-38 τοῖς Ἰουδαίοις ἐκρίνετο καὶ ὡμολόγει τὸν ἰατρόν, Χριστὸς δὲ αὐτῶι περιτυχὼν σὺ πιστεύεις, ἔφασκεν, εἰς τὸν υἱὸν τοῦ θεοῦ; τοῦ δὲ τίς ἐστι, κύριε διακεκραγότος, ἵνα πιστεύσω εἰς αὐτόν; ἀντεφώνει λέγων· καὶ ἑώρακας αὐτὸν καὶ ὁ λαλῶν μετὰ σοῦ ἐκεῖνός ἐστιν. ὃ δὲ ἔφη· πιστεύω κύριε, καὶ προσεκύνησεν αὐτῶι. καίτοι πῶς οὐχ
Ioh. 1, 18 ἅπασι συμφανὲς ὡς ἄποπτος παντελῶς ἡ θεία τε καὶ ἀνωτάτω φύσις; θεὸν γὰρ οὐδεὶς ἑώρακε πώποτε κατὰ τὸ γεγραμμένον. εἴπερ οὖν διιστὰς ἑαυτοῦ τὸ ἀνθρώπινον ὡς αὐτὸ δὴ τοῦτο πεφηνὼς ὁ ἐκ θεοῦ πατρὸς λόγος γυμνὸς καὶ μόνος ἠξίου πιστεύεσθαι, τί μὴ μᾶλλον τὴν τοῦ θεοῦ φύσιν ἀναλογίζεσθαι δεῖν, ἥτις ποτέ ἐστι, τὸν εὖ παθόντα διεκελεύετο, παρέδειξε δὲ σωματικῶς, ὡς καὶ αὐτοῖς ὄμμασι καταθεᾶσθαι παρόν; ἔφη γὰρ

31—33 Flor. Cyr. 152 καίτοι — γεγραμμένον

VM, P [= hk], S, D [= mn], AWU

2 Ἰησοῦ om. SΣΔ 3 τε om. VMPWU 5 σωματικῶς SU 6 θεοπρεπεστάτω V δὲ om. A 7 ἀποφοιτᾶν τὰς A ἀναφοιτῶνταs S 8 κατασμικρυνούσας V 10 πιστεύητέ A μὴ om. S πιστεύηται W μου om. A 10/11 πιστεύσατε VMPWU 11 ταυτὶ om V ἀτελὲσ SD 12 γὰρ om. W 13 ἄνω̄ ἁπλῶσ V τὲ MWUΔ δὲ VPSDA ἐπ' αὐτῶ] ἑαυτῶν SD 14 ὑποτεμόμενοσ A 16 μικροπρεπεία MPSWU 17 θεωρῶν] ἑωρακώσ A 18 ἄρα SD οὖν om. AΔ 19 ἐν σαρκὶ om. D 21 ἡμᾶσ SD 22 μικροπρεπὲσ U οἰκειωσαμένου VMPWU 23 ἀδιάβλητον D πρὸσ αὐτὸν ἔχοντοσ παντελῶσ P 26 γεννητῆσ SD ἰᾶται U 26/27 αὐτῶ φῶσ D 27 ἀλλὰ SD 28 τοῖσ om. A σὺ] οὐ P 29 δὲ τὸ τίς AΔ κύριε om. A 30 ἀνταναφωνεῖ SDA 32 ὡς — παντελῶς om. S τε om. S ἀνωτάτη SU 33 αὐτοῦ SD 34 τοῦτο om. A τοῦτο καὶ V ὁ om. VMPWU 35 εὐπαθοῦντα A 36 καταθεᾶσθαι SDΔ καταθεάσασθαι VMAW παραθεάσασθαι P θεάσασθαι U παρὼν S παρόντα DA

ὅτι καὶ ἑώρακας αὐτὸν καὶ ὁ λαλῶν μετὰ σοῦ ἐκεῖνός ἐστιν. ἢ οὐχὶ τὴν Ioh. 9, 37
σάρκα παραδεῖξαι φήσομεν; εἶτα πῶς αὐτὸς ἂν εἴη λοιπὸν ἡ σάρξ, εἰ μὴ νοοῖτο καθ' ἕνωσιν, ὡς αὐτὸς ὑπάρχων τὸ ἴδιον αὐτοῦ; καθάπερ ἀμέλει καὶ ἐφ' ἡμῶν γένοιτ' ἄν· καταδείξειε γὰρ ἄν τις οὐ μεμερισμένως οὐδὲ ἀτελῶς τὸν καθ' ἡμᾶς ἄνθρωπον, τὸν ἐκ ψυχῆς δὴ λέγω καὶ σώματος, καὶ ἀπὸ μόνης αὐτοῦ τῆς σαρκός.

35 Γέγραφε δέ που καὶ ὁ σοφὸς ἡμῖν Ἰωάννης ὅτι πολλὰ μὲν οὖν καὶ ἄλλα σημεῖα Ioh. 20, 30. 31
ἐποίησεν ὁ Ἰησοῦς ἐνώπιον τῶν μαθητῶν αὐτοῦ, ἃ οὐκ ἐστι γεγραμμένα ἐν τῷι βιβλίωι τούτωι· ταῦτα δὲ γέγραπται, ἵνα πιστεύσητε ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ καὶ ἵνα πιστεύοντες ζωὴν ἔχητε ἐν τῷι ὀνόματι αὐτοῦ. κατατεθήποι δ' ἄν τις οὐ μεῖον καὶ τὸν θεσπέσιον Πέτρον Ἰουδαίοις προσπεφωνηκότα σαφῶς καὶ ἀναφανδόν· ἄρχοντες τοῦ λαοῦ καὶ πρεσβύτεροι, εἰ ἡμεῖς Act. 4, 8-10. 12
σήμερον ἀνακρινόμεθα ἐπὶ εὐεργεσίαι ἀνθρώπου ἀσθενοῦς, ἐν τίνι οὗτος σέσωσται, γνωστὸν ἔστω πᾶσιν ὑμῖν καὶ παντὶ τῷι λαῷι Ἰσραὴλ ὅτι ἐν τῷι ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου, ὃν ὑμεῖς ἐσταυρώσατε, ὃν ὁ θεὸς ἤγειρεν ἐκ νεκρῶν, ἐν τούτωι οὗτος παρέστηκεν ἐνώπιον ὑμῶν ὑγιής. καὶ μεθ' ἕτερα πάλιν· καὶ οὐκ ἔστιν ἐν ἄλλωι οὐδενὶ ἡ σωτηρία. οὐδὲ γὰρ ὄνομα ἕτερόν ἐστιν ὑπὸ τὸν οὐρανὸν τὸ δεδομένον ἐν ἀνθρώποις, ἐν ὧι δεῖ σωθῆναι ἡμᾶς. τίς οὖν ἄρα ἐστὶν ὁ καὶ θάνατον ὑποδὺς καὶ ἐγηγερμένος PG 1185
ἐν δόξηι καὶ ἐκ Ναζαρέτ, εἰ μὴ Χριστὸς Ἰησοῦς, τουτέστιν ὁ πρὸ παντὸς μὲν αἰῶνος ἐκ πατρὸς ἀπορρήτως γεγεννημένος, ἐν δέ γε τῶι λοίσθωι καὶ εἰς πέρας ἥκοντι τοῦ αἰῶνος καιρῶι καὶ σωματικῶς ἐκ γυναικός; ὁ πίστιν οὖν ἄρα τὴν εἰς αὐτὸν προσιέμενος γέρας ἀποίσεται τὸ ἐξαίρετον· διακεκλήσεται γὰρ υἱὸς θεοῦ. ὅσοι γὰρ ἔλαβον αὐτόν, Ioh. 1, 12. 13
ἔδωκεν αὐτοῖς ἐξουσίαν, φησί, τέκνα θεοῦ γενέσθαι τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ, οἳ οὐκ ἐξ αἱμάτων οὐδὲ ἐκ θελήματος σαρκὸς οὐδὲ ἐκ θελήματος ἀνδρός, ἀλλ' ἐκ θεοῦ ἐγεννήθησαν. ἵνα γὰρ γένηται πρωτεύων ἐν πᾶσιν Col. 1, 18
36 αὐτός, καθὰ γέγραπται, γεγέννηται μὲν ἐκ γυναικός, ἐπειδὴ δέ ἐστιν ἀπαρχὴ τῆς ἀναμορφουμένης κτίσεως δι' ἁγιασμοῦ πρὸς θεόν, καὶ πρό γε τῶν ἄλλων αὐτὸς γεννητὸς ἐδείχθη πνεύματος, τὴν ἀνδρός τε καὶ γυναικὸς οὐ περιμένων σύνοδον καὶ οὐκ ἀτιμίαι καὶ μώμωι καταδικάζων τὴν φύσιν (τίμιος γὰρ ὁ γάμος καὶ ὁ πλάσας ἀπ' ἀρχῆς ἄρσεν καὶ Hebr. 13, 4
θῆλυ ἐποίησεν αὐτούς), ἀλλὰ τῶι μείζονι καὶ ἀσυγκρίτως ὑπερκειμένωι προσνέμων ἤδη πως τὰ ἀνθρώπινα. γεννητοὺς γὰρ πνεύματος, οὐκ ἀνδρῶν ἡμᾶς ἔτι χρηματίζειν ἤθελε. καὶ γοῦν πατέρα, φησί, μὴ καλέσητε ὑμῶν ἐπὶ τῆς γῆς· εἷς γάρ ἐστιν Mt. 23, 9. 8
ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος, πάντες δὲ ὑμεῖς ἀδελφοί ἐστέ. οὐκοῦν ἀμώμητον παντελῶς τὸ πιστεύειν εἰς αὐτόν, μᾶλλον δὲ καὶ τῆι τῶν πλημμελημάτων ἀμνηστίαι τετίμηται. γράφει γὰρ ὧδε πάλιν ὁ ἔκκριτος Παῦλος· εἰδότες δὲ ὅτι οὐ δικαιοῦται Gal. 2, 16

VM, P [= hk], S, D [= mn], AWU

1 ἢ om. P 2 ἂν — λοιπὸν αὐτὸς SDA 3 ὡς om. S αὐτὸ W 3/4 καταδεῖξαι S καταδείξει D καταδείξη A 5 δὴ om. D 6 οὖν om. SD 8 πιστεύητε A ὅτι om. U 9 ὁ Χριστὸς om. A ζωὴν αἰώνιον MW ἔχοιτε S 10 οὐ μεῖον] τὸ ὅμοιον SD 11 καὶ¹ om. S 13 ἡμῖν W 15 παρέστηκεν] ἐστιν S ἡμῶν S 16 ἕτερον S ἐν οὐδενὶ ἄλλωι SD ἐν ἄλλωι ἐν οὐδενὶ W 17/18 ἐν ὧ — ἡμᾶσ τὸ — ἀνοισ SD ἐν ὧ — ἡμᾶσ A 19 καὶ ἐκ] ἐν S Ιησοῦσ χσ AΔ 19/20 ἀπορρήτωσ ἐκ θυ πρσ SD 20 γεγενημένοσ S γε om. A 21 ὁ erasum S προσιέμενος om. S 22 ἀποίσοιτο A τὸ om. A διακεκλήσοιτο A 22/23 ὅσοι — τοῖς] καὶ ὅσοι W 23 φησὶ — γενέσθαι SDAΔ τέκνα — γενέσθαι φησὶ MPU τέκνα θυ γενέσθαι V θυ πρσ S 24/25 ἀνδρὸσ — σαρκὸσ U 25 ἐγενήθησαν S 25/26 αὐτὸσ ἐν πᾶσι SDA 26 καθὼσ γέγραπται P κατὰ τὸ γεγραμμένον A ἐστιν ἀπαρχὴ] ἀπαρχὴν S 26/27 τοῖσ ἀναμορφουμένοισ D 27 κτίσεωσ om. D ἁγιασμὸν MWU πρὸσ θεὸν om. S ἐδείχθη γεννητὸσ P 28 πνσ SDAΔ τοῦ πνσ M^{corr}WU τοῦ πρσ MP ἐκ πνσ V περιμείνασ S μώμου U 30 κρείττονι SD 31 ἤδη πως] εἴδει V ἀνδρὸς P ἔτι om. DA 32 ὑμῶν μὴ καλέσητε A μὴ καλέσητε V 33 ὑμῶν ὁ πηρ S ὑμῶν D

ἄνθρωπος ἐξ ἔργων νόμου, ἐὰν μὴ διὰ πίστεως Ἰησοῦ Χριστοῦ, καὶ ἡμεῖς εἰς Χριστὸν Ἰησοῦν ἐπιστεύσαμεν, ἵνα δικαιωθῶμεν ἐν αὐτῷ. κατοκνήσω δὲ οὐδαμῶς, ὅπερ ἤδη φθάσας ἔφην, ἀνακυκλήσας εἰπεῖν ὅτι Χριστὸς Ἰησοῦς οὐ γυμνὸς καὶ καθ' ἑαυτὸν ὁ ἐκ θεοῦ νοεῖται λόγος, ἀλλ' ὅτε προσέλαβε τὸ ἀνθρώπινον καὶ ἀσυγχύτως ἐνεπλάκη σαρκί, οὕτως ἔχοντα καὶ ὁρώμενον καὶ ἐν εἴδει τῶι καθ' ἡμᾶς τυγχάνοντα τοῖς ἁγίοις ἀπο-
Mt. 17, 5 στόλοις παρέδειξεν ὁ πατήρ, φωνῆς ἄνωθεν ἐκπεποιημένης τοιᾶσδε· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧι εὐδόκησα· αὐτοῦ ἀκούετε. σύνες οὖν ὅπως οὐκ ἐν τούτωι, φησίν, ἐστὶν ὁ υἱός μου, ἵνα μὴ ἀνὰ μέρος ὡς ἕτερος ἐν ἑτέρωι τυχόν, ἀλλ' εἷς νοοῖτο καὶ ὁ αὐτὸς καθ' ἕνωσιν οἰκονομικήν. πλημμελὲς δὲ ὅτι τὸ ἀντιτείνειν ἐστὶ
1 Ioh. 5, 9.10 καὶ τῶν ὅτι μάλιστα σφαλερωτάτων, ἀναπείθει γράφων Ἰωάννης ὡδί· ὅτι αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ θεοῦ ὅτι μεμαρτύρηκε περὶ τοῦ υἱοῦ αὐτοῦ. ὁ πιστεύων εἰς τὸν υἱὸν τοῦ θεοῦ ἔχει τὴν μαρτυρίαν τοῦ θεοῦ ἐν ἑαυτῶι· ὁ μὴ πιστεύων τῶι θεῶι ψεύστην πεποίηκεν αὐτόν, ὅτι οὐκ ἐπίστευσεν εἰς τὴν μαρτυρίαν ἣν μεμαρτύρηκεν ὁ θεὸς περὶ τοῦ υἱοῦ αὐτοῦ. μεμαρτύρηκε δὲ ὅτι οὗτος ὁ
PG 1188 μετὰ σαρκὸς καὶ ἐν τῆι τοῦ δούλου μορφῆι μοναδικῶς τε καὶ ἰδικῶς ἐμὸς ἀληθῶς υἱός. καὶ αὐτὴν δὲ τὴν διὰ τοῦ ἁγίου βαπτίσματος εὐκλεᾶ χάριν καὶ τὴν ἐν αὐτῶι ζωοποίησιν καὶ τὴν θεοῦ μέθεξιν δι' ἁγιασμοῦ ἐν πνεύματι διὰ Ἰησοῦ Χριστοῦ πεπρᾶχθαι δώσομεν
Mt. 3, 11 ἀναγκαίως. μεμνήμεθα γὰρ Ἰωάννου λέγοντος· ὁ ὀπίσω μου ἐρχόμενος ἰσχυρότερός μού ἐστιν, οὗ οὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βαστάσαι· ἐκεῖνος ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίωι καὶ πυρί. ἆρ' οὖν, εἰπέ μοι, τῆς καθ' ἡμᾶς ἀνθρωπότητος ἔργον εἶναι φαμὲν τὸ ἐν πνεύματι ἁγίωι βαπτίζειν δύνασθαι καὶ πυρί; καὶ πῶς ἂν εἴη τοῦτό γε; καὶ μὴν ἄνδρα λέγων τὸν ὅσον οὐδέπω παρεσόμενόν τε καὶ ὀφθησόμενον αὐτὸν ἔφη βαπτίζειν ἐν πυρὶ καὶ ἁγίωι πνεύματι, οὐ τὸ ἀλλότριον τοῖς βαπτιζομένοις ἐνιέντα πνεῦμα δουλοπρεπῶς καὶ ὑπουργικῶς, ἀλλ' ὡς θεὸν κατὰ φύσιν μετ' ἐξουσίας τῆς ἀνωτάτω τὸ ἐξ αὐτοῦ τε καὶ ἴδιον αὐτοῦ, δι' οὗ καὶ ὁ θεῖος ἡμῖν ἐνσημαίνεται χαρακτήρ. ἀναμορφούμεθα γὰρ ὡς εἰς εἰκόνα τὴν θείαν, εἰς Χριστὸν Ἰησοῦν, οὐ σωματικὸν ὑπομένοντες τὸν ἀναπλασμόν (κομιδῆι γὰρ εὔηθες οἴεσθαι τουτί), διὰ δὲ τοῦ μεταλαχεῖν ἁγίου πνεύματος αὐτὸν ἐν ἑαυ-
Ies. 61, 10 τοῖς πλουτοῦντες Χριστόν, ὡς ἤδη χαίροντας ἐκεῖνο φωνεῖν ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῶι κυρίωι· ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου καὶ χιτῶνα εὐφροσύνης.
Gal. 3, 27 ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε, φησίν.

37 Εἰ δὲ δή τις ἔροιτο προσιών· ἆρ' οὖν εἰς ἄνθρωπον βεβαπτίσμεθα καὶ τοῦτο εἶναι φήσομεν ἀληθές; καὶ πρός γε ἡμῶν ἀντακούσεται· εὐφήμει, ἄνθρωπε· τί δρᾶις, ὦ οὗτος; κατακομίζεις ἡμῶν εἰς γῆν τὴν ἐλπίδα; βεβαπτίσμεθα γὰρ οὐκ εἰς ἄνθρωπον ἁπλῶς, ἀλλ' εἰς θεὸν ἐνηνθρωπηκότα καὶ ἀνιέντα ποινῆς καὶ τῶν ἀρχαίων αἰτιαμάτων τοὺς τὴν

VM, P [= hk], S, D [= mn], AWU

3 εἶπον A 4 νοεῖται ὁ ἐκ θῦ V ὅτι P προσεπλάκη SD 6 φωνῶν S ἐκπεποιημένης MPSWUΔ ἐκπεμπομένης VDA 7 ηὐδόκησα MDU ἀκούετε αὐτοῦ S 8 ὁ υἱὸσ ἐστὶν SD μου om. SD ἐν om. SD 9 καὶ ὁ MPSAWU ὁ V καὶ D τὸ om. P 10 ὅτι] ὄντι A σφαλερωτέρων D ὧδε SD 11/12 ὅτι — θεοῦ¹ om. S, add. S^{mg} 11 ὅτι] ἣν S^{mg} D 12 μαρτυρίαν τοῦ θῦ VMAWU μαρτυρίαν ἀληθῆ τοῦ θῦ P μαρτυρίαν SD αὐτῶ P 13 τῶ θῶ DAΔ τῶ υἱῶ VMPSWU εἰσ τὸν υἱὸν Σ 14 οὗτος] αὐτὸσ S 15 καὶ om. AW τε om. VMPWU υἱόσ ἐστὶν ἀληθῶσ SD 16 αὐτὸσ S βαπτίσματοσ DAΣΔ πνσ̄ VMPSWU 17 τοῦ θῦ P 18 μεμνησόμεθα S μεμνήσομαι Δ 19 ἐκεῖνος] αὐτὸσ SD 20/21 ἆρ' — πυρί om. P 20 ἄρα οὖν SD ἆρ' V 21 τῶ S βαπτίζειν δύνασθαι] βαπτίζεσθαι D καὶ² om. VMPWU ἂν οὖν P 22 γε om. SD ὅσον om. W οὔπω A 24 θῦ PA 25 τε om. VMPWU ἴδιον] δι' SD 26 εἰς om. PS εἰς om. A ἀναμένοντεσ A 27 οἴεσθαι εὔηθεσ A τουτὶ SDΔ ταυτὶ VMPAWU 28 χαίροντεσ A 30 γὰρ φησιν — ἐνεδύσασθε S γὰρ εἰσ — ἐνεδύσασθε D 32 ἀλήθειαν V γε A τε SD om. VMPWU ὦ ἄνε̄ A ἄνον S 33 καὶ κατακομίζεισ DA κατακομίζων V ἡμῶν τὴν ἐλπίδα εἰσ γῆν S ἡμῶν τὴν ἐλπίδα D εἰσ γῆν ἡμῶν τὴν ἐλπίδα A ἀληθῶσ S 34 ποινῶν SD τὴν om. MPW

εἰς αὐτὸν πίστιν εἰσδεδεγμένους. καὶ γοῦν ὁ θεσπέσιος Πέτρος Ἰουδαίοις ἔφη προσλαλῶν· μετανοήσατε οὖν καὶ βαπτισθήτω ἕκαστος ὑμῶν ἐπὶ τῷι ὀνόματι Ἰησοῦ Act. 2, 38
Χριστοῦ εἰς ἄφεσιν ἁμαρτιῶν καὶ λήψεσθε τὴν δωρεὰν τοῦ ἁγίου πνεύματος. ἀπολύων γὰρ ἁμαρτίας τὸν αὐτῶι προσκείμενον τῶι ἰδίωι λοιπὸν καταχρίει πνεύματι, ὅπερ ἐνίησι μὲν αὐτὸς ὡς ἐκ θεοῦ πατρὸς λόγος καὶ ἐξ ἰδίας ἡμῖν ἀναπηγάζει φύσεως, κοινὸν δὲ ὥσπερ τὸ χρῆμα τιθεὶς τῆι μετὰ σαρκὸς οἰκονομίαι διὰ τὴν ἕνωσιν καὶ ὡς ἄνθρωπος ἐνέπνει σωματικῶς. ἐνεφύσησε γὰρ τοῖς ἁγίοις ἀποστόλοις εἰπὼν λάβετε πνεῦμα Ioh. 20, 22
ἅγιον, καὶ οὐκ ἐκ μέτρου δίδωσι τὸ πνεῦμα κατὰ τὴν Ἰωάννου φωνήν, ἀλλ' αὐτὸς Ioh. 3, 34
ἐνίησιν ἐξ ἑαυτοῦ, καθάπερ ἀμέλει καὶ ὁ πατήρ. καὶ γοῦν ὁ θεσπέσιος Παῦλος, ὅλην ἀποστήσας τὴν ἔν γε τούτωι διαφοράν, ποτὲ μὲν αὐτὸ τῶι θεῶι καὶ πατρὶ προσνέμων ὁρᾶται, ποτὲ δὲ αὖ τῶι υἱῶι. γράφει γὰρ ὧδε· ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί, ἀλλ' Rom. 8, 9. 10 PG 1189
ἐν πνεύματι, εἴπερ πνεῦμα θεοῦ οἰκεῖ ἐν ὑμῖν. εἰ δέ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἐστιν αὐτοῦ. εἰ δὲ Χριστὸς ἐν ὑμῖν, τὸ μὲν σῶμα νεκρὸν διὰ ἁμαρτίαν, τὸ δὲ πνεῦμα ζῶν διὰ δικαιοσύνην. ἄραρεν οὖν ὅτι καὶ ἴδιόν ἐστι τὸ πνεῦμα τοῦ υἱοῦ καὶ οὔτι που μόνον ἧι λόγος ἐστὶ πεφηνὼς ἐκ πατρός, ἀλλ' εἰ καὶ νοοῖτο καθ' ἡμᾶς ἄνθρωπος γεγονὼς ὁ τῶν τῆς θεότητος ἰδιωμάτων ὡς ἐν ἰδίαι φύσει λειπόμενος. καὶ γοῦν αὐτὸς ὑπάρχων ἡ πάντων ζωὴ διὰ τὴν ἐκ ζῶντος πατρὸς ἄρρητον γέννησιν, ζωοποιεῖσθαι λέγεται μεθ' ἡμῶν. πάρα δ' οὖν ὅμως ἰδεῖν χαριζόμενον μὲν τῆι ἰδίαι σαρκὶ τῆς θεοπρεποῦς ἐνεργείας τὴν δόξαν, οἰκειούμενον δὲ αὖ τὰ σαρκὸς καὶ οἱονεί πως καθ' ἕνωσιν οἰκονομικὴν καὶ τῆι ἰδίαι περιτιθέντα φύσει.

88 Ἢ οὐχὶ δὴ μάλιστα πρέπειν ἐρεῖ τις τῶι γε ὄντι κατὰ φύσιν ἐκ θεοῦ πατρὸς λόγωι τὸ ἄνωθεν ἥκειν καὶ ἐξ οὐρανοῦ τὸ ζωογονεῖν δύνασθαι τὰ οἷς ἂν ἐνίεναι βούλοιτο τὴν ζωήν; τί δέ; τὸ δημιουργεῖν, εἰπέ μοι, θεικῶς δοίη τις ἂν εἶναι τῶν ἀνθρωπίνων; οὐδαμῶς. πῶς τοίνυν; ἡμᾶς ζωοποιεῖ μὲν ὡς θεός, πλὴν οὐ μόνωι τῶι μεταλαχεῖν ἁγίου πνεύματος, ἀλλ' ἐδεστὴν παραθεὶς καὶ τὴν ἀναληφθεῖσαν σάρκα. ἔφη γὰρ ὅτι ἀμὴν Ioh. 6, 53
ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. κατακερτομούντων δὲ αὐτὸν τῶν Ἰουδαίων ποτὲ καὶ τὴν ἐπὶ τοῖς ἀμείνοσι ψῆφον ἀνάπτειν οὐκ οἶδ' ὅπως ἐπικεχειρηκότων τῶι μακαρίωι Μωσεῖ εἰρηκότων τε ἀναφανδὸν οἱ πατέρες ἡμῶν ἔφαγον τὸ Ioh. 6, 31. 30
μάννα ἐν τῆι ἐρήμωι, καθώς ἐστι γεγραμμένον· ἄρτον ἐκ τοῦ οὐρανοῦ ἔδωκεν αὐτοῖς φαγεῖν. τί ποιεῖς σὺ σημεῖον, ἵνα πιστεύσωμέν σοι; τί ἐργάζηι, ὡς ἄνωθεν ἡμῖν καὶ ἐξ οὐρανοῦ κατακομίσας τὸ σῶμα; φησίν· ἀμὴν ἀμὴν λέγω ὑμῖν, Ioh. 6, 32. 33
οὐ Μωυσῆς δέδωκεν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ τὸν ἀληθινόν. ὁ γὰρ ἄρτος τοῦ θεοῦ ἐστιν ὁ καταβαίνων ἐκ τοῦ οὐρανοῦ καὶ ζωὴν διδοὺς τῶι κόσμωι. καὶ πρός γε τούτοις πάλιν μόνον οὐχὶ καὶ δακτύλωι καταδεικνὺς ἑαυτὸν ἐν-

---

VM, P [= hk], S, D [= mn], AWU

1 ἐκδεδεγμένους A ἐνδεδεγμένους μᾶλλον δὲ εἰσδεδεγμένους V προσλαλῶν ἔφη V 2 οὖν om. SD 2/3 εἰσ ὄνομα τοῦ κῦ ἰῦ χῦ S 3 ἁμαρτιῶν MSDΣ τῶν ἁμαρτιῶν A ἁμαρτιῶν ὑμῶν VPWU τῶν ἁμαρτιῶν ὑμῶν W^{corr}Δ 4 ἁμαρτιῶν SD 5 ὡς] ὁ W καὶ om. W ἀναπηγάζων MW 6 διὰ om. SW, corr. W 8 κατὰ — φωνὴν τὸ πνα V 9 αὐτοῦ SDA 10 αὐτὸ MSAWUΣ αὐτῶ VPDΔ 11 αὐτῶ τῶ P γὰρ PWUΣΔ δὲ VSDA om. M 12 εἴ τισ δὲ V Χριστοῦ] θῦ W 14 ζῶν VMPWUΣ ζωὴ SDAΔ τὴν δικαιοσύνην SD ἄραρεν] ἄρα γε V 15 υἱοῦ] θῦ SD 16 ὁ MWΣΔ ὁ μὴ VPSDAU 17 λειπόμενον S ὑπάρχει SD διὰ δὲ D ἐκ τοῦ V 17/18 ἀπόρρητον γένεσιν S 18 πάρα δ' οὖν om. W spatio relicto 19 τὴν σάρκα V 21 πρέπον V τε A 22 καὶ om. P coniciam τό (τε) 23 δὲ δὴ D εἶναι om. A ἢ τῶν V 24 ζωοποιεῖ μὲν ἡμᾶσ SD μόνον A 25 σάρκα τοῦ υἱοῦ τοῦ ἀνοῦ D 26 ὅτι ἐὰν S τοῦ^{2} om. M 27 πίετε U αὐτοῦ om. V 28 ποτὲ om. U 28/29 ἐπιχειρηκότων W 29 μωσῆ PSW τὲ MPWUΔ δὲ VSDA ὑμῶν V 30 ἐρήμω καὶ ἀτέθανον κατὰ τὸ W 32 ἀμὴν^{2} om. VP λέγω λέγω U 33 μωσῆσ U οὐρανοῦ] οὐρανοῦ ἀλλ' ὁ πηρ μου δίδωσιν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ VDAΣ 35 δακτύλοισ κατασημαίνων αὐτὸν S 35—p. 68, 1 ἐν σώματι D

Ioh. 6, 51. 56. σώματον ἐγώ εἰμι, φησίν, ὁ ἄρτος ὁ ζῶν ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς. ἐάν
57 τις φάγηι ἐκ τούτου τοῦ ἄρτου, ζήσει εἰς τὸν αἰῶνα. καὶ ὁ ἄρτος δὲ ὃν ἐγὼ
δώσω, ἡ σάρξ μού ἐστιν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. ὁ τρώγων μου τὴν
σάρκα καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει κἀγὼ ἐν αὐτῶι. καθὼς ἀπέστειλέ
με ὁ ζῶν πατὴρ κἀγὼ ζῶ διὰ τὸν πατέρα, καὶ ὁ τρώγων με κἀκεῖνος ζήσει
δι' ἐμέ. καίτοι πῶς οὐκ ἀληθὲς εἰπεῖν ὡς οὐ καταπεφοίτηκε μὲν ἐξ οὐρανῶν ἡ σάρξ,
PG 1192 ἀλλ' ἣν ἐκ παρθένου κατὰ τὰς γραφάς; ἔστι δὲ οὐκ ἐδεστὸς ὁ λόγος, ἀλλ' εἰς ἓν ἄμφω
συλλέγων κατὰ σύμβασιν οἰκονομικὴν τὰ τῶν φύσεων ἰδιώματα διὰ μυρίων ὅσων ἡμῖν
ὁρᾶται λόγων. Νικοδήμωι μὲν γὰρ οὐ συνιέντι τὸ μυστήριον, ἀνακεκραγότι δὲ ἀμαθῶς
Ioh. 3, 9 πῶς δύναται ταῦτα γενέσθαι; εἰ τὰ ἐπίγεια, φησίν, εἶπον ὑμῖν καὶ οὐ πιστεύ-
Ioh. 3, 12. 13 ετε, πῶς ἐὰν εἴπω ὑμῖν τὰ ἐπουράνια, πιστεύσετε; καὶ οὐδεὶς ἀναβέβηκεν
εἰς τὸν οὐρανόν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ υἱὸς τοῦ ἀνθρώπου.
Ἰουδαίοις δὲ πάλιν τὴν ἴσην ἐκείνωι νοσοῦσιν ἀπαιδευσίαν καὶ διαγελᾶν οὐκ οἶδ' ὅπως
Ioh. 6, 61. 62 ἑλομένοις αὐτόν, ἐπείπερ ἔφη ζωοποιὸν καὶ ἐξ οὐρανοῦ τὸ ἴδιον σῶμα, τοῦτο ὑμᾶς σκαν-
δαλίζει; φησίν· ἐὰν οὖν θεωρῆτε τὸν υἱὸν τοῦ ἀνθρώπου ἀναβαίνοντα ὅπου
ἦν τὸ πρότερον; ἢ οὐχὶ τετέχθαι φαμὲν ἐκ γυναικὸς τὸν Ἐμμανουήλ; ποῦ τοιγαροῦν
τὸ πρότερον ἦν ἢ πῶς ἀναβέβηκεν ἔνθαπερ εἶναί φησιν αὐτός, καίτοι τεχθέντος διὰ τῆς
ἁγίας παρθένου τοῦ ἑνωθέντος αὐτῶι σώματος; οὐχὶ δὲ καὶ ἀπρακτεῖν ὁμολογήσαιμεν
ἂν τὴν ἀπὸ γῆς σάρκα πρὸς τὸ δύνασθαι ζωοποιεῖν ὅσον ἦκεν εἰς ἰδίαν φύσιν; πῶς οὖν,
εἰπέ μοι, ζωοποιὸς ἡ σάρξ; ἢ πῶς ἂν νοοῖτο καὶ ἐξ οὐρανοῦ τὸ ἀπὸ γῆς; καθ' ἕνωσιν
δηλονότι τὴν πρός γε φημὶ τὸν ζῶντά τε καὶ οὐρανόθεν λόγον. φρονήσομεν γὰρ ὠδὶ
τὰ λίαν ὀρθὰ καὶ τοῖς ἱεροῖς συμβαίνοντα λόγοις· εἴη γὰρ ἂν οὐχ ἑτέρως καὶ δημιουργὸς
39 θεικῶς καὶ ὅτε μὴ δίχα νοοῖτο σαρκός. συλλήπτορα δὲ τοῦ λόγου ποιήσομαι πάλιν ὠδὶ
Col. 1, 12-20 γεγραφότα τὸν θεσπέσιον Παῦλον· εὐχαριστοῦντες τῶι θεῶι καὶ πατρὶ τῶι ἱκα-
νώσαντι ἡμᾶς εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῶι φωτί, ὃς ἐρρυ-
σατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους καὶ μετέστησεν εἰς τὴν βασιλείαν
τοῦ υἱοῦ τῆς ἀγάπης αὐτοῦ, ἐν ὧι ἔχομεν τὴν ἀπολύτρωσιν, τὴν ἄφεσιν
τῶν ἁμαρτιῶν, ὅς ἐστιν εἰκὼν τοῦ θεοῦ τοῦ ἀοράτου, πρωτότοκος πάσης
κτίσεως, ὅτι ἐν αὐτῶι ἐκτίσθη τὰ πάντα τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ
ὁρατὰ καὶ τὰ ἀόρατα, εἴτε θρόνοι εἴτε κυριότητες εἴτε ἀρχαὶ εἴτε ἐξουσίαι, τὰ
πάντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται, καὶ αὐτός ἐστι πρὸ πάντων καὶ τὰ πάντα
ἐν αὐτῶι συνέστηκε, καὶ αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλη-
σίας, ὅς ἐστιν ἀρχή, πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνα γένηται ἐν πᾶσιν αὐ-
τὸς πρωτεύων, ὅτι ἐν αὐτῶι εὐδόκησεν πᾶν τὸ πλήρωμα κατοικῆσαι καὶ δι'

6—9 Flor. Cyr. 153 πῶς — λόγων
16—21 Flor. Cyr. 154 τετέχθαι — λόγον

VM, P [= hk], S, D [= mn], AWU

1 φησίν om. V ὁ ζῶν om. SD 2 τοῦ ἄρτου τούτου VMPU ζήσει VMPWAU ζήσεται SDΔ δὲ om. SW 3 ἣν ἐγὼ δώσω ὑπὲρ VΣ 5 ζῶ om. M 6 καταπεφοίτηκε μὲν οὐκ VMWU καταπεφοίτηκε μὲν A Flor. Cyr. 7 ἔστι MPSDUΣΔ Flor. Cyr. ὅτι VAW 8 συμβίβασιν P ἡμῖν ὅσων A ἡμῖν ὅσων ἡμῖν Flor. Cyr. ἡμῖν VMPWU 10 εἶπον ὑμῖν φησὶ DA 11 ἂν A πιστεύσητε U 13 δὲ] τὲ V 14 ἴδιον] ἅγιον A 15 θεωρῆτε φησὶ A 16 οὖν V 17 τὸ] τά A ἡ om. A ἔνθα φησὶν εἶναι V αὐτόν SDA καίτοιγε D τεχθέντα SD ἐκ Flor. Cyr. 18 αὐτῆ S τῶι λόγωι Flor. Cyr. σώματος ψυχὴν ἔχοντος τὴν λογικὴν Flor. Cyr. cf. Σ ὁμολογήσαιμ' V ὁμολογήσομεν SA ὁμολογήσωμεν D 20 τῆσ γῆσ SΔ 21 ἐξ οὐρανοῦ SD φρονήσωμεν VMDW ὠδὶ om. V 22 ἂν om. V ἕτεροσ D 23 ὅτι VMPW ποιήσομεν P 24 γράφοντα S οὐρανόφρονα καὶ θεσπέσιον DA 25 ἐν τῆ μερίδι A 27 τῆς ἀγάπης] τοῦ ἀγαπητοῦ A ἧ U 27/28 τὴν ἄφεσιν τῶν ἁμαρτιῶν om. V 29 τὰ² om. SDA τοῖς om. W τὰ³ om. SDA 33 τῶν om. U 34 ηὐδόκησε S

αὐτοῦ ἀποκαταλλάξαι τὰ πάντα εἰς αὐτόν, εἰρηνοποιήσας διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ [δι' αὐτοῦ] εἴτε τὰ ἐπὶ τῆς γῆς εἴτε τὰ ἐν τοῖς οὐρανοῖς. ἰδοὺ δὴ πάλιν ἀναφανδὸν δι' αὐτοῦ, φησί, καὶ εἰς αὐτὸν ἔκτισται τὰ πάντα, καὶ μὴν ὅτι πρὸ πάντων ἐστὶ καὶ ὅτι τὰ πάντα συνέστηκεν ἐν αὐτῷ, καὶ αὐτὸν εἶναί φησι πρωτότοκον ἐκ νεκρῶν, εἰρηνοποιήσαντα διὰ τοῦ αἵματος αὐτοῦ τά τε ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς. εἶτα τίς ὁ ἐκ νεκρῶν πρωτότοκος, εἰ μὴ Χριστὸς Ἰησοῦς, τουτέστιν ἐν σαρκὶ καὶ PG 1193
μετὰ σαρκὸς ὁ λόγος; τεθναίη γὰρ ἂν οὐδαμῶς τό γε ἧκον εἰς ἰδίαν φύσιν θεὸς ὢν ὁ λόγος οὐδ' ἂν νοοῖτο τῶν ὅλων δημιουργὸς καθ' ἡμᾶς ὢν ἄνθρωπος, εἰ μὴ δεδημιούργηκε μὲν ὡς θεός, καὶ εἰ μὴ δίχα σαρκὸς νοοῖτο μετὰ τὴν ἕνωσιν, πρωτότοκος δὲ καὶ ἐκ νεκρῶν καθὸ πέφηνεν ἄνθρωπος, οὐκ ἀποβαλὼν τὸ εἶναι θεὸς διὰ τὴν ἐνανθρώπησιν.

40 Ἴδοις δ' ἂν καὶ ἑτέρωθι διὰ τῶν αὐτῶν ἰόντας λόγων τοὺς πνευματοφόρους. Ἰωάννης μὲν γὰρ ἐν ἀρχῇ φησὶν ἦν ὁ λόγος καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν καὶ θεὸς Ioh. 1, 1-3
ἦν ὁ λόγος. οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν. πάντα δι' αὐτοῦ ἐγένετο καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδέν. Παῦλος δὲ αὖ· εἷς θεὸς ὁ πατήρ, ἐξ οὗ 1 Cor. 8, 6
τὰ πάντα, καὶ εἷς κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα. ἀλλ' εἴπερ ἦν τι μεσολαβοῦν μετὰ τὸ ἡνῶσθαι σαρκὶ τὸν λόγον καὶ εἰς ἑτερότητα καταδιαιροῦν, τὴν ὡς ἐν υἱῶν δυάδι φημὶ κατὰ τὸ τισὶ δοκοῦν, πῶς ἐκτίσθη τὰ πάντα διὰ Ἰησοῦ Χριστοῦ; ἀλλὰ μὴν ἐκτίσθη δι' αὐτοῦ τὰ πάντα. πρόδηλον οὖν ὅτι τὰ φύσει τε καὶ ἰδικῶς ἐνυπάρχοντα τῷι ἐκ πατρὸς ὄντι λόγωι τετήρηται πάλιν αὐτῷι καὶ ὅτε πέφηνεν ἄνθρωπος. ἐπισφαλὲς οὖν ἄρα τὸ διατέμνειν ἀποτολμᾶν. εἷς γὰρ κύριος Ἰησοῦς Χριστὸς καὶ δι' αὐτοῦ τὰ πάντα δεδημιούργηκεν ὁ πατήρ. ἔστι τοιγαροῦν καὶ δημιουργὸς θεϊκῶς καὶ ζωοποιὸς ὡς ζωὴ ἀνθρωπίνοις τε αὖ καὶ τοῖς ὑπὲρ ἄνθρωπον ἰδιώμασιν εἰς ἕν τι τὸ μεταξὺ συγκείμενος. μεσίτης γάρ ἐστι θεοῦ καὶ ἀνθρώπων κατὰ τὰς γραφάς, φύσει μὲν 1 Tim. 2, 5
ὑπάρχων θεὸς καὶ οὐ δίχα σαρκός, ἄνθρωπος δὲ ἀληθῶς καὶ οὐ ψιλὸς καθ' ἡμᾶς, ἀλλ' ὢν 24
ὅπερ ἦν, καὶ εἰ γέγονε σάρξ. γεγράπται γὰρ ὅτι Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμε- Hebr. 13, 8
41 ρον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας. ἢ γὰρ οὐχὶ διὰ τῆς ἁγίας [καὶ θεοτόκου] παρθένου τετέχθαι πιστεύομεν ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς τὸν Ἐμμανουήλ; εἶτα πῶς τοῦτο οὐκ ἀληθές; τὸ δὲ δὴ χθὲς καὶ σήμερον, ὦ φιλόχριστε βασιλεῦ, καιρὸν ἡμῖν τὸν ἐνεστηκότα καὶ τὸν ἤδη παρωιχηκότα κατασημήνειεν ἄν. πῶς οὖν ὁ αὐτὸς εἴη ἂν εἷς γε τὸν παρωιχηκότα, καίτοι γένεσιν οὔπω τὴν κατὰ σάρκα λαχών; οὐκοῦν ἦν ὁ λόγος ἐν 30
ἀρχῇ καὶ ὡς ἐξ ἀιδίου καὶ ἀτρέπτου πεφηνὼς τοῦ θεοῦ καὶ πατρὸς ἔχει καὶ αὐτὸς ἐν ἰδίαι φύσει τὸ ἀίδιόν τε καὶ ἄτρεπτον. ἢ οὐχὶ νεώτατον κομιδῇ καὶ τοῖς τῆς ἐνανθρω-

---

VM, P [= hk], S, D [= mn], AWU

1 καταλλάξαι V 2 τοῦ διὰ V αὐτῷ SD δι' αὐτοῦ MPSDAU om. VWΣΔ εἴτε τὰ] τά τε W τῆς om. A εἴτε τὰ] τά τε W τοῖς om. S 3 φησι δι' αὐτοῦ SD 4 τὰ om. S φησι om. A 5 τῶν νεκρῶν SDA εἰρηνοποιήσασ S αἵματοσ VMPAWUΔ αἵματοσ τοῦ σταυροῦ SDΣ τε om. A τοῖς om. VA ἐπὶ om. S τῆς om. VA 6 ἐκ om. D 7 τεθνάναι M ἂν om. A ἧκον — φύσιν SDA εἰσ — φύσιν ἧκον V εἰσ ἰδίαν φύσιν MPWU θεὸς ὢν om. A 8 ὢν] ὡσ SW 9 μὲν om. SD καὶ SDAΔ κἂν VMPWU νοοῖτ' ἂν A καὶ om. MPA 10 ἄνθρωποσ] εἶναι θεὸσ U 10/11 τὴν ἐνανθρώπησιν — λόγων om. W 10 τὴν om. MU 11 δ' om. D καὶ om. SDA λόγον S 12 γὰρ om. VP φησιν ἐν ἀρχῇ SD 14 οὐδὲ ἕν MSDΔ αὖ om. DA ὁ θσ̄ ὁ U 15 καὶ εἰς — τὰ πάντα om. A 17 δυάδα V φημὶ om. D 17/18 τὰ πάντα — ἐκτίσθη om. MPWU 17 τὰ πάντα SDA ἅπαντα VA 18 οὖν om. VMPWU ἰδίωσ VMPWU 19 τετήρηται] ταῦτα MPWU αὐτῷ] οὕτω A γέγονεν A 21 ἔστι om. SD θεικῶσ] ὡσ θσ̄ SD 22 ζῶν AΣ ἀνθρωπίνωσ SDA 24 οὐχὶ δίχα P ψιλῶσ SD 25 ὅτι om. A 26 οὐ A καὶ θεοτόκου om. Δ 27 φαμὲν καὶ πιστεύομεν SD τοῦ αἰῶνος om. P 28 ἀλήθεια V 28/29 ἐνεστῶτα A 29 ἤδη om. SD κατασημήνοιεν P κατασημαίνη A κατασημαίνει SD ἂν om. SD οὖν om. A ἂν εἴη V γε PUΔ τε VMSDAW 30 καίτοι VMPSUΔ καίτοι γε DAW τὴν κατὰ σάρκα οὔπω VMPWU ἦν om. A 32 ἢ] καὶ A καὶ² om. VS 32—p. 70, 1 ἐνανθρωπίσεωσ W ἐνθρωπήσεωσ P

πήσεως χρόνοις συνδεδραμηκὸς ὄνομα τῶι λόγωι τὸ Ἰησοῦς Χριστός; καὶ μὴν τοῦτο ἡμῖν διὰ πλείστων ὅσων ἐδείχθη λόγων. σύνες οὖν ὅτι Χριστὸν Ἰησοῦν καὶ οὐ μονοειδῶς τὸν λόγον χθές τε καὶ σήμερον τὸν αὐτὸν εἶναί φησι καὶ εἰς τοὺς αἰῶνας. πῶς δ' ἂν
PG 1196 ἔχοι τὸ ἄτρεπτόν τε καὶ τὴν ἐν ταυτότητι διαμονὴν ἡ ἀνθρώπου φύσις, καίτοι κίνησιν ὑπομένουσα καὶ πρό γε τῶν ἄλλων τὴν ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι καὶ ζῆν; διημάρτηκεν οὖν ἄρα ταληθοῦς ἡμῖν τὸ γράμμα τὸ ἱερὸν καὶ τὸν χθὲς οὐκ ὄντα προεῖναί φησι; φαίην ἂν οὐχὶ τοῦτο ἐγώ, πολλοῦ γε καὶ δεῖ (χθὲς γὰρ καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας Χριστὸς Ἰησοῦς)· τὸ δὲ τοῦ λόγου πρεσβύτατόν τε καὶ ἀκλινὲς ἥκιστα μὲν ἀρνήσομαι, καὶ εἰ γέγονε σάρξ, οἰήσομαι δὲ καθ' ἕνωσιν μετὰ τῆς ἰδίας σαρκὸς ὡς χθὲς ὄντα καὶ προυπάρχοντα καταδηλοῦσθαι πάλιν αὐτόν. καὶ γοῦν κατεμυσάττετο μὲν ὁ παράφρων Ἰουδαῖος καὶ καταλιθοῦν αὐτὸν ἐπεχείρει, τὴν πίστιν οὐ προσιέμενος. κατατεθήπει γὰρ ὅτι καίτοι καθ' ἡμᾶς ὁρώμενος ἄνθρωπος τῆς ὑπὲρ ἄνθρωπον ἀρχαιότητος ἑαυτῶι τὸ
Ioh. 8, 58 πρεσβύτερον ἐπεμαρτύρει, λέγων ὡς θεὸς ἀμὴν ἀμὴν λέγω ὑμῖν, πρὶν Ἀβραὰμ γενέσθαι, ἐγὼ εἰμί, ὅτε καὶ πρὸς τοῦτο ἔφασκον ἐκεῖνοι πεντήκοντα ἔτη οὔπω
Ioh. 1, 30 ἔχεις, καὶ Ἀβραὰμ ἑώρακας; ἔφη δὲ καὶ Ἰωάννης· οὗτός ἐστι περὶ οὗ ἐγὼ εἶπον· ὀπίσω μου ἔρχεται ἀνὴρ ὃς ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν. καίτοι πῶς ἄνδρα τε εἰδὼς καί ὀνομάζων τὸν Ἐμμανουὴλ ἔμπροσθέν τε αὐτοῦ καὶ πρῶτον γενέσθαι φησὶ τὸν ὀψιγενῆ τε καὶ μετ' αὐτόν; ἀλλ' ἐρεῖ τις ἴσως· ἔμπροσθεν αὐτὸν καὶ πρῶτον γενέσθαι φησὶ κατά γε τὴν δόξαν, ὥσπερ οὖν ἔπεισί μοι νοεῖν. καὶ μὴν ὅτι κίβδηλόν τε καὶ ἀμαθὲς τὸ τῆιδε νοεῖν, οὐ μακρὸς ἡμῖν διαδείξει λόγος. παραδεξάμενοι γὰρ τὸ ἔμπροσθεν εἰς τὸ ἄμεινον ἐν δόξηι, κατὰ τὸν ἴσον που λόγον καὶ τὸ ὀπίσω φήσομεν τὸ ὡς ἐν εὐκλείαι δεύτερον εὖ μάλα καταδηλοῦν. συμβήσεται τοίνυν ὡς ἐξ ἀνάγκης ἡμῖν τῆς Ἰωάννου δόξης ἡττᾶσθαι Χριστὸν καὶ ὀπίσω δραμεῖν ἀσυνέτως ὑπονοεῖν. ἔφη γὰρ ὅτι ὀπίσω μου ἔρχεται ἀνήρ. ὢ τῆς ἀτοπίας·
Ps. 88, 7 οἰησόμεθα γὰρ οὐχ ὧδε ἔχειν, ἐννενοηκότες ὀρθῶς τὸ ἐν ψαλμοῖς γεγραμμένον ὅτι τίς ἐν νεφέλαις ἰσωθήσεται τῶι κυρίωι; ὁμοιωθήσεται τῶι κυρίωι ἐν υἱοῖς θεοῦ; ἀναθετέον οὖν ἄρα καὶ μετὰ σαρκὸς αὐτῶι τὸ πρεσβύτατον ὡς θεῶι κατὰ φύσιν ἑνωθέντι σαρκὶ καὶ τὰ τῆς ἰδίας φύσεως ἀγαθὰ κοινοποιεῖν εἰωθότι τῶι ἰδίωι σώματι.

42 Τοῦτο δ' ἂν μάθοις ὧδέ τε ἔχον καὶ εἰρημένον ὀρθῶς καὶ ἐξ ἑτέρων εὐθύς, εἴπερ ἔλοιο, μαρτυριῶν. ἔφη μὲν γάρ που θεὸς περὶ τοῦ ἐκ σπέρματος Δαυὶδ τὸ κατὰ σάρκα
Mich. 5, 2 Χριστοῦ δι' ἑνὸς τῶν ἁγίων προφητῶν καὶ σύ, Βηθλεὲμ οἶκος τοῦ Ἐφραθᾶ, μὴ ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα; ἐκ σοῦ μοι ἐξελεύσεται τοῦ εἶναι εἰς ἄρχοντα ἐν τῶι Ἰσραήλ, καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν
1 Cor. 10, 2-4 αἰῶνος· περὶ δέ γε τῶν υἱῶν Ἰσραὴλ ὁ ἱερώτατος Παῦλος ὅτι πάντες εἰς τὸν Μωυσῆν ἐβαπτίσθησαν ἐν τῆι νεφέληι καὶ ἐν τῆι θαλάσσηι καὶ πάντες βρῶμα

VM, P [= hk], S, D [= mn], AWU

1 χσ̄ ισ̄ VMPWU ἡμῖν SDAΔ ἤδη VMPWU ἤδη ἡμῖν Σ 2 καὶ om. SD 3 γε τὸν A ἐχθέσ SD τοὺς om. SD 4 τε om. U ἡ om. A 5 τὴν] τῶν A διήμαρτεν SD 6 τὸ ἱερὸν γράμμα M ἐχθὲσ SD 7 δεῖ] δή A 8 ισ̄ χσ̄ A τε om. SΔ 10 μὲν SDΔ μὲν καὶ VMPWU καὶ A παραφρονῶν VMPWU 11 προιέμενοσ A κατετεθήπει MD 12 ὁρώμενοσ ἀνο̄σ̄ καθ' ἡμᾶσ P 13 πρεσβύτατον SD κατεμαρτύρει PW ἀυὴν² om. P 15 δὲ πάλιν καὶ VP καὶ om. S 15/16 εἶπον ἐγὼ M 16 εἶπον ὅτι S εἶπον ὑμῖν DΣ 17 τὸν εμμανουὴλ καὶ ὀνομάζων P 18 ἑαυτοῦ U 18/19 τὸν ὀψιγενῆ — φησὶ om. A 19 αὐτοῦ W οὖν om. V 20 διδάξει D 22 θήσομεν A καταδηλον S 24 ὅτι om. A 25 ὀρθῶς om. S 26 ὁμοιωθήσεται τῶι κυρίωι om. MPW τίσ ὁμοιωθήσεται S καὶ τίσ ὁμοιωθήσεται UΔ 27 οὖν ἄρα] τοίνυν S τὸ om. S ὡς] ἡ S 28 οἰκείασ VMWU 29 ὧδέ] τῆδε A τε om. SD ἔχων WU ἐξ — εὐθύς] ἐξαιρέτωσ A 30 ἔχοιο A μὲν om. MPSD ὁ θσ̄ P τὸ om. SDA 31 ἁγίων om. P εὐφραθᾶ PSD μὴ VSDUΣ om. MPAWΔ 32 γάρ μοι W 34/35 μωσῆν SA 35—p. 71, 1 βρῶμα τὸ πνευματικὸν VMΔ βρῶμα πνευματικὸν AW τὸ αὐτὸ βρῶμα πνευματικὸν PU τὸ αὐτὸ πνευματικὸν βρῶμα SD

τὸ πνευματικὸν ἔφαγον καὶ πάντες τὸ αὐτὸ πνευματικὸν ἔπιον πόμα. ἔπι- PG 1197
νον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας, ἡ δὲ πέτρα ἦν ὁ Χριστός.
ἄθρει δὴ οὖν ἐν Χριστῷ Ἰησοῦ δεικνύμενον καθ' ἕνωσιν οἰκονομικὴν τὸ ἰδικῶς τοῦ λόγου
πρεσβύτατον. ἢ οὐκ ἐναργὴς ὁ λόγος; τὸν γάρτοι Βηθλεεμίτην ὡς ἄνθρωπον καὶ ἐκ
γυναικὸς ἀπ' ἀρχῆς αἰῶνος τὰς ἐξόδους ἔχειν εὖ μάλα φησίν. ἐν ἀρχῇ γὰρ ἦν καὶ 5
πρὸ παντὸς αἰῶνος ὁ ἐνανθρωπήσας λόγος καὶ αὐτὸς ἦν ἡ πέτρα, δεδιψηκότα τὸν Ἰσραὴλ
τοῖς παρ' ἐλπίδα καὶ ἀδοκήτοις ἐκμεθύσκων νάμασι, καίτοι γεννηθεὶς κατά γε τὴν σάρκα
καὶ τὸ ἀνθρώπινον ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς καὶ κεχρισμένος εἰς τὴν εἰς τόνδε τὸν
κόσμον ἀποστολὴν παρὰ τοῦ θεοῦ καὶ πατρός· κατωνόμασται γὰρ οὐχ ἑτέρου του χάριν
ἀλλ' ἢ διὰ τοῦτο Χριστός, Χριστὸς δὲ ἦν ἡ πέτρα κατὰ τὸν Παῦλον. ἐπαγωνιεῖται δὲ 10
αὖ καὶ συναθλήσει τῷ λόγῳ καὶ ὁ σοφὸς Ἰωάννης, μόνον οὐχὶ καὶ συναγείρων τὰς
φύσεις καὶ συνδέων εἰς ἕνωσιν τῶν ἑκατέραι προσόντων ἰδιωμάτων τὴν δύναμιν. θέα
γὰρ ὅ φησιν· ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς 1 Ioh. 1, 1. 2
ἡμῶν, ὃ ἐθεασάμεθα καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν, περὶ τοῦ λόγου τῆς
ζωῆς, καὶ ἡ ζωὴ ἐφανερώθη καὶ ἑωράκαμεν καὶ μαρτυροῦμεν καὶ ἀπαγ- 15
γέλλομεν ὑμῖν τὴν ζωὴν τὴν αἰώνιον, ἥτις ἦν πρὸς τὸν πατέρα καὶ ἐφα-
νερώθη ἡμῖν. ἰδοὺ τὸν ὄντα ἀπ' ἀρχῆς ὤφθαί τέ φησιν ἐναργῶς, ὑπομεῖναι δὲ καὶ
ἁφήν. ἀνακεκράγει γὰρ ὁ Θωμᾶς· ὁ κύριός μου καὶ ὁ θεός μου, ἀναμετρήσας Ioh. 20, 28
δακτύλωι πλευράν τε τὴν σώματος καὶ τὰς διατρήσεις τῶν ἥλων. γεγενῆσθαι δέ φησι
τοὺς ἁγίους ἀποστόλους καὶ ὁ θεῖος ἡμῖν Λουκᾶς αὐτόπτας τε καὶ ὑπηρέτας τοῦ λόγου. Lc. 1, 2
γέγονε γὰρ ἐμφανὴς ὁ ἀσώματος καὶ ἄπτὸς ὁ ἀναφής, οὐκ ὀθνεῖον ἔχων περίβλημα τὴν 21
ἀπὸ γῆς σάρκα, ἀλλ' ἴδιον αὐτὴν ποιησάμενος ναὸν καὶ ἐν αὐτῇ τε καὶ σὺν αὐτῇ γνω-
ριζόμενος ὡς θεὸς καὶ κύριος. γεγραφότα δὲ οἶσθά που τὸν ἱερώτατον Παῦλον· οὐδεὶς Rom. 14, 7-9
γὰρ ἡμῶν ἑαυτῷ ζῇ καὶ οὐδεὶς ἑαυτῷ ἀποθνήισκει. ἐάν τε γὰρ ζῶμεν,
τῷ κυρίωι ζῶμεν, ἐάν τε ἀποθνήισκωμεν, τῷ κυρίωι ἀποθνήισκομεν. ἐάν 25
τε οὖν ζῶμεν ἐάν τε ἀποθνήισκωμεν, τοῦ κυρίου ἐσμέν. εἰς τοῦτο γὰρ
Χριστὸς ἀπέθανε καὶ ἔζησεν, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσηι.

43 Ἆραρεν οὖν ὅτι κεκυρίευκεν ἀληθῶς νεκρῶν τε καὶ ζώντων ὁ μὴ ἑτέρου του χάριν
πλὴν ὅτι τοῦδέ γε καὶ μόνου τεθνεὼς καὶ ἐγηγερμένος. τίνα δὴ οὖν ἄρα φαμὲν ὡς
ὑπέδυ μὲν θάνατον, ἀνεβίω δὲ αὖ, ἢ τὸν υἱὸν δηλονότι; ἀλλ' ὅτι μὲν τὸν υἱόν, ἅπας τις 30
οὖν, οἶμαι, συννεύσειεν ἄν. τί οὖν ἐροῦμεν; πότερα δὴ οὖν θνητός τέ ἐστι καὶ
φθορᾶι κάτοχος ὁ ἐκ θεοῦ πατρὸς λόγος ἢ πέρα θανάτου καὶ φθορᾶς ἀμείνων ὡς ζωή;
καίτοι πῶς οὐχ ἅπασιν ἐναργὲς ὅτι θανάτου κρείττων ὡς ζωή; εἶτα πῶς γέγονεν
ἐν νεκροῖς καὶ ἐλεύθερος κατὰ τὰς γραφάς; τεθναίη γὰρ ἂν οὔτι που καθ' ἑαυτὸν ὁ λόγος.

VM, P [= hk], S, D [= mn], AWU

1 πόμα πνευματικὸν ἔπιον PU ἔπινον V 2 ἐκ τῆσ U 3—12 δεικνύμενον — προσόντων] δι A 4 βηθλεεμμίτην D βηθλεέμ τὴν S 6 ὁ om. SD θσ̄ λόγοσ VΣ 7 ἀδοκήτωσ SD γε om. SD 8 κεχρημένος M εἰς¹ om. D 9 του] τοῦ δὴ SD 10 ἀλλ' om. VMWU ἦν om. P τὸν νόμον καὶ τὸν παῦλον V 11 τῷ λόγῳ καὶ ἐπαθλήσει SD 12 ἑκατέρῳ W 13 ὅ φησιν] φασιν S 16 τὴν¹ om. A 17 δὲ] τέ A 18 ἀνεκεκράγει D γὰρ] δὲ W 19 τὴν om. MA σώματοσ PUΔ τοῦ σώματοσ VMSDAW 19/20 τοὺσ ἁγίουσ ἀποστόλουσ φησὶ SD 20 θεῖος] θαυμάσιοσ SD 21 ἁπτὼσ S 22 ἐν VMPWUΣ σὺν SDA τε om. V σὺν αὐτῇ VMPWUΣ ἐν ἀρχῇ SD, de A non constat 23 που καὶ V τῶν ἱερωτάτων M 24 ὑμῶν S 25 ἀποθνήσκομεν PU ἀποθνήσκωμεν W 26 ἀποθνήσκομεν S 27 Χριστός om. W καὶ² om. V 28 ὅτι — ζώντων VMAWUΔ ὅτι καὶ νεκρῶν τε καὶ ζώντων κεκυρίευκεν ἀληθῶσ P ἀληθῶσ ὅτι κεκυρίευκε [καὶ κεκυρίευκεν D] καὶ ζώντων καὶ νεκρῶν SD 29 γε καὶ SA τὲ καὶ VMPWU καὶ DΔ τὲ καὶ M 29—p. 72, 3 τίνα δὴ — ἐγηγερμένος om. V 31 πότερα SDA πότερον PΔ ποτέρῳ MWU δὴ οὖν om. SD οὖν om. A τέ om. U 32 ἢ πέρα θανάτου] εἴπερ ἀθάνατοσ A ὡς] ἢ A 33 καίτοι — ζωή om. PΔ θανάτων M κρεῖττον S 34 καὶ ἐν νεκροῖσ ἐλεύθεροσ A ἂν U om. MPSDAW

PG 1200 φαμὲν οὖν ὅτι τεθνεώσης αὐτοῦ τῆς σαρκὸς αὐτὸς τοῦτο λέγεται παθεῖν. οὐκοῦν οὐ δίχα σαρκός, ἐν αὐτῇ δὲ μᾶλλον καὶ μετ' αὐτῆς τὴν τῆς κυριότητος ἀνεδήσατο δόξαν ὁ νόμωι σαρκὸς καὶ φύσει τῆι καθ' ἡμᾶς τεθνεὼς καὶ ἐγηγερμένος, ἀνθρώπινον μὲν τὸ τεθνάναι πάθος, ἐνέργημα δὲ θεικὸν τὸ ἀναβιῶναι δεικνύς, ἵνα δι' ἀμφοῖν γνωρίζηται καθ' ἡμᾶς τε ἅμα καὶ ὑπὲρ ἡμᾶς ὡς θεὸς καὶ τῶν ὅλων γεγονὼς ὁρῶιτο κύριος ὁ καὶ πρὸ σαρκὸς βασιλεύων μετὰ τοῦ ἰδίου πατρός. οὕτως αὐτὸν ὁ Ναθαναὴλ ἐπιγινώσκων
Ioh. 1, 50 ἔφαοκε· ῥαββί, σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ, σὺ εἶ ὁ βασιλεὺς τοῦ Ἰσραήλ, αὐτὸς δὲ
Ioh. 13, 13 τοῖς ἑαυτοῦ μαθηταῖς ὑμεῖς καλεῖτέ με φησὶν ὁ κύριος καὶ ὁ διδάσκαλος, καὶ
Mt. 10, 1 καλῶς λέγετε· εἰμὶ γάρ. ἔργωι δὲ αὐτὸ πιστούμενος ἀνίησι μὲν ἁμαρτίας, ἐξουσίαν δὲ δέδωκε κατὰ πνευμάτων ἀκαθάρτων, ὥστε ἐκβάλλειν αὐτὰ καὶ θεραπεύειν
Act. 3, 6. 2 πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῶι λαῶι. ἐν ὀνόματι γὰρ Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου τεθεράπευται μὲν ὁ τὼ πόδε λελωβημένος καὶ τῆι ὡραίαι προσιζάνων πύληι, ἀρρωστίαν δὲ τὴν οὕτω μακρὰν ἀπεσείσατο καὶ κομιδῆι δυσδιάφυκτον δίεδρα νόσον Αἰνέας,
Act. 9, 34 πρὸς ὃν ὁ θεσπέσιος ἔφη Πέτρος· Αἰνέα, ἰᾶταί σε Ἰησοῦς ὁ Χριστός.

44 Πανταχόθεν οὖν ἄρα συνωθούμενοι πρὸς ἀλήθειαν καὶ τὸ τοῖς ἱεροῖς γράμμασι δοκοῦν ἰχνηλατεῖν εὖ μάλα σπουδάζοντες καὶ ταῖς τῶν πατέρων ἑπόμενοι δόξαις, τὸν ἐκ ῥίζης Ἰεσσαί, τὸν ἐκ σπέρματος Δαυίδ, τὸν ἐκ γυναικὸς κατὰ σάρκα, τὸν μεθ' ἡμῶν ὑπὸ νόμον ὡς ἄνθρωπον καὶ ὑπὲρ ἡμᾶς ὑπὲρ νόμον ὡς θεόν, τὸν δι' ἡμᾶς τε καὶ μεθ' ἡμῶν ἐν νεκροῖς, τὸν ὑπὲρ ἡμᾶς δι' ἑαυτὸν ζωοποιὸν καὶ ζωὴν υἱὸν εἶναι τοῦ θεοῦ κατὰ ἀλήθειαν πιστεύομεν, οὔτε ψιλοῦντες θεότητος τὸ ἀνθρώπινον οὔτε μὴν ἀνθρωπότητος ἀπαμφιεννύντες τὸν λόγον μετὰ τὴν ἄφραστόν τε καὶ ἀπερινόητον ἕνωσιν, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν ὁμολογοῦντες υἱὸν ἐκ δυοῖν πραγμάτοιν εἰς ἕν τι τὸ ἐξ ἀμφοῖν ἀπορρήτως ἐκπε-
45 φηνότα, καθ' ἕνωσιν δηλονότι τὴν ἀνωτάτω καὶ οὐ φύσεως παρατροπήν. ὅσον γὰρ
1 Ioh. 4, 15 οὕτω δοξάζουσι περιέσται τὸ κέρδος, σαφηνιεῖ λέγων ὁ Χριστοῦ μαθητής· ὃς ἂν ὁμολογήσηι ὅτι Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ θεοῦ, ὁ θεὸς ἐν αὐτῶι μένει καὶ αὐτὸς ἐν τῶι θεῶι. ὅτι δὲ Ἰησοῦς Χριστὸς ὁ ἐκ Δαυὶδ κατὰ σάρκα κατὰ φύσιν καὶ ἀληθῶς
Ioh. 1, 14 υἱός ἐστι τοῦ θεοῦ καθὸ γέγονε σὰρξ ὁ λόγος καὶ ἐσκήνωσεν ἐν ἡμῖν, κατασφραγιεῖ λέγων
1 Ioh. 5, 20 ὁ σοφὸς Ἰωάννης· καὶ οἴδαμεν ὅτι ὁ υἱὸς τοῦ θεοῦ ἥκει καὶ ἔδωκεν ἡμῖν διάνοιαν ἵνα γινώσκωμεν τὸν ἀληθινὸν θεόν, καὶ ἐσμὲν ἐν τῶι ἀληθινῶι, ἐν τῶι υἱῶι αὐτοῦ Ἰησοῦ Χριστῶι. οὗτός ἐστιν ὁ ἀληθινὸς θεὸς καὶ ζωὴ αἰώνιος, καὶ δι' αὐτοῦ τε καὶ σὺν αὐτῶι τῶι θεῶι καὶ πατρὶ ἡ δόξα σὺν ἁγίωι πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.

15—21 Flor. Cyr. 155 πανταχόθεν — ἕνωσιν

VM, P [= hk], S, D [= mn], AWU

2 ἐν PWUΣ σὺν SDAΔ μετ' αὐτῆσ MPWUΣΔ ἐν αὐτῇ SD αὐτὴν A ἀνεδήσατο MWUΔ ἀνεδύσατο P ἀνεδέξατο SDA ὁ om. A 3 τεθνηκὼσ SD 5 ὡρῶτο MW, corr. M ὁ om. A 6 ἐπιγινώσκων ὁ ναθαναὴλ [ναθαὴλ S] SD 7 ῥαβὶ A ραββῆ S σὺ βασιλεὺσ εἶ A 10 δ' ἔδωκε P αὐτὰ ἐκβάλλειν D 11 πᾶσαν² om. V ἐν τῶ U 12 τῶ ποδὶ A προσκαθήμενοσ M 13 δυσδιάφευκτον A ἀπέδρα SD 14 Ἰησοῦσ om. V 15 τὴν ἀλήθειαν P 18 τε om. DA μεθ' ἡμῶν ΑΣΔ Flor. Cyr. καθ' ἡμᾶσ μεθ' ἡμῶν SD καθ' ἡμᾶσ VMPWU 19 τὸν] καὶ Flor. Cyr. ἑαυτοῦ Flor. Cyr. 20 ἀνθρώπινον] ἀναληφθὲν Flor. Cyr. ἀνθρωπότητος om. D 21 τε om. S Flor. Cyr. ἀπερινόητον VMPWU ἀπόρρητον SDA Flor. Cyr. 22 υἱὸν VMPWUΣΔ χν̄ SDA δυεῖν D τὸ SDAUΔ τὸν VMW τῶν P 23 οὐ om. S 24 τοῖσ οὕτω SD γράφων DA χῦ θεσπέσιοσ DA 25 αὐτὸσ SDAΔ οὗτοσ VMPWU 26 καὶ om. SD 27 ἐστὶν υἱὸσ SDA κατασφραγίσει SD 28 ἧκε W 29 γινώσκομεν Pm 30 ἡ ζωὴ ἡ SDA ζωὴ ἡ U 31 καὶ om. SD τε om. SD ἡ om. P ἁγίω MPWUΣΔ τῶ ἁγίω S τῶ ἁγίω καὶ προσκυνητῶ καὶ ζωοποιῶ D τῶ ἁγίω καὶ ζωοποιῶ καὶ προσκυνητῶ VA νῦν καὶ ἀεὶ καὶ εἰσ VA 32 τῶν αἰώνων om. VMSD

8 = S 6 A 5. Latine extat in Collectione CT 20

1 Αὐτοκράτορες Καίσαρες Θεοδόσιος καὶ Οὐαλεντινιανὸς νικηταὶ τροπαιοῦχοι μέγιστοι L III 434
ἀεισέβαστοι αὔγουστοι Κυρίλλωι ἐπισκόπωι. Μέλει πλεῖστον θεοσεβείας ἡμῖν, δι' ἣν οἱ M IIII 1109
πλημμελοῦντες ἀξιοῦνται συγγνώμης, οὐ μὴν εὐδόκιμον [τὸ δεῖσθαι συγγνώμης] τοῖς ἐπαινεῖσθαι παρ' ἡμῶν ὀφείλουσι καὶ διὰ τὴν σεπτὴν μάλιστα τιμᾶσθαι θρησκείαν. τοὺς δὲ
ἱερέας χρὴ καὶ ἀπὸ τῆς τῶν ἠθῶν χρηστότητος καὶ ἀπὸ τῆς περὶ τὴν πίστιν ἀκριβείας θαυμάζεσθαι καὶ τὴν ἁπλότητα τοῦ βίου διὰ παντὸς ἐπιδεικνύναι γινώσκειν τε ὡς τὴν ἑκάστου πράγματος φύσιν καὶ τοὺς περὶ τὴν εὐσέβειαν μάλιστα λόγους μᾶλλον ἂν εὕροι
2 ζήτησις ἢπερ αὐθάδεια. καὶ γὰρ ἐξ ἀρχῆς ἡμῖν αὐτοὺς οὐκ ἀπειλή τινος δυναστεύοντος ἢ δυναστεύειν νομίζοντος, ἀλλ' ἡ τῶν ἁγίων πατέρων καὶ τῆς ἱερᾶς συνόδου βουλὴ κατεστήσατο, καὶ παντὶ δῆλον ὡς ἡ θρησκεία τὸ βέβαιον οὐκ ἂν ἐκ κελεύσεως σχοίη μᾶλλον ἢ συναινέσεως. νῦν οὖν ἡμᾶς ἡ σὴ θεοσέβεια διδαξάτω τί δήποτε ἡμῶν, οἷς τοσοῦτον οἶσθα μέλειν ἀεὶ εὐσεβείας, ὑπεριδών, ὑπεριδὼν δὲ καὶ τῶν ἁπανταχοῦ ἱερέων, οὓς συλλεχθέντας ἦν ἄμεινον λῦσαι τὴν ἀμφισβήτησιν, ταραχὴν τό γε ἐπὶ σαυτῶι καὶ χωρισμὸν ταῖς ἐκκλησίαις ἐμβέβληκας, ὡς δὴ τοῖς ὑπὲρ εὐσεβείας λόγοις θρασυτέρας ὁρμῆς
πρεπούσης μᾶλλον ἢ ἀκριβείας καὶ παρ' ἡμῖν αὐτοῖς οὐκ ἐμμελείας πλέον ἰσχυούσης ἢ θράσους καὶ ποικιλίας μᾶλλον ἡμῖν ἢπερ ἁπλότητος ἀρεσκούσης. καὶ μὴν οὐχ οὕτως ἡμῶν τὴν πολλὴν ὠιόμεθα τιμὴν παρὰ τῆς σῆς θεοσεβείας δεχθήσεσθαι οὐδὲ ὥσπερ οὐχὶ
3 καὶ ἀγανακτεῖν εἰδότων ἡμῶν πάντα συνταραχθήσεσθαι· νῦν δὲ μελήσει ἡμῖν τῆς ἱερᾶς γαλήνης. πάντα δὲ ἴσθι συγκινήσας οὐχ' ὡς ἐχρῆν, καὶ θαυμαστὸν οὐδὲν τὸ μέτρον ἐκβεβηκότα μὴ μέχρι τῶν ἐκκλησιῶν καὶ τῶν συνιερέων στῆσαι τὴν ἐπιχείρησιν, ἀλλὰ καὶ περὶ ἡμῶν αὐτῶν πιστεῦσαι τῆς ἡμετέρας τι εὐσεβείας ἀνάξιον. ἢ τίνα εἶχε λόγον ἕτερα μὲν πρὸς ἡμᾶς καὶ τὴν εὐσεβεστάτην αὐγούσταν Εὐδοκίαν τὴν ἐμὴν σύμβιον nr. 7
ἐπιστέλλειν, ἕτερα δὲ πρὸς τὴν ἐμὴν ἀδελφὴν τὴν εὐσεβεστάτην αὐγούσταν Πουλχερίαν; nr. 149
ἢ διχονοεῖν ἡμᾶς ὠιήθης ἢ διχονοήσειν ἤλπισας ἐκ τῶν τῆς σῆς θεοσεβείας γραμμάτων. τοῦτο δὲ καὶ γεγονός, εἴπερ οὕτως εἶχεν, ἐκ περιεργίας εἰδέναι τὸν οὕτω πόρρωθεν ὄντα παντε-

---

8 VM, P [= hk], S, D [= mn], A, WRAᵗAᶜ

inscr. deest VMPWAᵗᶜ Ἴσον σάκρας [σάκρας ἀποσταλείσης D] παρὰ τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως θεοδοσίου πρὸς κύριλλον ἐπίσκοπον ἀλεξανδρείας SD σάκρα ἀποσταλεῖσα τῶ ὁσιωτάτω κυρίλλω A του βασιλεως θεοδοσίου ἐπιστολὴ πρὸσ κύριλλον R

η̄ V ϛ̄ SD 2—3 αὐτοκράτορες — ἐπισκόπω DARAᵗᶜ θεοδόσιος ἔνδοξος θριαμβευτὴς ἀειαύγουστος κυρίλλω ἐπισκόπω VMPW om. S 3 μέλλει VPSD θεοσεβείασ SDARAᵗᶜ ἐν ἄλλω φιλοσοφίασ Aᵐᵍ φιλοσοφίας VMPW 4 εὐδόκιμον SDARAᵗᶜ εὔδαιμον VMPW τὸ δεῖσθαι συγγνώμης VMPWAᶜ om. SDARAᵗ 4/5 τοὺς — ὀφείλοντας P ἡμῖν R 5 σεπτὴν VMPWAᶜ om. SDARAᵗ 7 τοῦ βίου διὰ παντὸσ ἐπιδεικνύναι [ἐπιδεικνύειν V] VMPWAᵗᶜ διὰ παντὸσ ἐπιδεικνῦναι τοῦ βίου SR διὰ παντὸσ ἐπιδείκνυσθαι τοῦ βίου DA 8 τὴν εὐσέβειαν SDARAᵗᶜ τῆς εὐσεβείας VMPW 9 αὐτοὺσ SDARAᵗᶜ αὐτοῖς VMPW 10 δυναστεύειν om. R 11 καὶ VMPWAᵗᶜ καίπερ SR καίτοι DA δῆλον παντὶ M παντί τωι A ἡ om. VMPWR οὐκ ἂν om. S 11/12 σχοίη μᾶλλον ἢ SDRAᵗᶜ ἔχοι μᾶλλον δὲ ἐκ A ἔχοι ἢ μᾶλλον VMPW 12 συναινέσεωσ SAAᵗᶜ συνέσεως VMPWDR ἡμᾶς om. A οἷς VMPWRAᵗᶜ οἳ S οὗσ DA 13 οἶσθα μέλειν VMPW οἶσθα μὲν DAAᵗᶜ ἤσθημεν S οἶσθα R ἀεὶ SDARAᵗᶜ om. VMPW εὐσεβεῖσ DA ὑπεριδὼν ὑπεριδὼν VMPW ὑπεριδὼν SDAᵗᶜ ὑπεριδὼν δὲ AR πανταχοῦ DA 14 συναφθέντασ A ἄμεινον ἦν M τῶ W σὲ αὐτῶ R 14/15 χωρισμὸν SDARAᵗᶜ om. VMPW 15 ὀργῆσ A 16 προσούσησ S αὐτοῖσ SDARAᵗᶜ om. VMPW 17 μᾶλλον VMPW καὶ μᾶλλον τούτων SDARAᵗᶜ ἢπερ ἁπλότητοσ ἀρεσκούσησ SDARAᵗᶜ ἀρκούσης ἢπερ ἁπλότητος VMPW 18 δειχθήσεσθαι SR 18/19 οὐδὲ — συνταραχθήσεσθαι om. R οὐχὶ καὶ MPW καὶ VA om. SD 19 πάντασ A 20 οὐχ' ὡσ ἐχρῆν SDAᵗᶜ ὡς οὐκ ἐχρῆν VMPAWR οὐδὲν SDARAᵗᶜ οὐδὲν ἐν τούτοισ VMPW 21 τῶν τῆσ ἐκκλησίασ SRAᵗᶜ τῆσ ἐκκλησίασ DA καὶ τῶν om. R συνιερέων SDARAᵗᶜ ἱερέων VMPW τὰ τῆς ἐπιχειρήσεως P 22 τῆσ ἡμετέρασ τι SDARAᵗᶜ τι τῆς ἡμετέρας VMPW τίνα μὲν V 25 ἢ SDARAᵗᶜ εἰ μὴ VMPW ὠήθη R ἔλπισασ R 26 καὶ om. W γεγονὼς D περιεργείασ WR

M IIII 1112 λῶς ἐστιν ἐπίψογον, καὶ μὴ γεγονὸς ποιῆσαι βούλεσθαι παντὸς μᾶλλον ἢ ἱερέως. ὁρμῆς μέντοι μιᾶς καὶ τῆς αὐτῆς προθέσεως τά τε τῶν ἐκκλησιῶν τά τε τῶν βασιλέων μέλη χωρίζειν
LIII 435 4 βούλεσθαι ὡς οὐκ οὔσης ἀφορμῆς ἑτέρας εὐδοκιμήσεως. ὡς ἂν οὖν εἰδείης ὁποῖον τὸ ἡμέτερον, καὶ τὰς ἐκκλησίας ἴσθι καὶ τὴν βασιλείαν ἡνῶσθαι καὶ ἔτι μᾶλλον κελευόντων ἡμῶν ἑνωθήσεσθαι σὺν τῇ τοῦ σωτῆρος προνοίαι θεοῦ καὶ δεδόσθαι τῇ σῇ θεοσεβείαι συγγνώμην, ὡς ἂν μὴ πρόφασις εἴη μηδὲ λέγειν δύναιο διὰ τοὺς ὑπὲρ τῆς εὐσεβείας ἐγκεκλῆσθαι λόγους. γυμνασθῆναι γὰρ τούτους ἐπὶ τῆς ἱερᾶς συνόδου βουλόμεθα καὶ κρατεῖν ὡς ἂν καλῶς ἔχειν δόξειεν, εἴτε μεταλαμβάνοιεν συγγνώμης εἴτε μὴ παρὰ τῶν πατέρων οἱ νικηθέντες. ἡμεῖς μέντοι γε συνταράσσεσθαι τὰς πόλεις καὶ τὰς ἐκκλησίας οὐκ ἀνεξόμεθα οὔτε μὴν ἀνεξετάστους ἡμῖν τοὺς λόγους, ὧν κριτὰς προκαθίσαι δεῖ τοὺς τῆς ἁπανταχοῦ προεστῶτας ἱερωσύνης καὶ δι' ὧν ἡμεῖς ἐγκρατέστεροι τῆς ἀληθινῆς δόξης ἐσμέν τε καὶ ἐσόμεθα. πάντως δὲ οὐδεὶς ὅτωι κἂν μικρὸν μέτεστι πολιτείας ἀξίας παρρησιάζεσθαι ἢ τῆς κατὰ τὴν εὐσέβειαν πεποιθήσεως, τὴν τοιαύτην ἀποφυγεῖν αἱρήσεται κρίσιν, ἐπεὶ μηδὲ βουληθέντι τοῦτο ἐξέσται, τῆς ἡμετέρας θειότητος ἐπαινούσης μὲν ἀναγκαίως τοὺς ἐπὶ προθυμίαι θαρροῦντας ἐλθεῖν ἐπὶ τὴν τοιαύτην ἐξέτασιν, οὐκ ἀνεξομένης δὲ εἴ τις κελεύειν μᾶλλον ἢ συμβουλεύειν καὶ συμβουλεύεσθαι περὶ τῶν τοιούτων
5 ἐθέλοι. ὥστε ἥκειν δεῖ σου τὴν εὐλάβειαν κατὰ τὸν χρόνον ὃν τὰ ἕτερα δηλοῖ γράμματα
ep. 25 πρὸς ἅπαντας ἀπεσταλμένα τοὺς τῶν μητροπόλεων ἐπισκόπους, καὶ τὴν παρ' ἡμῶν σχέσιν μὴ ἄλλως ἀνακτήσασθαι προσδοκᾶν, εἰ μὴ πᾶν μὲν λυπηρὸν καὶ ταραχῶδες παύσειας, ἐπὶ δὲ τὴν τῶν ζητουμένων ἔρευναν ἔλθοις ἐθελοντί. καὶ γὰρ ἂν οὕτως δόξειας οὔτε οἰκείαι πεπληγμένος λύπηι οὔτε τινὶ δυσμεναίνων παρὰ τὸ προσῆκον τά τε ἤδη γεγονότα σκληρῶς μὲν καὶ παραλόγως, ὅμως δὲ ὑπὲρ δόξης πεποιηκέναι καὶ τὰ ἑξῆς ἐνδίκως ἐθέλειν· οὐ γὰρ ἑτέρως ἂν ἐθέλοντος ἀνεξόμεθα.

VM, P [= hk], S, D [= mn], AWRΛ^{t}Λ^{c}

1—3 παντὸς — βούλεσθαι om. PSDARΛ^{t} 2 μέλη MΛ^{c} μέλλει W μέλλειν V 3 εἰδείη S εἰδῆς D 4 κελευόντων VMPWDAΛ^{c} καὶ λεγόντων SRΛ^{t} 5 τοῦ σρσ προνοίαι SRΛ^{tc} τοῦ σρσ ἡμῶν προνοίαι DA προνοίαι τοῦ σρς VMW προνοίαι P τοῦ θεοῦ P om. R δεδόσθαι δὲ P 6 μήτε SDAR τῆσ εὐσεβείασ S εὐσεβείας DAR *pietatis* Λ^{tc} τῆς ἐκκλησίας VMPW 6/7 ἐγκεκλεῖσθαι VMW ἐκκεκλήσθαι R *excluderis* Λ^{tc} 8 ἔχειν καλῶσ SR δείξειεν D μεταλαμβάνειεν S καὶ μὴ SDAR 9 κινηθέντεσ P γε om. SDAR συνταράττεσθαι MPWR τοὺσ ἐκκλησίας A 10 οὐδε R ἡμῖν SDARΛ^{tc} εἶναι VMPW 11 καὶ δι' SDARΛ^{tc} δι' VMPW 12 ὅτω MWSDRΛ^{c} οὕτω VPAΛ^{t} κἂν VDARΛ^{t} καὶ MPWSΛ^{c} μέτεστι SDΛ^{t} μέτεστιν αὐτῶ VA ἐστὶ MPW πρόσεστι R πολιτείασ VSDARΛ^{tc} τάσ αἰτίασ MPW 12/13 ἀξίας παρρησιάζεσθαι scripsi ἄξιος [ἀξίως MW] παρρησιάζεσθαι VSDARΛ^{tc} παρρησιάζεσθαι ἀξίως P 13 ἢ τῆσ MPSWRΛ^{c} εἴ τις VDA τῆσ M^{corr} τὴν εὐσέβειαν πεποιθήσεως MPWΛ^{c} τὴν πεποίθησιν SDAΛ^{t} τὴν πεφοίτησιν R πεποίθησιν V τὴν τοιάνδε DAR τὲ τοιάνδε S ἀποφεύγειν R 14 μὴ MPW βουληθέντοσ S τούτω P 14/15 ἐπαινούσης — ἐξέτασιν om. SDARΛ^{t} 15 ὑπὸ M ex corr. προθυμία W προθυμίας VMP 15/16 ἀνεξομένης VMPW ἀνεχομένησ SDARΛ^{tc} 16 δὲ om. SDARΛ^{t} ἤτισ SDARΛ^{t} κελεύει SDAR συμβουλεύει D καὶ SDAWR ἢ VMPΛ^{tc} 17 ἐθέλει DAR ὥστε καὶ SD ὧν P ἕτερα] ἡμέτερα W συγγράμματα S 18 πάντασ SDAR τῶν om. M 19 ὅλωσ S ἄλλοσ R μὲν SDARΛ^{tc} om. VMPW 20 ἔλθησ SDAR ἐθελοντὴσ SDAR ἂν om. R 21 οὔτε] οὐδέ D τι S παρὰ τὸ προσῆκον om. S τε] δὲ R 22 παρὰ λόγον A 22/23 ὅμως — ἀνεξόμεθα om. W spatio relicto 22 ὅμως VAR ὅλωσ MPSDΛ^{tc} τὲ h τὸ Mk ἐθέλειν ἐνδίκωσ VMP 23 οὐ γὰρ ἑτέρως ἂν V οὐ γὰρ ἂν ἑτέρωσ SDA οὐ γὰρ ἑτέρωσ R ὅπερ ἂν Ml' θέλοντασ S

9 = S 15 A 6. epistula Latina extat in Collectionibus Turonensi [Λ^t], Casinensi [Λ^c], Veronensi [Λ^u], Frisingensi [Λ^f], edita est uol. II p. 5. 6

1 Τῶι ἀγαπητῶι ἀδελφῶι Κυρίλλωι Κελεστῖνος. Τῆι ἡμετέραι στυγνότητι τὰ διὰ L III 346
τοῦ υἱοῦ ἡμῶν Ποσειδωνίου τοῦ διακόνου ἀποσταλέντα παρὰ τῆς σῆς ἁγιότητος γράμματα M IIII 1017
ἀπέδωκεν εὐθυμίαν καὶ ἀντικατηλλαξάμεθα τὸ ἥδον πρὸς τὸ λυποῦν. ἀποβλέποντες γὰρ ep. 144
καὶ ἐννοοῦντες ἅπερ εἶπεν ὁ τὴν ἐν Κωνσταντινουπόλει ἐκκλησίαν διεστραμμέναις προσομιλίαις
ταράττειν ἐπιχειρῶν, οὐ σμικρῶι κατ' αὐτὴν τὴν ψυχὴν πεπληγμένοι πόνωι διαφόροις σκέ-
ψεων κέντροις βασανιζόμεθα ἐννοοῦντες ὅπως βοηθηθεῖεν εἰς τὸ ἐμμένειν τῆι πίστει· ὡς
δὲ τὴν ἡμετέραν διάνοιαν εἰς τὰ παρὰ τῆς σῆς ἀδελφότητος γραφέντα μετεστήσαμεν,
ὤφθη ἡμῖν εὐθὺς ἑτοιμοτάτη θεραπεία, δι' ἧς ἡ λοιμώδης νόσος ὑγιεινῶι φαρμάκωι ἀπελα-
θείη, φημὶ δὴ τὴν τῆς καθαρᾶς πηγῆς ἔκροιαν τὴν ἀπὸ τοῦ λόγου τῆς σῆς ἀγάπης ἐκρέ-
ουσαν, δι' οὗ πᾶσα καθαριεῖται ἡ ἰλὺς τοῦ κακῶς διαχεομένου ῥείθρου καὶ πᾶσιν ἀνοίγεται
ὁ τρόπος τῆς δεούσης περὶ τὴν ἡμετέραν πίστιν ἐννοίας. ὥσπερ οὖν ἐκεῖνον καὶ στίζο-
μεν καὶ μεμφόμεθα, οὕτως τὴν σὴν ἁγιότητα ὥσπερ παροῦσαν ἐν τοῖς ἰδίοις γράμμασιν
τῆι τοῦ κυρίου ἀγάπηι περιπλεκόμεθα, ὁρῶντες ὅτι ἓν καὶ τὸ αὐτὸ περὶ τοῦ δεσπότου φρο-
2 νοῦμεν. καὶ θαυμαστὸν οὐδὲν τὸν προνοητικώτατον τοῦ κυρίου ἱερέα ὑπὲρ τοῦ τῆς
πίστεως ἔρωτος τοιαύτηι διαμάχεσθαι ἀρετῆι, ὥστε τῆι ἀτόπωι τῶν ἐναντίων τόλμηι ἀν-
θίστασθαι καὶ τοὺς ἑαυτῶι ἐμπεπιστευμένους τοιαύταις ὑπομνήσεσι βεβαιοῦν. ὥσπερ τοί-
νυν ἐκεῖνα ἡμῖν πικρά, οὕτω ταῦτά ἐστιν ἡδέα· ὥσπερ ἐκεῖνα ἰλυώδη, οὕτω ταῦτα
καθαρά. καὶ χαίρομεν τοσαύτην ἐνεῖναι τῆι σῆι εὐλαβείαι γρηγόρησιν, ὡς ἤδη σε νενικη-
κέναι τὰ ὑποδείγματα τῶν σου προηγησαμένων, γενομένων ἀεὶ καὶ αὐτῶν ἐκδίκων τοῦ
ὀρθοδόξου δόγματος. ἀληθῶς ἐπὶ σοῦ ἁρμόσει ἡ εὐαγγελικὴ μαρτυρία ἡ λέγουσα· ὁ L III 347
ποιμὴν ὁ ἀγαθὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν ἰδίων προβάτων. ἀλλ' Ioh. 10, 11
ὥσπερ σὺ ποιμὴν ἀγαθός, οὕτως ἐκεῖνος οὐδὲ ὡς κακὸς μισθωτὸς κατηγορεῖσθαι ἄξιος, 24
ὃς οὐ διὰ τοῦτο διαβάλλεται ὡς τὰ ἑαυτοῦ καταλιπὼν πρόβατα, ἀλλ' ὅτι ηὑρέθη αὐτὸς Ioh. 10, 12
3 διασπαράττων αὐτά. προσθεῖναι δὲ καὶ ἡμεῖς τινὰ ἐμέλλομεν, ἀγαπητὲ ἀδελφέ, εἰ μὴ
ἑωρῶμέν σε τὰ αὐτὰ φρονοῦντα πάντα ἅπερ φρονοῦμεν ἡμεῖς, καὶ ἐν τῆι βεβαιώσει τῆς M IIII 1020
πίστεως ἐδοκιμάζομέν σε ἔκδικον ἰσχυρότατον. ἀπεδόθη γὰρ ἡμῖν πάντα κατὰ τάξιν
παρὰ τοῦ υἱοῦ ἡμῶν Ποσειδωνίου τοῦ διακόνου ὅσα περὶ τούτου τοῦ πράγματος ἡ σὴ

V, P [= hk], S, D [= mn], AW$\Lambda^t\Lambda^c\Lambda^u\Lambda^f$

inscr. deest VMPW κελεστίνου ἐπισκόπου πρὸσ κύριλλον S κελεστίνου ἐπισκόπου πρὸς τὸν ἀρχι-
επίσκοπον κύριλλον D κελεστίνου ἀρχιεπισκόπου ῥώμησ πρὸσ τὸν ἀρχιεπίσκοπον κύριλλον A θ̄ VMP
ῑε̄ S ῑξ̄ D

3 Τῶι — Κελεστῖνος [cf. Λ^t] om. S [= Λ^c] 4 ἡμῶν om. W ὁσιότητοσ AW 5 ἀπέδω-
κεν VMPW [= Λ] παρέσχηκεν SD παρέσχον A τὸ ἥδον VSDA τὸν δόντα MPW 6 ὁμιλίαισ PA
8 postulatur ἐβασανιζόμεθα τὸ πῶσ A βοηθηθεῖεν S βοηθεῖεν D βοηθηθῆς VMP βοηθηθεὶσ W
βοηθηθῆ A in exemplari Latino deerat *populis* sicut in Λ^f ἐν τῶ A πίστει οὐ κατεδέξατο W
9 ἔννοιαν S 10 ἠπίω A 11 καθαρᾶς] καθ' ἡμᾶσ W 12 καθαριεῖται VPW καθαρεῖται M
καθαίρεται SD καθαιρεῖται A ἡ om. A ἰσχὺσ MPW 13/14 καὶ στίζομεν καὶ om. V
14 γράμμασιν om. M 15 ὁρῶντες SDA [= Λ] εἰδότες VMPW 16 τοῦ κυρίου VPWS [= Λ] τοῦ
χυ A χριστὸν D 17 τοιαύτη VMPW μετὰ τοσαύτησ SD μετὰ τοιαύτησ A in exemplari Latino lege-
batur siue intellegebatur *hac* pro *ac* ἀρετῆσ SDA ὥστε VMPW [= Λ] ὡσ καὶ SDA 17/18 ἀν-
θίστασθαι δύνασθαι SDA 18 ἑαυτοῦ S αὐτῶ VA αὐτὴν W ἐμπιστευσαμένους P 20 εἶναι P
ἐνεῖναι ὁρῶντες SD ἐνοῦσαν ὁρῶντεσ A εὐσεβεία S γρήγορσιν M ἐγρήγορσιν SD σε om.
VMPW 21 γενομένων om. V 22 ὁρθοῦ DA ἀληθῶσ DA [= Λ] ἀληθῶσ τὲ VMPSW ἁρμόσει VMPW
ἁρμόζουσα εὑρίσκεται SDA *potest ... conuenire* Λ 23 καλὸσ S τῶν ἰδίων προβάτων VMPW τῶν
προβάτων τῶν ἰδίων SD τῶν προβάτων A 24 οὕτοσ P 25 ἑαυτοῦ] ἐκείνου M 26 προ-
σθεῖναι VMW προθεῖναι P προστιθέναι SDA 27 σε om. W ταῦτα πάντα φρονοῦντα S τὰ αὐτὰ φρονοῦν-
τα P καὶ ἡμεῖς καὶ V 28 σοι S ἰσχυρότατον εἶναι SDA κατὰ τάξιν πάντα V 29 πα-
ρὰ SDA [= Λ] διὰ VMPW τούτου om. A

ἁγιότης γεγράφηκεν. πάντα τὰ δίκτυα τῆς δολερᾶς προσομιλίας ἐγύμνωσας καὶ οὕτως τὴν πίστιν ὠχύρωσας, ὡς μὴ δύνασθαι τὴν καρδίαν τῶν τῶι Χριστῶι καὶ θεῶι ἡμῶν πιστευ-
4 όντων εἰς ἕτερον ἑλκυσθῆναι μέρος. μέγας οὗτός ἐστι τῆς ἡμετέρας πίστεως θρίαμβος τὸ καὶ ἀποδεῖξαι τὰ ἡμέτερα οὕτως ἰσχυρῶς καὶ νενικηκέναι τὰ ἐναντία διὰ τῆς τῶν θείων γραφῶν μαρτυρίας. τί λοιπὸν διαπράξεται ἢ ποῦ ἑαυτὸν ἐκεῖνος περιστρέψει; ὃς γενόμε- 5
νος ἐραστὴς ἀσεβοῦς νεωτερισμοῦ, ὡς ἐβούλετο ταῖς ἑαυτοῦ μᾶλλον ἐννοίαις δουλεύειν ἢ τῶι Χριστῶι, τὸν ἐμπιστευθέντα ἑαυτῶι δῆμον βλάψαι ἠθέλησε τῶι τῆς ἰδίας προσομιλίας
Tit. 3, 9 δηλητηρίωι, δέον καὶ ἀναγνῶναι τοῦτο καὶ κατέχειν ὅτι τὰ μάταια ζητήματα καὶ μὴ προκόπτοντα εἰς ὑγίειαν, ἀλλὰ χωροῦντα εἰς ψυχῶν ἀπώλειαν φεύγειν μᾶλλον ἢ ἐπιζητεῖν δεῖ.
5 ἀλλ' ὅμως εἰς κρημνοὺς αὐτὸν ἐπειγόμενον, μᾶλλον δὲ ἤδη ἐν αὐτῶι τῶι κρημνῶι ὄθεν 10
πεσεῖται, διάγοντα, εἴ γε δυνάμεθα, ἀνακαλεῖσθαι ὀφείλομεν, μὴ τὴν πτῶσιν αὐτοῦ τῶι μὴ βοηθεῖν προσωθήσωμεν. ὁ Χριστὸς ὁ θεὸς ἡμῶν, ὧι ἐπάγεται ζήτησις περὶ τῆς ἰδίας
Lc. 15, 4-5 γεννήσεως, ἐδίδαξεν ἡμᾶς κάμνειν ὑπὲρ προβάτου ἑνός, θέλων καὶ διὰ τῶν ἰδίων ὤμων ἀνακαλεῖσθαι, μὴ ἐκκέηται τῶι λύκωι εἰς ἁρπαγήν· εἶτα ὁ διδάξας ἡμᾶς οὕτως δραμεῖν ὑπὲρ σωτηρίας προβάτου ἑνός, πῶς ἄρα ἡμᾶς κάμνειν βούλεται ὑπὲρ αὐτοῦ τοῦ τῶν προβάτων 15
ποιμένος; ὃς τῆς προσηγορίας ταύτης καὶ τοῦ ἐπαγγέλματος ἐπιλελησμένος αὐτὸς ἑαυτὸν εἰς ἁρπαγὴν λύκου μετήλλαξεν, ἐπιθυμῶν ἀπολέσαι τὴν ἀγέλην ἣν αὐτὸς ὤφειλε συντηρῆσαι.
6 τοῦτον οὖν ἡμεῖς ἀπὸ τῆς περικλείσεως τῶν ἀμνῶν ἀποκινῆσαι ὀφείλομεν, ἐὰν μὴ αὐτόν,
Ez. 32, 11 ὡς θέλομεν, διορθωσώμεθα. εἴη ἔτι συγγνώμης ἐλπὶς διορθούμένωι· θέλομεν γὰρ ἵνα ὑποστρέψηι καὶ ζήσηι, εἰ μὴ αὐτὸς τὴν ζωὴν τῶν ἐμπεπιστευμένων ἑαυτῶι ἀπολέσειεν· 20
εἴη δέ τις φανερὰ ἀπόφασις κατ' αὐτοῦ ἐμμένοντος. ἐκκοπτέον γὰρ τὸ τοιοῦτον τραῦμα,
cf. Mt. 5, 29 δι' οὗ οὐχ ἓν μέλος βλάπτεται, ἀλλὰ πᾶν τὸ σῶμα τῆς ἐκκλησίας τιτρώσκεται. τί γὰρ ποιεῖ μετὰ τῶν ἀλλήλοις ὁμονοούντων, ὃς μόνος ἑαυτῶι φρονεῖν δοκῶν ἀπὸ τῆς ἡμετέρας
L III 350 διχονοεῖ πίστεως; ὅθεν μενέτωσαν ἐν τῆι κοινωνίαι οὓς αὐτὸς ἀντιλέγοντας αὐτῶι ἀπεκίνησε τῆς κοινωνίας, καὶ γινωσκέτω ὅτι αὐτὸς τὴν ἡμετέραν κοινωνίαν ἔχειν οὐ δύναται, 25
ἐὰν ἐν ταύτηι τῆι τῆς διαστροφῆς ὁδῶι παραμείνηι ἐναντιούμενος τῆι ἀποστολικῆι διδαχῆι.
7 συναφθείσης σοι τοίνυν τῆς αὐθεντίας τοῦ ἡμετέρου θρόνου, τῆι ἡμετέραι διαδοχῆι χρη-

VM, P [= hk], S, D [= mn], AWΛ^{t}Λ^{c}Λ^{u}Λ^{f}

1 δολερᾶς SDA δολίας VMPW 2 τῶι om. P καὶ om. M τῶ P 3 ἐστι om. A ὁ θρίαμβος P 4 τὸ καὶ DA [= Λ] τὸ VMPSW καὶ SDA [= Λ] καὶ οὕτως VMPW 5 μαρτυρίας ἐδείχθη DA ποῦ λοιπὸν W αὐτὸν V περιστρέψει VMPW περιαγάγοι SDA *circumferat* Λ 6 ἀσεβοῦς om. P ὡς VDA [= Λ] δσ MPSW μᾶλλον ταῖς ἑαυτοῦ VMPW δουλεύων D 7 ἢ τῶ χῶ MPW [= Λ] ὤφθη ἑαυτῶ ἢ [μᾶλλον ἢ A] τῶ χῶ ἑξακολουθῶν καὶ VSDA αὐτῶ PDA ἠθέλησε VMPW [= Λ] ἐσπούδασε SDA 8 ἀναγνόντι W τοῦτον DA τὰ om. A τὸ S 8/9 προκόπτοντα εἰς ὑγίειαν VMPW εἰσ ὑγείαν προκόπτοντα SDA 10 αὐτοὺς V om. D ἐπεισαγόμενον SD ἐπιγενόμενον A ἐν om. S 11/12 μὴ — προσωθήσωμεν om. M τῶ μὴ βοηθεῖν VS [= Λ] τῶ βοηθεῖν PDW τοῦ βοηθεῖν A προσωθήσομεν DA προσωθίσομεν W ὡσ ἐπαγγέλλεται A 13 γενέσεωσ A περὶ P θέλειν S καὶ om. P ὤμων om. W spatio relicto ἡμῶν DA 14 ἀνακεῖσθαι S καὶ μὴ M ὡς μὴ D δραμεῖν VMPW τρέχειν SDA 15 ὅπωσ A πόσον SD τῶν om. P 16 ὅσον S τοῦ om. MW αὐτὸν ἑαυτὸν D 17 ἁρπαγὴν λύκου MPW [= Λ] ἅρπαγα λύκον VSm^{corr} A ἅρπαγμα λύκον D μετήλλαξεν VMPW μετέβαλεν SDA μᾶλλον ὤφειλε S 18 καὶ ἡμεῖσ S περικλείσεωσ VMPW μάνδρασ SDA τὸν αὐτὸν S ἑαυτὸν DA 19 ἐθέλομεν A διορθωσώμεθα VMP [= Λ] διορθωσόμεθα W σπουδάσωμεν διορθώσασθαι S σπουδάση διορθώσασθαι DA εἴη Λ ἢ εἰ MPW εἰ VSDA διορθουμένωι MPW *corrigenti* Λ διορθωθησομένω [διορθωθησομένου S] δυνήσεται περιλείπεσθαι VSDA 20 ἐπιστρέψη P τῶν ἐμπεπιστευμένων τὴν ζωὴν S αὐτῶ PDA 21 εἴη VMPW ἔσται SDA 22 διατιτρώσκεται V 23 ὃς VMPW [= Λ] ὁ SDA ἑαυτὸν S φρονεῖν δοκῶν VMPW δοκῶν φρονεῖν ἄριστα SDA καὶ ἀπὸ DA 24 διχονοεῖ VMPW [= Λ] διχονοῶν SDA μενέτωσαν ἐν τῆ κοινωνία VMPW [= Λ] μένειν ἑαυτούσ πάντεσ ἐν τῆ ἡμετέρα κοινωνία εἰδέτωσαν [ἰδέτωσαν SD] SDA 25 κοινωνίας ὡς ἐνόμισε SDA γινωσκέτω VMPW [= Λ] γινωσκέτωσαν SD om. A δυνήσεται VMPW 26 ἐν om. SDA διαμείνη S διατάξει S 27 τοίνυν σοι M καὶ τῆ SDA διαδοχῆ MW [= Λ] δοχῆ P τοῦ τόπου διαδοχῆ ἐπ' ἐξουσία VSDA

σάμενος ταύτην ἐκβιβάσεις ἀκριβεῖ στερρότητι τὴν ἀπόφασιν ἵνα ἢ ἐντὸς δέκα ἡμερῶν ἀριθμουμένων ἀπὸ τῆς ἡμέρας τῆς ὑπομνήσεως ταύτης τὰ κακὰ κηρύγματα ἑαυτοῦ ἐγγράφωι ὁμολογίαι ἀθετήσηι καὶ ἑαυτὸν διαβεβαιώσηται ταύτην κατέχειν τὴν πίστιν περὶ τῆς M IIII 1021
γεννήσεως τοῦ Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἣν καὶ ἡ Ῥωμαίων καὶ ἡ τῆς σῆς ἁγιότητος ἐκκλησία καὶ ἡ καθόλου καθοσίωσις κατέχει, ἢ ἐὰν μὴ τοῦτο ποιήσηι, εὐθὺς ἡ σὴ ἁγιότης ἐκείνης τῆς ἐκκλησίας προνοησομένη μάθηι αὐτὸν παντὶ τρόπωι ἀπὸ τοῦ ἡμετέρου σωματίου ἀποκινητέον, ὃς οὔτε τῶν θεραπευόντων ἴασιν ἠθέλησε καταδέξασθαι καὶ εἰς ἀπώλειαν αὐτοῦ τε καὶ πάντων τῶν αὐτῶι ἐμπεπιστευμένων καθὼς λοιμώδης ἠπείχθη.

8 Τὰ δὲ αὐτὰ ἐγράψαμεν πρὸς τοὺς ἁγίους ἀδελφοὺς καὶ συνεπισκόπους ἡμῶν Ἰωάννην Ῥοῦφον Ἰουβενάλιον καὶ Φλαβιανόν, ἵνα φανερὰ ᾖι ἡ περὶ αὐτοῦ ἡμῶν, μᾶλλον δὲ ἡ τοῦ Χριστοῦ ἡμῶν θεία ἀπόφασις.

10 = S 16 A 7. Latina epistula extat in Collectionibus Turonensi [Λ^t], Casinensi [Λ^c], Veronensi [Λ^u], Frisingensi [Λ^f], Vaticana [Λ^l], edita est uol. II p. 7—12

1 Τῶι ἀγαπητῶι ἀδελφῶι Νεστορίωι Κελεστῖνος. Ἐφ' ἡμέρας τινὰς τῆς ζωῆς ἡμῶν L III 354
μετὰ τὸ ἀνόσιον καὶ πολλάκις κατακριθὲν δόγμα Πελαγίου καὶ Κελεστίου ἡ καθολικὴ πίστις M IIII 1025
εἰρήνευσεν, ὁπότε ἐκείνους μετὰ τῶν ἑπομένων τῆι δόξηι αὐτῶν ἥ τε Ἀνατολὴ καὶ ἡ Δύσις
ἀκοντίωι συμφωνούσης ἀποφάσεως ἔπληξεν. αὐτίκα ὁ τῆς ἁγίας μνήμης Ἀττικὸς ὁ διδάσκαλος τῆς καθολικῆς πίστεως καὶ ἀληθῶς τοῦ μακαρίου Ἰωάννου καὶ εἰς ταῦτα διάδοχος οὕτως ἐκείνους ἐδίωξεν ὑπὲρ τοῦ κοινοῦ βασιλέως, ὥστε αὐτοῖς μηδὲ τοῦ ἐκεῖ ἑστάναι ἄνεσιν συγχωρηθῆναι. ἔσχεν ἡμᾶς μετὰ τὴν ἐκείνου ἔξοδον οὐχ ἡ τυχοῦσα φροντὶς ἐκδεχομένους
πότερον ὁ ἐκεῖνον διαδεξόμενος εἴη αὐτοῦ καὶ εἰς τὴν πίστιν διάδοχος, ἐπειδὴ δυσχερές ἐστιν ἐκτείνεσθαι τὰ καλά· πολλάκις γὰρ ἑαυτὰς ἀμοιβαδὸν αἱ ἐναντιότητες διαδέχονται. ἀλλ' ἐσχήκαμεν μετ' ἐκεῖνον· τὸν μέλλοντα ἡμᾶς ταχέως καταλιπεῖν τὸν ἅγιον Σισίνιον εὐδοκιμήσαντα ἐπί τε ἁπλότητι καὶ ἁγιότητι κοινωνόν, αὐτὴν τὴν πίστιν ἣν εὗρε, κηρύττοντα.
ἀνεγνώκει δηλαδὴ ἡ ἁπλῆ ἐκείνη εὐλάβεια καὶ εὐλαβὴς ἁπλότης δεῖν μᾶλλον φοβεῖσθαι ἢ Rom. 11, 20

VM, P [= hk], S, D [= mn], AW$\Lambda^t\Lambda^c\Lambda^u\Lambda^f$

1 ἵνα om. P ἢ VMPW [= Λ] εἰ μὴ SDA ἡμερῶν δέκα M 2 τῆς ὑπομνήσεως VMPW [= Λ] τῆσ κατὰ τὴν ὑπόμνησιν ταύτην SDA 3 ὁμολογία ἀθετήσηι VMPW ἀναθεματίσηι [ἀναθεματίσει SA] ὁμολογία SDA 4 γενέσεωσ A τοῦ^2 om. W χῦ τοῦ θῦ VPW [= Λ^{tuf}] χῦ καὶ θῦ SDA [= Λ^c] ἡ τῆσ ῥωμαίων DA 4/5 ἐκκλησία om. S 5 καθοσίωσις VMPW [= Λ] θρησκεία SDA κατέχει VMPW [= Λ] κηρύττει SDA ἢ — ποιήσηι VMPW [= Λ] om. SDA ὁσιότησ SDA 6 προνοησομένη Λ προνοησαμένη VMPW ποιήσηται πρόνοιαν καὶ SDA αὐτὸν VMPW ἑαυτὸν SDA ἀπὸ om. SDA 7 ἀποκινητέον VMPW ἀποκινητέον τυγχάνειν SDA τὴν τῶν SD δέξασθαι S 8 αὐτοῦ VMPW ἑαυτοῦ SD καθ' ἑαυτοῦ A πεπιστευμένων VMPW καθὼσ [καθὰ MP] λοιμώδησ MPW *male pestifer* Λ δυστρόπωσ καὶ ὡσ [οἷα A] λοιμώδησ νόσοσ SDA οἷα λοιμώδης νόσος V ἠπείχθη MP [= Λ] ὑπείχθη W ἠπείχθη δραμεῖν διὰ παντόσ τοῦ τῆσ ἐκκλησίασ σώματοσ ἑλαυνόμενοσ VSDA 9—11 Τὰ — ἀπόφασις VMPW [= Λ] om. SDA

10 VM, P [= hk], S, D [= mn], AW$\Lambda^t\Lambda^c\Lambda^u\Lambda^f\Lambda^l$

inscr. deest in VMPW τοῦ αὐτοῦ πρὸσ νεστόριον SA τοῦ αὐτοῦ κελεστίνου πρὸσ νεστόριον D ῑ VMP ῐ̄ς S ῐ̄ε D

14 Τῶ — κελεστῖνος VMPW [= Λ^{tcl}] τῶ ἁγιωτάτω ἀδελφῶ νεστορίω κελεστῖνος ἐν κυρίω χαίρειν D om. SA 15 τὸ τὸ W καὶ om. W καὶ om. M κελεστίνου MSAW, corr. S 16 ἠρεύνησεν P αὐτῶν τῆ δόξη P καὶ δύσισ MA 17 συμφωνούντων S 19 ἐκεῖνοσ VMP om. A αὐτοὺσ MPSW μήτε VDA μὴ MPW 20 ἐκείνου om. S ἐκδεχομένουσ om. VMPW 21 διαδεξόμενοσ D διαδεξάμενοσ VMPSAW 22 αἱ om. P 23 ταχέωσ om. mA διαδέχεσθαι mA γρ καταλιπεῖν m in mg. σισίννιον MD 24 τε τῆ V αὐτὸν P 25—78, 1 ἀνεγνώκει — ζητεῖν om. W spatio relicto 25 γὰρ δηλαδὴ M ἡ ἁπλῆ ἐκείνη VA ἐκείνη ἡ ἁπλῆ MPSD εὐλάβεια VMPA εὐσέβεια SD εὐλαβὴς VMPA ἡ εὐσεβὴς SD δεῖ P

Sir. 3, 22 ἰδίας συνέσεως βάθος ζητεῖν, καὶ ἀλλαχοῦ· μὴ δεῖν ἀνερευνᾶν τὰ βαθύτερα, καὶ πάλιν· εἴ
Gal. 1, 8 **2** τις ἄλλο κηρύξειεν παρ' ὃ ἐκηρύξαμεν, ἀνάθεμα εἴη. ἀλλὰ καὶ τούτου ἐκ τοῦ κόσμου μεθισταμένου, ὡς ἡ ἡμετέρα φροντὶς ἐπὶ τοσοῦτον ἑαυτὴν ἐξέτεινεν, ἐφ' ὅσον ὁ κύριος ἐπέτρεψεν, ἐχαροποίησεν ἡμῶν τὴν ψυχὴν ἡ διήγησις τῶν ἐρχομένων ἀγγέλων, ἣν εὐθέως ἐβεβαίωσεν ἡ τῶν ἡμετέρων κοινωνῶν ἀναφορὰ τῶν παραγενομένων τῇ σῇ χειροτονίαι, 5
οἵτινες τοσοῦτόν σοι ἐμαρτύρησαν ὅσον ἐχρῆν τῶι ἀλλαχόθεν ἐπιλεχθέντι. μετὰ τοσαύτης πρότερον ὑπολήψεως ἔζησας, ὥστε καὶ ἐφθόνησε τοῖς σοῖς ἀλλοτρία πόλις· μετὰ τοσαύτης δὲ νῦν ἀτοπίας φευκτέον σεαυτὸν παρεσκεύασας, ὡς τοὺς σοὺς ἐν ἀλλοτρίοις ὁρᾶν ὅπως
3 ἀπηλλάγησαν. πρώην ἐδεξάμεθα τὰς σὰς ἐπιστολάς, αἷς ἐν στενῶι οὐκ ἠδυνήθημεν ἀποκρίνασθαι· ἔδει γὰρ τὸν λόγον εἰς Ῥωμαικὸν μεταβληθῆναι. ὅπερ ὡς βραδέως διὰ τὴν 10
ἀνάγκην ποιοῦμεν, ἐδεξάμεθα τοιαῦτα περὶ σοῦ γράμματα τοῦ ἁγίου ἀδελφοῦ καὶ συνεπισκόπου μου Κυρίλλου τοῦ δοκιμωτάτου ἱερέως διὰ τοῦ υἱοῦ μου Ποσειδωνίου τοῦ διακόνου, ἀφ' ὧν σφόδρα ἐλυπήθημεν ἀπολωλέναι τῶν περὶ σοῦ ἀνενεγκόντων τὴν μαρτυρίαν. καλὰς γάρ σου τὰς ἀρχὰς κακή, ὡς ὁρῶμεν, ἀπόβασις διεδέξατο, καλὰς φημὶ ἀρχὰς τὰς παρ' ἡμῖν οὕτω φημισθείσας, ὡς δεῖξαι ἡμᾶς ἐν τῇ ἀποκρίσει τῇ πρὸς τὴν ἀναφορὰν τῶν 15
ἀδελφῶν ὅπως ἦμεν κοινωνοὶ τῆς χαρᾶς· ἀλλὰ νῦν ἐννοοῦντες καὶ τὴν περὶ σοῦ μέμψιν τοῦ προειρημένου ἀδελφοῦ καὶ τὰς σὰς ἐπιστολὰς ἑρμηνευθείσας, αἵτινες φανερὰς περιέχουσι
Gal. 4, 20 βλασφημίας, ὁρῶμεν ὅτι λεκτέον παρ' ἡμῶν τὸ ἀποστολικὸν ἐκεῖνο· ἤθελον ἀλλάξαι μου τὴν φωνήν, ὅτι καταισχύνομαι ἐν ὑμῖν. μᾶλλον δὲ ἤλλαξα, εἰ μὴ ἑαυτὸν ἀπὸ τοῦ
1 Cor. 5, 13 κρημνοῦ ἀνακαλέσειεν ὁ ἀσεβὴς προσομιλητής· ἀνάγκη γάρ ἐστιν ἵνα ἀφ' ἡμῶν αὐτῶν τὸ 20
κακόν, ὥσπερ ἐκελεύσθη, ἀποστήσωμεν.

L III 355 **4** Ἀνέγνωμεν τοίνυν τῶν ἐπιστολῶν τὸ ὕφος καὶ τὰς βίβλους τοῦ μεγαλοπρεπεστάτου ἀνδρὸς τοῦ υἱοῦ ἡμῶν Ἀντιόχου ἀποδιδόντος ὑπεδεξάμεθα. ἐπὶ ταύταις ἀνιχνευθεὶς μὲν ἡμῖν καὶ εὑρεθεὶς καὶ κατασχεθείς, πολυλαλίαι τινὶ ἐξωλίσθανες, τἀληθῆ τοῖς σκοτεινοῖς ἐγκαλύπτων καὶ πάλιν συγχέων ἑκάτερα τῶι ὁμολογεῖν μὲν τὰ ἀρνηθέντα, ἐπιχειρεῖν δὲ 25
ἀρνεῖσθαι τὰ ὡμολογημένα· ἐν δὲ ταῖς σαῖς ἐπιστολαῖς φανερὰν ἀπόφασιν οὐχ οὕτως περὶ τῆς ἡμετέρας πίστεως ὡς περὶ σεαυτοῦ ἐξήνεγκας, θέλων περὶ τοῦ θεοῦ λόγου ἄλλως κηρῦξαι ἢπερ ἡ
5 πάντων πίστις ἔχει. ἰδοὺ νῦν εἰς οἵαν καλούμεθα ἀπόφασιν περὶ σοῦ· ἰδοὺ οἷαί εἰσιν αἱ εὐεργεσίαι τῶν σῶν καινοτήτων. ἀφ' οὗ ἀγνοούμενος μὲν ἐπελέχθης, γνωσθεὶς δὲ κατηγορήθης, λοιπὸν
Rom. 8, 26 μετὰ τοῦ τῶν ἐθνῶν διδασκάλου λεκτέον· τί γὰρ εὐξόμεθα ὡς χρή, οὐκ ἴσμεν. ἆρα οὐ ταῦτα 30
τὰ ῥήματα ἐκείνηι τῆι ἐκκλησίαι πρέπει, ἥτις δεδοκιμασμένων ἐν αὐτῆι ἀνθρώπων κατεφρόνησεν, ἀκολουθήσασα τῆι σῆι φήμηι, οὐ τῆι γνώσει; ἠπατήθη ἡ ὑπόνοια τῶν καλῶς

V, P [= hk], S, D [= mn], AWΛ^{1}Λ^{c}Λ^{u}Λ^{f}Λ^{l}

1 ἐρευνᾶν PWA καὶ DA [= Λ] om. VMPSW πλὴν P 2 κηρύξειε καὶ νομοθετήσειε V κηρύξει PDA ἔστω VMPW 3 ἑαυτὴν MSDA αὐτὴν V ἑαυτὸν PW 4 ἐπέστρεψεν M εὐθὺς S 5 ὑμετέρων VMP 6 οἳ DA σοι om. S τοσαύτης οὖν M τοσαύτης γὰρ καὶ SD 7 ὥστε] ὅθεν SD 8 σαυτὸν A παρασκεύασας S 10 ῥωμαικὴν P ἀνενεχθῆναι P 11 ποιοῦμεν MPWS [= Λ] ἐποιοῦμεν VDA τοιαῦτα SDA [= Λ] om. VMPW παρὰ D 12 μου om. PS μου] ἡμῶν D τοῦ διακόνου om. A ἀφ'] δι' DA 13 ἐλυπήθη S τὴν τῶν M τὴν om. MPW 14 κακὴν S ἀπόβασιν S ἀπόφασιν PD 15 φανείσας A 15/16 τῇ — ἀδελφῶν] ἀναφορᾶ τῇ πρὸς τοὺς ἀδελφοὺς A 16 παρὰ D 17 ἀδελφοῦ VMPW [= Λ] ἀδελφοῦ μου SDA ἐπιστολὰς τὰς DA ἔχουσι VMPW 18 ἀναλλάξαι P 19 τὴν φωνήν μου DA ἡμῖν S ἐκ P 20 ἐστιν om. S 21 ἐκελεύσθη DA [= Λ] ἐκελεύσθημεν VMPSW ἀποσπάσωμεν DA 22 postulatur τὰς βίβλους ἃς 23 ἀπεδεξάμεθα VA ἀνιχνεύθης SD 24 ἡμῖν om. P εὑρέθης SD καὶ κατασχεθεὶς om. S κατεσχέθης D πολυλαλιᾶ τινὶ VMPW [= Λ] πολυλαΐα τινὶ A πολύλογα τινα SD ἐξωλίσθανες [ἐξωλίσθαινες A] VPAW [= Λ] ἐξολισθάνων S ἐξολισθαίνων D oblitteratum in M 26 ὁμολογηθέντα P 27 σαυτοῦ A θεοῦ] υἱοῦ M 28 περὶ πάντων P νῦν MPSW [= Λ^{tc}] τοίνυν VDA om. Λ^{ufl} 29 καινοτήτων SDA [= Λ] κενοτήτων VMPW μὲν om. A κατηγορῆ A 30 τῶν om. A καθὼς W ἆρα οὐ] ἄρ' οὖν A 32 ἀκολουθήσασα DA [= Λ] ἀκολουθοῦσα VMPSW

περὶ σοῦ πιστευσάντων. τίς γὰρ ἐντὸς προβατείου μαλλοῦ ἅρπαγα κεκρύφθαι λύκον Mt. 7, 15
νομίσειε; φωνή ἐστιν αὐτοῦ τοῦ ἀποστόλου δεῖν καὶ αἱρέσεις εἶναι, ἵνα οἱ δεδοκιμασμένοι 1 Cor. 11, 19
φανεροὶ ὦσιν. ἄνοιγέ σου τὰς ἀκοὰς καὶ τούτου τοὺς πρὸς Τιμόθεον καὶ Τίτον ἄκουε
λόγους· τί ἄλλο κελεύει ἢ ἵνα τὰς βεβήλους καινότητας τῶν φωνῶν ἀποστρέφωνται; ταῦτα 2 Tim. 2, 16
γὰρ εἰς ἀσέβειαν προχωρεῖ, ἅπερ ἀεὶ ἀκάνθας καὶ τριβόλους ποιεῖ. τὸν δὲ Τιμόθεον καὶ 1 Tim. 1, 3
παρακεκληκέναι αὐτόν φησιν, ἵνα τῇ Ἐφέσωι παραμένων παραγγείλῃ τισὶ μή τις ἄλλο 6
κηρύξῃ. πρὸ ὀφθαλμῶν μοί ἐστι τὰ ῥήματα Ἱερεμίου τοῦ προφήτου· φοβερά, φησίν Ier. 5, 30. 31
6 ἐγένετο ἐπάνω τῆς γῆς· οἱ προφῆται ἀδικίαν προφητεύουσι. ταῦτα, εἰπέ μοι, ὡς
ἄγνωστα σε παρέρχεται ἢ ὡς ἐγνωσμένων καταφρονεῖς; εἰ μὲν ὡς ἄγνωστά σε παρέρ-
χεται, μὴ αἰδεσθῆις μαθεῖν τὸ ὀρθόν, ὡς οὐκ ἐφοβήθης τὸ διεστραμμένον διδάξαι· εἰ δὲ 10
ὡς ἐγνωσμένων καταφρονεῖς, νόει ὅτι ἀναπολόγητά σοι ἔσται, ὅταν ἀπο σοῦ τοῦ ἐπιτρα- Mt. 25, 24 sq.
πέντος σοι ταλάντου τὸν λόγον ἐκεῖνος ἐπιζητήσηι, ὃς δι' ἡμῶν ἀπὸ τούτου τοῦ ἁγίου
δανείσματος ἑαυτοῦ ἀεὶ κέρδος ἐκδέχεται. ὅρα οἷα τιμωρία ἐκεῖνον μένει τὸν κρύψαντα
ὅπερ εἰλήφει, ἔτι γε μὴν τὸν ὁλόκληρον ἀποκαταστήσαντα ὅπερ εἰλήφει. ὅθεν φανερῶς
7 πρόσεχε ὅσος καὶ οἷος ὁ κίνδυνος μηδὲ ὅπερ ἔλαβες, ἀποδιδόναι. ἆρα σὺ τῶι δεσπότηι 15
ἡμῶν ἐρεῖς· οὓς δέδωκάς μοι, ἐφύλαξα, ὁπότε οὕτως ἀκούομεν σχίζεσθαι εἰς μέρη τὴν Ioh. 17, 12
ἐκκλησίαν αὐτοῦ; μεθ' οἵας συνειδήσεως ζῆις, σχεδὸν ὑπὸ πάντων τῶν ἐν ταύτηι τῇι
πόλει καταλειφθείς; ηὐχόμην αὐτοὺς τότε μᾶλλον γεγενῆσθαι ἀσφαλεῖς ἢ νῦν εἰσιν, ὅτε
ἑαυτοῖς ἐπιζητοῦσι βοήθειαν. πόθεν σοι εἰς τοιαῦτα ζητήματα ἰθύνειν λόγους, ἅπερ ἐν-
νοεῖν βλάσφημον; πόθεν ἐπισκόπωι ταῦτα εἰς δήμους κηρύττειν, δι' ὧν τὸ σέβας τοῦ 20
παρθενικοῦ τόκου τιτρώσκεται; οὐκ ὀφείλουσι τῆς ἀρχαίας πίστεως τὴν καθαρότητα
βλάσφημοι εἰς τὸν θεὸν λόγοι διαταράξαι. τίς πώποτε οὐκ ἄξιος τοῦ ἀναθεματισθῆναι
ἐκρίθη ἢ ἀφαιρῶν τι ἢ προστιθεὶς τῇι πίστει; τὰ γὰρ μεστῶς καὶ φανερῶς παραδοθέντα
ἡμῖν παρὰ τῶν ἀποστόλων οὔτε προσθήκην οὔτε μείωσιν ἐπιδέχεται. ἀνέγνωμεν ἐν ταῖς Apoc. 22, 18. 19
βίβλοις ἡμῶν μήτε προστιθέναι δεῖν μήτε ἀφαιρεῖν· μεγίστη γὰρ καὶ τὸν προστιθέντα καὶ M III 1029
τὸν ἀφαιροῦντα τιμωρία δεσμεῖ. L III 358
26
8 Ὅθεν καυτῆρα καὶ σίδηρον ἑτοιμάζομεν, ἐπειδήπερ ἑτέρως οὐκ ἐστι καταντλητέα τὰ
τραύματα, ἅπερ ἐστὶ λοιπὸν ἀποκοπῆς ἄξια· ἴσμεν γὰρ τὰ μέγιστα ἐλαττώματα μετὰ μεί-
ζονος ἀεὶ πόνου θεραπευόμενα. ἀλλὰ μεταξὺ πολλῶν ἅπερ παρὰ σοῦ ἀσεβῶς κηρυτ-
τόμενα ἡ καθόλου ἀπωθεῖται ἐκκλησία, κλαίομεν μάλιστα τὸ ταῦτα τὰ ῥήματα παρὰ σοῦ 30
ἐπῆρθαι ἀπὸ τοῦ συμβόλου, ἅπερ ἡμῖν πάσης ζωῆς καὶ σωτηρίας ἐπαγγέλλεται τὴν ἐλπίδα.

V, M [usque ad 2 νομίσειε], P [= hk], S, D [= mn], AWΛ^{1}Λ^{c}Λ^{u}Λ^{f}Λ^{l}

1 προβατίου S προβάτου V μαλοῦ VSW ἅρπαγα κεκρύφθαι λύκον VMPW ἅρπαγα λύκον κεκρύφθαι S κεκρύφθαι λύκον ἅρπαγα DA 2 νομίσειε VMPS νομίσει W ὑποτοπάσειε A ὑποτοπάσεις D 2—p. 83, 3 φωνή — κρίσει om. M, pro his ponendo ταῦτα καὶ τὰ τοιαῦτα τῆσ τοιαύτησ ἐπιστολῆσ περιεχούσησ καὶ πῆ μὲν τὸν δυσσεβῆ νεστόριον κατονειδιζούσησ πῆ δὲ καὶ πρὸσ μετάμελον προκαλούσησ πρὸσ τῶ τέλει διαλαμβάνει M 2 φωνῆσ A 3 τούτου DA [= Λ] om. VPSW 4 καινότητασ SDA [= Λ] κενότητας VPW 5 ἀεὶ SDA [= Λ] ἂν VPW ποιῆ VhW 6 ἑαυτὸν P παραγγέλη A 7 μου SD τὰ ῥήματα τὰ [τὰ διὰ τοῦ S] SA 8 προφῆται φησὶν DA 9 σοι PSD 9/10 εἰ — παρέρχεται om. A 9 μὲν om. VPSW σοι PD 10 μαθεῖν τὸ διεστραμμένον καὶ V 11 καταφρονεῖν A 13 ἑαυτοῦ VPWA [= Λ] ἑαυτῶ SD κέρδος ἀεὶ V μένει ἐκεῖνον DA 14 ὅπερ om. V ἔτι γε — εἰλήφει om. PW μὴν καὶ D τὸν A [= Λ] τὸν μὴ VSD 15 προσέχετε A ὁ om. PAW ἀποδιδότω S 16 ἔδωκάσ A σχίζεσθαι εἰσ μέρη PWSDA [= Λ] σφάζεσθαι καὶ σχίζεσθαι V 17 ἀπὸ VPSW τῶν om. VPW ταύτη VPW [= Λ] αὐτῆ DA om. S 18 καταληφθείς P τότε SDA [= Λ] om. VPW 19 αὐτοῖς SA τὴν βοήθειαν SD 20 εἰς δήμους ταῦτα VP 21 τὴν τῆσ — καθαρότητα SDA 22 εἰσ τὸν θεὸν λόγοι SD [= Λ] εἰσ θεολογίαν A λόγοι VPW ἀνάξιοσ A 23 τι om. S τί τῆ S 24 γὰρ ἐν V 25 προσθεῖναι PS προσθῆναι VW ἀφελεῖν S καὶ^{1} om. S 27 καυστῆρα A τὰ om. A 28 λοιπὸν ἐστὶν A καὶ μετὰ P 29 τοῦ πόνου DA ἀσεβῶσ SDA [= Λ] om. VPW 29/30 ἡ — ἐκκλησία τὰ κηρυττόμενα διὰ σοῦ A 30 καθολικὴ SD ἀπὸ A 31 *fuisse sublata* Λ ἐπῆρθαι VPWSDA ἀπῆρθαι coni. edd. Rom. συμβόλου VPSDA διαβόλου W *symbolo ab apostolis tradito* Λ

ὅπερ διὰ τί γίνεται, λαλοῦσιν αἱ ἐπιστολαί σου, περὶ ὧν οὐδεμία ἀμφιβολία ἐστίν, ἐπειδὴ ταύτας αὐτὸς ἀπέστειλας, ἃς οὐκ ἠβουλόμεθα ἐληλυθέναι εἰς ἡμετέρας χεῖρας, μὴ ἀναγκασθῶμεν δικάσαι περὶ τοῦ εἴδους τοῦ τηλικούτου μύσους. πασῶν τῶν διαλέξεών σου τὰς ὁδοὺς ὁ βραχὺς ἐκείνων περιέκλεισε λόγος· ἥπλωσας σεαυτὸν πλατύτερον καὶ πολλαῖς στροφαῖς περιῆλθες, ὀψὲ δὲ ὅμως διὰ διαφόρων ὁδῶν εἰς τὸν ἀσεβῆ ὅρον ἔφθασας. ἴσμεν τί
Tit. 3, 9 ἐκεῖνος διέταξεν ὁ κελεύσας φεύγειν τὰς ἔριδας καὶ τὰς μάχας τὰς περὶ τοῦ νόμου· εἰσὶ γάρ, φησίν, ἄχρηστοι καὶ μάταιαι. ὅπερ τοίνυν ἄχρηστον καὶ μάταιον κρίνεται, οὐδεὶς
9 ἀμφιβάλλει μακρὰν εἶναι ὠφελείας. τοιγαροῦν εἰ καὶ ὁ ἀδελφὸς Κύριλλος ἤδη σε διὰ δευτέρων ἐπιστολῶν μεθοδευθῆναί φησι, θέλω σε τοῦτο νοεῖν ὅτι μετὰ τὴν πρώτην καὶ δευτέραν ἐκείνου καὶ ταύτην τὴν ἡμετέραν ἐπιτίμησιν, ἣν δῆλόν ἐστιν εἶναι λοιπὸν τρίτην, παντελῶς ἀπὸ τοῦ συνεδρίου ἡμῶν καὶ τῆς τῶν Χριστιανῶν συνόδου ἀπεκλείσθης, ἐὰν
Ioh. 14, 6 μὴ εὐθέως τὰ κακῶς εἰρημένα διορθωθῇ, ἐὰν μὴ εἰς ταύτην τὴν ὁδὸν ἐπανέλθῃς, ἣν ἑαυτὸν ὁ Χριστὸς εἶναι μαρτύρεται. κακῶς κατὰ τούτου ὅπλα κατ' ἀνελπιστίαν ἐκίνησας,
Mt. 24, 45 sq. ὃς ἐπάνω σε τῶν οἰκετῶν ἑαυτοῦ ὡς πιστὸν καὶ συνετὸν δοῦλον ἐπέτρεψε πρότερον καταστῆναι. ἀπώλετό σοι ἡ ὑπὲρ τῆς τοιαύτης ὑπηρεσίας ἐπαγγελθεῖσα μακαριότης· οὐ γὰρ μόνον τροφὴν οὐ παρέχεις ἐν καιρῷ, ἀλλὰ καὶ δηλητηρίῳ ἀναιρεῖς οὓς ἐκεῖνος τῷ
Ps. 13, 3 ἰδίῳ αἵματι καὶ τῷ ἰδίῳ θανάτῳ ἐκέρδανε. δηλητήριον γὰρ ὑπὸ τοῖς σοῖς χείλεσίν ἐστι ταῦτα ἅπερ κατάρας καὶ πικρότητος μεστὰ καθορῶμεν, ὁπότε κατὰ τοῦ ὄντος ἡδέος
Ioh. 10, 10 ἐπιχειρεῖς διαλέγεσθαι. ποῦ ἐστιν ἡ ποιμενικὴ ἐπιμέλεια; ποιμὴν ἀγαθὸς τὴν ψυχὴν
11. 12 αὐτοῦ τίθησιν ὑπὲρ τῶν ἰδίων προβάτων, μισθωτὸς δέ ἐστιν, ὃς ταῦτα τοῖς λύκοις καταλιμπάνει καὶ παραδίδωσι. τί δὲ σύ, ὦ ποιμήν, ἐνταῦθα πράξεις, ὅτε τὴν δεσποτικὴν ἀγέλην ἀντὶ λύκων αὐτὸς διασπαράττεις; εἰς ποίους λοιπὸν φραγμοὺς ἡ δεσποτικὴ ἀγέλη καταφυγεῖν δύναται, εἰ ἐντὸς τῶν ἐκκλησιαστικῶν περιβόλων τιτρώσκεται; ἢ
Ioh. 10, 16 ποίαι παραφυλακῇ ἀσφαλὴς ἔσται, ὁπότε σε φάσκει ἀντὶ φύλακος ἅρπαγα; καὶ ἄλλα, φησὶν ὁ κύριος, ἔχω ἅπερ οὔκ ἐστιν ἀπὸ τούτου τοῦ προβατεῶνος κἀκεῖνα δεῖ με ἀγαγεῖν. ἐκεῖνος ἄλλα ἐπαγγέλλεται ἀγαγεῖν, σοὶ δὲ ἅπερ εἶχες, ἀπόλλυται, εἰ καὶ τὰ μάλιστα φανερόν ἐστιν, ὁσάκις ταῦτα συμβαίνει, οὐ τὰ πρόβατα τοῖς ποιμέσιν, ἀλλὰ μᾶλλον τοῖς προβάτοις τοὺς ποιμένας ἀπόλλυσθαι. καὶ τὴν φωνήν μου, φησίν, ἀκούσονται. διὰ τί; ἵνα γένηται μία ἀγέλη. πρὸς τὴν ἐκείνου φωνὴν μία ἀγέλη γίνεται, πρὸς δὲ τὴν σὴν
11 ἢ βλάπτεται ἢ φυγαδεύεται. σκληρόν ἐστιν ἵνα ἐπὶ σοῦ ἁρμόσῃ τὰ ῥήματα τοῦ μακαρίου
M IIII 1032 Παύλου ἀπὸ τῶν Πράξεων τῶν ἀποστόλων· ἐγώ, φησίν, οἶδα ὅτι εἰσελεύσονται μετὰ τὴν
Act. Ap. 20, 29 ἐμὴν ἀναχώρησιν λύκοι βαρεῖς καθ' ὑμῶν, μὴ φειδόμενοι τῆς ἀγέλης· ἀφ' ὑμῶν ἀνα-
L III 359 στήσονται ἄνθρωποι λαλοῦντες διεστραμμένα, ἵνα ἀγάγωσι τοὺς μαθητὰς ὀπίσω αὐτῶν.

V, P [= hk], S, D [= mn], AW, H [inde a 23 — βόλων], $\Lambda^{t}\Lambda^{c}\Lambda^{u}\Lambda^{f}\Lambda^{l}$

2 πρὸς D 4 ἐκεῖνοσ A περιέκλυσε SD περιστροφαῖσ VA 5 διῆλθες P διὰ om. PW τί SDA ὅτι VPW 9 θέλω A [= Λ] θέλων VPSDW νοεῖν Λ ποιεῖν VPSDAW 11 τοῦ DA τῆς τοῦ VPSW *ab uniuersitate collegii* Λ 12 εἰρημένα ὑπὸ σοῦ SD 14 αὐτοῦ P ὡς VPW ὥσπερ SDA δοῦλον καὶ συνετὸν DA ἐκέλευσε D πότερον S 15 τῆς om. SDA 16 παρέχεις VPW [= Λ] παρέσχεσ SDA 18 εἰσὶ DA ὄντωσ VA ἡδέωσ D 20 ἑαυτοῦ PW τῶν ἰδίων προβάτων VPW τῶν προβάτων τῶν ἰδίων S τῶν προβάτων DA 21 ὁ ποιμὴν S ὅτε SDA ὅτι VPW *qui* Λ 23 καταφεύγειν DSA εἰ] ἢ D ἐν τοῖς τῶν ἐκκλησιαστικῶν περιβόλοις V 24 ἀσφαλὲσ V om. H φάσκει] postulatur πάσχει 25 ἃ P πρόβατα ἅπερ V ἀπὸ τούτου τοῦ προβατεῶνος VA ἀπὸ τούτου τοῦ προβατῶνος D ἐκ τούτου τοῦ προβατῶνοσ S ἀπὸ τούτων τῶν προβάτων ὡσ WH ἀπὸ τῶν προβάτων τούτων ὃσ P 26 ἐκεῖνος — ἀγαγεῖν om. P ἐκεῖνος VSWH [= Λ] ὁ $\overline{\text{κσ}}$ DA σοὶ H [= Λ] σὺ VPSDAW ἃ DA εἶχεσ V^{mg} PSW [= Λ] ἔχεισ VDA ἀπόλλυται VPSW [= Λ] ἀπόλλυνται H ἀπολλύεισ D ἀπολύεισ A 27 ἐστιν om. A 28 τῆς φωνῆς PDA 29 γένωνται S ἀγέλη SDAH ποίμνη PW ποίμνη εἰς ποιμήν V ποίμνη V γένηται H 30 ἢ βλάπτεται SDAH [= Λ^{fl}] βλάπτεται VPW [= Λ^{ctu}] σκληρόν σοι A σοῦ VPWH σοὶ SDA 32 τοῦ ποιμνίου P καὶ ἀφ' H 33 ἄνδρεσ H ἀγάγωσι VPW [= Λ^{efl}] ἀπαγάγωσι SDAH [= Λ^{u}] ἑαυτῶν SD

ταῦτα ἠβουλόμεθα παρὰ σοῦ ἄλλοις ἢ σοὶ εἰρῆσθαι· διδακτέα γὰρ ἦν παρὰ σοῦ, οὐ μαθητέα σοι ἅπερ λέγομεν. τίς γὰρ φέρει διδάσκεσθαι ἐπίσκοπον ὅπως ὀφείλει εἶναι Χριστιανός; ἐπιμελῶς πρόσεχε εἰς οἵαν αἵρεσιν κέκλησαι· προκαλῆι, διαβάλλει, κατηγορῆι. τί τούτων ἱερεῖ πρέπει; σκληροῖς σκληρὰ ἀπόκρισις, εἴ τις ἄρα ἐστὶν ἄμυνα λόγοις τιμωρεῖσθαι τὰ βλάσφημα. ἢ ὑπολαμβάνεις ὅτι ἡμεῖς σου φεισόμεθα, ὁπότε τῆς ἑαυτοῦ ψυχῆς αὐτὸς οὐ φείδηι; ὃς πάντας θέλεις τοὺς φθάσαντας καὶ τοὺς παρόντας καὶ τοὺς μέλλοντας ἀφαιρεῖσθαι
12 τὴν εὐεργεσίαν τῆς σωτηρίας. διώκω δηλονότι τοὺς ἐχθροὺς τοῦ καλοῦ δεσπότου μου δοῦλος πιστός, ὁπότε φησὶν ὁ προφήτης τελείωι μίσει τούτους μισεῖν· ὑπομιμνήσκομαι πάλιν Ps. 138, 22
ἄλλου λαλοῦντος ἵνα μὴ φείσωμαι. τίνι ἐγὼ ἐνταῦθα προσχῶ; τίνι δὲ τιμήν τινα φυλά- Deut. 13, 8
ξω, ὁπότε τοῦτο ὁρῶ πραττόμενον, ἵνα μοι ἀρθῆι ἡ ἁπάσης ἐλπίδος ὑπόθεσις; αὐτοῦ 10
τοῦ κυρίου ἐν τῶι εὐαγγελίωι ῥήματά ἐστιν οἷς φησιν μὴ πατέρα μὴ μητέρα μὴ τέκνα μή τινα Mt. 10, 37
συγγένειαν ὀφείλειν αὐτοῦ προτιμᾶσθαι. ἔστι γὰρ πολλάκις τοιαύτη εὐσέβεια ἀφ' ἧς ἀσέ-
βεια τίκτεται, ὅτε, νικώσης τῆς κατὰ σάρκα διαθέσεως, ἐκείνης τῆς ἀγάπης, ἥτις ἐστὶν ὁ 1 Ioh. 4, 16
θεός, ἡ σωματικὴ ἀγάπη προκρίνεται. δι' ἣν πολλάκις [μὲν] τιμῶμέν τινας· ἀλλ' ὅτε κατ'
ἐκείνου ἐστίν, ὅς ἐστιν αὐτὴ ἡ ἀγάπη, ἀνάγκη λοιπὸν κἀκείνας τὰς ἐννοίας ἐκβάλλεσθαι, 15
13 ὧν ὁ ἀρχηγὸς εἰς δίκην καλεῖται. ἐξυπνίσθητι ὀψέ ποτε· οὐ γὰρ λεκτέον ταύτας ἐγρηγόρσεις ἃς ἀπονέμεις οὐ τῆι φυλακῆι, ἀλλὰ τῆι ἁρπαγῆι. ἠβουλόμεθά σε ἐν τούτωι ὧι κηρύττεις, κοιμᾶσθαι καὶ ἐγρηγορέναι ἐν τούτωι καθ' οὗ πολεμεῖς· τί δὲ λέγω; φορητότερον ἦν ἡμῖν, εἰ ἐκοιμῶ εἰς ἑκάτερον. οὐδένα ἀπώλλυες, οὐδένα ἐκέρδαινες· ἐν οὐδεμᾶι ζημίαι ψυχῶν ἡ ἐκκλησία ἐστύγναζεν, ἐν οὐδενὶ κέρδει ἔχαιρεν· ἤρκει αὐτῆι εἰ τῶι ἰδίωι νυμφίωι 20
αὐτὴν ὥσπερ παρειλήφεις, καὶ παρεδίδους. ἀλλὰ τί πολλοῖς ἐμβραδύνω; λέγοντος τοῦ ἀρχιτέκτονος Παύλου, μάτην διὰ σοῦ ἐπικτισθέν τι ζητῶ, ἐν ὧι οὐχ ὁρῶ θεμέλιον. 1 Cor. 3, 10. 11
14 Ἀκούω βίαν ὑπομένειν τοὺς κληρικοὺς μεγίστην τοὺς καθολικῶς φρονοῦντας, οἷς ἡμεῖς κοινωνοῦμεν, ὡς λέγεσθαι αὐτοὺς καὶ τῆς πόλεως ἀποκεκλεῖσθαι. χαίρομεν ὅτι τὸ ἔπαθλον τῆς ὁμολογίας ἐκέρδαναν, ἀλλὰ λυπούμεθα ὅτι ἐπίσκοπος ὁ διώκων. ὁ 25
μακάριος ἀπόστολος Παῦλος ἀπὸ διώκτου εἰς κήρυκα μετηλλάγη· νῦν δὲ μέγιστον ἀσέ-
15 βημα εἰς διώκτην ἀπὸ κήρυκος μετηλλάχθαι. ἀρίθμει τοὺς πάλαι αἱρετικούς, οἵτινες τοιαύτας ζητήσεις ταῖς ἐκκλησίαις ἐπήνεγκαν. τίς πώποτε ἀπὸ τοιαύτης ἔριδος νικήσας ἀνεχώρησεν; ἔχεις τῆς πόλεως τῆς σῆς ὑπόδειγμα· Παῦλος ὁ Σαμοσατεὺς ἐπιβὰς τῆς Ἀντιοχέων ἐκκλησίας ὥς τινα ἐκήρυττε, συνῆξε τῶν ἰδίων σπερμάτων τὸ θέρος. τοὺς M IIII 1033
λοιποὺς τῶν κακῶν εὑρετὰς κατασχόντας τῶν ἐκκλησιῶν ἀεὶ ἡ αὐτὴ στερρότης τῆς ἀπο- 31
φάσεως κατεβάλλετο· ἀλλὰ καὶ τούτους τοὺς αἱρετικούς, περὶ ὧν ἡμᾶς, ὡς τὰ κατ' αὐτοὺς

V, P [= hk], S, D [= mn], AWHΛ^{1}Λ^{c}Λ^{u}Λ^{f}Λ^{l}

1 ἐβουλόμεθα P παρὰ σοῦ ἠβουλόμεθα DA 2 σοι] σου A ἐλέγομεν S γὰρ — διδάσκεσθαι om. H 2/3 χριστιανὸς εἶναι V 3 προσέχετε A ποίαν DH κέκλισαι VA προσκαλῆ P 4 εἴ DAH [= Λ] ἤ PSW ἢ V λόγων S 5 ὅτι om. H σου φεισόμεθα ἡμεῖς V ἡμεῖσ σου φειδόμεθα Λ σαυτοῦ A αὐτὸς om. VS 6 θέλει S τοὺς παρόντας καὶ om. P καὶ τοὺς om. H 7 διώκω VSD [= Λ] διώκων PAWH 7/8 δοῦλοσ PAWH [= Λ] ὡσ δοῦλοσ VSD 9 μὴ om. PW φήσωμαι PA γὰρ ἐγὼ H τιμᾶ S τινα om. V τίνα δὲ DA 10 μοι SDAH [= Λ] μὴ VPW ἀρεσθῆ A πάσησ SDAH 11 ῥημά AH 11/12 συγγένειαν τινὰ DA 12 ὀφείλει S 13 ὅτι A ἐκείνην τὴν ἀγάπην PW 14 ἦσ A μὲν om VDH ὅτε] ὧ A 15 ἐκείνουσ PW ἐκεῖνον H ὡσ W 16 ταύτησ S 16/17 ἐγρηγορήσεις V εἰ γρηγορεῖσ DA ἐγρηγορεῖν H 17 ἐβουλόμεθα PSDAH ὧι om. H 18 καὶ] ἢ D ἐν τούτω SDAH [= Λ] om. VPW 18/19 φορητέον W 19 ἦν ἐν V ἀπώλυεσ SA ἐκέρδανες PAW 20 ψυχῆσ SD ἐν om. A αὐτὴν W 21 παρείφης V παρείληφασ A παρεδίδως PDA 22 ἐπικτηθὲν A 23 βίαν ὑπουένειν μεγίστην τούσ κληρικοὺσ A μεγίστην ὑπομένειν βίαν τοὺς κληρικοὺς D 25 ἐκέρδανον A ἀλλὰ SDAH [= Λ] om. VPW 26 ἀπόστολος om. V μετηλλάγη] εἰσ τὴν H δὲ] ὡσ H 27 ἀπὸ κήρυκοσ εἰσ διώκτην S 28 ταῖσ ἐκκλησίαισ SDAH [= Λ^{c1uf}] τῆ ἐκκλησία VPW [= Λ^{l}] 29 τῆσ^{2} — ὑπόδειγμα SDAH ὑπόδειγμα τῆς πόλεως τῆσ σῆς VPW 31 λοιπῶν W αὐτὴ ἡ ἀεὶ A αὐτῆς W 32 κατεβάλετο AH τούτους om. H

ἀγνοῶν, ἐρωτῆσαι ἠθέλησας, ἐκ τῶν ἰδίων θρόνων ὡς ἄδικα λαλοῦντας καταδίκη δικαία ἐξέωσεν. οὓς ἐκεῖ εὑρηκέναι ἀνάπαυσιν οὐ θαυμάζομεν· εὑρήκασιν γὰρ ἀσεβὲς κήρυγμα,
L III 362 **16** ὅτε ἐν συγκρίσει ἑαυτοὺς ἐνόμισαν ἀνευθύνους. ἐνταῦθα ἐπειδὴ ἡ εὐκαιρία τοῦ λόγου ἀπήιτησεν, οὐ δυνάμεθα σιωπᾶν ὅπερ θαυμάζομεν. ἀνέγνωμεν ὅπως καλῶς πιστεύεις περὶ τῆς κατὰ γένεσιν ἁμαρτίας καὶ ὅπως αὐτὴν τὴν φύσιν δεικνύεις εἶναι κατάχρεω καὶ τοῦτον δικαίως ἀποδιδόναι τὸ χρέος, ὃς ἀπὸ τοῦ γένους τοῦ χρεώστου κατάγεται. τί μετὰ σοῦ ποιοῦσιν οἱ κατακριθέντες, ὅτι ταῦτα ἠρνήσαντο; οὐδέποτε ἀνυπόπτως τὰ ἐναντία ἑαυτοῖς συμφωνεῖ· ἀλλὰ μὴν ἐξεβάλλοντο, εἰ καὶ σοὶ ὁμοίως ἀπήρεσκον. ὅμως διὰ τί νῦν τὰ κατ' ἐκείνων πεπραγμένα ζητεῖται, ὁπότε δῆλόν ἐστιν ὅτι ἐκεῖθεν πρὸς ἡμᾶς παρὰ τοῦ τότε ἐπισκόπου τοῦ καθολικοῦ Ἀττικοῦ τὰ ὑπομνήματα ἀπεστάλη; διὰ τί μὴ ὁ τῆς ἁγίας μνήμης Σισίνιος ἐζήτησε; δηλαδή, ὅτι ἐδοκίμασεν αὐτοὺς παρὰ τοῦ προηγησαμένου δικαίως κατακεκρίσθαι. κλαιέτωσαν οἱ ἄθλιοι ἐκπεπτωκότες τῆς κατὰ ἀνθρώπους ἐλπίδος, οἵτινες εἰς μόνην τὴν κοινωνίαν διὰ μετανοίας βοηθεῖσθαι ἠδύναντο. ἰδοὺ ἤρξω μαθεῖν περὶ αὐτῶν, εἴ τι πρῶτον ἠγνόησας· ἀλλὰ τὸ σὸν πρᾶγμα μᾶλλον ἢ τὸ ἄλλων
Lc. 4, 23 καθολικῆι καὶ ἐπιταχυνομένηι σκέψει θεράπευε, ὅτι ἡρμοσμένως λέγομεν· ἰατρέ, θεράπευσον σεαυτόν ὁ βοηθεῖν ἄλλοις σκεπτόμενος. ἡ ποιότης τῆς νόσου τῆς σῆς οὔτε ἐπιδέχεται οὔτε
17 ἐπιτρέπει δοθῆναι ἀνακωχήν. τοῦ ἱερέως τῆς Ἀλεξανδρέων ἐκκλησίας τὴν πίστιν καὶ ἐσχήκαμεν καὶ ἔχομεν δεδοκιμασμένην, καὶ σὺ δι' αὐτοῦ ὑπομνησθεὶς τὰ αὐτὰ ἡμῖν πάλιν φρόνει, εἰ μεθ' ἡμῶν εἶναι θέλεις. ὦι, ἀδελφέ, εἰ δίδοται παρὰ σοῦ συναίνεσις, πάντων καταγνούς, ὧν ἄχρι τοῦ παρόντος ἐφρόνησας, εὐθὺς ταῦτα, ὡς θέλομεν, κήρυττε, ἅπερ αὐτὸν κηρύττοντα καθορᾶις. ἡμεῖς γὰρ παρὰ τὸ πρέπον καὶ τοὺς ἱερεῖς ἀνεχόμεθα διορθωθῆναι· ἀλλ' ὥσπερ φροντίζομεν αὐτῶν τῶι πρότερον μεθοδεύειν, οὕτως εἰ ἀποχρήσοιντο τῆι ὑγιεινῆι ὑπομνήσει, ἀνάγκη ἡμᾶς βεβαιῶσαι κατ' αὐτῶν τὴν τῆς καταδίκης ἀπόφασιν. τοῦτο δὲ ἔσται μετὰ τὸ καταγνῶναί σε τοῦ φαύλου δόγματος μεστὸν μαρτύριον τῆς διορθώσεως· ἀνακληθῶσι πάντες εἰς τὴν ἐκκλησίαν, οὓς δῆλόν ἐστιν ἀποκεκλεῖσθαι διὰ τὸν Χριστόν, ὅς ἐστι ταύτης κεφαλή. ἀνακληθῶσι πάντες, οὓς εἰ μὴ γίνεται ὃ λέγομεν, ὁ ἐκβλητέος ἐξέβαλεν, εἰ καὶ τὰ μάλιστα ἐν τῆι ἡμετέραι κοινωνίαι εἰσὶν εἰς οὓς ὤφθης τοιοῦτος.

18 Καὶ πρὸς τὸν κλῆρον δὲ τῆς ἐκκλησίας τῆς κατὰ Κωνσταντινούπολιν καὶ πάντας τοὺς ἐπιγραφομένους τὸ τοῦ Χριστοῦ ὄνομα, οἷα ἀπήιτησεν ἡ ἀνάγκη, ἀπεστείλαμεν γράμματα, ἵνα ἐὰν ἐν τῆι τῆς διεστραμμένης διαλέξεως παραμονῆι διατελέσηις καὶ μὴ ταῦτα ἅπερ ὁ ἀδελφὸς Κύριλλος μεθ' ἡμῶν κηρύττει, κηρύξηις, μάθωσί σε ἀποκεχωρίσθαι τοῦ ἡμετέρου

V, P [= hk], S, D [= mn], AWHΛ^{t}Λ^{c}Λ^{u}Λ^{f}Λ^{l}

1 ἠθέλησας ἐρωτῆσαι V 2 ἐξώθησεν P 3 ὅτε ἐν] *cuius* Λ^{etul} *cui* Λ^{f} κρίσει P 4 ὅπωσ DAH [= Λ] ὅτι ὡσ S ὅπερ VPW 4/5 περὶ — ἁμαρτίασ πιστεύεις S 5 κατάχρεων A κατάχρεωσ H 6 κατάγεται] κατέσται H 7 ἠρνήσατο A τὰ ἐνυπόπτωσ τὰ W τὰ P 8 συμφωνήσει DA 9 νῦν om. V ζητεῖτε PSWH ὅτε S om. PW 10/11 ὁ μὴ S ὁ PW 11 σισίννιοσ WH 12 κεκρίσθαι VPW κλαέτωσαν SAW κλάστωσαν H οἱ ἄθλιοι οἱ P 14 ἠγνόηκασ A πράγμα H [= Λ] τραῦμα VPSDAW 15 ἐπισκέψει V θεράπευε VW 16 βοηθήσειν D σκηπτόμενοσ P 17 καὶ om. V 18 ἔσχομεν S πάλιν om. H φρονεῖσ P φρόνησον VW 19 δίδοται Λ δέδοται VPSDAWH παρὰ σοῦ PSWH [= Λ] ἄρα σοὶ VDA συναίνεσισ Λ σύνεσισ VPSDAWH 20 παρόντοσ VPDAWH νῦν S ἐθέλομεν A κηρύττομεν P 20/21 καθορᾶσ κηρύττοντα S 21 τοὺσ ἱερεῖσ] τὴν εἰσ τοὺσ ἱερεῖσ μέμψιν W 22 ἐφροντίζομεν DA ἑαυτῶν PSDA τῶι] τὸ WH 22/23 ὑγιεῖ VA 24 ἐστιν H δόγματοσ DAH [= Λ] διδάγματοσ VPSW μεστὸν SDAH [= Λ] μεστὸν γὰρ VPW διορθώσεωσ PSDWH [= Λ] συνειδήσεωσ VA 25 ἀνακληθῶσι SDAWH [= Λ^{tcf}] ἀνακληθῶμεν V εἰ ἀνακληθῶσι P [= Λ^{ul}] ἂν ἀνακληθῶσι W^{corr} πάντα S οὓσ] οὐ H 26 ἀνακληθῶσι πάντεσ om. W ἀνακληθῶμεν V πάντα S οὓσ PSDA οἷσ V ὡσ WH γίνεται DA γίνηται S γένηται VPWH ὁ ἐκβλητέοσ A [= Λ] ἐκβλητέοσ δσ VPSDW ἐκβέβληται δσ H 28 τοὺσ om. VP 29 τοῦ χῦ VPDWH χῦ S τούτου A ἀπήντησεν SDH ἡ om. D ἐπεστείλαμεν H 30 εἰ VPW διατελέσεισ VP 31 ἀδελφὸσ ἡμῶν D ἐμῶν H κηρύξεισ AH

συνεδρίου, μεθ' ὧν σοι οὐ δύναται εἶναι κοινωνία, εἰσόμενοι καὶ τοῦτο καὶ λοιπὸν ὄντες τῶι ὑποδείγματι ἀσφαλεῖς, ὅπως τῆς ψυχῆς ἑαυτῶν προνοεῖσθαι ὀφείλουσι καθηψημένηι καὶ πεπεμμένηι κρίσει. φανερῶς τοίνυν ἴσθι ταύτην ἡμῶν εἶναι τὴν ἀπόφασιν ὡς ἐὰν M IIII 1036
μὴ περὶ τοῦ θεοῦ τοῦ Χριστοῦ ἡμῶν ταῦτα κηρύξεις ἅπερ καὶ ἡ Ῥωμαίων καὶ ἡ Ἀλεξανδρέων καὶ πᾶσα ἡ καθολικὴ ἐκκλησία κατέχει, ὡς καὶ ἡ ἁγία ἡ κατὰ τὴν μεγάλην Κωνσταντινούπολιν ἐκκλησία ἕως σοῦ κάλλιστα κατέσχε, καὶ ταύτην τὴν ἄπιστον καινότητα, ἥτις ἐπιχειρεῖ χωρίζειν ἅπερ συνάπτει ἡ ἁγία γραφή, ἐντὸς δεκάτης ἡμέρας ἀριθμουμένης ἀπὸ τῆς ἡμέρας ταύτης τῆς ὑπομνήσεως φανερᾶι καὶ ἐγγράφωι ὁμολογίαι ἀθετήσεις, ἀπὸ L III 363
πάσης κοινωνίας καθολικῆς ἐκκλησίας ἐκβέβλησαι. ὅνπερ τύπον πρὸς σὲ τῆς ἡμετέρας κρίσεως διὰ τοῦ μνημονευθέντος υἱοῦ ἡμῶν Ποσειδωνίου τοῦ διακόνου μετὰ πάντων τῶν χαρτίων πρὸς τὸν ἅγιον καὶ συνεπίσκοπόν μου τῆς μνημονευθείσης Ἀλεξανδρέων ἱερέα τὸν πρὸς ἡμᾶς περὶ τούτου αὐτοῦ ἐντελέστερον ἀνενεγκόντα ἀπεστείλαμεν, ἵνα τοποτηρῶν ἡμῖν τοῦτο πράξηι ὥστε τὸ παρ' ἡμῶν ὡρισμένον σοί τε καὶ πᾶσι τοῖς ἀδελφοῖς φανερωθῆναι, ἐπειδὴ πάντες εἰδέναι ὀφείλουσι τὸ πραττόμενον, ὁσάκις ἦι περὶ κοινοῦ πράγματος ἡ σκέψις.

11 = S 17 A 8. Latina epistula extat in iisdem Collectionibus atque 10

1 Κελεστῖνος ἐπίσκοπος πρεσβυτέροις διακόνοις κλήρωι θεοῦ δούλοις καὶ καθολικῶι λαῶι διάγουσιν ἐν Κωνσταντινουπόλει ἀγαπητοῖς ἀδελφοῖς ἐν κυρίωι χαίρειν. Πρὸς τούτους μοι διαλεχθησομένωι οἵπινες ἐκκλησίαν ποιοῦσι, παράσχοι ὁ ἀποστολικὸς λόγος προοίμιον, ἵνα οἱ εὐλαβεῖς μαθηταὶ πρῶτον ἀκούσωσιν ἐκείνου τοῦ διδασκάλου τὰ ῥήματα, ὃς τοῖς ἔθνεσιν ἐκήρυξεν. ἐκτὸς ἐκείνων, φησίν, ἅπερ ἐστὶν ἔξωθεν, ἡ ἐπιμονή μου 2 Cor. 11, 28. 29
ἡ καθημερινή, ἡ φροντὶς πασῶν τῶν ἐκκλησιῶν. καὶ πάλιν· τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ ἐγὼ οὐ καίομαι; οὕτω καὶ ἡμεῖς, εἰ καὶ πόρρω ὄντες, ὡς ἐγνώκαμεν ἐνταῦθα διαστροφῆι διδασκαλίας τὰ ἡμέτερα μέλη διασπαράττεσθαι, πατρικῆς φροντίδος ἡμᾶς ὑπὲρ ὑμῶν καιούσης, ἀλλοτρίωι πυρὶ ἐνεπρήσθημεν, εἰ καὶ τὰ μάλιστα παρὰ ταῖς

---

subscr. Αὕτη ἡ ἐπιστολὴ ἀνεγνώσθη ἐν τῆι συνόδωι τῆι ἐν Ἐφέσωι μετὰ τὰς καταθέσεις τὰς κατὰ τῆς ἐπιστολῆς Νεστορίου, ἥτις καὶ ἀνελήφθη ἐν τοῖς ὑπομνήμασιν: — SD
V, M [inde a 3], P [= hk], S, D [= mn], AWHΛ^{t}Λ^{c}Λ^{u}Λ^{f}Λ^{l}

1 μεθ' ἡμῶν γὰρ DA κοινωνὸν εἶναι V τοῦτο καὶ om. S 2 ὅπερ VPW καθεψημένη D κατηψημένη PWH 4 τοῦ θῦ τοῦ χῦ MP [= Λ] τοῦ θῦ καὶ χῦ S τοῦ χῦ τοῦ θῦ VD χῦ τοῦ θῦ A τοῦ χῦ καὶ θῦ WH καὶ^{1} om. H ἡ^{2} om. H 5 ἁγία κατὰ SD 5/6 μεγάλην κωνσταντινούπολιν SDH μεγαλόπολιν VMPW μεγαλόπολιν κωνσταντινούπολιν A 6 σοῦ SDA [= Λ] οὗ VMPWH καινότητα SDA [= Λ] κενότητα VMPWH 7/8 ἀριθμουμένης — ἡμέρασ om. H 8 ἀθετήσεισ AWH 8/9 ἀπὸ πάσης om. MPW 9 ἐκβέβλησαι κοινωνίασ — ἐκκλησίασ M τῆς καθολικῆς P 11 χαρτῶν S μνημονευθείσης om. V ἀλεξανδρέων MP [cf. Λ] ἀλεξανδρέων ἐκκλησίασ SDAH ἐκκλησίασ ἀλεξανδρέων W ἀλεξανδρείας V 12 πρὸς ἡμᾶς om. V τούτου αὐτοῦ VMPWS [= Λ] τοῦ αὐτοῦ DA 12/13 ἵνα — πράξηι om. M τοποτηρῶν — ὥστε om. V 12 τοποτηρητῶν PWm διὰ τοποτηρητῶν W^{corr} τόπον τηρῶν H ἡμῶν P 13 φανερωθῆ V 14 ἦι VDA om. MPSWH

V M, P [= hk], S [multa abscissa], D [= mn], AWΛ^{t}Λ^{c}Λ^{u}Λ^{f}Λ^{l}

inscr. deest VMPSW τοῦ αὐτοῦ πρὸς τὸν κλῆρον καὶ τὸν λαὸν κωνσταντινουπόλεως ἐπιστολή A Κελεστίνου ἀρχεπισκόπου ῥώμης πρὸς τὸν κλῆρον καὶ τὸν λαὸν κωνσταντινουπόλεως ἐπιστολή D ια VMP ιζ S ις D

17 ἐπισκόποις MPW 18 ἀγαπητοῖς om. D ἐν — χαίρειν om. V 19 ἐκκλησίαν A [= Λ] ἐκκλησίασ SD ἐκκλησίαν θεοῦ VMPW παράσχη MS παράσχοι μοι P 20 πρῶτον om. SD 22 ἡ' om. AW καθ' ἡμέραν A ἡ^{2} om. PW 23 ἐγὼ οὐ καίομαι MPW οὐκ ἐγὼ πυρούμαι VSDA εἰ καὶ| εἶναι P om. MW 24 πατρικὴ A 25 ἡμῶν S

ἐκκλησίαις τοῦ θεοῦ, αἵτινες εἰς ἕνα θάλαμον Χριστοῦ πανταχοῦ ἀναφέρονται, τί ἂν εἴη πόρρω;
2 τί δὲ νομισθείη ἀλλότριον; ὄντων οὖν ὑμῶν ἡμετέρων μελῶν, δικαίως ἠγωνιάσαμεν μὴ τὴν ὑμετέραν πίστιν τὴν πανταχοῦ κηρυττομένην ἀπὸ τῆς ὁδοῦ τῆς ἀληθείας ἡ ἐνδελέχεια τοῦ κακῶς διδάσκοντος ἀποστρέψῃ. Νεστόριος γὰρ ὁ ἐπίσκοπος περὶ τοῦ παρθενικοῦ τόκου καὶ περὶ τῆς θεότητος τοῦ Χριστοῦ τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν, ὥσπερ τοῦ σεβάσματος αὐτοῦ καὶ τῆς κοινῆς πάντων σωτηρίας ἐπιλελησμένος, ἀθέμιτα κηρύττει, φευκτέα συμβουλεύει, ὡς καὶ τὰ γράμματα αὐτοῦ μετ' ἰδίας ὑπογραφῆς ἀποσταλέντα ἡμῖν, ὡς καὶ ἡ ἀναφορὰ τοῦ ἁγίου ἀδελφοῦ καὶ συνεπισκόπου μου Κυρίλλου διὰ τοῦ υἱοῦ μου
M III 1 1037 Ποσειδωνίου τοῦ διακόνου πρὸς ἐμὲ ἀποσταλεῖσα ἐδίδαξεν. ὧν πάντων ἀναγνωσθέντων, μεγίστην καὶ φευκτέαν διαστροφὴν ἀσεβοῦς κηρύγματος εὑρήκαμεν. τὴν γὰρ ἀνθρωπίνην καὶ τὴν θείαν φύσιν ἐν τῷ Χριστῷ ἀνακρίνει, νῦν μόνον ἄνθρωπον, νῦν αὐτῷ
3 κοινωνίαν θεοῦ, ὁσάκις καταξιοῖ, προσάπτων. ἀλλ' ἡμεῖς, ὡς Ἱερεμίας φησί, τῶν τοι-
Ier. 23, 16 οὑτων προφητῶν τοὺς ματαίους ἀκοῦσαι οὐ δυνάμεθα λόγους. ἀκούσῃ τοῦ Ἰεζεκιὴλ
Ezech. 13, 9. καὶ ἐπιγνῷ τί αὐτῷ ἀπειλεῖ. ἐκτενῶ, φησί, τὴν χεῖρα μου ἐπάνω τῶν προφητῶν τῶν
10 L III 366 ὁρώντων ψευδῆ καὶ λαλούντων κενά. ἐν τῇ ἐπιστήμῃ τοῦ λαοῦ μου οὐκ ἔσονται οὐδὲ ἐν τῇ γραφῇ τοῦ οἴκου Ἰσραὴλ γραφήσονται καὶ εἰς τὴν γῆν τοῦ Ἰσραὴλ οὐκ εἰσελεύσονται, ὅτι τὸν λαόν μου ἠπάτησαν. ποῦ ἐστιν ἡ χρεωστουμένη περὶ τὴν ἱερὰν ἀγέλην φροντὶς τοῦ ποιμένος; ποῦ ἡ πρόνοια τῶν δεσποτικῶν περιβόλων; ποίαν δὲ ἐλπίδα ἔξει ἡ ἀγέλη, ὅτε λύκον ἑαυτὸν ὁ ποιμὴν δείκνυσιν καὶ οὕτως τοῖς προβάτοις ἐπέρχεται, ὡς καθ' ἑκάστου λυσσᾶν; ἐκείνῳ γὰρ τῷ στόματι διασπαράττονται, ἀφ' οὗ τὰ
20 ἀσεβῆ προφέρεται. τροφαὶ παραβάλλονται οὐχ αἱ πιαίνουσαι, ἀλλ' αἱ βλάπτουσαι· μα-
4 καρία δὲ ὅμως ἡ ἀγέλη ἣν παρέσχεν ὁ κύριος κρίνειν περὶ τῆς ἰδίας νομῆς. ὅθεν, ὡς οὐκ ἀμφιβάλλομεν ὅτι ποιεῖτε, τὴν ἀσεβῆ διάλεξιν ἀπωθεῖσθαι ὀφείλει ἡ πίστις ὑμῶν, ἵνα παρ' ὑμῖν ἐν Χριστῷ ἐγρηγορόσι φανερὰ ᾖ διαφορὰ τροφῆς καὶ δηλητηρίου καὶ ἐπιμείνητε τούτοις ἅπερ τοῦ λόγου τῶν προτέρων ποιμένων διδάσκοντος μεμαθήκατε, εἰδότες ὅτι
25 ἄχρι τοῦ παρόντος ἐσχήκατε ἱερέας ἔν τε διδασκαλίαι καὶ ἁγιότητι προύχοντας, οἵτινες οὐδέποτε χωριζόμενοι τῶν πατρικῶν παραδόσεων τὴν ἐκκλησίαν τσῦ κυρίου μετὰ μεγίστης
5 ἐκυβέρνησαν ἡσυχίας. ἵνα γὰρ ἀπὸ τῶν νεαρῶν ἀρξώμεθα, τί οὐκ ἐνέβαλε ταῖς ψυχαῖς ὑμῶν ἡ παίδευσις τοῦ τῆς ἁγίας μνήμης ἐπισκόπου Ἰωάννου; οὗ ὁ λόγος εἰς πάντα τὸν κόσμον ἐξεχύθη οἰκοδομῶν τὴν καθολικὴν πίστιν, ὃς οὐδαμοῦ κατὰ διδασκαλίαν ἀπῆν·
30 ὅπου γὰρ δήποτε ἀνεγνώσθη, ἐκήρυξεν. τὴν δὲ ἐκείνου ἐπιμελῆ σύνεσιν στερρότης διαβεβοημένη διεδέξατο· ἐκυβέρνησε γὰρ ὁ τῆς ἁγίας μνήμης ἐπίσκοπος Ἀττικὸς τὸν Χριστιανὸν λαὸν τῷ τοῦ προηγησαμένου ὑποδείγματι καὶ ἐδίωξε τὰς ἱεροσύλους τῶν αἱρετικῶν μανίας. ἐσχήκαμεν δὲ τούτου ἀπογενομένου κοινωνὸν τὸν τῆς ἁγίας μνήμης Σισίνιον,

---

V, M [usque ad 12 προσάπτων], P [= hk], S, D [= mn], AWΛ^{t}Λ^{c}Λ^{u}Λ^{f}Λ^{l}

1 τοῦ θεοῦ om. SD τοῦ χῡ S πανταχῆ S 2 ὑμῶν ex ἡμῶν corr. S om. A ἠγωνισάμεθα P 3 ὑμετέραν MhW [= Λ] ἡμετέραν VkSDA πανταχῆ S 5 θειότητοσ A τοῦ χῡ καὶ θῡ V 8 μου^{1} om. SD 8/9 διὰ — διακόνου SDA [= Λ] om. VMPW 10 ἀσεβοῦσ κηρύγματοσ διαστροφὴν A εὕρηκα S 11 καὶ θείαν A *in Christo nostro* Λ νῦν δὲ αὐτῷ SD 12 ἀλλ' — p. 85, 10 διαμερίζεσθαι om. M, ponendo pro illis καὶ μεθ' ἕτερα 13 ἀκούση W ἀκούσει VPSDA 14 ἐκτενῶ VSD [= Λ] ἐκτείνω PAW φησὶ τὴν χεῖρα μου SD [= Λ] τὴν χεῖρα μου φησὶν A φησὶ τὴν μάχαιράν μου VPW 15 κενὰ λαλούντων SD 15/16 οὔτε SDA 16 τοῦ^{2} om. SDA 19 ὅτι A 19/20 ἐπέρχεσθαι D 20 ἐν ἐκείνῳ SD διασπαράσσονται A 21 προφέρεται — παραβάλλονται] προβάλλονται A προφέρονται W οὐχ αἱ] οὐχὶ A ἀλλ' αἱ] ἀλλὰ A βλάπτουσαι SDA [= Λ] λεπτύνουσαι VPW 22 ἡ om. SD παρεῖχεν P τομῆς PW ὡσ SDA [= Λ] om. VPW 24 φανερὰ παρ' ὑμῖν ἐγρηγορόσιν ἡ διαφορὰ SD καὶ^{2} om. A ἐπιμείνητε δὲ A 25 διδάσκοντεσ W 26 τε τῇ V τῇ DA 27 χῡ S 29 ἡμῶν VS μακαρίασ DA ἐπισκόπου om. DA 30 τὴν πίστιν τὴν καθολικήν S ἀπῆ A 32 ἐπίσκοποσ om. S 34 τὸν om. VPW σισίννιον D

εἰδότα ὅση δόξα αὐτοῦ ἔμενεν, εἰ φυλάξειεν ὁλόκληρα καὶ ἀβλαβῆ τὰ ἄχρις αὐτοῦ διαμείναντα τῆς καθολικῆς πίστεως κόσμια. ἐνοήσαμεν ὅπως ἐκείνωι οὐκ ἔλειψε καὶ ἁπλότης περιστερᾶς καὶ σύνεσις ἑρπετοῦ. ἐκλαύσαμεν, ἀγαπητοὶ ἀδελφοί, ὥσπερ προορῶντες Mt. 10, 16
6 τὰ μέλλοντα, τὸ ταχέως ὑμᾶς τῆς ἐκείνου βοηθείας ἀπεστερῆσθαι. ἐν τούτωι γὰρ ἀγνοῶ ποίαν ἐλπίδα εὑρήσομεν, ὃς περὶ τοῦ θεοῦ ἡμῶν ἄλλως διαλαμβάνει ἢ αὐτὸς περὶ ἑαυτοῦ 5
ἢ οἱ ἀπόστολοι περὶ αὐτοῦ παραδεδώκασιν· οὐ μόνον τοὺς συντετριμμένους οὐ συνδεσμεῖ, cf. Ezech. 34,
ἀλλὰ καὶ συντρίβει τοὺς συνδεδεμένους· οὐ μόνον τοὺς καταβεβλημένους οὐκ ἐγείρει, ἀλλὰ 4
καὶ τοὺς ἱσταμένους καταβάλλειν ἐπιχειρεῖ· οὐ μόνον τὰ διεσπαρμένα οὐ συνάγει, ἀλλὰ καὶ cf. Mt. 12, 30
τὰ συνηγμένα διαμερίζει, εἰ καὶ τὰ μάλιστα οὔτε συντριβῆναι δύναται διάνοια ἀφιερωμένη M III 1 1040
θεῶι οὔτε καταβληθῆναι ἱστάμενος οὐρανίαι δυνάμει οὔτε τὸ ἱερὸν πλῆθος διαμερίζεσθαι. 10
φανερῶς οὖν τῆι ἀγάπηι ὑμῶν, ὅπερ χωρὶς δακρύων οὐ δυνάμεθα εἰπεῖν, ἀπαγγέλλομεν·
ἐκίνησεν ὁ διαλεκτικὸς ὑμῶν μάχην πρὸς τὴν ἀλήθειαν, τῆι ἀρχαίαι πίστει χεῖρας ἐπήνεγκεν,
πολεμεῖ πρὸς τοὺς ἀποστόλους, τοὺς προφήτας ἐκβάλλει, αὐτοῦ τοῦ κυρίου ἡμῶν περὶ
7 ἑαυτοῦ λέγοντος τοῖς ῥήμασιν οὐκ ἀκολουθεῖ. ποίας θρησκείας ἢ ποίοις νόμοις ἑαυτὸν ἐπίσκοπον λέγει, ἀποχρησάμενος τῆι καινῆι καὶ τῆι παλαιᾶι διαθήκηι; καὶ γὰρ καὶ τὸ νοητὸν 15
τοῦ σχήματος ἐκβάλλει καὶ οὐ δέχεται τὴν μεταξὺ ἡμῶν ἀναστραφεῖσαν ἀλήθειαν καὶ
ἁπλῶς ἄλλως περὶ τοῦ μυστηρίου τοῦ Χριστοῦ τοῦ θεοῦ ἡμῶν διαλαμβάνει ἢ ἀνέχεται τὸ L III 367
τῆς πίστεως τῆς ἡμετέρας ἁγίασμα, ὧι μετὰ σεβάσματος ἠκολούθησε πᾶς καθολικῶς διαλεγόμενος. οὐδεὶς γὰρ καλῶς τῆι θρησκείαι ἐκδεδομένος ἄλλως περὶ τοῦ Χριστοῦ
8 ἐφρόνησεν ἢ αὐτὸς περὶ ἑαυτοῦ φρονεῖσθαι ἠθέλησεν. ἐκίνησέ ποτε ἱερόσυλον ζήτησιν 20
ὁ Σαμοσατεὺς Παῦλος, ὅτε τῆς ἁγίας κατὰ τὴν Ἀντιόχειαν ἐκκλησίας προίστατο· ἀλλὰ
τοῦτον ἀπὸ τοῦ θρόνου, ἐν ὧι μιαρῶς προυκαθέζετο, καθήιρηκεν ἐνωθεῖσα τῶν καθολικῶν
ἱερέων ἀπόφασις. ἀεὶ γὰρ ἐκκόπτεσθαι ὀφείλουσιν οἱ τοιοῦτοι, οἵτινες τὴν ψυχὴν τοῦ
Χριστιανοῦ λαοῦ διαταράττοντες καὶ πρὸς τὴν γνώμην τὴν ἰδίαν τὰ εὐαγγέλια διαστρέφοντες τῶι
θεῶι καρποφορεῖν οὐ δύνανται, καὶ γεωργητέα ἐστὶν ἡ ἄμπελος ἡ τὸ δίκαιον τοῦ κτήτορος 25
9 ἐπιγινώσκουσα. δῆλον δέ ἐστιν ὅτι αἱ τοιαῦται τῶν λόγων καινότητες ἀπὸ ματαίου
ἔρωτος δόξης γεννῶνται· ὡς τινες ἐθέλουσι παρ' ἑαυτοῖς δοκεῖν ὀξεῖς, ὀπτικοὶ καὶ φρόνιμοι, ζητοῦσί τί προσενέγκωσι ξένον, ὅθεν παρὰ ταῖς ἀπαιδεύτοις ψυχαῖς πρόσκαιρον δόξαν
ὀξύτητος ἀπενέγκωνται. ἀλλὰ τίς πώποτε ἀληθῆ δόξαν ἐκέρδανεν ἑαυτῶι δοκῶν φρό-
νιμος; ὁ γὰρ θεὸς ἡμῶν τὰ ἀσθενῆ τοῦ κόσμου ἐπιλέγεται καὶ ἐκ τῶν ἐναντίων συγχέει 1 Cor. 1, 27
τὰ ἰσχυρὰ καὶ τοὺς φρονίμους διὰ τῶν τοῦ κόσμου μωρῶν. τίς ἐν τῆι τοῦ κόσμου 31
σοφίαι καυχᾶται, εἰ μὴ ὁ ὁμολογῶν ἑαυτὸν ἐκ τοῦ κόσμου εἶναι, εἰ μὴ ὁ ἀρνούμενος ἑαυ-

V, M [inde a 11 φανερῶς usque ad 20 ἠθέλησεν], P [= hk], S, D [= mn], AWΛ^{t}Λ^{c}Λ^{u}Λ^{f}Λ^{l}

1 δόξα αὐτοῦ V αὐτοῦ δόξα PW δόξα αὐτὸν D δόξα αὐ . . S αὐτὸν δόξα A ἔμενεν SDA ἔμεινεν VPW 1/2 μείναντα SD 4 τῶ SD ὑμᾶσ VPW [= Λ] ἡμᾶσ SDA [= Λ^{c}] ἀποστερῆσθαι V ἀποστερεῖσθαι PW γὰρ τούτω V τούτω δὲ W ἀνοῶ S 5 αὐτοῦ P 6 οὐ μόνον VPWSDA *qui non solum* Λ συνέδησεν A 7 ἤγειρεν A 8 καταβαλεῖν DA τὰ διεσπαρμένα PWA [= Λ] τὰ διεστῶτα [διεστῶτα καὶ D] διεστραμμένα S τοὺς διεσπαρμένους V συνάγειν οὐ βούλεται W 9 τὰ συνηγμένα PWD [= Λ] τὰ συνημμένα SA τοὺς συνηγμένους V καὶ μάλιστα VPW 10 καταβληθῆναι δύναται A οὐδὲ A 12 ὑπήνεγκε S 13 πρὸσ τοὺσ ἀποστόλουσ VMPSW τοὺς ἀποστόλους D τοῖσ ἀποστόλοισ A ἡμῶν om. S 14 αὐτοῦ S ποίου νόμου VW 15 ἀποταξάμενοσ A τῆ καινῆ καὶ τῆ παλαιᾶ VMAW [= Λ] τῆ παλαιᾶ καὶ τῆ [τῆ om. SD] καινῆ P γὰρ τὸ VP γὰρ τὸν MW 17 τοῦ χῦ καὶ θῦ SD χῦ τοῦ θῦ W 19 καλῶς] ὅλωσ A ἐκδεδεμένος VMPW τοῦ om. SD 20—p. 86, 13 ἐκίνησε — ἐκβληθῆι om. M 21 τὴν om. DA ἐκκλησίας προίστατο] πρωτοεκκλησίασ S 22 προεκαθέζετο DA ἐκαθέζετο S προυκαθίζετο V 23 ἐκκόπτεσθαι ὀφείλουσιν οἱ τοιοῦτοι SDA [= Λ] ἐκκόπτεσθαι ὀφείλουσι καιρίωσ οἱ τοιοῦτοι V ὀφείλουσιν οἱ τοιοῦτοι καιρίωσ ἐκκόπτεσθαι P ἐκκόπτεσθαι ὀφείλουσιν οἱ τοιοῦτοι καιρίωσ W 24 λαοῦ om. PW [= Λ^{l}] τὴν ἰδίαν γνώμην SD μεταστρέφοντεσ τὰ εὐαγγέλια SD τὰ εὐαγγέλια μεταστρέφοντεσ A 25 δίκαιον] ἴδιον W 26 καὶ εὐθὲσ ἐπιγινώσκουσα P κενότητεσ PSW 27 γενῶνται VS γίνονται A αὐτοῖς V 28 δοκοῦσι SD παρενέγκωσι A ξένον προσενέγκουσιν D ξέ . . . . . S 29 πώποτε SDA [= Λ] τούτων ποτὲ VPW

Ioh. 17, 16 τὸν ἐκείνου εἶναι μαθητὴν τοῦ εἰπόντος μὴ εἶναι ἑαυτὸν ἀπὸ τοῦ κόσμου; μία ἐστὶ δόξα
1 Cor. 1, 31 **10** ἵνα, ὡς φησιν ὁ ἀπόστολος, ὁ καυχώμενος ἐν κυρίωι καυχάσθω. ἆρα οὐ τούτωι τῶι
ὑμετέρωι ἐπισκόπωι, ἀλλὰ ἄχρι νῦν ὑμετέρωι, ἐὰν μὴ πιστεύσηι ὅπερ πιστεύομεν, ὁρῶμεν
Rom. 1, 22 ταύτην τὴν γνώμην πρέπουσαν; μωρὸς ἐγένετο, ὃς λέγει ἑαυτὸν σοφόν· ὡμολογημένη
1 Cor. 1, 24 γάρ ἐστι μωρία τὸ ἐκεῖνον ἀγνοεῖν, ὃν ἴσμεν θεοῦ σοφίαν εἶναι καὶ δύναμιν. ὁμολογεῖ
γὰρ ἑαυτὸν ταῦτα ἀγνοεῖν ἅπερ ἀνακρίνει. καὶ μὴ θαυμάσηι ἡ ἀγάπη ὑμῶν ἀπὸ τῆς
Ioh. 14, 6 ὁδοῦ τῆς ἀληθείας ἀποπλανᾶσθαι τοῦτον, ὁρῶσα ὅτι τὸν Χριστόν, ὅστις ἡ ὁδὸς ἡμῶν
τυγχάνει, ἀπώλεσε. κατειλήφαμεν αὐτὸν ἐνίοτε σκαιᾶι διαλέξει προδιδόμενον, ἐνίοτε
κρυπτόμενόν τισι λανθανούσαις διόδοις καὶ σκέποντα τὰ ἴδια δηλητήρια. καὶ δέον ἡμᾶς
Prou. 26, 4 ἀκολουθοῦντας τῆι γνώμηι τοῦ σοφωτάτου Σολομῶντος μηδεμίαν διδόναι ἀπόκρισιν πρὸς τὴν 10
ἄνοιαν αὐτοῦ, μὴ ὅμοιοι αὐτῶι γενώμεθα, ὅμως συμβουλεύομεν ἵνα μεθ' ἡμῶν τοῖς ἀπο-
στόλοις καὶ τοῖς προφήταις ἀκολουθήσηι, μή, ὡς πᾶσι μόνος ἀνθίσταται, μόνος παρὰ πάν-
11 των ἐκβληθῆι. ὑμεῖς δὲ ἐπιμελέστερον ἐγρηγορέναι ὀφείλετε, ἵνα ἀντιστῆτε τοῖς τοῦ
ἐχθροῦ κηρύγμασι· μείζων γὰρ ὑμῖν ἐστι φροντίς, ὅταν ἐντὸς τῆς ἐκκλησίας λέγηται
M IIII 104 ὑμῖν τὰ τῆι ἐκκλησίαι ἐναντιούμενα. ἐχέτωσαν ἐκεῖνοι ἀνακωχὴν τῶν καμάτων, οὓς 15
προκαλεῖται ὁ ἀντίδικος ἔξω διάγων, καὶ οἵτινες περὶ τοὺς προμαχῶνας διεσπαρμένοι ἀ-
σφαλίζονται ἑαυτοὺς τῆι τῶν τειχῶν βοηθείαι· οἱ δὲ ἔχοντες ἔνδον τὸν πολέμιον ἀργίαν
οὐκ ἴσασιν. ὅμως ἐν τούτωι τῶι ἐμφυλίωι πολέμωι, ἐν ταύτηι τῆι οἰκειακῆι μάχηι εἴη
ὑμῖν τεῖχος ἡ πίστις καὶ κατὰ τῆς ἀπιστίας αὐτὴ ἑαυτὴν ἐκδικήσει πνευματικοῖς ἀκοντίοις.
Ps. 70, 3 φυλάξωμεν ταύτην, ὅτι φυλαττομένη φυλάττει ἡμᾶς· διὰ ταύτης ἡ ἀσφάλεια ἡμῶν ἐστιν 20
ὁ θεὸς καὶ ἡ καταφυγή. ἁρπάζει ἐκ χειρὸς ἁμαρτωλοῦ· τούτωι ὑμᾶς ἐν κλύδωνι κει-
Mt. 8, 25 μένους πρέπει λέγειν· κύριε ἐλευθέρωσον ἡμᾶς, ἀπολλύμεθα.
L III 370 **12** Πρὸς ὑμᾶς νῦν, ὦ κληρικοὶ καὶ πάντες οἳ καθιερωμένοι ἐστὲ τῶι κυρίωι, μεταστρε-
πτέος ὁ παρ' ἡμῶν λόγος. ἐρεῖ τις τυχὸν τὴν τάξιν μὴ πεφυλάχθαι. ἠθελήσαμεν καὶ
ἡμεῖς πρότερον, ὅπερ ἀπήιτει ἡ ἀκολουθία, διαλεχθῆναι ὑμῖν· ἀλλ' ἐκράτησεν ἡ περὶ ἐκεί- 25
νους μείζων φροντίς, οὓς θέλομεν εἰς τὸ κοινὸν σῶσαι. οὔτε γὰρ περὶ ὑμῶν ἀμφιβάλ-
λειν ὀφείλομεν, ὧν δηλαδὴ ἡγεμονευόντων ἐκείνους ἐν τῆι πίστει ἑστάναι πιστεύομεν.
ἡ ἀναφορὰ τοῦ ἁγίου καὶ θεῶι ἐρασμίου τοῦ ἀδελφοῦ καὶ συνεπισκόπου μου Κυρίλλου,
ἣν ἀπέστειλέ μοι διὰ τοῦ υἱοῦ μου Ποσειδωνίου τοῦ διακόνου ἑαυτοῦ, ταῦτα ἀνεδίδαξε
πράττεσθαι καθ' ὑμῶν ἅπερ δύναται κατὰ τῶν μελῶν τῆς ἐκκλησίας ποιεῖν ὁ τῆς κεφαλῆς 30
αὐτῆς μὴ φεισάμενος. ἀλλὰ ταῦτα ὑμᾶς μὴ βασανιζέτω. μείζων γὰρ δόξα ἐστὶν
2 Tim. 2, 5 ἐν μείζονι καμάτωι, ὅτι ἡ ποιότης τοῦ ἀγῶνος ποιεῖ τὴν τοῦ ἄθλου ποιότητα. ἀναγινώ-
13 σκετε γὰρ μεθ' ἡμῶν ὅτι ὁ νομίμως ἀγωνισάμενος στεφανοῦται. ὅθεν ἡ προτροπὴ

V, M [inde a 13 ὑμεῖς — 32 ποιότητα], P [= hk], S [multa abscissa], D [= mn], AWΛ^{t}Λ^{c}Λ^{u}Λ^{f}Λ^{l}

1 μαθητὴς A αὐτὸν A ἐκ SDW 2 καυχᾶται A οὐ A οὖν VPSDW 3 ἡμετέρῳ D [= Λ^{c}] def. S 5 εἶναι θῦ σοφίαν SD εἶναι σοφίαν θῦ A 6 θραύσῃ PW 7 τὸν om. D def. S ἡ A om. VPDW def. S 8 ἑαυτὸν D def. S σκιᾷ PmW καὶ A 9 σκέπτοντα hDA def. S 10 σολομῶνος A 11 αὐτοῖς SD 12 καὶ τοῖς προφήταις om. D def. S μόνος πᾶσιν SD 13 ὀφείλετε ἐγρηγορέναι SD 14 ἐστιν ὑμῖν PSD ὅταν VPW ὅτε MDA def. S λέγηται VMPW λέγεται SDA 15 ἡμῖν W οὖ M 16 προσκαλεῖται MDW def. S εἴ τινες P 17 τειχέων A ἔνδοθεν P πολέμιον D [= Λ] def. S πόλεμον VMPAW 18 οἰκεία D def. S 19 τὰς ἀπιστίας P 21 ἀπὸ SD τούτῳ MDA [= Λ] def. S τοῦτο VPW ὑμᾶς VA [= Λ] def. S ἡμᾶς MPDW ἐν VPW [= Λ] τῶ SDA 21/22 κειμένους VMPAW [= Λ] κινουμένους SD 23 νῦν VMPAW [= Λ] οὖν SD ὦ om. D πάντες PDA πάντας VMSW ὅσοι SD τῶ θῶ ἐστὲ D . . . . ἐστὲ S 24 ἡμῖν V μὴ om. nA 25 ἀπαιτεῖ A διαφυλαχθῆναι A 25/26 ἐκείνων VA 26 οὓς] οὐ A ἐθέλομεν V ἡμῶν P 27 ὧν] τῶν SD 28 θεῶ ἐρασμίου τοῦ VMPSDW quod in θεῶι ἐρασμιωτάτου emendem θεοφιλεστάτου A 29 μου om. SD διὰ — ἑαυτοῦ SDA [= Λ] om. VMPW αὐτοῦ A ἐδίδαξε V 32 ἐν — καμάτωι om. A 32—p. 89, 7 προσκαλεσαμένου om. M 32 αἰῶνος A 32/33 ἀναγινωσκεται S 33 ὑμῶν S ἀγωνισάμενος SD [= Λ] ἀγωνιζόμενος VPAW τροπὴ VW ροπὴ P

ἡμῶν χρεωστεῖται ὑμῖν, ἡ καὶ τοῖς μικροψύχοις καὶ τοῖς ἀνδρείως ἀνθισταμένοις ἀναγκαία ἐστίν, ἵνα τοὺς πειρασμοὺς δυνηθῶσι φέρειν οἱ μὴ δυνάμενοι καὶ ἰσχυρότερον στῶσιν οἱ ἀνθιστάμενοι. οὐδέποτε τοῦ βασιλέως ἡμῶν τὰ ὅπλα ἡττᾶται. ἔλεγχός ἐστι πᾶς πειρασμὸς τῶι Χριστιανῶι· τοῦτον γάρ, ὡς ἀνέγνωμεν, ὑπομονὴ ἐργάζεται, ἐκ ταύτης ἐλπὶς Rom. 5, 3. 4
γεννᾶται, ἥτις οὐδένα, τῆς γραφῆς ἐπαγγελλομένης, ἠπάτησεν. ὅθεν, ἀγαπητοὶ ἀδελφοί, 5
ἐπειδὴ ἡ παραμυθία ὑμῶν ἐκ θεοῦ ἐστιν, ὧι τὰ σώματα ὑμῶν, τουτέστιν ὑμᾶς αὐτοὺς ζώσας, ὡς φησιν ὁ ἀπόστολος, θυσίας προσφέρετε, μὴ ἀποκάμητε ἀνθιστάμενοι. παρεξει ἐκεῖνος δύναμιν, ὃς διὰ τοῦ ἀποστόλου ἡμᾶς διδάσκων θέλει τὰ ἡμέτερα μέλη ὅπλα 2 Cor. 6, 7
14 εἶναι τῆς ἑαυτοῦ δικαιοσύνης. ἔχετε ὑποδείγματα τῶν ἁγίων, οἵτινές ποτε ἔσπειραν ἐν Ps. 125, 5
δάκρυσιν, ὕστερον δὲ ἐν χαρᾶι θεριοῦσιν. οὐ φιλεῖ ὁ ἡμέτερος δεσπότης δοῦλον, εἰ μὴ 10
τὸν ἐν πείραι δεδοκιμασμένον· τὰς Χριστιανὰς ψυχὰς ἀεὶ ἡ τῶν πραγμάτων παλαίστρα γυμνάζει. τρέχετε, ἵνα ἀλλήλους ἐν ταῖς ὁδοῖς τοῦ κυρίου παρέλθητε· οὐ θέλω ὑμᾶς ὑπὸ cf. 1 Cor. 9,24
τῶν ἀντιδίκων καταλαμβάνεσθαι. φησὶν [δὲ καὶ] ὁ ἀπόστολος χρῆναι γενέσθαι ἅπερ ὁρῶ- cf. 1 Cor. 11,9
μεν· ἰσχὺν καὶ πίστιν οὐ δοκιμάζει εἰ μὴ ὁ τόπος τῆς συμβολῆς. ἡσυχίαν στεφανοῦσθαι δυσχερές· τὰ ἔπαθλα εἰ μὴ τοῖς καμάτοις οὐ δίδοται. τὴν περικεφαλαίαν τῆς Eph. 6, 17. 14
ὑγιείας αἱ κεφαλαὶ ὑμῶν μὴ ἀπόθωνται· μὴ ἐκδύσηται τὸν θώρακα τῆς πίστεως ὁ ἐπαγ- 16
γελλόμενος στρατιώτην τοῦ Χριστοῦ ἀξιόχρεων. οἱ ἡμέτεροι καθ' ἡμῶν πόλεμον κεκινήκασιν, εἰ ἄρα ἡμέτεροι λεκτέοι οὗτοι οὓς ἠισθόμεθα ῥαγέντος τοῦ τῆς φιλίας νόμου πρὸς τὸν ἐχθρὸν ἠὐτομοληκέναι. ὑμέτερόν ἐστιν ἱσταμένους ἔχειν τοὺς πόδας ἐν τοῖς πυλῶ- Ps. 121, 2
σιν Ἱερουσαλήμ. θέλομεν ὑμῶν τὰς βάσεις εἶναι τελείας, μή ποτε πρὸς ἴσον ὑπόδειγμα 20
τὰ ἴχνη τινὸς παρασαλευθῆι· ἀκολουθήσωσι τῶι διαβόλωι μετὰ τοῦ κακοῦ οἱ ἐπιγινώσκοντες M IIII 1044
15 ἑαυτοὺς ἐξ ἐκείνου ὄντας. ὑμεῖς, οἵτινες υἱοὶ θεοῦ τοῖς ἔργοις φαίνεσθε, ἐπειδὴ ἐκ τῶν
καρπῶν θέλει ἕκαστον διαγινώσκεσθαι, ἀμοιβαδὸν τὰς διανοίας τῶν μικροψύχων παραμυθή- Mt. 7, 20
σασθε καὶ ἕκαστον τῶν ἀσθενῶν ὑποδέξασθε βεβαιοῦντες αὐτούς. μὴ δὴ ἀπατήσηι ὑμᾶς ἡ ἀσέβεια, ἀλλὰ περὶ τοῦ καλοῦ καὶ τοῦ κακοῦ κατὰ τὴν ἑκάστου ποιότητα τὴν κρίσιν 25
κατέχετε, φεύγοντες τὰ διεστραμμένα καὶ τὰ ὀρθὰ ἐπαινοῦντες. ἀποβλητέος γάρ ἐστι Prou. 17, 15
τῶι θεῶι, λέγοντος Σολομῶντος, ὅστις ἢ τὸν δίκαιον ἀντὶ ἀδίκου ἢ ἀντὶ δικαίου δέχεται L III 371
ἄδικον. οὐδέν ἐστιν ἡ πρόσκαιρος θλῖψις, ἀλλὰ πρὸ ὀφθαλμῶν ἧι τὸ αἰώνιον ἔπαθλον,
16 οὗ οὐδὲν προκριτέον. βοᾶι ὁ ἡμέτερος ὑμνωιδὸς ὅτι ἐὰν κατ' αὐτοῦ συστῆι πόλεμος, Ps. 26, 3
ἐλπίδι ἐκείνου τοῦ φωτισμοῦ ὅλως οὐ φοβηθήσεται. εἰ ἀγῶνα πρὸς τὰ ἔθνη εἴχετε, 30

V, P [= hk], S [nonnulla abscissa], D [= mn], AWΛ^{t}Λ^{c}Λ^{u}Λ^{f}Λ^{l}

1 ἡμῶν] ὑμῶν A 2 ἵνα VPW [= Λ^{cif}] ἵνα καὶ DA [= Λ^{u}] def. S ἰσχυρότεροι DA def. S 3 τὰ ὅπλα τοῦ βασιλέως ἡμῶν V ἐστι] δὲ A 4 τοῦτον — ὑπομονή] *quippe quæ patientiam* Λ ἔγνωμεν VPW 5 ἠθέτησεν A ἀδελφοὶ ἀγαπητοὶ A 6 ὑμῶν W [= Λ] ἡμῶν VPSDA ἡμῶν SDA ἡμᾶσ SD 7 ὥσπερ P θυσίας om. D 8/9 εἶναι ὅπλα P 9 αὐτοῦ AW om. SD ὑποδείγματα] ὑπόδειγμα τὸ A 10 ὕστερον δὲ ἐν χαρᾶ θεριοῦσιν VPW ὕστερον θεριοῦσιν ἐν χαρᾶ Sn θεριοῦσιν ἐν χαρᾶ ὕστερον m θεριοῦσιν ὕστερον ἐν χαρᾶ A 12 δικάζει V γυμνάζει in mg. ἀλλήλοισ S ὑπὸ VP ἀπὸ W παρὰ SDA 13 δὲ καὶ VPWA καὶ om. S δὲ om. D δὲ καὶ om. Λ ἅπερ PW [= Λ] ὅπερ VSDA 14 πίστιν VSDA [= Λ] τόπον W κόπον P συμβουλῆσ W ἡσυχίαν VW [= Λ] ἡσυχία P ἧσ δίχα SDA 16 ὑγείασ PSDA ἐκδύσητε PS 17 στρατιώτην Λ στρατιώτησ VPSDAW ἀξιόχρεων VPW [= Λ] ἀξιόχρεωσ SDA 18 ἡσθόμεθα VA *sentiamus* Λ εἰσόμεθα W εὐξόμεθα P αἰσθάνομαι SD φιλᾱνίας P 19 ἡμέτερόν V ὕστερόν P 19/20 τῶ πυλῶνι SD 20 πρὸς — ὑπόδειγμα] προελθόντων ὑπὸ δήγματοσ A 21 τινὸς τὰ ἴχνη A τὰ ἴχνη VPW 21 ἀκολουθήσωσι A [= Λ] ἀκολουθήσουσι SD καὶ ἀκολουθήσωσι VPW 22 ὑμεῖς δὲ P 23 ἕκαστον VPS [= Λ] ἕκαστοσ DAW διαγινώσκεσθε W ἐπιγινώσκεσθαι PS ὀλγοψύχων [sic] A 23/24 παραμυθεῖσθε P 24 μὴ δὲ S 25 ἡ om. V τοῦ κακοῦ καὶ τοῦ καλοῦ VSD 26 ἐπαινοῦντες VPAW [= Λ] φρονοῦντεσ SD 27 τοῦ σολομῶντος V 28 οὐδέν V [= Λ] οὐδὲν δέ PDAW def. S ἀλλὰ VSDAW om. Λ^{uf} ἂν P *si* Λ^{etl} τὸ ἔπαθλον τὸ αἰώνιον A 29 στῆ VPW 30 ἀγωνίαν SDA ἔχετε DA def. S

δηλαδὴ μεγίστης ἂν ἦν νίκης νικᾶν τοὺς ἀεὶ ὑμῖν γενομένους ἐχθρούς· πηλίκη δὲ ἐκείνη ἡ νίκη λεκτέα ὅπου ὁ ἱερεὺς ἀλλαγέντος τοῦ κηρύγματος διώκτης τῶν καθολικῶν ἐγένετο; ἰδικῶς ἐν ἅπασι κατὰ Παύλου φρονῶν, ὃς τοῦ εὐαγγελίου τοῦ κυρίου, οὗ διώκτης ἦν πρότερον, ὕστερον ἐγένετο κῆρυξ. κατελείφθη ὁ ἀσεβὴς διαλεκτικὸς παρὰ τοῦ θείου
17 πνεύματος, ὁπότε κατ' αὐτοῦ τοῦ θείου πνεύματος ἐφρόνησεν ἐναντία. δικαίως, ἐὰν ἐπιμείνῃ, ἀκούσεται παρ' ἡμῶν τὰ ῥήματα τοῦ Σαμουὴλ ἅπερ τότε τῶι Σαοὺλ παρ' αὐτοῦ τοῦ
1 Reg. 15, 23 ἱερέως εἴρηται· ἐξουθενήσει σε κύριος, ἵνα μὴ βασιλεύσῃς ἐπὶ Ἰσραήλ. ἐκεῖνος ἄξιος γέγονεν, ὅτι μόνον ἐν πράγμασιν ἅπερ ἔπραττε, κατεφρόνησε τῶν ἐντολῶν τοῦ θεοῦ· ποία τούτωι χρεωστηθήσεται τιμωρία, ὃς ἑαυτὸν κατὰ τοῦ κυρίου τῆς θειότητος ὕψωσε; νῦν ὑμέτερόν ἐστι θεραπεῦσαι τὸ παρ' ἐκείνου τραῦμα καὶ ἰάσασθαι τοὺς τοῖς παρ' αὐτοῦ ῥήμασι τετρωμένους. ἀσφαλέσιν ἴχνεσιν ἵστασθε κατὰ τοῦ ἤδη πεσόντος, ὡς ὁ παρ' αὐτοῦ λόγος δείκνυσι, καὶ εἴ τι ὑμῖν ἐπήνεγκεν, ἀνεξικάκως φέρετε. ἐμηχανήσατο ὕβρεις, ἐμηχανήσατο ἀφορισμούς· ἐκεῖνος αὐτὸν ἐν τοῖς ἰδίοις πέπονθεν, ὃν ὑποδεδέχθαι ὑπὲρ ἡμῶν ἄνθρωπον ἀρνεῖ-
18 ται. ὅθεν μηδεὶς κλαύσηι τὰ κατά τινος ὑμῶν ἐπινοηθέντα. τῆς ἀνεξικακίας καὶ τῆς ὑπο-
Act. Ap. 7, 54-56 μονῆς τύπος εἴη Στέφανος ὁ πρῶτος τοῦ Χριστοῦ μάρτυς. ὁ ὄχλος τῶν ἀπίστων κατ' αὐτοῦ ἔβρυχε, καὶ ὅμως ὁ συνοδοιπόρος τοῦ Χριστοῦ οὐκ ἐσιώπησεν ὅπερ ἑώρα. ἐβόα μεταξὺ μαινομένων, μεταξὺ τῶν τῆς θρησκείας ἐχθρῶν, λέγων ἑαυτὸν ὁρᾶν ἀνεωιγμένους τοὺς οὐρανοὺς καὶ τὸν υἱὸν τοῦ ἀνθρώπου, δι' ὃν ταῦτα ἔπασχεν, ἱστάμενον πρὸς τῆι
19 δεξιᾶι τοῦ θεοῦ. μακρόν ἐστι χωρεῖν δι' ἑκάστου τῶν πριαμένων ἑαυτοῖς ζωὴν ἢ θανάτωι ἢ ὁμολογίαι· ἔχετε ὑμεῖς, ὅσοι τῆς ἐκκλησίας ἐκβέβλησθε, σχεδὸν τῶν ἡμετέρων καιρῶν ὑπόδειγμα τὸ τοῦ τῆς μακαρίας μνήμης Ἀθανασίου τοῦ σοφωτάτου ἱερέως τῆς Ἀλεξανδρέων ἐκκλησίας. τίνι οὐκ ἂν εἴη παραμυθία ἡ ἐκείνου ὑπομονή; τίνι οὐκ ἂν εἴη ὑπόδειγμα ἡ ἐκείνου στερρότης; τίνι οὐκ ἂν ποίησειεν ἐλπίδα ἡ ἐκείνου πολυπόθητος ἐπάνοδος; ἐκβάλλεται Ἀρείου διώκοντος, ἀλλὰ ἀνακλητέος τοῦ κυρίου προπέμποντος. ἔπαθε φυλακήν, ἔπαθε θλίψεις, καὶ οὐ θαυμαστὸν εἰ ὁ ἀποστολικὸς ἀνὴρ ταῦτα πέπον-
M IIII 1045 θε δι' ὧν ἑαυτὸν γεγυμνάσθαι καυχᾶται ὁ ἀπόστολος, καὶ ἐν τούτους πᾶσιν ἐκείνωι ἠ-
2 Cor. 11, 23 sq. κολούθησε τῶι μαρτυρομένωι ὅτι ἑαυτῶι ἐν ταῖς θλίψεσιν ἀρέσκει. ἐδιώχθη ἐκεῖθεν καὶ
2 Cor. 12, 10 ἐν τοῖς ἡμετέροις μέρεσιν ἀνεκτήσατο· ἀμέλει ἐνταῦθα αὐτοῦ ἡ κατάστασις ἀνεκαινίσθη καὶ ἐν τούτωι τῶι θρόνωι εὗρε κοινωνίας ἀνάπαυσιν, ἀφ' οὗ ἀεὶ τοῖς καθολικοῖς γεννᾶται βοήθεια. καὶ ὅμως ἐν ταῖς θλίψεσιν οὐκ ἠισθήθη πόνου ὁ γενόμενος ἐν τῶι διωγμῶι
20 ὁμολογητής. ὅθεν οὐδεὶς τῶν Χριστιανῶν κλαῦσαι ὀφείλει τὴν ἐπενεχθεῖσαν αὐτῶι πρόσκαιρον ἐξορίαν, ὅτι ἐκείνων οὐδεὶς ἐξωρισμένος ἐστὶ θεῶι. μᾶλλον φοβηθῶμεν μὴ

V, P [= hk], S [pauca abscissa], D [= mn], AWΛ^{1}Λ^{c}Λ^{u}Λ^{f}Λ^{l}

1 ἂν ἦν νίκης VPW [= Λ] ἢ ἀνάγκησ S ἡμῖν ἀνάγκησ DA ἡμῖν S γινομένουσ S 1/2 ἐκείνη ἡ νίκη SD ἡ νίκη ἐκείνη A *uictoria* Λ ἐκείνη VPW ἐκεῖνοσ ὁ ἱερεὺσ A 2 ἐγένετο ὕστερον SDA 4 κατελήφθη SDA 4/5 παρὰ — πνεύματος om. A ἁγίου P 5 κατ' A [= Λ] καὶ VPSDW 6 τότε VPW [= Λ] om. SDA 7 ἐξουθένησέ SD σαλεύσης V εἰ ἐκεῖνος V ἄξιοσ PAW [= Λ] ἀνάξιοσ VSD 8 ὅτι VPSW ἐπειδὴ D ὅτι ἐπειδὴ A 9 τῆς θεότητος τοῦ κῦ P θειότητοσ A [= Λ] θέοτητος V(P)SDAW 10 ἡμέτερόν PSD [= Λ^{c}] 10/11 τοῖσ παρ' αὐτοῦ [ἐκείνου S] ῥήμασι τετρωμένουσ SDA [τετραυματισμένουσ A] *eius sermonibus* Λ^{ciuf} παρ' αὐτοῦ ῥήματι τετρωμένουσ PW ῥήματι τετρωμένους παρ' αὐτοῦ V *eius sermone* Λ^{l} 11 ἵστασθαι PW om. A 12 καὶ om. Λ praeter Λ^{c} 13 αὐτὸν SD [= Λ] αὐτὸσ VPAW πέπομφεν SD ὃν om. A ὑποδεδεῖχθαι A 14 ἐπινοηθέντα VPW ἐπενεχθέντα SDA 16 ἔβρυχε VPW [= Λ] ἐβρύχετο S ἐβρυχᾶτο DA ἐβόα VAW [= Λ] ἀλλ' ἐβόα P καὶ ἀνεβόα D ....νεβόα S 17 τῶν om. A 19 μικρόν A 20 ἐτύχετε D καιρῶν om. A ἡμερῶν D 21 ὑπόδειγμα τὸ scripsi ὑποδείγματα τὸ A ὑποδείγματα SD ὑπόδειγμα VPW 22/23 τίνι^{1} — στερρότης VAW [= Λ$^{u(l)}$] τίνι οὐκ ἂν εἴη παραμυθία — ὑπομονή om. PSD τίνι οὐκ ἂν εἴη ὑπόδειγμα — στερρότης om. Λ$^{cf(l)}$ 24 πρέποντοσ S 25 ὁ om. A 26 ὃν VAW ἑαυτὸν om. P γεγυμνῶσθαι A 27 μαρτυρουμένω P αὐτῶ VA ἐν om. SD 30 τῆ θλίψει S ἠσθήθη VSA ἤσθετο P ἤσθη DW 31 ἐπαινεθεῖσαν P 32 πρόσκαιρον] πρότερον P ἐκείνω V

ἀπὸ τῆς χώρας τῶν ζώντων, τουτέστιν ἀπ' ἐκείνης ἣν ἡμετέραν θέλομεν εἶναι πατρίδα, ἐξορισθῶμεν. ἐκεῖνό ἐστιν ἡμέτερον, ἐκεῖνο διηνεκές, ἐκεῖνο αἰώνιον. οὔκ ἐστι γὰρ L III 374
ἐκεῖνο ἡμέτερον, δι' οὗ μόνη πάροδος· ἀλλὰ ταῦτα ἀληθῶς ἡμέτερα, ἅπερ ἀσφαλεστάτη
ἐλπὶς ἐπαγγέλλεται. ἔστι δὲ λέγοντος ἀκοῦσαι τοῦ ἀποστόλου· ἃ ὀφθαλμὸς οὐκ 1 Cor. 2, 9
εἶδεν οὐδὲ ἀκοὴ ἤκουσεν οὐδὲ εἰς καρδίαν ἀνθρώπου ἀνῆλθεν, ταῦτα ἡ- 5
21 τοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. ἵνα δὲ μηδὲ πρὸς καιρὸν δοκῇ τούτου
ἰσχύειν ἡ ἀπόφασις τοῦ ἤδη καθ' ἑαυτοῦ τὴν θείαν ἀπόφασιν προσκαλεσαμένου, φανερῶς
ἡ αὐθεντία τοῦ ἡμετέρου θρόνου ὡρίσατο μηδένα ἢ ἐπίσκοπον ἢ κληρικὸν ἢ κατά τι ἐπάγ-
γελμα Χριστιανὸν τῶν παρὰ Νεστορίου ἢ τῶν τούτου ὁμοίων, ἀφ' οὗ τοιαῦτα κηρύττειν
ἤρξαντο, ἢ τοῦ ἰδίου τόπου ἢ τῆς κοινωνίας ἀποκινηθέντων δοκεῖν ἢ ἀποκεκινῆσθαι ἢ 10
ἀποκοινώνητον γεγενῆσθαι· ἀλλ' οὗτοι πάντες ἐν τῇ ἡμετέραι κοινωνίαι καὶ ἐγένοντο καὶ
ἄχρι τοῦ παρόντος εἰσίν, ὅτι οὐδένα ἢ καθελεῖν ἢ ἀποκινῆσαι ἠδύνατο ὃς ἐν τῶι κηρύττειν
τοιαῦτα ἀσφαλῶς οὐχ εἱστήκει. πάντας τοίνυν ὁ παρὼν λόγος εἰς τὸ κοινὸν περιπλέ-
κεται, ἵνα μᾶλλον καὶ μᾶλλον ἰσχυροποιηθέντες καὶ θαρσαλέοι γενόμενοι ἐν κυρίωι μὴ
μετακινηθῆτε, ἀλλὰ μᾶλλον θεραπεύσητε τὰς ἀλλήλων ἀσθενείας. ἤδη γὰρ ὑμῖν ἐκεῖ 15
22 τοὺς ἀσθενεῖς παρατιθέμεθα, ὅπου ὁρῶμεν αὐτὸν νοσοῦντα τὸν ἰατρόν. ὧι θέλομεν
ὅμως, εἴ ἔτι δυνάμεθα, βοηθεῖν. ὡς γὰρ πρὸς τὸν ἅγιον ἀδελφὸν καὶ συνεπίσκοπον
ἡμῶν Κύριλλον ἁρμοδίους ἀποκρίσεις ἐπέμπομεν, καὶ ὑμῖν ἐπεστείλαμεν διὰ τοῦ ποθεινοτάτου
Ποσειδωνίου τοῦ διακόνου αὐτοῦ τὰ πεμπτέα παρὰ τοῦ αὐτοῦ ἀδελφοῦ μου καὶ πρὸς
ἐκεῖνον περὶ οὗ ὁ λόγος. καὶ ἐπειδὴ ἐν τηλικούτωι πράγματι ἡ ἡμετέρα σχεδὸν παρουσία 20
ἀναγκαία ἐφαίνετο, τὴν ἡμετέραν διαδοχὴν διὰ τὰ κατὰ θάλατταν καὶ γῆν διαστήματα
αὐτῶι τῶι ἁγίωι ἀδελφῶι μου Κυρίλλωι ἀπενείμαμεν, μὴ αὕτη ἡ νόσος ἀφορμῇ τῆς
μακρότητος ἐπιτριβῇ. μόνσν ὑμεῖς τοὺς ἀποστολικοὺς πρὸ ὀφθαλμῶν ἔχετε λόγους· 1 Cor. 1, 10
ἐν τῇ αὐτῇ διανοίαι καὶ ἐν τῇ αὐτῇ γνώμηι γίνεσθε τέλειοι, ἵνα, ὡς ἀνέγνωμεν, παρα- Mt. 10, 22
μένοντες ἄχρι τέλους δυνηθῆτε σωθῆναι. ἵνα δὲ γνῶτε ἐφ' οἵωι ὅρωι τὰ γεγραμμένα 25
ἀπεστείλαμεν, αὐτὴν τὴν ἀπόφασιν ἐποιήσαμεν ταύτηι τῇι ἐπιστολῇι ὑποταγῆναι.

Ὁ θεὸς ὑμᾶς ὑγιεῖς φυλάξαι, ἀδελφοὶ ποθεινότατοι.

23 Σαφῶς τοιγαροῦν μαθήσηι ταύτην ἡμετέραν εἶναι τὴν ἀπόφασιν, ὡς εἰ μὴ περὶ τοῦ M IIII 1048
θεοῦ τοῦ Χριστοῦ ἡμῶν ταῦτα ἐξηγήσηι ἃ καὶ ἡ Ῥωμαικὴ καὶ ἡ Ἀλεξανδρέων καὶ ἅπασα
καθολικὴ ἐκκλησία νοεῖ, καθὼς καὶ ἡ εὐαγεστάτη Κωνσταντινουπολιτῶν ἐκκλησία μέχρι σοῦ, 30

V, M [inde a 7 φανερῶσ], P [= hk], S [pauca abscissa], D [= mn], AWΛ^{t}Λ^{c}Λ^{u}Λ^{f}Λ^{1}

1 χαρᾶσ A ἡ ἀπ' A 1/2 ἡμετέραν — ἐστιν om. P 2 οὔκ ἐστι] ἐκεῖνο D γὰρ om. A 3 παράδοσισ SD 4 ἐλπίδι SD ἀκοῦσαι om. SD 5 οὖσ SD ἀνέβη SD 6 μηδὲ VPW [= Λ] μὴ SDA 7 τοῦ om. A μεθ' S φανερῶσ] διωρίσατο δὲ φανερῶσ M 8 θρόνου om. A ὡρίσατο om. M ἢ^{1} om. SDW ἢ^{3} om. A 9 παρὰ om. P 10 ἤρξαντο VM [= Λ] ἤρξατο PSDAW [= Λ^{1}] 11 ἀκοινώνητον A 12 ἢ^{1} om. A ἐδύνατο M 13 πάντα D 13/14 περιπλέκει A 14 μᾶλλον καὶ μᾶλλον VMPSW [= Λ] μᾶλλον DA 15 κατακινηθῆτε W ἀλλήλων] *aliorum* Λ ὑμῶν A 17/18 ἀδελφὸν καὶ ἐπίσκοπον ἡμῶν MW ἀδελφὸν ἡμῶν καὶ ἐπίσκοπον P 18 ἀπεστείλαμεν V 19 τὰ om. A παρ' αὐτοῦ τοῦ A παρὰ τοῦ SD 21 γῆν VMPW [= Λ] τὰ μακρὰ S μακρὰ D τὰ A 22 ἐνείμαμεν A 23 ἐπιτριβῆναι S 24 ἐν τῇ αὐτῇ γνώμη VMPW [= Λ] τῇ αὐτῇ γνώμη A γνώμη SD 24/25 ἄχρι τέλουσ παραμένοντεσ SDA 25 γράμματα DA 26 ἀπεστείλαμεν SDA [= Λ] ἀπεστείλαμεν τῶ πρὸσ δν ἡμῖν ὁ λόγοσ VMPW ἀπόφασιν SDA [= Λ] ἀπόφασιν τὴν κατ' αὐτοῦ νεστορίου VMPW ταύτην MS τὴν ἐπιστολὴν S ὑποταγῆναι SDA [= Λ] ὑποταγῆναι ἵνα γνῶτε τὸν περὶ αὐτοῦ δοθέντα τύπον VMPW 27 φυλάξει W φυλάξοι M διαφυλάξει SD inser. deest in SΛ ἀπόφασις DA ἐστι δὲ ὁ [ὁ om. VPW] ὅροσ μεθ' ἕτερα οὕτωσ [οὗτος P] VMPW 28 τὴν om. PA 28/29 τοῦ θῦ τοῦ χῦ MW θῦ τοῦ χυ P *de deo Christo* Λ τοῦ χῦ τοῦ θῦ SDA χῦ τοῦ θῦ V 29 ῥωμαίων DA ἡ^{3} om. P ἀλεξανδρέων VDA del. S ἀλεξανδρικὴ P ἀλεξανδρινὴ W ἀλεξανδρεινὴ M πᾶσα A 30 τῆς κωνσταντινουπολιτῶν VMPW ἐκκλησίασ MW

ὦ βέλτιστε, ἐνόησε [κατὰ τὴν ἐκτεθεῖσαν πίστιν ἐν τῇι Νικαέων συνόδωι], καὶ εἰ μὴ ταύτην τὴν δύσπιστον καινότητα τῇι σεβαστῇι καὶ σεβασμίαι γραφῇι διαστήσεις ἐντὸς δέκα ἡμερῶν, ἀφ' ἧς γνωρίζονταί σοι, ταύτης τῆς μεθοδείας τὴν ἡμέραν ἐναρίθμιον, τὰ φανερὰ καὶ γεγραμμένα τῆς καταδικασίμου αἱρέσεως, ἀπὸ πάσης καθολικῆς ἐκκλησίας ἀκοινώνητον.

12 = S 18 A 9. Latina epistula extat in Collectionibus Turonensi [Λ^t], Casinensi [Λ^c], Veronensi [Λ^u], Frisingensi [Λ^f]

L III 375 **1** Τῶι ἀγαπητῶι ἀδελφῶι Ἰωάννηι Κελεστῖνος. Εὐχόμεθα μέν, ὥσπερ μία ἐστὶ τῆς θεότητος ἡ οὐσία, οὕτω καὶ παρὰ πᾶσι τοῖς ὁπουδήποτε οὖσιν ἀνθρώποις μίαν τῆς ὀρθῆς πίστεως ἀλήθειαν ἔχειν· ἐλάττων δὲ ὅμως ὁ στεναγμός ἐστιν, ἐὰν τινὲς ἑαυτοὺς ἐκτὸς τῆς ἀγέλης τῆς δεσποτικῆς ἀποχωρίζοντες καὶ διὰ γωνιῶν καὶ συσκίων τόπων λανθάνοντες ἑαυτοῖς ἢ καὶ ὀλίγοις τισὶ συμβουλεύωσιν ὁμονοοῦσιν ἑαυτοῖς ἐν τῇι λανθανούσηι πλάνηι. **2** ὅτε δὲ ἐν τῇι τοῦ θεοῦ ἱερᾶι ἐκκλησίαι ὁ προβεβλημένος ὑπὸ τῶι ὀνόματι τοῦ ἱερέως αὐτὸν τὸν τοῦ Χριστοῦ δῆμον ἀπὸ τῆς ὁδοῦ τῆς ἀληθείας κατὰ κρημνῶν ἀποστρέφει τῇι οὐκ ὀρθῇι συμβουλῇι καὶ τοῦτο ἐν τῇι μεγίστηι πόλει, εἰς ἣν διὰ τὴν τιμὴν τοῦ ἐνοικοῦντος βασιλείου ἀπὸ παντὸς τοῦ κόσμου συντρέχει τὸ πλῆθος, τότε δηλαδὴ διπλασιαστέος ἐστὶν ὁ θρῆνος καὶ μείζων ἡ φροντίς, ἵνα μήτι ἡ ἁρπαγὴ τοῦ λύκου περιγενομένου κατισχύσηι. ἐλάττων γάρ ἐστιν ἡ φροντὶς πολιορκοῦντος τοῦ ἐχθροῦ ἢ ἐντὸς τειχῶν ἐκβακχεύοντος, καὶ κουφότερον παρενοχλεῖ ὁ λύκος ἐκτὸς τῶν ποιμνίων ἀποπλανώμενος ἢπερ ἐν αὐτῇι τῇι ἀγέληι τόπον ποιμένος ἐπιλαβόμενος, ἐπειδήπερ πλέον τοῦ ἐμφυλίου πολέμου ἐστίν, ὅταν ἐντὸς τῆς ἐκκλησίας, τουτέστιν ἐντὸς αὐτοῦ τοῦ οἴκου τοῦ θεοῦ δόρατα ἀκοντίζηται τῆς **3** ἀσεβοῦς θρησκείας. ὅθεν πάνυ συντετάρακται ἡμῶν τὰ σπλάγχνα, ὅτι οὗτος ὅστις δοκεῖ κατέχειν τὴν ἐκκλησίαν Κωνσταντινουπόλεως, τοῖς καθωσιωμένοις τοῦ Χριστοῦ δήμοις διεστραμμένα τινὰ ἐγχέει, ὑπεναντία τῆς τιμῆς καὶ αἰδοῦς τοῦ τοκετοῦ τῆς ἁγίας παρθένου καὶ ὑπεναντία τῆς ἐλπίδος τῆς ἡμετέρας σωτηρίας. ταῦτα εἰς ἡμᾶς ἦλθεν ὑποβαλλούσης τῆς ἀλγηδόνος τῶν πιστῶν, ἃ ἐγνωρίσθη διὰ τῶν βιβλίων ἅπερ αὐτὸς ἔπεμψε, καί, ὅπερ

VM, P [= hk], S [pauca abscissa], D [= mn]. AW$\Lambda^t\Lambda^c\Lambda^u\Lambda^t\Lambda^l$

1 κατὰ — συνόδωι om. AΛ ἐν — συνόδω VMPW ἐν νικαία SDA 2 δύσπειστον A κενότητα MPW τῇ DA om. VMPSW διαστήσεισ PWA διαστήσοισ VMS διαστήσης D 3 γνωρίζονταί σοι A cf. Λ γνωρίζονται σοι ταῦτα τὰ γράμματα P γνωρίζονταί σοι τὰ γράμματα ταῦτα VMW ταῦτα γνωρίζονται σοι τὰ γράμματα SD 3/4 ταύτης — αἱρέσεως] γίνωσκε V 3 ἡμετέραν MPSW ἐνάριθμον P 4 ἀκοινώνητον MPSW [= Λ] ἀκοινώνητον εἶναι V ἀκοινώνητον ἴσθι σεαυτόν DA in fine add. καὶ ἀνενέργητον πρὸσ πᾶν ὁτιοῦν τῶν ἐξ αὐθεντίασ ἱερατικῆσ VMPSW

VM, P [= hk], S [pauca abscissa], D [= mn], AW$\Lambda^t\Lambda^c\Lambda^u\Lambda^f$

inscr. τοῦ αὐτοῦ πρὸσ τὸν ἀντιοχέα ἐπίσκοπον ἰῶ S τοῦ αὐτοῦ πρὸσ ἰῶ τὸν ἀντιοχέα ἐπίσκοπον A deest VMPDW ιβ̄ VMP ιζ̄ D

7 ἀγαπητῶι om. S κελεστῖνος ἐν κ̄ω̄ χαίρειν n 7/8 ἐστι τῆσ θεότητοσ [ὀρθότητοσ A] ἡ SDA ἐστι τῆσ θεότητοσ VMW ἡ τῆς θεότητος ἐστὶν P 8 τοῖς om. S ὁπουδήπου S 9 πίστεως om. S ἀληθείασ ἔχειν S ἔχειν ἀλήθειαν DA ἐκτὸσ ἑαυτοὺσ DA 10 χωρίζοντεσ P 11 ἑαυτοὺσ VA ἢ καὶ ὀλίγοις PW ἢ ὀλίγοις D [= Λ] ..... ἰγοισ S εἰκαίοισ λόγοισ VA συμβουλεύωσιν V συμβουλεύουσιν MPSDW συμβουλίαισ A ὁμονοοῦσιν PW ὁμονοεῖν VSD ὁμολογῶσιν A ἑαυτούσ A 12 λαμπρᾶ superscr. ἱερᾶ V ἐπὶ V ἐν D ὀνόματι] ναῶ A αὐτὸν Λ αὐτοῦ VMPSDAW 13 ἀποστρέφη MSAW 15 βασιλείου MA [= Λ] βασιλείου γένους P βασιλέως VSDW παντὸσ κόσμου S τὸ πλῆθος om. S 16/17 ἵνα — φροντὶς om. P 16 μὴ S περιγενομένου D παραγενομένου VMSW παραγενομένη A 19 τόπων A 20 αὐτοῦ SDA [= Λ] om. VMPW οἴκου θῦ S *Christi thalamum* Λ ἀκοντίζητε S ἀκοντίζη MPW 21 πάνυ SDA [= Λ] om. VMPW 23 τινὰ SDA [= Λ] om. VMPW ἐγχέει Λ ἐκχέει VMPSDAW ἐναντία DA 24 εἰσ ἡμᾶσ ἦλθεν [ἦλθον DA] SDA εἰσῆλθεν VMPW ὑποβαλούσησ PSW 25 ἃ] *hæc* Λ βιβλίων] πιστῶν V

μείζονος ἀποδείξεως ἦν, πεμφθεισῶν ἐπιστολῶν πρὸς ἡμᾶς ὑπογραφῆι αὐτοῦ τοῦ αὐθέν-
4 του ὠχυρωμένων, ὡς ἀμφιβληθῆναι παρ' ἑτέρων μὴ ἐξὸν εἶναι. ὅθεν ἐπειδὴ ὑπὲρ τοι-
ούτων αἰτιῶν οὐκ ἐστιν ἀσφαλὴς ἡ μακροτέρα παρενθύμησις (τοιοῦτον γάρ ἐστι σχεδὸν M IIII 1049
ἔγκλημα παρενθυμεῖσθαι τὰ τοιαῦτα ὁποῖόν ἐστι μύσος τοιαῦτα ἱερόσυλα λέγειν), καὶ τὸν
ἐπίσκοπον Νεστόριον καὶ εἴ τις ἄλλος αὐτῶι ἀκολουθήσας τοιαῦτα λέγει, ἀπὸ τῆς ἡμετέρας 5
κοινωνίας ἀποχωρίζομεν, ἕως οὗ δι' ἐγγράφου ὁμολογίας πεμφθείσης τὴν διαστροφὴν ἣν
ἤρξατο διδάσκειν, κατακρίνηι καὶ ταύτην ἑαυτὸν περὶ τοῦ παρθενικοῦ τόκου, τουτέστι
περὶ τῆς σωτηρίας τοῦ τῶν ἀνθρώπων γένους τὴν πίστιν ὁμολογήσηι κατέχειν, ἥντινα
κατὰ τὴν ἀποστολικὴν διδασκαλίαν ἡ Ῥωμαίων καὶ ἡ Ἀλεξανδρέων καὶ ἡ καθολικὴ παν-
ταχοῦ ἐκκλησία κατέχει, προσκυνήσηι τε καὶ ὁμολογήσηι. εἴ τις δὲ ἢ ἀπὸ Νεστορίου ἢ 10
ἀπὸ τῶν ἄλλων τῶν αὐτῶι ἐξακολουθησάντων, ἀφ' οὗ τὰ τοιαῦτα ἤρξατο λαλεῖν, ἢ ἀκοινώνη-
τος ἐγένετο ἢ ἐγυμνώθη τῆς τοῦ ἱερέως ἀξίας ἢ τῆς τοῦ κληρικοῦ, τοῦτον ἐν τῆι ἡμετέραι
κοινωνίαι καὶ μεμενηκέναι καὶ μένειν εἰς τὸ ἑξῆς ὡμολόγηται καὶ οὐδὲ λέγομεν αὐτὸν
ἀποκεκινῆσθαι, ἐπειδήπερ οὐδὲ ἠδύνατό τινα ἡ τούτου ἀπόφασις ἀποκινεῖν, ὅστις ἑαυτὸν
παρέσχεν ἤδη ἀποκινητέον. 15

5 Ταῦτα, ἀδελφὲ τιμιώτατε, πρὸς τὴν σὴν ἁγιωσύνην ἐγράψαμεν, ἵνα ἐνδυναμωθεὶς ἐν L III 378
τῶι δεσπότηι καὶ τὸν οἰκεῖον τῶι σῶι στήθει τοῦ Χριστοῦ θώρακα καὶ τὴν ἀσπίδα τῆς Eph. 6, 15. 16
καθολικῆς ὁμολογίας ἐνδυσάμενος τὴν ἀγέλην τοῦ ἡμετέρου δεσπότου Ἰησοῦ Χριστοῦ,
ὅστις ὑπὲρ ἡμῶν καὶ ἐγεννήθη καὶ ἔπαθεν, ὅστις καὶ ἀνοιγέντων τῶν καταχθονίων καὶ
τοῦ θανάτου ἡττηθέντος ὑπὲρ ἡμῶν τῆι τρίτηι ἡμέραι ἀνέστη, ἀπὸ τῆς πονηρᾶς καὶ 20
αἰσχίστης διδασκαλίας ἑλκύσηις. ὥσπερ δὲ καὶ πρὸς τὸν ἁγιώτατον ἀδελφὸν καὶ
συνεπίσκοπον ἡμῶν Κύριλλον τὸν ἀκριβῆ τῆς καθολικῆς πίστεως ἔκδικον ἐγράψαμεν, ταύ-
την περὶ τοῦ αὐτοῦ Νεστορίου γινωσκέτω ἡ σὴ ἁγιωσύνη παρ' ἡμῶν, μᾶλλον δὲ ὑπ' αὐ-
τοῦ τοῦ δεσπότου θεοῦ Χριστοῦ ἐξενηνεγμένην εἶναι τὴν ἀπόφασιν ἵνα ἢ ἐντὸς δέκα
ἡμερῶν ἀριθμουμένων ἀφ' ἧς ἂν ἡμέρας ὑπομνησθῆι, τὰς ἱεροσύλους αὐτοῦ διδασκαλίας 25
περὶ τῆς τοῦ Χριστοῦ γεννήσεως ἐγγράφωι ὁμολογίαι καταδικάσηι καὶ ταύτηι ἑαυτὸν
ὁμολογήσηι τῆι πίστει ἀκολουθεῖν ἥντινα καὶ ἡ Ῥωμαίων καὶ ἡ Ἀλεξανδρέων καὶ ἡ
καθολικὴ φυλάττει ἐκκλησία, ἢ ἀπὸ τῆς συνόδου τῶν ἐπισκόπων ἀποκινηθεὶς γινωσκέτω
ἑαυτὸν οἰκείωι βεβλάφθαι ὀλέθρωι. ἵνα δὲ ταῦτα τὰ παρ' ἡμῶν ἀποφανθέντα σπου-
δαιότερον ἐξανυσθείη, διὰ τοῦ ἡμετέρου υἱοῦ Ποσειδωνίου τοῦ διακόνου τῆς Ἀλεξανδρέων 30
ἐκκλησίας τὰς ἡμετέρας ἐπιστολὰς πρὸς τὴν σὴν διάθεσιν ἠβουλήθημεν πιστότερον διακομι-
σθῆναι.

Ὁ θεὸς ὑγιαίνοντά σε διαφυλάξαι, ἀδελφὲ τιμιώτατε.

VM, P [= hk], S [paucissima abscissa]. D [= mn], ΛWΛ^{t}Λ^{c}Λ^{u}Λ^{f}

1 πρὸς ἡμᾶς ἐπιστολῶν P ἐπιγραφαῖσ SD 2 οὐκ P ἐπειδὴ μὴ D ἐπειδή μοι A 3 ἡ om. D 4 ἱερόσυλα λεγειν] ἱερέα συλλέγειν V 6 ὅτου A 7 κατακρίνει VW κατακρινεῖ A ὑπὲρ A 8 ὁμολογήση V^{corr} D ὁμολογήσει VPSAW ἦν W 9 ἢ^{2} om. P 9/10 ἐκκλησία πανταχοῦ S 10 προσκυνήσει MPSDW ὁμολογήσει MPSDW 11 τῶν ἄλλων om. S τῶν μὴ P ἀκολουθησάντων SW ἤρξατο] *coeperunt* Λ 11/12 ἢ ἀκοινώνητος VMPW [= Λ] ἀκοινώνητοσ SDA 13 κοινωνίαι om. VMPW 14 οὔτε ἠδύνατο SDA 17 σῶ SDA [= Λ] om. VMPW τοῦ χῦ SDA [= Λ] om. VMPW ἀσπίδα Λ ἐλπίδα VMPSDAW 18 ὁμολογίασ VMPAW [= Λ] ἐκκλησίας τὴν ὁμολογίαν D ἐκκλησίασ S 19 ἐγενήθη VS, corr. V 21 δὲ A [= Λ] δὴ D om. VMPSW 22 τὸν DW om. VMPSA ἐκκλησίας καὶ πίστεως V 22/23 ταύτην S [= Λ] ταῦτα DA om. VMPW 23 γινωσκέτω καὶ DA ἀπ' SDA 24 θῦ χῦ SDA [= Λ] θῦ καὶ χῦ VMPW εἰ SD 25 ἂν om. VDA, corr. A ὑπομνησθῆ A ὑπομνησθείη VMPSDW 26 καταδικάσει D καταφρονήση S αὐτὸν W 27 ὁμολογήσει SDW ἥντινα ἡ SDA ἢ^{2} om. A def. S 28 ἢ om. S 29 ἑαυτὸν οἰκείω P ἑαυτὸν τῶ οἰκείω DA οἰκείω ἑαυτὸν VMW τῶ οἰκείω ἑαυτὸν S βεβλῆσθαι A ὀλεθρίω MW ἡμῶν] αὐτῶν P 31 ἐβουλήθημεν P βουλόμεθα S 33 Ὁ — τιμιώτατε VMPWSD [= Λ^{c}] om. A [= Λ^{tuf}] διαφυλάξαι SD διαφυλάξει MW διαφυλάξειεν P διαφυλάττοι V

18 = S 19 A 16. Latine extat in Collectione CT 16

Κυρίωι μου ἀγαπητῶι ἀδελφῶι καὶ συλλειτουργῶι Ἰωάννηι Κύριλλος ἐν κυρίωι χαίρειν.
Ἔγνω που πάντως καὶ διὰ πολλῶν ἡ σὴ θεοσέβεια τῆς ἁγίας Κωνσταντινουπολιτῶν ἐκκλησίας
τὴν νῦν οὖσαν κατάστασιν ὅτι τεθορύβηται λίαν καὶ ἀποσύνακτοι μεμενήκασι πολλοὶ καὶ
M IIII 1052 τῶν ἄγαν σπουδαίων καὶ ἐπιεικῶν, οὐ τὸν τυχόντα θόρυβον εἰς αὐτὴν ὑπομένοντες τὴν πί- 5
στιν ἐκ τῶν λεγομένων ἐπ' ἐκκλησίας αὐτῆς παρὰ τοῦ εὐλαβεστάτου ἐπισκόπου Νεστορίου,
ep. 4 ὧι καὶ συνεβούλευσα διὰ γραμμάτων ἀποσχέσθαι τῶν τοιούτων σκαιῶν καὶ ἐξεστραμμένων
ζητημάτων καὶ τῆι τῶν πατέρων ἀκολουθῆσαι πίστει. ἀλλ' ἐμὲ μὲν ὠιήθη ταῦτα γρά-
φοντα δυσμενῆ καὶ τοσοῦτον ἀπέσχε τοῦ προσέχειν ὡς ἐξ ἀγάπης ἐκεῖνα γεγραφότι πρὸς
τὴν αὐτοῦ εὐλάβειαν, ὥστε καὶ ὠιήθη τὰ τοιαῦτα φρονῶν καὶ λέγων καὶ τὰς Ῥωμαίων 10
cf.Coll.Veron. ἀκοὰς συναρπάσαι δύνασθαι· γέγραφε γὰρ ἔκτοπά τινα συνθεὶς ἐν ἐπιστολῆι μακρᾶι τῶι
ep. 3. 4 κυρίωι μου τῶι θεοσεβεστάτωι ἐπισκόπωι τῆς Ῥωμαίων ἐκκλησίας Κελεστίνωι καὶ δὴ καὶ
τοῖς ἰδίοις ἐνέθηκε γράμμασι κατὰ τῶν ἐναντία δοξαζόντων αὐτῶι ὅτι τὴν ἁγίαν παρθένον
L III 379 θεστόκον λέγοντες οὐ φρίττουσιν, εἶτα καὶ τετράδας ἰδίων ἐξηγήσεων ἀπέστειλεν, ἃς καὶ ἀνα-
γνόντες οἱ κατὰ τὴν μεγάλην Ῥώμην εὑρεθέντες θεοσεβέστατοι ἐπίσκοποι καὶ συνεδρίων πολλῶν 15
γενομένων κατεβόησαν αὐτοῦ φάσκοντες ἐναργῶς αἵρεσιν αὐτὸν καινοτομῆσαι παγχάλεπον
τὴν οὐδενὶ τῶν πάλαι γεγονότων ἐξευρημένην. ἐπειδὴ δὲ ἀνάγκη με γραψάσης αὐτοῦ
ep. 4 τῆς εὐλαβείας ἐκεῖσε ταῦτα τὰ γεγονότα εἰπεῖν ἅπαντα, πέμψαι δὲ καὶ τὰ ἴσα τῶν παρ'
ἐμοῦ γραφέντων πρὸς αὐτὸν γραμμάτων, ἐκδεδήμηκεν ἀναγκαίως κληρικὸς τῆς Ἀλεξανδρέ-
ων, ὁ ἀγαπητὸς διάκονος Ποσειδώνιος. ἀναγνωσθέντων τοίνυν ἐν συνεδρίωι τῶν τε ἐξηγή- 20
σεων αὐτοῦ καὶ τῶν ἐπιστολῶν, μάλιστα ἐν οἷς οὐκ ἔστι συκοφαντίας τόπος (ἔχουσι γὰρ αὐτοῦ
τὴν ὑπογραφήν), φανερὰ τετύπωκεν ἡ ἁγία Ῥωμαίων σύνοδος καὶ δὴ καὶ γεγράφηκε πρὸς τὴν
ep. 12 σὴν θεοσέβειαν, οἷς καὶ ἀνάγκη πείθεσθαι τοὺς ἀντεχομένους τῆς πρὸς ἅπασαν τὴν Δύσιν κοινω-
νίας· γεγράφασι γὰρ τὰ ἴσα καὶ πρὸς τὸν θεοσεβέστατον ἐπίσκοπον τῆς Θεσσαλονίκης
Ῥοῦφον καὶ πρὸς ἑτέρους τινὰς τῶν κατὰ τὴν Μακεδονίαν θεοσεβεστάτους ἐπισκόπους, 25
οἳ καὶ ἀεὶ συντρέχουσι ταῖς παρ' αὐτοῦ ψήφοις. γεγράφασι δὲ οὐδὲν ἧττον καὶ πρὸς
τὸν τῆς Αἰλιέων θεοσεβέστατον ἐπίσκοπον Ἰουβενάλιον. τῆς σῆς τοίνυν θεοσεβείας ἐστὶ
σκοπῆσαι τὸ συμφέρον· ἡμεῖς γὰρ τοῖς παρ' αὐτοῦ ἀκολουθήσομεν κρίμασι δεδιότες τὸ ἀπο-
λισθεῖν τῆς τοσούτων κοινωνίας οὐκ ἐφ' ἑτέροις τισὶν ἠγανακτηκότων πράγμασιν οὐδὲ ἐπὶ

VM, P [= hk], S [haud pauca abscissa], D [= mn], AWUAᵗΛᶜ

inscr. om. VMPSDW τοῦ αὐτοῦ πρὸς ἰωάννην τὸν ἀντιοχείας A τοῦ αὐτοῦ ἐπιστολὴ ἰωάννη ἐπισκόπω ἀντιοχείας U ιγ VM ιθ S κ D

2 τῶ κυρίω VMD ἀγαπητῶ DAUΛᵗᶜ om. VMPSW ἐν — χαίρειν om. S 4 τεθρύλληται καὶ τεθορύβηται V 5 θόρυβον] βόθυνον MPW 7 τοιούτων VMPSWUΛᵗᶜ οὕτω DA καὶ ἐξεστραμμένων SDAUΛᵗᶜ om. VMPW 9 προσχεῖν S ὡσ SDAU τῶ VMPW γεγραφότα DA γράφοντι W γεγωνότι S 10 καὶ¹ om. V φρονῶν VMSWΛᵗᶜ καὶ φρονῶν PDAU 11 γὰρ om. P 12 τῶ SDAU καὶ VMPW θεοσεβάστω P 13 ἐνέθηκα A τὰ ἐναντία MPSWU αὐτῶ SDAUΛᵗᶜ om. VMPW 15 εὑρεθέντες om. DA καὶ om. U 16 γινομένων D αὐτὸν om. P 17 ἐξηυρημένην VMW με γραψάσης] μεταγραψάσησ P 17/18 τῆσ αὐτοῦ V 18 τὰ om. DU 19 γραφέντων] γεγονότων S 20 ἀναγνιυσθειισῶν VA τε om. VkS 21 καὶ μάλιστα DA αὐτοῦ μάλιστα S οὐκ om. Λ ἔχει W 22 φανερὰ [φανερὰν U] — σύνοδοσ DUΛᵗᶜ φανὲρὰν τετύπιυκεν ἡ ἁγία σύνοδοσ A ἡ ἁγία ῥωμαίων σύνοδοσ φανερὰ τετύπωκε S ἡ ἁγία ῥωμαίων σύνοδοσ φανερὰν MPW ἡ ἁγία ῥωμαίων σύνοδοσ φανερὰν τετύπωκεν ἡ ἁγία σύνοδοσ V καὶ² om. P 24 τὰ ἴσα καὶ MPDWU καὶ τὰ ἴσα καὶ V τά ἴσα SA τῆς om. DA θεσαλονίκησ S 25 τὴν om. SD θεοσεβεστάτουσ DAUΛ θεοσεβεστάτων S θεοσεβεῖσ VMPW ἐπισκόπων S 26 ἀεὶ] οἷα P περὶ P, corr. h in mg. ἧττον om. W 27 ἰουβεννάλιον A ἐστὶ θεοσεβείασ SDU 28 τὸ συμφέρον σκοπῆσαι U αὐτοῦ οὐκ W ἀκολουθοῦμεν U τὸ om. VMPSW 28/29 ἀπολισθαίνειν V 29 ἠγανεκτηκότων P

σμικροῖς πεποιημένων τὴν κίνησιν, ἀλλ' ὑπὲρ αὐτῆς τῆς πίστεως καὶ τῶν ἁπανταχοῦ κειμένων ἐκκλησιῶν καὶ τῆς οἰκοδομῆς τῶν λοιῶν.

Πρόσειπε τὴν παρὰ σοὶ ἀδελφότητα· σὲ ἡ σὺν ἡμῖν ἐν κυρίωι προσαγορεύει.

14 = S 41 A 20. Latine extat in Collectione CT 19

Ἀντίγραφον ἐπιστολῆς γραφείσης παρὰ Ἰωάννου ἐπισκόπου Ἀντιοχείας πρὸς Νεστόριον — L III 387, M IIII 1061

1 Τῶι δεσπότηι τῶι θεοφιλεστάτωι καὶ ὁσιωτάτωι ἐπισκόπωι Νεστορίωι Ἰωάννης ἐν κυρίωι χαίρειν. Τὸν ἐμαυτοῦ σκοπὸν περὶ τὴν σὴν θεοσέβειαν μετὰ πάσης ἀληθείας διὰ τοῦ κυρίου μου τοῦ τὰ πάντα μεγαλοπρεπεστάτου κόμητος Εἰρηναίου ἐδήλωσα τῆι σῆι διαθέσει καὶ ἐπειδή, ὡς νομίζω, πάσης εἰμὶ λοιπὸν ὑποψίας ἐκτὸς ἀληθέσιν ἀπολογίαις χρησάμενος, πεπαρρησιασμένηι λοιπὸν χρῶμαι πρὸς τὴν σὴν γνησιότητα συμβουλίαι. ἔξεστιν δέ σοι ἐξ αὐτῶν ὧν συμβουλεύω, ἐνέχυρα ἡμῶν λαβεῖν τῆς περὶ σὲ γνησιότητος καὶ ὡς φροντὶς ἡμῖν ἐστιν οὐ μικρὰ τῆς κατὰ θεὸν ἀγάπης, ἣν οἱ μετιόντες τοὺς θείους ἐκπληροῦσι νόμους, οἱ δὲ ἀμελοῦντες καὶ πανούργως προσφερόμενοι τοῖς οἰκείοις μέλεσιν ἑαυτοὺς πρότερον βλάπτουσιν ἢ καθ' ὧν ἐγχειροῦσιν.

Ἐπεὶ οὖν ταῦτά μοι καλῶς πεπροοιμίασται, ὡς ἔγωγε οἶμαι, δέξαι με, παρακαλῶ, L III 390
ἀγαθόν σοι ἐσόμενον σύμβουλον, μὴ παρωθούμενος τὸ ἐν τοῖς παρ' ἐμοῦ λεγομένοις χρήσιμον
2 καὶ μετὰ πάσης τῆς κατὰ θεὸν διαθέσεως λεγόμενον. ἔδει μὲν οὖν ἡμᾶς περὶ χρηστῶν πραγμάτων τὰ σκέμματα πρὸς ἀλλήλους ποιεῖσθαι· ἐπειδὴ δὲ αἱ ἁμαρτίαι ἡμῶν πολλὴν ἐξουσίαν ταῖς ἐκκλησιαστικαῖς ταραχαῖς ἐνεποίησαν, τούτου ἕνεκα ἠπείχθην τὰ πρόσφατον ἡμῖν γραφέντα ἀπό τε Ῥώμης καὶ Ἀλεξανδρείας τῆι σῆι γνωρίσαι ὁσιότητι. ἀθρόον γὰρ Ἀλεξανδρέων κληρικοὶ ἐπιστάντες ἐπιστολὰς ἡμῖν δεδώκασι διαφόρους περὶ τῆς σῆς φιλοθείας ἐκπεμφθείσας, τὴν μὲν τοῦ ἁγιωτάτου ἐπισκόπου Κελεστίνου, τὰς δὲ τοῦ θεοφιλεστάτου ἐπισκόπου ep. 12
Κυρίλλου, ὧν τὰ ἀντίγραφα ἀποστείλας παρακαλῶ σου τὴν διάθεσιν οὕτως αὐτοῖς ἐντυχεῖν, ὥστε ep. 13
μήτε τάραχόν τινα κατὰ διάνοιαν ὑποστῆναι, ἀφ' ἧς πολλάκις φιλονεικίαι καὶ ἐνστάσεις ἐπιβλαβεῖς συμβαίνουσι, μήτε μὴν καταφρονῆσαι τοῦ πράγματος, εἰδότος τοῦ διαβόλου δι' ὑπεροψίας πολλὰ τῶν οὐ χρηστῶν πραγμάτων κορυφοῦν καὶ εἰς ὕψος αἴρειν, ὥστε ἀδιόρθωτα αὐτὰ ποιῆσαι γενέσθαι, ἀλλ' ἐμμελῶς αὐτοῖς ἐντυχεῖν, παραλαβεῖν δὲ τινὰς τῶν ὁμοψύχων

VM, P [= hk], S, D [= mn], AWUΛ^{t}Λ^{c}

1 μικροῖσ VMPW σμικρῶ U κρίσιν P κρίσιν καὶ κίνησιν V πανταχοῦ VMPW 1/2 κειμένων MPWUΛ^{tc} κινουμένων DA κεκινημένων καὶ κειμένων V de S non constat 3 ἡ om. M ἐμοὶ D in fine add. ἐρρῶσθαι σε καὶ μνημονεύειν ἡμῶν τῶ κῶ εὔχομαι ἀγαπητὲ καὶ ποθεινότατε U

VM, P [= hk], S, D [= mn], AWRΛ^{t}Λ^{c}

5. 6 ἀντίγραφον — νεστόριον VMP cf. Λ ἰωάννου — νεστόριον SD ἐπιστολὴ ἰωάννου — νεστόριον W ἰωάννου — νεστόριον ἐν ἡ μακάριον ἀποκαλεῖ θεόδωρον τὸν αἱρετικόν A ἐπιστολὴ ἰωάννου θεοφιλεστάτου ἐπισκόπου ἀντιοχείασ πρὸσ νεστόριον R ιδ VMP μα S μβ' D 7/8 τῶι δεσπότηι — χαίρειν om. VMPR 7 τῶι^{2}] μου SD μου τῶ WΛ^{tc} καὶ ὁσιωτάτω om. A 10 εἰμὶ om. SW ὑποψίασ λοιπὸν παρ' ὑμῖν VMPR 11 συμβουλῆ W 12 ἔστιν ἡμῖν R ἡμῶν P 13 μετιῶντεσ W τηροῦντεσ VMP 14 πανοῦργοι ὡσ W φερόμενοι D βέλεσιν D 16 προοιμίασται MPSDAR 17 καὶ μὴ P 18 οὖν om. SD ἡμᾶς om. R 19 σκάμματα R πρὸσ ἀλλήλουσ τὰ σκέμματα DA ἀλλήλους] πρὸσ αὐτοὺσ ex ποιουμένουσ corr. W ἐπει S μαρτυρίαι P 20 ἐποιήσαντο V ἕνεκεν VA ἠπείχθη P 22 φιλοθείασ SDR θεοσεβείασ VMPAΛ^{tc} θεοφιλείασ W 23 τὰς] τὴν S; de quibus Cyrilli praeter eam quae praecedit epistulis loquatur, nescitur θεοσεβεστάτου A 24 συντυχεῖν SDWR, corr. W 25 μὴ AR ταραχὴν VMPAR φιλονεικία AR ἔνστασισ ἐπιβλαβὴσ ARΛ^{tc} 26 συμβαίνει ARΛ^{tc} τυγχάνουσι SD 26/27 δι' ὑπεροψίαν V αἱ ὑπεροψίαι S 27 κορυφοῦν τε καὶ D κορυφοῦνται καὶ S αἴρουσιν S 27/28 ἀδιόρθωτον αὐτὸν S 28 αὐτὰ om. P αὐτοῖσ om. VMPW συντυχεῖν S παραλαβῶν R συμπαραλαβεῖν M

σοι πρὸς τὴν τῶν προκειμένων διάσκεψιν, δοῦναι δὲ αὐτοῖς καὶ ἐξουσίαν τὸ συμφέρον, ἀλλὰ μὴ τερπνὸν εἰσηγήσασθαι. πάντως γὰρ εἰ σχοῖεν ἄδειαν πολλοί τε ὄντες καὶ γνήσιοι οἱ τοῦ σκέμματος κοινωνοῦντες, ῥαιδίως ἐπὶ τὴν συμβουλίαν ἥξομεν καὶ τὸ νομιζό-
3 μενον ὑπάρχειν σκυθρωπὸν παραχρῆμα ⟨ἂν⟩ εἴη φαιδρόν. καὶ γὰρ εἰ καὶ προθεσμίαν στενο-
ep. 10 τάτην τοῖς γράμμασιν ἐνέθηκεν ὁ κύριός μου ὁ θεοφιλέστατος ἐπίσκοπος Κελεστῖνος, δέκα μόναις ἡμέραις, ὡς τὰ γράμματα αὐτοῦ περιέχει, περιορίσας τὴν ἀπόκρισιν, ἀλλ' ἔξεστιν ἔργον αὐτὸ ποιῆσαι καὶ ἡμέρας μόνης μιᾶς, τάχα δὲ καὶ ὡρῶν ὀλίγων. τὸ γὰρ χρήσασθαι προσφόρωι ὀνόματι ἐν τῆι κατὰ τὸν παμβασιλέα Χριστὸν ὑπὲρ ἡμῶν οἰκονομίαι, τετριμμένωι μὲν πολλοῖς τῶν πατέρων, ἐπαληθεύοντι δὲ καὶ τῆι σωτηρίωι ἐκ παρθένου γεννήσει, τοῦτο ῥάιδιον ὡς οὔτε ἐπικίνδυνον χρὴ παραιτήσασθαι τὴν σὴν ὁσιότητα οὔτε ἐκεῖνο ὑπολογίσασθαι ὡς οὐ χρή σε ἑαυτῶι ἐναντία ἐκθέσθαι. εἰ γὰρ ἡ διάνοιά σου τοῦ αὐτοῦ τοῖς πατράσιν καὶ τῆς ἐκκλησίας διδασκάλοις φρονήματος ἔχεται (τοῦτο γὰρ διὰ πολλῶν καὶ κοινῶν φίλων περὶ σοῦ, δέσποτα, μεμαθήκαμεν), τί λυπεῖ τὸ εὐσεβὲς φρόνημα καταλλήλωι ὀνόματι δημοσιεῦσαι, καὶ τοῦτο τοσαύτης προκειμένης ταραχῆς καὶ [τοσαύτης] ζητήσεως ἐκ σοῦ; τοῦτο γὰρ εὖ ἴσθι, θεοφιλέστατε· κεκίνηται τὸ κεφάλαιον καὶ τοῖς τε μακρὰν καὶ τοῖς ἐγγὺς σφόδρα αὐτὸ περιτεθρύληται καὶ πλείστη ὅση περὶ τούτου ζάλη ἀδοκήτως τὰς ἐκκλησίας διέλαβεν, τῶν πανταχοῦ πιστῶν ταύτης ἕνεκα τῆς αἰτίας ἀλλήλοις καθ' ἑκάστην συρρηγνυμένων τὴν ἡμέραν. καὶ ὅτι τοῦτό ἐστιν ἀληθές, ἀπ'
L III 391 αὐτῶν τῶν πραγμάτων εἴσηι σαφῶς. ἡ γὰρ Δύσις καὶ Αἴγυπτος, τάχα δὲ καὶ Μακεδονία ἔκρινεν ἀπορραγῆναι τῆς ἑνώσεως, ἣν ἱδρῶσι πολλοῖς καὶ πόνοις ἁγίων καὶ ἐπισήμων ἐπισκόπων καὶ μάλιστα τοῦ τὰ πάντα ἁγίου καὶ κοινοῦ ἡμῶν πατρὸς τοῦ μεγάλου Ἀκακίου ἡ τοῦ θεοῦ χάρις τῶι κοινῶι τῶν ἐκκλησιῶν κεχάρισται. τίς γὰρ ἂν μέμψαιτο, εἰ δόξεις λέγειν ἃ φρονεῖς; μᾶλλον δὲ τίς οὐκ ἂν ἀποδέξαιτο, εἰ δέξαιο προσηγορίαν, ἧς τὴν διάνοιαν, ὡς ἔγνωμεν, ἡ σὴ εὐλάβεια κέκτηται, καὶ τοῦτο ὑπὲρ εὐσταθείας καὶ εἰρήνης οἰκουμενικῆς;

Εἰ δοκεῖ δέ, καλοῦ παραδείγματος εἰς καιρὸν ὑπομνήσω σε, οὗ βούλομαι σε καὶ μεμνῆσθαι· οὐδὲ γὰρ χρόνος πολύς ἐστιν ἐξ οὗ παρ' ἡμῖν συμβέβηκεν, ὥστε αὐτὸ καὶ λήθηι παραδοθῆναι. μέμνησαί που πάντως τοῦ μακαρίου Θεοδώρου τοῦ ἐπισκόπου ἐν ἐξηγήσει εἰπόντος τι τῶν οὐ δοξάντων καλῶς εἰρῆσθαι πρώτωι τε σοὶ τῶι καὶ παρρησιασα-

---

VM, P [= hk], S, D [= mn], AWRΛ^{t}Λ^{c}, cf. Innocentium [t. IIII 2 p. 71] et Facund. 10, 2

1 σου S δὲ] τὲ D καὶ om. D πρὸς τὸ A 2 τὸ τερπνὸν SDW εἰ om. R ἔχοιεν VMPR ἔχοιμεν A 3 πράγματος SDA συμβουλὴν SW ἥξομεν MPSDAWR *descendimus* Λ^{t} ἥξουσι VΛ^{c} 4 ἢ ὑπάρχον R παραυτίκα DA ἂν addidi 4/5 στενωτάτην P 5 ἐνέθηκεν] ἕνεκεν S ἐνέθηκε τοῖσ γράμμασι DA 6 αὐτοῦ om. P 7 μόνης om. SD 8 ὑπὲρ om. D 9 τετριχμμένω S 10 ὡσ οὔτε MPSDWR ὅπερ οὔτε ὡσ VAΛ^{c} locus conceptoris neglegentia corruptus, uoluit τοῦτο οὔτε ὡς χρὴ om. R 11 ἐκείνου S ὑπολογήσασθαι P σε ἑαυτῶ AR σε σεαυτῶ MPW σεαυτῶ VSD ἐναντία SDAR τἀναντία V τὰ ἐναντία MPW σου DARΛ^{tc} ἕωσ S om. VMPW 12 πατράσιν] πράγμασι S τοῖσ διδασκάλοισ τῆσ ἐκκλησίασ SD 13 παρὰ P σὲ W λυπῆ PDW 14 καὶ om. S τοῦτο SDRΛ^{tc} ταῦτα A τότε VMPW περικειμένησ V 15 τοσαύτησ VMPWR om. SDAΛ^{tc} ἕξου R καὶ τοῦτο S εὖ om. V θεοφιλέστατε καλῶσ V 16 τοῖσ SDW οἷσ VMP οἳ AR οἷσ VMP οἳ AR αὐτὸ SDARΛ^{tc} om. VMPW περιτεθρύλληται VPSD περιτεθρύληνται R περιτεθρύλληνται A καὶ om. AR 16/17 αδόκητοσ ζάλη — διέλαβεν περὶ τούτου R 17 ἀδόκητοσ AR ἕνεκεν S 18 συνρητνυμένων R ἀλήθεια S 19 αὐτῶν VPDΛ^{tc} αὐτῶν τούτων MSAWR εἴη V σαφὲσ VW καὶ om. S ἡ αἴγυπτοσ DA 20 ἔκρινεν SDARΛ^{tc} ἔκριναν VMPW 21 τοῦ] καὶ ΛΛ^{tc} 22 ὃν ἡ D γὰρ] δ' V 23 δόξεις] δοξάζεισ MPW ἀποδέξαιτο — δέξαιο om. S δέξαιο DARΛ^{tc} δέξαιτο MPW δέξεται V 24 εὐσέβεια S εὐσταθίασ VR 25 οἰκουμενικῆσ εἰρήνησ M 26 ὑπομνήσεωσ οὐ βούλομαι S καὶ om. SA 27 οὗ παρ' VMPAW οὗπερ SD 27/28 καὶ λήθη αὐτὸ P λήθην S 28 παραδοῦναι SDW παραδραμεῖν A πωσ SR θεοδώρου] παύλου V 28/29 ἐξήγει S 29 τινα W^{corr} σοὶ καὶ τῶ SD 29—p. 95, 1 πεπαρρησιασμένω SDA παρρησιασμένω R

μένωι κατ' ἐκεῖνον τὸν καιρόν, ἔπειτα καὶ πᾶσιν τοῖς ἀκούσασιν, καὶ ὅπως ἐκεῖνος αἰσθόμενος τῆς βλάβης καὶ τῆς ταραχῆς, ἣν ὁ μικρὸς ἐνεποίησε τονθορυσμός, ἐννοήσας ὡς ἡ ταραχὴ ποιήσει διάστασιν, μᾶλλον δὲ καὶ ἀντίστασιν, φιλούντων τῶν ἀνθρώπων, εἰ τοιαύτης δράξοιντο ἀφορμῆς, τῆιδε κἀκεῖσε διαιρεῖσθαι, καὶ τὴν ἀντίστασιν αὔξειν τὸν δοκοῦντα βραχὺν εἶναι τοῦ σκανδάλου σπινθῆρα (ὃ δὴ καὶ νῦν παρ' ἡμῖν γεγένηται), ὅπως ὁ γεν- 5
ναῖος ἐκεῖνος ἀναστὰς οὐ μετὰ πολλὰς ἡμέρας τὸ παρ' αὐτοῦ λεχθὲν ἀνερυθριάστως ἐπὶ M IIII 1065
χρησίμωι τῆς ἐκκλησίας διωρθώσατο, καὶ διορθωσάμενος, παραχρῆμα ἀπετρίψατο τὴν κατ' αὐτοῦ γεγονυῖαν διαβολήν, οὐ λογισάμενος εἶναί τι σαθρὸν τὴν διόρθωσιν, καὶ τοῦτο πάντων εἰδότων μὲν ὡς σαθρῶς παρ' αὐτοῦ ἐλέχθη τὸ λεχθέν, ἀποδεξαμένων δὲ αὐτὸν τῆς παραυτίκα μεταστάσεως. 10

4 Ἐγὼ δέ σου τὴν θεοσέβειαν οὐκ ἐπὶ διαβεβλημένηι μεταστάσει τοῦ λόγου προτρέπω οὔτε μὴν ἐναντιότητι μειρακιώδει, ὡς ἄν τις εἴποι, ἀλλ' ἐπειδή σοι πολλάκις πρὸς πολλοὺς εἴρηται, ὡς μεμαθήκαμεν, ὡς οὐκ ἐκτρεπόμενος τὴν εὐσεβῆ ταύτην διάνοιαν μόνον τὸ ὄνομα παραιτῆι, εἰ δέ σοι τινὲς τῶν ἐν τῆι ἐκκλησίαι ἐπισήμων καὶ τοῦτο ὑπόθοιντο, οὐκ ἂν παραιτήσαιο ἀνενδοιάστως καὶ θεοτόκον εἰπεῖν τὴν ἁγίαν παρθένον, τούτου ἕνεκα ἐπὶ τὸ 15
σόν σε προτρέπω, προενεγκεῖν ἐκκαλούμενος ὅπερ μεμαθήκαμεν, μὴ διασφάλλεσθαί σε φρονοῦντα, προστιθέντα δὲ ῥῆμα πράγματι καὶ ὄνομα πολλοῖς τῶν πατέρων καὶ συντεθὲν καὶ ῥηθὲν καὶ συγγραφὲν καὶ μὴ παραιτήσασθαι ὅλως ῥῆμα τὴν κατὰ ψυχὴν ἐλέγχον εὐσεβῆ διάνοιαν. τοῦτο γὰρ τὸ ὄνομα οὐδεὶς τῶν ἐκκλησιαστικῶν διδασκάλων παρήιτηται. οἵ τε γὰρ χρησάμενοι αὐτῶι πολλοὶ καὶ ἐπίσημοι οἵ τε μὴ χρησάμενοι οὐκ ἐπελάβοντο τῶν 20
χρησαμένων, καὶ μάτην ἡμεῖς, ὡς ἔοικεν, δῆθεν ἀκριβείας περιττῆς ἕνεκα πρὸς αἱρετικὴν κακοδοξίαν μόνον βλεπούσης τὰς συνειδήσεις τῶν ἀδελφῶν εἰς οὐδὲν δέον πληττομένας περιορῶ- L III 394
μεν, ὄνομα παραιτούμενοι οὗ τὴν διάνοιαν εὖ καὶ καλῶς παραδεχόμεθα. εἰ γὰρ τὸ ἐξ αὐτοῦ σημαινόμενον μὴ παραδεχοίμεθα, λείπεται περὶ πολλὰ ἡμᾶς διασφάλλεσθαι, μᾶλλον δὲ κινδυνεύειν περὶ τὴν ἄρρητον οἰκονομίαν τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ. ἀκολουθήσει γὰρ 25
εὐθὺς τῆι τοῦ ὀνόματος τούτου ἀναιρέσει εἴτ' οὖν τῶι ἐξ αὐτοῦ σημαινομένωι τὸ μήτε θεὸν εἶναι τὸν τὴν ἄρρητον οἰκονομίαν ὑπὲρ ἡμῶν ἀναδεξάμενον μήτε μὴν τὸν θεὸν λόγον κενώσαντα ἑαυτὸν εἰς τὴν τοῦ δούλου μορφὴν ἄφατόν τι περὶ ἡμᾶς ἐπιδεδεῖχθαι φιλαν- Phil. 2, 7
θρωπίας μέγεθος, ἅπερ αἱ θεῖαι γραφαὶ μάλιστα κυροῦσιν τὴν εἰς ἡμᾶς φιλανθρωπίαν, ὅταν τὸν προαιώνιον καὶ συναίδιον καὶ μονογενῆ τοῦ θεοῦ υἱὸν ἐπὶ τὴν ἐκ παρθένου γέννησιν 30
ἀπαθῶς τῶι λόγωι καταγάγωσι κατὰ τὸ εἰρημένον τῶι θείωι ἀποστόλωι ἐξαπέστειλεν ὁ Gal. 4, 4
θεὸς τὸν υἱὸν αὐτοῦ γενόμενον ἐκ γυναικός, ἀποδεικνύντι σαφῶς τὴν τοῦ μονογενοῦς ἐκ παρθένου, ὡς φθάσας ἔφην, ἄρρητον γέννησιν, ἀφ' ἧς γεννήσεως εἰ προσαγο-

---

VM, P [= hk], S, D [= mn], AWRΛ^{t}Λ^{c}, cf. Fac. 7, 5

1 κατὰ τὸν καιρὸν ἐκεῖνον M 1/2 αἰσχόμενος A αἰσθανόμενος R 2 μικρὸς τότε AR Innoc. τονθορισμὸς P τῶν θρυσμῶν S τὸν θρυσμὸν R θόρυβος V 5 βραχὺν] μικρὸν W σπιθήρα R παρ' ἡμῖν νῦν VMPSD ὑμῖν Innoc. Fac. 7 χρησμῶ R διορθώσατο VDWR παραυτίκα V ἀπερρίψατο A 8 οὐ VMPSW Fac. om. DARΛ^{tc} λιγάμενος S σαθρὸν VMP Fac. ὀρθὸν SDAWRΛ^{tc} τὴν διόρθωσιν] ἢ τὴν ὄρθωσιν SW καὶ τοῦτο SDARΛ^{tc} καίτοι VMPW 10 μεταβολῆς DA 12 ἐναντιότητα μειρακιώδη PSDWR 13 ἐντρεπόμενος SD μόνον om. D 14 παραιτῆ VMPW παρητήσω SD παρήτησαι AR σοι om. A ἐν om. V 15 καὶ om. SDW τούτου ἕνεκα om. SD 15/16 τὸ σόν σε] τοσόνδε A 16 προσενεγκεῖν VMP διενεγκεῖν W ἐγκαλούμενος R 18 γραφὲν P ῥῆμα ὅλως V 21 δῆθεν om. D ἕνεκεν S 22 ὁρώσης M πλαττομένας S 23 εὖ καὶ καλῶς] εὐκόλως W 24 παραδεχοίμεθα ARΛ^{t} παραδεχόμεθα VMPSDW περὶ om. VS ἡμῖν S 25 γὰρ om. S 26 εἴτ' οὖν — σημαινομένωι om. V τῶν — σημαινομένων A cf. Fac. 29 ἅπερ VMPSW ὅπερ DR καίπερ A *cum* Λ^{tc} τούτοις μάλιστα ΑΛ^{tc} ταῦτα μάλιστα R τὴν — φιλανθρωπίαν conceptoris incuria addita 30 τὸν] τῶν S πρὸ αἰώνων SDAR συναίδιον μονογενῆ A 31 τούτῳ ἀπαθῶς VM τοῦτο ἀπαθῶς P τοῦ λόγου R τῶι — καταγάγωσι] λέγωσι κατελθεῖν A καταγαγεῖν R 32 γενόμενον MPSARΛ^{tc} γεννώμενον VD om. W 33 γέννησιν ἄρρητον ὡσ φθάσασ ἔφην VMP εἶπον R

ρεύοιτο ἡ παρθένος παρὰ τῶν πατέρων, ὥσπερ οὖν καὶ προσαγορεύεται, τούτωι τῶι ὀνόματι,
M IIII 1068 οὐκ οἶδ' ὅτου χάριν τὴν οὐκ ἀναγκαίαν ταύτην ζήτησιν (καί μοι σύγγνωθι) καθ' ἑαυτῶν καὶ τῆς ἐκκλησιαστικῆς εἰρήνης, ὡς ὁρᾶις, ἀναδεδέγμεθα. κίνδυνος γὰρ οὐδεὶς τὰ αὐτὰ λέγειν τε καὶ φρονεῖν τοῖς ἐν τῆι ἐκκλησίαι τοῦ θεοῦ εὐδοκιμήσασι διδασκάλοις, ὧν περιττὸν μὲν τὰ ὀνόματα ἀπαριθμεῖσθαι· ἐπίστασαι γὰρ αὐτοὺς οὐδενὸς ἧττον, ἐπειδὴ τῶι εἶναι αὐτῶν μαθητὴς αὐτός τε καὶ πάντες ἡμεῖς σεμνυνόμεθα.

Ταῦτα παρ' ἡμῶν συμβουλεύθητι, παρακαλῶ· ταῦτα πρᾶξαι παρακλήθητι· μὴ δῶις χώραν καὶ νομὴν ἑρπούσηι διαστάσει. ἐννόησον γὰρ ὡς εἰ πρὸ τῶν νῦν ἀποσταλέντων γραμμάτων οἱ πολλοὶ ἄσχετοι ἦσαν καθ' ἡμῶν, νῦν δραξάμενοι τῆς ἀπὸ τῶν γραμμάτων τούτων παρρησίας τίνες οὐκ ἔσονται καὶ ποίαι οὐ χρήσονται καθ' ἡμῶν τῆι παρρησίαι. ταῦτα ἐγὼ πολλοὺς τῶν θεοφιλεστάτων ἐπισκόπων καὶ τῶν τῆς σῆς φιλοθείας ἐραστῶν παρ' ἐμαυτὸν ἔχων, οἳ ἔτυχον παρεῖναι ἡμῖν τῶν γραμμάτων τούτων τῶν ἀπευκτῶν ἀποδοθέντων, νομίσας καὶ γνησίου ἔργον ποιεῖν κατὰ τὰς ἐμαυτοῦ ὑποσχέσεις καὶ ἀδελφικῆι συμβουλίαι ἀνορθοῦν κάμνουσάν σοι ἐπὶ τοῦ παρόντος τὴν ὑπόληψιν, ἐπέστειλα, εὐχόμενός σου τὴν φιλοθείαν ἀφιλονείκωι τῆι γνώμηι δέξασθαι, ἣν μετὰ φόβου θεοῦ καὶ φίλτρου τοῦ περὶ σὲ καὶ τοῦ ἀσφαλοῦς ἕνεκα τῆς ἐκκλησίας εἰσηγησάμην, οὐ μόνος ὤν, ὡς ἔφην, ἀλλὰ γὰρ παρόντων μοι τῶν περὶ τὸν κύριόν μου τὸν θεοφιλέστατον ἐπίσκοπον Ἀρχέλαον Ἀπρίγγιον Θεοδώρητον Ἡλιάδην Μελέτιον καὶ τὸν πρόσφατον τῆι τοῦ θεοῦ χάριτι προβληθέντα τῆι Λαοδικέων τοῦ θεοῦ ἐκκλησίαι ἐπίσκοπον Μακάριον, οἳ καὶ δογμάτων ἐντὸς ὑπάρχουσιν καὶ περὶ σὲ διαπύρως διάκεινται, μεθ' ἡμῶν σε εὐχόμενοι, δέσποτα, φρονήματι
L III 395 εὐπειθεῖ χρησάμενον στῆσαι τῶν γραμμάτων τούτων καθάπερ λαίλαπος σφοδροτέραν φοράν, ἱκανήν, εἰ μὲν εἴξαιμεν, μὴ θολῶσαι μηδὲ ταράξαι, εἰ δὲ ἐνσταίημεν, λυπῆσαι. ταῦτα οἰκειούμενοι τὰ σὰ ἡμεῖς μὲν ἐδηλώσαμεν, αὐτὸς δὲ καταδέξασθαι καὶ ἀσμενίσαι καταξίωσον, εἰ μὴ ἄρα τις οὐκ ἀγαπῶν ἡμᾶς παρασκευάσειεν ἐπὶ βλάβηι ἑαυτοῦ τε καὶ τοῦ κοινοῦ καταφρονῆσαι τούτου τοῦ πράγματος. τὸ δοκοῦν, παρακαλῶ, παραχρῆμα ἀντιγράψαι καταξίωσον, μᾶλλον δὲ μὴ τὸ δοκοῦν, ἀλλὰ τὸ συμφέρον.

15 = S 23 A 18. Latine extat in Collectione CT 17

L III 386 Κυρίωι μου ποθεινοτάτωι ἀδελφῶι καὶ συλλειτουργῶι Ἰουβεναλίωι Κύριλλος ἐν κυρίωι
M IIII 1057 χαίρειν. Ἡυχόμην μὲν τοῖς τῶν εὐδοκιμησάντων ἴχνεσι καὶ τῆι ὀρθῆι πίστει κατακολου-

---

VM, P [= hk]. S, D [= mn]. AWRΛ^{t}Λ^{c}

1 οὖν] αὖ D 2 οὐκ^{2} om. A 3 τὰ αὐτὰ SDAW^{corr}Λ^{c} ταῦτα RΛ^{t} τὸ ταὐτὰ P τῶ ταῦτα V τὸ ταῦτα MW 5 τὸ MPSWR 7 δοὺσ V 8 καὶ νομὴν VMPWRΛ^{tc} καινοτομὴν A ἡ νομὴν SD ἑρπούσῃ τῆ A διαστάσει καινοτομεῖν D 10 τῆ om. VPW 11 πολλοῖσ MDW τοῖσ S 12 πρὸσ R ἐμαυτῶ DA 13 ἔργου R 14 σου AW, corr. W ἀπέστειλα MPDR ἐχόμενοσ V 15 ἀφιλονείκω τῆ S ἀφιλονείκω D ἀφιλονεικήτω MPAR ἀφιλονεικοτάτη VW ἣν] ἃ A 16 ἀσφαλῶσ S μόνον ὢν ἔφην S 17 μοι om. R τὸν θεοφιλέστατον κύριόν μου τὸν DA 18 ἀπριγγίου θεοδωρήτου ἡλιάδου μελετίου καὶ τοῦ V ἀπερίγγιον S θεοδώριτον MSDA μελίτιον AR τῆι τοῦ om. A τῆι om. R 18/19 προβληθέντοσ V 19 ἐπισκόπου μακαρίου V 20 ὑπάρχειν S διάκεινται] καίονται S εὐχόμενοί σε V εὐχόμενοι A 21 στῆναι SD σφοδροτέραν — ἱκανήν] σφόδρα τὰ σφοδρότερα τὴν κοινὴν S 22 μὴδὲ SD ἐνσταίημεν] ἐντείνομεν VMP 24 παρασκευάσει V 25 καὶ τούτου V πραγράματοσ R παραχρῆμα om. VA 26 εἰ ante μᾶλλον adrasum S δὲ om. V

VM, P [= hk], S [pauca abscissa], D [= mn], AWΛ^{t}Λ^{c}

inscr. om. VMPSW κυρίλλου [κυρίλλου ἐπισκόπου ἀλεξανδρείασ D] πρὸσ ἰουβενάλιον ἐπίσκοπον [ἐπίσκοπον ἱεροσολύμων A] DA ιε VP numerus abscissus in S κδ' D

28 τῶ κυρίω VM μου om. P ἀδελφῶ ποθεινοτάτω P *Flauiano Iuuenali* Λ^{c} κύριλλοσ ἐπίσκοποσ DA 29 μὲν om. DA *probatissimorum patrum* Λ^{c} τῆι om. A

θεῖν τὸν εὐλαβέστατον ἐπίσκοπον Νεστόριον (τίς γὰρ τῶν εὖ φρονούντων οὐκ ἂν εὔξαιτο δοκιμωτάτους εἶναι τοὺς καθηγεῖσθαι λαχόντας τῶν τοῦ σωτῆρος ποιμνίων;)· ἐπειδὴ δὲ παρ' ἐλπίδας ἡ τῶν πραγμάτων ἡμῖν ἐκβέβηκε φύσις (ὃν γὰρ ἔσεσθαι προσεδοκῶμεν ποιμένα γνήσιον, τοῦτον τῆς ὀρθῆς πίστεως διώκτην εὑρήκαμεν), δεῖ λοιπὸν μνημονεῦσαι τοῦ πάν- M IIII 1060
των ἡμῶν σωτῆρος Χριστοῦ λέγοντος οὐκ ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν, Mt. 10, 34. 35
ἀλλὰ μάχαιραν. ἦλθον γὰρ διχάσαι ἄνθρωπον κατὰ τοῦ πατρὸς αὐτοῦ, εἰ 6
δὲ δὴ καὶ πρὸς γονέας ἡμῖν ὁ πόλεμος ἀνέγκλητός τε καὶ ἀνεπίληπτος, μᾶλλον δὲ καὶ παντὸς ἐπαίνου μεστός, ὅτε τῇι τοῦ Χριστοῦ δόξηι συναθλεῖν ἐγνώκαμεν, πῶς οὐκ ἀνάγκη πᾶσα, καίτοι δακρύοντας ὡς ἀδελφὸν ἀπολέσαντας, τὸν θεοφιλῆ περιζώσασθαι ζῆλον καὶ μόνον οὐχὶ τοῖς ἀνὰ πᾶσαν τὴν γῆν ἐκεῖνο εἰπεῖν εἴ τις πρὸς κύριον, ἴτω πρός με. Exod. 32, 26
ἐγὼ μὲν γὰρ καὶ δι' ἑνὸς καὶ δευτέρου γράμματος ὡς ἀδελφὸν παρεκάλεσα μὴ ταῖς ἰδίαις ep. 2. 4
ἀκολουθεῖν ἐννοίαις, ἀλλὰ τῇι ὀρθῇι καὶ ἀποστολικῇι πίστει τῇι παραδοθείσηι ταῖς ἐκκλησί- 12
αις, οἰηθεὶς ἀπαλλάξαι αὐτὸν τῆς τῶν αὐτοῦ γραμμάτων σκαιότητος· ἀλλ' οὐδὲν ὤνησε τὸ τῆς διαθέσεως φάρμακον, ἄπρακτος γέγονεν ἡ συμβουλὴ καὶ τοσοῦτον ἀπέσχε τοῦ θέλειν τοῖς τῆς ἀληθείας ἕπεσθαι δόγμασιν, ὥστε καὶ ἐπιστολὴν ἀπέστειλε πρός με μεθ' ep. 5
ὑπογραφῆς ἰδίας, ἐν ᾗι καὶ ἐπιπλήττει μὲν ὡς λυπούμενος, διωμολόγηκε δὲ σαφῶς θεοτό- 16
κον οὐκ εἶναι τὴν ἁγίαν παρθένον, ὅπερ ἐστὶν ἐναργῶς εἰπεῖν μὴ εἶναι θεὸν ἀληθῶς τὸν
Ἐμμανουήλ, ἐφ' ᾧι τὰς τῆς σωτηρίας ἔχομεν ἐλπίδας. οἰηθεὶς δὲ ὅτι καὶ τὴν Ῥωμαίων L III 387
ἐκκλησίαν συναρπάσαι δυνήσεται, ἔγραψε πρὸς τὸν κύριόν μου τὸν εὐλαβέστατον καὶ θεοσε- Coll. Veron. 3. 4
βέστατον ἀδελφὸν καὶ συλλειτουργὸν Κελεστῖνον τῆς Ῥωμαίων ἐκκλησίας ἐπίσκοπον, ἐνθεὶς 20
ταῖς ἐπιστολαῖς τῶν αὐτοῦ δογμάτων τὴν διαστροφήν. πέπομφε δὲ καὶ ἐξηγήσεις πολλάς,
ἐξ ὧν ἐλήλεγκται φρονῶν τὰ διεστραμμένα, καὶ κατεγνώσθη λοιπὸν ἀραρότως ὡς αἱρετικός.
ἐπειδὴ τοίνυν ὁ μνημονευθεὶς εὐλαβέστατος καὶ θεοσεβέστατος τῆς Ῥωμαίων ἐκκλησίας
ἐπίσκοπος Κελεστῖνος φανερὰ γέγραφε περὶ αὐτοῦ καὶ πέπομφε πρός με τὰς ἐπιστολάς, ep. 9-12
δεῖν ὠιήθην ἀποστεῖλαι ταύτας καὶ ἀκονηθεῖσαν οἴκοθεν εἰς εὐσεβῆ ζῆλον τὴν σὴν θεοσέ- PG 105
βειαν διαναστῆσαι διὰ τοῦ γράμματος, ὅπως ἂν ἐκ μιᾶς ψυχῆς καὶ συντόνου προθυμίας 26
τὴν εἰς Χριστὸν ἀγάπην ζωσώμεθα καὶ σώσωμεν λαοὺς κινδυνεύοντας καὶ στήσωμεν ἐκ-
κλησίαν τὴν οὕτω διαφανῆ, σύμφρονες δηλονότι γεγονότες ἑκάστοις ἅπαντες καὶ κατὰ τὸν
ὁρισθέντα τύπον ἐπιστέλλοντες αὐτῶι καὶ τοῖς λαοῖς. ἂν μὲν ὠφελήσωμεν καὶ μεταστή-
σωμεν κατὰ τὸ ἀληθὲς αὐτὸν ὧν πεφρόνηκεν, κεκερδάκαμεν ἀδελφὸν καὶ σεσώκαμεν ποι- 30
μένα· ἐαν δὲ ἄπρακτος ἡμῶν ἡ συμβουλὴ γένηται, αὐτὸς ἑαυτῶι ἐπιγράψας τὸ συμβὰν αὐτῶι
τῶν ἰδίων πόνων ἕδεται τοὺς καρπούς. δεῖ δὲ ἡμᾶς ἀναγκαίως καὶ τῶι φιλοχρίστωι καὶ Ies. 3, 10
εὐσεβεστάτωι βασιλεῖ, καὶ ἅπασι δὲ τοῖς ἐν τέλει γράψαι καὶ συμβουλεῦσαι μὴ προτιμῆσαι
τῆς εἰς Χριστὸν εὐσεβείας ἄνθρωπον, ἀλλὰ χαρίσασθαι τῇι οἰκουμένηι τὸ βέβαιον εἰς

VM, P [= hk], S [pauca abscissa], D [= mn], AWΛ^{t}Λ^{c}

3/4 γνήσιον ποιμένα D 4 εὕρομεν DA διὸ δεῖ W 6 γὰρ om. S 7 ἡμῖν om. Λ^{c} ἀνεπίληπτόσ τε καὶ ἀνέγκλητοσ S μᾶλλον δὲ om. P 8 τοῦ om. A δόξει P ἐδώκαμεν P 9 ὁλέσαντασ A *lapsum* Λ^{1c} θεοφιλεῖ P περισώζεσθαι P περισώσασθαι S 10 τοῖς] τὴν P ἐκεῖ ἐκεῖνο MP, corr. k 12 ταῖσ SDAΛ^{tc} ταῖσ ἁγίαισ VMPW 13 ἀπαλλάξειν VMPW τῆς — γραμμάτων om. S 14 συμβουλία V 15 ἐπιστολὰσ DA ἀποστεῖλαι VMPW 16 αἷσ SD μὲν] με A 17 οὐκ] εἰπεῖν μὴ V ἀληθῶς om. V 18 ὃν W τῆς σωτηρίας] σωτηρίουσ V 19 εὐλαβέστατον καὶ om. P 19/20 θεοφιλέστατον D 22 ὡς om. A 23 καὶ θεοσεβέστατος om. P θεοφιλέστατοσ DA 23/24 ἐπίσκοποσ τῆσ — ἐκκλησίασ SDA 25 ταῦτασ πρὸσ σὲ W εἰς om. S 26 διαστῆσαι D ψυχῆσ μιᾶσ M 27 ζησιόμεθα M 27/28 καὶ — διαφανῆ om. V 28 διαφωνῆ M om. spatio rel. W γεγονότεσ δηλονότι V 29 αὐτῶι] *et clero* Λ^{c} 30 πεφρόνηκασ S *sapuit et docere praesumpsit* Λ^{c} τὸν ἀδελφὸν V 31 γίνηται M ἑαυτοῦ MW ἐπιγράψασ SDΛ^{tc} γράψασ VMPAW αὐτῶ MPAWΛ^{t} ἑαυτῶ V αὐτὸσ SD *et clero* Λ^{c} 32 οἰκείων V κόπων S τοὺσ καρποὺσ ἕδεται M 33 εὐλαβεστάτω S πᾶσι DA δὲ om. S μὴ] καὶ M

πίστιν ὀρθὴν καὶ ποιμένος ἀπαλλάξαι πονηροῦ τὰ θρέμματα, εἰ μὴ ταῖς ἁπάντιων εἴκει συμβουλαῖς.

Πρόσειπε τὴν παρὰ σοὶ ἀδελφότητα· σὲ ἡ σὺν ἡμῖν ἐν κυρίωι προσαγορεύει.

16 = S 21 A 35. Latine extat in Collectione CT 14

L III 379 M IIII 1053 PG 77, 97

Κυρίωι μου ἀγαπητῶι ἀδελφῶι καὶ συλλειτουργῶι Ἀκακίωι Κύριλλος ἐν κυρίωι χαίρειν. Οἱ σφόδρα λυπούμενοι καὶ φροντίδι τετρωμένην ἔχοντες τὴν καρδίαν οὐ μικρῶς ἔχουσι παραψυχήν, ὅταν τισὶ τῶν ὁμογνωμόνων τὰ ἐφ' οἷς λελύπηνται, λέγωσι. τοιοῦτός τις γέγονα κἀγώ· διά τοι τοῦτο τῆι σῆι τελειότητι γράψαι δεῖν ὠιήθην τὰς αἰτίας ἐφ' αἷς εἰκότως, ὥς γε οἶμαι, λελύπημαι, μᾶλλον δὲ καὶ ἔτι λυποῦμαι. οὐ γὰρ ἤρκεσε τῶι εὐλαβεστάτωι ἐπισκόπωι Νεστορίωι τὸ ἐπ' ἐκκλησίας εἰπεῖν ἃ ἐπ' ἐκκλησίας ἐσκανδάλισε καὶ παρέλυσε πίστιν τὴν ἐπὶ τῶι πάντων ἡμῶν σωτῆρι Χριστῶι, ἀλλὰ γὰρ καὶ ἠνέσχετο Δωροθέου τινὸς ἐπισκόπου τολμήσαντος ἐπ' ἐκκλησίας καὶ συνάξεως εἰπεῖν ἀναφανδόν· εἴ τις λέγει θεοτόκον τὴν Μαρίαν, ἀνάθεμα ἔστω. τί τοίνυν δράσομεν ἐν ἐκκλησίαι ὀρθοδόξων
L III 382 ἀναθεματισθέντες μετὰ τῶν ἁγίων πατέρων; εὑρίσκω γὰρ ἐν συγγραφαῖς καὶ τὸν τῆς ἀοιδίμου μνήμης ἐπίσκοπον Ἀθανάσιον πλειστάκις αὐτὴν ὀνομάσαντα θεοτόκον, καὶ τὸν μακάριον δὲ πατέρα ἡμῶν Θεόφιλον καὶ ἑτέρους πολλοὺς τῶν ἁγίων καὶ κατὰ καιροὺς ἐπισκόπων, τοῦτο μὲν Βασίλειον, τοῦτο δὲ Γρηγόριον, καὶ αὐτὸν δὲ τὸν μακάριον Ἀττικόν. οὐδεὶς δὲ οἶμαι τῶν ὀρθοδόξων θεοτόκον αὐτὴν δέδιεν εἰπεῖν, εἴπερ ἐστὶν ἀληθὲς ὅτι θεός ἐστιν ὁ Ἐμμανουήλ. γεγόνασι τοίνυν ἀνάθεμα πρὸς θεὸν ὄντες ἅγιοι πατέρες, καὶ πάντες δὲ ὅσοι τοῖς ὀρθοῖς τῆς ἀληθείας ἑπόμενοι δόγμασι θεὸν ὁμολογοῦσι Χριστόν, καὶ οὐ μέχρι τούτων ἡ ἐκ τοῦ πράγματος ζημία, ἀλλὰ γὰρ καὶ διεστράφησαν αἱ τῶν λαῶν γνῶμαι. τεθρήνηκα γὰρ ἀκούων τοὺς μὲν εἰς τοῦτο πεσόντας ἀπιστίας ἤδη καὶ ἀμαθίας, ὡς μηδὲ θεὸν ὁμολογεῖν τὸν Χριστόν, τοὺς δὲ κἂν εἰ ἕλοιντο ὁμολογεῖν ὅλως αὐτὸν θεόν, μηδὲν ὑγιὲς ἐπ' αὐτῶι δοξάζειν, ἀλλ' εὐδοκίαι καὶ χάριτι μεθ' ἡμῶν κεκλῆσθαι πρὸς τοῦτο λέγοντας. ταῦτα θρήνου καὶ οἰμωγῆς ἄξια. ποία γὰρ ὅλως ἡ χρεία καὶ εἰς μέσον ἄγεσθαι τὰ οὕτως λεπτὰ καὶ κεκρυμμένα; διὰ τί δὲ μὴ μᾶλλον ἠθικαῖς ἐξηγήσεσιν ὠφελοῦμεν τοὺς λαούς, εἰ μὴ σφόδρα ἔχομεν ἱκανῶς εἰς ἀκρίβειαν τὴν δογματικήν; ἐπειδὴ δὲ μονάζουσι τοῖς κατὰ τὴν Αἴγυπτον καὶ τὴν Ἀλεξάνδρειαν τεθορυβημένοις ἐκ τῶν τοιού-
ep. 1 των ἀναγνωσμάτων ἢ γοῦν ἐξηγήσεων τὸν ὀρθὸν τῆς πίστεως ἐξηγησάμεθα λόγον, ἐκπεπολέμωται καὶ γέγονεν ἐχθρὸς καὶ συλλέγει τινὰς ἀγύρτας καὶ ἀπεγνωσμένους καὶ παρασκευάζει ψεύδεσθαι κατ' ἐμοῦ τινὰ ἐπὶ πολλῶν, καὶ τάχα δικαίως. εἰ γὰρ εἴχομεν ζῆλον

VM, P [= hk], S [pauca abscissa], D [= mn], AWΛ[1]Λ[c]

1 ὀρθὴν πίστιν M ἥκει V 2 συμβουλιαῖσ V συμβουλίαισ S 3 περὶ σὲ P παρὰ σοῦ M

VM, P [= hk], S [pauca abscissa], D [= mn], AWΛ[1]Λ[c]

inscr. κυρίλλου ἀρχιεπισκόπου ἀλεξανδρείασ [τοῦ αὐτοῦ A] πρὸσ ἀκάκιον ἐπίσκοπον βερροίασ περὶ τοῦ αἱρετικοῦ νεστορίου DAΛ ἰς VMP numerus abscissus S κβ' D

5 τῶ κυρίω V τῶ τῆσ βερο . . . ἐπισκόπω κυρίω S μου om. M ἀγαπητῶ καὶ συλλειτουργῶ ἀδελφῶ MPW ἀγαπητῶ om. V 6 μικρὰν W 7 λέγουσι V 8 τοι om. P τε M 9 ἠρκέσθη MPW 9/10 εὐλαβεστάτω καὶ θεοσεβεστάτω S 10 ἐκκλησίαισ S ἐπ' VMAWΛ[1c] πάσασ P τὰσ SD 11 παραλῦσαι S ἡμῶν om. DA γὰρ om. SD καὶ om. P 12 ἀναφανδὸν SDΛ[1c] om. VMPAW 13 ἐκκλησίαισ S ὀρθοδόξω V ὀρθόδοξοι Λ[c] 14 γραφαῖσ P 15 ἐπίσκοπον om. DA ταύτην A 16 ἁγίων om. A καὶ om. DA 19 οἱ πρὸσ W τὸν θν̄ SD 20 δὲ SDAΛ[1c] om. VMPW τῆσ ἀληθείασ ὀρθοῖσ A θεὸν om. Λ[1] τὸν χν SD 21 ἐκ om. A γὰρ om. PS 23 θεὸν om. Λ[1] εἰ om. SDA ὅλωσ ὁμολογεῖν S 24 μὴ δὲ S 25 ἢ MW ἦν M[corr] P 27 εἴχομεν SDA ἀκριβῶσ W 28 τὴν[2] om. VMPW τῶν om. VMPW 29/30 ἐκπεπολέμωται — συλλέγει om. P 30 κατεγνωσμένουσ VMPW καὶ om. P 30/31 κατασκευάζει DA 31 τινὰ ἐπὶ πολλῶν κατ' ἐμοῦ S ἔχοιμεν P

θεοῦ καὶ τῆς τῶν πατέρων φιλοθείας ἐγινόμεθα μιμηταί, πάλαι ἂν ἦμεν κατὰ τῶν τετολμηκότων φλυαρῆσαι κατὰ τοῦ Χριστοῦ καὶ ἀναθεματισάντων ἡμᾶς τε τοὺς ζῶντας καὶ τοὺς M III 1056
πρὸς θεὸν ὄντας ἤδη πατέρας ἁγίους ψῆφον ὁσίαν ἐξενέγκαντες, δι' ἧς ἦν εἰκὸς θεραπεύε- PG 100
σθαι καὶ τοὺς εἰς πίστιν ἠδικημένους τῶν λαῶν.

Πρόσειπε τὴν παρὰ σοὶ ἀδελφότητα· σὲ ἡ σὺν ἡμῖν **ἐν κυρίωι προσαγορεύει.** 5

17 = S 22 A 36. Latine extat in Collectione CT 15

Τῶι δεσπότηι μου τῶι τὰ πάντα ἁγιωτάτωι καὶ θεοφιλεστάτωι ἐπισκόπωι Κυρίλλωι Ἀκάκιος ἐν κυρίωι χαίρειν. Ἐνέτυχον γράμμασι τῆς σῆς θεοσεβείας ἐκ τοῦ σύνεγγυς ἡμῖν ἀποδοθεῖσιν ἀπευκτοῖς, δακρύων καὶ θρήνου μεστοῖς, τῶν κατὰ Κωνσταντινούπολιν θρυλουμένων ἕνεκεν, καὶ κρατεῖ τὸ βάθος τῆς κατὰ Χριστὸν πίστεως, καθὸ δεῖ, μετέχουσιν, ὡς 10
περιττὸν ἦν τοῦτο καὶ τὴν ἀρχὴν εἰς μέσον ἀχθῆναι. τί γὰρ ὤνησεν Ἀπολινάριος ὁ
Λαοδικεύς, εἷς ὢν ἐν τοῖς ἔμπροσθεν ὁ μέγας ἀγωνιστὴς ὁ ὑπὲρ τῆς ὀρθῆς πίστεως κρα-
ταιῶς πρὸς τοὺς ἐχθροὺς μαχεσάμενος θαρσήσας ἑαυτοῦ τῆι σοφίαι καὶ ἐθελήσας παρεισα- L III 383
γαγεῖν ἐξ ἀπόρων πόρους τινὰς τῆι καθαρᾶι καὶ ἀδόλωι τοῦ Χριστοῦ πίστει; οὐ πα-
ρεσκεύασεν ἐν τοῖς σχισματικοῖς ἑαυτὸν παρὰ τῆι καθόλου ἐκκλησίαι λογισθῆναι; οὐκ εἴρηται 15
τινὶ τῶν πρὸ ἡμῶν ἐπισκόπων ἀναστεῖλαι βουλομένωι τὰ ὑπὲρ ἄνθρωπον μὴ περιεργάζεσθαι
τοὺς εὖ διακειμένους, ἐρρωμένηι τῆι διανοίαι καὶ ἐντελεῖ συνέσει ταύτην ῥήξαντι τὴν φω-
νήν· »πῶς ὁ πατὴρ τὸν μονογενῆ ἐγέννησε, σιωπῆι τιμάσθω«; καὶ προιόντος τοῦ λόγου
ἀπηριθμήσατο ὡς διαλανθάνει ἥδε ἡ ἔρευνα κατὰ μικρὸν πάσας ὁμοῦ τὰς κατ' οὐρανὸν
δυνάμεις, μήτι γε ἀνθρώπους καὶ ἔννοιαν ἀνθρώπων. πῶς δὲ οὐκ ἀναγκαία καὶ πρέπουσα 20
ἡ παραίνεσις τῶν θείων γραφῶν ἐκδιδάσκουσα· βαθύτερά σου μὴ ζήτει καὶ ἰσχυρό- Sir. 3, 21
τερά σου μὴ περιεργάζου· ἃ προσετάγη σοι, ταῦτα διανοοῦ, οὐ γὰρ ἔστι σοι
χρεία τῶν κρυπτῶν; οἱ δὲ ὑπεραπολογεῖσθαι ζητοῦντες τῶν ταῦτα ἐννοῆσαι καὶ
φράσαι ἐπιχειρησάντων παρόμοιόν τι λέγουσι πεπονθέναι ὧν ὑπέμεινεν ὁ μακάριος Παυ-
λῖνος ὁ ἐπίσκοπος, ὃς παρητεῖτο τρεῖς ὑποστάσεις λέγειν ῥητῶς, δυνάμει καὶ ἀληθῶς ταῦ- 25
τα φρονῶν, ταῦτα μετιών, ἠκολούθησε δὲ τοῖς Δυτικοῖς θεοφιλέσιν ἐπισκόποις τῶι ἐστενῶ-
σθαι τὴν Ῥωμαικὴν φωνὴν καὶ μὴ δύνασθαι πρὸς τὴν ἡμετέραν τῶν Γραικῶν φράσιν
τρεῖς ὑποστάσεις λέγειν. πλὴν ὅτι χρὴ πάντας ἡμᾶς τοὺς δυναμένους συναλγεῖν καὶ PG 101

18—20 locum non inueni

V, M [usque ad 8], P [= hk], S [pauca abscissa], D [= mn], AWΛ^{t}Λ^{c}

1 ἐγενόμεθα **A** 2 ἀναθεματίσανταϲ S τούϲ τε D τοὺϲ VS 3 τὸν θῦ S ἐξενεγκόντεϲ SD ἦϲ ἦν VMPWΛ^{c} ἦϲ ἂν SD ἦν A 4 ἠδικημένουϲ] ἤδη κειμένουϲ P 5 πρόϲειπε — προσαγορεύει om. AΛ^{tc} σὲ — προσαγορεύει om. V ἐμοὶ SD

inscr. ἀκακίου ἐπισκόπου [om. S] βεροίαϲ [βερροίαϲ D om. A] πρὸϲ κὺριλλον SDA cf. Λ^{tc} ιζ VMP κβ S κγ′ D

7 ἁγίῳ AΛ^{tc} καὶ θεοφιλεστάτωι om. M 8—p. 100, 15 om. M pro iis ponendo Ἡ τοιαύτη ἐπιστολὴ διαλαμβάνει ὅτι ἐδεξάμεθα τὴν σταλεῖσάν μοι ἐπιστολήν τε καὶ τὰ ἐν αὐτῇ διδαχθέντα.... [fere 12 litterae oblitteratae] ἐποίησα δὲ κτλ. 9 θρήνου SDAΛ^{tc} θρήνων VPW 9/10 θρυλλουμένων VPSDW 10 ἕνεκεν PAWΛ^{tc} ἕνεκεν ἐν οἷϲ VSD πάθοϲ V, noli βάθος coniungere cum τῆϲ πίστεωϲ δεῖ VSW δὴ PDAΛ^{tc} 12 ἐν om. PW ὁ ὑπὲρ] οὐ περὶ D 12/13 ὁ κραταιῶϲ SDAΛ^{tc} 13 θαρρήϲαϲ DA 13/14 παραγαγεῖν A 14 ἀπόρου D 14/15 παρεϲκευάϲαμεν V 15 σχηματιϲτικοῖϲ SD 16 ἀναγγεῖλαι VPW 17 ἐντελεῖ] ἐν τελείων P 18 μονογενῆ] υἱὸν PW 19 διαλανθάνοι I' πάϲαϲ ὁμοῦ κατὰ μικρὸν S 20 μήτοι PD καὶ πρέπουϲα om. S 21 βαρύτερά VA 22 περιεργάζου SDA ἐξέταζε VPW προετάγη D 22/23 ἔϲτι ϲοι χρεία SDA χρεία ϲοι VPW 23 ἀπολογεῖϲθαι ζητοῦντεϲ ὑπὲρ S νοῆϲαι S 23/24 καὶ φράϲαι om. D 24 λέγει S 25 ἀληθεία SDW 25/26 τὰ αὐτὰ SD 26 ταῦτα μετιὼν om. W τὰ αὐτὰ SDA μετρῶν Λ^{t} θεοφιλεϲτάτοιϲ SDA 27 γραικῶν SDAΛ^{tc} γραφῶν VPW 28 λέγειν ῥητῶϲ W

συμπάσχειν τῆι ἐκκλησίαι τοῦ θεοῦ περὶ πολλοῦ ποιεῖσθαι καταστεῖλαι τὴν ἐξαγγελθεῖσαν φωνήν, ὅπως μὴ πρόφασις δοθῆι τοῖς διασχίζειν καὶ διατέμνειν τὴν ἐκκλησίαν τοῦ θεοῦ ἑτοίμως ἔχουσι. διὸ χρὴ τὴν σὴν ἐντελῆ καὶ ἀπηρτισμένην σύνεσιν, εἰ καί τι τοιοῦτον τὴν ἀρχὴν ἐλέχθη
M IIII 1057 τὸ λυπεῖν καὶ διαταράττειν πολλοὺς τῶν εὐλαβῶν καὶ φιλοχρίστων δυνάμενον, καταστεῖλαι τὸ κινηθέν, εἰ καὶ τὰ μάλιστα, ὡς φθάσας ἔφην, πολλοὶ τῶν ἀπὸ Κωνσταντινουπόλεως εἰς τὴν Ἀντιόχειαν ἀφικνουμένων, ἔτι μὴν καὶ πρὸς ἡμᾶς, τοῦτο μὲν κληρικῶν, τοῦτο δὲ λαικῶν, συνηγορεῖν δοκοῦσι τῶι ῥηθέντι ῥητῶι οὐκ ἐναντίως ἔχοντι κατὰ διάνοιαν τῆι ἀποστολικῆι πίστει, προσέτι δὲ καὶ τῆι τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι συνελθόντων περὶ τοῦ ὁμοουσίου θεσπισθείσηι καὶ διαδοθείσηι εἰς πᾶσαν τὴν καθόλου ἐκκλησίαν. τὸ τοίνυν συνετὸν καὶ συμπαθητικὸν καὶ ἐντελὲς τῆς σῆς ἱερωσύνης καιροῦ καλοῦντος ἐπιδείξασθαι καταξίωσον, μεσιτευούσης σου τῆς ἁγιωσύνης τῶι ῥηθέντι ῥητῶι πρὸς τοὺς ἀκούσαντας καὶ διαρραγέντας, ὥστε σου τὴν ἁγιωσύνην ἐκεῖνα φρονῆσαί τε καὶ ἐπιτελέσαι, ἃ δυνήσεται, χειμαζομένης ἐπὶ τοῦ παρόντος τῆς καθόλου ἐκκλησίας, ἔτι μᾶλλον καὶ μᾶλλον εἰς ὕψος ἀναπεμφθῆναι, δεσποτικῆι τινι φωνῆι χρώμενον καὶ ἐπινοοῦντα τῆι νοητῆι θαλάττηι ἐπὶ τοῦ παρόντος δοκούσηι
Mc. 4, 39 διαταράττεσθαι καὶ ἐπάγοντα τὸ σιώπα, πεφίμωσο.

Ἐποίησα δὲ ἀναγνωσθῆναι τὴν ἐπιστολὴν τῆς σῆς θεοσεβείας τῶι τὰ πάντα ἁγιωτά-
L III 386 τωι καὶ θεοφιλεστάτωι Ἰωάννηι τῶι τῆς Ἀντιοχέων ἐπισκόπωι, καὶ κατακούσας μετὰ πολλῆς τῆς συναισθήσεως καὶ συμπαθείας, τὰ αὐτὰ ἡμῖν πρεσβυτικὴν ἄγουσιν ἡλικίαν νεωστὶ εἰς ἐπισκοπὴν ἐληλυθώς (ὃς τῆι τοῦ θεοῦ χάριτι ἀκμάζει ἐν τοῖς τῆι ἐπισκοπῆι προσεῖναι ὀφείλουσιν ἐπάθλοις, ὡς μέγα ἐπ' αὐτῶι φρονεῖν καὶ σεμνύνεσθαι πάντας τοὺς τῆς Ἀνατολικῆς διοικήσεως θεοφιλεστάτους ἐπισκόπους) παρακαλῶν σου τὴν θεοσέβειαν καταλαμβάνεται ὥστε σου τὴν ἁγιωσύνην τῆι προσούσηι αὐτῆι συνέσει χρησαμένην μεταχειρίσασθαι τὸ ἐπισυμβὰν οὐκ ἀνεκτὸν ῥῆμα, ὡς δι' ὧν λαλεῖς, δι' ὧν πράττεις, τὸ ἀποστολικὸν καιροῦ
2 Cor. 10, 8 καλοῦντος ἐπιδείξηι τὸ φάσκον· ἐὰν γὰρ θέλω χρήσασθαι τῆι ἐξουσίαι, ἣι ἔδωκεν ἡμῖν ὁ θεὸς εἰς οἰκοδομὴν καὶ οὐκ εἰς καθαίρεσιν, οὐκ αἰσχυνθήσομαι. τὸν δὲ ποθεινότατον τὸν τὰ γράμματα ἡμῶν ἐπαγόμενον πιστὸν ὄντα καὶ Χριστιανὸν ἐκ προγόνων καταξίωσον τῆι ἐνούσηι καὶ ἐνυπαρχούσηι σοι φιλαγαθίαι προσέσθαι καὶ ἐν οἷς ἂν δεηθείη, προνοίας αὐτὸν ἀξιῶσαι τῆς σοι πρεπούσης.

Πᾶσαν τὴν σὺν σοὶ ἀδελφότητα ἐγώ τε καὶ οἱ σὺν ἐμοὶ πλεῖστα προσαγορεύομεν.

V, M [inde a 16 ἐποίησα], P [= hk], S [pauca abscissa], D [= mn], AWΛ^{t}Λ^{c}

1 ποιῆσαι VPW 2 τέμνειν S 3 τοιοῦτο W 4 λυποῦν VPW τοὺς πολλοὺς P 5/6 εἰς τὴν [τὴν om. D] ἀντιόχειαν — καὶ SDA ἀφικνουμένων εἰς ἀντιόχειαν καὶ VPW 7 οὐκ om. P 8/9 θεσπισθεῖσαν καὶ διαδοθεῖσαν W 9 δοθείση P 10 καὶ ἐντελὲς om. VPW 11 καὶ ὡς PW 12 φρονῆσαί τε καὶ om. VPW 13 καθόλου om. VPW 14 τινι] τῆ P χρώμενον φωνῆ DA ἐπινοοῦντα SDWΛ^{tc} ἐπιτιμῶντα VA ἐπιφωνοῦντα P θαλάσση SD 15 καὶ ἐπάγοντα om. PW καὶ ἐπάδοντα V 16 θεοσεβείας] ἁγιωσύνης WΛ^{t} 16/17 τὰ — θεοφιλοστάτω SDAΛ^{tc} ἁγιωτάτω VMPW 17 ἰωάννη — ἐπισκόπω DAΛ^{tc} ἐπισκόπω ἰωάννη τῶ τῆς ἀντιοχείας VMPSW 17—29 καὶ κατακούσας — προσαγορεύομεν om. M 17/18 μετὰ — συμπαθείας om. VPW ἡμῖν VPWΛ ἡμῖν βούλεται SD ἡμῖν φρονεῖ A 19 ὃς — χάριτι VW ὃς ἐν τῆ — χάριτι P ὅστις [ὃς S] χάριτι θῦ SDA τῆς ἐπισκοπῆς SA προσιέναι A 20 καὶ σεμνύνεσθαι om. VPW 20/21 ἀνατολικῆς διοικήσεως SDAΛ ἀνατολῆς VPW θεοφιλεστάτους om. VPDW θεοσέβειαν ὡς DA 21/22 καταλαμβάνεται VPWAΛ παραλαμβάνεται SD 22 τῆι — χρησαμένην om. VPW αὐτῆς D 23 ὥστε SD om. A 23/24 καιροῦ καλοῦντος om. VPW 24 γὰρ om. VPW 25—28 τὸν δὲ — πρεπούσης om. VPW 26 ἡμῖν A 27 προσέσθαι scripsi *suscipere* Λ προέσθαι A προσήσεσθαι S προστήσεσθαι D 28 καταξιῶσαι A 29 σὺν^{1}] ἐν W ἡμῖν P πλεῖστα om. VPW

18 = S 10 A 21. Latina uersio extat in Collectione CT 4

Διαμαρτυρία προτεθεῖσα ἐν δημοσίωι κατὰ τῶν κληρικῶν Κωνσταντινουπόλεως καὶ κατὰ ἐκκλησίαν ἐμφανισθεῖσα ὡς ὅτι ὁμόφρων ἐστὶ Νεστόριος Παύλου τοῦ Σαμοσατέως τοῦ ἀναθεματισθέντος πρὸ ἐτῶν ρξ̄ ὑπὸ τῶν ὀρθοδόξων ἐπισκόπων L III 338 M IIII 1008

Ὁρκίζω τὸν λαμβάνοντα τόδε τὸ χαρτίον κατὰ τῆς ἁγίας τριάδος ὥστε φανερὸν αὐτὸ ποιῆσαι ἐπισκόποις πρεσβυτέροις διακόνοις ἀναγνώσταις λαικοῖς οἰκοῦσι Κωνσταντινούπολιν ἔτι τε καὶ τὸ ἴσον αὐτοῖς ἐκδοῦναι πρὸς ἔλεγχον τοῦ αἱρετικοῦ Νεστορίου ὅτι ὁμόφρων ἐστὶ τοῦ ἀναθεματισθέντος Παύλου τοῦ Σαμοσατέως πρὸ ἐτῶν ἑκατὸν ἑξήκοντα ὑπὸ τῶν ὀρθοδόξων πατέρων ἐπισκόπων. ἔστι δὲ τὰ παρ' ὁποτέρων εἰρημένα οὕτως M IIII 1009

Παῦλος εἶπε· Μαρία τὸν λόγον οὐκ ἔτεκε. Νεστόριος συμφώνως εἶπεν· οὐκ ἔτεκεν, ὦ βέλτιστε, Μαρία τὴν θεότητα. Loofs, Nestoriana p. 252, 5. 6

Παῦλος· οὐδὲ γὰρ ἦν πρὸ αἰώνων. Νεστόριος· καὶ μητέρα χρονικὴν τῆι δημιουργῶι τῶν χρόνων ἐφιστῶσι θεότητι. ibid. p. 245, 18. 19

Παῦλος· Μαρία τὸν λόγον ὑπεδέξατο καὶ οὔκ ἐστι πρεσβυτέρα τοῦ λόγου. Νεστόριος· πῶς οὖν Μαρία τὸν ἑαυτῆς ἀρχαιότερον ἔτεκεν; ibid.p.373,17

Παῦλος· Μαρία ἔτεκεν ἄνθρωπον ἡμῖν ἴσον. Νεστόριος· ἄνθρωπος ὁ τεχθεὶς ἐκ παρθένου. ibid.p.373,11

Παῦλος· κρείττονα δὲ κατὰ πάντα, ἐπειδὴ ἐκ πνεύματος ἁγίου καὶ ἐξ ἐπαγγελιῶν καὶ ἐκ τῶν γεγραμμένων ἡ ἐπ' αὐτῶι χάρις. Νεστόριος· τεθέαμαι γάρ φησι, τὸ πνεῦμα καταβαῖνον ὡσεὶ περιστερὰν καὶ μένον ἐπ' αὐτόν, τὸ τὴν ἀνάληψιν αὐτῶι χαρισάμενον (ἐντειλάμενος, φησί, τοῖς ἀποστόλοις οὓς ἐξελέξατο, διὰ πνεύματος ἁγίου ἀνελήφθη), τοῦτο δὴ τὸ τηλικαύτην Χριστῶι χαρισάμενον δόξαν. ibid. p. 293, 20-294, 2 Ioh. 1, 32 Act. 1, 2

Παῦλος· ἵνα μήτε ὁ ἐκ Δαυὶδ χρισθεὶς ἀλλότριος ἦι τῆς σοφίας μήτε ἡ σοφία ἐν ἄλλωι οὕτως οἰκῆι. καὶ γὰρ ἐν τοῖς προφήταις ἦν, μᾶλλον δὲ ἐν Μωσεῖ, καὶ ἐν πολλοῖς κυρίοις, μᾶλλον δὲ ἐν Χριστῶι ὡς ἐν ναῶι. καὶ ἀλλαχοῦ λέγει ἄλλον εἶναι τὸν Ἰησοῦν Χριστὸν καὶ ἄλλον τὸν λόγον. Νεστόριος· μὴ ἐγχωρεῖ τὸν πρὸ πάντων τῶν αἰώνων γεννηθέντα ἄλλο ἅπαξ γεννηθῆναι, καὶ ταῦτα θεότητι; ibid. p. 378, 18. 19 Cassian. c. Nest. 6, 9[3]

2—27 θεότητι adfert Anastasius Sinaita in Hodego 20, lectiones adfero, sed non omnes ex codice Monacensi 467 [H] et excerptorum codice Parisino 1115 [X]

VM, P [= hk], S [pauca abscissa], D [= mn], AWΛ[t]Λ[c]

ιη̄ VMP ῑ S ια′ D 2—4 δημοσίωι — ἐπισκόπων] κωνσταντινουπόλει A 2 δημοσία P κατὰ VMPWΛ παρὰ SDHX 3 ἐκκλησίαν SDHΛ τὴν ἐκκλησίαν X ἐκκλησίασ VPW propter scripturam abbreuiatam de M non constat 4 τοῦ ἀναθεματισθέντος — ἐπισκόπων om. HX ἑκατὸν ἑξήκοντα PA ἑξήκοντα V ἀπὸ PSW 5 μεταλαμβάνοντα X λαβόντα SDAW 6 ποιῆσαι αὐτὸ S 6/7 κωνσταντινουπόλει S 7 αὐτοῦ HXΛ[c] 8 πρὸ — ἑξήκοντα om. V ρξ̄ MSnWHX 9 ἀπὸ PSWHX πατέρων om. DAΛ δὲ καὶ S καὶ D παρ' ὁποτέρων SD παρὰ ὁποτέρων H *ab utrisque* Λ[c] παραποτέρων X παρὰ π̄ρω̄ν MPW om. VA 10 ὁ σαμοσατεὺσ παῦλοσ DA τὸν om. DA σύμφωνα A 12 παῦλοσ [ὁ σαμοσατεὺσ παῦλοσ DA] εἶπεν DAHXΛ γὰρ ἦν] παρῆν S νεστόριοσ εἶπε DAHXΛ 13 ἐφίστησι P ἐφιστῶν W ἐφεστώσῃ X 14 παῦλοσ εἶπε DAHXΛ 14/15 νεστόριοσ εἶπε DAHXΛ 15 ἀρχαιότερον αὐτῆσ S 16 παῦλοσ [ὁ σαμοσατεὺσ παῦλοσ A] εἶπε DAHΛ παῦλοσ λέγει X ἡμῖν ἀνο̄ν S νεστόριοσ εἶπεν DAHXΛ 18 παῦλοσ [ὁ σαμοσατεὺσ παῦλοσ A] εἶπε DAHXΛ ἐπειδὴ καὶ ἐκ Λ[c] ἐξ om. S ἀγγελων A 19 ἡ] ἦν Λ[c] νεστόριοσ εἶπε DAHXΛ γάρ SHXΛ om. VMPDAW 20 ὡσ A τὸ om. P 21 τοῖσ ἀποστόλοισ φησὶν DA 22 δὲ P τῶ χ̄ῳ SD αὐτῶι Λ[c] χαρισάμενον χ̄ῳ A 23 παῦλοσ [ὁ σαμοσατεὺσ A] εἶπεν DAHXΛ ἡ om. SHX 24 οἰκεῖ MAHX μωυσῆ SD μωσῆ H 25 ναῶ MPSWXΛ ναῶ θ̄ῡ VDA οὐρανῶ H 26 νεστόριοσ εἶπε VDAHXΛ om. MPW ἐγχωρεῖν PA πρὸ om. D πάντων om. S τῶν om. DHX 27 γεννηθέντα om. S ἄλλον P καὶ τοῦτο D om. A θεότητι MPWHX τῇ θεότητι V *diuinitate* Λ[t] θεότητοσ S θεότητα D κατὰ τὴν θεότητα AΛ[c]

3 Ἰδοὺ δέδεικται σαφῶς λέγων ὁ παραβάτης· οὐκ ἐτέχθη ἀπὸ Μαρίας ὁ γεννηθεὶς ἐκ
L III 339 τοῦ πατρός· ἰδοὺ συναινεῖ τῶι αἱρετικῶι Παύλωι τῶι λέγοντι ἄλλον εἶναι τὸν λόγον καὶ
ἄλλον τὸν Ἰησοῦν Χριστόν, καὶ οὔκ ἐστιν εἷς ὡς ἡ ὀρθοδοξία κηρύττει. διὰ τοῦτο
ἐσημειωσάμην σοι, ὦ ζηλωτὰ τῆς ἁγίας πίστεως, καὶ μέρος τοῦ μαθήματος τῆς ἐκκλησίας
Act. 11, 26 Ἀντιοχέων, ἐξ ἧς καὶ τὴν τῶν Χριστιανῶν ἐπίκλησιν ἐν πρώτοις ἔσχομεν, ὅτι οὐκ οἶδεν
ἄλλον καὶ ἄλλον υἱὸν τοῦ θεοῦ, ἀλλ' ἕνα τὸν πρὸ πάντων αἰώνων γεννηθέντα θεὸν ἐκ
θεοῦ ἀπὸ τοῦ πατρός, ὁμοούσιον τῶι πατρὶ καὶ τὸν αὐτὸν ἐπὶ Αὐγούστου Καίσαρος ἐκ
Μαρίας τῆς παρθένου γεννηθέντα. ἔχει γὰρ ῥητῶς

θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ, ὁμοούσιον τῶι πατρί, δι' οὗ καὶ οἱ αἰῶνες κατηρ-
τίσθησαν καὶ τὰ πάντα ἐγένετο, τὸν δι' ἡμᾶς ἐλθόντα καὶ γεννηθέντα ἐκ Μαρίας τῆς ἁγίας
παρθένου καὶ σταυρωθέντα ἐπὶ Ποντίου Πιλάτου καὶ τὰ ἑξῆς τοῦ συμβόλου

4 Συνάιδει δὲ τούτοις καὶ ὁ μακάριος ἐπίσκοπος Εὐστάθιος ὁ τῆς αὐτῆς Ἀντιοχείας,
εἷς ὢν ἐκ τῶν τριακοσίων δεκαοκτὼ ἐπισκόπων ἐπὶ τῆς ἁγίας καὶ μεγάλης συνόδου, λέγων
οὕτως

τὸ μὴ μόνον ἄνθρωπον, ἀλλὰ καὶ θεόν, καθὼς καὶ Ἱερεμίας ὁ προφήτης λέγει·
Bar. 3, 36-38 οὗτος ὁ θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. ἐξεῦρε πᾶσαν
ὁδὸν ἐπιστήμης καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῶι παιδὶ αὐτοῦ καὶ Ἰσραὴλ τῶι
ἠγαπημένωι ὑπ' αὐτοῦ. μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις
συνανεστράφη. πότε δὲ συνανεστράφη ἀνθρώποις, εἰ μὴ ὅτε συνεγεννήθη μετ' αὐ-
τῶν ἐκ παρθένου καὶ συνενηπίασε καὶ συνηυξήθη καὶ συνέφαγε καὶ συνέπιε καὶ τὰ ἄλλα;

Εἴ τις οὖν τολμήσειε λέγειν ἄλλον εἶναι υἱὸν τὸν πρὸ τῶν αἰώνων μονογενῆ τὸν
ἀπὸ τοῦ πατρὸς γεννηθέντα καὶ ἄλλον τὸν ἐκ Μαρίας τῆς παρθένου τεχθέντα καὶ οὐ τὸν
αὐτὸν ἕνα κύριον Ἰησοῦν Χριστόν, ἔστω ἀνάθεμα.

9—11 plura ex symbolo Antiocheno adfert Cassian. c. Nestor. 6, 3^3. 4^3. 9^1

αὕτη ἡ διαμαρτυρία προετέθη ἐν δημοσίωι τόπωι ἐν Κωνσταντινουπόλει ἐπέχοντος ἔτι Νεστορίου τὸν θρόνον τῆς αὐτῆς πόλεως subscr. A, cf. Λ

V, M [inde a 12 μακάριος deficiunt phototypa], P [= hk], S, D [= mn], AWΛ^{t}Λ^{c}

1 ὁ παραβάτησ λέγων DA 2 τοῦ om. SDA παύλω VMPSWΛ παύλω τῶ σαμοσατεῖ [σαμοσατέων D] DA 5 ἔσχομεν VMPSWΛ^{t} ἔχομεν DAΛ^{c} 6 θῦ υἱὸν V αἰώνων om. V 6/7 θν̄ — τοῦ VMPSWΛ cf. Cass. 6, 6^6 ἐκ θῦ [τοῦ θῦ A] καὶ DA 8 τεχθέντα VMPW 10 ἐγένοντο DA ἐλθόντα SDΛ Cass. ll. cc. et 6, 8 κατελθόντα VMPAW 10/11 ἁγίασ παρθένου VMPSWΛ ἀειπαρθένου DA παρθένου Cass. 12 δὲ om. DA ἐπίσκοποσ εὐστάθιοσ [εὐστάθιοσ om. S] ὁ τῆσ αὐτῆσ [αὐτῆσ ἐκκλησίασ P] VPSW εὐστάθιοσ ὁ γενόμενοσ ἐπίσκοποσ [ἐπίσκοποσ om. D] DAΛ ἀντιοχέων P 13 ἐκ om. SA τιη D 15 τὸν S καὶ^{2} om. DA ὁ προφήτησ ἱερεμίασ S 18 μετὰ δὲ P τῆς om. S 19 ὅτι ὅτε P 20 συννενηπίακε DA συνέφαγε καὶ συνέπιε SDAΛ συνέφαγεν ἀνοισ καὶ συνέπιε P συνέπιε καὶ συνέφαγε VW καὶ τὰ ἄλλα [τἄλλα D] PSDAΛ om. V καὶ τὰ ἄλλα ἁπλῶσ ἀνθρώπινα καὶ ἀδιάβλητα τῆσ φύσεωσ ἡμῶν κατεδέξατο πάθη W 21 λέγειν ἄλλον — μονογενῆ] ἄλλον — μονογενῆ εἰπεῖν S τὸν υἱὸν τὸν W τῶν VPWΛ^{t} πάντων τῶν SDAΛ^{c} 22 ἐκ V τεχθέντα] γεννηθέντα S

19 = S 93 A 19. Latina uersio extabat in cod. Vat. 3836, sed fere tota periit

'Ομιλία Πρόκλου ἐπισκόπου Κυζίκου λεχθεῖσα καθεζομένου Νεστορίου ἐν τῇι μεγάληι ἐκκλησίαι Κωνσταντινουπόλεως L III 9 M IIII 577 PG 65, 680

1 Παρθενικὴ πανήγυρις σήμερον τὴν γλῶτταν, ἀδελφοί, πρὸς εὐφημίαν καλεῖ καὶ ἡ παροῦσα ἑορτὴ τοῖς συνελθοῦσιν ὠφελείας γίνεται πρόξενος. καὶ μάλα εἰκότως· ἁγνείας γὰρ ἔχει ὑπόθεσιν, καὶ τοῦ γένους τῶν γυναικῶν καύχημα τὸ τελούμενον καὶ δόξα τοῦ 6
θήλεος διὰ τὴν ἐν καιρῶι μητέρα καὶ παρθένον. ἐπέραστος ἡ σύνοδος· ἰδοὺ γὰρ PG 681
γῆ καὶ θάλαττα δορυφορεῖ τῆι παρθένωι, ἣ μὲν τὰ νῶτα ταῖς ὁλκάσιν γαληνῶς ὑφαπλώσασα, ἣ δὲ τὰ ἴχνη τῶν βαδιζόντων ἀκωλύτως παραπέμπουσα. σκιρτάτω ἡ φύσις, καὶ γυναῖ- 9
κες τιμῶνται· χορευέτω ἡ ἀνθρωπότης, καὶ παρθένοι δοξάζονται. ὅπου γὰρ ἐπλεόνα- L III 12
σεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις. συνεκάλεσεν ἡμᾶς ἡ ἁγία Μαρία, Rom. 5, 20
τὸ ἀμόλυντον τῆς παρθενίας κειμήλιον, ὁ λογικὸς τοῦ δευτέρου Ἀδὰμ παράδεισος, τὸ ἐργαστήριον τῆς ἑνότητος τῶν φύσεων, ἡ πανήγυρις τοῦ σωτηρίου συναλλάγματος, ἡ 13
παστὰς ἐν ἧι ὁ λόγος ἐνυμφεύσατο τὴν σάρκα, ἡ ἔμψυχος τῆς φύσεως βάτος, ἣν τὸ τῆς Exod. 3, 2
θείας ὠδῖνος πῦρ οὐ κατέκαυσεν, ἡ ὄντως κούφη νεφέλη ἡ τὸν ἐπὶ τῶν χερουβὶμ μετὰ σώ- Ies. 19, 1
ματος βαστάσασα, ὁ τοῦ ἐξ οὐρανῶν ὑετοῦ καθαρώτατος πόκος ἐξ οὗ ὁ ποιμὴν τὸ πρόβα- Iud. 6, 37. 38
τον ἐνεδύσατο, ἡ δούλη καὶ μήτηρ, ἡ παρθένος καὶ οὐρανός, ἡ μόνη θεῶι πρὸς ἀνθρώπους γέφυρα, ὁ φρικτὸς τῆς οἰκονομίας ἱστὸς ἐν ὧι ἀρρήτως ὑφάνθη ὁ τῆς ἑνώσεως χιτών, 18
οὗπερ ἱστουργὸς μὲν τὸ πνεῦμα τὸ ἅγιον, ἔριθος δὲ ἡ ἐξ ὕψους ἐπισκιάσασα δύναμις, M IIII 580
ἔριον δὲ τὸ ἀρχαῖον τοῦ Ἀδὰμ κώιδιον, κρόκη δὲ ἡ ἐκ παρθένου ἀμόλυντος σάρξ, κερκὶς Lc. 1, 35
δὲ ἡ ἀμέτρητος τοῦ φορέσαντος χάρις, τεχνίτης δὲ ὁ δι' ἀκοῆς εἰσπηδήσας λόγος.

Τίς εἶδεν, τίς ἤκουσεν ὅτι μήτραν ὁ θεὸς ἀπεριγράπτως ᾤκησεν; ὃν οὐρανὸς οὐκ
2 ἐχώρησεν, γαστὴρ οὐκ ἐστενοχώρησεν, ἀλλ' ἐγεννήθη ἐκ γυναικὸς θεὸς οὐ γυμνὸς καὶ ἄνθρωπος οὐ ψιλός, καὶ πύλην σωτηρίας ὁ τεχθεὶς τὴν πάλαι τῆς ἁμαρτίας ἔδειξεν θύραν. ὅπου γὰρ ὁ ὄφις διὰ τῆς παρακοῆς τὸν ἰὸν ἐνέχεεν, ἐκεῖ ὁ λόγος διὰ τῆς ἀκοῆς εἰσελθὼν 25
τὸν ναὸν ἐζωοπλάστησεν· ὅθεν ὁ πρῶτος μαθητὴς τῆς ἁμαρτίας Κάιν προέκυψεν, ἐκεῖθεν

---

23 cf. Nestorium in Collectione Palatina 22 p. 38, 10

V, P [= hk], S, D [= mn], AWR, Λ [deficit in 14 ἔμψυχος]

2/3 'Ομιλία — ἐπισκόπου] τοῦ αὐτοῦ ὁμειλία R 2 κυζίκου om. PSWR 2/3 καθεζομένου — κωνσταντινουπόλεως VPSW ἐν κωνσταντινουπόλει καθεζομένου νεστορίου εἰσ τὴν ἐναν-θρώπησιν τοῦ κῦ ἡμῶν ιῦ χῦ ὅτι θεοτόκοσ ἐστὶν ἡ ἁγία παρθένοσ μαρία καὶ ὅτι ὁ τεχθεὶσ οὔτε θσ̄ γυμνὸσ οὔτε ἄνσ̄ ψιλὸσ ἀλλ' ἐμμανουὴλ τυγχάνει θσ̄ καὶ ἄνσ̄ ἀσυγχύτωσ καὶ ἀμεταβλήτωσ ὑπάρχων DΛ περὶ τῆσ γεννήσεωσ τοῦ κῦ ἡμῶν ἰῦ χῦ R in fine add. εἶπε δὲ αὐτὴν [αὐτὴν ἐν κωνσταντινουπόλει εἰσ τὴν ἁγίαν μαρίαν συνάξεωσ οὔσησ R] ὅτε ἦν ἐπίσκοποσ νεστόριοσ προτραπεὶσ παρ' αὐτοῦ AR ιθ̄ VP q̄ D

4 γλῶτταν ἡμῶν ARΛ 5/6 ἔχει γὰρ ἁγνείασ W 6 τοῦ κοινοῦ τῶν γυναικῶν γένουσ AR 7 ἐπέραστοσ αὕτη καὶ ἑξαίσιοσ D 8 δωροφορεῖ DΛ ὑφαπλώσασα VDAΛ ἐφαπλώσασα R συν-πλώσασα PSW 9 ἀναλόγωσ W σκιρτᾶ τὲ W 10 καὶ — δοξάζονται om. ARΛ καὶ VPW αἱ SD 10/11 ἐπερίσσευσεν W 11 ὑπὲρ περίσσευσεν R ἡμᾶσ DARΛ μὲν ἡμᾶσ ἐνταῦθα VPSW ἁγία ARΛ ἁγία θεοτόκοσ D ἁγία καὶ θεοτόκοσ παρθένοσ VPS ἁγία παρθένοσ καὶ θεοτόκοσ W 13 ἑνώσεωσ DΛ 14 ἔμψυχοσ DARΛ ἔμφυτοσ VPSW 15 τῶν] τὸν mW 17 ἀνεδήσατο W μαρία ἡ δούλη DAR θῦ DAWR 18 ὑφάνθη ὁ τῆσ ἑνώσεωσ PSW ὑφαν-θεὶσ τῆσ ἑνώσεωσ V ὁ τῆσ ἑνώσεωσ [ἑνανθρωπήσεωσ A γρ καὶ ἑνώσεωσ A^{mg} ἑνσαρκώσεωσ R] ὑφάνθη DAR 19 ἱστουργία V 20 ἀμόλυντοσ ἐκ παρθένου S 21 δὲ om. VPSW ὑπακοῆσ R 22 ὁ om. AR καὶ ὃν VAR 23 γαστὴρ VPSW γαστὴρ παρθένου AR ἡ γαστὴρ τῆσ παρθένου D οὐκ ἐστενοχώρησεν] ἐχώρισεν R ἐκ γυναικὸσ ἐγεννήθη VS 24 πύλη SD πύλη ἦν R 25 ὁ ὄφις] ἡ φύσισ W ἐξέχεεν VR ἐκεῖθεν PSDW ἀκοῆσ AR ὑπακοῆσ VPSDW 26 τὸν ναὸν] τὸ κοινὸν A ἐζωοβλάστησεν S μαθητὴς om. VPSDW ἐκεῖθεν γὰρ S

ὁ τοῦ γένους λυτρωτὴς Χριστὸς ἀσπόρως ἐβλάστησεν. οὐκ ἠισχύνθη ὁ φιλάνθρωπος
τὴν ἐκ γυναικὸς ὠδῖνα· ζωὴ γὰρ ἦν τὸ πραγματευόμενον. οὐκ ἐμιάνθη οἰκήσας μόρια,
PG 684 ἅπερ αὐτὸς ἀνυβρίστως ἐδημιούργησεν. εἰ μὴ παρθένος ἔμεινεν ἡ μήτηρ, ψιλὸς ἄνθρω-
πος ὁ τεχθεὶς καὶ οὐ παράδοξος ὁ τόκος· εἰ δὲ καὶ μετὰ τόκον ἔμεινεν παρθένος, ἐκεῖνος
Ioh. 20, 26. 28 ἀφράστως ἐγεννήθη ὁ καὶ τῶν θυρῶν κεκλεισμένων ἀκωλύτως εἰσελθών, οὗ τὴν συζυγίαν 5
3 τῶν φύσεων ὁ Θωμᾶς ἀνακεκράγει λέγων ὁ κύριός μου καὶ ὁ θεός μου. μὴ
ἐπαισχυνθῇς τὴν ὠδῖνα, ὦ ἄνθρωπε· αὕτη γὰρ ἡμῖν γέγονε σωτηρίας ἀφορμή. εἰ μὴ
Hebr. 2, 14 ἐκ γυναικὸς ἐγεννήθη, οὐκ ἂν ἀπέθανεν· εἰ μὴ ἀπέθανεν, οὐκ ἂν διὰ τοῦ θανάτου
κατήργησεν τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον.
οὐχ ὕβρις ἀρχιτέκτονι μεῖναι ἐν οἷς ᾠκοδόμησεν, οὐ μιαίνει πηλὸς τὸν κεραμέα ἀνακαινίζοντα 10
ὅπερ ἔπλασεν· οὕτως οὐδὲ μιαίνει τὸν ἄχραντον τὸ ἐκ παρθενικῆς γαστρὸς προελθεῖν.
ἦν γὰρ πλάσσων οὐκ ἐμολύνθη, διὰ ταύτης προελθὼν οὐκ ἐμιάνθη. ὦ γαστὴρ ἐν ἧι
τὸ τῆς κοινῆς ἐλευθερίας γραμματεῖον συνετάγη· ὦ κοιλία ἐν ἧι τὸ κατὰ τοῦ θανάτου
ὅπλον ἐχαλκεύθη· ὦ ἄρουρα ἐν ἧι ὁ τῆς φύσεως γεωργὸς Χριστὸς ὡς στάχυς ἀσπόρως
Hebr. 6, 20 ἐβλάστησεν· ὦ ναὸς ἐν ὧι ὁ θεὸς γέγονεν ἱερεύς, οὐ τὴν φύσιν μεταβαλών, ἀλλὰ τὸν 15
L III 13 κατὰ τὴν τάξιν Μελχισεδὲκ δι' οἴκτον ἐνδυσάμενος. ὁ λόγος σὰρξ ἐγένετο, κἂν
Ioh. 1, 14 Ἰουδαῖοι ἀπιστῶσιν εἰπόντι τῶι κυρίωι· ὁ θεὸς μορφὴν ἀνθρώπου ἐφόρεσεν, κἂν Ἕλληνες
1 Cor. 1, 23 κωμωιδῶσι τὸ θαῦμα. διὰ γὰρ τοῦτο Ἰουδαίοις μὲν σκάνδαλον, ἔθνεσιν δὲ μωρία
M IIII 581 τὸ μυστήριον, ἐπειδὴ ὑπερ λόγον τὸ θαῦμα. εἰ μὴ ὁ λόγος ὤικησεν γαστέρα, οὐκ ἂν ἐκαθέ-
Mt. 4, 11 σθη ἡ σὰρξ ἐπὶ τοῦ θρόνου· εἰ τῶι θεῶι ὕβρις εἰς μήτραν εἰσελθεῖν, [ἄρα] καὶ τοῖς ἀγγέλοις ὕβρις 20
4 ἀνθρώπωι διακονεῖν. ὁ οὖν κατὰ φύσιν ἀπαθὴς γέγονε δι' οἴκτον πολυπαθής. οὐκ
PG 685 ἐκ προκοπῆς γέγονε θεὸς ὁ Χριστός, μὴ γένοιτο, ἀλλὰ δι' οἴκτον γέγονεν ἄνθρωπος, ὡς
πιστεύομεν. οὐκ ἄνθρωπον ἀποθεωθέντα κηρύττομεν, ἀλλὰ θεὸν σαρκωθέντα ὁμολογοῦ-
μεν. τὴν οἰκείαν δούλην ἐπεγράψατο μητέρα ὁ κατ' οὐσίαν ἀμήτωρ καὶ κατ' οἰκονο-
Hebr. 7, 3 μίαν ἀπάτωρ. ἐπεὶ πῶς ὁ αὐτὸς κατὰ Παῦλον ἀμήτωρ καὶ ἀπάτωρ; εἰ ψιλὸς ἄνθρω- 25
πος, οὐκ ἀμήτωρ· ἔχει γὰρ μητέρα. εἰ γυμνὸς θεός, οὐκ ἀπάτωρ· ἔχει γὰρ πατέρα.
5 νῦν δὲ ὁ αὐτὸς ἀμήτωρ μὲν ὡς πλάστης, ἀπάτωρ δὲ ὡς πλάσμα. αἰδέσθητι κἂν τὴν
προσηγορίαν τοῦ ἀρχαγγέλου. ὁ τὴν Μαριὰμ εὐαγγελισάμενος Γαβριὴλ ἐλέγετο. τί
δὲ ἑρμηνεύεται Γαβριήλ; θεὸς καὶ ἄνθρωπος. ἐπεὶ οὖν ὁ παρ' αὐτοῦ εὐαγγελιζόμενος
θεὸς καὶ ἄνθρωπος, προέλαβεν ἡ προσηγορία τὸ θαῦμα, ἵνα πιστώσηται τὴν οἰκονομίαν. 30

V, P [= hk], S, D [= mn], AWR

2 ταμιευόμενον W ἐμολύνθη AR μόρια] μαρία P 4 τὸν τόκον A 6 ἐκέκραγε AR 7 ὦ om. VPSW γέγονεν ἡμῖν DA μὴ AR γὰρ μὴ S μὴ γὰρ VPDW 8 ἂν om. SW εἰ μὴ ἀπέθανεν om. PSWR διὰ τοῦ θανάτου om. W 10 οἷσ αὐτὸσ AR ὦ W ὁ πηλὸσ R 11 ὃ A ἔπλασεν PSWR ἔπλασε σκεῦοσ V ἐποίησε σκεῦοσ D ἐποίησε πλάσμα καὶ ὅπερ ἔπλασε σκεῦοσ A οὕτως — προελθεῖν om. P μολύνει R ἀνοῡ S ἄχραντον θῡ̄ D παρθένου D 12 παρελθὼν AR 13 καινῆσ VP om. W διαγραμμάτιον P κοιλίασ S 14 χ̣ῡ̣ ὡσ στάχυσ R om. VPSDAW 15 ὁ om. A τὸν om. VP 16 τάξιν τοῦ AR δι' οἶκτον] οἶκον W οἴκτω S 17 οἱ ἰουδαῖοι V ἀπιστοῦσιν S εἰπόντι om. AR ἀνοῡ μορφὴν R οἱ ἕλληνεσ V 18 κωμωδοῦσι R κακῶσ κωμωδῶσι P τουτο γὰρ R τοῦτο W μὲν] τὲ W ἕλλησι VD 18/19 μωρία [μωρίασ R] — θαῦμα AR ὁ παῦλοσ ἐβόα τοῦ γὰρ μυστηρίου τὴν δύναμιν οὐκ ἔγνωσαν A^{mg} μωρίαν ὁ παῦλοσ βοᾶ τοῦ γὰρ μυστηρίου τὴν [τὴν γὰρ τοῦ μυστηρίου S] δύναμιν οὐκ ἔγνωσαν ἐπειδὴ ὑπὲρ λόγον τὸ θαῦμα εἰ γὰρ ἔγνωσαν [ἐπειδὴ — ἔγνωσαν om. S] οὐκ ἂν τὸν κ̄ν̄ τῆσ δόξησ ἐσταύρωσαν VPSDW μὴ γὰρ VPDW γὰρ μὴ S τὴν γαστέρα AR εἰ σὰρξ ἐκαθέσθη R 20 ἁγίου θρόνου VPSDW μήτραν ἣν ἔπλασεν VPSDW ἄρα om. AR ὕβρις om. S 21 ἀνθρώπωι om. W οὖν] ὧν R φύσιν ὡσ θ̄σ̄ R 22 ἀνο̄σ̄ ὁ θ̄σ̄ A 23 τὸν γὰρ χ̣ν̄ οὐκ SW 24 ὑπεγράψατο P 24/25 οἰκονομίαν ἐπὶ γῆσ VPSDW 25 ὁ om. D τὸν παῦλον VD καὶ om. PSW ἀπάτωρ καὶ ἀμήτωρ R 26 εἰ γυμνὸσ — πατέρα om. PA ἔχει — πατέρα om. S εἰ δὲ S 27 μὲν om. A πλάσμα] ἄνο̄σ̄ D καὶ S 28 ὁ γὰρ D μαρίαν PSDAW λέγεται R 29 post ἑρμηνεύεται superscr. τὰ R γαβριὴλ μάθε ἀκούσασ VPSDW 29/30 ἐπεὶ — ἄνθρωπος om. S 29 οὖν om. VPW 30 θ̄σ̄ DA θ̄σ̄ ἐστι VPW ἦν R προσέλαβεν W τὸ θαῦμα om. AR

Μάθε τὴν αἰτίαν τῆς παρουσίας καὶ δόξασον τὴν δύναμιν τοῦ σαρκωθέντος. πολλὰ ὤφειλεν τῶν ἀνθρώπων τὸ γένος καὶ πρὸς τὸ χρέος ἠπόρει. διὰ τοῦ Ἀδὰμ πάντες τὴν ἁμαρτίαν ἐχειρογραφήσαμεν· δούλους ἡμᾶς κατεῖχεν ὁ διάβολος· τὰς ὠνὰς ἡμῶν προέφερεν, χάρτηι κεχρημένος τῶι πολυπαθεῖ σώματι. εἱστήκει ὁ κακὸς πλαστογράφος, ἐπισείων ἡμῖν τὸ χρέος καὶ ἀπαιτῶν ἡμᾶς τὴν δίκην. ἔδει τοίνυν δυοῖν θάτερον, ἢ πᾶσιν ἐπαχθῆναι τὸν ἐκ τῆς δίκης θάνατον, ἐπειδὴ καὶ πάντες ἥμαρτον, ἢ τοιοῦτον δοθῆναι Rom. 3, 23 πρὸς ἀντίδοσιν ὧι πᾶν ὑπῆρχεν δικαίωμα πρὸς παραίτησιν. ἄνθρωπος μὲν οὖν σῶσαι οὐκ ἠδύνατο· ὑπέκειτο γὰρ τῶι χρέει. ἄγγελος ἐξαγοράσαι οὐκ ἴσχυεν· ἠπόρει γὰρ τοιούτου λύτρου. ἀναμάρτητος ὑπὲρ τῶν ἡμαρτηκότων ἀποθανεῖν ὤφειλεν· αὕτη γὰρ ἐλεί- 9
6 πετο μόνη τοῦ κακοῦ ἡ λύσις. τί οὖν; αὐτὸς ὁ πᾶσαν φύσιν εἰς τὸ εἶναι παραγαγών, ὧι M III 584 μηδὲν πρὸς παροχὴν ἄπορον, ἐξεῦρε τοῖς κατακρίτοις ζωὴν ἀσφαλεστάτην καὶ τῶι θανάτωι λύσιν εὐπρεπεστάτην, καὶ γίνεται ἄνθρωπος ὡς οἶδεν αὐτός (λόγος γὰρ ἑρμηνεῦσαι τὸ L III 16 θαῦμα οὐ δύναται), καὶ ἀποθνήισκει ὧι ἐγένετο, καὶ λυτροῦται ὧι ὑπῆρχεν κατὰ Παῦλον τὸν λέγοντα ἐν ὧι ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ, τὴν ἄφεσιν Eph. 1, 7 τῶν παραπτωμάτων. ὦ τῶν πραγμάτων· ἄλλοις ἐπραγματεύσατο τὸ ἀθάνατον, αὐτὸς γὰρ ὑπῆρχεν ἀθάνατος. τοιοῦτος γὰρ ἄλλος κατ' οἰκονομίαν οὔτε ἦν οὔτε γέγονεν οὔτε ἔστιν οὔτε ἔσται ἢ μόνος ὁ ἐκ παρθένου τεχθεὶς θεὸς καὶ ἄνθρωπος, οὐκ ἀντιταλαντεύουσαν μόνον ἔχων τὴν ἀξίαν τῶι πλήθει τῶν ὑποδίκων, ἀλλὰ καὶ πάσαις ψήφοις PG 688 ὑπερέχουσαν, ἐν μὲν τῶι υἱὸς εἶναι τὸ ἀπαράλλακτον σώιζων πρὸς τὸν πατέρα, ἐν δὲ τῶι δημιουργὸς τὸ τῆς δυνάμεως ἀπροσδεὲς ἔχων, ἐν δὲ τῶι φιλοικτίρμων τὸ εἰς συμπάθειαν ἀνυπέρβλητον δημοσιεύων, ἐν δὲ τῶι ἀρχιερεὺς τὸ πρὸς παραίτησιν ἀξιόπιστον φέρων, Hebr. 3, 1 ὧν οὐδὲν εὕροι τις ἂν ἐπ' οὐδενὶ ἴσον ἢ παραπλήσιον πώποτε. ὅρα γὰρ αὐτοῦ τὴν φιλανθρωπίαν· ἑκὼν κατακριθεὶς τὸν κατὰ τῶν σταυρωσάντων ἔλυσεν θάνατον καὶ ἀπέστρεψεν τὴν τῶν ἀποκτεινάντων ἀνομίαν εἰς τὴν τῶν ἀνομησάντων σωτηρίαν.

7 Ἀνθρώπου τοίνυν ψιλοῦ τὸ σῶσαι οὐκ ἦν· καὶ γὰρ αὐτὸς ἐδεῖτο τοῦ σώιζοντος κατὰ Παῦλον τὸν λέγοντα πάντες γὰρ ἥμαρτον. ἡ ἁμαρτία τῶι διαβόλωι προσῆγεν, ὁ διάβο- Rom. 3, 23 λος τῶι θανάτωι παρέπεμπεν, ἐν μεγίστωι κινδύνωι τὰ καθ' ἡμᾶς προῆγεν, ὑπῆρχεν ἐν ἀπόροις

V, M [inde a 2 ἀνθρώπων], P [= hk], S. D [= mn], AWR

1 μάθε πρῶτον D καὶ τότε D 2 ὤφειλεν ἐξ ἁμαρτιῶν VPSDW τῶν — γένος R ἡ τῶν ἀνω φύσις VMPSDWA ἠπόρει πρὸς τὸ χρέος VMPSW τοῦ AR γὰρ τοῦ VMPSD γὰρ W 3 ἐχειρογράφησαν VMPSW δούλους δὲ S 4 χάρτη DAR γραφῆ VMPW γραφεῖ S ἡμῶν σώματι VMPSDW πλαστογράφος VMPSW τῶν παθῶν πλαστογράφος DAR 5 ἡμᾶς om. R ἔδει τοίνυν] ἡ δὲ ἦν P 6 ἐκ om S δίκης R καταδίκης VMPSDAW post ἥμαρτον rel. spat. XX litt. W 7 ἀντίδοσιν τίμημα D οὖν] γὰρ DA σῶσαι] σῶμα A 8 χρέει τῆς ἁμαρτίας VMPSDW ἐξαγοράσαι [ἐξαγοράσασθαι VMPSW] τὴν ἀνθρωπότητα VMPSDW 8/9 τοῦ τοιούτου AR 9 ἀναμάρτητος] λοιπὸν οὖν ὁ ἀναμάρτητος.D γὰρ om. DA 10 τί οὖν om. VMPSW ἐκ μὴ ὄντων εἰς τὸ εἶναι D παραγαγὼν ὡς θῶ R ὧι] ὃ S 11 παροχὴν ἀγαθῶν R ἐξηύρεν καὶ R ἐκπρεπεστάτην R 12 ἐκπρεπεστάτην W ἀσφαλεστάτην R ὡς AR ἐκ παρθένου ὡς VMPSDW 13 ὃ D ὡς W ὃ D 13/14 τὸν λέγοντα παῦλον VMPSDW τὸν παῦλον A 15 παραπτωμάτων] ἁμαρτιῶν R ὦ τῶν πραγμάτων VMSAR ὦ τῶν μεγάλων πραγμάτων D om. PW 16/17 ἦν οὔτε γέγονεν R γέγονεν οὔτε ἦν VMPSDWA 17 οὔτε ἔστιν SmWAR om. VMPn ἔσται ποτὲ DA τε καὶ D 18 μόνον ἔχων VMPR μόνην ἔχων W ἔχων μόνον SDA ἀξίαν] ἐξουσίαν D πάσαις ψήφοις] παντάπασιν W 19 πρὸς τὸν πρα σώζων R 21 δημοσιεύων R ἐδημοσίευεν A ἐδημοσίευσεν VMPSDW τῶι] τὸ AR πρὸς παραίτησιν AR εἰς παράστασιν VMPSDW 22 εὕροι — ἐπ'] ἂν εὕροι τίς ἐν R ὅρα] ὁ MPS 23/24 ἀπέστρεψεν R ἀντέστρεψε VMSDAW ἀνέτρεψε P 25 ψιλοῦ τὸ om. MPSW οὐκ ἦν σῶσαι M σῶσαι] σῶμα R γὰρ αὐτὸς SWR γὰρ καὶ αὐτὸς VMP αὐτὸς γὰρ DA 26 πάντες γὰρ ἥμαρτον R ὅτι πάντες ἥμαρτον MPSW ὅτι πάντες ἥμαρτον καὶ ὑστεροῦνται τῆς δόξης τοῦ θῦ καὶ τὰ ἑξῆς [καὶ τὰ ἑξῆς om. D] ἐπειδὴ οὖν VDA τῶ διαβόλω R τῶ διαβόλω τὸν ταύτης [αὐτῆς DA] ὑπεύθυνον PMSDAW τὸν ταύτης ὑπεύθυνον τῶ διαβόλω V 26/27 διάβολος R διάβολος τοῦτον VMPSDAW 27 παρέπεμψεν R παρέπεμπε τοιγάρτοι VMPSDAW προῆγεν ὑπῆρχεν scripsi προῆγεν VMPSA προῆγε καὶ D ὑπῆρχεν WR

ἡ λύσις, οἱ πεμφθέντες ἰατροὶ κατηγόρουν. τί οὖν; ὡς εἶδον οἱ προφῆται κρεῖττον τέχνης ἀνθρωπείας τὸ τραῦμα, τὸν ἐξ οὐρανῶν ἐπεβόων ἰατρόν. καὶ ὁ μὲν ἔλεγεν κλῖνον
Ps. 143, 5 οὐρανούς σου καὶ κατάβηθι· ἄλλος ἴασαί με, κύριε, καὶ ἰαθήσομαι· ἕτερος
Ier. 17, 14 Ps. 79, 3 ἐξέγειρον τὴν δυναστείαν σου καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς· ἄλλος εἰ ὄντως
3 Reg. 8, 27 Ps. 78, 8 κατοικήσει θεὸς μετὰ ἀνθρώπων; ἄλλος ταχὺ προκαταλαβέτωσαν ἡμᾶς
Mich. 7, 1. 2 οἱ οἰκτιρμοί σου, κύριε, ὅτι ἐπτωχεύσαμεν σφόδρα· ἕτερος οἴμοι ψυχή, ὅτι ἀπόλωλεν εὐλαβὴς ἀπὸ τῆς γῆς καὶ ὁ κατορθῶν ἐν ἀνθρώποις οὐχ ὑπάρχει·
Ps. 69, 2 ἄλλος ὁ θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες, κύριε, εἰς τὸ βοηθῆσαί μοι
Hab. 2, 3 σπεῦσον· ἄλλος ὅσον ὅσον ὁ ἐρχόμενος ἥξει καὶ οὐ χρονιεῖ· ἄλλος ἐπλανή-
Ps. 118, 176 θην ὡς πρόβατον ἀπολωλός· Ζήτησον τὸν δοῦλόν σου τὸν ἐλπίζοντα ἐπὶ σέ·
Ps. 49, 3 ἄλλος· ὁ θεὸς ἐμφανῶς ἥξει, ὁ θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται. οὐ περιεῖδεν τοίνυν ἐπὶ πολὺ τὴν φύσιν τυραννουμένην ὁ φύσει βασιλεύς, οὐκ ἀφῆκεν εἰς τέλος
M IIII 585 εἶναι τῶι διαβόλωι ὑπεύθυνον ὁ φιλοικτίρμων θεός, ἀλλ' ἦλθεν ὁ ἀεὶ παρὼν καὶ κατέβαλεν λύτρον τὸ οἰκεῖον αἷμα καὶ ἔδωκεν ὑπὲρ τοῦ γένους ἀντάλλαγμα τῶι θανάτωι ὃ ἐκ παρθένου ἐφόρεσεν σῶμα, καὶ ἐξηγοράσατο τὸν κόσμον ἐκ τῆς τοῦ νόμου κατάρας θανάτωι
Gal. 3, 13 τὸν θάνατον καταργήσας καὶ βοᾶι Παῦλος Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατά-
8 ρας τοῦ νόμου. ὁ τοίνυν ἀγοράσας οὐ ψιλὸς ἄνθρωπος, ὦ Ἰουδαῖε· ἡ γὰρ τῶν ἀνθρώπων φύσις τῆι ἁμαρτίαι δεδούλωτο. ἀλλ' οὐδὲ θεὸς γυμνὸς ἀνθρωπότητος· σῶμα γὰρ εἶχεν, ὦ Μανιχαῖε· εἰ μὴ γὰρ ἐνεδύσατο ἐμέ, οὐκ ἂν ἔσωσεν ἐμέ. ἀλλ' ἐν τῆι γαστρὶ
L III 17 τῆς παρθένου ὁ ἀποφηνάμενος τὸν κατάδικον ἐνεδύσατο καὶ ἐκεῖ τὸ φρικτὸν γέγονεν συν-
PG 689 ἄλλαγμα. δοὺς γὰρ πνεῦμα ἔλαβεν σάρκα· ὁ αὐτὸς μετὰ τῆς παρθένου καὶ ἐκ τῆς
Lc. 1, 35 παρθένου· ὧι μὲν ἐπεσκίασεν, μετ' αὐτῆς· ὧι δὲ ἐσαρκώθη, ἐξ αὐτῆς. εἰ ἄλλος ὁ Χριστὸς καὶ ἄλλος ὁ θεὸς λόγος, οὐκέτι τριάς, ἀλλὰ τετράς. μὴ σχίσηις τὸν τῆς οἰκονομίας χιτῶνα τὸν ἄνωθεν ὑφαντόν· μὴ μαθητεύσηις Ἀρείωι. ἀσεβῶς ἐκεῖνος τὴν οὐσίαν τέ-
Lc. 1, 79 μνει· σὺ τὴν ἕνωσιν μὴ μέριζε, ἵνα μὴ μερισθῆις ἀπὸ τοῦ θεοῦ. τίς ἐπέφανεν τοῖς
ἐν σκότει καὶ σκιᾶι θανάτου καθημένοις; ἄνθρωπος; καὶ πῶς; ὅς γε ἐν σκότει
Col. 1, 13 διῆγεν κατὰ Παῦλον τὸν λέγοντα ὃς ἐρρύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους
Eph. 5, 8 καὶ πάλιν ἦτε γάρ ποτε σκότος. τίς οὖν ἐπέφανεν; Δαυὶδ σε διδάσκει λέγων

VM, P [= hk], S, D [= mn], AWR

1 ἦν ἡ λύσις τοῦ θανάτου VA οἱ — κατηγόρουν om. MPSW μεῖζον VMPSDAW 2 ἀνθρωπίνης DW ἀνοῡ V οὐρανοῦ M ἰατρὸν ἐπεβόων R ἔλεγε κύριε VDA 3 οὐρανούς] τὸ οὖσ A σου om. VDW ἕτεροσ δὲ W 4 σου κύριε A 4—8 ἄλλοσ οἴμοι — τῆσ γῆσ ἄλλοσ εἰ — σου κύριε ἄλλοσ ὁ θσ̄ R 4/5 εἰ — ἀνθρώπων ἄλλος om. P 5 ὄντως] οὕτωσ MSW θσ̄ κατοικήσει R οἰκήσει ὁ [ὁ om. A] θσ̄ VMSDAW ἡμᾶς om. R 6 ὅτι — σφόδρα om. AR ψυχὴ om. VMPSDAW 7 καὶ ὁ — ὑπάρχει om. AR οὐκ ἔστιν D 8 ὁ θεὸς om. MPSAW 9 καὶ ἄλλοσ A ὅσον — ἄλλος om. W ὅσον ὅσον ὁ VMPSD ὁ R om. A 10/11 τὸν ἐλπίζοντα — παρασιωπήσεται om. AR 10 τὸν ἐλπίζοντα ἐπὶ σέ om. V 12 παρεῖδε VMPSDAW ἐπὶ πολὺ R om. VMPSDAW τὴν φύσιν τὴν ἀνθρωπίνην VMPSDAW βασιλεὺσ ὑπάρχων D βασιλεὺσ καὶ θσ̄ R 12/13 οὐκ — θεός om. AR 13 καὶ om. kA 14 λύτρον ὑπὲρ ἡμῶν D ἴδιον VMPSDW γένους] γενέσθαι W 14/15 τῶι — σῶμα om. MP ὃ — σῶμα] ἣν ἐκὼν ἐφόρεσε σάρκα D 15/16 θανάτωι — καταργήσας om. AR 16 τὸν om. D 16/17 καὶ βοᾶι — νόμου om. MPSW 17 ἀγοράσασ ἡμᾶσ VMPSDW Ἰουδαῖοι M τῶν om. V 18 δεδούλωται S οὐδὲ AR οὔτε μὴν VMPSDW θεὸς om. V 19 με DA ἔσωσέ με DA 19/20 ἀλλ' — παρθένου ὁ] ἄλλο — παρθένου R 20 παρθενίασ S 21 δούς] οὐ MPS μετὰ — καὶ om. VMPS 22 ὧ R ὁ SW ἀλλ' ὁ DA τὸ VMP μὲν γὰρ VMPSW μετ' αὐτῆσ R αὐτὴν DA om. VMPSW ὧ R ὁ VMPSDAW 23 καὶ om. S 23—25 μὴ — μέριζε om. D 24 μαθητευθῆσ VA ἀσεβῶσ ἐκεῖνοσ R ἐκεῖνοσ γὰρ ἀσεβῶσ A ἐκεῖνοσ γὰρ ἀσεβῶν VMPS ἐκεῖνοσ γὰρ ἀσεβὴσ ὢν W 25 ἕνωσιν R συνάφειαν VMPSAW ἵνα — θεοῦ om. AR ἵνα om. S τοῦ om. MSDW ἐπέφανεν εἰπέ μοι VMPSDW 26/27 ἄνθρωπος — ὅς] ἢ τίσ MPSW 26/27 ὅς — διῆγεν] ἠδύνατο ἐν σκότει διάγων D ὥσ γε R οὐ γὰρ VA 28 καὶ πάλιν ἦτε AR ἦμεν VMPSDW σκότοσ κατὰ τὸ γεγραμμένον VMPSDW τίς — ἐπέφανεν om. MPSW ἐπέφανεν ἡμῖν D

εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. εἰπὲ φανερῶς, ὦ Δαυίδ, ἀναβόησον τῇ ἰσχύι καὶ μὴ φείσῃ· ὡς σάλπιγγα ὕψωσον τὴν φωνήν σου, εἰπὲ τίς οὗτος; κύριος ὁ θεὸς τῶν δυνάμεων· θεὸς κύριος, καὶ ἐπέφανεν ἡμῖν. συνῆλθον αἱ φύσεις καὶ Ps. 117, 26 Ies. 58, 1 Ps. 117, 27
9 ἀσύγχυτος ἔμεινεν ἡ ἕνωσις. ἦλθεν σῶσαι, ἀλλ' ἐχρῆν καὶ παθεῖν. πῶς ἦν δυνατὸν ἑκάτερα; ἄνθρωπος ψιλὸς σῶσαι οὐκ ἴσχυεν· θεὸς γυμνὸς παθεῖν οὐκ ἠδύνατο. τί οὖν; αὐτὸς ὢν θεὸς [ὁ Ἐμμανουὴλ] γέγονεν ἄνθρωπος, καὶ ᾧ μὲν ἦν, ἔσωσεν, ᾧ δὲ γέγονεν, ἔπαθεν. διὰ τοῦτο ὡς εἶδεν ἡ ἐκκλησία στεφανώσασαν αὐτὸν ταῖς ἀκάνθαις τὴν συναγωγήν, θρηνοῦσα τὴν τόλμαν ἔλεγεν· θυγατέρες Ἱερουσαλήμ, ἐξέλθατε καὶ ἴδετε Cant. 3, 11
τὸν στέφανον, ᾧ ἐστεφάνωσεν αὐτὸν ἡ μήτηρ αὐτοῦ. αὐτὸς γὰρ καὶ τὸν ἐξ ἀκανθῶν ἐφόρεσεν στέφανον καὶ τὴν τῶν ἀκανθῶν ἔλυσεν ἀπόφασιν. ὁ Ioh. 1, 18
αὐτὸς ἐν κόλποις πατρὸς καὶ ἐν γαστρὶ παρθένου, ἐν ἀγκάλαις μητρὸς καὶ ἐπὶ πτερύγων Ps. 103, 3
ἀνέμων, ὑπ' ἀγγέλων προσεκυνεῖτο καὶ τελώναις συνανέκειτο· τὰ σεραφὶμ οὐ προσέβλεπεν Hebr. 1, 6
καὶ Πιλάτος ἠρώτα· ὁ δοῦλος ἐράπιζεν καὶ ἡ κτίσις ἔφριττεν. ἐπὶ σταυροῦ ἐπήγνυτο 13
καὶ ὁ θρόνος οὐκ ἐγυμνοῦτο· ἐν τάφῳ κατεκλείετο καὶ τὸν οὐρανὸν ἐξέτεινεν ὡσεὶ δέρριν· Ps. 103, 2
ἐν νεκροῖς ἐλογίζετο καὶ τὸν ἅιδην ἐσκύλευεν. κάτω πλάνος ἐσυκοφαντεῖτο καὶ ἄνω ἅγιος Mt. 27, 63 M IIII 588
ἐδοξολογεῖτο. ὦ τοῦ μυστηρίου· βλέπω τὰ θαύματα καὶ ἀνακηρύττω τὴν θεότητα· ὁρῶ τὰ πάθη καὶ οὐκ ἀρνοῦμαι τὴν ἀνθρωπότητα, ἀλλ' ὁ Ἐμμανουὴλ φύσεως μὲν πύλας ἀνέωι- PG 692
ξεν ὡς ἄνθρωπος, παρθενίας δὲ κλεῖθρα οὐ διέρρηξεν ὡς θεός, ἀλλ' οὕτως ἐκ μήτρας ἐξῆλθεν, ὡς δι' ἀκοῆς εἰσῆλθεν· οὕτως ἐτέχθη, ὡς συνελήφθη. ἀπαθῶς εἰσῆλθεν, ἀφρά- 19
στως ἐξῆλθεν κατὰ τὸν προφήτην Ἰεζεκιὴλ τὸν λέγοντα· ἐπέστρεψέν με, φησί, κύριος Ezech. 44, 1. 2
κατὰ τὴν ὁδὸν τῆς πύλης τῶν ἁγίων τῆς ἐξωτέρας τῆς βλεπούσης κατὰ ἀνατολάς, καὶ αὕτη ἦν κεκλεισμένη. καὶ εἶπεν κύριος πρός με· υἱὲ ἀνθρώπου, ἡ πύλη αὕτη κεκλεισμένη ἔσται, οὐκ ἀνοιχθήσεται. οὐδεὶς οὐ μὴ διέλθῃ δι' αὐτῆς, ἀλλ' ἢ κύριος ὁ θεὸς Ἰσραήλ, μόνος αὐτὸς εἰσελεύσεται καὶ ἐξελεύσεται, καὶ ἔσται ἡ πύλη κεκλεισμένη. ἰδοὺ ἀπόδειξις ἐναργὴς τῆς ἁγίας 25
καὶ θεοτόκου Μαρίας· ἀ λελύσθω λοιπὸν ἀντιλογία πᾶσα, καὶ τῇ τῶν γραφῶν φωτιζώμεθα L III 20
διδασκαλίαι, ἵνα καὶ βασιλείας οὐρανῶν τύχωμεν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

VM, P [= hk], S, D [= mn], AWR

1 εἰπὲ VMPSW τίσ οὗτοσ εἰπὲ DAR 1—3 ἀναβόησον — δυνάμεων om. AR 2 ἰσχύι σου SD 3 ἡμῖν AR ἡμῖν ὁ γὰρ λόγοσ σὰρξ ἐγένετο VMPSDW 4 παθεῖν] ἀποθανεῖν A ἦν δυνατὸν] ἐδύνατο A ἑκάτερα] ἀμφότερα γενέσθαι D 5 ἴσχυσεν R τί οὖν om. AR 5/6 αὐτὸς — θεὸς] ὁ αὐτόσ οὖν ὡσ θσ̄ φύσει R 6 θσ̄ ὢν D θεὸς ὁ] ὁ θσ̄ W ὁ Ἐμμανουὴλ om. AR ἐγένετο R ᾧ — ᾧ SAW ὃ — ὃ VMPDA^{corr} R ἦν om. P 7 ταῖς om. W 8 θρηνωδοῦσα V ἐξέλθετε VMPSDA 9 ᾧ DAR ὃν VMPSW 10 ἐξ ἀκανθῶν R ἀκάνθινον VMPSDAW 11 ἐν^3 AR ὁ αὐτόσ ἐν VMPSDW 12 ὑπ' R ὑπὸ A ὁ αὐτόσ ὑπ' VMPSDW συνανέκειτο R συνανεκλίνετο VPSDAW συνεκλίνετο M ὃν τὰ PMSW προέβλεπε S 13 καὶ^1] ὁ P ἔτρεμεν A 14 θρόνοσ τῆσ δόξησ VMPSDW ἐγυμνοῦτο DAR ἐγεγύμνωτο VPSW ἐγύμνωτο M κατέκειτο R τοὺσ οὐρανοὺσ A ὥσπερ A 15 ἐσκύλευσεν MPS κάτω AR ὧδε VMPSDW ἄνω AR ἐκεῖ VMPSDW ὁ ἅγιοσ PSW, de M non constat 18/19 ἄνθρωπος — ἐξῆλθεν ὡσ om. W ἠνέῳξεν S 18 παρθένου S οὕτως om. A 19 ἐτέχθη] ἐγεννήθη V συνελήμφθη R 19/20 ἀπαθῶς — ἐξῆλθεν om. W ἀφράστωσ MDR ἀφθάρτωσ VPS 20 με om. M φησὶ om. VD 22 ἦν om. R 23 καὶ οὐκ R οὐκ ἀνοιχθήσεται om. A καὶ οὐδεὶσ SDW διέλθοι P 24 κύριος om. W Ἰσραὴλ om. R superscr. W μόνος om. D αὐτόσ τε S om. AR 25 καὶ ἔσται om. P καὶ ἰδοὺ R 25/26 τῆσ ἁγίασ θεοτόκου παρθένου μαρίασ S 26 λελύσθω λυπὸν R λυέσθω τοίνυν VMPSDAW πᾶσα ἀντιλογία R τῶν ἁγίων γραφῶν R 26/27 φωτιζώμεθα διδασκαλεία R καταφωτιζώμεθα γνώσει VMPSDAW 27 καὶ om. R 27/28 ἐν — δόξα om. VMPSW αὐτῷ — αἰώνων om. DA 28 τῶν αἰώνων om. R

20 = S 8 A 15. Latine extat in Collectione CT 18

L III 330
M IIII 1000
PG 77, 61

Κυρίλλου πρός τινα ζηλωτὴν περὶ Νεστορίου

Οἶδα μὲν τῆς σῆς ἀγάπης τὸ εἰλικρινὲς καὶ οὐκ ἠγνόηκα τὴν σπουδήν. καὶ εἰ
M IIII 1001 μὲν ἔγραφον πρός τινας τὸν ἐμὸν οὐκ εἰδότας τρόπον, πολλοῖς ἂν ἐχρησάμην λόγοις ἀναπείθων ὅτι σφόδρα εἰμί τις εἰρηνικὸς καὶ οὔτε δύσερις οὔτε φιλόμαχος, ἀλλ' εὐχόμενος καὶ φιλεῖν ἅπαντας καὶ φιλεῖσθαι παρ' ἁπάντων· ἐπειδὴ δὲ πρὸς εἰδότα γράφω, βραχυλογήσας ἐκεῖνο διδάσκω ὅτι εἰ πραγμάτων ἦν ἢ χρημάτων ἀφαίρεσιν ὑπομεῖναι καὶ παῦσαι λύπην ἀδελφοῦ, ἐποίησα ἂν ἡδέως ὑπὲρ τοῦ μὴ δοκεῖν τι τῆς ἀγάπης ἡγεῖσθαι προτιμότερον· ἐπειδὴ δὲ ὁ τῆς πίστεώς ἐστι λόγος καὶ ἐσκανδαλίσθησαν καὶ αἱ κατὰ πᾶσαν ὡς ἔπος εἰπεῖν τὴν Ῥωμαίων ἀρχὴν ἐκκλησίαι (οὐ γὰρ ἔστι τις τῶν ἐξ οἱασδηποτοῦν πόλεως ἢ χώρας ἐρχόμενος καὶ μὴ λέγων ὅτι τί ταῦτ' ἐστὶ τὰ θρυλούμενα καὶ ποία καινὴ μάθησις ταῖς ἐκκλησίαις ἐπιφέρεται), πρὸς ταῦτα τί δράσομεν οἱ πεπιστευμένοι παρὰ θεοῦ τὸν τοῦ μυστηρίου λόγον; πρὸς οὓς ἐν ἡμέραι κρίσεως δικάσονται οἱ μυσταγωγούμενοι πάντως. ἐροῦσι γὰρ οὕτως τηρῆσαι τὴν πίστιν, ὡς μεμυσταγώγηνται παρ' ἡμῶν. καὶ εἰ μὲν ὀρθῶς τοῦτο πεπράχαμεν, ἀπολεψόμεθα καὶ μισθόν, τευξόμεθα δὲ καὶ ἐπαίνων· εἰ δὲ ἑτέρως καὶ
Ies. 14, 20 διεστραμμένως, ποῖαι φλόγες ἡμῖν ἀρκέσουσιν; ἀκουσόμεθα γὰρ ὅτι τὴν γῆν μου ἀπώλεσας καὶ τὸν λαόν μου ἀπέκτεινας κατὰ τὸ γεγραμμένον. καὶ ἕκαστος μὲν τῶν ἐν τάξει λαικῶν τῆς ἑαυτοῦ ζωῆς ὑπεραπολογήσεται, ἡμεῖς δὲ οἱ ταῖς τῆς ἱερωσύνης λειτουργίαις πεφορτισμένοι οὐχ ὑπὲρ μόνων ἑαυτῶν, ἀλλ' ὑπὲρ πάντων τῶν πιστευόν-
L III 331 των εἰς Χριστὸν ἀπολογησόμεθα. ἐμοὶ τοίνυν οὐδείς ἐστι λόγος οὐ λύπης, οὐχ ὕβρεως, οὐ λοιδορίας τῆς οὕτω πολλῆς ἧς πεποίηνται κατ' ἐμοῦ τῶν ἀνυπολήπτων τινές, ἀλλ' οἰχέσθω ταῦτα πάντα πρὸς λήθην, δικάσει δὲ καὶ τοῖς πεφλυαρηκόσι θεός. μόνον σωιζέσθω τὰ τῆς πίστεως, καὶ φίλος εἰμὶ καὶ ἀγαπητὸς καὶ οὐδενὶ παραχωρῶν πρὸς τὸ χρῆναι μειζόνως φιλεῖν τὸν θεοφιλέστατον ἐπίσκοπον Νεστόριον, ὅν, ὡς ἐπὶ τοῦ θεοῦ φημί, καὶ εὐδοκιμεῖν ἐν Χριστῶι βούλομαι καὶ τὸν ἐπὶ τοῖς παρελθοῦσιν ἀφανίσαι μῶμον καὶ δεῖξαι συκοφαντίαν καὶ οὐ πάντως ἀλήθειαν τὰ παρά τινων ἐπὶ τῆι πίστει θρυλούμενα.
Mt. 5, 44 εἰ δὲ προστετάγμεθα παρὰ Χριστοῦ καὶ τοὺς μισοῦντας ἀγαπᾶν, πῶς οὐ μᾶλλον ἀκόλουθον ἀδελφοῖς τε καὶ συνιερεῦσι τοῦτο ποιεῖν; ὅτι γὰρ εἰ παραλύοιτο παρά τινων ἡ πίστις,
PG 64 τὰς ἑαυτῶν ψυχὰς οὐ προδώσομεν, κἂν εἰ προκέοιτο παθεῖν καὶ αὐτὸν τὸν θάνατον, οὐκ ἔστιν ἀμφίβολον. εἰ γὰρ δεδίαμεν ὑπὲρ τῆς δόξης τοῦ θεοῦ την ἀλήθειαν εἰπεῖν, ἵνα

VM, P [= hk], S, D [= mn], AUΛ^{t}Λ^{c}

2 κυρίλλου VMP ἄλλη ἐπιστολὴ S ἄλλη ἐπιστολὴ τοῦ αὐτοῦ κυρίλλου D τοῦ αὐτοῦ ἐπιστολὴ A κυρίλλου ἐπιστολὴ γραφεῖσα U πρὸσ — νεστορίου VDA, add. S^{corr}, πρὸσ — τοῦ αὐτοῦ νεστορίου U πρὸσ τοὺσ ἐγγράφωσ αὐτὸν αἰτιασαμένουσ ὅτιπερ οὐ σεσιώπηκεν ἐξ ἀκοῆσ μαθὼν ἕρπειν ἐπὶ τὸ χεῖρον τὴν δυσσεβῆ νεστορίου διδασκαλίαν [cf. 21] MP κ̄ VMP η̄ S θ' D

3 οἴδαμεν ΑΛ σῆς] ὑμετέρασ σῆσ P ἠγνοήκαμεν A 4 ἐγράφομεν A λόγοις] τρόποισ λέγων P 5 εἰμί] εἰ μή U οὔτε^{1}] οὐ V ἀλλ' εὐχόμενος om. A 6 εἰδότασ P 7 ἢ χρημάτων ἦν U ἢ] καὶ S 7/8 λύπην παῦσαι S 8 ἐποιησάμην VMP τῆσ ἀγάπησ ἡγεῖσθαί τι P τῆσ ἀγάπησ ἡγεῖσθαι M 9 λόγοσ ἐστὶ V καὶ^{2} om. U 11 ἐρχόμενοσ καὶ MSDAUΛ ἐρχομένων καὶ V ἐρχουένων ὁ P τί ταῦτ' S ταῦτα VMPDAUΛ θρυλλούμενα VMPSDAU ποία om. Λ 14 ἐροῦσι γὰρ] καὶ ἐροῦσιν P 15 καὶ^{1} om. S 16 ποῖα M 17 ἀπέκτεινασ — ἀπώλεσασ P δ καὶ S 18 αὐτοῦ U ταῖς om. P superscr. S 19 ἑαυτῶν μόνον ἀλλὰ καὶ PΛ 21 οὐδὲ λοιδορίασ D τῆσ — ἧσ VMPD τῆσ — οἵσ S ἧσ οὕτω πολλῆσ A τῆσ — ἣν U 22 πεφλυαρικόσι P 23 καὶ^{1} om. MDA εἰμί καὶ om. MP καὶ^{3} om. DA οὐδεν M παραχωρῶ MPSΛ 24 τοῦ om. PDA 25 τοῖσ AUΛ τοῖσ ἤδη VMPSD ἀφανίσαι μῶμον VMPS μῶμον ἀφανίσαι DA ἀφανίσαι γέλωτα UΛ^{t} *maculam et risum* Λ^{c} 26 θρυλλούμενα VPSDAU 27 προστατττόμεθα U Χριστοῦ] θῦ MP 28 τηρεῖν MP τινων VMPDΛ τινοσ SAU 29 οὐ om. V προδώσομεν] *prodemus taeiturnitate contenti* Λ^{c} 30 ἀμφίβολον] *dubium non est Christo donante uirtutem* Λ^{c}

μὴ περιπέσωμεν ἀηδίαις, ποίωι λοιπὸν προσώπωι τὰ τῶν ἁγίων μαρτύρων ἐγκώμια ποιησόμεθα πρὸς τοὺς λαούς; οὓς ἐπαινοῦμεν ὅτιπερ τετηρήκασι τὸ εἰρημένον ἕως θανάτου ἀγώνισαι ὑπὲρ τῆς ἀληθείας. Sir. 4, 28

21 = S 7 A 14. Latine extat in Collectione CT 4 4

Τοῦ αὐτοῦ πρὸς τοὺς ἐγγράφως αὐτὸν αἰτιασαμένους ὅτιπερ οὐ σεσιώπηκεν ἐξ ἀκοῆς μαθὼν ἕρπειν ἐπὶ τὸ χεῖρον τὴν δυσσεβῆ τοῦ Νεστορίου διδασκαλίαν L III 327 M IIII 1000 PG 77, 60

Ἐπειδή μοι γέγραφεν ἡ εὐλάβεια ὑμῶν ὡς λυπουμένου τοῦ θεοσεβεστάτου Νεστορίου ὅτι τὴν πρὸς μονάζοντας ἐποίησα ἐπιστολὴν ἀνασειράζειν βουλόμενος τοὺς ἐπὶ τῶι θρύλλωι σκανδαλισθέντας, ἀναγκαίως τοῦτο φημὶ ὅτιπερ οὐ τοσοῦτον γέγονε παρ' ἡμῶν, ὅσον παρὰ τῆς αὐτοῦ θεοσεβείας. ἐγὼ μὲν γὰρ σκανδαλισθεῖσιν ἀνθρώποις ἀπὸ τῶν ἐξηγήσεων αὐτοῦ τὸν τῆς ὀρθῆς πίστεως ἐξεθέμην λόγον, αὐτὸς δὲ ἠνέσχετο ἐν ἐκκλησίαι τῆι καθολικῆι καὶ τῆι τῶν ὀρθοδόξων τοῦ καλοῦ Δωροθέου τοῦ ἐπισκόπου φανερῶς λέγοντος· ἀνάθεμα εἴ τις εἶναι λέγει θεοτόκον τὴν Μαρίαν. καὶ οὐ μόνον τοῦτ' ἀκούσας σεσίγηκεν ἐκείνου λέγοντος, ἀλλὰ γὰρ καὶ εἰς κοινωνίαν αὐτὸν εὐθὺς τὴν μυστικὴν ἐδέξατο L III 330 καὶ κοινωνὸν ἐποίησεν. ἰδοὺ τοίνυν ἀνεθεματίσθημεν ἐπ' αὐτοῦ, ἵνα τέως μὴ λέγοιμι παρ' αὐτοῦ· οὐ γὰρ ἂν ἐκεῖνος ἐπ' ἐκκλησίας ἐφθέγξατο τοιαῦτα παρὰ γνώμην αὐτοῦ. τοιγαροῦν καὶ ἡμεῖς οἱ ζῶντες καὶ κατὰ πᾶσαν τὴν οἰκουμένην ἐπίσκοποι καὶ οἱ πρὸς θεὸν ἀποδημήσαντες πατέρες ἡμῶν ἀνεθεματίσθημεν. τί οὖν ἐκώλυε καὶ ἡμᾶς ταῖς ἐκείνου φωναῖς γράψαι τὰ ἐναντία καὶ εἰπεῖν· ἀνάθεμα εἴ τις οὐ λέγει θεοτόκον εἶναι τὴν Μαρίαν; ἀλλ' οὐ πεποίηκα τοῦτο δι' αὐτὸν τέως, ἵνα μὴ λέγωσί τινες ὅτι ἀνεθεμάτισεν αὐτὸν ὁ Ἀλεξανδρείας ἐπίσκοπος ἤτοι σύνοδος ἡ Αἰγυπτιακή. ἐὰν δὲ μάθωσιν οἵ τε κατὰ τὴν Ἀνατολὴν καὶ Δύσιν θεοσεβέστατοι ἐπίσκοποι ὅτι ἀνεθεματίσθησαν πάντες (πάντες γὰρ λέγουσι καὶ ὁμολογοῦσιν ὅτι θεοτόκος ἐστὶν ἡ ἁγία Μαρία), πῶς ἄρα διατεθήσονται; ἢ πῶς οὐχ ἅπαντες λυπηθήσονται, κἂν εἰ μὴ δι' ἑαυτούς, ἀλλ' οὖν διὰ τοὺς ἁγίους πατέρας, ὧν ἐν τοῖς συγγράμμασιν εὑρίσκομεν ἀεὶ θεοτόκον ὀνομαζομένην τὴν ἁγίαν παρθένον Μαρίαν; εἰ δὲ μὴ ἐδόκει φορτικὸν εἶναι τὸ ἐσόμενον, πολλὰς ἂν ἔπεμψα βίβλους πολλῶν ἁγίων πατέρων, ἐν αἷς ἔστιν εὑρεῖν οὐχ ἅπαξ, ἀλλὰ πλειστάκις κειμένην τὴν φωνήν, ἐν PG 61 ἧι ὁμολογοῦσιν εἶναι θεοτόκον τὴν ἁγίαν παρθένον Μαρίαν.

VM, P [= hk], S, D [= mn], AUΛ[1]Λ[c]

2/3 ἕως — ἀγώνισαι] ἕως ἀγώνισαι M ἕως ἀγωνίσαιντο, in mg. οἶμαι ἕως ἀγὼν ἦν περὶ τῆς ἀληθείας P 3 περὶ MP

VM, P [= hk], S, D [= mn], AΛ[1]Λ[c]

5 τοῦ αὐτοῦ VMP κυρίλλου A τοῦ αὐτοῦ [om. S] κυρίλλου [κυρίλλου ἐπισκόπου ἀλεξανδρείας S] ἐπιστολὴ ᾱ β̄ καὶ γ̄ SD 5/6 πρὸς — διδασκαλίαν om. MP, sed cf. quæ ad inscriptionem ep. 20 adnotata sunt 6 τοῦ om. SDA κᾱ VMP ζ̄ S η̄ D

7 γεγράφηκεν DA εὐλαβεστάτου Λ[c] 8 ἐποιησάμην DA 9 θρύλλω VPSDA τοσοῦτο A ἡμῶν VMPAΛ[c] ἐμοῦ SDΛ[1] 10/11 τῆσ ἐξηγήσεωσ S 11 ἑαυτοῦ P 12/13 λέγοντοσ φανερῶσ A 13 εἴ τις om. S λέγει [λέγοι M] θεοτόκον τὴν μαρίαν MP λέγειν θεοτόκον τὴν μαρίαν S θεοτόκον λέγειν τὴν μαρίαν D θεοτόκον λέγοι τὴν μαρίαν A λέγει τὴν ἁγίαν μαρίαν θεοτόκον V τοῦτ' [τοῦτο D] SDAΛ ταῦτα VMP 14 γὰρ om. VMP 15 ἐπ' VPS[corr] D ὑπ' SA μὴ τέωσ λέγω M 19 ἐγγράψαι A τἀναντία V ἐναντία S 19/20 εἴ τισ — μαρίαν ἀνάθεμα VMP 20 λέγωσι καὶ ἡμᾶσ P 21 ἡ σύνοδοσ ἡ V σύνοδοσ D 22 τὴν ἀνατολὴν καὶ δύσιν DAΛ[c] δύσιν [τὴν δύσιν MS] καὶ ἀνατολὴν VMPSΛ[1] 23 καὶ ὁμολογοῦσιν om. S 24 καὶ εἰ VM εἰ καὶ P αὐτούσ P 25 παρθένον om. S 27 ἀλλὰ PAΛ ἀλλὰ καὶ VMSD

22 = S 9 A 137. alia recensio epistulae seruata est uersione Marii Mercatoris in Collectione Palatina 28

Τοῦ αὐτοῦ

L III 331 M IIII 1004 PG 77, 64 **1** Ἀνέγνων τὸ ὑπομνηστικὸν τὸ ἀποσταλὲν παρ' ὑμῶν, δι' οὗ ἐμάνθανον ὅτι Ἀναστάσιος ὁ πρεσβύτερος συντυχὼν ὑμῖν προσεποιεῖτο ζητεῖν καὶ φιλίαν καὶ εἰρήνην καὶ ἔλεγεν ep. 1 ὅτι ὡς ἔγραψεν τοῖς μονάζουσιν, οὕτως φρονοῦμεν· εἶτα πρὸς ἴδιον σκοπὸν βλέπων ἔλεγε περὶ ἐμοῦ ὅτι καὶ αὐτὸς εἴρηκε τὴν ἁγίαν σύνοδον μὴ μεμνῆσθαι τῆς λέξεως, τῆς θεοτό- cf. ep. 1, 5 κου φημί. ἐγὼ δὲ γέγραφα ὅτι εἰ καὶ μὴ ἐμνήσθη ἡ σύνοδος τῆς λέξεως, καλῶς ἐποίησεν· οὔτε γὰρ ἐκινήθη τοιοῦτόν τι κατ' ἐκεῖνο καιροῦ, δι' ὃ οὔτε ἦν ἀνάγκη τὰ μὴ ζητούμενα φέρειν εἰς μέσον, εἰ καὶ τὰ μάλιστα τῇ δυνάμει τῶν ἐννοιῶν οἶδε θεοτόκον τὴν ἁγίαν παρθένον. αὐτὸν γὰρ λέγει τὸν γεννηθέντα ἐκ τοῦ πατρός, τὸν δι' οὗ τὰ πάντα ἐγένετο, σαρκωθῆναι ἐνανθρωπῆσαι παθεῖν ἀναστῆναι ἐκ νεκρῶν. ἀνελθεῖν εἰς οὐρανούς, ἥξειν δὲ καὶ κριτὴν ζώντων καὶ νεκρῶν καὶ οὐχ ὅτι πάντως αὐτὸς ὁ ἐκ θεοῦ Ioh. 19, 34 κατὰ φύσιν γεννηθεὶς λόγος ἀπέθανεν ἢ ἐνύχθη τῇ λόγχῃ εἰς τὴν πλευράν (ποίαν γὰρ ἔχει πλευρὰν τὸ ἀσωματον ἢ πῶς ἂν ἀπέθανεν ἡ Ζωή;), ἀλλ' ὅτι ἑνωθεὶς τῇ σαρκί, εἶτα πασχούσης αὐτῆς, ὡς τοῦ ἰδίου πάσχοντος σώματος, αὐτὸς πρὸς ἑαυτὸν οἰκειοῦται τὸ πάθος.

L III 334 **2** σοφιζόμενοι τοίνυν καὶ ἀπατῶντες ἑαυτοὺς ταῦτα λέγουσιν· ὅτι γὰρ ψεύδονται καὶ τὸν ἴδιον ἰὸν ἔχουσιν εἰς τὴν καρδίαν, ἔστιν καὶ διὰ τούτου ἰδεῖν. ἀπεστάλησαν γὰρ τῷ Βουφᾷ Μαρτυρίῳ τῷ διακόνῳ τῷ φροντίζοντι τῶν ἐκκλησιαστικῶν πραγμάτων δύο χαρτία, ἓν ep. 1 μὲν συνταχθὲν παρὰ Φωτίου ἢ παρ' ἑτέρου τινὸς κατὰ τοῦ τόμου τοῦ πρὸς τοὺς μονάζοντας, PG 65 ἓν δὲ ὡς ἐν σχήματι τετράδος, ἀλλόκοτον ἔχον τὴν ἐπιγραφήν, ἔχει δὲ οὕτως· Πρὸς τοὺς Loofs Nestor. διὰ τὴν συνάφειαν ἢ τὴν θεότητα τοῦ μονογενοῦς νεκροῦντας ἢ ἀποθεοῦντας τὴν ἀνθρω- p. 265, 3-5 πότητα. τὸ δὲ προοίμιον εἰς τὰς παρὰ τῶν αἱρετικῶν λοιδορίας ὡς ἐπὶ σκληρῶν γενομένας· εἶτ' ἀποτείνεται καὶ δῆθεν πειρᾶται δεικνύειν ὅτι τὸ σῶμά ἐστι τὸ πεπονθὸς καὶ οὐχ ὁ θεὸς λόγος, ὡς τινῶν λεγόντων ὅτι ὁ ἀπαθὴς τοῦ θεοῦ λόγος παθητός ἐστιν. ἀλλ' οὐδεὶς οὕτω μαίνεται· ὡς δὲ πολλάκις εἴπομεν, ἡ ἁγία σύνοδος αὐτὸν ἔφη παθεῖν 1 Petr. 4, 1 τὸν λόγον τὸν δι' οὗ τὰ πάντα ἐγένετο, παθεῖν δὲ σαρκὶ κατὰ τὰς γραφάς. παθόντος γὰρ τοῦ σώματος αὐτοῦ αὐτὸς λέγεται παθεῖν, ὅτι καὶ ἡ τοῦ ἀνθρώπου ψυχή, καίτοι πά- M IIII 1005 σχουσα μηδὲν εἰς ἰδίαν φύσιν, πάσχειν λέγεται τοῦ αὐτῆς παθόντος σώματος. ἀλλ' ἐπειδὴ σκοπὸς ἐκείνοις δύο λέγειν Χριστοὺς καὶ δύο υἱοὺς καὶ τὸν μὲν ἄνθρωπον ἰδικῶς, Ps. 140, 4 τὸν δὲ θεὸν ἰδικῶς, εἶτα μόνων τῶν προσώπων ποιοῦσιν τὴν ἕνωσιν, διὰ τοῦτο ποικίλλον- **3** ται καὶ προφάσεις πλάττονται ἐν ἁμαρτίαις, καθὰ γέγραπται. συντυχόντες τοίνυν αὐτοῖς

VM, P [= hk], S, D [= mn], AWOΛ

16 Οὐαλεριανὸς ἐπίσκοπος Ἰκονίου εἶπεν· Ἐν διαφόροις λέξεσιν ἕνα καὶ τὸν αὐτὸν κανόνα τῆς πίστεως εὑρίσκομεν, ἐπειδὴ καὶ τῶι αὐτῶι ἁγίωι πνεύματι ἑκάτερα ὑπηγόρευται. τοῖς οὖν ὀρθοδόξως καὶ ἀκριβῶς εἰρημένοις καὶ ἐκτεθειμένοις παρὰ τῆς ἁγίας συνόδου τῆς κατὰ Νίκαιαν σύμφωνα καὶ συνωιδὰ τὴν ἐπιστολὴν ἔχουσαν τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν καὶ ἐπισκόπου Κυρίλλου κατανοήσαντες, τούτοις καὶ ἡμεῖς συναινοῦμεν καὶ συντιθέμεθα, εὑρόντες τὴν ἐπιστολὴν ὥσπερ τι μύρον τὴν ἐκείνων πίστιν εἰς εὐωδίαν ἀνανεουμένην.

17 Θεόδουλος ἐπίσκοπος Ἐλούσης εἶπεν· Συνήθως ἑπακολουθῶ τῆι ὀρθῆι πίστει ταύτης τῆς ἁγίας καὶ μεγάλης συνόδου καὶ τῆι ἐπιστολῆι τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου Κυρίλλου τοῦ ἀρχιεπισκόπου καὶ τῆι ἐν Νικαίαι ἐκτεθείσηι πίστει παρὰ τῶν ἁγιωτάτων καὶ ὁσιωτάτων ἡμῶν πατέρων τῶν τιη.

L III 467 18 Φίδος ἐπίσκοπος Ἰόππης εἶπεν· Θαυμάζω τὴν πίστιν τῶν ἁγίων πατέρων τῶν τιη τῶν ἐν Νικαίαι γενομένων, θαυμάζω δὲ οὐδὲν ἧττον καὶ τὴν νυνὶ ἀναγνωσθεῖσαν ἐπιστολὴν τοῦ κατὰ πίστιν ἁγιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου Κυρίλλου, σύμφωνα τῆι ἐκείνων πίστει ὥσπερ ἐξ ἁγίου πνεύματος γεγραμμένην, καὶ πιστεύω τὸν μὴ ἐμμένοντα τῆι αὐτῆι πίστει τοῦ ἁγίου πνεύματος ἐκβεβλῆσθαι τῆς ἁγίας καὶ καθολικῆς ἐκκλησίας.

19 Παυλιανὸς ἐπίσκοπος Μαιουμᾶ Παλαιστίνης πρώτης εἶπεν· Τὴν τῶν πατέρων πίστιν, ἣν μεμαθήκαμεν παρὰ τῶν τιη ἐν τῆι κατὰ Νίκαιαν, ταύτην παρὰ τοῦ θεοσεβεστάτου ἐπισκόπου Κυρίλλου γραφεῖσαν ἐπέγνων καὶ τοῦ ἁγίου πνεύματος σύμφωνα τὰ παρ' αὐτοῦ θεσπισθέντα ἐθαυμάσαμεν καὶ κατέχομεν καὶ ἀκολουθοῦμεν.

V [inde a 22], P [= hk], S [pauca abscissa], D [= mn], A

2 ἀρχιεπισκόπου] ἐπισκόπου ἡμῶν A 3 συμφωνούσησ P 4 τε PA σε SD ὀρθότητοσ PA ὀρθῆσ πίστεωσ SD 5 κομάνησ SD κονώνου P κανάησ A οὐδένα τρόπον A 5/6 τὴν ἔκθεσιν male inserta 8 τριακοσίων δεκαοκτὼ PD μόναισ DA τετάχθαι D 9 καὶ ἱερωσύνησ ἠξιῶσθαι om. A 9/10 ἐν τῆ ἀναστάσει ταύτην φυλάξαι P 10 τῆ om. S 11 προικονήσου Pn κἀγὼ om. A 13/14 post 21 coll. A 13 κωνσταντῖνοσ P καπατιανῆσ P 15 ἰουαλεριανὸσ P ταῖσ λέξεσιν SD 16 πίστεωσ] ὀρθοδοξίασ PA ἐπειδὴ δὲ P 17 οὖν ὀρθοδόξωσ] συνορθοδόξοισ P ἐκθεμένοισ P 18/19 καὶ θεοφιλεστάτου om. P 19 ταύτη A 20 μύρον τί A 23/24 ἀρχιεπισκόπου [ἐπισκόπου V] κυρίλλου VD 24/25 καὶ ὁσιωτάτων om. VP 25 πατέρων ἡμῶν SD τριακοσίων δεκαοκτὼ [δέκα καὶ ὀκτὼ A] VPDA 26 φεῖδοσ VPA ἰόπησ P ἁγίων om. A τριακοσίων δεκαοκτὼ PD 27 κατ' οὐδὲν SD καὶ om. S 28 ὁσιωτάτου SD κυρίλλου τοῦ ἐπισκόπου A κυρίλλω S σύμφωνον V 29 ἐκείνων PSDA ἐν νικαία V 30 ἁγίας καὶ om. V καὶ om. A 31 παυλῖνοσ DA, abscissum in S τῆσ πρώτησ SD τῶν πατέρων om. A 32 ἀπὸ A τριακοσίων δεκαοκτὼ PD 33 ἐπιγνόντεσ VA τὰ om. S

20 Δανιὴλ ἐπίσκοπος Κολωνείας Καππαδοκίας εἶπεν· Αὐτὰ τὰ ῥήματα καὶ τὰς συλλαβὰς M IIII 1145
σχεδὸν εἰπεῖν τὰς ἐμπεριεχομένας τῇ ἐκθέσει τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι κατὰ καιρὸν τὴν σύνοδον ποιησαμένων καὶ τῶν ἐγγεγραμμένων δογμάτων τὰ νοήματα ἐν τῇ ἐπιστολῇ τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου πατρὸς ἡμῶν Κυρίλλου νοήσας ὥσπερ τινὰς πατρώιους χαρακτῆρας διδάξας αὐτός τε παραλαβὼν τὴν διδασκαλίαν ταύτην καὶ ἐν τῇ ἁγίαι ἐκκλησίαι τῇ ἐγχειρισθείσῃ μοι ταύτην ἐρριζωμένην καὶ ἐμπεπιστευμένην καὶ ἐνεσπαρμένην παρὰ τῶν ἁγίων πατέρων ἐγνωκώς, ὁμολογῶ σύμφωνον εἶναι τὴν ἐπιστολὴν τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Κυρίλλου τῇ ἐκθέσει τῶν ἁγίων πατέρων, οὐ μὴν ἀλλὰ καὶ τὸ ἡμέτερον φρόνημα, ἐμοῦ τε καὶ τῆς ὑπ' ἐμὲ ἁγίας ἐκκλησίας, τοῦτο τυγχάνει, ἐν ὀνόματι τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.

21 Ἀνύσιος ἐπίσκοπος Θηβῶν εἶπεν· Καθάπερ τῇ παρουσίαι κοινῇ πάντων τῶν ἁγιωτάτων ἐπισκόπων καὶ τῇ διανοίαι συνημμένος, αἰσθανόμενος τῆς ὀρθῆς ὑπαγορείας τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου Κυρίλλου, συντίθεμαι ταύτῃ ὁμοιουμένῃ καὶ συμφώνωι οὔσῃ τῇ τῶν ἁγίων πατέρων τῶν κατὰ Νίκαιαν συνειλεγμένων ἐκθέσει.

22 Καλλικράτης ἐπίσκοπος Ναυπάκτου εἶπεν· Συντίθεμαι τῇ ἐπιστολῇ τῇ ἐκτεθείσῃ παρὰ τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κυρίλλου, συμφώνωι οὔσῃ τοῖς ἐκτεθεῖσι παρὰ τῶν ἁγίων καὶ μακαρίων πατέρων τῶν συναχθέντων ἐν τῇ κατὰ Νίκαιαν ἁγίαι συνόδωι.

23 Δόμνος ἐπίσκοπος Ὀποῦντος εἶπεν· Εἴ τι καί ποτε ἔδοξε παρὰ τοῖς ἀγνοοῦσι τὴν ἀκριβῆ πίστιν, ἔδοξεν οὐ καλῶς· ἀλλ' ἡμεῖς γνωρίζομεν τὰ τυπωθέντα καὶ νῦν δικαίως παρὰ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Κυρίλλου ἐξισωθέντα τῇ κατὰ Νίκαιαν ἁγίαι συνόδωι τῶν τριακοσίων δέκα καὶ ὀκτὼ πατέρων, ὧν πάντως μετὰ τούτων φυλάττειν δικαίως γνωρίζομεν. καὶ πιστεύω εἰς τὸν πατέρα καὶ υἱὸν καὶ τὸ ἅγιον πνεῦμα καὶ εὔχομαι μέχρι τοῦ τῆς ζωῆς μου χρόνου ἐν τούτωι εἶναι καὶ ἐν τούτωι ἀποθανεῖν.

24 Νικίας ἐπίσκοπος Μεγάρων εἶπεν· Ὥσπερ ἐν φρονοῦντες ἐληλύθαμεν, οὕτω καὶ ἐν λέγειν ἐδιδάχθημεν. συμφώνων τοίνυν ὄντων τῶν τε παρὰ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου L III 470
Κυρίλλου καὶ τῶν παρὰ τῶν ἁγίων πατέρων πάλαι ἐκτεθέντων κατὰ Νίκαιαν, σύμψηφοι ἐσμέν, μηδὲν ἀμφιβάλλοντες περὶ τῶν καλῶς ἤδη καὶ νῦν τετυπωμένων.

25 Ῥωμανὸς ἐπίσκοπος Ῥαφίας εἶπεν· Σύμφωνα τοῖς ἐκτεθεῖσι παρὰ τῶν ἁγίων πατέρων τῶν τιῆ τῶν ἐν Νικαίαι συνελθόντων κἀγὼ φρονῶ, καὶ τῇ ἐπιστολῇ δὲ τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου Κυρίλλου συντίθεμαι, συνωιδὰ περιεχούσῃ τῇ πίστει τῶν ἁγίων πατέρων.

26 Γρηγόριος ἐπίσκοπος Κερασοῦντος εἶπεν· Συνωιδὰ τῆς ἁγίας συνόδου τῆς κατὰ Νίκαιαν πίστεως καὶ ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου Κυρίλλου περιέχει, καὶ ταύτῃ ἀρεσθεὶς συμφώνωι οὔσῃ τῆς ἐκκλησιαστικῆς πίστεως, συντίθεμαι ταύτῃ

V, P [= hk], S [nonnulla abscissa], D [= mn], A

1 κολωνίασ V 3 τὴν om. A γεγραμμένων VP ῥημάτων P νοημάτων A δόγματα A 4 ἐπισκόπου καὶ S 5 conicio διδαξάσῃ 6 7 ἐνεσπαρμένην καὶ ἐμπεπιστευμένην καὶ ἐρριζομένην P 7 πατέρων ἡμῶν V ἀνεγνωκὼσ D 9 ταυτὸ A 10 τοῦ πατρὸς — πνεύματος om. V 11 12 ἁγίων PA 12 αἰσθόμενοσ SDA ἐπαγορείασ A ὑπηγορίασ V abscissum in S 13 ὡμοιωμένη P ὁμοία V καὶ om. S 13/14 συμφωνούσῃ A 14 ἁγίων καὶ μακαρίων A 16 ἡμῶν πρσ̄ P καὶ ἀρχιεπισκόπου om. A 17 μακαρίων καὶ ἁγίων P ἁγίων S τῶν om. A 18 ἁγία καὶ μακαρία DA 20 ἔδοξεν om. A 22 τ̄ι καὶ η̄ V καὶ om. PD θεοφόρων πατέρων V ὧν PSDA ἣν V postulatur ἃ φυλάττειν om. P 23 τὸν om. D abscissum in S τὸν ὑ̄ν A τὸ om. PSD 25 νίκασ P 26 δεδιδάγμεθα DA 26/27 τοῦ — παρὰ om. P 26 περὶ V 27 τῶν κατὰ A κατὰ Νίκαιαν om. V 28 οὐδὲν P ἐν οὐδενὶ D abscissum in S ἤδη καὶ νῦν VD ἤδη νῦν P ἤδη A abscissum in S 29 ῥαφείασ SD 30 τριακοσίων δεκαοκτὼ PD δὲ om. A 31/32 τῶν αὐτῶν ἁγίων V 33 τῇ ἁγία συνόδῳ SD postulatur τῇ τῆς — συνόδου — πίστει 34 καὶ θεοφιλεστάτου om. V 35 postulatur συμφώνου οὔσης κἀγὼ ταύτῃ P om. A

M III 1148 καὶ συναινῶ, παραγενόμενος οὐ μόνον ὑπὲρ ἐμαυτοῦ, ἀλλὰ καὶ ὑπὲρ τοῦ τῆς μητροπόλεως ἐπισκόπου Ἐλευσίου Νεοκαισαρείας τοῦ θεοσεβεστάτου, ταύτας τὰς ἐντολὰς παρ' ἐκείνου δεξάμενος.

27 Νουνέχιος ἐπίσκοπος Σέλγης τῆς Παμφυλίας εἶπεν· Ὑπαναγνωσθείσης ἡμῖν τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν Κυρίλλου, συμφώνου οὔσης κατὰ πάντα τῇ πίστει τῇ κατὰ Νίκαιαν παρὰ τῶν ἁγίων πατέρων γεγενημένῃ, σύμφημι κἀγὼ καὶ οὕτω πιστεύω καὶ ἐν ταύτῃ τῇ πίστει εὔχομαι συζήσας παραστῆναι τῷ βήματι τοῦ Χριστοῦ μετὰ παρρησίας, ταύτην τὴν ὀρθόδοξον φυλάττων πίστιν.

28 Σόλων ἐπίσκοπος Καραλίας τῆς Παμφυλίας εἶπεν· Καθὼς ὁ ἁγιώτατος καὶ θεοσεβέστατος ἀρχιεπίσκοπος Κύριλλος τὴν κατὰ Χριστὸν πίστιν παραδέδωκε καὶ παραδίδωσι, σύμφωνον οὖσαν κατὰ πάντα τῇ ἐν Νικαίαι ἁγίαι καὶ μεγάλῃ συνόδῳ, οὕτω καὶ ἐβαπτίσθην καὶ οὕτως πιστεύω καὶ εὔχομαι φυλάξαι ἕως ἐσχάτης ἀναπνοῆς.

29 Ἀκάκιος ἐπίσκοπος Κοτέννων τῆς Παμφυλίας εἶπεν· Ἐπακούσας τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κυρίλλου, συμφώνου οὔσης τῇ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι συνελθόντων κατὰ πάντα τῆς ὀρθοδόξου πίστεως, ὁμολογῶ κἀγὼ οὕτως ἔχειν καὶ πιστεύειν καὶ εὔχομαι φυλάξαι ἕως τέλους.

30 Ταριανὸς ἐπίσκοπος Λύρβης τῆς Παμφυλίας εἶπεν· Κἀγὼ τὰ αὐτὰ κατατίθεμαι καὶ συναινῶ τοῖς δόγμασι τῶν ἁγίων πατέρων ἡμῶν καὶ ἐπισκόπων καὶ τῇ ἐπιστολῇ τοῦ εὐλαβεστάτου καὶ θεοφιλεστάτου Κυρίλλου.

31 Νεκτάριος ἐπίσκοπος Σεννέων τῆς Παμφυλίας εἶπεν· Κἀγὼ τὰ αὐτὰ πιστεύω καὶ συναινῶ τοῖς δόγμασι τῶν ἁγίων πατέρων ἡμῶν καὶ ἐπισκόπων καὶ τῇ ἐπιστολῇ τοῦ εὐλαβεστάτου καὶ θεοφιλεστάτου Κυρίλλου.

32 Ματιδιανὸς ἐπίσκοπος Κορακησίων τῆς Παμφυλίας εἶπε· Συμφωνῶ τῇ ὁμολογίαι τῇ γεγενημένῃ περὶ τῆς ὀρθῆς καὶ ὑγιοῦς πίστεως παρὰ τῶν νῦν τε παρόντων ἁγίων πατέρων καὶ τῶν τὸ τηνικαῦτα οὐκ ἀθεεὶ τὴν ἔκθεσιν τὴν περὶ τῆς πίστεως πεποιημένων
L III 471 ἐν τῇ Νικαέων πόλει, γνωρίσας ταύτην ἀποστολικὴν οὖσαν, ἐν ᾗ καὶ εὔχομαι εἶναι καὶ ἀκέραιον ταύτην μέχρις ἐσχάτης ἀναπνοῆς μου φυλάξαι.

33 Νήσιος ἐπίσκοπος Κορυβρασσοῦ τῆς Παμφυλίας εἶπε· Τῇ ἁγίαι πίστει τῇ ἐκτεθείσῃ παρὰ τῶν ἁγίων καὶ μακαρίων πατέρων τῶν ἐν τῇ Νικαέων καὶ ἡ ὑπαναγνωσθεῖσα σήμερον ἐπιστολὴ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου Κυρίλλου συνεφώνησε, καὶ ταύτην τὴν πίστιν εὔχομαι φυλάξαι μέχρις ἐσχάτης ἀναπνοῆς.

34 Ἐπιφάνιος ἐπίσκοπος Κρατίας εἶπεν· Κἀγὼ συναινῶ τοῖς τῶν ἁγίων πατέρων ἡμῶν

V, P [= hk] S [pauca abscissa], D [= mn], A

1 τοῦ om. P 2 ἐπισκόπου om. S θεοφιλεστάτου A αὐτοῦ A 4 σέλγησ A πέργησ VPD abscissum in S 5 ἐπισκόπου πρσ A ἀρχιεπισκόπου κυρίλλου SD συμφώνω οὔσῃ SDA 8 ἔνδοξον SD 9 παραλίασ P παμφύλου P 10 ἐπίσκοποσ P παρέδωκε VP 11 τῇ ἐν νικαίᾳ κατὰ πάντα A τῇ ἁγίᾳ καὶ μεγάλῃ συνόδῳ τῇ ἐν νικαίᾳ PS 11/12 οὕτωσ ἐβαπτίσθην VP 13 Ἀκάκιος — Κοτέννων] δαριανὸσ ἐπίσκοποσ λύρβησ V κοτέννων DA κοτένιων S κοτυαέων P παμφύλου P 14 συμφωνούσησ VP 15 συνελθόντων ἐκθέσει A 16 κἀγὼ ἕωσ τέλουσ φυλάττειν SD 17—19 om. V cf. ad 13 17 τραιανὸσ P παμφύλου P 18 ἡμῶν om. PA καὶ ἐπισκόπων SDA τῶν ἐν νικαίᾳ συνελθόντων P 19 κυρίλλου SD ἐπισκόπου κυρίλλου P κυρίλλου τοῦ ἐπισκόπου A 20 Σεννέων scripsi ἐννέων VP ἐνέων A σενεννίων SD τῆσ παμφύλου P om. A 20/21 κἀγὼ — συναινῶ VPA συμφωνῶ τῇ ὁμολογίᾳ τῇ γεγενημένῃ καὶ τὰ αὐτὰ συναινῶ καὶ πιστεύω καὶ SD 22 θεοσεβεστάτου V ἐπισκόπου κυρίλλου PD ἀρχιεπισκόπου κυρίλλου V 23 κορακισίων VSD κησίων P τῆσ παμφύλου P om. A 24 γενομένῃ P νῦν τε VP νυνὶ SDA 25 τὸ om. A ἀθεεὶ V τὴν περὶ om. A 28—31 om. V 28 νίσιοσ P κορυβρασοῦ S κορυβρασίου A κορυβάσου P παμφύλου P 29 ἐν νικαίᾳ PA 29/30 ἐπιστολὴ σήμερον A 30 παρὰ τοῦ ὁσιωτάτου P 32 κρατίασ A κράτησ V κρατείασ PSD ἡμῶν om. VA

καὶ ἐπισκόπων δόγμασι καὶ τῇι ἐπιστολῇι τῇι γραφείσηι παρὰ τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου Κυρίλλου καὶ εὔχομαι μέχρι τελευταίας ἀναπνοῆς ἐν τούτοις με διαμεῖναι.

35 Εὐσέβιος ἐπίσκοπος Ἡρακλείας ἐπαρχίας Ὀνωριάδος εἶπε· Συντίθεμαι τῇι ἐπιστολῇι τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου πατρὸς ἡμῶν Κυρίλλου ὡς κατὰ πάντα τρόπον ἑπομένηι τῇι πίστει τῶν ἁγίων πατέρων τῶν τιῆ τῶν ἐν Νικαίαι συνελθόντων, καὶ οὕτως ἔχοντες εὐχόμεθα διατελέσαι τὸν ὡρισμένον παρὰ τοῦ κρείττονος ἡμῖν χρόνον. 4 M IIII 1149

36 Σιλουανὸς ἐπίσκοπος Κερατάπων Φρυγίας Πακατιανῆς εἶπεν· Εἰ καὶ βραδύτερον ἠξίωμαι τοῦ ἁγίου βαπτίσματος, πλὴν εἰς ταύτην τὴν πίστιν βεβάπτισμαι τήν τε ἐν Νικαίαι ἐκτεθεῖσαν παρὰ τῶν ἁγίων πατέρων τῶν τιῆ ἐπισκόπων καὶ εἰς τὴν σήμερον πλατύτερον ἡμῖν διὰ τῆς ἐπιστολῆς ἐξηγηθεῖσαν τοῦ ἀρχιεπισκόπου Κυρίλλου, συμφωνοῦσαν τῇι προλαβούσηι. εἰς ταύτην καὶ πλείστους ἐβάπτισα, ταύτην καὶ φυλάξαι ἄσπιλον εὔχομαι ἕως ἡμέρας τῆς ἀναστάσεως καὶ προσενέγκαι Χριστῶι. 10

37 Εὐτρόπιος ἐπίσκοπος Ἐτένων τῆς Παμφυλίας εἶπεν· Ἀναγνωσθείσης τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου πατρὸς ἡμῶν καὶ ἐπισκόπου Κυρίλλου, συμφωνούσης κατὰ πάντα πᾶσι τοῖς ἐκτεθεῖσι παρὰ τῶν ἁγίων πατέρων τῶν τιῆ τῶν ἐν Νικαίαι συναχθέντων, σύμφημι καὶ συναινῶ, καὶ ἐν ταύτηι εὔχομαι τῇι ὁμολογίαι παραστῆναι τῶι δεσπότηι Χριστῶι. 15

38 Σεκουνδιανὸς ἐπίσκοπος Θεσσαλίας ἐπαρχίας πόλεως Λαμίας εἶπεν· Καὶ πεπίστευκα καὶ πιστεύω καὶ οὕτως ἐδόξασα καὶ δοξάζω κατὰ τὴν ἐκτεθεῖσαν παρὰ τῶν ἁγίων καὶ μακαρίων πατέρων τῶν κατὰ Νίκαιαν τιῆ ἐπισκόπων, ἤτινι ἀκόλουθος καὶ ἡ ἀναγνωσθεῖσα ἐπιστολὴ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν καὶ ἐπισκόπου Κυρίλλου. 20

39 Θεόδωρος ἐπίσκοπος Θεσσαλίας ἐπαρχίας πόλεως Ἐχιναίου εἶπεν· Τὰ αὐτὰ κἀγὼ κατατίθεμαι καὶ τούτοις συναινῶ.

40 Ῥουφῖνος ἐπίσκοπος Ταβῶν εἶπε· Κἀγὼ τὰ αὐτὰ φρονῶ τοῖς ἁγιωτάτοις πατράσι τοῖς ἐν Νικαίαι συνελθοῦσι καὶ συντίθεμαι τῇι ἐπιστολῇι τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν καὶ ἐπισκόπου Κυρίλλου, καλῶς καὶ ὀρθῶς περιεχούσηι καὶ συμφώνωι οὔσηι τῇι αὐτῇι ἐκτεθείσηι πίστει. 25

41 Θεόδωρος ἐπίσκοπος Ἀρινδήλων εἶπε· Κἀγὼ τὰ αὐτὰ κατατίθεμαι καὶ συντίθεμαι τῇι ἐπιστολῇι τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου Κυρίλλου καλῶς καὶ ὀρθοδόξως περιεχούσηι.

42 Παῦλος ἐπίσκοπος Ἀνθηδόνος εἶπεν· Συντίθεμαι κἀγὼ τῇι ἐπιστολῇι τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου Κυρίλλου ὁμοίως ἐχούσηι τῇι πίστει τῶν ἁγίων ἡμῶν πατέρων τῶν ἐν Νικαίαι συνελθόντων. L III 474

43 Λητόιος ἐπίσκοπος Λιβιάδος εἶπεν· Καθὼς συνέταξαν οἱ ἅγιοι ἡμῶν πατέρες οἱ ἐν Νικαίαι συνελθόντες (ἁρμοδίως γὰρ τῇι ὀρθοδόξωι πίστει τὴν πίστιν ἐξέθεντο), κἀγὼ πιστεύω καὶ συντίθεμαι τῇι ἐπιστολῇι τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου Κυρίλλου.

VM, P [= hk], S, D [= mn], A

1 θεοφιλεστάτου SDA ἁγιωτάτου VP 2 με om. V 3 ὀνωριάδοσ ἐπαρχίασ Λ συντιθέμεθα SD 5 τριακοσίων δεκαοκτὼ [δέκα καὶ ὀκτὼ A] PDA τῶν om. SD ἔχοντεσ om. SD 7 κεράτων P πακατιανῆσ φρυγίασ SD φρυγίασ καπατιανῆσ VP 9 τριακοσίων δεκαοκτὼ PD 11 εὔχομαι ἄσπιλον SD 11/12 τῆσ ἀναστασίμου ἡμέρασ V 12 προσενεγκεῖν Λ 13 παμφύλου P 14 καὶ· om. P συμφωνοῦσαν P συμφώνω οὖση A 14/15 κατὰ — πᾶσι om. P 15 τοῖσ προλαβοῦσι καὶ ἐκτεθεῖσι P τριακοσίων δεκαοκτὼ PD 16 συμφημι κἀγὼ V 17 πόλεωσ om A λαμείασ P 18 δοξάσω V 18/19 ἁγίων καὶ μακαρίων PSD μακαρίων καὶ πνευματικῶν V ἁγίων καὶ μακαρίων πνευματικῶν Λ 19 τριακοσίων δεκαοκτὼ VPDA 21 πόλεωσ ἐπαρχίασ ἐχινεοῦ SD 22 συντίθεμαι D 23 Ταβῶν cf. 33, 41 A 79, 80 24/25 καὶ θεοφιλεστάτου om. A 25 ἡμῶν καὶ om. SD ἡμῶν om. A 26 συμφωνούση SDA 27 θεοδώριτοσ A ἀρινδηλιῶν Λ ἀρβδήλων P ἀρβήλων VSD cf. 33, 37 καὶ συντίθεμαι om. A 31 κυρίλλου ἐπισκόπου SD ὁμοίωσ PSDA καλῶσ καὶ ὀρθοδόξωσ περιεχούση καὶ ὁμοίωσ V ἡμῶν om. SDA 33 λιτόιοσ SD λητὼιοσ A λιβυάδοσ PDA 34 πίστιν ἐξέθεντο] ἔκθεσιν ἐξέθεντο ταύτησ A 35 καὶ ὁσιωτάτου om. VP

44 Πέτρος ἐπίσκοπος Παρεμβολῶν εἶπεν· Κἀγὼ τὰ αὐτὰ φρονῶ καὶ συντίθεμαι τῇ ἐπιστολῇ τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου Κυρίλλου καλῶς καὶ εὐσεβῶς περιεχούσῃ.

45 Ἰωάννης ἐπίσκοπος Αὐγουστοπόλεως εἶπεν· Κατὰ τὴν πίστιν τῶν ἁγίων πατέρων
M IIII 115[2] ἡμῶν οὕτω κἀγὼ πιστεύω καὶ συντίθεμαι τῇ ἐπιστολῇ τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου Κυρίλλου συνωιδὰ περιεχούσῃ ταύτῃ τῇ πίστει.

46 Σαίδας ἐπίσκοπος Φαινοῦς εἶπεν· Κατὰ τὴν ὀρθόδοξον πίστιν οὕτω περιέχει ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου Κυρίλλου, ἣν καὶ συντίθεμαι.

47 Θεόδωρος ἐπίσκοπος Γαδάρων εἶπεν· Ἐπειδὴ καλῶς καὶ εὐσεβῶς καὶ ἁρμοζόντως τῇ πίστει τῇ ἐκτεθείσῃ παρὰ τῶν ἁγίων πατέρων τῶν συνελθόντων ἐν τῇ Νικαέων περιέχει ἡ ἐπιστολὴ ἡ ἀναγνωσθεῖσα τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου Κυρίλλου, ταύτῃ κἀγὼ συντίθεμαι.

48 Αἰάνης ἐπίσκοπος Συκαμαζόνος εἶπεν· Ὡσαύτως κἀγὼ συντίθεμαι τῇ ἐπιστολῇ τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου Κυρίλλου ἐξακολουθησάσῃ τῇ ὀρθοδόξῳ πίστει τῇ ἐκτεθείσῃ παρὰ τῶν ἁγιωτάτων ἡμῶν πατέρων.

49 Θεοδόσιος ἐπίσκοπος Μασταύρων τῆς Ἀσίας εἶπεν· Τῇ ἐκθέσει τῆς πίστεως τῶν ἁγίων πατέρων τῶν συνελθόντων ἐν Νικαίαι, λέγω δὴ τῶν τιη̄, ἐξ ἀρχῆς μέχρι καὶ νῦν πεπιστευκώς, συνωιδὰ περιεχούσῃ καὶ τῇ ἐπιστολῇ τῇ γραφείσῃ παρὰ τοῦ ὁσιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου Κυρίλλου πρὸς τὸν εὐλαβέστατον Νεστόριον τὸν ἐπίσκοπον ἐμμένω καὶ πείθομαι, συμφώνωι οὔσῃ, ὡς ἔφην, τῇ τῶν πατέρων ψυχωφελεῖ διδασκαλίαι.

50 Ἀλέξανδρος ἐπίσκοπος Ἀρκαδιουπόλεως τῆς Ἀσίας εἶπε· Τῇ ἐπιστολῇ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου Κυρίλλου συνωιδὰ τῇ τῶν ἁγίων πατέρων ἐκτεθείσῃ τῶν συναχθέντων ἐν τῇ Νικαέων πόλει, τουτέστι τῶν τιη̄, πίστει ὁμοφρόνωι οὔσῃ καὶ πιστεύω καὶ ἐπίστευσα καὶ οὕτως εὔχομαι φρονεῖν.

51 Μάξιμος ἐπίσκοπος Κύμης τῆς Ἀσίας εἶπεν· Τῇ ἐπιστολῇ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν ἀρχιεπισκόπου Κυρίλλου συμφώνωι οὔσῃ τῇ ὀρθῇ πίστει τῇ ἐκτεθείσῃ παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι συνελθόντων τῶν τιη̄ συναινῶ καὶ συντίθεμαι καὶ ὁμολογῶ ταύτην ὀρθόδοξον εἶναι τὴν πίστιν.

52 Θεοσέβιος ἐπίσκοπος Πριήνης εἶπεν· Τῇ ἐκτεθείσῃ τῶν ἁγίων πατέρων τῶν τιη̄
L III 475 πιστεύω πίστει, καὶ παραδέδωκα ταῖς ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις, ἅμα καὶ τῇ ἐπιστολῇ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου Κυρίλλου τῇ γραφείσῃ πρὸς τὸν εὐλαβέστατον Νεστόριον, συνωιδὰ ἐχούσῃ τῇ πίστει τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι.

V, P [= hk], S, D [= mn], A

1 τῶν παρεμβολῶν SD 2 καὶ ὁσιωτάτου om. A 3/4 τὴν τῶν — ἡμῶν πίστιν SD 4/5 συντίθεμαι τοῦ — κυρίλλου τῇ ἐπιστολῇ A 5 ταύτῃ om. A 6 φαεινῆσ V φαινῆσ P 7 καὶ — ἐπισκόπου om. A κυρίλλου τοῦ ἐπισκόπου P καὶ om. VS 9 ἐν νικαία συνελθόντων SD συναχθέντων A 10 ἡ ἀναγνωσθεῖσα ἐπιστολὴ VP ἡ ἐπιστολὴ A 11 ταῦτα P 12 αἰάνησ V ἀιανὸσ PA ἀιανόησ SD συκαμάζωνοσ Sn συκαμόζονοσ P ἀμαζόνοσ V 14 ἁγίων A πατέρων ἡμῶν SD 16 συναχθέντων SDA τριακοσίων δεκαοκτὼ PD καὶ μέχρι καὶ P καὶ μέχρι A 17 τῇ γραφείσῃ παρὰ om. V ὁσιωτάτου SDA ἁγιωτάτου VP 18 ἐπισκόπου om. P πρὸς — ἐπίσκοπον om. V τὸν ἐπίσκοπον om. A 19 πείθομαι VPA συντίθεμαι SD συμφώνωι — διδασκαλίαι om. V συμφωνούσῃ A ψυχωφελῆ τῶν πατέρων P 20 τῆσ ἐπιστολῆσ VP 21/22 συνωιδὰ — οὔσῃ] ὁμοίασ οὔσησ τῇ πίστει τῇ παρὰ τῶν ἁγίων πατέρων ἐκτεθείσῃ V 21 συνωιδὰ eiciendum ἐκτεθείσησ P ἐκθέσει περιεχούσῃ A τῶν om. S 22 τριακοσίων δεκαοκτὼ PDA πίστει] καὶ A 24 κύβησ P τῆς Ἀσίας om. P 25—26 τῇ πίστει καὶ τῇ ἐπιστολῇ τῶν δηλωθέντων καὶ ἐγὼ συναινῶ V 24 τῆσ ἐπιστολῆσ PS 25 ἡμῶν καὶ DA συμφωνούσῃ A συμφωνούσησ P 26 παρὰ τῶν τριακοσίων δεκαοκτὼ ἁγίων πατέρων τῶν συνελθόντων ἐν νικαία P τῶν[3] om. A τριακοσίων δεκαοκτὼ D(P) συναινῶ ταύτῃ PDA 27 καὶ ὁμολογῶ — πίστιν om. V τὴν ὀρθόδοξον εἶναι πίστιν P 28 θεοδόσιοσ P cf. 33, 89 A 73, 89 ἐκτεθείσῃ P ἐκτεθείσῃ παρὰ SD ἐκθέσει VA ἁγίων — τιη̄ [τριακοσίων δεκαοκτὼ D SD τριακοσίων δεκαοκτὼ [δέκα καὶ ὀκτὼ A] ἁγίων πατέρων VPA 29 πίστει om. VA πίστει ἣν D 30 θεοφιλεστάτου VPA ὁσιωτάτου SD 31 συνωιδὰ — Νικαίαι om. V

53 Εὐτρόπιος ἐπίσκοπος Εὐάζων εἶπεν· Κατὰ τὴν πίστιν τῶν τιη ἐπισκόπων τῶν ἐν Νικαίαι συνελθόντων καὶ τῇι ἐπιστολῇι τοῦ θεοφιλεστάτου ἐπισκόπου Κυρίλλου τῇι γραφείσηι πρὸς τὸν εὐλαβέστατον Νεστόριον, συμφώνωι οὔσηι τῇι τῶν ἁγίων πατέρων πίστει, ταύτηι πιστεύω καὶ συναινῶ καὶ πεπίστευκα.

54 Εὐθάλιος ἐπίσκοπος Κολοφῶνος τῆς Ἀσίας εἶπε· Τῇι ἁγίαι πίστει τῇι τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι συνελθόντων καὶ τῇι ἐπιστολῇι τοῦ θεοφιλεστάτου καὶ ὁσιωτάτου ἐπισκόπου Κυρίλλου τῇι γραφείσηι πρὸς τὸν εὐλαβέστατον Νεστόριον ὁμοφρόνωι οὔσηι συντίθεμαι καὶ συναινῶ καὶ κατὰ ταύτην πιστεύω τὴν παράδοσιν.

55 Δοκιμάσιος ἐπίσκοπος Μαρωνείας εἶπεν· Τῇι εὐσεβῶς καὶ φιλοχρίστως ἐκτεθείσηι πίστει παρὰ τῶν ἁγίων πατέρων ἐν τῇι Νικαέων πόλει σύμφωνα ὁρῶν τὰ γράμματα τοῦ θεοφιλεστάτου καὶ ὁσιωτάτου πατρὸς ἡμῶν Κυρίλλου, συντίθεμαι καὶ συναρέσκομαι, οὕτω φρονήσας μέχρι τέλους ἄτρωτον διαφυλάξαι. M IIII 1153

56 Λουκιανὸς ἐπίσκοπος Τοπηρίου εἶπεν· Ἀναγνωσθείσης τῆς ἐπιστολῆς τοῦ θεοφιλεστάτου καὶ ὁσιωτάτου πατρὸς ἡμῶν Κυρίλλου, ἧς ἐπέστειλε τῶι εὐλαβεστάτωι Νεστορίωι, ἀρέσκομαι τῇι ὑπαγορείαι καὶ συνωιδὰ κατὰ πάντα εὑρίσκων τῇι ἁγίαι συνόδωι τῇι εἰς τὴν Νικαέων μητρόπολιν ἐκτεθείσηι συναρέσκομαι, ἄτρωτον αὐτὴν μέχρι τέλους διαφυλάττων.

57 Ἐννέπιος ἐπίσκοπος Μαξιμιανουπόλεως εἶπεν· Τῇι παρὰ τῶν ὁσιωτάτων πατέρων ἐκτεθείσηι πίστει ἐν τῇι Νικαέων μητροπόλει ἀναγνοὺς σύμφωνον οὖσαν τὴν ἐπιστολὴν τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν ἐπισκόπου Κυρίλλου γραφεῖσαν πρὸς τὸν εὐλαβέστατον Νεστόριον, συναρέσκομαι καὶ συντίθεμαι οὕτω φρονεῖν καὶ πιστεύω ταύτην ἀσάλευτον διαφυλάξαι.

58 Στέφανος ἐπίσκοπος Δίου εἶπεν· Ἀνέγνωμεν σύμφωνον τυγχάνουσαν τὴν ἐπιστολὴν τοῦ τρισμακαρίου πατρὸς ἡμῶν ἐπισκόπου Κυρίλλου τῇι ἐκτεθείσηι ὑπὸ τῶν ἁγίων τιη πατέρων καὶ ἐπισκόπων τῶν ἐν Νικαία συνελθόντων· ὅθεν καὶ αὐτὸς συναινῶ ταύτηι καὶ εἰς ταύτην ἐπίστευσα.

59 Μόδεστος ἐπίσκοπος τῆς Ἀνεατῶν πόλεως τῆς Φρυγίας εἶπεν· Κἀγὼ ἐμμένω τῇι ἐκτεθείσηι πίστει ὑπὸ τῶν ἁγίων πατέρων τῶν τιη ἐπισκόπων τῶν ἐν Νικαίαι συνελθόντων, οὐ μὴν ἀλλὰ καὶ τῇι νυνὶ ἀναγνωσθείσηι ἐπιστολῇι ὑπὸ τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν ἀρχιεπισκόπου Κυρίλλου, τῇι γραφείσηι πρὸς τὸν εὐλαβέστατον ἐπίσκοπον Νεστόριον συμφώνως ἐκτεθείσηι τῇι πίστει τῶν προλεχθέντων ἁγίων πατέρων.

VM, P [= hk], S, D [= mn], A

1 τριακοσίων δεκαοκτὼ [δέκα καὶ ὀκτὼ A] PDA 2/3 τῇι — Νεστόριον om. VD 3/4 τῇι τῶν — πεπίστευκα] καὶ αὐτὸσ ἐπίστευσα καὶ πιστεύω καὶ οὕτωσ εὔχομαι ἀποθανεῖν V 3 καὶ τῇ A 4 ταύτη P ταύτη καὶ A καὶ SD πιστεύω PA πείθομαι SD καὶ πεπίστευκα om. A 5—8 om. V 5 τῆς Ἀσίας om. A* τῇι² om. P ἁγίων om. PA 6 θεοφιλεστάτου καὶ ὁσιωτάτου PA ὁσιωτάτου καὶ θεοσεβεστάτου SD 7 συμφώνω SD 7/8 συντίθεμαι PA καὶ πείθομαι SD 8 παραίνεσιν PS 9/10 τῆσ — ἐκτεθείσησ πίστεωσ VP 10 πατέρων τῶν P πόλει om. P 11 καὶ ὁσιωτάτου om. A κυρίλλου SD ἐπισκόπου κυρίλλου A ἀρχιεπισκόπου κυρίλλου VP 12 μέχρι om. V 13—16 om. V 13 τοπηρίου A τοπήρου SD ποτήρου P 13/14 θεοφιλεστάτου καὶ ὁσιωτάτου PA ἁγιωτάτου καὶ θεοφιλεστάτου SD 14 ἀπέστειλε A ἐπιστέλλει P 15 ἐπαγορεία A ὑπαγορία S εὑρίσκω DA 15/16 ἐν τῇ — μητροπόλει A 16 ἐκτεθείσηι om. A 17 ἀννέπιοσ P 18 ἐν — μητροπόλει om. A πόλει VP οὖσαν SD ὑπάρχειν VPA 19/20 γραφεῖσαν — Νεστόριον om. V 19/20 νεστόριον τὸν εὐλαβέστατον PSD 20/21 ταύτην εἶναι βεβαίαν καὶ ἀσάλευτον ταύτην διαφυλάττω A 22 συνωδὸν P τυγχάνειν VPA 23 τρισμακαρίου A τρισμάκαροσ V μακαρίου P ἁγιωτάτου καὶ τρισμακαρίου SD ἡμῶν om. P παρὰ VA ἁγίων om. PA 23/24 τιη — ἐπισκόπων] καὶ θεοφόρων V 23 τριακοσίων δεκαοκτὼ [δέκα καὶ ὀκτὼ A] PDA 24 αὐτῇ SD εἰς ταύτην [αὐτὴν SD] ἐπίστευσα SDA ταύτη ἐπίστευσα καὶ πιστεύω V ταύτην ἐπίσταμαι P 25 τῆς Φρυγίας falso additum 26 τριακοσίων δεκαοκτὼ [δέκα καὶ ὀκτὼ A] PSDA ἐπισκόπων om. V 27—29 οὐ — πατέρων] ὅθεν καὶ αὐτὸσ συναινῶ ταύτη καὶ ταύτη ἐπίστευσα P 27 νῦν A 28 ἐπίσκοπον A om. VSD

60 Ἀφόβιος ἐπίσκοπος Κολόης εἶπε· Πραναγνωσθείσης τῇι ἁγίαι συνόδωι τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου Κυρίλλου, συνωιδὰ ἐχούσης τῇι ἐκτεθείσηι ὑπὸ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι τιη̄, ταύτηι τῇι πίστει καὶ συντίθεμαι καὶ πιστεύω.

L III 478 61 Μάξιμος ἐπίσκοπος Ἀσσοῦ τῆς Ἀσίας εἶπεν· Καθὼς ὁ ἁγιώτατος καὶ θεοφιλέστατος ἐπίσκοπος ἡμῶν Μέμνων κατέθετο, ταύτηι τῇι πίστει κἀγὼ καὶ πιστεύω καὶ ἐμμένω.

62 Δωρόθεος ἐπίσκοπος Μυρίνης τῆς Ἀσίας εἶπεν· Τῇι ἐκτεθείσηι πίστει ὑπὸ τῶν ἁγίων πατέρων τῶν τιη̄ συνωιδὰ περιεχούσης τῆς ἐπιστολῆς τῆς ἀναγνωσθείσης παρὰ τοῦ τὰ πάντα ἁγιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου καὶ πατρὸς ἡμῶν Κυρίλλου, καὶ πιστεύω καὶ οὕτως φρονῶ.

63 Εὐχάριος ἐπίσκοπος Δυρραχίου εἶπεν· Ὀρθῶς πάνυ καὶ δικαίως κατανοήσας τὴν ἐπιστολὴν ἔχειν τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου καὶ πατρὸς ἡμῶν Κυρίλλου τὴν πρὸς τὸν εὐλαβέστατον Νεστόριον γραφεῖσαν, εὗρον σύμφωνον οὖσαν τῇι ἐκτεθείσηι πίστει παρὰ τῶν ἁγίων πατέρων ἡμῶν τῶν συνελθόντων ἐν τῇι Νικαέων κατὰ καιρούς, κἀγὼ οὕτως φρονῶ καὶ πιστεύω καὶ εὔχομαι καὶ αὐτὸς καὶ ζῆσαι καὶ τελέσαι ἐν κυρίωι.

M IIII 1156 64 Θεόδωρος ἐπίσκοπος Ἀνινησίας εἶπεν· Συναινῶ καὶ αὐτὸς τῇι καταθέσει τῶν ἁγίων πατέρων περὶ τῆς ἐκτεθείσης πίστεως ἐν Νικαίαι καὶ τῇι γραφείσηι παρὰ τοῦ ὁσιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου Κυρίλλου ἐπιστολῆι πρὸς τὸν εὐλαβέστατον ἐπίσκοπον Νεστόριον.

65 Εὐδόξιος ἐπίσκοπος Λυκίας πόλεως Χώματος εἶπεν· Ἐθαύμασα τὰ γραφέντα παρὰ τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου πατρὸς ἡμῶν καὶ ἐπισκόπου Κυρίλλου τῶι εὐλαβεστάτωι ἐπισκόπωι Νεστορίωι, σύμφωνα ὄντα τῇι ἐκτεθείσηι πίστει παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι, καὶ συντίθεμαι καὶ ὁμολογῶ οὕτως φρονεῖν, καθὼς καὶ οἱ ἁγιώτατοι ἡμῶν ἐξέθεντο πατέρες.

66 Φίλιππος ἐπίσκοπος Περγάμου εἶπεν· Συντίθεμαι τῇι ἐκτεθείσηι ὑπὸ τῶν ἁγίων πατέρων πίστει τῶν τιη̄ τῶν συναχθέντων κατὰ τὴν Νικαέων πόλιν κατὰ τοὺς κανόνας ἐκείνους οὕσπερ αὐτοὶ ἐξέθεντο, καὶ τῇι ἐπιστολῆι τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Κυρίλλου, συμφώνωι οὔσηι τοῖς αὐτοῖς κανόσι, καὶ οὕτως φρονῶ καὶ πιστεύω.

67 Εὐσέβιος ἐπίσκοπος Μαγνησίας τῆς Ἀσίας εἶπεν· Τῇι ἐκτεθείσηι πίστει παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι συνελθόντων τιη̄ συντίθεμαι καὶ τῇι ἐπιστολῆι τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν ἀρχιεπισκόπου Κυρίλλου, περιεχούσηι συνωιδά, καὶ οὕτως φρονῶ καὶ πιστεύω.

68 Εὐτύχιος ἐπίσκοπος τῆς Ἐρυθρῶν πόλεως τῆς Ἀσίας εἶπε· Πεισθεὶς ὄψεσι καὶ

V, P [= hk], S, D [= mn], A

1—3 om. V 1 κολοηνῶν P 2 θεοφιλεστάτου ἐπισκόπου] ὁσιωτάτου ἀρχιεπισκόπου A ἐχούση SD 3 τριακοσίων δεκαοκτὼ [δέκα καὶ ὀκτὼ Λ] PDA καὶ¹ om. D 4 ἀσσοῦ PSD 5 καγὼ — ἐμμένω] καὶ συντίθεμαι καὶ πιστεύω A καὶ¹ om. VP 6 τῆς Ἀσίας om. PA 6/7 ἐκτεθείση ὑπὸ — πατέρων πίστει A 7 τριακοσίων δεκαοκτὼ [δέκα καὶ ὀκτὼ Λ] PDA καὶ τῆσ¹ V 8 καὶ² om. VS καὶ³ om. V 10 εὐχάριοσ SDA εὐάρχιοσ V εὔαρχος P δυρραχίου ἐπίσκοποσ A ἐπίσκοποσ δωρακίου [δορακίου P] VPSD ὀρθῶσ καὶ πάνυ V 11 ἐπισκόπου SD καὶ — ἡμῶν om. SDA 12 συμφωνοῦσαν A 13 ἁγιωτάτων SD συναχθέντων A τῆ νικαία A νικαία VP 14 καὶ φρονῶ καὶ SD καὶ αὐτὸς om. A καὶ⁴ om. VA τελειῶσαι V τελειῶσαι τὸν βίον P 15 ἀνινυσίασ SD 16 πίστεωσ τῆσ A 16/17 ὁσιωτάτου καὶ om. SD ἁγιωτάτου καὶ A 17 ἐπίσκοπον om. SD 19 ἁγιωτάτου καὶ ὁσιωτάτου A καὶ ἐπισκόπου om. V 20 ἐπισκόπωι om. SDA 21 καὶ συντίθεμαι] συντίθεμαι οὖν P 21/22 πατέρεσ ἡμῶν ἐξέθεντο V 23 ἐπίσκοπος om. SD ἐκτεθείσηι] πίστει A παρὰ PA 24 πίστει om. A τῶν τιη̄ [τριακοσίων δεκαοκτὼ P] τῶν — πόλιν PA τῶν συναχθέντων κατὰ νίκαιαν V τῶν ἐν νικαία συνελθόντων τιη̄ [τριακοσίων δεκαοκτὼ D] κατὰ τὴν νικαέων πόλιν SD 24/25 κατὰ — ἐξέθεντο om. V 24 καὶ κατὰ D 25 ἁγιωτάτου SD 25/26 συμφωνούση A 26 φρονῶ καὶ om. A 27 τῆς Ἀσίας om. VA 28 ἐν — συνελθόντων om. SD τριακοσίων δεκαοκτὼ PD om. V 28/29 ἁγίου A 31 τῶν D ἐρθρῶν SD posi εἶπε coll. τῇ ἐκτεθείση — πατέρων τῶν τιη τῶν ἐν νικαία συνελθόντων καὶ τῇ γραφείση ἐπιστολῇ πρὸσ — εὐλαβέστατον ἐπίσκοπον νεστόριον παρὰ — κυρίλλου [cf. p. 23, 2—4] A

ἀποδείξεσι τῶν ἁγίων πατέρων τῶν τε μητροπολιτῶν καὶ ἀπὸ διαφόρων ἐπαρχιῶν κατατιθεμένων τῇ ἐκτεθείσῃ πίστει παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι συνελθόντων τιη καὶ τῇ γραφείσῃ ἐπιστολῇ πρὸς τὸν εὐλαβέστατον Νεστόριον παρὰ τοῦ ἁγιωτάτου ἐπισκόπου Κυρίλλου ὁμολογῶ καὶ πιστεύω.

69 Δυνατὸς ἐπίσκοπος Νικοπόλεως Παλαιᾶς Ἠπείρου εἶπεν· Ἐπακούσας τῆς ἐπιστολῆς τῆς ἀναγνωσθείσης σήμερον ἐπὶ τῆς ἁγίας ταύτης καὶ μεγάλης συνόδου, ἧς ἔγραψεν ὁ ἁγιώτατος καὶ θεοφιλέστατος πατὴρ ἡμῶν καὶ συλλειτουργὸς Κύριλλος πρὸς τὸν εὐλαβέστατον Νεστόριον, εὑρών τε αὐτὴν σύμφωνον καὶ συνομόλογον τῇ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι συνελθόντων καὶ ἐκθεμένων τὴν ὀρθόδοξον πίστιν τυγχάνουσαν καὶ πάσης ἀποδοχῆς ἀξιώσας τό τε ὕφος τῆς ἐπιστολῆς καὶ τὴν ὀρθόδοξον πίστιν τὴν ἐν αὐτῇ γραφεῖσαν, οὕτω κἀγὼ πιστεύω καὶ συγκατατίθεμαι.

70 Θεόδωρος ἐπίσκοπος πόλεως Δωδώνης εἶπεν· Κἀγὼ συναινῶ καὶ συγκατατίθεμαι οἷς κατέθετο ὁ ἁγιώτατος ἐπίσκοπος τῆς μητροπόλεως τῆς ἐμῆς Δυνατός. L III 479

71 Ἡρακλέων Τράλλεων ἐπίσκοπος εἶπεν· Κατ' ἴχνος βαίνω τῶν ἁγίων πατέρων καὶ ἐπιμένω τῇ ἐκθέσει τῆς συνόδου τῆς γενομένης ἐν Νικαίαι τῶν τιη ἐπισκόπων τῶν τὴν ὀρθόδοξον κηρυξάντων πίστιν, πάλιν δὲ ἐν τῇ ἁγίαι ταύτῃ συνόδωι τῇ κατὰ τὴν Ἐφεσίων μητρόπολιν γινομένηι τὰ αὐτὰ ἀκούσας τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου τοῦ πατρὸς ἡμῶν Κυρίλλου ἐν τῇ ἐπιστολῇ κηρύξαντος καὶ μᾶλλον φωτίσαντος καὶ συνωιδὰ τοῖς τιη γνωρίσας ταῦτα, καὶ συναινῶ καὶ εὔχομαι ἐν ταύτηι τῇ πίστει διαμεῖναι καὶ ταῖς εὐχαῖς ὑμῶν οὕτως τελειωθῆναι.

72 Παράλιος ἐπίσκοπος πόλεως Ἀνδράπων εἶπεν· Ἐντραφεὶς τῇ πίστει τῇ ἐκτεθείσῃ παρὰ τῶν ἁγίων πατέρων τῶν τιη τῶν κατὰ Νίκαιαν, οὕτω καὶ πιστεύω καὶ συναινῶ, συνωιδὰ δὲ εὑρίσκω κατὰ πάντα ἐν πλατυτέραι τῇ ἐπεξηγήσει τῇ αὐτῇ ἐκθέσει καὶ τὰ ἀρτίως ἡμῖν ἀναγνωσθέντα παρὰ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς Κυρίλλου γραφέντα καὶ συναινῶ καὶ εὔχομαι ἐν ταύτηι τελειωθῆναι τῇ πίστει. M IIII 1157

73 Ἀρχέλαος ἐπίσκοπος πόλεως Μύνδου τῆς Καρίας εἶπεν· Τῆς εὐσεβῶς ἡμῖν καὶ σωτηριωδῶς παραδοθείσης πίστεως παρὰ τῶν ἁγίων καὶ θεοφιλεστάτων πατέρων καὶ ἐπισκόπων τῶν συλλεγέντων ἐν τῇ Νικαέων πόλει ἰσότυπός ἐστι καὶ σύμφωνος ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν ἀρχιεπισκόπου Κυρίλλου, καὶ πιστεύειν οὕτως ὁμολογῶ καὶ εὔχομαι.

74 Ἀπελλᾶς ἐπίσκοπος Κιβύρας τῆς Καρίας εἶπεν· Κἀγὼ τὰ αὐτὰ κατατίθεμαι καὶ τούτοις συναινῶ.

V, P [= bk], S, D [= mn], A

1 πατέρων· πατέρων τῶν ἐν νικαία συνελθόντων V καὶ ἀπὸ] τῶν ἀπὸ V 1/2 κατατιθεμένων — τιη om. V καταθεμένων A 2—4 τῇ ἐκτεθείσῃ — Κυρίλλου hic om. A 2 τριακοσίων δεκαοκτὼ PD 3 εὐλαβέστατον ἐπίσκοπον P 3/4 παρὰ — Κυρίλλου om. V 5 δονάτος VPD δωνάτος S ἠπείρου παλαιᾶς P 6 τῆς¹ om. SD 7 ἐπίσκοποσ πατὴρ SD 7/8 εὐλαβέστατον ἐπίσκοπον A 8 δὲ A post πατέρων superscr. ἐκθέσει A 10 γε D 11/12 πιστεύω — κἀγὼ om. D 11 συντίθεμαι S 12 θεόδωροσ S δωρόθεοσ VPA πόλεως om. A συντίθεμαι SD 13 τῆσ ἑυῆσ μητροπόλεωσ A δονάτοσ VPD 14 τράλεων ἐπίσκοποσ VPSD ἐπίσκοποσ τράλεων A βαίνων A 15 ἐπιμένων SDA τριακοσίων δεκαοκτὼ PDA 16 ὀρθοδοξίαν VPA πίστιν om. VPA 17 μητρόπολιν om. SD γενομένη VPn γενομένην Sm τοῦ· om. SD 18 προπάτοροσ A Κυρίλλου om. SD φωτίσαντοσ ἡμᾶσ VPA 19 τριακοσίοισ δεκαοκτὼ PD ἐν A om. VPSD 20 οὕτως om. V 21—25 post 30 coll. A 21 πόλεως om A ἀδράπων A ἐντραπεὶσ S 21/22 πίστει τῶν ἁγίων πατέρων τῇ ἐκτεθείσῃ παρὰ τῶν τιη [τριακοσίων δεκαοκτὼ D] SD 22 τριακοσίων δεκαοκτὼ P τῶν om A 23 εὑρίσκων P ἐν om A ἐξηγήσει VP 24 πατρὸσ ἡμῶν P 25 συνεύχομαι VP 26 πόλεως om. SD ἀμένδου SD 27 ἁγιωτάτων A καὶ ἐπισκόπων om. V 28 συλλεχθέντων SD 28, 29 ἁγιωτάτου καὶ θεοφιλεστάτου VPA θεοφιλεστάτου καὶ θεοσεβεστάτου SD 29 ἡμῶν καὶ PA πιστεύων A πιστεύω P καὶ ὁμολογῶ καὶ P 30 εὔχομαι] συντίθεμαι A 31 κιβύρρασ PSD κἀγὼ τὰ αὐτὰ DA κἀγὼ κατὰ αὐτὰ S κατὰ τὰ αὐτὰ V τὰ αὐτὰ ταῦτα P

75 Θωμᾶς ἐπίσκοπος Δέρβης τῆς Λυκαονίας εἶπεν· Συγκατατίθεμαι καὶ αὐτὸς συνωιδὰ τῇι τῶν πατέρων πίστει καὶ τῇι ἐπιστολῇι τῇι γραφείσηι παρὰ τοῦ ἁγιωτάτου καὶ θεοσεβεστάτου ἀρχιεπισκόπου Κυρίλλου καὶ ὁμόφρων καὶ ὁμόπιστός εἰμι ταύτηι.

76 Θεμίστιος ἐπίσκοπος Ἰασοῦ τῆς Καρίας εἶπεν· Κατὰ τὴν ὑγιᾶ πίστιν τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι τιη̄ καὶ τὴν ὁμόφωνον ἐπιστολὴν τὴν ἀναγνωσθεῖσαν τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου πατρὸς ἡμῶν Κυρίλλου τὰ αὐτὰ πιστεύω καὶ κατατίθεμαι.

77 Σπουδάσιος ἐπίσκοπος Κεράμων ἐπαρχίας Καρίας εἶπεν· Τῇι πίστει τῇι ἐκτεθείσηι παρὰ τῶν ἁγίων πατέρων τῶν συναχθέντων κατὰ τὴν Νικαέων καὶ συνέζησα καὶ συζῆν εὔχομαι, ὁμοίως δὲ καὶ τὴν ἐπιστολὴν τὴν γραφεῖσαν παρὰ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου καὶ πατρὸς ἡμῶν Κυρίλλου τῶι θεοσεβεστάτωι ἐπισκόπωι Νεστορίωι ὁμώνυμον θεασάμενος, καὶ ταύτην καταδέχομαι καὶ οὐδὲν διαφωνοῦσαν τῆς πίστεως εὑρίσκω. διὸ κἀγὼ εἰς ἑκάτερα τούτων καὶ πιστεύω καὶ συμψηφίζομαι.

78 Ἀφθόνητος ἐπίσκοπος Ἡρακλείας τῆς Καρίας εἶπεν· Ἑρμηνεία καὶ θεμέλιός ἐστι τῆς παραδοθείσης ἡμῖν εὐσεβοῦς πίστεως παρὰ τῶν ἐν Νικαίαι ἁγιωτάτων πατέρων καὶ ἐπι-
L III 482 σκόπων ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κυρίλλου, καὶ κατὰ ἀμφότερα πιστεύειν ὁμολογῶ καὶ εὔχομαι.

79 Φιλητὸς ἐπίσκοπος Ἀμυζόνος τῆς Καρίας εἶπεν· Κατὰ τὴν οὐράνιον καὶ ἔνδοξον πίστιν τὴν ἐκτεθεῖσαν παρὰ τῶν ἐν Νικαίαι συνελθόντων εὐλαβεστάτων καὶ θεοφιλεστάτων ἐπισκόπων τῶν τιη̄ καὶ κατὰ ταύτην τὴν ἐπιστολὴν τὴν γραφεῖσαν παρὰ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς τοῦ ἀρχιεπισκόπου Κυρίλλου σύμφωνον οὖσαν τῇι αὐτῇι ἁγίαι ἐκθέσει καὶ κατατίθεμαι καὶ πιστεύω καὶ σύμψηφός εἰμι τῇι αὐτοῦ θεοσεβείαι.

80 Φανίας ἐπίσκοπος πόλεως Ἀρπάσων τῆς Καρίας εἶπεν· Κατὰ τὴν ἔκθεσιν τῆς ἐπουρανίου πίστεως τὴν ἐκτεθεῖσαν παρὰ τῶν ἁγίων πατέρων τῶν τιη̄ τῶν συνελθόντων κατὰ τὴν Νικαέων καὶ κατὰ τὴν ὑπαναγνωσθεῖσαν ἡμῖν ἐπιστολὴν παρὰ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου καὶ κοινοῦ πατρὸς Κυρίλλου τὴν γραφεῖσαν πρὸς τὸν εὐλαβέστατον
M IIII 1160 ἐπίσκοπον Νεστόριον ὁμοδύναμον οὖσαν τῇι τῶν ἁγίων πατέρων πίστει τὰ αὐτὰ φρονεῖν ὁμολογῶ καὶ συγκατατίθεμαι.

81 Προμάχιος ἐπίσκοπος Ἀλίνδων τῆς Καρίας εἶπεν· Γινώσκων καὶ αὐτὸς σύμφωνον εἶναι τὴν ἐπιστολὴν τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κυρίλλου τῇι ἐκθέσει τῆς πίστεως τῶν ἐν Νικαίαι συνελθόντων ἁγιωτάτων καὶ θεοφιλεστάτων πατέρων ἡμῶν καὶ ἐπισκόπων κατὰ τὰ αὐτὰ πιστεύω τε καὶ φρονῶ καὶ συγκατατίθεμαι.

82 Σαΐδας ἐπίσκοπος Φαινοῦς τῆς Σαλουταρίας Παλαιστίνης εἶπε· Συντίθεμαι τοῖς ἐκτε-

---

V, P [= hk], S, D [= mn], A

1 ζέρβησ A τῆς Λυκαονίας om. A 2 ἁγίων πατέρων V 2/3 θεοφιλεστάτου P ὁσιωτάτου A 3 ἐπισκόπου PA σύμφρων P 4 ἰασσοῦ V ὑγιῆ V ἁγίαν P 5 τριακοσίων δεκαοκτὼ P τῶν τιη̄ SD 7 τῆσ καρίασ P 8 ἐν τῇ A νικαέων πόλιν V καὶ¹ om. P 9 καὶ ἀρχιεπισκόπου V 10 καὶ — ἡμῶν om. A καὶ om. VP τῶι — Νεστορίωι om. V ἐπισκόπωι om. SD ὁμονοοῦσαν P conicio ὁμοδύναμον 11 ταῦτα SD 13 Ἡρακλείας] κεράμων ἐπαρχίασ P 14 πίστεως om. S παρὰ om. SD ἐν Νικαίαι om. A 16 κατὰ τὰ PD 17 ἀμυζόνοσ A ἀμαζόνοσ VPSD τῆς om. A 18 συναχθέντων A καὶ θεοφιλεστάτων om. V 19 τῶν τριακοσίων δεκαοκτὼ PD καὶ θεοφόρων πατέρων V κατὰ om. SD παρὰ A om. VPSD 19/20 καὶ θεοφιλεστάτου om. SD 20 πρσ̄ καὶ ἀρχιεπισκόπου SD συμφωνοῦσαν VP αὐτῇι om. P 21 καὶ¹ om. A καὶ² VPD ὡσ SA 22 ἐπιφάνιοσ P 23 τῶν τριακοσίων δεκαοκτὼ P om. SD 23/24 ἐν τῇ A 24 ἐπαναγνωσθεῖσαν P ἡμῖν om. A 25 ἐπισκόπου om. SD πρσ̄ ἡμῶν SD Κυρίλλου om. P 26 ὁμοδυναμοῦσαν A 27 συντίθεμαι P 29 καὶ τὴν V 30 ἐκτεθείσῃ VSD τῆσ πίστεωσ τῶν PSDA πίστει παρὰ V 30/31 ἁγίων καὶ θεοφόρων V 31 ἡμῶν καὶ ἐπισκόπων om. V καὶ κατὰ [κατ' A] SDA τὰ αὐτὰ D αὐτὰ SA τοῦτο VP 33 τῆς — Παλαιστίνης om. A παλουταρίασ SD

θεῖσι παρὰ τῆς ἁγίας συνόδου τῆς ἐν Νικαίαι συνελθούσης τῶν τιη καὶ τοῖς γραφεῖσι παρὰ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου Κυρίλλου καὶ τοῖς κατατεθεῖσι παρὰ τοῦ ὁσιωτάτου καὶ θεοσεβεστάτου ἐπισκόπου ἡμῶν Ἰουβεναλίου συνάιδουσι τῇι τῶν πατέρων ἐκθέσει συμψηφίζομαι καὶ συναινῶ.

88 Ἑρμηνεία τῆς καταθέσεως Σενεκίωνος ἐπισκόπου· Σενεκίων ἐπίσκοπος ⟨Σ⟩κοδρίας εἶπεν· Κατὰ τὴν ὁρισθεῖσαν πίστιν παρὰ τῶν ἁγίων ἡμῶν πατέρων τῶν τιη τῶν κατὰ Νίκαιαν πνεύματι ἁγίωι πεπληρωμένων, οὐ μὴν δὲ καὶ κατὰ τὴν ἐπιστολὴν τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν Κυρίλλου τὴν νυνὶ ἡμῖν ἀναγνωσθεῖσαν πιστεύω καὶ συναινῶ.

84 Ἰωάννης ἐπίσκοπος Ἡφαίστου Αὐγουσταμνικῆς εἶπεν· Τῆς πίστεως τῆς ἐκτεθείσης παρὰ τῆς ἁγίας συνόδου τῆς συγκροτηθείσης παρὰ τῶν ἁγίων πατέρων ἐν τῇι Νικαέων καὶ τῆς ἐπιστολῆς τῆς πρὸς τὸν εὐλαβέστατον Νεστόριον γραφείσης παρὰ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν καὶ ἐπισκόπου Κυρίλλου μίαν ἐχόντων τὴν διάνοιαν καὶ μίαν πίστιν ἐν διαφόροις συλλαβαῖς, ταύταις κἀγὼ συντίθεμαι καὶ συνδοξάζω καὶ συζῆν εὔχομαι χάριτι τῆς ἁγίας τριάδος.

85 Ἀθανάσιος ἐπίσκοπος Παράλου εἶπεν· Κἀγὼ τὰ αὐτὰ κατατίθεμαι καὶ συναινῶ τῇι ὀρθῇι πίστει τοῦ πατρὸς ἡμῶν Κυρίλλου τοῦ ἀρχιεπισκόπου.

86 Εὐσέβιος ἐπίσκοπος Ἀσπώνων πόλεως Γαλατίας εἶπεν· Πολλὴν ἐπιγνοὺς οὖσαν τὴν L III 483 συμφωνίαν τῆς πίστεως τῆς τε διὰ τῆς ἐπιστολῆς ἐκτεθείσης τοῦ θεοφιλεστάτου καὶ θεοσεβεστάτου πατρὸς ἡμῶν καὶ ἐπισκόπου Κυρίλλου τῆς τε παρὰ τῶν ὁσιωτάτων πατέρων πάλαι ἐκτεθείσης, συναινῶ καὶ δέχομαι καὶ πιστεύω καὶ τὰ αὐτὰ δοξάζω καὶ διδάσκω.

87 Θέων ἐπίσκοπος Σεθροίτου εἶπεν· Συναινῶ τῇι ἐπιστολῇι τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου ἡμῶν Κυρίλλου συνωιδὰ ἐκθεμένηι τῇι ἐκτεθείσηι πίστει παρὰ τῶν κατὰ καιροὺς συνειλεγμένων ἁγιωτάτων πατέρων τῶν ἐν Νικαίαι.

88 Δανιὴλ ἐπίσκοπος Δάρνεως εἶπε· Συναινῶ τῇι ἀναγνωσθείσηι ἐπιστολῇι τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν Κυρίλλου συνωιδὰ ἐκθεμένηι τῇι πίστει τῶν ἁγιωτάτων ἡμῶν πατέρων τῶν ἐν Νικαίαι.

89 Μακάριος ἐπίσκοπος Ἀντέου εἶπεν· Εὑρὼν τὴν αὐτὴν τοῦ ἁγίου πνεύματος χάριν ἔν τε τῇι ἐκτεθείσηι παρὰ τῶν ἁγιωτάτων πατέρων ἐν Νικαίαι πίστει ἔν τε τῇι ἐπιστολῇι τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου Κυρίλλου, θαυμάζω καὶ ἐμμένω καὶ εὔχομαι ταύτην διατηρεῖν κυβερνῶσαν καὶ σώιζουσαν τὸ τῶν ἀνθρώπων γένος.

90 Σώπατρος ἐπίσκοπος Σεπτιμιακῆς εἶπεν· Τὸ μὲν πολὺν καταναλῶσαι λόγον καὶ ἐξει- M IIII 1161

V, P [= hk], S, D [= mn], A

1 συναχθείσησ A τριακοσίων δεκαοκτὼ PD πατέρων καὶ SD 2 ἐπισκόπου [πρσ ἡμῶν V] κυρίλλου VPA ἁγιωτάτου A 3 θεοφιλεστάτου SD πατέρων ἡμῶν A 5—9 post 17 coll. SD 5 Ἑρμηνεία — ἐπισκόπου V om. PSDA σεννεκίων A κοδρίασ SD πόλεωσ κοδρίασ VPA 6 πατέρων ἡμῶν V τριακοσίων δεκαοκτὼ PD 7 πνι — πεπληρωμένων PSD πνσ ἁγίου πεπληρωμένων V πεπληρωμένων πνσσ ἁγίου A οὐ μὴν δὲ PSA οὐ μὴν δὲ ἀλλὰ D ναὶ μὴν V 8 νῦν VPA ἀναγνωσθεῖσαν ἡμῖν V 10 τῆσ αὐγουσταμνικῆσ A om. SD 13 καὶ ἐπισκόπου SD τοῦ ὀρχιεπισκόπου VPA ἐχουσῶν SD 14 καὶ ταύταισ A 16 παραλίων SD εἶπεν om. S 18 ἀσπόνων πόλεωσ SD ἀπώνων πόλεωσ P αὐσόνων πόλεωσ V πόλεωσ ἀσπόνων A γαλατίασ A ἀγκύρασ VPSD 19 τῆσ ἐκτεθείσησ παρὰ V 19/20 θεοφιλεστάτου καὶ θεοσεβεστάτου SD θεοφιλεστάτου καὶ ὁσιωτάτου A θεοσεβεστάτου καὶ θεοφιλεστάτου VP 20 καὶ ἐπισκότου om. VA πάλιν SD 21 πιστεύω VPA πιστεύω καὶ τὰ αὐτὰ πιστεύω SD καὶ³ — διδάσκω om. V τὰ αὐτὰ SD ταῦτα PA 22 σεθροίτου A σοθροίτου VP ἀθροίτησ SD 22/23 ἡμῶν ἀρχιεπισκόπου A 23 ἐκθεμένου P ἐκδεδομένη V τῇ πίστει τῇ ἐκτεθείσῃ V 24 τῶν om. PA 25—27 om. VP 25 παρὰ τοῦ SD 26 καὶ θεοφιλεστάτου om. A πατρὸσ ἡμῶν SD ἀρχιεπισκόπου A 26/27 ἁγίων A 28 ἀντέου V ἀντέων P ἀτεοῦσ A παντέου SD 29 ἁγίων A πατέρων τῶν P ἐν Νικαίαι om. V 30 καὶ ὁσιωτάτου om. VP 32 σωσίπατροσ V σεπτιμακῆσ A

πεῖν τὰ θαύματα τῶν ἁγίων πατέρων οὐκ ἐμὸν ἂν εἴη, ἀλλ' ἑτέρου τινὸς αὐχοῦντος μεγίστην παίδευσιν. ἀναγνωσθείσης τοίνυν τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κυρίλλου τῆς γραφείσης πρὸς Νεστόριον καὶ συνωιδὰ περιεχούσης τῇι συνόδωι τῇι γενομένηι κατὰ τὴν Νικαέων πόλιν τῶν τιη̄, οὕτως κἀγὼ δοξάζω καὶ συναινῶ, καθὼς καὶ οἱ πατέρες ἡμῶν οἱ ἅγιοι καὶ ἐδόξασαν καὶ ἐπίστευσαν.

91 Σαμουὴλ ἐπίσκοπος Δύσθεως Πενταπόλεως εἶπεν· Σύμφωνα πιστεύω τοῖς ἁγίοις πατράσι τοῖς κατὰ τὴν Νικαέων συνειλεγμένοις καὶ οὕτω νοῶ καὶ πιστεύω, ἐπακούσας καὶ τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κυρίλλου.

92 Στρατήγιος ἐπίσκοπος τῆς Ἀθριβιτῶν ἐπαρχίας Αὐγουσταμνικῆς εἶπε· Σύμφωνα καὶ ὁμόπιστα τῶν ἁγίων πατέρων ἡμῶν τῶν τιη̄ ἐπισκόπων τῶν ἐν Νικαίαι συνεδρευσάντων περιεχούσης τῆς ἐπιστολῆς τῆς ὑπαναγνωσθείσης τοῦ ἁγιωτάτου καὶ θεοσεβεστάτου ἀρχιεπισκόπου Κυρίλλου τῆς γραφείσης πρὸς τὸν εὐλαβέστατον Νεστόριον, ἀναγκαίως καὶ ἐφρόνησα καὶ φρονῶ καὶ ἐπίστευσα καὶ πιστεύω καὶ ταύτηι τῇι πίστει παραμένω χάριτι τῆς ἁγίας τριάδος καὶ ταύτης τῆς ἁγίας συνόδου.

93 Εὐσέβιος ἐπίσκοπος Νειλουπόλεως ἐπαρχίας Ἀρκαδίας εἶπεν· Ἀπεδεξάμην τὴν ἐπιστολὴν συμφωνοῦσαν τῇι πίστει τῶν ἁγίων πατέρων καὶ κατὰ ταύτην πιστεύω τὴν ἔννοιαν.

94 Μαρῖνος ἐπίσκοπος Ἡλιουπολιτῶν ἐπαρχίας Αὐγουσταμνικῆς εἶπεν· Ἀπεδεξάμην τὴν ἐπιστολὴν τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου ἡμῶν Κυρίλλου ὀρθὴν οὖσαν καὶ σύμφωνον τῇι τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι πίστει.

95 Παῦλος ἐπίσκοπος Φραγώνεως εἶπεν· Μίαν καὶ τὴν αὐτὴν διαλάμπουσαν πίστιν ἐκ-
L III 486 τεθεῖσαν μὲν πάλαι διὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι, νῦν δὲ καὶ διὰ τῆς μεγάλης ταύτης συνόδου ἐκ συμφώνου φανεῖσαν καὶ ἐξ αὐτῆς τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν Κυρίλλου λαμπρότερον κηρυχθεῖσαν ἔχω καὶ πιστεύω καὶ ταύτηι συντίθεμαι, δι' ἧς καὶ σώιζεσθαι πιστεύω, ὁμολογῶν αὐτὴν ἐν Χριστῶι.

96 Μητρόδωρος ἐπίσκοπος Λεόντων εἶπεν· Τῆς ἁγίας πίστεως τῆς ἐκτεθείσης παρὰ τῶν ἁγίων πατέρων ἡμῶν ἐν τῇι Νικαέων καὶ τῆς νυνὶ ἀναγνωσθείσης ἐπιστολῆς τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς καὶ ἀρχιεπισκόπου Κυρίλλου τῆς γραφείσης [πάλαι] πρὸς τὸν θεοσεβέστατον Νεστόριον μίαν ἐχουσῶν πίστιν καὶ διάνοιαν ἐν διαφόροις συλλαβαῖς, ἀναγκαίως κἀγὼ ταύτηι συντίθεμαι, τὰ αὐτὰ πιστεύων καὶ δοξάζων καὶ συνομολογῶν χάριτι τῆς ἁγίας τριάδος.

97 Θεόπεμπτος ἐπίσκοπος Καβάσων εἶπεν· Περιττόν ἐστι τοὺς ἀπὸ Αἰγύπτου ἐπισκόπους τὸν περὶ τῆς ὀρθῆς πίστεως ἀπαιτεῖσθαι λόγον. πᾶσι γὰρ εὐσύνοπτον ὅτι τῇι πίστει τῇι ἐκτεθείσηι παρὰ τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κυρίλλου ἐξακολουθοῦμεν καὶ συναινοῦμεν συμφώνωι οὔσηι τῆς τῶν ἁγίων πατέρων πίστεως.

V, P [= hk], S, D [= mn], A

1 εἴη λέγειν SD 4 τῶν τριακοσίων δεκαοκτὼ PD om. V 5 καθὼς — ἐπίστευσαν om. V οἱ ἅγιοι πρε̄σ ἡμῶν A 6 δύσθεος SD οὐδυσθέως P 7 νικαέων A νικαέων σύνοδον VPSD 8 τῇ ἐπιστολῇ A καὶ θεοφιλεστάτου om. SD καὶ ἀρχιεπισκόπου om. V 9 τῆς om. VP ἀθριβιτῶν A ἀθριβητῶν VP ἀθριγητῶν SD Αὐγουσταμνικῆς om. A 10 τριακοσίων δεκαοκτὼ [δέκα καὶ ὀκτὼ A] VPDA 11 θεοφιλεστάτου V θεοφιλεστάτου πρ̄σ ἡμῶν καὶ A 12 τῆς om. A καὶ ἀναγκαίωσ καὶ P ἀναγκαίως VA 13 χάριτι om. SD 14 ταύτης] τῇ εὐχῇ ταύτησ P ἁγίασ θεοφιλοῦσ V ἁγίασ καὶ θεοφιλοῦσ P 16 σύμφωνον οὖσαν A τῇι πίστει om. A κατὰ ταύτην VA κατ' αὐτὴν SD ταύτην P 17 μαριανόσ A ἡλιουπόλεως SDA 18 ἁγιωτάτου καὶ θεοφιλεστάτου A τῇι om. A 19 ἁγίων om. SD τῶν — πίστει] καὶ κατὰ ταύτην πιστεύω τὴν ἔννοιαν A 20 φραγώνεωσ A φραυωνέωσ D φραυωνέοσ S φλαυονέωσ V φλαβωνέωσ P 21 τῶν² om. VP νυνὶ A καὶ om. DA 22 ἐκ συμφώνου VP σύμφωνον SDA φανεῖσαν VPA οὖσαν SD 24 ἐν χ̄ῳ̄ VPSD ἔχειν A 25 ἐπίσκοπος om SD λεοντῶ VA 26 νῦν A 27 καὶ²] τοῦ P ἡμῶν καὶ A πάλαι om. SD 29 ταῦτα P καὶ δοξάζων om. P 32 γὰρ ἐστιν VPA 33/34 πατρὸσ ἡμῶν [ἡμῶν πατρὸσ P] καὶ [καὶ om. SD] ἀρχιεπισκόπου VPSD ἀρχιεπισκόπου ἡμῶν A

98 Ἡρακλείδης ἐπίσκοπος τῆς Ἡρακλεουπολιτῶν Ἀρκαδίας εἶπεν· Τῆς πίστεως τῶν ἁγίων πατέρων ἡμῶν τῶν συναχθέντων πάλαι ἐν τῇι Νικαέων καὶ τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κυρίλλου μίαν καὶ σύμφωνον κηρυττόντων καὶ ὁμολογούντων πίστιν, ἀναγκαίως ἐγὼ τεχθεὶς καὶ τραφεὶς ἐν αὐτῇι μέχρι παντὸς τῆς αὐτῆς εὔχομαι γνώμης εἶναι χάριτι τῆς ἁγίας τριάδος. M IIII 1164

99 Σαβῖνος ἐπίσκοπος Πανὸς ἐπαρχίας Θηβαίδος εἶπεν· Τῆς πίστεως τῶν ἁγίων πατέρων τῆς ἐκτεθείσης ἐν τῇι Νικαέων πάλαι καὶ τῆς ἐπιστολῆς τοῦ θεοσεβεστάτου καὶ εὐλαβεστάτου πατρὸς ἡμῶν Κυρίλλου σύμφωνον ἐχούσης πίστιν, ταύτηι κἀγὼ ἀναγκαίως συντίθεμαι χάριτι τῆς ἁγίας τριάδος.

100 Ἡράκλειος ἐπίσκοπος Ταμιάθεως εἶπεν· Οὐδεμίαν παραλλαγὴν ἐχούσης τῆς ἐπιστολῆς τοῦ εὐλαβεστάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κυρίλλου πρὸς τὴν ἐν τῇι Νικαέων πάλαι ἐκτεθεῖσαν πίστιν παρὰ τῶν ἁγίων πατέρων, ἀναγκαίως ταύτηι κἀγὼ συντίθεμαι χάριτι τοῦ Χριστοῦ.

101 Ἰσαὰκ ἐπίσκοπος Ἑλεαρχίας εἶπεν· Ὁμολογῶ τὴν αὐτὴν εἶναι συμφωνίαν ἔν τε τῶι συμβόλωι τῶν ἁγίων πατέρων καὶ ἐν τῇι ἐπιστολῆι τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Κυρίλλου, ἣι κἀγὼ ἀναγκαίως συντίθεμαι χάριτι τοῦ Χριστοῦ.

102 Εὐτύχιος ἐπίσκοπος Θεοδοσιουπόλεως τῆς Ἀσίας εἶπεν· Ἐκ νέας ἡλικίας καθὼς ἐπιστεύσαμεν, οὐδὲν ἐξενίσθημεν ἐκ τῆς ἀναγνωσθείσης ἐπιστολῆς παρὰ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου Κυρίλλου τῆς ἐπισταλείσης τῶι εὐλαβεστάτωι Νεστορίωι. σύμφωνος γὰρ εὑρέθη τῇι ἐκτεθείσηι πίστει τῶν τῇ πατέρων τῶν συνελθόντων ἐν τῇι Νικαέων, καὶ οὕτως πιστεύω, καθὼς καὶ οἱ ἅγιοι πατέρες ἐξέθεντο ἐν ταύτηι τῇι μεγάλῃι συνόδωι.

103 Ἀδέλφιος ἐπίσκοπος Σάεως εἶπεν· Τῆς πίστεως τῶν ἁγίων πατέρων τῆς ἐκτεθείσης ἐν τῇι Νικαέων πάλαι καὶ τῆς ἐπιστολῆς τοῦ θεοφιλεστάτου ἐπισκόπου Κυρίλλου σύμφωνον ἐχούσης πίστιν, ταύτηι κἀγὼ ἀναγκαίως συντίθεμαι χάριτι τῆς ἁγίας τριάδος. L III 487

104 Ῥοδίων ἐπίσκοπος Παλαιᾶς πόλεως τῆς Ἀσίας εἶπεν· Οὐδὲν ἀπαιδούσης τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου Κυρίλλου τῶν ἁγίων πατέρων τῶν συνελθόντων ἐν τῇι Νικαέων πόλει, καὶ αὐτὸς οὕτω πιστεύων κατατίθεμαι κατὰ τὴν ἐκτεθεῖσαν παρ' αὐτῶν πίστιν.

105 Νεστόριος ἐπίσκοπος Σιῶν ἐπαρχίας Ἀσίας εἶπεν· Κατὰ τὴν ἔκθεσιν τὴν γενομένην παρὰ τῶν ἁγίων πατέρων ἐν Νικαίαι πιστεύσας καὶ αὐτὸς καὶ οὕτως ἔχων, εὗρον συνωιδὰ καὶ τὴν ἐπιστολὴν περιέχουσαν τοῦ θεοφιλεστάτου ἐπισκόπου Κυρίλλου, καὶ ταύτηι τῇι

V, P [= hk], S, D [= mn], A

1 ἡρακλεουπολιτῶν P ἡρακλεοπολιτῶν VA ἡρακλεωτῶν SD τῇ πίστει V 2—7 ἡμῶν — πατέρων om. P 2 πάλιν S τῇ ἐπιστολῇ V 3 μίαν καὶ SD καὶ μίαν καὶ A μίαν V 4 καὶ τεχθεὶς καὶ A ἐν αὐτῇι om. VA 7 πόλει PSD ἐπιστολῆσ τῆσ ἐκτεθείσησ παρὰ A 7/8 θεοσεβεστάτου καὶ εὐλαβεστάτου VP θεοφιλεστάτου καὶ ὁσιωτάτου A εὐλαβεστάτου καὶ θεοσεβεστάτου SD 8 πατρὸσ καὶ ἀρχιεπισκόπου ἡμῶν A τὴν πίστιν V ἀναγκαίωσ κἀγὼ SD 11 ἁγιωτάτου καὶ θεοσεβεστάτου SD καὶ SD τοῦ VPA 12 πάλιν S πόλει P 12/13 κἀγὼ ταύτη A 14—16 post 22 coll. SD 14 ἐλαιαρχίασ A ἐλεάρχου V σύμφωνον V 15 τῶν — πατέρων om. V ἀρχιεπισκόπου om. VP 16 ἀναγκαιοτάτωσ P θῦ SD 18 οὐδὲ P ἀναγνωσθείσησ ἐπιστολῆσ PSDA ἐπιστολῆς τῆσ γραφείσησ V ἁγιωτάτου καὶ om. V 19 κυρίλλου τοῦ ἀρχιεπισκόπου A σταλείσησ V ἀποσταλείσησ SD θεοφιλεστάτῳ SD 20 τριακοσίων δεκασκτὼ PD πατέρων om. V 20/21 τῶν — Νικαέων om. P 20 συναχθέντων SD 21 αὐτῇ A 24 εὐλαβεστάτου καὶ θεοφιλεστάτου PA θεοφιλεστάτου καὶ εὐλαβεστάτου V ἐπισκόπου SD πρσ̄ ἡμῶν VPA 25 ἀναγκαίως om. A 26 Ῥόδων 33, 76 τῆς om. SD 27 καὶ ὁσιωτάτου om. SD κυρίλλου τῆσ πίστεωσ P τῶν² om. S 27/28 συναχθέντων DA 28 ἐν νικαία P πιστεύειν DA 30 ἐπαρχίασ SDA τῆσ VP Ἀσίας om. A 30/31 ἔκθεσιν τῶν ἁγίων πατέρων τὴν γενομένην P 31 πατέρων τῶν A τῇ νικαία D 32 ἔχουσαν SD ἐπισκόπου ἡμῶν A ταύτην S

πίστει καὶ ἐκθέσει τῶν ἁγίων πατέρων καὶ αὐτὸς συντίθεμαι καὶ εὔχομαι ἐν ταύτῃ τῇ πίστει τὸν λοιπὸν διαβιῶναι τῆς ζωῆς μου χρόνον χάριτι τοῦ Χριστοῦ.

106 Ἀνδήριος ἐπίσκοπος πόλεως Χερσονήσου ἐπαρχίας Κρήτης εἶπεν· Ὥσπερ μύρου πολυτίμου τῆς πίστεως τῶν ἁγίων πατέρων τῶν συνελθόντων ἐν τῇ Νικαέων ἀνεωιχθείσης, ἐπὶ πλεῖον ἡμᾶς εὐωδίασε διὰ τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου ἐπισκόπου Κυρίλλου καὶ σύμφωνα καὶ ὁμοούσια ἐχούσης. καὶ αὐτὸς ταύτῃ συντίθεμαι καὶ οὕτως πιστεύειν εὔχομαι πάντα τὸν τῆς ζωῆς μου χρόνον.

107 Παῦλος ἐπίσκοπος πόλεως Λάμπης ἐπαρχίας Κρήτης εἶπεν· Τῆς τῶν ἁγίων πατέρων
M IIII 1165 τῶν συνελθόντων ἐν τῇ Νικαέων ἐκτεθείσης πίστεως ὁμόφωνον καὶ ὁμόδοξον ἐπακούσας τε καὶ εὑρὼν τὴν ἐπιστολὴν τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου Κυρίλλου, ταύτῃ συντίθεμαι καὶ οὕτως πιστεύω καὶ εὔχομαι μέχρι παντὸς ἐν ταύτῃ τῇ πίστει διαμεῖναι.

108 Ζηνόβιος ἐπίσκοπος πόλεως Κνωσοῦ ἐπαρχίας Κρήτης εἶπεν· Φανερᾶς οὔσης τῆς ὀρθοδόξου πίστεως τῶν ἁγίων πατέρων τῶν συνελθόντων ἐν τῇ Νικαέων πόλει ὁμοδόξου τε καὶ ὁμοφώνου τῶν ὀρθῶς τότε τὴν πίστιν ἐκτεθειμένων φανερωθείσης ἡμῖν καὶ τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου ἐπισκόπου Κυρίλλου, ταύτῃ συντίθεμαι καὶ συναινῶ καὶ ἐν ταύτῃ τῇ πίστει εὔχομαι διαμεῖναι.

109 Μακάριος ἐπίσκοπος Μετηλιτῶν τῆς Αἰγύπτου εἶπεν· Τῆς ἐπιστολῆς ἀναγνωσθείσης τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου ἡμῶν Κυρίλλου συμφώνως τε ἐχούσης τῇ ἐκτεθείσῃ πίστει διὰ πνεύματος ἁγίου παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων, συντίθεμαι τῇ ὁμοπιστίαι, οὐκ ἄλλως ἔχοντος τοῦ δόγματος, ἀλλ' ὡς προεῖπον, τῆς παραδοθείσης τῇ τοῦ θεοῦ ἁγιωτάτῃ ἐκκλησίαι παρὰ τῶν ἁγιωτάτων πατέρων πίστεως συμφώνου οὔσης.

110 Λαμπέτιος ἐπίσκοπος Κασίου ἐπαρχίας Αὐγουσταμνικῆς εἶπε· Συντίθεμαι τῇ ἐπιστολῇ τῇ ὑπαναγνωσθείσῃ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου ἡμῶν Κυρίλλου συμφώνῳ οὔσῃ τῇ ἐν Νικαίᾳ συνόδῳ καὶ τῇ ἐκτεθείσῃ πίστει ὑπὸ τῶν ἁγίων πατέρων.

111 Μακεδόνιος ἐπίσκοπος Ξόεως εἶπεν· Κατὰ τὴν σήμερον ἀναγνωσθείσης ἡμῖν τῆς ἁγίας συνόδου τῆς ἐν Νικαίᾳ γεγενημένης παρὰ τῶν ὁσιωτάτων πατέρων ἡμῶν, ἔτι γε μὴν καὶ ταύτην πιστουμένου τοῦ ἁγιωτάτου ἡμῶν ἀρχιεπισκόπου Κυρίλλου ὡς ὁμόδοξος αὐτῇ τυγχάνει, ταύτῃ κἀγὼ συναινῶ καὶ πιστεύω ἐν ὅσῳ ζῶ, καὶ οὕτω διδάσκειν με καὶ τετράφθαι.

V, P [= hk], S, D [= mn], A

1 αὐτὸ S ἐν om. VPS 1/2 αὐτῇ τῇ πίστει A τῇ πίστει ταὐτῃ VPS 2 τὸν λοιπὸν — τοῦ Χριστοῦ] διαμεῖναι VP παραμεῖναι S διαβιῶσαι A 3 χερρονήσου DA ἐπαρχίας] τῆσ A 4 ἀνανεωθείσησ SD ἀναγνωσθείσησ A 5 ἁγιωτάτου ἐπισκόπου SD ἁγιωτάτου καὶ θεοσεβεστάτου πρσ̄ ἡμῶν VA ἁγιωτάτου καὶ θεοφιλεστάτου πρσ̄ ἡμῶν καὶ ἀρχιεπισκόπου P καὶ om. VP ὁμοούσια PSDA ὁμόδοξα V ἐχούσης om. SD 6—11 πιστεύειν — οὕτως om. D 6 πιστεύω καὶ εὔχομαι μέχρι παντὸσ ἐν ταύτῃ τῇ πίστει διαμεῖναι [cf. 10. 11] S 8 πόλεως om. P 9 νικαέων πόλει V 10 καὶ θεοφιλεστάτου om. S 11 διαμένειν A 12 πόλεως om. PA κνωσσοῦ VSA 14 ὁμοφώνου — τότε] ὁμοφωνούντων ὀρθῶσ τὲ A ὀρθῶς om. SD ἐκτεθειμένων P ἐκτιθεμένων VA ἐκθεμένων SD 15 ἐπισκόπου SD πρσ̄ [πρσ̄ ἡμῶν P] καὶ ἐπισκόπου VPA 17—21 om. sed pro 23—24 συμφώνωι — πατέρων habet 18—21 συμφώνωσ τε ἐχούση — συμφώνου οὔσησ V 17 μετηλιτῶν SD μελιτηνῶν A πόλεωσ μετηλέωσ P εἶπεν om. S 18 ἁγιωτάτου καὶ μακαριωτάτου P μακαριωτάτου καὶ ἁγιωτάτου A 18 ἐχούσῃ V 19 τῇ νικαίᾳ D 20 ὁμολογία P 21 ἁγίων A πίστεως om. S συμφωνούσησ SDA 22 κασσίου P ἐπαρχίας Αὐγουσταμνικῆς om. A 23 καὶ θεοφιλεστάτου A καὶ VP om. SD ἡμῶν VPA πρσ̄ ἡμῶν SD 24 ἁγία ἐν νικαίᾳ P ἐν νικαίᾳ ἁγία A καὶ om. A παρὰ P πρῶν τῶν τριακοσίων δέκα καὶ ὀκτὼ καὶ ταύτῃ πιστεύω A 25 ξούεωσ V ζόεωσ SD ζὼεωσ A ξαέων P ἡμῖν om. A ἡμῖν τῆσ ἐκτεθείσησ πίστεωσ παρὰ P 25/26 τῇ ἁγία συνόδῳ A 26 παρὰ om. P ἁγιωτάτων SD θειοτάτων A ἡμῶν VPA ἡμῶν πίστιν SD 27 ἡμῶν om. SD 27/28 ὁμοδόξου ταύτῃ τυγχάνοντοσ P 28 αὔτη A συμπιστεύω A 28/29 με καὶ τετράφθαι SD με καὶ τετράφθαι πιστεύω P δεδίδαγμαι VA

112 Ἄμμων ἐπίσκοπος πόλεως Βουτοῦ εἶπεν· Συμφωνῶ τῇι ἁγίαι συνόδωι τῇι κατὰ Νί- L III 490
καιαν γενομένηι παρὰ τῶν ἁγίων πατέρων καὶ τῇι ἐπιστολῇι τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου
ἡμῶν Κυρίλλου καὶ αὐτὸς συνευδοκῶ ταύτην διαφυλάξαι μέχρις ἐσχάτης ἡμέρας τῆς ζωῆς μου.

113 Ἀμμώνιος ἐπίσκοπος πόλεως Πανεφύσου ἐπαρχίας Αὐγουσταμνικῆς εἶπεν· Ταύτηι τῇι
πίστει καὶ πιστεύω καὶ ἐμμένω τῶν τιη· ἐπισκόπων καὶ τῇι ἐπιστολῇι τῇι γραφείσηι παρὰ 5
τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Κυρίλλου συντίθεμαι, οὕσηι συμφώνωι τῶν ἁγίων πατέρων,
καὶ οὕτως πιστεύω καὶ ἐν αὐτῇι ἀποθανεῖν εὔχομαι.

114 Ἀλύπιος ἐπίσκοπος Σέλης ἐπαρχίας Αὐγουσταμνικῆς εἶπεν· Ἐπήκουσα τῆς ἐπιστολῆς
τοῦ ἁγιωτάτου καὶ θεοσεβεστάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κυρίλλου τῆς γραφείσης
πρὸς Νεστόριον τὸν εὐλαβέστατον, καὶ ταύτηι ἐστὶ σύμφωνος ἡ ἐκτεθεῖσα πίστις παρὰ τῶν 10
ἁγίων πατέρων τῶν τιη τῶν συνελθόντων ἐν τῇι Νικαέων. οὕτως πιστεύω ἐν τῇι ὀρ-
θοδόξωι ταύτηι πίστει καὶ οὕτως εὔχομαι τὸν ἐνθάδε βίον καταλῦσαι καὶ τῶι βήματι τοῦ
Χριστοῦ παραστῆναι.

115 Περρέβιος ἐπίσκοπος τῶν Θετταλικῶν σάλτων εἶπεν· Ἀρραγοῦς καὶ ἀκλινοῦς οὔσης
τῆς ἐκτεθείσης ἐν Νικαίαι πίστεως παρὰ τῶν ἁγίων πατέρων, καὶ τὴν σύμφωνον ταύτηι 15
δι' ἐπιστολῆς ἐκτεθεῖσαν πίστιν παρὰ τοῦ ἁγιωτάτου ἐπισκόπου Κυρίλλου στέργω, καθὼς
καὶ οἱ πρὸ ἡμῶν πάντες ἅγιοι πατέρες κατέθεντο.

116 Φιλούμενος ἐπίσκοπος πόλεως Κίννης τῆς Γαλατίας εἶπεν· Σύμφωνον τὴν ἐπιστολὴν
τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου Κυρίλλου εὑρὼν τῇι ἐκθέσει τῆς πίστεως τῶν M IIII 1168
τιη ἁγίων ἐπισκόπων τῶν κατὰ Νίκαιαν, συντίθεμαι αὐτοῖς καὶ πιστεύω καθὼς αὐτοί τε 20
ἐξέθεντο οἱ ἅγιοι πατέρες καὶ ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου ἐπισκόπου Κυρίλλου περιέχει.

117 Ἑρμογένης ἐπίσκοπος Ῥινοκουρούρων εἶπεν· Ἓν καὶ τὸ αὐτὸ πνεῦμα ἅγιον τό τε
ἐν τοῖς πατράσι τοῖς ἐν Νικαίαι ἐνηχῆσαν περὶ τῆς πίστεως καὶ τὸ ἐν τῇι ψυχῇι καὶ
γλώττηι τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου πατρὸς καὶ ἀρχιεπισκόπου Κυρίλλου τοῦ τὴν ἐπι-
στολὴν ὑπαγορεύσαντος πρὸς διόρθωσιν τῶν παρὰ τοῦ θεοσεβεστάτου Νεστορίου μὴ καλῶς 25
ἐπ' ἐκκλησίας λεχθέντων. διὸ καὶ τὴν συμφωνίαν θαυμάσας, σύμψηφος καὶ αὐτὸς τῇι
τῶν πατέρων δόξηι γενόμενος, τὰ αὐτὰ τῇι ἁγιωτάτηι συνόδωι κατατίθεμαι.

118 Εὐόπτιος ἐπίσκοπος Πτολεμαίδος Πενταπόλεως εἶπεν· Τεθαύμακα τὴν συμφωνίαν
τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου καὶ θεοσεβεστάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κυρίλλου

V, P [= hk], S, D [= mn], A

1 πόλεως om. SD βοτοῦ A σύμφωνα VP συμφώνωσ A 2 γινομένη S γεγενημένη DA ἡ ἐπιστολὴ P τῇ ἐπιστολῇ ἐχούσῃ A 3 ἡμῶν om. SD κυρίλλου διαλαμβάνουσα P συνευδοκῶ] συνευδοκῶν ταύτῃ εὔχομαι P φυλάξαι A 4 πόλεως om. SD πανεφύσου V πανεφέσου PDA πανεφέσων S 4/5 ταύτην τὴν πίστιν P 5 πιστεύω καὶ ἐμμένω VDA πιστεύω καὶ φυλάττω S φυλάττω καὶ πιστεύω P τριακοσίων δεκαοκτὼ PD γραφείσῃ πρὸσ νεστόριον V 6 ἐπισκόπου D om. S συμφώνῳ οὔσῃ V οὔσῃ συμφώνῳ τῇ ἐκθέσει P 8 σέλλησ SD ἐπακούσασ P 9 καὶ θεοσεβεστάτου om. SD καὶ² om. V 10 ταύτῃ — σύμφωνοσ SDA αὕτῃ — σύμφωνοσ V οὔσησ αὐτῆσ συμφώνου P 10/11 ἡ ἐκτεθεῖσα — Νικαέων] ἡ ἐπιστολὴ τῇ ἐκτεθείσῃ πίστει παρὰ τῶν ἁγίων καὶ θεοφόρων πατέρων V τῇ πίστει τῶν τριακοσίων δεκαοκτὼ πατέρων τῶν συνελθόντων ἐν νικαίᾳ P ἐκτεθεῖσα — πατέρων SD ἐκθεσισ A 11 τριακοσίων δεκαοκτὼ SD τῇ νικαέων SD νικαίᾳ A 11/12 οὕτως — οὕτως uerba male concepta 11 καὶ οὕτωσ VA ἐν SDA κἀγὼ V κἀγὼ καὶ συντίθεμαι P 12 πίστει ταύτῃ A οὕτως om. V ἐνταῦθα D 12/13 καὶ — παραστῆναι om. V 14 τῶν om. A θεσσαλονικῶν PSn, θεσσαλικῶν Scorr m παλτῶν A 15 τῆσ ἐν νικαίᾳ ἐκτεθείσησ SD τῆσ ἐκτεθείσησ τῆσ ἐν νικαίᾳ V ταύτησ P 16 ἀρχιεπισκόπου κῦρίλλου A κυρίλλου τοῦ ἀρχιεπισκόπου P 17 πάντες om. PA 18 τῆσ VPS ἐπαρχίασ A ἐπαρχίασ τῆσ D τὴν om. A 19 ἐκτεθείσῃ τῆσ πίστεωσ SD ἐκτεθείσῃ πίστει P 20 τριακοσίων δεκαοκτὼ PD τῶν om. P τε om. PA 21 ἀρχιεπισκόπου SD 22 ῥινοκούρων SDA ἔφη P τό τε om. P 23 ἐνήχησε VPS τὸ] τῶ S 23/24 καὶ γλώττῃ om. A 24 ἁγίου A ἡμῶν καὶ² P om. SD 25 ἐπαγορεύσαντοσ A 25/26 ἐπ' ἐκκλησίασ μὴ καλῶσ V 26 ἐκκλησία SD 28 εὐόπιοσ SD πολεμαίδοσ S τῆσ πενταπόλεωσ VI' 29 θεοφιλεστάτου VP

τῆς πρὸς τὸν θεοσεβέστατον Νεστόριον πρὸς διόρθωσιν τῶν οὐκ ὀρθῶς εἰρημένων γραφείσης καὶ τοῦ συμβόλου τοῦ παρὰ τῶν ἁγιωτάτων καὶ θεοσεβεστάτων πατέρων ἡμῶν τῶν ἐν Νικαίαι συναχθέντων καὶ κατὰ μηδὲν ἐν αὐτῇ ἐνηλλαγμένον συνιδὼν συντίθεμαι μετὰ πάσης τῆς συνόδου τῶι συμφώνωι τῆς ὀρθῶς ἐχούσης πίστεως.

119 Φοιβάμμων ἐπίσκοπος Κοπτοῦ Θηβαίδος εἶπεν· Ὁμοδυναμεῖ ἡ ἀναγνωσθεῖσα ἐπιστολὴ τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν Κυρίλλου τοῖς ἐκτεθεῖσι δόγμασι παρὰ τῆς ἐν Νικαίαι
L III 49¹ συνόδου ἐν μηδενὶ ἀπάιδουσα πρὸς διόρθωσιν μὲν τῶν ὀρθοδόξων, καθαίρεσιν δὲ τῶν αἱρετικῶν δογμάτων, κἀγὼ πιστεύω καὶ συντίθεμαι.

120 Ζήνων ἐπίσκοπος πόλεως Κουρίου τῆς Κύπρου εἶπεν· Τοῖς ὁρισθεῖσι παρὰ τῶν ἁγίων πατέρων τῶν κατὰ Νίκαιαν καὶ τοῖς γραφεῖσι παρὰ τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κυρίλλου συμφώνοις οὖσι καὶ ἡμεῖς συντιθέμεθα, τὴν αὐτὴν πίστιν ὁμολογοῦντες.

121 Μαρτύριος ἐπίσκοπος Ἰλίστρων εἶπεν· Ἄνωθεν καὶ ἐκ προγόνων τοῖς κανόσι τῶν κατὰ Νίκαιαν ἐντραφέντες καὶ πιστεύοντες τούτους μέχρι τέλους διαφυλάξαι, εἶτα δὲ καὶ τῆς ἐπιστολῆς ἐπακούσαντες τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Κυρίλλου καὶ σύμψηφον ταύτην εὑρόντες τῶν ἁγίων κανόνων, πιστεύομεν ἕως τέλους καὶ διαφυλάξαι καὶ τηρῆσαι τοὺς ἡμῖν ἐμπεπιστευμένους λαούς.

122 Ἡσύχιος ἐπίσκοπος Παρίου εἶπεν· Εἰ καὶ μόνος δοκῶ τῆς ἐπαρχίας τῆς ἐμῆς καὶ ταῦτα δι' εὐχὴν ἐλθών, ἀλλ' οὖν γε καὶ αὐτὸς τῆς πίστεως εἶναι τῆς αὐτῆς κατατίθεμαι, ἥσπερ ἐξέθεντο οἱ ἁγιώτατοι καὶ θεοσεβέστατοι πατέρες οἱ ἐν Νικαίαι συνελθόντες. ταύτην καὶ ἐκύρωσεν ὁ ἁγιώτατος καὶ θεοφιλέστατος ἀρχιεπίσκοπος Κύριλλος διὰ τῆς ἐπιστολῆς τῆς γραφείσης πρὸς τὸν εὐλαβέστατον Νεστόριον.

123 Ἑλλάδιος ἐπίσκοπος Ἀτραμυτίου εἶπεν· Κατὰ τὴν ἔκθεσιν τῶν τιη̄ ἁγιωτάτων καὶ θεοφιλεστάτων πατέρων ἡμῶν καὶ τὴν ἐπιστολὴν τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Κυρίλλου πιστεύω καὶ τὴν πίστιν ταύτην διαφυλάξω.

124 Δίων ἐπίσκοπος πόλεως Θηβῶν εἶπεν· Πίστις μοί ἐστι τῶν ἁγίων πατέρων τῶν
M IIII 116⁹ κατὰ Νίκαιαν καὶ ταύτην ὁμολογῶ, οἶδα δὲ τῶι αὐτῶι φρονήματι καὶ τὸν ἁγιώτατον πατέρα καὶ συλλειτουργὸν ἀρχιεπίσκοπον Κύριλλον διὰ τῆς ἁγίας ἐπιστολῆς ἐκτεθεῖσθαι καὶ εἰρηκέναι τῆς γραφείσης πρὸς Νεστόριον.

125 Ἀνδρέας ἐπίσκοπος Ἑρμουπόλεως τῆς Θηβαίδος εἶπεν· Κατὰ τὰ ἐψηφισμένα περὶ τῆς ὀρθῆς καὶ σωτηριώδους πίστεως παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν τῆι Νικαέων πόλει συναχθέντων τιη̄ ἐπισκόπων καὶ κατὰ τὴν τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κυρίλλου ἀναγνωσθεῖσαν ἐπιστολὴν καὶ ἐπισταλεῖσαν τῶι εὐλαβεστάτωι

V, P [= hk], S, D [= mn], A

1 θεοσεβέστατον καὶ εὐλαβέστατον P ὀρθῶσ ὑπ' αὐτοῦ P 2 ἡμῶν πατέρων P 3 συνελθόντων SD ἐν αὐτῆι om. P συνιδὼν καὶ S 4 τῆ συμφωνία SD τῆσ συμφώνωσ A ὀρθῆσ SA, corr. S 5 φοιβάμων DA κοπτῶν SD τῆσ θηβαίδοσ V ἐπαρχίασ θηβαίδοσ A 6/7 τῆ — συνόδω VA 6 τῆ νικαία V 7 μὲν καὶ V ὀρθῶν A 8 συντίθεμαι τοῖσ ὀρθοῖσ δόγμασιν P 9 πόλεωσ om. PA 10 ἐν νικαία A ὁσιωτάτου SD 13 ἰλιστρῶν PA ἰλλίστρων SD ἰλούστρων V τῶν] τοῖσ A 14 τὴν νίκαιαν S ἐντραφέντων S πιστεύσαντεσ P τούτοισ S ἄχρι A διαφυλάξαι εὐχόμεθα P δὲ] δὴ P 15 ἐπακούσαντεσ S ὑπακούσαντεσ VPDA ἀρχιερέωσ A σύμφωνον P 16 διατηρῆσαι DA 19 τῆσ αὐτῆσ εἶναι VP 20 καὶ θεοσεβέστατοι om. SD 21 θεοσεβέστατοσ DA ἐπίσκοποσ SD ἡμῶν ἀρχιεπίσκοποσ A 23 ἀτραμυτίου VPA ἀδραμυτίου D ἀδραμυττίου S κατὰ SD om. VPA τριακοσίων δεκαοκτὼ PSD 25 φυλάττω VP φυλάξω A 26 θηβῶν πόλεωσ A πατέρων om. P 28/29 τῆσ αὐτοῦ ἐπιστολῆσ τῆσ γραφείσησ πρόσ νεστόριον τὰ αὐτὰ ἐκτεθεῖσθαι καὶ εἰρηκέναι P 28 ἐπιστολῆς om. D ἐκτεθῆσθαι A ἐκθεῖναι V 30 θερμουπόλεωσ SD 32 συναχθέντων τῶν P τριακοσίων δεκαοκτὼ PD 33 καὶ VSDA τὴν P ἐπισταλεῖσαν PSA ἀποσταλεῖσαν V σταλεῖσαν D

ἐπισκόπωι Νεστορίωι, συνωιδοῦσαν τοῖς πάλαι δεδογμένοις παρὰ τῶν αὐτῶν ἁγιωτάτων ἐπισκόπων τῶν ἐν τῆι Νικαέων συναχθέντων, πιστεύω καὶ δοξάζω τὴν τῶν ὀρθοδόξων πίστιν.

126 Καὶ πάντες δὲ οἱ λοιποὶ οἱ προταγέντες ἐν τῆι στάσει ἐπίσκοποι τὰ αὐτὰ κατατίθενται καὶ οὕτως πιστεύουσι καθὼς καὶ οἱ πατέρες ἐξέθεντο καὶ ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Κυρίλλου ἡ γραφεῖσα πρὸς Νεστόριον τὸν ἐπίσκοπον ἐγνώρισεν.

46 Παλλάδιος ἐπίσκοπος Ἀμασείας εἶπεν· Ἀκόλουθόν ἐστι καὶ τὴν ἐπιστολὴν τοῦ εὐλαβεστάτου Νεστορίου ἀναγνωσθῆναι, ἧς ἐμνημόνευσε κατ' ἀρχὰς ὁ εὐλαβέστατος πρεσβύτερος Πέτρος ὥστε γνῶναι ἡμᾶς εἰ κἀκείνη σύμφωνός ἐστι τοῖς παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι ἐκτεθεῖσιν.

Καὶ ἀναγνωσθεῖσα ὑποτέτακται καθὼς προεγράφη, ἧς ἡ ἀρχή· Τῶι εὐλαβεστάτωι καὶ θεοφιλεστάτωι συλλειτουργῶι Κυρίλλωι Νεστόριος ἐν κυρίωι χαίρειν. Τὰς μὲν καθ' ἡμῶν ὕβρεις τῶν θαυμαστῶν σου γραμμάτων ἀφίημι ὡς μακροθυμίας ἀξίας ἰατρικῆς καὶ τὰ λοιπά. ep. 5 L III 494

47 1 Καὶ μετὰ τὸ ἀναγνωσθῆναι τὴν ἐπιστολὴν Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Τί δοκεῖ τῆι ἁγίαι ταύτηι καὶ μεγάληι συνόδωι περὶ τῆς ἀρτίως ἀναγνωσθείσης ἐπιστολῆς; ἆρα φαίνεται καὶ αὐτὴ σύμφωνος εἶναι τῆι ὁρισθείσηι πίστει ἐν τῆι συνόδωι τῶν ἁγίων πατέρων τῶν κατὰ καιροὺς συνειλεγμένων ἐν τῆι Νικαέων πόλει ἢ οὔ;

2 Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Οὐδαμῶς σύμφωνος τυγχάνει τῆι εὐσεβεῖ πίστει τῆι ἐκτεθείσηι παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι, καὶ ἀναθεματίζω τοὺς οὕτως πιστεύοντας. καὶ γὰρ ἀλλότρια ταῦτα πάντηι τυγχάνει τῆς ὀρθοδόξου πίστεως.

3 Φλαυιανὸς ἐπίσκοπος Φιλίππων εἶπεν· Τὰ ἐγκείμενα τῆι ἀναγνωσθείσηι ἐπιστολῆι σύμπαντα μαχόμενα τυγχάνει πάντηι καὶ ἀλλότρια καθάπαξ τῆς πίστεως τῆς ἐκτεθείσης ἐν Νικαίαι παρὰ τῶν ἁγιωτάτων πατέρων, καὶ ἀλλοτρίους εἶναι τῆς ὀρθῆς πίστεως τοὺς οὕτω πιστεύοντας κρίνομεν.

4 Φίρμος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· Μόρφωσιν εὐσεβείας περιθεὶς ἐν προοιμίοις τῆι ἐπιστολῆι, προιόντος τοῦ λόγου οὐδενὶ τρόπωι τὸ ἑαυτοῦ φρόνημα συσκιάσαι δυνηθεὶς γυμνὸν παρακαλύμματος τὸ ἑαυτοῦ παρέθετο φρόνημα, ἀπαίδον τῆς τῶν ἁγίων πατέρων τῶν τιη πίστεως καὶ τῆς ἐπιστολῆς τοῦ ὁσιωτάτου ἐπισκόπου Κυρίλλου ὑπεναντίως ἔχον.

---

3 cf. Gesta concilii quinti [*L V 520 = M VIIII 311*]: *et postquam dixerunt centum uigintiquattuor episcopi consonanter, in fine ita scriptum est: Et omnes qui supra scripti sunt etc.*

13 in fine add. *scripta mense Iunio die quinta decima* Λ^{c}

V, M [inde a 3 usque ad 24], P [= hk], S, D [= mn], A, Λ^{tcu} [inde a 3]

1 ἐπισκόπωι om. V δεδογματισμένοισ VP αὐτῶν om. PSD 2 τῆ νικαέων PA τῆ νικαέων πόλει V νικαία SD 3 ὁμοίωσ καὶ M δὲ SDAΛ^{c} om. VMP λοιποὶ οἱ om. A οἱ καὶ προταγέντεσ VMP ἐν — ἐπίσκοποι om. V ταῦτα M 4 πιστεύω A 4/5 ἐπισκόπου M 6 μ̄ς̄ V μ̄δ̄ M κθ' D ἀμασίασ P 8 καὶ ἡμᾶσ D τῶν S 9 τῶν om. MPS 10 ἀναγνωσθεῖσα ὑποτέτακται VPAΛ^{c} ἀνεγνώσθη SD προεγράφη — ἀρχή AΛ^{tc} περιέχει VMP προτέτακται SD 10/11 τῶι — χαίρειν om. AΛ^{c} εὐλαβεστάτωι καὶ om. V 12 ῥημάτων P 12/13 ὡς — λοιπά om. A 12 ἄξια P 13 λοιπά VΛ^{tc} λοιπὰ ὡσ [ὥσπερ M] προλάμπει MP ἐξῆσ προεγράφη SD 14 μ̄ζ̄ V κ̄η̄ S καὶ — ἐπιστολὴν DAΛ^{tc} om. VPMSΛ^{u} 15 ἁγία — μεγάλη DAΛ ταύτη τῆ ἁγία καὶ μεγάλη VMP τῆ μεγάλη ταύτη καὶ ἁγία S 16 καὶ αὐτὴ φαίνεται S συνόδω MAΛ ἁγία συνόδω VPSD 17 τῶν om. V συνηγμένων VMP ἢ οὔ om. S 20 πάντη SΛ^{tc} πάντα PDA conc. quintum om. VΛ^{u} locus oblitteratus in M 22 μαχόμενα — ἀλλότρια] ἀλλότρια καὶ μαχόμενα τυγχάνει P πάντη τὲ A om. VM 23 τῆ νικαέων A ἁγίων AΛ^{t} 24 δοξάζοντασ P κρίνομεν om. P 25—p. 35, 29 om. M, pro iis ponendo ὁμοίωσ τούτοισ καὶ οἱ λοιποὶ πάντεσ ἐπίσκοποι εἶπον ὡσ τὰ ἐγκείμενα τῆ ἀναγνωσθείση ἐπιστολῆ τοῦ νεστορίου ἀλλότρια τυγχάνει τῆσ πίστεωσ τῆσ ἐκτεθείσησ ἐν νικαία παρὰ τῶν ἁγίων π̄ρ̄ω̄ν̄ καὶ ταῦτα ἀνεθεμάτισαν καὶ τούσ ταῦτα φρονοῦντασ 26 αὐτοῦ S 27 περικαλύμματοσ P προκαλύμματοσ V τὸ ἑαυτοῦ] τοῦτο A φρόνημα om. A καὶ τῆσ SDA τοῖσ P 28 τριακοσίων δεκαοκτὼ PD τῆσ ἐπιστολῆσ SDAΛ^{tcu} τῆ ἐπιστολῆ VP conc. **quintum** **ἀρχιεπισκόπου** V

5 Οὐαλεριανὸς ἐπίσκοπος Ἰκονίου εἶπεν· Πᾶσιν εὐσύνοπτος ἡ τῆς ἐπιστολῆς ἐναντιότης τοῦ εὐλαβεστάτου Νεστορίου οὐ μόνον τῆς πίστεως τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι καὶ τῆς ἐπιστολῆς τοῦ θεοφιλεστάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου Κυρίλλου ἀπάιδουσα, ἀλλ' οὐδὲ ἑαυτῇι συμβαίνουσα.

IIII 1172 **6** Ἰκόνιος ἐπίσκοπος Γορτύνης εἶπεν· Ἡ ἐπιστολὴ τοῦ εὐλαβεστάτου Νεστορίου ἡ νῦν ἀναγνωσθεῖσα οὐδεμίαν ἔχει συμφωνίαν πρὸς τὴν ἔκθεσιν τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι συναχθέντων οὔτε μὴν πρὸς τὴν ἐπιστολὴν τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν καὶ ἐπισκόπου Κυρίλλου. διὸ ταύτηι ἀποτασσόμενος καὶ ἀναθεματίζων τοὺς οὕτω πιστεύοντας, συντίθεμαι τῆι ἐκθέσει τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι καὶ τῆι ἐπιστολῆι τοῦ ἁγιωτάτου πατρὸς καὶ ἀρχιεπισκόπου Κυρίλλου.

7 Ἑλλάνικος ἐπίσκοπος Ῥόδου εἶπεν· Καὶ ἤδη κατεθέμην ὅτι τῆι ἐκθέσει τῆς ὀρθοδόξου πίστεως τῶν τιη̄ ἁγίων πατέρων τῶν συνελθόντων ἐν τῆι Νικαέων ἀκολουθῶ καὶ τὴν ἁγίαν παρθένον Μαρίαν θεοτόκον ὁμολογῶ, ἀνάθεμα δὲ ἔστω ὁ μὴ πιστεύων οὕτως.

8 Ἀκάκιος ἐπίσκοπος Μελιτηνῆς εἶπεν· Ἔδειξεν ἡ ἀναγνωσθεῖσα ἐπιστολὴ τοῦ εὐλαβεστάτου ἐπισκόπου Νεστορίου ὅτιπερ οὐκ εἰκαῖον ἠγωνίασε φόβον εἰς τὴν ἁγίαν ταύτην καὶ μεγάλην συνελθεῖν σύνοδον. ἀκόλουθον γὰρ ἦν τὸν συνειδότα ἑαυτῶι καὶ τὰς θείας παραχαράξαντα γραφὰς καὶ τὰ τῶν ἁγίων πατέρων παρασαλεύσαντα δόγματα τοσούτωι κατασχεθῆναι φόβωι ὥστε στρατιωτῶν πλήθει τὴν ἑαυτοῦ περιτειχίσαι οἰκίαν. σαφέστατα
L III 495 γὰρ καὶ ἡ ἀναγνωσθεῖσα αὐτοῦ ἐδήλωσεν ἐπιστολὴ ὅτιπερ τὰς περὶ τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ ἐγκειμένας τῆι πίστει τῶν ἁγίων πατέρων τιη̄ ἐπισκόπων φωνὰς ἀφελὼν μόνηι τῆι σαρκὶ τὰ τῆς σωτηριώδους περιῆψεν οἰκονομίας, ψιλὸν τὸν ναὸν τοῦ θεοῦ γέννησίν τε καὶ τελευτὴν ὑπομεῖναι εἰπών. καὶ κατεψεύσατο μὲν τῆς γραφῆς ὡς καὶ αὐτῆς τὴν γέννησιν καὶ τὸ πάθος οὐ τῆς θεότητος, ἀλλὰ τῆς ἀνθρωπότητος διδασκούσης, κατεσυκοφάντησε δὲ καὶ τῶν τοῦ ἁγιωτάτου καὶ θεοσεβεστάτου ἐπισκόπου Κυρίλλου γραμμάτων ὡς παθητὸν λεγόντων θεόν, ὅπερ οὔτε αὐτὸς οὔτε ἄλλος τις τῶν εὐσεβῶς φρονούντων ἢ ἐνενόησεν ἢ εἰπεῖν ἐτόλμησεν. διὰ πάντων δὲ ἔδειξεν ἑαυτὸν ὀνόματι μόνωι τὴν ἑνότητα τοῦ θεοῦ πρὸς τὴν σάρκα ὁμολογῶν, τῶι δὲ πράγματι ταύτην πάντηι ἀρνούμενος, ἤλεγξε δὲ ἑαυτὸν καὶ ξένηι διδαχῆι χρησάμενον ἐν τῶι νῦν πεφωτίσθαι τὰ δόγματα λέγειν δι' αὐτοῦ. οἷς ἅπασιν ἀλλοτρίοις οὖσι τῆς ἀληθείας καὶ πολλὴν τὴν ἀσέβειαν ἔχουσιν ἀποτάσσομαι, ἀλλότριον ἐμαυτὸν τῆς τῶν τοιαῦτα φθεγγομένων κοινωνίας ποιῶν.

9 Μέμνων ἐπίσκοπος Ἐφέσου εἶπεν· Οὐ συκοφαντίας μόνον, ἀλλὰ καὶ βλασφημίας

V, P [usque ad 4], S, D [= mn], A, Λ^{tcu}

1 οὐαλλεριανὸσ SDA ἰουλιανὸσ VP πάνυ A 3 θεοφιλεστάτου καὶ ἁγιωτάτου VPΛ^{c} θεοσεβεστάτου καὶ ἁγιωτάτου A ἁγιωτάτου καὶ θεοσεβεστάτου SD ἀρχιεπισκόπου om. SD 4 ἀλλ — συμβαίνουσα] ἀλλὰ καὶ αὐτῶ τῶ δημιουργῶ τῆσ ἐπιστολῆσ διὰ τοῦτο ἀναθεματίζω αὐτόν P ἑαυτῆσ S 5—p. 35, 26 om. P 5 ἡ^{2} om. V 6/7 οὐδεμίαν συμφωνίαν — συναχθέντων ἔχει V 7 συναχθέντων VΛ συνελθόντων SDA οὐδε V ἁγιωτάτου om. SD 7/8 καὶ ἐπισκόπου om. SD 10 πατρὸς καὶ om. SD ἐπισκόπου SDA 11 Ἀλλάνικοσ D 12 τριακοσίων δεκαοκτὼ [δέκα καὶ ὀκτὼ A] DA 13 καλῶ A 14 ἔδειξεν VΛ ἔδειξεν ἡμῖν SDA 15 ἐπισκόπου om. D 16 συνελθεῖν σύνοδον ΑΛ ἐλθεῖν σύνοδον V σύνοδον συνελθεῖν SD ἑαυτῶ τοιαῦτα A 17 δόγματα SDAΛ ὅρια V τοσούτω VΛ τοιούτω SDA 18 πλήθη S πλῆθοσ A περιστοιχίσαι D 19 ὅτι SD υἱοῦ om. V 20 τιη̄ S τριακοσίων δεκαοκτὼ [δέκα καὶ ὀκτὼ A] DAΛ καὶ θεοφόρων V 21 τὰ DAΛ τὰσ VS τε VΛ om. SDA 23 καὶ SDAΛ τε καὶ V μόνον ἀλλὰ καὶ SD 24 δὲ om. V καὶ θεοσεβεστάτου ΑΛ καὶ θεοφιλεστάτου V om. SD 25 τὸν θν̄ V ἐνόησεν S ἢ εἰπεῖν SDAΛ εἰπεῖν ἢ V 26 μόνω VSDΛ^{t} μόνον ΑΛ^{uc} 27 ὁμολογῶν SDAΛ ὁμολογοῦντα V πάντη ταύτην A δὲ αὐτὸν SD καὶ om. SD 28 τὰ δόγματα λέγει δι' αὐτοῦ VΛ δι' αὐτοῦ τὸ δόγμα λέγειν SDA 30 τῆς — ποιῶν VΛ κρίνων τῆσ — κοινωνίασ SDA 31 μόνον ΑΛ μόνησ V μῶμον SD καὶ om. SD

ἡ ἀναγνωσθεῖσα πεπλήρωται ἐπιστολή· ὅθεν πᾶσα ἐναντία ἐστὶ τῇι πίστει τῇι ἐκτεθείσηι παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι συνελθόντων τριακοσίων δέκα καὶ ὀκτώ.

10 Θεόδοτος ἐπίσκοπος Ἀγκύρας εἶπεν· Κατ' οὐδὲν συμφωνοῦσαν τὴν ἐπιστολὴν τοῦ εὐλαβεστάτου Νεστορίου ἔγνωμεν τῇι ἐκθέσει τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι συνειλεγμένων τιη· ὅθεν τῇι μὲν ἐκθέσει πειθόμεθα, τὴν δὲ ἐπιστολὴν τοῦ Νεστορίου ἀλλοτρίαν τῆς ὀρθῆς πίστεως τιθέμεθα καὶ τοὺς ταῦτα φρονοῦντας ἀλλοτρίους τῆς ὀρθῆς πίστεως [εἶναι] κρίνομεν.

11 Παλλάδιος ἐπίσκοπος Ἀμασείας εἶπεν· Ἐγὼ μὲν διὰ τὴν ἐγγεγραμμένην τῇι ἐπιστολῆι βλασφημίαν καὶ τὰ ὦτα ἀποφράττειν οὐκ ὀκνῶ καὶ μικροῦ λίθινος ἐγενόμην ὑπὸ ἀθυμίας ὥστε μὴ δύνασθαι φωνὴν ῥῆξαι τοσαύτηι ἀθυμίαι κατειλημμένον· πιστεύω δὲ πᾶσαν τὴν θεοφιλῆ ἁγίαν σύνοδον τὴν αὐτὴν γνώμην ἔχειν ἐμοὶ ἐπὶ τῇι ἀρτίως ἀναγνωσθείσηι ἐπιστολῆι, τοσοῦτον δὲ μόνον φημὶ ὅτιπερ σφόδρα ἀπάιδουσα ἡ ἀναγνωσθεῖσα ἐπιστολὴ τυγχάνει τῆς τῶν ἁγίων πατέρων ἐπὶ τῇι πίστει ἐκθέσεως τῶν συνειλεγμένων ἐν τῇι Νικαέων καλλιπόλει. M III 1173

12 Δυνατὸς ἐπίσκοπος Παλαιᾶς Ἠπείρου εἶπεν· Οὐδένα ἀληθείας λόγον ἀπαγγέλλει ἡ ἀναγνωσθεῖσα ἐπιστολὴ τοῦ εὐλαβεστάτου Νεστορίου· οὔτε τῇι ἐκθέσει τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι συνάιδειν αὐτὴν ἐπιγινώσκομεν οὔτε τῇι παραδόσει τῆς καθολικῆς ἐκκλησίας. διὸ δὴ κατ' οὐδένα λόγον ἐπιγινώσκομεν αὐτὴν τῆς καθολικῆς εἶναι ἐκκλησίας, ἀλλὰ καὶ εἴ τις ἕτερος οὕτω φρονεῖ, οὐκ ἀκολουθεῖ τῇι τῆς καθολικῆς ἐκκλησίας πίστει.

13 Προθύμιος ἐπίσκοπος Κομάνης εἶπεν· Τοῖς γράμμασι τοῖς ἐκτεθεῖσι παρὰ τῆς σῆς ἁγιωσύνης πιστεύω καὶ ἀναθεματίζω τὸν μὴ λέγοντα θεοτόκον τὴν ἁγίαν παρθένον.

14 Γρηγόριος ἐπίσκοπος Κερασοῦντος εἶπεν· Ἐναντία τῆς εὐσεβοῦς θρησκείας τῶν τιη ἐπισκόπων τῶν ἐν Νικαίαι γέγραφεν ὁ εὐλαβέστατος ἐπίσκοπος Νεστόριος τῶι ἁγιωτάτωι καὶ θεοφιλεστάτωι ἀρχιεπισκόπωι Κυρίλλωι· ὅθεν ταῦτα αὐτοῦ φρονοῦντος οὐ συγκατατίθεμαι τῶι ἐκείνου δόγματι, ἀλλὰ συναινῶ τῶι τοῦ προλεχθέντος ἀρχιεπισκόπου Κυρίλλου καὶ τῶν προλεχθέντων ἁγίων πατέρων. L III 498

15 Ῥωμανὸς ἐπίσκοπος Ῥαφίας εἶπεν· Κίβδηλον πίστιν ἐξέθετο ὁ εὐλαβέστατος Νεστόριος παρὰ τὴν τῶν ἁγίων πατέρων· ὅθεν ταύτην ἀναθεματίζομεν κατὰ τὴν τοῦ ἀποστόλου φωνὴν τὴν λέγουσαν εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. Gal. 1, 9

16 Θεόδουλος ἐπίσκοπος Ἐλούσης εἶπεν· Παραγράφομαι τὴν ἐπιστολὴν τὴν γραφεῖσαν παρὰ τοῦ εὐλαβεστάτου Νεστορίου πρὸς τὸν ἁγιώτατον ἐπίσκοπον Κύριλλον τῶι παρανόμως καὶ παρὰ τοὺς θεσμοὺς τοὺς ἐκκλησιαστικοὺς γεγενῆσθαι αὐτήν, τὴν δὲ πίστιν τὴν ἐν Νικαίαι βεβαίαν ἡγοῦμαι.

17 Ἑρμογένης ἐπίσκοπος Ῥινοκουρούρων εἶπεν· Παντάπασιν ἀλλότρια τὰ παρὰ τοῦ εὐλα-

---

VS, D [= mn], A, Λ[tcu] [usque ad 14]

1 πεπλήρωται ἐπιστολή VΛ ἐπιστολὴ περιέχει SD περιέχει ἐπιστολὴ A 2 τριακοσίων — ὀκτώ SAΛ τιη D om. V 3 ἀγκύρων SA 4 ἔγνωμεν νεστορίου V 4/5 τῶν — τιη om. SD 5 τιη ΑΛ ἁγίων καὶ θεοφόρων ἐπισκόπων V μὲν VSΑΛ μὲν ἐκείνων D τοῦ om. SDA 6 ὀρθοδόξου SD ὀρθῆσ SDAΛ χριστιανῶν V 7 εἶναι om. VΛ 9 μαρτυρίαν βλάσφημον SD 10 μὴ VSΑΛ[ic] μηδὲ DΛ[u] δὲ VAΛ δὲ καὶ D om. S 11 ἁγίαν SDΛ[tc] καὶ ἁγίαν VΑΛ[u] κἀμοὶ V om. Λ[u] 12 τοσοῦτο SA 13—16 τυγχάνει — ἐπιστολὴ om. V 13/14 τῶν — καλλιπόλει ΑΛ om. SD 15 δονάτοσ m λόγον ἀληθείασ A 17 αὐτὴν συνάδειν A συνάδουσαν αὐτὴν SD καθολικῆς om. D 18 διὸ — ἐκκλησίας om. SD λόγον V τρόπον A 20 κονάνησ VA κονάησ SD 22 τριακοσίων δεκαοκτὼ D 23 τῶν ἐν Νικαίαι om. SD ἐπίσκοπος om. SDA 24 καὶ — ἀρχιεπισκόπωι om. SD ταῦτα — φρονοῦντος om. SD 25 τῶι D τὸ S τῇ ἐκθέσει V om. A 27 ῥαφείασ SDA 29 ὑμῖν V 31 θεόδωροσ V 32/33 παρὰ τοὺσ θεσμοὺς — καὶ παρανόμωσ A 33 τοὺσ ἐκκλησιαστικοὺσ θεσμοὺσ V γενέσθαι D 35 ῥινοκούρων SDA

βεστάτου Νεστορίου ὑπηγορευμένα τῆι ὀρθοδόξωι τυγχάνει πίστει καὶ τῆι τῶν πατέρων ἐκθέσει, ἔτι γε μὴν καὶ τοῖς γεγραμμένοις παρὰ τοῦ ὁσιωτάτου καὶ θεοφιλεστάτου Κυρίλλου, συμφώνοις τυγχάνουσι τῶι τῶν πατέρων φρονήματι περὶ τῆς πίστεως.

18 Εὐόπτιος ἐπίσκοπος Πτολεμαίδος εἶπεν· Ὥσπερ οἱ τὸ βασιλικὸν νόμισμα παραχαράττοντες τιμωρίας παρὰ τῶν νόμων εἰσὶ τῆς ἐσχάτης ὑπεύθυνοι, οὕτως καὶ ὁ εὐλαβέστατος Νεστόριος τὸ δόγμα τῆς ὀρθοδοξίας παραχαράξαι τολμήσας καὶ παρὰ θεῶι καὶ παρὰ ἀνθρώποις πάσης ἀξιός ἐστι τιμωρίας καὶ ἅπερ προήνεγκεν ἀπάιδοντα τῆι καθολικῆι ἐκκλησίαι δόγματα πρὸς λύμην καὶ ἀπώλειαν τῶν ἀκολουθησάντων ἀνθρώπων αὐτῶι. ὅθεν ἀλλότριον ἑμαυτὸν τῆς κοινωνίας αὐτοῦ καὶ πάντων τῶν τὰ αὐτὰ φρονούντων αὐτῶι καθιστῶ.

Cor. 6, 14.15 19 Φείδος ἐπίσκοπος Ἰόππης εἶπεν· Τίς κοινωνία φωτὶ πρὸς σκότος ἢ τίς συγκατάM IIII 1176 θεσις Χριστῶι πρὸς Βελίαρ; πολὺ γὰρ ἀφέστηκε τῆς ἀληθείας ἡ νυνὶ ἀναγνωσθεῖσα ἐπιστολὴ τοῦ εὐλαβεστάτου Νεστορίου, πολὺ δὲ συγκατατίθεται τῆι παρανόμωι γνώμηι Παύλου τοῦ Σαμοσατέως· ὅθεν ἀπαράδεκτος πᾶσι διὰ τὰς ἐγκειμένας ἐν αὐτῆι δυσφημίας ἔσται.

20 Θεόδωρος ἐπίσκοπος Ἀραβδήλων εἶπεν· Οὐκ ὀρθῶς οὐδὲ σύμφωνα τῆι ὀρθοδόξωι πίστει οὐδὲ τῆι ἐκθέσει τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι συνελθόντων περιέχει ἡ ἐπιστολὴ τοῦ εὐλαβεστάτου Νεστορίου, ἀλλὰ πάντηι ἀπάιδοντα· ὅθεν κἀγὼ ἀναθεματίζω αὐτὸν τοιαῦτα φρονοῦντα.

21 Θεόδωρος ἐπίσκοπος Γαδάρων εἶπεν· Ἀναθεματίζω κἀγὼ τὸν τιμιώτατον Νεστόριον μὴ φρονήσαντα τὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι συνελθόντων, καθὼς καὶ ἡ ἀναγνωσθεῖσα αὐτοῦ ἐπιστολὴ ἔδειξεν.

22 Ῥουφῖνος ἐπίσκοπος Ταβῶν εἶπεν· Ἡ ἀναγνωσθεῖσα ἐπιστολὴ τοῦ εὐλαβεστάτου Νεστορίου ἔδειξεν αὐτὸν ὑπεναντία τῆς ἐκτεθείσης πίστεως παρὰ τῶν ἁγίων πατέρων τῶν L III 499 ἐν Νικαίαι συνελθόντων φρονοῦντα· ὅθεν ἀναθεματίζω αὐτὸν καὶ ταῖς ἐκτεθείσαις παρ' αὐτοῦ βλασφημίαις ἀποτάσσομαι.

23 Παυλιανὸς ἐπίσκοπος Μαιουμᾶ εἶπεν· Ὁμοίως κἀγὼ αὐτὸν ἀναθεματίζω, ἐπειδὴ κακῶς φρονεῖ. ἔδειξε γὰρ ἡ ἐπιστολὴ τοῦτο αὐτό.

24 Ἀιάνης ἐπίσκοπος Συκαμαζόνος εἶπεν· Οὐχ ἁπλῶς οὐδ' ὡς ἔτυχεν ἐδείχθη ἡ γνώμη τοῦ εὐλαβεστάτου Νεστορίου διὰ τῆς ἀναγνωσθείσης ἐπιστολῆς σαφῶς περιεχούσης, ὡς ὑπεναντία τῆς ὀρθοδόξου πίστεως φρονεῖ· ὅθεν κἀγὼ αὐτὸν ἀναθεματίζω.

25 Πέτρος ἐπίσκοπος Παρεμβολῶν εἶπεν· Ἐπειδὴ χρὴ ἑξακολουθεῖν τῆι ὀρθοδόξωι πίστει τῆι ἐκτεθείσηι παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι συνελθόντων τοὺς θεῶι ἀνακειμένους, εὕρηται δὲ ὁ εὐλαβέστατος Νεστόριος οὐχ ὁμοίως φρονῶν, κατὰ τοῦτο κἀγὼ αὐτὸν ἀναθεματίζω ἀπὸ τῆς ἀναγνωσθείσης αὐτοῦ ἐπιστολῆς.

26 Ἰωάννης ἐπίσκοπος Αὐγουστοπόλεως εἶπεν· Ὤφθαι ἀπὸ τῆς ἀναγνωσθείσης ἐπιστολῆς Νεστόριος ὁ εὐλαβέστατος ὑπεναντία τῆς ὀρθοδόξου πίστεως φρονῶν· ὅθεν κἀγὼ αὐτὸν ἀναθεματίζω.

27 Παῦλος ἐπίσκοπος Ἀνθηδόνος εἶπεν· Οὐ χρὴ τοὺς μάλιστα Χριστιανοὺς συνυπάγεσθαι

VS, D [= mn], A

1 τυγχάνει om. S post ἐκθέσει coll. D 2 ἐγγεγραμμένοις SDA καὶ θεοφιλεστάτου om. SD 3 συμφώνως S σύμφωνα A 4 εὐόπιος Sm πολεμαίδος Sm 6 παρὰ² om. V 8 ἀνθρώπων om. S 9 αὐτῶι om. D καθίστημι V 12 νεστορίου τοῦ εὐλαβεστάτου V παρανόμωι om. SDA γνώμη τῆ A 13 ἀπαράδεκτος V απρόσδεκτος A ἀποδεκτικὸς S οὐκ ἀποδεκτέος D ἐγκειμένας αὐτῆ A ἐν αὐτῆ ἐγκειμένας SD ἔσται om. V 14 ἀρβδήλων V 18 φρονήσαντα ὀρθῶς DA 20 Ταβῶν pro Γάβων, idem uitium extat 45, 40 cf. 33, 41 22 τῆ νικαέων A φρονοῦντα om. S 23 δυσφημίαις καὶ βλασφημίαις SD ἀποτάττομαι S 24 αὐτὸν om. S 25 ἡ ἐπιστολὴ V αὐτοῦ ἡ ἐπιστολὴ A ἡ ἐπιστολὴ αὐτοῦ SD 26 ἀιανὸς A 26—28 οὐχ — ἀναθεματίζω] ὁμοίως κἀγὼ αὐτὸν ἀναθεματίζω ὡς ὑπεναντία τῆς ὀρθοδόξου πίστεως φρονοῦντα V 27 αὐτοῦ ἐπιστολῆς SD περιεχούσης ὡς] περιέχει καὶ S 29 χρὴ] δεῖ S 29/30 τῆ — ἐκτεθείση DA τῆ ἐκτεθείση ὀρθοδόξω πίστει S τῆ ὀρθοδόξω πίστει V 31 ὅμοια A 36 συνυπάγεσθαι V συνάγεσθαι A συνάπτεσθαι SD

τοῖς οὐ καλῶς φρονοῦσιν, ἀλλὰ τἀναντία· ὅθεν ἀπὸ τῆς ἀναγνωσθείσης ἐπιστολῆς τοῦ εὐλαβεστάτου Νεστορίου ὑπεναντία τῆς ὀρθοδόξου πίστεως τῆς ἐκτεθείσης παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι τὸ τηνικαῦτα συνελθόντων σαφῶς περιεχούσης ἀναθεματίζω αὐτόν.

28 Λητόιος ἐπίσκοπος Λιβιάδος εἶπεν· Πολὺ τῆς ὀρθοδόξου πίστεως ἀπάιδει τὸ φρόνημα Νεστορίου τοῦ εὐλαβεστάτου ἀπὸ τῶν ἀναγνωσθέντων· διὸ κἀγὼ ἀναθεματίζω αὐτόν.

29 Σαίδας ἐπίσκοπος Φαινοῦς εἶπεν· Κἀγὼ αὐτὸν ἀναθεματίζω κακῶς φρονοῦντα καὶ μὴ συμφωνοῦντα τῇι πίστει τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι συνελθόντων. ἔδειξε γὰρ αὐτοῦ τὴν γνώμην ἡ τῆς αὐτοῦ ἐπιστολῆς ἀνάγνωσις.

30 Εὐσέβιος ἐπίσκοπος Πηλουσίου εἶπεν· Τὰ ἐγκείμενα πάντα τῇι ἐπιστολῆι τῇι ἀνα- M IIII 1177
γνωσθείσηι τοῦ εὐλαβεστάτου Νεστορίου ἀλλότρια τυγχάνει τῆς πίστεως τῆς ἐκτεθείσης ἐν Νικαίαι παρὰ τῶν ἁγίων πατέρων, καὶ ταῦτα ἀναγκαίως ἀναθεματίζω καὶ τοὺς ταῦτα φρονοῦντας.

31 Μακάριος ἐπίσκοπος Ἀνταίου εἶπεν· Σφόδρα ἀπάιδουσι τὰ ἐγκείμενα τῇι ἐπιστολῆι τοῦ εὐλαβεστάτου Νεστορίου τῆς ἐκτεθείσης πίστεως παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι συνελθόντων, καὶ ἀναθεματίζω τοὺς οὕτω φρονοῦντας ὡς ἔξω τυγχάνοντας τῆς ὀρθοδόξου πίστεως.

32 Φοιβάμμων ἐπίσκοπος Κοπτοῦ εἶπεν· Οὐδαμῶς σύμφωνος τυγχάνει τῇι ἐκτεθείσηι πίστει παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι συνελθόντων ἡ ἐπιστολὴ τοῦ εὐλαβεστάτου Νεστορίου, ἀλλ' οὐδὲ τῇι ἐπιστολῆι τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου Κυρίλλου· διὸ ἀνάθεμα τοῖς οὕτως πιστεύουσιν.

33 Θεόπεμπτος ἐπίσκοπος Καβάσων εἶπεν· Δῆλός ἐστιν ἐκ τῆς νυνὶ ἀναγνωσθείσης ἐπιστολῆς ἀλλότρια φρονῶν τῆς πίστεως τῶν ἁγίων πατέρων ὁ εὐλαβέστατος Νεστόριος, L III 502
καὶ ἀναθεματίζω αὐτὸν καὶ τοὺς τὰ αὐτὰ φρονοῦντας.

34 Ἀριστόβουλος ἐπίσκοπος Θμούεως εἶπεν· Ἔγνωμεν ἐναντία φρονοῦντα τῆς ὀρθῆς πίστεως τὸν εὐλαβέστατον Νεστόριον ἐκ τῆς ἀναγνωσθείσης αὐτοῦ ἐπιστολῆς καὶ διὰ τοῦτο ἀναθεματίζω αὐτόν.

35 Ἀμφιλόχιος ἐπίσκοπος Σίδης εἶπεν· Τὸ ἔκφυλον καὶ μυσαρὸν τῶν δογμάτων ἃ διὰ τῆς ἐπιστολῆς τοῦ εὐλαβεστάτου Νεστορίου ἐκδηλα γέγονεν, οὐ μόνον τὴν ἀκοὴν τῶν εὐσεβούντων ἀποκναίει, ἀλλὰ καὶ τὸ πολέμιον πρὸς τὴν ὀρθὴν δείκνυσι πίστιν.

48 Πάντες οἱ ἐπίσκοποι ἅμα ἐπεφώνησαν· Ὁ μὴ ἀνάθεματίζων Νεστόριον ἀνάθεμα ἔστω. Τοῦτον ἡ ὀρθὴ πίστις ἀναθεματίζει, τοῦτον ἡ σύνοδος ἀναθεματίζει. Τοῦτον ἡ ἁγία σύνοδος ἀναθεματίζει. Ὁ κοινωνῶν Νεστορίωι ἀνάθεμα ἔστω. Πάντες ἀναθεματίζομεν τὴν ἐπιστολὴν καὶ τὰ δόγματα Νεστορίου. Τὸν αἱρετικὸν Νεστόριον

---

30 *et cum interlocuti essent triginta tres episcopi* Conc. quintum [L v 523 = M viiii 315]

V, M [inde a 30], P [= hk, inde a 27], S, D [= mn], A, Λ^{tcu} [inde a 30]

1 τουναντίον SD ὅθεν ἀναγνωσθείσης τῆσ ἐπιστολῆσ V 2 ὀρθοδόξου — ἐκτεθείσησ V ἐκτεθείσησ πίστεωσ SDA παρὰ om. A 3 τὸ τηνικαῦτα om. V περιέχει S 4/5 om. DA 4 λιβάδοσ V 6—8 om. V 6 φαιδοῦσ A φρονήσαντα A 10 τῆσ ἐκτεθείσησ πίστεωσ V 11 ἀναγκαίωσ om. V 13 ἀντέου VSD 15 ὡς om. SDA 17 φοιβάμων DA Κοπτοῦ om. SD οὐδαμοῦ V σύμφωνα D σύμφωνασ S 18 παρὰ om. SD 19 ἀλλ' — Κυρίλλου om. SD οὕτε V 20 ἀνάθεμα τοῖσ — πιστεύουσιν V ἀναθεματίζω τοὺσ οὕτω πιστεύονταασ SDA 21 καββάσσων V δῆλον S 22 ἄλλα V ἁγίων om. V 23 τὰ αὐτὰ αὐτῶ φρονοῦνταασ ἡ φρονήσονταασ A 24 θμούσεωσ V 25 καὶ om. S 27 μυσαρὸν DA μιαρὸν S δύσερι VP 28 τοῦ εὐλαβεστάτου om. S 29 ἀποκνέει A 30 μ̄η V μς P εἶτα πάντεσ M ἀνεφώνησαν M συνεφώνησαν P ἀνεβόησαν Vm 31 τοῦτον — πίστις ἀναθεματίζει] τοῦ νεστορίου ἡ πίστισ ἀνάθεμα εἴη A 31/32 τοῦτον· — ἁγία σύνοδος ἀναθεματίζει om. V 31 τοῦτον [τὸν δυσσεβῆ νεστόριον A] ἡ σύνοδοσ ἀναθεματίζει MPAΛ^{cu} om. SDΛ^{t} 31/32 τοῦτον ἡ ἁγία σύνοδοσ ἀναθεματίζει MPSDAΛ^{tu} om. Λ^{c} 32 post ἔστω ins. *Qui sapit ea quae sunt Nestorii, anathema sit* Λ^{c} καὶ πάντεσ VMP 33 τὸ δόγμα A

πάντες ἀναθεματίζομεν. Τοὺς κοινωνοῦντας Νεστορίωι πάντες ἀναθεματίζομεν. Τὴν ἀσεβῆ πίστιν Νεστορίου πάντες ἀναθεματίζομεν. Τὸ ἀσεβὲς δόγμα Νεστορίου πάντες ἀναθεματίζομεν. Τὸν ἀσεβῆ Νεστόριον πάντες ἀναθεματίζομεν. Ὅλη ἡ οἰκουμένη ἀναθεματίζει τὴν ἀσεβῆ θρησκείαν Νεστορίου. Ὁ τοῦτον μὴ ἀναθεματίζων ἀνάθεμα ἔστω. Τοῦτον ἡ ὀρθὴ πίστις ἀναθεματίζει. Τοῦτον ἡ ἁγία σύνοδος ἀναθεματίζει. Ὁ κοινωνῶν Νεστορίωι ἀνάθεμα ἔστω. Τοῦ Ῥωμαίων ἁγιωτάτου ἐπισκόπου τὸ γράμμα ἀναγνωσθῆι.

49 Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Ἀναγινωσκέσθω καὶ τὰ γράμματα τοῦ ἁγιωτάτου καὶ θεοσεβεστάτου ἀρχιεπισκόπου τῆς Ῥωμαίων Κελεστίνου, ἅπερ ἀπέστειλε περὶ τῆς πίστεως.

Πέτρος πρεσβύτερος Ἀλεξανδρείας καὶ πριμικήριος νοταρίων ἀνέγνω

ep. 10 Ἑρμηνεία ἐπιστολῆς Κελεστίνου ἐπισκόπου Ῥώμης πρὸς Νεστόριον· Τῶι ἀγαπητῶι ἀδελφῶι Νεστορίωι Κελεστῖνος. Ἐφ' ἡμέρας τινὰς τῆς ζωῆς ἡμῶν μετὰ τὸ ἀνόσιον καὶ πολλάκις κατακριθὲν δόγμα Πελαγίου καὶ Κελεστίου ἡ καθολικὴ πίστις εἰρήνευσε καὶ τὰ λοιπά.

M IIII 1180 Πέτρος πρεσβύτερος Ἀλεξανδρείας καὶ πριμικήριος νοταρίων εἶπεν· Τούτοις τοῖς ἀναγνωσθεῖσι σύμφωνα γέγραφεν ἡ ἁγιότης τοῦ θεοσεβεστάτου ἐπισκόπου ἡμῶν Κυρίλλου, ἃ καὶ μετὰ χεῖρας ἔχομεν, καὶ εἰ κελεύσειεν ὑμῶν ἡ θεοσέβεια, ἀναγνωσόμεθα.

Φλαυιανὸς ἐπίσκοπος Φιλίππων εἶπεν· Ἀναγνωσθέντα καὶ ταῦτα ἐμφερέσθω τοῖς πραττομένοις.

Πέτρος πρεσβύτερος Ἀλεξανδρείας καὶ πριμικήριος νοταρίων ἀνέγνω

ep. 6 Τῶι εὐλαβεστάτωι καὶ θεοσεβεστάτωι συλλειτουργῶι Νεστορίωι Κύριλλος καὶ ἡ συνελθοῦσα σύνοδος ἐν Ἀλεξανδρείαι ἐκ τῆς Αἰγυπτιακῆς διοικήσεως ἐν κυρίωι χαίρειν. Τοῦ

Mt. 10, 37 σωτῆρος ἡμῶν λέγοντος ἐναργῶς ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ οὐκ ἔστι μου ἄξιος καὶ τὰ λοιπά.

L III 503 Καὶ μετὰ τὸ ἀναγνωσθῆναι αὐτὴν καὶ ἐντεθῆναι τοῖς ὑπομνήμασι Πέτρος πρεσβύτερος Ἀλεξανδρείας καὶ πριμικήριος νοταρίων εἶπεν· Οὐ μόνον δὲ ταῦτα τὰ ἐπισταλέντα παρὰ τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου τῆς Ῥωμαίων ἐκκλησίας ἐπισκόπου Κελεστίνου ἀπέ-

---

VM, P [= hk], S, D [= mn], A, H [inde a 16 usque ad 20], Λ^{tcu}

1—3 τὴν — ἀναθεματίζομεν¹ om. SD 1/2 τὴν ἀσεβῆ — ἀναθεματίζομεν om. MP 2 ἄθεον A 4 νεστορίου SDAΛ αὐτοῦ VMP τοῦτο A 5/6 τοῦτον¹ — ἔστω om. A 6/7 τοῦ — ἀναγνωσθῆι om. Λ^{u} 6 ἁγιωτάτου καὶ θεοφιλεστάτου A ἀρχιεπισκόπου MΛ^{1} 7 ἀναγνωσθῆ AΛ^{1c} ἀναγνωσθήτω V ἀνάγνωθι MPSD 8 $\overline{μθ}$ V μΖ MP $\overline{κθ}$ S λ' D ὁ εὐλαβέστατοσ ἐπίσκοποσ A καὶ om. AΛ^{c} Conc. quintum 9 ἁγιωτάτου καὶ θεοσεβεστάτου VMPAΛ^{1} θεοσεβεστάτου καὶ ἁγιωτάτου SDΛ^{cu} ἀνδρὸσ κελεστίνου τοῦ τῆσ ῥωμαίων ἀρχιεπισκόπου M ἐπισκόπου SD ῥωμαίων VPΛ ῥωμαίων ἐκκλησίασ SDA ἐπέστειλε P 11—15 καὶ ἀνεγνώσθη καθὼσ προεγράφη A 11 καὶ om. D 11. 16. 21 πριμμικήριοσ $M^{c\,rr}$ PSD πριμμηκήριοσ V 11 εἶπεν· ἀνέγνων VMP 12 ἐπισκόπου κελεστίνου V 14 πελαγίου κελεστίου [κελεστίνου P] VMP 14/15 *et cetera* Λ^{tc} καὶ τὰ λοιπὰ ὥσπερ [ὡσ MP] προλάμπει VMP καὶ ἀνεγνώσθη καθὼσ προτέτακται SD 16 καὶ μετὰ τὸ ἀναγνωσθῆναι πᾶσαν πέτροσ HΛ^{c} νοταρίων om. M 17 γεγράφηκεν SD ἡμῶν ἐπισκόπου VMP 18 ἃ om. SDA κελεύει S ἀναγνωσθησόμεθα S ἀναγνώσωμαι H 19 ἀναγινωσκέσθω SD 20 πραττομένοισ VAΛ ὑπομνήμασιν MPSD ὑπομνήμασιν καὶ προεκομίσθη ἐν ἐφέσω ἡ ἐπιστολὴ τοῦ ἐν ἁγίοισ κυρίλλου ἡ πρὸσ νεστόριον, sequitur ipsa epistula H 21—25 om. A 21 καὶ μετὰ τὸ — ὑπομνήμασι πέτροσ — εἶπε [26/27] V νοταρίων om MS 22 καὶ θεοσεβεστάτωι om. M θεοφιλεστάτωι VP 25 *et cetera* Λ^{tc} καὶ ἀνεγνώσθη καθὼσ προτέτακται SD καὶ ὁ φιλῶν υἱὸν ἢ θυγατέρα ὑπὲρ ἐμὲ οὐκ ἔστι μου ἄξιοσ [καὶ ὁ — ἄξιος om. VM] τί πάθωμεν ἡμεῖσ οἱ παρὰ τῆσ σῆσ εὐλαβείασ ἀπαιτούμενοι τὸ ὑπεραγαπᾶν σε τοῦ πάντων ἡμῶν σωτῆροσ χυ καὶ τὰ λοιπὰ ὥσπερ προλάμπει VMP 26 λα' D Καὶ — ὑπομνήμασι AΛ om. VMPSD αὐτὰ V [cf. 21] 27 Ἀλεξανδρείας om. M πριμμικήριοσ $VM^{c\,rr}$ PSD νοταρίων om. M 28 ὁσιωτάτου καὶ ἁγιωτάτου SD ὁσιωτάτου M τῆσ — ἐκκλησίασ ἐπισκόπου VPAΛ ἐπισκόπου τῆσ — ἐκκλησίασ SD τῆσ ῥωμαίων ἐπισκόπου M 28—p. 37, 1 ἐπέσταλται M

σταλται καὶ ἀποδέδοται αὐτωι τῶι εὐλαβεστάτωι Νεστορίωι, ἀλλὰ γὰρ καὶ τὰ ἐπισταλέντα παρὰ τοῦ ἁγιωτάτου καὶ θεοσεβεστάτου ἐπισκόπου τῆς Ἀλεξανδρέων ἐκκλησίας Κυρίλλου καὶ τῆς σύνοδου πάσης τῆς Αἰγυπτιακῆς διὰ Θεοπέμπτου καὶ Δανιὴλ καὶ Ποτάμωνος καὶ Κομαρίου τῶν εὐλαβεστάτων ἐπισκόπων, καὶ παρακαλῶ ἐρωτᾶσθαι Θεόπεμπτον καὶ Δανιὴλ τοὺς εὐλαβεστάτους ἐπισκόπους ἐνταῦθα τυγχάνοντας περὶ τούτου.

Φλαυιανὸς ἐπίσκοπος Φιλίππων εἶπεν· Κατατιθέσθωσαν οἱ εὐλαβέστατοι συλλειτουργοὶ ἡμῶν Θεόπεμπτος καὶ Δανιὴλ οἱ παρόντες εἴ γε ἀποδεδώκασι τὰς ἐπιστολάς.

50 Θεόπεμπτος ἐπίσκοπος Καβάσων εἶπεν· Εἰς τὸ ἐπισκοπεῖον ἀνελθόντες ἐν ἡμέραι κυριακῆι, συνάξεως ἐπιτελουμένης, παρόντος παντὸς τοῦ κλήρου καὶ τῶν ἰλλουστρίων σχεδὸν πάντων, ταῦτα ἀποδεδώκαμεν Νεστορίωι τὰ γράμματα. d. 30. m. Nou. 430

Δανιὴλ ἐπίσκοπος Δάρνεως εἶπεν· Εἰς τὸ ἐπισκοπεῖον ἀνελθόντες ἐν ἡμέραι κυριακῆι παρόντος παντὸς τοῦ κλήρου καὶ τῶν ἰλλουστρίων σχεδὸν πάντων ταῦτα ἀποδεδώκαμεν Νεστορίωι τὰ γράμματα.

Φλαυιανὸς ἐπίσκοπος Φιλίππων εἶπεν· Ἐποίησεν οὖν τὸ ἱκανὸν τοῖς γραφεῖσιν;

Δανιὴλ ἐπίσκοπος Δάρνεως εἶπεν· Εἶπεν ἡμῖν τότε ὥστε ἐλθεῖν τῆι ἑξῆς ἡμέραι καὶ ἰδιάσαι αὐτῶι. ἀλλ' ἡμῶν ἀπελθόντων, ἀπέκλεισεν ἡμῖν τὰς θύρας καὶ οὐκ ἠξίωσεν ἡμᾶς ἀποκρίσεως.

Θεόπεμπτος ἐπίσκοπος Καβάσων εἶπεν· Δεξάμενος τὰ προειρημένα χαρτία, συνετάξατο ἡμῖν τῆι ἑξῆς συντυχεῖν αὐτῶι. ἀπήλθομεν, εἶτα ἀπελθόντας οὐκ ἐδέξατο οὔτε μὴν τὸ ἱκανὸν τοῖς γράμμασι πεποίηκεν, ὥστε ἐπ' ἐκκλησίας τὰ αὐτὰ καὶ χείρονα δογματίζειν. cf. Coll. Pal. 23 οὐ μόνον δὲ πρὸ τοῦ λαβεῖν τοὺς χάρτας ταῦτα ἐδίδασκεν, ἀλλὰ καὶ πολλῶι χείρονα μετὰ τὸ λαβεῖν ἐδίδαξεν ἕως τῆς σήμερον ἡμέρας.

51 Φεῖδος ἐπίσκοπος Ἰόππης εἶπεν· Ὅτι ἐπιμένει ἕως σήμερον τῆι αὐτῆι διδασκαλίαι, M IIII 1181 δύνανται λέγειν καὶ οἱ παρόντες θεοσεβέστατοι ἐπίσκοποι Ἀκάκιος καὶ ὁ κύριός Θεόδοτος, οἳ καὶ διαλέξεις πρὸς αὐτὸν ἐποιήσαντο, ὥστε καὶ κινδυνεῦσαί τινα ἀπ' αὐτῶν. οὓς καὶ παρακαλοῦμεν καὶ ὁρκίζομεν κατὰ τῶν προκειμένων ἁγίων εὐαγγελίων ἐπὶ τῆς πίστεως τῶν ὑπομνημάτων εἰπεῖν τί ἤκουσαν πρὸ τριῶν τούτων ἡμερῶν παρ' αὐτοῦ Νεστορίου. d. 20. m. Iun.

52 Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἐπειδὴ οὐ περὶ τῶν τυχόντων ἡμῖν ὁ λόγος, ἀλλὰ περὶ τοῦ πάντων κεφαλαιωδεστέρου πράγματος, φημὶ δὴ τῆς εἰς Χριστὸν πίστεως, ἀκόλουθόν ἐστι τοὺς εὐλαβεστάτους καὶ τὰ πάντα θεοφιλεστάτους ἐπισκόπους Θεόδοτον 431

VM, P [= hk], S, D [= mn], ΑΛ^{tcu}

1 ἀποδίδοται VM ἀσεβεστάτω D 2 θεοσεβεστάτου καὶ ἁγιωτάτου SD ἁγιωτάτου M ἐκκλησίας om. MSDA 3 πάσης τῆς αἰγυπτιακῆς VMPSDΛ τῶν τῆς αἰγυπτιακῆς διοικήσεως Λ διά om. P καὶ Ποτάμωνος καὶ Κομαρίου om. A Κομαρίου] μακαρίου D 4 καὶ om. V ἐρωτᾶσθαι] παραγενέσθαι A 5 τυγχάνοντας — τούτου om. A περὶ τούτου om. P αὐτοῦ τούτου VM 6 ἐπίσκοπος om. M κατατιθέτωσαν P 7 γε om. P 8 $\bar{\nu}$ V μὴ P $\bar{\lambda}$ S καβάσσων VP ἐλθόντεσ A ἐν om. A 9 κυριακῆσ S παντὸσ τοῦ SD παντὸσ VMP *omni* Λ^{c} τοῦ ΑΛ^{tu} ἰλουστρίων S 10 ἐπιδεδώκαμεν MP 11—13 Δανιὴλ — γράμματα MPΑΛ ὁμοίωσ δὲ καὶ δανιὴλ ἐπίσκοποσ δάρνεωσ τὰ αὐτὰ κατέθετο SD om. V 11/12 κυριακῆι om. A 12 παντὸσ τοῦ] παντὸσ MP *omni* Λ τοῦ A ἐπιδεδώκαμεν P 14 ἐπίσκοπος om. M γραφεῖσιν MPDΑΛ γράμμασιν VS 15—17 om. M 15 δάρνεων V(M) τό γε S 16 ἡμῶν PSDA οὖν V ἡμῖν om. S 18 ἐπίσκοπος om. M καβάσσων VP 19 ἑξῆσ ἡμέρα ΑΛ^{cu} συνελθεῖν καὶ συντυχεῖν SD ἀπελθόντεσ P 20 ἐκκλησίαισ S post ἐκκλησίας ins. *ex tunc* Λ^{c} 21 χάρτας] ἄρχοντασ S ἐδίδαξεν S 21/22 πολλῶι χείρονα om. P 22 ἐδίδαξεν om. P post ἡμέρας habet δανιὴλ ἐπίσκοποσ δάρνεων τὰ αὐτὰ τῶ θεοπέμπτω ἐξεῖπε M cf. Λ^{t} 23 νᾱ V μθ P ὅτι εἰ D ἕωσ VM ἕωσ τῆσ P μέχρι τῆσ SDA 24 κύριοσ MA κύριοσ PSD in spatio uacuo om. V 25 τινασ SD τὴν MP 26 ἐπὶ om. MP 27 τριῶν τούτων SDΑΛ τούτων τῶν VMP παρὰ τοῦ DA 28 superscr. rubro διαλαλιὰ κυρίλλου ἐπισκόπου ἀλεξανδρείασ περὶ τῶν αὐτοῦ δυσφημιῶν V ὁ λόγοσ ἡμῖν M $\bar{\nu\beta}$ V $\bar{\nu}$ P 29 πάντων ἡμῶν A τῆσ VMPΛ^{tc} τῆσ ὀρθῆσ SDΑΛ^{u} 30 καὶ τὰ πάντα [τὰ πάντα om. SD] θεοφιλεστάτουσ SDΑΛ^{c} om. VMPΛ^{t}

καὶ Ἀκάκιον κατὰ τὰς παρακλήσεις τοῦ εὐλαβεστάτου ἐπισκόπου Φείδου καὶ τοὺς ὁρκισμοὺς τοὺς ἐπενεχθέντας, φιλαλήθεις ὄντας καὶ ἁγίους, εἰπεῖν ἅπερ ἀκηκόασι λέγοντος αὐτοῦ ἐν τῇι Ἐφεσίων πόλει, διάλεξιν πρὸς αὐτὸν ὑπὲρ τῆς ὀρθῆς πίστεως κινήσαντες.

53 Θεόδοτος ἐπίσκοπος Ἀγκύρων εἶπεν· Ὀδυνῶμαι μὲν ὑπὲρ φίλου, πλὴν πάσης φιλίας
L III 498 προτιμῶ τὴν εὐσέβειαν· δι' ὃ ἀνάγκην ἔχω καὶ μετὰ πολλῆς ἀθυμίας περὶ ὧν ἐρωτῶμαι, τὴν ἀλήθειαν ἐκφράσαι. οὐκ οἶμαι χρείαν εἶναι τῆς ἡμῶν μαρτυρίας τοῦ φρονήματος αὐτοῦ δήλου γεγενημένου ἐκ τοῦ γράμματος τοῦ πρὸς τὴν σὴν θεοσέβειαν. ἃ γὰρ ἐκεῖ ἀπηγόρευσε περὶ τοῦ θεοῦ λέγεσθαι, τουτέστι τοῦ μονογενοῦς, ὀνειδίζων αὐτῶι τὰ ἀνθρώπινα, ταῦτα καὶ ἐνταῦθα διαλεγόμενος ἔφη μὴ δεῖν περὶ θεοῦ λέγειν γαλακτοτροφίαν μηδὲ γέννησιν τὴν ἐκ παρθένου. οὕτως καὶ ἐνταῦθα πολλάκις ἔφη διμηνιαῖον ἢ τριμηνιαῖον μὴ δεῖν λέγεσθαι θεόν, καὶ ταῦτα οὐχ ἡμεῖς μόνοι, ἀλλὰ καὶ ἕτεροι πλείονες ἀκηκόαμεν οὐ πρὸ πολλῶν ἡμερῶν πρὸς ἡμᾶς αὐτοῦ ἐν Ἐφέσωι διαλεγομένου.

Ἀκάκιος ἐπίσκοπος Μελιτηνῆς εἶπεν· Πίστεως προκειμένης καὶ τῆς εἰς θεὸν εὐσεβείας, ἀνάγκη πᾶσαν σχολάζειν διάθεσιν· ὅθεν εἰ καὶ σφόδρα ὑπὲρ τοὺς ἄλλους τὸν κύριν Νεστόριον ἠγάπησα καὶ παντοίως αὐτὸν περισῶσαι ἐσπούδασα, ἀνάγκη νῦν φιλαλήθως τὰ παρ' αὐτοῦ εἰρημένα εἰπεῖν ὑπὲρ τοῦ μὴ κατακριθῆναί μου τὴν ψυχὴν ἀποκρύψαντος τἀληθῆ. παραχρῆμα ἐπιστὰς τῆι Ἐφεσίων πόλει ἐποιησάμην πρὸς τὸν προειρημένον ἄνδρα διάλεξιν καὶ γνοὺς αὐτὸν οὐκ ὀρθῶς φρονοῦντα παντοίως ἐσπούδασα αὐτὸν διορθώσαοθαι καὶ ἀποστῆσαι τοῦ πονηροῦ φρονήματος αὐτόν τε ἐκεῖνον ἑώρων τοῖς χείλεσι συνομολογοῦντα ὅτι δὴ μετατίθεται τῆς τοιαύτης ἐννοίας, ἡμέρας δὲ δέκα ἢ δώδεκα διαλιπών, πάλιν λόγου τινὸς κινηθέντος, ἀντελαβόμην τοῦ τῆς ἀληθείας λόγου καὶ ἀντιπίπτοντα αὐτὸν τούτωι ἑώρων καὶ δύο ἀτόποις κατὰ τὸ αὐτὸ ἐγίνωσκον περιπίπτειν. πρότερον μὲν γὰρ ἐκ τῆς αὐτοῦ ἐπερωτήσεως ἀτόπου οὔσης ἀνάγκην ἐπετίθει τοῖς ἀποκρινομένοις ἢ πάντηι ἀρνήσασθαι τὴν τοῦ μονογενοῦς θεότητα ἐνηνθρωπηκέναι ἢ ὁμολογεῖν,
M IIII 1184 ὅπερ ἦν ἀσεβές, ὅτιπερ καὶ ἡ τοῦ πατρὸς καὶ ἡ τοῦ ἁγίου πνεύματος θεότης συνεσαρκώθη τῶι λόγωι, ἅπερ ἦν παντὶ τρόπωι κακοτεχνοῦς διανοίας καὶ ἐκβαλλούσης τὴν εὐσεβῆ πίστιν. ἔπειτα δευτέρου κινηθέντος λόγου, ἀντελάβετό τις συνὼν αὐτῶι ἐπίσκοπος τοῦ λόγου καὶ ἄλλον μὲν ἔφησεν εἶναι τὸν υἱὸν τὸν τὸ πάθος ἀναδεξάμενον, ἄλλον δὲ τὸν θεὸν λόγον. πρὸς ἣν βλασφημίαν, οὐχ ὑπενεγκεῖν δυνηθείς, συνταξάμενος πᾶσιν ἐξῆλθον. καὶ ἕτερος δὲ τῶν σὺν αὐτῶι συνηγόρει τοῖς Ἰουδαίοις ὡς οὐκ εἰς θεόν, ἀλλ' εἰς ἄνθρωπον ἠσεβηκόσιν.

Φλαυιανὸς ἐπίσκοπος Φιλίππων εἶπεν· Φανερᾶς οὔσης τῆς καταθέσεως τῶν εὐλαβεστάτων καὶ θεοσεβεστάτων συλλειτουργῶν ἡμῶν Θεοδότου καὶ Ἀκακίου, ἀκόλουθόν ἐστιν ἣν εἶχον περὶ τῶν προκειμένων δόξαν οἱ μακάριοι πατέρες ἡμῶν καὶ ἐπίσκοποι, ἀναγνωσθῆναι καὶ ἐμφέρεσθαι τοῖς πραττομένοις.

10—11 cf. infra 67

VM, P [= hk], S, D [= mn], A, Λ^{tcu}

1 φείδου ἐπισκόπου P 1/2 τοὺσ ἐπενεχθέντασ ὁρκισμοὺσ M ὅρκουσ P 3 περὶ D 4 $\overline{\text{νγ}}$ V $\overline{\text{να}}$ P ἀγκύρασ P 5 προτιμῶμαι M διὸ καὶ SD 6 ἐκφάναι V 7 γενομένου S 8 ἀπηγόρευε A 9 θῦ MPAΛ θῦ λόγου VSD 10 διμηναῖον ἢ τριμηναῖον VP 11 θῦ λέγεσθαι S ἀκηκόασιν PΛ^{tc} 12 διαλεγομένου ἐν ἐφέσω A ἐνταῦθα ἐν τῆ ἐφεσίων διαλεγομένου SD 13 ἐπίσκοπος om. M τὸν θῦ V 14 κύριον MPA 16 περὶ A ἀποκρύψαντα D 17 τὰ ἀληθῆ SD τἀληθὲσ V ἐπιστὰσ ex ἐφιστὰσ corr. S σπείσασ MP 18 ὀρθὰ SD αὐτὸν ἐσπούδασα VMP 19 τοῦ φρονήματοσ αὐτὸν τοῦ πονηροῦ ἑώρων τε αὐτὸν ἐκεῖνον A 19/20 τοῖσ χείλεσι om. P 20 δὲ om. PΛ^{t} 20/21 διαλείπων MP 22 τοῦτον P ταυτὸν SD 25 καὶ ἡ τοῦ ἁγίου $\overline{\text{πνᾶ}}$ SDAΛ καὶ ἡ τοῦ υἱοῦ P καὶ ἡ τοῦ υἱοῦ καὶ ἡ τοῦ $\overline{\text{πνᾶ}}$ VM 26 θῶ λόγω V κακοτέχνου SDA ἐκβαλούσησ SD ὀρθὴν V, corr. V^{mg} 28 μὲν om. SDA ἔφησεν εἶναι MPA εἶναι ἔφη V ἔφη SD 29 οὐκέτι ἐνεγκεῖν SDA καὶ om. SD 30 ὡς οὐκ] οὐχ ὡσ A ὡσ εἰσ A ἀσεβήσασι MSDA 31 λβ' D πάντων τῶν A 32 καὶ θεοσεβεστάτων om. SDA 33 εἶπον D ἡμῶν πατέρεσ A καὶ οἱ ἐπίσκοποι SD om. Λ^{tc}

54 Πέτρος πρεσβύτερος Ἀλεξανδρείας καὶ πριμικήριος νοταρίων εἶπεν· Ἐπειδὴ μετὰ χεῖρας ἔχομεν καὶ βιβλία τῶν ἁγιωτάτων καὶ ὁσιωτάτων πατέρων καὶ ἐπισκόπων καὶ διαφόρων μαρτύρων, ἐπελεξάμεθα δὲ ἐκ τούτων ὀλίγα κεφάλαια, εἰ παρίσταται, ἀναγνωσόμεθα. L III 507
Φλαυιανὸς ἐπίσκοπος Φιλίππων εἶπεν· Καὶ ταῦτα ἀναγνωσθέντα ἐμφερέσθω.
Καὶ ἀνεγνώσθη οὕτως

Πέτρου τοῦ ἁγιωτάτου ἐπισκόπου καὶ μάρτυρος ἐκ τοῦ περὶ θεότητος βιβλίου

[I] Ἐπεὶ καὶ ἀληθῶς ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο Ioh. 1, 17
(ὅθεν καὶ χάριτι ἐσμὲν σεσωσμένοι κατὰ τὸ ἀποστολικὸν ῥητὸν καὶ τοῦτο, φησίν, οὐκ Eph. 2, 8
ἐξ ἡμῶν· θεοῦ τὸ δῶρον, οὐκ ἐξ ἔργων, ἵνα μή τις καυχήσηται), θελήματι θεοῦ 9
ὁ λόγος σὰρξ γενόμενος καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος οὐκ ἀπελείφθη τῆς Phil. 2, 7
θεότητος. οὐδὲ γὰρ ἵνα τῆς δυνάμεως αὐτοῦ ἡ δόξης τέλεον ἀποστῇ, πτωχεύσας πλού- 2 Cor. 8, 9
σιος ὤν, τοῦτο ἐγένετο, ἀλλ' ἵνα καὶ τὸν θάνατον ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν ἀναδέξηται,
δίκαιος ὑπὲρ ἀδίκων, ὅπως ἡμᾶς προσαγάγῃ τῷ θεῷ, θανατωθεὶς μὲν 1 Petr. 3, 18
σαρκί, ζωοποιηθεὶς δὲ πνεύματι.

[II] Καὶ μεθ' ἕτερα· Ὅθεν καὶ ὁ εὐαγγελιστὴς ἀληθεύει λέγων· ὁ λόγος σὰρξ ἐγένετο Ioh. 1, 14
καὶ ἐσκήνωσεν ἐν ἡμῖν, τότε δηλονότι ἀφ' οὗ ὁ ἄγγελος ἠσπάσατο τὴν παρθένον 16
εἰπών· χαῖρε κεχαριτωμένη, ὁ κύριος μετὰ σοῦ. τὸ γὰρ ὁ κύριος μετὰ σοῦ Lc. 1, 28
νῦν ἔστιν ἀκοῦσαι τοῦ Γαβριὴλ ἀντὶ τοῦ ὁ θεὸς λόγος μετὰ σοῦ· σημαίνει γὰρ αὐτὸν
γεννώμενον ἐν μήτραι καὶ σάρκα γενόμενον, καθὼς γέγραπται· πνεῦμα ἅγιον ἐπελεύσεται Lc. 1, 35
ἐπὶ σὲ καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἅγιον
κληθήσεται υἱὸς θεοῦ.

[III] Καὶ πάλιν μεθ' ἕτερα· Ὁ δὲ θεὸς λόγος παρὰ τὴν ἀνδρὸς ἀπουσίαν κατὰ βούλησιν
τοῦ τὰ πάντα δυναμένου κατεργάσασθαι θεοῦ γέγονεν ἐν μήτραι τῆς παρθένου σάρξ, μὴ
ἐπιδεηθεὶς τῆς ἀνδρὸς ἐνεργείας ἢ παρουσίας. ἐνεργέστερον γὰρ τοῦ ἀνδρὸς ἐνεποίησεν
ἡ τοῦ θεοῦ δύναμις ἐπισκιάσασα τῇ παρθένωι σὺν τῷι ἐπελεληυθότι ἁγίωι πνεύματι.

Ἀθανασίου τοῦ ἁγιωτάτου γενομένου ἐπισκόπου Ἀλεξανδρείας ἐκ τοῦ Κατὰ Ἀρειανῶν βιβλίου M IIII 1185

[IIII] Πολλοὶ γοῦν ἅγιοι γεγόνασι καὶ καθαροὶ πάσης ἁμαρτίας, Ἱερεμίας δὲ καὶ ἐκ κοιλίας c. Ar. 3, 33
ἡγιάσθη καὶ Ἰωάννης ἔτι κυοφορούμενος ἐσκίρτησεν ἐν ἀγαλλιάσει ἐπὶ τῇι φωνῇι τῆς θεο- Ier. 1, 5
τόκου Μαρίας· καὶ ὅμως ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωυσέως καὶ Lc. 1, 44
ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας ἐπὶ τῷι ὁμοιώματι τῆς παραβάσεως Ἀδὰμ Rom. 5, 14
καὶ οὕτως ἕμενον οὐδὲν ἧττον οἱ ἄνθρωποι θνητοὶ καὶ φθαρτοί, δεκτικοὶ τῶν ἰδίων τῆς

I—III altera uersio extat ap. Eutychen in florilegio 8
II = Cyrill. apol. adu. Orient. 13; Tim. arm. p. 72, syr. f. 1^{b}

VM, P [= hk], S, D [= mn], A, RΛ^{tcu} (A75)

1 inscr. χρήσεισ ἁγίων πατέρων προενεχθεῖσαι παρὰ τοῦ μακαρίου κυρίλλου ἐν τῇ συνόδω κατὰ νεστορίου R νδ̄ V νβ̄ P Ἀλεξανδρείας om. MΛ^{t} πριμμικήριοσ M^{corr} PSD νοταρίων om. M 2 καὶ βιβλία om. A 3 ἃ εἰ MPΛ παρίσταται ὑμῖν D 4 ἐπίσκοπος om. M λα S καὶ om. R ἐμφερέσθωσαν R 6 τοῦ om. VMP ἐπισκόπου VPRΛ^{tcu} A75 ἐπισκόπου ἀλεξανδρείασ SDA 7 καὶ^{1} om. A 9 ὑμῶν M τοῦ θεοῦ SD 11 αὐτοῦ δυνάμεωσ A τῆσ δόξησ SD 12 ἵνα om. V 13 τῷι om. VMP *deo patri* Λ^{tu} 16 δηλονότι] δὴ τότε V ἠσπάσατο ὁ ἄγγελοσ R 17 καὶ εἶπε SD καὶ εἰπών A τὸ γὰρ — σοῦ om. MPSD 18 ὁ om. S 19 γενόμενον VMPR γινόμενον DA γιγνόμενον SA75 20 γενόμενον S 22 μεθ' ἕτερα πάλιν D μεθ' ἕτερα A δὲ om. V 23 τὰ om. VA 23/24 μὴ — παρουσίας om. S 24 δεηθεὶσ DA75 25 ἡ θεοῦ V 26 αὐτοῦ βιβλίου A 27 ἅγιοι καὶ καθαροὶ γεγόνασιν R καὶ om. SD καὶ om. P κοιλίασ μητρὸσ V 31 οἱ om. AR 31—p. 40, 1 τῆσ φύσεωσ ἰδίων P

φύσεως παθῶν. νῦν δὲ τοῦ λόγου γενομένου ἀνθρώπου καὶ ἰδιοποιουμένου τὰ τῆς σαρκός, οὐκέτι ταῦτα τοῦ σώματος ἅπτεται διὰ τὸν ἐν αὐτῷ γενόμενον λόγον, ἀλλὰ ὑπ' αὐτοῦ μὲν ἀνήλωται, λοιπὸν δὲ οἱ ἄνθρωποι οὐκέτι κατὰ τὰ ἴδια πάθη μένουσιν ἁμαρτωλοὶ καὶ νεκροί, ἀλλὰ κατὰ τὴν τοῦ λόγου δύναμιν ἀναστάντες ἀθάνατοι καὶ ἄφθαρτοι ἀεὶ διαL III 510 μένουσιν. ὅθεν καὶ γεννωμένης τῆς σαρκὸς ἐκ τῆς θεοτόκου Μαρίας, αὐτὸς λέγεται γεγεννῆσθαι ὁ τοῖς ἄλλοις γέννησιν εἰς τὸ εἶναι παρασχών, ἵνα τὴν ἡμῶν εἰς ἑαυτὸν μεταθῇ γέννησιν καὶ μηκέτι ὡς γῇ μόνῃ ὄντες εἰς γῆν ἀπέλθωμεν, ἀλλ' ὡς τῷι ἐξ οὐρανοῦ λόγωι συναφθέντες εἰς οὐρανὸν ἀναχθῶμεν παρ' αὐτοῦ. οὐκοῦν οὕτως καὶ τὰ ἄλλα πάθη τοῦ σώματος οὐκ ἀπεικότως εἰς ἑαυτὸν μετέθηκεν, ἵνα μηκέτι ὡς ἄνθρωποι, ἀλλ' ὡς
1 Cor. 15, 22 ἴδιοι τοῦ λόγου τῆς αἰωνίου ζωῆς μετασχῶμεν. οὐκέτι γὰρ κατὰ τὴν προτέραν γένεσιν ἐν τῷι Ἀδὰμ πάντες ἀποθνήισκομεν, ἀλλὰ λοιπὸν τῆς γενέσεως ἡμῶν καὶ πάσης τῆς σαρκικῆς ἀσθενείας μετατεθέντων εἰς τὸν λόγον ἐγειρόμεθα ἀπὸ γῆς, λυθείσης τῆς δι' ἁμαρ-
Gal. 3, 13 τίαν κατάρας διὰ τὸν ἐν ἡμῖν ὑπὲρ ἡμῶν γενόμενον κατάραν.

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Ἐπίκτητον ἐπιστολῆς

ad Epict. 2 [V] Πῶς δὲ καὶ ἀμφιβάλλειν ἐτόλμησαν οἱ λεγόμενοι Χριστιανοὶ εἰ ὁ ἐκ Μαρίας προελθὼν κύριος υἱὸς μὲν τῇι οὐσίαι καὶ φύσει τοῦ θεοῦ ἐστιν, τὸ δὲ κατὰ σάρκα ἐκ σπέρματός ἐστι Δαυίδ, σαρκὸς δὲ τῆς ἁγίας Μαρίας, τινὲς δὲ ἄρα οὕτω τολμηροὶ γεγόνασιν ὥστε εἰπεῖν τὸν Χριστὸν τὸν σαρκὶ παθόντα καὶ ἐσταυρωμένον μὴ εἶναι κύριον καὶ σωτῆρα καὶ θεὸν καὶ υἱὸν τοῦ πατρός; ἢ πῶς Χριστιανοὶ θέλουσιν ὀνομάζεσθαι οἱ λέγοντες εἰς ἄνθρωπον ἅγιον ὡς ἐπὶ ἕνα τῶν προφητῶν ἐληλυθέναι τὸν λόγον καὶ μὴ αὐτὸν ἄνθρωπον γεγονέναι λαβόντα ἐκ Μαρίας τὸ σῶμα, ἀλλ' ἕτερον εἶναι τὸν Χριστὸν καὶ ἕτερον τὸν τοῦ θεοῦ λόγον τὸν πρὸ Μαρίας καὶ πρὸ αἰώνων υἱὸν ὄντα τοῦ πατρός; ἢ πῶς εἶναι Χριστιανοὶ δύνανται οἱ λέγοντες ἄλλον εἶναι τὸν υἱὸν καὶ ἄλλον τὸν τοῦ θεοῦ λόγον;

[VI] Καὶ μεθ' ἕτερα πάλιν· Οὐ θέσει δὲ ταῦτα ἐγίνετο, μὴ γένοιτο, ὥς τινες πάλιν ὑad Epict. 7 πέλαβον, ἀλλ' ὄντως ἀληθείαι ἀνθρώπου γενομένου τοῦ σωτῆρος ὅλου τοῦ ἀνθρώπου σωτη-
M IIII 1188 ρία ἐγίνετο. εἰ γὰρ θέσει ἦν ἐν τῷι σώματι ὁ λόγος κατ' ἐκείνους, τὸ δὲ θέσει λεγόμενον φαντασία ἐστίν, εὑρίσκεται δοκήσει καὶ ἡ σωτηρία καὶ ἡ ἀνάστασις τῶν ἀνθρώπων λεγομένη κατὰ τὸν ἀσεβέστατον Μανιχαῖον. ἀλλὰ μὴν οὐ φαντασία ἡ σωτηρία ἡμῶν οὐδὲ σώματος μόνου, ἀλλὰ ὅλου ἀνθρώπου, ψυχῆς καὶ σώματος, ἀληθῶς ἡ σωτηρία γέγονεν· ἀνθρώπινον φύσει τὸ ἐκ Μαρίας κατὰ τὰς θείας γραφὰς καὶ ἀληθινὸν ἦν τοῦ σωτῆρος.

IIII 5—7 γέννησιν = Cyrill. apol. adu. Orient. 14
V = ibid. 15; 14—22 Tim. arm. p. 76. 77

VM, P [= hk, usque ad 27 δοκήσει καὶ], S, D [= mn], ARΛ^{tcu} (A75)
2 θεὸν λόγον VA 3 ἀνάλωται A μένουσι πάθη P 4/5 διαμενοῦσιν ἀεὶ A 5 γενομένης SD 6 γεγενῆσθαι SA τὴν γέννησιν VMP παρασχὼν SDAR (A75) παρέχων VMP αὐτὸν P 7 γένεσιν VMP ὄντες μόνῃ VSDA, corr. V 8 παρ' SDAR (A75) ὑπ' V^{corr} MP δι' VΛ^{t} οὕτως om. AR 9 ἄνθρωποι VMPARΛ (A75) ἄνθρωποι ἀποθνήισκωμεν SD 10 αἰωνίου] ἑαυτοῦ P 11 πάντες om. Λ^{t} cf. A75 12 μεταθέντων P γῆς SnAR τῆς VMPm τῆς om. VP 12/13 ἁμαρτίας S 13 κατάραν R ὑπὲρ ἡμῶν om. R 14 αὐτοῦ ἁγίου ἀθανασίου P αὐτοῦ ἀθανασίου Λ 16 κ̄ς̄ δς υἱὸς P οὐκ ἐκ SD corr. n 17 τοῦ δ̄ū̄ SDR τίνες Λ^{tcu} Tim. cf. A75 οὕτω om. Λ^{t} 18 σαρκὶ παθόντα] σαρκωθέντα P 21 ἕτερον^{2}] ἄλλον M 23 χριστιανοὶ εἶναι A 24 δὲ πάλιν S δὲ om. SDΛ^{tcu} ἐγένετο VMP καθὼς D 24—26 μὴ γένοιτο — ἐγίνετο om. P 26 ἐγίνετο SAA75 ἐγένετο VMDR ἐν τῷι] τὸ R 27 φαντασίας VP δοκήσει εὑρίσκεται V ἡ σωτηρία — p. 42, 2 om. P 30 ἀνθρώπινον MAR Λ^{tcu} cf. A75 ἀνθρώπινον γὰρ VSD

Ἰουλίου τοῦ ἁγιωτάτου γενομένου ἐπισκόπου Ῥώμης ἐκ τῆς πρὸς Προσδόκιον ἐπιστολῆς

Lietzmann, Apollinaris p. 284

[VII] Κηρύσσεται δὲ εἰς συμπλήρωσιν τῆς πίστεως καὶ σαρκωθεὶς ἐκ παρθένου Μαρίας ὁ τοῦ θεοῦ υἱὸς καὶ σκηνώσας ἐν ἀνθρώποις, οὐκ ἐν ἀνθρώπωι ἐνεργήσας (τοῦτο γὰρ ἐπὶ προφητῶν ἐστι καὶ ἀποστόλων), τέλειος θεὸς ἐν σαρκὶ καὶ ἄνθρωπος τέλειος ἐν πνεύματι· οὐ δύο υἱοί, εἷς μὲν γνήσιος υἱὸς ἀναλαβὼν ἄνθρωπον, ἕτερος δὲ θνητὸς ἄνθρωπος ἀναληφθεὶς ὑπὸ θεοῦ, ἀλλ' εἷς μονογενὴς ἐν οὐρανῶι, μονογενὴς ἐπὶ γῆς θεός.

Φήλικος τοῦ ἁγιωτάτου ἐπισκόπου Ῥώμης καὶ μάρτυρος ἐκ τῆς πρὸς Μάξιμον τὸν ἐπίσκοπον καὶ τὸν κλῆρον τῆς Ἀλεξανδρείας ἐπιστολῆς L III 511

Lietzmann, Apollinaris p. 318

[VIII] Περὶ δὲ τῆς σαρκώσεως τοῦ λόγου καὶ πίστεως, πιστεύομεν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν τὸν ἐκ τῆς παρθένου Μαρίας γεννηθέντα ὅτι αὐτός ἐστιν ὁ τοῦ θεοῦ ἀίδιος υἱὸς καὶ λόγος καὶ οὐκ ἄνθρωπος ὑπὸ θεοῦ ἀναληφθείς, ἵν' ἕτερος ἦι παρ' ἐκεῖνον. οὐδὲ γὰρ ἄνθρωπον ἀνέλαβεν ὁ τοῦ θεοῦ υἱός, ἵνα ἦι ἕτερος παρ' αὐτόν, ἀλλὰ θεὸς ὢν τέλειος γέγονεν ἅμα καὶ ἄνθρωπος τέλειος, σαρκωθεὶς ἐκ παρθένου.

Θεοφίλου τοῦ ἁγιωτάτου ἐπισκόπου τῆς Ἀλεξανδρείας ἐκ τῆς πέμπτης ἑορταστικῆς ἐπιστολῆς

[VIIII] Ἔστιν γὰρ καὶ νῦν τῶν τότε θαυμάτων τὰ λείψανα. μὴ ἀπιστείτωσαν ὅτι δύναμις θεοῦ ἰσχύει ποιεῖν παρθένον ἀποτίκτειν, ἐν ἧι γενόμενος ὁ ζῶν τοῦ θεοῦ λόγος διὰ τὴν πρὸς ἡμᾶς ὁμοίωσιν (ἄλλως γὰρ ἡμῖν συνομιλεῖν αὐτὸν ἐγγύτερον οὐχ οἷόν τε ἦν), ἵνα μὴ ἐξ ἡδονῆς καὶ ὕπνου, καθάπερ ἐπὶ τῶν ἄλλων ἀνθρώπων ἔχει, δέξηται σῶμα, τὸ ἐν ὁμοιώματι τούτου λαμβάνει ἐκ παρθένου τικτόμενος ἄνθρωπος φαινόμενος μὲν ὡς ἡμεῖς κατὰ τὴν δουλείαν μορφήν, ἐκ δὲ τῶν ἔργων ἀποδεικνύμενος ὅτι τῶν ἁπάντων δημιουργὸς καὶ κύριός ἐστι, πράττων ἔργα θεοῦ. Sap. Sal. 7, 2

Τοῦ αὐτοῦ ἐκ τῆς ἕκτης ἑορταστικῆς ἐπιστολῆς

[X] Οἷα γὰρ τῶν τεχνιτῶν οἱ ἄριστοι οὐκ ἐν τιμίαις μόνον ὕλαις τὴν τέχνην ἐκφαίνουσι θαυμαζόμενοι, ἀλλ' εὐτελοῦς πηλοῦ καὶ κηροῦ διαλυομένου πολλάκις ἐπειλημμένοι τῆς ἐπιστήμης ἑαυτῶν ἐπιδεικνύουσι τὴν δύναμιν πολλῶι μᾶλλον ἐπαινούμενοι, οὕτως ὁ πάντων ἀριστοτέχνας, ὁ ζῶν καὶ ἐνεργὴς τοῦ θεοῦ λόγος, τάξεως ἁρμονίαι διακοσμήσας τὰ σύμπαντα, οὐχ οἱά τινος τιμίας ὕλης, οὐρανίου λαβόμενος σώματος, πρὸς ἡμᾶς ἀφῖκται, ἀλλ' Pind. frg. 57

M IIII 1189

VII = Cyrill. l. c. 52; 3—6 adfert Eulogius ap. Phot. 230 p. 272[1] 31

VIII = Cyrill. apol. adu. Orient. 53; florileg. Eutychis 9; Tim. arm. p. 2. 68 syr. f. 1[b]. 42[b]

VIIII florileg. R I 9 [= Timoth. arm. p. 105]

X Timoth. arm. p. 105

V, M [usque ad 6], S, D [= mn], ARΛ[tcu] (A75)

1 γενομένου om. AΛ[tc] A75 πρὸσ προσδόκιον RΛ[tcu] πρὸσ δόκιον VMSDA Eulog. 2 κηρύσσεται δὲ] κήρυσσε τάσδε VM 4 τέλειοσ ἄνθρωποσ A Eulog. 5 τὸν ἄνθρωπον DA 6 τοῦ θεοῦ A Eulog. ἐν $\overline{\text{ουνω}}$ μονογενὴσ R Eulog. Λ[u] θεός om. A cf. A75 7—p. 42, 16 om. M 7 φήλικοσ R φίληκοσ VA φηλίκου S φίλικοσ D Ῥώμης om. AR καὶ μάρτυρος om. SR 8 τῆς om. VSR 9 δὲ om. Λ[c] τῆσ πίστεωσ V 10 τὸν[1] ARA75 om. VSD τῆσ ἁγίασ R Tim. p. 68 om. SD 10/11 ὁ υἱὸσ τοῦ θεοῦ ἀίδιοσ λόγοσ VΛ[c] ὁ τοῦ θεοῦ υἱὸσ V[mg] 12 οὐδὲ — αὐτόν om. S 14 ἁγιωτάτου γενομένου Λ[cu] τῆς om. ARA75 ἀλεξανδρέων V 16 τότε] τε R ἀποστήτωσαν S 17 ἀποτεκεῖν A ζῶν om. R 18 ἄλλοσ S ἡμῖν συνομιλεῖν RAA75 flor. συνομιλεῖν ἡμῖν VD συνομιλεῖν S 19 τὸ σῶμα τὸ R 20 μὲν φαινόμενοσ V 21 δουλείαν RAA75 Λ[tcu] flor. δουλείας Timoth. τοῦ δούλου VSD τῶν πάντων D πάντων A 23 ἐκ τῆς om. Λ[u] ἕκτης om. VΛ[tc] 24 Οἷα] Διὰ D corr. n οἱ A οἱ om. A ὕλαισ μόνον SD ἐμφαίνουσι A 26 ἀποδεικνύουσι SRA75 27 ἀριστοτέχνασ R ἀριστοτέχνησ VSDA 28 οἵασ V οὐρανίου om. Λ[t] ἵκται A

ἐν πηλῶι τὸ μέγα τῆς ἑαυτοῦ δείκνυσι τέχνης, τὸν ἐκ πηλοῦ πλασθέντα διορθούμενος ἄνθρωπον, αὐτὸς ἐκ παρθένου καινοπρεπῶς προιὼν ἄνθρωπος, τῶι μὲν τρόπωι τῆς γενέσεως
Hebr. 4, 15 διαλλάττων, τὴν δὲ κατὰ πάντα πρὸς ἡμᾶς χωρὶς ἁμαρτίας οὐκ ἐκφεύγειν κρίνας ὁμοίωσιν, τικτόμενος σπαργανούμενος τιθηνούμενος βρέφος ἐν φάτνηι κείμενος, τῆς φύσεως ἡμῶν τὴν ἀσθένειαν ἐκδεχόμενος διὰ τὰς προλαβούσας αἰτίας. ἀλλ' ἔτι βρέφος ὤν, ὁμοῦ καὶ
Mt. 2, 8. 12 τὸν ἐχθρὸν καὶ τὴν τούτου θορυβεῖ φάλαγγα, μάγους ἔλκων ἐπὶ μετάνοιαν καὶ παρασκευάζων τοῦ ἀποστείλαντος αὐτοὺς περιφρονεῖν βασιλέως.

Κυπριανοῦ τοῦ ἁγιωτάτου ἐπισκόπου καὶ μάρτυρος ἐκ τοῦ περὶ ἐλεημοσύνης, ἑρμηνεία

[XI] de op. et elemos. 1 L III 514 Πολλαὶ καὶ μέγισται τυγχάνουσιν, ἀγαπητοὶ ἀδελφοί, αἱ θεῖαι εὐεργεσίαι ἀφ' ὧν τὴν ἡμετέραν σωτηρίαν ἡ τοῦ θεοῦ πατρὸς καὶ ⟨Χριστοῦ⟩ δαψιλὴς καὶ πλουσία φιλανθρωπία εἰργάσατο καὶ ἀεὶ ἐργάζεται, διὸ φυλάξαι ἡμᾶς καὶ ζωοποιῆσαι ὁ πατὴρ τὸν υἱὸν ἔπεμψεν, ἵνα ἡμᾶς ἀνακαινίσηι, καὶ πεμφθεὶς ὁ υἱὸς ἠθέλησεν υἱὸς ἀνθρώπου γενέσθαι, ὅπως ἡμᾶς υἱοὺς θεοῦ καταστήσηι. ἐταπείνωσεν τοίνυν ἑαυτόν, ἵνα τὸν λαὸν τὸν ἀπερριμμένον ἀνακτήσηται· τετραυμάτισται, ἵνα τὰ ἡμέτερα τραύματα θεραπεύσηι· ἐδούλευσεν, ὅπως ἐκ δουλείας εἰς ἐλευθερίαν τοὺς δουλεύοντας ἀγάγηι· θάνατον ὑπέστη, ἵνα τοῖς θνητοῖς τὴν ἀθανασίαν ἀποδῶι.

Ἀμβροσίου τοῦ ἁγιωτάτου γενομένου ἐπισκόπου Μεδιολάνων, ἑρμηνεία

[XII] de fide 1, 94 Gal. 4, 4 Εἰ ἐμοὶ οὐ πιστεύουσιν, πιστεύσωσιν τῶι ἀποστόλωι λέγοντι· ὅτε δὲ ἦλθεν τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον. τὸν υἱόν, φησίν, αὐτοῦ, οὐχ ἕνα ἐκ πολλῶν· 29v
οὐ κοινόν, ἀλλ' ἑαυτοῦ τῆς ἀιδίου γεννήσεως τὴν ἰδιότητα ἐσήμανεν. τοῦτον μετὰ ταῦτα γενόμενον ἐκ γυναικὸς κατασκευάζει, ὅπως τὸ γενέσθαι οὐ τῆι θεότητι, ἀλλὰ τῶι προσληφθέντι σώματι περιγράψηι, γενόμενον ἐκ γυναικὸς διὰ τῆς προσληφθείσης σαρκός, γενόμενον ὑπὸ νόμον διὰ τῆς τοῦ νόμου φυλακῆς. ἡ γὰρ θειοτάτη αὐτοῦ γέννησις πρὸ τοῦ νόμου, αὕτη μετὰ τὸν νόμον.

Τοῦ αὐτοῦ

[XIII] de fide 2, 77. 78 1 Cor. 2, 4 M IIII 1192 Σιωπήσωσι τοίνυν αἱ ἀπὸ τῶν λόγων μάταιαι ζητήσεις, ὅτι ἡ τοῦ θεοῦ βασιλεία, καθὼς γέγραπται,, οὐκ ἐν πειθοῖς λόγων ἀνθρωπίνων ἐστίν, ἀλλ' ἐν ἀποδείξει δυνάμεως. φυλάξωμεν τὴν ἀνάγνωσιν τῆς θεότητος καὶ τῆς σαρκός. εἷς ἐν ἑκατέραι λαλεῖ ὁ τοῦ

XI Tim. arm. p. 18. 117 syr. f. 3a; ipsa Cypriani uerba exhibet Λc cf. A75

XII. XIII ipsa Ambrosii uerba exhibent Λtcu

29—p. 43, 4 flor. R II 16 φυλάξωμεν — διελέγετο, p. 43, 1—4 Tim. arm. p. 18 syr. f. 7 . 31b

---

V, [M inde a 17 usque ad 25], P [= hk inde a 2 καινοπρεπῶς], S, D [= mn], ARΛtcu (A75)

2 καινοπρεπὴσ PΛc cf. A75 τὸ μεν τρόπον R γεννήσεωσ A 3 ἐκφεύγειν ARA75 ἐκφυγεῖν VPSD 4 τιθηνούμενοσ om. VPA 5 ἁμαρτίασ καὶ αἰτίασ V 6 ἄγων A 7 αὐτοὺς om. R καταφρονεῖν SD 8 κυπριανοῦ τοῦ ἁγιωτάτου VPA75 κυπριανοῦ ἁγίου S τοῦ ἁγίου κυπριανοῦ DA κυπριανοῦ R ἑρμηνεία SDARΛcuA75 Tim. βιβλίου P λόγου V 9 μέγιστοι SD ἀδελφοί om. Λt 10 πατρὸς καὶ [καὶ om. Tim. syr.] Χριστοῦ Λtu Tim. syr. πρσ καὶ VARA75 καὶ πρσ SD πρσ P Tim. arm. 11 ἐργάσεται A Tim. ἡμᾶσ καὶ ζωοποιῆσαι ARΛtuA75 Tim. καὶ ζωοποιῆσαι ἡμᾶσ VPSD 12 ὁ om. A 15 δουλεύοντασ VPSΛt A75 δουλεύοντασ αὐτῶ ARΛu Tim. arm. αὐτῶ δουλεύοντασ D τοὺσ θνητοὺσ R τὴν om. S 15/16 τὴν ἀθανασίαν τοῖσ θνητοῖσ VP 17 τοῦ γενομένου A om. MPΛtcu cf. A75 μεδιολάνων PAA75 τῆσ [om. R] μεδιολάνου SR τῆσ μεδιολάνων VMD 18 πιστεύετε A πιστεύσωσιν RA75 πιστεύσουσι VMPSD πιστεύετε A 21 τὴν ἰδιότητα om. R 23 ἐπιγράψη VMP 24 σαρκὸσ om. MP 25 αὕτη δὲ SD 27—p. 43, 8 om. M 27 σιωπήσωσι AA75 σιωπήσουσι VPSDR 28 πειθοῖ V 29 ἀνάγνωσιν VPSRA75 flor. διαφορὰν DAA75corr *distinctionem* Ambr. ἑκατέρα PDAΛu ἑκατέρω VSRΛtc flor. cf. A75; ἑκατέρωι a Seuero falsatum esse contendit Eulogius apud Phot. 230 p. 271b 13 sq.

θεοῦ υἱός, ὅτι ἐν αὐτῷι ἡ ἑκατέρα φύσις ἐστίν. ὁ αὐτὸς λαλεῖ καὶ οὐκ ἐν ἑνὶ πάντοτε διαλέγεται τρόπωι. πρόσχες ἐν αὐτῷι νυνὶ μὲν δόξαν θεοῦ, νυνὶ δὲ ἀνθρώπου πάθη, ὅτι ὡς θεὸς διδάσκει τὰ θεῖα, ἐπεὶ λόγος ἐστίν, ὡς δὲ ἄνθρωπος λέγει τὰ ἀνθρώπινα, ἐπεὶ ἐν τῆι ἐμῆι οὐσίαι διελέγετο. οὗτός ἐστιν ὁ ἄρτος ὁ ζῶν, ὃς κατέβη ἐξ οὐρανοῦ· οὗτος Ioh. 6, 51. 58
ὁ ἄρτος ἡ σάρξ ἐστιν, καθὼς αὐτὸς ἔφη· οὗτος ὁ ἄρτος ὃν ἐγὼ δώσω, ἡ σάρξ Ioh. 6, 54
μού ἐστιν. οὗτός ἐστιν ὁ καταβάς· οὗτός ἐστιν ὃν ὁ πατὴρ ἡγίασεν καὶ ἔπεμψεν εἰς 6
τὸν κόσμον. οὐδὲ αὐτὸ τὸ γράμμα ἡμᾶς διδάσκει τοῦ ἁγιασμοῦ μὴ τὴν θεότητα χρείαν ἐσχηκέναι, ἀλλὰ τὴν σάρκα.

Γρηγορίου τοῦ μεγάλου ἁγιωτάτου ἐπισκόπου [γενομένου] Ναζιανζοῦ

[XIIII] Μὴ ἀπατάτωσαν οἱ ἄνθρωποι μηδὲ ἀπατάσθωσαν, ἄνθρωπον ἄνουν δεχόμενοι τὸν ep. 101
κυριακόν, ὡς αὐτοὶ λέγουσιν, μᾶλλον δὲ τὸν κύριον ἡμῶν καὶ θεόν. οὐδὲ γὰρ τὸν ἄν- 11
θρωπον χωρίζομεν τῆς θεότητος, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν δογματίζομεν, πρότερον μὲν οὐκ ἄνθρωπον, ἀλλὰ θεὸν καὶ υἱὸν μόνον καὶ προαιώνιον, ἀμιγῆ σώματος καὶ τῶν ὅσα σώματος· ἐπὶ τέλει δὲ καὶ ἄνθρωπον, προσληφθέντα ὑπὲρ τῆς ἡμετέρας σωτηρίας, παθητὸν σαρκί, ἀπαθῆ θεότητι· περιγραπτὸν σώματι, ἀπερίγραπτον πνεύματι· τὸν 15
αὐτὸν ἐπίγειον καὶ οὐράνιον, ὁρώμενον καὶ νοούμενον, χωρητὸν καὶ ἀχώρητον, ἵν' ὅλωι ἀνθρώπωι τῶι αὐτῶι καὶ θεῶι ὅλος ἄνθρωπος ἀναπλασθῆι πεσὼν ὑπὸ τὴν ἁμαρτίαν.

Εἴ τις οὐ θεοτόκον τὴν Μαρίαν ὑπολαμβάνει, χωρίς ἐστι τῆς θεότητος. L III 5,5

Εἴ τις ὡς διὰ σωλῆνος τῆς παρθένου δραμεῖν, ἀλλὰ μὴ ἐν αὐτῆι διαπεπλάσθαι [λέγει] θεικῶς ἅμα καὶ ἀνθρωπικῶς, θεικῶς μὲν ὅτι χωρὶς ἀνδρός, ἀνθρωπικῶς δὲ ὅτι νόμωι κυή- 20
σεως, ἀνάθεμα ἔστω.

Εἴ τις διαπεπλάσθαι λέγει τὸν ἄνθρωπον, εἶθ' ὑποδεδυκέναι θεόν, κατάκριτος· οὐ γὰρ γέννησις θεοῦ τοῦτό ἐστιν, ἀλλὰ φυγὴ γεννήσεως.

Εἴ τις εἰσάγει δύο υἱούς, ἕνα μὲν τὸν ἐκ τοῦ θεοῦ καὶ πατρός, δεύτερον δὲ τὸν ἐκ 24
τῆς μητρός, ἀλλ' οὐχὶ ἕνα καὶ τὸν αὐτόν, καὶ τῆς υἱοθεσίας ἐκπέσοι τῆς ἐπηγγελμένης τοῖς Eph. 1, 5
ὀρθῶς πιστεύουσιν. φύσεις μὲν γὰρ δύο θεὸς καὶ ἄνθρωπος, ἐπεὶ καὶ ψυχὴ καὶ σῶμα· υἱοὶ δὲ οὐ δύο οὐδὲ θεοί. οὐδὲ γὰρ ἐνταῦθα δύο ἄνθρωποι, εἰ καὶ οὕτως ὁ Παῦλος τὸ ἐντὸς 2 Cor. 4, 16
τοῦ ἀνθρώπου καὶ τὸ ἐκτὸς προσηγόρευσεν. καί, εἰ δεῖ συντόμως εἰπεῖν, ἄλλο μὲν καὶ ἄλλο τὰ ἐξ ὧν ὁ σωτήρ, εἴπερ μὴ ταυτὸν τὸ ἀόρατον τῶι ὁρατῶι καὶ τὸ ἄχρονον τῶι ὑπὸ χρόνον· οὐκ ἄλλος δὲ καὶ ἄλλος, μὴ γένοιτο. τὰ γὰρ ἀμφότερα ἓν τῆι συγκράσει, θεοῦ 30
μὲν ἐνανθρωπήσαντος, ἀνθρώπου δὲ θεωθέντος ἢ ὅπως ἄν τις ὀνομάσειεν. λέγω δὲ ἄλλο καὶ ἄλλο ἔμπαλιν ἢ ἐπὶ τῆς τριάδος ἔχει. ἐκεῖ μὲν γὰρ ἄλλος καὶ ἄλλος, ἵνα μὴ τὰς ὑποστάσεις συγχέωμεν, οὐκ ἄλλο δὲ καὶ ἄλλο· ἓν γὰρ τὰ τρία καὶ ταυτὸν τῆι θεότητι. M IIII 1193

15/16 flor. R II 10 παθητόν — ἀχώρητον
22—23 Timotheus arm. p. 60
24—30 florilegium R II 15 εἴ τις — καὶ ἄλλος

V, M [inde a 8], P [= hk], S, D [= mn], ARΛ^{tcu} (A^{75})

1 postulatur ⟨εἰ⟩ καὶ cf. Λ^{tcu} Ambr. οὐκ' ἑνὶ S οὐχ ἑνὶ DA Tim. 1/2 διαλέγεται πάντοτε R 2 πάθη ἀνου P 3 λαλεῖ A 5 ἔφησεν A 6 οὗτός — ἐστιν om. P 7 οὐδὲ] *nec* Λ^{tcu}, falsa lectio pro *hæc* ἡμᾶσ τὸ γράμμα A διδάξει SD μὴ om. V 9 ἁγιωτάτου — γενομένου VMAA^{75} ἁγιωτάτου γενομένου ἐπισκόπου P γενομένου ἁγιωτάτου ἐπισκόπου SD ἁγιωτάτου ἐπισκόπου RΛ^{tcu} ναζιαζοῦ mR 12 μὲν οὖν οὐκ AR 13 μόνον προαιώνιον V 14 σωτηρίας] σαρκὸσ D 15 πνεύματι] *diuinitate* Λ^{t}, cf. A^{75} 16 νοούμενον] ἀόρατον VMP 16/17 *in toto* Λ^{tu} cf. A^{75} 18 ἑκτόσ V ἔσται R *sit* Λ^{u} uariæ lectiones apud Gregorium 19 ἀναπεπλᾶσθαι SD λέγει MPA^{75}Λ^{c} λέγοι V om. SDARΛ^{tu} cf. A^{75} 20 ἀνθρωπίνωσ MA ὅτε S ἀνθρωπίνωσ A 21 ἀνάθεμα ἔστω VMPSDARA^{75} Λ^{tu} *similiter anathema sit* Λ^{c} ὁμοίως ἄθεος Gregorius edd. cf. A^{75} 22 ἄνθρωπον] ναόν A 24 τὸν^{1} om. VMP 25 μητρός] μαρίασ RΛ^{tcu} flor. καὶ^{2} om. Λ^{t} A^{75} 26 γὰρ om. S 27 οὐδὲ θεοί om. R γὰρ om. P εἰ om. R 29 ὁρατὸν τῶ ἀορατω D 30 δὲ om. A τῆ εἰσ ἄκρον ἑνώσει ἐν τῆ συγκράσει RΛ^{tcu} 31 ὀνομάση SD 33 ἄλλοσ δὲ καὶ ἄλλο R ἄλλο δὲ VMP

Εἴ τις ὡς ἐν προφήτῃ λέγει κατὰ χάριν ἐνηργηκέναι, ἀλλὰ μὴ κατ' οὐσίαν συνῆφθαι καὶ συναναπεπλάσθαι, εἴη κενος τῆς κρείττονος ἐνεργείας, μᾶλλον δὲ πλήρης τῆς ἐναντίας.

Εἴ τις οὐ προσκυνεῖ τον ἐσταυρωμένον, ἀνάθεμα ἔστω καὶ τετάχθω μετὰ τῶν θεοκτόνων.

Εἴ τις ἐξ ἔργων τετελειωμένον ἢ μετὰ το βάπτισμα ἢ μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν υἱοθεσίας ἠξιῶσθαι λέγει, καθάπερ Ἕλληνες παρεγγράπτους εἰσάγουσιν, ἀνάθεμα ἔστω. το γὰρ ἠργμένον ἢ προκόπτον ἢ τελειούμενον οὐ θεος, κἂν διὰ τὴν κατὰ μικρὸν αὔξησιν οὑτω λέγηται.

Βασιλείου τοῦ ἁγιωτάτου γενομένου ἐπισκόπου Καισαρείας τῆς πρώτης Καππαδοκίας

[XV] de spir. s. 18 Οὐ γὰρ τοσοῦτον οὐρανὸς καὶ γῆ καὶ τὰ μεγέθη τῶν πελαγῶν καὶ τὰ ἐν ὕδασι διατώμενα καὶ τὰ χερσαῖα τῶν ζώιων καὶ φυτὰ καὶ ἀστέρες καὶ ἀὴρ καὶ ὧραι καὶ ἡ ποικίλη τοῦ παντος διακόσμησις τὸ ὑπερέχον τῆς ἰσχύος συνίστησιν ὅσον το δυνηθῆναι τὸν θεὸν τον ἀχώρητον ἀπαθῶς διὰ σαρκος συμπλακῆναι τῶι θανάτωι, ἵνα ἡμῖν τῶι ἰδίωι πάθει τὴν ἀπάθειαν χαρίσηται.

Γρηγορίου τοῦ ἁγιωτάτου ἐπισκόπου Νύσης

[XVI] or 1 de beatit. [PG p. 1201] Phil 2, 5-7 L III 518 Apoc. 19, 16 Ies 40, 12 Lc. 2, 7 Τοῦτο γὰρ φρονείσθω, φησίν, ἐν ὑμῖν ὃ καὶ ἐν Χριστῶι Ἰησοῦ· ὃς ἐν μορφῆι θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῶι, ἀλλ' ἑαυτον ἐκένωσεν μορφὴν δούλου λαβών. τί πτωχότερον ἐπὶ θεοῦ τῆς τοῦ δούλου μορφῆς, τί ταπεινότερον ἐπὶ τοῦ βασιλέως τῶν ὅλων ἢ τὸ εἰς κοινωνίαν τῆς πτωχῆς ἡμῶν φύσεως ἑκουσίως ἐλθεῖν; ὁ βασιλεὺς τῶν βασιλευόντων καὶ κύριος τῶν κυριευόντων τὴν τῆς δουλείας μορφὴν ὑποδύεται· ὁ κριτὴς τοῦ παντὸς ὑπόφορος τοῖς δυναστεύουσιν γίνεται· ὁ τῆς κτίσεως κύριος ἐν σπηλαίωι κατάγεται· ὁ τοῦ παντὸς περιδεδραγμένος οὐχ εὑρίσκει τόπον ἐν τῶι καταλύματι, ἀλλ' ἐν φάτνηι τῶν ἀλόγων παραρρίπτεται· ὁ καθαρὸς καὶ ἀκήρατος τὸν τῆς ἀνθρωπίνης φύσεως καταδέχεται ῥύπον καὶ διὰ πάσης τῆς πτωχείας ἡμῶν διεξελθὼν μέχρι τῆς τοῦ θανάτου πρόεισι πείρας. ὁρᾶτε τῆς ἑκουσίου πτωχείας το μέτρον· ἡ ζωὴ θανάτου γεύεται· ὁ κριτὴς εἰς κριτήριον ἄγεται· ὁ τῆς ζωῆς

XV Cyrill apol adu. Orient 114; Tim. arm. p. 21 143. 192 syr f 8a

XVI Cyrill. ibid. 113; Tim. arm. p 25. 83

p 45, 3 Hic finem faciunt capitulorum ex patribus excerptorum S 31 D 32 R codex Casinensis Collectionis C; adnotatur in Λ^t *haec testimonia quae secuntur, in aliis exemplaribus non inuenitur.* neque Atticus uel Amphilochius enumerantur in Vincentii Lerinensis Commonitorio [30] bina Attici et Amphilochii testimonia [XVII—XX] adduntur hoc loco in VPAΛ^{tu}, initio supplementi appendici inserti in S 99 D 100; singula Attici et Amphilochii adiciuntur in codice Vaticano Collectionis C, omnia quattuor desunt in M. in V [55—59] MPSD secuntur concilii decretum de symbolo Nicaeno [A 74, 3] et actio de Charisio, quae a prima sessione aliena sunt. uel hinc eiuncitur illa quattuor Attici et Amphilochii testimonia non in prima sessione lecta esse, sed ad ea gesta pertinere, quae d 22 m Iul. 431 habita esse dicuntur [A 73—79 = Coll Palatina 38 et Coll TC 46], et ex illis in haec gesta esse translata hoc confirmatur testimonio Rustici in dialogo contra Acephalos p. 74b [PL 67, 1249]: *suscipe de Ephesina synodo lectionem quam super addiderunt postquam uenerunt uicarii sanctissimi Caelestini papae Romani, ex iis demonstrantes quomodo debeat CCCXVIII sanctorum patrum symbolum declarari ex testimonio sanctae memoriae Attici*

VM, P [= hk], S, D [= mn], ARΛ^{tcu}(A75)

2 συναναπεπλάσθαι] συνάπτεσθαι P Greg. edd. 6 ἐξιοῦσθαι S καθάπερ SDARΛ^{tcu} καθάπερ οὖσ VMPA75 παρεγγράπτους οὖσ SD 9 γενομένου om. RΛ^{tc} cf. A75 10 μυρία V 11 φυτῶν S καὶ ὧραι om. P 13 συμπλασθῆναι M 15 τοῦ om. R νύσσησ VPSDA 16 γὰρ om AR Tim. φησίν om. DA 18 τοῦ om MP 19 τοῦ om. A ὅλων VAΛ^{tcu} Tim ὄντων MPSDR ἐν κοινωνία P 20 πτωχείασ A Tim. καὶ φύσεωσ A ἑκουσίως om. V ὁ κυριοσ VMRA75 21 τοῦ δούλου VSD cf A75 25 ἡμῶν τῆσ πτωχείασ R 26 ὁ — ἄγεται om R

τῶν ὄντων κύριος ἐπὶ τῇ ψήφωι τοῦ δικάζοντος γίνεται· ὁ πάσης τῆς ὑπερκοσμίου δυνάμεως βασιλεὺς τὰς τῶν δημίων οὐκ ἀπωθεῖται χεῖρας. πρὸς τοῦτό σοι, φησί, τὸ ὑπόδειγμα τῆς ταπεινοφροσύνης βλεπέτω τὸ μέτρον.

60 Πέτρος πρεσβύτερος Ἀλεξανδρείας καὶ πριμικήριος νοταρίων εἶπεν· Ἔχομεν δε [μετὰ χεῖρας] καὶ βιβλία τῶν βλασφημιῶν τοῦ εὐλαβεστάτου Νεστορίου, ἀφ' ὧν ἑνὸς ἐξελεξάμεθα κεφάλαια, ἅπερ, εἰ παρίσταται [τῇ ἁγίαι ταύτῃ συνόδωι], ἀναγνωσόμεθα. L III 519

Φλαυιανὸς ἐπίσκοπος Φιλίππων εἶπεν· Ἀναγινωσκέσθω καὶ ἐμφερέσθω τοῖς πραττομένοις.

[I] Ἐκ τοῦ βιβλίου αὐτοῦ Νεστορίου τετράδος ιζ̄ εἰς δόγμα M IIII 1197

Loofs, Nestoriana p. 273, 18-274, 17

Ὅταν οὖν ἡ θεία γραφὴ μέλλῃ λέγειν ἢ γέννησιν τοῦ Χριστοῦ τὴν ἐκ τῆς μακαρίας παρθένου ἢ θάνατον, οὐδαμοῦ φαίνεται τιθεῖσα τὸ θεός, ἀλλ' ἢ Χριστὸς ἢ υἱὸς ἢ κύριος, ἐπειδὴ ταῦτα τὰ τρία τῶν φύσεών ἐστι σημαντικὰ τῶν δύο, ποτὲ μὲν ταύτης, ποτὲ δὲ ἐκείνης, ποτὲ δὲ ταύτης κἀκείνης. οἷόν τι λέγω, ὅταν τὴν ἐκ παρθένου γέννησιν ἡμῖν ἡ γραφὴ διηγῆται, τί λέγει; ἐξαπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ. οὐκ εἶπεν· ἐξαπέστειλεν ὁ θεὸς τὸν θεὸν λόγον, ἀλλὰ λαμβάνει τὸ ὄνομα τὸ μηνῦον τὰς φύσεις τὰς δύο. ἐπειδὴ γὰρ ὁ υἱὸς ἄνθρωπός ἐστιν καὶ θεός, λέγει· ἐξαπέστειλεν τὸν υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικός, ἵνα ὅταν ἀκούσῃς τὸ γενόμενον ἐκ γυναικός, εἶτα ἴδῃς τὸ ὄνομα προκείμενον τὸ μηνῦον τὰς φύσεις τὰς δύο, τὴν γέννησιν τὴν ἐκ τῆς μακαρίας παρθένου υἱοῦ μὲν καλῇς· υἱὸν γὰρ ἐγέννησεν θεοῦ καὶ ἡ Χριστοτόκος παρθένος, ἀλλ' ἐπειδήπερ ὁ υἱὸς τοῦ θεοῦ διπλοῦς ἐστι κατὰ τὰς φύσεις, οὐκ ἐγέννησεν μὲν τὸν υἱὸν τοῦ θεοῦ, ἀλλ' ἐγέννησεν τὴν ἀνθρωπότητα, ἥτις ἐστὶν υἱὸς διὰ τὸν συνημμένον υἱόν. 1 2 3 4 5 6 7 8 9 10 11 12 13 14 15 Gal. 4, 4 Gal. 4, 4 16 17 18 19 20

[II] Ὁμοίως τοῦ αὐτοῦ τετράδος κᾱ

Loofs p. 277, 19-278, 2

Βλέπε τὸ συμβαῖνον, αἱρετικέ. οὐ φθονῶ τῆς φωνῆς τῇ Χριστοτόκωι παρθένωι, ἀλλ' οἶδα σεβασμίαν τὴν δεξαμένην θεόν, δι' ἧς προῆλθεν ὁ τῶν ὅλων δεσπότης, δι' ἧς

9—p. 52, 5 repetuntur in gestis d. 21 m. Iul. [A 78]
I = Cyrill. adu. Nest. 2, 2. 15—21 adferuntur in gestis Concilii quinti L V 547 = M VIIII 344
II. III cf. Cyrill. adu. Nest. 1, 2. ep. 128, 9

VM, P [= hk], S, D [= mn], A, W [inde a 9], R [præter 4—9], Λ^{tcu}
ξ̄ V νζ P λβ̄ S λγ' D

1 ὅλων RΛ^{tc} cf. A^{75} ἄγεται V τῆς om. R 2 οὐκ ἀπωθεῖται τὰσ τῶν δημίων SD σοι om. MPS 2/3 τῆσ ταπεινοφροσύνησ τὸ ὑπόδειγμα DA 4 καὶ om. S πριμμικήριοσ VM^{corr} PSD δὲ om. SD 4/5 μ. τ χεῖρασ VMP om. SDAΛ^{tcu} 5 τοῦ εὐλαβεστάτου SΛ^{tcu} τοῦ ἀσεβεστάτου D om. VMPA ἑνὸσ SDAΛ^{tcu} ἑνὸσ βιβλίου VMP 6 τῇ — συνόδω VMP om. SDAΛ^{tcu} 7 ἀναγινωσκέσθωσαν καὶ ἐμφερέσθωσαν VMP 7/8 τοῖσ πραττομένοισ SDAΛ^{tcu} τῇ πίστει τῶν [τῶν χριστιανῶσ V] πεπραγμένων VMP in fine add. πάντεσ οἱ ἐπίσκοποι εἶπον πάντεσ τὰ αὐτὰ λέγομεν ἀναγινωσκέσθωσαν καὶ ἐμφερέσθωσαν τῇ πίστει τῶν πεπραγμένων [ἀναγινωσκέσθωσαν — πεπραγμένων om. V] VP ὁμοίωσ καὶ πάντεσ εἶπον SD 9 αὐτοῦ SDAWA^{78} τοῦ αὐτοῦ Λ^{tcu} τοῦ VM om. P τετράδια SD εἰσ δόγμα MPAΛ^{tc}A^{78} om. V εἰσ δόγμα καὶ ἀνεγνώσθη οὕτωσ SDW uaria lectio in Λ^{p} [A^{78}] 10 inscr. χρήσεισ νεστορίου ἐπιλήμψιμοι R μέλλει DR, corr. R τὴν om. R τῆσ μακαρίασ SDRΛ^{u}A^{78} τῆσ μαρίασ MPAW μαρίασ τῆσ V *Maria uirgine* Λ^{tc} cf. A^{78} 11 οὐδαμῶσ S 12 ἐστὶ SDWRA^{78} εἰσὶ VMPA τῶν δύο σημαντικὰ VMP ἐκείνης] κακείνησ R 13/14 ὅταν — λέγει om. P 13 τὴν om. R ἡμῖν om. A 14 διεξηγῆται VM τί ΑΛ^{tcu}A^{78} om. VMPSDWR 14/15 ὁ θ̄σ̄ ἐξαπέστειλε W 15 φύσεισ τὰσ δύο PAWRA^{78} δύο φύσεισ VMSD 16 ἄνου R cf. A^{78} ἐξαπέστειλεν VMPAWRA^{78} ἐξαπέστειλεν ὁ θ̄σ̄ SDΛ^{tcu} 16/17 αὐτοῦ — γενόμενον om. W 16 γεννώμενον VM 17 γεννώμενον VM τὸ ὄνομα τὸ VMAW 18 προκείμενον VMSDWRΛ^{tcu} προσκείμενον PA cf. A^{78} τὰσ δύο φύσεισ D ἵνα τὴν MSDWRΛ^{tcu} cf. A^{78} τὴν ἐκ W ἁγίασ VMP *Maria* Λ^{u} 19 υἱοῦ VMPARΛ^{tcu} υἱὸν SDW cf. A^{78} ἡ om. VM 20 τὸν om. W 21 ἥτις — υἱόν om. A 22 ὁμοίωσ τοῦ αὐτοῦ] καὶ ἐν ἄλλω R 24 σεβασμίαν] βλασφημίαν M δεσπότησ SDAWRΛ^{tcu}A^{78} θεὸσ VMP

Mal. 4, 2 ἀνέλαμψεν τῆς δικαιοσύνης ὁ ἥλιος. πάλιν ὑποπτεύω τὸν κρότον· πῶς τὸ προῆλθεν ἐνοήσατε; οὐκ εἴρηταί μοι τὸ προῆλθεν ἀντὶ τοῦ ἐγεννήθη· οὐ γὰρ οὕτω ταχέως ἐπιλανθάνομαι τῶν ἰδίων. τὸ προελθεῖν τὸν θεὸν ἐκ τῆς Χριστοτόκου παρθένου παρὰ τῆς θείας ἐδιδάχθην γραφῆς, τὸ δὲ γεννηθῆναι θεὸν ἐξ αὐτῆς οὐδαμοῦ ἐδιδάχθην.

Loofs p. [III] 278, 5-13 L III 522 Καὶ μεθ' ἕτερα· Οὐδαμοῦ τοίνυν ἡ θεία γραφὴ θεὸν ἐκ τῆς Χριστοτόκου παρθένου λέγει γεγεννῆσθαι, ἀλλὰ Ἰησοῦν Χριστὸν υἱὸν κύριον. ταῦτα πάντες ὁμολογῶμεν· ἃ γὰρ ἐδίδαξεν ἡ θεία γραφή, ἄθλιος ὁ μὴ εὐθὺς δεχόμενος. ἐγερθεὶς παράλαβε τὸ παι-

Mt. 2, 13 δίον καὶ τὴν μητέρα αὐτοῦ. αὕτη τῶν ἀγγέλων ἡ φωνή· τάχα δὲ μᾶλλον σοῦ τὰ κατὰ τὴν γέννησιν ἤιδεσαν οἱ ἀρχάγγελοι. ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, οὐκ εἶπεν· ἐγερθεὶς παράλαβε τὸν θεὸν καὶ τὴν μητέρα αὐτοῦ.

[IIII] Ὁμοίως τοῦ αὐτοῦ τετράδος κδ

Loofs p. 285, 24-287, 21 Mt. 1, 20 "Οπερ οὖν ἐλέγομεν μὴ φοβηθῆις παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου· τὸ γὰρ ἐν αὐτῆι γεννηθέν, εἴτε διὰ τοῦ ἑνὸς ν̄ εἴτε διὰ τῶν δύο, τῶι νοήματι οὐδὲν λυμαίνεται (τὸ γὰρ ἐν αὐτῆι τεχθὲν ἐκ πνεύματός ἐστιν ἁγίου), ἐὰν ⟨δὲ⟩ εἴπωμεν ὅτι ὁ θεὸς

M IIII 1200 λόγος ἐγεννήθη ἐν τῆι γαστρί. ἄλλο γάρ ἐστι τὸ συνεῖναι τῶι γεννωμένωι καὶ ἄλλο τὸ γεννᾶσθαι. τὸ γὰρ ἐν αὐτῆι, φησί, γεννηθὲν ἐκ πνεύματός ἐστιν ἁγίου, τουτέστι τὸ πνεῦμα τὸ ἅγιον ἔκτισε τὸ ἐν αὐτῆι. εἰδὸν οὖν οἱ πατέρες, ὡς ἐπιστήμονες τῶν θείων γραφῶν, ὅτι ἐὰν ἐπὶ τοῦ σαρκωθέντος θῶμεν τὸ γεννηθέντα, εὑρίσκεται ἡ υἱὸς τοῦ πνεύματος ὁ θεὸς λόγος ἢ δύο πατέρας ἔχων, ἢ διὰ τοῦ ἑνὸς ν εὑρεθήσεται ὁ θεὸς λόγος κτίσμα τοῦ πνεύματος ὤν. φεύγοντες οὖν τὴν τῆς γεννήσεως λέξιν, ἔθηκαν τὸν κατελθόντα δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν καὶ σαρκωθέντα. τί ἐστι σαρκωθέντα; οὐ τραπέντα ἀπὸ θεότητος εἰς σάρκα· τῶι σαρκωθέντα ἐκ πνεύματος ἁγίου ἠκολούθησαν τῶι εὐαγγελιστῆι. καὶ γὰρ ὁ εὐαγγελιστὴς ἐλθὼν εἰς τὴν ἐνανθρώπησιν ἔφυγε γέννησιν εἰπεῖν ἐπὶ τοῦ λόγου καὶ τέθεικε σάρκωσιν. ποῦ;

Ioh. 1, 14 ἄκουσον· καὶ ὁ λόγος σὰρξ ἐγένετο. οὐκ εἶπεν· ὁ λόγος διὰ σαρκὸς ἐγεννήθη. ὅπου μὲν γὰρ μνημονεύουσιν ἢ οἱ ἀπόστολοι ἢ οἱ εὐαγγελισταὶ τοῦ υἱοῦ, τιθέασιν ὅτι ἐγεννήθη ἐκ γυναικός. πρόσεχε τῶι λεγομένωι, παρακαλῶ. ὅπου λέγουσι τὸ ὄνομα τοῦ υἱοῦ καὶ ὅτι ἐγεννήθη ἐκ γυναικός, τιθέασι τὸ ἐγεννήθη· ὅπου δὲ μνημονεύουσι τοῦ λόγου, οὐδεὶς αὐτῶν ἐτόλμησεν εἰπεῖν γέννησιν διὰ τῆς ἀνθρωπότητος. ἄκουε· ὁ μακάριος εὐαγγελιστὴς Ἰωάννης ἐλθὼν εἰς τὸν λόγον καὶ τὴν ἐνανθρώπησιν τὴν αὐτοῦ, ἄκουσον οἷά

Ioh. 1, 14 φησιν· ὁ λόγος σὰρξ ἐγένετο, τουτέστιν ἀνέλαβε σάρκα, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, τουτέστιν τὴν ἡμετέραν ἐνεδύσατο φύσιν καὶ ἐνώικησεν ἐν ἡμῖν καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, τοῦ υἱοῦ. οὐκ εἶπεν· ἐθεασάμεθα τὴν γέννησιν τοῦ λόγου.

---

23 ἠκολούθησαν — 31 ἐγένετο = Cyrill. adu. Nest. 1, 8

VM, P [= hk], S, D [= mn], AWRΛ^{tcu}

3 θεὸν λόγον VMP 4 οὐδαμῶσ SD ἐδιδάχθη V 5 παρθένου om. VΛ^{1} 6 γεγενῆσθαι SA υν̄ κν̄ MAΛ^{cu}A^{78} ῡν καὶ κν VPSDW κν̄ RΛ^{1} ὁμολογῶμεν MSDAW cf. A^{78} ὁμολογοῦμεν VPRΛ^{tcu} 7 δεχόμενοσ εὐθύσ S 8—10 αὕτη — αὐτοῦ om. VP 8 σοῦ μᾶλλον A 9 τὰ om. W 11—33 om. R 11 τετράδοσ κᾶ VP κᾶ τετράδοσ M cf. A^{78} 12 οὖν om. VMP 13 νυ MPA υἱοῦ SD, in ν̄ corr. m ὀνόματι D 14 μολύνεται A τεχθὲν] γεννηθὲν W δὲ addidi, cf. A^{78} 15 γαστρί ΑΛ^{1}A^{78} σαρκὶ VMPSDWΛ^{cu} ἐστι om. V cf. A^{78} 16 γεννηθὲν φησὶν SD γενηθέν Λ^{c} 17 τὸ^{2} om. M τὸ ἐν] τὸν ἐν P οὖν om. P 18 ἁγίων W τὸν σαρκωθέντα VMPS τὸ AA^{78} τὸν VMPSDW 19/20 ἢ δύο — λόγος om. SW 19 τοῦ om. VM *sancti spiritus* Λ^{tc} δι' ἑνὸσ V 19 νῦ A νῦν D, corr. m 21 ἔθηκαν om. MP καὶ^{2} om. DA 22 τῶ VDA^{78} τὸ A τὸν MPSW 23 ἁγίου εἰπεῖν D 24 ἐπὶ τοῦ λόγου εἰπεῖν W 24/25 καὶ — ἄκουσον om. Λ^{tcu} 24 τέθηκε P 25 εἶπεν ὅτι DA 26 γὰρ om. P ἢ^{1} VMPΛ^{u}A^{78} om. SDWΛ^{tc} τοῦ υἱοῦ] τούτων A τοῦ θῦ W 27 ὅπου SDAA^{78} ὅπου μὲν VMP 29/30 ἰωάννησ ὁ εὐαγγελιστὴσ VMP 30 καὶ εἰσ A τὴν αὐτοῦ SDAWA^{78} αὐτοῦ VMP 31 ἔλαβε SDW 32 τὴν om. VMP καὶ ἐνώικησεν ἐν ἡμῖν om. S καὶ^{1} om. MPA^{78} ἐσκήνωσεν VW 33 αὐτοῦ om. A

[V] Ὁμοίως τοῦ αὐτοῦ τετράδος ιε εἰς δόγμα

Οὕτω καὶ τὸν κατὰ σάρκα Χριστὸν ἐκ τῆς πρὸς τὸν θεὸν λόγον συναφείας θεὸν ὀνομάζομεν, τὸ φαινόμενον εἰδότες ὡς ἄνθρωπον. ἄκουσον ἀμφότερα τοῦ Παύλου κηρύττοντος· ἐξ Ἰουδαίων, φησίν, ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων θεός. ὁμολογεῖ τὸν ἄνθρωπον πρότερον καὶ τότε τῇ τοῦ θεοῦ συναφείαι θεολογεῖ τὸ φαινόμενον, ἵνα μηδεὶς ἀνθρωπολάτρην τὸν Χριστιανισμὸν ὑποπτεύῃ. Loofs p. 248 10-249, 1

[VI] Ὁμοίως τοῦ αὐτοῦ τετράδος κζ Loofs p. 289, 6-15

Ἀλλ' ὥσπερ ἐλέγομεν θεὸν τὸν πάντων δημιουργὸν καὶ θεὸν τὸν Μωυσέα (θεὸν γάρ φησιν, τέθεικά σε τοῦ Φαραώ) καὶ υἱὸν τὸν Ἰσραὴλ τοῦ θεοῦ (υἱὸς γάρ φησι, πρωτότοκός μου Ἰσραήλ) καὶ ὥσπερ ἐλέγομεν Χριστὸν τὸν Σαούλ (οὐ μὴ γάρ φησιν, ἐπιβάλω τὴν χεῖρά μου ἐπ' αὐτόν, ὅτι Χριστὸς κυρίου ἐστί) καὶ τὸν Κῦρον ὡσαύτως (τάδε λέγει, φησίν, κύριος τῷι Χριστῷι μου Κύρωι) καὶ τὸν Βαβυλώνιον ἅγιον (ἐγὼ γάρ φησιν, συντάξω αὐτοῖς· ἡγιασμένοι εἰσὶν καὶ ἐγὼ ἄγω αὐτούς), οὕτω λέγομεν καὶ τὸν δεσπότην Χριστὸν καὶ θεὸν καὶ υἱὸν καὶ ἅγιον καὶ Χριστόν· ἀλλ' ἡ μὲν κοινωνία τῶν ὀνομάτων ὁμοία, οὐχ ἡ αὐτὴ δὲ ἀξία. L. III 523 Exod. 7, 1 Exod. 4, 22 1 Reg. 24, 7 Ies. 45, 1 Ies. 13, 3 M IIII 1201

[VII] Ὁμοίως τοῦ αὐτοῦ τετράδος ιε

Τοῦτο φρονείσθω ἐν ὑμῖν ὃ καὶ ἐν Χριστῷι Ἰησοῦ, ὃς ἐν μορφῇι θεοῦ ὑπάρχων ἑαυτὸν ἐκένωσεν μορφὴν δούλου λαβών. οὐκ εἶπεν, τοῦτο φρονείσθω ἐν ὑμῖν ὃ καὶ ἐν τῷι θεῷι λόγωι, ὃς ἐν μορφῇι θεοῦ ὑπάρχων μορφὴν δούλου ἔλαβεν· ἀλλὰ λαβὼν τὸ Χριστός, ὡς τῶν δύο φύσεων προσηγορίαν σημαντικήν, ἀκινδύνως αὐτὸν καὶ δούλου μορφήν, ἣν ἔλαβεν, καὶ θεὸν ὀνομάζει, τῶν λεγομένων εἰς τὸ τῶν φύσεων ἀλήπτως μεριζομένων διπλοῦν. Loofs p. 254, 5-12 Phil. 2, 5. 7

[VIII] Ὁμοίως τοῦ αὐτοῦ τετράδος ις

Ἵνα ἐν τῷι ὀνόματι Ἰησοῦ, φησί, πᾶν γόνυ κάμψηι ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται ὅτι κύριος Ἰησοῦς Χριστός. διὰ τὸν φοροῦντα τὸν φορούμενον σέβω· διὰ τὸν κεκρυμμένον Loofs, p. 261, 20-262, 6 Phil. 2, 10. 11

V inde a 3 ἄκουσον = Cyrill. adu. Nest. 2, 14

VI = Cyrill. adu. Nest. 2, 4

VII = Coll. Palat. 29, 9 Cyrill. apol. adu. Orient. 23

VIII cf. Cyrill. apol. adu. Orient. 24 et usque ad p. 48, 1 φαινόμενον Cyrill. adu. Nestor. 2, 11. 12. Coll. Palat 21 p. 35, 13—16. 26—p. 48, 1. 2 redeunt in XV; adferuntur ep. 128, 15 et in gestis Concilii quinti [L V 547 = M VIIII 343]

VM, P [hk], S, D [= mn], AWRΛ^{tcu}

1 ὁμοίως τοῦ αὐτοῦ om. R ὁμοίως om. DAW εἰς δόγμα om. PR 2 καὶ τὸν om. P τὸν DAA^{78} τὸ VMSRWΛ^{c} κατὰ om. M χ̄σ̄ R τὸν DARA^{78} om. VMPSW 3 τὸ VMRΛ^{c} A^{78} τὸν PA om. SDW *uisibilem* Λ^{tu} τοῦ παύλου ἀμφότερα VMP 3/4 κηρύσσοντοσ SDW 4 φησίν om. VMPΛ^{u} ὁ om. A *Christum* Λ^{t} cf. A^{78} 5 τὸ] τὸν A cf. A^{78} 6 ἀνθρωπολάτρην MAA^{78} ἀνθρωπολατρῆν, ἣν in ras. R ἀνθρωπολάτριν P *hominis cultricem* [*cultorem* Λ^{u}] Λ^{tcu} ἀνθρωπολατρεῖν SDW ἀνθρωπολατρείαν V χριστιανὸν A ὑποπτεύοι D ὑποπτεύση VMPR 7 ὁμοίως τοῦ αὐτοῦ om. R ὁυοίως om. A 8 λέγομεν MA μωσέα DAW 9 τέθηκά P τῶ φαραὼν A τὸν] τοῦ V 9/10 πρωτότοκόσ μου ιηλ φησι R 10 λέγομεν A σαμουὴλ SD, corr. S γὰρ μὴ A φησιν om. A 11 μου τὴν χεῖρα A ἐπ' αὐτὸν om. VM κν̄ nWΛ^{u} 12 φησίν om. A κύριω W 12/13 καὶ τὸν — αὐτοῖς om. SD 13 καὶ ἡγιασμένοι A κἀγὼ VM 14 Χριστὸν om. W καὶ υν̄ καὶ θν̄ SD καὶ θν̄ υν̄ P 15 ἀξία] δύναμισ A 16 ὁμοίως τοῦ αὐτοῦ om. R ὁμοίως om. SD 17. 18/19 φρονεῖτε Λ^{tcu} cf. A^{78} 20 τῆσ τῶν — προσηγορίασ σημαντικὸν SDW 21 uορφὴν δούλου M ἣν ἔλαβεν ARΛ^{tcu}A^{78} ἀναλαβεῖν VMPSDW Coll. Pal. 22 ἀλήπτως om. S 23—p. 48, 2 om. W 23 ὁμοίως τοῦ αὐτοῦ om. R 24 καὶ VMPSDAΛ^{u} om. Λ^{tc}A^{78} 25 ἐξομολογήσεται R 26 φρονοῦντα V *indumentum* Λ^{tu} τὸ κεκρυμμένον PR τὸν ἀόρατον S

προσκυνῶ τὸν φαινόμενον. ἀχώριστος τοῦ φαινομένου θεός· διὰ τοῦτο τοῦ μὴ χωριζομένου τὴν τιμὴν οὐ χωρίζω. χωρίζω τὰς φύσεις, ἀλλ' ἑνῶ τὴν προσκύνησιν.

[VIIII] Ὁμοίως τοῦ αὐτοῦ τετράδος ιζ̄ εἰς δόγμα

Loofs p. 275, 1-11 Ἦν μὲν γὰρ ὁ θεὸς λόγος καὶ πρὸ τῆς ἐνανθρωπήσεως καὶ υἱὸς καὶ θεὸς καὶ συνὼν τῷ πατρί, ἀνέλαβεν δὲ ἐν ὑστέροις καιροῖς τὴν τοῦ δούλου μορφήν. ἀλλ' ὢν πρὸ τούτου υἱὸς καὶ καλούμενος, μετὰ τὴν ἀνάληψιν οὐ δύναται καλεῖσθαι κεχωρισμένος υἱός, ἵνα μὴ δύο υἱοὺς δογματίσωμεν· ἀλλ' ἐπειδήπερ ἐκείνωι συνῆπται τῷι ἐν ἀρχῆι ὄντι υἱῷι τῷι πρὸς αὐτὸν συναφθέντι, οὐ δύναται κατὰ τὸ ἀξίωμα τῆς υἱότητος διαίρεσιν δέξασθαι, κατὰ τὸ ἀξίωμα φημὶ τῆς υἱότητος, οὐ κατὰ τὰς φύσεις. διὰ τοῦτο καὶ Χριστὸς ὁ θεὸς λόγος ὀνομάζεται, ἐπειδήπερ ἔχει τὴν συνάφειαν τὴν πρὸς τὸν Χριστὸν διηνεκῆ.

[X] Ὁμοίως τοῦ αὐτοῦ τετράδος ιε̄ εἰς δόγμα

Loofs p. 249, 1-4 Ἀσύγχυτον τοίνυν τὴν τῶν φύσεων τηρῶμεν συνάφειαν· ὁμολογῶμεν τὸν ἐν ἀνθρώπωι θεόν· σέβωμεν τὸν τῆι θείαι συναφείαι τῶι παντοκράτορι θεῶι συμπροσκυνούμενον ἄνθρωπον.

[XI] Ὁμοίως τοῦ αὐτοῦ τετράδος ς̄

Loofs p. 234, 10-16 Hehr. 2, 17.18 L III 526 Σκόπει καὶ τὸ τούτοις εὐθὺς συναπτόμενον ἵνα ἐλεήμων, φησί, γένηται καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν θεόν. ἐν ὧι γὰρ πέπονθεν αὐτὸς πειρασθείς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι. οὐκοῦν ὁ παθὼν ἀρχιερεὺς ἐλεήμων· παθητὸς δὲ ὁ ναός, οὐχ ὁ ζωοποιὸς τοῦ πεπονθότος θεός.

[XII] Ὁμοίως τοῦ αὐτοῦ τετράδος κζ̄

Loofs p. 292, 1-6 Ἵνα μάθητε, φησίν, ὡς σφοδρά τις τῆς θεότητος ὑπῆρχεν συνάφεια, καὶ ἐν βρέφει τῆς δεσποτικῆς καθορωμένης σαρκός. ἦν γὰρ αὐτὸς καὶ βρέφος καὶ τοῦ βρέφους δεσπότης. ἐπηνέσατε τὴν φωνήν, ἀλλὰ μηδὲ αὐτὴν ἀβασανίστως κροτεῖτε· εἶπον γάρ· ὁ αὐτὸς ἦν βρέφος καὶ τοῦ βρέφους οἰκήτωρ.

VIIII = Cyrill. adu. Nestor. 2, 8; 9. 10 ep. 128, 11; adferuntur in gestis Concilii quinti [L V 547 = M VIIII 343]

X = Cyrill. adu. Nestor. 2, 14; ep. 128, 11 cf. apol. adu. Orient. 68

XI = Coll. Pal. 29, 6 cf. Cyrill. adu. Nestor. 3, 2. apol. adu. Theodoret. 51

XII = Coll. Pal. 29, 21. cf. Cyrill. apol. adu. Theodoret. 51

VM, P [= hk], S, D [= mn], AWRΛ^{tcu}

1 τὸ P τῶ R 1/2 χωριζομένου] φαινομένου P 3 ὁμοίως τοῦ αὐτοῦ om. R ὁμοίως om. SDA εἰς δόγμα MPAWΛ^{tcu} om. VSDR 4 ὁ λόγοσ θ̄σ̄ W καὶ om. SD καὶ υἱόσ SDAWRΛ^{c} υἱόσ VMPΛ^{tu} cf. A^{78} 5 καιροῖσ καὶ D 6 κεχωρισμένοσ VMPDWΛ^{tcu} Cyrill. κεχωρισμένωσ SA κεχωρισμέν R cf. A^{78} 7 δογματίζωμεν V τῶι om. S 8 τῶι om. S υἱότητοσ οὐ κατὰ τὰσ φύσεισ διὰ τοῦτο καὶ V 9 οὐ κατὰ — τοῦτο καὶ om. V 10 ὁ om. D τὴν συνάφειαν SDAWR συνάφειαν VMP τὸν DAA^{78} om. VMPSWR 11 om. W ὁμοίως τοῦ αὐτοῦ om. R ὁμοίως om. SD εἰς δόγμα om. RΛ^{t} 12 φύσεωσ RΛ^{t} τηροῦμεν Λ^{tu} ὁμολογοῦμεν Λ^{tu} 12/13 ἐν ἀνθρώπωι] ἕνα W 13 σέβομεν PAΛ^{tu} τὸν ἐν h ἐν k τῆι θείαι om. V 15 ὁμοίως τοῦ αὐτοῦ om. R τετράδος ς̄ om. V ζ̄ P om. R 16 τὸ — εὐθὺς] τοῦτο τοῖσ ἑξῆσ W τὸ τούτοισ] τοσούτοισ D φησί om. VMA 17 τὸν om. SD 17/18 πειρασθεὶσ AA^{78} 20 ὁμοίως τοῦ αὐτοῦ om. R ὁμοίως om SDA 21 μάθη M ὑπάρχει MP συνάφειαν R om. M 22 καθορωμένη W cf. A^{78} αὐτὸσ MPSDAWR ὁ αὐτὸσ VA^{78} αὐτοῦ Λ^{c} καὶ^{1} om. VΛ^{u} 23 κροτεῖτε SDAWRΛ^{tcu} κρατεῖτε MP κρατῆτε V cf. A^{78} 24 οἰκήτωρ DAWRΛ^{tcu}A^{78} Coll. Pal. δεσπότησ VMPS

[XIII] 'Ομοίως τοῦ αὐτοῦ τετράδος ᾱ

Κοιναὶ γὰρ αἱ τῆς τριάδος ἐνέργειαι καὶ μόναις ὑποστάσεσιν τὴν διαίρεσιν ἔχουσαι. Loofs p. 225, 13-18
ἡ γοῦν τοῦ μονογενοῦς εὐδοξία ποτὲ μὲν τῶι πατρὶ περιῆπται (ἔστιν γάρ φησιν, ὁ πατήρ Ioh. 8, 54
μου ὁ δοξάζων με), ποτὲ δὲ τῶι πνεύματι (τὸ πνεῦμα γάρ φησι, τῆς ἀληθείας Ioh. 16, 13.14
ἐμὲ δοξάσει), ποτὲ δὲ τῆι τοῦ Χριστοῦ δυναστείαι. 5

[XIIII] 'Ομοίως τοῦ αὐτοῦ τετράδος ῑ̄ς̄

Περὶ τοῦ υἱοῦ λέγων Οὗτος ὁ λέγων· θεέ μου, θεέ μου, ἵνα τί με ἐγκατέλιπες; Loofs p. 260, 4-7
οὗτος ὁ τριήμερον τελευτὴν ὑπομείνας· προσκυνῶ δὲ σὺν τῆι θεότητι τοῦτον ὡς τῆς Mt. 27, 46
θείας συνεργὸν αὐθεντίας. 9

[XV] Καὶ μεθ' ἕτερα· Διὰ τὸν φοροῦντα τὸν φορούμενον σέβω· διὰ τὸν κεκρυμμένον Loofs p. 262, 3-12
προσκυνῶ τὸν φαινόμενον. ἀχώριστος τοῦ φαινομένου θεός· διὰ τοῦτο τοῦ μὴ χωρι-
ζομένου τὴν τιμὴν οὐ χωρίζω. χωρίζω τὰς φύσεις, ἀλλ' ἑνῶ τὴν προσκύνησιν. οὐ
καθ' ἑαυτὸ θεὸς τὸ πλασθὲν ἐπὶ μήτρας· οὐ καθ' ἑαυτὸ θεὸς τὸ κτισθὲν ἐκ τοῦ πνεύματος·
οὐ καθ' ἑαυτὸ θεὸς τὸ ταφὲν ἐπὶ μνήματος. οὕτω γὰρ ἂν ἦμεν ἀνθρωπολάτραι καὶ
νεκρολάτραι σαφεῖς. ἀλλ' ἐπειδήπερ ἐν τῶι ληφθέντι θεός, ἐκ τοῦ λαβόντος ὁ ληφθείς, 15
ὡς τῶι λαβόντι συναφθείς, συγχρηματίζει θεός.

[XVI] 'Ομοίως τοῦ αὐτοῦ τετράδος γ̄ κατὰ αἱρετικῶν

Περὶ τοῦ πνεύματος λέγων· Πῶς γὰρ ἂν εἴη δοῦλον, φησί, τὸ μετὰ υἱοῦ καὶ πατρὸς Loofs p. 226, 14-227, 3
ἐργαζόμενον; κἂν ζητῆι τις τὰς τοῦ πνεύματος πράξεις, εὑρήσει τῶν τοῦ υἱοῦ καὶ τοῦ
πατρὸς κατ' οὐδὲν λειπομένας, οὐχ ὡς τῆς μιᾶς μεριζομένης θεότητος, ἀλλὰ τῆς θείας 20
γραφῆς τὰ τῆς μιᾶς ἰσχύος καὶ καθ' ἑκάστην μεριζομένης ὑπόστασιν εἰς ἀπόδειξιν τοῦ
τῆς τριάδος ὁμοίου. καί μοι σκόπει τὸ ὅμοιον ἐκ τῶν ἐν ἔργοις καιρίων ἀρξάμενον.
ὁ θεὸς λόγος ἐγένετο σὰρξ καὶ ἐσκήνωσεν ἐν ἡμῖν. συνεκάθισεν ἑαυτῶι τὴν Ioh. 1, 14
ἀναληφθεῖσαν ὁ πατὴρ ἀνθρωπότητα· εἶπε γάρ φησιν, ὁ κύριος τῶι κυρίωι μου· κάθου Ps. 109, 1
ἐκ δεξιῶν μου. τὴν τοῦ ἀναληφθέντος τὸ πνεῦμα κατελθὸν συνεκρότησε δόξαν· ὅταν Ioh. 16, 13.14
γάρ φησιν, ἔλθηι τὸ πνεῦμα τῆς ἀληθείας, ἐκεῖνος ἐμὲ δοξάσει. 26

XIII inde a 3 ἡ γοῦν = Cyrill. adu. Nest. 2, 7. Coll. Palat. 29, 4
XIIII cf. Cyrill. adu. Nest. 2, 10. 5, 5. Coll. Pal. 29, 10
XV [cf. VIII] = Cyrill. adu. Nest. 2, 12 [usque ad 11 φαινόμενον]. 13. Coll. Pal. 29, 11
XVI inde a 23 ὁ θεός = Cyrill. adu. Nest. 4, 1

VM, P [= hk], S, D [= mn], AW, R [usque ad 9], Λ^{tcu}

1 ὁμοίως τοῦ αὐτοῦ om. R ὁμοίως om. SDA τετράδος ᾱ om. V πρώτης PA 3 ἤγουν ἡ M 4 δικάζων M 5 ποτὲ — δυναστείαι om. V δὲ τῆι om. M τοῦ om. ARA^{78} δυνάμει A 6 ὁμοίως τοῦ αὐτοῦ om. R ὁμοίως om. A τετράδος — λέγων^{1} om. V τετράδια D 7 περὶ — λέγων^{1} om. R τοῦ υἱοῦ MPAΛ^{u} χῡ SD τοῦ χῡ W *de Iesu* Λ^{tc} cf. A^{78} ἐγκατέλιπές με D 10—p. 50, 16 καὶ μεθ' — ποιῶν om. R καὶ om. S τόν^{3}] τὸ W 11 τὸ φαινόμενον SW 12 χωρίζω^{2}] οὐ χωρίζω P 13 ἐπὶ MPSAWΛ ἀπὸ V ἐκ D ἐκ VMPDAΛ ὑπὸ SW 14 τὸ ταφὲν om. Λ^{t} τοῦ μνήματος SW ἄν om. S 15 ληφθέντος W 16 συναφθεὶς om. Λ^{t} χρηματίζει P 17 ὁμοίως om. P τρίτης PA 18 λέγον D ἄν om. V ἤ SW δοῦλος P ὁ MP υἱοῦ] χῡ MP 19 ἐργαζόμενον] κατ' οὐδὲν ὅλως MP ζητοίη V τάξεις SD τὸν P 19/20 τοῦ υἱοῦ καὶ τοῦ [τοῦ om. AA^{78}] πρς̄ SDAWA^{78} *filii et patris* Λ^{tcu} τοῦ πρς̄ καὶ [καὶ τοῦ P] υἱοῦ VMP 21 καὶ om. Λ^{u} cf. A^{78} 22 τῆς τριάδος om. W καιρίων VAΛ^{tcu}A^{78} καιρῶν MPSDW 23 ἐγίνετο A 24 ὁ πατὴρ ἀνθρωπότητα] σάρκα ὁ πατὴρ V 25 τοῦ om. A ἀποληφθέντος P 26 τὸ — ἀληθείας ἔλθη VMP ἐκεῖνο P με D δοδάσει in διδάξει corr. W

[XVII] Ὁμοίως τοῦ αὐτοῦ τετράδος ξ̄

Lc. 4, 18. 19 Περὶ Χριστοῦ λέγων ὅτι ἀπεστάλη κηρῦξαι αἰχμαλώτοις ἄφεσιν ὡς [ὁ] ἀπόστολος,
Loofs, p. 235, 6-236, 6 ἐπιφέρει καὶ φησιν· Οὗτος ὁ πιστὸς τῷι θεῷι πεποιημένος ἀρχιερεύς (ἐγένετο γὰρ οὗτος,
Hebr. 2, 17 οὐκ ἀιδίως προῆν)· οὗτος ὁ κατὰ μικρὸν εἰς ἀρχιερέως, αἱρετικέ, προκόψας ἀξίωμα. καὶ
L III 527 ἄκουε σαφεστέρας· σοι τοῦτο διαβοώσης φωνῆς. ἐν ταῖς ἡμέραις, φησί, τῆς σαρκὸς
Hebr. 5, 7-9 αὐτοῦ δεήσεις τε καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον σώιζειν αὐτὸν ἐκ
θανάτου μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσενέγκας καὶ εἰσακου-
M IIII 1205 σθεὶς ἀπὸ τῆς εὐλαβείας, καίπερ ὢν υἱός, ἔμαθεν ἀφ' ὧν ἔπαθεν, τὴν ὑπα-
κοὴν καὶ τελειωθεὶς ἐγένετο τοῖς ὑπακούουσιν αὐτῷι πᾶσιν αἴτιος σωτη-
ρίας αἰωνίου. τελειοῦται δὲ τὸ κατὰ μικρὸν προκόπτον, αἱρετικέ, περὶ οὗ καὶ Ἰωάννης
Lc. 2, 52 ἐν τοῖς εὐαγγελίοις βοᾶι· Ἰησοῦς προέκοπτεν ἡλικίαι καὶ σοφίαι καὶ χάριτι·
Hebr. 5, 9. 10 οἷς σύμφωνα καὶ Παῦλος φθεγγόμενος τελειωθείς, φησίν, ἐγένετο πᾶσιν τοῖς ὑπ-
ακούουσιν αὐτῷι αἴτιος σωτηρίας αἰωνίου, προσαγορευθεὶς ὑπὸ τοῦ θεοῦ
ἀρχιερεὺς κατὰ τὴν τάξιν Μελχισεδέκ.

[XVIII] Καὶ μεθ' ἕτερα· ἀρχιερεὺς κεκλημένος. τί οὖν ἀνθερμηνεύεις τῷι Παύλωι τὸν
Loofs, p. 236, 12-14 ἀπαθῆ θεὸν λόγον ἐπιγείωι καταμιγνὺς ὁμοιώματι καὶ παθητὸν ἀρχιερέα ποιῶν;

[XVIIII] Ὁμοίως τοῦ αὐτοῦ τετράδος ζ̄

Loofs, p. 240, 1-4 Ὅθεν, ἀδελφοί [ἅγιοι], κλήσεως ἐπουρανίου μέτοχοι, κατανοήσατε τὸν
Hebr. 3, 1. 2 ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν, πιστὸν ὄντα τῷι
ποιήσαντι αὐτόν.

[XX] Καὶ μεθ' ἕτερα· Ὄντος οὖν ἡμῖν τούτου μόνου ἀρχιερέως συμπαθοῦς καὶ συγγενοῦς
Loofs, p. 240, 4-9 καὶ βεβαίου, τῆς εἰς αὐτὸν μὴ παρατρέπεσθε πίστεως. αὐτὸς γὰρ ἡμῖν τῆς ἐπηγγελμένης
εὐλογίας ἐκ σπέρματος Ἀβραὰμ ἀπεστάλη ὡς ὑπὲρ ἑαυτοῦ καὶ τοῦ γένους τὴν τοῦ σώ-
ματος θυσίαν συνεπαγόμενος.

Σημειωτέον ὅτι ὁμολογήσας πάντα ἀρχιερέα δεῖσθαι θυσίας καὶ ὑπεξελὼν τὸν Χριστὸν
ὡς μὴ δεόμενον, ἐν τούτοις φησὶν ὑπὲρ ἑαυτοῦ προσφέρειν καὶ τοῦ γένους τὴν θυσίαν.

XVII. XVIII = Cyrill. adu. Nest. 3, 4; cf. Cyrill. adu. Orient. 85. adu. Theodoret. 77
XX = Cyrill. adu. Nest. 3, 5; cf. Cyrill. apol. adu. Theodoret. 77

VM, P [= hk], S, D [= mn], AW, R [inde a 17], Λ^{tcu}

1 ξ τετράδοσ M ξ] καὶ SW 2 λέγον D ὁ deleui cf. A^{78}; male uertit Λ^{u} *sicut apostolus dicit* 3 ἐπιφέρει καί om. Λ^{t} 4 αἱρετικὲ εἰσ ἀρχιερέωσ [ἱερέωσ A] DA 5 σαφέστερον $S\Lambda^{tu}$ δσ ἐν Λ^{tc} [= Cyrill.] cf. A^{78} ἡμέραισ ἐκείναισ V 6 τε om. V ἱκεσίασ V 9 πᾶσι τοῖσ ὑπακούουσιν αὐτῶ SW αὐτοῦ V 10 τὸ om. S προκόπτων V ἰωάννησ VMPSDAWΛ^{*} *Lucas* Λ^{t} *Iohannes et Lucas* Λ^{u} cf. A^{78} putauerim nomen a Nestorio omissum et ab excerptore falso suppletum esse 11 ἱεροῖσ εὐαγγελίοισ W ἐβόα A *clamant* Λ^{u} προέκοψεν S 12 ὁ παῦλοσ SDW 12/13 τοῖσ ὑπακούουσιν αὐτῶ [αὐτοῦ V] πᾶσιν VMP 13 παρὰ, superscr. ὑπὸ W κῦ V ἀρχιερεὺσ VMPSDAWΛ^{u} καὶ ἀρχιερεὺσ Λ^{tc} cf. A^{78} 16 ἐπιγείωι] λέγει ῶι Λ^{t} σώματι A *simili corpori* Λ^{c} *simile corpori* Λ^{u} ἀρχιερέα ποιῶν SDAW$\Lambda\Lambda^{78}$ λέγων VMP 17 ὁμοίως τοῦ αὐτοῦ om. R in fine add. *sic* Λ^{u} 18 ἅγιοι RΛ^{c} A^{78} om. VMPSDAWΛ^{*u} 21 καὶ — ἕτερα om. V, nihil ex Nestorii uerbis omissum οὖν om. D ὑμῖν MΛ^{tcu} μόνου om. P καὶ συμπαθοῦσ καὶ P 21/22 συγγενοῦσ βεβαίου VM 22 πίστεωσ om. S 23 ἀρχιερεὺσ εὐλογίασ Ps. Chrysost. ἀπεστάλη om. S ὡς ὑπὲρ] ὥσπερ M αὐτοῦ P συγγενοῦσ SD 25 ὑπεξελθὼν V 26 ὑπὲρ ἑαυτοῦ φησι VMP συγγενοῦσ SD τὴν om. VMP

[XXI] Ὁμοίως τοῦ αὐτοῦ τετράδος δ

Ἀκούσατε τοίνυν προσέχοντες τοῖς ῥητοῖς. ὁ τρώγων μου, φησί, τὴν σάρκα. Loofs, p. 227, 20-228, 3
μνημονεύετε ὅτι περὶ τῆς σαρκός ἐστι τὸ λεγόμενον καὶ ὅτι οὐ παρ' ἐμοῦ προστέθειται Ioh. 6, 56
τὸ τῆς σαρκὸς ὄνομα, ὥστε μὴ δοκεῖν ἐκείνοις παρερμηνεύειν. ὁ τρώγων μου τὴν
σάρκα καὶ πίνων μου τὸ αἷμα. μὴ εἶπεν· ὁ τρώγων μου τὴν θεότητα καὶ πίνων 5
μου τὴν θεότητα; ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ
μένει κἀγὼ ἐν αὐτῷ.

[XXII] Καὶ μεθ' ἕτερα· Ἀλλ' ἐπὶ τὸ προκείμενον. ὁ τρώγων μου τὴν σάρκα καὶ Loofs, p. 228, 4-16
πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει κἀγὼ ἐν αὐτῷ. μνημονεύετε ὅτι περὶ τῆς
σαρκὸς τὸ λεγόμενον. καθὼς ἀπέστειλέν με ὁ ζῶν πατήρ, ἐμὲ τὸν φαινόμενον. Ioh. 6, 57
ἀλλ' ἐνίοτε παρερμηνεύω· ἀκούσωμεν ἐκ τῶν ἑξῆς. καθὼς ἀπέστειλέν με ὁ ζῶν 11
πατήρ. ἐκεῖνος λέγει τὴν θεότητα, ἐγὼ τὴν ἀνθρωπότητα· ἴδωμεν τίς ὁ παρερμηνεύων.
καθὼς ἀπέστειλέν με ὁ ζῶν πατήρ. λέγει ὁ αἱρετικός· ἐνταῦθα τὴν θεότητα
λέγει· ἀπέστειλέν με, φησί, τὸν θεὸν λόγον. καθὼς ἀπέστειλέν με ὁ ζῶν πατήρ,
κατ' ἐκείνους κἀγὼ ζῶ, ὁ θεὸς λόγος, διὰ τὸν πατέρα. εἶτα τὸ μετὰ τοῦτο· καὶ 15
ὁ τρώγων με κἀκεῖνος ζήσεται. τίνα ἐσθίομεν, τὴν θεότητα ἢ τὴν σάρκα;

[XXIII] Ὁμοίως τοῦ αὐτοῦ τετράδος ις̄

Καὶ ὅλως, φησίν, εἰ πᾶσαν ὁμοῦ τὴν καινὴν μεταλλεύοις, οὐκ ἂν εὕροις οὐδαμοῦ Loofs, p. 269, 14-27
παρὰ ταύτῃ τὸν θάνατον τῷ θεῷ προσαπτόμενον, ἀλλ' ἢ Χριστῷ ἢ υἱῷ ἢ κυρίῳ. τὸ L III 530
γὰρ Χριστὸς καὶ τὸ υἱὸς καὶ τὸ κύριος, ἐπὶ τοῦ μονογενοῦς παρὰ τῆς γραφῆς λαμβανόμενον, 20
τῶν φύσεων ἐστὶ τῶν δύο σημαντικὸν καὶ ποτὲ μὲν δηλοῦν τὴν θεότητα, ποτὲ δὲ τὴν ἀν- M IIII 1208
θρωπότητα, ποτὲ δὲ ἀμφότερα, οἷον ὅταν Παῦλος ἐπιστέλλων κηρύττῃ ἐχθροὶ ὄντες Rom. 5, 10
κατηλλάγημεν τῷ θεῷ διὰ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ, τὴν ἀνθρωπότητα
βοᾷ τοῦ υἱοῦ· ἂν λέγῃ πάλιν ὁ αὐτὸς πρὸς Ἑβραίους ὁ θεὸς ἐλάλησεν ἡμῖν ἐν Hebr. 1, 2
υἱῷ, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν, τὴν θεότητα δηλοῖ τοῦ υἱοῦ. οὐδὲ γὰρ 25
ἡ σὰρξ δημιουργὸς τῶν αἰώνων ἡ μετ' αἰῶνας δημιουργηθεῖσα πολλούς.

[XXIIII] Καὶ μεθ' ἕτερα· Οὐδὲ θεότης ἀδελφὸν τὸν Ἰάκωβον ἔσχεν οὐδὲ τὸν τοῦ θεοῦ λόγου Loofs, p. 271, 1-3
καταγγέλλομεν θάνατον, τὸ δεσποτικὸν αἷμά τε καὶ σῶμα σιτούμενοι.

XXI. XXII = Cyrill. apolog. adu. Orient. 98
XXI = Coll. Pal. 29, 20
XXII [inde a 8 ὁ τρώγων] = Cyrill. adu. Nest. 4, 4. Coll. Pal. 29, 14
XXIII — 22 ἀμφοτερα adfertur a Timotheo Aeluro Patrol. or. 13, 231

V [usque ad 6], M, P [= hk], S, D [= mn], AWRΛ^{tcu}
1 ὁμοίως τοῦ αὐτοῦ om. R ὁμοίωσ καὶ M τετάρτησ P λ̄ A 2 προσχόντεσ D φησί om. SD 3 προστίθεται Λ^{u} 5/6 μὴ εἶπεν — μου τὸ αἷμα om. MW 6 τὴν θεότητα] ταύτην V 6—8 ὁ τρώγων — ἕτερα] ὁμοίωσ τοῦ αὐτοῦ τετράδοσ δ̄ P 6—28 ὁ τρώγων — σιτούμενοι om. V 6/7 ὁ τρώγων — αὐτῷ om. R 8 ἀλλ' — προκείμενον om. A 10 σαρκόσ ἐστι MP 10—12 ἐμὲ — ὁ ζῶν πατὴρ om. AW 11 παρερμηνεύων P 12/13 ἐκεῖνος — ὁ ζῶν πατήρ om. MPΛ^{t} 12 ἐγὼ δὲ DΛ^{c} τί S 13 λέγει καὶ DA 14 λέγειν M 15 μετ' αὐτὸ R μετὰ σοῦ A καὶ om. S 16 ἐσθίομεν] τρώγομεν P σάρκα] ἀνθρωπότητα DA 17 ὁμοίως τοῦ αὐτοῦ om. R ὁμοίως om. S τετράδια D *tertio* Λ^{u} 18 μεταλλεύοισ MRA^{78} μεταλεύοισ PS μεταλεύεισ D μεταλεύσεισ A μεταλάττοισ W οὐδαμῶσ SDW 19 ταύτην A τῶι om. PS 20 λαμβάνομεν Λ^{tu} *sicut* ante παρὰ interpolat Λ^{t} 22 ὁ παῦλοσ PR 24 ἂν SDAWR *cum* Λ^{tcu} ὅταν δὲ MPA^{78} λέγῃ] δὴ MP ὁ^{I} om. W 25 δηλοῖ] λέγει A 26 πολλούς om. Λ^{t} 27—p. 52. 5 om. M 27 θεότητοσ D cf. A^{78} ἰακὼβ W τὸν θν λόγον Wm τὸν τοῦ θῦ λόγον nΛ^{u}

[XXV] Ὁμοίως τοῦ αὐτοῦ τετράδος κγ

Loofs, p. 283, 2-8 Προσέχω, φησί, τοῖς ἡμετέροις δήμοις εὐλάβειαν μὲν πολλὴν κεκτημένοις καὶ θερμοτάτην εὐσέβειαν, ὑπὸ δὲ τῆς περὶ τὸ δόγμα θεογνωσίας ἀγνοίας ὀλισθαίνουσι. τοῦτο δὲ οὐκ ἔγκλημα τῶν λαῶν, ἀλλὰ (πῶς ἂν εὐπρεπῶς εἴποιμι;) τοῦ μὴ σχεῖν τοὺς διδασκάλους καιρὸν καί τι τῶν ἀκριβεστέρων ὑμῖν παραθέσθαι δογμάτων.

Πέτρος πρεσβύτερος Ἀλεξανδρείας καὶ πριμικήριος νοταρίων εἶπεν· Ἰδοὺ φανερῶς ἐν τούτοις φησὶν ὅτι τῶν πρὸ αὐτοῦ διδασκάλων οὐδεὶς ταῦτα ἐλάλησε τοῖς λαοῖς ἃ αὐτὸς ἐλάλησεν.

Φλσυιανὸς ἐπίσκοπος Φιλίππων εἶπεν· Ἐπειδὴ δεινὰ καὶ βλάσφημα τὰ παρὰ Νεστορίου εἰρημένα καὶ οὐ φέρουσιν αἱ ἀκοαὶ ἡμῶν ἐπὶ πλεῖον μολύνεσθαι, ἕκαστον μέρος τῆς βλασφημίας αὐτοῦ ἐμφερέσθω τοῖς πραττομένοις πρὸς κατηγορίαν τοῦ διδάξαντος ταῦτα.

61 Πέτρος πρεσβύτερος Ἀλεξανδρείας καὶ πριμικήριος νοταρίων εἶπεν· Ὁ εὐλαβέστατος καὶ θεοσεβέστατος μητροπολίτης καὶ ἐπίσκοπος τῆς Καρθαγένης Καπρέολος διὰ Βεσσούλα τοῦ διακόνου γέγραφε πρὸς τὴν ἁγίαν ταύτην σύνοδον ἐπιστολήν, ἣν εἰ κελεύσειεν ὑμῶν ἡ θεοσέβεια, ἀναγνώσομαι, ἀναγνώσομαι δὲ καὶ τὴν ἑρμηνείαν αὐτῆς.

Τοῖς θεοσεβεστάτοις καὶ μακαριωτάτοις καὶ ἁγιωτάτοις συλλειτουργοῖς τοῖς ἁπανταχόθεν εἰς τὴν σύνοδον συνελθοῦσι Καπρέολος. Ἠὐχόμην, εὐλαβέστατοι ἀδελφοί, ἐν τοιαύτῃ καταστάσει τὴν προσκυνητὴν ὑμῶν σύνοδον συγκροτηθῆναι, ἵνα καὶ ἡμεῖς, ἐπιλεχθέντων κοινῇ κρίσει ἀδελφῶν καὶ συνεπισκόπων ἡμετέρων, οὐ παραίτησιν θρήνου ἀξίαν, ἀλλὰ παρεσκευασμένην πρεσβείαν μᾶλλον πέμψωμεν, εἰ μὴ τὴν ἡμετέραν ἔνστασιν αἰτίαι διάφοροι ἐνεπόδιζον. καὶ γὰρ πρῶτον τοῦ δεσπότου καὶ υἱοῦ ἡμετέρου εὐσεβεστάτου βασιλέως Θεοδοσίου τοιαῦτα εἰς τὰς ἡμετέρας χεῖρας γράμματα ἐλήλυθεν, ἅτινα τοῦ τῆς μακαρίας μνήμης ἀδελφοῦ ἡμετέρου καὶ συνεπισκόπου Αὐγουστίνου τὴν παρουσίαν ἰδικῶς
L III 531 ἀπήιτει, ἅτινα προειρημένα γράμματα εἰς ταύτην τὴν ζωὴν εὑρεῖν αὐτὸν οὐδαμῶς δεδύνηνται. ὅθεν ἐγώ, ὅστις τὴν αὐτὴν βασιλικὴν σημείωσιν, εἰ καὶ τὰ μάλιστα τῶι προειρη-
M IIII 1209 μένωι πεπέμφθαι ἐδόκει, ἐδεξάμην καταπεμφθεῖσαν, κατὰ πάσας τὰς ἐπαρχίας τῆς Ἀφρικῆς ἁρμοδίοις γράμμασι καὶ ταῖς ἐθίμοις διαλέξεσι σύνοδον ἠβουλήθην συναγαγεῖν, ἵνα ἐπιλεχθέντες ἀπὸ τοῦ ἀριθμοῦ τῶν ἀδελφῶν καὶ ἐπισκόπων τῶν ἡμετέρων εἰς τὴν προσκυνη-

---

XXV adfert Cyrillus in ep. ad clericos [V 22, pars 1 p. 111, 11—14]

VM, P [= hk], S, D [= mn], A, W [usque ad 11], Λ^{tcu}

1 ὁμοίως om. D κβ V κε P γ̄ Λ^{u} 2 ὑμετέροις D 2/3 θερμότητος SD 3 τὸ δόγμα] δόγμα τῆς SW ἀγνοίας SW ἀγνοία DAA^{78} om. VP ὀλισθαίνουσι VAA^{78} ὀλισθαίνοντας SDW ὀλισθαίνοντι P 4 τοῦ DAW καὶ τοῦ S τὸ P τῶ V ἔχειν VPA^{78} 5 ἡμῖν παραθέσθαι S παραθέσθαι ἡμῖν W 6 πριμμικήριος M^{corr} PSDW πριμμηκήριος V νοταρίων om. M 7 ταῦτα ἐπ' ἐκκλησίας A 9 ἐπίσκοπος om. M 9/10 τοῦ νεστορίου P 10 πλέον SD 11 αὐτά VPD 12 ξᾱ V λδ' D Ἀλεξανδρείας om. M πριμμικήριος M^{corr} PSD πριμμηκήριος V νοταρίων om. M 13 θεοφιλέστατος M καθαργένης MPD καπραίολος VPSD καὶ πραίολος M βεσουλᾶ MSDA 14 ἔγραψε A 15 ἀναγνώσομαι δὲ — p. 54, 16 om. M pro iis ponendo ἡ δὲ τοιαύτη ἐπιστολὴ βούλεται τὰ μὲν ἀρχαῖα κρατύνεσθαι δόγματα τὰ δὲ νεαρὰ καὶ ἀτόπως ἐξηυρημένα καὶ ἀσεβῶς εἰρημένα ἀποδοκιμάζεσθαι καὶ ἐκβάλλεσθαι ἤντινα ἐπιστολὴν ἐμφέρεσθαι τῆι πίστει τῶν ὑπομνημάτων κύριλλος ὁ τῆς ἀλεξανδρείας ἐπίσκοπος ἐκέλευσεν 15 ἀναγνωσόμεθα δὲ DΛ om. A καὶ om. A 16 λγ̄ S θεοσεβεστάτοις] εὐλαβεστάτοις A 16/17 πανταχόθεν A ἁπανταχοῦ SD 17 συνελθοῦσι VAΛ ἐλθοῦσι PSD καπραίολος VPSΛ καπρέολος [καπραίολος D] ἐπίσκοπος ἐν κῶ χαίρειν DA 18 ἡμῶν S 19 θρόνου P 20 μᾶλλον πρεσβείαν VP ἔνστασιν AΛ σύστασιν VPSD 21 τοῦ ἡμετέρου SD 24 αὐτὸν εὑρεῖν οὐδαμῶς D αὐτὸν οὐδαμῶς εὑρεῖν A εὑρεῖν οὐδαμῶς S 24/25 δεδύνηται A 25 τὴν αὐτὴν] τὴν τοιαύτην P τὴν S *ipsam* Λ 26 καταπεμφθεῖσι A τὰς om. A 27 τοῖς ἁρμοδίοις V ἐθίμοις om. spat. rel. S σύνοδον PSΛ συνάδουσαν A συνάδουσαν σύνοδον V σὺν ἡδονῆ D 28 τῶν ἐπισκόπων τῶν A

τὴν σύνοδον τῆς ὑμετέρας μακαριότητος καταπεμφθῶσιν. ἀλλ' ἐπειδὴ οὐκ ἀνέωικται ἡ εἴσοδος τῆς παρόδου (καὶ γὰρ ἡ ἐπιχυθεῖσα τῶν πολεμίων πληθὺς καὶ ἡ πόρθησις ἡ πλατεῖα τῶν ἐπαρχιῶν ἥτις ἢ ἀποσβεσθέντων τῶν οἰκητόρων ἢ φυγόντων ἀθλίαν ἐρημώσεως ὄψιν εἰς μῆκος καὶ πλάτος ἐκτείνουσα τὴν εὐχέρειαν συστέλλει τοῦ ἐλθεῖν), τούτοις τοιγαροῦν τοῖς κωλύμασι συνελθεῖν εἰς ἓν τοῦ κύκλου τῆς Ἀφρικῆς οἱ ἐπίσκοποι οὐδαμῶς ἠδυνήθησαν. οἷς προσετέθη ἐπειδὴ τὰ βασιλικὰ γράμματα ἐν ἡμέραις τοῦ πάσχα εἰς ἡμᾶς ἦλθεν, ὅτε d. 19. m. Apr. 431 μόλις μέχρι τῆς προσκυνητῆς πάσης συνόδου δύο μηνῶν διάστημα περιελιμπάνετο, οἵτινες μόλις ἤρκουν κἂν αὐτῇ τῇ κατὰ Ἀφρικὴν συνόδωι εἰς τὸ συνελθεῖν, καὶ εἰ μηδεμία δυσχέρεια ἀπὸ τῶν πολεμίων ἡ παροῦσα συμβεβήκει. ἐντεῦθεν γεγένηται ἵνα, εἰ καὶ τὰ μάλιστα πρέσβεις οὐδαμῶς ἐκπέμψαι δεδυνήμεθα, διὰ τὴν εὐλάβειαν ὅμως τὴν χρεωστουμένην τῇ ἐκκλησιαστικῇ ἐπιστήμηι τὸν υἱὸν τὸν ἐμὸν Βεσσούλαν τὸν διάκονον μετὰ τούτων τῶν τῆς παραιτήσεως γραμμάτων ἐπέμψαμεν, προσκυνητοὶ ἀδελφοί. ὅθεν αἰτῶ τὴν ὑμετέραν ἁγιότητα, εἰ καὶ τὰ μάλιστα πιστεύω τῇ βοηθείαι τοῦ ἡμετέρου θεοῦ τοσαύτην σύνοδον προσκυνητῶν ἱερέων βεβαίαν διὰ πάντων τὴν πίστιν τὴν καθολικὴν ἐσομένην, ἵνα ἐνεργοῦντος τοῦ ἁγίου πνεύματος, ὅπερ ταῖς ὑμετέραις καρδίαις ἐν πᾶσι τοῖς πρακτέοις πιστεύομεν παρεσόμενον, τὰς καινὰς διδασκαλίας καὶ πρὸ τούτου ταῖς ἐκκλησιαστικαῖς ἀκοαῖς ἀπείρους τῆς ἀρχαίας αὐθεντίας τῇ δυνάμει ἀπώσησθε καὶ οὕτως ταῖς καιναῖς οἱαισδήποτε πλάναις ἀντιστῆτε, ἵνα μὴ τούτους οὓς πάλαι ἐπολέμησεν ἡ ἐκκλησία καὶ τούτοις τοῖς καιροῖς ἐν οἷς ἀνεφύησαν, καὶ τῆς ἀποστολικῆς καθέδρας ἡ αὐθεντία καὶ εἰς ἓν συμφωνοῦσα ἡ ψῆφος ἡ ἱερατικὴ συνέχωσεν, προσχήματι δευτέρας διαλέξεως ἡ φωνὴ δόξηι ἡ πάλαι ἀφαιρεθεῖσα ἀνανεοῦσθαι. ἔχει γάρ, εἴ τι τυχὸν νεωστὶ ἀναφυῆι, ζητήσεως ἀνάγκην, ἵνα ἢ δεχθὲν δοκιμασθῆι ἢ καταδικασθὲν δυνηθῆι ἀποκρουσθῆναι· ταῦτα δὲ περὶ ὧν ἤδη πάλαι ἐκρίθη, ἐάν τις ἐπαφῆι εἰς δευτέραν διάλεξιν κληθῆναι, οὐδὲν ἕτερον δόξει ἢ περὶ τῆς πίστεως ἥτις μέχρι δεῦρο κατέσχεν, αὐτὸς ἀμφιβάλλειν. ἔπειτα διὰ τὸ τῶν μεταγενεστέρων ὑπόδειγμα, ἵνα ταῦτα ἅπερ νῦν ὑπὲρ τῆς καθολικῆς πίστεως ὥρισται, ἔχειν δυνηθῆι διηνεκῆ βεβαίωσιν, ταῦτα ἅπερ ἤδη ἐστὶ παρὰ τῶν πατέρων ὁρισθέντα, φυλακτέα ἐστίν, ἐπειδὴ ὅστις βούλεται ἅτινα ὑπὲρ τῆς καθολικῆς καταστάσεως ἐθέσπισεν, εἰς τὸ διηνεκὲς μένειν, οὐ τῇ ἰδίαι αὐθεντίαι, ἀλλὰ καὶ τῇ τῶν ἀρχαιοτέρων ψήφωι ὀφείλει

21—24 Fulgentius Ferrandus in ep. 6, 6 [BP ed. Gallandi XI p. 362b], ni fallor, ex ipso latino exemplari excerpsit: *habet quidquid forte nuper exoritur, discussionis necessitatem, ut aut recipi probatum aut damnatum possit excludi; ea uero de quibus antea iam iudicatum est, siquis admiserit in retractationem uocari, (nihil aliud) uidebitur quam de fide quam nunc usque tenuit, ipse dubitare.*

V, P [= hk], S, D [= mn], AΛ^{tcu}

1 καταπεμφθῶ V 2 παροδίασ V ἐπελθοῦσα A τῶν om. VP 3/4 ἥτις — ἐκτείνουσα = *quae extendit*; ἥτις ἐκτείνει et ἡ ἐκτείνουσα solito translatorum more conflata sunt. ceterum ἐκτείνουσαν legit Λ^{iu} 3 ἢ om. DA ἢ] καὶ DA ἀθλίαν VPSΛ εἰσ τελείαν DA 5 οὐδαμῶσ οἱ ἐπίσκοποι D 6 προσετέθη VPAΛ προετέθη SD; προσετέθη ἐπειδή = *accedebat quoniam* [= *quod*] ἔφθασαν εἰσ ἡμᾶσ ἐλθεῖν A ὅτε VDAΛ ὅτι PS 7 προσκυνητοῦ V πάσης] ταύτησ P 8 ἤρκουν ἂν P ἤρκεσαν S τὴν ἀφρικὴν A ἐλθεῖν VPS 9 ἡ a translatore male additum συμβέβηκεν S γεγένηται AΛ γεγενῆσθαι VPSD ἵν' A om. Λ 10 πέμψαι SD 11 βεσούλαν V βεσουλᾶν SDA 12 ἐπέμψαμεν DAΛ πέμψωμεν VS πέμψομεν P προσκυνητὴν SD 13/14 *per tantam* Λ 14 προσκυνητὴν VPS 14/15 βεβαίαν — ἐσομένην] *firmam futuram* pro *firmaturam*? 15 ἡμετέραισ P 16 καινὰσ Λ κοινὰσ A κενὰσ VPSD τούτων S ταῖς] καὶ P 17/18 καιναῖσ AΛ κεναῖσ VSD κοιναῖσ P 18 οἱασδήποτε PA ἀντιστῆναι PSΛ^{tu} *eorum* Λ^{c}, malim τούτοις 19 ἐν om. SD 20 ἡ ἱερατικὴ] ἱερατικὸν S συνέχωσεν] συνεχῶσ ἐν [*frequenter sub*] Λ συνέχωσεν ἐν VA συνεχώρησε D συνεχώρησεν ἐν PS δευτέρας om. D 21 δόξει S τισ P ἀναφυεῖ P 22 ἀνάγκην] ἀγωγὴ P δεχθὲν AΛ λεχθὲν VPSD δὲ om. P 23 κριθῆναι DA οὐδὲ S 24 ἅπερ V εἴπερ Λ^{tu} μέχρι τῆσ DA 25 ὑπὲρ] διὰ A 27 ἅπερ V

βεβαιῶσαι ὅπερ ἐφρόνησεν, ὥστε οὕτως τοῦτο μὲν ἀπὸ τῶν ἀρχαιοτέρων, τοῦτο δὲ ἀπὸ
L III 534 τῶν νέων ὅρων τοῦτο ὅπερ διαβεβαιοῦται, δοκιμάζων, μονογενῆ τῆς ἐκκλησίας τῆς καθολι-
M IIII 1212 κῆς τὴν ἀλήθειαν ἀπὸ τῶν παρωιχημένων καιρῶν μέχρι τῶν ἡμετέρων ἁπλῇ καθαρότητι
καὶ ἀηττήτωι αὐθεντία τρέχουσαν ἑαυτὸν καὶ λέγειν διδάξει καὶ κατέχειν. ταῦτα τέως
ὑπὲρ τῆς παρούσης πρεσβείας τῆς Ἀφρικῆς, ἥντινα καταπέμψαι ἡ ἀνάγκη ἡ προρρηθεῖσα
οὐ συνεχώρησε, ταῖς προσκυνηταῖς ὑμῶν ἀκοαῖς ὑπέβαλον, πλεῖστα παρακαλῶν ἵνα θεωρη-
θεισῶν τῶν ἐν τοῖς πράγμασι καὶ τοῖς καιροῖς συμφορῶν τὴν ἡμετέραν ἀπουσίαν μηδεμιᾶ
ὑπερηφανίαι ἡ ἀμελείαι, ἀλλὰ ταύτηι τῆι προδήλωι ἀνάγκηι μᾶλλον λογίσασθαι καταξιώσητε.

Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Καὶ ἡ ἀναγνωσθεῖσα ἐπιστολὴ τοῦ εὐλαβε-
στάτου καὶ θεοσεβεστάτου ἐπισκόπου τῆς Καρθαγένης Καπρεόλου ἐμφερέσθω τῆι πίστει
τῶν ὑπομνημάτων, φανερὰν ἔχουσα διάνοιαν. βούλεται γὰρ τὰ μὲν ἀρχαῖα κρατύνεσθαι
τῆς πίστεως δόγματα, τὰ δὲ νεαρὰ καὶ ἀτόπως ἐξηυρημένα καὶ ἀσεβῶς εἰρημένα ἀποδοκι-
μάζεσθαι καὶ ἐκβάλλεσθαι.

Πάντες οἱ ἐπίσκοποι ἀνεφώνησαν· Αὗται πάντων αἱ φωναί. Ταῦτα πάντες λέγο-
μεν. Αὕτη πάντων ἡ εὐχή.

Ἀπόφασις ἐξενεχθεῖσα κατὰ Νεστορίου ἡ καθαιροῦσα αὐτόν

Ἡ ἁγία σύνοδος εἶπε· Πρὸς τοῖς ἄλλοις μήτε ὑπακοῦσαι βουληθέντος τοῦ τιμιωτάτου
Νεστορίου τῆι παρ' ἡμῶν κλήσει μήτε μὴν τοὺς παρ' ἡμῶν ἀποσταλέντας ἁγιωτάτους καὶ
θεοσεβεστάτους ἐπισκόπους προσδεξαμένου, ἀναγκαίως ἐχωρήσαμεν ἐπὶ τὴν ἐξέτασιν τῶν
δυσσεβηθέντων αὐτῶι καὶ φωράσαντες αὐτὸν ἔκ τε τῶν ἐπιστολῶν αὐτοῦ καὶ ἐκ τῶν
συγγραμμάτων τῶν ἀναγνωσθέντων καὶ ἐκ τῶν ἀρτίως παρ' αὐτοῦ ῥηθέντων κατὰ τήνδε
τὴν μητρόπολιν καὶ προσμαρτυρηθέντων δυσσεβῶς φρονοῦντα καὶ κηρύττοντα, ἀναγκαίως
ep. 10 κατεπειχθέντες ἀπό τε τῶν κανόνων καὶ ἐκ τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν
καὶ συλλειτουργοῦ Κελεστίνου [τοῦ] ἐπισκόπου τῆς Ῥωμαίων ἐκκλησίας δακρύσαντες πολλάκις
ἐπὶ ταύτην τὴν σκυθρωπὴν κατ' αὐτοῦ ἐχωρήσαμεν ἀπόφασιν

62 Ὁ βλασφημηθεὶς τοίνυν παρ' αὐτοῦ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὥρισε διὰ τῆς
παρούσης ἁγιωτάτης συνόδου ἀλλότριον εἶναι τὸν αὐτὸν Νεστόριον τοῦ τε ἐπισκοπικοῦ
ἀξιώματος καὶ παντὸς συλλόγου ἱερατικοῦ.

9—15 adfert Vincentius Lerinensis in Commonitorio 31
16—28 adferuntur V 106, 30 [pars 3 p. 60, 14—24]

V, M [inde a 17], P [= hk], S, D [= mn], A, W [inde a 17], Λ[1cu]

1 βεβαιωθῆναι V 1/2 δὲ — τοῦτο om. A 2 τοῦτο om. V μονογενῆ SDΛ μόνος ἐν ἧι VP περὶ τοῦ μονογενοῦς A 2/3 τῆς καθολικῆς ἐκκλησίας V 3 ἡμετέρων PSDAΛ παρόντων ἤτοι τῶν ἡμετέρων V 4 διδάξει PD τέως VPSΛ ὡς DA 6 παρεχώρησε A ἐν ταῖς D ὑμῶν om. P ὑπολαβὸν S ὑπολαβὼν P παρακαλῶ P 6/7 θεωρηθῆ των νέων τοῖς πράγμασι S 8 ὑπερηφανεία P ἀλλὰ ταύτη VPS ἀλλ' αὐτῆ DA καταλογίσασθαι A 10 τῆς om. D καθαργένης PSD καπρεόλου A καπραιόλου VPSD 11 φανερὰν — διάνοιαν om. Λ 12 τῆς πίστεως om. VP καὶ — ἐξηυρημένα] *utpote adiuuenta* = ἅτε προσεξηυρημένα Λ ἐξευρημένα D ὑπεξηρημένα A 14 ἅμα ἀνεβόησαν D ἅμα ἐβόησαν A συνεφώνησαν P πάντα D 15 ἡ om. S 16 om. VPS λδ S λε' D 17 νθ P μὴ δὲ A τιμιωτάτου] ἀσεβεστάτου D 18 παρ' ἡμῶν] παρενίων W 18/19 καὶ θεοφιλεστάτους A 106, 30 om. M 19 δεξαμένου VMP' πρὸς A 20 δυσφημηθέντων A αὐτοῦ DAΛ om. VMPSW 21 γραμμάτων W τῶν ἀναγνωσθέντων M[corr] SAΛ τῶν τε ἀναγνωσθέντων D τῶν [om. M] καὶ ἀναγνωσθέντων MW ἀναγνωσθέντων P αὐτοῦ V cf. 106, 30 τήνδε] δὲ A 23 κινηθέντες 106, 30 τῶν om. M ἐκ om. A 24 καὶ συλλειτουργοῦ om. D τοῦ om. SDA 25 ταύτην om. V 26 ξβ V 27 ἁγίας SD τε om. V

1 Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας ὑπέγραψα ἀποφηνάμενος ἅμα τῇι ἁγίαι συνόδωι.
2 Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων ὑπέγραψα ἀποφηνάμενος ἅμα τῇι ἁγίαι συνόδωι.
3 Φλαυιανὸς ἐπίσκοπος Φιλίππων ὑπέγραψα ἀποφηνάμενος ἅμα τῇι ἁγίαι συνόδωι.
4 Φίρμος ἐπίσκοπος Καισαρείας Καππαδοκίας ὑπέγραψα ἀποφηνάμενος ἅμα τῇι ἁγίαι συνόδωι.
5 Μέμνων ἐπίσκοπος Ἐφέσου ὑπέγραψα ἀποφηνάμενος ἅμα τῇι ἁγίαι συνόδωι. M IIII 1213
6 Ἀκάκιος ἐλέει θεοῦ ἐπίσκοπος Μελιτηνῶν συναινῶν τῇι ἁγίαι συνόδωι ἐπὶ τῇι προγε- L III 535
γραμμένηι ἀποφάσει ὑπέγραψα.
7 Θεόδοτος ἐπίσκοπος Ἀγκύρας τῆς ἁγίας ἐκκλησίας συναινῶν τῇι ἁγίαι συνόδωι ὑπέγραψα.
8 Παλλάδιος χάριτι Χριστοῦ ἐπίσκοπος τῆς Ἀμασέων συναινῶν τῇι ἁγίαι συνόδωι ἐπὶ τῇι προγεγραμμένηι ἀποφάσει ὑπέγραψα.
9 Ἀμφιλόχιος ἐπίσκοπος Σίδης ὑπέγραψα ἀποφηνάμενος ἅμα τῇι ἁγίαι συνόδωι.
10 Ἰκόνιος ἐπίσκοπος Γορτύνης τῆς Κρήτης ὑπέγραψα ἀποφηνάμενος ἅμα τῇι ἁγίαι συνόδωι.
11 Φῆλιξ ἐπίσκοπος πόλεων Ἀπολλωνίας καὶ Βελλίδος ὑπέγραψα ἀποφηνάμενος ἅμα τῇι ἁγίαι συνόδωι.
12 Δανιὴλ ἐπίσκοπος Κολωνείας ὑπέγραψα ἀποφηνάμενος ἅμα τῇι ἁγίαι συνόδωι.
13 Περιγένης ἐπίσκοπος Κορίνθου ὑπέγραψα ἀποφηνάμενος ἅμα τῇι ἁγίαι συνόδωι.
14 Ἑλλάνικος ἐπίσκοπος Ῥόδου ὑπέγραψα ἀποφηνάμενος ἅμα τῇι ἁγίαι συνόδωι.
15 Κῦρος ἐλάχιστος ἐπίσκοπος Ἀφροδισιάδος ὑπέγραψα ἀποφηνάμενος ἅμα τῇι ἁγίαι συνόδωι.
16 Δυνατὸς ἐπίσκοπος Νικοπόλεως Παλαιᾶς Ἠπείρου ὑπέγραψα ἀποφηνάμενος ἅμα τῇι ἁγίαι συνόδωι.
17 Εὐχάριος ἐπίσκοπος Δυρραχίου ὑπέγραψα ἀποφηνάμενος ἅμα τῇι ἁγίαι συνόδωι.
18 Σενεκίων ἐπίσκοπος πόλεως Σκοδρίνης ὑπέγραψα ἀποφηνάμενος ἅμα τῇι ἁγίαι συνόδωι.
19 Ἐπιφάνιος ἐπίσκοπος Κρατίας ὑπέγραψα ἀποφηνάμενος ἅμα τῇι ἁγίαι συνόδωι.
20 Εὐσέβιος ἐπίσκοπος Ἡρακλείας ὑπέγραψα ἀποφηνάμενος ἅμα τῇι ἁγίαι συνόδωι.
21 Ἀνύσιος ἐπίσκοπος τῆς κατὰ Θήβας ἁγίας τοῦ θεοῦ ἐκκλησίας τῆς κατὰ τὴν Ἑλλάδα ὑπέγραψα ἀποφηνάμενος ἅμα τῇι ἁγίαι συνόδωι.

V, M [usque ad 3], P [= hk], S, D [= mn], A, W [usque ad 1] Λ^{tcu} [usque ad 2]

1 subscriptiones hoc loco om. Λ^{u}, non habent nisi 1. 2 Λ^{tc}, sed in initio subscriptionum quas in fine TC 46 U XVIIII habent, exhibent horum gestorum et uerba et ordinem usque ad 12 Λ^{tcu}, subscriptionibus tamen Arcadii sub 2, Proiecti et Philippi sub 4. 5 insertis, cf. A in mg. 1 (ηὕρ)ηται καὶ Ἀρκάδιος ἐπίσκοπος καὶ τοποτηρητὴς τοῦ ἀποστολικοῦ θρόνου ὑπογράψας Προίεκτος ὡσαύτως ἐπίσκοπος καὶ τοποτηρητὴς Φίλιππος πρεσβύτερος καὶ αὐτὸς τοποτηρητὴς τῆς ἀποστολικῆς καθέδρας A, hos tres ceteris connumerans, cf. ad 9 1-197 numeros [ᾱ — ρπθ] adscribit P ὑπέγραψα VSA fere ubique plene scribunt, in 1. 2 Λ^{t} in 1 W, ὑπέγραψεν sæpe D in 1—5 P in 1. 2 Λ^{c} inde a 2 subscriptiones om. W, pro iis ponendo καὶ πάντες τῷ αὐτῷ συνέθεντο οἱ ἕτεροι ἐπίσκοποι οἳ καὶ ἦσαν τὸν ἀριθμὸν ρϥβ 2. 3 ἀποφηνάμενος — συνόδωι] ἀποφηνάμενοσ ὁμοίωσ S 3 om. V inde a 4 subscriptiones om. M, pro iis ponendo ὁμοίωσ καὶ ἕτεροι ἐπίσκοποι ρπη ὑπέγραψαν ἀποφηνάμενοι ἅμα τῇ ἁγία συνόδω 4 ἀποφηνάμενος — συνόδωι om. S 5 ἀποφηνάμενοσ ὁμοίωσ S 6 ἐλέει [siue ἐλέω] θῦ ἐπίσκοποσ A(Λ) ἐπίσκοποσ ἐλέει [ἐλέω VP] θῦ VPSD μελιτηνῆσ V προκειμένη A 7 post 8 coll. A post 12 SD ἀγκύρων A ἁγίας ἐκκλησίας] γαλατίασ A συνόδω V(Λ) συνόδω ἐπὶ τῇ προγεγραμμένη ἀποφάσει PSDA 8 χάριτι θῦ [*Christi* (Λ)] — ἀμασέων A(Λ) ἐπίσκοποσ τῆσ ἀμασέων χάριτι χῦ [θῦ D] PSD ἐπίσκοποσ τῆσ ἀμασέων V ἐν A ἀποφάσει ὑπέγραψα om. S 9. 10. 12. 19. 20. 26. 27 ἀποφηνάμενοσ ὁμοίωσ S inde a 9 incipit numeratio [ιβ — ρϥη'] in A 10 γορτύνησ τῆσ DAΛ^{c} om. VPSΛ^{tu} 11 om. A φίλιξ V φίληξ P πόλεων V πόλεωσ D abbreuiate S om. P ἀπολλωνείασ SD ἀπολλωνίου P βελλίδοσ PS βελίδοσ V βελιάδοσ D 11. 14. 15. 16. 18 ἀποφηνάμενος — συνόδωι om. S 11. 15. 16. 22. 23 ἅμα — συνόδωι om. V 12 κολωνίασ V ἀπολλωνίασ A 13. 17. 21 ἅμα — συνόδωι om. S 16 δυνατὸσ SA δυνάτοσ n δονάτοσ VPm 17 εὐχάριστοσ A διρραχίου V 18 om. VA κοδρίνησ SD δρινῆσ P 19 om. A κρατίσασ h κρατίσσασ k 21 καὶ τῆσ κατὰ ἑλλάδα A om. V ἀποφηνάμενος — συνόδωι om. V

22 Δόμνος ἐπίσκοπος τῆς κατὰ Ὀποῦντα ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὑπέγραψα ἀποφηνάμενος ἅμα τῇ ἁγίαι συνόδωι.

23 Ἀγαθοκλῆς ἐπίσκοπος τῆς Κορωναίων πόλεως ὑπέγραψα ἀποφηνάμενος ἅμα τῇ ἁγίαι συνόδωι.

24 Γρηγόριος κατὰ θεοῦ χάριν ἐπίσκοπος Κερασοῦντος ὑπέγραψα ἀποφηνάμενος ἅμα τῇ ἁγίαι συνόδωι.

25 Παράλιος ἐλέει Χριστοῦ ἐπίσκοπος Ἀνδραπηνῶν ὑπέγραψα ἀποφηνάμενος ἅμα τῇ ἁγίαι συνόδωι.

26 Καλλικράτης ἐπίσκοπος τῆς κατὰ Ναύπακτον ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὑπέγραψα ἀποφηνάμενος ἅμα τῇ ἁγίαι συνόδωι.

27 Νικίας ἐπίσκοπος Μεγάρων ὑπέγραψα ἀποφηνάμενος ἅμα τῇ ἁγίαι συνόδωι.

28 Δοκιμάσιος ἐπίσκοπος διοικήσεως Θράικης ἐπαρχίας Ῥοδόπης τῆς πόλεως Μαρωνείας ὑπέγραψα ἀποφηνάμενος ἅμα τῇ ἁγίαι συνόδωι.

29 Λουκιανὸς ἐπίσκοπος τῆς αὐτῆς ἐπαρχίας πόλεως Τοπήρου ὑπέγραψα ἀποφηνάμενος ἅμα τῇ ἁγίαι συνόδωι.

30 Ἐννέπιος ἐπίσκοπος τῆς αὐτῆς ἐπαρχίας πόλεως Μαξιμιανοῦ ὑπέγραψα ἀποφηνάμενος ἅμα τῇ ἁγίαι συνόδωι.

31 Ῥηγῖνος ἐπίσκοπος πόλεως Κωνσταντίας ὑπέγραψα ἀποφηνάμενος ἅμα τῇ ἁγίαι συνόδωι.

32 Σαπρίκιος ἐπίσκοπος Πάφου ὑπέγραψα ἀποφηνάμενος ἅμα τῇ ἁγίαι συνόδωι.

M IIII 1216 33 Θεμίστιος ἐλάχιστος ἐπίσκοπος ταρσοῦ ὑπέγραψα ἀποφηνάμενος ἅμα τῇ ἁγίαι συνόδωι.

L III 538 34 Περρέβιος ἐπίσκοπος τῶν Θεσσαλικῶν σάλτων ὑπέγραψα ἀποφηνάμενος ἅμα τῇ ἁγίαι συνόδωι.

35 Ἀφθόνητος ἐλάχιστος ἐπίσκοπος Ἡρακλείας ὑπέγραψα ἀποφηνάμενος ἅμα τῇ ἁγίαι συνόδωι.

36 Σπουδάσιος ἐπίσκοπος Κεράμων ὑπέγραψα ἀποφηνάμενος ἅμα τῇ ἁγίαι συνόδωι.

37 Φιλητὸς ἐλάχιστος ἐπίσκοπος Ἀμυζόνος ὑπέγραψα ἀποφηνάμενος ἅμα τῇ ἁγίαι συνόδωι.

38 Ἀρχέλαος ἐλάχιστος ἐπίσκοπος Μύνδου ὑπέγραψα ἀποφηνάμενος ἅμα τῇ ἁγίαι συνόδωι.

39 Ἀπελλᾶς ἐλάχιστος ἐπίσκοπος Κιβύρας ὑπέγραψα ἀποφηνάμενος ἅμα τῇ ἁγίαι συνόδωι.

40 Φανίας ἐλάχιστος ἐπίσκοπος πόλεως Ἁρπάσων ὑπέγραψα ἀποφηνάμενος ἅμα τῇ ἁγίαι συνόδωι.

41 Προμάχιος ἐλάχιστος ἐπίσκοπος Ἀλίνδων ὑπέγραψα ἀποφηνάμενος ἅμα τῇ ἁγίαι συνόδωι.

42 Ἀνδήριος ἐπίσκοπος ἐπαρχίας Κρήτης πόλεως Χερσονήσου ὑπέγραψα ἀποφηνάμενος ἅμα τῇ ἁγίαι συνόδωι.

V, P [= hk], S, D [= mn], A

4—17 om. M, pro iis ponendo ἔγραψεν ἑτέραν ἐπιστολὴν τῆσ αὐτῆσ τῇ προγραφείσῃ ἐχομένην ἐννοίασ τῶ κλήρω καὶ τῶ λαῶ ἡ ἁγία σύνοδοσ ἥ γοῦν ὅτι καθηρέθη ὁ νεστόριοσ καὶ χαίρετε διὰ τοῦτο 4 ξθ̄ V ρ′ D Τῶ — συνόδου VPSD ἐπιστολὴ τῆσ ἁγίασ συνόδου πρὸσ τὸν κλῆρον καὶ τὸν λαὸν κωνσταντινουπόλεωσ A τῶ λαῶ VSD λαῶ κωνσταντινουπόλεωσ P 6 διὰ — καιρῶι om. P ἐν τῶ SD τῆσ κρίσεωσ] μέλλοντι V 10 τρίτην] τὴν D δικαίαι om. SD τριάδοσ VPA συνόδου SD 12 πάντοτε VSA χαίρετε P om. D καὶ πάλιν V 13 ἐξεριζώθη SD 13/14 χωρίου — γεωργίου V 14 δὲ καὶ P ἀναζωπυρίσατε S 15 μισαρᾶσ P κενοφωνίασ VPSDA ἡμῖν S 16 πάντασ γὰρ D
VM, P [= hk], S, D [= mn], AW (Λ^{tc})
20 ō V ξᾱ P ρα′ D λεχθεῖσα ἐν ἐφέσω ῥηγίνου — κύπρου VMSD ῥηθεῖσα A 22 ἐθέλονταν W(Λ^{tc}) 23 συμβούλου P 24 ἐπειδὴ SD 26 σε τινὶ W(Λ^{tc}) 27 θεῶ P 28 ἀπήλαυσαν VPSDW 30 μετριότερα W 31 τοῦ om. VP ἐπεγγελάσαντα W 32 ἐπιμετρήσασ SD

σὺ γὰρ ἐν βραχεῖ χρόνωι τὴν οἰκουμένην ἐσάλευσας καὶ τὴν πίστιν ἀνατρέψαι ἠθέλησας καὶ τὴν ἄρρητον οἰκονομίαν τῆς ἐνσάρκου παρουσίας τοῦ μονογενοῦς πορθῆσαι ἐσπούδασας τό γε ἦκον ἐπὶ σοί, ὡς καὶ περὶ σοῦ λέγεσθαι οὐκ ἔστι μάλαγμα ἐπιθεῖναι τοῖς σοῖς τραύμασιν οὔτε ἔλαιον οὔτε καταδέσμους. καὶ ἔδει μὲν ἔκπαλαι πρὸς ἔλεγχον τῆς σῆς δυσσεβείας μικρὰ ὧν τετόλμηκας, ἀπονάσθαι σέ τε καὶ τὴν σὴν παρεμβολὴν ἢ πυρίφλεκτον ἢ χασματιαίαν γενομένην, ἵνα τοῖς ἁπλουστέροις φαίνοιο δίκας δεδωκώς· παρ' ἡμῖν γὰρ ἤδη δέδωκας. ὁ γὰρ παρὰ σοῦ μεριζόμενος θεὸς λόγος ὁ προκύψας ἔνσαρκος ἐκ τῆς θεοτόκου Μαρίας ἄφευκτόν σοι τὸ τῆς βασάνου κολαστήριον ἐν ἡμέραι κρίσεως ὁριεῖ. ἀλλὰ τί φαίης, ὦ θαλάσσης καὶ θανάτου ἀνοητότερε; θάλασσα μὲν γὰρ τὸν δεσπότην ἰδοῦσα τὰ νῶτα ὑπέστρωσε, θάνατος δὲ Λάζαρον ἐδίδου τοῖς ἐξ αἵματος ἀσυνήθει νόμωι, καὶ σιγῶ ἥλιον ὑπὸ δέους κρυπτόμενον διὰ τὸ δεσποτικὸν πάθος, πέτρας ῥηγνυμένας, μνήματα ἀνοιγόμενα, καὶ εἰ μικρά σοι ταῦτα, αἰσχύνθητι τῶν ἐγερθέντων νεκρῶν τὴν μαρτυρίαν, τῶν τοῦ ἅιδου πυλωρῶν τὸν τρόμον, τὸ τοῦ καταπετάσματος σχίσμα, τοῦ φωτὸς τὴν μεταβολήν, τῆς ἡμέρας τὸ σκότος. καὶ ἐπὶ τούτοις ἅπασιν ἔμεινεν ἀκαμπὴς ὁ δείλαιος, ἀνουθέτητον ἔχων τῆς κακίας τὸν τρόπον. καὶ οὗτος μὲν ἐν τούτοις· ἡμεῖς δὲ τοῖς θείοις νεύμασιν εἴκοντες προσκυνήσωμεν τὸν θεὸν λόγον τὸν καταξιώσαντα μετὰ σαρκὸς πολιτεύσασθαι μεθ' ἡμῶν, οὐκ ἐκστάντα τῆς πατρικῆς οὐσίας, ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως φέρων τε τὰ πάντα τῶι ῥήματι τοῦ στόματος αὐτοῦ· αὐτῶι ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

L III 580
Ies. 1, 6
Num. 16, 31. 35
Mt. 14, 25
Ioh. 11, 44
Mt. 27, 45. 51, 52
Hebr. 1, 3

71 = S 106

L III 1023
M V 221 **PG** 77, 1385

Ὁμιλία Θεοδότου ἐπισκόπου Ἀγκύρας λεχθεῖσα ἐν Ἐφέσωι πρὸς Νεστόριον ἐν [ἡμέραι] Ἰωάννηι τῶι εὐαγγελιστῆι

1 Ὅπερ ἐστὶ τοῖς σώμασιν ἡμῶν ἰατρός, τοῦτο ταῖς ψυχαῖς ἱερεύς. ἐπειδὴ γὰρ νόσημα ψυχῶν ἐστιν ἡ πλάνη καὶ χρονίζουσα θάνατον τὸν τῆς τιμωρίας ἐπήγαγεν, ὠικονόμησεν ἡ τοῦ πνεύματος χάρις ἰατρείαν ψυχῶν τὴν ἱερωσύνην τὴν ἁγίαν, καὶ τὸ προληφθὲν τῶι πάθει μέλος ἐξέκοψεν, οὐκ ἐκείνου ἀφειδῶν, ἀλλὰ τῶν λοιπῶν μελῶν φειδόμενος. ἐπειδὴ γὰρ τὸ συνεχὲς τῆς πίστεως τῆς σαθρᾶς μετάδοσιν εἰργάζετο τῆς κακίας, ἐκτέμνει τὸ μέλος, ἵν' ἐπιτέμηι τὴν κακίαν, καὶ ἐστὶ τὸ εἶδος τοῦτο οὐκ ὠμότης, ἀλλὰ θεραπεία. δακρύων μὲν γὰρ ὁ ἰατρὸς ἐκτέμνει τὸ μέλος, ἀλλ' ἡ φειδὼ τὴν τμῆσιν θεραπείαν εἰργάσατο. ἀρχαῖον τοῦτο τῆς θεραπείας τὸ εἶδός ἐστι καὶ ἄνωθεν· οὕτως οἱ ἅγιοι ἐπεμελήθησαν τῆς πανσέπτου ταύτης ἐκκλησίας. ἔχει γὰρ ὁ ἱερεὺς καὶ ξίφος, οὐχ ἵνα κακώσηι, ἀλλ' ἵνα θεραπεύσηι. καὶ τοῦτο δηλοῦσα ἄνωθεν ἡ χάρις πρώτωι τῶι Ἱερεμίαι ἐμήνυσε λέγουσα· καθέστακά σε σήμερον ἐπὶ ἔθνη καὶ ἐπὶ βασιλείας ἐκριζοῦν καὶ κατασκάπτειν καὶ ἀπολλύειν καὶ ἀνοικοδομεῖν καὶ καταφυτεύειν. οὐ φυτεύεται

Ier. 1, 10

VM, P [= hk], S, D [= mn], AW(Λ^{tc})

1—15 σὺ γὰρ — τρόπον om. M 1 σὺ] οὐ V σαλεύσας P 2 τῆς — παρουσίας om. W τῆς — μονογενοῦς om. (Λ^{tc}) 3 ὡς καὶ] ὥστε SD 5 τε] γε W om. P 6 γενομένην VA om. PSDW 7 ἤδη om. W μὲν ἔνσαρκος PSDW 13 σχῆμα D 15 ἔχον P 16 τοῖς om. W 17 ὄντα V 18 χαρακτῆρα V φέροντά V 19 αὐτῶι — ἀμήν om. V

VM, P [= hk], S, D [= mn], W

21 ϙα V ξβ P ρβ' D θεοδότου — ἀγκύρων [ἀγκύρας S] ὁμιλία [om. SW] VMSW ἐπισκόπου om. D 21/22 πρὸς — εὐαγγελιστῆι om. VMPSW, ἡμέρα ιω τοῦ εὐαγγελιστοῦ D, emendani cl. p. 94, 23 23 ἱερεὺς ταῖς ψυχαῖς τοῦτο S 24 ἐστιν om. P ἐπήγεν D ἐπάγει W 25 θεραπείαν D προσληφθὲν VDW 27 ἐπεὶ SW τῆς σαθρᾶς πίστεως M πίστεως (M) PSW φύσεως V σίψεως D ἐργάζετο V ἐργάζεται S τῆς om. V 28/29 ἵν' — μέλος om. V 28 ὠμότητος M 29 ἡ φειδὼ MPSW ἀφειδῶν VD τὴν τμῆσιν om. W spatio rel. 30 τὸ om. P 31 πανσέμνου VMW 32 πρῶτον D 33 καθέστακά MS καθέστηκά W κατέστησά VPD ἐπὶ^2 om. VMP βασιλείαν S βασιλεῖς P ἀνεκριζοῦν D 34 φυτεύειν W

L III 1026 γὰρ εὐσέβεια μὴ ἐκκοπείσης κακίας. εὔλογον μὲν πρῶτον ἀρδεύειν, ἐπιμελείαι γεωργικῇ χρῆσθαι, λόγους προσάγειν εὐσεβείας, ἐπιμέλειαν παντοίαν προσφέρειν τῶι μέλει· εἰ δὲ ἡ κακία κρείττων γένοιτο τῆς ἐπιμελείας, ἡ ἐκκοπὴ ἴαμα τῶν οὕτως διακειμένων ἐστίν. πῶς γὰρ ἄν τις ἐπιμελήσαιτο τῶν οὕτως διακειμένων, τῶν ὀνειδιζόντων θεῶι τὰ ἀνθρώπινα
2 καὶ τὴν χάριν ἐν μέρει ὀνείδους ποιουμένων; τί λέγεις, εἰπέ. θεόν, φησίν, οὐ λέγω πεπονθέναι. εἰ μὲν πρὸς τὴν φύσιν βλέπεις, καλῶς ὁρᾶις· εἰ δὲ παντελῶς ἀναιρεῖς τὸ πάθος, ἀρνῆι τὴν οἰκονομίαν. μὴ γὰρ ὀνειδίσηις θεῶι παθόντι, ἀλλὰ τῶν παθημάτων βλέπε τὰ κατορθώματα. εἰς εὐτέλειαν κατέβη θεός, οὐ μειωθεὶς τὴν φύσιν, ἀλλὰ τὴν
PG 1388 χάριν δωρούμενος. ἔμεινεν ὃ ἦν, προσέλαβεν ὃ οὐκ ἦν· ἔμεινε θεὸς διὰ τὴν ἑαυτοῦ φύσιν, γέγονεν ὅπερ σύ, διὰ τὴν περὶ σὲ φιλανθρωπίαν. μὴ οὖν τὸ εἶδος τῆς ἐπιμελείας ὕβριν νομίσηις· μὴ ὀνειδίσηις τῶι ἰατρῶι, εἰ καὶ ἐν εὐτελείαι σώματος τὴν ὑγείαν εἰργάζετο. οὐ γὰρ ὕβρις ἐστὶν ἡ εὐτέλεια, ἀλλὰ δεῖγμα φιλανθρωπίας. κατέβη πρὸς σέ, οὐχ ἵνα μείνηι κάτω, ἀλλ' ἵνα σὲ πρὸς ἑαυτὸν ἀναγάγηι. μὴ ἀρνήσηι τὴν κατάβασιν, ἵνα μὴ
MV 224 ἀπολέσηις τὴν ἀνάβασιν. δέξαι τὴν ὕβριν τὴν σοὶ δόξαν γεννήσασαν. οὐχ ὕβρισται φύσις, ἀλλ' ἡ χάρις δωρεῖταί σοι τὰ ἀγαθά. διὰ σὲ τὸν ὑβρισμένον οἰκέτην ὁ δεσπό-
3 της ὑβρίζεται· τὰ σὰ ἀνέλαβεν, ἐπειδὴ σὺ τὰ ἐκείνου κατέλιπες. ἀπεδράσαμεν ἡμεῖς ἀγαθοῦ δεσπότου· οὐκ ἠνέγκαμεν τὴν παρὰ τοῦ δεσπότου δεδομένην χάριν· πρόχρεων τὴν ἀπόλαυσιν τοῦ παραδείσου ἐλάβομεν· τὸν νόμον παρετρώσαμεν· τὸν νομοθέτην παρέβημεν· τῶι ἐχθρῶι ἐπείσθημεν· ἐξεπέσαμεν τῆς τιμῆς. εἰς τὸν περίγειον τόπον τοῦτον ὁ δραπέτης διῆγεν· οὐκ ἀνένευσε πρὸς τὸν δεσπότην· ἡ ἡδονὴ κάτω κατεῖχε τὸν φυγάδα· ἡ ἁμαρτία δεσμώτην εἶχε τὸν δραπέτην· ἀπέγνω τῆς ἡμῶν διανοίας ὡς οὐ δυναμένης ἀνανεῦσαι πρὸς θεόν. τί οὖν; ἡ ἐμὴ βραδυτὴς ζημιώσει θεὸν τὸ κάλλιστον κτῆμα, τὸν ἄνθρωπον; ἀλλ' οὐκ ἠνέσχετο τοῦτο ὁ τῶν ὅλων θεός· οὐδὲ γὰρ ἔδει φθόνον κρατεῖν δεσποτικῆς χάριτος οὐδὲ τὴν τοῦ θεοῦ δωρεὰν ἔδει νικᾶσθαι ὑπὸ τῆς ἐπιβουλῆς τοῦ διαβόλου. τί οὖν ὁ δεσπότης ποιεῖ; παραγίνεται πρὸς τὸν δραπέτην· ὁ γὰρ δοῦλος πρὸς ἐκεῖνον ἰέναι οὐκ ἠδύνατο. παραγίνεται πρὸς τὸν οἰκέτην, οὐκ ἐν ἀξιώματι δεσποτικῶι, οὐκ ἀγγέλων δορυφορίαν προαποστέλλων, οὐκ ἀρχαγγέλων κινῶν φάλαγγας, οὐ πῦρ κινῶν, οὐ στοιχεῖα σαλεύων· τοῦτο γὰρ ἦν φυγάδα ποιῆσαι τὸν δραπέτην· ἀλλὰ παραγίνεται ἀγρεῦσαι τὸν φυγάδα βουλόμενος, κατασχεῖν τὸ ἴδιον κτῆμα θέλων. οὐ σοβεῖ τῶι φαινομένωι, ἀλλὰ πρὸς ὁμιλίαν ἐκκαλεῖται τῆι
4 εὐτελείαι τοῦ προσώπου. γίνεται σύνδουλος, ἵνα ἀναδειχθῆι δεσπότης. διὰ τοῦτο γὰρ καὶ ὁ
Phil. 2, 5 μέγας ἀπόστολος ἔλεγεν· τοῦτο φρονείτω ἕκαστος ἐν ὑμῖν ὃ καὶ ἐν Χριστῶι Ἰησοῦ. Ἰησοῦν ἐνταῦθα λέγει· εἰπὲ τίνα; ἡ μήτηρ ἔθετο τὴν προσηγορίαν τῶι βρέφει·
Lc. 1, 31 L III 1027 καλέσεις γὰρ τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. ποῦ ὁ διαιρῶν τὸν Χριστόν; ποῦ ὁ τὸ μυστήριον ἡμῶν ὁμωνυμίαν ἐργασάμενος καὶ Χριστὸν μὲν ἕνα λέγων, δύο δὲ ὑποτιθέμενος, τὸν μὲν δοῦλον, τὸν δὲ δεσπότην, τὸν μὲν πάσχοντα, τὸν δὲ μὴ πάσχοντα; τίς ὄνησις τῆς

33—p. 73, 1 flor. R I 7 ποῦ ὁ διαιρῶν — πραγμάτων = Timoth. arm. p. 104 syr. f. 10a

---

VM, P [= hk], S, D [= mn], W

1 μὲν πρῶτον V μὲν γὰρ πρῶτον MPW πρῶτον μὲν SD ἐπιμελείασ γεωργικῆσ S ἐπιμελεία λογικῆ W 2 κεχρῆσθαι W 3 γένηται D τὸ ἴαμα D ἴαμα ἐστὶ S 4 ἐπιμελήσοιτο P 5 εἰπὲ VPD ἐπεὶ MSW θῦ S 6/7 τὸ παθεῖν D 9 εἰ καὶ προσέλαβεν P 11 καὶ om. VD ὑγίειαν V εἰργάσατο VD 14 ἄνοδον D 15 τὰ om. P 17 δεχομένην S διδομένην P πρόχρεων SW πρὸσ χρείαν VMPD 18 ἀπόδοσιν W 19 ἐξεπέσομεν VMS τοῦτον τόπον W 20 ἀνένευε D 20/21 τὸν δεσπότην — πρὸς om. M δεσπότην — ἁμαρτία om. P δεσπότην D ἔσχε VPS 21 τὸν θν̄ SD 22 βραχύτησ SW 23 τούτων VMPS οὐδὲ1] οὐ D 25 ἰέναι πρὸσ ἐκεῖνον P 27 τὰσ φάλαγγασ D 29 ἐγκαλεῖται S 30 ἀναδειχθῆσ VM ὡσ δεσπότησ W ἡ δεσποτεία SD καὶ om. P 31 ἀπόστολος] παῦλοσ P φρονείσθω VD ἕκαστος om. D 33 γάρ φησι D αὐτοῦ om. P 34 μυστήριον] ὄνομα αὐτοῦ P μὲν om. W 35 μὲν2] δὲ S τίσ ἡ SD flor.

μιᾶς προσηγορίας, δύο κειμένων πραγμάτων; τοῦτο φρονείτω ἕκαστος ἐν ὑμῖν Phil. 2, 5
ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ. Ἰησοῦν λέγει τοῦτον τὸν ὁρώμενον ὃν οὕτως ἐκάλεσεν PG 1389
ἡ παρθένος. τοῦτο φρονείτω ἕκαστος ἐν ὑμῖν ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ.
τί γὰρ ἐφρονήσαμεν ἐν Χριστῷ Ἰησοῦ; ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων οὐχ ἁρπαγ- Phil. 2, 6
μὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ. τί ἐστι τὸ λεγόμενον; ὁ ἐξ ἁρπαγῆς ἐλευθερίαν 5
λαβὼν οὐδὲν δουλικὸν ὑπομένει, ἵνα μὴ πρόκριμα τῇ ἐλευθερίαι ποιήσῃ. τί οὖν αὐτός;
ἐπειδὴ τῇ φύσει δεσπότης ἦν, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ· τὸ γὰρ
τῆς οἰκονομίας οὐδὲν ἔβλαψε τὴν θεότητα. ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων οὐχ Phil. 2, 6. 7
ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσεν. εἰπέ μοι τὴν
τοῦ μονογενοῦς κένωσιν. εἰ μὴ τὰ ἀνθρώπινα πέπονθε, ποῦ ἐκενώθη; ὅταν δὲ λέγω 10
πεπονθέναι θεόν, φυλάττων τὴν φύσιν ἀπαθῆ λέγω· πάθος γὰρ περιῆψε θεῷ οὐ φύσις
παθητή, ἀλλ' ἡ πρὸς τὸ παθητὸν ἕνωσις. ἐπειδὴ γὰρ ὁ φιλάνθρωπος δεσπότης συμπα-
θῆσαι προέθετο τῷ οἰκέτῃ, εἶχε δὲ τὴν φύσιν ἀπαθῆ, ἑνώσας ἑαυτῷ τὸ παθητὸν τὸν M V 225
σκοπὸν ἀνεπλήρωσεν. οὕτως παραγέγονεν ὁ δεσπότης, οὕτως ἐπέστη τῷ φυγάδι, ὡς
σύνδουλος φαινόμενος καὶ ὡς δεσπότης εὐεργετῶν, μορφὴν δούλου δεικνὺς καὶ χάριν 15
δεσπότου χαριζόμενος, πεινῶν ὡς δοῦλος καὶ ἄρτους πηγάζων ὡς θεός, κοπιῶν ὡς ἄνθρωπος
καὶ ἐπὶ νώτου θαλάσσης βαδίζων ὡς θεός, ὑποστελλόμενος τὸν σταυρὸν ὡς ἄνθρωπος.
καὶ γὰρ τοῖς πάθεσιν ἐπιστοῦτο τὸ φαινόμενον καὶ τοῖς θαύμασιν ἐδείκνυ τὸν κρυπτόμενον.
οὕτως φανεὶς ὡς ἄνθρωπος ἡμᾶς ἅπαντας εἰς τὴν οἰκειότητα συνήγαγεν. Ἰωάννην
ἡμῖν διδάσκαλον ἐπέστησε, τὸν υἱὸν τῆς βροντῆς, τὸν χαρισάμενον τῇδε τῇ μητροπόλει 20
τὸ κοινὸν τῆς οἰκουμένης κειμήλιον, τὸν ἐν ἑνὶ στίχωι πᾶσαν ἐκθέμενον τὴν εὐσέβειαν·
ὁ λόγος γάρ φησιν, σὰρξ ἐγένετο. ὁ ὢν ἐγένετο σάρξ, ὢν μὲν διὰ τὴν φύσιν, Ioh. 1, 14
ἐγένετο δὲ διὰ τὴν οἰκονομίαν· δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα καὶ τὸ κράτος σὺν
τῷ ἁγίωι πνεύματι εἰς τοὺς αἰῶνας. ἀμήν.

72 = S 107 A 144. Latina uersio extat in Collectione CT 57 25

Θεοδότου ἐπισκόπου Ἀγκύρας εἰς τὴν γένναν τοῦ σωτῆρος ἀναγνωσθεῖσα ἐν τῇ συνόδωι L III 1007
ἐπὶ τοῦ ἐπισκόπου Κυρίλλου M V 204
PG 77, 1369

1 Λαμπρὰ τῆς παρούσης ἑορτῆς ἡ ὑπόθεσις καὶ κοινὴν σωτηρίαν τοῖς ἀνθρώποις
κομίζουσα, λαμπρὸς δὲ καὶ ὁ παρὼν σύλλογος, εὐχαρίστως τὴν χάριν ὑποδεχόμενος.
καὶ δέδοται δαψιλὴς ἡ χάρις τοῖς μετ' εὐχαριστίας αὐτὴν ὑποδεχομένοις· τοσοῦτον γὰρ τὸ 30
μέτρον τῆς δωρεᾶς παρέχεται ὅσον τὸ μέγεθος τῆς εὐχαριστίας ἐστὶ τῶν κομιζομένων τὴν
χάριν, ὡς ὅταν λαβὼν δωρεὰν εὐχαριστῇς τῷ δεδωκότι, οὐκ ἀντέδωκας ὑπὲρ ὧν ἔλαβες,

28 ἀναγκαῖος λόγος πάνυ P^{mg}

VM, P [= hk], S, D [= mn], W
1 φρονείσθω PD ἕκαστος om. D 2/3 Ἰησοῦν — Ἰησοῦ om. VW 3 ἕκαστοσ ὑμῖν S
6 μὴ — ἐλευθερίαι] spatium κριτῆ ἐλευθερίαν P τῆσ ἐλευθερίασ SW, corr. S 7 ἡγήσατο ἴσα εἶναι S θῶ ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβὼν MP 7-9 τὸ γὰρ — ἴσα θεῶι om. M
8 οὐκ SD 8/9 ὃς — θεῶι om. W 9 ἀλλ — ἐκένωσεν om. P ἐκένωσε μορφὴν δούλου λαβὼν MSDW 13 προσέθετο DW 14 φυγαδία S 16/17 κοπιῶν — θεός om. S 17 θαλάττησ V
18 ἐδείκνυε D τὸ VD 19 ὡς om. SD πάντασ W 20 διδάσκαλον ἡμῖν SD κεχαρισμένον VD 21 ἐν om. D 22 γάρ om. VPS ὁ ὢν — σάρξ om. MPSW 23 καὶ τὸ κράτος om. S 23/24 σὺν — πνεύματι om. MPW 24 τῶ om. S νῦν καὶ ἀεὶ καὶ εἰσ τοὺσ αἰῶνασ D

VM, P [= hk], S, D [= mn], AWΛ^{1}Λ^{c}
25 οβ̄ V ργ' D 26 ὁμιλία θεοδότου — ἀγκύρασ Λ τοῦ αὐτοῦ θεοδότου — ἀγκύρασ P τοῦ αὐτοῦ MW 26/27 ὡραῖοσ λόγοσ πάνυ ἀναγνωσθεὶσ — κυρίλλου εἰσ τὴν γέννησιν τοῦ σ̄ρ̄σ̄ V
26 ὁμιλία εἰσ P ἀναγνωσθεῖσαν S ἀναγνωσθεὶσ W 30 καὶ] *quoniam* Λ δαψιλῶσ V
31 ἐστι τῆσ εὐχαριστίασ MW κομιζόντων W 32 ἀντιδέδωκασ DW ἀντιδέδωκεν S

μόνον, ἀλλὰ καὶ ὀφειλέτην σοι πλείονων τὸν δοτῆρα πεποίηκας. εὐχαρίστως οὖν προσδέξασθε τὴν χάριν, λαμπρὰν ἡμῖν ταύτην τὴν πανήγυριν ἐπιδείξαντες. ὑπόθεσις δὲ τῆς ἑορτῆς ἐμφάνεια θεοῦ πρὸς ἀνθρώπους ἐστίν, ἐπιδημία τοῦ ἀεὶ παρόντος, ἐπιστασία τοῦ
Ioh. 1, 11 πάντα πληροῦντος, ἐποψία τοῦ πάντα ὁρῶντος. εἰς τὰ ἴδια ἦλθε, φησί, καὶ οἱ
Ioh. 1, 10 ἴδιοι αὐτὸν οὐ παρέλαβον, μᾶλλον δὲ ἐν τῷι κόσμωι ἦν καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. ἀλλ' οὐ τῆς τῶν ἀνθρώπων κατηγορίας ἡ ἄγνοια αὕτη. διὰ γὰρ θειότητα φύσεως ἀνέφικτος λογισμοῖς ἀνθρωπίνοις ἐστὶν ὁ θεός· οὐ πέφυκε γὰρ νοῦς ἀνθρώπων αὐτὸν καθορᾶν. διαδιδράσκει τῶν ἀνθρώπων τὸν νοῦν ἡ θεία φύσις· ὑψηλοτέρα τῶν ἡμετέρων ἐστὶ λογισμῶν. Ζημιούμεθα
M V 205 οὖν ἐξ ἀμείνονος φύσεως θεογνωσίαν, ὅπερ ἵνα μὴ γένηται, ἀναλαμβάνει φύσιν ὁρωμένην ὁ ἀόρατος, δέχεται σῶμα ψηλαφώμενον ὁ ἁφῆι μὴ κρατούμενος. ὁ ἀόρατος θεὸς ὁρώμενος γίνεται· ὁ λόγος ψηλαφᾶται· ὁ μονογενὴς τοῦ θεοῦ παῖς συγγενὴς τῶν δούλων γίνεται, ἵνα μὴ διαλάθηι τὴν γνῶσιν τῶν ἀνθρώπων ἡ ὑπερβαίνουσα τὸν ἄνθρωπον φύσις.
2 καὶ μὴ νομίσηις ἀλλότριον θεοῦ τὸν υἱὸν γεγενημένον. πάλαι γὰρ ἡ θεοῦ παρουσία προεμελετᾶτο, τοῖς τύποις ἀεὶ τοῖς ἀνθρωπίνοις ἐγνώσθη φαινόμενος, ὕλαις κεχρημένος ὁρᾶσθαι παρ' ἡμῶν δυναμέναις.

Ἐπεὶ παρίτω Ἰουδαῖος εἰς μέσον· παρίτω ὁ διαπιστῶν τῆι τοῦ θεοῦ ἐμφανείαι
PG 1372 φανείσηι τοῖς ἀνθρώποις ἐν ἀνθρώπου φύσει. λεγέτω μοι, πῶς Μωυσῆς εἶδε θεόν; τὴν φύσιν εἶδε τὴν ἀόρατον; οὐδαμῶς. ἀνέφικτος γὰρ αὕτη λογισμοῖς ἀνθρωπίνοις. πῶς
Exod. 3, 2 δὲ εἶδεν; εἰπέ· ἐκ τῆς βάτου ἀναπτόμενον πῦρ καὶ τὴν βάτον οὐ φθεῖρον. διὰ τί οὖν ἀπιστεῖς τῶι ἐκ παρθένου γεγεννημένωι καὶ τὴν παρθενίαν μὴ φθείραντι; ἢ σὺ μὲν ἀκούων
Exod. 3, 6 ὅτι ἐκ βάτου φθέγγεται θεὸς καὶ λέγει Μωυσῆι ἐγὼ ὁ θεὸς Ἀβραὰμ καὶ ὁ θεὸς Ἰσαὰκ καὶ ὁ θεὸς Ἰακὼβ καὶ ὅτι πεσὼν Μωυσῆς προσκυνεῖ, πιστεύεις, οὐ λογιζόμενος τὸ πῦρ τὸ ὁρώμενον, ἀλλὰ θεὸν τὸν φθεγγόμενον· ὅταν δὲ μήτρας παρθενικῆς μνημονεύσω, βδελύσσηι καὶ ἀποστρέφηι; τί γὰρ εὐτελέστερον, εἰπέ, βάτος ἢ μήτρα παρθενικὴ καθαρὰ
L III 1010 τῶν ἁμαρτίας παθῶν; οὐκ οἶδας ὅτι τὰ ἀρχαῖα μελέτη τῶν νεωτέρων καὶ τῶν νῦν γενομένων ἐστί; τὰ γὰρ μυστήρια προτυποῦνται διὰ τῶν παλαιῶν. διὰ τοῦτο βάτος ἀνάπτεται, πῦρ φαίνεται καὶ τὰ πυρὸς οὐκ ἐνεργεῖ οὔτε μὴν κολάζει. ἆρα ἐν τῆι βάτωι οὐχ ὁρᾶις τὴν παρθένον; ἆρα ἐν τῶι πυρὶ οὐ βλέπεις φιλανθρωπίαν τοῦ παραγενομένου; ὁ κριτὴς ἐν τοῖς κρινομένοις, καὶ κρίσις οὐ γίνεται· ὁ δικαστὴς ἐν τοῖς καταδίκοις, καὶ οὐδαμοῦ τιμωρία· ὁ κριτὴς ἐπέστη, ἀλλ' οὐ κρίνων ἀλλὰ διδάσκων, οὐ καταδικάζων ἀλλ' ἰατρεύων. ὁρᾶις πῶς ἐκεῖνο τὸ ἥμερον πῦρ τὴν ὧδε φιλανθρωπίαν ἐμήνυσε; μὴ θαυμάσηις εἰ διὰ μήτρας

20—p. 75, 6 Timoth. arm. p. 112

VM, P [= hk], S, D [= mn], AWΛ^{t}Λ^{c}

4 ἐποψία — ὁρῶντος ἐπιστασία — πληροῦντος Λ πάντα^{1}] τὰ, superscr. πάντα V 5 δὲ] *autem ait* Λ τῶι om. P 6 ἀνθρώπων] ὅλων SD 8 καθορᾶν αὐτὸν SD *conspicere deum* Λ 8/9 τὸν νοῦν τῶν ἀνθρώπων SD 9 ἡ φύσις ἡ θεία M 10 φύσιν om. P 12 συγγενεῖς S 13 μὴ om. S γνῶσις τὴν φύσιν SD ἡ om. SD φύσις om. SD 14 του θῦ VD τὸν υἱὸν] τὸ Λ γεγονέναι W 14/15 προσεμελετᾶτο W 15 καὶ τοῖς τύποις D τύποις τοῖς — ἐγνώσθη ἀεὶ W ἀνθρώποις Λ φαινόμενον S 17 παρίτω MSDAW *assit* Λ ἐλθέτω V φανήτω P ἐμφανείαι] *naturae* Λ 19 ἀνθρώποις S 20 εἶδεν εἰπὲ MPSDWA εἶδεν εἶδεν V εἶδεν Λ οὐ φθεῖρον] μὴ κᾶον D *non consumi* Λ 21 γεγενημένω VPS, corr. S παρθένον PSDAW 22 καὶ^{2}] καὶ ἐγὼ SD 23 μωσῆς V 24 φεγγόμενον A δὲ om. SD 25 ἀποστρέφει S 26 τῆς ἁμαρτίας SD ἁμαρτιῶν W παθῶν] πασῶν W 26/27 γινομένων SDΛ 27 προτυποῦντα P 28 καὶ πῦρ P μὴν om. VMPA, locus decurtatus, cf. Λ *inluminat, non corrumpit*; *splendificat, non incendit*; *beneficium præstat, non punit*, item Tim. 29 τὴν φιλανθρωπίαν V 30 ἀδίκοις W δικαίοις SD 31 ἀλλ' οὐ κρίνων MSDAW Tim. οὐ κρίνων VPΛ διδάσκων] δικάζων D 32 πῆ S ἥμερον VMPSAW Tim. μυστήριον D *antiquus* Λ

παρθενικῆς θεὸς ὢν τίκτεται· οὐδὲν γὰρ ὕβριν ἡγεῖται θεὸς ὁ πρόξενον σωτηρίας ἀνθρώποις ἐστίν. σὺ δέ μοι μὴ οὕτως εὐτελῆ τὴν τοῦ θεοῦ φύσιν ὑπολάβῃς, ὡς καὶ ἐφικτὴν ὕβρεσι γενέσθαι ποτέ. οὐδὲν γὰρ ὧν εἵλετο δι' ἡμᾶς εὐτελῶν, ὑβρίζει τὴν φύσιν ἐκείνην, οἰκειοῦται δὲ τὰ ἐλάττονα, ἵνα σώσῃ τὴν φύσιν τὴν ἡμετέραν. ὅταν οὖν τὰ μὲν εὐτελῆ τὴν τοῦ μακαρίου θεοῦ φύσιν μὴ ὑβρίζῃ σωτηρίαν τε ἀνθρώποις ἐργάζηται, 5
3 πῶς ἐρεῖς τὰ αἴτια τῆς ἡμῶν σωτηρίας ὕβρεως πρόξενα θεῶι γεγονέναι; ὥφθη τοίνυν θεὸς σήμερον διὰ παρθένου καὶ ἡ παρθένος ἔμεινε παρθένος καὶ μήτηρ ἐγένετο. ὁ γὰρ ἀφθαρσίας πρόξενος φθορὰν οὐκ ἐργάζεται· ὁ ποιητὴς ἀθανασίας οὐδὲν διέφθειρεν.

Ἐπειδὴ δὲ καὶ Φωτεινὸς ψιλὸν ἄνθρωπον λέγει τὸν γεγεννημένον, θεοῦ μὴ λέγων 9
εἶναι τὸν τόκον, καὶ τὸν ἐκ μήτρας προελθόντα ἄνθρωπον ὑποτίθεται διηιρημένον θεοῦ, M V 208
λεγέτω μοι νῦν πῶς φύσις ἀνθρωπίνη διὰ μήτρας παρθενικῆς τικτομένη τὴν παρθενίαν τῆς μητρὸς ἐφύλαξεν ἄφθορον. οὐδενὸς γὰρ ἀνθρώπου μήτηρ παρθένος μεμένηκεν. ὁρᾶις πῶς διττὴν ἔννοιαν περὶ τοῦ τεχθέντος παρέχει μοι τὸ γεγενημένον; εἰ μὲν γὰρ καθ' ἡμᾶς ἐτέχθη, ἄνθρωπος ἦν· εἰ δὲ τὴν μητέρα παρθένον ἐφύλαξε, θεὸς ὁ PG 1373
τεχθεὶς τοῖς εὖ φρονοῦσι γνωρίζεται. θεὸς γὰρ ἐπεδήμησε τῶι κόσμωι, οὐ τόπον ἐκ 15
τόπου μεταβάς, ἀλλὰ φύσιν περιθέμενος τὴν ἐμὴν καί, ὡς εἶπον, ὀφθῆναι θελήσας ὁ τὴν φύσιν ἀόρατος, ὥστε οὐκ ἔσχεν ἀρχὴν τοῦ εἶναι θεὸς ἐκ τοῦ τόκου, ἀλλὰ τοῦ φανῆναι ἀνθρώποις. ἐπειδὴ γὰρ θεὸς ἦν, ἄνθρωπος γενέσθαι προείλετο διὰ φιλανθρωπίαν τὴν περὶ ἡμᾶς, ἵνα ἡμεῖς τὸν κριτὴν ὡς συγγενῆ περιπτυξώμεθα, ἵνα ἔχωμεν θαρρεῖν οἱ ἐξ οἰκείων κατορθωμάτων παρρησίαν οὐκ ἔχοντες. ἐπὶ γὰρ τοῦ βήματος ἀχθέντες οἱ ἐξ 20
οἰκείων ἀρετῶν μὴ παρρησιαζόμενοι ὡς ἐκ συγγενοῦς ἰδίου καρποῦνται τὴν παρρησίαν. τί οὖν; ἐπιδημεῖ θεὸς ὡς ἄνθρωπος, οὐ τόπον ἐκ τόπου ἀμείβων, ἀλλὰ τὴν ἀόρατον φύσιν ἐπιδεικνὺς ὁρατὴν καὶ ὀφθεὶς ὡς ἄνθρωπος καὶ συγγενὴς ἀνθρώποις φανείς, καθὼς καὶ ὁ εὐαγγελιστὴς ἀνακηρύττει λέγων ὅτι ὁ λόγος σὰρξ ἐγένετο. Ioh. 1, 14

4 Καὶ πῶς, φησίν, ὁ λόγος σὰρξ ἐγένετο; πῶς δυνατὸν τὸν θεὸν λόγον γενέσθαι 25
ἄνθρωπον; ἐρωτᾶις τὸν τρόπον τῶν τοῦ θεοῦ θαυμάτων; εἰ ἐφικτὸν ἦν ἡμῖν τὸ ἀκα- L III 1011
τάληπτον τοῦ λόγου, οὐκ ἦν θαῦμα, ἀλλὰ κατὰ φύσιν πρᾶγμα· εἰ δὲ θαῦμα καὶ σημεῖον τὸ γεγενημένον, παραχώρει τὸν λόγον τῶι θαυματουργοῦντι δεσπότηι. ὅτι γὰρ ἐγένετο, γνῶναί σε βούλομαι καὶ τὸ ἐκ τοῦ γενομένου κέρδος τῆι πίστει καρπώσασθαι· πῶς δὲ γέγονε, τῶι ἐνεργοῦντι παραχώρει. ἢ σὺ τῶι μὲν ἰατρῶι πιστεύεις προστάττοντι καὶ 30
οὐ περιεργάζηι τὸν τρόπον τῆς θεραπείας, πιστεύων τῆι τέχνηι τὴν σαυτοῦ σωτηρίαν, ἀλλ'

6—15 floril. R 1 10 ὥφθη — γνωρίζεται [= Tim. syr. f. 9u arm. p. 126]
18—30 ἐπειδὴ γὰρ — παραχώρει Tim. syr. l. c. arm. p. 119

VM, P [= hk], S, D [= mn], AWΛ1Λc

1 οὐδὲν MSDAΛ οὐδὲ VPW 1/2 ἐστὶ τῆσ ἀνθρωπίνησ V ἐστί Tim. 2 μοι om. SDΛ τὴν φύσιν τοῦ θῦ V καὶ om. D 3 γίνεσθαί D ποτέ om. P οὐδὲ VW 4 τὴν1 om. M 5 τοῦ — θῦ τὴν V τοῦ — θῦ W μακαρίου om. Λ μὴ ὑβρίζῃ] ἐνυβρίζη V δὲ DWΛ Tim. ἐργάζεται SW 6 τῶ θῶ̄ V 7 τῆσ παρθένου D 8 ἀθανασίασ VMPAΛ flor. Tim. ἀφθαρσίασ SDW 9 γεγενημένον S θῦ γεγενημένον W μὴ λέγων θῦ V 10 τὸν om. V καὶ τὸν] τὸν flor. Tim. arm. τὸν δὲ Tim. syr. ὑποτίθεται om. SD 11 ἡ φύσισ ἡ W 11/12 τὴν — μητρὸσ flor. Tim. τὴν — μήτρασ VMPAΛ τῆσ παρθένου τὴν μήτραν SDW 12 ἐφύλαξαν S ἄφθορον flor. ἄφθαρτον VMPSDAW μήτηρ ἀνθρώπου M 13 περὶ τοῦ τεχθέντοσ om. W περιέχει floril. Tim. γεγεννημένον Λ flor. 14 καὶ ἦν Λ 16 καὶ ὡς εἶπον] ὡς εἰπεῖν Λ 17 τοῦ VMPSDA τῶ W 18 ἀνθρώποισ VPSDA ἄνθρωποσ WΛ ἄνθρωπον M ἦν] ὢν Λ Tim. 19 κριτὴν VMPAWΛ Tim. κτίστην SD 21 μὴ om. P 22 ὡς ἄνθρωπος] ὢν ἀνθρώποις Λ Tim. 23 ὡς ἄνθρωπος] ἀνθρώποις Tim. 24 ἀνακηρύττει] ὁρᾶται V 25 καὶ πῶς — ἐγένετο om. DWΛ ἐγένετο σὰρξ V 26 θαυμασίων W ἡμῖν ἦν MA ἦν V 27 τῶι λόγωι Λ 28 γὰρ ἐγένετο] παρεγένετο Tim. 29 καὶ τὸ — καρπώσασθαι om. M τῆι om. W 30 ἢ] εἰ Λ τῶ μὲν VMSWA μὲν τῶ DΛ τῶ P προστάττοντι πιστεύεις D προστάττεισ τί πιστεύεισ S

οὐδὲ ἄλλος τις ἄτεχνος ὢν τὸν τοῦ τεχνίτου περιεργάζεται τρόπον, ἀλλὰ γνωρίζει μὲν τὸ γενόμενον, τὸν δὲ τρόπον τῇι τέχνηι παραχωρεῖ· σὺ δὲ πάντων τῶν ὑπὸ θεοῦ τεθαυματουργημένων τοὺς λόγους ἐπιζητεῖς ὡς χρήιζων τῶν λόγων, ἵνα τὰ αὐτὰ τῶι θεῶι θαυματουργήσηις καὶ σύ; ἀλλ' ὅπερ ἔλεγον, καὶ νῦν λέγω· πράγματος οὗ τὸν λόγον ἐπιγινώσκομεν, τούτου ἡ φύσις οὐ θαῦμά ἐστιν οὐδὲ σημεῖον. τοιοῦτόν τί ἐστιν ὃ λέγω. οἰκοδόμος κτίζει οἶκον· τὸν λόγον γινώσκομεν, τὰς ὕλας συντεθείσας γνωρίζομεν, λέγειν τὸ
Ioh. 9, 1. 6 γεγενημένον δυνάμεθα, εἰ καὶ δι' ἀτεχνίαν ἐνεργεῖν οὐκ ἐσμὲν ἱκανοί. ἔπλασε τῶι ἐκ γενετῆς τυφλῶι ὀφθαλμοὺς ὁ μονογενὴς ἐκ πηλοῦ· τοῦτο ὑπὲρ λόγον ἐστὶ τὸν ἡμέτερον· θαῦμα καλεῖται λογισμοῖς ἀνθρώπων οὐκ ἐρευνώμενον· σημεῖον καλεῖται ὑπὲρ τὴν συνήθη φύσιν γεγενημένον. καὶ ὅτι μὲν ἐγένετο, ἴσμεν, τὸν δὲ τρόπον λέγειν οὐκ ἔχομεν.
ἐκ πηλοῦ μὲν γὰρ κέραμος καὶ πλίνθος κατασκευάζεται, οὐκ ὀφθαλμῶν εὐγένεια πλάττεται, οὐχ ὑμένες λεπτοὶ γίνονται, οὐχ ὁράσεως ποικιλία συνίσταται, οὐ περιφερείας ἀκρίβεια μετὰ τοσαύτης εὐχροίας τορνεύεται. πηλὸς οὐ πέφυκεν εἰς ὀφθαλμῶν εὐγένειαν ἀνάγεσθαι.
M V 209 οὐκοῦν ὅπερ ἡ φύσις τῆς γῆς οὐκ ἐπιδέχεται, οὐ γὰρ πέφυκεν ἐπιδέχεσθαι ὀφθαλμοῦ τὴν
PG 1375 ἰδέαν, ταύτην ἐδέξατο τοῦ θαυματουργοῦντος πρὸς τὸ ἑαυτοῦ θέλημα τὴν φύσιν ἑλκύσαντος, οὐκ αὐτοῦ δουλεύοντος τῶι λόγωι τῆς φύσεως. μηκέτι οὖν εἰς ἀσθένειαν ἀνθρωπίνης κατάπιπτε φύσεως μηδὲ λέγε· πῶς ἀνθρώπου φύσις ἐχώρησε τὸν θεόν; πῶς θεὸς γέγονεν ἄνθρωπος; πῶς θεὸς λόγος σὰρξ ὁρωμένη γεγένηται; ἀλλ' ὅτι μὲν γέγονε, πίστευε,
5 τὸν δὲ τρόπον εἰδέναι δὸς τῶι πεποιηκότι. εἰ δὲ θέλεις καὶ ἐξ ὑποδείγματος σαφηνίσαι τὸ προκείμενον, ἐγὼ δείξω σοι πῶς τὸ ἀσώματον σωματοῦται, τὸ ἀόρατον ὁρᾶται, τὸ ἀψηλάφητον ψηλαφᾶται, οὐ τῆι οἰκείαι φύσει μεταβληθέν, ἀλλ' ἀναλαβὸν σχῆμα ὁρώμενον καὶ ψηλαφώμενον. ὁ λόγος οὗτος ὁ προφορικός, ὁ τῶν ἀνθρώπων φημί, ὧι κεχρημένοι ἀλλήλοις τε συγγινόμεθα καὶ τὰ ἐνθύμια ἀλλήλοις ἑρμηνεύομεν, λόγος ἐστὶν οὐχ ὁρώμενος, ἀλλ' οὐδὲ χειρὶ ψηλαφώμενος, ἀκοῆι δὲ μόνον ἐνηχούμενος. ἀλλ' ἐπειδὰν τὸν προφορικὸν λόγον ὑπόδειγμα τοῦ ἐνυποστάτου θεοῦ λόγου φέρω, μὴ νομίσηις με προφορικὸν λέγειν τὸν θεὸν λόγον· ἄπαγε. λόγος γὰρ εἴρηται ὁ μονογενὴς ἑρμηνευούσης τῆς θείας γραφῆς τὸ ἀπαθὲς αὐτοῦ τῆς γεννήσεως, ἐπειδὴ καὶ νοῦς ἀνθρώπων ἀπαθῶς τίκτει τὸν λόγον.
L III 1014 διὰ τοῦτο ὅπου μὲν υἱὸν αὐτὸν προσαγορεύει τοῦ πατρός, ὅπου δὲ λόγον ὀνομάζει, ἑτέρωθι
Hebr. 1, 3 ἀπαύγασμα καλεῖ ἡ θεία γραφή, ἕκαστον τούτων τῶν ὀνομάτων περὶ αὐτοῦ λέγουσα, ἵνα νοῆις τὰ περὶ Χριστοῦ λεγόμενα βλασφημίας ἐκτός. ἄλλοτε γὰρ ἄλλαις περὶ αὐτοῦ προσηγορίαις ἐχρήσατο, ἡρμοσμένην δόξηι θεοῦ τὴν διδασκαλίαν ποιήσασθαι θέλουσα.
6 οἷόν τί ἐστιν ὃ λέγω· υἱὸν καλεῖ τοῦ πατρὸς τὸν μονογενῆ, τὸ ὁμοούσιον παραστῆσαι τῆι δόξηι θελήσασα. ἐπειδὴ γὰρ ὁ σὸς υἱὸς τῆς αὐτῆς σοι φύσεως γεγένηται, βουλόμενος ὁ λόγος δεῖξαι μίαν οὐσίαν πατρὸς καὶ υἱοῦ λέγει υἱὸν τοῦ πατρὸς τὸν ἐξ αὐτοῦ γεγεννημένον μονογενῆ. εἶτα ἐπειδὴ γέννησις καὶ υἱὸς ἐφ' ἡμῶν ἔμφασιν παρέχει τοῦ κατὰ

VM, P [= hk], S, D [= mn], AWΛ[1]Λ[c]

1 ἀτεχνῶς S ἀτεχνὴς W 2 γινόμενον W τῶν om. Λ τοῦ θῦ VMPW 3/4 θαυματουργῆς V 5 τί om. DA 6 γνωρίζομεν] γινώσκομεν W 7 οὐ δυνάμεθα MSDWΛ[1], corr. M εἰ om. Λ[1] τὸ VSA. corr. A 7/8 ἐν γεννητοῖς VMSDA μονογενὴς VMPAWΛ μονογενὴς τοῦ θῦ λόγος SD 10 γεγενημένον] *nativitas* Λ 11 γὰρ om. V 12 ὑμέναις P post γίνονται ins. *non pupillæ nobilis* [*nobilis* add. Λ[c]] *decor* Λ 13 εὐχρείας P ἀκριβείας Λ[c] τορεύεται W ἀνάγεσθαι εὐγένειαν V 14 οὐκ om. V 17/18 πῶς δὲ θσ γέγονεν D πῶς θσ λόγος γέγονεν W 20 καὶ τὸ ἀόρατον SDW 20/21 τὸ ἀψηλάφητον ψηλαφᾶται om. Λ 21 ἀναλαβὼν MPSuW, corr M 22 ὁ[2]] ἐκ SD ὁ τῶν ἀνθρώπων om. V 23 τε om. SDΛ συγγενόμεθα MS ἀλλήλους W 24 οὐ SD 26 γὰρ om. V 28 ποῦ — ποῦ W αὐτὸν om. V post πατρὸς coll. P λόγος V 32 τὸν om. VMP 32/33 παραστῆσαι τῆ δόξη MPSDA τῆ δόξη παραστῆσαι V *probare* Λ παραστῆσαι τῆς δόξης W 33 σοι om. W γεγέννηται MD 34 μίαν οὐσίαν δεῖξαι V τοῦ πρσ̄ W καὶ om. V 34/35 γεγεννημένον MhDAW γεγενημένον kS γεννηθέντα V 35 ἡμῖν V

τὴν γέννησιν πάθους, τοῦτον τὸν υἱὸν προσαγορεύει καὶ λόγον, τὸ ἀπαθὲς τῆς γεννήσεως τῶι ὀνόματι τούτωι δηλῶν. ἀλλ' ἐπειδὴ πατήρ τις γενόμενος ὡς ἄνθρωπος ὁμολογουμένως πρεσβύτερος τοῦ ἰδίου υἱοῦ ἐπιδείκνυται, παρεχούσης τῆς προσηγορίας αὐτῆς προεπινοεῖν τοῦ υἱοῦ τὸν πατέρα, ἵνα μὴ αὐτὸ καὶ ἐπὶ τῆς θείας φύσεως ὑπολάβηις, συνυπάρχοντα δὲ τὸν μονογενῆ τῶι πατρὶ νοήσηις διηνεκῶς, ἀπαύγασμα καλεῖ τὸν μονογενῆ τοῦ Hebr. 1, 3
πατρός. τὸ γὰρ ἀπαύγασμα τίκτεται μὲν ἐξ ἡλίου, οὐδαμῶς δὲ νοεῖται τοῦ ἡλίου μετα- 6
γενέστερον, ἀλλ' ἀφ' οὗπερ ἥλιος, ἐκ τότε καὶ τοῦ ἡλίου τικτόμενον τὸ ἀπαύγασμα νοοῦμεν. τὸ οὖν συνυπάρχειν ἀεὶ τῶι πατρὶ τὸν υἱὸν μηνυέτω σοι τὸ ἀπαύγασμα· τὸ ἀπαθὲς τῆς γεννήσεως δηλούτω ὁ λόγος· τὸ ὁμοούσιον ὁ υἱὸς γνωριζέτω. PG 1377

Ἀλλ' ἐπανέλθωμεν ἐπὶ τὸ προκείμενον καὶ τοῦ σήμερον τεχθέντος θεοῦ λόγου δηλώ- 10
σωμεν τὴν ἐμφάνειαν καὶ δι' ὑποδείγματος ἐπιδείξωμεν πῶς τὸ τῆι φύσει μὴ ὁρώμενον M V 212
ὁρώμενον γίνεται καὶ τὸ μὴ ψηλαφώμενον διὰ ἀσώματον φύσιν εὑρίσκεται ψηλαφώμενον. ὁ λόγος τοίνυν οὗτος ὃν προφέρομεν ⟨ὧι ἐν⟩ ταῖς πρὸς ἀλλήλους ὁμιλίαις [ὧιπερ] κεχρήμεθα, λόγος ἐστὶν ἀσώματος, οὐ τῆι ὄψει φαινόμενος, οὐχ ἁφῆι ψηλαφώμενος. ἀλλ' ἐπειδὰν ὁ λόγος ἐνδύσηται γράμματα καὶ στοιχεῖα, φαινόμενος γίνεται, ὄψει καταλαμβάνεται, 15
ἁφῆι ψηλαφᾶται. ὑπόθου γάρ μοί τινα φθεγγόμενον πρός τινα· μὴ ὁ προιὼν ὁρᾶται λόγος; μὴ τῆι χειρὶ ψηλαφῶμεν τὸν προχεόμενον λόγον; ἐὰν δὲ ἃ εἶπεν, ἐν χάρτηι γράψηις, ὃ πρότερον οὐχ ἑώρας, ὕστερον ὁρᾶις καὶ ὅπερ οὐκ ἐψηλάφας πρότερον εἶδος τοῦ λόγου, τοῦτο διὰ τοῦ χάρτου ψηλαφᾶις καὶ τῶν γραμμάτων. τίνος ἕνεκεν; ὅτι ὁ ἀσώματος λόγος τὸ σῶμα τοῦ χάρτου καὶ τὸ σχῆμα τῶν στοιχείων ἐνδέδυται. οὐκοῦν ἐπειδὴ 20
σαφὲς τὸ ὑπόδειγμα γέγονεν καὶ ὑπεμνήσθης τῶι ὑποδείγματι τῶι γινομένωι κατὰ συνήθειαν, φέρε δείξωμεν πῶς ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ ὁ θεὸς λόγος ὁ προαιώνιος συνὼν τῶι πατρὶ ἀσώματος ὢν τὴν φύσιν ἀνθρώπου φύσιν οἰκειωσάμενος ὕστερον ἐτέχθη διὰ παρθένου, οὐκ ἀρχὴν λαβὼν τοῦ εἶναι θεός, ἀλλ' ἀρχὴν λαβὼν τοῦ φανῆναι ἄνθρωπος. μὴ γὰρ εἴπηις· ἐπειδὴ παρὰ τοῦ πατρὸς γεγέννηται ὁ μονογενής, πῶς ἐτέχθη πάλιν ἐκ 25
παρθένου; ἐκ τοῦ πατρὸς γεγέννηται τῆι φύσει, ἐκ παρθένου γεγέννηται δι' οἰκονομίαν· ἐκεῖνο ὡς θεός, τοῦτο ὡς ἄνθρωπος. ἐπεὶ καὶ ὁ σὸς λόγος γέννημά ἐστι τῆς σῆς L III 1015
διανοίας, ἀλλ' ἐπειδὰν τὸν λόγον τοῦτον ὃν ἔτεκεν ὁ σὸς νοῦς, ἐνθεῖναι θελήσηις στοιχείοις καὶ γράμμασι καὶ ἐντυπῶσαι βουληθῆις τῶι χάρτηι, χειρὶ γράφεις τὰ γράμματα καὶ τρόπον τινὰ πάλιν διὰ τῆς χειρὸς τίκτεις τὸν λόγον, οὐ τότε λαβόντα τὴν ἀρχὴν τοῦ εἶναι, ὅτε 30
διὰ χειρὸς ἐγράφη, οὐδὲ τότε προελθόντα εἰς τὸ εἶναι, ὅτε ἡ χεὶρ ἐνετύπου τὰ γράμματα, ἀλλ' ἐκ μὲν τοῦ νοῦ γεγέννηται, τοῦ δὲ φανῆναι τὴν ἀρχὴν ἐκ τῆς χειρὸς ὁ λόγος ἐδέξατο
8 τυπούσης τὰ γράμματα. ἐπεὶ οὖν τὸ ὑπόδειγμα σαφὲς καὶ ἡ εἰκὼν γνωριμωτάτη γεγένηται, φέρε τῶι πρωτοτύπωι ἐφαρμόσωμεν τὴν εἰκόνα. ὧδε νοῦς, ἐκεῖ νόει πατέρα· ὧδε λόγον ἐκ τοῦ νοῦ γινώσκεις τικτόμενον, ἐκεῖ λόγον οὐσιώδη καὶ ἐνυπόστατον νόει ἐκ τοῦ 35
πατρὸς γεγεννημένον· ὧδε χεῖρα βλέπεις διὰ γραμμάτων τίκτουσαν λόγον, ἐκεῖ νόει παρθένον διὰ τοῦ σώματος τὸν λόγον ὠδίνουσαν, οὐχὶ τὴν ἀρχὴν θεότητι δοῦσαν διὰ τοῦ

VM, P [= hk], S, D [= mn], AWΛ^{t}Λ^{c}

2/3 πρεσβύτεροσ ὁμολογουμένωσ V 3 αὐτοῦ SD ταύτης Λ 3/4 προσεπινοεῖν D 5 νοήσεισ W 6 γὰρ om. W 6—8 μὲν — ἀπαύγασμα om. SDW, μὲν ὅτι τὸ ins. per corr. S 7 ὁ ἥλιοσ V 7/8 νοοῦμεν om. Λ 11 ἐμφάνειαν] εὐγένειαν V τῆι om. PSD 13 ὧι ἐν Λ^{c} ὧι Λ^{t} om. VMPSDAW ὧιπερ VMPSDAW om. Λ 14 οὐ τῆ ἁφῆ D 17 προερχόμενον P δὲ καὶ W om. D χάρτηι] ἀρχῆ M 18 ἑώρακασ M ὃ πρότερον οὐκ ἐψηλάφασ W ἐψηλάφησασ DA 19 καὶ τῶν γραμμάτων ψηλαφᾶσ P 19/20 ὁ — λόγος om. P 19 ὁ om. SDW 21 γενομένω SD 21/22 κατὰ συνήθειαν om. SD 22 σὺν SDW 24 ἀλλὰ SD 24/25 ἀρχὴν — ἐπειδὴ om. SD 25 γεγένηται S 26 γεγέννηται, in mg. ἐτέχθη V γεγένηται S γεγέννηται VMPAWΛ γεννᾶται SD δι' VP διὰ τὴν MSDAW 28/29 καὶ στοιχείοισ καὶ V 29 γράμμασι] σχήμασι W 32 γεγένηται S 36 γεγενημένον S διὰ γραμμάτων βλέπεισ SD 37 διδοῦσαν SD τὸν P

τόκου, μὴ γένοιτο, ἀλλὰ τὸ φανῆναι θεὸν ἀνθρώποις γενόμενον ἄνθρωπον. ἐπειδὴ γὰρ ἐγένετο ὅπερ ἐγώ, ἀναγκαίως ἐτέχθη καθάπερ ἐγώ, μετὰ τῆς φύσεως τῆς ἐμῆς καὶ τὸν
PG 1380 ἐμὸν τόκον ἀναγκαίως αἱρούμενος. διὰ τοῦτο καὶ γέννησιν ᾠκειώσατο ὁ θεὸς λόγος καὶ μητέρα ἠσπάσατο τὴν παρθένον καὶ διὰ μήτρας ἦλθε κοσμουμένης τῇι παρθενίαι. οὐδὲν γὰρ ὧν ἔπλασεν ὁ θεὸς βδελύσσεται, ἐπειδήπερ οὐδὲν ἀνάξιον αὐτοῦ τῶν ἔργων ἐγένετο. πάντα καλὰ καὶ καλὰ λίαν, ἐὰν ταῦτα ἴδωμεν ὡς ὁ πλάστης εἶδε γεγενημένα·
Gen. 1, 31 M V 213 εἶδε γὰρ ὁ θεὸς τὰ πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν. ἀπαθέσι βλέπε πάντα τοῖς ὀφθαλμοῖς, καὶ ὡς ὁ θεὸς αὐτὰ βλέπεις λίαν καλά. ἐξόρισον τὸ πάθος, καὶ γνωρίσεις τὴν εὐγένειαν τοῦ γενομένου.

9 Τί οὖν θαυμαστὸν εἰ ἐν ἰδίωι ἔργωι καὶ οἴκωι κατεσκήνωσεν ὁ θεός; σὺ δὲ λέγεις ἀξίως μὲν αὐτὸν ἐν οὐρανῶι κατοικεῖν, ἀναξίαν δὲ μονὴν αὐτοῦ τὸν ἄνθρωπον οἴει, κρίνων τὰ πράγματα οὐ τῆι ἀληθείαι τῶν λόγων, ἀλλὰ τῶι πάθει καὶ τῆι προλήψει. τί γὰρ ὑψηλότερον, εἰπέ μοι, οὐρανὸς ἢ ἄνθρωπος; τί θεῶι τιμιώτερον, ἥλιος ἢ ἄνθρωπος; μὴ γάρ μοι τῆι τῶν στοιχείων πρόσχηις λαμπρότητι μηδὲ διὰ τὴν εὔχροιαν προκρίνηις τὴν
Iob 10, 11 φύσιν μηδὲ τὴν ἐκπηδῶσαν μαρμαρυγὴν τοῦ ἡλίου καταπλαγῆις μηδὲ ὅτι ἐγὼ δέρμα τε καὶ κρέας ἐνδέδυμαι κατὰ τὸν θεῖον Ἰώβ, ἀλλὰ λογικῆς ψυχῆς τὴν εὐγένειαν σκόπησον. βλέπε τὴν ἀνθρώπου κατασκευὴν καὶ θαύμασον τὸ ζῶιον. νοῦν ἔχει πάντων ζώιων κρατεῖν τε καὶ ἄρχειν δυνάμενον· χεῖρας ἔλαβεν ὑπηρετουμένας τοῦ νοῦ τῆι σοφίαι, ὄργανα παντοδαπῆς τέχνης δημιουργά· μόνον τῶν κτισθέντων πάντων ἀνάγκης ἐλεύθερον γέγονε· κύριον γνώμης ἰδίας μόνον τὸν ἄνθρωπον ἔκτισεν ὁ θεός. οὐχ ὁρᾶις ἥλιον ἠναγκασμένους τρέχοντα δρόμους; οὐ βλέπεις μονοειδῆ αὐτοῦ τὴν φοράν; διὰ τί; ἐπειδὴ γνώμης ἰδίας οὐ γέγονε κύριος. σὺ δὲ προέρχηι ἐλεύθερος, πράττεις ὃ βούλει, οὐκ ἔχεις ἀνάγκην ὠθοῦσάν σε βίαι, ἐλεύθερος τῆι ψυχῆι κατέστης. ἥλιος δοῦλος ἀνάγκης,
L III 1018 ἄνθρωπος δὲ τὴν γνώμην ἐλεύθερος. τίς οὖν ἀμείνων, εἰπέ μοι, ὁ δοῦλος ἢ ὁ ἐλεύθερος; ὁ ὑπὸ ζυγὸν ἀνάγκης ἢ ὁ πάσης ἀνάγκης ἀπόλυτος; οὐδὲν θαυμαστὸν οὐδὲ παράδοξον

10 εἰ ἐν ἀνθρώπωι ᾤκησεν ὁ θεός, ὃν ἰδίαν εἰκόνα εὐθὺς πλάσας ἠσπάσατο. τὴν γὰρ
Gen. 2, 7 περὶ τὸν ἄνθρωπον πρόθεσιν ὁ θεὸς εὐθὺς ἐν προοιμίοις τῆς κτίσεως ἐπεδείξατο, χοῦν
Gen. 1, 27 μὲν λαβὼν ἀπὸ τῆς γῆς καὶ πλάσας αὐτόν, εἰκόνα δὲ κατασκευάσας τῆς ἰδίας θεότητος. διὰ τί οὖν ὃν ἔμελλε τῆι κατασκευῆι τιμᾶν, οὕτως ἐξ εὐτελοῦς φύσεως ἔπλασε; διὰ τί μὴ ἀπὸ τῆς λαμπρότητος τοῦ ἡλίου λαβὼν ἐποίησεν [αὐτὸν] τὸν ἄνθρωπον, ἀλλ' ἀπὸ γῆς καὶ χοὸς αὐτὸν διαπλάττει, τοῦ κάτω κειμένου καὶ πατουμένου στοιχείου; τίνος ἕνεκεν, θέλεις μαθεῖν; ἐπειδὴ τῆι εἰκόνι ἔμελλε τιμᾶν τὸν ἄνθρωπον, εὐτελῆ αὐτῶι δίδωσι τὴν
PG 1381 φύσιν, ἵνα ἡ ὑπερβολὴ τῆς τιμῆς μὴ ἐπαίρηι τὸν ἄνθρωπον εἰς ἀπόνοιαν, ἵνα ὅταν ὑπὲρ τὴν φύσιν τιμηθῆι, συσταλῆι τῆι μνήμηι τῆς φύσεως καὶ γνωρίσηι τὸ μέγεθος τῆς τιμῆς, οὐ τῆς αὐτοῦ ἀξίας, ἀλλὰ τῆς χάριτος τοῦ δεδωκότος. οὐκοῦν καὶ τοῦτο φιλανθρωπία

VM, P [= hk], S, D [= mn], AWΛ¹Λ^{c}

1 τόκον P τῶ W τοῦ PΛ 2 ἐγώ²] κἀγὼ VMA τῆσ ἐμῆσ φύσεωσ VA 3 αἱρούμενος — γέννησιν om. Λ γένησιν P 4 παρθένω S 6 πάντα γὰρ PΛ λίαν καλὰ D 6/7 ἐὰν — λίαν hic om. M sed addit post 8 ὀφθαλμοῖσ, pergendo ἀπαθέσι πάντα βλέπε τοῖσ ὀφθαλμοῖσ καὶ ὡσ ὁ θ̄σ κτλ. 7/8 βλέπε πάντα] ταῦτα βλέπε WΛ πάντα βλέπε M 8 καὶ MSDAWΛ κἂν P καὶ εἰ V ταῦτα W βλέπησ P 9 *factorum* Λ 10 δὲ om. W 11 αὐτοῦ μονὴν W 12 προσλήψει D προλήψει τί οὖν θαυμαστὸν εἰ ἐν ἰδίω ἔργω κατεσκήνωσεν ὁ θ̄σ W 13 τί — ἄνθρωπος om. VD 15 φαῦσιν A τοῦ ἡλίου μαρμαρυγὴν W τε om. P 17 νοῦν ἔχει om. SD ζώιων om. Λ 18 τῆ τοῦ νοῦ D τοῦ νοῦ SW 19 δημιουργεῖ Λ ἐλεύθερον ἀνάγκησ V 21 ἀναφορὰν WΛ^{c} 22 ἐλευθέρωσ A 25 ἀπόλυτος] ἐλεύθερος SD οὐδὲ VMPSAWΛ^{c} οὐδὲν DΛ^{t} 26 ὃν ὡσ W εὐθὺ MSD 27 εὐθὺς om. V τῆς om. MW 28 τῆς¹ om. PSW 29 ὃν – τιμᾶν] *quod in tali oper. facturus erat* Λ ἤμελλε MAW ἤμελε S 30 αὐτὸν VMPSDAW om. Λ τὸν om. P 31 ἀναπλάττει P 32 τῆ ἑαυτοῦ εἰκόνι D om. Λ ἤμελλε MA ἤμελε VS 33 ἡ ὑπερβολὴ VMPSDA ὑπερβολὴ WΛ 34 τιμηθῆι Λ τιμιθῆ P τιμήση VMSDAW 35 αὐτῆσ VM, corr. M

τοῦ κατασκευάσαντος ἦν, τὸ τὴν εἰκόνα τοῦ θεοῦ ἐκ γῆς ἔχειν τὴν φύσιν· ἐνέχυρον γὰρ
11 εἶχε τὴν φύσιν μετρίου φρονήματος· ὥστε εὐγενὲς ζῶιον ὁ ἄνθρωπος, εἰ καὶ ὕστερον
ὑβρίσθη τοῖς ὑπεισελθοῦσι παθήμασι. μὴ γὰρ αὐτὸν ἴδοις προσκεκρουκότα, ἀλλὰ πρὸ
τῆς παραβάσεως τοῦ νόμου τῆς εἰκόνος τοῦ θεοῦ τὴν εὐγένειαν λόγισαι. τί οὖν ἐξευ-
τελίζεις τὸν ἔκπτωτον, τῆς πρώτης αὐτοῦ κατασκευῆς ἐπιλελησμένος καὶ τὴν τιμὴν τὴν
ἀρχαίαν οὐ λογιζόμενος, ἣν αὐτῶι πάλιν μετὰ πολλῆς τῆς φιλοτιμίας ἀποδέδωκεν ὁ θεὸς
ἐνώσας ἑαυτῶι τὴν ἰδίαν εἰκόνα; οὐδὲν οὖν ἀπᾶιδον τῆς ἐκείνου φιλανθρωπίας ἐγένετο. M V 216
οὐδὲ γὰρ ἐφύβριστον ἀγαθῶι δεσπότηι κοινωνῆσαι δούλωι τῶν δουλικῶν εἰς ὠφέλειαν τοῦ
οἰκέτου. οὐ γὰρ ὑβρίζεται τούτοις ὁ ἀγαθός, ἀλλ' ὅπερ ἐστί, διὰ τῶν τοιούτων γνω-
ρίζεται. καὶ μὴ θαυμάσηις τοῦ πράγματος· καὶ γὰρ νῦν ἐὰν σεαυτὸν οἶκον κατασκευ-
άσηις θεοῦ, καὶ ἐν σοὶ κατοικεῖ, εἰ καὶ μὴ οὕτως ὡς ἐν τῶι Χριστῶι· ἐν Χριστῶι γὰρ
κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς. ἀλλ' ὦ τοῦ θαύματος· Col. 2, 9
πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς ἐν ἑνὶ κατοικεῖ καὶ πάντα πληροῖ καὶ ὑπερέχει
τὴν κτίσιν ὅλος ὢν ἐν ἑνὶ καὶ τῶν κτισμάτων οὐδενὸς χωριζόμενος. καὶ μὴ δή σοι
τὸ εἰρημένον φαινέσθω ἀδύνατον. καὶ γὰρ κἀγὼ νῦν προφέρομαι λόγον· οὗτος ὁ
λόγος ἐστὶν ἐν ἑνὶ καὶ ὁ λόγος ἐν πᾶσι γέγονε, καὶ ὅλον τὸν λόγον ἐχώρησεν εἷς καὶ
ὑπὸ πλήθους ὁ λόγος οὐ περιγράφεται. εἰ τοίνυν πρᾶγμα γινόμενον καὶ φθειρόμενον
καὶ ἐν ἑνὶ ὅλον οἰκεῖ καὶ ἐν πᾶσι γίνεται, τί θαυμαστόν σοι φαίνεται εἰ θεὸς καὶ ὅλος ἐν
ἀνθρώπωι ᾤκησε καὶ ἐν πᾶσιν εὑρίσκεται;
12 Ὑπόθεσις τοίνυν τῆς σήμερον πανηγύρεως τὸ θεὸν γενέσθαι ἄνθρωπον, ἑλόμενον
τὰ ἀνθρώπινα, ἵνα δῶι τὰ θεικά, καὶ οἰκειωσάμενον τὰ πάθη, ἵνα χαρίσηται τὴν ἀπάθειαν,
ὑπεισελθόντα θάνατον, ἵνα τὴν ἀθανασίαν δωρήσηται. καὶ ἴδια τὰ τῶν ἀνθρώπων ἐκτήσατο
πάθη, οὐ τὴν φύσιν μεταβαλλόμενος, τῆι δὲ γνώμηι τοῦτο οἰκειούμενος, καὶ λίαν εἰκότως
ταῦτα ποιεῖ, τὸν ἄνθρωπον σῶσαι προθέμενος. διὰ ποίαν οὖν αἰτίαν ἴδια τὰ πάθη L III 1019
τὰ τῶν ἀνθρώπων πεποίηται; ἐπειδὴ ἐβούλετο πάθει πάθος ἀναιρεῖν καὶ θανάτωι καταργῆσαι
θάνατον καὶ διὰ τῶν ὁμοειδῶν τὰ ὁμοειδῆ καταπαλαῖσαι ἠθέλησεν, οἰκειοῦται τὸν σταυρόν,
ἴδιον ποιεῖται τὸ ῥάπισμα, τὸν δεσμὸν ἑαυτοῦ πεποίηται, ἵνα θεοῦ γενόμενα τὰ πάθη κατὰ PG 1384
παθῶν ἐξουσίαν λάβωσιν. οὔτε γὰρ φύσις θεοῦ ἠδίκηται (οὐδὲ γὰρ μεταβολῆι ἰδίαι τὰ
πάθη ἐδέξατο) καὶ τὴν ἰσχὺν παρὰ θεοῦ τὰ πάθη κατὰ τῶν ὁμοειδῶν λαμβάνει. λοιπὸν
γὰρ ὁ θάνατος ὡς θεοῦ γενόμενος καταργεῖ τὸν θάνατον, καὶ ἀποθανὼν λύει τὴν τυραν-
νίδα τοῦ θανάτου, ἐπειδὴ καὶ θεὸς καὶ ἄνθρωπος ἦν. οὐ γὰρ ψιλὸν ἄνθρωπον ἐσταύρωσαν
οἱ Ἰουδαῖοι οὐδὲ τὴν ὁρωμένην μόνην καθήλωσαν φύσιν, ἀλλ' εἰς τὸν ἐν αὐτῆι θεὸν ἤγαγον
τὰ τολμήματα τῆς ἡνωμένης φύσεως οἰκειωσάμενον τὰ πάθη. καὶ ἵνα σοι καὶ τοῦτο
13 γένηται σαφές, ἐπὶ τὸ ἐν ἀρχῆι ῥηθὲν ὑπόδειγμα τὸν λόγον ἀγάγωμεν. κείσθω γὰρ

24—31 θανάτου florilegium R I 2 [= Timoth. syr. f. 10r, arm. p. 270] τοῦ μακαρίου Θεοδότου ἐπισκόπου Ἀγκύρας ἐκ τῆς εἰς τὴν γέννα τοῦ Χριστοῦ ὁμιλίας· διὰ ποίαν — θανάτου

VM, P [= hk], S, D [= mn], AWΛ^{t}Λ^{c}

1/2 ἐνέχυρον — φύσιν om. Λ 3 πάθεσι SD 4 συγγένειαν Λ 6 τῆς om. M ἀπέδωκεν PD δέδωκεν M 7 ἐκείνου] αὐτοῦ W 8 τοῦ om. VMPA 9 τοιούτοισ D 10 περὶ τοῦ D σαυτὸν P 11 θεῶι Λ Χριστῶι^{2}] υἱῶι Λ 13 σωματικῶς om. Λ περιέχει Λ 14 ὅλωσ PS ὢν] ὡσ P καὶ^{1} om. P 16 ἐν ἑνὶ ἐστι SD ἐν πᾶσιν ὁ λόγοσ V 17 τὸ πρᾶγμα V 18 γίνεται] φαίνεται SD φαίνεταί σοι M σοι γίνεται SD 19 ἀνθρώπωι MPΛ^{c} οὐρανῶι VM^{corr}SDAW ἑνὶ Λ^{t} 20 νῦν V om. Λ τὸν SW 23 ταῦτα WΛ οἰκειωσάμενοσ D 24/25 πεποίηται τὰ πάθη τὰ [τὰ om. D] τῶν ἀνθρώπων SD 25 τὰ om. flor. πάθοσ] πάθη SD 26 τὸν θάνατον flor. τὸν om. P 27 ἰδιοποιεῖται D 28 τὴν ἐξουσίαν flor. Tim. γὰρ^{2} om. flor. Tim. 29 ὁμοιοειδῶν SD 30 ὁ θάνατος om. S 31 καὶ^{1} om. SD 32 οἱ om. VMA μόνον M καθείλωσαν W 33 ἑνωμένησ SD ὁρωμένης Λ

βασιλέα φθέγγεσθαι λόγον καὶ τοῦτον ἐντυποῦσθαι διὰ γραμμάτων χάρτῃ τινί, τὴν λεγομένην σάκραν ἐξαποστέλλειν ταῖς πόλεσι, λόγον ἡμφιεσμένον καὶ χάρτῃ καὶ γράμμασιν, ἐλευθερίαν χαριζόμενον ἢ ἄλλα δῶρα βασιλικὰ τοῖς δεομένοις κομίζοντα. ἀλλὰ ταύτην τὴν σάκραν τὴν λεγομένην τῇ τῶν Ἰταλῶν φωνῇ ὑποδεχέσθω ἄπιστός τις καὶ ἀπειθὴς
M V 217 καὶ τῆς πόλεως ἐχθρὸς καὶ τοῦ βασιλέως πολέμιος καὶ λαβὼν τὸν χάρτην διαρρηγνύτω. τί ἐρράγη ἐνταῦθα; εἰπέ μοι· ὁ χάρτης μόνος ἢ καὶ ὁ λόγος ὁ βασιλικός; καὶ μὴν εἰ χάρτης διερράγη αὐτὸ μόνον, εὔωνον ἦν τὸ φθαρέν, ἀνεύθυνος ὁ ῥήξας ἢ πέντε ὀβολοῖς μόνοις ὑπεύθυνος ἦν. ἀλλὰ δίκην δίδωσι τὴν ἐσχάτην καὶ τιμωρεῖται καὶ τὴν ἐπὶ θάνατον ἄγεται, οὐχ ὡς χάρτην λυμηνάμενος μόνον, ἀλλ' ὡς καὶ λόγον διαρρήξας βασιλικόν. καὶ μὴν ὁ τοῦ βασιλέως λόγος ἐστὶν ἀπαθής, οὔτε χερσὶ λαμβανόμενος τῇ ἑαυτοῦ φύσει οὐδὲ διαρραγῆναι δυνάμενος, ἀλλὰ καὶ αὐτὸς διερράγη, τοῦ χάρτου καὶ τῶν γραμμάτων τὸ πάθος οἰκειωσάμενος. ὁρᾷς πῶς τὸ ἀπαθὲς δέχεται πάθος, ἐπειδὰν φύσει κοινωνήσῃ παθητικῇ; οὐδὲ γὰρ ὁ λόγος τῇ οἰκείαι φύσει διέρρηκτο καὶ τὸ πάθος τοῦ χάρτου καὶ τῶν
14 στοιχείων ἐδέξατο. μὴ θαρρείτω τοιγαροῦν Ἰουδαῖος ὡς ψιλὸν ἄνθρωπον σταυρώσας. τὸ γὰρ φαινόμενον χάρτης ἦν, τὸ δὲ ἐν αὐτῷι κρυπτόμενον λόγος βασιλικὸς ἐκ φύσεως, οὐ διὰ γλώττης προενεχθείς. λόγος μὲν γὰρ ὁ μονογενὴς λέγεται, οὐ προφορικὸς δέ, ἀλλ' οὐσιώδης καὶ ἐνυπόστατος, οὐδὲν μὲν τῇ οἰκείαι φύσει πάσχων, ὧν ἀπαθὴς λόγος, ἴδια δὲ ποιούμενος τὰ τοῦ φαινομένου παθήματα καὶ ὥσπερ ὁ βασιλικὸς λόγος καὶ τῶν γραμμάτων τὴν ὕλην αὐτὸς ἐδέξατο καὶ τὸ πάθος τοῦ χάρτου ἴδιον τοῦ λόγου γεγένηται, οὕτως ὁ μονογενὴς τοῦ θεοῦ λόγος τὰ τοῦ καθηλωθέντος ἴδια πεποίηται πάθη. διὰ τοῦτο ὥσπερ ὁ σάκραν βασιλικὴν λυμηνάμενος ὡς βασιλέως ῥήξας τὸν λόγον τὴν ἐπὶ θάνατον ἄγεται, οὕτως ὁ σταυρώσας Ἰουδαῖος τὸ φαινόμενον δίκας δίδωσιν εἰς αὐτὸν τὸν
L III 1022 PG 1385 θεὸν λόγον ἐκτείνας τὸ τόλμημα. ὁ γὰρ θεὸς λοιπὸν ὡς ἴδιον πάθος ἐκδικεῖ τὸ γενόμενον.

Ἀλλ' ἱκανὰ τὰ εἰρημένα, ἐπειδὴ φροντίζειν δεῖ καὶ τῆς μνήμης τῆς ὑμετέρας· τὸ γὰρ πλῆθος τῶν λεγομένων ὑπερβλύζον τῆς τῶν ἀκρωμένων ἐννοίας ἀμνήμονα τὸν ἀκροατὴν τῶν εἰρημένων ποιεῖ. γένοιτο δὲ χάριτι θεοῦ καὶ τὰ εἰρημένα τῇ μνήμῃ ὑμᾶς περιλαβεῖν καὶ ἑτέρους ἐκ τούτων ὠφελεῖν καὶ τὴν βασιλείαν τῶν οὐρανῶν ἀντὶ τούτων κληρονομεῖν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι τοῦ Χριστοῦ, ὧι ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

73 = A 145. Latina uersio extat in Collectione CT 56

L III 987 M V 185 PG 77, 1349 Τοῦ αὐτοῦ λεχθεῖσα ἐν τῇ ἡμέραι τῆς γεννήσεως τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὑπανεγνώσθη δὲ καὶ αὐτὴ ἐν τῇ αὐτῇ συνόδωι

1 Λαμπρὰ καὶ παράδοξος τῆς παρούσης ἑορτῆς ἡ ὑπόθεσις, λαμπρὰ μὲν ὅτι κοινὴν ἀνθρώποις σωτηρίαν ἐπήγαγε, παράδοξος δὲ ὅτι τὸν τῆς φύσεως λόγον ἐνίκησε. φύσις μὲν γὰρ τὴν τεκοῦσαν οὐκ οἶδεν οὐκέτι παρθένον, ἡ δὲ χάρις καὶ τίκτουσαν ἔδειξε καὶ παρθένον

VM, P [= hk], S, D [= mn], AWΛ^{1}Λ^{c}

1—4 dittographiis turbata, nescio an τὴν λεγομένην — γράμμασιν delenda sint 2 χάρτην kSD 4 τὴν^{2} delendum τῇι om. M τις] τε SD 6 καὶ om. P ὁ βασιλικὸς λόγος W 7 ἢ] εἰ Λ^{c} 8 δίδωσι δίκην V 9 μόνον om. Λ 9/10 καὶ μὴν — ἀπαθής om. MP 10 ἐν χερσὶ SD λαμβανόμενον P οὔτε D 11 δυνάμενον P αὐτὸ S 12 τὸ πάθος W 13 παθητῇ P 14 ὁ Ἰουδαῖος V 16 δέ om. VΛ 17 ὧν Λ ὁ λόγος SD 19 τραυμάτων V ὕλην VMPAW φύσιν SD *iniuriam* Λ ἐδέξατο αὐτὸς V 20 τοῦ θυ PSDA θῦ M θ$\overline{\text{ς}}$ VW τοῦ θυ θς Λ 22 ὁ om. W 25 διανοίας D 26 τοῦ θῦ SA παραλαβεῖν D 28/29 ἧς — ἀμήν om. M τοῦ — ἀμήν] καὶ W 29 τῶν αἰώνων om. SD

V, P [= hk], AWΛ^{1}Λ^{c}

ο$\overline{\text{γ}}$ V ξ$\overline{\text{δ}}$ P 31 τοῦ αὐτοῦ VW ἑτέρα τοῦ αὐτοῦ A τοῦ αὐτοῦ ἑτέρα ὁμιλία P 34 ἐπήγασε V 35 μὲν γὰρ] *itaque* Λ 35/p. 81, 1 καὶ παρθένον ἐφύλαξε om. Λ

ἐφύλαξε καὶ μητέρα ἐποίησε καὶ παρθενίαν οὐκ ἔβλαψε· χάρις γὰρ ἦν, σωφροσύνην φυλάττουσα. ὦ γῆς ἀσπόρου καρπὸν βλαστησάσης σωτήριον· ὦ παρθένος αὐτὸν νικήσασα τῆς Ἐδὲμ τὸν παράδεισον. ἐκεῖνος μὲν γὰρ μοσχευτῶν φυτῶν γένος ἀνέτειλεν, ἐκ παρθένου γῆς ἀνατειλάντων φυτῶν· ἡ δὲ παρθένος αὕτη κρείττων ἐκείνης τῆς γῆς. οὐ γὰρ ὀπώρας ἀνέτειλε δένδρα, ἀλλὰ τὴν ῥάβδον Ἰεσσαὶ καρπὸν σωτήριον τοῖς ἀνθρώποις παρέχουσαν. κἀκείνη ἡ γῆ παρθένος ἦν καὶ αὕτη παρθένος· ἀλλ' ἐκεῖ μὲν φῦναι δένδρα προσέταξεν ὁ θεός, ταύτης δὲ τῆς παρθένου αὐτὸς ὁ δημιουργὸς κατὰ σάρκα γέγονε βλάστημα. οὐδὲ ἐκείνη μόσχευμα πρὸ τῶν δένδρων ἐδέξατο οὐδὲ αὕτη ἐκ τοῦ τόκου τὴν παρθενίαν ἠδίκησεν. ἡ παρθένος τοῦ παραδείσου ἐνδοξοτέρα γεγένηται· ὃ μὲν γὰρ θεοῦ γεώργιον γέγονεν, ἣ δὲ κατὰ τὴν σάρκα θεὸν αὐτὸν ἐγεώργησεν, ἑλόμενον ἀνθρώπου συναφθῆναι τῇ φύσει.

Εἶδες πῶς γέγονε παράδοξον τὸ μυστήριον παρωσάμενον τὸν τῆς φύσεως λόγον; εἶδες τὸ ὑπὲρ φύσιν πρᾶγμα θεοῦ δυνάμει μόνῃ γενόμενον; εἶδες τὸν λόγον ὑπὲρ τὸν λόγον τικτόμενον; ὅτι γάρ ἐστιν ὁ τεχθεὶς λόγος θεοῦ, δῆλον ἐξ ὧν τὴν παρθενίαν οὐκ ἔλυσεν. ἡ τίκτουσα σάρκα ψιλὴν τῆς παρθενίας παύεται· ἀλλ' ἐπειδὴ ἐτέχθη σαρκὶ λόγος θεοῦ, φυλάττει τὴν παρθενίαν, ἑαυτὸν λόγον δεικνύς. ὅταν δὲ λόγον ἀκούσῃς, 2 οὐσιώδη τε καὶ ἐνυπόστατον νόει, μὴ τοῦτον τὸν διὰ στόματος προχεόμενον. τίκτεται οὖν ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ ὁ καὶ λόγος καλούμενος, οὐκ ἀρχὴν τοῦ εἶναι λόγος ἐκ τοῦ τόκου λαβών, ἀλλὰ τοῦ γενέσθαι ἄνθρωπος ἀρχὴν τὸν τόκον ποιούμενος. ἦν μὲν γὰρ πρὸ αἰώνων θεὸς λόγος, τῶι γεννήσαντι συναίδιος· ἐπειδὴ δὲ ἄνθρωπος γενέσθαι δι' ἀνθρώπους ἠθέλησεν, οὐ μεταβολῇι θεικῆς φύσεως, ἀλλὰ θαύματι καὶ θελήσει θεοῦ, ὡς ἀρχὴν τοῦ γενέσθαι ἄνθρωπος τὸν τόκον ἠσπάσατο. διὰ τοῦτο καὶ ὡς ἄνθρωπος τίκτεται καὶ ὡς θεὸς λόγος παρθενίαν ἐφύλαξεν. οὐδὲ γὰρ ὁ ἡμέτερος λόγος τικτόμενος φθείρει διάνοιαν, οὐδὲ λόγος θεοῦ οὐσιώδης τε καὶ ἐνυπόστατος τὸν τόκον ἑλόμενος παρθενίαν διέφθειρεν. ὑπὲρ λόγον οὖν τῆς φύσεως ἐστὶ τὸ γενόμενον, καὶ μηκέτι κατάβαινε πρὸς λόγους τῆς φύσεως· θαῦμά σοι λέγω. μὴ κίνει τοὺς λογισμούς· θεὸν τεχθέντα σοι λέγω, ἑλόμενον τόκον, οὐκ ἀρξάμενον τῆς θεότητος. ὧν θεὸς ᾠκειώσατο τόκον, οὐχ ὁ τόκος αὐτὸν κατεσκεύασε θεόν. ὃ ἦν, ἔμεινε, καὶ γέγονεν ὃ οὐκ ἦν. τοῦτο οὖν δι' οἰκονομίαν γενέσθαι βουλόμενος ὅπερ οὐκ ἦν, αἱρεῖται τὸν τόκον ὡς τῆς οἰκονομίας ἀρχήν. γέγονεν ἄνθρωπος, οὐ μεταβληθείσης τῆς φύσεως, οὐ κινηθέντων τῶν ὅρων θεικῆς οὐσίας· σὺ γὰρ ὁ αὐτὸς εἶ καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν, ἡ θεία γραφή φησι, καὶ σὺ καθήμενος τὸν αἰῶνα, τοῦτο δηλοῦσα τῆς θεικῆς οὐσίας τὸ ἀμετάβλητον. καὶ πάλιν ὁ θεός, φησιν, ὁ αὐτὸς εἰμὶ καὶ οὐκ ἠλλοίωμαι. οὐ κινηθείσης οὖν τῆς τοῦ θεοῦ οὐσίας γέγονεν ἄνθρωπος οὐδὲ μεταβληθείσης εἰς φύσιν ἑτέραν. ἦ γὰρ ἂν οὐκ ἦν θαῦμα τὸ γεγενημένον, εἰ φύσεως μεταβολῇι φύσιν ἑτέραν ἐδέξατο. πολλαὶ γὰρ παρ' ἡμῖν γίνονται τοιαῦται πραγμάτων μεταβολαί, ἀλλ' ἐν τούτωι θαυματουργεῖ θεὸς ὅτι μένων ὃ ἦν, γέγονεν ὃ οὐκ ἦν, ὃ δὴ καὶ σημαίνιυν ὁ μέγας ἀπόστολος ἔλεγεν·

V, P [= hk], AWΛ¹Λ^c

1 παρθένον W 5 δένδρον Λ 6 ἐκεῖ] *illius* Λ φάνασ V δένδρα φῦναι P *arborem nasci* Λ 9 ἠδίκησεν VAΛ ἠδίκηται PW 10 αὐτὸν om. Λ ἐγνώρισεν P 11 συναφῆναι φύσει P 13/14 εἶδες τὸ — τικτόμενον om. Λ 13 εἶδεσ πῶσ W γενόμενον μόνη V 13/14 ὑπὲρ τὸν λόγον om. P 14 τί W 16 παρθένον W ἑαυτὸν] *se ipsum per hoc* Λ^c 17 τε καὶ ἐνυπόστατον om. Λ^c προχεόμενον Λ cf. p. 77, 17 προσλεγόμενον VAW προφερόμενον P 18 ὃ² om. W 21 θεοῦ om. Λ 24 οὐσιώδης τε καὶ om. Λ 25 λεγόμενον W πρόβαινε P 26 λόγον W λόγους W 28 ὃ ἦν — αἱρεῖται] ὃ οὐκ ἦν, γενέσθαι βουλόμενοσ, καὶ ὃ ἦν ἔμεινεν· αἱρεῖτε V 29 βουλόμενοσ γενέσθαι W 30 μεταβληθεὶσ VW φύσεως] *divinitatis* Λ τῶν om. AW 31 τῆσ θεικῆσ P 31/32 φησὶ γραφὴ W 32 τοῦτο] *per hoc* Λ 34 μεταβληθεὶς Λ 35 τὸ om. P ἑτέραν om. Λ 36 παρ' om. V πραγμάτων τοιαῦται V 37 ὁ θεὸσ V

Phil. 2, 6 ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων, ὑπάρχων λέγει, οὐχ ὑπάρξας ποτέ, ἵνα δείξῃ τῆς φύσεως τὸ μόνιμον. ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο
L III 991 τὸ εἶναι ἴσα θεῷ, εἶναι λέγει ἴσα θεῷ, οὐ γενήσεσθαί ποτε. εἶτα πάλιν βοᾷ λέγων·
Phil. 2, 7 ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών. ὁρᾷς πῶς καὶ μένει ὃ ἦν, καὶ ἑαυτὸν ἐκένωσεν εἰς τὴν τοῦ δούλου μορφήν, κἀκεῖνο ὢν καὶ τοῦτο γενόμενος, θαυματουργήσας, οὐ φύσιν μεταβαλών, θελήσας, οὐκ ἀναγκασθεὶς μεταβολῇ τῆς οὐσίας; ὃ γὰρ λέγει θεός, ποιεῖ, κἂν ὑπὲρ τὸν λόγον τῆς φύσεως ᾖ τὸ λεγόμενον. ἔχει γὰρ καὶ δύναμιν θαυματουργεῖν δυναμένην καὶ οὐκ ἐκδεχομένην τοὺς λόγους τῆς φύσεως. διὰ τοῦτο καὶ ὑπάρχει θεὸς καὶ κενοῦται εἰς δούλου μορφήν, καὶ ἴσος ἐστὶ θεῷ καὶ ἄνθρωπος γίνεται, καὶ ἐστὶ προαιώνιος καὶ τόκον ὑφίσταται, καὶ ταῦτα θαυματουργεῖ ἅπερ οὐκ οἶδεν ὁ λόγος τῆς φύσεως.

3 Ἔνθεν καὶ τοῖς Ἕλλησι μωρία λογίζεται τοῦ Χριστοῦ τὸ μυστήριον καὶ Ἰουδαῖοι
1 Cor. 1, 23 σκάνδαλον λέγουσι τῆς οἰκονομίας τὸν λόγον, ὃ καὶ Παῦλος ἐδήλου λέγων· κηρύσσομεν Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, Ἕλλησι δὲ μωρίαν.
1 Cor. 2, 14 διὰ τί μωρίαν τοῖς Ἕλλησιν; ὅτι ψυχικὸς ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος, μωρία γὰρ αὐτῷ ἐστ. τῇ γὰρ φύσει παρακαθήμενος ὁ ψυχικὸς καὶ λογισμοῖς ψυχῆς τὰ πάντα διερευνώμενος τὰ θαύματα τοῦ θεοῦ μωρίαν λογίζεται, οὐκ ἔχοντα μεθ'
Ioh. 20, 19 ἑαυτῶν τὸν λόγον τῆς φύσεως. καὶ γὰρ ἀκούων Ἕλλην ὅτι κεκλεισμένης τῆς θύρας εἰσῆλθεν ὁ σωτήρ, διαγαγὼν τὸ παχὺ τοῦτο σῶμα καὶ τόπου δεόμενον, γελᾷ, οὐ πιστεύων
PG 1353 τῷ θαύματι, ἀλλὰ ζητῶν τὸν λόγον τοῦ πράγματος. καὶ ἀκούων ὅτι παρθένος τεκοῦσα μεμένηκε παρθένος, μωρίαν ἡγεῖται τὸν λόγον, οὐ μαθὼν πιστεύειν θαυματουργίαι θεοῦ. οὐκοῦν καὶ ἀκούων ἀμεταβλήτως θεὸν γενόμενον ἄνθρωπον, ἀδύνατον τὸ γενόμενον οἴεται,
M V 189 φύσεως κἀνταῦθα μεταβολὰς ἀπαιτῶν. ἀλλ' οὐχ οὕτως ἐδίδαξεν ὁ Παῦλος εἰπὼν τὸν ὄντα ἴσον θεῷ γεγενῆσθαι ἄνθρωπον. ἑαυτὸν γὰρ κεκενωκέναι φησί, μὴ ἀποβαλόντα τὸ πλήρωμα τῆς θεότητος. δι' ὃ καὶ ἔλεγεν· ἡμεῖς κηρύσσομεν Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, Ἕλλησι δὲ μωρίαν. καὶ διὰ τί Ἕλλησι μωρίαν, εἰ ψιλὸς ἐσταύρωται ἄνθρωπος; οὐδενὶ νομίζεται μωρὸν τὸ κατὰ φύσιν γινόμενον. εἰ ὃ ἐπεφύκει, πέπονθε, πῶς νομίζεται μωρὸν τὸ διήγημα; ἀλλ' ἐπειδὴ Χριστόν, φησί, κηρύσσομεν σταυρούμενον, ⟨ὄν⟩ πάλιν λέγομεν θεοῦ δύναμιν καὶ θεοῦ σοφίαν
1 Cor. 1, 24 (αὐτοῖς γὰρ τοῖς κλητοῖς, φησίν, Ἰουδαίοις τε καὶ Ἕλλησιν κηρύσσομεν Χριστὸν θεοῦ δύναμιν καὶ θεοῦ σοφίαν), ὡς σταυρουμένην, φησί, κηρύσσοντες θεοῦ σοφίαν, μωρίαν λέγειν τοῖς Ἕλλησι νομιζόμεθα πιστεύειν οὐκ εἰδόσι θαυματουργοῦντι θεῷ, ἀλλὰ περὶ πάντων φύσεως κινεῖν λογισμοὺς καὶ ἡγουμένοις ὑβρίζειν θεὸν οἰκειωσάμενον πάθη, ἵνα σώσῃ τὸ παθητόν. οὐ γὰρ τὸν ἀνυόμενον ὁρῶσι σκοπόν, σωτήριον ὄντα καὶ τῇ ἀγαθότητι πρέποντα τοῦ θεοῦ, ἀλλὰ μόνον ὅτι θεὸς ἑαυτῷ συνῆψε παθήματα, λέγουσιν, οὐ σκοποῦντες τὸ ἐκ τούτου τῆς τῶν ἀνθρώπων σωτηρίας κατόρθωμα. οὐδὲν δὲ τῶν σωιζόντων ἄνθρωπον ὑβρίζει θεόν, τούτοις δεικνύμενον οὐ παθητόν, ἀλλὰ φιλάν-

---

V, P [= hk], AWΛ^{t}Λ^{c}

1/2 ὑπάρχων λέγει — ὑπάρχων om. W 1 ὑπάρξας] *rapiens* Λ^{c} 3 γεγενῆσθαι Λ 4/5 ὁραῖς — μορφήν om. Λ 5 αὐτὸν P 7 γενόμενον Λ 8 τὸν λόγον Λ 9 τῷ θῷ A 12 Χριστοῦ] θῦ W 13 ὃν AW 14 ἔθνεσι A 18 ἑαυτοῦ P καὶ γὰρ] καίπερ W 19 σῶμα τοῦτο P 21 θαυματουργίαν θῦ V *deo neque miraculo dei* Λ 22 ἀκούων om. Λ λεγόμενον Λ οἴεται] λέγει W 24 τῷ θῷ P κεκοινωνηκέναι V 26 ἔθνεσι PA καὶ om. P ἔθνεσι PA 27 εἶ] οὐ P 28 πέφυκε P 29 φησί om. W ὃν Λ om. VPAW 30/31 αὐτοῖς — σοφίαν om. W 30 κηρύσσομεν om. Λ 31 ὡς σταυρουμένην Λ^{t} ὡσ σταυρουμένου PAW τὸν σταυρούμενον V ὡς σταυρούμενον Λ^{c} κηρύττοντεσ V 32 ἕλλησι VWΛ ἔθνεσι PA λογιζόμεθα W 32/33 θαυματουργίαν θῦ V 33 ἡγουμένουσ ὑβρίζειν VAW οἰομένουσ ὑβρίζειν P, *æstimantibus iniuriam — fieri* Λ 34 τὸ P ἀννόμενον V 35 τοῦ θῦ πρέποντα W συνῆψεν ἑαυτῷ W 36/37 οὐδὲν δὲ τῶν] οὐδὲ W 37 δεικνυόμενον P

θρωπον. ἀλλὰ ἀνθρώπου πάθη, φησίν, οὐ τολμῶ προσάψαι θεῶι. οὐκοῦν οὐδὲ σώιζειν αὐτὸν τοῖς πάθεσι τὸν ἄνθρωπον λέγεις οὐδὲ τῶι σταυρῶι στηλιτεύειν διαβόλου τὴν L III 994
δύναμιν οὐδὲ τὴν ἡμῶν ἁμαρτίαν προσηλωκέναι τῶι ξύλωι οὐδὲ τοῖς ἰδίοις πάθεσιν τὰ τῶν ἀνθρώπων ἰᾶσθαι παθήματα οὐδὲ θανάτωι λέγεις αὐτὸν καταργῆσαι τὸν θάνατον. εἰ γὰρ οὐκ ὠικειώσατο τὰ πάθη θεός, πόθεν τοῖς πάθεσι τοῦ Χριστοῦ τὰ τοσαῦτα κατορθώματα πῶς ἐγένοντο δυνάμεις; πῶς ἀναιρεῖται θανάτωι ὁ θάνατος, εἰ μὴ θεὸς αὐτὸν ἴδιον ἐποιήσατο; ἀλλὰ ταῦτα τὰ πάθη οἰκειωθέντα θεῶι τὴν μὲν ἰσχὺν τῶν τοσούτων κατορθωμάτων ἐκ θεότητος ἔλαβεν, ὡς θεοῦ ἴδια γεγενημένα, οὐσίαν δὲ θεότητος οὐ παρέβλαψεν ἐν τῆι ἑαυτῆς ἀεὶ μένουσαν ἀπαθείαι. πῶς γὰρ προσηλώθη τῶι ξύλωι τὸ καθ' ἡμῶν Col. 2, 14
τῆς ἁμαρτίας χειρόγραφον, ἀνθρώπου ψιλοῦ τὸν σταυρὸν ὑπομείναντος; πῶς δὲ σταυρὸς ἁμαρτίαν ἐσταύρωσεν ἢ θάνατος θανάτου τὴν τυραννίδα διέλυσεν, εἰ μὴ ταῦτα γέγονε θεοῦ καὶ παρ' ἐκείνου τὴν δύναμιν ἔλαβεν οἰκειωσαμένου τὰ ἡμέτερα, οὐ παθόντος φύσει; ὃ δὴ καὶ σημαίνων ὁ μέγας ἀπόστολος ἔλεγεν ὅτι οὐδεὶς τῶν ἀρχόντων τοῦ αἰῶνος 1 Cor. 2, 8
τούτου τοῦ κυριακοῦ πάθους τὸ μυστήριον ἔγνωκεν· εἰ γὰρ ἔγνωσαν, φησίν, οὐκ
ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν. διὰ τοῦτο λέγομεν καὶ μένειν αὐτὸν ὃ PG 1356
ἦν, καὶ γεγονέναι ὅπερ οὐκ ἦν. τῆι γὰρ οὐσίαι μένων ὃ ἦν, ἐδέξατο πάθη, ἑαυτὸν 16
ἑνώσας φύσει τῆι παθητῆι. ὑπήκοος γέγονε, βασιλείαν μὴ ἀποθέμενος· γέγονεν ἄνθρω- Phil. 2, 9
πος, μείνας θεός τε καὶ λόγος· ἀσώματος ὢν τὴν φύσιν, ἀναλλοιώτως γέγονε σάρξ. πῶς καὶ τίνα τρόπον; οὐχ ὡς λογίζεσθαι δύνασαι, ἀλλ' ὡς ἐκεῖνος θαυματουργεῖν ἐστιν 19
ἱκανός. ὅταν γὰρ θαῦμά σοι λέγω, κατάλειπε λογισμούς. σημεῖα γὰρ καὶ τεράστια M V 192
τῆι τοῦ θεοῦ πίστει κρατύνεται καὶ οὐκ ἐρευνᾶται τοῖς λόγοις. οὐδὲ γὰρ ἄλλο τι τῶν θαυμάτων κατὰ λόγον ἐστὶ τὸν ἡμέτερον, ἀλλ' ὅμως γέγονεν ἕκαστον, κἂν ὁ λογισμὸς ἡμῶν οὐκ ἐφικνῆται τοῦ πράγματος.

Ταῦτα καὶ μάγοι ὡμολόγησαν, ἀστέρι πιστεύσαντες καὶ οὐ πολυπραγμονήσαντες φύσιν. βάρβαροι δέχονται πίστει θαύματα, καὶ ὁ πιστὸς σὺ τί ἀπιστεῖς πρὸς λογισμὸν 25
καταπίπτων ἀνθρώπινον; οἱ ἐκ Χαλδαίας παραγενόμενοι, ὡς ὁ εὐαγγελιστὴς ἔλεγε Mt. 2, 11
σήμερον, αὐτοῖς τοῖς δώροις τὸ μυστήριον ἔδειξαν τῶι τὸν σκοπὸν τῶν βαρβάρων συνορῶντι καλῶς. τριττὸν γὰρ εἶδος τῶν δώρων προσκομίζουσι, χρυσὸν λίβανον σμύρναν, χρυσὸν μέν, ὅτι βασιλεὺς ὁ τιμώμενος, λίβανον δέ, ὅτι θεὸς ἦν ὁ τεχθείς· τοῦτον γὰρ ἐξ ἔθους προσεκόμιζον τοῖς ὑπ' αὐτῶν νομιζομένοις θεοῖς. προσφέρουσι δὲ καὶ σμύρναν, 30
τὸ πάθος, οἶμαι, τοῦ θανάτου ταύτηι μηνύοντες. εἶδες πῶς καὶ μάγοι ἐπέγνωσαν ὅτι καὶ θεὸς ἔμεινε καὶ ἄνθρωπος γέγονε δεχόμενος θάνατον; γέγονε γὰρ ὅπερ ἐγώ, ἵνα τὴν ἡμετέραν ἀναβιβάσηι φύσιν πρὸς τὴν ἰδίαν ἀξίαν. ἡ γὰρ ἕνωσις τοῦτο ποιεῖ ἑκατέρωι τὰ τοῦ ἑτέρου συνάπτουσα. διὰ τοῦτο οὖν θεὸς ὢν ἄνθρωπος γέγονεν, ἵνα καὶ ἄνθρωπος γένηται θεός, τῆι συναφείαι ταύτηι πρὸς θεικὴν δόξαν ἀναγόμενος, ὡς ἕνα καὶ τὸν 35
αὐτὸν εἶναι θεικῶς τε δοξαζόμενον καὶ πάσχοντα τὰ ἀνθρώπινα.

Καὶ ταῦτα ἡμῖν συνομολογήσειαν ἂν ἅπαντες οἱ ἕνωσιν ὁμολογοῦντες θεότητός τε L III 995

35—p. 84, 7 adferuntur a Tim. Ael. syr. f. 10^{a} = arm. p. 96 = florileg. R 1 5 ὡς ἕνα — ἀθετῶν

V, P [= hk], AWΛ^{t}Λ^{c}

2 τῶι om. VW 4 ἀνιᾶσθαι W 5/6 *tantarum correctionum sunt factæ uirtutes* Λ scripserim τῶν τοσούτων κατορθωμάτων ἐγένετο δύναμις 6 ὁ om. PW 8 γεγενημένα om. W 9 μένουσαν ἀεὶ W 10 σταυρὸν] θάνατον Λ 11 θανάτου] θανάτῳ V 12 ἔλαβον VPA τῆ φύσει P 14 μυστήριον] σωτήριον A 16 μένων] μόνον P τὰ πάθη W 17 τῆ φύσει τῆ V 18 ἀναλλοίωτοσ PΛ 19 ἐστιν VWΛ ὢν P om. A 20 κατάλιπε PW 23 ἡμῶν om. Λ ἐφικνεῖται VA 24 καὶ^{2} om. Λ^{c} 25 τὰ θαύματα P σὺ] οὐ Λ^{t} 26 χαλδαίων W 29 τοῦτο P 35 ταύτηι om. P ἀγόμενοσ W 37 ἡμῖν Λ^{tc} flor. Tim. μὲν VPAW 37—p. 84, 1 συνομολογήσειαν ἂν — ἀνθρωπότητος scripsi secundum Λ *nobiscum confitebuntur omnes qui unitionem* [Λ^{c} *unitatem* Λ^{t}] *confitentur diuinitatis et humanitatis* συνομολογήσειαν ἅπαντες οἱ ἕνωσιν — ἀνθρωπότητος flor. Tim. συνωμολόγησαν ἵνα πάντεσ ἓν ὦσιν ὁμολογοῦντεσ θεότητά τε καὶ ἀνθρωπότητα [ἓν — ἀνθρωπότητα om. W spatio rel.] VPAW

καὶ ἀνθρωπότητος· τὸ γὰρ ἑνωθὲν οὐκέτι δύο, ἀλλ' ἓν ὀνομάζεται, τῇ δὲ ἐννοίαι πάλιν [εἰ] διαιρεῖς καὶ ἕκαστον κατ' ἰδίαν σκοπεῖς. οὐκοῦν λύεις τὴν ἕνωσιν· ἀδύνατον γὰρ ἅμα καὶ φυλάττειν τὴν ἕνωσιν καὶ ἑκάτερον κατ' ἰδίαν σκοπεῖν, ἀλλὰ τὸ ἑνωθὲν ἀλύτως
6 ἓν γέγονε καὶ οὐκέτι γίνεται δύο. ἀλλ' ἐπινοίαι μόνῃ χωρίζω, φησίν. οὐκοῦν τῇ αὐτῇ ἐπινοίαι καὶ τὴν ἕνωσιν ἔλυσας· ὧι γὰρ ἂν διαστήσῃς τοῦ ἑτέρου τὸν ἕτερον, τούτωι καὶ τὴν συνάφειαν ἔτεμες. τί οὖν ἀναλύεις οἰκονομίαν σωτήριον, δύο νοῶν καὶ τὴν
Hebr. 13, 8 ἕνωσιν ἀθετῶν; ἀλλὰ καθὼς καὶ ὁ μέγας ἀπόστολός φησιν, Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας, ἕνα καὶ τὸν αὐτὸν λέγων αἰώνιόν τε θεὸν καὶ ἀπὸ χρόνων ἀρχόμενον ἄνθρωπον, καὶ ἡμεῖς ὁμολογῶμεν τὸν αὐτὸν θεόν τε καὶ ἄνθρωπον τὸ μὲν ὄντα πρότερον, τὸ δὲ γενόμενον ὕστερον. ἀλλὰ πῶς, φησίν, ὁ μονο- 10
PG 1357 γενὴς δοῦλος γεγένηται, μείνας ὃ ἦν, καὶ γενόμενος ὃ οὐκ ἦν; [εἰ] βούλει οὖν τοῦτο μαθεῖν; μάθε ὅτι γέγονε, τὸ δὲ πῶς γέγονεν, ὁ θαυματουργήσας ἐπίσταται μόνος. οὐδὲ
Exod. 7, 20. γὰρ σύ μοι δύνασαι λέγειν πῶς ὁ τῶν Αἰγυπτίων ποταμὸς αἷμα γεγένηται, ἀμεταβλήτου
21 μεινάσης τῆς τοῦ ὕδατος φύσεως. καὶ γὰρ ὡς ὕδατι μὲν οἱ Ἑβραῖοι ἐκέχρηντο, αἷμα δὲ τοῖς Αἰγυπτίοις ὁ Νεῖλος ἐγένετο, καὶ γέγονεν ὃ οὐκ ἦν, μείνας ὃ ἦν. εἰπέ μοι τὸν 15 τρόπον. ἀλλ' οὐκ ἔχεις εἰπεῖν· θαῦμα γάρ ἐστι θεοῦ, λογισμοὺς παρωθούμενον. πῶς
Exod. 10, 22. δὲ καὶ τὸ φῶς ἐν Αἰγύπτωι γέγονε σκότος, οὐ σβεσθέν, ἀλλὰ μένον ὃ ἦν; ἡμέρα γὰρ τοῖς
23 Ἰσραηλίταις ἦν καὶ λαμπρὸν αὐτοὺς περιεῖχε τὸ φῶς, τοῖς δὲ Αἰγυπτίοις τὸ φῶς τοῦτο
M V 193 γέγονε σκότος, καὶ ἓν ὂν τὸ ὁρώμενον φῶς τε ἦν ὁμοῦ καὶ σκότος, οὐδὲ ἐκ τούτου μεταβληθὲν κἀκεῖνο γενόμενον. οὐδὲν γὰρ τοῦ φωτὸς παθόντος σκότος ἐγένετο, τοῦ θεοῦ 20 θαυματουργοῦντος καὶ τὸν λόγον οὐκ ἐκδεχομένου τῆς φύσεως. πῶς οὖν τὸ ὕδωρ τοῦ Νείλου μεῖναν ὕδωρ αἷμα γεγένηται; ἢ πῶς ἐπὶ τῆς ἰδίας φύσεως μεῖναν τὸ φῶς σκότος ἐγένετο; οὐδὲ γὰρ τοῦτο ἔφθαρται κἀκεῖνο γεγένηται. οὐδὲ γὰρ ἐφθάρη ἡ φύσις τοῦ ὕδατος, καὶ ἐδήλουν οἱ Ἑβραῖοι, τοῦτο πότιμον ἔχοντες· ἀλλ' ἔμεινε καὶ αὐτὴ ἡ φύσις ἐν
7 ἰδίοις ὅροις καὶ γέγονεν αἷμα, ὅπερ οὐκ ἦν, θεοῦ ὑπὲρ λόγον δεικνύντος τὸ θαῦμα. ἡ 25 δὲ Βαβυλωνία φλὸξ πῶς δρόσος τοῖς τρισὶν ἐγένετο παισί; καὶ γὰρ φλὸξ ἦν καὶ δρόσος ἐγένετο, καὶ ἄμφω ταῦτα δηλοῦνται τῇι ἐνεργείαι. ὅτι μὲν γὰρ δρόσος ἦν, οἱ τρεῖς
Dan. 3, 50. 48 διδάσκουσι παῖδες ταύτηι καταψυχόμενοι· ὅτι δὲ καὶ φλὸξ ἦν, οἱ ταύτηι κατακαυθέντες μηνύουσι Βαβυλώνιοι. εἶδες πῶς τὸ πῦρ ἔμεινε πῦρ καὶ δρόσος ἐγένετο· οὐ δύο πράγματα οὐδὲ δύο φύσεις, ἀλλ' ἓν ἦν καὶ ⟨τὸ αὐτὸ⟩ τὸ ὁρώμενον. ὃ γὰρ ἦν φλόξ, τοῦτο 30 γέγονε δρόσος, καὶ μαρτυροῦσιν οἱ δίκαιοι. μηκέτι οὖν ἐρώτα με τῶν τοῦ θεοῦ σημείων

---

12 sq. *Nota: Abhinc pessima exempla uertibilium rerum et perituraruṁ* Λ^c in mg.
2/3 ἀδύνατον — σκοπεῖν adferuntur a Timoth. arm. p. 69
13—15. 16—21 θαυματουργοῦντος. 25——p. 85, 1 nonnullis omissis adferuntur a Timotheo syr. f. 49^r

---

V, P [= hk], AW$\Lambda^t\Lambda^c$

1 οὐ PΛ^t 1/2 τῇι — διαιρεῖς] εἰ δὲ ἓν ποία πάλιν παρείσδυσις flor. Tim. 2 εἰ VPAW om. Λ καὶ εἰ Tim. σκοπεῖν V 4 χωριζέτω W 4/5 τῇ αὐτοῦ W ταύτηι τῇι Λ 5 καὶ om. Λ *secundum quodlibet* [utrumque om. Λ^t] *enim si* [*si enim* Λ^t] *disiunxeris* Λ^{tc} ὧι [ὡς flor.] γὰρ ἂν διαστήσῃς flor. Tim. ὧι γὰρ διιστᾶς VPAW τὸν flor. τὸ VW om. PA 5/6 τούτωι] τούτου Λ^t κατὰ τοῦτο Λ^c 6 συνάφειαν VPWAΛ ἕνωσιν flor. Tim. σωτηρίου Λ^c ἐπινοῶν P 7 ἀλλὰ καθὼς PAW ἀλλὰ καθὰ V ὅθεν Λ^t *sicut* Λ^c καὶ om. A ἀπόστολος] παῦλος P Χριστὸς Ἰησοῦς Λ^c 8 post αἰῶνας ins. *heri et hodie dixit principium temporis dans. ipse et in sæcula ait* Λ 8/9 τε] τέ καὶ V 9/10 καὶ ἡμεῖς — ἄνθρωπον om. VΛ 9 ὁμολογῶμεν A ὁμολογοῦμεν PW 11 εἰ VPAW om. Λ οὖν PAWΛ om. V 12 μάθε om. Λ μόνος om. W 14 μενούσης P 18 αὐτοὺς περιεῖχε AWΛ Tim. αὐτοῖς παρεῖχε VP 19 τὸ ὁρώμενον ὃν V ἦν om. W ὁμοῦ om. P 20—23 οὐδὲν — γεγένηται om. P 20 οὐδὲν Λ^c οὐδὲ VAWΛ^t 21—25 πῶς οὖν — θαῦμα dittographiæ sunt eorum quæ præcedunt 23 ἔφθαρτο W 24 οἱ om. W 26 δὲ] τε Λ ἦν om. Λ 27 ἐγίνετο VA 29 ἔμενε P οὐ] οὐδὲ A 30 οὐδὲ] καὶ P τὸ αὐτὸ Λ Tim. om. VPAW ὃ γὰρ Λ ὅπερ VPAW

τὸν τρόπον. πάλιν γὰρ ἐρῶ σοι, τὰ θαύματα δεικνὺς μὲν ὅτι γέγονε, θεῶι δὲ καταλιμπάνων εἰδέναι τῶν θαυμάτων τὸν λόγον. εἶτα εἰπέ μοι· ταῦτα θαυματουργεῖ θεὸς καὶ τὴν φλόγα ⟨φυλάττων⟩ δρόσον ποιεῖ, οὐδὲ φλόγα μεταβαλὼν καὶ πρὸς δρόσον αὐτὴν μεθιστῶν, τυράννου τὴν ἀπόφασιν λῦσαι βουλόμενος καὶ ἠδικημένους ἐκδικῆσαι θέλων καὶ 4
τοὺς αἰτίους καταναλῶσαι βουλόμενος βαρβάρους [καὶ θαυματουργεῖ τὰ τοιαῦτα θεὸς τὸ L III 998
πῦρ φυλάξας ἐν ἰδίοις ὅροις καὶ δρόσον ἐπιδείξας, καὶ ἵνα τρεῖς παῖδες σωθῶσι, θαυματουργεῖ τὰ τοιαῦτα θεός], ἵνα δὲ κόσμον σώσηι θεός, ἀμφιβάλλεις ὅτι αὐτὸς μείνας θεὸς γέγονεν ἄνθρωπος; οὐκ ἐδεήθη φλόγα μεταβαλεῖν, ἵνα δρόσον ἐργάσηται, καὶ αὐτὸς ἄνθρωπος γενέσθαι βουληθεὶς διὰ σωτηρίαν ἀνθρώπων τὴν ἑαυτοῦ φύσιν ἐδεήθη μεταβαλεῖν; πῦρ ἔμεινε καὶ γέγονε δρόσος, καὶ σὺ λέγεις· πῶς μένει θεὸς καὶ γίνεται ἄνθρωπος; 10

Ἐπειδὴ γὰρ τὴν φύσιν ἡμῶν βουλόμενος σῶσαι θεὸς οὐ δι' ἑτέρων τὴν σωτηρίαν ἡμῶν, ἀλλὰ δι' ἑαυτοῦ κατεσκεύασεν, ἐπειδὴ πᾶσα κτίσις ἠτόνει πρὸς σωτηρίαν ἡμῶν ἕξιν ἐχόντων καὶ κακίας καὶ πλάνης· ἡ γὰρ μακρὰ τῆς κακίας συνήθεια ἀντὶ φύσεως τοῖς PG 1360
ἀνθρώποις ἐγίνετο παρωσαμένη τὴν φύσιν, προεφήτευσε προφήτης, ἀλλ' ἠτόνει ὁ λόγος τῆι κακίαι νικώμενος, ἄγγελοι λειτουργοὶ τῆς ἡμέτερας ἐγίνοντο σωτηρίας (καὶ μαρτυρεῖ ὁ 15
μέγας Παῦλος λέγων περὶ ἀγγέλων· οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα εἰς Hebr. 1, 14
διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν;), ἄγγελος ὁ κρείττων τὴν φύσιν ἐλειτούργει πρὸς σωτηρίαν ἡμῶν, ἀλλ' οὐκ ἐσώιζετο ἄνθρωπος, ταῖς κακίαις σπουδαίως ἐγκείμενος, ἠτόνει οὖν ἅπαντα πρὸς ἀνθρώπων τὴν ἀμέλειαν· ἡ γὰρ κακία τῶν πονηρῶν τὴν σπουδὴν ἐνίκα τῶν ἀγαθῶν, οὐχ ὅτι νικᾶται θεός, 20
ἀλλ' ὅτι γνώμηι τοῦ αὐτεξουσίου τὴν ἀρετὴν ἐπιτρέπει, ἀνάγκηι οὐκ ὠθεῖ σε πρὸς κατορθώματα οὐδὲ μὴ βουλόμενον ἕλκει πρὸς ἀρετήν, ἵνα σοι τὴν ἀρετὴν κατασκευάσας ἑκούσιον
8 σὸν αὐτὴν ποιήσηι κατόρθωμα, τί οὖν; ἐπειδὴ καὶ προφῆται ἐνενίκηντο καὶ οὐκ ἐνήργουν M V 196
διδάσκαλοι καὶ νόμος ἠτόνει καὶ ἄγγελοι τῆς σπουδῆς ἀπετύγχανον, τῆς γνώμης τῶν ἀνθρώπων οὐκ εἰκούσης τοῖς ἀγαθοῖς, αὐτὸς ὁ τῆς φύσεως ποιητὴς ἐπεδήμησε, φύσιν 25
νενικημένην ἀνορθῶσαι βουλόμενος, καὶ παραγίνεται, οὐ κτυπῶν ὡς θεὸς οὐδὲ βρονταῖς Exod. 19, 16
καταπλήττων τὰς ἀκοὰς οὐδὲ γνόφον περιβαλλόμενος καὶ πῦρ φοβερὸν ἐν τῶι γνόφωι δεικνὺς οὐδὲ σάλπιγγος ἤχωι τοὺς ἀκούοντας δεδιττόμενος, ὥς ποτε τοῖς Ἰουδαίοις ἐπεφάνη φόβον ἐμποιῶν, οὐ σοβῶν τὸν οἰκέτην, χάριτι δὲ μᾶλλον αὐτὸν προσκαλεῖται καὶ ἀγαθότητι. οὐ δορυφορίας ἐπάγεται ἀρχαγγέλων· οὐ κινεῖ τὰ τῶν ἀγγέλων στρατόπεδα. οὐ γὰρ 30
ἠθέλησε σοβῆσαι τὸν δραπέτην τὸν φυγάδα τῶν ἐκείνου νόμων γενόμενον, ἀλλ' ἔρχεται ὁ πάντων κύριος ἐν δούλου μορφῆι, πτωχείαν περιβαλλόμενος, ἵνα μὴ σοβήσηι τὸ θήραμα. ἐν ἀδήλωι τίκτεται χωρίωι, ἀγρὸν ἀφανῆ πρὸς γέννησιν ἐκλεξάμενος· διὰ πτωχῆς τίκτεται παρθένου καὶ πάντα πτωχὰ προσλαμβάνεται, ἵνα ἡσύχως πρὸς σωτηρίαν ἀγρεύσηι τὸν ἄν-

---

V, P [= hk], AWΛ^{t}Λ^{c}

1 δεικνὺς Λ δείκνυσι V δεικνύουσι A δεικνύω σοι P δείκνυμί σοι W 1/2 καταλιμπάνων Λ καταλιμπάνω VPAW 2 εἰδέναι om. W εἶτα om. P 3 φυλάττων Λ om. VPAW ποιεῖ PAWΛ ποιῶν V εἰσ P 5 ἀναλῶσαι A 5—7 καὶ θαυματουργεῖ — τὰ τοιαῦτα θεός dittographiæ sunt eorum quae præcedunt, eieci utpote constructionem obscurantia 5 καὶ θαυματουργεῖ] *operatur itaque* Λ^{c} 7 ὁ θ̄σ̄ A θεός^{2} om. WΛ 8/9 ἄνθρωποσ αὐτὸσ W 9 τὴν] οὐ τὴν Λ^{1} πῶς τὴν Λ^{c} αὐτοῦ W μεταβαλεῖν ἵνα δρόσον ἐργάσηται P 10 ἔμενε P πῶς] *quia non* Λ μένη P 11 γὰρ om. Λ ἑτέρου W 12 ἐπειδὴ γὰρ Λ ἡ κτίσισ W φύσισ A 13 ἡ μακρὰ γὰρ W 14 ἐγένετο P *constat* Λ προεφήτευσε P 16 οὐχὶ] ὅτι Λ 17 σωτηρίαν] βασιλείαν P 18 κρείττων] κηρύττων P 18/19 ὁ ἄνθρωποσ W 19 ἅπαντα om. Λ τὴν τῶν ἀνθρι'πων P τὴν ἀνθρώπων W 21 ἀνάγκη δὲ P ὠθεῖ σε VAWΛ^{t} ὠθεῖσθαι P *impellens* Λ^{c} 22 οὐδὲ] εἰ δὲ P βουλόμενοσ V 23 αὐτὸ W νενίκηντο P 24/25 τῶν ἀνθρώπων] *hominis* Λ^{c} 25 φύσιν om. P *naturamque* Λ 26 καὶ om. Λ 27 φοβερὸν om. Λ 29 ἐμποιῶν] *iniciens indeuotis* Λ *euocans* Λ post ἀγαθότητι ins. *propterea non uenit cum imperiali fastu* [*fastigio* Λ^{t}] Λ^{tc} 30 δορυφορίαισ P 30/31 οὐ γὰρ — φυγάδα om. P 31 νόμω P om. W γενομένων P 32 μὴ σοβήσηι] ἀγρεύση W 34 καὶ om. Λ προσλαμβάνεται om. Λ

θρωπον. εἰ γὰρ ἐπιδόξως ἐτέχθη καὶ πλοῦτον πολὺν περιβαλλόμενος παρεγένετο, εἶπον ἂν οἱ ἄπιστοι ὅτι ἡ τοῦ πλούτου δαπάνη τὴν μεταβολὴν τῆς οἰκουμένης εἰργάσατο. εἰ τὴν μεγάλην Ῥώμην εἵλετο πόλιν, τῇ δυναστείαι τῶν πολιτῶν τῆς οἰκουμένης τὴν μεταβολὴν ἐλογίζοντο. εἰ υἱὸς ἐγένετο βασιλέως, τῇ δυναστείαι τὴν ὠφέλειαν ἐπέγραφον.
L III 999 εἰ νομοθέτου ἐγεγόνει υἱός, αὐτοῦ τοῖς προστάγμασι τὴν ὠφέλειαν ἐπέγραφον. ἀλλὰ τί ποιεῖ; πάντα [τὰ ἔργα] πτωχὰ καὶ εὐτελῆ, πάντα μέτρια καὶ τοῖς πλείοσιν ἀφανῆ, ἵνα θεότης μόνη γνωρισθῇ τὴν οἰκουμένην μετακοσμήσασα. διὰ τοῦτο πτωχὴν αἱρεῖται μητέρα, πτωχοτέραν πατρίδα, ἐνδεὴς τοῖς χρήμασι γίνεται.

Lc. 2, 7 Καὶ τὴν ἔνδειαν ἑρμηνευέτω σοι ἡ φάτνη. οὐχ ὑπαρχούσης γὰρ κλίνης ἐφ' ἧς κατακλιθῇ ὁ κύριος, ἐν φάτνῃ τίθεται καὶ γίνεται τῆς χρείας τὸ ἄπορον προφητείας κάλλι-
PG 1361 στον μήνυμα. ἐν φάτνῃ γὰρ κατετέθη, μηνύων ὅτι καὶ ἀλόγων ἔσται τροφή. ὁ γὰρ τοῦ θεοῦ λόγος πρὸς ἑαυτὸν ἐφείλκετο καὶ πλουσίους καὶ πένητας καὶ ἐλλογίμους καὶ τῶι λόγωι βραδεῖς, πενίαι τε συζῶν καὶ ἐν φάτνῃ τεθείς. ὁρᾶις πῶς τῆς χρείας ἡ ἔνδεια προφητείαν εἰργάσατο καὶ ἡ πτωχεία τὸν δι' ἡμᾶς πτωχεύσαντα εὐπρόσιτον πᾶσιν ὑπέδειξεν; οὐδεὶς γὰρ δεδοικὼς τοῦ Χριστοῦ πλοῦτον ὑπέρογκον ἄτολμος ἦν· οὐδένα προσελθεῖν αὐτῶι βασιλείας ὕψος ἐκώλυσεν, ἀλλὰ κοινὸς ὤφθη καὶ πένης ὁ πᾶσιν ἑαυτὸν εἰς σωτηρίαν προθείς. ἐν φάτνῃ γὰρ ὁ τοῦ θεοῦ κατατίθεται λόγος καὶ διὰ μέσου τοῦ σώματος, ἵνα ἄδειαν ἔχηι λογικός τε καὶ ἄλογος μεταλαβεῖν τῆς σωτηριώδους τροφῆς. καὶ τοῦτο τάχα καὶ ὁ προφήτης πρότερον ἐβόα, τῆς φάτνης ταύτης διηγούμενος τὸ μυστήριον λέγων·
Ies. 1, 3 ἔγνω βοῦς τὸν κτησάμενον καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ, Ἰσραὴλ δέ με οὐκ ἔγνω καὶ ὁ λαός με οὐ συνῆκεν. εἰ γὰρ καὶ ἁπλουστέραν ἔννοιαν ὁ λόγος ἔχει, δεικνὺς τὸν Ἑβραῖον τῶν ἀλόγων ἀγνωμονέστερον, ἀλλὰ δύναιτ' ἂν καὶ τοῦτο δηλοῦν, φάτνην ὑποδεικνὺς τοῦ κυρίου, ἐφ' ἧς τεθεὶς τροφὴ τοῖς ἀλογωτέροις
M V 197 ἐγένετο. καὶ γὰρ οὐκ ἀορίστως ὁ προφήτης φάτνην δηλοῖ, ἀλλὰ τὴν φάτνην ταύτην ἔφη τοῦ κυρίου αὐτοῦ, τῶι ἄρθρωι τούτωι, οἶμαι, τὴν φάτνην ὡρισμένως σημαίνων. καὶ ταῦτα μὲν φιλοσοφείτω ὁ βουλόμενος, τῇ ποικίλῃ θεωρίαι τῆς θείας γραφῆς ἐντρυφῶν·
9 ἡμεῖς δὲ ἐδείξαμεν ὅτι ἐπτώχευσε δι' ἡμᾶς ὁ πλούσιος τῶι τῆς θεότητος λόγωι εὔληπτον
2 Cor. 8, 9 πᾶσι τὴν σωτηρίαν ποιῶν. ὃ δὴ καὶ σημαίνων ὁ μέγας Παῦλος ἔλεγε· δι' ἡμᾶς ἐπτώχευσε πλούσιος ὤν, ἵνα ἡμεῖς τῇ ἐκείνου πτωχείαι πλουτήσωμεν. καὶ τίς ἦν ὁ πλουτῶν; τί δὲ ἐπλούτει; καὶ πῶς οὗτος ἐπτώχευσε δι' ἡμᾶς; λεγέτωσαν ἡμῖν οἱ τοῦ θεοῦ λόγου διαιροῦντες τὸν ἄνθρωπον καὶ τὸ ἐνωθὲν διιστάντες τῇ μνήμηι τῶν φύσεων, οἱ δύο τινὰ λέγοντες τὸν Χριστὸν καὶ τὸ ⟨ἓν⟩ ἐπινοίαι μόνηι πρὸς ἀπολογίαν κομίζοντες. τίς οὖν ὢν πλούσιος, εἰπέ μοι, τὴν ἐμὴν πτωχείαν ἐπτώχευσεν; ἆρα ὁ φαινόμενος ἄνθρωπος, ὃν σὺ διιστᾶις τῆς θεότητος; ἀλλ' οὐδέποτε οὗτος ἐγένετο πλούσιος· ἦν πτωχός, ἐκ πτωχῶν προγόνων τεχθείς. τίς οὖν ὁ πλούσιος καὶ τί πλουτῶν

30—33 Tim. arm. p. 105 syr. fol. 10a, 49a = floril. R 1 8 πῶς ἐπτώχευσεν — ἐπικομίζοντες

V, P [= hk], AWΛ[1]Λ[c]

3 Ῥώμην] πόλιν W πόλιν Λ πάλιν VPAW 5 αὐτοῖσ PAW om. Λ ἐπέγραφον τὴν ὠφέλειαν P 6 τὰ ἔργα VPW ἔργα A *elegit* Λ eieci 7 μόνη νῦν W 12 λόγος καὶ υἱός Λ ἀφείλκετο V 13 ὅρα Λ 14 ὑπέδειξεν P ἐπέδειξεν AW ἀπέδειξεν V 15 ἀτόλμητος A 16 βασιλέωσ W αὐτὸν P 17 τοῦ²] τούτου τοῦ W 22 τῶν ἀλόγων τὸν ἑβραῖον P δύναιτ' scripsi δύναται VPW δύνηται A 23 φάτνη P om. Λ ὑποδεικνύοντος Λ τὸν κν P ἐφ' ἧι V *quia ibi* Λ ἀλόγοισ P 24 ὁ προφήτης om. Λ 25 λέγει P post αὐτοῦ repetit ἐφ' ἧσ — ἀλογωτέροισ — ταύτην ἔφη τοῦ κῦ αὐτοῦ P ἄρθρω PWΛ ἄνω VA 26 τῇ ποικίλῃ PΛ τὴν ποικιλίαν VAW ἐντρυφᾶν P 31 θεοῦ om. W τὸ ἀνθρώπινον flor. Tim. syr. f. 10[1] καὶ] οἱ Λ[c] διιστάντεσ flor. διιστῶντεσ VPA om. W 32 ἓν flor. Tim. om. VPAWΛ 33 οὖν ὢν Λ οὖν PAW ὢν V 35 ἦν γὰρ PW *sed* Λ

ἦν, ὃς δι' ἡμᾶς ἐγένετο πένης; θεός, φησίν, ἐπλούτει τὴν κτίσιν. οὐκοῦν θεὸς καὶ πένης ἐγένετο, ἰδίαν πενίαν τὴν τοῦ ὁρωμένου ποιούμενος. ὁ γὰρ αὐτὸς καὶ ἐπλούτει τὴν θεότητα καὶ δι' ἡμᾶς πένης ἐγένετο. οὐδὲ γὰρ τὸν ἄνθρωπον ἂν εἴποις πλουτεῖν, πτωχὸν ὄντα καὶ φύσει καὶ χρήμασιν, οὐδὲ [γὰρ] τὸν πλουτοῦντα θεότητος ἀξίαν πτωχεύειν ἂν εἴποις, μὴ προσάψας αὐτῷ τὰ ἀνθρώπινα. διὰ τοῦτο καὶ ὁ ἀπόστολος συνάπτων δόξαν θεότητος ἀνθρωπίνοις παθήμασιν, οὐδὲ ἐπινοίαι διαιρεῖν οὐδὲ λόγωι διαστῆσαι τὰ ἑνωθέντα βουλόμενος, τὸν αὐτὸν ἔφη πλουτεῖν θεότητα καὶ πτωχεύειν παθήμασι καὶ τὸ μὲν δι' ἑαυτὸν εἶναι, τὸ δὲ δι' ἡμᾶς πεπονθέναι. εἰ δὲ ὁ πλουτῶν τὴν θεότητα πτωχεύει τὴν ἀνθρώπων πτωχείαν, πῶς οὐχὶ καὶ τὰ λοιπὰ πέπονθεν, ἅπαξ ἄνθρωπος γενέσθαι διὰ φιλανθρωπίαν ἑλόμενος;

L III 1002
PG 1364

10 Ἀλλὰ ταῦτα μὲν εἰς τοσοῦτον· σὺ δέ μοι βλέπε τὸ πτωχότατον οἴκημα τοῦ πλουτοῦντος τὸν οὐρανόν· βλέπε τὴν φάτνην τοῦ ἐπὶ τῶν χερουβὶμ καθημένου· βλέπε σπάργανα τοῦ δήσαντος ψάμμωι τὸ πέλαγος· βλέπε τὴν κάτω πτωχείαν, τὸν ἄνω πλοῦτον αὐτοῦ λογιζόμενος. οὕτως γὰρ ἂν καὶ χάριτος καὶ φιλανθρωπίας ἴδοις τὸ μέγεθος, εἰ τὴν τοσαύτην τοῦ θεοῦ λογίσηι συγκατάβασιν. καὶ γὰρ ἐν ταύτηι τῆι πτωχείαι ὁ πλοῦτος αὐτοῦ τῆς θεότητος δείκνυται, ἀστέρος τοῖς μάγοις δηλοῦντος τὸν πένητα καὶ τοὺς βαρβάρους ἄγοντος ἐπὶ τὴν φάτνην τοῦ πένητος. ἀλλὰ καὶ ἄγγελοι χαίροντες τοῦτον ἀνηγόρευον τὸν πτωχὸν τοῖς ποιμέσιν, ἄιδοντες τὸν πλοῦτον αὐτοῦ τῆς θεότητος. καὶ γὰρ οἱ μάγοι τῶι φαινομένωι τὸν λίβανον προσεκόμισαν ὡς θεῶι, οὐ διιστῶντες τὴν φύσιν τῆς φύσεως οὐδὲ ἐπινοίαις τέμνοντες τὸν ἡνωμένον, ἀλλ' ἅπαξ τῶι θαύματι τὸν φαινόμενον εἰδότες θεὸν προσφέρουσι λίβανον αὐτῶι τούτωι θεικὴν ἀξίαν μηνύοντες. οὐδὲ ἄγγελοι ταῖς ἐπινοίαις ταῖς κατὰ σὲ τὸ τεχθὲν τοῦ θεοῦ λόγου διέστησαν, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν εἰδότες καὶ ὁρώμενον καὶ νοούμενον ἐβόων λέγοντες· δόξα ἐν ὑψίστοις θεῶι καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία, καὶ οὐκ ἄλλα μὲν λέγοντες κατὰ σέ, ἄλλα δὲ ἐπινοοῦντες καὶ ῥήμασι μὲν ὁμολογοῦντες ἕνα Χριστὸν Ἰησοῦν, ἐπινοίαι δὲ διαιροῦντες τὸν αὐτόν, ὥσπερ σύ, ἐννοίας ἔχων μαχομένας τοῖς ῥήμασιν, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν δοξάζουσι θεόν. καὶ ἐν πενίαι τοίνυν καὶ ἐν φάτνηι τοῖς πᾶσιν ἐφαίνετο. διὰ τοῦτο καὶ ἐν σπαργάνοις ἐστὶ καὶ ὑπὸ ἀγγέλων δοξάζεται * * οὐ τοῦ ἀστέρος καταβάντος πρὸς τοὺς μάγους (οὐδὲ γὰρ τοὺς τόπους ἀμείβουσιν οἱ ἀστέρες), ἀλλ' ἐπειδὴ τῶν Χαλδαίων ἡ γῆ πολλοὺς ἔχει τῆι κινήσει τῶν ἀστέρων προσέχοντας, ἡ δύναμις ἡ κρείττων ὁδηγοῦσα τοὺς μάγους ἀστέρος ἀνέλαβεν ἰδίωμα, ἵνα ἀφ' ὧν ἔμαθον οἱ Χαλδαῖοι μάθωσιν ὃ οὐκ ἠδείσαν, καὶ ἀστρονομίαι προσέχοντες αὐτοῖς τοῖς ἄστροις τὰ τοῦ Χριστοῦ διδαχθῶσι μυστήρια. ὅτι γὰρ οὐκ ἦν ἀστήρ, ἀλλὰ δύναμις ἀγγελικὴ ὁδηγοῦσα τοὺς βαρβάρους πρὸς τὴν εὐσέβειαν, αὐτὸς ὁ εὐαγγελιστὴς δηλοῖ, τὸν ἀστέρα τοῦτον καὶ ἐν ἡμέραι ποτὲ φαίνεσθαι, ποτὲ δὲ κρύπτεσθαι λέγων, ἄλλοτε δὲ καὶ ὁδηγεῖν αὐτὸν τοὺς μάγους

Ps. 79, 2. 98, er. 5, 22
Mt. 2, 9
Lc. 2, 13. 14
Lc. 2, 14
M V 200

V, P [= hk], AWΛ[1]Λ[c]

1 κτίσιν φύσιν P 2 καὶ om. WΛ 3 καὶ] κἂν W 4 γὰρ om. WΛ *diuinitate per dignitatem* Λ ἂν] ἀνὲ W 5 διὰ om. P 6 οὐδὲ PAW *neque* Λ οὐκ V διαιρεῖν Λ διαιρῶν VPAW λόγοις W 9/10 γενέσθαι — ἑλόμενος A διὰ — γενέσθαι ἑλόμενος V διὰ φιλανθρωπίαν ἑλόμενος εἶναι W διὰ φιλανθρωπίαν γενόμενος P 11 ἐσ V πτωχότερον Λ . 12 οὐρανόν] ἄνον V 13 ψάμω V τὴν θάλασσαν W 14 ἂν om. VPA 15 ταύτηι] αὐτῆι Λ 17 πτωχεύσαντος P οἱ ἄγγελοι V 18 πένησιν P cf. Λ 19 ὡς om. P τὴν φύσιν om. P 20 ἐπινοίαι Λ ἀλλ' — θαύματι VP ἀεὶ ἀλλ' — θαύματι AW ἅπαξ τῶι θαύματι ἀλλὰ Λ 20/21 τὸ φαινόμενον W 21 μηνύοντες PAWΛ κρίνοντες V 22 τεχθὲν ὅλως P 22/23 ἕνα — αὐτὸν om. Λ 24 ἐν — εὐδοκία om. Λ 25 ἐπινοοῦντες δὲ ἕτερα W Ἰησοῦν om. Λ 26 τὸν om. Λ καὶ σὺ V ἀλλ' PΛ ἀλλὰ καὶ VAW καὶ om. W 27 ὡς θεόν Λ[c] ὃς καὶ ἐν πενίαι καὶ ἐν Λ 28 lacunam posui secundum Λ *et in præsepe positus et ab stella denuntiatus* 28/29 βάντος A 29 εἰσ P οὐδὲ] οὔτε VPAW 30 τῆι] τοὺσ P 31 ἔλαβεν PA τὴν ἰδέαν W 34 καὶ ἐν ἡμέρα τὸν ἀστέρα τοῦτον P 35 ποτὲ[1] WΛ om. VPA δὲ PWΛ om. VA ἄλλοτε] ἄλλωσ τε W τοὺσ μάγουσ αὐτὸν W

φησὶ καὶ σὺν αὐτοῖς ἐπὶ τὴν Βηθλεὲμ ἰέναι, ὅπερ οὐκ ἄν τις εἴποι τινὰ τῶν συνήθων ἀστέρων [δῆλον τῇ αἰσθήσει] ποιεῖν, ἀλλὰ δύναμιν ἐν ἄστρου σχήματι φαινομένην τοῖς
Mt. 2, 9 ἀστρονόμοις. τὸ δὲ καὶ ἔστη ἐπάνω τοῦ παιδίου περὶ τοῦ ἀστέρος ῥηθὲν δύναμιν
PG 1365 εἶναι τὸ φαινόμενον μηνύσει σαφῶς. οὐ γὰρ ἄν τις τῶν ἐν οὐρανῷ τεταγμένων ἀστὴρ δῆλος ἐγένετο ἐπάνω στὰς τοῦ παιδίου, ἐπειδὴ τὸ τοῦ διαστήματος μέγεθος τῆς ὄψεως κλέπτον τὴν κρίσιν οὐδὲ στάσιν οὐδὲ κίνησιν τῶν ἀστέρων δήλην τῇ αἰσθήσει ποιεῖ. ἔστη, φησίν, ὁ ἀστὴρ ἐπάνω οὗ ἦν τὸ παιδίον. οὐκοῦν ἀπολιπὼν τὸ ὕψος ὁ φαινόμενος ἀστὴρ χθαμαλώτερος γέγονεν, ἵνα τῇ στάσει δείξῃ τοῦ βασιλέως τὴν γέννησιν.
L III 1003 καὶ γὰρ ὡς βασιλέα ἐζήτουν οἱ μάγοι, βασιλέως ἐπερωτῶντες τὸν τόκον καὶ τοῖς Ἰουδαίοις
Mt. 2, 2 λέγοντες· ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων; εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα ἐν τῇ Ἀνατολῇ καὶ ἤλθομεν προσκυνῆσαι αὐτῷ. βασιλέα ζητεῖς, ὦ μάγε· τίνος ἕνεκεν ὡς θεῷ προσφέρεις τὸν λίβανον; ἀλλ' οἶδα καὶ βασιλέα καὶ θεὸν ἐγνώρισα· διὰ τοῦτο καὶ χρυσὸν αὐτῷ προσφέρω καὶ λίβανον, τοῖς δώροις ὁμοῦ καὶ θεὸν καὶ βασιλέα μηνύων.

11 Ἀλλ' οὗτος ὁ τότε μάγους ἑλκύσας ἀρρήτῳ δυνάμει πρὸς τὴν εὐσέβειαν καὶ νῦν τὴν φαιδρὰν πανήγυριν συνεκρότησε σήμερον, οὐκέτι ἐν φάτνῃ τιθέμενος, ἀλλ' ἐπὶ τῆς σωτηριώδους τραπέζης ταύτης προκείμενος. ἐκείνη γὰρ ἡ φάτνη τῆς τραπέζης ταύτης μήτηρ ἐγένετο· διὰ τοῦτο ἐν ἐκείνῃ τίθεται, ἵνα ἐπὶ ταύτης βρωθῇ καὶ γένηται τοῖς πιστοῖς σωτήριον ἔδεσμα. ἀλλ' ἡ μὲν φάτνη τὴν λαμπρὰν ταύτην ἀνέδειξε τράπεζαν, ἡ δὲ παρθένος τοὺς χοροὺς τούτους ἐβλάστησε τῆς παρθενίας, ἡ δὲ τοῦ ἐν Βηθλεὲμ οἰκίσκου εὐτέλεια τοὺς περιφανεῖς τούτους ἀνέδειξε ναούς, τὰ δὲ τότε σπάργανα νῦν τῶν ἁμαρτημάτων λυτήρια γέγονεν. εἶδες τῆς τότε πενίας τὰ νῦν φαινόμενα κατορθώματα; εἶδες πτωχείαν τοσούτου πλούτου γεγενημένην μητέρα; μὴ βλάπτει ἡ κάτω τοῦ μονογενοῦς πρὸς ὀλίγον εὐτέλεια, τοσοῦτον πλοῦτον τῇ οἰκουμένῃ κομίσασα; τί οὖν ὀνειδίζεις Χριστῷ τὴν ἐν Βηθλεὲμ εὐτέλειαν; διὰ τί πενίαν φέρεις εἰς μέσον, τὰ ἐξ αὐτῆς κέρδη τοῦ κόσμου μὴ λογιζόμενος; διὰ τί ἀνάξιον λέγεις θεοῦ πάθος τοσούτων ἀγαθῶν γενόμενον πρόξενον; διὰ τί ἀφαιρῇ τοῦ μονογενοῦς τὰ τραύματα, ἃ τοσαύτην
M V 201 σωτηρίαν τοῖς ἀνθρώποις ἐπήγασε; τί παρακαθέζῃ παθήμασι καὶ οὐ βλέπεις τῶν παθημάτων τὰ νῦν γενόμενα κατορθώματα; διὰ τί πάθος ἀνάξιον λέγεις θεοῦ, ὧι λέλυται τυραννὶς διαβόλου; διὰ τί πενίαν λέγεις ἀναξίαν θεοῦ, δι' ἧς ὁ κόσμος πλουτεῖ τὴν εὐσέβειαν; διὰ τί θάνατον ἀνάξιον λέγεις θεοῦ, ὧι θεὸς ἀνήλωσε θάνατον; τίνος ἕνεκεν σταυρὸν οὐ λέγεις θεοῦ, ὧι θεὸς τὴν κακίαν τοῦ δαίμονος ἐθριάμβευσεν; διὰ τί τοῦτο μόνον
Col. 2, 14 οὐ λέγεις θεοῦ, ὃς τὴν ἐμὴν ἁμαρτίαν τῷι ξύλωι προσήλωσε; μὴ διαβάλῃς πάθη ἀφ' ὧν ἀπάθεια τίκτεται· μὴ διασύρῃς εὐτέλειαν ἀφ' ἧς διαβόλου τυραννὶς καταλύεται· μὴ ὀνειδίσῃς ῥάπισμα θεῷι, δι' οὗ τῆς ἁμαρτίας τὸν ἄνθρωπον ἠλευθέρωσε· μὴ θεοῦ δεσμὸν εἴπῃς ἀνάξιον, ὧι τὸν δεσμὸν τῶν σειρῶν τῆς ἁμαρτίας ἀνέλυσε· μὴ λέγε πενίαν ἀναξίαν θεοῦ

V, P [= hk], AWΛ¹Λ^c

2 δῆλον — ποιεῖν om. spatio rel. W δῆλον τῇ αἰσθήσει VA δήλην πορείαν τῇ αἰσθήσει P om. Λ 3 τοῦ παιδίου] τοῦ σπηλαίου οὗ ἦν τὸ παιδίον P περὶ τοῦ ἀστέρος om. W 4 μηνύει W 5 τῆς] τὴν A 6 κλέπτων VP 9 βασιλέα — μάγοι om. W 9/10 καὶ τοῖς — Ἰουδαίων om. Λ 10 γάρ φησιν Λ 12 τίνοσ AWΛ καὶ τίνοσ VP οἶδα βασιλέα P 15 καὶ νῦν VPA καὶ ἡμῖν W om. Λ 16 τῆς om. P 17 ταύτησ τραπέζησ W 21 ἀνέδειξε] *prædixit* Λ νῦν τῶν Λ τῶν νῦν VAW τῶν P 23 βλάπτη V 25 Χριστοῦ Λ 26 τοῦ κόσμου om. Λ πάθος] τὸ Λ 27 τραύματα] πράγματα Λ ἃ PΛ ὃσ VAW 28 τοῖς om. W ἐπήγαγε Λ 29 τὰ — γενόμενα om. Λ γινόμενα W 29/30 πάθος — διὰ τί om. V 29 λέγεις om. W λύεται W 31 ἀνάξιον — θῦ PΛ ἀνάξιον θῦ λέγεισ V λέγεισ ἀνάξιον θῦ W 31/32 ἀνήλωσε — θεός om. Λ 31 ἀνεῖλε W 32 τοῦ δαίμονος] ἐχθροῦ V, corr. in mg. V μόνον τοῦτο P τοῦτο W 33 θεοῦ ὃς] ὅτι Λ 34 τυραννὶσ διαβόλου P 36 τῶν σειρῶν om. V θεῷ P

ὅτι ὁ διάβολος πλουτῶν τὴν πλάνην ἐπτώχευσε· μὴ καταγνῶις σταυροῦ βωμοὺς καταλύσαντος· μὴ ἐξευτελίσηις ἥλους οἷς τὴν οἰκουμένην Χριστὸς εἰς ἓν φρόνημα τῆς εὐσεβείας συνέπηξε. μὴ λογίζου τὰ εὐτελῆ, ἀλλὰ τὰ ἐκ τούτων τοῦ παθόντος γενόμενα κατορθώ- PG 1368
ματα, ἃ οὐκ ἂν εἴποις ἀνθρώπου γεγονέναι παθόντος ψιλοῦ, νοῦν ἔχων καὶ τοῖς φαινομένοις πειθόμενος. διὰ τί δὲ καὶ καλεῖς εὐτελῆ ἃ ὁ θεὸς διὰ σωτηρίαν ἀνθρώπων ἠσπάσατο; εἰ γὰρ παθήματα τῆι φύσει ἐστί τε καὶ λέγεται, ἀλλ' ἰατρεία γέγονε τῶν ἡμετέρων παθῶν. μηκέτι οὖν αὐτὰ προσαγόρευε πάθη, ἀλλὰ παθῶν τῶν ἡμετέρων ἰάματα.

Καὶ μή μοι τὰ μέλη τῆς παρθένου εἰς ὄνειδος θεότητος φέρε. οὐδὲ γὰρ τούτων ἡ φύσις ἐστὶν ἀναξία, κἂν ἐπεισελθόντα τὰ τῆς ἀτιμίας πάθη τὴν εὐγένειαν τοῦ σώματος 9
ἐλυμήναντο. οὐ γὰρ αἰσχρὰ τῆι φύσει τὰ μέλη, ἀλλὰ δι' ἐπιθυμίας ἀτόπου ὑβρίζεται. L III 1006
εἰ γὰρ ἦν αἰσχρὰ τῆι φύσει, οὐκ ἂν ταῦτα θεὸς ταῖς ἰδίαις παλάμαις διέπλασεν, ἐπειδήπερ οὐκ αἰσχρῶν ὁ θεός, ἀλλὰ τῶν καλλίστων ἐστὶ ποιητής· εἶδε γὰρ πάντα ὅσα ἐποίησεν Gen. 1, 32
ὁ θεός, καὶ ἰδοὺ καλὰ λίαν. οὐδὲν γὰρ τῶν ὑπὸ θεοῦ γενομένων τῆι ἰδίαι φύσει κακόν, οὐδὲ αἰσχρόν τι θεὸς κατεσκεύασεν, ἀλλ' ἡμεῖς τῆς πρώτης ἐκπεσόντες κατασκευῆς ἐπιθυμίαις ἀτόποις τὴν φύσιν ἡμῶν καθυβρίσαμεν. εἰ οὖν πλάσας ὁ θεὸς τὰ μέλη τῆς 15
γυναικὸς οὐ διαβάλλεται, οὐδὲ ἐνοικήσας ἐν αὐτοῖς ἐνυβρίζεται· ἐν ἰδίαι γὰρ κτίσει θεὸς
12 οὐκ ἀναξίως οἰκεῖ. εἰ δὲ λέγεις· πῶς οὐρανὸν καταλιπὼν ἐν μήτραι κατώικησεν; ἐρῶ σοι κἀγὼ ὅτι θεὸς ὢν ἄνθρωπος δι' ἀνθρώπους ἐγένετο, μείνας θεὸς καὶ οὐ μετατεθείσης οὐσίας.

Ὁμολογῶ τοιγαροῦν τὸν αὐτὸν θεὸν καὶ ἄνθρωπον, θεὸν μὲν πρὸ αἰώνων, ἄνθρωπον 20
δὲ γενόμενον ἐκ τοῦ τόκου ἀρξάμενον, οὐ δύο, ἀλλ' ἕνα, οὐ φραζόμενον ὡς ἕνα, διττὸν δὲ ἐπινοούμενον· οὐδὲ γὰρ μάχεσθαι δεῖ τῶι λόγωι τὴν ἔννοιαν. οὐ νοοῦμεν δύο, ὁμολογοῦμεν δὲ ἕνα· τὸ γὰρ οἰκονομίαι καὶ θαύματι συνημμένον οὐδὲ λόγος διίστησιν οὐδὲ ἔννοια. εἰ δέ τις ἐπινοίαι διαστήσειε τὸ συνημμένον, διαλελυμένον ἐνόησε καὶ ψευδὴς ἡ ἔννοια γίνεται, διαστήσασα ⟨δηλονότι⟩ τὸ συνημμένον ἀεί. δεῖ οὖν συνομο- 25
λογοῦσαν ἔχειν τῶι λόγωι τὴν ἔννοιαν. ἕνα λέγεις Χριστόν, τὸν αὐτὸν θεὸν καὶ ἄνθρω- M V 204
πον; οὐκοῦν ἕνα καὶ νόει. εἰ δὲ λέγεις μὲν ἕνα, ἐπινοεῖς δὲ δύο, τῶι λόγωι σου πολεμοῦσαν ἔχεις τὴν ἔννοιαν. μὴ οὖν λέγε δύο διαφορᾶι τινι διιστάμενα. εἰ γὰρ ἑνοῖς τῶι λόγωι, μὴ τέμνις τῆι ἐννοίαι· εἰ δὲ τέμνεις ταῖς ἐννοίαις, τὴν ἕνωσιν ἤρνησαι. μὴ οὖν πρὸς φύσεις διισταμένας καταγάγηις τὸν λογισμόν, θεοῦ τὴν ἄκραν θαυματουργήσαν- 30
τος ἕνωσιν. πίστευε τῶι θαύματι καὶ μὴ ἐρεύνα λογισμοῖς τὸ γενόμενον. μὴ καταλύσηις τὸ θαῦμα, εὑρεῖν τὸν λόγον φιλονεικῶν· οὐ γὰρ μένει τὸ θαῦμα οὗ ὁ λόγος γνωρίζεται. εἰ τοῦ γενομένου γνώριμος ὁ λόγος, οὐκέτι σημεῖον οὐδὲ θαῦμα τὸ γεγονός· εἰ δὲ σημεῖον καὶ θαῦμα, καταλιπὼν λογισμοὺς τὴν πίστιν ἀνάλαβε, ὁμολογῶν ἕνα κύριον

28—33 Timoth. syr. f. 10r = arm. p. 96 = flor. R 1 6 εἰ γάρ — γνωρίζεται

V, P [= hk], AWΛ^{t}Λ^{c}

1 ὅτε W 1/2 καταλύοντος V 3 ἐνέπηξε Λ 4 ἃ] ὧν W 5 post πειθόμενος add. *hæc recipe* Λ 5 καλεῖς PΛ λαλεῖσ VAW 6 παθήματα τῆι] παθητῆ P 7 αὐτὰ WΛ αὐτὸ VA αὐτῶ P πάθη — ἰάματα WΛ πάθοσ — ἴαμα VPA 8 παρθενίασ V 9 ἐπισελθόντα P 12 ὅσα AW ἃ VP 14 κατεσκεύασεν ὁ θ̄σ V κατεσκεύασε Λ 16 αὐτοῖς VAΛ αὐτῆ PW οἰκεία A 17 καταλιπὸν P 18 μετατεθείσης AW μεταθεὶσ τῆσ P μετατεθείσης τῆσ V 20 τὸν αὐτὸν] καὶ Λ προαιώνιον W 20/21 ἄνθρωπον — ἀρξάμενον] *hominem uero factum ex partu; deum quidem perpetue consubstantialem* [Λ^{c} *consempiternum* Λ] *patri, esse uero hominem ex partu incipientem* Λ^{tc} 21 δὲ om. W ἐκ — ἀρξάμενον om. W καὶ ἐκ V 21/22 φράζομεν — ἐπινοοῦμεν Λ 22 οὐ] οὐδὲ W 23 καὶ θαύματι om. Λ 24 διαστήσει P 25 δηλονότι addidi *utique* Λ om. VPAW 25/26 δεῖ — ἔχειν *confitentem habeto* Λ 26 λέγεισ Λ λέγειν VPAW 27 ἐπινοεῖς] ἐννοεῖς W 28 μὴ διιστάμενα P 29 τέμνησ W 30 εἰσ flor. κατάγης W λόγον V 31 γινάμενον V flor. 32 εὑρεῖν — θαῦμα om. V τὸ — λόγος VPAWΛ θαυμαστὸς [θαύματος Tim. syr.] ὁ λόγος εἰ flor. Tim. 33 εἰ] ἀεὶ Λ^{t} δ οὐκέτι Λ^{t} 34 εἰ] σὺ V ex corr.

Ἰησοῦν Χριστὸν καὶ θεὸν καὶ ἄνθρωπον τὸν αὐτὸν οὐδὲ ἐπινοίαις οὐδὲ λογισμοῖς διιστάμενον, ἵνα μὴ τὰ ἑνωθέντα λογισμοῖς διαστήσαντες οἰκονομίαν σωτήριον ἀρνησώμεθα. PG 1369 εἰ γὰρ ἕνωσις θεοῦ καὶ ἀνθρώπου διὰ τῆς οἰκονομίας γνωρίζεται, ὁ τὴν ἕνωσιν διαστήσας τὴν οἰκονομίαν ἠρνήσατο. πιστεύσωμεν οὖν τῆς οἰκονομίας τοῖς θαύμασιν, ἵνα πιστευθεὶς ὁ Χριστὸς τοῖς ὁμολογοῦσι ταύτην τὴν χάριν βασιλείαν οὐρανῶν δωρήσηται, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι τοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

74 = S 108 A 146

L III 983 M V 181

Ἀκακίου ἐπισκόπου Μελιτηνῆς ὁμιλία λεχθεῖσα ἐν Ἐφέσωι

Ὁρῶντί μοι, ἀγαπητοί, τὸ φαιδρὸν τοῦτο καὶ πνευματικὸν τῆς ἁγίας συνόδου συνέδριον χαίρειν τε ὁμοῦ ἐπέρχεται καὶ θαρρεῖν, χαίρειν μὲν ὅτι πάντων ἐλάχιστος ὢν ἐν τῶι μεγίστωι τούτωι τῆς σοφίας πελάγει τὸ πενιχρὸν τοῦτο τοῦ λόγου σκάφος ἰθύνειν ἐπείγομαι, θαρρεῖν δὲ ὅτι τὰ τῆς ἐπαναστάσεως ταχέως θραυσθήσεται κύματα καὶ τῆι γαλήνηι τῆς τοῦ κυρίου εἰρήνης πρὸς τὸ οἰκουμενικὸν τῆς ἐκκλησίας ἐπιστρέψει συνέδριον. εἰ γὰρ δώδεκα ὄντες τοῦ κυρίου μαθηταί, ὅτε αὐτοῖς τὸ σκάφος ὑπὸ τῆς βίας τῶν ἀνέμων ἠλαύνετο, ὁμοῦ τῶι βοῆσαι πρὸς τὸν κύριον τοῦ χειμῶνος ἀπηλλάττοντο, πόσωι μᾶλλον τοῦτο νῦν ἐλπίζειν ἡμῖν ἀναμφίβολον, ὅτε τοσοῦτοι τοῦ κυρίου μαθηταὶ ἐπὶ τὸ αὐτὸ συνδραμόντες ταῖς οἰκείαις ἐκδυσωπήσουσι φωναῖς τὸν κύριον, ὅτε ὁ μέγας οὗτος πάρεστι καὶ σοφὸς κυβερνήτης οὔτε βίας ἀνέμων εὐλαβούμενος οὔτε ζάλης ταραχάς, ἀλλὰ σὺν τέχνηι πολλῆι τοὺς συνερέτας ἐπὶ τὸ πηδάλιον ἄγων καὶ τούτου συνεφάπτεσθαι πείθων
Mc. 4, 38. 39 καὶ πολλῆι τῆι συμφωνίαι πρὸς τὸν δεσπότην βοῶν οὐ μέλει σοι ὅτι ἀπολλύμεθα; καὶ ταχέως τῆι παρ' αὐτοῦ φωνῆι πρὸς τὸν σάλον τῶν κυμάτων δυσωπῶν λέγει· σιώπα πεφίμωσο. θαρρεῖν οὖν ἡμῖν καὶ εὐχαριστεῖν ἐπὶ τοῖς παροῦσιν ἁρμοδιώτατον, ὅτιπερ
L III 986 ἡ δόξασα κατὰ τῆς ἀληθείας γεγενῆσθαι ἀντίπνοια τοὺς τῆς οἰκουμένης φωστῆρας ἐπὶ τὸ
2 Cor. 2, 15 αὐτὸ συνδραμεῖν παρεσκεύασεν, ὧν ὁ μὲν βίος Χριστοῦ εὐωδία ἐστὶ τῶι θεῶι, ἡ δὲ διάνοια πρὸς μίαν καὶ τὴν αὐτὴν τῆς ἀληθείας συνῆπται ἐκφώνησιν. οὐ γὰρ ἄλλα μὲν τοὺς προσερχομένους διδάσκομεν, ἄλλα δὲ περὶ τῶν διδασκομένων πιστεύομεν, ἀλλ' ἡμῖν εἷς κύριος Ἰησοῦς Χριστὸς ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ, θεὸς λόγος, ὁ αὐτὸς πρὸ μὲν πάντων τῶν αἰώνων ἐκ μόνου πατρός, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν ἐν τῆι τοῦ δούλου μορφῆι, ἄνω μόνος ἐκ μόνου, κάτω μόνος ἐκ μόνης, τὰ αὐτὰ ἀμφότερα * * θεικῶς, ἀνθρωπίνως δὲ τῶι ἡμετέραι σαρκὶ καὶ νηπιότητι τεχθῆναι, ὁ αὐτὸς ἀπαθὴς θεότητι, παθὼν δὲ ὑπὲρ
Phil. 2, 7 ἡμῶν ἑκουσίως σαρκί, οὐκ ἀκουσίως τὴν οἰκονομίαν δεξάμενος, ἀλλ' ἑαυτὸν κενώσας ἑκουσίως λαβὼν τὴν τοῦ δούλου μορφήν. καὶ λαβὼν διὰ τί; ἵνα σε σύμμορφον τῆς οἰκείας

V, P [= hk], AWΛ[1]Λ[c]

1 λόγοις W 2 τὰ] τὸν W 3 ἕνωσις — οἰκονομίας] *unitione dei et hominis dispensatio* Λ ἀνῶν PW 4 τῆς οἰκονομίας Λ τῆ οἰκονομία VPA τὴν οἰκονομίαν W 5 τὴν χάριν ταύτην P 6 χάριτι — αἰῶνας [αἰῶνας τῶν αἰώνων Λ] ἀμήν ΑΛ om. VW χάριτι καὶ φιλανθρωπία τοῦ κῦ καὶ θυ καὶ σωτῆροσ ἡμῶν ἰῦ χῦ μεθ' οὗ δόξα κράτοσ τιμὴ αἶνεσισ καὶ μεγαλοπρέπεια τῶ ἀνάρχω αὐτοῦ πρὶ καὶ τῶ παναγίω καὶ ἀγαθῶ καὶ ζωαρχικῶ καὶ ζωοποιῶ πνὶ τῆ ἁγία καὶ ὁμοουσίω καὶ ἀδιαιρέτω καὶ ἀχωρίστω τριαδι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνασ τῶν αἰώνων ἀμήν P

V, P [= hk], S, D [= mn], AW

οδ V ξε P ρδ' D 8 μελετίνησ W 10 θαρεῖν P 11 σοφίας VPAW φιλίας SD τοῦτο om. SD 12 κύματα ταχέως θραυσθήσεται P 13 τῆς[2]] τὸ τῆς W συνέδριον SD πέλαγος VPAW 15 ἐκυμαίνετο V τὸν om. VD 16 ἡμᾶς D ἀμφίβολον S 17 τὸν χν W ὅτι SD 19 συνεργάτασ VP τούτω VA 20 συμφωνεία P μέλλει SDW 22 ἔπεισιν ἐπὶ V 24 παρεσκεύασεν VPAW συνεκάλεσεν SD 26 ἡμῖν om. V 28 ἐσχάτου W δὲ om. S 29/30 τὰ αὐτά — τεχθῆναι om. W spatio relicto 29 τὰ αὐτὰ VPA τὰ SD malim ὁ αὐτός lacunam posui, supplendo e. g. τῶι μὲν γεγεννῆσθαι ἐκ πατρὸς ὢν 30 τῶ A τῆ VPSD τεχθῆναι om. D 31/32 καὶ ἑκουσίως P

δόξης ἐργάσηται. καὶ μαρτυρεῖ Παῦλος λέγων· ἡμῶν δὲ τὸ πολίτευμα ἐν οὐρανοῖς Phil. 3, 20. 21
ὑπάρχει, ἐξ οὗ καὶ σωτῆρα ἀπεκδεχόμεθα κύριον Ἰησοῦν Χριστόν, ὃς
μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν εἰς τὸ γενέσθαι καὶ αὐτὸ
σύμμορφον τῷι σώματι τῆς δόξης αὐτοῦ. ὁ τοίνυν ἑκουσίως λαβὼν τὴν τοῦ
δούλου μορφήν, ὁ τὴν ἕνωσιν μὴ παραιτησάμενος, πῶς τὰ τοῦ δούλου παρητήσατο πάθη; 5
εἰ δὲ παρητήσατο, τίνος ἕνεκεν παθητὴν οὖσαν τὴν τοῦ δούλου μορφὴν ἀνελάμβανεν;
ἀλλ' οὗτος οὐ παρητήσατο, ὅτι λαβὼν τὴν τοῦ δούλου μορφὴν ὑπήκοος γίνεται, ὁ ἄνω Phil. 2, 8
ἐξουσιαστὴς κάτω ὑπήκοος, ὁ ἄνω υἱὸς κάτω παιδίον. ἀναμιμνήισκω σε τῆς προφητείας·
τί ἐβόα ὁ μακάριος Ἡσαίας; παιδίον ἡμῖν ἐγεννήθη υἱὸς καὶ ἐδόθη ἡμῖν. M V 184
τί ἐστι καὶ ἐδόθη; οὐ μόνον ἐγεννήθη, ἀλλὰ καὶ ἐδόθη· ὁ γὰρ ὢν ἐδόθη, οὗ ἡ Ies. 9, 6
ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ. τί ἐστιν ἡ ἀρχὴ τοῦ θεοῦ λόγου γενομένου 11
ἀνθρώπου; ἡ ἐκκλησία· καὶ αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας. Col. 1, 18
πῶς οὖν ἐπὶ τοῦ ὤμου ταύτην φορεῖ; τὸ συντετριμμένον ἐπὶ τοῦ ὤμου βαστάζει οὗ ἡ
ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ. καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης Ies. 9, 6
βουλῆς ἄγγελος, καλεῖται δὲ διὰ τὴν οἰκονομίαν· τί δὲ ἔστι; σύμβουλος θεὸς 15
ἰσχυρὸς ἐξουσιαστὴς πατὴρ τοῦ μέλλοντος αἰῶνος. ὁ οὖν ἄνω ἐξουσιαστὴς
κάτω ὑπήκοος, ὁ ἄνω υἱὸς κάτω παιδίον, ὁ ἄνω θαυμαστὸς σύμβουλος κάτω ἄνθρωπος, ὁ ἄνω
θεὸς ἰσχυρὸς κάτω ἄνθρωπος ῥαπιζόμενός τε καὶ ὑβριζόμενος καὶ τῶι σταυρῶι προσηλωμένος
καὶ τὸν διὰ τούτου δεξάμενος θάνατον. πάντα γὰρ ταῦτα τῆς τοῦ δούλου ὄντα μορφῆς
οὐδαμῶς ἡ ταύτην λαβοῦσα θεότης ἐξέκλινεν, ἵνα δι' ἑκάστου τῶν εἰρημένων λύσηι μὲν ἡμῖν τὰ 20
πρὸς σωτηρίαν κωλύματα, ἀξίαν δὲ τῆς τοσαύτης κενώσεως τὴν εὐεργεσίαν ἡμῖν χαρίσηται.
οὐκ ἀθετῶ τὴν χάριν τοῦ θεοῦ· οὐ παραιτοῦμαι εἰπεῖν ἃ ἐκεῖνος ὑπέμεινεν ὑπὲρ ἐμοῦ.
ἀπαθὴς ὢν οὐ παρητήσατο, ἀλλὰ τῶι παθητῶι συνάψας ἑαυτὸν οὕτω τὰ ὑπὲρ ἐμοῦ
ἐδέξατο πάθη. οὐκ ἀποστερῶ τῆς τιμῆς τὴν θεοτόκον παρθένον, ἣν αὐτῆι ἡ τῆς οἰκονο-
μίας ὑπηρεσία κεχάρισται. καὶ γὰρ καὶ ἄτοπον, ἀγαπητοί, σταυρὸν μὲν τὸν ἐφύβριστον 25
βαστάσαντα τοῖς θυσιαστηρίοις Χριστοῦ συνδοξάζεσθαι καὶ ἐπὶ τοῦ μετώπου τῆς ἐκκλη- L III 987
σίας ἐκλάμποντα φαίνεσθαι, τὴν δὲ ἐπὶ τοσαύτηι εὐεργεσίαι δεξαμένην θεότητα τῆς θεο-
τόκου ἀποστερηθῆναι τιμῆς. θεοτόκος οὖν ἡ ἁγία παρθένος· θεὸς γὰρ ὁ ἐξ αὐτῆς
τεχθείς, οὐκ ἐκεῖθεν τοῦ εἶναι τὴν ἀρχὴν λαβών, ἀλλὰ ἐκεῖθεν τὴν ἀρχὴν τῆς ἐνανθρω-
πήσεως δεξάμενος. μὴ οὖν ἀμέριμνος ἔσο, αἱρετικέ, ὡς εἰς ἄνθρωπον τὰς βλασφημίας 30
ἐκτείνων· οὐκ ἄνθρωπός ἐστιν ὁ ὑπὸ σοῦ εἰς τὴν τοῦ δούλου καὶ τοῦ κτίσματος τάξιν
καταγόμενος. μὴ ἀνορθοῦ, Ἰουδαῖε, ὡσεὶ ἄνθρωπον ψιλὸν σταυρώσας· οὐχ ὑπὲρ ἀν-
θρώπου ψιλοῦ ἀλγῶν ὁ μακάριος Δαυὶδ ἐβόα κατὰ τοῦ ἔθνους λέγων· σκοτισθήτωσαν Ps. 68, 24
οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διὰ παντὸς
σύγκαμψον. μὴ καταπιπτέτω τῆς ἐκκλησίας τὸ φρόνημα ὡς εἰς ἄνθρωπον μόνον ἐλπι- 35
ζούσης, ἀλλὰ πειθέσθω τῶι μακαρίωι Παύλωι λέγοντι· εἰ κατὰ ἄνθρωπον ἐθηριομάχησα 1 Cor. 15, 32
ἐν Ἐφέσωι, τί μοι τὸ ὄφελος; οὐ κατὰ ἄνθρωπον οὐδὲ ὑπὲρ ἀνθρώπου οἱ μακάριοι

V, P [= hk], S, D [= mn], AW

1 πολείτευμα A 4 τῶι σώματι om. SD 6 τὴν — μορφὴν παθητὴν οὖσαν SD ἀνέλαβεν W 7 οὕτως SDW 8 καὶ ἀναμιμνήσκω VPA 9 ἐγεννήθη ἡμῖν SD 10 ἐστι] ἐστιν ἐγεννήθη W 11 ἀρχὴ αὐτοῦ PSD ἐγεννήθη PSD τίσ W 12 τί ἐστιν SD 13 φέρει P 15 τίσ W τὸ σύμβουλος V 16 πατὴρ — ἐξουσιαστὴς om. SD 17/18 ὁ ἄνω θεὸς — ἄνθρωπος om. W 19 τοῦ om. P 20 μὲν om. SD 21 ἡμῖν om. V 23 ὢν παθεῖν W 25 ὑπηρεσία om. S καὶ² om. DW 25—27 σταυρὸν — θεότητα τῆς om. D 26 post βαστάσαντα superscr. χν̄ W Χριστοῦ om. W τοῦ θῡ S συνδοξάζεσθαι] δέξασθαι W τοῦ om. W 28 ὁ om. PW 31 τοῦ² om. P 32 καὶ μὴ SDW ὡς SD 33 τοῦ ἔθνους] τῶν φονευτῶν P 34 τοῦ μὴ βλέπειν om. V αὐτὸν P 35 σύγκαψον VPD ὡς εἰς] ὡσεὶ S 37 μοι om. SDW

2 Cor. 11, 23 ἀπόστολοι ἐν πληγαῖς καὶ φυλακαῖς καὶ αἰκισμοῖς τὴν ἑαυτῶν Ζωὴν κατηνάλωσαν· οὐ κατὰ ἄνθρωπον ἢ ὑπὲρ ἀνθρώπου οἱ ἅγιοι μάρτυρες κατὰ πᾶσαν τὴν οἰκουμένην ἀθλήσαντες ἐν κατατομῇ τῶν οἰκείων μελῶν καὶ κακώσει τὴν παροῦσαν ζωὴν κατέλιπον, ἀλλὰ ὑπὲρ
Bar. 3, 38 τοῦ κυρίου ἡμῶν καὶ θεοῦ τοῦ πρὸ αἰώνων ὑπάρχοντος καὶ μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὀφ-
Ies. 53, 7 θέντος καὶ τοῖς ἀνθρώποις συναναστραφέντος καὶ ὡς πρόβατον ἐπὶ σφαγὴν ἀχθέντος καὶ
Act. 1, 3 τῇ τρίτῃ ἡμέραι ἀναστάντος καὶ εἰς οὐρανοὺς ἀναληφθέντος καὶ τῶι αὐτῶι τρόπωι ἐρχομένου κρῖναι ζῶντας καὶ νεκρούς. αὕτη ἡμῶν ἡ πίστις· ἐπὶ τούτωι τῶι θεμελίωι ὠι-
Mt. 16, 18 κοδομήθη ἡ ἐκκλησία καὶ πύλαι ἅιδου οὐ κατισχύσουσιν αὐτῆς. γένοιτο δὲ
M V 185 πάντων ὑμῶν εὐχαῖς φυλαχθέντων ἡμῶν δόξαν ἀναπέμψαι τῶι παναγίωι θεῶι, ὧι ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

75 = S 80. Latina uersio extat in Collectione CT 53

L III 580
M IIII 1248
PG 77, 996

Ὁμιλία Κυρίλλου ἐπισκόπου Ἀλεξανδρείας λεχθεῖσα ἐν Ἐφέσωι συνάξεων ἐπιτελουμένων καθαιρεθέντος Νεστορίου

Ἔδει μὲν ἀρκεῖσθαι ταῖς τῶν προλαβόντων διδασκάλων μυσταγωγίαις καὶ τοῖς ἱεροῖς ἐμπιπλαμένους νάμασι τιμῆσαι τὸν κόρον· ἐπειδὴ δὲ βλέπω πρὸς φιληκοίαν ἁπλήστως διακειμένους, φέρε καὶ ἡμεῖς ὀλίγα λέγωμεν τοῖς προλαβοῦσιν ἀκόλουθα. ἔστι τοίνυν οὐδαμόθεν ἀμφίβολον ὅτι ταῖς εἰς Χριστὸν εὐφημίαις ὁ λαμπρὸς τῶν ἁγίων ἐπισεμνύνεται χορὸς καὶ καύχημα ποιεῖται τῆς εἰς αὐτὸν ἀγάπης τὸ γνήσιον. καὶ γοῦν ὁ μακάριος
Ies. 25, 1 προφήτης Ἡσαίας πρὸς αὐτόν πού φησι· κύριε ὁ θεός μου, δοξάσω σε, ὑμνήσω
PG 997 τὸ ὄνομά σου, ὅτι ἐποίησας θαυμαστὰ πράγματα· ὁ δέ γε μακάριος προφή-
Ps. 34, 28 της Δαυὶδ ἡ γλῶσσά μου, φησί, μελετήσει τὴν δικαιοσύνην σου, ὅλην τὴν ἡμέραν τὸν ἔπαινόν σου. ἀλλ' οὗτος μὲν ὁ τῶν ἁγίων σκοπός, οἱ δὲ πονηροὶ καὶ ἀλιτήριοι οἱ τὸ μέγα καὶ σεπτὸν καὶ βαθὺ τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς οὐκ εἰδότες μυστήριον δυσφημοῦσιν ἀφυλάκτως, ἀκρατὲς καὶ ἀπύλωτον ἀνοίγοντες στόμα.
M IIII 1249
Ies. 57, 3. 4 οὐκοῦν ἀκουέτωσαν λέγοντος πρὸς αὐτοὺς τοῦ προφήτου Ἡσαίου· ὑμεῖς δὲ προσα-
γάγετε ὧδε, υἱοὶ ἄνομοι, σπέρμα μοιχῶν καὶ πόρνης· ἐν τίνι ἐνετρυφήσατε καὶ ἐπὶ τίνα ἠνοίξατε τὸ στόμα ὑμῶν; οὐχ ὑμεῖς ἐστὲ τέκνα ἀπωλείας,
L III 581 σπέρμα ἄνομον; τέκνα γὰρ ἀπωλείας κατὰ ἀλήθειαν καὶ ἄνομον σπέρμα οἱ τὸν ἀγοράσαντα αὐτοὺς δεσπότην ἀρνούμενοι· ἠγοράσθημεν γὰρ τιμῆς, καὶ οὐ φθαρτοῖς ἀργυρίωι ἢ χρυσίωι, ἀλλὰ τιμίωι αἵματι ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου Χριστοῦ.
1 Cor. 6, 20
1 Petr. 1, 18 αἷμα δὲ ἀνθρώπου κοινοῦ καὶ ἑνὸς τῶν καθ' ἡμᾶς πῶς ἂν ἐγένετο τῆς οἰκουμένης ἀντάξιον; πῶς δὲ καὶ εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἵνα πάντας πλουτίσηι; πῶς αὐτοῦ γεγόναμεν
Rom. 1, 25 οἱ τὸν ἀληθῆ καὶ φύσει θεὸν ἐπιγραφόμενοι; πῶς αὐτῶι λατρεύομεν οἱ τὸ προσκυνεῖν τῆι

28—p. 93,5 adferuntur a Timoth. arm. p. 143

V, P [= hk], S, D [= mn], AW

1 κατανάλωσαν SD 1/2 οὐ — ἄνθρωπον om. W 1 οὐχὶ P 3 κατέλειπον S ἀλλὰ καὶ SD 4 τοῦ om. SD θῦ ἡμῶν PA 5 σφαγὴσ S 6 ἀναληφθέντοσ καὶ πεντακοσίοισ [πεντακοσίουσ D] ἐφάπαξ ὀφθέντοσ καὶ ἐν [ἐπ' W] ὄψεσι τῶν μαθητῶν εἰσ οὐρανοὺσ ἀναχθέντοσ SDW 9 φυλαχθέντασ ἡμᾶσ VPA 10 αἰῶνασ τῶν αἰώνων V

V, P [= hk], S, D [= mn], WΛ¹Λᶜ

12/13 τοῦ αὐτοῦ κυρίλλου SD τοῦ cetera abscissa W 14 ϐε V ξ̄ P οζ' D 15 νεύμασι W 16 λέξωμεν SDW 17 τῆς S σεμνύνεται W ἐπεσεμνύνετο P 18 καὶ om. P τὴν S 20 γε om. SW 21 φησί om. P τὴν om. kW σου om. W 22 τοῖσ ἁγίοισ ὁ VP 25 ἡμεῖς V 26 ἀνόμων W ἐτρυφήσατε VP 27 τίνι P τίνοσ W 28 σπέρμα ἄνομον SD 29 ἀρνησάμενοι VP ἠγοράσμεθα SDW 31 δὲ] δὲ καὶ W 32 πλουτίση SDWΛ Tim. σῶση VP 33 λατρεύσομεν W

κτίσει παρὰ τὸν κτίσαντα παραιτούμενοι; ἀλλὰ γάρ, ὡς ἔφην ἀρτίως, ἀχαριστοῦσί τινες τῇ τοῦ σωτῆρος ἡμῶν ἡμερότητι, ἀρνοῦνται τὸν δεσπότην, ἀποσείονται τὸν τῆς δουλείας ζυγόν, ἵνα καὶ περὶ αὐτῶν λέγῃ Χριστὸς διὰ φωνῆς προφήτου· οὐαὶ αὐτοῖς ὅτι ἀπε- Os. 7, 13
πήδησαν ἀπ' ἐμοῦ. δειλαιοί εἰσιν, ὅτι ἠσέβησαν εἰς ἐμέ, ἐγὼ δὲ ἐλυτρωσάμην αὐτούς, αὐτοὶ δὲ κατελάλησαν κατ' ἐμοῦ ψευδῆ. καταψεύδονται γὰρ τῆς τοῦ σωτῆρος ἡμῶν εὐκλείας καὶ ὑπεροχῆς οἱ τῆς τῶν Φαρισαίων σκαιότητος καὶ ἀνοσιότητος μιμηταί, οἱ Χριστιανοῦ μὲν πρόσωπον περιτιθέντες ἑαυτοῖς, Ἰουδαΐζουσαν δὲ τὴν διάνοιαν ἔχοντες, οἱ γλῶσσαν ἐπησκηκότες πικρὰν καὶ ἰοβόλον, ἵνα καὶ πρὸς αὐτὴν λέγῃ Χριστὸς τὸ διὰ φωνῆς Ἱερεμίου· ἰδοὺ ἐγὼ πρὸς σὲ τὴν ὑβρίστριαν, λέγει κύριος. Ier. 27(50), 31
Ἰουδαῖοι μὲν οὖν οἱ πάλαι κατεπεφύοντο τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ· ἐπεπήδων ὡς θῆρες· λίθοις ἔβαλλον εὐεργετοῦντα καὶ σώιζοντα· εἶτα πρὸς αὐτοὺς ἔφασκεν ὁ σωτήρ· πολλὰ καλὰ ἔργα ἔδειξα ὑμῖν ἐκ τοῦ πατρός μου, διὰ ποῖον αὐτῶν ἔργον Ioh. 10, 32. 33
λιθάζετέ με; οἱ δὲ πρὸς αὐτὸν ἔλεγον· περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας, ὅτι σὺ ἄνθρωπος ὢν ποιεῖς σεαυτὸν θεόν. ταῦτα τῶν ἀρχαίων Ἰουδαίων τὰ κατὰ τοῦ σωτῆρος ἡμῶν ἐγκλήματα, οἱ δὲ τῆς ἐκείνων ἀπονοίας καὶ ἀνοσιότητος ζηλωταὶ πάλιν ἐγκαλοῦσι λέγοντες· διὰ τί σὺ ἄνθρωπος ὢν ποιεῖς σεαυτὸν θεόν; ὦ ἀνόητε καὶ βδελυρώτατε, οὐ συνῆκας τὸ μυστήριον. οὐ γὰρ ἄνθρωπος ὢν ἑαυτὸν ἐποίησε θεόν, ἀλλὰ θεὸς ὢν φύσει γέγονεν ἄνθρωπος ἀτρέπτως καὶ ἀσυγχύτως· ὁ τὴν ἐκ θεοῦ πατρὸς ἀπόρρητον ἔχων γέννησιν ὑπέμεινε γέννησιν κατὰ PG 1000
σάρκα τὴν ἐκ γυναικὸς καὶ κεχρημάτικεν υἱὸς ἀνθρώπου, ἵνα ἡμᾶς διασώσῃ. γέγονε κατὰ σὲ διὰ σὲ καὶ μεμένηκε δι' ἑαυτὸν ὅπερ ἦν. ἐπίγνωθι τοίνυν ἐν σαρκὶ γεγονότα τὸν μονογενῆ· ὁμολόγησον εἶναι θεὸν τὸν δι' ἡμᾶς ἐνηνθρωπηκότα. ἑαυτόν σοι παρίστησι λέγων αὐτὸς ὁ λαλῶν πάρειμι· λελάληκε γὰρ τοῖς ἀρχαιοτέροις τὸν νόμον διὰ Is. 52, 6
Μωσέως, παραγέγονε δὲ μετὰ σαρκός. δέχου μαρτυροῦντας τοὺς ἁγίους προφήτας. τί φησιν ὁ Βαρούχ, μόνον οὐχὶ καὶ χειρὶ δεικνύων τὸν Ἐμμανουήλ; οὗτος ὁ θεὸς ἡμῶν· Bar. 3, 36-38
οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης καὶ 26
ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ. καὶ μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη. M IIII 1252
ψάλλει δὲ καὶ ὁ μακάριος Δαυὶδ περὶ αὐτοῦ· ὁ θεὸς ἡμῶν ἐμφανῶς ἥξει. βούλει Ps. 49, 3
μαρτυρῆσαί σοι καὶ τοὺς τῆς νέας διαθήκης κήρυκας; ἄκουε λέγοντος Ἰωάννου τοῦ βα- 30
πτιστοῦ· ἑτοιμάσατε τὴν ὁδὸν κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους τοῦ θεοῦ Lc. 3, 4
ἡμῶν. βούλει καὶ ἑτέραν πληροφορίαν ἐπὶ ταύταις δέξασθαι; ἐπηγγείλατο ὁ θεὸς τῷι L III 584
μακαρίωι Δαυὶδ ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ καθίσαι ἐπὶ τὸν θρόνον αὐτοῦ. Act. 2, 30
ὃ δέ, καίτοι χαίρων ἐπὶ τούτωι λίαν, καὶ αὐτὸν τῆς γεννήσεως τὸν τρόπον περιειργάζετο.

V, P [= hk], S, D [= mn], WΛ[1]Λ[c]

1 ἀρτίως πως Λ[c] εὐχαριστοῦσι D ἀχάριστοι οἳ VP 2 ἀρνοῦνται] ἀρνοῦν τὰ S τῆς δουλείας τὸν VP 3 διὰ φωνῆς προφήτου VP Tim. τὸ διὰ φωνῆς ὡσηέ SDW *per uocem Esaiae* Λ 3/4 ἀπεδήμησαν V 6 φαρισσαίων SDW 7 περιθέντες P 8 ἐξησκηκότες P 9 ἱερεμίου τοῦ προφήτου SDW πρὸς VP ἐπὶ SDW λέγει κύριος om. S 10 καταπεφύοντο P κατεφύοντο SD τοῦ πάντων — σρσ VPSDΛ[1] τοῦ σρσ ἡμῶν W ἡμῶν om. Λ[c] 11 ὡς λίθοις V ἔβαλλον DΛ ἔβαλον VPSW 12 πολλὰ καὶ SDW ἀπὸ SDW 13 ἐμὲ λιθάζετε SW 14 καὶ ὅτι DW ἑαυτὸν P 14/17 ταῦτα — θεόν om. S 16 καὶ om. W ἀνοσιώτατοι W 17 ἑαυτὸν P ἀνόητε καὶ om. P 18 ἑαυτὸν — ἄνθρωπος om. SW ἐποίησεν ἑαυτὸν θν̄ D 19 ἀσυγχήτως P θῦ καὶ SDW ἔχων ἀπόρρητον V 20 σώσῃ VP 21 ἔμεινε VP 22 ὁμολόγησαι V θν̄ εἶναι P ἐνανθρωπήσαντα SDW 22/23 παρίστησί σοι VP 23 μὲν γὰρ SD μὲν W 24 μωσέος D μωυσέως S μωυσέος W μαρτυροῦντας SDWΛ μάρτυρας VP 25 δεικνύων χειρὶ V 28 καὶ μετὰ SDWΛ[1] μετὰ VΛ[c] μετὰ δὲ P 29 ἡμῶν om. SDW 30/31 κήρυκος καὶ βαπτιστοῦ SD 31 τὰς ὁδοὺς VP κυρίωι Λ[c] 32 ἡμῶν om. S ὁ om. Sn 34 τὸν τῆς γεννήσεως SDW

Ps. 131, 3-5 ἔστιν οὖν ἀκοῦσαι λέγοντος αὐτοῦ· εἰ ἀναβήσομαι ἐπὶ κλίνης στρωμνῆς μου, εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου καὶ τοῖς βλεφάροις μου νυσταγμὸν καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου, ἕως τί καταλάβῃς; ἕως οὗ εὕρω τόπον τῷι κυρίωι, σκήνωμα τῷι θεῷι Ἰακώβ. πολυπραγμονεῖς τὸν τρόπον, ὦ μακάριε Δαυίδ; ἀποδέχομαι τὴν προθυμίαν, ἐπαινῶ τὴν ὑπομονήν· ἀλλ' εἴ τι μεμάθηκας πλέον, ἀπάγγειλον καὶ ἡμῖν. ποῦ ἔσται ἡ γέννησις καὶ εἰς ποῖον ἄρα γενήσεται χῶρον, ἄκουε
Ps. 131, 6 σαφῶς λέγοντος· ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Ἐφραθᾶ, εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ. Ἐφραθᾶ δὲ λέγων σημαίνει τὴν Βηθλεέμ. καὶ μαρτυρήσει
Micha 5, 2 λέγων ὁ θεὸς δι' ἑνὸς τῶν ἁγίων προφητῶν· καὶ σύ, Βηθλεὲμ οἶκος τοῦ Ἐφραθᾶ, ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα· ἐκ σοῦ γάρ μοι ἐξελεύσεται τοῦ εἶναι εἰς ἄρχοντα ἐν τῷι Ἰσραήλ, καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος. ἀκούεις ὅτι τὸν Βηθλεεμίτην καθὸ γέγονεν ἄνθρωπος, ἀπ' ἀρχῆς
Ioh. 1, 1 αἰῶνος τὰς ἐξόδους ἔχειν διισχυρίζεται; ἐν ἀρχῇι γὰρ ἦν ὁ λόγος. ἀλλὰ αἰσχύνομαι, φησί, θεὸν ὁμολογῆσαι τὸν ἐν γυναικὸς γεγεννημένον. ἐπιτιμᾷις οὖν, εἰπέ μοι, τοῖς θείοις σκέμμασιν; ἀθετεῖς τὴν οἰκονομίαν; ἐπιπλήττεις ταῖς τοῦ δεσπότου βουλαῖς; οὕτως ἠθέλησε διασῶσαι τὴν οἰκουμένην· μὴ σοφώτερος εἶ τῆς σοφίας; ὦ παραδόξου πραγματος, λύχνος ἡλίωι φιλονεικεῖ. οἶδε τῶν ἰδίων ἔργων τὴν ὁδὸν ὁ τῶν ὅλων δεσπότης.
PG 1001 παραδέχου τοίνυν τὴν οἰκονομίαν· τίμησον τῇι πίστει τὸ μυστήριον· μὴ περιεργάζου τὰ ὑπὲρ νοῦν· μὴ πολυπραγμόνει τὰ ὑπὲρ λόγον· πίστευε μεθ' ἡμῶν. εἰ δὲ μένεις ἀπειθής, ἐκεῖνος πιστὸς μένει καὶ ἀρνήσασθαι ἑαυτὸν οὐ δύναται. αὐτῶι ἡ δόξα καὶ τὸ κράτος σὺν ἁγίωι πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

76 = S 78. Latina uersio extat in Collectione CT 51

Τοῦ ἁγίου Κυρίλλου ἐξήγησις λεχθεῖσα ἐν Ἐφέσωι ἐν τῷι ἁγίωι Ἰωάννηι τῷ εὐαγγελιστῆι

L III 1022 M V 217 PG 77, 985-988 Phil. 2, 15. 16 Mt. 10, 20 Ps. 65, 4 M V 220 Ps. 75, 2 Exod. 4, 10

Τῆς μὲν τῶν ἁγίων εὐκλείας τε καὶ δόξης ἐλάσσων ἐστὶ πᾶς λόγος· γεγόνασι γὰρ φωστῆρες ἐν κόσμωι λόγον ζωῆς ἐπέχοντες κατὰ τὸ γεγραμμένον· ὅταν δὲ τὰ θεῖα λαλῶσι μυστήρια, πρέποι ἂν παρὰ πάντων λέγεσθαι πρὸς αὐτούς· οὐχ ὑμεῖς ἐστὲ οἱ λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα τοῦ πατρὸς τὸ λαλοῦν ἐν ὑμῖν. διεκήρυξαν γὰρ ἡμῖν τὸν Ἰησοῦν, τὸ φῶς τὸ ἀληθινόν, τὴν ζωὴν τὴν αἰώνιον, ὧι καὶ ἡμεῖς λέγομεν κατὰ τὴν φωνὴν τοῦ μακαρίου Δαυίδ· πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι, ψαλάτωσαν δὴ τῷι ὀνόματί σου. ἔτι μὲν γὰρ τῆς διὰ Μωσέως κρατούσης ἐντολῆς, οὕπω τῶν εὐαγγελικῶν κηρυγμάτων εἰσκεκομισμένων, γνωστὸς ἦν ἐν τῇι Ἰουδαίαι ὁ θεός, ἐν τῷι Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ. ἰσχνόφωνος

V, P' [= hk], S [praeter 8—21], D [= mn], WΛ[t]Λ[c]

1 αὐτοῦ om. Λ[c] μου om. S 2/3 καὶ ἀνάπαυσιν — καταλάβῃς om. S 3 τόπον om. V 4 τρόπον VPSW τόκον DΛ ὦ om. SW 5 πλέον P πλεῖον V *amplius* Λ om. SDW 6 ἔσται VΛ ἔστιν PSDW ποίαν — χώραν VP 7. 8 εὐφρανθᾶ SD 8 παιδίοις VP, corr. V λέγων] desinit S propter folii defectum μαρτυρήσει] μαρτυρεῖ σοι W 9 λέγων om. VP ὁ om. P ἁγίων om. P εὐφρανθᾶ D 10 μὴ ὀλιγοστὸσ Pm εἶ τοῦ om. P ταῖσ χιλιάσιν P γάρ om. V 12 τὴν βηθλεὲμ τὴν P 16 σῶσαι W 17 οἰκείων V 18 τίμησον ἐν DW τιμήσωμεν Λ 20 καὶ ἀρνήσασθαι DWΛ ἀρνήσασθαι γὰρ VP 21 σύν — πνι VPΛ om. m νῦν καὶ n νῦν καὶ ἀεὶ καὶ W 21 τῶν αἰώνων PDΛ om. VW ἀμήν om. W

inscr. τοῦ ἁγίου [αὐτοῦ ἁγίου W] κυρίλλου — ἐν τῷ [τῷ om. W] ἁγίωι — εὐαγγελιστῆ SDW *Eiusdem dicta in Iohannis euangelistae basilica* [*sermonibus* Λ[t]]Λ[1c] τοῦ αὐτοῦ εἰσ τὰ τοῦ ἁγίου εὐαγγελισμοῦ P τοῦ αὐτοῦ ὁμιλία ῥηθεῖσα ἐν ἡμέρα ιῶ τοῦ εὐαγγελιστοῦ V ὁς V ξζ P οε' D 25 ὅταν δὲ] ὅθεν Λ[c] 26 λαλοῦσι Λ[c] πρέποι ἂν SDWΛ πρέπων ἂν P πρέπον ἂν εἴη V αὐτὸν S οὐκ ἐστὲ ὑμεῖσ VP 27 τοῦ πατρὸς ὑμῶν Λ[c] 28 ἐν ἡμῖν S 30 τὸ ὄνομά P σου ὕψιστε SD ἔτι Λ ἐπὶ VPSDW 31 κρατούσης om. VP 32 τῶι Ἰσραὴλ] τῇ ἱερουσαλὴμ D

γὰρ καὶ βραδύγλωσσος ἦν ὁ Μωσῆς· διὰ τοῦτο καὶ κατὰ μόνην ἠκούετο τὴν Ἰουδαίαν
ὁ νόμος. ἐπειδὴ δὲ τὸ φῶς ἡμῖν ἐπέλαμψε τὸ ἀληθινὸν καὶ παραπλησίως ἡμῖν μετέσχεν Hebr. 2, 14
αἵματος καὶ σαρκὸς θεὸς ὢν ὁ λόγος, μεστὰ γέγονε τὰ πάντα αὐτοῦ. πανταχοῦ ναοὶ
καὶ θυσιαστήρια· πανταχοῦ χορευταὶ καὶ προσκυνηταὶ καὶ ποιμένες ἀγαθοὶ καὶ λογικῶν
θρεμμάτων ἀγέλαι. στενὰς ἀποφαίνουσαι τῶι πλήθει τὰς ἱερὰς αὐλάς. πρὸ μὲν γὰρ
τῆς τοῦ σωτῆρος ἡμῶν ἐπιδημίας τὸ ἐπὶ γῆς ἐπλανᾶτο γένος· ἐλάτρευον τῆι κτίσει παρὰ Rom. 1, 25
τὸν κτίσαντα· προσκεκυνήκασι τοῖς ἔργοις τῶν ἰδίων χειρῶν καὶ τῶν πλανωμένων ἑκάστωι
θεὸς ἦν τὸ δοκοῦν· ἀλλ' ἐπέφανεν ἡμῖν, ὡς ἔφην, ὁ μονογενὴς τοῦ θεοῦ λόγος, ὁ ποιμὴν
ὁ καλός, ὁ ἀμνὸς ὁ ἀληθινός, ὃν ἡ ἁγία θεοτόκος καὶ ἀπειρόγαμος ἐκ παρθενικῶν ἡμῖν
λαγόνων ἀπεκύησε βλάστημα ζωοποιόν, τὸν ἐνανθρωπήσαντα θεόν, τὸν ἐλεύθερον ἐν
δούλου μορφῆι, τὸν καθ' ἡμᾶς δι' ἡμᾶς καὶ ὑπὲρ πᾶσαν τὴν κτίσιν δι' ἑαυτόν, τὸν ἐν
ὑφέσει τῆι καθ' ἡμᾶς καὶ ἐν δόξηι θεοπρεπεῖ, τὸν ἑαυτὸν ταπεινώσαντα καὶ σύνθρονον Phil. 2, 7
τῶι πατρί, τὸν ἑαυτὸν κενώσαντα καὶ ἐκ τοῦ ἰδίου πληρώματος διανέμοντα τοῖς ἁγίοις Ioh. 1, 16
τὰ ἀγαθά, τὸν προσκυνοῦντα μεθ' ἡμῶν ἀνθρωπίνως καὶ προσκυνούμενον ὡς θεόν, οὐκ
ἐν γῆι μόνον, ἀλλὰ καὶ ἐν τοῖς οὐρανοῖς. ὅταν γάρ φησιν, εἰσαγάγηι τὸν πρωτό- Hebr. 1, 6
τοκον εἰς τὴν οἰκουμένην, λέγει· καὶ προσκυνησάτωσαν αὐτῶι πάντες
ἄγγελοι θεοῦ. τίς οὖν ἄρα ἐστὶν ὁ εἰσβεβηκὼς εἰς τὴν οἰκουμένην; τίνα δὲ ὅλως
εἰσκεκόμισται τρόπον; μυσταγώγησον, εὐαγγελιστά, εἰπὲ καὶ νῦν, ὦ μακάριε Ἰωάννη· υἱὸς L III 1023
ἐπεκλήθης βροντῆς, μέγα τι καὶ ἐξαίσιον κατεκτύπησας τὴν ὑπ' οὐρανόν· ἀθανάτους ἔχεις Mc. 3, 19
φωνὰς καὶ λήθη καὶ χρόνος τοῖς σοῖς παραχωροῦσι λόγοις. ἰδοὺ τοσαύτη ποιμένων
ἄθροισις ἥκει παρὰ σοί· ἀποκύλισον ἡμῖν τὸν λίθον ὡς ὁ μακάριος Ἰακὼβ τοῖς ποιμέσιν. Gen. 29, 10
ἀποκάλυψον ἡμῖν τὸ φρέαρ τῆς ζωῆς· δὸς ἀρύσασθαι καὶ νῦν ἐκ τῶν τοῦ σωτηρίου
πηγῶν, μᾶλλον δὲ τὴν σὴν ἡμῖν παράθες πηγήν. οὐκοῦν ἀκούσωμεν λέγοντος· ἐν Ioh. 1, 1
ἀρχῆι ἦν ὁ λόγος καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν καὶ θεὸς ἦν ὁ λόγος· οὗτος PG 989
ἦν ἐν ἀρχῆι πρὸς τὸν θεόν. ἀλλ' ὅτι μὲν ὁ μονογενὴς τοῦ θεοῦ λόγος ἀπόρρητον
ἔχει τὴν ἐκ πατρὸς ὕπαρξιν, πεπιστεύκαμεν· προστίθει τὸ λεῖπον ἡμῖν, ὦ εὐαγγελιστά.
ἄκουε πάλιν λέγοντος· καὶ ὁ λόγος σὰρξ ἐγένετο, τουτέστιν ἄνθρωπος· γέγονε δὲ Ioh. 1, 14
ἄνθρωπος ὁ μονογενὴς τοῦ θεοῦ λόγος, οὐκ ἀποβεβληκὼς τὸ εἶναι θεός, ἀλλὰ καὶ ἐν
προσλήψει σαρκὸς μεμενηκὼς ὅπερ ἦν. ἄτρεπτος γάρ ἐστι καὶ ἀναλλοίωτος ἡ τοῦ
λόγου φύσις καὶ οὐκ οἶδε παθεῖν τροπῆς ἀποσκίασμα. ταῦτα φρονεῖν ἐδίδαξεν Iac. 1, 17
ἡμᾶς ὁ μακάριος εὐαγγελιστής, τὸ ἄστρον ἀληθῶς τὸ μέγα καὶ περιφανέστατον, ἄστρον
χρησιμώτατον, οὐ τοῖς τὴν αἰσθητὴν διαπεραιουμένοις θάλασσαν, ἀλλὰ τοῖς τῆς εὐσεβείας
ἐμπόροις, τοῖς τῆς ἀληθείας ἐρασταῖς, τοῖς ὀρθὴν ἔχειν ἐθέλουσι καὶ ἁπλανῆ τὴν πίστιν. εἴ M V 221
τις οὖν ἐρᾶι τοῦτον ναυτίλλεσθαι τὸν τρόπον, ἄστρον ὥσπερ εἰς νοῦν ἐχέτω τὰς τοῦ
θεηγόρου φωνάς· οὕτω τὰ πικρὰ τῶν αἱρέσεων διαπηδήσει κύματα· οὕτως εἰσ εὔδιον

V, P [= hk], S, D [= mn], WΛ[1]Λ[c]

1 μωυσῆσ VP τὴν ἰουδαίαν ἠκούετο D 2 νόμος VPWΛ θω̄ SD ἔλαμψε VP
3 μεστὰ om. P 6 τὸ — γένος SDWΛ ἐπὶ γῆσ ἐπλανᾶτο τὸ γένοσ ἡμῶν VP *colebant enim* Λ
7 προσκεκυνήκασι PSDWΛ[t] προσκεκυνήκασι γὰρ VΛ[c] 9 καὶ ἀπειρόγαμοσ SDWΛ μαρία VP ἡμῖν
om. VP 10 ἀπεκύησε — ζωοποιόν SDW ἐβλάστησε τὸ ζωοποιὸν βλάστημα VP 11 δι' ἑαυτὸν VP
om. SDWΛ τὸν ἐν om. P 12 ὑφέσει] τῆ φύσει S φύσει W τῆι om. P θεοπρεπῆ Λ
13 ἁγίοις PΛ ἀξίοις SDW ἰδίοις V 15 φησίν om. VPW 15/16 πρωτότοκον αὐτοῦ P
18 τρόπον εἰσκεκόμισται VP 19 ἐκλήθης VP 20 καὶ[1] om. W 21 ἦλθε VP σέ P
22 ἀποκάλυψον ἡμῖν SDW ἀποκάλυψον V ἀπεκάλυψε PΛ 23 παράθεσ ἡμῖν VP πίστιν καὶ
πηγὴν V ἀκούοωμεν V ἀκούσομέν σου P ἀκούωμεν n ἀκούομεν SmW 25 θεόν] πατέρα SDW
26 ἔχη P τοῦ πρω̄ SD λεῖπον ἡμῖν SDWΛ λοιπὸν VP 27 ἐγένετο οὐκ ἐν
ἀνθρώπω γέγονεν ἀλλὰ σὰρξ γέγονεν V 28 ἀλλὰ καὶ SDWΛ ἀλλ' VP 29 μεμενικὼσ P
32 διαπορευομένοις VP θάλατταν SD 33 τὴν ὀρθὴν P ἐθέλουσιν ἔχειν VP τὴν om. VP
34 ἐρᾶ SDWΛ αἱρεῖται VP ναυτίλλασθαι D ἀνατέλλεσθαι VP ὥσπερ ἄστρον V 35 θεηγόρου
θεολόγου V

καταντήσει λιμένα καὶ πρὸς αὐτὴν ἥξει τὴν ἀλήθειαν, τουτέστι Χριστόν· μεθ' οὗ τῶι πατρὶ ἡ δόξα καὶ τὸ κράτος σὺν ἁγίωι πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

77 = S 81. Latina uersio extat in Collectione CT 54

L III 979
M V 177
PG 77, 981

Ὁμιλία τοῦ αὐτοῦ ἐν Ἐφέσωι, ὡραία πάνυ

Οἱ τοῖς ἱεροῖς προσέχοντες γράμμασι σεσοφισμένην ἔχουσι τὴν καρδίαν ἔργων τε
PG 984 ἀγαθῶν ἐπιστήμονα καὶ ὀρθῆι πίστει λαμπρυνομένην, τὸ δὲ γνώσεως τῆς ἀληθοῦς ἐρᾶν ζωὴν ἔχει τὸ τέλος. καὶ πληροφορήσει πρὸς τοῦτο ἡμᾶς αὐτὸς ὁ σωτὴρ πρὸς τὸν ἐν
Ioh. 17, 3 οὐρανοῖς πατέρα καὶ θεὸν οὕτως λέγων· αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωὴ ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν θεὸν καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν. οὐκοῦν συμπαρέζευκται τῆι περὶ τοῦ πατρὸς γνώσει καὶ ἡ περὶ τοῦ υἱοῦ, καὶ οὕτως ἐστὶ τὸ πρᾶγμα ζωοποιοῦν· ὅταν δὲ χωρίζηται τοῦ ἑτέρου τὸ ἕτερον, χωλεύει πάντως ἡ γνῶσις.
Ioh. 8, 19 οὕτω καὶ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τοῖς Ἰουδαίων δήμοις προσεφώνει λέγων· οὔτε ἐμὲ οἴδατε οὔτε τὸν πατέρα μου· εἰ ἐμὲ ἤιδειτε, καὶ τὸν πατέρα μου ἂν ἤιδειτε. καὶ πάλιν ἐνόμιζον οἱ Ἰουδαῖοι τοὺς ἑαυτῶν πατέρας ἐν τῶι ὄρει τὸν φύσει
L III 982 τε καὶ κατὰ ἀλήθειαν ἑωρακέναι θεόν, ὅτε καταβέβηκεν ἐν εἴδει πυρὸς ἐπὶ τὸ ὄρος τὸ Σινᾶ· ὤιοντο γὰρ κατὰ ἀλήθειαν ἀκηκοέναι τῆς φωνῆς αὐτοῦ. ταύτης ἕνεκα τῆς αἰτίας τεθαυμάκασι μὲν τὸν ἱεροφάντην Μωσέα, κατασμικρύνοντες δὲ τὸν κύριον ἡμῶν Ἰησοῦν
Ioh. 9, 29 Χριστὸν διὰ τὸ ἀνθρώπινον ἀνοσίως ἔφασκον· ἡμεῖς οἴδαμεν ὅτι Μωσεῖ λελάληκεν
Ioh. 5, 37. 38 ὁ θεός, τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστί. τί οὖν πρὸς ταῦτα Χριστός; ἀμὴν λέγω ὑμῖν, οὔτε εἶδος αὐτοῦ πώποτε ἑωράκατε οὔτε φωνὴν αὐτοῦ ἠκούσατε καὶ τὸν λόγον αὐτοῦ οὐκ ἔχετε μένοντα ἐν ὑμῖν, ὅτι ὃν ἀπέστειλεν ἐκεῖνος, τούτωι ὑμεῖς οὐ πιστεύετε. ἀληθεύει δὲ πάντως ἡ ἀλήθεια. οὐ γὰρ ἦν ἐν τῶι
Exod. 19, 18. 19 ὄρει Σινᾶ φύσις θεοῦ ἡ ὁρωμένη, πῦρ δὲ μᾶλλον (ἐγίνοντο δὲ καὶ φωναὶ τῆς σάλπιγγος, καπνοὶ δὲ ἦσαν ἐξαπτόμενοι) καὶ τῆς ἀληθείας οἱ τύποι προαναφαίνοντες τὴν ἀλήθειαν. καταβέβηκε γὰρ ὁ τῶν ὅλων θεὸς ἐν εἴδει πυρὸς ἐπὶ τὸ ὄρος Σινᾶ. καὶ διὰ ποίαν αἰτίαν ἐν εἴδει πυρός; ἐπειδὴ γὰρ ἔμελλεν αὐτοῖς ὁρίζειν τὸν νόμον, ἐν εἴδει πυρὸς τότε δὴ μάλιστα χρησίμως ἐφαίνετο καταβεβηκώς, ἵνα γνῶσιν οἱ παραβαίνοντες ὅτι πρὸς πῦρ ἔχουσιν. οὕτω καὶ ὁ μακάριος Μωυσῆς σωφρονεστέρους ἀποτελῶν τῶι φόβωι τοὺς
Deut. 4, 24 ἁμαρτάνοντας προσεφώνει πλειστάκις· ὁ θεὸς ἡμῶν πῦρ καταναλίσκον ἐστίν. ἐγίνοντο δὲ καπνοὶ καὶ σκότος, τοῦ μὲν σκότους τὸ ἀκατάληπτον τῆς περὶ θεοῦ γνώσεως ἀστείως ἡμῖν ὑπεμφαίνοντος, τοῦ δὲ καπνοῦ διδάσκοντος αἰνιγματωδῶς ὅτι τοῖς καταφρονεῖν ἐθέλουσι τῶν θείων νόμων πάντηι τε καὶ πάντως ἀκολουθήσει τὸ δάκρυον· δακρύειν γὰρ

V, P [= hk], S [inde a 22 — τωι ὑμεῖς οὐ], D [= mn], WΛ[1]Λ[c]

1 τῇι om. S β καὶ κ̄ W εἰκάδι VMP 1/2 καλεσάντων VP 2 δι' — ἐπισκόπων om. W 3 τῆς om. PW τε καὶ VMP τῆς om. VMP 3/4 οὐδεμιᾶς — ἀποκρίσεως om. SW 3 καὶ οὐδεμιᾶσ D σαφῶς om. V 4 δηλώσαν S δεδήλωκεν ἡμῖν W ἀποσταλέντων S ὅτι S om. W 5 καὶ om. W 7 παρόντα] τὸν V 8 καὶ αὐθισ VMP παρακαλοῦντασ S 9 τὴν ἀπολογίαν VM διδασκαλίαν P 12 προσκαλεῖσθαι — κλήσει SDW τῇ τρίτη προσκαλεῖσθαι [προκαλεῖσθαι V] VMP τὸν om. S 13 ἁγιωτάτους om. V 14/15 περιεστώτων MPDΛ προεστώτων S ἑστώτων VW 15 ἐπειδὴ οὖν VMP 17 ἀναγκαίως om. V 19 ὑπὸ SD 20 ἐκτεθεῖσαν S τῶν τριακοσίων δεκαοκτὼ [τιη M] ἁγίων [ἁγίων θεοφόρων P] πατέρων VP τῶν τριακοσίων δεκαοκτὼ D ἐπισκόπων πατέρων W μητροπόλει VMP συνειλεγμένων SD 21 ὀρθὴν om. SDW ἐπεδείξατο SDW ὑπέδειξε P 23 συμφωνοῦσαν V ηὕραμεν M 24 δόγμασι καὶ νοήμασι VMPWΛ δόγμασι καὶ ῥήμασι S νοήμασι καὶ ῥήμασι D ἠλλοτριωμένην SDW 25 ἔλιπε τὸ MP 26 οὐ VMPΛt οὐδὲ SDWΛc τε om. VMP 27 καὶ ἐν βίβλοις om. V βιβλίοισ MP δημοσίοισ S 27—29 ἐκβοώμενα — φανερῶς om. V 27 ἐκβοώμενα MPWΛ ἀκροώμενα SD 28/29 καὶ ἐν αὐτῇ — εἰρημένα om. W 30 γεγεννημένον V γενόμενον W 31 πρόσ SDW φιλίαν S καὶ θεῖον ἡμῶν VM καὶ θεῖον P 32 τὸν διμηνιαῖον VMPΛc 32/33 διμηναῖον καὶ τριμηναῖον W

καὶ ἡ τῶν ὑπομνημάτων περίεχει πίστις), ἀναγκαίως καὶ ταῦτα συγκρίναντες τῇ ἐκθέσει τῶν ἁγίων πατέρων μαχόμενά τε εὑρίσκομεν καὶ πάντῃ ἐναντία τῆς καθολικῆς καὶ ἀποστολικῆς ἡμῶν πίστεως, ὡς μηδὲ δεῖσθαι ἀπολογίας Νεστόριον, ἀλλ' αὐτὸν ἑαυτοῦ γίνεσθαι καθ' ἑκάστην κατήγορον, ἐμμένοντα τοῖς διεφθαρμένοις αὐτοῦ δόγμασι καὶ ἐναντίοις παντελῶς
7 τῆς καθολικῆς καὶ ἀποστολικῆς ἡμῶν πίστεως. τούτου οὖν ἕνεκεν αὐτὸν μὲν τῆς ἱερω- 5
σύνης καὶ τῆς διαφθαρμένης ἐπαύσαμεν διδασκαλίας, καθαίρεσιν αὐτοῦ κανονικὴν ποιησάμενοι καὶ ἐπαινέσαντες τὸν θεοφιλέστατον καὶ ἁγιώτατον ἐπίσκοπον τῆς μεγάλης Ῥώμης Κελεστῖνον πρὸ τῆς ἡμῶν ψήφου καταγνόντα τῶν αἱρετικῶν δογμάτων Νεστορίου καὶ πρὸ ἡμῶν ἐξενεγκόντα τὴν κατ' αὐτοῦ ψῆφον διὰ τὴν τῶν ἐκκλησιῶν ἀσφάλειαν καὶ τὴν τῆς παραδοθείσης ἡμῖν εὐσεβοῦς καὶ σωτηριώδους πίστεως παρά τε τῶν ἁγίων ἀποστόλων καὶ 10
εὐαγγελιστῶν καὶ τῶν ἁγίων πατέρων, ἣν διαστρέφειν ἐπεχείρησε τῷ διεφθαρμένῳ λόγῳ (καὶ πολὺ πλῆθος ὁ καταγνωσθεὶς ἔξέχεε)· τοῦ δὲ ὑμετέρου δεόμεθα κράτους κελεῦσαι πᾶσαν αὐτοῦ διδασκαλίαν ἀναιρεῖσθαι ἐκ τῶν ἁγιωτάτων ἐκκλησιῶν καὶ τὰ εὑρισκόμενα ὁπουδηποτοῦν βιβλία πυρὶ παραδίδοσθαι, δι' ὧν ἀθετεῖν πειρᾶται τὴν τοῦ θεοῦ χάριν ἀνθρώπου γενομένου διὰ φιλανθρωπίαν, ἣν αὐτὸς οὐ φιλανθρωπίαν, ἀλλ' ὕβριν ἐνόμισε τῆς θεότητος· 15
εἰ δέ τις κατοφρονήσει τῶν θεσπιζομένων, δεδιέναι τοῦ ὑμετέρου κράτους τὴν ἀγανάκτησιν. οὕτω γὰρ καὶ ἡ ἀποστολικὴ πίστις ἄτρωτος διαμενεῖ τῇ ὑμετέραι εὐσεβείαι κρατυνομένη ἅπαντές τε ἡμεῖς ἐκτενεῖς τὰς εὐχὰς ὑπὲρ τοῦ ὑμετέρου ποιησόμεθα κράτους, δι' οὗ Χριστὸς δοξάζεται καὶ ἡ πίστις κρατύνεται καὶ ἡ χάρις τοῦ θεοῦ πᾶσιν ἀνθρώποις γνώριμος γίνεται. 20

Προς δὲ σαφεστέραν καὶ ἐντελεστέραν εἴδησιν τῶν πεπραγμένων συνέζευκται καὶ τὰ ὑπομνήματα, καὶ ὑπέγραψαν πάντες οἱ προταγέντες ἐν τοῖς ὑπομνήμασι θεοσεβέστατοι ἐπίσκοποι.

82 = S 73 A 54. Latina uersio extat in Collectione CT 59 et in Collectione Veronensi 22 25

Ἴσον ἐπιστολῆς γραφείσης παρὰ τῆς ἁγίας συνόδου προς τον ἀρχιεπίσκοπον τῆς Ῥώμης Κελεστῖνον δηλοῦσα πάντα τὰ πραχθέντα εν αὐτῇ τῇ Ἐφεσίων ἁγίαι καὶ μεγάλῃ συνόδῳ L III 660 M IIII 1329

1 Τῷ ἁγιωτάτῳ καὶ ὁσιωτάτῳ συλλειτουργῷ Κελεστίνῳ ἡ ἁγία σύνοδος ἡ κατὰ θεοῦ χάριν συναχθεῖσα ἐν τῇ Ἐφεσίων μητροπόλει ἐν κυρίῳ χαίρειν. Τῆς μὲν σῆς ὁσιότητος ὁ περὶ τὴν εὐσέβειαν ζῆλος καὶ ἡ περὶ τῆς ὀρθῆς πίστεως τῷ πάντων ἡμῶν σω- 30
τῆρι θεῷ φίλη τε καὶ ἀρέσκουσα φροντὶς ἀξία παντὸς γέγονε θαύματος ἔθος γὰρ ὑμῖν τοῖς οὕτω μεγάλοις εὐδοκιμεῖν εἰς πάντα ἔρεισμά τε τῶν ἐκκλησιῶν τὰς ἑαυτῶν
2 ποιεῖσθαι σπουδάς. ἐπειδὴ δὲ ἐχρῆν ἅπαντα εἰς γνῶσιν τῆς σῆς ὁσιότητος ἀνενεχθῆναι

---

82 cf. epist. Caelestini [Coll. Veron. 25, 10]. *gestarum rerum . quarum nobis ordinem sancti fratris nostri Cyrilli relatio patefecit*

VM, P [= hk], S, D [= mn], WΛtΛc

3 πίστεως] ἐκκλησίασ W ἀλλὰ VMh αὐτοῦ P γενέσθαι PW 4 καὶ] τοῖσ καὶ W ἐναντίωσ S 5 μέν] μετὰ D 6 καθολικὴν D 7 καὶ ἁγιώτατον om V 9 διά τε τὴν P τὴν om VMP 12 τὸ πλῆθοσ D συνέχεε P δεόμεθα om. W 13 τὴν διδασκαλίαν S ἀναιρεθῆναι SD ἐκ om. SDW 13/14 ὁπουδηποτεοῦν M ὁπουδήποτε V ὁπουδήποτ' ἂν S 15 γενομένου οὐ V ἣν — φιλανθρωπίαν om V ἰσσ ἐνόμισε V 18 ἡμετέρου S κράτουσ ποιησόμεθα VMP 19 ἡ¹ om. VMP 21 γεγραμμένων S 22 ὑπεγράψαμεν SD 22/23 θεοσεβέστατοι ἐπίσκοποι om VMP

VM, P [= hk], S, D [= mn], AJΛtΛcΛu

26/27 ἴσον — συνόδῳ SDAJΛ ἀναφορά VMP 27 πάντα om Λtc 28 πβ̄ V οϛ̄ PD ὁσιωτάτῳ SDAJ θεοσεβεστάτῳ VMP 29 ἐν — χαίρειν om. S 30/31 τοῦ — σωτῆρος Λtc 31 θεῷ] χῳ̄ S γέγονε παντόσ S 32 μεγάλωσ S ἅπαντα VMP

τὰ παρακολουθήσαντα, γράφομεν ἀναγκαίως ὅτι κατὰ βούλησιν τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ καὶ κατὰ θέσπισμα τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων βασιλέων συνήχθημεν ἐν τῇι Ἐφεσίων μητροπόλει ἐκ πολλῶν καὶ διαφόρων ἐπαρχιῶν, ὑπὲρ τοῦς διακοσίους ὄντες
ep. 25 τὸν ἀριθμὸν ἐπίσκοποι, εἶτα τῶν εὐσεβῶν θεσπισμάτων τῶν φιλοχρίστων βασιλέων, δι' ὧν
d. 7. m. Iun. a. 431 κεκλήμεθα, καιρὸν ὁριζόντων τῶι συνεδρίωι τῆς ἁγίας συνόδου τὴν ἡμέραν τῆς ἁγίας πεντηκοστῆς, ἁπάντων δὲ συνδεδραμηκότων μάλιστα διὰ τὸ ἐγκεῖσθαι ταῖς τῶν βασιλέων συλλαβαῖς ὡς εἰ μή τις ἀπαντήσειε κατὰ τὴν ὡρισμένην προθεσμίαν, οὐκ ἀγαθῶι συνειδότι ἀπο-
M IIII 1332 λιμπάνεται καὶ ἐστὶν ἀναπολόγητος παρά τε θεῶι καὶ ἀνθρώποις, ὑστέρησεν ὁ εὐλαβέστατος Ἰωάννης ὁ τῆς Ἀντιοχέων ἐπίσκοπος, οὐχ ὡς ἀπὸ γνώμης ἁπλῆς, ἀλλ' οὐδὲ τοῦ διαστήματος τοῦ κατὰ τὴν ὁδοιπορίαν ἐμποδὼν γενομένου, ἀλλὰ κρύπτων εἰς νοῦν βουλήν τε καὶ
3 σκέψιν ἀπάιδουσαν τῶι θεῶι, ἣν οὐκ εἰς μακρὰν ἐλθὼν ἔδειξεν ἐν τῇι Ἐφεσίων. ὑπερεθέμεθα τοίνυν τὸ συνέδριον μετὰ τὴν ὁρισθεῖσαν ἡμέραν τῆς ἁγίας πεντηκοστῆς ἐφ' ὅλαις δέκα καὶ ἓξ ἡμέραις, καίτοι πολλῶν ἐπισκόπων τε καὶ κληρικῶν καὶ νόσωι πεπιεσμένων καὶ τεθλιμμένων εἰς δαπανήματα, ἐνίων δὲ καὶ ἐξοδευσάντων τοῦ βίου, καὶ ἦν, ὡς ὁρᾶι καὶ ἡ σὴ ὁσιότης, ὕβρις μᾶλλον κατὰ τῆς ἁγίας συνόδου τὸ δρώμενον. τοσαύτηι γὰρ ὑπερθέσει δυστρόπως ἐχρήσατο, καίτοι φθασάντων αὐτὸν τῶν ἐκ μακροτέρων διαστημάτων. ὅμως μεθ' ἡμέραν ἐξκαιδεκάτην προέδραμον τινὲς τῶν σὺν αὐτῶι ἐπισκόπων μητροπολῖται δύο, Ἀλέξανδρος Ἀπαμείας καὶ ἕτερος Ἀλέξανδρος Ἱεραπόλεως, εἶτα ἡμῶν αἰτιωμένων τὸ τῆς ἀφίξεως βράδος τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἰωάννου, ἔφασαν οὐχ ἅπαξ, ἀλλὰ πλει-
L III 661 στάκις ὅτι ἐνετείλατο ἡμῖν ἀπαγγεῖλαι τῇι θεοσεβείαι ὑμῶν ὥστε εἰ γένοιτο αὐτὸν καὶ ἔτι
4 βραδῦναι, μὴ ὑπερθέσθαι τὴν σύνοδον, ποιῆσαι δὲ μᾶλλον ἃ δεῖ. τούτων ἀπαγγελθέντων καὶ φανεροῦ γεγονότος ἀπό τε τοῦ βράδους καὶ ἐκ τῶν παρ' αὐτοῦ μηνυθέντων ὅτι παραιτεῖται τὸ συνέδριον ἢ τῇι Νεστορίου φιλίαι χαριζόμενος ἢ καὶ ὅτι κληρικὸς γέγονε τῆς ὑπ' αὐτὸν ἐκκλησίας ἢ καὶ ταῖς τινῶν ὑπὲρ αὐτοῦ παρακλήσεσιν εἴκων, συνήδρευσεν ἡ ἁγία σύνοδος ἐν τῇι μεγάλῃι κατὰ τὴν Ἐφεσίων ἐκκλησίαι τῇι ἐπίκλην Μαρίαι. ἐπειδὴ δὲ πάντων προθύμως συνδεδραμηκότων μόνος ἀπελιμπάνετο τοῦ συνεδρίου Νεστόριος, ὑπέμνησεν ἡ ἁγία σύνοδος κανονικῶς αὐτὸν δι' ἐπισκόπων πρώτηι καὶ δευτέραι καὶ τρίτηι κλήσει· ὁ δὲ στρατιώταις περιφράξας τὴν ἑαυτοῦ οἰκίαν ἀπενοήθη κατὰ τῶν τῆς ἐκκλησίας θεσμῶν καὶ οὐκ ἠνέσχετο ἑαυτὸν ἐμφανῆ καταστῆσαι οὔτε μὴν ἀπολογήσασθαι περὶ τῶν ἀνοσίων
ep. 4 5 ἑαυτοῦ δυσφημιῶν. λοιπὸν ἀνεγνώσθη τὰ γράμματα τὰ γραφέντα πρὸς αὐτὸν παρὰ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου τῆς Ἀλεξανδρέων ἐκκλησίας Κυρίλλου, ἃ καὶ ἐδοκίμασεν ἡ ἁγία σύνοδος ὀρθῶς καὶ ἀλήπτως ἔχειν καὶ κατὰ μηδένα τρόπον ἀσύμφωνα εἶναι ταῖς θεοπνεύστοις γραφαῖς ἢ γοῦν τῇι παραδοθείσηι καὶ ἐκτεθείσηι πίστει ἐν τῇι μεγάλῃι συνόδωι παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι συνελθόντων κατὰ καιρούς, καθὰ καὶ ἡ
ep. 5 σὴ ὁσιότης ὀρθῶς τοῦτο δοκιμάσασα ἐμαρτύρησεν. ἀναγνωσθείσης δὲ καὶ τῆς ἐπιστολῆς Νεστορίου τῆς πρὸς αὐτὸν γραφείσης τὸν μνημονευθέντα ἁγιώτατον καὶ θεοσεβέστατον

VM, P [=hk], S [usque ad 15 τοσαύτη], D [= mn], AJΛtΛcΛu

5 καὶ κεκλήμεθα VP ἡμετέραν S 6 δὲ om. PΛtu 7 ὑπαντήσειε Λ μετὰ Λ 8 τε om. S 9 ἀλλ' om. S 10 ὁδὸν S 10/11 εἰς — σκέψιν SDAJΛ μὲν βουλὴν εἰσ νοῦν τε καὶ σκέψιν VMP 13 δεκαέξ DAJ τε om. P 14 τὰ δαπανήματα VMP ὁρᾶ καὶ SDAJΛcu ὁρᾶ VMPΛt 15 γὰρ — p. 7, 8 ἔχων ἐκ- om. S propter folii defectum 16 δυστρόπω A τῶν] *multi* Λ 17 ἐκκαιδεκάτην P 19 ἰωάννου τοῦ ἐπισκόπου ἀντιοχείασ M ἀλλὰ καὶ SDAJ 20 γένηται DAJ 21 ὑπέρθησθε A ποιῆσαι DJ ποιεῖσθαι VMP ποιεῖτε Λ 24 συνήθροισεν AJ γρ συνήδρευσεν J in mg. 25 τῇ μεγάλῃ τῇ P ἔφεσον VMP 26 ὑπελιμπάνετο A 27 καὶ τρίτηι κλήσει] κλήσει ὡσαύτωσ καὶ τρίτη V 28 ἐπενοήθη A κατὰ om. DJ τοὺσ — θεσμούσ P 29/30 καὶ οὐκ — δυσφημιῶν om. P 30 αὐτοῦ VM 31 καὶ θεοφιλεστάτου om. M ἀρχιεπισκόπου DAJ 32 εἶναι ἢ Λ ἢ MP 33 πίστει καὶ ἐκτεθείσηι V πίστει P 34 παρὰ om. Λ τῇ νικαίᾳ M 35 τοῦτο ὀρθῶσ A δὲ δὴ P 36 θεοφιλέστατον M

ἀδελφὸν ἡμῶν καὶ συλλειτουργὸν Κύριλλον, ἐδικαίωσεν ἡ ἁγία σύνοδος ἀλλότρια παντελῶς
τῆς τε ἀποστολικῆς καὶ εὐαγγελικῆς πίστεως εἶναι τὰ ἐν αὐτῇ δόγματα πλείστην ὅσην καὶ
6 ξένην νοσοῦντα τὴν δυσφημίαν. ἀναγνωσθεισῶν δὲ ὁμοίως καὶ τῶν ἐξηγήσεων αὐτοῦ
τῶν ἀσεβεστάτων, ἔτι μὴν καὶ τῆς γραφείσης πρὸς αὐτὸν ἐπιστολῆς παρὰ τῆς σῆς ὁσιό- ep. 10
τητος, δι' ἧς εὐλόγως κατεκρίνετο ὡς δύσφημα γεγραφὼς καὶ ἀνοσίους φωνὰς ταῖς ἰδίαις 5
ἐξηγήσεσιν ἐνθείς, ψῆφος ἐξενήνεκται δικαία καθαιρέσεως κατ' αὐτοῦ, μάλιστα ὅτι τοσοῦτον
ἀπέσχε τοῦ μετανοῆσαι ἢ μεταγνῶναι ἐφ' οἷς δεδυσφήμηκεν ἔτι τὴν Κωνσταντινουπολιτῶν M IIII 1333
ἔχων ἐκκλησίαν, ὥστε καὶ ἐν αὐτῇ τῇ Ἐφεσίων μητροπόλει διαλέγεσθαι πρὸς τινὰς τῶν
ἁγίων μητροπολιτῶν ἐπισκόπων, ἀνδρῶν οὐκ ἀσήμων, ἀλλ' ἐλλογίμων καὶ θεοσεβεστάτων,
τολμῆσαί τε εἰπεῖν ὅτι ἐγὼ διμηνιαῖον καὶ τριμηνιαῖον θεὸν οὐχ ὁμολογῶ, καὶ ἕτερα δὲ πρὸς 10
τούτοις εἶπε χαλεπώτερα. ὡς οὖν ἀνοσίαν καὶ μιαρωτάτην αἵρεσιν καὶ ἀνατρέπουσαν
τὴν εὐαγεστάτην ἡμῶν θρησκείαν καὶ ὅλην ἐκ βάθρων τοῦ μυστηρίου τὴν οἰκονομίαν ἀφαι-
7 ροῦσαν καθείλομεν, ὡς ἤδη φθάσαντες εἴπομεν. ἀλλ' οὐκ ἦν, ὡς ἔοικε, τῆς εἰς Χριστὸν
ἀγάπης τὸ γνήσιον ἔχοντας καὶ ζηλώσαντας τῶι κυρίωι μὴ πολλῶν πειραθῆναι πραγμάτων.
προσεδοκήσαμεν γὰρ τὸν εὐλαβέστατον τῆς Ἀντιοχέων ἐπίσκοπον Ἰωάννην τήν τε ἀκρίβειαν 15
τῆς συνόδου καὶ τὴν εὐσέβειαν ἐπαινέσαι καὶ τάχα που καὶ μέμψασθαι τὸ ἐπὶ τῇ καθαι-
ρέσει βράδος, μεταπέπτωκε δὲ εἰς πᾶν τοὐναντίον τὰ τῆς προσδοκίας ἡμῖν. εὕρηται L III 664
γὰρ ἐχθρὸς καὶ πολεμιώτατος τῇ τε ἁγίαι συνόδωι, καὶ αὐτῇ δὲ τῇι ὀρθῇι πίστει τῶν ἐκ-
κλησιῶν, ὡς αὐτὰ μηνύει τὰ πράγματα. ἅμα τε γὰρ εἰσῆλθεν εἰς τὴν Ἐφεσίων, πρὶν
ἀποπλύνασθαι τὴν ἐκ τῆς ὁδοιπορίας κόνιν, πρὶν ἀποδύσασθαι τὸ ἱμάτιον, συναγαγὼν τινὰς 20
τῶν Νεστορίωι συναποστατησάντων καὶ βλάσφημα κατὰ τῆς ἑαυτῶν λαλ ύντων κεφαλῆς
καὶ μόνον οὐχὶ καταπαιζόντων τῆς δόξης τοῦ Χριστοῦ καὶ συλλέξας ὥσπερ κολλήγιον ἑαυ-
τῶι τριάκοντά που τὸν ἀριθμὸν ἀνθρώπων ἐπισκοπῆς ἐχόντων ὄνομα, ὧν οἱ μέν εἰσιν
ἀπόλιδες, σχολάζοντες δὲ καὶ ἐκκλησίας οὐκ ἔχοντες, ἕτεροι δὲ πρὸ πολλῶν ἐτῶν ἐπὶ δει-
ναῖς αἰτίαις καθηιρημένοι παρὰ τῶν ἰδίων μητροπολιτῶν, σὺν αὐτοῖς δὲ καὶ Πελαγιανοὶ καὶ 25
Κελεστιανοὶ καὶ τῶν ἀπὸ Θεσσαλίας ἐκβεβλημένων τινές, πρᾶγμα τετόλμηκεν ἀνόσιον, ὃ
μηδεὶς πώποτε τῶν πρὸ αὐτοῦ. συντάττει γὰρ κατὰ μόνας χαρτίον καὶ δὴ καθαιρέσεως nr. 151
ὀνόματι ὕβριν προσετρίψατο τῶι ἁγιωτάτωι καὶ θεοσεβεστάτωι τῆς Ἀλεξανδρέων ἐπισκόπωι
Κυρίλλωι καὶ τῶι θεοσεβεστάτωι ἀδελφῶι καὶ συνεπισκόπωι ἡμῶν Μέμνονι τῶι τῆς Ἐφεσίων,
οὐδενὸς ἡμῶν εἰδότος, ἀλλ' οὐδὲ τῶν ὑβρισθέντων ἐγνωκότων τὸ δρώμενον ἢ διὰ ποίαν 30
αἰτίαν τοῦτο τετολμήκασιν, ἀλλ' ὥσπερ οὐκ ἀγανακτοῦντος ἐπὶ τούτοις τοῦ θεοῦ, ὡς
οὐκ ὄντων κανόνων ἐκκλησιαστικῶν ἢ ὡς οὐ μέλλοντες κινδυνεύειν αὐτοὶ διὰ τὸ ἐπὶ τού-
τοις θράσος. ὑβρίζουσι δὲ τῶι τῆς ἀκοινωνησίας ὀνόματι καὶ πᾶσαν τὴν σύνοδον καὶ
δὴ καὶ δημοσίαι χαρτίωι ταῦτα ἐνθέντες προύθεσαν εἰς ἀνάγνωσιν τοῖς ἐθέλουσι, τοῖς τοῦ

VM, P [= hk], S [inde a 8 — κλησίαν ὥστε], D [= mn], AJΛ^{t}Λ^{c}Λ^{u}

1 ἀλλότριον P 2 τὰ] εἰσ τὰ P 3 βλασφημίαν DAJ 4 ἔτι γε μὴν V παρὰ om. P 6 ἐξενήνεγκται D δικαίω M 7 ἀπέσχετο VMP 10 τε] τι MP διμηνιαῖον A τὸν διμηνιαῖον VMPSDJΛ^{c} 12 τὴν οἰκονομίαν τοῦ μυστηρίου P 12/13 ἀναφέρουσαν DJ ἀναστρέφουσαν A 13 καθείδομεν A εἴπαμεν A 14 γνήσιον] τέλειον S ζηλώσαντεσ A 15 ἀντιοχείασ S ἐπίσκοπον om. SDAJ 17 ηὕρηται S 18 καὶ^{1} om. Λ^{c} 19 καὶ ὡσ S ἐφεσίων καὶ P ἐφεσίων πόλιν V 21 ἀποστατησάντων P λαλούντων κατὰ τῆσ ἑαυτῶν VMP 22 οὐχὶ καὶ DAJ τοῦ om. A κολλέγιον PA τὸ κολλήγιον DJ 23 ἐπισκόπων V 24 δὲ VMPΛ om. SDAJ ἐκκλησίαν A ἔχοντασ S δὲ καὶ VMP πολλῶν ἐτῶν] πολλοῦ S 25 ὑπὸ P ἀπὸ VM καὶ^{2} om. DAJ 26 θεσσαλονίκησ M τετολμήκασιν S 27 καὶ δὴ] *quidem* Λ 28 ὀνόματι καὶ Λ ὄνομα καὶ VMP προέτριψε S θεοφιλεστάτω S 28/29 τῆς Ἀλεξανδρέων — θεοσεβεστάτωι om. V 29 τῶι om. M ἀδελφῶ — ἡμῶν VMPΛ^{c} καὶ συνεπισκόπω ἡμῶν Λ^{t} ἡμῶν ἀδελφῶ καὶ συνεπισκόπω SA ἡμῶν καὶ συνεπισκόπωι Λ^{u} ἡμῶν ἀδελφῶ καὶ συλλειτουργῶ ἐπισκόπω DJ 30 εἰδότοσ ὑμῶν S ὑβρικότων S 31 ὥσπερ DJ 32 μελλόντων — αὐτῶν VMP 33 κοινωνησίασ k κοινωνίασ h 33/34 καὶ — καὶ] καὶ δὴ SDJ καὶ A 34 ἐπιθέντεσ VMP εἰσ — τοῖσ ἐθέλουσι [θέλουσι DJ] προύθεσαν [προύθεσαν om. A] SDAJ

θεάτρου τοίχοις προσπήξαντες, ἵνα τὴν ἑαυτῶν ἀσέβειαν θεατρίσωσι. καὶ οὐ μέχρι τού-
nr. 153 των γέγονεν αὐτοῖς τὰ τολμήματα, ἀλλὰ γὰρ καὶ τεθαρσήκασιν, ὡς δράσαντές τι κανονικόν,
8 καὶ εἰς ἀκοὰς τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων βασιλέων ἀνενεγκεῖν τὰ τοιάδε. τού-
των οὕτως γεγονότων ὅ τε ἁγιώτατος καὶ θεοφιλέστατος ἐπίσκοπος τῆς Ἀλεξανδρέων Κύ-
nr. 87 ριλλος καὶ μὴν καὶ ὁ θεοσεβέστατος τῆς Ἐφεσίων πόλεως ἐπίσκοπος Μέμνων βιβλία συν- 5
M IIII 1336 θέντες καὶ αἰτιασάμενοι αὐτόν τε τὸν εὐλαβέστατον ἐπίσκοπον Ἰωάννην καὶ τοὺς σὺν αὐτῷ
τοῦτο δράσαντας, προσήγαγον ὀρκοῦντες ἡμῶν τὴν ἁγίαν σύνοδον μεταπέμψασθαι κανονι-
κῶς αὐτόν τε τὸν Ἰωάννην καὶ τοὺς σὺν αὐτῷ ὥστε καὶ ἀπολογήσασθαι περὶ ὧν τετολμή-
nr. 151 κασι, καὶ εἴ τι ἐγκαλεῖν ἔχοιεν, εἰ δύνανται, εἰπεῖν καὶ διελέγξαι· ἐν γὰρ τῷι γραφέντι παρ'
αὐτῶν καθαιρετικῷι, μᾶλλον δὲ ὑβριστικῷι χαρτίωι πρόφασιν ἐνέθηκαν ὅτι Ἀπολιναριασταὶ 10
9 καὶ Ἀρειανοὶ καὶ Εὐνομιανοί εἰσι καὶ διὰ τοῦτο καθήιρηνται παρ' ἡμῶν. ἐνισταμένων
τοίνυν τῶν τὴν ὕβριν ὑπομεινάντων τὴν παρ' ἐκείνων, πάλιν ἡμεῖς ἀναγκαίως συνεδρεύ-
σαντες ἐν τῆι μεγάληι ἐκκλησίαι, ὑπὲρ τοὺς διακοσίους ἐπισκόπους ὄντες, μιᾶι καὶ δευτέραι
καὶ τρίτηι κλήσει ἐν ἡμέραις δυσὶ κεκλήκαμεν αὐτόν τε τὸν Ἰωάννην καὶ τοὺς σὺν αὐτῷ εἰς
τὸ συνέδριον ὥστε διελέγξαι τοὺς ὑβρισμένους καὶ ἀπολογήσασθαι καὶ τὰς αἰτίας εἰπεῖν ἐφ' 15
L III 665 αἷς τὸ τῆς καθαιρέσεως συνέθηκαν χαρτίον, καὶ οὐκ ἐθάρσησαν ἐλθεῖν. ἔδει δὲ αὐτόν,
εἴπερ ἀληθῶς ἐλέγχειν ἠδύνατο τοὺς μνημονευθέντας ὁσίους ἄνδρας ὡς ὄντας αἱρετικούς, καὶ
ἀπαντῆσαι καὶ δεῖξαι τοῦτο ἀληθὲς ὄν, ὃ καὶ λαβὼν ὡς ἰσχυρὸν καὶ ἀναμφίβολον ἔγκλημα τὴν
προπετῆ ψῆφον κατ' αὐτῶν ἐξηνέγκατο. ἀλλ' ὑπὸ σαθροῦ συνειδότος οὐκ ἀπήντησε, τὸ
δὲ κατασκευαζόμενον ἐκεῖνο ἦν. ὠιήθη γὰρ ὅτι τῆς ἀτόπου ταύτης καὶ ἐκνομωτάτης 20
ὕβρεως λυομένης συνανατραπήσεται καὶ ἡ δικαία τῆς συνόδου ψῆφος ἡ ἐξενεχθεῖσα κατὰ
10 τοῦ αἱρετικοῦ Νεστορίου. ἀγανακτήσαντες τοίνυν εἰκότως ἐβουλευσάμεθα μὲν τὴν ἴσην
κατά τε αὐτοῦ καὶ τῶν ἄλλων ψῆφον ἐξενεγκεῖν ἐννόμως, ἣν αὐτὸς παρανόμως κατὰ τῶν
ἐπ' οὐδενὶ κατεγνωσμένων ἔθετο· ὑπὲρ δὲ τοῦ τὴν ἐκείνου προπέτειαν μακροθυμίαι νικῆσαι,
εἰ καὶ ὅτι μάλιστα δικαίως ἂν ἔπαθεν αὐτὸ καὶ ἐννόμως, τετηρήκαμεν τῆι κρίσει τῆς σῆς 25
θεοσεβείας καὶ τοῦτο, τέως αὐτοὺς ἀκοινωνήτους ποιήσαντες καὶ περιελόντες αὐτῶν πᾶσαν
ἐξουσίαν ἱερατικήν, ὥστε μηδένα δύνασθαι βλάπτειν δι' οἰκείων ἀποφάσεων. τοὺς γὰρ
οὕτως ἀγρίως καὶ ἀπηνῶς καὶ ἀκανονίστως χωρεῖν εἰωθότας ἐπὶ τὰ οὕτω δεινὰ καὶ παγ-
χάλεπα τῶν πραγμάτων πῶς οὐκ ἦν ἀναγκαῖον καὶ οὐχ ἑκόντας παρελέσθαι τῆς τοῦ δύ-
11 νασθαι βλάπτειν ἐξουσίας; τοῖς μὲν οὖν ἀδελφοῖς ἡμῶν καὶ συλλειτουργοῖς Κυρίλλωι 30
καὶ Μέμνονι τοῖς τὴν παρ' αὐτῶν ὑπομείνασιν ὕβριν καὶ κοινωνικοὶ πάντες ἐσμὲν καὶ μετὰ τὴν
ἐκείνων προπέτειαν συνελειτουργήσαμεν καὶ συλλειτουργοῦμεν, κοινῆι πάντες τὰς συνάξεις
ἐπιτελοῦντες, ἀκυρώσαντες ἐγγράφως τὰ ἐκείνων παίγνια ἀνίσχυρά τε καὶ ἀδρανῆ παντελῶς
ἀποφήναντες. ὕβρις γὰρ ἦν μόνη καὶ ἕτερον οὐδέν. ἄνδρες γὰρ τὸν ἀριθμὸν τριά-

---

VM, P [= hk], S, D [= mn], AJΛ^{t}Λ^{c}Λ^{u}

1 αὐτῶν V 2 καὶ om. A γράψαντες Λ 3 εὐσεβεστάτων VMPΛ θεοφιλεστάτων SDAJ τὰ τοιάδε] τάδε M 4 ἁγιώτατος καὶ om. M θεοφιλέστατοσ MSDAJΛ^{c} θεοσεβέστατοσ VPΛ^{tu} 5 θεοσεβέστατοσ MSDAJΛ θεοφιλέστατοσ VP 6 ἐπίσκοπον VMΛ om. P ἐπίσκοπον τῆσ ἀντιοχέων SDAJ 7 ἡμᾶσ S μεταπέμψασθαι] ἐπισκέψασθαι S 10 ἔθηκαν VMP ἀπολλιναριασταὶ S ἀπολιναρισταὶ P 12 τὴν^{2} om. SDAJ ἡμῖν P 15 ὑβριζομένουσ P καὶ τὰσ αἰτίασ SDAJΛ τὰσ αἰτίασ καὶ P τὰσ αἰτίασ VM 16 ἐθάρρησαν P *praesumpsit* Λ ἠθέλησαν DAJ ἠθέλησεν S ἔδει] ἔδειξε S δὲ] *namque* Λ^{c} αὐτούσ DAJ 17 ἠδύναντο DAJ ὡς om. S αἱρετικοὺσ ὄντασ VMP αἱρετικούσ S 18 ἀπαντῆσαι P ὑπαντῆσαι VMSDAJ 18 ὄν om. SDAJ 19 κατ'] παρ' A οὐχ ὑπήντησε VM 20 ἐκνομωτάτου V ἐννομωτάτησ S 21 ψῆφοσ τῆσ συνόδου VMP 22 τὴν] τὸ V 23 κατά τε DAJΛ κατά γε S κατ' VMP ἐνόμωσ P ὁμοίωσ SDJ καὶ αὐτὸσ J παρανόμωσ om. DAJ 25 εἰ om. V 27 μηδένα SDAJΛ μὴ VMP 28 χαίρειν DJ 29 πραγμάτων SΛΛ πεπραγμένων VMP om. DJ ἦν] οὖν S ἔχοντασ Λ^{tu} 30 Κυρίλλωι Λ κυρίλλω τῶ ἐπισκόπω SDAJ κυρίλλω τε τῶ ἐπισκόπω VM κυρίλλω τε P 31 Μέμνονι] μέμνονι τοῖσ ἐπισκόποισ P τὴν om. VMP καὶ om. SDAJ κοινωνοὶ SDAJ 32 τὰσ om. VMP 34 ἦν — οὐδέν SDAJΛ μόνη καὶ — οὐδὲν ἦσαν VMP ἀριθμὸν ἦσαν MP

κοντα, καὶ οἱ μὲν αἱρέσεως σπίλωι κατεστιγμένοι, οἱ δὲ ἀπόλιδες καὶ ἐκβεβλημένοι, ποῖον ἔχουσι συνόδου πρόσωπον ἢ ποίαν ἰσχὺν κατὰ συνόδου συγκροτηθείσης ἐξ ἁπάσης τῆς ὑπ' οὐρανόν; συνήδρευσαν γὰρ ἡμῖν καὶ οἱ παρὰ τῆς σῆς ὁσιότητος ἀπεσταλμένοι θεοσεβέστατοι ἐπίσκοποι Ἀρκάδιος καὶ Προίεκτος καὶ σὺν αὐτοῖς ὁ εὐλαβέστατος πρεσβύτερος M IIII 133
Φίλιππος, τὴν σὴν ἡμῖν παρουσίαν δι' ἑαυτῶν χαριζόμενοι καὶ τῆς ἀποστολικῆς καθέδρας
12 τὸν τόπον ἀναπληροῦντες. ἀγανακτησάτω τοίνυν προσφόρως ἐπὶ τοῖς γεγενημένοις ἡ σὴ ὁσιότης. εἰ γὰρ δοθείη τοῖς ἐθέλουσιν ἄδεια καὶ τοὺς μείζονας ὑβρίζειν θρόνους καὶ καθ' ὧν οὐκ ἔχουσιν ἐξουσίαν, παρανόμους οὕτω καὶ ἀκανονίστους ἐκφέρειν ψήφους, μᾶλλον δὲ ὕβρεις καὶ τοῖς ὑπὲρ τῆς εὐσεβείας τοσούτους ἄθλους ὑπομεμενηκόσιν, ὧν ἕνεκεν καὶ νῦν ἡ εὐσέβεια διὰ τῶν εὐχῶν τῆς σῆς ὁσιότητος ἀνέλαμψεν, οἰχήσεται πρὸς ἐσχάτην ἀταξίαν τὰ τῆς ἐκκλησίας πράγματα, σωφρονισθέντων δὲ καθ' ὃν προσήκει τρόπον τῶν τὰ τοιαῦτα τετολμηκότων ἀργήσει πᾶς θόρυβος καὶ ἡ πρέπουσα τοῖς κανόσιν αἰδὼς παρὰ πάντων σωθήσεται.

13 Ἀναγνωσθέντων δὲ ἐν τῆι ἁγίαι συνόδωι τῶν ὑπομνημάτων τῶν πεπραγμένων ἐπὶ τῆι καθαιρέσει τῶν ἀνοσίων Πελαγιανῶν καὶ Κελεστιανῶν, Κελεστίου Πελαγίου Ἰουλιανοῦ Περσιδίου Φλώρου Μαρκελλίνου Ὁρεντίου καὶ τῶν τὰ αὐτὰ τούτοις φρονούντων, ἐδικαιώσαμεν καὶ ἡμεῖς ἰσχυρὰ καὶ βέβαια μένειν τὰ ἐπ' αὐτοῖς ὡρισμένα παρὰ τῆς σῆς θεοσε- I. III 668
βείας καὶ σύμψηφοι πάντες ἐσμὲν καθηιρημένους ἔχοντες αὐτούς. ὑπὲρ δὲ ἀκριβοῦς εὐμαθείας ἁπάντων τῶν πεπραγμένων ἀπεστείλαμεν καὶ τὰ ὑπομνήματα καὶ τὰς ὑπογραφὰς τῆς συνόδου.

Ἐρρῶσθαί σε καὶ μνημονεύειν ἡμῶν τῶι κυρίωι εὐχόμεθα, ἀγαπητὲ καὶ ποθεινότατε.

83 = S 52. Latina uersio extat in Collectione CT 34

Ἴσον βασιλικοῦ γράμματος ἀποσταλέντος ἐν Ἐφέσωι πρὸς τὴν ἁγίαν σύνοδον διὰ Παλλαδίου μαγιστριανοῦ I. III 704 M IIII 1377

Αὐτοκράτορες Καίσαρες Θεοδόσιος καὶ Οὐαλεντινιανὸς νικηταὶ τροπαιοῦχοι μέγιστοι ἀεισέβαστοι αὔγουστοι τῆι κατ' Ἔφεσον ἁγιωτάτηι συνόδωι. Τοῦ μεγαλοπρεπεστάτου κόμητος τῶν καθωσιωμένων δομεστίκων Κανδιδιανοῦ γνωρίσαντος μεμάθηκεν ἡ ἡμετέρα εὐσέβεια ταραχωδῶς τινὰ καὶ παρὰ τὸ προσῆκον κατὰ τὴν Ἐφεσίων γεγονέναι μητρόπολιν, οὔτε πάντων, ὥσπερ ἐδέδοκτο, τῶν θεοσεβεστάτων ἐπισκόπων συνεληλυθότων, καίτοι τοῦ τῆς μεγαλοπόλεως Ἀντιοχείας ἐπισκόπου πλησιάζειν ἤδη σὺν ἑτέροις μητροπολίταις μέλλοντος, οὔτε τῶν ἤδη παραγεγονότων συσκεψαμένων ἢ ὁμονοησάντων ἀλλήλοις οὔτε μὴν τὰ περὶ τῆς πίστεως καθ' ὃν ἐχρῆν τρόπον ἐξετασάντων ἢ ὥσπερ τοῖς ἀεὶ καταπεμφθεῖσι θείοις

26/27 Cf. Coll. C 86a [uol. IIII p. 33, 29]

VM, P [= hk], S, D [= mn], AJΛtΛcΛu

1 ποῖον οὖν P 3 ὑπὸ τὸν SΛ τῆσ ὁσιότητοσ τῆσ σῆσ VP 8 οὐκ om V παρανόμωσ S καὶ om. S 9 τοιούτουσ A 15 καὶ Κελεστιανῶν om. SDAJ 16 *Praesidii* Λ φρώρου A *Marcelliani* Λ ταὐτὰ P ταῦτα M 17 ἐπ' αὐτοῖσ τὰ DAJ 18 καὶ om. S 19 εὐμαθίασ V συμπαθείασ A ἁπάντων S 19—21 ἀπεστείλαμεν — ἡμῶν post ποθεινότατε coll. S 19 καὶ[1] om. S αἱ ὑπογραφαὶ A 21 σε om. MP in fine add *subscripserunt uero* [*uero* om. Λtu] *et deinceps* [*deinceps om.* Λu] *omnes episcopi secundum nomen* Λtcu

VM, P [= hk], S, D [= mn], WΛtΛc

πγ̄ V οδ̄ P ξ̄ς M νβ̄ SD 23 ἀποσταλὲν SDW πρὸς — σύνοδον om DΛ 24 post μαγιστριανοῦ add. ἀνατρέποντοσ [ἀνατρέπων D] τὰ παρ' αὐτῶν πραχθέντα ὡς ὀφειλούσησ ἄνωθεν γενέσθαι ζητήσεωσ SDW 25 καὶ om. W οὐαλεντιανὸς D 26 αὔγουστοι SDW om. VMPΛ ἁγία D 27 γνωρίσαντοσ SDWΛ γνωρίσαντος ἡμῖν VMP 28 παρὰ VMWΛ μὴ κατὰ PSD 29 θεοφιλεστάτων D 30 μεγάλης πόλεως P 31 σκεψαμένων VMP 32 ἔχει D ἀεὶ καταπεμφθεῖσι MPSDWΛ ἐγκαταπεμφθεῖσι V θείοις om. S

ἡμῶν περιείχετο γράμμασιν, ἀλλὰ ὥστε δήλην εἶναι τὴν τινῶν πρὸς τινὰς ἀπέχθειαν διὰ πολλὴν τὴν περὶ τὰ ὁπωσοῦν δόξαντα σπουδὴν οὐδὲ παρακαλύμματι χρήσασθαι δυνηθέντων, δι' ὃ νομίσειέν ἄν τις λογισμῶι τὰ γεγονότα πεπρᾶχθαι. ὅθεν δέδοκται τῆι ἡμετέραι θειότητι χώραν μὲν τὴν τοιαύτην μηδαμῶς ἔχειν αὐθεντίαν, τῶν δὲ ἀνακολούθως γεγονότων ἀργούντων τοὺς περὶ τῆς εὐσεβείας λόγους, ὥσπερ ἐδέδοκτο, πρώτως ἐξετασθῆναι καὶ κατὰ
M IIII 1380 L III 705 τὸ κοινῆι πάσηι τῆι συνόδωι δοκοῦν εἰς τὸν ἑξῆς χρόνον κρατεῖν, οὐκ ἀνεχομένης τῆς ἡμετέρας εὐσεβείας τῶν ἐξ ἐπιτηδεύσεως προλημμάτων, οὕτω δὲ ἐπὶ τοῖς γεγονόσιν ἀγανακτούσης, ὥστε κελεύειν μέχρις ἂν καὶ παρὰ πάσης τῆς συνόδου τὰ τῆς εὐσεβείας ἐξετασθῆι δόγματα καὶ ἀποσταλῆι τις ἐκ τοῦ θείου ἡμῶν παλατίου ἅμα τῶι μεγαλοπρεπεστάτωι Κανδιδιανῶι τῶι κόμητι τὰ πεπραγμένα κατὰ κέλευσιν ἡμετέραν εἰσόμενος καὶ κωλύσων τὰ ἀνακόλουθα, μήτε ἀποστῆναί τινα τῶν συνειλεγμένων ἐπισκόπων τῆς Ἐφεσίων πόλεως μήτε μὴν ἐπὶ τὸ θεῖον ἡμῶν ἐλθεῖν στρατόπεδον ἢ ἐπὶ τὴν ἑαυτοῦ πατρίδα ἀναστρέψαι. ὥστε γὰρ μηδενὶ τοῦτο ἐξεῖναι μηδὲ ἐλπίζειν ἀδεῶς προβήσεσθαι, ἱκανὰ μὲν καὶ ταῦτά ἐστι τῆι ὑμετέραι θεοσεβείαι παρεγγυῆσαι τὰ γράμματα, μήτι καὶ ἕτερον παρὰ τὴν ἡμετέραν κέλευσιν τοῖς γεγονόσι προσθεῖναι· ἴστω δὲ ἡ ἁγιότης ὑμῶν ὡς καὶ τοῖς λαμπροτάτοις ἄρχουσι τῶν ἐπαρχιῶν ἐπέσταλται μηδένα παντελῶς ἐᾶσαι εἰς τὴν ἑαυτοῦ πατρίδα καὶ πόλιν δίχα ἡμετέρας κελεύσεως ὑποστρέψαντα δεχθῆναι. χρὴ γὰρ πάντα κατὰ τὸ τῶι θεῶι μέλλον ἀρέσειν δίχα φιλονεικίας καὶ μετὰ ἀληθείας ἐξετασθέντα οὕτω παρὰ τῆς ἡμετέρας εὐσεβείας βεβαιωθῆναι, ὡς οὐχ ὑπὲρ ἀνθρώπων νῦν οὐδὲ μέντοι τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου Νεστορίου ἢ ἑτέρου τινός; ὑπὲρ δὲ αὐτοῦ τοῦ δόγματος καὶ τῆς ἀληθείας αὐτῆς φροντίδα ποιουμένης τῆς ἡμετέρας θειότητος.

d. 29. m. Iun. a. 431 Ἐδόθη τῆι πρὸ τριῶν Καλανδῶν Ἰουλίων ὑπατείαι Φλαυίου Ἀντιόχου καὶ τοῦ δηλωθησομένου.

84 = S 53. Latina uersio extat in Collectione CT 38

L III 745 M IIII 1421 d. 1. m. Iul. a. 431 Ἴσον ἀναφορᾶς τῆς ἁγίας συνόδου ἀποσταλείσης διὰ Παλλαδίου μαγιστριανοῦ Καλανδῶν Ἰουλίων Ἐπιφὶ ζ' ἰνδικτιῶνος ιε'

1 Τοῖς εὐσεβεστάτοις καὶ θεοφιλεστάτοις Θεοδοσίωι καὶ Οὐαλεντινιανῶι νικηταῖς τροπαιούχοις ἀεὶ αὐγούστοις ἡ ἁγία σύνοδος ἡ χάριτι θεοῦ καὶ νεύματι τοῦ ὑμετέρου κράτους συναχθεῖσα ἐν τῆι Ἐφεσίων μητροπόλει. Τὸ μὲν ὑμέτερον κράτος τὴν εὐσέβειαν βεβαιῶσαι βουλόμενον ἐπέταξε τῆι ἁγίαι συνόδωι ζήτησιν περὶ τῶν δογμάτων ποιήσασθαι σπουδαιοτέραν, ἣν καὶ πεποιήμεθα καὶ τῆι ἀρχαίαι παραδόσει τῶν ἁγίων ἀποστόλων καὶ εὐαγγελιστῶν πειθόμενοι καὶ τῆι τῶν τιη συναχθέντων ἐπὶ τῆς Νικαίας, ἣν καὶ ἑρμηνεύσαντες συμφώνως καὶ γνώμηι μιᾶι

VM, P [= hk], S, D [= mn], W ΛtΛc

1 γράμμασι περιείχετο P ἄλλως τε SW 2 οὔτε VMP 4 ἔχειν ἐξελθεῖν VMP αὐθεντίαν VMPSWΛ ἀκολουθίαν D 5 πρώτως VP πρώτους M πρῶτον W *prima* Λc πρότερον SDΛt 7 πλημμελημάτων MP 9 θείου om. S θειοτάτου W ἡμῶν om. SDW 10 τὴν ἡμετέραν D 11 ἀκόλουθα P μὴ δὲ VMPSDW τινα om. MP 12 ἡμῶν om. D ἐπιστρέψαι P 13 ταῦτα SD μήτε SDW προσβήσεσθαι W μὲν οὖν D 14 εὐσεβεία D 17 χρῆναι Λc γὰρ om. V τὸ om. W τῶι om. P 18 ἀρέσαι S ἀλήθειαν M 18/19 ὑμετέρας P 19 ἁγιωτάτου καὶ om. M 20 θεοσεβεστάτου V ἐπισκόπου νεστορίου VMDW νεστορίου ἐπισκόπου P νεστορίου S 22 ἐδόθη om. MP δέκα τριῶν S ιγ' D ὑπάτου V φλαβίου VPW

25—27 ἴσον — ιε' VMP ἀναφορὰ τῆς συνόδου ἀντιγραφεῖσα [ἀντίγραφοσ W] πρὸσ τὴν σάκραν καὶ [καὶ om. W] διδάσκουσα ὡσ ψευδῆ τὰ ἀνενεχθέντα παρὰ τοῦ κανδιδιανοῦ ἐστίν initio posita Wn post 29 μητροπόλει collocata Sm om. Λ πὸ V οε P νγ SD 26 ἐπιφὶ ζ' VM ἐπὶ P πεντεκαιδεκάτησ P 27 οὐαλεντιανῶ D 28 Χριστοῦ Λt 30 βουλόμενον om. S 31 ἁγίων ἀποστόλων Λ ἀποστόλων VMP πατέρων οὐ μὴν δὲ ἀλλὰ καὶ τῶν [τῆ τῶν S] ἁγίων ἀποστόλων SDW 32 τῆι om. nW τριακοσίων δεκαοκτὼ VPD Νικαίας] ἐν νικαία P

ἐμφανῆ τῆι ὑμετέραι εὐσεβείαι κατεστήσαμεν ἐν αὐτοῖς τοῖς ὑπομνήμασι τοῖς πεπραγμένοις, ἐν
οἷς καὶ Νεστόριον ἕτερα φρονοῦντα ἐναργῶς εὑρηκότες καθείλομεν. οὐδὲ γὰρ ἐν τῆι Ἐφε- L III 748
σίων μητροπόλει τὸ ἑαυτοῦ ἔκρυψε φρόνημα, ἵνα ἐλέγχων ἑτέρων δεηθῆι, ἀλλ' ἀνεβόα καθ'
ἑκάστην ἡμέραν τὰ ἀλλότρια τῆς πίστεως κηρύττων πρὸς πλείονας δόγματα, καὶ ἕκαστα
κατὰ μέρος ἐν τοῖς πεπραγμένοις ὑπομνήμασι δῆλα κατεστήσαμεν τῆι ὑμῶν εὐσεβείαι.
2 ἀλλ' ἐπειδὴ τὴν φιλίαν Νεστορίου τῆς εὐσεβείας προτιμῶν ὁ μεγαλοπρεπέστατος κόμης
Κανδιδιανὸς ὑφαρπάσαι τὴν ἀκοὴν τῆς ὑμετέρας εὐσεβείας ἐσπούδασε πρὶν καταμαθεῖν ἀκριβῶς
τὰ πεπραγμένα τὸ ὑμέτερον κράτος, πρὶν δέξασθαι τὰ ὑπομνήματα, πρὶν ἐπιστῆσαι τοῖς
γεγενημένοις, ἐσπούδασεν αὐτὸς τὰ αὐτῶι φίλα καὶ κεχαρισμένα Νεστορίωι ἀναδιδάξαι τὴν
ὑμετέραν εὐσέβειαν πρὶν γνῶναι τὸ ὑμῶν κράτος τὸ ἀληθὲς ἐκ τῆς τῶν πραχθέντων ὑπο-
μνημάτων ἀναγνώσεως, ἐν οἷς δεικνύμεθα οὐδεμίαν κατὰ Νεστορίου δυσμένειαν γυμνάζοντες, M IIII 1424
ἀλλ' αὐτὰ τῆς εὐσεβείας ἐκθέμενοι τὰ δόγματα, οἷς παραβαλόντες τὰ ὑπὸ Νεστορίου κη-
ρυττόμενα, ἔχοντα τὸν ἔλεγχον ἐκ τῶν γραμμάτων Νεστορίου ἐπιστολῶν τε καὶ τῶν ἐν
δημοσίωι γενομένων διαλέξεων, τὴν ψῆφον ἐξηνέγκαμεν, τοῦ ἁγίου εὐαγγελίου ἐν μέσωι
κειμένου καὶ δεικνύντος ἡμῖν παρόντα τὸν τῶν ὅλων δεσπότην Χριστόν· δεόμεθα τοίνυν
τοῦ ὑμετέρου κράτους μηδένα παραδοχῆς ἀξιωθῆναι τῶν προτιμώντων ἀνθρώπου φιλίαν τῆς
3 εὐσεβείας. καὶ γὰρ τοιαύτης αἰσθόμενοι τῆς διαθέσεως τοῦ θεοφιλεστάτου ἐπισκόπου
Ἰωάννου τοῦ Ἀντιοχείας ὡς βουλομένου φιλίαι χαρίζεσθαι μᾶλλον ἢ τὸ συμφέρον τῆι πίστει
σκοπεῖν, ἐξ ὧν μήτε τὴν τοῦ ὑμετέρου κράτους ἀπειλὴν φοβηθεὶς μήτε τῶι ζήλωι κινού-
μενος τῆς ἄνωθεν παραδεδομένης πίστεως τὴν ἁγίαν ἀνεβάλλετο συνόδον ἐπὶ εἴκοσι καὶ
μίαν ἡμέραν μετὰ τὴν δεδομένην προθεσμίαν παρὰ τοῦ ὑμετέρου κράτους, ἠναγκάσθημεν
ἅπαντες οἱ τῆς ἁγίας συνόδου ὀρθόδοξοι καὶ μόνης ἐρῶντες τῆς πίστεως ζητῆσαι τὰ περὶ
τῆς εὐσεβείας, τοῦτο πεπονθέναι καὶ τὸν θεοφιλέστατον ἐπίσκοπον Ἰωάννην ὑπολαβόντες
ὅπερ δείκνυται πεπονθὼς καὶ ὁ μεγαλοπρεπέστατος κόμης Κανδιδιανός. οὐ γὰρ πάντων
ἐστὶ τῆς πρὸς .οὺς ἀνθρώπους φιλίας προτιμᾶν τὴν εὐσέβειαν. ἦν δ' ἄρα ἡ περὶ τοῦ
θεοφιλεστάτου ἐπισκόπου Ἰωάννου ὑπόνοια ἡμῶν οὐκ εἰκαία οὐδὲ μάταιος· ἐλθὼν γὰρ δῆλον
ἑαυτὸν ἐποίησε τῆι ἁγίαι σύνοδωι ὡς τὰ Νεστορίου φρονεῖ εἴτε φιλίαι χαριζόμενος εἴτε
4 κοινωνῶν τῆι πλάνηι τοῦ δόγματος ἐκείνου. ἀλλ' ἐπειδὴ σαφῶς τὰ πεπραγμένα γνωρίζειν
τῶι ὑμετέρωι κράτει κωλύομεθα, ὡς ἔφημεν, τοῦ μεγαλοπρεπεστάτου κόμητος Κανδιδιανοῦ
ἡμᾶς μὲν κωλύοντος γνωρίζειν τὰ κατὰ τὸν εὐσεβῆ λόγον πεπραγμένα, πᾶσαν δὲ σπουδὴν
νέμοντος Νεστορίωι, δεόμεθα τοῦ ὑμετέρου κράτους ὑπὲρ τοῦ γνωσθῆναι τὴν κατὰ θεὸν
σπουδὴν τῆς ἁγίας συνόδου μετασταλῆναι τὸν μεγαλοπρέπεστατον Κανδιδιανὸν καὶ πέντε τῆς
ἁγίας συνόδου συστησομένους τοῖς πεπραγμένοις ἐπὶ τῆς ὑμῶν εὐσεβείας. δεινοὶ γάρ
εἰσιν οἱ ἕτερα παρὰ τὴν ὀρθὴν πίστιν φρονοῦντες συσκιάζειν τὴν πλάνην, ὡς καὶ τινὰς
τῶν ἁγιωτάτων ἐπισκόπων κρυπτομένης μὲν τῆς πλάνης παρὰ Νεστορίου δελεασθῆναι καὶ L III 749

VM, P [= hk], S, D [= mn], WΛtΛc

1 ὑπομνήμασι — πεπραγμένοις] τοῖσ πεπραγμένοισ ὑπομνήμασιν P 2 καθείλαμεν D 3 ἵν' D ἀλλὰ MP 6 κόμης om. P 8 ἐπιστῆναι D 9 γεγραμμένοισ P λεγομένοισ S 10 ὑμέτερον VP πεπραγμένων S 12 τὰ αὐτὰ — ἐκθέμενοι δόγματα MP παραβάλλοντεσ SD παραλαβόντεσ M 12/13 κηρυττομένου S 13 νεστορίου VMPΛ αὐτοῦ SDW 14 δημοσία PW γινομένων M γεγενημένων W 15 δεσπότην τῶν ὅλων VMP 16 τὴν ἀνθρώπου SDW φιλανθρωπίαν S 17 αἰσθανόμενοι D 18 τοῦ VM τοῦ τῆσ SW τῆσ D om. P φίλα W 19 τὴν om. VMP 20 τῆσ θεοφιλοῦσ πίστεωσ τῆσ ἄνωθεν παραδεδομένησ V ἀνεβάλετο VW 21 καὶ ἠναγκάσθημεν VMP 22 τῆ ἁγία συνόδω D 23 ἐπίσκονον om. P 24 ἁπάντων MP 25 τοὺς om. W 26 Ἰωάννου om. V 27 φρονῶν D 28 κοινωνῶν — πλάνῃ SDWΛ κοινωνόσ ὢν τῆσ πλάνησ VMP ἐκείνου SDΛ ἐκείνω VMPW 30 τὴν σπουδὴν SD 32 μετασταλῆναι WΛ μετασταλῆναί τε SD καὶ μετασταλῆναι μὲν VMP 33 συστησομένουσ DΛ συστησομένου S συστησομένοισ W συστησαμένουσ V συστημένουσ M συστησαμένου P ἡμῶν P ἁγίασ ὑμῶν S 33/34 εὐσεβείας — φρονοῦντες om. P 34 ὀρθὴν] εὐσεβῆ M 35 μὲν VMPΛ om. SDW παρὰ om. W

προσθέσθαι αὐτῶι τοῖς τε ὑπ' αὐτοῦ πραττομένοις ὑπογράψαι, ἐπειδὴ δὲ σαφῶς ἐρωτήσαντες αὐτὸν εὗρον ἄνακαλύπτοντα ἑαυτοῦ τὰς βλασφημίας, ἀποστάντες ἐκείνου τῆι ἁγίαι προσῆλθον συνόδωι, αὐτὴν τὴν βλασφημίαν αὐτοῦ δήλην καταστήσαντες καὶ μεθ' ἡμῶν καταψηφισάμενοι τοῦ μνημονευθέντος Νεστορίου, ὡς ἀπολειφθῆναι παρὰ Νεστορίωι καὶ τῶι εὐλαβεστάτωι ἐπισκόπωι Ἰωάννηι τῶι Ἀντιοχείας τριάκοντα καὶ ἑπτὰ μικρῶι πρός (ὧν οἱ πλείους ὑπεύθυνοι ὄντες αἰτίαις καὶ τὴν ψῆφον δεδιότες τῆς ἁγίας συνόδου, ὡς ἔφημεν, προσέθεντο Νεστορίωι, ὧν καὶ τὰς προσηγορίας ἀπεστείλαμεν τῶι ὑμετέρωι κράτει), τοὺς
M 1111 1425 μὲν ἐπὶ δογμάτων διαστροφῆι ὡς Πελαγιαν ὑς τε ὄντας καὶ ἐναντία τῆς εὐσεβείας φρονήσαντας, τοὺς δὲ καθηιρημένους ἤδη πρὸ πλειόνων ἐνιαυτῶν, τοὺς δὲ ἐφ' ἑτέραις αἰτιάσεσι πονηραῖς ὀφείλοντας μετὰ τὸν ἔλεγχον τὸ ἐπιτίμιον δέξασθαι παρὰ τῆς συνόδου ἐχούσης πάντας τοὺς τῆς οἰκουμένης ἁγιωτάτους ἐπισκόπους ἓν καὶ τὸ αὐτὸ φρονήσαντας διὰ τὸ καὶ τὸν τῆς μεγάλης Ῥώμης συμπαρεῖναι τῆι συνόδωι καὶ τοὺς τῆς Ἀφρικῆς διὰ τοῦ θεοσεβεστάτου καὶ ἀρχιεπισκόπου Κυρίλλου, ὧι καὶ τὴν ἑαυτῶν γνώμην ἐνώσαντες, κεχωρισμένοι μόνωι τῶι τόπωι, τῆι αὐτοῦ τε καὶ ἁπάντων ἡμῶν ψήφωι συνήινεσαν. οὐδὲ γὰρ ἂν συνῆλθε Νεστορίωι τις καὶ τῶι εὐλαβεστάτωι ἐπισκόπωι Ἰωάννηι τῶν θεοφιλεστάτων ἐπισκόπων, εἰ μὴ αὐτός τε δεινὸς ἦν σχήμασι λόγων ἐπικαλύπτειν ἑαυτοῦ τὴν δυσσέβειαν οἵ τε νῦν σὺν αὐτῶι ὄντες ἐδεδοίκεσαν τὸ παρὰ τῆς ἁγίας συνόδου μέλλον ἐπ' αὐτοῖς ὁρίζεσθαι ἐπιτίμιον. ἡμεῖς δὲ συσχεθέντες δι' ὀλίγων ἀντιγράψαι τῶι ὑμετέρωι κράτει τὸ πλάτος ὧν πεπόνθαμεν καὶ παρὰ τοῦ μεγαλοπρεπεστάτου κόμητος Εἰρηναίου, οὐ δεδυνήμεθα τοῦ πᾶσαν διαταράξαντος τὴν ἁγίαν σύνοδον καὶ φόβον ἐπικρεμάσαντος τοῖς ἁγιωτάτοις ἐπισκόποις διὰ θορύβων τινῶν καὶ τῆς ἔξω περιδρομῆς, ὡς καὶ τοὺς πλείονας ἡμῶν περὶ αὐτοῦ κινδυνεύειν τοῦ ζῆν, ἀλλὰ κατὰ μέρος ἀναδιδάξομεν τὸ ὑμέτερον κράτος, εἴπερ ἡμῖν ὃ ἠιτήσαμεν, παρασχεθείη παρὰ τῆς ὑμετέρας εὐσεβείας καὶ παραγενόμενοι πέντε τῆς ἁγίας συνόδου τὰ καθ' ἕκαστον τετυπωμένα τὸ ὑμέτερον ἀναδιδαξάτωσαν κράτος. καὶ οἱ μὲν συνεδρεύσαντες καὶ κανονικὴν ἐξενέγκαντες κατὰ τοῦ αἱρετικοῦ Νεστορίου τὴν ψῆφον τῆς καθαιρέσεως ἐσμὲν ὑπὲρ τοὺς διακοσίους, ἐξ ἁπάσης τῆς οἰκουμένης συνειλεγμένοι, συμψηφιζομένης ἡμῖν καὶ πάσης τῆς Δύσεως· ὑπεγράψαμεν δὲ ὀλίγοι τῆιδε τῆι ἀναφορᾶι, παρόντων πάντων καὶ συναινούντων, τῶι μάλιστα κατεπείγεσθαι τὸν καθωσιωμένον μαγιστριανὸν Παλλάδιον καὶ μὴ περιμένειν τὸ βράδος τῆς πάντων ὑπογραφῆς.

Ὁ θεὸς ὁ ἐπὶ πάντων τὴν βασιλείαν ὑμῶν πολλαῖς ἐτῶν περιόδοις διαφυλάττοι, εὐσεβέστατοι νικηταὶ ἀεὶ αὔγουστοι.

Φλαυιανὸς ἐπίσκοπος Φιλίππων ὑπέγραψα.

6 Καὶ ἔστι τὰ ὀνόματα οὕτως· Ἰωάννης Ἀντιοχείας Συρίας, [2]Ἰουλιανὸς [3]Μακάριος [4]Διο-

---

33 sq. ad hunc catalogum quam proxime accedit ille XXXVI episcoporum qui inest uersioni latinae epistulae canonicae, quae extat in Collectione C 311 [uol. IIII p. 242]

VM, P [= hk], S, D [= mn], W [usque ad. 31], Λ^{ic}

1 προθέσθαι M θέσθαι in προθέσθαι corr. W 2 βλασφημίας] πλημμελείασ M 3 καταστήσοντεσ W ποιήσαντεσ V 4 καταψηφισόμενοι W παρὰ om. P 6 αἰτίαν M 9 καθηιρημένους — τοὺς δὲ om. M πολλῶν VP αἰτιάσεσι SDWΛ αἰτίαισ VMP 10 τὸ ἐπιτίμιον τῆσ οἰκουμένησ SDW τῆσ ἁγιωτάτησ SDW τῆς ἁγίας Λ 11 τῆς οἰκουμένης om. SDW 12/13 εὐσεβεστάτου P 13 καὶ om. MSDW ἀρχιεπισκόπου om. M 13 ὧι] οἳ P 14 τῶι om. P πάντων VMP 16 σχήμασι VMP ἐν σχήμασι SD ἐν σχήματι W *sub schemate* Λ λόγων SDWΛ λογισμῶν VMP 17 ἐδεδοίκησαν VP 18 γράψαι V 20 ἐκκρεμάσαντοσ W 21 ἐπιδρομῆσ V περὶ, superscr. παρὰ V 22 τὰ κατὰ PD καὶ κατὰ Λ *uestram serenitatem* Λ 22. 24 ἡμέτερον S 24 ἀναδιδαξάτωσαν VMP *doceant* Λ ἀναδιδάξομεν SDW scribendum ἀναδιδάξειαν, nisi locus ut multi alii huius relationis, propter festinationem male redactus esse uideretur 25 καὶ om. SDW ἐξενεγκόντεσ SDW 28/29 τὸν μαγιστριανὸν τὸν καθωσιωμένον W 29 παραμένειν D τὸ om. VP πάντων om. VS 30/31 ter habet Λ 32—p. 13, 7 om. W 33 ἔστι καὶ P *nomina eorum contra quos scriptum est* Λ nominum

γένης [5]Ἀλέξανδρος [6]Πλάκων [7]Ἀπρίγγιος [8]Θεοδώρητος [9]Ἀλέξανδρος [10]Μελέτιος [11]Ἡλιάδης [12]Παῦλος [13]Ἰωάννης [14]Μαρκελλῖνος [15]Μουσαῖος [16]Μαξιμῖνος [17]Ἑλλάδιος ‹[18]Δεξιανὸς [19]Ἑλλάδιος› [20]Ἀστέριος [21]Γερόντιος [22]Δωρόθεος [23]Ἀντίοχος [24]Ζεβινᾶς [25]Ἰάκωβος [26]Φριτίλας [27]Πέτρος [28]Θεοσέβιος [29]Ἰμέριος [30]Ἀναστάσιος [31]Εὐθήριος [32]Βασίλειος [33]Τραγκυλῖνος. οὗτοι I III 752
μόνοι κοινωνοὶ τῶν ἀσεβῶν δογμάτων Νεστορίου περιόντες κατὰ τὴν πόλιν θορύβους καὶ στάσεις κινοῦσι χειροτονίας ἐπαγγελλόμενοι, ὡς πάντας τοὺς ἐν τῇ πόλει ὀρθοδόξους ὄντας καὶ τὸν περὶ τούτου φόβον ὑποπτεύοντας κωλύειν αὐτοὺς τῆς ἀτόπου ἐπιχειρήσεως.

85 = S 50. Latina uersio extat in Collectione CT 36

Ἐπιστολὴ γραφεῖσα παρὰ τῆς ἁγίας συνόδου πρὸς τὸν κλῆρον καὶ τὸν λαὸν Κωνσταντινουπόλεως περὶ τῆς καθαιρέσεως Νεστορίου L III 633 M IIII 1304

Ἡ ἁγία καὶ μεγάλη καὶ οἰκουμενικὴ σύνοδος ἡ χάριτι θεοῦ συναχθεῖσα ἐν τῇ Ἐφεσίων μητροπόλει τοῖς θεοσεβεστάτοις καὶ εὐλαβεστάτοις συμπρεσβυτέροις καὶ συνδιακόνοις καὶ παντὶ τῷ κλήρῳ καὶ τῷ λαῷ τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας τῆς ἐν Κωνσταντινουπόλει ἐν κυρίῳ χαίρειν. Ἐπὶ τὸ πολυστένακτον ἤλθομεν μήνυμα, πρότερον μὲν ἐπὶ τῷ γεγονότι δακρύσαντες, ὑπὸ δὲ τῆς ἀνάγκης αὐτῆς καὶ τοῦ μὴ πολλοὺς ἁλῶναι τῷ τῆς ἀσεβείας λοιμῷ ἐκκόψαι τὸν αἴτιον τῆς νόσου ταύτης. πέπαυται γὰρ τῆς ἱερωσύνης Νεστόριος πάρεργον τῆς ἑαυτοῦ ἀσεβείας γενόμενος, ἧς μάρτυρες ὑμεῖς ἐκ τῶν προς ὑμᾶς τολμηθεισῶν πολλάκις παρ' αὐτοῦ διαλέξεων, προσθήκη δὲ τῶν κακῶν καὶ η ἐνταῦθα βλασφημία. οὔτε γὰρ ἡ ἐπαγγελθεῖσα ἁγία σύνοδος οὔτε το πλῆθος τῶν ἐν εὐσεβείαι συνειλεγμένων ἐπέσχεν αὐτὸν τῆς ὁρμῆς, ἀλλὰ προσέθηκε βλασφημίας χαλεπωτέρας, διμηνιαῖον καὶ γαλακτοτροφηθέντα μὴ ἂν ἐλέσθαι προσκυνεῖν καὶ τον εἰς Αἴγυπτον φυγόντα μὴ ὀνομάζειν θεόν, ως ἐντεῦθεν πᾶσαν τὴν δι' ἡμᾶς παρὰ τοῦ σωτῆρος γενομένην οἰκονομίαν μικροῦ γενεσθαι τοῖς ἁπλουστέροις ἀμφίβολον τῆς δὲ ὑμετέρας εὐχῆς γενέσθω ἔργον επιτεταμένως επιτελουμένης προς θεὸν τον ἄξιον τοῦ θρόνου καὶ τῆς μεγαλοπόλεως ἀναδειχθῆναι τον ἐπισκοπήσειν τὰ ὑμέτερα μέλλοντα. τῆς γὰρ βασιλευούσης εὐσεβῶς ἰθυνομένης πόλεως, κοινὸν ταῖς ἁπανταχοῦ ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις τὸ κέρδος γίνεται.

Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας ἐρρῶσθαι ὑμᾶς ἐν κυρίῳ εὔχομαι, ἀγαπητοὶ καὶ ποθεινότατοι

Φίλιππος πρεσβύτερος ἐκκλησίας ἀποστόλων

Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων

VM, P [= hk], S, DΛιΛc

ordinem exhibui secundum SD, antiquissimus, in columnis dispositus et numeris signatus extat in Λ, ita se habens 1 3 2 5 4 7 6 9 8 11. 10. 13 12 15 14 17. 16 19 18. 21 20 23 22 25 24 27 26 29 28 31. 30 33 32, VMP ita disponunt 1 3 17. 2 33 5 16 4 19 7. 18 6. 21 9 20 8 23 11 [11 om. V] 22 10 25 [25 om V]. 13 24. 12 27 [27 12 M] 15 26 14 29 28. 31. 30. 32

[1] ἐπίσκοποσ ἀντιοχείασ D ἐπίσκοποσ S [6—9] om S [8] θεοδώριτοσ P [10] μελίτιοσ SD [14] μαρκέλλιοσ S [16] μαξιμῖνοσ VMPΛ μάξιμοσ SD [18 19] suppleui ex ΛVP [21] ζεβινᾶσ DΛ ζεβῖνοσ VMPS [26] φριτίλλασ P φριτίλοσ SD [33] τρακυλλῖνοσ S τρακυλῖνοσ D

5 περιόντεσ M 6 ὡς SDΛ πρὸς V om MP ὄντασ ὀρθοδόξουσ VMP in fine add *Dat Kal Iulias* ΕΠΙΦ Ζ ΙΝΔ ΙΕ Λ

VM, P [= hk], S, D [= mn], WΛιΛc

9 πε V ος P ν SD ἴσον ἐπιστολῆσ γραφείσησ VMP 10 περὶ — Νεστορίου om VMP 11 σύνοδοσ καὶ οἰκουμενικὴ VMP 12 καὶ εὐλαβεστάτοισ VMPΛ om SDW διακόνοισ VMP 13 τῶι[2] om S 13/14 τοῦ — Κωνσταντινουπόλει] κωνσταντινουπόλεωσ W 15 τοῦ VMPΛ τῶ SDW 16 ἐκκόψαι MPΛ βιασθέντεσ ἐκκόψαι V ἐκκόψαντεσ SDW τὸ P 17 γινομένησ S ἡμεῖσ D πρὸς ὑμᾶς om MP 19 ἐπανελθοῦσα SD ἐν om V 20 διμηναῖον W 21 ἂν ἐλέσθαι PDW ἀνελέσθαι S ἀνέλεσθαι M ἀνέχεσθαι VΛ 24 ἐπιτεταμένωσ P τελουμένησ VMP τον θν VMP τῶ θρόνω VMP καὶ om VΛι μεγάλησ πόλεωσ P 25 μέλλοντα] λελαχόντα S 25/26 εὐθυνομένησ V εὐθυνουμένησ MP 26 τοῦ θεοῦ om D 27/28 ποθεινότατοι ἀδελφοί SD

Ἀρκάδιος ἐπίσκοπος ληγάτος
Προίεκτος ἐπίσκοπος ληγάτος
Φίρμος ἐπίσκοπος Καισαρείας
Φλαυιανὸς ἐπίσκοπος Φιλίππων
M IIII 1305 Μέμνων ἐπίσκοπος Ἐφέσου
Θεόδοτος ἐπίσκοπος Ἀγκύρας
Βερηνιανὸς ἐπίσκοπος Πέργης

Ὄντων τῶν καθελόντων Νεστόριον ὑπὲρ τοὺς διακοσίους, ἠρκέσθημεν ταῖς ἐγκειμέναις ὑπογραφαῖς.

86 = S 51 [= 110]. Latina uersio extat in Collectione CT 37

L III 756 M IIII 1432 Ἐπιστολὴ γραφεῖσα παρὰ τοῦ κλήρου Κωνσταντινουπόλεως πρὸς τὴν ἁγίαν σύνοδον

Τοῖς θεοσεβεστάτοις καὶ ὁσιωτάτοις πατράσιν ἡμῶν τοῖς ἀθροισθεῖσιν κατὰ πρόσταγμα τῶν εὐσεβεστάτων βασιλέων ἐκ τῆς ὑφ' ἥλιον ἐν τῇ Ἐφεσίων μητροπόλει Κυρίλλωι Ἰουβεναλίωι Μέμνονι Φλαυιανῶι Φίρμωι Θεοδότωι Ἀκακίωι Ἀμφιλοχίωι Ἐλευσίωι Παλλαδίωι Βερηνιανῶι Ἰκονίωι καὶ πάσηι τῆι λοιπῆι ἁγίαι συνόδωι παρὰ Δαλματίου Τιγρίου Σαμψωνίου Μαξιμιανοῦ Ἰωάννου Εὐάνδρου Μοδεστιανοῦ Ἀδελφίου Φιλοθέου Εὐλογίου Βασιλίσκου Φλωρεντίου καὶ παντὸς τοῦ κατὰ Κωνσταντινούπολιν κλήρου. Ἀεὶ καὶ ἐκ νέας ἡλικίας τῶι ὀρθοδόξωι δόγματι σεμνυνόμενοι τὴν τῶν ἁγίων πατέρων παράδοσιν φυλάττειν σπουδὴν τιθέμεθα. ταύτης δὲ πάλιν παρὰ τῆς ὑμετέρας ἁγιωσύνης πρώην εἰς μνήμην ἀχθέν-
ep. 67 τες δι' ὧν ὁ θεοσεβέστατος καὶ ἁγιώτατος ἀρχεπίσκοπος Κύριλλος ἐπιστεῖλαι πρὸς ἡμᾶς κατηξίωσε, χάριν ὡμολογήσαμεν τῶι σωτῆρι θεῶι. ὑπόγυον τοίνυν τὰ ὑπὲρ τῆς αὐτῆς πίστεως κατορθώματα πολλὰ καὶ μεγάλα δῆλα κατέστη ἡμῖν, διὸ καὶ τὴν καθαίρεσιν τοῦ πάλαι προεδρεύσαντος ἡμῶν Νεστορίου διὰ τὸ παραχαράξαι τὰ ἀποστολικὰ καὶ εἰλικρινῆ εὐσεβῆ τε διδάγματα γεγενῆσθαι παρὰ τῆς ὑμετέρας γνόντες θεοσεβείας τοὺς μνημονευθέντας ἡμῖν χάρτας παρὰ τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων Θεοδοσίου καὶ Οὐαλεντινιανοῦ ὡς ἀποσταλέντας παρ' ὑμῶν, ὁσιώτατοι, ἐδεξάμεθα καὶ ἐπὶ τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας ἀθροισθείσης πανδήμου ἀναγνωσθῆναι εὐθὺς πεποιήκαμεν. ἵστω οὖν ἡ ὑμετέρα ἁγιωσύνη ὡς ὁ λαὸς σύμφωνος ἡμῖν γεγένηται καὶ πολλαῖς εὐφημίαις εἴς τε τὴν ὑμετέραν ἁγίαν καὶ οἰκουμενικὴν ἐχρήσατο σύνοδον εἴς τε τοὺς τροπαιούχους βασιλέας τοὺς φροντίδα ποιησαμένους τῆς θεοφιλοῦς ὑμῶν συνελεύσεως. ἡμεῖς δὲ ἡσθέντες τὰ ἐν χερσὶν ἀντεγράψαμεν, καὶ δὴ παρακαλοῦμεν ὑπερεύχεσθαι μὲν ἡμῶν τὴν ἀοίδιμον ὑμῶν

VM, P [hk], S, D [= mn], WΛtΛc

1—9 καὶ οἱ λοιποί: καὶ γὰρ ἦσαν οἱ καθελόντεσ νεστόριον ὑπὲρ τοὺσ διακοσίουσ W 1—3 ληγάτος — ἐπίσκοπος om. S 2 om D 6 ἐπίσκοπος om. M ἀγκύρων VMP 7 βεριανὸσ V βερεανὸσ MP ἐπίσκοπος om. M 8 σ' V

VM, P [= hk], S, D [= mn], S_1, D_1 [= m_1n_1], WΛtΛc

πῆ̄ς V οζ̄ P νᾱ SD 11 ἴσον ἐπιστολὴσ γραφείσησ VMPS_1D_1 12 θεοφιλεστάτοισ W 13 ἐκ om. VMPS_1D_1 ἡλίω VPS_1m_1 13—17 Κυρίλλωι — Φλωρεντίου om. M 13 Κυρίλλωι om. P 15 βερηνιανῶ SD οὐηρινιανῶ D_1Λ οὐηρηνιανῶ· S_1 βερονιανῶ W εἰρηνιανῶ VP εἰκονίω S_1 πάσηι SDWΛ om. VPS_1D_1 15—17 παρὰ — κλήρου om. W 16 *Euandrio* Λc δομεστιανοῦ S_1 δομετιανοῦ D_1 ἀδελφειοῦ V ἁλογίου S 17 καὶ] παρὰ M κατὰ τὴν MP ἁγίαν ἐκκλησίαν κλήρου M ἀεὶ γὰρ S_1 ἐπεὶ D 19 ταύτην S_1 πρώην SDWΛ πρῶν MP πρε̄σ S_1D_1 om. V 19/20 ἀχθέντεσ VMPΛ ἐλθόντεσ SDWS_1D_1 20 θεοφιλέστατοσ Λ 21 Χριστῶι Λ ὑπόγυον SDW ἐπεὶ γοῦν VMPS_1 ἐπεὶ D_1 αὐτῆσ ὀρθῆσ SD 23 ἡμῖν MPS_1D_1 καὶ om. VMP 24 πυρὰ τῆσ ὑμετέρασ γεγενῆσθαι S_1D_1 25/26 οὐαλεντιανοῦ D 26 ὁσιώτατα P ὁσιωτάτουσ S_1D_1 ἁγίας om. S_1D_1 27 ἀθροισθέντεσ πανδημεὶ P εὐθύ hS$_1$ 29 σύνοδον ἐχρήσατο WS_1D_1 ἐχρήσαντο σύνοδον VM 31 καὶ δὴ καὶ VMPS_1 ὑπερεύχεσθαι — ἡμῶν VMS_1D_1 ὑπερεύχεσθαι ἡμῶν P εὔχεσθαι μὲν ὑπὲρ ἡμῶν SDW ἀίδιον MP

θεοσέβειαν, φροντίδα δὲ θέσθαι τοῦ λειπομένου εἰς κατάστασιν τῆς παρ' ἡμῖν ἁγίας τοῦ θεοῦ ἐκκλησίας. τοῦτο γὰρ καὶ μόνον ὑπόλοιπον εἶναι συνορᾶι ἡ ὑμετέρα μεγάλη τοῦ ὀρθοῦ δόγματος πρόνοια ὥστε πάντα ἐπὶ πέρας ἀχθῆναι τῶι δεσπότηι ἀρέσκον Χριστῶι καὶ μηδενὶ ἑτέρωι ἐπιγραφῆναι, ἀλλὰ τῆι ὑμετέραι ἁγιότητι τὰ καθ' ἡμᾶς ἅπαντα καὶ τοῖς εὐσεβεστάτοις καὶ φιλοχρίστοις βασιλεῦσιν.

Δαλμάτιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης πατὴρ μοναστηρίων ὑπερεύχεσθαί μου παρακαλῶ τὴν ὑμετέραν ἁγιωσύνην.

87—90 = S 54—59 A 37. 38. Latina uersio extat in Collectione CT 39 et in Collectione Veronensi 20

Λίβελλοι ἐπιδοθέντες τῆι ἁγίαι συνόδωι παρὰ τῶν ἁγιωτάτων ἐπισκόπων Κυρίλλου Ἀλεξανδρείας καὶ Μέμνονος Ἐφέσου L III 633 M IIII 1305

Τοῖς μετὰ τὴν ὑπατείαν τῶν δεσποτῶν ἡμῶν Φλαυίου Θεοδοσίου τὸ τρισκαιδέκατον καὶ Φλαυίου Οὐαλεντινιανοῦ τὸ τρίτον τῶν αἰωνίων αὐγούστων τῆι πρὸ ιζ̄ Καλανδῶν Αὐγούστων L III 636 d. 16. m. Iul. a. 431

συνόδου συγκροτηθείσης ἐν τῆι Ἐφεσίων μητροπόλει ἐκ θεσπίσματος τῶν θεοφιλεστάτων καὶ φιλοχρίστων βασιλέων

καὶ καθεσθέντων ἐν τῆι ἁγιωτάτηι ἐκκλησίαι τῆι καλουμένηι Μαρίαι τῶν θεοφιλεστάτων καὶ θεοσεβεστάτων ἐπισκόπων Κυρίλλου Ἀλεξανδρείας, διέποντος καὶ τὸν τόπον τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου τῆς Ῥωμαίων ἐκκλησίας Κελεστίνου, καὶ Ἀρκαδίου ἐπισκόπου καὶ ληγάτου τῆς Ῥωμαίων καθέδρας καὶ Προιέκτου ἐπισκόπου καὶ ληγάτου τῆς Ῥωμαίων καθέδρας καὶ Φιλίππου πρεσβυτέρου καὶ ληγάτου καὶ Ἰουβεναλίου Ἱεροσολύμων καὶ Μέμνονος τῆς Ἐφεσίων καὶ Φλαυιανοῦ Φιλίππων, ἐπέχοντος καὶ τὸν τόπον Ῥούφου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Θεσσαλονικέων καὶ πάντων τῶν προταγέντων ἐπισκόπων ἐν τῆι στάσει τῶν ὑπομνημάτων

Ἡσύχιος διάκονος εἶπεν· Ὁ τὰ πάντα ἁγιώτατος καὶ ὁσιώτατος ἀρχιεπίσκοπος τῆς Ἀλεξανδρέων ἁγίας ἐκκλησίας Κύριλλος καὶ ὁ ἁγιώτατος καὶ θεοσεβέστατος ἐπίσκοπος τῆς Ἐφεσίων Μέμνων λίβελλον ἐπιδεδώκασι τῆι ἁγιωτάτηι καὶ οἰκουμενικῆι συνόδωι τῆι κατὰ θέσπισμα τῶν θεοφιλεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων ἐν τῆιδε τῆι Ἐφεσίων μητροπόλει συγκροτηθείσηι, ὃν μετὰ χεῖρας ἔχοντες, εἰ κελεύσειεν ἡ ὑμετέρα ἁγιότης, ἀναγνωσόμεθα.

88 1 Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Ἀναγινωσκέσθω ὁ ἐπιδοθεὶς λίβελλος παρὰ

VM, P [= hk], S, D [= mn], W, S_1, D_1 [= m_1n_1], $\Lambda^t\Lambda^c$

1 φροντίσαι δὲ τοῦ VMPS$_1$D$_1$ 2 εἶναι om. P μεγάλη VMSWS$_1$D$_1$Λ γαληνὴ D om. P 3 ὀρθοῦ SDWΛ ὀρθοδόξου VMPS$_1$D$_1$ ἀρέσκον Λ^t ἀρέσκοντα VMPSDWS$_1$D$_1\Lambda^c$ 7 τὴν — ἁγιωσύνην VMPS$_1$D$_1$Λ ὦ θεία καὶ ἱερὰ συνέλευσις SDW

V, P [= hk], S, D [= mn], $A\Lambda^t\Lambda^c\Lambda^u$

superscr. πρᾶξις πρώτη SD πζ̄ V οη̄ P νδ SD 10 λίβελλος ἐπιδοθεὶς SD τῆι — συνόδωι om. VP 10/11 κυρίλλου — ἐφέσου SDAΛ^{tc} κυρίλλου καὶ μέμνονος VP 11 post Ἐφέσου iterum superscr. ὑπομνήματα πραχθέντα ἐν ἐφέσῳ ἐν οἷς ἀκοινωνησίαν ὥρισε κατὰ τῶν ἀνατολικῶν SD 12 ιγ̄ D 13 βλαβίου V οὐαλεντίνου SD δεκαεπτὰ VPA Καλανδῶν om. P 14 κροτηθείσης PS ἐν om. S 18 καὶ ὁσιωτάτου om. VP ἐπισκόπου S 18—23 καὶ Ἀρκαδίου — ὑπομνημάτων om. Λ^{tu} 18/19 καὶ Ἀρκαδίου — καθέδρας om. VP 19/20 καὶ ληγάτου — καθέδρας VPΛ^c τῆς ῥωμαίων καὶ αὐτοῦ ἐκκλησίας τυγχάνοντος SDA 20 καὶ Φιλίππου — ληγάτου om. VP *legato Romanorum sedis* Λ^c 22 τῆς om. SDA 22/23 πάντων — ὑπομνημάτων SDAΛ^c φίρμου καισαρείας καππαδοκίας πρώτης καὶ ἀκακίου μελιτηνῆς καὶ θεοδοσίου ἀγκύρας γαλατίας πρώτης καὶ τῶν λοιπῶν πάντων καὶ βεσσούλα [σεβουλᾶ V] διακόνου καρθαγένης VP 25 ἁγίας AΛ^{tc} om. VPSDΛ^u θεοφιλέστατος D 25/26 ἐν ἐφέσῳ SDA 26 λιβέλλους AΛ 27 τῆιδε] δὲ S 27/28 τῆ μητροπόλει τῆ ἐφεσίων VP 28 κροτηθείση S οὖσ SΛ 30 πη̄ V οθ̄ P

τῶν ἁγιωτάτων καὶ ὁσιωτάτων ἐπισκόπων Κυρίλλου τῆς Ἀλεξανδρέων καὶ Μέμνονος τῆς Ἐφεσίων καὶ ἐνταττέσθω τοῖς πραττομένοις.

Ἡσύχιος διάκονος ἀνέγνω

2 Τῇι ἁγίαι συνόδωι τῇι κατὰ θεοῦ χάριν καὶ θέσπισμα τῶν θεοφιλεστάστων καὶ φιλοχρίστων βασιλέων συναχθείσηι ἐν τῇιδε τῇι Ἐφεσίων μητροπόλει Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας καὶ Μέμνων τῆς Ἐφεσίων. Εὐσεβὲς θέσπισμα ἐν τῇιδε τῇι Ἐφεσίων μητροπόλει καὶ ἡμᾶς
M IIII 1308 καὶ τὴν ὑμῶν ὁσιότητα συνδραμεῖν ἐκέλευσεν, ὥστε τὸν ὀρθὸν τῆς ἀποστολικῆς πίστεως ὅρον κοινῆι ψήφωι κρατυνθῆναι, δοκιμασθῆναι δὲ καὶ τὴν καινοτομηθεῖσαν αἵρεσιν παρὰ Νεστορίου. ἀλλ' ἡ μὲν ἁγία ὑμῶν σύνοδος, ὀρθὰ καὶ κανονικῶς πάντα πράττουσα, συνήδρευσε μὲν ἐν τῇι ἁγίαι ἐκκλησίαι τῇι κατὰ τήνδε τὴν μητρόπολιν, ἐκάλεσε δὲ τὸν μνημονευθέντα Νεστόριον ὥστε εἰσελθεῖν εἰς τὸ συνέδριον καὶ ἀπολογήσασθαι ὑπὲρ ὧν ἔν τε ἐξηγήσεσι δεδυσφήμηκε καὶ ἐν ἰδίαις ἐπιστολαῖς ἀσεβεῖς καὶ ἀλιτηρίους ἀφιεὶς φωνὰς κατὰ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ, τρίτον δὲ αὐτὸν κληθέντα καὶ οὐκ ἀνασχόμενον ἀπαντῆσαι διὰ τὸ κακῶι συνειδότι πλήττεσθαι τοῖς τῆς ἐκκλησίας ἑπομένη θεσμοῖς καθαιρέσει ὑποβέβληκε, πάντα ἀκριβῶς ἐξετάσασα τὰ κατ' αὐτὸν καὶ πληροφορηθεῖσα ὅτι καὶ αἱρετικὸς καὶ δύσφημός ἐστι. τούτων οὕτω πραχθέντων καὶ ἀνενεχθέντων εἰς γνῶσιν τῶν εὐσεβεστάτων καὶ καλλινίκων ἡμῶν βασιλέων, ὀψὲ καὶ μόλις τὴν Ἐφεσίων καὶ ὅτε ἠβουλήθη, καταλαβὼν ὁ τῆς Ἀντιοχέων Ἰωάννης συναγαγών, ὡς ἐμάθομεν, τινὰς τῶν τὰ Νεστορίου
L III 637 φρονούντων, ὧν οἱ μέν εἰσι πάλαι καθηιρημένοι, οἱ δὲ οὐδὲ πόλεις ἔχουσιν, ἀλλ' εἰσὶν ὀνόματι μόνωι ἐπίσκοποι, ὥσπερ ἀγανακτήσας ὅτι δεδόξασται Χριστὸς καθαίρεσιν ὑπομείναντος δικαίαν τοῦ βλασφημοῦντος εἰς αὐτόν, οὐκ ἴσμεν ὅπως, εἴ γε ὅλως ἐστὶν ἀληθὲς τὸ θρυλούμενον, πάντα πατήσας θεσμὸν ἐκκλησιαστικὸν καὶ πάσας ὑβρίσας ἐκκλησιαστικὰς ἀκολουθίας ἀσεβὲς καὶ παράνομον συνέταξε χαρτίον καὶ ἡμᾶς τῶι τῆς καθαιρέσεως ὀνόματι δύνασθαι πλήττειν νομίσας ὕβρισεν οὐ φορητῶς, καὶ ταῦτα τῆς μὲν ἁγίας συνόδου τῆς Νεστόριον καθελούσης ὑπὲρ τοὺς διακοσίους τὸν ἀριθμὸν ἁγίους ἐπισκόπους ἐχούσης, ἐκείνου δὲ συλλέξαντος αἱρετικοὺς καὶ διαβεβλημένους ἑτέρους τριάκοντά που τὸν ἀριθμόν, καίτοι οὔτε ὑπὸ θεσμῶν ἐκκλησιαστικῶν οὔτε ἐκ θεσπίσματος βασιλικοῦ ἐξουσίαν ἔχων ἢ δικάσαι τινὶ ἡμῶν ἢ γοῦν ὅλως ἐπιχειρῆσαί τι τοιοῦτον, μάλιστα κατὰ μείζονος θρόνου, ὁπότε εἰ καὶ ἐξῆν αὐτῶι δικάσαι, ἐχρῆν τοῖς κανόσιν ἐξακολουθῆσαι τοῖς ἐκκλησιαστικοῖς καὶ ὑπομνῆσαι τοὺς ὑβρισμένους ἡμᾶς μετὰ τῆς ἄλλης ἁπάσης ἁγίας ὑμῶν συνόδου καλέσαι πρὸς ἀπολογίαν. νυνὶ δὲ τούτων μηδὲν ὑπολογισάμενος μηδὲ τὸν τοῦ θεοῦ φόβον εἰς νοῦν βαλών, κατ' αὐτὴν τὴν ὥραν καθ' ἣν εἰσῆλθεν εἰς τὴν Ἐφεσίων, λεληθότως καὶ οὐδενὸς εἰδότος τὸ σύμπαν ἡμῶν τὸ τολμώμενον κατέπαιξε τῆς ἑαυτοῦ κεφαλῆς, ἵνα μὴ λέγωμεν τῶν τῆς ἐκκλησίας θεσμῶν, καὶ ὑβρίζει ψήφωι καθαιρέσεως τοὺς μηδὲν εἰδότας μέχρι σήμερον κἂν γοῦν ποίαν

V, P [= hk], S, D [= mn], ΑΛιΛcΛu

1 ἐπισκόπων om. S 2 *inserantur* Λtc 4 νε' D 6 ϛ̄ε̄ S *sanctio* [*decretum* Λu] *deoamantissorum imperatorum* [*principum* Λtu] Λicu μητροπόλει om. P 9 ὑμῶν om. P ὀρθὰ καὶ] ὀρᾶ ὡσ Λ *recte et* Λ κανονικὰ SD 10—13 κατὰ τήνδε — κατὰ τοῦ om. P spatio magno relicto 10 ἐκάλεσε Λ ἐκέλευσε VSDA 11 ὥστε om. V 13 μὴ V 15 ὑπέβαλε V 17 ἐβούλετο V 18 τῶν om. S 19 φρονοῦντασ S οὐ S 20 ὁ δὲ ὥσπερ P δεδόξασθαι Λ 21 ὅπως om. Λ 21/22 θρυλλούμενον VPSD 22/23 πάσασ — ἀκολουθίασ SDA πᾶσαν — ἀκολουθίαν ἐκκλησιαστικὴν V πᾶσαν — ἀκολουθίαν P *omnem consequentiam* Λ 23 ἀσεβὲς — καθαιρέσεως om. P συνετάξατο A καὶ om. SΛ 24 πλάττειν P καὶ ταῦτα] καίτοι Λc τῆσ μὲν DA μὲν τῆσ S τῆσ VP τὸν νεστόριον P' 25 τοὺς om. SDA 26 ὑπὸ VSDA ἀπὸ P *ex* Λ 27 ἐκ VP *ex* Λ ὑπὸ SDA τὴν ἐξουσίαν SDA ὑμῶν S ἐξ ἡμῶν V 29 ὑπομνῆσαι abundat 30 ὑμᾶσ S πάσησ D συνόδου ὑμῶν P *nostra synodo* Λtu 31 λαβὼν SA 33 τετολμημένον VP κατέπαιε D κεφαλῆς] κελεύσεωσ S γρ κελεύσεωσ ad τὸ τολμώμενον per signum relatum D in mg. λέγοιμεν VP 34 ὑβρίζη S μὴ PΛ κἂν] καὶ D ποίαν om. P

ἔσχεν εἰς τοῦτο πρόφασιν. ἐπειδὴ τοίνυν ἀκόλουθόν ἐστι μὴ οὕτω πατεῖσθαι τοὺς τῆς ἐκκλησίας θεσμοὺς μηδὲ εἰκῆι φέρεσθαι κατὰ μειζόνων ἢ καὶ λεληθότως τοιαῦτα τολμᾶν ἅπερ οὐκ ἂν ἔδρασεν οὐδὲ εἷς ἕνα τῶν τὸν τελευταῖον ἐν ἐκκλησίαις ἐχόντων βαθμὸν καὶ ὑπὸ χεῖρα πραττόντων τὴν αὐτοῦ, ἐνταῦθα δέ ἐστι μετὰ τῶν τοῦτο συνδεδρακότων αὐτῶι, ἀναγκαίως προσάγομεν τῆι ὑμετέραι θεοσεβείαι τάδε τὰ βιβλία, ὁρκίζοντες κατὰ τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος μεταπεμφθῆναι αὐτόν τε τὸν Ἰωάννην καὶ τοὺς συνδραματουργήσαντας αὐτῶι ὥστε ἐλθόντας εἰς τὴν ἁγίαν σύνοδον ἀπολογήσασθαι ὑπὲρ τοῦ ἰδίου τολμήματος· ἑτοίμως γὰρ ἔχομεν ἀποδεῖξαι αὐτὸν ἀνόσιον καὶ παράνομον τῆς καθ' ἡμῶν ὕβρεως πεποιημένον τὸ ἐγχείρημα. M IIII 1300

8 Ἀκάκιος ἐπίσκοπος Μελιτηνῆς εἶπεν· Περιττὴ μὲν ἡ περὶ τῶν αἰτιαθέντων ὑπόνοια, εἴ γε καὶ αὐτὴ ἀληθὴς εἴη, καὶ περιττὴ ἡ αἴτησις τῶν ἁγιωτάτων καὶ θεοφιλεστάτων ἐπισκόπων Κυρίλλου τῆς Ἀλεξανδρέων καὶ Μέμνονος τῆς Ἐφεσίων (οὐδὲ γὰρ οἷόν τε ἦν τοὺς ἀποστατήσαντας ἀπὸ τῆς ἁγίας συνόδου καὶ προστεθέντας τοῖς τῆι κακοδοξίαι Νεστορίου ἑαυτοὺς συνάψασι καὶ ὑπὸ ἔγκλημα τοσοῦτον καὶ τοιοῦτον γενομένους τολμᾶν τι κατὰ τῶν προέδρων τῆς οἰκουμενικῆς ταύτης συνόδου διαπράττεσθαι, μηδὲ ὅλως ἔχοντας αὐθεντίαν)· ἐπειδὴ δὲ ἤρεσε τῆι ὑμετέραι ὁσιότητι ὥστε καὶ περὶ τούτων αὐτοὺς εἰς κρίσιν ἑλκυσθῆναι, ὑπομνησθεὶς διὰ τῶν εὐλαβεστάτων ἐπισκόπων Ἀρχελάου καὶ Παύλου καὶ Πέτρου ὁ πρόεδρος τῆς τοιαύτης ἀποστασίας ὁ τῆς Ἀντιοχέων ἐπίσκοπος Ἰωάννης περὶ ὧν ἠτιάθη, ἀπολογήσεται τίνι λόγωι τοιαῦτα ἐτόλμησεν.

Καὶ ἀπελθόντων Ἀρχελάου ἐπισκόπου Μύνδου τῆς Καρίας καὶ Παύλου ἐπισκόπου Λάμπης τῆς Κρήτης καὶ Πέτρου ἐπισκόπου Παρεμβολῶν τῆς Παλαιστίνης καὶ ἐπανελθόντων, L III 640

89 1 Φίρμος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· Διδασκέτωσαν οἱ θεοσεβέστατοι ἐπίσκοποι οἱ τὸ δήλωμα διακονῆσαι πρὸς τὸν εὐλαβέστατον ἐπίσκοπον Ἰωάννην ἐπιταχθέντες τίνος ἔτυχον παρ' αὐτοῦ ἀποκρίσεως.

2 Παῦλος ἐπίσκοπος Λάμπης εἶπεν· Πεμφθέντες παρὰ τῆς ἁγίας ὑμῶν συνόδου πρὸς τὸν εὐλαβέστατον ἐπίσκοπον Ἰωάννην τῆς Ἀντιοχέων, πλησιάζοντες τῆι τούτου οἰκίαι ἐθεασάμεθα πλῆθος στρατιωτῶν καὶ ἑτέρων τινῶν ὅπλα καὶ ξίφη ἐπιφερομένων, οἳ μὴ συνεχώρουν ἡμῖν πλησιάσαι τῶι πυλῶνι. μόλις δὲ πλησίον ἐγενόμεθα καὶ πολλῶν ῥηθέντων παρ' ἡμῶν ὅτι εἰρηνικοί ἐσμεν· μὴ γὰρ πλῆθός ἐσμεν; τρεῖς ἐσμεν ἀποσταλέντες, δέξασθε ἡμᾶς· ἡ ἁγία σύνοδος ἀπέστειλεν ἡμᾶς ῥήματα ἔχοντας εἰρηνικὰ κανονικοῦ ἕνεκα πράγματος πρὸς τὸν εὐλαβέστατον ἐπίσκοπον Ἰωάννην, πολλῶν τοίνυν περιεστώτων ἡμᾶς, γνούς, ὡς ἔοικε, τὴν αἰτίαν δι' ἣν ἀπεστάλημεν, οὐκ ἐδέξατο ἡμᾶς, πολλὰ δὲ παρὰ πολλῶν ἐρρέθη, ἐν οἷς καὶ δύσφημα ἦν κατὰ τῆς ἁγίας συνόδου καὶ κατὰ τῆς ὀρθοδόξου πίστεως, ἅτινα διακονῆσαι διὰ τὸν γενόμενον ἐκεῖσε θόρυβον μετὰ ἀκριβείας οὐ δυνάμεθα.

V, P [= hk], S, D [= mn], AΛtΛcΛu

2 ἡ om. VP ταῦτα τολμᾶν VPΛ ταῦτα ποιεῖν SDA 3 τὸν om. P ἐκκλησία PΛ 4 ταττομένων PΛ ἑαυτοῦ V εἰσ τοῦτο συνδεδραμηκότων P 5 τῆι — θεοσεβείαι om. S 5/6 ὁμοουσίου καὶ ἁγίασ SDA 6 αὐτόν τε τὸν SD καὶ αὐτὸν τὲ τὸν VP καὶ αὐτόν τε A 7 ἐλθόντα VP 9 τὸ om. VP 10 νς' D μελίτησ S μὲν καὶ V περὶ om. PΛu αἰτηθέντων Λu 11 εἴ γε] εἴτε Λ αἴτησισ VPΛ αἰτίασισ SDA 12 ἀλεξανδρείασ V οὐδὲ scripsi οὔτε VPA *neque* Λ οὐ SD ἦν οἷόν τε VP 13 ἀπὸ om. P 13/14 τοῖσ τῆ — συνάψασι SDAΛ τῆ — καὶ ἑαυτοὺσ συνάψαντασ VP 14 τοσοῦτον καὶ τοιοῦτον VPΛ τοιοῦτον καὶ τοσοῦτον SDA 15 συνόδου ταύτησ P αὐθεντίαν VPΛ ἐξουσίαν SDA 16 ὥστε om. SDA αὐτῶν τούτουσ V 18 ὑποστασίασ S ὁ] καὶ V 20 μίνδου P μένδου S 21 καὶ om. Λtu Παρεμβολῶν om. A τῆς om. DA 22 καισαρείασ καππαδοκίασ VPΛc καισαρείασ SDA om. Λtu πθ̄ V π̄ P διδασκέσθωσαν V θεοφιλέστατοι D 25 νς̄ S ὑμῶν om. S 26 ἀντιοχείασ S πλησιάζοντεσ δὲ VP 27 μὴ] οὐ μὴ A οὐδὲ V 30 εἰρηνικὰ] κανονικὰ A ἕνεκεν SD 34 διακομίσαι P ἐκεῖ S μετὰ ἀκριβείας om. P δεδυνήμεθα VP

8 Ἀρχέλαος ἐπίσκοπος Μύνδου εἶπε· Πολὺν θόρυβον καὶ κίνδυνον μικροῦ δεῖν ὑπεμείναμεν ἐν τῇι οἰκίαι παραγενόμενοι τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἰωάννου, στρατιωτῶν ξίφη γυμνωσάντων καὶ ξύλα κρατούντων καὶ ἀπειλούντων ἡμῖν καὶ πλήθους ἑτέρου περιεστῶτος, καὶ πολλοὺς παρακαλέσαντες μηνυθῆναι, οὐκ οἶδα δι' ἣν αἰτίαν, οὐκ ἐδέχθημεν.

M IIII 1312 4 Πέτρος ἐπίσκοπος Παρεμβολῶν εἶπε· Παραγενόμενος καὶ αὐτὸς ἅμα τοῖς εὐλαβεστάτοις ἐπισκόποις εἰς τὴν οἰκίαν Ἰωάννου τοῦ εὐλαβεστάτου ἐπισκόπου, πολλῶν στρατιωτῶν ὅπλα ἐμφερομένων καὶ γυμνωσάντων καὶ περιστοιχισάντων ἡμᾶς, καὶ ἑτέρων δὲ πολλῶν σὺν αὐτοῖς ἐκεῖσε θορυβούντων καὶ ἀπειλούντων ἡμῖν καὶ βλάσφημα ἀφιέντων ῥήματα κατὰ τῆς ὀρθοδόξου πίστεως καὶ τῆς ἁγίας ὑμῶν καὶ θεοφιλοῦς συνόδου, παρακαλέσαντες μηνυθῆναι καὶ τὰ παρὰ τῆς ἁγίας συνόδου διακονῆσαι ῥήματα τῶι εὐλαβεστάτωι ἐπισκόπωι Ἰωάννηι, οὐκ ἐδέχθημεν, γνόντος, ὡς οἰόμεθα, τοῦ αὐτοῦ εὐλαβεστάτου ἐπισκόπου Ἰωάννου τὴν αἰτίαν ἐφ' ἣι ἀπεστάλημεν· παρῆσαν γὰρ τινὲς τῶν αὐτοῦ κληρικῶν, οἷς εἰρήκαμεν ὅτιπερ ἀπεστάλημεν παρὰ τῆς ἁγίας συνόδου, οὐδεὶς δὲ ἡμᾶς δεχθῆναι συνεχώρησεν.

5 Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Συνορᾶι ἡ ἁγία ὑμῶν σύνοδος ὅτι ἐγὼ μὲν καὶ ὁ εὐλαβέστατος καὶ θεοφιλέστατος συνεπίσκοπος Μέμνων ἐνταῦθα ἐσμὲν καθαρὸν ἔχοντες τὸ συνειδὸς καὶ τῇι ἑαυτῶν ὑπολήψει συστῆναι ἠὐτρεπισμένοι, ἀλλ' ὡς ἔοικε, μελέτη μία τῶι τε αἱρετικῶι Νεστορίωι καὶ τῶι ὑπερασπίζοντι τῶν αὐτοῦ δογμάτων Ἰωάννηι τῶι τῆς
L III 641 Ἀντιοχέων κατὰ τῶν τῆς ἁγίας ἐκκλησίας ἀπονοεῖσθαι θεσμῶν καὶ καλουμένους εἰς ἀπολογίαν ὧν πεπλημμελήκασιν, ὅπλοις τὰς ἑαυτῶν περιφράττειν οἰκίας ἀπροσίτους τε αὐτὰς ἀποφαίνειν τοῖς κανονικῶς καλοῦσιν εἰς ἀπολογίαν ὧν εὐθύνονται. ἐπειδὴ τοίνυν ὁ μνημονευθεὶς εὐλαβέστατος Ἰωάννης δεδιὼς τὸ ἴδιον πλημμέλημα ποικίλας ἀφορμὰς ὑπερθέσεως ἑαυτῶι πορίζεται, ὡς ἔστιν ἰδεῖν ἀφ' ὧν ἐδίδαξαν οἱ θεοσεβέστατοι ἐπίσκοποι, μᾶλλον δέ, ὡς ἔφην, ἀφ' ὧν ἀπρόσιτον τοῖς ἀποστελλομένοις παρὰ τῆς ἁγίας συνόδου τὴν ἑαυτοῦ κατεσκεύασεν οἰκίαν, δῆλός ἐστιν ἑαυτοῦ καταψηφιζόμενος καὶ τῶν οἰκείων τολμημάτων κατηγορῶν δι' ὧν ὑφορᾶται καὶ δέδιε τὴν ἄφιξιν τὴν εἰς τὴν ἁγίαν ταύτην καὶ μεγάλην σύνοδον. καταξιωσάτω τοίνυν ὑμῶν ἡ ὁσιότης, ἀσυνάρπαστον τὴν ἀκοὴν ἔχουσα καὶ τῇι φύσει τοῦ πράγματος ἐνορῶσα, τὰ μὲν καθ' ἡμῶν ἀνοσίως παρ' ἐκείνου τετολμημένα ταῖς ἐννομωτάταις ἀφανίσαι ψήφοις, ὁρίσαι δὲ τὰ δοκοῦντα κατὰ τοῦ τοιαύτην ὕβριν ἐπενεγκεῖν τολμήσαντος ἡμῖν.

6 Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Ἐχρῆν μὲν Ἰωάννην τὸν εὐλαβέστατον ἐπίσκοπον Ἀντιοχείας ἐνθυμούμενον την ἁγίαν καὶ μεγάλην καὶ οἰκουμενικὴν ταύτην σύνοδον εὐθέως εἰς ἀπολογίαν τῶν ἐπαγομένων αὐτῶι δραμεῖν [καὶ τὸν ἀποστολικὸν θρόνον συνεδρεύοντα ἡμῖν τῆς μεγάλης Ῥώμης] καὶ τῶι ἀποστολικῶι τῆς Ἱεροσολύμων ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὑπακοῦσαι [καὶ τιμῆσαι], παρ' ὧι μάλιστα ἔθος αὐτὸν τὸν Ἀντιοχέων θρόνον ἐξ

V, P [= hk], S, D [= mn], AΛ¹Λ^{c}Λu

1—4 post 5—13 coll. S 1 μίνδου P μένδου S 6 εἰς — ἐπισκόπου om P Ἰωάννου om. S ἐπισκόπου om. Λ^{c} πολλῶν om. D 7 δὲ om. SDA 8 ἐκεῖθεν SDA ἀφιέντων] ἀπειλούντων D 10 τὰ om. A 11 Ἰωάννηι om. S ἰωάννου ἐπισκόπου S 12 ἣν PSD κληρικοί A 13 ὅτι προαπεστάλημεν P ἀπὸ SDA 14 σύνοδοσ ὑμῶν PS 15 ἐπίσκοποσ SDΛ¹ 16 τῇι om. V 17 τε om. A 18 ἀντιοχείασ DA *Antiocheno* Λu ἀντιοχέων ἐπισκόπω VPΛ^{c} 19 ἀπροσίτουσ τε VPA καὶ ἀπροσίτουσ SD 20 ἀπολογίασ V 21/22 ἑαυτῶ πορίζεται ὑπερθέσεωσ SD ἑαυτῶ ὑπερθέσεωσ πορίζεται A 22 αὐτῶ P ὡσ ἔστιν SDAΛ ἔξεστιν V ἔστιν P θεοφιλέστατοι P 23 ἀφ' ὧν om. AΛ παρὰ — συνόδου om S 26 ἡ ὑμῶν VP ἡμῶν ἡ S ἀνάρπαστον D 27 τὴν φύσιν SD παρ' ἐκείνου ἀνοσίωσ P 28 ἐννομωτάτοισ P κατὰ τοῦ SDAΛ κατ' αὐτοῦ VP 29 ὑπενεγκεῖν P ἡμῖν τολμήσαντοσ VP τολμήσαντοσ ὑμῖν S 30 νζ' D 31 σύνοδον ταύτην V σύνοδον P 32/33 καὶ τὸν — Ῥώμης et 34 καὶ τιμῆσαι interpolata esse ipsa oratione proditur. interpolationis finis erat ut Iuuenalis praesumptio mitigaretur, quae post concilium Chalcedonense locum non habebat; cf. Leon. ep. 119. ceterum interpolatione factum est ut θρόνωι post ἀποστολικῶι periret συνεδρεύοντα ἡμῖν θρόνον P 33 ἁγίασ ἱεροσολύμων SDA 34 παρ' ὧ VPAΛ παρὸ SD

ἀποστολικῆς ἀκολουθίας καὶ παραδόσεως ἰθύνεσθαι καὶ παρ' αὐτῶι δικάζεσθαι· ἐπειδὴ δὲ τῆι συνήθει ὑπεροψίαι χρώμενος τὴν ἑαυτοῦ οἰκίαν ὅπλοις περιέφραξε διὰ στρατιωτῶν καὶ ἰδιωτῶν, ὡς οἱ καταθέμενοι θεοσεβέστατοι ἐπίσκοποι οἱ παρὰ τῆς ἁγίας ταύτης συνόδου πεμφθέντες ἐγνώρισαν ἡμῖν, τοῖς κανόσιν ἡμεῖς ἑπόμενοι καὶ τὴν ἀκολουθίαν φυλάττοντες πάλιν ἐκ δευτέρου αὐτὸν ὑπομνησθῆναι ὁρίζομεν. διαβάντες οὖν ἕτεροι θεοσεβέστατοι ἐπίσκοποι μετὰ τῆς αὐτῆς τῆς πρότερον ἐπιεικείας ὑπομνήσουσιν αὐτὸν παραγενέσθαι εἰς τὴν ἁγίαν σύνοδον καὶ ἀποκρίνασθαι τοῖς αὐτῶι ἐπαγομένοις. M IIII 1313

Καὶ ἀπελθόντων Τιμοθέου ἐπισκόπου Τερμεσσοῦ καὶ Εὐδοκιάδος καὶ Εὐσταθίου ἐπισκόπου Δοκιμίου καὶ Εὐδοξίου ἐπισκόπου Χώματος καὶ ἐπανελθόντων, Εὐδόξιος ἐπίσκοπος Χώματος ἐπαρχίας τῆς Λυκίας εἶπεν· Κατὰ τὴν κέλευσιν τῆς ὑμετέρας θεοσεβείας παραγενόμενοι εἰς τὴν οἰκίαν τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἰωάννου τῆς Ἀντιοχέων, εὕρομεν καὶ στρατιώτας περὶ τὴν οἰκίαν αὐτοῦ μετὰ ξιφῶν γυμνῶν καὶ κληρικούς τινας, παρεκαλέσαμεν δὲ τοὺς κληρικοὺς λέγοντες· ἀπεστάλημεν παρὰ τῆς ἁγίας συνόδου ἀπαγγεῖλαί τινα ῥήματα τῶι εὐλαβεστάτωι ἐπισκόπωι Ἰωάννηι καὶ καταξιώσατε μηνῦσαι ἡμᾶς. οἳ δὲ εἰσελθόντες καὶ μηνύσαντες ταῦτα, ὑποστρέψαντες ἀπόκρισιν ἡμῖν δεδώκασι λέγοντες ὅτι εἶπεν ὁ ἐπίσκοπος Ἰωάννης ὅτι ἡμεῖς ἀνθρώποις καθαιρεθεῖσι παρ' ἡμῶν καὶ ἀκοινωνήτοις οὖσιν ἀπόκρισιν οὐ ποιοῦμεν. ὡς δὲ ἠρωτήσαμεν παρὰ τίνος καθηιρέθημεν καὶ ἀκοινώνητοι γεγόναμεν, εἰρήκασιν ἡμῖν ὅτι παρὰ τοῦ ἐπισκόπου τῆς Ἀντιοχέων Ἰωάννου. ὡς δὲ ἐπέμψαμεν ἀκριβέστερον μαθεῖν, ἔφασαν ὅτι ἐπὶ ταβουλαρίων ταῦτα οὐ παραιτούμεθα εἰπεῖν. L III 644

Τιμόθεος ἐπίσκοπος Τερμεσσοῦ καὶ Εὐδοκιάδος εἶπεν· Ὡς ἐκέλευσεν ἡ θεοσέβεια ὑμῶν, παρεγενόμεθα ἐν τῆι οἰκίαι τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἰωάννου καὶ εὑρόντες πρὸ τῶν θυρῶν κληρικοὺς ἑστῶτας, ἐμηνύσαμεν ἀξιοῦντες δεχθῆναι καὶ κατὰ πρόσωπον εἰπεῖν τὰ ἐντεταλμένα ἡμῖν. οἳ δὲ εἰσελθόντες ταύτην ἡμῖν τὴν ἀπόκρισιν δεδώκασιν ὅτι ἡμεῖς ἀκοινωνήτοις καὶ καθηιρημένοις ἀπόκρισιν οὐ ποιοῦμεν· μὴ καμνέτωσαν καλοῦντες ἡμᾶς συνεχῶς.

Εὐστάθιος ἐπίσκοπος Δοκιμίου εἶπε· Κατὰ τὴν κέλευσιν τῆς ὑμετέρας ὁσιότητος παρεγενόμεθα ἐν τῆι οἰκίαι ἔνθα μένει ὁ εὐλαβέστατος ἐπίσκοπος Ἰωάννης τῆς Ἀντιοχέων, καὶ τοῖς ἐκεῖσε κληρικοῖς εὑρεθεῖσι παρηνέσαμεν μηνυθῆναι ὡς δεῖν ἡμᾶς συντυχεῖν τῶι αὐτῶι εὐλαβεστάτωι ἐπισκόπωι Ἰωάννηι καὶ εἰπεῖν τὰ παρὰ τῆς ἁγίας ταύτης συνόδου δι' ἡμῶν δηλωθέντα αὐτῶι. οἳ δὲ εἰσελθόντες καὶ ἐπαναστρέψαντες πρὸς ἡμᾶς ἔφασαν ὅτιπερ ἡμεῖς καὶ καθείλομεν καὶ ἀκοινωνήτους πεποιήκαμεν καὶ μὴ καμνέτωσαν καλοῦντες ἡμᾶς. ἐπειρώμεθα δὲ μαθεῖν τὰ ὀνόματα τῶν εἰσελθόντων μηνῦσαι, καὶ εἰπεῖν οὐκ ἠβουλήθησαν, λέγοντες· κληρικοί ἐσμεν καὶ οὐ ταβουλάριοι.

Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ καὶ νῦν τῆι

V, P [= hk], S, D [= mn], AΛ^{t}Λ^{c}Λ^{u}

2 συνήθη PSn, corr. S 3 θεοφιλέστατοι SDA οἱ om. V 4 τοῖσ κανόσι πειθόμενοι τοῖσ κανόσιν ἡμεῖσ ἑπόμενοι S καὶ om. S 4/5 ἐκ δευτέρου πάλιν VP 6 τῆς^{2}] τῆ A αὐτὸν ὑπομνήσουσι SD ἁγίαν ταύτην Λ^{c} 8 τερμεσσοῦ A τερμέσου SD, corr. S περμεσσοῦ PΛ^{c} περμεσοῦ VΛ^{tu} 9 χώματοσ VPΛ χώματοο τῆσ λυκίασ SDA ἐλθόντων VP 9/10 Εὐδόξιος — εἶπεν] εἶπον A ἐπίσκοπος — Λυκίας om. SD νζ S 11 ἀντιοχείασ DAΛ 11/12 ηὕρομεν A 14 καὶ — ἡμᾶς om. VP 14/16 οἳ δὲ — Ἰωάννης] οὗτοι πρὸσ ἡμᾶσ ἀντέφησαν V 15 ὑποστρέψαντες om. S οὐ δεδώκασι S 17 οὐ ποιοῦμεν SDA οὐδεμίαν ποιούμεθα VP 18 γεγόναμεν] ἐσμὲν V 19 ἐπέμψαμεν] *persisteremus* Λ^{tc} *permaneremus* Λ^{u} ἔφησαν VP ἐπὶ VPΛ^{tu} καὶ ἐπὶ SDAΛ^{c} ταβουλλαρίων VPSD εἰπεῖν οὐ παραιτούμεθα S 20 τερμεσσοῦ SA τερμέσου D τερμισσοῦ P περμισσοῦ VΛ^{t} *permessi* Λ^{c} 21 καὶ ἰωάννου καὶ S 23 ἡμῖν] εἰπεῖν V δεδώκασι τὴν ἀπόκρισιν P ἀπόκρισιν δεδώκασιν SDA 26 ἐπίσκοπος om. S 27 ἐπίσκοπος om. Λ^{c} 28 ἐκεῖθεν A δεῖ VA αὐτῶι om. SΛ^{tu} 29 ἐπισκόπωι om. VP δι' ἡμῶν om. V 30 ἔφησαν VP 31 καὶ^{1} om. PΛ^{tu} ἡμᾶς om. S 32 ἠβουλήθησαν VPΛ ἠβουλήθησαν οὐδὲ [δὲ A] μηνῦσαι ἡμῖν SDA 33 καὶ om. P οὐ om. V ταβουλλάριοι VPSD 34 ὁ χσ DA

ἁγίαι συνόδωι παρὼν τὰς τῶν πραγμάτων φύσεις ἐναργεῖς ἡμῖν κατέστησεν εἰπὼν ὅτι
Ioh 3, 20 πᾶς ὁ τὰ φαῦλα πράσσων μισεῖ τὸ φῶς καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς, ἵνα
μὴ ἐλεγχθῆι τὰ ἔργα αὐτοῦ. τοῦτο παθόντα καὶ νῦν τὸν εὐλαβέστατον Ἰωάννην
M 1111 1316 τῆς Ἀντιοχείας [ἐπίσκοπον] ἡ ὑμετέρα που πάντως ὁσιότης καὶ νῆψις ὁρᾶι. εἰ γὰρ ἑαυτῶι συνήιδει πεπραχώς τι καθ' ἡμῶν κανονικὸν ἢ ἀρέσκον θεῶι, πῶς οὐκ ἐχρῆν αὐτὸν ἀφικέσθαι προθύμως εἰς τὴν ἁγίαν ταύτην καὶ οἰκουμενικὴν σύνοδον, ὥστε καὶ ψήφωι τῆι παρ' ὑμῶν ἐπισφραγισθὲν αὐτοῦ τὸ ἐγχείρημα μᾶλλον ἰσχῦσαι καθ' ἡμῶν, εἴπερ ἐπέπρακτο κατὰ θεσμοὺς ἐκκλησιαστικούς; ἐπειδὴ δὲ δέδιε τὸ μισοπόνηρον τῆς ἁγίας ταύτης καὶ μεγάλης συνόδου καὶ οἷδε δυσσεβῶς καὶ παρανόμως ἐνυβρίσας ἡμῖν, παραιτεῖται τὴν ἄφιξιν, ἵνα μὴ τὴν αὐτῶι πρεπωδεστάτην ὑπομείνηι τιμωρίαν καὶ ἀγανάκτησιν· κρύπτει γὰρ ἃ πεπλημμέληκε, καὶ αἰσχύνεται ἐπὶ κριταῖς ὑμῖν ἐμφανίσαι τὴν ἑαυτοῦ παρανομίαν. ὅθεν παρακαλοῦμεν ἀποφήνασθαι τὴν ἁγίαν ταύτην σύνοδον ἐντεῦθεν ἤδη μηδεμίαν μὲν ἰσχὺν τὰ παρ' ἐκείνου τετολμημένα καθ' ἡμῶν ἔχειν, κληθέντα δὲ καὶ εἰς αὖθις ὑπὲρ ὧν δέδρακεν ἀνοσίως, ἐννόμωι καὶ δικαιοτάτηι ἀποφάσει τῆι παρ' ὑμῶν καὶ ἀπὸ τῶν κανόνων ὑπενεχθῆναι.

11 Μέμνων ἐπίσκοπος Ἐφέσου εἶπεν· Ἡ ἀκανόνιστος γνώμη τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἰωάννου τῆς Ἀντιοχέων καὶ τῶν ἅμα αὐτῶι εὐαριθμήτων τινῶν, ἀφ' ὧν ἐνεωτέρισε καὶ κατὰ τῶν θεσμῶν τῶν ἐκκλησιαστικῶν ἠτάκτησε, δήλη τῆι ὑμετέραι γεγένηται ὁσιότητι. ὅθεν καὶ ἡμεῖς τὰ ἐκείνωι τετολμημένα καθ' ἡμῶν διὰ λιβέλλου ἀνεδιδάξαμεν τὴν ὑμετέραν
I. III 645 ἁγιωσύνην, καὶ κανονικῶς κινούμενοι κεκλήκατε δι' ὁσιωτάτων ἐπισκόπων συστῆναι αὐτὸν τοῖς παρ' αὐτοῦ παρὰ τοὺς θεσμοὺς τοὺς ἐκκλησιαστικούς, μᾶλλον δὲ κατὰ τῆς ἐκκλησιαστικῆς ἀκολουθίας ἡμαρτημένοις καὶ ἀπολογήσασθαι ἐφ' οἷς κατὰ τῶν κανόνων ἐθρασύνετο. ἀλλὰ σαθρῶι τῶι συνειδότι κεχρημένος ὑπακοῦσαι οὐκ ἠβουλήθη κληθείς. τούτου χάριν τὴν ἁγίαν καὶ οἰκουμενικὴν ὑμῶν παρεκαλέσαμεν σύνοδον τὰ μὲν παρ' ἐκείνου ἀθέσμως πραχθέντα καὶ τῶν ἅμα αὐτῶι εὐαριθμήτων ὄντων, ὧν τινὲς μὲν αἱρετικοὶ τυγχάνουσι, τινὲς δὲ μηδὲ πόλεις ἔχοντες καὶ ἕτεροι πολλαῖς αἰτίαις ὑπεύθυνοι ὄντες, ἀργὰ ἀφ' ἑαυτῶν καὶ ἀνίσχυρα τυγχάνοντα διὰ τὸ ἐφ' ὕβρει τῆς τῶν κανόνων εὐταξίας τετολμῆσθαι, καταλυθῆναι καὶ ψήφωι τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τήν τε ἡμετέραν ἀποδεχομένους ἔνστασιν περὶ τὴν ὀρθόδοξον πίστιν, ἣν παρὰ τῶν ἁγίων πατέρων παρειλήφαμεν, ὁρίσαι κατ' ἐκείνων τὸ παριστάμενον.

12 Ἡ ἁγία σύνοδος εἶπε· Μηδεμίαν ἰσχὺν μηδὲ ἀκολουθίαν ἔχειν τὰ πεπραγμένα, ἐπὶ πᾶσιν ἀκανονίστως Ἰωάννου κινηθέντος, ἐκ τῶν πεπραγμένων δεδήλωται. ἦ γὰρ ἂν ἐθάρσησε προσκαλούμενος παρὰ τῆς ἁγίας συνόδου συστῆναι τοῖς παρ' αὐτοῦ νεωτερισθεῖσιν, εἴ τινα εἶχεν εὔλογον ἀκολουθίαν τὰ πεπραγμένα. ὅθεν ταῦτα μὲν οὐδὲ τὴν ἀρχὴν ἰσχυρὰ ὄντα οὔτε κανονικῶι γεγονότα λόγωι ἀνίσχυρα ἡ ἁγία σύνοδος ἀποφαίνεται, οὐδενὶ τῶν ὑβρισμένων πρόκριμα φέρειν δυνάμενα· τὸ δὲ ἀκόλουθον καὶ τὸ ἐπιβάλλον ἑαυτῆι ποιοῦσα ἡ

V, P [= hk], S, D [= mn], ΑΛ^{t}Λ^{c}Λ^{u}

2 φρονῶν καὶ πράσσων S εἰσ P 4 ἀντιοχέων PS ἐπίσκοπον om. SDAΛ τε καὶ VP 5 σύνοιδε V πεπραχώς — ἡμῶν SDAΛ πεπραχὼσ V πεπραχότι P 7 ἡμῶν S ἐπείπερ S πέπρακτο V 8 ἐπειδὴ δὲ VPΛ^{tu} ἐπειδὴ Λ^{c} ἀλλ' ἐπειδὴ SDA 9 ἡμᾶσ VP 10 ἑαυτῶ P ἑαυτοῦ V 11 ἡμῖν S παρανομίαν αὐτοῦ S ὅθεν καὶ D 12 μὲν om. V 13 εἰς om. P 14 καὶ ἐννόμω VP 14/15 ὑπαχθῆναι A 16 Ἐφέσου om. Λ^{tu} 18 ἡμετέρα S γέγονεν V 19 ἐδιδάξαμεν S 19/20 τὴν ὑμετέραν δσιότητα V τῆ ὑμετέρα ἁγιωσύνη D 22 ἐθρασύνατο SA ἀλλὰ om. S 23 τῶι om. SDA 24 ἁγίαν — ὑμῶν DA ἁγίαν ὑμῶν καὶ οἰκουμενικὴν PS ἁγίαν σύνοδον ὑμῶν καὶ οἰκουμενικὴν V σύνοδον παρεκάλεσαμεν P παρεκαλέσαμεν V 26 ἕτεροι PSDAΛ^{u} ἕτεροι δὲ V *hi* Λ^{tc} 27 τετολμᾶσθαι P τετολμημένα D 28 γε A ὑμετέραν D δεχομένουσ VP 29 κατειλήφαμεν S 31 πᾶ P ἔχει Λ^{u} 32 ἐθάρρησε D 33 προκαλούμενοσ P 34 εὔκολον P πεπραγμένα VPΛ παρ' αὐτοῦ πεπραγμένα SDA ταῦτα SDAΛ τὰ VP μηδὲ VP 35 οὔτε] ὡσ οὐ P 36 ἀκόλουθον δὲ A αὐτῆ S

ἁγιωτάτη σύνοδος τὰ μὲν τήμερον πεπραγμένα ἀνοίσει εἰς γνῶσιν τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων βασιλέων, ὥστε μηδὲν ἀγνοηθῆναι τῶν θρασέως ἐφ' ὕβρει τῆς ἁγίας συνόδου παρὰ Ἰωάννου τετολμημένων, ὁ δὲ εὐλαβέστατος ἐπίσκοπος Ἰωάννης καὶ τρίτηι προσκληθεὶς κλήσει εἰ μὴ ἀπαντήσειε, τηνικαῦτα τὰ ἐκ τῶν κανόνων αὐτῶι ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος ψηφιεῖται.

13 Τοῖς μετὰ τὴν ὑπατείαν τῶν δεσποτῶν ἡμῶν Φλαυίου Θεοδοσίου τὸ τρισκαιδέκατον M IIII 1317
καὶ Φλαυίου Οὐαλεντινιανοῦ τὸ τρίτον τῶν αἰωνίων αὐγούστων πρὸ δεκαὲξ Καλανδῶν d 17. m. Iul
Αὐγούστων, a 431

[τῆι αὐτῆι ἡμέραι] τῆς ἁγίας συνόδου καθεσθείσης ἐκ τῆι αὐτῆι ἐκκλησίαι τῆι καλουμένηι Μαρίαι, τῶν θεοσεβεστάτων ἐπισκόπων,

Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας εἶπε· Τῆι προτεραίαι τῆς ὑμετέρας ὁσιότητος ἐνθάδε συνεδρευούσης, παρόντων δὲ καὶ τῶν ἀπὸ τῆς μεγάλης Ῥώμης ἀπεσταλμένων ληγάτων ἤτοι τοποτηρητῶν τοῦ ἁγιωτάτου καὶ θεοσεβεστάτου ἐπισκόπου Κελεστίνου, βιβλία προσηγάγομεν ἐγώ τε καὶ ὁ θεοσεβέστατος ἐπίσκοπος Μέμνων τῆσδε τῆς Ἐφεσίων μητροπόλεως αἰτοῦντες εἰς τὴν ἁγίαν ταύτην καὶ οἰκουμενικὴν σύνοδον κληθῆναι τὸν εὐλαβέστατον Ἰωάννην τῆς Ἀντιοχέων καὶ τοὺς σὺν αὐτῶι τὴν καθ' ἡμῶν συνθέντας ὕβριν καὶ τῶι τῆς καθαιρέσεως ὀνόματι χρήσασθαι τολμήσαντας, ὥστε παρόντας ἀπολογήσασθαι καὶ ταῖς ἑαυτῶν συνειπεῖν ἀθυροστομίαις ἤτοι παρανόμοις ἐπιχειρήμασι. πάντα δὲ ἀκολούθως καὶ κανο- L III 648
νικῶς ἡ ὑμετέρα πράττουσα θεοσέβεια κέκληκεν αὐτοὺς κλήσει πρώτηι καὶ δευτέραι, εὐλαβεστάτους καὶ θεοσεβεστάτους ἀποστείλασα ἐπισκόπους, καθὰ καὶ ἡ πίστις τῶν πεπραγμένων ὑπομνημάτων περιέχει· οἳ δὲ τοῖς παρ' ἑαυτῶν τολμηθεῖσιν οὐκ ἔχοντες ἐφαρμόσαι λόγους οὔτε μὴν ἀπολογίας ἀνευρίσκοντες τρόπους (ἦ γὰρ ἂν ἔδραμον εὐθὺς ἐπὶ τήνδε τὴν ἁγίαν καὶ μεγάλην σύνοδον οἷς ἔδρασαν, συστησόμενοι), πρᾶγμα πεποιήκασιν αἰσχρόν τε καὶ ἀγυρτῶδες καὶ τοῖς ἐν ἀγορᾶι πρέπον. δέον, εἴπερ ἐβούλοντό τι τῆι μεγάληι ταύτηι συνόδωι καταστῆσαι φανερόν, ἀφικέσθαι μᾶλλον μετ' εὐταξίας καὶ τῆς πρεπούσης Χριστιανοῖς εὐκοσμίας εἰπεῖν τε ἃ δεῖ καὶ ἀκοῦσαι, καίτοι μηδενὸς τοῦ κωλύοντος ὄντος αὐτούς (οὐ γὰρ ἐστήκασι στρατιῶται πρὸ τῆς ἁγίας συνόδου, καθὰ καὶ πρὸ τῶν οἰκημάτων ἐν οἷς εἰσι), χαρτίον συνθέντες ἀπονοίας τε ὁμοῦ καὶ ἀμαθίας μεστὸν προύθεσαν δημοσίαι, πᾶσαν εἰς θορύβους, μᾶλλον δὲ εἰς κατάγνωσιν τῆς ἑαυτῶν δυσβουλίας διανιστάντες τὴν πόλιν. εἰ μὲν οὖν τοῦτο πεπράχασιν, ἵνα λυπώμεθα θεωροῦντες ἀσχημονοῦσαν ὑπόληψιν ἀδελφῶν

V, P [= hk], S, D [= mn], AΛιΛcΛu

1 εὐλαβεστάτων VP 2 θρασέως om. P 3 παρα Ἰωάννου om. Λιu ἐπίσκοπος om. SDA προκληθεὶσ V 4 ἀπαντήσειε VPΛ ὑπακούσειε SDA τηνικαῦτα τὰ P τηνικαῦτα V τό τηνικαῦτα SDA 5 ψηφιεῖται VPΛ τό ἐποφειλόμενον καταψηφιεῖται SDA

6 superscr. πρᾶξισ β SD κύριλλοσ ἐπίσκοποσ ἀλεξανδρείασ εἶπε P Τοῖς om. P 7 Φλαυίου om. SΛ οὐαλεντιανοῦ D 7/8 *XVI* [*VI* Λu] *Kl. Aug.* Λ πρό δέκα καλανδῶν αὐγούστων VP om. SDA 9 τῆ — ἡμέρα VPSDAΛu om. Λtc ἁγίασ Λtc αὐτῆσ ἁγίασ PAΛ αὐτῆσ ἁγιωτάτησ D ἁγίασ αὐτῆσ VS καθεσθέντων V 10 τῶν — ἐπισκόπων et participium et nomina desunt θεοσεβεστάτων Λ θεοφιλεστάτων SDA θεοφιλεστάτων καὶ θεοσεβεστάτων V θεοσεβεστάτων καὶ θεοφιλεστάτων P 11 νη' D ἐνταῦθα SDA 12 συνεδρευσάσησ D καὶ om. SΛu λεγάτων V 13 θεοφιλεστάτου VP προηγάγομεν D 14 θεοφιλέστατοσ P θεοφίλεστοσ V 15 καὶ οἰκουμενικὴν ταύτην VP ἐπίσκοπον ἰωάννην V 16 ἀντιοχέων ἐπίσκοπον P ἀντιοχέων ἐπισκοπῆσ V τὴν [om. A] καθ' [μεθ' A] ἡμῶν σύν αὐτῶ SDA συντιθέντασ V 17 χρήσασθαι SDAΛ προορίσασθαι VP αὐτῶν A 18 δὲ om. V 19 κεκλήκατε A πρώτη VPΛ μιᾶ SDA 20 θεοφιλεστάτουσ VPΛc καὶ om. P 21 παρ' VPΛ om. SDΛ τολμηθεῖσιν PΛ τολμήμασιν VSDA 22 εὑρίσκοντεσ P 26 τοῦ — ὄντοσ V τοῦ κωλύοντοσ P τοῦτο [εἰσ τοῦτο A] κωλύοντοσ SDA 28 ὁμοῦ SDAΛ om. VP 29 αὐτῶν S 30 θεωροῦντασ P, corr. k in mg.

καὶ γελωμένην παρὰ πάντων, ἀρκούντως λελυπήμεθα· πλειστάκις γὰρ τοῦτο δράσαντες ἐγελάσθησαν. εἰ δὲ ἀληθῶς, ὡς ἐν τῶι παρ' αὐτῶν προτεθέντι χαρτίωι περιέχει, ὡς ἐξάρχους ἡμᾶς τῆς Ἀπολιναρίου γεγονότας αἱρέσεως ἤτοι τὰ ἐκείνου πεφρονηκότας πώποτε διελέγχειν ἔχουσι, καὶ νῦν ἠκέτωσαν, διελεγχέτωσαν, ἀποφαινέτωσαν αἱρετικούς, εἰ δύνανται, καὶ μὴ ῥήμασιν ἁπλῶς περιυβριζέτωσαν κενοῖς, ἐννοοῦντες τὴν θείαν ἀγανάκτησιν· ἔφη γάρ
Prou. 21, 28 που θεὸς ὁ τῶν ὅλων κριτὴς ὅτι μάρτυς ψευδὴς οὐκ ἀτιμώρητος ἔσται, καὶ διὰ φωνῆς τοῦ
Ps. 49, 20 μακαρίου Δαυίδ· καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις. ἡμεῖς γὰρ οὔτε τὰ Ἀπολιναρίου πεφρονήκαμεν πώποτε οὔτε τὰ Ἀρείου οὔτε τὰ Εὐνομίου, ἀλλ' ἐκ μι-
M IIII 1320 κρᾶς ἡλικίας τὰ ἱερὰ γράμματα μεμαθήκαμεν καὶ εἰς χεῖρας πατέρων τεθράμμεθα ὀρθοδόξων καὶ ἁγίων, ἀναθεματίζομεν δὲ καὶ Ἀπολινάριον καὶ Ἄρειον καὶ Εὐνόμιον καὶ Μακεδόνιον Σαβέλλιον Φωτεινὸν Παῦλον καὶ Μανιχαίους, καὶ ἑτέραν δὲ πᾶσαν αἵρεσιν καὶ πρὸς τούτοις ἔτι τὸν τῶν νέων βλασφημιῶν εὑρετὴν Νεστόριον καὶ τοὺς τούτου κοινωνοὺς καὶ ὁμόφρονας καὶ τοὺς φρονοῦντας τὰ Κελεστίου ἤτοι Πελαγίου, οὐ πεφρονηκότες τὰ ἐκείνων πώποτε οὐδὲ νῦν ἐκ μετανοίας εἰς τὸ θέλειν τὰ ὀρθὰ φρονεῖν ἀφιγμένοι, ἀλλ', ὡς ἔφην, ἐντεθραμμένοι τοῖς ὀρθοῖς καὶ ἀποστολικοῖς τῆς ἐκκλησίας δόγμασιν. ἐπειδὴ δὲ χρὴ τοὺς ἅπαξ τεταγμέ-
15 νους εἰς ἱερωσύνην ἀληθεῖς ὁρᾶσθαι κἀκεῖνα λαλεῖν ἅπερ ἴσασιν οὕτως ἔχειν, καὶ νῦν παρακαλοῦμεν τὴν ἁγίαν ταύτην καὶ μεγάλην σύνοδον μεταπέμψασθαι κανονικῶς αὐτόν τε τὸν εὐλαβέστατον Ἰωάννην τὸν τῆς Ἀντιοχέων καὶ τοὺς σὺν αὐτῶι τὴν καθ' ἡμῶν συνθέντας συκοφαντίαν· ἔστι γὰρ ἀκόλουθον αὐτοὺς καὶ ἀναγκαῖον παρόντας ἢ αἱρετικοὺς ἡμᾶς δεῖξαι
I. III 649 καὶ τὰ Ἀπολιναρίου πεφρονηκότας, καθά φασιν, ἢ γοῦν ἀνανεύοντας τὴν ἄφιξιν καὶ ὀκνοῦντας
20 πρὸς τοὺς ἐλέγχους αὐτόθεν καταγινώσκεσθαι, μάλιστα ὅτι, καθὰ πάλιν ἐν τῶι προτεθέντι παρ' αὐτῶν χαρτίωι γέγραπται, ψυχρὰς καὶ ἑώλους συκοφαντίας εἰς τὰς τῶν εὐσεβεστάτων βασιλέων ἀνενηνόχασιν ἀκοάς. δεῖ δὲ μάλιστα ὑμῶν τὴν ὁσιότητα πλείστην θέσθαι φροντίδα τοῦ μὴ παραλογίζεσθαι πρός τινος τὰς εὐσεβεῖς τῶν κρατούντων ἀκοάς, εἰδυῖαν
Prov 24, 22b τὸ εἰρημένον παρὰ τῆς θείας γραφῆς· μηδὲν ψεῦδος ἀπὸ γλώσσης βασιλεῖ λε-
25 γέσθω καὶ οὐδὲν ψεῦδος ἀπὸ στόματος αὐτοῦ οὐ μὴ ἐξέλθηι.

14 Ἡ ἁγία σύνοδος εἶπεν· Ἀκόλουθος καὶ νῦν ἡ αἴτησις τῶν θεοφιλεστάτων καὶ ὁσιωτάτων ἐπισκόπων Κυρίλλου τῆς Ἀλεξανδρείας καὶ Μέμνονος τῆς Ἐφεσίων. ὅθεν καὶ κατὰ τὴν σήμερον ἡμέραν διαβάντες θεοφιλέστατοι ἐπίσκοποι Δανιὴλ καὶ Κόμοδος καὶ Τιμόθεος μετὰ παραναγνωστικοῦ ὑπομνήσουσι τὸν εὐλαβέστατον Ἰωάννην τὸν τῆς Ἀντιο-
30 χέων ἐπίσκοπον ἐλθόντα μετὰ τῶν ἅμα αὐτῶι τὴν αἰτίασιν ὑπομεινάντων τὴν ἀπολογίαν ὧν ἐγκαλοῦνται, ποιήσασθαι.

15 Καὶ ἀπελθόντων τῶν εὐλαβεστάτων ἐπισκόπων Δανιήλου Κολωνείας καὶ Κομόδου Τρι-

---

V, P [= hk], S, D [= mn], AΛ^{t}Λ^{c}Λ^{u}

2 ἐφωράθησαν A ὡς om. SDA 3 ἀπολλιναρίου S 4 ἠκέτωσαν] *aut quandoque* Λ^{u} ἐλεγχέτωσαν D 5 κενοῖς VPSn κἀκείνοις mA γρ κενοῖς m in mg 6 ὁ θς ὁ VP 8 ἀπολιναρίου S οὔτε ἀρείου οὔτε εὐνομίου S 9 τεθραύμεθα D 10 καὶ^{1} om. V δὲ ἀπολλινάριον S 11 καὶ σαβέλλιον PΛ^{c} δὲ om. SD 12 τούτων Λ καὶ^{3} om. D 13 ἤγουν S οὔτε SDA 15/16 τεταγμένους SDAΛ τεθραμμένους V τεθειμένους P 17 μεγάλην ταύτην καὶ ἁγίαν VP τε SDAΛ om. VP 18 τὸν τῆς ἀντιοχέων [ἀντιοχείας DA] SDAΛ τῆς ἀντιοχέων ἐπίσκοπον VP συντιθέντας V 20 ἀπολλιναρίου S 21 αὐτόθι μάλιστα καταγινώσκεσθαι V μάλιστα P καθὰ om. Λ^{u} 21/22 παρ' αὐτῶν προτεθέντι S 22 ὡς ψυχρὰς VP εὐσεβῶν P 23 ἐνηνόχασιν V 24 τινος DAΛ^{c} τινων VP om. S 25 ἁγίας D μηδὲ S 25/26 λογιζέσθω S 27 νῆ S 28 ἀλεξανδρέων PS τῶν A καὶ om. AΛ^{tu} 29 οἱ θεοφιλέστατοι P 30/31 ἰωάννην — ἐπίσκοπον [ἐπίσκοπον om. S] SDAΛ ἐπίσκοπον ἰωάννην τὸν τῆς ἀντιοχέων [ἀντιοχείας V] VP 33 ἀπελθόντων τῶν εὐλαβεστάτων VPΛ ἀπῆλθον οἱ εὐλαβέστατοι SDA *episcopis Danihele* Λ δανιήλου VP ἐπίσκοποι δανιὴλ SDA κολωνίας V ὁ κολωνείας S κόμοδος SDA

πόλεως Λυδίας καὶ Τιμοθέου Γέρμης Ἑλλησπόντου μετὰ Μουσωνίου νοταρίου μετὰ παραναγνωστικοῦ περιέχοντος οὕτως

16 Ἐπειδὴ εἰρηνικῶς τὰ τῶν κανόνων βουλομένη τυποῦν ἡ ἁγία σύνοδος διττῇ κλήσει ἐκάλεσε τὴν σὴν εὐλάβειαν καὶ οὐχ ὑπήκουσας, ὥστε ἢ συστῆναι οἷς ἐφύβρισας, ἢ διορθώσασθαι, τούτου ἕνεκεν τέως μὲν ἡ ἁγία σύνοδος οὐδὲν ἐπισκοπικὸν συγχωρεῖ σοι πράττειν ἐξ οἰκείας ἀποφάσεως οὐδέ τινι τῶν μετὰ σοῦ· εἰ δὲ τῇ τρίτῃ ταύτῃ κλήσει μὴ ὑπακούσας παραγένοιο, τὰ τοῖς κανόσι δοκοῦντα ἐφ' ὑμῖν ὁρισθήσεται

17 καὶ ἐπανελθόντων, Δανιὴλ ἐπίσκοπος Κολωνείας εἶπε· Παρεγενόμεθα ὅπου προσέταξεν ἡ θεοσέβεια ὑμῶν, τουτέστιν εἰς τὴν οἰκίαν τοῦ θεοσεβεστάτου ἐπισκόπου Ἰωάννου, καὶ μήκοθεν μὲν κατέβημεν τῶν ὑποζυγίων, μετὰ πολλῆς δὲ τῆς παρακλήσεως δεδηλώκαμεν τοῖς κληρικοῖς ὅτιπερ παρεγενόμεθα ἀποσταλέντες παρὰ τῆς ἁγίας ὑμῶν συνόδου. εὕρομεν M IIII 1321 δὲ ἐκεῖ ἑστῶτα Ἀσφάλιον τὸν πρεσβύτερον, ὃς ἐστι μὲν τῆς Ἀντιοχέων ἐκκλησίας, ἐκδικεῖ δὲ ἐν Κωνσταντινουπόλει τὰ πράγματα τῆς αὐτῆς ἐκκλησίας. οὗτος ἐγγύτερον ἡμᾶς ἦγαγε τοῦ οἴκου ἐν ᾧι μένει ὁ θεοσεβέστατος ἐπίσκοπος Ἰωάννης, καὶ συνῆν ἡμῖν κωλύων τοὺς ἐπερχομένους. τοῖς δὲ στρατιώταις ὁμολογοῦμεν χάριν· διὰ γὰρ τοῦ γνωρίσαι τὸν πάντα θεοσεβέστατον ἐπίσκοπον Κόμοδον τῶι εἶναι ἐν τῇ πόλει αὐτοῦ ἐγκαθεστῶτας, ἐπέσχον πάντας τοὺς καθ' ἡμῶν ὡρμημένους κληρικούς. μηνυσάντων δὲ αὐτῶι Ἀσφαλίου καὶ ἑτέρων κληρικῶν, κατῆλθε πρὸς ἡμᾶς ὁ ἀρχιδιάκονος αὐτοῦ (τὸ μὲν ὄνομα αὐτοῦ οὐκ ἴσμεν, ἐστὶ δὲ σπανὸς ὁ ἄνθρωπος, ὑπωχρος μικροφυής) ἐπιφερόμενος χαρτίον, ὃ προσφέρων ἡμῖν ἔλεγεν ὅτί ἡ ἁγία σύνοδος ὑμῖν ἀπέστειλε τοῦτο ὥστε ὑποδέξασθαι. εἰρήκαμεν· ἡμεῖς ἀπεστάλημεν εἰπεῖν τὰ παρὰ τῆς ἁγίας σύνοδου, οὐ μὴν δέξασθαι γραμμάτιον. οὔτε γὰρ ἡμεῖς χάρτην ἐκομίσαμεν οὔτε ὑποδεχόμεθα χάρτην, δήλωμα δὲ εἰρηνικὸν L III 652 ἐκομίσαμεν. παρακαλεῖ γὰρ ἡ ἁγία σύνοδος συνεδρεῦσαι τὸν κύριν Ἰωάννην καὶ ἀπαντῆσαι εἰς τὴν σύνοδον. ἀπεκρίνατο ἡμῖν ὁ ἀρχιδιάκονος· οὐκοῦν ἐκδέξασθε ἵνα μηνύσωταῦτα τῶι ἐπισκόπωι. ὑπέστρεψε καὶ ἐπανελθὼν πάλιν προσήγαγεν ἡμῖν τὸ αὐτὸ χαρτίον, λέγων τοῦτο· μήτε ὑμεῖς πέμπετε πρὸς ἡμᾶς, οὔτε ἡμεῖς πέμπομεν πρὸς ὑμᾶς· τύπον γὰρ ἐκδεχόμεθα παρὰ τοῦ βασιλέως, ἐπειδήπερ ἅπαξ ἐκεῖ τὰ δόξαντα ἡμῖν ἀνηνέγκαμεν. ep. 153 ἡμῶν δὲ εἰρηκότων ὅτι οὐκοῦν ἀκούσατε καὶ τὰ παρὰ τῆς συνόδου, ἀπεπήδησε λέγων· οὐκ ἐδέξασθε τὸ χαρτίον, οὐκ ἀκούω τὰ τῆς συνόδου. ταῦτα μὲν οὕτως· Ἀσφαλίωι δὲ προπέμποντι ἡμᾶς καὶ Ἀλεξάνδρωι πρεσβυτέροις εἴπομεν ταῦτα ὅτι ἡ ἁγία σύνοδος τὰ σπλάγχνα τῆς εἰρήνης καὶ τῆς ἀγάπης καὶ τῆς χρηστότητος ἐπιδείκνυται πρὸς τὸν κύριν Ἰωάννην καὶ μάλιστα μέν, ἐπειδὴ κληθεὶς δεύτερον οὐκ ἠβουλήθη παραγενέσθαι, ἐδικαίωσεν αὐτὸν μηδὲν ἱερατικὸν πράττειν· τῇ δὲ τρίτῃ κλήσει παρακαλεῖ αὐτὸν συνελθεῖν, ἵνα μὴ ἀναγκασθῆι κανονικόν τι κατ' αὐτοῦ ἐξενεγκεῖν.

V, P [= hk], S, D [= mn], AΛ^{t}Λ^{c}Λ^{u}

1 Λυδίας om. P τιμόθεοσ SDA *germi* Λ^{u} τέρμησ SDA *termarum* Λ^{c} πέρμησ VP om. Λ^{t} 1/2 τοῦ παραναγνωστικοῦ VP 4 ἐφ' οἷσ ὕβρισασ VP 5 τέωσ μὲν PS *tantisper* Λ τέωσ V om. DA ἐπισκόπων P 6 ταύτῃ om. A 7 μὴ ὑπακούσασ VPΛ^{c} ὑπακούσασ μὴ SDAΛ^{tu} 8 ἐπανελθόντων S ἐπανελθόντων αὐτῶν VPDA δανιήλοσ Scorr κολωνείασ SDAΛ^{c} om VPΛ^{tu} 9 θεοφιλεστάτου SDA 10 ἐδηλώσαμεν VP 11 ὅτι P 12 ἑστῶτασ P 13 τὰ πράγματα — ἐκκλησίασ ἐν κωνσταντινουπόλει S αὐτός Λ^{c} 14 εὐλαβέστατοσ S συνῆν VP σὺν SDΛ om. A κωλύον Sn 15 ὡμολογοῦμεν S 16 ἐγκαθεστῶτεσ D 17 ἀσφίλειαν S 18 αὐτοῦ om. PΛ τὸ — αὐτοῦ] οὗ τὸ μὲν ὄνομα S 19 ὁ om. P ὑπόχροοσ P 20 ἀπέστειλεν ὑμῖν [ἡμῖν S] SDA ἀποδέξασθαι A 21/22 γραμματεῖον SD *scripturam* Λ γράμματα V 22 οὔτε ἡμεῖσ SD οὐδὲ A 22/23 δήλωμα — ἐκομίσαμεν om. S 23 κῦριν PD compendio scribunt SA *domnum* Λ^{c} *sanctum* Λ^{tu} κύριον V 24 ἀπεκρίθη SDA 25 προσῆγεν A 26 τοῦτο PSDΛ οὕτω V οὕτωσ A πέμψομεν SD 27 τὰ δόξαντα ἡμῖν ἐκεῖ SDA 28 καὶ τὰ [τὰ om. D] — συνόδου ἀκούσατε SDA συνόδου VPSAΛ^{c} ἁγίασ συνόδου DΛ^{tu} ἐπεπήδησε P ἀπεδήμησε A 30 πρεσβυτέρῳ S εἶπαμεν P 32 κῦριν n compendio scr. S *domnum* Λ^{c} *sanctum* Λ^{tu} κύριον VPmA 33 ἐδικαίωσεν VPAΛ ἐβεβαίωσαμεν SD

18 Κόμοδος ἐπίσκοπος Τριπόλεως τῆς Λυδίας εἶπε· Συνωιδὰ τοῖς εἰρημένοις παρὰ τοῦ θεοσεβεστάτου καὶ ὁσιωτάτου ἐπισκόπου Δανιήλου καὶ ἡμεῖς καὶ ἐθεασάμεθα καὶ κατατιθέμεθα τὰ αὐτά.

19 Τιμόθεος ἐπίσκοπος Γερμῶν Ἑλλησπόντου εἶπε· Συνωιδὰ τοῖς εἰρημένοις παρὰ τοῦ θεοσεβεστάτου καὶ ὁσιωτάτου ἐπισκόπου Δανιήλου καὶ ἡμεῖς καὶ ἐθεασάμεθα καὶ κατατιθέμεθα.

20 Ἡ ἁγία σύνοδος εἶπεν· Ἀκολούθως καὶ νῦν ἡ ὑπόμνησις γεγένηται παρὰ τῶν θεοσεβεστάτων ἐπισκόπων Δανιήλου καὶ Κομόδου καὶ Τιμοθέου καὶ τὴν αἰτίαν δηλωσάντων ἐφ' ἧι ἀπεστάλησαν, καὶ εἰς ἱερατικοὺς ἀνενεγκόντων τὴν γνῶσιν, ὡς μηδὲν ἀγνοῆσαι τὸν εὐλαβέστατον ἐπίσκοπον Ἰωάννην τῶν δηλωθέντων μηδὲ ἔχειν σκήψει τινὶ χρήσασθαι εἰς ἀπολογίαν τὴν ἄγνοιαν προβαλλόμενον.

21 Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ὅτι πάρειμι καὶ νῦν ἐξαιτῶν ἀπολογίας ἅμα
M IIII 1324 τῶι εὐλαβεστάτωι ἐπισκόπωι Μέμνονι ὑπὲρ ὧν εἰς ἡμᾶς πεπλημμέληκε παρὰ τοὺς θεσμοὺς τῆς ἐκκλησίας καὶ παρὰ πάντα λόγον ὁ εὐλαβέστατος τῆς Ἀντιοχέων Ἰωάννης, ἡ ἁγία ὑμῶν σύνοδος συνοραῖ, καὶ ἐστὶν οὐκ ἀμφίβολον ὡς εἴπερ ἐδεδίειμεν τοὺς παρ' αὐτῶν ἐλέγχους, οὐκ ἂν ἐχρησάμεθα τοιαύτηι παρρησίαι, ὥστε παρακαλέσαι καὶ τρίτηι ταύτηι κλήσει προτραπῆναι τὸν μνημονευθέντα ἐλθεῖν καὶ χρήσασθαι οἵσπερ ἂν βούλοιτο καθ' ἡμῶν λόγοις. ἐπειδὴ δὲ ὑπερθέσεις πλάττεται ποικίλας, ἄλλοτε ἄλλας ἐπινοῶν ἀφορμάς (ὁ
Iob 11, 12 γὰρ ἄλογος νήχεται λόγοις κατὰ τὸ γεγραμμένον), ἀκόλουθόν ἐστι τὴν ἁγίαν ταύτην καὶ οἰκουμενικὴν σύνοδον τὰ τοῖς ἐκκλησιαστικοῖς δοκοῦντα θεσμοῖς ἀποκρίνασθαι.

90 Ἡ ἁγία σύνοδος εἶπεν· Ἔδει μὲν κανονικῶς κινηθεῖσαν τὴν ἁγίαν ταύτην σύνοδον ἐπὶ ταῖς ὕβρεσι ταῖς κατὰ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου Κυρίλλου καὶ τοῦ θεοφιλεστάτου καὶ ὁσιωτάτου συνεπισκόπου Μέμνονος ταῖς γενομέναις παρὰ τοῦ εὐλα-
I. III 653 βεστάτου ἐπισκόπου τῆς Ἀντιοχέων Ἰωάννου καὶ τῶν σὺν αὐτῶι μετὰ τὴν τρίτην ταύτην κλῆσιν τὴν παρ' ἡμῶν γενομένην, ἧς οὐδαμῶς ὑπακοῦσαι ἠνέσχετο οὔτε μὴν ἀπαντῆσαι εἰς τὸ συνέδριον τῆς ἁγίας συνόδου καὶ ἐμφανεῖς καταστῆσαι τὰς αἰτίας δι' ἃς παρὰ τοὺς θεσμοὺς καὶ τοὺς κανόνας τῆς ἐκκλησίας ἐπὶ τοιοῦτον ὥρμησαν νεωτερισμόν, ἀξίαν τῆς τοσαύτης ἀπονοίας ἐξενεγκεῖν κατ' αὐτοῦ τε καὶ τῶν σὺν αὐτῶι τὴν ἀπόφασιν· ἐπειδὴ δὲ ἐπισκοπικῆς χρηστότητος ἔργον εἶναι ἐλογισάμεθα μακροθυμίαι βαστάσαι τὰ γεγονότα, τέως μὲν ἐπὶ τοῦ παρόντος κατὰ τὰ ἤδη τετυπωμένα ἀλλότριος ἔστω αὐτός τε Ἰωάννης καὶ οἱ σὺν αὐτῶι τοῦτο δραματουργήσαντες

[2] Ἰωάννης Δαμασκοῦ

[3] Ἀλέξανδρος Ἀπαμείας

---

30 sq. idem catalogus extat in 91

V, P [= hk], S, D [= mn], AΛtΛcΛu

1 λυκίασ P 2 καὶ ἡμεῖσ καὶ ΑΛ καὶ ἡμεῖσ VPSD 3—6 τὰ αὐτά — κατατιθέμεθα om. D 3 τὰ αὐτὰ om. Λ ταῦτα SA 4 *germon hellisponti* Λu τέρμησ ἑλλησπόντου ΑΛtc ἑλλησπόντου τέρμησ S πέρμησ ἑλλησπόντου VP 5 ἐπισκόπου om SA καὶ ἡμεῖς καὶ Λc ἡμεῖσ καὶ S καὶ ἡμεῖσ VPDAΛt om. Λu 5/6 κατατιθέμεθα τὰ αὐτά P 7 ἀκόλουθοσ SDA 8 καὶ[1] om. S 9 ἱερατικὴν SDΛtu ἀνενεγκάντων A 11 προβαλλόμενοσ P 12 νθ' D Ἀλεξανδρείας om. Λtu ἀπολογίαν PΛ 13 ἐπισκόπωι om. S 14 εὐλαβέστατοσ SDAΛ εὐλαβέστατοσ ἐπίσκοποσ VP 15 αὐτῶν SDAΛ αὐτοῦ VP 16 τῇ αὐτῇ D 17 ἡμᾶσ S 19 ταύτην om. S 21 ϛ V πᾱ P νθ̄ S τὴν — ταύτην κινηθεῖσαν S ἁγίαν om. Λ 22 θεοσεβεστάτου VP 23 καὶ ὁσιωτάτου om. D ἐπισκόπου PΛc παρὰ SDAΛ παράτε VP 24 ἐπισκόπου om. Λtu 25 γινομένην S ἣ S ὑπακοῦσαι ἠνέσχετο VPΛtu ἠνέσχετο ὑπακοῦσαι S ὑπακοῦσαι ἠνέσχοντο DAΛc 26 τῆσ — συνόδου om. S 27 ὥρμησεν Λu ἀξίασ V 28 τοσαύτησ SDΛ τοιαύτησ VPA κατὰ τούτου A τε] γε D 29 ἐπισκοπῆσ PA χρηστοτάτησ P 30 κατὰ] καταστῆσαι A αὐτόσ τε [τε δ P] ἰωάννησ VPAΛ ὁ αὐτόσ ἰωάννησ SD 31 τούτω P 32—p. 25, 28 numeros α'—λδ' apponit P [3] ἀπαμίασ V

[4] Δεξιανός
[5] Ἀλέξανδρος Ἱεροπόλεως
[6] Ἰμέριος Νικομηδείας
[7] Φριτίλας Ἡρακλείας
[8] Ἑλλάδιος Ταρσοῦ
[9] Μαξιμῖνος Ἀναζάρβου
[10] Δωρόθεος Μαρκιανουπόλεως
[11] Πέτρος Τραιανουπόλεως
[12] Παῦλος Ἐμίσης
[13] Πολυχρόνιος Ἡρακλεωτῶν πόλεως
[14] Εὐθήριος Τυάνων
[15] Μελέτιος Νεοκαισαρείας
[16] Θεοδώρητος Κύρου
[17] Ἀπρίγγιος Χαλκίδος
[18] Μακάριος Λαοδικείας τῆς μεγάλης
[19] Ζῶσυς Ἐσβοῦντος
[20] Σαλούστιος Κωρύκου Κιλικίας
[21] Ἡσύχιος Κασταβάλης Κιλικίας
[22] Οὐαλεντῖνος Μουτλουβλάκης
[23] Εὐστάθιος Παρνασσοῦ
[24] Φίλιππος Θεοδοσιανῶν
[25—28] Δανιήλ, Ἰουλιανός, Κύριλλος, Ὀλύμπιος
[29] Διογένης ‹Ἰωνο›πόλεως
[30] Θεοφάνιος Φιλαδελφείας [πώλιος]
[31] Ταριανὸς Αὐγούστης
[32] Αὐρήλιος Εἰρηνουπόλεως
[33] Μουσαῖος Ἀράδου
[34] Ἑλλάδιος Πτολεμαίδος

τῆς ἐκκλησιαστικῆς κοινωνίας, μηδεμίαν ἔχοντες ἄδειαν ὡς ἐξ αὐθεντίας ἱερατικῆς εἰς τὸ δύνασθαί τινας βλάπτειν ἐκ ταύτης ἢ ὠφελεῖν, ἄχρις ἂν ἑαυτῶν καταγνόντες τὸ οἰκεῖον ὁμολογήσωσι σφάλμα, εἰδότες ὡς εἰ μὴ τοῦτο ἐν τάχει ποιήσειαν, τὴν τελείαν ἐκ τῶν κανόνων ἑαυτοῖς ἐπισπάσονται ἀπόφασιν, προδήλου κἀκείνου τυγχάνοντος ὅτι οὐδὲ τὰ ἤδη πρότερον παρ' αὐτῶν ἀθέσμως καὶ παρὰ τοὺς κανόνας ἐφ' ὑβρει τῶν θεοφιλεστάτων καὶ ἁγιωτάτων ἐπισκόπων καὶ προέδρων τῆς ἐκκλησίας Κυρίλλου καὶ Μέμνονος γενόμενα ἰσχὺν ἔχει τινὰ κατὰ τὰ ἤδη καὶ τῇ προτεραίαι διαλαληθέντα. ἀνενεχθήσεται δὲ πάντα τὰ πεπραγμένα ταῖς εὐσεβέσι καὶ φιλοχρίστοις ἀκοαῖς τῶν θεοφιλεστάτων βασιλέων, ὡς καὶ τὰς θείας ἀκοὰς γνῶναι τὰ παρακολουθήσαντα

M IIII 1325

V, P [= hk], S, D [= mn], ΑΛιΛcΛu

[4] *Dexianus Seleuciae* Λ [5] μεροπόλεωσ VA μητροπόλεωσ P [6] ἡμέριοσ S [7] φριτηλᾶσ VP φριτηρᾶσ A [9] μαξιμιανόσ SDΛc *Maximus* Λiu ἀναβαρζοῦ S [12] ἐμέσησ P [13] πόλεωσ om. S [14] ἐπίσκοποσ τυάνων VP [15] μελίτιοσ SDA [16] θεοδώριτοσ DA τύρου P [17] χαλκηδόνοσ VP [19] ζωσῆσ P [20] κωρίκου P κουρίκου A [22] μουτλουβλάκκησ A *mutublacces* Λt μουτλουβάκησ D [29] 'Ιωνοπόλεως addidi cf [30] et p. 27[29] [30] θεοφάνησ VSDΛu φιλαδελφίασ hS πώλιοσ V πώλλιοσ PΛ παλλάδιοσ SDA hoc loco deleui [31] τραιανόσ VP ταρριανόσ A [32] αὐρίλλιοσ S αὐρηλιανόσ VP εἰρηνοπόλεωσ S [33] ἀρκαδιουπόλεωσ SDΛ [34] καὶ ἑλλάδιοσ VP

29 ὡς SDAΛ καὶ VP 31 σφάλμα] βλάσφημον P ὡς SDA ὅτι VP τάχιον P ποιήσαιεν V ποιήσειεν D 32 ἑαυτῶν S ἐφ' ἑαυτοὺσ VP 33 καὶ[1] om. VP 35 διαληφθέντα SD ἀνενεχθήσονται S

Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων ὑπέγραψα

Ἑρμηνεία τῶν ὑπογραφῶν· Ἀρκάδιος ἐπίσκοπος καὶ πρεσβευτὴς τῆς ἀποστολικῆς καθέδρας ὑπέγραψα. Προίεκτος ἐπίσκοπος καὶ πρεσβευτὴς τῆς ἀποστολικῆς καθέδρας ὑπέγραψα. Φίλιππος πρεσβύτερος τῆς ἀποστολικῆς καθέδρας καὶ πρεσβευτὴς ὑπέγραψα.

Ὑπέγραψαν δὲ καὶ οἱ λοιποὶ πάντες.

91 = S 61 A 40. Latina uersio ex codice Acoemitensium translata habetur in Collectione C 311 [uol. IIII 242. 243]

I. III 802 1 M IIII 1469 Ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος ἡ ἐν Ἐφέσωι συγκροτηθεῖσα ἐκ θεσπίσματος τῶν εὐσεβεστάτων βασιλέων τοῖς καθ' ἑκάστην ἐπαρχίαν τε καὶ πόλιν ἐπισκόποις πρεσβυτέροις διακόνοις καὶ παντὶ τῶι λαῶι. Συναχθέντων ἡμῶν κατὰ τὸ εὐσεβὲς γράμμα ἐν τῆι Ἐφεσίων μητροπόλει, ἀπεστάτησαν τινὲς ἐξ ἡμῶν, ὄντες τὸν ἀριθμὸν τριάκοντα μικρῶι πρός, ἔξαρχον τῆς ἑαυτῶν ἀποστασίας ἐσχηκότες τὸν τῆς Ἀντιοχέων ἐπίσκοπον Ἰωάννην,

I. III 803 ὧν καὶ τὰ ὀνόματά ἐστι ταῦτα

[1] πρῶτος αὐτὸς Ἰωάννης ὁ Ἀντιοχείας Συρίας
[2] καὶ Ἰωάννης Δαμασκοῦ
[3] Ἀλέξανδρος Ἀπαμείας
[4] Ἀλέξανδρος Ἱεραπόλεως
[5] Ἰμέριος Νικομηδείας
[6] Φριτίλας Ἡρακλείας
[7] Ἑλλάδιος Ταρσοῦ
[8] Μαξιμῖνος Ἀναζάρβου
[9] Δωρόθεος Μαρκιανουπόλεως
[10] Πέτρος Τραιανουπόλεως
[11] Παῦλος Ἐμίσης
M IIII 1472 [12] Πολυχρόνιος Ἡρακλεωτῶν πόλεως
[13] Εὐθήριος Τυάνων
[14] Μελέτιος Νεοκαισαρείας
[15] Θεοδώρητος Κύρου
[16] Ἀπρίγγιος Χαλκίδος
[17] Μακάριος Λαοδικείας τῆς μεγάλης
[18] Ζῶσυς Ἐσβοῦντος

---

91 Cf. ep. 113

V, P [= hk], S, D [= mn], AΛιΛcΛ[u]

1—5 Ἰουβενάλιος — πάντες] *et subscripsit omnis synodus per episcopos centum nonaginta octo* Λ[u] 1 ὑπέγραψα ἀποφηνάμενος P 2 ἑρμηνεία τῶν ὑπογραφῶν ante 1 Ἰουβενάλιος coll. P om. S 4 πρεσβύτερος] ἐπίσκοποσ SD τῆς — πρεσβευτὴς] καὶ πρεσβευτὴσ τῆσ ἀποστολικῆσ καθέδρασ PS 5 δὲ om. S

VP [= lik], S, D [= mn], AWΛ et codices canonum [K = abcdeflpqrtuy]

ϙα V πβ P ξα SD inscr. deest VPK Γράμματα ἀποσταλέντα παρὰ τῆσ ἁγίασ συνόδου τοῖσ καθ' ἑκάστην ἐπαρχίαν τὲ καὶ πόλιν ἐπισκόποισ πρεσβυτέροισ διακόνοισ [ὑποδιακόνοισ διακόνοισ W] καὶ λαικοῖσ περὶ τῶν ἀνατολικῶν ἐπισκόπων [καὶ — ἐπισκόπων om. D ἐπισκόπων om. AW] SDAW 8—10 Ἡ — διακόνοις om. D 8 συνόδος καὶ οἰκουμενικὴ S 9 εὐσεβεστάτων] ἁγίων u τοῖς om. d 11 τῶν ἐφεσίων rt ἀπεστάτησαν SDAW ἀπέστησαν VPK 12 ἔξαρχον — p. 27[34] om. K 12 ἔξαρχον — Ἰωάννην om. W ἐπίσκοπον om. SDA 13 ταῦτα ἐστὶ τὰ ὀνόματα S [1] αὐτὸσ SDAWΛ οὗτοσ VP τῆσ συρίασ VP [4] μεροπόλεωσ VA μητροπόλεωσ P [5] ἡμέριοσ S [6] φρίτηλασ W φριτηλᾶσ VP φριτηρᾶσ A [8] μαξιμιανόσ SWΛ ἀναβαρζοῦ S [11] ἐμέσησ W [13] εὐθύριοσ V [14] μελίτιοσ SDAW [15] θεωδώριτοσ DAW τύρου P [16] ἀπρίγκιοσ V Χαλκίδος p. 25[17] χαλκηδόνοσ VP ἀπαμείασ SDAW [18] om. V ζωσῆσ P ζώουσ W ἐβοῦντοσ P

[19]Σαλούστιος Κωρύκου Κιλικίας
[20]Ἡσύχιος Κασταβάλης Κιλικίας
[21]Οὐαλεντῖνος Μουτλουβλάκης
[22]Εὐστάθιος Παρνασσοῦ
[23]Φίλιππος Θεοδοσιανῶν
[24—25]Δανιήλ τε καὶ Δεξιανός
[26—27]Ἰουλιανός τε καὶ Κύριλλος
[28—29]Ὀλύμπιός τε καὶ Διογένης <Ἰωνο>πόλεως
[30]Θεοφάνης Φιλαδελφείας
[31]Ταριανὸς Αὐγούστης
[32]Αὐρήλιος Εἰρηνουπόλεως
[33]Μουσαῖος Ἀράδου
[34]Ἑλλάδιος Πτολεμαίδος

οἵτινες τῆς ἐκκλησιαστικῆς κοινωνίας, μηδεμίαν ἔχοντες ἄδειαν ὡς ἐξ αὐθεντίας ἱερατικῆς εἰς τὸ δύνασθαι τινὰς βλάπτειν ἐκ ταύτης ἢ ὠφελεῖν διὰ τὸ κοί τινὰς ἐν αὐτοῖς εἶναι καθηρημένους, πρὸ πάντων μὲν τὰ Νεστορίου καὶ τὰ Κελεστίου φρονήματα ἐπιφερόμενοι σαφέστατα ἀπεδείχθησαν ἐκ τοῦ μὴ ἐλέσθαι μεθ' ἡμῶν Νεστορίου καταψηφίσασθαι οὐστινας δόγματι κοινῶι ἡ ἁγία σύνοδος πάσης μὲν ἐκκλησιαστικῆς κοινωνίας ἀλλοτρίους ἐποίησεν, πᾶσαν δὲ αὐτῶν ἐνέργειαν ἱερατικὴν περιεῖλεν, δι' ἧς ἠδύναντο βλάπτειν ἢ ὠφελεῖν τινας.

2 Ἐπειδὴ δὲ ἐχρῆν καὶ τοὺς ἀπολειφθέντας τῆς συνόδου καὶ μείναντας κατὰ χώραν ἢ πόλιν διά τινα αἰτίαν ἢ ἐκκλησιαστικὴν ἢ σωματικὴν μὴ ἀγνοῆσαι τὰ περὶ αὐτῶν τετυπωμένα, γνωρίζομεν τῆι ὑμετέραι ἁγιότητί τε καὶ ἀγάπηι ὅτιπερ εἴτε ὁ μητροπολίτης τῆς ἐπαρχίας ἀποστατήσας τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου προσέθετο τῶι τῆς ἀποστασίας συνεδρίωι ἢ μετὰ τοῦτο προστεθείη ἢ τὰ Κελεστίου ἐφρόνησεν ἢ φρονήσει, οὗτος κατὰ τῶν τῆς ἐπαρχίας ἐπισκόπων διαπράττεσθαί τι οὐδαμῶς δύναται, πάσης ἐκκλησιαστικῆς κοινωνίας ἐντεῦθεν ἤδη ὑπὸ τῆς συνόδου ἐκβεβλημένος καὶ ἀνενέργητος ὑπάρχων, ἀλλὰ καὶ αὐτοῖς τοῖς τῆς ἐπαρχίας ἐπισκόποις καὶ τοῖς πέριξ μητροπολίταις τοῖς τὰ τῆς ὀρθοδοξίας φρονοῦσιν ὑποκείσεται εἰς τὸ πάντηι καὶ τοῦ βαθμοῦ τῆς ἐπισκοπῆς ἐκβληθῆναι.

3 Εἰ δέ τινες ἐπαρχιῶται ἐπίσκοποι ἀπελείφθησαν τῆς ἁγίας συνόδου καὶ τῆι ἀποστασίαι προσετέθησαν ἢ προστεθῆναι πειραθεῖεν ἢ καὶ ὑπογράψαντες τῆι Νεστορίου καθαιρέσει

V, P [= hk[, S, D [= mn], A, W [usque ad 20 τινας], Λ, K [= abcdeflpqrtuy, inde a 14]

[19] om V [19–21] Κωρύκου — Οὐαλεντῖνος om W [19] κουρίκου A [21] μουτλουβλακκησ A μουτλουβάκησ SD βλάκησ W [22] παρνασσοῦ VP [24 25] δοξιανὸσ W [28. 29] Ἰωνοπόλεως scnpsi cf p 25 [29] πόλιος SD πόλλιοσ W πώλλιοσ P παλλαδιοσ A om V [30] φιλάδελφοσ SW [31] ταρριανὸσ W ταυριανὸσ S τραιανὸσ VP [32] αὐρίλιοσ S [33] ἀρκαδίου A [34] καὶ ἑλλαδιοσ P

14/15 τῆς — ὠφελεῖν om Λ 14 ἐκ τῆσ c κοινωνίασ ἠλλωτριώθησαν lrt 15 τινα VP ἐκ ταύτησ βλάπτειν pq ἐν αὐτοῖς] ἑαυτοῖσ c 16 Νεστορίου] κελεστίου W καὶ τὰ Κελεστίου om d τὰ om SDAWtu κελεστίνου elrt 17 σαφεστατοι S ἐν τῶ D Λ 19 καθείλεν u ἐδύναντο P 20 τινα f 21—p 28, 18 om W 21 κανὼν α' Smg D ᾱ K δὲ om du χρην y τῆσ VPSDAWΛ τῆσ ἁγίασ K ἢ] καὶ SDA 22 ἢ[1] om VP μὴ] ἢ S 23 ὁσιότητί τε καὶ ἀγάπη a ἀγάπη τε καὶ ἁγιότητι t τε om d εἴτε ὁ] εἴτισ ὁ r εἰτισ lt ὁ y 23/24 ὁ τῆσ ἐπαρχίασ μητροπολίτησ SDA 24 ἀποστήσασ Su αποστατήσει d τε καὶ ν καὶ οἰκουμενικῆς om t τὸ Pc om u 25 συνέδρω y προστεθειη η KΛ προστεθείο VPSDA τα] την d τοῦ κελεστίνου lrt κελεστίω e φρονήσει VPK φρονήσοι SDA 26 τῆς om lt τῶν d 27 ἀπεντεῦθεν lrt 28 τοῖς om y τῆς om V ἐπισκοποις om il τοῖς om d τα] τᾶσ u κατα r 29 ὑποκεῖσθαι lrty ὑπόκειται d καὶ om d καὶ τῆσ VP 30 κανων β' Smg D β̄ K ἐπαρχεῶται Pabdefuy ἐπίσκοποι om SDA 31 προσέθησαν c προσετέθησαν ἢ προστεθείησαν lty υποστρέψαντεσ DA καθαιρέσει νεστορίου VP

ἐπαλινδρόμησαν πρὸς τὸ τῆς ἀποστασίας συνέδριον, τούτους πάντηι κατὰ τὸ δόξαν τῆι ἁγίαι συνόδωι ἀλλοτρίους εἶναι τῆς ἱερωσύνης καὶ τοῦ βαθμοῦ ἀποπίπτοντας.

L. III 806 **4** Εἰ δὲ τινὲς καὶ τῶν ἐν ἑκάστηι πόλει ἢ χώραι κληρικῶν ὑπὸ Νεστορίου καὶ τῶν σὺν αὐτῶι ὄντων τῆς ἱερωσύνης ἐκωλύθησαν διὰ τὸ ὀρθῶς φρονεῖν, ἐδικαιώσαμεν καὶ τούτους
M IIII 1173 τὸν ἴδιον ἀπολαβεῖν βαθμόν, κοινῶς δὲ τοὺς τῆι ὀρθοδόξωι καὶ οἰκουμενικῆι συνόδωι συμφρονοῦντας κληρικοὺς κελεύομεν τοῖς ἀποστατήσασιν ἢ ἀφισταμένοις ἐπισκόποις μηδ' ὅλως ὑποκεῖσθαι κατὰ μηδένα τρόπον.

5 Εἰ δὲ τινὲς ἀποστατήσαιεν τῶν κληρικῶν καὶ τολμήσαιεν ἢ κατ' ἰδίαν ἢ δημοσίαι τὰ Νεστορίου ἢ τὰ Κελεστίου φρονῆσαι, καὶ τούτους εἶναι καθηιρημένους ὑπὸ τῆς ἁγίας συνόδου δεδικαίωται.

6 Ὅσοι δὲ ἐπὶ ἀτόποις πράξεσιν κατεκρίθησαν ὑπὸ τῆς ἁγίας συνόδου ἢ ὑπὸ τῶν οἰκείων ἐπισκόπων καὶ τούτοις ἀκανονίστως κατὰ τὴν ἐν ἅπασιν αὐτοῦ ἀδιαφορίαν ὁ Νεστόριος ἢ οἱ τὰ αὐτοῦ φρονοῦντες ἀποδοῦναι ἐπειράθησαν ἢ πειραθεῖεν κοινωνίαν ἢ βαθμόν, ἀνωφελήτους μένειν καὶ τούτους καὶ εἶναι οὐδὲν ἧττον καθηιρημένους ἐδικαιώσαμεν.

7 Ὁμοίως δὲ καὶ εἴ τινες βουληθεῖεν τὰ περὶ ἑκάστου πεπραγμένα ἐν τῆι ἁγίαι συνόδωι τῆι ἐν Ἐφέσωι οἱωιδήποτε τρόπωι παρασαλεύειν, ἡ ἁγία σύνοδος ὥρισεν, εἰ μὲν ἐπίσκοποι ἢ κληρικοὶ εἶεν, τοῦ οἰκείου παντελῶς ἀποπίπτειν βαθμοῦ· εἰ δὲ λαικοί, ἀκοινωνήτους ὑπάρχειν.

Καὶ ὑπέγραψαν πάντες οἱ ἐν τῆι στάσει ἐπίσκοποι.

92 = S 60 A 39. Latina uersio extat in Collectionibus CT 39 et Veronensi 21

L III 656 M IIII 1325 Ἴσον ἀναφορᾶς παρὰ τῆς ἁγίας συνόδου πρὸς τοὺς εὐσεβεστάτους βασιλεῖς περὶ τῶν Ἀνατολικῶν

1 Τοῖς εὐσεβεστάτοις καὶ θεοφιλεστάτοις Θεοδοσίωι καὶ Οὐαλεντινιανῶι νικηταῖς τροπαιούχοις ἀεὶ αὐγούστοις ἡ ἁγία σύνοδος ἡ χάριτι θεοῦ καὶ νεύματι τοῦ ὑμετέρου κράτους συναχθεῖσα ἐν τῆι Ἐφεσίων μητροπόλει. Τὰ μὲν προστεταγμένα τῆι ἁγίαι συνόδωι παρὰ
ep. 81 τοῦ ὑμετέρου κράτους εἰς πέρας ἤχθη τὸ προσῆκον καὶ τοῦτο γνώριμον τῆι ὑμῶν κατεστήσαμεν εὐσεβείαι τήν τε ἀποστολικὴν πίστιν, ἣν καὶ οἱ ἐπὶ τῆς Νικαίας τριακόσιοι δέκα καὶ

---

21 in fine add. *haec missa est per Auxentium magistrianum* Λc

---

V, P [= hk], S, D [= mn], AΛ et K [= abcdeflpqrtuy]

1 ἐπαλινδρόμησεν d πρὸ τῆσ f 2 ἐκπίπτοντασ abcdefpqu ἐκπίπτειν lrty 3 κανὼν γ' Smg D γ̄ K καὶ om. pq ἐν om. drt, corr. d χώρα ἢ πόλει S πόλει καὶ χώρα y τοῦ νεστορίου S 4 αὐτῶι ὄντων] αὐτῶν y καὶ om. S τούτοισ P 5 τοὺς om. abcdefrtuy τῆ ὀρθοδόξω καὶ τῆ οἰκουμενικῆ SDA τῆ οἰκουμενικῆ καὶ ὀρθοδόξω pq 5/6 φρονοῦντασ u 6 κληρικοὺς — ἐπισκόποις] κληρικοὺσ [hic om. pq τοὺσ κληρικοὺσ y^{corr}] ἢ [ἢ καὶ pq] συμφρονήσανταϲ ἢ νῦν ἢ μετὰ ταῦτα [hic ins κληρικούσ pq] ἐν οἰωδήποτε χρόνω κελεύομεν [κελεύομεν hic om. pq] τοῖσ ἀποστατήσασιν ἢ ἀφισταμένοισ ἢ παραβαίνουσιν [hic ins. ἐπισκόποισ pq] τούσ τε ἁγίουσ κανόναϲ καὶ τὴν ὀρθὴν [ὀρθόδοξον pq] πίστιν [hic ins. κελεύομεν pq] ἐπισκόποισ [hic om. pq] pqy 6 ἢ om. S 7 τρόπον ἢ χρόνον pq 8 κανὼν δ' Smg D δ̄ K ἢ[1] om. SDA δημοσία SDabdeflpqrty δημοσίαν cu ἐν δημοσίω VPA δημοσίω in δημοσία corr. k 9 κελεστίνου lrty φρονῆσαι ἢ τὰ κελεστίου S 11 κανὼν ε' Smg D ε̄ K ὑπὸ SDK ἀπὸ A ἐπὶ VP τῆς om. SDabcflrtuy ὑπὸ SDK ἀπὸ A ἐπὶ VP 12 τούτουσ VAu πᾶσιν p αὐτοῦ ἀδιαφορίαν VPA αὐτοῦ διαφωνίαν SD ἀδιαφορίαν αὐτοῦ K 13 οἱ om. u ἐπειράσθησαν uy πειρασθεῖεν y 14 μένειν καὶ τούτουσ εἶναι S εἶναι καὶ μένειν u τούτοισ bf ἧττον ἢ t ἐδικαιώσαμεν VPSD AΛlpqrty ἐδικαίωσαν abcdefr ἐδικαίωσεν u 15 κανὼν ϛ' Smg D ϛ̄ K δὲ om. u 17 εἶεν ἢ κληρικοὶ K ἀκοινωνήτουσ P τυγχάνειν de 18 om. KΛ

V, P [= hk], S, D [= mn], AWΛtAcAu

20/21 SDAWΛtc παρὰ — Ἀνατολικῶν om. VP 20 βασιλέασ SA 21 ϛβ̄ V π̄γ̄ P ξ SD 22 θεοσεβεστάτοισ V καὶ[3] om. V 23 θῦ VPSD χῦ W τοῦ χῦ A *Christi* Λ 25 ὑμετέρα VP 25/26 εὐσεβεία κατεστήσαμεν SDAW 26/p. 29, 1 τ̄ι καὶ η̄ W 26 καὶ[3] om. VPD

ὀκτὼ συναχθέντες ἐξέθεντο, φανερὰν κατεστήσαμεν τῆι ὑμῶν εὐσεβείαι καὶ τὸν ἐναντία ταύτηι φρονήσαντα Νεστόριον καθείλομεν τῆς ἱερατικῆς λειτουργίας τε καὶ παρρησίας τοῦ
2 κηρύττειν τὴν ἑαυτοῦ δυσσέβειαν. ἐπειδὴ δέ τινες ὀλίγοι, προδιαφθαρέντες τὴν γνώμην ὑπὸ τῆς διδασκαλίας Νεστορίου, προσμείναντες αὐτῶι καὶ τοὺς ὑπὸ αἰτίασιν ὄντας μεθ' ἑαυτῶν προσελάβοντο, προσθεμένου αὐτῶι καὶ τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἰωάννου Ἀντιοχείας ἢ διὰ φιλονεικίαν ἢ διὰ τὴν πρὸς ἀνθρώπους φιλίαν, καὶ οἱ πάντες γενόμενοι τριάκοντα μόνοι, πρὶν ἀπολογήσασθαι περὶ ὧν ἕκαστος ἐνεκαλεῖτο πταισμάτων, ἑαυτοὺς προσηγόρευσαν σύνοδον, ὡς τῆς ὑμῶν εὐσεβείας δύο συνόδους κελευσάσης συγκροτηθῆναι, ἀλλ' οὐχὶ μίαν, ὀφείλουσαν τήν τε πίστιν κρατῦναι τὴν εὐαγγελικὴν καὶ τοὺς τὰ διεφθαρμένα φρονοῦντας ἐκβάλλειν τῆς ἐκκλησιαστικῆς λειτουργίας, ἀλλ' ὡς ἔφημεν, οἱ μνημονευθέντες πρὶν ἀπολογήσασθαι περὶ ὧν ἐνεκαλοῦντο, ὀλίγοι συγκροτήσαντες ἑαυτοὺς καὶ συλλήπτορα τῆς ἀπονοίας προσλαβόντες τὸν εὐλαβέστατον ἐπίσκοπον Ἰωάννην τῆς Ἀντιοχείας καὶ αὐτὸν δεδοικότα περὶ τῆς βραδυτῆτος εὐθύνας ὑποσχεῖν, ὡς ἐμάθομεν ὑποθρυλούντων τινῶν, ἐτόλμησαν ἔξω πάσης ἀκολουθίας ἐκκλησιαστικῆς καὶ τῶν κανόνων ἐκτὸς κατὰ τῆς ἁγίας συνόδου καὶ τῆς κεφαλῆς τῶν συνειλεγμένων ἁγιωτάτων ἐπισκόπων, Κυρίλλου φαμὲν τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου, ἔτι μὴν καὶ τοῦ θεοφιλεστάτου ἐπισκόπου Μέμνονος, ἐξενεγκεῖν βλασφημίαν, ὡς ἐνόμιζον, ὕβριν ἔχουσαν καθαιρέσεως, οὔτε κατηγορίαν παρά τινος δεδεγμένοι M IIII 1328
οὔτε κατήγορον ἀναμείναντες οὔτε μὴν προσκαλεσάμενοι εἰς κρίσιν τινά, ἀλλὰ πρὸ δίκης καὶ ἐξετάσεως τὴν ὕβριν ταύτην ἐγγράφως ἐξεμέσαντες τῶι ὑμετέρωι κράτει ἀνενεγκεῖν ep. 153
ἐτόλμησαν τὰ οὕτω παράλογα, ὡς τῆς ὑμῶν εὐσεβείας ἀγνοούσης ὅτι μία σύνοδος ἡ τῆς οἰκουμένης ἐστὶ καὶ οὐκ ἂν ῥηθείη σύνοδος ἡ τῶν ὑπ' αἰτίαν πιπτόντων ὀλίγων συστροφὴ καὶ ἑαυτοὺς διὰ φόβον ἐπιτιμήσεως ἀπορρηξάντων τῆς ἁγίας συνόδου· οὐδὲ γὰρ κατεγνωκότες πταίσματος τὴν ὕβριν ἐτόλμησαν, ἀλλὰ περὶ ὧν ἐνεκαλοῦντο, ἴσως ἀπολογίαν οὐκ ἔχοντες καὶ ἑαυτοὺς ὄντας ὀλίγους ὁρῶντες καὶ δεδοικότες ὡς μέλλουσι μετὰ τοὺς ἐλέγχους ἐπιτίμιον ὑποδέχεσθαι, προλαβόντες ἐθρασύναντο καὶ τοῦτ' ἐνόμισαν ποιεῖν ὅπερ ἤλπισαν L III 657
ὑπομένειν μετὰ τὸν ἔλεγχον, ἀλλὰ τοῦτο ὡς ἄλογον ἔδοξεν ἡμῖν καταφρονήσεως ἄξιον· 26
ἐπειδὴ δὲ καὶ μέχρι τοῦ ὑμετέρου κράτους ἀνενεγκεῖν ἐτόλμησαν τὴν ἀλογωτάτην ἑαυτῶν ἀπό- ep. 153
νοιαν καὶ τὸ παρὰ θεσμοὺς καὶ κανόνας καὶ πᾶσαν ἀκολουθίαν ἐκκλησιαστικὴν αὐτοῖς πεπραγμένον δηλῶσαι τετολμήκασι τῆι ὑμῶν εὐσεβείαι, οὐκέτι παρείδομεν τὴν ἄλογον ἐκείνων ὁρμήν, ἀλλ' ἑπόμενοι πάλιν τῶι τύπωι τῶν κανόνων προσεκαλεσάμεθα τὸν εὐλαβέστατον ἐπίσκοπον Ἰωάννην τὸν τὰ τηλικαῦτα μετὰ τῶν ἄλλων κατὰ τῶν προειρημένων τετολμηκότα. οὐδὲ γὰρ ἐθάρσησαν ἐκεῖνοι πρὸς τοσαύτην ἀπόνοιαν χωρῆσαι οἱ ὑπ' αἰτίαν ὄντες ὀλίγοι, εἰ μὴ τῆι θρασύτητι τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἰωάννου τοῦ τῆς Ἀντιοχέων
3 ἐθάρσησαν. συναχθέντες οὖν ἡμεῖς λιβέλλων προσδοθέντων ἡμῖν παρὰ τοῦ ἁγιωτάτου

V, P [= hk], S, D [= mn], AWΛ^{tcu}

2 φρονήσαντα ταὐτη S ἱερᾶσ VP τε λειτουργίασ W 3 ἀσέβειαν W 4 καὶ ὑπὸ^1 D αἰτίασ SDAW 5 αὐτῶ VSDAWΛ^{tu} αὐτοῖς Λ^c δὲ αὐτοῖσ P 6/7 λ̄ W 7 μόνον A πραγμάτων Sm γρ πταισμάτων m in mg. 10 ἐκβαλεῖν DW ἐκβαλλεῖν S λειτουργίας] ἀκολουθίασ S ἔφημεν] ἔοικεν S 11 ἀπολογήσονται V ἀπολογήσωνται P ἐνεγκαλοῦντο S 12 συλλαβόντεσ A ἰωάννην τῆσ ἀντιοχέων PS τῆσ ἀντιοχείασ ἰωάννην W 'Ιωάννην Λ 13 ὑποθρυλλούντων VPSDW 14 τῶν om. V ἐκκλησιαστικῆσ καὶ ἁγίασ V 15 συνειλεγμένων SDWΛ ἀπηγγελμένων VP ἐπηγγελμένων A ἁγιωτάτων om. S 16 ἀρχιεπισκόπων VP ἔτι γε μὴν V 17 καὶ καθαιρέσεωσ A ὑπό SDAW 18 κατήγορον] κατηγορίαν P προσκαλεσάμενον S 21 αἰτίαν τινὰ SDAW 22 αὐτῶν A 24 αὐτοὺσ SDW καὶ SDAWΛ om. VP 25 τὸ ἐπιτίμιον VP ἐθρασύνοντο DAW τοῦτο VP 26 ὑπομένειν om. W 27 *ausi sunt omnino* Λ^c 27/28 ὑπόνοιαν A 28 αὐτοῖσ τὴν ἐκκλησιαστικὴν SDAW 29 τετολμήκασι δηλῶσαι S ὑμετέρα VP 29/30 ἐκείνην VW 31 εἰρημένων VP 32 γὰρ ἂν P ἐθάρρησαν SDAW χωρῆσαι] θαρρῆσαι A ὑπὸ VP 33 ἐπισκόπου om. SD ἀντιοχείασ SDAW 34 ἐθάρρησαν SDAW om. Λ^u λιβέλλων — ἡμῖν A λιβέλλων προδοθέντων ἡμῖν SDW προδοθέντων ἡμῖν λιβέλλων VP

καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου Κυρίλλου καὶ τοῦ θεοφιλεστάτου συνεπισκόπου Μέμνονος μετεκαλεσάμεθα τὸν μνημονευθέντα θεοφιλέστατον ἐπίσκοπον Ἰωάννην, ὥστε νῦν γοῦν τὴν μέμψιν εἰπεῖν, δι' ἣν εἰς τοῦτο ὕβρεως ἐξώκειλε κατὰ τῶν πρώτων τῆς ἁγίας συνόδου, ὃς ἅπαξ καὶ δεύτερον καὶ τρίτον μετακληθεὶς ὥστε τὴν αἰτίαν εἰπεῖν, παραγενέσθαι μὲν ἐν τῇ συνόδῳ οὐκ ἠνέσχετο, οὐκ ἔχων [εἰπεῖν] εὔλογον ὧν τετόλμηκε τὴν αἰτίαν, στρατιώταις δὲ καὶ ὅπλοις περιφράξας τὴν ἑαυτοῦ οἰκίαν οὐδὲ τοὺς ἀποστελλομένους παρὰ τῆς ἁγίας συνόδου ἁγιωτάτους ἐπισκόπους ἐδέξατο οὐδὲ ἀποκρίσεως τῆς δεούσης ἠξίωσε τὴν συναχθεῖσαν ἁγιωτάτην σύνοδον. ὅθεν γνόντες αὐτὸν μὴ θαρροῦντα δικαιολογίαις, τὰ μὲν ὑπ' αὐτῶν εἰκῇ καὶ μάτην φλυαρηθέντα' καὶ παρὰ πᾶσαν τὴν τῶν κανόνων ἀκολουθίαν γεγραμμένα κατά τε τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Κυρίλλου καὶ κατὰ τοῦ εὐλαβεστάτου συνεπισκόπου Μέμνονος ἄκυρά τε καὶ μάταια παντάπασιν εἶναι ἐδικαιώσαμεν· κρίσις γὰρ ἡ μεθ' ἑαυτῆς οὐκ ἔχουσά τι κανονικὸν οὐδὲ δίκαιον λοιδορίας οὐδὲν ἔχει πλέον. οὕτως οὖν ἀκανονίστως αὐτόν τε καὶ τοὺς ἅμα αὐτῷ ἀτάκτως πράττοντας καὶ ἔξω πάσης ἀκολουθίας ἐκκλησιαστικῆς ἀκοινωνήτους τέως εἶναι ἐδικαιώσαμεν, εἶρξαντες αὐτῶν τὴν ἄλογον ἀταξίαν, ἕως ἂν ἐλθόντες περὶ ὧν προεπετεύσαντο, ἀπολογήσωνται τῇ ἁγίᾳ συνόδῳ.

M IIII 1329 5 Τὰ οὖν τυπωθέντα ἀναγκαίως ἐπὶ τὴν ὑμετέραν εὐσέβειαν ἀνηνέγκαμεν δεόμενοι ὥστε μὴ σύνοδον κρίνεσθαι τὴν συστροφὴν τῶν ὑπ' αἰτίας γεγενημένων διὰ τὸ καὶ πάλαι ἐπὶ τῆς ἁγίας καὶ μεγάλης συνόδου τῶν τιη τῶν ἐπὶ τῆς Νικαέων συνειλεγμένων τινὰς οὕτως ἀποστῆναι τῆς μεγάλης ἐκείνης συνόδου, δεδοικότας τὸ ἐξ αὐτῆς ἐπιτίμιον, καὶ μήτε κριθῆναι σύνοδον τούτους ὑπὸ τοῦ μεγάλου καὶ ἐν ἁγίοις βασιλέως Κωνσταντίνου, ἀλλὰ καὶ κελευσθῆναι δίκας ὑποσχεῖν ὑπὲρ ὧν ἀποσχίσαντες τὴν τῶν ἁγίων ἐκείνων ἐπισκόπων συμφωνίαν ἠρνήσαντο, πονηρᾶι, καθάπερ οὗτοι, καὶ αὐτοὶ συνειδήσει κεχρημένοι. ἄτοπον γὰρ συνόδῳ διακοσίων δέκα ἁγίων ἐπισκόπων, οἷς καὶ πᾶν τὸ πλῆθος τῆς Δύσεως τῶν ἁγίων ἐπισκόπων συνεψηφίσατο καὶ δι' αὐτῶν ἅπαν τὸ πλῆθος τὸ λοιπὸν τῆς οἰκου-
l. III 600 μένης, τριάκοντα μόνους ἀντιμαχέσασθαι, ὧν οἱ μὲν ἤδη πάλαι καθηιρημένοι τυγχάνουσιν, οἱ δὲ καὶ τῆς Κελεστίου κακοδοξίας εἰσίν, οἱ δὲ καὶ ἀνεθεματίσθησαν ὡς τὰ Νεστορίου φρονήσαντες, ἀλλὰ κελεῦσαι τὰ ὑπὸ τῆς οἰκουμενικῆς καὶ ἁγίας συνόδου τετυπωμένα εἰς συγκρότησιν τῆς εὐσεβείας κατὰ Νεστορίου καὶ τοῦ ἀσεβοῦς αὐτοῦ δόγματος τὴν ἰδίαν ἰσχὺν ἔχειν, κρατυνθέντα τῇ ἐπινεύσει καὶ συγκαταθέσει τῆς ὑμετέρας εὐσεβείας.

Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων ἀνήνεγκα

Ἀρκάδιος καὶ Προίεκτος ἐπίσκοποι καὶ Φίλιππος πρεσβύτερος πρεσβευταὶ τῆς ἀποστολικῆς καθέδρας ἀνηνέγκαμεν

Ὑπέγραψαν δὲ καὶ οἱ λοιποὶ πάντες ἐπίσκοποι.

V, P [= hk], S, D [= mn], AWΛ¹Λ^{c}Λ^{u}

1 κυρίλλου ἀρχιεπισκόπου SD ἐπισκόπου κυρίλλου P 2 θεοφιλέστατον SDWA εὐλαβέστατον P om. VΛ ἐπίσκοπον om. W κἂν νῦν A 3 προσώπων W ὃς] ὡσ P, corr. k 4/5 τῇ συνόδῳ VPAΛ τῇ ἁγία συνόδῳ SDW 5 εἰπεῖν om. Λ ὧν — αἰτίαν] ἀπολογίαν ὧν τετόλμηκε V 6 τὴν — οἰκίαν περιφράξασ D τὴν — οἰκίαν S 7/8 τὴν — σύνοδον VPΛ τοὺσ συναχθέντασ εἰσ τὴν ἁγίαν σύνοδον SDAW 8 αὐτοῦ W 9 τῶν om. S 10 τε VPΛ om. SDAW εὐλαβεστάτου καὶ P συνεπισκόπου ἡμῶν VPΛ^{c} 13 καὶ^{2}] οὐκ S 13/14 ἐκκλησιαστικῆσ ἀκολουθίασ SDAW 15 ἐπροπετεύσαντο DA 16 γοῦν V ἠνέγκαμεν D om. S 17 αἰτίαισ Sm^{corr} αἰτίοισ D αἰτίασιν V 18 τριακοσίων δέκα καὶ [καὶ om. PD] ὀκτὼ VPD τῶν om. VP νικαίασ VP 19 καὶ δεδοικότασ P 20 βασιλέως om. W 21 ἀποσχίσαντεσ ἑαυτούσ PΛ^{c} ἐπισκόπων om. P 22 οὗτοι καὶ αὐτοὶ VPΛ καὶ οὗτοι SDW καὶ τούτοισ A 23 σύνοδον PΛ^{u} 24 τὸ πλῆθοσ τό λοιπόν V τὸ πλῆθοσ τῶν λοιπῶν P τὸ λοιπὸν πλῆθοσ SDAW 25 λ W ἀντιμαχέσασθαι SDWΛ om. VPA πάλαι om. SW 26 καὶ om. PΛ τῆσ — δὲ καὶ om. V 27 φρονήσαντεσ ἀντιλέγειν A 28 αὐτοῦ ἀσεβοῦσ S ἰδίαν om. P 29 κρατηθέντα W 30—33 om. VP *et subscripsit synodus per episcopos centum nonaginta octo* Λ^{u}

93 = S 66 A 44. praeter numerum et titulum deest in V. Latina uersio extat in Collectione CT 40

Ἴσον σάκρας ἀποσταλείσης διὰ Ἰωάννου τοῦ κόμητος τῶν σακρῶν τῇ ἁγίαι συνόδωι

1 Κελεστίνωι[1] Ῥούφωι[2] Αὐγουστίνωι[3] Θεοδότωι[4] Ἀλεξάνδρωι[5] Ἀκακίωι[6] [ἄλλωι Ἀκακίωι[7]] Τραγκυλίνωι[8] Οὐαλεντίνωι[9] Ἰκονίωι[10] Ἰωάννηι[11] Ἀκακίωι[12] Οὐρσωι[13] Φίρμωι[14] Ἰμερίωι[15] Δεξιανῶι[16] Βερινιανῶι[17] Παλλαδίωι[18] Ἀστερίωι[19] Ἰουβεναλίωι[20] Φλαβιανῶι[21] Ἑλλαδίωι[22] Ῥαμβούλωι[23] Ἀλεξάνδρωι ἄλλωι[24] Μαξίμωι[25] Φριτίλαι[26] Περιγένει[27] Κύρωι[28] Ἰωάννηι ἄλλωι[29] Εὐθηρίωι[30] Ἑλλανίκωι[31] Βοσπορίωι[32] Κύρωι ἄλλωι[33] Βηναντίωι[34] Πέτρωι[35] Δυνατῶι[36] Δωροθέωι[37] Ἀντιόχωι[38] Δαλματίωι[39] Εὐσεβίωι[40] Σελεύκωι[41] Ἐλευσίωι[42] Εὐλογίωι[43] Σαππίδωι[44] Τιμοθέωι[45] Πίωι[46] Τρωίλωι[47] Ἐρρηνιανῶι[48] Μονίμωι[49] Ὀλυμπίωι[50] Θεοφίλωι[51] 2 Ἰουλιανῶι[52] Βασιλείωι[53] καὶ λοιποῖς εὐλαβεστάτοις ἐπισκόποις. Ὅσον περὶ τὴν εὐσέβειαν καὶ τὴν προγονικὴν πίστιν ἔχοντες ζῆλον διατελοῦμεν, ἐκ πολλῶν ἡγούμεθα τῶν προλαβόντων ἐναργῶς δεδηλῶσθαι, οὐχ ἥκιστα δὲ καὶ ἐκ τῆς ἔναγχος ἐπὶ τῇι κλήσει τῆς ἁγιωτάτης ὑμῶν συνόδου τοῦτο φανερὸν γεγονέναι πᾶσι τοῖς κατὰ τὴν οἰκουμένην πεπιστεύκαμεν. οὐδὲ γὰρ πρὸς βραχὺ ἀνακυψάσης τινὸς ἀμφισβητήσεως ἀνασχόμενοι, ὑπὲρ τοῦ θᾶττον τὴν ταύτης παρακολουθῆσαι λύσιν σπουδαίως συνελθεῖν τὴν ὁσιότητα ὑμῶν ἐπεστείλαμεν, καὶ οὐδαμῶς ἡγούμενοι τὸν ὑπὲρ εὐσεβείας πόνον τῇι θεοσεβείαι ὑμῶν ἔσεσθαι φορτικόν, ἐπεκουφίσαμεν ὅμως βασιλικῆι προνοίαι τὴν τούτου δυσχέρειαν ἐπιτηδειότητι καιροῦ τε καὶ τόπου. τὴν γὰρ Ἐφεσίων ἀφωρίσαμεν πόλιν τοῖς τε ἐκ γῆς καὶ θαλάσσης εὐπρόσιτον, καὶ πάντων δὲ τῶν οἰκείων καὶ ἐπεισάκτων καρπῶν τὰ χρειώδη τοῖς ἐνδιατρίβουσιν ἀφθόνως παρέχουσαν, ὥστε τὸν τῆς ἡμετέρας γαληνότητος εὐσεβῆ σκοπὸν καὶ 3 τῆς ἁγιωτάτης ὑμῶν συνόδου συνδραμεῖν τε ῥαιδίως καὶ εἰς ἔργον ἀχθῆναι. ὅθεν καὶ νῦν τὴν γνωρισθεῖσαν παρὰ τῆς θεοσεβείας ὑμῶν Νεστορίου καὶ Κυρίλλου καὶ Μέμνονος καθαίρεσιν ἐδεξάμεθα, τῶν δὲ ἄλλων τῶν παρ' ὑμῖν πραχθέντων κατέγνωμεν, τὴν περὶ τὸν Χριστιανισμὸν πίστιν καὶ ὀρθότητα φυλάττοντες, ἣν ἐκ πατέρων καὶ προγόνων παρειλήφαμεν καὶ ἣν ἡ ἁγιωτάτη σύνοδος ἡ ἐπὶ τοῦ τῆς θείας λήξεως Κωνσταντίνου γενομένη συμφώνως ἐκύρωσε. φροντίσει τοίνυν ἕκαστος τοῦ ἁγιωτάτου ὑμῶν συλλόγου, λυθείσης πάσης ἀμφισβητήσεως κοπέντων τε τῶν σκανδάλων, μετ' εἰρήνης καὶ ὁμονοίας εἰς τὴν οἰκείαν

M IIII 139[6]
L. III 7[21]

V [praeter numerum et titulum omnia desunt], P [= hk], S [3 τῶν σακρῶν — p. 32, 4 ὑμῶν συλλόγωι desunt propter folii defectum], D [= mn], AWΛ^{t}Λ^{c}

ϛγ̄ V πδ̄ P ξ̄ς SD 3 τοῦ om. PS τῶν om. W σακρῶν VPΛ σακρῶν παρὰ τῶν εὐσεβεστάτων βασιλέων DAW ἁγία PΛ^{t} om. V ἁγία καὶ μεγάλη DAW

4—11 ordo idem inuenitur in Λ^{t}, confusus est in Λ^{c}, ubi accedunt *Sabbatius* et *Iohannes* tertius, pro Valentino[9] habetur *Valerianus* 4 praemittit Ἰουβενάλιος ἐπίσκοποσ ἱεροσολύμων ἀνήνεγκε ex fine ep. 92 P [8] αὐγουστίνῳ P αὐγουστιανῶ DA αὐγουστινιανῶ W [4] om. DAW [7] P om. DAWΛ [17] βερινιανῶ A βερηνιανῶ D βεριανῶ P βενινῶ W [26] φριτίλαι D φριτηλᾶ P φριτηρᾶ A φιρτιάνῳ W [27] περιγενίω P [32] βοσφορίω P [33—39] om. W [39] ante [33] coll. P [34] βινατίω D βιννατίω A [35] post [37] coll. P [36] δυμάτω P [41] σελευκίω W [43] ante [40] coll. W post [47] iterum habet P [44] σαππίω D [48] ἐρρηνιανῶ A ἐρηνιανῶ DW ἐρριανῶ P 11 τοῖσ λοιποῖσ A ὅσοι A 12 τὴν προγονικὴν πίστιν WΛ τῆσ προγονικῆσ πίστεωσ PDA 12 ἔχοντεσ ζῆλον διατελοῦμεν P ζῆλον διατελοῦμεν ἔχοντεσ W τὸν ζῆλον διατελοῦμεν ἔχοντεσ [ἔχοντεσ om. A] DA 13 τῆι om. P 13/14 ἁγιωτάτησ PΛ om. DAW 14 τοῦτον P 16/17 ἀπεστείλαμεν DA 17 καὶ om. W τῆσ θεοσεβείασ W 18/19 ὑμῶσ — ἀφωρίσαμεν om. W 20 προσιτὴν P δὲ] διά τε P τὰ] καὶ P 22 καὶ ῥαιδίωσ Λ 23 θεοσεβείασ P *sanctitate* Λ εὐσεβείασ DAW 24 ὑμὶν PDAΛ^{t} ὑμῶν WΛ^{c} κατέγνωμεν PΛ ἔγνωμεν DA ἔγνωμεν τὰ ὑπομνήματα W τήν τε W 25 τέ καὶ DA καὶ — φυλάττοντεσ om. W τε καὶ P 26 ἡ^{2} om. DA τοῦ om. P γεγενημένη κωνσταντίνου P 27 post ἐκύρωσεν add. ὀρθοτατα φυλάττοντεσ ὦμεν W 28 τε PΛ δὲ DA καὶ W τέ καὶ A *concordia generali* Λ^{c} οἰκίαν W

4 ἐπανελθεῖν. ὑπὲρ δὲ τοῦ τὴν ὁσιότητα ὑμῶν μὴ μόνον ἀπὸ τῶν τῆς ἡμετέρας εὐσεβείας γραμμάτων προτραπεῖσαν εἰς ὁμόνοιάν τε καὶ εἰς τὴν καθόλου τοῦ εὐσεβοῦς δόγματος εἰρήνην ἰδεῖν, καὶ τὰ γράμματα τοῦ ὁσιωτάτου ἐπισκόπου τῆς Βεροιαίων Ἀκακίου τοῦτο παραινοῦντος ἀναγνόντες ἀπεστείλαμεν, ὃς τῶι ἁγιωτάτωι ὑμῶν συλλόγωι προστεθῆναι διὰ τὸ μακρὸν γῆρας οὐ δυνηθείς, δι' ὧν ἔγραψε, τὰ τῆι αὐτοῦ θεοσεβείαι πρέποντα καὶ τῆι ὀρθοδόξωι θρησκείαι συντελοῦντα εἰσηγήσατο, ἅπερ οἷα τυγχάνει, ἡ τῆς αὐτῆς ἐπιστολῆς δηλώσει ἀνάγνωσις. γινωσκέτω μέντοι ἡ ὑμῶν ὁσιότης ὅτιπερ τὸν μεγαλοπρεπέστατον καὶ ἐνδοξότατον κόμητα τῶν σακρῶν Ἰωάννην τούτου ἕνεκα ἀπεστείλαμεν ὥστε αὐτὸν εἰδότα τὸν περὶ τὴν πίστιν τῆς ἡμετέρας θειότητος σκοπόν, ἅπερ ἂν συνίδηι λυσιτελεῖν, διαπράξασθαι.

94 = S 67 A 47. praeter numerum et titulum deest in V. Latina uersio extat in Collectione CT 41

L III 756 M IIII 1433 Ἴσον ἀναφορᾶς τῆς ἁγίας συνόδου πρὸς τὴν σάκραν τὴν ἀναγνωσθεῖσαν παρὰ τοῦ μεγαλοπρεπεστάτου κόμητος τῶν σακρῶν Ἰωάννου

1 Τοῖς εὐσεβεστάτοις καὶ φιλοχρίστοις Θεοδοσίωι καὶ Οὐαλεντινιανῶι νικηταῖς τροπαι-
L III 757 σύχοις ἀεὶ αὐγούστοις ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος ἡ χάριτι θεοῦ καὶ νεύματι τοῦ ὑμετέρου κράτους συναχθεῖσα ἐν τῆι Ἐφεσίων μητροπόλει. Ἡ μὲν φιλόχριστος ὑμῶν βασιλεία, εὐσεβέστατοι βασιλεῖς, ἐκ παίδων τὸν περὶ τὴν πίστιν καὶ τοὺς κανόνας ἐπεδείξατο ζῆλον, οὗπερ ἕνεκεν καὶ τοὺς ἐκ τῆς οἰκουμένης ἐπισκόπους τὴν Ἐφεσίων καταλαβεῖν εὐσεβεῖ θεσπίσματι παρεκελεύσατο· τὸ δὲ νῦν ἡμῖν ἀναγνωσθὲν γράμμα τῆς ὑμετέρας γαληνότητος διὰ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου κόμητος Ἰωάννου οὐ μικρὰν ἡμῖν ἐποίησε ταραχήν, ἐνδειξάμενον ἀπάτην τινὰ καὶ ψεῦδος ταῖς ἀψευδέσιν παρενοχλῆσαι ὑμῶν
2 ἀκοαῖς. ὡς γὰρ παρ' ἡμῶν ἀναφορὰν δεξάμενον τὸ ὑμέτερον κράτος καθαίρεσιν ἔχουσαν τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου Κυρίλλου καὶ τοῦ ὁσιωτάτου καὶ θεοφιλεστάτου συνεπισκόπου [ἡμῶν] Μέμνονος, οὕτω διὰ τῶν γραμμάτων ἐδήλωσεν. ὅθεν μηδαμῶς ἰσχύειν ψεῦδος ἐπὶ τῆς ὑμετέρας φιλοχρίστου βασιλείας εὐχόμενοί τε καὶ σπουδάζοντες ἐθαρσήσαμεν ἀνενεγκεῖν τῆι ὑμετέραι γαληνότητι ὅτιπερ ἡ οἰκουμενικὴ σύνοδος ἡ πᾶσαν μὲν τὴν Δύσιν μετὰ τῆς μεγάλης ὑμῶν Ῥώμης καὶ τοῦ ἀποστολικοῦ θρόνου συνεδρεύουσαν ἔχουσα, πᾶσαν δὲ τὴν Ἀφρικὴν καὶ πᾶν τὸ Ἰλλυρικὸν οὐκ ἐποίησε καθαίρεσιν τῶν προειρημένων ἁγιωτάτων καὶ θεοφιλεστάτων ἐπισκόπων οὔτε ἀνήνεγκεν, ἀλλὰ καὶ μᾶλλον τοὺς ἄνδρας ἐπὶ ζήλωι ὀρθοδοξίας θαυμάζουσα πολλῶν ἡγεῖται καὶ παρὰ τοῖς ἀνθρώποις ἐπαίνων καὶ παρὰ τῶι δεσπότηι Χριστῶι στεφάνων ἀξίους, μόνον δὲ τὸν τῆς ἀθεμίτου αἱρέ-
ep 81 σεως τῶν ἀνθρωπολατρῶν κήρυκα Νεστόριον καθελόντες ἀνηνέγκαμεν τῆι φιλοχρίστωι ὑμῶν
3 βασιλείαι. κἀκεῖνο δὲ ἡμᾶς οὐ μικρῶς ἔθλιψεν ἐκ συναρπαγῆς γενέσθαι φαινόμενον τὸ

P, S [inde a 4 προστεθῆναι], DAWΛtΛc

2 τῆσ τοῦ P 3 ἐνιδεῖν P ante καὶ superscr ἀλλὰ W ὁσιωτάτου PA om DAW ἐπισκόπου τῆσ βερροιαίων DAW τῆσ βερροιαίων ἐπισκόπου P 6 αὐτῆσ om. P 7 ὑμετέρα P 8 καὶ τούτου ἕνεκεν W 9 τὸν περὶ τὴν] τὴν περιττὴν S ὑμετέρασ W σκοπὸν τῆσ ἡμετέρασ θειότητοσ P συνίδηι W συνειδῆ SDA συνήδει P 9/10 διαπράξασθαι PWΛ διαπράξησθε SDA

V [praeter numerum et titulum omnia desunt], P [= hk], S, D [= mn], AWΛtΛc

ϙδ V πε̄ P ΕΖ SD 13/14 τοῦ μεγαλοπρεπεστάτου om. V 14 ἰωάννου κόμητοσ τῶν σακρῶν VP 15—17 Τοῖς — μητροπόλει om. P 15 εὐλαβεστάτοισ S 16 θεοῦ] *Christi* Λ 16/17 *uestrae pietatis* Λc 18 ἐπεδείξαντο P 20 ὑμῖν D 21 ἡμῖν om. SW 22 παρενοχλῆσαι ὑμῶν P ὑμῶν παρενοχλῆσαι W *inquietare* Λ ὑμῶν παρενοχλῆσαν SDA 24 θεοφιλεστάτου ἀρχιεπισκόπου PΛ ὁσιωτάτου SDAW 24/25 καὶ τοῦ —:Μέμνονος om. P 24 τοῦ om. S ὁσιωτάτου καὶ om W 25 ἡμῶν om. Λ 27 ἐθαρρήσαμεν PSW 28 τὴν om. P ἡμῶν Pm 30 καὶ[2] om. WΛt 31 διηγεῖται SW 33 τὸν ἀνθρωπολάτριν P 34 δὲ om. P οὐ μικρῶσ ἡμᾶς D

τοὺς ἀποστατήσαντας ἀπὸ τῆς οἰκουμενικῆς συνόδου τοὺς περὶ Ἰωάννην τὸν Ἀντιοχείας καὶ τοὺς σὺν αὐτῶι Κελεστιανοὺς καὶ καθηιρημένους τοῖς ἡμετέροις ἐγκαταμῖξαι ὀνόμασι καὶ μίαν πρὸς ἡμᾶς τε κἀκείνους σάκραν διαπέμψασθαι, περὶ ὧν ἤδη μὲν καὶ πάλαι φανερὰ ep 84
τῆι ὑμετέραι εὐσεβείαι κατεστήσαμεν ὅπως μὲν ἡμῶν ἀπέσχισαν· ὅπως δὲ εἰς ὕβριν τὴν κατὰ τῶν ἡμετέρων προέδρων τραπέντες τούς τε κανόνας πατῆσαι ἐτόλμησαν καὶ ἑαυτοὺς 5
ἀκοινωνήτους πάσης τῆς οἰκουμενικῆς συνόδου διὰ τῆς καθ' ἡμῶν προπετείας εἰργάσαντο ὅπως τε καλούμενοι εἰς ἔλεγχον οὐδαμῶς ὑπακοῦσαι ἠνέσχοντο καὶ ὅτι πάντηι ἀκοινώνητοι διὰ τοῦτο καὶ ἀνενέργητοι παρὰ τῆς οἰκουμενικῆς συνόδου γεγόνασι, ταῦτα καὶ νῦν γνωρίζοντες τῆι ὑμετέραι φιλοχρίστωι βασιλείαι δηλοῦμεν ὡς διὰ τὴν τοιαύτην αὐτῶν ἀτοπίαν
καὶ τοὺς ὑπὲρ τοῦ καθηιρημένου Νεστορίου αὐτῶν καὶ μέχρι νῦν ἀγῶνας οὐδαμῶς εἰς κοι- M IIII 1436
νωνίαν δέξασθαι ἠνεσχόμεθα, μήτε τῆι καθαιρέσει Νεστορίου ὑπογράψαι ἀνασχομένους, ἀλλὰ 11
καὶ τὰ ἐκείνου προδήλως φρονοῦντας, ὑποπεσόντας δὲ καὶ τοῖς κανόσι διά τε τὴν ἄτακτον
αὐτῶν κατὰ τῶν ἡμετέρων προέδρων ἐπιχείρησιν καὶ διὰ τὸ ψεύσασθαι καὶ συναρπάσαι L III 760
τολμῆσαι τὰς εὐσεβεῖς ὑμῶν ἀκοάς, καὶ δεόμεθα τῆς τῶι θεῶι ἀνακειμένης ὑμῶν βασιλείας
τοὺς μὲν ἁγιωτάτους καὶ θεοφιλεστάτους ἐπισκόπους Κύριλλον καὶ Μέμνονα ἀποδοθῆναι 15
τῆι ἁγίαι συνόδωι, οὐδαμῶς ἀπὸ τῶν κανόνων κατακεκριμένους, τὴν δὲ πίστιν φυλαχθῆναι
ἀσάλευτον, ἥτις καὶ τῆι ὑμετέραι ὑπὸ τοῦ ἁγίου πνεύματος καταγέγραπται ψυχῆι ἐκ προγόνων ὑμῖν παραδεδομένη καὶ ἐν τοῖς παρ' ἡμῶν πάλαι ἀνενηνεγμένοις ὑπομνήμασι τοῖς
κατὰ Νεστορίου πραχθεῖσι σφόδρα σεσαφήνισται, προκειμένης μὲν τῆς πίστεως τῶν ἐν
Νικαίαι ἁγιωτάτων πατέρων τῶν τιη, πάσης δὲ τῆς ἐπ' αὐτῶι πράξεως ἱκανῆς οὔσης διε- 20
λέγξαι μὲν τὴν τῶν ἐναντίων ἀσέβειαν, παραστῆσαι δὲ τὴν ὀρθόδοξον πίστιν, ἣν μέχρι τοῦ
4 νῦν φυλάξαι διὰ πάντων ἐσπουδάσατε. εἰ δὲ παρίσταται τῶι ὑμετέρωι κράτει ὑπὲρ τοῦ
ἀκριβῶς διαγνῶναι τὰ μεταξὺ ἡμῶν τε καὶ τῶν ἀποσχισάντων, τὴν ὑμετέραν κορυφὴν ἱκετεύομεν τῆι ἁγίαι συνόδωι ἐκπέμψαι ὅσους ἂν δοκιμάσηι τὸ ὑμέτερον κράτος, ὥστε καὶ
κατὰ πρόσωπον περὶ πάντων πληροφορῆσαι τὴν φιλόχριστον ὑμῶν βασιλείαν. 25

95 = S 75 A 58. Latinae uersiones extant duo, in Collectione CT 60 et in Collectione Winteriana 11

Ἐντολὴ πραχθεῖσα παρὰ τῆς ἁγίας συνόδου τοῖς ἀποσταλεῖσι παρ' αὐτῆς ἐν Κωνσταντινουπόλει εὐλαβεστάτοις ἐπισκόποις ὥστε αὐτοὺς δικάσασθαι τοῖς ἀπὸ τῆς Ἀνατολῆς

1 Τῶι θεοφιλεστάτωι καὶ θεοσεβεστάτωι πρεσβυτέρωι Φιλίππωι, διέποντι τὸν τόπον τοῦ L III 781
ἁγιωτάτου καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου τῆς ἀποστολικῆς καθέδρας τοῦ τῆς μεγάλης Ῥώμης M IIII 1457

P [= hk], S, D [= mn], AWΛtΛc

1 ἀντιοχέα A 2 Κελεστιανούς] κελεστίω τούσ W καὶ SA τε καὶ P om DW ἐγκαταμίξαι PΛ ἐντάξαι SDAW 3 ἐκείνουσ τε καὶ ἡμᾶσ P τε om. D διαπέμψαι P 4 μὲν PSDAWΛ, melius deesset ἡμᾶσ PA 5 προτραπέντεσ A 7 ἐλέγχουσ P 7/8 διὰ τοῦτο ἀκοινώνητοι P 8 παρὰ] διὰ P 10 τούσ in τοῦ corr. W 10/11 αὐτῶν — Νεστορίου om W 10 καὶ μέχρι νῦν om P 11 τὴν καθαίρεσιν A μὴ ἀνασχομένουσ W 13 τό] τοῦ P 16 ὑπὸ P 18 ἡμῖν W παραδιδομένη P ante καὶ superscr ἢ W ἀνηνεγμένοισ P 20 τι καὶ η A τριακοσίων δεκαοκτώ PD δὲ PSW μὲν D μὲν γὰρ A αὐτῶ A *eius* Λ αὐτῆ PSW αὐτοῖσ D 21 τοῦ om S 22 διὰ πάντων φυλάξαι S 23 ὑμετέραν εὐσεβῆ P 24 ὅσουσ PΛ οὓσ SDAW καὶ om P

V, P [= hk], S, D [= mn], AWΛtΛcΛu

Ζήτει τὰ προβάντα μετὰ τὴν τοιαύτην ἐντολὴν κατὰ ἀκολουθίαν ἐν τῶι δευτέρωι βιβλίωι, ἐν ὧι καὶ αὕτη προτέτακται SD in mg

ϛ^ε V πς P 28/29 ἐντολὴ [ἐπιστολὴ SW] — ἀνατολῆσ SDAWΛ Ἐντολιμαῖον γράμμα προσ τούσ ἐξῆσ ὥστε ἐν κωνσταντινουπόλει δικάσασθαι [δικάσασθαι ἐν κωνσταντινουπόλει P] πρὸσ ἰωαννην ἐπίσκοπον ἀντιοχείασ VP 28 αὐτῆσ τῆσ ἁγίασ συνόδου SDW 30 θεοσεβεστατω καὶ θεοφιλεστάτω SW 31 ἁγιωτάτου VPAΛ εὐλαβεστάτου SDW καὶ θεοφιλεστάτου om VD καὶ ὁσιωτάτου P *et pientissimi* Λw ἀρχιεπισκόπου PAΛ ἐπισκόπου VSDW μεγίστησ VP

Κελεστίνου, καὶ τοῖς θεοφιλεστάτοις καὶ ἁγιωτάτοις ἐπισκόποις Ἀρκαδίωι Ἰουβεναλίωι Φλαβιανῶι Φίρμωι Θεοδότωι Ἀκακίωι Εὐοπτίωι ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος ἡ χάριτι θεοῦ καὶ θεσπίσματι τῶν εὐσεβεστάτων βασιλέων συναχθεῖσα ἐν τῆι Ἐφεσίων μετροπόλει ἐν κυρίωι χαίρειν. Ἐπιτραπέντες παρὰ τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων βασιλέων πρεσβευτὰς ἀποστεῖλαι ὑπὲρ πάσης ὁμοῦ τῆς οἰκουμένης, ἥτις διὰ τῶν ἐν τῆι Ἐφεσίων πόλει συνειλεγμένων μεθ' ἡμῶν τὸν ὑπὲρ τῆς ὀρθῆς πίστεως ἀνείληφεν ἀγῶνα, ἐψηφισάμεθα τὴν ὑμετέραν θεοσέβειαν, ὡς ἐνώπιον τοῦ Χριστοῦ ὑμῖν τὴν ὑπὲρ τῆς ὀρθοδοξίας καὶ τῶν
L III 781 ἁγίων πατέρων καὶ ἀδελφῶν τοῦ τε ἁγιωτάτου καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου Κυρίλλου καὶ τοῦ θεοφιλεστάτου συνεπισκόπου Μέμνονος πρεσβείαν ἐγχειρίσαντες. ἀμφοτέρων δὲ ποιούμενοι πρόνοιαν καὶ τῆς ἑαυτῶν ἀσφαλείας καὶ τῆς ὑμετέρας, τοῦτο ὑμῖν τὸ ἐντολικὸν ὠρέξαμεν, ὥστε καὶ ἡμᾶς εἰδέναι ἐπὶ τίσιν ὑμᾶς ἐξεπέμψαμεν, καὶ τὴν ὑμετέραν θεοσέβειαν γινώσκειν ὅτιπερ οὐδὲν παρὰ ταῦτα ποιῆσαι ὀφείλετε. πρὸ πάντων μὲν οὖν ἐκεῖνο εἰδέναι χρὴ τὴν ὑμετέραν ὁσιότητα ὅτιπερ τὴν πρὸς Ἰωάννην τὸν Ἀντιοχείας καὶ τὸ σὺν αὐτῶι τῆς ἀποστασίας συνέδριον κοινωνίαν κατ' οὐδένα τρόπον καταδέξασθαι ὀφείλετε διὰ τὸ μήτε ἐλέσθαι αὐτοὺς συγκαθελεῖν ἡμῖν τὸν τῆς ἀσεβείας κήρυκα Νεστόριον, ἀλλὰ καὶ τὸν ὑπὲρ ἐκείνου λόγον μέχρι τῆς ὑμετέρας ἐξόδου ποιεῖσθαι, τολμῆσαι δὲ παρὰ πάντας τοὺς κανόνας κατακρῖναι τόν τε ἁγιώτατον καὶ θεοφιλέστατον ἀρχιεπίσκοπον Κύριλλον καὶ τὸν ἁγιώτατον καὶ θεοφιλέστατον ἐπίσκοπον Μέμνονα, ἄλλως δὲ διὰ τὸ ἔτι καὶ νῦν τοῖς Νεστορίου συναγωνίζεσθαι δόγμασι καὶ τινὰς τῶν ἐν αὐτοῖς εἶναι Κελεστιανοὺς καὶ καθηιρημένους καὶ τὴν τῆς οἰκουμένης σύνοδον τολμῆσαι ὡς αἱρετικὴν διαβαλεῖν. εἰ δὲ ἄρα
2r ἀνάγκη τις παρὰ τοῦ εὐσεβεστάτου προσάγοιτο βασιλέως, ἐπειδὴ χρὴ φιλοχρίστωι καὶ εὐσεβεῖ θεσπίσματι κατὰ δύναμιν πειθαρχεῖν, εἰ ἔλοιντο οἱ προειρημένοι ὑπογράψαι μὲν τῆι καθαιρέσει Νεστορίου, διὰ λιβέλλων δὲ συγγνώμην αἰτῆσαι παρὰ τῆς ἁγίας συνόδου ἐφ' οἷς προεπετεύσαντο κατὰ τῶν ἡμετέρων προέδρων, ἀναθεματίσαι δὲ καὶ τὰ Νεστορίου δόγματα καὶ τοὺς προδήλως τὰ αὐτοῦ φρονοῦντας ἢ φρονήσαντας ἀπορρίψασθαι καὶ σὺν ἡμῖν πονῆσαι εἰς τὸ ἀποδοθῆναι ἡμῖν τοὺς ἁγιωτάτους ἀρχιεπισκόπους Κύριλλον καὶ Μέμνονα, ἐπιτρέπομεν τῆι ὑμετέραι ἁγιότητι, τούτων γινομένων, ὑποσχέσθαι μὲν αὐτοῖς τὴν κοινωνίαν, γράψαι δὲ
M IIII 1460 πρὸς ἡμᾶς, ὥστε καὶ ἡμῶν ὑμῖν συντιθεμένων τελείαν τὴν πρὸς αὐτοὺς γενέσθαι εἰρήνην· μὴ πρότερον δὲ τὴν κοινωνίαν αὐτοῖς ὑποσχέσθαι, εἰ μὴ τοὺς προέδρους ἑαυτῆς ἀπολάβοι ἡ ἁγία σύνοδος. εἰδέναι δὲ βουλόμεθα τὴν ὑμετέραν ὁσιότητα ὅτιπερ εἴ τι τούτων παροφθείη παρ' ὑμῶν, οὔτε ἡ ἁγία σύνοδος καταδέξεται τὰ παρ' ὑμῶν πραττόμενα οὔτε ὑμᾶς ἕξει κοινωνούς.

V, P [= hk], S, D [= mn], AWΛtΛcΛw

1 θεοφιλεστάτοις VPAΛtc θεοσεβεστάτοις SDWΛw καὶ ἁγιωτάτοις om. VP 1/2 φλαυιανῶ SD 2 εὐοπίω S καὶ εὐοπτίω P 2—4 ἡ ἁγία — χαίρειν om. W 4 καὶ φιλοχρίστων om. V καὶ θεοφιλεστάτων καὶ φιλοχρίστων P 5 ἐξαποστεῖλαι VP οἰκουμενικῆσ συνόδου P μητροπόλει P 6 μεθ'] ἀνθ' W ἀνείληφεν ἀγῶνα πίστεωσ SDW ἀνειλήφει P ἐψηφίσατο P 7 ὡς om. S 8 θεοφιλεστάτου VPAΛ ὁσιωτάτου SDW 8/9 Κυρίλλου — συνεπισκόπου om. V 9 θεοφιλεστάτου DAWΛ ἁγιωτάτου καὶ ὁσιωτάτου P om. S συνεπισκόπου AWΛ συνεπισκόπου ἡμῶν S ἐπισκόπου PD ἐγχειρήσαντεσ P 10 πρόνοιαν ποιούμενοι VP τὸ om. P 11 ὑμᾶσ PW, corr. W ἡμᾶσ S 12 οὐδὲ P 13 τὸν om. D 14 δέξασθαι S 17/18 ἀρχιεπίσκοπον — θεοφιλέστατον om. V ἐπίσκοπον W 18 καὶ θεοφιλέστατον om. SW καὶ θεοσεβέστατον Λtc δὲ SDAW τε P τε καὶ V 19 καὶ² SDAWΛ ἔτι τε P ἔτι τε καὶ V 20 τολμῆσαι om. VP διαβάλλειν VP ἄρα SDAWΛ om. VP 21 εὐλαβεστάτου W προσάγοιτο SAW προάγοιτο D ἐπάγοιτο VP ἐπειδὴ PA ἐπειδήπερ SDW ἐπεὶ V χρὴ SDAW δεῖ VP 22 θεσπίσματι DAWΛ δόγματι S κράτει VP πειθαρχεῖν κατὰ δύναμιν S 22/23 νεστορίου καθαιρέσει VP 24 δὲ DAWΛc om. S δὲ πρωτοτύπωσ VP τὰ νεστορίου δόγματα VPAΛ τοῦ νεστορίου τὸ δόγμα SW τὸ νεστορίου δόγμα D 25 αὐτοῦ SDAWΛ αὐτὰ VP ἡ AΛ καὶ VPSDW πονέσαι P 27 γενομένων SD μὲν om. P 28 συντεθειμένων P 29 τὴν κοινωνίαν αὐτοῖσ A κοινωνίαν αὐτοῖσ SDW αὐτοῖσ κοινωνίαν VP αὐτῆσ SDW 30 τούτων τί SDW 31 καταδέξασθαι V ἡμῶν S οὔτε δὲ SDW κοινωνικοὺσ AW

Ὑπογραφαί

[1]Βηρινιανὸς ἐπίσκοπος Πέργης ἐντειλάμενος ὑπέγραψα
[2]Ἐρενιανὸς ἐπίσκοπος ὑπέγραψα
[3]Δαλμάτιος ἐπίσκοπος ὑπέγραψα
[4]Σεβῆρος ἐπίσκοπος ὑπέγραψα
[5]Πίος ἐπίσκοπος ὑπέγραψα
[6]Ἑλλάνικος ἐπίσκοπος ὑπέγραψα
[7]Παλλάδιος ὁμοίως
[8]Ἀμφιλόχιος ὁμοίως
[9]Περιγένης ὁμοίως
[10]Ἰκόνιος ὁμοίως
[11]Οὐαλεριανὸς ὁμοίως
[12]Κῦρος ὁμοίως
[13]Ἀριστόνικος ὁμοίως
[14]Μαιόνιος ὁμοίως
[15]Δυνατὸς ὁμοίως
[16]Ἰδδούας ὁμοίως
[17]Ἐπιφάνιος ὁμοίως
[18]Γρηγόριος ὁμοίως
[19]Ἡσύχιος ὁμοίως
[20]Τριβουνιανὸς ὁμοίως
[21]Φίλιππος ὁμοίως
[22]Ἡρακλέων ὁμοίως
[23]Πέτρος ὁμοίως
[24]Θεοδόσιος ὁμοίως
[25]Εὐσέβιος ὁμοίως
[26]Βενάντιος ὁμοίως
[27]Ἀνύσιος ὁμοίως
[28]Δομνῖνος ὁμοίως
[29]Ζηνόβιος ὁμοίως
[30]Αἴτιος ὁμοίως
[31]Τιμόθεος ὁμοίως
[32]Εὐγένιος ὁμοίως
[33]Κάλλιππος ὁμοίως
[34]Ἰωάννης ὁμοίως
[35]Θεόδοτος ὁμοίως
[36]Ἀβλάβιος ὁμοίως
[37]Δομνῖνος ὁμοίως
[38]Εὐστάθιος ὁμοίως
[39]Κωνστάντιος ὁμοίως
[40]Ἐννέπιος ὁμοίως
[41]Εὐπρέπιος ὁμοίως
[42]Παράλιος ὁμοίως
[43]Σιλουανὸς ὁμοίως
[44]Λιμένιος ὁμοίως
[45]Κύριλλος ὁμοίως
[46]Εὔπορος ὁμοίως
[47]Ῥόδων ὁμοίως
[48]Τυχικὸς ὁμοίως
[49]Μαρτύριος ὁμοίως
[50]Θωμᾶς ὁμοίως
[51]Νικίας ὁμοίως
[52]Νεστόριος ὁμοίως
[53]Θεόδωρος ὁμοίως
[54]Ἀρχέλαος ὁμοίως
[55]Ἀφόβιος ὁμοίως
[56]Ἑρμόλαος ὁμοίως
[57]Μακάριος ὁμοίως
[58]Δοκιμάσιος ὁμοίως
[59]Θεοσέβιος ὁμοίως
[60]Δόμνος ὁμοίως
[61]Ἀστέριος ὁμοίως
[62]Ῥηγῖνος ὁμοίως
[63]Σενεκίων ὁμοίως
[64]Βεσσούλας διάκονος ὁμοίως
[65]Μάξιμος ὁμοίως
[66]Θεόδουλος ὁμοίως
[67]Κόμοδος ὁμοίως
[68]Μόδεστος ὁμοίως
[69]Ἀριστόβουλος ὁμοίως
[70]Εὐθάλιος ὁμοίως
[71]Ἡράκλειος ὁμοίως
[72]Παῦλος ὁμοίως
[73]Θέων ὁμοίως
[74]Ἱέρακυς ὁμοίως
[75]Χρυσαόριος ὁμοίως
[76]Ἑρμογένης ὁμοίως
[77]Ἀριστόκριτος ὁμοίως

ὑπογραφαί — [140] Παῦλος] subscriptionibus omnibus omissis in fine nr. 95 habent δοθέντων ἐπὶ τούτοις λιβέλλων ἀντιρρητικῶν παρὰ τῆς ἁγίας συνόδου καὶ τῶν μνημονευθέντων ἀποσταλέντων ἐντολικαρίων, ἀπέστειλε καὶ τὸ ἕτερον μέρος τοῦ Ἰωάννου ἐντολικαρίους ἐν Κωνσταντινουπόλει· ἧς ἐντολῆς τὸ ἴσον καθὼς ἐξῆς περιέχει οὕτως: — VP

S, D [= mn], AWΛ^{t}Λ^{c}Λ^{w}

ὑπογραφαί ΑΛ^{w} om. SDAWΛ^{tc} [1] βηρινιανὸσ ΑΛ^{tw} βερηνιανὸσ SDWΛ^{c} ἐντειλάμενοσ ΑΛ^{tc} ἐντεταλμένοσ SDWΛ^{w} ὑπέγραψεν W [2—140] ΑΛ^{w} om. SDWΛ^{tc} substituendo ὑπέγραψαν δὲ καὶ [καὶ om. S] πάντεσ οἱ προταγέντεσ ἐν τῇι στάσει τῶν ὑπομνημάτων θεοσεβέστατοι καὶ ἁγιώτατοι ἐπίσκοποι SDWΛ^{tc} [33] κάλιππος A [39] *Constantinus* Λ^{w} [64] διάκονος om. Λ^{w}

78 Ἀλέξανδρος ὁμοίως
79 Λαμπέτιος ὁμοίως
80 Σεβῆρος ὁμοίως
81 Αἰδέσιος ὁμοίως
82 Ἀπελλᾶς ὁμοίως
83 Ἀλύπιος ὁμοίως
84 Ἀνδήριος ὁμοίως
85 Παῦλος ὁμοίως
86 Μακεδόνιος ὁμοίως
87 Ἀκάκιος ὁμοίως
88 Σπουδάσιος ὁμοίως
89 Ἀφθόνιος ὁμοίως
90 Φιλητὸς ὁμοίως
91 Προμάχιος ὁμοίως
92 Νεκτάριος ὁμοίως
93 Μητρόδωρος ὁμοίως
94 Δωρόθεος ὁμοίως
95 Ταριανὸς ὁμοίως
96 Ἀβραὰμ ὁμοίως
97 Πέτρος ὁμοίως
98 Εὐδόξιος ὁμοίως
99 Ἀδέλφιος ὁμοίως
100 Εὐλόγιος ὁμοίως
101 Θεωνᾶς ὁμοίως
102 Κῦρος ὁμοίως
103 Μαρκελλῖνος ὁμοίως
104 Εὐάγριος ὁμοίως
105 Θεόδωρος ὁμοίως
106 Σόλων ὁμοίως
107 Ματιδιανὸς ὁμ ίως
108 Εὐσέβιος ὁμοίως
109 Ἡρακλείδης ὁμοίως
110 Ἄμμων ὁμοίως
111 Ζηνόβιος ὁμοίως
112 Ζήνων ὁμοίως
113 Ἰσαὰκ ὁμοίως
114 Νατηρᾶς ὁμοίως
115 Τιμόθεος ὁμοίως
116 Ζήνων ὁμοίως
117 Εὐσέβιος ὁμοίως
118 Φιλάδελφος ὁμοίως
119 Μακάριος ὁμοίως
120 Παβίσκος ὁμοίως
121 Ἀνδρέας ὁμοίως
122 Φοιβάμμων ὁμοίως
123 Σαβῖνος ὁμοίως
124 Εὐσέβιος ὁμοίως
125 Ἀλέξανδρος ὁμοίως
126 Σάαδος ὁμοίως
127 Εὐθήριος ὁμοίως
128 Πέτρος ὁμοίως
129 Ἰωάννης ὁμοίως
130 Ἄμμων ὁμοίως
131 Ῥωμανὸς ὁμοίως
132 Παῦλος ὁμοίως
133 Ἰωάννης ὁμοίως
134 Ῥουφῖνος ὁμοίως
135 Νήσιος ὁμοίως
136 Θωμᾶς ὁμοίως
137 Ἰωάννης ὁμοίως
138 Τιμόθεος ὁμοίως
139 Εὐσέβιος ὁμοίως
140 Παῦλος ὁμοίως

96 = S 76 A 60. S 111 A 61. Latinae uersiones extant tres partis prioris, in Collectione CT 62 [Λ^{tc}], in Collectione C 111 [Λ^{g}] et in Collectione Winteriana 13 [Λ^{w}], et tres partis alterius, in Collectione C 110 [Λ^{c}], in Collectione Winteriana 14 [Λ^{w}] et in Collectione Sichardiana 5 [Λ^{s}]

Ἐντολὴ πραχθεῖσα παρὰ τῶν Ἀνατολικῶν τοῖς ἀποσταλεῖσι παρ' αὐτῶν ἐν Κωνσταντινουπόλει ἐπισκόποις ὥστε δικάσασθαι μετὰ τῶν ἀποσταλέντων παρὰ τῆς οἰκουμενικῆς συνόδου ὀρθοδόξων ἐπισκόπων ἐν τῇ αὐτῇ Κωνσταντινουπόλει

L. III 724
V 1111 1400

Ἡ ἁγία σύνοδος ἡ ἐν Ἐφέσωι συγκροτηθεῖσα τοῖς θεοφιλεστάτοις καὶ ὁσιωτάτοις Ἰωάννηι ἀρχιεπισκόπωι τῆς Ἀντιοχέων μεγαλοπόλεως καὶ Ἰωάννηι ἐπισκόπωι τῆς Δαμασκη-

ζήτει καὶ τὰ ἐπὶ ταύτηι παρακολουθήσαντα ἐν τῶι δευτέρωι βιβλίωι ὁμοίως SD in mg. V, P [= hk], S, D [= mn], ΛΛ^{tc}Λ^{g}Λ^{w}

ς̄ς̄ V πζ P 37-39 Ἐντολὴ — Κωνσταντινουπόλει SDΛ cf. Λ$^{tc w}$ ἴσον ἐντολῆς V ἴσον ἐντολικαρίου P cf. notam ad p. 35 1—140 39 ὀρθοδόξοις ἐπισκόποις S τῆι om. S 40 κροτηθεῖσα Λ ὁσιωτάτοις VP ἁγιωτάτοις SDΛ 41 ἀρχιεπισκόπω VPΛΛ$^{g w}$ ἐπισκόπω SDΛ^{tc} μεγαλονπόλεως D μεγάλης πόλεως P 41/p. 37. 1 τῆς δαμασκηνῶν ἐπισκόπω μητροπόλεως [μητροπόλεως ἐπισκόπω P] VP

νῶν μητροπόλεως καὶ Ἱμερίωι ἐπισκόπωι τῆς Νικομηδέων μητροπόλεως καὶ Παύλωι ἐπισκόπωι τῆς Ἐμισηνῶν, ποιουμένωι τὸν λόγον καὶ ὑπὲρ τοῦ ὁσιωτάτου ἐπισκόπου Ἀκακίου τοῦ Βεροίας, καὶ Μακαρίωι ἐπισκόπωι τῆς Λαοδικέων πόλεως, ποιουμένωι τὸν λόγον καὶ ὑπὲρ Κύρου ἐπισκόπου τῆς Τυρίων μητρ πόλεως, καὶ Ἀπριγγίωι ἐπισκόπωι τῆς Χαλκιδέων, ποιουμένωι τὸν λόγον καὶ ὑπὲρ Ἀλεξάνδρου ἐπισκόπου τῆς Ἀπαμέων μητροπόλεως, καὶ L III 725
Θεοδωρήτωι ἐπισκόπωι τῆς Κυρεστῶν πόλεως, ποιουμένωι τὸν λόγον καὶ ὑπὲρ Ἀλεξάνδρου 6
ἐπισκόπου τῆς Ἱεραπολιτῶν μητροπόλεως, καὶ Ἑλλαδίωι ἐπισκόπωι Πτολεμαίδος παρόντες παροῦσιν ἐνετειλάμεθα τὰ ὑποτεταγμένα

Ἐπειδὴ τῆς ἐκκλησιαστικῆς ἕνεκεν ὑποθέσεως δι' ἣν ἅπαντες ἐκλήθημεν εἰς τὴν Ἐφεσίων, ἐπὶ τοῦ παρόντος ἡ ὑμετέρα θεοσέβεια κατὰ θέσπισμα τῶν εὐσεβεστάτων ἡμῶν βασι- 10
λέων ἐπὶ τὴν μεγαλώνυμον ἐκλήθη Κωνσταντινούπολιν ὑπὲρ τοῦ συναγωνίσασθαι τῇι ἀληθείαι καὶ τῇι πίστει τῶν ἁγίων πατέρων καὶ τοῖς δόγμασι τοῖς ὀρθοῖς, οὐ προσετάχθημεν δὲ ἅπαντες παρεῖναι ὑμῖν, ἔδει δὲ τὴν γνώμην πάντων ἡμῶν κατάδηλον ποιῆσαι ὡς ἐμμένομεν καὶ κύρια ἡγούμεθα τὰ ὑφ' ὑμῶν πραττόμενα καὶ συντείνοντα εἰς τὸν τοῦ θεοῦ φόβον καὶ εἰς τὴν ἐκκλησιαστικὴν εἰρήνην τε καὶ εὐταξίαν, τούτου ἕνεκεν τόδε ὑμῖν τὸ ἐντολικὸν 15
πεποιήμεθα, δι' οὗ ἐντελλόμεθα καὶ ἐπιτρέπομεν ὁλοτελῆ τε ἐξουσίαν δίδομεν, ἥνπερ καὶ αὐτοὶ παρόντες εἴχομεν, ὥστε σὺν θεῶι παραγενομένους ὑμᾶς ἐπὶ τῆς προειρημένης μεγαλοπόλεως, εἴτε ἐπὶ τοῦ εὐσεβεστάτου βασιλέως δέοι εἴτε ἐν κονσιστορίωι εἴτε ἐπὶ τῆς ἱερᾶς συγκλήτου εἴτε ἐν συνόδωι πατέρων ὁ λόγος κινοῖτο ὁ περὶ τῶν ζητουμένων, τοῦτον μετὰ τῆς προσηκούσης ὑμῖν παρρησίας τε καὶ συνέσεως καὶ ἐμμελείας κινῆσαι ὑπὲρ τοῦ κοινοῦ 20
τῶν ἐκκλησιῶν καὶ ἀναδέξασθαι τὸν ἀγῶνα τὸν ὑπὲρ ἡμῶν ἁπάντων, ἡμῶν δηλαδὴ ἐμμενόντων καὶ στοιχούντων καὶ στεργόντων καὶ κύρια ἡγουμένων πάντα τὰ ὑφ' ὑμῶν πραττόμενα ἕνεκα ταύτης τῆς ὑποθέσεως ἢ πραχθησόμενα. εἰ δέ που καὶ χρεία γένοιτο συμβιβασμοῦ ἢ εἰρήνης ἐκκλησιαστικῆς ἢ ἑτέρου τινὸς ἀπαιτοῦντος ὑπογραφὴν ὑπὲρ πάντων ἡμῶν ἕνεκα, καὶ τοῦτο αὐτὸ παρακαλοῦμεν τὴν ὑμετέραν ἁγιωσύνην μὴ ὀκνῆσαι ποιῆσαι 25
ὑπὲρ τοῦ λυσιτελοῦντος τῶι κοινῶι καὶ ὑπὲρ τῆς δόξης τοῦ δεσπότου Χριστοῦ. εἰ δὲ καὶ συνοδικὸν δόξει ἀποσταλῆναι παρ' ὑμῶν ἐνταῦθα ἀπαιτοῦν πάντων τὴν ὑπογραφήν, ὁμολογοῦμεν ἅπαντες κοινῆι καὶ ἰδίαι ἕκαστος τούτωι καθυπογράφειν μετὰ πάσης προθυμίας καὶ ἐξαποστέλλειν εἰς τὸ εὐσεβὲς στρατόπεδον, δήλου ἐκείνου τυγχάνοντος ὡς παντὶ τρόπωι τῶν κεφαλαίων τῶν αἱρετικῶν τῶν ὑπὸ Κυρίλλου τοῦ Ἀλεξανδρέως ἐπεισαχθέντων τῇι 30
πίστει τῶν πατέρων τῶν κατὰ Νίκαιαν μετὰ ἀναθεματισμῶν ἐκβαλλομένων ὡς ἀλλοτρίων M IIII 1401
τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας.

V, P [= hk], S, D [= mn], AΛ^{t}Λ^{c}Λ^{g}Λ^{w}

1—3 καὶ παύλω — βερροιαίων ante καὶ ἱμερίωι coll. AΛ^{w} 1 ἡμερίω S πόλεωσ A 2 ἐμεσηνῶν VP ἁγιωτάτου V *sanctissimo et sacratissimo* Λ^{g} 3 τοῦ] τῆσ V βερροίασ VP *Beroeae* Λ^{tcg} τῆσ βεροιαίων [βερροιαίων DA] SDA 4 ὑπὲρ] ὑπὲρ τοῦ ὁσιωτάτου ἐπισκόπου ἀκακίου τῆσ λαοδικέων πόλεωσ καὶ ὑπὲρ V πόλεωσ V ἀπριγκίω S 5 τοὺσ λόγουσ VP 5—7 τῆς Ἀπαμέων — ἐπισκόπου om V 5 ἐπισκόπου om P ἀπαμέων μητροπόλεωσ PΛ^{tcg} ἀπαμείασ SDAΛ^{w} 6 θεοδωρίτου ἐπισκόπου P θεοδωρίτω DA κυρατῶν P 9 ἕνεκα VP πάντεσ SDA εἰσ τὴν VP ἐπὶ τῆ Sn ἐπὶ τῆσ mA 10 ἐπὶ τοῦ παρόντοσ VPAΛ οἱ παρόντεσ καὶ SD ἡ ὑμετέρα θεοσέβεια] *uestra nouit pietas quod* Λ^{w} καὶ κατὰ D 10/11 βασιλέων ἡμῶν SDA 11 ἐκλήθη Λ^{tcg} ἐκλήθημεν VPSDAΛ^{w} 11/12 ἀληθείαι] ἐκκλησία S 13 πάντεσ SDA ἡμῶν πάντων DA ὑμῶν πάντη S 14 τὰ SDAΛ πάντα τὰ VP ἡμῶν VSΛ^{w} 15 τοῦδε P 16 διδόαμεν SDA 17 αὐτοὶ SDAΛ^{tcg} om VPΛ^{w} 17 ἡμᾶσ P 17/18 μεγαλουπόλεωσ D 18 κοσιστορίω P σοσιστωρίω S 19 ὁ^{2} om. VP 20 προσηκούσησ AΛ πρυσούσησ VPSD εὐμελείασ D 21 ἁπάντων ἡμῶν δηλαδὴ PDΛ^{tg} ἁπάντων δηλαδὴ VAΛ^{w} ἁπάντων ἡμῶν S 22 ἡμῶν S 23 ἕνεκεν SDA ἢ Λ^{tcg} ἢ καὶ VP καὶ SDA 23/24 συμβιβασμοῦ SDAΛ^{tcg} ἢ συμβιβασμοῦ V ἢ συμβιβασμόσ P 26 συντελοῦντοσ P 27 ἡμῶν VD ἀπαιτοῦν πάντων AΛ^{gw} ἀπαιτούντων VPSDΛ^{tc} 28 πάντεσ SDA τοῦτο VP 30 ἀλεξανδρείασ V ἀλεξανδρέων S ἐπεισαχθέντων SDAΛ^{tcw} ὑπεισαχθέντων VPΛ^{g} 31 ἀναθεματισμοῦ P

Ἀλέξανδρος ἐπίσκοπος μητροπολίτης Ἱερᾶς πόλεως· Εἴ τι κατὰ τὴν ἐκτεθεῖσαν πίστιν ὑπὸ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι διαπράξεσθε μήτε ἐπεισαγομένου τινὸς τῇι πίστει τῶν ἁγίων πατέρων καὶ ἐκβαλλομένων τῶν αἱρετικῶν κεφαλαίων Κυρίλλου τοῦ Ἀλεξανδρέως, τούτωι συγκατατίθεμαι. ταύτηι γὰρ τῇι ἐκθέσει τῆς πίστεως καὶ ἤδη μετὰ τῆς ἁγίας συνόδου τῆς σὺν ὑμῖν καθυπέγραψα.

Δωρόθεος ἐπίσκοπος Μαρκιανουπόλεως δευτέρας Μυσίας γεγράφηκα ὡσαύτως, ἐντει-
L III 728 λάμενος ὡς πρόκειται.

Συνυπέγραψαν δὲ καὶ οἱ λοιποὶ πάντες.

Δοθείσης δὲ τῆς ἐντολῆς, συναπεδόθη καὶ τόμος περιέχων οὕτως

L III 701 M IIII 1376 Ἡ ἁγία σύνοδος ἥ τε τῆς Ἀνατολικῆς διοικήσεως καὶ οἱ σὺν αὐτοῖς ἐκ διαφόρων διοικήσεων καὶ ἐπαρχιῶν συνηγμένοι, Βιθυνίας Πισιδίας Καππαδοκίας δευτέρας Παφλαγονίας Εὐρώπης Μυσίας Ῥοδόπης Θεσσαλίας Δακίας διελάλησαν τὰ ὑποτεταγμένα

Τῶν ἔναγχος ἀναφυέντων ἐκκλησιαστικῶν ἕνεκα ζητημάτων εἰς τὴν Ἐφεσίων πόλιν συγκληθέντες ὑπὸ τῶν δικαίως βασιλεύειν ὑπὸ τοῦ θεοῦ δοκιμασθέντων καὶ τῆς οἰκουμένης τοὺς οἴακας ἐγχειρισθέντων τῶν σοφῶς τε καὶ εὐσεβῶς τοὺς ὑπηκόους ἰθυνόντων, ἀόκνως τὴν προειρημένην κατελάβομεν πόλιν. χρόνου δὲ τριβέντος οὐκ ὀλίγου διὰ τὰς γεγενημένας ὑπὸ
ep. 31. 83. 93 Κυρίλλου τοῦ Αἰγυπτίου ταραχὰς καὶ δὶς καὶ τρὶς γραμμάτων φοιτησάντων παρὰ τῶν εὐσεβεστάτων ἡμῶν βασιλέων παρεγγυώντων τῶι συνδέσμωι τῆς εἰρήνης ἑνῶσαι τὰς ἁπανταχοῦ τοῦ θεοῦ ἐκκλησίας καὶ ἀρκεσθῆναι τῇι ἐν Νικαίαι ὑπὸ τῶν μακαριωτάτων πατέρων ἐκτεθείσηι πίστει, ἐκβαλλομένων δηλαδὴ τῶν ἀρτίως ἀναφυέντων σκανδάλων, ἐπειράθημεν μὲν τοὺς τὰ τοῦ Αἰγυπτίου φρονοῦντας ἐπισκόπους καὶ τοῖς ὑπ' αὐτοῦ ἐκτεθεῖσιν αἱρετικοῖς κεφαλαίοις καθυπογράψαντας πεῖσαι ἀνελεῖν μὲν ἐκεῖνα τὰ τῇι ὀρθοδόξωι πίστει σαφῶς λυμαινόμενα, ἀρκεσθῆναι δὲ τῇι ἐν Νικαίαι γενομένηι ἐκθέσει κατὰ τὸ θέσπισμα τῶν εὐσεβεστάτων ἡμῶν βασιλέων· μὴ δυνηθέντες δὲ αὐτοὺς πεῖσαι διὰ τὴν κακῶς γενομένην αὐτοῖς πρόληψιν, ἠναγκάσθημεν οἱ τῇι ὑγιεῖ τῶν πατέρων ἐμμένοντες πίστει καὶ μηδὲν αὐτῇι ξένον παρεισαχθῆναι συγχωροῦντες ταύτην ἐγγράφως ἐκθέσθαι καὶ ταῖς ὑπογραφαῖς τὴν οἰκείαν ὁμολογίαν βεβαιῶσαι. ἀρκεῖ γὰρ τῶν ὀλίγων τούτων ῥημάτων ἡ ἔκθεσις καὶ τῆς εὐσεβείας διδάξαι τὸ ἀκριβὲς καὶ τῆς ἀληθείας ὑποδεῖξαι τὴν τρίβον καὶ τῆς αἱρετικῆς κακοδοξίας διελέγξαι τὴν πλάνην.

10—29 V, P [= hk], S, D [= mn], ΑΛcΛwΛs [cf. supra p. 36]. conscripsit Theodoretus, cf. Coll. Cas. 184 uol. IIII p. 133, 37

1—9 om. Λg 1 μητροπολίτησ ἱερᾶσ πόλεωσ PΛtc μητροπόλεωσ ἱεραπόλεωσ V ἱεραπόλεωσ τῆσ μητροπόλεωσ SDAΛw ἐντεθεῖσαν S 2 διαπράξησθε SD μήτι P μὴ S 3 τοῦ om. D ἀλεξανδρείασ V 4 τοῦτο P ταύτην S μετά] παρὰ A 5 ὑμῖν DAΛtcw ἡμῖν VPS 7 πρόσκειται D προείρηται A 8 δὲ om. S πάντεσ SDAΛtcw om. VP 9 om. SDAΛtcw 10 ρς' D inscr. deest in VPSΛc Ἔκθεσισ πίστεωσ ἣν ἐκθέμενοι οἱ ἀνατολικοὶ ἐπίσκοποι καὶ οἱ σὺν αὐτοῖσ καὶ ὑπογράψαντεσ αὐτῇ δεδώκασι τοῖσ παρ' αὐτῶν σταλεῖσιν ἐν κωνσταντινουπόλει A cf. Λw Περὶ [Τὰ n] τῶν ἀποσχιστῶν D 11 πισιδίασ [πισσιδίασ VPScorr D] — παφλαγονίασ VPSDΛcs et Facund. 7, 3 καππαδοκίασ δευτέρασ παφλαγονίασ πισιδίασ ΑΛw 12 *Moesiae secundae* Λs Fac. θεσσαλίασ δακίασ ΑΛcw *Daciae Thessaliae* Λs Fac. θεσσαλίασ VPSD διελάλησαν DAΛws διελάλησε VPSΛc 13 ζητημάτων ἕνεκα SD μητρόπολιν SD 14 τοῦ θῦ VA θῦ PSD 14/15 τούσ οἴακασ τῆσ οἰκουμένησ V 15 τῶν om. A εὐθυνόντων VPS 15/16 εἰρημένην V 16 γενομένασ SD 17 τοῦ αἰγυπτίου ΑΛcw καὶ μέμνονοσ VPSDΛs 17/18 εὐσεβεστάτων καὶ φιλοχρίστων SD 18 συνδέσμω ΑΛc δεσμῷ VPSD 19 παρὰ D μακαριωτάτων ΑΛcw μακαρίων VPSDΛs 20 ἀρτίωσ ΑΛ om. VPSD ἀναφυομένων D 21 μὲν ΑΛws γὰρ VPSD τοῦ om. PSD αἰγυπτίου ΑΛ αἰγυπτίου κυρίλλου VPSD φρονήσαντασ VPSD 22 καθυπογράψαντεσ S ἀντανελεῖν P μὲν ΑΛs om. VPSD τὰ om. SD 22/23 λυμαινόμενα σαφῶσ VPSD 24 εὐσεβεστάτων ΑΛ φιλοχρίστων VPSD 25 ἑπόμενοι SD 26 συγχωροῦντεσ A συγχωρήσαντεσ VPSD 28 τριβὴν S 29 ἐλέγξαι VPSD πλάνην ΑΛ πλάνην ἔστι δὲ ἡ ἔκθεσισ τῆσ πίστεωσ οὕτωσ [οὕτωσ ἔχουσα P] VPSD

Πιστεύομεν εἰς ἕνα θεὸν πατέρα παντοκράτορα, πάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητήν· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ, γεννηθέντα ἐκ τοῦ πατρὸς μονογενῆ, τουτέστιν ἐκ τῆς οὐσίας τοῦ πατρός, θεὸν ἐκ θεοῦ, φῶς ἐκ φωτός, θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῶι πατρί, δι' οὗ τὰ πάντα ἐγένετο τά τε ἐν τῶι οὐρανῶι καὶ τὰ ἐν τῆι γῆι, τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα καὶ σαρκωθέντα, ἐνανθρωπήσαντα, παθόντα καὶ ἀναστάντα τῆι τρίτηι ἡμέραι, ἀνελθόντα εἰς οὐρανοὺς καὶ ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς· καὶ εἰς τὸ ἅγιον πνεῦμα. τοὺς δὲ λέγοντας >ἦν ποτε ὅτε οὐκ ἦν< καὶ >πρὶν γεννηθῆναι οὐκ ἦν< καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο ἢ ἐξ ἑτέρας ὑποστάσεως ἢ οὐσίας, φάσκοντας εἶναι τρεπτὸν ἢ ἀλλοιωτὸν τὸν υἱὸν τοῦ θεοῦ, τούτους ἀναθεματίζει ἡ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία.

cf Eccles. Cccid. mon. iuris antiqu ed. Turner l 110sq I. III 704 M IIII 1377

Αὕτη ἐστὶν ἡ πίστις, ἣν ἐξέθεντο οἱ πατέρες, πρῶτον μὲν κατὰ Ἀρείου βλασφημοῦντος καὶ λέγοντος κτίσμα τὸν υἱὸν τοῦ θεοῦ, καὶ κατὰ πάσης δὲ αἱρέσεως Σαβελλίου τε καὶ Φωτεινοῦ καὶ Παύλου τοῦ Σαμοσατέως καὶ Μανιχαίου καὶ Οὐαλεντίνου καὶ Μαρκίωνος καὶ κατὰ πάσης αἱρέσεως ἥτις ἐπανέστη τῆι καθολικῆι καὶ ἀποστολικῆι ἐκκλησίαι, οὓς κατέκριναν οἱ ἐν τῆι Νικαέων πόλει συνηγμένοι ἐπίσκοποι τριακόσιοι δεκαοκτώ. ταύτηι τῆι ἐκθέσει τῆς πίστεως ἅπαντες ἐμμένειν ὁμολογοῦμεν ἡμεῖς τε οἱ ἐν Ἐφέσωι συνελθόντες καὶ οἱ ἐν ταῖς ἡμετέραις ἐπαρχίαις θεοφιλέστατοι ἐπίσκοποι, συνθέμενοι ἐμμένειν πᾶσι τοῖς ὑφ' ἡμῶν πραττομένοις. πειθόμεθα γὰρ τῶι σοφῶι λέγοντι μὴ μέταιρε ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες σου. τὰ δὲ ἔναγχος ὑπὸ Κυρίλλου τοῦ Ἀλεξανδρέως ἐκτεθέντα αἱρετικὰ κεφάλαια, οἷς καὶ ἀναθεματισμοὺς περιττοὺς καὶ ματαίους συνέζευξεν καὶ ἐπειράθη ταῦτα κυρῶσαι ψήφωι καὶ ὑπογραφῆι ἐπισκόπων, ἐκβάλλει καὶ ἀλλοτριοῖ τῆς ὀρθοδόξου πίστεως ἡ ἐν Εφέσωι συναθροισθεῖσα ἁγία σύνοδος.

Prou. 22, 28

Ἰωάννης ἐπίσκοπος Ἀντιοχείας τῆς Ἀνατολῆς συνεθέμην τῆι προγεγραμμένηι ἁγίαι πίστει.

Συνυπέγραψαν δὲ ὁμοίως καὶ οἱ λοιποὶ αὐτῶν ἐπίσκοποι, οἵτινες διὰ τῆς ἐξῆς αὐτῶν ἐπιστολῆς καὶ Ῥοῦφον ἐπίσκοπον συνάρασθαι αὐτοῖς ἠξίουν.

97 = S 112 A 147

Τῶι θεοφιλεστάτωι καὶ ὁσιωτάτωι συλλειτουργῶι Ῥούφωι Ἰωάννης Ἰμέριος Θεοδώρητος καὶ οἱ καθεξῆς ἐν κυρίωι χαίρειν. Λίαν βεβλάφθαι τὴν εὐσέβειαν καὶ τὴν ἐκκλησιαστικὴν εἰρήνην ὑπὸ τῆς ἀπουσίας τῆς σῆς ἁγιωσύνης ἡγούμεθα· ἔπαυσε γὰρ ἂν παραγενομένη καὶ τὰς γεγενημένας συγχύσεις καὶ τὰς τολμηθείσας ἀταξίας καὶ σὺν ἡμῖν ἂν

L III 73[6] M IIII 1412

I. III 737

25/26 epistula 97 ad Rufum non ab uniuersa synodo Epheso, sed a mandatariis Chalcedone scripta est

---

V, P [= hk], S, D [= mn], AΛcΛwΛs

1 τε om. V 3 ἐκ $\overline{\text{πρσ}}$ V 5 ἐν $\overline{\text{ουνῶ}}$ D 6 καὶ[2] om. AΛw 7 τοὺσ οὐρανοὺσ PD καὶ ἐρχόμενον AΛcw καὶ ἐν δεξιᾶ [ἐκ δεξιῶν SD] τοῦ πατρὸσ καθεσθέντα καὶ ἐρχόμενον VPSDΛs 8 τὸ ἅγιον $\overline{\text{πνα}}$ A τὸ $\overline{\text{πνα}}$ τὸ ἅγιον VPSD 8/9 καὶ πρὶν — ἦν om. PSDΛs 9/10 φάσκοντα S 10 τρεπτὸν ΑΛ ἢ τρεπτὸν VPSD τούτους om. AΛws καθολικὴ VPΛcs ἁγία καθολικὴ SDAΛw 13 κτίσμα AΛws κτίσμα εἶναι VPSDΛc πάσησ δὲ αἱρέσεωσ PAΛc πάσασ δὲ αἱρέσεισ SD πάσησ αἱρέσεωσ V 15 πᾶσαν αἵρεσιν SD πάσησ ἄλλησ P καθολικὴ καὶ ἀποστολικὴ AΛcw καθολικὴ VSDΛs om. P καὶ κατέκριναν V 16 οἱ om. A 18 θεοφιλέστατοι AΛc θεοσεβέστατοι VPSDΛs 19 αἰώνια om. Λcs *antiquos* Λw 20 τοῦ om. SD ἀλεξανδρείασ V 22 ταύτην SD καὶ ψήφω καὶ V ὑπογραφαῖσ SD 23 ἁγία om. VS 24—26 Ἰωάννης — ἠξίουν om. AΛ 24 ἁγίαι om. VP 25 συνέγραψαν P αὐτῶν om. VPS καὶ διὰ P

V, P [= hk], S, D [= mn], A

inscr. ἐπιστολὴ τῶν ἐν χαλκηδόνι ὄντων ἐκ τῶν ἀποσχισάντων πρὸσ τοὺσ ἐν ἐφέσωι A $\overline{\text{ςζ}}$ V $\overline{\text{πη}}$ P ρζ' D 28 ἡμέριοσ SD 28/29 θεοδώριτοσ DA 31 γενομένασ SD

κατηγωνίσατο τὰς ἐπεισαχθείσας αἱρέσεις τῇι ὀρθοδόξωι πίστει καὶ τῇι εὐαγγελικῇι καὶ ἀποστολικῇι διδασκαλίαι, ἣν παῖδες παρὰ πατέρων ἀεὶ δεχόμενοι μέχρις ἡμῶν ταύτην παρέπεμψαν. ταῦτα δὲ οὐχ ἁπλῶς φαμέν, ἀλλὰ ἄλλον σκοπὸν τῆς σῆς ὁσιότητος μεμαθη-
cf. A 94 κότες ἐκ τῶν πρὸς τὸν θεοφιλέστατον καὶ ἁγιώτατον Ἰουλιανὸν τὸν τῆς Σερδικῆς ἐπίσκοπον παρὰ τῆς σῆς θεοσεβείας γραφέντων. ἐδήλου γὰρ τὰ γράμματα ὡς χρὴ τὸν προειρημένον θεοσεβέστατον ἐπίσκοπον συναγωνίσασθαι τῇι ἐκτεθείσηι πίστει ὑπὸ τῶν μακαρίων πατέρων τῶν ἐν Νικαίαι συναθροισθέντων καὶ μὴ συγχωρῆσαι μῶμον ἐκείνοις τοῖς βραχέσι ῥήμασιν ἐπεισαχθῆναι ἀρκοῦσι καὶ τὴν ἀλήθειαν δεῖξαι καὶ τὸ ψεῦδος ἐλέγξαι. ταῦτα ἡ μὲν ὁσιότης ἡ σὴ ὀρθῶς καὶ δικαίως καὶ εὐσεβῶς εἰσηγήσατο καὶ ὁ δεξάμενος τὰ γράμματα τῇι τῶν γραμμάτων ἠκολούθησε συμβουλῇι, πολλοὶ δὲ τῶν εἰς τὴν σύνοδον παραγενομένων
Ps. 13, 3 ἐξέκλιναν κατὰ τὸν προφήτην καὶ ἠχρειώθησαν, ἣν μὲν παρὰ τῶν πατέρων παρέλαβον πίστιν καταλιπόντες, τοῖς δὲ Κυρίλλου τοῦ Ἀλεξανδρέως δώδεκα κεφαλαίοις καθυπογράψαν-
M IIII 1413 τες, ἃ τῆς Ἀπολιναρίου γέμει κακοδοξίας, συμβαίνει δὲ καὶ τῇι Ἀρείου καὶ Εὐνομίου δυσσεβείαι καὶ ἀναθεματίζει πάντα τὸν μὴ δεχόμενον τὴν γυμνὴν ταύτην ἀσέβειαν. ταύτηι τῇι λύμηι τῆς πίστεως λίαν ἀντέστημεν οἵ τε ἀπὸ τῆς Ἑώιας συνελθόντες καὶ ἕτεροι οἱ ἐκ διαφόρων διοικήσεων, ὥστε τὴν ἐν Νικαίαι ἐκτεθεῖσαν ὑπὸ τῶν μακαρίων πατέρων κρατυνθῆναι πίστιν. οὐδὲν γὰρ αὐτῇι ἐλλείπει, ὡς οἶδεν ἡ σὴ ἁγιότης, εἴς τε διδασκαλίαν τῶν εὐαγγελικῶν δογμάτων καὶ εἰς ἔλεγχον πάσης αἱρέσεως. ὑπὲρ ταύτης ἀγωνιζόμενοι διατελοῦμεν, πάντων ὁμοῦ τῶν κατὰ τὸν βίον καταφρονοῦντες τερπνῶν τε καὶ λυπηρῶν, ὥστε ἀνέπαφον διαφυλάξαι τὸν πατρῶιον τοῦτον κλῆρον· τούτου χάριν καὶ Κυρίλλον καὶ Μέμνονα, τὸν μὲν ὡς αἱρεσιάρχην, τὸν δὲ ὡς συνεργὸν γεγενημένον καὶ ἐν ἅπασιν αὐτῶι συμμαχήσαντα ὥστε βεβαιωθῆναι καὶ στηριχθῆναι τὰ ἐπὶ διαφθορᾶι τῶν ἐκκλησιῶν ἐκτεθέντα κεφάλαια, καθαιρέσει ὑποβεβλήκαμεν καὶ τοὺς ὑπογράψαι καὶ συνθέσθαι τοῖς ἐναντίοις τῆς εὐσεβείας δόγμασι τετολμηκότας ἀκοινωνήτους πεποιήκαμεν, ἕως ἂν ἐκεῖνα μὲν ἀναθεματίσωσιν, εἰς δὲ τὴν πίστιν τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι συνελθόντων ἐπανέλθωσιν. ἀλλ' οὐδὲν αὐτοὺς ὤνησεν ἡ ἡμετέρα μακροθυμία. μέχρι γὰρ τῆς σήμερον ἡμέρας τῶν διεφθαρμένων ἐκείνων ὑπερμάχονται δογμάτων. περιέπειραν
can.Antioch. δὲ ἑαυτοὺς καὶ τῶι τοῦ κανόνος ὅρωι, ὃς σαφῶς διαγορεύει, εἴ τις καθαιρεθεὶς ἐπίσκοπος
4 ὑπὸ συνόδου ἢ πρεσβύτερος ἢ διάκονος ὑπὸ τοῦ ἰδίου ἐπισκόπου ἑαυτῶι ἐπιτρέψειε τὴν λειτουργίαν καὶ μὴ ἀναμείνειε συνόδου κρίσιν, μηκέτι χώραν αὐτὸν ἔχειν ἀπολογίας μηδὲ ἐφ' ἑτέρας συνόδου, ἀλλὰ καὶ τοὺς κοινωνοῦντας αὐτῶι παντελῶς ἐξωθεῖσθαι τῆς ἐκκλησίας. τούτωι τῶι ὅρωι περιπεπτώκασιν οἵ τε καθαιρεθέντες οἵ τε ἀκοινώνητοι γεγενημένοι. εὐθὺς γὰρ μετὰ τὸ γνῶναι τὴν γενομένην καθαίρεσιν καὶ ἀκοινωνησίαν καὶ συνε-
Mt. 18, 18 λειτούργησαν καὶ διατελοῦσι λειτουργοῦντες, ὡς ἀπιστοῦντες δηλονότι τῶι εἰπόντι ὃ δὴ
L III 740 ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένον ἐν τοῖς οὐρανοῖς. ταῦτα ἐβουλευσάμεθα μὲν εὐθὺς τῇι σῇι ἁγιωσύνηι γνωρίσαι, προσδοκήσαντες δὲ ἔσεσθαί τινα τῶν λυπηρῶν μεταβολὴν μέχρι τοῦ παρόντος ἀνεμείναμεν. ἀλλ' ἐψεύσθημεν τῆς ἐλπίδος· ἔμειναν γὰρ τῆς δυσσεβοῦς ταύτης αἱρέσεως ὑπερμαχοῦντες καὶ μηδὲ τοῦ εὐσεβεστάτου βασιλέως

V, P [= hk], S, D [= mn], A

1 εἰσαχθείσασ PSD 2 διδασκαλία VPA ἐκκλησία SD τῶν πατέρων SD διαδεχόμενοι SD μέχρισ ἂν A 3 ἄλλον τὸν D 4 τὸν² om. D Σερδικῆς scripsi ἐριδικῆσ VPSDA 5 γραφέντων SD γραμμάτων PA σταλέντων γραμμάτων V 6 εὐσεβέστατον P πίστει om. PS 7 συνελθόντων SD βραχέσι PSDA ἀραγέσι V 8 ἡ om. SD 10 πραγμάτων S 11 τῶν ἁγίων SD om P 12 ἀλεξανδρείασ V 13 τῆς] τοῖσ P ἀπολλιναρίου S 14 μὴ om VPA, in mg. add. V 15 λύμηι] τόλμη V 17 ὁσιότησ SD 20 διαφυλαχθῆναι V 22 διαφορᾶ VkSD, corr. VS 23 ὑπογράψαι δὲ καὶ D 24 ὡσ VPS, corr k in mg. 25/26 συνελθόντων SD 26 αὐτοῖσ P ὑμετέρα S 28 αὐτοὺσ P 29 ἐπιτρέψει V ἐπιγράψειε A 30 ἀναμείνη D ἀναμείνει S ἀναμείνοιεν P 34 δὴ om. D 36 εὐθὺς] ἡμεῖσ P 38 γὰρ] δὲ P

τὰς συμβουλὰς αἰδούμενοι. πεντάκις γὰρ ἤδη καὶ ἡμῖν καὶ αὐτοῖς συντετυχηκὼς προσέταξεν αὐτοῖς ἢ ὡς ἐναντία τῇι πίστει ἐκβάλλειν τὰ Κυρίλλου κεφάλαια ἢ τὸν ὑπὲρ τούτων ἀναδέξασθαι ἀγῶνα καὶ δεῖξαι ὡς συμβαίνει τῇι τῶν μακαρίων πατέρων ὁμολογίαι. ἑτοίμους γὰρ εἴχομεν ἡμεῖς τοὺς ἐλέγχους δι' ὧν ἀπεδείξαμεν ἂν ὡς ἄντικρυς μὲν μάχεται τοῖς τῆς ὀρθοδοξίας διδασκάλοις, συμφέρεται δὲ λίαν τῇι τῶν αἱρετικῶν διδασκαλίαι. διδάσκει γὰρ διὰ τούτων αὐτῶν ὁ τὰ πονηρὰ ταῦτα κτίσας γεννήματα ὡς ἡ θεότης τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ ἔπαθεν καὶ οὐχ ἡ ἀνθρωπότης, ἣν ὑπὲρ τῆς ἡμετέρας ἀνείληφε σωτηρίας, τῆς ἐνοικούσης δηλονότι θεότητος οἰκειουμένης μὲν τὰ πάθη ὡς ἰδίου σώματος, οὐδὲν δὲ πασχούσης εἰς τὴν ἰδίαν φύσιν· πρὸς δὲ τούτοις ὅτι μία φύσις γέγονε θεότητος καὶ ἀνθρωπότητος. οὕτω γὰρ τὸ ὁ λόγος σὰρξ ἐγένετο ἡρμήνευσεν ὡς τῆς θεότητος Ioh. 1, 14
τροπήν τινα ὑπομεινάσης καὶ εἰς σάρκα μεταβληθείσης. πρὸς τούτοις ἀναθεματίζει M IIII 1416
τοὺς διαιροῦντας τὰς εὐαγγελικὰς καὶ ἀποστολικὰς περὶ τοῦ δεσπότου Χριστοῦ φωνὰς καὶ τὰς μὲν ταπεινὰς κατὰ τὴν ἀνθρωπότητα, τὰς δὲ θεοπρεπεῖς κατὰ τὴν θεότητα τοῦ Χριστοῦ ἐκλαμβάνοντας, ὅπερ φρονοῦντες Ἀρειανοὶ καὶ Εὐνομιανοὶ καὶ τὰς μὲν ταπεινὰς περὶ τῆς οἰκονομίας φωνὰς εἰς τὴν θεότητα ἀναφέροντες καὶ κτίσμα καὶ ποίημα τὸν θεὸν λόγον καὶ ἑτεροούσιον καὶ ἀνόμοιον τῶι πατρὶ λέγειν ἐπραγματεύσαντο. ἐντεῦθεν δὲ εἴ τι κἂν συμβαίνει βλάσφημον, ῥάιδιον κατιδεῖν. σύγχυσις γὰρ εἰσάγεται τῶν φύσεων καὶ προσάπτεται τῶι θεῶι λόγωι τὸ θεέ μου, θεέ μου, ἵνα τί με ἐγκατέλιπες; καὶ τὸ πάτερ, Mt. 27, 46
εἰ δυνατόν, παρελθέτω τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ καὶ τὸ πεινῆν καὶ διψῆν Mt. 26, 39
καὶ ὑπὸ ἀγγέλου στηρίζεσθαι καὶ τὸ λέγειν νῦν ἡ ψυχή μου τετάρακται καὶ περί- Ioh. 12, 27
λυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου καὶ ὅσα τοιαῦτα περὶ τὴν ἀνθρωπότητα τοῦ Mt. 26, 38
κυρίου συμβέβηκε. ταῦτα δὲ ὡς σαφῶς τῇι Ἀρείου καὶ Εὐνομίου δυσσεβείαι συμβαίνει, εὐχερῶς ἄν τις κατίδοι. ἐκεῖνοι γὰρ τὸ ἑτεροούσιον κατασκευάσαι μὴ δυνάμενοι τὰ παθήματα καὶ τὰς εὐτελεῖς φωνὰς τῇι θεότητι τοῦ Χριστοῦ περιάπτουσιν, ὡς προείρηται. ἴστω δέ σου ἡ θεοσέβεια ὡς οἱ τῶν Ἀρειανῶν διδάσκαλοι νῦν οὐδὲν ἕτερον ἐν ταῖς ἐκκλησίαις αὐτῶν διδάσκουσιν ἢ ὡς οἱ τὸ ὁμοούσιον διδάσκοντες νῦν τὰ Ἀρείου φρονοῦσι καὶ ὅτι διὰ χρόνου μακροῦ τὸ ἀληθὲς ἀνεφάνη. ἡμεῖς δὲ τοῖς τῶν μακαρίων πατέρων τῶν ἐν Νικαίαι συνεληλυθότων καὶ τῶν μετ' ἐκείνους ἐν τῇι διδασκαλίαι διαπρεψάντων, Εὐσταθίου τοῦ Ἀντιοχείας, Βασιλείου τοῦ Καισαρείας καὶ Γρηγορίου καὶ Ἰωάννου καὶ Ἀθανασίου καὶ Θεοφίλου καὶ Δαμάσου τῆς Ῥώμης καὶ Ἀμβροσίου τοῦ Μεδιολάνων καὶ τῶν ταὐτὰ τούτοις διδαξάντων ἐμμένομεν δόγμασι καὶ τοῖς εὐσεβέσιν αὐτῶν ἀκολουθοῦμεν ἴχνεσι. τοῖς γὰρ εὐαγγελικοῖς καὶ ἀποστολικοῖς καὶ προφητικοῖς ἑπόμενοι ῥήμασιν ἀκριβῆ τῆς ὀρθοδοξίας ἡμῖν κανόνα κατέλιπον, ὃν ἀκλινῆ καὶ ἀσάλευτον φυλάξαι σπουδάζομεν L III 741
ἅπαντες οἱ τὴν Ἀνατολὴν οἰκοῦντες, ὡσαύτως δὲ καὶ Βιθυνοὶ καὶ Παφλαγόνες καὶ ἡ δευτέρα Καππαδοκία καὶ Πισιδία καὶ Δακία καὶ Μυσία καὶ Θετταλία καὶ Εὐρώπη καὶ Ῥοδόπη καὶ ἄλλοι πλεῖστοι ἀπὸ διαφόρων ἐπαρχιῶν. δῆλοι δέ εἰσι καὶ Ἰταλιῶται τῆς καινοτομίας ταύτης οὐκ ἀνεχόμενοι. ὁ γὰρ θεοφιλέστατος καὶ ἁγιώτατος Μαρτῖνος ὁ τῆς Μεδιολάνων ἐπίσκοπος καὶ γράμματα πρὸς ἡμᾶς ἀπέστειλεν καὶ τῶι εὐσεβεστάτωι βασιλεῖ βιβλίον

V, P [= hk], S, D [= mn], A

1 καὶ² om. D 2 ἐκβαλεῖν SD τούτου P 3/4 ἑτοίμως VSD 7 οὐχὶ ἡ S εἴληφε S εἴληφε D 9/10 θεότης καὶ ἀνθρωπότης Pn 10 τὸ A om. VPSD 12 τοὺς διαιροῦντας om. S τοῦ δεσπότου om. SD 14 οἱ ἀρειανοὶ καὶ οἱ SD 15 φέροντες SD 16 ἑτερούσιον S 16/17 συμβαίνει scripsi συμβαί superscripta ν A συμβαίνη VS σημαίνη P συμβαίη D 17 βλάσφημον SD τὸ βλάσφημον VPA σύγχησις P 18 λόγωι om. S 23 γὰρ om. V 24 εὐτελεῖς] εὐαγγελικὰς P 25 ἀρεινῶν P, corr. k 27 μακροῦ χρόνου SD δὲ VPA καὶ SD 29 εὐστάθιος S 30 τῆς] τοῦ A ἀμβροσίου τῆς μεδιολάνου S 32 ῥήμασιν VPA δόγμασιν SD 33 κατέλιπον κανόνα V 34 ἀνατολικὴν SD οἱ βιθυνοὶ V παφλαγῶνες V 35 πισσιδία VPSD δα spatium καὶ θετταλία V καὶ Εὐρώπη om. V εὐρόπη P 36/37 καινοτομίας] οἰκονομίας P 37 καὶ ἁγιώτατος om. V 37/38 μεδιολάνου V 38 γράμμα A

ἐξέπεμψε τοῦ μακαρίου Ἀμβροσίου περὶ τῆς τοῦ κυρίου ἐνανθρωπήσεως, ὅπερ τὰ ἐναντία τοῖς αἱρετικοῖς τούτοις διδάσκει κεφαλαίοις. γινωσκέτω δέ σου ἡ ἁγιότης ὡς οὐκ ἤρκεσε Κυρίλλωι καὶ Μέμνονι τὸ τῆι ὀρθοδόξωι πίστει λυμήνασθαι, ἀλλὰ καὶ πάντας τοὺς κανόνας ἐπάτησαν. τοὺς γὰρ ὑπὸ διαφόρων διοικήσεων καὶ ἐπαρχιῶν γενομένους ἀκοινωνήτους εὐθὺς εἰς κοινωνίαν ἐδέξαντο, πρὸς τούτοις δὲ καὶ ἑτέρους ἐπὶ αἱρέσεσιν ἐγκαλουμένους καὶ τὰ αὐτὰ φρονοῦντας Κελεστίωι καὶ Πελαγίωι (Εὐχῖται γάρ εἰσιν εἴτ' οὖν Ἐνθουσιασταί, δι' ὃ καὶ ἀκοινώνητοι ἦσαν τῶι τε διοικητῆι καὶ τῶι μητροπολίτηι) τῆς ἐκκλησιαστικῆς εὐταξίας καταφρονήσαντες εἰς κοινωνίαν ἐδέξαντο αὐτούς, τὸ πλῆθος ἑαυτοῖς πανταχόθεν ἀθροίζοντες καὶ τυραννικῶς μᾶλλον ἢ εὐσεβῶς δογματίζειν σπουδάζοντες. ἐπειδὴ γὰρ τῆς
M IIII 1417 εὐσεβείας ἐγεγύμνωντο, ἀναγκαίως ἑτέραν ἑαυτοῖς ἐπενόησαν δύναμιν ἀνθρωποειδῆ χρημάτων ῥεύμασιν οἰόμενοι τὴν τῶν πατέρων καταγωνίζεσθαι πίστιν. ἀλλὰ τούτων οὐδὲν αὐτοὺς ὀνήσει, τῆς ὑμετέρας ἐρρωμένης ὁσιότητος καὶ συνήθως τῆς εὐσεβείας ὑπερασπιζούσης. παρακλήθητι τοίνυν, δέσποτα ἁγιώτατε, τὴν μὲν κοινωνίαν τῶν ταῦτα τετολμηκότων καὶ τὴν αἵρεσιν ταύτην εἰσαγαγόντων φυλάξασθαι, γνωρίσαι δὲ πᾶσι, καὶ τοῖς ἐγγὺς
cf. Theodoret. HE 5, 10 καὶ τοῖς μακράν, ὡς ταῦτά ἐστι τὰ κεφάλαια ἐφ' οἷς ὁ τρισμακάριος Δάμασος καθεῖλεν Ἀπολινάριον καὶ Βιτάλιον καὶ Τιμόθεον τοὺς αἱρετικούς, καὶ ὅτι οὐ χρὴ τῆι ἐκπεμφθείσηι
ep. 4 ἐπιστολῆι παρ' αὐτοῦ ἁπλῶς προσέχειν, ἐν ἧι τὸ μὲν αἱρετικὸν συνεσκίασε φρόνημα, τῶι δὲ τῆς εὐσεβείας αὐτὴν κατέχρωσε δόγματι. ἐν μὲν γὰρ τοῖς κεφαλαίοις σφόδρα αὐτοῦ τὴν ἀσέβειαν ἐγύμνωσεν, ἔνθα καὶ ἀναθεματίσαι τοὺς μὴ οὕτως φρονοῦντας ἐτόλμησεν· ἐν δὲ τῆι ἐπιστολῆι κλέψαι πανούργως τοὺς ἁπλουστέρους ἐπεχείρησεν. μὴ τοίνυν καταφρονήσηι τῆς ὑποθέσεως ἡ σὴ ὁσιότης, ἵνα μὴ ὕστερον ὁρῶσα τὴν αἵρεσιν κρατυνθεῖσαν ἀνονήτως ἀλγύνηται καὶ ἀσχάλληι, ἐπαμῦναι μηκέτι δυναμένη τῆι εὐσεβείαι.

ep. 96 Ἀπεστείλαμεν δὲ καὶ τὸ ἴσον τοῦ τόμου οὗ ἐπιδεδώκαμεν τῶι εὐσεβεστάτωι καὶ φιλοχρίστωι ἡμῶν βασιλεῖ, ἔχον τὴν πίστιν τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι, ἐν ὧι ἐξεβάλομεν τὰ πρόσφατον ἐπεισαχθέντα ὑπὸ Κυρίλλου αἱρετικὰ κεφάλαια, ἀλλότρια κρίναντες αὐτὰ τῆς ὀρθοδόξου πίστεως. ἐπειδὴ δὲ μόνοι ὀκτὼ παρεγενόμεθα εἰς τὴν Κωνσταν-
ep. 96 τινούπολιν, οὕτω τοῦ εὐσεβεστάτου προστάξαντος βασιλέως, ὑπετάξαμεν καὶ τὸ ἴσον τοῦ ἐντολικοῦ τοῦ παρὰ τῆς ἁγίας συνόδου δοθέντος ἡμῖν, διὰ τὴν γνῶσιν τῶν ἐγκειμένων αὐτῶι ἐπαρχιῶν, ἃς ἔστιν ἀπὸ τῶν ὑπογραφῶν τῶν μητροπολιτῶν γνῶναι τὴν σὴν ὁσιότητα.

Πᾶσαν τὴν σὺν σοὶ ἀδελφότητα προσαγορεύομεν.

98 = S 45. Latina uersio extat in Collectione CT 47

Ἴσον ἐπιστολῆς γραφείσης τῆι ἐν Ἐφέσωι ἁγίαι συνόδωι παρὰ τῶν εὑρεθέντων ἐν Κωνσταντινουπόλει ἐπισκόπων Μεσορὴ κ̄ ινδ̄ ιε̄ ἀποδοθείσης

c. 13 m. Aug. a 431 L III 772 M IIII 1450 Τοῖς παναγίοις καὶ θεοφιλεστάτοις ἀρχιεπισκόποις καὶ πατράσι τοῖς συναχθεῖσι κατὰ θεοῦ χάριν ἐν τῆι Ἐφεσίων μητροπόλει Κελεστίνωι Κυρίλλωι Ἰουβεναλίωι Φίρμωι Φλαυιανῶι

V, P [= hk], S, D [= mn], A

4 ἀπὸ P 5 αἱρέσεσιν VA αἱρέσεισ PSD 6 εὐχηταὶ S εὐχῆται D ἤτουν VD ἤγουν P 8 αὐτοὺς malim deesse 9 καὶ τυραννικῶς — σπουδάζοντες om. S 10 ἑτέραν om. D ἀνθρωποειδῆ scripsi ἀνθρώπων τείχη VSA ἀνθρώπων τείχει D ἀνθρώπων τύχη καὶ P 12 τῆσ — ὁσιότητοσ V τῆς — ὁσιότητοσ ἐρρωμένησ P τῆς ὁσιότητοσ τῆσ ὑμετέρασ ἐρρωμένησ A τῆσ ὑμετέρασ ὁρωμένησ θεοφιλείασ [θεοφιλείασ om. S] SD 14 καὶ τὴν — εἰσαγαγόντων om. VPA 15 εἰσὶ P 16 ἀπολλινάριον S 17 παρ' αὐτοῦ] παρὰ τοῦ S ἐσκίασε P συνεσκίασαν D 18 κατέχρωσαν D 20 βλέψαι S βλάψαι D 20/21 καταφρονησάτω SD 21 καθορῶσαν καὶ κρατυνθεῖσαν V 22 ἀνοήτωσ S ἀσχάλη P 26/27 κατανούπολιν D 27 ὑπεγράψαμεν D 29 γραφῶν P

V, P [= hk], S, D [= mn], ΛιΛc

q̄η̄ V πθ̄ P μ̄ε̄ SD 33 Μεσορὴ — ἀποδοθείσης om. P μεσορὶ V *datae* Λ ἀποδοθῆναι SD om. V 34 παναγίοισ VP ἁγιωτάτοισ SD ἀρχιεπισκόποισ VPΛ ἐπισκόποισ SD καὶ om. D 35/p. 43, 1 φλαυιανῶ μέμνονι φίρμω SD

Μέμνονι Ἐρενιανῶι Θεοδότωι Ἀκακίωι καὶ πάσηι τῆι καθ' ὑμᾶς ἁγίαι καὶ οἰκουμενικῆι συνόδωι παρὰ τῶν εὑρεθέντων ἐν Κωνσταντινουπόλει ἐπισκόπων ἐν κυρίωι χαίρειν. Ἔδει μὲν ἡμᾶς μὴ ταῖς ψυχαῖς μόνον, ἀλλὰ καὶ τοῖς σώμασι συνόντας τῆι ὑμετέραι ἁγιότητι καὶ τὴν ἐκ τῶν πειρασμῶν θλῖψιν μερίζεσθαι καὶ μεθ' ὑμῶν στεφανοῦσθαι τοῖς ἄθλοις· ἐπειδὴ δὲ ὁ πρὸς L III 773
τὴν ἁγίαν σύνοδον πόλεμος καὶ μέχρις ἡμῶν ἐξετείνετο (ἄπλους μὲν ἡ θάλασσα, ἄβατος δὲ ἡ γῆ τοῖς αὐτόθεν ἀφικομένοις διὰ τοὺς ταῖς ὁδοῖς ἐφεδρεύοντας), οὐκ ἔχοντες ὅ τι ποιήσομεν, δάκρυσι καὶ λιταῖς τὰ παρ' ἑαυτῶν συνεισηνέγκαμεν, φθάσαι δὲ πρὸς τὴν ὑμετέραν ἁγιότητα μὴ δυνάμενοι τὰς προθυμίας ὑμῖν ὡς χεῖρας ἐχρήσαμεν, τοὺς μὲν καθηιρημένους συγκαθαιροῦντες καὶ τοὺς ὁσίους τοῦ Χριστοῦ συνεγείροντες. ἐγενόμεθα δὲ οὐδὲ τοῖς ἐνταῦθα ἄχρηστοι, ῥωννύντες μὲν τὸν λαὸν καὶ τῶν πλείστων τὸν ζῆλον ἐξάπτοντες, ὑπηρετοῦντες δὲ καὶ τοῖς ἱερεῦσιν ὅσα ἐκείνοις ἐδόκει. ἀλλ' ἐπειδὴ μικρὰ ταῦτα καὶ ὅσα ἀπόντες δύνανται, ἐθαρσήσαμεν καὶ τήνδε ἐκπέμψαι τὴν ἐπιστολήν, τοὺς ὑπὲρ τῆς εὐσεβείας ἱδρῶτας ὑμῶν μακαρίζοντες καὶ ἰδίαι ἑκάστωι τῶν ἁγίων πατέρων καὶ κοινῆι πᾶσι τὰ τῶν προφητῶν καὶ πατέρων ἐπιφθεγγόμενοι ὅτι ὡς πατέρες ἅγιοι καὶ κλήσεως τῆς Hebr. 3, 1
ἐπουρανίου ἄξιοι, ἐλογίσθητε ὡς πρόβατα σφαγῆς, ὅλην τὴν ἡμέραν ὑπὲρ Χριστοῦ θανατού- Ps. 43, 23
μενοι ὑστερούμενοι κακουχούμενοι θλιβόμενοι ὑμεῖς ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος. ἀλλὰ Hebr. 11, 37
δότε καὶ ἡμῖν τῶν πρακτέων συμβουλὴν δι' ἐπιστολῆς, ἵν' εἰ μὲν δεῖ καταλαβεῖν τὴν ἁγίαν 38
σύνοδον καὶ τὰ ὑπόλοιπα τῶν ἀγώνων συνδιενεγκεῖν, τοῦτο ποιήσωμεν (πρόθυμον γὰρ τὸ καθ' ἡμᾶς)· εἰ δὲ μένειν ἐνταῦθα κελεύετε, ἐπειδήπερ διὰ τὸν προσκυνητὸν θεὸν χρηστὰ καὶ τὰ παρὰ τοῦ θεοφιλεστάτου καὶ εὐσεβεστάτου βασιλέως ἡμῖν ἀγγέλλεται, τοῦτο φανερὸν καταστήσατε, ἵνα μὴ ἐπὶ πολὺ ὦμεν ὑπὸ τῆς ἄγαν φροντίδος ἐκδαπανώμενοι.

99 = S 113 A 148

Τοῖς εὐλαβεστάτοις καὶ θεοφιλεστάτοις συλλειτουργοῖς Εὐλαλίωι Ἐντρεχίωι Ἀκακίωι Χρυσαφίωι Ἱερεμίαι Θεοδούλωι Ἡσαίαι ἡ ἁγία σύνοδος ἡ κατὰ θεοῦ χάριν καὶ θέσπισμα τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων συγκροτηθεῖσα ἐν τῆι Ἐφεσίων μητροπόλει ἐν κυρίωι χαίρειν. Τοὺς οὕτω διακειμένους, ὡς ἐδήλωσεν ἡμῖν καὶ τὰ γράμματα, οὐδὲν ἀπεικὸς καὶ τῆι ψυχῆι καὶ τοῖς σώμασι συναθλεῖν καὶ οὓς διηντλήσαμεν ἐνταῦθα M IIII 1452
πόνους, κοινοὺς ἡγεῖσθαι. καὶ γὰρ ἐν τοῖς ἀγῶσιν οὐκ ὀλίγα τοῖς ἀγωνιζομένοις οἱ σπουδαῖοι παρέχονται τῶν θεατῶν, καὶ τῶν παλαισμάτων ὑποβάλλοντες τὴν πεῖραν καὶ πρὸς τὴν νίκην ἐγείροντες καὶ παρεγγυῶντες ἃ δεῖ τοὺς ὑπὲρ δόξης ἀγωνιζομένους ποιεῖν· τῆι δὲ θεοσεβείαι ὑμῶν πλεῖον τῆς τέχνης ταύτης ἐπινενόηται, τὸ εὐχαῖς ἡμᾶς δυναμοῦν καὶ ἐξιλεοῦσθαι ὑπὲρ ἡμῶν τὸν θεόν, ὡς ἂν μὴ πειρασθείημεν παρ' ὃ δυνάμεθα φέρειν, ἢ

V, P [= hk], S, D [= mn], ΛtΛc

1 ἐρρενιανῶ VP ἡμᾶσ kSD καὶ οἰκουμενικῆι om. Λ 2 *in amica Christo Constantinopoli* Λc ἁγιωτάτων ἐπισκόπων SD post ἐπισκόπων add. *Eulalio Chalcedonae, Entrechio Chii, Acacio Ararathiae, Achilliade Elaeae, Seuero Codrulae, Isaiu Panemotichiton, Chrysaphio Apri, Theodulo Basilinupoleos, Ieremia Iberos partium Persidis* Λc 5 ἁπλουσ PSD καὶ ἁπλουσ VΛ δὲ καὶ D 6 αὐτόθι D ἀφικνουμένοισ S 7 συνηνέγκαμεν SD 8 ὡσ χεῖρασ ὑμῖν SD 9 συγκαθαίροντεσ P οὐ S 10 πλειόνων D 11 καὶ om. SD ἐδόκει ἐκείνοισ VP 12 ἅπαντεσ P τήνδε — ἐπιστολὴν VSD τὴν ἐπιστολὴν PΛt *epistulam scribere* Λc 13 ὑμῶν om. VPΛ ἁγίων om. P 14 τῶν — πατέρων SD τῶν ἁγίων προφητῶν καὶ τῶν πατέρων VP *prophetarum et sanctorum* [*sanctorumque* Λt] *patrum* [*apostolorum* Λc] Λtc ὡς] ὦ S 14/15 τῆσ ἐπουρανίου κλήσεωσ VP 16 ὑστερούμενοι θλιβόμενοι κακοχούμενοι S κακουχούμενοι ὑστερούμενοι θλιβόμενοι D 17 ἵνα VP 18 ποιήσομεν P 20 ἡμῶν SD ἀγγέλλεται VP *promittuntur* Λ ἀγγέλματα SD

V, P [= hk], S, D [= mn], A

inscr. ἀντίγραφον τῆσ προτεταγμένησ ἐπιστολῆσ παρὰ τῆσ ἁγίασ συνόδου P ϙθ V ϛ P ρη' D 23 εὐσεβεστάτοισ SD καὶ συλλειτουργοῖσ VP εὐτρεχίω SD 24 καὶ ἡσαία P χάριν θῦ V 28 καὶ κοινοὺσ S 29 παρέχονται PSDA συναίρονται V 30 τῆσ δόξησ V

πειρασθέντες κρείττους τῶν πειραζόντων γενοίμεθα. κεκοινωνήκατε δὲ ἡμῖν τῇι φροντίδι τῶν πόνων. εἰώθασι γὰρ πλεῖον ὑπὸ τῆς μερίμνης πάσχειν οἱ πόρρωθεν μανθάνοντες
L III 776 τὰ γινόμενα ἢ οἱ τοῖς ἀγῶσιν ἐμβεβηκότες αὐτοῖς. ἱκανὸν δὲ ἡμῖν εἰς παραμυθίαν τὸ μὴ ἀγνοηθῆναι τὰς τῶν ἐναντίων καθ' ἡμῶν ἐπιτεχνήσεις, ἀλλὰ καὶ ἄχρις ὑμῶν ἐλθεῖν τὰ κατὰ τῆς ἁγίας συνόδου τολμώμενα. ἴσμεν γὰρ ὅτι διὰ τῆς ὑμετέρας θεοφιλείας καὶ εἰς τὰς τῶν εὐσεβεστάτων βασιλέων ἀκοὰς ἕκαστα παρελεύσεται καὶ λύσις ἔσται τῶν δυσχερῶν, δηλωσάντων ὑμῶν τήν τε Ἰωάννου τοῦ τῆς Ἀντιοχέων ἀπόνοιαν καὶ τῶν μετ' αὐτοῦ καὶ ὅσα αὐτοῖς ἀθέσμως παρὰ τοὺς κανόνας κατὰ τῶν θεοφιλεστάτων καὶ ἁγιωτάτων ἐπισκόπων Κυρίλλου καὶ Μέμνονος καὶ τῆς ἁγίας συνόδου τετόλμηται. λογιζόμεθα γὰρ μηδὲν τούτων σαφῶς ἐγνωκέναι τὸν θεοφιλῆ καὶ εὐσεβέστατον βασιλέα· οὐ γὰρ ἂν οὕτως ἴσχυσαν οἱ τὸν καθ' ἡμῶν ἐγείροντες πόλεμον, ὥστε μηδὲ οἴκτου ἡμᾶς ἠξιῶσθαι ἀδικουμένους, ἀλλ' ὡς ἀδικοῦντας ἐν ἐγκλήμασιν εἶναι, καὶ ταῦτα πρὸς τὸ πάσχειν ἑαυτοὺς ἐκδεδωκότας, πρὸς ἄμυναν δὲ οὐδεμίαν τῶν ἀδικούντων ἐγειρομένους. τὰ δὲ κωλύσαντα τὴν ὁσιότητα ὑμῶν πρὸς ἡμᾶς ἀφικέσθαι ἡμᾶς ἔχει τὴν πρόφασιν. πολιορκία γὰρ ἡμᾶς ἀκριβὴς νῦν συνέχει ἐκ γῆς τε καὶ θαλάττης, ὥστε μηδὲ γνωρίζειν τῇι ὑμῶν ὁσιότητι δύνασθαι τὰ γινόμενα. τῶν δὲ δακρύων καὶ τῆς προσευχῆς ὑμῶν ἔργον ἐγένετο τὸ ἕκαστον ἡμῶν τῶν * * μήπω πρὸς τὸ τέλος συνελθόντων τὴν αὐτὴν ἔχειν ἐπὶ τῶι πράγματι κρίσιν καὶ ἀσυμβάτως πρὸς αὐτοὺς διακεῖσθαι, πολλῆς ἀνάγκης εἰς τοῦτο τῶν ἀρχόντων ἡμᾶς συνελαυνούσης. καὶ ἐν τούτωι δὲ τῆς εὐνοίας ὑμῶν τὸ μέρος ἔχομεν, κοινωνοὺς ὑμᾶς καὶ τῶν ἀγώνων καὶ τῶν ἄθλων εἰδότες, καὶ ὃ ἐπὶ τῶν τοὺς ἁγίους μάρτυρας ἀγαπώντων ἴσμεν γινόμενον, τοῦτο ἔστι καὶ ἐπὶ τῆς ὑμετέρας θεοφιλείας ἰδεῖν. ἔξω γὰρ τῶν ἀγώνων ὄντες τέως ἀπονητὶ τῶν στεφάνων κατηξιώθητε, εὐνοίαι μὲν τοῖς ἀδικουμένοις προσκείμενοι, τῶν δὲ ἐπαναστάντων καταδικάζοντες, ὡς μηδὲν ὑμᾶς δοκεῖν τῇι ἀπολείψει ἔλαττον ἔχειν, εἰς πάντα ὑμῶν ταῖς ἡμετέραις συμφερομένων γνώμαις. οὐ μικρὸν δὲ εἰς ἀφορμὴν νίκης τοῖς μαχομένοις, ἀλλὰ καὶ μέγιστον εἰς παράκλησιν ὃ καὶ ὑμᾶς ἐμάθομεν πεποιηκέναι, τοῦ λαοῦ τὸν ζῆλον αὐξάνοντας καὶ θαρρεῖν κατὰ τῶν ὑπεναντίων ἐγείροντας. λείπεται δὲ κατὰ χώραν μένοντας τά τε αὐτόθι γνωρίζειν ἡμῖν καὶ τὰ παρ' ἡμῶν εἰς γνῶσιν τῶν θειοτάτων βασιλέων καὶ τῆς ἁγίας ἐκκλησίας ἄγειν. τοῦτο γάρ ἐστι μᾶλλον εἰς ἐπικουρίαν αὔταρκες ἢ εἰ καταλαβόντες ἡμᾶς συνταλαιπωρεῖν ἡμῖν πολιορκουμένοις ἀνάσχοισθε. λογιζό-
M IIII 1453 μενοι δὲ μὴ ἐληλυθέναι εἰς γνῶσιν ὑμετέραν τὰ πρώην ἀποσταλέντα, καὶ αὖθις τῇι θεοσε-
ep. 102 βείαι ὑμῶν τῶν αὐτῶν ἀντίτυπα διεπεμψάμεθα, ἀνηνέγκαμεν δὲ πάλιν καὶ τοῖς εὐσεβεστάτοις βασιλεῦσι, καὶ γενέσθω τῇι θεοσεβείαι ὑμῶν ἐπιμελὲς μαθεῖν, ἵν' εἰ μὲν ἀποδέδονται, ὑπομνησθῶσι περὶ τῶν ἀνηνεγμένων, εἰ δὲ μὴ τοῦτο γεγένηται, ἵνα νῦν γοῦν μάθηι αὐτῶν ἡ εὐσέβεια ἃ πρότερον ἐπιβουλεύοντες ἡμῖν τινες ἀγνοῆσαι τὴν αὐτῶν θεοφίλειαν ἐσπούδασαν.

Ἐρρῶσθαι ὑμᾶς ἐν κυρίωι εὐχόμεθα, ἀγαπητοὶ καὶ ποθεινότατοι ἀδελφοί.

V, P [= hk], S, D [= mn], A

1 γενώμεθα VPA κεκοινωνήκαμεν A 2 πλέον SD 3 γενόμενα P ἐμβεβληκότες ἑαυτοὺς SD 5 γὰρ VPA οὖν SD θεοφιλίας V 7 ἡμῶν V τῆς ἀντιοχέων PSDA ἀντιοχείας V 8 ἁγίων P 11 μεθ' S ἠξιῶσθαι PA ἀξιοῦσθαι SD ἀξιῶσαι V 12 ἐκδεδωκότα S 13 ἄμειναν D ἀδικουμένων SD 14 ἀκριβὴς ἡμᾶς VPA νῦν om. P 15 δύνασθαι τῇ ὑμῶν ὁσιότητι SD 15/16 γεγενημένα SD 16 ἔργον καὶ τῆς – ὑμῶν V καὶ om. D lacunam statui e. g. supplendo ἐπαναστάντων τῇι συνόδωι 19 ἡμῶν D ἀγώνων] ἁγίων S 20 ἄθλων] πόνων D ἀγαπόντων P 21 θεοφιλίας VS 22/23 ἀπονητὶ – ἔχειν εἰς om. D τοὺς δὲ ἐπαναστάντας V τῶν δὲ ἐπαναστάντων τὰ στίφη P 23 εἰς] ὑς A 24 ἡμῶν Vn ὑμετέραις S 26 αὐξάνοντα S ἐναντίων SD 27 τε PA δὲ S om. VD αὐτόθεν P 29 καταλαβόντας ὑμᾶς P πολιορκουμένους ἀνέχεσθαι P 31 πάλαι VA 33 γένηται SDA νῦν om. D 34 ὑμῖν S 35 εὔχομαι SD

100 = S 68 A 51. Latina uersio extat in Collectione CT 42

Ἴσον ἐπιστολῆς Κυρίλλου ἀρχιεπισκόπου Ἀλεξανδρείας γραφείσης πρὸς τὸν κλῆρον Κωνσταντινουπόλεως

Ἐταράχθη λίαν ἡ ἁγία σύνοδος ἀκούσασα ὅτι οὐ πάντα ὀρθῶς ἀνήνεγκεν ὁ μεγαλοπρεπέστατος καὶ ἐνδοξότατος κόμης Ἰωάννης, ὥστε βουλεύεσθαι τοὺς ἐκεῖσε καὶ περὶ ἐξορίας καθ' ἡμῶν ὡς τῆς ἁγίας συνόδου καταδεξαμένης τὴν ἀκανόνιστον καὶ ἄθεσμον γενομένην καθαίρεσιν παρά τε Ἰωάννου καὶ τῶν σὺν αὐτῶι αἱρετικῶν. ἰδοὺ τοίνυν καὶ ἑτέρα γέγονεν ἀναφορὰ παρὰ τῆς ἁγίας συνόδου διδάσκουσα ὅτι καὶ λυπεῖται ἐπὶ τῶι δεσποτικῶι γράμματι, καὶ ὅτι οὐ κατεδεξάμεθα τῶν τριῶν τὰς καθαιρέσεις, καὶ ἐξαιρέτως ἀκυροῦσθαι μὲν τὰ παρ' ἐκείνων δυσσεβῶς τε καὶ ἀθέσμως γενόμενα, κρατύνεσθαι δὲ μᾶλλον τὰ παρ' ἡμῶν. ἐδίδαξαν γὰρ καὶ διὰ πρώτης ἀναφορᾶς ὅτι ἄκυρα μὲν τὰ παρ' ἐκείνων ἀκανονίστως γενόμενα πεποιήκασι, κοινωνικοὺς δὲ ἡμᾶς καὶ συνεπισκόπους ἔχουσι καὶ ὅτι τῆς τοιαύτης οὐκ ἐξίστανται γνώμης. μυρία δὲ πεποιηκότος τοῦ μνημονευθέντος μεγαλοπρεπεστάτου ἀνδρὸς ὥστε ἐλθεῖν εἰς κοινωνίαν Ἰωάννην καὶ τοὺς σὺν αὐτῶι τῆι ἁγίαι συνόδωι, μέχρι σήμερον οὐδὲ ἀκοῦσαι ἠνέσχοντο τοιαύτης φωνῆς, ἀλλ' ἐνίστανται μὲν πάντες λέγοντες ὅτι ἀδύνατον ἡμᾶς εἰς τοῦτο ἐλθεῖν, ἐὰν μὴ καὶ τὸ παρ' αὐτῶν ἀκανονίστως γενόμενον λυθῆι καὶ προσπέσωσι τῆι συνόδωι ὡς πλημμελήσαντες, ἀναθεματίσωσι δὲ Νεστόριον καὶ τὰ δόγματα αὐτοῦ ἐγγράφως, καὶ ἐν τούτοις ἡ πᾶσα ἔνστασις τῆς συνόδου. ἀποτυχὼν δὲ τούτου ὁ μνημονευθεὶς μεγαλοπρεπέστατος ἀνὴρ ἐπενόησε καὶ τοῦτο καὶ ἀπήιτει τὴν σύνοδον ἔκθεσιν πίστεως ἐγγράφως ἐπιδοῦναι αὐτῶι, ἵνα κἀκείνους ποιήσηι συνθέσθαι καὶ ὑπογράψαι καὶ ἀνέλθηι λέγων ὅτι συνῆψα αὐτοὺς εἰς φιλίαν ἀνθρωπίνας λύπας ἔχοντας μεταξὺ ἀλλήλων. τοῦτο νοήσασα ἡ ἁγία σύνοδος πάλιν ἐνέστη ἄχρι παντὸς λέγουσα ὅτι οὐχ ὑβρίζομεν ἑαυτούς· οὐ γὰρ ὡς αἱρετικοὶ κεκλήμεθα, ἀλλ' ἤλθομεν πίστιν ἀθετουμένην στῆσαι, ἣν καὶ ἐστήσαμεν, καὶ οὐ χρήιζει ὁ βασιλεὺς τοῦ μαθεῖν νῦν τὴν πίστιν, εἰδὼς αὐτὴν καὶ ἐν αὐτῆι βαπτισθείς. οὐ προέβη τοίνυν οὐδὲ τοῦτο τοῖς ἀπὸ τῆς Ἀνατολῆς. κἀκεῖνο δὲ γινώσκετε ὅτι συνθέντες ἔκθεσιν πίστεως ἐφιλονείκησαν πρὸς ἀλλήλους καὶ εἰσὶν ἐν τῶι φιλονεικεῖν ἔτι. οἱ μὲν γὰρ αὐτῶν καταδέχονται θεοτόκον εἰπεῖν τὴν ἁγίαν παρθένον μετὰ καὶ τοῦ ἀνθρωποτόκον, οἱ δὲ παντελῶς ἀρνοῦνται καί φασιν ἑτοίμως ἔχειν ἀποτμηθῆναι τῶν χειρῶν ἢ ὑπογράψαι τοιαύτηι φωνῆι. ἀσχημονοῦσι δὲ πανταχοῦ αἱρετικοὶ δεικνύμενοι. ταῦτα πάντες παρὰ τῆς θεοσεβείας ὑμῶν διδασκέσθωσαν καὶ μάλιστα οἱ θεοσεβέστατοι καὶ ἁγιώτατοι ἀρχιμανδρῖται, μήποτε ὑποστρέψας ὁ προρρηθεὶς ἕτερα ἀνθ' ἑτέρων εἴπηι ἢ διδάξηι, τέρπων τάς τινων ἀκοάς. μὴ ἀποκνήσηι δὲ ὑμῶν ἡ θεοσέβεια μηδὲ ἀποκαμνέτω πρὸς τοὺς ὑπὲρ ἡμῶν ἱδρῶτας, εἰδυῖα ὅτι ἑαυτὴν παρατίθεται καὶ θεῶι καὶ ἀνθρώποις. καὶ ἐνταῦθα γὰρ διὰ τὴν τοῦ σωτῆρος χάριν οἱ μηδέποτε ἡμᾶς εἰδότες τῶν θεοσεβεστάτων ἐπισκόπων ἑτοίμως ἔχουσι τὴν ψυχὴν θεῖναι ὑπὲρ ἡμῶν καὶ μετὰ δακρύων προσέρχονται λέγοντες καὶ συνεξορισθῆναι καὶ συναποθανεῖν δι' εὐχῆς ἔχειν. ἐν πολλῆι δὲ θλίψει πάντες ἐσμὲν καὶ διὰ

L III 760
M IIII 1436
PG 77, 141
6
ep. 102
ep. 93
ep. 94
11
15 PG 144
M IIII 1437
20
l. III 761
24
ep. A 48
cf. uol. IIII
ep. 182
30
35

V, P [= hk], S, D [= mn], AWΛιΛc

p̄ V cā P ξη S 2 ἐπισκόπου VP γραφείσης om. P κλῆρον VPΛ κλῆρον καὶ τὸν λαὸν SDAW 5 καὶ ἐνδοξότατος om. VP βουλεύσασθαι SD βούλεσθαι W 8 ἁγίας VPΛc om. SDAWΛι οὐκ ἐδεξάμεθα SDAW 9 μὲν ἀκυροῦσθαι VP τε om. VP 10 γὰρ om. P 14 τῆσ σήμερον V 14/15 ἠνέσχετο SW 15 τῆσ τοιαύτησ SDAW πάντεσ VPΛ παντελῶσ SDAW 17 ὡς om. P δὲ καὶ VP 18 μνημονευθεὶς om. W 19 ὑπαιτεῖ P 20 ποιήση SDAWΛ ποιήσωσι VP 22 ἀνέστη DΛ 23 ἀλλὰ VP 24 νῦν om. S ταύτη D 25 τοῦτο τοίνυν οὐδὲ SDW 27 τοῦ καὶ S ἀνθρωποτόκον] ἄρθην D 28/29 τῆ τοιαύτη S 29 ἀσχημονοῦσι δὲ] ἀσχημονούση P 31 τάς om. P 31/32 ἀκοὰσ τινῶν SW 32 ἀποκαμέτω P 34 θεοφιλεστάτων S 35 θεῖνοι τὴν ψυχὴν A τὰσ ψυχὰσ W 36 δι' εὐχῆσ VPΛ ἑτοίμωσ SDAW ἔχειν Λ ἔχουσιν VPSAW ἔχουσι μεθ' ἡμῶν D

τὸ φρουρεῖσθαι παρὰ στρατιωτῶν καὶ πρὸ τῶν κοιτώνων ἔχειν αὐτοὺς καθεύδοντας, μάλιστα δὲ ἡμεῖς. ἡ δὲ ἄλλη πᾶσα σύνοδος ἀπέκαμεν καὶ κάμνει καὶ οἱ πλείους ἀπέθανον, λοιπὸν δὲ καὶ οἱ λοιποὶ τὰ ἑαυτῶν πιπράσκουσιν, οὐκ ἔχοντες ἀναλώματα.

101 = S 69 A 52. Latina uersio extat in Collectione CT 43

Ἴσον ἐπιστολῆς γραφείσης παρὰ Μέμνονος ἐπισκόπου Ἐφέσου πρὸς τὸν κλῆρον Κωνσταντινουπόλεως

Οἷα διὰ τὴν ἀληθῆ πίστιν τῆς ὀρθοδοξίας καθ' ἑκάστην ὑπομένομεν ἐν Ἐφέσωι, οὐδὲ λόγωι παραστῆσαι δυνατόν· ταραχὴ γὰρ ταραχὴν ἀπαύστως διαδέχεται. πολλὴν δὲ ἡμῖν εὐτονίαν παρέχει τοῦ ταῦτα φέρειν γενναίως ἡ τῆς πίστεως ὁμολογία καὶ ἰσχύς. ποτὲ μὲν γὰρ ὁ μεγαλοπρεπέστατος κόμης Κανδιδιανὸς ἐπισείων ἡμῖν τοὺς στρατιώτας καὶ τὴν πόλιν ταραχῆς ἐμπιπλῶν καὶ πάντων ὁμοῦ τῶν ἐπιτηδείων τῆς εἰσκομιδῆς ἀποστερῶν διὰ τῆς παραφυλακῆς, πολλοὺς δὲ συγχωρῶν ὕβρεις καταχέειν ἡμῶν τε καὶ πάσης τῆς ἁγίας συνόδου τῶν τοῦ Ζευξίππου παραμενόντων τῶι καθηρημένωι Νεστορίωι καὶ ἐπὶ τούτωι τρεφομένων καὶ πολὺ πλῆθος χωρικῶν ἀπὸ τῶν ἐκκλησιαστικῶν κτημάτων καὶ δι' ἐκείνων τὰς ὕβρεις καταχεόντων, διεδέξατο καὶ τὴν προειρημένην ἀταξίαν καὶ τοῦ μεγαλοπρεπεστάτου
M IIII 1440 κόμητος Εἰρηναίου τὴν καθημερινὴν ἀπάτην τῶν ἀφελεστέρων καὶ ἡ τοῦ Ἀντιοχέως ἐπισκόπου παρουσία. μαθοῦσα γὰρ ἡ ἁγία σύνοδος τὴν μέλλουσαν αὐτοῦ ἐπιδημίαν γενήσεσθαι, τιμῶσα καὶ τὸ κεχρεωστημένον τῆι ἱερωσύνηι πληροῦσα ἀπέστειλε τινὰς τῶν θεοφιλεστάτων ἐπισκόπων μετὰ καὶ εὐλαβεστάτων κληρικῶν εἰς ὑπάντησιν αὐτοῦ, δύο ταῦτα ποιοῦσα, καὶ τὴν κεχρεωστημένην πληροῦσα τιμὴν καὶ ποιοῦσα φανερὸν ὡς ὀφείλει τὴν πρὸς Νεστόριον συντυχίαν φυλάξασθαι διὰ τὸ παρὰ τῆς ἁγίας συνόδου καθηιρῆσθαι αὐτὸν
L III 764 τῆς ἀσεβείας ἕνεκα ἧς ἐμελέτησεν. οὐ συγχωρηθέντες δὲ παρὰ τῶν ἑπομένων αὐτῶι στρατιωτῶν κατὰ τὴν ὁδὸν αὐτῶι περιτυχεῖν, οὐδὲν ἧττον ἠκολούθησαν καὶ τὴν οἰκίαν ἔνθα κατέλυσε, κατειλήφασι καὶ πολλὰς προσκαρτερήσαντες ὥρας καὶ μὴ συγχωρηθέντες τὴν πρὸς αὐτὸν ποιήσασθαι συντυχίαν ἔμειναν ὕβρεις ὑπομένοντες. μετὰ δὲ πολλὰς ὥρας τοῦτο δόξαν αὐτῶι, μετεστείλατο τοὺς θεοσεβεστάτους ἐπισκόπους καὶ τοὺς εὐλαβεστάτους κληρικούς, εἰσάγων αὐτοὺς διὰ στρατιωτῶν. ὡς δὲ τὰ παρὰ τῆς ἁγίας συνόδου φανερὰ πεποιήκασιν αὐτῶι, συνεχώρησε τὸν μεγαλοπρεπέστατον Εἰρηναῖον καὶ τοὺς σὺν αὐτῶι ἐπισκόπους τε καὶ κληρικοὺς ἀφορήτους ἐπιθεῖναι πληγὰς τοῖς ἡμετέροις συλλειτουργοῖς καὶ τοῖς κληρικοῖς, ὡς καὶ κινδύνοις αὐτοὺς προσομιλῆσαι. τούτων τοίνυν γεγενημένων, παραγενόμενοι εἰς τὴν ἁγίαν σύνοδον οἱ ἀποσταλέντες θεοσεβέστατοι ἐπίσκοποι καὶ τὰς πληγὰς ἐπιδείξαντες καὶ τὰ γεγενημένα διηγησάμενοι ἐπὶ πράξεως ὑπομνημάτων τοῦ ἁγίου εὐαγγελίου προκειμένου, εἰς ἀγανάκτησιν διανέστησαν τὴν ἁγίαν σύνοδον καὶ μικρὸν αὐτὸν σωφρονίζοντες ἀκοινώνητον πεποιήκασι καὶ γεγένηται αὐτῶι ἡ ἀκοινωνησία φανερά. ἔγνωμεν

V, P [= hk], S, D [= mn], AWΛtΛc

1 τοῦ V καὶ om. S τῶν ἰδίων D κοιτωνίων PSD 2 δὲ om. V σύνοδοσ πᾶσα W 3 δὲ om. S λοιποὶ VPΛ πολλοὶ SDAW

V, P [= hk], S, D [= mn], AΛtΛc

$\overline{ρα}$ V $\overline{cβ}$ P $\overline{ξθ}$ SD 7 ἀληθῆ — ἑκάστην VPΛ τοῦ θῦ πίστιν τὴν ἀληθῆ τὲ καὶ ὀρθόδοξον SDA 8 διαδέχεται ἀπαύστωσ SD ἄπαυστοσ A 8/9 εὐτονίαν ἡμῖν SDA 12 φυλακῆσ P 12/13 τῆσ — συνόδου πάσησ VP 13 τοῦ om V 13—15 oratio inconcinna 14 χορηγῶν P 16 ἀντιοχείασ PD 17/18 γεγενῆσθαι A 18 τῆσ ἱερωσύνησ D τινασ εἰσ ἀπάντησιν S 19 κληρικῶν] ἐπισκόπων D ἀπάντησιν P ὑπόμνησιν SD αὐτῶ SD 20 κεχρεωστουμένην VP 22 εὐσεβείασ S ἐμελέτησεν VPSΛ ὡμολόγησεν DA συγχωρηθέντα S 23 ἠκολούθει S 24 προσκαρτερήσανταϲ S 27 εἰσαγαγὼν SDA 28/29 ἐπισκόπους — κληρικούς om P ἐπισκόποισ τε καὶ συλλειτουργοῖσ P 33/34 σωφρονίσαντεσ D σωφρονήσαντεσ A 34 ἀκοινώνητον SDAΛ ἀκοινώνητον αὐτὸν VP αὐτῶν Λ

γὰρ ὡς ἀνώνυμόν τι καὶ ἀνυπόγραφον κατά τι μέρος τῆς πόλεως προετέθη, δηλοῦν αὐτοῦ τὴν ἀταξίαν καὶ ἀκανόνιστον γνώμην, καθ' ἑκάστην δὲ προσκαλούμενος τὸ σεμνὸν βουλευτήριον καὶ τοὺς λαμπροτάτους καὶ ἐξαιτῶν μετὰ ἀνάγκης ψηφίσματα ὥστε εἰς τὸν τόπον τὸν ἐμὸν χειροτονῆσαι, ὡς πάντας τοὺς κατοικοῦντας τὴν πόλιν ὀρθοδόξους τυγχάνοντας τοὺς εὐκτηρίους κατειληφέναι τόπους καὶ ἐν αὐτοῖς οἰκεῖν, ἵνα μὴ ἡ ἐκείνου προπέτεια καὶ ἀκανόνιστος θρασύτης ἡ διὰ τῶν προθεμάτων εἰς ἔργον ἀχθῇ τῆς φήμης. ὅθεν καὶ ἐν τῷι ἁγίωι ἀποστόλωι Ἰωάννηι ἀνελθὼν καὶ τοῦτο ὑπεμφήνας ὡς ὀφείλειν αὐτὸν ἐκεῖ χειροτονῆσαι, στάσιν καὶ ταραχὴν τῶι τόπωι ἐνεποίησε καὶ μετὰ πλήθους ἀτάκτων ὡπλισμένων ἀνελθών, ὡς καὶ τινὰς τῶν ἐκεῖσε πτωχῶν ἡμιθανεῖς ποιῆσαι, ὡς καὶ ὑβρισθεὶς παρὰ ep. 159
τῶν ἐκεῖσε, ἀνήνεγκεν ἐπὶ φθόνωι τῆς ἁγίας συνόδου. καταξιώσατε τοίνυν, ὁσιώτατοι,
πᾶσαν σπουδὴν θέσθαι καὶ τὴν ἀπόνοιαν καὶ ἀκανόνιστον γνώμην Ἰωάννου καὶ τῶν σὺν αὐτῶι δημοσιεῦσαι πρὸς τὸ καὶ τοὺς μεγαλοπρεπεστάτους κόμητας ἐντεῦθεν ἀναχωρῆσαι τοὺς καθ' ἡμέραν ταράττοντας καὶ τὴν πόλιν καὶ τὴν πίστιν, ἵνα μὴ ἐκ συναρπαγῆς τούτων νοθεύηται τὰ τῆς πίστεως.

102 = S 70 A 49. Latina uersio extat in Collectione CT 44

Τοῖς εὐσεβεστάτοις καὶ φιλοχρίστοις Θεοδοσίωι καὶ Οὐαλεντινιανῶι νικηταῖς τροπαιούχοις ἀεὶ αὐγούστοις ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος ἡ χάριτι θεοῦ καὶ νεύματι τοῦ ὑμετέρου κράτους συναχθεῖσα ἐν τῆι Ἐφεσίων μητροπόλει. Τὸ μὲν ὑμέτερον κράτος οὐ περιεῖδε τὴν ἀληθῆ πίστιν ὑπορυττομένην ὑπὸ τῆς Νεστορίου διδασκαλίας μετὰ Ἰουδαίων ὀνειδίζοντος τῶι δεσπότηι Χριστῶι ἃ δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ὑπέμεινεν ἀνθρώπινα πάθη, ἀλλὰ βδελυξαμένη ἡ ὑμῶν εὐσέβεια τοὺς τοιούτους κατὰ Χριστοῦ λόγους ἐκ πάσης σχεδὸν τῆς ὑφ' ἥλιον ἡμᾶς συναχθῆναι προσέταξεν ἐν τῆι Ἐφεσίων μητροπόλει, παγῆναι τὰ τῶν πατέρων καὶ τῶν ἀποστόλων τῆς εὐσεβείας βουλομένη δόγματα. ὅθεν συνελθόντες καὶ κοινῆι κρίσει βεβαιώσαντες τὴν ἐκτεθεῖσαν περὶ τούτου πίστιν παρὰ τῶν τιη̄ τῶν ἐν Νικαίαι συναχθέντων ἐπὶ τοῦ τῆς μακαρίας μνήμης Κωνσταντίνου Νεστόριόν τε καινοτομοῦντα ταύτην τὴν πίστιν κατειληφότες τέχναις λόγων καὶ ἐπεισάκτοις σοφίσμασι παραβλάπτοντα τῆς εὐσεβείας τὸ φρόνημα τοῦ ἱερατικοῦ βαθμοῦ καθείλομεν, καθάπερ τινὰ λοιμὸν τὸν λόγον αὐτοῦ τὰς ἐκκλησίας ἐπινεμόμενον εἶρξαι βουλόμενοι. ἀλλ' ἐπειδὴ τινὰς εὕρομεν καὶ τῶν ἐπισκόπων ἤδη σαλευθέντας καὶ τὰ αὐτοῦ φρονοῦντας καὶ τῆι ἐκείνου βλασφημίαι συναπαχθέντας, ἅπαντας τοὺς τὰ αὐτοῦ φρονοῦντας ἀκοινωνήτους πεποιήκαμεν, M IIII 1441 L III 765

V, P [= hk], S, D [= mn], AΛ¹Λ²

1 τινα P 2 καὶ τὴν SDA 2/3 καθ' ἑκάστην — ψηφίσματα om. VP 5 τόπουσ VPΛ οἴκουσ SDA 6 θρασύτησ VPDA σαθρότησ PΛ 7 ἀποστόλω SDAΛ εὐαγγελιστῆ VP καὶ om. V ὑποφήνασ P ὑποφῆναι V ὡς om. P 8 στάσεισ καὶ ταραχὰσ SD ἐποίησε V 8/9 ὁπλισμένων P 9 ἐκεῖ P ὡσ καὶ VP δσ k in mg. καὶ ὡσ SDAΛ 10 ὁσιότατοι P 12 τῶ DA 13 καὶ¹ SDAΛ om. VP 13/14 τούτων νοθεὺηται AΛ νοθεύηται τούτων SD τούτων νοθεύωνται VP

V, P [= hk], S, D [= mn], AJΛ¹Λ²

inscr. om. Λ ἴσον ἀναφορᾶσ σταλείσησ παρὰ τῆσ ἁγίασ συνόδου πρὸσ τὸν εὐσεβέστατον βασιλέα θεοδόσιον SDAJ περὶ τῆσ ὑπογραφῆσ τῶν βασιλέων ἀναφορά VP ρβ̄ V ϛγ̄ P ō SD 16 εὐλαβεστάτοισ V φιλοχρίστοισ SDAJΛ φιλοχρίστοισ βασιλεῦσι V φιλοχρίστοισ ἡμῶν βασιλεῦσι P καὶ² om. V 17 χῦ AJΛ 19 ὑποκρυπτομένην J ὑπὸ τῆσ — διδασκαλίασ SDAJ *doctrina* Λ ταῖσ — διδασκαλίαισ VP 20 τῶ χῶ καὶ δεσπότη S διὰ om. V 21 ὑμῶν ἡ S τοῦ τοιούτου τοὺσ D 22 ἡλίω AJ 23 τῶν ἀποστόλων om. Λ τῶν² om. S τῆς εὐσεβείας om. S 24 χρίσει m χρήσει n 25 τιη̄ S τιη̄ δεκαοκτὼ V τριακοσίων δέκα καὶ ὀκτὼ AJΛ τριακοσίων δεκαοκτὼ PD συναχθέντων VPΛ συνελθόντων SDAJ τε om. S 27 τοῦ om. P 28 ταῖσ ἐκκλησίαισ SDAJ σπουδάζοντεσ SD 29 ηὕρομεν S εὑρίσκομεν VP 30 συνυπαχθέντασ V αὐτοῦ SAΛ αὐτὰ VPDJ

μέχρις ἂν ἀποστάντες τῆς διεφθαρμένης ἐκείνου διδασκαλίας ἐπιγνῶσι τὴν καθολικὴν καὶ ἀποστολικὴν πίστιν, ἣι ἄνωθεν ἐπερειδόμενοι ἅπαντες σωιζόμεθα. ἀλλ' ἡμεῖς μὲν ἐπὶ διορθώσει τῶν ὑπαχθέντων νῦν ἐν τῆι πλάνηι ὡρίσαμεν ταῦτα, τὴν αὐτῶν ἐκδεχόμενοι μεταμέλειαν· αὐτοὶ δέ, τριάκοντα ὄντες τὸν ἀριθμὸν μικρῶι πρός (ἦσαν γὰρ τινὲς ἐν αὐτοῖς καὶ ἐξ ἑτέρων αἰτιῶν τοῖς κανόσιν ὑπεύθυνοι καὶ προσειληφότες τὸν εὐλαβέστατον ἐπίσκοπον τῆς Ἀντιοχέων Ἰωάννην, ὃς καὶ αὐτὸς ὑπὲρ πολλῆς βραδυτῆτος ὑπεύθυνος ἦν αἰτιάσει, ἄλλοι δὲ ἐφ' ἑτέραις αἱρέσεσιν ἐλεγχόμενοι, τινὲς δὲ αὐτῶν καὶ ἤδη καθηιρημένοι), πρὸς μετάνοιαν μὲν οὐκ εἶδον, συναχθέντες δὲ ἐπὶ προστασίαι Νεστορίου κατὰ τῶν ἐξάρχων τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου καθαίρεσιν γράψαι τετολμήκασι καὶ ὡς ἐκ πάσης
ep. 153 τῆς συνόδου γεγενημένην ἀνήγαγον ἐπὶ τὴν ὑμῶν εὐσέβειαν, ἣν δεξάμενον τὸ ὑμέτερον
ep. 93 κράτος ἐκέλευσε μένειν, νομίσαν ἐκ τῆς συνόδου ταύτην γεγενῆσθαι καὶ οὐχὶ κατὰ τῆς συνόδου παρὰ τῶν τὰ Νεστορίου φρονούντων καὶ ἀμυνομένων ἡμᾶς ἐπὶ τῆι καθαιρέσει Νεστορίου, οὐκ ἔγκλημα λέγειν δυναμένων κατὰ τῶν ἐξάρχων τῆς ἁγίας ἡμῶν συνόδου, καὶ ἐτόλμησαν ἀπατῆσαι τὰς θεοφιλεῖς ὑμῶν ἀκοάς, ὡς δεχθῆναι καὶ τὴν παρ' αὐτῶν γενομένην κατὰ τῆς συνόδου καθαίρεσιν, ἣν οὐδὲ ἐνθέσμως οὐδὲ κανονικῶς οὐδὲ πολλοὶ πεποιή-
M IIII 1444 κασι, δι' ὃ καὶ ἡ ἁγία σύνοδος ἐνθέσμως καὶ κανονικῆι πράξει ἀνέτρεψε τὰ παρ' αὐτῶν ὑβριστικῶς καὶ οὐκ εὐλόγως κεκριμένα. ὅθεν καταφεύγομεν ἅπαντες ἐπὶ τὸ κράτος τῆς ὑμῶν εὐσεβείας, δεόμενοι τὰ μὲν κατὰ Νεστορίου πεπραγμένα καὶ τῶν τὰ Νεστορίου φρονούντων ἔχειν τὴν ἰδίαν ἰσχύν, τὰ δὲ παρὰ τῶν ἐκδικούντων Νεστόριον διὰ τὸ φρονεῖν τὰ ἐκείνου ἀθέσμως γεγενημένα κατὰ τῶν ἐξάρχων τῆς ἡμετέρας συνόδου μένειν ἄπρακτά τε καὶ ἀργά, ὡς μήτε ἀκολούθως ἢ κανονικῶς μήτε ἐπὶ πταίσματι ἐληλεγμένωι γεγενημένα, ἀλλὰ ἀμύνης ἕνεκα μόνης παρὰ τῶν φρονούντων τὰ Νεστορίου κατὰ τῆς ἁγίας συνόδου τετολμημένα. εἰ γὰρ εὔλογος ἡ κατὰ Νεστορίου τῆς οἰκουμενικῆς συνόδου ψῆφος γεγένηται καὶ ταύτην τὸ ὑμέτερον κράτος ἐδέξατο, ὡς Νεστορίου γυμνὴν κηρύξαντος τὴν ἀσέ-
I. III 768 βειαν, εὔλογον δήπου συνορᾶι καὶ τὸ ὑμέτερον κράτος τὰ πεπραγμένα κατὰ τῆς ἁγίας συνόδου παρὰ τῶν φρονούντων τὰ Νεστορίου ἄπρακτα παντελῶς μένειν καὶ ἄκυρα, ἐξ οὐδεμιᾶς αἰτίας τὸ εὔλογον ἔχοντα ἢ ἐκ μόνης ἀμύνης ὑπὲρ ὧν κατὰ Νεστορίου ἡ ἁγία καὶ μεγάλη σύνοδος ἔπραξε. δεόμεθα τοίνυν τοῦ ὑμετέρου κράτους ἀνεῖναι λοιπὸν ἡμᾶς ἀπὸ τῆς θλίψεως καὶ κελεῦσαι ἀποδοθῆναι ἡμῖν τοὺς ἐξάρχους τῆς ἁγίας συνόδου τοὺς θεοφιλεστάτους ἐπισκόπους Κύριλλον καὶ Μέμνονα· εὔλογον γὰρ ἐκδικηθείσης τῆς εὐσεβείας καὶ τῶν βλαπτόντων αὐτὴν πεπαυμένων τοὺς συναθλήσαντας ὑπὲρ τῆς πίστεως ἡμῖν τιμῆς ἀπολαύειν, οὐ συγκατακρίνεσθαι μετὰ τῶν ἐληλεγμένων ἐπὶ ταῖς ἀθέσμοις κατὰ τοῦ δεσπότου Χριστοῦ βλασφημίαις.

Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων ὑπέγραψα ταῖς δεήσεσιν

Ὁμοίως καὶ πάντες οἱ ἐν τῆι στάσει τῶν ὑπομνημάτων ἐπίσκοποι.

V, P [= hk], S, D [= mn], AJΛιΛc

1 ἐκείνου διεφθαρμένης SDAJ 1/2 καὶ ἀποστολικὴν om. VP 2 ἅπαντες ἐπερειδόμενοι SDAJ μὲν om. P 3 ὑπαρχόντων Λ δεχόμενοι P 4 τὸν ἀριθμὸν ὄντες VP γὰρ] δὲ J καὶ ἐν P 5 καὶ[1] om. J 7 ἐφ' ἑτέραις] ἀμφοτέραις J 8 προστασίαν SD 10 τῆς om. J γενομένην SDAJ ἡμέτερον V 13 ἡμῶν DAcorr ὑμῶν VSAJ om. P *uniuersalisque* Λ 16 ἐνθέσμως VPD καὶ om. S ἀπέτρεψε D ὑπ' αὐτῶν VP *ab his* Λc 18 κατὰ νεστορίου μὲν J τῶν om. J 21 μήτε[1]] μηδὲ SDAJ πταίσμασιν D ἐληλεγμένων SD 22 περὶ J τὰ κατὰ νεστορίου J 23 τετολμημένα VP γεγενημένα SDAJ *confecta* Λ εὐλόγως SD τῆς οἰκουμενικῆς [ἁγίας V] συνόδου ψῆφος VAJ ψῆφος τῆς οἰκουμενικῆς συνόδου PS ψῆφος τῆ οἰκουμενικῆ συνόδω D 24 κηρύξαντα S 24/25 εὐσέβειαν S 25 ἁγίας om. Λ 26 περὶ J 29 ἀπὸ om. VP ἁγίας ταύτης VP 29/30 τὸν θεοσεβέστατον ἐπίσκοπον J θεοσεβεστάτους DA 30 κύριλλον καὶ μέμνονα VPΛ κύριλλον τὸν [τὸν om. S] τῆς ἀλεξανδρέων καὶ μέμνονα τῆς ἐφεσίων SDAJ καὶ τῆς VPSD 31 ἡμῶν DAJ 32 τιμῶν AJ 34. 35 om. P 35 om. VΛt *Arcadius et Proiectus episcopi et uices agentes sedis apostolicae et Philippus presbyter suscripsimus precibus. et reliqui omnes similiter* Λc

103 = S 72 A 53. et numerus et inscriptio et textus desunt in V. Latina uersio extat in Collectione CT 48

Δέησις καὶ ἱκεσία παρὰ τοῦ κλήρου Κωνσταντινουπόλεως ὑπὲρ τῆς ἐν Ἐφέσωι ἁγίας συνόδου L III 777

Εἰδότες τὴν ὑμετέραν εὐσέβειαν πολύν τινα λόγον ποιησαμένην τῶν τε ἁγίων τοῦ θεοῦ ἐκκλησιῶν τῆς τε ἐν αὐταῖς κηρυσσομένης εὐσεβοῦς καὶ ἐκ πατέρων ἡμῖν παραδεδομένης πίστεως καὶ οἷα μὲν ὑμῖν ὑπὲρ αὐτῆς προπεπόνηται, ἡλίκα δὲ πάλιν διὰ τὴν ὑπὲρ αὐτῆς σπουδὴν ὑπῆρκται τῆι ὑμετέραι εὐσεβείαι, θαρροῦμεν διὰ τοῦτο ταῖς φιλοχρίστοις ὑμῶν ἀκοαῖς καὶ τὴν ἐν χερσὶν ἀναδιδάσκομεν τῶν ἐκκλησιῶν ταραχήν. ὁ γὰρ τοῦ ἐπαγγέλματος τοῦ ἡμετέρου σκοπός, εὐσεβέστατοι βασιλεῖς, πρὸς ταῖς ἄλλαις νομοθεσίαις καὶ τὸ δεῖν πειθαρχεῖν πάσαις ἀρχαῖς τε καὶ ἐξουσίαις παρεγγυᾶι, μέχρις ἂν ἡ πειθὼ δοκοίη λυσιτελὴς εἶναι ταῖς ψυχαῖς· ἐπειδὰν δὲ τὸν τοῦ συμφέροντος ὅρον ἐκφύγηι, τηνικαῦτα παρρησιάζεσθαι καὶ πρὸς τὴν ὑμετέραν κορυφὴν οἱ τῶν θείων νόμων ἐξηγηταὶ παρακελεύονται καὶ διαφερόντως γε, εἰ καὶ ἡ βασιλεία τῶι τῆς ὀρθοδοξίας ἐγκαλλωπίζεται πράγματι, ἐν μέρει κατορθωμάτων καὶ αὐτοί που λογιζόμενοι τοῦτο καὶ λίαν ἐπὶ τούτωι φιλοτιμούμενοι, ἕως ὅταν τὸ ἐλάλουν ἐναντίον βασιλέων καὶ οὐκ ἠισχυνόμην συνεχῶς ἡμῖν ἐπάιδωσι καὶ διὰ τούτου προτρέπωσιν ἐν τοῖς ὁμοίοις τῆς παρρησίας καιροῖς μὴ ἀπολιμπάνεσθαι τῆς μιμήσεως. ταύτην τοίνυν καὶ ἡμεῖς τὴν παρρησίαν εἰς καιρὸν ἡμῖν παρεῖναι πεισθέντες, διὰ τῆσδε τῆς ἱκεσίας τὴν ἡμῶν αὐτῶν γνώμην δήλην τῆι ὑμετέραι εὐσεβείαι καθιστῶμεν ὡς εἰ τὸ ὑμέτερον κράτος τὴν γεγονυῖαν δῆθεν καθαίρεσιν κατὰ τῶν ἁγιωτάτων καὶ θεοφιλεστάτων ἐπισκόπων Κυρίλλου καὶ Μέμνονος παρὰ τῶν ἀποσχισάντων τῆς ἁγίας συνόδου, ὧν οἱ πλείους αἱρετικοὶ καὶ ἀπόλιδες καὶ ἀκοινώνητοι, ταύτην ἐγκρῖναι πεισθείη, τὴν αὐθεντίαν τῶν τῆς ψήφου ταύτης καθεστώτων κυρίων καὶ τὴν ἐξουσίαν παραιρουμένη, καὶ ψῆφον προσδέξαιτο ἄλογον οὖσαν καὶ ἀνίσχυρον κατὰ πάντα τρόπον καὶ μειρακιώδη τῶι μήτε εὐλάβειαν παρὰ τὴν ἀρχὴν παρά τινος γεγονέναι ἐπὶ τῆς ἁγίας συνόδου τῆς τῶν τοιούτων τὴν ἀκρόασιν καὶ τὸ κῦρος ἐχούσης μήτε μὴν ἔλεγχον ἐπί τινι τῶν ἀπηγορευμένων ἱερωσύνηι παρηκολουθηκέναι, πάντες ἡμεῖς ἕτοιμοι μετὰ τῆς πρεπούσης M IIII 1456 Χριστιανοῖς προθυμίας συγκινδυνεῦσαι τοῖς προειρημένοις ὁσίοις ἀνδράσι καὶ πρὸς μηδεμίαν πεῖραν κινδύνων ἀποναρκῆσαι, ταύτην αὐτοῖς προσήκουσαν ἀμοιβὴν τῶν ὑπὲρ τῆς πίστεως κινδύνων συνεισφέρειν ἡγούμενοι. καὶ ταύτης τῆς προθέσεως ἕκαστος ἡμῶν ἐπειλημμένος τὴν ὑμετέραν ἐκδυσωποῦμεν θειότητα (καὶ ἐξαιτοῦμεν, ὡς πεπείσμεθα, δίκαιον) τὸ καὶ παρ' ὑμῶν βεβαιωθῆναι τὴν τῶν πλείονων ψῆφον τῶν καὶ τῆι κατὰ τοὺς θρόνους αὐθεντίαι καὶ τῆι κατὰ τὴν ἐξέτασιν τῆς ὀρθῆς πίστεως ἀκριβείαι σύμψηφα τῶι ἁγιωτάτωι ἀνδρὶ καταθεμένων καὶ ὡς ὀρθὰ φρονεῖ, πρὸς τὸ ὑμέτερον γνωρισάντων κράτος καὶ μὴ τῶι τῆς εἰρήνης προσχήματι καὶ τῶι μὴ δοκεῖν βραχύ τι μέρος τῆς Ἀνατολῆς ἀποσχοινισ-

---

P [= hk, 103. 104 post 105 collocantur], S, D [= mn], AΛ^{t}Λ^{c}

ς$\bar{ε}$ P οβ' D 3 παρὰ P ὑπὸ SDA 3/4 ὑπὲρ — συνόδου SDAΛ πρὸς τὸν εὐσεβέστατον βασιλέα P 5 τε om. P 6 κηρυττομένησ P ὑμῖν Λ om. P 7 ὑμῖν PΛ ἡμῖν SDA 8 *praesumpsimus* Λ^{c} καὶ διὰ PS 12 λυσιτελὲσ S 14 γε A τὲ P om. SD 15 που PAΛ om. SD 16 ὡσ A ἐνελάλουν S 17 ἐπάδουσι P τούτου PΛ τοῦτο S τούτων DA προτρέπονται P 19 ἱκετείασ SDA ὑμῶν PS 19/20 τῆ εὐσεβεία καθιστῶμεν τῆ ὑμετέρα P 22 ὧν] ὡσ S 23 τὴν αὐθεντίαν scripsi τῆ αὐθεντία PSDAΛ καθεστώτων om. P 24 παραιρουμένη PSDA *usi sunt* [= παραχρωμένων?] Λ^{t} *abolendam* [παραιρουμένην] Λ^{c} 25 μειρακιώδεσ S γεγονέναι παρά τινοσ P ἐπὶ τῆσ PSA παρὰ τῆσ D *in quacumque* Λ^{c} 26 τῆς — ἐχούσης] *in talibus auditorii robur habente* Λ^{t} *per quam tales audientiae robur haberent* Λ^{c} καὶ PA om. SD 28 συγκινδυνεύειν SA συνκινδυνεύειν D ὁσίοισ PΛ^{c} ὁσιωτάτοισ SDAΛ^{t} 29 ναρκῆσαι S πίστεως] φύσεωσ S 30 καὶ om. D ταύτης] πάσησ P ὑμῶν S 32 ὑμῶν PAΛ ὑμῖν SD 34 γνωρισάντων κράτοσ A ἐγνώρισαν κράτοσ SD κράτοσ ἐγνώρισαν P 35/p. 50, 1 ἀποσχισθῆναι P

θῆναι, ὅπερ οὐδὲ αὐτὸ τῆς ἑνώσεως ἀπορραγῆναι προήρηται, εἰ τὰ τῶν κανόνων πεισθείη
L III 780 κρατεῖν, πᾶσαν ὁμοῦ τὴν οἰκουμένην συγχεομένην περιιδεῖν. εἰ γὰρ ὁ τῆς οἰκουμενικῆς συνόδου καθηγητής, ὧι σύμψηφοι πάντες δὶ ὧν κατέθεντο, γεγόνασιν, ὑπομείνειέν τι τῶν οὐ προσηκόντων παρὰ τὴν τῶν κανόνων ἀκολουθίαν καὶ ταῦτα τῆς ὑμετέρας εὐσεβείας ἐπιεικῶς τὴν ἐπὶ τοῖς τοιούτοις ἀποδυσαμένης κοινωνίαν καὶ διὰ τοῦτο καὶ σύνοδον ἀθροισάσης, ἵνα μὴ τῆς ἐξουσίας αὐτὴν τῶν οἰκείων θεσμῶν ἀποστερήσηι, εὔδηλον ὡς διὰ τῆς οἰκείας βλάβης καὶ τὴν κατὰ τῶν ἄλλων ὁμοψήφων ἐπήρειαν βεβαιοῖ καὶ δεήσει πάντας τοὺς τῆς οἰκουμένης ἐπισκόπους συγκαθιρῆσθαι τοῖς προειρημένοις ὁσίοις ἀνδράσι καὶ περιστήσεται λοιπόν, ὡς ἔοικεν, Ἀρείωι καὶ Εὐνομίωι ἡ τῆς ὀρθοδοξίας ὑπόληψις, ἅτε Νεστορίου μὲν εὐλόγως διὰ τὴν δυσσεβῆ διδασκαλίαν καθηιρημένου, Κυρίλλου δὲ καὶ Μέμνονος τῶν ἁγιωτάτων ἐπισκόπων ἀναξίως καὶ ἀθέσμως καὶ οὐ δεόντως τὴν ἴσην ὑπομενόντων ἐκ περιδρομῆς ζημίαν. μηδαμῶς τοίνυν, ὦ φιλόχριστοι βασιλεῖς, τὴν τιθηνησαμένην ὑμᾶς ἐκκλησίαν σπαραττομένην περιίδητε τὴν ἀκμητὶ τῶι ὑμετέρωι κράτει κατὰ τῶν ἀντιπάλων ἐγείρειν παρέχουσαν τρόπαια μηδὲ μαρτυρίου καιρὸν τοὺς τῆς βασιλείας ὑμῶν ἀναδείξητε χρόνους, ἀλλὰ τὴν τῶν προγόνων ὑμῶν περὶ τὴν ἐκκλησίαν στοργὴν ἀναλαβόντες κατὰ νοῦν καὶ ὅπως ἕκαστος ἐκείνων τῆι κατὰ τοὺς οἰκείους καιροὺς γενομένηι συνόδωι τῶν ἁγίων πατέρων ἐπειθάρχησε καὶ τῆι διὰ τὸ τοὺς ὅρους τοὺς παρ' αὐτῶν τεθέντας ὀχυρῶσαι νομοθεσίαι τὴν περὶ αὐτοὺς αἰδῶ διέδειξαν, οὕτω καὶ αὐτοὶ τὰ ἴσα περὶ τὴν νῦν παρ' ὑμῶν συγκροτηθεῖσαν ἁγίαν σύνοδον φρονῆσαι προθυμήθητε, ὡς ἂν τοὺς παρ' αὐτῆς χαριστηρίους ὕμνους ὑπὲρ τῆς βασιλείας ὑμῶν καθαρῶς καὶ εὐαγῶς καρπώσησθε καὶ ἡμεῖς τὰς ὑπὲρ τῆς διαμονῆς τοῦ ὑμετέρου κράτους εὐχὰς εἰλικρινεῖς ἀναπέμπωμεν τῶι δεσπότηι Χριστῶι, εὐσεβέστατοι καὶ φιλόχριστοι βασιλεῖς.

104 = S 74 A 46. et numerus et inscriptio et textus desunt in V. Latina uersio extat in Collectione CT 49

L III 772 M IIII 1449 Ἴσον ἐπιστολῆς τοῦ ἀρχιεπισκόπου Κυρίλλου γραφείσης τοῖς ἐν Κωνσταντινουπόλει εὐλαβεστάτοις ἐπισκόποις Θεοπέμπτωι Ποτάμωνι καὶ Δανιήλωι ὑπὲρ ὧν πέπονθε συσκευῶν τῶν κατὰ Νεστόριον καὶ Ἰωάννην χάριν, ὅτε παρεγένετο ἐν Ἐφέσωι ὁ κόμης τῶν σακρῶν Ἰωάννης

Κύριλλος Θεοπέμπτωι Ποτάμωνι Δανιήλωι ἀγαπητοῖς καὶ συλλειτουροῖς ἐν κυρίωι χαίρειν. Πολλαὶ καθ' ἡμῶν γεγόνασιν ἐκεῖσε διαβολαί, τοῦτο μὲν ὡς ἀπὸ τῆς Ἀλεξανδρείας ἀκολουθησάντων ἡμῖν ἐκ τοῦ βαλανείου πολλῶν, τοῦτο δὲ ὡς κανονικῶν ἐξελθουσῶν· ὡς δέ φασιν, [ὅτι] εἴρηται παρὰ τῶν διαβεβληκότων ὅτι κατὰ συσκευὴν ἐμὴν καὶ οὐ κατὰ σκοπὸν τῆς ἁγίας συνόδου τὴν καθαίρεσιν ὑπέμεινε Νεστόριος. ἀλλ' εὐλογητὸς ὁ σωτὴρ ὁ τοὺς τὰ τοιαῦτα λέγοντας ἐλέγξας· ἐλθὼν γὰρ εἰς τὴν Ἐφεσίων ὁ κυριός μου ὁ

P [= hk], S, D [= mn], AΛtΛc

1 ὅθεν D προείρηται PD 6 ταύτην A ἀποστερήσησ SD 8 ὁσίοις PAΛc ὁσιωτάτοις SDΛt 9 ὡσ ἔοικεν PAΛ om. SD καὶ PΛ ἡ SDA ἡ om. P 11 ὑπομένειν SD ὑπομένειν ἐκείνοισ P 12 τιθηνεύσασαν P 14 ἐγείρειν παρέχουσαν PΛc ἐγείρουσαν DAΛt παρέχουσα S 15 λαβόντεσ P 17 τὸ AΛc om. PSDΛt 18 διεδίδαξαν D ἔδειξαν P ὑμῶν PDΛt ἡμῶν SAΛc 20 καρπώσασθε D τὰς om. S 21 ἀναπέμψωμεν S

P [= hk], S, D [= mn], AWΛtΛc

25—27 om. PΛ cq̄ P 25 γραφείσησ παρὰ τοῦ ἀρχιεπισκόπου κυρίλλου SDW ἐν κωνσταντινουπόλει τοῖσ A 26 ποταμίωνι A καὶ ποτάμωνι SDW δανιὴλ A 26—28 ὑπὲρ ὧν — Δανιήλωι om. S 26 ἔπαθε DW 26/27 νεστορίου καὶ ἰῶ̄ D χάριν AW χαρτίων D 27 ὅτε — Ἰωάννησ om. DW 28 *Potamoni Daniheli* Λ ποταμίωνι δανιὴλ A ποτάμωνι καὶ δανιήλω DW ποτάμονι καὶ δανιὴλ P ἀγαπητοῖσ ἀλελφοῖσ P 29/30 ἀλεξανδρέων SD 30 ἐκ om. PAW 31 ὅτι PSDAW om. Λ καὶ κατὰ WΛ 33 σωτὴρ] θῡ̄ P τὰ om. P ἐν τῇ A ἐφεσίων πόλιν P

μεγαλοπρεπέστατος καὶ ἐνδοξότατος κόμης τῶν θείων λαργιτιόνων Ἰωάννης κατέγνω τῶν ταῦτα πεφλυαρηκότων, οὐδὲν εὑρὼν ἀληθές. εἶδε δὲ ὅτι ἰδίαν ἔνστασιν ἡ ἁγία σύνοδος ὑπὲρ τῆς πίστεως ἔχει καὶ οὔτε ἐμοὶ χαριζομένη οὔτε ἑτέρωι τινί, ἀλλὰ θείωι ζήλωι κινουμένη καὶ οὐκ ἐνεγκοῦσα τὰς ἐκείνου βλασφημίας κατεψηφίσατο αὐτοῦ. ἀναγνωσθέντος ep. 93
δὲ τοῦ γράμματος τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων βασιλέων, δι' οὗ αἱ τῶν τριῶν καθαιρέσεις ἐλέγοντο εἶναι δεκταί, ἐφρουρούμεθα τέως, οὐδὲ εἰδότες τὸ ἐκβησόμενον. πλὴν εὐχαριστοῦμεν τῶι Χριστῶι, ὅταν καταξιωθῶμεν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ οὐ δεσμῶται γενέσθαι μόνον, ἀλλὰ γὰρ καὶ τὰ ἕτερα πάντα ὑπομεῖναι· οὐ γὰρ ἄμισθον τὸ πρᾶγμά ἐστιν. οὐκ ἠνέσχετο δὲ ἡ σύνοδος κοινωνῆσαι Ἰωάννηι, ἀλλ' ἐνίσταται λέγουσα· ἰδοὺ τὰ σώματα, ἰδοὺ αἱ ἐκκλησίαι, ἰδοὺ αἱ πόλεις· ἐξουσίαν ἔχετε. ἡμᾶς κοινωνῆσαι ἀδύνατον τοῖς Ἀνατολικοῖς, ἂν μὴ λυθῆι τὸ κατασκευασθὲν ἐκ τῆς αὐτῶν συκοφαντίας κατὰ τῶν συλλειτουργῶν ἡμῶν, ὁμολογήσωσι δὲ καὶ πίστιν τὴν ὀρθήν. καταγινώσκονται γὰρ τὰ Νεστορίου καὶ λαλοῦντες καὶ φρονοῦντες καὶ ὁμολογοῦντες. ἡ πᾶσα οὖν ἔνστασις ἐν τούτοις· εὐχέσθωσαν ὑπὲρ ἡμῶν πάντες οἱ ὀρθόδοξοι. ὡς γάρ φησιν ὁ μακάριος 14
Δαυίδ, ἐγὼ εἰς μάστιγας ἕτοιμος. Ps. 37, 18

105 = S 71 A 50. Latina uersio extat in Collectione CT 45

Ἡ ἁγία σύνοδος ἡ κατὰ θεοῦ χάριν καὶ θέσπισμα τῶν εὐσεβεστάτων βασιλέων ἐν L III 768
τῆι Ἐφεσίων μητροπόλει συγκροτηθεῖσα τοῖς ἀγαπητοῖς καὶ ποθεινοτάτοις ἀδελφοῖς καὶ M IIII 1444
συλλειτουργοῖς τοῖς κατὰ τὴν Κωνσταντινούπολιν διατρίβουσι καὶ τοῖς εὐλαβεστάτοις πρεσβυτέροις καὶ διακόνοις τῆς αὐτῆς Κωνσταντινουπόλεως. Τοῖς ἐν τοσαύτηι τρικυμίαι καθεστῶσι πραγμάτων καὶ πολὺν μὲν πανταχόθεν δεχομένοις τὸν πόλεμον, οὐδαμῶς δὲ συγχωρουμένοις οὔτε τὸ ἥμερον καὶ γαληνὸν τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων βασιλέων θεάσασθαι πρόσωπον, ὅθεν ἦν μόνον ἐλπίζειν τῶν δυσχερῶν τὴν λύσιν, ποίαν ἦν ἄλλην ἐπινοηθῆναι παραμυθίαν ἢ πρὸς τὰ ἴδια μέλη τὰ καθ' ἑαυτοὺς ἀποδύρασθαι; ὑμεῖς δὲ μέλη τῆς οἰκουμενικῆς συνόδου, τὸν ὑπὲρ τῆς εὐσεβείας ζῆλον διὰ πάντων ἐπιδειξάμενοι. τοιγαροῦν εἰδέτω ἡ ὑμετέρα εὐλάβεια φρουρᾶς οὐδὲν πλέον ἡμᾶς τὴν Ἐφεσίων οἰκεῖν καὶ 25
τριμηνιαῖον χρόνον λοιπὸν ἐν ταύτηι κατακεκλεῖσθαι, μήτε διὰ θαλάσσης μήτε διὰ γῆς ἀκινδύνως καὶ ἀδεῶς ἐκπέμπειν τινὰς ἐπὶ τὸ εὐσεβὲς στρατόπεδον ἢ ἐφ' ἕτερον τόπον συγχωρουμένους. καὶ γὰρ ὁσάκις τὰ παρ' ἡμῶν διαπεμφθέντα ἀποδοθῆναι ἴσχυσε, διὰ μυρίων κινδύνων οἱ ταῦτα κομίζοντες ἄλλοτε ἄλλως μετασχηματιζόμενοι σωθῆναι δεδύνηνται. αἴ- 29
τιον δὲ τοῦ οὕτως ἡμᾶς φρουρεῖσθαι τὸ πάντα καθ' ἡμῶν ψευδῶς τῶι εὐσεβεστάτωι βασιλεῖ M IIII 1445
ἀναφέρεσθαι. οἳ μὲν γάρ, ὡς μανθάνομεν, ὡς στάσεις ἡμῶν ἐργαζομένων, οὕτως τὰς

V [inde a 16], P [= hk], S, D [= mn], A, W [usque ad 15], Λ[1]Λ[c]

1 καὶ ἐνδοξότατος om. P 2 τὰ τοιαῦτα SDW πεπλημμεληκότων S δὲ om. SW 2/3 ἡ — τῆσ πίστεωσ PAΛ ἡ — σύνοδοσ τῆσ πίστεωσ DW τῆσ πίστεωσ ἡ — σύνοδοσ S 5 δὲ PAΛ δὲ καὶ SD ἡμῶν βασιλέων A 6 λέγονται P δεκτέαι SDW 7 εὐχαριστοῦμεν Λ[c] Χριστῶι] θ$\overline{ω}$ D ἀξιωθῶμεν SW 7/8 μόνον δεσμῶται γενέσθαι P 8 τὰ om. P 9 ἐνίσταται DW[corr] Λ ἐνίστατο PSAW 11 ἐὰν P καταλυθῆ W τὸ κατασκευασθὲν PAΛ τὰ κατασκευασθέντα SDW συκοφαντίασ αὐτῶν S 12 ὁμολογήσουσι SW τὴν πίστιν τὴν ὀρθὴν SAW τὴν πίστιν ὀρθὴν D γὰρ] δὲ P 13 νεστορίου φρονοῦντεσ καὶ λαλοῦντεσ P καὶ λαλοῦντες om. A 14 εὐχέσθωσαν SDWΛ εὐχέσθωσαν δὲ PA 15 ἐγὼ AΛ ἐγὼ δὲ PSDW
inscr. πρὸσ τὸν κλῆρον κωνσταντινουπόλεωσ συνοδικὴ ἐπιστολή [συνοδικὴ ἐπιστολή om. P] VP ἐπιστολὴ σταλεῖσα [γραφεῖσα S] παρὰ τῆσ ἁγίασ συνόδου τοῖσ ἐν κωνσταντινουπόλει ἐπισκόποισ πρεσβυτέροισ καὶ διακόνοισ SDA om. Λ ρ$\overline{ε}$ V ϛ$\overline{δ}$ P οα' D 17 πόλει PA ἀδελφοῖσ καὶ SDAΛ om. VP 18/19 πρεσβυτέροις] ἐπισκόποισ S 20 μὲν om. V 21 καὶ φιλοχρίστων om. S 22 ἐλπίζεσθαι A 24 διὰ πάντων om. V 25 εἰδέτω A ἰδέτω PS οἰδέτω D γινωσκέτω V τὴν ἐφεσίων οἰκεῖν ἡμᾶσ P 26 ἐν ταύτη λοιπὸν ἡμᾶσ SDA θαλάττησ SA 28 τὰ om. P ἴσχυσεν ἀποδοθῆναι P 30 καθ' ἡμῶν SDAΛ τὰ καθ' ἡμᾶσ VP εὐσεβεῖ S 31 ἐμάθομεν P μανθάνουσιν S

εὐσεβεῖς ἐδίδαξαν ἀκοάς· ἄλλοι δὲ ὡς τῆς οἰκουμενικῆς ἡμῶν συνόδου καθελούσης τὸν τὰ πάντα θεοφιλέστατον καὶ ἁγιώτατον ἀρχιεπίσκοπον τῆς Ἀλεξανδρέων Κύριλλον καὶ τὸν ἁγιώτατον καὶ θεοφιλέστατον συνεπίσκοπον ἡμῶν Μέμνονα, οὕτως ἀνενέγκαι ἐτόλμησαν· ἕτεροι δὲ καὶ τοῦτο τάχα προσθεῖναι ἐθάρρησαν ὡς ἡμῶν καταδεξαμένων τῶι τῆς ἀποστασίας συνεδρίωι εἰς φιλικοὺς λόγους ἐλθεῖν, ὧν ἔξαρχος ὁ τῆς Ἀντιοχέων Ἰωάννης ἐστί. καὶ
L III 769 ὑπὲρ τοῦ μὴ ταῦτα γνωσθῆναι ἡ πολλὴ καθ' ἡμῶν φρουρὰ καὶ ὁ πολὺς γίνεται πόλεμος. ἐν ἀμηχανίαι τοίνυν ὑπάρχοντες οὐ μικραῖ, πρὸς τὴν ὑμετέραν γράψαι θεοσέβειαν ἐσπουδάσαμεν, εἰδότες ὅτι τέκνων γνησίων τῆι οἰκουμενικῆι συνόδωι ἐπέχοντες τάξιν καὶ τὴν ὀρθόδοξον πίστιν προδοθῆναι μηδαμῶς ἀνεχόμενοι μετὰ πολλῆς ἱκεσίας καὶ δακρύων καὶ τουτωνὶ τῶν γραμμάτων προσπίπτοντες τῶι εὐσεβεστάτωι καὶ φιλοχρίστωι βασιλεῖ διδάξετε τὰ καθ' ἡμῶν ἅπαντα. ἡμεῖς γὰρ οὔτε κατέγνωμεν τῶν προειρημένων ἁγιωτάτων καὶ θεοφιλεστάτων ἐπισκόπων τῶν περὶ Κύριλλον καὶ Μέμνονα, ἀλλὰ καὶ μεγάλης αὐτοὺς ἀποδοχῆς καὶ στεφάνων ἀξίους ἡγούμεθα, μόνους καὶ πρώτους ὑπὲρ τοὺς ἄλλους ἅπαντας ζήλωι τῶι κατὰ θεὸν κινηθέντας καὶ παντοίους γενομένους ἐκκόψαι τὸν τῆς ἀσεβείας κήρυκα τὸν ἀσεβέστατον Νεστόριον καὶ τὰς ἐκκλησίας τοῦ τοιούτου καθαρθῆναι μύσους· οὔτε δὲ νῦν ἀνεχόμεθα τῆς τῶν προειρημένων ἁγιωτάτων ἐπισκόπων κοινωνίας χωρισθῆναι, ἀλλὰ καὶ συνεξορισθῆναι τούτοις κέρδος ἡγούμεθα μέγιστον. κέκριται δὲ ἡμῖν μηδὲ τὸ τῆς ἀποστασίας συνέδριον εἰς κοινωνίαν δέξασθαι, ἀλλὰ καὶ ταῖς τῶν πάντων ἀνεθεματίσαμεν φωναῖς ἐπ' ἐκκλησίας Ἰωάννην τὸν Ἀντιοχείας καὶ τοὺς μετ' αὐτοῦ, πρότερον μὲν ἐφ' οἷς συγκαθελεῖν ἡμῖν τὸν τῆς ἀσεβείας κήρυκα Νεστόριον οὐκ ἠνέσχοντο, ἀλλὰ καὶ σὺν αὐτῶι διάγοντες καὶ ὑπὲρ αὐτοῦ ποιούμενοι τὸν λόγον οὐδαμῶς ἐπαύσαντο, ἔπειτα δὲ ἐφ' οἷς καὶ τὴν παρανομωτάτην καὶ τῶν κανόνων ἀλλοτρίαν ἐγχείρησιν τῆς κατὰ τῶν προειρημένων
ep. 153. 158 ἁγιωτάτων ἐπισκόπων ὕβρεώς τε καὶ ἐπηρείας ποιησάμενοι συναρπάσαι τὰς εὐσεβεῖς τῶν φιλοχρίστων βασιλέων ἀκοὰς ἐτόλμησαν, μετὰ δὲ τούτων καὶ διὰ τὸ τοῦ φρονήματος Νεστορίου μηδαμῶς ἀποστῆναι. διά τοι ταῦτα πάντα ἅπαξ αὐτοὺς πάσης ἐκκλησιαστικῆς κοινωνίας ἀποτεμόντες καὶ πᾶσαν ἱερατικὴν ἐνέργειαν περιελόντες ἀφωρίσαμεν, κρίσεως ὄντες μᾶλλον καὶ τῶν ἐκκλησιῶν, ὅπερ ἀπείη, ἐκστῆναι ἢ τούτοις ἔτι ἐλθεῖν εἰς κοινωνίαν, μάλιστα μὴ διορθωσαμένοις ἅπαντα τὰ προειρημένα αὐτῶν πλημμελήματα. γνωρίζομεν δὲ καὶ τῆι ὑμετέραι εὐλαβείαι ὥστε ἐν τῆι ἴσηι ἔχειν αὐτοὺς τάξει.

Ταῦτα οὖν παρακλήθητε τὸν εὐσεβέστατον καὶ θεοφιλέστατον βασιλέα διδάξαντες αἰτῆσαι ὑπὲρ πάσης τῆς συνόδου ἀποδοθῆναι ἡμῖν τοὺς ὑπὸ τῶν κανόνων μηδαμῶς κατεγνωσθέντας, τουτέστι τοὺς ἁγιωτάτους καὶ θεοφιλεστάτους ἐπισκόπους Κύριλλον καὶ Μέμνονα, ἐλεηθῆναι δὲ καὶ ἡμᾶς καὶ ἀπὸ τοῦ εὐπροσώπου περιορισμοῦ τούτου ἀνακληθῆναι λοιπόν, καὶ εἰ μὲν ἄξιοι ἐσμὲν ἰδεῖν τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου βασιλέως τὸ πρό-
I IIII 1448 σωπον, τοῦτο ἐπιτραπῆναι ποιῆσαι, εἰ δὲ ἀνάξιοι τούτου ἐκρίθημεν, κἂν εἰς τὰς ἑαυτῶν ὑποστρέψαι ἐκκλησίας, ἵνα μὴ ἐνταῦθα πάντες καταφθαρῶμεν, οἱ μὲν ὑπὸ νόσου, οἱ δὲ

V, P [= **hk**], S, D [= **mn**], ΑΛtΛc

1 ἡμῶν om. D τὰ om. DA 2 ἁγιώτατον καὶ θεοφιλέστατον P 3 ἐπίσκοπον PΛc 4 τάχα καὶ τοῦτο VP 4/5 τὸ — συνέδριον D 8 ἐσπεύσαμεν VP ἐπέχοντασ S 10 τούτων VP βασιλεῖ καὶ φιλοχρίστωι A βασιλεῖ D 11 διδάξετε ΑΛ διδάξατε VPSD ἡμᾶσ D πάντα VP 11/12 ἁγιωτάτων καὶ om. VP 12/13 αὐτούς om. VP 13 ἀποδοχῆς] δόξησ V 15 τὸν ἀσεβέστατον om. D τοῦ om. VP 16 οὐδὲ νῦν S ἀνεδόμεθα V ἁγιωτάτων om. A 17 μέγιστον κέρδοσ ἡγούμεθα S κέρδοσ μέγιστον ἡγούμεθα VP 18 τῶν om. VP 19 τε τὸν VP ἀντιοχέα P 20 Νεστόριον om. S 21 διάγοντες — αὐτοῦ om. S ἐν οἷσ DA εὐθύσ S 22 ἀλλότριον SD τῆς] τὴν D 24/25 τοῦ νεστορίου VP 25 πάντα om. SΛ πάσης] τῆσ S 27 ἀπῆει D 28 διορθωσαμένουσ SA ὀρθωσαμένουσ P πλημμελήματα] σφάλματα A 29 αὐτοὺσ ἔχειν VP 30 παρακλήθητε ΑΛ παρακλήθητε καὶ VPSD εὐλαβέστατον P θεοφιλέστατον SDAΛ φιλόχριστον VP 31 ἀπό SDA 32/33 καὶ Μέμνονα om. S 33 δὲ καὶ] τὲ SΛ ἡμᾶσ ἀπὸ P τούτου] τοῦ S καὶ ἀνακληθῆναι P

ὑπὸ ἀθυμίας ἀναλισκόμενοι. διὰ δὲ τὸ μὴ ὄχλον πολὺν ἐνθεῖναι ταῖς ὑπογραφαῖς ἠρκέσθημεν ταῖς τῶν πρόεδρων χερσίν.

106 = S 62—64 A 41. 42. Latina uersio partis prioris [usque ad p. 59, 8] extat in Collectione CT 35; Coelestini epistulae exemplar Latinum editum est in Collectione Veronensi 7 L III 609 M IIII 1280

Ἴσον ὑπομνήματος πραχθέντος ἐπὶ τῇι παρουσίαι τῶν ἀπὸ Ῥώμης ἐλθόντων ἐπισκόπων καὶ πρεσβυτέρου

1 Τοῖς μετὰ τὴν ὑπατείαν τῶν δεσποτῶν ἡμῶν Φλαβίου Θεοδοσίου τὸ τρισκαιδέκατον καὶ Φλαβίου Οὐαλεντινιανοῦ τὸ τρίτον τῶν αἰωνίων αὐγούστων τῇι πρὸ ἓξ Εἰδῶν Ἰουλίων, ἥτις ἐστὶ κατ' Αἰγυπτίους Ἐπὶφ ις̄, συνόδου συγκροτηθείσης ἐν τῇι Ἐφεσίων μητροπόλει ἐκ θεσπίσματος τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων βασιλέων d. 10 m. Iul. a. 431

καὶ καθεσθέντων ἐν τῶι ἐπισκοπείωι τοῦ θεοσεβεστάτου ἐπισκόπου Μέμνονος τῶν θεοφιλεστάτων καὶ θεοσεβεστάτων ἐπισκόπων

Κυρίλλου Ἀλεξανδρείας, διέποντος καὶ τὸν τόπον τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου τῆς Ῥωμαίων ἐκκλησίας Κελεστίνου,

καὶ Ἰουβεναλίου Ἱεροσολύμων

καὶ Μέμνονος τῆς Ἐφεσίων

καὶ Φλαυιανοῦ Φιλίππων, ἐπέχοντος καὶ τὸν τόπον Ῥούφου τοῦ εὐλαβεστάτου ἐπισκόπου Θεσσαλονικέων,

καὶ Θεοδότου Ἀγκύρας Γαλατίας πρώτης καὶ πάντων τῶν προταγέντων ἐπισκόπων ἐν τῇι στάσει τῶν ὑπομνημάτων M IIII 1281

εἰσελθόντων τε καὶ συνεδρευσάντων τῶν ἀπὸ τῆς Ἑσπέρας θεοφιλεστάτων καὶ θεοσεβεστάτων ἐπισκόπων καὶ πρεσβευτῶν Ἀρκαδίου καὶ Προιέκτου καὶ τοῦ θεοσεβεστάτου πρεσβυτέρου Φιλίππου τοῦ ἀποστολικοῦ θρόνου καὶ ληγάτου

Ἑρμηνεία τῆς καταθέσεως L III 612

2 Φίλιππος τοῦ ἀποστολικοῦ θρόνου πρεσβύτερος καὶ πρεσβευτὴς εἶπεν· Εὐχαριστοῦμεν τῇι ἁγίαι καὶ σεπτῇι τριάδι ὅτι ἡμᾶς τοὺς εὐτελεῖς τοῦ ἁγίου ὑμῶν συλλόγου ἠξίωσεν. πάλαι μὲν οὖν ὁ ἁγιώτατος καὶ μακαριώτατος πάπας ἡμῶν Κελεστῖνος ὁ τῆς ἀποστολικῆς καθέδρας ἐπίσκοπος περὶ τῆς παρούσης ὑποθέσεως δι' ἐπιστολῶν ἑαυτοῦ πρὸς τὸν ἅγιον καὶ εὐλαβέστατον ἄνδρα, τῆς Ἀλεξανδρέων ἐκκλησίας ἐπίσκοπον Κύριλλον ὥρισεν, ἅτινα ep. 9 γράμματα τῶι ἁγίωι ὑμῶν συλλόγωι πεπόρισται· καὶ νῦν δὲ πρὸς βεβαίωσιν τῆς καθολικῆς πίστεως πρὸς τὴν πάντων ὑμῶν εὐλάβειαν δι' ἡμῶν γράμματα ἐξέπεμψεν, ἅτινα παρ' ἡμῶν ὑποδειχθέντα πρεπόντως τῇι ἁγίαι συνόδωι ἀναγνωσθῆναι κελεύσατε καὶ τοῖς ἐκκλησιαστικοῖς ὑπομνήμασιν ἐνταγῆναι.

V, P [= hk], S, D [= mn], AΛtΛc

1 ἀπὸ ἀθυμίασ P

5 ρ̄ς̄ V ϛ̄ζ̄ P ξ̄β̄ SD τῇ om. SDA 6 πρεσβυτέρων VPSD 7 Τῆς P φλαβίου VPΛ om. SDA 8 τῇι om. VP 9 ἐπὶφ ις̄ DAΛ ἐπιφὶ ἕκτῃ VPA ἐπιφὶ καὶ S 10 ἡμῶν βασιλέων S 11 θεοσεβεστάτου VPΛ θεοφιλεστάτου SDA 12 καὶ θεοσεβεστάτων SD om. VPA 16 καὶ om. S ἐφέσου DA 17 εὐλαβεστάτου VPΛ ἁγιωτάτου SDA 19/20 καὶ πάντων — ὑπομνημάτων SDAΛ καὶ φίρμου καισαρείας καππαδοκίας πρώτης καὶ πάντων τῶν λοιπῶν ἐπισκόπων καὶ βεσσούλα [βεσουλᾶ V] διακόνου καρθαγένης VP 21 τε VPΛ δὲ SDA τῶν om. VP 22 ἀρκαδίου προιέκτου P θεοσεβεστάτου SDAΛ θεοφιλεστάτου VP 23 καὶ ληγάτου τοῦ ἀποστολικοῦ θρόνου A 24 ἑρμηνεία τῆς καταθέσεως om. P 25 καὶ πρεσβευτὴς om. P 27 πάππας D ὁ] ὡς P 28/29 ἅγιον καὶ om. S 28 ἁγιώτατον P 29 ὥρισω [sic] S 30 συλλόγω ὑμῶν P 31 δι' ὑμῶν P om. S 32 ὑμῶν ὑποδεχθέντα PS

Ἑρμηνεία τῆς καταθέσεως

3 Ἀρκάδιος ἐπίσκοπος καὶ πρεσβευτὴς τῆς Ῥωμαίων ἐκκλησίας εἶπεν· Κελευσάτω ἡ ὑμετέρα μακαριότης τὰ προσενεχθέντα ὑμῖν γράμματα τοῦ ἁγίου καὶ μετὰ πάσης προσκυνήσεως ὀνομαζομένου πάπα Κελεστίνου τῆς ἀποστολικῆς καθέδρας ἐπισκόπου ἀναγνωσθῆναι, ἐξ ὧν γνῶναι δυνήσεται ἡ ὑμετέρα μακαριότης ποίαν ἔχει φροντίδα πασῶν τῶν ἐκκλησιῶν.

3a Προίεκτος ἐπίσκοπος καὶ πρεσβευτὴς τῆς Ῥωμαίων ἐκκλησίας εἶπε· Κελευσάτω ἡ ὑμετέρα μακαριότης τὰ προσενεχθέντα ὑμῖν γράμματα τοῦ ἁγίου καὶ μετὰ πάσης προσκυνήσεως ὀνομαζομένου πάπα Κελεστίνου τῆς ἀποστολικῆς καθέδρας ἐπισκόπου ἀναγνωσθῆναι ἐξ ὧν γνῶναι δυνήσεται ἡ ὑμετέρα μακαριότης ποίαν ἔχει φροντίδα πασῶν τῶν ἐκκλησιῶν.

3b Καὶ μετὰ το διαλαλῆσαι τὸν ἁγιώ- 11a
τατον καὶ θεοφιλέστατον ἀρχιεπίσκοπον τῆς Ἀλεξανδρέων ἐκκλησίας Κύριλλον [καθὼς ἐξῆς περιέχει], 14a

4 Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ὑποδεχθὲν τὸ γράμμα τοῦ ἁγιωτάτου καὶ τὰ πάντα ὁσιωτάτου τῆς ἁγίας ἀποστολικῆς ἐκκλησίας ἐπισκόπου τῆς Ῥωμαίων Κελεστίνου μετὰ τῆς προσφόρου τιμῆς ἀναγινωσκέσθω τῇ ἁγίαι συνόδωι.

5 Ἑρμηνεία. Σιρίκιος νοτάριος τῆς ἁγίας καθολικῆς ἐκκλησίας πόλεως Ῥωμαίων ἀνέγνω.

6 Καὶ μετὰ τὸ ἀναγνωσθῆναι Ῥωμαιστὶ Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Τὰ ἀναγνωσθέντα τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου τῆς μεγάλης Ῥώμης Κελεστίνου γράμματα εὐσεβῶς καὶ ὀρθοδόξως ἔχοντα ἐμφερέσθω τοῖς πραττομένοις.

7 Πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἠίτησαν ἑρμηνευθῆναι τὴν ἐπιστολὴν καὶ ἀναγνωσθῆναι.

M IIII 1284 Ἑρμηνεία τῆς καταθέσεως

8 Φίλιππος πρεσβύτερος τῆς ἀποστολικῆς καθέδρας καὶ πρεσβευτὴς εἶπεν· Τὸ ἱκανὸν ἐγένετο τῇι συνηθείαι ἵνα τὰ γράμματα τῆς ἀποστολικῆς καθέδρας ἐν πρώτοις Ῥωμαιστὶ ἀναγνωσθῆι· νῦν δὲ ὁμοίως, ἐπειδὴ ἡ ὑμετέρα ἀπαιτεῖ μακαριότης ὅπως καὶ Ἑλληνιστὶ ἀναγνωσθῶσιν, ἀναγκαῖόν ἐστι τῶι πόθωι τῆς ὑμετέρας ἁγιότητος γενέσθαι τὸ ἱκανόν. ὅπερ πρᾶξαι ἐφροντίσαμεν ἵνα ἡ Ῥωμαικὴ ὁμιλία Ἑλληνιστὶ μεταβληθείη. κελεύσατε οὖν ὑποδεχθῆναι καὶ ταῖς ἁγίαις ὑμῶν ἀκοαῖς ἐγκατατίθεσθαι.

V, P [= hk], S, D [= mn], ΑΛιΛc

2 ἀρκάδιοσ καὶ προίεκτοσ ἐπίσκοποι καὶ πρεσβευται SDAΛ εἶπον SDAΛ 3 ἡμῖν S 7—11 om SDAΛ 11a—14a 18 19 12—17. 18 19 (iterum) V 12—17 11a—14a 18 19 P 12—17 18 19 SDAΛ 12 ἐπίσκοπος om. S 13 υποδειχθὲν A 14 τα om VP ἁγίασ καὶ SD ἀποστολικῆς] καθολικῆς P 13a 14a καθὼς — περιέχει deleui 15 καθέδρας V ἐκκλησίας V mg τῆσ ῥωμαίων VPΛ om SDA 17 τῇ ἁγία συνόδω SDAΛ om VP 18 Ἑρμηνεία DA om V (altero loco) PS σηρίκιοσ A Μηρίκιος D 19 ἀνέγνω VPΛι ἀνέγνω ῥωμαιστὶ SDAΛc 20 Καὶ — Ῥωμαιστὶ om SDAΛ 21 ἐπισκόπου VPΛ ἀρχιεπισκόπου SDA 22 πραττομένοις VP ὑπομνήμασι SDA 23 τὴν ἐπιστολὴν SDAΛ om. VP 23/24 ἀναγνωσθῆναι καὶ ἑρμηνευθῆναι V 25 τῆς om. V 26 πρεσβύτεροσ καὶ πρεσβευτὴσ [his postea non omissis] S 27 τὰ γράμματα DA γράμματα τὰ S γράμματα VP 27/28 ἀναγνωσθῆ SDA ἀναγνωσθεῖεν P ἀναγνωσθῶσι V 29 ἁγιότητος VPΛ μακαριότητοσ SDA 30/31 ὑποδειχθῆναι A 31 ἐγκατατεθῆναι SD

Ἑρμηνεία τῆς καταθέσεως L III 613

9 Ἀρκάδιος καὶ Προίεκτος οἱ εὐλαβέστατοι ἐπίσκοποι καὶ πρεσβευταὶ εἶπον· Καθὼς ἐκέλευσεν ἡ ὑμετέρα μακαριότης, ἵνα εἰς τὴν πάντων γνῶσιν ἔλθηι τὰ γράμματα τὰ προσενεχθέντα, ἐπειδὴ πολλοί εἰσι τῶν ἁγίων ἀδελφῶν καὶ ἐπισκόπων ἡμῶν, οἵτινες Ῥωμαιστὶ ἀγνοοῦσι, διά τοι τοῦτο καὶ Ἑλληνιστὶ ἡ προκομισθεῖσα ἐπιστ λὴ μεταβέβληται· καὶ εἰ κελεύσοιτε, ἀναγνωσθήσεται.

10 Φλαυιανὸς ἐπίσκοπος Φιλίππων εἶπεν· Ἡ προκομισθεῖσα ἑρμηνεία τῆς ἐπιστολῆς τοῦ θεοφιλεστάτου καὶ ἁγιωτάτου ἐπισκόπου τῆς Ῥωμαίων ἁγιωτάτης ἐκκλησίας ὑποδεχθεῖσα ἀναγινωσκέσθω.

11 Πέτρος πρεσβύτερος Ἀλεξανδρείας καὶ πριμικήριος νοταρίων ἀνέγνω

12 Κελεστῖνος τῆι ἁγίαι συνόδωι τῆι ἐν Ἐφέσωι συναχθείσηι, ἀγαπητοῖς καὶ ποθεινοτάτοις, ἐν κυρίωι χαίρειν. Τοῦ ἁγίου πνεύματος ἐμφανίζει τὴν παρουσίαν τῶν ἱερέων ἡ σύνοδος. ἀληθὲς γάρ ἐστι τὸ γεγραμμένον, ἐπειδὴ καὶ οὐ δύναται ἡ ἀλήθεια ψεύσασθαι, ὅτι δὴ ἐν εὐαγγελίωι τοιαύτη ἔγκειται φωνή· ὅπου δύο ἢ τρεῖς εἰσι συνηγμένοι Mt. 18, 20
ἐπὶ τῶι ἐμῶι ὀνόματι, ἐκεῖ εἰμι ἐν μέσωι αὐτῶν. τούτ υ οὕτως ἔχοντος,
εἰ οὐδὲ τοῦ οὕτως βραχέος ἀριθμοῦ τὸ πνεῦμα τὸ ἅγιον ἀπολείπεται, πόσωι μᾶλλον αὐτὸ νῦν μεσιτεύειν πιστεύσαιμεν, ὅπου εἰς ἓν συνήχθη τοσοῦτον πλῆθος ἁγίων; καὶ γὰρ ἅγιόν ἐστι κατὰ τὸ οἰκεῖον σέβας συνέδριον ἐν ὧι καθάπερ ἐκείνης τῆς μεγίστης τῶν ἀποστόλων συνόδου, ὡς ἀνέγνωμεν, ἔστιν ὁρᾶν τὴν εὐλάβειαν. οὐδεπώποτε τούτων Act. 15, 6
ἀπελείφθη ὁ παρ' αὐτῶν κηρυχθεὶς διδάσκαλος· παρὴν αὐτοῖς ἀεὶ ὁ κύριος καὶ διδάσκαλος,
ἀλλ' οὐδὲ διδασκόμενοι παρὰ τοῦ οἰκείου διδασκάλου πώποτε κατελείφθησαν. ὁ πέμψας ἐδίδασκεν· ὁ εἰπὼν τί διδάξουσιν, ἐδίδασκεν, ⟨ἐδίδασκεν⟩ ὁ τοῖς οἰκείοις ἀποστόλοις ἑαυτὸν
13 ἐμφανίζων. ἀκουέσθω ταῦτα παρὰ πάντων εἰς τὸ κοινόν, κύριοι ἀδελφοί· ἃ τῆς παρατεθείσης διδασκαλίας ἡ φροντὶς παρέπεμψε δικαίωι κληρονομίας εἰς ἡμᾶς, ἐν ταύτηι τῆι φροντίδι σφιγγόμεθα οἳ πανταχοῦ καὶ ἀνὰ πᾶσαν τὴν οἰκουμένην τῆι ἐκείνων διαδοχῆι τὸ
ὄνομα τοῦ κυρίου κηρύττομεν, ὡς ἐκείνοις προστέτακται· πορευθέντες μαθητεύσατε Mt. 28, 19
πάντα τὰ ἔθνη. προσέχειν ἡ ὑμετέρα ἀδελφότης ὀφείλει ὅτι παρεδέξατο γενικὴν ἐντολὴν καὶ ἡμᾶς αὐτοὺς πάντας τοῦτο πράττειν ἠθέλησεν ὅστις πᾶσιν ἐκείνοις περὶ τῆς κοινῆς ἐνετείλατο λειτουργίας. ἀναγκαῖόν ἐστιν ὅπως προσηκόντως τοῖς ἑαυτῶν πα- 29
τράσιν ἀκολουθήσωμεν, ὑπεισελθόντες πάντες αὐτῶν τὸν κάματον οἱ τὴν τούτων διαδεξά- M IIII 1285
μενοι τιμήν. χορηγήσωμεν τὴν ἐπιμέλειαν τοῖς τούτων διδάγμασι, μεθ' ἃ ὑπομιμνήσκοντος Gal 1, 9
τοῦ ἀποστόλου οὐδεμίαν διδασκαλίαν προσθεῖναι κελευόμεθα. οὔκ ἐστιν ἐλάσσων τιμὴ

Caelestini epistulae exemplar latinum [JK 379] extat praeter Collectionem CT in Collectionibus Veronensi [Λu], Frisingensi [Λf], Vaticana [Λt], denique in Hadriana quae dicitur aucta. haec et Collectio Casinensis ex uersione Graeca interpolatae sunt

V, P [= hk], S, D [= mn], ΑΛtΛc [usque ad 10], ΛtΛcΛuΛfΛt [inde a 11]

1 Ἑρμηνεία τῆς καταθέσεως om. P τῆς om. VSA 3 καὶ ἵνα P 3/4 προενεχθέντα A 4 *coepiscoporum* Λ 6 κελεύσητε P 7/8 τοῦ θεοφιλεστάτου — ἐκκλησίας om. VPΛ 10 πριμικήριοσ VPSD εἶπε A 11 ἔγ SD 14 δὴ καὶ A συνηγμένοι εἰσὶν P 16 οὐδὲ] δὲ P οὐκ ἀπολείπεται P 17 νῦν οὐ D πιστεύσαιμεν D [= Λtuf] πιστεύσαιεν S πιστεύσομεν A πιστεύομεν VP [= Λc] τοσούτων P τοσοῦτο A 19 τούτων VP αὐτῶν SDA 20 ἀπελείφθη SD [= Λ] ἀπέλειπεν A ἀπολείπει VP αὐτὸς D ἀεὶ om. P καὶ ὁ P 21 διδασκάλου om. P 22 ἐδίδασκεν addidi ex Λ 24 δικαίως κληρονομίαν SDA 25 σφιγγόμενοι SD 26 τοῦ om. V κηρύττοντες V 27 προσχεῖν SA 28 πάντας om. P ἠθέλησε τοῦτο πράττειν SDA 29 πίστεως καὶ λειτουργίας V 30 ἀκολουθήσωμεν VP ἀκολουθῶμεν SDA πάντως P καὶ οἱ SD 30/31 δεξάμενοι S 31 μεθ' ἃ om. A ὑπομιμνήσκοντεσ DA 32 κελευσόμεθα V ἐλάττων S

τῆς ὑπηρεσίας τῶι διδάσκοντι ἡ τῶν παραδιδομένων φυλακή. ἐκεῖνοι ἔσπειραν τῆς
cf. Mt. 25, πίστεως τὰ σπέρματα· ταῦτα ἡ ὑμετέρα φροντὶς ἀσφαλιζέσθω ὅπως ἀδιάφθορον καὶ πο-
14 sq. λυπλασιασθέντα καρπὸν ἡ παρουσία τοῦ ἡμετέρου δεσπότου εὕροι, ὧι μόνωι τῶν ἀποστό-
1 Cor. 3, 7 λων ἡ ὡραιότης ἐμφανίζεται. καὶ γὰρ λαλῶν τοῖς ἑαυτοῦ ἐκλεκτοῖς Παῦλος ἑαυτὸν
φυτεύειν καὶ ποτίζειν οὐκ ἐπαρκεῖν ἔφη, εἰ μὴ θεὸς τὸ αὐξάνεσθαι καὶ πληθύνεσθαι ἐχα- 5
I. III 61b ρίσατο. τοιγαροῦν περισπούδαστόν ἐστι καὶ πρακτέον καμάτωι κοινῶι ὅπως τὰ ἐμπι-
14 στευθέντα καὶ διὰ τῆς ἀποστολικῆς διαδοχῆς ἕως τοῦ νῦν συσχεθέντα φυλάξωμεν. ἐκεῖνο
2 Cor. 5, 7 γὰρ παρ' ἡμῶν αἰτεῖται ἵνα κατὰ τὸν ἀπόστολον περιπατήσωμεν· οὔτε γὰρ νῦν πρόσωπόν
τι, ἀλλ' ἡ ἡμετέρα πίστις καλεῖται πρὸς δίκην. ὅπλα πνευματικὰ θωρήξασθαι δεῖ, ἐπειδὴ
πόλεμοι κινοῦνται ψυχῶν, καὶ βέλη ῥημάτων, ὅπως ἐν τῆι πίστει τοῦ βασιλέως ἡμῶν παρα- 10
1 Tim. 1, 3 μείνωμεν. πάντας νῦν τοὺς ἐκεῖσε ὁ μακάριος Παῦλος ὑπομιμνήσκει, ἔνθα Τιμοθέωι
μένειν ἐνετείλατο. ὁ αὐτὸς τοιγαροῦν τόπος, ἡ αὐτὴ ὑπόθεσις τὴν αὐτὴν διακονίαν καὶ
νῦν ἀπαιτεῖ, ἡμεῖς τε νῦν πράξωμεν καὶ σπουδάσωμεν εἰς τοῦτο ὃ ἐκείνοις πράττειν προσ-
1 Tim. 1, 3. 4 τέτακται, ἵνα μὴ ἄλλως τις φρονῆι, καὶ ζητήσεις ταῖς μάλιστα παρούσαις μακρολογίαις
Phil. 2, 2. 3 μηδεὶς ἐντεινέτω· ὡς αὐτὸς προσέταξε, μένωμεν ὁμόψυχοι, ἓν καὶ τὸ αὐτὸ φρονοῦντες, 15
ἐπειδὴ τοῦτο συμφέρει, μηδὲν διὰ φιλονεικίαν, μηδὲν πράττειν διὰ ματαίαν κενοδοξίαν εὐχό-
μενοι. μία ψυχὴ καὶ καρδία μία ἔστω τοῖς πᾶσιν, ὅτε ἡ πίστις, ἥτις μία ἐστί, παρα-
15 χαράττεται. πονείτω, μᾶλλον δὲ θρηνείτω τοῦτο μεθ' ἡμῶν κοινῆι πᾶν τὸ συνέ-
δριον. εἰς κριτήριον καλεῖται ὁ κρίνων τὴν οἰκουμένην· εὐθύνεται ὁ σείων πᾶσαν τὴν
Eph. 6, 17 γῆν, καὶ ὁ λυτρωτὴς συκοφαντίαν ὑπομένει. θωρηξάσθω τὴν πανοπλίαν τοῦ θεοῦ ἡ ὑμε- 20
Eph. 6, 14 τέρα ἀδελφότης· οἴδατε τὴν περικεφαλαίαν ἥτις τὴν ἡμετέραν ἀσφαλίζεται κεφαλήν, ποῖος
θῶραξ τὸ ἡμέτερον στῆθος τειχίζει. οὐ νῦν πρῶτον ὑμᾶς οἱ ἐκκλησιαστικοὶ περίβολοι
Eph. 2, 14 διδασκάλους ἐδέξαντο. οὐδεὶς ἀμφιβάλλει, τοῦ θεοῦ συνεργοῦντος, ὃς ποιεῖ τὰ ἀμφότερα
ἕν, ὅτιπερ ἀποτεθέντων τῶν ὅπλων εἰρήνη διαδέχεται, ἐπειδὴ αὐτὴ ἡ ὑπόθεσις ἑαυτὴν ἐκ-
16 δικεῖ. ἀναπολήσωμεν πάλιν κἀκεῖνα τὰ ῥήματα τοῦ ἡμετέρου δεσπότου, οἷς ἰδικῶς ἐχρή- 25
Act. Ap. 20, 28 σατο διὰ τῶν οἰκείων ἐπισκόπων ταῦτα παραγγέλλων· προσέχετε, φησίν, ἑαυτοῖς καὶ πάσηι
τῆι ἀγέληι, ἧς ὑμᾶς τὸ πνεῦμα τὸ ἅγιον ἔταξεν ἐπισκόπους διοικεῖν τὴν ἐκκλησίαν τοῦ
θεοῦ, ἣν περιεποιήσατο τῶι ἰδίωι αἵματι. ὅθεν τούτους κληθέντας ἀνέγνωμεν τοὺς ταῦτα
ἀκούσαντας Ἐφεσίους, ἔνθα νῦν ἡ ὑμετέρα ἁγιότης συνελήλυθε. τούτοις τοιγαροῦν οἷς
ἐστι γνώριμος ἡ διδασκαλία τῆς πίστεως, ἔστω γνωστὴ καὶ ἡ ὑμετέρα ἐκδίκησις. παρά- 30
σχωμεν αὐτοῖς διὰ τῆς ἡμετέρας διανοίας ἐκείνης τῆς προσκυνήσεως τὴν ἰσχύν, ἧς εἰσιν
ἄξιοι, καὶ μὴν καὶ τὰ λίαν ὑψηλότερα, ἃ εὐσεβεῖ διανοίαι ἡ διηνεκὴς ἐφύλαξεν εἰρήνη.
ἀπαγγελλέσθω παρ' ἡμῶν τὰ παρὰ τῶν ἀποστόλων προκηρυχθέντα, ὅτι οὐδεπώποτε τοῦ

V, P [= hk], S, D [= mn], ΑΛιΛcΛuΛfΛl

2 σπέρματα] δόγματα D ἡμετέρα SA 4 ὁ παῦλοσ SDA 6 καμάτω κοινῶ ὅπως P [= Λ] ὅπως καμάτω κοινῶ SDA ὅπως V 6/7 ἐμπεπιστευμένα S 7 διδαχῆσ SD ἐκεῖνο] αἰτεῖται [sic] S 8 τὸν ἀποστολικὸν τύπον A 9 σωματικὰ S 10/11 παραμένωμεν SDA 11 ἐκεῖ P 12 τύποσ A 12/13 ἀπαιτεῖ καὶ νῦν SDA 13 ὃ om. A 14 ἄλλωσ τίσ PA ἄλλο τισ V τισ ἄλλωσ S τισ ἄλλοσ D ἐκ τῆσ παρούσησ μάλιστα μακρολογίασ V παρούσαισ μάλιστα P 15 ἐντείναιτο A 16/17 ἐχόμενοι VPA 18 τοῦτο τῶν μεθ' ὑμῶν P κοινὸν Λ παντὸσ A πάντων τὸ P 18/19 συνεδρίου A 19 κρίσιν SDA τὴν SDA [= Λ] πᾶσαν τὴν VP 21 ἡμετέραν V [= Λ] ὑμετέραν PSDA καὶ ποῖος P 22 ὑμέτερον PDA 23 ἀμφιβάλει V ἀμφιβαλεῖ P ποιεῖται A 24 τῶν om. VP ἡ αὐτὴ V 25 τοῦ ἡμετέρου τὰ ῥήματα P εἰδικῶσ S 26 ἰδίων SDA φησὶν VP [= Λ] om. SDA 27 ἡμᾶσ D ἐπισκοπεῖν ἔταξεν S 28 τούτουσ A [= Λ] τουτ' S τούτου D τοιούτους VP κληθέντ S κληθέντοσ D 29 τούτοισ SDA [= Λf] om. VP 30 ἡ om. S ἡ om. S ἡμετέρα V ἐκδικία P διδασκαλία SDA 31 ἡμετέρασ V [= Λ] ὑμετέρασ PSDA διανοίασ om. A τὴν ἰσχὺν] τυχεῖν P 32 μὴν PSD μέν A μείνη V καὶ τὰ λίαν SDA καταλαλιᾶσ VP ὑψηλὰ S 33 ὑμῶν VP ἀπαγγελθέντα A

βασιλέως τῶν βασιλευόντων ῥήματα τυραννικῆς ἐπιχειρήσεως ἠλάττωται οὐδὲ κάμνειν ἠδυ- M IIII 1288
νήθη διὰ πλαστολογίας ἡ δύναμις τῆς ἀληθείας. ὑμᾶς προτρέπω, ἀδελφοὶ τιμιώτατ ι΄
ἐκείνη μόνη περισκοπείσθω ἡ γνώμη κατὰ τὴν φωνὴν Ἰωάννου τοῦ ἀποστόλου, οὗ τὰ λεί- 1 Ioh. 4, 16
ψανα παρόντες τετιμήκατε. ἔστω κοινὴ εὐχὴ πρὸς τὸν κύριον. οἴδαμεν ποία δύναμις
τῆς θείας αὐτοῦ καὶ ἐσομένης παρουσίας ἔσται, παρακαλούσης ὁμοψύχως τῆς τοσαύτης τῶν 5
ἱερέων πληθύος, ἐπειδὴ ὁ τόπος ἐκεῖνος κινεῖν δύναται, ἐν ὧι ὁμογνωμόνως ⟨παρακεκλη- Act. 4, 31
κέναι⟩ τοὺς δώδεκα ἀνέγνωμεν. τίς τῶν ἀποστόλων ἡ αἴτησις δεομένων ἐγένετο; δηλαδὴ
ἵνα δέξωνται τὸν λόγον τοῦ θεοῦ λαλεῖν μετὰ παρρησίας καὶ διὰ τῆς αὐτοῦ δυνάμεως Act. 4, 29. 30
ἐνεργεῖν ὧν διδόντος Χριστοῦ τοῦ θεοῦ ἡμῶν εἰλήφεισαν τὴν ἐξουσίαν. καὶ τῆι ὑμετέραι 9
νῦν ἁγίαι συνόδωι τί ἐστιν ἄλλο αἰτεῖν ἢ ὅπως μετὰ παρρησίας λαλήσητε τὸν λόγον τοῦ L III 617
κυρίου; καὶ ταῦτα δέδωκε φυλάττειν ὥσπερ καὶ κηρύττειν ἐχαρίσατο, καὶ πεπληρωμένοι
πνεύματος ἁγίου καθ' ἃ γέγραπται, εἰ καὶ διαφόρωι στόματι, ἓν ὅμως ὅπερ αὐτὸ τὸ πνεῦμα Act. 2, 4
ἐδίδαξε, προσοίσετε. τούτοις πᾶσι συντόνως νενευρωμένοι, ἐπειδὴ καθ' ἃ φησιν ὁ ἀπό-
στολος, εἰδόσι λαλῶ καὶ λαλῶ σύνεσιν ἐν τοῖς τελείοις, ἐπαγωνίσασθε κανονικῆι Rom. 7, 1
πίστει καὶ τῆι τῶν ἐκκλησιῶν εἰρήνηι, συνηγορήσατε, ἐπειδὴ οὕτως εἴρηται, καὶ τοῖς πάλαι 1 Cor. 2, 6 15
καὶ τοῖς νῦν καὶ τοῖς μέλλουσι, παρακαλοῦντες καὶ σώιζοντες τὰ εἰς εἰρήνην τῆι Ps. 121, 6
Ἱερουσαλήμ.

18 Ἀπεστείλαμεν τὴν ἡμετέραν ἀναδεχομένους φροντίδα τοὺς ἁγίους ἀδελφοὺς καὶ συλλειτουργοὺς ἡμῶν ὁμοψύχους ἡμῖν καὶ δεδοκιμασμένους Ἀρκάδιον καὶ Προίεκτον ἐπισκόπους καὶ Φίλιππον τὸν ἡμέτερον πρεσβύτερον, οἳ τοῖς πραττομένοις παρέσονται καὶ τὰ παρ' 20
ἡμῶν πάλαι ὁρισθέντα ἐκβιβάσουσιν, οἷς παρασχεθῆναι παρὰ τῆς ὑμετέρας ἁγιότητος οὐκ ἀμφιβάλλομεν συγκατάθεσιν, ἐπειδὴ τοῦτο ὅπερ ἀνέγνωτε, δοκεῖ ὑπὲρ τῆς πασῶν τῶν ἐκκλησιῶν ἀμεριμνίας κεκρίσθαι.

19 Πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἅμα εἶπον· Αὕτη δικαία κρίσις. νέωι Παύλωι Κελεστίνωι· νέωι Παύλωι Κυρίλλωι. Κελεστίνωι τῶι φύλακι τῆς πίστεως. Κελεστίνωι 25
τῶι ὁμοψύχωι τῆς συνόδου. Κελεστίνωι εὐχαριστεῖ πᾶσα ἡ σύνοδος. εἷς Κελεστῖνος, εἷς Κύριλλος· μία πίστις τῆς συνόδου, μία πίστις τῆς οἰκουμένης.

Ἑρμηνεία τῆς καταθέσεως

20 Προίεκτος ὁ εὐλαβέστατος ἐπίσκοπος καὶ πρεσβευτὴς εἶπε· Κατανοησάτω ἡ ὑμετέρα ἁγιότης τῶι τύπωι τῶν γραμμάτων τοῦ ἁγίου καὶ σεβασμίου πάπα Κελεστίνου τοῦ ἐπισκό- 30
που, ὃς προετρέψατο τὴν ὑμετέραν ἁγιωσύνην οὐχ ὡς ἀγνοοῦσαν διδάσκων, ἀλλ' ὡς γινώσκουσαν ὑπομιμνήσκων ἵνα ταῦτα ἃ καὶ πάλαι ὥρισε καὶ νῦν ὑπομνῆσαι κατηξίωσεν, εἰς πέρας κελεύσητε πληρέστατον ἄγεσθαι κατὰ τὸν κανόνα τῆς κοινῆς πίστεως καὶ κατὰ τὸ χρήσιμον τῆς καθολικῆς ἐκκλησίας.

V, P [= hk], S, D [= mn], A, ΛᵗΛᶜΛᵘΛᶠΛᵗ [usque ad 23], ΛᵗΛᶜ [inde a 24 usque ad 27]

1 τυραννικῶσ ἐπιχειρήσεων S 1/2 ἐδυνήθη P 2 πλαστολογίαν D προτρέπω A [= Λ] προτρεπέτω PSD προπεμπέτω V 3 ἀποστόλου SDA [= Λ] εὐαγγελιστοῦ VP 6 ὁ τόποσ A [= Λ] τούτουσ VPSD *moueri* Λ 6/7 παρακεκληκέναι ex Λ addidi 7 ἀποστόλων SDA [= Λ] δώδεκα VP 8 τοῦ om. P ἑαυτοῦ DA 9 ὧν SD [= Λ] ὃν V ὡσ PA εἰλήφεσαν P εἰλήφασι SDA [= Λᶜᶠ] 10 ἢ A [= Λ] ἢ γὰρ VPSD λαλήσητε τὸν om. SD 11 κῦ SDA [= Λ] χῦ VP καὶ — δέδωκε] *quam ut det* Λ ὥπερ SD 13 προσοίσετε A [cf. Λ] καὶ προσοίσετε P καὶ προσοίσεται SD καὶ προσίεται V πᾶσι τῶ πνι A συντόνως] om. A *breuiter* Λ 15 συναγορεύσατε P εἴρηκε D 16 τοῖς νῦν καὶ om. P 18 ἀναδεχόμενοι S 20 τῶν πραττομένων S 21 πάλιν SDA ἐκβιβάζουσιν P ἀνέγνωτε SDA [= Λ] ἂν γνῶτε VP 23 μερίμνης P 24 εἶπον VPΛ ἀνεβόησαν SD ἐβόησαν A 25 κελεστίνω τῶ φύλακι τῆς πίστεως post 26 σύνοδος coll. D 26 τῶι om. P 28 — p. 58, 31 om. Λ 28 om. P 29 ὁ εὐλαβέστατος om. PD ὁ om. SA 30 τῶ τύπω VPS τὸν τύπον DA πάππα D 32 πάλιν S

21 Φίρμος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπε· Καὶ πρότερον ψῆφον ἐπέθηκε καὶ τύπον τῶι πράγματι ὁ ἀποστολικὸς καὶ ἅγιος θρόνος τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπι-
ep. 9. 12. 11 σκόπου Κελεστίνου διὰ γραμμάτων τῶν πρὸς τοὺς θεοφιλεστάτους ἐπισκόπους, φημὶ δὴ
M IIII 1289 Κύριλλον τὸν τῆς Ἀλεξανδρείας καὶ Ἰουβενάλιον τὸν Ἱεροσολύμων καὶ Ῥοῦφον τὸν τῆς Θεσσαλονικέων καὶ πρὸς τὰς ἁγίας ἐκκλησίας τὴν ἐν Κωνσταντινουπόλει καὶ τὴν ἐν Ἀντιοχείαι, ὧι ἀκολουθήσαντες καὶ ἡμεῖς, πάλαι τῆς προθεσμίας τῆς δεδομένης εἰς διόρθωσιν Νεστορίωι παρελθούσης καὶ πολλῶν διαγενομένων χρόνων, ἐπειδὴ τὴν Ἐφεσίων κατελάβομεν, τοῦτο τοῦ εὐσεβεστάτου βασιλέως προστάξαντος, καὶ ἐνταῦθα διατρίψαντες χρόνον οὐκ ὀλίγον, ὥστε καὶ τὴν παρὰ τοῦ βασιλέως παρελθεῖν προθεσμίαν, ἐπειδὴ προσκαλεσαμένων ἡμῶν Νεστόριον οὐχ ὑπήκουσε, τὸν τύπον ἐξεβιβάσαμεν, κανονικὴν καὶ ἀποστολικὴν ἐν αὐτῶι κατανοήσαντες κρίσιν.

Ἑρμηνεία τῆς καταθέσεως

22 Ἀρκάδιος ὁ εὐλαβέστατος ἐπίσκοπος καὶ πρεσβευτὴς εἶπεν· Εἰ καὶ τὰ μάλιστα ἡμᾶς τὸ βράδος τοῦ πλοὸς καὶ τοῦ χειμῶνος ἡ ἐναντιότης κατέσχεν ἵνα εἰς τὸν τεταγμένον τόπον ἧιπερ ἠλπίζομεν, ἀφιχθῶμεν, ὅμως, κυβερνῶντος θεοῦ καὶ τῶν εὐχῶν τῆς ὑμετέρας μακαριότητος, ἐνταῦθα τὸ ἡμῶν μέτριον παρεγένετο, καὶ εὐχαριστοῦμεν αὐτῶι, ἐπειδὴ τὴν μακαριότητα τὴν ὑμετέραν εἰς ἕνα τόπον καὶ εἰς μίαν πίστιν μένουσαν εὕρομεν μεριμνῶντάς τε ὑπὲρ τῆς ἐκκλησίας τοῦ θεοῦ, ἣν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τῶι ἑαυτοῦ αἵματι περιεποίησε. διὰ τοῦτο αἰτοῦμεν τὴν μακαριότητα τὴν ὑμετέραν ὅπως τί τετύπωται παρὰ τῆς ὑμετέρας μακαριότητος, ἡμᾶς διδάσκεσθαι κελεύσητε.

Ἑρμηνεία τῆς καταθέσεως

23 Φίλιππος πρεσβύτερος καὶ πρεσβευτὴς τῆς ἀποστολικῆς καθέδρας εἶπε· Χάριτας ὁμο-
L III 620 λογοῦμεν τῆι ἁγίαι ταύτηι καὶ σεβασμίαι συνόδωι ὅτι ἀναγινωσκομένων ὑμῖν τῶν γραμμάτων τοῦ ἁγίου καὶ μακαρίου πάπα ἡμῶν τὰ ἅγια μέλη ταῖς ἁγίαις ὑμῶν φωναῖς τῆι ἁγίαι κεφαλῆι καὶ ταῖς ἁγίαις ὑμῶν ἐκβοήσεσιν ἐνηνόχατε· οὐ γὰρ ἀγνοεῖ ἡ ὑμῶν μακαριότης ὅτι ἡ κεφαλὴ ὅλης τῆς πίστεως ἦ καὶ τῶν ἀποστόλων ὁ μακάριος Πέτρος ὁ ἀπόστολος. καὶ ἐπειδὴ νῦν τὸ μέτριον τὸ ἡμέτερον πολλοῖς χειμῶσιν ἐσκυλμένον βραδύτερον παρεγένετο, διὰ τοῦτο παρακαλοῦμεν τὰ ἐν τῆι ἁγίαι συνόδωι πρὸ τῆς ἡμῶν ἀφίξεως πεπραγμένα ἡμῖν φανερωθῆναι κελεύσητε, ἵνα κατὰ τὴν γνώμην τοῦ μακαρίου πάπα ἡμῶν, ἔτι μὴν καὶ τοῦ παρόντος ἁγίου συλλόγου καὶ ἡμεῖς ὁμοίως τῆι ἑαυτῶν καταθέσει βεβαιώσωμεν.

24 Θεόδοτος ἐπίσκοπος Ἀγκύρας εἶπε· Δικαίαν τῆς ἁγίας συνόδου τὴν ψῆφον ἀπέδειξεν ὁ τῶν ὅλων θεὸς τῆι ἐπιφοιτήσει τῶν γραμμάτων τοῦ θεοσεβεστάτου ἐπισκόπου Κελεστίνου

V, P [=hk], S, D [= mn], A, ΛtΛc [inde a 32]

1 ψήφου P 1/2 καὶ τύπον SDA τύπον VP 2 ἅγιος] ἄξιοσ S καὶ ὁσιωτάτου SDA om. VP 3 θεοφιλεστάτους VP ὁσιωτάτουσ καὶ ἁγιωτάτουσ SDA 4 τὸν² V om. PSDA 5 τὴν² SDA om. VP 6/7 νεστορίω εἰς διόρθωσιν VP 8 διατρίψαντος D 9 διωρίαν V, in mg. προθεσμίαν 10 ἡμῶν om. P 11 ἐν αὐτῶ PS αὐτῶ DA om. V 12 om. P 13 ὁ εὐλαβέστατος om. P ὁ om SA ἐπίσκοπος] πρεσβύτεροσ S 14 πλοὸς V πλοῦ PSDA 15 ἧπερ VPA ἡ γὰρ SD postulauerim ἠι περ ἡμέραι τῶν εὐχῶν P om. VSDA 16 παραγέγονε D 17 ηὕραμεν P ηὕρομεν S 17/18 μεριμνῶντάσ τε SDA μεριμνῶντεσ δὲ VP 18 ὁ χσ̄ DA 20 κελεύση S 21 om P 22 ἓδ D 23 ταύτη SDA om. VP 24 πάππα D ταῖς om. A ἡμῶν V 26 ὅλης SDA om. VP ἅγιος S 27 ἐπεὶ A ἐσκυλμένον SDA καὶ σκυλμῶ VP 29 κελεύσατε DA ἁγιωτάτου DA πάππα D 30 ἔτι γε VP ἔτι τε S αὐτῶν VP 32 ἐπίσκοπος om S ἀγκύρων V

καὶ τῆι παρουσίαι τῆς ὑμῶν θεοσεβείας· τόν τε γὰρ ζῆλον τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου Κελεστίνου ἐδείξατε καὶ τὴν περὶ τὴν εὐσεβῆ πίστιν σπουδήν. ἐπειδὴ δὲ καὶ τὰ πεπραγμένα ἐπεζήτησεν εὐλόγως καταμαθεῖν ἡ ὑμετέρα θεοσέβεια, ἐξ αὐτῶν τῶν πεπραγμένων ὑπομνημάτων ἐπὶ τῶι καθηιρημένωι Νεστορίωι πληροφορηθήσεται ὑμῶν ἡ εὐλάβεια τῆς τε ψήφου τὸ δίκαιον καὶ τῆς ἁγίας συνόδου τόν τε ζῆλον καὶ τὴν συμφωνίαν τῆς πίστεως, ἣν καὶ ὁ θεοσεβέστατος καὶ ἁγιώτατος ἐπίσκοπος Κελεστῖνος μεγάληι κηρύσσει τῆι φωνῆι, δηλαδὴ μετὰ τὴν ὑμῶν πληροφορίαν καὶ τῶν ὑπολοίπων τῆι πράξει τῆι νῦν προστιθεμένων.

25 Τοῖς μετὰ τὴν ὑπατείαν τῶν δεσποτῶν ἡμῶν Φλαυίου Θεοδοσίου τὸ τρισκαιδέκατον καὶ Φλαυίου Οὐαλεντινιανοῦ τὸ τρίτον τῶν αἰωνίων αὐγούστων τῆι πρὸ πέντε Εἰδῶν Ἰουλίων, ἥτις ἐστὶ κατ' Αἰγυπτίους Ἐπὶφ ιζ̄, L III 621 M IIII 1292 d. 11. m. Iul 431

τῆι ἐπαύριον τῆς αὐτῆς ἁγίας συνόδου συνελθούσης ἐν τῶι αὐτῶι τόπωι καὶ καθεσθέντων τῶν θεοφιλεστάτων καὶ θεοσεβεστάτων ἐπισκόπων, M IIII 1293

26 Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων Ἀρκαδίωι καὶ Προιέκτωι εὐλαβεστάτοις ἐπισκόποις καὶ Φιλίππωι εὐλαβεστάτωι πρεσβυτέρωι εἶπε· Κατὰ τὴν χθὲς ἡμέραν συνεδρευούσης τῆς ἁγίας ταύτης καὶ μεγάλης συνόδου ἡ θεοσέβεια ὑμῶν παροῦσα μετὰ τὴν ἀνάγνωσιν τῶν γραμμάτων τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου τῆς μεγάλης Ῥώμης Κελεστίνου ἤιτησε τὰ ὑπομνήματα τὰ πραχθέντα ἐπὶ τῆι καθαιρέσει τοῦ αἱρετικοῦ Νεστορίου ἀναγνωσθῆναι· ἀκολούθως ἡ ἁγία σύνοδος τοῦτο γενέσθαι ἐτύπωσεν. εἰ οὖν ἀνέγνω καὶ μεμάθηκε τὴν ἐν αὐτοῖς δύναμιν ἡ ὑμετέρα ἁγιότης, τοῦτο διδάξαι καταξιώσει.

〈Ἑρμηνεία τῆς καταθέσεως〉

27 Φίλιππος πρεσβύτερος καὶ πρεσβευτὴς τῆς ἀποστολικῆς καθέδρας εἶπε· Πεφανέρωται μὲν ἡμῖν ἀπὸ τῆς ἀναγνώσεως τῶν πεπραγμένων τὰ κατὰ Νεστορίου ὁρισθέντα ἐν τῶι ἁγίωι ὑμῶν συλλόγωι, ἐν οἷς ὑπομνήμασιν ἔγνωμεν πάντα κανονικῶς καὶ κατὰ τὴν ἐκκλησιαστικὴν ἐπιστήμην κεκρίσθαι· ἀλλὰ καὶ νῦν αἰτοῦμεν τὸν ὑμέτερον στέφανον, εἰ καὶ ἐκ περιττοῦ, τὰ αὐτὰ καὶ ἀναγνωσθέντα ἐν τῆι ὑμετέραι συνόδωι αὖθις ἡμῖν ἀναγνωσθῆναι, ὅπως ἡμεῖς ἀκολουθήσαντες τῶι τύπωι τοῦ ἁγιωτάτου πάπα Κελεστίνου τοῦ ταύτην ἡμῖν τὴν φροντίδα ἐγχειρίσαντος, ἔτι μὴν καὶ τῆς ὑμετέρας ἁγιωσύνης, δυνηθῶμεν τὰ κεκριμένα βεβαιῶσαι. 24 L III 624

Ἑρμηνεία τῆς καταθέσεως

28 Ἀρκάδιος ὁ εὐλαβέστατος ἐπίσκοπος καὶ πρεσβευτὴς τῆς ἀποστολικῆς καθέδρας εἶπε· Χάριτας ὁμολογοῦμεν τῆι ὑμετέραι μακαριότητι ὅτι τῆι ἡμετέραι ἐπιθυμίαι καὶ τῆι αἰτήσει τὸ ἱκανὸν πεποίηκεν ἀπὸ τῶν πεπραγμένων, καὶ νῦν ὁρισάτω ἡ ὑμετέρα μακαριότης ὅπως ἀκολουθήσαντες τῶι τύπωι τῆς ὑμετέρας μακαριότητος διδαχθῆναι δυνηθῶμεν τὰ ὁρισθέντα παρ' ὑμῶν.

29 Μέμνων ἐπίσκοπος Ἐφεσίων εἶπεν· Οὐδὲν κωλύει κατὰ τὴν αἴτησιν τῶν ἁγιωτάτων καὶ ὁσιωτάτων ἐπισκόπων Ἀρκαδίου καὶ Προιέκτου καὶ τοῦ εὐλαβεστάτου καὶ θεοφιλεστάτου

V, P [= hk], S [usque ad 15 ἡμέραν], D [= mn, usque ad 15 ἡμέραν], A [usque ad 15 ἡμέραν], $\Lambda^{t}\Lambda^{c}$ [usque ad 8]

1/2 ὁσιωτάτου καὶ ἁγιωτάτου VP 2 ἐδέξατο P 4/5 ὑμιῶν ἡ εὐλάβεια VPA ὑμῶν ἡ θεοσέβεια DA ἡ θεοσέβεια ὑμῶν S 5 τε om. V τε om. D 6 θεοσεβέστατος] θεοφιλέστατος καὶ θεοσεβεστατος P 9 ἔδ S πραξισ β SD in mg. ___ ὑμῶν V ιγ̄ DA 10 Φλαυίου om. SDA 10/11 ἰουνίων VPSDA 11 ἐπιφὶ ζ̄ S ἐπὶ φιζ̄ D ἐπιφὶ ἑβδόμη VPA 12/13 καὶ καθεσθέντων om. P 13 καὶ θεοσεβεστάτων VP καὶ ὁσιωτάτων DA om. S 14/15 εἶπεν ἀρκαδίω — πρεσβυτέρω V 15—p. 60, 16 συνεδρευούσης — προσδεξαμένου om. SDA 20 ἐν αὐτοῖσ V ἑαυτῆσ P 21 addidi 23 νεστόριον P 28 ἐγχειρήσαντοσ VP ἔτι γε V καὶ om. P 34 ἁγιότητοσ V 36 ἐφέσου P

πρεσβυτέρου Φιλίππου τῆς ἀποστολικῆς καθέδρας τῆς μεγάλης Ῥώμης καὶ δεύτερον πάλιν ἀναγνωσθῆναι τὰ πεπραγμένα ἐπὶ τῆι καθαιρέσει Νεστορίου τοῦ αἱρετικοῦ· ὅθεν καὶ αὖθις ἀναγινωσκέσθω.

30 Πέτρος πρεσβύτερος Ἀλεξανδρείας καὶ πριμικήριος νοταρίων ἀνέγνω

nr. 33 Τοῖς μετὰ τὴν ὑπατείαν τῶν δεσποτῶν ἡμῶν Φλαυίου Θεοδοσίου τὸ τρισκαιδέκατον
d. 22. m. Iun. καὶ Φλαυίου Οὐαλεντινιανοῦ τὸ τρίτον τῶν αἰωνίων αὐγούστων τῆι πρὸ δέκα Καλανδῶν
431 Ἰουλίων, Παυνὶ εἰκάδι ὀγδόηι κατ' Αἰγυπτίους, συνόδου συγκροτηθείσης ἐν τῆι Ἐφεσίων μητροπόλει ἐκ θεσπίσματος τῶν θεοφιλεστάτων καὶ φιλοχρίστων βασιλέων, καθεσθέντων ἐν τῆι ἁγιωτάτηι ἐκκλησίαι τῆι καλουμένηι Μαρίαι τῶν θεοσεβεστάτων καὶ θεοφιλεστάτων ἐπισκόπων Κυρίλλου Ἀλεξανδρείας, διέποντος καὶ τὸν τόπον τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου τῆς Ῥωμαίων ἐκκλησίας Κελεστίνου, καὶ Ἰουβεναλίου Ἱεροσολύμων καὶ Μέμνονος τῆς Ἐφεσίων καὶ Φλαυιανοῦ Φιλίππων, ἐπέχοντος καὶ τὸν τόπον Ῥούφου τοῦ εὐλαβεστάτου ἐπισκόπου Θεσσαλ νικέων, καὶ Θεοδότου Ἀγκύρας Γαλατίας πρώτης καὶ τὰ ἑξῆς.
nr. 62 ἡ ἁγία σύνοδος εἶπε· Πρὸς τοῖς ἄλλοις μήτε ὑπακοῦσαι βουληθέντος τοῦ τιμιωτάτου Νεστορίου τῆι παρ' ἡμῶν κλήσει μήτε μὴν τοὺς παρ' ἡμῶν ἀποσταλέντας ἁγιωτάτους καὶ θεο-
M IIII 1296 φιλεστάτ υς ἐπισκόπους προσδεξαμένου, ἀναγκαίως ἐχωρήσαμεν ἐπὶ τὴν ἐξέτασιν τῶν δυσσεβηθέντων αὐτῶι καὶ φωράσαντες αὐτὸν ἔκ τε τῶν ἐπιστολῶν αὐτοῦ καὶ ἐκ τῶν συγγραμμάτων τῶν ἀναγνωσθέντων καὶ ἐκ τῶν ἀρτίως παρ' αὐτοῦ ῥηθέντων κατὰ τήνδε τὴν μητρόπολιν καὶ προσμαρτυρηθέντων δυσσεβῶς φρονοῦντα καὶ κηρύττοντα, ἀναγκαίως κινη-
ep. 10 θέντες ἀπό τε τῶν κανόνων καὶ ἐκ τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν καὶ συλλειτουργοῦ Κελεστίνου τοῦ ἐπισκόπου τῆς Ρωμαίων ἐκκλησίας δακρύσαντες πολλάκις ἐπὶ ταύτην τὴν σκυθρωπὴν κατ' αὐτοῦ ἐχωρήσαμεν ἀπόφασιν. ὁ βλασφημηθεὶς τοίνυν παρ' αὐτοῦ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὥρισε διὰ τῆς παρούσης ἁγιωτάτης συνόδου ἀλλότριον εἶναι τὸν αὐτὸν Νεστόριον τοῦ τε ἐπισκοπικοῦ ἀξιώματος καὶ παντὸς συλλόγου ἱερατικοῦ. καὶ ἑξῆς αἱ ὑπογραφαὶ τῶν εὐλαβεστάτων ἐπισκόπων.

L III 625 Ἑρμηνεία τῆς καταθέσεως

31 Φίλιππος πρεσβύτερος καὶ πρεσβευτὴς τῆς ἀποστολικῆς καθέδρας εἶπεν· Οὐδενὶ ἀμφίβολόν ἐστι, μᾶλλον δὲ πᾶσι τοῖς αἰῶσιν ἐγνώσθη ὡς ὅτι ὁ ἅγιος καὶ μακαριώτατος Πέτρος, ὁ ἔξαρχος καὶ κεφαλὴ τῶν ἀποστόλων, ὁ κίων τῆς πίστεως, ὁ θεμέλιος τῆς καθολικῆς ἐκκλησίας, ἀπὸ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος καὶ λυτρωτοῦ τοῦ γένους τοῦ ἀνθρωπίνου τὰς κλεῖς τῆς βασιλείας ἐδέξατο καὶ αὐτῶι δέδοται ἐξουσία τοῦ δεσμεύειν καὶ λύειν τὰς ἁμαρτίας, ὅστις ἕως τοῦ νῦν καὶ ἀεὶ ἐν τοῖς ἑαυτοῦ διαδόχοις καὶ ζῆι καὶ δικάζει. τούτου τοιγαροῦν κατὰ τάξιν ὁ διάδοχος καὶ τοποτηρητὴς ὁ ἅγιος καὶ μακαριώτατος πάπας ἡμῶν Κελεστῖνος ὁ ἐπίσκοπος εἰς ταύτην τὴν ἁγίαν σύνοδον διαδόχους ἡμᾶς τῆς ἑαυτοῦ παρουσίας ἀπέστειλεν, ἥντινα σύνοδον οἱ χριστιανικώτατοι καὶ φιλανθρωπότατοι βασιλεῖς [ὥρισαν] μνημονεύοντες καὶ εἰς τὸ διηνεκὲς φυλάττοντες τὴν καθολικὴν πίστιν, οἳ καὶ τὴν διδασκαλίαν τὴν ἀποστολικὴν τὴν ἀπὸ τῶν εὐσεβεστάτων καὶ φιλανθρωποτάτων

V, P [= hk,], S [inde ab 16 ἀναγκαίως], D [= mn, inde ab 16 ἀναγκαίως], A [inde ab 16 ἀναγκαίως]

3 ἀναγινωσκέσθωσαν V 4 πριμμικήριοσ VP 6 τὸ τρίτον om. V 7 πανὶ VP εἰκάδι καὶ P 13 καὶ τὰ P μετὰ τὰ V 14 μὴ P 16/17 δυσσεβηθέντων PSDA δυσσεβῶσ λεχθέντων V 17 αὐτῶι PS νεστορίω DA παρ' αὐτοῦ V τε om. A 18 τῶν καὶ ἀναγνωσθέντων SDA cf. nr. 62 19 πόλιν S κηρύσσοντα SDA 19/20 κινηθέντες] κατεπειχθέντες nr. 62 20 τῶν ἐπιστολῶν S 21 τοῦ om. S 22 σκυθρωπὸν V 24/25 καὶ ἑξῆς — ἐπισκόπων om. D 28 ὡς om. VP ὁ om. P 29 καὶ VP ἡ SDA 31 δεσμεῖν V 32 τὰς om. VP ἐν om. D αὐτοῦ V 33 ὁ om. S ὁ om. VP 34 πάππασ D 35 οἱ] ἡ P 36 ὥρισαν VA om. PSD μνήμονεσ ὄντεσ S οἱ μνημονευθέντεσ P οἳ VA ἡ PS om. D

τῆς ἁγίας μνήμης πάππων καὶ πατέρων ἑαυτῶν ἕως νῦν αὐτοῖς παραδεδομένην ἐφύλαξαν καὶ φυλάττουσι, φροντίζοντες τοίνυν, ὡς προειρήκαμεν, σύνοδον ὥρισαν, ἵνα ἡ πίστις ἡ καθολική, ἥτις ἀπὸ τῶν αἰώνων ἕως νῦν πεφύλακται, οὕτως καὶ εἰς τὸ διηνεκὲς ἀσάλευτος διαμένοι. Νεστόριος τοίνυν ὁ τῆς καινῆς διαστροφῆς ἀρχηγὸς καὶ κεφαλὴ τῶν κακῶν, κληθεὶς καὶ ὑπομνησθεὶς, καθὼς ἐκ τῶν πεπραγμένων συνοδικῶν ἡμῖν πεφανέρωται, κατὰ τοὺς τύπους τῶν πατέρων ἤτοι κατὰ τὴν τῶν κανόνων ἐπιστήμην εἰς τὴν δίκην ἐλθεῖν κατεφρόνησεν, ὃς αὐθαιρέτως ἑαυτὸν προσενεγκεῖν ὤφειλε τοσούτωι ἁγίωι συλλόγωι, ἵνα τῆι πνευματικῆι θεραπείαι τὴν ὑγείαν δέξηται, ἀλλὰ κεκαυτηριασμένην ἔχων τὴν συνείδησιν εἰς τὴν ἁγίαν σύνοδον ὑπομνησθείς, ὡς προείρηκα, κανονικῶς καὶ κατὰ τὴν τῶν κανόνων ἐπιστήμην παρεῖναι οὐκ ἠθέλησε, καὶ τὴν ὑπέρθεσιν δὲ οὐ μόνον τὴν ἀπὸ τῆς ἀποστολικῆς καθέδρας συγχωρηθεῖσαν, ἀλλὰ καὶ πολλὰ καιρῶν διαστήματα παρεληλυθέναι. ἀσφαλές ἐστι τοιγαροῦν [τὸ ἐξενεχθὲν κατ' ἐκείνου], ὅστις πνεύματι πολεμίωι καὶ στόματι ἀσεβεῖ κατὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐτόλμησεν ἐξενεγκεῖν βλασφημίαν, κατὰ τὸν τύπον πασῶν τῶν ἐκκλησιῶν, ἐπειδὴ συνεστήκασιν ἐν τούτωι τῶι ἱερατικῶι συλλόγωι διά τε τῶν παρόντων διά τε τῶν πρεσβευτῶν τῶν ἀπὸ τῆς Ἀνατολικῆς τε καὶ Δυτικῆς ἐκκλησίας, οἱ παρόντες ἱερεῖς διά τοι τοῦτο ἀκολουθήσαντες τοῖς τύποις τῶν πατέρων καὶ ἡ παροῦσα ἁγία σύνοδος ὥρισε κατὰ τοῦ βλασφήμου καὶ πρ πετοῦς προενεγκόντες ἀπόφασιν ὥστε τὸν μὴ αἰδεσθέντα τὴν διόρθωσιν μετ' ἐκείνου τὴν μερίδα ἔχειν περὶ οὗ εἴρηται· τὴν ἐπισκοπὴν αὐτοῦ λήψεται ἕτερος. ὅθεν γινωσκέτω Νεστόριος ἀλλότριον ἑαυτὸν εἶναι τῆς κοινωνίας τῆς ἱερωσύνης τῆς καθολικῆς ἐκκλησίας. M IIII 1297 Act. 1, 20

Ἑρμηνεία τῆς καταθέσεως

82 Ἀρκάδιος εὐλαβέστατος ἐπίσκοπος καὶ πρεσβευτὴς τῆς ἀποστολικῆς καθέδρας εἶπε· Πολυθρήνητος ἡμῖν καὶ δακρύων μεστὴ λύπη καὶ ἀνία ἀπὸ τοῦ τύπου τῆς ὑμετέρας ἱερωσύνης, καὶ Νεστόριος, ὃς παρασταθεὶς τοῖς γράμμασι τῆς ἀποστολικῆς καθέδρας, ἔτι μὴν καὶ τῆς ὑμετέρας μακαριότητος, ἀπὸ τοῦ φαύλου δόγματος καὶ τῆς κακοθελοῦς γνώμης πλανᾶσθαι βουλόμενος, ὡς καὶ ἡ ἀπόφασις ἡ κατ' αὐτοῦ ἐξενεχθεῖσα πεφανέρωται, ὃς μὴ σκοπήσας ἑαυτῶι καιρὸν εἶναι διορθώσεως καὶ τὸν τύπον τῆς ἀποστολικῆς καθέδρας οὐκ ἐδέξατο ὑπόμνησίν τε καὶ προτροπήν, δι' ἧς ὑγιὴς γένηται, πάντων τῶν ἁγίων ἱερέων, (εἰς τοσαύτην γὰρ ἐλήλακεν ἀσέβειαν, ὥστε εἰς τὸν ποιητὴν καὶ λυτρωπὴν ἑαυτοῦ τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν καὶ σωτῆρα τοῦ γένους τοῦ ἀνθρωπίνου πλήρη βλασφημίας προενεγκεῖν διδασκαλίαν, ὥστε τὰς καλῶς κανονισθείσας καὶ θεῶι ἡρμοσμένας διανοίας τοῦ ἀνθρωπίνου γένους, ὥσπερ ὁ ὄφις ὁ ἀρχαῖος, ὀλισθήσας ὑπεισέλθοι, ἀμνημονήσας πρῶτον τῆς ἑαυτοῦ σωτηρίας καὶ τῆς αἰωνίου ζωῆς καὶ ἀγνωσίαν νοσήσας τῶν πατρικῶν ep. 10 L III 628

V, P [= hk], S, D [= mn], A

1 αὐτῶν V ἑαυτοῖσ VP 2 ἵνα] ὥστε P 4 κενῆσ VP 5 παραδέδοται SD 7 αὐθαιρέτω S τῶ τοσούτω SDA ἁγίω τούτω A 8 ὑγίειαν V κεκαυστηριασμένην SDA 9 ἁγίαν ταύτην D 10 ὡσ καὶ A ὑπόθεσιν S τὴν ἀπὸ om. PSD 11 καιρῶν πολλὰ VP 12 τὸ — ἐκείνου VA om. PSD πνευματικῶ SD 13 εἰσενεγκεῖν VP 14 ἱερῶ S 15—17 οἱ παρόντες — προενεγκόντες turbata a translatore 16 ἀκολουθήσαντεσ PSDA ἀκολουθήσασα V 17 προσενεγκόντεσ P προενεγκοῦσα A προσενέγκασα V 18 εἴρηται SDA γέγραπται VP 19 λάβοι S 22 ὁ εὐλαβέστατοσ PSD ἐπίσκοπος] πρεσβύτεροσ S 23 πολυθρύλλητοσ S ἀνίατοσ P ἀνομία S ἐπὶ A τοῦ om. P ἡμετέρασ VP 24 καὶ νεστόριοσ SDA (referendum esse uidetur ad p. 62, 8 γινωσκέτω) καὶ νεστορίου V κατὰ νεστορίου P ὃσ VPSD ὡσ A τοῖς om. V ἔτι γε V 26 ὡς om. P ἡ² om. S ὃς turbat constructionem 27 καὶ VSDA κατὰ P emendatione infelici 28 τε om. VP 29 γὰρ ἐλήλακεν] παρελήλακεν S λυτρωτὴν τὸν V αὐτοῦ P 30 ἰν̄ χν̄ P 31 προσενεγκεῖν P προσενεγκεῖν ἐτόλμησε SDA 32 ὡσ V ὁ ἀρχαῖοσ ὄφισ P ὑπεισελθεῖν V ὑπεισελθεῖν ὃσ A

παραδόσεων, ἀμνημονήσας δὲ καὶ τοῦ κηρύγματος τῶν προφητῶν, ἔτι μὴν καὶ τῶν εὐαγγελιστῶν καὶ τῆς διδασκαλίας τῶν ἀποστόλων αὐτὸς ἑαυτὸν τῇ ἰδίαι ἀπιστίαι κατεκρήμνισε) καὶ ἐπειδὴ αὐτὸς ἑαυτὸν διὰ τῆς οἰκείας γνώμης ἀλλότριον ἡμῶν καὶ ἐξόριστον πεποίηκε, διὰ τοῦτο καὶ ἡμεῖς ἀκολουθοῦντες τοῖς ὅροις τοῖς ἄνωθεν ἀπὸ τῶν ἁγίων ἀποστόλων καὶ τῆς καθολικῆς ἐκκλησίας παραδοθεῖσιν, ἐπειδὴ τοῦτο ἐδίδαξαν ὃ καὶ παρὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰλήφασιν, ἀκολουθήσαντες δὲ καὶ τοῖς τύποις τοῦ ἁγιωτάτου πάπα τῆς ἀποστολικῆς καθέδρας Κελεστίνου, ὃς ἡμᾶς ἐδικαίωσε ταύτῃ τῇ ὑποθέσει [καὶ] ἐκβιβαστὰς ἑαυτοῦ ἐξαποστεῖλαι, καὶ τῆς ἁγίας ταύτης συνόδου τοῖς δόγμασι, γινωσκέτω ἑαυτὸν Νεστόριος τῆς ἀξίας τῆς ἐπισκοπικῆς γεγυμνῶσθαι καὶ ἀλλότριον ἑαυτὸν πάσης ἐκκλησίας καθολικῆς καὶ κοινωνίας πάντων τῶν ἱερέων.

Ἑρμηνεία τῆς καταθέσεως

33 Προίεκτος ἐπίσκοπος, ληγάτος καὶ πρεσβευτὴς τῆς ἐκκλησίας Ῥωμαίων, εἶπε· Πάνυ φανερῶς ἀπὸ τῆς ἀναγνώσεως τῶν πεπραγμένων ἐν ταύτῃ τῇ ἁγίαι καὶ θεοφιλεστάτῃ συνόδωι τῶν τοσούτων καὶ τηλικούτων τοῦ θεοῦ ἱερέων ἐγνώσθη Νεστόριος, ὥς τις ἀχάριστος, τοσαύτης τυχὼν ἀνεξικακίας ἀπό τε τ ῦ ἁγίου πάπα Κελεστίνου τοῦ τῆς ἁγίας καὶ ἀποστολικῆς καθέδρας τῆς Ῥωμαίων πόλεως ἐπισκόπου, οὐ μὴν ἀλλὰ καὶ ἀπὸ τῶν παρόντων εὐλαβεστάτων πατέρων καὶ ἀδελφῶν τοῦ κυρίου ἐπισκόπων, ἐπ' ὀλέθρωι ἰδίωι τὴν
M IIII 1300 ἀποστασίαν καὶ τὴν βλασφημίαν ἐπικεχειρηκέναι, ὅθεν ἐπειδὴ ἐτόλμησε κατὰ τῆς πίστεως τῆς εὐαγγελικῆς καὶ τῆς ἀποστολικῆς διδασκαλίας, ἥτις διὰ τῆς ἁπανταχοῦ καθολικῆς ἐκκλησίας ἐβεβαιώθη, τὴν διαστροφὴν τῆς ἑαυτοῦ αἱρέσεως εἰσενεγκεῖν, διὸ δὴ ταῦτα κἀγὼ ὁρίζω ἐξ αὐθεντίας, τῆς ἁγίας ἀποστολικῆς καθέδρας πρεσβείαι μετὰ τῶν ἀδελφῶν τῆς ἀποφάσεως ἐκβιβαστὴς ὑπάρχων, τὸν μνημονευθέντα Νεστόριον, τὸν τῆς ἀληθείας ἐχθρόν, τὸν φθορέα τῆς πίστεως, ὡσανεὶ τούτων ὑπεύθυνον, ἐκτὸς τοῦ βαθμοῦ εἶναι τῆς ἐπισκοπικῆς τιμῆς καὶ τῆς κοινωνίας πάντων τῶν ὀρθοδόξων ἱερέων.

34 Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Αἱ καταθέσεις αἱ γεγενημέναι παρὰ τῶν ὁσιωτάτων καὶ θεοσεβεστάτων ἐπισκόπων Ἀρκαδίου καὶ Προιέκτου, ἔτι μὴν καὶ τοῦ θεοσεβεστάτου Φιλίππου τοῦ πρεσβυτέρου δῆλαι τῇ ἁγίαι συνόδωι καθεστήκασι. κατέθεντο γὰρ τὸν τόπον ἀναπληροῦντες τῆς ἀποστολικῆς καθέδρας, καὶ ἁπάσης δὲ τῆς κατὰ τὴν Δύσιν ἁγίας συνόδου τῶν θεοφιλεστάτων καὶ ἁγιωτάτων ἐπισκόπων· ὅθεν καὶ τὰ ἤδη ὁρισθέντα
L III 629 παρὰ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου Κελεστίνου ἐξεβίβασαν, συνήινεσαν δὲ καὶ τῇ ψήφωι τῇ ἐξενεχθείσηι κατὰ τοῦ αἱρετικοῦ Νεστορίου παρὰ τῆς ἁγίας συνόδου τῆς συναχθείσης ἐνθάδε κατὰ τὴν Ἐφεσίων μητρόπολιν. διὸ συναπτέσθω μὲν τοῖς ἤδη πεπραγμένοις τὰ κατὰ τὴν χθὲς καὶ σήμερον πραχθέντα ὑπομνήματα, προσαγέσθω δὲ τῇ θεοσεβείαι αὐτῶν, ὥστε καὶ ἰδίαι ὑποσημειώσει κατὰ τὸ σύνηθες φανερὰν καταστῆσαι τὴν πρὸς ἅπαντας ἡμᾶς κανονικὴν συναίνεσιν.

V, P [= hk], S, D [= mn], A

ἔτι γε V 1/2 εὐαγγελιστῶν — ἀποστόλων] ἀποστολικῶν καὶ εὐαγγελικῶν παραδόσεων V 2 πίστει D 4 ὑπὸ P 5 τοῦτο om. D ἐδίδαξεν S 6 πάπα [πάππα D] καὶ μακαριωτάτου SDA 7 καὶ om. SDA 8 ἐξαπέστειλε VP ταύτης om. VP 9 ἐπισκοπῆσ VP 9/10 καὶ ἀλλότριον — καθολικῆς om. S 10 τῶν om. A 12 ληγάτου S πρεσβύτεροσ S 14/15 ὅστισ ἀχαρίστωσ PSD 15 πάππα D 17/18 τῇ ἀποστασία καὶ τῇ βλασφημία A ἀποστασίαν SD ἀπιστίαν VP καὶ βλασφημίαν P 19 καὶ τῆς ἀποστολικῆς om. S 20 malim διὰ δὴ ταῦτα SD δῆτα V δὴ PA 21 γνωρίζω P 21 τῆσ ἁγίασ καὶ P om. SDA πρεσβείασ VA πρεσβευτὴσ P καὶ τῆσ P 23 τοῦτον VP 25 αἱ καταθέσεισ αἱ γενόμεναι A αἱ γενόμεναι καταθέσεισ SD τε τῶν VP 26 ἔτι γε V 26/27 θεοφιλεστάτου S 27 πρεσβυτέρου φιλίππου VP 28 ἀποπληροῦντεσ VP τῆσ τε A 31 καὶ om. S κατὰ] παρὰ S 32 τὴν τῶν P διὸ καὶ P om. A συναπτέσθω οὖν A συναπτέσθωσαν VP 33 κατά τε P 34 καταστήσασ S 35 ἡμᾶσ ἅπαντασ S παραίνεσιν P

Ἑρμηνεία τῆς καταθέσεως

35 Ἀρκάδιος ὁ εὐλαβέστατος ἐπίσκοπος καὶ πρεσβευτὴς τῆς Ῥωμαίων ἐκκλησίας εἶπε· Κατὰ τὰ πεπραγμένα ἐν ταύτῃ τῇι ἁγίαι συνόδωι ἀναγκαίως τὰς ἑαυτῶν διδασκαλίας ταῖς ἑαυτῶν ὑπογραφαῖς βεβαιοῦμεν.

36 Ἡ ἁγία σύνοδος εἶπεν· Ἀκολούθως διαλαλησάντων τῶν εὐλαβεστάτων καὶ θεοσεβεστάτων ἐπισκόπων καὶ πρεσβευτῶν Ἀρκαδίου καὶ Προιέκτου καὶ Φιλίππου τοῦ πρεσβυτέρου καὶ πρεσβευτοῦ τῆς ἀποστολικῆς καθέδρας, ἑπόμενόν ἐστι τῇι οἰκείαι ὑποσχέσει τὸ ἱκανὸν ποιοῦντας καὶ διὰ ὑποσημειώσεως βεβαιῶσαι τὰ πεπραγμένα. προσαγέσθω τοίνυν αὐτοῖς τὰ πραχθέντα ὑπομνήματα.

Ἑρμηνεία τῆς ὑπογραφῆς

37 Φίλιππος πρεσβύτερος καὶ πρεσβευτὴς τῆς ἀπ στολικῆς καθέδρας τοῖς ὑπομνήμασιν ὑπέγραψα.

Ἑρμηνεία τῆς ὑπογραφῆς

38 Ἀρκάδιος ἐπίσκοπος καὶ πρεσβευτὴς τῆς ἀποστολικῆς καθέδρας τῇι ἐξενεχθείσηι ἀποφάσει κατὰ Νεστορίου τοῦ αὐθέντου τοῦ σχίσματος καὶ αἱρέσεως ἁπάσης βλασφημίας καὶ ἀσεβείας ὑπέγραψα.

Ἑρμηνεία τῆς ὑπογραφῆς

39 Προίεκτος ἐπίσκοπος καὶ πρεσβευτὴς τῆς ἀποστολικῆς καθέδρας τῇι δικαίαι κρίσει τῆς ἁγίας ταύτης καὶ οἰκουμενικῆς συνόδου, καθὼς ἐκ τῶν πεπραγμένων ἐμάθομεν, κατὰ πάντα ἐξακολουθῶν τῇι καθαιρέσει τοῦ ἀσεβοῦς Νεστορίου ὑπέγραψα.

107 = S 65 A 43. Latina uersio extat in Collectione CT 63

Ἴσον ἀναφορᾶς πρὸς τοὺς εὐσεβεῖς βασιλεῖς παρὰ τῆς ἁγίας συνόδου περὶ τῶν ἀπὸ Ῥώμης ἐλθόντων ἐπισκόπων τε καὶ πρεσβυτέρου διὰ τοῦ διακόνου Εὐτυχοῦς M IIII 1301

Τοῖς εὐσεβεστάτοις καὶ θεοφιλεστάτοις Θεοδοσίωι καὶ Οὐαλεντινιανῶι νικηταῖς τροπαιούχοις ἀεὶ αὐγούστοις ἡ ἁγία σύνοδος ἡ χάριτι θεοῦ καὶ νεύματι τοῦ ὑμετέρου κράτους συναχθεῖσα ἐν τῇι Ἐφεσίων μητροπόλει. Τὴν περὶ τὴν εὐσέβειαν ὑμῶν φροντίδα τε καὶ σπουδήν, φιλόχριστοι βασιλεῖς, ἀποδεξάμενος ὁ τῶν ὅλων θεὸς καὶ τῶν ἁγίων ἐπισκόπων τῶν κατὰ τὴν Δύσιν τῶι ζήλωι τὰς ψυχὰς ἀνεπτέρωσεν εἰς ἐκδίκησιν τοῦ ὑβρισμένου Χριστοῦ. εἰ γὰρ καὶ τὸ πλεῖστον τῆς ὁδοῦ διάστημα φθάσαι πρὸς ἡμᾶς εἶρξε πᾶν τὸ πλῆθος ἐκεῖνο τῶν ἁγιωτάτων ἐπισκόπων, ἀλλ' αὐτόθι συναχθέντες, παρόντος καὶ τοῦ τῆς μεγάλης Ῥώμης ὁσιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου Κελεστίνου, καὶ νῦν τὸ ἡμέτερον φρόνημα τῆς πίστεως μετὰ πολλῆς ἀνεκήρυξαν τῆς συμφωνίας καὶ τοὺς ἔξω τούτου φρο-

---

V, P [= hk], S, D [= mn], A

1 ὑπογραφῆσ VPDA 3 τοῖσ — διδασκάλοισ P 5/6 θεοφιλεστάτων P 6 πρεσβυτέρων S τοῦ om. P 8 σημειώσεωσ P 9 πεπραγμένα VP 10 καταθέσεωσ S 13 om. V 15 αὐθεντοσχίσματοσ P σχίματοσ m σχήματοσ n βλασφήμου P καὶ βλασφημίασ S 17 om. V τῆσ Pm ἑτέρα τῆσ Sii ἑτέρασ A 18—20 τῇι δικαίαι — Νεστορίου] τοῖσ πεπραγμένοισ VP

V, P [= hk] S, D [= mn], AWΛtΛc

22/23 om. Λ ρζ̄ V ςῆ P ξ̄ε SD 22 εὐσεβεστάτουσ VPW βασιλέασ VA παρὰ — συνόδου om. VP 23 ἐλθόντων om. VP τε καὶ πρεσβυτέρων PSDW καὶ πρεσβευτῶν V 24 εὐλαβεστάτοισ SW 25 χῡ̄ VPΛ 26 ὑμῶν om. P 28 τὴν om. VD ἀνεπύρωσεν P 29 *domini Christi* Λ παρ' P 31 ὑμέτερον P 32 τούτων DA

L III 63² νήσαντας ἀλλοτρίους εἶναι παντελῶς ὥρισαν ἱερατικοῦ κλήρου καὶ βαθμοῦ. ταῦτα μὲν δὴ καὶ πρότερον καὶ ὁ τῆς μεγάλης Ῥώμης ἁγιώτατος ἐπίσκοπος Κελεστῖνος, πρὶν συλλε-
ep. 9 γῆναι τὴν ἁγιωτάτην ταύτην σύνοδον, διὰ τῶν ἑαυτοῦ γραμμάτων ἐμήνυσεν, ἐπιτρέψας τῶι ἁγιωτάτωι καὶ θεοφιλεστάτωι ἐπισκόπωι Κυρίλλωι τῶι τῆς Ἀλεξανδρέων μεγαλοπόλεως
ep. 106 καὶ τὸν αὐτοῦ ἐπέχειν τόπον, καὶ νῦν δὲ αὖθις δι' ἑτέρων γραμμάτων ταῦτα δῆλα τῆι ἁγίαι συνόδωι κατέστησεν, ἣν συναχθῆναι τὸ ὑμέτερον προσέταξε κράτος ἐπὶ τῆς Ἐφεσίων μητροπόλεως, ἃ καὶ ἀπέστειλε διά τε τῶν ἁγιωτάτων ἐπισκόπων Ἀρκαδίου καὶ Προιέκτου καὶ τοῦ θεοφιλεστάτου πρεσβυτέρου Φιλίππου τοῦ τῆς μεγάλης Ῥώμης, ἀναπληροῦντος τὴν παρουσίαν τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου Κελεστίνου. ἐπεὶ οὖν οἱ ἄνδρες παραγενόμενοι τὴν γνώμην πάσης τῆς κατὰ τὴν Δύσιν ἁγίας συνόδου φανερὰν τῆι ἐνταῦθα γενομένηι συνόδωι πεποιήκασι διὰ τῶν γραμμάτων σύμφωνόν τε ἡμῖν τὸ φρόνημα τῆς πίστεως καὶ τῆς εὐσεβείας ἔδειξαν καὶ ἡμῖν ὁμόψηφοι διά τε τῶν ἐπιστολῶν καὶ τῶν ἐντεταλμένων αὐτοῖς, ἃ καὶ ἐγγράφως κατέθεντο, γεγένηνται, ἀναγκαίως καὶ περὶ τῆς αὐτῶν πρὸς ἡμᾶς συμφωνίας πράξαντες τὰ εἰκότα ἐπὶ τὸ ὑμέτερον ἀνηνέγκαμεν κράτος, ὡς εἰδέναι ἔχοι ἡ ὑμῶν εὐσέβεια ὅτι μία καὶ κοινὴ ψῆφος ἁπάσης τῆς οἰκουμένης ἡ παρ' ἡμῶν ἔναγχος ἐξενεχθεῖσα κρίσις γεγένηται, ἣν ἀναδιδαχθῆναι καὶ φανερὰν γενέσθαι ὁ περὶ τὴν πίστιν καὶ τὴν εὐσέβειαν ὑμῶν ζῆλος παρεσκεύασεν. ἐπεὶ οὖν τὰ τῆς ὑποθέσεως πέρας εἴληφεν εὐκταῖόν τε τῶι ὑμετέρωι κράτει καὶ ταῖς ἐκκλησίαις ἁπάσαις ἀσφαλέστατον καὶ τῆι πίστει παρέχον τὸ βέβαιον, δεόμεθα τῆς ὑμῶν εὐσεβείας ἀνεῖναι λοιπὸν ἡμᾶς τῆς τε φροντίδος καὶ τῆς ἐν τῆι ξένηι διαγωγῆς, τοὺς μὲν πενίαι σφιγγομένους, τοὺς δὲ νόσωι συνεχομένους, τοὺς δὲ τῶι γήραι καμπτομένους καὶ τὴν ἐπὶ τῆς ξένης διατριβὴν ἐπὶ πλέον φέρειν οὐ δυναμένους, ὡς καὶ τινὰς ἐξ ἡμῶν ἐπισκόπους καὶ κληρικοὺς ἀποθανεῖν, ὥστε λοιπὸν παυσαμένους τῆς τοιαύτης μερίμνης φροντίδα τῆς κατὰ τὴν μεγαλόπολιν ἐκκλησίας ποιήσασθαι.
M IIII 1304 κωλύεσθαι δὲ καθικετεύομεν καὶ τὰ πρὸς τοὺς κατὰ τόπον ἄρχοντας ἠπειλημένα γράμματα
ep. 83 πέμπεσθαι, ὡς μή τινα πάλιν ἑτέραν δυσχέρειαν ἐντεθῆναι ταῖς ἐκκλησίαις ἢ θλῖψιν ἐπαναστῆναι ἐν ταῖς ἑαυτῶν χώραις τοῖς ἁγιωτάτοις ἐπισκόποις. τῆς γὰρ εὐσεβείας ἀναδειχθείσης καὶ πάσης τῆς οἰκουμένης σύμφωνον ἐπ' αὐτῆι τὴν ψῆφον ἐξενεγκούσης, πλὴν ὀλίγων τῶν τῆς εὐσεβείας προτιμώντων τὴν Νεστορίου φιλίαν, δικαίαν αἰτοῦμεν χάριν δεόμενοι τοῦ ὑμετέρου κράτους ἀνεθῆναι λοιπὸν ἡμᾶς τῆς φροντίδος καὶ ἔχεσθαι τῆς χειροτονίας τοῦ μέλλοντος καὶ ἐντρυφῆσαι λοιπὸν τῆι βεβαιωθείσηι πίστει τε καὶ εὐσεβείαι καὶ καθαρῶς καὶ εἰλικρινῶς τὰς ὑπὲρ τοῦ ὑμετέρου κράτους ἀναπέμπειν προσευχὰς τῶι δεσπότηι τῶν ὅλων Χριστῶι.

Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας ἀνήνεγκα.

Καὶ ὑπέγραψαν πάντες οἱ ἐν τῆι στάσει τῶν ὑπομνημάτων εὐλαβέστατοι ἐπίσκοποι.

V, P [= hk], S, D [= mn], AWΛ¹Λᶜ

1 ἱερατικοῦ SDAWΛ παντὸς ἱερατικοῦ VP 2 καὶ πρὶν SDAW 4 ἀλεξανδρείας A μεγαλουπόλεως D μητροπόλεως P 5 ἑαυτοῦ S 6 ἣν] οἷς VP ἡμέτερον nA, corr. A κράτος προσέταξεν VPS 6/7 τῆ — μητροπόλει P 8 ἀναπληροῦντος PSDWΛ ἀναπληρούντων VA 10 τὴν om. VDA 11/12 τῆς πίστεως — εὐσεβείας SDAW τῆς εὐσεβείας — πίστεως PΛ καὶ τῆς εὐσεβείας — πίστεως V 12 ἔδειξε P ὁμόψυχοι V *unanimes* Λ 13 γεγενῆσθαι P γεγένηται S αὐτῶν] εἰς αὐτὸν S 16 ἀναχθῆναι P ἀναδιδαχθῆναι τοῖς πᾶσι W 18 ταῖς om. P 19 τὸ βέβαιον παρέχον VP παρέχων S 20 τῆι om. S 21 τοὺς δὲ τῶι — καμπτομένους om. V 21 γήρει SW ὡσ καὶ A τῆς om. SDAW πλεῖον VP 22/23 ὡς καὶ — μερίμνης] καὶ V 22 ὡς — τινὰς om. A 23 καὶ φροντίδα P 24 τὸν τόπον A ἄρχοντας om. SW 25 πάλιν τινὰ SDAW ἐντεθῆναι VPΛ γίνεσθαι SDAW 27 ἐπ' αὐτῆ VPΛ ἐπὶ ταύτη SDAW τὴν om. V ἐνεγκεῖν P 28 νεστορίου VPΛ πρὸσ νεστόριον SDAW 29 ἡμᾶς om. P post φροντίδος add. *et unumquemque suam comprehendere ciuitatem* Λᶜ ἔχεσθαι λοιπὸν P 30 τε om. P 31 καθαρῶς] καθεῖσθαι V 33/34 om. S 34 καὶ — ἐπίσκοποι] *Iuuenalis episcopus Hierosolymorum retuli. Firmus episcopus Caesariae retuli. et omnis quoque synodus retulit* Λ ὑπέγραψαν] ὑπέγραψα καὶ P στάσει DAW τάξει VP ὑπομνήσεων W εὐλαβέστατοι ἐπίσκοποι om. VP

108 = S 114 A 59. Latinae uersiones extant in Collectionibus CT 61 et Winteriana 12

Ἀναφορὰ πρὸς τοὺς βασιλεῖς σταλεῖσα διὰ Ἰουβεναλίου Φίρμου Φλαβιανοῦ Ἀρκαδίου Θεοδότου Ἀκακίου Εὐοπτίου τῶν θεοφιλεστάτων ἐπισκόπων καὶ Φιλίππου τοῦ εὐλαβεστάτου πρεσβυτέρου L III 781 M IIII 1460

Τοῖς εὐσεβεστάτοις καὶ θεοφιλεστάτοις καὶ φιλοχρίστοις Θεοδοσίωι καὶ Οὐαλεντινιανῶι νικηταῖς τροπαιούχοις ἀεὶ αὐγούστοις ἡ ἁγία σύνοδος ἡ κατὰ θεοῦ χάριν καὶ θέσπισμα τοῦ ὑμετέρου κράτους ἐν τῆι Ἐφεσίων συγκροτηθεῖσα. Πάντα μὲν τὰ τῆς ὑμετέρας L III 784 βασιλείας ἐπαινετὰ καὶ πολὺν τὸν περὶ τὴν εὐσέβειαν ἐπιδεικνύμενα ζῆλον, φιλόχριστοι βασιλεῖς, καὶ διὰ τοῦτο κοινῆι τε ἅπαντες καὶ ἰδίαι ἕκαστος τὰς ὑπὲρ τοῦ αἰωνίου ὑμῶν κράτους προσευχὰς τῶι δεσπότηι Χριστῶι ἀναπέμπομεν, φυλαχθῆναι τῆι οἰκουμένηι δι' αἰῶνος τὴν φιλόχριστον ὑμῶν αἰτούμενοι κορυφήν· ἐπειδὴ δὲ καὶ νῦν ταῖς ἡμετέραις ἐπικαμφθεῖσα δεήσεσιν ἡ ὑμετέρα εὐσέβεια παρεκελεύσατο διὰ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου κόμητος Ἰωάννου ἐξαποστεῖλαι τὴν οἰκουμενικὴν ἡμῶν σύνοδον οὓς ἂν δοκιμάσηι θεοφιλεστάτους ἐπισκόπους πρὸς τὸ ὑμέτεραν κράτος καὶ αὐτοπροσώπως ἀναδιδάξαι πάντα τὰ καθ' ἡμᾶς, ἀναγκαίως εὐχαριστήσαντες τῆι φιλοχρίστωι ὑμῶν βασιλείαι ἐξελεξάμεθα τοὺς ἁγιωτάτους καὶ θεοφιλεστάτους ἐπισκόπους Ἀρκάδιον Ἰουβενάλιον Φλαβιανὸν Φίρμον Θεόδοτον Ἀκάκιον Εὐόπτιον καὶ Φίλιππον πρεσβύτερον Ῥώμης, διέποντα τὸν τόπον τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου τῆς ἀποστολικῆς καθέδρας τοῦ τῆς μεγάλης Ῥώμης Κελεστίνου καὶ διὰ τούτων τῶν γραμμάτων προσάγομεν αὐτοὺς τῆι ὑμετέραι γαληνότητι, εὐμενοῦς ἀξιοῦντες βλέμματός τε αὐτοὺς καὶ ἀκοῆς τυχεῖν. εἰδότες δὲ τὴν φιλόχριστον ὑμῶν καὶ θεῶι ἀνακειμένην ψυχὴν περὶ πολλοῦ ποιουμένην θεραπεύειν τὸν ὑπερμαχοῦντα καὶ σώιζοντα ὑμᾶς Χριστὸν καὶ τοὺς αὐτοῦ ἱερεῖς διὰ πάντων τιμᾶν διὰ τὸ παρ' αὐτοῦ εἰρημένον ὁ ὑμῶν ἀκούων ἐμοῦ ἀκούει καὶ ὁ ὑμᾶς δεχόμενος ἐμὲ δέχεται, θαρροῦμεν Lc. 10, 16 καὶ τὴν περὶ ὧν λελυπήμεθα, προστιθέναι τῶι γράμματι μήνυσιν. ἡμεῖς γὰρ οὐκ ἄλλου Mt. 10, 40 τινὸς χάριν τὴν Ἐφεσίων κατειληφότες ἢ περὶ τῆς πίστεως διασκέψασθαι κατὰ τὸ ὑμέτερον εὐσεβὲς θέσπισμα, ἐπειδήπερ τὴν ταύτης ἀκίνητον ἐξ αἰῶνος γαλήνην τὰ μιαρὰ Νεστορίου M IIII 1461 ἐτάραξε δόγματα, εἰκότως βουλὴν περὶ τούτου προθέντες μετὰ ἑξκαιδεκάτην ἡμέραν τῆς d 22 m Iun ὁρισθείσης προθεσμίας καὶ τὸν συνταράττοντα τὰς ἐκκλησίας τοῖς οἰκείοις δόγμασι Νεστόριον προσκαλεσάμενοι, ἐπειδήπερ ὑπὸ συνειδότος οὗτος πονηροῦ κατεχόμενος ἁπάντων οὐκ ἠβούλετο, ἐξετάσαντες τὰ παρ' αὐτοῦ ἐγγράφως ἐκτεθέντα περὶ τῆς ἐνσωματώσεως τοῦ δεσπότου Χριστοῦ ἀσεβῆ δόγματα, αὐτά τε ἐκεῖνα ἀνεθεματίσαμεν καὶ τὸν τούτων πατέρα πάντηι τῆς ἐπισκοπικῆς ἀξίας ἠλλοτριώσαμεν. ἀλλ' ὁ τῆς Ἀντιοχέων Ἰωάννης μετὰ εἰκο- 431

32 dies concilii quo Cyrillus et Memnon depositi sunt, in Gestis quae insunt Collectioni Casinensi [uol. IIII p. 33, 35] 87 notatus est VI Kal. Iul [d 26. m Iunii]

VM, P [= hk], S, D [= mn], ΑΛtΛcΛw

ρη V cθ P ρθ' D 2—4 *Relatio missa a synodo imperatori per supra dictos* [A 58 = V 95] *et destinatos episcopos* Λtc *Relatio synodi missa cum praedictis episcopis et locum tenente papae ad reges* Λw 2 ἀναφορὰ — σταλεῖσα A ἀντίγραφον ἀναφορᾶσ παρὰ τῆσ [τῆσ ἁγίασ SD] συνόδου VMPSD 3 τῶν θεοφιλεστάτων A om. VMPSD ἐπισκόπου SD τοῦ εὐλαβεστάτου A om VMPSD 4 in fine add. εἰσ οὖσ καὶ τὸ προτεταγμένον [A 58 = V 95] ἐντολικὸν γεγένηται A 5 καὶ θεοφιλεστάτοις om. SD φιλοχρίστοισ ΑΛtcw φιλοχρίστοισ βασιλεῦσι VMPSD 7 συγκροτηθεῖσα ἐν τῆ ἐφεσίων μητροπόλει SD πάντα — τὰ] πάντα τὰ μὲν k πάντα μὲν Mh 9 τε om P 10 τῶ — χῶ προσευχάσ P 11 ὑμετέραισ D 13 ἡμῶν ΑΛtc *uestra* Λw om VMPSD 14 ἀπὸ προσώπου S 17 εὐόπιον V 20 καὶ ἀκοῆσ αὐτοὺσ SD 21 ποιούμενον S 22 ἡμᾶσ P 23 ἀκούων ὑμῶν SD 26 ἐπειδὴ περὶ S ταύτην S 27 γράμματα, superscr δογματα V βουλὴν περὶ τούτου βουλὴ P τούτων SD προστιθέντεσ P 28/29 νεστόριον τοῖσ οἰκείοισ δόγμασι SD 29 ἐπειδήπερ ΑΛtc ἐπειδὴ δὲ VMPSD 32 πάντη τὲ S ἐπισκοπικῆς ἀξίας] ἐπισκοπῆσ M ἠλλοτριάσαμεν A ἐξεώσαμεν SD 32/p 66, 1 εἰκοστὴν om. D

στὴν [δευτέραν] τῆς ὁρισθείσης προθεσμίας μόλις φθάσας ἡμέραν, ὥσπερ ἀμυνόμενος ἡμᾶς ἐπὶ τῶι ὑπὲρ τῆς πίστεως ζήλωι, τριάκοντα μικρῶι πλέον περὶ αὐτὸν συναθροίσας, ὧν οἱ μὲν Κελεστιανοί, οἱ δὲ καθηιρημένοι πρὸ πολλοῦ ἐτύγχανον, κατ' αὐτῶν τῶν ἡμετέρων ἐχώρησε προέδρων καὶ τοὺς ζηλωτὰς τῆς ὀρθοδοξίας τόν τε ἁγιώτατον καὶ θεοσεβέστατον ἀρχιεπίσκοπον τῆς Ἀλεξανδρέων Κύριλλον καὶ τὸν ἁγιώτατον καὶ θεοφιλέστατον συνεπίσκοπον Μέμνονα οὔτε κατηγορηθέντας παρ' αὐτῶν οὔτε προσκληθέντας κατὰ τὴν τῶν κανόνων ἀκολουθίαν τῆι τῆς καθαιρέσεως περιέβαλεν ὕβρει καὶ ὡς κοινωνησάσης αὐτῶι τῆς ἁγίας
L III 785 καὶ οἰκουμενικῆς συνόδου εἰς τὴν κατ' αὐτῶν ἀδικίαν, οὕτως τὰς εὐσεβεῖς ὑμῶν καὶ θεο-
ep. 153. 158 φιλεῖς συνήρπασεν ἀκοάς. ἡ μὲν οὖν ἁγία καὶ οἰκουμενικὴ σύνοδος, ἧι συνεδρεύει καὶ ὁ τῆς μεγάλης ὑμῶν Ῥώμης ἁγιώτατος καὶ θεοφιλέστατος ἀρχιεπίσκοπος Κελεστῖνος καὶ ἅπασα ἡ Δυτικὴ σύνοδος διὰ τῶν παρ' αὐτῆς ἀπεσταλμένων πρὸς ἡμᾶς ἁγίων ἐπισκόπων, συνεδρεύει δὲ καὶ ἡ Ἀφρικὴ πᾶσα καὶ τὸ Ἰλλυρικόν, κανονικῶς κινηθεῖσα αὐτόν τε τὸν ἔξαρχον τοῦ τῆς ἀποστασίας συνεδρίου Ἰωάννην καὶ τοὺς σὺν αὐτῶι πάσης ἐκκλησιαστικῆς κοινωνίας ἀλλοτρίους εἶναι ἐδογμάτισεν, πᾶσαν δὲ αὐτῶν ἱερατικὴν περιεῖλεν ἐνέργειαν, ἀνατρέψασα καὶ τὰ παρ' αὐτῶν ἀκανονίστως γενόμενα. καὶ τῶν ἐπ' αὐτοῖς πεπραγμέ-
ep. 92. 102 νων τὴν μήνυσιν τῆι ὑμετέραι πρώην ἀπεστείλαμεν κορυφῆι· νυνὶ δὲ διά τε τούτων τῶν γραμμάτων καὶ διὰ τῶν ἀποσταλέντων θεοφιλεστάτων ἐπισκόπων μακραῖς ταῖς χερσὶ τῶν εὐσεβῶν ὑμῶν ἁπτόμεθα γονάτων δεόμενοι τὰ [μὲν] κατὰ συναρπαγὴν γεγονότα ἐπὶ τῶν ἁγιωτάτων καὶ θεοφιλεστάτων ἐπισκόπων Κυρίλλου καὶ Μέμνονος οὐδεμίαν ἐκ τῶν κανόνων ἰσχὺν ἔχοντα πάντηι ἀργεῖν, ὥστε μὴ ἀκέφαλον ἡμῶν ὑπάρχειν τὴν σύνοδον μηδὲ ἀφορήτωι πένθει ἡμᾶς τε καὶ τοὺς ἅπαντας τῆς οἰκουμένης τοῦ Χριστοῦ ἱερεῖς ἀδιαλείπτως ἐπὶ τοῖς προέδροις συντρίβεσθαι, ἀλλὰ τυχόντας τῶν αἰτήσεων τὰς συνήθεις εὐχὰς μετὰ τῶν ἐν τῆι οἰκουμένηι ἐκκλησιῶν ἀναπέμπειν τῶι δεσπότηι Χριστῶι ὑπὲρ τοῦ δι' αἰῶνος ἡμῖν χαρισθῆναι τὸ φιλόχριστον ὑμῶν κράτος. ἡ γὰρ κατ' αὐτῶν γενομένη συκοφαντία παρά τε Ἰωάννου τοῦ τῆς Ἀντιοχέων καὶ τῶν σὺν αὐτῶι εἰς ἅπαντας ἡμᾶς βλέπει τοὺς ὁμοπίστους τοῖς μνημονευθεῖσι καὶ συνιερατεύοντας αὐτοῖς διὰ τὸ καὶ πᾶσαν τὴν Δυτικὴν σύνοδον μαρτυρεῖν αὐτοῖς τὴν ὀρθὴν καὶ ἀδιάβλητον πίστιν, καὶ ἡμᾶς δὲ αὐτοὺς περὶ τού-
nr. 45 του πληροφορηθέντας καὶ ἐγγράφως ἐπὶ ὑπομνημάτων ῥῆξαι φωνὰς ὅτι τέ εἰσιν ὀρθόδοξοι καὶ τὴν τῶν ἁγίων ἡμῶν πατέρων ἔχουσι γνώμην περὶ τὰ τῆς καθολικῆς καὶ ἀποστολικῆς
M IIII 1464 ἐκκλησίας δόγματα. δεόμεθα τοίνυν τοῦ ὑμετέρου κράτους· λύσατε καὶ ἡμᾶς καὶ αὐτοὺς τῶν δεσμῶν· συνδεδέμεθα γὰρ τοῖς δεδεμένοις ὡς ἀδελφοῖς καὶ προέδροις τῆς ἁγίας ἡμῶν συνόδου.

V, M, P [= hk], S, D [= mn], ΑΛιΛcΛw

1 δευτέραν VMPSDAΛιc οm. Λw ἡμέραν μόλισ φθάσασ D 2 τῆς om. S 4 ἐχώρησαν P καὶ θεοφιλέστατον V om. M 5 ἐπίσκοπον M ἀλεξανδρείασ V ἁγιώτατον καὶ om. M θεοφιλέστατον om D συνεπίσκοπον ἡμῶν SD *coepiscopum* Λcw ἐπίσκοπον ἡμῶν VMP ἐπίσκοπον ΑΛι 6 αὐτῶν MPSDΛtc αὐτῶ VA *ab ipso* Λw 7 περιέβαλον MSD ὑπέβαλον P 8/9 καὶ θεοφιλεῖς om. M 9 συνήρπασαν S οὖν om. V 10 ἡμῶν ῥώμησ VSD, corr S, ῥώμησ ὑμῶν M καὶ θεοφιλέστατος om M 11 αὐτῶν SD 13 πάντασ SD 15/16 πεπραγμένων] γενομένων P 17—19 μακραῖς — ἐπισκόπων om. V 18 ἁπτόμεθα — δεόμενοι] ἁπτο γονάτων δεόμεθα S μὲν MPSDΛtc om. VA ἐπὶ] κατὰ D 18/19 ἁγίων SD 20 μὴ δὲ VSD μήτε δὲ MPA 21 ἱερέασ A 22 τυγχάνοντασ SD 24 κράτοσ ὑμῶν PS γινομένη P 25 ἡμᾶς om. P 25/26 τοὺσ ὁμοπίστουσ VPA ὁμοπίστουσ ὄντασ D ὁμοπίστουσ S 26 τοῖσ DAΛtcw ἐν τοῖσ VMPS 28 ἐγγράφουσ SD οἱ ὀρθόδοξοι V 29 πατέρων ἡμῶν PSD γνώμην] πίστιν SD 30 τοῦ κράτουσ ὑμῶν D καὶ² om VΛt 31 ὑμῶν P, corr. h

109 = S 115 A 149. Latina uersio extat in Collectione CT 64[a]

Ἀνελθόντων ἐν Κωνσταντινουπόλει τῶν ἑπτὰ καὶ ἑπτὰ ἐπισκόπων ἐξ ἑκατέρου μέρους ἐπληροφορήθη ὁ βασιλεὺς ὡς ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος πάντα κανονικῶς καὶ ἀκολούθως πράξασα καθεῖλε Νεστόριον. διʼ ὃ καὶ ἀποδεξάμενος αὐτοὺς κατέγνω τῶν Ἀνατολικῶν καὶ λοιπὸν ἐξώρισε μὲν Νεστόριον, ἐκέλευσε δὲ τοὺς ἐκ τῆς ἁγίας συνόδου εἰσελθεῖν εἰς τὴν ἐκκλησίαν καὶ χειροτονῆσαι ἐπίσκοπον τῇι ἁγίαι Κωνσταντινουπολιτῶν ἐκκλησίαι. καὶ εἰσελθόντες ἐχειροτόνησαν Μαξιμιανὸν ἐπίσκοπον. καὶ μετὰ τοῦτο ἐκέλευσεν ὁ βασιλεὺς πάντας τοὺς ἐπισκόπους ἕκαστον ἀπελθεῖν εἰς τὴν ἑαυτοῦ χώραν τε καὶ πόλιν, ἔμεινε δὲ Ἰωάννης ὁ Ἀντιοχείας καὶ οἱ μετʼ αὐτοῦ ἐν τῇι χωρίσει ὄντες. L III 1058 M V 256

110 = S 116 A 150. Latina uersio extat in Collectione CT 67

Ἀντίγραφον ἑρμηνείας βασιλικοῦ θεσπίσματος γραφέντος πρὸς Ἰσίδωρον ἔπαρχον πραιτωρίων καὶ ὕπατον περὶ τῆς ἐξορίας Νεστορίου a. 436

Εἰ καὶ τῆς τῶν δημοσίων πραγμάτων φροντίδος περιφανής ἐστιν ἡ ἡμετέρα σπουδή, ὅμως οὐχ ἧττων παρʼ ἡμῖν τῆς ἁγιωτάτης θρησκείας ἡ ἀσφάλεια, ἥσπερ θεραπευομένης παρʼ ἡμῶν καὶ ἐν ταῖς δημοσίαις χρείαις πιστεύομεν ἑαυτοὺς βοηθεῖσθαι. καὶ διὰ τοῦτο, ἐπειδὴ Νεστόριος ὁ τῆς καθολικῆς ποτε ἐκκλησίας ἱερεύς, νῦν δὲ τῆς πίστεως προδότης, τηλικούτοις μυσαρῶν μεγέθεσιν ἐνδεδεμένος φαίνεται καὶ ἀναγκαῖόν ἐστιν ἵνα ἀποφάσει τῆς ἡμετέρας γαληνότητος ὑποβληθεὶς τῇι ἁρμοζούσηι τοῖς οἰκείοις τρόποις ταλαιπωρίαι καταβαρυνθείη, ὅστις καταλειφθέντων τῶν σεβασμίων νόμων τῆς ἐκκλησίας ἀθεμίτου αἱρέσεως αὐθέντης ἐφάνη καὶ ἐν τῶι διαφθείρειν αὐτῶν τὴν πίστιν οὔστινας τῇι κοινωνίαι τῆς ἑαυτοῦ προδοσίας συνῆψεν, εἰς τὸ οἰκεῖον ἑαυτοῦ πρόσωπον ἀνέλαβε καὶ τὸ ἔγκλημα τῆς προδοσίας τῆς ἀλλοτρίας, ἡ ἔνδοξος τοιγαροῦν σου αὐθεντία τοῦ πραγματικοῦ τούτου ἤτοι ἰδικῆς αὐθεντίας ὑποδειχθείσης τὸν μνημονευθέντα Νεστόριον εἰς ἐξορίας Πέτρας εἰς τὸ διηνεκὲς προσταξάτω ὑπὲρ τῶν ἠσεβημένων αὐτῶι καταχθῆναι οὕτως ὥστε πάντα αὐτοῦ τὰ ὑπάρχοντα τῇι ἐκκλησίαι Κωνσταντινουπόλεως προσκυρωθῆναι πρὸς τὸ τοῦ σεβασμιωτάτου τόπου τὰ πράγματα αὐξηθῆναι, οὗ προέδωκε πρώην τὸ μυστήριον. οὕτω γὰρ ἔσται ἐν ταῖς ψυχαῖς τῶν ἀνθρώπων ἡ εὐλάβεια τῆς ἁγιωτάτης πίστεως ἀβλαβὴς καὶ τοῦ ἡμετέρου βασιλείου ἡ εὐδαιμονία ὀχυρωθεῖσα τῇι θρησκείαι ἀνθήσει. L III 1059

---

7 Socr. 7, 37[19] Μαξιμιανοῦ . . προχειρισθέντος εἰς τὴν ἐπισκοπὴν ἐν ὑπατείαι Βάσσου καὶ Ἀντιόχου [431] περὶ τὴν εἰκάδα πέμπτην τοῦ Ὀκτωβρίου μηνός . . 8 cf. ep. A 97 = Coll. Casin. 122 [uol. IIII p. 73]

V, M, P [= hk], S, D [= mn], AWΛtΛcΛw

inscr. βασιλικὸν θέσπισμα τό δημεῦον [δημοσιεῦον D] καὶ ἐξορίζον νεστόριον VMPSDA om. W *narratio ordinationis Maximiani Constantinopoleos episcopi* Λ ρθ V ρ̄ P ρ̄ι D 2 ἐξ ἑκατέρου μέρους om. Λ 3 *satisfactum est per semet ipsum praesenti imperatori* Λ 6 ἐν τῇ ἐκκλησία W 8 εἰσ τὴν ἑαυτοῦ ἀπελθεῖν D 9 ὁ ἀντιοχείας ἰωάννησ M ἰωάννησ W χωρίσει] χειρήσει S χειροτονία W ὄντες om. M in fine add. *ingressus autem est Cyrillus episcopus Alexandriae Athyr tertia et suscepit eum ciuitas cum multa excellentia et gloria* Λ d. 31. m. Oct. 431

V, M, P [= hk], S, D [= mn], AWΛtΛc

ρ̄ι V ρ̄α P ο̄α M ρ̄ια D 11 βασιλικῆσ SD 12 *cons ordinarium* Λ περὶ — Νεστορίου om. Λ νεστορίου: — κατὰ νεστορίου ἀπόφασισ D 13 φροντίδος om. S ἡμετέρα VDΛ ὑμετέρα MPSAW 14 ἧττον VMPSDW, corr. VM ἡ τῆσ ἁγίασ θρησκείασ SD 15 ὑμῶν Μl' βοηθεῖσθαι ἑαυτοὺσ M βοηθῆσθαι Λ 17 μυσαροῖσ P ἐνδεδυμένοσ SW 19 νόμων| τόπων P 20 αὐτὸν MP οὔσ τινα A 21 ἑαυτοῦ²] αὐτοῦ P om. V 22 σου ἡ Ml τύπου τούτου V 23 ἐξορίουσ P ἐξορίαν D 24 καταταχθῆναι SD κατενεχθῆναι A οὕτως om. SD 25/26 σεβασμίου SD 27 εὐσέβεια P 27/28 τῆσ ἡμετέρασ βασιλείασ W 28 βασιλέωσ SD

111 = S 117 A 151. Latina uersio extat in Collectione CT 68 cf. 280, altera a Iustiniano interpolata in Gestis Concilii quinti [L V 471 = M VIIII 249]. ipsius Latini exemplaris epitome in Theodosianum [16, 5, 66] recepta est

Ἀντίγραφον θείου νόμου

L III 1210 M V 413 Τὸ τῇ εὐσεβεστάτῃ θρησκείαι παρ' ἡμῶν ὀφειλόμενον σέβας τοὺς περὶ τὸ θεῖον ἀσεβῶς ἔχοντας δίκαις τε ἀξίαις κολάζεσθαι καὶ ὀνόμασι τῇ αὐτῶν φαυλότητι πρέπουσι προσαγορεύεσθαι βούλεται, ὡς ἂν ὀνείδεσι περιβληθέντες αἰωνίαν ὑπομένοιεν τῶν ἁμαρτημάτων ἀτιμίαν καὶ μήτε ζῶντες τιμωρίας μήτε θανόντες ἀτιμίας ἐκτὸς ὑπάρχοιεν. Νεστορίου τοίνυν τοῦ τῆς τερατώδους διδασκαλίας ἡγεμόνος κατακεκριμένου, λείπεται τοὺς ὁμογνώμονας αὐτοῦ καὶ τῆς ἀσεβείας κοινωνοὺς ὀνόματι περιβαλεῖν κατεγνωσμένωι, ἵνα μὴ τῇι τῶν Χριστιανῶν ἀποχρώμενοι προσηγορίαι τοιούτων ὀνόματι κοσμοῖντο ὧν τοῦ δόγματος δυσσεβοῦντες ἐξέστησαν. διὰ ταῦτα νομοθετοῦμεν τοὺς ἁπανταχοῦ τῆς Νεστορίου ἀθεμίτου δόξης κοινωνοὺς Σιμωνιανοὺς ὀνομάζεσθαι (προσήκει γὰρ τοὺς ἐν τῇι τοῦ θείου ἀποστροφῇι τὸ ἐκείνου μιμουμένους δυσσέβημα τὴν αὐτὴν ἐκείνωι κληροῦσθαι προσηγορίαν, ὃν τρόπον Ἀρειανοὶ νόμωι τοῦ τῆς θείας λήξεως Κωνσταντίνου Πορφυριανοὶ διὰ τὸ ὅμοιον τῆς ἀσεβείας ἐκ Πορφυρίου προσαγορεύονται, ὃς τὴν ἀληθῆ θρησκείαν ἐπιχειρήσας τῇι τοῦ λόγου δυνάμει καταγωνίσασθαι βίβλους ἑαυτῶι οὐ παιδεύσεως ὑπομνήματα καταλέλοιπε) καὶ μηδένα τολμᾶν τὰς αὐτοῦ Νεστορίου τοῦ ἀθεμίτου τε καὶ ἱεροσύλου ἀσεβεῖς βίβλους περὶ τῆς εὐαγοῦς τῶν ὀρθοδόξων θρησκείας καὶ κατὰ τῶν δογμάτων τῆς ἐν Ἐφέσωι τῶν ἐπισκόπων ἁγίας συνόδου κατέχειν ἢ ἀναγινώσκειν ἢ μεταγράφειν, ἃς δεῖ σπουδῇι πάσηι ζητήσαντας δημοσίαι ἐμπίπρασθαι (τούτωι γὰρ τῶι τρόπωι πάσης ἀσεβείας ῥιζόθεν ἐκκοπείσης τὸ ἁπλοῦν καὶ εὐαπάτητον πλῆθος οὐδὲν πλάνης σπέρμα εὑρεῖν ποτε δυνήσεται), μηδὲ μνήμην τῶν οὕτως ἀπολλυμένων ἀνθρώπων ἔν τινι τῆς θρησκείας διαλέξει ἑτέρωι ἢ τῶι Σίμωνος ὀνόματι ποιεῖσθαι ἢ οἰκίαν αὐτοῖς ἢ ἀγρὸν ἢ προάστειον ἢ ὁντινοῦν ἄλλον
L III 1211 τόπον συνόδου ἕνεκα λεληθότως ἢ φανερῶς παρασχεῖν. τοὺς γὰρ τοιούτους ὁρίζομεν πάσης συνόδου ἀδείας στερίσκεσθαι, προδήλου ὄντος ἅπασιν ὡς ὁ παραβαίνων τε τὸν νόμον τοῦτον καὶ Νεστόριον μιμούμενος δημεύσει τῶν ὑπαρχόντων τιμωρηθήσεται. ἡ μεγίστη τοίνυν καὶ περιφανής σου ἐξουσία ταύτην ἡμῶν τὴν διάταξιν εἰς γνῶσιν ἁπάντων τῶν τὰς ἐπαρχίας οἰκούντων διατάγμασι συνήθως ἐλθεῖν παρασκευάσει. τὸν νόμον δὲ τοῦτον τῇι τε Ῥωμαίων τῇι τε Ἑλλήνων τεθείκαμεν γλώττηι, ὡς πᾶσιν σαφῆ καὶ γνώριμον εἶναι.

---

15 Gelas. HE 2, 36 31 subscribitur in Theodosiano 16, 5, 66: DAT. III NON. AVG. CONSTANTP D N THEOD. A. XV ET QVI FVERIT NVNTIATVS CONSS. [435]. anni certe notationem falsam esse inde sequitur quod in titulo nr. 110 Isidorus consul ordinarius [436] dicitur

---

V, M, P [= hk], S, D [= mn], ΛWΛιΛc

ρια V ρβ P ριβ D 4 νόμου κατὰ νεστορίου DΛ superscr. *Imperatores Caesares Theodosius et Valentinianus victores triumphatores maximi semper uenerabiles augusti* Λc 6 ὀνόμασι — πρέποντι P τοῖσ τῇ W 7 ὑπομένειεν V ὑπομείνοιεν SD 7/8 τῶν — ἀτιμίαν] τιμωρίαν τῶν ἁμαρτημάτων V 8 ζῶντασ D ζῶντοσ S θανόντασ D θανόντοσ S ὑπάρχειν VMSDW 9 κεκριμένου W κατακεκριμμένου V *occultato* Λt 10 αὐτῶ D καθυποβαλεῖν SD 11 τοιούτων Λtc τοιούτω VMPSDAW 11/12 τὰ δόγματα W 12 τοῦτο SD 14 ἐκείνου] *illorum* Λtc 17 καταγωνίζεσθαι A οὐ παιδεύσεωσ VMPAΛt οὐ παιδεύματοσ SD παιδεύσεωσ W *sceleratos non eruditionis* Λc, scripserim ⟨ἀσεβείας⟩ οὐ παιδεύσεως 20 δεῖ] δὴ VW 24 προάστειον ἢ ἀγρὸν W 26 ἀδείασ συνόδου P πρόδηλον S τε om. D 27 νεστόριοσ S δημεύσεισ W 29 διὰ τάγματοσ συνήθουσ W 30 ῥωμαικῆ SD ἑλλήνιυ SD

112 = S 118 A 152. Latina uersio extat in Collectione CT 68

Φλαύιος Ἀνθέμιος Ἰσίδωρος, Φλαύιος Βάσσος, καὶ Φλαύιος Σιμπλίκιος Ῥηγῖνος οἱ ἔπαρχοι λέγουσιν M V 416

Οὐδὲν οὕτω φίλον τοῖς κρατοῦσιν ὡς τὸ διὰ πάντων εὐσεβεῖν, οἳ δὴ εἰ τῆς ἐν ταῖς πράξεσι διηνεκῶς ἐπιμελεῖσθαι καθ' ἑκάστην ὡς εἰπεῖν οὐκ ὀκνοῦσιν εὐαγείας, νύκτας τε καὶ ἡμέρας συνάπτοντες ἐπὶ φροντίσι, πόσωι μᾶλλον ἐπ' αὐτῆς τῆς εὐσεβείας καὶ τῆς θρησκείας οὐ μετὰ σπουδῆς ἁπάσης παραφυλάττειν ἐγνώκασι; μελλούσης τοίνυν ἀναφύεσθαί τινος παραλόγου τε καὶ ἀνοίας καὶ τόλμης ἀναμέστου θρησκείας, μᾶλλον δὲ οὐδὲ μελλούσης, ἀλλὰ καὶ ἤδη τινὰ πλάνην αὐθεντίας ἐκδικησάσης, τῆι οἰκείαι προμηθείαι ἄνευ τινὸς ταραχῆς μετὰ πάσης γαλήνης, ὅπερ ἔμφυτον αὐτοῖς ἐστιν ἀεὶ καὶ διὰ πάντων φίλον, τὴν τοιαύτην διόρθωσιν γενέσθαι διέταξαν, τοὺς μὲν ἀρχηγέτας τῆς παρανομίας ἐπιτιμίοις τοῖς καθήκουσι σωφρονίσαντες, τῶν δὲ λοιπῶν πρόνοιαν ποιησάμενοι, ὅπως ἂν βλαπτόμενοι μηδέν, νουθεσίαι δὲ μόνηι ἐπὶ τὸ βέλτιον πειθόμενοι μεταρυθμισθέντες μηδὲν τῶν προσόντων ἀποκτήσαιντο, τὸ δὲ τέλειον καὶ ὅπερ ἀίδιον καὶ μετὰ ἀποβίωσιν ὑπάρχει κτῆμα τὸ τῆς εὐσεβείας βεβαίως ἐπιγνόντες φυλάξωσιν. ἀλλ' ἐπειδὴ τὸ ἀνθρώπινον, προληφθὲν ἄπαξ καὶ σαγηνευθὲν δολεροῖς τε λόγοις καὶ χείροσι λογισμοῖς, δυσπειθὲς καὶ δεῖ πρὸς τοῦτο καὶ φόβου πολλοῦ καὶ βαρυτάτων ἐπιτιμίων, τοὺς μὲν παραχαράττοντας τὰ τῆς πίστεως δόγματα προστάττουσιν ἡσυχάζειν τε τοῦ λοιποῦ καὶ μεταβουλεύσασθαι κάλλιον καὶ μήτε αὐτοὺς εἴς τινα τόπον συνιέναι μήτε ἑτέροις στάδιον ἀσεβείας ἀποδεικνύναι τι τῶν αὐτοῖς διαφερόντων χωρίων ἢ ἐν ἄστει ὂν ἢ ἀπωικισμένον ἢ πλησιάζον πόλει, [ἢ] ἁπλῶς ⟨δ'⟩ ἄβατον εἶναι τοιαύτης συνόδου πᾶσαν τὴν γῆν· τοὺς δέ γε ταῖς φρενοβλαβέσι συνθέσεσιν Νεστορίου τιθεμένους καὶ ἐφόδια τῆς πλάνης τὰς βίβλους ἔχοντας αὐτοῦ οἰκτείραντες μᾶλλον ἢ τιμωρησάμενοι προαγγέλλουσιν ἐκεῖνά τε πυρὶ παραδιδόναι καὶ ἀφανίζειν, ὅπως ἂν μὴ μνημόσυνα τοσαύτης πλάνης ἐν τῆι πολιτείαι καλινδούμενα ἐμπόδια τῆι ἀληθεῖ γίνοιντο πίστει, μήτε γράφειν γε ἕτερα, οἷς μηδὲ τὴν ἀρχὴν ἐμπεσεῖν εὐαγέστερον, μηδὲ ἐντυγχάνωσι τοῖς τοιούτοις, ἀφ' ὧν ἡ ζημία τοῦ παντὸς τὴν ἀπώλειαν ἔχει. τί γὰρ ψυχῆς καὶ πίστεως προτιμότερον; ἃ τὰ τοιαῦτα τῶν ἀναγνωσμάτων βλάπτει καὶ τὸ καίριον τῆς ψυχῆς τυφλοῦντα πρὸς τὸ χεῖρον ἐπείγεσθαι παρασκευάζει. καὶ ἵνα μηδὲ λάθοιεν οἵτινες εἶεν, ἢ ἐπίκλησίν τινα ἔχοντες πρόσφορον ὑπομιμνήσκοιεν τοῦ αὐθέντου τῆς δραματουργίας αὐτῆς, εἰς ἀνάμνησιν ἄγοντες ὃν κάλλιον παραδίδοσθαι λήθηι, Σιμωνιανοὺς μὲν αὐτοὺς προστάτουσι καλεῖσθαι, βαρυτάτ ις δὲ ἐπιτιμίοις, εἰ παραβαῖεν εἰς τὸ μέλλον, σωφρονίζοντες. ὡς δ' ἂν γνοίητε τὴν γαλήνην, τὴν εὐσέβειαν τῶν προστεταγμένων, τὴν πρόνοιαν ἣν διὰ πάντων τοῖς ὑπηκόοις νέμουσι, τῶν εὐσεβεστάτων ἡμῶν βασιλέων τῶν μόνων ἀποδιδόντων M V 417 L III 1214

V, P [= hk], S, D [= mn], ΑΛ^{t}Λ^{c}

inscr διάταγμα τῶν ἐπάρχων ὥστε μὴ ἀναγινώσκεσθαι τὰ νεστορίου D ριβ V ρϛ P ριβ D 2 φλ ανθέμιοσ S φλησανθέμιοσ PD φλαύιοσ βάσσοσ A φλησβάσσοσ P φλισβασοσ V φλησβάσιοσ S φλησάβιοσ D φλησιυπλίκιοσ P φλησσυμπλίκιοσ SD ριγῖνοσ P 4/5 οἳ — καθ' ἑκάστην] *aut actibus huiusmodi diligentiam adhibere qui cottidie* Λ 4 εἰ V εἰ καὶ P τὸ D om. SA τῆς] ταῖσ S om. D 5 εὐαγεῖσ SD ζωῆσ εὐαγοῦσ P 5/6 τε καὶ ἡμέρας] ἡμέραισ SD 6 πόσωι] πολλῶ A 7 σπουδῆς ἁπάσης] πολλῆσ σπουδῆσ SD ἐγνώκασι] *consueuerunt* Λ 10 αὐτοῖς om. SD 11 διέταξαν A διέταξε VP προσέταξαν SD 12 προσήκουσι D 13 νομοθεσία SD μεταρρυθμισθέντεσ SA 14 καὶ ὅπερ A καὶ ὅπερ καὶ P ὅπερ καὶ SD καὶ ὅπερ αἴτιον καὶ V βίουσιν VAΛ 15 ἐπιγνόντεσ βεβαίωσ SD φυλάξουσιν P προσληφθὲν D 16 τε om DΛ τε καὶ S καὶ om Λ χείροσι] *meliuribus* Λ^{c} λογισμοῖς om. D 17 παρασχόνταϲ P 20/21 ἁπλῶς δ' scripsi secundum Λ ἢ ἁπλῶσ VPSDA 21 τῆσ τοιαύτησ P φρενοβλαβίαισ καὶ V 22 μᾶλλον om. P 23 προσαγγέλλουσιν P παραγγέλλουσιν D 24 τῆσ τοσαύτησ P πλάνης] βλάβης Λ γίγνοιντο PA γένοιντο V 25 γε] τὲ P om D ἐντυγχάνουσι S 27 προτιμώτερον P 28 τυφλοῦν SD μηδὲν D εἴ τινεσ P 29 τοῦ τῆσ P 30 ἄγονταϲ SD ὃν S ὧν VPA ἣν D ὃ Λ 31 σωφρονίζεσθαι P 33 μόνων VAΛ μόνω P μόνον SD

τῶι κρείττονι διὰ πίστεως ἀμοιβὴν τὴν ἀξίαν τῶν εἰς αὐτούς τε καὶ τὴν οἰκουμένην ἅπασαν καταβληθεισῶν εὐεργεσιῶν, τοῦδε ἡμῶν τοῦ προγράμματος κατὰ τὸ εἰωθὸς τὸν τοῦ θείου φωτὸς γέμοντα νόμον προλάμπειν προσετάξαμεν, ὧι πεισθέντες τιμωρίας ἑαυτοὺς ἐλευθέρους καταστήσετε καὶ εἰς τὸ μέλλον τοῦ μήκους τοῦ παντὸς αἰῶνος εὐσεβεῖν μαθόντες ἀθανάτοις εὐεργεσίαις προσομιλήσετε, τοσαῦτα ὠφεληθέντες ὅσα τε βασιλεὺς νομοθετῶν θεός τε εὐσεβούμενος πέφυκεν ὠφελεῖν.

113 = S 119 A 91 = A 153

M V 257
L III 1059

Ἐπιστολὴ συνοδικὴ γραφεῖσα ἀπὸ Κωνσταντινουπόλεως

Τοῖς θεοφιλεστάτοις καὶ εὐλαβεστάτοις ἀδελφοῖς καὶ συνεπισκόποις πᾶσι τοῖς τῆς Παλαιᾶς Ἠπείρου Μαξιμιανὸς Ἰουβενάλι ς Ἀρκάδιος Φίλιππος Φλαυιανὸς Φίρμος Θεόδοτος Ἀκάκιος Εὐόπτιος Δανιὴλ καὶ ἡ συμπαροῦσα αὐτοῖς ἁγία σύνοδος ἐν κυρίωι χαίρειν. Εἰδότες τὴν τῶν ἀποσχισάντων ἐπιβουλήν τε καὶ ἀπάτην τὴν κατὰ τῶν ἐκκλησιῶν παρ' αὐτῶν γινομένην καὶ ὅτι περιτρέχοντες ἑκάστην ἐκκλησίαν, ὡς κοινωνικοὶ τῆς ἁγίας καὶ μεγάλης συνόδου τῆς ἐν Ἐφέσωι, σπουδάζουσιν ἀπατᾶν ἕκαστον καὶ τὴν πρὸς λαούς τε καὶ κλήρους κοινωνίαν ἐφέλκεσθαι, πολλὴν περὶ τούτου πρόνοιαν ποιούμενοι ἐδικαιώσαμεν
d. 25. m Oct 431 ἅμα τῶι καταστῆναι τὸν τὰ πάντα θεοφιλέστατον καὶ ἁγιώτατον τὸν κύριον ἐπίσκοπον Μαξιμιανὸν τῆς μεγαλοπόλεως τὸ γράμμα τοῦτο πρὸς ὑμᾶς σὺν αὐτῶι διαπέμψασθαι ἵνα γνόντες τὰ κατ' αὐτοὺς παντοίως αὐτούς τε καὶ τὴν πρὸς αὐτοὺς κ ινωνίαν φυλάξησθε. ὑπὲρ δὲ πλείονος ἀσφαλείας καὶ τοῦ γνῶναι ὑμᾶς ὅτι οὐχ ἡμετέροις μόνοις πειθαρχεῖτε γράμμασιν, ἀλλὰ καὶ δόγμασι τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδ υ τῆς ἐν Ἐφέσωι, ὑπετάξαμεν τὸ συνοδικον γράμμα, ὥστε ὑμᾶς καὶ ἐξ ἐκείνου πληροφορηθῆναι τίνα τέ ἐστι τὰ τυπωθέντα περὶ τῶν ἀποστατησάντων καὶ τὰ Νεστορίου φρονησάντων καὶ οἷα τὰ ἐπιτίμια κατὰ τῶν κοινωνεῖν αὐτοῖς τολμώντων.

Πᾶσαν τὴν σὺν ὑμῖν ἀδελφότητα ἡμεῖς τε καὶ οἱ σὺν ἡμῖν πάντες προσαγορεύομεν. ἐρρωμένοι ἐν κυρίωι ὑπερεύχεσθέ μου, θεοφιλέστατοι ἀδελφοί.

Ὁμοίως καὶ οἱ λοιποὶ οἱ προγεγραμμένοι ἐπίσκοποι ὑπέγραψαν.

Ἔστι δὲ τὸ συναποσταλὲν ταύτηι τῆι ἐπιστολῆι συνοδικὸν γράμμα τοῦτο

I. III 1062
ep 91

Ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος ἡ ἐν Ἐφέσωι συγκροτηθεῖσα ἐκ θεσπίσματος τῶν εὐσεβεστάτων βασιλέων τοῖς καθ' ἑκάστην ἐπαρχίαν τε καὶ πόλιν ἐπισκόποις τε καὶ πρε-

---

V, P [= hk] S, D [= mn], A Λ1Λc

2 γράμματοσ P τοῦ om PSD 3 προετάξαμεν SD 4 καταστήσατε SD καὶ VA om PSDΛ 5 *immortaliaque* Λ 6 in fine add τὸ τοιοῦτον [τὸ τοιοῦτον om. VP] γράμμα τῶν ἐπάρχων συναποστάλη [συναποσταλὲν VP] τῶι θείωι νόμωι καθ' ἑκάστην ἐπαρχίαν VPA

V, P [= hk], S, D [= mn], A [= A 153], A_1 [= A 91, usque ad 23]

8 ἐπιστολη — κωνσταντινουπόλεωσ VPSDA ἐπιστολὴ μαξιμιανοῦ τοῦ ἁγιωτάτου ἀρχιεπισκοπου κωνσταντινουπολεωσ καὶ τῶν ἀπὸ τῆσ ἐφέσου ἁγίασ συνόδου σταλέντων ἑπτὰ ὁσιωτατων ἐπισκοπων τῶν καὶ χειροτονησάντων αὐτὸν καὶ τῶν λοιπῶν ἐπισκόπων τῶν ἐνδημιούντων τῆι βασιλίδι πόλει σταλεῖσα κατὰ πᾶσαν ἐπαρχίαν A_1 ριγ̄ V ρδ̄ P ριβ̄ D, in ριγ̄ corr m 9 πᾶσι τοῖσ hSDA πᾶσι Vk om A_1 10 Παλαιᾶς Ἠπείρου] κατα τήνδε τὴν επαρχίαν ἁγίασ τοῦ θῦ ἐκκλησίασ A_1 φλαυιανὸσ φίρμοσ φίλιπποσ πρεσβύτεροσ A_1 11 εὐόπιοσ V Δανιὴλ om A_1 αὐτοῖς] ἡμῖν A_1 ἐν — χαίρειν om. V 12 βουλὴν PD 13 γενομένην VPA παρατρέχοντεσ VPSA 13/14 καὶ μεγάλης om SD 14/15 λαικοὺσ τε καὶ κληρικοὺσ A_1 15 καὶ πολλην A_1 ἐπίσκοπον τὸν κύριον A_1 17 μεγάλησ πόλεωσ P ἡμᾶσ S 19—21 ὅτι — ὑμᾶς om. SD 20 δογματι A_1 22 τὰ] κατὰ S τὰ A_1 τὲ VPSA om D 24—p 71, 3 om A_1 24 ἡμῖν S 25 μου] ἡμῶν Λ 27 τῆσ ἐπιστολῆσ S 29 εὐσεβεστάτων] αὐτοκρατόρων SD 29/p 70, 1 τῶν καθ' — ἐπισκόπων τε καὶ πρεσβυτέρων καὶ διακόνων SD

σβυτέροις καὶ διακόνοις καὶ παντὶ τῶι λαῶι. Συναχθέντων ἡμῶν κατὰ τὸ εὐσεβὲς γράμμα ἐν τῆι Ἐφεσίων μητροπόλει, ἀπέστησαν τινὲς ἐξ ἡμῶν, ὄντες τὸν ἀριθμὸν τριάκοντα μικρῶι πρός, καὶ τὰ λοιπὰ ὡς προγέγραπται

114 = S 83 A 88. Latina uersio extat in Collectione CT 65

Τῶι θεοφιλεστάτωι καὶ εὐλαβεστάτωι συλλειτουργῶι Κυρίλλωι Μαξιμιανὸς ἐν κυρίωι χαίρειν. 5 PG 77, 148
Πεπλήρωταί σοι τὰ τῆς ἐπιθυμίας, θεοφιλέστατε· ἤνυσταί σοι ὁ ὑπὲρ τῆς εὐσεβείας σκοπός· PG 149
εἰς πέρας ἐλήλυθεν ὁ ὑπὲρ τῆς εὐσεβείας πόθος. θέατρον ἐγένου καὶ ἀγγέλοις καὶ ἀν- M V 260
θρώποις καὶ πᾶσι τοῖς τοῦ Χριστοῦ ἱερεῦσιν· οὐ μόνον ἐπίστευσας εἰς Χριστόν, ἀλλὰ γὰρ 1 Cor. 4, 9
καὶ ὑπὲρ αὐτοῦ ἔπαθες. μόνος ἄξιος ἐκρίθης τῶν παθημάτων τοῦ Χριστοῦ, καταξιωθεὶς Gal. 6, 17
τὰ στίγματα αὐτοῦ ἐν τῶι ἰδίωι σώματι βαστάσαι. ὡμολόγησας αὐτὸν ἔμπροσθεν τῶν Mt. 10, 32
ἀνθρώπων· ὡμολογήθης παρ' αὐτοῦ ἔμπροσθεν τοῦ πατρὸς καὶ τῶν ἁγίων ἀγγέλων, ἀνεδήσω 11
τοὺς ὑπὲρ τῆς εὐσεβείας στεφάνους. πάντα ἴσχυσας ἐν τῶι ἐνδυναμοῦντί σε Χριστῶι· Apoc. 2, 10
ἐταπείνωσας τὸν σατανᾶν διὰ τῆς ὑπομονῆς· κατεγέλασας κολαστηρίων· ἐπάτησας θυμὸν Iac. 1, 12
ἀρχόντων· λιμοῦ κατεφρόνησας· ἔσχες γὰρ τὸν ἄρτον τὸν ἐκ τοῦ οὐρανοῦ κατελθόντα καὶ Ioh. 6, 50
ζωὴν δεδωκότα τοῖς ἀνθρώποις τὴν ἄνωθεν. ἐπεὶ τοίνυν οὐδὲ ἡμεῖς ἀπελείφθημεν 15
τούτων, τὰ μὲν αἰσθητῶς παιδευόμενοι ἐνταῦθα, τὰ δὲ ἐν τῆι ἀκοῆι τῆς ὑμετέρας θλίψεως
πρὸς τὰς ἀρχὰς ἀντικαταστάντων, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκρά- Eph. 6, 12
τορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας,
παρήχθημεν δὲ εἰς τὴν ἀρχιερωσύνην τῆς μεγαλοπόλεως, καταξίωσον, θεοφιλέστατε, εὐχαῖς
τε ἡμᾶς ὑποστηρίζειν καὶ συμβουλαῖς στοιχειοῦν καὶ πάσηι περὶ ἡμᾶς κεχρῆσθαι εὐνοίαι, 20
ὥστε πληρωθῆναι καὶ ἐφ' ἡμῖν τὸ γραφικὸν ῥητὸν ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθού- Prov. 18, 19
μενος ὡς πόλις ὀχυρά. ἀληθῶς γὰρ ἡ πνευματικὴ ἀγάπη πόλις ἐστὶν ὀχυρά, οὐ δυναμένη καταγωνισθῆναι οὔτε πολιορκηθῆναι ὑπὸ τοῦ διαβόλου οὔτε ὑπωρυγαῖς οὔτε ὑπερβάσεσιν.
οὔτε γὰρ εἴκει ταῖς ἐλεπόλεσι τοῦ σατανᾶ διὰ τὸ παρὰ τοῦ δεσπότου Χριστοῦ φυλάσσεσθαι,
Χριστοῦ τοῦ τὸν κόσμον νικήσαντος καὶ τὰ αἰώνιά σοι ἀγαθὰ ἑτοιμάσαντος, τοῦ εἰρηκότος 25
ὅστις οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ Mt. 10, 39
ἔστί μου ἄξιος. ἄξιος οὖν τοῦ δεσπότου Χριστοῦ διὰ τὸ λαβεῖν τὸν σταυρὸν καὶ ἀκολουθῆσαι αὐτῶι γενόμενος, μὴ ἀμέλει τῆς περὶ ἡμῶν πρὸς τὸν Χριστὸν πρεσβείας, τὰ δὲ ἀδελφικὰ κατορθώματα οἰκεῖα προτερήματα λογιζόμενος. 29

Ἐρρωμένος ἐν κυρίωι ὑπερεύχου μου, θεοφιλέστατε καὶ ὁσιώτατε ἀδελφέ. L III 1063

V, P [= hk], S, D [= mn], A
2 ἀπεστάτησάν S 3 προλάμπει P add. ζήτει ὄπισθεν D
V, P [= hk], S, D [= mn], AWJΛ¹Λc
inscr. ἴσον ἐπιστολῆς γραφείσης παρὰ τοῦ γενομένου ἐπισκόπου κωνσταντινουπόλεως μαξιμιανοῦ πρὸς κύριλλον ἀρχιεπίσκοπον ἀλεξανδρείας VP ἐπιστολὴ μαξιμιανοῦ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου κωνσταντινουπόλεως πρὸς κύριλλον τὸν ἁγιώτατον κατὰ νεστορίου καὶ περὶ τῆς οἰκείας χειροτονίας AJ ριδ̄ V ρε̄ P π′ D 5 εὐλαβεστάτω VPAJΛ ἁγιωτάτω SDW κυρίλλω ἀρχιεπισκόπω ἀλεξανδρείας SDW 6 θεοφιλέστατε om. S 7 εἰς — πόθος om. W εἰς — εὐσεβείας] καὶ V ἀληθείας AJ 8 ἱερεῦσιν] ἀνθρώποισ καὶ ἱερεῦσιν V γὰρ om. D 9 τῶν τοῦ χ̄ῡ παθημάτων VP 11 παρ' αὐτοῦ — πατρὸς VPAJΛc παρὰ τοῦ πατρὸς SDWΛt καὶ AJΛtc ἐπὶ VP om. SDW ἁγίων om. SDWJ ἀνεδύσω P ἐνεδύσω W ἐνεδήσω AJ 13 post σατανᾶν add. *confringens eius arcum* Λc δικαστηρίων SW ἠπάτησασ S 14 τὸν om. W τὸν om. S 15 ἡμεῖσ οὐδὲν ὑπελείφθημεν SDW 16 τούτων om. SW μὲν γὰρ P παιδευόμεθα P τὰ om. S τῆσ — θλίψεωσ SDWΛ τῆσ θλίψεωσ τῆσ περὶ ὑμῶν VPA τῆσ περὶ ὑμῶν J 17 ἀντικαταστάντιων V ἀντικατυστάντεσ PS ἀντικαθιστάντεσ DAWJ 19 μεγαλουπόλεωσ D μεγάλησ πόλεωσ P καὶ καταξίωσον S 21 πληροφορηθῆναι S 22 ἐστὶν om. S 24 ἥκει V ἐκεῖ S φυλάττεσθαι P 27 ὑπὸ τοῦ V χ̄ῡ φυλάσσεσθαι χ̄ῡ τοῦ τὸν κόσμον νικήσαντοσ V τὸ] τοῦ SDW σταυρὸν αὐτοῦ SDW 28 χ̄ν̄ SDWAJΛ δεσπότην χ̄ν̄ VP 30 μοι P ὁσιώτατε VPAJ ἁγιώτατε SDW ἀδελφρέ VPAJΛ ἀδελφέ καὶ συλλειτουργέ SDW

115 = S 84 A 89

Τῶι εὐλαβεστάτωι καὶ θεοφιλεστάτωι συλλειτουργῶι Μαξιμιανῶι Κύριλλος ἐν κυρίωι
PG 152 χαίρειν. Πρέπειν οἶμαι καὶ νῦν εἰπεῖν, τῆς σῆς τελειότητος τὴν πολύευκτον ἡμῖν λαχούσης
1 Paral. 16,31 ἱερωσύνην· εὐφρανθήτω ὁ οὐρανὸς ἄνωθεν, χαιρέτω δὲ καὶ ἡ σύμπασα γῆ καὶ βοάτω μετ'
Dan. 7, 20 εὐφροσύνης κατὰ τὴν τοῦ προφήτου φωνήν. οὐ γὰρ ἔτι στόμα λαλοῦν μεγάλα τῆς τοῦ
Ps. 74, 6 σωτῆρος ἡμῶν κατεπαίρεται δόξης οὔτε μὴν ὁ τοῦτο δρᾶν εἰωθὼς τὸ κέρας εἰς ὕψος ἐπαίρει
καὶ ἀδικίαν λαλεῖ κατὰ τοῦ θεοῦ, τὸν ἀγοράσαντα ἡμᾶς δεσπότην ἀρνούμενος. ἐξεπρίατο
1 Petr. 1, 18 γὰρ ἡμᾶς Ἰησοῦς ὁ Χριστὸς ὁ εἷς τε καὶ μόνος καὶ ἀληθῶς υἱὸς τοῦ θεοῦ καὶ πατρός, οὐ
Ioh. 10, 15
Eph. 5, 2 φθαρτοῖς ἀργυρίωι ἢ χρυσίωι, τεθεικὼς δὲ μᾶλλον ὑπὲρ ἡμῶν τὴν ἑαυτοῦ ψυχὴν
M V 261 καὶ ὡς ἄμωμον ἱερεῖον ἑαυτὸν προσκομίσας εἰς ὀσμὴν εὐωδίας τῶι θεῶι καὶ πατρὶ καὶ
δοὺς ἀντάλλαγμα τῆς ἁπάντων ζωῆς τὸ ἴδιον αἷμα. καὶ γὰρ ἦν ἁπάντων ἀξιώτερος,
μᾶλλον δὲ καὶ ὑπὲρ πᾶσαν τὴν κτίσιν, εἰ καὶ γέγονε καθ' ἡμᾶς τέλειος ἄνθρωπος ὁ μονο-
γενὴς τοῦ θεοῦ λόγος, οὐ τροπήν, οὐκ ἀλλοίωσιν, οὐ τὴν θρυλουμένην ἀνάχυσιν ὑπομείνας,
οὐ φυρμόν, οὐ μετάστασιν τὴν εἰς ὅπερ οὐκ ἦν, μεμενηκὼς δὲ μᾶλλον καὶ ἐν τῆι καθ'
ἡμᾶς ἀνθρωπότητι τοῦθ' ὅπερ ἦν, πεπίστευται καὶ ἔστιν ἀληθῶς, ζῶν τε καὶ ἐνυπόστατος
τοῦ πατρὸς λόγος. φέρε τοίνυν ὡς ἀπὸ γλώττης μιᾶς καὶ θεοφιλοῦς διανοίας τῆς ὀρθῆς
Bar. 3, 36-38 πίστεως τὴν ὁμολογίαν αὐτῶι προσφέρωμεν, λέγοντες μετὰ τοῦ μακαρίου Βαρουχ οὗτος
ὁ θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. ἐξεῦρε πᾶσαν ὁδὸν
ἐπιστήμης καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῶι παιδὶ αὐτοῦ καὶ Ἰσραὴλ τῶι
ἠγαπημένωι ὑπ' αὐτοῦ. καὶ μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀν-
θρώποις συνανεστράφη. οὐ γὰρ ἕτερος μὲν ἦν υἱὸς τοῦ θεοῦ καὶ πατρὸς ὁ πρὸ
παντὸς αἰῶνος καὶ χρόνων, ὁ δι' οὗ τὰ πάντα παρήχθη πρὸς γένεσιν, ἕτερος δὲ πάλιν ὁ
ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς διὰ τῆς ἁγίας παρθένου κατὰ σάρκα γεγεννημένος, ὁ αὐτὸς
Hebr. 2, 16.14 δὲ μᾶλλον, σπέρματος Ἀβραὰμ ἐπιλαβόμενος κατὰ τὴν τοῦ μακαρίου Παύλου φωνὴν
καὶ παραπλησίως ἡμῖν μετεσχηκὼς αἵματος καὶ σαρκός, ὁμοιωθεὶς κατὰ πάντα
Hebr. 4, 15 τοῖς ἀδελφοῖς, τουτέστιν ἡμῖν, δίχα μόνης ἁμαρτίας. ἐψυχῶσθαί γε μὴν ψυχῆι νοερᾶι
προσομολογοῦμεν τὸ ἐνωθὲν αὐτῶι κατὰ ἀλήθειαν σῶμα. ὐ γὰρ ταῖς τοῦ φρενοβλαβοῦς
Ἀπολιναρίου προσκείμεθα δόξαις, ἀναθεματίζομεν δέ, φρονοῦντες ὀρθῶς, Ἀπολινάριόν τε καὶ
Ἄρειον καὶ Εὐνόμιον καὶ σὺν αὐτοῖς Νεστόριον. τὴν γὰρ ἄνωθεν ἡμῖν παραδοθεῖσαν
Hebr. 6, 19 πίστιν ὡς ἄγκυραν ἔχομεν τῆς ψυχῆς ἀσφαλῆ τε καὶ βεβαίαν κατὰ τὸ γεγραμ-
μένον. ὁμολογοῦμεν τοίνυν, ὡς ἔφην, ἕνα καὶ μόνον καὶ ἀληθῶς υἱὸν τοῦ θεοῦ καὶ
L III 1066 πατρὸς τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν, τὸν αὐτὸν εἰδότες καὶ θεὸν λόγον ἐκ πατρὸς
καὶ ἄνθρωπον ἐκ γυναικός, καὶ ὑπὲρ νόμον ὡς θεὸν καὶ ὑπὸ νόμ ν διὰ τὸ ἀνθρώπινον, ἐν
ἀξιώματι τῶι δεσποτικῶι κατὰ φύσιν καὶ ἐν δούλου μορφῆι διὰ τὴν οἰκονομίαν. ταύτην
PG 153 ἡμῖν παρέθεντο τὴν παράδοσιν καὶ λόγοι Μωσαικοὶ καὶ προαγορεύσεις προφητικαί, καὶ αὐτοὶ
Lc. 1, 2 δὲ πρὸς τούτοις οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου καὶ
Phil. 2, 15.16 μὴν καὶ οἱ πρὸ ἡμῶν γεγονότες ἅγιοι πατέρες, οἳ καὶ γεγόνασι φωστῆρες ἐν κόσμωι,

---

V, P [= hk], S, D [= mn], AW

inscr. ἀντίγραφον τοῦ ἐν ἁγίοις κυρίλλου πρὸς τὸν αὐτὸν ἐν ἁγίοις μαξιμιανόν A om. VPSDW ριε̄ V ρς̄ P πα′ D 2 κύριλλος ἐπίσκοπος SDW 3 πρέπον VW 4 ὁ om. S καὶ[1] om. V ἡ γῆ σύμπασα SDW 5 καὶ κατὰ S μέγα S 6 αἴρει S 7 ἡμᾶς ὁ κ̄ς̄ ἡμῶν A 8 ῑσ̄ χ̄σ̄ VP 10 αὐτὸν P 11 πάντων V ἡμετέρας SDW 12 ἄνθρωπος τέλειος W 13 θρυλ-λουμένην VPSDW 14 καὶ μᾶλλον καὶ V 15 τοῦτο ˢDW πεπίστευται δὲ SD καὶ ἔστιν om. SA 16 λόγος τοῦ πατρὸς VP 17 φέρωμεν A βαρουκ S 19 καὶ[1] om. A 20 καὶ[1] om. S τῆς om. S 21 ἦν ὁ A 22 παντὸς μὲν αἰῶνος SD πάντων μὲν αἰώ-νων W χρόνου SD 23 γεγενημένος PS ὁ om. A 25 ὁμοιωθεὶς δὲ SDW ὁμοιωθεὶς τε A 26 ἐμψυχῶσθαι D 27 κατὰ ἀλήθειαν om. S 28 ἀπολλιναρίου S προκείμεθα S ἀπολλινάριόν S 29 καὶ Εὐνόμιον om. A 32 ῑν̄ χ̄ν̄ kW καὶ θ̄ν̄ λόγον SAW θ̄ν̄ λόγον VP καὶ θ̄ν̄ καὶ λόγον D 34 ἐν τῆ P 36 τοῦ λόγου γενόμενοι A 37 ἐν κόσμωι om. V

λόγον ζωῆς ἐπέχοντες· ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς, τὴν πίστιν
ἀπομιμούμεθα, τουτέστι τὰ αὐτὰ καὶ φρονεῖν αὐτοῖς καὶ λαλεῖν σπουδάζομεν, κατ' οὐδένα
τρόπον ἔξω φέρεσθαι τῆς εὐθείας ἀνεχόμενοι τρίβου· μεμνήμεθα γὰρ τῆς θεοπνεύστου
βοώσης γραφῆς ὀρθὰς τροχιὰς ποίει σοῖς ποσὶ καὶ τὰς ὁδούς σου κατεύθυνε. Prou. 4, 26
οἱ μὲν γὰρ τὰς ὀρθὰς τιμῶντες τροχιὰς κατὰ σκοπὸν τρέχουσιν εἰς τὸ βραβεῖον τῆς Phil. 3, 14
ἄνω κλήσεως ἐν Χριστῷ, οἱ δὲ τῆς ἀποστολικῆς τε καὶ εὐαγγελικῆς παραδόσεως ἀλογήσαντες καὶ τὴν νεωτέραν καὶ ἐπισφαλῆ καὶ καταγέλαστον ἀληθῶς τῆς ἑαυτῶν διανοίας τιμῶντες εὕρεσιν ἀκουέτωσαν παρὰ πάντων μὴ μέταιρε ὅρια αἰώνια, ἃ ἔθεντο οἱ Prou. 22, 28
πατέρες σου. οὐ γὰρ ἀστεία τῶν τοιούτων ἡ ὁδός, καμπύλαι δὲ μᾶλλον αἱ τροχιαὶ καὶ
εἰς πέταυρον ἅιδου καὶ παγίδα θανάτου κατακομίζουσαι. καί μοι δοκεῖ σοφὸς ὢν ἄγαν Prou. 9, 18
ὁ Σολομὼν ἀσέμνωι γυναικὶ τὸ ἑκάστης τῶν αἱρέσεων περιθεῖναι πρόσωπον, εἶτα περὶ M V 264
αὐτῆς εἰπεῖν ὡς χρὴ παραιτεῖσθαι καὶ φεύγειν τὴν γυναῖκα, ἥτις ἐστὶ θήρευμα καὶ Eccles. 7, 27
σαγήνη καρδία αὐτῆς, δεσμὸς εἰς χεῖρας αὐτῆς. ἀγαθὸς πρὸ προσώπου τοῦ θεοῦ ἐξαιρεθήσεται ἀπ' αὐτῆς καὶ ἁμαρτάνων συλληφθήσεται ἐν
αὐτῇ. ἀλλ' ἐξηιρήμεθα μὲν ἡμεῖς τῆς τοῦ θηρεύοντος ἁπλήστου παγίδος, σεσώσμεθα 15
δὲ διὰ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ, ὃν καὶ θεὸν εἶναι πιστεύοντες, ὁμολογοῦντες
δὲ θεοτόκον καὶ τὴν κατὰ σάρκα τεκοῦσαν αὐτόν, αὐτῶι πρόσιμεν λέγοντες ζωώσεις Ps. 79, 19
ἡμᾶς καὶ οὐ μὴ ἀποστῶμεν ἀπὸ σοῦ, καὶ τῶι ὀνόματί σου ἐξομολογησόμεθα εἰς τοὺς αἰῶνας. ἁπάντων δὲ τούτων ἡμῖν τῶν τριποθήτων ἀγαθῶν γέγονε
πρόξενος ἡ θεία τε καὶ ἀπόρρητος καὶ ἄνωθεν ψῆφος καὶ ἡ τοῖς ἄνωθεν νεύμασι συντρέ- 20
χουσα γνώμη τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου βασιλέως. ἔπρεπε γὰρ τῇι γαληνότητι
αὐτῶν μὴ μόνον ὁρατοὺς καταπαλαίειν ἐχθρούς, ἀλλὰ γὰρ πρὸς τούτωι καὶ ἀοράτους, καὶ
βαρβαρικὰς μὲν συνθραύειν φάλαγγας, ἀπράκτους δὲ καὶ τὰς τοῦ διαβόλου δυστροπίας
ἀποτελεῖν καὶ τοῖς εἰς Χριστὸν πιστεύουσι διὰ τῆς σῆς θεοσεβείας πρυτανεύειν τὴν ἀσφάλειαν. ὁ μὲν γὰρ εἰκῆι βατταρίζων ἐν ἐκκλησίαι καὶ ταῖς κατὰ Χριστοῦ δυσφημίαις 25
ἀκρατὲς ἀνοίγων τὸ στόμα τῆς ἱερᾶς τε καὶ θείας ὑπεχώρησεν αὐλῆς, ἀντανέφυ δὲ καὶ
ἀνεβλάστησεν ἡ σὴ τελειότης ὡς φυτὸν εἰρήνης κατὰ τὸ γεγραμμένον, ξένιον δὲ καὶ τοῦτο Ezech. 34, 29
λαμπρὸν βασιλέως εὐσεβοῦς, προηγουμένης, ὡς ἔφην, τῆς ἄνωθεν ψήφου.

Συνηδόμεθα τοίνυν καὶ ὑμῖν τοῖς τὴν ὀρθὴν καὶ ἀμώμητον ἔχουσι πίστιν· ἐγήγερται
γὰρ ἱερουργὸς ἀνὴρ ὃν ἴστε καὶ χρόνος ὑμῖν παρέθετο μακρός, καὶ αὐτὴ δὲ τῶν πραγμά- 30
των ἐστεφάνωσεν ἡ πεῖρα, ἀνὴρ ταῖς εἰς ὑμᾶς ἀγαθαῖς φροντίσι μακροὺς δαπανήσας χρό- PG 156
νους καὶ τὴν οὕτω πάνσεμνον πολιὰν ἐξηνθηκώς. ἔδει γὰρ ἔδει ταῖς ἐξαιρέτοις μάλιστα L III 1067
τοῦ σωτῆρος ἀγέλαις σοφόν τε καὶ ἐπιστήμονα δοθῆναι τὸν ἐπιστάτην, π ιμενικῆς εὐτεχνίας
ἐπίμεστον ἔχοντα τὸν νοῦν, ἐν νομῆι ἀγαθῆι καὶ ἐν τόπωι πίονι κατανέμειν εἰδότα, δεδο- Ezech. 34, 14
κιμασμένον δὲ διὰ πραγμάτων ὡς πιστὸν καὶ γνήσιον οἰκονόμον. τοὺς μὲν γὰρ οὕτω 35
ζῆν εἰωθότας καὶ προσίεται Χριστὸς καὶ λόγου παντὸς ἀξιοῖ, τοὺς δὲ μὴ τοιούτους ἐξίστησι
τῆς ἐγχειρισθείσης αὐτοῖς οἰκονομίας. καὶ τοῦτό ἐστιν ἰδεῖν ἀληθὲς ἐξ αὐτῶν τῶν ἱερῶν

V, P [= hk], S, D [= mn], AW

1 ἀνατροφῆσ S 2 καὶ φρονεῖν αὐτοῖσ τὰ αὐτὰ S τὰ αὐτὰ φρονεῖν αὐτοῖσ V 4 γραφῆσ βοώσησ VPS 5 εἰς τὸ βραβεῖον om. SDW 6 τῆς om. VP τε om. VP παραδόσεως] καθέδρασ S 7 ἐπισφαλῆ VP ἀνωφελῆ SDW ἀνασφαλῆ A 8 τιμῶσιν S μεταίρετε SD 9 ὑμῶν SD τοιούτων ἐστὶν S 10 εἰσ παγίδα A 12 αὐτοῦ S εἰπεῖν om. SW τὴν τοιαύτην V σὺν τὴν A σὲ τὴν P 13 σαγῆναι SD ἡ καρδία AW αὐτῆ S δεσμὸς εἰς] δεσμώσεισ S 13/14 ἀγαθὸς — αὐτῆς om. S 13 ὁ ἀγαθόσ D 14 τοῦ θεοῦ] κῦ D ὁ ἁμαρτάνων D ἁμαρτάνων καὶ S 15 ἀλήστου A 17 πρόσειμεν V προσίεμεν SD ζωώσαι W 19 ἡμῖν τούτων W 21 εὐλαβεστάτου P 22 αὐτοῦ SW 24 τοῖσ] τῆσ S 25 ἐκκλησίαισ SD βλασφημίαισ P 26 τὸ om. W ἀντανέφη P 28 βασιλέωσ εὐσεβοῦσ λαμπρὸν V βασιλείασ S προηγουμένωσ Sm 30 ἡμῖν S 31 ἡμᾶσ D φροντίσιν ἀγαθαῖσ P 34 εἰδότι SW 37 οἰκονομίας] διακονίασ S ἰδεῖν ἀληθέστατον D ἀληθὲσ ἰδεῖν VP

Ies. 22, 15-25 γραμμάτων. ἔφη γάρ που θεὸς πρὸς τὸν μακάριον προφήτην Ἡσαίαν· πορεύου εἰς τὸ παστοφόριον πρὸς Σομναν τὸν ταμίαν καὶ εἰπὸν αὐτῷι· τί σοι ὧδε καὶ τί σοι ἔστιν ὧδε; ἰδοὺ δὴ κύριος Σαβαὼθ ἐκβαλεῖ καὶ ἐκτρίψει ἄνδρα καὶ ἀφελεῖ τὴν στολήν σου καὶ τὸν στέφανόν σου τὸν ἔνδοξον καὶ ῥίψει σε εἰς χώραν μεγάλην καὶ ἀμέτρητον καὶ ἐκεῖ ἀποθανῇι καὶ ἀφαιρεθήσηι ἐκ τῆς οἰκονομίας σου καὶ ἐκ τῆς στάσεώς σου. καὶ ἔσται ἐν τῇι ἡμέραι ἐκείνηι, καλέσω τὸν παῖδά μου Ἐλιακεὶμ τὸν τοῦ Χελκίου καὶ ἐνδύσω αὐτὸν τὴν στολήν σου καὶ τὸν στέφανόν σου δώσω αὐτῷι καὶ τὴν οἰκονομίαν σου δώσω εἰς τὰς χεῖρας αὐτοῦ, καὶ ἔσται ὡς πατὴρ τοῖς ἐνοικοῦσιν ἐν Ἱερουσαλὴμ καὶ τοῖς ἐνοικοῦσιν ἐν Ἰούδα, καὶ δώσω τὴν δόξαν Δαυὶδ αὐτῷι, καὶ ἄρξει καὶ οὐκ ἔσται ὁ ἀντιλέγων. καὶ στήσω αὐτὸν ἄρχοντα ἐν
M V 265 τόπωι πιστῷι, καὶ ἔσται εἰς θρόνον δόξης τοῦ οἴκου τοῦ πατρὸς αὐτοῦ, καὶ ἔσται πεποιθὼς ἐπ' αὐτὸν πᾶς ἔνδοξος ἐν τῷι οἴκωι τοῦ πατρὸς αὐτοῦ, ἀπὸ μικροῦ ἕως μεγάλου, καὶ ἔσονται ἐπικρεμάμενοι αὐτῷι ἐν τῇι ἡμέραι ἐκείνηι. τάδε λέγει κύριος Σαβαώθ· κινηθήσεται ὁ ἄνθρωπος ὁ ἐστηριγμένος ἐν τόπωι πιστῷι καὶ πεσεῖται καὶ ἀφαιρεθήσεται ἡ δόξα ἡ ἐπ' αὐτόν, ὅτι κύριος ἐλάλησεν. ἀγαπᾶι τοίνυν ὁ τῶν ὅλων θεὸς τὸν πιστὸν ἀληθῶς καὶ γνήσιον οἰκονόμον, τὸν δὲ μὴ τοιοῦτον ὡς βέβηλον ἀποστρέφεται. συγκροτήσει δὲ ὅτι τὴν σὴν ὁσιότητα καὶ τοῖς ἄνωθεν εὐφρανεῖ χαρίσμασιν πλουσίαι χειρί, τεθαρσήκαμεν, ἵνα τὸν τῆς ἀληθείας ὀρθοτομοῦσα λόγον καὶ τὴν τῶν ἁγίων πατέρων ἰχνηλατοῦσα πίστιν εὐδόκιμος διαμείνηι διὰ φειδοῦς τε καὶ εὐμενείας τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷι θεῷι καὶ πατρὶ ἡ δόξα σὺν ἁγίωι πνεύματι εἰς τοὺς αἰῶνας. ἀμήν.

Πρόσειπε τὴν παρά σοι ἀδελφότητα. σὲ ἡ σὺν ἡμῖν ἐν κυρίωι προσαγορεύει. ἐρρῶσθαί σε καὶ μνημονεύειν ἡμῶν τῷι κυρίωι εὔχομαι, εὐλαβέστατε καὶ θεοφιλέστατε ἀδελφέ.

116 = S 120 A 154

L III 785 M IIII 1464 Τῷι ἁγιωτάτωι καὶ θεοφιλεστάτωι καὶ ἀρχιερουργῷι Κυρίλλωι Ἀλύπιος πρεσβύτερος τῶν ἀπ στόλων ἐν κυρίωι χαίρειν. Μακάριος ἄνθρωπος ὃν καταξιώσει ὁ θεὸς πρῶτον τοῖς τῆς ἀγάπης ὀφθαλμοῖς ἰδεῖν τὴν θεοφιλῆ καὶ ἁγίαν σου κεφαλὴν τῆς ὁμολογίας τὸν τοῦ μαρτυρίου στέφανον φοροῦσαν. σὺ γάρ, ἁγιώτατε πάτερ, τὴν τῶν ἁγίων πατέρων
3 Reg. 18, 21 ὁδὸν ἐγρηγόρωι τῷι ὄμματι περιεπάτησας καὶ τοὺς χωλαίνοντας ἐπ' ἀμφοτέραις ταῖς ἰγνύαις
Num. 25, 11 ὀρθοποδεῖν πρὸς τὴν ἀλήθειαν ἐδίδαξας· σὺ τὴν παρρησίαν τοῦ Ἠλία ἐνεδύσω καὶ τὸν
Bel et drac. 27, 14-22 ζῆλον τοῦ Φινεὲς μόνος ἀνείληφας· σὺ τὸ δυσσεβὲς στόμα τοῦ ἰοβόλου δράκοντος ἐνέφραξας καὶ τὸν πολυφάγον Βὴλ κατέστρεψας καὶ τὴν μάταιον αὐτοῦ ἐλπίδα, τὴν διὰ χρημάτων
L III 788 αὐτῷι ἐπιγενομένην προστασίαν, ἀρχὴν καὶ ἀνίσχυρον κατέστησας καὶ τὸ κατασκεύασμα

V. P [= hk]. S, D [= mn], AW

1 πορεύθητι V πορευθεὶσ P 2 παστοφορεῖον P σώμναν P σώμαν V ταμίαν] ποταμίαν A καὶ[1] om. P 3 ἔστιν om. S δὴ om. V κύριοσ ὁ θσ̄ P Σαβαὼθ om. SDW ἄνδρα καὶ ἐκτρίψει A 4 ἀφελεῖται P τὸν[1] om. W 5 ἄμετρον SDW ἀφαιρεθείσῃ PW ἀπὸ SDW 6 ἀπὸ W 7 τὸν[2] om. W χαλκίου AW χελκίρου D 9 σου om. VAW δώσει S πᾶσι τοῖσ SDW 10 ἐν[1] om. SW Ἰουδαία P 11 ἄρχει P 12 τῷ οἴκω A 13 αὐτῷ S 14 ἀποκρεμάμενοι W ἀποκρεμμάμενοι S ἐπικεκραμένοι P ἐν αὐτῷ A ἐν om. SW 15 κριθήσεται W ὁ om. SDW ὁ om. VP 16 τόπωι] τῷ VP ἡ[2] om. SW 19 ὅτι om. P 20 τῇ — πίστει P 22 θεῷι καὶ om DA σὺν — πνεύματι om. P καὶ τὸ κράτοσ V αἰῶνασ τῶν αἰώνων VA 23 περὶ σὲ P 24 ὅτι σὲ VP ἡμῶν om. PS

V, P [= hk], S, D [= mn], A

ρις̄ V ρζ̄ P ριδ' D 26 ἁγίω P καὶ[2] om. SD ἀρχιεπισκόπω SD 27 ἂν καταξιώση DA 29 φέρουσαν SD 30 τῷι om. SD χωλεύοντασ SD 31 σύ] οὐ V 32 φηνεὲσ SA, corr. A 33 ματαίαν A τὴν om. V 34 ἀργὴν καὶ VPA καὶ ἀρχὴν SD

τῆς χρυσῆς εἰκόνος νεκρὸν γενέσθαι ἐποίησας. καὶ ποῖον στόμα μύρων ἀπογέμον πνευματικῶν δυνήσεται φθέγξασθαι τοῦ ζήλου τοῦ σοῦ τὰ ἐγκώμια; ὁπότε ἴσος ἐγένου τοῦ μακαρίου Θεοφίλου τοῦ σοῦ θείου μιμητής, ἀλλὰ καὶ τὸ μαρτύρι ν τοῦ τρισμακαρίου Ἀθανασίου ἀνεδήσω καὶ καθάπερ ἐκεῖνος τῶν ἀνόμων αἱρετικῶν τὰς συσκευὰς ὡς σπιλάδας ἐξέφυγε ταῖς προσευχαῖς ἀπωσάμενος, οὕτως καὶ ἡ σὴ ἁγιωσύνη τὰς συσκευὰς τοῦ ἀνόμου ὥσπερ λαίλαπας ἀσθενεῖς κατεκοίμισε τῶι καθαρῶι τῆς συνειδήσεως βίωι. οὕτως γὰρ καὶ ὁ μακάριος Ἀθανάσιος μετὰ πολλὰς τὰς ψευδεῖς ἐπαγγελίας τὰς ὑπὸ αἱρετικῶν αὐτῶι προσγενομένας, ἐώλους ἀποδείξας, καὶ ἀλλοδαπὴν οἰκῆσαι κατεδέξατο ἐξορίας λόγωι, τῶν τότε κρατούντων τοῦτο κατασκευασάντων, καὶ ὅσον ἔσπευδον τὰ μιαρὰ ἐκεῖνα στόματα πλέκειν ψευδῆ ἐγκλήματα, τοσούτωι καθαρώτερος καὶ λαμπρότερος ἀνεδείκνυτο τῆι μακροθυμίαι διαλάμπων. τούτοις τοῖς πλεονεκτήμασι καὶ τούτοις τοῖς ἄθλοις τὸν στέφανον τοῦ μαρτυρίου ἑαυτῶι πλέξας, τὸ ὁμοούσιον ἔστησε καὶ τὴν Ἀρείου κακοδοξίαν κατεπάτησε καὶ τὴν ὀρθοδοξίαν ἀνέστησε καὶ τὸν ἅγιον τοῦ εὐαγγελιστοῦ Μάρκου θρόνον ὕψωσεν. οἷς καὶ αὐτὸς χρησάμενος κατόπιν ἐκείνου τοῦ ἁγίου περιεπάτησας. εὔχομαι τοίνυν, ἁγιώτατε πάτερ, καταξιωθῆναι αὐτοῖς ὀφθαλμοῖς ἰδεῖν τὸ ἅγιόν σου πρόσωπον καὶ κρατῆσαι σῶν γονάτων καὶ ἀπολαῦσαι μάρτυρος ἐν καιρῶι εἰρήνης τοὺς στεφάνους ἀναδησαμένου. ἅπαντα δὲ τὰ καθ' ἡμᾶς, ὡς ἐπαρρησιασάμεθα θαρσήσαντες τῆι σῆι προσευχῆι καὶ τῶν ἁγίων πατέρων καὶ ὅσα ἐποιήσαμεν, λέξει ὁ ἀγαπητὸς διάκονος Κανδιδιανός, ὃς καὶ τὰ γράμματα τῆς ἐμῆς βραχύτητος ἐπιδίδωσι τῆι σῆι ἁγιωσύνηι.

Προσαγορεύω πᾶσαν τὴν ἁγίαν σύνοδον τῶν ἀναδησαμένων τὸν στέφανον τοῦ μαρτυρίου μετὰ τῆς σῆς ὁσιότητος. ἐρρωμένος εὔθυμος, διαπρέπων ἐν κυρίωι, ἀγωνιζόμενος ὑπὲρ τῆς ἀληθείας χαρισθείης ἡμῖν ἀπὸ θεοῦ.

117 = 79; cf. quae ibi adnotaui

118 = S 85 A 96

Τοῦ αὐτοῦ ἀπολογητικὸς πρὸς τὸν βασιλέα Θεοδόσιον L III 1027 M V 225

1 Τῶι εὐσεβεστάτωι καὶ θεοφιλεστάτωι καὶ φιλοχρίστωι Θεοδοσίωι νικητῆι ἀεὶ αὐγούστωι 26 PG76.453
Κύριλλος ἐν κυρίωι χαίρειν. Ἡ μὲν θεία καὶ ἀκήρατος καὶ τῶν ὅλων κατεξουσιάζουσα 1 Tim. 6, 16
φύσις καὶ φῶς ἀπρόσιτον οἰκεῖ καὶ θρόνον ἔχει τὸν ἀνωτάτω τὸν αὐτῆι τε καὶ μόνηι πρε- Col. 1, 16
πωδέστατον, ὃν περιεστήκασιν ἀρχαὶ κυριότητές τε καὶ ἐξουσίαι, καὶ αὐτὰ δὲ τὰ ἅγια σερα- L III 1030
φίμ, καὶ καθά φησι τὸ γράμμα τὸ ἱερόν, πάντα τὰ ἔργα αὐτὴν σείεται καὶ τρέμει. 1 Esra 4, 36
ἀλλὰ καὶ οὕτως δεδοξασμένη καὶ τοῦ παντὸς θαύματος ἰοῦσα πρὸς λῆξιν, τῶι μεγέθει τῆς 31
ὑπεροχῆς καὶ τῆς ἀπορρήτου δυνάμεως ἰσάμιλλον ἔχει τὴν ἡμερότητα· οὐ γὰρ ἂν ἤνεγκεν
ἡ γενητὴ φύσις χρηστότητος ἀμιγῆ τὴν οὕτως ἀλκιμωτάτην καὶ ὑπερφυᾶ δύναμίν τε καὶ

V, P [= hk], S, D [= mn], A
2 τοῦ[1] om. D 3 τρισμάκαροσ V 4 ἀνεδύσω P καὶ καθάπερ PSDA καθάπερ γὰρ V 6 λαίλαποσ S κατεκοίμησε PS κατεκοίμισασ VA 7 μακαριώτατοσ SD 8 ἀπέδειξασ VS ἀπέδειξε D ἀλλοδαπὴν] ἄλλα ὁδάπιν P, corr. k in mg. 9 τότε] τε S 10 τοσοῦτον DA 12 κατεπάτησε] κατέλυσε P 13 τὴν — καὶ om. P εὐαγγελικοῦ A Μάρκου om. D 16 σῶν] τῶν Vn ἀναδησαμένουσ S 17 θαρρήσαντεσ P 19 ἐμῆς] αὐτῆσ P 21 ἐν κω διαπρέπων V
V, P [= hk], S, D [= mn], AWU
ρις V ρθ P πβ' D 25 τοῦ αὐτοῦ κυρίλλου PSDW λόγοσ ἀπολογητικὸσ SDAW πρὸς — Θεοδόσιον om. U τὸν VPW τὸν εὐσεβέστατον A τὸν εὐσεβέστατον [εὐλαβέστατον S] ἡμῶν βασιλέα [βασιλέα ἡμῶν D] SD θεοδόσιον σημαίνων πάντα τὰ πραχθέντα κατὰ τὴν ἐφεσίων πόλιν A 26 εὐλαβεστάτω PSU θεοσεβεστάτω U καὶ om. VhU ἡμῶν βασιλεῖ θεοδοσίω SDAW νικητῆ τροπαιούχω S 29 κυριότητέσ τε VPU κυριότητεσ SD καὶ κυριότητεσ AW δὲ om. S 30 γράμμα] πνα S 31 παντὸς] παρόντοσ V θαυμαστῶσ VU 33 γεννητὴ VS om. D χριστότητοσ D

ἐξουσίαν. καὶ γοῦν ὁ μακάριος προφήτης Δαυὶδ τὰς ὑπέρ τε ἑαυτοῦ καὶ ἁπάντων δὲ
Ps. 103, 14 τῶν ἐπὶ τῆς γῆς ἐποιεῖτο λιτάς, ποτὲ μὲν λέγων· μνήσθητι, κύριε, ὅτι χοῦς ἐσμέν,
Ps. 130, 3 ποτὲ δὲ πάλιν· ἐὰν ἀνομίας παρατηρήσῃς, κύριε κύριε, τίς ὑποστήσεται;
καὶ μὴν καὶ ὁ πανάριστος Ἰὼβ πειραζόμενος ὑπὸ τοῦ διαβόλου πικραῖς τε καὶ ἀφορήτοις
Iob 7, 21 αἰκίαις ἐνισχημένος ἀνακεκράγει πρὸς θεόν· διὰ τί οὐκ ἐποιήσω τῆς ἀνομίας μου
Iob 14, 17 λήθην καὶ καθαρισμὸν τῆς ἁμαρτίας μου; ἐσφράγισας δέ μου τὰς ἀνομίας
2 ἐν βαλαντίῳ, ἐπεσημήνω δέ, εἴ τι ἄκων παρέβην. ἀλλ', οἶμαι, φαίη τις
ἂν πρὸς τοῦτο εὐθύς· τί οὖν, ὦ γενναιότατε τῶν ἀθλητῶν, εἰς ἐγκλήματος δύναμιν κατα-
λογίζῃ τῷι θεῷι τὸ μὴ ἐλεεῖν; εἰ πεπλημμέληκας αὐτός, αἰτιᾶι τὸν νομοθέτην ὅτι μέμνηται
PG 456 τῶν ἡμαρτημένων; ναί, φησίν· ὁ γὰρ ἐλεεῖν πεφυκὼς καὶ οὐκ ἀθαύμαστον ἔχων ἐπὶ τούτωι
τὴν δόξαν διὰ τί μὴ τοιοῦτος ὁρᾶται καὶ εἰς ἐμέ; εἰ μὲν γὰρ ἐνδέχεται κατὰ μηδένα τρό-
M V 228 πον παρολισθεῖν δύνασθαι τὸν ἀνθρώπινον νοῦν, ἀκριβολογείσθω λίαν ὁ κριτής, σφραγιζέτω
τὰς ἁμαρτίας ἐν βαλαντίωι, παραιτείσθω τὴν λήθην τὴν ἐπί γε τοῖς προσκεκρουκόσι καὶ
Iac. 3, 2 ἀδοκήτως ἔσθ' ὅτε· εἰ δὲ πολλὰ πταίομεν ἅπαντες καὶ τὸ εἰς ἅπαν ἀμώμητον αὐτῶι τε
3 καὶ μόνωι πρέπει, χαριζέσθω τὸ ἀμνησίκακον τοῖς εἰωθόσιν ἀσθενεῖν. πρέπει τοίνυν
ταῖς ἀνωτάτω λίαν ὑπεροχαῖς τὸ γάληνόν τε καὶ ἥμερον φρόνημα, πρόσεστι δὲ τοῦτο κατὰ
τρόπον μὲν τὸν ἐξαίρετον τῆι θείαι τε καὶ ὑπερτάτηι φύσει, κατὰ μίμησιν δὲ τὴν πρὸς
αὐτὴν καὶ τῶι ὑμετέρωι κράτει, φιλόχριστοι βασιλεῖς, ὅτι τῆς ἐν οὐρανοῖς βασιλείας ἐκμα-
γεῖον ὥσπερ τι καὶ μίμημα τοῖς ἐπὶ τῆς γῆς ὑμεῖς δὴ καὶ μόνοι τὸ κατὰ πάντων λαχόν-
τες κράτος φόβωι τε καὶ ἡμερότητι σώιζοντες τὸ ὑπήκοον καὶ οἷόν τινα λαμπράν τε καὶ
4 εἰρηνικὴν εὐδίαν τοῖς ἀνὰ πᾶσαν ἁπλοῦντες τὴν ὑπ' οὐρανόν. ταύτηι τοι κἀγὼ παρωρ-
μήθην ἀναγκαίως ἐπί γε τὸ δεῖν ταῖς καθηκούσαις ἀπολογίαις λελυπημένην ὑμῶν θεραπεῦσαι
τὴν εὐσέβειαν. ὃ δὲ ἦν μοι μάλιστα τοῦτο δρᾶν ἑλομένωι χρήσιμόν τε καὶ ἀναγκαῖον,
παρίημι καὶ οὐχ ἑκὼν διὰ τὸ τῶι ὑμετέρωι κράτει παρὰ πάντων ὀφειλόμενον σέβας. τὸ
μὲν γὰρ εἰπεῖν ὡς οὐ γέγονά τις οὕτω θρασὺς ἢ ὀλιγογνώμων ἢ καὶ σφόδρα τοῦ πρέπον-
τος κατημεληκώς, ὡς πλημμελῆσαί τι, καὶ τοῦτο εἰς ὑμᾶς, οὐκ ἀζήμιον ἔσθ' ὅτε. δέδια
γὰρ καὶ μάλα εἰκότως τὸ ταῖς παρ' ὑμῶν ἀντιφέρεσθαι ψήφοις, ἵνα μή τι πάθοιμι τοιοῦτον
ὁποῖόν τί φασι πεπονθέναι τὸν Ἰσραήλ· οὐ γὰρ εἰς ἅπαν ἀπηλλαγμένος τοῦ καὶ ἔσθ' ὅτε
Iac. 3, 2 πλημμελεῖν (πολλὰ γὰρ πταίομεν ἅπαντες καὶ νοσεῖ τὸ εὐόλισθον ἡ ἀνθρώπου φύσις),
L III 1031 ὡς ἀκριβὴς νομοφύλαξ ὤιετο τάχα που κατὰ μηδένα τρόπον προσκροῦσαι θεῶι, ἀλλ' ἤκουε
Ier. 2, 35 λέγοντος αὐτῶι· ἰδοὺ ἐγὼ κρίνομαι πρὸς σὲ ἐν τῶι λέγειν σε 'οὐχ ἥμαρτον'.
ἄμεινον οὖν ἄρα καὶ σοφὸν τὸ τοῖς κρατοῦσι παραχωρεῖν καὶ τὴν ἐφ' οἷς λελύπηνται
συγγνώμην αἰτεῖν. πρόσεστι γάρ, ὡς ἔφην, κατὰ μίμησιν τὴν ὡς πρὸς θεὸν καὶ τῶι
ὑμετέρωι κράτει τὸ ἀμνησίκακον.

V, P [= hk], S, D [= mn], AW, U [finem facit in 33 αἰτεῖν]

1 αὐτοῦ SW 2 τῆς om. U 4 καὶ² om. P πανάριστος] μακάριοσ S ἀπορρήτοισ SDW 5 ἀνεκεκράγει W τὸν θν̄ PW ἐποίησασ V 5/6 λήθην τῆσ — μου SDAW 7 βυλλαντίῳ A δὲ καὶ D 8 εἰς] ὡσ SW 9 ἐλεεῖν] ἐλθεῖν D εἰ] ἐπὶ SDW πεπλημμεληκότασ DW πεπλημμεληκότι S αἰτιᾶι] αὐτίκα SDW 10 ναί φησίν] καὶ φησ U 11 τὴν om. V εἰ] ὃ SW μὲν om. D γὰρ om. P 12 παρολισθῆσαι V δύνασθαι om. S 13 ἀνομίασ SDW τὴν ἐπί γε] ἣν ἐπῆγε W ἣν ἐπάγει V προκεκρουκόσι S 14 τὸ — ἅπαν] εἰσάπαν τὸ VPU τε] γε A 17 τρόπον μὲν] τὸν τρόπον δὲ W τὸν] τὸ V τε om. W ὑπερτάτῳ S 18 φιλόχριστοι βασιλεῖς om. U 18/19 ἐκτύπωμα VPU 19 τοῖς] οἱ U δὴ] δεῖ U δὲ PW 20 καὶ² om. S τε om. P 21 εἰρηνικὴν — πᾶσαν] εὐ spatium uacuum W εἰρήνην εὐωδίαν SD τοι om. P 21/22 παρορμήθην W ἐπὶ — δεῖν om. spatio relicto W ἡμῶν U 23 ἑλομένω μάλιστα — δρᾶν V 24 παρίειμι S πάνταϲ S 25 μὲν γὰρ] δὲ V γέγονέ W οὕτω om. S καὶ om. A 26 πλημμελήσασ SDW τι om. P σέ [in με corr.] τι V ἡμᾶσ P 27 ἡμῶν W 28 φασι om. SDW 30 τάχα που om. U που om W 31 αὐτοῦ VPU

5 Γέγραφα τοίνυν τῆι τε ὑμῶν εὐσεβείαι καὶ μὴν καὶ αὐταῖς ταῖς εὐκλεεστάταις βασι- ep. 7. 149
λίσιν. ἔδρων δὲ τοῦτο, καὶ μάλα ὀρθῶς, οὐχ ἵνα θόρυβον ἢ διχόνοιαν ταῖς ἱερωτάταις cf. ep. 8
ὑμῶν αὐλαῖς ἐμβάλοιμι (πόθεν; μὴ γὰρ οὕτως εἴην ἔξω τε φρενὸς ἀγαθῆς καὶ λογισμοῦ τοῦ πρέ-
ποντος), ἐννενοηκὼς δὲ μᾶλλον ὅτι νηφαλίους εἶναι προσήκει τοὺς ἱερουργεῖν τεταγμένους τῶι
παναγίωι θεῶι, περισκέπτεσθαι δὲ τὸ αὐτῶι δοκοῦν καὶ ἀμελλητὶ τοῦτο δρᾶν, τὸν ἐπηρτη- 5 PG 457
μένον αὐτοῖς δεδιότας ὄλεθρον, εἰ κατά τι γοῦν ὅλως ἀναπίπτοιεν εἰς ῥαθυμίας. δεῖ
γὰρ ἡμᾶς βεβαιοτέρους εἰς πίστιν ἀπεργάζεσθαι τοὺς ἤδη πεπιστευκότας εἰς τὸν κύριον
ἡμῶν Ἰησοῦν Χριστόν, οὓς τῶι ἰδίωι αἵματι κατεκτήσατο καὶ γνησίους ἀπέφηνε προσκυνη-
τὰς γένος τε ἐκάλεσεν ἐκλεκτόν, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον καὶ λαὸν 1 Petr. 2, 9
εἰς περιποίησιν, ἵνα τὰς ἀρετὰς ἐξαγγείλωσι τοῦ πάντας καλοῦντος ἐπὶ τὸ θαυμαστὸν 10
6 αὐτοῦ φῶς. καὶ γοῦν τὰ ἐπί γε τοῖς ἱερᾶσθαι λαχοῦσι θεσμοθετῶν, πρὸς τὸν μακάριον
προφήτην Ἰεζεκιὴλ οὕτω πού φησιν· υἱὲ ἀνθρώπου, λάλησον τοῖς υἱοῖς τοῦ λαοῦ Ezech.33,2-6
σου καὶ ἐρεῖς πρὸς αὐτούς· γῆ ἐφ' ἣν ἂν ἐπάγω ῥομφαίαν καὶ λάβηι ὁ M V 229
λαὸς τῆς γῆς ἄνθρωπον ἕνα ἐξ αὐτῶν καὶ δῶσιν αὐτὸν ἑαυτοῖς εἰς σκο-
πὸν καὶ ἴδηι ῥομφαίαν ἐρχομένην ἐπὶ τὴν γῆν καὶ σαλπίσηι τῆι σάλπιγγι 15
καὶ σημάνηι τῶι λαῶι καὶ ἀκούσηι ὁ ἀκούσας τῆς φωνῆς τῆς σάλπιγγος
καὶ μὴ φυλάξηται καὶ ἐπέλθηι ἡ ῥομφαία καὶ καταλάβηι αὐτόν, τὸ αἷμα αὐτοῦ
ἐπὶ τῆς κεφαλῆς αὐτοῦ ἔσται. ὅτι τὴν φωνὴν τῆς σάλπιγγος ἀκούσας οὐκ
ἐφυλάξατο, τὸ αἷμα αὐτοῦ ἐπ' αὐτοῦ ἔσται, καὶ οὕτ ς, ὅτι ἐφυλάξατο,
τὴν ψυχὴν αὐτοῦ ἐξείλετο. καὶ ὁ σκοπός, ἐὰν ἴδηι τὴν ῥομφαίαν ἐρχο- 20
μένην καὶ μὴ σημάνηι τῆι σάλπιγγι καὶ ὁ λαὸς μὴ φυλάξηται καὶ ἐλθοῦσα
ἡ ῥομφαία λάβηι ἐξ αὐτῶν ψυχήν, αὕτη διὰ τὴν αὐτῆς ἀνομίαν ἑλήφθη,
7 καὶ τὸ αἷμα ἐκ χειρὸς τοῦ σκοποῦ ἐκζητήσω. χρῆναι δὲ οἶμαι τῶν εἰρημένων
τὴν δύναμιν οὐκ ἀζήτητον ἐᾶν· ὀνήσειε γὰρ ἂν καὶ ἔτι μειζόνως, τῆς ἐπ' αὐτῶι θεωρίας
ἐξευρυνομένης εἰς τὸ ἐμφανές. οὐκοῦν ἐφόδου βαρβαρικῆς προσδοκωμένης ἔσεσθαι κατὰ 25
πόλεως, οἱ ταύτης μελεδωνοὶ καὶ φρ ντισταὶ καὶ προεστηκότες σκοπευτηρίοις τισὶν ἤτοι
πύργοις τοῖς ἄγαν ὑψηλοτάτοις ἐνιζάνουσι τινάς, οἳ τοῖς ἀγροῖς ἐνορῶντες, ἀεὶ τῆιδε κἀ-
κεῖσε τὸν οἰκεῖον περικομίζοντες ὀφθαλμὸν ἐπαγρύπνως, περιεργάζονται μὴ ἄρα τις τῶν
πολεμίων ἐμβάλοι. προκατασημήναντες μὲν γὰρ τῆι πόλει τὴν ἔφοδον, οὐ μετρίων ἀξι-
οῦνται γερῶν· ἀπονυστάξαντες δὲ πρὸς τοῦτο, τὰς τοῦ ἁλῶναι καὶ παθεῖν αἰτίας αὐτοὶ 30
ταῖς ἰδίαις ἀναμάττονται κεφαλαῖς, τὴν ἁπασῶν ἐσχάτην ὑπομένοντες δίκην. κατὰ τὸν

V, P [= hk], S, D [= mn], AW

1 τε] γε SDW om. A μὴν καὶ om. P αὐταῖς om. SDW 1/2 βασιλίσσαισ SDAW 2 ἑδραιῶν S δὲ] τε SW διχόνοιαν καὶ θόρυβον SDW 3 ἐμβdλλοιμι V τε om. S τοῦ om. VP 4 ἐννοηκὼσ V προσήκει om. P 5 δὲ om. P τε V ἀμελητὶ VPSAW μὴ ἀμελητὶ D 5/6 ἐπηρτιμένον D ἐπηρτισμένον V 6 δεδιότα W κατά τι VP καὶ ταὐτη SDAW ῥαθυμίαν PS 7 κατεργάζεσθαι A πιστεύσανταϲ VP 8 τὸν χν̄ SAW 9 τε] τί S ἐκλεκτόν om. S καὶ ἔθνοσ VP 10 τοὺσ — καλοῦντασ SW εἰσ SDAW 11 γοῦν] μὴν S τὰ ἐπί γε SDA τὰ ἔπη γε W ἐπὶ VP νομοθετῶν SDAW 12 που om. SW 13 ἐπαγάγω VP ῥοφαίαν P 13—15 καὶ λάβηι — ῥομφαίαν om. P 13 λάβοι A 14 δῶσιν A δώσει SDW δώσουσιν V ἑαυτοῖς] ἐν αὐτοῖσ SDW 14/15 κόπον S 15 σαλπίσει nAW 16 σημανεῖ SDAW λαῶ μου SD ἀκούσει AW 17 φυλάξεται A ἐπέλθοι Wcorr λάβη SDAW 18 τῆ κεφαλῆ SDA 18/19 ὅτι τὴν — ἔσται om. P 19 τὸ αἷμα — ἐφυλάξατο om. W 20 ἐξείλατο S ἐξήλατο W 21 σημανεῖ SDAW μὴ om. SW φυλάξητε S 22 ῥοφαία P ἀπ' SDAW αὐτὴ μὲν P 23 τῆσ χειρὸσ SDAW οἶμαι] τοι καὶ SDW 24 οὐκ ἀζήτητον] ἐγκαταζήτησον S νοήσειϲ W ἂν om. SDAW 26 πόλιν SDW καὶ φροντισταὶ om. SDAW ἦγουν W 27 ἐφιζάνουσι VP 29 ἐμβάλλοι VP προκατασημάναντεσ DA προκατασημαίνοντεσ W μὲν om. W μετρίωσ SD 30 ἀπονυστάζοντεσ A 31 ἀναμάσσονται D ἀναμάττοντεσ SW πασῶν V ἐσχάτην om. D ὑπομένουσι SW

ἴσον οἶμαι τούτωι τρόπον καὶ τῶν ἱερέων ἕκαστος, ἐπειδὴ τέθειται παρὰ θεοῦ σκοπός, εἰ μὲν ἀπαγγέλλοι τοῖς ὑπὸ χεῖρα λαοῖς τὸ πεφυκὸς ἀδικεῖν, στεφάνου πρόξενον αὐτῶι τὸ
L III 1034 χρῆμα ποιήσεται· περιπεσεῖται δὲ πάλιν τοῖς ἐκ θείας ὀργῆς ἐπισυμβαίνουσι κακοῖς, ἀδικήσας οὐ μετρίως ταῖς σιωπαῖς τὸ ταῖς παρ' αὐτοῦ φωναῖς εἰς ὀρθότητα διοικούμενον.
8 οὐκοῦν ὁ πόλεμος ἦν οὐ καθ' ἑνὸς τῶν καθ' ἡμᾶς ἀνθρώπου κοινοῦ, κατ' αὐτοῦ δὲ μᾶλλον
PG 460 κινούμενος τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ. γέγραπται μὲν γὰρ ὅτι οὐδεὶς λέγει
1 Cor. 12, 3 ἀνάθεμα Ἰησοῦς, εἰ μὴ ἐν Βεελζεβούλ, τουτέστιν οὐδεὶς ἀρνεῖται Χριστόν, εἰ μὴ ἔχοι
Mt. 12, 24 πρὸς τοῦτο διανιστάντα τὸν σατανᾶν· ἀληθὲς δὲ ὅτι τὸ εἰρημένον, οὐκ ἂν ἐνδοιάσειέ τις. οὐκοῦν ὁ δράκων ὁ ἀποστάτης, τουτέστιν ὁ σατανᾶς ἀνδρὸς ἱερέως οὐκ ἀσφαλοῦς, μᾶλλον δὲ καὶ πεπλανημένου διάνοιαν εὑρὼν καὶ γλώσσης εὐπορήσας ἑτοιμότατα καὶ ἀπερισκέπτως τοῖς τῆς ἀληθείας ἐνυβριζούσης δόγμασι καὶ τὴν τοῦ σωτῆρος ἡμῶν κατασμικρυνούσης δόξαν (θρασεῖα γὰρ ἦν καὶ ἀχαλίνοις ὁρμαῖς πρὸς πᾶν ὁτιοῦν τῶν ἀπηχεστάτων ἰοῦσα θερμῶς), θορύβου μὲν πάσας ἐπίμπλα τὰς ἐκκλησίας, πολιορκουμένης δὲ οὕτω τῆς ὀρθῆς πίστεως, διχόνοιαι πανταχοῦ καὶ πολὺς ἦν ὁ λόγος παρὰ τοῖς ἤδη πεπιστευκόσι, μὴ ἄρα πως πεπλάνηνται, θεὸν εἶναι κατὰ ἀλήθειαν ἐννοήσαντες τὸν Χριστόν. καὶ τί τὸ ἐντεῦθεν; νόσος οἵα τις λοιμικὴ τὴν ὑφ' ἥλιον κατεβόσκετο, ῥίζαν ἔχουσα τὸ ψεῦδος καὶ πατέρα τὸν σατανᾶν. ἐπειδὴ δὲ τεθείμεθα παρὰ θεοῦ σκοποὶ καὶ τῶν λαῶν κηδεμόνες, πῶς οὐκ
M V 232 ἔδει καὶ μάλα προθύμως τὴν ἱεράν τε καὶ ἐκκλησιαστικὴν λαβόντας σάλπιγγα τοῖς εὐσεβεῖν βουλομένοις τῆς τοῦ διαβόλου ῥομφαίας κατασημᾶναι τὴν ἔφοδον; τίνα γὰρ ἐπήρτησε δίκην
Ezech. 33, 8 τοῖς σιωπῶσι θεός; τὸ αἷμα, φησίν, ἐκ τῆς χειρός σου ἐκζητήσω.
9 Ἀλλ' ἦν, ὦ φιλόχριστε βασιλεῦ, ἀσφαλὴς καὶ ἀκλόνητος ἡ σὴ καρδία. ναί, καὶ αὐτὸς ὁμολογῶ, μᾶλλον δὲ καὶ αὐτὰ τοῦτο βοήσει τὰ πράγματα καὶ πρός γε τούτωι μακρὸς μαρτυρήσει χρόνος καθ' ὃν εὐδόκιμοι γεγονότες εἰς εὐσέβειαν ταῖς τῶν προγόνων ἁμιλλᾶσθε δόξαις. καὶ ἐπείπερ ἐστὶν ἐκείνοις εὐκλεὲς τὸ καὶ τῆς ὑμετέρας γαληνότητος ἡττᾶσθαι τυχόν, φαίην ἂν εἰκότως, καταδείσας οὐδέν, ὅτι τὴν ἀμείνω καὶ προφερεστέραν ὑμεῖς ἀνεδήσασθε ψῆφον. οἶδα τῆς ἐνούσης ὑμῖν πίστεως τὸ ἀκλόνητον, τῆς εἰς Χριστὸν ἀγάπης τὸ ἱδρυμένον, ἔγραφον δὲ χρησίμως, ἵνα τοῖς ἄλλοις, μᾶλλον δὲ ταῖς ἐκκλησίαις ἁπάσαις θορυβουμέναις ἐπικουρήσητε· σώιζειν γὰρ ἔθος ὑμῖν. ἡ βαρβαρικὰς ἐφόδους σημαίνουσα σάλπιγξ τὸν μὲν εὐσθενῆ τε καὶ μαχιμώτατον τῆς αὐτῶι πρεπούσης εὐανδρίας ὑπομιμνήσκει μόνον, τὸν δὲ οὐ σφόδρα γοργὸν οὐδὲ ἐμπειροπόλεμον ἀσφαλίζεται, μὴ ἄρα πως ταῖς τῶν πολεμίων φάλαγξιν ἀδοκήτως ἐμβαλὼν τῆς ἐνούσης αὐτοῖς ὠμότητος γένηται θήραμα. ὁ ἐμὸς τοιγαροῦν περὶ Χριστοῦ λόγος τῆς μὲν ὑμετέρας εὐσεβείας τὸ κέντρον ἐκίνει κατὰ τῆς τοῦ διαβόλου παγίδος, ἠσφαλίζετο δὲ πρὸς πίστιν τοὺς ἐλαφρόν τε καὶ εὐπαρακόμιστον ἔχοντας νοῦν. οὐ πολλοῖς εὐκάτοπτόν ἐστι τὸ Χριστοῦ μυστήριον, βαθὺς δὲ λίαν ὁ λόγος ὁ περὶ αὐτοῦ καὶ τοῖς ὅτι μάλιστα νουνεχεστάτοις καὶ τὰς θείας ἠκριβω-

---

V, P [=hk], S, D [= mn], AW

1 τοῦτο S τοῦτον V τῶν] τὸν P 2 ἀπαγγέλοι PS ἀπαγγέλλει V ἑαυτῶ VP 5 πολέμιος A ἀνθρώπων W 6 μὲν om. PSW 7 ἰν̄ PDW τὸν χν̄ SAW ἔχει VP 8 διανιστῶντα SD διαναστάντα W 10 τὴν διάνοιαν VP τυχὼν V εὐπορησάσης W ἑτοιμότατα DA ἑτοιμοτάτης VP ὠμότατα S ὠμότητα W 12 ἀχαλινώτοις D 13 μὲν om. P ἐπίμπλα V ἐμπιπλᾶ SDAW ἐνεπίμπλα P 14 καὶ παρὰ VP πιστεύσασι V πιστεύουσι P 15 πως om. VP νομίσαντες V in mg. P πιστεύσαντεσ V 16 νόσος] νομὴ W οἷά om. SDAW ἡλίω P 17 παρὰ θῡ τεθείμεθα V λαῶν] ἄλλων D 18 ἱερατικὴν W λαβόντεσ P καὶ τοῖσ SDW 19 ἑλομένοις VD ῥομφαίασ SDAW παγίδοσ VP κατασημῆναι VP 20 γάρ φησιν SDW 21/22 καὐτὸσ S 22 βοῶσι SDW τοῦτο SnW 23 ὃν] ἣν W εἰς] τὴν W 24 ἐκείναισ W καὶ om. SDW ἡττᾶσθαι om. W 25 φαίη V προσφερεστέραν S ὑμεῖς om. SDW 26 ἐνδούσησ W πίστεως om. V 27 ἡδρασμένον D 30 μόνον δὲ τὸν S οὐ] οὔτε V οὐδὲ] ἢ VP 31 αὐτῆσ S γένοιτο VP 32 ἐμοὶ V τῆσ μὲν εὐσεβείασ τῆσ ὑμετέρασ V 34 τὸν νοῦν D τοῦ χῡ VP 35 ὁ² om. P 35/p. 79, 1 καὶ τοῖς — γραφὰς om. P ἠκριβοκόσι V ἠκριβωμένοσ S

κόσι γραφὰς μόλις ὡς ἐν αἰνίγματι καὶ ὡς ἐν ἐσόπτρωι γνώριμος. καὶ καθά φησιν ὁ 1 Cor. 13, 12
ἱερώτατος Παῦλος, φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί, καὶ μὴν καὶ κατά γε τὸν Σο- 1 Cor. 15, 33
λομῶντος λόγον σταγὼν στάζουσα κοιλαίνει πέτραν· τὸ γάρ τοι συχνῶς εἰς νοῦν τὸν ἀν- PG 461
θρώπινον σταγόνος δίκην τοὺς ἀδικεῖν πεφυκότας καθίεσθαι λόγους οὐ μετρίαν ἔσθ' ὅτε, L III 1035
μᾶλλον δὲ ὡς ἐπίπαν ἐργάζεται τὴν ζημίαν. ἀναγκαία τοιγαροῦν καὶ ἐπωφελὴς ἡ παρ' 5
ἐμοῦ γέγονεν ὑπόμνησις πρός τε ἐκεῖνον αὐτὸν τὸν παρὰ πᾶσαν ἐλπίδα Χριστῶι πολεμή-
σαντα καὶ πρός γε τοὺς ἄλλους, οἳ τὴν τοῦ μυστηρίου γνῶσιν οὐ λίαν ἠκριβωκότες τοῖς
10 τοῦ πλανῶντος λόγοις οὐ μετρίως κατεχειμάζοντο. ὅτι γὰρ ἔγραφον ἀναγκαίως, καὶ
αὐτὴ πιστώσεται τῶν πραγμάτων ἡ δύναμις. κατὰ μὲν γὰρ τοὺς ἄνωθεν καὶ παρωιχη-
κότας ἤδη καιροὺς διειστήκει θεοῦ τὰ ἀνθρώπινα. πεπλάνητο γὰρ ἡ σύμπασα γῆ καί, 10
καθά φησιν ὁ μακάριος Δαυίδ, πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν· οὐκ ἦν ὁ Ps. 13, 3
ποιῶν χρηστότητα, οὐκ ἦν ἕως ἑνός. ἀλλ' ἐπεσκέψατο ἡμᾶς ἀνατολὴ ἐξ Lc. 1, 78
ὕψους, ἐπέφανεν ἡμῖν ὁ μονογενὴς τοῦ θεοῦ λόγος καὶ συνανεστράφη τοῖς ἐπὶ τῆς γῆς, Bar. 3, 38
καθ' ἡμᾶς γεγονὼς ἄνθρωπος μετὰ τοῦ μεῖναι φύσει θεός· αὐτὸς ἡμᾶς συνῆψε δι' ἑαυτοῦ
τῶι θεῶι καὶ πατρί, περιελὼν τὸ μεσολαβοῦν καὶ ἀμνησικάκως ἀπαλλάξας τῆς διιστάσης 15
ἡμᾶς ἁμαρτίας καὶ δικαιώσας τῆι πίστει. καὶ γάρ ἐστιν αὐτὸς ἡ εἰρήνη ἡμῶν κατὰ τὰς Eph. 2, 14
γραφάς. ἔμελλε τοίνυν ὁ τῆς πρὸς θεὸν εἰρήνης ἡμῶν σύνδεσμος διαρρήγνυσθαι παρα-
λυομένης τῆς πίστεως· ἔμελλεν ἡ τῆς δικαιοσύνης ὁδὸς ἐκ τῶν ἡμετέρων κρύπτεσθαι δια-
νοιῶν, ἵνα μή τι λέγοιμι φορτικόν. δικαιούμεθα γὰρ διὰ τοῦ ἁγίου βαπτίσματος τὸν M V 233
θάνατον τοῦ Χριστοῦ καταγγέλλοντες, προσομολογοῦντες δὲ καὶ τὴν ἀνάστασιν αὐτοῦ. Rom. 6, 4. 5
πλὴν οὐκ ἀνθρώπου κοινοῦ θάνατον καταγγέλλομεν, ὦ φιλόχριστε βασιλεῦ, ἀλλ' ἐνανθρω- 21
πήσαντος θεοῦ καὶ παθόντος μὲν ὑπὲρ ἡμῶν σαρκί, καθὰ γέγραπται, ζῶντος δὲ ὡς θεοῦ 1 Petr. 4, 1
καὶ τῆι ἰδίαι φύσει μεμενηκότος ἀπαθοῦς. κινδυνευούσης τοιγαροῦν τῆς Χριστιανῶν
ἐλπίδος τό γε ἧκον εἰς τοὺς τοῦ πλανῶντος λόγους καὶ τὴν ἀτεχνῆ καὶ ἀπύλωτον γλῶτταν,
ἀναγκαῖόν πως ἦν καὶ ἀπαραίτητον, βασιλεῦ, σύνοπλον ἡμᾶς ἔχοντας τὴν ἀλήθειαν τοῖς 25
11 τὴν ὀρθὴν ἔχουσιν ἐπαμῦναι πίστιν. τὸ δὲ δὴ μάλιστα εἰς τοῦτο ἡμᾶς παροτρῦνον
ἐλθεῖν ἐκεῖνό ἐστιν. ἐνταῦθα μὲν γὰρ οἱ μακάριοι πατέρες ἡμῶν θαρσηθέντες παρὰ θεοῦ
τὴν ἱερωσύνην ταῖς τῶν αἱρέσεων κατὰ καιροὺς ἀντετάξαντο δυστροπίαις, μάλιστα δὲ τῆι
τῶν ἀνοσίων Ἀρειανῶν, καίτοι κατ' ἐκεῖνο τοῦ καιροῦ οἱ τῶν ἀνθρωπίνων κρατοῦντες
πραγμάτων οὐκ ἠιδεισαν τὴν ἀλήθειαν, ἐφρόνουν δὲ μᾶλλον τὰ ἐκείνων καὶ τοὺς ὀδόντας 30 PG 464
ἐπέτριζον τοῖς τῶν ἐκκλησιῶν διδασκάλοις. ἀλλ' ἦσαν ἀμείνους παντὸς ἐκεῖνοι δείματος,
τὸν ὀρθόν τε καὶ ἀνεπίπληκτον τῆς πίστεως διακηρύττοντες λόγον. ἠιδεισαν γὰρ λέγοντα
τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν· μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτεννόντων τὸ Mt. 10, 28
σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· φοβήθητε δὲ μᾶλλον τὸν
δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννηι. ὅτε τοίνυν ἐκεῖνοι 35

V, P [= hk], S, D [= mn], AW

1 καὶ² om. VS καθὸ S 2 καὶ² om. SDW 3 τὸ γάρ τοι] τοιγάρτοι S συνε-
χῶσ SD τὸν νοῦν τὸν S 4 μικρὰν A 5 τοίνυν SDW 6 τε] γε SDW 7 οὐ λίαν
om. W 8 τοῦ om. P ἔγγραφοσ S 9 γάρ om. PS 10 ἤδη om. S καί om. S
11 ἔστι SDW ὁ om. SDW 12 χρηστότητα] ἀγαθὸν S ἔστιν SDW 13 τῆς om. SW
14 φύσει om. VP 15 περιέχων W διιστώσησ SD 16 αὐτόσ ἐστιν P 17 ἔμελε V
ὁ om. V 17/18 παραπολλωμένησ W 18 ἔμελεν V ὑμετέρων D 19 λέγομεν V
ἁγίου] ἀνθρωπίνου W 20 τοῦ om. W προσομολογοῦμεν P αὐτοῦ om. VP 22 κα-
θώσ W ὡς om. VP 23 τοίνυν SDAW τῶν χριστιανῶν D 24 ἀθὺρωτον SDW
25 ἦν πωσ SDAW βασιλεῖ S ἔνοπλον V τὴν om. VP 26 ἡμᾶσ πρὸσ τοῦτο VP
27 ἐλθεῖν om. W ἐνταῦθα — οἱ VP οἱ μὲν γὰρ SDAW ἡμῶν om. W θαρσήσαντεσ
SDW 28 ἀντηλλάξαντο S τῆι] τὴν SW 29 τοῦ om. SDW 30 ἤδεσαν P ὀδόν-
τασ αὐτῶν VP 31 ἐπέτρυζον D ἐκεῖνοι παντὸσ ἀμείνουσ V 32 διακηρύσσοντεσ DAW
ἤδεσαν PAW λέγοντεσ S 33 τὸν χ̄ν̄ A ἀποκτενόντων VPSDW 34 φοβήθητι S
35 τῇ γεέννῃ D

τοὺς τῶν ὅλων κρατοῦντας κατ' ἐκεῖνο τοῦ καιροῦ πολεμιωτάτους ἔχοντες οὐ σεσιγήκασιν εἰς δόξαν ἀδικουμένου τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ, πῶς οὐκ ἀναγκαῖον καὶ ἡμᾶς
L III 1038 αὐτοὺς κατ' ἴχνος ἰέναι τῆς ἐκείνων ἐπιεικείας καὶ τῆς εἰς Χριστὸν γνησιότητος; πῶς οὐκ ἔδει ταῖς τοῦ δυσφήμου φωναῖς ἀντερεύγεσθαι τὴν ἀλήθειαν; ἤιδειν, ὡ- ἔφην, τῆς εὐσεβείας ὑμῶν τὸ ἐρηρεισμένον· ἠπιστάμην ἀκριβῶς ὡς οὐκ ἐκεῖνος μᾶλλον ἤρεσκεν, ἀλλ' ἐγώ. τί τὸ σιωπᾶν ἀναπεῖθον ἦν; μικροῦ με τοῦ πρέποντος ἐξέστησεν ὄκνος καὶ θεῶι προσκροῦσαι παρεσκεύασεν. ἀλλ' ἔφην αὐτὸς ἐμαυτῶι· ἀπροφάσιστον ἔχεις, ὦ οὗτος, τὴν σιωπήν, δεινὰ κατὰ σοῦ τὰ ἐγκλήματα παρά τε θεῶι καὶ ἀνθρώποις, εὐσεβὴς καὶ φιλόχριστος ὁ τῆι βασιλίδι δόξηι κατεστεμμένος παρὰ θεοῦ. καὶ μὴν καὶ αὐτὴ τοῖς ἴσοις αὐχήμασιν ὁρᾶται διαπρεπὴς ἡ τῶν εὐκλεεστάτων βασιλίδων δυάς, ὁμογνωμονεῖ καὶ αὐτὰ τὰ σεμνά τε καὶ ἀξιάγαστα τῆς παρθενίας βλαστήματα. οἱ στάσιν ἔχοντες τὴν ἐγγὺς καὶ ταῖς τῶν ἀξιωμάτων ὑπεροχαῖς ἐκλελαμπρυσμένοι ὀρθῆι τε καὶ ἀδιαβλήτωι διαπρέπουσι πίστει, λελύπηνται καὶ αὐτοὶ τῆς τοῦ σωτῆρος ἡμῶν δόξης ἀθετουμένης. εἶτα πῶς οὐ σφόδρα νεανικῶς τὰ θεῶι δοκοῦντα πληροῖς; ἢ οὐκ ἀδρανὴς ὁ ναυτίλος, ὅταν ἐξ οὐρίας αὐτῶι τοῦ πνεύματος καταχεομένου τῶν λίνων παραιτῆται τὸ πλεῖν; οὐχὶ ἀσθενής τε καὶ φυγοπόλεμος εἴη ἂν ὁ τεταγμένος ἐν στρατιώταις, εἰ νικᾶν ἐξὸν τῆς τῶν ἀρίστων χειρὸς ἐπικουρούσης αὐτῶι ῥίψασπίς τις ὁρῶιτο καὶ ἄνανδρος; ταῖς τοιαύταις ἐμαυτὸν παραθή-
M V 236 γων ἐννοίαις καὶ τῆι εὐσεβείαι τοῦ ὑμετέρου κράτους τεθαρσηκώς, ἀοκνότατα παρῆλθον
12 ἐπὶ τὸ χρῆναι συνειπεῖν δυσφημουμένωι Χριστῶι. ἄλλως τε (χρῆναι γὰρ ἔγωγε φημὶ προσεπενεγκεῖν οἷς ἔφην, καὶ τόδε) ἐπελέχθη Νεστόριος ὡς τοῖς ἀποστολικοῖς κηρύγμασιν ἐγγεγυμνασμένος, ὡς τεχνίτης εἰς εὐσέβειαν, ὡς ὀρθὴν ἔχων τὴν πίστιν καὶ ἀμώμητον παντελῶς, καὶ τοιοῦτον εἶναι τὸν ἄνθρωπον καὶ τὸ εὐσεβὲς ὑμῶν ἐπεθύμει κράτος, καὶ πάντες δὲ οἱ τῶν ἁγίων ἐκκλησιῶν προεστηκότες, κἀγὼ δὲ αὐτός. καὶ γοῦν ὅτε τὰ περὶ τῆς χειροτονίας αὐτοῦ παρὰ τῶν εἰς τοῦτο παρενεγκόντων θεοσεβεστάτων ἐπισκόπων διεπέμφθη γράμματα, ἀντέγραφον ἀμελλητί, χαίρων ἐπαινῶν, ἐπευχόμενος ὡς ἀδελφῶι καὶ συλλειτουρ-
PG 465 γῶι τὰ πάντων ἐξαίρετα τῶν ἀγαθῶν διὰ τῆς ἄνωθεν ὑπάρξαι ψήφου, ἀλλ' οὐ τῆς ἡμῶν φιλαδελφίας τὰ μετὰ τοῦτο κατηγορήματα, μᾶλλον δὲ τῆς ἐκείνου σκαιότητος. ἐπελέχθη μὲν γὰρ ὡς πρόβατον, ἀλλ' εὕρηται λύκος· ὡς πιστὸς καὶ γνήσιος οἰκέτης, ἀλλ' ἠγάπησε
Ies. 5, 4 τὸ ἐναντίον· ὡς εὔβοτρυς ἀμπελών, ἀλλ' ἐκτέτοκεν ἀκάνθας κατὰ τὸ γεγραμμένον· ὡς γηπόνος εὐτεχνής, ἀλλ' ἐπεβούλευσε τῶι χωρίωι· ὡς ποιμὴν ἀγαθός, ἀλλὰ θηρῶν ἀγρίων γέγονεν ἀπηνέστερος. εἶτα νενοσηκὼς οὐκ οἶδ' ὅπως τὴν κακοδοξίαν, νενουθέτηται πλειστάκις, καὶ τοῦτο παρὰ πολλῶν· ἆρ' οὖν ὠφελήθη νουθετούμενος, ἐδήχθη τὸν νοῦν ἐλεγχόμενος; μετεβουλεύσατο τὰ ἀμείνω, πεφρόνηκέ τι τῶν ἀγαθῶν; ἆρα μεμίσηκε τὸ ψεῦδος, ἠγάπησε τὴν ἀλήθειαν; παρητήσατο τὴν τῆς ἀμαθίας ἀχλύν, ἐζήτησε δὲ τὸ φῶς; κατέληξε τῆς κατὰ Χριστοῦ γλωσσαλγίας; τῶν ἀντειρηκότων ἐδυσωπήθη τὸ πλῆθος; ἐφείσατο πολλοὺς

V, P [= hk], S, D [= mn], AW

3 ἐπιέναι S καὶ om. VP 3/4 πῶς οὐκ ἔδει om. W 5 ἐριρεισμένον P ἐρειρισμένον W 6 τί τὸ VPAW τῶ μὴ SD ἀναπείθων A δ ἀπείθανον [ἀπίθανον D] SD δὲ ἀπίθανον W με SDAW τὲ VP ὄγκοσ P 8 τε om. D 9 ὑπὸ S παρὰ, superscr. ὑπὸ W 10 καυχήμασιν SDAW εὐσεβεστάτων S 11 παρθένου S τὴν om. VP 12 τε om. VP 13 ἡμῶν om. VPW 14 τὰ τῶ θω̄ W τῶ θω̄ S 15 λιμένων P παραιτῆται DW παραιτεῖται S παραιτοῖτο PA παραιτεῖτο V τὸ om. VP πλέον SDW οὐχὶ δὲ SDAW 16 φιλοπόλεμοσ S ἀφιλοπόλεμοσ D μισοπόλεμοσ W 17 τις om. SDAW ἑαυτὸν VPW 18 τεθαρρηκὼσ SDAW ἀοκνώτατα V 19 τῶ P χρῆναι SAW χρῆν VP χρὴ D 20 προσενεγκεῖν V ἔφη S ἀποστολικοῖσ τε καὶ εὐαγγελικοῖσ DA 22 εὐσεβέσ ὑμῶν VPA ὑμέτερον SDW κράτοσ ἐπεθύμει VP πάντωσ P 23 οἱ τῶν — καγὼ δὲ om. P δὲ] τε D 24 διεπέμφθη μοι W 25 ἀμελητὶ VPSDAW εὐχόμενοσ SW 27 φιλαλληλίασ A φιλίασ V ἀφιλίασ P 28 ηὕρηται S 29 ὡς] καὶ V εὔοτρυσ V 30 εὔτεχνοσ V 32/33 ἐδήχθη — ἐλεγχόμενος om. S 34 παρετηρήσατο Vk, h in mg. ἀληθείασ VP δὲ om. SDW 35 χῡ VPA θῡ SDW γλωσαλγίασ VS

καὶ ἀναριθμήτους σκανδαλιζομένους ὁρῶν; λελύπηκεν αὐτὸν τὸ κένανδρον τῶν πεπιστευκότων τὴν ἐκκλησίαν ὁρᾶν; οὐδαμῶς, καθὰ καὶ αὐτὸ τῶν πραγμάτων τὸ πέρας διαβοήσειεν L III 1039
13 ἄν. ἐπειδὴ γὰρ ἡ ἁγία σύνοδος κατὰ θέσπισμα τοῦ ὑμετέρου κράτους συναγήγερτο πανταχόθεν κατὰ τὴν Ἐφεσίων μητρόπολιν, ἀφίκετο δὲ καὶ αὐτός, τότε δὴ τότε, καίτοι δέον τοῖς ἤδη παρωιχηκόσιν ἐπολοφύρεσθαι καὶ κλαίειν αὐτόν, ὥσπερ οὐδενὸς ἀγανακτοῦντος ὅλως ἐφ' οἷς τετόλμηκεν εἰπεῖν, ἔτι ποιούμενος τὰς διατριβὰς ἐν ἐκείνῃ τῇ μεγαλωνύμωι πόλει, προσετίθει τὰ χείρω· κατεφλυάρει τὰ αἰσχίονα καὶ τῆς τοῦ σωτῆρος ἡμῶν κατεθρασύνετο δόξης, ὀλίγου παντελῶς ἀξιώσας λόγου, μᾶλλον δὲ τοῦ μηδενὸς ὅλως τῆς εἰς αὐτὸν δυσφημίας τὸ ἔγκλημα. οἷα γὰρ τετόλμηκεν εἰπεῖν, σιωπᾶν ἄμεινον, καὶ τοῦτο διαλεγόμενος ἐπισκόποις ὁσίοις καὶ εὐπρεπεστάτην ἔχουσι τὴν ἐφ' ἅπασι τοῖς ἀγαθοῖς ψῆφόν τε καὶ δόξαν, ἦσαν δὲ καὶ τῶν θείων γραφῶν ἐμπειρότατοί τε καὶ ἐπιστήμονες· οἳ καὶ πολὺ λίαν ταῖς κατὰ Χριστοῦ δυσφημίαις ἐπηλγηκότες καὶ τὴν ἀκρατῆ καὶ ἀπύλωτον αὐτοῦ μισήσαντες γλῶσσαν ἀπονιψάμενοί τε τὰς χεῖρας αὐτῶι ταῦτα τῆι συνόδωι δακρυροοῦντες ἀπήγγελλον, οὐκ ἐν παραβύστωι καὶ λεληθότως, θαρσήσαντες δὲ καὶ ἐπ' αὐτῆς τῆς nr. 53
πίστεως τῶν ὑπομνημάτων εἰπεῖν καὶ ἑτοίμως ἔχοντες διελέγχειν αὐτὸν ἃ μηδὲ θέμις ἐννο-
14 εῖν, κατειρηκότα Χριστοῦ. ἔδρων δὲ τοῦτο τὴν ἐπὶ τοῦ θείου βήματος δεδιότες κρίσιν· οὐ γὰρ ἀφιλόστοργοί τινες ἦσαν, φιλόθεοι δὲ μᾶλλον καὶ τῆς εἰς Χριστὸν ἀγάπης γνήσιοι M V 237
φύλακες. ὥσπερ γὰρ τοὺς ὑπὸ σκῆπτρα κειμένους τῆς εὐαγοῦς ὑμῶν βασιλείας ἢ γενναίους στρατηγοὺς ἢ γοῦν καὶ ἑτέρους τινὰς τῶν ἐν ἀξιώμασι καὶ ὑπεροχαῖς λαμπρούς τε καὶ φιλαιτάτους ὑμῖν ἀποφαίνει τὸ καθηκόντως ἀγανακτεῖν, εἰ δήπου τινὲς ἢ ἀσελγῆ καὶ ἀκόλαστον κατά γε τοῦ ὑμετέρου κράτους κινήσειαν γλῶτταν ἢ καὶ δρᾶν ἕλοιντό τι τῶν ἔξω λόγου καὶ τοῦ εἰκότος, οὕτω καὶ τὸν θεῖον ἱερουργὸν ἐπαίνου παντὸς ἄξιον ἀπεργάζεται PG 468
παρά τε θεῶι καὶ ἀγγέλοις τὸ μὴ ἀνέχεσθαί τινος τῶν τῆς θείας καταφλυαρούντων δόξης, ἐν μοίραι δὲ μᾶλλον αὐτοὺς τῶν ὅτι μάλιστα πολεμιωτάτων ποιεῖσθαι φιλεῖν. καὶ γοῦν 24
ὁ μακάριος Δαυὶδ αὔχημα λαμπρὸν ἑαυτῶι δὴ τοῦτο περιτιθεὶς ἀνεφώνει· οὐχὶ τοὺς Ps. 138,21.22
μισοῦντάς σε, κύριε, ἐμίσησα καὶ ἐπὶ τοῖς ἐχθροῖς σου ἐξετηκόμην; τέλειον μῖσος ἐμίσουν αὐτούς· εἰς ἐχθροὺς ἐγένοντό μοι. εἰ μὲν οὖν ἀγαπῶσι Χριστὸν οἱ δυσφημοῦντες αὐτόν, λογισμοῦ τοῦ πρέποντος ἁμαρτάνουσιν οἱ πολεμοῦντες αὐτοῖς· εἰ δὲ μισοῦσιν ἀναφανδὸν καὶ τὸ πρᾶγμά ἐστι κατ' οὐδένα τρόπον ἀμφίβολον, πῶς οὐκ ἀξιάγαστοι καὶ θεοφιλεῖς οἱ ταῖς ἐκείνων βδελυρίαις τὸν εὐδρανῆ καὶ φιλόθεον ἀντεξάγοντες λόγον;
15 Ἦν δὲ καὶ ἑτέρως χρήσιμόν τε καὶ ἀναγκαῖον τῶι ὑμετέρωι κράτει τὸ τῶν θείων ἐλαύνεσθαι θυσιαστηρίων τὸν βεβηλοῦντα αὐτά. καὶ τίνα τρόπον; ἐρῶ, τὰ ἐκ τῆς θεοπνεύστου γραφῆς παρενεγκὼν εἰς πληροφορίαν. ὀλιγωρήσαντές ποτε τῶν διὰ τοῦ πανσόφου Μωυσέως τεθεσπισμένων οἱ ἐξ Ἰσραὴλ καὶ τῆς δοθείσης αὐτοῖς ἀλογήσαντες ἐντολῆς, ἐτράποντο πρὸς ἀποστασίαν τὴν ἀπὸ θεοῦ καὶ προσκεκυνήκασιν εἰδώλοις καὶ τῆι στρατιᾶι 4 Reg. 17, 12. 16

V, P [= hk], S, D [= mn], AW

1 ὁρᾶν SD 1/2 λελύπηκεν — ὁρᾶν om. SW 1 τὸ κενὴν ἀνδρῶν D spatium ἀνδρῶν P 2 ὁρῶν P 3 γὰρ ἡμῖν SDW 4 δὲ om. D 5 κλαίειν A 6/7 μεγαλοπόλει S 7 καὶ κατεφλυάρει SDW αἰσχρὰ V 9 τοῦτο VA διὰ τοῦτο SW ταῦτα PD 10 ὁσίοις SDAW θείοις VP ἁπρεπεστάτην S ἐκπρεπεστάτην A 12 καὶ om. W καὶ κατὰ S τῆσ κατὰ χν βλασφημίασ ἕνεκεν W 13 γλῶτταν VP 13/14 δακρυροοῦντεσ P 14 ἀπήγγελον VD 15 καὶ διελέγχειν W μὴ VP 16 ἔδρον S 17 οὐδὲ P ἀφιλόχριστοι P φιλόστοργοι S 19 τῶν VP τοὺσ SDAW 20 φιλτάτουσ VD θεοφιλεστάτουσ W ἥδη που W 21 τι om. W 22 καὶ τοῦ εἰκότος om. SDAW τῶν θείων ἱερουργῶν W 23 ἀνασχέσθαι SDAW καταφλυαροῦντα P 24 μᾶλλον αὐτοὺς] πάντωσ S 26 τοῖσ ἐχθροῖσ PDA τοὺσ ἐχθροὺσ VSW 27 οὖν om. P 28 οἱ[1] om. S 29/30 ἀμφίλογον PA 30 οἱ ταῖς] οὐ ταῖσ S αὐταῖσ W ἐκείνω S ἀδρανῆ SW, corr. W 33/34 θείασ VP 35 μωυσέοσ D μωσέωσ VA 36 ἀποστασιν SDAW τοῦ θῦ SDW τῆι στρατιᾶι] ἀστροισ P

L III 1042 τοῦ οὐρανοῦ, καθὰ γέγραπται. ἦκον δὲ ἤδη πρὸς τοῦτο δυστροπίας οἱ τάλανες, ὡς καὶ
2 Paralip. αὐτὸν τὸν θεῖον καταμιᾶναι ναόν. ἠγανάκτει πρὸς ταῦτα θεὸς καὶ παρέδωκεν αὐτοὺς
28, 24 εἰς χεῖρας ἐχθρῶν. ἐπειδὴ δὲ βεβασίλευκεν Ἐζεκίας, ἀνὴρ ὅσιός τε καὶ ἀγαθός, ἐπηνώρ-
θου τὰ διεπταισμένα, καὶ δὴ τὸν θεῖον διακαθάρας ναόν, προσεκόμιζεν οὕτω τὰ νενομισμένα
2 Paralip. τῶι πάντων κρατοῦντι θεῶι· γέγραπται δὲ οὕτω περὶ αὐτοῦ· καὶ Ἐζεκίας ἐβασίλευ- 5
29, 1. 5. 6 σεν ὢν εἴκοσι πέντε ἐτῶν, εἶτα προσπεφώνηκε τοῖς Λευίταις· ἀκούσατε οἱ Λευ-
ῖται· νῦν ἁγνίσθητε καὶ ἁγνίσατε τὸν οἶκον τοῦ θεοῦ τῶν πατέρων ἡμῶν
καὶ ἐκβάλλετε τὴν ἀκαθαρσίαν ἐκ τῶν ἁγίων, ὅτι ἀπέστησαν οἱ πατέρες
ἡμῶν καὶ ἐποίησαν τὸ πονηρὸν ἔναντι κυρίου καὶ ἐγκατέλιπον αὐτόν.
11. 12. 15. 16 προσθεὶς δὲ τούτοις ἕτερά τινα τῶν χρησίμων τοῖς ἀκροωμένοις, ἐπιφέρει πάλιν· καὶ 10
νῦν μὴ διαλίπητε, ὅτι ἐν ὑμῖν ἡιρέτικε κύριος στῆναι ἐναντίον αὐτοῦ λει-
τουργεῖν καὶ εἶναι αὐτῶι λειτουργοῦντας καὶ θυμιῶντας. καὶ ἀνέστησαν
οἱ Λευῖται, φησί, καὶ συνήγαγον τοὺς ἀδελφοὺς αὐτῶν καὶ ἡγνίσθησαν
κατὰ τὴν ἐντολὴν τοῦ βασιλέως διὰ προστάγματος κυρίου καθαρίσαι τὸν
οἶκον κυρίου. καὶ εἰσῆλθον οἱ ἱερεῖς ἕως εἰς τὸν οἶκον κυρίου καὶ ἐξέβα- 15
M V 240 λον πᾶσαν τὴν ἀκαθαρσίαν τὴν εὑρεθεῖσαν ἐν τῶι οἴκωι κυρίου καὶ εἰς
17. 18 τὴν αὐλὴν οἴκου κυρίου. εἶτά φησι τὸ γράμμα τὸ ἱερόν· καὶ τῆι ἡμέραι τῆι
ἑξκαιδεκάτηι τοῦ μηνὸς τοῦ πρώτου συνετέλεσαν καὶ εἰσῆλθον ἔσω πρὸς
PG 469 Ἐζεκίαν τὸν βασιλέα καὶ εἶπον· ἡγνίσαμεν πάντα τὰ ἐν τῶι οἴκωι κυ-
20. 21 ρίου. γέγραπται δὲ πάλιν ὅτι καὶ ὤρθρισεν Ἐζεκίας ὁ βασιλεὺς καὶ συνή- 20
γαγε τοὺς ἄρχοντας τῆς πόλεως καὶ ἀνέβη εἰς οἶκον κυρίου καὶ ἀνήνεγκε
μόσχους ἑπτά, χιμάρους αἰγῶν ἑπτὰ περὶ ἁμαρτίας, περὶ τῆς βασιλείας
16 καὶ περὶ τῶν ἁγίων καὶ περὶ Ἰσραήλ. σύνες ἐντεῦθεν, ὦ φιλόχριστε βασιλεῦ,
ὅτι καίτοι θυμιᾶσαι τῶι θεῶι προτεθυμημένος ὁ πανάριστος ἐκεῖνος καὶ ὅσιος Ἐζεκίας οὐ
πρότερον εἰσβέβηκεν εἰς τὸν ναὸν τοῦ θεοῦ καὶ τετέλεκε τὰ κατ' εὐχήν, εἰ μὴ προενετεί- 25
λατο τοῖς ἱερεῦσι τοῦ θεοῦ καθαρίσαι τὸν οἶκον καὶ ἐκβαλεῖν αὐτοῦ πᾶσαν ἀκαθαρσίαν·
οὗ δὴ γεγονότος ἐθυμία λαμπρῶς ἔχαιρέ τε καὶ λίαν ὀρθῶς ὡς εὐπαράδεκτον ἤδη θυσίαν
προσκομίσας θεῶι διά τοι μάλιστα τὸ τῆς ἐνούσης ἀκαθαρσίας προαπαλλάξαι τὸν ναόν. τοι-
οῦτόν τι πέπρακται καὶ παρὰ τοῦ ὑμετέρου κράτους εἰς δόξαν θεοῦ. ἔθος γὰρ ὑμῖν
θυσιάζειν ἐν ἐκκλησίαις καὶ χειρὶ πλουσιωτάτηι προσκομίζειν ἀεὶ τὰ εἰς δόξαν θεοῦ, ἀλλ' 30
ἦν ἀναγκαῖον προαποκαθᾶραι τὸν ναὸν μώμου τε καὶ μολυσμοῦ προαπαλλάξαι παντὸς
οὕτω τε θύειν ἐπὶ καιροῦ. μολυσμοῦ δὲ παντὸς ἐπέκεινα πρὸς διαβολὴν ἡ κατὰ Χριστοῦ
δυσφημία ἀλλ' ἐκελεύσατε τοῖς ἱερεῦσι καὶ καθάπερ ἔφην ἀρτίως, προεξεκάθηραν ὑμῖν τὸν

V, P [= hk], S, D [= mn], AW

1 δυστροπίασ SDAW δυσσεβείασ VP 2 νεὼν VP ἠγανακτήκει W 3/4 ἐπανώρθου A ἐπηνόρθου W 5 πάντων — θεῶι] παντοκράτορι P 5/6 ἐβασίλευεν V 6 ὢν om. A ἐτῶν κε̄ W εἴκοσι καὶ DA εἶτα om. P προσεφώνει V 6/7 ἄνδρεσ λεβῖται ἀκούσατε V 7 ἁγνίσατε] ἁγιάσαιτε S ἁγιάσατε D τὸν om. SW 8 ἐκβάλετε SAW 9 ἐναντίον VP 10 καὶ ἕτερα V 11 διαλίπητε SDA διαλίπετε, ι ex ει corr. W διαλείπητε P διαλίποιτε V αὐτοῦ] τοῦ P κῡ τοῦ S 12 θυμιοῦντασ W 15 καὶ εἰσῆλθον — κυρίου om. P ἕωσ εἰσ τὸν οἶκον SD ἕωσ τοῦ οἴκου W ἕσω εἰσ τὸν οἶκον VA 15/16 καὶ ἐξέβαλον — οἴκωι κυρίου om. SW 16 τῶι om. D 17 οἴκου κῡ SW κῡ D τοῦ οἴκου κῡ VPA 18 ις̄ W ἔσω om. V 19 εἶπαν S 20 ὅτι om. W 21 τὸν οἶκον P 22 χιμάρους — ἑπτὰ om. SW καὶ χιμάρουσ VPA 23 καὶ[1] om. V ιλη̄μ S ἐνταῦθα A 24 καίτοι] καὶ τὸ SDW θυσιάσαι SDW ἐκεῖνοσ καὶ ὅσιοσ A ἐκεῖνοσ SDW καὶ ὅσιοσ VP 25/26 καὶ τετέλεκε — θεοῦ] πρὶν ἢ P 26 τὸν οἶκον κῡ SD 28 διὰ τὸ μάλιστα [μάλιστα om. V] VSDW προσαπαλλάξαι PW νεὼν VP 29 θεοῦ] χῡ SDW 30 θυσιάζειν SDW θυμιάζειν A θυμιάζειν πυκάζειν VP ἐν om. VP ἐκκλησίασ P θῡ SDAW χῡ VPS corr 31 προσαπαλλάξαι P 32 τε] δὲ V κατὰ] τοῦ V 33 καὶ — ἀρτίωσ VPA καθάπερ — ἀρτίωσ καὶ SDW

ναόν, ἤγνισαν αὐτὸν τὴν ἀτεχνῆ καὶ ἀνόσιον παύσαντες γλῶσσαν, ἵν' ὑμεῖς εὐδοκιμῆτε μειζόνως παρά τε θεῶι καὶ ἀγγέλοις καὶ ἀνθρώποις.

17 Ἡ μὲν οὖν ἁγία καὶ οἰκουμενικὴ σύνοδος καὶ τὸν τῶν ὅλων σωτῆρα Χριστὸν εὐφραίνουσα καὶ τῆι εἰς αὐτὸν πίστει συναγορεύουσα, μόνον οὐχὶ λέγουσα ζηλοῦσα ἐζήλωκα τῶι κυρίωι κατὰ τὸ γεγραμμένον, ἐκ μέσου γενέσθαι παρεσκεύασε τοῦ σκανδάλου τὴν ἀφορμήν· οὓς δὲ ἦν εἰκός, μᾶλλον δὲ καὶ ἀναγκαῖον καὶ συνάρασθαι νεανικῶς καὶ συναθλῆσαι προθύμως τοῖς πεπονηκόσι καὶ μερίσασθαι μεθ' ἡμῶν τῆς διὰ Χριστὸν εὐανδρίας τὰ γέρα, τὸν αὐτὸν ἡμῖν ἀναλαβόντας ζῆλον καὶ θεοφιλοῦς εὐψυχίας τὸν οἰκεῖον ἀναπιμπλῶντας νοῦν, οὗτοι γεγόνασι σκληροὶ καὶ ἀφιλοικτίρμονες καὶ τῆς τοῦ δυσφήμου σκαιότητος κατ' οὐδὲν ἐν μείοσι, λελυπημένοι δὲ καὶ ἀλγήσαντες, οὐχ ὑπέρ γε μᾶλλον τῆς δόξης Χριστοῦ, ἀλλ' ὑπὲρ τοῦ πλεῖστά τε καὶ ἀνοσίως κατ' αὐτοῦ πεφλυαρηκότος, τῶν γνησίων κατεστρατεύοντο μαχητῶν καὶ τοῖς τὰ Χριστοῦ φρονεῖν ἐθέλουσιν ἀντεφέροντο, δι' ὧν δρᾶσαι τετολμήκασι, μόνον οὐχὶ κεκραγότες· τί τὴν ἀσελγῆ καὶ ἀχάλινον ἐπαύσατε γλῶσσαν καὶ τὸ τοῦ προβάτου περιελόντες κώδιον τὸν ἅρπαγα λύκον τοῖς ἁπανταχοῦ γνώριμον κατεστήσατε; τὸ γὰρ ἐφ' οἷς ἐκεῖνος ἐλήλεγκται δυσφορεῖν ἕτερον οὐδέν, ὥς γε **18** οἶμαι, πλὴν ὅτι τουτὶ διακεκραγότων ἐστίν. ὁ γάρτοι τῆς Ἀντιοχέων ἐκκλησίας προεστηκὼς ἀπελιμπάνετο μὲν τῆς ἁγίας συνόδου, καίτοι παρεῖναι κεκελευσμένος κατά γε τὴν ὁρισθεῖσαν ἡμέραν παρὰ τοῦ ὑμετέρου κράτους, ἀνεδύετο δὲ τὴν ἄφιξιν ταῖς τοῦ πεφλυαρηκότος κατὰ Χριστοῦ δυστροπίαις τὴν μέλλησιν χαριζόμενος, μᾶλλον δέ, ὡς εἰκός, ἢ καὶ ἀληθῶς καὶ ἀναμφιλόγως ἐκείνωι τὰ ἴσα φρονῶν. ἕκτης γὰρ ἐπὶ δεκάτηι διαγενομένης ἡμέρας, ἦκον τινὲς μόλις τῶν σὺν αὐτῶι, τῶν ἄλλων οἱ προύχοντες (μητροπολῖται δὲ οὗτοι), καὶ δὴ καὶ ἀπήγγελλον ὡς παρ' αὐτοῦ τῆι ἁγίαι συνόδωι μὴ δὴ χρῆναι πάντως ἀναμένειν αὐτοῦ τὴν ἄφιξιν, πληροῦν δὲ μᾶλλον ἐπείγεσθαι τὰ τεθεσπισμένα. τότε δὴ μόλις ἡ ἁγία σύνοδος συναγήγερτο μὲν ἐν τῆι ἁγίαι ἐκκλησίαι τῆι καλουμένηι Μαρίαι, σύνεδρον δὲ ὥσπερ καὶ κεφαλὴν ἐποιεῖτο Χριστόν· ἔκειτο γὰρ ἐν ἁγίωι θρόνωι τὸ σεπτὸν εὐαγγέλιον, μόνον οὐχὶ καὶ ἐπιφωνοῦν τοῖς ἁγίοις ἱερουργοῖς· κρίμα δίκαιον κρίνατε, δικάσατε τοῖς ἁγίοις εὐαγγελισταῖς καὶ ταῖς Νεστορίου φωναῖς. κοινῆι δὴ οὖν τῆι παρὰ πάντων ψήφωι τὰ μὲν ἐκείνου κατεκρίνετο, τῆς δὲ ἀποστολικῆς τε καὶ εὐαγγελικῆς παραδόσεως τὸ ἀκραιφνὲς ἐδείκνυτο κάλλος καὶ τῆς ἀληθείας ἡ δύναμις ἐκρατύνετο. ὡμολογεῖτο γὰρ παρὰ πάντων ἡ ὀρθή τε καὶ ἀδιάβλητος πίστις, τοῦτο καὶ ὑμῖν δοκοῦν, ὦ φιλόχριστοι βασιλεῖς· ὅλος γὰρ ὑμῶν ὁ σκοπὸς εἴς τε τὸ θεῶι δοκοῦν καὶ εἰς εὐσέβειαν βλέπει· προτε-**19** τιμήκατε γὰρ πώποτε τῆς ἀληθείας οὐδέν. ὁ δὲ τῆς Ἀντιοχέων ἐκκλησίας προεστάναι λαχὼν Ἰωάννης, ὁ μελλητὴς καὶ ῥάθυμος καὶ ἀνεξίκακος μὲν ἀδικουμένου Χριστοῦ, ὀξὺς δὲ καὶ μισοπόνηρος, ὅτε τῆς κατ' αὐτοῦ γλωσσαλγίας ὁ ταύτην κεκινηκὼς ἐπράττετο δίκας,

L III 1043

3 Reg. 19, 14

Mt. 7, 15

PG 472 d. 7. m. Iun. 431

M V 241

d. 22 m. Iun. 431

Zach. 7, 9

V, P [= hk], S, D [= mn], AW

1 ἁγνίσαντεσ SDW αὐτῶν S γλῶτταν D ἡμεῖσ SW 3 τε καὶ[1] VPA 4 συνηγοροῦσα SDW δὲ οὐχὶ P οὐχὶ δὲ SDW 5 παρεσκεύασε γενέσθαι A 6 ἦν om D καὶ ἀναγκαῖον καὶ PDAW καὶ ἀναγκαῖον V ἀναγκαῖον καὶ S καὶ[3] om. S 7 πεπονηκόσι] ἠθληκόσι P διά] εἰσ SW 8 ἡμῖν om. P 9 ἀναπιμπλάντασ PD ἀναπιμπλάντεσ S 10 μείοσι VPA μειώσει SDW δὲ] τὲ W μὲν SD γε] δὲ SDW 11 τοῦ χῦ VW 12 τοῦ χῦ V 13 ἐπαύσαντο A 14 γλῶτταν V om S 15 ἐφ' — ἐκεῖνοσ PA ἐφ' — ἐκεῖνο V ἐκείνον [κἀκεῖνον W] ἐφ' οἷσ SDW ἐλήλεκται SW 16 τουτὶ διακεκραγότων] τῶν ἀντιδιακεκραγότων W τῆσ τῶν W 17 γε om. SDW 19 μέλησιν VSDW 20 ἀναμφιβόλωσ SDW τὰ ἴσα ἐκείνω φρονῶν W τὰ ἴσα φρονῶν αὐτῶ S δεκάτην V διαγεναμένησ S 22 ἀπήγγελον VhD 23 τά τε θεσπίσματα W τὰ θεσπίσματα S 25 σεπτὸν om. V 26 καὶ om. V ἐπιβοῶν V 28 κατέκρινε SDW εὐαγγελικῆσ τὲ καὶ ἀποστολικῆσ SDW 29 ὡμολόγητο VSDW ὡμολόγηται P 30 ἡ om. PW, corr. W ἡμῖν V 30/31 φιλόχριστε βασιλεῦ S 31 ἡμῶν V τὸ τῶ SDW 31/32 προτετίμηκε VP 33 ὁ μελλητὴσ PA ὁ ἀμελητὴσ W ἀμελητὴσ VSD δὲ] τὲ SDW 34 γλωσαλγίασ S

πτηνοῦ τινος δίκην τὴν Ἐφεσίων καταλαβὼν καὶ ὥσπερ ἐνὸν ἐπ' ἐξουσίας αὐτῶι τὰ ὅσα-
περ ἂν βούλοιτο, δρᾶν, οὐδενὸς ἐπιτιμῶντος ὅλως, ὡς ἀνηιρημένων εἰς ἅπαν τῶν τῆς
ἐκκλησίας θεσμῶν, ὡς οὐκ ἐφορῶντος θεοῦ τὰ ἀνθρώπινα καὶ ἀλογίαι μᾶλλον ἢ φρονήσει
L III 1046 διοικούμενος καὶ θυμῶι δοὺς τὸ πλέον ἢ λογισμῶι τῶι σώφρονι κρατεῖν ἐπιτρέψας, ἄρτι
nr. 151 καὶ μόλις τοῦ ὀχήματος ἀποπηδήσας καὶ τὸ δωμάτιον εἰσδὺς ἔτι τε κεκονιαμένος ψῆφον
ἐκφέρει σαθράν τε καὶ ἐκνομωτάτην, ὁμοῦ τοῖς τὰ αὐτὰ φρονοῦσιν αὐτῶι· ἄνδρες δὲ
ἦσαν ἀπόλιδες καὶ καθηιρημένοι καὶ οἱ τῆς Νεστορίου φρενοβλαβείας ὑπασπισταὶ καὶ ἐκ
πολλῆς ἄγαν ἐμβροντησίας μεριζόμενοι σὺν αὐτῶι τῆς κατὰ Χριστοῦ δυσφημίας τὰ ἐγκλή-
ματα. ὑβρίζει τοίνυν ἅπασαν μὲν τὴν ἁγίαν σύνοδον, τῶι τῆς ἀκοινωνησίας ὀνόματι
περιβαλὼν τοὺς ἐκ πάσης ἥκοντας τῆς ὑπ' οὐρανόν, ἄνδρας ἀοιδίμους καὶ τῶι ὑμετέρωι
κράτει γνωριμωτάτους καὶ πολλὴν λαχόντας ἐφ' ἅπασι τοῖς ἀρίστοις τὴν εὐφημίαν· ἐμὲ δὲ
καὶ τὸν τῆς Ἐφεσίων ἱερουργὸν φορτικωτέραι περιβέβληκεν ὕβρει, ψευδηγορῶν καὶ λέγων
PG 473 ὡς τὰ τοῦ δυσσεβοῦς Ἀπολιναρίου πεφρονήκαμεν καὶ τοῖς Ἀρείου καὶ Εὐνομίου βδελυροῖς
τε καὶ ἀνοσίοις συναινοῦμεν δόγμασιν. ἔδρα δὲ τοῦτο, ὡς ἔφην, πάντα κάλων ἀνασείων
ταῖς ἀτιθάσοις ὀργαῖς καὶ ὅλας ὥσπερ ἡνίας ἀνεὶς τοῖς ἐκ θυμοῦ καὶ ὑπεροψίας ἀφιλο-
20 θέοις κινήμασιν, ὃ δὴ καὶ θαυμάσας ἔχω. ὁ γὰρ ἀεὶ φίλος καὶ ἀγαπητός, ὁ μηδεπώποτε
τοῖς ἐμοῖς ἐπισκήψας λόγοις, ὁ γράφων ἀσμένως καὶ τὰ παρ' ἐμοῦ κομιζόμενος γράμματα,
M V 244 ὁ πρὸ αὐτῶν τῶν τῆς Ἐφέσου πυλῶν τοῖς τῆς ἀγάπης προσφθέγμασι μόνον οὐχὶ περιφὺς
ep. 30 καὶ ταῖς ἰδίαις ἐπιστολαῖς ἐνθείς· Τῶι δεσπότηι μου τῶι θεοφιλεστάτωι καὶ ἁγιωτάτωι
συλλειτουργῶι Κυρίλλωι ἐν κυρίωι χαίρειν. Οὐδὲ ἐμὲ μετρίως δάκνει τὸ ὅλως τῆς ὑμε-
τέρας ὁσιότητος εἰς τὴν Ἔφεσον παραγενομένης τὰς μικρὰς ταύτας ὑστερῆσαι ἡμέρας·
τῆς γὰρ χρείας ὁ περὶ τὴν σὴν ἁγιωσύνην πόθος πλέον μοι ἔγκειται συντόνως τὴν ὁδὸν
ἐξανύσαι, καὶ μεθ' ἕτερα· εὔχου οὖν δέσποτα, καὶ ταύτας τὰς πέντε ἢ ἓξ μονὰς καὶ ἀλύ-
πως ἡμᾶς ὁδεῦσαι καὶ δραμεῖν καὶ περιπτύξασθαι τὴν ἱερὰν ἡμῖν καὶ ὁσίαν κεφαλήν.
οἱ περὶ τὸν κύριόν μου τὸν θεοφιλέστατον ἐπίσκοπον Ἰωάννην Παῦλον Μακάριον προσ-
φθέγγονταί σου τὴν ὁσιότητα. πᾶσαν τὴν σὺν σοὶ ἀδελφότητα ἐγώ τε καὶ οἱ σὺν ἐμοὶ
πλεῖστα προσαγορεύομεν. ἐρρωμένος ὑπερευχόμενος ἡμῶν διατελοίης, δέσποτα θεοφιλέ-
στατε καὶ ὁσιώτατε. πῶς οὖν ὁ συλλειτουργόν τε καὶ ἀδελφὸν ὀνομάσας ἀδοκήτως ἦν
21 ἐχθρός, ἠδικημένος οὐδέν; ἀκούω δὲ σοφὸν οἴεσθαί τι λέγειν αὐτόν, τῆς κατ' ἐμοῦ πλημμε-
λείας ἀποκρουόμενον τὰ ἐγκλήματα, ὅτι γέγραφα κρύπτων ἔτι τὴν ἔχθραν καιρῶι τε τῶι
δέοντι ταμιευόμενος τὴν φανέρωσιν. εἶτα πῶς εἴπερ ἦμην αἱρετικὸς ἐγὼ καὶ τῆς τοῦ
δυσσεβοῦς Ἀπολιναρίου καὶ μὴν καὶ Ἀρείου καὶ Εὐνομίου φαυλότητος κοινωνός, συλλειτουρ-
γὸν ὠνόμαζε; τί δὲ καὶ ὁσίαν καὶ πρός γε τούτωι καὶ ἱερὰν τὴν ἐμὴν ἐκάλει κεφαλήν; ἢ

V, P [= hk], S, D [= mn], AW

1 πτηνοῦ τινοσ PA πλὴν οὕτινοσ SDW πτηνοῦ V ὑπ' SW ἐξουσίαισ SDA τὰ VPA τὸ SDW 1/2 ὅσαπερ ἂν] ὅσα S 2 εἰς ἅπαν τῶν] ἁπάντων W 4 διοικούμενα W δοὺς om. W τῶι om. W 5 ἐπιπηδήσασ D εἰσδύσ] εἰσ δύο S τε om. VPS κε-
κονιμένοσ P 6 τε om. VP ἔκνομον D ἔκνοον SW δὲ om. S 7 καθηρημένοι P κελεστιανοὶ καθηρημένοι SDAW καθηρημένοι καὶ κελεστιανοὶ καθηρημένοι V καὶ² om. V ὑπερασπισταὶ W 8/9 τῆς — ἐγκλήματα om. W 9 τοίνυν — μὲν VA μὲν ἅπασαν PSDW 10 τοὺς — οὐρανόν om. V 12 περιέβαλεν VP 13 ἀπολλιναρίου S 14 τε om. SW 15 ἀτιθάσσοισ PD Wcorr ὁρμαῖσ W 15/16 οὐ φιλοθέοισ P 16 θαυμάσαι V μηδέποτε D 17 ἐπι-
σκώψασ VPW 18 τῆσ SDAW ἐξ VP ἀγάποισ P, corr. k 20 κυρίλλω SDW κυρίλλω ἰῶ VPA 21 ἐφεσίων VP 23 οὖν] ὦ D ἑ ἢ ξ S καὶ PA ὥστε V om. SDW 24 διοδεῦσαι W καὶ² om. P ὑμῶν W ὁσίαν VPA θείαν SDW 25 ἰῶ παῦλοσ μακά-
ριοσ W 28 ὁσιώτατε VP ἁγιώτατε SDAW τε om. V 28/29 ἀδοκήτωσ — οὐδέν om. SW 30 ἔτι] ἔνδον P τε AW δὲ VP om. SD 30/31 τῶι δέοντι om. V 31 ἦν VP καὶ om. P τοῦ om. A 32 ἀπολλιναρίου S μὴν καὶ om. VP 33 ὀνομάζει SW γε om. SDAW τὴν ἐμὴν ἐκάλει [καλεῖ P] VPA ἐκάλει τὴν ἐμὴν SDW

οὐχ ἅπασιν ἐναργὲς ὡς εἴπερ τις ἔλοιτο φρονεῖν τὰ βαρβάρων, οὗτος ἔσται πάντως τῆς εὐαγεστάτης ὑμῶν βασιλείας ἐχθρός; ἀλλ' ἔκρυπτεν, ὥς φησι, τὴν ἔχθραν καὶ γλυκὺς μὲν ἦν τό γε ἦκον εἰς λόγους, δόλου δὲ καὶ πικρίας ἐπίμεστος τὴν καρδίαν. εἶτα τίς ὁ ἐπαινέσαι τολμῶν τὸν οὕτω ζῆν εἰωθότα; ἆρα βούλεται τοὺς Ἕλλήνων ἡμᾶς πολυπραγμονῆσαι λογάδας; ἀλλὰ κἀκεῖνοι μεμισήκασι τὸν ἑτερόγλωσσον καὶ ἑτερογνώμονα. ἐξετάσωμεν τῆς θεοπνεύστου γραφῆς τὸν σκοπόν, ἀλλὰ θεοῦ λέγοντος ἀκηκόαμεν ἐναργῶς περὶ τῶν ὁμοτρόπων ἐκείνωι· βολὶς τιτρώσκουσα ἡ γλῶσσα αὐτῶν, δόλια τὰ ῥήματα τοῦ στόματος αὐτῶν· τῶι πλησίον αὐτοῦ λαλεῖ εἰρηνικὰ καὶ ἐν ἑαυτῶι ἔχει τὴν ἔχθραν. μὴ ἐπὶ τούτοις οὐκ ἐπισκέψομαι, λέγει κύριος, ἢ ἐν λαῶι τοιούτωι οὐκ ἐκδικήσει ἡ ψυχή μου; δόλος γὰρ καὶ ἀπάτη καὶ κεκρυμμένη πικρία μεμίσηνται παρὰ θεῶι καὶ τὸ λαλεῖν μὲν εἰρηνικά, διακεῖσθαι δὲ δυσμενῶς ἀφόρητόν τι χρῆμα λελόγισται παρ' αὐτῶι· τοιγάρτοι καὶ ἐκδικεῖν ἐπαγγέλλεται.

22 Προφασιζόμενος δὲ ἴσως προφάσεις ἐν ἁμαρτίαις κατὰ τὸ γεγραμμένον ὁ νεανικὸς εἰς ὕβρεις καὶ τεχνίτης εἰς συκοφαντίας ποιήσεταί τινα πρὸς τοῦτο λόγον, οὐκ ἄκομψον ἴσως, ὥς γε οἴεταί τε καὶ φρονεῖ. φησὶ γὰρ ὅτι κἀγὼ ἐζήλωκα τῶι κυρίωι, καθὰ καὶ ἡ ἁγία σύνοδος, αἱρετικοὺς δὲ ὄντας ὑμᾶς ταῖς παρ' ἐμαυτοῦ λελύπηκα ψήφοις. ὅτι δὲ ταῦτα λέγων ἐκείνοις ἔσται προσεοικώς, οὓς καὶ ὁ προφήτης ἡμῖν Ἡσαίας εἰσκεκόμικε λέγοντας ἐθέμεθα ψεῦδος τὴν ἐλπίδα ἡμῶν καὶ τῶι ψεύδει σκεπασθησόμεθα, κἂν εἰ μή τις λέγοι τυχόν, αὐτὰ βοήσει τὰ πράγματα. πρῶτον μὲν γὰρ ὑπέροφρύς τε καὶ ἀλαζὼν εὑρεθήσεται τοὺς κατὰ πᾶσαν ὄντας τὴν οἰκουμένην ἁγίους ἱερουργοὺς ὕβρει τε περιβάλλων καὶ ῥάβδωι μιᾶι καταπαίων· ἀκοινωνήτους γὰρ εἶναι προστέταχεν, οὐκ ἐκείνους μᾶλλον διὰ τούτου λυπῶν, ἀλλ' ἑαυτὸν ἔξω τῆς πρὸς αὐτοὺς κοινωνίας τιθείς. ἔθος γάρ πως ἀεὶ τοῖς ὀλιγογνώμοσιν οἴεσθαι μὲν ὅτι πλήττουσί τινας δρᾶν ἐπιχειροῦντες ἃ μὴ θέμις ἔσθ' ὅτε, ἑαυτοὺς δὲ μᾶλλον ἢ ἑτέρους ἀδικεῖν. πῶς δὲ ἦν ἀκόλουθον καὶ τοῖς προύχουσιν ἐπιτιμᾶν καὶ τοῖς τὴν ἀμείνω λαχοῦσι τάξιν ἀσυνέτως ἐπιπηδᾶν καὶ τῶν τῆς ἐκκλησίας θεσμῶν τὴν τῆς εἰρήνης προμνήστριαν καταλιπεῖν εὐταξίαν καὶ μηδὲ αὐτὴν ἀπομιμεῖσθαι φιλεῖν τῶν ἐν κόσμωι τὴν ἐπιστήμην; μέτρα μὲν γὰρ τοῖς ἀξιώμασι τὸ εὐσεβὲς ὑμῶν ὡρίσατο κράτος, ἕκαστος δὲ τῶν τετιμημένων τὴν ἑαυτοῦ τάξιν οὐκ ἠγνοηκὼς εἴκει τε τῶι προύχοντι καὶ περὶ τῶν ἴσων οὐ φιλονεικεῖ. ὃ δὲ καὶ τοῦτο παρεὶς ὡς ἔωλον καὶ ἀλογήσας τοῦ πρέποντος ἀχαλίνοις ὥσπερ καὶ ἀπερισκέπτοις ὁρμαῖς κεχώρηκε κατὰ πάντων καὶ τῆς πρὸς ἅπαντας κοινωνίας ἑαυτὸν ἐκβαλὼν οἴεταί τι δρᾶσαι τῶν ὀνησιφόρων αὐτῶι. ἀλλ' εἴπερ ὄντως ἐμὲ καὶ τὸν τῆς Ἐφεσίων ἱερουργὸν αἱρετικοὺς ὄντας ἠπίστατο, τί τὸ κωλῦον ἦν καὶ πρὶν εἰς τὴν Ἐφεσίων ἀφικέσθαι πόλιν, αἰτιάσασθαι διὰ γραμμάτων, ἐμφανῆ καταστῆσαι τὰ ἐφ' οἷς ἦν αὐτῶι καθ' ἡμῶν ὁ λόγος; ἀφιγμένον δὲ εἰς τὴν Ἐφεσίων τί κεκώλυκε συντυχεῖν, αἰτιάσασθαι μετὰ παρρησίας, εἰς μέσον ἀγαγεῖν τὰ ἐγκλήματα, συνεδρεύοντα τῆι ἁγίαι συνόδωι καλέσαι πρὸς ἀπολογίαν

L III 1047 — Ier. 9, 8. 9 — PG 476 — Ps. 140, 4 — 3 Reg. 19, 14 — Ies. 28, 15 — M V 245

V, P [= hk], S, D [= mn], AW

3 πικρείασ P εἶτα om. D οὕτω W 4 τοὺς] τοῦ S 6 ἀλλά om. SDW 7 ἡ γλῶσσα om. P 8 αὐτοῦ οὐ S 9 κσ̄ λέγει S 10 ἔθνει SDW τῶ τοιούτω VP ἐκδικεῖ VP 11 μεμίσηται SDW τῶ θω̄ W 12 ἀδικεῖν S 13 κατά γε τὸ A νεανικόσ PAW νεανίσκοσ VSD 14 ὁ τεχνίτησ VP πρὸς τοῦτο om. V πρὸσ τοῦτον SW 15 φωνεῖ SW 16 ἑαυτοῦ A 17 ὑμῖν S κεκόμικε SW 18 ἐν τῶ SDAW 19 λέγει W βοῶσι SDAW 20 τε om. VP τίσ W 21 περιβάλλων SW περιβαλὼν VPDA γὰρ] δὲ V 23 πωσ om. S μὲν om. SDW 24 ἐπιχειροῦντασ S μὴ δὲ SW ἀδικοῦσι A 25 ἐπιτιμᾶν — λαχοῦσι om. P 26 προμνήστορα V καταλυπεῖν A 27 καὶ om. V αὐτῶν V τῶ κόσμω V 29 περὶ om. SDW ὃ δὲ] οὐδὲ S 30 αἴολον, αι in ε corr. W ἀπερισκέπτοις] ἀπεριφάνοισ S 32 ἑαυτῶ VP 33/34 αἰτιᾶσθαι P αἰτιᾶσθε V 34 καὶ ἐμφανῆ SD 35 ἀφιγμένων SD καὶ αἰτιᾶσθαι καὶ P 35/36 εἰς — καλέσαι] εἰσκαλέσαι S 36 καὶ συνεδρεύοντα P

οὑτω τε ὁμοῦ τοῖς ἄλλοις ἢ ἀπαλλάξαι τῆς αἰτίας ὀρθὰ φρονοῦντας καὶ λέγοντας ἢ γοῦν ὑποθεῖναι ψήφωι δικαίαι τὰ τοῖς τῆς ἐκκλησίας ἀπάιδοντα δόγμασι φρονεῖν ἠιρημένους;
23 ἐπειδὴ δὲ ἠπίστατο μάτην ἐγκαλῶν καὶ συντιθεὶς ἀνοσίως τὰς κατὰ τῶν ὀρθοδόξων συκοφαντίας καὶ τῆι πρὸς Νεστόριον αἰδοῖ καὶ φιλίαι τὰ καθ' ἡμῶν δωρούμενος, λεληθότως
L III 1050 ἠδίκει καὶ καθάπερ ἐν νυκτομαχίαι τετόξευκεν οὐχ ὁρώμενος καὶ ψευδηγορίας μεστὸν συν-
ep. 153 PG 477 τάξας χαρτίον τετόλμηκεν ἀνενεγκεῖν εἰς τὰς εὐσεβεῖς ὑμῶν ἀκοάς, οὐδὲ ἐκεῖνο λαβὼν εἰς
Prou. 24, 22b νοῦν τὸ παρὰ τῆι θείαι κείμενον γραφῆι μηδὲν ψεῦδος ἀπὸ γλώσσης βασιλεῖ λε-
ep. 87 γέσθω. ἡμεῖς δὲ τοῦτο μαθόντες βιβλίων ἐπίδοσιν πεποιήμεθα τῆι ἁγίαι καὶ οἰκουμενικῆι συνόδωι, τὴν μὲν ὀρθὴν καὶ ἀβέβηλον τῆς ἐκκλησίας ὁμολογοῦντες πίστιν, ἀναθεματίζοντες δὲ τοὺς τὰ Ἀρείου καὶ Ἀπολιναρίου καὶ Εὐνομίου φρονοῦντας, παρεκαλοῦμεν δὲ κατὰ 10
τοὺς τῆς ἐκκλησίας θεσμοὺς ἥκειν τε αὐτὸν εἰς μέσον τοῖς ἰδίοις συστησόμενον λόγοις καὶ διελέγχειν ἡμᾶς. ἔννομα δὲ ἦν, ὥς γε οἶμαι, τὰ παρ' ἡμῶν· ὃ δὲ εἰς τοῦτο κατώλισθεν ἀμαθίας, μᾶλλον δὲ δειλίας τε καὶ ἀπορίας, ὡς καταναρκῆσαι τὴν ἄφιξιν καὶ μηδὲ ὅσον ἰδεῖν καταθαρσῆσαι τὴν ἁγίαν σύνοδον. καίτοι ἐχρῆν δήπου μᾶλλον ἐνστῆναι νεανικῶς καὶ τὴν κλῆσιν οὐκ ἀναμείναντα δραμεῖν αὐτόμολον, ἐλέγξαι σαφῶς, ἀποφῆναι 15
κατεγνωσμένους καὶ ταῖς ἰδίαις αὐτὸν ἐπαγωνίσασθαι ψήφοις. ἀλλ' οὐκ ἔδραμεν εἰς τοῦτο σαθρῶι συνειδότι χρώμενος, δεδιὼς δὲ οὕτω τὴν ἄφιξιν τὴν εἰς τὴν ἁγίαν σύνοδον, ὡς μηδὲ ὅσυν εἰπεῖν τῆς ἑστίας προκύψαι τολμᾶν. καίτοι πῶς ἦν εἰκὸς τοὺς ἐξειλεγμένους
M V 248 Zach. 7, 9 ἱερουργούς, μεμνημένους ἱερουργίας, μεμνημένους θεοῦ λέγοντος κρίμα δίκαιον κρί-
Deut. 1, 17 νατε καὶ οὐ λήψηι πρόσωπον ἐν κρίσει, ὅτι ἡ κρίσις τοῦ θεοῦ ἐστι, μὴ 20
οὐχὶ πάντηι τε καὶ πάντως ἐληλεγμένους ἡμᾶς ὡς αἱρετικοὺς ταῖς τῆς κατακρίσεως ὑποθεῖναι ψήφοις; ἦν γάρ πως ἀνάγκη καὶ ὑπομνημάτων συστῆναι πρᾶξιν καὶ ταῦτα ὑμῖν γενέσθαι καταφανῆ. χώραις μὲν γὰρ ὅλαις καὶ πόλεσι ταῖς μεγάλαις νεύματι τοῦ ὑμετέρου κράτους εἷς ἀναδείκνυται δικαστής, θαρσεῖται δὲ κρίσεις καὶ τὰς ἐφ' αἵματι καὶ ψυχῆι δέδιέν τε τοὺς νομοθετοῦντας ὑμᾶς καὶ τοῖς παρ' ὑμῶν θεσπίσμασι πρὸς τὴν τοῦ δικαίου 25
θήραν ἀπευθύνεται· εἶτα πῶς ἔμελλον οἱ παρὰ θεοῦ πρὸς ἱερουργίαν ἐξειλεγμένοι τοσοῦτοί τε ὄντες τὸν ἀριθμὸν καὶ οὐκ ἀθαύμαστον ἔχοντες τὴν ὑπόληψιν τὴν ἐπί γε φημὶ τῶι βιῶναι λαμπρῶς ἡμᾶς αἰδεσθῆναι μᾶλλον καὶ οὐχὶ τὴν θείαν ἐντολήν;

24 Ὅτι δὲ ἀχάλινος αὐτῶι πρὸς ὑπεροψίαν τε καὶ ὕβριν γέγονεν ὁ νοῦς, καὶ δι' ἑτέρων πραγμάτων ἀταλαίπωρον ἰδεῖν. τρίτον μὲν γάρ που διατετέλεκεν ἔτος δυσφημῶν ἐπ' 30
Coll. Ver. 3. 4 ἐκκλησίας ὁ τῶν νέων δογμάτων εὑρετὴς Νεστόριος· ἐπειδὴ δὲ καὶ δι' οἰκείων γραμμάτων τῶι ὁσιωτάτωι τῆς Ῥωμαίων ἐκκλησίας ἐπισκόπωι Κελεστίνωι καταφανῆ τῆς ἑαυτοῦ διανοίας ἐποίει τὴν νόσον, οὐκ ἀπότομον, οὐκ ἀσυμπαθῆ τὴν ψῆφον ὑπέμεινε, παρεκαλεῖτο

V, P [= hk], S, D [= mn], AW

2 τῆσ ἐκκλησίασ VP ἐκκλησιαστικοῖσ SDAW 3 κατὰ om. P 4 τὸν νεστόριον W τὰ om. P λοιδορούμενοσ W 6 ἐτόλμησεν S ἀκοὰσ ὑμῶν A οὔτε PA οὔτ' V 7 μὴ δὲ SW 8 ἐπίδοσιν om. D 8/9 συνόδω καὶ οἰκουμενικῆ S 9 ἀβέβηλον] βεβαίαν SW γρ(ά)φεται καὶ βέβαιον W in mg. 10 ἀπολλιναρίου S 11 τῆς ἐκκλησίας] ἐκκλησιαστικοὺσ W 12 ἐλέγχειν A 13 τε om. SDAW 14 καταθαρσῆσαι VPW καταθαρσῆσαι μόνον SDA μόνον καταθαρσῆσαι W^{corr} χρῆν P δήπου VPA σπουδῆ SDW ἐκστῆναι S 15 κλῆσιν] ἐκλησίαν W 16 ἐπαγωνίσασθαι SDW ἐναγωνίσασθαι A καταγωνίσασθαι VP ἔδραμεν εἰσ SDAW ἔδρασε VP 17 σαθρῶ VPA κακῶ SDW 18 ἑστίας] εἰσόδου P τοὺς om. P 19 ἱερουργίασ μεμνημένους om. SDAW 20 λήψεσθε SDW ἡ om. P, corr. k 21 τε om. V κρίσεωσ SDW 22 ἡμῖν D 23 ὅλαις om. SDW 24 θαρσεῖται VAW θαρσεῖτε PSD δὲ VPA δὲ καὶ SDW καὶ^{1} SDA om. VPW 25 δέδιέ τε VA δεδίενται SW δεδιέναι D δέδιε δὲ P νομοθέτασ W ἡμᾶσ SDW ἡμῶν W 26 ἀπευθύνετε D ἤμελλον V ἱερουργίασ A 27 φημι] μὴν W τὸ W 29 δὲ] καὶ S ὑπεροψίασ SDA ὕβριν VPW^{corr} ὕβρεισ SDAW 31 ἐκκλησίαισ W 32 κελεστίνω ἐπισκόπω S αὐτοῦ W ἑαυτῶν S 33 ποιεῖται SDW τὴν νόσον] τὸν νοῦν P οὐκ] οὐδὲ SD

δὲ μᾶλλον ἀποφοιτῆσαι μὲν τῆς ἐνούσης κακοδοξίας αὐτῶι καὶ τὴν ὀρθὴν καὶ ἀμώμητον ἀνθελέσθαι πίστιν, παρεκαλεῖτο δὲ οὐχ ἅπαξ, ἀλλὰ καὶ πλειστάκις. ὁ δὲ ἀκριβής, ὡς οἴεται, τῶν θείων δογμάτων ἐρευνητής, ἵνα μή τι λέγοιμι φορτικόν, ὁ μέγα φρονῶν ἐπὶ τῆι τῶν θείων εἰδήσει νόμων, οὐχ ὑπομνήσας πώποτε τοὺς ἠδικημένους παρ' αὐτοῦ, οὐ λόγου μεταδούς, μᾶλλον δὲ οὐδὲ συστῆναι ταῖς ἑαυτοῦ προπετείαις θαρσήσας, ὑβρίζει μὲν ἀνοσίαι ψήφωι, τάχα δέ που καὶ μέγα πεφρόνηκεν ἐπὶ τούτωι, ἵνα καὶ ἀκούηι λέγοντος τοῦ μακαρίου Δαυίδ, μᾶλλον δὲ τοῦ ἁγίου πνεύματος διὰ φωνῆς τοῦ Δαυίδ· τί ἐγκαυχᾶι ἐν κακίαι ὁ δυνατὸς ἀνομίαν ὅλην τὴν ἡμέραν; ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου; ὡσεὶ ξυρὸν ἠκονημένον ἐποίησας δόλον. ἠγάπησας κακίαν ὑπὲρ ἀγαθωσύνην, ἀδικίαν ὑπὲρ τὸ λαλῆσαι δικαιοσύνην· ἠγάπησας πάντα ῥήματα καταποντισμοῦ, γλῶσσαν δολίαν. διὰ τοῦτο ὁ θεὸς καθελεῖ σε εἰς τέλος· ἐκτίλαι σε καὶ μεταναστεύσαι σε ἀπὸ σκηνώματός σου καὶ τὸ ῥίζωμά σου ἐκ γῆς ζώντων. PG 480 I. III 1051 Ps. 52, 3-7

Ἐπυθόμην δὲ ὅτι τῆς καθ' ἡμῶν πλημμελείας ἀπαλλάττειν αὐτὸν ἐπιχειροῦσι τινές, λελυπῆσθαι δικαίως διαβεβαιούμενοι διά τοι τὸ δίχα αὐτοῦ τὸ ἐπὶ τῶι δεδυσφημηκότι γενέσθαι συνέδριον. ἀλλ' ἦν ἄμεινον οὐχ ἡμᾶς αἰτιάσασθαι μᾶλλον, γράφεσθαι δὲ τὴν οἰκείαν αὐτὸν ἐπὶ τούτωι μέλλησιν. εἶτα τοὺς προαφιγμένους καὶ προαπηγγελκότας τῆι ἁγίαι συνόδωι μὴ δὴ χρῆναι περιμένειν αὐτὸν καὶ οὐκ αὐτομόλους εἰς τοῦτο ἐλθεῖν, ἀλλὰ γὰρ ταῖς παρ' αὐτοῦ διακονουμένους φωναῖς, τί μὴ μᾶλλον ἐποιεῖτο κατεστυγημένους ὡς ψευδηγορήσαντας, ὡς ἠπατηκότας, ἀλλ' ἐν τοῖς ὅτι μάλιστα γνησιωτάτοις ἔχει; ἀλλ' ἔστω τυχὸν καὶ λελύπηται. ταύτης οὖν ἕνεκα τῆς αἰτίας ἔδει τῶν θείων αὐτὸν ἀλογῆσαι νόμων, ἐπιλαθέσθαι δὲ θεοῦ λέγοντος ἀθῶιον καὶ δίκαιον οὐκ ἀποκτενεῖς; ἔδει κατακρῖναι τοὺς ἐπ' οὐδενὶ τῶν ἀτόπων κατεγνωσμένους; ἐχρῆν ἀδελφῶν τὸ τῆς ἀνοσιότητος κατωθῆσαι ξίφος; θεσμοὺς ἐκκλησιαστικοὺς περιυβρίσαι; συκοφαντῆσαι, ψεύσασθαι καὶ τοῦτο τὰς εὐσεβεστάτας ὑμῶν ἀκοάς; ἐχρῆν ἡγήσασθαι παρ' οὐδὲν τὴν ὀρθότητα τῆς πίστεως καὶ τὸ ἐθελῆσαι φρονεῖν ὅσα μῶμον ἔχει παντελῶς οὐδένα, χαρίσασθαι δὲ τὴν ἐπικουρίαν τῶι δυσφημοῦντι κατὰ Χριστοῦ καὶ ἀναστῆσαι ζητεῖν τὸ ψεῦδος, καταστρέφειν δὲ τὴν ἀλήθειαν; ταῦτα φρενὸς ἁγίας δοίη τις ἂν εἶναι καρπόν; ταῦτα βουλῆς ἱερατικῆς εὑρήματα; καίτοι λέγοντος ἀκούω θεοῦ ὅτι χείλη ἱερέως φυλάξεται κρίσιν καὶ νόμον ἐκζητήσουσιν ἐκ στόματος αὐτοῦ. πρόδηλον οὖν ὅτι δι' ὧν ἂν οἴηται τῆς καθ' ἡμῶν ἀπονοίας τὰς αἰτίας ἀποσκευάζεσθαι, διὰ τούτων αὐτῶν ἀνόσια πεπραχὼς καταφωρᾶται μειζόνως. ἐγὼ δέ, ὦ φιλόχριστε βασιλεῦ, ἔχαιρον μὲν τῆς ἐνεγκούσης ἀπαίρων καὶ τῆς ὑμετέρας Ἀλεξανδρείας ἐκδεδημηκώς, πνεύματος δὲ λάβρου καταχεομένου τῶν ἱστίων καὶ μόνον οὐχὶ καταβροντῶντος τῆς νεὼς αἰρομένου τε ὑψοῦ τοῦ κύματος καὶ ταῖς τῶν οἰάκων περιπαφλάζοντος κεφαλαῖς, εὔθυμος καὶ οὕτω διετέλουν τὸν ἐκ τοῦ χειμῶνος κίνδυνον ὀπίσω τιθεὶς τῆς εὐκταιοτάτης μοι θέας τοῦ ὑμετέρου κράτους. καὶ μὴν ὅτε PG 481 Mal. 2, 7 M V 249 Exod. 23, 7

V, P [= hk], S, D [= mn], AW

1 αὐτῶ κακοδοξίας S καὶ τὴν] τὴν δὲ SD 3 τι om. P λέγωμεν SDW μεγαλόφρων VP 4 αὐτῶ P 5 τῆ — προπετεία W θαρρήσας V 6 ἀνοσίω V που om. VP ἀκούοι P 7 μᾶλλον — Δαυίδ om. SW ἐγκαχᾶ P, corr. k 9 κακίαν] ἀδικίαν A 10 τοῦ D 11 πάντα τὰ PSD 11/12 καθέλοι D 12 ἐκτίλαι σε] ἐκτίλλεσαι V 13 καὶ τὸ — ζώντων om. VPA 14 αὐτὸν om. SDW 15 τοι om. SD τὸ δίχα] τάχα W 16 αἰτιάσθαι AW 17 αὐτὸν VSAW αὐτῶ P αὐτῶν D μέλησιν W 18 δὴ om. SDW αὐτομόλως P 19 γὰρ om. SAW διακονουμέναισ PSD μὴ om. D κατεστιγμένους PW 20 ἔχειν VD 22 ἀποκτείνησ S ἔδει δὲ P 23 ἀδελφῶ D 24 ὑβρίσαι W 25 τοῦτο] ταῦτα εἰσ P 26 πίστεως] πίστεωσ ἀσπαζομένουσ ὡσ τὸ εἰκὸσ W ὅσα μῶμον] ὡσ ἄμωμον P δὲ] καὶ S δὲ μᾶλλον W 28 ἁγίας] ὑγειοῦσ W 29 εὑρέματα VSDW ὅτι om. S φυλάξει SDW 30 ὅτι om. P 33 ἡμετέρασ VP τε SDW λαύρου VSDAW καταχεομένων W 34 δὲ P ὑψοῦ VPA εἰσ ὕψοσ SDW 35 εὐθύμωσ SW

τὴν Ἐφεσίων ἀφέντες ἐπὶ τὴν λαμπρὰν ἐκείνην ἀνεκομίζοντο πόλιν οἱ ἐκ τῆς ἁγίας συνόδου προκεχειρισμένοι πρός γε τὸ χρῆναι συνειπεῖν τοῖς παρ' αὐτῆς πεπραγμένοις, ἐπεθύμουν γενέσθαι τοῖς ἀνδράσιν ἐναρίθμιος, πρῶτον μὲν ὑπὲρ τοῦ τὸ ὑμέτερον κράτος ἰδεῖν, εἶτα πρὸς τούτῳι ἵνα καὶ αὐτῶι τῶι τῆς Ἀντιοχείας ἐφ' ὑμῶν δικάσωμαι καὶ δείξω συκοφαντήσαντα καὶ παρανόμως λελυσσηκότα καὶ μανίαις ἀκράτοις νενικημένον, ὅτι τῶν Νε-
ep. 6 στορίου δυσφημιῶν ἀνεθεμάτισα τὰ κεφάλαια. τῆι γὰρ ἐμῆι πίστει μεμαρτύρηκε τὴν
L III 1054 ὀρθότητα καὶ ἡ Ῥωμαίων ἐκκλησία καὶ μὴν καὶ ἡ ἁγία σύνοδος ἡ ἐξ ἁπάσης ὡς ἔπος εἰπεῖν συναγηγερμένη τῆς ὑπ' οὐρανόν. ὅτι γὰρ κατ' οὐδένα τρόπον ἔξω γεγονὼς ἁλοίην ἂν τῆς τε ἀποστολικῆς καὶ εὐαγγελικῆς παραδόσεως ὀρθήν τε καὶ ἀδιάστροφον
nr. 45 τῶν ἱερῶν δογμάτων διελαύνω τρίβον, παμψηφὶ διωμολογήκασι, καὶ τοῦτο ἐγγράφως ἐπὶ πίστεως ὑπομνημάτων, ἀναγινωσκομένων τῶν παρ' ἐμοῦ γραφεισῶν πρὸς Νεστόριον ἐπι-
27 στολῶν. ηὐχόμην δὲ οὐχὶ τούτων ἕνεκα μόνων ἐκεῖσε γενέσθαι, ἀλλ' ἵνα καὶ τὰς τῶν ἑτέρων διαβολὰς τὰς κατ' ἐμοῦ καὶ τῶν ἐμῶν ψευδεῖς ἀποφήνω. οἱ γὰρ τῶν Νεστορίου δογμάτων ὑπασπισταὶ τὸ ἐκ φθόνου καὶ βασκανίας ἐπ' ἐμοὶ συντείνοντες τόξον καὶ τὰ ἐξ ἀκράτου μανίας πολυτρόπως ἀρτύοντες, ἄνδρας ἐξωνούμενοι καὶ κατηγόρους ἱστάντες, ὧν
Phil. 3, 19 ὁ θεὸς ἡ κοιλία καὶ ἡ δόξα ἐν τῆι αἰσχύνηι αὐτῶν, καθά φησιν ὁ μακάριος Παῦλος, τῶι ὑμετέρωι κράτει δι' ὄχλου γίνεσθαι παρεσκεύαζον καὶ μάλα συχνῶς, καίτοι παρ' ἐμοῦ πεπονθότας τῶν ἀτόπων οὐδέν· οὐ γὰρ ἦν τις αὐτοῖς πρὸς ἐμὲ λόγος παντελῶς, ἀπομισθώσαντες δέ, ὡς ἔφην, τοῖς ἐπιβουλεύουσιν ἐμοὶ τὰς ἑαυτῶν γλωσσαλγίας κατε-
M V 252 φλυάρουν εἰκῆι, πάντα δρῶντες ἑτοίμως. ἀτόλμητον δὲ τοῖς τοιούτοις οὐδέν· σύντροφον γὰρ ἔχουσι τὸ κακὸν καὶ οὐδὲν λελόγισται παρ' αὐτοῖς τὸ καὶ γραφὴν ἁλῶναι συκοφαντίας καὶ ψευδηγορῆσαι πλειστάκις καὶ καθ' ὧν ἂν βούλοιτό τις, καὶ εἰ μή τις εἴη γνώριμος αὐτοῖς τῶν κατηγορουμένων. ἴσασι δὲ ὄντας τοιούτρυς οὕτω τε ζῆν εἰωθότας οἱ κατὰ πᾶσαν ὄντες τὴν ὑμετέραν Ἀλεξάνδρειαν. κατεφλυάρουν μὲν οὖν ἐκεῖνοι τοῖς εἰς τοῦτο παρωρμηκόσι τὸ χρῆμα προπίνοντες καὶ ἀντέκτισιν ὥσπερ τινὰ τῆς δωροδοκίας τῆς κατ' ἐμοῦ γλωσσαλγίας ποιούμενοι τὴν ἐπίδειξιν. καὶ δεδυσφόρηκα μὲν λίαν ἐπὶ τούτοις ἐγώ (πῶς γὰρ οὐκ ἔμελλον;), πλὴν ἐμεμνήμην λέγοντος τοῦ πάντων ἡμῶν σωτῆρος
Mt. 5, 11. 12 Χριστοῦ· μακάριοι ἐστέ, ὅταν διώξωσιν ὑμᾶς καὶ ὀνειδίσωσι καὶ εἴπωσι πᾶν πονηρὸν καθ' ὑμῶν ψευδόμενοι ἕνεκεν ἐμοῦ. χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς· οὕτως γὰρ ἐδίωξαν τοὺς προ-
PG 484 28 φήτας τοὺς πρὸ ὑμῶν. ὅτε γὰρ ὁ τῆς ἀνομίας πατήρ, τουτέστιν ὁ σατανᾶς, ταῖς ἐκκλησίαις παγίδα καὶ τοῖς τὴν ὀρθὴν ἔχουσι πίστιν ἐξαρτύειν ἐπιχειρεῖ καὶ διὰ τῶν ἰδίων ὑπασπιστῶν παραχαράττειν ἀποτολμᾶι τῆς ἀποστολικῆς τε καὶ εὐαγγελικῆς πίστεως τὴν παράδοσιν, εἶτα τῆς ὀρθῆς δόξης οἱ φύλακες ἀντανιστῶσιν αὐτῶι τὴν ἀλήθειαν καὶ τοῖς τὰ ὀρθὰ διαστρέφουσιν ἀντιφέρονται, σύνοπλον ἔχοντες καὶ συμπαραστάτην αὐτὸν τὸν

V, P [= hk], S, D [= mn], AW

1 ἐκεῖνοι P 2 πρό D γε om. P αὐτοῖσ PD αὐτῆ SAW 3 συναρίθμιοσ S 4 ἔπειτα SDW ἡμῶν W 5 λελυσσηκότα SDW λελυπηκότα VPA 6 ἀνεθεματίσθησαν P τὴν om. P 7 ἡ² om. SDW 8 καὶ κατ' A 9 εὐαγγελικῆσ καὶ ἀποστολικῆσ SDAW 10 διελαύνων V παμψηφεὶ VP ὡμολογήκασι SW 11 γραφησομένων καὶ γραφεισῶν S γραφέντων V 11/12 ἐπιστολῶν om. V 12 εὐχόμην P μόνον PW τάσ om. VP 13 ἀποφήνωσιν S 15 ἀκράτου AW ἀκρατοῦσ VP ἀκρασίασ καὶ SD ἱστῶντεσ VW 16 ὁ om. PS 17 γενέσθαι VSDW 17/18 παρ' ἐμοῦ om. SW 18 πεπονθότεσ PSDW οὐδὲ V 19 γλωσαλγίασ PS 21 οὐδὲ P γραφὴν ἦν W γραφῆ D γραφῆσ P 23 αὐτῶν S 24 ἡμετέραν VPW οὖν om. W 25 προτείνοντεσ W 26 τῆς om. SD γλωσαλγίασ S ἀπόδειξιν W δεδυσφήμηκα W λίαν] πλέον SD 28 ὀνειδίσωσιν ὑμᾶσ καὶ διώξωσιν D ὀνειδίσωσι καὶ διώξωσιν ὑμᾶσ S 29 καθ' ὑμῶν PA ῥῆμα καθ' ὑμῶν D καθ' ὑμῶν ῥῆμα V ῥῆμα SW ἐμοῦ om. S 30 ἡμῶν S 31 ἡμῶν PDW 32 τὴν om. V πίστιν ἔχουσιν P ἐπιχειρῆ D καὶ om D 33 τολμᾶ P 34 δόξης] πίστεωσ S ἀντανιστᾶσιν A ἀνθιστῶσιν P 35 ὅπλον VP συνπαραστάτην W τὸν om. S

Χριστόν, ὅς ἐστιν ἀλήθεια, τότε δὴ πάντως ὁ τοῦ ψεύδους πατὴρ πολλοὺς ἐγείρει τοὺς ψευδηγόρους, τότε καὶ συκοφαντῶν ἀγρία πληθὺς τοῖς εὐσεβεῖν ἠιρημένοις ἀντανίσταται. τοῦτο παθόντας καὶ αὐτοὺς εὑρίσκομεν τοὺς ἁγίους προφήτας. προεφήτευε μὲν γὰρ κατὰ καιροὺς ὁ μακάριος Ἀμώς, κατηιτιᾶτο δὲ σφόδρα τοὺς ἐξ Ἰσραὴλ ὡς τῆς εἰς θεὸν ἀγάπης ἠφειδηκότας καὶ τῶν δοθέντων αὐτοῖς ὑπερορῶντας νόμων· ἀλλ' εἰς μέσον ἦιει παραχρῆμα καὶ ἀντέπραττεν ὁ Πασχώρ (ψευδοπροφήτης δὲ οὗτος καὶ δαιμονίων θεραπευτής), εἶτα τῶι βασιλεῖ τοῦ Ἰσραὴλ διαβέβληκε τὸν ἀληθῶς ἅγιον καὶ προφήτην, ὧδε γεγραφώς· συστροφὰς ποιεῖται κατὰ σοῦ Ἀμώς· οὐ μὴ δύνηται ἡ γῆ ὑπενεγκεῖν πάντας τοὺς λόγους αὐτοῦ. ὁμοίως δὲ καὶ ὁ μακάριος Ἱερεμίας πλημμελοῦντα τὸν Ἰσραὴλ ἐπανορθοῦν ἐκέλευε τὰς οἰκείας ὁδούς, ἀλλ' οὐκ ἀπῆσαν οἱ διαβάλλοντες· παρώτρυναν γὰρ κατ' αὐτοῦ τὸν Σεδεκίαν τοὺς τῆς βασιλείας διέποντα θρόνους. καὶ φορτικὸν μὲν ἦν τοῖς ἁγίοις τὸ χρῆμα καὶ δύσοιστον ἀληθῶς· πλὴν τὸ θεῶι δοκοῦν καὶ φίλον τῆς ἑαυτῶν προθέντες ζωῆς, εἴχοντο καὶ οὕτω τῶν ἐν χερσὶ σπουδασμάτων, οὐκ ἀγνοοῦντες τὸ γεγραμμένον ὅτι καρδία βασιλέως ἐν χειρὶ θεοῦ· οὗ δ' ἂν θέλων νεῦσαι, ἐκεῖ ἔκλινεν αὐτήν. πράους γὰρ αὐτοὺς ἀπετέλει καὶ φιλοικτίρμονας, καίτοι πλειστάκις παρωξυμμένους, τοὺς τῶν Ἰουδαικῶν κρατοῦντας πραγμάτων ἀλλὰ γὰρ παρήσομεν τὰ ἐκείνων, ὡς ἅπασιν ἐγνωσμένα, μεμνήσομαι δὲ τοῦ πανευφήμου καὶ τρισμακαρίου πατρὸς ἡμῶν Ἀθανασίου τοῦ γεγονότος κατὰ καιροὺς ἐπισκόπου τῆς ὑμετέρας Ἀλεξανδρείας. ἐμάχετο μὲν γὰρ ταῖς Ἀρείου κακοδοξίαις, οἱ δὲ τῆς ἐκείνου βδελυρίας παράσιτοι συκοφαντοῦντες αὐτὸν διετέλουν. ἀσελγῆ δὲ καὶ ἀχάλινον ἐπ' αὐτῶι τὴν γλῶσσαν ἀνέντες, ὡς οὐκ ἀρκούντων αὐτοῖς τῶν ψευσμάτων, χεῖρα τεμόντες ἀνθρώπου περιεκόμιζον καὶ φρικτὸν τοῖς ὁρῶσι παρατιθέντες θέαμα ταύτην αὐτὸν ἔφασκον ἀποτεμεῖν, Ἀρσένιον δέ τινα τοῦτο παθεῖν διετείνοντο. χρόνους δὲ μακροὺς διατετελέκασι συναρπάζοντες, ἄχρις οὗ διαλανθάνων κατελήφθη ζῶν ὁ Ἀρσένιος, πεφώραται δὲ οὕτω μόλις τῆς ἐκείνων σκαιότητος τὸ ἐγχείρημα. δύσοιστον μὲν οὖν καὶ σφόδρα δριμὺ ψυχαῖς ἐλευθέραις καὶ καθαρὸν ἐχούσαις τὸ συνειδὸς ἡ συκοφαντία, ἀλύει δὲ σφόδρα τῶν πεπονθότων ὁ νοῦς καὶ τὸ εἰκῆι καὶ μάτην ἐπιβουλεύεσθαι παρὰ τῶν ἠδικημένων οὐδὲν παγχάλεπον ὁμολογουμένως. πλὴν ὅτι ταῦτα συμβήσεται τοῖς πρεσβεύουσι τὴν ἀλήθειαν, προκαταμεμήνυκεν ἡ θεία γραφή. ἔφη γοῦν· ἕως θανάτου ἀγώνισαι ὑπὲρ τῆς ἀληθείας, καὶ κύριος πολεμήσει ὑπὲρ σοῦ. καὶ μὴν καὶ αὐτὸς ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς εἰς ἀγαθὴν εὐτολμίαν ἐπαλείφων τοὺς μαθητὰς καὶ ψευδηγορίας ἁπάσης ἀλογεῖν ἀναπείθων καὶ τῶν ἐπὶ τῶι διώκεσθαι πόνων, εἰ ἐμὲ ἐδίωξαν, φησί, καὶ ὑμᾶς διώξουσιν· εἰ τὸν οἰκοδεσπότην Βεελζεβοὺλ ἐκάλεσαν, πόσωι μᾶλλον τοὺς οἰκειακοὺς αὐτοῦ. ἐκδυσωπεῖ δὲ καὶ σφόδρα χρησίμως προσεπειπών· οὐκ ἔστι μαθητὴς ὑπὲρ τὸν διδά-

Ier. 20, 1
L III 1055
Amos 7, 10
Ier. 33, 13
Prou. 21, 1
M V 253
Sir. 4, 28
Ioh. 15, 20
Mt. 10, 25
Mt. 10, 24

V, P [= hk], S, D [= mn], AW

1 ἡ ἀλήθεια DW 2 τότε δὴ SD ὅτε δὴ W ἄγρια πλήθη VP ἀνθίσταται P 3 ἁγίασ S 4 καιρὸν V 5 ὑπερορῶντεσ S ἦει PA ἦκει SDW ἦλθε V 6 παραχρῆια om. SDW ἀντέπασχεν SD ἀντέπεσχεν W δὲ om. P 7 τὸν om. SDW ἀληθῶσ in ἀληθῆ corr. S 8 σοῦ] τοῦ W δυνήσεται SD δυνήσηται W ἐπενεγκεῖν P 9 πάντας om. P τρισμακάριοσ A μακάριοσ προφήτησ SDW 10 ἐνδιαβάλλοντεσ V 10/11 παρώτρυνον A 11 γὰρ VPA δὲ SDW διέποντασ S 12 μὲν om. VP ἦν] ἐν D καὶ — ἀληθῶς om. P τὸ Vm1 τῶι Sm1A τὸ τῶι PW φίλον ὂν A 14 βασιλέων V θῶ καὶ D θέλη PW νεύση A νεύσειεν V ἔκλιναν S 15 ἀποτελεῖ A 15/16 πολλάκισ S 16 παρωξυμένουσ D παροξυνομένουσ W παρωτρυμμένουσ V ἰουδαίων P παρήσωμεν PSD 17 πᾶσιν V ἐγνωσμένων W δὲ om. W 18 ἡμετέρασ VP 19 ἐμάχοντο S βδελλυρίασ W κακοδοξίασ P 19/20 συκοφαντοῦσιν V 20 αὐτοῦ SDW γλῶτταν Sm1W 20/21 οὐκ ὡσ S 21 καὶ om. VP 22 παρατίθενται S 24 κατελείφθη VW 25 σφόδρα om. SW ἐλευθέροισ P 27 πλὴν ὁμολογουμένωσ P 29 ἠγώνισαι S ὑπέρ] περὶ V 30 αὐτὸς om. AW, corr. W ἰσ χσ VP 31 ὑπαλείφων W πάσησ D 32 καὶ ὑμᾶσ φησὶ S 33 ἀπεκάλεσαν A πόσω SDW πολλῶ VPA 33/34 ἐδυσώπει SDW 34 προσειπὼν P

σκαλον οὐδὲ δοῦλος ὑπὲρ τὸν κύριον αὐτοῦ. εἰ γὰρ αὐτοῦ κατειρήκασι τοῦ Χριστοῦ, ποῖος ἡμῶν ὁ λόγος; καὶ εἰ κατὰ παντὸς ἁγίου γεγόνασιν αἱ συκοφαντίαι, πῶς ἦν ἄρα διαφυγεῖν τοὺς ἐλαχίστους ἡμᾶς; ἀκρατὴς μὲν γὰρ τῶν ἀνοσίων ἡ γλῶττα, φέρεται δὲ ὥσπερ κατὰ πρανοῦς, ἀλλ' ἐστὶν ἐπάρατος καὶ θεῶι κατεστυγημένη. ψάλλει γοῦν ὁ
Ps. 11, 4 μακάριος προφήτης Δαυίδ· ἐξολοθρεύσαι κύριος πάντα τὰ χείλη τὰ δόλια καὶ γλῶσσαν μεγαλορήμονα.

31 Πεπείραται σὺν ἐμοὶ τῶν ἐκ γλώττης ἀχαλίνου βελῶν καὶ ὁ ἀγαπητὸς μοναστὴς Βίκτωρ. ἐπεφήμισαν γὰρ τινὲς αὐτῶι τῶν τάχα που ψευδηγορεῖν εἰωθότων ὅτι καὶ
L III 1058 αὐτὸς τῶν ἐκτόπων τινὰ πεφλυάρηκε κατ' ἐμοῦ, ὥστε καὶ ἀφιγμένον εἰς τὴν Ἐφεσίων πρός με κατηιτιῶντο σφόδρα τῶν ἀπὸ τῆς ἁγίας συνόδου τινές, μᾶλλον δὲ καὶ ἀπεστράφησαν ἅπαντες ὡς ἕνα τῶν ἀνοσίων μεμισηκότες. διατετελέκασι γοῦν πατραλοίαν ὀνομάζοντες καὶ ἀδελφοκτόνον καὶ ὅσα τούτοις ἐστὶ παραπλήσια. καὶ τοῦτο γνοὺς ὁ πρεσβύτης, πλείστων ὅσων αὐτὸν περιεστηκότων ἁγίων ἐπισκόπων, ἀνατείνας εἰς οὐρανὸν τὰς χεῖρας ὁμώμοκεν ἀσυνήθως κατά τε τοῦ ἁγίου βαπτίσματος καὶ τῶν σεπτῶν τοῦ Χριστοῦ μυστηρίων μηδὲν ἑαυτῶι συνειδέναι τοιοῦτον οὕτω τε μόλις ἐγώ τε καὶ αὐτὸς ἰσχύσαμεν τὰς τῶν λυπουμένων θεραπεῦσαι ψυχάς. πλὴν εἰ καὶ πολλοὶ λίαν οἱ ψευδοεπεῖν ἐθέλοντες ἐπιφυόμενοί τε καὶ ἐπιπηδῶντες μάτην, μᾶλλον δὲ καὶ παρωτρυμμένοι πρὸς τοῦτο παρὰ τῶν Νεστορίου σπουδαστῶν, ἀλλ' ἤρκεσεν εἰς ἐπικουρίαν τοῦ σωτῆρος ἡ χάρις καὶ τῆς ὑμετέρας εὐσεβείας τὸ μισοπόνηρον. ὥσπερ γὰρ ἐκ καμίνου καιομένης ἁρπάσαντες, ἡμερωτάτοις νεύμασι διεσώσατε, ἵνα τοῖς ἄλλοις ὁμοῦ τοῖς ἀνὰ πᾶσαν τὴν ὑμετέ-
M V 256 ραν Αἴγυπτον ἁγίοις ἐπισκόποις καὶ μονασταῖς ἀκαταλήκτους εὐχαριστίας τὰς ὑπέρ γε
PG 488 τοῦ ὑμετέρου κράτους νίκης τε καὶ διαμονῆς ἀναφέρωμεν τῶι παναγίωι Χριστῶι· δι' οὗ καὶ μεθ' οὗ τῶι θεῶι καὶ πατρὶ ἡ δόξα σὺν ἁγίωι πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

119 = A 134. uersionem Syriacam edidit Bedjan in appendice Nestorii libri Heraclidae p. 542—562

L III 1155 1 Κυρίωι ἀγαπητῶι καὶ συλλειτουργῶι Οὐαλεριανῶι ἐπισκόπωι [τοῦ Ἰκονίου] Κύριλλος
M V 353 PG 77, 256 ἐν κυρίωι χαίρειν. Ἀπόχρη μέν, ὡς διάκειμαι, μᾶλλον δὲ καὶ ὡς ἔχει φύσεως τὸ ἀληθές,

---

7 sq. cf. ep. 22, 6

27 ὡραία πάνυ πρὸς τὸ δόγμα V in mg. Flor. Cyr. 74 ἐκ τῆς πρὸς Οὐαλεριανὸν ἐπιστολῆς ἐπίσκοπον Ἰκονίου, ἧς ἡ ἀρχή· Ἀπόχρη — ἀληθές

V, P [= hk], S, D [= mn], AW

1 τοῦ om. S 2 πῶσ ἡ ποῖοσ V καὶ εἰ] εἰ καὶ W οἱ συκοφάνται W 3 καὶ διαφυγεῖν SW γὰρ om. V τῶν ἀνοσίων ἡ PSDAW ἡ κατὰ τῶν ἁγίων V γλῶσσα S 5 προφήτης om. VP καὶ om. W 6 μεγαλορρήμονα V 8 οὑίτωρ P ἐπεφήμησαν kW που om. D ὅτι] ὥστε S 9 οὗτοσ A ἀτόπων S ἀφιγμένων m τῶν ἀφιγμένων V 11 γοῦν PA οὖν SDW γὰρ V 12 ἀνθρωποκτόνον S ἐστὶ om. SDW τοῦτο] οὕτω W 13/14 τὰσ χεῖρασ εἰσ [εἰσ τὸν V] οὐρανόν VP 14 ὤμοκεν S ὡμόμοκεν W συνήθωσ V τε om. SDW σεπτῶν om. VP 15 αὐτῶ SW συνιέναι V τε² om. V 16/17 οἱ — ἐθέλοντες] ἦσαν ὑθλοῦντεσ P 17 παρωτρυμένοι D παρωτρυνόμενοι W παροτρυνόμενοι VP 17/18 πρὸς τοῦτο om. VP 20/21 ἡμετέραν VP 21 καὶ μοναστα῀ῖσ om. S 22 Χριστῶι] θῶ P 23 πρι καὶ θῶ P ἡ om. V 23/24 τῶν αἰώνων om. SDA 24 ἀμήν om. S

V, P [= hk], AWRU, D [= mn], Σ

inscr. τοῦ αὐτοῦ πρὸσ οὐαλεριανὸν ἐπίσκοπον κατὰ τῶν τὰ νεστορίου φρονούντων VP κυρίλλου [τοῦ ἁγίου κυρίλλου D] ἴσον ἐπιστολῆσ γραφείσησ πρὸσ τὸν εὐλαβέστατον ἐπίσκοπον οὐαλεριανόν AD τοῦ ἐν ἁγίοισ πρσ̄ ἡμῶν κυρίλλου ἀρχιεπισκόπου ἀλεξανδρείασ ἐπιστολὴ πρὸσ οὐαλεριανὸν ἐπίσκοπον τοῦ ἰκονίου W τοῦ αὐτοῦ ἐπιστολὴ πρὸσ οὐαλεριανὸν ἐπίσκοπον τοῦ ἰκονίου U om. R ρμ̄ D ρῑ P 27/28 Κυρίωι — χαίρειν RΣ om. VPAWUD 27 ἀγαπητῶι καὶ ἀδελφῶι καὶ συλλειτουργῶι Σ τοῦ ἰκονίου R om. Σ

καὶ ἡ νῆψις τῆς σῆς ὁσιότητος εἴς γε τὸ δύνασθαι καὶ μάλα νεανικῶς ἀνταναστῆσαι τὸ ἀκριβὲς ταῖς τινῶν εἰκαιομυθίαις. ψυχρολογοῦσι γὰρ γραοπρεπῶς ἄνω τε καὶ κάτω πάντα κυκῶντες καὶ προσποιούμενοι μὲν περιεργάζεσθαι λεπτῶς τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς τὸ μυστήριον, οὐ μὴν ἔτι καὶ συνιέντες αὐτό, παρατρεπόμενοι δέ, καὶ τοῦτο L III 1158
εὐκόλως, πρὸς ἃ μὴ θέμις, καὶ φρονοῦντες τὰ διεστραμμένα. τὸ δέ γε παγχάλεπον
ἐκεῖνό ἐστιν ἐν τούτοις· ὑποπλάττονται μὲν γὰρ τὰ ὀρθὰ βούλεσθαι φρονεῖν καὶ δόκησιν
ἑαυτοῖς τῆς εἰς τοῦτο ῥοπῆς καθάπερ τι προσωπεῖον ἐναρμόσαντες τὸν τῆς Νεστορίου
δυσσεβείας ἰὸν ἐγχέουσι ταῖς τῶν ἁπλουστέρων ψυχαῖς, ἐοίκασι δέ πως τοῖς τῶν ἀνθρωπίνων σωμάτων ἀκεσταῖς ἢ γοῦν ἰατροῖς, οἳ τοῖς τῶν φαρμάκων οὐχ ἡδέσι τὸ γλυκὺ προσπλέκουσι μέλι, τῇ τοῦ χρηστοῦ ποιότητι τοῦ πεφυκότος λυπεῖν τὴν αἴσθησιν ὑποκλέπ-
2 τοντες. ἀλλ' οὐ γὰρ αὐτῶν τὰ νοήματα ἀγνοοῦμεν, νοῦν ἔχοντες Χριστοῦ κατὰ τὸν 2 Cor. 2, 11
πάνσοφον Παῦλον. εἰ μὲν γὰρ ἦν τις ὁ λέγων ὡς ὁ ἐκ θεοῦ πατρὸς ἀπορρήτως γεννη- 1 Cor. 2, 16
θεὶς μονογενὴς θεὸς λόγος ὁ καὶ αὐτῶν τῶν αἰώνων ποιητὴς ἀρχὴν ὑπάρξεως ἔσχεν ἐκ τῆς ἁγίας παρθένου, ἔδοξεν ἂν αὐτοῖς οὐκ ἔξω φέρεσθαι σκοποῦ τὸ χρῆναι λέγειν· εἰ πνεῦμα κατὰ φύσιν ἐστὶν ὁ τοῦ θεοῦ λόγος, πῶς ἂν ἀπὸ σαρκὸς ἐγεννήθη, τοῦ κυρίου
λέγοντος τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστιν; ἐπειδὴ δὲ ὁ τοῦ κατὰ Ioh. 3, 6
Χριστὸν μυστηρίου λόγος ἑτέραν οἶμον ἔρχεται τὴν εἰς εὐθύ τε καὶ ἁπλανῆ καὶ οὐδὲν ἔχουσαν τὸ διάστροφον, ἀνθ' ὅτου βαττολογοῦσιν εἰκῆι, μὴ νοοῦντες μήτε ἃ λέγουσιν 1 Tim. 1, 7
μήτε περὶ τίνων διαβεβαιοῦνται; φαμὲν γὰρ ὅτι ὁ μονογενὴς τοῦ θεοῦ λόγος,
πνεῦμα ὢν ὡς θεὸς κατὰ τὰς γραφάς, ἐπὶ σωτηρίαι τῶν ὅλων ἐσαρκώθη τε καὶ ἐνηνθρώ- Ioh. 4, 24
πησεν, οὐκ ἐκ τῆς ἰδίας φύσεως αὐτὸς ἑαυτῶι σῶμα μεταβαλών, ἀλλ' οὐδὲ ἐκστὰς τοῦ εἶναι ὃ ἦν, ἢ τροπὴν ἢ ἀλλοίωσιν ὑπομείνας, ἀλλ' ἐκ τῆς ἁγίας παρθένου τὸ ἄχραντον σῶμα λαβὼν ἐψυχωμένον νοερῶς καὶ ἴδιον ἀποφήνας αὐτὸ καθ' ἕνωσιν ἀπερινόητον καὶ ἀσύγχυτον καὶ ἄφραστον παντελῶς, ὡς μὴ ἑτέρου τινός, ἀλλ' ἴδιον αὐτοῦ τοῦτο νοεῖσθαι.
οὕτως εἰσῆλθεν εἰς τὸν κόσμον ὁ μονογενὴς ὡς πρωτότοκος καὶ ἐν πολλοῖς γέγονεν ἀδελ- Rom. 8, 29
φοῖς ὁ ἀσύντακτος τῆι κτίσει καθὸ νοεῖται θεός. ὅταν τοίνυν γεγεννῆσθαι λέγηται καὶ ἐκ γυναικός, ἀναγκαίως τὸ κατὰ σάρκα προσεπιφέρεται, ἵνα μὴ ὑπάρξεως ἀρχὴν νοῆται λαβὼν ἐκ τῆς ἁγίας παρθένου, καίτοι πρὸ παντὸς αἰῶνος ὑπάρχων, ὁ συναίδιος καὶ ἀεὶ συνυφεστηκὼς τῶι ἰδίωι πατρὶ θεὸς λόγος, ἀλλ' ὅτε κατ' εὐδοκίαν τοῦ πατρὸς τὴν τοῦ δούλου μορφὴν ἠθέλησε λαβεῖν, τότε καὶ ἀπότεξιν τὴν ἐκ γυναικὸς κατὰ σάρκα μεθ' ἡμῶν
ὑπομεῖναι λέγεται. οὐκοῦν ὁμολογουμένως μὲν τὸ ἀπὸ σαρκὸς σάρξ ἐστιν, τὸ δὲ ἐκ θεοῦ θεός· ἔστι δὲ κατὰ ταυτὸν ἀμφότερα Χριστός, εἷς ὢν υἱὸς καὶ κύριος μετὰ τῆς ἰδίας M V 356

19—29 λόγος Timoth. arm. p. 120 31——p. 92, 1 οὐκοῦν — σαρκός **Doctr. p. 212, 24 ex Eulogio** 31—p. 92, 1 Flor. Cyr. 74 ὁμολογουμένως — νοερῶς

V, P [= hk], AWRU, D [= mn], Σ

1 ἀναστήσαι R 2 εἰκαιομυρίαισ A 3 τὰ πάντα WU om. AD μὲν περιεργάζεσθαι om. W μὲν om. D 4 μονογενοῦσ καὶ κῦ V 5 διεστραμένα V γε om. D 6 μὲν· om. W γὰρ om. AD τὸ W βουλεύεσθαι R 7 τὸ R 8 δυσφημίασ WR ἐκχέουσι WRD 9 τοῖς] τῆ P 9/10 οὐχ ἡδέσι — χρηστοῦ om. P 10 προσπλέκοντεσ WR 10/11 ὑποκλέπτουσιν P 12 πάνσοφον WRU εἰπόντα πάνσοφον P σοφώτατον εἰπόντα πάνσοφον V σοφώτατον A σοφὸν D δ² om. R 12/13 γενηθεὶσ V 13 θεὸς om. P 15 κατὰ φύσιν πνᾶ P ἐγενήθη V 16 γεγενημένον V 17 οἶμον WR οἶμαι U ὁδὸν AD οἶμον ἤτοι ὁδὸν VP ἁπλανὴν R ἁπλῆν PU 17/18 ἔχουσα R 18 βατολογοῦσιν W 20 σωτηριαν R ἄλλων V 21 μεταλαβὼν A 21—23 ἐκστὰς — ἀποφήνας] ἐκφήνασ D 22 ἢ¹] οὐ A 24 τοῦτο om. AD 25 ὡς — καὶ] καὶ πρωτότοκοσ PΣ γενόμενοσ WR 26 ὁ om. W τῆι κτίσει om. AD γεγενῆσθαι V om. D 27 ἐπιφέρεται R ἐπιφέρηται W νοοῖτο AWRD 29 συνεφεστηκὼσ P τοῦ¹ om. WR 30 τὴν γέννησιν τὴν P 32 δὲ om. AD κατ' αὐτὸν VR, corr. R ὢν εἷς Flor. εἷσ κσ WR Flor. Doct.

3 αὐτοῦ σαρκός, οὐκ ἀψύχου μᾶλλον, ὡς ἔφην, ἀλλ' ἐμψυχωμένης νοερῶς. μὴ τοίνυν διατεμνέτωσαν εἰς δύο τὸν ἕνα υἱὸν ἡμῖν, ἀνὰ μέρος ἱστάντες τὸν λόγον καὶ υἱὸν ἕτερον ἰδικῶς τε καὶ ἀνὰ μέρος ἄνθρωπον τὸν ἐκ γυναικός, καθά φασιν αὐτοί, ἀλλ' ἐννοείτωσαν ὅτι οὐκ ἀνθρώπωι συνήφθη μᾶλλον ὁ θεὸς λόγος, ἀλλ' αὐτὸς ἄνθρωπος γενέσθαι λέγεται,
Hebr.2,16.17 σπέρματος Ἀβραὰμ ἐπιλαβόμενος κατὰ τὰς γραφὰς καὶ ὁμοιωθεὶς κατὰ πάντα τοῖς ἀδελφοῖς 5
L III 1159 δίχα μόνης ἁμαρτίας. ἡ δὲ εἰς ἅπαν ὁμοίωσις ἔχοι ἂν εἰκότως καὶ πρό γε τῶν ἄλλων τὴν ἐκ γυναικὸς ἀπότεξιν, ἣ νοεῖται μὲν ἐφ' ἡμῶν ἀνθρωπίνως καὶ καθ' ἡμᾶς, ἐπὶ δέ γε τοῦ μονογενοῦς ὑπὲρ τοῦτο· θεὸς γὰρ ἦν σαρκούμενος. τοιγάρτοι καὶ θεοτόκος ἡ ἁγία
4 καλεῖται παρθένος. ἐὰν δὲ λέγωσιν ὅτι θεὸς καὶ ἄνθρωπος συνελθόντες κατὰ ταυτὸν ἀπετέλεσαν ἕνα Χριστόν, φυλαττομένης δηλονότι τῆς ὑποστάσεως ἑκατέρου ἀσυγχύτως, τῶι 10
δὲ λόγωι διαιρουμένης, οὐδὲν ἀκριβὲς ἐπὶ τούτωι φρονοῦντας ἢ λέγοντας ἔνεστιν ἰδεῖν. οὐ γάρ, καθά φασιν, θεὸς καὶ ἄνθρωπος συνελθόντες ἀπετέλεσαν ἕνα Χριστόν, ἀλλ', ὡς
Hebr. 2, 14 ἔφην ἤδη, θεὸς ὢν ὁ λόγος παραπλησίως ἡμῖν μετέσχεν αἵματος καὶ σαρκός, ἵνα θεὸς ἐνανθρωπήσας νοῆται καὶ τὴν ἡμετέραν σάρκα λαβὼν καὶ ἰδίαν αὐτὴν ποιησάμενος, ἵνα κα-
PG 260 θάπερ ὁ καθ' ἡμᾶς νοούμενος ἄνθρωπος ἐκ ψυχῆς καὶ σώματος συνεστὼς εἷς ἐστιν, οὕτω 15
καὶ αὐτὸς εἷς ὁμολογῆται ὑπάρχειν καὶ υἱὸς καὶ κύριος. μία γὰρ ὁμολογεῖται φύσις ἀνθρώπου καὶ σύστασις, κἂν ἐκ διαφόρων νοῆται καὶ [ἐξ] ἑτεροειδῶν πραγμάτων. ἑτερουσὲς μὲν γὰρ ὁμολογουμένως ὡς πρός γε ψυχὴν τὸ σῶμά ἐστιν, ἀλλ' ἴδιον αὐτῆς καὶ συναποτελεστικὸν τῆς ὑποστάσεως τοῦ ἑνὸς ἀνθρώπου. καὶ νῶι μὲν καὶ θεωρίαι τὸ διάφορον τῶν ὠνομασμένων οὐκ ἀσυμφανές, ἡ δέ γε σύνοδος ἤτοι συνδρομὴ τὸ ἀδιάτμη- 20
τον ἔχουσα ἐν ἀποτελεῖ ζῶιον τὸν ἄνθρωπον. ὁ τοίνυν μονογενὴς τοῦ θεοῦ λόγος οὐκ ἄνθρωπον προσλαβὼν προῆλθεν ἄνθρωπος, ἀλλὰ καίτοι τὴν ἐκ θεοῦ πατρὸς ἀπόρρητον ἔχων γέννησιν, διὰ τοῦ ἁγίου καὶ ὁμοουσίου πνεύματος ἑαυτῶι δημιουργήσας ναὸν γέγονεν ἄνθρωπος. τοιγάρτοι καὶ εἷς νοεῖται, κἂν τῆι θεωρίαι τῆι κατὰ τὸν λόγον ἑτεροφυὲς ἦι παρ' αὐτὸν τὸ σῶμα αὐτοῦ. ὁμολογείσθω δὲ πανταχοῦ ὅτι μὴ ἄψυχον ἦν, ἀλλ' ἐψύχωτο 25
ψυχῆι νοερᾶι.

5 Ἥκειν γε μὴν εἰς τοῦτο ἀποπληξίας ἐπυθόμην τινάς, ὡς μὴ καταδεῖσαι λέγειν ὡς ἔν τινι Ἰησοῦ τῶι ἐκ παρθένου τεχθέντι ἐνοικήσαντα τὸν θεὸν λόγον τοῦτον ἀποθεῶσαι. ἀλλ' οὐ τοῦτό γε ἐστιν, ὦ βέλτιστοι, φαίην ἂν αὐτοῖς, τὸ σαρκωθῆναί τε καὶ ἐνανθρωπῆσαι τὸν τοῦ θεοῦ λόγον, ἐγκατοικῆσαι δὲ μᾶλλον ἀνθρώπωι καθάπερ ἀμέλει καὶ ἐνὶ τῶν 30
ἁγίων προφητῶν. ὁ δέ γε τοῦ καθ' ἡμᾶς μυστηρίου λόγος, ὡς καὶ ἐν τοῖς ἀνωτέρω
Ioh. 1, 14 βραχὺ προδεδήλωται, αὐτὸν βούλεται τὸν ἐκ θεοῦ πατρὸς γεννηθέντα λόγον σάρκα γενέσθαι

1—21 Timoth. arm. p. 120

V, P [= hk], AWRU, D [= mn], Σ

1 σαρκὸσ αὐτοῦ AD σαρκὸσ VP ὡσ ἔφην, ἀλλ' VPAUD δὲ ὡσ ἔφην WR Flor. ἐμψυχωμένησ D 1/2 τεμνέτωσαν WR 2 ἡμῖν εἰσ δύο τόν — υἱόν P ἡμῖν τὸν ἕνα υἱόν V ἱστῶντεσ D καὶ υἱόν καὶ WR 3 ἐννοήτωσαν P ἐνοείτωσαν V 4 ὅτι] ὡσ WR θεόσ] τοῦ θεοῦ WR γενέσθαι λέγεται ἄνθρωποσ P 5 ἐπιλαμβανόμενοσ WR ὡμοιωθεὶσ V 6 δίχα καὶ W ἔχοιεν ἂν R πρόσ R 7 καὶ om. WR, corr. W γε om. VPU 9 παρθένοσ καλεῖται U 9 ὅτι om. D καταυτὸν VU 10 ἀσυγχύτου VUn Tim. 11 ἀκριβῶσ P ἢ λέγοντασ om. WR Tim. 12 οὐδὲ W συνελθόντεσ θεὸσ καὶ ἄνθρωποσ WR 13 μετέσχηκεν P 14 καὶ[1] om. W 15 συνεστηκώσ WR 16 ὁμολογεῖται R καὶ[2] om D Tim. 17 σύστασισ AWRUDΣ ὑπόστασισ VP ἐξ om. WRΣ 17/18 ἑτεροειδέσ P 18 μὲν om. P γὰρ om. AD ὡς om. WRU τὴν ψυχὴν WR τῶ R 19 ἐστὶ τῆσ D 20 ὀνομασμένων VhRmn γε om. WR 20/21 διάτμητον V 22 ἄρρητον R 24 νοῆται V θεωρεῖται WR τῆι[1] om. AD τὸν om. W ἦν WR 25 παρ' αὐτῶ W παρ' αὐτὸ R δὴ WR πανταχῆ WR ἐψύχωται U ἐμψύχωτο D 27 γε μήν] μὲν οὖν WR μὴ — ὡς om. WR μὴ καταδεῖσαι VPUΣ καταδέχεσθαι AD 28 ἵῦ UΣ υἱῶ VPAWRD 29 γε om. VP 30 ἐγκατοικεῖν AD ἐνοικῆσαι WR ἐν ἐνὶ WR 31 ἐν om. P ἀνωτέροισ V 32 γεννηθέντα om. R

κατὰ τὰς γραφάς, οὐχ ὡς μετάστασιν φυσικὴν ἢ γοῦν τροπὴν ἢ ἀλλοίωσιν ὑπομείναντα,
τὴν εἰς σάρκα φημί, ἀλλ' ὅτι σάρκα ἐψυχωμένην νοερῶς ἰδίαν ἐποιήσατο καὶ αὐτὸς προ-
ἦλθεν ἄνθρωπος, οὐκ ἀνθρώπωι συνήφθη οὐδὲ ἐνώικηκεν, καθά φασιν. τὸ δὲ δὴ καὶ
ἀποτεθεῶσθαι λέγειν τὸν ἐσχηκότα τὴν ἐνοίκησιν, ὡς αὐτοὶ διατείνονται (τοῦτο γὰρ παρ' M V 357
ἡμῖν ἀπόβλητον παντελῶς), πῶς οὐχ ἁπάσης ἐμβροντησίας ἀπόδειξιν ἔχει; μάχεται γὰρ 5
τῶι σκοπῶι τῆς θεοπνεύστου γραφῆς. ὁ μὲν γὰρ θεσπέσιος Παῦλος τὸν τοῦ θεοῦ Phil. 2, 6-8
6 λόγον ἐν μορφῆι καὶ ἰσότητι τῆι κατὰ πᾶν ὁτιοῦν τοῦ πατρὸς ὄντα φησὶν οὐχ ἁρπαγμὸν
ἡγήσασθαι τὸ εἶναι ἴσα θεῶι, ἑαυτὸν δὲ μᾶλλον κενῶσαι καὶ μορφὴν δούλου λαβεῖν καὶ L III 1162
ἐν ὁμοιώματι ἀνθρώπων γενέσθαι ὡς ἄνθρωπον ταπεινῶσαί τε ἑαυτόν· οἳ δὲ πρὸς πᾶν
τοὐναντίον μεθιστάντες τῶν πραγμάτων τὴν φύσιν καὶ τῆς ἀληθείας τὴν δύναμιν ἀνοσίως 10
ἐκκαπηλεύοντες τεθεοποιῆσθαί φασιν ἄνθρωπον. εἶτα τίς ὁ κενώσας ἑαυτόν, ὦ βέλτιστοι,
καὶ πῶς τεταπείνωται; ποίαν, εἰπέ μοι, λαβὼν τοῦ δούλου μορφήν; εἰσκομίζει γάρ, ὡς ἔοικεν,
ἡμῖν ὁ παρ' αὐτῶν λόγος ἐκ τῆς καθ' ἡμᾶς ταπεινότητος ὑψούμενον ἄνθρωπον καὶ ἐκ τῆς
καθ' ἡμᾶς κενώσεως εἰς τὸ πλῆρες τῆς θεότητος ἀναβαίνοντα καὶ ἐκ τῆς τοῦ δούλου μορ- PG 261
φῆς μεθιστάμενον εἰς δεσποτικήν. πῶς οὖν ἄρα κεκενῶσθαί φασιν τὸν μονογενῆ ἢ πῶς 15
τὴν ἡμῶν ὑπομεῖναι ταπείνωσιν, οὐκ ἔχω νοεῖν, εἰ μὴ ἄρα κεκενῶσθαί φασιν αὐτόν, ὅτι
τῆι ἰδίαι δόξηι τετίμηκεν ἄνθρωπον. καὶ εἰ τιμῶν ἀδικεῖται καὶ κενοῦται δοξάζων, πῶς
οὐκ ἄμεινον ἐρεῖ τις εἶναι τὸ μήτε τιμὴν αὐτὸν μήτε μὴν δόξαν τινὶ νέμειν; ἔμεινε γὰρ ἂν
ἐν ἰδίαις ὑπεροχαῖς, μήτε τιμήσας μήτε δοξάσας τόν, ὡς αὐτοί φασιν, οἰκειωθέντα αὐτῶι
ἄνθρωπον. ἆρ' οὐ γέλωτος ἄξια παντί τωι φανεῖται καὶ ἀβελτηρίας ἔμπλεω τῆς ἐσχάτης 20
ἃ φρονεῖν ἐγνώκασι καὶ θαρσοῦσι λαλεῖν; ἀλλ' ὅ γε τῆς ἀληθείας λόγος οὐκ ἂν ὑποπτεύ-
σειέν τι κεκενῶσθαι πώποτε μὴ οὐχὶ πλῆρες ὂν κατ' ἰδίαν φύσιν, οὐδ' ἂν οἴοιτο τεταπει-
νῶσθαί τι μὴ οὐχὶ δὴ πάντως ὑψοῦ τε καὶ ἀνωτάτω κείμενον, εἶτα καταφοιτῆσαν εἰς ὅπερ
οὐκ ἦν, τὸν δέ γε δούλου λαβόντα μορφὴν εἴσεταί που πάντως πρὸ αὐτῆς ἔχοντα τὸ κατὰ
φύσιν ἐλεύθερον καὶ τὸν γεγονότα ἄνθρωπον οὐκ οἶδεν ὄντα τοῦτο πρὶν γένηται. τῆς 25
τοίνυν ἁγίας καὶ θεοπνεύστου γραφῆς κένωσιν ὀνομαζούσης καὶ δούλου μορφὴν καὶ μέντοι
καὶ ἀνθρωπότητα καὶ τὸν ταῦτα ἐθελουσίως ὑπομείναντα λεγούσης εἶναι τὸν ἐκ θεοῦ πατρὸς
λόγον, τί παρατρέπουσιν αὐτοὶ πρὸς τὸ ἐναντίον τῆς οὕτω τεθαυμασμένης οἰκονομίας τὸ
εὐτεχνές, ἄνθρωπον τεθεοποιῆσθαι λέγοντες, ἵνα μηδὲν ἔτι διαφέρωσι Χριστιανοὶ τῶν τῆι Rom. 1, 25
κτίσει λελατρευκότων παρὰ τὸν κτίσαντα; ἢ τάχα που πεπλανῆσθαι δώσουσι μεθ' ἡμῶν 30
καὶ αὐτοὺς τοὺς ἁγίους ἀγγέλους, οὓς δὴ προστετάχθαι φησὶ τὸ γράμμα τὸ ἱερὸν προ- Hebr. 1, 6
σκυνῆσαι τὸν πρωτότοκον εἰσαχθέντα εἰς τὴν οἰκουμένην; τὸ δέ γε πρωτότοκος ὄνομα
πῶς ἂν ἁρμόσαι μὴ ἐνανθρωπήσαντι τῶι μονογενεῖ; εἰ γάρ ἐστιν ἀληθὲς ὡς ἐν πολλοῖς Rom. 8, 29

V, P [= hk], AWRU, D [= mn], Σ

2 ἐμψυχωμένην D 3 φησί V δὲ δὴ PAWRD δὲ V τε δέ U 3/4 λέγειν καὶ ἀπο-
τεθεῶσθαι P 4 οἴκησιν WR 4/5 παρ' ἡμῖν om AD παρ' om. U 5 οὐκ R ἀποπλη-
ξίασ WR 6 θείασ VP 7 τῆι om. WRD 8 ἠγήσατο PWR γάρ ἠγήσατο D μᾶλ-
λον] μόνον WR 9 ἐν om V τε] δὲ WR οἳ δὲ] οὐδε V 10 μεθιστῶντεσ D καὶ om. P
11 τὸ θεοποιεῖσθαι D φασὶ τὸν U αὐτόν P 12/13 ἡμῖν ὡσ ἔοικεν VAD 14 κενώσεως]
ταπεινώσεωσ WR 16 ὑπέμεινε VAD αὐτόν om. D 17 τὸν ἄνθρωπον VP 18 μηδὲ
VP τιμᾶν PD αὐτὸν VPD αὐτῶ AWRU τινὶ VPDΣ τινά AWRU νέμεισ V
μεμένηκε WR ἂν om. WR 20 ἀβελτερίασ R 21 θαρροῦσι PU 22 πλήρησ D ὢν
WUD οἴοιτο UΣ νοοῖτο VPAWRD 22/23 ταπεινοῦσθαί VP 23 δὴ om. W τε om
AD εἶτα] εἰ P καταφοιτήσασ R καταφοιτήσαντα D 24 γε om P λαβόντα δού-
λου WR 24 πρὸ αὐτῆς om. W 25 ειδεν U τοῦτον R τοιοῦτον W om. P ἂν
γένηται U γεγένηται V 26 καὶ²] τὴν U 27 ἐθελουσίως om. D 27/28 τὸν ἐκ — λόγον
εἶναι V τὸν ἐκ — λόγον P 28 περιτρέπουσιν U 29 τεθεοποιεῖσθαι D διαφέρουσι PU
30 που om WR 31 οἶσ δή που U 32 γε om. WR 33 ἂν om U ἁρμόσαιμι VA
ἁρμόσαιμεν D μὴ om. D τὸ ὡσ VP

ἀδελφοῖς νοεῖται πρωτότοκος, τότε κατέβη πρὸς ἀδελφότητα, δηλονότι τὴν πρὸς ἡμᾶς,
Hebr. 2, 17 ὅτε καθ' ἡμᾶς γέγονεν ἄνθρωπος, ὁμοιωθεὶς κατὰ πάντα δίχα μόνης ἁμαρτίας. ἀπόχρη
M V 360 δὲ πρὸς εὐσέβειαν ἡμῖν τὸ λογίζεσθαι καὶ νοεῖν ὅτι θεοῦ γενομένη σὰρξ τοῦ ζωογονοῦντος
τὰ πάντα τὴν ζωοποιὸν αὐτοῦ δύναμιν καὶ ἐνέργειαν ἔχει, καταπλουτεῖ δὲ καὶ δόξαν ἄρρη-
τον καὶ ἀπρόσβλητον.

8 Ἀπεικὸς δὲ οὐδὲν τοὺς οἵ γε ταυτὶ φρονεῖν ἐγνώκασι, καὶ ἑτέρας τοῖς ἱεροῖς δόγμα-
σιν ἐπάγειν συκοφαντίας, ἀποφέροντας μὲν τοῦ προσώπου τοῦ μονογενοῦς ἃς ὑπομεμένηκεν
L III 1163 ὑπὸ τῶν Ἰουδαίων παροινίας, καὶ αὐτὸν ἐπὶ ταύταις τὸν κατὰ σάρκα θάνατον, ἀπονέμοντας
δὲ ὥσπερ υἱῶι κατ' ἰδίαν ἑτέρωι τῶι ἐκ γυναικός. δοκεῖ γὰρ αὐτοῖς οὐκ οἶδ' ὅπως διὰ
Prou. 9, 18. τῆς εἰς εὐσέβειαν οὐκ εὐθείας ὁδοῦ πρὸς πέταυρον ἅιδου καταπηδᾶν καὶ εἰς ἅιδου πυθμένα
14, 12. 16, 25 κατὰ τὸ γεγραμμένον. ἔστιν μὲν γὰρ ὁμολογουμένως ἀπαθὲς τὸ θεῖον καὶ ἀνέπαφον
PG 264 παντελῶς, ὅτι μὴ κατὰ σῶμά ἐστιν, ἀλλ' ἐπέκεινα πάσης κτίσεως ὁρατῆς τε καὶ νοητῆς
καὶ ἐν ἀσωμάτωι καὶ ἀχράντωι καὶ ἀψαύστωι καὶ ἀπερινοήτωι φύσει· ἐπειδὴ δὲ ὁ μονο-
γενὴς τοῦ θεοῦ λόγος σῶμα λαβὼν ἐκ τῆς ἁγίας παρθένου καί, ὡς ἔφην ἤδη πλειστάκις,
Eph. 5, 2 ἴδιον αὐτὸ ποιησάμενος, ἑαυτὸν ὑπὲρ ἡμῶν προσκεκόμικεν εἰς ὀσμὴν εὐωδίας τῶι θεῶι καὶ
Hebr. 9, 14 πατρὶ ὡς ἄμωμον ἱερεῖον, ταύτηι τοι καὶ ὑπομεῖναι λέγεται πρὸς ἡμῶν τὰ εἰς τὴν σάρκα
αὐτοῦ γεγονότα. οὗ γὰρ ἴδιόν ἐστι τὸ σῶμα, τούτωι ἂν εἰκότως προσγράφοιτο καὶ τὰ
αὐτοῦ πάντα δίχα μόνης ἁμαρτίας. οὐκοῦν ἐπειδήπερ ἐνανθρωπήσας ἦν ὁ θεὸς λόγος,
μεμένηκε μὲν θεικῶς ἀπαθής, οἰκειούμενος δὲ ἀναγκαίως τὰ τῆς ἑαυτοῦ σαρκὸς παθεῖν λέ-
9 γεται κατὰ σάρκα, καίτοι τοῦ παθεῖν ἀπείρατος ὤν, καθὸ νοεῖται θεός. εὐσεβείας
οὖν δόκησις ἀποφέρει τῆς ἀληθείας αὐτούς, οὐκ ἐννοοῦντας ὅτι τετήρηται μὲν τὸ ἀπαθὲς
αὐτῶι, καθὸ καὶ ὑπάρχει καὶ ἔστι θεός, προσγράφεται δὲ καὶ τὸ παθεῖν ὑπὲρ ἡμῶν κατὰ
σάρκα, καθὸ θεὸς ὢν φύσει γέγονε σὰρξ ἤτοι τέλειος ἄνθρωπος. τίς γὰρ ἦν ὁ λέγων
Hebr. 10, 5-7 πρὸς τὸν ἐν τοῖς οὐρανοῖς πατέρα καὶ θεὸν θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλη-
σας [ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ εὐδόκησας]· σῶμα δὲ κατηρ-
τίσω μοι. τότε εἶπον, ἰδοὺ ἥκω τοῦ ποιῆσαι, ὁ θεός, τὸ θέλημά σου; ὁ γὰρ
ἔξω σώματος ὡς θεὸς ἑαυτῶι σῶμα κατηρτίσθαι φησίν, ἵνα τοῦτο ὑπὲρ ἡμῶν προσενέγκας
Ies. 53, 5 τῶι ἰδίωι μώλωπι πάντας ἡμᾶς θεραπεύσηι κατὰ τὴν τοῦ προφήτου φωνήν. πῶς δὲ καὶ
εἷς ὑπὲρ πάντων ἀπέθανεν ὁ πάντων ἀντάξιος, εἰ ἁπλῶς ἀνθρώπου τινὸς νοεῖται τὸ πά-
θος; εἰ δὲ πέπονθεν ἀνθρωπίνως, ὡς τὰ τῆς ἑαυτοῦ σαρκὸς οἰκειούμενος πάθη, τότε δὴ
τότε φαμέν, καὶ μάλα εἰκότως, ὡς τῆς ἁπάντων Ζωῆς ἀντάξιος ὁ ἑνὸς νοεῖται κατὰ σάρκα
θάνατος, οὐχ ὡς ἑνὸς ὄντος τῶν καθ' ἡμᾶς, εἰ καὶ γέγονεν καθ' ἡμᾶς, ἀλλ' ὅτι θεὸς ὢν
φύσει σεσάρκωταί τε καὶ ἐνηνθρώπησεν κατὰ τὴν τῶν πατέρων ὁμολογίαν. εἰ δὲ ἀπο-
φέρουσι τινὲς τοῦ μονογενοῦς, ὡς ἀκαλλὲς καὶ ἀνάρμοστον καὶ ἀπεικὸς αὐτῶι, τὸ κατὰ

V, P [= hk] AWR, U [usque ad 31 ἁπάντων], D [= mn], Σ

1 νοεῖται AWRUDΣ ἄρα εἰκότως νοεῖται VP τότε PWRUΣ ὅτε VAD καὶ κατέβη P ἀδελφότητα VPUΣ ἀνθρωπότητα AWRD πρὸς] καθ' AD 2 καὶ καθ' D γέγονε καθ' ἡμᾶς W γέγονεν R 3 δὲ] γε A τοῦ θῦ WR ἡ θῦ P 4 τὴν δόξαν U 4/5 ἀπόρρητον WR 6 τοῖς PD ταύτη D ἐγνωκόσι D καὶ om. U 7 ἀποφερούσας WR 8 ἐκ PU ἀπονέμοντες W 9 κατ' ἰδίαν om. P 10 οὐχ ὁσίας WR εὐθείας A θείας D πέτευρον R 11 μὲν om. AWRD 13 καὶ ἀχράντωι om. U 14 ἁγίας AWRUD ἁγίας καὶ θεοτόκου VP καί om. P 15 αὐτῶ P ὑπὲρ ἡμῶν om. P 17 ἑαυτοῦ WR εἰκότως om. WR 18 ὁ om. WR θεὸς om. AD τοῦ θῦ U 19 μεμένηκε μέν] καὶ μεμένηκε P ἀπαθὴς θεικῶς V δὲ] τε P 20 κατὰ σάρκα om. WR τὰ κατὰ VAD καίτοιγε WR ἀπείραστος PWRD 22 καὶ[1] om. VP προγράφεται D 23 κατὰ φύσιν P τελείως A 24 τοῖς om. WRUD 25/26 ὁλοκαυτώματα — ηὐδόκησας σῶμα δὲ — μοι UΣ σῶμα δὲ — μοι ὁλοκαυτώματα — εὐδόκησας VPAD σῶμα δὲ — μοι WR 26 ἧκον P ὁ θεός om. WR 27 σῶμα ἑαυτῶ U ἑαυτῶ τὸ σῶμα VP 28 καὶ om. A 29 τινὸς ἀνθρώπου V[1] 31—p. 96, 31 ζωῆς — κατ' αὐτοῦ om. U 32 τῶν om. W εἰ — ἡμᾶς om. PS 33 τε om. AWRD ἐνηνθρώπισε W δὲ καὶ WR 34 ἀκαλλὲς] ἀπαθὲς καὶ ἀκαλλὲς WR πεοικὸς P

σάρκα πάθος, ἀναιρείτωσαν ὁμοίως αὐτοῦ καὶ τὴν ἐκ τῆς ἁγίας παρθένου κατὰ σάρκα γέννησιν. εἰ γάρ ἐστι τῶν ἀπεοικότων αὐτῷ τὸ σαρκὶ λέγεσθαι παθεῖν, πῶς οὐ πρό γε τούτου τὸ πρῶτον, τουτέστιν ἡ κατὰ σάρκα γέννησις ἢ καὶ ἅπαξ ἁπλῶς εἰπεῖν ὁ τῆς ἐνανθρωπήσεως τρόπος; οἴχεται δὴ οὖν τὸ Χριστιανῶν μυστήριον καὶ μεματαίωται λοιπὸν M V 361
ἡ τῆς σωτηρίας ἐλπίς.

10 Ἀλλὰ γὰρ πῶς, φησίν, πάθοι ἂν ὁ παθεῖν οὐκ εἰδώς; ἀπαθὴς μὲν οὖν ὁμολογουμέ-
νως, ὡς ἔφην, κατ' ἰδίαν φύσιν ὁ ἐκ θεοῦ λόγος, λέγεται δ' οὖν σαρκὶ τῇ ἰδίαι παθεῖν L III 1166
κατὰ τὰς γραφάς· ἦν γὰρ αὐτὸς ἐν τῷι πάσχοντι σώματι. καὶ πιστώσεται γράφων ὁ 1 Petr. 4, 1 PG 265
Πέτρος περὶ αὐτοῦ· ὃς τὰς ἁμαρτίας ἡμῶν ἀνήνεγκεν ἐν τῷι σώματι αὐτοῦ 1 Petr. 2, 24
ἐπὶ τὸ ξύλον. οὐκοῦν ἀπαθὴς μὲν ὁ λόγος, καθὸ φύσει νοεῖται θεός, αὐτοῦ γε μὴν 10
κατ' οἰκείωσιν οἰκονομικὴν τὰ τῆς σαρκὸς αὐτοῦ νοεῖται πάθη. ἐπεὶ τίνα τρόπον ὁ
πρωτότοκος πάσης κτίσεως, ὁ δι' οὗ γεγόνασιν ἀρχαί τε καὶ ἐξουσίαι θρόνοι τε καὶ κυριό- Col. 1, 15
τητες, ὁ ἐν ὧι τὰ πάντα συνέστηκεν, πρωτότοκος ἐκ νεκρῶν καὶ ἀπαρχὴ γέγονε τῶν 1 Cor. 15, 20
κεκοιμημένων, εἰ μὴ τὸ παθεῖν πεφυκὸς ἴδιον ἐποιήσατο σῶμα θεὸς ὢν ὁ λόγος; ὥσπερ Col. 1, 18
δὲ γέγονε κατὰ σάρκα ἐκ γυναικός, τὴν καθ' ἡμᾶς ἀνθρωπίνως ἀπότεξιν οἰκειούμενος, καί- 15
τοι γέννησιν ἰδίαν ἔχων τὴν ἐκ πατρός, οὕτω καὶ σαρκὶ λέγεται παθεῖν καθ' ἡμᾶς τε καὶ
ἀνθρωπίνως, καίτοι φύσει προσὸν αὐτῷ τὸ ἀπαθὲς ἔχων, καθὸ νοεῖται θεός. οὕτως
γὰρ εἷς νοεῖται Χριστός, οὕτως ἐστὶν καὶ σύνεδρος τῷι πατρί, οὐχ ὡς ἄνθρωπος τῇι ἐνοι-
κήσει τοῦ θεοῦ λόγου τετιμημένος, ἀλλ' ὡς υἱὸς ἀληθῶς, καὶ ὅτε γέγονεν ἄνθρωπος.
τετήρηται γὰρ αὐτῷ τῆς οὐσιωδῶς ἐνυπαρχούσης ὑπεροχῆς τὸ ἀξίωμα, καὶ εἰ πέφηνεν 20
οἰκονομικῶς ἐν δούλου μορφῇ. οὐκοῦν καθὰ φαμέν, εἰ καὶ κοινωνὸς τῆς ἡμετέρας φύ-
σεως ἦν καθὸ ἄνθρωπος, ἀλλ' ἦν μετὰ τούτου καὶ ὑπὲρ πᾶσαν τὴν κτίσιν ὡς θεός.

11 Ἐπυθόμην δὲ τινὰς τῆς εἰς οὐρανοὺς ἀνόδου τὴν αἰτίαν ἐξηγουμένους εἰς χωρίον
αὐτὸν ἀναφοιτῆσαι λέγειν ἀσφαλές τε καὶ ἄσυλον, ἠξιῶσθαι δὲ καὶ τῆς πρὸς τὸν πατέρα
συνεδρίας, ἔνθα, φησίν, ὁ ἐχθρὸς τῆς ἡμετέρας φύσεως οὐ δύναται πλησιάσας αὐτῷι πάλιν 25
ἐπιβουλεῦσαι. φρούριον οὖν, εἰπέ μοι, γέγονεν ὁ οὐρανὸς αὐτῷι καὶ φυγὴ μᾶλλον, οὐκ
ἀνάληψις ἡ ἀφ' ἡμῶν ἀποδημία γέγονεν, ἐφ' ἧι καὶ καυχώμεθα; ἐδεδίει δὲ κατὰ τὸ εἰκὸς
μὴ ἄρα πως δευτέραν αὐτῷι συμπήξηι πάγην ὁ πονηρός, καὶ εἰ μὴ γέγονεν ἀνελθεῖν, ἐπε-
βουλεύθη ἄν, ὡς ἔοικεν, καὶ μετὰ τὴν ἀνάστασιν. τίς τῶν τοιούτων ἐμέτων οὐκ ἀπο-
φοιτήσει μακράν; ἢ τίς τῆς οὕτως αἰσχρᾶς τερατολογίας οὐκ ἀπαναστήσεται, πολλὰ χαίρειν 30
εἰπὼν τοῖς τὰ τοιαῦτα τολμῶσιν φρονεῖν ἢ λέγειν; ἄπαγε τῆς οὕτω μυσαρωτάτης καὶ
χαμαιπετοῦς ἐννοίας· οὐδὲν οἶμαι τούτων γραοπρεπέστερον οὐδὲ ἀμαθέστερον. ἥκει γὰρ

6—8 Flor. Cyr. 75 ἀπαθὴς — σώματι

V, P [= hk], AWR, D [= mn], Σ

1 ὁμοίωσ om. WR ἐξ ἁγίας P 2 γὰρ] δὲ WR τὸ om. VP 3 ἢ om. WR 4 λόγοσ D 5 τῆσ σωτηρίασ ἡ P τῆσ σωτηρίασ R 6 πάθοι ἂν] πάθοιεν R πάθοσ WR μὲν οὖν] μένων Flor. Cyr. μὲν AD 6/7 ὡσ ἔφην ὁμολογουμένωσ VAD 7 ἐκ] τοῦ WR Flor. Cyr. γοῦν AWRD Flor. Cyr. τῇ ἰδία σαρκὶ AD σαρκὶ Flor. Cyr. παθεῖν ὁ Χριστὸς Flor. Cyr. 8 ἦν γὰρ om. AD αὐτὸς] ὁ ἀπαθὴς Flor. Cyr. αὐτῷ τῷ D πιστώσεται AWRDΣ πιστώσεταί σε VP 9 ὡσ D ἡμῶν αὐτὸσ AD ἐν om. D 10 μὲν ἀπαθὴσ R νοεῖται φύσει n νοεῖται mWΣ 10/11 μὴν νοεῖται — αὐτοῦ πάθη V 11 τῆσ ἰδίασ αὐτοῦ σαρκὸσ WR 12 τε om WR 13 ὁ om. AD γέγονε] καὶ γεγέννηται WR 17 μὴ προσὸν AD ἀπα-θῶσ V πάθοσ AD ἔχειν VP om. W 18 εἷσ WRΣ om. VPAD Χριστός] θσ̄ P σύν-θρονοσ WR 19 θεοῦ om. WR υἱὸσ VADΣ θσ̄ PWR 21 φαμέν Σ φασὶν WR φησὶν VPAD 22 καθὸ ἄνθρωποσ om. AD τοῦτο P 23 τινὸσ AD ἐξηγουμένου AD 25 συνεδρείασ WRD 27 ἡ — ἀποδημία AWRD ἀφ' ἡμῶν ἀποδημία P ἡ ἀποδημία ἡ ἀφ' ἡμῶν V καὶ om. WR 28 ἄρα πωσ] ἀπαρασπάστωσ P δευτέραν om. AD αὐτῷι om. AWRD συν-πήξη R 29 καὶ om. R 30 ἢ om. WR τῆς om. P 31 τὰ om. D 32 οὐδὲν AD ἢ VP

εἰς τοῦτο χυδαιότητος ἐννοιῶν τὸ χρῆμα αὐτοῖς, ὡς οὐδὲν εἶναι τὸ αἴσχιον. ἀποπεράνας γὰρ ὁ Χριστὸς τὴν καθ' ἡμᾶς οἰκονομίαν καὶ πατήσας τὸν σατανᾶν καὶ πᾶσαν αὐτοῦ τὴν δύναμιν κατασείσας, καταλύσας δὲ καὶ αὐτοῦ τοῦ θανάτου τὸ κράτος, ἐνεκαίνισεν ἡμῖν
Hebr. 9, 24 ὁδὸν πρόσφατον καὶ ζῶσαν, ἀναφοιτήσας εἰς τὸν οὐρανὸν καὶ ἐμφανισθεὶς ὑπὲρ ἡμῶν τῷι
PG 268 προσώπωι τοῦ θεοῦ καὶ πατρός, καθὰ γέγραπται· συνεδρεύει δὲ αὐτῷι καὶ μετὰ σαρκός,
M V 364 οὐχ ὡς ἄνθρωπος ἰδικῶς νοούμενος καὶ ἕτερος υἱὸς παρὰ τὸν αὐτοῦ λόγον οὐδὲ ὡς ἔνοικον ἔχων αὐτόν, ἀλλ' ὡς υἱὸς ἀληθῶς εἷς τε καὶ μόνος, καὶ ὅτε γέγονεν ἄνθρωπος.
I. III 1167 συνεδρεύει τοίνυν ὡς θεὸς θεῷι καὶ κύριος κυρίωι καὶ υἱὸς πατρὶ τῷι κατὰ ἀλήθειαν, φύσει τοῦτο ὑπάρχων, κἂν εἰ νοοῖτο μετὰ σαρκός.

12 Καὶ ἦν μὲν ἴσως διὰ μακρῶν ἔτι λόγων τῆς ἐκείνων ἀμαθίας καταδεῖξαι τὸ βάραθρον· τὸ δὲ τοῖς οὕτω ψυχροῖς ἀντιλέγειν διὰ πλειόνων ἔτι τάχα που συναμαθαίνειν ἐστὶ τοῖς ἐκεῖνα πεφλυαρηκόσιν. προσεπενεγκεῖν δὲ τοῖς εἰρημένοις ἀναγκαῖον οἶμαί που τὰ
Num. 20, 4 δι' ὧν οἴονται καταπτοεῖν δύνασθαι τὴν συναγωγὴν κυρίου κατὰ τὸ γεγραμμένον καὶ κατα-
Ps. 10, 2 τοξεύειν ἐν σκοτομήνηι τοὺς εὐθεῖς τῆι καρδίαι, τουτέστι τοὺς ἐν ἁπλότητι γνώμης διαβιοῦν ἡιρημένους καὶ τῆς πίστεως τὴν παράδοσιν καθάπερ τινὰ παρακαταθήκην λαβόντας εἰς νοῦν ὑγιᾶ τε καὶ ἀπαράφθορον τηροῦντας αὐτήν. οἱ γάρτοι δεινοὶ πρὸς ἀπάτην καὶ ἐννοιῶν εὑρήμασιν πολυπλόκως ἐξυφασμένοις τῆς τῶν ἀληθῶν ἀποκομίζοντες θήρας τοὺς ἀμαθεστέρους, οἱ τὰς τῶν ἑτέρων αἱρετικῶν κακίας ἀπομιμούμενοι προτείνουσιν ἀμαθῶς ἃ
Habac. 2, 15 δὴ κἀκείνοις ἔθος, οὐκ ἐννοοῦντες τὸ γεγραμμένον· οὐαὶ ὁ ποτίζων τὸν πλησίον
13 αὐτοῦ ἀνατροπὴν θολεράν. οἱ μὲν γὰρ τῆς Ἀρείου δυσσεβείας ὑπασπισταὶ τὸν μονογενῆ τοῦ θεοῦ λόγον ἑτεροούσιον εἶναί φασιν καὶ ἐν δευτέροις τίθενται τοῦ γεννήσαντος κτιστόν τε καὶ γενητὸν εἶναι διατείνονται καὶ τῆι κτίσει συντάττουσι τὸν δι' οὗ τὰ πάντα καὶ ἐν ὧι τὰ πάντα· εἶτα τῆς μετὰ σαρκὸς οἰκονομίας τοῦ μονογενοῦς πολυπραγμονοῦντες τὸ μυστήριον, κακουργότατα παραφθείρουσι τῆς ἀληθείας τὴν δύναμιν καὶ τῆς Ἀπολιναρίου δόξης τὰ ἐγκλήματα προαρρωστοῦντες αὐτοὶ σάρκα μὲν λαβεῖν τὸν τοῦ θεοῦ λόγον διισχυρίζονται, ἐψυχωμένην γε μὴν νοερῶς ἥκιστά γε, εἶναι δὲ μᾶλλον αὐτὸν ἀντὶ νοῦ καὶ ψυχῆς ἐν τῶι σώματι. κακουργότατα δὲ, ὡς ἔφην, τοῦτο δρῶντες ἁλίσκονται. ἵνα γὰρ τὰς ἀνθρωπίνας τοῦ κυρίου φωνὰς μὴ οἰκονομικῶς εἰρῆσθαι νομίζωμεν καὶ κατά γε τὸ πρέπον τῆι ἀνθρωπότητι μέτρον, ἐπειδὴ γέγονεν ἄνθρωπος, ὑπεκκλέπτουσι τῆς σαρκὸς τὴν νοεράν τε καὶ ἔνοικον αὐτῆι ψυχήν. οὕτως αὐτὸν καὶ ὑποβιβάζουσιν καὶ ἐν μείοσιν εἶναί φασιν οὐσιωδῶς τοῦ πατρός, τῆς κατ' αὐτοῦ συκοφαντίας τὰς ἀφορμὰς ἐκ τῶν ἱερῶν γραμμάτων ἀνοσίως ἐρανιζόμενοι. ἀλλ' ἰδοὺ δὴ καὶ νῦν τῆς ἐκείνων ἀμαθίας οἱ ζηλωταὶ κατεπιφύ-

---

μ

24 ση ὅτι πρὸ τοῦ Ἀπολιναρίου οἱ ἀπὸ Ἀρείου σάρκα ἄψυχον ἀνειληφέναι τὸν κύριον ἐφλυάρησαν: — h in mg.

V, P [= hk], AWR. U [inde a 31 συκοφαντίας], D [= mn], Σ

1 χρῆ V 3 τὴν om. AD αὐτὸ P ἀνεκαίνισεν P 5 δὲ] γὰρ WR καὶ om. R 6 τῶν V 7 μόνος ὑπάρχων VP 8 καὶ ὡς υἱὸς WR τῶι] τὸ WR 9 εἰ P om. VAWRD 10 ἴσως WRΣ ἴσως οὐ χαλεπὸν VPAD ἀμαθείας WR 12 ἐκεῖνα] τὰ ἐπάγειν A τὰ ἐπέκεινα D προσενεγκεῖν A 13 καταπτοεῖ V 14 τουτέστι VADΣ om. PWR 14/15 τοὺς — διαβιοῦν] καὶ ὀρθῶς βιοῦν P 15 εἰρημένους R 16 ὑγιᾶ PWRΣ ἁγίαν VAD τε om. V τηροῦντες VPR 17 εὑρέμασι P πολυπλόκοις R ἀληθινῶν PW ἀληθινὸν R 18 τῶν om. A ἄλλων WR αἱρετικῶν om. AD μιμούμενοι P προτείνωσιν R ἀληθῶς W 19 ἔθος ἦν AD ὁ ποτίζων PWRDΣ οἱ ποτίζοντες VA τῶ PD 20 αὐτοῦ PWRDΣ αὐτῶν VA ἀνατροπῆ θολερᾶ AR 21 τιθέντες P εἶναι τίθενται AD 22 γεννητὸν VWRD τάττουσι P 25 προαρρωστοῦντες PWRΣ προσαρρωστοῦντες VAD τοῦ θεοῦ] θῦ P 25/26 ἰσχυρίζονται AD 26 ἐμψυχωμένην VD γε μὴν] δὲ AD 27 ἐν om. WR τῶι om. P πανουργότατα VAD 29 ὑποκλέπτουσι VWD ὑποκλέπτοντες P 30 αὐτῆς WR μείωσιν W μειώσει P 31 συκοφαντείας R 32 δὴ om. AD καὶ νῦν om. WR 32 οἱ τῆς — ἀμαθίας ζητηταὶ P ἀμαθείας WR

ονται πικροὶ τῶν τὰς Νεστορίου κενοφωνίας οὐ προσιεμένων καὶ τὴν ὀρθὴν καὶ ἀμώμητον ἐκπολιορκοῦσι πίστιν, συρφετοὺς εἰκαίων συναγείροντες ἐννοιῶν. φασὶ μὲν γὰρ τὸν θεσπέσιον Παῦλον εἰπεῖν περὶ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ ὅτι κεκένωκεν ἑαυτὸν μορφὴν δούλου λαβὼν ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος καὶ σχήματι Phil. 2, 7-9
εὑρεθεὶς ὡς ἄνθρωπος ἐταπείνωσεν ἑαυτόν, γενόμενος ὑπήκοος μέχρι PG 269
θανάτου, θανάτου δὲ σταυροῦ. δι' ὃ καὶ ὁ θεὸς αὐτὸν ὑπερύψωσεν καὶ 6
ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα. καὶ μὴν καὶ ἑτέρωθί που· ὅτι 2 Cor. 5, 19
ὁ θεὸς ἦν ἐν Χριστῷ, κόσμον καταλλάσσων ἑαυτῷ. καὶ πάλιν· ἐν ᾧ Col 2, 19
κατῴκησε πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς. ἐφαρμόζονται δὲ καὶ M V 365
ταῖς τοῦ Πέτρου φωναῖς, ποτὲ μὲν λέγοντος Ἰησοῦν τὸν ἀπὸ Ναζαρέτ, ὡς ἔχρισεν Act. 10, 38
αὐτὸν ὁ θεὸς πνεύματι ἁγίῳ καὶ δυνάμει, ὃς διῆλθεν εὐεργετῶν καὶ ἰώ- L III 1170
μενος πάντας τοὺς καταδυναστευομένους ὑπὸ τοῦ διαβόλου, ὅτι ὁ θεὸς
ἦν μετ' αὐτοῦ. καὶ πάλιν· τοὺς μὲν οὖν χρόνους τῆς ἀγνοίας ὑπεριδὼν Act. 17, 30. 31
ὁ θεὸς τὰ νῦν παραγγέλλει τοῖς ἀνθρώποις πάντας πανταχοῦ μετανοεῖν,
καθότι ὥρισεν ἡμέραν κρίσεως, ἐν ἧι μέλλει κρίνειν τὴν οἰκουμένην, ἐν 15
ἀνδρὶ ᾧι ὥρισεν, πίστιν παρασχὼν πᾶσιν ἀναστήσας αὐτὸν ἐκ νεκρῶν.
ταῦτα παραθέντες καὶ τὰ καθ' ἕτερον τρόπον ἀνθρωποπρεπῶς εἰρημένα προσερωτῶσιν
εὐθύς, ἐκ μοχθηρῶν ἐννοιῶν πικροὺς ἀναπτύοντες λόγους· τίνι δέδωκεν ὁ θεὸς καὶ πατὴρ
τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα; ἆρα τῶι ἰδίωι λόγωι; καὶ πῶς οὐκ ἀπίθανον κομιδῆι τὸ
χρῆμα; φασίν. ἦν γὰρ ἀεὶ θεὸς ὡς ἐξ αὐτοῦ κατὰ φύσιν γεγεννημένος· ὄνομα δὲ τοῦτο 20
τὸ ὑπὲρ πᾶν ὄνομα νοοῖτ' ἂν εἰκότως. τί γὰρ ἐπέκεινα τοῦ κατὰ φύσιν θεοῦ; τίνα δὲ
κέχρικεν ἁγίωι πνεύματι; ἢ μετὰ τίνος ἦν ὁ θεός; προσεπάγοντες δὲ τούτοις τὰ ἕτερα
14 διακυκῶσι λίαν καὶ θορύβου πιμπλᾶσι τῶν ἀκεραιοτέρων τὸν νοῦν. διορίζοντες δὲ παν- Iuda 19
ταχῆι (ψυχικοὶ γάρ εἰσι, πνεῦμα μὴ ἔχοντες) καὶ ἀποδιιστάντες εἰς υἱοὺς δύο τὸν ἕνα
Χριστὸν καὶ υἱὸν καὶ κύριον, ἐξ αὐτῶν ἁλώσονται τῶν ἰδίων ἐγχειρημάτων. ἕνα μὲν 25
γὰρ Χριστὸν καὶ υἱὸν ὁμολογεῖν ὑποπλάττονται καὶ ἓν αὐτοῦ πρόσωπον εἶναί φασιν, διαιροῦντες δὲ πάλιν εἰς ὑποστάσεις δύο κεχωρισμένας τε καὶ ἀποφοιτώσας ἀλλήλων εἰς ἄπαν
τὸν τοῦ μυστηρίου παρευθύνουσι λόγον. φασὶν γὰρ δὴ τὸν ἐκ γυναικὸς ἤτοι τὴν τοῦ
δούλου μορφὴν ἰδίαι τε καὶ κατὰ μόνας τὸ ὑπὲρ πᾶν ὄνομα λαβεῖν, ὑπομεῖναι δὲ καὶ τὴν
χρίσιν τοῦ ἁγίου πνεύματος καὶ τὸ ἔχειν ἀεὶ συνόντα τὸν θεόν, τουτέστι τὸν ἐκ θεοῦ 30
πατρὸς λόγον· ἀβελτηρίας δὲ τῆς ἁπασῶν ἐσχάτης ἐξόζοντας ἐναργῶς ἐρεύγονται λόγους.

25—28 Timoth. arm. p. 69

V, P [= hk], AWUR, D [= mn], Σ

1 καινοφωνίασ UnΣ 2 μέν om. D 3 παντὸσ D ἡμῶν om. WR 4 καὶ ἐν WR 4/5 καὶ σχήματι — γενόμενος om. P 7 τὸ ὄνομα τὸ R που WRUDΣ πω A που φησὶν VP 8 ὁ om. VAUD ἑαυτῶ καταλλάσσων VPWR 9 κατώκηκε PAD ἐφαρμόζοντεσ WR ἐφορμίζονται U 10 τὰσ — φωνὰσ WR λέγοντεσ PU ναζαρέτ' ἄνδρα ἀποδεδειγμένον WR ὡς] ὃν PΣ 11 αὐτὸν om. PΣ 12 ὁ om. P 13 οὖν om. PWR ἀγνοίασ ἡμῶν W 14 παραγγέλει V 15 κρίσεωσ om. WR 15/16 ἐν ἀνδρὶ PWRUΣ ἐν δικαιοσύνη ἐν ἀνδρὶ VAD 17 τὰ om. PWR προσεπερωτῶσιν AWD πρὸσ επερώτησιν R om. Σ 18 πονηρῶν D ἀνάπτοντεσ AD θεὸς καὶ om. WR 19 τὸ¹ om. V ὄνομα αὐτοῦ D τὸ ὑπὲρ — ὄνομα om. P 20 ὡσ PWRUΣ om. VAD 20/21 γεγεννημένος — φύσιν om. P 20 γεγενημένοσ VA τούτω D 21 δὲ καὶ VAD 22 κέχρηκεν U ἢ] καὶ WR αὐτοῖσ WR 23 λίαν om. V θορύβων W θορύβοισ R πιμπλῶσι AUR πιπλῶσι W ἐμπιπλῶσι D ἀκεραίων PWR δὲ om. AWR 24 εἰσὶ γὰρ VA εἰσὶ D ἀποδιιστῶντεσ WRD 25 ἁλώσονται] ἁλογώτατα VAD 26 γὰρ om. WR τὸ πρόσωπον WR 27 δὲ καὶ WR τε] δὲ WR 28 παρευθύνουσι ARUD Tim. παραφθείρουσι W περαίνουσι P παρασύρουσι V γὰρ] μὲν γὰρ D 29 ἰδίωσ WR 30 χρῆσιν VAD 31 ἀβελτερίασ R δὲ om. WR ἐνεργῶσ V ἐρεύονται R

Mt. 12, 34 πονηροὶ γὰρ ὄντες ἀγαθὰ λαλεῖν οὐκ ἂν δύναιντο κατὰ τὴν τοῦ σωτῆρος φωνήν. ἦν μὲν γὰρ ὁμολογουμένως καὶ ἔστιν ἀεὶ θεὸς καὶ κύριος ὁ τὴν ἐκ θεοῦ πατρὸς γέννησιν ἄποπτόν τε καὶ ἀπόρρητον ἔχων· ἐπειδὴ δὲ γέγονεν ἐκ γυναικὸς κατὰ σάρκα, παραδόξως
Lc. 1, 35 μὲν καὶ ὑπὲρ ἡμᾶς ἐν ἐπιφοιτήσει πνεύματος ἁγίου καὶ ἐν ἐπισκιασμῷι δυνάμεως θεοῦ, τὴν
Phil. 2, 7-10 δ' οὖν καθ' ἡμᾶς ἀπότεξιν ὑπομείνας (οὕτω γὰρ ἑαυτὸν κενῶσαι λέγεται ταπεινῶσαί τε καὶ
PG 272 ἐν ὑπακοῇι γενέσθαι τῆι μέχρι θανάτου καὶ σταυροῦ), ταύτηι τοι καὶ μάλα εἰκότως λέγεται λαβεῖν τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, καὶ αὐτῶι κάμπτει πᾶν γόνυ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται ὅτι κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν θεοῦ πατρός. οὐ γὰρ ἠγνόησεν ἡ λογικὴ κτίσις ὅτι
Hebr. 2, 14 θεὸς ἦν ὁ ἐνανθρωπήσας λόγος· εἰ γὰρ καὶ γέγονεν ἐν τοῖς καθ' ἡμᾶς καὶ παραπλησίως ἡμῖν μετέσχεν αἵματος καὶ σαρκός, ἀλλ' οὖν οὐκ ἀποπεφοίτηκεν τοῦ εἶναι θεὸς οὐδὲ ἀπόβλητον ἐποιήσατο τὸ εἶναι ὃ ἦν. μεμένηκε γὰρ προσκυνητὸς εἰς δόξαν θεοῦ πατρός· δόξα γὰρ αὐτῶι συμβασιλεύοντά τε καὶ συμπροσκυνούμενον ἑαυτῶι τὸν ἴδιον ἔχειν υἱόν, εἰ καὶ γέγονεν οἰκονομικῶς ἄνθρωπος, ἵνα σώσηι τὴν ὑπ' οὐρανόν.

Egi de hac collectiuncula in appendice libri quem u. d. F. de Woess de asylis in Aegypto sub regibus Ptolemaeis conscripsit [*Münchener Beiträge z. Papyrusforschung* 5 p. 254 sq.]; quae ibi longius exposui, hic breuiter comprehendere liceat. monachus aliquis uel, si mauis, duo ex iis qui habitabant in loco deserto quinque m. p. ab urbe Alexandria, qui postea Πέμπτον appellabatur, conscripserunt in charta post sermonem qui Cyrilli ferebatur contra Nestorium [V 80], et Cyrilli epistulam contra Theodorum [V 133] duas constitutiones quae in ecclesia eorum publicatae erant; alterius eis intererat quoniam asylum illius ecclesiae prope ad urbem sitae frequenter adibatur, alterius propter zelum quo monachi illi Nestorianos, id est Chalcedonenses oderant uenerabanturque Dioscorum fidei suae propugnatorem confessoremque. collectori V conexum aliquem fuisse cum Alexandrinorum ecclesia et ea quidem quae Dioscorum Timotheumque Aelurum pro ueris Cyrilli successoribus colebat, non inde solum constat, quod hanc chartam in monasterio prope Alexandriam sito perscriptam accepit; praesto illi erant e. g. etiam epistulae quas Cyrillus in itinere et ex urbe Ephesi ad ecclesiam suam destinauit [cf. supra p. XII]. quin etiam ipsam antiquam collectionem cui opus suum superstruxit, primum Alexandriae compositam esse si quis contenderit, difficile erit ei fidem negare uel ualida opponere argumenta; tantus in seligendo et omittendo spirat fauor zelusque partis Cyrillianae.

Longe ab illo diuersus erat qui haud paulo, opinor, post primariam Collectionis V redactionem addidit id supplementum quod continet 140—164. cuius partem alteram [140—147] additam esse epistularum quae gestis praemissae erant collectioni, alteram gestis et quae ea sequebantur usque ad Maximiani ordinationem, interpositas esse Cyrilli ad augustaset ad dominas orationes supra [p. XII] exposui. quae sicut in S et A aut aliorsum delatae aut omnino aliunde desumptae sunt, ita eiusdem Cyrilli solutiones uel interpretationes XII capitulorum, quas V [128] illis orationibus praeposuit, S [77] ante collectionem antiquam sermonum collocauit. item supra [p. VIII] exposui Nestorii relationem [V 146] et eam quae hic proponitur recensionem sacrae per Candidianum ad synodum perlatae [V 147 = 31], deinde omnia Orientalium gesta relationes epistulas quae exhibentur V 151—164, petitas esse ex libro Irenaei, quod fieri non potuit nisi tempore adeo ab ipsorum illorum studiorum acerbitate remoto, ut curiositati cuidam historicae locus dari posset, id est non ante saeculum VII. initium supplementi facit Cyrilli sermo breuis, qui receptus est propter concilii Epheseni quae in fine fit [15 p. 4, 21] mentionem. cui nescio quomodo adhaesit breuis expositio per interrogationem et responsionem quae qua occasione a Cyrillo conscripta sit, latet. ceterum cur hae scriptiones Cyrillo indignae iudicentur, non uideo: eius sunt et doctrina et elocutio. confessio quae appellatur uulgo Confessio Antiochena [cf. Lietzmann, Apollinaris p. 158], extat praeter V [S 37 W d, cf. I 1 p. III] in collectione codicis Vaticani 1431, unde migrauit in A [27] et W, ubi iterum exhibetur loco singulari in farragine aetatis recentioris [cf. I 1 p. V]; fetum esse Apollinaristarum dudum constat.

De codice Laurentiano VI 12 in parte sexta huius uoluminis, de Parisino 1115 in parte septima agendum erit.

Monachii mense Decembri a. h. s. XXVII

E. Schwartz

COLLECTIO VATICANA

120–139

V = Collectio Vaticana
Codex Vaticanus 830 s. XV
P = Collectionis Vaticanae recensio decurtata
h = Codex Parisinus 416 s. XVI
k = Codex Monacensis 43 + 45 s. XVI
S = Collectio Seguierana
Codex Parisinus Coislinianus 32 s. XI
D = Collectionis Seguieranae recensio altera
m = Codex Monacensis 115 s. XVI
n = Codex Monacensis [Fuggeranus] 116 s. XVI
A = Collectio Atheniensis
Codex Atheniensis societatis archaeologicae Christianae 9 s. XII
W = Codex Vindobonensis theol. gr. 40 s. XII
R = Codex Vaticanus 1431 s. XI
B = Codex Neapolitanus II B 15 s. XIII
E = Codex Vaticanus 504 s. XII
U = Codex Vallicellianus C 4 s. XIIII
J = Codex Vallicellianus F 22 s. XV
H = Codex musei Britannici Arundelianus 529 s. XII
X = Codex Parisinus 1115 s. XII
X_1 = Codicis Parisini 1115 additamenta recentia
T = Codex Venetus 504 s. XV

Acta Chalcedonensia
Δ^w = Codex Vindobonensis hist. gr. 27 s. XII
Δ^m = Codex Venetus 555 s. XII
Δ^p = Codex Parisinus 415 s. XII, unde descriptus est codex Venetus 165 s. XV
Δ^s = Codex Sinaiticus 1690 s. XIII
Excerpta ex Actis Chalcedonensibus
Θ^p = Codex Parisinus 415
Θ^r = Codex Vaticanus 712
F^{cyr} = Florilegium Cyrillianum cod. Parisini 415 [Ven. 165] et Sinaitici 1690

120 = S 86 A 102. Latina uersio extat in Collectione CT 69, alia et diuersa in Collectione Veronensi 27

Ἴσον θείου γράμματος ἀποσταλέντος διὰ Ἀριστολάου τριβούνου καὶ νοταρίου Ἰωάννηι ἐπισκόπωι Ἀντιοχείας περὶ τῆς εἰρήνης καὶ ἑνώσεως τῶν ἐκκλησιῶν L III 1082 M V 277

1 Αὐτοκράτορες Καίσαρες νικηταὶ τροπαιοῦχοι μέγιστοι καὶ ἀεισέβαστοι Θεοδόσιος καὶ Οὐαλεντινιανὸς Ἰωάννηι ἐπισκόπωι Ἀντιοχείας. Σκοπὸς ἡμῖν τῆς εἰρήνης τὸ κατόρθωμα, ἣν δὴ τῶι ἐπιτηδεύματι τῶι ἑαυτῶν ἑπόμενοι διηνεκῶς πληροῦν ἐπαγγέλλεσθε, καὶ τοὺς ἄλλους δὲ πάντας ἀνθρώπους, ὡς δι' ἀγάπην ἱερεῖς προβαλλόμενοι, διδάσκειν οὐ παύεσθε. καιρὸς οὖν, ἐπειδὴ ταύτην ὀκλάζειν ὅθεν οὐκ ἐχρῆν, συμβέβηκεν, εἰς τοῦτο προτρέπειν, εἰς ὅπερ τοὺς ἄλλους ἐνάγοντες νομίζομεν ὡς προθύμως ἐλεύσεσθε. πρᾶγμα γὰρ φευκτὸν καὶ ἀπροσδόκητον ἐπὶ τῶν ἡμετέρων καιρῶν συνέβη, ἱερέων τῆς ἀληθοῦς θρησκείας διχόνοια, ἥτις καὶ πᾶσαν διηγήσεως δύναμιν ὑπερβέβηκεν. ὅτε γὰρ ἠλπίσθη παντοία καὶ μέχρις ὑποψίας περιαιρεθήσεσθαι φιλονεικία καὶ τὸ τῆς τελειοτάτης ἑνώσεως παρακολουθήσειν συμπέρασμα, τότε διαστάσεως καὶ θορύβου μεγίστου προφάσεις ἐξήφθησαν. ἀδημονία τοιγαροῦν ἐν τῶι πράγματι καὶ πολλῆς ἀθυμίας ἀφορμὴ τὸ τοὺς διδασκάλους τῆς ἐκκλησιαστικῆς εἰρήνης καὶ τὴν πηγὴν τῆς ὁμονοίας εἰς τοσοῦτον διχονοίας τραπῆναι, ὡς
2 δεῖσθαι τῶν αὐτοὺς προτρεπόντων ὥστε μεμνῆσθαι τούτων ἃ πρεσβεύειν ἐτάχθησαν. τὴν τοσούτου τοίνυν κακοῦ λύσιν, ὅθεν καὶ τὴν ἀρχὴν εἴληφεν, εὑρασθαι προσδοκήσαντες καὶ ἐπιμελῶς ὅπως ἂν τοῦτο κατορθωθείη, φροντίσαντες, ἵνα μὴ ἕρπον ἐπινεμηθῆι πλέον τὸ τῆς φιλονεικίας ἐλάττωμα, τοῦτ' ἐσκοπήσαμεν, πάντων ἡμῖν συνδραμόντων, τοῦ τε ἁγιωτάτου τῆς ἐνδόξου ταύτης πόλεως καὶ πάντων τῶν εὑρεθέντων ἐνταῦθα θεοφιλεστάτων ἐπισκόπων καὶ τοῦ παντὸς αὐτῶν κλήρου, εἰς τὸ τὰ καλῶς πρώην ἡνωμένα δυστήνου τε πάθους παρεισπεσόντος διασπασθέντα τῆς ὀρθοδόξου πίστεως μέλη συναρμόσαι, ὥστε ὑμᾶς, σέ τε φαμὲν καὶ τὸν εὐλαβέστατον ἐπίσκοπον τῆς Ἀλεξανδρέων Κύριλλον, συμβάντας L III 1083

V, P [= hk], S, D [= mn], AJWΛ^{1}Λ^{c}Λ^{u}

superscr. Ἀρχὴ τῶν κεκινημένων ἐπὶ τῆ ἑνώσει τῶν ἐκκλησιῶν AJ ρκ V ριᾶ P πγ' D 3/4 om. Λ^{tc} 3 ἴσον — γράμματος VPSDΛ^{u} γράμμα βασιλικόν AJ ἀποσταλὲν PAJ 4 τῶ ἐπισκόπω SDW τῆς om. W εἰρήνης καὶ om. AJ τῶν ἁγίων SDW 5—6 Ἀντιοχείας om. SDWΛ^{u} 6 *Antiocheno similiter et Cyrillo episcopo Alexandrino* Λ^{c} σκοπὸς μὲν SDW 7 ἐπαγάλλεσθε W 7/8 καὶ τοὺς — δὲ] τούς τε ἄλλους VP 8 δι' ἀγάπην PSDWΛ^{cu} διὰ ταύτην AJ διὰ ταύτης V *propter veritatem* Λ^{t} 9 ταύτην ἡμῖν V 10 ἄλλους ἅπαντας SD ἀνάγοντες SDWΛ^{u} νομίζομεν PSDWΛ^{tc} ἐνομίζομεν VAJΛ^{u} ἐλεύσεσθε AJWΛ^{u} ἐλεύσεσθαι VSDΛ^{tc} ἐλέσθαι P φευκτὸν SDWAJΛ^{tc} φρικτὸν VPΛ^{u} 11 ὑμετέρων S 12 καὶ^{2} om. AJ 13 ὑπονοίας SDW τελεωτάτης AJ 13/14 παρακολουθῆσαι PSD 14 συμπεραίωμα P μεγίστου θορύβου V θορύβου μεστοῦ W ἐξήχθησαν S 14/15 ἀδημονίας Λ^{u} 17 προτρεψόντων P ὥστε VPΛ^{tcu} πρὸς τὸ SDAJ εἰς τὸ W 18 τοῦ τοσούτου AJ τοσούτην S εἴληφεν om. SDW εὑρέοθαι V καὶ om. SW 19 ἕρπων S ἐπινεμηθείη πλέον PS ἐπὶ πλέον νεμηθῆ V 20/21 ἁγιωτάτου SDAJΛ^{ic} ἁγιωτάτου ἐπισκόπου VPWΛ^{u} 22 αὐτοῦ P 22/23 τε πάθους VPΛ^{ic} δὲ πάθους SDAJ πάθους δὲ W 23 προσπεσόντος DAJW προπεσόντος S τὰ διασπασθέντα VP μέρη P συνορμιᾶσθαι SDW 24 εὐλαβέστατον SDAJΛ^{ic} ἁγιώτατον VPΛ^{u} τῆς om. W ἀλεξανδρείας VW συμβάντα S

ἀλλήλοις ἀποθέσθαι τὴν μεταξὺ ὑμῶν δυσχέρειαν τε καὶ ἀμφισβήτησιν, ἐπαγγειλαμένων ὧν προείπομεν εὐλαβεστάτων ἀνδρῶν ὡς εἰ ὑπογράφοις τῆι καθαιρέσει Νεστορίου καὶ τὴν τούτου ἀναθεματίζοις διδασκαλίαν, οὐδὲ μία περιλειφθήσεται ἀμφιβολίας ἀφορμή, ἀλλ' εὐθὺς καὶ ὁ ἁγιώτατος ἐπίσκοπος Κύριλλος καὶ αὐτοὶ οἱ μετ' αὐτοῦ, καὶ ὁ ὁσιώτατος δὲ τῆς ἐνδόξου Ῥώμης ἐπίσκοπος Κελεστῖνος καὶ πάντες οἱ πανταχοῦ τῆς ὀρθοδόξου πίστεως ἱερεῖς τῆι σῆι θεοσεβείαι κοινωνήσουσι, τῶν ἄλλων, εἴ γέ τινα εἴη τὰ ὀφείλοντα διορθωθῆναι, τὴν πρέπουσαν εὐχερῶς δεχομένων λύσιν, ἣν αὐτοὶ ἀναγκαίως ἀναλαβόντες καὶ
3 συμπείσαντες ἑαυτοὺς ἰδίαι τε καὶ κοινῆι πάντας ἐπάξετε. γνοὺς τοίνυν ταύτην ἡμῶν εἶναι τὴν σπουδὴν καὶ τοῦτο τὸ βούλευμα, μηδενὸς ἄλλου θελήσηις φροντίδα ποιήσασθαι ἢ τοῦ πάσης ἐκποδὼν ἔριδος καὶ ζηλοτυπίας γενομένης τὴν εἰρήνην ἐπιμελῶς καὶ βεβαίως ταῖς ἁγιωτάταις ἐκκλησίαις ταῖς πανταχοῦ τῆς ὀρθοδόξου πίστεως καὶ διὰ τοῦτο πᾶσι τοῖς ὑφ' ἡμᾶς τῆι τοῦ κρείττονος βοηθείαι πήξασθαι καὶ ἐλθεῖν μετὰ πλείστης ταχυτῆτος ἐν τῆι Νικομηδέων πόλει, μηδένα τὸ σύνολον ἐπισκόπων μετὰ σαυτοῦ ἐπαγόμενος πλὴν ὀλίγων τῶν ὑπηρετουμένων τῆι σῆι ἁγιότητι κληρικῶν. καὶ δίχα πάσης ὑπερθέσεως σπούδασον,
M V 281 εἰδὼς ὡς καὶ Κύριλλον τὸν ἁγιώτατον ἐπίσκοπον ὁμοίως ἐκεῖσε ἐπειχθῆναι καὶ συνδραμεῖν τῆι αὐτῆι προθυμίαι θείοις ἡμῶν γράμμασι προσετάξαμεν, τούτωι παρεγγυήσαντες μὴ ἄλλως αὐτὸν πρὸς ἡμᾶς ἐλεύσεσθαι πρὶν ἂν συντυχόντες ἑαυτοῖς καὶ τὰ τῆς πρὸς ἀλλήλους ἔχθρας ἀποθέμενοι εἰς τὸ τὴν εἰρήνην βεβαιωθῆναι δι' οἰκείας ὁμονοίας τῶι σκοπῶι τῶν πάντων συνέλθητε. ὅπερ ἔσεσθαι καὶ ἐπὶ τῆι σῆι εὐλαβείαι σημαίνομεν· ἄνδρες γὰρ ὄντες τοσοῦτοι οὓς ἐκδέχεται καὶ τὰ τῆς εἰρήνης ἀγαθὰ καὶ τὰ τῆς διχονοίας κακὰ λαθεῖν οὐκ ἀνέχεται, οὐ πρότερον παρ' ἡμῶν ὀφθήσεσθε, ἄχρις ἂν διορθωθῆι ταῦθ' ἅπερ ἡμᾶς οὐ μικρῶς ἀθυμῆσαι πεποίηκεν. ἐν τοσούτωι δὲ ἐν ὅσωι ἡ σπουδαζομένη τῆς εἰρήνης καὶ ὁμονοίας τῆς ὑμετέρας καὶ τῆς πρὸς ἀλλήλους φιλίας καὶ ἐκ ταύτης τῆς πρὸς ἡμᾶς προοδοποιηθείσης συντυχίας βεβαιοῦται συγκρότησις, μηδεμία ἐξ ἐπισκοπικῶν καταστάσεων ἢ καθαιρέσεων ἢ καὶ οἱασδηποτοῦν χειροτονίας καινοτομία προσγένηται, ἀλλ' εἴ τι καὶ ἐν τῶι μεταξὺ γενέσθαι συμβέβηκε, τοῦτο ἐν ἡσυχίαι μένον ἀτάραχον τὴν τῆς καθολικῆς ἐκκλησίας φυλαττέτω κατάστασιν, ἐπαρκούντων τῶν ὄντων εὐλαβεστάτων κληρικῶν, ἄχρις ἂν τελεία ἕνωσις παρακολουθήσηι, πρὸς τὸ τὰς θείας ὑπηρεσίας ἐκτελεῖν.

4 Ἔχεις παρ' ἡμῶν ταῦτα, καὶ οὐκ ἀμφιβάλλομεν ὡς παντὶ σθένει καὶ πάσηι δυνάμει, εἰλικρινῆ καὶ ἀμετάτρεπτον ἑωρακὼς τὴν ἡμετέραν πρόθεσιν καὶ ἀξίαν Χριστιανικῆς ἐν-

---

V, P [= bk], S, D [= mn], AJWΛ^{t}Λ^{c}Λ^{u}

1 ἡμῶν SD τε om. VP 2 προείπαμεν AJ ὑπογράφοις AJW ὑπογράφεισ SD ὑπογράψεισ V ὑπογράψαισ P 3 ἀναθεματίζοις SAJW ἀναθεματίζεισ D ἀναθεματίσεισ V ἀναθεματίσησ P ἀμφιβολίασ SDAJWΛ^{tc} αντιλογίασ VPΛ^{u} 4 καὶ AJΛ^{tcu} om. VPSDW ἐπίσκοπος om. V καὶ — αὐτοῦ om. PΛ^{u} οἱ om. SAJW καὶ ὁ] καὶ ἡ σὴ θεοσέβεια καὶ οἱ μετ' αὐτῆσ καὶ ὁ VPΛ^{uc} δὲ om. VP 6 γέ om. S εἶεν W 8 αὐτοὺσ VP τε om. VP πάντεσ AJ υμῶν S 9 εἶναι om. VP βούλευμα SDAJWΛ^{tc} βούλημα VPΛ^{u} 10 τοῦ] τὸ SDAJW γινομένησ P γενομένησ S γιναμένησ W τῆσ W εἰρήνην SDAΛ^{tc} εἰρήνησ W εἰρήνην ταύτην VPΛ^{u} καὶ βεβαίως om. P 11 ταῖσ τε SD ἁγιωτάταις om. VP ἁπανταχοῦ VP τοῦτο SDWΛ^{tc} τούτων VPAJΛ^{u} τοῖς om. V 12 ἐφ' SDW ἡμᾶσ PAJWΛ^{tc} ὑμᾶσ VSDΛ^{u} τῆι] ἀναλαβεῖν καὶ τῆ PΛ^{u} πήξασθαι VPAJW ἐπείξασθαι D ἐπείξεσθαι P et hoc et illud uertunt Λ^{icu} καὶ om. PSDW πλείστησ SDAJWΛ^{tc} πάσησ VPΛ^{u} 13 νικομηδεία J νικαέων PΛ^{u} ἐπίσκοπον AJ 14 καὶ om. AJ 15 ἐκεῖσε VAJΛ^{tc} ὡσ καὶ σὲ P καὶ σὲ Λ^{u} om. SDW 16 τούτω SDAJ τοῦτο J^{corr}Λ^{tc} αὐτῶ τε VP παρεγγυησάμενοι SDW παρεγγυήσασθαι PΛ^{u} μὴ ἂν W 17 ἢ ἂν VP ἑαυτοῖσ SDAJWΛ^{tc} ἀλλήλοισ VPΛ^{u} καὶ τὰ] κατὰ S 17/18 ἀλλήλουσ SDAJWΛ^{tc} ἑαυτοὺσ VP 18 βεβαιῶσαι D 20 τοσοῦτοι ὄντεσ VP 21 ἀνέχεται SDAJWΛ^{tu} ἀνέξονται VPΛ^{c} ἡμᾶς ἅπερ S 22 ἐν ὅσωι ἡ om. P ἥ τε SDW σπουδαζομένησ PSWΛ^{tc} 23 ἡμετέρασ V 24 μὴ δὲ μιᾶσ SDW ἢ VΛ^{tcu} τε ἢ SDAJ τῆσ P 25 καθαιρέσεωσ V καθαιρέσεωσ ὧν P καὶ om. SD χειροτονία D καινοτομία προσγένοιτο P προσγένοιτο καινοτομία V προσγένηται D ἐν τῶι om. VP 26 μένον V μὲν P μεῖναν SDAJW 28 παρακολουθήσοι V 29 ἔχειν Λ^{u} 30 ἀξίαν τῆσ W

στάσεως, συμπράξεις καὶ αὐτὸς καὶ οὐδένα κάματον ἢ σκυλμόν, οὐχ ὕβρεως καταφρόνησιν, οὐκ ἀμνηστίαν ὀργῆς ἀναδέξασθαι παραιτήσηι ὑπὲρ τοῦ τὰ παρὰ τῆς ἡμετέρας εὐσεβείας ἕνεκεν τῆς ὀρθοδόξου πίστεως καὶ τῆς τῶν ἁγιωτάτων ἐκκλησιῶν ἑνώσεως προσταχθέντα πέρατι παραδοθῆναι. εἰ δέ, ὅπερ οὐ πιστεύομεν, ἐναντίον τι ταύτης ἡμῶν τῆς γνώμης καὶ L III 1086
τοῦ οὕτως ὀρθοῦ βουλεύματος φρονῆσαι ἰδίωι τινὶ σκοπῶι καὶ ἐνστάσει ἀνθρωπίνου πά- 5
θους ἐπιχειρήσειας τῶν τε ἄλλων παρ' ἡμῶν κελευσθέντων ἀμελήσειας, σαυτῶι λογιῆι, ὡς τῆς προθυμίας τῆς περὶ τὴν συγκρότησιν τῶν τοῦ θεοῦ ἐκκλησιῶν ἡ σὴ ὁσιότης καταφρονήσασα ἀξίας ἀμοιβὰς ἀπενέγκηται.

121 = S 122 A 104. Latina uersio extat in Collectione C 141

Γράμμα βασιλικὸν ἀποσταλὲν τῶι μακαρίωι Συμεῶνι τῶι στυλίτηι 10

Ὅλον τὸν τῆς σῆς εὐλαβείας βίον ἐπεστράφθαι πρὸς τὸν θεὸν καὶ οὕτως ζῆν ὥστε δύνασθαι τῆι παρρησίαι καὶ τὴν περὶ ἡμᾶς προκαλεῖσθαι εὐμένειαν, ἀκριβῶς ἐπιστάμενοι, ἀναγκαίως νῦν ἐπὶ τάδε τὰ γράμματα ἐλθεῖν προετράπημεν, ἵνα ἀληθῶς πρᾶγμα τῆς τοῦ θεοῦ προνοίας ἐχόμενον ἐν τούτωι μάλιστα τῶι χρόνωι κατορθῶσαι σπουδάσηις, φαμὲν δὴ τὴν καλῶς ῥιζωθεῖσαν εἰρήνην βεβαιωθῆναι, τὴν δὲ διαβόλου τινὸς κακομηχανίαι ἐμβληθεῖσαν 15
μάχην ἐκποδὼν γενέσθαι παρασκευάσηις. ἔσται δὲ τοῦτο, εὖ ἴσμεν πεποιθότες ταῖς τε εὐχαῖς τῆς σῆς ὁσιότητος καὶ τῆι πρὸς τοὺς δυναμένους ταύτην θεμελιῶσαι καὶ διεσπασμένην ἀνανεώσασθαι ἐνστάσει τε καὶ προτροπῆι. ὁ γὰρ εὐλαβέστατος Ἰωάννης ὁ τῆς M V 284
Ἀντιοχέων ἐπίσκοπος ἐὰν τῆι καθαιρέσει τοῦ ἐμβαλόντος τὰ τῆς φιλονεικίας σπέρματα ὑπογράψαι βουληθῆι καὶ πείσηι ὡς οὐ συναινεῖ τῶι κατὰ καινοτομίαν καὶ ἀφροσύνην ἐπι- 20
χειρηθέντι δόγματι, πάλιν ἡ τῶν ἀποσπασθέντων μελῶν ἕνωσις ἐπακολουθήσει, εἰς τοῦτο πάντων ὁμοῦ συντρεχόντων. εἰ γὰρ τοῦτο ποιήσειε καὶ τῶι εὐλαβεστάτωι ἐπισκόπωι τῆς Ἀλεξανδρέων Κυρίλλωι ὁμονοήσειεν, ὥιπερ οἵ τε ἐν τῆι Δύσει καὶ οἱ ἐνταῦθα καὶ οἱ πανταχοῦ συντρέχουσιν, τὰ πάλαι τῆι τοῦ θεοῦ φιλανθρωπίαι συγκροτηθέντα καὶ νῦν ἁρμοσθήσεται. τὴν γὰρ ἀηδίαν καὶ τὸν θόρυβον ἡ περιττὴ καὶ ἀνόνητος, μᾶλλον δὲ καὶ 25
ἐπιβλαβὴς διδασκαλία ἐνεγέννησεν, ἥτις ἐξωσθεῖσα καὶ πόρρω που τῶν ψυχῶν ἡμῶν ἐλαθεῖσα ταῖς ὑμετέραις εὐχαῖς ἡμᾶς ἀναπαῦσαι, καθὼς εἰς τὴν τοῦ θεοῦ προστασίαν ἐλπίζομεν, καὶ ἀνακτήσασθαι δυνήσεται. οὕτω γὰρ ἡμᾶς ἡ νῦν διχόνοια καὶ φιλονεικία ταράττει, ὥστε καὶ πρώτην ταύτην αἰτίαν εἶναι τῶν συμβαινόντων δυσχερῶν λογίζεσθαι,

---

V, P [= hk], S, D [= mn], AJWΛtΛcΛu

1 καὶ² om. VPΛtu 2 ἀμνηστίας ὀργὴν D καταδέξασθαι SDW παραιτήση] τισὶν P 2 τὰ om. W 3 ἕνεκα VP τῆς om. SDW ἁγίων SDW 4 ἐναντίον τί AJΛtc ἐναντία D τὰ ἐναντία W ἔναντι S om. VPΛu 5 οὕτως ἡμῶν SDW φρονῆσαι SDAJWΛtc καταφρονῆσαι VΛu καταφρονήσειας P τινὶ om. W καὶ SDAJWΛtc ἡ VPΛu 6 ἐπιχειρήσας SDW τε om. SDW ἄλλων VPΛtcu om. SDAJW ἀλογήσειας S σαυτῶ V καὶ σαυτῶ P ἑαυτῶ SDAJW λογιεῖ SW 6/7 ὡς τῆς VP *quoniam* Λtc *quia* Λu εἰ τῆς AJ τῆς γὰρ SDW 7 τῆς om. SDW

V, P [= hk], S, D [= mn], AΛ

ρκα V ριβ P ριε' D 10 γράμμα βασιλικὸν DA θεῖον γράμμα VPS ἀποσταλὲν διὰ τοῦ αὐτοῦ [cf. A 104] A τῶ μακαρίω — στυλίτη DAΛ πρὸς ἀκάκιον ἐπίσκοπον βεροίας [βερροίας VP] VPS 11 σῆς DAΛ om. VPS εὐλαβείας DAΛ εὐσεβείας VPS τὸν om. P ζῆς S 12 τὴν παρρησίαν AΛ πρὸς A 13 πράγματα V 14 σπεύσης V φαμὲν δὴ om. D 15 τῆς [καὶ τῆς n] — ῥιζωθείσης εἰρήνης D βεβαιωθῆναι om. SD δὲ om. SD 16 τε A om. VPSD 17 τοὺς] τὰς S 18 ἀνανεώσασθαι AΛ ἀνακαλέσασθαι VPSD γὰρ AΛ μὲν γὰρ VPSD εὐσεβέστατος A τῆς A om. VPSD 19 ἐμβάλλοντος SD 20 βουληθείη VPSD πείσηι AΛ πεῖσαι VPSD 23 τῆς ἀλεξανδρέων A τῆς ἀλεξανδρείας VP om. SD ὁμονοήσειε κυρίλλω P ὁμονοήσει nA ὁμονοῆσαι Sm ὥπερ VAΛ ὥσπερ PSD τε AΛ om. VPSD 25 ἀνόνητος DAΛ ἀνόητος VPS καὶ VΛ om. PSDA 26 ἐνεγέννησεν AΛ ἐγέννησεν VPSD 27 ἀναπαῦσαι VAΛ ἀναπαύσει PSD καθὰ P 28 καὶ om. V καὶ ἡμᾶς V ἡ νῦν P ἡ A om. VSD 29 ταύτην αἰτίαν VP αὐτὴν αἰτίαν A αἰτίαν ταύτην SD

θαρρεῖν δὲ ὡς πάντα τὰ τῆς ἡμετέρας βασιλείας κατὰ γνώμην τῆς τοῦ θεοῦ φιλανθρωπίας προβήσεται, τῶν τῆς ἐκκλησίας καὶ τῆς ὀρθοδόξου πίστεως μελῶν συναπτομένων τε καὶ ἑνουμένων. ἐπὶ τούτωι τῶι κατορθώματι καὶ ἀγώνισαι ἀγῶνα τὸν κάλλιστον, ὥστε περιγενέσθαι τῶν τοῦ δαίμονος ἐπιχειρημάτων. λογισθήσεται γάρ σοι καὶ τοῦτο εἰς ἆθλον μέγιστον καὶ νίκην ἰσχυροτάτην, ἧς τευξόμενος σαυτῶι ἀκολουθήσεις, ταῦτα πράττων ἅπερ ἐπαγγέλλει· οἷς δὴ καὶ πιστούμενος παρακέκλησο πρεσβείαις ταῖς συνήθεσιν ἀδιαλείπτως ἡμᾶς τε καὶ τὴν ἡμετέραν βασιλείαν πάντας τε τοὺς ὑφ' ἡμῶν ἀρχομένους τῶι θεῶι παρατίθεσθαι πρὸς τὸ ἡμῖν ἐξαιρέτως τοῖς ποιουμένοις τὴν ἁρμόζουσαν περὶ τὴν εἰρήνην τῆς αὐτοῦ θρησκείας φροντίδα τὰ ἀγαθὰ παρὰ τῆς αὐτοῦ δυνάμεως ἄφθονα χορηγεῖσθαι.

122 = S 87 A 109. Latina uersio extat in Collectione CT 70; Syriaca in appendice [p. 563—565] libri 'Nestorius, le livre d'Héraclide par Bedjan', edita ex cod. Mus. Britt. 14557

L III 1090 M V 288 Λίβελλος ἐπιδοθεὶς τῶι ἀρχιεπισκόπωι Κυρίλλωι παρὰ Παύλου ἐπισκόπου Ἐμέσης τοῦ ἀποσταλέντος παρὰ Ἰωάννου Ἀντιοχείας

Τῶι δεσπότηι μου τῶι πάντων ἕνεκα ἁγιωτάτωι καὶ ὁσιωτάτωι ἐπισκόπωι Κυρίλλωι Παῦλος ἐν κυρίωι χαίρειν. Οἱ εὐσεβέστατοι καὶ καλλίνικοι ἡμῶν βασιλεῖς ἣν ἄνωθεν ἔχειν ἀξιοῦσι σπουδὴν καὶ ἐπιμέλειαν περὶ τὸ ὑπήκοον καὶ μάλιστα περὶ τὰς ἁγίας τοῦ θεοῦ ἐκκλησίας καὶ τὴν εὐσεβῆ καὶ εἰλικρινῆ καὶ ὀρθὴν πίστιν ἣν ἐκ πατέρων διεδέξαντο,
ep. 120 ἐνδεικνύμενοι γράμμα ἐξέπεμψαν διὰ τοῦ περιβλέπτου τριβούνου καὶ νοταρίου Ἀριστολάου πρός τε τὴν σὴν ὁσιότητα καὶ πρὸς τὸν ὁσιώτατον καὶ ἁγιώτατον ἐπίσκοπον Ἰωάννην
ep. A 103 πρός τε τὸν ὁσιώτατον καὶ ἁγιώτατον πατέρα ἡμῶν Ἀκάκιον τὸν ἐπίσκοπον τῆς Βεροιαίων τὸ κελεῦον ὥστε συνελθόντας ἢ κατὰ πρόσωπον ἢ γνώμην γοῦν λύσιν δοῦναι ταῖς ἀνακυψάσαις διαφοραῖς μεταξὺ τῶν θεοφιλεστάτων ἐπισκόπων τῶν εἰς τὴν Ἔφεσον συνεληλυθότων καὶ ἡμῶν αὐτῶν καὶ ταῖς ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις τὴν τῶι θεῶι φίλην εἰρήνην πρυτανεῦσαι παῦσαί τε τὰς ὀσημέραι ἐγγινομένας ταραχὰς ταῖς ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις συνθέσθαι τε τῆι Νεστορίου καθαιρέσει καὶ ἀναθεματίσαι τὴν φαύλην αὐτοῦ διδασκαλίαν. δεξάμενοι οὖν τὸ εὐσεβὲς τοῦτο καὶ φιλόχριστον γράμμα ὅ τε προειρημένος ἁγιώτατος ἐπίσκοπος Ἰωάννης καὶ ὁ ἁγιώτατος ἐπίσκοπος Ἀκάκιος καὶ λογισάμενοι ὡς ἔστι πολλὰ δεόμενα τῆς κατὰ πρόσωπον ὑμῶν συντυχίας εἰς τὸ μὴ μακρὸν χρόνον ἐντριβῆναι τῆι

V, P [= hk], S, D [= mn], AΛ

1—9 θαρρεῖν — χορηγεῖσθαι om. PSD 4 εἰς om. V 5 νίκη ἰσχυροτάτη V

V, P [= hk], S, D [= mn], AWRΛ^{1}Λ^{c}Σ

ρκβ V ριγ P πδ' D 13 λίβελλος ἐπιδοθεὶς VPRΛΣ λίβελλος ἤγουν ὁμολογία ἐπιδοθεῖσα A λίβελλοι ἐπιδοθέντες [δυθέντες S] SDW τῶ — κυρίλλω VPΛΣ τῶ ἁγιωτάτω ἀρχιεπισκόπω [ἐπισκόπῳ W] κυρίλλω SDW τῶ ἁγιωτάτω κυρίλλω A τῶ μακαρίω κυρίλλω ἐπισκόπω R ἐμίσησ VDA 13/14 τοῦ — Ἀντιοχείας om. A 13 τοῦ om. SDW 13/14 ἀποσταλέντεσ SD 14 ἰωάννου ἀντιοχείασ SDWR *Iohanne Antiocheno* Λ Ἰωάννου Σ ἰῶ ἀντιοχείασ [τοῦ ἀντιοχείασ P^{1}] ἐπισκόπου VP 15 τῶι^{2}] τῶ πανεντίμω καὶ P 16 παῦλοσ VPRAΛΣ παῦλοσ ἐπίσκοποσ SDW 17 τάσ] τῆσ R cf. Λ 18 περὶ τὴν R 19 γράμματα AΣ 20/21 τὴν σὴν — πρός τε om. A 20 πρὸς^{2} om. P 21 πρός τε] καὶ πρὸσ VP ἁγιώτατον καὶ ὁσιώτατον AΛ ὁσιώτατον Ικ βερροιαίων VPD βερροιαίων πρόσ τε τὴν σὴν ὁσιότητα A 22 τὰ κελεύοντα AΣ ὥστε om P γνώμη P^{1}W κατὰ γνώμην V γοῦν om. V λυσιτελῆ R 22/23 ἀνακύψασι R 24 ὑμῶν P^{1}Λ^{1} αὐτῶν om A ut uidetur 25 ἐμπρυτανεῦσαι S ἐγγινομένασ ταῖσ — ἐκκλησίαισ ταραχὰσ R ταραχὰσ ἐγγινομένασ A ἁγίαις om. A 26 συντεθεῖσθαί SDWΛ^{c} τε] δὲ καὶ AΣ 27 τοῦτο τὸ εὐσεβέσ SDW ἁγιώτατος] ἅγιοσ V 28 ἐπίσκοπος^{1}] ἀρχιεπίσκοποσ A om. VP ἔτι πολλὰ εἰσι καιροῦ W 29 ὑμῶν συντυχίασ VA ἡμῶν συντυχίασ P συντυχίασ ὑμῶν DWR συντυχίασ ἡμῶν S μὴ μακρὸν] μικρὸν A χρόνον om. V συντριβῆναι P

ὑποθέσει, ἀπέστειλάν με πρὸς τὴν σὴν ὁσιότητα ὥστε συσκοπῆσαί σου τῇι ἁγιότητι τίνα δεῖ τρόπον τὰ τῆς εἰρήνης ἀσφαλῶς διατεθῆναι καὶ τῇι ἀρίστηι ταύτηι πράξει τέλος τὸ δέον καὶ λυσιτελὲς ἐπιθεῖναι. ἐλθὼν οὖν καὶ συντυχὼν καὶ διαλεχθεὶς εὗρον τὴν σὴν ὁσιότητα παρεσκευασμένην ἡμέρως καὶ εἰρηνικῶς καὶ ὡς ἀρχιερεῦσι πρέπει, διαθεῖναι τὰ ἐν χερσὶν καὶ δὴ γράμμα ἡμῖν ἐνεχείρισεν ἡ σὴ ἁγιότης κηρύττον ἣν ἐκ πατέρων διεδεξάμεθα ὀρθὴν καὶ ἀκηλίδωτον πίστιν, ὃ πρῶτον ἦν καὶ ἄξιον πόνου καὶ σπουδῆς. ἐπειδὴ δὲ ἔδει καὶ τὰ κατὰ Νεστόριον τύπον λαβεῖν τὸν ἄνωθεν ἡμῖν δόξαντα, πεποίημαι παρὼν πρὸς παροῦσάν σου τὴν ὁσιότητα τόδε τὸ γράμμα, δι' οὗ ὁμολογῶ καταδεδέχθαι ἡμᾶς τὴν κα- L III 1091
τάστασιν τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου ἐπισκόπου Μαξιμιανοῦ, ἔχειν δὲ Νεστόριον τὸν πρὸ τούτου γεγονότα τῆς μεγίστης Κωνσταντινουπόλεως καθηιρημένον. καὶ ἀναθεματίζομεν τὰ ἐν διδασκαλίας μέρει ἀσεβῶς αὐτῶι εἰρημένα καὶ ἀσπαζόμεθα τὴν καθαρὰν καὶ εἰλικρινῆ πρὸς ὑμᾶς κ ινωνίαν κατὰ τὴν ἐπιδοθεῖσαν τῇι σῇι θεοσεβείαι παρ' ἡμῶν διὰ βραχέων περὶ τῆς τοῦ θεοῦ λόγου ἐνανθρωπήσεως ἔκθεσιν, ἣν καὶ ἐπήινεσας καὶ ὡς ἰδίαν ἐδέξω πίστιν· ἧς καὶ τὸ ἴσον ἐντέτακται τῶιδε τῶι γράμματι. καὶ ταύτηι τῇι καθαρᾶι κοι- ep. 123. 127
νωνίαι λύσιν διδόαμεν ἅπασι τοῖς ἐν μέσωι παρ' ἑκατέρων τῶν μερῶν ὡς ἐν ταραχαῖς γεγενημένοις καὶ ἐπανερχόμεθα εἰς τὴν προτέραν τῶν ἐκκλησιῶν τῇι τοῦ θεοῦ χάριτι γαλήνην.

123 = S 88 A 110. Latina uersio extat in Collectione CT 71 et ex Collectione T desumpta atque correcta in Collectione Veronensi 28; Syriaca ex cod. Mus. Britann. 14557 edita habetur in libro laudato p. 565—568

Τῶι ἁγιωτάτωι καὶ θεοφιλεστάτωι ἐπισκόπωι Κυρίλλωι Ἰωάννης ἐν κυρίωι χαίρειν. 20 M V 289
Πρώιην ἐκ θεσπίσματος τῶν εὐσεβεστάτων ἡμῶν βασιλέων ἐκελεύσθη σύνοδος θεοφιλεστά- PG 77, 169
των ἐπισκόπων κατὰ τὴν Ἐφεσίων μητρόπολιν συναθροισθῆναι ἐκκλησιαστικῶν ἕνεκα πραγμάτων καὶ τῆς ὀρθῆς πίστεως. καταλαβόντων δὲ καὶ ἡμῶν τὴν μνημονευθεῖσαν

V, P [= hk], S, D [= mn], AWRΛ^{t}Λ^{c}Σ

1 ἀπέστειλάν VPAWΣ ἀπέστειλαν μὲν Λ ἀπεστείλαμεν SDR συνσκοπῆσαι D σκοπῆσαι S σου om. S τῆ ὁσιότητι D τὴν ἁγιότητα SAΛ 2 δεῖ PΣ δὴ VSDAR χρὴ W ἀσφαλῶσ τά τῆσ εἰρήνησ R εἰρήνησ ὀφείλει SDΛ^{c} πράξει om. R τὸ om. D 3 συντυχὼν διαλεχθεὶσ S εὗρον καὶ VP 4 παρασκευασμένην VR εἰλικρινῶσ W διατιθέναι W 5 καὶ δὴ καὶ A ἁγιότησ SDWRΣ ὁσιότης VPA κηρύττον ἣν VPARΛΣ περιέχον ἥντινα κηρυττομένην SDW 6 ἀμώμητον S εἰλικρινῆ καὶ ἀκηλίδωτον A ὃ — σπουδῆς om. W spat. rel. καὶ ἄξιον PSDRΛΣ ἄξιον VA τόνου R ἐπεὶ WR δὲ om. VS, corr. V 7 ἔδει καὶ τὰ κατὰ νεστόριον [τοῦ νεστορίου P] τύπον VPAR τὰ [om. SW] κατὰ νεστόριον [νεστορίου W] τύπον ἔδει SDW ὑμῖν V δοθέντα SDW 8 καὶ ὁμολογῶ R καταδέχεσθαι VPW 9 ὁσιωτάτου καὶ ἁγιωτάτου AΣ ἁγιωτάτου καὶ ὁσιωτάτου VPRΛ ἁγιωτάτου SDW ἀρχιεπισκόπου A om. V δὲ VSWR τὲ A δὲ καὶ P τὸν om. S πρὸσ S 10 μεγάλησ P κωνσταντινουπόλεωσ ἐπίσκοπον P 11 τὰ] εἴ τι αὐτῶ A ἐκ διδασκαλίασ μέρη P ἀσεβῶς om. W αὐτῶι εἰρημένα] εἴρηται A 12 δοθεῖσαν P ἐκδοθεῖσαν R παρ' ἡμῶν om. SDW διὰ βραχέων om. Σ 13 τῆς om. P 15 διδόμεν R πᾶσι VPR ἀμφοτέρων VP ταραχῆ SD 16 γενομένοισ SD τῶν — χάριτι] τοῦ θῦ ἐκκλησιῶν χάριτι R τῇι om. A

V, P [= hk], S, D [= mn], AJWRH, X [usque ad p. 8, 3 μάλιστα], X$_1$ [inde a φροντίσαι], ΕΛ^{t}Λ^{c}Λ^{u}Σ

ῥκϛ̄ V ῥιδ P πε' D inscr. om. SDWEΛ^{tc}; ἐπιστολὴ ἰωάννου ἐπισκόπου [ἀρχιεπισκόπου HX om. Σ] ἀντιοχείασ πρὸσ κύριλλον [κύριλλον ἀλεξανδρείασ Σ κύριλλον ἀρχιεπίσκοπον ἀλεξανδρείασ περὶ ἑνώσεωσ H κύριλλον ἐπίσκοπον ἀλεξανδρείασ PX, in fine add. περὶ πίστεωσ X] VPHXΛ^{u}Σ ἐπιστολὴ [om. J] τοῦ μακαρίου ἰωάννου ἐπισκόπου ἀντιοχείασ [τοῦ αὐτοῦ J] πρὸσ [πρὸσ τὸν αὐτὸν J] κύριλλον τὸν ἁγιώτατον AJ ἰωάννου ἐπισκοπου ἀντιοχειασ ἐπιστολὴ πρὸσ τὸν μακάριον κύριλλον R 20 τῶ ἁγιωτάτω [ὁσιωτάτωι Σ ἀγαπητῶ R] καὶ θεοφιλεστάτω ἐπισκόπω [WRΛ^{cu}Σ ἀρχιεπισκόπω SD om. Λ^{t}] SDWRΛ^{tcu}Σ τῶ δεσπότη μου τῶ [τῶ om. HX] θεοφιλεστάτω καὶ ἁγιωτάτω συλλειτουργῶ [pro συλλ. habent εὐλαβεστάτω HX] VPAJHXE cf. notam ad Λ^{tc} 21/22 τῶν θεοφιλεστάτων P θεοφιλῶν HX 23 καὶ ἡμῶν VPAWRHEΛ^{tc}Σ ἡμῶν SDXJΛ^{u}

πόλιν καὶ ὑποστρεψάντων ἐκτὸς τῆς πρὸς ἀλλήλους συντυχίας (περιττὸν δὲ τὰς αἰτίας τῆς διχονοίας ἐν καιρῷι εἰρήνης νῦν εἰπεῖν), διηιρημένων δὲ πρὸς διχόνοιαν τῶν ἐκκλησιῶν
PG 172 τούτωι τῶι τρόπωι, ἐπειδὴ τούτου μάλιστα φροντίσαι πάντας ἐχρῆν ὅπως συναφθεῖεν ἐκ μέσου γενομένης διχονοίας ἁπάσης, καὶ τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων βασιλέων αὐτὸ δὴ τοῦτο γενέσθαι θεσπισάντων τὸ ἑνῶσαι τὰς τοῦ Χριστοῦ ἐκκλησίας καὶ εἰς αὐτὸ δὴ τοῦτο ἀποστειλάντων τὸν κύριόν μου τὸν θαυμασιώτατον καὶ περίβλεπτον τριβοῦνον καὶ
ep. 120 νοτάριον Ἀριστόλαον ἐπιφερόμενον τὸ εὐσεβὲς αὐτῶν γράμμα τὸ παρακελευόμενον ἐντεῦθεν ἤδη συμβῆναι ἡμᾶς καὶ περιελεῖν τὰ σκάνδαλα ἐκ τοῦ μέσου καὶ κατευνάσαι πᾶσαν ταραχὴν καὶ πᾶσαν λύπην· ὧι εἴκοντες εὐσεβεῖ γράμματι εὐθὺς καὶ παραχρῆμα ἀπεστείλαμεν τὸν
L III 1094 κύριόν μου καὶ κατὰ πάντα θεοφιλέστατον καὶ ἁγιώτατον ἐπίσκοπον Παῦλον, τοῦτο συναρέσαν καὶ τῶι ἁγιωτάτωι καὶ ὁσιωτάτωι πατρὶ ἡμῶν Ἀκακίωι καὶ τοῖς παρ' ἡμῖν θεοφιλεστάτοις ἐπισκόποις (ὑπὲρ δὲ πλείονος συντομίας τοῦτο πεποιήκαμεν διὰ τὸ μὴ δύνασθαι ἡμᾶς συνελθόντας τὰ θεσπισθέντα ὑπὸ τῶν εὐσεβεστάτων ἡμῶν βασιλέων κατὰ πρόσωπον εἰς πέρας ἀγαγεῖν), ἐντειλάμενοι αὐτῶι ὥστε καὶ ἀνθ' ἡμῶν καὶ ὑπὲρ ἡμῶν καὶ εἰς πρόσωπον ἡμέτερον τυπῶσαι μὲν τὰ περὶ τῆς εἰρήνης, ὅπερ ἐστὶ προηγούμενον, ἐγχειρίσαι δὲ τῆι σῆι θεοσεβείαι τὴν ἔκθεσιν τὴν παρ' ἡμῶν συμφώνως γενομένην περὶ τῆς ἐνανθρωπήσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἣν ἀπεστείλαμεν τῆι σῆι θεοσεβείαι διὰ τοῦ προλεχθέντος θεοφιλεστάτου ἀνδρός· ἥτις ἐστὶν αὕτη

M V 292 2 ep. 127. 3. 4 Περὶ δὲ τῆς θεοτόκου παρθένου ὅπως καὶ φρονοῦμεν καὶ λέγομεν, τοῦ τε τρόπου τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ ἀναγκαίως, οὐκ ἐν προσθήκης μέρει, ἀλλ' ἐν πληροφορίας εἴδει, ὡς ἄνωθεν ἔκ τε τῶν θείων γραφῶν ἔκ τε τῆς παραδόσεως τῶν ἁγίων πατέρων παρειληφότες ἐσχήκαμεν, διὰ βραχέων ἐροῦμεν, οὐδὲν τὸ σύνολον προστιθέντες
ep. 96 τῆι τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι ἐκτεθείσηι πίστει. ὡς γὰρ ἔφθημεν εἰρηκότες, πρὸς πᾶσαν ἐξαρκεῖ καὶ εὐσεβείας γνῶσιν καὶ πάσης αἱρετικῆς κακοδοξίας ἀποκήρυξιν. ἐροῦμεν δὲ οὐ κατατολμῶντες τῶν ἀνεφίκτων, ἀλλὰ τῆι ὁμολογίαι τῆς οἰκείας ἀσθενείας ἀποκλείοντες τοῖς ἐπιφύεσθαι βουλομένοις ἐν οἷς τὰ ὑπὲρ ἄνθρωπον διασκεπτόμεθα.

3 Ὁμολογοῦμεν τοιγαροῦν τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ τὸν μονογενῆ, θεὸν τέλειον καὶ ἄνθρωπον τέλειον ἐκ ψυχῆς λογικῆς καὶ σώματος, πρὸ αἰώνων μὲν ἐκ τοῦ πατρὸς γεννηθέντα κατὰ τὴν θεότητα, ἐπ' ἐσχάτου δὲ τῶν ἡμερῶν τὸν αὐτὸν δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Μαρίας τῆς παρθένου κατὰ τὴν ἀνθρωπότητα,

---

V, P [= hk], S, D [= mn], AJWRH, X_1 [usque ad 12 θεοφιλεστάτοις], X [inde a 12 ἐπισκόποις], ΕΛ^{tc}Λ^{cu}Σ

1 πρὸς ἀλλήλους] ἀλλήλων P περιττὸν] θᾶττον X δὲ om. HX 1/2 αἰτίας τῆς om. R 2 διανοίας X συντυχίας SDW νῦν εἰπεῖν VAJREΛ^{tcu} εἰπεῖν PHXΣ προσειπεῖν W συνιδεῖν SD ἐκκλησιῶν] ἐκκλινόντων HX · 3 ἐπειδὴ δὲ P τούτωι X μάλιστα τούτου W 3—12 φροντίσαι — θεοφιλεστάτοισ spatio uacuo inserit X_1 4 γινομένησ R 5 τὸ VSDWΛ^{tc}Σ καὶ PAJR HX$_1$EΛ^{u} Χριστοῦ] θῦ RΛ^{tcu} 6 ἀπέστειλαν H τὸν^2] καὶ H 6/7 τριβοῦνον νοτάριον VP *tribunum notariorum* Λ^{u} τριβοῦνον Σ 7 τὸ^2 om. SW παρακελεῦον SDW 8 τοῦ om. PW καταπαῦσαι AJX$_1$E 9 ὧι] ὡσ WR τοῦτο H τῶ εὐσεβεῖ H εὐθὺ SD 10 καὶ om. AJX$_1$EΛ^{u}Σ κατὰ πάντα VmAJRHX$_1$E τὰ πάντα PSn σύμπαντα W θεοφιλεῖ H 11 ὁσιωτάτω SDAJWRH X$_1$Λ^{tc}Σ θεοσεβεστάτω E θεοφιλεστάτω P θεοφιλεστάτῳ ἐπισκόπω V ὑμῖν H 12 συντομίασ VPAJHXE ἀσφαλείασ SDWRΛ^{tcu}Σ πεπράχαμεν W 13 θεσπίσματα τῶν P εὐλαβεστάτων W βασιλέων ἡμῶν P 15 τὰ om. VPAJHXE ἐγχειρῆσαι WR 16 καὶ τὴν ἔκθεσιν W 17/18 λεχθέντοσ HX 18 θεοσεβεστάτου SWRHXΛ^{u} ἐστὶν om. HX, corr. H 19 φρονῶμεν καὶ λέγωμεν X 20 οὐκ ἀναγκαίωσ οὐκ P προσθίω S 21 εἴδει ὡς] ἰδίωσ HXΛ^{u} τε^1 om. SWHX, corr. H 22 παρειληφότες ἐσχήκαμεν] παρειλήφαμεν H παρειλήφατε X οὐδὲ X 23 τῶν^2] τῆ RHXEΛ^{u} 24 ἀρκεῖ SDW καὶ^1 om. AJ κακίασ R 25 ἐφικτῶν ἀνεφίκτων W 26 ἀποκλίνοντεσ E τοὺσ — βουλομένουσ P ἀνθρώπουσ H, γρ ἔνθα τὰ ὑπὲρ ἄνθρωπον H in mg. διεσκεπτόμεθα R 27 ἰν̄ χ̄ν̄ PWHXJ 28 τέλειον θῦ P 29 τοῦ om. PS ἐσχάτου PRHXEΛ^{tc}Σ ἐσχάτων VSDJWH^{com}Λ^{cu} abbreuiatum A

ὁμοούσιον τῶι πατρὶ τὸν αὐτὸν κατὰ τὴν θεότητα καὶ ὁμοούσιον ἡμῖν κατὰ τὴν ἀνθρωπότητα. δύο γὰρ φύσεων ἕνωσις γέγονεν· διὸ ἕνα Χριστόν, ἕνα υἱόν, ἕνα κύριον ὁμολογοῦμεν. κατὰ ταύτην τὴν τῆς ἀσυγχύτου ἑνώσεως ἔννοιαν ὁμολογοῦμεν τὴν ἁγίαν παρθένον θεοτόκον διὰ τὸ τὸν θεὸν λόγον σαρκωθῆναι καὶ ἐνανθρωπῆσαι καὶ ἐξ αὐτῆς τῆς συλλήψεως ἑνῶσαι ἑαυτῶι τὸν ἐξ αὐτῆς ληφθέντα ναόν. τὰς δὲ εὐαγγελικὰς καὶ ἀποστολικὰς περὶ τοῦ κυρίου φωνὰς ἴσμεν τοὺς θεολόγους ἄνδρας τὰς μὲν κοινοποιοῦντας ὡς ἐφ' ἑνὸς προσώπου, τὰς δὲ διαιροῦντας ὡς ἐπὶ δύο φύσεων καὶ τὰς μὲν θεοπρεπεῖς κατὰ τὴν θεότητα τοῦ Χριστοῦ, τὰς δὲ ταπεινὰς κατὰ τὴν ἀνθρωπότητα αὐτοῦ παραδιδόντας.

4 Ἧς δεχθείσης, συνήρεσεν εἰς ἀναίρεσιν ἁπάσης φιλονεικίας καὶ ὑπὲρ τοῦ τὴν οἰκουμενικὴν εἰρήνην βραβευθῆναι ταῖς τοῦ θεοῦ ἁγίαις ἐκκλησίαις καὶ ἐκποδὼν τὰ ἀναφυέντα γενέσθαι σκάνδαλα ἔχειν ἡμᾶς Νεστόριον καθηιρημένον τὸν πάλαι γενόμενον ἐπίσκοπον τῆς Κωνσταντινουπόλεως, καὶ ἀναθεματίζομεν τὰς φαύλας αὐτοῦ καὶ βεβήλους κενοφωνίας διὰ τὸ τὰς παρ' ἡμῖν ἁγίας τοῦ θεοῦ ἐκκλησίας τὴν ὀρθὴν καὶ ὑγιῆ ἐσχηκέναι πίστιν καὶ ταύτην L III 1095
φυλάττειν καὶ παραδιδόναι τοῖς λαοῖς, καθὰ καὶ ἡ ὑμετέρα ὁσιότης. συναινοῦμεν δὲ καὶ τῆι χειροτονίαι τοῦ ὁσιωτάτου καὶ θεοσεβεστάτου ἐπισκόπου Μαξιμιανοῦ τῆς Κωνσταντινουπόλεως ἁγίας τοῦ θεοῦ ἐκκλησίας καὶ κοινωνικοὶ πᾶσιν ἐσμὲν τοῖς κατὰ πᾶσαν τὴν οἰκουμένην θεοσεβεστάτοις ἐπισκόποις ὅσοι τὴν ὀρθὴν καὶ ἀμώμητον ἔχουσί τε καὶ τηροῦσι πίστιν.

Ἐρρωμένος ὑπερευχόμενος ἡμῶν διατελοίης, δέσποτα θεοφιλέστατε καὶ ὁσιώτατε καὶ πάντων ἐμοὶ γνησιώτατε ἀδελφέ.

124 = S 123 A III

Ὁμιλία Παύλου ἐπισκόπου Ἐμέσης λεχθεῖσα Χοιὰκ κθ̄ ἐν τῆι μεγάληι ἐκκλησίαι Ἀλεξανδρείας, καθημένου τοῦ μακαρίου Κυρίλλου, εἰς τὴν γέννην τοῦ Χριστοῦ καὶ ὅτι θεοτόκος ἡ ἁγία παρθένος Μαρία καὶ ὅτι οὐ δύο υἱοὺς λέγομεν, ἀλλ' ἕνα υἱὸν κύριον τὸν Χριστόν, καὶ εἰς τὸν ἀρχιεπίσκοπον ἐγκώμια M V 293 d. 25 m. Dec. 432

1 Εὔκαιρον σήμερον τὴν ὑμετέραν παρακαλέσαι εὐλάβειαν ἱερόν τινα χορὸν ἅμα ἡμῖν συστήσασθαι καὶ μετὰ τῶν ἁγίων ἀγγέλων ἀναβοῆσαι δόξα ἐν ὑψίστοις θεῶι καὶ Lc. 2, 14

---

21 aliam ante hanc homiliam habet Collectio HX

V, P [= hk], S, D [= mn], AJWRHXEΛtΛcΛuΣ

1 ὁμοούσιον τῶι — ἀνθρωπότητα om. SmWRΛtΣ τὸν αὐτὸν κατὰ² H in mg. 2 διὸ καὶ SDW 3 δὴ τὴν P om. VX 5 ἑαυτὸν X συλληφθέντα P ναόν. τὰς] ἄγοντας X καὶ περὶ S παρὰ J καὶ ἀποστολικὰς om. R 6 ἑσμὲν X θεηγόρους SDW τὰς μὲν κοινοποιοῦντας om. S τὰς] τοὺς J 8 ἐνανθρωπότητα S αὐτοῦ VPAJHXEΛcΣ om. SDWRΛtu παραδιδόντες R 9 τῆς τοιαύτης δὲ ὁμολογίας δειχθείσης E ἧς om. H πάσης SDWX εἰς ἁπάσης E καὶ om. AJE 9/10 τῆ οἰκουμένη S 10 ἁγίαις τοῦ θῦ S τοῦ θῦ AJR 11 ἔχειν δὲ P 11/12 τῆ κωνσταντινουπόλει HX 11 τῆς om. SW 12 φαύλους HXE καὶ βεβήλους αὐτοῦ HX κενοφωνίας DWR καινοφωνίας SΛtcu διδασκαλίας VPAJHXE 13 τὸ] τε P ἡμῶν PHX, corr. k ὀρθὴ καὶ ὑγιεῖ H ὑγιᾶ SDE 13/14 ταύτην φυλάττειν] ταύττειν V 15 ἁγιωτάτου AJHX καὶ θεοφιλεστάτου VP om. E μαξίμου HX 15/16 κωνσταντινουπολιτῶν HX 16 ἐκκλησίας τοῦ θῦ S καὶ om. P κοινωνοὶ SDJ 17 θεοσεβέσιν HX τε καὶ SDW 17/18 τηροῦσι] κηρύττουσιν V 19/20 om. HX 19 ἐρρωμένος καὶ R ἐρρῶσθαι S θεοφιλέστατε om. P ἁγιώτατε AJ 20 ἐμοὶ om. ΕΛtcu

V, P [= hk], S, D [= mn], AWRHXE

ρκδ V ρῑε P ριϛ' D 22 Ὁμιλία — λεχθεῖσα] τοῦ αὐτοῦ ὁμιλία δευτέρα HX ἐμίσης VSAR ἐμεσῶν E χοιὰκ [χοιὰθ SD] κθ̄ SDWRE χοιὰκ εἰκοστῆ ἑνάτη P ἀχιακ κε HX κθ̄ χοιὰκ V om. A 22/23 Ἀλεξανδρείας — Κυρίλλου om. HXE μακαρίου] ἁγιωτάτου ἐπισκόπου A 23 γέννησιν VA τοῦ κῦ καὶ σρσ̄ ῑῦ χῦ V 24 κύριον] ῑν AHXE τὸν om. HX 24/25 καὶ — ἐγκώμια om V 25 ἀρχιεπίσκοπον κύριλλον A ἀρχιεπίσκοπον [ἐπίσκοπον HX] ἀλεξανδρείας HXE ἐγκώμια SRHXE ἐγκώμιον PDAW 26 οὐ καιρὸς in εὔκαιρος corr. S καὶ ἱερόν HX ὑμῖν RHX om. E 27 ἁγίων om. W

ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. σήμερον γὰρ ἡμῖν παιδίον ἐγεννήθη ἐφ' ὧι πᾶσα ἡ ὁρωμένη καὶ ἀόρατος κτίσις βεβαίας τὰς ἐλπίδας τῆς σωτηρίας κέκτηται· σήμερον ἡ ὑπερφυὴς λύεται λοχεία καὶ τῆς ἀπειρογάμου παρθένου λύονται αἱ ὠδῖνες. ὦ τοῦ θαύματος· τίκτει ἡ παρθένος καὶ μένει παρθένος· γίνεται μήτηρ καὶ οὐ πάντα τὰ μητρὸς ἀκριβῶς ὑπομένει. ἔτικτεν μὲν γάρ, ὡς νόμος γυναιξίν, ἡ παρθένος, ἔμεινεν δὲ παρθένος, ὡς οὐ νόμος ταῖς τικτούσαις γυναιξίν. ἄνωθεν προορώμενος ὁ προφήτης
Ies. 7, 14 Ἡσαίας τὸ θαῦμα ἀνεβόα· ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱὸν καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. τοῦτο διασαφῶν ὁ εὐαγγελιστὴς
Mt. 1, 23 εἶπεν ἑρμηνευόμενον μεθ' ἡμῶν ὁ θεός. τίκτει οὖν ἡ θεοτόκος Μαρία τὸν Ἐμμανουήλ.

2 Ἐβόησεν ὁ λαός· ἰδοὺ ἡ πίστις αὕτη ἐστίν, θεοῦ δῶρον Κύριλλε ὀρθόδοξε· τοῦτο ἀκοῦσαι ἐζητοῦμεν. ὁ μὴ οὕτω λέγων ἀνάθεμα ἔστω.

3 Λοιπὸν εἶπεν ὁ ἐπίσκοπος Παῦλος· ὁ τοῦτο μὴ λέγων καὶ νοῶν καὶ φρονῶν ἀνάθεμα ἔστω ἀπὸ τῆς ἐκκλησίας.

Ἔτεκεν οὖν ἡμῖν ἡ θεοτόκος Μαρία τὸν Ἐμμανουήλ, Ἐμμανουὴλ δὲ θεὸν ἐνανθρωπήσαντα. ὁ γὰρ πρὸ τῶν αἰώνων ἐκ πατρὸς ἀρρήτως καὶ ἀνεκφράστως γεννηθεὶς θεὸς λόγος ἐπ' ἐσχάτου τῶν ἡμερῶν τίκτεται καὶ ἐκ γυναικός. τὴν γὰρ ἡμετέραν τελείως ἀνειληφὼς φύσιν καὶ τὸ ἀνθρώπινον ἐκ πρώτης συλλήψεως οἰκειώσας ἑαυτῶι καὶ τὸ ἡμέτερον σῶμα ναὸν ἑαυτῶι κατασκευασάμενος, προῆλθεν ἐκ τῆς θεοτόκου θεὸς τέλειος καὶ ἄνθρωπος τέλειος ὁ αὐτός. δύο γὰρ φύσεων τελείων συνδρομή, θεότητος φημὶ καὶ ἀνθρωπότητος, τὸν ἕνα ἡμῖν ἀπετέλεσεν υἱόν, τὸν ἕνα Χριστόν, τὸν ἕνα κύριον.

4 Ὁ λαὸς ἐβόησεν· καλῶς ἦλθες, ὀρθόδοξε ἐπίσκοπε. ὁ ἄξιος τῶι ἀξίωι. Χριστιανοὶ λέγουσιν, θεοῦ δῶρον Κύριλλε ὀρδόδοξε.

L III 1098 5 M V 296 Ὁ ἐπίσκοπος Παῦλος εἶπεν· ἤιδειν κἀγώ, ἀγαπητοί, ὡς πρὸς ὀρθόδοξον ἀφικόμην πατέρα.

Διὰ τοῦτο τριάδα, οὐ τετράδα προσκυνοῦμεν, πατέρα καὶ ἕνα υἱὸν καὶ πνεῦμα ἅγιον, ἀναθεματίζομεν δὲ τοὺς λέγοντας δύο υἱοὺς καὶ τῶν ἱερῶν τῆς ἐκκλησίας ἐκβάλλομεν περιβόλων. οὔτε οὖν δύο υἱοὺς λέγομεν οὔτε ψιλὸν ἄνθρωπον τὸν Ἐμμανουὴλ τὸν ἐκ τῆς θεοτόκου γεννηθέντα οὔτε χάριτος ἠξιωμένον ὡς προφήτην ἢ ὡς δίκαιον πλέον τῶν ἄλλων.
Col. 1, 19. 2, 9 ἐν αὐτῶι γὰρ ηὐδόκησεν κατοικῆσαι πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς, τουτέστιν ὡς ἐν ἰδίωι σώματι· τὸ γὰρ ἡμέτερον ἴδιον ἐποιήσατο σῶμα. ἐπὶ ταύτηι τῆι πίστει τεθεμελίωται ἡ ἐκκλησία τοῦ θεοῦ· ἐπὶ ταύτηι τῆι προσδοκίαι ἐπὶ τῆς

V, P [= hk], S, D [= mn], AWRHXE

1 γὰρ om. HX παιδίον ἡμῖν W 3 ἡ om. RE 4 καὶ μένει παρθένος om. HX 4/5 ἀκριβῶσ τὰ μητρὸσ P 4 τὰ om. V 5 ἔτεκε VA μὲν om. HX 5/6 ἡ παρθένος — γυναιξίν om. SDW 5 ἔμενεν RE μεμένηκε HX 6 προορῶν A προορώμενοσ δ' W 7 ἀνεβόα ARHXE ἐβόα VPSDW 9 μεθερμηνευόμενον HXE 11 ἡ πίστισ ἰδοὺ V 12 ἔστω ἀνάθεμα A ἀνάθεμα RHXE 13 εἶπε λοιπὸν HXE Παῦλος] παῦλοσ φησὶν SDR ὁ om. H φρονῶν καὶ νοῶν P φρονῶν E 14 ἔστω om. RHXE ἀπὸ τῆς ἐκκλησίας] τῆ ἐκκλησία HXE πάλιν εἶπεν ὁ ἐπίσκοποσ παῦλοσ A 15 δὲ λέγομεν W 16 τῶν om. SDA 16/17 ἐκ πρσ̄ — γεννηθεὶσ θσ̄ [θσ̄ om. HX] λόγοσ VPWRHXE ἐκ πρσ̄ γεννηθεὶσ θσ̄ λόγοσ ἀρρήτωσ καὶ ἀνεκφράστωσ SD ἀρρήτωσ καὶ ἀνεκφράστωσ ἐκ πρσ̄ γεννηθεὶσ θσ̄ λόγοσ A 17 ἐσχάτων VD καὶ om. SD 18 ἀνθρώπειον SDW 20 τελείων om. D 21 τέ φημι W τὸν ἕνα Χριστόν om. HXE 23 ἐβόησεν ὁ λαόσ A λαὸσ ἐβόησε X ἦλθασ R ἐπίσκοπε ὀρθόδοξε AHXE 23/24 ὁ ἄξιοσ — ὀρθόδοξε om. W 25 πάλιν λέγει ὁ ἐπίσκοποσ παῦλοσ A ὁ [om. X] ἐπίσκοποσ εἶπεν HXE 26 πρᾱ πάλιν λέγει A 27 ἕνα PWRHXE om. VSDA ἅγιον πνᾱ SD 28 δὲ om. P 28/29 περιβόλων ἐκβάλλομεν SD 28 ἐβάλλομεν A 30 ἢ ὡσ HXE ἢ καὶ ὡσ D πλέον om. HXE 31 γὰρ καὶ S om. A εὐδόκησε PDX 33 ἡ τοῦ θῦ ἐκκλησία P 33/p. 11, 1 ἐπὶ τῆσ πέτρασ PSDWRHE ἐπὶ τῆ πέτρα X ἐπὶ ταύτησ τῆσ πέτρασ VA, deleuerim

πέτρας ἔθετο τὰ θεμέλια ὁ δεσπότης θεός. ὅτε ἀνήιει ὁ δεσπότης, περὶ τὰ Ἱεροσόλυμα ἠρώτα τοὺς μαθητὰς λέγων· τίνα με λέγουσιν οἱ υἱοὶ τῶν ἀνθρώπων τὸν υἱὸν τοῦ ἀνθρώ- Mt. 16, 13-16
που; λέγουσιν οἱ ἀπόστολοι· οἳ μὲν Ἠλίαν, ἕτεροι δὲ Ἱερεμίαν ἢ ἕνα τῶν προφητῶν. λέγει· ὑμεῖς δέ, τουτέστιν ἡ ἐμὴ ἐκλογή, τὰς διεψευσμένας λέγετε δόξας ὅτι οἱ μὲν Ἠλίαν, ἕτεροι δὲ Ἱερεμίαν ἢ ἕνα τῶν προφητῶν· ὑμεῖς δὲ οἱ παρακολουθήσαντές μοι τρία ἔτη καὶ ἰδόντες μου τὴν δύναμιν καὶ τὰ τεράστια καὶ θεασάμενοί με ἐπὶ θαλάσσης περιπατοῦντα, οἱ τραπεζῶν μοι κοινωνήσαντες, τίνα με λέγετε; εὐθέως ὁ κορυφαῖος, τὸ στόμα τῶν ἀποστόλων, Πέτρος· σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος· σὺ εἶ ὁ Χριστός, ἡ διττὴ φύσις, ὁ ἐνανθρωπήσας· σὺ εἶ ὁ Χριστός, καὶ οὐκ εἶπεν υἱοί, ἀλλ' ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος· ἐπέγνω καὶ τὸ μοναδικὸν πρόσωπον.

Παρακαλέσωμεν τὸν πατέρα τὴν συνήθη παραθεῖναι ἡμῖν τράπεζαν καὶ τὰ πολυτελῆ καὶ ποικίλα τοῦ πνεύματος ὄψα, στεφανῶσαι τὸν κρατῆρα τῆς διδασκαλίας καὶ μεθύσαι ἡμᾶς μέθην σωφροσύνης μητέρα. εἴπωμεν ἐξεγέρθητι, ὦ πάτερ, ἐξεγέρθητι, ἡ δόξα μου· ἐξεγέρθητι, ψαλτήριον καὶ κιθάρα τοῦ ἁγίου πνεύματος· ὦι ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

125 = S 124 A 112. Latina uersio extat in Collectione Sichardiana 11

Τοῦ αὐτοῦ ὁμιλία λεχθεῖσα ἐν τῆι μεγάληι ἐκκλησίαι Ἀλεξανδρείας Τυβὶ ϛ εἰς τὴν ἐνανθρώ- d. m. 1 Ian
πησιν τοῦ σωτῆρος ἡμῶν Χριστοῦ καὶ εἰς τὸν ἀρχιεπίσκοπον Κύριλλον ἐγκώμια 433

1 Πρώιην πρὸς τὴν ὑμετέραν ἀγωνιστικώτερον διαλεγόμενοι ἀγάπην, πέρας ἐπιθεῖναι τῶι λόγωι οὐκ ἰσχύσαμεν, στενοχωρία δὲ τῶν ἡμετέρων ἀδελφῶν ἐξῶσεν ἡμᾶς τῶν σκαμμάτων. φέρε οὖν αὖθις ἀποδυσάμενοι τῶν αὐτῶν ἁψώμεθα παλαισμάτων, ὁ δὲ γενναῖος οὗτος πατὴρ καὶ παιδοτρίβης ὅπερ τότε ἐποίει, καὶ αὖθις ποιείτω· κρινέτω τὰ παλαίσματα. καὶ γὰρ τότε γεγανυμένωι τῶι προσώπωι καὶ φαιδρῶι τῶι μειδιάματι ἐδείκνυ χαίρων τοῖς ἀγῶσι τοῦ παιδὸς καὶ θαλλοῦ δίκην τὴν δεξιὰν ἡμῖν ἐπισείων δῆλος ἦν ἡμῖν τιθέμενος καὶ ἐπιθυμῶν τὸν παῖδα ἀναρρηθῆναι καὶ στεφανίτην καὶ νικητὴν ἀποδειχθῆναι.

V, P [= hk], S, D [= mn], AWRHXE

1 θεμέλια τῆσ ἐκκλησίασ V θεός] χσ AW ὅτε ἀνήει ARHX ὅτε ἀνείη E ὅταν ἥει SDW ἕωσ ἂν εἴη P ὅτε οὖν ἦλθεν V δεσπότησ χσ VA 2 οἱ υἱοὶ — τὸν VARHXE οἱ υἱοὶ — εἶναι τὸν SD εἶναι οἱ ἄνοι τὸν P οἱ ἄνοι εἶναι τὸν W 4/5 λέγει — προφητῶν om. PW 4 λέγει R καὶ λέγει V λέγει αὐτοῖσ SDA om. HXE δέ om. V λέγεται RHX, corr. RH ἔλεγον SD 5 ἕτεροι] οἱ SD ἔτη τρία W 7/8 τό — ἀποστόλων SDWRHXE τῶν ἀποστόλων τό τοῦ χυ στόμα P τῶν ἀποστόλων τὸ στόμα τῶν μαθητῶν VA 8 ὁ πέτροσ HXE πέτροσ φησὶν W εἶπε P θυ ζῶντοσ S 9 οἱ υἱοὶ VAE υἱόσ SD 10 ἐπέγνωκε καὶ E ἐπέγνω γάρ W ἐπέγνωκα P 11 παρακαλέσωμεν οὖν SDW τὸν om. HX, corr. X ἡμῖν παραθεῖναι A παραθῆναι υμιν E καὶ om. HXE 13 ἡμᾶς om. P ὑμᾶσ HE ὦ — ἐξεγέρθητι² om. VP ὦ om. HX 14 δόξα καὶ τὸ κράτοσ SD δόξα — κράτοσ καὶ ἡ προσκύνησισ νῦν καὶ ἀεὶ καὶ H 14/15 εἰς — ἀμήν om. W τῶν αἰώνων om. SDE 15 ἀμήν om. S

V, P [= hk], S, D [= mn], AWRHXEΛ

ρκε V ριζ P ριζ' D 17 τοῦ αὐτοῦ εὐλαβεστάτου ἐπισκόπου παύλου A τοῦ εὐλαβεστάτου ἐπισκόπου παύλου ἐμεσῶν E ὁμιλία γ̄ HX τῆ αὐτῆ A Ἀλεξανδρείας om. AHXE τυβὶ ϛ RE τυβὶ καὶ HX spat. καὶ S τιβὶ ϛ καὶ V τυβὶ W om PAΛ 18 τοῦ] τοῦ κυ καὶ V σωτῆρος ἡμῶν om. HXE ἡμῶν Χριστοῦ om. A ιυ χυ PW ἐγκώμια PSRHXE ἐγκώμιον VDW om. Λ 19 διαλεγόμενος S 20 ἡμᾶς om. V 21 ἀπωσάμενοι SD ἀναπαυσάμενοι P ἁψόιεθα P 22 οὗτοσ RX οὗτοσ ex οὗτοσ εἰ corr. H πατὴρ VPAWRHX ἀνὴρ SD καὶ — ποιείτω om. E δειξάτω HX 23 γεγαννυμένω PDARXE γεγαννωμένω VS γεγανωμένω W ἐδείκνυ PSWRXEΛ ἐδείκνυτο VDA χαίρειν W χρῶν HX 24 ἀγαπῶσι R τοὺσ παῖδασ HX τῶν παίδων E τὴν δεξιὰν δίκην SD ἐπισείω A δῆλος ἦν] δήλωσιν HX 25 στεφανίτην] κηρυχθῆναι στεφανίτην A ἀναδειχθῆναι VPAHX

M V 297 2 Ὁ λαὸς ἐβόησεν· θεοῦ δῶρον Κύριλλε, ὅλους ἐποίησας ὡς ἑαυτόν. ὁ ἄξιος τῶι
L III 1099 ἀξίωι. ὁ λαός σου εἴρηκεν. τῶν ἐπισκόπων τὸν πατέρα, κύριε, σῶσον. καλῶς
ἦλθες, ἐπίσκοπε ὀρθόδοξε, τῆς οἰκουμένης παιδευτά. ὁ πιστεύων οὕτω φιλεῖται. μεγά-
λου διδασκάλου μέγας ἐπαινέτης.

3 Ὁ ἐπίσκοπος Παῦλος εἶπεν· Ἐπανέλθωμεν οὖν ἐπὶ τὴν θεοτόκον Μαρίαν καὶ τὸν ἐξ
αὐτῆς τεχθέντα Ἐμμανουήλ, τὸν θεὸν τὸν ἐνανθρωπήσαντα. ἔτεκεν γὰρ ἡμῖν ἡ παρ-
θένος τὸν Ἐμμανουήλ, κατὰ μὲν τὴν θεότητα τῶι πατρὶ ὁμοούσιον, κατὰ δὲ τὴν ἀνθρω-
Ies. 11, 1 πότητα τὸν αὐτὸν ἡμῖν ὁμοούσιον. ἐπεὶ πῶς ἂν λεχθείη ῥάβδος ἐκ τῆς ῥίζης
Gal. 3, 16 Ἰεσσαί; πῶς δὲ σπέρματος Ἀβραάμ; πῶς δὲ υἱὸς Δαυίδ; πῶς δ' ἂν νοηθείη τὸ ἐξ αὐ-
Rom 9, 5 τῶν κατὰ σάρκα Χριστὸς ὁ ὢν ἐπὶ πάντων θεός; τὸ δὲ τοῦ θεσπεσίου Παύλου
Rom 1, 3 4 πῶς ἂν ἐκλάβωμεν περὶ τοῦ υἱοῦ αὐτοῦ τοῦ γενομένου ἐκ σπέρματος Δαυὶδ
κατὰ σάρκα, τοῦ ὁρισθέντος υἱοῦ θεοῦ ἐν δυνάμει κατὰ πνεῦμα ἁγιωσύνης
ἐξ ἀναστάσεως νεκρῶν, Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν; ἔτεκεν οὖν ἡ
Μαρία τὸν Ἐμμανουήλ, κατὰ μὲν τὴν θεότητα, καθὰ προειρήκαμεν, ὁμοούσιον τῶι πατρί,
κατὰ δὲ τὴν ἀνθρωπότητα ἡμῖν ὁμοούσιον, κατὰ τὴν θεότητα ἀπαθῆ, κατὰ τὴν ἀνθρωπό-
τητα παθητόν. εἰ γὰρ καὶ οἰκειοῦται τοῦ ἰδίου σώματος τὰ πάθη ὁ θεὸς λόγος καὶ εἰς
ἑαυτὸν ἀναφέρει, ἀλλά γε αὐτὸς μεμένηκεν ἐν τοῖς τῆς ἀπαθείας ὅροις, κἂν ἀκούσηις αὐ-
Ies 50, 6 τοῦ λέγοντος ἔδωκα τὸν νῶτόν μου εἰς μάστιγας, τας δὲ σιαγόνας μου εἰς
ῥαπίσματα, τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμά-
των, μηδὲν αὐτον πεπονθέναι εἰς τὴν ἰδίαν φύσιν ὑπολάβηις, οἰκειώσασθαι δὲ μᾶλλον τοῦ
4 ἰδίου σώματος τὰς μάστιγας· ὁ γὰρ θεὸς λόγος μεμένηκεν ἀπαθής. οἱ δὲ ἀντιταττόμενοι
ταῖς θείαις γραφαῖς καὶ ταῖς ὀρθαῖς δόξαις ἐροῦσιν ἡμῖν· εἰ ἀπαθὴς ὁ θεὸς λόγος καὶ
ἄτρεπτος καὶ ἀναλλοίωτος, πῶς ὁ λόγος σὰρξ ἐγένετο; ἄκουε, ἀγαπητέ· ὁ λόγος σὰρξ
ἐγένετο οὐ μεταπεπτωκὼς εἰς σάρκα· οὔτε γὰρ ὁ θεὸς λόγος μεταπέπτωκεν εἰς σάρκα
οὔτε ἡ ἀναληφθεῖσα σὰρξ ἐχώρησεν εἰς τὴν φύσιν τοῦ ἀνειληφότος. τί οὖν ἐστιν ὁ
Ioh 1, 14 λόγος σαρξ ἐγένετο; τουτέστιν σάρκα ἀνέλαβεν, καὶ σάρκα οὐ ψιλήν, ἀλλὰ τὴν μετὰ
ψυχῆς λογικῆς καὶ νοερᾶς, ὅπερ ἐστὶ τελεία ἡ ἡμετέρα φύσις. οὕτως ὁ λόγος σὰρξ
ἐγένετο. ἐβουλόμην δὲ ὑμᾶς καὶ τὴν διάνοιαν τοῦ μεγαλοφωνοτάτου Ἰωάννου γνῶναι,
Mc 3, 17 ἵνα εἰδῆτε τοῦ προειρημένου τὴν δύναμιν. ὁ θεολόγος Ἰωάννης ὁ τῆς βροντῆς υἱὸς ὁ
Ioh 13, 23 καταξιωθεὶς ἐπὶ τοῦ δεσποτικοῦ στήθους κατακλιθῆναι κἀκεῖθεν ἡμῖν τὰ ὑψηλότερα καὶ
θειότερα ἀρυσάμενος δόγματα βούλεται παραστῆσαι τὴν ὑπερβάλλουσαν τοῦ θεοῦ περὶ ἡμᾶς
Ioh 1, 1-3 φιλανθρωπίαν καὶ πρῶτον εἰρηκὼς τὰ θειότερα (ἐν ἀρχῆι ἦν ὁ λόγος καὶ ὁ λόγος

2 καλῶς — 3 φιλεῖται adfert Facundus 1, 5

V, P [= hk], S, D [= mn], AWRHXEΛ

1 ἐξεβόησε A ἐπεβόησεν H σαυτον REH^{corr} αὐτόν HX 2 σου om. VAWΛ εἰρήνησε X εἰρήνευσε H 3 ὀρθόδοξε ἐπίσκοπε HX 3/4 μεγάλη διδασκαλία SD 5 Παῦλος om HXEΛ 6/7 τον θεον — Ἐμμανουήλ om P ἔτεκεν — Ἐμμανουήλ om. V 8 ἡμῖν om X ἐπεὶ] εἰπέ HX ἡ ῥάβδοσ SHX, corr H 9 σπέρμα AHXEΛ ἐκ σπέρματοσ W^{corr} υἱοῦ HX τὸ om PW 9/10 αὐτῶν] ὢν το P ὢν Λ 10 χ̄σ̄ VPW ὁ χ̄σ̄ A τὸν χ̄ν̄ SDRHXE et *Christum* et *Christus* Λ 12 τοῦ θῦ VPE 13 κυρίου] θῦ SD οὖν ἡμῖν HX 14 ἁγία μαρία DW ἁγία μαριὰμ S καθάπερ ειρήκαμεν P τω πρ̄ῑ ὁμοούσιον SD 15 τὴν ἀνθρωπότητα δὲ W κατὰ μὲν SD κατὰ δὲ SD 16 θεὸς om P 17 αὐτὸν HX αὐτὸσ μεμένηκεν ARHXEΛ ὁ αὐτὸσ μεμένηκεν P μεμένηκεν αὐτοσ V μεμένηκεν SD 18 τὸ νῶτον P 18/19 τας — ραπίσματα om. V 19 τὸ πρόσωπον S 20 ὑπολάβοισ A δὲ om E 21 οἰκείου P ὁ] ὁτι R ἀντιδιαταττόμενοι HXE 22 θῦ D om R λογος] λέγεται S 23/24 ἄκουε — ἐγένετο om X 24 οὔτε — σάρκα om. VH 25 οὐτε μὴν A ἀναλημφθεῖσα R ειληφότοσ SD 26—28 τουτέστι — ἐγένετο om. W 26 ἔλαβε VPSD 27 ὑπέρ A τελεία om V ὑμετέρα S 28 ἠβουλώμην H δὲ om W ἡμᾶσ H 30 ἀνακλιθῆναι V ἡμῖν om W 31 θεῖα SD ὕδατα HX 32 πρότερον W

ἦν πρὸς τὸν θεὸν καὶ θεὸς ἦν ὁ λόγος. οὗτος ἦν ἐν ἀρχῇι πρὸς τὸν θεόν. πάντα δι' αὐτοῦ ἐγένετο καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν), ὅτε ἔδειξεν αὐτὸν συναίδιον τῶι πατρί (τοῦ γὰρ ἐν ἀρχῇι οὐδὲν πρεσβύτερον εὑρίσκομεν, κἂν ἀναδράμηις τῆι διανοίαι, προλαμβάνει σε τὸ ἦν· τοῦ γὰρ ἦν οὐδὲν τέρμα εὑρίσκεται), ὅτε ταῦτα εἴρηκεν καὶ ἔδειξεν συναίδιον τῶι πατρὶ καὶ δημιουργὸν τῶν πάντων, τότε ἐπάγει ὁ λόγος σὰρξ ἐγένετο, μόνον οὐχὶ λέγων ὅτι ὁ συναίδιος τῶι πατρὶ καὶ τῶν πάντων κύριος καὶ δημιουργὸς τοσοῦτον ἐταπείνωσεν ἑαυτὸν δι' ἡμᾶς καὶ τὴν ἡμετέραν σωτηρίαν, ὥστε σὰρξ ἐγένετο, ἵνα ἀπὸ τοῦ εὐτελεστέρου τῆς φύσεως ἡμῶν μέρους τοὺς ὑπερβάλλοντας τοῦ θεοῦ περὶ ἡμᾶς οἰκτιρμοὺς δείξηι. ὁ λόγος οὖν, φησί, σὰρξ ἐγένετο, καὶ οὐκ ἔστη μέχρι τούτου, ἀλλ' ἐπήγαγεν καὶ ἐσκήνωσεν ἐν ἡμῖν, τὸ δὲ δεύτερον τοῦ πρώτου ἑρμηνεία ἐστίν. τί ἐστιν ὁ λόγος σὰρξ ἐγένετο; ἐσκήνωσεν ἐν ἡμῖν, τουτέστιν ἐν τῆι ἡμετέραι φύσει. ὅρα καὶ τὸν Ἰωάννην δύο φύσεις κηρύττοντα καὶ ἕνα υἱόν. ἕτερον σκηνὴ καὶ ἕτερον τὸ σκηνοῦν· ἕτερον ναὸς καὶ ἕτερον ὁ ἐνοικῶν θεός. πρόσεχε τῶι λεγομένωι· οὐκ εἶπον ἕτερος καὶ ἕτερος ὡς ἐπὶ δύο προσώπων ἢ δύο Χριστῶν ἢ δύο υἱῶν, ἀλλ' ἕτερον καὶ ἕτερον ὡς ἐπὶ δύο φύσεων. ὅτε οὖν εἶπεν ἐσκήνωσεν ἐν ἡμῖν καὶ ἐκήρυξεν τὰς δύο φύσεις, τότε ἐπήγαγεν καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς. οὐκ εἶπε δύο υἱῶν, ἀλλ' ὡς μονογενοῦς. Ἡσαίας οὖν κηρύσσει τὸν Ἐμμανουήλ, τουτέστι θεὸν ἐνανθρωπήσαντα· Πέτρος λέγει σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, τὴν διττὴν φύσιν καὶ τὸ μοναδικὸν πρόσωπον τοῦ υἱοῦ· ὁ θεολόγος Ἰωάννης λέγει καὶ ἐσκήνωσεν ἐν ἡμῖν, δύο φύσεις καὶ τοῦ μονογενοῦς τὸ ἓν πρόσωπον. ἔμεινεν δὲ ὁ θεὸς λόγος ἀπαθής (πάλιν γὰρ ἐπ' ἐκεῖνο ἔρχομαι· πρόσεχε τῶι λεγομένωι) καὶ τῶν μὲν θειοτέρων μεταδέδωκεν τῆι ἀνειλημμένηι φύσει, τῶν δὲ τῆς ἀνθρωπότητος οὐδενὸς μετέλαβεν. περιεπάτησεν ἐπὶ θαλάσσης, ἀλλὰ μετὰ τοῦ ἰδίου σώματος. ἐπετίμησε τοῖς ἀνέμοις καὶ τῆι θαλάσσηι, ἀλλὰ διὰ τοῦ ἰδίου σώματος. ἀπήντησεν αὐτῶι λεπρὸς λέγων· κύριε, ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι. λέγει· θέλω, καθαρίσθητι· καὶ ἥψατο αὐτοῦ τὸ σῶμα τὸ δεσποτικὸν καὶ ἐδραπέτευσεν τὸ νόσημα, ἀπεξύσθη ἡ λέπρα. ἔθρεψεν πεντακισχιλίους ἐκ πέντε ἄρτων, ἀλλὰ διὰ τοῦ ἡμετέρου σώματος· λαβὼν γὰρ ηὐχαρίστησεν τῶι πατρὶ καὶ κλάσας ἔδωκεν τοῖς μαθηταῖς, οἱ δὲ μαθηταὶ τῶι πλήθει, καὶ ἐπερίσσευσαν δώδεκα κόφινοι κλασμάτων. μόνου θεοῦ ἐστιν ἀφιέναι ἁμαρτίας· λέγει ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἀφιέναι ἁμαρτίας. πάλιν λέγει· οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ υἱὸς τοῦ ἀνθρώπου ὁ ὢν ἐν τῶι οὐρα-

L III 1102 Ioh. 1, 14 M V 300 9 Ioh. 1, 14 Ioh. 1, 14 Ies. 7, 14 Mt. 16, 15 20 Mt. 14, 25 Mt. 8, 26 Mt. 8, 2. 3 25 Ioh. 6, 11 Mt. 14, 19. 20 30 Mt. 9, 6 Ioh. 3, 13

9—12 cf. Eulog. ap. Phot. 230 p. 269a 38 11 τί ἐστιν — 18 adfert Facundus 1, 5 cf 7, 7 12—17 adfert Eulog. l. c. p. 269b 2 12—15 adfert Leontius c. Monophys. [Mai, scriptt. uet. 7, 131]

V, P [= hk], S, D [= mn], AWRHXEΛ

2 οὐδὲν SA 3 τοῦ] τούτου HX, corr. H εὑρίσκομεν πρεσβύτερον W ἐπ' ἄπειρον ἀναδράμῃς A 5 τὸν E ἁπάντων AHX καὶ ὁ A 6 ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν A ὁ om. HX τῶν om. P ἁπάντων AHX 7 τοσοῦτον] αὐτὸσ οὕτοσ [οὕτωσ HX] HXEΛ διὰ τὴν DΛ 8/9 περὶ ἡμᾶσ τοῦ θῦ H περὶ ἡμᾶς Xcorr Λ 9—11 οὐκ — ἐγένετο om. V 9 οὐκ ἔστι SH οὐκέτι X 10/11 τὸ δὲ — ἡμῖν om. PWΛ 10 δὲ RHXE om. SDA 11 ἐσκήνωσεν R καὶ ἐσκήνωσεν VSDAHXE Fac. 12 κηρὺσσοντα ARHX 12/13 ἕτερον — σκηνοῦν om. HX 13 τὸ om. E τὸν A 14 εἶπον ARΛ Eulog. Leont. Fac. εἶπεν VPSDWHXE 15 καὶ ἐσκήνωσεν HXΛ 17 οὐκ — μονογενοῦς om. R ἀλλ' ὡσ AHXEΛ Fac. ἀλλὰ VPSDW κηρύττει AX 18 πέτροσ ARHXEΛ πέτροσ δὲ VPSDW 20 καὶ[2] om. E cf. Λ τὸ om. V 22 καὶ om. R 23 ἐπὶ] διὰ τῆσ W θαλάττησ E 23/24 μετὰ — ἀλλὰ om. W 24 ἐπετίμησε — σώματος om. R 25 θελήσησ S 26 λέγει αὐτῶ SDW 27 καὶ [superscr. W] ἀπεξύσθη WΛ καὶ ἐξύσθη HX 28 εὐχαρίστησε PAWX 28/29 μαθηταῖσ αὐτοῦ V 29 τοῖσ ὄχλοισ W ἐπερίσσευσεν HXE περιέσσευσαν W κώφινοι D κοφίνουσ [κοφήνουσ H κωφίνουσ X] RHXE, corr. R 30/31 λέγει — ἁμαρτίας om. VRΛ 30 δὲ om. SD 31/32 ἀφιέναι — ἀνθρώπου om. HX

νῶι. ὁραῖς; τῶν θειοτέρων μεταδέδωκεν. ὅταν δὲ ἴδῃς αὐτὸν πεινῶντα καὶ διψῶντα, κοπιῶντα ἱδροῦντα, παραδιδόμενον Πιλάτωι, ἀγόμενον καὶ περιαγόμενον χερσὶ δημίων, ἀγωνιῶντα, εὐχόμενον ἐλωΐ ἐλωί, λιμᾶ σαβαχθανί, τουτέστιν θεέ μου θεέ μου, ἵνα τί με ἐγκατέλιπες; καὶ πάλιν πάτερ, εἰ δυνατόν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο· πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ, ὅταν ἴδῃς αὐτὸν ἀνασκολοπιζόμενον, ὅταν ἴδῃς ἥλους ἐπὶ τῶν χειρῶν καὶ τῶν ποδῶν, κεκεντημένον τὴν πλευράν, τότε νόει ὅτι ὁ θεὸς λόγος ἀπαθὴς μεμένηκεν, ταῦτα δὲ πάντα οἰκειοῦται τὰ γινόμενα εἰς τὸ ἴδιον αὐτοῦ σῶμα. ἵνα δὲ δείξῃ ὅτι οὔτε ἐν τῶι καιρῶι τοῦ πάθους ἀπέστη τοῦ ἰδίου ναοῦ, ὅτε οἱ Ἰουδαῖοι ταῦτα ἐδραματούργουν κατὰ τοῦ δεσπότου, ἀπέσβεσεν ὡς θεὸς ἀκτῖνα ἡλιακήν, σκότον κατέχεεν τοῦ κόσμου, ἔσχισεν τὸ καταπέτασμα τοῦ ναοῦ, πέτρας διέρρηξεν, νεκροὺς ἤγειρεν. ταῦτα πάντα εἰργάσατο, ἵνα γνῶις ὅτι συνῆν τῶι πάσχοντι καὶ τὰ μὲν πάθη ὠικειοῦτο, αὐτὸς δὲ ἀπαθὴς ἅπαντα εἰργάζετο.

Mt. 27, 46 Mt. 26, 39 Ioh. 19, 34 Mt. 27, 45 L III 1103 M V 301 Mt. 27, 51. 52

6 Τὰ ὑμῶν ὑμῖν παρεθήκαμεν· αὕτη γὰρ τοῦ πατρὸς ἡ διδασκαλία· οὗτος ὁ θησαυρὸς προγονικὸς ὑμῶν, τοῦ μακαρίου Ἀθανασίου τὰ δόγματα, τοῦ μεγάλου Θεοφίλου τὰ διδάγματα, τῶν στύλων τῆς ὀρθοδοξίας. ἀλλ' ἐπειδὴ μακροθύμως τῶν ἡμετέρων ἠνέσχεσθε ψελλισμάτων, ἀναμείνατε τοῦ πατρὸς τὴν σοφίαν. ἠκούσατε καλάμου ποιμενικοῦ· ἀκούσατε καὶ σάλπιγγος μεγαλοφωνοτάτης.

7 Ὁ λαὸς εἶπεν· υἱὲ Θεοφίλου καὶ Ἀθανασίου, Κυρίλλου σοφίας ἀκούσωμεν

8 Ὁ ἐπίσκοπος Παῦλος εἶπεν· ἡμῶν μὲν τῶν ὁμοδόξων τὰ φρονήματα διεγειρούσης, τῶν δὲ ἐναντίων τῆς ἐκκλησίας τὰ στίφη καταβαλλούσης. τῶι θεῶι τοίνυν δόξαν ἀναπέμψωμεν νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

126 = S 125 A 113. alterius homiliae recensionis uersio Latina extat in Collectione Sichardiana 12

Κυρίλλου ἀρχιεπισκόπου Ἀλεξανδρείας εἰς τὸν προεξηγησάμενον καὶ εἰς τὴν ἐνανθρώπησιν τοῦ κυρίου

Ies. 12, 3 Ὁ μακάριος προφήτης Ἡσαίας τῶν ἐν Χριστῶι διδασκάλων τὰς εὐστομίας προανακηρύττων ἔλεγεν ἀντλήσατε ὕδωρ μετ' εὐφροσύνης ἐκ τῶν πηγῶν τοῦ σωτη-

---

27—p. 15, 3 adfert Facundus 1, 5

V, P [= lik], S, D [= mn], AWRHXEΛ

1 ὁρᾶς πῶς VA ὁρᾶς ὅπως E *uides quia* Λ μετέδωκεν VPSDW καὶ om. HXEΛ 2 καὶ κοπιῶντα A κοπιῶντα καὶ VA ἱδρῶντα WHX περιαγόμενον] παραγόμενον P ἐν χερσὶ A 3/4 ἐλωΐ ἐλωΐ — ἐγκατέλιπες om. V 3 ἐλωί alterum om. P λιμα SH λειμά E λιμᾶσ DAX λημᾶ P λεμᾶ R λέγοντα λιμά W *helima* Λ σαβαχθανῆ PH σαβακχθανί X ἀβαχθανῆ A 4 ἐγκατέλειπασ H ἐγκατέλιπασ X πάλιν βοῶντα AHXEΛ εἰ δυνατόν περ V παρελθάτω R ἀπελθέτω S 5/6 ἀνασκολαπιζόμενον R 6 καὶ κεκεντημένον VPΛ καὶ λόγχη κεκεντημένον W 7 ὁ om. SD 8 αὐτοῦ om.PR δὲ om. W οὔτε ἐν τῶι om. V οὐκ R 9 καὶ γὰρ ὅτε W καὶ οἱ V om. SDW κατὰ τοῦ δεσπότου om. D ὡς] ὁ RHXEΛ, corr. H 10 σκότοσ PAHX τῶ κόσμω AHXE 11 ἠργάσατο P γνῶ HX 12 ἀπαθὴσ ὢν PΛ ἀπαθῶσ WE ἠργάζετο P εἰργάσατο HX 13 ἡμῶν VPX παρέθηκα HX 14 ἡμῶν X μακαρίου πάπα HX 14/15 τοῦ μεγάλου — διδάγματα om. E δόγματα HX 15 τοῦ στύλου E 15—22 ἀλλ' — ἀμήν om. E 15 ἐπεὶ ARH om. X ἠνέχεσθαι H νῦν ἔχεσθε X 18 εἶπεν om. HX υἱοὶ HXΛ κυρίλλου om. X 19 Παῦλος om. HXΛ μὲν om. W ὀρθοδόξων VSDHX 20/21 ἀναπέμπομεν X 21 αἰῶνας — ἀμήν om. S τῶν αἰώνων om. DRX

ρκς V ριζ P ριη' D 24/25 ὁμιλία κυρίλλου τοῦ ἁγιωτάτου ῥηθεῖσα μετὰ τὸ ὁμιλῆσαι τὸν μακάριον παῦλον τὸν ἐπίσκοπον A 24 ἐπισκόπου D 25 τοῦ κυρίου om. HXE 26 ὁ μὲν HX τὰσ [τὰ X] τῶν — διδασκάλων εὐστομίασ HXE εὐσταθμίασ W 26/27 ἀνακηρύττων SW

ρίου. ἰδοὺ τοίνυν ἠντλήσαμεν ὑμῖν ὕδωρ ἐξ ἁγίας πηγῆς, τοῦ προλαβόντος φημὶ διδασκάλου, ὃς καὶ ταῖς διὰ τοῦ πνεύματος δαιδουχίαις λελαμπρυσμένος διεσάφησεν ἡμῖν τὸ μέγα καὶ σεπτὸν τοῦ σωτῆρος μυστήριον, δι' οὗ σεσώσμεθα πιστεύσαντες εἰς αὐτὸν καὶ ἀπεφορτισάμεθα τὴν δυσαχθῆ καὶ δυσφόρητον ἁμαρτίαν καὶ πρὸς ἔτι τούτοις τὰ τοῦ 4
θανάτου διαρρήξαντες δεσμὰ ἐκεῖνο φαμὲν τὸ προφητικὸν ποῦ ἡ νίκη σου, θάνατε; Os. 13, 14
ποῦ τὸ κέντρον σου, ἅιδη; οὐκοῦν ὁ ὢν ἐν ἀρχῇι θεὸς λόγος, ὁ ἐν κόλποις ὢν Ioh. 1, 1. 18
τοῦ πατρός, ὁ δι' οὗ τὰ πάντα καὶ ἐν ὧι τὰ πάντα, τὴν δι' ἡμᾶς κένωσιν ὑπέμεινεν ἑκὼν καὶ γέγονεν σάρξ, τουτέστιν ἄνθρωπος. ἐταπείνωσεν ἑαυτὸν δι' ἡμᾶς καὶ κεχρημάτικεν υἱὸς ἀνθρώπου, ἵνα καὶ ἡμεῖς δι' αὐτὸν πλουτήσωμεν πατέρα τὸν θεόν. δεδιδάγμεθα γὰρ λέγειν ἐν προσευχαῖς πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς. οὐκοῦν διὰ τοῦτο γέγονεν 10
ὁ μονογενὴς πρωτότοκος, ἵνα ἡμεῖς, ὡς ἔφην, τὰ αὐτοῦ πλουτήσωμεν· ὑπέμεινε σταυρὸν Hebr. 12, 2
αἰσχύνης καταφρονήσας καὶ δέδωκεν ἑκὼν τῶι θανάτωι τὸ ἴδιον σῶμα, οὐχ ἵνα μεθ' ἡμῶν τῶν ὑπὸ θάνατον ἀπομείνηι νεκρός, ἀλλ' ἵνα ἡμᾶς ἑαυτῶι συναναστήσηι, πατήσας τοῦ θανάτου τὸ κράτος. εὐχαριστήσωμεν τῶι δι' ἡμᾶς ἐνανθρωπήσαντι λόγωι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν. 15

127 = S 89 A 114. extat praeterea in Gestis Chalcedonensibus [$\Delta^w \Delta^m \Delta^p \Delta^s$] et singulariter in codicibus [$\Theta^p \Theta^r$] ex his Gestis desumptis; codicum Δ et Θ hic non exhibeo lectiones nisi selectas. Latinae uersiones habentur in Collectione Quesneliana [Λ^q] et in Collectione CT 72 [Λ^{tc}], unde desumpta est uersio Collectionis Veronensis 29 [Λ^u], qua utuntur Gesta Chalcedonensia in Actionibus i et ii [iii] [$\Lambda^k \Lambda^r$] uersionem Syriacam edidit P. Bedjan in appendice Nestorii libri Heraclidae p. 569—577 20

Ἐπιστολὴ Κυρίλλου ἐπισκόπου Ἀλεξανδρείας πρὸς Ἰωάννην L III 1106

Κυρίωι μου ἀγαπητῶι ἀδελφῶι καὶ συλλειτουργῶι Ἰωάννηι Κύριλλος ἐν κυρίωι χαίρειν. PG 77, 173
1 Εὐφραινέσθωσαν οἱ οὐρανοὶ καὶ ἀγαλλιάσθω ἡ γῆ· λέλυται γὰρ τὸ μεσότοιχον Ps. 95, 11
τοῦ φραγμοῦ καὶ πέπαυται τὸ λυποῦν καὶ διχονοίας ἁπάσης ἀνήιρηται τρόπος, τοῦ πάντων Eph. 2, 14
ἡμῶν σωτῆρος Χριστοῦ ταῖς ἑαυτοῦ ἐκκλησίαις τὴν εἰρήνην βραβεύοντος, κεκληκότων δὲ M V 304
πρὸς τοῦτο ἡμᾶς καὶ τῶν εὐσεβεστάτων καὶ θεοφιλεστάτων βασιλέων, οἳ προγονικῆς εὐσε- 26

16 cf. Eutherium Tyanensem in Coll. Cas. 291, 2 et Nestorium ibid. 209

V, P [= hk], S, D [= mn], AWRHXE, Λ [usque ad 3 μυστήριον]

1 ὑμῖν om. AHXEΛ φημὶ] ἡμῖν SD 2 ταῖς διὰ] διὰ τῆσ P διὰ om. AE δαδουχίασ P ὑμῖν E 3 τῆσ σωτηρίασ W τοῦ σρσ ἡμῶν SD 4 ἀπεφορτίσμεθα PSDW προσεπι W 5 ἐκεῖνα S νίκη] δίκη SWH διαθήκη X 8 ἑαυτὸν ἐταπείνωσε SD καὶ ἐχρημάτισεν VPSDW κεχρημάτικεν ARHX 9 δι' αὐτὸν καὶ ἡμεῖσ E δι' om. HX αὐτοῦ W πατέρα πλουτήσωμεν A τὸν om. HX 10 τὸ πάτερ AR 12 καὶ om. D ἡμῶν] ὧν E 13 ἀπὸ X σαυτῶ HX συναναστήσηται VP 14 οὖν τῶ VW τοίνυν τῶ AHE τῶ νῦν αὐτῶ X 15 καὶ εἰς — ἀμήν om. E 15 εἰς τοὺς — ἀμήν om. W τῶν — ἀμήν om. A τῶν αἰώνων om. R

V, P [= hk], S, D [= mn], AJRBEUHXW$\Delta^w\Delta^m\Delta p\Delta^s\Theta p\Theta^r\Lambda^q\Lambda^t\Lambda^c\Lambda^u\Lambda^k\Lambda^r\Sigma$

ρκζ V ριη P πς' D 22 Ἐπιστολὴ — ἰωάννην VP τοῦ ἐν ἁγίοισ κυρίλλου ἀρχιεπισκόπου ἀλεξανδρείασ ἐπιστολὴ πρὸσ ἰωάννην ἀντιοχείασ ἀρχιεπίσκοπον B κυρίλλου τοῦ ἁγιωτάτου [τοῦ αὐτοῦ U] πρὸσ τὸν μακάριον ἰωάννην τὸν [τὸν om. U] ἀντιοχείασ ἐπιστολὴ σταλεῖσα διὰ τοῦ εὐλαβεστάτου ἐπισκόπου παύλου AJU τοῦ αὐτοῦ ἐπιστολὴ πρὸσ ἰωάννην ἐπίσκοπον ἀντιοχείασ ἀποσταλεῖσα διὰ παύλου ἐπισκόπου ἐμίσησ R τοῦ αὐτοῦ ἐπιστολὴ γραφεῖσα πρὸσ ἰωάννην ἀρχιεπίσκοπον ἀντιοχείασ περὶ τῆσ εἰρήνησ HX ἐπιστολὴ τοῦ ἐν ἁγίοισ πρσ ἡμῶν κυρίλλου πρὸσ τὸν μακαριώτατον πατριάρχην ἀντιοχείασ ἰωάννην καὶ τοὺσ τῆσ ἀνατολῆσ ἐπισκόπουσ περὶ εἰρήνησ W om. SDE 23 τῶ κυρίω P Κυρίωι — ἀγαπητῶι] τῶ εὐλαβεστάτω καὶ θεοσεβεστάτω B Κύριλλος — χαίρειν om. V 26 βραβεύσαντοσ VSDAJU 27 ἡμᾶσ πρὸσ τοῦτο AJUΛqtcukr θεοφιλεστάτων καὶ εὐσεβεστάτων P θεοφιλάκτων HX ἡμῶν βασιλέων VPΛr οἳ καὶ S

βείας ἄριστοι ζηλωταὶ γεγονότες ἀσφαλῆ μὲν καὶ ἀκατάσειστον ἐν ἰδίαις ψυχαῖς τὴν ὀρθὴν φυλάττουσι πίστιν, ἐξαίρετον δὲ ποιοῦνται φροντίδα τὴν ὑπὲρ τῶν ἁγίων ἐκκλησιῶν, ἵνα καὶ διαβόητον ἔχωσιν εἰς αἰῶνα τὴν δόξαν καὶ εὐκλεεστάτην ἀποφήνωσι τὴν ἑαυτῶν βασιλείαν, οἷς καὶ αὐτὸς ὁ τῶν δυνάμεων κύριος πλουσίαι χειρὶ διανέμει τὰ ἀγαθὰ καὶ δίδωσι
PG 176 μὲν κατακρατεῖν τῶν ἀνθεστηκότων, χαρίζεται δὲ τὸ νικᾶν. οὐ γὰρ ἂν διαψεύσαιτο
1 Reg. 2, 30 λέγων Ζῶ ἐγώ, λέγει κύριος, ὅτι τοὺς δοξάζοντάς με δοξάσω.

2 Ἀφικομένου τοίνυν εἰς τὴν Ἀλεξάνδρειαν τοῦ κυρίου μου τοῦ θεοσεβεστάτου ἀδελφοῦ καὶ συλλειτουργοῦ Παύλου, θυμηδίας ἐμπεπλήσμεθα καὶ σφόδρα εἰκότως, ὡς ἀνδρὸς τοιούτου μεσιτεύοντος καὶ τοῖς ὑπὲρ δύναμιν πόνοις ἑλομένου προσομιλεῖν, ἵνα τὸν τοῦ διαβόλου νικήσῃ φθόνον καὶ συνάψῃ τὰ διηρημένα καὶ τὰ μεταξὺ διερριμμένα σκάνδαλα περιελὼν ὁμονοίαι καὶ εἰρήνῃ στεφανώσῃ τάς τε παρ' ἡμῖν καὶ τὰς παρ' ὑμῖν ἐκκλησίας. τίνα μὲν γὰρ διήρηνται τρόπον, περιττὸν εἰπεῖν· χρῆναι δὲ μᾶλλον ὑπολαμβάνω τὰ τῶι τῆς εἰρήνης πρέποντα καιρῶι καὶ φρονεῖν καὶ λαλεῖν. ἥσθημεν τοίνυν ἐπὶ τῆι συντυχίαι τοῦ μνημονευθέντος θεοσεβεστάτου ἀνδρός, ὃς τάχα που καὶ ἀγῶνας ἔξειν οὐ μικροὺς ὑπενόησεν ἀναπείθων ἡμᾶς ὅτι χρὴ συνάψαι πρὸς εἰρήνην τὰς ἐκκλησίας καὶ τὸν τῶν ἑτεροδόξων ἀφανίσαι γέλωτα ἀπαμβλῦναί τε πρὸς τούτωι τῆς τοῦ διαβόλου δυστροπίας τὸ κέντρον. ἑτοίμως δὲ οὕτως ἔχοντας εἰς τοῦτο κατέλαβεν, ὡς μηδένα πόνον ὑποστῆναι παντελῶς·
Ioh. 14, 27 μεμνήμεθα γὰρ τοῦ σωτῆρος λέγοντος εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν· εἰρήνην
Ies. 26, 12 τὴν ἐμὴν ἀφίημι ὑμῖν, δεδιδάγμεθα δὲ καὶ λέγειν ἐν προσευχαῖς κύριε ὁ θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν, πάντα γὰρ ἀπέδωκας ἡμῖν, ὥστε εἴ τις ἐν μεθέξει γένοιτο

3 τῆς παρὰ θεοῦ χορηγουμένης εἰρήνης, ἀνενδεὴς ἔσται παντὸς ἀγαθοῦ. ὅτι δὲ περιττὴ παντελῶς καὶ οὐκ εὐάφορμος τῶν ἐκκλησιῶν ἡ διχοστασία γέγονεν, νυνὶ μάλιστα πεπληροφορήμεθα, τοῦ κυρίου μου τοῦ θεοσεβεστάτου Παύλου τοῦ ἐπισκόπου χάρτην προκομίσαντος ἀδιάβλητον ἔχοντα τῆς πίστεως τὴν ὁμολογίαν καὶ ταύτην συντετάχθαι διαβεβαιουμένου παρά τε τῆς σῆς ὁσιότητος καὶ τῶν αὐτόθι θεοσεβεστάτων ἐπισκόπων. ἔχει δὲ οὕτως ἡ συγγραφὴ καὶ αὐταῖς λέξεσιν ἐντέθειται τῆιδε ἡμῶν τῆι ἐπιστολῆι·

11/12 adferuntur ibid. p 214, 20 21—23 adferuntur ibid. p. 214, 28. 29 et p. 150, 31. 32 23—25 adferuntur ibid. p. 214, 36—38 et p. 151, 6 sq. 21—26 Facund. 1, 5. 6, 1

V, P [= hk], S, D [= mn], AJRBEUHXWΔwΔmΔpΔsΘpΘrΛqΛtΛcΛuΛkΛrΣ

1 ἄριστοι] ἄξιοι B οὗτοι E ἰδίαις ἔχειν ψυχαῖς SDRB ἰδίοις P ταῖς ἰδίαις H 2 φυλάττουσι] σπουδάζουσι B 3 καὶ om. DΔmpsΛqtukr διαβόητον S *inenarrabilem* Λq ἔχουσιν X τὸν αἰῶνα W αἰῶνας VPUΛukr ὀρθοδοξίαν U ἀποφαίνωσι HX 4 οἷς] ὁ εἷς X τῶν ἄνω SDB 5 διαψεύσαιτο ἡ ἀλήθεια R [cf. Λq], διαψεύσεται HX διαψεύσηται Δmps διεψεύσατο ΔwΘpr 6 ὁ λέγων W ὅτι ἀλλ' ἡ SDB δοξάζω mR 7 ἀφικνουμένου VAJU μου om. R τοῦ] καὶ PR θεοσεβεστάτου PSRBEHXΘpΛqtcu θεοφιλεστάτου VDAJUWΔwmpΘrΣ 7/8 καὶ συλλειτουργοῦ ἀδελφοῦ Λr (1) συλλειτουργοῦ ἀδελφοῦ ΔmpΣ *consacerdote ac fratre* ΛtcukΛr (11) 8 παύλου καὶ συλλειτουργοῦ SD τοῦ τοιούτου X 9 τόνοις S 10 τὰ[2] om. SΘr διερριμμένα] γεγονότα VP om. W 11 καὶ στεφανώσει X ὑμῖν X τὰς om. AJUWΔmpsΘr ἡμῖν X 12 γὰρ om. P διήρηται PS διήρηντο WΔwΘpr διήρειντο HX τρόπω H μᾶλλον om. HXΔmps τὰ τῶ] ταυτῶ HX 13 εἰρήνησ μὲν E πρέποντι J καὶ[1] om. P λέγειν R ἐντυχία W 14 ἀνδρὸσ θεοσεβεστάτου B ἀνδρὸσ SΔs ὃς] ὡσ HXΔwmpsΘp, corr. Δm ἔχειν SD οὐ μικρουὺς] μακρουὺσ WΔwΘrΣ ἀπενόησεν X πρόσ ἐδόκησεν R 16 δὲ AJUΛqukrΣ τοῦτο EHXΔms τούτω καὶ W 17 οὕτως om. HX καταλαβεῖν B γρ καταλαμβάνει Emg μὴ δὲ WΘpr 18 εἰρήνην[2]] εἰρήνην καὶ X 19 δὲ καὶ AJRBUHXWΔwmpΘprΛtcukrΣ δὲ SDΔs γὰρ καὶ E καὶ VΛq om P προσευχῇ E 20 πάντα — ἡμῖν om. PS 21 χῡ WΔwrΘpr *domino* Λtuk ἐστι DJ εἴτε HX 22 παντελῶς om. E οὐκ om. HX νῦν B 22/23 πεπληροφόρημαι U 23 μου om. REHXΘr θεοφιλεστάτου WΔwΘprΣ ἐπισκόπου παύλου D προσκομίσαντοσ DJBXΔps προκομισαμένου E 24 ἔχοντοσ SR διαβεβαιούμενοσ PΛq 25 τε om. SDR θεοφιλεστάτων WΔwmpsΘprΛrΣ θεοφυλάκτων HX 25/26 ἔχει — ἐπιστολῆι] καὶ αὐταῖσ λέξεσιν ἐντεθεῖσθαι τῆδε ἡμῶν τῇ ἐπιστολῇ ἔχει δὲ οὕτωσ SD 26 ἡμῶν om. VPAJEUΣ *meae* Λtcukr

4 Περὶ δὲ τῆς θεοτόκου παρθένου ὅπως καὶ φρονοῦμεν καὶ λέγομεν, τοῦ τε τρόπου τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ ἀναγκαίως, οὐκ ἐν προσθήκης μέρει, ἀλλ' ἐν πληροφορίας εἴδει, ὡς ἄνωθεν ἔκ τε τῶν θείων γραφῶν ἔκ τε τῆς παραδόσεως τῶν ἁγίων πατέρων παρειληφότες ἐσχήκαμεν, διὰ βραχέων ἐροῦμεν, οὐδὲν τὸ σύνολον προστιθέντες τῇι τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι ἐκτεθείσηι πίστει. ὡς γὰρ ἔφθημεν εἰρηκότες, πρὸς πᾶσαν ἐξαρκεῖ καὶ εὐσεβείας γνῶσιν καὶ πάσης αἱρετικῆς κακοδοξίας ἀποκήρυξιν. ἐροῦμεν δέ, οὐ κατατολμῶντες τῶν ἀνεφίκτων, ἀλλὰ τῇι ὁμολογίαι τῆς οἰκείας ἀσθενείας ἀποκλείοντες τοῖς ἐπιφύεσθαι βουλομένοις ἐν οἷς τὰ ὑπὲρ ἄνθρωπον διασκεπτόμεθα. L III 1107 ep. 123, 2. 3 M V 305

5 Ὁμολογοῦμεν τοιγαροῦν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τὸν υἱὸν τοῦ θεοῦ τὸν μονογενῆ, θεὸν τέλειον καὶ ἄνθρωπον τέλειον ἐκ ψυχῆς λογικῆς καὶ σώματος, πρὸ αἰώνων μὲν ἐκ τοῦ πατρὸς γεννηθέντα κατὰ τὴν θεότητα, ἐπ' ἐσχάτου δὲ τῶν ἡμερῶν τὸν αὐτὸν δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Μαρίας τῆς παρθένου κατὰ τὴν ἀνθρωπότητα, ὁμοούσιον τῶι πατρὶ τὸν αὐτὸν κατὰ τὴν θεότητα καὶ ὁμοούσιον ἡμῖν κατὰ τὴν ἀνθρωπότητα. δύο γὰρ φύσεων ἕνωσις γέγονεν· διὸ ἕνα Χριστόν, ἕνα υἱόν, ἕνα κύριον ὁμολογοῦμεν. κατὰ ταύτην τὴν τῆς ἀσυγχύτου ἑνώσεως ἔννοιαν ὁμολογοῦμεν τὴν ἁγίαν παρθένον θεοτόκον διὰ τὸ τὸν θεὸν λόγον σαρκωθῆναι καὶ ἐνανθρωπῆσαι καὶ ἐξ αὐτῆς τῆς συλλήψεως ἑνῶσαι ἑαυτῶι τὸν ἐξ αὐτῆς ληφθέντα ναόν. τὰς δὲ εὐαγγελικὰς καὶ ἀποστολικὰς περὶ τοῦ κυρίου φωνὰς ἴσμεν τοὺς θεολόγους ἄνδρας τὰς μὲν κοινοποιοῦντας ὡς ἐφ' ἑνὸς προσώπου, τὰς δὲ διαιροῦντας ὡς ἐπὶ δύο φύσεων, καὶ τὰς μὲν θεοπρεπεῖς κατὰ τὴν θεότητα τοῦ Χριστοῦ, τὰς δὲ ταπεινὰς κατὰ τὴν ἀνθρωπότητα [αὐτοῦ] παραδιδόντας. PG 177

6 Ταύταις ὑμῶν ἐντυχόντες ταῖς ἱεραῖς φωναῖς οὕτω τε καὶ ἑαυτοὺς φρονοῦντας εὑρίσκοντες (εἷς γὰρ κύριος, μία πίστις, ἓν βάπτισμα), ἐδοξάσαμεν τὸν τῶν ὅλων σωτῆρα θεόν, ἀλλήλοις συγχαίροντες ὅτι ταῖς θεοπνεύστοις γραφαῖς καὶ τῇι παραδόσει τῶν ἁγίων ἡμῶν πατέρων συμβαίνουσαν ἔχουσι πίστιν αἵ τε παρ' ἡμῖν καὶ αἱ παρ' ὑμῖν ἐκκλη-
7 σίαι. ἐπειδὴ δὲ ἐπυθόμην τῶν φιλοψογεῖν εἰωθότων τινὰς σφηκῶν ἀγρίων δίκην περιβομβεῖν καὶ μοχθηροὺς ἐρεύγεσθαι κατ' ἐμοῦ λόγους, ὡς ἐξ οὐρανοῦ κατακομισθὲν καὶ οὐκ Eph. 4, 5

9—25 Fcyr 8 ἐκ τῆς πρὸς Ἰωάννην Ἀντιοχείας ἀρχιεπίσκοπον ἐπιστολῆς, ἧς ἡ ἀρχή· Εὐφραινέσθωσαν οἱ οὐρανοὶ καὶ ἀγαλλιάσθω ἡ γῆ· 'ὁμολογοῦμεν — ἐκκλησίαι'. adferuntur Latine uersa in Innocentii Maronitae epistula de collatione cum Seuerianis 41. 42 [t. IIII 2 p. 176] et Facund. 1, 5 9—14 Coll. Casin. p. 215, 14—18 9—12 Coll. Cas. p. 153, 16—18 14—17 Theodoret. eran. 2, 168 [= flor. Chalc. 15] 15—17 Coll. Casin. p. 215, 32—34 17—20 Coll. Cas. p. 153, 12—14 21 Coll. Casin. p. 216, 28

V, P [= hk], S, D [= mn], AJRBEUHXWΔmΔwΔpΔsΘpΘrΛqΛtΛcΛuΛkΛrΣ

1 δὲ om. S ὅπωσ φρονοῦμεν SAJRU 2—20 υἱοῦ — παραδιδόντας om. S, in mg adnotando τὰ λοιπὰ ζήτει ὅπισθεν εἰς τὴν ἐπιστολὴν ἰωάννου τοῦ ἀντιοχείασ 3 εἴδει ὡς] ἰδίωσ HXΛq τῶν θείων — ἔκ τε om. B 5 τῆ παρὰ τῶν V τῶν²] τῆ AJRBEHXΔwΘpr om. W 6 ἀρκεῖ D πᾶσι καὶ πάσησ HX, corr. H κακίασ ἀποδίωξειν E 7 κατὰ τολμοῦντεσ H 8 τοὺσ — βουλομένουσ P ἐν οἷς τὰ] ἔνθα τὰ H ἐνταῦθα X 9 τὸν χν DRB 11 τοῦ om. X ἐσχάτου PAJRHBUΔmpsFcyr ἐσχάτων VDEHcorrXWΔwΘpr 12 διὰ om. PAJEUΘp κατὰ τὴν ἀνθρωπότητα] καὶ ἐνανθρωπήσαντα Fcyr 13/14 ὁμοούσιον¹ — ἀνθρωπότητα om. JUW 13 τὸν αὐτὸν τῶ πρι ΕΘr τῶι πατρὶ ΛqtukFcyr ἡμῖν τὸν αὐτὸν RBHXΘpΛr (11) Fcyr 14 ἕνα κν ἕνα υἱόν [ιν Fcyr] EFcyr ἕνα υἱόν om. Λq 15 τὴν om BEX ὁμολογοῦμεν δὲ E 16 ἀληθῶσ θεοτόκον Hcorr τῆς om. W Theod. flor. Chalc. 17 συλλήμψεωσ R συλληφθέντα WΘr 18 κυρίου] υἱοῦ HX θεηγόρουσ DB 20 αὐτοῦ HXWΔwmpsΘprΛqtcukrΣ om. VPDAJRBEUFcyr παραδιδοῦνταϲ B 21 ταῦταϲ R 22 εὑρίσκομεν V κύριος] χσ W 23 θεόν] ιν HX χαίροντεσ S 24 πρων ἡμῶν VB τὴν πίστιν S αἵ] ἥ E αἵ τε παρ' ὑμῖν καὶ παρ' ἡμῖν Fcyr *uestrae et nostrae* Λtu καὶ παρ' ὑμῖν HXWΔw, Δm in mg., Θpr om. Δmps 25 ἐπεὶ PΘr δὲ ὡσ J φιλοψεγεῖν VAJΔw ἀγρίων δίκην σφηκῶν B 26 κατ' ἐμοῦ ἐρεύγεσθαι PΔw λόγουσ κατ' ἐμοῦ B κατακεκομίσ αι VP κατὰ κεκομεῖσθαι H γρ κατακομισθὲν Hmg κατακεκοσμεῖσθαι N

ἐκ τῆς ἁγίας παρθένου λέγοντος τὸ ἅγιον σῶμα Χριστοῦ, δεῖν ὠιήθην ὀλίγα περὶ τούτου πρὸς αὐτοὺς εἰπεῖν. ὦ ἀνόητοι καὶ μόνον εἰδότες τὸ συκοφαντεῖν, πῶς εἰς τοῦτο παρηνέχθητε γνώμης καὶ τοσαύτην νενοσήκατε τὴν μωρίαν; ἔδει γὰρ ἔδει σαφῶς ἐννοεῖν ὅτι σχεδὸν ἅπας ἡμῖν ὁ ὑπὲρ τῆς πίστεως ἀγὼν συγκεκρότηται διαβεβαιουμένοις ὅτι θεοτόκος ἐστὶν ἡ ἁγία παρθένος. ἀλλ' εἴπερ ἐξ οὐρανοῦ καὶ οὐκ ἐξ αὐτῆς τὸ ἅγιον σῶμα γεγενῆσθαι φαμὲν τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ, πῶς ἂν ἔτι νοοῖτο θεοτόκος, τίνα γὰρ ὅλως τέτοκεν, εἰ μή ἐστιν ἀληθὲς ὅτι γεγέννηκε κατὰ σάρκα τὸν Ἐμμανουήλ; γελάσθωσαν τοίνυν οἱ ταῦτα περὶ ἐμοῦ πεφλυαρηκότες. οὐ γὰρ ψεύδεται λέγων ὁ μακάριος
I. III 1110 προφήτης Ἡσαίας ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱὸν καὶ καλέ-
Ies 7, 14 σουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ, ὅ ἐστι μεθερμηνευόμενον μεθ' ἡμῶν ὁ
Mt 1, 23 θεός. ἀληθεύει δὲ πάντως καὶ ὁ ἅγιος Γαβριὴλ πρὸς τὴν μακαρίαν παρθένον εἰπών·
Lc. 1, 30 31 μὴ φοβοῦ, Μαριάμ· εὗρες γὰρ χάριν παρὰ τῷι θεῷι, καὶ ἰδοὺ συλλήψηι ἐν
Mt 1, 21 γαστρὶ καὶ τέξηι υἱὸν καὶ καλέσεις το ὄνομα αὐτοῦ Ἰησοῦν· αὐτὸς γὰρ
M V 308 σώσει τον λαον αὐτοῦ ἀπο τῶν ἁμαρτιῶν αὐτῶν. ὅταν δὲ λέγωμεν ἐξ οὐρανοῦ καὶ ἄνωθεν τον κύριον ἡμῶν Ἰησοῦν Χριστόν, οὐχ ὡς ἄνωθεν καὶ ἐξ οὐρανοῦ
PG 1180 κατενεχθείσης τῆς ἁγίας αὐτοῦ σαρκὸς τὰ τοιαῦτα φαμέν, ἑπόμενοι δὲ μᾶλλον τῶι θεσπε-
1 Cor 15, 47 σίωι Παύλωι διακεκραγότι σαφῶς ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοικός, ὁ δεύτε-
ρος ἄνθρωπος ὁ κύριος ἐξ οὐρανοῦ. μεμνήμεθα δὲ καὶ αὐτοῦ τοῦ σωτῆρος
Ioh 3, 13 λέγοντος οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανον εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ υἱὸς τοῦ ἀνθρώπου, καίτοι γεγέννηται κατὰ σάρκα, καθάπερ ἔφην ἀρτίως, ἐκ τῆς ἁγίας παρθένου. ἐπειδὴ δὲ ὁ ἄνωθεν καὶ ἐξ οὐρανοῦ καταφοιτήσας θεὸς λόγος
Phil 2, 7 κεκένωκεν ἑαυτὸν μορφὴν δούλου λαβὼν καὶ κεχρημάτικεν υἱὸς ἀνθρώπου μετὰ τοῦ μεῖναι ὃ ἦν, τουτέστι θεός (ἄτρεπτος γὰρ καὶ ἀναλλοίωτος κατὰ φύσιν ἐστίν), ὡς εἷς ἤδη νοούμενος μετὰ τῆς ἰδίας σαρκος ἐξ οὐρανοῦ λέγεται κατελθεῖν, ὠνόμασται δὲ καὶ ἄνθρωπος ἐξ οὐρανοῦ, τέλειος ὢν ἐν θεότητι καὶ τέλειος ὁ αὐτὸς ἐν ἀνθρωπότητι καὶ ὡς ἐν ἑνὶ προσώπωι νοούμενος εἷς γὰρ κύριος Ἰησοῦς Χριστός, κἂν ἡ τῶν φύσεων

3—7 Fcyr 9 ἔδει γάρ — Ἐμμανουήλ 21—p 19, 1 Coll Cas p. 152, 18 sq 24—p. 19, 3 Fcyr 10 ὠνόμασται — ἐπιστουίζειν 26/p 19, 1 Theodoret eran 2, 168 = flor Chalc 13 εἷς — φαμέν

V, P [= hk], S, D [= mn], AJRBEUHXWΔwΔmΔrΔpΔsΘpΘrΛqΛtΛcΛuΛkΛrΣ

1 λέγοντασ EΔpsΘp το σῶμα τὸ ἅγιον AJU τοῦ χῦ VAJRU κυρίου Λq 2 τὸ] τοῦ E τῶ X 2/3 προηνέχθητε V 3 τοσαύτη E την μωρίαν] τημωρίαν R τιμωρίαν Δm [in τὴν ωρίαν corr], Θp τιωωρία E μωρίαν BΔps, Θp corr τὴν ἄνοιαν VAJU σοφῶσ DHXΛcFcyr 4 σχεδον] περ SD περ σχεδὸν B ἅπασιν Fcyr περὶ PΔmps τῆς om. P ἀγὼν συγκεκρότηται] συγκεκρότηται λόγοσ W συγκεκρότηκε S διαβεβαιούμενοσ PW 5 οὐρανῶν HX 5/6 γεγεννῆσθαι [γεγενῆσθαι S] φαμὲν τοῦ — χῦ τὸ πανάγιον σῶμα SD γεγενῆσθαι VAJ, B [corr B], EHX, Δwp [αὐτοῦ γεγενῆσθαι Δw], Θpr [φαμὲν γεγενῆσθαι Θp], ΛtcukrΣ γεγεννῆσθαι et γεγενῆσθαι Fcyr codd cf notam Rustici *ita* GR *natum, hoc est* ΓΕΓΕΝΝΗΣΘΑΙ *et non* ΓΕΓΕΝΗΣΘΑΙ 6 ἡμῶν om E ἰῦ χῦ WΘr κυρίου Λq om Fcyr 7 γεγένηκε S 8 περὶ ἐμοῦ ταῦτα S 9 προφήτης om VP 11 πάντως om E ἅγιος] ἄγγελοσ S μακάριοσ mWΣ om VΔs τὴν μακαρίαν] την μαρίαν P μαριὰμ τὴν R 12 τῶι om VPBHX συλλήμψη R 13 τέξεισ RB τέξησ Δs καλεσουσι V 14 αὐτοῦ AJUΔws, corr J 15 τὸν χν VDR οὐρανῶν R 16 τα om. SDBHX οἰόμενοι X 17 κεκραγότι AJ 18 ἄνθρωπος ὁ κύριος om AJR ο κύριος om Λqtcukr καὶ αὐτοῦ om P 19 οὐδεὶσ VSPAJUWΔwΘpΛqtcukΣ καὶ οὐδεὶς DRBEHXΔmpsΛr (1) ωσ οὐδεὶσ Θr, cf notam Rustici GR *istud et in multis non est* 20 ἀνθρωπου ὁ ὢν ἐν τῶ οὐρανῶ E 20/21 καίτοι — παρθένου om X 20 γεγένηται hSJBΣ, corr JB 21 ὁ om AJRUΔmps ὁ θσ̄ VAJUΔs 22 κεκοινώνηκεν S καὶ om Λq ἀνθρώπου om. WΔw τὸ E 23 εἶναι RE γὰρ om EΛtuk ὡς om. WΔwΘp 24 ἰδιασ αὐτοῦ SDB ἐξ οὐρανοῦ om R 25 ἐν ἀνθρωπότητι ὁ [καὶ Θr] αὐτὸσ PWΔwΘrΛr ὢν ἐν ἀνθρωπότητι SD ἐν ἀνθρωπότητι AJUΛtcuk Fcyr καὶ² om X 26 ἐν om PR Ἰησοῦς] ὁ HΣ

9 μὴ ἀγνοῆται διαφορά, ἐξ ὧν τὴν ἀπόρρητον ἕνωσιν πεπρᾶχθαι φαμέν. τοὺς δὲ λέγοντας ὅτι κρᾶσις ἢ σύγχυσις ἢ φυρμὸς ἐγένετο τοῦ θεοῦ λόγου πρὸς τὴν σάρκα, καταξιωσάτω ἡ σὴ ὁσιότης ἐπιστομίζειν. εἰκὸς γὰρ τινὰς καὶ ταῦτα περὶ ἐμοῦ θρυλεῖν ὡς ἢ πεφρονηκότος ἢ εἰρηκότος, ἐγὼ δὲ τοσοῦτον ἀφέστηκα τοῦ φρονῆσαί τι τοιοῦτον, ὥστε καὶ μαί- 4
νεσθαι νομίζω τοὺς οἰηθέντας ὅλως ὅτι τροπῆς ἀποσκίασμα περὶ τὴν θείαν τοῦ λόγου Iac. 1, 17
φύσιν συμβῆναι δύναται. μένει γὰρ ὅ ἐστιν, ἀεὶ καὶ οὐκ ἠλλοίωται, ἀλλ' οὐδ' ἂν ἀλλοι- Mal. 3, 6
ωθείη πώποτε καὶ μεταβολῆς ἔσται δεκτική. ἀπαθῆ δὲ πρὸς τούτωι τὸν τοῦ θεοῦ λόγον ὑπάρχειν ὁμολογοῦμεν ἅπαντες, κἂν εἰ πανσόφως αὐτὸς οἰκονομῶν τὸ μυστήριον ἑαυτῶι προσνέμων ὁρῶιτο τὰ τῆι ἰδίαι σαρκὶ συμβεβηκότα πάθη. ταύτηι τοι καὶ ὁ πάνσοφος 1 Petr. 4, 1
Πέτρος Χριστοῦ οὖν φησὶ παθόντος ὑπὲρ ἡμῶν σαρκὶ καὶ οὐχὶ τῆι φύσει τῆς 10
ἀρρήτου θεότητος. ἵνα γὰρ αὐτὸς τῶν ὅλων σωτὴρ εἶναι πιστεύηται, κατ' οἰκείωσιν οἰκονομικὴν εἰς ἑαυτόν, ὡς ἔφην, τὰ τῆς ἰδίας σαρκὸς ἀναφέρει πάθη, ὁποῖόν ἐστιν τὸ διὰ τῆς τοῦ προφήτου φωνῆς προαναφωνούμενον ὡς ἐξ αὐτοῦ τὸν νῶτόν μου δέδωκα Ies. 50, 6
εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα, τὸ δὲ πρόσωπόν μου
10 οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων. ὅτι δὲ ταῖς τῶν ἁγίων πατέρων 15
δόξαις ἑπόμεθα πανταχοῦ, μάλιστα δὲ ταῖς τοῦ μακαρίου καὶ πανευφήμου πατρὸς ἡμῶν Ἀθανασίου, τὸ κατά τι γοῦν ὅλως ἔξω φέρεσθαι παραιτούμενοι, πεπείσθω μὲν ἡ σὴ ὁσιότης, ἐνδοιαζέτω δὲ τῶν ἄλλων μηδείς. παρέθηκα δ' ἂν καὶ χρήσεις αὐτῶν πολλάς, τοὺς L III 1111
ἐμαυτοῦ λόγους ἐξ αὐτῶν πιστούμενος, εἰ μὴ τὸ μῆκος ἐδεδίειν τοῦ γράμματος, μὴ ἄρα πως γένηται διὰ τοῦτο προσκορές. κατ' οὐδένα δὲ τρόπον σαλεύεσθαι παρά τινων ἀνεχόμεθα 20
τὴν ὁρισθεῖσαν πίστιν ἤτοι τὸ τῆς πίστεως σύμβολον παρὰ τῶν ἁγίων ἡμῶν πατέρων τῶν ἐν Νικαίαι συνελθόντων κατὰ καιροὺς οὔτε μὴν ἐπιτρέπομεν ἑαυτοῖς ἢ ἑτέροις ἢ λέξιν ἀμεῖψαι τῶν ἐγκειμένων ἐκεῖσε ἢ μίαν γοῦν παραβῆναι συλλαβήν, μεμνημένοι τοῦ λέγοντος PG 18, 1
μὴ μέταιρε ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες σου. οὐ γὰρ ἦσαν αὐτοὶ οἱ M V 30, 9
λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα τοῦ θεοῦ καὶ πατρός, ὃ ἐκπορεύεται μὲν ἐξ αὐτοῦ, ἔστιν δὲ οὐκ Prov. 22, 28
ἀλλότριον τοῦ υἱοῦ κατὰ τὸν τῆς οὐσίας λόγον. καὶ πρός γε τοῦτο ἡμᾶς οἱ τῶν ἁγίων 26
μυσταγωγῶν πιστοῦνται λόγοι. ἐν μὲν γὰρ ταῖς Πράξεσιν τῶν ἀποστόλων γέγραπται ἐλθόντες δὲ κατὰ τὴν Μυσίαν ἐπείραζον εἰς τὴν Βιθυνίαν πορευθῆναι, Act. 16, 7
καὶ οὐκ εἴασεν αὐτοὺς τὸ πνεῦμα Ἰησοῦ. ἐπιστέλλει δὲ καὶ ὁ θεσπέσιος Παῦλος

7—12 Fcyr 11 ἀπαθῆ — πάθη

V, P [= hk], S, D [= mn], AJRBEUHXWΔwΔmΔrΔpΔsΘpΘrΛqΛtΛcΛuΛkΛrΣ

1 πεπρᾶχθαι] γεγενῆσθαι E 2 ὅτι om. Fcyr σύγχυσις] οὐ χύσις X γέγονε B 2/3 σοῦ ἡ AJU 3 θεοσέβεια R ἐπιστομίσαι AJU θρυλλεῖν VPDBcorrUXW θρυλλοῦν S 3/4 πεφλυαρηκότος ΛqΛr (1) 4 τοιοῦτο A 5 θείαν τοῦ] τοῦ θῦ ΔmpsΛtukr 5/6 φύσιν τοῦ λόγου B 6 μένει — ἀλλ' om. V ἐστιν] ἦν R 7 καὶ] οὐδὲ VAJUΛq ἢ EΛtcukrΣ δεκτικὸσ SDB τοῦτο BEHXWΛq 8 πάντεσ HX om. AJUΣ εἰ] ἢ X 9 ὁρῶιτο τὰ] ὅρω τὰ ὅτε X ὅρω τὰ H ὁρῶ τὰ Λq τῆι om. ΔmpsFcyr συμβαίνοντα S 9/10 ταύτη — σαρκὶ post 11 θεότητοσ coll. HX 10 οὖν om. ΔmpsΛqtukΛr (1) παθόντοσ φησὶν ὑπὲρ ἡμῶν AJR παθόντοσ ὑπὲρ ἡμῶν φησὶ U παθόντοσ ὑπὲρ ἡμῶν SD Fcyr 11 ἀπορρήτου PΘrFcyr αὐτὸσ ὁ RWΔwrΘpr εἶναι om. HX πιστεύεται X 12 εἰς] ὡσ R ἔφη B 13 ὡς om. HX 14 ῥάπισμα S 15 ἀπεστράφη SΔs 16 ἑπόμεθα δόξαισ VAJU πανταχοῦ ἑπόμεθα B ἑπόμενοι Λq δὲ om. HX ταῖς] τῆσ HX πανευφήμου καὶ μακαρίου EΘr ἁγίου καὶ [καὶ om. S] πανευφήμου SD 17 ὅλως om. U ἔξω φέρεσθαι] ἀντιφέρεσ . P 18 ἄλλων] ὅλων R δ'] γὰρ P καὶ om. P χρήσεισ αὐτῶ VD χρήσεισ ἁγίων E αὐτῶν ῥήσεισ P 19 τὸ] γε HX ἐδεδοίκειν X ἐδεδίκην H 20 γένοιτο VPAJEU διὰ τοῦτο om. E δὲ om. DU γὰρ B 21 τὸ] τὸν R σύμβολον τὸ VPB πατέρων ἡμῶν BW πατέρων JE 22 συνελθυθότων AJU οὐδὲ R ἑτέροισ λέξιν RΛqtukr 23 γοῦν om. U 24 μετάβαινε ΔsΛtcukr αὐτοὶ] οὗτοι AJU 25 μὲν] μόνον HX, corr. X 26 τοῦ υἱοῦ om. V κατά γε VSD 27 μυσταγωγοὶ R ταῖς om. S 28 ἐπείραθον U 29 εἶα P τοῦ ῑ̄ῡ̄ D δὲ om. AJUΛq μακάριοσ WΔwΘpr

Rom. 8, 8.9 οἱ δὲ ἐν σαρκὶ ὄντες θεῷ ἀρέσαι οὐ δύνανται· ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί, ἀλλ' ἐν πνεύματι, εἴπερ πνεῦμα θεοῦ οἰκεῖ ἐν ὑμῖν· εἰ δέ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. ὅταν δὲ τινὲς τῶν τὰ ὀρθὰ διαστρέφειν εἰωθότων τὰς ἐμὰς παρατρέπωσι φωνὰς εἰς τὸ αὐτοῖς δοκοῦν, μὴ θαυμαζέτω τοῦτο ἡ σὴ ὁσιότης, εἰδυῖα ὅτι καὶ οἱ ἀπὸ πάσης αἱρέσεως ἐκ τῆς θεοπνεύστου γραφῆς τὰς τῆς ἑαυτῶν πλάνης συλλέγουσιν ἀφορμάς, τὰ διὰ τοῦ ἁγίου πνεύματος ὀρθῶς εἰρημένα ταῖς ἑαυτῶν κακονοίαις παραφθείροντες καὶ ταῖς ἰδίαις κεφαλαῖς τὴν ἄσβεστον ἐπαντλοῦντες φλόγα.

11 Ἐπειδὴ δὲ μεμαθήκαμεν ὅτι καὶ τὴν πρὸς τὸν μακάριον Ἐπίκτητον ἐπιστολὴν τοῦ πανευφήμου πατρὸς ἡμῶν Ἀθανασίου ὀρθοδόξως ἔχουσαν παραφθείραντες τινὲς ἐκδεδώκασιν, ὡς ἐντεῦθεν ἀδικεῖσθαι πολλούς, διὰ τοῦτο, χρήσιμόν τι καὶ ἀναγκαῖον ἐπινοοῦντες τοῖς ἀδελφοῖς, ἐξ ἀντιγράφων ἀρχαίων τῶν παρ' ἡμῖν καὶ ἀπλανῶς ἐχόντων ἀπεστείλαμεν τὰ ἴσα τῇ σῇ ὁσιότητι.

128 = S 90 A 127. Latina uersio extat in Collectione CT 76 cf. Coll. Casin. 172a [uol. IIII p 119]. ultimae partis inde a p. 25, 22. altera uersio adnexa est Dionysianae translationi Cyrilli epistulae alterius ad Successum [Coll. Sichard. 9]

Τοῦ αὐτοῦ πρὸς Ἀκάκιον ἐπίσκοπον Μελιτηνῆς

1 Κυρίῳ μου ἀγαπητῷ ἀδελφῷ καὶ συλλειτουργῷ Ἀκακίῳ Κύριλλος ἐν κυρίῳ χαίρειν. Χρῆμα μὲν ἀδελφοῖς ἡ πρόσρησις γλυκύ τε καὶ ἀξιάγαστον καὶ τοῦ παντὸς ἄξιον λόγου παρά γε τοῖς ἀρτίφροσιν ἀληθῶς· χρῆναι δὲ φημὶ τοὺς ὁμοπίστους τε καὶ ὁμοψύχους ἀδιαλείπτως ἐπείγεσθαι τοῦτο δρᾶν, οὐδενὸς ὄντος ἐμποδὼν οὔτε μὴν ἀνακόπτοντος τὴν εἴς γε τοῦτο θερμὴν ἔφεσίν τε καὶ προθυμίαν. ἀλλ' ἔσθ' ὅτε βασκαίνει καὶ οὐχ ἑκοῦσιν
PG 184 ἡμῖν ἢ τῶν μεταξὺ διαστημάτων τὸ μῆκος ἢ τῶν τοῦ γράμματος διακομιστῶν ἡ σπάνις· καιροῦ δὲ τὸ δύνασθαι προσειπεῖν εἰσφέροντος, εὕρεμα ποιεῖσθαι προσήκει τὸ πρᾶγμα καὶ
Coll Cas 172 τοῖς τριποθήτοις ἀσμένως ἐπιπηδᾶν. ἡσθεὶς δὴ οὖν ἄγαν ἐπὶ τοῖς παρὰ τῆς σῆς τελειό-

---

17—19 Fcyr 29 ἐκ τῆς πρὸς Ἀκάκιον τὸν Μελιτινῆς ἐπίσκοπον ἐπιστολῆς ἧς ἡ ἀρχή Χρῆμα — πρόσρησις

V, P [= hk], S, D [= mn], AJRBEUHXWΔwΔmΔpΔsΘpΘrΛqΛtΛcΛuΛkΛrΣ

4 στρέφειν WΘr φρονεῖν R ἐμὰς] ὀρθὰς S παρατρέπουσι R διαστρέφωσι S διαστρέφουσι HX παρατρέχωσι P εἰς — δοκοῦν om PAJU αὐταῖς S 5 τοῦτο om EHXΘr 6 πλάνης] αἱρέσεως S ὀρθῶς] καλῶς S 7 αὐτῶν UΔs ἀσεβεστάτην W 9 ἐπεὶ WΔwΘpr δὲ om. E τὴν om B 10 παραφθείραντος S 11 ὡς om S ἀδίκησεν H ἠδίκησε X διὰ τοῦτο] καὶ τοῦτο SDRBHX το P τι] τε VPU 12 καὶ VPAJREUHXWΔmpsΛcr (1) om. SDBΔwΛqtuΛk Λr (11) Σ 12/13 τὰ ἴσα — ὁσιότητι om P in fine add ἐρρωμένον σε καὶ ὑπερευχόμενον ἡμῶν ὁ κς διαφυλάξει [διαφυλάξει σε Xcorr] τιμιώτατε ἀδελφέ HXWΔwΘrΛr (11), cf notam Rustici $\overline{GR}$ *non habent, unus habet adiectum*, ἐρρωσο VSD ἐρρῶσθαί σε καὶ μνημονεύειν ἡμῶν τῷ κῳ εὔχομαι ἀναπητὲ καὶ ποθεινότατε E

V, P [= hk], S, D [= mn], AWRBUΛtΛc

17 Τοῦ — μελιτηνῆσ VPWRU' ἐπιστολὴ κυρίλλου ἀρχιεπισκόπου ἀλεξανδρείασ γραφεῖσα πρὸσ ἀκάκιον ἐπίσκοπον [add μελιτηνῆσ Smg] μεμψάμενον αὐτὸν δι' ἐπιστολῆσ ὡσ συνθέμενον τοῖσ ἀνατολικοῖσ SD τοῦ αὐτοῦ πρὸσ ἀκάκιον μελιτηνῆσ μεμψάμενον αὐτῷ ὅτι συνέθετο A τοῦ αὐτοῦ πρὸσ ἀκάκιον ἐπίσκοπον μεμψάμενον αὐτὸν ὡσ συνθέμενον τοῖσ ἀνατολικοῖσ B ρκη V ριθ P πζ' D 18 Κυρίῳ — χαίρειν] κύριλλοσ ἀκακίῳ W τῷ κυρίῳ P 19 πρόρρησισ R ἀξιέραστον B τοῦ om R τοῦτο SD 20 ἀρτιόφροσιν W ἄρτια φρονοῦσιν P ὁμοψύχους] ὁμοτίμουσ S 22 θερμὴν om WR τε om. WR προθεσμίαν U βασκαίνειν S 23 μεταξὺ om. SD τοῦ μεταξὺ V 24 καιροὺσ S τοῦ S εὕρημα U ποιεῖσθαι τὸ πρᾶγμα προσήκει A προσηνῆ [προσηνὲσ D] ποιεῖσθαι τὸ πρᾶγμα SD προσήκει ποιεῖσθαι τὸ γράμμα WRB 25 τριποθήτοισ PSDWRBΛtc οὕτω τριποθήτοισ VAU ἦσθην SD δὴ om. W δὴν U 25/p 21, 1 ὁσιότητοσ 3DU

τητος ἐπεσταλμένοις καὶ τεθαυμακὼς τὴν διάθεσιν, δεῖν ὠιήθην τῆς τῶν ἐκκλησιῶν εἰρήνης L III 1112
καταμηνῦσαι τὸν τρόπον ἕκαστά τε ὅπως γέγονεν, διειπεῖν.

2 Ὁ εὐσεβέστατος καὶ φιλόχριστος βασιλεὺς τὴν ὑπὲρ τῶν ἁγίων ἐκκλησιῶν φροντίδα πλείστην τε ὅσην καὶ ἀναγκαίαν ποιούμενος οὐ φορητὴν ἡγεῖτο τὴν τούτων διχόνοιαν· μεταπεμψάμενος τοίνυν τὸν εὐλαβέστατον καὶ θεοσεβέστατον ἐπίσκοπον τῆς ἁγίας Κωνσταντινουπολιτῶν ἐκκλησίας Μαξιμιανόν, καὶ ἑτέρους δὲ πλείστους τῶν αὐτόθι κατειλημμένων, τίνα δὴ τρόπον ἐκ μέσου μὲν γένοιτ' ἂν τῶν ἐκκλησιῶν ἡ διαφορά, κεκλήσονται δὲ M V 312
πρὸς εἰρήνην οἱ τῶν θείων μυστηρίων ἱερουργοί, διεσκέπτετο. οἳ δὲ ἔφασκον ὡς οὐκ ἂν ἑτέρως γένοιτο τοῦτό ποτε οὐδ' ἂν εἰς ὁμοψυχίαν ἔλθοιεν τὴν πρὸς ἀλλήλους οἱ περὶ ὧν ὁ λόγος, μὴ προανατείλαντος αὐτοῖς καὶ οἱονεὶ προεισκεκομισμένου τοῦ συνδέσμου τῆς ὁμοπιστίας, ἔφασκόν τε ὅτι τὸν τῆς Ἀντιοχείας θεοσεβέστατον ἐπίσκοπον Ἰωάννην ἀναθεματίσαι χρὴ τὰ Νεστορίου δόγματα καὶ ἐγγράφως ὁμολογῆσαι τὴν καθαίρεσιν αὐτοῦ καὶ τό γε ἧκον εἰς λύπας ἰδίας ὁ τῆς Ἀλεξανδρείας ἐπίσκοπος ἀμνημονήσει τε διὰ τὴν ἀγάπην καὶ παρ' οὐδὲν ἡγήσεται τὸ ὑβρίσθαι κατὰ τὴν Ἐφεσίων, καίτοι παγχάλεπόν τε καὶ δύ-
3 σοιστον ὄν. συναινέσαντος τοίνυν καὶ ἡσθέντος ἄγαν ἐπὶ τούτοις τοῦ εὐσεβεστάτου βασιλέως, ἀπεστάλη τοῦτο αὐτὸ κατορθώσων ὁ κύριός μου ὁ θαυμασιώτατος τριβοῦνος καὶ νοτάριος Ἀριστόλαος. ἐπειδὴ δὲ τοῖς κατὰ τὴν Ἑώιαν τὸ βασιλικὸν ἐνεφανίσθη θέσπισμα ep. 120
καὶ ὡς μετὰ γνώμης γεγονὸς τῶν εὑρεθέντων ἐπισκόπων κατὰ τὴν μεγάλην Κωνσταντινούπολιν, οὐκ οἶδ' ὅτι σκοπήσαντες συνήχθησαν μὲν πρὸς τὸν ὁσιώτατον καὶ θεοσεβέστατον τῆς Βεροιαίων ἐπίσκοπον Ἀκάκιον γράψαι τε πρός με παρεσκεύασαν ὅτι τὸν τῆς συμβάσεως A 105
τρόπον ἤτοι τὸν τῆς εἰρήνης τῶν ἁγίων ἐκκλησιῶν οὐχ ἑτέρως γενέσθαι προσήκει, εἰ μὴ κατὰ τὸ αὐτοῖς δοκοῦν. ἦν δὲ δὴ ἄρα τοῦτο φορτικὸν καὶ βαρὺ τὸ αἴτημα. ἤθελον γὰρ ἀργῆσαι μὲν σύμπαντα τὰ παρ' ἐμοῦ γραφέντα ἔν τε ἐπιστολαῖς καὶ τόμοις καὶ βιβλιδίοις, μόνηι δὲ ἐκείνηι συνθέσθαι τῆι ἐν Νικαίαι παρὰ τῶν ἁγίων ἡμῶν πατέρων ὁρισθείσηι πίστει. ἐγὼ δὲ πρὸς ταῦτα ἔγραφον ὅτι τῆι μὲν ἐκθέσει τῆς πίστεως τῆι ὁρισθείσηι A 107
παρὰ τῶν ἁγίων πατέρων κατὰ τὴν Νικαέων πόλιν ἑπόμεθα πάντες, οὐδὲν τὸ παράπαν τῶν ἐν αὐτῆι κειμένων παρασημαίνοντες (ἔχει γὰρ πάντα ὀρθῶς καὶ ἀλήπτως καὶ τὸ περίεργον ἔτι μετ' ἐκείνην οὐκ ἀσφαλές), ἃ δὲ γεγράφαμεν ὀρθῶς κατὰ τῶν Νεστορίου δυσφημιῶν, οὐδεὶς ἡμᾶς ἀναπείσει λόγος ὡς οὐκ εὖ γεγόνασιν, εἰπεῖν, χρῆναι δὲ μᾶλλον αὐτοὺς PG 185
κατά γε τὸ δόξαν καὶ τῶι εὐσεβεστάτωι καὶ φιλοχρίστωι βασιλεῖ, καὶ αὐτῆι δὲ τῆι ἁγίαι

V, P [= hk], S, D [= mn], AWRB, U [usque ad 10 προανατεί-], ΛtΛc

1 ἀπεσταλμένοις P τεθαυμακόσι S τεθαυμακώσ σοι D 2 διαμηνῦσαι W τε] δὲ SDWR 3 εὐλαβέστατοσ P ἡμῶν βασιλεὺσ WR ἁγίων om. VP¹ 4 τε om. VP καὶ om. VP ἀναγκαιοτάτην BU ἡγεῖται P 5 θεοφιλέστατον καὶ θεοσεβέστατον P 6 δὲ om. WRB 6/7 κατειλεγμένων B 7 δὴ om. SDB τρόπον ἕκαστά τε οἷσ V μὲν VPAUΛtc om. SDWRB κεκλῆσθαι SD 8 οἱ τῶν θείων ἱερουργοὶ μυστηρίων V τῶν θείων μυστηρίων οἱ ἱερουργοὶ SDB διεσκέπτοντο SD ὡς om. SDWRB 9 καὶ οὐδ' SD εἰς] εἰ V ἔλθοιεν ποτὲ S 10—p. 24, 7 -λαντος αὐτοῖς — τῆς ἑνού- om. U propter folii defectum 11 ὁμοψυχίασ καὶ ὁμοπιστίασ SD ὅτι om. P τὸν τῆσ θεοσεβείασ ἔμπλεων ἐπίσκοπον ἰωάννην τὸν ἀντιοχείασ V θεοσεβέστατον om. WR 12 χρὴν P 13 ἀλεξανδρέων SD τε om. WR δι' ἀγάπην P 14 ὑβρισθῆναι WR τε om. SD 15 ὄν om. SD τούτω WR 16 αὐτὸ τοῦτο V κατορθωκὼσ Bcorr 18 γεγονότοσ SD ἁγίων ἐπισκόπων A ἐπισκόπων om. R 19 συνηνέχθησαν S ὁσιώτατον καὶ θεοσεβέστατον] ἁγιώτατον καὶ ὁσιώτατον SDB 20 τῆσ βερροιαίων [βερροιέων W βεροιέων RB] ἐπίσκοπον VPAWRB ἐπίσκοπον τῆσ βεροιαίων SD δὲ D ἐμὲ SD παρασκευάσαντεσ P συμβιβάσεωσ VP 22 τε καὶ PA 23 μὲν γὰρ ἀργῆσαι SD ἐπιστολῆ S καὶ τόμοις om. R 23/24 βιβλίοισ DA βίβλοισ S 24 πρῶν ἡμῶν PWRB 25 ἔγραψα SD γέγραφα WR 26 πάντεσ ἑπόμεθα B τὸ παράπαν] τῶν πάντων S 27 παρασημαίνοντεσ VPA *transgredientes* [= παραβαίνοντεσ] Λc παρασαλεύοντεσ SDWRB *destruentes* Λt καὶ ἀλήπτωσ om. V 28 γεγραφήκαμεν SDB 29 ἡμᾶς om. V λόγοσ] ὅλωσ SD 30 καὶ¹ om. WR

συνόδωι τῆι κατὰ τὴν Ἐφεσίων πόλιν συναγηγερμένηι ποιεῖσθαι μὲν ἀποκήρυκτον τὸν τῆι τοῦ σωτῆρος δόξηι μεμαχημένον, ἀναθεματίσαι δὲ τὰς ἀνοσίους αὐτοῦ δυσφημίας ὁμολογῆσαί τε τὴν καθαίρεσιν αὐτοῦ καὶ συναινέσαι τῆι χειροτονίαι τοῦ ὁσιωτάτου καὶ θεοσε-
4 βεστάτου ἐπισκόπου Μαξιμιανοῦ. τούτων τοίνυν αὐτοῖς τῶν γραμμάτων ἀποδοθέντων, πεπόμφασιν εἰς τὴν Ἀλεξάνδρειαν τὸν εὐλαβέστατον καὶ θεοσεβέστατον ἐπίσκοπον Παῦλον τῆς Ἐμεσηνῶν· πρὸς ὃν πλεῖστοι μὲν ὅσοι καὶ μακροὶ γεγόνασι λόγοι περὶ τῶν κατὰ τὴν
L III 1115 Ἐφεσίων ὡμῶς καὶ ἀκαθηκόντως εἰρημένων τε καὶ πεπραγμένων. ἐπειδὴ δὲ τούτων ἀμνημονήσαντας τῶν ἀναγκαιοτέρων ἔχεσθαι μᾶλλον ἐχρῆν σπουδασμάτων, ἠρώτων εἰ ἐπι-
A 108 κομίζεται γράμματα τοῦ θεοσεβεστάτου ἐπισκόπου Ἰωάννου. εἶτά μοι προεκόμισεν ἐπιστολήν, ἃ μὲν ἐχρῆν ἔχειν, οὐκ ἔχουσαν, ὑπαγορευθεῖσαν δὲ μᾶλλον οὐ καθ' ὃν ἔδει τρόπον (παροξυσμοῦ γάρ, οὐ παρακλήσεως εἶχεν δύναμιν, καὶ ταύτην οὐ προσηκάμην), καίτοι γε δέον ταῖς ἀπολογίαις τὴν ἐμὴν καταγοητεῦσαι λύπην τὴν ἐπί γε τοῖς φθάσασι καὶ παρ' αὐτῶν γεγονόσι κατὰ τὴν Ἐφεσίων. καὶ εὐαφόρμως ἔφασκον παρωξύνθαι κατ' ἐμοῦ διά τοι τὸν
M V 313 ζῆλον τὸν ὑπέρ γε τῶν ἱερῶν δογμάτων. ἀλλ' ἤκουον ὅτι οὔτε ζῆλος αὐτοὺς κεκίνηκεν θεῖος οὔτε τῶν τῆς ἀληθείας δογμάτων ὑπερμαχόμενοι συνεφράττοντο κατ' ἐμοῦ, ἀλλὰ ταῖς ἀνθρώπων εἴξαντες κολακείαις καὶ τὰς τῶν ἰσχύοντων τὸ τηνικάδε φιλίας ἐφ' ἑαυτοὺς ἁρπάζοντες. ὅμως τοῦ θεοσεβεστάτου ἐπισκόπου φάσκοντος ἑτοίμως ἔχειν ἀναθεματίζειν τὰς Νεστορίου δυσφημίας καὶ ὁμολογεῖν αὐτοῦ τὴν καθαίρεσιν ἐγγράφως καὶ τοῦτο δρᾶν ὑπὲρ πάντων καὶ ὡς ἐκ προσώπου πάντων τῶν κατὰ τὴν Ἀνατολὴν θεοσεβεστάτων
ep. 122 ἐπισκόπων, ἀντενήνεγμαι λέγων τὸν παρ' αὐτοῦ περὶ τούτου προκομιζόμενον χάρτην ἀρκέσειν αὐτῶι καὶ μόνωι προς τὸ χρῆναι τυχεῖν τῆς παρὰ πάντων ἡμῶν κοινωνίας, διεβεβαιούμην δὲ ὅτι πάντηι τε καὶ πάντως ἔγγραφον ὁμολογίαν περὶ τούτων ἐκθέσθαι προσήκει τὸν εὐλαβέστατον καὶ θεοσεβέστατον τῆς Ἀντιοχέων ἐπίσκοπον Ἰωάννην· ὃ δὴ καὶ γέγονεν, καὶ πέπαυται τὸ μεσολαβοῦν καὶ ἀποφοιτᾶν ἀλλήλων ἀναπεῖθον τὰς ἐκκλησίας.

5 Ἀλλ' ἦν οὐδαμόθεν ἀμφίβολον ὅτι τῶν Νεστορίου δυσφημιῶν τοὺς ὑπασπιστὰς κατατήξειν ἔμελλεν τῶν ἁγίων ἐκκλησιῶν ἡ εἰρήνη. καί μοι δοκοῦσι τοιοῦτόν τι παθεῖν ὁποῖόν τι συμβαίνειν ἔθος τοῖς νήχεσθαι μὲν οὐκ εἰδόσι, νεώς γε μὴν ἀδοκήτως ἀπολισθήσασιν· οἳ ἐπειδὰν καταπνίγωνται, πόδας τε καὶ χεῖρας ὧδε κἀκεῖσε διαρριπτοῦντες ἀτάκτως τοῦ παρατυχόντος ἁπλῶς ἐπιδράττονται φιλοψυχοῦντες οἱ δείλαιοι. ἢ οὐκ ἀληθὲς εἰπεῖν ὡς

V, P [= hk], S, D [= mn], AWRBΛ¹Λ^{c}

1 τὴν τῶν V πόλει VS μητρόπολιν Λ συνειλεγμένη S ποιῆσαι V τὸν om S 2 μεμηχανημένον P τὲ SWR φωνὰς S 2/3 ὁμολογῆσαι — αὐτοῦ om. S 3 δὲ WR ὁσιωτάτου] ἁγιωτάτου B 4 μαξιμιανοῦ τοῦ ἐπισκόπου WR αὐτῶν [αὐτῶ D] τῶν γραμμάτων SD τῶν γραμμάτων αὐτοῖσ A 5 πεπόμφαμεν S τὸν om. B καὶ θεοσεβέστατον om. SDB καὶ θεοφιλέστατον WR παῦλον ἐπίσκοπον W ἐπίσκοπον VP 5/6 τῆσ ἐμεσινῶν παῦλον B 6 ἐμισηνῶν VA καὶ om. VP τὴν τῶν V τῶν R 7 ὅμως P ἀνόμως SD τὲ καὶ WR ἀκαθηκόντωσ SABΛ^{1c} οὐ καθηκόντωσ VDWR οὐ καθηκόντων P τῶν τοιούτων A 8 ἀμνημονήσαντεσ S μᾶλλον ἔχεσθαι WRB 8/9 ἐπικομίζετε Λ^{1c} ἐπικομίζονται V 9 τὰ γράμματα R μοι AWB μὴ R ἐμοὶ VP om. SD προεκόμιζεν WR προσεκόμισεν B 10 ἐχρῆν ἔχειν] ἔχειν B ἔχειν δέον B^{corr} 11 ἔχει SD γε VA γὰρ PWRBΛ^{c} om. SD 12 ἐπὶ τοῖσ VP ἐπὶ τοῖσ γε B 13 ἔφασκον γὰρ A παροξυνθῆναι SD 14 γε om. VPWR ἤκουσαν V ὁ ζῆλοσ V αὐτοὺς om S 15 ὁ θεῖοσ V συνεφράξαντο SDB 16 τὸ om. S ἑαυτοῖσ DRB 17 θεοφιλεστάτου PΛ^{1} ἐπισκόπου φάσκοντοσ A ἐπισκόπου παύλου φάσκοντοσ PDBΛ^{1c} παύλου ἐπισκόπου φάσκοντοσ V παύλου φάσκοντοσ S ἐπισκόπου φάσκοντοσ παύλου WR 18 καὶ ὁμολογεῖν — ἐγγράφως om. V 20 προκείμενον WR 20/21 ἀρέσκειν D οὐκ ἀρκέσειν WR 21 καὶ om. VP μόνον P παρὰ — ἡμῶν] παρ' αὐτοῦ S ἡμῶν om. B 22 δὲ] τὲ PΛ^{1c} πάντωσ τε καὶ πάντη V ἔγραφον P περὶ om. V ἐκθέσθαι περὶ τούτων WR 23 θεοφιλέστατον R ἐπίσκοπον τῆσ [τῆσ om. WR] ἀντιοχέων SDWR 25 ἀμφιβολία V ἀμφιβολία ἢ P ἀμφίλογον B 25/26 καταλήξειν SD 26 ἁγίων om W τοιοῦτό WR 27 τι om. D εἰδόσι νεῶσ VAWRBΛ^{1c} εἰδόσιν ἕωσ P εἰδόσιν ὅμωσ SD γε μὴν] δ' ἡμῖν h δὲ ἡμὶν k 28 διαρίπτοντεσ S

τεθορύβηνται λίαν, ἐκπεσόντες καὶ μεμονωμένοι καὶ ἔξω γεγονότες ἐκκλησιῶν, ἃς ἐνόμιζον ἔσεσθαι πρὸς ἐπικουρίαν αὐτοῖς; ἢ οὐκ ἀσχάλλουσι, καὶ τοῦτο οὐ φορητῶς, ἀποπη- PG 188
δῶντας αὐτῶν τοὺς ἡπατημένους ὁρῶντες καὶ λοιπὸν ἀνανήφοντας εἰς ἀλήθειαν τοὺς ταῖς παρ' αὐτῶν βεβήλοις κενοφωνίαις οἱονεί πως ἐκμεμεθυσμένους; καίτοι φαίη τις ἂν αὐτοῖς καὶ λίαν ἐπὶ καιροῦ τὸ διὰ τῆς τοῦ προφήτου φωνῆς συνάχθητε καὶ συνδέ- Sophon. 2, 1
θητε, τὸ ἔθνος τὸ ἀπαίδευτον, πρὸ τοῦ γενέσθαι ὑμᾶς ὡσεὶ ἄνθος παρα- 6
πορευόμενον. διὰ τί γὰρ ὅλως γεγόνασιν ἀλλοτρίων ἐμέτων παράσιτοι, οὐκ αἰσχύ-
νονται δὲ τοῖς ἑτέρου βορβόροις τὰς ἑαυτῶν καρδίας καταμιαίνοντες; οἱ κωφοὶ ἀκούσατε Ies. 42, 18
καὶ οἱ τυφλοὶ ἀναβλέψατε ἰδεῖν· φρονήσατε περὶ τοῦ κυρίου ἀληθῆ καὶ Sap. Sal. 1, 1
ἐν ἁπλότητι καρδίας ζητήσατε αὐτόν. ποία γὰρ χρεία πολυπλόκων ὑμῖν εὑρη- 10
μάτων καὶ λόγων διεστραμμένων; τί τὴν ἐπ' εὐθὺ περιυβρίζοντες τρίβον καμπύλας ποιεῖτε
τὰς ἑαυτῶν τροχιάς; νεώσατε ἑαυτοῖς νεώματα καὶ μὴ σπείρετε ἐπ' ἀκάνθαις. Ier. 4, 3
6 ἀλύοντες γάρ, ὡς ἔφην, ἐπὶ τῇι εἰρήνηι τῶν ἁγίων ἐκκλησιῶν, τοὺς μὴ ἀνασχομένους τὰ I. III 1118
ἴσα φρονεῖν αὐτοῖς κακουργότατα διασύρουσιν καὶ καταγορεύουσι πικρῶς τῆς ἀπολογίας τῶν
ἁγίων ἐπισκόπων, τῶν ἀπό γε τῆς Ἑώιας φημί· εἶτα περιέλκοντες αὐτὴν πρὸς τὸ αὐτοῖς 15
ἡδύ τε καὶ φίλον καὶ νοοῦντες οὐκ ὀρθῶς, οὐκ ἀπαιδόντως γενέσθαι φασὶ ταῖς Νεστορίου
κενοφωνίαις. συγκαταψέγουσι δὲ καὶ ἡμᾶς ὡς οἷς ἤδη γεγράφαμεν, πεφρονηκότας τὰ
ἐναντία. μανθάνω δὲ ὅτι κἀκεῖνό φασιν ὅτι πίστεως ἔκθεσιν ἤτοι σύμβολον καινὸν
ἀρτίως κατεδεξάμεθα, τάχα που τὸ ἀρχαῖον ἐκεῖνο καὶ σεπτὸν ἀτιμάσαντες. καὶ ὁ μὲν
μωρὸς μωρὰ λαλήσει καὶ ἡ καρδία αὐτοῦ μάταια νοήσει, πλὴν ἐκεῖνο φαμέν· 20 Ies. 32, 6
οὐ πίστεως ἔκθεσιν ἢ ἐξήιτηνται παρ' ἡμῶν τινες ἢ γοῦν καινοτομηθεῖσαν παρ' ἑτέρων κα- M V 316
τεδεξάμεθα. ἀπόχρη γὰρ ἡμῖν ἡ θεόπνευστος γραφὴ καὶ τῶν ἁγίων πατέρων ἡ νῆψις
καὶ τὸ πρὸς πᾶν ὁτιοῦν τῶν ἐχόντων ὀρθῶς ἐκτετορνευμένον τῆς πίστεως σύμβολον.
7 ἐπειδὴ δὲ ἦσαν οἱ κατὰ τὴν Ἀνατολὴν ὁσιώτατοι ἐπίσκοποι διχονοήσαντες πρὸς ἡμᾶς κατὰ
τὴν Ἐφεσίων καὶ γεγόνασί πως ἐν ὑποψίαις τοῦ καὶ ἐναλῶναι βρόχοις τῶν Νεστορίου 25
δυσφημιῶν, ταύτηι τοι καὶ μάλα ἐμφρόνως ἀπαλλάττοντες ἑαυτοὺς τῆς ἐπὶ τούτοις αἰτίας
καὶ τοὺς τῆς ἀμωμήτου πίστεως ἐραστὰς πληροφορεῖν σπουδάζοντες ὅτι τῆς ἐκείνου βδε-
λυρίας ἀμοιρεῖν ἐγνώκασιν, πεποίηνται τὴν ἀπολογίαν, καὶ τὸ χρῆμά ἐστι ψόγου τε παντὸς
καὶ μώμου μακράν. ἆρα γὰρ εἰ καὶ αὐτὸς Νεστόριος κατ' ἐκεῖνο καιροῦ καθ' ὃν αὐτῶι
προετείνετο παρὰ πάντων ἡμῶν τὸ χρῆναι καταψηφίσασθαι τῶν ἑαυτοῦ δογμάτων καὶ ἀν- 30
θελέσθαι τὴν ἀλήθειαν, ἔγγραφον ἐποιήσατο τὴν ἐπὶ τούτοις ὁμολογίαν, καὶ αὐτὸν ἄν τις
ἔφη πίστεως ἡμῖν καινοτομῆσαι σύμβολον; τί τοίνυν διαλοιδοροῦνται μάτην, ἔκθεσιν συμ-
βόλου καινὴν ὀνομάζοντες τὴν συναίνεσιν τῶν κατὰ τὴν Φοινίκην θεοσεβεστάτων ἐπισκόπων,
ἣν πεποίηνται χρησίμως τε καὶ ἀναγκαίως ἀπολογούμενοί τε καὶ θεραπεύοντες τοὺς οἰη- PG 189

V, P [= hk], S, D [= mn], AWRBΛ¹Λ^{c}

1 γενόμενοι A τῶν ἐκκλησιῶν SD 2 οὐ φορητῶς] ἀφορήτως WR 3 ὁρῶντες τοὺς ἡπατημένους B 4 καινοφωνίαις SD ἄν τις SDB 5/6 συνδεήθητε P 6 τὸ¹ om. P ὡς SDWRB 7 ὅλως AWRBΛ^{c} om. VPSD καὶ οὐκ S 8 δὲ om. BΛ^{c} ἑτέρου] ἐκείνου WR 9 χῡ BΛ^{t} 10 ἐκζητήσατε S ἡμῖν VSmB 10/11 εὑρεμάτων SDW 11 ἐπ' εὐθὺ] εὐθῆ SD περιυβρίσαντες SDB 13 τὴν εἰρήνην V, corr. V τῶν ἐκκλησιῶν τῶν ἁγίων P ἀνεχομένους WR 13/14 αὐτοῖς τὰ ἴσα φρονεῖν B 15 ἐπισκόπων] ἐκκλησιῶν B γε om. VP ἑαυτοῖς V 16 φασὶ γενέσθαι SDWRB τὰς D 17 καινοφωνίαις S καινοφωνίας D ὡς οἷς] ὅσοις S 21 ἡ om. VPΛ^{c} ἐζήτηνται PSDA, corr. S γοῦν om. W 24 ἦσαν om. S 25 τὴν τῶν V καὶ om. S ὑπεροψίαις S γρ ἐν ὑποψίαις superscr. S ὑποψία VP ἁλῶναι SD 26 βλασφημιῶν P ἐμφρόνως ὡς SD 27 ἀμώμου D 28 ἀμοιρεῖν] καταφρονεῖν S 28/29 παντὸς καὶ] καὶ παντὸς WR 29 γὰρ om. P γε W κἂν SD 30 παρ' ἡμῶν S 30/31 καὶ ἀνθελέσθαι] ἀνθελέσθαι δὲ WR 31 ἐπί γε SDB 32 τοίνυν ταύτη W ἔκθεσιν εἶναι B 33 σύνεσιν VP τὴν om. A

θέντας ὅτι ταῖς Νεστορίου κατακολουθοῦσι φωναῖς; ἡ μὲν γὰρ ἁγία καὶ οἰκουμενικὴ
A 77 σύνοδος ἡ κατὰ τὴν Ἐφεσίων πόλιν συνειλεγμένη προενόησεν ἀναγκαίως τοῦ μὴ δεῖν ταῖς ἐκκλησίαις τοῦ θεοῦ πίστεως ἔκθεσιν ἑτέραν εἰσκρίνεσθαι παρά γε τὴν οὖσαν, ἣν οἱ τρισμακάριοι πατέρες ἐν ἁγίωι πνεύματι λαλοῦντες ὡρίσαντο. οἵ γε μὴν ἅπαξ οὐκ οἶδ' ὅπως πρὸς αὐτὴν διχονοήσαντες, γεγονότες δὲ καὶ ἐν ὑποψίαις τοῦ μὴ ὀρθῶς ἐλέσθαι φρονεῖν μήτε μὴν τοῖς ἀποστολικοῖς τε καὶ εὐαγγελικοῖς ἕπεσθαι δόγμασιν ἆρα σιωπῶντες ἀπηλλάγησαν ἂν τῆς ἐπὶ τούτωι δυσκλείας ἢ μᾶλλον ἀπολογούμενοι καὶ τῆς ἐνούσης αὐτοῖς δόξης
1 Petr. 3, 15 τὴν δύναμιν ἐμφανίζοντες; καίτοι γέγραφεν ὁ θεσπέσιος μαθητής· ἕτοιμοι ἀεὶ πρὸς ἀπολογίαν παντὶ τῶι αἰτοῦντι ὑμᾶς λόγον περὶ τῆς ἐν ὑμῖν ἐλπίδος· ὁ δὲ τοῦτο δρᾶν ἡιρημένος καινουργεῖ μὲν οὐδέν, ἀλλ' οὐδὲ πίστεως ἔκθεσιν ὁρᾶται καινοτομῶν,
ἐναργῆ δὲ μᾶλλον καθίστησιν τοῖς ἐρομένοις αὐτὸν ἣν ἂν ἔχοι πίστιν περὶ Χριστοῦ.

8 Ἐπυθόμην δὲ πρὸς τούτοις ὅτι ταῖς τῶν θεοσεβεστάτων ἐπισκόπων ὁμοψυχίαις οὐ
L III 1119 μετρίως ἐπιστυγνάζοντες οἱ τῆς ἀληθείας ἐχθροὶ ἄνω τε καὶ κάτω διακυκῶσι [τὰ πάντα] καὶ τοῖς ἀνοσίοις ἑαυτῶν εὑρήμασι συμβῆναί φασι τῆς παρ' αὐτῶν γεγενημένης ὁμολογίας τὴν δύναμιν, ἣν ἐπὶ τῆι ὀρθῆι πεποίηνται πίστει, καινοτομοῦντες μέν, ὡς ἔφην, ἢ γοῦν προσεπάγοντες τοῖς πάλαι διωρισμένοις τὸ σύμπαν οὐδέν, ἑπόμενοι δὲ μᾶλλον τοῖς τῶν ἁγίων πατέρων ἀνεπιπλήκτοις δόγμασιν. ἵνα δὲ ψευδοεποῦντας ἐλέγχωμεν, φέρε, παραγάγωμεν εἰς μέσον τὰς Νεστορίου φλυαρίας καὶ τὰς τούτων φωνάς. ἐκδείξειε γὰρ ἂν ὧδέ τε
9 καὶ οὐχ ἑτέρως τὸ ἀληθὲς ἡ βάσανος. οὐκοῦν Νεστόριος μὲν ἀναιρῶν εἰς ἅπαν εὑρίσκεται τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ τὴν κατὰ σάρκα γέννησιν· οὐ γάρτοι τετέχθαι φησὶν αὐτὸν ἐκ γυναικὸς κατὰ τὰς γραφάς. ἔφη γὰρ οὕτως·

Loofs, Nestoriana p. 277, 25—278, 2 M V 317

Τὸ παρελθεῖν τὸν θεὸν ἐκ τῆς Χριστοτόκου παρθένου παρὰ τῆς θείας ἐδιδάχθην γραφῆς· τὸ δὲ γεννηθῆναι θεὸν ἐξ αὐτῆς οὐδαμοῦ ἐδιδάχθην.

ibid. p. 278, 5-7

Ἐν ἑτέραι δὲ πάλιν ἐξηγήσει· Οὐδαμοῦ τοίνυν ἡ θεία γραφὴ θεὸν ἐκ τῆς Χριστοτόκου παρθένου λέγει γεγεννῆσθαι, ἀλλὰ Ἰησοῦν Χριστὸν υἱὸν κύριον.

Ὅτι δὲ ταῦτα λέγων εἰς υἱοὺς δύο μερίζει τὸν ἕνα καὶ ἕτερον μὲν ἰδικῶς εἶναί φησιν υἱὸν καὶ Χριστὸν καὶ κύριον, τὸν ἐκ θεοῦ πατρὸς γεννηθέντα λόγον, ἕτερον δὲ πάλιν ἀνὰ μέρος τε καὶ ἰδικῶς υἱὸν καὶ Χριστὸν καὶ κύριον, τὸν ἐκ τῆς ἁγίας παρθένου, πῶς ἂν ἐν-
ep. 127 10 δοιάσειέ τις, αὐτὸ δὴ τοῦτο σαφῶς μόνον οὐχὶ βοῶντος ἐκείνου; οἳ δὲ θεοτόκον ὀνομάζουσι τὴν ἁγίαν παρθένον ἕνα τε εἶναί φασιν υἱὸν καὶ Χριστὸν καὶ κύριον, τέλειον ἐν θεό-

1—4 adfert Timoth. arm. p. 256 19—p. 27, 24] Doctr. patr. 23, 5 ἐκ τῆς πρὸς Ἀκάκιον ἐπιστολῆς· 'οὐκοῦν Νεστόριος — καὶ ἐν ταυτῶι'

V, P [= hk], S, D [= mn], AWRB, U [inde a 7 -σησ αὐτῶ δόξησ], RΛιΛc

1 κενοφωνίαισ V τὲ καὶ AWR 2 γε τὴν A γε τῶν V 4 πατέρεσ ἡμῶν SD 5 εἰσ WR καὶ ἐν ὑποψίαισ δὲ γεγονότεσ V ὑπεροψίαισ S γρ ὑποψίαισ superscr. S ἑλέσθαι om. S 6 σιωπήσαντεσ WR 6/7 ἀπηλλάχθησαν PAB 7 ἂν om. WR τούτοισ S δυσκλείασ VAWR δυσκολίασ SDB διδασκαλίασ P 8 ἐμφανίσαντεσ WR ἕτοιμοσ S 9 ἀπαιτοῦντι PAB τῆσ οὔσησ WRB ἡμῖν BΛιc ὁ VAU αὐτὸ SDWRB ὁ αὐτὸσ P δὴ WR 10 δρᾶν τίσ B οὖν δρᾶν τισ WR 11 μᾶλλον om SD ἔχη h ἔχει k χν̄ B 13 τὰ πάντα VAWRU om. PSDBΛιc 14 αὐτῶν V εὑρέμασι DB om. S τῆς om. S γενομένησ PWR ἀπολογίασ WRB 17 ἀνεπιλήπτοισ P δὲ om. R ψευδοποιοῦνταασ W ἐλέγξωμεν VP ἐλέγχωμεν αὐτοὺσ WRB 18 τούτου V ἐκδείξειε γὰρ ἂν AU ἐκδείξειε γὰρ S ἐκδείξει γὰρ DWR ἐνδείξειε γὰρ ἂν VP ἐκδεξώμεθα ἔχει γὰρ B τε om. SDB 19 τὸ] ὅτι S εἰσ ἅπαν ἀναιρῶν SDB 22 παρθένου om. WR ἐδιδάχθημεν SD 23 γεγεννῆσθαι DB γεγενῆσθαι S οὐδαμοῦ VAWRAιc οὐδαμῶσ PSDBU 24 καὶ ἐν ἑτέρα δὲ WR 25 γεγενῆσθαι λέγει P γεγενῆσθαι VSRU, corr. RU χν̄ ιν̄ VP κν̄ AWRBU Doctr. καὶ κν̄ VPSD om. Λιc 26 εἶναι ἰδικῶσ S φησιν εἶναι S 27 θεοῦ — λόγον] τῆσ ἁγίασ παρθένου B 28 υἱὸν — παρθένου] τὸν ἐκ θῦ πρ̄σ γεννηθέντα λόγον B 29/30 ὁμολογοῦσι A 30 κν̄ καὶ χν̄ B

τητι, τέλειον ἐν ἀνθρωπότητι, ἅτε δὴ καὶ ἐψυχωμένης αὐτοῦ τῆς σαρκὸς ψυχῇ νοερᾷ. ὅτι γὰρ οὐχ ἕτερον εἶναί φασιν υἱὸν τὸν ἐκ θεοῦ πατρὸς λόγον, ἕτερον δὲ πάλιν τὸν ἐκ τῆς ἁγίας παρθένου, καθὰ Νεστορίῳ δοκεῖ, ἕνα δὲ μᾶλλον καὶ τὸν αὐτόν, σαφὲς ἂν γένοιτο PG 192
καὶ μάλα ῥαιδίως διά γε τῶν ἐφεξῆς. προσεπάγουσι γάρ, τίς ἂν εἴη σημαίνοντες ὁ 4
τέλειος ὡς θεός, τέλειος δὲ καὶ ἄνθρωπος, >τὸν πρὸ αἰώνων μὲν ἐκ τοῦ πατρὸς γεννηθέντα ep. 123. 127
κατὰ τὴν θεότητα, ἐπ' ἐσχάτου δὲ τῶν ἡμερῶν δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Μαρίας τῆς ἁγίας παρθένου κατὰ τὴν ἀνθρωπότητα, ὁμοούσιον τῷ πατρὶ τὸν αὐτὸν κατὰ τὴν θεότητα καὶ ὁμοούσιον ἡμῖν κατὰ τὴν ἀνθρωπότητα<. οὐκοῦν ἥκιστα μὲν εἰς δύο διαιροῦσι τὸν ἕνα υἱὸν καὶ Χριστὸν καὶ κύριον Ἰησοῦν, τὸν αὐτὸν δὲ εἶναί φασιν τὸν πρὸ αἰῶνος καὶ ἐν ἐσχάτοις, δῆλον δὲ ὅτι τὸν ἐκ θεοῦ πατρὸς ὡς θεὸν καὶ ἐκ γυναικὸς κατὰ 10
11 σάρκα ὡς ἄνθρωπον. πῶς γὰρ ἂν νοοῖτο πρὸς ἡμᾶς ὁμοούσιος εἶναι κατὰ τὴν ἀνθρωπότητα, καίτοι γεννηθεὶς ἐκ πατρός, κατά γε φημὶ τὴν θεότητα, εἰ μὴ νοοῖτο καὶ λέγοιτο θεός τε ὁμοῦ καὶ ἄνθρωπος ὁ αὐτός; ἀλλ' οὐχ ὧδε ταῦτ' ἔχειν Νεστορίῳ δοκεῖ, τέτραπται δὲ μᾶλλον ὁ σκοπὸς αὐτῷ πρὸς πᾶν τοὐναντίον. ἔφη γοῦν ἐπ' ἐκκλησίας ἐξηγούμενος· 15

Διὰ τοῦτο καὶ Χριστὸς ὁ θεὸς λόγος ὀνομάζεται, ἐπειδήπερ ἔχει τὴν συνάφειαν τὴν Loofs, Nestoriana p. 275, 9-11
πρὸς τὸν Χριστὸν διηνεκῆ.

Καὶ πάλιν· Ἀσύγχυτον τοίνυν τὴν τῶν φύσεων τηρῶμεν συνάφειαν· ὁμολογῶμεν τὸν ibid. p. 249, 1-4
ἐν ἀνθρώπῳ θεόν· σέβωμεν τὸν τῇ θείαι συναφείαι τῷ παντοκράτορι θεῷ συμπροσκυνούμενον ἄνθρωπον. 20

Ὁρᾷς οὖν ὅσον ἔχει τὸ ἀπηχὲς ὁ λόγος αὐτῷ; δυσσεβείας γὰρ τῆς ἀνωτάτω L III 1122
μεμέστωται. Χριστὸν μὲν γὰρ ἰδικῶς ὠνομάσθαι φησὶν τὸν τοῦ θεοῦ λόγον, ἔχειν δὲ τὴν συνάφειαν τὴν πρὸς τὸν Χριστὸν διηνεκῆ. ἆρ' οὖν οὐ δύο Χριστοὺς ἐναργέστατα λέγει; οὐκ ἄνθρωπον θεῷ συμπροσκυνούμενον σέβειν οὐκ οἶδ' ὅπως ὁμολογεῖ; ταῦτ' οὖν ἀδελφὰ τοῖς παρ' ἐκείνων ὁρᾶται; οὐκ ἀντεξάγουσαν ἔχει πρὸς ἄλληλα τῶν ἐννοιῶν τὴν 25
δύναμιν; ὁ μὲν γὰρ δύο φησὶν ἐναργῶς, οἱ δὲ Χριστὸν ἕνα καὶ υἱὸν καὶ θεὸν καὶ κύριον ὁμολογοῦσι προσκυνεῖν, τὸν αὐτὸν ἐκ πατρὸς κατὰ τὴν θεότητα καὶ ἐκ τῆς ἁγίας παρθένου κατὰ τὴν ἀνθρωπότητα. δύο μὲν γὰρ φύσεων ἕνωσιν γενέσθαι φασίν, πλὴν ἕνα Χριστόν,

---

11—13 ibid. 7, 19 ἐκ τῆς πρὸς Ἀκάκιον ἐπιστολῆς· 'πῶς γὰρ — ὁ αὐτός'

V, P [= hk], S, D [= mn], AWRBU, Λd [inde a 22 Χριστὸν μέν], ΛtΛc

1 καὶ τέλειον ἐν ἀνθρωπότητι A καὶ τέλειον ἐν ἀνθρωπότητι τὸν αὐτὸν WR Doctr. τὸν αὐτὸν B ἐμψυχωμένησ D τῆσ σαρκὸσ αὐτοῦ DWRB τῆσ ψυχῆσ αὐτοῦ S 2 γάρ] δὲ WRB φασὶν εἶναι V υἱὸν om. WR 4 ὁ] ὅτι VPA 5 ὡς om. P ὢν U καὶ ὡσ V 5/6 καὶ ἄνθρωπος — θεότητα] τὴν ἀνθρωπότητα S 5 ὡσ ἐκ WR 6 ἐσχάτων VD ἡμερῶν] αἰώνων SWRB διὰ om. UΛt 8 εἰς δύο om. P 9 χν καὶ υν B καὶ Χριστὸν om. P 10 αἰῶνοσ VASDU αἰώνων PWRB ἐπ' WR δηλονότι SDB 11 ἂν om. S Doctr. 12 γε φημὶ om. Doctr. φημὶ om. PΛt 13 ἀλλ' οὐχ ὧδε [οὕτω B] — νεστορίῳ VPAWRBUΛtc ἀλλ' ὧδε ταῦτ' ἔχειν νεστορίῳ οὐ D ἄλλωσ δὲ ταῦτα ἐχειν νεστορίῳ οὐ S 14 ὁ om. SD τοὐναντίον] ὁτιοῦν S 14/15 ἐν ἐκκλησία διηγούμενοσ WR 16 ἐπειδὴ παρέχει D ἐπειδὴ ἔχει S 17 τὸν om. S 18 τηρῶμεν [τηροῦμεν WΛt, τηροῦμεν et τηρῶμεν Doctr.] τὴν τῶν φύσεων WR Doctr. ὁμολογοῦμεν SDW Doctr. Λt ὁμολογοῦντεσ V 19 ἐν ἀνθρώπῳ] ἕνα V σέβομεν VW Doctr. Λtc σέβω SD 19/20 σὺν προσκυνοῦμενον R 21 οὖν VPAWRcorrΛtc om. SDRBU ὁ λόγοσ τὸ ἀπηχὲσ WR ἀνωτάτω] νεωτάτης Λtc 22 Χριστὸν] θν SD γὰρ VAWRUΛtc Doctr. om. PSDB ὀνομάζεσθαι SDWΛtc ὀνομάζειν V τοῦ] ἐκ τοῦ WR 23 ἐνεργέστατα R 24 οὐκ² — ὁμολογεῖ σέβειν B Doctr. 25 ἀδελφὲ ἃ Λd ἀδελφοὶ Doctr. οὐ κατεξάγουσαν R ἔχειν Doctr. 26 οἵ] ὁ S ἕνα υν BΛt κν καὶ θν SDΛd κν W 27 κατὰ θεότητα U 28 γεγενῆσθαι B φαμὲν SDΛd 28/p. 26, 1 χν ἕνα υν ἕνα κν SDAWRUΛdc χν ἕνα κν ἕνα υν BΛt χν καὶ ἕνα υν καὶ ἕνα κν V χν καὶ ἕνα κν P

Ioh. 1, 14 ἕνα υἱόν, ἕνα κύριον ὁμολογοῦσιν σαφῶς. γέγονε γὰρ σὰρξ ὁ λόγος κατὰ τὰς γραφὰς καὶ σύμβασιν οἰκονομικὴν καὶ ἀπόρρητον ἀληθῶς πεπρᾶχθαι φαμὲν ἀνομοίων πραγμάτων
M V 320 12 εἰς ἕνωσιν ἀδιάσπαστον. οὐ γάρτοι κατὰ τινὰς τῶν ἀρχαιοτέρων αἱρετικῶν ἐξ ἰδίας λαβόντα φύσεως, τουτέστι τῆς θεικῆς ἑαυτῷ κατασκευάσαι τὸ σῶμα τὸν τοῦ θεοῦ λόγον ὑπονοήσομεν, ἑπόμενοι δὲ πανταχῇ ταῖς θεοπνεύστοις γραφαῖς ἐκ τῆς ἁγίας παρθένου 5
λαβεῖν αὐτὸν διαβεβαιούμεθα. ταύτῃ τοι τὰ ἐξ ὧν ἐστιν ὁ εἷς καὶ μόνος υἱὸς καὶ κύριος Ἰησοῦς Χριστός, ὡς ἐν ἐννοίαις δεχόμενοι, δύο μὲν φύσεις ἡνῶσθαι φαμέν, μετὰ δέ γε τὴν ἕνωσιν, ὡς ἀνηρημένης ἤδη τῆς εἰς δύο διατομῆς, μίαν εἶναι πιστεύομεν τὴν τοῦ υἱοῦ
PG 193 φύσιν ὡς ἑνός, πλὴν ἐνανθρωπήσαντος καὶ σεσαρκωμένου. εἰ δὲ δὴ λέγοιτο σαρκωθῆναί τε καὶ ἐνανθρωπῆσαι θεὸς ὢν ὁ λόγος, διερρίφθω που μακρὰν τροπῆς ὑποψία (μεμέ- 10
13 νηκε γὰρ ὅπερ ἦν), ὁμολογείσθω δὲ πρὸς ἡμῶν καὶ ἀσύγχυτος παντελῶς ἡ ἕνωσις. ἀλλὰ γὰρ ἴσως ἐκεῖνο φαῖεν ἂν οἱ δι' ἐναντίας· ἰδοὺ δὴ σαφῶς οἱ τῆς ὀρθῆς πίστεως τὴν ὁμολογίαν ποιούμενοι δύο μὲν ὀνομάζουσι φύσεις, διηρῆσθαι δὲ τὰς τῶν θεηγόρων φωνὰς διατείνονται κατά γε τὴν διαφορὰν αὐτῶν· εἶτα πῶς οὐκ ἐναντία ταῦτα τοῖς σοῖς; οὐδὲ γὰρ ἀνέχῃ προσώποις δυσὶν ἢ γοῦν ὑποστάσεσιν τὰς φωνὰς διανέμειν. ἀλλ', ὦ 15
ep. 6, 12, 4 βέλτιστοι, φαίην ἄν, γέγραφα μὲν ἐν τοῖς κεφαλαίοις· εἴ τις προσώποις δυσὶν ἢ γοῦν ὑποστάσεσι διανέμει τὰς φωνὰς καὶ τὰς μὲν ὡς ἀνθρώπωι παρὰ τὸν ἐκ θεοῦ λόγον ἰδικῶς νοουμένωι προσάπτει, τὰς δὲ ὡς θεοπρεπεῖς μόνωι τῶι ἐκ θεοῦ πατρὸς λόγωι, οὗτος ἔστω κατάκριτος· φωνῶν δὲ διαφορὰν κατ' οὐδένα τρόπον ἀνηιρήκαμεν, εἰ καὶ ἀπόβλητον πεποιήμεθα τὸ μερίζειν αὐτὰς ὡς υἱῶι κατὰ μόνας τῶι ἐκ πατρὸς λόγωι καὶ ὡς ἀνθρώπωι 20
πάλιν κατὰ μόνας υἱῶι νοουμένωι τῶι ἐκ γυναικός. μία γὰρ ὁμολογουμένως ἡ τοῦ λόγου
14 φύσις, ἴσμεν δὲ ὅτι σεσάρκωταί τε καὶ ἐνηνθρώπησε, καθάπερ ἤδη προεῖπον. τίνα δὲ τρόπον ἐσαρκώθη τε καὶ ἐνηνθρώπησεν, εἰ περιεργάζοιτό τις, καταθρήσειεν ἂν τὸν ἐκ
Phil. 2, 7 θεοῦ θεὸν λόγον δούλου τε λαβόντα μορφὴν καὶ ἐν ὁμοιώματι ἀνθρώπων γενόμενον, καθὰ γέγραπται. καὶ κατ' αὐτὸ δὴ τοῦτο καὶ μόνον νοηθείη ἂν ἡ τῶν φύσεων ἢ γοῦν 25
ὑποστάσεων διαφορά· οὐ γάρτοι ταυτὸν ὡς ἐν ποιότητι φυσικῇ θεότης τε καὶ ἀνθρωπότης.
L III 1123 ἐπεὶ πῶς κεκένωται θεὸς ὢν ὁ λόγος, καθεὶς ἑαυτὸν ἐν μείοσιν, τουτέστιν ἐν τοῖς καθ'

1—7 Fγcr 29 γέγονε — φαμέν 11—21 Fcyr 30 ἀλλὰ — γυναικός 19—22 ἐνηνθρώπησε Tim. arm. p. 107. 196 19 Doctr. patr. p. 25, 8 πρὸς Ἀκάκιον ἔγραψεν· 'φωνῶν — ἀνηιρήκαμεν' 22—26 Fcyr 31 τίνα δὲ τρόπον — ἀνθρωπότητος 22 τίνα δέ — 26 διαφορά Facund. 11, 17

V, P [= hk], S, D [= mn], AWRBUΛdΛtΛc

1 ὁμολογοῦμεν SDΛd γὰρ σὰρξ] σὰρξ VcorrR γὰρ σὰρξ V 2 οἰκουμενικὴν P 3 ἀρχαίων WRBΛdtcFcyr 4 κατεσκεύασαι R τὸ om. SDB 5 ὑπονοήσωμεν SR πανταχοῦ PU πανταχοῖ R 6 αὐτὸν VARΛtc Fcyr Doctr. αὐτὸ PWBU αὐτὸν τὴν σάρκα SD *corpus eum* Λd 7 ἐν om. DBFcyr δέ γε om. D γε om. SB 9 πλὴν ὡσ WR 10 τὲ SDABU om. VPWR ὢν om WR μακρὰ R 11 ὁμολογείσθω — ἡμῶν ὅτι μεμένηκεν ὅπερ ἦν καὶ ἀσύγχυτοσ B καὶ om. WR ἀσυγχύτωσ SR 12 ἐκεῖνο ἴσωσ Doctr. ἴσωσ SDWRB τὴν τῆσ ὀρθῆσ πίστεωσ B 13 διηρεῖσθαι VP διαιρεῖσθαι SDΛdtcFcyr Doctr. δὲ om. V 15 οὐ Fcyr ἂν ἔχοι P ἔχοι V τὰσ φωνὰσ ἀπονέμειν WR διανέμειν [διανέμει m] τὰσ φωνὰσ Sm 16 βέλτιστε SFcyr γέγραφεν Fcyr 17 θῦ πρσ̄ SDWRB 18 ὡς om. SDWRB, corr. B πατρὸς om VPΛtc οὕτωσ ScorrR ὃσ Fcyr 19 δὲ om. W 20 θῦ πρσ̄ WRBΛd Doctr. ὡς om. P 21 κατὰ μόνασ πάλιν V λόγου AWRBUΛdtc θῦ λόγου SD υἱοῦ VP Tim. 22 τε om. SDWR 22/23 καθάπερ — ἐνηνθρώπησεν om. SD Doctr. 22 ἤδη καὶ WRB 22/23 τίνα δὲ τρόπον WRBUΛdtcFcyr Fac. τὸν δὲ τρόπον ὃν VPA 23 καταθροίσειεν P ἂν] αὐτὸν W 23/24 θεοῦ θεόν] τοῦ θῦ PΛd θεοῦ Fcyr 24 τε om. SD ἀνθ̄ου W 25 κατ' αὐτό] κατὰ WR δὴ om. SWR τοῦτο VPB τοῦτο τοῦτι R 25/26 ἢ — ὑποστάσεων om. W 26 οὐ] σοὶ Fcyr γὰρ που VP γὰρ δὴ Doctr ταυτὸν [ταυτό W] ὡσ AWRBUΛdFcyr ταυτὸν VPSDΛtc θεότητόσ τε καὶ ἀνθρωπότητοσ SDFcyr 27 μειώσει VPΛtc

ἡμᾶς; ὅταν τοίνυν ὁ τῆς σαρκώσεως πολυπραγμονῆται τρόπος, δύο τὰ ἀλλήλοις ἀπορρήτως τε καὶ ἀσυγχύτως συνενηνεγμένα καθ' ἕνωσιν ὁρᾶι δὴ πάντως ὁ ἀνθρώπινος νοῦς, ἑνωθέντα γε μὴν διίστησιν οὐδαμῶς, ἀλλ' ἕνα τον ἐξ ἀμφοῖν καὶ θεὸν καὶ υἱὸν καὶ
15 Χριστον καὶ κύριον εἶναί τε πιστεύει καὶ ἀραρότως εἰσδέχεται. ἑτέρα δὲ παντελῶς παρὰ ταύτην ἡ Νεστορίου κακοδοξία ὑποκρίνεται μὲν γὰρ ὁμολογεῖν ὅτι καὶ ἐσαρκώθη 5
καὶ ἐνηνθρώπησε θεὸς ὢν ὁ λόγος, τὴν δέ γε τοῦ σεσαρκῶσθαι δύναμιν οὐκ εἰδὼς δύο μὲν ὀνομάζει φύσεις, ἀποδιίστησι δὲ ἀλλήλων αὐτάς, θεὸν ἰδίαι τιθεὶς καὶ ὁμοίως ἄνθρωπον ἀνὰ μέρος συναφθέντα θεῶι σχετικῶς κατὰ μόνην τὴν ἰσοτιμίαν ἢ γοῦν αὐθεντίαν. ἔφη γὰρ οὕτως 9

Ἀχώριστος τοῦ φαινομένου θεός. διὰ τοῦτο τοῦ μη χωριζομένου τὴν τιμὴν οὐ χωρίζω χωρίζω τὰς φύσεις, ἀλλ' ἑνῶ τὴν προσκύνησιν. Loofs, Nestor p. 262, 4-6

Οἱ δέ γε κατὰ τὴν Ἀντιόχειαν ἀδελφοὶ τὰ μὲν ἐξ ὧν νοεῖται Χριστός, ὡς ἐν ψιλαῖς καὶ μόναις ἐννοίαις δεχόμενοι, φύσεων μὲν εἰρήκασι διαφοράν, ὅτι μη ταυτόν, ὡς ἔφην, ἐν M V 311
ποιότητι φυσικῆι θεότης τε καὶ ἀνθρωπότης, ἕνα γε μὴν υἱὸν καὶ Χριστον καὶ κύριον καί, PG 196
ὡς ἑνος ὄντος ἀληθῶς, ἓν αὐτοῦ καὶ πρόσωπον εἶναί φασιν, μερίζουσι δὲ κατ' οὐδένα 15
τρόπον τὰ ἡνωμένα οὔτε μὴν φυσικὴν παραδέχονται τὴν διαίρεσιν, καθὰ φρονεῖν ἔδοξε
16 τῶι τῶν ἀθλίων εὑρημάτων εἰσηγητῆι. διαιρεῖσθαι δὲ μόνας διατείνονται τας ἐπὶ τῶι κυρίωι φωνὰς πρέπειν τέ φασιν αὐτὰς οὐ τὰς μὲν ὡς υἱῶι κατὰ μόνας τῶι ἐκ θεοῦ πατρὸς λόγωι, τὰς δὲ ὡς ἑτέρωι πάλιν υἱῶι τῶι ἐκ γυναικός, ἀλλὰ τὰς μὲν τῆι θεότητι αὐτοῦ, τὰς δὲ τῆι αὐτοῦ πάλιν ἀνθρωπότητι (θεὸς γάρ ἐστιν ὁ αὐτὸς καὶ ἄνθρωπος), εἶναι δέ 20
φασιν καὶ ἑτέρας κοινοποιηθείσας τρόπον τινὰ καὶ οἷον ἐπ' ἀμφω βλεπούσας, θεότητά τε καὶ ἀνθρωπότητα λέγω, οἷον δή τι φημί· αἳ μὲν γάρ εἰσι τῶν φωνῶν ὅτι μάλιστα θεοπρεπεῖς, αἳ δὲ οὕτω πάλιν ἀνθρωποπρεπεῖς, αἳ δὲ μέσην τινὰ τάξιν ἐπέχουσιν, ἐμφανίζουσαι τον υἱὸν θεὸν ὄντα καὶ ἄνθρωπον ὁμοῦ τε καὶ ἐν ταυτῶι ὅταν μὲν γὰρ τῶι Φιλίππωι λέγηι 24
τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμί, καὶ οὐκ ἔγνωκάς με, Φίλιππε; οὐ Ioh 14, 9
πιστεύεις ὅτι ἐγὼ ἐν τῶι πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί ἐστιν, ὁ ἑωρακὼς 10 9
ἐμὲ ἑώρακε τὸν πατέρα. ἐγὼ καὶ ὁ πατὴρ ἓν ἐσμέν, θεοπρεπεστάτην εἶναι διαβεβαιούμεθα την φωνήν. Ioh 10, 30
ὅταν δὲ τοῖς Ἰουδαίων ἐπιπληττηι δήμοις, ἐκεῖνο λέγων εἰ Ioh 8, 39 40
τέκνα τοῦ Ἀβραὰμ ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε ἄν νῦν δὲ Ζητεῖτέ
με ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα τοῦτο Ἀβραὰμ 30

1—4 Ephr ap Phot 229 p 262b 15 ἐν τῆι προς Ἀκακιον τον Μελιτηνῆς 'ὅτε — εἰσδέχεται' 1—3 Fcyr 32 ὁταν — οὐδαμῶς 22—24 Fcyr 33 οἷον — αὐτῶι

V, P [= hk], S, D [= mn], AWRBUΛdΛtΛc

1 ὅτε B Ephr πολυπραγμονεῖται VB Ephr 2 τε και — πάντως ὁ om S καθ'] προσ WR ὁρᾶι δη] ὁρᾶται Bcorr ὁρᾶ U 3 και[1] om WR 3/4 καὶ Χριστὸν om S 4 τε PAUΛtc om SDWRB Ephr τὲ καὶ V ἀρρήτωσ P ἀναρρήτωσ S ἐνδέχεται SD ἐκδέχεται WR πάλιν S 5 παρ' αὐτην SD κενοδοξία S καὶ om S 6 οὐ συνειδωσ U 7 ἀποδιαιρεῖ V ἄνον ὁμοιωσ A 10 ὁ θ̄ς B 11 αινῶ S 13 ἐννοίαις om Λd φυσεωσ R μὲν om WR ὡς ἐν Λd 14 θεοτητοσ τε καὶ ἀνθρωπότητοσ R τε om SD κν̄ καὶ χ̄ν SD 15 το προσωπον VP 16 φυσικῶσ P τὴν om W 17 ευρεματων VPSDWB εὐρυματων U δογματων Doctr Λtc διαιρεῖσθαι VPSDBΛtc διηρῆσθαι AWRU Doctr 17/18 τῶι κυρίωι] κ̄ω̄ P χ̄ω̄ WRB 18 τε VPABU δὲ SDWRΛtc Doctr αὐτασ φασὶν B ὡς om SD κατα μονασ ὡσ υἱῶ P 19 δὲ καὶ ωσ V ἐν ἑτερω B τας om A 20 τας] τα Λ παλιν τῆ ἀνθρωποτητι αὐτοῦ V παλιν τῆ αὐτοῦ ἀνθρωπότητι P καὶ ἄνοσ ὁ αὐτοσ B εἰδέναι S 21 καὶ ἑτέρασ φασι B καινοποιηθεισασ D κοινωθείσασ W κοινωνηθεισασ R τε om SDB 22 δὲ δη VPRB τι om Fcyr 23 αἳ δὲ — ἀνθρωποπρεπεῖς om VWR ουτωσ] αὐτῶι Fcyr ὁτι μαλιστα μεσην SD ἐπέχουσαι P 24 τὲ ὁντα VFcyr αὐτῶι Fcyr λέγει VR 25 το σούτω χρόνω R 26 ἐστιν om SΛdt 27 καὶ ἐγὼ καὶ U εἰδέναι S 28 τῶν ιουδαίων SD δήμοισ ἐπιπλήττη B ἐκεῖνο om SΛd 28/29 εἰ τέκνα — ἐποιεῖτε ἄν om B 30 λελαληκα ὑμῖν U

οὐκ ἐποίησεν, ἀνθρωποπρεπῶς εἰρῆσθαι τὰ τοιάδε φαμέν, πλὴν τοῦ ἑνὸς υἱοῦ τὰς θεοπρεπεῖς καὶ μέντοι τὰς ἀνθρωπίνας. θεὸς γὰρ ὢν γέγονεν ἄνθρωπος, οὐ τὸ εἶναι θεὸς ἀφείς, ἐν προσλήψει δὲ μᾶλλον σαρκὸς καὶ αἵματος γεγονώς· ἐπειδὴ δὲ εἷς ἐστιν Χριστὸς
17 καὶ υἱὸς καὶ κύριος, ἓν αὐτοῦ καὶ πρόσωπον εἶναι φαμὲν ἡμεῖς τε κἀκεῖνοι. μέσας
Hebr. 13, 8 δὲ εἶναι φωνὰς ἐκείνας διαβεβαιούμεθα, οἷον ὅταν ὁ μακάριος γράφηι Παῦλος Ἰησοῦς
L III 1126 Χριστὸς χθὲς καὶ σήμερον, ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας. καὶ πάλιν·
1 Cor. 8, 5. 6 εἴπερ εἰσὶ θεοὶ πολλοὶ καὶ κύριοι πολλοὶ ἔν τε τῶι οὐρανῶι καὶ ἐπὶ τῆς γῆς, ἀλλ' ἡμῖν εἷς θεὸς ὁ πατήρ, ἐξ οὗ τὰ πάντα καὶ ἡμεῖς ἐξ αὐτοῦ, καὶ εἷς κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα καὶ ἡμεῖς δι' αὐτοῦ. καὶ
Rom. 9, 3-5 πάλιν· ηὐχόμην γὰρ αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν
ἀδελφῶν μου τῶν συγγενῶν μου κατὰ σάρκα, οἵτινές εἰσιν Ἰσραηλῖται, ὧν ἐστιν ἡ υἱοθεσία καὶ ἡ νομοθεσία καὶ ἡ διαθήκη καὶ ἡ δόξα, ὧν οἱ πατέρες καὶ ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα ὁ ὢν ἐπὶ πάντων θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας. ἀμήν. ἰδοὺ γὰρ ἰδοὺ Χριστὸν Ἰησοῦν ὀνομάσας, χθὲς καὶ σήμερον τὸν αὐτὸν εἶναί φησι καὶ εἰς τοὺς αἰῶνας καὶ δι' αὐτοῦ γενέσθαι τὰ
πάντα καὶ τὸν κατὰ σάρκα ἐξ Ἰουδαίων ἐπὶ πάντων ὀνομάζει θεὸν καὶ μὴν καὶ
PG 197 εὐλογητὸν εἶναί φησιν εἰς τοὺς αἰῶνας. μὴ τοίνυν διέλῃς ἐν τούτοις τὰς ἐπὶ τῶι κυρίωι φωνάς (ἔχουσι γὰρ ἐν ταυτῶι τὸ θεοπρεπὲς καὶ τὸ ἀνθρώπινον), ἐφάρμοσον δὲ μᾶλλον αὐτὰς ὡς ἑνὶ τῶι υἱῶι, τουτέστιν τῶι θεῶι λόγωι σεσαρκωμένωι. ἕτερον τοίνυν ἐστὶν τὸ διαιρεῖν τὰς φύσεις, καὶ τοῦτο μετὰ τὴν ἕνωσιν, καὶ κατὰ μόνην ἰσοτιμίαν συ-
M V 324 18 νῆφθαι λέγειν ἄνθρωπον θεῶι καὶ ὁμοίως ἕτερον τὸ φωνῶν εἰδέναι διαφοράν. ποῦ τοιγαροῦν ταῖς Νεστορίου κενοφωνίαις τὰ ἐκείνων συντρέχει; εἰ γὰρ καί τισιν δοκεῖ τῶν λέξεων ἡ συνθήκη καὶ τῶν ῥημάτων ἡ προφορὰ τῆς ἰσχνῆς ἄγαν ἀκριβείας ἀπολιμπάνεσθαι,
Eph. 6, 19 θαυμαστὸν οὐδέν· δυσεκφώνητα γὰρ τὰ τοιάδε λίαν. ταύτηι τοι καὶ ὁ θεσπέσιος Παῦλος ἐζήτει παρὰ θεοῦ λόγον ἐν ἀνοίξει τοῦ στόματος αὐτοῦ. ὅτι γὰρ οὐ μερίζουσιν εἰς δύο τὸν ἕνα κύριον Ἰησοῦν Χριστόν, χρῆναι λέγοντες ἐφαρμόζεσθαι τὰς φωνάς, τῆι μὲν θεότητι αὐτοῦ τὰς θεοπρεπεῖς, τῆι δὲ ἀνθρωπότητι πάλιν αὐτοῦ τὰς ἀνθρωπίνας, πῶς οὐχ ἅπασιν ἐναργές; διαβεβαιοῦνται γάρ, ὡς ἔφην, ὅτι αὐτὸς ὁ ἐκ θεοῦ πατρὸς λόγος, γεννηθεὶς πρὸ αἰώνων, καὶ ἐν ἐσχάτοις καιροῖς ἐγεννήθη κατὰ σάρκα ἐκ τῆς ἁγίας παρ-
ep. 123. 127 θένου· προσεπάγουσι δὲ ὅτι διὰ τὴν ἄφραστόν τε καὶ ἀσύγχυτον ἕνωσιν καὶ θεοτόκον

14—19 Fcyr 34 ἰδοὺ γὰρ — υἱῶι 25—p. 29, 15 Doctr. patr. 23, 6 ὅτι γὰρ — πάσας ἑνί

V, P [= hk], S, D [= mn], AWRBUΛdΛtΛc

1 τοιαῦτα VPS τοῦ om. WR τάσ τε ABΛtc 2 ὢν om. V 3 μᾶλλον om. WR ἐστι om. VP 3/4 χσ καὶ υσ καὶ κσ VPAUΛtc υσ καὶ θσ καὶ κσ SDWRB *filius et dominus et deus* Λd 4 ἐν αὐτῶ S καὶ om. SD προσώποισ S εἶναι om WR 5 ἐκείνας om. WR οἷον om. VS ὅταν om. R παῦλοσ γράφη [γράφει R] VWR 7 καὶ γὰρ εἴπερ AUΛd τε om. SDB τῶι om AWRU 7/8 ἐν τῆ γῆ V 8 θσ καὶ πηρ WR κσ θσ πηρ S κσ θσ καὶ πηρ D καὶ — ἐξ αὐτοῦ om. VP, corr. Vmg 9/10 καὶ πάλιν om. S 10 τοῦ om. P 11 τῶν κατὰ U 12 καὶ ἡ νομοθεσία om. W αι διαθῆκαι SD 13 καὶ om. S τὸ κατὰ σάρκα χσ VP 14 ἀμήν om. Λc ἐχθὲσ R 15 γεγενῆσθαι SDB τὰ om. SD 16 ἐπὶ πάντων om. WRU ἐπὶ πάντασ BFcyr 17 εἰσ τουσ αἰῶνασ εἶναι φησιν R φασὶν S τοίνυν] οὖν WR διέλῃς ἐν] διάλασσε S διέλυσε U, corr. S τούτω SDWRB, corr. S, αὐτῶι Fcyr 18 ἐφήρμοσε U 19 μᾶλλον om. WR ἐν ἑνὶ SR 20 διελεῖν SDB τὴν ἰσοτιμίαν WR 21/22 τοίνυν SD 22 καινοφωνίαισ SDΛdtc συμβαίνει S δοκεῖ τισὶ B 23 ῥημάτων] νοημάτων SD διαφορὰ V ἄγαν] αὖ ἂν W ἀπολιμπάνεσθαι] ἐστὶ καταλιμπάνεσθαι SD 24 οὐδέν οm S λίαν] λέγειν U μακάριοσ WR 25 ἐξήτει R ἐξαιτεῖ B λόγον παρὰ θῦ WR τοῦ θῦ ABU τοῦ om. S χωρίζουσιν S 26 δύο υἱοὺσ WRΛd Doctr. ἐφαρμόζοντεσ U 27 ἀνθρωπίνη S αὐτοῦ πάλιν PBU πάλιν WRΛd 28 αὐτὸς οm. WR 29 κατὰ σάρκα om. W 30 τε om V

εἶναι πιστεύουσι τὴν ἁγίαν παρθένον, καὶ ἕνα υἱὸν καὶ Χριστὸν καὶ κύριον ὁμολογοῦσι σαφῶς. ἀπίθανον δὲ παντελῶς τὸ καὶ ἕνα λέγειν καὶ διατέμνειν εἰς δύο τὸν ἕνα νομίζειν αὐτούς. οὐ γὰρ ἂν εἰς τοῦτο προῆλθον ἀποπληξίας, ὡς παραβάτας ἑαυτοὺς συνιστάνειν, ἃ κατέλυσαν ὀρθῶς, οἰκοδομοῦντες ἀβούλως. εἰ γὰρ ταῖς Νεστορίου συμφέρονται δόξαις,
19 πῶς αὐτὰς ἀναθεματίζουσιν ὡς βεβήλους καὶ μυσαράς; οἶμαι δὲ δεῖν καὶ τὰς αἰτίας εἰπεῖν, δι' ἃς εἰς τοῦτο προῆλθον ἰσχνομυθίας. ἐπειδὴ γὰρ οἱ τῆς Ἀρείου δυσσεβείας ὑπασπισταί, τῆς ἀληθείας τὴν δύναμιν ἀνοσίως ἐκκαπηλεύοντες, τὸν ἐκ θεοῦ φασι λόγον γενέσθαι μὲν ἄνθρωπον, πλὴν ἀψύχωι προσχρήσασθαι σώματι (πράττουσι δὲ τοῦτο φιλοκακούργως, ἵνα τὰς ἀνθρωπίνας φωνὰς αὐτῶι προσνέμοντες ὡς ἐν μείοσιν ὄντα τῆς τοῦ πατρὸς ὑπεροχῆς τοῖς παρ' αὐτῶν πλανωμένοις καταδεικνύωσιν ἑτεροφυᾶ τε αὐτὸν εἶναι λέγωσιν), ταύτηι τοι δεδιότες οἱ ἐκ τῆς Ἀνατολῆς, μὴ ἄρα πως ἡ τοῦ θεοῦ λόγου κατασμικρύνοιτο δόξα τε καὶ φύσις ἀπό γε τῶν ἀνθρωπίνως εἰρημένων διὰ τὴν μετὰ σαρκὸς οἰκονομίαν, διορίζουσι L III 1127 τὰς φωνάς, οὐκ εἰς [πρόσωπα] δύο τέμνοντες, ὡς ἔφην, τὸν ἕνα υἱὸν καὶ κύριον, ἀλλὰ τὰς μὲν τῆι θεότητι αὐτοῦ προσνέμοντες, τὰς δὲ τῆι ἀνθρωπότητι πάλιν τῆι αὐτοῦ, πλὴν τὰς πάσας ἑνός.

20 Ἐπυθόμην δὲ ὅτι γέγραφεν τισὶ τῶν ἐπιτηδείων ὁ εὐλαβέστατος καὶ θεοσεβέστατος ἐπίσκοπος Ἰωάννης ὡσανεὶ ἐμοῦ σαφῶς διδάξαντος καὶ λαμπρᾶι τῆι φωνῆι ὁμολογεῖν μὲν PG 200
τῶν φύσεων τὸ διάφορον, διαιρεῖν δὲ τὰς φωνὰς καταλλήλως ταῖς φύσεσιν, καὶ ἐπ' αὐτῶι ep. A 119
δὴ τούτωι σκανδαλίζονταί τινες. ἦν οὖν ἀναγκαῖον καὶ πρός γε τοῦτο ἡμᾶς εἰπεῖν. οὐκ ἠγνόησεν ἡ σὴ τελειότης ὅτι τῆς Ἀπολιναρίου δόξης τὸν μῶμον τῶν ἐμῶν καταχέοντες ἐπιστολῶν ὠιήθησαν ὅτι καὶ ἄψυχον εἶναι φημὶ τὸ ἅγιον σῶμα Χριστοῦ καὶ ὅτι κρᾶσις ἢ σύγχυσις ἢ φυρμὸς ἢ μεταβολὴ τοῦ θεοῦ λόγου γέγονεν εἰς τὴν σάρκα ἢ γοῦν τῆς σαρκὸς μεταφοίτησις εἰς φύσιν θεότητος, ὡς μηδὲν ἔτι σώιζεσθαι καθαρῶς μήτε μὴν εἶναι ὅ ἐστιν. ὠιήθησαν δὲ πρὸς τούτωι καὶ ταῖς Ἀρείου με συμφέρεσθαι δυσφημίαις διά τοι τὸ μὴ θέλειν διαφορὰν εἰδέναι φωνῶν καὶ τὰς μὲν εἶναι λέγειν θεοπρεπεῖς, τὰς δὲ ἀνθρωπίνας καὶ πρεπούσας μᾶλλον τῆι οἰκονομίαι τῆι μετὰ σαρκός. ἐγὼ δὲ ὅτι τῶν τοιούτων ἀπήλλαγμαι, M V 325 μαρτυρήσειεν ἂν ἑτέροις ἡ σὴ τελειότης, πλὴν ἔδει σκανδαλισθεῖσιν ἀπολογήσασθαι. ταύτηι

19—p. 30, 6 Fcyr 35 ἦν — ἄνθρωπος

V, P [= hk], S, D [= mn], AWRBUΛdΛιΛc

1 τὴν ἁγίαν παρθένον πιστεύουσι WR $\overline{\chi\nu}$ καὶ $\overline{\upsilon\nu}$ SDWR υἱὸν Λd 2 καὶ om WRU Doctr. λέγειν ἕνα Doctr. λέγειν VP ὀνομάζειν SD 3 ἂν om. V προῆλθεν A ἑαυτοῦ P 4 οἰκονομοῦντεσ ἀβούλωσ P ἀβούλωσ οἰκοδομοῦντεσ SD 5 μιαρὰσ B δὲ om. U 6 ἰσχομυθίασ S ἰσχνοφωνίασ V 7 ἐγκαπηλεύοντεσ S λόγον φασὶ WR γεγενῆσθαι SDWB γεγεννῆσθαι R 8 ἄνθρωπον] ἀλλ' ἐκ γυναικὸσ S δὲ om. P 9 αὐτῶ φωνὰσ SDB Doctr. μείωσιν WΛιc ὄντι P 10 καταδεικνύωσιν AWRB Doctr. καταδεικνύουσιν U ἐπιδεικνύωσιν V ἐπιδεικνύουσιν P ὑποδεικνύωσιν D ὑποδεικνύουσιν S τὲ VPAUΛdιc δὲ WRB δὲ ὄντωσ SD παρ' αὐτὸν AU Doctr. οὕτωσ εἶναι WRB λέγουσι SR 11 τοι γὰρ VP ἡ ἐκ τοῦ WR κατασμικρύνηται SD Doctr. 12 γε om. W τε R εἰρημένων ἀνθρωπίνωσ B ἀνθρωπίνωσ S 13 πρόσωπα AWRBUΛd Doctr. om. VPSDΛιc ὡς ἔφην om. WR τὸν ἕνα om. SD υἱὸν] $\overline{\chi\nu}$ WR 14 αὐτοῦ om. WR τῆι^{3} om. WRB 15 ἁπάσασ SD ἑνὸσ VPAWRUΛdιc ἑνὶ SD Doctr. ἑνὶ υἱῶ B 16 γεγράφηκε B 17 ἐπίσκοποσ τῆσ ἀντιοχέων SΛd ὡσεὶ W λαμπρᾶι τῆι] λαμπροτάτη WR 18 αὐτὸ V 19 τοῦτο PSR 20 ἠγνόηκεν VPFcyr ἠγνόησε δὲ WR δόξησ ἀπολιναρίου B ἀπολλιναρίου S 21 ἅγιον om. W ἢ] καὶ V 22 ἢ^{2}] καὶ Fcyr θεοῦ om. Fcyr γοῦν om. W 23 μεταφοιτησάσησ Fcyr ἔτι] τι SD μὴν om. S 24 δὲ] τε τινὲσ WRB τούτοισ WRΛd καὶ om. WR με συμφύρεσθαι A συμφέρεσθαί με WR βλασφημίαις Fcyr τοι] τε U τὸ] τοῦτο τὸ S ἐθέλειν VPFcyr 25 λέγειν εἶναι U 26 τῶν τοιούτων] τούτων WR 27 μαρτυρήσει ἂν ἐν V μαρτυρήσει ἐν k μαρτυρήσειεν h κἂν Λc ἀπολογίσασθαι VR

ep. 127 τοι γέγραφα προς τὴν θεοσέβειαν αὐτοῦ ὡς οὔτε πεφρόνηκά ποτε τὰ Ἀρείου τε καὶ Ἀπολιναρίου οὔτε μὴν μεταπεποιῆσθαι τὸν τοῦ θεοῦ λόγον εἰς σάρκα φημί, ἀλλ' οὐδὲ εἰς φύσιν θεότητος μεταφῦναι τὴν σάρκα διὰ τὸ ἄτρεπτον εἶναι καὶ ἀναλλοίωτον τὸν τοῦ θεοῦ λόγον· ἀνεφικτον δὲ καὶ τὸ ἕτερον οὐτε μὴν ἀνήιρηκά ποτε φωνῶν διαφοράς, ἀλλ' οἶδα τον κύριον θεοπρεπῶς τε ἅμα καὶ ἀνθρωπίνως διαλεγόμενον, ἐπείπερ ἐστὶν ἐν ταὐτῶι θεος καὶ ἄνθρωπος. οὐκοῦν αὐτὸ δὴ τουτὶ κατασημῆναι θέλων γέγραφεν ὅτι ἐδίδαξεν ὁμολογεῖν τῶν φύσεων τὸ διάφορον καὶ διαιρεῖν τὰς φωνὰς καταλλήλως ταῖς φύσεσιν· αἱ δὲ τοιαῦται διαλέξεις ἐμαὶ μὲν οὐκ εἰσιν, ἐξεφωνήθησαν δὲ παρ' αὐτοῦ.

21 Κἀκεῖνο δέ, οἶμαι, τοῖς εἰρημένοις προσεπενεγκεῖν ἀναγκαῖον. ἀφίκετο γὰρ πρός με ὁ θεοσεβέστατος ἐπίσκοπος Παῦλος τῆς Ἐμεσηνῶν, εἶτα λόγου κεκινημένου περὶ τῆς ὀρθῆς τε καὶ ἀμωμήτου πίστεως διεπυνθάνετό μου καὶ μάλα ἐσπουδασμένως εἰ συναινῶ τοῖς γραφεῖσιν παρὰ τοῦ τῆς ἀοιδίμου μνήμης καὶ τρισμακαρίου πατρὸς ἡμῶν Ἀθανασίου προς Ἐπίκτητον ἐπίσκοπον τῆς Κορινθίων. ἐγὼ δὲ ἔφην ὅτι εἰ σώιζεται παρ' ὑμῖν οὐ νενοθευμένον το γράμμα (παραπεποίηται γὰρ τῶν ἐν αὐτῶι πολλὰ παρὰ τῶν τῆς ἀληθείας ἐχθρῶν), συναινέσαιμι ἂν πάντηι τε καὶ πάντως. ὃ δὲ πρὸς τοῦτο ἔφασκεν ἔχειν μὲν καὶ αὐτὸς τὴν ἐπιστολήν, βούλεσθαι δὲ ἐκ τῶν παρ' ἡμῖν ἀντιγράφων πληροφορηθῆναι καὶ μαθεῖν πότερόν ποτε παρεποιήθη τὰ αὐτῶν βιβλία ἢ μή. καὶ δὴ καὶ λαβὼν ἀντίγραφα παλαιὰ καὶ οἷς ἐπεφέρετο, συμβαλών, ηὗρισκεν ταῦτα νενοθευμένα καὶ προέτρεψεν ἐκ τῶν
L III 1130 παρ' ἡμῶν βιβλίων ἴσα ποιῆσαι πέμψαι τε τῆι Ἀντιοχέων ἐκκλησίαι· ὃ δὴ καὶ γέγονεν.
A 119 καὶ τοῦτό ἐστιν ὃ γέγραφεν ὁ εὐλαβέστατος καὶ θεοσεβέστατος ἐπίσκοπος Ἰωάννης τῶι
PG 201 Καρρηνῶι περὶ ἐμοῦ ὅτι ›ἐξέθετο τὰ περὶ τῆς ἐνανθρωπήσεως, συνυφάνας ἡμῖν καὶ τὴν πατρωιαν παράδοσιν, μικροῦ καὶ ἐξ ανθρώπων, ἵν' οὕτως εἴπω, γενέσθαι κινδυνεύσασαν‹.

22 Ἐὰν δὲ περικομίζωσί τινες ἐπιστολὴν ὡς γραφεῖσαν παρὰ τοῦ εὐλαβεστάτου πρεσβυτέρου τῆς Ῥωμαίων ἐκκλησίας Φιλίππου ὡσανεὶ τοῦ ὁσιωτάτου ἐπισκόπου Ξύστου χαλεπήναντος ἐπὶ τῆι Νεστορίου καθαιρέσει καὶ ἐνρήξαντος αὐτῶι, μὴ πιστευέτω ἡ σὴ ὁσιότης· σύμφωνα γὰρ τῆι ἁγίαι συνόδωι γέγραφεν καὶ πάντα ἐβεβαίωσεν τὰ παρ' αὐτῆς πραχθέντα καὶ ἐστιν ὁμόφρων ἡμῖν. εἰ δὲ δὴ καὶ ὡς παρ' ἐμοῦ γραφεῖσα παρακομίζοιτο πρός τινων ἐπιστολὴ ὡς μετανοοῦντος ἐφ' οἷς πεπράχαμεν κατὰ τὴν Ἐφεσίων, γελάσθω καὶ

V, P [= hk], S, D [= nin], AWRBUΛ^{d}Λ^{t}Λ^{c}

1/2 πεφρόνηκα ποτὲ τὰ [τὰ om R] ἀρείου τε [τε om. WR] καὶ ἀπολιναρίου VPAWRUF^{cyr} πεφρόνηκα τα ἀρείου ποτὲ καὶ ἀπολιναρίου D τὰ ἀρείου καὶ ἀπολλιναρίου πεφρόνηκα S πεφρόνηκα τα αρείου B 2 τον τοῦ θῦ λόγον εἰσ σάρκα μεταπεποιῆσθαι B 3 μεταφυῆναι V καὶ ἀναλλοιωτον εἶναι B 4 τὸ om B διαφορὰν WRBF^{cyr} 5 θεοπρεπῶσ ἅμα καὶ ἀνθρωπίνωσ P θεοπρεπῶσ τε καὶ ἀνθρωπίνωσ αμα V θεοπρεπῶσ τε καὶ ἀνθρωπίνωσ WR τούτω S θεός τε ὁμοῦ F^{cyr} 6 αὐτῶ P τοῦτο VSD om P κατα tum spat rel. P ὁτι δὲ R ἐδίδαξεν ὁμολογεῖν VPARBUΛ^{dtc} ἐδιδαξεν W ἔδει νῦν συνιδεῖν SD 7 καταλλήλων R 8 λεξεισ P 9 οἶμαι om VP ἀναγκαῖον προσεπενεγκεῖν B προσενεγκεῖν PSD προσεπινοεῖν W ἄξιον VS, corr Vulg μὲν γὰρ AU 10 παῦλοσ ὁ WRB om V τῆς] τῶν S ἐμισηνῶν VA 11 τε om VPSD καὶ μάλα ἐσπουδασμένως om SD συναινῶ] ἁρα συμφωνῶ SD 12 καὶ — Ἀθανασίου] ἀθανασίου τοῦ τρισμακαρίστου ἡμῶν πρσ̄ SD 13 τῆς om WR ὅτι om. W ημῖν P 14 παραπεποίηνται WRU πολλὰ τῶν ἐν αὐτῶ WR αυτοῦ πολλὰ P διὰ S τῆς om P 15 τε om R τούτοισ D 16 δὲ καὶ ἐκ SD πληροφορηθῆναι τοῦτο S 17 τὰ αὐτῶν βιβλία παρεποιήθη V καὶ δὴ καὶ VAU καὶ δὴ PSDB καὶ WR 18 συνεφέρετο D εὕρισκε PDBU *deprehendi* Λ^{d} 19 ἴσα] τοῦτο S πέμψασ S 20 τὸ V 21 καρρηνῶ SARΛ^{tc} καρήνιυ PD καρίνω VWBU *Careno pontifici* Λ^{d} τὰ om WRB περὶ om P συνυφήνασ AU 22 κινδυνεύουσαν VW κινδυνεύσασαν ex κινδυνεύσαν corr. R 23 παρακομίζωσι D προκομίζωσι B^{corr} ὡς om D τοῦ om V εὐλαβεστάτου om. WR 24 ξυστάτου B 25 καθαιρέσει νεστορίου S ἐνρήξαντοσ [ἐναρήξαντοσ U] αὐτῶ [αὐτὸ W] PSDWRU *increpauerit ei* Λ^{c} ἀρήξαντοσ αὐτῶ VB ἀρήξαντοσ αὐτοῦ A *scripserit ei* Λ^{t} *eamque irritam duxerit* Λ^{d} πιστευέτω τοῦτο [τουτω S] SDBΛ^{d} 26 παρ' αὐτῆς om A 27 ὁμοφρονῶν SD δὴ om U 28 ἐφεσίων πόλιν VP γενέσθω V

τοῦτο· ἐσμὲν γὰρ διὰ τὴν τοῦ σωτῆρος χάριν ἐν καλῷι φρενὸς καὶ τοῦ εἰκότος οὐκ ἐκπεφορήμεθα λογισμοῦ.

Πρόσειπε τὴν παρὰ σοὶ ἀδελφότητα σὲ ἡ σὺν ἡμῶν ἐν κυρίωι προσαγορεύει.

129 = S 126 A 129. Latina uersio extat in Collectione Casinensi 295

Τοῦ αὐτοῦ πρὸς Δυνατὸν ἐπίσκοπον Νικοπόλεως Παλαιᾶς Ἠπείρου ἐπιστολή

1 Κυρίωι μου ἀγαπητῶι ἀδελφῶι καὶ συλλειτουργῶι Δυνατῶι Κύριλλος ἐν κυρίωι χαίρειν. L III 1151 M V 348 PG 77, 249
Δεῖν ὠιήθην τῆι σῆι θεοσεβείαι τὰ παρακολουθήσαντα ἐπὶ τῆι εἰρήνηι τῶν ἐκκλησιῶν καταστῆσαι γνώριμα. ἀφίκετο τοίνυν ὁ κύριός μου ὁ θαυμασιώτατος τριβοῦνος καὶ νοτάριος Ἀριστόλαος εἰς τὴν Ἀντιόχειαν, ἐπιφερόμενος καὶ βασιλικὰς συλλαβάς, αἳ παρεκελεύοντο τὸν εὐλαβέστατον ep. 120
τῆς Ἀντιοχέων ἐκκλησίας ἐπίσκοπον Ἰωάννην ἀναθεματίσαι μὲν τὰ μιαρὰ Νεστορίου δόγματα, 10
καταψηφίσασθαι δὲ καὶ τὴν καθαίρεσιν αὐτοῦ καθ' ὁμοιότητα τῆς ἁγίας συνόδου ζητῆσαί τε οὕτω τὴν παρ' ἡμῶν κοινωνίαν. καὶ ἡ μὲν δύναμις τῶν γεγραμμένων αὕτη· τινὲς δὲ τῶν κατὰ τὴν Ἀνατολὴν ἐπισκόπων, οὔπω τάχα Νεστορίου καταγινώσκοντες ἢ καὶ προστασίαν αὐτῶι νέμοντες τὴν ὀρθὴν ἡμῶν λυποῦσαν πίστιν καὶ τῆι δόξηι τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ προσκρούουσαν οὐ μετρίως, παρεσκεύασαν γράψαι πρός με τὸν θεοσε- 15 ep. A 105
βέστατον καὶ ὁσιώτατον τῆς Βεροιαίων ἐπίσκοπον Ἀκάκιον εἰκαῖά τινα, ὡς αὐτῶν αἰτούντων χρῆναι μὲν ἅπαντα τὰ παρ' ἡμῶν γραφέντα κατὰ Νεστορίου παραλύεσθαι καὶ ὡς ἄκυρα ῥίπτεσθαι, συνθέσθαι δὲ μόνωι τῶι συμβόλωι τῆς πίστεως τῆς ὁρισθείσης παρὰ τῶν ἁγίων ἡμῶν πατέρων ἐν τῆι Νικαέων πόλει. οἷδε δὲ ἡ σὴ ὁσιότης ὅτι τοιαῦτοι πάλαι αὐτῶν ep. 90
2 αἱ προτάσεις ἦσαν κατὰ τὴν Ἐφεσίων πόλιν. ἐγὼ δὲ πρὸς ταῦτα γέγραφα ὅτι πρᾶγμα 20 ep. A 107
αἰτοῦσιν οὐκ ἐνδεχόμενον· γεγράφαμεν γὰρ ὀρθῶς ἃ γεγράφαμεν, τῆι ὀρθῆι καὶ ἀμωμήτωι συναγορεύοντες πίστει, καὶ οὐδὲν τὸ παράπαν τῶν ἰδίων ἀρνούμεθα. οὐ γὰρ εἴρηταί τι, καθάπερ αὐτοί φασιν, ἀτημελῶς, ἀλλὰ τῆς ὀρθότητος ἐχόμενα πανταχοῦ καὶ τῆι τῆς ἀληθείας δυνάμει συντρέχοντα· χρῆναι δὲ μᾶλλον αὐτοὺς μὴ περιδρομαῖς τισι καὶ ἀναβολαῖς κεχρῆσθαι τοιαύταις μήτε μὴν ἔξω φέρεσθαι τῶν ἀναγκαίων, ἀλλὰ κατὰ τὸ δόξαν εὖ ἔχειν 25 M V 349
καὶ αὐτῶι τῶι εὐσεβεστάτωι καὶ θεοφιλεστάτωι βασιλεῖ καὶ τῆι ἁγίαι συνόδωι τὰς Νεστορίου PG 252
φλυαρίας καὶ τὰς κατὰ Χριστοῦ γενομένας δυσφημίας ἀναθεματίσαι ὁμολογῆσαί τε τὴν καθαίρεσιν αὐτοῦ καὶ συνθέσθαι τῆι χειροτονίαι τοῦ ὁσιωτάτου καὶ θεοσεβεστάτου ἐπισκόπου
3 Μαξιμιανοῦ. τούτων τοίνυν παρ' ἐμοῦ διαπεμφθέντων αὐτοῖς τῶν γραμμάτων, συνεωρακότες ὅτι οὐκ ἂν λάβοιεν τὴν κοινωνίαν, μὴ εἰς πέρας ἐνηνεγμένων ὧν ἔδει ποιεῖν αὐτούς, 30
ἀποστέλλουσιν εἰς τὴν Ἀλεξάνδρειαν τὸν εὐλαβέστατον καὶ θεοφιλέστατον ἐπίσκοπον τῆς Ἐμεσηνῶν Παῦλον ἐπικομιζόμενον πρός με γράμματα κοινωνικὰ μέν, ὑπαγορευθέντα δὲ οὐ ep. A 108
σφόδρα καθηκόντως. προσεποιοῦντο γὰρ καὶ μέμψεις προσάγειν ὡς οὐκ ὀρθῶς τινων εἰρημένων καὶ πεπραγμένων ἐν τῆι ἁγίαι συνόδωι. καὶ τὰς μὲν τοιαύτας ἐπιστολὰς οὐ προσηκάμην, ἀλλ' ἔφην ὅτι οἱ καὶ συγγνώμην αἰτεῖν ὀφείλοντες ἐπὶ τοῖς φθάσασι πῶς καὶ 35

V, P [= hk], S, D [= mn], AWRBUΛΘΛιΛc
1 φρενὶ D 2 λογισμοῖσ B 3 om WR
V, P [= hk], S, D [= mn], AΛ
5 Τοῦ αὐτοῦ VPSD Κυρίλλου Λ δονάτον VP ἐπιστολή om mA 6 δονάτω VP 7 ρκθ V ρκ̄ P ριθ' D ὠιήθην] *opinor peculiariter* Λ τῆ παρακολουθήσαντι S 10 νεστορίου μιαρὰ SD δόγματα καὶ V 11 καὶ om SD αὐτοῦ om. SD 12 ἡμῖν P δὲ καὶ SD 13 ἡ] οἳ P 14 ἡμῶν om. P 14/15 λυποῦσαν — προσκρούουσαν Λ λυποῦσι — προσκρούουσιν [προσκυνοῦσιν S οὐ προσκυνοῦσιν D] VPSDA 15 Χριστοῦ om. P οὐ μετρίωσ αἳ A αἳ οὐ μετρίωσ D παρεσκεύασάν τε V 16 βερροιαίων VDA 19 ἡμιων om VPSD 20 καὶ κατὰ Λ τὴν τῶν V γέγραφα] ἔφην P 22 εἴρηταί τι] εἴρητί V 23 πανταχοῦ PSDΛΛ παντελῶσ καὶ πανταχοῦ V 26 εὐσεβεστάτω ΛΛ θεοσεβεστάτω VPSD 30 ἀνηνεγμένων Λ 32 ἐμισηνῶν VSA γράμματα VΛΛ om. PSD που οὐ SD 35 οἳ] εἰ P

δευτέρας ἐπάγουσιν ὕβρεις; ἀπολογουμένου δὲ τοῦ μνημονευθέντος θεοσεβεστάτου
I. III 1154 ἐπισκόπου ἑνωμότως τε διαβεβαιουμένου μὴ τοιοῦτον ἐσχηκέναι σκοπὸν αὐτούς, ἐξ ἁπλό-
τητος δὲ μᾶλλον ἐπὶ τὸ γράμμα ἐλθεῖν, παρῆκα μὲν διὰ τὴν ἀγάπην καὶ τοῦτο, οὐ πρό-
ep. 122 τερον δὲ συναχθῆναι αὐτῶι συγκεχώρηκα, εἰ μὴ βιβλίον ἐπιδοὺς ἐγγράφως ἀνεθεμάτισε τὰ
Νεστορίου δόγματα καὶ ὡμολόγησεν ἔχειν αὐτὸν καθηιρημένον καὶ συντίθεσθαι τῆι χειρο-
4 τονίαι τοῦ εὐλαβεστάτου καὶ θεοσεβεστάτου ἐπισκόπου Μαξιμιανοῦ. καὶ ἠξίου μὲν ὡς
ὑπὲρ πάντων τῶν κατὰ τὴν Ἀνατολὴν ὄντων θεοσεβεστάτων ἐπισκόπων τὰ τοιαῦτα βιβλία
δούς, μηδὲν ἕτερον ἡμᾶς προσαπαιτῆσαι· ἠνεσχόμην δὲ οὐδαμῶς, ἀλλὰ γὰρ συνεξέπεμψα
τῶι κυρίωι μου τῶι θαυμασιωτάτωι τριβούνωι καὶ νοταρίωι Ἀριστολάωι δύο τῶν ἡμετέρων
κληρικῶν εἰς τὴν Ἀντιόχειαν, ἐγχειρίσας χάρτην καὶ εἰπὼν ὅτι ἐὰν ὑπογράψηι ὁ θεοσε-
βέστατος ἐπίσκοπος τῆς Ἀντιοχέων Ἰωάννης καὶ δέξηται τοῦτον, τότε ἀπόδοτε τὰ κοινω-
νικά. ἐδυσχέραινε γὰρ ἐπὶ τῶι βράδει ὁ μνημονευθεὶς θαυμασιώτατος τριβοῦνος Ἀριστό-
λαος. ὑπογράψαντος τοίνυν τοῦ θεοσεβεστάτου ἐπισκόπου Ἰωάννου καὶ τῶν σὺν αὐτῶι
ἐπιφανεστέρων, ἀναθεματισάντων δὲ τὰ Νεστορίου δόγματα καὶ ὁμολογησάντων ἔχειν αὐτὸν
καθηιρημένον συνθεμένων τε τῆι χειροτονίαι τοῦ θεοσεβεστάτου ἐπισκόπου Μαξιμιανοῦ,
ep. 95 ἀποδεδώκαμεν τὴν κοινωνίαν· ταῦτα γὰρ αὐτοῖς καὶ κατὰ τὴν Ἐφεσίων μητρόπολιν προε-
5 τείνετο παρὰ τῆς ἁγίας συνόδου. ἴστω δὲ κἀκεῖνο ἡ σὴ ὁσιότης· ἐνέστη μὲν γὰρ ἐν
ἀρχαῖς πλεῖστα παρακαλῶν ὁ εὐλαβέστατος καὶ θεοσεβέστατος ἐπίσκοπος Παῦλος τῶν
καθηιρημένων ἕνεκα, Ἑλλαδίου τε φημὶ καὶ Εὐθηρίου καὶ Ἱμερίου καὶ Δωροθέου καὶ ἠξίου
τὰ ἐπ' αὐτοῖς ἀρχῆσαι, διατεινόμενος μὴ ἑτέρως δύνασθαι τὴν εἰρήνην τῶν ἐκκλησιῶν
ἐνεχθῆναι πρὸς πέρας, εἰ μὴ προστεθείη καὶ τοῦτο. ἐγὼ δὲ ἔφην ἀδυνάτωι πράγματι
ἐπιχειρεῖν αὐτὸν καὶ τοῦτο οὐκ ἔσεσθαί ποτε παρ' ἡμῶν. μεμενήκασι τοίνυν ἐν ὧι καὶ
PG 253 νῦν εἰσι σχήματι, καὶ οὐδεμία γέγονεν αὐτῶν μνήμη ἐν ταῖς συνθήκαις ταῖς περὶ τῆς εἰρήνης
ep. 130 6 τῶν ἐκκλησιῶν. γεγράφασι δὲ τὴν αὐτὴν ἐπιστολὴν ἣν ἔπεμψαν πρός με, καὶ πρὸς τοὺς
M V 352 θεοσεβεστάτους καὶ ὁσιωτάτους ἐπισκόπους τόν τε τῆς μεγάλης Ῥώμης Ξύστον καὶ τὸν
τῆς ἁγίας Κωνσταντινουπολιτῶν ἐκκλησίας Μαξιμιανόν. καὶ ἦν ἀναγκαῖον ἀκριβῶς
διδαχθῆναι ταῦτα τὴν σὴν τελειότητα, ὡς ἂν μή τινες ἕτερα ἀνθ' ἑτέρων φλυαρεῖν εἰω-
θότες ταράξωσι τινὰς τῶν ἀδελφῶν ὡς ἡμῶν ὀρνησαμένων ἃ γεγράφαμεν κατὰ τῶν
ep. 127 Νεστορίου δυσφημιῶν. ἀπέστειλα δὲ τὰ ἴσα τῶν ἐπιστολῶν τῆς τε παρ' ἐμοῦ γρα-
φείσης πρὸς τὸν εὐλαβέστατον τῆς Ἀντιοχέων ἐπίσκοπον Ἰωάννην καὶ τῆς παρ' αὐτοῦ
ep. 123 γραφείσης πρός με ἐπὶ τῶι ἀναθεματισμῶι τῶν Νεστορίου δυσφημιῶν καὶ τῆι καθαιρέσει
αὐτοῦ πρὸς εὐμάθειαν ἀκριβῆ τῆς σῆς τελειότητος. καὶ ἑτέρους ἐπιστολὰς παρὰ ταύτας
προκομιζέτω μηδείς.

Πρόσειπε τὴν παρὰ σοὶ ἀδελφότητα. σὲ ἡ σὺν ἡμῖν ἐν κυρίωι προσαγορεύει.

V, P[= hk], S, D [= mn], AΛ

2 ἑνομότως VD τε A τὲ καὶ VSD δὲ P 3 πρὸσ D παρῆκα μὲν P παρήκαμεν AΛ παρηκάμην V προσηκάμην SD 4 δοὺσ V 6 καὶ θεοσεβεστάτου SDAΛ om. VP 8 γὰρ om. VP συνέπεψα SD 9/10 Ἀριστολάωι — Ἀντιόχειαν om. SD 10 τὴν om. P ἐγχειρήσασ PA 11 ἐπίσκοπος om A δέξησθε SDA 12 ἐδυσχέραι δὲ superscr. γὰρ V μνημονευθεὶς om SD 14 δὲ VP τὲ SDAΛ 15 συνθεμένων τὲ VAΛ καὶ συνθεμένων P καὶ συντίθεσθαι SD εὐλαβεστάτου καὶ θεοσεβεστάτου SD 16 καὶ om. D 18 θεοφιλέστατοσ V 19 παλλαδίου V φημὶ om. V εὐθηρίου ἰμερίου V ἡμερίου SD 21/22 ἐγὼ — τοῦτο om V 22 ἐσόμενον V 23 σχίσματι D 24 τῶν ἁγίων V καὶ τοὺσ S καὶ τοῖσ D 25 θεοφιλεστάτουσ P θεοσεβεστάτοισ D ὁσιωτάτοισ ἐπισκόποισ D ἐπισκόπους om. V τῶ — ξύστω D 25/26 τῶ — μαξιμιανῶ D 27 ταῦτα om. V 29 ἀπεστείλαμεν A δὲ καὶ SD 30/31 τὸν εὐλαβέστατον — πρός οm V 30 ἀντιοχείασ D 31 σὲ V 31/32 καὶ — αὐτοῦ om. A 33 κομιζέτιυ P 34 σὺν V σὲ — προσαγορεύει om. V

130 = S 127 A 122

'Ιωάννου ἐπισκόπου Ἀντιοχείας καὶ τῶν λοιπῶν τῶν σὺν αὐτῶι ἐπιστολὴ πρὸς Ξύστον ἐπίσκοπον Ῥώμης καὶ πρὸς Κύριλλον ἐπίσκοπον Ἀλεξανδρείας καὶ Μαξιμιανὸν ἐπίσκοπον Κωνσταντινουπόλεως L III 108 M V 285

Τοῖς ὁσιωτάτοις καὶ θεοφιλεστάτοις ἀδελφοῖς καὶ συλλειτουργοῖς Ξύστωι Κυρίλλωι καὶ Μαξιμιανῶι 'Ιωάννης καὶ οἱ λοιποὶ πάντες οἱ σὺν ἐμοὶ ἐν κυρίωι χαίρειν. Καὶ σπουδὴ καὶ σκοπὸς πᾶσι τοῖς ἱερᾶσθαι λαχοῦσι καὶ τὴν θείαν τῆς ἐπισκοπῆς λειτουργίαν πεπιστευμένοις παρὰ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ τὸ ἐν ὀρθῆι πίστει διαπρέπειν οὕτω τε διδάσκειν τοὺς ὑπὸ χεῖρα λαούς. οὕτω τοίνυν ἔχοντος τοῦ πράγματος, κατὰ τὸ παρωιχηκὸς ἔτος ἐκ θεσπίσματος τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων βασιλέων ἁγία σύνοδος θεοφιλεστάτων ἐπισκόπων συνήχθη κατὰ τὴν 'Εφεσίων μητρόπολιν τῆς κατὰ Νεστόριον ὑποθέσεως χάριν, οἳ καὶ συνεδρεύσαντες ἅμα τοῖς ἀποσταλεῖσιν ἐκδίκοις παρὰ τοῦ τῆς μακαρίας μνήμης Κελεστίνου τ ῦ γενομένου ἐπισκόπου τῆς ἁγίας Ῥωμαίων ἐκκλησίας ψήφωι καθαιρέσεως ὑποβεβλήκασι τὸν μνημονευθέντα Νεστόριον ὡς βεβήλωι διδασκαλίαι χρησάμενον καὶ σκανδαλίσαντα πολλοὺς καὶ οὐκ ὀρθοποδήσαντα περὶ τὴν πίστιν· συνδεδραμηκότες δὲ καὶ ἡμεῖς, εἶτα τοῦτο γεγονὸς εὑρόντες λελυπήμεθα. ταύτης ἕνεκα τῆς αἰτίας διαφορᾶς μεταξὺ γενομένης ἡμῶν τε καὶ τῆς ἁγίας συνόδου καὶ πολλῶν μεταξὺ πεπραγμένων τε καὶ εἰρημένων, ὑπεστρέψαμεν εἰς τὰς ἑαυτῶν ἐκκλησίας τε καὶ πόλεις, οὐ συνενεχθέντες τὸ τηνικάδε τῆι ἁγίαι συνόδωι δι' ὑπογραφῆς εἰς τὴν ἐξενεχθεῖσαν κατὰ Νεστορίου τῆς καθαιρέσεως ψῆφον. διηιρημένων δὲ πρὸς διχόν ιαν τῶν ἐκκλησιῶν, ἐπειδὴ τούτου μάλιστα πάντας φροντίσαι ἐχρῆν ὅπως συναφθεῖεν ἐκ μέσου γενομένης διχονοίας ἁπάσης, καὶ τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων βασιλέων αὐτὸ δὴ τοῦτο γενέσθαι θεσπισάντων καὶ εἰς τοῦτο πεπομφότων τὸν θαυμασιώτατον τριβοῦνον καὶ νοτάριον Ἀριστόλαον, συνήρεσεν εἰς ἀναίρεσιν ἁπάσης φιλονεικίας καὶ ὑπὲρ τοῦ τὴν εἰρήνην βραβευθῆναι ταῖς ἐκκλησίαις τοῦ θεοῦ καὶ ἡμᾶς αὐτοὺς νῦν συνθέσθαι τῆι ψήφωι τῆς ἁγίας συνόδου τῆι ἐξενεχθείσηι κατὰ Νεστορίου ἔχειν τε αὐτὸν καθηιρημένον καὶ ἀναθεματίσαι τὰς δυσφήμους αὐτοῦ διδασκαλίας διὰ τὸ τὰς παρ' ἡμῖν ἐκκλησίας τὴν ὀρθὴν ἀεὶ καὶ ἀβέβηλον ἐσχηκέναι πίστιν, καθὰ καὶ ἡ ὑμετέρα ὁσιότης, καὶ ταύτην ἀεὶ φυλάττειν καὶ παραδιδόναι τοῖς λαοῖς. συναινοῦμεν δὲ καὶ τῆι χειροτονίαι τοῦ ὁσιωτάτου καὶ θεοσεβεστάτου τῆς Κωνσταντινουπολιτῶν ἁγίας ἐκκλησίας ἐπισκόπου Μαξιμιανοῦ καὶ κοινωνικοὶ πᾶσιν ἐσμὲν τοῖς κατὰ τὴν οἰκουμένην θεοσεβεστάτοις ἐπισκόποις, ὅσοι τὴν ὀρθὴν καὶ ἀμώμητον ἔχουσί τε καὶ τηροῦσι πίστιν. ep. 120 L III 1090

V, P [= bk], S, D [= mn], A

ρλ V ρκα P ρκ' D 2 'Ιωάννου — 'Αντιοχείας] τοῦ αὐτοῦ A λοιπῶν] λοιπῶν ἐπισκόπων A 3 πρὸς om. A 5/6 Ξύστωι — χαίρειν om. D 6 οἱ λοιποὶ — ἐμοὶ] οἱ σὺν ἐμοὶ πάντες S 7 ἅπασι DA 10 θεσπισμάτων A 11 θεοφιλεστάτων — συνήχθη SDA ἠθροίσθη θεοφιλεστάτων ἐπισκόπων P θεοφιλεστάτων ἐπισκόπων V 12 χάριν γέγονεν V 13 ἁγίας om. SD 14 διδασκάλω S 14/15 χρώμενον VPSD 15 καὶ² om. SD ὀρθοποδίσαντα SD 17 γενομένης μεταξὺ P γενομένης V 18 εἰσ τὰσ — πόλεισ ὑπεστρέψαμεν V εἰσ τὰσ — πόλεισ P συναχθέντεσ P 19 τηνικαῦτα V 19/20 τῆσ κατὰ νεστορίου καθαιρέσεωσ A 19 τοῦ νεστορίου SD 20 δὲ om. V ἐπειδὴ δὲ V τοῦτο PS 21 πάντας om. V 22 θεοσεβεστάτων V γενέσθαι om. P 23 θαυμάσιον V 24 εἰς — φιλονεικίας] ἁπάσησ φιλονεικίασ ἐξαιρεθείσησ P 25 καὶ νῦν SD om. V τῆδε τῆ VSD 29 ὁσιωτάτου καὶ θεοσεβεστάτου] θεοσεβεστάτου καὶ θεοφιλεστάτου P 30 ἁγίας om. SD ἀνὰ SD πᾶσαν τὴν A 31 ὀρθόδοξον V

131 = S 128 A 125. Latina uersio extat in Collectione CT 74

L III 1155
M V 352
PG 77, 253

Κυρίλλου ἐπισκόπου Ἀλεξανδρείας πρὸς Μαξιμιανὸν ἐπίσκοπον Κωνσταντινουπόλεως ἐπιστολή

Κυρίωι μου ἀγαπητῶι ἀδελφῶι καὶ συλλειτουργῶι Μαξιμιανῶι Κύριλλος ἐν κυρίωι χαίρειν. Οὐκ ἦν ἀμφίβολον ὅτι πάντηι τε καὶ πάντως αἱ τῆς σῆς ὁσιότητος ἰσχύουσι προσευχαί· κατανεύει γὰρ ἑτοίμως τοῖς ἀγαπῶσιν αὐτὸν ὁ πάντων ἡμῶν σωτὴρ ὥστε
Ps. 17, 7 ἕκαστον καὶ ἐπὶ τούτωι χαίροντά τε καὶ ἀνασκιρτῶντα λέγειν· ἤκουσεν ἐκ ναοῦ ἁγίου αὐτοῦ φωνῆς μου καὶ ἡ κραυγή μου ἐνώπιον αὐτοῦ εἰσελεύσεται εἰς τὰ ὦτα αὐτοῦ. ἰδοὺ γὰρ ἰδοὺ τὰ διεσπασμένα μέλη τοῦ τῆς ἐκκλησίας σώματος συνήφθη πάλιν ἀλλήλοις καὶ διατέμνει μὲν οὐδὲν εἰς διχόνοιαν τοὺς ἱερουργοῦντας τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, μιᾶι δὲ οἱ πάντες στεφανούμεθα πίστει, τὸν τῶν ἀνοσίων εὑρετὴν Νεστόριον ἔξω τῶν ἱερῶν ἐλάσαντες περιβόλων καὶ ἀγέλης εὐγενοῦς ἀποστήσαντες τὸν ψευδοποιμένα· γέγονε δὲ καὶ τοῦτο [ἐν] τῶν σῶν κατόρθωμα προσευχῶν. ἐπεὶ τοίνυν φροντὶς ἀναγκαία γέγονε καὶ τοῖς εὐσεβεστάτοις βασιλεῦσιν ἡ περὶ τῶν ἐκκλησιῶν εἰρήνης, εὐχόμεθα δὲ καὶ ἡμεῖς αὐτοὶ γενέσθαι μὲν ἐκ μέσου τὸ διατειχίζον καὶ διατέμνον ἡμᾶς εἰς διαφοράν, ἀνα-
ep. 123 λάμψαι δὲ φωτὸς δίκην τὴν θεῶι φιλτάτην εἰρήνην, ὁμολογησάντων ἐγγράφως τοῦ θεοφιλεστάτου καὶ θεοσεβεστάτου τῆς Ἀντιοχέων ἐπισκόπου Ἰωάννου καὶ τῶν σὺν αὐτῶι εὐλαβεστάτων ἐπισκόπων ὅτι καὶ καθηιρημένον ἔχουσι Νεστόριον καὶ ἀναθεματίζουσι τὰς ἀνοσίους
ep. 127 αὐτοῦ δυσφημίας, πέπομφα γράμματα πρός τε τὴν θεοσέβειαν αὐτοῦ καὶ τοὺς ἄλλους κοι-
PG 256 νωνικὰ καὶ συνήφθημεν εἰς ὁμόνοιαν, πρὸς τοῦτο καὶ τῆς σῆς συναινούσης ὁσιότητος καὶ ἁπάντων τῶν ἄλλων ἐξ ὧν τὸ τῆς ἁγίας συνόδου γέγονε πλήρωμα. οὐ γὰρ ἔρις καὶ φιλονεικία κρατεῖ παρ' ἡμῖν, ἀλλ' ἕνα σκοπὸν οἱ πάντες ἐσχήκαμεν πρὸς εἰρήνην βλέποντα, καὶ εἴπερ ἠθέλησαν οἱ ἐξ ἀρχῆς διχονοήσαντες καὶ ἑαυτοὺς ἡμῶν ἀποτεμόντες, οὐδ' ἂν ὅλως γέγονέ τις ἔρις καὶ διαφορὰ τῶν ἐκκλησιῶν. πλὴν εὐλογητὸς ὁ σωτὴρ ὁ τὸν χειμῶνα καταπαύσας καὶ τὴν τῆς ὁμοψυχίας ἡμῖν ἁπλώσας γαλήνην εὐχαῖς καὶ πρεσβείαις τῆς σῆς ὁσιότητος, καὶ τῶν ἄλλων δὲ ἁπάντων ὅσοι πίστιν ἔχοντες ὀρθὴν καὶ εἰλικρινῆ
Ioh. 3, 23 τὴν ἐν πνεύματι καὶ ἀληθείαι προσκύνησιν καὶ λατρείαν τελοῦσιν αὐτῶι.

V, P [= hk], S, D [= mn], AJΛ^{t}Λ^{c}

ρλα V ρκβ P ρκα′ D 2/3 Κυρίλλου — ἐπιστολή VPSDΛ κυρίλλου πρὸς τὸν αὐτὸν μαξιμιανὸν σταλεῖσα διὰ ἀριστολάου AJ 3 in fine add. *qui ordinatus est post Nestorium* Λ^{t} *qui — Nestorium directa post pacem* Λ^{c} 4/5 Κυρίωι — χαίρειν om. V 4 κυρίω — συλλειτουργῶ AJ *reuerentissimo et deoamantissimo comministro* Λ τῶ ὁσιωτάτω καὶ ἁγιωτάτω δεσπότη ἐμῶ ἀρχιεπισκόπω πατρὶ PSD 5 ἰσχύσουσι VD 7 καὶ om. P τε om. D 7/8 αὐτοῦ ἁγίου S 9 διεσπασμένα VPAJΛ^{c} διεσπαρμένα SDΛ^{t} 12 ἑλάσαντα S ἀγενοῦσ S ἀποστήσαντα S 13 ἓν om. VAJΛ ἐπεὶ δὲ τοίνυν V 14 παρὰ J εἰρήνης Λ εἰρήνη VPSDAJ 15/16 ἀναλάμψαι — εἰρήνην om. SD 16 τὴν AJ om. VP τοῦ τε P 17 εὐσεβεστάτου P 18 καὶ^{1} AJΛ om. VPSD ἀνοσίους] *insensatas* [= ἀνοήτους] Λ^{c} 19 δυσφημίασ αὐτοῦ SD καὶ πέπομφα P ἄλλουσ AJΛ ἄλλουσ ἐπισκόπουσ VPSD 20 συντρεχούσησ πρὸσ τοῦτο καὶ τῆσ σῆσ ὁσιότητοσ D ὁσιότητοσ συναινούσησ P 22 οἱ πάντεσ AJ ἅπαντεσ VPSD 23 ἡμῖν διχονοήσαντεσ D 25 καταπαύσασ VAJ καταστήσασ PS κατασιγήσασ D ἡμῖν DAJΛ ἡμῶν VPS 26 πάντων VP 27 πνεύματί τε καὶ AJ

132 = S 91 A 131. Latina uersio extat in Collectione CT 75

Ὑπομνηστικὸν Εὐλογίῳ πρεσβυτέρῳ Ἀλεξανδρείας παραμένοντι ἐν Κωνσταντινουπόλει παρὰ τοῦ ἁγιωτάτου ἐπισκόπου Κυρίλλου L III 1147 M V 344 PG 77, 224 PG 225 ep. 123. 127

Ἐπιλαμβάνονται τινὲς τῆς ἐκθέσεως ἧς πεποίηνται οἱ Ἀνατολικοί, καί φασιν· διὰ τί δύο φύσεις ὀνομαζόντων αὐτῶν ἠνέσχετο ἢ καὶ ἐπήινεσεν ὁ τῆς Ἀλεξανδρείας; οἱ δὲ τὰ Νεστορίου φρονοῦντες λέγουσιν κἀκεῖνον οὕτω φρονεῖν, συναρπάζοντες τοὺς οὐκ εἰδότας τὸ ἀκριβές. χρὴ δὲ τοῖς μεμφομένοις ἐκεῖνα λέγειν ὅτι οὐ πάντα ὅσα λέγουσιν οἱ αἱρετικοί, φεύγειν καὶ παραιτεῖσθαι χρή· πολλὰ γὰρ ὁμολογοῦσιν ὧν καὶ ἡμεῖς ὁμολογοῦμεν. οἷον Ἀρειανοὶ ὅταν λέγωσιν τὸν πατέρα ὅτι δημιουργός ἐστι τῶν ὅλων καὶ κύριος, μὴ διὰ τοῦτο φεύγειν ἡμᾶς ἀκόλουθον τὰς τοιαύτας ὁμολογίας; οὕτω καὶ ἐπὶ Νεστορίου, κἂν λέγῃ δύο φύσεις τὴν διαφορὰν σημαίνων τῆς σαρκὸς καὶ τοῦ θεοῦ λόγου· ἑτέρα γὰρ ἡ τοῦ λόγου φύσις καὶ ἑτέρα ἡ τῆς σαρκός. ἀλλ' οὐκέτι τὴν ἕνωσιν ὁμολογεῖ μεθ' ἡμῶν. ἡμεῖς γὰρ ἑνώσαντες ταῦτα ἕνα Χριστόν, ἕνα υἱόν, τὸν αὐτὸν ἕνα κύριον ὁμολογοῦμεν καὶ λοιπὸν μίαν τὴν τοῦ υἱοῦ φύσιν σεσαρκωμένην, ὁποῖόν ἐστιν καὶ ἐπὶ τοῦ κοινοῦ εἰπεῖν ἀνθρώπου· ἔστιν μὲν γὰρ ἐκ διαφόρων φύσεων, ἀπό τε σώματος φημὶ καὶ ψυχῆς, καὶ ὁ μὲν λόγος καὶ ἡ θεωρία οἶδεν τὴν διαφοράν, ἑνώσαντες δέ, τότε μίαν ποιοῦμεν ἀνθρώπου φύσιν. οὐκοῦν οὐ τὸ εἰδέναι τῶν φύσεων τὴν διαφορὰν διατέμνειν ἐστὶν εἰς δύο τὸν ἕνα Χριστόν. ἐπειδὴ δὲ πάντες οἱ ἐκ τῆς Ἀνατολῆς νομίζουσιν ἡμᾶς τοὺς M V 345 ὀρθοδόξους ταῖς Ἀπολιναρίου δόξαις ἀκολουθεῖν καὶ φρονεῖν ὅτι σύγκρασις ἐγένετο ἢ σύγχυσις (τοιαύταις γὰρ αὐτοὶ κέχρηνται φωναῖς, ὡς τοῦ θεοῦ λόγου μεταβεβηκότος εἰς φύσιν σαρκὸς καὶ τῆς σαρκὸς τραπείσης εἰς φύσιν θεότητος), συγκεχωρήκαμεν αὐτοῖς οὐ διελεῖν εἰς δύο τὸν ἕνα υἱόν, μὴ γένοιτο, ἀλλ' ὁμολογῆσαι μόνον ὅτι οὔτε σύγχυσις ἐγένετο

---

2 Fcyr 12 ἐν τῆς πρὸς Εὐλόγιον ἐπιστολῆς τὸν ἐν Κωνσταντινουπόλει ἀποκρισιάριον, ἧς ἡ ἀρχή· Ἐπιλαμβάνονται — Ἀνατολικοί 4—14 σεσαρκωμένην Doctr. patr. 23, 1 4—8 χρή Eulogius ap. Phot. bibl. 230 p. 270b 23 7 οὐ πάντα — 12 σαρκός Coll. c. Seuer. 47 [t. IIII 2 p. 177] 11 κἂν — 14 σεσαρκωμένην Eulogius p. 270b 35 17/18 οὐκοῦν — Χριστόν Doctr. patr. 23, 1 οὐ τὸ — Χριστόν Fcyr 15 18—p. 36, 2 Fcyr 12 ἐπειδὴ — φωνήν

V, P [= hk], S, D [= mn], AWRBEUZΛ^{t}Λ^{c}

2/3 ὑπομνηστικὸν εὐλογίῳ πρεσβυτέρῳ ἀλεξανδρείασ [ἀλεξανδρείασ om. SD] παραμένοντι — τοῦ ἁγιωτάτου [ἁγιωτάτου om. SD] ἐπισκόπου [ἀρχιεπισκόπου SDΛ] κυρίλλου SDRΛ τοῦ αὐτοῦ ἁγίου κυρίλλου ὑπουνηστικὸν εὐλογίῳ διακόνῳ ἀλεξανδρείασ παραμένοντι ἐν κωνσταντινουπόλει ὄντι ἀποκρισεαρίῳ Z τοῦ αὐτοῦ [ἐπιστολὴ τοῦ αὐτοῦ V κυρίλλου ἀρχιεπισκόπου ἀλεξανδρείασ E] πρὸσ εὐλόγιον πρεσβύτερον [ἐπίσκοπον P] ἀλεξανδρείασ [hic finem facit inscriptionis V] στατίζοντα [στασιαζοντα E] ἐν κωνσταντινουπόλει VPAEU τοῦ αὐτοῦ ἁγίου κυρίλλου πάπα ἀλεξανδρείασ προσ εὐλόγιον πρεσβύτερον ἀλεξανδρείασ ἐπιστολὴ περὶ πίστεωσ W τοῦ αὐτοῦ ἐν ἁγίοισ κυρίλλου ἐπιστολὴ πρὸσ εὐλόγιον πρεσβύτερον χρηματίζοντα ἐν κωνσταντινουπόλει B ρλβ V ρκϛ P πη' D 4 διά τί] ὅτι SD 5 ἀλεξανδρείασ ἐπίσκοποσ ZΛ 5/6 τὰ Νεστορίου] *qualia* [Λ^{t} *qui* Λ^{c}] *Nestorii sunt* Λ^{tc} 6 φρονοῦντεσ om. SDΛ^{tc} συναρπάζοντασ R 7 ἐκεῖνα VWRBEUΛ Eulog. ἐκεῖνο PSDAZ ὅτι om. D 8 ὧν] ὡσ Λ 9 οἱ ἀρειανοὶ VE ὅτε λέγουσι E ὅτι om. P τῶν ὅλων om. Z 10 ἡμᾶσ φεύγειν SDWRZ ἀκόλουθον ἦν P ἀκολουθεῖν E ἀκόλουθον καὶ ἀρνεῖσθαι Z ταῖσ τοιαύταισ ὁμολογίαισ E ταύτασ τὰσ ὁμολογίασ VP 11 λέγει R λέγοι Z σημαίνων om. V 12 οὐκέτι] οὐ κατὰ SD 13 Χριστὸν] κν̄ E 14 τὴν om. VP υἱοῦ] θῦ SD σεσαρκωμένην φαμὲν WR 15 μέν om. WR φημὶ om WRBE 16/17 ἑνώσαντεσ — διαφοράν om. S 16 τότε] ταῦτα Z ποιοῦμεν μίαν DZ μίαν V 17 οὔκουν αὖ B 18 ἐκ om. Fcyr 18/19 τοὺσ ὀρθοδόξουσ ἡμᾶσ ἀκολουθεῖν ταῖσ — δόξαισ B 19 ἀπολλιναρίου S κακοδοξίαισ Fcyr ἢ καὶ φρονεῖν Z 20 τοιαύταισ γὰρ] καὶ τοιαύταισ Z καὶ αὐτοὶ D μεταβεβηκότοσ DAWRBEUZΛ^{t} Fcyr καταβεβηκότοσ S μεταβεβληκότοσ VPΛ^{c} εἰς om. Λ^{c} 20/21 εἰς — τραπείσης] τὴν σάρκα P 21 συνεχωρήσαμεν VPAU αὐτοὺσ SDWRΛ μὴ SD 22 τὸν ἕνα χν̄ εἰσ δύο Z υἱὸν SDAWRBEΛ^{tc} Fcyr χν̄ VPU(Z)

οὔτε κρᾶσις, ἀλλ' ἡ μὲν σὰρξ σὰρξ ἦν ὡς ἐκ γυναικὸς ληφθεῖσα, ὁ δὲ λόγος ὡς ἐκ πατρὸς
Ioh. 1, 14 γεννηθεὶς λόγος ἦν· πλὴν εἷς ὁ Χριστὸς καὶ υἱὸς καὶ κύριος κατὰ τὴν Ἰωάννου φωνὴν ὡς
γεγονότος σαρκὸς τοῦ λόγου. παρασκεύαζε δὲ αὐτοὺς προσέχειν τῇι ἀναγνώσει τῆς
ἐπιστολῆς τοῦ μακαρίου πάπα Ἀθανασίου, ὅτι ἐκεῖ φιλονεικούντων τινῶν καὶ λεγόντων ὅτι
ἐκ τῆς ἰδίας φύσεως ὁ θεὸς λόγος μετεποίησεν ἑαυτῶι σῶμα, ἄνω καὶ κάτω ἰσχυρίζεται
ὅτι οὐχ ὁμοούσιον ἦν τῶι λόγωι τὸ σῶμα. εἰ δὲ οὐχ ὁμοούσιον, ἑτέρα πάντως καὶ
ἑτέρα φύσις, ἐξ ὧν ὁ εἷς καὶ μόνος νοεῖται υἱός. κἀκεῖνο δὲ μὴ ἀγνοείτωσαν· ὅπου
γὰρ ἕνωσις ὀνομάζεται, οὐχ ἑνὸς πράγματος σημαίνεται σύνοδος, ἀλλ' ἢ δύο ἢ καὶ πλειόνων
καὶ διαφόρων ἀλλήλοις κατὰ τὴν φύσιν. εἰ τοίνυν λέγομεν ἕνωσιν, ὁμολογοῦμεν ὅτι
L III 1150 σαρκὸς ἐψυχωμένης νοερῶς καὶ λόγου, καὶ οἱ δύο λέγοντες φύσεις οὕτω νοοῦσι· πλὴν τῆς
ἑνώσεως ὁμολογουμένης οὐκέτι διίστανται ἀλλήλων τὰ ἑνωθέντα, ἀλλ' εἷς λοιπὸν υἱός, μία
φύσις αὐτοῦ, ὡς σαρκωθέντος τοῦ λόγου. ταῦτα ὡμολόγησαν οἱ ἐκ τῆς Ἀνατολῆς, εἰ
ep. 123. 127 καὶ περὶ τὴν λέξιν ὀλίγον ἐσκοτίσθησαν. οἱ γὰρ ὁμολογοῦντες ὅτι ὁ ἐκ θεοῦ πατρὸς
PG 228 γεννηθεὶς μονογενὴς λόγος ἐγεννήθη ὁ αὐτὸς καὶ κατὰ σάρκα ἐκ γυναικός, καὶ ὅτι θεοτόκος
ἐστὶν ἡ ἁγία παρθένος, καὶ ὅτι ἓν αὐτοῦ τὸ πρόσωπον, καὶ ὅτι οὐ δύο υἱοί, οὐ δύο
Χριστοί, ἀλλ' εἷς, πῶς ταῖς Νεστορίου συμφέρονται δόξαις; Νεστόριος μὲν γὰρ ἐν ταῖς
ἑαυτοῦ ἐξηγήσεσιν προσποιεῖται λέγειν >εἷς υἱὸς καὶ εἷς κύριος<, ἀλλ' ἀναφέρει τὴν υἱότητα
καὶ τὴν κυριότητα ἐπὶ μόνον τὸν τοῦ θεοῦ λόγον, ὅταν δὲ ἔλθηι εἰς τὴν οἰκονομίαν, πάλιν
ὡς ἕτερον κύριον τὸν ἐκ γυναικὸς ἰδίαι ἄνθρωπόν φησιν συναφθέντα τῇι ἀξίαι [τῇι ἰσο-
τιμίαι]. τὸ γὰρ λέγειν ὅτι διὰ τοῦτο ὁ θεὸς λόγος Χριστὸς ὀνομάζεται, ὅτι ἔχει τὴν
συνάφειαν τὴν πρὸς τὸν Χριστόν, πῶς οὐκ ἐναργῶς ἐστιν δύο λέγειν Χριστούς, εἰ Χριστὸς
πρὸς Χριστὸν ἔχει συνάφειαν ὡς ἄλλος πρὸς ἄλλον; οἱ δὲ ἐκ τῆς Ἀνατολῆς οὐδὲν
εἰρήκασι τοιοῦτον, τὰς δὲ φωνὰς διαιροῦσι μόνον. διαιροῦσι δὲ κατὰ τοῦτον τὸν τρόπον,
ep. 123. 127 ὡς τὰς μὲν θεοπρεπεῖς εἶναι λέγειν, τὰς δὲ ἀνθρωπίνας, τὰς δὲ κυινοποιηθείσας, ὡς ἐχούσας
ὁμοῦ καὶ τὸ θεοπρεπὲς καὶ τὸ ἀνθρώπινον, πλὴν εἰρημένας παρ' ἑνὸς καὶ τοῦ αὐτοῦ καὶ
οὐχ ὡς Νεστόριος τὰς μὲν τῶι θεῶι λόγωι ἰδικῶς ἀπονέμει, τὰς δὲ τῶι ἐκ γυναικὸς ὡς

---

3 παρασκεύαζε — 7 νοεῖται Χριστός Coll. c. Seuer. 47 παρασκεύαζε — φύσις Fcyr 13 7—11 Fcyr 14 κἀκεῖνο — ἑνωθέντα 7 κἀκεῖνο — 10 νοοῦσι Coll. c. Seuer. 48; 7—10 λόγου Ephraim ap. Phot. 229 p. 251a 8 7 κἀκεῖνο — 9 φύσιν Coll. c. Seuer. 45 11/12 εἷς — λόγου adferuntur ab Eulogio Phot. p. 273a 13, falsata dicuntur in Coll. c. Seuer. 49 13 οἱ γὰρ — 16 δόξαις Coll. c. Seuer. 49 22 οἱ δὲ — p. 37, 2 καὶ ἑτέρωι adferuntur Doctr. patr. 23, 4 et in Coll. c. Seuer. 49

V, P [= hk], S, D [= mn], AWRBEUZΛ¹Λᶜ

1 σύγκρασιν VP σὰρξ alterum om. PSDZ, corr. S λημφθείσα R ὡς] ὁ R τοῦ πρσ̄ A 2 ὁ om. S καὶ υἱὸς om. WR εἰσ υἱόσ S 3 σαρκὸς — αὐτοὺς om. P παρασκεύαζε DWRBEUZΛ¹ Coll. Fcyr *procurauit* Λᶜ παρασκευάζεσθαι VSA 4 μακαριωτάτου A πάππα D ἐκείνων P τινῶν om. P 5 μετεποίησεν ὁ θσ̄ λόγοσ Z ὁ om. E αὐτῶ E διισχυ-ρίζεται WRB διισχυρίζεται λέγων Fcyr Coll. 6 οὐκ R σῶμα ἄνω V οὐκ R 7 ἡ φύσισ SDWR υἱόσ VPABEUΛ θσ̄ καὶ υἱόσ Z χσ̄ SDWR Coll. μὴ ἀγνοείτωσαν] μανθανέτωσαν VP 7/8 οὗ γὰρ E ὅτι ὅπου Z ὅπου γὰρ ὅλωσ SDΛ 8 ἡ² om. Fcyr καὶ om. VPR, corr. R 9 ἀλλήλων SD τὴν om. SDWR 10 ἐμψυχωμένησ DZ νοερᾶσ WE τοῦ λόγου Z 11 διίσταται SZ 12 τοῦ λόγου] ἐπινοεῖται B λόγου S καθωμολόγησαν B ὁμολογείτωσαν Z ἐκ om. SDWRBEZ 13 καὶ om. U οἱ] εἰ WR 13/14 ὅτι ἐκ — γεννηθεὶσ ὁ WR 14 λόγοσ μονογενὴσ S αὐτὸσ κατὰ σάρκα καὶ S 15 ἐστὶν om. Z αὐτῖῦ S τὸ om. VP οὐ δύο²] οὐδὲ Z 17 αὐτοῦ P αὐτοῦ Z λέγειν προσποιεῖται B λέγειν ὅτι SD υἱόσ εἷσ VP 18 καὶ τὴν κυριότητα om. Λ τὴν¹ om. E 19 ὡς om. kSDWR 19/20 τῇ ἰσοτιμία VPABEUZΛ ἢ τῇ ἰσοτιμία WR τῆσ ἰσοτιμίασ SD dittographiam antiquissimam deleui 20 ὅτι om. P Χριστὸς om. SR τὴν om. Z 21 χν̄ διηνεκὴ Z ἐναργέσ VP λέ-γειν δύο W υἱοὺσ ἢ χριστοὺσ Z εἰ Χριστὸς om. E εἰ γὰρ S 23 μόνασ VPE 25 καὶ¹ om, WRBU παρ'] περὶ V καὶ⁴ om. U

ἑτέρωι υἱῶι. ἕτερον δέ ἐστι τὸ φωνῶν εἰδέναι διαφορὰν καὶ ἕτερον τὸ μερίζειν δύο προσώποις, ὡς ἑτέρωι καὶ ἑτέρωι.

Ἡ δὲ ἐπιστολὴ ἡ πρὸς Ἀκάκιον μάλιστα ἧς ἡ ἀρχὴ Χρῆμα μὲν ἀδελφοῖς ἡ πρόσρησις γλυκύ τε καὶ ἀξιάγαστον· καλὴν ἀπολογίαν ἔχει περὶ πάντων. ἔχεις δὲ πλείστας ἐπιστολὰς ἐν τῶι γλωσσοκόμωι, ἃς ὀφείλεις σπουδαίως δοῦναι. προσάγαγε δὲ τῶι μεγαλοπρεπεστάτωι πραιποσίτωι τὰ ἀπουσταλέντα παρ' ἐμοῦ δύο βιβλία, ἓν μὲν κατὰ τῶν Νεστορίου δυσφημιῶν, ἕτερον δὲ ἔχον τὰ ἐν τῆι συνόδωι πεπραγμένα κατὰ Νεστορίου καὶ τῶν τὰ αὐτοῦ φρονούντων καὶ ἀντιρρήσεις παρ' ἐμοῦ γενομένας πρὸς τοὺς γράψαντας κατὰ τῶν κεφαλαίων· δύο δέ εἰσιν ἐπίσκοποι, Ἀνδρέας καὶ Θεοδώρητος. ἔχει δὲ ἐπὶ τέλει τὸ αὐτὸ βιβλίον καὶ συντόμους ἐκθέσεις περὶ τῆς κατὰ Χριστὸν οἰκονομίας, σφόδρα καλὰς καὶ ὠφελῆσαι δυναμένας. προσάγαγε δὲ ὁμοίως αὐτῶι ἐκ τῶν ἐχουσῶν δέρμα ἐπιστολὰς πέντε, μίαν μὲν τοῦ μακαρίου πάπα Ἀθανασίου πρὸς Ἐπίκτητον καὶ ἄλλην πρὸς Ἰωάννην παρ' ἡμῶν καὶ πρὸς Νεστόριον δύο, μίαν τὴν μικρὰν καὶ μίαν τὴν μεγάλην, καὶ τὴν πρὸς Ἀκάκιον. ταῦτα γὰρ ἐζήτησεν παρ' ἡμῶν.

M V 348 ep. 128 · Α 73-79 · Α 24 · V 167-169 · ep. 127 · ep. 4 ep. 6 · ep. 128

133 = S 92 A 132

Τοῦ αὐτοῦ Κυρίλλου πρὸς Ἰωάννην ἐπίσκοπον Ἀντιοχείας καὶ τὴν συναχθεῖσαν ἐκεῖ σύνοδον

L III 1206 · M V 408

Οὐκ ἠρέμησεν ὁ δράκων ὁ ἀποστάτης, τὸ παγχάλεπον ἀληθῶς καὶ θεομάχον θηρίον, οὔτε μὴν κατέληξε πώποτε τῆς ἐνούσης αὐτῶι δυστροπίας, ἀκατάπαυστον δὲ τὸν φθόνον τὸν κατὰ τῶν ἁγίων ἐκκλησιῶν ὠδίνων ἐν ἑαυτῶι γλώσσας ἀκρατεῖς ἀνοσίων καὶ βεβήλων ἀνθρώπων κεκαυτηριασμένην ἐχόντων τὴν συνείδησιν ἀνταναστῆσαι τετόλμηκεν τοῖς τῆς ἀληθείας δόγμασιν. ἀλλ' ἥλω πανταχοῦ καὶ νενίκηται, ἄπρακτον αὐτοῦ τὴν σκαιότητα καὶ τῶν ἐγχειρημάτων τὴν δύναμιν ἀποφήναντος τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ. πλεῖστοι μὲν οὖν οἱ πρὸ ἡμῶν τοῖς ἁγίοις ἡμῶν πατράσι μεμαχημένοι καὶ κατὰ τῆς ἀρρήτου δόξης τὰ τῆς ἑαυτῶν ἀθυροστομίας ὅπλα κινήσαντες, ἀλλ' ἠλέγχοντο θρασεῖς ὄντες καὶ ἀμαθεῖς καὶ κενολογοῦντες μᾶλλον ἢ γοῦν ἐγνωκότες τι κατὰ ἀλήθειαν τῶν ὅσα ἐστὶν ἐξ αὐτῆς τῆς ἀληθείας μαρτυρούμενα ὡς εἶεν ὀρθὰ καὶ ἀμώμητα καὶ διαβολῆς ἁπάσης ὡς ἀπωτάτω· ἐπειδὴ δὲ πρὸς ἐκείνοις ὁ δυσσεβείας ἁπάσης εὑρετὴς καὶ διδάσκαλος ἤγειρεν

PG 77, 332 · PG 333 · M V 409

17—22 adferuntur in Gestis Concilii quinti collationis V [Σ] L V 483 = M VIIII 265

V, P [= hk], S, D [= mn], AWRBEUZΛιΛc

1 τὸ om. WR εἰδέναι φωνῶν B δυσὶ WR 3—14 ἡ δὲ — ἡμῶν om. WU 3 ἡ² om. P 4 γλυκύ τε] γλυκύτατον E περὶ πάντων ἀπολογίαν ἔχει B ὁμολογίαν A περὶ πάντων ἔχει SD ἔχει D ἐπιστολὰς τοιαύτας [τοσαύτας R] SDR 5 γλῶσσοκομίωι RBE γλωσσοκομείωι SD ἐπιδοῦναι VP προσάγαγε δὲ om. SD 6 πρεποσίτωι E πρεποσίτο R καὶ τὰ SD δύο om. E τοῦ νεστορίου P 7 τῆι om. V 8 ἀντιρήσεισ S γράψαντας] κατὰ τῶν γραψάντων RBE 9 κεφαλαίων ὧν ἐξεθέμην Z θεοδώριτοσ PDABE 11 αὐτῶ ομοίωσ R 12 ε̄ R μὲν SDRBEZΛc om. VPA πάππα D om. BE ἀθανασίου ἀρχιεπισκόπου ἀλεξανδρείασ BE 13 καὶ¹ om. VPE τὴν³ om. E 14 ἀκάκιον ἐπίσκοπον τῆσ μελιτηνῆσ [μελιτῆσ E] BE ταῦτα VPAE ταύτασ BZ αὐτὰσ SDΛ αὐτὸ R

V, P [= hk], S, D [= mn], AWR

ρλγ̄ V ρκδ̄ P πθ' 16 Κυρίλλου om. AR πρὸσ R ἐπισκόπου ἀλεξανδρείασ πρὸσ VP ἐπιστολὴ [ἐπιστολὴ ἑτέρα W] γραφεῖσα [om. A] πρὸσ SDAW τὸν ἀντιοχείασ ἐπίσκοπον SDAW ἐκεῖσε SW 17 ἀληθῶς om. D 18 ἀκατάπαυστον R *infinitam* Σ εὐκατάγνωστον SDAW ἀκαταγώνιστον VP 19 ἁγίων om. SDAW ὠδίνων ἐν] ὤδινε ἐν A ὠδινεν SD γλώττασ VPR 20 κεκαυστηριασμένην AR ἀναστῆσαι P 21/22 ἀλλ' — Χριστοῦ om. S 21 εἴλω D αὐτῶ A 22 ἀποφαίνοντοσ VPR 23 ἡμῶν² om. AW μεμηχανημένοι W 24 δόξης] οἰκονομίασ S 25 καινολογοῦντεσ S 26/27 ὡσ ἀπωτάτω AR ὡσ [om. S] ἀνωτάτω SD ἀνώτερα W ὑπέρτερα V ἐκτόσ P 27 ἁπάσησ om. A

ἡμῖν τὰς Νεστορίου κενοφωνίας, ἰδοὺ δὴ σύμπαντες διὰ τὴν τοῦ θεοῦ χάριν καὶ τὴν δοθεῖσαν ἡμῖν παρ' αὐτοῦ σύνεσιν μιᾶι γλώττηι τὸν ἀποστάτην ἀναθεματίζομεν, τὸν εὐκλεᾶ τῶν πατέρων ἰχνηλατοῦντες ζῆλον καὶ κατανδριζόμενοι τῶν ἐχθρῶν τοῦ σταυροῦ τοῦ Χριστοῦ καὶ τὴν ἀληθῆ πρεσβεύοντες πίστιν καὶ διδάσκοντες ἐν ἐκκλησίαις μὴ ταῖς ἐκείνου δυσσεβείαις προστίθεσθαι μᾶλλον δύο λέγοντος Χριστοὺς καὶ υἱούς, ἕνα μὲν φύσει καὶ ἀληθῆ, τὸν ἐκ θεοῦ πατρὸς λόγον, ἕτερον δὲ θέσει καὶ χάριτι, τὸν ἐκ σπέρματος τοῦ Δαυίδ, ἀλλὰ κατὰ τὴν ἄνωθεν καταβαίνουσαν εἰς ἡμᾶς ἀκραιφνῆ καὶ ἀνεπίληπτον πίστιν ἕνα υἱὸν καὶ κύριον Ἰησοῦν Χριστὸν τὸν ἐκ θεοῦ πατρὸς λόγον ἐνανθρωπήσαντα καὶ σεσαρκωμένον κατὰ τὴν τῶν ἁγίων πατέρων ὁμολογίαν, ὥστε τὸν αὐτὸν εἶναί τε καὶ λέγεσθαι καὶ ἐκ θεοῦ πατρὸς θεικῶς, ὡς λόγον αὐτοῦ καὶ ἐκ τῆς οὐσίας αὐτοῦ προελθόντα φυσικῶς, καὶ ἐκ σπέρματος τοῦ Δαυὶδ κατὰ σάρκα ἢ γοῦν ἐκ τῆς ἁγίας καὶ θεοτόκου
Luc. 1, 2 Μαρίας. οὐ γαρ ἕτερον καὶ ἕτερον, ὡς ἔφην, παρέδοσαν οἱ [ἀπ' ἀρχῆς] αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν θεόν τε ὁμοῦ καὶ ἄν-
Rom. 8, 29 θρωπον, μονογενῆ καὶ πρωτότοκον, ἵνα τὸ μὲν ἔχοι θεικῶς, τὸ δὲ ἀνθρωπίνως, ὅτε γέγονεν ἐν πολλοῖς ἀδελφοῖς, τὴν πρὸς ἡμᾶς ὁμοίωσιν ὑπελθὼν καὶ οὐκ ἄνθρωπον ἄλλον συνάψας ἑαυτῶι, καθὰ φρονεῖν ἔδοξε τισίν, ἀλλ' αὐτόχρημα γενόμενος ἄνθρωπος καὶ οὐκ ἀποστὰς τοῦ εἶναι ὃ ἦν. θεὸς γὰρ ὢν φύσει καὶ ἀπαθής, διὰ τοῦτο σαρκὶ τῆι ἰδίαι πέπονθεν ἑκών. οὐ γὰρ τὸ ἑτέρου τινὸς σῶμα δέδωκεν ὑπὲρ ἡμῶν, ἀλλ' αὐτὸς ἑαυτὸν ο μονο-
Hebr. 9, 14 γενὴς τοῦ θεοῦ λόγος γενόμενος ἄνθρωπος ὡς ἄμωμον ἱερεῖον προσεκόμισε τῶι θεῶι καὶ
L III 1207 πατρί. ἦν οὖν ἀναγκαῖον λαμπρὰν ἡμᾶς ἐπὶ τούτοις ἄγειν ἑορτήν, συνεκβεβλημένης δηλονότι ταῖς Νεστορίου κακοδοξίαις καὶ φωνῆς ἁπάσης παρ' ὁτουοῦν, εἰ ταῖς ἐκείνου συμβαίνοι ψευδηγορίαις. κεχώρηκε γὰρ κατὰ πάντων τῶν τὰ ἴσα φρονούντων ἐκείνωι,
PG 336 ἢ γοῦν καὶ πεφρονηκότων πώποτε τὸ ἀπολύτως ἡμᾶς τε καὶ τὴν ὁσιότητα ὑμῶν εἰπεῖν ὅτι ἀναθεματίζομεν τοὺς υἱοὺς λέγοντας δύο καὶ δύο Χριστούς· εἷς γάρ, ὡς ἔφην, κηρύττεται πρός τε ἡμῶν καὶ ὑμῶν Χριστὸς καὶ υἱὸς καὶ κύριος ὁ μονογενὴς τοῦ θεοῦ λόγος ἐν
Phil. 2, 7 ὁμοιώματι ἀνθρώπων γενόμενος καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος κατὰ τὴν τοῦ σοφωτάτου Παύλου φωνήν. ὅτι δὲ τὴν τοῦ κυρίου σάρκα ἐψυχῶσθαι φαμὲν
t. IIII 2 p. 187 sq. M V 412 ψυχῆι νοερᾶι, δέδεικται πλεισταχοῦ· ταῦτα καὶ ἐν τῆι πρὸς Ἀρμενίους ἐπιστολῆι τὸν τῆς ἀληθείας λόγον ὀρθοτομῶν διεκήρυξε σαφῶς ὁ ὁσιώτατος καὶ θεοσεβέστατος ἀδελφὸς ἡμῶν καὶ συνεπίσκοπος Πρόκλος, ἀνὴρ εὐσεβὴς καὶ τοῖς τὰ ὀρθὰ διαστρέφουσιν ἀνταποδύεσθαι μεμελετηκώς, ὅ τι καὶ νικᾶν ἔθος αὐτῶι πρεσβεύοντι τὴν ἀλήθειαν. διαβεβλημένας δὲ
Coll Sichard. 14, 7 δόξας, Διοδώρου τε φημὶ καὶ Θεοδώρου ἢ καὶ ἑτέρων τινῶν, οὓς ἦν ἄμεινον οὐκ ἐπαινεῖν, ἵνα μή τι λέγοιμι φορτικόν, διὰ τὸ ὅλοις ὥσπερ ἱστίοις κατενεχθῆναι τῆς δόξης Χριστοῦ,

---

20—27 ἦν — φωνήν adferuntur in Gestis Concilii quinti collationis V [L V 483 = M VIIII 265] et VIII [L V 565 = M VIIII 372]; 31—p. 39, 6 διαβεβλημένας — γεγράφασιν in collatione V [L V 484 = M VIIII 265]

V, P [= hk], S, D [= mn], AWR

1 καινοφωνίασ S σύμπαντα S 3 πατέρων] ἀνθρώπων P 4 ἐκκλησία VS 5 λέγοντεσ VSA λέγωσι W 6 ἀληθῶσ SDAW τὸν² om. S τοῦ om. SW 7 ἀνεπίπληκτον AR 8 τὸν χν̄ τὸν S 10 καὶ¹ om. VW 11 τοῦ R om. VPSDAW 12 ἀπ' ἀρχῆς om. VPR 14 ἔχη mAW ἔχει Sn ὅτε R ὅτι VPSDAW 16 καθ ὃ R 17 ὃ ἦν] θσ̄ R 18 ἡμᾶσ S 20 ἡμᾶς λαμπρὰν SDAW ἑορτὴν ἄγειν W συμβεβλημένησ S 21 τῆσ — κακοδοξίασ V κενοδοξίαισ A καινοφωνίαισ SD παρ' ὁτοοῦν V παρ' ὁτιοῦν P παρ' οὐτουοῦν D παρ' ἀτουοῦν S ἐκείνων S 22 συμβαίνει VPSDW τὰ om. A 23 ἀκολύτωσ k ἀκωλύτωσ h 24 λέγοντασ υἱοὺσ R δύο λέγοντασ W κηρύσσεται R 25 ἡμῶν αὐτῶν SDAW καὶ² om. DW υἱὸς] ῑσ̄ W ὁ VPRΣ καὶ SDAW 27 ἐμψυχῶσθαι D 28 πανταχοῦ P πλεῖστα πανταχοῦ R 29 τε καὶ SDAW 30 τὰ om R 32 ἢ om. SDAW μὴ SD 33 μήτι VPRΣ μὴ καί τι DW μηκέτι SA ιυσ περιεστίοισ W τῆσ τοῦ χῡ̄ δόξησ S

μηδεὶς ἐπιφημιζέτω, παρακαλοῦμεν, τοῖς ἁγίοις καὶ ὀρθοδόξοις ἡμῶν πατράσιν, Ἀθανασίωι τε φημὶ καὶ Βασιλείωι Γρηγορίοις τέ καὶ Θεοφίλωι καὶ τοῖς λοιποῖς, μὴ ἄρα πως σκανδάλου πρόφασις τὸ χρῆμα γένηται τισὶν οἰηθεῖσιν κατὰ ἀλήθειαν οὕτω φρονῆσαι καὶ διδάξαι τοὺς ἁπάσης ὀρθότητος ἐπιμελητὰς καὶ οὐ ταῖς Νεστορίου μόναις κακοδοξίαις ἀντεγειρομένας ἀφέντας βίβλους, ἀλλὰ γὰρ καὶ ταῖς τῶν ἑτέρων, οἳ τὰ Νεστορίου πρὸ αὐτοῦ πεφρονήκασί τε καὶ γεγράφασιν. εὐχόμεθα δὲ πάντας ἰδιοπραγεῖν καὶ μήτε θορύβους ταῖς ἐκκλησίαις ἐγείρειν τοὺς ἤδη κατηρεμήσαντας χάριτι τοῦ Χριστοῦ καὶ διὰ τῆς νήψεως τῶν ἁπανταχόσε μυσταγωγῶν μήτε μὴν ἀνασκαλεύειν ἑαυτοῖς ἢ ἑτέροις πράγματα. χρὴ δὲ καὶ τοὺς τὰ Νεστορίου πεφρονηκότας πώποτε μεταγινώσκοντας κατὰ ἀλήθειαν καὶ ἀποφοιτῶντας μὲν τῶν ἐκείνου φλυαριῶν, μεθορμιζομένους δὲ πρός γε τὸ ἐθέλειν τὴν ἀμώμητον καὶ ὀρθὴν ἑλέσθαι πίστιν δεκτοὺς εἶναι καὶ μὴ ὀνειδίζεσθαι τῶν παρωιχηκότων ἕνεκα, μὴ ἄρα πως ὄκνου πρόφασίν τισι τῆς εἰς τὰ ἀμείνω μεταδρομῆς ἐνεργάσηται τοῦτο. εἰ γὰρ τοὺς ὄντας ἐν ἀρρωστίαις σωματικαῖς ἀπαλλάττεσθαι τούτων εὐχόμεθα καὶ συνηδόμεθα τούτου συμβάντος αὐτοῖς, πῶς οὐ πολὺ μᾶλλον ἡσθείη τις ἂν ἐπιστρέφοντος τοῦ πεπλανημένου καὶ πρὸς τὸ τῆς ἀληθοῦς γνώσεως μετὰ συνειδήσεως ἀγαθῆς ἄιττοντος φῶς; ὅτι γὰρ τὴν ἐπὶ τούτοις ἑορτὴν ἐπιτελεῖν ἔθος καὶ τοῖς ἁγίοις ἀγγέλοις, οἶδεν ὑμῶν ἡ ὁσιότης, τοῦτο διδάσκουσα καὶ ἐν ἁπάσαις ταῖς ἐκκλησίαις ἐξηγουμένη καὶ τὰς τοῦ σωτῆρος ἡμῶν οὐκ Luc. 15, 10 ἀγνοοῦσα φωνάς. ἐκεῖνο μέντοι παρακαλοῦμεν ὡς ἀδελφοὺς καὶ συνδιδασκάλους παρεγγυῆσαι τοῖς κλήροις μὴ ἕτερα λαλεῖν, ἐν ἐκκλησίαις μάλιστα, παρὰ τὰ ὀρθὰ καὶ δεδοκιμασμένα καὶ εὖ ἔχειν δόξαντα, ἕπεσθαι δὲ μᾶλλον τῆι τῆς ὀρθῆς πίστεως ὁμολογίαι καὶ PG 337 μάλιστα μὲν μὴ ἐπιτρέχειν τοῖς περὶ τούτων λόγοις, εἰ δέ που τις ἀνάγκη γένοιτο διά τοι L III 1210 τὸ χρῆναι μυσταγωγεῖσθαί τινας, μηδαμοῦ παροχετεύεσθαι τῆς ὀρθότητος ἐὰν τὸν ἐπὶ τῆι πίστει λόγον. ἐπειδὴ δὲ τὰς τῶν θορύβων ἀφορμὰς ἀποκείρεσθαι χρὴ διὰ τῆς νήψεως τῆς ὑμῶν ὁσιότητος, ὅπερ ἐνομίσαμεν εἶναι καλόν, τοῦτο καὶ γεγράφαμεν. ἂν τοίνυν τινὲς ἢ κληρικῶν ἢ μοναστῶν ἐγκαλῶνται παρά τινων ὡς κοινωνήσαντες μὲν τῆι ἐκκλησίαι, φρονοῦντες δὲ καὶ εἰς δεῦρο τὰ τοῦ δυσσεβοῦς Νεστορίου, προκείσθω τούτοις ἀκρόασις ἐν ταῖς ἐκκλησίαις μᾶλλον καὶ παρ' ὑμῖν τοῖς ἰθύνουσιν αὐτὰς καὶ ζήτησις ἀκριβὴς τῶν λεγομένων. εἰκὸς γὰρ τοὺς ἐγκαλεῖν ἐθέλοντας, ὡς οὐδενὸς ἀνεχομένου τοὺς παρ' αὐτῶν προσίεσθαι λόγους, τοῖς ἔξω δικαστηρίοις παρενοχλεῖν, πολλῶι δὲ ἄμεινον καὶ δικαιότερον M V 413 τὰς ἐκκλησιαστικὰς ζητήσεις ἐν ταῖς ἐκκλησίαις κινεῖσθαι καὶ τυποῦσθαι καὶ μὴ παρ' ἑτέροις τισίν, οἷς ἂν εἴη καὶ ἀνάρμοστος παντελῶς ἡ ἐπὶ τούτοις δίαιτα.

Προσείπατε τὴν παρ' ὑμῖν ἀδελφότητα· ὑμᾶς ἡ σὺν ἡμῖν ἐν κυρίωι προσαγορεύει.

· V, P [= hk], S, D [= mn], AWR

2 φαμὲν PR καὶ om. SΣ γρηγορίοισ PAΣ γρηγορίω VSDWR τε καὶ om. SDAW λοιποῖς] ἄλλοις RΣ που P 4 ἀπὸ πάσησ V ὀρθότητος] ὀρθῶσ S ἀντεγειρομένουσ V 5 ἀφέντεσ P γὰρ om. V τὰσ WR τῶν om. A 5/6 πεφρονήκασί τε πρὸ αὐτοῦ D 6 ἰδιοπράττειν S μὴ δὲ SDAW 7 καθηρεμήσαντασ SDW τοῦ om. PW καὶ om. D ἁπανταχοῦ VP ἁπανταχοῦσε R 8/9 τὰ τοῦ νεστορίου D 10 μεθοριζομένουσ SW δὲ] τὲ A πρός γε om. S γε] τε V καὶ ὀρθὴν om. V 11 μὴ¹ om. P 12 ἐπεργάσηται V ἐργάσηται SDAW 13 τούτων Vcorr τούτουσ VPSDAWR 14 συμβαίνοντοσ R 15 μετὰ συνειδήσεως om. SDAW ἀγαθῶσ SD καὶ ἀγαθῆσ A om. W 16 ἁγίοις om. VPD οἶδεν] οὐδὲν S ἡ ὁσιότησ ὑμῶν W τοῦτο R αὐτὰ VPSDAW 17 ἐν] θν̄ P πάσαις D ταῖς om. W 19 κληρικοῖσ VP ἐκκλησία P 21 περὶ om. W δέ AR δὲ δή VP δὲ ἄμ S δὲ ἄν D δὲ ἄρα W 22 ὀρθοτάτησ SA ἑᾶν] κατὰ P 23 ἐπεὶ SW ἀποκείρασθαι PDAW 24 καὶ om. SW γράφομεν W 25 ἢ om. P τῶν κληρικῶν A ἐγκαλοῦνται VS μὲν] ἐν SW 26 προσκείσθω SD ἀκρόασιν R 27 ἰθύνουσιν VPWR συνιοῦσιν SDA 29 προίεσθαι SD προίσθαι R 30 καὶ τυποῦσθαι om. A 31 τισίν om. SDAW περὶ τούτων SDAW 32 προείπατε S πρόσειπε VP παρὰ σοὶ VP ὑμᾶς — προσαγορεύει om. V ὑμᾶς — ἡμῖν] ἡ ἡμῶν σὺν ἐμοὶ W προσαγορεύει] χαίρειν P

134 = S 129 A 155

L III 1130 M V 328 Ἴσον ἐπιστολῆς γραφείσης παρὰ τοῦ αὐτοῦ πρὸς Ἀκάκιον ἐπίσκοπον περὶ τοῦ ἀποπομπαίου

PG 77, 201 1 Τοῖς παρὰ τῆς σῆς ὁσιότητος ἀρτίως ἐπεσταλμένοις ἐντυχὼν ἥσθην ἄγαν, μόνον δὲ οὐχὶ καὶ περιφὺς ἠσπαζόμην. γνώμης γὰρ εἰς τοῦτο προῆλθον, ὡς τάχα που μηδὲ ἀπεῖναι δοκεῖν. αἱ γὰρ τῶν γνησίων προσρήσεις ἱκαναὶ τοιαύτην ἐμποιῆσαι διάθεσιν. τὰ ἐμὰ μὲν ἐν τούτοις, πέπεισμαι δὲ ὅτι καὶ τὰ τῆς σῆς θεοσεβείας οὐχ ἑτεροτρόπως ἔχει. ἐπειδὴ δὲ μηνῦσαι κατηξίωσας ὡς χρὴ παρ' ἐμοῦ γενέσθαι τινὰς λόγους περὶ τοῦ ἀποπομπαίου, δι' ὧν ἔσται καταφανὲς τὸ ἐπ' αὐτῷι μυστήριον, ἀναγκαίως ἐκεῖνο φημί· τῆς σῆς ἀγχινοίας ἀποχρῶν ἐχούσης τὸ εὐμαθὲς καὶ τῶν ἱερῶν γραμμάτων εὐφυᾶ καὶ οὐκ ἀθαύμαστον ἐπιστήμην, περιττὸν μὲν ἴσως τὸ λέγεσθαί τι παρ' ἑτέρου περὶ τῶν ζητουμένων· ἐπειδὴ δὲ τὸ λυποῦν οὐδὲν καὶ τὰ εἰς νοῦν ἰόντα καὶ τὸν ἐμὸν εἰπεῖν, γεγράφαμεν· οὐ γὰρ ἦν ἀνήνασθαι τὸ ἐπιταχθέν. εἰ δὲ δὴ τῆς εἰς λῆξιν ἀκριβείας βραχύ πως ἡμᾶς ἁφαμαρτεῖν συμβαίνοι, συγγνώμων ἔσο. τὰ γάρτοι δυσπρόσιτα τῶν θεωρημάτων δυσχερῆ πρὸς διασάφησιν καὶ οὐ ῥαιδίαν ἐλεῖν τὴν κατάληψιν ἔχει. πλὴν ἐλπίδος ἐσμὲν οὐ μακρὰν ὡς διὰ τῶν τῆς σῆς θεοσεβείας εὐχῶν καὶ πρός γε τοῦτο ἡμᾶς κατευθυνεῖ

Iob 12, 22 Psal. 145, 8. 67, 12 Χριστὸς ὁ ἀποκαλύπτων βαθέα ἐκ σκότους καὶ σοφῶν τυφλοὺς καὶ ῥῆμα διδοὺς ὡς λόγος.

2 Γέγραπται τοίνυν ἐν τῶι Λευιτικῶι περὶ τοῦ ἀποπομπαίου· καὶ λήψεται τοὺς

Lev. 16, 7-10 PG 204 δύο χιμάρους καὶ στήσει αὐτοὺς ἔναντι κυρίου παρὰ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ ἐπιθήσει Ἀαρὼν ἐπὶ τοὺς δύο χιμάρους, καὶ κλῆρον ἕνα τῶι κυρίωι καὶ κλῆρον ἕνα τῶι ἀποπομπαίωι, καὶ προσάξει Ἀαρὼν τὸν χίμαρον ἐφ' ὃν ἐπῆλθεν ἐπ' αὐτὸν ὁ κλῆρος τῶι κυρίωι, καὶ προσοίσει περὶ ἁμαρτίας, καὶ τὸν χίμαρον ἐφ' ὃν ἐπῆλθεν ἐπ' αὐτὸν ὁ κλῆρος τοῦ ἀποπομπαίου, στήσει αὐτὸν ζῶντα ἔναντι κυρίου τοῦ ἐξιλάσασθαι ἐπ' αὐτοῦ, ὥστε ἀποστεῖλαι αὐτὸν εἰς τὴν ἀποπομπήν· ἀφήσει αὐτὸν εἰς τὴν ἔρημον.

L III 1131 3 Καὶ μεθ' ἕτερα· καὶ σφάξει τὸν χίμαρον τὸν περὶ τῆς ἁμαρτίας τὸν παρὰ

Lev. 16, 15. 16 cf. p. 44, 10-16 τοῦ λαοῦ ἔναντι κυρίου καὶ εἰσοίσει τοῦ αἵματος αὐτοῦ ἐσώτερον τοῦ καταπετάσματος καὶ ποιήσει τὸ αἷμα αὐτοῦ ὃν τρόπον ἐποίησε τὸ αἷμα τοῦ μόσχου, καὶ ῥανεῖ τὸ αἷμα αὐτοῦ ἐπὶ τὸ ἱλαστήριον κατὰ πρόσωπον τοῦ ἱλαστηρίου καὶ ἐξιλάσεται τὸ ἅγιον ἀπὸ τῶν ἀκαθαρσιῶν τῶν υἱῶν Ἰσραὴλ καὶ ἀπὸ τῶν ἀδικημάτων αὐτῶν περὶ πασῶν τῶν ἁμαρτιῶν. καὶ οὕτω ποιήσει τῆι σκηνῆι τοῦ μαρτυρίου τῆι ἐκτισμένηι ἐν αὐτοῖς ἐν μέσωι τῆς ἀκαθαρσίας αὐτῶν.

Phot. 169 p. 116b 19 συμπεριείχετο δὲ καὶ ἡ πρὸς Ἀκάκιον ἐπίσκοπον Σκυθοπόλεως περὶ τοῦ ἀποπομπαίου Fcyr 21 ἐκ τῆς ἑρμηνείας τοῦ ἀποπομπαίου ἧς ἐποίησε πρὸς Ἀκάκιον τὸν Σκυθοπόλεως ἐπίσκοπον, ἧς ἡ ἀρχή· Τοῖς παρὰ — ἄγαν Ephr. ap. Phot. 229 p. 253a 9 Κύριλλος . . πρὸς Ἀκάκιον Σκυθοπόλεως γράφων, καὶ ἐν τῆι ἑρμηνείαι δὲ τοῦ ἀποπομπαίου. scripta est in ultimis uitae annis cf. Theodoret. ep. 83

V, P [= hk], S, D [= mn], A

ρλδ V ρκε P ρκβ' D 2 γραφείσης παρὰ om. PA αὐτοῦ] ἁγίου κυρίλλου A ἐπίσκοπον μελιτηνῆς P 3 ἀρτίως om. V 3/4 μονονουχὶ δὲ A μονονουχὶ V 4 περιφυεὶς V 6 καὶ τά] κατὰ S 7 καταξιώσας S 9 ἀποχρόντως V 10 τι om. SD 13 συμβαίνει D 15 κατιθυνεῖ SD 19 χιμάρρους S et ita usque ad 27 24 ἔναντι κῦ ζῶντα P 24/25 ἐξιλάσκεσθαι SD 25 ἀφίσει V 27 σφάζει P τὸν παρὰ om. P παρὰ VA περὶ SD 31 τὸ ἅγιον] τὸ αἷμα τὸ ἅγιον V 33 αὐτῶ D

4 Καὶ ταῦτα μὲν περὶ τοῦ σφαζομένου χιμάρου καὶ ἁγιάζοντος τῶι αἵματι τὴν ἁγίαν σκηνήν, περὶ δέ γε τοῦ ζῶντος καὶ ἀφιεμένου πάλιν ὧδέ φησι· καὶ προσάξει τὸν χίμαρον τὸν ζῶντα καὶ ἐπιθήσει Ἀαρὼν τὰς χεῖρας αὐτοῦ ἐπὶ τὴν κεφαλὴν τοῦ χιμάρου τοῦ ζῶντος καὶ ἐξαγορεύσει ἐπ' αὐτοῦ πάσας τὰς ἀνομίας τῶν υἱῶν Ἰσραὴλ καὶ πάσας τὰς ἀδικίας αὐτῶν καὶ πάσας τὰς ἁμαρτίας αὐτῶν καὶ ἐπιθήσει αὐτὰς ἐπὶ τὴν κεφαλὴν τοῦ χιμάρου τοῦ ζῶντος καὶ ἐξαποστελεῖ ἐν χειρὶ ἀνθρώπου ἑτοίμου εἰς τὴν ἔρημον καὶ λήψεται ὁ χίμαρος ἐφ' ἑαυτῶι τὰς ἀδικίας αὐτῶν εἰς τὴν ἄβατον καὶ ἐξαποστελεῖ τὸν χίμαρον εἰς τὴν ἔρημον. Lev. 16, 20-22 cf. p. 45, 4-9 M V 329

5 Πᾶσα μὲν οὖν γραφὴ θεόπνευστός τε καὶ ὠφέλιμος· ὃ γὰρ ἂν φθέγξαιτο θεός, τοῦτο δὴ πάντως ἐστὶ σωτήριον. καὶ τοῖς μὲν οὖσιν οἵοις τε συνιδεῖν τῆς ἀληθείας τὴν δύναμιν τὸ ταύτης κάλλος ὑπαντᾶι φωτὸς δίκην ἐναστράπτον τῶι νῶι τοῦ κατὰ Χριστὸν μυστηρίου τὴν γνῶσιν, τοῖς γε μὴν οὐκ ἔχουσιν εὖ βεβηκότα τὸν νοῦν, ἀλλ' οἷον ἔτι σκάζοντά τε καὶ νηπιάζοντα, τούτοις ἂν εἶεν καὶ τὰ ἐξαίρετα τῶν θεωρημάτων ὑπὸ μῶμον ἔσθ' 6 ὅτε καὶ γραφήν. καὶ ταῦτα φημὶ τοῖς παρὰ τῆς σῆς θεοσεβείας γραφεῖσιν οὐκ ἀβασανίστως ἐντυχών. ὠιήθησαν γὰρ ἴσως τῶν αὐτόθι τινὲς τὸν μὲν ἕνα τῶν χιμάρων ἤτοι τῶν τράγων τῶι ἐπὶ πάντων ἐκνεμηθῆναι θεῶι πρὸς καθιέρωσιν καὶ θυσίαν, τόν γε μὴν ἕτερον ἀποπομπαίωι τινὶ καὶ πονηρῶι καὶ ἀκαθάρτωι δαίμονι πεμφθῆναι κατὰ τὴν ἔρημον, καὶ τοῦτο διὰ χειρὸς ἱερᾶς καὶ ἐκ νομικοῦ θεσπίσματος. αὐτόθεν μὲν οὖν τὸ χρῆμά ἐστιν εὐηθές τε καὶ καταγέλαστον, φαίη δ' ἄν τις τοῖς οὕτω ταῦτα ἔχειν ὑπειληφόσι· καίτοι πῶς οὐκ ἔδει μᾶλλον ἐκεῖνο περινοεῖν; ὁ γάρτοι τῶν ὅλων δημιουργὸς ὁ παντὸς ἐπέκεινα καὶ νοῦ καὶ λόγου καὶ μόνος ὢν φύσει θεὸς καὶ κύριος πῶς ἂν ἠνέσχετο κοινωνὸν ὥσπερ τινὰ τῆς ἑαυτοῦ βασιλείας καὶ δόξης τὸν ἀποστάτην εἰσδέξασθαι σατανᾶν; καίτοι λέγοντος ἀκηκόαμεν ἐναργῶς δι' ἑνὸς τῶν ἁγίων προφητῶν τὴν δόξαν μου ἑτέρωι οὐ δώσω. εἰ δὲ αὐτῶι καὶ μόνωι τὸ χρῆναι καθιεροῦν ἃ ἂν βούλοιτό τις, ὁ διὰ τοῦ πανσόφου Μωυσέος προστέταχε νόμος, εἶτα αὐτὸς ὁ λαλήσας τὸν νόμον κατεχρησμώιδησε δεῖν καὶ πνεύμασι πονηροῖς τὴν αὐτῶι καὶ μόνωι πρεπωδεστάτην ἀπονέμεσθαι δόξαν, πῶς οὐχὶ τοῖς ἰδίοις ἀντιτάξεται λόγοις; ὃ γὰρ ἀπέφησε δρᾶν, τοῦτο γενέσθαι προστέταχεν. ἀλλ' ἔστι τῶν ἄγαν ἐκτοπωτάτων τὸ οἴεσθαι μὲν ἀλογεῖν τῆς ὀφειλομένης αὐτῶι τιμῆς τε καὶ δόξης τὸν τῶν ὅλων κατεξουσιάζοντα θεόν, ἀνάψαι δὲ καὶ ἑτέροις ἐθέλειν αὐτήν, καίτοι σαφῶς λέγοντα διὰ Μωυσέος· κύριον τὸν θεόν σου προσκυνήσεις καὶ αὐτῶι μόνωι λατρεύσεις· καὶ οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν 7 ἐμοῦ. διὰ τοῦτο καὶ ὁ θεσπέσιος Μωυσῆς ταῖς ἄνωθεν καὶ παρὰ θεοῦ ψήφοις εὖ μάλα συμπλάττεται καὶ δὴ καί φησι τοῖς ἐξ αἵματος Ἰσραήλ· καὶ ταῦτα τὰ προστάγματα καὶ τὰ κρίματα, ἃ φυλάξεσθε ποιεῖν ἐπὶ τῆς γῆς ἧς κύριος ὁ θεὸς τῶν πατέρων ἡμῶν δίδωσιν ὑμῖν ἐν κλήρωι πάσας τὰς ἡμέρας ἃς ὑμεῖς ζῆτε ἐπὶ τῆς γῆς. ἀπωλείαι ἀπολεῖτε πάντας τοὺς τόπους ἐν οἷς ἐλάτρευσαν Deut. 6, 13. 10, 10 Exod 20, 3 L III 1134 Deut. 12, 1-3

V, P [= hk], S, D [= mn], A

6 αὐτῶν om. VPA 7 ἐξαποστελλεῖ P ἀποστελεῖ A χειρὶ κῦ ἀνου V 10 τε om. VSD φθέγξοιτο VSDA 11 δὴ om. SD καὶ σωτήριον SD μὲν οὖσιν SD θέλουσιν VPA οἵα τε V οἷά τισ P 12 δίκην φωτὸσ SD 13 εὖ βεβηκότα] ἐμβεβηκότα P τὸν νοῦν om. SD 14 εἶεν ἂν V ἀπορημάτων P ὑπὸ μῶμον om. SD 17 πάνταϲ PSA 18 καὶ[1] om. SD 19 μὲν om. D 20 ὑποειληφόσι S 21 ὁ[2]] καὶ V 22 καὶ νοῦ] καιροῦ S 24 ἐναργῶς om. D ἁγίων om. D οἰκείων S 25 εἰ δὲ] οὐδὲ S καθιεροῦν] καὶ ἱεροῦν P 26 μωυσέωσ SD 26/27 κατεχρησμώδευσε D 28 ἀντιτετάξεται VSA λόγοις om. VPA γενέσθαι om. D 31 θέλειν V αὐτήν om. P διά μωυσέοσ σαφῶσ λέγοντα SD μωυσέωσ VS, corr. S 35 φυλάξασθε P φυλάξασθαι S 36 ὑμῖν Vn ἡμῖν PSmA ἐν κλήρωι] τὸν κλῆρον A ὑμεῖς om. D ζητεῖτε V 37 πάντας om. D

ἐκεῖ τὰ ἔθνη τοῖς θεοῖς αὐτῶν, οὓς ὑμεῖς κληρονομεῖτε αὐτούς, ἐπὶ τῶν ὀρέων τῶν ὑψηλῶν καὶ ἐπὶ τῶν θινῶν καὶ ὑποκάτω δένδρου δασέος. καὶ κατασκάψετε τοὺς βωμοὺς αὐτῶν καὶ συντρίψετε τὰς στήλας αὐτῶν καὶ τὰ ἄλση αὐτῶν ἐκκόψετε καὶ τὰ γλυπτὰ τῶν θεῶν αὐτῶν κατακαύσετε πυρὶ καὶ ἀπολεῖτε τὸ ὄνομα αὐτῶν ἐκ τοῦ τόπου ἐκείνου. εἶτα πῶς ἦν εἰκὸς τὸν ἐξ ἀπάτης Ἑλληνικῆς πρὸς τὸ τῆς ἀληθείας μεθορμίζεσθαι φῶς διὰ Μωυσέος προστάττοντα καὶ εἰδώλοις ὁμοῦ τὰ τεμένη καταπιμπρᾶν καὶ ἀναβοθρεύειν βωμοὺς ἄλση τε ἐκκόπτειν, ὡς μηδὲν τῆς ἐκείνων βδελυρίας ἀπομεῖναι λείψανον, μερίζεσθαι προς αὐτὰ τὴν δόξαν, καθάπερ ἤδη προεῖπον, καὶ εἰς τοῦτο γνώμης ἐλθεῖν, ὥστε καὶ αὐτοὺς τοὺς
M V 33² ἐκνεμηθέντας αὐτῶι πρὸς ἱερουργίαν θύειν αὐτοῖς ἐπιτάξαι, ἀφιέντας εἰς τὴν ἔρημον τὸν ἕτερον τῶν χιμάρων; καίτοι μοσχοποιήσαντα μὲν ἐν τῆι ἐρήμωι τὸν Ἰσραὴλ κατηιτιᾶτο
Exod. 32, 7 8 σφόδρα, τῶι θεσπεσίωι λέγων Μωυσῆι· βάδιζε, κατάβηθι τὸ τάχος ἐντεῦθεν· ἠνόμησε γὰρ ὁ λαός σου, οὓς ἐξήγαγες ἐκ γῆς Αἰγύπτου· ἐποίησαν ἑαυ-
8 τοῖς εἴδωλον. καὶ μὴν καὶ τοῖς τελεσθεῖσι τῶι Βεελφεγώρ, ὅτε ταῖς Μωαβιτῶν συνε-
Num. 25, 1-9 πλέκοντο γυναιξί, ταῖς τῶν σωμάτων ὥραις σεσαγηνευμένοι πρὸς ἀπόστασιν, πικρὰν ἐπαρτήσας ὁρᾶται δίκην· ἀπολώλασι γὰρ οὐκ ὀλίγοι τὸν ἀριθμὸν ταύτης ἕνεκα τῆς αἰτίας. γένοιτο δ' ἂν οὐ μικρὰ κατὰ τῆς θείας τε καὶ ἀκαταψέκτου βουλῆς κατάρρησις, εἰ πεπτώκασι μὲν καὶ ἀπώλοντό τινες θεοῖς ἑτέροις προσκυνήσαντες, αὐτός γε μὴν ὁ τοῖς ἀποστά-
PG 208 ταις ἐπιμηνίσας θεὸς γερῶν ἀξιοῦσθαι καὶ θυσιῶν προστέταχε πονηρὰν καὶ ἀντικειμένην δύναμιν, ἣν ἀποπομπαῖον ὠνομάσθαι φαῖεν ἂν ἴσως τινὲς τὴν τῶν ἱερῶν γραμμάτων
9 δύναμιν τοῖς εἰς νοῦν ἔσω κεκρυμμένοις οὐχ ὁρῶντες ὄμμασιν. ἡμεῖς δὲ τοῖς θείοις θεσπίσμασιν ἐπαφιέντες τὸν νοῦν οὐκ ἀτημελῆ καὶ ῥάθυμον, ἀκριβῆ δὲ μᾶλλον καὶ καθ' ὅσον οἷόν τε, φιλογρήγορον τῆς ἀληθείας τὸ ἀξιάγαστον κάλλος φιλοθηρεῖν εὖ μάλα σπουδάσομεν. καὶ δὴ καὶ φαμὲν ὡς ὁ τῶν ὅλων θεὸς ἐπ' ἀνατροπῆι τῆς πολυθέου πλάνης καὶ ἐπὶ φωτισμῶι τῶν ἐν σκότωι καταχρησμωιδήσας τὸν νόμον τοῖς πάλαι διὰ Μωυσέος ἠνέσχετο ἂν οὐδαμῶς ὁδὸς γενέσθαι καὶ θύρα, μᾶλλον δὲ καὶ διδάσκαλος τοῦ χρῆναι τιμᾶν τοὺς ἀκαθάρτους δαίμονας. πολυπραγμονοῦντες δὲ τὰ ἐν ταῖς θεοπνεύστοις γραφαῖς κεκρυμμένην εὑρήσομεν τὴν ἀλήθειαν, πρέποι δ' ἂν ταῖς τοῦ νόμου σκιαῖς ἐνορῶντας εἰπεῖν
Os 14, 10 τὸ δι' ἑνος τῶν ἁγίων προφητῶν ὀρθῶς εἰρημένον· τίς σοφός, καὶ συνήσει ταῦτα;
Hebr. 10, 1 καὶ συνετός, καὶ ἐπιγνώσεται αὐτά; σκιὰν γὰρ ὁ νόμος ἔχει τῶν μελλόντων ἀγαθῶν καὶ οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων, καθὰ γέγραπται· πλὴν
L III 1135 ὠδίνουσιν αἱ σκιαὶ τὴν ἀλήθειαν καὶ οὐκ αὐτό που πάντως εἰσὶ τὸ ἀληθές. διὰ τοῦτο
2 Cor 3, 13 καὶ ὁ θεσπέσιος Μωυσῆς κάλυμμα ἐτίθει ἐπὶ τὸ πρόσωπον ἑαυτοῦ προσελάλει τε οὕτω τοῖς υἱοῖς Ἰσραήλ, μόνον οὐχὶ δι' αὐτοῦ κεκραγὼς τοῦ πράγματος ὅτι τῶν δι' αὐτοῦ θεσπισμάτων τὸ κάλλος κατίδοι τις ἂν οὐκ ἔν γε τοῖς ἐξωφανέσι τύποις, ἀλλ' ἐν τοῖς ἔσω κεκρυμ-
10 μένοις θεωρήμασι. φέρε δὴ οὖν περιελόντες τοῦ νόμου τὸ κατασκίασμα καὶ τῶν ἔξωθεν ἐπιβλημάτων τὸ Μωυσέος πρόσωπον ἀπαλλάττοντες γυμνὴν ἴδωμεν τὴν ἀλήθειαν.

V, P [= hk], S, D [= mn], A

3 κατασκάψατε Pn συντρίψατε P 4 τὰ om. V ἐκκόψατε P κατακαύσατε P 5 ἀπολεῖται PS αὐτοῦ SD 6 ἀπάτης] ἀπάσης τῆς P καθορμίζεσθαι P μωυσέως S 7 προστάττοντος S τὰ om VA καὶ P τεμένει V 11 μοσχοποιήσαντος SD τοῦ D 12 θαυμασίῳ SD 13 σου om. A γῆς] τῆς S 13/14 αὐτοῖς S 14 ὅτε PA ἅτε SD ὅτι V 14/15 ενεπλέκοντο A 15 σεσαλευμένοι SD πικρὰν om. D 15/16 ἐπαρτίσας D 17 ἀκαθέκτου A 19 θυσίας P 21 καὶ κεκρυμμένοις PSD 23/24 σπουδάσωμεν P σπουδάζομεν SD 25 ἐπὶ A σκότει D μωσέως V 26 καὶ² om. D 28 κεκρυμμένα SD ἐνορῶντες S 30 καὶ² om. D 31 καθὰ] ὡς V 32 οὐκ αὐτό που SD αὐτὸ οὐ VA αὗται οὐ P 33 προσλάλει V 34 γράμματος P 35 ἔξω φανεῖσι V τόποις SD τούτοις P 35/36 καὶ κεκρυμμένοις SD 36 σκίασμα SD 37 ἐπιβλημάτων] συγκαλυπτόντων P

δύο μὲν γὰρ χιμάρους προσκομισθῆναι προστέταχε καὶ δύο γράφεσθαι κλήρους ἐπ' αὐτοῖς, ὡς τὸν μὲν ἕνα τῶν χιμάρων ὀνομασθῆναι κύριον, τόν γε μὴν ἕτερον ἀποπομπαῖον. οὐκοῦν ὀνόματα τοῖς χιμάροις κύριός τε καὶ ἀποπομπαῖος, σημαίνεται δὲ δι' ἀμφοῖν ὁ εἷς καὶ μόνος υἱὸς καὶ κύριος Ἰησοῦς Χριστός. καὶ τίνα τρόπον; ἐροῦμεν ὡς ἔνι, τῇι τῶν θεωρημάτων ἀκριβείαι προσβάλλοντες. αἶξ τοίνυν ἢ τράγος ἢ γοῦν ἔριφος ἦν ὑπὲρ ἁμαρτίας τὸ θύμα κατά γε τὸ τῶι νόμωι δοκοῦν. προβάτωι μὲν γὰρ ἀφομοιοῖ πλεισταχοῦ τὸν δίκαιον ἡ θεόπνευστος γραφή, αἰγὶ δὲ τὸν φιλαμαρτήμονα. καὶ διὰ ποίαν αἰτίαν; πλήρης μὲν γὰρ ὁ δίκαιος αὐχημάτων τῶν εἰς ἀρετήν, ἔγκαρπος δὲ διὰ τοῦτο νοοῖτ' ἂν εἰκότως· ἐριοφορεῖ δὲ τὸ πρόβατον· ταύτηι τοι καὶ μάλα εἰκότως προβάτωι παρεικάζεται. γυμνὴν δὲ καὶ ἄκαρπον καὶ ἀγαθοεργίας ἁπάσης ἐρήμην τὴν τοῦ πλημμελοῦντος ψυχὴν κατίδοι τις ἄν. αἶξ οὖν ἄρα τύπος αὐτῆς, ἄπρακτον δὲ τὸ ζῶιον καὶ τῆς τοῦ προβάτου τιμῆς κατόπιν ἔρχεται. διὰ τοῦτο καὶ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὅταν καθίσηι, φησίν, ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δοξης αὐτοῦ, στήσει τὰ μὲν πρόβατα ἐκ δεξιῶν, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων. καὶ τοῖς μὲν ἐκ δεξιῶν, ἅτε δὴ τοὺς τῆς δικαιοσύνης ἔχουσι καρπούς, τὴν ἡτοιμασμένην αὐτοῖς ἀποκαθίστησι βασιλείαν, τοῖς γε μὴν ἐξ εὐωνύ-
11 μων πῦρ καὶ κόλασιν καὶ τὰς τῶι διαβόλωι πρεπούσας ἐποίσει ποινάς. ἐσφάζετο τοίνυν ὑπὲρ ἁμαρτίας ἔριφος, καὶ τοῦτο μαθήσηι τοῦ νόμου λέγοντος ἐναργῶς· ἐὰν δὲ ὁ ἄρχων ἁμάρτηι καὶ ποιήσηι μίαν ἀπὸ πασῶν τῶν ἐντολῶν κυρίου τοῦ θεοῦ αὐτῶν ἢ οὐ ποιηθήσεται, ἀκουσίως καὶ ἁμάρτηι καὶ πλημμελήσηι καὶ γνωσθῆι αὐτῶι ἡ ἁμαρτία ἣν ἥμαρτεν ἐν αὐτῆι, καὶ προσοίσει τὸ δῶρον αὐτοῦ χίμαρον ἐξ αἰγῶν, ἄρσεν ἄμωμον. ἔφη δὲ που καὶ αὐτὸς ὁ ἐπὶ πάντων θεὸς περὶ τῶν ἱερᾶσθαι λαχόντων κατὰ τὸν νόμον· ἁμαρτίας λαοῦ μου φάγονται, τουτέστι τὰ ὑπὲρ ἁμαρτιῶν θύματα· μερὶς γὰρ καὶ κλῆρος τοῖς ἱερεῦσι κάρπωμα κυρίωι κατὰ τὸ γεγραμμένον. γέγονε τοίνυν σφάγιον ὁ Χριστὸς ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν κατὰ τὰς γραφὰς ταύτης τε ἕνεκα τῆς αἰτίας ἁμαρτίαν αὐτὸν ὠνομάσθαι φαμέν. γράφει γοῦν ὁ πάνσοφος Παῦλος ὅτι τὸν μὴ γνόντα ἁμαρτίαν ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν, ὁ θεὸς καὶ πατὴρ δηλονότι. οὐ γάρτοι φαμὲν ἁμαρτωλὸν γενέσθαι Χριστόν, μὴ γένοιτο, ἀλλ' ὄντα δίκαιον, μᾶλλον δὲ αὐτόχρημα δικαιοσύνην (οὐ γὰρ οἶδε πλημμελεῖν), σφάγιον ἐποίησεν ὁ πατὴρ ὑπὲρ τῶν τοῦ κόσμου πλημμελημάτων καὶ ἐν τοῖς ἀνόμοις ἐλογίσθη, ψῆφον ὑπομείνας τὴν τοῖς ἀνόμοις πρεπωδεστάτην. καὶ πιστώσεται λέγων ὁ θεσπέσιος προφήτης Ἡσαίας ὅτι πάντες ὡς πρόβατα ἐπλανήθημεν, ἕκαστος τῇι ὁδῶι αὐτοῦ ἐπλανήθη, καὶ κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν καὶ αὐτὸς ὑπὲρ ἡμῶν ὀδυνᾶται καὶ τῶι μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν. γράφει δὲ καὶ ὁ πάνσοφος Πέτρος ὅτι τὰς ἁμαρτίας ἡμῶν ἀνήνεγκεν ἐν τῶι
12 σώματι αὐτοῦ ἐπὶ τὸ ξύλον. οὐκοῦν ἐπεκρέματο μὲν τοῖς ἐπὶ τῆς γῆς ὁ κλῆρος, τὸ χρῆναι παθεῖν τὸν θάνατον διά τε τὴν ἐν Ἀδὰμ παράβασιν καὶ τὴν ἐξ ἐκείνου μέχρις ἡμῶν τυραννήσασαν ἁμαρτίαν, ἀλλ' ὁ ἐκ θεοῦ πατρὸς λόγος ὁ πολὺς εἰς ἡμερότητα καὶ

M V 333

Mt. 25,31-34. 41 PG 209

Os. 4, 8

Deut. 18, 1

2 Cor. 5, 21

Ies. 53, 12

L III 1138

Ies. 53, 6

Ies. 53, 5

1 Petr. 2, 24

1—4 Fcyr 21 δύο μὲν — Χριστός

V, P [= hk], S, D [= mn], A [usque ad 3 ἀποπομπαῖος]

1 προκομισθῆναι P προστετάχειν Fcyr κλήροις Fcyr 2 γε μὴν VPAFcyr δέ γε SD 3 καὶ[1] om. Fcyr 3—p. 44, 34 σημαίνεται δὲ — ἁμαρτίας ἡμῶν om. A propter folii defectum 5 προσβαλόντεσ SD θαῦμα SD 6 τὸ om. V μὲν om. P ἀφομοιοῦν P ἑκαστα-χοῦ P 6/7 θεία D 7 καὶ — αἰτίαν om. V μὲν om. VP 8 τούτου VP ἔριον φορεῖ P 10 ἀγαθουργίασ V ἐρήμην ἁπάσησ D 11 δὲ] γὰρ P 13 στήσει SD καὶ στήση VP δεξιῶν αὐτοῦ V 14 τοῖς] τοὺσ S 15 γε μὴν PSD δὲ V 16 ποινάς] φωνάσ P 18 ἀπὸ πασῶν] ἁπασῶν P 19 πλημμελήσει SD 21 ἄρρεν V 22 περὶ] ἐπὶ D 23 κῶ SD κῦ VP 25 τε om. SD ὀνομάσθαι P 26 ὑπὲρ — ἁμαρτίαν om. V 30 ἀνόμοις] νόμοισ P 31 θεσπέσιος om. P 32 ἀνομίαισ V 36 τὸ VP τοῦ SD ἐν] ἐξ D 37 τυρρανήσασαν V

φιλανθρωπίαν γέγονε σάρξ, τουτέστιν ἄνθρωπος σύμμορφός τε ἡμῖν τοῖς ὑφ' ἁμαρτίαν
Hebr. 2, 9 καὶ τὸν ἡμῶν ὑπέστη κλῆρον. ὡς γὰρ ὁ πανάριστος γράφει Παῦλος, χάριτι θεοῦ
ὑπὲρ παντὸς ἐγεύσατο θανάτου καὶ τῆς ἁπάντων ζωῆς ἀντάλλαγμα τὴν ἑαυτοῦ ψυχὴν
ἐποιήσατο καὶ εἰς ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ πάντες θεῶι ζήσωμεν, ἁγιαζόμενοί τε καὶ
ζωοποιούμενοι διὰ τοῦ αἵματος αὐτοῦ δικαιούμενοί τε δωρεὰν τῆι παρ' αὐτοῦ χάριτι. ὡς
1 Ioh. 1, 7 γάρ φησιν ὁ μακάριος εὐαγγελιστὴς Ἰωάννης, τὸ αἷμα Ἰησοῦ Χριστοῦ καθαρίζει
13 ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας. ὄνομα δὴ οὖν τῶι σφαζομένωι χιμάρωι κύριος, καὶ
PG 212 κληρωτὴν ἐδέχετο τὴν σφαγὴν ἅγιόν τε θύμα καὶ ἱερὸν ἦν εἰς τύπον Χριστοῦ, οὐ δι' ἑαυτὸν
M V 336 ἀποθνήισκοντος, ἀλλ' ὑπὲρ ἡμῶν, ὡς ἔφην, καὶ ἁγιάζοντος τὴν ἐκκλησίαν τῶι ἰδίωι αἵματι.
Leu. 16, 15. σφάξει γὰρ τὸν χίμαρον, φησίν, τὸν περὶ τῆς ἁμαρτίας τὸν παρὰ τοῦ λαοῦ
16 cf. p. 40, 27-34 ἔναντι κυρίου καὶ εἰσοίσει τοῦ αἵματος αὐτοῦ ἐσώτερον τοῦ καταπε-
τάσματος καὶ ῥανεῖ τὸ αἷμα αὐτοῦ ἐπὶ τὸ ἱλαστήριον κατὰ πρόσωπον
τοῦ ἱλαστηρίου καὶ ἐξιλάσεται τὸ ἅγιον ἀπὸ τῶν ἀκαθαρσιῶν τῶν υἱῶν
Ἰσραὴλ καὶ ἀπὸ τῶν ἀδικημάτων αὐτῶν περὶ πασῶν τῶν ἁμαρτιῶν αὐτῶν.
καὶ οὕτως ποιήσει τῆι σκηνῆι τοῦ μαρτυρίου τῆι ἐκτισμένηι ἐν αὐτοῖς ἐν
Hebr. 9, 12 μέσωι τῆς ἀκαθαρσίας αὐτῶν. εἰσῆλθε γὰρ ὁ Χριστὸς εἰς τὰ ἅγια τῶν ἁγίων, οὐ δι'
αἵματος τράγων καὶ μόσχων, διὰ δὲ τοῦ ἰδίου αἵματος αἰωνίαν λύτρωσιν
εὑράμενος καὶ ἁγιάζων, ὡς ἔφην, τὴν ἀληθεστέραν σκηνήν, τουτέστι τὴν ἐκκλησίαν, καὶ
Hebr. 13, 12 ἅπαντας δὲ τοὺς ἐν αὐτῆι. γράφει γοῦν ὁ θεσπέσιος Παῦλος ποτὲ μὲν ὅτι διὸ καὶ
Ἰησοῦς, ἵνα ἁγιάσηι τῶι ἰδίωι αἵματι τὸν λαόν, ἔξω τῆς πύλης ἔπαθε,
Eph. 5, 1. 2 ποτὲ δὲ πάλιν γίνεσθε οὖν μιμηταὶ τοῦ θεοῦ ὡς τέκνα ἀγαπητὰ καὶ περι-
πατεῖτε ἐν ἀγάπηι, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς καὶ ἑαυτὸν
παρέδωκεν ὑπὲρ ἡμῶν προσφορὰν καὶ θυσίαν εἰς ὀσμὴν εὐωδίας. ἀθρη-
τέον δὴ οὖν ἐν τῶι σφαγέντι χιμάρωι γενόμενον μὲν ἐν θανάτωι σαρκὸς τὸν Ἐμμανουήλ,
πλὴν ἐπὶ λύσει θανάτου καὶ ἁμαρτίας. ἦν γὰρ ἐν νεκροῖς ἐλεύθερος, τουτέστιν ἀνάλωτος
ἁμαρτίαις καὶ οὐκ ἔνοχος μεθ' ἡμῶν τῆι τοῦ θανάτου δίκηι.

14 Ἴδωμεν ⟨οὖν⟩ αὐτὸν ἐν τῶι ἑτέρωι χιμάρωι τῶι ζῶντι καὶ ἀφιεμένωι καὶ ἐν τῶι
παθεῖν ἀνθρωπίνως μὴ πάσχοντα θεικῶς καὶ ἐν τῶι τεθνάναι σαρκὶ θανάτου κρείττονα καὶ
οὐ κατὰ τὴν Ἰουδαίων ὑπόνοιαν ἀπομείναντα μεθ' ἡμῶν ἐν μνήματι καὶ κάτοχον γεγονότα
L III 1139 ταῖς ἄιδου πύλαις τοῖς ἄλλοις ὁμοῦ. ὡς γὰρ ὁ αὐτοῦ φησι μαθητής, οὔτε ἐγκατε-
Act. 2, 31 λείφθη εἰς ἄιδου ἡ ψυχὴ αὐτοῦ οὔτε ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν· ἀνεβίω
Ies. 49, 9 γὰρ σκυλεύσας τὸν ἅιδην καὶ τοῖς ἐν δεσμοῖς εἰπὼν ἐξέλθετε, καὶ τοῖς ἐν τῶι
σκότει ἀνακαλύφθητε, καὶ πρὸς τὸν ἄνω καὶ ἐν τοῖς οὐρανοῖς πατέρα καὶ εἰς τὴν
ἀνθρώποις ἄβατον ἀνεπήδησε χώραν, αὐτὸς ἐφ' ἑαυτῶι τὰς ἁμαρτίας ἡμῶν ἀναλαβών καὶ
ἱλασμὸς ὑπάρχων περὶ αὐτῶν. γράφει γοῦν ὁ θεσπέσιος Ἰωάννης τοῖς εἰς αὐτὸν
1 Ioh. 2, 1. 2 πιστεύσασι· τεκνία, ταῦτα γράφω ὑμῖν, ἵνα μὴ ἁμαρτάνητε. καὶ ἐάν τις
δὲ ἁμάρτηι, παράκλητον ἔχομεν πρὸς τὸν πατέρα Ἰησοῦν Χριστὸν δί-

---

23—28 Fcyr 22 ἀναθετέον οὖν — κρείττονα

V, P [= hk], S, D [= mn], A [inde a 34 ἀναλαβών]

1 ἁμαρτίασ SD 2 γὰρ om. P 4 ἀποθανεῖν S ζήσωσιν SD τε] δὲ P 6 Ἰησοῦ] τοῦ P 7 οὖν τῶ D οὖν τὸ S οὕτω V οὕτω τω P 9 ὡς om. S 10 σφάζει VPSD φησί om. P 19 γράφει γοῦν ὁ scripsi γράφει οὖν ὁ VSD ὁ οὖν P ποτὲ μὲν om. D ὅτι om. PD 22/23 παρέδωκεν ὑπὲρ ἡμῶν ἑαυτὸν P 23/24 ἀθρητέον] ἀναθετέον Fcyr 26 ἁμαρτίας Fcyr οὐκ ἔνοχος] οὐχ ἑνός Fcyr 27 οὖν Fcyr om. VPSD αὐτῶ P χιμάρωι om. P ἀφιερωμένω P 29 τὴν τῶν P μνήμασι SD 30 αὐτόσ SD 31 ἅδην SD οἶδε V 34 ἀνεπήδησε V ἀπεπήδησε P ἀπεδήμησε SD τὰς om. SD 35 ὑπάρχει SD οὖν V 36 πιστεύουσι P 37 δὲ om. P

καιον, καὶ αὐτὸς ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν, οὐ περὶ τῶν
15 ἡμετέρων δὲ μόνον, ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου. οἶμαι δὲ δεῖν καὶ
αὐτὴν ποιήσασθαι τὴν παράθεσιν τῶν νομικῶν γραμμάτων εἰς ἀνάμνησιν τοῖς ἀκροωμένοις,
ἔχει δὲ οὕτως· καὶ προσάξει τὸν χίμαρον τὸν ζῶντα καὶ ἐπιθήσει Ἀαρὼν Leu. 16, 20.
τὰς χεῖρας αὐτοῦ ἐπὶ τὴν κεφαλὴν τοῦ χιμάρου τοῦ ζῶντος καὶ ἐξαγο- 21 cf. p. 41, 2-9
ρεύσει ἐπ' αὐτοῦ πάσας τὰς ἀνομίας τῶν υἱῶν Ἰσραὴλ καὶ πάσας τὰς 6 PG 213
ἀδικίας αὐτῶν καὶ πάσας τὰς ἁμαρτίας αὐτῶν καὶ ἐπιθήσει αὐτὰς ἐπὶ
τὴν κεφαλὴν τοῦ χιμάρου τοῦ ζῶντος καὶ ἐξαποστελεῖ ἐν χειρὶ ἀνθρώπου
ἑτοίμου εἰς τὴν ἔρημον. ἆθρει δὴ οὖν ὅπως, καίτοι τοῦ πρώτου σφαγέντος χιμάρου,
ζῶντα πλεισταχοῦ τὸν ἕτερον ὀνομάζει· ἦν γάρ, ὡς ἔφην, ἐν ἀμφοῖν γραφόμενος ὁ εἷς 10
καὶ μόνος υἱὸς καὶ κύριος Ἰησοῦς Χριστὸς ὡς ἐν πάθει σαρκὸς ἰδίας καὶ ἔξω πάθους, ὡς
ἐν θανάτῳ καὶ ὑπὲρ θάνατον. ἔζη γὰρ ὁ τοῦ θεοῦ λόγος, καὶ γευομένης θανάτου τῆς
ἁγίας αὐτοῦ σαρκός, καὶ μεμένηκεν ἀπαθής, καίτοι τοῦ ἰδίου σώματος τὸ πάθος οἰκειού-
μενος καὶ εἰς ἑαυτὸν ἀναφέρων αὐτό.

16 Ἴδοι δ' ἄν τις τοῦτο τὸ μέγα καὶ βαθὺ μυστήριον καὶ ἑτεροτρόπως ἡμῖν γραφόμενον M V 337
ἐν τῷι Λευιτικῷι. μεμολυσμένον μὲν γὰρ ἀποφαίνει τὸν λεπρὸν ὁ διὰ Μωυσέος νόμος, 16
ἐκπέμπεσθαι δὲ προστέταχε τῆς παρεμβολῆς ὡς ἀκάθαρτον. εἰ δὲ συμβαίη καταλωφῆσαι
τὸ πάθος, τότε δὴ τότε παράδεκτον γενέσθαι κελεύει καὶ δὴ καί φησιν· οὗτος ὁ νόμος Leu. 14, 2-7
τοῦ λεπροῦ· ἧι ἂν ἡμέραι καθαρισθῆι, καὶ προσαχθήσεται πρὸς τὸν ἱερέα.
καὶ ἐξελεύσεται ὁ ἱερεὺς ἔξω τῆς παρεμβολῆς καὶ ὄψεται ὁ ἱερεύς. καὶ 20
ἰδοὺ ἰᾶται ἡ ἁφὴ τῆς λέπρας ἀπὸ τοῦ λεπροῦ, καὶ προστάξει ὁ ἱερεὺς καὶ
λήψονται τῶι κεκαθαρισμένωι δύο ὀρνίθια ζῶντα καθαρά. καὶ προστάξει
ὁ ἱερεὺς καὶ σφάξουσι τὸ ὀρνίθιον τὸ ἓν εἰς ἀγγεῖον ὀστράκινον ἐφ'
ὕδατι ζῶντι, καὶ τὸ ὀρνίθιον τὸ ζῶν, λήψεται αὐτὸ καὶ βάψει εἰς τὸ αἷμα
τοῦ ὀρνιθίου τοῦ σφαγέντος ἐφ' ὕδατι ζῶντι καὶ περιρανεῖ ἐπὶ τὸν 25
καθαρισθέντα ἀπὸ τῆς λέπρας ἑπτάκις, καὶ καθαρὸς ἔσται. καὶ ἐξαπο-
στελεῖ τὸ ὀρνίθιον τὸ ζῶν εἰς τὸ πεδίον. δύο μὲν οὖν τὰ πτηνὰ καὶ ἀκίβδηλα,
τουτέστι καθαρὰ καὶ μηδεμίαν ἔχοντα διαβολήν, τὴν ἀπό γε φημὶ τοῦ νόμου. καὶ τὸ
μὲν ἓν ἐσφάζετο ἐφ' ὕδατι ζῶντι, τό γε μὴν ἕτερον, ἔξω μένον σφαγῆς, εἶτα βαπτισθὲν
ἐν τῷι αἵματι τοῦ τετελευτηκότος καὶ ἐφ' ὕδατι ζῶντι, κατὰ τὸν ἴσον τῷι χιμάρωι τρόπον 30
εἰς τὴν ἔρημον ἐξεπέμπετο. ὑπεμφήνειε δ' ἂν ὁ τύπος ἡμῖν κἀν τούτωι δὴ πάλιν τὸ
17 μέγα καὶ σεπτὸν τοῦ σωτῆρος ἡμῶν μυστήριον. ἦν μὲν γὰρ ἄνωθεν, τουτέστιν ἐκ L III 114²
τοῦ πατρὸς καὶ ἐξ οὐρανῶν ὁ λόγος (ταύτηι τοι καὶ μάλα εἰκότως πτηνῶι παρεικάζεται),
καταπεφοίτηκε δὲ οἰκονομικῶς εἰς ὁμοίωσιν τὴν πρὸς ἡμᾶς καὶ ἔλαβε δούλου μορφήν·
πλὴν καὶ οὕτως ἄνωθεν ἦν. καὶ γοῦν ἔφασκεν ἐναργῶς, Ἰουδαίοις προσλαλῶν· ὑμεῖς Ioh. 8, 23
ἐκ τῶν κάτω ἐστέ, ἐγὼ ἐκ τῶν ἄνω εἰμί. ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου τού- 36
του. καὶ πάλιν· οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανόν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρα- Ioh. 3, 13

2—14 Fcyr 23 οἶμαι — αὐτό

V, P [= hk], S, D [= mn], A

1 ἐστι om. P 2 μόνον] μᾶλλον P τοῦ ὅλου V 3 αὐτῶν P 4 δὲ] γὰρ P 5—8 καὶ ἐξαγορεύσει — ζῶντος om. S 6/7 ἀνομίας — τὰς om. Fcyr 10 ἐν] δι' Fcyr ὁ om. V 12 θανάτωι] ἀθανάτωι Fcyr 12/13 ἐν θανάτωι — πάθος om. D 12 γευόμενος P 13 ἁγίας — σαρκός] ἰδίας σαρκὸς αὐτοῦ P 15 βαθὺ καὶ μέγα VPA 16 μὲν om. VP μωσέως A 17 συμφαίη S συμβαίνει P συνέβη V 21—23 καὶ λήψονται — ἱερεὺς om. P 22 κεκαθαρμένωι VP καθαρά om. SD 23 σφάζουσι P τὸ ὀρνίθιον om. D 25 ἐν SD περιρρανεῖ VPA 26/27 ἐξαποστελλεῖ P 28 ἀπὸ τοῦ νόμου φημί V 29 ἓν om. V ἐν SD 33 ὁ om. V 34 τῆς P 35 πλὴν om. P ἄνωθεν οὗτος ἦν V οὗτος P καὶ — ἔφασκεν] αὐτὸ δὴ τοῦτο ἀπέδειξεν P τοῖς ἰουδαίοις P 36 ἐγὼ²] καὶ P

νοῦ καταβάς, ὁ υἱὸς τοῦ ἀνθρώπου. ὡς γὰρ ἔφην ἀρτίως, καὶ σὰρξ γεγονὼς ἢ γοῦν τέλειος ἄνθρωπος, οὐ γήινος ἦν ἡ χοικὸς καθ' ἡμᾶς, ἀλλ' οὐράνιός τε καὶ ὑπερκόσμιος καθὸ νοεῖται θεός. πλὴν ἔστιν ἰδεῖν ἐν τοῖς ὀρνιθίοις, καθὰ καὶ ἐν τοῖς χι-
1 Petr. 4, 1 μάροις, σαρκὶ μὲν παθόντα κατὰ τὰς γραφάς, μείναντα δὲ καὶ ἐπέκεινα τοῦ παθεῖν καὶ
PG 216 ἀποθνήισκοντα μὲν ἀνθρωπίνως, ζῶντα δὲ θεικῶς· ζωὴ γὰρ ὁ λόγος ἦν. καὶ γοῦν ὁ 5
18 πάνσοφος μαθητὴς θανατωθῆναι μὲν αὐτὸν ἔφη σαρκί, Ζωοποιηθῆναι δὲ πνεύματι. πλὴν
1 Petr. 3, 18 ὅτι κἂν εἰ τοῦ παθεῖν τὸν θάνατον εἰς ἰδίαν φύσιν ἄμοιρος ἦν ὁ λόγος, ἀλλ' οὖν οἰκειοῦται τὸ πάθος τῆς ἑαυτοῦ σαρκός, ὡς ἤδη προεῖπον. ἐβαπτίζετο γὰρ τὸ ὀρνίθιον τὸ ζῶν ἐν τῶι αἵματι τοῦ τετελευτηκότος, πεφυρμένον δὲ τῶι αἵματι, μόνον δὲ οὐχὶ καὶ κοινωνῆσαν τοῦ πάθους εἰς τὴν ἔρημον ἐξεπέμπετο. ἀναπεφοίτηκε γὰρ ἐν τοῖς οὐρανοῖς 10
ὁ μονογενὴς τοῦ θεοῦ λόγος μετὰ τῆς ἐνωθείσης αὐτῶι σαρκὸς καὶ ξένον ἦν ἐν οὐρανοῖς τὸ θέαμα. κατεπλήττετο γοῦν ἡ τῶν ἁγίων ἀγγέλων πληθὺς ἐν εἴδει βλέπουσα τῶι καθ' ἡμᾶς τὸν βασιλέα τῆς δόξης καὶ τῶν δυνάμεων κύριον. καὶ δὴ καὶ ἔφασκον·
Ies. 63, 1 τίς οὗτος ὁ παραγενόμενος ἐξ Ἐδώμ, τουτέστιν ἐκ γῆς, ἐρύθημα ἱματίων ἐκ Βοσόρ; διερμηνεύεται δὲ τὸ Βοσόρ σὰρξ ἤτοι συνοχὴ καὶ θλῖψις. εἶτα τούτωι προ- 15
M V 340 σεπυνθάνοντο· τί αὗται αἱ πληγαὶ ἀνὰ μέσον τῶν χειρῶν σου; ὁ δὲ πρὸς αὐ-
Zach. 13, 6 τούς· ἃς ἐπλήγην ἐν τῶι οἴκωι τοῦ ἀγαπητοῦ μου. ὥσπερ γὰρ ἀπιστήσαντι
Ioh. 20, 27 τῶι Θωμᾶι οἰκονομικώτατα λίαν καὶ μετὰ τὴν ἐκ νεκρῶν ἀναβίωσιν ἐπεδείκνυ τὰς χεῖρας καὶ τοὺς ἐν αὐταῖς τῶν ἥλων τύπους, ἐκέλευσε δὲ ψηλαφᾶν καὶ τὰς ἐν τῆι πλευρᾶι διατρήσεις, οὕτω καὶ ἐν οὐρανῶι γεγονὼς πεπληροφόρηκε τοὺς ἁγίους ἀγγέλους ὅτι δικαίως 20
τῆς πρὸς αὐτοὺς οἰκειότητος ἐκβέβληται καὶ ἀπώλισθεν ὁ ἠγαπημένος Ἰσραήλ. διὰ τοῦτο πεφυρμένον αἵματι τὸ ἀμφίον καὶ τὰς ἐν χερσὶν ἐπεδείκνυ πληγάς, οὐκ ἀναποβλήτους ἔχων αὐτάς (ἐγηγερμένος γὰρ ἐκ νεκρῶν ἀπεδύσατο τὴν φθορὰν καὶ σὺν αὐτῆι
Eph. 3, 10. 11 πάντα τὰ ἐξ αὐτῆς), ἀλλ' ἵνα, ὡς ἔφην, οἰκονομικῶς γνωρισθῆι νῦν ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις διὰ τῆς ἐκκλησίας ἡ πολυποι- 25
κιλος σοφία τοῦ θεοῦ, ἣν ἐποίησεν ἐν τῶι Χριστῶι κατὰ πρόθεσιν τῶν αἰώνων· γράφει γὰρ οὕτως τισὶν ὁ ἱερώτατος Παῦλος.

19 Ὥσπερ οὖν ἐν τοῖς χιμάροις ἐγράφετο σοφῶς τὸ τοῦ Χριστοῦ μυστήριον, οὕτως καὶ ἐν τοῖς ὀρνιθίοις. ἀλλ' ἴσως ἐρεῖ τις· πῶς οὖν ἕνα καὶ τὸν αὐτὸν φὴς εἶναι υἱὸν καὶ κύριον Ἰησοῦν Χριστόν, καίτοι δύο χιμάρων παρενηνεγμένων ὀρνιθίων τε δύο; ἢ τάχα 30
L III 1143 που καταδείξειεν ἂν οὐκ ἀσυμφανῶς ὁ νόμος ὡς δύο που πάντως εἰσὶν υἱοὶ καὶ Χριστοί; καὶ δυσσεβείας μὲν εἰς τοῦτο κατεβιβάσθησαν ἤδη τινές, ὥστ' οἴεσθαί τε καὶ λέγειν ἕτερον μὲν εἶναι Χριστὸν ἰδικῶς τὸν ἐκ θεοῦ πατρὸς λόγον, ἕτερον δὲ αὖ τὸν ἐκ σπέρματος τοῦ Δαυίδ· ἡμεῖς δὲ φαμὲν τοῖς ὧδε ταῦτ' ἔχειν ἐξ ἀμαθίας ὑπειληφόσιν· ὁ θεσπέσιος γράφει

3—12 Feyr 24 πλὴν — θέαμα 28/29 Feyr 25 ὥσπερ — ὀρνιθίοις 29 cf. Theodoret. quaest. in Leuit. 16 p. 260 Schulz

---

V, P [= hk], S, D [= mu], A

2 τελείωσ SD οὐχὶ SD 8 αὐτοῦ Feyr οὐ βαπτίζεται S 9 πεφυρμένον Feyr πεφυραμένον VPSDA μονονουχὶ δὲ VA μόνον οὐ Feyr καὶ om. Feyr 11 λόγος om. S πατὴς D αὐτὸ V 12 γοῦν] γὰρ V 13 τῶι] τὸ P καὶ] τὸν D κ̄ς̄ S καὶ[3] om. VD ἔφασκε D 14 παραγινόμενοσ SD τῆσ γῆσ SD 15 ἤτοι] εἴτε S τοῦτο SD 15/16 προσεπυνθάνετο D 17 ἃς] ὥσ P γὰρ om. V 18 Θωμᾶι] θῶ μᾶλλον S ἀνάστασιν V ἐδείκνυ D om. V 20 ἐν om. S 21 αὐτὸν P 23 ἔχον S γὰρ post ἀπεδύσατο iterum habet S 25 οὐρανοῖσ P 26 τῶν om. SD 28 οὖν VPA γὰρ SD om. Feyr ἐγράφη Feyr σαφῶσ SD Feyr 29 τοῖσ δυσὶν ὀρνιθίοισ SD Feyr τίσ ἐρεῖ V φὴσ εἶναι A φησιν εἶναι D εἶναι φὴσ V εἶναι φησὶν PS 30 ἢ] εἰ SD 31 καὶ καταδείξειεν P ὁ νόμοσ οὐκ ἀσυμφανῶσ SD ἀσύμφωνοσ k ἀσύμφωνον h ὡσ VPA εἰ D εἰσ S 32 ὥστ' SD ὡσ VPA τε om. V 33 τοῦ om. SD 34 ὡσ ὁ D

Παῦλος ὅτι εἷς κύριος, μία πίστις, ἓν βάπτισμα. οὐκοῦν εἰ δύο φασὶν υἱούς, Eph. 4, 5
δύο που πάντως ἂν εἶεν οἱ κύριοι, δύο δὲ καὶ πίστεις, τοσαῦτα δὲ καὶ βαπτίσματα. PG 217
ψευδομυθήσει δὴ οὖν ὁ Χριστὸν ἔχων ἐν ἑαυτῷ λαλοῦντα, καθά φησιν αὐτός. ἀλλ' 2 Cor. 13, 3
οὐκ ἔστι ταῦτα, μὴ γένοιτο. οὐκοῦν εἷς κύριος καὶ μία πίστις, ἓν βάπτισμα· πιστεύομεν
γὰρ εἰς ἕνα κύριον Ἰησοῦν Χριστόν, τουτέστι τὸν μονογενῆ τοῦ θεοῦ λόγον ἐνανθρωπή- 5
σαντα καὶ σεσαρκωμένον. διὰ τοῦτο καὶ εἰς τὸν θάνατον αὐτοῦ βαπτιζόμεθα καὶ μόνον Rom. 6, 3
ἴσμεν αὐτὸν κύριον ὡς θεόν, οὐκ ἀνὰ μέρος τιθέντες ἄνθρωπον καὶ θεόν, ἀλλ' αὐτόν, ὡς
ἔφην, τὸν ἐκ θεοῦ πατρὸς λόγον ἄνθρωπον γενέσθαι διαβεβαιούμενοι μετὰ τοῦ μεῖναι θεόν.
20 ἄτρεπτος γὰρ καὶ ἀναλλοίωτος κατὰ φύσιν ἐστίν. ἐπεὶ φραζέτωσαν οἱ δι' ἐναντίας·
εἰ δύο φασὶν υἱούς, ἕνα μὲν ἰδικῶς τὸν ἐκ σπέρματος τοῦ Δαυίδ, ἕτερον δὲ αὖ καὶ ἀνὰ 10
μέρος τὸν ἐκ θεοῦ πατρὸς λόγον, ἀρ' οὐκ ἀμείνων κατὰ φύσιν ὁ ἐκ θεοῦ πατρὸς λόγος τοῦ
ἐκ σπέρματος τοῦ Δαυὶδ καὶ ἀσυγκρίτοις διαφοραῖς; τί γὰρ ἀνθρώπου φύσις ὡς πρός γε
τὴν θείαν καὶ ὑπερτάτην; ἀλλ', οἶμαι, καὶ οὐχ ἑκόντες ἐροῦσιν ὡς ἀμείνων ἐστὶ κατὰ φύσιν
ὁ ἐκ θεοῦ πατρὸς λόγος. εἶτα τί δράσομεν τοὺς χιμάρους ὁρῶντες οὐχ ἑτεροφυεῖς
ὄντας ἀλλήλοις, ὁμοειδεῖς δὲ μᾶλλον καὶ κατ' οὐδὲν ἀλλήλων διαφέροντας κατά γε τὸ εἶναι 15
τοῦθ' ὅπερ εἰσίν; ὁ αὐτὸς δ' ἂν γένοιτο λόγος καὶ ἐπὶ τοῖς δυσὶν ὀρνιθίοις. οὐκοῦν
συγχωρείτωσαν διὰ τὸ τῶν χιμάρων ἢ γοῦν ὀρνιθίων ὁμοειδὲς μηδὲν ἀνθρώπου διαφέρειν
τὸν τοῦ θεοῦ λόγον. ἀλλ' οὐκ ἀνέξονται, καθάπερ ἐγῶιμαι, τοῦ τοιούτου λόγου· πλεῖστον M V 341
γὰρ ὅσον τὸ μεταξὺ θεότητός τε καὶ ἀνθρωπότητος. ἐφῶμεν δὴ οὖν τοῖς παραδείγμασι
κατὰ τὸν αὐτοῖς πρέποντα νοεῖσθαι λόγον· ἠττᾶται γὰρ λίαν τῶν ἀληθῶν καὶ μερικὴν ἔσθ' 20
ὅτε ποιεῖται τῶν σημαινομένων τὴν ἔνδειξιν. φαμὲν δὲ ὅτι σκιὰ καὶ τύπος ὁ νόμος ἦν
καὶ οἷόν τις γραφὴ παρατιθεῖσα πρὸς θέαν τοῖς ὁρῶσι πράγματα, αἱ δὲ σκιαὶ τῆς τῶν
γραφόντων ἐν πίναξι τέχνης τὰ πρῶτα τῶν χαραγμάτων εἰσίν, αἷς εἴπερ ἐπενεχθείεν τῶν
χρωμάτων τὰ ἄνθη, τότε δὴ τότε τῆς γραφῆς ἀπαστράπτει τὸ κάλλος. ἔδει δὴ οὖν τὸν
διὰ Μωυσέος νόμον καταγράψαι σαφῶς ἐθέλοντα τὸ τοῦ Χριστοῦ μυστήριον οὐχ ἑνὶ τιῶν 25
χιμάρων ἤτοι τῶν ὀρνιθίων ἀποθνήισκοντά τε ὁμοῦ καὶ ζῶντα καταδεικνύειν αὐτόν, ἵνα μὴ
τερατοποιία σκηνικὴ δόξηι πως εἶναι τὸ δρώμενον, ἀλλ' ἐδέχετο μὲν ὡς ἐν ἑνὶ παθόντα
τὴν σφαγήν, κατεδείκνυ δὲ τὸν αὐτὸν ἐν ἑτέρωι ζῶντά τε καὶ ἀφιέμενον.
21 Ἀποφῆναι δὲ τὸν ἐπὶ τῶιδε λόγον οὐκ ἔξω βαίνοντα τοῦ εἰκότος οἰήσομαι δεῖν καὶ
ἑτέραν οἷς ἔφην, ἐπεισφρήσας εἰκόνα. γέγραπται τοίνυν ἐν τῶι τῆς κοσμοποιίας βιβλίωι· 30
καὶ ἐγένετο μετὰ τὰ ῥήματα ταῦτα, ὁ θεὸς ἐπείραζε τὸν Ἀβραὰμ καὶ εἶπε Gen. 22, 1-6
πρὸς αὐτόν· Ἀβραὰμ Ἀβραάμ. ὁ δὲ εἶπεν· ἰδοὺ ἐγώ. καὶ εἶπε· λάβε τὸν I. III 1146
υἱόν σου τὸν ἀγαπητὸν ὃν ἠγάπησας, τὸν Ἰσαὰκ καὶ πορεύθητι εἰς τὴν
γῆν τὴν ὑψηλὴν καὶ ἀνένεγκε αὐτὸν ἐκεῖ εἰς ὁλοκάρπωσιν ἐφ' ἓν τῶν
ὀρέων ὧν ἄν σοι εἴπω. ἀναστὰς δὲ τὸ πρωί, ἐπέσαξε τὴν ὄνον αὐτοῦ, 35 PG 220
παρέλαβε δὲ μεθ' ἑαυτοῦ δύο παῖδας καὶ Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ καὶ σχίσας

11—19 Fcyr 26 ἆρ' οὐκ — ἀνθρωπότητος 24—27 Fcyr 27 ἐπειδὴ οὖν — δρώμενον

V, P [= hk], S, D [= mn], A

1 φασὶν ex φαμὲν corr. V 2 εἶεν ἂν SD 3 ἐφ' ἑαυτὸν V 4 καὶ om. SD 5 γὰρ] δὲ καὶ P 7 οὐκ — θεόν om. P 9 φραζέτωσαν ἡμῖν A 12 σπέρματοσ δᾶδ DFcyr σπέρματοσ τοῦ δᾶδ ἕτερον δὲ αὖ καὶ ἀνὰ μέροσ S 14 δράσσομεν P 15 κατὰ — εἶναι om. SD 17 τῶν ὀρνιθίων Fcyr 18 ἀλλ' — λόγου om. SD ἐγῶμαι] πρότερον ἔφην P ἡγοῦμαι Fcyr τοιούτου A τοιοῦδε VPFcyr 21 τὴν ἔνδειξιν τῶν σημαινομένων SD 22 παρατεθεῖσα VSD τὰ πράγματα VSD 24 ἀπαστράψει SD ἔδει δὴ] ἐπειδὴ Fcyr 25 μωσέοσ ex μωυσέωσ corr. S σοφῶς Fcyr τοῦ om. Fcyr οὐχ om. VP ἑνὶ ἑνὶ Fcyr 26 ἢ D ὀρνίθων P καταδεικνύει Fcyr 27 σκηνικὴ - - εἶναι VPA σκηνικὴ πωσ εἶναι δόξη S σκηνίπωσ εἶναι δόξη n σκηνικὴ πωσ δόξη m μὲν om. P ἐν om. P 29 δὲ καὶ P 32 πρὸς αὐτὸν] αὐτῷ V 35 εἶπω VPA δείξω SD τὸ om. SD

ξύλα εἰς ὁλοκάρπωσιν, ἀναστὰς ἐπορεύθη. καὶ ἦλθεν ἐπὶ τὸν τόπον ὃν εἶπεν αὐτῷ ὁ θεός, τῇ ἡμέραι τῇ τρίτῃ. καὶ ἀναβλέψας Ἀβραὰμ τοῖς ὀφθαλμοῖς εἶδε τὸν τόπον μακρόθεν καὶ εἶπεν Ἀβραὰμ τοῖς παισὶν αὐτοῦ· καθίσατε αὐτοῦ μετὰ τῆς ὄνου, ἐγὼ δὲ καὶ τὸ παιδάριον διελευσόμεθα ἕως ὧδε καὶ προσκυνήσαντες ἀναστρέψομεν πρὸς ὑμᾶς. ἔλαβε δὲ τὰ ξύλα τῆς ὁλοκαρπώσεως καὶ ἐπέθηκεν Ἰσαὰκ τῷ υἱῷ αὐτοῦ, ἔλαβε δὲ μετὰ χεῖρας τὸ πῦρ καὶ τὴν μάχαιραν καὶ ἐπορεύθησαν οἱ δύο ἅμα. καὶ
Gen. 22,9. 10 μεθ' ἕτερα· καὶ ᾠκοδόμησεν ἐκεῖ Ἀβραὰμ θυσιαστήριον καὶ ἐπέθηκε τὰ ξύλα καὶ συμποδίσας Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ, ἐπέθηκεν αὐτὸν ἐπὶ τὸ θυσιαστήριον ἐπάνω τῶν ξύλων. καὶ ἐξέτεινεν Ἀβραὰμ τὴν χεῖρα αὐτοῦ
22 λαβεῖν τὴν μάχαιραν σφάξαι τὸν υἱὸν αὐτοῦ. ἆρ' οὖν εἴπερ τις τῶν καθ' ἡμᾶς ἐπεθύμησεν ἰδεῖν καταγεγραμμένην ἐν πίνακι τὴν ἐπί γε τῷι Ἀβραὰμ ἱστορίαν, πῶς ἂν αὐτὸν ἐχάραξεν ὁ ζωγράφος; ἆρ' ἐν ἑνὶ πάντα δρῶντα τὰ εἰρημένα ἢ ἀνὰ μέρος καὶ ἑτεροίως ἢ γοῦν ἑτεροειδῶς πλειστάχου τὸν αὐτόν; οἷόν τι φημί, ποτὲ μὲν ἐφιζήσαντα τῇι ὄνωι, συμπαραληφθέντος τοῦ παιδαρίου καὶ ἑπομένων τῶν οἰκετῶν, ποτὲ δὲ αὖ πάλιν ἀπομεινάσης τῆς ὄνου κάτω τοῖς οἰκέταις ὁμοῦ, καταφορτίσαντα μὲν τοῖς ξύλοις τὸν Ἰσαάκ, ἔχοντα δὲ μετὰ χεῖρας τὴν μάχαιραν καὶ τὸ πῦρ, καὶ μὴν καὶ ἑτέρωθι τὸν αὐτὸν ἐν εἴδει πάλιν ἑτέρωι, συμποδίσαντα μὲν τὸ μειράκιον ἐπὶ τὰ ξύλα, ὁπλίσαντα δὲ τῇι μαχαίραι τὴν δεξιάν, ἵν' ἐπαγάγοι τὴν σφαγήν. ἀλλ' ἦν οὐχ ἕτερος καὶ ἕτερος Ἀβραάμ πλειστάχου τῆς γραφῆς
M V 344 ὁρώμενος ἑτεροίως, ἀλλ' ὁ αὐτὸς πανταχοῦ, ταῖς τῶν πραγμάτων χρείαις συγκαθισταμένης ἀεὶ τῆς τοῦ γράφοντος τέχνης. οὐ γὰρ ἦν εἰκὸς ἢ γοῦν τῶν ἐνδεχομένων ἐν ἑνὶ κατιδεῖν
23 αὐτὸν πάντα δρῶντα τὰ εἰρημένα. γραφὴ τοιγαροῦν ὁ νόμος ἦν καὶ τύποι πραγμάτων ὠδίνοντες τὴν ἀλήθειαν, ὥστε κἂν εἰ δύο χιμάρους παρεκόμισεν ἡ χρεία πρὸς παράδειξιν τοῦ κατὰ Χριστὸν μυστηρίου, κἂν εἰ δυὰς ὀρνιθίων ἦν, ἀλλ' εἷς ἦν ὁ ἐν ἀμφοῖν, καὶ ὡς ἐν πάθει καὶ ἔξω πάθους, καὶ ἐν θανάτωι καὶ ὑπὲρ θάνατον καὶ ἀναβαίνων εἰς οὐρανοὺς ἀπαρχή τις ὥσπερ δευτέρα τῆς ἀνθρωπότητος ἀνανεωθείσης εἰς ἀφθαρσίαν. αὐτὸς γὰρ ἡμῖν ἀνεκαίνισε τὴν εἰς τὰ ἄνω τρίβον, καὶ ἑψόμεθα κατὰ καιροὺς αὐτῶι. πορεύσομαι
Ioh. 14, 2. 3 γάρ φησιν, καὶ ἑτοιμάσω τόπον ὑμῖν καὶ πάλιν ἔρχομαι καὶ παραλήψομαι ὑμᾶς μεθ' ἑαυτοῦ, ἵνα ὅπου εἰμὶ ἐγώ, ἐκεῖ καὶ ὑμεῖς μετ' ἐμοῦ ἦτε. ταύτας ἔχομεν τὰς ἀληθεῖς ἐλπίδας.
24 Ἐγὼ μὲν οὖν ἅπερ ἤιδειν, γέγραφα, τῆς δὲ σῆς θεοσεβείας ἐστὶν ἀκριβεστέραν τοῖς γεγραμμένοις ἐπενεγκεῖν τὴν βάσανον, ἵν' εἴπερ τι τῶν ἀμεινόνων εὑρεθῆναι συμβῆι, ἡμᾶς
PG 221 τε καὶ τοὺς αὐτόθι λαοὺς ὠφελῆι. Χριστὸς γάρ ἐστιν ὁ ἀποκαλύπτων βαθέα καὶ ἀπό-
Iob 12, 22 Col. 2, 3 κρυφα καὶ σύνεσιν καρδίαις ἐνιείς· ἐν αὐτῷι γὰρ καὶ παρ' αὐτοῦ πάντες εἰσὶν οἱ θησαυροὶ τῆς σοφίας καὶ γνώσεως ἀπόκρυφοι δι' αὐτοῦ τε καὶ σὺν αὐτῷι τῷι θεῷι καὶ πατρὶ δόξα καὶ τὸ κράτος σὺν ἁγίωι πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

23—27 Fcyr 28 ὥστε — αὐτῷι

V, P [= hk], S, D [= mn], A

1—3 καὶ ἦλθεν — μακρόθεν om. V 4 παιδίον SD 5 δὲ om. A 7 μετὰ — μάχαιραν] καὶ τὸ πῦρ μετὰ χεῖρας P 8 ἀβραὰμ ἐκεῖσε V 11 μάχαιρα S τοῦ σφάξαι SD εἴ τις D 12 ἀναγεγραμμένην SD γε om. V 13 ἆρ' οὖν P 16 μὲν τοῖσ VA μέντοι PSD ξύλα SD 18 τῶν ξύλων P τῇι om. P 19 ἐπάγοι P καὶ ἕτερος om. P 20 ὁρώμενον S 22 δρῶντα om. VPA 23 εἰ om. V 23/24 παράδειξιν μυστηρίου τοῦ κατὰ Χριστὸν Fcyr 24 μυστηρίου om. S εἰ om. V δύο D Fcyr ὀρνίθων PSDFcyr ἦν ἀλλ' om. Fcyr 25 ἐν — θάνατον] ὑπὲρ θάνατον ἐν θανάτωι V ἐν om. Fcyr 27 ἐνεκαίνισε PSD Fcyr τὸ S πορεύομαι D 28 καὶ ἑτοιμάσω VPA ἑτοιμάσαι SD 29 μεθ' ἑαυτοῦ VA μετ' ἐμοῦ P μετ' ἐμαυτοῦ SD ἐκεῖ om. V 31 ἤιδειν] ἤδη V 33 τε om. P ὠφελεῖ P 33/34 κρύφια SD 34 καρδίασ SD καρδία P παρ' αὐτῷ D om. P 36 ἡ δόξα SD τῶν αἰώνων om. SD

135 = A 4. Latina uersio extat in Collectione Winteriana 1

Τοῦ αὐτοῦ εἰς τὸ ἅγιον σύμβολον

1 Τοῖς ἀγαπητοῖς καὶ ποθεινοτάτοις Ἀναστασίωι Ἀλεξάνδρωι Μαρτινιανῶι Ἰωάννηι Παρηγορίωι πρεσβυτέροις καὶ Μαξίμωι διακόνωι καὶ λοιποῖς ὀρθοδόξοις πατράσι μοναχῶν καὶ τοῖς σὺν ὑμῖν τὸν μονήρη βίον ἀσκοῦσι καὶ ἐν πίστει θεοῦ ἱδρυμένοις Κύριλλος ἐν κυρίωι χαίρειν. Τὸ φιλομαθὲς καὶ φιλόπονον τῆς ὑμετέρας ἀγάπης καὶ νῦν οὐ μετρίως ἐπαινέσας ἔχω καὶ ἄξιον εἶναι φημὶ τοῦ παντὸς λόγου. τὸ γάρτοι θείων ἐφίεσθαι μαθημάτων καὶ τῆς τῶν ἱερῶν δογμάτων ὀρθότητος μεταποιεῖσθαι φιλεῖν πῶς οὐκ ἂν ὑπεραγάσαιτό τις; καὶ γάρ ἐστι ζωῆς τῆς ἀπεράντου καὶ μακαρίας τὸ χρῆμα πρόξενον καὶ οὐκ ἄμισθος ἡ ἔν γε τούτοις σπουδή· φησὶ γάρ που πρὸς τὸν ἐν τοῖς οὐρανοῖς πατέρα καὶ θεὸν ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός· αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωὴ ἵνα γινώσκωσι σὲ τὸν μόνον ἀληθινὸν θεὸν καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν.

2 ὀρθὴ γὰρ πίστις καὶ ἀκατάσκωπτος, σύνδρομον ἔχουσα τὴν ἐξ ἔργων ἀγαθῶν φαιδρότητα, παντὸς ἡμᾶς ἐμπίπλησιν ἀγαθοῦ καὶ διαπρεπῆ λαχόντας τὴν δόξαν ἀποφαίνει· πράξεων δὲ λαμπρότης εἰ ἀμοιροῦσα φαίνοιτο δογμάτων ὀρθῶν καὶ ἀδιαβλήτου πίστεως, ὀνήσειεν ἄν, ὡς γε οἶμαι, κατ' οὐδένα τρόπον τὴν τοῦ ἀνθρώπου ψυχήν. ὥσπερ γὰρ ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστιν, οὕτως εἶναι φαμὲν ἀληθὲς καὶ τὸ ἔμπαλιν. οὐκοῦν συναναλαμπέτω τοῖς τῆς εὐζωίας αὐχήμασι καὶ τὸ ἀμώμητον ἐν πίστει· ἄρτιοι γὰρ οὕτως ἐσόμεθα κατὰ τὸν τοῦ πανσόφου Μωυσέος νόμον. τέλειος γάρ φησιν, ἔσηι ἐναντίον κυρίου τοῦ θεοῦ σου. οἱ δὲ τοῦ πίστιν ἔχειν ὀρθὴν ἐξ ἀμαθίας ὀλιγωρήσαντες, εἶτα ταῖς ἐπιεικείαις τὸν ἑαυτῶν κατασεμνύνοντες βίον ἐοίκασί πως ἀνδράσιν εὐφυᾶ μὲν λαχοῦσιν τοῦ προσώπου τὸν χαρακτῆρα, πεπλανημένην δὲ καὶ διάστροφον τῶν ὀμμάτων τὴν βολήν, ὥστε καὶ πρέπειν αὐτοῖς τὸ διὰ φωνῆς Ἱερεμίου πρὸς τὴν τῶν Ἰουδαίων μητέρα,

3 φημὶ δὴ τὴν Ἱερουσαλὴμ εἰρημένον παρὰ θεοῦ· ἰδοὺ οὐκ εἰσιν οἱ ὀφθαλμοί σου οὐδὲ ἡ καρδία σου καλή. χρὴ τοίνυν ὑμᾶς ὑγιᾶ καὶ πρό γε τῶν ἄλλων ἔχειν ἐν ἑαυτοῖς τὸν νοῦν καὶ διαμεμνῆσθαι γράμματος ἱεροῦ προσφωνοῦντός τε καὶ λέγοντος· οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέτωσαν. ὀρθὴ δὲ βλέψις ὀμμάτων τῶν ἔσω κεκρυμμένων τὸ ἰσχνῶς καὶ ἀπεξεσμένως περιαθρεῖν δύνασθαι κατά γε τὸ ἐγχωροῦν τοὺς οἵπερ ἂν γένοιντο περὶ θεοῦ λόγους. βλέπομεν γὰρ ἐν ἐσόπτρωι καὶ αἰνίγματι καὶ γινώσκομεν ἐκ μέρους· ὅ γε

L III 1179 M V 384 PG 77, 289 PG 292 0 Ioh. 17, 3 Iac. 2, 20 Deut. 18, 13 Ier. 22, 17 L III 1182 Prou. 4, 25 M V 385 1 Cor. 13, 12. 9

Fcyr 72 ἐκ τῆς πρὸς μονάζοντας δευτέρας ἐπιστολῆς ἐν ἧι ὑπομνηματίζει τὸ τῶν τριακοσίων δεκαοκτὼ σύμβολον, ἧς ἡ ἀρχή· Τὸ φιλομαθὲς — ἀγάπης

Coll. Cas. 288 [uol. 4, 211] Cyrillus ad imperatorem: *rogauerunt archimandritae Orientis orthodoxi interpretari a me eiusdem symboli uim. quae et interpretata est et necessarium fuit ut in uestras . . . aures perueniret hoc opus.* R 36 [ep. 69] προτρέψαντος δέ με τοῦ μνημονευθέντος . . . διακόνου καὶ ἀρχιμανδρίτου Μαξίμου διερμηνεῦσαι τὸ σύμβολον τῆς πίστεως . . . καὶ πρὸς τοῦτο καθῆκα ἐμαυτόν. similiter in R 37 [ep. 70] 3—10 σπουδή adferuntur in Actis Concilii quinti [L V 468 = M VIII 246]

V, P [= hk], A, R [2 usque ad 8 μεταποιεῖσθαι φιλεῖν m. rec. suppleta], Λ

ρλε V ρκς P 2 τοῦ αὐτοῦ ἑρμηνεία εἰσ τὸ ἐν νικαία σύμβολον A τοῦ μακαρίου κυρίλλου ἀρχιεπισκόπου ἀλεξανδρείασ ἑρμηνεία εἰσ τὸ ἅγιον σύμβολον Rr ἅγιον om. P 4 πρεσβυτέρωι V μαξιμίνωι RrΛ Conc. 5 ἡμῖν VA 6/7 οὐ μετρίωσ ἐπαινέσασ PA Conc. ἐπαινέσασ οὐ μετρίωσ Rr οὐ μετρίωσ ἐπαινέσαι VΛ 9 μακρᾶσ P 10 τοῖς om. A 11 ὁ² om. P 12 γινώσκουσι R μόνον superscr. R 13 ἀκατάσκηπτοσ P 14/15 ἀποφαίνει — ἀμοιροῦσα om. P 15 λαμπρότητοσ V δογμάτων δὲ P πίστεωσ ἄνευ P 16 τρόπον βίοσ ἐνάρετοσ P 17/18 συναναλαμπέτω V συλλαμπέτω P ἀναλαμπέτω AR 19 τοῦ om. P superscr. R μωυσέωσ AR ἔσηι φησὶν VP ἔναντι P 20 τοῦ θεοῦ σου om. V 21 κατασεμνύνοντεσ AR ἐπισεμνύνοντεσ VP 24 θεοῦ AR τοῦ θεοῦ VP οὐδὲ] καὶ V 25 ἡμᾶσ AR 26 τε om. V 27 τῶν om. P καὶ κεκρυμμένων VAΛ 28 εἴπερ V 29 λόγοι R γὰρ ὡσ P ἐν αἰνίγματι P

Iob 12, 22 μὴν ἐκ σκότους ἀποκαλύπτων βαθέα τὸ τῆς ἀληθείας ἐνίησι φῶς τοῖς ἐθέλουσιν ὀρθῶς τὴν περὶ αὐτοῦ γνῶσιν ἐλεῖν. χρὴ τοιγαροῦν ἡμᾶς θεῶι προσπίπτειν λέγοντας· φώ-
Ps. 12, 4 τισον τοὺς ὀφθαλμούς μου, μήποτε ὑπνώσω εἰς θάνατον. τὸ γὰρ τῆς ὀρθότητος τῶν ἱερῶν δογμάτων ἀπολισθεῖν εἴη ἂν ἕτερον οὐδὲν πλὴν ὅτι σαφῶς τὸ ὑπνοῦν εἰς θάνατον· ἐκπίπτομεν δὲ τῆς ὀρθότητος, ὅτε μὴ ταῖς θεοπνεύστοις ἑπόμεθα γραφαῖς, ἀλλ' ἢ προλήψεσιν οὐκ ἐπαινουμέναις ἢ κατὰ πρόσκλισιν τὴν πρός γέ τινας οὐκ ὀρθοποδοῦντας περὶ τὴν πίστιν τὰς τῆς ἑαυτῶν διανοίας ἀπονέμοντες ῥοπὰς καὶ πρό γε
PG 293 4 τῶν ἄλλων τὰς ἑαυτῶν ψυχὰς ἀδικοῦντες ἁλισκόμεθα. πειστέον δὴ οὖν τοῖς τῆς ὀρθότητος ἐπιμεληταῖς πρὸς τὸ τοῖς ἱεροῖς κηρύγμασι δοκοῦν, ἃ καὶ διὰ πνεύματος ἁγίου
Lc. 1, 2 παρέδοσαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου, ὧν τοῖς ἴχνεσιν ἀκολουθεῖν ἐσπούδασαν καὶ οἱ πανεύφημοι πατέρες ἡμῶν οἱ τὸ σεπτόν τε καὶ οἰκουμενικὸν τῆς πίστεως ὁρισάμενοι σύμβολον ἐν τῆι Νικαέων συναγηγερμένοι κατὰ
Mt. 18, 20 καιρούς. οἷς δὴ καὶ αὐτὸς σύνεδρος ἦν ὁ Χριστός· ἔφη γὰρ ὅτι ὅπου ἐὰν ὦσι δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμὶ ἐν μέσωι αὐτῶν. ὅτι γὰρ πρόεδρος ἦν ἀοράτως τῆς ἁγίας καὶ μεγάλης ἐκείνης συνόδου Χριστός, πῶς ἔστιν ἀμφιβάλλειν; κρηπὶς οἷά τις καὶ θεμέλιος ἀρραγὴς καὶ ἀκράδαντος τοῖς ἀνὰ πᾶσαν τὴν γῆν κατεβάλλετο τῆς ἀκραιφνοῦς τε καὶ ἀμωμήτου πίστεως ἡ ὁμολογία· εἶτα πῶς ἀπῆν ὁ
1 Cor. 3, 11 Χριστός, εἴπερ ἐστὶν αὐτὸς ὁ θεμέλιος κατὰ τὴν τοῦ σοφωτάτου Παύλου φωνήν; θεμέλιον γὰρ ἄλλον, φησίν, οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός. τὴν τοίνυν ἐκτεθεῖσαν παρ' ἐκείνων καὶ ὁρισθεῖσαν πίστιν τετηρήκασιν ἀδιαβλήτως καὶ οἱ μετ' αὐτοὺς γεγονότες ἅγιοι πατέρες καὶ ποιμένες λαῶν καὶ φωστῆρες ἐκκλησιῶν καὶ εὐτεχνέστατοι μυσταγωγοί. ἐλλελοιπὸς δὲ ὅλως οὐδὲν ἢ γοῦν παρεωραμένον τῶν ἀναγκαίων εἰς ὄνησιν κατίδοι τις ἂν ἐν ταῖς τῶν πατέρων ὁμολογίαις ἢ γοῦν ἐκθέσεσιν ἃς πεποίηνται περὶ τῆς ὀρθῆς καὶ ἀκαπηλεύτου πίστεως εἰς ἔλεγχον μὲν καὶ ἀνατροπὴν αἱρέσεως ἁπάσης καὶ δυσσεβοῦς ἀθυροστομίας, εἰς βεβαίωσιν δὲ καὶ ἀσφά-
2 Petr. 1, 19 λειαν τοῖς ὀρθοποδοῦσι περὶ τὴν πίστιν, οἷς ὁ λαμπρὸς ἀνέτειλεν ἑωσφόρος καὶ διηύγασεν ἡ ἡμέρα κατὰ τὰς γραφὰς καὶ τὸ τῆς ἀληθείας ἐνίησι φῶς ἡ διὰ τοῦ ἁγίου πνεύματος χάρις.

Ἐπειδὴ δὲ γέγραφεν ὑμῶν ἡ εὐλάβεια ὡς παροχετεύουσι τινὲς ἐφ' ἃ μὴ προσῆκεν, τὰ ἐν τῶι συμβόλωι, τῶν ἐν αὐτῶι ῥημάτων τὴν δύναμιν ἢ οὐ συνιέντες ὀρθῶς ἢ καὶ ἐκ τοῦ προσκεκλίσθαι ταῖς τινων συγγραφαῖς εἰς ἀδόκιμον ἀποφερόμενοι νοῦν, εἶτα χρῆναι
L III 1183 κἀμὲ τοὺς περὶ τούτων αὐτῶν πρὸς ὑμᾶς ποιήσασθαι λόγους καὶ διερμηνεῦσαι σαφῶς τὴν τῆς ἐκθέσεως δύναμιν, δεῖν ὠιήθην ἅπερ εἰς νοῦν ἥκει τὸν ἐμόν, ἐπιδρομάδην εἰπεῖν.
M V 388 ἑψόμεθα δὲ πανταχοῦ ταῖς τῶν ἁγίων πατέρων ὁμολογίαις τε καὶ δόξαις, ὀρθῶς καὶ
A 77 ἀπροσκλινῶς βασανίζοντες τὰ παρ' αὐτῶν εἰρημένα. ἤδη μὲν γὰρ καὶ ἡ ἁγία σύνοδος, ἡ κατά γε φημὶ τὴν Ἐφεσίων συνειλεγμένη κατὰ βούλησιν θεοῦ, τῆς Νεστορίου κακο-

---

28—p. 51, 18 adferuntur in gestis Concilii quinti [LV 468. 469 = M VIIII 246. 247] 34—p. 51, 9 adferuntur in gestis Concilii quinti [L V 479. 565 = M VIIII 260. 372]

V, P [= hk], ARΛ

1 βαθέσ A 2 τὴν om. P 3—5 τὸ γὰρ — θάνατον om. P 5 ἑπόμεθα VPΛ ἑπόμενοι AR 6 ἀλλ' ἢ VAR ἀλλὰ P πρόσκλησιν PR, corr. R *exhortationibus* Λ 7 ἀποπέμποντεσ V superscr. νέμον *tollimus* Λ 8 πειστέον VAR *alias* πειστέον Λ in mg. ἰτέον kΛ ἱστέον h δὴ οὖν] δὲ R τῆσ V^{corr}P om. VAR 11 τε om. R 12 σύμβουλον P ἀγηγερμένοι P 14 ἐμμέσω R 15 ἐκείνησ om. P χσ̄ kA ὁ χσ̄ VhR 16 κρηπὶσ γὰρ PΛ 17 ἀνεβάλλετο μᾶλλον δὲ κατεβάλλετο V τε AR om. VP 18 ἐστὶν ARΛ ἦν VP 19 φησίν om. PΛ 20 ἰσ̄ ὁ χσ̄ V 22 ἐκκλησίασ P δὲ VARΛ γὰρ P ὅλως om. P 27 πνσ̄ PARΛ βαπτίσματοσ V 28 ἡ ὑμῶν P 29 ἁγίω συμβόλω P γραμμάτων, in mg. γρ. ῥημάτων V 30 προσκεκλῆσθαι P προσκεκλεῖσθαι R ποιήσθαι R 35 τὴν] τῶν V κατὰ — τῆς] καταβαλλοῦσα θῦ χάριτι τὰσ τοῦ P 35/p. 51, 1 κακοδοξίασ καὶ κενοφωνίασ P

δοξίας ὁσίαν καὶ ἀκριβῆ κατενεγκοῦσα τὴν ψῆφον καὶ τὰς τῶν ἑτέρων κενοφωνίας, οἵπερ ἂν ἢ γένοιντο μετ' αὐτὸν ἢ καὶ πρὸ αὐτοῦ γεγόνασιν, τὰ ἴσα φρονοῦντες αὐτῶι καὶ εἰπεῖν ἢ συγγράψαι τολμήσαντες, συγκατέκρινεν ἐκείνωι, τὴν ἴσην αὐτοῖς ἐπιθεῖσα δίκην. καὶ γὰρ ἦν ἀκόλουθον, ἑνὸς ἅπαξ ἐπὶ ταῖς οὕτω βεβήλοις κενοφωνίαις κατεγνωσμένου, μὴ καθ' ἑνὸς μᾶλλον ἐλθεῖν, ἀλλ', ἵν' οὕτως εἴπω, κατὰ πάσης αὐτῶν τῆς αἱρέσεως ἤτοι τῆς συκο- 5 PG 296
φαντίας, ἧς πεποίηνται κατὰ τῶν εὐσεβῶν τῆς ἐκκλησίας δογμάτων, δύο πρεσβεύοντες υἱοὺς καὶ διατέμνοντες τὸν ἀμέριστον καὶ ἀνθρωπολατρείας ἔγκλημα καταγράφοντες οὐρανοῦ τε καὶ γῆς· προσκυνεῖ γὰρ μεθ' ἡμῶν ἡ τῶν ἄνω πνευμάτων ἁγία πληθὺς τὸν ἕνα
6 κύριον Ἰησοῦν Χριστόν. ὑπὲρ δὲ τοῦ μὴ ἀγνοεῖσθαι παρά τισι τοῦ συμβόλου τὴν δύναμιν, ὃ καὶ ἐν ἁπάσαις ταῖς ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις καὶ κρατεῖ καὶ κεκήρυκται, 10
πατέρων ἁγίων δόξας ἢ γοῦν ἐκθέσεις ἐνέταξα τοῖς αὐτόθι πεπραγμένοις ὑπομνήμασιν, ἵν' A 75
εἰδεῖεν οἱ ἐντυγχάνοντες αὐταῖς τίνα προσήκει νοεῖσθαι τρόπον τῶν ἁγίων πατέρων τὴν ἔκθεσιν ἤτοι τὸ ἀκραιφνὲς τῆς ὀρθῆς πίστεως σύμβολον. οἶμαι δὲ τὴν ἀγάπην ὑμῶν καὶ ἐντυχεῖν τῶι βιβλίωι ὃ περὶ τούτων αὐτῶν συγγεγράφαμεν. αὐτὸ δὲ καὶ νῦν, ὡς ἔφην, ἐπὶ λέξεως αὐτῆς παραθεὶς τὸ σύμβολον, τετράψομαι σὺν θεῶι πρός γε τὸ δεῖν 15
ἕκαστα τῶν ἐν αὐτῶι κειμένων διερμηνεῦσαι σαφῶς. γεγραφότα γὰρ οἶδα τὸν παναοίδιμον Πέτρον· ἕτοιμοι ἀεὶ πρὸς ἀπολογίαν παντὶ τῶι αἰτοῦντι ὑμᾶς λόγον 1 Petr. 3, 15
περὶ τῆς ἐν ὑμῖν ἐλπίδος.

7 Πιστεύομεν εἰς ἕνα θεὸν πατέρα παντοκράτορα, πάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητήν· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ, γεννηθέντα ἐκ τοῦ 20
πατρὸς μονογενῆ, τουτέστιν ἐκ τῆς οὐσίας αὐτοῦ, θεὸν ἐκ θεοῦ, φῶς ἐκ φωτός, θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῶι πατρί, δι' οὗ τὰ πάντα ἐγένετο τά τε ἐν τῶι οὐρανῶι καὶ τὰ ἐν τῆι γῆι, τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα καὶ σαρκωθέντα καὶ ἐνανθρωπήσαντα, παθόντα καὶ ἀναστάντα τῆι τρίτηι ἡμέραι, ἀνελθόντα εἰς οὐρανούς, ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς· 25
καὶ εἰς τὸ πνεῦμα το ἅγιον.

Τοὺς δὲ λέγοντας >ἦν ποτε ὅτε οὐκ ἦν< καὶ >πρὶν γεννηθῆναι οὐκ ἦν< καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο, ἢ ἐξ ἑτέρας ὑποστάσεως ἢ οὐσίας φάσκοντας εἶναι ἢ τρεπτὸν ἢ ἀλλοιωτὸν τὸν υἱὸν τοῦ θεοῦ, τούτους ἀναθεματίζει ἡ ἀποστολικὴ καὶ καθολικὴ ἐκκλησία.

8 Πιστεύειν ἔφασαν εἰς ἕνα θεόν, ἐκ βάθρων ὥσπερ αὐτῶν κατασείοντες τὰς Ἑλλήνων 30
δόξας, οἳ φάσκοντες εἶναι σοφοὶ ἐμωράνθησαν καὶ ἤλλαξαν τὴν δόξαν τοῦ Rom. 1, 22 23
ἀφθάρτου θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου καὶ πετεινῶν καὶ I. III 1186
τετραπόδων καὶ ἑρπετῶν, προσεκύνησαν δὲ καὶ τῆι κτίσει παρὰ τὸν κτίσαντα Rom. 1, 25
καὶ τοῖς τοῦ κόσμου στοιχείοις δεδουλεύκασι, πολλοὺς καὶ ἀναριθμήτους ὑποτοπήσαντες Gal. 4, 3

V, P [= hk], ARΛ

1 κενοφωνίασ V^{corr}PARΛ Conc. καινοφωνίασ V εἵπερ P οἵσπερ V 2 ἢ γένοιντο ARΛ ἢ γένοιτο V γένοιντο P 3 συγγράψαι scripsi *componere* Λ συνάψαι AR γράψαι VP *scribere* Conc. 6 οἱ δύο P 7 ἀνθρωπολατρίασ VP ἐγκλήματα P 7/8 οὐρανοῦ — γῆς] οὐκ ὀρθῶσ V 8 καὶ ἡ PΛ ἁγία om. P 8/9 τὸν — Χριστόν om. P 9 ὑπὲρ — μὴ] ὥστε μηδὲ P 10 πάσαισ P τὰσ τῶν ἁγίων $\overline{πρων}$ P 11 ἢ γοῦν ἐκθέσεις om. R ἐνέταξε PΛ om. R πεποιημένοισ AR 13 οἶδα P 14 ἐντυγχάνειν P ὧ VA συγγεγράφασιν P 15 τρέψομαι P 17 ἀεὶ γίνεσθε P γίνεσθε superscr. R *sitis semper* Λ 18 ἐλπίδοσ AR οὔσησ ἐλπίδοσ VP inscriptio symboli deest in VΛ τὸ σύμβολον AhR τὸ σύμβολον τῆσ πίστεωσ k 20/21 γεννηθέντα — πατρὸς] τὸν VP 21—26 τουτέστιν — ἅγιον] καὶ τὰ ἑξῆσ V 24 κατελθόντα ἐκ τῶν οὐρανῶν P σαρκωθέντα ἐνανθρωπήσαντα P 25 ἡμέραι om. A καὶ ἀνελθοντα P τοὺσ οὐρανοὺσ P 27 λέγοντασ ὅτι V 29 τούτους om. P 30/31 πιστεύειν — δόξας om VP 30 ἔφασκον P 31 ἠλλάξαντο V 34 ὑποτοπήσαντεσ VP ὑποπτεύσαντεσ AR

εἶναι τοὺς θεούς. οὐκοῦν εἰς ἀναίρεσιν τῆς πολυθέου πλάνης ἕνα θεὸν ὀνομάζουσιν,
M V 389 ἑπόμενοι πανταχοῦ τοῖς ἱεροῖς γράμμασι καὶ τῆς ἀληθείας τὸ κάλλος τοῖς ἀνὰ πᾶσαν τὴν
ὑφ' ἥλιον κατασημαίνοντες. τοῦτο καὶ ὁ πάνσοφος ἔδρα Μωυσῆς, σαφέστατα λέγων·
PG 297 ἄκουε Ἰσραήλ· κύριος ὁ θεός σου κύριος εἷς ἐστιν. καὶ αὐτὸς δέ πού φησιν
Deut. 6, 4
Exod. 20, 3 ὁ τῶν ὅλων γενεσιουργὸς καὶ δεσπότης· οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ· 5
Ies. 44, 6 ναὶ μὴν καὶ διὰ φωνῆς τῶν ἁγίων προφητῶν· ἐγὼ θεὸς πρῶτος καὶ ἐγὼ μετὰ
ταῦτα καὶ οὐκ ἔστιν πάρεξ ἐμοῦ. ἄριστα δὴ οὖν οἱ πανεύφημοι πατέρες κρηπῖδα
τῇ πίστει καταβαλλόμενοι τὸ χρῆναι φρονεῖν καὶ λέγειν ὡς εἷς καὶ μόνος ἐστὶ φύσει τε
καὶ ἀληθείαι θεός, πιστεύειν ἔφασαν εἰς ἕνα θεόν.

9 Προσονομάζουσι δὲ αὐτὸν καὶ πατέρα παντοκράτορα, ἵνα συνεισφέρηται τῶι πατρὶ 10
δήλωσις υἱοῦ, δι' ὃν ἐστι πατήρ, συνυφεστῶτός τε καὶ συνυπάρχοντος ἀεί. οὐδὲ γὰρ
γέγονεν ἐν χρόνωι πατήρ, ἀλλ' ἦν ὅ ἐστιν, ἀεί, τουτέστι πατήρ, παντὸς ὑπάρχων ἐπέκεινα
γενητοῦ καὶ ἐν ὑπερτάτοις ὑψώμασιν. τὸ γάρτοι κρατεῖν καὶ κυριεύειν τῶν ὅλων
10 λαμπρὰν οὕτω καὶ ἀπαράβλητον αὐτῶι προσνέμει τὴν δόξαν. παρ' αὐτοῦ δέ φασι
δεδημιουργῆσθαι τὰ πάντα τά τε ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, ἵνα κἀντεῦθεν τὸ 15
ἀσυμφυὲς αὐτοῦ πρὸς πᾶσαν κτίσιν νοοῖτο· ἀσύγκριτος γὰρ ἡ διαφορὰ ποιητοῦ καὶ ποιή-
ματος, ἀγενήτου καὶ γενητοῦ φύσεώς τε τῆς ὑπὸ Ζυγὸν καὶ δουλείαν καὶ τῆς τοῖς δεσπο-
τικοῖς ἀξιώμασιν ἐξωραισμένης θεοπρεπῆ τε καὶ ὑπερκόσμιον λαχούσης τὴν δόξαν.

11 Υἱοῦ γε μὴν διαμνημονεύσαντες, ἵνα μὴ δοκοῖεν ὄνομα κοινὸν προσνέμειν αὐτῶι,
ὅπερ ἂν ἴσως τάττοιτο καὶ ἐφ' ἡμῶν αὐτῶν (κεκλήμεθα γὰρ καὶ ἡμεῖς υἱοί), νουνεχέστατα 20
προσεπάγουσι τὰ δι' ὧν ἔστιν ἰδεῖν τῆς ἐνούσης αὐτῶι φαιδρότητος φυσικῆς τὸ ὑπὲρ
κτίσιν ἀξίωμα. γεγεννῆσθαι γὰρ καὶ οὐ πεποιῆσθαί φασιν, ἀσύντακτον μὲν οὐσιωδῶς
τῆι κτίσει διὰ τοῦ μὴ πεποιῆσθαι νοοῦντες αὐτόν, ἐκφῦναι δὲ μᾶλλον διισχυριζόμενοι τῆς
Ioh. 1, 1 οὐσίας τοῦ θεοῦ καὶ πατρὸς ἀχρόνως τε καὶ ἀπερινοήτως· ἦν γὰρ ὁ λόγος ἐν ἀρχῆι.
εἶτα τῆς ὠδῖνος τὸ γνήσιον (ἀνθρωπίνως δὲ καὶ τοῦτο εἰρήσθω διὰ τὸ χρήσιμον) εὖ μάλα 25
κατασημαίνοντες, θεὸν ἔφασαν ἐκ θεοῦ γεγεννῆσθαι τὸν υἱόν· ἔνθα γὰρ ὅλως γέννησις
ἀληθής, ἐκεῖ που πάντως ἔποιτο ἂν τὸ χρῆναι νοεῖν καὶ λέγειν οὐκ ἀλλότριον τῆς οὐσίας
τοῦ τεκόντος τὸ τεχθέν, ἀλλ' ἴδιον αὐτῆς, ὅτι καὶ ἐξ αὐτῆς κατὰ τὸν αὐτῆι πρέποντά τε
καὶ ἐοικότα λόγον. οὐ γὰρ κατὰ σῶμα τέξεται τὸ ἀσώματον, οὕτω δὲ μᾶλλον ὡς φῶς
ἐκ φωτός, ἵν' ἐν τῶι ἀπαστράψαντι φωτὶ τὸ ἀπαυγασθὲν νοοῖτο φῶς, καὶ ἐξ αὐτοῦ κατὰ 30
πρόοδον ἀπόρρητόν τε καὶ ἄφραστον καὶ ἐν αὐτῶι καθ' ἕνωσιν καὶ ταυτότητα φυσικήν.
οὕτω γὰρ εἶναι φαμὲν ἐν μὲν τῶι πατρὶ τὸν υἱόν, ἐν δὲ τῶι υἱῶι τὸν πατέρα· ὑπογράφει
L III 1187 γὰρ ὁ υἱὸς ἐν ἰδίαι φύσει τε καὶ δόξηι τὸν ἑαυτοῦ γεννήτορα. καὶ γοῦν ἔφη σαφῶς
Ioh. 14, 10.9 πρὸς ἕνα τῶν ἁγίων μαθητῶν· Φίλιππος δὲ οὗτος ἦν· οὐ πιστεύεις ὅτι ἐγὼ ἐν τῶι
Ioh. 10, 30 πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί ἐστιν; ὁ ἑωρακὼς ἐμὲ ἑώρακεν τὸν πατέρα· ἐγὼ 35
καὶ ὁ πατὴρ ἓν ἐσμέν. οὐκοῦν ὁμοούσιος ὁ υἱὸς τῶι πατρί. ταύτηι τοι καὶ
PG 300 θεὸς ἀληθινὸς ἐκ θεοῦ ἀληθινοῦ γεγεννῆσθαι πιστεύεται. καὶ τὸ μὲν τῆς γεννήσεως
Ies. 1, 2 ὄνομα τεθὲν εὑρήσομεν καὶ ἐπὶ τῶν κτισμάτων, κατά γε φημὶ τὸ υἱοὺς ἐγέννησα καὶ

V, P [= hk], ARΛ

1 τοὺς om. R ὀνομάζοντασ R, ασ in εσ corr. 3 ὑφηλίω R μωσῆσ AR 6 ναὶ VAR καὶ P 8 τε om. VP 10 ὀνομάζουσι P δὲ om. AΛ πατέρα] θν̄ R, superscr. πρᾱ 11 ὃν VPA οὗ R συνεφεστῶτοσ PR, corr. R ἀεὶ οὐδὲ γὰρ VAΛ εἴπερ οὐ PR 13 γεννητοῦ VA 14 αὐτῆ V τήν om. P 15 τοῖς om. AR τῆς om. A κἂν ταῦθα V 16 πᾶσαν τὴν AR 17 ἀγεννήτου καὶ γεννητοῦ VAΛ ζυγὰ V δουλείασ VP 22 γὰρ — πεποιῆσθαι om. P 23 τοῦ] τὸ V ἰσχυριζόμενοι P 24 θεοῦ καὶ om. P ἦν] καὶ P 26 κατασημαίνοντοσ R γεγενῆσθαι A 28 τε om. R 29 τὸ σῶμα AR 30 ἀπαυγασθὲν ARΛ ἀπαυγασθὲν ἔνθεν V ἀπαύγασμα ἔνθεον P 31 ἄρρητόν A ταυτῶ P 32 γράφει P 33 ἰδία VARΛ ἑαυτῶ P 34 μαθητῶν αὐτοῦ P δὲ om. PΛ 35 καὶ ὁ πατὴρ δὲ P 36 καὶ² om. P 37 γεγενῆσθαι A 38 τὸ] τοο R γεγέννηκα A

ὕψωσα περὶ τῶν ἐξ αἵματος Ἰσραὴλ εἰρημένον παρὰ θεοῦ· ἀλλ' ἐν χάριτος τάξει τὴν τοιάνδε κλῆσιν ἀποκερδαίνει τὸ ποιηθέν, ἐπὶ δέ γε τοῦ κατὰ φύσιν υἱοῦ καταχρηστικῶς μὲν τῶν τοιούτων οὐδέν, ἀληθῆ δὲ πάντα, καὶ διὰ τοῦτο μόνος ἐκ πάντων ἐγώ εἰμι, M V 39²
φησίν, ἡ ἀλήθεια· ὥστε κἂν γέννησιν κἂν υἱότητά τις ἐπ' αὐτοῦ λέγῃ, ψευδοεπήσειεν Ioh. 14, 6
ἂν οὐδαμῶς· αὐτὸς γάρ ἐστιν ἡ ἀλήθεια. ἀσφαλίζονται τοίνυν τὰς ἡμετέρας ψυχὰς οἱ 5
πανεύφημοι μυσταγωγοί, πατέρα καὶ υἱὸν πανταχοῦ καὶ γέννησιν ὀνομάζοντες καὶ θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ καὶ φῶς ἐκ φωτὸς ἀπαστράψαι λέγοντες, ἵνα καὶ τὸ ἀσώματον καὶ τὸ ἁπλοῦν ἡ γέννησις ἔχοι καὶ τὸ ἐξ αὐτοῦ γε καὶ ἐν αὐτῷι καὶ ἑκάτερος ὑπάρχων ἰδιοπροσώπως νοῆται. πατὴρ γάρ ἐστιν ὁ πατὴρ καὶ οὐχ υἱός, καὶ υἱὸς ὁ τεχθεὶς καὶ οὐ πατήρ, καὶ ἐν ταυτότητι φύσεως ἴδιον ἑκατέρου τὸ εἶναι ὅ ἐστιν. 10

12 Ἁπάντων δὲ ποιητὴν ὁρατῶν τε καὶ ἀοράτων ἀποφήναντες τὸν πατέρα, δι' υἱοῦ τὰ πάντα δεδημιουργῆσθαί φασιν, οὐ τὸ μεῖον ἐν δόξῃ καθάπερ τινὰ κλῆρον αὐτῷι πρέποντα προσνενεμηκότες, πολλοῦ γε καὶ δεῖ· ποῦ γὰρ ὅλως ἐστὶ τὸ ἔλαττον ἢ γοῦν τὸ μεῖζον ὁρᾶν ἐν ταυτότητι τῆς οὐσίας; ἀλλ' ὡς τοῦ θεοῦ καὶ πατρὸς οὐ πεφυκότος ἑτέρως ἐργάζεσθαί τι καὶ εἰς τὸ εἶναι καλεῖν πλὴν ὅτι δι' υἱοῦ ἐν πνεύματι ὡς διὰ δυνάμεως καὶ σοφίας τῆς 15
ἑαυτοῦ. γέγραπται γὰρ ὅτι τῶι λόγωι τοῦ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν Ps. 32, 6
καὶ τῶι πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν. ναὶ μὴν
καὶ ὁ πάνσοφος Ἰωάννης ἐν ἀρχῆι ἦν ὁ λόγος εἰπὼν καὶ ὁ λόγος ἦν πρὸς τὸν Ioh. 1, 1. 3
θεὸν καὶ θεὸς ἦν ὁ λόγος, προσεπήνεγκεν ἀναγκαίως ὅτι πάντα δι' αὐτοῦ ἐγένετο
καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν. 20

13 Ὁμοούσιον τοίνυν ἰσοκλεᾶ τε καὶ ἰσουργὸν τῶι πατρὶ τὸν υἱὸν ἀποδεδειχότες, διαμέμνηνται χρησίμως τῆς ἐνανθρωπήσεως αὐτοῦ καὶ τῆς μετὰ σαρκὸς οἰκονομίας διατρανοῦσι τὸ μυστήριον, τελεωτάτην ἔσεσθαι καὶ ἀπροσδεᾶ διὰ τούτου τῆς πίστεως τὴν παράδοσιν εὖ μάλα διεγνωκότες. οὐ γάρτοι μόνον ἀπόχρη τοῖς πιστεύουσιν εἰς αὐτὸν τὸ διακεῖσθαι καὶ φρονεῖν ὡς θεὸς ἐκ θεοῦ γεγέννηται τοῦ πατρὸς ὁμοούσιός τε αὐτῷι καὶ 25
χαρακτὴρ ὑπάρχων τῆς ὑποστάσεως αὐτοῦ, ἀλλ' ἦν ἀναγκαῖον εἰδέναι πρὸς τού- Hebr. 1, 3
τοις ὡς τῆς ἁπάντων ἕνεκα σωτηρίας καὶ ζωῆς καθεὶς ἑαυτὸν εἰς κένωσιν ἔλαβε δούλου Phil. 2, 7
μορφὴν καὶ προῆλθεν ἄνθρωπος, γεννηθεὶς κατὰ σάρκα ἐκ γυναικός. διὰ τοῦτό φασι
τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα σαρκωθέντα
ἐνανθρωπήσαντα. ἄθρει δὲ ὅπως ἐν κόσμωι τῶι δέοντι καὶ ἐν τάξει τῆι πρεπωδεστάτηι 30 PG 30₁
πρόεισιν ὁ λόγος αὐτοῖς. κατελθεῖν γὰρ ἔφασαν, ἵνα διὰ τούτου τὸν ἐπάνω πάντων
ἐννοῶμεν φύσει τε καὶ δόξῃ καὶ τοῦτον καταφοιτήσαντα δι' ἡμᾶς, εἰς τὸ θελῆσαι φημὶ L III 1190
τὴν πρὸς ἡμᾶς ὁμοίωσιν ὑπελθεῖν καὶ ἐπιλάμψαι τῶι κόσμωι μετὰ σαρκός. γέγραπται
γὰρ ἐν βίβλωι ψαλμῶν· ὁ θεὸς ἐμφανῶς ἥξει, ὁ θεὸς ἡμῶν, καὶ οὐ παρασιω- Ps. 49, 3
πήσεται. νοηθείη δ' ἄν, εἴπερ ἕλοιτό τις, καὶ καθ' ἕτερον τρόπον ἡ κάθοδος, οἷον ἐξ 35
οὐρανοῦ καὶ ἄνωθεν ἢ καὶ ἀπ' αὐτοῦ τοῦ πατρός. φωναῖς γὰρ ταῖς καθ' ἡμᾶς καὶ τὰ M V 393
ὑπὲρ νοῦν καταδηλοῦν ἔθος τοῖς ἱεροῖς γράμμασι. καὶ γοῦν ἔφη τοῖς ἁγίοις προσδιαλεγόμενος μαθηταῖς· ἐξῆλθον ἐκ τοῦ πατρὸς καὶ ἐλήλυθα εἰς τὸν κόσμον· Ioh. 16, 28
πάλιν ἀφίημι τὸν κόσμον καὶ πορεύομαι πρὸς τὸν πατέρα. καὶ πάλιν·

V, P [= hk], ARΛ

2 τοιαὐτην P 4 αὐτῶ P λέγοι VA λέγει R ψευδοεπήσειεν A ψευδοεπήσει R
ψεῦδοσ ἐπήσειεν V ψεῦδοσ ἐπάσειεν P 6 πατέρεσ R 8 γε VAR τὲ P ἕτεροσ PΛ
9 ἑτεροπροσώπωσ P 11 υἱοῦ ed. Rom Λ οὗ VPAR 15 εἰσ τό VAR αὐτό P τῆς om P
16 τοῦ om. VP 17 ναὶ VAR καὶ P 19 ὅτι om. VP 20 οὐδὲ ἓν R οὐδέν VPA
23 τελειοτάτην P 24 γάρ τι P 28 φασὶ PAR φασὶ τὴν γενεὰν αὐτοῦ τίσ διηγήσεται V
30 καὶ τάξει P 31 πάντων κύριον V 32 νοῶμεν P πάλιν τοῦτον V ἐθελῆσαι VP
34 βιβλίω P 34/35 παρασιωπηθήσεται A 38 ἀπὸ V 39 τὸν κόσμον ἀφίημι A πατέρα
VARΛ πέμψαντά με P

Ioh. 8, 23 ὑμεῖς ἐκ τῶν κάτω ἐστέ, ἐγὼ ἐκ τῶν ἄνω εἰμί. ἔτι τε πρὸς τούτοις· ἐγὼ
Ioh. 8, 42 Ioh. 3, 31 ἐκ τοῦ πατρὸς ἐξῆλθον καὶ ἥκω. γράφει δὲ καὶ ὁ θεσπέσιος Ἰωάννης· ὁ ἄνωθεν
ἐρχόμενος ἐπάνω πάντων ἐστί. καίτοι γὰρ ὑπάρχων ἐν ὑπερτάταις ὑπεροχαῖς
καὶ ἐπάνω πάντων οὐσιωδῶς μετὰ τοῦ ἰδίου πατρός, ἅτε δὴ καὶ ταυτότητι φύσεως τῆς
Phil. 2, 6-8 πρὸς αὐτὸν στεφανούμενος, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσεν μορφὴν δούλου λαβὼν ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος ἐταπείνωσεν ἑαυτόν. ἐπειδὴ γὰρ θεὸς ὢν ὁ λόγος τὴν ἡμῶν ἠμπέσχετο σάρκα, μεμένηκε δὲ καὶ οὕτω θεός, ταύτῃ τοι θεὸν ὁ ἱερώτατος Παῦλος ἐν ὁμοιώματι ἀνθρώπων γενέσθαι φησὶν εὑρεθῆναί τε ὡς ἄνθρωπον σχήματι. θεὸς γὰρ ἦν, ὡς ἔφην, ἐν εἴδει τῷι καθ' ἡμᾶς καὶ οὐκ ἄψυχόν γε τὴν σάρκα λαβών, καθὰ φρονεῖν ἔδοξε τισὶ τῶν αἱρετικῶν, ἐψυχωμένην δὲ μᾶλλον ψυχῇι νοερᾶι. αὐτὸν οὖν ἄρα τὸν ἐκ τῆς οὐσίας τοῦ πατρὸς προελθόντα λόγον καὶ υἱὸν μονογενῆ, τὸν θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ, τὸ φῶς τὸ ἐκ τοῦ φωτός, τὸν δι' οὗ τὰ πάντα ἐγένετο, κατελθεῖν ἔφασαν οἱ πατέρες σαρκωθῆναί τε καὶ ἐνανθρωπῆσαι, τουτέστιν ὑπομεῖναι γέννησιν τὴν κατὰ σάρκα ἐκ γυναικὸς καὶ προελθεῖν ἐν εἴδει τῷι καθ' ἡμᾶς· τοῦτο γὰρ τὸ ἐνανθρωπῆσαί ἐστιν.

14 Εἷς οὖν ἄρα κύριος Ἰησοῦς Χριστός, αὐτὸς ὁ μονογενὴς τοῦ πατρὸς λόγος γενόμενος ἄνθρωπος, οὐκ ἀποφοιτήσας δὲ τοῦ εἶναι ὃ ἦν· ἀπομεμένηκε γὰρ καὶ ἐν ἀνθρωπότητι θεὸς καὶ ἐν δούλου μορφῇι δεσπότης καὶ ἐν κενώσει τῆι καθ' ἡμᾶς τὸ πλῆρες ἔχων θεικῶς καὶ ἐν ἀσθενείαι σαρκὸς τῶν δυνάμεων κύριος καὶ ἐν τοῖς τῆς ἀνθρωπότητος μέτροις ἴδιον ἔχων τὸ ὑπὲρ πᾶσαν τὴν κτίσιν. ἃ μὲν γὰρ ἦν πρὸ σαρκός, ἀναποβλήτως ἔχει, θεὸς γὰρ ἦν καὶ υἱὸς ἀληθινὸς μονογενής τε καὶ φῶς, ζωὴ καὶ δύναμις· ἃ δέ γε οὐκ ἦν, ταῦτα προσειληφὼς ὁρᾶται διὰ τὴν οἰκονομίαν. ἴδια γὰρ ἐποιήσατο τὰ τῆς σαρκός· οὐ γὰρ ἦν ἑτέρου τινός, αὐτοῦ δὲ μᾶλλον ἡ ἀφράστως αὐτῶι καὶ ἀπορρήτως ἑνωθεῖσα σάρξ.
PG 304 οὕτω καὶ ὁ σοφὸς Ἰωάννης σάρκα φησὶ γενέσθαι τὸν λόγον· γέγονε δὲ σὰρξ οὐ κατὰ
Ioh. 1, 14 μετάστασιν ἢ τροπὴν ἢ ἀλλοίωσιν εἰς τὴν τῆς σαρκὸς φύσιν μεταβαλὼν οὔτε μὴν φυρμὸν ἢ σύγκρασιν ἢ τὴν θρυλουμένην παρὰ τισὶ συνουσίωσιν ὑπομείνας (ἀμήχανον γάρ, ἐπείπερ ἐστὶ κατὰ φύσιν ἀτρέπτως τε καὶ ἀναλλοιώτως ἔχων), σάρκα δὲ μᾶλλον, ὡς ἔφην, ἐψυχωμένην ψυχῇι νοερᾶι ἐκ παρθενικοῦ καὶ ἀχράντου σώματος λαβὼν καὶ ἰδίαν αὐτὴν ποιησάL III 1191 μενος. ἔθος δὲ τῇι θεοπνεύστωι γραφῇι καὶ ἀπὸ μόνης ἔσθ' ὅτε τῆς σαρκὸς ὅλον ἄνIoel 2, 28 θρωπον ὑποδηλοῦν. ἐκχεῶ γάρ φησιν ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα. οὐ γάρτοι σαρξὶν οὐκ ἐψυχωμέναις ψυχῇι νοερᾶι τὴν τοῦ πνεύματος χάριν ἐνήσειν θεὸς ἐπηγγέλλετο, ἀνθρώποις δὲ μᾶλλον τοῖς συνεστῶσιν ἐκ ψυχῆς καὶ σώματος.

15 Οὐκοῦν οὐκ ἀποδραμὼν ὁ λόγος τοῦ εἶναι ὃ ἦν, γέγονεν ἄνθρωπος, ἀλλὰ καὶ ἐν εἴδει τῷι καθ' ἡμᾶς πεφηνὼς ἀπομεμένηκε λόγος καὶ οὐ πρότερον ἄνθρωπος νοεῖται Χριστός,
M V 396 εἶθ' οὕτως προελθὼν εἰς τὸ εἶναι θεός, ἀλλὰ θεὸς ὢν ὁ λόγος γέγονεν ἄνθρωπος, ἵν' ἐν ταυτῷι νοῆται θεὸς ὑπάρχων ὁμοῦ καὶ ἄνθρωπος ὁ αὐτός. οἵ γε μὴν αὐτὸν εἰς υἱοὺς μερίζοντες δύο καὶ τολμῶντες λέγειν ὅτι τὸν ἐκ σπέρματος τοῦ Δαυὶδ ἄνθρωπον ἑαυτῷι συνῆψεν ὁ θεὸς λόγος καὶ μετέδωκεν αὐτῷι τῆς ἀξίας καὶ τῆς τιμῆς καὶ τοῦ τῆς υἱότητος

25—33 Fcyr 72 ὁ σοφὸς — σώματος

V, P [= hk] ARΛ

4 καὶ² ἐν V 9/10 ἀνου R 13 τοῦ om. P 18 ἀποφοιτήσασ PAR ἀποβεβληκῶσ V δὲ ARΛ om. VP τοῦ PAR τὸ V καὶ om. A 19 μορφῇ δούλου VP 20 ὁ τῶν P 22 γε om V 23 τῆς om. R τὰ τῆς om. A 27 θρυλλουμένην VPA 29 ἐκ PΛFcyr om. VAR 32 σαρκὶ οὐκ ἐψυχωμένη P τὴν — χάριν om. V 32/33 ἐνθήσειν P 33 θεὸς om. P 37 δέ γε μὴν R 38 τολμόλτεσ [sic] R τοῦ om. A

ἀξιώματος καὶ παρεσκεύασεν αὐτὸν ὑπομεῖναι σταυρόν, ἀποθανεῖν καὶ ἀναβιῶναι καὶ ἀνελθεῖν εἰς τὸν οὐρανὸν καὶ ἐν δεξιᾷ καθίσαι τοῦ πατρός, ἵνα προσκυνῆται παρὰ πάσης τῆς κτίσεως, ἀναφορᾶι θεοῦ δεχόμενος τὰς τιμάς, πρῶτον μὲν υἱοὺς πρεσβεύουσι δύο, εἶτα τοῦ μυστηρίου τὴν δύναμιν ἀντιστρέφουσιν ἀμαθῶς. οὐ γὰρ ἐξ ἀνθρώπου θεὸς γέγονεν ὁ Χριστός, ὡς ἔφην, ἀλλὰ θεὸς ὢν ὁ λόγος γέγονε σάρξ, τουτέστιν ἄνθρωπος· κεκενῶσθαι δὲ λέγεται ὡς πρὸ τῆς κενώσεως τὸ πλῆρες ἔχων ἐν ἰδίαι φύσει καθ' ὃ νοεῖται θεός. οὐ γὰρ ἐκ τοῦ κενὸς εἶναί τις εἰς τὸ πλῆρες ἀνέβη, ἐταπείνωσε δὲ μᾶλλον ἑαυτὸν ἐξ ὑψωμάτων θεικῶν καὶ ἀρρήτου δόξης· οὐ ταπεινὸς ὢν ἄνθρωπος ὑψώθη δεδοξασμένος, ἔλαβεν δὲ δούλου μορφὴν ὡς ἐλεύθερος· οὐχὶ δοῦλος ὢν εἰς τὴν τῆς ἐλευθερίας ἀνεπήδησε δόξαν· ἐν ὁμοιώματι ἀνθρώπων γέγονεν ὁ ἐν μορφῆι καὶ ἰσότητι τοῦ πατρός, οὐκ ἄνθρωπος ὢν τὸ ἐν ὁμοιώματι γενέσθαι θεοῦ πεπλούτηκεν μεθεκτῶς.

16 Τί τοίνυν ἀντιστρέφουσι τῆς οἰκονομίας τοὺς λόγους καὶ παρασημαίνουσι τὴν ἀλήθειαν, ἁπάσαις ἀντανιστάμενοι ταῖς θεοπνεύστοις γραφαῖς, αἳ θεὸν ὄντα γινώσκουσι καὶ ἐνανθρωπήσαντα τὸν υἱὸν ἕνα τε αὐτὸν ὀνομάζουσι πανταχοῦ; καὶ γοῦν ἐν τῶι τῆς κοσμοποιίας βιβλίωι γέγραφεν ὁ Μωυσῆς ὡς διεβίβασε μὲν ὁ θεσπέσιος Ἰακὼβ τὸν χείμαρρουν Ἰαβὼκ τὰ παιδία αὐτοῦ καὶ ἀπέμεινε μόνος, ἐπάλαιε δὲ ἄνθρωπος μετ' αὐτοῦ ἕως πρωὶ καὶ ἐκάλεσεν Ἰακὼβ τὸ ὄνομα τοῦ τόπου ἐκείνου εἶδος θεοῦ· εἶδον γάρ, φησίν, θεὸν πρόσωπον πρὸς πρόσωπον καὶ ἐσώθη μου ἡ ψυχή. ἀνέτειλεν δὲ αὐτῶι ὁ ἥλιος, ἡνίκα παρῆλθεν τὸ εἶδος τοῦ θεοῦ· Ἰακὼβ δὲ ἐπέσκαζε τῶι μηρῶι αὐτοῦ. προανεδείκνυ γὰρ τῶι πατριάρχηι θεὸς ὅτι καὶ ἐνανθρωπήσει κατὰ καιροὺς ὁ μονογενὴς αὐτοῦ λόγος καὶ ἀντίπαλον ἕξει τὸν Ἰσραὴλ καὶ ὅτι περὶ αὐτὸν οὐκ ὀρθοποδήσουσι, χωλανοῦσι δὲ ὥσπερ, καθά φησιν αὐτὸς διὰ τῆς τοῦ ψάλλοντος λύρας· υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι, υἱοὶ ἀλλότριοι ἐπαλαιώθησαν καὶ ἐχώλαναν ἐκ τῶν τρίβων αὐτῶν. τουτὶ γὰρ οἶμαι καταδηλοῦν τὸ ἐπισκάσαι τὸν Ἰακὼβ τῶι μηρῶι αὐτοῦ. πλὴν ἐκεῖνο ἄθρει· ἀνθρώπου παλαίοντος πρὸς αὐτόν, ἑωρακέναι φησὶ θεὸν πρόσωπον πρὸς πρόσωπον καὶ εἶδος αὐτὸν ὀνομάζει θεοῦ. ἀπομεμένηκε γὰρ ὁ τοῦ θεοῦ λόγος, καὶ ἄνθρωπος γεγονώς, ἐν μορφῆι τοῦ πατρός, κατά γε φημὶ τὴν νοητὴν εἰκόνα καὶ τὸ κατὰ πᾶν ὁτιοῦν ἀπαραλλάκτως ἔχον. καὶ γοῦν ἔφη πρὸς Φίλιππον, χαρακτῆρα τῆς ὑποστάσεως τοῦ πατρὸς ἑαυτὸν ἀποφαίνων

17 καὶ μετὰ σαρκός· ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα. ἐπειδὴ δέ τινα τῶν ἐκ γενετῆς τεθεράπευκε τυφλόν, εὑρὼν αὐτὸν ἐν τῶι ἱερῶι, σὺ πιστεύεις, ἔφασκεν, εἰς τὸν υἱὸν τοῦ θεοῦ; ἐκείνου γε μὴν πρὸς τοῦτο λέγοντος τίς ἐστιν, κύριε, ἵνα πιστεύσω εἰς αὐτόν; ἀπεκρίνατο λέγων· καὶ ἑώρακας αὐτὸν καὶ ὁ λαλῶν μετὰ σοῦ ἐκεῖνός ἐστιν. τεθέαται δὲ ὁ τυφλὸς οὐ γυμνὸν ἢ ἄσαρκον αὐτόν, ἀλλ' ἐν εἴδει μᾶλλον τῶι καθ' ἡμᾶς, καὶ πεπίστευκεν εἰς τὸν ἑωραμένον οὐχ ὡς εἰς υἱὸν υἱῶι συνημμένον ἑτέρωι, ἀλλ' ὡς εἰς ἕνα τὸν φύσει τε καὶ ἀληθῶς οὐ δίχα σαρκὸς ἐπιλάμψαντα

18 τοῖς ἐπὶ τῆς γῆς. Μωυσῆς γε μὴν ὁ θεσπέσιος ἐν εὐλογίαις φησί· δότε Λευὶ τὴν

Ioh. 14, 9

Ioh. 9, 35-37

Hebr. 1, 3

Deut. 33, 8. 9

12—30. 25—28 πλὴν — πατρός adfert Timoth. arm. p. 134. 93

V, P [= hk], ARΛ

2 καὶ om. P καθίσαι ἐν δεξιᾶ VP τῆς om. P 5 ὁ om. A 7 δὲ μᾶλλον om. P 10 γενόμενοσ P καὶ ἐν ἰσότητι RΛ 11 τὸ om. P θεοῦ γενέσθαι V 13 ἀνθιστάμενοι P καὶ VARΛ τὸν P 14 τὸν υἱὸν om. P αὐτὸν ARΛ Tim. om. VP 15 μωσῆσ AR 16 ἰαβόκ' R 18 θν̄ φησὶ A 18/19 ἡ ψυχή μου R 19 ὁ om. V 21 μονογενὴσ VPA μονογενὴσ γοῦν R 22 αὐτῶν P δὲ om. P δὲ τοῖς τρίβοις ὥσπερ Ἰακὼβ ἐπέσκαζε τῶι μηρῶι αὐτοῦ Tim. 24 ἀπὸ V τοῦτο R 26 αὐτὸν²] αὐτὸ P 28 κατά γε τὸ R ἔχον V^{corr}AΛ ἔχων VP ἔχειν R 30 καὶ ἐπειδὴ δὲ R τὸν R 31 γῆσ Λ τυφλῶν A 35 οὐχ ὡσ εἰσ PAΛ οὐχ ὡσ ὡσ R οὐχ ὡσ VR^{corr} 36 τε om. P 37 τῆς om. A μωσῆσ AR τὴν om. PR

δήλωσιν αὐτοῦ καὶ τὴν ἀλήθειαν αὐτοῦ τῶι ἀνδρὶ τῶι ὁσίωι, ὃν ἐξεπείρασαν αὐτὸν ἐν πείραι· ἐλοιδόρησαν αὐτὸν ἐφ' ὕδατος ἀντιλογίας. ὁ λέγων τῶι πατρὶ καὶ τῆι μητρὶ οὐχ ἑώρακά σε, καὶ τοὺς ἀδελφοὺς αὐτοῦ
Exod.28,38sq. οὐκ ἐπέγνω. προστέταχε μὲν γὰρ ὁ τῶν ὅλων θεὸς τὸν ποδήρη γενέσθαι τῶι Ἀαρὼν ποικίλως ἐξυφασμένον· φόρημα δὲ τοῦτο μόνηι τῆι ἀρχιερωσύνηι πρέπον καὶ ἐκνεμηθὲν
Exod. 28, αὐτῆι. πρὸς δέ γε τῶι στήθει τοῦ ἀρχιερέως λίθοι τινὲς ἦσαν ἀπηρτημένοι τὸν ἀριθμὸν
15 sq. Exod. 28, 26 δυοκαίδεκα, ὧν ἐν μέσωι τετάχατο δήλωσίς τε καὶ ἀλήθεια, δύο πάλιν ἕτεροι λίθοι. αἰνιγματωδῶς δὲ διὰ τούτων ὁ τῶν ἁγίων ἀποστόλων ἐδείκνυτο χορὸς οἷον ἐν κύκλωι περιέχων τὸν Ἐμμανουήλ, ὅς ἐστι δήλωσις καὶ ἀλήθεια· δεδήλωκε γὰρ ἡμῖν τὴν ἀλήθειαν, τὴν ἐν
19 σκιαῖς καὶ τύποις ἀποστήσας λατρείαν. ὅτι δὲ γέγονεν ἡμῶν ἀρχιερεὺς ὁ μονογενὴς τοῦ θεοῦ λόγος, ὅτε καὶ ἄνθρωπος γέγονε, πῶς ἔστιν ἀμφιβάλλειν, γεγραφότος ὡδὶ τοῦ
Hebr. 3, 1. 2 θεσπεσίου Παύλου· κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν, πιστὸν ὄντα τῶι ποιήσαντι αὐτόν; τὸ γάρτοι τῆς ἱερωσύνης ἀξίωμα τοῖς τῆς ἀνθρωπότητος μέτροις οὐκ ἀπεοικὸς νοοῖτ' ἂν εἰκότως καὶ μεῖον μὲν ἢ κατὰ τὴν τοῦ θεοῦ λόγου φύσιν τε καὶ δόξαν, οὐκ ἀνάρμοστον δὲ τῆι μετὰ σαρκὸς οἰκο-
PG 308 νομίαι· γεγόνασι γὰρ αὐτοῦ τὰ ἀνθρώπινα. δότε τοίνυν, φησι, τῶι Λευί, τουτέστι τῶι ἱερεῖ τὴν δήλωσιν καὶ τὴν ἀλήθειαν. ποίωι δέ φησιν ἄρα Λευὶ ἢ γοῦν ἱερεῖ
1 Petr. 2, 22 διεσάφησεν εἰπὼν τῶι ἀνδρὶ τῶι ὁσίωι; οὐ γὰρ ἐποίησεν ἁμαρτίαν ὁ κύριος ἡμῶν
Hebr. 7, 26 Ἰησοῦς ὁ Χριστός. γράφει γοῦν ὁ Παῦλος περὶ αὐτοῦ· τοιοῦτος ἡμῖν ἔπρεπεν ἀρχιερεύς, ὅσιος ἄκακος ἀμίαντος κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν καὶ
Deut. 33, 8 ὑψηλότερος τῶν οὐρανῶν γενόμενος. τοῦτον ἐξεπείρασαν ἐν πείραι· ἐλοιδόρησαν αὐτὸν ἐφ' ὕδατος ἀντιλογίας. ὦ παραδόξου πράγματος. ἄνδρα λέγων αὐτὸν θεὸν ἀπέφηνεν εὐθύς, ὃν δὴ παρώξυνέ τε καὶ ἐξεπείρασεν ὁ Ἰσραὴλ ἔν τε τῆι ἐρήμωι καὶ ἐπὶ τοῦ ὕδατος τῆς ἀντιλογίας. καὶ πιστώσεται λέγων ὁ ψαλμωιδός·
Ps. 77, 15. 16 διέρρηξεν πέτραν ἐν ἐρήμωι καὶ ἐπότισεν αὐτοὺς ὡς ἐν ἀβύσσωι πολλῆι καὶ ἐξήγαγεν ὕδωρ ἐκ πέτρας καὶ κατήγαγεν ὡς ποταμοὺς ὕδατα. καὶ τί
Ps. 77, 18-20 μετὰ τοῦτο; καὶ ἐξεπείρασαν, φησίν, αὐτὸν ἐν τῆι καρδίαι αὐτῶν καὶ κατελάλησαν τοῦ θεοῦ καὶ εἶπον· μὴ δυνήσεται ὁ θεὸς ἑτοιμάσαι τράπεζαν ἐν
L III 1195 ἐρήμωι, ὅτι ἐπάταξεν πέτραν καὶ ἐρρύησαν ὕδατα καὶ χείμαρροι κατεκλύσθησαν; μὴ καὶ ἄρτον δυνήσεται δοῦναι ἢ ἑτοιμάσαι τράπεζαν τῶι
λαῶι αὐτοῦ; σύνες οὖν ὅπως διαλελοιδόρηνται θαυματουργοῦντι τῶι θεῶι, ὃν δὴ καὶ
1 Cor. 10, 4 ἄνδρα φησὶν ὁ Μωυσῆς. συνεὶς γὰρ οὕτως καὶ ὁ θεσπέσιος Παῦλος γράφει· ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας· ἡ δὲ πέτρα ἦν ὁ Χριστός. οὐκοῦν ὁ λοιδορηθεὶς ἀνὴρ αὐτὸς ἦν ἐκεῖνος ὃς οὔπω σεσαρκωμένος ἐπειράζετο παρὰ τῶν
20 ἐξ Ἰσραήλ. ὅτι γὰρ οὐχ ἕτερος ἦν υἱὸς ὁ πρὸ σαρκός, ἕτερος δὲ παρ' αὐτὸν ὁ ἐκ
M V 400 σπέρματος τοῦ Δαυίδ, καθὰ φάναι τολμῶσί τινες, ἀλλ' εἷς τε καὶ ὁ αὐτὸς πρὸ μὲν τῆς σαρκώσεως γυμνὸς ἔτι λόγος, μετὰ δέ γε τὴν ἀπότεξιν τὴν ἐκ τῆς ἁγίας παρθένου σεσαρκωμένος καὶ ἐνανθρωπήσας, καθὰ γεγράφασιν οἱ θεσπέσιοι πατέρες, σημείωι πάλιν ἑτέρωι πεπληροφόρηκεν ὁ Μωυσῆς. ὥσπερ γὰρ ἐρομένου τινὸς καὶ ἀναμαθεῖν ἐθέλοντος περὶ ποίου γέγονεν ἀνδρὸς ὁ λόγος αὐτῶι, ὃν δὴ καὶ ἐκπεπειρᾶσθαι καὶ λελοιδορῆσθαί φησι

V, P [= mn], ARΛ

1 δήλωσιν αὐτοῦ VAΛ δήλουσ αὐτοῦ [αὐτῶ P] PR 2 αὐτὸν[1] om. V 4 ἐπέγνων P ἔγνω AR 4 ὁ θ̄ς̄ τῶν ὅλων P 7—9 δύο πάλιν — ἀλήθεια om. A 7 ἕτεραι R 8 ὁ om. R διεδείκνυτο V 9 τε καὶ P 10 ὑποστήσασ VA 13 ἡμῶν om. P 15 ἀνάρμοστα P 16 γὰρ om. P τὰ om. R 17 ἄρα φησὶ V φασὶν ἄρα A 19 ἰ̄σ̄ χ̄σ̄ P ἡμῖν Vcorr ΑΛ γὰρ ἡμῖν VPR 24 τοῦ ὕδατοσ τῆς AR ὕδατοσ V τῆσ τοῦ ὕδατοσ P 25 ἐν ἐρήμω πέτραν V 28 εἶπαν R 30 δύναται VPR, corr. V ἢ VAR καὶ P 31 σύνες οὖν om. R πῶσ A τῶι om. PR 32 μωσῆσ R 36 τοῦ om. AR 37 γε om. P 38 ἅγιοι καὶ θεσπέσιοι V 39 μωσῆσ AR 40 καὶ λελοιδορῆσθαι om. R φασὶ V

παρὰ τῶν ἐξ Ἰσραήλ, μόνον οὐχὶ καὶ χεῖρα προτείνων καταδείκνυσιν τὸν Ἰησοῦν καί φησιν·
ὁ λέγων τῶι πατρὶ καὶ τῆι μητρὶ οὐχ ἑώρακά σε, καὶ τοὺς ἀδελφοὺς αὐτοῦ Deut. 33, 9
οὐκ ἐπέγνω. μεμνήμεθα δὲ γεγραφότος ἑνὸς τῶν ἁγίων εὐαγγελιστῶν ὡς διδάσκοντός Mt. 12, 46-50
ποτε τοῦ Χριστοῦ καὶ μυσταγωγοῦντός τινας ἐπέστησαν ἡ μήτηρ αὐτοῦ καὶ οἱ ἀδελφοί, cf. Luc. 8,
εἶτα προσδραμόντος τινὸς τῶν μαθητῶν καὶ λέγοντος ἰδοὺ ἡ μήτηρ σου καὶ οἱ 20. 21
ἀδελφοί σου ἑστήκασιν ἔξω ἰδεῖν σε θέλοντες, ἐκτείνας τὴν χεῖρα αὐτοῦ a
ἐπὶ τοὺς μαθητὰς αὐτοῦ, εἶπεν· μήτηρ μου καὶ ἀδελφοί μου οὗτοί εἰσιν
οἱ ἀκούοντες τὸν λόγον τοῦ θεοῦ καὶ ποιοῦντες. ὃς γὰρ ἂν ποιήσηι
τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς, οὗτος ἀδελφός μου καὶ b
ἀδελφὴ καὶ μήτηρ ἐστίν. τοῦτο, οἶμαι, ἐστὶν ὅπερ ἔφη Μωυσῆς· ὁ λέγων τῶι Deut. 33, 9
πατρὶ καὶ τῆι μητρὶ οὐχ ἑώρακά σε, καὶ τοὺς ἀδελφοὺς αὐτοῦ οὐκ ἐπέγνωι. PG 309
21 ναὶ μὴν καὶ ὁ πάνσοφος Δανιὴλ ἐν εἴδει τῶι καθ' ἡμᾶς τεθεᾶσθαί φησι τὸν μονογενῆ τοῦ
θεοῦ λόγον. ἰδεῖν μὲν γὰρ ἔφη παλαιὸν ἡμερῶν καθήμενον ἐπὶ θρόνου μυρίας τε μυριάδας
τῶν παραστατῶν καὶ χιλίας χιλιάδας τῶν λειτουργῶν, καὶ διὰ μέσου τινὰ παρενθεὶς ἕτερα,
τούτοις ἐπάγει· ἐθεώρουν ἐν �ράματι τῆς νυκτός, καὶ ἰδοὺ μετὰ τῶν νεφε- Dan. 7, 13. 14
λῶν τοῦ οὐρανοῦ ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος καὶ ἕως τοῦ παλαιοῦ τῶν 10
ἡμερῶν ἔφθασεν καὶ ἐνώπιον αὐτοῦ προσηνέχθη καὶ αὐτῶι ἐδόθη ἡ τιμὴ
καὶ ἡ βασιλεία καὶ πᾶσαι αἱ φυλαὶ καὶ γλῶσσαι αὐτῶι δουλεύσουσιν.
ἰδοὺ δὴ πάλιν σαφῶς τε καὶ ἐναργῶς ἀναβαίνοντα πρὸς τὸν ἐν τοῖς οὐρανοῖς πατέρα καὶ
θεὸν τεθέαται τὸν Ἐμμανουήλ. νεφέλη γὰρ ὑπέλαβεν αὐτόν, ὃν δὴ καὶ οὐκ ἄνθρωπον 20 Act. 1, 9
ἁπλῶς, ἀλλ' ὡς υἱὸν ἀνθρώπου φησί· θεὸς γὰρ ἦν ἐν ὁμοιώσει τῆι πρὸς ἡμᾶς γεγονὼς ὁ
λόγος. οὕτω συνεὶς καὶ ὁ πάνσοφος Παῦλος ἐν ὁμοιώματι ἀνθρώπων γενέσθαι φησὶν Phil. 2, 7
αὐτόν, εὑρεθῆναι δὲ καὶ ὡς ἄνθρωπον σχήματι καὶ ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας ὠφθαι Rom. 8, 3
τοῖς ἐπὶ τῆς γῆς. εἰ δὲ ἄνθρωπος ἦν συναφείαι τῆι πρὸς θεὸν ὡς θεὸς τιμώμενος,
ἔφη γ' ἂν ὁ προφήτης ὡς θεὸν ἢ ὡς υἱὸν θεοῦ τεθεᾶσθαι τὸν μετὰ τῶν νεφελῶν ἐρχό- 25
μενον· ἀλλ' οὐ τοῦτό φησιν, ἐκεῖνο δὲ μᾶλλον τὸ ὡς υἱὸν ἀνθρώπου. οἶδεν ἄρα θεὸν
ὄντα καὶ ἐνανθρωπήσαντα τὸν υἱὸν ἢ γοῦν ἐν ὁμοιώματι ἀνθρώπων γενόμενον κατὰ τὴν
τοῦ Παύλου φωνήν. πλὴν καὶ ἐν σαρκὶ πεφηνὼς ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν L III 1198
ἔφθασεν, τουτέστιν εἰς τὸν τοῦ ἀιδίου πατρὸς ἀναπεφοίτηκε θρόνον, καὶ αὐτῶι ἐδόθη
ἡ τιμὴ καὶ ἡ βασιλεία καὶ πᾶσαι αἱ φυλαὶ καὶ γλῶσσαι αὐτῶι δουλεύσουσι. 30
καὶ τοῦτο ἦν ἄρα τὸ εἰρημένον παρ' αὐτοῦ· πάτερ, δόξασόν με τῆι δόξηι ἣι εἶχον Ioh. 17, 5
22 πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί. ὅτι δὲ σαρκωθεὶς ὁ τοῦ θεοῦ λόγος σύνε-
δρός ἐστι καὶ ἰσοκλεὴς τῶι θεῶι καὶ πατρὶ καὶ μετὰ σαρκός, ὡς εἷς ὑπάρχων υἱὸς καὶ ὅτε
γέγονεν ἄνθρωπος, σαφηνιεῖ γράφων ὁ πάνσοφος Παῦλος· τοιοῦτον ἔχομεν ἀρχιερέα, Hebr 8, 1
ὃς ἐκάθισεν ἐν δεξιᾶι τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς. ναὶ μὴν 35
καὶ αὐτὸς ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ἐρομένων αὐτὸν τῶν Ἰουδαίων εἴπερ ἐστὶν M V 401
αὐτὸς ἀληθῶς ὁ Χριστός, ἐὰν εἴπω, φησίν, οὐ μὴ πιστεύσητε· καὶ ἐὰν ἐπερω- Lc. 22, 67-69
τήσω, οὐ μὴ ἀποκριθῆτε. ἀπὸ τοῦ νῦν δὲ ἔσται ὁ υἱὸς τοῦ ἀνθρώπου
καθήμενος ἐκ δεξιῶν τῆς δυνάμεως τοῦ θεοῦ. οὐκοῦν ἐν τοῖς τῆς θεότητος

V, P [= hk], ARΛ

1 μονουχὶ V 3 ἐπέγνων P δὲ PRΛ γὰρ VA γράφοντοσ P 10 μωσῆσ AR
ὁ om. VP 11 ἐπέγνων P 12 ναὶ VAR καὶ P 14 παραστατῶν PA παραστάντων V παρε-
στώτων R 15 ἐθεώρουν γὰρ V 16 ὡσεὶ AR 18 αἱ om. AR καὶ om. AR δου-
λεύουσιν R 19 τε om. A 23 σχήματι ARΛ ἐν σχήματι VP 24 τῆσ V, R in mg., om.
PAR 25 γ' ἂν V γὰρ P ἂν AR ὡσεὶ AR ὡσεὶ P 26 ἐκεῖνον V τὸν V
ὡσεὶ P εἰδεν P 27 υἱὸν VPAΛ χν̄ R ἦγουν VARΛ τοῦ θεοῦ P 29 ἰδίου P
30 αἱ om. AR καὶ om. PR δουλεύσουσι in δουλεύουσι corr. R 35 τοῖσ ὑψηλοῖσ VP
36 ῑσ χσ̄ P 37 φησὶν AR φησὶν ὑμῖν VPΛ 38 δὲ om. P 39 τούτοισ τοῖσ P

23 θώκοις καὶ ἐνανθρωπήσαντα τὸν υἱὸν ὁ τῶν ἁγίων προφητῶν ἐθεᾶτο χορός. ἴδωμεν δὲ καὶ τοὺς τῆς νέας διαθήκης κήρυκας τοὺς τῆς ὑφ' ἥλιον μυσταγωγούς, οἷς αὐτὸς ἔφη
Mt. 10, 20 Χριστός· οὐχ ὑμεῖς ἐστὲ οἱ λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα τοῦ πατρὸς ὑμῶν
Ioh. 1, 30 τὸ λαλοῦν ἐν ὑμῖν. εὑρήσομεν τοίνυν λέγοντα τὸν θεσπέσιον βαπτιστήν· ὀπίσω
PG 312 μου ἔρχεται ἀνήρ, ὃς ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν. εἶτα πῶς ὁ μετ' αὐτὸν ἰὼν πρῶτος ἦν αὐτοῦ; ὅτι γὰρ ὑστερίζει κατὰ τὸν τῆς σαρκὸς χρόνον Ἰωάννου Χριστός, πῶς οὐχ ἅπασιν ἐναργές; τί οὖν πρὸς ταῦτα φαίη τις ἄν;
Ioh. 8, 58 ἔλυσεν ἡμῖν αὐτὸς ὁ σωτὴρ τὸ ζητούμενον. ἔφη γὰρ Ἰουδαίοις προσλαλῶν· ἀμὴν λέγω ὑμῖν, πρὶν Ἀβραὰμ γενέσθαι, ἐγὼ εἰμί. ἦν μὲν γὰρ καὶ πρὸ Ἀβραὰμ θεικῶς, νοεῖται δὲ μετ' αὐτὸν καθὸ πέφηνεν ἄνθρωπος. εἶτα τοῦ θεοῦ καὶ πατρὸς
Ies. 42, 8 βοῶντος ἀναφανδὸν τὴν δόξαν μου ἑτέρωι οὐ δώσω (θεὸς γὰρ ἕτερος παρ' αὐτὸν
Mc. 8, 38 οὐδείς), ἔφη πρὸς ἡμᾶς ὁ Χριστός· ὅταν δὲ ἔλθηι ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῆι δόξηι τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν ἁγίων ἀγγέλων. υἱοῦ δὲ ἀνθρώπου καταβαίνειν
Tit. 2, 11-13 προσδοκωμένου ἐξ οὐρανῶν, γράφει πάλιν ὁ πάνσοφος Παῦλος· ἐπεφάνη γὰρ ἡ χάρις τοῦ θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς καὶ ἐπιεικῶς ζήσωμεν ἐν τῶι νῦν αἰῶνι, προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ
Rom. 9, 4. 5 Χριστοῦ. ἔφη δὲ καὶ ἑτέρωθι περὶ τῶν ἐξ αἵματος Ἰσραὴλ τοὺς λόγους ποιούμενος ὅτι αὐτῶν εἰσιν αἱ ἐπαγγελίαι καὶ ἡ νομοθεσία καὶ ἡ διαθήκη καὶ ἐξ αὐτῶν τὸ κατὰ σάρκα Χριστὸς ὁ ὢν ἐπὶ πάντων θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας. ἀμήν.

24 Οὐκοῦν κατ' ἴχνος ἰόντες ἀπροσκλινῶς τῆς τῶν πατέρων ὁμολογίας αὐτὸν φαμὲν τὸν ἐκ τοῦ θεοῦ πατρὸς γεννηθέντα υἱὸν μονογενῆ σαρκωθῆναί τε καὶ ἐνανθρωπῆσαι, παθεῖν, ἀποθανεῖν, τῆι τρίτηι ἡμέραι ἀναστῆναι ἐκ νεκρῶν. ἀπαθὴς μὲν γὰρ ὁμολογουμένως τό γε ἧκον εἰς ἰδίαν φύσιν ὁ τοῦ θεοῦ λόγος καὶ οὐδεὶς οὕτως ἐμβρόντητος, ὡς
L III 1201 νομίσαι δύνασθαι πάθους εἶναι δεκτικὴν τὴν ὑπὲρ πάντα φύσιν· ἐπειδὴ δὲ γέγονεν ἄνθρωπος ἰδίαν ποιησάμενος σάρκα τὴν ἐκ τῆς ἁγίας παρθένου, ταύτηι τοι τοῖς τῆς οἰκονομίας ἑπόμενοι λόγοις σαρκὶ τῆι ἰδίαι παθεῖν ἀνθρωπίνως διαβεβαιούμεθα τὸν ἐπέκεινα τοῦ παθεῖν ὡς θεόν. εἰ γὰρ θεὸς ὑπάρχων γέγονεν ἄνθρωπος, ἀποπεφοίτηκε δὲ οὐδαμῶς τοῦ εἶναι θεός, εἰ γέγονε κτίσεως μέρος καὶ μεμένηκεν ὑπὲρ κτίσιν, εἰ νομοθέτης ὢν ὡς
Gal. 4, 4 θεὸς γέγονεν ὑπὸ νόμον καὶ νομοθέτης ἦν ἔτι καὶ δεσπότης ὢν θεικῶς δούλου μορφὴν ὑπέδυ καὶ ἀναπόβλητον ἔχει τὸ τῆς δεσποτείας ἀξίωμα, εἰ μονογενὴς ὑπάρχων γέγονε πρω-
Rom. 8, 29 τότοκος ἐν πολλοῖς ἀδελφοῖς καί ἐστι μονογενής, τί τὸ παράδοξον, εἰ σαρκὶ παθὼν ἀν-
M V 404 **25** θρωπίνως ἀπαθὴς καὶ οὕτως νοεῖται θεικῶς; καὶ γοῦν ὁ πάνσοφος Παῦλος τὸν ἐν μορφῆι
Phil. 2, 8 καὶ ἐν ἰσότητι τοῦ θεοῦ καὶ πατρὸς ὑπάρχοντα λόγον τὸν αὐτὸν ὑπήκοον γενέσθαι φησὶ καὶ μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. ἐν ἑτέραι δὲ τῶν ἰδίων ἐπιστολῶν περὶ
Col. 1, 15-18 αὐτοῦ φησιν· ὅς ἐστιν εἰκὼν τοῦ θεοῦ τοῦ ἀοράτου, πρωτότοκος πάσης κτίσεως, ὅτι ἐν αὐτῶι ἐκτίσθη τὰ πάντα τά τε ἐν τῶι οὐρανῶι καὶ τὰ ἐπὶ τῆς γῆς καὶ αὐτός ἐστι πρὸ πάντων καὶ τὰ πάντα ἐν αὐτῶι συνέστηκεν,
PG 313 καὶ αὐτὸν δεδόσθαι φησὶν κεφαλὴν τῆι ἐκκλησίαι, γενέσθαι δὲ καὶ ἀπαρχὴν τῶν κεκοιμημένων
1 Cor. 15, 20 καὶ πρωτότοκον ἐκ νεκρῶν. καίτοι ζωὴ καὶ ζωοποιὸς ὁ ἐκ θεοῦ πατρός ἐστι λόγος ἅτε

V, P [= hk], ARΛ

1 θώκοις A θάκοις R θρόνοις VP ἐθεᾶτο VP ἐθεάσατο ARΛ 2 ἥλιον V^{corr} ἡλίῳ VPAR 3 ὁ χς̄ VP ἡμῶν P 4 εὑρήσωμεν V 6 αὐτοῦ ἦν A 7 ὁ χς̄ VP 8/9 ἀμὴν — ὑμῖν om. Λ 8 ἀμὴν AR ἀμὴν ἀμὴν VP 13/14 προσδοκωμένου καταβαίνειν V 14 γὰρ om. P 15 ἡ om. R 16/17 καὶ ἐπιεικῶς om. V 21 πάντασ R 22 φασὶν R 24 ἀναστῆναι ἐκ νεκρῶν τῆ τρίτη ἡμέρα V 27 καὶ ἰδίαν R 30 τῆσ κτίσειωσ V τὴν κτίσιν V 35 καὶ ἰσότητι VΛ τοῦ om. P 38 τε om. V

δὴ καὶ ἐκ ζωῆς ἀναφὺς τοῦ τεκόντος αὐτόν· εἶτα πῶς γέγονε πρωτότοκος ἐκ νεκρῶν καὶ ἀπαρχὴ τῶν κεκοιμημένων; ἐπειδὴ γὰρ τὴν τοῦ θανάτου δεκτικὴν ἰδίαν ἐποιήσατο σάρκα, χάριτι θεοῦ, καθά φησιν ὁ πάνσοφος Παῦλος, ὑπὲρ παντὸς ἐγεύσατο θανάτου τῇι παθεῖν Hebr. 2, 9 αὐτὸν δυναμένηι σαρκί, οὐκ ἀποβαλὼν αὐτὸς τὸ εἶναι ζωή. οὐκοῦν κἂν εἰ λέγοιτο σαρκὶ παθεῖν, οὐ φύσει θεότητος εἰσδέξεται τὸ παθεῖν, ἀλλ' ὡς ἔφην ἀρτίως, ἰδίαι σαρκὶ τῇι τοῦ 5
26 πάθους δεκτικῇι. καὶ γοῦν ὁ μακάριος προφήτης Ἡσαίας ἐνανθρωπήσαντα θεὸν τὸν σαρκὶ παθόντα γινώσκων ἔφη που περὶ αὐτοῦ· ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη καὶ Ies. 53, 7. 8 ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. ἐν τῇι ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη· τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ. καίτοι εἴπερ 10 τις ἦν ἄνθρωπος καὶ ἰδικῶς νοούμενος υἱός, συνημμένος δὲ θεῶι, καθά φασιν οἱ τῶν ἀνοσίων δογμάτων εἰσηγηταί, πῶς ἔτι δυσεύρετος ὁ τὴν γενεὰν αὐτοῦ διηγεῖσθαι δυνάμενος; γέγονεν οὖν ἐκ σπέρματος Ἰεσσαὶ καὶ Δαυίδ, τὴν δέ γε τοῦ θεοῦ λόγου γέννησιν ἤτοι τὸν τῆς γεννήσεως τρόπον τίς ὁ φάναι δυνάμενος; αἴρεται γὰρ ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ, τουτέστιν ἡ ὕπαρξις (τέθεικε γὰρ ἀντὶ τῆς ὑπάρξεως τὴν ζωήν), ὑψοῦ δὲ διάιττει 15 καὶ ὑπερνήχεται τοὺς ἐπὶ τῆς γῆς· ἀπερινόητος γὰρ καὶ ἀπρόσβλητος παντελῶς ταῖς ἀν-
27 θρώπων διανοίαις ὁ περὶ τῆς ἀρρήτου φύσεως λόγος. προσεποίσω δὲ τοῖς εἰρημένοις καὶ τόδε. εἷς κύριος, μία πίστις, ἓν βάπτισμα, καθά φησιν ὁ ἱερώτατος Παῦλος. Eph. 4, 5 ἑνὸς οὖν ὄντος κυρίου πίστεώς τε μιᾶς καὶ ἑνὸς βαπτίσματος, τίς ὁ κύριος καὶ εἰς τίνα πεπιστεύκαμέν τε καὶ βεβαπτίσμεθα; ἀλλ' ἴσως πρέπειν ὅτι μάλιστα φαίη τις ἂν τῶι 20 ἐκ θεοῦ πατρὸς ὄντι λόγωι τήν τε κυριότητα καὶ τὴν πίστιν τὴν πρὸς ἡμῶν, ἐπ' αὐτῶι δὲ τελεῖσθαι καὶ τὸ σωτήριον βάπτισμα. οὕτω γάρ που τοῖς ἁγίοις ἀποστόλοις ἐνετεί- L III 1202 λατο λέγων· πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς Mt. 28, 19 εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ὅ γε μὴν θεσπέσιος Παῦλος τὴν τῆς κυριότητος δόξαν καὶ τῆς πίστεως τὴν ὁμολογίαν καὶ τὴν 25 τοῦ ἁγίου βαπτίσματος δύναμιν ἐμφανῆ καθίστησι, λέγων· μὴ εἴπηις ἐν τῇι καρδίαι Rom. 10, 6-9 σου· τίς ἀναβήσεται εἰς τὸν οὐρανόν; τοῦτ' ἐστὶ Χριστὸν καταγαγεῖν· ἢ τίς καταβήσεται εἰς τὴν ἄβυσσον; τοῦτ' ἐστὶ Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν. ἀλλὰ τί λέγει ἡ γραφή; ἐγγύς σου τὸ ῥῆμά ἐστιν ἐν τῶι στόματί σου καὶ ἐν τῇι καρδίαι σου, ὅτι ἐὰν εἴπηις· κύριος Ἰησοῦς, καὶ πιστεύ- 30 σηις ἐν τῇι καρδίαι σου ὅτι ὁ θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσηι. M V 405 γράφει δὲ πάλιν· οὐκ οἴδατε ὅτι ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν, εἰς Rom. 6, 3 τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν; ἰδοὺ δὴ σαφῶς περιίστησιν εὐτεχνῶς τῆς τε PG 316 κυριότητος καὶ τῆς πίστεως τὴν ὁμολογίαν, καὶ αὐτὴν δὲ τὴν τοῦ ἁγίου βαπτίσματος χάριν
28 εἰς τὸν παθόντα τὸν θάνατον καὶ ἐγηγερμένον ἐκ νεκρῶν. ἆρ' οὖν εἰς υἱοὺς πιστεύομεν 35 δύο; ἆρα τὸν ἐκ θεοῦ πατρὸς ἀπαστράψαντα παραδραμόντες λόγον ὡς υἱῶι παρ' αὐτὸν ἑτέρωι τῶι παθόντι προσάψομεν τὴν τῆς κυριότητος δόξαν, καὶ αὐτὴν δὲ τῆς πίστεως τὴν ὁμολογίαν καὶ τὸ οὐράνιον βάπτισμα; εἶτα πῶς οὐκ εὔηθες, μᾶλλον δὲ ἀναμφιλόγως δυσσε-βὲς τὸ οὕτω φρονεῖν ἢ λέγειν; τί οὖν ἐροῦμεν; εἷς κύριος ἀληθῶς μία τε πίστις καὶ ἓν Eph. 4, 5 βάπτισμα. καὶ γάρ ἐστιν εἷς υἱὸς καὶ κύριος οὐκ ἄνθρωπον κατὰ συνάφειαν λαβὼν ὁ 40

6—17 Timoth. arm. p 135

V, P [= hk], ARΛ

3 σοφώτατος P 4 δυναμένη αὐτὸν R 9 αὐτοῦ[1] om. ΛR Tim., corr. R τὴν δὲ P 12 διηγήσασθαι V 13 οὖν PAΛ γὰρ VR Tim. 16 τῆς om P 16/17 ἄνιναισ P 17 δὲ om. V 19 τε om. P 26 βαπτίσματος VPRΛ πνσ̄ A καθίστη R 28/29 ἀναγαγεῖν ἐκ νεκρῶν V 31 ἤγειρεν αὐτὸν V 33 παρίστησιν P ἐτεχνῶσ k ἀτεχνιῶσ hΛ 35 πιστεύ-σομεν V 37 τὴν om. et ante δόξαν superscr R αὐτῆσ V τὴν superscr R 38 δὲ καὶ V

λόγος καὶ μέτοχον αὐτὸν ἀποφήνας τῶν ἰδίων ἀξιωμάτων καὶ μεταδοὺς υἱότητός τε καὶ κυριότητος αὐτῶι, καθά φασι καὶ γεγράφασι ληροῦντές τινες, ἀλλ' αὐτὸς ἐνανθρωπήσας καὶ σαρκωθεὶς ὁ ἐκ θεοῦ θεὸς λόγος, τὸ φῶς τὸ ἐκ τοῦ φωτός. εἰς τὸν τούτου θάνατον βεβαπτίσμεθα, παθόντος μὲν ἀνθρωπίνως αὐτοῦ ἰδίαι σαρκί, μεμενηκότος δὲ ἀπαθοῦς θεικῶς καὶ ζῶντος ἀεί· ζωὴ γάρ ἐστιν ἐκ ζωῆς τοῦ θεοῦ καὶ πατρός. οὕτω νενίκηται θάνατος, ἐπιπηδῆσαι τολμήσας τῶι σώματι τῆς ζωῆς· καταργεῖται δὲ οὕτω καὶ ἐν ἡμῖν ἡ φθορὰ καὶ
Ioh. 6, 53 τὸ αὐτοῦ τοῦ θανάτου κράτος ἀσθενεῖ. καὶ γοῦν ἔφη Χριστός· ἀμὴν λέγω ὑμῖν· ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. ζωοποιὸν οὖν ἄρα τὸ ἅγιον σῶμα καὶ αἷμα Χριστοῦ. σῶμα γάρ, ὡς ἔφην, ἐστὶν οὐκ ἀνθρώπου τινὸς μετόχου ζωῆς, ἴδιον δὲ μᾶλλον
29 τῆς κατὰ φύσιν ζωῆς, δῆλον δὲ ὅτι τοῦ μονογενοῦς. ταῦτα φρονεῖ μεθ' ἡμῶν ὁ φιλόχριστος τῶν ἁγίων πατέρων χορός, καὶ αὐτὸς δὲ ὁ νυνὶ τὸν τῆς ἁγίας Κωνσταντινουπολιτῶν ἐκκλησίας κατακοσμήσας θρόνον ὁ ὁσιώτατος καὶ θεοσεβέστατος ἀδελφὸς καὶ συνεπίσκοπος Πρόκλος. γέγραφε γὰρ καὶ αὐτὸς πρὸς τοὺς τῆς Ἑώιας θεοσεβεστάτους ἐπισκόπους αὐταῖς λέξεσιν ὧδε· >καὶ σαρκοῦται μὲν ἀτρέπτως ὁ ἀνείδεος, τίκτεται δὲ κατὰ σάρκα ὁ ἄναρχος· προκόπτει δὲ τῆι κατὰ σῶμα ἡλικίαι ὁ φύσει παντέλειος καὶ παθῶν ἀνέχεται ὁ παθῶν ἀνώτερος, οὐχ ὡι ἦν, ὑπομείνας τὰς ὕβρεις, ἀλλ' ὧι γέγονε, καταδεξάμενος τὰ τοῦ σώματος πάθη.< ἐλέγχεται τοίνυν τῶν ἕτερα παρὰ ταῦτα φρονούντων ἢ
L III1 1203 γεγραφότων ἡ κακοπιστία πανταχοῦ νοσοῦσα τὸ βέβηλον καὶ τὸ τοῖς τῆς ἀληθείας ἀπάιδον δόγμασι.

30 Διαπεράναντες δὲ τὸν περὶ Χριστοῦ λόγον οἱ τρισμακάριοι πατέρες τοῦ ἁγίου πνεύματος διαμνημονεύουσι· πιστεύειν γὰρ ἔφασαν εἰς αὐτὸ καθάπερ ἀμέλει εἰς τὸν πατέρα καὶ τὸν υἱόν. ὁμοούσιον γάρ ἐστιν αὐτοῖς καὶ προχεῖται μὲν ἢ γοῦν ἐκπορεύεται καθάπερ ἀπὸ πηγῆς τοῦ θεοῦ καὶ πατρός, χορηγεῖται δὲ τῆι κτίσει διὰ τοῦ υἱοῦ· ἐνεφύσησε
PG 317 γοῦν τοῖς ἁγίοις ἀποστόλοις λέγων· λάβετε πνεῦμα ἅγιον. οὐκοῦν ἐκ θεοῦ καὶ
Ioh. 20, 22 θεὸς τὸ πνεῦμά ἐστιν καὶ οὐκ ἀλλότριον τῆς ἀνωτάτω πασῶν οὐσίας, ἀλλ' ἐξ αὐτῆς τε καὶ ἐν αὐτῆι καὶ ἴδιον αὐτῆς.

31 Αὕτη μὲν οὖν τῶν ἁγίων πατέρων ἡ εὐθυτενὴς καὶ ἁπλανεστάτη πίστις ἤτοι τῆς
2 Cor. 4, 4 πίστεως ἡ ὁμολογία· ἀλλ' ὡς ὁ Παῦλός φησιν, ὁ θεὸς τοῦ αἰῶνος τούτου ἐτύ-
M V 408 φλωσεν τὰ νοήματα τῶν ἀπίστων εἰς τὸ μὴ αὐγάσαι τὸν φωτισμὸν τοῦ εὐαγγελίου τῆς δόξης Χριστοῦ. ἀφέντες γοῦν τὸ εὐθὺ τῆς ἀληθείας ἰέναι τινὲς
1 Tim. 1, 7 ἄιττουσι κατὰ πετρῶν, μὴ νοοῦντες μήτε ἃ λέγουσιν, μήτε περὶ τίνων διαβεβαιοῦνται. περιστάντες γὰρ τὴν τῆς υἱότητος δόξαν εἰς μόνον τὸν ἐκ θεοῦ πατρὸς φύντα λόγον, ὡς υἱὸν ἕτερον τὸν ἐκ σπέρματος Ἰεσσαὶ καὶ Δαυὶδ συνῆφθαί φασιν αὐτῶι καὶ μετέχειν υἱότητος καὶ τιμῆς θεοπρεποῦς καὶ τῆς ἐνοικήσεως αὐτοῦ τοῦ λόγου καὶ πάντα μᾶλλον ἐσχηκέναι παρ' αὐτοῦ, ἴδιον δὲ παντελῶς οὐδέν. περὶ τῶν τοιούτων,
Iud. 4 ὡς γε οἶμαι, γεγράφασι τοῦ σωτῆρος οἱ μαθηταί· παρεισέδυσαν γάρ τινες ἄνθρωποι οἱ καὶ πάλαι προγεγραμμένοι εἰς τοῦτο τὸ κρίμα ἀσεβεῖς, τὴν τοῦ θεοῦ χάριν μετατιθέντες εἰς ἀσέλγειαν καὶ τὸν μόνον δεσπότην καὶ κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀρνούμενοι. Ἰησοῦς δὲ Χριστὸς ὀνομάζοιτο ἂν εἰκότως ἐν ἀνθρωπείαι μορφῆι πεφηνὼς ὁ λόγος. ἐπεὶ φραζέτωσαν ἐρομένοις οἱ δι' ἐναντίας

14—18 Timoth. arm. p. 136 33—41. 41—p. 61, 13 Timoth. arm. p. 168

V, P [= hk], ARΛ

3 θεὸσ RΛ om. VPA τοῦ om. V 7 ἀμὴν ARΛ ἀμὴν ἀμὴν VP 13 ὁ om. V 14 θεοφιλεστάτουσ V 15 δὲ καὶ V 16 τὸ σῶμα V 17 δ R δ R 19 τῆς om. PR 21 διαπέραντεσ P, corr. h τοῦ χῦ P 23 καὶ εἰσ R 41 ἀνθρωπεία AR ἀνθρωπίνη P ἀνθρώπου V

οἱ τὰ Νεστορίου τε καὶ Θεοδώρου φρονεῖν καὶ λαλεῖν ἐκ πολλῆς ἄγαν ἀσυνεσίας οὐ παραιτούμενοι· ἐκβάλλετε τοῦ εἶναι θεὸν καὶ υἱὸν ἀληθινὸν τοῦ θεοῦ καὶ πατρὸς τὸν ἐκ τῆς ἁγίας παρθένου, τὸ παθεῖν αὐτῷι προσνέμοντες μόνωι καὶ ἀποσοβοῦντες αὐτὸ τοῦ θεοῦ λόγου, ἵνα μὴ θεὸς λέγοιτο παθητός; ταῦτα γὰρ τῆς ἐκείνων ἐθελακριβείας τὰ εὑρήματα καὶ ἡ τῶν ἐννοιῶν χυδαιότης. οὐκοῦν μὴ ὀνομαζέσθω Χριστὸς ἰδικῶς καὶ κατὰ μόνας ὁ ἐκ θεοῦ πατρὸς λόγος· ὥσπερ γάρ ἐστιν ἀπεοικὸς αὐτῷι τὸ παθεῖν, ὅταν ἔξω νοῆται σαρκός, οὕτω καὶ ἡ χρίσις ἀνάρμοστόν τι χρῆμα καὶ ἀλλότριον αὐτοῦ. Ἰησοῦν γὰρ τὸν Act. 10, 38 ἀπὸ Ναζαρὲτ ἔχρισεν ὁ θεὸς πνεύματι ἁγίωι, αὐτοτελὴς δὲ πάντως ὁ ἐκ θεοῦ λόγος καὶ οὐκ ἂν ἐδεήθη χρίσεως τῆς διὰ τοῦ ἁγίου πνεύματος. οὐκοῦν ἀρνήσασθε τὴν οἰκονομίαν, ἀποστήσατε τὸν μονογενῆ τῆς εἰς τὸν κόσμον ἀγάπης· μὴ ὀνομαζέσθω Χριστὸς παρ' ὑμῶν. ἢ οὐ σμικρὸν αὐτῷι τὸ ἐν τοῖς καθ' ἡμᾶς γενέσθαι μέτροις; οὐκοῦν ἐπειδήπερ καὶ τοῦτό ἐστιν ἀπεοικὸς αὐτῷι, ὁμολογείτω μηδεὶς ὅτι γέγονεν ἄνθρωπος, ἵνα καὶ αὐτοῖς εἴπηι Χριστός· πλανᾶσθε μὴ εἰδότες τὰς γραφὰς μηδὲ τὴν δύναμιν τοῦ θεοῦ. Mt. 22, 29 οὐκοῦν ὡς τῆς ἀληθείας ἐχθροὺς τοὺς ὧδε φρονεῖν ἡιρημένους ἡγούμενοι φεύγωμεν αὐτῶν τὰς ὀλεθρίους κενοφωνίας, ἐπώμεθα δὲ μᾶλλον ταῖς δόξαις τῶν ἁγίων πατέρων καὶ τῆι παραδόσει τῶν ἁγίων ἀποστόλων καὶ εὐαγγελιστῶν. αὐτὸς γὰρ ἦν ὁ λαλῶν ἐν αὐτοῖς PG 320 ὁ ἐνανθρωπήσας λόγος, δι' οὗ καὶ μεθ' οὗ τῶι θεῶι καὶ πατρὶ τιμὴ δόξα κράτος σὺν ἁγίωι L III 1206 πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

136 = 81. subscribitur Τοῦ αὐτοῦ Κυρίλλου ἐπισκόπου Ἀλεξανδρείας πρὸς Ἰωάννην ἐπίσκοπον Ἀντιοχείας καὶ τὴν συναχθεῖσαν ἐκεῖ σύνοδον [133], ipsa epistula hoc loco non repetita est

137 = S 130 A 156. excerptum et Latinum et Graecum [(t)] extat in Theodos. 9, 45, 4; lectiones non adfero nisi selectas

Βασιλικὸς νόμος περὶ τῶν προσφευγόντων ἐν ἐκκλησίαι

1 Ἀρχαία τις καὶ ἀπὸ τῶν καιρῶν τῆς πλάνης συνήθεια καὶ νόμου φυσικοῦ διάταξις δι' L III 1234 εὐσέβειαν ἀεί τις τοιαύτη κεκράτηκεν ὥστε τὰς θείας θρησκείας τῶν δημοσίων διοικήσεων M V 437 καὶ τῶν ἀνθρωπίνων χρήσεων ἐν παντί τε χώρωι καὶ ἔθνει διορισθῆναι καὶ ταύτας οὐ μόνον ἐν τῶι ἀκροτάτωι τῶν πραγμάτων, ἀλλ' ὥσπερ ἔν τινι ἐπὶ γῆς οὐρανῶι ἀνατίθεσθαι καὶ ὅποι πλησιάζειν μόνοις καθαροῖς καὶ ὁσίοις θέμις. ἐντεῦθεν κἀκεῖνο συμβαίνει τὸ πάντων φυσικῶς ταῖς διανοίαις ἐγκεῖσθαι μηδενὶ τρόπωι δύνασθαι τὰ τῶι θεῶι ἀφιερωθέντα μιαίνεσθαι μήτε κατὰ τῆς θείας δυνάμεως τὴν ἀνθρώπων ὕβριν χωρεῖν. πῶς γὰρ οἷόν τε μολύνεσθαι ἅπερ ἀεὶ καθαρεύειν ἀνάγκη; ἢ πῶς οἷόν τε ῥυποῦσθαι ἅπερ ἅπαξ
2 ἁγιασθέντα τοῦ τοιαῦτα εἶναι οὐ παύεται; ὅθεν εἰ καὶ πεπείσμεθα ὑπὸ τῶν ἐναγχος ἀθεμίτως ἐκ τῆς βαρβαρικῆς μανίας κατὰ τοῦ θείου τολμηθέντων θυσιαστηρίου μήτε μολύνεσθαι

33/34 cf. Socrat. 7, 33 et Chron. min. 2, 78 ed. Mommsen

V, P [= hk], ARΛ

1 τε om. A 2 ἐκβάλλεται PR, corr. R 3 μόνωι V^{corr}PARΛ Tim. μόνον V αὐτὸ R^{corr} αὐτὸν VPAR 4 ῥήματα P 6 νοοῖτο V 7 χρῆσις VAR Tim., corr. AR 8 ναρέθ R 14 τοὺς om. R 15 καὶ ἐπόμεθα μᾶλλον V 16 ὁ λαλῶν ἐν αὐτοῖσ PA ἐν αὐτοῖς ὁ λαλῶν VR 18 εἰσ PARΛ νῦν καὶ ἀεὶ καὶ εἰσ V

VS, D [= mn], A

ρλζ V ρκγ' D 24 ἐν τῆ D 25 συνήθεια] σύνηθεσ ἀεὶ S νόμοισ S φυσικὴ VS 26 ταῖσ θείαισ θρηκείαισ S ταῖσ θρησκείαισ D 27 χώρω A χρόνω VSD ταῦτα SD 28 γῆσ οὐρανῶ VA τῆσ οὐρανῶν SD 29 μόνοισ V νόμοισ SDA 32 καθαριεύειν S καθαρειεύειν n 33 τοῦ SD τὸ V om. A

τὸ καθαρὸν μήτε κεχράνθαι ὅπερ εἶναι πεφυκεν ἅγιον, ὅμως ἐπειδὴ γέγονεν ὅπερ οὐδαμῶς ἠλπίσθη γενέσθαι, καὶ μέχρι τῆς εὐσεβείας ἡ τῶν μυσαρῶν ἔφθασε τόλμα, ὥστε μὴ τοῖς ἀνοσίοις γοῦν δοκεῖν βέβηλα εἶναι ταῦτα ἅπερ θεῖα τυγχάνει, μήτε ἐν τοῖς ἁγιασθεῖσι καὶ ἀφιερωθεῖσι τόποις ἐξῆι ταῦτα ἅπερ οὐδὲ ἐν ἄλλοις χύδην ἀδίκως ἀνεκτὸν γίνεσθαι, καὶ ὑπὲρ τοῦ τὴν θρησκείαν καὶ τὴν τῆς εὐσεβείας παραφυλακὴν ἀνόθευτον παραμένειν, πᾶσαν ὕβριν τῆς τοῦ θεοῦ τοῦ παντοκράτορος ἐκκλησίας, τήν τε παρὰ τῶν τολμώντων καὶ ἀκόν-
3 των ἐγγινομένην, ἀπείργομεν. καὶ γὰρ εἰ ἐθνικῆς ἀρχαιότητος ἡ θρησκεία πλάνη καὶ θεὸς τὸ δοκοῦν, οὕτως τῆς οἰκείας δεισιδαιμονίας ἐξήσκει τὴν παρατήρησιν, ὥστε τοὺς βωμοὺς μὴ πᾶσιν, ἀλλὰ γὰρ τισὶν ἐπιτρέπειν τῶν ἱερέων τούς τε ναοὺς ὥσπερ καὶ διὰ τῆς γῆς ὑψουμένους ἐν ταῖς ἀκροπόλεσι καὶ τοῖς ὀχυρωτέροις τῶν πόλεων ἀναθεῖναι τό-
M V 440 ποις τά τε κατασκευασθέντα εἴδωλα προσκυνεῖν καὶ μετὰ σεπτῆς μεγίστης ἔχειν ματαιότητος. πόσωι μᾶλλον ἡμᾶς προσήκει τὴν θρησκείαν μετὰ πάσης φυλάττειν παρατηρησεως, πρὸς οὓς ὁ θεὸς μετὰ τῆς ἀληθοῦς θρησκείας, οὐρανοὺς μὴ ἀπολιπών, καταβέβηκε καὶ ὥσπερ τινὸς μεταξὺ θεοῦ τε καὶ ἀνθρώπων ἀντιδόσεως γενομένης, ἄνθρωπος θεὸν εἰς γῆν ὑπεδέξατο καὶ θεὸς εἰς οὐρανοὺς ἀνήγαγεν ἄνθρωπον; πρὸ δέ γε τῶν ἄλλων καὶ τούτωι μάλιστα ἐξιλεοῦνται θεὸν οἱ τῆς ἄκρας ἐξουσίας τῶν πραγμάτων ἐπειλημμένοι τῶι σωτηρίας Ζωῆς τε καὶ ἀμεριμνίας φροντίζειν ἀνθρώπων, ἅπερ κατὰ τὸ ἡμῖν ἔμφυτον οὐ-
L III 1235 δαμῶς * θάτερον τῶι ἑτέρωι δίχα τῆς ἑκατέρου βλάβης συνάπτομεν, ὥστε μήτε τοῖς ἐκκλησιαστικοῖς οἴκοις ἢ τοῖς ἁγίοις θυσιαστηρίοις ἐκ τῆς πολλῆς τῶν προσφευγόντων ἀπαγορεύσεως τε καὶ δειλίας προπετείας τε καὶ καταφρονήσεως τόλμης ἢ καὶ μανίας ὕβριν παρὰ τὸ πρέπον γενέσθαι τινὰ καὶ τὸν τῶν ἀθλίων τε καὶ ἀβοηθήτων μόνον ἔσχατόν γε λιμένα
4 εὐρυτέροις τοῖς πεποιημένοις ὑποδέξασθαι κόλποις. οὐδένα τῶν τὸν κλύδωνα τῆς θαλάττης καὶ τοὺς σκοπέλους ἐκκλινόντων προσήκει τὴν τῆς γῆς ἀφαιρεῖσθαι γαλήνην· πολέμου καθ' οὗ συνέστη παράταξις, τὴν κατὰ τοῦ προσφεύγοντος ἀπειλὴν ἀποτίθεται· τὸ ἄσυλόν ποτε ὑπερήσπισε τῶν διαφόροις ἐνόχων ἐγκλήμασι τὴν τῶν νόμων παρωθούμενον αὐθεντίαν. καὶ ὥστε μηδαμοῦ τοῖς εὐλαβουμένοις ἀναιρεθῆναι φιλανθρωπίαν, βωμὸν σωτηρίας καὶ ἐν τοῖς ἡμετέροις ἀφιδρύμασιν ἡ ἀρχαιότης ἀνέθηκε καὶ οἱ τά ἴχνη τῶν ἡμετέρων χαρακτήρων καταλαμβάνοντες κατὰ τῶν ἀπειλῶν τῆς σκαιᾶς τύχης ἐλευθερωθέντες τε καὶ ἀμεριμνοῦντες γεγήθασι. τοσαύτην τοιγαροῦν τῆς ἀφῆς τοῦ ἱδρύματος διὰ τὸ βασιλικὸν σέβας τοῖς δεομένοις ἐπικουρίαν διδούσης, πόσην χρὴ τοῖς εἰς τὰ ἁγιώτατα καταφεύγουσι θυσιαστήρια ὑπάρχειν βοήθειαν;

5 Ἀνεώιχθωσαν τοίνυν τοῖς δεδιόσιν οἱ ναοὶ τοῦ μεγάλου θεοῦ καὶ τοὺς προσφεύγοντας ἱκέτας ὁ κοινὸς ὑποδεχέσθω βωμὸς καὶ τὴν θείαν βοήθειαν τὴν κοινῆι προσκομιζομένην ἅπασιν ἐκ τῶν ταύτης οἴκων μηδεμία ὡς ὑπερτέρα διωθείτω ἀπειλή. ποῖος γὰρ ταῖς συμφοραῖς οἶκτος ὑπολειφθήσεται ἐν τοῖς ναυαγοῦσιν, εἰ τὸν αἰγιαλὸν ἀποκλείσεις καὶ τὴν

VS, D [= mn], A, (t) [32 Ἀνεώιχθωσαν — θεοῦ]

2 ἠλπισται SD 3 βέβηλα δοκεῖν D 5 ὑπὲρ — καὶ om. A τοῦ] αὐτοῦ S τὴν — παραφυλακὴν A τῆ — παραφυλακῆ VSD διαμένειν SD 6 τῆσ — ἐκκλησία S τῆ — ἐκκλησία D 11 μετὰ σεπτῆσ] malim σεπτὰ μετὰ 12 παραφυλάττειν D 14 θεῶν S γινομένησ D 15 πρόσ SD τῶν ἄλλων V καὶ τῶν ἄλλων SA καὶ τοῖσ ἄλλοισ D 15/16 τοῦτο VSD 16 ἐξιλεοῦνται θεὸν Commelinus ἐξιλεοῦται θσ VSDA οἱ SA οἱ τῶν D τοῖσ V τῶν om. VSD ἐπειλημμένοισ V 18 lacunam statui e. g. suppliendo παραλείποντες τοῦ ἑτέρου S ἑτέρου D ἑκατέρασ SD μηκέτι D 20 ἀδειλίασ SD περὶ S 21 τὸν om. A μόνον om. SD γε VA τε S om D 22 εὐρυτέροισ VSD εὑρόντασ A conicio τοὺς πεπονημένους τῶν] τὸν V 22/23 θαλάσσησ SD 23 ἐκκλίνοντα V 23/24 πολέμου scripsi πόλεμοσ VSDA 24 ἀπειλὴν om. SD 25 τὸν A ἐνοχαῖσ A ἐγκλήμασι V ἐγκαλοῦντα SDA 26 αὐθεντίαν VA βίαν SD 27 ἱδρύμασιν SD 28 κατὰ om V σκαιᾶσ VSD ἐκεῖσε A 29 τοσαύτησ V 30 τοῖς²] τὴν S 30/31 ἅγια D 32 ἀνεώιχθωσαν (t) ἀνειώιχθησαν VSDA 33 ἱκέτασ V οἰκέτασ SDA τὴν² VnA τῆ Sm κοινῆ VSD κοινὴν A 34 διωχθείτω n διωχθήτω Sm

πηγὴν τοῖς διψῶσι θολώσεις; ἢ ποία ταῖς ἀνθρωπίναις περιέσται συμφοραῖς θεραπεία, ἐὰν αὐτοῖς ὁ θεὸς ἀρνηθείη; ἐπὶ γὰρ τῶν ἡμετέρων καιρῶν οὐ μόνον τὰ θεῖα θυσιαστήρια καὶ τὸ εὐκτήριον τοῦ λαοῦ τὸ τετραγώνων τοίχων περιβολῇ τειχιζόμενον εἰς ἀσφάλειαν συντελεῖν τῶν προσφευγόντων θεσπίζομεν, ἀλλ᾽ εἴ τι καὶ περαιτέρω τούτου τυγχάνει ἄχρι τῶν τελευταίων θυρῶν τῆς ἐκκλησίας, ὧν τοῖς εὔξασθαι προηιρημένοις πρώτων ἐπιβαίνειν συμβαίνει, ἐλέου βωμὸν τοῖς προσφεύγουσιν εἶναι προστάττομεν, ὥστε μεταξὺ τοῦ ναοῦ, ὃν τῶι προειρημένωι τρόπωι προσφυγαῖς διεγράψαμεν, καὶ τῶν πρώτων μετὰ τοὺς δημοσίους τόπους τῆς ἁγίας ἐκκλησίας θυρῶν τὰ περιεγκείμενα, εἴτε ἐν οἰκίαις εἴτε ἐν κήποις εἴτε ἐν αὐλαῖς ἢ ἐν λουτροῖς ἢ καὶ ἐν στοαῖς τυγχάνει, τοὺς εἰσδύντας πρόσφυγας καθ᾽ ὁμοιότητα τοῦ ἐνδοτάτου ναοῦ φυλάττειν. καὶ εἰ καὶ τὰ μάλιστα θρησκείας τε καὶ εὐλαβείας λόγωι τὰ μικρῶι ἀλλήλων διεστῶτα τῶι τόπωι οὐ μικρῶι τῶι τῆς παρατηρήσεως διώρισται τρόπωι, ὅμως ὑπὲρ τοῦ τὴν ἀμεριμνίαν πλατῦναι τοῖς προσφεύγουσι καὶ τοῖς εὐλαβουμένοις τὴν βοήθειαν ἐκτεῖναι, πᾶσαν τὴν προδηλουμένην περίοδον ἀδιάκριτον εἶναι M V 441 λιμένα τῆς ἡσυχίας προστάττομεν καὶ μηδένα εἰς τὸ ἐξωθεῖσθαι τούτους ἱεροσύλους ἐπιβάλλειν χεῖρας, μή που γε ὁ τοῦτο τολμῶν, ἐν συμφοραῖς ἑαυτὸν ἰδών, καὶ αὐτὸς ἐξαιτῶν
6 βοήθειαν καταφύγῃ. τὸ δὲ τοιοῦτο τῶν διαστημάτων πλάτος ἐν καιρῶι τοῦ φόβου εἰς ἄδειαν τοῦ διάγειν, μᾶλλον δὲ τοῦ περινοστεῖν φιλανθρώπως συνεχωρήσαμεν, ἵνα μή τινι τῶν προσφευγόντων ἐν τῶι τοῦ θεοῦ ναῶι ἢ ἐν τοῖς ἁγίοις θυσιαστηρίοις μένειν ἢ ἐσθίειν ἢ καθεύδειν ἢ παννυχίζεσθαι ἐξῇ, τοῦτο τῶν μὲν κληρικῶν τῆς θρησκείας χάριν κωλυόν- L III 1238 των καὶ τῶν προσφύγων τῆς εὐσεβείας ἕνεκα φυλαττόντων, ἵνα μήτε οἱ προσφεύγοντες βεβήλωι γνώμηι προσφεύγειν δοκοῖεν τῇι θρησκείαι καταμιγνύντες τὰς οἰκείας χρείας μήτε οἱ τὰ οὕτως αἰσχρὰ δυνάμενοι τοῦ θείου ἀπείργειν οἴκου δόξωσι τὴν εὐσέβειαν ἧς ὑποφῆται τυγχάνουσι, καταβλάπτειν. προκειμένου δὲ τοῦ θατέρωι πάντως προσκροῦσαι, αἱρετώτερον τοὺς κληρικοὺς τὰς ἀνθρωπίνας καὶ φυσικὰς τῶν ἁγίων θυσιαστηρίων ἀπωθουμένους ὕβρεις θραοεῖς μᾶλλον ἢ ἀσεβεῖς νομίζεσθαι καὶ περὶ ἄνθρωπον ἢ περὶ θεὸν ἁμαρτάνειν, ὁπότε τούτου τεθέντος τοῦ νόμου μήτε ἀπανθρωπίας τις ὑπόνοια δικαίως ἂν φθάσειεν εἰς τοὺς κληρικούς, ἐπειδὴ πολλὴ τοῦ τε φόβου καὶ τῆς ἀμεριμνίας τῶν προσφευγόντων πρόνοια γέγονε. καὶ γὰρ καὶ τῇι ἀνθρωπίνηι χρήσει τε καὶ ἀνάγκηι ῥυποῦσθαι τὸν τοῦ θεοῦ ναὸν καὶ τὸ θεῖον μυστήριον τῇι ἐφυβρίστωι ἀσθενείαι καταμίγνυσθαι, τὰ θεῖα ὑπὸ βεβήλων χραίνεσθαι, τὰ ἱερὰ ὑπὸ τῶν σαθρῶν μολύνεσθαι μὴ βουλόμενοι, τοῦ αἰτεῖν βοήθειαν τοῖς προσφεύγουσιν οὐκ ἀπεκλείσαμεν, ἀλλὰ καὶ προσέτι καὶ πλατυτέροις διαστήμασι μακροτέροις τε χωρήμασιν ἀσφαλισθῆναι τούτους ἐψηφισάμεθα, τοῦ πρέποντος τῇι τε ἀνθρωπότητι καὶ τῇι θεότητι φυλαχθέντος.

VS, D [= mn], A, (t) [2—5 οὐ — ἐκκλησίας, 6 ἐλέου — 10 φυλάττειν, 14 καὶ μηδένα — 16 πλάτος, 17 συνεχωρήσαμεν — 20 φυλαττόντων]

3 τὸ — τὸ] τὸν εὐκτήριον ναὸν τὸν (t) τετράγωνον SD 5 πρῶτον VA 6 ἰλέω SD 7 ὃν (t) ἐν VSDA τρόπω (t) τόπω VSDA προσφυγαῖς scripsi πρόσφυγες A προσφυγὲς SD πρόσφυγας V περιπεφράχθαι (t) 7/8 δημόους m δημώους n δημίους S 8 εἴτε²] ἢ V 9 ἢ¹ VA εἴτε SD τοὺς V (t) καὶ τοὺς SDA πρόσφυγας om. SD 10 ἐνδοτάτω A καὶ εἰ VSA εἰ D τὰ om. SD 11 ἀλλήλων] ὀλίγων V 12 διώρισται τρόπωι scripsi διώρισται τόπω SDA τόπω διώρισται V 13 τὴν om. V 14 τούτοις SD ἱεροσυλίας SDA 15 γε VSD καὶ A 16 καταφύγοι A τοιοῦτον VD 18 προσφευγόντων SD (t) προσπεφευγότων VA 19 τοῦτον A 20 καὶ τῶν VSA τῶν δὲ D ἵνα om. SD 21 βεβήλωι — προσφεύγειν om. A ὡς βεβήλω D ὡς βεβήλου S τῇ — χρείας V τῆς θρησκείας τὰς οἰκείας καταλιπόντες χρείας SDA 22 δόξουσι S 23 γεγόνασι SD 28 χρήσει VA φύσει SD ῥυπᾶσθαι SD 30 μὴ βουλόμενοι om. V τοῦ] malim τὸ 32 δὲ A τούτοις V 32/33 τοῦ — θεότητι A τοῦ πρέποντος τῇ τε ἀνθρωπότητι V τῇ τε ἀνθρωπότητι καὶ τῇ θεότητι τοῦ πρέποντος SD

7 Ὅπλα ἐν σιδήρωι ἢ ἐν ἑτέρωι εἴδει ἀμυντηρίωι τοὺς προσφεύγοντας οὐδαμῶς ἔχειν ἢ ἐπιφέρεσθαι ἐντὸς τῆς ἁγίας ἐκκλησίας προστάττομεν, ταῦτα οὐ μόνον ἐκ τῶν θείων ναῶν τε καὶ θυσιαστηρίων ὡς τὰ λοιπὰ κωλύοντες, ἀλλὰ καὶ τῶν οἰκημάτων καὶ κελλίων καὶ κήπου καὶ λουτροῦ καὶ αὐλῶν καὶ στοῶν, ἅπερ κατὰ τὸν προειρημένον λόγον ὑπερασπίζειν τῶν προσφευγόντων δεδηλώκαμεν. οὔτε γὰρ θέμις τοῖς ἁγιωτάτοις ναοῖς ἢ τοῖς ἐκκλησιαστικοῖς τόποις κατὰ περιεργίαν διχονοίας ἢ πολέμων ὕλας ἐπιφέρεσθαι· ἀρκείτω τοῖς προσφεύγουσιν ἡ τοῦ θεοῦ βοήθεια, ὧι τά τε ὅπλα καὶ οἱ νόμοι καὶ ἡ βασιλεία ὑποτάττεται. καὶ γὰρ ἡμεῖς, οὓς ἀεὶ τῶι δικαίωι τῆς ἡγεμονίας περιστοιχίζει τὰ ὅπλα καὶ οὓς οὐ πρέπει δίχα δορυφόρων εἶναι, τῶι τοῦ θεοῦ ναῶι προσιόντες ἔξω τὰ ὅπλα καταλιμπάνομεν, ἀποτιθέμενοι το διάδημα, καὶ τῆι τῆς βασιλείας ἐλαττώσεως εἰκόνι μᾶλλον ἡμῖν το τῆς βασιλείας σέβας ἐπαγγέλλεται. τοῦ ἁγιωτάτου θυσιαστηρίου διὰ μόνην τὴν τῶν δωρεῶν προσφορὰν ἐφαπτόμεθα· εἰς τὴν τῶν θείων κύκλωι περιστοιχουμένην ἔπαυλιν ἅμα τῶι εἰσελθεῖν ὑπεκβαίνομεν καὶ οὐδὲν ἐκ τῆς ἀγχιστευούσης θειότητος ἑαυτοῖς ἀπονέμομεν.

8 ὅθεν τοὺς δίχα ὅπλων τῶι ἁγίωι οἴκωι τοῦ θεοῦ καὶ εἰς τὸ ἅγιον θυσιαστήριον ἐν οἱωιδή-
M V 444 ποτε ἔθνει ἢ κατὰ ταύτην τὴν πόλιν προσφεύγοντας ὑπνοῦν ἐν τῶι ναῶι ἢ καὶ ἐν τῶι θυσιαστηρίωι καὶ διαίτης μεταλαμβάνειν ἐκτός τινος ὕβρεως παρὰ τῶν κληρικῶν προσήκει κωλύεσθαι. καὶ οὕτως τοῦτο τυποῦσθαι χρὴ πρὸς αὐτούς, ὥστε μὴ δοκεῖν ὕβριν εἶναι τοῦ κωλύοντος, ἀλλὰ γὰρ τὸν λόγον τῆς θρησκείας ἀπαιτεῖν τὸ γινόμενον· τῆς ἁγιωσύνης καὶ τῆς καθαρότητος τοῦ τόπου τοὺς εὐλαβουμένους ὑπομιμνησκέτωσαν καὶ μηδὲν ταῖς
L III 1239 θρησκείαις μετὰ τῶν ἀνθρωπίνων χρήσεων εἶναι κοινὸν διδασκέτωσαν· τὰ διαστήματα τὰ ἐν τοῖς ἐκκλησιαστικοῖς περιβόλοις τῆι αὐτῶν ἀσφαλείαι ἡσυχίαι τε ἀφορισθέντα κατὰ μέρος δεικνυέτωσαν, τιμωρίαν κεφαλικὴν κατὰ τῶν προπετῶς ἐπιόντων αὐτοῖς ὡρίσθαι· γνώτωσαν ὡς οὐ χρὴ τὴν θρησκείαν τοῖς ἀνθρωπίνοις ῥύποις μιαίνειν ἢ τῆι ὕβρει τῆς φυσικῆς ἀνάγ-
9 κης χραίνειν τὸν διὰ τῆς αὐτῆς θρησκείας ἀνύβριστον εἶναι βουλόμενον. εἰ τούτοις πᾶσί τις μὴ ἐπινεύει μήτε πείθεται, προτιμάσθω τῆς πραότητος ἡ θρησκεία καὶ ἐκ τῶν θείων εἰς τοὺς προλεχθέντας τόπους διωκέσθω ἡ θρασύτης. ἔστω γὰρ καὶ ὁ σφόδρα φοβηθεὶς ἐκτος κινδύνου καὶ οὔτε ἡ θρησκεία τῆι τῶν ἀνθρωπίνων χρήσεων ἐπιμιξίαι μολυνθήσεται. τοὺς δὲ βοήθειαν ἐξαιτοῦντας παρὰ τοῦ μεγίστου θεοῦ καὶ μεθ' ὅπλων εἰσιόντας εἰς τοὺς ἁγιωτάτους ναοὺς ἢ καὶ παρασκευῆι, ἥτις φυσικῶι καὶ ἐθνικῶι νομίμωι τῆς θρησκείας ἀπείργεται, μὴ μόνον ἐπιφέρειν τῆι ταύτης εὐαγείαι, ἀλλὰ γὰρ καὶ συνάπτειν ἐπιχειροῦντας ὅπερ βοῆι ἀκουσθῆναι ἢ ἀγριότητι ἰδεῖν ἀφόρητον, πληρεστάτωι αὐστηρίας προστάγματι καὶ φοβεραῖς ἀπειλαῖς προηγουμένως μὲν τοῦτο μὴ ποιεῖν παραινέσεις (ποίαν γὰρ ἐλπίδα ἐν τῆι θρησκείαι ἐντίθεται ὃς ἐφ' ὕβρει ταύτης ὅπλα περικείμενος εἴσεισιν;)· ἐὰν δέ τινα μανία τυφλώττουσα παροξύνηι τῶν ἡμετέρων παριδεῖν τι θεσπισμάτων, ἐν οἱωιδήποτε τόπωι τῆς ἐκκλησίας ἢ ἐντὸς τοῦ ναοῦ ἢ περὶ τὸν ναὸν ἢ καὶ ἐκτὸς τούτου τυγχάνοντα, παραχρῆμα τοῦτον τὰ ὅπλα αὐθεντίαι τοῦ ἐπισκόπου παρὰ μόνων τῶν κληρι-

---

VS, D [= mn], A, (t) [1 ὅπλα — 4 στοῶν, 14 τοὺς δίχα — 17 κωλύεσθαι, 20 τὰ διαστήματα — 22 ὡρίσθαι, 24 εἰ — 26 θρασύτης, 32 προηγουμένως — p 65, 9 ὑποβληθήσονται, sed abbreuiata]

1 ἀμυντηρίωι om. SD 1/2 ἢ ἔχειν ἢ A 3 κελλίων scripsi *cellulis* (t lat) ἑλῶν VSDA διαιτῶν (t) 5 προσφυγόντων A δεδηλώκαμεν SD ἐδηλώσαμεν VA 6 διχοννοίασ A 10 τῆι — ἡμῖν om SD τῆι οπι A 11 ἁγιωτάτου δὲ V 12 καὶ εἰσ V 13 ἐκ om. D θειότητοσ VA θεότητοσ S om. D 14 ἅγιον SD (t) ὁσιώτατον VA ἐν om D 15 ἢ SD (t) ἢ καὶ VA κατ' αὐτὴν D 16 διαίτης scripsi ἀπ' αὐτῆσ SDA ἐπ' αὐτοῖσ V τροφὴσ (t) 19 μὴ δὲ A 21 ἀφορισθέντα τὰ A 22 προπετῶσ VA προπετῶσ δεικνυέτωσαν [δεικνυέτωσαν καὶ S] SD 25 ἐπινεύοι V πείθηται VD πείθητε S 26 διωκέσθω scripsi διωκέτω VSDA χωριζέσθω (t) ἔστω] conicias ἔσται 27 τῆι om V ἐπιμελεία SD 29 ἢ VA εἰ SD παρασκευῆσ VA 30 ἀπείργεται om SD εὐαγία SD 31 βοῆι scripsi βοηθηθῆναι ἢ VDA βοηθῆναι ἢ S ἀγριότητα D ἀφόρητον scripsi φορητὸν VSDA 32 τοῦτο (t) τούτου VA τούτουσ SD 34 τυφλώττοντα D τί παριδεῖν A

κῶν καὶ αὐστηρότερον ὑπὲρ τῆς αὐτῶν σωτηρίας ἀποτίθεσθαι καταναγκασθῆναι προστάττομεν, διδομένης αὐτοῖς ἐλπίδος καὶ θάρσους ὡς τῆι θρησκείαι μᾶλλον ἢ τῆι τῶν ὅπλων
10 ἐπικουρίαι ὀχυρωθήσονται. ἐὰν δὲ τῆι τοῦ ἡμετέρου νόμου αὐθεντίαι καὶ τῆι ἐκκλησιαστικῆι φωνῆι ὑπομνησθέντες τῶι τόνωι τῆς οἰκείας ἀγνοίας ἐμμείνωσι καὶ τὰ ὅπλα μὴ ἀπόθωνται, ἅπερ παρὰ τὸ θεμιτὸν οὐ σωτηρίας χάριν, ἀλλὰ τυραννίδος καὶ ἱεροσυλίας θρασύτητι ἀνεδέξαντο, γινωσκέτωσαν ὡς διὰ τοσούτων καὶ τηλικούτων παραγγελμάτων ἐξευμενισθείσης τῆς θρησκείας παρά τε τῆς ἡμετέρας γαληνότητος καὶ τῶν ἐπισκόπων θεῶι τῆς ἀπολογίας δοθείσης, κατὰ τὸ οἰκεῖον πταῖσμα καὶ παρ' ἐνόπλων εἰσχωρουμένων ἀποσπασθήσονται καὶ πάσαις ταῖς συμφοραῖς ὑποβληθήσονται εὐσεβῶς τε ταῦτα εἰς αὐτοὺς γενήσεται ἅπερ χρὴ γενέσθαι ὑπὲρ τοῦ χαλεπὰ καὶ τραγωιδίας ἄξια ἐξαμαρτάνειν αὐτούς
11 (τί γὰρ ἐκ τῶν τολμηθέντων ἔναγχος κατὰ τῆς θρησκείας καὶ τῆς θειότητος παρὰ τῶν σφόδρα ἐλεουμένων εὐλαβεῖσθαι ἢ ὑποπτεύειν ἡμᾶς καὶ διὰ τοῦτο πᾶσαν ὁδὸν ἀφορμήν τε ἀποκινῆσαι μανίας οὐκ ἂν προσήκοι;), ἵνα μὴ ὅπερ ἐξ ὑποδείγματος ἡ τραγικὴ μανία πρώτως ἐξήμαρτε, τὸ αὐτὸ καὶ αὖθις, ὅπερ ἀπείη, ἱεροσυλίας τρόπωι τολμηθείη. ἀλλ' οὔτε M V 445
δίχα γνώμης ἢ κελεύσεως τοῦ ἐπισκόπου ἢ καὶ ἡμῶν τῶν δικαστῶν τῶν κατὰ τήνδε τὴν πόλιν ἢ καὶ ὁπουδήποτε τυγχανόντων τὸν ὡπλισμένον ἐκ τῶν ἐκκλησιῶν χρὴ παραδίδοσθαι, ἵνα μὴ ἐὰν κατὰ τῶν ἀθλίων πολλοῖς τοῦτο καὶ ἀδιαφόρως ἐξῆι, σύγχυσις ἐκ τούτου ἐγγένηται. εὐλαβεῖσθαι γὰρ τοὺς μεθ' ὅπλων φεύγοντας πρὸς διόρθωσιν βουλόμεθα ἀφαιρεῖσθαι τὰ ὅπλα καὶ οὔτε σωτηρίαν. ἐν κεφαλαίωι καὶ τοῦτο, μᾶλλον δὲ προηγουμένως L III 1242
διὰ τοῦ νόμου τούτου θεσπίζομεν ἵν' αἱ τοιαῦται ἀθέμιτοί τε καὶ ἱερόσυλοι κινήσεις ἢ ἅμα τῶι ἄρξασθαι ἐν αὐτοῖς τοῖς προοιμίοις τῶν ὅπλων ἀποτεθέντων τῆι καλλίστηι νουθεσίαι ἡσυχάσωσιν ἢ τῶι φαυλοτάτωι τόνωι ἐμμένοντες τῶι προειρημένωι ἐπισχεθῶσι λόγωι τῆς ὑπερλάμπρου ἐξουσίας σου διὰ τῆς κοσμιωτάτης δικαιοσύνης τε καὶ ἀκριβοῦς εὐσεβείας.

12 Ταῦθ' ἅπερ περὶ τῆς θρησκείας σεβασμίως καὶ μετὰ πάσης παρατηρήσεως εὐλαβείας τιμῆς καθαρότητος ἁγιωσύνης αἰδοῦς εὐσεβείας καὶ μάλιστα παρὰ τῶν προσφευγόντων φυλάττεσθαι, μήτε διὰ τὴν θρησκείαν τῆς φιλανθρωπίας ἀποκλειομένης μήτε μὴν διὰ φιλανθρωπίαν τῆς θρησκείας παρορωμένης, προσετάξαμεν, τοῦ πρέποντος ὁμοῦ τῆι θειότητι καὶ τῆι ἀνθρωπότητι ἀφορισθέντος, διαταγμάτων προτεθέντων εἰς πάντων γνῶσιν περιελθεῖν φροντίσεις, ὥστε καὶ τοὺς προσφεύγοντας διὰ τῆς τῶν ὁρισθέντων φιλανθρωπίας ἀμερίμνους τυγχάνειν καὶ μηδενὸς προπετείαι * τὰ εἰς τιμὴν τῆς θρησκείας τυπωθέντα διακρατεῖν.

Νόμος προετέθη ἰνδ. ιδ̄ μηνὶ Φαρμουθὶ ιβ̄ d. 7. m. Apr. 431

VS, D [= mn], A, (t) [14 ἀλλ' οὔτε — 18 ἐγγένηται]

1 αὐστηρότερον (t) αὐστηρότερα SD αὐστηροτέρα VA 2 θράσουσ SD 4 ἐμμένωσι V τὰ om. VA 5 σωτηρίασ χάριν VA σωτηρία χωρεῖν SD καὶ om. SD 6 παραγγελίασ SD cf. μετὰ τοσαύτας καὶ τηλικαύτας παραγγελίας (t) 12 ἢ VSD δεῖ A 13 οὐκ ἂν προσήκοι scripsi οὐ συνπροσήκει [συμπροσήκει DA] SDA οὐ προσήκει V τραγικὴ VSA στρατιωτικὴ D 14 τολμηθέν SD 15 τῶν τε δικαστῶν (t) 16 ἢ om. A ἀποδίδυσθαι A 17 ἀδιαφόρωσ (t) διαφόρωσ SD διαφόροισ A διαφόροι V 18 conicio εὐλαβῶς 19 οὔτε om. spatio rel. A προηγουμένωσ VA προηγήσαμεν ὡσ SD 20 ἵν' αἱ VSA ἵνα D 21 ἀποτεθέντεσ SD 22 τῶι προειρημένωι scripsi τῶν προειρημένων VSDA ἐπισχεθεισῶν SD 23 σου SD om VA κοσμιότητοσ V εὐσεβείασ VA ἐξουσίασ καὶ εὐσεβείασ SD 27 τῆ τε θεότητι V 28 προστεθέντων S πάντων γνῶσιν SDA πάντα κόσμον καὶ γνῶσιν πάντων V 29 φροντίσεις scripsi φροντίσει VA φροντίση SD 30 τυγχάνειν om. SD lacunam statui e. g. supplendo ἐκπλήττεσθαι ἀλλὰ πανταχοῦ 32 ὁ παρὼν νόμοσ A ιδ̄ μηνόσ φαρμουθὶ ἰνδικτιῶνοσ δευτέρασ A ἰνδικτιῶνι τεσσαρεσκαιδεκάτη D

138 = S 131 A 157. excerptum extat in ea Codicis Iustinianei primi libri epitoma quae Constitutionum ecclesiasticarum collectio dici solet, cf. Cod. Iustin. ed. Krüger 1, 1[8]

L III 1214 M V 417 Ἴσον θείου θεσπίσματος τοῦ εὐσεβεστάτου βασιλέως Θεοδοσίου κατά τε Πορφυρίου καὶ Νεστοριανῶν καὶ κατὰ Εἰρηναίου τοῦ Τυρίων ἐπισκόπου

Πρέπειν ἡγούμεθα τῇι ἡμετέραι βασιλείαι τοὺς ὑπηκόους τοὺς ἡμετέρους περὶ τῆς εὐσεβείας ὑπομιμνήσκειν. οὕτω γὰρ καὶ πλείονα κτήσασθαι τὴν τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ εὐμένειαν δυνατὸν εἶναι νομίζομεν, ὅταν καὶ ἡμεῖς τὰ κατὰ δύναμιν αὐτῶι ἀρέσκειν σπουδάζωμεν καὶ τοὺς ἡμῖν ὑπακούοντας εἰς τοῦτο προτρέπωμεν. θεσπίζομεν τοίνυν ὥστε πάντα ὅσα Πορφύριος ὑπὸ τῆς ἑαυτοῦ μανίας ἐλαυνόμενος κατὰ τῆς εὐσεβοῦς θρησκείας τῶν Χριστιανῶν συνέγραψε, παρ' οἱωιδήποτε εὑρισκόμενα πυρὶ παραδίδοσθαι· πάντα γὰρ τὰ κινοῦντα τὸν θεὸν εἰς ὀργὴν συγγράμματα καὶ τὰς ψυχὰς ἀδικοῦντα οὐδὲ εἰς ἀκοὰς ἀνθρώπων ἐλθεῖν βουλόμεθα. ἔτι θεσπίζομεν ὥστε τοὺς ζηλοῦντας τὴν ἀσεβῆ Νεστορίου πίστιν ἢ τῆι ἀθεμίτωι αὐτοῦ διδασκαλίαι ἀκολουθοῦντας, εἰ μὲν ἐπίσκοποι εἶεν ἢ κληρικοί, τῶν ἁγίων ἐκκλησιῶν ἐκβάλλεσθαι· εἰ δὲ λαικοί, ἀναθεματίζεσθαι
nr. 111 κατὰ τὰ ἤδη νομοθετηθέντα παρὰ τῆς ἡμετέρας θειότητος, ἐξουσίαν ἐχόντων τῶν βουλομένων ὀρθοδόξων τῶν ἑπομένων τῆι εὐσεβεῖ ἡμῶν νομοθεσίαι δίχα φόβου καὶ βλάβης δημοσιεύειν αὐτοὺς καὶ ἐλέγχειν. ἐπειδὴ δὲ ἦλθεν εἰς τὰς εὐσεβεῖς ἡμῶν ἀκοὰς ὡς τινες διδασκαλίας τινὰς συνέγραψαν καὶ ἐξέθεντο ἀμφιβόλους καὶ οὐκ ἀκριβῶς συμφωνούσας τῆι ἐκτεθείσηι ὀρθοδόξωι πίστει παρὰ τῆς ἁγίας συνόδου τῶν συνελθόντων ἐν Νικαίαι καὶ ἐν Ἐφέσωι ἁγίων πατέρων καὶ Κυρίλλου τοῦ τῆς εὐλαβοῦς μνήμης τοῦ γεγονότος τῆς Ἀλεξανδρέων μεγάλης πόλεως ἐπισκόπου, κελεύομεν τὰ μὲν γεγονότα τοιαῦτα συγγράμματα ἢ
L III 1215 καὶ πρὸ τούτου ἢ καὶ νῦν ἐμπίπρασθαι καὶ τελείωι ἀφανισμῶι παραδοθῆναι, ὥστε μήτε εἰς ἀνάγνωσίν τινος ἐλθεῖν, τῶν τὰ τοιαῦτα συγγράμματα ἤτοι βιβλία ἔχειν καὶ ἀναγινώσκειν ἀνεχομένων τὴν ἐσχάτην τιμωρίαν ὑφορωμένων· τοῦ δὲ λοιποῦ μηδενὶ ἐξεῖναι παρὰ τὴν ἐκτεθεῖσαν πίστιν, καθάπερ εἰρήκαμεν, ἔν τε Νικαίαι καὶ ἐν Ἐφέσωι λέγειν τι ἢ διδάσκειν, δηλαδὴ τῶν παραβαινόντων τοῦτο ἡμῶν τὸ θεῖον θέσπισμα τῆι ἐγκειμένηι τιμωρίαι τῶι
nr. 111 ἐκπεμφθέντι περὶ τῆς δυσσεβοῦς πίστεως Νεστορίου νόμωι ὑποβαλλομένων.

Ὥστε δὲ πάντας τῆι πείραι μαθεῖν ὡς ἡ ἡμετέρα θειότης ἀποστρέφεται τοὺς ζη-
M V 420 λοῦντας τὴν ἀσεβῆ Νεστορίου πίστιν, θεσπίζομεν Εἰρηναῖον τὸν πάλαι διὰ τὴν αἰτίαν ταύ-
Coll. Cas. 277 την παρ' ἡμῶν ἀγανακτήσει ὑποβληθέντα καὶ μετὰ τοῦτο οὐκ ἴσμεν ὅπως μετὰ δύο γάμους,
1 Tim. 3, 2 ὡς μεμαθήκαμεν, παρὰ τοὺς ἀποστολικοὺς κανόνας τῆς Τυρίων πόλεως ἐπίσκοπον γεγονότα τῆς μὲν ἐν Τύρωι ἁγίας ἐκκλησίας ἐκβληθῆναι, ἐν δὲ τῆι αὐτοῦ μόνηι πατρίδι διάγειν ἡσυχάζοντα, παντελῶς τοῦ σχήματος καὶ τοῦ ὀνόματος τοῦ ἱερέως ἐστερημένον.

Ταῦτα τοίνυν ἡ σὴ μεγαλοπρέπεια ἀκολουθοῦσα τῶι σκοπῶι τῆς ἡμετέρας εὐσεβείας παραφυλάξαι καὶ πέρατι παραδοῦναι σπουδάσει.

---

d. 17. m. Febr. 448 subscr. in Cod. Iustin.: D. XIIII K. Mart. Constantinopoli Zenone et Postumiano conss.

VS, D [= mn], A

ρλη V ρκδ' D 4 τυρέων S 5 praemittit Αὐτοκράτορες Θεοδόσιος καὶ Οὐαλεντινιανὸς ΑΑ. Ὁρμίσδαι ἐπάρχωι πραιτωρίων Cod. Iust. 11 πρὸσ ὀργὴν τὸν θν V 12 ἀκοὰσ ἀνθρώπων ἐλθεῖν VA Cod. ἀκοὰσ ἐλθεῖν ἀνθρώπων S ἀκοὰσ ἐλθεῖν D βούλομαι SD 13 δόξαν V 17 εὐσεβεῖσ ἡμῶν ἀκοὰσ V Cod. εὐσεβεῖσ ἀκοὰσ τῆσ ἡμετέρασ θειότητοσ A ἡμετέρασ ἀκοὰσ τὰσ εὐσεβεῖσ καὶ θειοτάτασ SD 18 ἀμφιβολὰσ S 19 ἐκτεθείσηι om. SD 20 εὐλαβοῦσ VA εὐσεβοῦσ SD Cod. 21 μεγάλης om. SD 21—23 ἢ καὶ πρὸ — συγγράμματα om. D 24 περὶ D 31 τυρέων S πόλεως om. SD 33 καὶ τοῦ σχήματοσ SD 35 σπουδάσῃ S

139 = S 132 A 158

Διάταγμα προτεθὲν παρὰ τῶν ἐπάρχων μετὰ τοῦ θείου πραγματικοῦ κατὰ Πορφυρίου καὶ Νεστορίου καὶ Εἰρηναίου

Καὶ νόμων καὶ αὐτῆς τῆς πολιτείας σύστασιν εἶναι τὴν ὀρθόδοξον θρησκείαν καλῶς δοκιμάσας ὁ θειότατος ἡμῶν αὐτοκράτωρ διὰ ἰδίου θεσπίσματος πᾶν ἀσεβείας ἀνεῖλε σπέρμα, ἰώμενος μὲν διὰ σωφρονισμοῦ συμμέτρου τοὺς ταύτην νοσοῦντας, ὁδὸν δὲ εὐζωίας πᾶσιν ὑποδεικνύς. οἷα τοίνυν περί τε τῶν βιβλίων Πορφυρίου τῶν κατὰ τῆς εὐαγοῦς τῶν Χριστιανῶν θρησκείας συγγραφέντων καὶ τῶν τὰς ἀθεμίτους Νεστορίου διδασκαλίας συγγραψαμένων ἐθέσπισε καὶ ὡς οὐδὲν δόγμα περὶ θρησκείας δεῖ κρατεῖν, εἰ μὴ τὸ δοκιμασθὲν παρὰ τῶν συνεληλυθότων εὐλαβεστάτων ἐπισκόπων πάλαι τε ἐν Νικαίαι καὶ μετὰ ταῦτα ἅμα Κυρίλλωι τῶι τῆς εὐλαβοῦς μνήμης κατὰ τὴν Ἐφεσίων πόλιν, ἔτι μὴν καὶ περὶ τῆς καθαιρέσεως Εἰρηναίου τοῦ γεγονότος τῆς Τυρίων πόλεως ἐπισκόπου, ἅπαντες εἴσεσθε ἐκ τοῦ προλάμποντος θείου θεσπίσματος δηλουμένου Ἑλληνίδι φωνῆι, ὥστε μηδένα τούτων ἄγνοιαν προφασίζεσθαι. προσήκει τοίνυν ἅπαντας μετὰ πάσης ἀκριβείας ταῦτα παραφυλάξαι, πρὸ ὀφθαλμῶν ἔχοντας τὴν τῶι θείωι γράμματι περιεχομένην ἀγανάκτησιν.

Ἀνεγνώσθη ἐν τῆι ἐκκλησίαι τῶν μοναζόντων ἐν τοῖς ἐρημικοῖς Φαρμουθὶ κγ̄ ἰνδικτιῶνος ᾱ ἔτους Διοκλητιανοῦ ρξδ̄ d. 18. m. Apr. 448

VS, D [= mn], A

ρλθ V ρκε' D 2/3 καὶ νεστορίου SD νεστορίου V om. A 4 νόμον V 5 διὰ — θεσπίσματος VSD ἰδίω θεσπίσματι A 7 περί VSA κατά D 9 τῆσ θρησκείασ SD 11 ἅμα om. V 12 τυρέων S 13 προλαβόντοσ SD 17 ᾱ VA δ̄ ᾱ SD

INDICES

I

IN HAC VOLVMINIS I PARTE IIII CONTINENTUR

Constitutio de asylo in ecclesiis . . . . . 137 p. 61—65
Constitutio aduersus Porphyrium Nestorianos Irenaeum . . . . . 138 p 66
imperatoris scriptum ad Iohannem Antiochenum . . . . . 120 p. 3—5
imperatoris scriptum ad Symeonem styliten . . . . . 121 p 5 6
edictum praefectorum praetorio . . . . . 139 p 67

Cyrilli ep ad Acacium Melitenensem [ep 40] . . . . . 128 p 20—31
„ ep ad Acacium Scythopolitanum de apopompaeo [ep. 41] . . . . . 134 p 40—48
„ ep ad Dynatum episcopum Nicopoleos [ep 48] . . . . . 129 p 31 32
„ commonitorium ad Eulogium [ep 44] . . . . . 132 p 35—37
„ ep ad Iohannem Antiochenum [ep 39] . . . . . 127 p 15—20
„ ep ad Iohannem Antiochenum et synodum Antiochenam [ep. 67] . . . . 133 p 37—39
„ ep ad Maximianum [ep 49] . . . . . 131 p 34
„ ep de symbolo [ep. 55] . . . . . 135 p 49—61
„ sermo [hom 3] . . . . . 126 p 14 15
Iohannis Antiocheni ep ad Cyrillum [Cyr ep 38] . . . . . 123 p 7—9
„ „ ep ad Xystum Cyrillum Maximianum . . . . . 130 p 33
libellus Cyrillo oblatus a Paulo episcopo Emeseno . . . . . 122 p 6 7
Pauli Emeseni sermo Alexandriae habitus . . . . . 124 p 9—11
„ „ sermo alter Alexandriae habitus . . . . . 125 p. 11—14

II

ADFERVNTVR

Gen 22, 1—6 . . . . . 47, 31
22, 9 10 . . . . . 48, 8
32, 22—24 30 31 . . . . . 55, 15
Exod 20, 3 . . . . . 41, 32 52, 5
28, 3 sq 56, 4
28, 15 sq 56, 6
28, 26 . . . . . 59, 9
32, 7 8 . . . . . 42, 12
Leuit 4, 22 23 . . . . . 43, 17
14, 2—7 . . . . . 45, 18
16, 7—10 . . . . . 40, 18
16, 15 16 . . . . . 40, 27 44, 10
16, 20—22 . . . . . 41, 2
16, 20 21 . . . . . 45, 4
Num 25, 1—9 . . . . . 42, 14
Deuter 6, 4 . . . . . 52, 4
6, 13 . . . . . 41, 31
Deuter 12, 1—3 . . . . . 41, 34
18, 1 . . . . . 43, 23
18, 13 . . . . . 49, 19
33, 8 9 . . . . . 55, 37
33, 8 . . . . . 56, 21
33, 9 . . . . . 57, 2 10
1 Reg 2, 30 . . . . . 16, 6
Ps 12, 4 . . . . . 50, 2
17, 7 . . . . . 34, 7
17, 45 46 . . . . . 55, 23
32, 6 . . . . . 53, 16
49, 3 . . . . . 53, 34
67, 12 . . . . . 40, 16
77, 15 16 . . . . . 56, 25
77, 18—20 . . . . . 56, 27
95, 11 . . . . . 15, 24
145, 8 . . . . . 40, 16

Prou. 4, 25 . . . . . 49, 26
22, 28 . . . . . 19, 24
Sap. Sal. 1, 1 . . . . . 23, 9
Iob 12, 22 . . . . . 40, 16. 50, 1
Ies. 1, 2 . . . . . 52, 38
7, 14 . . . . . 10, 7. 18, 9
11, 1 . . . . . 12, 8
12, 3 . . . . . 14, 27
26, 12 . . . . . 16, 19
32, 6 . . . . . 23, 20
42, 8 . . . . . 41, 24. 58, 11
42, 18 . . . . . 23, 8
44, 6 . . . . . 52, 6
49, 9 . . . . . 44, 32
50, 6 . . . . . 12, 18. 19, 13
53, 3 . . . . . 43, 33
53, 6 . . . . . 43, 31
53, 7. 8 . . . . . 59, 7
53, 12 . . . . . 43, 29
63, 1 . . . . . 46, 14
Ier. 4, 3 . . . . . 23, 12
22, 17 . . . . . 49, 24
Dan. 7, 13. 14 . . . . . 57, 15. 28
Os. 4, 8 . . . . . 43, 22
13, 14 . . . . . 15, 5
14, 10 . . . . . 42, 29
Ioel 2, 28 . . . . . 54, 31
Soph. 2, 1 . . . . . 23, 5
Zach. 13, 6 . . . . . 46, 6
Mal. 3, 6 . . . . . 19, 6
Mt. 1, 21 . . . . . 18, 13
1, 23 . . . . . 10, 9. 18, 10
8, 2. 3 . . . . . 13, 25
8, 26 . . . . . 13, 24
9, 6 . . . . . 13, 30
10, 20 . . . . . 58, 3
12, 46—50 . . . . . 57, 3
14, 19. 20 . . . . . 13, 28
14, 25 . . . . . 13, 23
16, 13—16 . . . . . 11, 1
16, 16 . . . . . 13, 18
18, 20 . . . . . 50, 13
22, 29 . . . . . 61, 13
25, 31—34. 41 . . . . . 43, 12
26, 39 . . . . . 14, 4
27, 45 . . . . . 14, 9
27, 46 . . . . . 14, 3
27, 51. 52 . . . . . 14, 10
28, 19 . . . . . 59, 23
Mc. 3, 17 . . . . . 12, 29
8, 38 . . . . . 58, 12
Lc. 1, 2 . . . . . 38, 12. 50, 10
1, 30. 31 . . . . . 18, 12
2, 14 . . . . . 9, 27
8, 20. 21 . . . . . 57, 5. 7
15, 10 . . . . . 39, 17
22, 67—69 . . . . . 57, 37
Ioh. 1, 1—3 . . . . . 12, 32. 53, 18
1, 1. 18 . . . . . 15, 6
1, 14: 12, 26. 13, 9. 15. 26, 1. 36, 2. 54, 25
1, 30 . . . . . 58, 4
3, 13 . . . . . 13, 31. 18, 19. 45, 37
3, 23 . . . . . 34, 27
3, 31 . . . . . 54, 2
6, 11 . . . . . 13, 28
6, 53 . . . . . 60, 7
8, 23 . . . . . 45, 35. 54, 1
8, 39. 40 . . . . . 27, 28
8, 42 . . . . . 54, 1
8, 58 . . . . . 58, 8
9, 35—37 . . . . . 55, 31
10, 30 . . . . . 27, 27. 52, 35
12, 22 . . . . . 48, 33
13, 23 . . . . . 12, 30
14, 2. 3 . . . . . 48, 27
14, 6 . . . . . 53, 3
14, 9. 10 . . . . . 27, 25
14, 10. 9 . . . . . 52, 34
14, 9 . . . . . 55, 30
14, 27 . . . . . 16, 18
16, 28 . . . . . 53, 38
17, 3 . . . . . 49, 11
17, 5 . . . . . 57, 31
19, 34 . . . . . 14, 5
20, 22 . . . . . 60, 25
20, 27 . . . . . 46, 18
Act. 1, 9 . . . . . 57, 20
2 31 . . . . . 44, 30
10, 38 . . . . . 61, 7
16, 7 . . . . . 19, 28
Rom. 1, 3. 4 . . . . . 12, 11
1, 22. 23 . . . . . 51, 31
1, 25 . . . . . 51, 33
6, 3 . . . . . 47, 6. 59, 32
8, 3 . . . . . 57, 23
8, 8. 9 . . . . . 20, 1
8, 29 . . . . . 38, 14. 58, 32
9, 3—5 . . . . . 28, 10
9, 4. 5 . . . . . 58, 19
9, 5 . . . . . 12, 11
10, 6—9 . . . . . 59, 26
1 Cor. 3, 11 . . . . . 50, 18
8, 5. 6 . . . . . 28, 7
10, 4 . . . . . 56, 32
13, 12. 9 . . . . . 49, 29
15, 20 . . . . . 58, 40
15, 47 . . . . . 18, 17
2 Cor. 3, 13 . . . . . 42, 33
4, 4 . . . . . 60, 29
5, 21 . . . . . 43, 26
13, 3 . . . . . 47, 3
Gal. 3, 16 . . . . . 12, 9
4, 3 . . . . . 51, 34
4, 4 . . . . . 58, 31

Eph. 2, 14 . . . . . 15, 24
3, 10. 11 . . . . . 46, 24
4, 5 . . . 17, 22. 47, 1. 59, 18. 39
5, 1, 2 . . . . . 44, 21
6, 19 . . . . . 28, 25
Phil. 2, 6—8 . . . . . 54, 5
2, 7: 18, 24. 26, 24. 38, 25. 53, 27. 57, 22
2, 8 . . . . . 58, 35
Col. 1, 15—18 . . . . . 58, 37
1, 19. 2, 9 . . . . . 10, 31
2, 3 . . . . . 48, 34
1 Tim. 1, 7 . . . . . 60, 32
3, 2 . . . . . 66, 31
Tit. 2, 11—13 . . . . . 58, 14
Hebr. 1, 3 . . . . . 53, 26. 55, 29
2, 9 . . . . . 44, 2. 59, 3
3, 1. 2 . . . . . 56, 12
7. 26 . . . . . 56, 19
8, 1 . . . . . 57, 34
9, 12 . . . . . 44, 16
9, 14 . . . . . 38, 19
10, 1 . . . . . 42, 30
12, 2 . . . . . 15, 11
13, 8 . . . . . 28, 5
13, 12 . . . . . 44, 19
1 Petr. 2, 22 . . . . . 56, 18
2, 24 . . . . . 43, 34
3, 15 . . . . . 24, 8. 51, 17
3, 18 . . . . . 46, 6
4, 1 . . . . . 19, 10. 46, 4
2 Petr. 1, 19 . . . . . 50, 26
1 Ioh. 1, 7 . . . . . 44, 6
2, 1. 2 . . . . . 44, 36
Iac. 1, 17 . . . . . 19, 5
2, 20 . . . . . 49, 16
Iud. 4 . . . . . 60, 37

V 4 . . . . . 37, 13
V 6 . . . . . 37, 13
V 6 anath. 4 . . . . . 26, 16
V 95 . . . . . 32, 16
V 96 . . . . . 8, 23. 31, 19
VIII 66, 15. 27
VI20 . . . . 6, 19. 8, 7. 21, 17. 31, 9. 33, 22
VI22 . . . . . 22, 20. 32, 4
VI23 . . . . . 32, 30
VI23. 127 [formula pacis]: 8, 19 = 17, 1. — 7, 12. 24, 29. 25, 5. 28, 30. 35, 4. 36, 13. 24
VI27 . . . . . 30, 1. 32, 29. 37, 12
VI28 . . . . . 37, 3. 14
VI30 . . . . . 32, 24
VI67—169 . . . . . 37, 8
A 24 . . . . . 37, 8
A 73—79 . . . . . 37, 7
A 75 . . . . . 51, 11
A 77 . . . . . 24, 2. 50, 34
AI03 . . . . . 6, 21
AI05 . . . . . 31, 15
AI07 . . . . . 21, 25. 31, 20
AI08 . . . . . 31, 32
AI19 . . . . . 29, 16. 30, 6. 21
Coll. Casin. 172 . . . . . 20, 25
277 . . . . . 66, 29
Coll. Sich. 14, 7 . . . . . 38, 32

imperatorum ep. ad Cyrillum 4, 16
Acacii Scythopolitani ep. ad Cyrillum: 40, 3. 41, 15
epistula Cyrillo supposita . . . 30, 27. 32, 32
epistula Philippo presbytero Romano supposita 30, 23

symbolum Nicaenum 51, 19
Athanasii ep. ad Epictetum: 20, 9. 30, 12. 36, 4. 37, 12
Nestorius p. 249, 1—4 . . . . . 25, 18
p. 262, 4—6 . . . . . 27, 10
p. 275, 9—11 . . . . . 25, 16
p. 277, 25—278, 2 . . . . 24, 22
p. 278, 5—7 . . . . . 24, 24
Proclus ἐν τῇι πρὸς Ἀρμενίους ἐπιστολῇι 38, 28
πρὸς τοὺς τῆς Ἑῴας ἐπισκόπους 60, 14

ceteri indices in calce uoluminis proponentur

CONCILIVM VNIVERSALE EPHESENVM

EDIDIT

EDVARDVS SCHWARTZ

VOLVMEN PRIMVM

ACTA GRAECA

PARS QVINTA

COLLECTIO VATICANA 140—164

MDCCCCXXVII

WALTER DE GRUYTER & CO.

VORMALS G J GÖSCHEN'SCHE VERLAGSHANDLUNG / J. GUTTENTAG, VERLAGS-BUCHHANDLUNG / GEORG REIMER / KARL J. TRÜBNER / VEIT & COMP.

BEROLINI ET LIPSIAE

PRAEFATIO

Quae huic parti quintae uoluminis primi insunt Collectionis Vaticanae scriptiones numeris 140—164 signatae, quamvis non omnia ad ipsum concilium Ephesenum spectent, quin etiam pauca ab eo aliena sint, eorum tamen memoria solis Gestorum Ephesenorum debetur collectionibus praeter Cyrilli solutiones duodecim capitulorum. praeter enim Collectiones Vaticanam et Seguieranam atque Borbonicam, de qua egi parte I p. X sq., extant illae singulariter traditae in codice Ottoboniano 413 [Q] s. XI nitide scripto, uitiis autem orthographicis pleno; de cetera quae codici inest materia cf. catalogum codicum graecorum bibliothecae Ottobonianae, qui editus est Romae a. 1893, p. 225. codice primus usus est Philippus Edwardus Pusey. de ea Cyrilli contra Theodoretum apologetici duodecim capitulorum editione, qua Solutiones cum illo opere coniunctae sunt, commodius in praefatione partis sextae agetur.

Monachii menses Septembri a. h. s. XXVII

E. Schwartz

COLLECTIO VATICANA

140—164

Acta conciliorum oecumenicorum I 1, 5

L III 975 γὰρ ἴσμεν ἐπὶ [το] προσκεφάλαιον καθεύδοντα, τὸν αὐτὸν τῇι θαλάσσηι ἐπιτιμῶντα ἐν ἐξου-
Mc. 4, 38 39 σίαι καὶ τοῖς ἀνέμοις· τὸν αὐτὸν ἐπὶ τῆς ὁδοιπορίας κεκμηκότα, τὸν αὐτὸν ἐπὶ τῆς θα-
Ioh 4, 6
Mt. 14, 25 λάσσης περιπατοῦντα ὡς ἐπὶ στερεᾶς γῆς ἰδίαι ἐξουσίαι. ὁ αὐτὸς τοίνυν θεός, ὁ αὐτὸς ἄνθρωπος ὁμολογουμένως. τί γὰρ τὸ θαῦμα εἰ ἄνθρωπός τις τῶν καθ' ἡμᾶς ἐν ἐξουσίαι δυνάμεις θεοῦ ἐνεργεῖν λέγεται; ἀλλ' ἵνα τοῦτον αὐτὸν τὸν θεὸν λόγον κεκενῶσθαι ὑποδείξωσιν ἡμῖν αἱ θεῖαι γραφαί, οὐ δοκήσει ἀλλ' ἐνεργείαι, ἕνα καὶ τὸν αὐτὸν ἡμῖν διαγορεύουσαι προφητικοῖς καὶ μὴν καὶ ἀποστολικοῖς κηρύγμασι, τὸν αὐτὸν εἶπον θεόν, τὸν αὐτὸν ἄνθρωπον. θεοῦ τοίνυν ἡ σύλληψις ἡ παρθενική, θεοῦ ἡ γέννησις, θεοῦ ἡ κατὰ πάντα προς ἡμᾶς καὶ δι' ἡμᾶς ὁμοίωσις οἰκονομικῶς, θεοῦ τὸ πάθος, θεοῦ τοῖς ἐν φυλακῆι καὶ ἐν τῶι σκότει ἡ κήρυξις, θεοῦ ἡ ἀνάστασις, θεοῦ ἡ ἀνάληψις. ὁ ἀχώρητος ἑαυτὸν δέδωκεν κεχωρῆσθαι δι' ἡμᾶς ἐν τῆι τῆς παρθένου μήτραι μετὰ τῆς ἰδίας σαρκός, ἣν προσελάβετο ἐξ αὐτῆς. ὁ ἀχώρητος ἐν σαρκὶ ἐχωρεῖτο· ὁ ἀναλλοίωτος ἐν ἀνθρώπου μορφῆι ἡμῖν ἐφάνη· ὁ ἀπαθὴς πέπονθε δι' ἡμᾶς ἑκουσίως καὶ ὑπὲρ ἡμῶν τῆι ἰδίαι σαρκὶ τῆι παθητῆι· ὁ ἀχώριστος τοῦ θεοῦ καὶ πατρὸς ἐπὶ γῆς ὤφθη κατὰ τὸ γεγραμμένον καὶ τοῖς ἀνθρώποις συνανεστράφη· ὁ ἀψηλάφητος λόγχηι ὑπὸ τῶν παρανόμων κατενύττετο· ὁ ἀπαθὴς σταυρὸν ἐθελούσιον ὑπέμεινεν δι' ἡμᾶς· τὸ φῶς τὸ ἀθάνατον θανάτωι ἑαυτὸν ἐκδέδωκε, θανάτωι δὲ σταυροῦ· ὁ ὢν ἐν τῶι κόλπωι τοῦ πατρὸς ἀνάληψιν ὑπέμεινε διὰ τῆς ἰδίας σαρκός. τοὺς δὲ λέγοντας ἄνθρωπόν τινα τῶν καθ' ἡμᾶς ἀνειληφέναι τὸν θεὸν λόγον καὶ οὐχὶ δὴ μᾶλλον τὸν αὐτὸν θεὸν λόγον, τὸν υἱὸν τὸν ἐνυπόστατόν τε καὶ ἐνεργῆ καὶ ζῶντα γενέσθαι ἄνθρωπον καὶ ἐν τοῖς καθ' ἡμᾶς οἰκονομικῶς δι' ἡμᾶς ἐξορίζει ἡ ἁγία σύνοδος ἡ ἐν τῆι Ἐφεσίων μητροπόλει γεγενημένη.

Bar. 3, 38
Ioh. 19, 34
Phil. 2, 8
Ioh 1, 18

141 = S 37

M V 173

Συζήτησις περὶ τοῦ αὐτοῦ

Ἐρώτησις· Πῶς ὁ θεὸς ὁ ἀχώρητος ἐχωρήθη ἐν μήτραι παρθενικῆι;

ἀπόκρισις· Ἐπειδὴ εὐδόκησε λυτρώσασθαι καὶ ἐλευθερῶσαι τὸ τῆς ἀνθρώπου φύσεως γένος.

ἐρώτησις· Πῶς ὁ ἄναρχος γέννησιν ὑπέμεινε τὴν διὰ γυναικός;

Gal 3, 10 ἀπόκρισις· Ἐπειδὴ ὑπὸ κατάραν ἐγεγόνει λοιπὸν πᾶς ἄνθρωπος (βεβασίλευτο γὰρ ὑπὸ τῆς ἁμαρτίας), διὰ τοῦτο εἰς ἀρχὰς τοῦ εἶναι λελόγισται πρὸς ἡμῶν αὐτῶν, ἵνα καὶ τὴν τῶν ὁμογενῶν γέννησίν τε καὶ μήτραν ἁγιάσηι.

ἐρώτησις· Πῶς ἐν ἀνθρώποις κατελογίσθη καὶ ἄνθρωπος γέγονεν ὁ ἄτρεπτός τε καὶ ἀναλλοίωτος τοῦ θεοῦ λόγος;

VS, D [= mn], W [= Vind. theol. gr. 18], FZ

1 εἴσμεν F τὸ om. FZ προσκεφαλαίου Z καθεύθοντα] καθήμενον V 2 ἐπὶ[1] ἀπὸ Z 2/3 τῆ θαλάσση F 3 στερρεᾶς S 4 θαυμαστὸν F ἐν om. Z 5 θῦ δυνάμεισ Z λέγηται V τοῦτον — τὸν FZ τὸν αὐτὸν VSDW 6 ἡμῖν om. Z διαγορεύουσαι scripsi διαγορεύουσι VSDWFZ 7 ἀποστολικοῖς — θεόν om. F εἶπαν S 8/9 θεοῦ ἡ γέννησις — οἰκονομικῶς om. Z 9 ὁμοίωσ S οἰκονομικὴ F τοῖς] τὸ SDW 10 τῶι om. F ἡ κήρυξις — ἀνάληψις] ἑλλαμψισ F θεοῦ ἡ ἀνάστασις om Z ἡ[2] om VSW ἀντίληψισ Z 11 ἐνδέδωκεν καὶ χωρεῖσθαι F ἦσ Z 12 μορφῆι om. F 13 ἡμῖν ἐφάνη F ἐπεφάνη Z om VSDW 13/14 τῆ παθητῆ FZ om. VSDW 14 ἀχώρητοσ Z καὶ ἐν SD 15 ἐν λόγχη F 17 δέδωκε F τοῖσ κόλποισ F 18 οἰκείασ Z τῶν] τὸν F 19 οὐχὶ δὴ FZ μὴ VSDW τὸν αὐτὸν — λόγον F τὸν αὐτὸν λόγον Z αὐτὸν VSDW 20 γεγεννῆσθαι F δι' ἡμᾶς om V ἐξορίζει καὶ ἀποβάλλεται Z ἐξορί S 21 πόλει VSDW γεναμένη F

VS, D [= mn], W [= Vindob. theol gr. 18], F

ῥμᾶ V 23 τοῦ om. D 24 sq. ἐρώτησις et ἀπόκρισις semper om. F πῶς] δια τί F 25 ηὐδόκησε SF 27 πῶς] δια τί F 28 λοιπὸν om. W ἐβεβασίλευτο F 30 τε om. VW 31 δια τί πῶσ F 31/32 ὁ ἄτρεπτοσ καὶ ἀναλλοίωτοσ F ἄτρεπτόσ [καὶ ἄτρεπτόσ V] τε καὶ ἀναλλοίωτοσ ὁ VSDW

ἀπόκρισις· Τὸ [τοῦ] ἀνθρώπου γένος βουλόμενος σῶσαι, εὐδόκησε γενέσθαι δι' ἡμᾶς ἐν τοῖς καθ' ἡμᾶς οἰκονομικῶς καὶ ὡμοιῶσθαι ἡμῖν κατὰ πάντα χωρὶς ἁμαρτίας. Hebr. 4, 15

ἐρώτησις· Πῶς τῶι ἀπαθεῖ ὕπνον καὶ κόπον καὶ πεῖναν καὶ σταυρὸν καὶ πάντα τὰ ὑποκείμενα φθορᾶι περιάπτειν τολμᾶτε;

ἀπόκρισις· Εὐφήμει, ὦ ἄνθρωπε, παρακαλῶ. ἤδη προείπαμεν σαρκὶ παθητῆι, καθὼς καὶ αἱ θεῖαι ἡμῖν γραφαὶ δεδηλώκασι, περιειλῆφθαι τὸν τοῦ θεοῦ λόγον καὶ ἡνῶσθαι αὐτῆι καὶ δι' αὐτῆς πεφηνότα τὸν υἱὸν τοῦ θεοῦ τὸν θεὸν λόγον μετ' αὐτῆς ὕπνον ὑπομεῖναι καὶ κόπον καὶ πάντα τὰ τοῦ ἀνθρώπου χωρὶς ἁμαρτίας, οὐ τῆι φθορᾶι ὑποκείμενος (ἀμείνων γὰρ φθορᾶς καὶ θανάτου ὁ ἄφθαρτος καὶ ζωοποιὸς τοῦ θεοῦ λόγος), ἀλλὰ τὴν φθορὰν ἀποσοβῶν ἀπὸ τοῦ γένους τῶν ἀνθρώπων. οὐκ οἶμαι ἔγκλημα περιάπτεσθαι βασιλεῖ, ὁπόταν βουλόμενος σῶσαι τὸ ἴδιον, τὸ τοῦ δούλου σχῆμα ἐνδύσηται· καὶ πῶς τολμήσει τις τῶι τῆι φύσει ἐλευθέρωι ἐγκαλεῖν ὅτι γέγονεν δι' ἡμᾶς ἄνθρωπος καὶ ἐν τοῖς καθ' ἡμᾶς οἰκονομικῶς; ἀποδέχου τοῦ πατρὸς τὴν φιλανθρωπίαν ὅτι τὸν ἴδιον υἱὸν δωρεῖται δι' ἡμᾶς· μὴ περιεργάζου τὸ πρᾶγμα, παρακαλῶ. οὐ γὰρ ἐξ Ἑλληνικῆς σοφίας τὸ γνώρισμα οὐδὲ ἀπὸ φρονήματος κοσμικοῦ· ἀλλότριον γὰρ ἑκατέρων. μακάριος εἶ, φησὶν ὁ κύριος τῶι Πέτρωι, Σιμὼν βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς. οὐράνιον τὸ δῶρον, τὸ τῆς θείας ἐπιφοιτήσεως τοῦ υἱοῦ τοῦ θεοῦ γνώρισμα.

5 καθὼς καὶ αἱ θεῖαι ἡμῖν γραφαὶ δεδηλώκασι, περιειλῆφθαι τὸν τοῦ θεοῦ λόγον καὶ ἡνῶσθαι Ioh. 1, 14 L III 978
10 βασιλεῖ, ὁπόταν βουλόμενος σῶσαι τὸ ἴδιον, τὸ τοῦ δούλου σχῆμα ἐνδύσηται· καὶ πῶς
15 Mt. 16, 17

ἐρώτησις· Πῶς ὁ τῶν πάντων ποιητὴς θεὸς λόγος ὁ ἀψηλάφητος ὁ ἀόρατος ὁ ἀναλλοίωτός τε καὶ περιγραφὴν μὴ ἀνεχόμενος ἐν εὐτελεῖ ξύλωι σταυρὸν ὑπέμεινε καὶ θάνατον;

ἀπόκρισις· Θάνατον φαμὲν ὑπομεμενηκότα τὸν τοῦ θεοῦ λόγον καὶ σταυρὸν διὰ τῆς ἰδίας σαρκός, ἵνα ἡμᾶς ἀπαλλάξηι θανάτου καὶ φθορᾶς· τὴν ἰδίαν γὰρ ψυχὴν τέθεικεν ὑπὲρ ἡμῶν, οὐκ ἀλλοτρίαν οὖσαν ἢ ξένην τοῦ θεοῦ λόγου (ἀπόρρητος γὰρ ἡ ἕνωσις)· αὐτὸς γὰρ εἶπεν· ἐξουσίαν ἔχω τὴν ψυχήν μου θεῖναι καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν. ταύτης ἴδιον τὸ ἀδημονεῖν, τὸ λύπην ὑπομένειν, τὸ ἐκδημεῖν ἀπὸ τοῦ σώματος, ὡς καὶ σαρκὸς τὸ κοπιᾶν, τὸ σταυροῦσθαι, τὸ ἀνίστασθαι, τὸ μετάρσιον ὑπομένειν θέσιν. πλὴν θεοῦ τὰ πάντα λέγεται καὶ ἔστιν· θεοῦ γὰρ καὶ ἡ ψυχή, θεοῦ καὶ τὸ σῶμα.

Ioh. 10, 18

ἐρώτησις· Πῶς ὁ παντοδύναμος λόγος τοῦ πατρὸς ἀναστάσει περιεπλάκη καὶ φθορᾶι ὁ ἄφθαρτος; M V 176

ἀπόκρισις· Φθορὰν μὲν οὐχ ὑπέμεινεν οὐδ' αὐτὴ ἡ τοῦ θεοῦ λόγου σάρξ. νόθως γὰρ διαλαμβάνοντες, νόθως καὶ ἐπερωτᾶτε· προανακεκράγει γὰρ ὁ προφήτης περὶ αὐτοῦ οὐ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν. πάθος μὲν ὑπέμεινεν ἑθελούσιον ὁ τοῦ θεοῦ υἱὸς ὁ χωρῶν ἐν ἑαυτῶι τὸν ἀχώρητον πατέρα, χωρούμενος δὲ καὶ αὐτὸς ὑπὸ τοῦ πατρός (χωρούμενος γὰρ ὑπὸ τοῦ πατρὸς καὶ ὢν ἐν τῶι κόλπωι τοῦ πατρός, ἐχωρεῖτο ἀρρήτως καὶ ἐν τῆι ἰδίαι σαρκί)· ἀνεβίω δὲ τριήμερος λαφυραγωγήσας τὸν ᾅδην καὶ ἐπεφάνη ἡμῖν μετὰ τῆς ἰδίας σαρκὸς ὁ τοῦ θεοῦ υἱός, ἵνα καὶ ἡμᾶς ἀπαλλάξηι

Ps. 55, 10

VS, D [= mn], W [= Vind. theol. gr. 18], F

1 τοῦ F om. VSDW ἀνθριώπων W σῶσαι βουλόμενοσ VW ηὐδόκησε F γενέσθαι om. V δι' ἡμᾶς om. W 3 καὶ σταυρὸν καὶ πεῖναν D 5 προεῖπον VSDW παθητῶσ S 6 γραφαὶ ἡμῖν VW δεδηλώκασι VWF παραδεδώκασι SD περιῆφθαι VSDW τοῦ [θεοῦ] θν̄ W 7 αὐτῆ SDF αὐτὸν VW δι' αὐτῆσ VSDW διὰ ταύτησ ὑπνοῦν F μετὰ ταύτησ F 7/8 κόπον καὶ ὕπνον ὑπομεῖναι SD ὑπέμεινεν F 8 τοῦ om. F 9 ἀμείνω WF 10 οὐχ' οἶμαι δὲ F 11 τοῦ om. D 13 τὸν υἱὸν τὸν ἴδιον F 15 ἀμφοτέρων F μακάριοσ γὰρ F 16 ὁ om. S Σίμων om. VSW 17 τὸ² om. S 20 ἀναλλοίωτόσ VSDW ἀλλοίωσίν F 21 λόγον VSDW υἱὸν F καὶ σταυρὸν om. F 22 τῆσ σαρκὸσ τῆσ ἰδίασ V 24 θεῖναι τὴν ψυχήν μου SD 25 λύπην] λυπεῖσθαι W ὑπομεῖναι V om. W 27 τὰ om. D ἔστιν F εἰσί VSDW 28 τοῦ πατρὸς om. S 29 ἀθάνατος VW θάνατοσ S 30 θεοῦ om. VW σάρξ] φύσισ V 31 γὰρ om. W 33 ὁ τοῦ — υἱὸς] τόν σταυρὸν F ὁ] οὐ F 33/34 χωρούμενος δὲ — πατρός om. F 36 ἐπέφανεν VSDW

L III 975 γὰρ ἴσμεν ἐπὶ [τὸ] προσκεφάλαιον καθεύδοντα, τὸν αὐτὸν τῆι θαλάσσηι ἐπιτιμῶντα ἐν ἐξου-
Mc. 4, 38. 39 σίαι καὶ τοῖς ἀνέμοις· τὸν αὐτὸν ἐπὶ τῆς ὁδοιπορίας κεκμηκότα, τὸν αὐτὸν ἐπὶ τῆς θα-
Ioh. 4, 6
Mt. 14, 25 λάσσης περιπατοῦντα ὡς ἐπὶ στερεᾶς γῆς ἰδίαι ἐξουσίαι. ὁ αὐτὸς τοίνυν θεός, ὁ αὐτὸς ἄνθρωπος ὁμολογουμένως. τί γὰρ τὸ θαῦμα εἰ ἄνθρωπός τις τῶν καθ' ἡμᾶς ἐν ἐξουσίαι δυνάμεις θεοῦ ἐνεργεῖν λέγεται; ἀλλ' ἵνα τοῦτον αὐτὸν τὸν θεὸν λόγον κεκενῶσθαι ὑποδείξωσιν ἡμῖν αἱ θεῖαι γραφαί, οὐ δοκήσει ἀλλ' ἐνεργείαι, ἕνα καὶ τὸν αὐτὸν ἡμῖν διαγορεύουσαι προφητικοῖς καὶ μὴν καὶ ἀποστολικοῖς κηρύγμασι, τὸν αὐτὸν εἶπον θεόν, τὸν αὐτὸν ἄνθρωπον. θεοῦ τοίνυν ἡ σύλληψις ἡ παρθενική, θεοῦ ἡ γέννησις, θεοῦ ἡ κατὰ πάντα πρὸς ἡμᾶς καὶ δι' ἡμᾶς ὁμοίωσις οἰκονομικῶς, θεοῦ τὸ πάθος, θεοῦ τοῖς ἐν φυλακῆι καὶ ἐν τῶι σκότει ἡ κήρυξις, θεοῦ ἡ ἀνάστασις, θεοῦ ἡ ἀνάληψις. ὁ ἀχώρητος ἑαυτὸν δέδωκεν κεχωρῆσθαι δι' ἡμᾶς ἐν τῆι τῆς παρθένου μήτραι μετὰ τῆς ἰδίας σαρκός, ἣν προσελάβετο ἐξ αὐτῆς. ὁ ἀχώρητος ἐν σαρκὶ ἐχωρεῖτο· ὁ ἀναλλοίωτος ἐν ἀνθρώπου μορφῆι ἡμῖν ἐφάνη· ὁ ἀπαθὴς πέπονθε δι' ἡμᾶς ἑκουσίως καὶ ὑπὲρ ἡμῶν τῆι ἰδίαι σαρκὶ τῆι παθητῆι· ὁ ἀχώριστος τοῦ θεοῦ καὶ πατρὸς ἐπὶ γῆς ὤφθη κατὰ τὸ γεγραμμένον καὶ τοῖς ἀνθρώποις συναναστράφη· ὁ ἀψηλάφητος λόγχηι ὑπὸ τῶν παρανόμων κατενύττετο· ὁ ἀπαθὴς σταυρὸν ἐθελούσιον ὑπέμεινεν δι' ἡμᾶς· τὸ φῶς τὸ ἀθάνατον θανάτωι ἑαυτὸν ἐκδέδωκε, θανάτωι δὲ σταυροῦ· ὁ ὢν ἐν τῶι κόλπωι τοῦ πατρὸς ἀνάληψιν ὑπέμεινε διὰ τῆς ἰδίας σαρκός. τοὺς δὲ λέγοντας ἄνθρωπόν τινα τῶν καθ' ἡμᾶς ἀνειληφέναι τὸν θεὸν λόγον καὶ οὐχὶ δὴ μᾶλλον τὸν αὐτὸν θεὸν λόγον, τὸν υἱὸν τὸν ἐνυπόστατόν τε καὶ ἐνεργῆ καὶ ζῶντα γενέσθαι ἄνθρωπον καὶ ἐν τοῖς καθ' ἡμᾶς οἰκονομικῶς δι' ἡμᾶς ἐξορίζει ἡ ἁγία σύνοδος ἡ ἐν τῆι Ἐφεσίων μητροπόλει γεγενημένη.

Bar. 3, 38
Ioh. 19, 34
Phil. 2, 8
Ioh. 1, 18

141 = S 37

M V 173

Συζήτησις περὶ τοῦ αὐτοῦ

Ἐρώτησις· Πῶς ὁ θεὸς ὁ ἀχώρητος ἐχωρήθη ἐν μήτραι παρθενικῆι;

ἀπόκρισις· Ἐπειδὴ εὐδόκησε λυτρώσασθαι καὶ ἐλευθερῶσαι τὸ τῆς ἀνθρώπου φύσεως γένος.

ἐρώτησις· Πῶς ὁ ἄναρχος γέννησιν ὑπέμεινε τὴν διὰ γυναικός;

Gal. 3, 10 ἀπόκρισις· Ἐπειδὴ ὑπὸ κατάραν ἐγεγόνει λοιπὸν πᾶς ἄνθρωπος (βεβασίλευτο γὰρ ὑπὸ τῆς ἁμαρτίας), διὰ τοῦτο εἰς ἀρχὰς τοῦ εἶναι λελόγισται πρὸς ἡμῶν αὐτῶν, ἵνα καὶ τὴν τῶν ὁμογενῶν γέννησίν τε καὶ μήτραν ἁγιάσηι.

ἐρώτησις· Πῶς ἐν ἀνθρώποις κατελογίσθη καὶ ἄνθρωπος γέγονεν ὁ ἄτρεπτός τε καὶ ἀναλλοίωτος τοῦ θεοῦ λόγος;

VS, D [= mn], W [= Vind. theol. gr. 18], FZ

1 εἴσμεν F τὸ om. FZ προσκεφαλαίου Z καθεύθοντα] καθήμενον V 2 ἐπὶ[1] ἀπὸ Z 2/3 τῆ θαλάσση F 3 στερρεᾶσ S 4 θαυμαστὸν F ἐν om. Z 5 θῦ δυνάμεισ Z λέγηται V τοῦτον — τὸν FZ τὸν αὐτὸν VSDW 6 ἡμῖν om. Z διαγορεύουσαι scripsi διαγορεύουσι VSDWFZ 7 ἀποστολικοῖς — θεόν om. F εἶπαν S 8/9 θεοῦ ἡ γέννησις — οἰκονομικῶς om. Z 9 ὁμοίωσ S οἰκονομικὴ F τοῖς] τὸ SDW 10 τῶι om. F ἡ κήρυξις — ἀνάληψις] ἔλλαμψισ F θεοῦ ἡ ἀνάστασις om. Z ἡ[2] om. VSW ἀντίληψισ Z 11 ἐνδέδωκεν καὶ χωρεῖσθαι F ἧσ Z 12 μορφῆι om. F 13 ἡμῖν ἐφάνη F ἐπεφάνη Z om. VSDW 13/14 τῆ παθητῆ FZ om. VSDW 14 ἀχώρητοσ Z καὶ ἐν SD 15 ἐν λόγχη F 17 δέδωκε F τοῖσ κόλποισ F 18 οἰκείασ Z τῶν] τὸν F 19 οὐχὶ δὴ FZ μὴ VSDW τὸν αὐτὸν — λόγον F τὸν αὐτὸν λόγον Z αὐτὸν VSDW 20 γεγεννῆσθαι F δι' ἡμᾶς om. V ἐξορίζει καὶ ἀποβάλλεται Z ἐξορί S 21 πόλει VSDW γεναμένη F

VS, D [= mn], W [= Vindob. theol. gr. 18], F

ρμᾶ V 23 τοῦ om. D 24 sq. ἐρώτησις et ἀπόκρισις semper om. F πῶς] δια τί F 25 ηὐδόκησε SF 27 πῶς] δια τί F 28 λοιπὸν om. W ἐβεβασίλευτο F 30 τε om. VW 31 δια τί πῶσ F 31/32 ὁ ἄτρεπτοσ καὶ ἀναλλοίωτοσ F ἄτρεπτόσ [καὶ ἄτρεπτόσ V] τε καὶ ἀναλλοίωτοσ ὁ VSDW

ἀπόκρισις· Τὸ [τοῦ] ἀνθρώπου γένος βουλόμενος σῶσαι, εὐδόκησε γενέσθαι δι' ἡμᾶς ἐν τοῖς καθ' ἡμᾶς οἰκονομικῶς καὶ ὡμοιῶσθαι ἡμῖν κατὰ πάντα χωρὶς ἁμαρτίας. Hebr. 4, 15

ἐρώτησις· Πῶς τῶι ἀπαθεῖ ὕπνον καὶ κόπον καὶ πεῖναν καὶ σταυρὸν καὶ πάντα τὰ ὑποκείμενα φθορᾶι περιάπτειν τολμᾶτε;

ἀπόκρισις· Εὐφήμει, ὦ ἄνθρωπε, παρακαλῶ. ἤδη προείπαμεν σαρκὶ παθητῆι, καθὼς καὶ αἱ θεῖαι ἡμῖν γραφαὶ δεδηλώκασι, περιειλῆφθαι τὸν τοῦ θεοῦ λόγον καὶ ἡνῶσθαι αὐτῆι καὶ δι' αὐτῆς πεφηνότα τὸν υἱὸν τοῦ θεοῦ τὸν θεὸν λόγον μετ' αὐτῆς ὕπνον ὑπομεῖναι καὶ κόπον καὶ πάντα τὰ τοῦ ἀνθρώπου χωρὶς ἁμαρτίας, οὐ τῆι φθορᾶι ὑποκείμενος (ἀμείνων γὰρ φθορᾶς καὶ θανάτου ὁ ἄφθαρτος καὶ ζωοποιὸς τοῦ θεοῦ λόγος), ἀλλὰ τὴν φθορὰν ἀποσοβῶν ἀπὸ τοῦ γένους τῶν ἀνθρώπων. οὐκ οἶμαι ἔγκλημα περιάπτεσθαι βασιλεῖ, ὁπόταν βουλόμενος σῶσαι τὸ ἴδιον, τὸ τοῦ δούλου σχῆμα ἐνδύσηται· καὶ πῶς τολμήσει τις τῶι τῆι φύσει ἐλευθέρωι ἐγκαλεῖν ὅτι γέγονεν δι' ἡμᾶς ἄνθρωπος καὶ ἐν τοῖς καθ' ἡμᾶς οἰκονομικῶς; ἀποδέχου τοῦ πατρὸς τὴν φιλανθρωπίαν ὅτι τὸν ἴδιον υἱὸν δωρεῖται δι' ἡμᾶς· μὴ περιεργάζου τὸ πρᾶγμα, παρακαλῶ. οὐ γὰρ ἐξ Ἑλληνικῆς σοφίας τὸ γνώρισμα οὐδὲ ἀπὸ φρονήματος κοσμικοῦ· ἀλλότριον γὰρ ἑκατέρων. μακάριος εἶ, φησὶν ὁ κύριος τῶι Πέτρωι, Σιμὼν βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς. οὐράνιον τὸ δῶρον, τὸ τῆς θείας ἐπιφοιτήσεως τοῦ υἱοῦ τοῦ θεοῦ γνώρισμα.

Ioh. 1, 14 L III 978

Ioh. 3, 16

Mt. 16, 17

ἐρώτησις· Πῶς ὁ τῶν πάντων ποιητὴς θεὸς λόγος ὁ ἀψηλάφητος ὁ ἀόρατος ὁ ἀναλλοίωτός τε καὶ περιγραφὴν μὴ ἀνεχόμενος ἐν εὐτελεῖ ξύλωι σταυρὸν ὑπέμεινε καὶ θάνατον;

ἀπόκρισις· Θάνατον φαμὲν ὑπομεμενηκότα τὸν τοῦ θεοῦ λόγον καὶ σταυρὸν διὰ τῆς ἰδίας σαρκός, ἵνα ἡμᾶς ἀπαλλάξηι θανάτου καὶ φθορᾶς· τὴν ἰδίαν γὰρ ψυχὴν τέθεικεν ὑπὲρ ἡμῶν, οὐκ ἀλλοτρίαν οὖσαν ἢ ξένην τοῦ θεοῦ λόγου (ἀπόρρητος γὰρ ἡ ἕνωσις)· αὐτὸς γὰρ εἶπεν· ἐξουσίαν ἔχω τὴν ψυχήν μου θεῖναι καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν. ταύτης ἴδιον τὸ ἀδημονεῖν, τὸ λύπην ὑπομένειν, τὸ ἐκδημεῖν ἀπὸ τοῦ σώματος, ὡς καὶ σαρκὸς τὸ κοπιᾶν, τὸ σταυροῦσθαι, τὸ ἀνίστασθαι, τὸ μετάρσιον ὑπομένειν θέσιν. πλὴν θεοῦ τὰ πάντα λέγεται καὶ ἔστιν· θεοῦ γὰρ καὶ ἡ ψυχή, θεοῦ καὶ τὸ σῶμα.

Ioh. 10, 18

ἐρώτησις· Πῶς ὁ παντοδύναμος λόγος τοῦ πατρὸς ἀναστάσει περιεπλάκη καὶ φθορᾶι ὁ ἄφθαρτος; M V 176

ἀπόκρισις· Φθορὰν μὲν οὐχ ὑπέμεινεν οὐδ' αὐτὴ ἡ τοῦ θεοῦ λόγου σάρξ. νόθως γὰρ διαλαμβάνοντες, νόθως καὶ ἐπερωτᾶτε· προανακεκράγει γὰρ ὁ προφήτης περὶ αὐτοῦ οὐ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν. πάθος μὲν ὑπέμεινεν ἑθελούσιον ὁ τοῦ θεοῦ υἱὸς ὁ χωρῶν ἐν ἑαυτῶι τὸν ἀχώρητον πατέρα, χωρούμενος δὲ καὶ αὐτὸς ὑπὸ τοῦ πατρός (χωρούμενος γὰρ ὑπὸ τοῦ πατρὸς καὶ ὢν ἐν τῶι κόλπωι τοῦ πατρός, ἐχωρεῖτο ἀρρήτως καὶ ἐν τῆι ἰδίαι σαρκί)· ἀνεβίω δὲ τριήμερος λαφυραγωγήσας τὸν ἅιδην καὶ ἐπεφάνη ἡμῖν μετὰ τῆς ἰδίας σαρκὸς ὁ τοῦ θεοῦ υἱός, ἵνα καὶ ἡμᾶς ἀπαλλάξηι

Ps. 55, 10

Ioh. 1, 18

VS, D [= mn], W [= Vind. theol. gr. 18], F

1 τοῦ F om. VSDW ἀνθρώπων W σῶσαι βουλόμενοσ VW ηὐδόκησε F γενέσθαι om. V δι' ἡμᾶς om. W 3 καὶ σταυρὸν καὶ πεῖναν D 5 προεῖπον VSDW παθητῶσ S 6 γραφαὶ ἡμῖν VW δεδηλώκασι VWF παραδεδώκασι SD περιῆφθαι VSDW τοῦ [θεοῦ] θν̄ W 7 αὐτῆ SDF αὐτὸν VW δι' αὐτῆσ VSDW διὰ ταύτησ ὑπνοῦν F μετὰ ταύτησ F 7/8 κόπον καὶ ὕπνον ὑπομεῖναι SD ὑπέμεινεν F 8 τοῦ om. F 9 ἀμείνω WF 10 οὐχ' οἶμαι δὲ F 11 τοῦ om. D 13 τὸν υἱὸν τὸν ἴδιον F 15 ἀμφοτέρων F μακάριοσ γὰρ F 16 ὁ om. S Σίμων om. VSW 17 τὸ[2] om. S 20 ἀναλλοίωτόσ VSDW ἀλλοίωσίν F 21 λόγον VSDW υἱὸν F καὶ σταυρὸν om. F 22 τῆσ σαρκὸσ τῆσ ἰδίασ V 24 θεῖναι τὴν ψυχήν μου SD 25 λύπην] λυπεῖσθαι W ὑπομεῖναι V om. W 27 τὰ om. D ἔστιν F εἰσί VSDW 28 τοῦ πατρός om. S 29 ἀθάνατος VW θάνατοσ S 30 θεοῦ om. VW σάρξ] φύσισ V 31 γὰρ om. W 33 ὁ τοῦ — υἱός] τὸν σταυρὸν F δ] οὐ F 33/34 χωρούμενος δὲ — πατρός om. F 36 ἐπέφανεν VSDW

θανάτου καὶ φθορᾶς. θεοῦ τοίνυν τὸ πάθος, θεοῦ καὶ ἡ ἀνάστασις, θεοῦ καὶ ἡ ἀνά-
Hebr. 4, 15 ληψις, θεοῦ καὶ ἡ κατὰ πάντα πρὸς ἡμᾶς ὁμοίωσις χωρὶς ἁμαρτίας· οὐ δοκήσει, ἀλλ' ἀληθείαι τὰ πάντα γέγονεν ἐν αὐτῷ θελήσαντι δι' ἡμᾶς. αὐτῷ ἡ δόξα ἅμα τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

142 = S 37 A 27. Syriaca uersio ex cod. mus. Britann. add. 14533 edita est post Caspari et Martin a Flemming et Lietzmann in Abhdlg. d. Gött. Ges. d. Wiss. VII 4 p. 42 sq. cf. Caspari, Alte und neue Quellen zur Gesch. d. Taufsymbols 171—175

L III 979 Ἔκθεσις τῆς ἁγίας συνόδου τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων πατέρων κατὰ Παύλου τοῦ Σαμοσατέως

Lietzmann, Apollinaris 293

Ὁμολογοῦμεν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ἐκ τοῦ πατρὸς πρὸ αἰώνων κατὰ πνεῦμα γεννηθέντα ἐπ' ἐσχάτου τῶν ἡμερῶν ἐκ παρθένου κατὰ σάρκα τεχθέντα, ἓν πρόσωπον σύνθετον ἐκ θεότητος οὐρανίου καὶ ἀνθρωπείας σαρκὸς καὶ καθὰ ἄνθρωπος, ἕν, ὅλον θεὸν καὶ ὅλον ἄνθρωπον· ὅλον θεὸν καὶ μετὰ τοῦ σώματος, ἀλλ' οὐχί, καθὸ σῶμα, θεόν, καὶ ὅλον ἄνθρωπον ⟨καὶ⟩ μετὰ τῆς θεότητος, ἀλλ' οὐχὶ κατὰ τὴν θεότητα ἄνθρωπον· οὕτως ὅλον προσκυνητὸν καὶ μετὰ τοῦ σώματος, ἀλλ' οὐχὶ κατὰ τὸ σῶμα προσκυνητόν· ὅλον προσκυνοῦντα καὶ μετὰ τῆς θεότητος, ἀλλ' οὐχὶ κατὰ τὴν θεότητα προσκυνοῦντα· ὅλον ἄκτιστον καὶ μετὰ τοῦ σώματος, ἀλλ' οὐχὶ κατὰ τὸ σῶμα ἄκτιστον· ὅλον πλαστὸν καὶ μετὰ τῆς θεότητος, ἀλλ' οὐχὶ κατὰ τὴν θεότητα πλαστόν· ὅλον ὁμοούσιον θεῷ καὶ μετὰ τοῦ σώματος, ἀλλ' οὐχί, καθὸ σῶμα, ὁμοούσιον θεῷ, ὥσπερ οὐδὲ κατὰ τὴν θεότητά ἐστιν ἀνθρώποις ὁμοούσιος, καίτοιγε μετὰ τῆς θεότητος ὢν κατὰ σάρκα ἡμῖν ὁμοούσιος. καὶ γὰρ ὅταν λέγωμεν αὐτὸν κατὰ πνεῦμα θεῷ ὁμοούσιον, οὐ λέγομεν αὐτὸν κατὰ πνεῦμα ἀνθρώποις ὁμοούσιον, καὶ πάλιν ὅταν κηρύσσωμεν αὐτὸν κατὰ σάρκα ἀνθρώποις ὁμοούσιον, οὐ κηρύσσομεν αὐτὸν κατὰ σάρκα θεῷ ὁμοούσιον. ὥσπερ γὰρ κατὰ πνεῦμα ἡμῖν οὐκ ἐστιν ὁμοούσιος, ἐπειδὴ θεῷ ἐστι κατὰ τοῦτο ὁμοούσιος, οὕτως οὐδὲ κατὰ σάρκα ἐστὶ θεῷ ὁμοούσιος, ἐπειδὴ ἡμῖν ἐστι κατὰ τοῦτο ὁμοούσιος. ὥσπερ δὲ ταῦτα διήρθρωται

VS, D [= mn], W [= Vind. theol. gr. 18], F

1/2 καὶ θεοῦ ἡ ἀνάστασις D 3 ἐν om. F θελήσαντι δι' ἡμᾶς F om. VSDW 3/4 αὐτῷ — ἀμήν om. F ἅμα τῷ — ἀεὶ καὶ om. W 4 ἁγίῳ] υἱῷ καὶ τῷ ἁγίῳ D τῶν αἰώνων om. W

VS, D [= mn], A, W [= Vindob. theol. gr. 18], W_1 [= Vindob. theol. gr. 40], RΣ

$\overline{ρμβ}$ V 8/9 ἔκθεσισ τῆσ ἁγίασ [ἁγίασ πρώτησ W] συνόδου [τῆς — συνόδου om. A] τῶν τριακοσίων δέκα [τι A] καὶ ὀκτὼ ἁγίων [ἁγίων om. R] πατέρων κατὰ [κατὰ m. rec. ex καὶ corr. A] παύλου τοῦ σαμοσατέωσ AW_1R ἔκθεσισ πίστεωσ τῆσ συνόδου τῆσ συναχθείσησ ἐν Ἀντιοχείαι ἐπὶ Γαλλιήνου βασιλέωσ ὧν ἦσαν κεφαλαὶ Διονύσιος τῆς Ῥώμης καὶ Διονύσιος τῆς Ἀλεξανδρείας, παρὴν δ' αὐτῆι καὶ Γρηγόριος ὁ θαυματουργὸς Σ περὶ τῆσ ἐνανθρωπήσεωσ τοῦ θῡ [θῡ om. SD] λόγου τοῦ υἱοῦ τοῦ $\overline{πρσ}$: ὅροι ἐπισκόπων τῶν ἐν νικαίᾳ συναχθέντων [συνελθόντων V, in mg. corr.] ἐν τῇ συνόδῳ: ἔκθεσισ [καὶ ἔκθεσισ V] τῆσ αὐτῆσ συνόδου πρόσ παῦλον σαμοσατέα VSD περὶ τῆσ ἐνανθρωπήσεωσ τοῦ θῡ λόγου τοῦ υἱοῦ τοῦ $\overline{πρσ}$: ἔκθεσισ τῶν ἐν νικαίᾳ συναχθέντων πρὸς παῦλον σαμοσατέα W 10 τὸν $\overline{χν}$ AW_1RW θεοῦ καὶ πατρὸς Σ 10/11 πρὸ αἰώνων [αἰώνων μὲν Σ] κατὰ $\overline{πνα}$ VSDWΣ κατὰ $\overline{πνα}$ πρὸ αἰώνων AW_1R 11 ἐσχάτων SD ἐσχάτου δὲ Σ ἐκ VSDWΣ καὶ ἐκ AW_1R κατὰ om. SDW 12 καθὰ AW_1R καθὸ VSDW ἄνθρωποσ ἓν VSDW ἄνθρωποσ ἦν Σ πρόσωπον ἓν ἄνθρωποσ [ἄνθρωπον W_1] AW_1R 13 ὅλον[1] $AW_1RΣ$ καὶ ὅλον VSDW 13/14 ὅλον[2] — ἄνθρωπον om. W 13 καθὸ VSD κατὰ τὸ AW_1R 14 ὅλον om. W_1 καὶ Σ om. VSDAWW_1R 15 οὕτως καὶ Σ 17 σῶμα in σώματοσ corr. R 18 θῳ̄ VW τῷ θῳ̄ SD τῷ θῳ̄ καὶ πατρὶ AW_1R καὶ om. D 19 καθὸ VSDW κατὰ τὸ AW_1R τῷ θῳ̄ AW_1R 20 ἀνθρώποισ ἐστὶν V ὁμοούσιοσ ἡμῖν VSDW 21 λέγομεν R αὐτὸν om. VSDW 22 κηρύσσομεν R 23 ὁμοούσιον θῳ̄ V γὰρ SDWΣ om. V δὲ AW_1R 24/25 οὕτως — ὁμοούσιος[2] om. VSDW 25 κατὰ τοῦτο om. Σ ὥσπερ — ταῦτα] ταῦτα δὲ Σ τοῦτο W_1

καὶ σεσαφήνισται οὐκ εἰς διαίρεσιν τοῦ ἑνὸς προσώπου τοῦ ἀδιαιρέτου, ἀλλ' εἰς δήλωσιν τοῦ ἀσυγχύτου τῶν ἰδιωμάτων τῆς σαρκὸς καὶ τοῦ λόγου, οὕτως καὶ τὰ τῆς ἀδιαιρέτου συνθέσεως πρεσβεύομεν.

143 = S 38 A 160

Δέησις Βασιλείου διακόνου καὶ λοιπῶν μοναχῶν 5 L III 426 M IIII 1101

1 Τοῖς εὐσεβεστάτοις καὶ τιμηθεῖσι καὶ τιμωμένοις παρὰ θεῶι καὶ ἀνθρώποις Χριστιανοῖς βασιλεῦσι Φλαυίοις Θεοδοσίωι καὶ Οὐαλεντινιανῶι δέησις εἴτ' οὖν παράκλησις παρὰ Βασιλείου διακόνου καὶ ἀρχιμανδρίτου καὶ Θαλασσίου ἀναγνώστου καὶ μονάζοντος καὶ λοιπῶν Χριστιανῶν μοναχῶν. Ἡ φιλανθρωπία τοῦ θεοῦ ἡ ἀναριθμήτων παρὰ ἀνθρώποις καλῶν μετουσίαν δωρησαμένη τε καὶ δωρουμένη τῶι γένει τῶν ἀνθρώπων ἐν πᾶσι καὶ ἐπὶ πᾶσίν ἐστιν. ἐν τούτοις δὲ τοῖς ἀπὸ θεοῦ δώροις ἐστὶν ἡ ἀληθινὴ γνῶσις καὶ τὸ μῖσος τῆς ψευδωνύμου γνώσεως, ὥστε εἰδέναι ἡμᾶς τὴν ἄνωθεν καὶ ἐξ ἀρχῆς ὑπὸ τῶν ἀποστόλων καὶ μαρτύρων καὶ ὁμολογητῶν καὶ ἐπισκόπων ἁγίων, συνεργούντων καὶ εὐσεβεστάτων βασιλέων, παραδοθεῖσαν τῆι καθολικῆι ἐκκλησίαι πίστιν, πρῶτον ὑπὸ Πέτρου τοῦ ἀποστόλου τοῦ πρωτοστάτου εἰπόντος κατὰ ἀποκάλυψιν καὶ γνῶσιν καὶ ὁμολογίαν καὶ παράδοσιν τοῖς μετὰ ταῦτα ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, Ἰακώβου ἀποστόλου καὶ ἀρχιεπισκόπου, Ἰωάννου ἀποστόλου καὶ εὐαγγελιστοῦ καὶ λοιπῶν εὐαγγελιστῶν μαρτύρων ὁμολογητῶν ἐπισκόπων καὶ πάντων τῶν πιστευσάντων καὶ πιστευόντων τῆι ὁμοούσιωι τριάδι, Εἰρηναίου, Γρηγορίου τοῦ μεγάλου ἐπισκόπου Νεοκαισαρείας, τῆς ἁγίας συνόδου τῶν ρπ̄ ἐπισκόπων ἐν Ἀντιοχείαι ἀθροισθείσης κατὰ Παύλου τοῦ Σαμοσατέως, ἥτις καθεῖλεν αὐτὸν διὰ τὴν ἀσέβειαν αὐτοῦ διὰ τὸ μὴ ὁμολογεῖν τὸν Χριστὸν φύσει θεὸν καὶ υἱὸν θεοῦ πατρός, τῆς ἐν Νικαίαι μεγάλης καὶ ἁγίας συνόδου τῶν τιη̄ ἐπισκόπων τῆς βεβαιωσάσης καὶ τὸν ὅρον τῶν ἐν Ἀντιοχείαι, Βασιλείου καὶ Γρηγορίου ἀδελφῶν ἐπισκόπων, Ἀθανασίου ἐπισκόπου Ἀλεξανδρείας, Ἐφραὶμ τοῦ Σύρου, Γρηγορίου ἐπισκόπου, Ἄμμωνος ἐπισκόπου, Οὐιταλίου ἐπισκόπου, Ἀμφιλοχίου Παύλου Ἀντιόχου Εὐσταθίου Μεθοδίου Ὀπτίμου Λεπορίου, Ἀμβροσίου Μεδιολάνεως, ὅλης τῆς ἐν τῆι Ἀφρικῆι συνόδου, Ἰωάννου Σευηριανοῦ Ἀττικοῦ ἐπισκόπων, Κυρίλλου τοῦ ἐπισκόπου Ἀλεξανδρείας τοῦ νῦν ζῶντος καὶ τῶι νόμωι τῆς ὑμετέρας εὐσεβείας ἑξακολουθοῦντος. οὐδεὶς μὲν οὖν ἀνθρώπων δύναται πάντας τοὺς πιστοὺς ἐξαριθμήσασθαι τοὺς πιστεύσαντας καὶ πιστεύοντας εἰς Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ ὅτι ὄντως θεὸς ἀληθινός ἐστιν. οὐ γὰρ ἐπειδὴ δι' ἡμᾶς ἐγένετο ἄνθρωπος, μείνας ὃ ἦν, θεός, ὡς καὶ ἡ ὑμετέρα εὐσέβεια διέμαθεν, ἤδη καὶ τὸ ἦν ἀρνησόμεθα, ἀλλὰ καὶ ἡμεῖς πιστεύομεν καὶ ὁμολογοῦμεν καὶ κηρύττομεν ὅτι ὁ πρὸ τῶν αἰώνων θεὸς λόγος ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ ὑπάρχων διὰ τὴν πολλὴν αὐτοῦ φιλανθρωπίαν τὴν πρὸς ἡμᾶς οὖσαν γέγονεν ἄνθρωπος τέλειος ὡς εἷς ἐξ ἡμῶν κατὰ πάντα χωρὶς ἁμαρτίας, μείνας ὃ ἦν, θεός, διὰ τὴν τοῦ γένους ἡμῶν σωτηρίαν γεννηθεὶς ἐκ τῆς ἁγίας παρθένου Μαρίας, ὡς αὐτὸς οἶδε. Ioh. 6, 20 Mt. 16, 16 L III 427 M IIII 1104 Hebr. 4, 15

VS, D [= mn], AW [Vindob. theol. gr. 18], W_1 [= Vindob. theol. gr. 40], RΣ

1 ἀδιαιρέτου χῡ AW$_1$R 2 τοῦ ἀσυγχύτου] ἀσύγχυτον Σ τῆς — λόγου om. V τοῦ λόγου] τῆς θεότητος Σ 2/3 οὕτως — πρεσβεύομεν om. VΣ

VS, D [= mn], A

6 ρμγ̄ V λη̄ S λθ' D 7 φλαυιούοισ S φλαυίω V οὐαλλεντινιανῶ A οὐαλεντιανῶ D 8 καὶ Θαλασσίου ἀναγνώστου om. SD 9 ἀναρίθμητοσ D 10 καλοῖσ m καλ n μετουσίαν om. SD 11 τοῦ θῡ VA ἐνεστιν VA 11/12 καὶ τὸ — γνώσεως om. D 13 τῶν εὐσεβεστάτων VA 17 καὶ[1] om. V 19 νεοκαισαρίασ V 20 ἑκατὸν ὀγδοήκοντα DA συναθροισθείσησ V 22 ἡ — μεγάλη καὶ ἁγία σύνοδοσ SD τριακοσίων δεκαοκτὼ DA ἡ βεβαιώσασα SD 23 καὶ om. V τῶν ἐν Ἀντιοχείαι om. A 24 ἐπισκόπου[3] om. A 25 οὐιτελίου ἐπισκόπων A ἰουταλίου V ἀντιοχείασ V μεθοδίου VA μοδίου SD ὀπίμου V λεπτορίου SD 26 τῆς om. SD σεβηριανοῦ DA 27 ἐπισκόπου VD τοῦ[1] om SD 27/28 ἡμετέρασ SD 28 κατακολουθοῦντοσ A ἁνῶν VA ἁγίων SD 29 πιστεύσαντας] πιστεύονταϲ S τὸν χν̄ τὸν VA 30 ἀληθινόσ θῡ V

2 Τούτου ἕνεκα τοῦ ἀληθοῦς δόγματος τοῦ ἐν τῇι ἁγιωτάτηι ἐκκλησίαι ἀκριβῶς κηρυττομένου καὶ τοῦ αἱρετικοῦ Παύλου δικαίως ἐξωσθέντος, ἐγένοντο σχίσματα λαῶν, ἀκαταστασίαι ἱερέων, ταραχὴ ποιμένων. ὅθεν καὶ νῦν κατὰ πρόσωπον τοῦ ἐγχειρισθέντος τὸν τῆς ἐπισκοπῆς θρόνον Νεστορίου, εἰ δεῖ εἰπεῖν ἐπισκόπου, ἐν τῶι συνεδρίωι πολλάκις τινὲς τῶν εὐλαβεστάτων πρεσβυτέρων ἤλεγξαν αὐτὸν καὶ διὰ τὴν ἀπείθειαν αὐτοῦ, τὸ μὴ λέγειν θεοτόκον τὴν ἁγίαν παρθένον καὶ θεὸν ὄντως φύσει ἀληθινὸν τὸν Χριστόν, τῆς αὐτοῦ κοινωνίας ἑαυτοὺς ἐξέβαλον καὶ κατέχουσιν ἕως ἄρτι· τινὲς δὲ λάθρα ὁμοίως τῆς αὐτοῦ κοινωνίας στέλλονται. ἄλλοι δὲ τῶν εὐλαβεστάτων πρεσβυτέρων διὰ τὸ λέγειν ἐν τῇι ἁγιωτάτηι ἐκκλησίαι Εἰρήνηι τῆι παραθαλασσίαι κατὰ τοῦ ἀνανεωθέντος κακῶς δόγματος τοῦ λέγειν ἐκωλύθησαν, ὅθεν ἐπεβόα ὁ λαὸς ζητῶν ‹τὴν› τῆς ὀρθοδοξίας συνήθη διδασκαλίαν, λέγων· βασιλέα ἔχομεν, ἐπίσκοπον οὐκ ἔχομεν. καὶ τέως μὲν ἀνεκδίκητον ἔμεινε τὸ τοῦ λαοῦ πειρατήριον τοῦ συλληφθέντος ἐκ μέρους παρὰ τῶν ὑπηρετῶν καὶ ἐν τῶι δεκανικῶι τυπτηθέντος διαφόρως ἐν πόλει βασιλευούσηι, ἃ οὔτε ἐν τοῖς ἔθνεσι τοῖς βαρβαρικοῖς ἐγένετο. τινὲς καὶ κατὰ πρόσωπον ἐν τῇι ἁγιωτάτηι ἐκκλησίαι ἐπὶ τοῦ λαοῦ ἤλεγξαν καὶ θλῖψιν οὐ μικρὰν ὑπέμειναν. τῶν δὲ ἀφελεστέρων τις μοναζόντων ἠναγκάσθη κατὰ ζῆλον ἀνὰ μέσον τῆς ἐκκλησίας τὸν κήρυκα τῆς ἀνομίας ἐπισχεῖν τοῦ μὴ εἰσελθεῖν συνάξεως οὔσης, αἱρετικοῦ ὄντος αὐτοῦ· τοῦτον δὲ τυπτήσας τοῖς μεγαλοπρεπεστάτοις ἐπάρχοις παρέδωκεν, ἔτι δὲ τυπτηθέντα καὶ πομπευθέντα δημοσίαι, τοῦ κήρυκος βοῶντος ἔμπροσθεν αὐτοῦ, τῆι ἐξορίαι παρέπεμψεν, οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ ἐν αὐτῆι τῆι ἁγιωτάτηι ἐκκλησίαι μετὰ τὴν ἀθέμιτον αὐτοῦ ὁμιλίαν οἱ τῆς φατρίας αὐτοῦ τοῦ κατέχοντος φόνον ἤμελλον ποιεῖν, εἰ μὴ ἡ τοῦ θεοῦ βοήθεια κατέλαβεν.

3 Περὶ δὲ ἡμῶν, δύσπιστά ἐστι τάχα πολλοῖς τοῖς ἀκούουσι. κατὰ γὰρ κέλευσιν αὐτοῦ καὶ προτροπὴν ἀνήλθομεν ἐν τῶι ἐπισκοπείωι πληροφορηθῆναι εἰ καθὼς ἐνοήσαμεν, ἃ παρ' αὐτοῦ ἠκούσαμεν, ἐστὶν ἢ οὔ, καὶ εἰς ὑπέρθεσιν δεύτερον καὶ τρίτον ἡμᾶς ἔβαλεν.
L III 430 καὶ τότε μόλις ἐκέλευσεν ἡμῖν εἰπεῖν τί ἐστιν ὃ βουλόμεθα. ὡς δὲ ἤκουσε παρ' ἡμῶν ὅτι ταῦτα τὰ παρ' αὐτοῦ λεχθέντα, τὸ »οὐκ ἔτεκε«, φησί, »Μαρία, εἰ μὴ ἄνθρωπον ὁμοούσιον ἑαυτῆς καὶ τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστιν« οὐκ ἔστιν ὀρθοδόξων, παραχρῆμα ἐκέλευσε συλληφθῆναι ἡμᾶς παρὰ τοῦ ὄχλου τῶν δεκανῶν κἀκεῖθεν τυπτόμενοι
M IIII 1104 ἀπηγόμεθα ἐν τῶι δεκανικῶι κἀκεῖ γυμνοὺς ἡμᾶς δεσμίους ὡς καὶ ὑπευθύνους τιμωρίαι ἐστύλισαν ἐκραββάτισαν καὶ ἐπτέρνισαν, ὅπερ οὐ πάσχουσιν ἐν τοῖς ἔξω δικαστηρίοις, οὐ λέγομεν ὅτι κληρικοὶ καὶ ἀρχιμανδρῖται ἢ μονάζοντες, ἀλλ' οὔτε οἱ τυχόντες κοσμικοὶ ὃ ἡμεῖς ἐν τῇι ἐκκλησίαι παρὰ τοῦ ἀνόμου παρανόμως πεπόνθαμεν, θλιβόμενοι ἐν τῶι δεκανικῶι, λιμώττοντες, ἐν οἰκετίαι φυλαττόμενοι ἐπὶ χρόνον πολὺν διετελέσαμεν. καὶ οὐκ ἠρκέσθη τούτοις ἡ αὐτοῦ μανία, ἀλλὰ καὶ μετὰ ταῦτα τῶι μεγαλοπρεπεστάτωι ἐπάρχωι τῆσδε τῆς μεγαλωνύμου πόλεως κατὰ ἀπάτην τινὰ παρεδόθημεν καὶ σιδηρωθέντες ἀπήχθημεν ἐν τῇι φυλακῇι καὶ μετὰ ταῦτα ἀνήχθημεν ἐν τῶι πραιτωρίωι τῶι αὐτῶι τρόπωι μετὰ τῶν δεσμῶν. καὶ ἐπειδὴ οὐδεὶς ἦν ὁ κατηγορῶν, ἐν τῶι δεκανικῶι πάλιν διὰ τῆς τάξεως ἤχθημεν. καὶ οὕτως πάλιν ἐκάλεσεν ἡμᾶς κατὰ πρόσωπον καὶ τυπτήσας καὶ διαλεχθεὶς

VS, D [= mn], A

1 ἀληθοῦσ VA ἀκριβοῦσ SD ἀκριβῶσ VA ἀληθῶσ SD 2 ἐγένετο V 4 δεῖ VA ἀεὶ SD ἐπίσκοπον V 6 ὄντα V 9 ἁγιωτάτη A ἁγία ταύτη VSD 10 ἐκωλύθην S τὴν addidi 11 βασίλειον SD 13 δικανικῶ SD τυπτηθέντων SD τῆ βασιλευούση πόλει SD 14 ἐγίνετο SD καὶ SA δὲ καὶ D om. V 17 αὐτοῦ ὄντοσ VA 18 ἔτι δὲ καὶ A 20 φρατρίασ S 21 ἔμελλον VD 22 περὶ δὲ] τὰ περὶ V δύσπειστά D 27 γεγενημένον VS 28/29 κἀκεῖθεν τυπτόμενοι παρὰ — δεκανῶν VA 29 κακεῖθεν A δεσμίουσ ὡσ V ὡσ δημίουσ SDA τῆ τιμωρία VA 30 ἐστόλισαν SD ἐκρεβάτισαν V 32 ἀνόμου SDA παρανόμου V 33 ἱκετεία SD διετελέσαμεν abundat 34 ἀλλὰ om. V 35 περιωνύμου SD 36 ἀνηνέχθημεν D 38 ἐκάλεσεν VA ἐκόλασεν SD καὶ τυπτήσασ VSA τυπτήσασ D

καὶ συνθέμενος κατὰ ἀπάτην, ὡς τὰ μετὰ ταῦτα ἔδειξε, περὶ τοῦ φύσει υἱοῦ τοῦ θεοῦ ὅτι ἐτέχθη ἀπὸ τῆς ἁγίας Μαρίας τῆς θεοτόκου, λέγων ›ἐπεὶ ἕνι ἄλλος υἱός‹, οὕτως ἀπέλυσεν ἡμᾶς.

4 Παρακαλοῦμεν οὖν τὴν ἀθάνατον ὑμῶν καὶ εὐσεβεστάτην πίστιν ὥστε μὴ παριδεῖν ἐκ τοῦ λοιποῦ τὴν τῶν ὀρθοδόξων ἐκκλησίαν μοιχευομένην παρὰ αἱρετικῶν ἐν τοῖς καιροῖς ὑμῶν τῶν ὀρθοδόξων καὶ εὐσεβεστάτων βασιλέων, οὐχ ὡς διὰ τούτου τὰς ἡμετέρας ὕβρεις βουλόμενοι ἐκδικεῖν (ὁ θεὸς οἶδεν), ἀλλ' ὡς θέλοντες τὸ στερέωμα τῆς εις Χριστὸν πίστεως ἀσάλευτον μένειν. καὶ κελεύσει τὸ ὑμέτερον κράτος τὴν ἁγίαν καὶ οἰκουμενικὴν σύνοδον παραγενέσθαι ἐντεῦθεν ἤδη, ἵνα τῆς συνόδου παραγενομένης τὴν ἁγιωτάτην ἐκκλησίαν ὁ Χριστὸς ἑνώσηι καὶ τὸν λαὸν αὐτοῦ συνάξηι καὶ τοὺς ἱερέας ἀπολαβεῖν ἐν τῶι τῆς ἀληθινῆς πίστεως κηρύγματι ποιήσηι πρὸ τοῦ εἰς πλάτος τὴν ἄδικον διδασκαλίαν ἐλθεῖν. κἀκεῖνο δὴ παρακαλοῦμεν ἀξιοῦντες, ἐπειδὴ πειρᾶται πτοεῖν ἀπειλῶν ἐλαύνων ἐξωθῶν κακουργῶν ῥαιδιουργῶν καὶ κακῶν καὶ ἵνα τὴν αὐτοῦ μανίαν καὶ ἀσέβειαν κρατύνηι, πάντα ποιῶν ἀφειδῶς, οὐ θεὸν φοβούμενος, οὐκ ἀνθρώπους αἰσχυνόμενος, οὐκ ἐπισκόπους εὐλαβούμενος οὔτε ἱερέα τινά, οὐ κλῆρόν τινων, οὐχ ἁγίους μοναχούς, οὐκ εὐλάβειαν λαικῶν, οὐ τὸν κατὰ τῶν ἀδικούντων ἐπηρτημένον φόβον, οὐ τὸν νόμον τῶν ἐκτελούντων διακονίαν τινὰ θεῶι εἰς ὀργὴν κατὰ τῶν ἀξίων, ἀλλ' ἐνδυσάμενος τὴν ὑπεροψίαν κατὰ πάντων, θαρρῶν τοῖς χρήμασι καί τινων διεφθαρμένων τῆι ἰσχύι ἢ ἵνα ἀφόβως εἴπωμεν, καὶ τῶι ὑμετέρωι κράτει ταῦτα ποιεῖ, ἀξιοῦμεν μηδὲν αὐτὸν κατά τινων ἐξεῖναι ποιεῖν, ἐὰν μὴ πρῶτον διόρθωσιν λάβηι τὰ κατὰ τὴν ὀρθόδοξον πίστιν, ἵνα μὴ ταύτην διασκεδάσηι καὶ τὴν αὐτοῦ παρεισαγάγηι ταῦτα ποιῶν. οἶδε γάρ, ὡς οἴεται, ὅτι κἂν τῶι φόβωι πολλοὺς ἀμβλύνας L III 431
ἀποστήσει τῆς πίστεως καὶ λοιπὸν εὑρὼν ὁμογνώμονας αὐτοῦ παράσχηι αὐτοῖς θράσος, M IIII 1108
ὥστε καὶ ἕως πληγῶν δημοσίαι ἐπιχειρεῖν καὶ διωγμὸν ποιεῖν. οὐ μόνον δὲ τοὺς αὐτοῦ δῆθεν κληρικοὺς ἢ συγκέλλους, ἀλλὰ καὶ ἐκ τῶν ἔξωθεν παροικιῶν προσελάβετό τινας, οἷς μάλιστα οὐκ ἔξεστιν εἶναι κατὰ τοὺς ἐκκλησιαστικοὺς κανόνας εἰς ἕτερον ἐπισκοπεῖον ἢ εἰς ἄλλην ἐκκλησίαν, ἀλλὰ ἀνάγκη αὐτοὺς εἰς τὰς ἰδίας παροικίας ἢ πόλεις ὅπου ἐχειροτονήθησαν, κἀκεῖ ἡσυχῆι διάγειν, ἵνα μὴ τῶι μακρῶι χρόνωι διὰ τῆς προσκαίρου δυναστείας ἕρψηι περισσοτέρως ἡ παρανομία καὶ ἐπιγραφῆι τῆι ὑμετέραι εὐσεβείαι. εἰς τοῦτο γὰρ ἔθετο ὑμᾶς ὁ θεὸς διακόνους ὑπὲρ τῆς δόξης αὐτοῦ τοῦ δοξάσαντος ὑμᾶς καὶ δοξάζοντος καὶ ἀποδιδόντος ὑμῖν τὸν μισθὸν μετὰ πάντων τῶν ἁγίων τῶν καλῶς φυλαξάντων τὰς ἐγχειρισθείσας αὐτοῖς διακονίας, πρὸς οὓς εἶπεν· εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ, ἐπὶ Mt. 25, 25
ὀλίγα ἦς πιστός, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου. οἱ ὄντως Χριστιανοὶ τούτοις τοῖς λόγοις διὰ τῶν ἔργων πιστεύουσιν· οἱ δὲ ἄπιστοι καὶ ἀπερριμμένοι καὶ τῆι ἑαυτῶν κοιλίαι ζῶντες καὶ εἰς αὐτὸ τοῦτο προσκαρτεροῦντες, ἐὰν ἀκούσωσιν ὁμολογοῦντά τινα τὸν Χριστὸν εἶναι θεόν, διαπρίονται, ὡς οἱ Act. 7, 55-57
τότε Ἰουδαῖοι συνέσχον τὰ ὦτα αὐτῶν τοῦ ἁγίου Στεφάνου τοῦ πρωτομάρτυρος διηγουμένου ὅτι θεωρῶ, φησί, τοὺς οὐρανοὺς ἀνεωιγμένους καὶ τὸν υἱὸν τοῦ ἀνθρώπου ἐκ δεξιῶν ἑστῶτα τοῦ θεοῦ· οὕτως καὶ οὗτοι διαπρίονται κατὰ τῶν Χριστιανῶν καὶ πάντα θυμὸν
5 σπουδάζουσιν ἐκτελεῖν. ἀξιοῦμεν οὖν προνοίαι τοῦ μεγαλοπρεπεστάτου ἐπάρχου τῆσδε τῆς νέας Ῥώμης κωλύεσθαι τοὺς κατὰ τῶν ὀρθοδόξων ἐπανισταμένους καὶ προφάσει δικαιο-

---

VS, D [= mn], A

4 ἡμῶν S 5 τὴν ὀρθόδοξον V 6 τῶν ὀρθοδόξων ὑμῶν A τούτου A τοῦτο VSD 7 ἐκδικεῖν βουλόμενοι A 8 postulatur κελεύσαι siue κελεύσοι 9 ἐνταῦθα V 10 αὐτοῦ om. V 11 πρὶν ἢ — ἡ ἄδικος διδασκαλία ἔλθη A 12 πτοεῖν V ποιεῖν SDA 13 ῥαδιουργῶσ DA κακῶσ SDA 14 ποιῶν V ποιεῖ SDA 17 τῶ θῶ A 18 ἢ om. SD 19 αὐτῶ A πρότερον SD 21 ποιεῖ SD 22 ἀποστήση VA θαρσοσ V 24 συγκέλλουσ δῆθεν ἢ κληρικοὺσ D 27 aut ἀνελθεῖν κἀκεῖ scribendum aut κακεῖ delendum ἄγειν SD μὴ om. SD 28 ἡμετέρα S 29 ἡμᾶσ SD 38 τοῦ ἀοράτου θῦ V 39 τῆσδε A om. VSD

λογιῶ̈ν, ὡς φασιν, ἐπιχειροῦντας κατά τινος, ἕως ὅτε τὰ τῆς πίστεως διόρθωσιν λάβῃ.
1 Tim. 1, 17 εἰ δὲ παρακούσετε ἡμῶν ἀμελήσαντες, διαμαρτυρόμεθα ὑμῖν ἐνώπιον τοῦ βασιλέως τῶν αἰώνων, ἀφθάρτου ἀοράτου μόνου σοφοῦ θεοῦ τοῦ ἐλθόντος καὶ ἐπιφανέντος, ὡς ἠθέλησε,
Phil. 2, 10.11 διὰ τὴν σωτηρίαν ἡμῶν καὶ πάλιν ἐρχομένου κρῖναι ζῶντας καὶ νεκρούς, ὧι κάμψει πᾶν γόνυ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται αὐτῶι, ὅτι ἀθῶιοι ἐσμέν. ἡμεῖς γὰρ ὑμᾶς παρεκαλέσαμεν περὶ συνόδου οἰκουμενικῆς τῆς δυναμένης ἀκριβῶς κρατῦναι καὶ ἀνορθῶσαι τὰ σαλευόμενα εἴτ' οὖν κα-
Mt. 16, 18 ταρραγέντα, οὐ κατισχύσουσι δὲ αὐτὴν διὰ τῆς χάριτος καὶ ἀντιλήψεως τοῦ θεοῦ τῆς ἐνεργούσης ἐν ὑμῖν κακῶσαι πύλαι ἅιδου, ἅτινά ἐστι τὰ στόματα τῶν αἱρετικῶν, ἵνα τούτου τυχόντες τὰς συνήθεις εὐχὰς ἐν ὁμονοίαι ὑπὲρ τῆς κοινῆς σωτηρίας καὶ τῆς βασιλείας ὑμῶν εὐαρέστως καὶ ὀρθοδόξως τῶι θεῶι ἀναπέμψωμεν. ἀμήν.

144 = S 39 A 161

L III 339 M IIII 1012 PG 77, 80 **1** Κυρίλλου ἐπισκόπου Ἀλεξανδρείας ἐπιστολὴ πρὸς Κελεστῖνον ἐπίσκοπον Ῥώμης

Τῶι ὁσιωτάτωι καὶ θεοφιλεστάτωι πατρὶ Κελεστίνωι Κύριλλος ἐν κυρίωι χαίρειν. Εἰ μὲν ἦν σιωπῆσαι καὶ μὴ πάντα τῆι σῆι θεοσεβείαι γράφοντα τὰ κινούμενα μέμψεως ἔξω γενέσθαι καὶ διαφυγεῖν δύνασθαι τὸ δοκοῦν λυπηρὸν καὶ μάλιστα ἐν ἀναγκαίοις οὕτω πράγμασιν, ὅπου καὶ ἡ τῆς πίστεως ὀρθότης παρασαλεύεται παρά τινων, ἔφην ἂν ἐμαυτῶι· καλὴ καὶ ἀκίνδυνος ἡ σιωπὴ καὶ τὸ ἠρεμεῖν τοῦ ταράττεσθαι κρεῖττον. ἐπειδὴ δὲ
2 Tim. 4, 5 καὶ θεὸς ἀπαιτεῖ παρ' ἡμῶν τὸ νηφάλιον ἐν τούτοις καὶ τὰ μακρὰ τῶν ἐκκλησιῶν ἔθη πείθουσιν ἀνακοινοῦσθαι τῆι σῆι ὁσιότητι, γράφω πάλιν ἀναγκαίως, ἐκεῖνο δηλῶν ὅτι διακυκᾶι τὰ πάντα καὶ νῦν ὁ σατανᾶς καὶ κατὰ τῶν ἐκκλησιῶν τοῦ θεοῦ μαίνεται καὶ ὀρθοποδοῦντας ἐν πίστει τοὺς ἁπανταχόσε λαοὺς πειρᾶται διαστρέφειν. οὐ γὰρ ἠρεμεῖ τὸ
L III 342 παμπόνηρον ἐκεῖνο θηρίον καὶ εὐφόρητον εἰς ἀσέβειαν. ἐσίγων μὲν οὖν τὸν παρωιχηκότα καιρὸν καὶ οὐδὲν ὅλως οὔτε πρὸς τὴν σὴν θεοσέβειαν γέγραφα περὶ τοῦ νῦν ὄντος ἐν τῆι Κωνσταντινουπόλει καὶ τὴν ἐκκλησίαν διέποντος οὔτε μὴν πρὸς ἕτερον τῶν συλλειτουργῶν, τὸ ἐν τούτοις προπετὲς οὐκ ἔξω μώμου κεῖσθαι πιστεύων· ἐπειδὴ δὲ εἰς ἀκμὴν ὥσπερ ἥκομεν τοῦ κακοῦ, δεῖν ὠιήθην ἀναγκαίως ἀνεῖναι λοιπὸν τὴν γλῶτταν καὶ πάντα
2 εἰπεῖν τὰ κεκινημένα. ὁ γὰρ μνημονευθεὶς ἅμα κεχειροτόνηται, καὶ δέον ταῖς παραινέσεσι ταῖς εἰς τὸ ἀγαθὸν ὠφελεῖν τούς τε ἐκεῖσε λαοὺς καὶ τοὺς παρεπιδημοῦντας ξένους (πάμπολλοι δὲ οὗτοι καὶ ἀπὸ πάσης ὡς ἔπος εἰπεῖν πόλεώς τε καὶ χώρας), σπουδὴν ἔθετο λαλεῖν ἔκτοπά τινα καὶ ἔξω λόγου καὶ ὅσα μακρὰν ἐστι τῆς ἀποστολικῆς καὶ εὐαγγελικῆς πίστεως, ἣν μέχρι παντὸς τετηρήκασιν οἱ πατέρες παρέδοσάν τε ἡμῖν ὡς πολύτιμον μαργα-
M IIII 1013 ρίτην. καὶ τὰς μὲν ὁμιλίας ἃς ἐπ' ἐκκλησίας εἴρηκε, καὶ τοῦτο πλειστάκις, καὶ λέγων οὐ
PG 81 παύεται, πέπομφα τῆι σῆι θεοσεβείαι, πρὸς εἴδησιν ἀκριβῆ· ἐγὼ δέ, ὁμολογῶ, καίτοι βουληθεὶς συνοδικῶι γράμματι φανερὸν αὐτῶι καταστῆσαι ὅτι ταῦτα λέγοντι καὶ φρονοῦντι κοινωνεῖν οὐ δυνάμεθα, τοῦτο μὲν οὐ πεποίηκα, λογισάμενος δὲ ὅτι χρὴ τοῖς ὀλισθήσασι
ep. 2 χεῖρα διδόναι καὶ ὡς ἀδελφοὺς πεσόντας ἐγεῖραι, παρήινεσα διὰ γραμμάτων ἀποσχέσθαι

VS, D [= mn], A

1 λάβοι V 2 παρακούσητε S ἡμῖν SA 2/3 τοῦ ἀφθάρτου βασιλέως — ἀοράτου SD 4 κάμπτει V 5 οὐρανίων SD 7/8 καταρραγέντας S 8 αὐτῆς SD 9 ἡμῖν SD 11 ἀναπέμπωμεν V ἀμήν] αὐτήν S

VS, D [= mn], AW

ρμδ V λθ S μ' D 15 σιωπῆ W μέμψεως A καὶ μέμψεως VSDW 23 εὐφόρητον V εὐφόρατον W ἀφόρητον SDA 25 τῆι om. W 26 νομίζων SD 26 ἐπεὶ A 28 καὶ om. SDW 28/29 παραίνεσι S 30 πάμπολοι VDW ὡς ἔπος εἰπεῖν ἀπὸ πάσης SD ἔθεντο D 31 τὰ ἔξω VAW 33 ἐκκλησίαις SD 34 εἴδησιν VAW ἔλεγχον SD δὲ om. SD

τῆς τοιαύτης κακοδοξίας, ἀλλ' ὠνήσαμεν οὐδέν. ἐπειδὴ δὲ μεμάθηκεν ὅτι τοσοῦτον ἀφεστήκαμεν τοῦ τὰ αὐτὰ φρονεῖν, ὡς καὶ ἐπιπλήττειν αὐτὸν μεταστῆναι τῶν οἰκείων εὑρημάτων (οὐ γὰρ ἂν εἴποιμι δογμάτων), πάντα τρόπον ἐπιβουλῆς κεκίνηκε καὶ εἰς ἔτι σαλεύων οὐ παύεται. ὅτε δὲ προσεδοκῶμεν αὐτὸν θεραπεύεσθαι καὶ ἀποσχέσθαι τῶν κατὰ Χριστοῦ διδαγμάτων, ἔγνωμεν ὅτι διημαρτήκαμεν τῆς ἐλπίδος, τοιούτου τινὸς γεγο-
8 νότος. ἦν ἐν Κωνσταντινουπόλει ἐπίσκοπος ὀνόματι Δωρόθεος, τὰ αὐτὰ φρονῶν αὐτῶι, ἀνὴρ χρειοκόλαξ καὶ προπετὴς χείλεσι, καθὼς γέγραπται· ὃς ἐν συνάξει, καθεζομένου ἐπὶ Prou. 13, 3
τοῦ θρόνου τῆς ἐκκλησίας τοῦ τῆς Κωνσταντινουπόλεως εὐλαβεστάτου Νεστορίου, ἀναστὰς μεγάλῃ τῇι φωνῆι τετόλμηκεν εἰπεῖν· εἴ τις λέγει θεοτόκον εἶναι τὴν Μαρίαν, οὗτος ἀνάθεμα ἔστω. καὶ γέγονε μὲν κραυγὴ μεγάλη παρὰ παντὸς τοῦ λαοῦ καὶ ἐκδρομή· οὐ γὰρ ἤθελον ἔτι κοινωνεῖν αὐτοῖς τοιαῦτα φρονοῦσιν, ὥστε καὶ νῦν ἀποσυνάκτους εἶναι τοὺς λαοὺς τῆς Κωνσταντινουπόλεως, πλὴν ὀλίγων ἐλαφροτέρων καὶ τῶν κολακευόντων αὐτόν, τὰ δὲ μοναστήρια σχεδὸν ἅπαντα καὶ οἱ τούτων ἀρχιμανδρῖται καὶ τῆς συγκλήτου πολλοὶ οὐ συνάγονται, δεδιότες μὴ ἀδικηθῶσιν εἰς πίστιν, αὐτοῦ καὶ τῶν σὺν αὐτῶι οὓς ἀπὸ τῆς
4 Ἀντιοχείας ἀναβαίνων ἤγαγε, πάντα λαλούντων τὰ διεστραμμένα. ἐπειδὴ δὲ τῶν ὁμιλιῶν L III 343
αὐτοῦ ἐνεχθεισῶν εἰς τὴν Αἴγυπτον ἔμαθον ὅτι ἐλαφρότεροί τινες συνηρπάσθησαν καὶ λοιπὸν ἐνδοιάζοντες πρὸς ἀλλήλους ἔφασκον· ἆρα ὀρθῶς λέγει; ἆρα ἐπλανήθη; δεδοικὼς ep. 1
μὴ ῥιζωθῆι τὰ τῆς νόσου ἐν ταῖς τῶν ἁπλουστέρων ψυχαῖς, ἔγραψα τοῖς κατὰ τὴν Αἴγυπτον μοναστηρίοις καθολικὴν ἐπιστολήν, βεβαιῶν αὐτοὺς εἰς πίστιν ὀρθήν. εἶτα τινὲς ἀπήγαγον ἐν τῆι Κωνσταντινουπόλει τὰ ἴσα, καὶ ὠφέληνται μὲν ἀναγνόντες πάνυ πολλοί, ὥστε καὶ γεγράφασιν εὐχαριστοῦντες πλεῖστοι τῶν ἐν τέλει, γέγονε δὲ αὐτῶι καὶ τοῦτο τροφὴ τῆς κατ' ἐμοῦ λύπης καὶ ὡς ἐχθρῶι μάχεται, οὐδὲν ἕτερον ἔχων ἐγκαλεῖν ἢ ὅτι μόνον οὐκ ἀνέχομαι τὰ ἴσα φρονεῖν αὐτῶι. ἀλλὰ καὶ ἐπηνώρθωσα πολλούς, ἣν παρε- PG 84
λάβομεν ἐκ πατέρων πίστιν καὶ ἃ ἐμάθομεν ἐκ τῆς θείας γραφῆς, κρατεῖν παρακελευόμενος, ἐκεῖνα δὲ οἴεσθαι ἄδεκτα πείθων αὐτούς. ὅμως καὶ οὐ φροντίσας τῶν παρ' αὐτοῦ γενομένων κατ' ἐμοῦ, ἀλλὰ θεῶι δοὺς τῶι πάντα εἰδότι καὶ ἰσχύοντι, πάλιν ἑτέραν ἐπιστο- ep. 4
λὴν γέγραφα τῶι μνημονευθέντι, τὴν ἔκθεσιν ὡς ἐν συντόμωι τῆς ὀρθῆς πίστεως ἔχουσαν, M IIII 1016
παρακαλῶν τε ἅμα καὶ διαμαρτυρόμενος οὕτω καὶ φρονεῖν καὶ λαλεῖν. ἀλλ' ὤνησα πάλιν οὐδέν, ἔχεται δὲ καὶ εἰς δεῦρο τῶν ἀπ' ἀρχῆς καὶ οὐ παύεται λαλῶν τὰ διεστραμμένα.
5 γινωσκέτω δὲ καὶ τοῦτο ἡ σὴ θεοσέβεια ὅτι καὶ ἅπασι τοῖς κατὰ τὴν Ἀνατολὴν ἐπισκόποις συνάιδει τὰ λεγόμενα καὶ δυσχεραίνουσι πάντες καὶ λυποῦνται καὶ μάλιστα οἱ κατὰ τὴν Μακεδονίαν εὐλαβέστατοι ἐπίσκοποι. καὶ τοῦτο εἰδὼς οἶεται ὅτι πάντων ἐστὶ σοφώτερος καὶ μόνος οἶδε τὸν σκοπὸν τῆς θεοπνεύστου γραφῆς καὶ τὸ τοῦ Χριστοῦ μυστήριον. καίτοι πῶς οὐκ ἔδει πληροφορεῖσθαι μᾶλλον αὐτὸν ὅτι πάντων τῶν κατὰ πᾶσαν τὴν οἰκουμένην ὀρθοδόξων ἐπισκόπων καὶ λαικῶν ὁμολογούντων ὅτι καὶ θεός ἐστιν ὁ Χριστὸς καὶ θεοτόκος ἡ τεκοῦσα αὐτὸν παρθένος, πλανᾶται μόνος αὐτὸς τοῦτο ἀρνούμενος; ἀλλ' ὠφρύωται καὶ οἴεται ὅτι τῆι δυναστείαι τοῦ θρόνου πᾶσιν ἐπιβουλεύων καὶ ἡμᾶς ἢ καὶ τοὺς ἄλλους ἅπαντας ἀναπείσει τὰ αὐτὰ φρονεῖν αὐτῶι. τί τοίνυν δράσομεν, οὔτε ἀναπείθοντες αὐτὸν οὔτε παῦσαι δυνάμενοι τῶν τοιούτων ὁμιλιῶν καὶ ὁσημέραι κατεφθαρ-

---

VS. D [= mn], AW

1 ἐπεί W μεμαθήκαμεν DW, corr. W 2 τὰ αὐτοῦ A 5 τοῦ χῦ V δογμάτων VW τῶν ἐλπίδων W 7 καθεζόμενοσ SD 9 θεοτόκον εἶναι λέγει V 14 ἀδικηθῆ SD αὐτῶ D τῶ D 15 ἀντιοχέων SD 17 ἆρα[2] ὀρθῶσ W 18 ἵνα μὴ A 20 τῆι om. D πάνυ om. SD 23 ἐπηνόρθωσα W 24 τῶν πατέρων W κρατεῖν παρακελευόμενοσ W om. VSDA 25 δὲ W δὴ V om. SDA οἴεσθαι — αὐτούς scripsi οἴεσθαι δεκτὰ πείθων αὐτούσ SDA ψευδῆ [om. V] καταπείθων αὐτοὺσ οἴεσθαι [οἴεσθαι δεκτὰ V] VW 26 τὰ πάντα A 27 ἐν om. S 28 καὶ[2] om. SDW 29 δέχεται SD καὶ om. D ἀπαρχῶν SD παύσεται V 30 δὲ om. SD 31 καὶ μὴ δυσχεραίνουσι SD 34 ἀνὰ W τὴν om. SD 35 ἐστιν] ἦν V 36 αὐτόσ μόνοσ W 37 ὀφρύεται V

μένων τῶν λαῶν τῶν ἐν τῇ Κωνσταντινουπόλει καὶ δυσχεραινόντων μέν, ἐκδεχομένων δὲ τὴν παρὰ τῶν ὀρθοδόξων διδασκάλων ἐπικουρίαν; καὶ οὐ περὶ τῶν τυχόντων ὁ λόγος ἡμῖν, ἀλλ' οὐδὲ ἀκίνδυνος ἡ σιωπή. εἰ γὰρ δυσφημεῖται Χριστός, πῶς ἡμεῖς σιωπήσομεν;
1 Cor. 9, 17 καίτοι τοῦ Παύλου γράφοντος· εἰ γὰρ ἑκὼν τοῦτο πράσσω, μισθὸν ἔχω· εἰ δὲ ἄκων, οἰκονομίαν πεπίστευμαι. οἱ τοίνυν ἐμπεπιστευμένοι τοῦ λόγου τὴν οἰκονομίαν καὶ τῆς πίστεως τὴν ἀσφάλειαν τί ἐροῦμεν ἐν ἡμέραι κρίσεως, ὅταν ἐπὶ τούτοις
6 σιγήσωμεν; οὐ πρότερον δὲ τῆς πρὸς αὐτὸν κοινωνίας ἐκβάλλομεν ἑαυτοὺς μετὰ παρρησίας, πρὶν ἂν ταῦτα τῇ σῇ θεοσεβείαι ἀνακοινωσώμεθα. διὸ δὴ καταξίωσον τυπῶσαι τὸ δοκοῦν καὶ πότερόν ποτε χρὴ κοινωνεῖν αὐτῶι ἢ λοιπὸν ἀπειπεῖν μετὰ παρρησίας ὅτι
PG 85 τοιαῦτα φρονοῦντι καὶ διδάσκοντι οὐδεὶς κοινωνεῖ. τὸν δὲ ἐπὶ τούτοις σκοπὸν τῆς σῆς τελειότητος χρὴ γενέσθαι διὰ γραμμάτων καταφανῆ καὶ τοῖς εὐλαβεστάτοις καὶ θεοφιλεστά-
L III 346 τοις ἐπισκόποις τοῖς κατὰ τὴν Μακεδονίαν, καὶ ἅπασι δὲ τοῖς κατὰ τὴν Ἀνατολήν· ἐπιθυμοῦσι γὰρ αὐτοῖς δώσομεν ἀφορμὰς τοῦ πάντας μιᾶι ψυχῆι καὶ μιᾶι γνώμηι στῆναι καὶ ἐπαγωνίσασθαι τῆι ὀρθῆι πίστει πολεμουμένηι. ὅσον γὰρ τὸ κατ' αὐτόν, καὶ οἱ πατέρες ἡμῶν οἱ μεγάλοι καὶ θαυμαστοὶ καὶ εὐδόκιμοι θεοτόκον εἶναι τὴν ἁγίαν εἰπόντες παρθένον ἀνεθεματίσθησαν, καὶ ἡμεῖς δὲ σὺν αὐτοῖς οἱ ζῶντες ἔτι. καὶ ἐπειδὴ ἰδίαι φωνῆι τοῦτο ποιῆσαι οὐκ ἠθέλησεν, ἄλλον ἔστησε, τὸν μνημονευθέντα Δωρόθεον, καὶ τοῦτο εἰπεῖν παρεσκεύασεν αὐτοῦ καθεζομένου καὶ ἀκούοντος, ὧι καὶ κατελθὼν ἀπὸ τοῦ θρόνου εὐθὺς κεκοινώνηκεν, ἐπιτελέσας τὰ θεῖα μυστήρια. ὑπὲρ δὲ τοῦ εἰδέναι σαφῶς τὴν σὴν ὁσιότητα τίνα ἐστὶν ἃ αὐτὸς μὲν λέγει καὶ φρονεῖ, τίνα δὲ ἃ οἱ μακάριοι καὶ μεγάλοι πατέρες
M IIII 1017 ἡμῶν, ἀπέστειλα τόμους κεφαλαίων ἔχοντας περικοπάς, ἑρμηνευθῆναι δὲ παρεσκεύασα, ὡς
ep. 2. 4 ἐνεδέχετο τοῖς ἐν Ἀλεξανδρείαι. καὶ τὰς παρ' ἐμοῦ γραφείσας ἐπιστολὰς δέδωκα τῶι ἀγαπητῶι Ποσειδωνίωι, ἐντειλάμενος καὶ αὐτὰς προσαγαγεῖν τῇ σῇ τελειότητι.

145 = S 40 A 162

L III 422
M IIII 1097
PG 77, 125

Τοῦ αὐτοῦ καὶ τῆς αὐτοῦ συνόδου πρὸς τοὺς ἐν Κωνσταντινουπόλει μοναχούς

Τοῖς εὐλαβεστάτοις καὶ θεοσεβεστάτοις πατράσι μοναστηρίων τοῖς κατὰ τὴν μεγάλην Κωνσταντινούπολιν Κύριλλος καὶ ἡ κατὰ Ἀλεξάνδρειαν συναχθεῖσα ἁγία σύνοδος ἐν κυρίωι χαίρειν. Τῆς θεοσεβείας ὑμῶν τὸν ζῆλον ὃν ἐπὶ Χριστῶι πεποίησθε δυσφημουμένωι, καὶ τοῦτο ἐν ἐκκλησίαι τῆι τῶν ὀρθοδόξων, μεμαθήκαμεν ἀκριβῶς. καὶ σφόδρα μὲν ἐπηνέσαμεν τῆς εὐνοίας ὑμᾶς τῆς εἰς Χριστὸν καὶ ἀγάπης τῆς εἰς τὸ ὄνομα αὐτοῦ, κλαίοντες δὲ διατελοῦμεν καὶ παρακαλοῦντες τὸν τῶν ὅλων σωτῆρα Χριστὸν νῦν θραῦσαι τὴν τοῦ διαβόλου παγίδα καὶ περιελεῖν τῶν ἐκκλησιῶν τὸ σκάνδαλον καὶ παῦσαι τὰς κατὰ τῆς δόξης αὐτοῦ δυσφημίας. ἐπειδὴ δέ ἐστι μακρόθυμος, καιρὸν μεταγνώσεως ἐπεδαψιλεύσατο τῶι εὐλαβεστάτωι ἐπισκόπωι Νεστορίωι, σιωπώντων τέως πάντων ἐπ' αὐτῶι καὶ περιμενόντων

VS, D [= mn], AW

1 λαῶν τῶν om. V τῇ A om. VSDW 3 σιωπήσωμεν S 4 γὰρ VAW μὲν SD 6 ἡμέραι] καιρῷ A 7 ἐκβάλλομεν V ἐκβάλωμεν W ἐλάβομεν SD ἐλάσομεν A μετὰ] κατὰ D 8/9 τὸ δοκοῦν τυπῶσαι SD 11 τελειότητοσ SDAW θεοσεβείασ V 11/12 θεοσεβεστάτοισ W 12 τὴν om. VD δὲ om. VW 13 δώσωμεν W 16 δὲ om. SD 17 ἠθέλησαν D 18 εὐθὺς om. V 20 ἃ om. V καὶ μεγάλοι om. W 21 ἡμῶν om. D περικοπὰσ ἔχοντασ VW παρασκεύασα V παρεκάλεσα A 23 ὁσιότητι SD

VS, D [= mn], AW

ρμε V μ S μα' D 25 αὐτοῦ] ἁγίου κυρίλλου W καὶ om. SD αὐτοῦ W αὐτῆσ VSDA πρὸς — μοναχούς om. W 26 μοναστηρίοισ D μεγάλην om. V 27 κατὰ τὴν VAW 28 ἐπὶ] ἐν V πεποίησθαι V βλασφημουμένῳ VA 30 τῆς εὐνοίας — ὄνομα om. SD ὑμῶν AW αὐτόν D 31 διετελοῦμεν SD παρακαλοῦμεν VW, corr. W 33 ἐπεὶ V 34 πάντων τέωσ VW

ὅπερ ἦν ἅπασι δι' εὐχῆς, τὸ μεταστῆναι μὲν αὐτὸν τῆς βεβήλου κενοφωνίας, φρονῆσαι δὲ μεθ' ἡμῶν τὰ ὀρθὰ καὶ εἰκότα καὶ ταῖς θεοπνεύστοις συμβαίνοντα γραφαῖς ἐλέσθαι τε τὴν PG 128
πίστιν τὴν παραδοθεῖσαν ἄνωθεν ταῖς ἐκκλησίαις παρά τε τῶν ἁγίων ἀποστόλων καὶ εὐαγγελιστῶν, οἳ καὶ γεγόνασιν οἰκονόμοι γνήσιοι τῶν τοῦ Χριστοῦ μυστηρίων καὶ ἱερουργεῖν ἐτάχθησαν τὸ εὐαγγέλιον αὐτοῦ τοῖς ἀνὰ πᾶσαν τὴν ὑπ' οὐρανόν. ἐπειδὴ δὲ μεμένηκεν
ἐν τοῖς αὐτοῖς ἢ τάχα δή που καὶ ἐν χείροσι γέγονε, προστιθεὶς ἀεὶ δυσφημίας ἐπὶ δυσφη- L III 423
μίαις καὶ ξένα καὶ ἀλλότρια παντελῶς ἐξηγούμενος δόγματα, ἃ μὴ οἶδεν ὅλως ἡ ἁγία καὶ καθολικὴ ἐκκλησία, ἐδικαιώσαμεν ὑπομνησθέντα τρίτωι γράμματι τούτωι δὴ τῶι πεμφθέντι ep. 6. 10
παρά τε ἡμῶν καὶ τοῦ ὁσιωτάτου καὶ θεοσεβεστάτου ἀδελφοῦ ἡμῶν καὶ συλλειτουργοῦ Κελεστίνου τοῦ τῆς μεγάλης Ῥώμης ἐπισκόπου, εἰ μὲν ἔλοιτο μετανοῆσαι καὶ ἐφ' οἷς εἴρηκε,
δακρύσας ἀναθεματίσαι μὲν ἐγγράφως τὰ διεστραμμένα ἑαυτοῦ δόγματα, ὁμολογῆσαι δὲ ὀρθῶς καὶ ἀνεπιλήπτως τῆς καθολικῆς ἐκκλησίας τὴν πίστιν, μένειν αὐτὸν συγγνώμην αἰτοῦντα καὶ ἃ δεῖ μανθάνοντα, εἰ δὲ μὴ ἔλοιτο ταῦτα πρᾶξαι, ἀλλότριον αὐτὸν εἶναι καὶ ξένον τοῦ χοροῦ τῶν ἐπισκόπων καὶ τοῦ διδασκαλικοῦ ἀξιώματος. οὐ γάρ ἐστιν ἀκίν-
δυνον ἐν εἴδει ποιμένος λύκον ἐπαφεῖναι δεινὸν τοῖς τοῦ σωτῆρος ποιμνίοις. ἀνδρίζεσθε
τοίνυν ὡς δοῦλοι θεοῦ καὶ φροντίσατε τῶν ἰδίων ψυχῶν, πάντα πράττοντες ὑπὲρ τῆς δόξης τοῦ Χριστοῦ καὶ ὅπως ἂν ἡ εἰς αὐτὸν πίστις ὀρθὴ καὶ ἀκαταίτιος κηρύττηται παντα-
χοῦ. τοῦτο γὰρ ἡμᾶς καὶ τῶν μετὰ ταῦτα κινδύνων ἀπαλλάξει καὶ ἐπὶ τοῦ θείου βήματος στεφάνων ἀξιωθῆναι παρασκευάσει, τῆς εἰς αὐτὸν ἀγάπης ἕνεκα σύμπαντας ἀπο-
δεχομένου τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ.

Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίωι. ἀσπάζονται ὑμᾶς οἱ σὺν ἐμοὶ πάντες Rom. 16, 16
ἀδελφοί. ἐρρῶσθαι ὑμᾶς ἐν κυρίωι εὔχομαι, ἀγαπητοὶ καὶ ποθεινότατοι.

146 = S 42 A 163. Latina uersio extat in Collectione C 83

Ἀναφορὰ Νεστορίου καὶ τῶν σὺν αὐτῶι ἐπισκόπων πρὸς τὸν βασιλέα περὶ τῶν πεπραγμέ- L III 564
νων παρὰ τῆι ἁγίαι συνόδωι, γραφεῖσα πρὸ τοῦ παραγενέσθαι ἐν Ἐφέσωι τὸν Ἀντιοχείας M IIII 1232
ἐπίσκοπον

1 Εἰς τὴν Ἐφεσίων πόλιν συγκληθέντες ὑπὸ τῆς ὑμετέρας εὐσεβείας καὶ ἀνυπερθέτως Loofs, Nest p. 186—190
παραγενόμενοι, ἐβουλήθημεν τοῖς εὐσεβέσιν ὑμῶν ἑπόμενοι γράμμασιν ἀναμεῖναι τοὺς παντα- M IIII 1233
χόθεν ἀφικνουμένους θεοφιλεστάτους ἐπισκόπους, μάλιστα δὲ τὸν ἁγιώτατον τῆς Ἀντιοχέων μεγαλοπόλεως καὶ τοὺς σὺν αὐτῶι θεοφιλεστάτους μητροπολίτας καὶ τοὺς ἀπὸ τῆς Ἰταλίας L III 565
καὶ Σικελίας καὶ οὕτως κοινὸν ἁπάντων ποιῆσαι συνέδριον καὶ κοινῆι ψήφωι κυρῶσαι τῶν ἁγίων πατέρων τὴν πίστιν τῶν ἐν Νικαίαι συναθροισθέντων. καὶ γὰρ πολλαὶ μετ' ἐκείνην γενόμεναι σύνοδοι οὐδὲν καινοτομῆσαι κατ' ἐκείνης ἐτόλμησαν, ἀλλ' ἐκείνηι πάντηι ἐμμένειν
2 ἐνομοθέτησαν. ὡς δὲ εἴδομεν τοὺς ἀπ' Αἰγύπτου δυσχεραίνοντας καὶ οἰομένους ἡμᾶς ἁπλῶς ἀναβολαῖς κεχρῆσθαι, ὑπεσχόμεθα συνεδρεύειν, ὁπόταν ὁ μεγαλοπρεπέστατος κόμης τῶν καθωσιωμένων δομεστίκων Κανδιδιανὸς ἀπὸ τῆς ὑμετέρας εὐσεβείας τούτου χάριν

VS, D [= mn], AW

1 καινοφωνίασ V 2 οἰκότα V τε] δὲ V 4 τοῦ om. SD 6 ἢ τάχα δήπου W τάχα δήπου VSD τάχα δέ που A 7 ἐξηγοὺμενα A μὴ δὲ D καὶ om. VW 8 ὑπο-μνησθέντεσ SD 11 αὐτοῦ SD 13 δεῖ] δὴ S 15 ἐπαφῆναι VW 16 ὡς om. A θεοῦ] χῦ V 17 ἀκταίτιοσ A 19 σύμπαντα D

VS, D [= mn], AΛ

ρμς V μβ S μγ' D 25 παρὰ om. SD 27 συγκληθέντων S 28 ἐβουλήθημεν μὲν Λ 30 μεγαλουπόλεως D μητροπολίτασ SDAΛ ἐπισκόπους V 31 καὶ οὕτως κοινὸν om. V 33 πάντη SD πάντεσ VA om. Λ 35 ἁπλῶς VSDA *nequiquam* Λ ὁπότε SD

ἀποσταλεὶς συγκαλέσαι ἡμᾶς βουληθείη· ταῦτα δὲ καὶ αὐτῶι διὰ θεοφιλεστάτων ἐπισκόπων ἐδηλώσαμεν. ἐπειδὴ δὲ ἔγνω αὐτοῦ ἡ μεγαλοπρέπεια καὶ τὸν ἁγιώτατον Ἰωάννην τὸν τῆς Ἀντιοχέων μεγαλοπόλεως ἐπίσκοπον καὶ τοὺς σὺν αὐτῶι πλησίον ὄντας (τοῦτο γὰρ αὐτῶι οἱ ἀποσταλέντες ὑπ' αὐτοῦ ἐδήλωσαν μαγιστριανοί), καὶ ἄλλοι δὲ ἠγγέλθησαν ἐκ τῆς Δύσεως θεοφιλέστατοι ἐπίσκοποι, παρηγγύησεν ἅπασιν ἀναμεῖναι πάντων τὴν παρουσίαν
3 κατὰ τὰ δόξαντα τῆι εὐσεβεῖ ὑμῶν κορυφῆι. καὶ ἡμεῖς μὲν τὴν ἡσυχίαν ἠγαπήσαμεν εἴξαντες τοῖς γραφεῖσιν ὑπὸ τῆς ὑμετέρας εὐσεβείας· Αἰγύπτιοι δὲ καὶ Ἀσιανοὶ οὔτε τὸ κοινῆι συμφέρον ταῖς ἐκκλησίαις λογισάμενοι οὔτε τὸν εἰρηνικὸν καὶ ἔννομον τῆς ὑμετέρας εὐσεβείας σκοπὸν ἀποδεξάμενοι, μᾶλλον δὲ καὶ τοὺς ἐκκλησιαστικοὺς καὶ τοὺς βασιλικοὺς θεσμοὺς πατήσαντες ἔφυγον μὲν τὴν ἀκόλουθον καὶ σύμφωνον τῆς πίστεως ὁμολογίαν, ῥῆξαι δὲ ἴσως τὸ ἐκκλησιαστικὸν ἐθελήσαντες σῶμα καθ' ἑαυτοὺς συνηθροίσθησαν, ἀλλότρια τῆς τε ἐκκλησιαστικῆς ἀκολουθίας ἐργαζόμενοι καὶ τῶν ἀρτίως γραφέντων παρὰ τῆς
ep. 31 ὑμετέρας εὐσεβείας γραμμάτων. μίαν γὰρ παρὰ πάντων σύμφωνον ἐκτεθῆναι πίστιν ἐν τοῖς ὑπὸ τῆς ὑμετέρας εὐσεβείας ἀποσταλεῖσι διηγορεύσατε γράμμασι πρόσφορον τοῖς τε
4 εὐαγγελικοῖς καὶ ἀποστολικοῖς γράμμασι καὶ τοῖς τῶν ἁγίων πατέρων δόγμασιν. ἀλλ' οὐδὲν τούτων λογισάμενοι οἱ προειρημένοι καθ' αὑτοὺς μὲν ἔπραξαν ἃ ἔπραξαν, ἃ παρὰ πάντων τὸ ὑμέτερον εἴσεται κράτος· τοὺς δὲ σὺν αὐτοῖς στασιώτας εἰς τὴν ἀγορὰν διασπείραντες συγχύσεως τὴν πόλιν ἐνέπλησαν, τὰς οἰκίας ἡμῶν περιόντες δημοσίαι, ἐπιόντες τὸ κοινὸν ἡμῶν συνέδριον ⟨καὶ⟩ διαταράττοντες, ἀνήκεστα ἄττα ἀπειλοῦντες, Μέμνονος τοῦ ἐπισκόπου ἐξάρχου τῆς στάσεως γενομένου καὶ τὰς μὲν ἁγίας ἐκκλησίας καὶ τὰ ἅγια μαρτύρια καὶ τὸ ἅγιον Ἀποστόλιον ἡμῖν ἀποκλείσαντος, ἵνα μηδὲ προσφυγεῖν ἐλαυνόμενοι δυνηθῶμεν, ἐκείνοις δὲ τὴν μεγάλην ἐκκλησίαν ἀνοίξαντος καὶ συνεδρεύειν ἐκεῖ παρασκευά-
5 σαντος καὶ πᾶσιν ἡμῖν θάνατον ἀπειλήσαντος. δεόμεθα οὖν τῆς ὑμετέρας εὐσεβείας καὶ
ep. 25 ἀντιβολοῦμεν καὶ ἱκετεύομεν, ἐπειδὴ τοῖς τῆς ὑμετέρας φιλοχρίστου κορυφῆς γράμμασιν
M IIII 1236 εἴξαντες τὴν Ἐφεσίων κατελάβομεν, ἀγνοοῦντες τὰς βαρβαρικὰς ταύτας ἐφόδους, κελεῦσαι ἡμᾶς ἢ ἀνεπηρεάστους φυλαχθῆναι καὶ ἐννόμως τὸ συνέδριον γενέσθαι, μηδενὸς τῶν κληρικῶν ἢ τῶν μοναζόντων μήτε τῶν ἡμετέρων μήτε τῶν Αἰγυπτίων ἐπεισιόντος τῶι συνεδρίωι μήτε τινὸς τῶν ἀκλήτως ἐληλυθότων ἐπισκόπων ἐπὶ ταραχῆι τῆς ἁγίας συνόδου,
L III 568 δύο δὲ σὺν τῶι μητροπολίτηι ἀφ' ἑκάστης ἐπαρχίας τοὺς ἐκκρίτους καὶ δυναμένους τὰ τοιαῦτα εἰδέναι ζητήματα εἰς τὸ συνέδριον συνεισελθεῖν καὶ μετ' εἰρήνης καὶ συμφωνίας τὴν τῶν ἁγίων πατέρων βεβαιῶσαι πίστιν ἢ κελεῦσαι ἡμᾶς ἀκινδύνως τὰ οἰκεῖα καταλαβεῖν· ἀπειλοῦσι γὰρ καὶ αὐτῆς τῆς ζωῆς ἡμᾶς ἀποστερεῖν.

6 Καὶ εἰσὶν οἱ ὑπογράψαντες
Νεστόριος ἐπίσκοπος Κωνσταντινουπόλεως
Φρίτιλας ἐπίσκοπος Ἡρακλείας τῆς Θράικης

VS, D [= mn], AΛ

1 θεοφιλεστάτου ἐπισκόπου SD 2 τὸν[2] om. VA 3 ἀντιοχέων μεγαλοπόλεως [μεγαλοπόλεως V] VAΛ ἀντιοχείας SD 4 *praefectiani et magistriani* Λ 5 παρεγγύησεν D παρενεγγύησεν S 10 ἀκολουθίαν SD om. Λ 11 ἴσως] *clare* Λ θελήσαντες A 14 ἡμετέρας S γράμμασιν ἀποσταλεῖσι διηγορεύσατε V πρόσφορον VAΛ πρὸς τὸ συμφέρον SD 15 γράμμασι VAΛ δόγμασι SD δόγμασιν VAΛ om. SD 16 ἠγησάμενοι SD *nihil horum cogitantes ex toto* Λ ἑαυτοὺς SD ἃ ἔπραξαν AΛ om. VSD 17 εἴσεται VSDA *faciet aliena* Λ στασιώτας Λ στρατιώτας VSDA 18 ἔπλησαν SD περιιόντες DA 19 καὶ addidi *aggressi sanctum et perturbantes nostrum commune concilium* Λ 24 ἡμετέρας A φιλοχρίστου κορυφῆς AΛ κεφαλῆς φιλοχρίστου V εὐσεβοῦς καὶ φιλοχρίστου κορυφῆς SD 25 *simpliciter ad Ephesum uenimus* Λ 26 ἢ VA om. SDΛ 27/28 συνεδρίωι VAΛ δημοσίωι SD 30 συνεισελθεῖν V εἰσελθεῖν SDAΛ 33 οἱ V om. SDA 34—p. 15. 9 plura nomina in Λ 35 φρίτιλας VA φριτῖλος S φριτίλος D θρακικῆς SD

Ἑλλάδιος ἐπίσκοπος Ταρσοῦ
Δεξιανὸς ἐπίσκοπος Σελευκείας τῆς Ἰσαυρίας
Ἱμέριος ἐπίσκοπος Νικομηδείας
Ἀλέξανδρος ἐπίσκοπος Ἀπαμείας μητροπόλεως
Εὐθήριος ἐπίσκοπος Τυάνων
Βασίλειος ἐπίσκοπος Θεσσαλίας
Μάξιμος ἐπίσκοπος Ἀναζαρβοῦ
Ἀλέξανδρος ἐπίσκοπος Ἱερᾶς πόλεως Εὐφρατησίας
Δωρόθεος ἐπίσκοπος Μαρκιανουπόλεως τῆς Μυσίας

147 = 31

148 = S 77. uersio Syriaca [Σ] ex cod. Mus. Brit. 14557 a P. Bedjan edita est [Nestorius, Le livre d'Héraclide p. 523—542]; praetera inserta sunt prooemium et interpretationes ei apologetici contra Theodoretum [V 167—169] recensioni quam exhibent codices stirpis Ψ et uersio Latina [Λ^{s}] quae extat in Collectione Sichardiana 4

Ἐπίλυσις τῶν δώδεκα κεφαλαίων ῥηθεῖσα ἐν Ἐφέσωι ὑπὸ Κυρίλλου ἀρχιεπισκόπου Ἀλεξανδρείας, τῆς ἁγίας συνόδου ἀξιωσάσης αὐτὸν σαφέστερον αὐτοῖς ἐκτρανωθῆναι τὴν τούτων λύσιν Pusey 240 PG 76, 293

1 Πάντα ἐνώπια τοῖς συνιοῦσιν καὶ ὀρθὰ τοῖς εὑρίσκουσιν γνῶσιν κατὰ τὸ γεγραμμένον. οἳ μὲν γὰρ ὀξεῖ τε καὶ καθαρῶι διανοίας ὄμματι τοῖς ἱεροῖς τῆς θεοπνεύστου γραφῆς περιτυγχάνοντες λόγοις τὸ ἐξ αὐτῶν ὄφελος θεῖον ὥσπερ τινὰ καὶ οὐράνιον θησαυρὸν ταῖς ἑαυτῶν εἰσοικίζουσιν ψυχαῖς· οἳ δὲ τὸν νοῦν ἔχοντες τῶι ψεύδει προσνενευκότα καὶ τῆς τινων ἀθυροστομίας ἡττώμενον καὶ βεβήλου γνώσεως ἐραστὴν ἐκείνων ἔσονται κοινωνοὶ περὶ ὧν ὁ μακάριος γράφει Παῦλος· ἐν οἷς ὁ θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλωσεν τὰ νοήματα τῶν ἀπίστων εἰς τὸ μὴ αὐγάσαι τὸν φωτισμὸν τοῦ εὐαγγελίου τῆς δόξης τοῦ Χριστοῦ. τυφλώττουσιν γὰρ καί εἰσιν ὁδηγοὶ τυφλῶν· τοιγάρτοι καὶ τοῖς τῆς ἀπωλείας ἐμπίπτουσιν βόθροις. ὡς γὰρ αὐτός πού φησιν ὁ σωτήρ, τυφλὸς τυφλὸν ἐὰν ὁδηγῆι, ἀμφότεροι εἰς βόθρον ἐμπεσοῦνται. καταφλυαροῦσιν τοίνυν τινὲς τῶν τῆς ἀληθείας δογμάτων καὶ δὴ καὶ σκαιότητος διαβολικῆς τὸν οἰκεῖον ἐμπλήσαντες νοῦν παραχαράττειν ἐπείγονται τὸ τῆς Prov. 8, 9 2 Cor. 4, 4 P 241 Mt. 15, 14

148 cf. quae scribit synodus Orientalium ad mandatarios [A 67]: ἀπεστείλαμεν δὲ τῆι ὑμετέραι ὁσιότητι καὶ τὴν πρόσφατον γενομένην ἑρμηνείαν ὑπὸ τοῦ Ἀλεξανδρέως τῶν αἱρετικῶν κεφαλαίων

VS, D [= mn], AΛ
2 σελευκίας V σελεύκησ SD 3/4 Νικομηδείας — ἐπίσκοπος om. V 4 μητροπόλεως om. SD 7 alias Μαξιμῖνος uel Μαξιμιανός ἀναβαρζοῦ SD
VS, D [= mn], QBΣ, Ψ [= ARWl], Λ^{s}
16—18 Ἐπίλυσις — αὐτοῖσ ἐκτρανωθῆναι V [ἐκθεῖναι αὐτοῖσ SD] — λύσιν VSD Προοίμιον λόγου κυρίλλου ἐπισκόπου ἀλεξανδρείασ περὶ τῶν ιβ̄ κεφαλαίων τῶν παρ' αὐτοῦ ἐκτεθέντων Q Τοῦ ἐν ἁγίοισ πρσ̄ ἡμῶν κυρίλλου ἀρχιεπισκόπου ἀλεξανδρείασ ἑρμηνεία τῶν ἐκτεθέντων παρ' αὐτοῦ κατὰ νεστορίου δώδεκα κεφαλαίων· πρόλογοσ B τοῦ αὐτοῦ ἀναθεματισμοὶ ιβ̄ μετα ἑρμηνείασ καὶ θεοδωρήτου ἀντιρρήσεισ καὶ πρὸσ αὐτὰσ ἐπιλύσεισ R τοῦ αὐτοῦ πρόλογοσ εἰσ τὰ δώδεκα κεφάλαια καὶ τὰσ αὐτῶν ἑρμηνείασ W om. Al ρμη̄ V οδ' D 20 τῆσ διανοίασ D 23 προσνενευκότασ S τῆσ SDQBΣΛ^{s} ταῖσ VΨ τινῶν ἕνεκεν B ἀθυροστομίασ SDQBΣΛ^{s} ἀθυροστομίαισ VΨ ἡττώμενον VSDQΣ ἡττώμενοι BΨΛ^{s} καὶ om. VSDB ἐραστὴν VSDQΣ ἐρασταὶ BΨΛ^{s} 24 παῦλοσ λέγει S 25—27 εἰς τὸ — βόθροις om. Λ^{s} 25 διαυγάσαι ARW διαυγάσαι αὐτοῖσ B 27 περιπίπτουσι B 28 βόθυνον DB 29 πεσοῦνται B καὶ^{2} om. B 30 νοῦν ἐμπλήσαντεσ B

εὐσεβείᾳς μυστήριον καὶ τῆς μετὰ σαρκὸς οἰκονομίας τοῦ μονογενοῦς οὐ μετρίαν ποιοῦνται
1 Tim. 1, 7 τὴν κατάρρησιν, μὴ νοοῦντες μήτε ἃ λέγουσιν μήτε περὶ τίνων διαβεβαιοῦν-
2 ται κατὰ τὸ γεγραμμένον. εὑρεταὶ δὲ τῆς τοιαύτης ἀσεβείας γεγόνασιν πολλοὶ μὲν καὶ
ἕτεροι κατὰ τοὺς ἄνωθεν ἔτι καὶ παρωιχηκότας καιρούς, νυνὶ δὲ τῆς ἐκείνων ἀνοσιότητος
οὐδὲν ἀποδέοντες Νεστόριος καὶ οἱ σὺν αὐτῷ, κατὰ τοὺς ἀρχαίους ἐκείνους Φαρισαίους
Ioh. 10, 33 ἀντανιστάμενοι τῷ Χριστῷ καὶ ἀναίδην ἀνακεκραγότες· διὰ τί σὺ ἄνθρωπος ὢν ποιεῖς
PG 296 σεαυτὸν θεόν; ἦν οὖν ἀναγκαῖον καὶ ἡμᾶς αὐτοὺς τοῖς παρ' ἐκείνων ἀνταποδύ-
σασθαι λόγοις ἀναθεματίσαι τε αὐτῶν τὰ μιαρὰ καὶ βέβηλα δόγματα, μεμνημένους θεοῦ
Amos 3, 12.13 λέγοντος διὰ φωνῆς προφήτου ἱερεῖς ἀκούσατε καὶ ἐπιμαρτύρασθε τῷ οἴκῳ
Ies. 62, 10 Ἰακώβ, λέγει κύριος παντοκράτωρ καὶ πάλιν πορεύεσθε διὰ τῶν πυλῶν
μου καὶ τοὺς λίθους ἐκ τῆς ὁδοῦ διαρρίψατε. δεῖ γὰρ ἡμᾶς τῶν τῆς ἀληθείας
ὑπεραθλοῦντας δογμάτων ἐκ μέσου ποιεῖσθαι τὰ σκάνδαλα, ὡς ἂν κατ' οὐδένα τρόπον
αὐτοῖς προσπταίοντες οἱ λαοὶ διὰ λείας ὥσπερ ἔρχοιντο τρίβου πρὸς τὰς ἱερὰς τε καὶ
Ps. 117, 20 θείας αὐλάς, μόνον οὐχὶ καὶ ἐφ' ἑκάστης λέγοντες· αὕτη ἡ πύλη τοῦ κυρίου, δίκαιοι
P 242 3 εἰσελεύσονται ἐν αὐτῇ. Νεστορίου τοίνυν ξένων τε καὶ ἀνοσίων δυσφημιῶν
ὄχλον τοῖς ἰδίοις ἐνθέντος βιβλίοις, ἀναγκαίως τῆς τῶν ἐντευξομένων αὐτοῖς σωτηρίας
φροντίζοντες, συντεθείκαμεν ἀναθεματισμούς, οὐ τὸ εἰς νοῦν ἥκον ἁπλῶς ἐνθέντες τῇ
ep. 6 γραφείσῃ πρὸς αὐτὸν παραινετικῇ ἐπιστολῇ, ἀλλ' ὡς ἔφημεν ἀρτίως, ξένα καὶ ἀλλότρια
τῶν τῆς εὐσεβείας δογμάτων ἀποφαίνοντες τῆς ἐκείνου φρενοβλαβείας τὰ εὑρήματα.
ἐπασχάλλουσι δὲ τάχα πού τινες τοῖς παρ' ἡμῶν λόγοις, ἢ μὴ συνιέντες ἀληθῶς τῶν
γεγραμμένων τὴν δύναμιν ἢ τῆς Νεστορίου μιαρᾶς αἱρέσεως ὑπασπισταὶ γεγονότες καὶ
μεριζόμενοι τὴν ἀσέβειαν καὶ τὰ αὐτὰ φρονοῦντες ἐκείνῳ. λανθάνει μὲν οὖν οὐδένα
τῶν ὀρθὰ φρονεῖν εἰωθότων τὸ ἀληθές· ἐπειδὴ δὲ εἰκὸς ταῖς παρ' ἐκείνων εὐρεσιλογίαις
παρενηνεγμένους μὴ συνιέναι τινὰς ὅπως τε καὶ τίνα τρόπον γεγόνασιν, δεῖν ᾠήθην ἕκαστον
τῶν ἀναθεματισμῶν ἑρμηνεῦσαι διὰ βραχέων καὶ τὴν δύναμιν αὐτῶν ὡς ἔνι καλῶς ἀφη-
γήσασθαι. ἔσται γάρ, ὥς γε οἶμαι, τὸ χρῆμα τοῖς ἐντυγχάνουσιν οὐκ ἀσυντελὲς εἰς
ὄνησιν.

Ἀναθεματισμὸς ᾱ

4 Εἴ τις οὐχ ὁμολογεῖ θεὸν εἶναι κατὰ ἀλήθειαν τὸν Ἐμμανουὴλ καὶ διὰ τοῦτο θεοτόκον τὴν
ἁγίαν παρθένον (γεγέννηκεν γὰρ σαρκικῶς σάρκα γεγονότα τὸν ἐκ θεοῦ λόγον), ἀνάθεμα ἔστω.

VS, D [= mn], QBΣ, Ψ [= ARWl], Λs

1 εὐσεβείας QBΨΣΛs ἀληθείας VSD μετρίως V ποιοῦντες R 2 δ] τι B τίνος VΣ 3 αἱρεταὶ γὰρ Q καὶ πολλοὶ R 4 ἔτι καὶ QBΨ καὶ ἔτι SD ἔτι V 6 ἀνιστάμενοι Q ἀνέδην VDBAl ἀνακεκραγότος S 7 ἑαυτὸν VAR, corr. A 7/8 ἀνταποδύεσθαι V ἀνταποδυσάμενοι Q 8 τε om. A μεμνημένοις W 9 ἐπιμαρτύρασθαι SQ ἐπιμαρτύρεσθε Rl 10 ἰακὼβ QBΨΣΛs ιηλ VSD λέγει] βλέπει W 11 τοὺς λίθους τοὺς ARlΛs ὑμᾶς VW 11/12 γὰρ τῶν — ὑπεραθλοῦντας ἡμᾶς B 12 ποιήσασθαι Q κατ'] καὶ Q 13 προσπταίονται Q πρὸς παίοντες R ἔχοιντο VQ τρίβους R τε om. V 14 ἑκάστη VBΨ 15/16 ὄχλον δυσφημιῶν B 15 δυσφημιῶν Q 16 ταῖς ἰδίαις A βιβλίοις ἐνθέντος B ἐνθέντες SmR βίβλοις AR τοῖς Ql αὐταῖς A σωτηρίοις Q 17 ἀναθεματισμοὺς om. VΣ 17/18 οὐ — γραφείσῃ om. Q 17 ἐνθέντες ἁπλῶς B εὐδὺς ἐνθέντες S 18 παραινετικῆς ἐπιστολῆς S ἔφαμεν ARl 19 δογμάτων τῆς εὐσεβείας B ἀποφαίνονται Q εὑρήματα [εὑρέματα Ql] QBΨΣΛs ἐγκλήματα SD γεννήματα V 20 ἀπασχολῶσι Q ἀπασχάλλουσι W τάχα om. ΨΛs 22 εὐσέβειαν Q λανθάνουσι RWlΛs οὖν VSDBAΣ om. QRWlΛs οὐδέ τινα V 23 τὰ ὀρθὰ VSD οἰκῶς V εἴκω Q εὐρησιλοιγίαισ Q εὐρησιλογίαισ R 24 παρενηνεγμένα D παρενηνεγμένας Q ὅπως τε] πῶς VSD τίνι τρόπῳ B δεῖν] διεν Q 26 γε om. Ψ ὡς οἶμαι post. χρῆμα add. lmg πρὸς B

28 ἀναθεματισμὸς ᾱ [πρῶτος SW] VSDBW ἀναθεματισμὸς ᾱ [πρῶτος A] τοῦ ἁγίου κυρίλλου ARlmgΛs om Q ᾱ Qmg 29 κατὰ ἀλήθειαν om. Q 29/30 τὴν ἁγίαν θεοτόκον καὶ παρθένον R 30 γὰρ om. R θῦ πρ̄ VSD θῦ θν̄ B

Ἐπίλυσις ᾱ

P 243

5 Οἱ μακάριοι πατέρες οἱ κατὰ καιροὺς ἐν τῇι Νικαέων πόλει συναγηγερμένοι καὶ τὸν τῆς ὀρθῆς καὶ ἀδιαβλήτου πίστεως ὅρον ἐκτιθέμενοι πιστεύειν ἔφασαν εἰς ἕνα θεὸν πατέρα παντοκράτορα πάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητὴν καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν αὐτοῦ καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, αὐτὸν λέγοντες τὸν ἐκ θεοῦ πατρὸς πεφηνότα λόγον τὸν δι' οὗ τὰ πάντα, τὸ φῶς τὸ ἐκ τοῦ φωτός, τὸν θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ, σαρκωθῆναί τε καὶ ἐνανθρωπῆσαι, παθεῖν καὶ ἀναστῆναι. θεὸς γὰρ ὢν κατὰ φύσιν ὁ μονογενὴς τοῦ θεοῦ λόγος σπέρματος Ἀβραὰμ ἐπελάβετο, καθά φησιν ὁ μακάριος Παῦλος, Hebr. 2, 16
καὶ παραπλησίως ἡμῖν μετέσχεν αἵματος καὶ σαρκός· γεγέννηται γὰρ κατὰ σάρκα ἐκ τῆς PG 297 Hebr. 2, 14
ἁγίας παρθένου καὶ ἄνθρωπος πέφηνε καθ' ἡμᾶς, οὐκ ἀπολισθήσας τοῦ εἶναι θεός, μὴ γένοιτο· ἀλλ' ὢν ὅπερ ἦν, καὶ μεμενηκὼς ἐν τῇι τῆς θεότητος φύσει τε καὶ δόξηι. φαμὲν οὖν αὐτὸν ἄνθρωπον γεγενῆσθαι, οὐ τροπὴν ὑπομείναντα τὴν εἰς ὅπερ οὐκ ἦν, οὐκ ἀλλοίωσιν (ἀεὶ γάρ ἐστιν ὁ αὐτὸς καὶ τροπῆς ἀποσκίασμα παθεῖν οὐκ ἀνέχεται), ἀλλ' οὐδὲ φυρμὸν Iac. 1, 17
ἢ ἀνάχυσιν ἢ σύγκρασιν τῆς οὐσίας αὐτοῦ πρὸς τὴν σάρκα γεγενῆσθαι διοριζόμεθα. φαμὲν δὲ σαρκὶ ψυχὴν ἐχούσηι τὴν λογικὴν ἡνῶσθαι τὸν λόγον ὑπὲρ νοῦν τε καὶ ἀπορρήτως καὶ ὡς μόνος οἶδεν αὐτός. οὐκοῦν μεμένηκε θεὸς καὶ ἐν προσλήψει σαρκὸς καί ἐστιν εἷς υἱὸς τοῦ θεοῦ καὶ πατρὸς ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ αὐτὸς καὶ πρὸ παντὸς αἰῶνος καὶ χρόνου καθὸ νοεῖται λόγος καὶ ἀπαύγασμα τῆς ὑποστάσεως αὐτοῦ, καὶ ἐν ἐσχάτοις και- Hebr. 1, 3
6 ροῖς οἰκονομικῶς ἄνθρωπος δι' ἡμᾶς. ἐπειδὴ δὲ ἀναιροῦσιν τινὲς τὴν κατὰ σάρκα P 244
γέννησιν αὐτοῦ τὴν ἐκ τῆς ἁγίας παρθένου γεγενημένην ἐπὶ σωτηρίαι τῶν ὅλων, οὐκ εἰς ἀρχὴν τοῦ εἶναι θεὸν καλοῦσαν αὐτόν, ἀλλ' ἵνα ἡμᾶς ἀπαλλάξηι θανάτου καὶ φθορᾶς γεγονὼς καθ' ἡμᾶς, ταύτης ἕνεκα τῆς αἰτίας ὁ πρῶτος ἡμῖν ἀναθεματισμὸς κατακέκραγε μὲν τῆς ἐκείνων κακοπιστίας, τὸ δὲ ὀρθῶς ἔχον ὁμολογεῖ, θεὸν εἶναι λέγων κατὰ ἀλήθειαν τὸν Ἐμμανουὴλ καὶ διὰ τοῦτο θεοτόκον τὴν ἁγίαν παρθένον.

Ἀναθεματισμὸς β̄

7 Εἴ τις οὐχ ὁμολογεῖ σαρκὶ καθ' ὑπόστασιν ἡνῶσθαι τὸν ἐκ θεοῦ πατρὸς λόγον ἕνα τε εἶναι Χριστὸν μετὰ τῆς ἰδίας σαρκός, τὸν αὐτὸν δηλονότι θεόν τε ὁμοῦ καὶ ἄνθρωπον, ἀνάθεμα ἔστω.

Ἐπίλυσις

8 Ὁ θεσπέσιος γράφει Παῦλος ὁ τῶν θείων μυστηρίων ἱερουργός· ὁμολογουμένως 1 Tim. 3, 16
μέγα ἐστὶν τὸ τῆς εὐσεβείας μυστήριον· ὃς ἐφανερώθη ἐν σαρκί, ἐδι-

8—10. 13/14 adfert Alexander Hierapolitanus in Coll. Casin. 224, 3

VS, D [= mn], QBΣ, Ψ [= ARWl], Λ^{s}

1 ἑρμηνεία τοῦ αὐτοῦ κεφαλαίου B ἑρμηνεία AW ἑρμηνεία ᾱ Rl om. Q 3 κανώνα Q ἐκθέμενοι VSD 4 τε om. Q 5 πατρὸς om. VSD 6 τὸν δι' — πάντα om. l τὸν om. Q τὰ πάντα QBARWΣΛ^{s} τὰ πάντα ἐγένετο VSD utrumque in codd. Λ^{s} τοῦ om. D τὸν ἐκ θῦ ἀληθινοῦ θν̄ ἀληθινόν VSD παθεῖν τὲ VSDl ἦν R 8 θεοῦ QΣ πρσ̄ VSDBΨΛ^{s} 9 μετέσχεν ἡμῖν A γεγέννηται — σάρκα om. Λ^{s} γεγένηται SΣ γὰρ om. R 10 γέγονε V 11 τῆς θεότητος] θεία l 14 ἀνάκρασιν ἢ ἀνάλυσιν Q γενέσθαι BW 15 τὸν λόγον ἡνῶσθαι B δὲ ΨΛ^{s} 17 ὁ χ̄σ̄ AR^{corr}W 18 καὶ καθὸ V ἀπαύγασμα BΨΛ^{s} χαρακτὴρ VSDΣ ἀπαύγασμα καὶ χαρακτὴρ Q 19 ἡμᾶς γεγονὼς VSD 20 τὴν om. B γεγενημένην ἐκ τῆς ἁγίας παρθένου B γεγεννημένην Vl οὐκ εἰς] οὐχ ὡς l 21 θεὸν om. Vl καλούσης RW λαβόντος l αὐτὸν] ἐν αὐτῇ l γεγονότος l 22 ἡμῶν Q μὲν om. Ψ 23 κακοπιστίας ἐκείνων B τὸ] ὁ W ἔχων QW ἔχειν RΛ^{s} λέγον D om. l

25 inscr. om. Q β̄ Q^{mg} δεύτερος VA

29 ἐπίλυσις V ἐπίλυσις β D λύσις S^{mg} ἑρμηνεία τοῦ αὐτοῦ κεφαλαίου B ἑρμηνεία W^{mg} ἑρμηνεία κυρίλλου A τοῦ αὐτοῦ ἑρμηνεία β̄ R ἑρμηνεία τοῦ αὐτοῦ l om. Q, sicut semper 30 θείων om. Vl 31 ὃσ RWΣ *quod* Λ^{s} θσ̄ VSDQBAW^{corrl}

καιώθη ἐν πνεύματι, ὤφθη ἀγγέλοις, ἐκηρύχθη ἐν ἔθνεσιν, ἐπιστεύθη ἐν κόσμωι, ἀνελήφθη ἐν δόξηι. τί οὖν ἐστιν τὸ ἐφανερώθη ἐν σαρκί; τουτέστιν γέγονεν σὰρξ ὁ ἐκ θεοῦ πατρὸς λόγος, οὐ κατὰ μετάστασιν ἢ τροπὴν τῆς ἑαυτοῦ φύσεως,
P 245 ὡς ἤδη προείπομεν, ἰδίαν δὲ μᾶλλον ποιησάμενος σάρκα τὴν ἐκ τῆς ἁγίας παρθένου εἷς τε καὶ ὁ αὐτὸς χρηματίζων υἱός, πρὸ μὲν τῆς ἐνανθρωπήσεως ὡς ἄσαρκος ἔτι λόγος, μετὰ δὲ τὴν ἐνανθρώπησιν ὁ αὐτὸς ἐνσώματος. ταύτηι τοι φαμὲν τὸν αὐτὸν ὑπάρχειν θεόν τε ὁμοῦ καὶ ἄνθρωπον, οὐ διιστάντες εἰς ἄνθρωπον ἰδικῶς καὶ ἀνὰ μέρος κείμενον τὴν ἐπ'
PG 300 αὐτῶι θεωρίαν καὶ εἰς θεὸν λόγον ἰδικῶς, ἵνα μὴ δύο νοῶμεν υἱούς, ἀλλ' ἕνα καὶ τὸν
9 αὐτὸν ὁμολογοῦντες ὑπάρχειν Χριστὸν καὶ υἱὸν καὶ κύριον. τοὺς δὲ μὴ οὕτως ἔχειν ὑπειληφότας ἢ γοῦν πιστεύειν ἐθέλοντας, διορίζοντας δὲ εἰς υἱοὺς δύο τὸν ἕνα καὶ διιστάντας ἀπ' ἀλλήλων τὰ ἡνωμένα κατὰ ἀλήθειαν, φάσκοντας δὲ κατὰ μόνην τὴν ἀξίαν ἤτοι αὐθεντίαν ἀνθρώπου γενέσθαι συνάφειαν πρὸς θεὸν τῆς ὀρθῆς καὶ ἀμωμήτου πίστεως ἀλλοτρίους
Hebr. 3, 1 Rom. 1, 4 εἶναι φαμέν, ὥστε κἂν ἀπόστολος ὀνομάζηται κἂν κεχρῖσθαι λέγηται καὶ εἰς υἱὸν ὡρίσθαι θεοῦ, οὐκ αἰσχυνόμεθα τὴν οἰκονομίαν, αὐτὸν δὲ φαμὲν τὸν ἐκ θεοῦ πατρὸς λόγον, ὅτε καθ' ἡμᾶς γέγονεν ἄνθρωπος, ὠνομάσθαι δὴ τότε καὶ ἀπόστολον, κεχρῖσθαι δὲ μεθ' ἡμῶν κατὰ τὸ ἀνθρώπινον. ὁ γὰρ γεγονὼς καθ' ἡμᾶς, εἰ καὶ μεμένηκεν ὅπερ ἦν, οὐ παραιτήσεται τὰ ἡμῶν, προσίεται δὲ μᾶλλον ὁμοῦ τοῖς τῆς ἀνθρωπότητος μέτροις τὰ ἀνθρώπινα διὰ τὴν οἰκονομίαν, οὐδὲν ἐντεῦθεν εἰς οἰκείαν ἀδικούμενος δόξαν ἡ φύσιν. ἔστιν γὰρ ἔστιν καὶ οὕτω θεὸς καὶ τῶν ὅλων κύριος.

P 246 Ἀναθεματισμὸς γ̄

10 Εἴ τις ἐπὶ τοῦ ἑνὸς Χριστοῦ διαιρεῖ τὰς ὑποστάσεις μετὰ τὴν ἕνωσιν, μόνηι συνάπτων αὐτὰς συναφείαι τῆι κατὰ τὴν ἀξίαν ἢ γοῦν αὐθεντίαν καὶ οὐχὶ δὴ μᾶλλον συνόδωι τῆι καθ' ἕνωσιν φυσικήν, ἀνάθεμα ἔστω.

Ἐπίλυσις

11 Τῆς μετὰ σαρκὸς οἰκονομίας τοῦ μονογενοῦς πολυπραγμονοῦντες τὸ μυστήριον, παραδόξως τε καὶ ἀπορρήτως ἡνῶσθαι φαμὲν ἁγίωι σώματι ψυχὴν ἔχοντι λογικὴν τὸν ἐκ θεοῦ πατρὸς λόγον ἕνα τε οὕτω νοοῦμεν υἱόν, καθάπερ ἀμέλει καὶ ἐφ' ἡμῶν αὐτῶν ἔξεστιν ἰδεῖν ἑτεροφυᾶ μὲν τῶι σώματι τὴν ψυχήν, πλὴν εἰς ἓν ἄμφω ζῶιον συντεθειμένα. ἀλλ' οὐχ οὕτω ταῦτ' ἔχειν ὑπονοοῦσιν τινές, ἄνθρωπον δὲ ἱστάντες ἡμῖν ἀνὰ μέρος καὶ ἰδικῶς

VS, D [= mn], QBΣ, Ψ [= ARWl], Λ^{s}

1 ὤφθη ἀγγέλοις om. D 3 τροπὴν — φύσεως [τῆς ἑαυτοῦ φύσεως ἢ τροπὴν l] QBΨΣΛ^{s} τροπὴν — φύσεως εἰς σάρκα μεταπεποιημένης [μεταπεποιημένην S μεταπεποιημένος D] VSD 4 μᾶλλον om. ΨΛ^{s} τε om. VS 5 ὡς om. ΨΣΛ^{s} ἐστι l 6 ἐνσώματος VBΨΣΛ^{s} ἐν σώματι SD om. Q τὸν om. S 7 οὐ — ἄνθρωπον om. QRWΛ^{s} οὐκ l διιστάντα S τὲ καὶ VS κειμένην QBRWΛ^{s} τιθέμενοι l 8 καὶ — λόγον] ὡσ ἀνῳ καὶ ὡσ θῳ λόγῳ l καὶ om. VS 9 ὑπάρχειν] τὸν αὐτὸν V καὶ υἱὸν καὶ κύριον om. B 10 ὁρίζοντασ Q δύο υἱοὺσ D διιστῶνταϲ DB διιστάντεσ Ql 11 φάσκοντεσ D ἢ γοῦν B αὐθεντίαν VSD τὴν αὐθεντίαν QBΨ 12 θεὸν] τὸν Q 13 ἀνομάζεται QRl λέγεται Rl εἰσ υἱὸν VSDQB υἱόσ ΨΣΛ^{s} 14 τὸν ἐκ — λόγον φαμὲν ὅτε B λόγον ὅτε VSDΨΣΛ^{s} τοῦτον δσ Q 15 γέγονε καθ' ἡμᾶσ S δὲ Q καὶ κεχρίσθαι [κεχρήσθαι V] δὲ VS 16 ἡμᾶσ σὰρξ Q 16/17 παραιτεῖται VSDΛ^{s} 17 προέσετε Q πρόϊται R προεῖται l 17/18 μέτροις — οἰκείαν] οὐκ Q 17 μέτροισ τῆσ ἀνθρωπότητοσ B 18 ἀδικούμενοσ εἰσ οἰκείαν W

20 om. Q γ Q^{mg} τρίτοσ BAW 22 αὐτὰ l τὴν om. D αὐθεντίαν VDQΨ αὐθεντία S αὐθεντίαν ἢ δυναστείαν BΣΛ^{s} 22/23 τῆι — φυσικήν om. Q 23 φυσικὴ D

24 ἐπίλυσισ V ἐπίλυσισ γ̄ D ἑρμηνεία AW ἑρμηνεία γ̄ R ἑρμηνεία τοῦ αὐτοῦ κεφαλαίου B om. QSl 26 ἁγίωι] ἐν ἁγιότητι κατένωσιν φυσικὴν Q τὴν λογικὴν SD 27 τὲ καὶ VSD νοούμενον Q 28 ἑτεροφυῆ B τῶ σώματι in τὸ σῶμα καὶ corr. B 29 ταῦτα' τέχειν Q ταῦτα ἔχειν B ἀνθρώπων Q δὲ ἱστάντεσ SBΣ διιστάντεσ QRWlΛ^{s} δὲ διιστάντεσ VDA

συνῆφθαί φασιν αὐτὸν τῶι ἐκ θεοῦ πατρὸς φύντι λόγωι κατὰ μόνην τὴν ἀξίαν ἢ γοῦν αὐθεντίαν, οὐ καθ' ἕνωσιν φυσικήν, τουτέστιν ἀληθῆ, καθάπερ ἡμεῖς πιστεύομεν· οὕτω γάρ πού φησιν καὶ ἡ θεία γραφή· καὶ ἦμεν τέκνα φύσει ὀργῆς ὡς καὶ οἱ λοιποί, Eph. 2, 3
τὸ φύσει ἀντὶ τοῦ ἀληθῶς λαμβάνουσα. οἱ διαιροῦντες τοίνυν τὰς ὑποστάσεις μετὰ τὴν ἕνωσιν καὶ ἀνὰ μέρος τιθέντες ἑκατέραν, τουτέστιν ἄνθρωπον καὶ θεόν, ἐπινοοῦντες δὲ συνάφειαν αὐτοῖς τὴν κατά γε μόνην τὴν ἀξίαν, δύο που πάντως ἱστῶσιν υἱούς, καίτοι τῆς θεοπνεύστου γραφῆς ἕνα λεγούσης υἱὸν καὶ κύριον, ὥστε μετὰ τὴν ἄρρητον ἕνωσιν, P 247
κἂν θεὸν ὀνομάσηις τὸν Ἐμμανουήλ, σαρκωθέντα καὶ ἐνανθρωπήσαντα νοοῦμεν ἡμεῖς τὸν ἐκ θεοῦ πατρὸς λόγον· κἂν ἄνθρωπον εἴπηις, οὐδὲν ἧττον ἐκεῖνον αὐτὸν ἐν τοῖς τῆς ἀν- 9
θρωπότητος μέτροις καθιγμένον οἰκονομικῶς ἐπιγινώσκομεν. γεγονέναι δὲ φαμὲν ἁπτὸν PG 301
τὸν ἀναφῆ, ὁρατὸν τὸν ἀόρατον· οὐ γὰρ ἦν ἀλλότριον αὐτοῦ τὸ ἐνωθὲν αὐτῶι σῶμα, ὃ καὶ ἁπτὸν εἶναι φαμὲν καὶ ὁρατόν. τοὺς δὲ μὴ οὕτω πιστεύοντας, διιστάντας δέ, ὡς ἔφην, τὰς ὑποστάσεις μετὰ τὴν ἕνωσιν καὶ ψιλὴν αὐταῖς συνάφειαν ἐπινοοῦντας κατὰ μόνην τὴν ἀξίαν ἢ γοῦν αὐθεντίαν, ἀλλοτριοῖ τῶν ὀρθὰ φρονεῖν εἰωθότων ὁ προκείμενος ἀναθεματισμός. 15

Ἀναθεματισμὸς δ̄

12 Εἴ τις προσώποις δυσὶν ἢ γοῦν ὑποστάσεσιν τάς τε ἐν τοῖς εὐαγγελικοῖς καὶ ἀποστολικοῖς συγγράμμασιν διανέμει φωνὰς ἢ ἐπὶ Χριστῶι παρὰ τῶν ἁγίων λεγομένας ἢ παρ' αὐτοῦ περὶ ἑαυτοῦ καὶ τὰς μὲν ὡς ἀνθρώπωι παρὰ τὸν ἐκ θεοῦ λόγον ἰδικῶς νοουμένωι προσάπτει, τὰς δὲ ὡς θεοπρεπεῖς μόνωι τῶι ἐκ θεοῦ πατρὸς λόγωι, ἀνάθεμα ἔστω. 20

Ἐπίλυσις

13 Ἐν μορφῆι καὶ ἰσότητι τοῦ θεοῦ καὶ πατρὸς ὑπάρχων ὁ ἐξ αὐτοῦ λόγος οὐχ Phil. 2, 6
ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῶι, καθὰ γέγραπται, καθῆκε δὲ μᾶλλον ἑαυτὸν εἰς ἑκούσιον κένωσιν καὶ καταπεφοίτηκεν ἐθελοντὴς ἐν τοῖς καθ' ἡμᾶς, οὐ μεθεὶς τὸ εἶναι P 248
ὅ ἐστιν, μεμενηκὼς δὲ καὶ οὕτω θεὸς καὶ τὸ τῆς ἀνθρωπότητος οὐκ ἀτιμάσας μέτρον. 25
πάντα τοίνυν αὐτοῦ τὰ θεοπρεπῆ καὶ τὰ ἀνθρώπινα. ποῦ γὰρ ἔτι κεκένωκεν ἑαυτόν, εἰ τοῖς τῆς ἀνθρωπότητος μέτροις ἐπηρυθρία; καὶ εἰ παραιτοῖτο τὰ ἀνθρώπινα, τίς ὁ κατω-
14 θήσας αὐτὸν ὡς ἐξ ἀνάγκης καὶ βίας εἰς τὸ γενέσθαι καθ' ἡμᾶς; πάσας τοίνυν τὰς ἐν

4—6 Ephraim Antioch. ap. Phot. 229 p. 259b 41 ἑρμηνεύων αὐτὸς ἑαυτόν .... 'οἱ διαιροῦντες — ἱστῶσιν υἱούς' 28—p. 20, 3 λόγον et p. 20, 13—15 Timoth. arm. p. 68

VS, D [= mn], QBΣ, Ψ [= ARWI], Λs

1 τοῦ Q 2 τὴν αὐθεντίαν VSD οὐκ ἕνωσιν Q καὶ καθάπερ VS 3 φύσει τέκνα ὀργῆς VSD φύσει ὀργῆς τέκνα Ψ 4 λαμβάνουσαν I οἱ] οὐ Σ 4/5 τοίνυν — τιθέντες om. Q 5 δὲ] καὶ V 6 αὐταῖς B γε om. Q ἱστῶμεν Σ καίτοι] καὶ τὸν Q 7 ἕνα om. D 8 κἂν] καὶ QR σαρκωθέντα] σταυρωθέντα V τὲ καὶ VS 9 πρσ̄ θῡ Q εἴποις Q αὐτὸν ἐκεῖνον B ἐκεῖνον W 9/10 μέτροις τῆς ἀνότητος B καθιγμένον DARI καθηγμένον VW καθήμενον Q καθειγμένον Bcorr, om. S δὲ φαμὲν QΨΣΛs δὲ φαμὲν αὐτὸν V φαμὲν τοίνυν αὐτὸν SD φαμὲν B 11 ὁρατὸν δὲ B 12 ἀόρατον Q διιστῶντας VS 13 αὐταῖς] ἅτε Q ἐπινοοῦντες R 14 τὴν om. B ἀλλότρια Q φρονεῖν εἰωθότων] φρονούντων V 16 om. Q δ̄ Qmg τέταρτος A 17/18 ἀποστολικοῖς καὶ εὐαγγελικοῖς BI εὐαγγελικοῖς V 18 γράμμασι SD χῡ B 19 θῡ πρσ̄ VSD 20 ἔστω om. W

21 ἐπίλυσις V ἐπίλυσις δ̄ D λύσις Smg ἑρμηνεία AW ἑρμηνεία δ̄ RI ἑρμηνεία τοῦ αὐτοῦ κεφαλαίου B 23 ἴσα τὸ εἶναι S καθὼς VSD 24 ἑκουσίαν Q ἐθελοντὶ B 25 ὅπερ VS δὲ μᾶλλον VSD τῆς ἀνθρωπότητος οὐκ ἀτιμάσας τὸ Q 26 τὰ om. W τά τε BΛs τὰ om. V ποῦ] οὐ Q κεκοινώνηκεν Q ἢ Q 27 ἐπηρυθρία SWΛs ἐπερυθρία QR ἐπερυθριᾶ VDAI ἐρυθριᾶ B παρητεῖτο VΛs ἀνθρώπινα λαλεῖν DQB 27/28 κάτω θήσας SDQBRW 28 καὶ] ἢ Q

τοῖς εὐαγγελίοις φωνάς, τάς τε ἀνθρωπίνας καὶ μὴν καὶ τὰς θεοπρεπεῖς, ἑνὶ προσώπωι προσάψομεν, ἐπειδὴ καὶ ἕνα πιστεύομεν υἱὸν εἶναι Χριστὸν Ἰησοῦν, τουτέστιν ἐνανθρωπήσαντα καὶ σεσαρκωμένον τὸν τοῦ θεοῦ λόγον· ὥστε κἂν λέγηι τι τῶν ἀνθρωπίνων, τοῖς τῆς ἀνθρωπότητος αὐτοῦ μέτροις καταλογιούμεθα τὰ ἀνθρώπινα (αὐτοῦ γὰρ πάλιν καὶ τὸ ἀνθρώπινον) κἂν ὡς θεὸς διαλέγηται, θεὸν εἶναι πιστεύοντες τὸν ἐνανθρωπήσαντα, πάλιν ὡς ἑνὶ Χριστῶι καὶ υἱῶι τὰς ὑπὲρ ἀνθρώπου φύσιν προσνεμοῦμεν φωνάς. οἱ δὲ διιστάντες εἰς δύο πρόσωπα δύο που πάντως ἐπινοοῦσιν υἱούς. ὥσπερ γὰρ τὸν καθ' ἡμᾶς ἄνθρωπον οὐκ εἰς δύο πρόσωπα διαιρεῖσθαι θέμις, κἂν εἰ ἐκ ψυχῆς νοοῖτο καὶ σώματος, ἀλλ' εἷς ἐστιν καὶ ὁ αὐτὸς ἄνθρωπος, οὕτω καὶ ἐπὶ τοῦ Ἐμμανουήλ· ἐπειδήπερ εἷς ἐστιν υἱὸς καὶ κύριος ὁ σεσαρκωμένος καὶ ἐνανθρωπήσας τοῦ θεοῦ λόγος, ἓν αὐτοῦ πάν-
PG 304 τως ἐστὶν καὶ πρόσωπον, καὶ αὐτῶι προσνεμοῦμεν τά τε ἀνθρώπινα διὰ τὴν οἰκονομίαν
P 249 τὴν μετὰ σαρκὸς καὶ μὴν καὶ τὰ θεῖα διά τοι τὴν ἐκ θεοῦ καὶ πατρὸς ἀπόρρητον γέννησιν. οἱ δὲ διιστάντες καὶ ἀπομερίζοντες εἰς ἄνθρωπον ἰδικῶς, ὡς ἕτερον ὄντα υἱὸν παρὰ τὸν ἐκ θεοῦ λόγον, καὶ εἰς θεὸν ἰδικῶς, ὡς ἕτερον ὄντα υἱόν, δύο λέγοντες υἱούς, ὑποφέρονται δικαίως τῆι δυνάμει τοῦ προκειμένου ἀναθεματισμοῦ.

Ἀναθεματισμὸς ε̄

15 Εἴ τις τολμᾶι λέγειν θεοφόρον ἄνθρωπον τὸν Χριστὸν καὶ οὐχὶ δὴ μᾶλλον θεὸν εἶναι
Hebr. 2, 14 κατὰ ἀλήθειαν ὡς υἱὸν ἕνα καὶ φύσει, καθὸ γέγονε σὰρξ ὁ λόγος καὶ κεκοινώνηκεν παραπλησίως ἡμῖν αἵματος καὶ σαρκός, ἀνάθεμα ἔστω.

Ἐπίλυσις

Ioh. 1, 14 **16** Σάρκα γενέσθαι φησὶν ὁ θεσπέσιος εὐαγγελιστὴς Ἰωάννης τὸν τοῦ θεοῦ λόγον, οὐ κατὰ μετάστασιν ἢ τροπὴν τῆς ἰδίας φύσεως εἰς σάρκα μεταπεποιημένον, καθάπερ ἤδη
Hebr. 2, 14 προείπομεν (ἔχει γὰρ τὸ ἀναλλοίωτον ὡς θεός), ἀλλ' ὅτι κεκοινώνηκεν παραπλησίως ἡμῖν αἵματος καὶ σαρκὸς καὶ γέγονεν ἄνθρωπος. ἔθος γὰρ τῆι θεοπνεύστωι γραφῆι σάρκα
Lc. 3, 6 τὸν ἄνθρωπον ὀνομάζειν· γέγραπται γὰρ ὅτι ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ θεοῦ. ἀλλ' οἱ τῶν ἀνοσίων δογμάτων εὑρεταί, Νεστόριός τε καὶ οἱ σὺν αὐτῶι ἤτοι οἱ τὰ αὐτὰ φρονοῦντες ἐκείνωι ὑποκρίνονται μὲν ὁμολογεῖν τὴν τοῦ σεσαρκῶσθαι φωνήν, οὐ μὴν ἔτι καὶ σαρκωθῆναί φασιν κατὰ ἀλήθειαν τὸν τοῦ θεοῦ λόγον, τουτέστιν ἄνθρωπον
P 250 γενέσθαι καθ' ἡμᾶς μετὰ τοῦ μεῖναι ὃ ἦν, ἀλλὰ γὰρ ὡς εἰς ἄνθρωπον τῶν ἁγίων ἕνα τὸν

VS, D [= mn], QBΣ, Ψ [= ARWI], Λs

1 ἀνῖνασ τὲ B καὶ² om. Ψ τὰς om. Q 2 προσάψομεν BARIΛsTim. προσάψωμεν QW προσάπτομεν VSD ἐπεὶ δὴ δὲ καὶ Q εἶναι υἱὸν Ψ 3 τε καὶ VSD λέγειν Q 4 μέτροισ αὐτοῦ QB τὰ ἀνθρώπινα om. SΛs 4/5 αὐτοῦ — ἀνθρώπινον om. I τὰ ἀνθρώπινα ARWΛs 6 καὶ om. V 7 διιστῶντεσ QW εἰσ δύο πρόσωπα διιστάντεσ B πάντωσ ποῦ R πάντωσ Q 8 διαιρεῖσθαι om. S εἰ QB om. VSDΨ 9 ἐπειδήπερ QΨΣΛs ἐπειδὴ γὰρ VSDB 9/10 ἐστιν εἷσ V 10 υἱός] θῦ B 10/11 αὐτῶν πάντων Q 11 ἀνῖνᾶ τὲ I 12 μὴν — θεῖα] τὰ θεῖα δὲ B τοι om. VSDΨ καὶ QΨΣΛs om. VSDB γέννησιν om. Q 13 διιστῶντεσ VSDBW υἱὸν om. Tim. 13/14 παρὰ — δύο om. Q 14 καὶ εἰς — υἱόν om. RWI ὑπό φαίροντα R

16 om Q ε̄ Qmg πέμπτοσ S 17 μᾶλλον] πάλιν A 17/18 κατὰ ἀλήθειαν θεὸν εἶναι S 18 ὡς] καὶ V καὶ² om. Q

20 ἐπίλυσισ V ἐπίλυσισ ε̄ D om. QS ἑρμηνεία AW ἑρμηνεία ε̄ RI ἑρμηνεία τοῦ αὐτοῦ κεφαλαίου B 21 γενέσθαι φησὶν VSΨΣΛs γεγενῆσθαι φησὶν D φησὶ φορέσασ Q ὁ θεσπέσιοσ — ἰωάννησ σάρκα φησὶ γεγενῆσθαι B 22 ἢ τροπὴν om. Q 23 προείπαμεν Q τὸ om. S ἡμῖν παραπλησίωσ VΨ 24 καὶ² om. Q 26 ἀνομοίων I τε om. BΨ ἤτοι οἱ Q ἤτοι VSD ἤτοι testatur Σ οἱ ΨΛs om. B 27 ἐκείνωι om. B τοῦ θῦ A φωνήν] superscr. φύσιν A m. rec. 28 καὶ σαρκωθῆναι ἔτι I ἔτι] ὅτι V 29 γεγονέναι SD εἶναι ΨΛs ὡσ εἰσ VSDQBARcorrΣ ὡσεὶ I ὡσ RWΛs τὸν in εἰσ τὸν corr. B

ἐκ τῆς ἁγίας παρθένου γεγεννημένον κατοικῆσαι διισχυρίζονται τὸν μονογενῆ τοῦ θεοῦ λόγον, ἵνα μηκέτι Χριστὸς εἷς ὁμολογῆται καὶ υἱὸς καὶ κύριος καὶ προσκυνητός, ἀλλ' ὡς ἄνθρωπος ἰδικῶς καὶ κατὰ μόνας νοούμενος μόνῃ συναφείαι τῇ κατὰ τὴν ἑνότητα τῆς
17 ἀξίας τετιμημένος συμπροσκυνῆται καὶ συνδοξάζηται. κατοικεῖ μὲν γὰρ ἐν ἡμῖν ὁ τῶν ὅλων θεὸς διὰ τοῦ ἁγίου πνεύματος. καὶ γοῦν πάλαι μὲν ἔφασκεν δι' ἑνὸς τῶν ἁγίων προφητῶν ὅτι ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω καὶ ἔσομαι αὐτῶν θεὸς καὶ αὐτοὶ ἔσονταί μοι λαός. γράφει δὲ καὶ ὁ μακάριος Παῦλος· οὐκ οἴδατε ὅτι ναὸς θεοῦ ἐστὲ καὶ τὸ πνεῦμα τοῦ θεοῦ οἰκεῖ ἐν ὑμῖν; ἔφη δὲ καὶ αὐτὸς ὁ Χριστὸς περὶ τῶν ἁγίων προφητῶν ἤτοι τῶν προγεγονότων δικαίων· εἰ ἐκείνους εἶπεν θεούς, πρὸς οὓς ὁ λόγος τοῦ θεοῦ ἐγένετο, ὃν ὁ πατὴρ ἡγίασεν καὶ ἀπέστειλεν εἰς τὸν κόσμον, ὑμεῖς λέγετε ὅτι βλασφημεῖς, ὅτι εἶπον· υἱὸς τοῦ θεοῦ εἰμί; ἀλλ' οὐχ ὥσπερ ἐν ἡμῖν οἰκεῖ θεός, οὕτω καὶ ἐν Χριστῷ· θεὸς γὰρ ἦν φύσει, πεφηνὼς καθ' ἡμᾶς, εἷς τε καὶ μόνος υἱὸς καὶ ὅτε γέγονε σάρξ. οἱ τοίνυν τολμῶντες λέγειν θεοφόρον ἄνθρωπον ὑπάρχειν αὐτὸν καὶ οὐχὶ δὴ μᾶλλον ἐνανθρωπήσαντα θεὸν ὑποπίπτουσιν ἀναγκαίως τῷ προκειμένῳ ἀναθεματισμῷ.

2 Cor. 6, 16 cf. Leu. 26, 12

1 Cor. 3, 16

Ioh. 19, 35. 36

Ἀναθεματισμὸς ϛ̄

PG 305

18 Εἴ τις λέγει θεὸν ἢ δεσπότην εἶναι τοῦ Χριστοῦ τὸν ἐκ θεοῦ πατρὸς λόγον καὶ οὐχὶ δὴ μᾶλλον τὸν αὐτὸν ὁμολογεῖ θεόν τε ὁμοῦ καὶ ἄνθρωπον, ὡς γεγονότος σαρκὸς τοῦ λόγου κατὰ τὰς γραφάς, ἀνάθ μα ἔστω.

P 251

Ioh. 1, 14

Ἐπίλυσις

19 Ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς εἷς τε καὶ μόνος καὶ κατὰ ἀλήθειαν υἱὸς ὑπάρχων τοῦ θεοῦ καὶ πατρὸς γέγονεν σάρξ, ὁ λόγος, καὶ κατάρχει τῶν ὅλων ὁμοῦ τῷι ἰδίωι γεννήτορι κάμπτει τε αὐτῷι πᾶν γόνυ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων καὶ ἐξομολογεῖται πᾶσα γλῶσσα ὅτι κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν θεοῦ πατρός. ἔστιν τοίνυν αὐτὸς κύριος μὲν τῶν ὅλων καθὸ νοεῖται καὶ ἔστιν θεός, εἰ καὶ μὴ δίχα σαρκὸς μετὰ τὴν ἐνανθρώπησιν, αὐτὸς δὲ ἑαυτοῦ οὔτε θεὸς οὔτε δεσπότης. καὶ γάρ ἐστιν τῶν ἀτοπωτάτων, μᾶλλον δὲ δυσσεβείας ἁπάσης ἐπίμεστον ἀληθῶς τὸ οὕτω φρονεῖν ἢ λέγειν. εἰκότως οὖν ἐπ' αὐτῷι δὴ τούτωι γέγονεν ὁ προκείμενος ἀναθεματισμός.

Phil. 2, 10. 11

12—14 ἀλλ' — σάρξ Timoth. arm. p. 92

VS, D [= mn], QBΣ, Ψ [= ARW1], Λ^{s}

1 γεγενημένον SmQ om. Σ 1/2 λόγον τοῦ θῦ B 2 μὴ καὶ ἔτι V 2/3 εἷς — νοούμενος om. W 2 ὁμολογεῖται VQR καὶ υἱὸς — προσκυνητός om. D 3 καὶ om. BR1 4 τετιμημένον S συμπροσκυνεῖται καὶ συνδοξάζεται D μὲν γὰρ om. Λ^{s} γὰρ] τὰσ S ὑμῖν S 5 καὶ πάλαι ΨΛ^{s} πάλιν S δι' ἑνὸς] διὰ D 6 αὐτοῖσ VSΣ 7 καὶ αὐτοὶ — λαός om. D ἔσονται αὐτοὶ λαόσ μου B μου AR(B) 9 ἁγίων QBRW1ΣΛ^{s} ἁγίων αὐτσῦ VSD οἰκείων A δικαίων Σ ἁγίων VSDQBΨΛ^{s} εἰ καὶ S 12 τοῦ om. DQ ὑμῖν SQ ἐνοικεῖ B ὁ θ̄σ̄ QA1 13 φύσει ἦν VSD πεφηνὼσ om. D οὔτε Q 14 λέγειν τολμῶντεσ B 16 om. Q ϛ̄ Q^{mg} ἔκτοσ AW1 17 λέγει om. V θεὸν ἢ om. Q 18 ὁμοῦ τὲ θῦ V θ̄ν̄ τέλειον ὁμοῦ Q γεγονότα S

20 ἐπίλυσισ V ἐπίλυσισ ϛ D om. SQ ἑρμηνεία AW ἑρμηνεία ϛ̄ R ἑρμηνεία ἕκτη I ἑρμηνεία τοῦ αὐτοῦ κεφαλαίου B 21 ὁ χ̄σ̄ DARW εἷσ SDQBAW ὁ εἷσ VR1 καὶ^{2} om. BRW1ΣΛ^{s} ὑπάρχων κατὰ ἀλήθειαν ῡσ̄ W 22 ὁ λόγος om. Λ^{s} ὁ] ὡσ A καὶ om. QAΣ συγκατάρχει VSD συγκατάρχει τὲ B συγκατάρχων A τῶν ὅλων] τῶ λόγω Q ἅμα Ψ 23 κάμπτει τε] καὶ κάμπτει B 24 γλῶσσα] δόξα V 24/25 καὶ π̄ρ̄σ̄ VΣ π̄ρ̄σ̄ ἀμήν B 25 ὁ αὐτὸς V κ̄σ̄ μὲν τῶν ὅλων QBΨΛ^{s} μὲν κ̄σ̄ τῶν ὅλων SD μὲν τῶν ὅλων κ̄σ̄ V καθὸ VSDΛ^{s} καθὰ Ψ καθὰ καὶ Q καθὸ καὶ B 26 αὐτοῦ Q 27 καὶ γὰρ ἐστι VSDQBΣ ἔστι [ἔστιν R] γὰρ ΨΛ^{s} ἀπάσησ om. B 28 ἢ] καὶ Q

Ἀναθεματισμὸς ζ̄

20 Εἴ τίς φησιν ὡς ἄνθρωπον ἐνηργῆσθαι παρὰ τοῦ θεοῦ λόγου τὸν Ἰησοῦν καὶ τὴν τοῦ μονογενοῦς εὐδοξίαν περιῆφθαι ὡς ἑτέρωι παρ' αὐτὸν ὑπάρχοντι, ἀνάθεμα ἔστω.

P 252 Ἔπίλυσις

21 Ὅτε τὴν κατὰ σάρκα γέννησιν τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ εὐηγγελίζετο τῆι ἁγίαι
Lc. 1, 31 παρθένωι ὁ μακάριος Γαβριήλ, τέξηι, φησίν, υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ
Mt 1, 21 Ἰησοῦν· αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν.
ὠνόμασται δὲ καὶ Χριστὸς διὰ τὸ κεχρῖσθαι μεθ' ἡμῶν ἀνθρωπίνως κατὰ τὴν τοῦ ψάλλοντος
Ps. 44, 8 φωνὴν ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀδικίαν· διὰ τοῦτο ἔχρισέν σε
ὁ θεὸς ὁ θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. καίτοι
Ioh. 3, 34 γὰρ ὑπάρχων αὐτὸς τοῦ ἁγίου πνεύματος χορηγὸς καὶ οὐκ ἐκ μέτρου διδοὺς τοῖς ἀξίοις
Ioh. 1, 16 αὐτό (πλήρης γάρ ἐστιν καὶ ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν
κατὰ τὸ γεγραμμένον), οἰκονομικῶς ὡς ἄνθρωπος κεχρῖσθαι λέγεται νοητῶς, καταπτάντος
ἐπ' αὐτὸν τοῦ ἁγίου πνεύματος, ἵνα καὶ ἐν ἡμῖν καταμείνηι, καίτοι διὰ τὴν ἐν Ἀδὰμ παρά-
βασιν ἀποφοιτῆσαν ἐν ἀρχαῖς. αὐτὸς οὖν ὁ μονογενὴς τοῦ θεοῦ λόγος γενόμενος σὰρξ
κέκληται Χριστὸς καὶ τὴν θεῶι πρέπουσαν δυναστείαν ἰδίαν ἔχων εἰργάζετο τὰ παράδοξα.
οἱ τοίνυν λέγοντες τῆι Χριστοῦ δυναστείαι τὴν τοῦ μονογενοῦς εὐδοξίαν περιῆφθαι, ὡς
ὄντος ἑτέρου τοῦ μονογενοῦς παρὰ τὸν Χριστόν, δύο φρονοῦσιν υἱοὺς καὶ τὸν μὲν ἐνερ-
P253 PG 308 γοῦντα, τὸν δὲ ἐνεργούμενον ὡς ἄνθρωπον ἕνα τῶν καθ' ἡμᾶς· ταύτηι τοι καὶ ὑποφέρονται
τῆι δυνάμει τοῦ ἀναθεματισμοῦ.

Ἀναθεματισμὸς η̄

22 Εἴ τις τολμᾶι λέγειν τὸν ἀναληφθέντα ἄνθρωπον συμπροσκυνεῖσθαι δεῖν τῶι θεῶι λόγωι καὶ συνδοξάζεσθαι καὶ συγχρηματίζειν θεὸν ὡς ἕτερον ἑτέρωι [τὸ γὰρ σύν ἀεὶ προστιθέμενον τοῦτο νοεῖν ἀναγκάσει] καὶ οὐχὶ δὴ μᾶλλον μιᾶι προσκυνήσει τιμᾶι τὸν Ἐμμανουὴλ καὶ μίαν αὐτῶι τὴν δοξολογίαν ἀνάπτει καθὸ γέγονεν σὰρξ ὁ λόγος, ἀνάθεμα ἔστω.

Ἔπίλυσις

23 Εἷς ἕνα θεὸν πατέρα παντοκράτορα καὶ εἰς ἕνα υἱὸν καὶ μὴν καὶ εἰς ἓν ἅγιον πνεῦμα
Rom. 6, 3. 4 βεβαπτίσμεθα· εἶτα, φησὶν ὁ μακάριος Παῦλος, οὐκ οἴδατε ὅτι ὅσοι εἰς Χριστὸν

VS, D [= mn], QBΣ, Ψ [= ARWl], Λs

1 om. Q ζ̄ Qmg ἕβδομοσ A 2 ἐνεργεῖσθαι QRW ἐνηργεῖσθαι Wcorr ὑπὸ VSD 3 ἕτερον B ὑπάρχοντα B

4 ἐπίλυσισ V ἐπίλυσισ ζ̄ D om. SQ ἑρμηνεία AW ἑρμηνεία ζ̄ Rl ἑρμηνεία τοῦ αὐτοῦ κεφαλαίου B 5 κατὰ — γέννησιν] σάρκα Q τοῦ υἱοῦ τοῦ θῦ τοῦ μονογενοῦσ VSD 6 τέξει QR 7 αὐτοῦ Q 8 ὠνομάσθη Q καὶ om. V 9 φωνὴν ἡ φησιν B ἀδικίαν QΨ ἀνομίαν VSDB 11 αὐτὸσ ὑπάρχων Q ἐκ om. S 12 αὐτοῦ QΛs αὐτὸν R πλῆρεσ RWl *plenitudo* Λs ἐκ om. Ψ, superscr. W πάντεσ ἡμεῖσ B 13 νοητῶσ καὶ οὐκ ἀνθρωπίνωσ SD 13/14 καταπτάντοσ ἐπ' αὐτὸν νοητῶσ B 15 λόγοσ τοῦ θῦ B σὰρξ γενόμενοσ VSDB 16 δύναμιν VSD ἔχων ἰδίαν A ἐργάζετο R ἐργάζεται S τὰ om. VR 17 τὴν S τοῦ χῦ SBl εὐδοξίαν] δυναστείαν Q ὡς] ἡ B 18 τοῦ om. RWl 19 καὶ om. Q ὑποφέρονται δικαίωσ B

21 om. Q η̄ Qmg ὄγδοοσ A 22 ἀναλημφθέντα R συνπροσκυνεῖσθαι R 22/23 τῶι θεῶι λόγωι om. Q 23 συνχρηματίζειν QR συνσχηματίζειν D ἑνετέρῳ QΛs 23/24 τὸ γὰρ — ἀναγκάσει VBΨΣΛs om. QSD cf. apol. adu. Orient. 62. adu. Theodoret. 56 24 ἀναγκάσοι B τιμᾶν QRWl 25 ὁμολογίαν V ἀνάπτει QSΛs συνάπτει VA συνάπτειν RW ἀναπέμπει DB ἀναπέμπειν l ὁ λόγος om. Λs

26 ἐπίλυσισ V ἐπίλυσισ η̄ D λύσισ Smg om. Q ἑρμηνεία AW ἑρμηνεία η̄ Rl ἑρμηνεία τοῦ αὐτοῦ κεφαλαίου B 27 υἱὸν ἕνα SD μὴν καὶ οιν BR ἕνα Q πνα ἅγιον VS 28 εἶτα] ἔτι B

ἐβαπτίσθημεν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν; συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον, ἵνα ὥσπερ ἠγέρθη Χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ πατρός, οὕτως καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν. πεπιστεύκαμεν τοίνυν καὶ βεβαπτίσμεθα εἰς ἕνα, καθάπερ ἔφην, υἱὸν τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν, τουτέστιν σεσαρκωμένον καὶ ἐνανθρωπήσαντα τὸν ἐκ θεοῦ πατρὸς λόγον ἕνα τε ὄντα καὶ θεὸν ἀληθῶς προσκυνεῖν δεδιδάγμεθα καὶ μεθ' ἡμῶν αἱ ἄνω δυνάμεις· γέγραπται γάρ· ὅταν δὲ εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει· καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι θεοῦ. γέγονε δὲ πρωτότοκος ὁ μονογενής, ὅτε καὶ ἄνθρωπος πέφηνε καθ' ἡμᾶς· τότε γὰρ καὶ ἀδελφὸς κεχρημάτικε τῶν ἀγαπώντων αὐτόν. εἴ τις τοίνυν συμπροσκυνεῖσθαί φησιν ὡς ἄνθρωπον ἰδικῶς ἑτέρωι παρ' αὐτὸν ὑπάρχοντι τῶι ἐκ θεοῦ λόγωι καὶ οὐχὶ καθ' ἕνωσιν ἀληθῆ συνενεγκὼν εἰς ἕνα Χριστὸν καὶ υἱὸν καὶ κύριον μιᾶι προσκυνήσει τιμᾶι, ὑπυφέρεται δικαίως τῆι δυνάμει τοῦ ἀναθεματισμοῦ.

Hebr. 1, 6 P 254

10 Rom. 8, 29

Ἀναθεματισμὸς θ̄

24 Εἴ τίς φησιν τὸν ἕνα κύριον Ἰησοῦν Χριστὸν δεδοξάσθαι παρὰ τοῦ πνεύματος, ὡς ἀλλοτρία δυνάμει τῆι δι' αὐτοῦ χρώμενον καὶ παρ' αὐτοῦ λαβόντα τὸ ἐνεργεῖν δύνασθαι κατὰ πνευμάτων ἀκαθάρτων καὶ τὸ πληροῦν εἰς ἀνθρώπους τὰς θεοσημείας, καὶ οὐχὶ δὴ μᾶλλον ἴδιον αὐτοῦ τὸ πνεῦμά φησιν, δι' οὗ καὶ ἐνήργηκε τὰς θεοσημείας, ἀνάθεμα ἔστω.

Ἐπίλυσις

25 Ἄνθρωπος γεγονὼς ὁ μονογενὴς τοῦ θεοῦ λόγος ἀπομεμένηκεν καὶ οὕτω θεός, πάντα ὑπάρχων ὅσα καὶ ὁ πατήρ, δίχα μόνου τοῦ εἶναι πατήρ, καὶ ἴδιον ἔχων τὸ ἐξ αὐτοῦ καὶ οὐσιωδῶς ἐμπεφυκὸς αὐτῶι πνεῦμα ἅγιον, εἰργάζετο τὰς θεοσημείας, ὥστε καὶ ἄνθρωπος γεγονώς, ἐπεὶ μεμένηκε καὶ οὕτω θεός, ὡς ἰδίαι δυνάμει τῆι διὰ τοῦ πνεύματος ἐπλήρου τὰ θαύματα. οἱ δὲ λέγοντες ὡς ἄνθρωπον ἕνα τῶν καθ' ἡμᾶς ἢ γοῦν ἕνα τῶν ἁγίων δεδοξάσθαι καὶ αὐτὸν τῆι διὰ τοῦ πνεύματος ἐνεργείαι, οὐχ ὡς ἰδίαι μᾶλλον, ἀλλ' ὡς ἀλλοτρίαι καὶ θεοπρεπεῖ χρώμενον, καὶ ὡς ἐν χάριτος μέρει λαβεῖν παρὰ τοῦ πνεύματος τὴν εἰς οὐρανοὺς ἀνάληψιν ὑποκείσονται δικαίως τῆι δυνάμει τοῦ ἀναθεματισμοῦ.

P 255

VS, D [= mn], QBΣ, Ψ [= ARWl], Λ^{s}

1 ἐβαπτίσθητε QB ἐβαπτίσθητε QB 2 βαπτίσματοσ αὐτοῦ V 3 κενώτητι QR 4 καὶ εἰσ V ἔφημεν B 5 τὸν^{2} om. VBl, corr. l τὲ καὶ VS 6 τὸν om. l καὶ om. VSΣ ἀληθῶς om. VS 7 γὰρ VQBΛ^{s} δὲ S γὰρ ὅτι ΨD ὅταν δὲ] ὅτε B 9 ὅτι VA 10 συνπροσκυνεῖσθαι R προσκυνεῖσθαι D αὐτὸν ὡσ D 11 ἀνῶ W καὶ ὡσ ἑτέρω D θῦ πρσ VSD 12 συνεισηνεγκὼν Q 13 δικαίως — ἀναθεματισμοῦ] τῶ προκειμένω ἀναθεματισμῶ B

14 om. Q ἕνατοσ A 15 τὸν χν̄ DQ δεδοξάσθαι QBVSD δοξάζεσθαι Ψ πρσ̄ Q 16 δι' QBΨΛ^{s} ἰδία VSDΣ δύνασθαι ἐνεργεῖν B 17 κατά τε QB θεοσημίασ VDBAl θεοσεβείασ S καὶ om. Q 18 τὸ ἴδιον αὐτοῦ τὸ S ἐνήργηκε DBΨ ἐνήργη καὶ Q ἐνήργησε VS 18. 22 θεοσημίασ VDBAl

19 ἐπίλυσισ V ἐπίλυσισ θ̄ D ἑρμηνεία SAW ἑρμηνεία θ̄ Rl ἑρμηνεία τοῦ αὐτοῦ κεφαλαίου B 20 λόγοσ τοῦ θεοῦ B οὕτω] ὄντοσ Q 21 μόνον Q 22 οὐσιῶδεσ Rl αὐτῶ ἐμπεφυκὸσ B συμπεφυκῶσ Q 23 ἐπεὶ μεμένηκε ΨΣ ἐπειδὴ μεμένηκε Q ἐπιμεμένηκε VSD μεμένηκε B *permansit* Λ^{s} ὥστε VSD τῆι — πνεύματος om. B τῆι om. Q 24 θαυμάσια B ἕνα τῶν om. B ἤγουν ἕνα τῶν ἁγίων Σ ἕνα τῶν ἁγίων ἤγουν Q ἤγουν τῶν ἁγίων VSDΨΛ^{s} ἤγουν τινὰ τῶν ἁγίων B 25 δεδόξασται R δοξάζεσθαι A καὶ om SDB αὖ R 26 καὶ^{1} QIΣΛ^{s} καὶ θῦ RW καὶ οὐ VSDBA λαβόντα D 27 δικαίωσ ὑποκείσονται B

Ἀναθεματισμὸς ῑ

Hebr. 3,1 **26** Ἀρχιερέα καὶ ἀπόστολον τῆς ὁμολογίας ἡμῶν γεγενῆσθαι Χριστὸν ἡ θεία λέγει γραφή·
Eph. 5, 2 προσκεκόμικε δὲ ὑπὲρ ἡμῶν ἑαυτὸν εἰς ὀσμὴν εὐωδίας τῶι θεῶι καὶ πατρί. εἴ τις τοίνυν ἀρχιερέα καὶ ἀπόστολον ἡμῶν γεγενῆσθαί φησιν οὐκ αὐτὸν τὸν ἐκ θεοῦ λόγον, ὅτε γέγονεν σὰρξ καὶ καθ' ἡμᾶς ἄνθρωπος, ἀλλ' ὡς ἕτερον παρ' αὐτὸν ἰδικῶς ἄνθρωπον ἐκ γυναικός, ἢ εἴ τις λέγει καὶ ὑπὲρ ἑαυτοῦ προσενεγκεῖν αὐτὸν τὴν προσφορὰν καὶ οὐχὶ δὴ μᾶλλον ὑπὲρ μόνων ἡμῶν (οὐ γὰρ ἂν ἐδεήθη προσφορᾶς ὁ μὴ εἰδὼς ἁμαρτίαν), ἀνάθεμα ἔστω.

Ἐπίλυσις

27 Σμικρὰ μὲν ὁμολογουμένως τῶι ἐκ θεοῦ φύντι λόγωι τὰ ἀνθρώπινα, πλὴν οὐκ ἀπόβλητα διὰ τὴν οἰκονομίαν. κύριος γὰρ ὢν κατὰ φύσιν τῶν ὅλων, καθῆκεν ἑαυτὸν ἐν τοῖς καθ' ἡμᾶς, μορφὴν δούλου λαβών, καὶ κεχρημάτικεν ἡμῶν ἀρχιερεὺς καὶ ἀπόστολος, τῶν τῆς ἀνθρωπότητος μέτρων καὶ εἰς τοῦτο καλούντων αὐτόν. προσκεκόμικε δὲ ἑαυτὸν
P 256 ὑπὲρ ἡμῶν εἰς ὀσμὴν εὐωδίας τῶι θεῶι καὶ πατρί· μιᾶι γὰρ προσφορᾶι τετελείωκεν
Hebr. 10, 14 εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους, καθὰ γέγραπται. ἀλλ' οὐκ οἶδα πῶς οἱ ἑτερόφρονες οὐκ αὐτὸν τὸν ἐκ θεοῦ λόγον ἄνθρωπον γεγονότα διισχυρίζονται χρηματίσαι καὶ ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν, ἀλλ' ὡς ἕτερόν τινα παρ' αὐτὸν ἄνθρωπον ἰδικῶς τὸν ἐκ τῆς ἁγίας παρθένου γεγεννημένον φασὶν χρηματίσαι καὶ ἀπόστολον καὶ ἀρχιερέα καὶ κατὰ προκοπὴν εἰς τοῦτο ἐλθεῖν καὶ οὐχ ὑπέρ γε μόνων ἡμῶν, ἀλλὰ καὶ ὑπὲρ ἑαυτοῦ προσενεγκεῖν ἑαυτὸν εἰς θυσίαν τῶι θεῶι καὶ πατρί, ὅπερ ἐστὶν τῆς ὀρθῆς καὶ ἀμωμήτου πίστεως ἀλλότριον παντελῶς. οὐ γὰρ ἐποίησεν ἁμαρτίαν, ὁ δὲ κρείττων ὢν τοῦ πλημμελεῖν καὶ ἀμοιρήσας παντελῶς ἁμαρτίας οὐκ ἂν ἐδεήθη θυσίας τῆς ὑπὲρ ἑαυτοῦ. ἐπειδὴ δὲ τὸ εἰκὸς παρωθούμενοι δύο δὴ πάλιν υἱοὺς ἐπινοοῦσιν οἱ ἑτερόφρονες, ἀναγκαίως γέγονεν ὁ ἀναθεματισμός, ἐμφανῆ καθιστὰς τὴν ἀσέβειαν αὐτῶν.

Ἀναθεματισμὸς ιᾱ

PG 312 **28** Εἴ τις οὐχ ὁμολογεῖ τὴν τοῦ κυρίου σάρκα ζωοποιὸν εἶναι καὶ ἰδίαν αὐτοῦ τοῦ ἐκ θεοῦ πατρὸς λόγου, ἀλλ' ὡς ἑτέρου τινὸς παρ' αὐτὸν συνημμένου μὲν αὐτῶι κατὰ τὴν ἀξίαν ἢ γοῦν ὡς μόνην θείαν ἐνοίκησιν ἐσχηκότος, καὶ οὐχὶ δὴ μᾶλλον ζωοποιόν, ὡς ἔφημεν, ὅτι γέγονεν ἰδία τοῦ λόγου τοῦ τὰ πάντα ζωογονεῖν ἰσχύοντος, ἀνάθεμα ἔστω.

VS, D [= mn], QBΣ, Ψ [= ARWl], Λ^{s}

1 om. Ql ῑ Q^{mg} δέκατοσ A 2 λέγει om. Q 3 προσκεκομικέναι VSDΣ γὰρ Bl ἑαυτὸν ὑπὲρ ἡμῶν VSB 4 ἀρχιερέα — φησιν] φησιν ἀρχιερέα γενέσθαι καὶ ἀπόστολον B ἐκ] τοῦ W θῦ πρᾶ VSD 5 σὰρξ om. S καὶ om. SDQΛ^{s} αὐτῶν Q 6 καὶ DBΨΛ^{s} om. VSQΣ ἑαυτὸν Q 7 μόνον Q

8 ἐπίλυσισ V ἐπίλυσισ ῑ D ἑρμηνεία S^{mg}AW ἑρμηνεία ῑ R ἑρμηνεία δεκάτη l ἑρμηνεία τοῦ αὐτοῦ κεφαλαίου B 9 θῦ πρᾶ VSD πλὴν ἀλλ' VSD 10 τῶν ὅλων κατὰ φύσιν VSBΛ^{s} ἑαυτὸν καθῆκεν B 11 δούλου μορφὴν S καὶ om. Q ἡμῖν A καὶ ἀρχιερεὺσ καὶ VA 12 καὶ εἰς τοῦτο om. B αὐτῶν R 14 τοὺσ ἁγιαζομένουσ εἰσ τὸ διηνεκὲσ V 14—23 καθὰ — αὐτῶν om. B 14 καθὰ] καὶ l οἶδ' ὅπωσ VQ 15 καὶ οὐκ A θῦ θῦ V τε καὶ VSDΛ^{s} 16—18 ἀλλ' — ἀρχιερέα om. D 17 γεγενημένον SA φασὶ VDΣ φησὶ S καὶ φασὶν QΨΛ^{s} 18 προτροπὴν S ἐληλυθέναι VSD οὐχ αὐτὸν Q γε om. QR, corr. R μόνων AWR μόνον VlΛ^{s} μᾶλλον SDΣ om. Q ἀλλὰ — ὑπὲρ] ἢ SD 19 ἐστὶν] ἐπὶ Rl τὲ καὶ Q 20 ἀλλοτρίαν R δ δὴ Q οὐδὲ R ὢν VSD om. QΨΛ^{s} 21 ἁμαρτίασ παντελῶσ VSD 22 καὶ δύο A ἐπινοοῦσιν υἱοὺσ D 23 καθιστῶν VSD ἀσέβειαν αὐτῶν] ἀλήθειαν S

24 Wl in mg. om. Q ιᾱ Q^{mg} ἑνδέκατοσ A 25 οὐκ QR ἐκ om. D 27 ὡς om. ΣΨΛ^{s} θείαν om. VS ἔφημεν DBΨΛ^{s} ἔφην VSQΣ 28 τὰ om. l ζωογονεῖν QB ζωοποιεῖν VSDΨ

Ἐπίλυσις P 257

29 Τὴν ἁγίαν καὶ ζωοποιὸν καὶ ἀναίμακτον ἐν ταῖς ἐκκλησίαις τελοῦμεν θυσίαν, οὐχ ἑνὸς τῶν καθ' ἡμᾶς καὶ ἀνθρώπου κοινοῦ σῶμα πιστεύοντες εἶναι τὸ προκείμενον, ὁμοίως δὲ καὶ τὸ τίμιον αἷμα, δεχόμενοι δὲ μᾶλλον ὡς ἴδιον σῶμα γεγονὸς καὶ μέντοι καὶ αἷμα τοῦ τὰ πάντα ζωογονοῦντος λόγου. κοινὴ γὰρ σὰρξ ζωοποιεῖν οὐ δύναται, καὶ τούτου μάρτυς αὐτὸς ὁ σωτὴρ λέγων· ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν· τὸ πνεῦμά ἐστιν τὸ ζωοποιοῦν. Ioh. 6, 63 ἐπειδὴ γὰρ ἰδία γέγονεν τοῦ λόγου, ταύτηι τοι νοεῖται καὶ ἔστιν ζωοποιός, καθά φησιν αὐτὸς ὁ σωτήρ· καθὼς ἀπέστειλέν με ὁ ζῶν πατὴρ κἀγὼ ζῶ διὰ τὸν πατέρα, καὶ ὁ τρώγων με κἀκεῖνος ζήσεται δι' ἐμέ. Ioh. 6, 57 ἐπειδὴ δὲ Νεστόριος καὶ οἱ τὰ αὐτοῦ φρονοῦντες παραλύουσιν ἀμαθῶς τοῦ μυστηρίου τὴν δύναμιν, ταύτηι τοι καὶ μάλα εἰκότως γέγονεν ὁ ἀναθεματισμός.

Ἀναθεματισμὸς ιβ̄

30 Εἴ τις οὐχ ὁμολογεῖ τὸν τοῦ θεοῦ λόγον παθόντα σαρκὶ καὶ ἐσταυρωμένον σαρκὶ καὶ θανάτου γευσάμενον σαρκὶ γεγονότα τε πρωτότοκον ἐκ τῶν νεκρῶν, καθὸ ζωή ἐστιν καὶ ζωοποιὸς ὡς θεός, ἀνάθεμα ἔστω.

Ἐπίλυσις

31 Ἀπαθὴς μὲν καὶ ἀθάνατος ὁ ἐκ θεοῦ πατρός ἐστι λόγος· ἀνωτέρω γὰρ τοῦ πάσχειν P 258 ἡ θεία τε καὶ ἀπόρρητός ἐστι φύσις καὶ αὐτὴ τὰ πάντα ζωογονεῖ καὶ φθορᾶς ἀμείνων ἐστὶν καὶ παντὸς τοῦ λυπεῖν εἰωθότος. ἀλλὰ καίτοι ταῦτα οὐσιωδῶς ὑπάρχων ὁ ἐκ θεοῦ πατρὸς λόγος ἰδίαν ἐποιήσατο σάρκα τὴν τοῦ θανάτου δεκτικήν, ἵνα τῶι πάσχειν εἰωθότι τὰ ὑπὲρ ἡμῶν καὶ δι' ἡμᾶς εἰς ἑαυτὸν ἀναλαβὼν πάθη πάντας ἡμᾶς ἀπαλλάξηι καὶ θανάτου καὶ φθορᾶς, ζωοποιήσας· ὡς θεὸς τὸ ἴδιον σῶμα καὶ ἀπαρχὴ γεγονὼς τῶν κεκοιμημένων καὶ πρωτότοκος ἐκ νεκρῶν. 1 Cor. 15, 20 οὐ γὰρ ἄνθρωπος ἦν κοινὸς ἰδίαι τε καὶ ἀνὰ μέρος νοούμενος παρὰ τὸν ἐκ θεοῦ πατρὸς λόγον ὁ δι' ἡμᾶς τὸν τίμιον ὑπομείνας σταυρὸν καὶ θανάτου γευσάμενος, ἀλλ' αὐτὸς ὁ τῆς δόξης κύριος σαρκὶ πέπονθεν κατὰ τὰς γραφάς. 1 Petr. 1, 4 ἐπειδὴ δὲ οἱ τὰ κενὰ καὶ δυσσεβῆ δόγματα τῆι ὀρθῆι καὶ ἀμωμήτωι πίστει παρεισκρίνειν ἐθέλοντες ἄνθρωπόν φασ·ν κοινὸν ὑπομεῖναι τὸν ὑπὲρ ἡμῶν σταυρόν, γέγονεν ἀναγκαίως ὁ ἀναθεματισμός, τῆς ἐνούσης αὐτοῖς ἀσεβείας ἐμφανίζων τὸ μέγεθος.

VS, D [= mn], QBΣ, Ψ [= ARWl], Λ^{s}

1—11 om. B 1 ἐπίλυσισ V ἐπίλυσισ ιᾱ D ἑρμηνεία SAW ἑρμηνεία ιᾱ R ἑρμηνεία ἑνδεκάτη l 2 ἁγίαν — ἀναίμακτον om. V ἁγίαν ζωοποιὸν W οὐκ' R 3 εἶναι πιστεύοντεσ VS τὸν προκείμενον V 5 τὰ om. DΨ ζωογονοῦντοσ VQ ζωοποιοῦντοσ SDΨ ζωογονεῖν superscr. ποι V τοῦτο Q 6 ὁ θσ̄ ὁ σρ̄ l 7 καὶ νοεῖται A 8 ὁ αὐτὸσ Q ὁ VS καὶ καθὼσ QARlΛ^{s} 9 ζήσει SDARl δὲ om. Rl 10 αὐτὰ Q ἀληθῶσ W

12 om. Ql ιβ̄ Q^{mg} δωδέκατοσ A 13 σαρκὶ^{2} om. VS 14 ἐν σαρκὶ S δὲ V τῶν om. VS καθὰ Q ζωή τε D ζῶν τε Q 15 ὡσ θσ̄ VSDBΨΣΛ^{s} om. Q cf. apol. adu. Orient. 105 adu. Theodoret. 89

16—28 om. B 16 ἐπίλυσισ V ἐπίλυσισ ιβ̄ D om. Q ἑρμηνεία SAW^{mg} ἑρμηνεία ιβ̄ l ἑρμηνεία ιᾱ R 17 μὲν γὰρ Ψ ὡσ ἀνωτέρω VS ἀνωτέρα DQ γὰρ] τὲ Q 18 ἀκήρατοσ D αὐτὴ ΨΣΛ^{s} αὕτη Q αὕτη VSD τὰ om. Q ζωοποιεῖ VS 19 τοῦ om. S 20 σάρκα τὴν] τὴν σάρκα S τὸ QR 21 καὶ^{2} om. Ql 22 καὶ ζωοποιήσασ W ἴδιον αὐτοῦ VS 23 τῶν νεκρῶν D κοινῶσ l 25 πεπονθὼσ Q 26 καινὰ VΣ βέβηλα l καὶ δύσφημα D τῆσ δυσσεβείασ A δόγματα τὰ R 27 ὑπομένειν Ψ

149 = S 43 A 2

PG 76, 1336 Pusey 263 Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Κυρίλλου ἀρχιεπισκόπου Ἀλεξανδρείας προσφωνητικὸς ταῖς εὐσεβεστάταις βασιλίσιν περὶ τῆς ὀρθῆς πίστεως

1 Τοῖς τὸ θεῖον καὶ οὐράνιον ἱερουργοῦσι κήρυγμα διὰ φωνῆς Ἡσαίου παρακελεύεται
Ies. 40, 9 λέγων ὁ τῶν ὅλων θεός· ἐπ' ὄρος ὑψηλὸν ἀνάβηθι ὁ εὐαγγελιζόμενος Σιών,
PG 1337 ὕψωσον τῇ ἰσχύι τὴν φωνήν σου, ὁ εὐαγγελιζόμενος Ἰερουσαλήμ· ὑψώσατε, μὴ φοβεῖσθε. χρῆναι γὰρ ἔγωγε φημὶ τοὺς τεταγμένους εἰς ἱερουργίαν καὶ τὸ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ λαλοῦντας μυστήριον οὐ κατερριμμένον ἔχειν καὶ χαμαιριφὲς τὸ φρόνημα καὶ ὄκνωι νικώμενον καὶ δειλίαι συνεσταλμένον, ἀλλ' ὑψοῦ μὲν ὥσπερ εὖ βεβηκότα τὸν νοῦν καὶ οἱονεί πως ἐν ὄρει κείμενον οὕτω τε τῶν τῆς ἀληθείας δογμάτων τὸ ἐξαίρετον κάλλος περιαθρεῖν σπουδάζοντα, ποιεῖσθαι δὲ καὶ τοὺς λόγους ἐν
P 264 παρρησίαι, κἂν εἴ τινες εἶεν οἱ μυσταγωγούμενοι σκληροὶ καὶ δυσάγωγοι καὶ οἷον ἵπποι τινὲς ἀγέρωχοι καὶ ἐξήνιοι, περὶ ὧν καὶ αὐτός πού φησιν ὁ μακάριος Δαυὶδ πρὸς τὸν
Ps. 31, 9 τῶν ὅλων θεόν· ἐν χαλινῶι καὶ κημῶι τὰς σιαγόνας αὐτῶν ἄξεις τῶν μὴ ἐγγιζόντων πρός σέ. εἰ δὲ καὶ τοῖς οὕτως ἔχουσι φρενὸς προσλαλεῖν ἀναγκαῖον, πῶς οὐκ ἂν γένοιτο τῶν ἄγαν σφαλερωτάτων τὸ ἐλέσθαι σιγᾶν καὶ μὴ ταῖς εὐσεβέσιν ὑμῶν ἀκοαῖς ἐνιέναι πλειστάκις καθάπερ τι νᾶμα γλυκὺ καὶ ζωοποιὸν τῶν ἱερῶν γραμμάτων τὴν
Ies. 12, 3 γνῶσιν; ὅπερ ἡμῖν καὶ πάλαι θεὸς ὑπισχνεῖται λέγων διὰ φωνῆς Ἡσαίου· καὶ ἀντλήσετε ὕδωρ μετ' εὐφροσύνης ἐκ τῶν πηγῶν τοῦ σωτηρίου. σωτηρίου δὲ πηγὰς εἶναι φαμὲν τοὺς ἁγίους προφήτας εὐαγγελιστάς τε καὶ ἀποστόλους, οἳ τὸν ἄνωθεν καὶ ἐξ οὐρανοῦ καὶ σωτήριον τῶι κόσμωι βρύουσι λόγον, χορηγοῦντος αὐτοῖς τοῦ ἁγίου πνεύματος, ἅπασάν τε οὕτω κατευφραίνουσι τὴν ὑπ' οὐρανόν. φέρε τοίνυν εἰς τὰ βάθη τῶν παρ' αὐτοῖς ἐννοιῶν καθιέντες τὸν νοῦν τῆς ἀληθείας τὴν εὕρεσιν ἐκεῖθεν ἀντλήσωμεν. γηπόνοι μὲν οὖν ἐξ ἀγρῶν τὰ εὐοσμότατα τῶν ἀνθέων κατὰ καιροὺς ἀποκείραντες, εἶτα ταῦτα ταλάροις ἐνθέντες ἀποφέρουσι τοῖς δεσπόταις, οἳ δὲ καὶ λίαν ἀσμένως προσίενταί τε καὶ τοῖς ἐξ ὡρῶν ἐπιγάνυνται· ἡμεῖς δὲ ὅσοι τὸ διδασκαλικὸν ἔχομεν ἐπιτήδευμα, καθάπερ ἐξ ἀγροῦ τῆς θεοπνεύστου γραφῆς οὐκ εὐμάραντον θέαν προσκομίζομεν ἀνθέων, λόγους δὲ μᾶλλον καὶ μυσταγωγίαν τὴν διὰ τοῦ πνεύματος ἀμάραντον ἔχουσαν τῆς εἰς
P 265 Χριστὸν εὐσεβείας τὸ κάλλος εὐωδιάζουσάν τε καὶ μάλα πλουσίως τὸ αὐτοῦ μυστήριον.
2 Cor. 2, 15 γέγραπται γὰρ ὅτι Χριστοῦ εὐωδία ἐσμὲν τῶι θεῶι.

2 Πρόσειμι δὴ οὖν ἀνατιθεὶς τὸν λόγον ὑμῖν ταῖς εὐσεβεστάταις βασιλίσι, πεποίηταί δέ μοι περὶ τῆς ὀρθῆς τε καὶ ἀμωμήτου πίστεως, ἥπερ ἂν γένοιτο παρ' ὑμῶν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν. πρέπει γὰρ ὑμῖν δὴ μάλιστα ταῖς οὕτως ὁσίαις καὶ θεοφιλεστάταις ὁμοῦ τοῖς τῆς βασιλείας ὑπερτάτοις αὐχήμασι καὶ τῆς εἰς Χριστὸν ἀγάπης τὸν στέ-

2 cf. Fcyr 165 infra p. 28, 28

VS, D [= mn], AR, W [= Vind. theol. gr. 18]

2 τοῦ — ἡμῶν om. R ἐν — Ἀλεξανδρείας] αὐτοῦ A ἐπισκόπου W 2/3 προσφωνητικὸς — πίστεως] πρὸς βασιλίδας λόγος ἐν κεφαλαίοις τεσσαράκοντα πρὸς τοῖς τρισί W 2 λόγος προσφωνητικὸς D 3 βασιλίσσι A βασιλίσσαις VSD ρμθ̄ V μ̄γ̄ S μδ' D 6 τῆι] ἐν W 7 φοβῆσθε W ex corr. τὸ om. AR 8 κατερριμμένον RW ἀπερριμμένον SD 9 χαμαιριφὲς V χαμερριφὲς R χαμαρριφὲς A δειλίαις VW ὑψοῦ μὲν] ὑψούμενον W 10 ἐμβεβηκότα A τε] περὶ W 11 σπουδάζοντας D 12 σκληροὶ A 13 καὶ ἀγέρωχοι καὶ S που καὶ αὐτὸς V 14 ἐν χαλινῶ καὶ ἐν κημῶ VSD ἐν κημῶ καὶ χαλινῶ W ἄξεαι SR 15 προσλαβεῖν S προσβάλλειν VW 16 σιγὴν VSDW 18 ὑπισχνεῖτο VR ἀντλήσατε SDW ἀντλήσαται R 19 σριουσ V 20 ἄνωθέν τε W ἄνω τε V 22 φέρε τοίνυν om. SD βάθρα W 23 αὐτοῦ SD τὴν εὕρεσιν τῆς ἀληθείας SD ἀναβλύωμεν S ἀναβλύομεν D 24 εὐοσμώτατα W ἐνθέων D καιρὸν SD ἀποκείροντες SDW 25 ταυτὶ AR om. SD 26 ὁρῶν RW, corr. R ἐπιγάννυνται VDAW ἐπιγάννυται S 27 προκομίζομεν VW 31 ἀναθεὶς D βασιλίσσαις VSDW 32 τε om. V ἡμῶν SDRW 33 τὸν om. VSDW Χριστόν om. S

φανον ἀναδήσασθαι. ἤδη μὲν οὖν ταῖς ἀοιδίμοις ὑμῶν ἐφήρμοσται κορυφαῖς καὶ ἀτελευτήτοις ὑμᾶς εὐκλείαις ὁ τῶν ὅλων καταφαιδρύνει θεός· ὑπὲρ δὲ τοῦ καὶ ἔτι μειζόνως καταλαμπρύνεσθαι τοῦ κατὰ Χριστὸν μυστηρίου τὴν ἀκριβῆ τε καὶ ἀκιβδήλευτον γνῶσιν ἐχούσας εἰς νοῦν συντέθεικα τὸ λογίδιον, διὰ πάσης ἐννοίας καταδεικνὺς ὅτι ὥσπερ ἐστὶν PG 1340
εἷς θεὸς ὁ πατήρ, ἐξ οὗ τὰ πάντα, οὕτω καὶ εἷς κύριος Ἰησοῦς Χριστός, δι' 5 1 Cor. 8, 6
οὗ τὰ πάντα (ἓν δὲ δήπου πάντως καὶ τὸ πνεῦμα τὸ ἅγιον), καὶ τῶν εἰς δύο μεριζόντων υἱοὺς τὸν ἕνα Χριστὸν καὶ υἱὸν καὶ κύριον, ὀρθὰ φρονεῖν ἐγνωκότες, οὐκ ἀνεξόμεθα. οὐ γὰρ ἕτερον εἶναι φαμὲν υἱὸν τὸν πρὸ παντὸς αἰῶνος γεγεννημένον ἐκ τῆς οὐσίας τοῦ θεοῦ καὶ πατρός, ἕτερον δὲ τὸν ἐν ἐσχάτοις καιροῖς γενόμενον ἐκ γυναικός, γενόμενον Gal. 4, 4
ὑπὸ νόμον, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν καὶ πρὸ τῆς πρὸς σάρκα συνόδου καὶ ἑνώσεως 10
ἀληθοῦς καὶ μετὰ τοῦτο ἔτι. ὁ γὰρ ἐκ θεοῦ πατρὸς κατὰ φύσιν υἱὸς ἔμψυχόν τε καὶ ἔννουν ἑαυτῷ σῶμα λαβὼν γεγέννηται σαρκικῶς διὰ τῆς ἁγίας καὶ θεοτόκου Μαρίας καὶ οὐκ εἰς σάρκα τραπείς, μὴ γένοιτο, προσλαβὼν δὲ μᾶλλον αὐτὴν καὶ τοῦ εἶναι θεὸς οὐκ P 266
8 ἡμελημένως· μεμένηκε γὰρ καὶ οὕτω τῶν ὅλων δεσπότης. ταῦτα φρονεῖν δεδιδάγμεθα. σοφοῖς γὰρ ἡμᾶς παραγγέλμασιν οἱ τῶν ἁγίων ἀποκομίζουσι λόγοι πρός γε τὸ χρῆναι 15
φιλοθηρεῖν τὸ τοῖς ἱεροῖς γράμμασιν ὅτι μάλιστα δοκοῦν καὶ τὴν ἐν τοῖς θείοις δόγμασιν ἀλήθειαν κατασκέπτεσθαι, λεπτὸν ἐνιέντας τοῖς περὶ Χριστοῦ λαλουμένοις τὸν νοῦν καὶ καθαιροῦντας μὲν λογισμοὺς καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως 2 Cor. 10, 5
τοῦ θεοῦ, αἰχμαλωτίζοντας δὲ πᾶν νόημα εἰς τὴν ὑπακοὴν αὐτοῦ. ἔχοντος γὰρ ἀραρότως καὶ ὡμολογημένου παρὰ πᾶσιν ὅτι καὶ ἐν μορφῇ καὶ ἰσότητι τοῦ θεοῦ καὶ 20
πατρὸς ὑπάρχων ὁ ἐξ αὐτοῦ κατὰ φύσιν λόγος οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι Phil. 2, 6-8
ἴσα θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσεν μορφὴν δούλου λαβών· ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος ἐταπείνωσεν ἑαυτὸν γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ, πᾶσά πως ἀνάγκη θεοφιλοῦς εὐτεχνίας ἐπίμεστον ἔχειν τὸν νοῦν τὸν ὑπὲρ ἂν γένοιτο σκοπὸς διακρί- 25
νειν εὖ μάλα τῶν περὶ αὐτοῦ γεγραμμένων τὴν δύναμιν, ἵν' ἐν ταυτῷ θεός τε ὁμοῦ καὶ ἄνθρωπος ὁ αὐτὸς ὑπάρχων ἐπιγινώσκηται, καὶ τὸ εἶναι θεὸς ἀπαραποιήτως ἔχων (ἄτρεπτος γὰρ ἡ τοῦ λόγου φύσις) καὶ τὸ τῆς κενώσεως μέτρον οὐ παραιτούμενος. ἐπηρυθρία γὰρ οὐδαμῶς τοῖς ἰδίοις σκέμμασιν ὁ κένωσιν τὴν ἐθελούσιον οἰκονομικῶς δι' ἡμᾶς ὑπομείνας. δεῖ τοίνυν αὐτὸν καὶ τοῖς τῆς θεότητος ἀξιώμασιν ὁρᾶσθαι διαπρεπῆ καὶ τῆς 30
καθ' ἡμᾶς σμικροπρεπείας οὐκ εἰς ἅπαν ἀπηλλαγμένον διὰ τὸ ἀνθρώπινον, ἀπαιτούσης τοῦτο τῆς οἰκονομίας. εἰ γὰρ θεὸς ὢν λόγος γέγονε σάρξ, τουτέστιν ἄνθρωπος κατά γε τὸ ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, θορυβείτω μηδένα κἂν Ioel 2, 28
εἴ λέγοιτό τι περὶ αὐτοῦ παρὰ τῆς θεοπνεύστου γραφῆς τῶν ὅσα ἐστὶν ἀνθρωποπρεπῆ, P 267
περιαθρείτω δὲ μᾶλλον αὐτοῦ τὴν ὑπερκόσμιον δόξαν ἐκ δυνάμεως καὶ ὑπεροχῆς τῆς θεο- 35 PG 1341
4 πρεποῦς τε καὶ ἀνωτάτω. ἃ δὲ ἦν μάλιστα παραλύειν εἰκὸς τὸν τῶν ἁπλουστέρων δύνασθαι νοῦν, ταῦτα κατά γε τὸ ἐγχωροῦν καὶ ὡς ἔνι καλῶς διατρανοῦν πειράσομαι, παρατιθεὶς ἑκάστωι ῥητῶι τὴν ἀποχρῶσαν λύσιν εἰς διασάφησιν, θεοῦ πάλιν ἡμῖν κατευρύνοντος καὶ τὴν εἰς τοῦτο τρίβον. δίδωσι γὰρ ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει Ps. 67, 12

VS, D [= mn], ARW

2 δὲ] γοῦν V 4 συντέθηκα R 6 δὲ om. SD 8 γεγενημένον SW, corr. W 9 γεννώμενον DW γενόμενον²] γενόμενος R 11 ἐκ VSDW om. AR 12 γεγένηται S ἁγίας καὶ AR ἁγίας SD ἁγίας παρθένου καὶ VW 12 καὶ² om. A 16 φιλοθηρᾶν A 17 ἐνιέντες VSD 18 καθαιροῦντες D 19 αἰχμαλωτίζοντες D δὲ om. V ἔχοντες R 20 ὁμολογουμένου SD ὡμολογουμένου in ὡμολογημένου corr. W 22/23 ἀνθρώπου S 25 εὐτεχνίας VARW ἐπινοίας SD σκοπὸν S 28 ἐπηρυθρία scripsi ἐπερυθριᾶ VSDARW 29 δι' ἡμᾶς οἰκονομικῶς SD 31 μικροπρεπείας SW 32 ὁ λόγος V 35 καὶ om. SD 36 ἀνωτάτης V 37 ταῦτα δὴ V ταῦτα δὲ W 38 ἡμῶν A ἡμᾶς R κατευθύνοντος SD

nr. 150 πολλῆι, καθά φησιν ὁ θεσπέσιος μελωιδός. ἐν μὲν οὖν τῶι λόγωι τῶι πρὸς ἡμῶν γεγονότι πρὸς τὰς ἁγίας παρθένους τῶν ἑτοιμοτέρων ῥητῶν καὶ οὐδὲν ἐχόντων τὸ δυσχερὲς εἰς κατάληψιν πλείστην ὅσην πεποιήμεθα τὴν παράθεσιν, ἐν δέ γε τῶι προκειμένωι τῶν ἀσαφεστέρων πεποιήμεθα μνήμην. ἔδει γὰρ ἔδει τὸ θεοφιλὲς ὑμῶν κράτος καὶ ταῦτα εἰδέναι κἀκεῖνα μὴ ἀγνοεῖν, ὡς ἂν δι' ἀμφοῖν τὸ ἀρτίως ἔχον εἰς γνῶσιν καθάπερ τι φῶς ταῖς εὐαγεστάταις ὑμῶν εἰσοικίζοιτο διανοίαις. σκοπὸς δέ μοι τὰ ἐφ' ἑκάστωι διερμηνεύοντι βραχυλογεῖν ὡς οἷόν τε, προτετάξεται δὲ τῶν ἄλλων ὁ περὶ τῆς κενώσεως λόγος. ἰστέον δ' οὖν ὅμως ἐκεῖνο· ὅταν γὰρ ἡμῖν ὀνομάζηται Χριστὸς Ἰησοῦς, ἐνανθρωπήσαντα καὶ σεσαρκωμένον προσήκει νοεῖν τὸν ἐκ θεοῦ πατρὸς λόγον.

1 Cor. 11, 3 5 Cor. 15, 47. 49 Θέλω γὰρ ὑμᾶς εἰδέναι ὅτι παντὸς ἀνδρὸς ἡ κεφαλὴ ὁ Χριστός ἐστιν, κεφαλὴ δὲ γυναικὸς ὁ ἀνήρ, κεφαλὴ δὲ τοῦ Χριστοῦ ὁ θεός. Ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοικός τουτέστιν Ἀδάμ, ὁ δεύτερος ἐξ οὐρανοῦ, δῆλον ὅτι
P 268 Χριστός. ἀλλ' ὥσπερ ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοικοῦ, φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου κατὰ τὸ γεγραμμένον. οὐκοῦν πρώτη γέγονεν ἡμῖν κεφαλὴ τοῦ γένους, τουτέστιν ἀρχὴ ὁ ἐκ γῆς τε καὶ χοικός· ἐπειδὴ δὲ δεύτερος Ἀδὰμ κατωνόμασται Χριστός, κεφαλὴ τέθειται, τουτέστιν ἀρχὴ τῶν δι' αὐτοῦ πρὸς αὐτὸν ἀναμορφουμένων εἰς ἀφθαρσίαν δι' ἁγιασμοῦ ἐν πνεύματι. οὐκοῦν αὐτὸς μὲν ἡμῶν ἀρχή, τουτέστι κεφαλή, καθὸ πέφηνεν ἄνθρωπος, ἔχει γε μὴν κεφαλὴν αὐτὸς ὡς φύσει θεὸς τὸν ἐν τοῖς οὐρανοῖς πατέρα· γεγέννηται γὰρ ἐξ αὐτοῦ κατὰ φύσιν θεὸς ὢν λόγος. ὅτι δὲ ἡ κεφαλὴ σημαίνει τὴν ἀρχήν, ἐμπεδοῖ πρὸς ἀλήθειαν τῶν ἐνδοιαζόντων τὸν νοῦν τὸ κεφαλὴν λέγεσθαι τὸν ἄνδρα τῆς γυναικός· ἐλήφθη γὰρ ἐξ αὐτοῦ. εἷς οὖν ἄρα Χριστὸς καὶ υἱὸς καὶ κύριος ὁ κεφαλὴν μὲν ἔχων ὡς θεὸς κατὰ φύσιν τὸν ἐν τοῖς οὐρανοῖς πατέρα, γεγονὼς δὲ ἡμῖν κεφαλὴ διά τοι τὸ κατὰ σάρκα συγγενές.

2 Cor. 8, 9 6 Γινώσκετε γὰρ τὴν χάριν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὅτι δι' ὑμᾶς ἐπτώχευσεν πλούσιος ὤν, ἵνα ὑμεῖς τῆι ἐκείνου πτωχείαι πλουτήσητε. Ἄθρει δή μοι καὶ μάλα σαφῶς ἔν γε τουτοισὶ καὶ τῆς θείας τε καὶ ἀκηράτου φύσεως τὴν
PG 1344 ὑπεροχὴν καὶ τῶν τῆς ἀνθρωπότητος μέτρων τὸ ὑφειμένον καὶ πρὸς ἔτι τούτωι τὴν ἀμφοῖν εἰς ἑνότητα σύμβασιν, ἑαυτὸν εἰς τοῦτο καθέντος τοῦ μονογενοῦς. οὐδεὶς μὲν γὰρ λόγος διερμηνεύσειεν ἂν τὸν τῆς θεότητος πλοῦτον, πτωχὴ δὲ λίαν ἡ ἀνθρωπότης, ἣι πάντα ἐστὶ θεόσδοτά τε καὶ ἄνωθεν, καὶ αὐτὸ δὲ πρὸ πάντων τὸ εἶναι· κέκληται γὰρ παρὰ θεοῦ πρὸς
P 269 ὕπαρξιν οὐκ οὖσά ποτε. ἀλλ' ὁ πλούσιος ὡς θεὸς ἐθελοντὴς ἐπτώχευσε καὶ γέγονε καθ' ἡμᾶς, ἵνα λοιπὸν ἡ ἀνθρώπου φύσις ἐν τοῖς τῆς θείας ὑπεροχῆς ὑψώμασιν ἐν Χριστῶι
Eph. 2, 6 γενομένη τὸ τῆς πτωχείας αἶσχος ἀποσκευάζοιτο. συνήγειρε γὰρ ἡμᾶς ὁ θεὸς καὶ πατὴρ ἐν Χριστῶι καὶ συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις, καθὰ γέγραπται, ἀλλ' οὐκ ἂν γεγόναμεν ἐν τούτοις, εἰ μὴ τὴν πτωχεύουσαν ἠμπέσχετο φύσιν ὁ πλούσιος ὡς

28—35 Fcyr 165 τοῦ αὐτοῦ ἐκ τῆς ἐπιστολῆς τῆς πρὸς τὰς εὐσεβεστάτας βασιλίδας Πουλχερίαν καὶ Εὐδοκίαν· οὐδεὶς μὲν γὰρ — ἠμπέσχετο φύσιν τουτέστι περιελάβετο

VS, D [= mn], ARW

1 τῶι²] τὸ R 2 οὐδενὶ Sm 3 γε om. R 6 εὐαγεστάτοις V εἰσοικίζοντο S 7 προσετάζεται D 10 ᾱ in mg. W ἡ om. VSDW ὁ om. VSDW 12 δηλονότι AR δῆλον δὲ ὅτι ὁ V δῆλον δὲ ὁ SDW 13/14 φορέσωμεν — ἐπουρανίου om. W 13 φορέσομεν VR 16 ὁ χ̄ς̄ W 17 τουτέστιν ἡ W 18 τοῖς om. W 19 γεγένηται SW ὁ λόγος VRW 20 πρὸς] τὴν V γενέσθαι SDW 21 ἐλήμφθη R οὖν om. V 22 μὲν om. VSDW κατὰ φύσιν om. SD τοῖς om. DAW 23 τοι] τε W 25 ἡμᾶς VSRW, corr. R in mg. πλουτίσητε V 26 τουτοισὶ] τούτοις εἰ SD 27 καὶ¹ om. SD προσεπ D 27/28 τὴν — ἑνότητα om. SD 28 σύμβασιν] σύμβαλε D ἑαυτῶ SD καθέντος εἰς τοῦτο VW μὲν om. V λόγος om. SD 29 δὲ om. SD δὲ καὶ W ἣι] εἰς Fcyr 30 αὐτοῖ S αὐτῆ D δὲ om. SD τοῦ θῦ VSDW 31 οὐκ om. SD 31/32 καὶ γέγονε καθ' ἡμᾶς om. Fcyr 32 θείας] ἰδίας D

θεός. οὐ γάρτοι πτωχεύσειεν ἂν ὁ κατὰ φύσιν ἰδίαν πτωχεύων ἄνθρωπος, πάθοι δ' ἂν τοῦτο πρεπωδέστερον ὁ πλούσιος ἀληθῶς, τουτέστιν ὁ ἐκ θεοῦ πατρὸς λόγος, ὅτε γέγονε καθ' ἡμᾶς. εἷς οὖν ἄρα ἐστὶ Χριστὸς καὶ υἱός.

7 Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου γενόμενος ὑπὲρ Gal. 3, 13
ἡμῶν κατάρα· γέγραπται γάρ· ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου. 5
Τοῦ νομικοῦ γράμματος ἐπάρατον ἀποφαίνοντος τὸν ἐν παραβάσει καὶ ἁμαρτίαις, ὁ μὴ εἰδὼς ἁμαρτίαν, τουτέστι Χριστὸς ὑπενήνεκται τῇ δίκῃ ψῆφον ἄδικον ὑπομείνας καὶ τὰ τοῖς ἐν ἀρᾷ πρέποντα παθών, ἵνα ὁ τῶν ὅλων ἀντάξιος ὑπὲρ πάντων ἀποθανὼν τῆς ἁπάντων ἀπειθείας λύσῃ τὰ ἐγκλήματα καὶ ἀγοράσῃ τὴν ὑπ' οὐρανὸν αἵματι τῷ ἰδίῳ. οὐκ ἂν οὖν γέγονεν εἷς ἁπάντων ἀντάξιος, εἴπερ ἦν ἄνθρωπος ἁπλῶς· εἰ δὲ δὴ νοοῖτο θεὸς 10
ἐνηνθρωπηκὼς καὶ σαρκὶ τῇ ἰδίαι παθών, ὀλίγη πρὸς αὐτὸν ἡ σύμπασα κτίσις καὶ ἀπόχρη πρὸς λύτρωσιν τῆς ὑπ' οὐρανὸν ὁ μιᾶς σαρκὸς θάνατος· ἰδία γὰρ ἦν τοῦ ἐκ θεοῦ πατρὸς φύντος λόγου.

8 Τὸν δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν διὰ τὸ Hebr. 2, 9
πάθημα τοῦ θανάτου δόξῃ καὶ τιμῇ ἐστεφανωμένον, ὅπως χάριτι θεοῦ 15
ὑπὲρ παντὸς γεύσηται θανάτου. Ὁ θεσπέσιος Παῦλος τοὺς περὶ τοῦ πάντων P 270
ἡμῶν σωτῆρος Χριστοῦ ποιούμενος λόγους, ὅταν δὲ εἰσαγάγῃ, φησί, τὸν πρωτό- Hebr. 1, 6
τοκον εἰς τὴν οἰκουμένην, λέγει· καὶ προσκυνησάτωσαν αὐτῷ πάντες
ἄγγελοι θεοῦ. καὶ πάλιν· ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς Hebr. 1, 3-5
ὑποστάσεως αὐτοῦ φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, 20
καθαρισμὸν τῶν ἁμαρτιῶν ποιησάμενος, ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου
τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς, τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέ-
λων ὅσῳ διαφορώτερον παρ' αὐτοὺς κεκληρονόμηκεν ὄνομα. τίνι γὰρ
εἶπέν ποτε τῶν ἀγγέλων· υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε;
οὐκοῦν ὅτε γέγονε πρωτότοκος ὁ μονογενὴς καὶ ἐν πολλοῖς ἀδελφοῖς, τότε καὶ εἰσκεκο- 25 Rom.8,20
μίσθαι φησὶν αὐτὸν εἰς τὴν οἰκουμένην· ἔξω γὰρ ἦν κατὰ φύσιν ἰδίαν τῆς κτίσεως ὡς PG 1345
θεός. τότε καὶ ἠλαττῶσθαί φησιν αὐτὸν παρὰ τοὺς ἀγγέλους, καίτοι διαφορώτερον παρ' αὐτοὺς λαχόντα τὸ ὄνομα. τὸ μὲν γὰρ ἄγγελος λειτουργίας ἐστὶ σημαντικὸν καὶ οἰκε-
τικὸν ἡμῖν ὑπεμφαίνει μέτρον· ἀποστέλλονται γὰρ εἰς διακονίαν διὰ τοὺς μέλλοντας Hebr. 1, 14
κληρονομεῖν σωτηρίαν· ὁ δέ γε υἱὸς τὴν ἐκ πατρὸς ὕπαρξιν οὐσιώδη τε καὶ φυσικὴν 30
κατασημήνειεν ἄν, ὅτε καὶ ἀληθῶς τὴν γέννησιν πεπρᾶχθαι πιστεύομεν. πῶς οὖν
ἠλάττωται παρὰ τοὺς ἀγγέλους ὁ παρ' αὐτῶν προσκυνούμενος ὁ σύνεδρος τῷ πατρί;
ἀλλ' ἐστὶ σαφὴς ἡ πρόφασις. καθίκετο γὰρ ἐν τοῖς τῆς ἀνθρωπότητος μέτροις καὶ τὸ
ἀποθνήσκειν πεφυκὸς σῶμα λαβὼν ἴδιόν τε αὐτὸ ποιησάμενος ἐν αὐτῷ πέπονθεν ἑκὼν P 271
καὶ ταῖς ἀνωτάτω δόξαις στεφανοῦται διὰ τὸ πάθος ὡς δι' αὐτοῦ καταργήσας τὸν θάνατον 35

31—p. 30, 9 Iustinianus **in ep. adu. Theodori defensores f. 297b** [adfero lectiones ex cod. Laur. VII 1] καὶ ὁ ἐν ἁγίοις μὲν **Κύριλλος ἐν τῇι πρὸς τὰς βασιλίδας ἐπιστολῇι** οὕτως εἶπεν· πῶς οὖν — ὀνομάζοντες κύριον

VS, D [= mn], ARW

1 γάρ τοι AR γάρ που VSDW 2 πρεπωδέστατον SD ὅτι V 3 καὶ $\overline{\chi\sigma}$ καὶ V 4 $\overline{\beta}$ W 6 ἁμαρτία VW 7 ἐπενήνεκται SD τοῖς] τῆσ D 9 ἐγκλήματα] ἔπαθλα W ἀγοράσῃ om. SD 10 οὖν om. SD 12 ὁ om. A ἐκ superscr. R 14 $\overline{\gamma}$ W 16 ὁ δὲ VSDW τοῦ om. SDW 17 Χριστοῦ om. A 20 τὰ om. S αὐτοῦ om. VSW 21 ἁμαρτιῶν ἡμῶν SD 22 ὑψηλοῖς] οὐρανοῖσ D τοῖσ οὐρανοῖσ S 24 γεγέννηκα S 25 ὁ om. SD 26/27 ὡσ θῦ VAR τοῦ θῦ SDW 28 τοὔνομα AR 29 ὑμῖν V ὑποφαίνει AR 30 τοῦ $\overline{\pi\rho\tilde{o}}$ SD 31 ἂν V om. SDARW ὅτι V οὖν om. V 32 παρ' VSD Iust. πρὸσ ARW 35 τὸν om. SD

καὶ ἄπρακτον ἀποφήνας τὴν φθορὰν ἅτε δὴ καὶ ὑπάρχων ἀφθαρσία καὶ ζωή. ὅταν οὖν Ἰησοῦν ὀνομάζῃ καὶ ἠλαττῶσθαι λέγῃ παρὰ τοὺς ἀγγέλους αὐτόν, οὐκ ἄνθρωπον ἀνὰ μέρος καὶ ἰδικῶς, ἀλλ' αὐτὸν νοοῦμεν τὸν μονογενῆ παραχωροῦντα τὸ προύχειν οἰκονομικῶς τοῖς ἁγίοις ἀγγέλοις, ὅτι κατὰ ἀλήθειαν γέγονεν ἄνθρωπος ὁ τῆς ἐκείνων ὑπεροχῆς ἠττώμενος, τὰ δὲ τῆς ὑπεροχῆς τοῖς ἁγίοις ἀγγέλοις, ὅτι καὶ ἔξω σαρκὸς καὶ τοῦ τεθνάναι κρείττους εἰσίν, γεγονότος ἐν τούτοις τοῦ υἱοῦ διὰ τὴν ἑκούσιον κένωσιν. ἀλλ' ὁ βραχὺ παρ' ἀγγέλους ἠλαττωμένος διά γε τὸ τῆς ἀνθρωπότητος μέτρον ἐν ὑπεροχῇ θεότητος ὢν
Ies. 6, 3 προσκυνεῖται παρ' αὐτῶν καὶ ἐνίδρυται θώκοις, οὓς περιεστᾶσιν ἐκεῖνοι δοξολογοῦντες ἀεὶ καὶ τῶν δυνάμεων αὐτὸν ὀνομάζοντες κύριον.

9 Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκεν αἵματος καὶ σαρκός, καὶ αὐτὸς
Hebr. 2, 14. 15 παραπλησίως μετέσχεν τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον, καὶ ἀπαλλάξῃ τούτους ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. Τὰ παιδία φησὶν ἐν τούτοις ἡμᾶς δηλονότι τοὺς ὄντας ἐπὶ τῆς γῆς κατά γε τὸ ἐν ψαλμοῖς
Ps. 81, 6 ὑμνούμενον ὡς ἐκ προσώπου θεοῦ ἐγὼ εἶπα· θεοὶ ἐστὲ καὶ υἱοὶ ὑψίστου πάντες. ὅσον γὰρ ἦκεν εἰς τὸ θεῖῳ δοκοῦν καὶ εἰς τὴν ἐνοῦσαν ἡμερότητα κατὰ φύσιν αὐτῷ, πάντες ἂν ἦμεν τέκνα καὶ ἀπώλισθεν ἂν οὐδεὶς τῆς πρὸς αὐτὸν οἰκειότητος, ἀλλ' ἣι φησιν
Ps. 81, 7 ὁ Δαυίδ, ὡς ἄνθρωποι ἀποθνήσκομεν καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτομεν, τοῖς
P 272 τῆς σαρκὸς πάθεσι τὸν οἰκεῖον ὑποφέροντες νοῦν. πῶς οὖν ἄρα κεκοινώνηκεν αἵματος καὶ σαρκός; ψυχὴ γὰρ ἡ ἀνθρωπίνη φύσιν ἑτέραν ἔχουσα παρὰ τὴν σάρκα τῇι πρὸς αὐτὴν συνθέσει καθ' ἕνωσιν τὸ ἓν τε καὶ λογικὸν ἀποτετέλεκε ζῶιον, τουτέστι τὸν ἄνθρωπον.
PG 1348 οὕτω τοιγαροῦν καὶ ὁ τοῦ θεοῦ λόγος ἐψυχωμένηι σαρκὶ καὶ οὐκ ἀψύχωι κατά τινας ἑαυτὸν ἀπορρήτως ἑνώσας μετέσχεν αἵματος καὶ σαρκὸς παραπλησίως ἡμῖν, διὰ γεννήσεως [δὲ] δηλονότι τῆς ἐκ γυναικός. εἷς οὖν ἄρα κύριος Ἰησοῦς Χριστός, ὡς ἑνώσαντος μὲν ἑαυτῷι τοῦ θεοῦ λόγου τὸ ἀνθρώπινον, μεμενηκότος δὲ καὶ οὕτως ὅπερ ἦν. εἰ δὲ αὐτὸς κατήργηκε τοῦ θανάτου τὸ κράτος ὡς ζωὴ καὶ θεός, ἴδιον αὐτοῦ νοεῖσθαι πρέπει τὸ πεπονθὸς τὸν θάνατον, ἵν' ὡς αὐτὸς ἀναστὰς καταργῆσαι λέγοιτο τὴν φθοράν, καὶ εἰς ἅπαν
1 Cor. 15, 22. ἡμῶν παραπέμψηι τὸ γένος τῆς ἀφθαρσίας τὴν χάριν. ὥσπερ γὰρ ἐν τῷι Ἀδὰμ
21 πάντες ἀποθνήσκουσιν, οὕτως καὶ ἐν τῷι Χριστῷι πάντες ζωοποιηθήσονται· καὶ πάλιν· ὥσπερ γὰρ δι' ἀνθρώπου θάνατος, οὕτως καὶ δι' ἀνθρώπου ἀνάστασις νεκρῶν. ἐπειδὴ δέ ἐστι τῶν τῆς καθ' ἡμᾶς νοουμένης ἀνθρωπότητος ἐπέκεινα μέτρων τὸ πατῆσαι θάνατον, ἐνώσει φαμὲν ἢ γοῦν κοινωνίαι τῇι πρὸς σάρκα τε καὶ αἷμα τὸν τοῦ θεοῦ λόγον γενέσθαι καθ' ἡμᾶς ἄνθρωπον, ἀπομεμενηκέναι δὲ καὶ οὕτω θανάτου κρείττονα· θεὸς γὰρ ἦν ἐν σαρκί.

10 Οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπι-
Hebr. 2, 16-18 λαμβάνεται. ὅθεν ὤφειλεν κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν θεὸν εἰς τὸ ἱλάσκε-
P 273 σθαι ταῖς ἁμαρτίαις τοῦ λαοῦ. ἐν ὧι γὰρ πέπονθεν αὐτὸς πειρασθείς,

---

19—25 Fcyr 166 τοῦ αὐτοῦ ἐκ τῆς αὐτῆς ἐπιστολῆς· πῶς οὖν — ὅπερ ἦν

VS, D [= mn], ARW

1 ζῶν SD 2 λέγοι VARW Iust. 3 τὸ SnARW Iust. τοῦ Vm 4 ἁγίοις om. D κατὰ ἀλήθειαν VAR Iust. ἀληθεία SDW 4/5 ἠττωμένοσ in ἠττημένοσ corr. R 7 ἠλαττωμένοσ ισ W γε om. Iust. 8 θάκοισ SDR Iust. 11/12 τὸν — θανάτου καταργήσῃ V 16 τὸ τῶ VD τὴν om. SD 18 τοῖσ γὰρ D 19 κεκοινωνήκαμεν VSDW 20 αὐτὸν SD 21 θέσει VW ἕν] ἔννουν A ἀπετέλεσε V 22 ἐμψυχωμένη SDW 23 δὲ om. Rcorr 25 ἦν θῦ AR 26 ὡς] ἡ W 29 ἀποθνήσκομεν VDW ἀπεθνήσκομεν S 30 γὰρ om. SDR, corr. R in mg. 34 κρείττων R, corr. R κρείττω A 35 ἔ W 38 τοῦ λαοῦ] ἡμῶν V πειραθεὶσ AW

δύναται τοῖς πειραζομένοις βοηθῆσαι. Σπέρματος Ἀβραὰμ ἐπιλαβέσθαι φαμὲν τὸν τοῦ θεοῦ λόγον· ἀνέφυ γὰρ ἐξ Ἰουδαίων τὸ κατὰ σάρκα καὶ ὡμοιώθη κατὰ πάντα τοῖς ἀδελφοῖς κατά γε τὸ ἀνασχέσθαι λαβεῖν τὴν τοῦ δούλου μορφὴν καὶ ἐν ὁμοιώματι ἀνθρώ- Phil. 2, 7
πων γενέσθαι, καθά φησιν ὁ μακάριος Παῦλος. κεχρημάτικε γὰρ οὕτω καὶ υἱὸς ἀνθρώ-
που καὶ γέγονεν ἀδελφὸς τοῖς ἐκ σπέρματος Ἀβραὰμ ἢ γοῦν τοῖς ἐν αἵματι καὶ σαρκί. 5
τίς οὖν ἄρα ἐστὶν ἡ τοῦδε πρόφασις; ἵνα ἐλεήμων, φησίν, γένηται καὶ πιστὸς
ἀρχιερεὺς τὰ πρὸς τὸν θεόν. ἐλεήμων μὲν γὰρ ἀρχιερεὺς εἰς ἡμᾶς γέγονεν ὁ
Χριστὸς ὡς τοῦ νομικοῦ γράμματος κατακρίνοντος τοὺς ἡμαρτηκότας καὶ τὴν τοῦ κολά-
ζεσθαι δεῖν ἐπιφέροντος ψῆφον τοῖς τὴν θείαν ἀτιμάζουσιν ἐντολήν. ἀθετήσας γάρ Hebr. 10, 28
τις νόμον Μωσέως χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήι- 10
σκει, δικαιοῖ γε μὴν ἐν πίστει Χριστὸς καὶ τῶν ἀρχαίων αἰτιαμάτων ἀνίησι τοὺς ἠσθενη-
κότας. γέγονε τοίνυν ἐλεήμων ἀρχιερεύς, οὐκέτι ταῖς νομικαῖς ἀποτομίαις κρατεῖν ἐπι-
τρέπων, πιστὸς δέ, ὅτι μόνιμος καὶ διηνεκὴς καὶ ἀξιόχρεως εἰς πίστιν τῶν ἐπηγγελμένων.
ὡς γὰρ αὐτός που πάλιν φησὶν ὁ θεσπέσιος Παῦλος περὶ τῶν κατὰ νόμους ἱερέων, καὶ Hebr. 7, 23-25
οἱ μὲν πλείονές εἰσιν ἱερεῖς γεγονότες διὰ τὸ θανάτωι κωλύεσθαι παρα- 15
μένειν, ὁ δὲ διὰ τὸ μένειν αὐτὸν εἰς τὸν αἰῶνα ἀπαράβατον ἔχει τὴν
ἱερωσύνην, ὅθεν καὶ σώιζειν εἰς τὸ παντελὲς δύναται τοὺς προσερχο-
μένους δι' αὐτοῦ τῶι θεῶι, πάντοτε ζῶν εἰς τὸ ἐντυγχάνειν ὑπὲρ αὐτῶν. PG 1349
ἄθρει δὲ ὅπως οὐκ εἰς κατάκρισιν τῶν ἡμαρτηκότων γέγονεν ἱερεύς, εἰς τὸ ἱλάσκεσθαι δὲ P 274
μᾶλλον ταῖς ἁμαρτίαις αὐτῶν. ὁ δέ γε τοῦ πειρασμοῦ καὶ τῆς θυσίας ὁποῖος ἂν εἴη
τρόπος; ἐν ὧι, φησίν, πέπονθεν αὐτὸς πειρασθείς, δύναται τοῖς πειραζο- Hebr. 2, 18
μένοις βοηθῆσαι. διεκαρτέρησε γὰρ πειραζόμενος καὶ ὑπέμεινε σταυρόν, πλὴν ἑαυτὸν
ὁ υἱὸς ὡς ἄμωμον ἱερεῖον προσκεκόμικε τῶι θεῶι καὶ πατρί, ἵνα διὰ τῆς ἑαυτοῦ σαρκὸς
βοηθήσηι τοῖς κάμνουσι καὶ πειραζομένοις. μιᾶι γάρ, φησί, προσφορᾶι τετε- Hebr 10, 14
λείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους. αὐτὸς οὖν ἄρα γέγονεν ἀρχιερεὺς 25
κατά γε τὸ ἀνθρώπινον, καίτοι παρὰ πάντων τὰς θυσίας δεχόμενος θεικῶς, αὐτὸς τὸ
θύμα κατὰ τὴν σάρκα, αὐτὸς ὁ ταῖς ἁμαρτίαις ἡμῶν ἱλασκόμενος κατά γε τὴν τῆς θεότητος
ἐξουσίαν. εἷς οὖν ἄρα κύριος Ἰησοῦς Χριστός.

11 Ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε· ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν, ὅτι Ioh. 4, 22
ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστίν. Φαίη τις ἂν ἴσως ἀνάρμοστον εἶναι τῆι 30
θείαι τε καὶ ἀνωτάτω τοῦ λόγου φύσει τὸ προσκυνεῖν· εἶτα πῶς εἴπερ ἐστὶ θεὸς ἀληθῶς
ὁ Χριστός, ἑαυτὸν τοῖς ὀφείλουσι προσκυνεῖν ὁρᾶται συντεταχώς; τί οὖν ἄρα πρὸς τοῦτο
φαμέν; εἰ μὲν γυμνῆι τῆι θεότητι τὸν ἐκ θεοῦ πατρὸς πεφηνότα λόγον ἀφῖχθαι πιστεύομεν
εἰς τόνδε τὸν κόσμον, ἀνάρμοστον κομιδῆι τὸ χρῆμα αὐτῶι, προσκυνεῖται δὲ μᾶλλον ἥπερ
αὐτὸς ἑτέρωι προσκυνεῖ· εἰ δὲ μορφὴν δούλου λαβὼν καὶ τῆς προσκυνούσης ἀνθρωπότητος 35
τὸ μέτρον οὐκ ἀτιμάσας κεχρημάτικεν υἱὸς ἀνθρώπου, ἡ προσκύνησις ἔσται τῆς οἰκονομίας
καὶ πρέπουσα μᾶλλον τοῖς τῆς κενώσεως μέτροις, οὐκ αὐτῆι κατὰ μόνας τῆι φύσει τοῦ P 275
λόγου. ἐπεὶ πῶς ἐκ τῶν Ἰουδαίων ἐστὶν ἡ σωτηρία; οὐ γάρ που φαίη τις ἄν, καθὸ
νοεῖται καὶ ἔστι λόγος, ἐξ Ἰουδαίων ὑπάρχειν αὐτόν, ἀλλὰ καθόπερ ἐστὶ τοῖς ἐν σαρκὶ καὶ

VS, D [= mn], ARW

1 δύνασθαι D ἐπιλαμβάνεσθαι VSDW 2 Ἰουδαίων VAR Ἰούδα ὢν SDW 5 αἵμασι VSD 8 κατακρίναντοσ AR 9/10 τίσ γὰρ W 10 μωυσέωσ R οἰκτρειμῶν R 12 τὰσ νομικὰσ ἀποτομίασ V 14 μακάριοσ W ἱερῶν R 15 γεγονότες om. V τὸ τῶ V 17 σώιζειν] αὔξειν W 19 δὴ D ἀρχιερεὺσ V 20 τὰσ ἁμαρτίασ R ποῖοσ A 21 πειρασθείς om. Sn 22 διεκαρτέρει V 23 ὁ] ὡσ SD ὡς om. D 24 φησι A φύσει R om. VSDW 26 γε om. VSDW 27 τῆς om. SD 28 δύναμιν V, corr. Vmg δ' οὖν Sn, δ' οὖν ex οὖν corr. m Ἰησοῦς] εἶσ W 31 τε om V ἀνωτάτη SD 32/33 φαμὲν πρὸσ τοῦτο SD 34/35 αὐτόσ ἥπερ A 36 τὸ om. R 39 καθόνπερ AR, corr. R τε καὶ SDW

αἵματι γεγονὼς ἀδελφός, διά τοι τὸ ἐπιλαβέσθαι σπέρματος Ἀβραάμ. εἷς οὖν ἄρα Χριστός, κἂν προσκυνεῖν λέγηται διὰ τὸ ἀνθρώπινον, καίτοι παρὰ πάσης τῆς κτίσεως προσκυνούμενος ὡς θεός.

Ioh. 7, 33 **12** Ἔτι μικρὸν χρόνον μεθ' ὑμῶν εἰμί, καὶ ὑπάγω πρὸς τὸν πέμψαντά με. Ποῦ γὰρ οὐκ ἐστιν ὁ τοῦ θεοῦ λόγος, εἰ πληροῖ τὰ πάντα τῇι τῆς θεότητος φύσει; πῶς οὖν πέμπεται παρὰ τοῦ πατρός; πῶς δὲ καὶ ὑπάγει πρὸς αὐτόν; οὐκοῦν πέμπεται μὲν Lc. 4, 19 ἀνθρωπίνως κατά γε τὸν τῆς ἀποστολῆς τρόπον τε καὶ λόγον, ἵνα κηρύξηι μὲν αἰχμαλώτοις ἄφεσιν, τυφλοῖς δὲ ἀνάβλεψιν, ὑπάγει γε μὴν πρὸς τὸν πατέρα καὶ θεόν, οὐκέτι κατὰ Hebr. 9, 24 τὸν ἴσον τρόπον, ἀλλ' οἷον ἐνσώματος ἀναφοιτήσας εἰς οὐρανόν, ἵν' ὑπὲρ ἡμῶν ἑαυτὸν PG 1352 ἐμφανίσηι τῶι προσώπωι τοῦ πατρός, καθὰ γέγραπται. εἰ δὲ δὴ καὶ ἐπ' αὐτοῦ τοῦ λόγου τὸ ἀπεστάλθαι λαμβάνοιτο, χαλεπαινέτω μηδείς· ἔθος γὰρ τῆι θεοπνεύστωι γραφῆι καὶ ταῖς τοιαύταις ἔσθ' ὅτε κεχρῆσθαι φωναῖς καὶ οὐ τόποις καὶ περιγραφαῖς τὴν θείαν τε καὶ ὑπερκόσμιον ὑποφέρει φύσιν (οἶδεν γὰρ οὖσαν ἀσώματον καὶ περιορισμῶν ἐπέκεινα καὶ τοῦ ἐν τόπωι νοεῖσθαι μακράν), φωναῖς δὲ μᾶλλον ταῖς ἀνθρωπίναις τὰ ὑπὲρ νοῦν ὄντα τὸν ἐν ἡμῖν πειρᾶται καταδηλοῦν, ἐπεὶ καὶ αὐτὸς ὁ σωτὴρ πέμπειν ἔφασκε Sap. Sal. 1, 7 πρὸς ἡμᾶς τὸν παράκλητον, καίτοι πληροῦντος τὰ πάντα τοῦ ἁγίου πνεύματος· πνεῦμα γὰρ κυρίου, φησί, πεπλήρωκε τὴν οἰκουμένην.

Ioh. 8, 28 **13** Ὅταν ὑψώσητε τὸν υἱὸν τοῦ ἀνθρώπου, τότε γνώσεσθε ὅτι ἐγώ εἰμί.
P 276 Τῆς Ἰουδαικῆς ἀπονοίας ἣν ἐπὶ Χριστῶι πεποίηνται, τὰς αἰτίας ἡμῖν ἐξηγούμενος ὁ θεσπέ-
Ioh. 5, 18 σιος Ἰωάννης, διὰ τοῦτο, φησίν, ἐδίωκον οἱ Ἰουδαῖοι τὸν Ἰησοῦν, ὅτι οὐ μόνον ἔλυεν τὸ σάββατον, ἀλλὰ καὶ πατέρα ἴδιον ἔλεγεν τὸν θεόν, ἴσον ἑαυτὸν
Ioh. 10, 33 ποιῶν τῶι θεῶι. εἰσκεκόμικε δέ που καὶ αὐτοὺς λέγοντας ἀνοσίως· περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας, ὅτι σὺ ἄνθρωπος ὢν ποιεῖς σεαυτὸν θεόν. οὐκοῦν ἀπαράδεκτον τὴν ἐπ' αὐτῶι πεποίηνται πίστιν, ἄνθρωπον
Hebr. 2, 16 **14** μὲν εἶναι νομίζοντες αὐτὸ δὴ τοῦτο ψιλόν, ἠγνοηκότες δὲ ὅτι θεὸς ὢν ὁ λόγος ἐπελάβετο σπέρματος Ἀβραὰμ καὶ κεκοινώνηκε μὲν αἵματος καὶ σαρκὸς παραπλησίως ἡμῖν, πλὴν οὐκ ἀπέστη τοῦ εἶναι θεός· ἄτρεπτος γὰρ κατὰ φύσιν ἐστὶν καὶ διηνεκῶς ὁ αὐτός. ὅταν οὖν, φησίν, ὑψώσητε τὸν υἱὸν τοῦ ἀνθρώπου, τότε γνώσεσθε ὅτι ἐγώ εἰμί. ἐσταυρώθη μὲν γὰρ ἀνθρωπίνως, ἀνεβίω δὲ θεικῶς καὶ πεπίστευται διὰ τῆς ἀναστάσεως ὅτι καὶ θεός ἐστιν καὶ θεοῦ κατὰ ἀλήθειαν υἱός. εἰ δὲ πεπίστευται πρὸς ἡμῶν οὐχ ὡς ἕτερον ἀναστήσας, ἐγηγερμένος δὲ μᾶλλον αὐτός, πᾶσά πως ἀνάγκη διὰ τὴν οἰκονομίαν ἴδιον αὐτοῦ σῶμα νοεῖσθαι τὸ πεπονθὸς τὸν θάνατον, ἵνα καὶ αὐτὸς ἀναστῆναι λέγοιτο, καίτοι τὴν φύσιν ἀθάνατος ὢν ὡς θεός. ἑνὸς γὰρ Χριστοῦ καὶ υἱοῦ τὸν θάνατον καταγγέλλοντες καὶ ὁμολογοῦντες τὴν ἀνάστασιν, δικαιούμεθα διὰ πίστεως. οὐκοῦν ὁ αὐτὸς ὡς εἷς τε καὶ μόνος ὑπάρχων Χριστὸς Ἰησοῦς ἀποθανεῖν μὲν ἀνθρωπίνως κατὰ τὴν σάρκα λέγεται, ἐγηγέρθαι δὲ θεικῶς ὡς ζωή.

P 277 **14** Προσήιεσάν ποτε τῶι Χριστῶι λέγοντες οἱ Ἰουδαῖοι· εἰ σὺ εἶ ὁ Χριστός, εἰπὲ
Ioh. 10, 24.25 ἡμῖν παρρησίαι. ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε.

33—36 Fcyr 167 τοῦ αὐτοῦ ἐκ τῆς αὐτῆς ἐπιστολῆς· ἑνὸς Χριστοῦ — Χριστὸς Ἰησοῦς ἀποθνήισκει μὲν ἀνθρωπίνως ὡς ἄνθρωπος, ζῆι δὲ θεικῶς ὡς θεός

VS, D [= mn],, ARW

2 διά VARW κατά SD 4 ζ̄ W ἡμῶν S 7 τε om. VW 8 καὶ om VW 9 ἐκ σώματος SD 9/10 ἑαυτὸν ἐμφανίσῃ VSDW ἐμφανισῃ R ἐμφανισθῇ ARcorr 10 δὴ om. SD 13 ὑποφέρει ARW ὑποφέρειν VSDRcorr 14 τῶι τόπωι SDW 16 εἰσ, superscr. πρὸσ V 17 φησὶ κῦ W 18 η̄ W 19 τῶι χ̄ῳ A 20 ι̅ν̅ VARW κ̅ν̅ SD 24 αὐτὸν W 25 ἠγνοηκότα S 26 μὲν om. V 30 καὶ[1] om. SD υἱὸσ κατὰ ἀλήθειαν SD 32 τὸ om. SDW πεπονθὼσ D 35 ὡς om. D 36 θεικῶς] εἰκὼσ in εἰκὸσ corr. V εἰκὸσ W ζῶν AR 37 θ̄ W οἱ om. VAW

τὰ ἔργα ἃ ἐγὼ ποιῶ ἐν τῶι ὀνόματι τοῦ πατρός μου, ταῦτα μαρτυρεῖ περὶ PG 1353
ἐμοῦ. Τί δὴ ἄρα κἀν τούτωι φασὶν οἱ διορίζοντες ἀμαθῶς εἰς υἱῶν δυάδα καὶ εἰς δύο Χριστοὺς τὸν ἕνα κύριον Ἰησοῦν Χριστόν; περὶ τίνος ἔφασκον οἱ Ἰουδαῖοι εἰ σὺ εἶ ὁ Χριστός, εἰπὲ ἡμῖν παρρησίαι; τίς δὲ ἦν ὁ λέγων τὰ ἔργα ἃ ἐγὼ ποιῶ ἐν τῶι ὀνόματι τοῦ πατρός μου, ταῦτα μαρτυρεῖ περὶ ἐμοῦ; τίνος εἶναι φαμὲν ἴδιον πατέρα τὸν θεόν; ἆρα τοῦ ἐκ γυναικὸς ἀνὰ μέρος τε καὶ ἰδικῶς νοουμένου ἢ γοῦν τοῦ μονογενοῦς; καίτοι τὸ δύνασθαι κατορθοῦν τὰ τῆς θεότητος ἔργα πρέποι ἂν οὐκ ἀνθρωπείαι φύσει, πόθεν; πολλοῦ γε καὶ δεῖ· ἐπειδὴ δὲ ἐπλήρου Χριστὸς τὰ ἔργα τοῦ πατρός, οὐκ ἄνθρωπος ἂν νοοῖτο ψιλός, θεὸς δὲ μᾶλλον ἐν αἵματι καὶ σαρκί, μεμενηκὼς ὅπερ ἦν. ἰσουργήσει γὰρ οὕτως ἔχων τῶι ἰδίωι γεννήτορι, καὶ τὸν τοῦ μυστηρίου λόγον καταμωμήσαιτο ἂν οὐδεὶς τῶν εὖ φρονεῖν εἰωθότων.

15 Τὸ δὲ παιδίον ηὔξανε καὶ ἐκραταιοῦτο, πληρούμενον σοφίαι, καὶ Lc. 2, 40
χάρις θεοῦ ἦν ἐπ' αὐτό, καὶ πάλιν· καὶ Ἰησοῦς προέκοπτεν ἡλικίαι καὶ Lc. 2, 52
σοφίαι καὶ χάριτι παρὰ θεῶι καὶ ἀνθρώποις. Ἕνα λέγοντες τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ αὐτῶι προσνέμοντες τά τε ἀνθρώπινα καὶ θεοπρεπῆ, τοῖς μὲν τῆς κενώσεως μέτροις πρέπειν ἀληθῶς διαβεβαιούμεθα τό τε τὴν σωματικὴν αὔξησιν ἐπιδέχεσθαι καὶ μὴν καὶ τὸ κραταιοῦσθαι τῶν τοῦ σώματος μορίων ἀδρυνομένων κατὰ βραχύ, καὶ αὐτὸ P 278
δὲ τὸ δοκεῖν πληροῦσθαι σοφίας διά γε τὸ οἱονεὶ πρὸς ἐπίδοσιν τῆι τοῦ σώματος ἡλικίαι πρεπωδεστάτην τῆς ἐνούσης αὐτῶι σοφίας ἀναφοιτᾶν τὴν ἔκφανσιν. καὶ ταυτὶ μέν, ὡς ἔφην, τῆι μετὰ σαρκὸς οἰκονομίαι πρέποι ἂν καὶ τοῖς τῆς ὑφέσεως μέτροις· τῆι δέ γε φύσει τοῦ λόγου πρέποι ἂν πάλιν τὸ ἀεὶ τελείως ἔχειν καὶ εἶναι σοφίαν. αὐτοῦ τοιγαροῦν ἀνθρωπίνως τὸ ὡς ἐν κενώσει τυχὸν ὑφειμένον, αὐτοῦ δὲ ὁμοίως τὰ θεοπρεπῆ θεικῶς. ὁ γάρτοι τῆς μετὰ σαρκὸς οἰκονομίας τρόπος τε καὶ λόγος οἶδεν ὄντα αὐτὸν καθ' ἡμᾶς τε καὶ ὑπὲρ ἡμᾶς καὶ ὑπερέχοντα μὲν τὸ τῆς κτίσεως μέτρον ὡς θεόν, ἑαυτοῦ δέ πως μόνον οὐχὶ καὶ ἡττώμενον, καθὸ πέφηνεν ἄνθρωπος. ποῦ γὰρ ἡ ταπείνωσις ἣν ὑπέμεινεν ἑκών, εἰ παραιτοῖτο τὰ ἀνθρώπινα; πλὴν οὐκ ἐν αὐτοῖς ἡ τοῦ λόγου νοεῖται φύσις, οἰκειοῦται δὲ μᾶλλον αὐτὰ μετὰ τῆς ἰδίας σαρκός, καθάπερ ἀμέλει καὶ τὸ πεινῆν καὶ τὸ διψῆν καὶ τὸ λέγεσθαι καμεῖν ἐκ τῆς ὁδοιπορίας. ὅταν οὖν ἀκούηις τὸ παι- Ioh. 4, 6
δίον ηὔξανε καὶ ἐκραταιοῦτο πληρούμενον σοφίαι, δέχου πρὸς ἀπολογίαν τῆς Lc. 2, 40
μετὰ σαρκὸς οἰκονομίας τὸ μυστήριον. ὅτι γὰρ ἦν θεὸς ἐν σαρκί, πιστώσεται λέγων αὐτὸς ὁ μακάριος εὐαγγελιστὴς ὅτι χάρις θεοῦ ἦν ἐπ' αὐτό. οὐ γὰρ ὡς χάριν ἔχον παρ' ἑτέρου θεοῦ, χάριν ἔχειν λέγεται θεοῦ, ἀλλ' ὅτι χάριν εἶχε τὸ παιδίον, ἥνπερ ἂν πρέποι θεῶι. καὶ γὰρ ἦν τε καὶ ἔστι θεὸς ὁ λόγος καὶ ἐν σαρκὶ πεφηνώς, τουτέστιν ἄνθρωπος καθ' ἡμᾶς. εἰ δὲ δὴ λέγοιτο χάριν ἔχειν ἢ γοῦν προκόπτειν ἐν χάριτι παρά PG 1356
τε θεῶι καὶ ἀνθρώποις, τὸ ἀπεικὸς οὐδέν, εἰ καὶ αὐτὸς ὁ πατὴρ ἀπεδέχετο τὴν οἰκονομίαν, P 279

14—23 Fcyr 168 τοῦ αὐτοῦ ἐκ τῆς αὐτῆς ἐπιστολῆς· ἕνα λέγοντες — θεικῶς

VS, D [= mn], ARW

2—5 τί δὴ — ἐμοῦ om. W 2 ἀμαθῶσ VAR ἀληθῶσ SD 3 οἱ om. VS 4 ἦν om. VSD 6 νοούμενον SD γοῦν om. SD 8 καὶ δεῖ] δεῖ W δεῖν V 10 τοῦ om. W 11 φρονεῖν εἰωθότων AR φρονούντων VSDW 12 ῑ W ἐκραταιοῦτο SAR ἐκραταιοῦτο π̄ν̄ι VDW σοφίασ VDW 13 αὐτῶ DA καὶ² om. VSDW 13/14 σοφία καὶ ἡλικία SD 15 τὸν χ̄ν̄ VSDW 15/16 κινήσεωσ Fcyr 16 αὔξην W 17 μορίων om. V 19 ταύτη WFcyr 20 μετά] τῆσ A 20/21 καὶ τοῖς — πρέποι ἂν om. W 20 ὑφέσεωσ VR φύσεωσ SDAFcyr 22 ἐν om. SD 24 τε om. VSDW καὶ² om. V ὑπὲρ ἐχοντι R τῶν — μέτρων V 26/27 πλὴν — φύσις om. D 26 οὐκ om. SW 27 πεινεῖν V 28 διψεῖν V ἀκούησ VSnW ἀκούσησ mAR τὸ δὲ V 29 ἐκραταιοῦτο π̄ν̄ι VA σοφίασ VDW 31 αὐτός om. R αὐτῶ DAR 32 ἔχων VARW, corr. VA χάριν¹ om. SD ἥπερ VSD

καὶ αὐτὸν δὲ τὸν υἱὸν οἰκειούμενον τὰ σαρκὸς διὰ τὸ τῶι μυστηρίωι πρέπον τε ὁμοῦ καὶ τὸ χρήσιμον.

Mt. 24, 36 **16** Περὶ δὲ τῆς ἡμέρας ἢ τῆς ὥρας ἐκείνης οὐδεὶς οἶδεν, οὔτε οἱ ἄγγελοι τῶν οὐρανῶν οὔτε ὁ υἱός, εἰ μὴ ὁ πατήρ. Εἰ Χριστὸν ἕνα, φασίν, ὁμολογεῖν ἐγνώκατε τὸν τοῦ θεοῦ λόγον σεσαρκωμένον ἢ γοῦν ἐνηνθρωπηκότα, πῶς ἠγνόηκε τὴν τῆς συντελείας ἡμέραν; φαμὲν οὖν ὅτι τὸ ἀγνοῆσαι τυχὸν τὰ ἐν θεῶι μυστήρια οὔτε ἀσύνηθες
Ies. 40, 13 οὔτε μὴν ἑτέρως ἀπρεπὲς ἂν εἴη τῆι κτίσει· τίς γὰρ ἔγνω νοῦν κυρίου; κατὰ τὸ γε-
Hebr. 2, 9 γραμμένον. καὶ εἰ λέγεται βραχὺ παρ' ἀγγέλους ὁ υἱὸς ἠλαττῶσθαι, καθὸ γέγονεν ἄνθρωπος δηλονότι, καίτοι κτίσεως ἁπάσης ὢν ἐπέκεινα θεικῶς, τί τὸ θαῦμα, κἂν ὁμοῦ τοῖς
1 Cor. 1, 24 ἀγγέλοις ἀγνοεῖν λέγηται τὸ ἐν θεῶι μυστήριον, καίτοι σοφία καὶ δύναμις ὑπάρχων αὐτοῦ; εἶτα πῶς ἂν ἠγνόησεν ἡ σοφία τοῦ πατρὸς τὰ ἐν αὐτῶι κεκρυμμένα; καὶ εἰ τὸ πνεῦμα
1 Cor. 2, 10 λέγεται πάντα ἐρευνᾶν καὶ τὰ βάθη τοῦ θεοῦ, πνεῦμα δέ ἐστι τοῦ Χριστοῦ, πῶς ἂν αὐτὸς ἠγνόησεν ἅπερ οἶδεν ἀκριβῶς τὸ πνεῦμα αὐτοῦ; οὐκοῦν κἂν ἀγνοεῖν ἀνθρωπίνως λέγηται,
Ioh. 11, 34 ἀλλ' οἶδεν θεικῶς. καὶ γοῦν ποῦ τέθειται Λάζαρος, ἐρωτῶν ὡς ἐξὸν αὐτῶι μὴ εἰδέναι κατὰ τὸ ἀνθρώπινον, ἐνήργηκε θεικῶς, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν. ἀπονέμοντες τοίνυν τῆι μετὰ σαρκὸς οἰκονομίαι τὰ ἀνθρώπινα, τηρήσωμεν εὐσεβῶς καὶ καθ' ἡμᾶς γεγονότι τῶι ἐκ θεοῦ φύντι λόγωι τὰ θεοπρεπῆ.

Mt. 27, 46 **17** Ἐβόησε δὲ Ἰησοῦς φωνῆι μεγάλη· θεέ μου θεέ μου, ἵνα τί με ἐγκατέλιπες;
P 280 Ἆρ' οὖν καὶ αὐτὸν τῆς ἄνωθεν ἐπικουρίας δεδεῆσθαι φαμὲν τὸν ἐκ θεοῦ πατρὸς λόγον;
Ps. 32, 6 καίτοι πῶς τοῦτό ἐστιν οὐκ εὔηθες κομιδῆι; συγκατάρχει γὰρ τῶν ὅλων τῶι θεῶι καὶ πατρὶ
Ps. 23, 10 καὶ στερεοῖ μὲν οὐρανοὺς τῶι ἰδίωι πνεύματι, κύριος δὲ τῶν δυνάμεων ὀνομάζεταί τε καὶ ἔστιν κατὰ ἀλήθειαν. ἀλλ' ἠτόνησεν ἄρα πρὸς τὰς ἐκ τῶν Ἰουδαίων ἐπιβουλὰς καὶ
Ies. 40, 15. 18 ἄμαχος ἦν αὐτῶι τῶν σταυρούντων ἡ χείρ. καίτοι φησὶν ὁ προφήτης Ἡσαΐας· εἰ πάντα τὰ ἔθνη ὡς σταγὼν ἀπὸ κάδου καὶ ὡς ῥοπὴ ζυγοῦ ἐλογίσθησαν καὶ ὡς σίελος λογισθήσονται, τίνι ὡμοιώσατε κύριον καὶ τίνι ὁμοιώματι ὡμοιώ-
Ioh. 18, 3-6 σατε αὐτόν; ἰστέον δὲ ὅτι παρῆσαν μὲν οἱ τῆς Ἰουδαίων συναγωγῆς ὑπηρέται τὴν τῶν στρατιωτῶν ἔχοντες σπεῖραν, ἡγούμενον δὲ τὸν προδότην, ἐπειδὴ δὲ ἐζήτουν αὐτὸν συλλαβέσθαι,
PG 1357 ὑπήντα λέγων· τίνα ζητεῖτε; οἳ δὲ πρὸς τοῦτο ἔφασαν· Ἰησοῦν τὸν Ναζωραῖον. εἶτα πρὸς αὐτοὺς ὁ σωτήρ· ἐγὼ εἰμί. καὶ ἀπῆλθον εἰς τὰ ὀπίσω καὶ ἔπεσον χαμαί. εἶτα πῶς ἂν ἠτόνησεν ὁ καὶ μόνηι τῆι φωνῆι τὴν τῶν ἐπιβουλευόντων ἐλέγξας ἀσθένειαν; τί οὖν ἄρα βούλεται λέγων θεέ μου θεέ μου, ἵνα τί με ἐγκατέλιπες; φαμὲν τοίνυν ὅτι τοῦ προπάτορος Ἀδὰμ τὴν δοθεῖσαν αὐτῶι πατήσαντος ἐντολὴν καὶ τῶν θείων ἀλογήσαντος νόμων ἐγκαταλέλειπταί πως ἡ ἀνθρώπου φύσις παρὰ θεοῦ, γέγονε δὲ καὶ ἐπάρατος διὰ τοῦτο καὶ θανάτωι κάτοχος· ἐπειδὴ δὲ τὸ πεπονθὸς ἀναστοιχειώσων εἰς
P 281 ἀφθαρσίαν ἐπεδήμησεν ὁ μονογενὴς τοῦ θεοῦ λόγος ἐπελάβετό τε σπέρματος Ἀβραὰμ καὶ
Hebr. 2, 16. 17 ὡμοιώθη τοῖς ἀδελφοῖς, ἔδει μετὰ τῆς ἀρχαίας ἐκείνης ἀρᾶς καὶ τῆς ἐπεισάκτου φθορᾶς

10—17 Fcyr 169 τοῦ αὐτοῦ ἐκ τῆς αὐτῆς ἐπιστολῆς· καίτοι σοφία — θεοπρεπῆ

VS, D [= mn], ARW

1 μυστηρίου A 2 τό om. AR 3 ιᾱ W ἢ — ἐκείνης] ἐκείνησ καὶ τῆσ ὥρασ V τῆς[2] om. SD οὔτε] οὐδὲ SD 4 φησὶν SDW 5 τοῦ om. V ἠγνόησε SD 6 ἡμέρα S οὔτε] οὔτε μὴν D 8 ὁ ῡσ̄ ἠλαττῶσθαι W ἠλαττῶσθαι ὁ υἱόσ VSD ὁ ἰησοῦσ ἠλαττῶσθαι AR 12 χῡ VARWFcyr θῡ SD 14 ἑξὸν om. Fcyr 15 ἀπονέμοντα SD 16 καὶ — γεγονότι om. Fcyr 18 ιβ̄ W φωνῆ μεγάλη ὁ ιῡ̄ V ὁ ἰησοῦσ A 19 ἐπικουρίασ τῆσ ἄνωθεν [τῆσ ἄνωθεν om. SD] φαμὲν δεδεῆσθαι VSD ἐπικουρίας φαμὲν τῆς ἄνωθεν δεδεῆσθαι W 20 κατάρχει SDW 21 κε̄ S τε om. VSDW 22 ἠτόνησασ S ἐκ om. VSDW τῶν om. SD 23 εἰ] εἰσ SD 24 καδδου VDW 25 τὸν κν̄ V 27 πείραν A 28 τοῦτον V 33 ἐγκατέλειπται V θῶ̄ D 34 πεπτωκόσ D ἀναστοιχειῶσαι W 35 τε om. SD 36 ὁμοιώθη RW

καταλῆξαι τὴν ἐγκατάλειψιν ἣν ὑπέμεινεν ἐν ἀρχαῖς ἡ τοῦ ἀνθρώπου φύσις. ὡς οὖν εἷς ὑπάρχων τῶν ἐγκαταλελειμμένων, καθὸ καὶ αὐτὸς παραπλησίως ἡμῖν μετέσχεν αἵματος Hebr. 2, 14 καὶ σαρκός, τὸ ἵνα τί με ἐγκατέλιπες φησίν, ὅπερ ἦν λύοντος ἐναργῶς τὴν συμβᾶσαν ἡμῖν ἐγκατάλειψιν καὶ οἷον ἐκδυσωποῦντος ἐφ' ἑαυτῷ τὸν πατέρα καὶ καλοῦντος εἰς εὐμένειαν τὴν ἐφ' ἡμῖν ὡς ἐφ' ἑαυτῷ τε καὶ πρώτῳ. παντὸς γὰρ ἡμῖν ἀγαθοῦ γέγονεν ὁ Χριστὸς καὶ ἀρχὴ καὶ πρόξενος, ὥστε κἂν εἴ τι λέγοιτο λαβεῖν ἀνθρωπίνως παρὰ τοῦ πατρός, τοῦτο τῇ ἡμετέραι προυξένησε φύσει, πλήρης ὑπάρχων αὐτὸς καὶ οὐδενὸς τὸ παράπαν ἐπιδεὴς ὡς θεός.

18 Τοῦτο φρονεῖτε ἔκαστος ἐν ὑμῖν αὐτοῖς ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς Phil. 2, 5-11 ἐν μορφῇ θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσεν μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος ἐταπείνωσεν ἑαυτόν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. διὸ καὶ ὁ θεὸς αὐτὸν ὑπερύψωσεν καὶ ἐχαρίσατο αὐτῷ τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται ὅτι κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν θεοῦ πατρός. Ἰδοὺ δὴ σαφῶς τὸν ἐν μορφῇ καὶ ἰσότητι τοῦ πατρὸς θεὸν λόγον οὐχ ἁρπαγμὸν ἡγήσασθαί φησι τὸ εἶναι ἴσα θεῷ, κεκενῶσθαι δὲ μᾶλλον ἐθελοντὴν μορφὴν P 282 δούλου λαβόντα καὶ ἐν ὁμοιώματι ἀνθρώπων γενόμενον, προσεπάγει δὲ ὅτι τεταπείνωκεν ἑαυτόν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. εἴπερ οὖν διαιρετέον εἰς δύο Χριστοὺς καὶ υἱοὺς τὸν ἕνα καὶ μόνον Χριστὸν καὶ κύριον καὶ κατά γε τὸ τισὶ δοκοῦν τὸν ἐκ γυναικὸς ἄνθρωπον τετίμηκε μὲν ἰσότητι τῶν ἰδίων ἀξιωμάτων ὁ τοῦ θεοῦ λόγος καὶ συνῆψεν ἑαυτῷ κατὰ τὸν τῆς αὐθεντίας τρόπον καὶ κατὰ τὴν τῆς υἱότητος PG 1360 ὁμωνυμίαν, ὡς ἕτερος ὢν παρ' αὐτὸν υἱὸς ἰδικῶς, τίς ἄρα ἐστὶν ὁ κενώσας ἑαυτὸν ἢ τίνα κεκένωται τρόπον; εἰ μὲν γάρ, ὡς αὐτοί φασιν, ὁ ἐκ γυναικὸς ἰδικῶς νοούμενος ἄνθρωπος τοῦτο λέγεται παθεῖν, πῶς ἢ τίνα κεκένωται τρόπον, κατέβη δὲ ὅπως εἰς ταπείνωσιν ὁ ἐν ἰσότητι γεγονὼς τῇ πρὸς θεὸν λόγον κατά γε τὸν τῆς ἀξίας ἢ γοῦν αὐθεντίας τρόπον, καὶ ταύτην ἔχων πρὸς αὐτὸν τὴν συνάφειαν; εἰ δὲ ἐπ' αὐτοῦ τοῦ θεοῦ λόγου νοουμένου πάλιν ἰδικῶς καὶ ἀνὰ μέρος υἱοῦ τὸ κεκενῶσθαι λέγοιτο, πῶς κεκένωται τιμήσας ἕτερον, καθά φασιν ἐκεῖνοι, καὶ τοῖς ἰδίοις αὐτὸν ἀξιώμασι περιβαλών, τεταπείνωται δὲ τίνα τρόπον ὁ τῆς ἑαυτοῦ δόξης τὸ ὕψος τῷ συναφθέντι διδούς; εἰ γὰρ δὴ φαίεν ὅτι δοξάζων ἕτερον αὐτὸς ὑπομένει τὴν ταπείνωσιν ἢ γοῦν τὴν κένωσιν, οὐδέν, ὡς ἔοικε, τῶν ἀτόπων ἐννοεῖν ὅτι καὶ ὑβρίζων ὑψοῦται. ἀναγκαίου τοιγαροῦν ἡμᾶς καὶ μέντοι καὶ ἀληθοῦς μόνον οὐχὶ συνωθοῦντος λόγου πρός γε τὸ οἴεσθαι δεῖν ὅτι κενοῦται τὸ πλῆρες καὶ ἐν δούλου μορφῇ γένοιτ' ἂν οὐ τὸ τῇ φύσει δοῦλον, ἀλλὰ τὸ τῶν τῆς δουλείας ἐπέκεινα μέτρων, γίνεται δὲ καὶ ἐν ὁμοιώματι ἀνθρώπων τὸ μὴ οὕτως ἔχον κατὰ φύσιν πρὶν γένηται, καὶ ὅτι ταπεινοῦται τὸ ὑψηλόν, αὐτὸν πιστεύομεν τὸν τοῦ θεοῦ λόγον ἀνθρωπίνως ἐν τούτοις P 283

VS, D [= mn], ARW

1 ἐγκατάληψιν SnW, corr. W ἀρχῇ SD 2 ἐγκαταλειμμένων V 3 ἐγκατέλειπες VR 5 τε om. VSDW 5/6 γέγονεν ὁ χ̄ς̄ ἀγαθοῦ V 6 ἀρχὴ πρόξενος W κἂν] καὶ W λέγοι SD 8 ἐνδεὴς V 9 ι̅ϛ̅ W φρονεῖται R φρονείτω V φρονείσθω W ἕκαστος om. W ἡμῖν ARW 11 ἀνθρώπου SD 12/13 ὑπήκοος γενόμενος D 14 τὸ ὄνομα τὸ R ὄνομα τὸ VSDAW cf. p. 36, 2 15 Χριστοῦ om. SD 16 ἐξομολογήσεται R 17 πρ̅ς̅ ἀμήν SD πρ̅ς̅ DAR θ̅υ̅ καὶ πρ̅ς̅ VSW 18 ἐθελοντί W 19 ἐν om. W 21 καὶ⁴ om. SDW 22 μὲν ἐν W 23 τῆς¹ om. SD 24 ἰδικῶς παρ' αὐτὸν υἱὸς [υἱὸς δὲ W] VSDW 25/26 εἰ μὲν — τρόπον om. W 26 πῶς AR 27 τρόπον om. W 28 τὴν σαφήνειαν in τὴν συνάφειαν corr. S 30 φησιν SmW περιβάλλων SD 32 ὡς ἔοικε om. D 33 καὶ om. SD ἡμᾶς om. W 35 γένοιτ'] γένοιτο τίς W ἀλλὰ καὶ D 36 πρὶν ἂν SD 37 ἀνθρωπίνοις R

γενέσθαι κατ' ἰδίαν θέλησιν ὑπὲρ ἡμῶν, μεμενηκέναι δὲ θεικῶς ἐν τοῖς τῆς ἰδίας ὑπεροχῆς ὑψώμασι. ταύτηι τοι καὶ ὑπερυψῶσθαι λέγεται καὶ λαβεῖν τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα προσκυνεῖσθαί τε παρὰ πάντων καὶ εἰς δόξαν θεοῦ πατρὸς ὠνομάσθαι κύριος. καίτοι γὰρ ὑπάρχων ἐν τῆι τοῦ πατρὸς ὑπεροχῆι καὶ ἐν ἀρρήτοις ὑψώμασιν, ἐπειδὴ καθῆκεν ἑαυτὸν εἰς κένωσιν καὶ τεταπεινῶσθαι λέγεται μορφὴν δούλου λαβών, ἀνέβη δὲ πάλιν εἰς τὸν ἴδιον πλοῦτον, τῆς ἑνωθείσης αὐτῶι φύσεως, δῆλον δὲ ὅτι τῆς ἀνθρωπίνης, τὴν πτωχείαν ὑπερδραμών, ταύτηι τοι λαβεῖν ἀνθρωπίνως λέγεται τὸ ἀεί τε καὶ ἀναποβλήτως ἐνυπάρχον αὐτῶι, τουτέστι τὸ εἶναι θεὸς καὶ τῶν ὅλων κύριος. καὶ εἴπερ ἐστὶν εὐκλεὲς τῶι πατρὶ τὸ κύριον ἔχειν τῶν ὅλων τὸν ἴδιον υἱόν, πῶς οὐκ ἀληθὲς εἰπεῖν ὅτι τετήρηται πάλιν αὐτῶι καὶ τὴν τοῦ δούλου λαβόντι μορφὴν τὸ ἐλεύθερον καὶ τῆς κατὰ πάντων κυριότητός τε καὶ ἐξουσίας τὸ ὑπερφερὲς ἀξίωμα;

Col. 1, 12-20 **19** Εὐχαριστοῦντες τῶι πατρὶ τῶι ἱκανώσαντι ἡμᾶς εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῶι φωτί, ὃς ἐρρύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους καὶ μετέστησεν εἰς τὴν βασιλείαν τοῦ υἱοῦ τῆς ἀγάπης αὐτοῦ, ἐν ὧι ἔχομεν τὴν ἀπολύτρωσιν, τὴν ἄφεσιν τῶν ἁμαρτιῶν, ὅς ἐστιν εἰκὼν τοῦ θεοῦ τοῦ ἀοράτου, πρωτότοκος πάσης κτίσεως, ὅτι ἐν αὐτῶι
PG 1361 ἐκτίσθη τὰ πάντα τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, εἴτε θρόνοι εἴτε κυριότητες εἴτε ἀρχαὶ εἴτε ἐξουσίαι, τὰ πάντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται καὶ αὐτός ἐστι πρὸ πάντων καὶ τὰ πάντα
P 284 ἐν αὐτῶι συνέστηκεν καὶ αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας, ὅς ἐστιν ἀρχή, πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνα γένηται ἐν πᾶσιν αὐτὸς πρωτεύων, ὅτι ἐν αὐτῶι ηὐδόκησε πᾶν τὸ πλήρωμα κατοικῆσαι καὶ δι' αὐτοῦ ἀποκαταλλάξαι τὰ πάντα εἰς αὐτόν, εἰρηνοποιήσας διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ εἴτε τὰ ἐπὶ τῆς γῆς εἴτε τὰ ἐν τοῖς οὐρανοῖς. Εἰκόνα φησὶ τοῦ ἀοράτου θεοῦ τὸν ἐξ αὐτοῦ γεννηθέντα κατὰ φύσιν υἱόν, τουτέστι τὸν θεὸν λόγον, καὶ μὴν ὅτι δι' αὐτοῦ παρήχθη τὰ πάντα πρὸς γένεσιν, εἴτε τὰ ὁρατὰ εἴτε
Ioh. 1, 1 τὰ ἀόρατα, ἔν τε οὐρανῶι καὶ ἐπὶ τῆς γῆς, καὶ ὅτι πρὸ πάντων ἐστὶν αὐτός (ἐν ἀρχῆι γὰρ ἦν ὁ λόγος) καὶ αὐτός ἐστιν ὁ τῶν αἰώνων δημιουργὸς καὶ χρόνου παντὸς πρεσβυτέραν ἔχων τὴν ὕπαρξιν. ἀλλὰ τὸν οὕτως ἔχοντα κατὰ φύσιν ἰδίαν δεδόσθαι φησὶ παρὰ τοῦ πατρὸς κεφαλὴν τοῦ σώματος τῆς ἐκκλησίας αὐτόν τε εἶναι τὸν πρωτότοκον ἐκ τῶν νεκρῶν. εἶτα πῶς ὁ ὑπάρχων ἀεὶ θεὸς λόγος, ἐν ὧι τὰ πάντα συνέστηκεν, πρωτότοκος ἐκ νεκρῶν γενέσθαι λέγεται καὶ ἀπαρχὴ τῶν κεκοιμημένων, εἰ μή ἐστιν αὐτοῦ κατὰ ἀλήθειαν ἴδιον τὸ σῶμα τὸ παρ' αὐτοῦ ληφθέν, οὗ πεπονθότος τὸν θάνατον αὐτὸς ἂν νοοῖτο παθεῖν; οὐκ ἀπίθανον ἔχοντος λόγον ἐφ' ἑαυτῶι τοῦ συμβεβηκότος, πέπονθεν γὰρ τὸ ἴδιον αὐτοῦ. οὕτω νοεῖται πρωτότοκος ἐκ νεκρῶν, καίτοι τὴν φύσιν ἀθάνατος ὢν καὶ αὐτόχρημα ζωή. ὅτε τοίνυν δέδοται κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας, καθεὶς ἑαυτὸν εἰς κένωσιν, τότε λέγεται καὶ ἀποθανεῖν ἀνθρωπίνως ὑπὲρ ἡμῶν ὁ παθεῖν οὐκ εἰδὼς
P 285 τὸν θάνατον ὡς θεός. λέγοντος δὲ τοῦ μακαρίου Παύλου ὅτι ἐν αὐτῶι κατώικησε πᾶν τὸ πλήρωμα, φαῖεν ἂν ἴσως τινές· ἰδοὺ Χριστὸν οἶδεν ἕτερον ἰδικῶς τὸν ἐκ γυναικὸς ἄν-

---

VS, D [= mn], ARW

2 καὶ² VAR τὸ S τῶ DW τὸ¹ om. W 3 ὠνομάζεσθαι W 4 καθεῖκεν V 5 πάλιν om. SDW 9 τὸ κύριον] τὴν κυρείαν A τετήρηκε SD 11 ὑπερφυὲσ SD 12 ἰδ W εὐχαριστοῦμεν SD 13 ἐρύσατο VW 17 τὰ² om. VSDW τὰ² om. VSDW 21 ὃ SD 22 εὐδόκησε VDW τὸ πλήριωμα τῆσ θεότητοσ W 24 τῆς om. SDW 26 τὰ πάντα παρήχθη VSDW 27 τε τῶι SD πρὸ om. SW, ex corr. add. S 29 ἔχει SD 30 τὸν om. R 31 τῶν om. SD ὁ ἐν ὧ SDW 33 τὸ¹ om. VSDW 34 ἐν V 35 τῆ φύσει W 36 αὐτόχρημα ζωὴ Scorr DAR αὐτὸ χρηματίζων S αὐτὸσ χρηματίζιων ζωὴ VW 39 τὸ om. S ἕτερον οἶδεν VSDW

θρωπον, ἐν ᾧι κατώικηκεν ὡς ἕτερος παρ' αὐτὸν Χριστὸς καὶ ἰδικῶς ὁ λόγος ἤτοι πνεῦμα, τὸ πλήρωμα τῆς θεότητος, σωματικῶς. πρὸς δὴ τὰ τοιάδε φαμὲν ὅτι δύο Χριστοὺς ὁ πνευματοφόρος οὐκ οἶδεν, ἀλλ' ἕνα κηρύττει, καθάπερ ἀμέλει καὶ ἕνα πατέρα. ἡμῖν γάρ φησίν, εἷς θεὸς ὁ πατήρ, ἐξ οὗ τὰ πάντα καὶ ἡμεῖς εἰς αὐτόν, καὶ εἷς κύριος 1 Cor. 8, 6
Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα καὶ ἡμεῖς δι' αὐτοῦ. ἐπεὶ φέρε διασκεψώ- 5
μεθα παρατιθέντες εἰς βάσανον τῶν εἰρημένων τὴν δύναμιν. τὴν εἰκόνα τοῦ θεοῦ τοῦ ἀοράτου, τὸν δι' οὗ καὶ ἐν ᾧι τὰ πάντα, τὸν προαιώνιον υἱόν, τὴν τῶν ὅλων σύστασιν, δεδόσθαι φησὶν τῆι ἐκκλησίαι κεφαλὴν καὶ μὴν ὅτι γένοιτο πρωτότοκος ἐκ νεκρῶν. ἐπειδὴ δέ ἐστι τὴν φύσιν ἀθάνατος, πᾶσά πως ἀνάγκη πρὸς ἕνωσιν οἰκονομικήν τε καὶ ἀληθῆ τῆι καθ' ἡμᾶς ἀνθρωπότητι συνενεχθῆναι λέγειν τὸν ἐκ θεοῦ πατρὸς λόγον ἕνα τε οὕτως ἡμῖν ἀνα- 10
δειχθῆναι Χριστόν, τὸν αὐτὸν ὁμοῦ θεὸν ὄντα καὶ ἄνθρωπον. ἐν τίνι δὴ οὖν κατώικηκε πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς; ἰδικῶς μὲν οὖν καὶ κατὰ μόνας ἐν τῆι τοῦ PG 1364
λόγου φύσει τοῦτο πεπρᾶχθαι νομίζειν εὔηθες κομιδῆι, ἴσον γὰρ εἰπεῖν ὡς αὐτὸς ἐν ἑαυτῶι κατώικηκεν ὁ μονογενής· πιστεύοντας δὲ ὅτι γέγονε σὰρξ ὁ λόγος, οὐ κατὰ μετάστασιν ἢ Ioh. 1, 14
τροπήν, ἀλλ' ὅτι μᾶλλον ἐσκήνωσεν ἐν ἡμῖν καὶ ναὸν ἴδιον ἐποιήσατο τὸ ἑνωθὲν αὐτῶι 15
κατὰ ἀλήθειαν σῶμα ψυχὴν ἔχον τὴν λογικήν, εὐσεβὲς εἰπεῖν ὅτι τὴν ἐν τῆι ἁγίαι σαρκὶ τοῦ λόγου κατοίκησιν ἢ γοῦν ἕνωσιν ἀληθῆ κατασημαίνων ἡμῖν ὁ θεσπέσιος Παῦλος ἐν αὐ- P 286
τῶι φησι κατοικῆσαι πᾶν τὸ πλήρωμα τῆς θεότητος, οὐ μεθεκτῶς μᾶλλον ἢ σχετικῶς ἢ γοῦν ὡς ἐν δόσει χάριτος, ἀλλὰ σωματικῶς, ὅ ἐστιν οὐσιωδῶς, ὡς ἂν εἰ καὶ ἐν ἀνθρώπωι λέγοιτο κατοικεῖν τὸ πνεῦμα αὐτοῦ, οὐχ ἕτερον ὂν παρ' αὐτόν. ἐφ' ἑνὸς δὲ προσώπου 20
πολλάκις διπρόσωπον ἡμῖν εἰσφέρεται λόγου σχῆμα καὶ κατ' οὐδένα τρόπον ἀδικεῖ τὴν ἀλήθειαν, οἷον φέρε εἰπεῖν ὡς εἰ λέγοιτο περὶ θεοῦ παρὰ τῆς θεοπνεύστου γραφῆς· ὁ πλάσ- Zach. 12, 1
σων πνεῦμα ἀνθρώπου ἐν αὐτῶι, καίτοι πῶς οὐχ ἅπασιν ἐναργὲς ὡς οὐκ ἂν νοοῖτο παρὰ τὸν ἄνθρωπον ἕτερον τὸ ἐν αὐτῶι πλαττόμενον αὐτοῦ πνεῦμα; φησὶν δέ που καὶ ὁ μακάριος Δαυίδ· νυκτὸς μετὰ τῆς καρδίας μου ἠδολέσχουν καὶ ἔσκαλε τὸ 25 Ps. 76, 7
πνεῦμά μου. εἶτα τίς ἦν ὁ μετὰ τῆς ἑαυτοῦ καρδίας ἀδολεσχῶν καὶ τὸ ἴδιον πνεῦμα σκαλεύων; χρὴ τοιγαροῦν τὰ μὲν τῶν λόγων σχήματα μὴ σφόδρα φυλοκρινεῖν, ἀφορᾶν δὲ μᾶλλον εἰς αὐτὰς τῶν πραγμάτων τὰς φύσεις καὶ ἐξ αὐτῶν εὖ μάλα ποδηγουμένους ἐπ' αὐτὴν ἰέναι τὴν ἀλήθειαν.

Περὶ ὑπακοῆς τοῦ Χριστοῦ 30

20 Ἆρ' οὖν ὡς δι' ἑνὸς παραπτώματος εἰς πάντας ἀνθρώπους εἰς κατά- Rom. 5, 18. 19
κριμα, οὕτω καὶ δι' ἑνὸς δικαιώματος εἰς πάντας ἀνθρώπους εἰς δικαίωσιν ζωῆς. ὥσπερ γὰρ διὰ τῆς παρακοῆς τοῦ ἑνὸς ἀνθρώπου ἁμαρτωλοὶ P 287
κατεστάθησαν οἱ πολλοί, οὕτω καὶ διὰ τῆς ὑπακοῆς τοῦ ἑνὸς δίκαιοι κατασταθήσονται οἱ πολλοί. Τῆς ἀνθρώπου φύσεως ἁρπᾶι καὶ δίκηι θανάτου καταδεδι- 35

11—18 Fcyr 170 τοῦ αὐτοῦ ἐκ τῆς αὐτῆς ἐπιστολῆς· ἐν τίνι — τῆς θεότητος

VS, D [= mn], ARW

1 κατώκησεν SDA ἕτερον VRW 3 ἀμέλει VARW καὶ ἓν $\overline{\text{πνα}}$ SD 7 τὸν[1]] τοῦ SD 8 κεφαλὴ V μὴν SDW μὴ VAR 10 τε] δὲ A 10/11 ἀποδειχθῆναι AR 11 κατώκησε SD 13 ἑαυτῶ VSDWFcyr αὐτῶ AR 16 ἔχοντι AR λογικὴν VSDWFcyr νοερὰν AR 17 ἀληθῶσ SD 19 ὡσ[1] οὐκ SD 21 ἐμφέρεται SD 24 ἑαυτῶ V $\overline{\text{πνα}}$ αὐτοῦ SD 25 ἔσκαλε SD ἐσκάλευε W ἐσκάλευον R ἤσχαλε A ἤσχαλλε V 26 καρδίασ αὐτοῦ V 27 σκαλεύων SDARW ἀσχάλλον ἔχων V τοίνυν VW μὴ σφόδρα] μηκέτι D φιλοκρινεῖν DA 28 εὖ μάλα] δὴ μᾶλλον V 31 ἰε̄ W ἄρα SD ὅρα W παραπτώματοσ AR ἁμαρτήματοσ VSDW εἰς[2] om. SD 32 εἰς[2] om. SD 32/33 δικαίωσισ SD δικαίωμα V 33/34 ἁμαρτωλοὶ — πολλοί om. V 34/35 οὕτω — πολλοί om. SDW 34 ἑνὸσ ἀνθρώπου V 35/p. 38, 1 καταδεδικασμένουσ S

κασμένης διὰ τὴν τοῦ πρωτοπλάστου παρακοήν, ἔδει πάλιν ἀνασφῆλαι πρὸς το ἐν ἀρχαῖς αὐτήν, ἀνεπίπληκτον κομιδῆι τῆς ὑπακοῆς ποιουμένην τὴν ἔνδειξιν. ἀλλ' ἤδη τοῦτο πολὺ καὶ λίαν ἐπέκεινσ τῶν τῆς ἀνθρωπότητος μέτρων· καθαρὸς γὰρ οὐδεὶς ἀπὸ ἁμαρτιῶν. παθοῦσα δὲ ἅπαξ τὸ πλημμελὲς καὶ ταῖς οἴκοθεν ἀσθενείαις κεκρατημένη καὶ ἐν ἰδίαι σαρκὶ τὴν τῆς φαυλότητος νοσοῦσα γένεσιν ἀγριαίνοντά τε τὸν τῆς ἁμαρτίας ὠδίνουσα νόμον,
Rom. 8, 7 πῶς ἂν διέδρα παντελῶς; τὸ γὰρ φρόνημα τῆς σαρκὸς ἔχθρα, φησίν, εἰς θεὸν
PG 1365 καὶ τῶι νόμωι τοῦ θεοῦ οὐχ ὑποτάσσεται· οὐδὲ γὰρ δύναται. εὐμηχάνως τοιγαροῦν ὁ θεὸς καὶ πατὴρ ἀνακεφαλαιούμενος τὰ πάντα ἐν τῶι Χριστῶι καὶ ἐκ πολλῆς ἄγαν ἡμερότητος τῆι ἀνθρώπου πραγματευόμενος φύσει τὴν εἰς ὅπερ ἦν ἐπάνοδον ἢ γοῦν
Gal. 4, 4 ἀνακομιδήν, ἐξαπέστειλεν τὸν υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικός, ἵνα τὸ ὅμοιον ἡμῖν σῶμα λαβὼν καὶ ἴδιον αὐτὸ ποιησάμενος ὡς ἄνθρωπος ἐπὶ γῆς εὑρεθῆι μὴ εἰδὼς ἁμαρτίαν οὕτω τε εἰς ἅπαν κατήκοος γεγονὼς τῶι θεῶι καὶ πατρὶ δικαιώσηι τὴν ἀνθρώπου φύσιν ἐν ἑαυτῶι καὶ τῶν τοῦ θανάτου δεσμῶν ἐξέληται, φύλλοις ἀναμαρτησίας στεφανουμένην παρὰ τοῦ θεοῦ καὶ πατρός. καὶ γάρ ἐστι τῶν ἀτόπων κληρονόμους μὲν ἡμᾶς τῆς τοῦ πρώτου γενέσθαι δίκης ἐνιέντος τῆι φθορᾶι διὰ τῆς παρακοῆς, τῆς δὲ τοῦ δευτέρου δικαιοσύνης μὴ μεταλαχεῖν ἀνακομίζοντος εἰς ζωὴν διὰ τῆς εἰς ἅπαν ὑπακοῆς.
P 288 ὅταν οὖν λέγηι τὸ γράμμα τὸ ἱερὸν δι' ὑπακοῆς ἑνὸς δεδικαιῶσθαι πολλούς, οὐκ ἄνθρωπον ἁπλῶς ἕνα τῶν καθ' ἡμᾶς εἰς τοῦτο παραληφθῆναι φαμέν, ἐνηνθρωπηκότα δὲ μᾶλλον τὸν
1 Petr. 2, 22 μονογενῆ καὶ ὑπήκοον ὑπὲρ ἡμῶν γεγονότα τῶι πατρί. οὐ γὰρ ἐποίησεν ἁμαρτίαν οὐδὲ εὑρέθη δόλος ἐν τῶι στόματι αὐτοῦ, καθὰ γέγραπται.

21 Λέγω γὰρ Χριστὸν διάκονον γεγενῆσθαι περιτομῆς ὑπὲρ ἀληθείας
Rom. 15, 8.9 θεοῦ εἰς τὸ βεβαιῶσαι τὰς ἐπαγγελίας τῶν πατέρων, τὰ δὲ ἔθνη ὑπὲρ ἐλέους δοξάσαι τὸν θεόν. Ἰουδαίων εἶναι τὰς ἐπαγγελίας τὰς τοῖς πατράσι δεδωρημένας ὁ θεσπέσιος ἔφη Παῦλος, προανακεκράγεσαν δὲ καὶ οἱ μακάριοι προφῆται περὶ
Gen. 49, 10 Χριστοῦ ὅτι αὐτὸς ἔσται προσδοκία ἐθνῶν. οὐκοῦν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τοῖς τοῦ πατρὸς νεύμασι συναινῶν γέγονε μὲν τῆι περιτομῆι, τουτέστι τοῖς Ἰουδαίοις διά-
Hab. 2, 4 κονος εἰς βεβαίωσιν τῶν ἐν τοῖς πατράσιν ἐπηγγελμένων (εἴρητο γὰρ ὅτι ὁ δίκαιος ἐκ πίστεως ζήσεται), τοῖς γε μὴν ἐξ ἐθνῶν εὐλογία πνευματικὴ καὶ ζωοποιός, ὥστε καὶ αὐτοὺς ἠλεημένους διὰ τῆς πίστεως δοξολογῆσαι θεόν. ἀλλ' εἰ καὶ γέγονε διάκονος ἀνθρωπίνως, ἀλλ' οὖν ὡς θεὸς κηρύττεται τοῖς τε ἐκ περιτομῆς καὶ μέντοι τοῖς ἐξ ἐθνῶν· κέκληνται γὰρ εἰς ζωήν, οὐχ ὡς εἰς ἕνα τῶν καθ' ἡμᾶς ἄνθρωπον ἁπλῶς, ἀλλ' ὡς εἰς θεὸν πιστεύσαντες εἰς Χριστὸν καὶ οὐκ ἔξω σαρκὸς ἢ γοῦν ἀνθρωπότητος τὸν ἐκ θεοῦ λόγον ὁμολογοῦντες ὑπάρχειν, σεσαρκωμένον δὲ καὶ ἐνανθρωπήσαντα προσκυνοῦντες αὐτόν. τὸ
Rom 10, 8.9 γάρτοι ῥῆμα τῆς πίστεως, ὃ κηρύσσομεν, διατρανοῖ λέγων ὁ μακάριος Παῦλος ὅτι
P 289 ἐὰν εἴπηις ἐν τῶι στόματί σου κύριος Ἰησοῦς καὶ πιστεύσηις ἐν τῆι καρδίαι σου ὅτι ὁ θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσηι. εἶτα πῶς ἂν
PG 1368 ἐκ νεκρῶν ἐγερθῆναι λέγοιτο, καίτοι τὴν φύσιν ἀθάνατος ὢν ὡς θεός, εἰ μὴ προεισδέξαιτό

VS, D [= mn], ARW

4 ἅπαν W 5 τῆς om. A γένεσιν VARW σύνεσιν SD 6 ἂν VSDW ἂν αὐτὴν AR 7 ἀμηχάνωσ D 8 πάντων SD 10 γεννώμενον W 11 αὐτὸ SDR^{corr}W αὐτῶ R de A non constat αὐτοῦ V 12 δικαιούσῃ S 13 αὐτῶ AR φύλλοισ VW spatium λοισ SD spatio καὶ τοῖσ ἀθ ins. D ψήφοισ AR 15 φορᾶ S 16 μετασχεῖν D 17 δικαιοῦσθαι A 20 ηὑρέθη R 21 ις W Χριστὸν om. W 24 προανακεκράγεισαν D προανακεκράγησαν S προανεκράγεσαν W μακάριοι om. SD 25 ὁ χσ AR 26 πνεύμασι SD 27 εἴρηται AR 28 ζήσεται] σώζεται A 29 ἠλεουμένουσ S ἐλεουμένουσ VW 30 τε om AR καὶ μέντοι καὶ SD 31 ἁπλῶσ ἄνθρωπον SD 32 λόγον om. W 34 κηρύττομεν SD 35 τῶι στόματι] τῆ καρδία SD κσ ισ χσ SD 35/36 ἐν — σου om. SD 36 σωθείσῃ W εἰτα] εἰ V 37 ἀναστῆναι SD προσδέξαιτό SD

τις τοὺς περὶ τῆς ἐνανθρωπήσεως λόγους διατεθείη τε ὅτι τὸ πεφυκὸς ἀποθνήισκειν ἴδιον ἐποιήσατο σῶμα καὶ ὑπέμεινεν μὲν ἐν αὐτῶι τὸν θάνατον ἀνθρωπίνως, ἀνεβίω δὲ θεικῶς ὡς ἀφθαρσία καὶ ζωή;

22 Τὰ γὰρ ὅπλα τῆς στρατείας ἡμῶν οὐ σαρκικά, ἀλλὰ δυνατὰ τῶι θεῶι 2 Cor. 10, 4. 5
πρὸς καθαίρεσιν ὀχυρωμάτων, λογισμοὺς καθαιροῦντες καὶ πᾶν ὕψωμα 5
ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ θεοῦ καὶ αἰχμαλωτίζοντες πᾶν νόημα
εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ. Οὐ παχὺς καὶ σωματικός, ἰσχνὸς δὲ μᾶλλον καὶ
νοητὸς τῶν ἁγίων ὁ πόλεμος. εἰώθασι γὰρ εὐδοκιμεῖν, οὐχ ὅπλα κινοῦντες σαρκικὰ καὶ
ταῖς τῶν δοράτων ἀκμαῖς ἢ γοῦν ταῖς τῶν βελῶν εὐστοχίαις χρώμενοι, ἀλλὰ τοῖς τῆς ἀλη-
θείας ὅπλοις ἐνηρμοσμένοι πνευματικῶς ἀντανιστάμενοί τε καὶ μάλα νεανικῶς τοῖς ἐθέλουσι 10
παρασημαίνειν αὐτὴν καὶ τῶν θείων δογμάτων τὴν ὀρθότητα παρατρέπουσιν ἐπί γε τὸ
αὐτοῖς ἀπερισκέπτως δοκοῦν. οὐ σαρκικὰ τοιγαροῦν τῶν ἁγίων τὰ ὅπλα, δυνατὰ δὲ
μᾶλλον τῶι θεῶι. καθαιροῦσι γὰρ λογισμοὺς τοὺς εἰς ἐκτόπους ἡμᾶς ἐννοίας ἀποκομί-
ζοντας καὶ οἷά τινας τῶν ἀλιτηρίων βαρβάρων τῆι βασιλέως δόξηι φιλονεικεῖν ἐγνωκότας
ἐκ μέσου ποιεῖσθαι σπουδάζουσι κἂν εἴ τις εἰς ὕψος ἐπαίροι τὸ κέρας τῶν εἰωθότων λαλεῖν 15 Ps. 74, 6
ἀδικίαν κατὰ θεοῦ, τοῦτον ἐννοίαις ταῖς εἰς ὀρθότητα μόνον οὐχὶ καταπαίουσι μετατιθέντες
εἰς τὸ εὐθὺ καὶ τοῖς τῆς ἀληθείας ἐμβιβάζοντες λόγοις. εὐτεχνίας οὖν ἄρα τῆς ἀληθῶς P 290
ἁγιοπρεποῦς ἔργον ἂν γένοιτο καὶ ἀρέσκον θεῶι τὸ τοῖς τῆς οἰκονομίας λόγοις ὑποφέρειν
ἀεὶ τὸ ἀντιτετάχθαι δοκοῦν τῆι δόξηι Χριστοῦ. θεὸς γὰρ ὢν ὁ λόγος καὶ ἐν μορφῆι καὶ Phil. 2, 6-8
ἰσότητι τοῦ πατρὸς ἑαυτὸν καθῆκεν εἰς κένωσιν καὶ γέγονεν ὑπήκοος μέχρι θανάτου. δεῖ 20
τοίνυν πᾶν νόημα περιτρέπειν ἀστείως καὶ οἷον αἰχμαλωτίζειν εἰς τὴν ὑπακοὴν αὐτοῦ.
εἰ γὰρ δή τι λέγοιτο καὶ τῶν ἀνθρωπίνων, κατ' οὐδένα τρόπον ἀδικήσειεν ἂν τὴν τοῦ
λόγου φύσιν τὸ ἐν ἀνθρωπότητι σμικροπρεπές, εἰ πιστεύοιτο καθ' ἡμᾶς ἄνθρωπος γεγονὼς
καὶ οὔ τί που τὸ εἶναι θεὸς ἀποβεβληκώς, ἀλλὰ μετὰ τοῦ μεῖναι θεὸς προσλαβὼν τὸ ἀν-
θρώπινον καὶ ὑπήκοος γενόμενος μέχρι θανάτου κατὰ τὴν σάρκα. 25

23 Ὅθεν, ἀδελφοὶ ἅγιοι, κλήσεως ἐπουρανίου μέτοχοι, κατανοήσατε Hebr. 3, 1-6
τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν πιστὸν ὄντα
τῶι ποιήσαντι αὐτόν, ὡς καὶ Μωσῆς ἐν ὅλωι τῶι οἴκωι αὐτοῦ. πλείονος
γὰρ οὗτος δόξης παρὰ Μωυσῆν ἠξίωται, καθόσον πλείονα τιμὴν ἔχει τοῦ
οἴκου ὁ κατασκευάσας αὐτόν. πᾶς γὰρ οἶκος κατασκευάζεται ὑπό τινος, 30
ὁ δὲ πάντα κατασκευάσας θεός. καὶ Μωσῆς μὲν πιστὸς ὡς θεράπων ἐν
τῶι οἴκωι αὐτοῦ, Χριστὸς δὲ ὡς υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ, οὗ οἶκος ἐσμὲν
ἡμεῖς. Ἀπόστολος καὶ ἀρχιερεὺς τῆς ὁμολογίας ἡμῶν παρὰ τοῦ θεοῦ καὶ πατρὸς γέγονεν PG 1369
Ἰησοῦς, τουτέστιν ἄνθρωπος πεφηνὼς ὁ ἐκ θεοῦ λόγος· τότε γὰρ ὠνόμασται καὶ Ἰησοῦς Mt 1, 21
διὰ τῆς τοῦ ἀγγέλου φωνῆς. καὶ μικρὸν μὲν κομιδῆι τῆι τοῦ λόγου φύσει τό τε τῆς 35
ἱερωσύνης καὶ τὸ τῆς ἀποστολῆς ὄνομά τε καὶ χρῆμα, τοῖς γε μὴν τῆς ἀνθρωπότητος
μέτροις εἴη ἂν οὐκ ἀνάρμοστον. ὡς γὰρ αὐτός πού φησιν, ὁ υἱὸς οὐκ ἦλθε διακο- P 291
νηθῆναι, ἀλλὰ διακονῆσαι καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ ἀντίλυτρον ὑπὲρ Mt 20, 28

VS, D [= mn], ARW

1 τῆς om. VSDW 2 ἑαυτῶ W 4 ιζ̄ W 5 καθαιροῦντα VA 6 αἰχμαλωτί-
ζοντα VA 8 ὁ πόλεμος τῶν ἁγίων SD καὶ οὐχ D 9 αἰχμαῖς AR 9/10 ἀλλὰ —
ἐνηρμοσμένοι om. SD 10 ἀνιστάμενοί W 11 αὐτὸν A παραπέμπουσιν SD 12 οὐ
AR οὐ γὰρ VSDW τὰ ὅπλα τῶν ἁγίων SD 13 τοὺς] τῶν S 14 ἀλητηρίων SDW
15 ποιῆσαι V ἐπαίρη W 16 τοῦ θῦ RW 18 τῶ θῶ SD τῆς om. A 23 μικρο-
πρεπὲς SW, corr. W 24 μεῖναι VSDW εἶναι AR 26 ιῆ̄ W 27 ὑμῶν S 28 καὶ
om. D μωυσῆς AR 29 δόξης οὗτος A 29/30 τοῦ οἴκου τιμὴν ἔχει VSDW 31 τὰ
πάντα VSDW μωυσῆς AR ὢν ὡς V 32 ὁ οἶκος D 34 ἐκ] τοῦ A 35 τοῦ
om. A εὐαγγελίου V 36 τῆς²] τοῖς SA

τ·ολλῶν. τὸ μὲν γὰρ διακονεῖσθαι παρὰ τῆς κτίσεως πρέποι ἂν αὐτῷ καὶ μάλα εἰκότως ὡς θεῷ καὶ δεσπότῃ καὶ ὑπὸ πόδας ἔχοντι πᾶν ὅπερ ἐστὶ γενητόν· τὸ δέ γε διακονεῖν ἀνθρώπινον μέν, πλὴν ὅσον ἦκεν εἰς τοὺς τῆς μετὰ σαρκὸς οἰκονομίας λόγους, οὐκ απεοικὸς τῷι γε ὅλως ἑαυτὸν καθέντι πρὸς τὰ ἀνθρώπινα. ἄθρει δὲ ὅπως ἱερατεύει μὲν ἀνθρωπίνως καὶ μεσίτης τέθειται θεοῦ καὶ ἀνθρώπων (μεσιτεύει γὰρ πᾶς ἱερεύς), τὸν δὲ τῆς θυσίας τρόπον οὐκέτι καθ' ἕνα τῶν καθ' ἡμᾶς ἱερέων προσκομίζει δουλοπρεπῶς, οὐδὲν αὐτὸς ἐπικοινωνῶν εἰς τὸ λαβεῖν αὐτήν, ἀλλ' ἑαυτῷι πραγματεύεται καὶ δι' αὐτοῦ τε καὶ ἐν αὐτῷι τῷι πατρί. ἱερουργεῖ γὰρ ἡμῶν τὴν ὁμολογίαν, τουτέστι τὴν πίστιν, ἣν καὶ ὀρθῶς κατειθίσμεθα ποιεῖσθαι, λέγοντες· πιστεύομεν εἰς ἕνα θεὸν πατέρα παντοκράτορα καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν αὐτοῦ καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον. οὐκοῦν κἂν ἱερατεύειν ἀνθρωπίνως λέγηται, ἀλλὰ δέχεται τὴν θυσίαν αὐτὸς θεικῶς, ὁ αὐτὸς ὢν ὁμοῦ θεὸς καὶ ἄνθρωπος. εἴρηται δὲ πιστὸς διὰ τὸ ἀεὶ σώιζειν δύνασθαι τοὺς προσερχο-
1 Cor. 1, 9 μένους δι' αὐτοῦ τῶι θεῶι, πιστὸς δὲ ὠνόμασται καὶ αὐτὸς ὁ πατήρ. συγκρινόμενος δέ πως τῆι Μωσέως διακονίαι κατὰ τὸ ἀνθρώπινον, ὅσην ἔχει τὴν ὑπεροχὴν κατά γε τὸ εἶναι θεός, ἀναμάθοι τις ἂν καὶ οὐ σὺν ἱδρῶτι μακρῶι, ἐννοῶν ὅτι ὃ μὲν ὡς οἰκέτης ἐν τῶι οἴκωι πιστός, ὃ δὲ ὡς δεσπότης ἐπὶ τὸν οἶκον αὐτοῦ, καὶ ὅτι τοῦ οἴκου κατασκευαστὴς καὶ δημιουργὸς ὁ Ἐμμανουήλ, οὗ οἶκος ἐσμὲν ἡμεῖς. ἀσύγκριτος δὲ ποιητοῦ πρὸς τὸ
P 292 ποιηθὲν ἡ διαφορὰ καὶ τοῦ κατὰ φύσιν δεσπότου πρὸς τὸ δοῦλον ἀληθῶς καὶ ἐν ὑφέσει νοούμενον.

24 Ὅτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν,
Ioh. 6, 38. 39 ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με. τοῦτο δέ ἐστι τὸ θέλημα τοῦ πέμψαντός με ἵνα πᾶν ὃ δέδωκέν μοι, μὴ ἀπολέσω ἐξ αὐτοῦ, ἀλλὰ ἀναστήσω αὐτὸ ἐν τῇ ἐσχάτῃ ἡμέραι. Καταβῆναί φησιν ἑαυτὸν ἐξ οὐρανοῦ ἀπεστάλθαι τε παρὰ τοῦ θεοῦ καὶ πατρός, καίτοι τὰ πάντα πληρῶν, ἐκεῖνο, οἶμαι, καταδεικνὺς καὶ καθιστὰς ἅπασιν ἐναργὲς ὅτι θεὸς ὢν ὁ λόγος καταπεφοίτηκεν οἰκονομικῶς εἰς ἀνθρωπότητα δι'
PG 1372 ἡμᾶς καὶ οὔ τί που μεθεὶς τὸ εἶναι φύσει θεός, προσλαβὼν δὲ μᾶλλον ὅπερ οὐκ ἦν, ἵνα καὶ δοὺς τῶι θανάτωι πρὸς βραχὺ τὸ ἐνωθὲν αὐτῶι σῶμα καὶ ἴδιον αὐτοῦ μηδὲν ἀπολέσηι τῶν δοθέντων αὐτῶι, διασώσηι δὲ μᾶλλον καὶ ἀναστήσηι αὐτὸ ἐν τῇ ἐσχάτῃ ἡμέραι. ποιεῖν μὲν οὖν λέγων τὸ θέλημα τοῦ πατρὸς καὶ οὐχὶ δὴ πάντως τὸ ἑαυτοῦ, τὰς τῶν Ἰουδαίων ἀπονοίας ἐλέγχει καὶ ὑποπλήττει πλαγίως ὡς ἀεὶ τὸ ἴδιον ἱστῶντας θέλημα καὶ τῶν θείων ὑπερορῶντας νόμων καὶ παρ' οὐδὲν ποιεῖσθαι μεμελετηκότας τὸ τῶι δεσπότηι δοκοῦν· ἑαυτῶι γὰρ ἐν τούτοις προσμαρτυρῶν τὸ εὐήνιον, τῆς ἐκείνων ἀπειθείας κατηγορεῖ. ἔφη γάρ που καὶ ἑτέρωθι πρὸς αὐτοὺς ὡς διώκειν ἐθέλοντας καὶ μισεῖν ἠιρημένους καὶ
Ioh. 8, 15. 16 ἄδικον ἐπ' αὐτῶι τὴν ἐπὶ τούτωι ψῆφον ἐκφέροντας· ὑμεῖς κατὰ τὴν σάρκα κρίνετε, ἐγὼ οὐ κρίνω οὐδένα· καὶ ἐὰν κρίνω δὲ ἐγώ, ἡ κρίσις ἡ ἐμὴ δικαία ἐστίν, ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με. οὐκοῦν οἰκο-
P 293 νομικῶς τὰ τοιάδε φησίν, πλὴν ἐκεῖνο φέρε δὴ φέρε καταθρήσωμεν. ἐξ οὐρανοῦ καταβὰς ὡς θεός, δεδόσθαι φησὶν ἑαυτῶι παρὰ τοῦ πατρὸς τοὺς εἰς αὐτὸν πιστεύοντας, ἵνα μὴ ἀπολέσηι μᾶλλον αὐτούς, ἀλλ' ἀναστήσηι τῇ ἐσχάτῃ ἡμέραι. πῶς οὖν ἀνέστησεν ἢ δηλονότι διὰ τῆς ἰδίας ἀναστάσεως τῆς ἐκ νεκρῶν; ζωοποιήσας γὰρ καὶ πρό γε τῶν

VS, D [= mn], ARW

2 ὥσπερ VW γεννητόν SDA 2/3 διακρίνειν SD 3 τῆς μετὰ] μετὰ τῆσ W μετὰ V 4 δὲ] δὴ D πῶσ A 5 θεοῦ] καὶ θῦ V 7 ἑαυτοῦ VSDW 8 ἑαυτῷ S ὑμῶν SD, corr. m καὶ om. SD 11 κἂν] καὶ SDW λέγεται SDW ἀλλὰ δέχεται] ἀναδέχεται SD 13 ὁ] ὡσ A 17 ὁ οἶκοσ D 18 ἡ om. D τὸν δοῦλον R 20 ιθ W 21/22 τοῦτο — με om. VR 22 με πρσ̄ W δέδωκάσ A 23 ἐν om. RW τε] δὲ A 28 αὐτῷ V 34 ἐπ' αὐτῶι] ἑαὐτῷ R ἑαὐτῶν Rcorr 34 τὴν² om. VW 35 οὐ om. VW 38 πιστεύσαντασ VSDW 40 ζωοποιήσει W 40/p. 41, 1 καὶ πρό γε τῶν ἄλλων VSDW πρὸ τῶν ἄλλων A τῶν ἄλλων R sed punctis superpositis del.

ἄλλων τὸν ἑαυτοῦ ναὸν καὶ τὸ τοῦ θανάτου κατασείσας κράτος διὰ τοῦ θανάτου τῆς ἰδίας σαρκός, ὁδὸς γέγονε τῇ ἀνθρωπείαι φύσει πρὸς ἀνάστασιν καὶ πρός γε τὸ δύνασθαι λοιπὸν κατευμεγεθῆσαι φθορᾶς. ἴδιον οὖν ἄρα τοῦ καταφοιτήσαντος ἐξ οὐρανοῦ θεοῦ λόγου τὸ δι' οὗ γέγονε πρωτότοκος ἐκ νεκρῶν, ἵνα καὶ ἐγηγερμένωι κατακολουθῆι πρὸς ζωὴν τὸ Col. 1, 18 δοθὲν αὐτῶι, οὐκέτι διὰ τὴν τοῦ πρωτοπλάστου παράβασιν ἀπολλύμενον, σωιζόμενον δὲ μᾶλλον διὰ τὴν ὑπακοὴν τοῦ Χριστοῦ. δεδόσθαι δέ φησιν ἑαυτῶι τοὺς τὴν εἰς αὐτὸν πίστιν προσιεμένους πάλιν ὡς ἄνθρωπος γεγονώς. κλῆρος μὲν γὰρ ἴδιος αὐτῶι πάντα τὰ τοῦ πατρός· ἐπειδὴ δέ, ὡς ἔφην, μετέσχεν αἵματος καὶ σαρκός, εἶτα πεπιστεύκαμεν ὡς Hebr. 2, 14 θεῶι, ταύτηι τοι τὸ τῆς δόσεως ὄνομα παρεισκρίνεται· βεβασίλευκε γὰρ ἡμῶν καὶ μετὰ σαρκὸς ὁ καὶ πρὸ αὐτῆς βασιλεύς. καὶ γοῦν ὡς εἰς τὴν τοῦ χρῆναι βασιλεύειν ἀρχὴν εἰσκεκομισμένος, ὅτε γέγονε καθ' ἡμᾶς, κύριος, φησίν, εἶπεν πρός με· υἱός μου εἶ Ps. 2, 7 σύ, ἐγὼ σήμερον γεγέννηκά σε. δέχεται τοίνυν ἀνθρωπίνως τὰ ἑαυτοῦ, καίτοι κατεξουσιάζων ἀεὶ τῶν ὅλων ὡς θεός.

Περὶ τοῦ ἡγιάσθαι Χριστὸν καὶ τῆς κατ' αὐτὸν νοουμένης ἱερωσύνης

25 Ἔπρεπεν γὰρ αὐτῶι, δι' ὃν τὰ πάντα καὶ δι' οὗ τὰ πάντα, πολλοὺς 15 PG 1373 υἱοὺς εἰς δόξαν ἀγαγόντα τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν διὰ παθημά- P 294 των τελειῶσαι. ὅ τε γὰρ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνὸς πάντες, δι' Hebr. 2, 10-12 ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν, λέγων· ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσωι ἐκκλησίας ὑμνήσω σε. Οἴονται τάχα που τῶν ἀμαθεστέρων τινὲς καὶ διαιρεῖν εἰωθότων εἰς δύο Χριστοὺς καὶ εἰς υἱοὺς 20 δύο τὸν ἕνα κύριον Ἰησοῦν Χριστὸν τελειωθῆναι λέγεσθαι διὰ παθημάτων τὸν ἐκ γυναικὸς ἄνθρωπον ἰδίαι νοούμενον καὶ δίχα τοῦ ἐκ θεοῦ πατρὸς ὄντος λόγου καὶ αὐτὸν λέγεσθαι τῆς σωτηρίας ἡμῶν τὸν ἀρχηγόν, τετελειῶσθαι δὲ παρ' αὐτοῦ τοῦ θεοῦ λόγου δοθέντα πρὸς τὸ παθεῖν ὡς ἕτερον ἰδικῶς. πρέπειν γὰρ αὐτῶι δὴ μάλιστά φασιν τὸ δι' ὃν τὰ πάντα καὶ δι' οὗ τὰ πάντα διά τοι τὸ φάναι τὸν μακάριον εὐαγγελιστήν· πάντα δι' 25 Ioh. 1, 3 αὐτοῦ ἐγένετο καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν. ἔπρεπεν τοίνυν, φασίν, τῶι λόγωι, δι' ὃν τὰ πάντα καὶ δι' οὗ τὰ πάντα, πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν, τουτέστιν ἄνθρωπον ἁπλῶς τὸν διὰ τῆς ἁγίας παρθένου, τελειῶσαι διὰ παθημάτων. ὅτι δέ ἐστιν ἐμβροντησίας ἀνάπλεως ὁ λόγος αὐτοῖς, ὡς ἔνι, καὶ νῦν καταδεῖξαι πειράσομαι. 30

Πρῶτον μὲν γὰρ τὸ δι' οὗ καὶ ἐπ' αὐτοῦ τέθειται τοῦ πατρός. καὶ γοῦν ὁ μακάριος Παῦλος πιστός, φησίν, ὁ θεός, δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ υἱοῦ αὐτοῦ. 1 Cor. 1, 9 καὶ πάλιν τοῖς διὰ πίστεως εἰς ἐλεύθερον ἀξίωμα κεκλημένοις ἄρα, φησίν, οὐκέτι εἶ Gal. 4, 7 δοῦλος, ἀλλὰ υἱός· εἰ δὲ υἱός, καὶ κληρονόμος διὰ θεοῦ. ἀδιαφορούσης τοίνυν τῆς θεοπνεύστου γραφῆς περὶ τὴν τῆς λέξεως ἐκφώνησιν, δεχομένης δὲ αὐτὴν καὶ 35 ἐπὶ τοῦ πατρός, οὐδὲν ἔτι τὸ συνωθοῦν ἡμᾶς εἰς τὸ τοῦ υἱοῦ περιτρέπειν πρόσωπον ὡς P 295 ἐξ ἀνάγκης τὸ δι' οὗ. ἐπειδὴ δὲ τοῦτό ἐστιν ἀληθές, τί μὴ μᾶλλον ἀφέντες εἰς τὸ

VS, D [= mn], ARW

2 ἀνου V ἀνιν̄η W τὴν ἀνδστασιν D 3 καταμεγεθῆσαι S 4 τὸ VRW τοῦ SA τὸν D 5 δοθὲν] θὲν S ἀπολύμενον A 6 τὴν εἰς] εἰσ τὴν A 7 προιεμένουσ SDW γὰρ om. R 9 τὸ om. A 10 ὡς om. W 12 γεγένηκά S τὰ] τὰσ R, in τοὺσ corr. R 13 ἀεὶ om. VSDW 14 τὸν χν̄ VSDW 15 κ̄ W αὐτὸν VW, corr. W 16 ἀγαγόντι D 19 ἐμ μέσω ἐκκλησία R 20 που om. AR 20/21 δύο υἱοὺσ VDW 21 Χριστὸν om. AR 22 ἰδίαι νοούμενον] καὶ διανοούμενον R αὐτὸσ S 22/23 ἡμῶν λέγεσθαι τῆσ σωτηρίασ SD 24 παθοσ VW αὐτὸν S φησι V τὸ VDW τῶ S τὸν AR 25 φάναι καὶ SD 26 οὐδὲν VSnW 27 υἱοὺς om. W 28 τὸν om. SD 37 τί μὴ VARW τοῦτο SD

παρὸν τὸ αὐτοῦ πρόσωπον, εἶτα τῶι σκοπῶι τῶν ἱερῶν γραμμάτων ἑπόμενοι, τῆι μετὰ σαρκὸς οἰκονομίαι τοῦ μονογενοῦς τὸν αὐτῆι πρέποντα τηροῦντες λόγον, τὸν πατέρα φαμὲν
Hebr 2, 2 τελειῶσαι διὰ παθημάτων ἐνανθρωπήσαντα τον υἱόν, ὑπέμεινε γὰρ σταυρὸν αἰσχύνης καταφρονήσας, ἐν εὐδοκίαι που πάντως τοῦ θεοῦ καὶ πατρός, ἵνα καὶ ἡμᾶς τοῖς
Mt 10, 28 ἴχνεσιν αὐτοῦ κατακολουθεῖν ἡιρημένους νεανικοὺς ἀποφήνηι, πειθομένους λέγοντι μη φοβεῖσθε ἀπὸ τῶν ἀποκτεννόντων το σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι ἐπειδὴ γὰρ ἐμέλλομεν θλῖψιν ἔχειν ἐν τῶι κόσμωι καὶ διώκεσθαι παρ' ἐχθρῶν καὶ τῶν τῆς ἀληθείας δογμάτων ὑπεραθλεῖν ἱδρῶτί τε καὶ πόνοις κατορθοῦν εὖ μάλα τὴν ἀρετήν, οὐκ ἐᾶι θρύπτεσθαι προς δειλίας, ἀποφαίνει δὲ μᾶλλον εὐτολμοτάτους,
PG 1376 ἐλάσας αὐτος διὰ παθημάτων, ἵνα καὶ ἡμᾶς ἐκδυσωπήσηι λέγων· οὐκ ἔστι μαθητὴς
Mt 10, 24 25 ὑπὲρ τὸν διδάσκαλον οὐδὲ δοῦλος ὑπὲρ τον κύριον αὐτοῦ ἀρκετον τῶι μαθητῆι ἵνα γένηται ὡς ὁ διδάσκαλος, καὶ τῶι δούλωι, ὡς ὁ κύριος αὐτοῦ
Ioh 15, 20 εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν σκοπὸς οὖν ἄρα γέγονεν τῶι μονογενεῖ σαρκὶ τῆι ἰδίαι παθεῖν ὑπὲρ ἡμῶν καὶ ποία τίς ἐστιν ἡ τοῦδε πρόφασις, διδάξει λεγων
Hebr 2,14 15 ὁ θεσπέσιος Παῦλος ἐπειδὴ γὰρ τὰ παιδία κεκοινώνηκεν αἵματος καὶ σαρκός, καὶ αὐτος παραπλησίως μετέσχεν τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσηι τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τον διάβολον, καὶ ἀπαλλάξηι τούτους ὅσοι φόβωι θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν
P 296 δουλείας οὐκοῦν ἐπειδήπερ ἀνέφικτον ἦν τῆι ἀνθρώπου φύσει τὸ καταργῆσαι θάνατον (κεκράτητο γὰρ ὑπ' αὐτοῦ, κατακομιζούσης αὐτὴν εἰς τοῦτο τῆς ἀρχαίας ἐκείνης ἀρᾶς), ἀναγκαίως ὁ ζωοποιὸς τοῦ θεοῦ λόγος τὴν θανάτωι κάτοχον ἠμπέσχετο φύσιν, τουτέστι τὴν καθ' ἡμᾶς ἤτοι τὴν ἀνθρωπίνην, ἵνα καὶ τῆι αὐτοῦ σαρκὶ καθάπερ τι τῶν ἀτιθάσων θηρίων ἐπιπηδήσας ὁ θάνατος παύσηται τῆς καθ' ἡμῶν τυραννίδος ὡς παρὰ θεοῦ καταργούμενος αὐτὸς οὖν ἄρα ἐστὶν ὁ σαρκὶ τελειούμενος δι' ἡμᾶς ἀνθρωπίνως, τελειῶν δὲ ἡμᾶς θεικῶς διὰ τοῦ καταργῆσαι τοῦ θανάτου τὸ κράτος ἔλειπε γὰρ τῆι ἀνθρωπου
Sap Sal 1,13 14 φύσει τὸ ἄφθαρτον, οὕτω γενομένηι καὶ ἐν ἀρχαῖς ὁ γὰρ θεος θάνατον οὐκ ἐποίησεν οὐδὲ τέρπεται ἐπ' ἀπωλείαι ζώντων ἔκτισε γὰρ εἰς τὸ εἶναι τα πάντα, καὶ σωτήριοι αἱ γενέσεις τοῦ κόσμου, καὶ οὔκ ἐστιν ἐν αὐτοῖς
Sap Sal 2,24 φάρμακον ὀλέθρου οὐδέ ἐστιν ἄιδου βασίλειον ἐπὶ γῆς, φθόνωι δὲ διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον οὕτως ἡμᾶς τελειώσας ἔφασκε προς
Ioh 17, 4 τὸν ἐν οὐρανοῖς πατέρα καὶ θεόν ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς τὸ ἔργον τελειώσας ὃ δέδωκάς μοι, ἵνα ποιήσω αὐτό δόξα γὰρ ἀληθῶς τῶι θεῶι καὶ πατρὶ το διὰ τοῦ ἰδίου γεννήματος καταργῆσαι θάνατον οὐκοῦν ἡ μὲν τελείωσις αὐτῶι διὰ
2 Cor 5, 17 παθημάτων, ἡμῖν δὲ προσθήκη τοῦ λείποντος τὸ γεγενημένον· καινὴ γὰρ κτίσις τὰ ἐν Χριστῶι.

19—22 F^{cyr} 171 τοῦ αὐτοῦ ἐκ τῆς αὐτῆς ἐπιστολῆς οὐκοῦν ἐπειδήπερ — ἀνθρωπίνην, ἵνα ταύτην ἀπαλλάξηι καὶ θανάτου καὶ φθορᾶς

VS, D [= mn], ARW

4 που om SD 5 νεανίσκους S 6 φοβεῖσθε in φοβῆσθε corr W φοβηθητε AR ἀποκτενόντων VSDARW 7 ἐμέλλομεν VAW μέλλομεν R ἔμελλον SD σχεῖν R 9 ud λιστα S καὶ οὐκ A ἀποφαίνη V εὐτολμωτάτους SDR 10 ἐκδυσωπῆ AR 11/12 ἀρ κετὸν — κύριος αὐτοῦ om AR 12 ὁ[1] om S 13 οὖν om SD τῶ μονογενεῖ γέγονε V 19 τὸν θάνατον R 20 ὑπ' VSDWF^{cyr} δι' AR ἀρᾶσ ἐκείνησ VW 22 ἤγουν V ἀπι θάσσων VSDW 24 τελειοῖ W 25 ἐλείπετο AR 28 καὶ[2] om SW 29 ὀλέθρου] τοῦ κόσμου καὶ οὐκ ἔστιν ἐν αὐτοῖσ φάρμακον ὀλέθρου SW βασιλεία VD τῆσ γῆσ VSDW φθόνου R 30 εἰσ τὸν κόσμον εἰσῆλθεν VW τελείωσ A 31 τοῖσ οὐρανοῖσ A 31/32 ἐτε λείωσα Vm 33 τὸ] τῶ V θελήματοσ A τὸν θάνατον R ἡ μέν] ἡμῖν SW ἡ \ αὐτῶ τελείωσισ W 34 γεγεννημένον RW, corr R

Ὅτι δὲ οὐκ ἄνθρωπον ἁπλῶς ἐξηρημένου τοῦ λόγου τετελειῶσθαί φησιν ὑπὲρ ἡμῶν, ἐν ἀνθρωπείαι δὲ μᾶλλον μορφῆι πεφηνότα τὸν μονογενῆ, πιστώσεται πάλιν ὁ θεσπέσιος Παῦλος προστιθείς· ὅ τε γὰρ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνὸς πάντες, δι' P 297
ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν, λέγων· ἀπαγγελῶ Hebr.2,11.12
τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου. τίς ὁ ἁγιάζων καὶ τίνες ἂν εἶεν οἱ ἁγιαζό- 5
μενοι καὶ πῶς ἐξ ἑνὸς πάντες ἢ ἐκ τίνος, ὅλως ἄξιον ἰδεῖν. οὐκοῦν ἁγιάζει μὲν ὁ υἱός, ἅγιος ὢν κατὰ φύσιν ὡς θεός· ἡγιάσμεθα δὲ ἡμεῖς παρ' αὐτοῦ διὰ τοῦ πνεύματος. πῶς PG 1377
οὖν οἱ πάντες ἐξ ἑνός; ὡς ποιητοῦ καὶ δημιουργοῦ, ὥστε καὶ ἀναγκαίαν ἐντεῦθεν ἡμᾶς πρὸς ἀλλήλους ἔχειν τὴν ἀδελφότητα. γενητῶι γὰρ πρὸς γενητόν, καθὸ γενητά, φυσική τις ἡ ἀδελφότης. καίτοι τὴν φύσιν ἀγένητός ἐστιν ὁ υἱὸς καὶ οὐκ ἀδελφὸς τῆι κτίσει 10
κατά γε τὸ εἶναι φύσει θεός· πῶς οὖν οἱ πάντες ἐξ ἑνός, ὅ τε ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι; οὐκοῦν ἀναγκαῖος εἰς τὴν τῶν προκειμένων διασάφησιν τῆς μετὰ σαρκὸς οἰκονομίας ὁ λόγος. ὅτε γὰρ γέγονε καθ' ἡμᾶς, τότε καὶ αὐτὸς μεθ' ἡμῶν ἐξ ἑνὸς λέγεται καὶ κεχρημάτικε τοῖς κτίσμασιν ἀδελφός, ὡς συγγένειαν ἐσχηκὼς τὴν πρὸς ἡμᾶς ἀνθρωπίνην. ταύτηι τοι καὶ μάλα εἰκότως οὐκ αἰσχύνεται ἡμᾶς ἀδελφοὺς ὀνομάζειν, οὐκ ἀνασχόμενος, 15
ὥς γέ μοι φαίνεται, τοῖς δι' αὐτοῦ γεγονόσιν ἀδελφὸς ὀνομάζεσθαι, εἰ μὴ γέγονεν κατ' αὐτούς, πλὴν οὐ μεθεὶς ὅπερ ἦν. τότε γὰρ ἀνεπιπλήκτως καὶ ὑμνήσει μεθ' ἡμῶν αὐτός, ὃν ὑμνοῦσι τὰ σεραφὶμ καὶ ἡ σύμπασα κτίσις προσκυνεῖ.

26 Καὶ ὁμολογουμένως μέγα ἐστὶν τὸ τῆς εὐσεβείας μυστήριον, ὃς ἐφα- 1 Tim. 3, 16
νερώθη ἐν σαρκί, ἐδικαιώθη ἐν πνεύματι, ὤφθη ἀγγέλοις, ἐκηρύχθη ἐν 20
ἔθνεσιν, ἐπιστεύθη ἐν κόσμωι, ἀνελήφθη ἐν δόξηι. Εἰ θεὸς ὢν ὁ λόγος ἐνανθρωπῆσαι λέγοιτο καὶ οὐ δήπου μεθεὶς τὸ εἶναι θεός, ἀλλ' ἐν οἷς ἦν, ἀεὶ διαμένων, P 290
μέγα δὴ τότε καὶ ὁμολογουμένως ἐστὶ τὸ τῆς εὐσεβείας μυστήριον· εἰ δὲ ἄνθρωπος νοεῖται κοινὸς ὁ Χριστὸς ὡς κατὰ μόνην τὴν ἰσότητα τῆς ἀξίας ἢ γοῦν αὐθεντίας θεῶι συνημμένος (πεφρονήκασι γὰρ τὰ τοιάδε τινὲς τῶν ἀμαθεστέρων), πῶς ἐν σαρκὶ πεφανέρωται; καίτοι 25
πῶς οὐχ ἅπασιν ἐναργὲς ὅτι πᾶς ἄνθρωπος ἐν σαρκί τέ ἐστι καὶ οὐκ ἂν ἑτέρως ὁρῶιτό τισιν; τίνα δὲ τρόπον ὤφθαί φησιν αὐτὸν καὶ τοῖς ἁγίοις ἀγγέλοις; ἢ γὰρ καὶ ἡμᾶς αὐτοὺς οὐχ ὁρῶσιν ἄγγελοι; τί οὖν ἐν Χριστῶι τὸ ξένον ἢ τί τὸ παράδοξον, εἰ καθ' ἡμᾶς ὄντα καὶ ἕτερον οὐδὲν τεθέανται τινὲς τῶν ἁγίων ἀγγέλων; πῶς δὲ καὶ ἔθνεσιν ἐκηρύχθη καὶ ὡς τίς ὑπάρχων παρὰ τῶν ἐν κόσμωι πιστεύεται; εἰ μὲν γὰρ ὡς ἕνα τῶν καθ' ἡμᾶς 30
ἄνθρωπον ἁπλῶς καὶ οὐχὶ δὴ μᾶλλον θεὸν ἐνηνθρωπηκότα διεκήρυξαν οἱ μαθηταὶ καὶ ὡς τοῦτο ὑπάρχων παρὰ τῶν ἐν κόσμωι πιστεύεται, ἀνθρωπολατρίαι κεκρατήμεθα καὶ προσκεκυνήκαμεν τῆι κτίσει καὶ πρός γε τοῦτο ἡμᾶς κατεδόνησεν αὐτὸς ὁ φύσει τε καὶ ἀληθείαι καὶ τῶν ὅλων θεός, αὐτὸς γὰρ ἡμῖν ἀνέδειξε τὸν τῶν θεηγόρων χορόν· εἰ δὲ Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν τοῖς ἁγίοις ἔφασκεν ἀποστόλοις· πορευθέντες μαθητεύσατε 35 Mt. 28,19
πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, εἶτα πεπιστεύκαμεν εἰς αὐτὸν βεβαπτίσμεθά τε τὸν PG 1380
θάνατον αὐτοῦ καταγγέλλοντες καὶ ὁμολογοῦντες τὴν ἀνάστασιν καὶ τοῦτο δρᾶν εἰωθότες

VS, D [= mn], ARW

1 δὲ om. AR 2 μᾶλλον om. SD 4 αὐτοὺσ ἀδελφοὺσ λέγειν καλῶν W 7 δι' αὐτοῦ παρὰ AR 8 οἱ om. SD ἀναγκαῖον V om. AR ἡμᾶσ ἐντεῦθεν SD, ἡμᾶσ, superscr. ἐντεῦθεν W 9 γενητῶ DR γεννητῶ SAW γενητοῦ V γεννητόν SAW γεννητά SAW 10 ἀγέννητοσ SmAW 15 ἀδελφοὺσ ἡμᾶσ SD 18 σεραφεὶμ' R ἡ om. VSDW 19 κα̅ W ὃσ SAR θσ̅ VDW 23 ὁμολογουμένωσ μέγα V 24 συνημμένησ D 25 τῶν ἀμαθεστέρων τινὲσ SD 27 τίσ SD τίνι — τρόπω V καὶ[2] om. D 28 τὸ[2] om. V 29 οὐδὲ A 30 ὑπάρχειν D πεπίστευται D 32 ὑπάρχειν D ἀνθρωπολατρεία mR, corr. mR ἀνθρωπολάτραι W 33 αὐτὸσ om. V 34 καὶ om. AWcorr ἔδειξε A τὸν — θεηγόρων ἀνέδειξε VSDW 37 εἰσ τὸν R 38 καταγγέλοντεσ VW, corr. V

τοῖς ἀνθρωπολατρίας ἐγκλήμασιν κατ' οὐδένα τρόπον ἐνισχήμεθα, οὐκ ἄρα ψιλῆι συναφείαι τῆι πρὸς θεὸν λόγον τετιμημένος ἄνθρωπος ὁ Χριστός, συνόδωι δὲ μᾶλλον τῆι πρὸς τὸ ἀνθρώπινον καθ' ἕνωσιν οἰκονομικὴν υἱὸς εἷς καὶ κύριος. μέγα γὰρ τότε τὸ τῆς εὐσεβείας
P 299 ἐστὶ μυστήριον· πεφανέρωται γὰρ ἐν σαρκὶ θεὸς ὢν ὁ λόγος, ἐδικαιώθη δὲ ἐν πνεύματι· οὐ γὰρ ἐποίησεν ἁμαρτίαν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός. ὤφθη δὲ καὶ ἀγγέλοις, οἳ
Lc. 2, 14 τὴν ἀνθρωπίνην αὐτοῦ γέννησιν οὐκ ἠγνοηκότες ἔφασκον· δόξα ἐν ὑψίστοις θεῶι καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. ἐκηρύχθη δὲ καὶ ἐν ἔθνεσιν καὶ ὅτι κατὰ ἀλήθειαν ἐστὶν υἱὸς τοῦ θεοῦ καὶ πατρὸς καὶ ἐν σαρκὶ πεφηνώς, παρὰ τοῖς ἐν κόσμωι πιστεύεται.

27 Καὶ ἐμαρτύρησεν Ἰωάννης λέγων ὅτι τεθέαμαι τὸ πνεῦμα καταβαῖνον
Ioh. 1, 32-34 ὡσεὶ περιστερὰν ἐξ οὐρανοῦ καὶ ἔμεινεν ἐπ' αὐτόν. κἀγὼ οὐκ ἤιδειν αὐτόν, ἀλλ' ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι αὐτός μοι εἶπεν· ἐφ' ὃν ἂν ἴδηις τὸ πνεῦμα καταβαῖνον καὶ μένον ἐπ' αὐτόν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν τῶι πνεύματι τῶι ἁγίωι. κἀγὼ ἑώρακα καὶ μεμαρτύρηκα ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ θεοῦ. Ἕνα λέγοντες τὸν Ἐμμανουὴλ καὶ τῶν εἰς δύο Χριστοὺς ἀποδιοριζόν-
των οὐκ ἀνεχόμενοι, τί δὴ ἄρα φαμὲν καταπτάντος ἐπ' αὐτὸν ἐξ οὐρανοῦ τοῦ ἁγίου πνεύματος καὶ μείναντος ἐπ' αὐτόν; ἆρα δεδεῆσθαι τοῦ μεταλαχεῖν ἁγίου πνεύματος τὸν ἐκ θεοῦ πατρὸς λόγον ὑποτοπήσομεν; καίτοι πῶς οὐ πάναισχρον ἀληθῶς τὸ ὧδε φρονεῖν ἢ λέγειν; ἴδιον γὰρ αὐτοῦ τὸ πνεῦμά ἐστιν, καθάπερ ἀμέλει καὶ τοῦ πατρός. καὶ γοῦν ὁ
Gal. 4, 6 μακάριος ἔφη Παῦλος· ὅτι δὲ ἐστὲ υἱοί, ἐξαπέστειλεν ὁ θεὸς τὸ πνεῦμα τοῦ υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν κράζον· ἀββᾶ ὁ πατήρ. ἀσεβὲς οὖν ἄρα τὸ κἂν γοῦν ὑπονοῆσαι μόνον τῆς τοῦ πνεύματος μετουσίας δεδεῆσθαι καὶ αὐτὸν τὸν ἐκ
P 300 θεοῦ πατρὸς λόγον καὶ τὸ οὕτω σαφῆ τὴν ἀπόδειξιν ἔχον περιεργίας ἀξιοῦν εὐηθες κομιδῆι. πῶς οὖν ἐπ' αὐτὸν κατέπτη τὸ πνεῦμα; δέχεται γὰρ ἀνθρωπίνως, ἀκαταιτίατον αὐτῶι τὸ λαβεῖν ἀποφαινούσης εὖ μάλα τῆς μετὰ σαρκὸς οἰκονομίας, μᾶλλον δὲ καὶ ἀναγκαίως εἰς τοῦτο φερούσης. δέχεται γὰρ οὐχ ἑαυτῶι μᾶλλον, ἀλλ' ἡμῖν, ἵν' ἐπείπερ ἀπέπτη τῶν
Gen. 8, 21 ἐπὶ τῆς γῆς διὰ τὸ ἐπιμελῶς ἐγκεῖσθαι τὴν διάνοιαν τοῦ ἀνθρώπου ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος, καταφοιτῆσαν ἐπ' αὐτὸν ὡς ἐν ἀπαρχῆι τοῦ γένους δευτέραι καταλύσηι καὶ ἀναπαύσηται πάλιν ἐν ἡμῖν ὡς κατωρθωκόσιν ἤδη τὸ ἀναμάρτητον ἐν Χριστῶι καὶ τὴν αἰτίας
PG 1381 ἁπάσης ἀπηλλαγμένην ἔχουσι ζωήν. πλὴν εἰ καὶ ἀνθρωπίνως δέχεται δι' ἡμᾶς, ἀλλ' ὅρα
Ioh. 1, 33 διδόντα θεικῶς· ἐφ' ὃν γὰρ ἂν ἴδηις τὸ πνεῦμα καταβαῖνον, φησί, καὶ μένον ἐπ' αὐτόν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν τῶι πνεύματι τῶι ἁγίωι. τοῦτο δέ ἐστιν ἐνέργημα θεικόν· ἐνίησι γὰρ τοῖς βαπτιζομένοις ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὡς ἴδιον πνεῦμα τὸ τοῦ πατρός. καὶ πρός γε τοῦτο ἡμᾶς ἐμπεδοῖ γεγραφὼς ὁ θεσπέσιος
Rom. 8, 9 Παῦλος· ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί, ἀλλ' ἐν πνεύματι, εἴπερ πνεῦμα θεοῦ οἰκεῖ ἐν ὑμῖν. εἰ δέ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ.

VS, D [= mn], ARW

1 ἀνθρωπολατρείασ DR, corr. nR ἀνθρωπολάτραισ V ἀνθρωπολάτροισ W ἐνησχήμεθα R ἐνησκήμεθα S 3/4 τὸ τησ εὐσεβείασ ἐστὶ AW τῆσ εὐσεβείασ ἐστὶ SD τῆσ εὐσεβείασ ἐστὶ τὸ R τὸ τῆσ εὐσεβείασ V 4 ὁ om. SD δὲ καὶ VW 5 ὁ χσ̄ R 6 οὐκ om. V 7 καὶ[1] om. W 10 κβ̄ W 11 κἀγὼ] ἐγὼ δὲ V 12 ὕδασιν SD αὐτός] ἐκεῖνοσ SD 13 τῶι om. VW 14 τῶι om. W 15 λέγων SD 16 ἀνεχόμενοσ SD 18 ὑποτοπάσωμεν D οὐ πάναισχρον] οὐκ ἂν αἰσχρὸν V ὧδε] οὕτω W 20 ἔφη om. VSDW υἱοί οἱσ V 21 ἡμῶν A κράζων SR, corr. R 32 τὸ om. W 33 περιεργείασ R καὶ κομιδῆ VW, corr. W 26 ἀπέπτην D 28 ὡς] ὡσ ἂν in ras. W καὶ καταλύσει A 29 κατορθωκόσιν mRW κατωρθωκὼσ S 30 ἀπηλαγμένην R ἔχουσαν S 31 ἂν om. VSDW 32 τῶι[1] om. VSD δὲ VSDW γὰρ AR 33 βαπτιζομένοις om. S ὁ χσ̄ AR 34 ἐγγράφωσ A θεσπέσιοσ VSDW μακάριοσ AR 36 ἐνοικεῖ VA Χριστοῦ] θῦ Sm

Μεμαρτύρηκεν οὖν Ἰωάννης ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ θεοῦ, ἀναπυθέσθαι δὲ πάλιν ἐθέλοιμ' ἂν τῶν εἰς δύο διοριζόντων υἱοὺς τὸν ἕνα κύριον Ἰησοῦν Χριστόν· ἕνα δέδειχεν ὁ πατὴρ καὶ περὶ ἑνός φησιν ὁ μακάριος εὐαγγελιστής οὗτός ἐστιν ὁ υἱὸς τοῦ θεοῦ· Ioh. 1, 34 ἆρ' οὖν εἰπέ μοι περὶ τίνος ἔσται τὸ εἰρημένον; εἰ μὲν οὖν ἰδικῶς καὶ κατὰ μόνας τοῦ μονογενοῦς, τουτέστιν τοῦ ἐκ πατρὸς ὄντος λόγου, πῶς τὸ πνεῦμα δέχεται, καίτοι θεὸς ὢν φύσει καὶ ἴδιον ἔχων αὐτό; εἰ δὲ ἀνὰ μέρος καὶ ἰδικῶς ἢ γοῦν κατὰ μόνας τὸν ἐκ γυναι- P 301 κὸς ἄνθρωπον δεδεῆσθαί φασι τῆς τοῦ πνεύματος μετοχῆς, πῶς αὐτός ἐστιν ὁ βαπτίζων ἐν αὐτῶι, καίτοι μόνηι πρέποντος τῆι ἀνωτάτω φύσει τοῦ καὶ ἀποφαίνειν δύνασθαι μετεσχηκότας τοῦ πνεύματος τοὺς προσιόντας αὐτῆι; εἰ δὲ δέχεται καὶ δίδωσιν ὁ αὐτός, πρόδηλον ὅτι κατά γε τοὺς τῆς μετὰ σαρκὸς οἰκονομίας λόγους καὶ καθὸ φύσει καὶ ἀληθῶς ἐστι θεός, δέχεται μὲν ἀνθρωπίνως οὐχ ἑαυτῶι μᾶλλον, ἀλλὰ τῆι τῶν ἀνθρώπων φύσει δι' ἑαυτοῦ καὶ ἐν ἑαυτῶι πρώτωι προξενῶν αὐτό, δίδωσι δὲ θεικῶς ἐξ ἰδίας αὐτοῦ φύσεως τοῖς ἀξίοις τοῦ λαβεῖν ἐνιείς. ἦν μὲν οὖν τῶι προκειμένωι ῥητῶι προσεοικότα τε καὶ τὸν ἴσον ἔχοντα νοῦν παραθεῖναι καὶ ἕτερα, τὸ δέ γε ταυτοεπεῖν φορτικὸν εἰδότες ἐκεῖνο φαμὲν ὡς ἀπόχρη τοῖς νουνεχεστέροις ἡ ἑνὸς ἐξήγησις εἰς τὴν τῶν ὁμοίως ἐχόντων ἀκριβῆ διασάφησιν. οὐκοῦν ὁσάκις ἂν λέγοιτο Χριστὸς ἁγιάζεσθαι τυχὸν ἢ γοῦν τὸ πνεῦμα λαβεῖν, κατὰ τοῦτον αὐτὸν τὸν τρόπον προσήκει νοεῖν. εὐσεβεῖν γὰρ ἄμεινον περιτρέποντας εὐφυῶς εἰς τὸ ἀμωμήτως ἔχον τῶν ἱερῶν γραμμάτων τὸν νοῦν ἢ γοῦν ἰέναι κατὰ πετρῶν ἀνοσίως ἐπιτειχίζοντας τῆι δόξηι Χριστοῦ τὰ ὀρθῶς εἰρημένα.

28 Ἰησοῦς δὲ πλήρης πνεύματος ἁγίου ὑπέστρεψεν ἀπὸ τοῦ Ἰορδάνου καὶ ἤγετο ἐν τῶι πνεύματι εἰς τὴν ἔρημον τεσσαράκοντα ἡμέρας, πειραζόμενος ὑπὸ τοῦ διαβόλου. καὶ οὐκ ἔφαγεν οὐδὲν ἐν ταῖς ἡμέραις ἐκείναις καὶ συντελεσθεισῶν αὐτῶν ἐπείνασεν. Ἔδει δὴ πάλιν ὑπὲρ ἡμῶν ἀνταναστῆναί τε, μόνον δὲ οὐχὶ καὶ ἀποδύσασθαι τῶι πάλαι νικήσαντι σατανᾶι τὸν διὰ τοῦτο P 302 καθιγμένον εἰς ἑκούσιον κένωσιν, ἵνα ἡμᾶς ἀποφήνηι μετεσχηκότας τοῦ ἰδίου πληρώματος PG 1384 καὶ ἀσθενήσαντας ἐν Ἀδὰμ εὑρωστίαν ἔχοντας ἀποδείξηι πνευματικήν· πέπαυται γὰρ ἐν Χριστῶι τὰ ἐν τῶι πρωτοπλάστωι τῆι ἀνθρώπου φύσει συμβεβηκότα σωματικά τε καὶ ψυχικὰ τῶν ἁρπαστημάτων. ὥσπερ γὰρ διὰ τῆς ὑπακοῆς αὐτοῦ δίκαιοι κατέστημεν οἱ Rom. 5, 19 πολλοί, καίτοι πεπονθότες διὰ τῆς ἐκείνου παρακοῆς τὴν κατάκρισιν, οὕτω δὴ πάλιν διὰ τῆς ἐν Χριστῶι νοουμένης εὐσθενείας, δῆλον δὲ ὅτι πνευματικῆς, τὰ ἐπὶ ταῖς πρώταις ἀσθενείαις διεκρουσάμεθα βλάβη καὶ οἱ πεπτωκότες ἐν Ἀδὰμ νενικήκαμεν ἐν Χριστῶι. ἀντιτάττεται τοίνυν ὑπὲρ ἡμῶν ὡς ἄνθρωπος καὶ νικᾶι θεικῶς, καὶ πειράζεται μὲν ὡς ἑνὶ τῶν καθ' ἡμᾶς ἐπιπηδῶντος τοῦ σατανᾶ καὶ οἰηθέντος ὅτι τὸ ἀκρατὲς τῆς σαρκὸς συνεκπολεμήσειεν ἂν αὐτῶι τὸν πειραζόμενον, ἀναχωρεῖ δὲ κατισχυμμένος, καινοτομούσης αὐτὸν τῆς ἀνθρώπου φύσεως ἐν Χριστῶι καὶ νενεκρωμένον ἐχούσης τῆς ἁμαρτίας τὸν νόμον τὸν ἐν τοῖς μέλεσι τῆς σαρκὸς ἀγριαίνοντα· κατήργηται γὰρ ἐν Χριστῶι. νηστεύσας γε μὴν

VS, D [= mn], ARW

2 εἰ θέλοιμ' D ἐθέλοιεν R διοριζομένων SD 5 τοῦ πρσ̄ A 6 ἔχον S 10 κατά γε om. AR τῆς om. V 11 τῶν om. W ἀνθρώπων ex ἀνθρώπου corr. W 12 ἑαυτῶι] αὐτῷ W 13 ἐνιείς om. SD ἐνῆν SD τὸν om. A 14 ταυτὸ εἰπεῖν S αὐτὸ εἰπεῖν R φαμέν] μέν SD 15 νουνεχέστερον V τοῦ ἑνὸς SD 17 νοεῖν προσήκει SD ἀσεβεῖν D γὰρ om. A 18 εὐφυῶς] εὐσεβῶς V ἰέναι] ἕνα R 19 ἐπιτυχόνταϲ SD τῆ δόξη VSDW ἐπὶ AR 20 κϛ̄ W 21 εἰϲ τὴν ἔρημον V ἐν τῆ ἐρήμω SDARW μ̄ V 22 οὐδὲ S, corr. S 23 δὴ SDR δὲ VAW 23/24 ἀντιστῆναί VW 24 μονονουχὶ δὲ VA μονονουχί in ras. W καὶ ἀποδύσασθαι SD καταποδύσασθαι R καὶ ἀνταποδύσασθαι VAW 25 καθειγμένον V καθηγμένον S ἑκουσίαν Sm 27 τοῦ ἀνθρώπου A ἀνθρώπων VSDW 28 ἁρπαστημάτων ἐνεργήματα VW κατεστάθημεν A κατεστάθησαν R 30/31 τάϲ — βλάβαϲ SD 33 οἰηθέντεϲ V 34 ἂν om. VSD, corr. V πειραζόμενον AR ἐκπειραζόμενον VSW ἐπηρεαζόμενον D κατηϲχυμένοϲ AW

ἀποχρώντως καὶ δυνάμει θεοπρεπεῖ ποτοῦ καὶ σιτίων δίχα τὴν σάρκα τηρήσας ἀδιάφθορον ἐφίησι μόλις τὰ οἰκεῖα παθεῖν αὐτῇ. πεινῆσαι γὰρ λέγεται, καὶ διὰ ποίαν αἰτίαν; ἵνα δι' ἀμφοῖν εὐτεχνῶς θεός τε ὁμοῦ καὶ ἄνθρωπος ὑπάρχων ἐπιγινώσκηται, εἴς καὶ ὁ αὐτὸς δηλονότι καὶ θεικῶς ὑπὲρ ἡμᾶς καὶ καθ' ἡμᾶς ἀνθρωπίνως. ἄγεσθαι δὲ λέγεται τῇ δυνάμει τοῦ πνεύματος εἰς τὴν ἔρημον, τοῦ ἄγεσθαι δηλοῦντος οὐ τὸ ἀποφέρεσθαι μᾶλλον, ἀλλὰ τὸ διάγειν ἤτοι διατελεῖν, καθάπερ ἀμέλει καὶ ἐφ' ἡμῶν εἴρηται πλειστάκις· ὁ δεῖνα
P 303 τυχὸν ἑαυτὸν ὀρθῶς ἄγει, τουτέστιν ἀμέμπτως ζῇι καὶ πολιτεύεται. ἀνεστρέφετο τοίνυν εἰς τὴν ἔρημον ἢ γοῦν ἐποιεῖτο τὰς διατριβάς, οὐ σωματικῶς· ποτοῦ γὰρ δίχα καὶ τῆς τοῖς σώμασιν ἀναγκαίας τροφῆς ὡς ἐν δυνάμει πνεύματος ὑπὲρ φύσιν τὴν καθ' ἡμᾶς διεκαρτέρει πρὸς τὴν νηστείαν. πλὴν ἐκεῖνο ἄθρει· ἐπωφελεστάτη γὰρ λίαν τῆς ἐννοίας ἡ δύναμις· οὐ πρὸ τοῦ ἁγίου βαπτίσματος ἐπειράζετο, ἀλλ' οὐδὲ ἤγετο τῶι πνεύματι εἰς τὴν ἔρημον, τύπον ἡμῖν τὸ χρῆμα τιθείς· ἀμήχανον γὰρ τοὺς οὔπω βεβαπτισμένους ἢ τοῦ πειράζοντος σατανᾶ δύσοιστον οὖσαν τὴν προσβολὴν ὑπενεγκεῖν δύνασθαι νεανικῶς ἢ γοῦν ἄγεσθαι πνευματικῶς, καιρὸς δὲ ὁ πρέπων τοῖς οὕτω λαμπροῖς καὶ ἀξιαγάστοις κατορθώμασιν ὁ μετὰ τὸ ἅγιον βάπτισμα. κραταιωθέντες γὰρ οὕτως τῇι τοῦ ἁγίου πνεύματος μετοχῇι καὶ τῇι ἄνωθεν χάριτι κατεσφραγισμένοι, πρὸς εὐρωστίαν δὲ δηλονότι τὴν πνευματικήν, ἀνάλωτοί τε ἐσόμεθα τῶι σατανᾶι καὶ ὡς ἐν δυνάμει πνεύματος διαζήσομεν, ἔρημον ὥσπερ τινὰ καταλαμβάνοντες χῶρον τὸ ἔξω τύρβης γενέσθαι κοσμικῆς. σμικρὸν μὲν οὖν κομιδῇ τῶι πάντα ἰσχύοντι λόγωι τὸ νικῆσαι τὸν σατανᾶν, μέγα δὲ πάλιν ἡμῖν τὸ καὶ τούτου τυχεῖν διὰ τῆς ἐνανθρωπήσεως αὐτοῦ, καθὰ καὶ τὸ ἀνακαινισθῆναι πρὸς ἀφθαρσίαν. ὥσπερ γὰρ διὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως αὐτοῦ κρείττους ἡμεῖς γεγόναμεν τῆς φθορᾶς, οὕτω διὰ τῆς ἐν τῶι πειράζεσθαι νίκης πάλιν ἡμεῖς κεκρατήκαμεν.

PG 1385 29 Ἔχοντες οὖν ἀρχιερέα μέγαν διεληλυθότα τοὺς οὐρανούς, Ἰησοῦν
Hebr. 4, 14. 15 τὸν υἱὸν τοῦ θεοῦ, κρατῶμεν τῆς ὁμολογίας. οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν, πεπειραμένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας. Ἡ τῆς ὀρθῆς πίστεως ὁμολογία πράττεται
P 304 πρὸς ἡμῶν εἰς ἕνα θεὸν πατέρα παντοκράτορα καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν αὐτοῦ καὶ εἰς ἓν ἅγιον πνεῦμα. ταύτης ἡμᾶς τῆς ὁμολογίας ἐξέχεσθαι δεῖν ὁ θεσπέσιος γράφει Παῦλος. ἐπειδὴ δέ ἐστιν εἷς υἱὸς ὁμολογουμένως τοῦ θεοῦ καὶ πατρός, δῆλον δὲ ὅτι Χριστὸς Ἰησοῦς ὁ συμπαθῆσαι δυνάμενος ταῖς ἀσθενείαις ἡμῶν καὶ κατὰ πάντα πεπειραμένος καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας, τίς ἂν εἴη λοιπὸν ὁ μέγας ἡμῶν ἀρχιερεύς; ἆρ' οὐχὶ γεγονὼς καθ' ἡμᾶς ὁ λόγος καὶ σαρκὶ παθὼν ὑπὲρ ἡμῶν; τότε γὰρ ἡμῶν κεχρημάτικεν ἀρχιερεύς, οὐχ ὡς ὀθνεῖον προσάγων τὸ θύμα κατά γε τὸ εἰωθὸς τοῖς ἄλλοις, ἀλλ' ὧν αὐτὸς ὁ ἀμνός, ἡ εὐοσμοτάτη θυσία, τὸ νοητὸν ὁλοκαύτωμα, ἡ λαλιστάτη
2 Cor. 2, 15 τρυγών, ἡ ἀκέραιος περιστερά, ὁ ἄρτος ὁ ζῶν, τὸ χρυσοῦν θυμιατήριον. Χριστοῦ γὰρ ἐσμὲν εὐωδία τῶι θεῶι, κατὰ τὸ γεγραμμένον. ἄθρει δέ μοι τῶν ἀποστολικῶν ἐννοιῶν τὸ βάθος. οὐκ ἔχομεν, φησίν, ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν, πεπειραμένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα χωρὶς

VS, D [= mn], ARW

1 σίτου SD 2 ἀφίησι SD 3 τε ὁμοῦ] ὁμοῦ τὲ W 6 ἀφ' SD, corr. S πολλάκις SD 7 τυχεῖν SD ὀρθῶσ ἑαυτόν W λέγει SD ἀνετρέφετο S 8 διατροφὰσ S 9 ἀναγκαίου R ὡς om. VSDW 10 λίαν om. VSDW 12 θεῖσ SD οὕπω] οὕτω in μὴ οὕτω corr. A βαπτιζομένουσ A ἢ om. VW 14 καὶ ἀξιαγάστοις om. SD 15 κραταιωθήσονται SD οὕτωσ ἐν SD 16 εὐρρωστίαν A δὲ om. A 17 τε om. W 18 τὸ] τῶ W μικρὸν SD 19 πάντων S 20 καὶ[1]] κατὰ SD 22 πειράζοντι D 23 κὸ W 25 ταῖσ ἀσθενείαισ VAR τὰσ ἁμαρτίασ SD κατὰ om. W in fine paginae 27 Χριστὸν om. D 28 τοῦ αὐτοῦ V 29 ὁμολογουμένωσ εἶσ υἱόσ V 31 εἴη om. W 32/33 ἆρ' — ἀρχιερεύς om. S ἀλλ' D 32 οὐχὶ AR οὐχ ὁ VW ὁ λόγοσ AR ὄντωσ VW 33 ὀθνεῖον] ἀλλογενὲσ καὶ ξένον ὀθνεῖόν τε VW τὸ om. V 34 ὁ αὐτὸσ ὁ SD 38 καθ' ὁμοιότητα om. W

ἁμαρτίας. εἰ γὰρ καὶ μήπω γέγονεν ἄνθρωπος, φησίν, ὁ τοῦ θεοῦ λόγος, ἤιδει μὲν ἤιδει καὶ οὕτω τὴν ἀνθρωπίνην ἀσθένειαν ὡς δημιουργός (αὐτὸς γὰρ ἔγνω τὸ πλάσμα Ps. 102, 14
ἡμῶν κατὰ τὸ γεγραμμένον), ἀλλ' εἴπερ τι τῶν ἀνθρωπίνων καὶ ἐπ' αὐτοῦ φάναι θέμις, οὕπω καὶ εἰς αὐτὴν κέκλητο πεῖραν τῶν ἡμετέρων ἀσθενειῶν. ἐπειδὴ δὲ τὴν ἡμῶν ἡμπέσχετο σάρκα, πεπείραται κατὰ πάντα, καὶ οὐ δήπου φαμὲν ὡς ἠγνοηκώς, ἀλλ' ὅτι τῇι γνώσει τῇι θεοπρεπεῖ προυποκειμένηι καὶ τὸ διὰ πείρας αὐτῆς συνέβη μαθεῖν. γέγονε δὲ συμπαθὴς οὐκ ἀπό γε τοῦ πεπειρᾶσθαι, πόθεν; ἦν γὰρ ἐλεήμων φύσει καὶ ἔστιν ὡς P 305
θεός· ἐπειδὴ δὲ μετὰ τοῦ εἶναι ὅ ἐστι, καὶ γέγονε καθ' ἡμᾶς, ἀνθρωποπρεπῶς καὶ ταῦτα λέγεται περὶ αὐτοῦ. διαβῆναι δέ φησι τοὺς οὐρανοὺς αὐτὸν σωματικῶς τε ἅμα καὶ
θεοπρεπῶς. ἀνέβη μὲν γάρ, ὡς αὐτός πού φησιν ὁ σοφώτατος Παῦλος, νῦν ἐμφα- Hebr. 9, 24
νισθῆναι τῶι προσώπωι τοῦ θεοῦ ὑπὲρ ἡμῶν, δίεισί γε μὴν καὶ καθ' ἕτερον τρόπον τοὺς οὐρανούς, ἠττωμένων δηλονότι καὶ κατόπιν ἰόντων τῆς δόξης τῶν μακαρίων ἀγγέλων. ἔστι γὰρ ἔστιν ὡς θεὸς ὑπεράνω πάσης ἀρχῆς ἐξουσίας τε καὶ Eph. 1, 21
κυριότητος καὶ παντὸς ὀνόματος ὀνομαζομένου εἴτε ἐν τῶι αἰῶνι τούτωι εἴτε ἐν τῶι μέλλοντι. συνεδρεύει γὰρ ὡς υἱὸς τῶι ἰδίωι πατρί, καὶ εἰ γέγονε καθ'
ἡμᾶς οἰκονομικῶς.

80 Καὶ οὐχ ἑαυτῶι τις λαμβάνει τὴν τιμήν, ἀλλὰ καλούμενος ὑπὸ τοῦ PG 1388
θεοῦ, ὥσπερ καὶ Ἀαρών. οὕτω καὶ ὁ Χριστὸς οὐχ ἑαυτὸν ἐδόξασεν Hebr. 5, 4. 5
γενηθῆναι ἀρχιερέα, ἀλλ' ὁ λαλήσας πρὸς αὐτόν· υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε. Ὁ καθεὶς ἑαυτὸν εἰς κένωσιν περιμένει κλῆσιν τὴν ἐκ
πατρὸς ἀποφέρουσαν εἰς ἱερωσύνην τὴν ὅτι μάλιστα συνήθη τε καὶ πρεπωδεστάτην οὐ τῇι αὐτοῦ φύσει μᾶλλον, ἀλλὰ τῇι καθ' ἡμᾶς, τουτέστι τῇι ἀνθρωπίνηι, ἧς ἐπείπερ εἴσω γέγονεν, ὑπομένει τὰ αὐτῆς, ἀδικούμενος ἐντεῦθεν τὸ σύμπαν οὐδέν, εὐτεχνῶς δὲ μᾶλλον τῇι μετὰ σαρκὸς οἰκονομίαι χρώμενος. ὥσπερ γὰρ καίτοι τῇι φύσει κύριος ὢν μεμένηκεν ὅπερ ἦν,
κἂν εἰ γέγονεν ἐν τῇι τοῦ δούλου μορφῇι, οὕτω φαμὲν ὅτι καίτοι μυρίους ἔχων ἐν οὐρανῶι P 306
τοὺς ἱερουργοῦντας αὐτῶι, τὰς νοητὰς δηλονότι καὶ ἀναιμάκτους θυσίας, ὕμνους καὶ δοξολογίας, καὶ τὴν καθ' ἡμᾶς ἱερωσύνην ποιεῖται δεκτήν, ἀποσώιζων πανταχοῦ τοῖς τῆς ἀνθρωπότητος μέτροις τὰ πρέποντά τε καὶ ἐοικότα αὐτῇι. κέκληται τοίνυν καθὰ καὶ Ἀαρών, πλὴν οὐκ ἐν ἴσωι τρόπωι. ὁ μὲν γὰρ ἐχρίετο πρὸς ἱερουργίαν καὶ ἦν οἰκέτης, ὁ δὲ ὡς υἱὸς καλεῖται καὶ κατὰ τὴν τάξιν Μελχισεδὲκ ἱερουργεῖ τῶι πατρί. καὶ τόν γε τῆς Hebr. 5, 6
ἱερουργίας ἐξηγεῖται τρόπον ὁ θεσπέσιος Παῦλος, ὠδὶ γεγραφὼς περὶ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ· ὃς οὐ κατὰ νόμον ἐντολῆς σαρκίνης γέγονεν, ἀλλὰ κατὰ Hebr. 7, 16
δύναμιν ζωῆς ἀκαταλύτου. οὐκοῦν ἀσυγκρίτως ἀμείνων τῆς ἱερουργίας ὁ τρόπος, καὶ ὁ μέν, ὡς ἔφην, οἰκέτης ἦν, καίτοι κεκλημένος εἰς ἱερωσύνην, ὁ δὲ καὶ οὕτως υἱὸς τοῦ θεοῦ καὶ πατρός, ὡς μὲν φύσει θεὸς καὶ λόγος κατὰ τὴν προαιώνιον γέννησιν, ὡς δὲ ἄνθρωπος καθ' ἡμᾶς κατὰ τὴν νεωτάτην καὶ ἔνσαρκον, ἧς ἂν εἴη δεικτικὸν καὶ τὸ σήμερον· καιρὸν γὰρ ἡμῖν σημαίνει τὸν ἐνεστηκότα. οἰκειοῦται δὴ οὖν καὶ τὴν σαρκικὴν

VS, D [= mn], ARW

1 γὰρ καὶ μήπω Pusey γὰρ καὶ μὴ AR γὰρ μήπω VW μὴ γὰρ SD 4 οὕπω VSAW οὕτω DR ἐκέκλητο VRW ἐκέκλιτο AW^{corr} 5 ἡμπίσχετο V 6 θεικῆ VW αὐτοῖς S 8 καὶ γέγονε] γέγονε καὶ V ἡμᾶς καὶ SD ἀνικῶς W 11 δίησί γε W διῆγε SD καθ' ἕτερον] θάτερον SD 12 δόξης αὐτοῦ SD 13 ἐξουσίαις R καὶ ἐξουσίας V 17 κε̄ W ἀλλὰ AR ἀλλ' ὁ VSDW 19 γεννηθῆναι S^{corr}mAW ἀρχιερεὺς V 20 γεγένηκά S 21 φέρουσαν SD ὅτι δὴ VSDW 22 εἴσω AR ἴσος VSDW 24 τὴν φύσιν V 25 κἂν] καὶ V καίτοι] καὶ W 28 κέκτηται SD 30 καὶ[1] om. SD τὴν om. SD τόν om. SD 30/31 ταῖς ἱερουργίαις SD 31 ὧδε A τοῦ τῶν SD 32 σαρκικῆς SD 33 ὁ τῆς ἱερουργίας VW 35 καὶ[2] om. V 36 δεικτικὸν SW δεκτικὸν VDAR 37 ἐνεστῶτα A

αὐτοῦ γέννησιν ὁ πατήρ· οἶδεν γὰρ οἶδεν ἴδιον ὄντα τὸν υἱὸν τὸν ἐξ αὐτοῦ θεικῶς καὶ ἐκ γυναικὸς ἀνθρωπίνως.

81 Hebr. 5,7-10 Ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ δεήσεις τε καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον σώιζειν αὐτὸν ἐκ θανάτου μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσενέγκας καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας, καίπερ ὢν υἱός, ἔμαθεν ἀφ' ὧν ἔπαθεν, τὴν ὑπακοὴν καὶ τελειωθεὶς ἐγένετο πᾶσι τοῖς PG 1389 ὑπακούουσιν αὐτῷ αἴτιος σωτηρίας αἰωνίου, προσαγορευθεὶς ὑπὸ τοῦ θεοῦ ἀρχιερεὺς κατὰ τὴν τάξιν Μελχισεδέκ. Ὁ πάνσοφος Παῦλος ἐπιστέλλει P 307 καί φησιν τοῖς ἐν πίστει δεδικαιωμένοις μιμηταί μου γίνεσθε καθὼς κἀγὼ Χρι- 1 Cor. 11, 1 στοῦ, καὶ μὴν καὶ ὁ θεσπέσιος Πέτρος ποῖον γὰρ κλέος, φησίν, εἰ ἁμαρτάνοντες 1Petr.2,20.21 καὶ κολαφιζόμενοι ὑπομενεῖτε; ἀλλ' εἰ ἀγαθοποιοῦντες καὶ πάσχοντες ὑπομενεῖτε, τοῦτο χάρις παρὰ θεῷι, ὅτι καὶ Χριστὸς ἀπέθανεν ὑπὲρ ὑμῶν, ὑμῖν ὑπολιμπάνων ὑπογραμμὸν ἵνα ἐπακολουθήσητε τοῖς ἴχνεσιν αὐτοῦ. γέγονεν οὖν ἄρα σκοπὸς τῶι μονογενεῖ τὴν πρὸς ἡμᾶς ὁμοίωσιν ἔχοντι παθεῖν ἀνθρωπίνως καὶ διδάξαι τοὺς αὐτῶι γνωρίμους τίνα δὴ τρόπον ταῖς τῶν πειρασμῶν ἐφόδοις προσέρχεσθαι χρὴ καὶ ὁποίους εἶναι προσήκει τοὺς διωκομένους τῆς εἰς θεὸν εὐσεβείας ἕνεκα καὶ κινδύνοις ἐμβεβηκότας τοῖς περὶ ψυχῆς καὶ αἵματος, καὶ πρὸς ἔτι τούτωι καταδεῖξαι τῆς ὑπακοῆς εὐκλεὲς τὸ τέλος, ἵνα καὶ ἡμεῖς ἄριστοί τε καὶ σοφοὶ τῶν αὐτῶι πεπραγμένων οἰκονομικῶς εὑρισκώμεθα μιμηταὶ τοῖς τε ἴχνεσιν αὐτοῦ κατακολουθεῖν σπουδάζοντες τὸν εὐδόκιμον ἀληθῶς διαζήσωμεν βίον. ὅτι τοίνυν ἄθραυστον ἔχειν προσήκει τὸ φρόνημα τοὺς οἷσπερ ἂν ὅλως προκέοιτο παθεῖν ὑπέρ γε τῆς εἰς αὐτὸν ἀγάπης καὶ τὸν ὑπὲρ τῆς εὐσεβείας κίνδυνον ἡγεῖσθαι ζωήν, ἐξ ὧν ὑπέμεινεν αὐτὸς πέπραχέ τε δι' ἡμᾶς ἀνθρωπίνως, διδάσκειν βούλεται· πλὴν οὐκ ἐφίησι τοὺς ἀνδριζομένους εἰκῆι παραρριπτεῖν τὰς ἑαυτῶν ψυχὰς οὐδὲ οἷον μεθέντας ἀτημελῶς τὸ πρακτέον καὶ τὰ δι' ὧν ἦν εἰκὸς σώιζεσθαι παρ' ἐλπίδα, μόνον ἐκδέχεσθαι τὸ τοῖς ἐθελοκακοῦσι δοκοῦν, ἀναπείθων δὲ μᾶλλον συντείνεσθαι πρὸς εὐχὰς καὶ ἀκατάληκτον ποιεῖσθαι τὴν πρὸς θεὸν ἱκετείαν. ταῦτα διδάσκει δεήσεις P 308 τε καὶ ἱκετηρίας ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ προσαγηοχὼς πρὸς τὸν δυνάμενον σώιζειν αὐτὸν ἐκ θανάτου. ὅρα δὲ ὅπως ἁγιοπρεποῦς ἐπιεικείας τὸ χρῆμα μεμέστωται. τὸ μὲν γὰρ καταθρασύνεσθαι τῶν πειρασμῶν ἀνδρίας μὲν ἔχει δόξαν, δοκεῖ δέ πως ὑπεροψίας οὐκ εἰς ἅπαν ἠμοιρηκέναι· τό γε μὴν δεδιέναι μὲν καὶ ὑποστέλλεσθαι δοκεῖν καὶ δεῖσθαι θεοῦ τοῦ σώιζειν ἰσχύοντος εὐλαβείας ὑπόληψιν ἔχει. ἐπεὶ διὰ ποίαν αἰτίαν τοῖς Mt. 10, 23 ἁγίοις προστέταχε μαθηταῖς· ὅταν δὲ διώκωσιν ὑμᾶς ἐν τῆι πόλει ταύτηι, φεύ- Rom. 8, 35 γετε εἰς ἑτέραν; πῶς δὲ καὶ αὐτὸς ὁ πάνσοφος Παῦλος, καίτοι λέγων ἐναργῶς τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις ἢ στενοχωρία ἢ διω- 2Cor.11,32.33 γμὸς ἢ λιμὸς ἢ γυμνότης ἢ κίνδυνος ἢ μάχαιρα; τὸν τῆς Δαμασκοῦ διαδιδράσκων ἡγούμενον διὰ τῆς θυρίδος ἐχαλᾶτο διὰ τοῦ τείχους; ἔδει τοίνυν παντὸς ἀγαθοῦ καθηγητὴν καὶ διδάσκαλον αὐτὸν ἡμῖν ἀναφανεῖσθαι τὸν Χριστόν. προσήιει μὲν γὰρ μετὰ κραυγῆς

VS, D [= mn], ARW

1 τὸν[1] om. VRW ἑαυτοῦ SD 3 κς̄ W 7 αὐτὸν W αἴτιος] πρόξενος W 9 τοὺς — δεδικαιωμένους V 10 καὶ[2] om. R 10/11 ἁμαρτάνοντα καὶ κολαφιζόμενον S 11 ὑπομένετε A 12 ὑπομένετε A καὶ om. VSDW ἡμῶν VSDW 13 ἡμῖν D 14 οὖν om. VSDW 15 διδάξαι μὲν VSDW αὐτῶι] οὕτω AR 17 ἐμβεβηκότας VARW ἐκδεδωκότας [ἐκδεδωκότες S] ἑαυτοὺς SD αἵματος] σώματος VW 18 τὸ om. SD 19 τοῖς τε VSDW τοῖς R καὶ τοῖς A 20 διαζήσομεν SA διαζήσοιμεν VW 21 τοῖς SD οἷς VW 23 ἀφίησι VSDW παραρριπεῖν D 24 ἦν om. AR 25 δοκεῖν SD ἀναπείθει SDRW, corr. R 26 θεόν] αὐτόν SD ἱκεσίαν SD 28 ἐκ θανάτου αὐτόν W τοῦ θανάτου SD ἀλλοπρεποῦς D 29 ἀνδρείας VSDRW 31 ἔχειν S 32 ἡμᾶς D 33 τὴν ἑτέραν VW λέγων ἡμῖν VW 34 τοῦ θῦ R χῦ A 37 ἀναφαίνεσθαι AR προσείη W

ἰσχυρᾶς καὶ ἱκετηρίας, ὡς καθ' ἡμᾶς γεγονώς, εἰσηκούσθη δὲ ὡς φύσει τε καὶ ἀληθῶς υἱὸς PG 1392
οὐ παρακουόμενος. ἐγὼ γὰρ ἤιδειν, φησίν, ὅτι πάντοτέ μου ἀκούεις. ἵνα γὰρ Ioh. 11, 42
καὶ τὰς ἡμῶν προσευχὰς δεκτὰς γενέσθαι παρασκευάσῃ, πάλιν αὐτὸς ἀπάρχεται τοῦ
πράγματος, μόνον οὐχὶ κατευρύνων τῇι ἀνθρώπου φύσει τὴν τοῦ πατρὸς ἀκοὴν καὶ οἷον
ἑτοιμοτάτην παρατιθεὶς ταῖς τῶν δι' αὐτὸν κινδυνευόντων εὐχαῖς. οὐκοῦν ἡμεῖς ἥμεν ἐν 5
αὐτῶι καθάπερ ἐν ἀπαρχῆι δευτέραι τοῦ γένους οἱ μετὰ κραυγῆς ἰσχυρᾶς καὶ οὐκ ἀδακρυτὶ
προσευχόμενοι καὶ τὸ τοῦ θανάτου κράτος καταργηθῆναι παρακαλοῦντες, ἰσχύσαι δὲ τὴν
ζωὴν τὴν καὶ πάλαι τῇι φύσει δεδωρημένην.

Ὅτι δὲ τὸ ὑπακοῦσαι θεῶι λαμπρὸν καὶ ἀπόβλεπτον ἔχει τὸ πέρας, ὡς ἐν αὐτῶι δὴ P 309
πάλιν ὀψόμεθα. ἀφ' ὧν γὰρ ἔπαθε, φησίν, ἔμαθε τὴν ὑπακοήν. ὅμοιον γὰρ ὡς εἰ 10
λέγοι τυχόν· τεταπείνωκεν ἑαυτὸν γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου Phil. 2, 8
δὲ σταυροῦ. ἀλλ' οὐ μεμένηκε ταπεινός· ὑπερυψώθη γὰρ τὸ ὄνομα λαβὼν τὸ ὑπὲρ Phil. 2, 9
πᾶν ὄνομα. καὶ ἀνθρώπινον μὲν τοῦ λόγου τὸ σχῆμα, ἄριστός γε μὴν εἰς ἡμᾶς ὁ τοῦ
πράγματος τύπος, εὐκλεᾶ τε καὶ ἀξιάγαστον ἀποφαίνων τὴν ὑπακοὴν καὶ τοῦ παντὸς ἡμῖν
πρόξενον ἀγαθοῦ. τύπος οὖν ἄρα καὶ ὑπογραμμὸς εἰς ἡμᾶς τὸ μετὰ κραυγῆς ἰσχυρᾶς 15
καὶ δακρύων προσεύχεσθαι πειραζόμενον τὸν Ἐμμανουήλ, οὐ πρὸ τῆς ἐνανθρωπήσεως, ἀλλ'
ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ, ὅτε καὶ τοῦτο δρᾶν ἀνεγκλήτως ἐξῆν, οὐδὲν εἰς τὴν
τῆς θεότητος ἀδικούμενον δόξαν, ἐφιείσης δὲ μᾶλλον αὐτῶι τοῦτο δρᾶν τῆς μετὰ σαρκὸς
οἰκονομίας. ἐπεὶ τίνα τρόπον κατεπτοήθη θάνατον ἡ Ζωή; ὁ δὲ καὶ ἡμᾶς αὐτοὺς ἀπο-
φαίνων εὐτολμοτάτους καὶ λέγων μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτεννόντων τὸ σῶμα, 20 Mt. 10, 28
πῶς ἂν ἦλω παθὼν τὴν δειλίαν; ἢ πῶς ἂν ἠτόνησε τῆς ἰδίας σαρκὸς ἀποσοβῆσαι τὸν
θάνατον ὁ πάντων αὐτὸν ἀφιστάς, ὁ μιᾶι φωνῆι τοὺς ἐν τοῖς μνημείοις ἐγείρειν ὑπισχνού- Ioh. 5, 28
μενος καὶ οὐκ ἀνέφικτον αὐτῶι τὸ χρῆμα δεικνύων; προσεφώνει γὰρ Λαζάρωι μὲν δεῦρο Ioh 11, 43
ἔξω, τῶι δὲ τῆς χήρας υἱῶι νεανίσκε, σοὶ λέγω, ἐγέρθητι. Lc 7, 14

Εἰ δὲ δή τινες εἶεν οἱ τολμῶντες λέγειν ὡς ἐστιν ἄνθρωπος ἰδικῶς ὁ ἐκ τῆς ἁγίας 25
παρθένου δεήσεις τε καὶ ἱκετηρίας μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσενέγκας πρὸς
τὸν δυνάμενον σώιζειν αὐτὸν ἐκ θανάτου, μάλιστα μὲν τοῖς ἱεροῖς ἀπάιδοντα γράμμασιν
φρονεῖν ἡιρημένοι δικαίως ἀκούσονται λέγοντος περὶ αὐτῶν ἑνὸς τῶν ἁγίων ἀποστόλων·
οὗτοί εἰσιν οἱ ἀποδιορίζοντες, ψυχικοί, πνεῦμα μὴ ἔχοντες· εἶτα πρὸς τού- P 310
τωι φραζόντων ἐκεῖνο πότερόν ποτε ψιλὸν ἄνθρωπον εἶναί φασιν αὐτὸν ἢ γοῦν καθάπερ Iud 19
εἰπεῖν τεθαρρήκασιν, ἔχει τὴν ἰσότητα τῆς ἀξίας καὶ τῆς αὐθεντίας τῆς πρός γε φημὶ τὸν 31
ἐκ θεοῦ λόγον ὡς αὐτῶι συνημμένος; εἰ μὲν οὖν ἄνθρωπον εἶναί φασι καθ' ἡμᾶς ψιλόν, PG 1393
ἀνθρωπολατροῦσιν ὁμολογουμένως, προσκυνοῦντες αὐτῶι· γέγραπται γὰρ ὅτι κύριον τὸν Mt 4, 10
θεόν σου προσκυνήσεις καὶ αὐτῶι μόνωι λατρεύσεις· εἰ δὲ δὴ φαῖεν ὅτι
κέκληται πρὸς ἰσότητα τῆς ἀξίας ἢ γοῦν αὐθεντίας τῆς πρὸς θεὸν λόγον, εἶτα πρόσεισι 35
τῶι θεῶι καὶ πατρὶ μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δεδακρυμένος καὶ δεῖται τοῦ σώιζοντος,
οὐδὲν ἔτι τὸ κωλῦον καὶ αὐτοῦ τοῦ λόγου τὸ μέτρον τοσοῦτον ὑπάρχειν ὑπονοεῖν, ὅσονπερ

VS, D [= mn], ARW

1 δὲ] τέ VR, corr R τε om. V 2 φησιν ἤδειν VSDW 3 ἀπέρχεται S ἀπέχεται W 5 ἑτοιμότατα W ἐν om. AR 9 ὡσ καὶ R 10 γὰρ] δὲ D φησιν ἔπαθε VW ὅμοι S 11 λέγοιτο SD 12 λαβὼν τὸ ὄνομα VSDW 13 καὶ om VSDW ἄνον SD 14 ἡμῖν om D 17 τοῦτο] τοῦ A ἀνεγκλήτως] ἀνάγκη πῶσ R οὐδὲ A 18 θεότοσ R ἀφιείσησ V αὐτῶ AR αὐτὸ VSDW 20 εὐτολμωτάτουσ nR ἀποκτενόντων VSDAW 21 τῆ δουλεία SD 23 μὲν γὰρ λαζάρω μὲν V 24 τῶι] τὸ W 27 ἀνάδοντα S 28 περὶ αὐτῶν AR αὐτῶν SW αὐτοῖς VD 29/30 τοῦτο W 30 ποτε om. D εἶναι om VSD, corr V 31 τεθαρσήκασιν R ἔχειν VW 31. 35 postulatur τὴν πρός 32 ὡς αὐτῶι] ωσαὐτωσ SD συνημμένον VW φασι om V 33 ὅτι om. V 30 θεῶι καὶ om D δεδακρυμμένοσ R 37 ἔτι] ἐστι VW

ἂν εἶναι πιστεύοιτο καὶ τὸ τοῦ πρὸς αὐτὸν ἔχοντος τὴν ἰσότητα τῆς ἀξίας ἢ γοῦν αὐθεντίας. οὐκοῦν πρέποι ἂν καὶ αὐτῷι τὸ δεδιέναι θάνατον, τὸ κίνδυνον ὑφορᾶσθαι, τὸ κλαίειν ἐν πειρασμοῖς, καθεστάναι δὲ καὶ ἐν ἐνδείαι τῆς παρ' ἑτέρου χειρός, ἵνα καὶ σώιζηται, καὶ πρὸς τούτοις ἔτι καὶ μανθάνειν τὴν ὑπακοὴν δι' ὧν πέπονθε πειρασθείς. ἀλλ', οἶμαι, τοῦτό ἐστιν ἢ φρονεῖν ἢ λέγειν ἀσύφηλον παντελῶς· παναλκὴς γάρ ἐστιν ὁ τοῦ θεοῦ λόγος καὶ θανάτου κρείττων καὶ παθῶν ἐπέκεινα καὶ δειλίας ἀνθρωποπρεποῦς ἀμέτοχος παντελῶς, ἀλλὰ μὴν οὕτω φύσεως ἔχων πέπονθεν ὑπὲρ ἡμῶν. οὐκοῦν οὔτε ψιλὸς ἄνθρωπος ὁ Χριστὸς οὔτε ἄσαρκος λόγος, ἑνωθεὶς δὲ μᾶλλον τῆι καθ' ἡμᾶς ἀνθρωπότητι πάθοι ἂν ἀπαθῶς σαρκὶ τῆι ἰδίαι τὰ ἀνθρώπινα. γέγονε τοίνυν εἰς ὑποτύπωσιν
1 Petr. 2, 21 εἰς ἡμᾶς ἀνθρωπίνως ἐκεῖνα, καθάπερ ἔφην ἐν ἀρχαῖς, ἵνα τοῖς ἴχνεσιν αὐτοῦ κατακολουθήσωμεν.

P 311 32 Hebr. 7, 27. 28 Τοῦτο γὰρ ἐποίησεν, ἐφάπαξ ἑαυτὸν προσενέγκας. ὁ νόμος γὰρ καθίστησιν ἀρχιερεῖς ἔχοντας ἀσθένειαν, ὁ λόγος δὲ τῆς ὁρκωμοσίας τῆς
Hebr. 10, 14 μετὰ τὸν νόμον υἱὸν εἰς τὸν αἰῶνα τετελειωμένον. Μιᾶι μὲν προσφορᾶι, δῆλον δὲ ὅτι τῆι διὰ τοῦ ἰδίου σώματος, τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός· προσκεκόμικε γὰρ ἑαυτὸν ὑπὲρ αὐτῶν εἰς
Eph. 5, 2 ὀσμὴν εὐωδίας τῶι θεῶι καὶ πατρὶ καὶ τετελείωκε νοητῶς διὰ πίστεως καὶ ἁγιασμοῦ, καίτοι τῆς νομικῆς λατρείας τελειούσης οὐδέν. τοιγάρτοι κατέληξαν μὲν οἱ τύποι καὶ πέπαυται
Hebr. 7, 19 τῆς ἀρχαίας διαθήκης τὸ ἀνόνητον ἐν σκιαῖς, γέγονε δὲ ἀναγκαίως ἐπεισαγωγὴ κρείττονος ἐλπίδος, δι' ἧς ἐγγίζομεν τῶι θεῶι, μεσιτεύοντος τοῦ Χριστοῦ καὶ ἐν τάξει γεγονότος ἀρχιερατικῆι διά τοι τὴν πρὸς ἡμᾶς ὁμοίωσιν. πλὴν ἐκεῖνο ἄθρει· περὶ αὐτοῦ
2 Cor. 13, 4 φησιν ὁ θεσπέσιος Παῦλος ὅτι ἐσταυρώθη ἐξ ἀσθενείας, εἶτα πῶς ὁ μὲν νόμος καθίστησιν ἀρχιερεῖς ἔχοντας ἀσθένειαν, ὁ δὲ λόγος τῆς ὁρκωμοσίας τῆς μετὰ τὸν νόμον υἱὸν εἰς τὸν αἰῶνα τετελειωμένον, ὡς οὐκ ἔχοντα δηλονότι τὸ ἀσθενεῖν; τοῦτο γάρ, οἶμαι, ἐστὶ τὸ ἀρτίως ἔχον ἢ γοῦν τὸ ἐν παντὶ καλῶι τετελειωμένον, ὅτι μὴ κατ' ἐκείνους ἐστὶ
PG 1396 τοὺς κατὰ τὸν νόμον, οἷς οὐκ ἀσύνηθες εἰς ἅπαν τὸ καὶ ἀσθενεῖν ἔσθ' ὅτε. πῶς οὖν ὁ αὐτὸς καὶ ἀσθενείας κρείττων εἶναι πεπίστευται καὶ ὡς υἱὸς τετελειωμένος, σταυροῦται δὲ καὶ ἐξ ἀσθενείας; οὐκοῦν ἀκόλουθον ἐννοεῖν ὡς ἠσθένησε μὲν σαρκικῶς σταυρὸν ὑπο-
Mt. 26, 41 μείνας, ἔστι γε μὴν ὡς θεὸς τοῦ ἀσθενεῖν ἐπέκεινα· τὸ γὰρ πνεῦμα πρόθυμον, ἡ δὲ
P 312 σὰρξ ἀσθενής. εἰ δὲ δὴ λέγοιεν τὴν ἀσθένειαν ἐν τούτωι τὸ ἐν ἁμαρτίαις εἶναι δηλοῦν τοὺς κατὰ νόμον ἱερατεύοντας, οὐκ ἀντιτετάξομαι, σύμφημι δὲ μᾶλλον ὀρθὰ καὶ οὕτω φρονεῖν ἠιρημένοις. οὐκοῦν οἱ μὲν κατὰ νόμον ἱερουργοὶ θυσίας ἔχρηιζον οὐ μιᾶς,
Hebr. 9, 7 πλειόνων δὲ μᾶλλον ἅτε δὴ προσάγοντες καθ' ἡμέραν ὑπέρ τε ἑαυτῶν καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων διὰ τὸ πλειστάκις ἀσθενεῖν καὶ ὑπομένειν μαλακισμὸν τὸν εἰς πολύτροπον ἁμαρτίαν· ὁ δὲ κρείττων ἁμαρτίας ὑπάρχων ὡς θεὸς προσκεκόμικεν ἑαυτὸν καὶ γέγονεν ἡμῶν ἀρχιερεύς, ἀνθρωπίνως μὲν λεγόμενος λειτουργεῖν, ἱερατεύων δὲ τῶι πατρὶ τὸ ἴδιον

26—30 Fcyr 172 τοῦ αὐτοῦ ἐκ τῆς αὐτῆς ἐπιστολῆς· πῶς οὖν — ἀσθενής

VS, D [= mn], ARW

1/2 τῆσ αὐθεντίασ V 2 αὐτό DA τὸν θάνατον AR 3 κλάειν ARcorr κλέειν R δὲ om. W ἐν om. W 3/4 ἵνα σώζηται SD 4 μανθάνη W πειραθεὶσ VA 5 ἀτύφηλον S 7 ἀλλὰ μὲν οὕτω W ἀλλὰ οὕτω μὲν V φύσιν SD 8 ὁ λόγοσ R 10 εἰς ἡμᾶς] ἡμῶν A 10/11 ἐπακολουθήσωμεν V 12 κζ W γὰρ[2] om. V 13 ἀνθρώπουσ καθίστησιν AR 14 εἰσ αἰῶνα S 16 δ[2] om. VSDW γὰρ om. V αὐτῶν] ἡμῶν D 17 εὐωδίασ ὀσμὴν SD 19 ἀνόητον SD 23 ἀνθρώπουσ καθίστησιν AR 26 εἰσ ἅπαν τὸ A εἰσ πᾶν τὸ Rcorr εἰ πᾶν τὸ R ἢ πάντωσ SD εἰπεῖν τὸ VW καὶ om. A 27 ὁ SD Fcyr om. VARW εἶναι κρειττων A πιστεύεται SD καὶ om. SD 28 μὲν om. Fcyr 29 ἔτι Fcyr 30 τὸ ARW τῶ VSD 31 ἱερατοῦντασ SW ἱερουργοῦντασ D ἀντιτάξομαι VSDW 32 φρονεῖν AR νοεῖν VSDW τὸν νόμον V 33 αὐτῶν V 36 ἱερεύων R

σῶμα. θεοπρεπῶς οὖν ἄρα παθεῖν οὐκ ἀνέχεται τὴν ἁμαρτίαν, ὅτι μὴ φύσεως ἦν γενητῆς οὐκ ἐχούσης οὐσιωδῶς τὸ ἄτρεπτον καὶ τὸ εἰς ἅπαν δύνασθαι διαδιδράσκειν τὴν ἁμαρτίαν. υἱὸς οὖν ἄρα ἐστὶν παντέλειος, ἀνεπικούρητον ἔχων παρ' ἑτέρου τὸ ἀκράδαντον εἰς ἁγιασμὸν φύσεως τε καρπὸν ἰδίας τὸ ἀπλημμελές.

33 Κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις, τοιοῦτον ἔχομεν ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς, τῶν ἁγίων λειτουργὸς καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ κύριος καὶ οὐκ ἄνθρωπος. Ἐγήγερτο μὲν κατὰ τὴν ἔρημον ἡ ἀρχαία σκηνὴ διὰ τοῦ πανσόφου Μωυσέως, πεποίητο δὲ κατὰ τὸν τύπον τὸν δειχθέντα αὐτῷ ἐν τῷ ὄρει. καὶ τοῖς μὲν κατὰ νόμον ἱερατεύουσιν ἐκείνη πρεπωδεστάτη, ἐνδιαίτημα δὲ τῷ Χριστῷ πρέπον τε καὶ ἐοικὸς ἡ ἄνω καλλίπολις, τουτέστιν ὁ οὐρανός, ἡ θεία τε καὶ ἀνωτάτω σκηνὴ καὶ οὐκ ἀνθρωπίνης εὕρημα τέχνης, ἀλλ' ἱερὰ καὶ θεότευκτος. ἐκεῖ γεγονὼς προσκομίζει τῷ θεῷ καὶ πατρὶ τοὺς εἰς αὐτὸν πιστεύοντας, ἡγιασμένους δὲ δηλονότι διὰ τοῦ πνεύματος (οὐδεὶς γὰρ ἔρχεται, φησίν, πρὸς τὸν πατέρα, εἰ μὴ δι' ἐμοῦ), καὶ οὗτος αὐτῷ τῆς ἐνθάδε λεγομένης λειτουργίας ὁ τρόπος, θεοπρεπὲς δὲ τὸ χρῆμα, κἂν εἰ τοῖς καθ' ἡμᾶς ἢ γοῦν ἀνθρωπίνοις σημαίνοιτο λόγοις. τὸ γὰρ ἁγιάζειν δύνασθαι τῷ ἰδίῳ πνεύματι τοὺς πιστεύοντας ἐλέῳ καὶ χάριτι δεδικαιωμένους καὶ οἷον ἱερουργεῖν τῷ θεῷ, κόσμῳ μὲν ἀποθνήισκοντας, ζωοποιουμένους δὲ πνεύματι καὶ εἰς εὐδόκιμον ἀληθῶς ἀναλάμποντας βίον, πῶς οὐκ ἂν εἴη θεοπρεπές; ὅτι δὲ καίτοι λεγόμενος λειτουργεῖν, οὐ μείων ἐστὶν τοῦ πατρὸς οὔτε μὴν κατόπιν ἔρχεται τῆς ἐνούσης εὐκλείας αὐτῷ, προσαποδείκνυσιν ἐναργῶς τὸ τοῖς θείοις αὐτὸν ἐνιδρῦσθαι θώκοις καὶ ἐν δεξιᾷ καθῆσθαι τοῦ γεγεννηκότος. εἰ γάρ ἐστιν ἀληθὲς ὅτι πᾶς ἱερεὺς ἕστηκεν ἀεὶ λειτουργῶν καὶ οὐκ ἂν νοοῖτό ποτε σύνεδρός τε καὶ ἰσοκλεὴς ὥιπερ ἂν λατρεύσειε θεῷι, πῶς οὐκ ἀσυνήθως ἱερουργὸς ὁ Χριστὸς ὁ καὶ ἐν τοῖς τῆς θεότητος θώκοις ὡς θεὸς καὶ λειτουργῶν ἀνθρωπίνως; εἰ δὲ δή τις λέγοι συκοφαντῶν τὴν ἀλήθειαν ὅτι ναὶ κεκάθικεν ἐν δεξιᾷ τοῦ πατρὸς ἰδικῶς ἄνθρωπος συνημμένος τῷ θεῷ κατὰ μόνην τὴν ἰσότητα τῆς ἀξίας, οὐκέτι μόνης εἶναί φησιν τῆς ἁγίας τριάδος τὸν ἀνωτάτω καὶ μόνῃι αὐτῇι πρέποντα θρόνον, ἀλλ' ἤδη τις ἡμῖν τέταρτος οὑτοσὶ πρόσφατός τε καὶ γενητὸς ἐπεισκρίνεται θεὸς μετὰ τὴν ὁμοούσιον καὶ ἁγίαν τριάδα.

34 Χριστὸς δὲ παραγενόμενος ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν διὰ τῆς μείζονος καὶ τελειοτέρας σκηνῆς, οὐ χειροποιήτου, τουτέστιν οὐ ταύτης τῆς κτίσεως, οὐδὲ δι' αἵματος τράγων καὶ μόσχων, διὰ δὲ τοῦ ἰδίου αἵματος εἰσῆλθεν ἐφάπαξ εἰς τὰ ἅγια, αἰωνίαν λύτρωσιν εὑράμενος. Τίνα δὴ τρόπον διὰ τῆς μείζονος καὶ τελειοτέρας σκηνῆς γέγονεν ἐφ' ἡμᾶς ἀρχιερεὺς ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός, προαπέδειξεν ἡμῖν ἀρτίως ὁ λόγος· ὅτι δὲ τῆς ἱερουργίας ὁ τρόπος αὐτῷ καὶ ἀμείνων ἀσυγκρίτως τῆς κατὰ τὸν νόμον καὶ πολὺ λίαν ὑπερκείμενος τὰ ὡς ἐν τύπωι καὶ σκιᾷ (καὶ γάρ ἐστιν αὐτὸς ἡ ἀλήθεια καὶ τὸ ἄμωμον ἱερεῖον), ἐνδοιά-

Hebr. 8, 1. 2 — P 313 — Ioh. 14, 6 — PG 1397 — Hebr. 10, 11 — P 314 — Hebr. 9, 11. 12

VS, D [= mn], ARW

1/2 γεννητῆσ SDA 2 οὐκ ἂν W δύνασθαι] γίνεσθαι V 3 υἱόσ VAR καὶ $\overline{υσ}$ W $\overline{θσ}$ SD ἄρα οὖν W 4 τό] ἔχων V 5 $\overline{κη}$ W 8 ἐγήγερται AR 9 μωυσέωσ SR μωυσέοσ VS^{corr}D μωσέωσ AW πεποίηται V 10 τὸν νόμον V 12 εὕρεμα VW 16 λογισμοῖσ A γὰρ om. SD 18 σωοποιουμένουσ A τῶ $\overline{πνι}$ SD 21 ἐνιδρῦσαι W θάκοισ R καθίσαι SD γεγενηκότοσ S 23 ὥσπερ R ἀσυνήθησ VW 24 τῆς om. R superscr. τῆ R θάκοισ R λειτουργόσ SD λέγει D 25 ἰδικῶς om. SD ἄνθρωπον S 26 $\overline{θω}$ VSDW λόγω AR μόνην om. AR μόνησ VA μονογενὴσ R μονογενῶσ SDW φασὶ SD 27 ἀνωτάτη SD καὶ μόνη καὶ SDRW οὑτωσὶ W οὗτοσ εἰ SD 28 γεννητόσ SDAW 29 κθ $\overline{W}$ δὲ VSmRW δὴ nAR^{corr} 30 τελειωτέρασ Vm 31 τράγων] ταύρων D 32 εἰσ ἅπαξ SD 33 δὲ V τελειωτέρασ VmA ἀρχιερεὺσ ἐφ' ἡμᾶσ W 33/34 ὁ $\overline{κσ}$ ἡμῶν $\overline{ισ}$ $\overline{χσ}$ ἀρχιερεὺσ V 34 ὁ^1 om. VSD 35 ὑπερκειμένησ SD 36 τὰ SDRW τῶν VA 36/p. 53, 1 ἐνδοιάσοιεν V

Hebr. 8, 1 σειεν ἂν οὐδείς. ἐπιτήρει δὲ ὅπως ὁ ἀξιάγαστος ἡμῶν ἀρχιερεὺς ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς, διὰ τοῦ ἰδίου αἵματος εἰσῆλθεν ἐφάπαξ εἰς τὰ ἅγια λύτρωσιν εὑράμενος αἰωνίαν. πῶς οὖν ὁ ἐν δεξιᾷ τοῦ πατρὸς ὡς θεὸς ἴδιον ἔχειν αἷμα λέγοιτ' ἄν, εἰ μὴ πεπιστεύκαμεν ὅτι ὁ ἐκ θεοῦ πατρὸς κατὰ φύσιν υἱὸς κεχρημάτικε καὶ υἱὸς ἀνθρώπου καὶ τὸ ἴδιον αἷμα τῆς ἁπάντων ζωῆς ἀντάλλαγμα δοὺς ταύτην εὕρατο τῶι κόσμωι τὴν εἰς αἰῶνα λύτρωσιν; οὐ γάρ που φαίη τις ἂν ὡς ἦν ἀκόλουθόν τε καὶ πρέπον καθάπερ ἐν τάξει τῶν ἀλόγων ζώιων σφάζεσθαι πλειστάκις τὸν Ἐμμανουήλ, ἀποχρῶντος εἰς λύτρωσιν τῆς ὑπ' οὐρανὸν τοῦ καὶ ἅπαξ παθεῖν αὐτόν. εἰ δὲ καθὰ πεφρονήκασι τινές, ἄνθρωπος ἦν ἰδικῶς, ἰσότητι μὲν τῆς ἀξίας ἢ γοῦν αὐθεντίας συνημμένος θεῶι, διηρημένος δὲ καθ' ὑπόστασιν καὶ ἀνὰ μέρος εἶναι πεπιστευμένος, οὐκ ἦν ἴδιον αἷμα τοῦ συνεδρεύοντος τῶι πατρὶ τὸ εἰς λύτρωσιν τοῦ
P 315 κόσμου δοθέν, ἀλλ' ἑτέρου μᾶλλον σχετικὴν ἔχοντος πρὸς αὐτὸν τὴν συνάφειαν. ὥσπερ γὰρ δύο τινὲς ἄρχοντες τῆι τῶν ἀξιωμάτων ἰσότητι κατ' οὐδὲν ἀλλήλων διενεγκόντες ὅλως οὐχ εἷς νοοῦνται μᾶλλον, ἀλλὰ δύο κατὰ τὸ ἀληθές, οὕτω τὸ συνημμένον τινὶ κατὰ τὴν ἀξίαν, διηρημένων τῶν φύσεων ἢ γοῦν ὑποστάσεων, οὐχ εἷς εἶεν ἄν, ἀλλὰ δύο, καὶ τὸ
PG 1400 ἑνὸς αἷμα τυχὸν αὐτοῦ δὴ πάντως ἐστὶ καὶ οὐχὶ δὴ μᾶλλον ἑτέρου. οὐκοῦν οὐκ ἀπόχρη πρὸς ἕνωσιν ἀληθῆ τὸ ὡς ἐν ἰσότητι τῆς ἀξίας ἢ γοῦν αὐθεντίας συνῆφθαι λέγειν ἄνθρωπον θεῶι.

35 Οὐ γὰρ εἰς χειροποίητα εἰσῆλθεν ἅγια Χριστὸς οὐδὲ εἰς ἀντίτυπα
Hebr. 9, 24 τῶν ἀληθινῶν, ἀλλ' εἰς αὐτὸν τὸν οὐρανὸν νῦν ἐμφανισθῆναι τῶι προ-
Ies. 66, 1 σώπωι τοῦ θεοῦ ὑπὲρ ἡμῶν. Τοῦ θεοῦ λέγοντος ὁ οὐρανός μοι θρόνος, ἐπαναπαύεσθαι καὶ αὐτὸν τοῖς ἄνω πνεύμασιν φαμὲν τὸν υἱόν, σκηνὴν ὥσπερ ἁγίαν ἔχοντα τὸν οὐρανὸν καὶ οὐ κατά γε τοὺς ἐπὶ γῆς ἱερουργοῦντας σωματικῶς καὶ τὰς δι' αἱμάτων τελοῦντας θυσίας εἰς ἀντίτυπα τῶν ἀληθινῶν εἱστρέχοντα κατὰ τὸ τῶι νόμωι δοκοῦν. ἐμφανίζεται δὲ νῦν ὑπὲρ ἡμῶν τῶι προσώπωι τοῦ θεοῦ, τίνα τρόπον; ἆρα γὰρ οὐκ ἀεὶ καὶ πρὸ τῆς ἐνανθρωπήσεως ὑπάρχων ἐμφανής; καίτοι καταθρῆσαι ῥᾴον ὡς αὐτός ἐστιν ἡ δημιουργὸς σοφία τοῦ πατρός, δι' ἧς τὰ πάντα παρεκομίσθη πρὸς ὕπαρξιν. καὶ γοῦν
Prou. 8, 30.31 ὡς σοφία φησίν· ἐγὼ ἤμην ἧι προσέχαιρεν, καθ' ἡμέραν δὲ ηὐφραινόμην ἐν προσώπωι αὐτοῦ ἐν παντὶ καιρῶι, ὅτε ηὐφραίνετο τὴν οἰκουμένην
P 316 συντελέσας καὶ ἐνηυφραίνετο ἐν υἱοῖς ἀνθρώπων. ὅτε τοίνυν αὐτῆι προσέχαιρεν ὁ πατὴρ καὶ ἦν ἐν προσώπωι αὐτοῦ καθ' ἡμέραν εὐφραινομένη τε καὶ εὐφραίνουσα, πῶς ἐμφανίζεται νυνὶ τῶι προσώπωι τοῦ πατρός; οὐκοῦν ἐμφανίζεται ξένως, οὐκέτι γυμνὸς καὶ ἄσαρκος λόγος, καθάπερ ἀμέλει καὶ ἐν ἀρχαῖς ἦν, ἀλλ' ἐν μορφῆι τε καὶ φύσει τῆι καθ' ἡμᾶς· φαμὲν γὰρ οὕτως αὐτὸν ὑπὲρ ἡμῶν ἐμφανισθῆναι νυνὶ καὶ οἷον ἐν ὄψει τοῦ θεοῦ καὶ πατρὸς τὴν ἀνθρώπου φύσιν ἀγαγεῖν, καίτοι γενομένην ἐν ἀποστροφῆι διὰ τὴν ἐν Ἀδὰμ παράβασιν. ἡμᾶς οὖν ἄρα παρίστησιν ἐν ὀφθαλμοῖς τοῦ πατρὸς ὡς ἐν ἑαυτῶι

32—36 Fcyr 173 τοῦ αὐτοῦ ἐκ τῆς αὐτῆς ἐπιστολῆς· πῶς ἐμφανίζεται — παράβασιν

VS, D [= mn], ARW

1 ὁ om W 3 αἰωνίαν λύτρωσιν εὑράμενοσ AR 4 ἔχειν om. W λέγοισ A 5 καὶ[1] om A 6 ἀντάλαγμα S εἰσ αἰῶνίαν R 8 πολλάκισ SD τῆς] τοῖσ SD 10 συνημμένησ D ἠρημένοσ SD 11 πιστευόμενοσ W 12 τὴν om. D 13 ἰσότητα S 14 ἓν SD νοεῖται SD 15 ἄν om. SDW 16 ἓν SDW δὴ om W οὐκ om. W 19 λ̄ W ἅγια εἰσῆλθεν DW ὁ χ̄σ̄ VW om. A οὐδὲ εἰς om. D 22 ἔχοντοσ S 23 τὰς] τοὺσ W 24 τῶι om. VS 25 τίνι τρόπω V γὰρ om. AR 26 ὑπάρχει SD 27 ἡ] ὁ D θῡ καὶ πρ̄σ̄ SD 28 ὡσ ἡ W δὲ om. AR ἠφραινόμην S εὐφραινόμην W 29 εὐφραίνετο W 30 ἐνευφραίνετο W 32 νῦν SDW πρ̄σ̄ VAR, W in ras., Fcyr θῡ SD ξένοσ R καὶ οὐκέτι Fcyr 34 ὑπὲρ ἡμῶν om. V ἐπ' V 35 τὴν] τοῦ V γενομένη R ἀπογραφῆ SD 36 ἐν om. D τοῦ πατρὸς om. W

καὶ πρώτωι, καθὸ πέφηνεν ἄνθρωπος, ἵν' ἡμᾶς προσαγάγηι τῶι πατρὶ καὶ τῶν ἀρχαίων ἀπαλλάξας αἰτιαμάτων καὶ εἰς καινότητα ζωῆς μεταστοιχειώσας ἐν πνεύματι, ὥστε καὶ ἀξίους ὁρᾶσθαι λοιπὸν τῆς παρὰ τοῦ πατρὸς ἐποπτείας ὡς ἐν υἱῶν τάξει παρειλημμένους.

Περὶ τοῦ λέγεσθαι δόξαν λαβεῖν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν

36 Παῦλος ἀπόστολος, οὐκ ἀπ' ἀνθρώπων οὐδὲ δι' ἀνθρώπου, ἀλλὰ διὰ Gal. 1, 1
Ἰησοῦ Χριστοῦ καὶ θεοῦ πατρὸς τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν. Ἀπόχρη μὲν εἰς ἀπόδειξιν τοῦ μὴ δεδεῆσθαι δόξης τῆς ἔξωθεν καὶ εἰσκεκριμένης τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸ συναποστέλλειν τῶι θεῶι καὶ πατρὶ τῶν περὶ ἑαυτοῦ κηρυγμάτων τοὺς ἱερουργούς· οὐ γὰρ ἑαυτοὺς ἐκήρυττον, ἀλλὰ Χριστὸν Ἰησοῦν κύριον εἰς δόξαν θεοῦ πα- P 317
τρός· ἐπειδὴ δὲ τοῖς ἱεροῖς ἔπεσθαι γράμμασιν ἀναγκαῖον ἡμᾶς, οὐδαμοῦ παρεκτρέχοντας 10
τὸ αὐτοῖς δοκοῦν, φέρε λέγωμεν τίνα δὴ τρόπον ὁ θεὸς καὶ πατὴρ δόξηι λέγεται στεφα- PG 1401
νοῦν τὸν υἱόν. οὐκοῦν αὐτός πού φησιν ὁ μακάριος Παῦλος περὶ τῶν ἀρχόντων τοῦ Hebr. 2, 7. 9
αἰῶνος τούτου· εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν. 1 Cor. 2, 8
οἶδεν οὖν ἄρα κύριον ὄντα τῆς δόξης τὸν ἐσταυρωμένον. πῶς οὖν δέχεται δόξαν παρὰ τοῦ πατρὸς ὁ τῆς δόξης κύριος; ἢ δῆλον ὅτι πεποίηται πάλιν οἰκονομικῶς ὁ λόγος αὐτῶι; 15
δέχεται μὲν γὰρ ἀνθρωπίνως, ἔστι δὲ καὶ οὕτως τῆς δόξης κύριος θεικῶς. καὶ ὁ μὲν τῆς θείας αὐτοῦ φύσεως πλοῦτος ὁρῶιτο ἂν πρὸς ἡμῶν ἐν τοῖς ὑπὲρ κτίσιν πλεονεκτήμασιν, τῆς δὲ καθ' ἡμᾶς πτωχείας τὸ μέτρον ἐν τῶι λέγεσθαι λαβεῖν, καὶ εἰ πλούσιος ὢν δι' 2 Cor. 8, 9
ἡμᾶς ἐπτώχευσεν. ἀλλ' οὖν ἀγαθαῖς ἐννοίαις πρὸς ὀρθότητα διοικούμενοι καὶ τὰ εἰκότα φρονεῖν ἐπ' αὐτῶι σπουδάζοντες, οὐκ ἀγνοήσομεν ἡμεῖς τὸν καὶ ἐν τῆι καθ' ἡμᾶς 20
πτωχείαι πλούσιον ὡς θεόν.

37 Ὁ πατὴρ ἀγαπᾶι τὸν υἱὸν καὶ πάντα δέδωκεν ἐν τῆι χειρὶ αὐτοῦ. Ioh. 3, 35
Δέχεται πάλιν ὡς ἄνθρωπος ὁ υἱός, πλὴν οὐκ ἔξω τίθησιν ἑαυτὸν ὁ πατὴρ τοῦ πάντα ἔχειν ἐφ' ἑαυτῶι· διδοὺς γὰρ αὐτὰ τῶι υἱῶι, σὺν αὐτῶι κατάρχει τῶν ὅλων, τοῖς τῆς θεό-
τητος σκήπτροις ὑποφέρων δι' αὐτοῦ τε καὶ ἐν αὐτῶι τὸ ἐπὶ γῆς γένος, καίτοι διανενευκὸς 25
ἀχαλίνως εἰς ἀπόστασιν. ὡς γὰρ αὐτός πού φησιν ὁ σοφώτατος Παῦλος, θεὸς ἦν 2 Cor. 5, 19
ἐν Χριστῶι κόσμον καταλλάσσων ἑαυτῶι. καὶ οὐ δή που φαμὲν ὡς ἐν ἀν-
θρώπωι κατοικήσας Χριστὸς ἕτερος παρά γε τὸν ἐκ τῆς ἁγίας παρθένου γεγεννημένον κόσμον ἑαυτῶι κατήλλαττεν (φρονοῦσι γὰρ ὧδε τινὲς τῶν ἀμαθεστέρων), ἐκεῖνο δὲ μᾶλλον
ὅτι κατήλλαττεν ἑαυτῶι τὸν κόσμον ὁ θεὸς καὶ πατὴρ ἐν Χριστῶι· γέγονε γὰρ ἡμῶν 30 P 318
μεσίτης ἐνανθρωπήσας ὁ υἱὸς καὶ οἷον διαλλακτὴς εἰς εἰρήνην, οὐχ ἑτέρωι προξενῶν τῶν
ἐν κόσμωι τὴν ὑποταγήν, ἀλλ' ὡς ἐν ἰδίωι προσώπωι τῶι θεῶι καὶ πατρί. Χριστῶι
γὰρ κατηλλαγμένοι, κατηλλάγμεθα δι' αὐτοῦ τε καὶ ἐν αὐτῶι τῶι πάντων σωτῆρι θεῶι.
τοιγάρτοι καὶ ἔφασκεν· δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, Mt. 11, 28
κἀγὼ ἀναπαύσω ὑμᾶς. ὅτι δὲ τοῖς πρὸς αὐτὸν ἰοῦσιν οὐ πρὸς ἕτερον τινὰ γένοιτ'

VS, D [= mn], ARW

2 αἰτιαμάτων ἀπαλλάξας AR ὥστε om. SD 3 τῆς] τοῖς D τοῦ om. A delere coepit R ἐποπτείας om. SD υἱῶ V παρειλημμένοις D 4 τὸν χν R 5 λα W δι' ἀνθρώπων VW 6 ἀποχρῆν R 8 τὸν χν AR ἑαυτοὺς S αὐτοῦ W 12 Παῦλος om. SD 14 ἄρα καὶ V ὄντα om. W 15 οἰκονομικὸς R 18 πτωχίας V 19 ἀγαθαῖς om. D 20 οἰκότα Vm 21 πτωχία V 22 λβ W 23 πάλιν τίθησιν VSDW 24 ἔχειν om. SD ὑφ' VW 25 τε — αὐτῶι om. SD τῆς γῆς VW διανενευκὼς SDR, corr. R 26 ὑπόστασιν S 27 καταλάσσων SW ἑαυτῶ R 28 γε] τε A γεγεννημένον om. SD 29 κατήλαττεν R ἐκεῖνος A 30 κατήλαττεν RW 32 τῶ κόσμω VW 33 διὰ τούτου SD τε om. SD πάντων ἡμῶν V 34 πρός με πάντες nARW πάντες Sm πάντες πρός με V κεκοπιακότες VW 35 πρὸ αὐτοῦ S

ἂν ἡ καταλλαγὴ πλὴν ὅτι πρὸς θεὸν τὸν φύσει καὶ ἀληθῶς, πεπληροφόρηκεν εἰπών· ὁ
Ioh. 12,44-45 πιστεύων εἰς ἐμὲ οὐ πιστεύει εἰς ἐμέ, ἀλλ' εἰς τὸν πέμψαντά με, καὶ ὁ
Ioh. 14, 1 θεωρῶν ἐμὲ θεωρεῖ τὸν πέμψαντά με, ὁτὲ δὲ πάλιν· πιστεύετε εἰς τὸν θεόν,
καὶ εἰς ἐμὲ πιστεύετε.

38 Πάτερ, ἐλήλυθεν ἡ ὥρα, δόξασόν σου τὸν υἱόν, ἵνα καὶ ὁ υἱός σου
Ioh. 17, 1. 2 δοξάσῃ σε, καθὼς ἔδωκας αὐτῷ ἐξουσίαν πάσης σαρκός, ἵνα πᾶν ὃ
1 Ioh. 2, 1 δέδωκας αὐτῷ, δώσῃ αὐτοῖς ζωὴν αἰώνιον. Παράκλητος μὲν καὶ ἱλαστήριον
PG 1404 ὁ υἱὸς ὠνόμασται. καθίστησι γὰρ τοῖς ἐπὶ τῆς γῆς εὐμενῆ τὸν πατέρα καὶ παντὸς ἡμῖν
Rom. 3, 25 εὑρίσκεται πρόξενος ἀγαθοῦ. πλὴν ἐκεῖνο καταθρήσωμεν πῶς ἂν δοξάσειεν ὁ πατὴρ
τὸν υἱόν, δοξασθήσεται δὲ καὶ αὐτὸς παρ' αὐτοῦ τίνα τρόπον. οὐκοῦν τὴν ὥραν ἤ
γοῦν τὸν καιρὸν ἐληλυθέναι φησὶν καθ' ὃν ἔδει πάντως αὐτὸν τὸν ὑπὲρ τῆς τοῦ κόσμου
ζωῆς ὑπομεῖναι σταυρόν, ἀλλ' ἦν ἀναγκαῖον δοξάζεσθαι τὸν υἱὸν παρὰ τοῦ πατρὸς καὶ
διὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως μαρτυρούμενον ὅτι τέ ἐστιν ὁμοούσιος αὐτῷ καὶ ζωοποιὸς
καὶ θανάτου κρείττων καὶ φθορᾶς ἀμείνω τὴν φύσιν διεκληρώσατο. δοξάζεται δὲ καὶ
P 319 αὐτὸς ὁ πατὴρ ὡς ἔχων υἱὸν κατὰ πᾶν ὁτιοῦν ἐοικότα καὶ ἰσοκλεᾶ καὶ ἰσουργὸν ἑαυτῷ. καὶ τοῦτο δέδειχεν ὁ υἱὸς καταργήσας θάνατον καὶ ἀναστήσας ἐκ νεκρῶν τὸν ἑαυτοῦ ναόν, δέχεται δὲ τὴν κατὰ πάντων ἐξουσίαν καθ' ἡμᾶς δὴ πάλιν καὶ ἀνθρωπίνως, καίτοι βασιλεύων τῶν ὅλων θεικῶς. καὶ ἐνήσει μὲν ὁ πατὴρ τοῖς δοθεῖσι τῷι υἱῷι τὴν ζωὴν τὴν
Ioh. 11, 25 αἰώνιον, αὕτη δέ ἐστιν αὐτός· ἔφη γάρ· ἐγώ εἰμὶ ἡ ἀνάστασις καὶ ἡ ζωή. οὐκοῦν κἂν εἰ λέγοιτο λαβεῖν παρὰ τοῦ πατρὸς δόξαν καὶ τὴν κατὰ πάντων ἐξουσίαν τε καὶ βασιλείαν, ἀναθετέον μὲν τὸ λαβεῖν τοῖς τῆς κενώσεως μέτροις, ἰστέον δὲ ὅτι καὶ τῆς δόξης ἐστὶ κύριος ὡς θεὸς καὶ σύνθρονος τῷι πατρί, κατ' οὐδένα τρόπον μειονεκτούμενος τῆς τοῦ τεκόντος αὐτὸν ὑπεροχῆς τε καὶ δόξης τό γε ἧκον εἰς τὴν τῆς θεότητος φύσιν.
2 Cor. 10, 5 ἐσόμεθα γὰρ οὕτως εὐσεβεῖς, περιτρέποντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν αὐτοῦ καὶ λογισμοὺς καθαιροῦντες καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως αὐτοῦ.

39 Τῇι δεξιᾷι οὖν τοῦ θεοῦ ὑψωθεὶς τήν τε ἐπαγγελίαν τοῦ πνεύματος
Act. 2, 33-35 τοῦ ἁγίου λαβὼν παρὰ τοῦ πατρός, ἐξέχεεν τοῦτο ὃ ὑμεῖς βλέπετε καὶ ἀκούετε. οὐ γὰρ Δαυὶδ ἀνέβη εἰς τοὺς οὐρανούς, λέγει δὲ αὐτός· εἶπεν ὁ κύριος τῷι κυρίωι μου· κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. Ὅλον ἐν τούτοις καταθρήσαιμεν ἂν τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς τὸ μυστήριον. ἐν μορφῇι γὰρ ὑπάρχων καὶ ἰσότητι τοῦ πατρὸς
Phil. 2, 7. 9 ὁ ἐξ αὐτοῦ θεὸς λόγος, ἡ πανσθενὴς δεξιὰ καὶ χεὶρ ἡ παντουργική, κεκενῶσθαι μὲν λέγεται διὰ τὸ ἀνθρώπινον, ὑψοῦται δὲ πάλιν, οὐκ εἰς ὀθνεῖον ἀξίωμα καὶ οὐ πάλαι προσπεφυκὸς
P 320 αὐτῷι διαβαίνων, ἀλλ' εἰς ἔμφυτόν τε καὶ τὴν ἐνοῦσαν ἀεὶ δόξαν τε ὁμοῦ καὶ ὑπεροχὴν ὑπονοστῶν. ὑψοῦται γὰρ ἀνθρωπίνως, καίτοι κατὰ φύσιν ὕψιστος ὢν ἀεί. γέγονε γὰρ ἄνθρωπος, καὶ τοῦτο, οἶμαι, ἐστὶ τὸ τῆς ὑφέσεως μέτρον καὶ ἡ λεγομένη κένωσις· ὅ

VS, D [= mn], ARW

1 τὸν θν̄ τὸν W 2/3 οὐ πιστεύει — θεωρῶν ἐμὲ om. SD 3 ποτὲ W 5 λγ̄ W 7 δώσει VSDAR^{corr}W δῶσ R αὐτοῖσ καὶ A 8 τοῖς γῆσ V τῆσ m γῆσ n 9 δοξάσοιεν V 10 καὶ om. V 11 δν] ἣν W τὸν om. SDW 12 παρὰ VSDW ὑπὸ AR 14 κρείττω W καὶ δοξάζεται δὲ καὶ V 15 καὶ^1 AR τὲ καὶ VSDW 16 τοὐτω R τὸν θάνατον W 17 καὶ om. R 18 ἐνήσει scripsi νεμήσει D ἀνεμήσει S ἀνιμήσει R ἀριθμήσει A ἐνίησι VW 19 δέ] γὰρ D 21 κενώσεωσ VW ἐνώσεωσ n κλήσεωσ SmAR 22 καὶ κατ' VSDW 23 αὐτὸν om. SD 27 λδ̄ W 27/28 τοῦ ἁγίου πν̄σ̄ VW 28 ὃ om. V 29 τὸν οὐρανὸν VSDW δὲ] γὰρ V 32 ἐν ἰσότητι AR 33 θῦ R ἡ χεὶρ ἡ SD παντουργικὴ VARW ἀληθινὴ SD 34 προπεφυκὼσ D πεφυκὸσ VW 36 ὑψιστόσ τε W 37 ὑφέσεωσ RW φύσεωσ VSDA

γε μὴν ἐνανθρωπήσας θεός, καίτοι νομισθεὶς οὐδὲν ἕτερον εἶναι πλὴν ὅτι μόνον ἄνθρωπος, αὐτὸ δὴ τοῦτο τὸ ὁρώμενον, ἐκηρύχθη ἐν ἔθνεσιν, ἐπιστεύθη ἐν κόσμῳ, τετίμηται δὲ καὶ ὡς υἱὸς ἀληθῶς τοῦ θεοῦ καὶ πατρὸς καὶ τῆς ἀνωτάτω πασῶν εὐκλείας ἀνεδήσατο τὰ αὐχήματα, θεὸς εἶναι πεπιστευμένος. καὶ οὐκ ἀσύνηθες αὐτῷ τὸ χρῆμά ἐστιν, ἄηθες δὲ μᾶλλον εἶναι φαμὲν τὸ ὑφειμένον ἐν ἀνθρωπότητι καὶ τὸ ὑψοῦσθαι δοκεῖν καίτοι ταῖς εἰς λῆξιν διαπρέποντα δόξαις. ἐπειδὴ δὲ τῇι ἀνθρώπου φύσει καὶ μέτροις τοῖς καθ' ἡμᾶς πάντα ἐστὶν ἄνωθεν καὶ παρὰ θεοῦ, ταύτηι τοι καὶ μάλα εἰκότως τῇι δεξιᾶι τοῦ πατρὸς ὑψοῦσθαι λέγεται, καίτοι χεὶρ ὑπάρχων αὐτὸς καὶ ἡ τῶν ὅλων δημιουργὸς δεξιά. ἄθρει δέ μοι πάλιν τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν ἀνθρωπίνως μὲν τὸ πνεῦμα δεχόμενον, πληροῦντα δὲ θεικῶς τὴν ἐπαγγελίαν τοῦ πατρὸς διὰ τοῦ τοῖς πιστεύουσιν ἐνιέναι τὸ πνεῦμα καὶ οὐχ ὡς ἀλλότριον, ἀλλ' ὡς ἴδιον αὐτοῦ. ἔφη μὲν γάρ που θεὸς δι' ἑνὸς τῶν ἁγίων προφητῶν ὅτι ἐκχεῶ ἀπὸ τοῦ πνεύματος μου ἐπὶ πᾶσαν σάρκα, πληροῖ δὲ τοῦτο Χριστός, ὡς ἴδιον ἐνιεὶς τοῖς κεκλημένοις τὸ πνεῦμα. καίτοι τὸ μετόχους ἀποτελεῖν δύνασθαι τινὰς τοῦ ἁγίου πνεύματος πρέποι ἂν οὐκ ἀνθρώπωι, πόθεν; θεῶι δὲ μᾶλλον τῶι κατὰ φύσιν. ἐνήργηκεν οὖν τὰ τοῦ θεοῦ καὶ πατρὸς ὁ υἱός, τὸ πνεῦμα διδοὺς αὐτός. ἀνθρωπίνη τοίνυν ἡ λῆψις, θεοπρεπὲς δὲ καὶ ὑπὲρ ἄνθρωπον τὸ ἐξ ἰδίου πληρώματος καὶ εἰς ἑτέρους ἐκχεῖν τὴν τοῦ πνεύματος δόσιν. θεὸς οὖν ἄρα ἐστὶν ἐν ἀνθρωπείαι μορφῆι πεφηνὼς ὁ λόγος σύνεδρός τε διὰ τοῦτο τῶι θεῶι καὶ πατρί. 1 Tim. 3, 16 PG 1405 Ioel 2, 28 P 321

Περὶ τοῦ λέγεσθαι ἀναστῆναι Χριστὸν ἐκ νεκρῶν ἐν δυνάμει τοῦ πατρός

40 Ὁ θεσπέσιος γράφει Παῦλος περὶ τοῦ προπάτορος Ἀβραάμ· οὐκ ἐγράφη δὲ δι' αὐτὸν μόνον ὅτι ἐλογίσθη αὐτῶι ἡ πίστις εἰς δικαιοσύνην, ἀλλὰ καὶ δι' ἡμᾶς, οἷς μέλλει λογίζεσθαι τοῖς πιστεύουσιν ἐπὶ τὸν ἐγείραντα Ἰησοῦν τὸν κύριον ἡμῶν ἐκ νεκρῶν, ὃς παρεδόθη διὰ τὰ παραπτώματα ἡμῶν καὶ ἠγέρθη διὰ τὴν δικαίωσιν ἡμῶν. Μία μὲν θεότητος φύσις, ἐν ὑποστάσεσι δὲ προσκυνεῖται τρισὶν παρά τε ἡμῶν καὶ τῶν ἄνω πνευμάτων. μιᾶς δὲ οὔσης, θεότητος ἁπάσης εἰκότως ἔργον ἂν γένοιτο πᾶν ὁτιοῦν τῶν ὅτι μάλιστα πρεπόντων αὐτῆι τε καὶ μόνηι. πράττεται γὰρ πάντα παρὰ τοῦ θεοῦ καὶ πατρὸς δι' υἱοῦ ἐν πνεύματι, ὥστε κἂν εἰ λέγοιτο που ζωοποιεῖν ὁ πατήρ, ἐνεργήσει πάντως αὐτὸ διὰ τοῦ υἱοῦ ἐν ἁγίωι πνεύματι, κἂν ἐνεργῆι τὴν ζωὴν ὁ υἱὸς ἔν γε τοῖς δεδεημένοις τῆς ζωῆς, ἀλλ' οὐ δίχα τοῦ ὁμοουσίου πατρός· ἔχει γὰρ ἐν ἑαυτῶι τὸν γεννήσαντα. καὶ γοῦν ἔφη σαφῶς· ἀπ' ἐμαυτοῦ οὐ λαλῶ, ὁ δὲ πατὴρ ἐν ἐμοὶ μένων ποιεῖ τὰ ἔργα αὐτός. κἂν εἰ τὸ πνεῦμα λέγοιτο τοῦτο δρᾶν, ἐνεργήσει πάντως ὡς πνεῦμα ζωῆς, ζωὴν δὲ εἶναι φαμὲν κατὰ φύσιν τὸν θεὸν καὶ πατέρα καὶ τὸν ἐξ αὐτοῦ γεννηθέντα υἱόν. οὐκοῦν λέγεται μὲν ὁ πατὴρ ἀναστῆσαι Χριστὸν ἐκ νεκρῶν, οὐχ εὑρήσομεν δὲ τὸν υἱὸν ἀεργῆ περὶ τὴν ἀνάστασιν τοῦ ἰδίου σώματος. καὶ γοῦν ἔφη πρὸς Ἰουδαίους· λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. ἄθρει δὲ ὅπως τοῦ μακαρίου Παύλου λέγοντος ὅτι λογισθήσεται καὶ ἡμῖν ἡ πίστις εἰς δικαιοσύνην τοῖς πιστεύσασιν ἐπὶ τὸν Ioh. 5, 21 Ioh 14,10 PG 1408 P 322 Ioh. 2, 19 Rom.4,23-25

VS, D [= mu], ARW

1 οὐδὲ S 2 δὴ] δὲ SD τοῦτο AR τὸ om. VR ἐν[1] om. A 5 ἄηθες AR ἀληθὲς VSDW 7 ἐκ R παρὰ R in mg. 9 δὴ SD 11 εἶναι D 11—13 αὐτοῦ — ἴδιον om. AR 11 μὲν om. SD 12 ἁγίων om. SD 17 καὶ εἰς ἑτέρους om. V 19 καὶ ἀναστῆναι W τὸν χν̄ mA ἐν δυνάμει τοῦ [τοῦ om. n] προσ̄ ἐκ νεκρῶν nA πνσ̄ W 20 λε̄ W 23 ὃς καὶ D 24 δικαιοσύνην SDR μὲν om. R θεότησ D ὑποστάσει R 24/25 φύσις — θεότητος om. SD 26 ἔργον ἂν AR δὴ ἔργον ἂν VW ἂν ἔργον SD πᾶν] παρ' SD 26/27 πρεπόντων — πάντα om. SD 27 υἱοῦ] οὗ καὶ SD 30 ἑαυτῶι] αὐτῷ W 31 οὐ λαλῶ οὐδὲν AR ὁ ἐν VD αὐτὸσ ποιεῖ τὰ ἔργα D 32 τοῦτο λέγοιτο SD 34 εὑρίσκομεν SD ἀνενεργῆ VW 37 πιστεύουσιν A

ἐγείραντα Ἰησοῦν Χριστὸν ἐκ νεκρῶν, οὐκ εἰς μόνον ἡ πίστις τὸν πατέρα γέγονε καὶ θεόν, ἀλλὰ γὰρ καὶ εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν. ἄλλως τε (δεῖν γὰρ οἶμαι κἀκεῖνο ἰδεῖν) γέγονεν ἄνθρωπος ὁ μονογενὴς καὶ ὑπέμεινε μὲν σαρκικῶς τὸν θάνατον, ἀνεβίω γε μὴν οὐ κατὰ σαρκὸς ἢ γοῦν ἀνθρωπότητος δύναμιν, ἀλλ' ὡς ἐν ἰσχύι θεότητος
Rom. 4, 17 τῆς ζωογονούσης τοὺς νεκροὺς καὶ καλούσης τὰ μὴ ὄντα ὡς ὄντα. ἀναθετέον οὖν ἄρα τὴν ζωοποίησιν, καὶ μάλα εἰκότως, οὐκ αὐτῆι που πάντως τῆι τοῦ σώματος φύσει, κἂν εἰ γέγονεν ἴδιον τοῦ ἐκ θεοῦ φύντος λόγου, δυνάμει δὲ μᾶλλον τῆι ὑπερτάτηι καὶ φύσει τῆι ὑπὲρ κτίσιν, ὡς ἐν προσώπωι τοῦ θεοῦ καὶ πατρός, ἐξ οὗ πέφηνεν ὁ υἱὸς ἴσος τε καὶ
Rom. 4, 25 ὅμοιος κατὰ πάντα αὐτῶι. πρόεισι δὲ δι' ἀμφοῖν καὶ τὸ πνεῦμα τὸ ζωοποιόν. παραδεδόσθαι δέ φησιν τὸν Χριστὸν διὰ τὰ παραπτώματα ἡμῶν καὶ ἐγηγέρθαι διὰ τὴν δικαίωσιν ἡμῶν. ὥσπερ γὰρ γέγονεν ὑπὲρ ἡμῶν τὸ παθεῖν αὐτὸν τῆι ἰδίαι σαρκὶ τὸν θάνατον, ἵνα λοιπὸν ἀτονήσηι τοῦ θανάτου τὸ κράτος, οὕτω καὶ ἀνεβίω πάλιν ὑπὲρ ἡμῶν, ἐγκαινίζων ἡμῖν τὴν εἰς ἀφθαρσίαν ἐπάνοδον καὶ τῆς ἐν Ἀδὰμ παραβάσεως ἀφανίζων τὰ ἐγκλήματα. δεδικαιώμεθα γὰρ ἐν Χριστῶι τῆς μὲν ἀρχαίας ἐκείνης ἀρᾶς τὴν δύναμιν ἀφανίζοντι διὰ τῆς εἰς ἅπαν ὑπακοῆς, ἀπαλλάττοντι δὲ τῶν ἀρχαίων αἰτιαμάτων τὴν φύσιν· οὐ γὰρ ἐποίησεν ἁμαρτίαν, γέγονε δὲ μᾶλλον εὐδόκιμος ἐν αὐτῶι, καίτοι κατεγνωσμένη, καθάπερ ἤδη προείπομεν, ἐν Ἀδάμ.

P 323 41 Ἢ ἀγνοεῖτε ὅτι ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν, εἰς τὸν θά-
Rom. 6, 3. 4 νατον αὐτοῦ ἐβαπτίσθημεν; συνετάφημεν οὖν αὐτῶι διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον, ἵνα ὥσπερ ἠγέρθη Χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ πατρός, οὕτω καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν. Ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς σκυλεύσας τὸν ἅιδην καὶ τῶν ἐκεῖσε μυχῶν τὴν τῶν καθειρχθέντων
Mt. 28, 19 πνευμάτων ἀπολύσας πληθὺν ἀνεβίω τριήμερος, εἶτα τοῖς ἁγίοις ἔφασκε μαθηταῖς· πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. βαπτιζόμεθα τοίνυν ὥσπερ εἰς ἓν ὄνομα τοῦ πατρός, οὕτω καὶ εἰς ἓν ὄνομα τοῦ υἱοῦ καὶ εἰς τὸν θάνατον αὐτοῦ καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον. διδασκέτωσαν τοίνυν οἱ διορίζοντες εἰς υἱοὺς δύο
PG 1409 τὸν ἕνα Χριστὸν καὶ υἱὸν ἄνθρωπον τε θεῶι συναφθῆναι λέγοντες κατὰ μόνην τὴν ἰσότητα τῆς ἀξίας ἢ γοῦν αὐθεντίας διηρημένων τῶν φύσεων, εἰς τὸν τίνος θάνατον ἐβαπτίσθημεν. εἰ μὲν οὖν ἰδικῶς εἰς τὸν τοῦ θεοῦ λόγου, κατηγορήσομεν ἐναργῶς τῆς ἀκηράτου φύσεως τὴν φθορὰν καὶ καθοριοῦμεν θάνατον τῆς κατὰ φύσιν ζωῆς· εἰ δὲ δὴ φαῖεν ὅτι τοῦ ἐκ γυναικὸς ἰδίαι τε καὶ ἀνὰ μέρος καὶ καθ' ἑαυτὸν νοουμένου, πῶς οὐκ ἐκεῖνό φασιν ἀναφανδὸν ὅτι πάντηι τε καὶ πάντως αὐτὸς εἴη ὁ συντεταγμένος τῶι πατρὶ καὶ τῶι ἁγίωι πνεύματι, τάχα που καὶ ἐξωσθέντος τῆς ἀληθοῦς υἱότητος τοῦ ἐκ θεοῦ φύντος λόγου, εἴπερ ἐστὶ θανάτου δεκτικὸς οὗ καὶ εἰς τὸν θάνατον βεβαπτίσμεθα; ἀλλ' ὁρᾶι που πάντως ὁ
P 324 νοῦν ἔχων διεγηγερμένον τὴν τῶν ἐννοιῶν ἀτοπίαν. οὐκοῦν ἀνάγκη νοεῖν ὅτι γεγονὼς καθ' ἡμᾶς ὁ τοῦ θεοῦ λόγος σαρκὶ πέπονθεν ἑκών. βεβαπτίσμεθα γὰρ οὕτως εἰς τὸν αὐτοῦ θάνατον, ὡς ἑνὸς ὄντος υἱοῦ κατὰ μὲν τὴν τῆς θεότητος φύσιν ἀπαθοῦς, παθητοῦ

VS, D [= mn], ARW

1 γέγονε τὸν πατέρα VAR, corr. V 2 τὸν om. VSDW δεῖ A 7 τῆσ ὑπερτάτησ SD 8 τὴν κτίσιν SD 8/9 καὶ — πάντα VSDW καὶ [καὶ κατὰ A κατὰ R^{corr} καὶ R] πάντα καὶ [καὶ om A] ὅμοιοσ AR 9 πρόσεισι SR ζωοποιοῦν V 10 δικαιοσύνην V 11 ἐν ἡμῖν VSW 14 γὰρ VSDR^{corr}W μὲν R μὲν οὖν A 16 γέγο R αὐτῶ SDRW αὐτῆ VA κατεγνωσμένην V 17 ἤδη om. VW εἴπομεν VRW Ἀδάμ] ἀρχῆ SD 18 λ$\overline{ζ}$ W 20 ἐκ νεκρῶν om. AR 22 ὁ om. VW ἅιδην] θάνατον SD 27 τὸ ἅγιον $\overline{πνα}$ VSD 28 $\overline{χν}$ καὶ $\overline{υν}$ VARW $\overline{κν}$ $\overline{ιν}$ $\overline{χν}$ SD 30 εἰς om. SD λόγου R λόγον VSDAW ἁρτῶσ SD 31 καθαριοῦμεν W δὴ καὶ SD 32 οὐ κἀκεῖνο V 33 τε om. V εἴη ἂν VSDW 34 θεότητοσ SD 35 ἐβαπτίσθημεν W 38 θάνατον αὐτοῦ AR τὴν om. V ἀπαθῆ in ἀπαθῶσ corr. S ἀπαθῶσ in ἀπαθοῦσ corr. n

δὲ κατὰ τὴν σάρκα. ὅτι δὲ ἡμᾶς εἰς καινότητα ζωῆς μεταπλάττει Χριστὸς διὰ τῆς ἀναστάσεως, πῶς ἂν ἐνδοιάσειέ τις; παρίστησι γὰρ ἡμᾶς ἑαυτῷ τε καὶ τῷι πατρὶ ὡσεὶ ἐκ νεκρῶν ζῶντας, καθὰ γέγραπται, καὶ ἀποθανόντας μὲν τῇι ἁμαρτίαι, ζῶντας δὲ τῇι δικαιοσύνηι. Rom. 6, 13

42 Εἰ δὲ τὸ πνεῦμα τοῦ ἐγείραντος Ἰησοῦν Χριστὸν οἰκεῖ ἐν ὑμῖν, ὁ ἐγείρας ἐκ νεκρῶν Ἰησοῦν Χριστὸν ζωοποιήσει τὰ θνητὰ σώματα ὑμῶν διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ πνεύματος ἐν ὑμῖν. Ζωὴ μέν ἐστι κατὰ φύσιν ὁ μονογενὴς τοῦ θεοῦ λόγος, ἐπειδὴ δὲ τὸ θανάτωι κάτοχον ἠμπέσχετο σῶμα καὶ χάριτι μὲν θεοῦ διὰ τῆς ἰδίας σαρκὸς ὑπὲρ παντὸς ἐγεύσατο θανάτου, θεικῶς γε μὴν ἀνεβίω, καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ' αὐτοῦ, ταύτηι τοι κατά γε τοὺς ἀρτίως ἡμῖν ἀποδοθέντας λόγους ἐγηγέρθαι λέγεται παρὰ τοῦ πατρός. πλὴν ἐκεῖνο δὴ πάλιν φέρε δὴ φέρε καταθρήσωμεν, εἰ δοκεῖ. Ζωοποιήσειν ἔφη τὸν πατέρα καὶ τὰ ἡμῶν σώματα διὰ τοῦ πνεύματος αὐτοῦ τοῦ ἐνοικοῦντος ἐν ἡμῖν καὶ ἀληθὲς ὅτι τὸ χρῆμά ἐστιν, οὐκ ἂν ἐνδοιάσειέ τις, ἀλλ' αὐτὸ δὴ τοῦτο τὸ πνεῦμα τὸ ζωοποιὸν καὶ αὐτοῦ πνεῦμά ἐστι τοῦ Χριστοῦ· γέγραπται γὰρ ὅτι ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί, ἀλλ' ἐν πνεύματι, εἴπερ πνεῦμα θεοῦ οἰκεῖ ἐν ὑμῖν. εἰ δέ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἐστιν αὐτοῦ. καὶ πάλιν περὶ τῶν ἁγίων ἀποστόλων· ἐλθόντες δὲ κατὰ τὴν Μυσίαν ἐπείραζον εἰς τὴν Βιθυνίαν πορευθῆναι, καὶ οὐκ εἴασεν αὐτοὺς τὸ πνεῦμα Ἰησοῦ. ὅτε τοίνυν ἴδιόν ἐστι τὸ πνεῦμα καὶ αὐτοῦ τοῦ ἐγηγερμένου, καίτοι τοῦ θεοῦ καὶ πατρὸς ζωοποιοῦντος ἡμᾶς ἐν πνεύματι, πῶς ἔστιν ἀμφιβάλλειν ὅτι πέπρακται μὲν περὶ τὸ ἀνθρώπινον ἡ ἀνάστασις, ἐνήργηκε δὲ τὸ χρῆμα μετὰ τοῦ ἰδίου πατρὸς ὁ ἐξ αὐτοῦ κατὰ φύσιν θεὸς λόγος, οὗ καὶ ἴδιον τὸ πνεῦμά ἐστι τὸ ζωοποιόν; 5 Rom. 8, 11 Hebr. 2, 9 10 Act. 2, 24 15 Rom. 8, 9 P 325 Act. 16, 7 20

43 Εἰ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ, ὃς εἰς ὑμᾶς οὐκ ἀσθενεῖ, ἀλλὰ δυνατεῖ ἐν ὑμῖν. καὶ γὰρ ἐσταυρώθη ἐξ ἀσθενείας, ἀλλὰ ζῆι ἐκ δυνάμεως θεοῦ. καὶ γὰρ ἡμεῖς ἀσθενοῦμεν σὺν αὐτῷι, ἀλλὰ ζήσομεν σὺν αὐτῷι ἐκ δυνάμεως θεοῦ εἰς ὑμᾶς. Ἐσκανδαλίζοντο τινὲς τῶν πεπιστευκότων εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν τάχα που λόγοις τοῖς παρά τινων ἀπενηνεγμένοι πρὸς ἐννοίας τοιαύτας· εἰ θεὸς ἦν ἀληθῶς καὶ υἱὸς κατὰ φύσιν τοῦ πάντα ἰσχύοντος θεοῦ, πῶς οὐ διέδρα τὰς τῶν φονώντων ἐπιβουλάς; πῶς δὲ καὶ ἀτιμότατον ἐπὶ ξύλου θάνατον ἀνατλὰς οὐκ ἂν νοοῖτο καὶ μάλα εἰκότως ἀσθενῆσαι καθ' ἡμᾶς καὶ τῆς τῶν σταυρούντων ἡττῆσθαι χειρός; πρὸς δὴ τὰ τοιάδε φησὶν ὁ θεσπέσιος Παῦλος· εἰ γὰρ δὴ βούλοισθε δοκιμάζειν ὀρθῶς τίς ἂν εἴη καὶ πόσος ὁ λαλῶν ἐν ἐμοί, τὰ καθ' ὑμᾶς αὐτοὺς ἐννενοηκότες ἀποχρῶσαν εὑρήσετε τὴν κατάληψιν. οὐ γὰρ ἠσθένησεν ἐν ὑμῖν, ἀπέφηνε δὲ μᾶλλον δυνατωτάτους διὰ τοῦ ἰδίου πνεύματος, ὥστε δύνασθαι παντὸς κατευμεγεθῆσαι πειρασμοῦ καὶ μάλα ῥαιδίως καὶ ταῖς τῶν παθῶν ἐφόδοις ἀντιφέρεσθαι νεανικῶς. τί οὖν, ὦ Παῦλε, φαίη τις ἄν, οὐκ ἀσθενείας ἔργον εἶναι φὴς τὸ ὑπομεῖναι σταυρόν; P 326 2 Cor. 13, 3. 4 28 30 35

VS, D [= mn], ARW

1 μεταλλάττει SD 5 λζ̄ W ἡμῖν V 6 χν̄ ιν̄ R ἡμῶν VS 7 αὐτῷ W ἡμῖν VSW 8 τὸ AR τῷ VSDW ἡμπίσχετο V καὶ om D 10 ὑπ' αὐτοῦ] ὑπὸ τοῦ θανάτου SD 11 ὑμῖν VW 13 ἐν om. W καὶ om. D τὸ om. V τούτο R 14 τοῦτο om VW ζωοποιοῦν VSDW 15 τοῦ om VW 22 τὸ πνᾱ ἐστι ARW^{corr} ἐστι τὸ πνᾱ V πνᾱ ἐστι SD ἐστι W 23 ζωοποιοῦν VW 24 λῆ W εἰ δὲ SD ἐμοὶ] ἡμῖν W ὑμᾶσ VSAW ἡμᾶσ DR 25 δυνατοῖ VA ὑμῖν VARW ἡμῖν SDW^{corr} post γὰρ superscr εἰ R 26 καὶ] κα in καν corr R ἀσθενοῦμεν in ἀσθενῶμεν corr R 26/27 ζήσομεν in ζήσωμεν corr R 28 τὸν^{2} om. AW 28/29 ἀπενηνεγμένοι ex ἀπενηνεγμένοισ corr. S ἐπενηνεγμένοις VW 30 ἀτιμότατον τὸν VSDW 32 δὴ] δὲ V 33 τί SD ἡμᾶσ VSDW 34 ἐκνενοηκότεσ SD ὑμῖν AR ἡμῖν VSDR^{corr}W 35 δυνατωτάτην SD 36 τοῖσ — ἐφοδίοισ AR 37 φὴσ εἶναι V φὴσ W

ἀλλ' ἔνδειξις ἦν τὸ χρῆμα δυνάμεως. ἆρα τῆς θεοπρεποῦς; οὐ μὲν οὖν, φησίν· ὁμολογῶ γὰρ αὐτὸν ἠσθενηκέναι μὲν σαρκί, ζῆσαι δὲ πάλιν ἐκ δυνάμεως θεοῦ· θεὸς γὰρ ἦν φύσει. πῶς οὖν ἠσθένησεν; συγχωρήσας τῶι ἰδίωι σώματι καὶ θανάτου γεύσασθαι
Hebr.2 14.15 δι' ἡμᾶς, ἵνα διὰ τοῦ θανάτου καταργήσηι τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον, καὶ ἀπαλλάξηι τούτους ὅσοι φόβωι θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. ὅτε τοίνυν τὸ ἀσθενῆσαι βραχύ, κατά γε τὴν σάρκα φημί, σωτηρίας ἦν πρόφασις τοῖς ἀνὰ πᾶσαν τὴν ὑπ' οὐρανόν, πῶς οὐκ ἔδει παθεῖν τὴν ἀσθένειαν, ἵνα δι' αὐτῆς καταργήσας τὸν θάνατον θαυμάζηται πάλιν τὸν ἑαυτοῦ ζωοποιήσας ναόν, οὐκ ἐξ ἀσθενείας τοῦτο κατορθῶν σαρκικῆς, ἀλλ' ὡς ἐκ
Ioh. 11, 25 δυνάμεως θεοῦ; ἔστι δὲ αὐτὸς ἡ δύναμις τοῦ πατρός, ἡ ἀνάστασις καὶ ἡ ζωή. ζῆι τοιγαροῦν ἀεί, ζωὴ γάρ ἐστιν· ὅτι δὲ καὶ ἡμεῖς ζήσομεν σὺν αὐτῶι, συνησθενηκότες αὐτῶι κατά γε τὸ ἀποθνήισκειν τέως, εἰ καὶ ἐν ἐλπίσιν ἐσμὲν τῆς εἰς αἰῶνα ζωῆς, πῶς ἔστιν
Col. 1, 18 ἀμφιβάλλειν; ἀνεβίω γὰρ ἐκ νεκρῶν, ὁδὸς εἰς ζωὴν γεγονὼς τῆι φύσει. εἴρηται γὰρ
1 Cor. 15, 20 πρωτότοκος ἐκ νεκρῶν καὶ ἀπαρχὴ τῶν κεκοιμημένων.

44 Νῦν ἡ ψυχή μου τετάρακται, καὶ τί εἴπω· πάτερ, σῶσόν με ἐκ τῆς
Ioh. 12, 27.28 ὥρας ταύτης; ἀλλὰ διὰ τοῦτο ἦλθον εἰς τὴν ὥραν ταύτην. πάτερ, δόξα-
P 327 σόν σου τὸν υἱόν. καὶ πάλιν· ἤρξατο λυπεῖσθαι καὶ ἀδημονεῖν καὶ λέγειν·
Mt. 26, 37.38 PG 1413 περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου. καὶ πάλιν· καὶ φωνήσας φωνῆι
Lc. 23, 46 μεγάληι ὁ Ἰησοῦς εἶπεν· πάτερ, εἰς χεῖράς σου παρατίθεμαι τὸ πνεῦμά μου. Οἱ τῆς Ἀπολιναρίου δόξης ἡττώμενοι καὶ τὰ αὐτῶι δοκοῦντα φρονεῖν ἠιρημένοι ἐνιστάμενοί τε καὶ λέγοντες ἄψυχόν τε καὶ ἄνουν ὑπάρχειν τὸν ἐνωθέντα τῶι λόγωι ναὸν τί δὴ ἄρα φαῖεν ἄν, γεγραφότων ἡμῖν τὰ τοιάδε τῶν ἁγίων εὐαγγελιστῶν περὶ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ; πτοίας μὲν γὰρ καὶ λύπης καὶ τῶν εἰς δειλίαν αἰτιαμάτων ἀνεπίδεκτος παντελῶς εἴη ἂν κατά γε τὸ εἰκὸς ἡ θεία τε καὶ ἀνωτάτω τοῦ λόγου φύσις. παραιτήσεται γὰρ εἰς ἅπαν τὸ ἔν γε τούτοις εἶναί ποτε καὶ παθῶν ὅλως τῶν καθ' ἡμᾶς οὐκ ἀνέξεται. σῶμα δὲ πάλιν ἄψυχόν τε καὶ ἄνουν οὐκ ἂν εἰσδέξαιτο λύπην, ἀλλ' οὐδ' ἂν ἐννοήσειέν τι τῶν σκυθρωπῶν ἢ τὸν ἐκ τῶν ἔσεσθαι προσδοκωμένων προαναθρήσει φόβον. πάθοι δ' ἂν τὰ τοιάδε κατά γε τὸ πᾶσιν, ὥς γε οἶμαι, δοκοῦν ψυχὴ λογικὴ κατασκεπτομένη τῶι νῶι τά τε ἤδη παρόντα καὶ πρός γε τούτοις τὰ συμβησόμενα. πῶς οὖν ἄρα φησὶν ὁ Ἐμμανουὴλ νῦν ἡ ψυχή μου τετάρακται; πῶς δὲ ἤρξατο λυπεῖσθαι καὶ ἀδημονεῖν; ἢ καὶ ποῖον ὅλως εἰς χεῖρας τοῦ θεοῦ καὶ πατρὸς παρέθετο πνεῦμα, εἰ καὶ τῆς θεότητος τὸ χρῆμά ἐστιν ἀλλότριον καὶ μὴν καὶ μόνης καὶ ἀψύχου σαρκός; πρόδηλον οὖν ὅτι γέγονεν ἄνθρωπος ὁ μονογενής, οὐκ ἄψυχόν τε καὶ ἄνουν σῶμα λαβών, ἐψυχωμένον δὲ μᾶλλον ψυχῆι λογικῆι καὶ τελείως ἐχούσηι κατά γε τὸν αὐτῆι πρέποντα
P 328 λόγον, καὶ ὥσπερ οἰκειοῦται πάντα τὰ τοῦ ἰδίου σώματος, οὕτω καὶ τὰ τῆς ψυχῆς. ἔδει γὰρ αὐτὸν διὰ παντὸς ὁρᾶσθαι πράγματος σαρκικοῦ τε καὶ ψυχικοῦ καθ' ἡμᾶς γεγονότα·

20—36 Fcyr 174 ἐκ τῆς αὐτῆς ἐπιστολῆς· οἱ τῆς Ἀπολοναρίου — καὶ ψυχικοῦ

VS, D [= mn], ARW

1 ἔνδειξισ [ex ἔνδειξιν corr. R] ἦν SDAR ἔνδειξιν εἶναι VW 2 μὲν γὰρ D μὲν om. VD θῦ SD 3 φύσισ SD 5 τουτέστι] ἤγουν D 7 ἦν om. SD τῆσ RW ὑπ' οὐρανόν VSDW οἰκουμένην AR 8 οὖν οὐκ R αὐτοῦ W καταργήση V θαυμάζεται V 10 πατρός] σταυροῦ R 11 ζωή] ζῶν SD συνησθενηκότες] τεθνηκότεσ W 13 ἀμφιβαλεῖν VSD 13/14 ὁδὸς — νεκρῶν om. W 14 κεκοιμημένων ἐγένετο W 15 λθ̄ W 17 λυπεῖσθαι καὶ om. V 18 καὶ² om. AW 19 παρατίθημι SDA 20 ἀπολλιναρίου S 21 ἐνιστάμενοί VAWFcyr ἐπιστάμενοί SDR 22 τὰ om. SDA 23 ποίασ SDW μὲν om. Fcyr 24 ἀληθέσ Fcyr ἀνωτάτη SD 26 εἰσδέξετο V εἰσδέξηται SD 27 οὐδ' ἂν VSDWFcyr οὐδὲ AR 28 δ' om. SDW γε² om. SD 29 κατασκεπομένη R κατεσκηπτιμένη S τῶ νῶ τῶ S 30 δὲ καὶ V 31 τοῦ om. V 32 μὴν καὶ] μηδὲ V καὶ om. V 34 ἐμψυχωμένον SDW καὶ λογικῆ καὶ SD 36 τε om. VSDW τε ἅμα Fcyr γεγονότοσ SD

ἐσμὲν δὲ ἡμεῖς ἐκ ψυχῆς λογικῆς καὶ σώματος. ὥσπερ δὲ οἰκονομικῶς συγκεχώρηκε τῇ ἰδίαι σαρκὶ καὶ παθεῖν ἔσθ' ὅτε τὰ ἴδια, οὕτω πάλιν συνεχώρει καὶ τῇ ψυχῇ τὰ οἰκεῖα παθεῖν καὶ τὸ τῆς κενώσεως μέτρον τετήρηκε πανταχοῦ, καίτοι θεὸς ὢν φύσει καὶ ὑπὲρ πᾶσαν τὴν κτίσιν. παρατίθεται δὲ τὸ ἴδιον πνεῦμα τῷι θεῷι καὶ πατρί, τουτέστι τὴν ἑνωθεῖσαν αὐτῷι ψυχήν, ἵνα ἡμᾶς καὶ διὰ τούτου πάλιν εὐεργετήσηι. πάλαι μὲν γὰρ ἀπαλλαττόμεναι τῶν σωμάτων ἐν τοῖς ὑπὸ χθόνα μυχοῖς αἱ τῶν ἀνθρώπων ψυχαὶ κατεπέμποντο, πληροῦσαι τὰ τοῦ θανάτου ταμιεῖα· ἐπειδὴ δὲ Χριστὸς τὸ ἴδιον πνεῦμα παρέθετο τῷι πατρί, καὶ ταύτην ἡμῖν ἐνεκαίνισεν τὴν ὁδόν. βαδιούμεθα γὰρ οὐκ εἰς ἅιδου, πόθεν; ἐψόμεθα δὲ μᾶλλον καὶ κατὰ τοῦτο αὐτῷι καὶ πιστῷι κτίστηι τὰς ἑαυτῶν παρατιθέμενοι 1 Petr 4, 19 ψυχὰς ἐν ἐλπίσιν ἐσμὲν ἀγαθαῖς, ἐγερεῖ δὲ ἅπαντας ὁ Χριστός.

45 Καθὼς ἀπέστειλέν με ὁ ζῶν πατὴρ κἀγὼ ζῶ διὰ τὸν πατέρα, καὶ ὁ Ioh. 6, 57 τρώγων με κἀκεῖνος ζήσει δι' ἐμέ. Ἡδέως ἂν ἐπυθόμην τῶν εἰς δύο Χριστοὺς PG 1416 διοριζόντων τὸν ἕνα· τίς δὴ ἄρα ἐστὶν ὁ ἀπεσταλμένος παρὰ τοῦ θεοῦ καὶ πατρὸς καὶ ζῶν δι' αὐτὸν ὑπάρχων τε διὰ τοῦτο ζωοποιός; εἰ μὲν οὖν γυμνὸς καὶ καθ' ἑαυτὸν ὁ ἐξ αὐτοῦ λόγος, πῶς ἐσθίεται πρὸς ἡμῶν, ἵνα ζήσωμεν δι' αὐτόν; ἀσώματον γὰρ τῇι φύσει τὸ θεῖον· εἰ δὲ μόνον καὶ καθ' ἑαυτὸν ἄνθρωπον εἶναί φασι τὸν ἀπεσταλμένον, πῶς ἄρα P 329 ἐστὶ ζωοποιός, ὅτι ζῇι διὰ τὸν πατέρα; καίτοι πῶς οὐχ ἅπαντες οἱ ἐπὶ τῆς γῆς ἐν ζῶσιν ἐσμέν, ζωοποιοῦντος ἡμᾶς τοῦ θεοῦ καὶ πατρός, εἴπερ ἐστὶν ἀληθὲς ὅτι ζῶμεν ἐν αὐτῷι Act. 17, 28 καὶ κινούμεθα καὶ ἐσμέν; ὅτε τοίνυν ζῶμεν ἅπαντες διὰ τὸν πατέρα, πῶς δὴ μόνον τὸ ἑνὸς ἀνθρώπου σῶμα ζωοποιόν ἐστι διὰ τοῦτο καὶ οὐχὶ δὴ μᾶλλον τὴν αὐτὴν ἐνέργειαν ἔχει καὶ τὰ ἑτέρων, εἴπερ ἅπαντες, ὡς ἔφην, ἐσμέν τε καὶ ζῶμεν διὰ τὸν πατέρα; τί οὖν ἄρα πρὸς ταῦτα φαμέν; ἀπόστολος κεχρημάτικεν ὁ τοῦ θεοῦ λόγος ἐν ἀνθρωπείαι μορφῇι πεφηνώς· ἀπεστάλη γὰρ κηρύξων αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνά- Lc. 4, 19 βλεψιν. ζῇι δὲ διὰ τὸν πατέρα· γεγέννηται γὰρ ἐκ ζῶντος πατρός. ἔδει γὰρ ἔδει πάντηι τε καὶ πάντως κατὰ φύσιν εἶναι ζωὴν τὸν ἐκ ζῶντός τε καὶ ζωῆς τοῦ θεοῦ καὶ πατρὸς ἐκπεφυκότα υἱόν. ἐπειδὴ δὲ ἴδιον ἐποιήσατο σῶμα τὸ ἐκ τῆς ἁγίας παρθένου ληφθέν, ζωοποιὸν ἀπέφηνεν αὐτὸ καὶ μάλα εἰκότως· σῶμα γάρ ἐστι τῆς τὰ πάντα ζωογονούσης ζωῆς. οὐκοῦν οὐ διαιρετέον εἰς δύο υἱοὺς τὸν ἕνα υἱὸν καὶ Χριστὸν καὶ κύριον, εἴπερ ἐστὶν ὁ αὐτὸς ζωὴ μὲν ὡς ἐκ ζωῆς καὶ ζῶντος πατρός, ζωοποιὸς δὲ καὶ διὰ τοῦ ἰδίου σώματος ὡς καθ' ἡμᾶς γεγονὼς καὶ ἐνανθρωπήσας θεός.

46 Ὥσπερ γὰρ ὁ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷι, οὕτω καὶ τῷι υἱῷι ἔδωκε Ioh. 5, 26. 27 ζωὴν ἔχειν ἐν ἑαυτῷι καὶ ἐξουσίαν ἔδωκεν αὐτῷι κρίσιν ποιεῖν, ὅτι υἱὸς ἀνθρώπου ἐστίν. Τίνα δὴ τρόπον οἰηθείη τις ἂν ἔχειν ἐν ἑαυτῷι τὴν ζωὴν τὸν πατέρα; ἆρα γὰρ ἔξωθεν καὶ εἰσκεκριμένην καὶ παρ' ἑτέρου δοθεῖσαν; καίτοι πῶς οὐ λῆρος P 330 ἂν εἴη τοῦτό γε φρονεῖν ἢ λέγειν; ἔχει γὰρ οὐ μετρίαν ὁ λόγος τῆς ἀπορρήτου φύσεως

1—4 Doctr. patr. 15, 29 τοῦ αὐτοῦ εἰς τὸ νῦν ἡ ψυχή μου τετάρακται· ὥσπερ δὲ — κτίσιν
1—3 Fcyr 175 τοῦ αὐτοῦ ἐκ τῆς αὐτῆς ἐπιστολῆσ· ὥσπερ — πανταχοῦ

VS, D [= mn] ARW

1 ἐσμὲν — σώματος om. SD δὲ καὶ V ἡμεῖς om. W τὲ καὶ VW 2 καὶ[1] om. WFcyr καὶ τῇ ψυχῇ συνεχώρει V 5 εὐεργετῇ AR 6 αἱ ψυχαὶ τῶν ἀνθρώπων AR 7 ταμεῖα SD 8 ἀνεκαίνισε D 9 αὐτὸ V καὶ] τῷ VW παραθέμενοι SD 10 ψυχαῖσ S δὲ AR γὰρ VSDW 11 μ̄ W 12 ζήσεται DW ἂν om. V 13 δὴ] δὲ SD τοῦ om. SD 14 ὑπάρχει D 16 ἑαυτὸν τὸν SD 18 τοῦ θῦ καὶ πρ̄σ ἡμᾶσ V 20 ζωοποιόν] τὸ ποιοῦν VW διὰ om. VW δὴ om. V 22 ἄρα om. V φαμὲν πρὸσ ταῦτα SD κεχρημάτηκεν VR 25 πάντη τε SDRcorr πάντοτε VRW πάντη A ζωῆς] ζωὴ S ζωὴν D 26 τὸ σῶμα τὸ SD 28 οὐ διαιρετέον εἰσ υἱοὺσ δύο VW εἰσ δύο υἱοὺσ οὐ διαιρετέον SD 29 ὁ om W καὶ[2] om SDW 30 γεγονὸσ R 31 μ̄ᾶ W 31/32 οὕτω — ἑαυτῷι om SD 31 δέδωκε V 32 καὶ κρίσιν V 35 γε] ἢ SD

τὴν κατάρρησιν. πρῶτον μὲν γὰρ οὐχ ἁπλοῦς ἔτι τὴν φύσιν ὁ τῶν ὅλων ἔσται θεός, σύνθετος δὲ μᾶλλον, εἴπερ ἐστὶν ἑτέρα παρ' αὐτὸν ἡ ἐν αὐτῷ ζωή· εἴη δ' ἄν καὶ μείζων αὐτοῦ καὶ ἐν ἀμείνοσιν ἀσυγκρίτως ὁ ὡς οὐκ ἔχοντι δοὺς τὴν ζωήν, εἴπερ ὅλως ἀλοίη λαβών. ἀλλ' ἔστιν, ὡς ἔφην, τῶν ἄγαν ἀπηχεστάτων τὸ ὧδέ τε ἔχειν οἴεσθαι ταυτὶ καὶ θύραθεν ἐννοεῖν εἰσκεκομισμένην ἔχειν τὴν ζωὴν τὸν θεὸν καὶ πατέρα. ἔχει τοίνυν ἐν ἑαυτῷ τὴν ζωὴν οὐκ ἐπίκτητον ἢ εἰσκεκριμένως, φυσικῶς δὲ μᾶλλον ἐνυπάρχουσάν τε αὐτῷ καὶ οὐσιώδη καρπόν. οὕτω δέδωκεν ἔχειν καὶ τῷ υἱῷ τὴν ζωήν. εἶτα πῶς
PG 1417 ἂν δύναιτο λαβὼν ὁ υἱὸς οὐσιωδῶς ἔχειν ἐν ἑαυτῷ τὴν ζωήν; τουτὶ γάρ, οἶμαι, φαίη τις ἄν. ἔχει τοίνυν ὡς ἐξ αὐτοῦ κατὰ φύσιν ὑπάρχων ἐν ἑαυτῷ τὴν ζωὴν καθὸ νοεῖται θεός, δέχεται δὲ μετὰ τοῦ κρίνειν αὐτήν, καίτοι κριτὴς ὑπάρχων ὡς θεός. καὶ τίς ἂν
Ioh. 5, 27 εἴη τοῦ λαβεῖν ὁ τρόπος, διδάξει λέγων αὐτὸς ὅτι υἱὸς ἀνθρώπου ἐστίν. οὐ γὰρ ἴδιον ἀνθρώπου τὸ οἴκοθεν ἔχειν δύνασθαι τὴν ζωήν· ἐπειδὴ δὲ ἴδιον γέγονεν τοῦ ζῶντος λόγου τὸ ἑνωθὲν αὐτῷ σῶμα, ταύτῃ τοι καὶ μάλα εἰκότως, ὡς ἔχον αὐτοῦ τὴν ζωοποιὸν ἐνέργειαν, λαβεῖν λέγεται τὴν ζωήν. οἰκειοῦται δὲ πάλιν τὸ χρῆμα αὐτός, οὗ καὶ ἴδιον γέγονεν σῶμα τὸ εἰληφός.

"Οτι κἂν υἱὸς ἀνθρώπου λέγηται Χριστός, ἀλλ' οὐδὲν ἧττόν ἐστιν θεὸς ἀληθινός

P 331 47 Αὐτός πού φησιν ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός· ἆρά γε ἐλθὼν ὁ υἱὸς τοῦ
Lc. 18, 8 ἀνθρώπου εὑρήσει τὴν πίστιν ἐπὶ τῆς γῆς; Φέρε δὴ πάλιν τὸν τῶν εἰρημένων βασανίζοντες νοῦν ἐκεῖνο περιαθρήσωμεν ποίαν ζητήσει πίστιν ἐπὶ τῆς γῆς ὑπονοστήσας ἐξ οὐρανῶν ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός. εἰ μὲν πιστεύεσθαι πρὸς ἡμῶν ἐθέλει ὅτι θεὸς μὲν οὔκ ἐστιν οὐδὲ υἱὸς ἀληθῶς, ἄνθρωπος δὲ μᾶλλον οὐδὲν ἔχων τῶν καθ' ἡμᾶς ἐπέκεινα, πῶς ἂν ἐνδοιάσειέ τις ὅτι τὴν τοιάνδε διάληψιν ἢ γοῦν πίστιν τε καὶ δόξαν οὐ παρ' ἡμῖν εὑρήσει μᾶλλον, ἀλλὰ παρ' Ἕλλησί τε καὶ Ἰουδαίοις; εἰδωλολάτραι μὲν γὰρ
Rom. 1, 25 καὶ οἱ τῇ κτίσει παρὰ τὸν κτίστην λατρεύοντες, σταυρὸν ἀκούοντες ὃν ὑπέμεινε δι' ἡμᾶς, καὶ προσέτι τὸν θάνατον, γελῶσιν οἱ δείλαιοι, κἂν εἴ τις αὐτὸν ὀνομάζοι θεόν, ἀναπηδῶσιν εὐθὺς ἀνθρωπολατρίαν εἶναι τὸ χρῆμα διοριζόμενοι· οἵ γε μὴν ἐκ περιτομῆς κατεφύοντο
Ioh. 10, 33 τοῦ Χριστοῦ, λέγοντες ἐναργῶς· περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας, ὅτι σὺ ἄνθρωπος ὢν ποιεῖς σεαυτὸν θεόν. ὅτε τοίνυν οὐ τὴν παρά γε τοῖς πλανωμένοις πίστιν ἐπιζητεῖ, τὴν ἐν ἡμῖν δὲ μᾶλλον τοῖς ὀρθὰ φρονεῖν εἰωθόσι, πᾶσά πως ἀνάγκη διανενευκότας εἰς ἀλήθειαν ὁμολογεῖν ὅτι θεός ἐστι κατὰ φύσιν ὁ καὶ υἱὸς ἀνθρώπου δι' ἡμᾶς γεγονώς, ἵνα μὴ τοῖς τῶν πλανωμένων ἐγκλήμασιν ἑαυτοὺς ἐνιέντες λάθωμεν τὰ ἴσα φρονεῖν ἠιρημένοι καὶ μικρὰ δοξάσαντες περὶ Χριστοῦ καθάπερ ἀμέλει κἀκεῖνοι.

P 332 48 Φησί που Χριστός· οὐδὲ γὰρ ὁ πατὴρ κρίνει οὐδένα, ἀλλὰ πᾶσαν τὴν
Ioh. 5, 22. 23 κρίσιν ἔδωκε τῷ υἱῷ, ἵνα πάντες τιμῶσι τὸν υἱόν, καθὼς τιμῶσι τὸν

VS, D [= mn], ARW

3 ἐν om. spat. rel. W ἀμείνονοσ W ὁ — ζωήν om. W διδοὺσ SD 4 ἀτυχεστάτων W 5 ἔχειν AR ἑλεῖν VSDW 6 τὴν ζωὴν ἐν ἑαυτῷ AR ἢ] μὴ R τε om. W 7 καρπόν corruptum, conicio καὶ ζωοποιόν δέδωκασ A 7/8 εἶτα — ζωήν om. SD 9 ἑαυτοῦ SDW 10 δὲ μᾶλλον SD 12 δύνασθαι οἴκοθεν ἔχειν V 13 ἔχων SDR 14 καὶ om. VW 16 ὁ χσ VSDW 17 μβ W ὁ[2] om. VSD 19 βασανίζοντα S βασανίσαντεσ W ἐπὶ τῆς γῆς om. D 19/20 ὁ κσ ἡμῶν ἰσ χσ ὑπονοστήσασ ἐξ οὐρανῶν SD 20 οὐρανοῦ A ἡμῶν om. AR ὁ om. VSD μὲν γὰρ VSDW παρ' W 22 τὸ ἐπέκεινα AR τὴν om. W 23 γὰρ om. D 26 ἀνθρωπολατρείαν VDR, corr. R πρᾶγμα D καταφύονται SD 27 Χριστοῦ] σωτῆροσ V λέγοντοσ VR, corr. R 28 ἑαυτὸν V ὅτι W 29 γε] τε R ἐν] παρ' V om. W 30 διενεγκόντασ V ἐστι om. VSDW 32 δοξάζοντεσ VSD δόξαντεσ W 34 μτ W φησὶν γὰρ που ὁ χσ R 35 δέδωκε D

πατέρα. καὶ πάλιν, ὅπερ ἐλέγομεν ἀρτίως· ὥσπερ γὰρ ὁ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, Ioh. 5, 26. 27
οὕτως καὶ τῷ υἱῷ ἔδωκεν ἔχειν ζωὴν ἐν ἑαυτῷ καὶ ἐξουσίαν ἔδωκεν αὐ- PG 1420
τῷ κρίσιν ποιεῖν ὅτι υἱὸς ἀνθρώπου ἐστίν. ψάλλει δέ που καὶ ὁ μακάριος
Δαυὶδ ὅτι ὁ θεὸς κριτής ἐστι, γέγραφε δὲ καὶ ὁ αὐτοῦ μαθητής· εἷς ἐστιν ὁ νο- Ps. 49, 6
μοθέτης καὶ κριτής. Οὐκοῦν πρέποι ἂν οὐχ ἑτέρωι τινὶ τῶν ὄντων τὸ κρίνειν πλὴν Iac. 4, 12
ὅτι μόνωι τῷι ἐπὶ πάντων θεῷι. πῶς οὖν δέδωκεν αὐτὸ τῷι υἱῷι τοῦ ἀνθρώπου; εἰ 6
μὲν οὖν ὡς ἑνὶ τῶν καθ' ἡμᾶς, πῶς ἀληθεύσει λέγων· τὴν δόξαν μου ἑτέρωι οὐ Ies. 48, 11
δώσω; θεῷι γὰρ δόξα τὸ εἶναι κριτῆι· εἰ δὲ δοὺς αὐτὸ τῷι υἱῷι οὐκ ἔξω γέγονε τοῦ κρίνειν
αὐτὸς διὰ τὴν ταυτότητα τῆς οὐσίας, ἔστι δὲ ὁ λαβὼν υἱὸς ἀνθρώπου, πῶς οὐχ ἅπασιν
ἐναργὲς ὅτι θεὸς μέν ἐστιν ὁ λόγος διὰ τὴν ἐκ θεοῦ πατρὸς ἀπόρρητον γέννησιν, ὁ αὐτὸς 10
δὲ καὶ υἱὸς ἀνθρώπου διὰ τὸ ἡνῶσθαι σαρκὶ καὶ τὴν καθ' ἡμᾶς ὑπομεῖναι γέννησιν ἐκ
γυναικός; ὅταν οὖν λέγηι πρὸς Ἰουδαίους· τί με ζητεῖτε ἀποκτεῖναι, ἄνθρωπον Ioh. 8, 40
ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα; καὶ πάλιν· καὶ οὐδεὶς ἀναβέβηκεν εἰς τὸν Ioh. 3, 13
οὐρανὸν εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ υἱὸς τοῦ ἀνθρώπου, καὶ πάλιν·
καὶ καθὼς Μωυσῆς ὕψωσεν τὸν ὄφιν ἐν τῆι ἐρήμωι, οὕτως ὑψωθῆναι δεῖ 15 Ioh. 3, 14
τὸν υἱὸν τοῦ ἀνθρώπου, ἢ καὶ ὅταν λέγηι περὶ ἑαυτοῦ· μέλλει γὰρ ὁ υἱὸς τοῦ Mt. 16, 27
ἀνθρώπου ἔρχεσθαι ἐν τῆι δόξηι τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν ἁγίων ἀγγέ-
λων, καὶ πάλιν· τίνα λέγουσιν οἱ ἄνθρωποι εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου; ἢ καὶ ἅπαξ Mt. 16, 13
ἁπλῶς ὁσάκις ἂν ἄνθρωπος ὀνομάζηται παρὰ τῆι θεοπνεύστωι γραφῆι, οὐκ ἰδίαι καὶ ἀνὰ P 333
μέρος ἄνθρωπον εἶναι φαμέν, ἀποδιαιροῦντες αὐτὸν τὸν ἐκ θεοῦ πατρὸς λόγον, πιστεύομεν 20
δὲ μᾶλλον ὅτι καὶ θεός ἐστιν ἀληθινός, γέγονε δὲ καὶ υἱὸς ἀνθρώπου δι' ἡμᾶς οἰκονομικῶς
μετὰ τοῦ μεῖναι θεὸς καὶ εἷς ἐστι κύριος Ἰησοῦς Χριστός. ἀσεβὲς δὲ λίαν τὸ διορίζειν
εἰς δύο υἱοὺς καὶ Χριστοὺς δύο μετὰ τὴν ἀδιάσπαστον ἕνωσιν, ἣ καὶ νοῦ καὶ λόγου παντὸς
ἐπέκεινά τέ ἐστι καὶ ἀνωτάτω. καὶ ἦν μὲν ἴσως οὐ δυσχερὲς ἅγαν τοῖς ἐθέλουσι βασα-
νίζειν ἅπαντα τὰ περὶ Χριστοῦ γεγραμμένα καὶ πλειόνων ἐννοιῶν ποιήσασθαι τὴν παράθεσιν, 25
ἀλλ' ἴσμεν τὸ γεγραμμένον· δίδου σοφῶι ἀφορμήν, καὶ σοφώτερος ἔσται. Prou. 9, 9
ποδηγήσει γὰρ ὁ τῶν ὅλων θεὸς διὰ τοῦ ἁγίου πνεύματος τὰς θεοφιλεστάτας ὑμῶν δια-
νοίας εἴς γε τὸ δύνασθαι νοεῖν ὀρθῶς. εὑρὼν γὰρ οὕτω Χριστὸς καὶ ἐν ὑμῖν τὴν πίστιν
ἀκλινῆ καὶ ἀβέβηλον, στεφανώσει πλουσίως τοῖς ἄνωθεν ἀγαθοῖς καὶ παμμακαρίας ἀποφανεῖ.
πᾶσα γὰρ ἡμῶν ἐλπὶς ἐν Χριστῶι, δι' οὗ καὶ μεθ' οὗ τῶι πατρὶ ἡ δόξα σὺν ἁγίωι πνεύ- 30
ματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

VS, D [= mn], ARW

1 ὥσπερ SD λέγομεν S 2 ζωὴν ἔδωκεν ἔχειν A ἑαυτῇ S 3 καὶ κρίσιν VW 4 δέ που D 6 πάντας R ἔδωκεν VA 7 οὖν om. R 8 θῡ VSDW κριτὴν VSDW 11 καὶ¹ om. R τὴν om. VSDW 13 καὶ² om. AR ἀνέβηκεν S 14/15 πάλιν καὶ om. A 15 μωσῆσ SD 16 καὶ om. VW αὐτοῦ SRW, corr. R 17/18 τῶν ἀγγέλων τῶν ἁγίων SDW 18 τίνα με VAW 19 ἂν om. SDAR ὀνομάζεται VSD 20 ἄνθρωπον om A αὐτὸν AR αὐτοῦ VW om. SD 22 εἶναι VW λίαν om. D 23 δύο — δύο A υἱοὺσ δύο καὶ χριστοὺσ δύο R δύο υἱοὺσ καὶ δύο χριστοὺσ VSW δύο χριστοὺσ καὶ δύο υἱοὺσ D 27/28 διανοίας] ἀκοάσ V 28 ὀρθῶσ νοεῖν VSDW καὶ om. V 29 ἀκλινῆ] ἀληθῆ A παμμακαρίουσ V 30 τῷ [τῷ θῷ καὶ W] πρὶ ἡ [ἡ om. n] δόξα VSnW ἡ [om. m] δόξα τῷ πρὶ mAR σὺν τῷ m ἅμα τῷ AR

150 = S 5 A 159

Κυρίλλου ἐπισκόπου Ἀλεξανδρείας προσφωνητικὸς ταῖς εὐσεβεστάταις δεσποίναις

1 Σεμνολόγημα μὲν οἰκουμενικόν, καύχημα δὲ τῶν ἁγίων ἐκκλησιῶν τοῦ πάντων ἡμῶν
PG 76, 1201 Pusey 154 σωτῆρος Χριστοῦ φαίη τις ἂν καὶ μάλα εἰκότως ὑμᾶς δὴ τὰς ἱερὰς καὶ πανάγνους αὐτοῦ
νύμφας, εὐσεβέσταται καὶ θεοφιλέσταται βασιλίδες, αἷς τὸ παμποίκιλον τῆς ἀρετῆς ἐνα- 5
στράπτει κάλλος τὸ τοῖς τῆς θεότητος ὀφθαλμοῖς ἡδύ τε καὶ γνωριμώτατον, μελέτῃ δὲ
καὶ σπουδῇ ⟨κατορθοῦται⟩, μᾶλλον δὲ ἤδη κατώρθωται καὶ δεῖν ἐν πίστει διαπρέπειν ὀρθῇ
καὶ κατ' οὐδένα τρόπον σεσαλευμένῃ. γράφων δέ πού φησιν ὁ σοφώτατος Παῦλος
1 Cor. 15, 58 ὁ νομομαθὴς ἀληθῶς καὶ τὸ Χριστοῦ τοῖς ἔθνεσιν ἱερουργήσας μυστήριον· ὥστε, ἀδελφοί
μου ἀγαπητοί, ἑδραῖοι γίνεσθε, ἀμετακίνητοι, περισσεύοντες ἐν τῷι 10
P 155 ἔργωι τοῦ κυρίου πάντοτε. ὅπου γὰρ πίστις ὀρθὴ καὶ ἀμώμητος τοῖς ἐξ ἔργων
ἀγαθῶν αὐχήμασιν εὖ μάλα συμφέρεται καὶ ἰσόδρομον ἔχει τὴν εἰσβολήν, ἐκεῖ που πάντως
εἴη ἂν ἐν παντὶ καλῶι τελειότης καὶ τὸ ἀρτίως ἔχον εἰς ἁγιασμόν. λόγος μὲν οὖν ἅπας
ὁ ἐν ἡμῖν τῆς ἐνούσης ὑμῖν εὐκλείας κατόπιν ἔρχεται καὶ ὁμολογεῖ τὴν ἧτταν ἐρυθριάσας
οὐδέν, εἴη δ' ἂν καὶ συγγνώμης ἄξιος, εἰ δέδιεν ἐπαινεῖν ὧν οὐκ ἂν ἐφίκοιτο τῆς ἀξίας. 15
εἰ μὲν γὰρ ἔχει τὸ δύνασθαι κατορθοῦν τὸ ποθούμενον, διαβεβλήσεται μὲν πολὺ νοσήσας
τὸ ἀδρανὲς καὶ τὴν εἰς τοῦτο μέλλησιν ἀπαλλαττέτω μηδεὶς τῶν εἰς ῥαιθυμίαν αἰτιαμάτων·
οὓς γὰρ ἦν εἰκὸς κατακαλλύνειν δύνασθαι ταῖς εἰς ἀρετὴν εὐφημίαις, ἀνθ' ὅτου λυπεῖ
σιωπᾶν ἠιρημένος; εἰ δὲ ἀτονεῖ καὶ δέδιε καὶ ὁμολογεῖ τὴν ἧτταν, οὐκ αὐτῶι δὴ μᾶλλον
τὰς αἰτίας ἀναθήσομεν, ἀλλ' ὑμῖν ταῖς οὕτω περιφανέσιν, αἳ ταῖς τῶν ἰδίων ἀνδραγαθη- 20
μάτων ὑπεροχαῖς καὶ τοὺς ἅπαντας κοσμεῖν εἰωθότας λόγους οὐδὲν ὄντας ἀπεφήνατε.
αἷμα μὲν γὰρ ὑμῖν ἄνωθεν καὶ ἐκ μακρῶν ἥκει χρόνων τὸ βασιλικόν, παρατείνει δὲ καὶ εἰς
PG 1204 δεῦρο καὶ ἔτι, καθὰ πεπιστεύκαμεν· ἀλλ' ἰδοὺ δὴ καὶ μάλα σοφῶς καὶ τῆς ἐν Χριστῶι βασιλείας
ἐπιδραττόμεναι τὰ αὐτῶι δοκοῦντα φρονεῖν τε καὶ δρᾶν σπουδάζετε, τοῦτο μέν, ὡς ἔφην,
ἔργοις τε καὶ ἀμωμήτωι διαπρέπουσαι πίστει καὶ τὰς ὑμῶν τε καὶ βασιλέων αὐλὰς τῆι τῆς 25
παρθενίας καταλαμπρύνουσαι δόξηι, τοῦτο δὲ πολυτελεστάτους ἀνιστᾶσαι ναοὺς τῶι Χριστῶι,
2 κεχάρισται γὰρ παρ' αὐτοῦ ταῖς ἁγίαις ὑμῶν ψυχαῖς μετὰ τῶν ἄλλων καὶ τοῦτο. οὐκοῦν
Phil. 4, 4. 5 (ἐρῶ γάρ τι λαβὼν καὶ ἐκ τῶν ἱερῶν γραμμάτων) χαίρετε ἐν κυρίωι πάντοτε, πάλιν
ἐρῶ, χαίρετε· τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν ἀνθρώποις. ἐγνώσθη
P 156 μὲν οὖν καὶ διαβεβόηται καὶ τοῖς ἀνὰ πᾶσαν χώραν τε καὶ πόλιν, καθάπερ τις εἰκὼν γραφὴν 30
ἔχουσα, τῆς εἰς Χριστὸν εὐσεβείας τὸ κάλλος διέλαμψεν ἐναργῶς καὶ τοῦ παντὸς ἠξιώθη
θαύματος. ὠιήθην δὲ δεῖν καὶ ταῖς πρὸς πᾶν ὁτιοῦν τῶν ἀγαθῶν ἐχούσαις ἀρτίως
χάρισμά τι μεταδοῦναι πνευματικὸν ὡς ἁγίαις Χριστοῦ νύμφαις, τοῦτο δὴ τὸ ἀρτίως ἐμοὶ
πονηθὲν βιβλίδιον, οὐ μετρίαν παρέχειν δυνάμενον, ὥς γε οἶμαι, τοῖς ἐντευξομένοις τὴν
ὄνησιν. τοὺς μὲν γὰρ οὐκ ὀρθὰ φρονεῖν δεδιδαγμένους ἢ γοῦν ἀναπεπεισμένους περὶ 35
τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ πρὸς ἐπανόρθωσιν ἀνακομιεῖ καὶ μυσταγωγήσει καλῶς,

---

Fort 156 [p. 68, 20] τοῦ αὐτοῦ ἐκ τῆς ἐπιστολῆς τῆς πρὸς τὰς βασιλίσσας Ἀρκαδίαν καὶ Μαρῖναν

VS, D [= mn] A

ε SD 2 κυρίλλου — ἀλεξανδρείασ VSD τοῦ ἁγίου κυρίλλου A λόγοσ προσφωνητικὸσ D 3 πάντα S παντὸσ D 5 πᾶν ποικίλον SD 5/6 ἐναπαστράπτει V 7 κατορθοῦται addidi 8 γράφων D γράφει VSA 9 ὁ νομομαθὴσ VA ὀνομαθὴσ S ὀνομασθεὶσ D τό A τοῦ S τὸ τοῦ VD 11 τοῦ om. SD 14 ὁ om. SD 16 γὰρ om. V μέν] δὲ D νοήσασ SD 17 τὴν om. SD μέλησιν VDA 19 καὶ οὐκ A 20 τὴν αἰτίαν D 21 ὑπεροχαῖς om. Sn, spat. rel. m 22 μὲν om. D 23 σαφῶσ V καὶ om. D 25 βασιλείουσ V 26 ἀνιστῶσαι VA 27 ἡμῶν S 29 γνωσθήτω VA σιωπηθήτω SD 30 πόλιν τὲ καὶ χώραν SD 31 ἐναργῶσ VA ἀληθῶσ SD 33/34 πονηθὲν ἐμοὶ SD 34 βιβλίον A ἔχειν SD 36 ἡμῶν om. SD

τούς γε μὴν ὀρθῶι βεβηκότας νῶι καὶ τοῖς τῆς ἀληθείας ἐμφιλοχωροῦντας δόγμασιν ἀσφαλεστέρους ἀποφανεῖ τοῖς ἐξ ἀγαθῶν ἐννοιῶν πολυτρόποις εὑρέμασι καὶ ταῖς ἐκ τῆς θεοπνεύστου γραφῆς ἀποδείξεσι. μαθήσεται γὰρ ὅτι φύσει μὲν καὶ ἀληθείαι θεός ἐστιν ὁ Ἐμμανουήλ, θεοτόκος δὲ δι' αὐτὸν καὶ ἡ τεκοῦσα παρθένος. οἱ γὰρ δὴ φάναι τε τοῦτο καὶ φρονεῖν δεδιότες οὐ νενοήκασι κατὰ τὸ εἰκὸς τὸ βαθὺ τῆς εὐσεβείας μυστήριον. χρῆναι δὲ ὑπολαμβάνω διὰ βραχέων εἰπεῖν τήν τε ἀποστολικὴν καὶ εὐαγγελικὴν παράδοσιν ἣν ἐπὶ Χριστῶι πεποίηται τῶι πάντων δεσπότηι, καὶ ἁπάσης δὲ τῆς θεοπνεύστου γραφῆς τὸν ἐπ' αὐτῶι σκοπὸν καὶ ὅποι ποτὲ βλέπει τῶν τῆς ἀληθείας δογμάτων ἡ δύναμις.

3 Πιστεύομεν τοίνυν εἰς ἕνα θεὸν πατέρα παντοκράτορα, πάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητὴν καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν αὐτοῦ, γεννηθέντα κατὰ φύσιν ἐξ αὐτοῦ πρὸ παντὸς αἰῶνος καὶ χρόνου· καὶ γάρ ἐστι συνάναρχος κατὰ χρόνον καὶ συναίδιος τῶι ἰδίωι γεννήτορι σύνεδρός τε καὶ ἰσοκλεὴς αὐτῶι καὶ ἰσότητι κατεστεμμένος τῆι πρὸς πᾶν ὁτιοῦν· χαρακτὴρ γάρ ἐστι καὶ ἀπαύγασμα τῆς ὑποστάσεως αὐτοῦ. πιστεύομεν Hebr. 1. 3 δὲ ὁμοίως καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, οὐκ ἀλλότριον αὐτὸ τῆς θείας φύσεως καταλογιζόμενοι· καὶ γάρ ἐστιν ἐκ πατρὸς φυσικῶς προχεόμενον δι' υἱοῦ τῆι κτίσει. νοεῖται γὰρ οὕτως μία τε καὶ ὁμοούσιος καὶ ἐν ταυτότητι δόξης ἡ ἁγία καὶ προσκυνουμένη τριάς. φαμὲν δὲ ὅτι αὐτὸς ὁ ἐκ τῆς οὐσίας τοῦ θεοῦ καὶ πατρὸς ἀπορρήτως γεγεννημένος μονογενὴς αὐτοῦ λόγος, τῶν αἰώνων ποιητής, ὁ δι' οὗ τὰ πάντα καὶ ἐν ὧι τὰ πάντα, τὸ φῶς τὸ ἀληθινόν, ἡ πάντα ζωογονοῦσα φύσις (ζωὴ γάρ πέφηνεν ὡς ἐκ ζωῆς τοῦ πατρός), ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς, εὐδοκήσαντος τοῦ πατρός, ἵνα σώσηι τὸ ἐπὶ γῆς γένος πεπτωκὸς εἰς ἀρὰν καὶ διὰ τῆς ἁμαρτίας κατακομισθὲν εἰς θάνατον καὶ φθοράν, σπέρματος Ἀβραὰμ ἐπελάβετο κατὰ τὰς γραφὰς καὶ κεκοινώνηκεν αἵματος καὶ σαρκός, τουτέστι γέ- Hebr.2,16.14
γονεν ἄνθρωπος, καὶ σάρκα λαβὼν καὶ ἰδίαν αὐτὴν ποιησάμενος ἐγεννήθη σαρκικῶς διὰ
4 τῆς ἁγίας καὶ θεοτόκου Μαρίας. ἀλλὰ καίτοι καθ' ἡμᾶς γεγονὼς καὶ τὴν τοῦ δούλου μορφὴν οἰκονομικῶς ὑποδὺς μεμένηκεν ἐν τῆι κατὰ φύσιν θεότητι καὶ κυριότητι. οὐ γὰρ πέπαυται τοῦ εἶναι θεός, εἰ καὶ γέγονε σάρξ, τουτέστι καθ' ἡμᾶς τε καὶ ἄνθρωπος· ἐπειδὴ δὲ ἄτρεπτος κατὰ φύσιν ὡς θεός, μεμενηκὼς ὅπερ ἦν ἀεὶ καὶ ἔστιν καὶ ἔσται, κεχρημά-
5 τικεν καὶ υἱὸς ἀνθρώπου καὶ ἐπειδὴ καταβέβηκεν ἑκὼν ἐν τοῖς τῆς ἀνθρωπότητος μέτροις (καθῆκε γὰρ ἑαυτὸν εἰς κένωσιν), ὑπομεμένηκεν ἀναγκαίως καὶ γέννησιν τὴν ἐκ γυναικός, οὐκ ἀρχὴν τοῦ εἶναι λαβούσης τῆς θείας αὐτοῦ φύσεως, ὅτε κατὰ σάρκα γεγεννῆσθαι λέγεται, ἀλλ' ἦν μὲν καὶ ἔστιν, ὡς ἔφην, ἐκ θεοῦ πατρὸς φυσικῶς τε καὶ ἀληθῶς ὁ λόγος, ἐπειδὴ δὲ οὐκ ἄνθρωπος ἁπλῶς νοεῖται καθ' ἡμᾶς ὁ ἐκ τῆς ἁγίας παρθένου γεγεννημένος, P 158
ἀλλ' αὐτὸς σαρκωθεὶς ὁ λόγος καὶ ἴδιον ἔχων σῶμα τὸ ἐξ αὐτῆς, διὰ τοῦτο λέγεται γεγεννῆσθαι σαρκικῶς ὡς τῆς ἰδίας σαρκὸς τὴν γέννησιν οἰκειούμενος.

6 Οἱ δὲ λέγοντες ἀσυνέτως θεοτόκον οὐκ εἶναι τὴν ἁγίαν παρθένον ἐκπίπτουσιν ἀναγκαίως εἰς τὸ δύο λέγειν υἱοὺς τοῦ θεοῦ. εἰ γὰρ μὴ τέτοκε σαρκικῶς σαρκωθέντα θεὸν ἡ ἁγία παρθένος, πᾶσά πως ἀνάγκη καὶ οὐχ ἑκόντας αὐτοὺς ὁμολογεῖν ὅτι κοινὸν γεγέννηκεν ἄνθρωπον, οὐδὲν ἔχοντα παρ' ἡμᾶς τὸ πλεῖον. εἶτα πῶς αὐτῶι κάμψει πᾶν γόνυ καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται ὅτι κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Phil.2, 10.11
θεοῦ πατρός; πῶς αὐτῶι προσκυνοῦσιν ἄγγελοι καὶ τῶν ἀνωτάτω δυνάμεων ἡ ἁγία πληθύς; ἆρ' οὖν ἀνθρώπωι κοινῶι λελάτρευκε μεθ' ἡμῶν καὶ σύμπας ὁ οὐρανός; μὴ γέ- Hebr. 1,6

VS, D [= mn], A

3 proponam γὰρ ⟨ὁ ἐντυγχάνων⟩ 4 τε om. A 5 δεδιότι S 7 coniecerim ⟨πίστεως ἔκθεσιν⟩ πεποίηται 8 βλέποι V 10 τὸν χν VA 14 τὸ[1] om. SD 17 γεγενημένος S 20 καιροῖς τοῦ αἰῶνος V 22 καὶ[1] om. SA 25 κατὰ φύσιν VA φυσικὴ SD 28 καὶ[1] om. V 29 ὑπομεμένηκε γὰρ SD 30 γεγενῆσθαι VSA, corr. V 32 γεγενημένος S 33 αὐτοῦ SD 33/34 γεγενῆσθαι A 37 αὐτοὺς VA αὐτὸν S αὐτὴν D 38 ἡμῶν SD τὸ om. A 40 προσκυνήσουσιν SD 41 ὁ om. SD

νοιτο· προσκυνοῦμεν γὰρ ὡς θεὸν ἀληθινὸν τὸν Ἐμμανουήλ, ἔσται δὲ οὐχ ἑτέρως προσκυνητός, ἐὰν μὴ πιστεύσωμεν ὅτι αὐτὸς ὁ ἐκ θεοῦ λόγος ὁ παρὰ πάσης κτίσεως προ-
Ioh 1, 14 σκυνούμενος σὰρξ ἐγένετο κατὰ τὰς γραφάς, οὐκ εἰς σάρκα μεταβεβλημένος, ἀλλ' ἐκ τῆς
PG 1208 ἁγίας παρθένου σάρκα λαβών, ὡς ἔφην, καὶ ἀνθρωπίνην μεθ' ἡμῶν ὑπομείνας γέννησιν, ἵνα καὶ ἄνθρωπος γεγονὼς ὑπὲρ ἡμῶν ἀποθάνῃ μὲν ἀνθρωπίνως, ἀναστῇ δὲ θεικῶς, πατήσας τοῦ θανάτου τὸ κράτος. οὕτω γὰρ ἦν δύνασθαι καὶ ἡμᾶς ὡς ἐν Χριστῷ νικήσαντας κατευμεγεθῆσαι μὲν τῆς ἁμαρτίας, ἀποδύσασθαι δὲ τὴν φθορὰν καὶ διαδρᾶναι θά-
Os. 13, 14 νατον οὕτω τε εἰπεῖν ἐκ περιχαρείας τῆς ἐπὶ Χριστῷ· ποῦ ἡ νίκη σου, θάνατε; ποῦ
1 Cor. 15,55 τὸ κέντρον σου, ἅιδη; ὥσπερ γὰρ ἐν Ἀδὰμ πεπτώκαμεν, οὕτω νενικήκαμεν ἐν Χριστῷ.

7 εἰ δὲ ἄνθρωπος ἦν κοινὸς ὁ Ἐμμανουήλ, πῶς ἂν ὠφέλησε τὴν ἀνθρώπου φύσιν ὁ ἀνθρώ-
P 159 που θάνατος; καίτοι πολλοὶ προαπέθανον ἅγιοι προφῆται, Ἀβραὰμ ἐκεῖνος ὁ διαβόητος, Ἰσαὰκ καὶ Ἰακὼβ Μωσῆς τε καὶ Σαμουὴλ καὶ οἱ καθεξῆς γεγονότες ἅγιοι, ἀλλ' ὤνησε μὲν οὐδὲν τὸ ἐπὶ γῆς τῶν ἀνθρώπων γένος ὁ ἐκείνων θάνατος, σέσωκε δὲ ὁ Χριστοῦ· προσκεκόμικε γὰρ ὑπὲρ ἡμῶν τὴν ἰδίαν σάρκα καὶ δοὺς αὐτὴν τῷ θανάτῳ δι' ἡμᾶς πάντας ἐξείλετο τῶν τοῦ θανάτου δεσμῶν. ἤρκεσε γὰρ εἷς ὑπὲρ πάντων ἀποθανὼν ὁ πάντων ἀξιώτερος, ὅτι καὶ φύσει θεὸς ὁ ἐκ πατρός ἐστι λόγος καὶ ἴδιον αὐτοῦ σῶμα τὸ ὑπὲρ
Eph. 5, 2 ἡμῶν εἰς ὀσμὴν εὐωδίας τῷ θεῷ καὶ πατρὶ προσκεκομισμένον. οὐκοῦν ἀσεβὲς καὶ τῶν λίαν ἐκτοπωτάτων τὸ τέμνειν εἰς υἱοὺς δύο τὸν ἕνα κύριον Ἰησοῦν Χριστόν, ἀντιτετάξεται
Eph. 4, 5 δὲ αὐτοῖς καὶ ὁ σοφώτατος Παῦλος οὕτως λέγων· εἷς κύριος, μία πίστις, ἓν βάπτισμα. εἰ γάρ ἐστι κύριος εἷς, εἶτα τέμνουσιν εἰς δύο τινὲς υἱοὺς τὸν ἕνα, τίνι τὴν τῆς κυριότητος δόξαν περιθήσομεν; ἆρα τῷ ἐκ πατρὸς φύντι λόγῳ; πρέπει γὰρ αὐτῷ τὸ τῆς κυριότητος ὄνομά τε μάλιστα καὶ χρῆμα καί ἐστιν ἀληθῶς τῶν ὅλων δεσπότης. εἶτα ὅποι ποτὲ τὸν ἕτερον θήσομεν; ἔξω γὰρ κείσεται τοῦ εἶναι κύριος παραχωρῶν τῷ προυπάρχοντι καὶ ἀσυγκρίτως ὑπερηρμένῳ. ἀλλὰ τῷ ἐκ γυναικός, ὡς αὐτοί φασιν ἀποδιιστάντες, τὴν τῆς κυριότητος ἀνάψομεν δόξαν; εἶτα πῶς ἔσται κύριος ὁ ἐκ θεοῦ
Deut. 6, 4 πατρὸς λόγος, εἴπερ ὄντος ἑνὸς κυρίου κατὰ τὰς γραφὰς ἀνθρώπῳ ψιλῷ τὸ τῆς κυριότητος ὄνομα χαριούμεθα; πῶς δὲ καὶ μία πίστις; ἢ πῶς ἓν τὸ βάπτισμα; εἰ γὰρ υἱοὶ δύο κατά τινας, εἰς τίνα πιστεύσομεν; τῆς ἐκείνων ἀμαθίας ἔργον ἂν εἴη λέγειν εἰς τὸ τίνος ὄνομα βεβαπτίσμεθα, καίτοι βαπτίσματος ὄντος ἑνός.

P 160 8 Ἀλλ' ὁρᾷ που πάντως ἡ ἐν ὑμῖν ἀγχίνοια μεθύοντά τε τὸν ἐπὶ τούτῳ λόγον καὶ κατασειόμενον εἴς γε τὸ ἀκαλλές, μᾶλλον δὲ ἤδη καὶ πρὸς ἐσχάτην ἀσέβειαν ἀπονενευκότα.
PG 1209 οἶμαι δὲ δὴ ὑμᾶς τὸ θεῖον αὐτοῦ πολυπραγμονούσας μυστήριον ὀξεῖ διανοίας ὄμματι καθορᾶν τοὺς συναρπάζειν ἐθέλοντας καὶ προσωπεῖον μὲν εὐσεβὲς τοῖς ἰδίοις περιπλάττοντας
2 Petr. 2, 1 λόγοις, βολίδος γε μὴν ἁπάσης ὀξυτέρους ἔχοντας αὐτούς. ἀρνοῦνται μὲν γάρ, ὅσον ἦκεν εἰπεῖν εἰς δύναμιν ἀληθείας, τὸν ἀγοράσαντα αὐτοὺς δεσπότην, τουτέστι Χριστόν, δεδιότες δὲ τῶν εὐσεβεῖν εἰωθότων τὰς ἐπὶ τῷδε λύπας καὶ μέντοι ζῆλον τὸν ἀξιάγαστον ὁμολογοῦσιν ὅτι καὶ θεός ἐστιν ὁ ἐκ τῆς ἁγίας παρθένου γεγεννημένος καὶ μὴν ὅτι καὶ κύριος καὶ υἱὸς τοῦ θεοῦ. κἂν εἰ μέν τις τῶν ἁπλῶν τοὺς παρ' αὐτῶν δέξεται λόγους, νομιεῖ που κατὰ τὸ εἰκὸς ὀρθὰ καὶ εἰκότα λέγειν καὶ τοῖς τῆς ἀληθείας οὐκ ἀπάδοντα δόγμασιν· εἰ δὲ δή τις ἕλοιτο κατισχνοῦν ταῖς ἐρεύναις αὐτοὺς καὶ ἀκριβῆ ποιεῖσθαι τῶν

VS, D [= mn], A

8 δίκη S 9 οὕτω καὶ A 11 ἀπέθανον SD 13 οὐδὲ S 14 αὐτὸν S ἑαυτὸν D 16 τὸ σῶμα τὸ SD 17 προκεκομισμένον V 18 δύο υἱοὺσ D ἀντιτάξεται SD 19 οὕτως om. V 20 εἰσ δύο τινὲσ A εἰσ δύο τινὰσ SD τινὲσ εἰσ δύο V 21 τῆς om. A 24 φησι S 25 ἀποδιιστάντες om. SD 27 τὸ om. A 28 πιστεύομεν SD 31 γε Patrologia τε VSDA δὲ om. V 32 δή] δεῖ V 35 αὐτὸν S 36 καὶ μέντοι καὶ SD 37 γεγενημένοσ SA 38 κἂν VA καὶ SD δέξηται VSA 39 εἰκότωσ SD οὐκ ἀπάδοντα τοῖσ τῆσ ἀληθείασ SD

εἰρημένων τὴν βάσανον, οὐχ ἁπλοῦν εὑρήσει. εἰσὶ μὲν γὰρ θεοὶ πολλοὶ καὶ κύριοι πολλοὶ 1 Cor. 8, 5. 6
ἔν τε οὐρανῷ καὶ ἐπὶ γῆς, καθὰ καὶ ὁ μακάριος ἡμῖν γράφει Παῦλος, ἀλλὰ ἡμῖν εἷς
θεὸς ὁ πατήρ, ἐξ οὗ τὰ πάντα καὶ ἡμεῖς εἰς αὐτόν, καὶ εἷς κύριος Ἰησοῦς
Χριστός, δι' οὗ τὰ πάντα καὶ ἡμεῖς δι' αὐτοῦ. πλὴν ὅταν Ἰησοῦν Χριστὸν
ὀνομάζωμεν, τὸν ἐκ θεοῦ πατρὸς λόγον ἐν ἀνθρωπείαι μορφῇ πεφηνότα σημαίνομεν, οὐκ
ἐν χάριτος μέρει καὶ ἐπακτὸν ἔξωθεν ἔχοντα τὸ ἀξίωμα, ἀλλὰ ὄντα τοῦτο κατὰ ἀλήθειαν
ὅπερ εἶναι πεπίστευται. θεὸς γὰρ ὢν φύσει καὶ δίχα σαρκός, μεμένηκε θεὸς καὶ μετὰ
σαρκός, καὶ υἱὸς ὢν φύσει καὶ πρὸ σαρκός, μεμένηκεν υἱὸς καὶ ὅτε γέγονε σάρξ, καὶ κύριος
ὢν ἀληθῶς τῶν ὅλων, ἐν τοιαῖδε πάλιν ὁρᾶται δόξῃ καὶ ἐν ἀνθρωπότητι γεγονώς. P 161
οὐκοῦν εἰ θεὸν ἀληθινὸν εἶναι λέγουσι τὸν ἐκ τῆς ἁγίας παρθένου γεγεννημένον, τουτέστι
τὸν ἐκ θεοῦ πατρὸς λόγον κατὰ φύσιν ἑνωθέντα σαρκί, διὰ τί δεδίασιν ὁμολογεῖν ὅτι
θεοτόκος ἐστὶν ἡ ἁγία παρθένος; ἀλλὰ σκοπὸς αὐτοῖς ὑποπλάττεσθαι μὲν καὶ λέγειν ὅτι
ναὶ καὶ θεός ἐστι καὶ κύριος καὶ συνεδρεύει τῷι πατρί, φρονοῦσί γε μὴν οὐχ οὕτω κατὰ
ἀλήθειαν, ἀλλ' ὡς ἐν χάριτος μέρει καὶ ὡς ἐκ προκοπῆς δεδόσθαι φασὶ τῷι ἐκ τῆς ἁγίας
παρθένου κοινῷι καθ' ἡμᾶς ἀνθρώπωι γεγεννημένωι τήν τε τῆς υἱότητος καὶ τῆς κυριότη-
τος δόξαν.

9 Ὅτι δὲ ἡ θεοτόκος φωνὴ καὶ αὐτοῖς γέγονε συνήθης τοῖς πρὸ ἡμῶν ἁγίοις πατράσιν,
οἳ καὶ ἐπ' ὀρθῆι θαυμάζονται πίστει, καὶ εἰς δεῦρο παρὰ πᾶσι τοῖς ἀνὰ πᾶσαν, ὡς ἔπος
εἰπεῖν, τὴν ὑπ' οὐρανόν, δεῖν ὠιήθην ἀληθὲς ἀποφῆναι. ἵνα γὰρ μὴ δοκοίην τὸ εἰς νοῦν
ἧκον ἁπλῶς ἀβασανίστως λέγειν, ἐκ τῶν ἐκείνοις πεποιημένων βιβλίων ἐν ἐκκλησίαις τὰ εἰς
τοῦτο χρήσιμα συνεισενεγκὼν καὶ παραθεὶς εἰς ἀπόδειξιν, κατασφραγιῶ εἰς ἀλήθειαν τοὺς
ἐμαυτοῦ λόγους. ἔφη τοίνυν ὁ τρισμακάριος ἀληθῶς καὶ διαβόητος εἰς εὐσέβειαν Ἀθα- PG 1212
νάσιος ὁ γενόμενος κατὰ καιροὺς τῆς Ἀλεξανδρέων ἐκκλησίας ἐπίσκοπος ἐν τῷι περὶ σαρκώ-
σεως λόγωι περὶ Χριστοῦ τάδε

10 Ὁμολογοῦμεν γάρ φησί, καὶ εἶναι αὐτὸν υἱὸν τοῦ θεοῦ καὶ θεὸν κατὰ πνεῦμα, υἱὸν Lietzmann,
ἀνθρώπου κατὰ σάρκα, οὐ δύο φύσεις τὸν ἕνα υἱόν, μίαν προσκυνητὴν καὶ μίαν ἀπροσκύ- Apollinaris
νητον, ἀλλὰ μίαν φύσιν τοῦ θεοῦ λόγου σεσαρκωμένην καὶ προσκυνουμένην μετὰ τῆς σαρκὸς P 162
αὐτοῦ μιᾶι προσκυνήσει, οὐδὲ δύο υἱούς, ἄλλον μὲν υἱὸν θεοῦ ἀληθινὸν καὶ προσκυνούμενον,
ἄλλον δὲ ἐκ Μαρίας ἄνθρωπον μὴ προσκυνούμενον, κατὰ χάριν υἱὸν θεοῦ γενόμενον ὡς
καὶ ἄνθρωποι, ἀλλὰ τὸν ἐκ θεοῦ, ὡς ἔφην, ἕνα υἱὸν θεοῦ καὶ θεόν, αὐτὸν καὶ οὐκ ἄλλον
καὶ ἐκ Μαρίας γεγεννῆσθαι κατὰ σάρκα ἐπ' ἐσχάτων τῶν ἡμερῶν, ὡς ὁ ἄγγελος τῆι θεο-
τόκωι Μαρίαι λεγούσηι πῶς τοῦτο ἔσται, ἐπεὶ ἄνδρα οὐ γινώσκω; ἔλεγε· πνεῦμα Lc. 1, 34 35
ἅγιον ἐπελεύσεται ἐπὶ σὲ καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ
γεννώμενον ἅγιον κληθήσεται υἱὸς θεοῦ. ὁ τοίνυν γεννηθεὶς ἐκ τῆς ἁγίας
παρθένου υἱὸς θεοῦ φύσει καὶ θεὸς ἀληθινὸς καὶ οὐ χάριτι καὶ μετουσίαι κατὰ σάρκα μόνον
τὴν ἐκ Μαρίας ἄνθρωπος, κατὰ δὲ πνεῦμα αὐτὸς υἱὸς θεοῦ καὶ θεός, παθὼν μὲν τὰ ἡμέτερα

22—p. 66, 19 Eutyches in florilegio 3 25—28 προσκυνήσει Timoth. arm. p. 133 187 syr. f. 48b

---

VS, D [= mn], A

1 coniecerim ἁπλοῦς sine ἁπλᾶ πολλοὶ θεοὶ S 6 ἔχοντα ἔξωθεν SD 7 θῡ̄ μεμένηκε D 8 ὅτε] ὅπερ V 9 δόξῃ VA τάξει SD 10 γεγενημένον SA 13 γε] τὲ SD 15 γεγενημένω SA τῆς[2] om. SD 18 θαυμάζοντεσ S παρὰ om. V πᾶσι τοῖς ἀνὰ om. SD 19 ἀληθῶσ V 20 ἐκκλησία V 21 κατασφραγιῶν S 22 ὡσ ἀληθῶσ ὁ τρισμακάριοσ V 23 ἐκκλησίας om. SD 25 υἱὸν δὲ Eut. καὶ υἱὸν Tim. p. 133. syr. 26 προσκυνουμένην SD 28 τοῦ θῦ D 29 χάριν δὲ Eut. γινόμενον SD 31 καὶ om. Eut γεγενῆσθαι SA 33 ἐλεύσεται V διότι D 35 μεσιτεία SD μόνον] μὲν Eut. 36 ὁ αὐτὸς Ps. Athan. τοῦ θῦ V

1 Petr. 4, 1 πάθη κατὰ σάρκα, ὥσπερ γέγραπται Χριστοῦ παθόντος ὑπὲρ ἡμῶν σαρκί, καὶ
Rom. 8, 32 πάλιν· ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέ-
δωκεν αὐτόν· ἀπαθὴς δὲ διαμείνας καὶ ἀναλλοίωτος κατὰ τὴν θεότητα κατὰ τὸ λεγόμενον
Mal 3, 6 ὑπὸ τοῦ προφήτου ἐγὼ θεὸς καὶ οὐκ ἠλλοίωμαι, ἀποθανὼν μὲν τὸν ἡμέτερον θάνατον
κατὰ σάρκα ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, ἵνα τὸν θάνατον ἀνέλῃ διὰ τοῦ ὑπὲρ ἡμῶν θανάτου
1 Cor. 15, 54. κατὰ τὸν λέγοντα ἀπόστολον κατεπόθη ὁ θάνατος εἰς νῖκος. ποῦ σου, θάνατε,
55
1 Cor. 15, 3 τὸ νῖκος; ποῦ σου, ἅδη, τὸ κέντρον; καὶ πάλιν Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν
ἁμαρτιῶν ἡμῶν κατὰ τὰς γραφάς, ἀθάνατος δὲ καὶ ἀκράτητος τῶι θανάτωι δια-
Act. 2, 24 μείνας διὰ τὴν θεότητα ὡς ἀπαθὴς τοῦ πατρὸς δύναμις κατὰ τὸν λέγοντα Πέτρον οὐ γὰρ
ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπὸ τοῦ θανάτου.

P 163 Εἶτα τούτοις ἐπιφέρει, παρενθεὶς ἕτερα μεταξύ, οὕτως· Εἰ δέ τις παρὰ ταῦτα ἐκ τῶν
Lietzmann, Apollinaris θείων γραφῶν διδάσκει, ἕτερον λέγων τὸν υἱὸν τοῦ θεοῦ καὶ ἕτερον τὸν ἐκ Μαρίας κατὰ
p. 253, 3-14 χάριν υἱοποιηθέντα ὡς ἡμεῖς, ὡς εἶναι δύο υἱούς, ἕνα κατὰ φύσιν υἱὸν τοῦ θεοῦ τὸν ἐκ
θεοῦ καὶ ἕνα κατὰ χάριν τὸν ἐκ Μαρίας ἄνθρωπον, ἢ εἴ τις τὴν τοῦ κυρίου ἡμῶν σάρκα
ἄνωθεν λέγει καὶ μὴ ἐκ τῆς παρθένου Μαρίας ἢ τραπεῖσαν τὴν θεότητα εἰς σάρκα ἢ
συγχυθεῖσαν ἢ ἀλλοιωθεῖσαν ἢ παθητὴν τὴν τοῦ κυρίου θεότητα ἢ ἀπροσκύνητον τὴν τοῦ
PG 1213 κυρίου ἡμῶν σάρκα ὡς ἀνθρώπου καὶ μὴ προσκυνητὴν ὡς κυρίου καὶ θεοῦ σάρκα, τοῦτον
Gal. 1, 9 ἀναθεματίζει ἡ ἁγία καθολικὴ ἐκκλησία, πειθομένη τῶι θείωι ἀποστόλωι λέγοντι εἴ τις
ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω.

Καὶ ταῦτα μὲν ὁ μακάριος Ἀθανάσιος· οἶμαι δὲ δεῖν καὶ **ἑτέρων ἁγίων ἐπισκόπων** παραθεῖναι φωνὰς τὸν αὐτὸν ἐχούσας σκοπόν.

Ἀττικοῦ ἐπισκόπου

11 Σήμερον Χριστὸς ὁ δεσπότης τὴν τῆς φιλανθρωπίας γέννησιν ἀνεδέξατο· τὴν γὰρ τῆς θεικῆς ἀξίας προυπῆρχεν.

Εἶτα τούτοις ἐπιφέρει πάλιν· Ὁ τῆς φιλανθρωπίας λόγος κενοῦται, ἀκένωτος τὴν
Phil. 2, 7 φύσιν τυγχάνων· ἑαυτὸν γὰρ ἐκένωσε μορφὴν δούλου λαβών. ὁ ἄσαρκος
Ioh. 1, 14 διὰ σὲ σαρκοῦται, ὁ λόγος γὰρ σὰρξ ἐγένετο· ὁ ἀφῆι μὴ ὑποπίπτων διὰ τὸ τῆς φύ-
σεως ἀσώματον ψηλαφᾶται· ὁ ἄναρχος ὑπὸ ἀρχὴν γίνεται σωματικήν· ὁ τέλειος αὔξει· ὁ
Ps. 146, 8 ἄτρεπτος προκόπτει· ὁ πλούσιος ἐν καταλύματι τίκτεται· ὁ περιβάλλων τὸν οὐρανὸν ἐν
νεφέλαις σπαργανοῦται· ὁ βασιλεὺς ἐν φάτνηι κατατίθεται.

P 164 Ἀντιόχου ἐπισκόπου

12 Ὃν χθὲς ἀχράντοις λοχείαις σωτῆρα ἡμῖν ἡ ζωοτόκος ἡ καλλιτόκος ἡ μεγαλοτόκος ἡ φαεσφόρος ἡ ἐλπιδοφόρος ἡ θεοτόκος ἡ ξενοτόκος ἡ παρθενομήτωρ ὤδινε Μαρία.

11—19 Timoth. arm. p. 133 23—30 ibid. p. 30. 73; eadem adferuntur in Exc. Ephes. XVII [A 75, 19] et Apol. adu. Orient. 50 31—33. p. 67, 7—10 floril. syr. cod. Add. 1213b f. 75b

---

VS, D [= mn], A

2/3 παραδέδωκεν VSD 4 ἐγὼ δὲ V 7 ἅδη] θάνατε A Eut. 11 εἰ] οὐ S 12 τὸν[1] V Ps. Ath. Tim. om. SDA 12/13 κατὰ χάριν om. SD 16 τοῦ[2] om. A 17 καὶ μὴ — σάρκα om SD 18 ἁγία καὶ Sm Tim. καθολικὴ] τοῦ θῦ A 21 φωνὴν S 22 om. SD 25/26 τῇ φύσει SD 27 διὰ σὲ om. V γὰρ om. V 28 διὰ σὲ ψηλαφᾶται A 29 τίκτεται] γίνεται Exc. Eph. 30 τίθεται Exc. Eph. 31 om. SD 32 σωτηρίαν SD 33 φαεσφόρος SD ἡ ἐλπιδοφόρος — ξενοτόκος om. D ἐλπιδιφόρος VS παρθένος μήτηρ SD

Ἀμφιλοχίου ἐπισκόπου Ἰκονίου ἐκ τοῦ περὶ τῆς κατὰ σάρκα γεννήσεως

18 Ἡ ἀλήθεια ἐγνώσθη, ἡ χάρις ἦλθε καὶ ἡ ζωὴ ἐφάνη· ὁ τοῦ θεοῦ ὢν υἱὸς ὁ ἐκ θεοῦ λόγος σὰρξ ἐγένετο δι' ἡμᾶς, ἵνα θνητοὺς εἰς ζωὴν αἰώνιον ἀναστήσηι [καὶ], ἐκ τῶν νεκρῶν ἀνεγείρηι. ὁ ποιητὴς τῶν ὅλων ὁ πρὸ πάσης κτίσεως ὁρατῶν τε καὶ ἀοράτων μόνωι πατρὶ καὶ πνεύματι συνυπάρχων ἀθάνατος σήμερον ἰδοὺ ἡμῖν ἐκ παρθένου γεννώμενος, χωρὶς πάσης ἁμαρτίας, ἄνευ ἀνθρώπου ἤτοι ἀνδρός.

Ἄμμωνος ἐπισκόπου Ἀδριανουπόλεως· ἔφη γάρ που καὶ αὐτὸς περὶ τοῦ θεοῦ λόγου

14 Εἰ δὲ αὐτὸς θεὸς τὴν φύσιν ὑπάρχων ὡς τοῦ θεοῦ μονογενὴς υἱός, ἐν προσλήψει τῆς δούλου μορφῆς γενόμενος καὶ πρωτότοκος υἱὸς τῆς ἁγίας παρθένου κληθῆναι καταξιώσας, ἀντίλυτρον ἑαυτὸν ὑπὲρ πάντων ἔδωκε.

Προσεπάγει δὲ τούτοις· Ἤδη μὲν ἔδειξα τὴν ἀσέβειαν ἣι περιπίπτουσιν οἱ Ἀρειανοί, λέγοντες χρείαν ἐσχηκέναι τὴν θεοτόκον Μαρίαν τῶν κατὰ τὸν νόμον τότε προσφερομένων θυσιῶν ὑπὲρ τῶν τικτουσῶν γυναικῶν.

Ἰωάννου ἐπισκόπου Κωνσταντινουπόλεως περὶ τῆς θείας γεννήσεως, φησὶ δὲ περὶ τῆς ἁγίας παρθένου PG 1216 P 165 Chrysost. t. 6, 392 [PG 56, 385]

15 Ἀντὶ δὲ ἡλίου, φησί, τὸν ἥλιον τῆς δικαιοσύνης ἀπεριγράφως χωρήσασα. καὶ μὴ ζητήσηις πῶς· ὅπου γὰρ βούλεται θεός, νικᾶται φύσεως τάξις. ἠβουλήθη γάρ, ἠδυνήθη κατῆλθεν ἔσωσε· σύνδρομα πάντα θεῶι. σήμερον ὁ ὢν τίκτεται καὶ ὁ ὢν γίνεται ὅπερ οὐκ ἦν. ὢν γὰρ θεὸς γίνεται ἄνθρωπος, οὐκ ἐκστὰς τοῦ εἶναι θεός. οὔτε γὰρ κατ' ἔκστασιν θεότητος γέγονεν ἄνθρωπος οὔτε κατὰ προκοπὴν ἐξ ἀνθρώπου γέγονε θεός, ἀλλὰ λόγος ὢν διὰ τὸ ἀπαθές, σὰρξ ἐγένετο ἀμεταβλήτου μενούσης τῆς φύσεως.

Καὶ προσεπάγει τούτοις· Ὁ ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου καθήμενος ἐν φάτνηι τίθεται· ὁ ἀναφὴς καὶ ἁπλοῦς καὶ ἀσώματος χερσὶν ἀνθρωπίναις ἐλίσσεται· ὁ τὰ τῆς ἁμαρτίας διασπῶν δεσμὰ σπαργάνοις ἐμπλέκεται. p. 395 [389]

Σεβηριανοῦ ἐπισκόπου

16 Ὁ γὰρ γεννηθεὶς ἄνωθεν ἐκ πατρὸς λόγος ἀπορρήτως ἀφράστως ἀκαταλήπτως ἀιδίως, ὁ αὐτὸς ἐν χρόνωι γεννᾶται κάτωθεν ἐκ παρθένου Μαρίας, ἵνα οἱ κάτωθεν πρότερον γεννηθέντες ἄνωθεν γεννηθῶσιν ἐκ δευτέρου, τουτέστι θεοῦ.

Οὐιταλίου ἐπισκόπου ἐκ τοῦ περὶ πίστεως λόγου Lietzmann, Apollin. 273

17 Ἔτι δὲ καὶ περὶ τῆς κατὰ σάρκα οἰκονομίας τοῦ σωτῆρος πιστεύομεν ὅτι ἀναλλοιώτου καὶ ἀτρέπτου μένοντος τοῦ θεοῦ λόγου τὴν σάρκωσιν γεγενῆσθαι πρὸς ἀνακαίνισιν ἀνθρωπότητος. υἱὸς γὰρ ὢν ἀληθῶς θεοῦ κατὰ τὴν ἀίδιον ἐκ θεοῦ γέννησιν, γέγονε καὶ υἱὸς P 166

1—6 Tim. arm. p. 32 14—28 Tim. arm. p. 28 syr. f. 48a; 18—24 p. 194 [= Anecd. syr. ed. Land 3, 156]; 26—28 syr. f. 75u; 29—p. 68, 11 ibid. p. 7. 191, syr. f. 7b

VS, D [= mn], A

1 om. SD 2 ὁ τοῦ] ὅτι V 3 καὶ om. VA Tim. 7 om. SD Ἀμμωνίου Σ λόγον A 11 προσάγει SD 14/15 om. SD 16 ἀπεριγράπτως V χωρίσασα A χωρῆσαι V 17 θεὸς om. A φύσεων S 23 τίκτεται SD ἀνθρωπίναις om. V εἰλήσσεται V ἁλίσκεται SD 25 om. SD 27/28 κάτωθεν — γεννηθέντες ATim. πρότερον κάτωθεν γεννηθέντες SD πρότερον γεννηθέντες κάτωθεν V 29 om. SD 30 ἔτι δὲ] ἰ [litteram initialem non expleuit rubricator] δέ τι V 31 γεγεννῆσθαι V ἀνακαίνωσιν SD 32 καὶ VA Tim. p. 7. syr. γὰρ S, sed erasum, om. D Tim. p. 191

ἀνθρώπου κατὰ τὴν ἐκ παρθένου γέννησιν καί ἐστιν εἷς καὶ ὁ αὐτὸς τέλειος θεὸς κατὰ τὴν θεότητα καὶ ὁμοούσιος τῶι πατρὶ καὶ τέλειος ἄνθρωπος ὁ αὐτὸς κατὰ τὴν ἐκ παρθένου γέννησιν καὶ ὁμοούσιος ἀνθρώποις κατὰ τὴν σάρκα. εἴ τις δὲ ἐξ οὐρανοῦ λέγει σῶμα ἔχειν τὸν Χριστὸν ἢ ὁμοούσιον τῶι θεῶι τὴν σάρκα, ἔστω ἀνάθεμα. εἴ τις μὴ ὁμολογεῖ τὴν τοῦ κυρίου σάρκα ἐκ τῆς ἁγίας παρθένου καὶ ἀνθρώποις ὁμοούσιον, ἔστω ἀνάθεμα. εἴ τις τὸν κύριον ἡμῶν καὶ σωτῆρα τὸν ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου γεννηθέντα κατὰ σάρκα ἄψυχον λέγει ἢ ἀναίσθητον ἢ ἄλογον ἢ ἀνόητον, ἔστω ἀνάθεμα.
1 Petr. 4, 1 εἴ τις τολμᾶι λέγειν τὸν Χριστὸν θεότητι πεπονθέναι καὶ μὴ σαρκί, ὡς γέγραπται, ἔστω ἀνάθεμα. εἴ τις διαιρεῖ καὶ χωρίζει τὸν κύριον ἡμῶν καὶ σωτῆρα καὶ λέγει ἕτερον μὲν εἶναι υἱὸν τὸν θεὸν λόγον καὶ ἕτερον τὸν ἀναληφθέντα ἄνθρωπον καὶ μὴ ὁμολογεῖ ἕνα καὶ τὸν αὐτόν, ἔστω ἀνάθεμα.

PG 1217 Θεοφίλου ἐπισκόπου ἐκ τοῦ προσφωνητικοῦ πρὸς τοὺς φρονοῦντας τὰ Ὠριγένους, ἔφη δὲ οὕτω περὶ Χριστοῦ

18 Ἵνα μὴ ἐν λόγωι μόνωι, ἀλλὰ καὶ ἐν δυνάμει θεὸς ἀληθινὸς ὁ φανεὶς εἶναι πιστεύηται, τῆι τῶν ὁρωμένων μεγαλουργίαι τὴν περὶ αὐτοῦ δηλῶν ἀσφάλειαν, πλήρης μὲν ὢν θεός,
P 167 αὐτοθελῶς δὲ ἐνανθρωπήσας καὶ μηδὲν ἀνθρωπείας ὁμοιώσεως καταλείψας ἐκτὸς πλὴν μόνης τῆς ἀνουσίου κακίας. καὶ βρέφος γὰρ γενόμενος Ἐμμανουὴλ ὡμολογεῖτο, μάγων πρὸς αὐτὸν ἰόντων καὶ τῶι προσκυνεῖν καὶ θεὸν εἶναι τὸν φανέντα βοώντων, [ὅτι] καὶ σαρκὶ σταυρούμενος ἡλίου συνέστελλεν ἀκτῖνας, [καὶ] τῶι ξένωι θαύματι τὴν οἰκείαν σαφηνίζων θεότητα, οὐδαμοῦ σκορπίσας ἑαυτὸν ἢ διαλύσας εἰς σωτῆρας δύο. ἀλλὰ καὶ τοῖς
Mt. 23, 10 μαθηταῖς ἔλεγε· μὴ καλέσητε διδάσκαλον ἐπὶ τῆς γῆς· εἷς γάρ ἐστιν ὑμῶν καθηγητὴς ὁ Χριστός. οὐ γὰρ ὅτε τοῦτο τοῖς ἀποστόλοις παρήγγελλε, τοῦ φαινομένου σώματος τὴν οἰκείαν διώριζε θεότητα, οὐδὲ ὅτε Χριστὸν ἑαυτὸν διεμαρτύρετο εἶναι, ψυχῆς καὶ σαρκὸς διωρίζετο, ὁ αὐτὸς ἄμφω τυγχάνων θεός τε καὶ ἄνθρωπος, δοῦλος ὁρώμενος καὶ κύριος γνωριζόμενος, τὸ μὲν ὑψηλὸν τῆς θεότητος τῶι ταπεινῶι τῆς ἐνανθρωπήσεως ὑποκρυπτόμενος φρονήματι, τὸ δέ γε ταπεινὸν τοῦ ὁρωμένου σώματος τῆι τῆς θεότητος ὑπεραίρων ἐνεργείαι.

19 Εὐχερὲς μὲν οὖν καὶ ἕτερα τούτοις ἐπενεγκεῖν πλεῖστά τε ὅσα καὶ ἀληθῆ μαρτύρια,
Prou. 9, 9 παρίημι δὲ τὸ γεγραμμένον εἰδὼς τὸ δίδου σοφῶι ἀφορμήν, καὶ σοφώτερος ἔσται· γνώριζε δικαίωι, καὶ προσθήσει τοῦ δέχεσθαι. πλὴν ἐκεῖνο φημί· ἰδοὺ δὴ πάντες οἱ πανάριστοί τε καὶ σοφοὶ κατὰ καιροὺς ἡμῶν γεγονότες πατέρες καὶ θεοτόκον ὀνομάζουσι τὴν ἁγίαν παρθένον, ἡνῶσθαι δὲ κατὰ φύσιν διαβεβαιούμενοι τῆι σαρκὶ τὸν ἐκ θεοῦ λόγον ἔν τε τῆι νηδύι γενέσθαι φασὶ τῆι παρθενικῆι καὶ ἐξ αὐτῆς προελθεῖν

14—27 Latine apud Hieronymum ep. 96, 3 [Λ] 17 καὶ — 20 Timotheus arm. p. 30 20—27 Fcyr 156 τοῦ αὐτοῦ ἐκ τῆς ἐπιστολῆς τῆς πρὸς τὰς βασιλίσσας Ἀρκαδίαν καὶ Μαρῖναν τοῖς μαθηταῖς — ἐνεργείαι

VS, D [= mn], A

1 καὶ² om. SD θεὸς] υἱὸσ D 2 καὶ² om. A 4 κατὰ τὴν V ἀνάθεμα ἔστω D εἴ] εἴσ A 7 ἢ ἀνόητον ἢ ἄλογον ἢ ἀναίσθητον SD 8/9 εἴ τις τολμᾶι — ἀνάθεμα om. SD 10 καὶ ἕτερον] ἕτερον δὲ A 12—13 om. SD 12 προσφωνητικοῦ λόγου V 14 ἐν² om. D 16 αὐτοθελῶσ VΛ αὐτοτελῶσ SDA μηδὲ SD καταλήψασ V 17 ἀνουσίου scripsi cl. *quae nullam habet substantiam* Λ ἀνοσίου VSDA ὁμολογεῖτο D 18 προσιόντων αὐτῶ SD ὅτι deleui sec. Λ 19 συνέστειλεν SD καὶ deleui sec. Λ Tim. 22 τοῦτο om. V παρήγγελε D παρήγγειλε V 23 ὅτι D 24 ὁ αὐτὸς scripsi *unus atque idem* Λ οὕτωσ VSDA Fcyr 28 οὐκ [οὐχ S] εὐχερὲσ SD τούτου SD 30 φαμὲν V 31 πάντες οἱ om. V γεγονότων S 32 τῆ σαρκὶ διαβεβαιούμενοι [διαβεβαιούμενοσ S] SD

κατὰ σάρκα, καίτοι τὴν ἄναρχον καὶ πρὸ παντὸς αἰῶνος καὶ χρόνου λαχόντα γέννησιν ἐκ πατρός. ἐπειδὴ δὲ ἦν εἰκὸς ἐν ταῖς μακροτέραις καὶ ἐφεξῆς τῶν στίχων συνθήκαις ὀλιγώρως ἔχοντα τὸν νοῦν ἐθελῆσαι μᾶλλον ὡς ἐν βραχεῖ καὶ συνεσταλμένως ἰδεῖν τῶν ἐπὶ P 168
Χριστῶι δογμάτων τὸ ἀκραιφνέστατον κάλλος, αὐτὰς κατὰ μόνας τὰς τῶν ἐννοιῶν, ἵνα οὕτως εἴπω, καρδίας ἐκ τῆς θεοπνεύστου καὶ νέας γραφῆς συναγηγερκὼς πέπομφα τῆι ὑμετέραι κατὰ θεὸν εὐσεβείαι ὡς ἂν ἐντυγχάνουσαι κατὰ βραχύ τε καὶ ἀνὰ μέρος αὐταί τε τὸν ἐν ὑμῖν καὶ ἔτι μειζόνως καταφαιδρύνητε νοῦν, φωταγωγοῦσαι δὲ πρὸς ἀλήθειαν καὶ οὓς ἂν ὠφελεῖν ἕλησθε, καυχήμασιν ἀποστολικοῖς τὰς ὁσίας ὑμῶν κατασεμνύνητε κεφαλάς. πλούσιος δὲ λίαν ὁ ἐπί γε τούτωι μισθός· γέγραπται γάρ· ὁ ἐπιστρέψας Iac. 5, 20
ἁμαρτωλὸν ἐκ πλάνης ὁδοῦ αὐτοῦ σώσει ψυχὴν αὐτοῦ ἐκ θανάτου καὶ PG 1220
καλύψει πλῆθος ἁμαρτιῶν. ἐν δέ γε ταῖς τῶν ἐννοιῶν εὑρέσεσιν ἤτοι συμπεράσμασιν, ὅταν λέγωμεν· θεὸς οὖν ἄρα Χριστὸς ἢ γοῦν εἷς ἄρα υἱὸς καὶ κύριος ὁ Χριστός, οὐχ οὕτω φαμὲν ὡς ἐκεῖνοι θεὸν κατὰ χάριν ἢ υἱὸν ἢ κύριον ὠνομάσθαι τὸν Ἐμμανουὴλ ἢ ἐκ προκοπῆς ἢ ἐπιδόσεως εἰς τοῦτο δόξης ἐλθεῖν ὡς ἕνα τῶν καθ' ἡμᾶς κοινὸν καὶ ἡγιασμένον ἄνθρωπον, ἐκεῖνο δὲ μᾶλλον ὅτι θεὸς ὢν ὁ λόγος, εἶτα καθεὶς ἑαυτὸν εἰς κένωσιν καὶ ἐν δούλου μορφῆι καταβεβηκὼς οὐδὲν ἧττόν ἐστι θεὸς ἀληθινὸς καὶ φύσει τῶν ὅλων κύριος ἔσται καὶ μόνος καὶ ἰδικῶς υἱός, ὧι καὶ ἡμεῖς συμμορφούμενοι κατὰ χάριν τὴν
20 δι' αὐτοῦ πρὸς τὴν τῆς υἱοθεσίας ἀναβαίνομεν δόξαν. ὄνομα δὲ τὸ Χριστὸς πρέπειν μὲν οὐκ οἶδα πῶς διαβεβαιοῦνταί τινες καὶ ἰδικῶς τε καὶ κατὰ μόνας καὶ ἔξω σαρκὸς ὄντι τε καὶ νοουμένωι τῶι ἐκ θεοῦ φύντι λόγωι, πρέπειν δὲ ὁμοίως καὶ τῶι ἐκ τῆς ἁγίας παρθένου γεγεννημένωι, κἂν εἰ νοοῖτο ὑπάρχειν κατὰ μόνας ἔτι καὶ καθ' ἑαυτόν, καὶ τρίτως P 169
δὲ πρέπειν ἀμφοῖν ὡς ἑνί, τοῦ τῆς συναφείας λόγου, καθάπερ αὐτοί φασιν, εἰς ἓν αὐτοὺς πρόσωπον συνεισδέοντος. ἑνώσεως γὰρ τῆς κατὰ φύσιν καὶ ἀληθοῦς οὐδεὶς λόγος αὐτοῖς, καίτοι ταύτην ἔχοντος τοῦ μυστηρίου τὴν ὁδὸν ὀρθὴν καὶ ἁπλανεστάτην, καὶ ἡ σκῆψις αὐτοῖς οὐχ ἁπλῆ, πικρίας δὲ μᾶλλον καὶ ἀπάτης μεμέστωται. ἐπειδὴ γὰρ ἡ θεόπνευστος γραφὴ Χριστὸν ὀνομάζουσα πάντα αὐτῶι προσνέμει τὰ θεοπρεπῆ (οἶδε γὰρ οἶδεν ἐν ἀνθρωπείαι μορφῆι πεφηνότα καὶ σεσαρκωμένον τὸν θεοῦ λόγον), σκοπὸς δὲ τοῖς ἕτερα παρὰ τοῦτο φρονεῖν ἠρημένοις καὶ κοινὸν ἄνθρωπον ἀποφαίνειν τὸν ἐκ γυναικός, ἐξ ἐπιδόσεως, ὡς ἔφην, καὶ ὡς ἐξ ἰδίας τε καὶ ἀνθρωπίνης ἀρετῆς ἄξιον ἑαυτὸν παραστήσαντα τοῦ χρῆναι τιμᾶσθαι καὶ συναφείαι προσώπου τῆι πρὸς τὸν ἐκ θεοῦ λόγον καὶ ἀπόλεκτον γενέσθαι κατὰ πρόγνωσιν, ἐκεῖνό φασιν ὅτι τὸ Χριστὸς ὄνομα πρέπει καὶ μόνωι καὶ ἰδίαι καὶ καθ' ἑαυτὸν νοουμένωι καὶ ὑπάρχοντι τῶι ἐκ θεοῦ πατρὸς γεννηθέντι λόγωι. ἡμεῖς δὲ οὐχ οὕτως δεδιδάγμεθα φρονεῖν ἢ λέγειν. ὅτε γὰρ γέγονε σὰρξ ὁ λόγος, τότε καὶ ὠνομάσθαι φαμὲν αὐτὸν Χριστὸν Ἰησοῦν. ἐπειδὴ γὰρ κέχρισται τῶι ἐλαίωι τῆς ἀγαλλιάσεως ἤτοι τῶι ἁγίωι πνεύματι παρὰ τοῦ θεοῦ καὶ πατρός, ταύτηι τοι Χριστὸς ὀνομάζεται. ὅτι δὲ περὶ τὸ ἀνθρώπινον ἡ χρίσις, οὐκ ἂν ἐνδοιάσειέ τις τῶν ὀρθὰ φρονεῖν εἰωθότων. ἦι μὲν γὰρ θεός ἐστι καὶ λόγος, οὐκ ἂν ἐδεήθη χρίσεως· οὐ γάρ που φαίη τις ἂν κεχρίσθαι τε καὶ ἡγιάσθαι τὸν ἐκ θεοῦ λόγον τῶι ἰδίωι πνεύματι ὡς ἑτέρωι παρ' PG 1221
αὐτὸν τὴν φύσιν ὑπερκειμένωι καὶ προύχοντι. χωρὶς γὰρ πάσης ἀντιλογίας τὸ P 170
Hebr. 7, 4

VS, D [= mn], A

3 μᾶλλον δὲ V συνεσταλμένω SD 6 τε] τι SD 7 τόν] τῶν S μειζόνωσ VA καὶ νῦν SD καταφαιδρύνοιτε SD καταφαιδρύνοιτον A 8 ὠφελῆσαι D ὠφελῆσ S ἕλοισθε D 9 ὁ om. A γε om. V 12 ὁ χσ V ισ ὁ χσ V 14 ἡ γὰρ ἐκ A καὶ] ἡ A 15 δὲ om. S 17 καὶ[1] om. SD 19 καὶ[2] om. SD 20 τε om. A 21 γεγενημένω S 22 ὡσ ἑνὶ SDA ὡσανεὶ V αὐτὸ D 23 συνεισδέοντεσ V 24 ἔχοντεσ SD 25 αὐτῶν V 30 προσώπων SD τὸν om. SD 32 γεννηθέντι] πεφηνότι V 35/36 ὠνομάζεται A 36 παρὰ D χρῆσισ Vm 37 ἦι ed. Rom. εἰ VSDA χρήσεωσ V πω A 38 τε om. V

ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται. ἐπειδὴ δὲ τοῖς τῆς ἀνθρωπότητος μέτροις τὸ ἁγιάζεσθαί τε καὶ χρίεσθαι πρέπει, πᾶσά πως ἀνάγκη Χριστὸν ὀνομάζεσθαι τὸν ἐκ θεοῦ λόγον, οὐχ ὅτε γυμνὸς ἦν ἔτι καὶ οὔπω σεσαρκωμένος, ἀλλ' ὅτε γεγονὼς καθ' ἡμᾶς, τουτέστιν ἄνθρωπος, ἐχρίσθη κατὰ τὸ ἀνθρώπινον, ὥστε τὸ Χριστὸς ὄνομα πρέποι ἂν κατ' οὐδένα τρόπον οὔπω καθ' ἡμᾶς γεγονότι τῶι ἐκ θεοῦ πατρὸς φύντι λόγωι. εἰ δὲ ὀνομάζοιτό που Χριστός, ἐνανθρωπήσαντά μοι νοήσεις αὐτόν, κἂν λόγον ἀκούσῃς πεπραγμένης ἤδη τῆς ἐνανθρωπήσεως, τῆς ἐνωθείσης αὐτῶι μὴ ἀμνημονήσῃς σαρκός. ἀνὰ μέρος δὲ τούτωι κἀκείνωι πρέπειν οἴεσθαι τὴν φωνὴν ἀσύνετον παντελῶς, μᾶλλον δὲ καὶ
1 Cor. 1, 13 ἀνόσιον ἢ φρονεῖν ἢ λέγειν. εἷς γὰρ κύριος Ἰησοῦς Χριστὸς καὶ οὐ μεμέρισται, καθὰ
2 Cor. 13, 3 καὶ αὐτὸς ὁ σοφώτατος Παῦλος ὁ Χριστὸν ἔχων ἐν ἑαυτῶι τὸ θεῖον αὐτῶι λαλοῦντα μυστήριον. προσβαλοῦσαι δὲ τοῖς ἐφεξῆς κεφαλαίοις εὐθὴ καὶ ἀπεξεσμένον εἰς ἀλήθειαν τὸν ἐμὸν εὑρήσετε λόγον. προδιαμαρτύρασθαι δὲ οἶμαι κἀκεῖνο καλόν· ὥσπερ γάρ ἐστιν ἐν θεότητι τέλειος ὁ ἐκ θεοῦ πατρὸς λόγος, οὕτω καὶ ἐν ἀνθρωπότητι τέλειος κατά γε τὸν τῆς ἀνθρωπότητος λόγον, οὐκ ἄψυχον σῶμα λαβών, ἐψυχωμένον δὲ μᾶλλον ψυχῆι λογικῆι. ὁ δὲ θεὸς τῶν ὅλων ὁ τοῖς ἀγαπῶσιν αὐτὸν τὰ ἐξ οὐρανοῦ διανέμων ἀγαθὰ τὰς ὁσίας
Eph. 4, 13 ὑμῶν ἐμπλήσαι ψυχὰς τοῖς παρ' ἑαυτοῦ χαρίσμασιν, ἵνα καὶ εἰς μέτρον ἡλικίας ἀναβαίνουσαι τοῦ πληρώματος τοῦ Χριστοῦ εὐκλεᾶ καὶ εὐδόκιμον τὴν ἀξιάγαστον ὑμῶν ἀποφήνητε ζωήν, ἅγιαι νύμφαι Χριστοῦ.

P 171 [Τάδε ἔνεστιν ἐν τοῖς ἐφεξῆς

Ὅτι θεὸς ὁ Χριστὸς ἑνώσει τῆι πρὸς τὸν θεὸν λόγον, εἰς τὴν αὐτοῦ δόξαν ἀναβαίνοντος καὶ τοῦ προσληφθέντος ναοῦ, ἐκ τῶν ἀποστολικῶν

Ἐκ τῶν καθολικῶν ἐκλογαὶ εἰς τὸ αὐτό

Ἐκ τῶν εὐαγγελικῶν ἐκλογαὶ εἰς τὸ αὐτό

Ὅτι ζωὴ καὶ ζωοποιὸς ὁ Χριστός, ἐκ τῶν κειμένων παρὰ τῶι ἀποστόλωι Παύλωι καὶ ἐν τοῖς ἀποστολικοῖς εὑρέσεις

Ὅτι εἰς Χριστὸν ἡ πίστις ὡς εἰς θεόν, ἐκ τῶν καθολικῶν καὶ ἐκ τῶν εὐαγγελικῶν

Ὅτι ζωὴ καὶ ἱλαστήριον ὁ Χριστός, ἐκλογαὶ διάφοροι

Ὅτι Χριστοῦ θάνατος τῶι κόσμωι σωτήριος, ἐκ τῶν ἀποστολικῶν καὶ εὐαγγελικῶν ἐκλογαί]

PG 1224 Ὅτι θεὸς ὁ Χριστὸς ἑνώσει τῆι πρὸς τὸν θεὸν λόγον, εἰς τὴν αὐτοῦ δόξαν ἀναβαίνων

Ἐκ τῆς πρὸς Ῥωμαίους

22 Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ, κλητὸς ἀπόστολος ἀφωρισμένος εἰς
Rom. 1, 1-4 εὐαγγέλιον θεοῦ, ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν γραφαῖς ἁγίαις περὶ τοῦ υἱοῦ αὐτοῦ τοῦ γενομένου ἐκ σπέρματος Δαυὶδ κατὰ

12—14 Fcyr 157 τοῦ αὐτοῦ ἐκ τῆς αὐτῆς ἐπιστολῆς· διαμαρτύρασθαι δὲ οἶμαι — λογικῆι 20/21 Fcyr 158 τοῦ αὐτοῦ ἐκ τῆς αὐτῆς ἐπιστολῆς· θεός ἐστιν ὁ Χριστὸς — δόξαν ἀναβαίνοντος τοῦ προσληφθέντος ναοῦ ἐκ τῆς ἁγίας παρθένου Μαρίας

VS, D [= mn], A

2 τε om. D 5 οὔπω — γεγονότι om. V γεγονότα S 10 scripserim γράφει Παῦλος αὐτῶ SA 11 προσλαβοῦσαι SD δὲ] οὖν Vmg 14 ἐμψυχωμένον SD 16 ψυχὰς ἐμπλῆσαι SD ἑαυτῶ SD 18 ἀποφήνηται S χῦ νύμφαι A τοῦ χῦ νύμφαι SD 19—29 postea adiecta esse uidentur 19 om. SD ἐστὶν A 20/21 ἀναβαίνοντα S 22 τὸ om. V 23 ἐκ om. D 25 εὑρέσεισ Labbé εὑρήσεισ VSDA 30 χῦ ὁ θῦ SD 30/31 ἀναβαίνων DA ἀναβαίνοντοσ S ἀναβαίνοντοσ καὶ τοῦ προσληφθέντοσ ναοῦ V 32 ἐκ τῆς om. SD

σάρκα, τοῦ ὁρισθέντος υἱοῦ θεοῦ ἐν δυνάμει κατὰ πνεῦμα ἁγιωσύνης ἐξ ἀναστάσεως νεκρῶν, Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν. Οὐκοῦν, εἴπερ ἐστὶν εὐαγγέλιον θεοῦ τὸ περὶ Χριστοῦ κήρυγμα, πῶς οὐ θεὸς ὁ Χριστός; καὶ εἰ πάσης προφητείας ἐπ' αὐτῶι βλέπει πέρας καὶ υἱὸν τοῦ θεοῦ κηρύττουσιν αἱ γραφαὶ τὸν ἐκ σπέρματος Δαυίδ, κἂν εἰ ὡρίσθαι λέγοιτο κατὰ πνεῦμα ἁγιωσύνης διὰ τὸ τῆς ἐνανθρωπήσεως μυστήριον, πῶς οὐχ υἱὸς ἀληθῶς, ἐκ τῆς τῶν νεκρῶν ἀναστάσεως μαρτυρούμενος; ἐγήγερται γὰρ οὐκ ἄνθρωπος κοινὸς καθ' ἡμᾶς, ἀλλ' ὡς θανάτου κρείττων, καθὸ καὶ ζωὴ καὶ θεός. P 172

23 Περὶ τῶν προσκυνούντων τῆι κτίσει παρὰ τὸν κτίσαντά φησι· διότι γνόντες τὸν θεὸν οὐχ ὡς θεὸν ἐδόξασαν ἢ ηὐχαρίστησαν, ἀλλὰ ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία· φάσκοντες εἶναι σοφοὶ ἐμωράνθησαν. Γράφει που Παῦλος τοῖς ἐξ ἐθνῶν κεκλημένοις, τουτέστιν ἡμῖν· νυνὶ δὲ γνόντες θεόν, μᾶλλον δὲ γνωσθέντες ὑπὸ θεοῦ. τίνα τοίνυν ἐγνώκαμεν διὰ τῆς πίστεως ἢ πάντως Χριστὸν Ἰησοῦν; οὐκοῦν εἰ μὲν ὡς θεὸν ἐγνώκαμεν καὶ ὡς θεὸν δοξάζομεν, πεφωτίσμεθα κατὰ ἀλήθειαν· εἰ δὲ ἀλλάσσομεν αὐτοῦ τὴν δόξαν, ματαιώμεθα καὶ ἡμεῖς ἐν τοῖς διαλογισμοῖς ἡμῶν. εἰ γὰρ ὅλως πεπιστεύκαμεν εἰς αὐτόν, ὡς εἰς θεὸν πιστεύομεν, ἢ δεήσει πάντηι τε καὶ πάντως ὁμολογεῖν ὅτι τοῖς τῆς ἀρχαίας ἀπάτης καὶ νῦν ἐνισχήμεθα βρόχοις, ἀνθρώπωι κοινῶι τὴν πίστιν προσάγοντες. ἀλλ' ⟨οὐχ⟩ οὕτω τὸ ἀληθές. Rom. 1, 21. 22 Gal. 4, 9

24 Καὶ καθὼς οὐκ ἐδοκίμασαν τὸν θεὸν ἔχειν ἐν ἐπιγνώσει, παρέδωκεν αὐτοὺς ὁ θεὸς εἰς ἀδόκιμον νοῦν ποιεῖν τὰ μὴ καθήκοντα. Εἰ Χριστὸν ἐγνώκαμεν ὡς θεόν, τὴν ἐπ' αὐτῶι γνῶσιν μὴ ἀποδοκιμάζωμεν, ἄνθρωπον εἶναι λέγοντες κοινόν. εἰ δὲ τοῦτο δρᾶν ἐξ ἀμαθίας τολμῶμεν, βαδιούμεθα πάντως ὁμοῦ τοῖς ἄλλοις εἰς ἀδόκιμον νοῦν. Rom. 1, 28

25 Κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν θησαυρίζεις σεαυτῶι ὀργὴν ἐν ἡμέραι ὀργῆς καὶ ἀποκαλύψεως καὶ δικαιοκρισίας τοῦ θεοῦ, ὃς ἀποδώσει ἑκάστωι κατὰ τὰ ἔργα αὐτοῦ. Ὁ μακάριος Παῦλος τοὺς πάντας ἡμᾶς δεῖ, φησίν, φανερωθῆναι ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν εἴτε ἀγαθὸν εἴτε φαῦλον. ἔφη δέ τις καὶ ἕτερος τῶν ἁγίων ἀποστόλων· εἷς ἐστιν ὁ νομοθέτης καὶ κριτής. ψάλλει δὲ καὶ αὐτὸς ὁ Δαυίδ· ὅτι ὁ θεὸς κριτής ἐστιν. ὅτε τοίνυν δικαιοκρισίαν θεοῦ φησιν εἶναι τὴν ἐπὶ τοῦ θείου βήματος ἐφ' ἑκάστωι ψῆφον, ἣν αὐτὸς ἐξοίσει Χριστός (παραστησόμεθα γὰρ τῶι βήματι αὐτοῦ καὶ οὐχ ὡς ἑνὶ τῶν καθ' ἡμᾶς, ἀλλ' ὡς θεῶι καὶ κριτῆι καὶ νομοθέτηι), πῶς οὐχὶ θεὸς ὁ Χριστός; P 173 PG 1225 Rom. 2, 5. 6 2 Cor. 5, 10 Iac. 4, 12 Ps. 74, 8

26 Διὰ γὰρ νόμου ἐπίγνωσις ἁμαρτίας. νυνὶ δὲ χωρὶς νόμου δικαιοσύνη θεοῦ πεφανέρωται, μαρτυρουμένη ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν, δικαιοσύνη δὲ θεοῦ διὰ πίστεως Ἰησοῦ Χριστοῦ εἰς πάντας τοὺς πιστεύοντας. Δίχα νόμου δικαιοσύνην, ἣν καὶ ὑπὸ τῶν ἁγίων προφητῶν μεμαρτυρῆσθαί φησι, τὴν διὰ πίστεως εἶναι λέγει τῆς εἰς Χριστὸν Ἰησοῦν. εἶτα πῶς οὐ θεὸς ὁ δικαιῶν τοὺς πιστεύοντας ὅτιπερ εἴη θεὸς ἀληθῶς; ὁρᾶι γὰρ εἰς τοῦτο τὸ τῆς πίστεως Rom. 3, 20-22

2— 7 adfert Timotheus syr. f. 43b

VS, D [= mn], A

4 αὐτὸ A 5 εἰ om. V ὥρισται SD 6 οὐχὶ A 8 φησι om. D 9 εὐχαρίστησαν A 13 ἐγνώρισαν SD 14 δοξάζωμεν S αὐτῶν SD 16 πάντηι τε] πάντοτε D 18 οὐχ addidi 20 ὁ θ̄ς̄ αὐτοὺς V 21 γνῶσιν VA δόξαν SD 25 ἑαυτῶ SD 27 ὑμᾶς S φησίν om. SD 29 ὁ om. S 30 καὶ om. SD 37 ἁγίων om. A 37/38 μεμαρτυρεῖσθαι V 38 τῆς VA τὴν SD

πέρις. μαρτυρούντων δὲ τῶν ἁγίων προφητῶν τῇ εἰς Χριστὸν πίστει, τίς ὁ φάναι τολμῶν οὐκ εἶναι θεὸν αὐτον διὰ τὸ ἀνθρώπινον ἢ γοῦν ὅτε γέγονε σὰρξ ὁ λόγος;

27 Rom. 3,23 24 Πάντες γὰρ ἥμαρτον καὶ ὑστεροῦνται τῆς δόξης τοῦ θεοῦ, δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι διὰ τῆς ἀπολυτρώσεως τῆς ἐν Χριστῷ Ἰησοῦ. Εἰ τὸ ἁμαρτάνειν ἡμᾶς ὑστερεῖσθαι ποιεῖ τῆς δόξης τοῦ θεοῦ, ὅτι μὴ οἶδεν 1 Petr 2, 22 ἁμαρτίαν, γέγραπται δὲ περὶ Χριστοῦ ὅτι ἁμαρτίαν οὐκ ἐποίησεν, ὑστερούμεθα δὲ καὶ κατὰ τοῦτο τῆς δόξης αὐτοῦ πλημμελοῦντες ἡμεῖς, θεὸς ἄρα ἐστὶ καὶ μετὰ σαρκὸς ὁ λόγος· οὐ γὰρ ἐποίησεν ἁμαρτίαν.

P 174 28 Rom. 3, 31 Deut 6, 4 Exod. 20, 3 Νόμον οὖν καταργοῦμεν διὰ τῆς πίστεως; μὴ γένοιτο· ἀλλὰ νόμον ἱστῶμεν. Ὁ διὰ Μωσέως νόμος θεὸν ἕνα προσκυνεῖν ἐδίδασκε τοὺς ἐξ Ἰσραήλ. κύριος γάρ φησιν, ὁ θεός σου κύριος εἷς ἐστιν. καὶ αὐτὸς δὲ ὁ θεὸς προσεφώνει λέγων αὐτοῖς· οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ. ἆρ' οὖν μετέστησεν ἡ πίστις ἡ εἰς Χριστὸν τοὺς δι' αὐτῆς κεκλημένους εἰς τὸ μὴ ἑνὶ τῷι κατὰ φύσιν θεῷι προσκυνεῖν; ἆρα καταργοῦμεν νόμον τῷι ἑνὶ τῷι κατὰ ἀλήθειαν θεῷι προσκομίζοντα; μὴ γένοιτο, φησίν, ἀλλὰ νόμον ἱστῶμεν. οὐκοῦν ὡς θεῷι πρόσιμεν τῷι Χριστῷι, ἵνα μὴ κατηγορώμεθα ὡς παραλύοντες νόμον, ἐπαινώμεθα δὲ μᾶλλον ὡς ἱστῶντες νόμον διὰ τῆς πίστεως.

29 Rom. 4, 17 Περὶ τοῦ Ἀβραάμ φησι· κατέναντι οὗ ἐπίστευσε θεοῦ τοῦ ζωοποιοῦντος τοὺς νεκροὺς καὶ καλοῦντος τὰ μὴ ὄντα ὡς ὄντα. Ὅτε τοίνυν τὸ ζωοποιεῖν δύνασθαι τοὺς νεκροὺς ἁρμόσειεν ἂν οὐχ ἑτέρωι πλὴν ὅτι μόνωι τῷι κατὰ φύσιν θεῷι, PG 1228 ζωοποιεῖ δὲ Χριστὸς καὶ διὰ τῆς ἰδίας σαρκὸς τοὺς κατεφθαρμένους ἁπτόμενος τῶν νεκρῶν καὶ ἀνιστὰς αὐτούς, πῶς οὐ θεὸς ἀληθινὸς ὁ καὶ δοὺς ἑτέροις ἐξουσίαν τοὺς νεκροὺς ἐγείρειν διὰ τοῦ ὀνόματος αὐτοῦ;

Rom. 7, 4 30 Ὥστε, ἀδελφοί μου, καὶ ὑμεῖς ἐθανατώθητε τῷι νόμωι διὰ τοῦ σώματος τοῦ Χριστοῦ εἰς τὸ γενέσθαι ὑμᾶς ἑτέρωι τῷι ἐκ νεκρῶν ἐγερθέντι, ἵνα καρποφορήσωμεν τῷι θεῷι. Θανατούμεθα τῷι νόμωι τῆς κατ' αὐτὸν λατρείας ἀποπαυόμενοι, γινόμεθα δὲ ἑτέρωι τῷι ἐκ νεκρῶν ἐγερθέντι, τουτέστι Χριστῷι, τοῖς αὐτοῦ θεσπίσμασιν εὐαγγελικοῖς κατακολουθεῖν σπουδάζοντες, ἵνα καρποφορήσωμεν τῷι θεῷι. κεφάλαιον δὲ τῶν εὐαγγελικῶν θεσπισμάτων ἡ πίστις ἡ εἰς αὐτόν, καὶ οὗτος ἡμῶν ὁ P 175 καρπός, ὡς θεῷι προσαγόμενος τῷι Χριστῷι. θεὸς οὖν ἄρα ἐστὶν ὁ ἐκ νεκρῶν ἀναστάς, ὡς σαρκὸς γεγονότος τοῦ λόγου.

31 Rom. 8, 8-10 Οἱ δὲ ἐν σαρκὶ ὄντες θεῷι ἀρέσαι οὐ δύνανται, ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί, ἀλλ' ἐν πνεύματι, εἴπερ πνεῦμα θεοῦ οἰκεῖ ἐν ὑμῖν. εἰ δέ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἐστιν αὐτοῦ. εἰ δὲ Χριστὸς ἐν ὑμῖν, τὸ μὲν σῶμα νεκρὸν δι' ἁμαρτίαν, τὸ δὲ πνεῦμα ζωὴ διὰ δικαιοσύνην. εἰ δὲ τὸ πνεῦμα τοῦ ἐγείραντος τὸν Ἰησοῦν ἐκ νεκρῶν οἰκεῖ ἐν ὑμῖν, ὁ ἐγείρας ἐκ νεκρῶν Χριστὸν Ἰησοῦν ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ πνεύματος ἐν ὑμῖν. Ἰδοὺ δὴ σαφῶς τὸ θεοῦ πνεῦμα λέγεται τοῦ Χριστοῦ. ἀλλ' εἴπερ ἐστὶν ἄνθρωπος ἰδικῶς καὶ ἀνὰ μέρος κείμενος, κατωικηκότα μόνον ἐν αὐτῷι τὸν τοῦ θεοῦ λόγον ἔχων, πῶς αὐτοῦ το θεῖον λέγεται πνεῦμα; ἀλλὰ μὴν ἴδιον αὐτοῦ τὸ πνεῦμά ἐστι· θεὸς ἄρα καὶ οὐχ ἑτέρως. οὐ

VS, D [= mn], A

2 ὅτι A om. V 6 ὑστερούμενοσ in ὑστεροῦμεν corr. S 7 κατὰ] διὰ A αὐτοῦ VA τοῦ θῦ SD 10 ἐδίδαξε SD 14 ἆρ' οὖν A προσκομίζοντα] προσκυνεῖν D 15 προσίεμεν VSD 16 καταλύοντεσ SD 18 τοῦ om. SD ζωογονοῦντοσ VA 19 ζωοποιοῦν D 20 ἁρμόσειαν ἂν A 21 καὶ om. D 22 ὁ δοὺσ καὶ V 25 εἰς] ὡσ SD 27 τῶν νεκρῶν A 28 εὐαγγελικῶσ V τοῖσ εὐαγγελικοῖσ SD 35 δὲ om. D 38 ἐνοικοῦν αὐτῷ V

γὰρ ἐν ἀνθρώπωι γέγονεν ὁ τοῦ θεοῦ λόγος, ἀλλὰ γέγονεν ἄνθρωπος ἀληθῶς μετὰ τοῦ μεῖναι θεός. οὕτω γὰρ ἂν νοοῖτο Χριστοῦ τὸ πνεῦμα ὑπάρχειν τὸ τοῦ πατρός.

32 Ὅσοι γὰρ πνεύματι θεοῦ ἄγονται, οὗτοι υἱοὶ θεοῦ εἰσιν. οὐ γὰρ Rom.8,14.15
ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλ' ἐλάβετε πνεῦμα υἱοθεσίας,
ἐν ᾧι κράζομεν ἀββᾶ ὁ πατήρ. Ὁ μακάριος γράφει Παῦλος· ὅτι δὲ ἐστὲ υἱοί, 5 Gal. 4, 6
ἐξαπέστειλεν ὁ θεὸς τὸ πνεῦμα τοῦ υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ἡμῶν,
κράζον ἀββᾶ ὁ πατήρ. οὐκοῦν εἰ ἐν πνεύματι τοῦ υἱοῦ παρρησίαν ἔχομεν πατέρα
καλεῖν τὸν θεὸν ὡς τοῦ κατὰ φύσιν καὶ ἀληθῶς υἱοῦ τὸ πνεῦμα πλουτήσαντες, πῶς οὐ
θεὸς ὁ Χριστός; οὐ καθὸ νοεῖται καθ' ἡμᾶς ἄνθρωπος μόνον, ἀλλὰ καθὸ γέγονε σὰρξ ὁ
λόγος καὶ μετέσχηκε παραπλησίως ἡμῖν αἵματος καὶ σαρκός. 10 Hebr.2,14

33 Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις ἢ στενοχωρία Rom. 8, 35
ἢ διωγμὸς ἢ λιμὸς ἢ κίνδυνος ἢ μάχαιρα; ὁ νόμος ἔφασκεν ὁ διὰ Μωσέως καὶ P 176
ἐντολὴν ἐποιεῖτο· ἀγαπήσεις κύριον τὸν θεόν σου ἐξ ὅλης τῆς καρδίας σου Deut. 6, 5
καὶ ἐξ ὅλης τῆς ψυχῆς σου καὶ ἐξ ὅλης τῆς ἰσχύος σου. ὅτε τοίνυν τὴν
ἀγάπην τὴν τῶι θεῶι πρεπωδεστάτην ὡς ἐξ ὅλης ἰσχύος καὶ ἀνωτάτω, τὴν μέχρι ψυχῆς 15 PG 1229
καὶ αἵματος, καὶ αὐτῶι προσάγομεν τῶι Χριστῶι, τίς ὁ φάναι τολμῶν ὡς οὐκ ἂν εἴη θεός;
διημάρτηκε γὰρ τοῦ πρέποντος κατ' οὐδένα τρόπον ὁ τῶν ἁγίων σκοπός.

34 Πέπεισμαι γὰρ ὅτι οὔτε θάνατος οὔτε ζωὴ οὔτε ἄγγελοι οὔτε ἀρχαὶ Rom.8,38.39
οὔτε ἐνεστῶτα οὔτε μέλλοντα οὔτε δυνάμεις οὔτε ὕψωμα οὔτε βάθος οὔτε
τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ θεοῦ τῆς ἐν 20
Χριστῶι Ἰησοῦ τῶι κυρίωι ἡμῶν. Εἰ μηδὲν ὅλως ἡμᾶς χωρίσαι δύναται τῆς
ἀγάπης τοῦ θεοῦ, πράττεται δὲ αὐτὴ παρ' ἡμῶν ἐν Χριστῶι Ἰησοῦ, πῶς οὐ θεὸς ἐναργῶς
ὁ Χριστός, εἴπερ αὐτὸν ἀγαπῶντες τὸν τῶν ὅλων ἀγαπῶμεν θεόν; Χριστὸν δὲ εἰ λέγοιμι,
τὸν ἐκ θεοῦ λόγον ἐνηνθρωπηκότα δηλῶ. 24

35 Πάντες γὰρ παραστησόμεθα τῶι βήματι τοῦ θεοῦ, φησί· παραστησόμεθα Rom. 14, 10
δὲ τῶι Χριστῶι. Καθιεῖται γὰρ ἐπὶ θρόνου δόξης αὐτοῦ, κρίνων τὴν οἰκουμένην ἐν Mt. 25, 31
δικαιοσύνηι, καίτοι λέγοντος τοῦ Δαυὶδ ὅτι ὁ θεὸς κριτής ἐστιν. θεὸς οὖν ἄρα ἐστὶν Ps. 74, 8
ὁ Χριστός.

36 Τολμηρότερον δὲ ἔγραψα ὑμῖν ἀπὸ μέρους ὡς ἐπαναμιμνήισκων ὑμᾶς Rom. 15, 15.
διὰ τὴν χάριν τὴν δοθεῖσάν μοι ὑπὸ τοῦ θεοῦ εἰς τὸ εἶναί με λειτουργὸν 16
Χριστοῦ Ἰησοῦ εἰς τὰ ἔθνη, ἱερουργοῦντα τὸ εὐαγγέλιον τοῦ θεοῦ, ἵνα 31
γένηται ἡ προσφορὰ τῶν ἐθνῶν εὐπρόσδεκτος, ἡγιασμένη ἐν πνεύματι
ἁγίωι. Οἱ τὸ τῆς ἱερουργίας χρῆμα πεπιστευμένοι θεῶι λειτουργοῦσι μόνωι· παρεστή-
κασι γὰρ οὐκ ἀνθρώποις οἱ ἱερεῖς. ἰδοὺ τοιγαροῦν ὁ θεσπέσιος Παῦλος δεδόσθαι φησὶν P 177
ἑαυτῶι χάριν παρὰ τοῦ θεοῦ εἰς τὸ εἶναι λειτουργὸν Χριστοῦ Ἰησοῦ καὶ ἱερουργεῖν ἐν τοῖς 35
ἔθνεσι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ. θεὸς οὖν ἄρα Χριστός, εἰ Χριστὸν κηρύττων τοῖς
ἔθνεσιν τοῦ θεοῦ φησιν εὐαγγέλιον ἱερουργεῖν αὐτοῖς, ἵνα προσδεχθῶσιν ὡς ἡγιασμένοι
ἐν πνεύματι.

37 Ἔχω οὖν καύχησιν ἐν Χριστῶι Ἰησοῦ τὰ πρὸς τὸν θεόν. οὐ γὰρ Rom. 15,
τολμήσω τι λαλεῖν ὧν οὐ κατειργάσατο Χριστὸς δι' ἐμοῦ εἰς ὑπακοὴν 17-19
ἐθνῶν, λόγωι καὶ ἔργωι, ἐν δυνάμει σημείων καὶ τεράτων ἐν δυνάμει 41

VS, D [= mn], A

3 εἰσὶν υἱοὶ θῦ V 6 ὑμῶν VSD 9 μόνον ἄνθρωποσ D 11 χῦ m θῦ VSnA 12 λιμόσ ἢ διωγμόσ A μωυσέοσ V 15 ἀνωτάτησ SD 20 τις om. A ἀπὸ om. V 22 θεοῦ om. S 25 θεοῦ Pusey χῦ VSDA 27 ὅτι θσ̄ VA 31 ἰῦ χῦ DA τὰ ἔθνη τὰ D 34 δεσπέσιοσ S 35 τοῦ om. A λειτουργεῖν A ἰῦ χῦ DA 37 προσαχθῶσιν ἡγιασμένοι V 39 ἔχων SD 41 ἐν¹] καὶ A καὶ om. SD

πνεύματος θεοῦ, ὥστε με ἀπὸ Ἱερουσαλὴμ καὶ κύκλωι μέχρι τοῦ Ἰλλυρικοῦ πεπληρωκέναι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ. Ἐν Χριστῶι Ἰησοῦ καυχᾶσθαί φησι, τὸ καύχημα λέγων ἔχειν πρὸς θεόν. ὅτι δὲ οὐκ ἀνθρώπινον τὸ καὶ ἐν δυνάμει πνεύματος ἐν τοῖς ἁγίοις ἀποστόλοις ἐνεργεῖν δύνασθαι τὸν Χριστὸν τὰ παράδοξα, πῶς ἔνι ἀμφιβάλλειν; ὥσπερ γὰρ ἕκαστος τῶν καθ' ἡμᾶς ἐν ἰδίαι δυνάμει τὰ ἑαυτοῦ ἔργα πληροῖ, οὕτω καὶ ὁ Χριστὸς ὡς ἰδίαι δυνάμει τῶι πνεύματι χρώμενος ἐνεργεῖ τὰ παράδοξα διὰ
PG 1232 τῆς τῶν ἁγίων χειρός. εἶτα πῶς οὐ θεός ἐστιν, οὗπερ ἴδιον τὸ πνεῦμα τὸ ἅγιον;

38 Ἀσπάζονται ὑμᾶς αἱ ἐκκλησίαι πᾶσαι τοῦ Χριστοῦ. Καίτοι φησὶν ἐν
Rom. 16, 16 ἑτέροις, Τιμοθέωι γράφων· ἵνα εἰδῆις πῶς δεῖ ἐν οἴκωι θεοῦ ἀναστρέφεσθαι.
1 Tim. 3, 15 εἰ δὲ Χριστοῦ τὰς ἐκκλησίας οἶδε καὶ μεμαρτύρηκε, θεὸς ἄρα Χριστός.

39 Ὁ δὲ θεὸς τῆς εἰρήνης συντρίψει τὸν σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν
Rom. 16, 20 ἐν τάχει. Θεοῦ λεγομένης εἶναι τῆς εἰρήνης, ἔφη που Χριστὸς τοῖς ἁγίοις ἀποστόλοις·
Ioh. 14, 27 εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν. εἶτα πῶς
P 178 οὐ θεὸς ἀληθῶς ὁ τῆς εἰρήνης δοτὴρ καὶ ὡς ἴδιον ἀγαθὸν τοῖς ἀξίοις διδοὺς αὐτήν;

Κορινθίων πρώτης

40 Παῦλος ἀπόστολος Χριστοῦ Ἰησοῦ διὰ θελήματος θεοῦ καὶ Σωσθένης
1 Cor. 1, 1.2 ὁ ἀδελφὸς τῆι ἐκκλησίαι τοῦ θεοῦ. Ἐπιτήρησον ὅτι Ῥωμαίοις προειρηκὼς
Rom. 16, 16 ἀσπάζονται ὑμᾶς αἱ ἐκκλησίαι πᾶσαι τοῦ Χριστοῦ Κορινθίοις ἐπιστέλλων φησὶ θεοῦ εἶναι τὴν ἐκκλησίαν.

41 Λέγω δὲ τοῦτο ὅτι ἕκαστος ὑμῶν λέγει· ἐγὼ μὲν εἰμὶ Παύλου, ἐγὼ δὲ
1 Cor. 1, 12.13 Ἀπολλῶ, ἐγὼ δὲ Κηφᾶ, ἐγὼ δὲ Χριστοῦ. μεμέρισται ὁ Χριστός; μὴ Παῦλος ἐσταυρώθη ὑπὲρ ὑμῶν ἢ εἰς τὸ ὄνομα Παύλου ἐβαπτίσθητε; Οὐκοῦν εἰ μὴ μεμέρισται ὁ Χριστός, πάντα αὐτοῦ καὶ πάντες αὐτοῦ. καὶ εἰ αὐτὸς ἐσταυρώθη ὑπὲρ ἡμῶν καὶ εἰς τὸ ὄνομα αὐτοῦ ἐβαπτίσθημεν, αὐτῶι δηλονότι κεχρεωστήμεθα, ἐσμὲν δὲ οὐκ ἀνθρώπου τῶν καθ' ἡμᾶς ἑνός, ἀλλὰ θεοῦ. Χριστὸς ἄρα θεὸς ἐφ' ἡμᾶς.

42 Ἐπειδὴ καὶ Ἰουδαῖοι σημεῖον αἰτοῦσι καὶ Ἕλληνες σοφίαν ζητοῦσιν,
1 Cor. 1, 22.23 ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, Ἕλλησι δὲ μωρίαν. Ἆρ' οὐχὶ πᾶς ὁστισοῦν ὁμολογήσειεν ἂν ὅτι καλεῖ πρὸς θεογνωσίαν τὴν ἀληθῆ τοὺς ἀνὰ πᾶσαν τὴν γῆν τὸ κήρυγμα τὸ εὐαγγελικόν; εἶτα πῶς ἢ πόθεν τοῦτο ἀμφίβολον; πῶς οὖν ἄρα κηρύττουσιν οἱ μυσταγωγοὶ Χριστὸν ἐσταυρωμένον;
ἆρα ὡς ἕνα τῶν καθ' ἡμᾶς τὸν ἐπὶ σταυροῦ θάνατον ὑπομείναντα καὶ εἰς ἄνθρωπον ἡ τοῦ
P 179 κόσμου πίστις πράττεται; μὴ γένοιτο, πεπιστεύκαμεν δὲ θεῶι ζῶντι καὶ ἀληθινῶι. θεὸν οὖν οἶδε Χριστὸν τὸν ἐσταυρωμένον καὶ τῶι κόσμωι κηρύττει, τεθαρσηκὼς ὅτι μὴ σφάλλεται.

43 Κἀγὼ ἐλθὼν πρὸς ὑμᾶς, ἀδελφοί, ἦλθον οὐ καθ' ὑπεροχὴν λόγου ἢ
1 Cor. 2, 1.2 σοφίας καταγγέλλων ὑμῖν τὸ μαρτύριον τοῦ θεοῦ. οὐ γὰρ ἔκρινα εἰδέναι τι ἐν ὑμῖν εἰ μὴ Ἰησοῦν Χριστόν, καὶ τοῦτον ἐσταυρωμένον. Ἰδοὺ δὴ σαφῶς τὸ μαρτύριον τοῦ θεοῦ λέγων καταγγέλλειν τῶι κόσμωι, Χριστὸν Ἰησοῦν ἐπήγαγε, καὶ τοῦτον ἐσταυρωμένον. θεὸς οὖν ἄρα ἐστὶν ὁ σταυρὸν δι' ἡμᾶς ὑπομείνας Χριστὸς

VS, D [= mn], A

1 καὶ κύκλω VA κύκλω καὶ SD 2 χῡ VA θῡ SD 4 ἐν om. SD 5/6 τὰ ἑαυτοῦ — δυνάμει om. SD 5 πληροῖ A ποιεῖ V 7 οὗπερ scripsi οὐ [οὗ D] γὰρ VSD οὗτινος A 9 τιμόθεος S γράφομεν V 12 γὰρ που SD 15 om. SD 16 ἰῡ χῡ D 17 τοῦ om. SD 18/19 θῡ φησὶν V 20 παῦλος S 22 ἡμῶν SD Παύλου] αὐτοῦ V 24 αὐτῶι] αὐτὸ S 25 ἀλλὰ θεοῦ om. A θσ̄ ἄρα χσ̄ SD 26 σημεῖα D 28 ἆρ' οὖν SD ὁστισοῦν] τισ D 33 τεθαρρηκώς D 35 καταγγέλων Sn 36 χν̄ ἰν̄ D ἰν̄ S 37 καταγγέλειν A 38/p. 75, 1 ἰσ̄ χσ̄ D

Ἰησοῦς, οὗ καὶ τὸ μαρτύριον οὐκ ἐν ὑπεροχῇ λόγου καὶ σοφίας κοσμικῆς καταγγέλλεται τῶι κόσμωι διὰ τῶν ἁγίων ἀποστόλων, ἀλλ' ὡς ἐν δυνάμει πνεύματος. PG 1233

44 Σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελείοις, σοφίαν δὲ οὐ τοῦ αἰῶνος τού- 1 Cor. 2, 6-8
του οὐδὲ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου τῶν καταργουμένων, ἀλλὰ
λαλοῦμεν θεοῦ σοφίαν ἐν μυστηρίωι τὴν ἀποκεκρυμμένην, ἣν προώρισεν 5
ὁ θεὸς πρὸ τῶν αἰώνων εἰς δόξαν ἡμῶν, ἣν οὐδεὶς τῶν ἀρχόντων τοῦ
αἰῶνος τούτου ἔγνωκεν. εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης
ἐσταύρωσαν. Εἰ θεοῦ σοφία τὸ Χριστοῦ μυστήριον, εἶτα τῶι κόσμωι κηρύττεται
καὶ θεὸς οὔκ ἐστιν ἀληθῶς κατὰ τὸ τισὶν οὐκ οἶδ' ὅπως δοκοῦν καὶ εἰς αὐτὸν ἡ πίστις,
πῶς ἐστι σοφὸν τὸ μυστήριον, εἰ τῆς ἀληθῶς θεογνωσίας ἀποκομίζει τοὺς ἐπὶ τῆς γῆς 10
καὶ λάτριν ἀνθρώπου τὴν οἰκουμένην ἀποτελεῖ; ἀλλ' οὐ τοῦτό ἐστιν ἀληθές, σοφὸν δὲ τὸ
μυστήριον, ὅτι θεῶι προσάγει τοὺς πεπλανημένους. θεὸς ἄρα ὁ Χριστός, εἴρηται δὲ καὶ
δικαίως κύριος τῆς δόξης ὁ ἐσταυρωμένος.

45 Κατὰ τὴν χάριν τοῦ θεοῦ τὴν δοθεῖσάν μοι ὡς σοφὸς ἀρχιτέκτων 1 Cor. 3, 10. 11
θεμέλιον ἔθηκα, ἄλλος δὲ ἐποικοδομεῖ. θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύ- 15 P 180
ναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός. Εἰ ἐπερη-
ρείσμεθα καθάπερ τινὶ θεμελίωι Χριστῶι καὶ ἐπ' αὐτῶι διὰ πίστεως οἰκοδομούμεθα καί ἐστιν
αὐτὸς ἡ πάντων ἀσφάλεια, πῶς οὐκ ἂν εἴη θεὸς ἀληθῶς ὁ ἐν ὧι τὰ πάντα καὶ ἡ παρὰ
πάντων πίστις, οὐ καθὼς εἰς ἕνα τῶν καθ' ἡμᾶς, ὅτι μὴ κτίσει λελατρεύκαμεν, ἀλλὰ θεῶι
τῶι φύσει καὶ ἀληθῶς; 20

46 Οὐκ οἴδατε ὅτι ναὸς θεοῦ ἐστὲ καὶ τὸ πνεῦμα τοῦ θεοῦ οἰκεῖ ἐν ὑμῖν; 1 Cor. 3, 16. 17
εἴ τις τὸν ναὸν τοῦ θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ θεός. ὁ γὰρ ναὸς
τοῦ θεοῦ ἅγιός ἐστιν, οἵτινες ἐστὲ ὑμεῖς. Εἰ τὸ πνεῦμα Χριστοῦ δεχόμενοι
ναὸς θεοῦ χρηματίζομεν, πῶς οὐ θεὸς ἀληθῶς ὁ δι' ὃν ἡμεῖς ἐσμὲν ναοὶ θεοῦ;

47 Ὥστε μὴ πρὸ καιροῦ τι κρίνετε, ἕως ἂν ἔλθηι ὁ κύριος, ὃς καὶ φω- 25 1 Cor. 4, 5
τίσει τὰ κρυπτὰ τοῦ σκότους καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν.
καὶ τότε ὁ ἔπαινος γενήσεται ἑκάστωι παρὰ τοῦ θεοῦ. Τὸν κύριον ἡμῶν
Ἰησοῦν τὸν Χριστὸν ἐξ οὐρανοῦ καταβῆναι προσδοκῶμεν κατὸ καιρούς, ὧι καὶ πάντες
παραστησόμεθα κρίνοντι τὰ κρυπτὰ καὶ φανεροῦντι τὰς βουλὰς τῶν καρδιῶν, ὅτι δὲ καὶ
ἐπαινέσει τοὺς δικαίους, πεπληροφορήμεθα. τοῖς γὰρ ἑστηκόσιν ἐκ δεξιῶν ἐρεῖ· δεῦτε, 30 Mt. 25, 34
οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν
βασιλείαν ἀπὸ καταβολῆς κόσμου. ὅτε τοίνυν ἐπαινοῦντος Χριστοῦ τὸν ἔπαινον
ἑκάστωι γενήσεσθαί φησι παρὰ τοῦ θεοῦ, πῶς οὐ θεός ἐστιν ἐναργῶς;

48 Ἢ οὐκ οἴδατε ὅτι τὰ σώματα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν ἁγίου πνεύματός PG 1236
ἐστιν, οὗ ἔχετε ἀπὸ θεοῦ, καὶ οὐκ ἐστὲ ἑαυτῶν; ἠγοράσθητε γὰρ τιμῆς. 1 Cor. 6, 19. 20
δοξάσατε δὴ τὸν θεὸν ἐν τῶι σώματι ὑμῶν. Εἰ τὸ πνεῦμα Χριστοῦ λαβόντες P 181
γεγόναμεν ναοὶ θεοῦ καὶ οὐκ ἐσμὲν ἑαυτῶν, ἀγορασθέντες τῶι αἵματι αὐτοῦ, ὡς μηκέτι
ζῆν ἡμᾶς ἑαυτοῖς, ἀλλὰ τῶι πριαμένωι, πῶς οὐ θεὸς ὁ Χριστὸς ἐναργῶς ὁ δι' ὃν καὶ ναοὶ
θεοῦ ἐσμὲν ἡμεῖς, ὧι καὶ ὡς θεῶι δουλεύομεν;

VS, D [= mn], A

4 οὐδὲ — τούτου om. V 5 θεοῦ om. A τὴν om. A 8 μυστήριον $\overline{\chi\upsilon}$ V 10 τὸ μυστήριον σοφὸν V ἀληθοῦσ A 10 ἀποκομίσει SD τῆς om. A 11 λάτριν scripsi λατρείαν VSDA τὴν οἰκουμένην om. V 13 ὁ om. SD 15 τέθεικα SD ἄλλοσ V 17 Χριστῶι om. SD 18/19 παρὰ πάντων VA παρ' αὐτῶν SD 21 ἐστὲ ὑμεῖσ V ἐν ὑμῖν οἰκεῖ S 27 τοῦ om. A 28 τὸν om. SD καταβῆναι ἐξ οὐρανοῦ SD 29 καὶ[2] om. V 32 ἔπαινον A ἔπαινον δὲ VSD 34 σώματα] πνεύματα S 37 ναοὶ VA υἱοὶ SD 38 ἐναργῶσ ὁ $\overline{\chi\sigma}$ D

49 Περὶ τῆς βρώσεως οὖν τῶν εἰδωλοθύτων, οἴδαμεν ὅτι οὐδὲν εἴδωλον
1 Cor. 8, 4-6 ἐν κόσμωι καὶ ὅτι οὐδεὶς θεὸς εἰ μὴ εἷς. καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι θεοί, εἴτε ἐν οὐρανῶι εἴτε ἐπὶ γῆς, ὥσπερ εἰσὶ θεοὶ πολλοὶ καὶ κύριοι πολλοί, ἡμῖν δὲ εἷς θεὸς ὁ πατήρ, ἐξ οὗ τὰ πάντα καὶ ἡμεῖς εἰς αὐτόν, καὶ εἷς κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα καὶ ἡμεῖς δι' αὐτοῦ. Εἰ μόνος εἷς ἐστι θεὸς καὶ ἕτερος παρ' αὐτὸν οὐδείς, συμπαραλαμβάνεται δὲ εἰς τὴν μίαν τῆς θεότητος φύσιν ὁ εἷς Χριστὸς Ἰησοῦς, δι' οὗ τὰ πάντα, θεὸς ἄρα ἐστὶν ὁ ἐν ὁμοουσιότητι τοῦ πατρὸς νοούμενος θεικῶς, καὶ ὅτε κεχρημάτικεν Ἰησοῦς Χριστὸς γενόμενος ἐκ γυναικός. ἐπιτηρῆσαι δὲ χρὴ ὅτι Χριστὸν Ἰησοῦν ὀνομάσας δι' αὐτοῦ τὰ πάντα γενέσθαι φησίν, ὡς ἑνὸς ὄντος υἱοῦ καθ' ἕνωσιν οἰκονομικήν.

50 Ἐγενόμην, φησί, τοῖς ἀνόμοις ὡς ἄνομος, μὴ ὢν ἄνομος θεοῦ, ἀλλ'
1Cor.9,20.21 ἔννομος Χριστοῦ. Εἰ ὁ Χριστοῦ νόμον ἔχων νόμον ἔχει θεοῦ, πῶς οὐ θεὸς ὁ Χριστός;

51 Ἀπρόσκοποι καὶ Ἰουδαίοις γίνεσθε καὶ Ἕλλησι καὶ τῆι ἐκκλησίαι τοῦ
1 Cor. 10, 32 θεοῦ. Σημειωτέον ὅτι θεοῦ λέγων τὴν ἐκκλησίαν, Χριστοῦ πάλιν οἶδεν αὐτήν.

52 Θέλω δὲ ὑμᾶς εἰδέναι ὅτι παντὸς ἀνδρὸς ἡ κεφαλὴ ὁ Χριστός ἐστι,
1 Cor. 11, 3 κεφαλὴ δὲ γυναικὸς ὁ ἀνήρ, κεφαλὴ δὲ Χριστοῦ ὁ θεός. Ὁ μακάριος Λουκᾶς τὴν περὶ Χριστοῦ γενεαλογίαν ἡμῖν συντιθεὶς ἄρχεται μὲν ἀπὸ τοῦ Ἰωσήφ, εἶτα φθάσας
P 182 ἐπὶ τὸν Ἀδὰμ ἐπιφέρει λέγων τοῦ θεοῦ, ἀρχὴν τῶι ἀνθρώπωι τιθεὶς τὸν ποιήσαντα θεόν.
Lc. 3, 38 οὕτως εἶναι φαμὲν παντὸς ἀνδρὸς κεφαλὴν τὸν Χριστόν· πεποίηται γὰρ δι' αὐτοῦ καὶ παρήχθη πρὸς γένεσιν, οὐχ ὑπουργικῶς κτίζοντος αὐτὸν τοῦ υἱοῦ, θεικῶς δὲ μᾶλλον ὡς φύσει δημιουργοῦ. κεφαλὴ δὲ γυναικὸς ὁ ἀνήρ, ὅτι ἐκ τῆς σαρκὸς αὐτοῦ ἐλήφθη καὶ αὐτὸν ὥσπερ ἔχει τὴν ἀρχήν. κεφαλὴ δὲ ὁμοίως Χριστοῦ ὁ θεός, ὅτι ἐξ αὐτοῦ κατὰ
PG 1237 φύσιν· γεγέννηται γὰρ ὁ λόγος ἐκ τοῦ θεοῦ καὶ πατρός. εἶτα πῶς οὐ θεὸς ὁ Χριστός, οὗ κεφαλὴ τέθειται κατὰ φύσιν ὁ πατήρ; Χριστὸν δὲ ὅταν λέγοιμι, ἐν ἀνθρωπείαι μορφῆι πεφηνότα τὸν ἐκ θεοῦ λόγον ἐννοῶ.

53 Διὸ γνωρίζω ὑμῖν ὅτι οὐδεὶς ἐν πνεύματι θεοῦ λαλῶν λέγει ἀνάθεμα
1 Cor 12, 3-6 Ἰησοῦν καὶ οὐδεὶς δύναται εἰπεῖν κύριος Ἰησοῦς εἰ μὴ ἐν πνεύματι ἁγίωι. διαιρέσεις δὲ χαρισμάτων εἰσί, τὸ δὲ αὐτὸ πνεῦμα· καὶ διαιρέσεις διακονιῶν εἰσιν, ὁ δὲ αὐτὸς κύριος· καὶ διαιρέσεις ἐνεργημάτων εἰσίν, ὁ δὲ αὐτὸς θεὸς ὁ ἐνεργῶν ἐστι τὰ πάντα ἐν πᾶσιν. Εἰ τὸ λέγειν ὅτι οὐκ ἐστι φύσει καὶ ἀληθείαι θεὸς ὁ Χριστός, οὐδὲν ἕτερόν ἐστιν ἢ εἰπεῖν ἀνάθεμα Ἰησοῦν, οἱ ἐκβάλλοντες αὐτὸν τοῦ εἶναι κατὰ ἀλήθειαν θεὸν οὐκ ἐν ἁγίωι πνεύματι τοῦτο ποιοῦσι. καὶ εἰ τὰς τῶν χαρισμάτων διαιρέσεις ποτὲ μὲν ἐνεργεῖν τὸ πνεῦμά φησι, ποτὲ δὲ τὸν αὐτὸν κύριον, ποτὲ δὲ τὸν αὐτὸν θεόν, οἶδεν ἄρα θεὸν ὄντα Χριστὸν τὸν ὡς θεὸν ἐνεργοῦντα διὰ τοῦ πνεύματος καὶ ὡς κύριον κατὰ φύσιν διανέμοντα μετ' ἐξουσίας, ὥσπερ ἂν ἔλοιτο, τὰς ἄνωθεν δωρεάς. μνημονεῦσαι δὲ δεῖ ὅτι καὶ ὁ Παῦλος ἔφη περὶ Χριστοῦ ὡς ἐνεργήσαντος αὐτοῦ ἐν δυνάμει πνεύματος ἁγίου.

P 183 **54** Καὶ οὓς μὲν ἔθετο ὁ θεὸς ἐν τῆι ἐκκλησίαι πρῶτον ἀποστόλους, δεύ-
1 Cor 12, 18 τερον προφήτας, τρίτον διδασκάλους, ἔπειτα δυνάμεις, ἔπειτα χαρίσματα

VS, D [= mn], A

3 τῆσ γῆσ V πολλοὶ θεοὶ Sm 5 Χριστός] ὁ S 7 ῑσ̄ χσ̄ SD οὖν ἄρα SD ὁ om. V 11 θῶ V 12 χῶ V 14 γίνεσθαι Vm 21 θεουργικῶσ V 24 γεγένηται SD 25 λέγοιμι suspectum ἀνθρωπία D 31 θσ̄ ἐστὶν ὁ ἐνεργῶν SD 33 τοῦ om. V θν̄ A ῑν VSD πνῑ ἁγίω SD 35 τὸν χν̄ τὸν A θεόν] ἀληθῶσ A 36 κν̄ VA θν̄ SD 37 ὁ om. SD 39 πρῶτον μὲν SA 39/40 δεύτερον δὲ A ἔπειτα²] εἶτα V

ἰαμάτων. Θεοῦ λεγομένου ταῦτα κατορθοῦν, Χριστὸς ὁ ἐνεργήσας ἐστίν· ἔθετο γὰρ τοὺς ἀποστόλους αὐτὸς ἐν τῇι ἐκκλησίαι καὶ μέντοι καὶ διδασκάλους * ἐνεργῆσαι καὶ δυνάμεις. δέδωκε γὰρ ἐξουσίαν τοῖς ἁγίοις μαθηταῖς θεραπεύειν πᾶσαν νόσον καὶ Mt. 10, 1
πᾶσαν μαλακίαν ἐν τῶι λαῶι.

55 Ὁ ἀσπασμὸς τῇι ἐμῇι χειρὶ Παύλου. εἴ τις οὐ φιλεῖ τὸν κύριον, ἤτω 1 Cor. 16, 21. 22
ἀνάθεμα. μαραναθά. Ἆρα τίνα φησὶ κύριον ἐν τούτοις; κύριος μὲν γὰρ ὁμολογουμένως καὶ αὐτὸς ὁ υἱός, ὁμοίως δὲ καὶ τὸ πνεῦμα· ὁ γὰρ κύριος, φησί, τὸ πνεῦμά 2 Cor. 3, 17
ἐστιν. ὁ δέ γε τοῦ μακαρίου Παύλου σκοπὸς ἐν τούτοις εἰς αὐτὸν συντείνεται τὸν Ἰησοῦν· εἷς γάρ φησι, κύριος Ἰησοῦς Χριστός. ἀναθεματίζει τοίνυν τὸν μὴ 1 Cor. 8, 6
φιλοῦντα αὐτόν, οὐ φιλεῖ δὲ αὐτὸν ὁ μήτε φύσει μήτε ἀληθείαι λέγων υἱὸν εἶναι τοῦ θεοῦ, 10
ἀλλὰ ὡς ἐν δευτέραι τάξει τιθεὶς παρὰ τὸν ἐκ θεοῦ λόγον καὶ τὸ τῆς οἰκονομίας ἀδικῶν μυστήριον διὰ τοῦ τέμνειν εἰς δύο τὸν ἕνα κύριον καὶ υἱόν.

Ἐκ τῆς πρὸς Κορινθίους

56 Τῶι δὲ θεῶι χάρις πάντοτε τῶι θριαμβεύοντι ἡμᾶς ἐν τῶι Χριστῶι 2 Cor. 2, 14. 15
καὶ τὴν ὀσμὴν τῆς γνώσεως αὐτοῦ φανεροῦντι δι' ἡμῶν ἐν παντὶ τόπωι, PG 1240
ὅτι Χριστοῦ εὐωδία ἐσμὲν τῶι θεῶι ἐν τοῖς σωιζομένοις καὶ ἐν τοῖς 16
ἀπολλυμένοις. Εἶτα πῶς οὐ θεὸς ὁ Χριστός, εἴπερ ἐστὶν αὐτὸς ὀσμὴ τῆς γνώσεως τοῦ πατρός; οὐ γὰρ ἔν γε τῇι ἀνθρώπου φύσει τὴν τῆς θείας φύσεως εὐωδίαν ἀναμάθοι τις ἄν, ἀλλ' ὥσπερ ἡ τῆς ἀνθρωπότητος ὀσμὴ σημαίνει που πάντως ἄνθρωπον, οὕτω καὶ ἡ τῆς θεότητος θεόν. εἰ δὲ Χριστὸς εὐωδία τοῦ πατρὸς εἶναι λέγεται καὶ ἔστιν ἀληθῶς, 20 P 184
πῶς οὐ θεός ἐστι Χριστός, κἂν εἰ γέγονεν ἄνθρωπος οἰκονομικῶς ὁ ἐκ θεοῦ πατρὸς λόγος;

57 Ἡ ἐπιστολὴ ἡμῶν ὑμεῖς ἐστέ, ἐγγεγραμμένη ἐν ταῖς καρδίαις ἡμῶν, 2 Cor. 3, 2. 3
γινωσκομένη καὶ ἀναγινωσκομένη ὑπὸ πάντων ἀνθρώπων, φανερούμενοι ὅτι ἐστὲ ἐπιστολὴ Χριστοῦ διακονηθεῖσα ὑφ' ἡμῶν, ἐγγεγραμμένη οὐ μέλανι, ἀλλὰ πνεύματι θεοῦ ζῶντος, οὐκ ἐν πλαξὶ λιθίναις, ἀλλ' ἐν πλαξὶ 25
καρδίας σαρκίναις. Ἔφη που θεὸς δι' ἑνὸς τῶν ἁγίων προφητῶν· ἐν τῶι καιρῶι Ier. 38, 33
ἐκείνωι, λέγει κύριος, διδοὺς νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν καὶ ἐπὶ τὰς καρδίας αὐτῶν ἐπιγράψω αὐτούς. γεγόναμεν τοίνυν ἐπιστολὴ Χριστοῦ, γράφοντος ἡμῖν οὐκ ἐν μέλανι τὸ αὐτῶι δοκοῦν, ἀλλ' ἐν πνεύματι θεοῦ ζῶντος, οὐ διακονικῶς μᾶλλον, ἀλλ', ἵνα οὕτως εἴπωμεν, αὐτουργικῶς· ἴδιον γὰρ αὐτοῦ τὸ πνεῦμά ἐστιν. 30
εἶτα πῶς οὐ θεὸς ὁ ἐν ἰδίωι πνεύματι γράφων ἡμῖν τῆς θεογνωσίας τὴν ὁδόν;

58 Περι τῶν Ἰουδαίων φησίν· ἀλλ' ἐπωρώθη τὰ νοήματα αὐτῶν. ἄχρι γὰρ 2 Cor. 3, 14-17
τῆς σήμερον ἡμέρας τὸ αὐτὸ κάλυμμα ἐπὶ τῇι ἀναγνώσει τῆς παλαιᾶς διαθήκης μένει, μὴ ἀνακαλυπτόμενον ὅτι ἐν Χριστῶι καταργεῖται, ἀλλὰ ἕως σήμερον, ἡνίκα ἀναγινώσκεται Μωυσῆς, κάλυμμα ἐπὶ τὴν καρδίαν 35
αὐτῶν κεῖται. ἡνίκα δ' ἂν ἐπιστρέψηι πρὸς κύριον, περιαιρεῖται τὸ κάλυμμα. ὁ δὲ κύριος τὸ πνεῦμά ἐστιν· οὗ δὲ τὸ πνεῦμα κυρίου, ἐκεῖ ἐλευθερία. Εἰ τέλος νόμου καὶ προφητῶν ὁ Χριστὸς καὶ οὐκ ἀποκαλύπτεται τὸ κάλυμμα τὸ ἐπὶ τῇι ἀναγνώσει τῆς παλαιᾶς διαθήκης εἰ μὴ ἐν μόνωι τῶι Χριστῶι, ποῖον ἔχει λόγον τὸ ἄνθρωπον αὐτὸν οἴεσθαι κοινὸν ὑπάρχειν, μόνηι τῇι τῆς υἱότητος προσηγο- 40

VS, D [= mn], A

2 lacunam statui, supplendo e. g. ἐποίησε δ' siue ἐχαρίσατο δ' 4 ἐν om. V 8 συνετείνετο V 9 ἀνθεμα A 12 καὶ υἱόν A καὶ ῑ̅ν̅ V ῑ̅ν̅ χ̅ρ̅ SD 13 om. SD 22 ἡ om. S ἐγγεγραμμένοι V 23 φανερουμένη VSDA 24 ὑφ' om. S 26 καρδίαισ S λιθίναισ S σαρκίνησ D ἁγίων om. SD 27 νόμους] λόγουσ V 28 ταῖσ καρδίαισ D 35 τὸ σήμερον S τῆσ σήμερον D 36 περιερεῖται V

P 185 ρίαι τετιμημένον; εὑρίσκεται γὰρ [ἂν] οὕτως ἔχειν τὸ τῆς πίστεως ἡμῶν τέλος οὐκ εἰς θεὸν μᾶλλον, ἀλλ' εἰς ἕνα τῶν καθ' ἡμᾶς, ὅπερ ἐστὶ τῶν ἀτοπωτάτων.

59 Εἰ δὲ καί ἐστι κεκαλυμμένον τὸ εὐαγγέλιον ἡμῶν, ἐν τοῖς ἀπολλυμένοις
2 Cor. 4, 3. 4 ἐστὶ κεκαλυμμένον, ἐν οἷς ὁ θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων εἰς τὸ μὴ αὐγάσαι τὸν φωτισμὸν τοῦ εὐαγγελίου τῆς δόξης τοῦ Χριστοῦ, ὅς ἐστιν εἰκὼν τοῦ θεοῦ. Εἰ κατά γε τὸ τισὶ δοκοῦν κοινὸς ἄνθρωπός ἐστιν ὁ Χριστός, ἑνώσει μόνῃ τῇι κατὰ πρόσωπον τὴν συνάφειαν ἔχων πρὸς τὸν ἐκ θεοῦ λόγον (φασὶ γὰρ οὕτως αὐτοί), πῶς ἐν τοῖς ἀπολλυμένοις κεκαλυμμένον
PG 1241 ἐστὶ τὸ εὐαγγέλιον αὐτοῦ; διάκεινται γὰρ τὰ ἔθνη οὐχ ὅτι θεός ἐστιν, ἀλλ' ὅτι καθ' ἡμᾶς ἄνθρωπος. πῶς δὲ καὶ τετύφλωνται παρὰ τοῦ σατανᾶ οἱ περὶ ἀνθρώπου λέγοντες ὅτι ἄνθρωπός ἐστι; ποῖος δὲ καὶ φωτισμὸς ἔνεστι τῶι εὐαγγελίωι τοῦ Χριστοῦ, εἰ μὴ θεός ἐστι καὶ ὡς τοῦτο ὑπάρχων δεδόξασται; πῶς δ' ἂν εἴη καὶ εἰκὼν τοῦ θεοῦ, εἰ μέχρι μόνων τῆς ἀνθρωπότητος ἀφικνεῖται, οὐκ ἔχων τὸ εἶναι κατὰ ἀλήθειαν υἱὸς καὶ θεός;

60 Διὸ καὶ φιλοτιμούμεθα, εἴτε ἐνδημοῦντες εἴτε ἐκδημοῦντες, εὐάρεστοι
2 Cor. 5, 9. 10 αὐτῶι εἶναι. τοὺς γὰρ πάντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν εἴτε φαῦλον. Εἰ πᾶσα τοῖς ἁγίοις σπουδὴ τὸ εὐαρεστεῖν τῶι θεῶι, φιλοτιμούμεθα δὲ τοιοῦτοι φαίνεσθαι τῶι Χριστῶι, τὸ ἀνθρώποις ἀρέσκειν παραιτούμενοι,
Iac. 4, 12 πῶς οὐ θεὸς ἐναργῶς ὁ Χριστός; καὶ εἰ κρινεῖ τὴν οἰκουμένην αὐτός, ἑνὸς εἶναι λεγομένου νομοθέτου καὶ κριτοῦ, πρόδηλον ὅτι καὶ κατὰ τοῦτο θεός ἐστι, καὶ εἰ γέγονε σὰρξ ὁ λόγος.

P 186 **61** Ἡ γὰρ ἀγάπη τοῦ θεοῦ συνέχει ἡμᾶς, κρίναντας τοῦτο ὅτι εἰ εἷς ὑπὲρ
2 Cor. 5, 14. 15 πάντων ἀπέθανεν, ἄρα οἱ πάντες ἀπέθανον, καὶ ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῶι ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι. Εἰ πάντες ἓν ἐσμὲν καὶ αὐτῶι ζῆν εὐχόμεθα, κατασεμνύνοντες δηλονότι τὸν ἑαυτῶν βίον διά γε τοῦ χρῆναι πληροῦν τὸ θέλημα αὐτοῦ, ζῶμεν δὲ τῶι Χριστῶι, πῶς οὐ θεὸς εἴη ἄν, ὧι κεχρεωστήμεθα καὶ ζῆν σπουδάζομεν ὡς ὑπὲρ ἡμῶν τεθνεῶτι καὶ πριαμένωι πάντας αἵματι τῶι ἰδίωι;

62 Ὑπὲρ Χριστοῦ οὖν πρεσβεύομεν ὡς τοῦ θεοῦ παρακαλοῦντος δι' ἡμῶν·
2 Cor. 5, 20 δεόμεθα ὑπὲρ Χριστοῦ, καταλλάγητε τῶι θεῶι. ἐπιτήρησον ὅτι πρεσβεύουσι μὲν ὑπὲρ Χριστοῦ, παρακαλεῖσθαι δὲ λέγουσιν ἡμᾶς ὑπὸ τοῦ θεοῦ· εἶτα πάλιν δεόμεθα, φασίν, ὑπὲρ Χριστοῦ, καταλλάγητε τῶι θεῶι. θεὸς οὖν ἄρα Χριστός, ὧι κατηλλαγμένοι θεῶι κατηλλάγμεθα.

63 Ἀλλ' ἐν παντὶ συνιστάντες ἑαυτοὺς ὡς θεοῦ διάκονοι. Οἱ θεοῦ λεγό-
2 Cor. 6, 4 μενοι εἶναι διάκονοι εἴρηνται καὶ Χριστοῦ· θεὸς οὖν ἄρα Χριστός.

64 Ἡμεῖς γὰρ ναοὶ θεοῦ ἐσμὲν ζῶντος, καθὼς εἶπεν ὁ θεὸς ὅτι ἐνοικήσω
2 Cor. 6, 16 ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω καὶ ἔσομαι αὐτῶν θεὸς καὶ αὐτοὶ ἔσονταί μου λαός. Εἰ ναοὶ θεοῦ ζῶντος ἐσμέν, ὡς ἐνοικοῦντος ἐν ἡμῖν τοῦ πνεύματος, ὃ καὶ εἶναι
Rom. 8, 9 λέγεται τοῦ Χριστοῦ (εἰ γάρ τις, φησί, πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ), πῶς οὐ θεὸς ὁ Χριστός;

65 Λογισμούς, φησί, καθαιροῦντες καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ
2 Cor. 10, 5 P 187 τῆς γνώσεως τοῦ θεοῦ καὶ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν

VS, D [= mn], A

1 ἂν deleui 3/4 τὸ εὐαγγέλιον — κεκαλυμμένον om. SD 9 αὐτοῦ] τοῦ θῦ V 10 ἀνθρώπου] αὐτοῦ? λέγοντες om. SD 11 Χριστοῦ] φρικτοῦ S 20 εἰ om. D ὁ λόγος om. V 25 δὲ om. SD 26 ἂν εἴη SD 28 οὖν om. V 29 χῦ̄ V ὅτι SA ἔτι D τοῦ V 30 δὲ om. V 31 ὧ καὶ SD 34 εἴρηται S 35 ἐσμὲν θῦ̄ V ζῶντεσ SD ὅτι VA καὶ SD 36 ἐν om. SD μοι V 37 ζῶντεσ SD ἐν om. A

τοῦ Χριστοῦ. Τίνα τρόπον καθαιρήσομεν πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως PG 1244
τοῦ θεοῦ; ἢ πῶς αἰχμαλωτιοῦμεν πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ; κεκένωκε γὰρ Phil. 2, 7. 8
ἑαυτὸν ὁ λόγος ἑκὼν καὶ γέγονεν ὑπήκοος τῷι πατρὶ μέχρι θανάτου. ὅταν τοίνυν ἐκ
τῶν οἰκονομικῶς ἢ πεπραγμένων ἢ εἰρημένων διά γε τὴν σάρκα καὶ τὸ ἀνθρώπινον κατε-
παίρωνται τινὲς τῆς γνώσεως τοῦ υἱοῦ, λέγοντες οὐκ εἶναι θεὸν ἀληθῆ καὶ υἱὸν κατὰ φύσιν 5
τὸν ἐν ἀνθρωπείαι μορφῆι, τότε πᾶν ὕψωμα ἐπαιρόμενον καθαιρήσομεν, τὰς τῶν ἐκεῖνα
φρονεῖν ἠιρημένων ἀνατρέποντες δόξας καὶ περιτρέποντες πᾶν νόημα εἰς τὴν τῆς ὑπακοῆς
οἰκονομίαν. δεῖ γὰρ ἐν τοῖς τῆς ἀνθρωπότητος μέτροις γεγονότα τὸν υἱὸν μὴ παραι-
τεῖσθαι τὰ ἀνθρώπινα.

Ἐκ τῆς πρὸς Γαλάτας 10

66 Ἐγὼ γὰρ διὰ νόμου νόμωι ἀπέθανον, ἵνα θεῶι ζήσω. Χριστῶι συνε- Gal. 2, 19. 20
σταύρωμαι, ζῶ δὲ οὐκέτι ἐγώ, ζῆι δὲ ἐν ἐμοὶ Χριστός. ὃ δὲ νῦν ζῶ ἐν
σαρκί, ἐν πίστει ζῶ τῆι τοῦ υἱοῦ τοῦ θεοῦ τοῦ ἀγαπήσαντός με καὶ παρα-
δόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ. Τί δὴ ἄρα φησὶν ἐν τούτοις ὁ θεσπέσιος Παῦλος,
κατιδεῖν ἀναγκαῖον. νόμος τέθειτο παρὰ θεοῦ διὰ φωνῆς προφητῶν καὶ ἦν οὗτος· ὁ 15 Hab. 2, 4
δὲ δίκαιος ἐκ πίστεως ζήσεται. τέθειτο δὲ καὶ νόμος διὰ Μωσέως. νόμωι
τοίνυν τῶι τῆς πίστεως, φησίν, ἀκολουθήσας ἀπέθανον τῶι νόμωι τῶι διὰ Μωσέως, οὐκ
ἐνεργήσας ἔτι τὰ ὡς ἐν σκιᾶι καὶ τύποις τοῖς ἀρχαίοις διωρισμένα. τοῦτο γάρ ἐστι τὸ
νόμωι τῶι διὰ Μωσέως ἀποθανεῖν, ἵνα θεῶι ζήσωμεν, τῆι εἰς Χριστὸν προσκείμενοι πίστει.
ὅτε τοίνυν ἀποθνήισκομεν τῶι διὰ Μωσέως νόμωι, τὴν ἐν Χριστῶι προτιμῶντες δικαίωσιν, 20 P 188
πῶς οὐ θεὸς ὁ Χριστός, δι' ὃν καταργεῖται νόμος, ὡς διαφερούσης αὐτοῦ τῆς πίστεως;
εἰ δὲ ἄνθρωπος ἦν ἁπλῶς ὁ Χριστός, πῶς ἂν ἐγένετο καὶ νόμου κρείττων ἡ πίστις ἡ
εἰς αὐτόν;

67 Ὁ οὖν ἐπιχορηγῶν ὑμῖν τὸ πνεῦμα καὶ ἐνεργῶν δυνάμεις ἐξ ἔργων Gal. 3, 5
νόμου ἢ ἐξ ἀκοῆς πίστεως; εἰ ὁ νόμος ὁ διὰ Μωσέως, καίτοι θεοῦ νόμος ὢν καὶ 25
λαληθεὶς δι' ἀγγέλων, οὐκ ἔχει τὴν τοῦ ἁγίου πνεύματος χορηγίαν οὔτε μὴν προυξένησε
τισὶ τὸ ἐνεργεῖν δύνασθαι τὰ παράδοξα, κερδαίνομεν δὲ διὰ τῆς πίστεως τῆς εἰς Χριστὸν
ἀμφότερα, πῶς οὐκ ἐν ἀμείνοσιν ἡ πίστις τοῦ παλαιοῦ νόμου; καὶ εἰ ἄνθρωπος ἦν ἁπλῶς
καθ' ἡμᾶς, πῶς θεῖον κατήργησε νόμον ἡ πίστις ἡ εἰς αὐτόν; καὶ εἰ ἐσμὲν ἐν ἀμείνοσιν
οἱ διὰ πίστεως μᾶλλον ἢ οἵπερ ἦσαν κατ' ἐκεῖνο τοῦ καιροῦ, καθ' οὓς ἦν ὁ νόμος, πῶς 30
οὐ θεὸς ὁ Χριστός;

68 Πρὸ τοῦ δὲ ἐλθεῖν τὴν πίστιν ὑπὸ νόμον ἐφρουρούμεθα συγκλειό- Gal. 3, 23-27
μενοι εἰς τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι, ὥστε ὁ νόμος παιδαγω- PG 1245
γὸς ἡμῶν γέγονεν εἰς Χριστόν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν. ἐλθούσης
δὲ τῆς πίστεως, οὐκέτι ὑπὸ παιδαγωγὸν ἐσμέν. πάντες γὰρ υἱοὶ θεοῦ 35
ἐστὲ διὰ τῆς πίστεως ἐν Χριστῶι Ἰησοῦ. ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτί-
σθητε, Χριστὸν ἐνεδύσασθε. Εἰ παιδαγωγὸς ἦν ὁ νόμος, οὐκ ἐφ' ἕτερον ἀνα-
φέρων πλὴν ὅτι μόνον ἐπὶ Χριστόν, καίτοι τῆς ἀληθοῦς θεογνωσίας διδάσκαλος ὤν, πῶς
οὐ θεὸς ὁ Χριστός; καὶ εἰ καταργεῖται ὁ νόμος διὰ τῆς πίστεως τῆς εἰς αὐτὸν καὶ τὸ τῆς
παιδαγωγίας αὐτῶι τέλος παραδίδωσιν ὡς εἰς τὸ ἄκρως ἀγαθὸν ἀναφέρων τοὺς παιδαγω- 40
γουμένους, τὸ δὲ εἰς λῆξιν ἀγαθὸν εἴη ἂν ἕτερον οὐδὲν παρά γε τὴν τῆς ἀληθοῦς θεογνω-

---

VS, D [= mn], A

3 ἑκὼν ὁ λόγος S 4/5 κατεπαίρονται S 7 εἰρημένων S 14 ἐμοῦ VA ἡμῶν SD δὴ scripsi δὲ VSDA τούτω SD 15 τέθειται V 16 τέθειται V 17 τῶι] τὸ S 18 ἔτι A ἐπὶ VSD διωρισμένα τοῖσ ἀρχαίοισ V τὸ] τῶ Sn 19 προκείμενοι S 20 ἀπεθνήσκομεν A 21 καταργῆται V 22 ἁπλῶς om. D 24 ἡμῖν V om. SD 25 ἐξ om. A 30/31 πῶς — Χριστός om. SD 32 δὲ τοῦ V 39 ὁ[2] A om. VSD 40 ἄκρον V

P 189 σίας εἴδησιν, πῶς ἂν ἐνδοιάσειέ τις ὅτι θεός ἐστι; βαπτιζόμενοι δὲ εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα πῶς εἰς Χριστὸν βεβαπτίσμεθα, εἴπερ ἐστὶν οὐχ υἱὸς ἀληθής, καίτοι τοῦ κατὰ φύσιν ἐνὸς ὄντος υἱοῦ; ἀλλὰ μὴν εἰς αὐτὸν βεβαπτίσμεθα· θεὸς οὖν ἄρα ἐστὶν ὡς υἱὸς εἷς καὶ κύριος εἷς, καθ' ἕνωσιν οἰκονομικὴν σαρκὸς γεγονότος τοῦ λόγου.

Gal.4,8.9 69 Ἀλλὰ τότε μὲν οὐκ εἰδότες θεὸν ἐδουλεύσατε τοῖς φύσει μὴ οὖσι θεοῖς, νυνὶ δὲ γνόντες θεόν, μᾶλλον δὲ γνωσθέντες ὑπὸ θεοῦ, πῶς ἐπιστρέφετε πάλιν ἐπὶ τὰ ἀσθενῆ καὶ πτωχὰ στοιχεῖα; Εἰ θεὸν ἐγνώκαμεν ὁμολογοῦντες Χριστὸν καὶ ἐγνῶσθαι φαμὲν ὑπὸ τοῦ θεοῦ, γνωσθέντες αὐτῶι, πῶς οὐ θεὸς ὁ Χριστός;

Gal. 6, 14 70 Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι εἰ μὴ ἐν τῶι σταυρῶι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται κἀγὼ τῶι κόσμωι. Ὁ
cf. Ps. 94, 1 μακάριος ψάλλει Δαυίδ· καυχήσομαι ἐπὶ τῶι θεῶι τῶι σωτῆρί μου. ἔστι δὲ
Hab. 3, 18 σοφὸς καὶ ἁγιοπρεπὴς ὁ λόγος· οὐ γὰρ ἐν ἀνθρώπωι κατασεμνύνεσθαι χρὴ μᾶλλον ἡμᾶς, ἀλλ' ἐπὶ θεῶι. πῶς οὖν ὁ Παῦλος ἐν τῶι σταυρῶι τοῦ Χριστοῦ καυχᾶσθαί φησιν; ἔδει γὰρ μᾶλλον ἐπὶ θεῶι τοῦτο δρᾶν· σκοπὸς γὰρ οὗτος τοῖς ἄλλοις ἁγίοις. ἀλλὰ ὑπάρχων πνευματοφόρος ἐν θανάτωι Χριστοῦ καυχᾶσθαί φησιν. οἶδεν οὖν ἄρα θεὸν ὄντα καὶ ἀληθῆ καὶ δι' ἡμᾶς παθόντα σαρκί.

Ἐκ τῆς πρὸς Ἐφεσίους

71 Περὶ τοῦ θεοῦ καὶ πατρός φησι· κατὰ τὴν ἐνέργειαν τοῦ κράτους τῆς
Eph. 1, 19-21 ἰσχύος αὐτοῦ ἣν ἐνήργηκεν ἐν τῶι Χριστῶι, ἐγείρας αὐτὸν ἐκ νεκρῶν καὶ καθίσας ἐν δεξιᾶι αὐτοῦ ἐν τοῖς ἐπουρανίοις ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως καὶ κυριότητος καὶ παντὸς ὀνόματος ὀνομαζο-
P 190 μένου οὐ μόνον ἐν τῶι αἰῶνι τούτωι, ἀλλὰ καὶ ἐν τῶι μέλλοντι. Ἰδοὺ τὸν ἐγηγερμένον ἐκ νεκρῶν κεκάθικεν ὁ πατὴρ ἐν δεξιᾶι αὐτοῦ ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως καὶ παντὸς ὀνόματος ὀνομαζομένου. ἆρα οὖν συνεδρεύει τῆι ὑπὲρ πάντα φύσει καθ' ἡμᾶς νοούμενος ἄνθρωπος καὶ ἕτερον οὐδὲν ἤ, ὅπερ ἐστὶν ἀληθές,
PG 1248 ὡς θεὸς ἐνανθρωπήσας καὶ ὑπάρχων μὲν ὁμοούσιος τῶι πατρί, καθὸ πέφηνεν ἐξ αὐτοῦ, προσλαβὼν δὲ τὸ ἀνθρώπινον οἰκονομικῶς, ἵνα ἐν ταυτῶι νοῆται θεός τε ὁμοῦ καὶ ἄνθρωπος ὁ αὐτὸς καὶ διὰ τοῦτο τῆι θείαι δόξηι κατεστεμμένος;

72 Διὸ μνημονεύετε ὅτι ποτὲ ὑμεῖς τὰ ἔθνη ἐν σαρκί, οἱ λεγόμενοι
Eph. 2, 11.12 ἀκροβυστία ὑπὸ τῆς λεγομένης περιτομῆς ἐν σαρκὶ χειροποιήτου, ὅτι ἦτε τῶι καιρῶι ἐκείνωι χωρὶς Χριστοῦ, ἀπηλλοτριωμένοι τῆς πολιτείας τοῦ Ἰσραὴλ καὶ ξένοι τῶν διαθηκῶν τῆς ἐπαγγελίας, ἐλπίδα μὴ ἔχοντες καὶ ἄθεοι ἐν τῶι κόσμωι. Εἰ Χριστὸν οὐκ ἔχοντα τὰ ἔθνη διετέλουν ἐν ἀθεότητι κατὰ τὸν κόσμον, ἐπειδὴ δὲ αὐτὸν ἐσχήκασιν, οὐ μεμενήκασιν ἄθεοι, πῶς ἄρα οὐ θεὸς ὁ Χριστός;

78 Τούτου χάριν κάμπτω τὰ γόνατά μου πρὸς τὸν πατέρα, ἐξ οὗ πᾶσα
Eph. 3, 14-17 πατριὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ὀνομάζεται, ἵνα δώηι ὑμῖν κατὰ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ δυνάμει κραταιωθῆναι διὰ τοῦ πνεύματος αὐτοῦ εἰς τὸν ἔσω ἄνθρωπον, κατοικῆσαι τὸν Χριστὸν διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις ὑμῶν. Τὸ Χριστὸς Ἰησοῦς ὄνομα, καθὸ πλειστάκις εἰρήκαμεν, ⟨ἐν⟩ ἀνθρω-

---

VS, D [= mn], A

3/4 ἐστὶν — σαρκὸς om. SD 5 εἰδότα S 6 γνῶντεσ V 8 τοῦ om. SD 11 τῶ om. S 14 τῶ θῶ D Χριστοῦ] κῦ SD 16 ὑπάρχει SD 18 om. SD 23 ἐν¹ om. SD ἰδοὺ δὴ SD 24 ἐν τῆ D 27 ὑπάρχει SD 32 χῦ VA θῦ SD 34 τὰ om. S 35 ἄθεα V ἆρα om. SD 38 οὐρανῶ SD ὑμῖν ex ἡμῖν corr. S 40 τῆς om. SD 41 ἡμῶν ex ὑμῶν corr. S ἐν addidi

πείαι μορφῆι τὸν ἐκ θεοῦ πεφηνότα λόγον σημαίνει πανταχοῦ. πῶς οὖν ἐν ταῖς καρδίαις ἡμῶν κατοικεῖ διὰ τῆς πίστεως, εἰ μὴ νοεῖται θεός, ἑνώσαντος ἑαυτῶι τὴν σάρκα τοῦ λόγου, ὃς καὶ θεικῶς ἐν ἡμῖν κατοικεῖ διὰ τοῦ πνεύματος; εἰ δὲ κοινὸς ἄνθρωπος ὁ Χριστὸς καὶ ἕτερος υἱὸς παρὰ τὸν φύσει καὶ μόνον, φημὶ δὴ τὸν ἐκ θεοῦ, τίς ὁ ἐν ἡμῖν P 191
κατοικῶν; ἢ πῶς ἀνθρώποις διὰ πίστεως ἐνοικίζεται; καίτοι λέγοντος Ἰωάννου σαφῶς 5
περὶ τοῦ θεοῦ· ἐν τούτωι ἐγνώκαμεν ὅτι ἐν ἡμῖν ἐστιν, ὅτι ἐκ τοῦ πνεύματος 1 Ioh. 4, 13
αὐτοῦ ἔδωκεν ἡμῖν.

Ἐκ τῆς πρὸς Φιλιππησίους

74 Περὶ τῶν ἐν νόμωι καυχημάτων φησίν· ἅτινα ἦν μοι κέρδη, ταῦτα ἥγημαι Phil. 3, 7. 8
διὰ τὸν Χριστὸν ζημίαν. ἀλλὰ μὲν οὖν γε ἡγοῦμαι τὰ πάντα ζημίαν εἶναι 10
διὰ τὸ ὑπερέχον τῆς γνώσεως Χριστοῦ Ἰησοῦ τοῦ κυρίου ἡμῶν, δι' ὃν τὰ
πάντα ἐζημιώθην καὶ ἡγοῦμαι σκύβαλα εἶναι, ἵνα Χριστὸν κερδήσω. Διὰ
τί ζημία καὶ σκύβαλα ἐν νόμωι; τί δὲ καὶ τὸ ὑπερέχον τῆς γνώσεως Ἰησοῦ Χριστοῦ; καίτοι
θεὸν τὸν φύσει καὶ ἀληθινὸν ὁ διὰ Μωσέως νόμος τοῖς ἀρχαιοτέροις ἐκήρυττεν, οἱ δὲ τῆς
νέας διαθήκης μυσταγωγοὶ Χριστὸν τῶι κόσμωι κατηγγέλκασιν. ἀλλ' εἴπερ ἐστὶν ἄν- 15
θρωπος καθ' ἡμᾶς, αὐτὸ δὴ τοῦτο κοινός, οὐχ ἑνώσει τῆι καθ' ὑπόστασιν, τῆι πρός γε
φημὶ τὸν ἐκ θεοῦ λόγον, θεὸς εἶναι πεπιστευμένος, πῶς ὑπερέξει τῆς νομικῆς πίστεως ἡ
κατ' αὐτόν;

Ἐκ τῆς πρὸς Κολασσαεῖς

75 Νῦν χαίρω, φησίν, ἐν τοῖς παθήμασί μου ὑπὲρ ὑμῶν καὶ ἀνταναπληρῶ Col. 1, 24-28
PG 1249
τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῆι σαρκί μου ὑπὲρ τοῦ σώ-
ματος αὐτοῦ, ὅ ἐστιν ἡ ἐκκλησία, ἧς ἐγενόμην ἐγὼ διάκονος κατὰ τὴν
οἰκονομίαν τοῦ θεοῦ τὴν δοθεῖσάν μοι εἰς ὑμᾶς πληρῶσαι τὸν λόγον τοῦ
θεοῦ, τὸ μυστήριον τὸ ἀποκεκρυμμένον ἀπὸ τῶν αἰώνων καὶ ἀπὸ τῶν
γενεῶν, νυνὶ δὲ ἐφανερώθη τοῖς ἁγίοις αὐτοῦ, οἷς ἠθέλησεν ὁ θεὸς γνω- 25
ρίσαι τίς ὁ πλοῦτος τῆς δόξης τοῦ μυστηρίου τούτου ἐν τοῖς ἔθνεσιν, ὅς
ἐστι Χριστὸς ἐν ὑμῖν, ἡ ἐλπὶς τῆς δόξης, ὃν ἡμεῖς καταγγέλλομεν. Πῶς P 192
κέκρυπται τὸ μυστήριον ἢ πῶς ὅλως ἐστὶ λόγος θεοῦ, ποῖος δὲ πλοῦτος δόξης ἔνεστιν
αὐτῶι, εἴπερ ἐστὶ κοινὸς ἄνθρωπος καθ' ἡμᾶς ὁ Χριστός; οὐδὲν γὰρ μέγα ἐστίν, ἀλλ' οὐδὲ
ἀξιόλογον τὸ μυστήριον, εἰ μὴ ὡς θεῶι πρόσιμεν τῶι Χριστῶι καὶ συνίεμεν ὅτι θεὸς ὢν 30
ὁ λόγος καὶ ἐν ἰσότητι καὶ μορφῆι τοῦ πατρὸς καθῆκεν ἑαυτὸν εἰς κένωσιν, γενόμενος
ἄνθρωπος καὶ μεμενηκὼς ὅπερ ἦν· πλούσιον γὰρ οὕτω καὶ ἐν δόξηι πολλῆι νοεῖται τὸ
μυστήριον.

76 Ὡς οὖν παρελάβετε τὸν Χριστὸν Ἰησοῦν κύριον, ἐν αὐτῶι περιπα- Col. 2, 6. 7
τεῖτε, ἐρριζωμένοι καὶ ἐποικοδομούμενοι ἐν αὐτῶι καὶ βεβαιούμενοι ἐν 35
πίστει. Πῶς οὖν παρελάβομεν τὸν Χριστόν, διδάξει λέγων ὁ σοφὸς Ἰωάννης· καὶ ὁ Ioh. 1, 14
λόγος σὰρξ ἐγένετο. ἀλλ' οὐ πέπαυται τοῦ εἶναι λόγος, καὶ εἰ γέγονε σάρξ· συνε-
δρεύει γὰρ καὶ οὕτω τῶι ἰδίωι πατρὶ καὶ κύριος τῆς δόξης ὁ ἐσταυρωμένος ὠνόμασται. 1 Cor. 2, 8

VS, D [= mn], A

1 θῡ πρσ̄ D 3 ὑμῖν SD 4 δὴ om. SD υμῖν VS 6 ὑμῖν SD 10 γε om. SD 11 ῑ̄ῡ χ̄ῡ D τὰ om. SD 12 ἐζημιώθη S εἶναι ἵνα] ἐν νόμω εἶναι V 13 καὶ²] κατὰ SD 15 ἐπείπερ SD 16 ἡμᾶς om V 19 κολασσαεῖσ S 22 διάκονοσ ἐγὼ A 23 πληρῶσαι om. A 26 τοῦ μυστηρίου τῆσ δόξησ SD τούτου] αὐτοῦ D 28 ὅλοσ ἐστὶ SD ἐστὶν ὅλωσ V ὁ πλοῦτοσ τῆσ δόξησ V ἐστὶν D 29 οὐδὲ VS 30 προσιέμεν V 32 ἐν om. SD 34 ἵν̄ χ̄ν̄ SD 35/36 ἐν πίστει om. SD 36 παρέλαβε A διδάσκει D 38 καὶ¹ om. A

77 Τῇι προσευχῇι προσκαρτερεῖτε, γρηγοροῦντες ἐν αὐτῇι ἐν εὐχα-
Col. 4, 2-4 ριστίαι, προσευχόμενοι ἅμα καὶ περὶ ἡμῶν ἵνα ὁ θεὸς ἀνοίξηι ἡμῖν θύραν τοῦ λόγου λαλῆσαι τὸ μυστήριον τοῦ θεοῦ, δι' ὃ καὶ δέδεμαι, ἵνα φανερώσω αὐτὸ ὡς δεῖ με λαλῆσαι. Εἰ μὴ θεὸς ὁ Χριστός, ἄνθρωπος δὲ θείαι χάριτι τετιμημένος, οὐδὲν ἔχει βαθὺ τὸ ἐπ' αὐτῶι μυστήριον. ποίας οὖν ἐδεῖτο θύρας εἰς τὸ φανεροῦν αὐτὸ καὶ καθὼς ἔδει, λαλῆσαι; μέγα γὰρ οὐδὲν ἦ χαλεπὸν τὸ περὶ ἀνθρώπου λέγειν ὡς εἴη κατὰ φύσιν ἄνθρωπος. εἰ δὲ ἄνθρωπος γεγονὼς ὁ ἐκ θεοῦ κηρύττεται
P 193 λόγος, χρεία δὴ πάντως θεοῦ τοῦ καὶ θύραν ἀνοίγοντος καὶ διδόντος λαλῆσαι τὸ μυστήριον καθ' ὃν προσήκει τρόπον.

Ἐκ τῆς πρὸς Ἑβραίους

78 Ὅταν δὲ εἰσαγάγηι τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει· καὶ
Hebr. 1, 6 προσκυνησάτωσαν αὐτῶι πάντες ἄγγελοι θεοῦ. Μονογενὴς κατὰ φύσιν ὁ ἐκ θεοῦ πατρὸς ὠνόμασται λόγος, ὅτι μόνος ἐκ μόνου γεγέννηται τοῦ πατρός· εἴρηται δὲ
PG 1252 καὶ πρωτότοκος, ὅτε καὶ εἰσῆλθεν εἰς τὴν οἰκουμένην ἄνθρωπος γεγονὼς καὶ μέρος αὐτῆς. πλὴν καὶ οὕτω προσκυνεῖται παρὰ τῶν ἁγίων ἀγγέλων, ἀνακειμένου τε καὶ πρέποντος μόνωι θεῶι τοῦ καὶ προσκυνεῖσθαι δεῖν. πῶς οὖν οὐ θεὸς ὁ Χριστὸς ὁ καὶ ἐν οὐρανῶι προσκυνούμενος;

79 Καὶ πρὸς μὲν τοὺς ἀγγέλους λέγει· ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ
Hebr. 1, 7-9 πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα· πρὸς δὲ τὸν υἱόν· ὁ θρόνος σου, ὁ θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, καί· ἡ ῥάβδος τῆς εὐθύτητός σου ῥάβδος τῆς βασιλείας σου. ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀδικίαν· διὰ τοῦτο ἔχρισε σέ, ὁ θεός, ὁ θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. Εἰ ποιητὴς ἀγγέλων ἐστὶν ὁ θρόνον ἔχων εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, ἀγαπήσας τε δικαιοσύνην καὶ μεμισηκὼς ἀδικίαν καὶ διὰ τοῦτο κεχρίσθαι λεγόμενος τῶι ἐλαίωι τῆς ἀγαλλιάσεως παρὰ τοῦ θεοῦ καὶ πατρός, τί δὴ ἄρα φαμὲν εἰς ἐννοίας ἐρχόμενοι τὰς ἐπ' αὐτῶι; εἰ γὰρ ποιεῖ τοὺς ἀγγέλους αὐτοῦ πνεύματα καὶ θρόνον ἔχει θεότητος, τίνα τρόπον χρίεται τῶι ἐλαίωι τῆς ἀγαλλιάσεως; οὐκοῦν κτίζει μὲν ὡς θεὸς ἀγγέλους, χρίεται δὲ ὡς ἄνθρωπος, οὐκ εἰς τὴν τῆς θεότητος φύσιν, ἀλλ' εἰς τὸ τῆς οἰκο-
P 194 νομίας εὐτεχνὲς ἐρχομένου τοῦ χρίσματος. θεὸς ἄρα καὶ ἄνθρωπος ὁ Χριστός, θεὸς μὲν τῆι φύσει, ἄνθρωπος δὲ καθ' ἡμᾶς ὁ αὐτὸς οἰκονομικῶς, ὅτε γέγονεν ἐκ γυναικὸς κατὰ σάρκα.

80 Βλέπετε, ἀδελφοί, μή ποτέ ἐστιν ἔν τινι ὑμῶν καρδία πονηρὰ ἀπι-
Hebr. 3, 12 στίας ἐν τῶι ἀποστῆναι ἀπὸ θεοῦ ζῶντος. Εἰ ἀρνούμενοι τὸν Χριστὸν ἀφιστάμεθα θεοῦ ζῶντος καὶ ἀληθινοῦ, ἐμμένοντες δὲ τῆι εἰς αὐτὸν πίστει κατ' οὐδένα τρόπον ποιούμεθα τὴν ἀποστασίαν, πῶς οὐ θεὸς ὁ Χριστός;

81 Εἰ γὰρ τὸ αἷμα ταύρων καὶ τράγων καὶ σποδὸς δαμάλεως ῥαντίζουσα
ebr.9,13 14 τοὺς κεκοινωμένους ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς καθαρότητα, πόσωι

25—29 adfert Feyr 159 τοῦ αὐτοῦ ἐκ τῆς αὐτῆς ἐπιστολῆς· τί δή — χρίσματος

VS, D [= mn], A

3 δέδεμμαι A 5 οὐδὲ SD 6 φανερῶσ V 7 εἴη VA εἰ SD 8 δήπου SD 11 καὶ om. S 13 γεγένηται Sn, corr. n 14 καὶ[2] om. SD αὐτοῦ SD 19 υἱόν] θν̄ A 20 καί om. D ἡ ῥάβδοσ VSA ῥᾶβδοσ D τῆς om. D 20/21 εὐθύτητοσ VS δυνάμεωσ D βασιλείασ A 21 σου om. D ἡ ῥᾶβδοσ D τῆσ βασιλείασ VSD εὐθύτητοσ A σου om. SA 23 θρόνων VS 24 ἀνομίαν SD 25 λεγόμενον S θεοῦ] θείου S δή om. SD 29 ἐντεχνὲσ D 30 ὁ αὐτὸς om. D 34 θῦ m. rec. in mg. add. S

μᾶλλον τὸ αἷμα τοῦ Χριστοῦ, ὃς διὰ πνεύματος ἁγίου ἑαυτὸν προσήνεγκεν ἄμωμον τῷ θεῷ, καθαριεῖ τὴν συνείδησιν ὑμῶν ἀπὸ νεκρῶν ἔργων εἰς τὸ λατρεύειν θεῷ ζῶντι; Εἰ μὴ θεὸς ἀληθής ἐστιν ὁ Χριστός, τίς ἡ ὄνησις ἡ διὰ τοῦ αἵματος αὐτοῦ; ἢ πῶς ἡμῶν καθαριεῖ τὴν συνείδησιν ἀπὸ νεκρῶν ἔργων; αἷμα γὰρ ἀνθρώπου κοινοῦ τί πλέον ἔχει παρὰ τὸ αἷμα τῶν τράγων; ἀλλ' οὐδὲν ὅλως πλὴν ὅτι δὴ μόνον τὸ μέν ἐστιν ἀλόγου ζώιου, τὸ δὲ λογικοῦ. ἐπειδὴ δὲ ὁ ἐκ θεοῦ κατὰ φύσιν, σάρκα λαβών, ἔθηκεν ὑπὲρ πάντων τὸ ἴδιον αἷμα, ταύτηι τοι καὶ καθαρίζειν δύναται τοὺς πιστεύοντας εἰς αὐτὸν καὶ νεκρῶν ἔργων ἀπαλλάττειν καὶ προσάγειν εἰς λατρείαν τῶι θεῶι.

82 Ἀθετήσας τις νόμον Μωυσέως χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήισκει. πόσωι δοκεῖτε χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν υἱὸν τοῦ θεοῦ καταπατήσας καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος καὶ τὸ πνεῦμα τῆς χάριτος ἐνυβρίσας, ἐν ᾧι ἡγιάσθη; Ὁ θεῖον ὑβρίσας νόμον ἢ γοῦν ἀθετήσας οὐκ ἴσον ἔχει τὸ ἔγκλημα τῶι εἰς ἄνθρωπον ἡμαρτηκότι, ἀλλὰ πολὺ φορτικώτερον. καὶ γοῦν ὁ μὲν νόμον παραβεβηκὼς ὑπὸ τὴν τοῦ θανάτου πέπτωκε δίκην, ὁ δὲ εἰς ἄνθρωπον πεπλημμεληκὼς εἴη ἂν καὶ συγγνώμης ἄξιος. πῶς οὖν ἐν χείρονι δίκηι τοῦ πλημμελοῦντος εἰς τὸν Μωσέως νόμον ὁ κοινὸν ἡγησάμενος τὸ αἷμα τοῦ Χριστοῦ; ἀλλὰ μὴν ἐν χείρονι, καὶ σφόδρα εἰκότως. οὐκ ἄρα κοινὸν τὸ αἷμα τοῦ Χριστοῦ· θεὸς γὰρ ἦν ὁ λόγος γενόμενος σάρξ. Hebr. 10, 28. 29 PG 1253 P 195 19

83 Βλέπετε μὴ παραιτήσησθε τὸν λαλοῦντα. εἰ γὰρ ἐκεῖνοι οὐκ ἐξέφυγον ἐπὶ τῆς γῆς παραιτησάμενοι τὸν χρηματίζοντα, πολλῶι μᾶλλον ἡμεῖς οἱ τὸν ἀπ' οὐρανῶν ἀποστρεφόμενοι, οὗ ἡ φωνὴ τὴν γῆν ἐσάλευσε τότε, νῦν δὲ ἐπήγγελται λέγων· ἔτι ἅπαξ ἐγὼ σείσω οὐ μόνον τὴν γῆν, ἀλλὰ καὶ τὸν οὐρανόν. Τίς ὁ χρηματίσας ἐπὶ γῆς, ὃν παραιτησάμενοι κεκινδυνεύκασιν οἱ τῶν Ἰουδαίων πατέρες, ἢ δηλονότι Μωυσῆς; ἀλλ' οὐκ ἐκ γῆς ὁ Χριστός, ἐξ οὐρανῶν δὲ μᾶλλον. ὁ γὰρ ἄνωθεν καὶ ἐκ πατρὸς θεὸς λόγος ἄνθρωπος γέγονε καὶ θεός. χείρων οὖν ἡ δίκη τοῖς αὐτὸν ἀποστρεφομένοις, καὶ μάλα εἰκότως. ὡς γὰρ ὁ σοφός φησιν Ἰωάννης, ὁ ὢν ἐκ τῆς γῆς ἐκ τῆς γῆς λαλεῖ, τουτέστιν ἀνθρώπινα· ὁ δὲ ἄνωθεν ἐρχόμενος ἐπάνω πάντων ἐστίν, ὡς θεὸς δηλονότι. τοῦτο δὲ ἦν τε καὶ ἔστι Χριστός. Hebr. 12, 25. 26 Ioh. 3, 31

84 Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας. Τὸν ἐκ θεοῦ φύντα λόγον τότε κεκλημένον εὑρήσομεν Ἰησοῦν Χριστόν, ὅτε γέγονεν ἐκ γυναικός. πῶς οὖν ὁ χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας; ἑνώσει δηλονότι τῆι πρὸς τὸν ἐκ θεοῦ λόγον εἰς υἱὸν ἕνα νοουμένηι τῆς ἀναληφθείσης παρ' αὐτοῦ σαρκός· οὕτω γὰρ τὸ ἄτρεπτον τοῦ λόγου κατὰ φύσιν μενεῖ πάλιν αὐτῶι, νοουμένωι καὶ μετὰ σαρκός. 30 Hebr. 13, 8

Ἐκ τῆς πρὸς Τιμόθεον P 196

85 Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ κατ' ἐπιταγὴν θεοῦ σωτῆρος ἡμῶν Τιμοθέωι γνησίωι τέκνωι ἐν πίστει. Τὸ τοῦ σωτῆρος ὄνομα πρέποι ἂν μᾶλλον οὐχ ἑτέρωι κυρίως τε καὶ ἀληθῶς πλὴν ὅτι δὴ μόνωι τῶι κατὰ φύσιν ὄντι θεῶι. οὕτω καὶ νῦν αὐτὸν ὠνόμασεν ὁ μυσταγωγός. ἀλλ' ἐστὶ σωτὴρ καὶ ὁ κύριος 1 Tim. 1, 1

VS, D [= mn], A

2 ἡμῶν D 4 καθαριεῖ ἡμῶν A 5 τί τὸ V 6 δὴ μόνον scripsi μὴ μόνον SD μόνον A om. V 10 μωυσέοσ VA μωσέωσ D 11 πῶσ D δοκεῖται VS χείρωνοσ S 13 ἐνυβρίσασ VA ἀτιμάσασ SD 16 οὖν] οὐκ V 18 μάλα superscr. σφόδρα V 22 ὑμεῖσ V τὸν] τῶν S 24 τῆσ γῆσ D 25 μωσῆσ SD 26 ἐκ τοῦ V 29 θεὸς om. SD τε om. SD 31 γέγονεν ἄνθρωποσ SD 32 οὖν om. SD 33 νοουμένηι scripsi νοουμένησ VSDA 37 ὄνομα om. D πρέπει V 39 δὴ om. SD

ἡμῶν Ἰησοῦς Χριστός· ὠνόμασται γὰρ Ἰησοῦς καὶ τὴν τοῦ ὀνόματος δύναμιν ἢ γοῦν
Mt. 1, 21 ἑρμηνείαν σαφῆ καθιστὰς ὁ μακάριος ἄγγελος ἔφασκε· καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ
PG 1256 Ἰησοῦν· αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν.
1 Tim. 4, 10 θεὸς οὖν ἄρα ὁ Χριστός, εἴπερ ἐστὶ σωτὴρ πάντων ἀνθρώπων καθά φησιν ὁ
θεσπέσιος Παῦλος.

Ἐκ τῆς πρὸς Τίτον

86 Ἐπέφανη γὰρ ἡ χάρις τοῦ θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις, παι-
Tit. 2, 11-14 δεύουσα ἡμᾶς ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας
σωφρόνως καὶ ἐπιεικῶς ζήσωμεν ἐν τῷι νῦν αἰῶνι, προσδεχόμενοι τὴν
μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος
ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα λυτρώσηται ἡμᾶς
ἀπὸ πάσης ἀνομίας καὶ καθαρίσηι ἑαυτῷι λαὸν περιούσιον, ζηλωτὴν κα-
λῶν ἔργων. Ποία χάρις ἐπέφανεν ἡμῖν ἢ ποίου θεοῦ, καίτοι λεγομένη σωτήριος εἶναι
Ps. 117, 27 πᾶσιν ἀνθρώποις; ἀλλ' ἐστὶ δῆλον ὅτι θεὸς ὢν κύριος ἐπέφανεν ἡμῖν κατὰ τὸν
μακάριον Δαυίδ. αὐτοῦ τὴν ἐξ οὐρανῶν ἐπιφάνειαν τῆς δόξης προσδεχόμεθα καὶ αὐτός
ἐστιν ὁ μέγας θεὸς καὶ σωτὴρ ἡμῶν Ἰησοῦς ὁ Χριστός, ὃς δέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν,
P 197 ἵνα πάσης ἁμαρτίας ἀπαλλάξας ἑαυτῷι παραστήσηι γνησίους προσκυνητάς. εἶτα τίς ὁ
λέγων οὐκ εἶναι θεὸν ἀληθῆ τὸν Ἐμμανουήλ, τοῦ μακαρίου Παύλου περὶ αὐτοῦ λέγοντος
τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ;

Ἐκ τῶν καθολικῶν

Τῆς Ἰακώβου ἐπιστολῆς ὅτι θεὸς ὁ Χριστός

87 Μὴ πλανᾶσθε, ἀδελφοί μου ἀγαπητοί· πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν
Iac. 1, 16. 17 δώρημα τέλειον ἄνωθέν ἐστι, καταβαῖνον ἐκ τοῦ πατρὸς τῶν φώτων.
〈Εἰ ἐκ μόνου τοῦ πατρὸς τῶν φώτων〉 πᾶσα δόσις ἀγαθή, ἀγαθὴ δὲ δόσις τὸ πνεῦμα τὸ ἅγιον
καὶ τὸ δύνασθαι πληροῦν ἐν αὐτῷι τὰς θεοσημίας, εἶτα τοῖς ἁγίοις χαρίζεται τὸ πνεῦμα Χρι-
στὸς καὶ μὴν καὶ τὸ δύνασθαι πληροῦν τὰ παράδοξα, πῶς οὐκ ἂν εἴη θεὸς ἀληθινὸς ὁ Χριστός;
Iac. 4, 7 88 Ὑποτάγητε οὖν τῷι θεῷι, ἀντίστητε τῷι διαβόλωι, καὶ φεύξεται ἀφ'
ὑμῶν. Ἰδοὺ σαφῶς ἐν τούτοις ὑποτάττεσθαι δεῖν ἡμᾶς ἔφη τῷι θεῷι. φησὶ δὲ
Mt. 11, 29 Χριστός ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς. ὅτε τοίνυν οἱ τὸν ζυγὸν αἴροντες
τὸν αὐτοῦ οὐχ ἑτέρωι τινὶ παρὰ τὸν θεὸν ὑποτάττονται, πῶς οὐκ ἂν εἴη θεός;

Ἐκ τῆς Πέτρου ἐπιστολῆς

89 Πέτρος ἀπόστολος Ἰησοῦ Χριστοῦ κλητοῖς παρεπιδήμοις διασπορᾶς
1 Petr. 1, 1. 2 Πόντου Γαλατίας Ἀσίας καὶ Βιθυνίας κατὰ πρόγνωσιν θεοῦ πατρὸς ἐν
ἁγιασμῷι πνεύματος εἰς ὑπακοὴν καὶ ῥαντισμὸν αἵματος Ἰησοῦ Χριστοῦ·
P 198 χάρις ὑμῖν καὶ εἰρήνη πληθυνθείη. Ἰδοὺ κατὰ πρόγνωσιν τοῦ θεοῦ καὶ πατρὸς
PG 1257 ἀπόστολον ἑαυτὸν ὠνόμασε τοῦ Χριστοῦ καὶ τῆς ἀποστολῆς τὸν τρόπον ἡμῖν ἐξηγούμενος
ἐν ἁγιασμῷι πνεύματος εἰς ὑπακοὴν καὶ ῥαντισμὸν αἵματος Ἰησοῦ Χριστοῦ πεπρᾶχθαι
φησιν αὐτήν. ὅτε τοίνυν οἱ πιστεύοντες εἰς αὐτὸν ἁγιαζόμεθα παρὰ τοῦ πνεύματος,

---

20—p. 85, 14 Tim. arm. p. 300—302

VS, D [= mn], A

1 ὁ χ̄ς̄ A 4 ὁ om. SD 10 τῆς δόξης om. D 14 καὶ ἐπέφανεν SD 16 ῑς̄ χ̄ς̄ SD 20 τῆσ καθολικῆσ A 21 τῆς] τοῦ A 24 Εἰ — φώτων Tim. om. VSDA δόσισ ἐστὶν VS 25 θεοσημείασ S εἶτα εἰ VA 27 θεῷι] κ̄ω̄ SD 27—29 καὶ φεύξεται — Χριστός om. SD 30 αὐτοῦ Tim. αὐτὸν VSDA 35 τοῦ om. V καὶ om. V Tim. 36 τρόπον] πρόδρομον A 38 π̄ρ̄σ̄ V

ραντίζει δὲ ἡμᾶς καὶ τῶι αἵματι αὐτοῦ πρὸς ἀποκάθαρσιν, πῶς οὐκ ἂν νοοῖτο θεὸς ὁ ἁγιάζων μὲν ἰδίωι πνεύματι, καθαρίζων δὲ καὶ τῶι αἵματι τοὺς πιστεύοντας; θεὸς γὰρ ἦν ἐν σαρκί.

90 Εὐλογητὸς ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὁ κατὰ τὸ πολὺ αὐτοῦ ἔλεος ἀναγεννήσας ἡμᾶς εἰς ἐλπίδα ζῶσαν δι' ἀναστάσεως Ἰησοῦ Χριστοῦ ἐκ νεκρῶν εἰς κληρονομίαν ἄφθαρτον καὶ ἀμίαντον καὶ ἀμάραντον τετηρημένην ἐν οὐρανοῖς. Εἰ θεὸς ἡμᾶς ἀνεγέννησεν εἰς ἐλπίδα ζῶσαν καὶ μένουσαν, πέπραχε δὲ τοῦτο διὰ τῆς ἰδίας ἐκ νεκρῶν ἀναστάσεως ὁ Χριστός, πῶς οὐκ ἂν εἴη θεός; 1 Petr. 1, 3. 4 5

91 Περὶ ἧς σωτηρίας ἐξεζήτησαν, φησί, καὶ ἐξηρεύνησαν προφῆται οἱ περὶ τῆς εἰς ὑμᾶς χάριτος προφητεύσαντες, ἐρευνῶντες εἰς τίνα ἢ ποῖον καιρὸν ἐδήλου τὸ ἐν αὐτοῖς πνεῦμα Χριστοῦ. Ἰδοὺ δὴ πάλιν ἐν τούτοις Χριστοῦ τὸ ἅγιον εἴρηται πνεῦμα, καίτοι θεοῦ ὄν. θεὸς οὖν ἄρα Χριστὸς ὡς ἴδιον ἔχων τὸ πνεῦμα τὸ ἅγιον. 1 Petr. 1, 10. 11 11 15

Ἐκ τῆς Πέτρου ⟨δευτέρας⟩ ἐπιστολῆς

92 Ἐγένοντο δὲ καὶ ψευδοπροφῆται, ὡς καὶ ἐν ἡμῖν ἔσονται ψευδοδιδάσκαλοι, οἵτινες παρεισάξουσιν αἱρέσεις ἀπωλείας καὶ τὸν ἀγοράσαντα αὐτοὺς δεσπότην ἀρνούμενοι. Ἠγοράσμεθα γὰρ τιμῆς, οὐ φθαρτοῖς ἀργυρίωι ἢ χρυσίωι, ἀλλὰ τῶι τιμίωι αἵματι τοῦ Χριστοῦ. ἐσμὲν οὖν ἄρα τοῦ πριαμένου, καίτοι θεῶι δουλεύοντες ζῶντι καὶ ἀληθινῶι. εἶτα πῶς οὐ θεὸς ὁ Χριστός, ὃν καὶ δεσπότην ἐπεγραψάμεθα ζῶντά τε οἴδαμεν καὶ ἀληθινὸν ⟨θεόν⟩; 2 Petr. 2, 1 P 199 1 Cor. 6, 20 1 Petr. 1, 18. 19 20

⟨Ἐκ τῆς Ἰωάννου ἐπιστολῆς⟩

93 Καὶ οἴδαμεν ὅτι ὁ υἱὸς τοῦ θεοῦ ἥκει καὶ δέδωκεν ἡμῖν διάνοιαν ἵνα γινώσκωμεν τὸν ἀληθινὸν θεόν, καὶ ἐσμὲν ἐν τῶι ἀληθινῶι, ἐν τῶι υἱῶι αὐτοῦ Ἰησοῦ Χριστῶι. οὗτός ἐστιν ὁ ἀληθινὸς θεὸς καὶ ζωὴ αἰώνιος. Ἰησοῦς Χριστὸς οὐ γυμνὸς καὶ καθ' ἑαυτὸν καὶ ἔξω σαρκὸς ὁ ἐκ τοῦ θεοῦ πατρὸς νοεῖται λόγος, ἀλλ' ὅτε γέγονεν ἄνθρωπος, τότε καὶ ὠνόμασται Χριστὸς Ἰησοῦς. ὅτε τοίνυν αὐτός ἐστιν ὁ ἀληθινὸς θεὸς καὶ ἡ ζωὴ ἡ αἰώνιος, τίς τῶν ἕτερα φρονούντων ἀνέξεται; 1 Ioh. 5, 20 25

Ἐκ τῆς Ἰούδα ἐπιστολῆς

94 Πᾶσαν σπουδὴν ποιούμενος τοῦ γράφειν ὑμῖν περὶ τῆς κοινῆς ἡμῶν σωτηρίας, ἀνάγκην ἔσχον γράψαι ὑμῖν παρακαλῶν ἐπαγωνίζεσθαι τῆι ἅπαξ παραδοθείσηι τοῖς ἁγίοις πίστει. παρεισέδυσαν γάρ τινες ἄνθρωποι οἱ καὶ πάλαι προγεγραμμένοι εἰς τοῦτο τὸ κρίμα ἀσεβεῖς τὴν τοῦ θεοῦ ἡμῶν χάριν μετατιθέντες εἰς ἀσέλγειαν καὶ τὸν μόνον δεσπότην καὶ κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀρνούμενοι. Κατὰ τίνα τρόπον ἀρνήσεταί τις τῶν ἅπαξ πεπιστευκότων τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν, καίτοι παρεδεξάμεθα τὸν τῆς ἐνανθρωπήσεως λόγον; ἀλλ' εἰ φαμὲν ὅτι ἕτερος μέν ἐστιν υἱὸς ὁ ἐκ θεοῦ πατρὸς Iud. 3. 4 31 PG 1260 35

15—21 Tim. arm. p. 303; 23—p. 86, 4 ibid. p. 305. 306

VS, D [= mn], A

2 πιστεύσανταϲ V 5 ἔλεοϲ αὐτοῦ SD ζωῆϲ V 6/7 ἀμάραντον καὶ ἀμίαντον D ἀνεγέννησεν Tim. ἐγέννησεν VSDA 10 οἱ] ἡ S 11 ἡμᾶϲ VD τίναϲ SD 13 θῦ ὂν VA θεῖον SD θεῖον ὄν Tim. 15 δευτέρας Tim. om. VSDA 16 προφῆται ψευδοπροφῆται ἐν τῶι λαῶι Tim ὑμῖν D 17 παρεισάγουσιν SD 18 φθαρτῆϲ S 21 τε] δὲ A θεόν Tim. om. VSDA 22 om. VSDA 23 ἔδωκεν SD 24 μόνον καὶ ἀληθινόν V 26 σαρκὸϲ VA Tim. πρ̄ϲ SD 27 καὶ om. SD 28 ὁ om. V ἡ[1] om. V 31 ἔχον n ἔχων m 33 καὶ om. SD τοῦτο om. A 34 μετατίθενται S ἀσέβειαν V καὶ[2] om. D 36 ἰ̄ν χ̄ν SD 37 ἕτερος om. V υἱὸς] ὁ υἱὸϲ S om. D

P 200 λόγος, ἕτερος δὲ κατ' ἰδίαν ὁ ἐκ γυναικός, ἠρνησάμεθα τὸν μόνον δεσπότην. εἷς γὰρ κύριος Ἰησοῦς Χριστὸς καθ' ἕνωσιν οἰκονομικήν, τὴν πρός γε φημὶ τὸν ἐκ θεοῦ λόγον, εἰς τὴν τῆς θεότητος δόξαν ἀναφοιτώσης αὐτοῦ τῆς σαρκός. εἷς οὖν ἄρα Χριστὸς καὶ υἱός· ἔσται γὰρ οὕτω τῶν ὅλων δεσπότης.

Ἐκ τοῦ κατὰ Ματθαῖον εὐαγγελίου ὅτι θεὸς ὁ Χριστός

95 Ταῦτα δὲ αὐτοῦ ἐνθυμηθέντος, ἰδοὺ ἄγγελος κυρίου κατ' ὄναρ ἐφάνη
Mt. 1, 20. 21 αὐτῷ λέγων· Ἰωσὴφ υἱὸς Δαυίδ, μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου· τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ πνεύματός ἐστιν ἁγίου. τέξεται δὲ υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. Δύο κατὰ ταυτὸ τίθησι τὰ θεοπρεπῆ καὶ οὐκ ἀνθρωπείαι πρέποντα φύσει. τοῦ γὰρ τεχθέντος ἐκ τῆς Μαριὰμ ἴδιον ἔφη λαὸν τοὺς δι' αὐτοῦ σεσωσμένους καὶ μὴν ὅτι καὶ ἁμαρτιῶν αὐτοὺς αὐτὸς ἀπαλλάξει. θεοῦ δὲ τὰ πάντα καὶ πρέποι ἂν αὐτῷ καὶ μόνῳ τὸ ἀπαλλάττειν ἁμαρτιῶν δύνασθαι τοὺς ἡμαρτηκότας. θεὸς οὖν ἄρα ἐστὶν ὁ ἐκ τῆς ἁγίας παρθένου γεγεννημένος, οὗ καὶ ἴδιος ἐσμὲν λαός, καὶ ἁμαρτιῶν δὲ ἡμᾶς ἀπήλλαξεν ὡς ἔχων καὶ τούτου τὴν ἐξουσίαν.

Mt. 2, 1 **96** Τοῦ δὲ Ἰησοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας. Ἐν Βηθλεὲμ γεγέννηται τῆς Ἰουδαίας ὁ ἐκ ῥίζης Ἰεσσαί, φησὶ δὲ περὶ αὐτοῦ δι' ἑνὸς τῶν προφητῶν
Mich. 5, 2 ὁ θεὸς καὶ πατήρ· καὶ σὺ Βηθλεὲμ οἶκος τοῦ Ἐφραθᾶ, μὴ ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα· ἐκ σοῦ γάρ μοι ἐξελεύσεται τοῦ εἶναι εἰς ἄρχοντα
P 201 ἐν τῷ Ἰσραὴλ καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος. πῶς οὖν ὁ γεγεννημένος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας ἀπ' ἀρχῆς αἰῶνος τὰς ἐξόδους ἔχειν λέγεται, τουτέστι τῆς ὑπάρξεως τὴν ἀρχήν, καίτοι γεννηθεὶς ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς; θεὸς οὖν ἄρα Χριστὸς καὶ πρέποι ἂν αὐτῷ τὸ τοῦ θεοῦ λόγου πρεσβύτατον. θεὸς γὰρ ἦν, δι' ἡμᾶς σαρκικὴν ὑπομείνας γέννησιν τὴν ἐκ γυναικός.

97 Ἐγὼ μὲν γὰρ ὑμᾶς ὕδατι βαπτίζω, φησίν, εἰς μετάνοιαν, ὁ δὲ ὀπίσω
Mt. 3, 11. 12 μου ἐρχόμενος ἰσχυρότερός μού ἐστιν, οὗ οὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βαστάσαι. αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί· οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ. Οὐκ ἀνθρωπότητος ἔργον εἶναι φαμὲν τὸ βαπτίζειν ἐν ἁγίῳ πνεύματι, ἀλλ' οὐδὲ τὴν ἅλω τὴν νοητήν, του-
PG 1261 τέστι τοὺς ἐπὶ τῆς γῆς, ἰδίαν εἶναι φαμὲν ἀνθρώπου. θεοῦ γὰρ τὰ πάντα ἐστὶ καὶ αὐτῷ καὶ μόνῳ πρέπει τὸ ἐν ἁγίῳ πνεύματι βαπτίζειν δύνασθαι τοὺς πιστεύοντας. ἐνήργηκε δὲ τοῦτο Χριστὸς ὁ μετὰ Ἰωάννην ἐρχόμενος κατὰ σάρκα ἤτοι τὸν τῆς σαρκὸς χρόνον, αὐτὸς δὲ καὶ τὴν ἑαυτοῦ ἅλω καθαρίζει. θεὸς οὖν ἄρα ἐστὶν ἀληθής.

98 Καὶ ἰδοὺ λεπρὸς προσελθὼν προσεκύνει αὐτῷ λέγων· κύριε, ἐὰν
Mt. 8, 2. 3 θέλῃς, δύνασαί με καθαρίσαι. καὶ ἐκτείνας τὴν χεῖρα ἥψατο αὐτοῦ λέγων· θέλω, καθαρίσθητι. καὶ εὐθέως ἐκαθαρίσθη αὐτοῦ ἡ λέπρα. Τὸ ἐνεργεῖν δύνασθαι θεοπρεπῶς οὐκ ἴδιον ἀνθρώπου, αὐτῇ δὲ μᾶλλον ἔποιτο ἂν καὶ μόνῃ

6—p. 89, 8 Timoth. arm. p. 284—289

VS, D [= mn], A

7 φοβηθεὶσ V μαρίαν SD 10 κατ' αὐτὸ SD τὰ om. A 11 μαρίασ D 14 γεγενημένοσ SA 16 ἐμ S 17 γεγένηται S 18 ἐσφραθᾶ V εὐφρανθᾶ Sn εὐφραθᾶ m οὐκ A 19 σε ἐν SA 21 γεγενημένοσ S 23 πρέπει ἂν S πρέπει V 24 δι' ἡμᾶσ om. SD γένεσιν S 25 ἐν ὕδατι V 28 αὐτοῦ om. D 29 φαμὲν τὸ βαπτίζειν εἶναι V ἅλωνα D 31 αὐτῷ μόνῳ SD τὸ] τῷ V 32 τῆς om. A 37 ἔποιτο Pusey ex Euthymio Zigabeno, Tim. ἐποιεῖτο VSDA

τῆι πάντων ἐπέκεινα φύσει. ἐνεργεῖ δὲ οὕτω Χριστός· οὐκ ἄρα ψιλὸς ἄνθρωπος καθ' ἡμᾶς, θεὸς δὲ μᾶλλον ἐν ἀνθρωπείαι μορφῆι. οὕτω νοήσεις καὶ ἐπὶ τῆς Πέτρου πενθερᾶς κἂν ⟨εἰ⟩ τοῖς ἀνέμοις ἐπιτιμῶν ὁρῶιτο θαλάσσηι τε καὶ ὕδασιν, ὅθεν καὶ οἱ θεσπέσιοι μαθηταὶ καὶ θάλασσαν καὶ ἀνέμους ὑποκειμένους ὁρῶντες τεθαυμάκασι λέγοντες· ποταπός ἐστιν οὗτος; οὐ γὰρ ἦν ἀνθρώπου ψιλοῦ τὸ τοιάδε δύνασθαι δρᾶν. θεὸς οὖν ἄρα κατὰ ταυτὸν καὶ ἄνθρωπος ὁ Χριστός. P 202 Mt. 8, 14 Mt. 8, 26 Mt. 8, 27

99 Οἱ δὲ δαίμονες, φησί, παρεκάλουν αὐτὸν λέγοντες· εἰ ἐκβάλλεις ἡμᾶς, ἀπόστειλον ἡμᾶς εἰς τὴν ἀγέλην τῶν χοίρων. καὶ εἶπεν αὐτοῖς· ὑπάγετε. Τὸ προνοεῖν τῶν ὅλων καὶ σώιζειν αὐτὰ τίνος ἂν εἴη πλὴν ὅτι μόνου τοῦ κατὰ φύσιν ὄντος θεοῦ; οὕτω καὶ ὁ σωτὴρ ἔφασκεν· οὐχὶ δύο στρουθία ἀσσαρίου πωλοῦνται; καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται ἐπὶ τὴν γῆν ἄνευ τοῦ πατρὸς ἡμῶν τοῦ ἐν τοῖς οὐρανοῖς, ὑμῶν δὲ καὶ αἱ τρίχες τῆς κεφαλῆς πᾶσαι ἠριθμημέναι εἰσίν. ἰδοὺ τοιγαροῦν τοσαύτην τῶν ὄντων πρόνοιαν ἐποιεῖτο Χριστός, ὡς μὴ ἐξεῖναι τοῖς ἀκαθάρτοις δαίμοσι μηδὲ χοίρων ἀγέλης ἔχειν τὴν ἐξουσίαν. παρακληθεὶς οὖν ἐπέτρεψε μόλις, οὐκ ἐκείνοις πληρῶν τὴν αἴτησιν, ἀλλ' ἵνα ἡμᾶς ἀναπείσηι φρονεῖν ὅτι προνοεῖται τῶν ὅλων ὡς θεός. εἶτα πῶς οὐ θεὸς ὁ θεοπρεπῆ τὴν ἐξουσίαν καὶ τὸ κατὰ πάντων κράτος ἀνημμένος καὶ σώιζων ὡς ἴδια τὰ δι' αὐτοῦ γεγονότα; Mt. 8, 31. 32 Mt. 10, 29. 30

100 Τότε λέγει τοῖς μαθηταῖς αὐτοῦ· ὁ μὲν θερισμὸς πολύς, οἱ δὲ ἐργάται ὀλίγοι. δεήθητε οὖν τοῦ κυρίου τοῦ θερισμοῦ ὅπως ἐκβάληι ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ. καὶ προσκαλεσάμενος τοὺς δώδεκα μαθητὰς αὐτοῦ, ἔδωκεν αὐτοῖς ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων, ὥστε ἐκβάλλειν αὐτὰ καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν. Οἶδεν ὄντα τοῦ θερισμοῦ κύριον τὸν τῶν ὅλων θεόν· αὐτοῦ γὰρ ἡ ἄλως ἡ νοητή, τουτέστιν ἡ ἀνθρωπότης· αὐτοῦ καὶ ὁ θερισμός. ἀλλ' ἰδοὺ δεηθῆναι προστάξας τοῦ κυρίου τοῦ θερισμοῦ, ἑαυτὸν εὐθὺς ἀπέδειξεν ὄντα τοῦτο, ἐκβαλὼν τοὺς ἐργάτας, τουτέστι τοὺς ἁγίους ἀποστόλους, οἷς καὶ δέδωκεν ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων ὡς θεός. οὐ γὰρ ἐστι τῶν τῆς ἀνθρωπότητος μέτρων τὸ διδόναι τισὶ τοῦ πνεύματος τοῦ ἁγίου τὴν ἐνέργειαν, δέδωκε δὲ Χριστός. εἶτα πῶς οὐ φύσει τε καὶ ἀληθῶς ἐστι θεός, εἰ καὶ γέγονε σὰρξ ὁ λόγος; Mt. 9, 37. 10, 1 P 203 PG 1264

101 Πᾶς οὖν ὅστις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῶι ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς. ὅστις δ' ἂν ἀρνήσηταί με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι κἀγὼ αὐτὸν ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς. Πολλοὶ κέκληνται τῶν ἁγίων πρὸς τὴν τοῦ μαρτυρίου δόξαν καὶ τετελείωνται διὰ παθημάτων καὶ θανάτου, Χριστὸν ὁμολογηκότες. ἆρ' οὖν ἐστεφάνωνται διαβεβαιούμενοι καὶ λέγοντες ἄνθρωπον εἶναι κοινὸν αὐτὸν ἢ μᾶλλον ὡς θεὸν ταῖς ὁμολογίαις τετιμηκότες; ἀλλ' ἐστὶ δῆλον. οἱ γὰρ τοῦτο ἀρνησάμενοι καὶ τῆς τοῦ μαρτυρίου δόξης ἀπώλισθον καὶ αὐτὸν εὑρήσουσιν ἐν ἡμέραι κρίσεως ἀρνούμενον αὐτοὺς τὸν Χριστόν. εἶτα πῶς οὐ θεὸς ὁ τῆι τοῦ μαρτυρίου δόξηι στεφανῶν τοὺς ὅτι τοῦτό ἐστιν ἀληθῶς, ὁμολογοῦντας αὐτόν; Mt. 10, 32. 33

102 Δεῦτε πρός με, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς. Εἰ μὴ θεός ἐστιν ἀληθῶς Mt. 11, 28. 29

VS, D [= mn], A

3 εἰ addidi ὡρῶτο SD 5 τὸ VS τὰ DA 12 ὑμῶν Tim. 13 ἀπηριθμημέναι S ἀπαριθμημέναι D 18 κρατεῖν ἀνηρημένοσ SD 19 αὐτοῦ μαθηταῖσ SD 22/23 αὐτὰ ἐκβάλλειν VD 24 τὸν θερισμὸν κῦ SD 27 καὶ om. SDA 28 τοῦ ἁγίου πν̄σ̄ V 33/34 ὅστις δ' ἂν — οὐρανοῖς om. A 33 ἀρνήσεταί V 34 τοῖς om. D 35 ἁγίων προφητῶν V 38 τοῦτον V 41 πρός με om. Sn

P 204 ὁ Ἐμμανουήλ, τίνα τρόπον τὸν ἑαυτοῦ ζυγὸν ἡμῖν ἐπιτίθησι; θεοῦ γὰρ δοῦλα τὰ πάντα, εἴρηται δὲ ζυγὸς καὶ ὁ νόμος. ἀλλὰ ἐπιτίθησιν ἡμῖν ὁ Χριστὸς τὸν ἴδιον ζυγὸν ἑαυτῶι τε ὑποτάττει, καίτοι τὰ πάντα ὑποφέρων τῶι πατρί. θεὸς ἄρα ἐστίν, ὅθεν αὐτῶι καὶ
Ps. 118, 91 ὑποκεῖσθαι τὰ πάντα πρέπει ⟨κατὰ τὸ εἰρημένον πρὸς θεὸν ὅτι τὰ σύμπαντα δοῦλά σου⟩.

103 Ἢ οὐκ ἀνέγνωτε ἐν τῶι νόμωι ὅτι ἐν τοῖς σάββασιν οἱ ἱερεῖς ἐν τῶι
Mt. 12, 5. 6 ἱερῶι τὸ σάββατον βεβηλοῦσι καὶ ἀναίτιοί εἰσι; λέγω δὲ ὑμῖν ὅτι τοῦ ἱεροῦ μεῖζόν ἐστιν ὧδε. Εἰ βεβηλοῦντες τὸ σάββατον οἱ ἱερεῖς ἀναίτιοί εἰσιν ὡς θεῶι προσάγοντες τὰς θεραπείας, πῶς τῶν ἐν τῶι ἱερῶι δρωμένων νοεῖται μείζων ἡ
Hebr. 8, 5 Χριστοῦ θεραπεία; ἀλλά ἐστι δῆλον ὅτι οἱ μὲν ἐν νόμωι σκιᾶι καὶ ὑποδείγματι τῶν ἐπουρανίων λελατρεύκασιν, οἱ δὲ θεσπέσιοι μαθηταὶ προσεδρεύοντές τε καὶ λειτουργοῦντες τῶι Χριστῶι μείζονα καὶ τὴν δόξαν εἶχον. καὶ εἰ τῆς ἐν νόμωι λατρείας ἐν ἀμείνοσι τὸ λειτουργεῖν τῶι Χριστῶι, πῶς οὐκ ἂν νοοῖτο θεὸς ἀληθῶς;

104 Εἰ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια, φησίν, οἱ υἱοὶ ὑμῶν ἐν
Mt. 12, 27 τίνι ἐκβαλοῦσι; διὰ τοῦτο αὐτοὶ κριταὶ ἔσονται ὑμῶν. Εἰ ἐν ὀνόματι τοῦ
Act. 3, 6 Χριστοῦ τεθεραπεύκασι τοὺς δαιμονιῶντας οἱ μαθηταί (ἐπεφώνουν γὰρ ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου), πῶς οὐκ ἂν νοοῖτο θεὸς ἀληθής; οὐ γὰρ ἂν ἐξήρκεσεν ἀνθρώπου δόξα καὶ δύναμις εἰς τὸ κατισχῦσαι τοῦ σατανᾶ.

105 Ὥσπερ οὖν συλλέγεται τὰ ζιζάνια καὶ πυρὶ κατακαίεται, οὕτως ἔσται
PG 1265 ἐν τῆι συντελείαι τοῦ αἰῶνος. ἀποστελεῖ ὁ υἱὸς τοῦ ἀνθρώπου τοὺς
Mt. 13, 40-42 ἀγγέλους αὐτοῦ καὶ συλλέξουσιν ἐκ τῆς βασιλείας αὐτοῦ πάντα τὰ σκάν-
P 205 δαλα καὶ τοὺς ποιοῦντας τὴν ἀνομίαν καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον
Ps. 102, 20 τοῦ πυρός. Περὶ θεοῦ γέγραπται· εὐλογεῖτε τὸν κύριον, πάντες οἱ ἄγγελοι αὐτοῦ. οὐ γὰρ ἄγγελος ἀγγέλου ἐστί, θεοῦ δὲ μᾶλλον τὰ πάντα. πῶς οὖν φησι περὶ τοῦ υἱοῦ τοῦ ἀνθρώπου ὅτι ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ; θεὸς οὖν ἄρα ἐστὶν ὡς καὶ ἰδίους ἔχων τοὺς ἀγγέλους καὶ διὰ τῶν ἄνω πνευμάτων ὑπηρετούμενος.

106 Ἠρώτησεν ὁ Χριστός· τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι τὸν υἱὸν τοῦ
Mt. 16, 13. 16. 17 ἀνθρώπου; ἀποκριθεὶς δέ, φησίν, ὁ Πέτρος εἶπε· σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος. ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτῶ· μακάριος εἶ, Σίμων βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς. Εἰ ψιλὸς ἄνθρωπος ὁ Χριστός, διὰ τί τεθαύμασται Πέτρος ὁμολογήσας αὐτόν; πῶς δέ ἐστι καὶ θεοδίδακτος ἢ ποίας ἐδεήθη φωταγωγίας ἄνωθεν, ἵνα μάθηι τὸ ἐπ' αὐτῶι μυστήριον; ἀλλ' ἔγνω θεὸν ὄντα καὶ υἱὸν θεοῦ ζῶντος διωμολόγησεν αὐτόν· ταύτηι τοι τεθαύμασται. πλὴν ἕνα υἱὸν καὶ οὐχὶ υἱοὺς δύο φησί. δυσσεβὲς οὖν ἄρα τὸ διορίζειν εἰς δύο.

Mt. 16, 27 Μέλλει γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῆι δόξηι τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων αὐτοῦ. Ἰδοὺ πάλιν ἀγγέλους αὐτοῦ φησι τὰ ἄνω πνεύματα, καίτοι λεγομένου υἱοῦ ἀνθρώπου.

107 Ἐλθόντων δὲ αὐτῶν εἰς Καπερναούμ, προσῆλθον οἱ τὰ δίδραχμα λαμ-
Mt. 17, 24-26 βάνοντες τῶι Πέτρωι καὶ εἶπον· ὁ διδάσκαλος ὑμῶν οὐ τελεῖ τὰ δίδραχμα; καὶ λέγει· ναί. καὶ εἰσελθόντα εἰς τὴν οἰκίαν προέφθασεν αὐτὸν ὁ Ἰη-

30—34 adfert Timoth. syr. f. 46b

VS, D [= mn], A

1 ἡμῖν om. V 2 ὑμῖν V 3 οὖν ἄρα D 4 κατὰ — σου Tim. om. VSDA 5 νόμω VASmg Tim. κόσμω SD 6 τὰ σάββατα SD 7 εἰ] οἱ S 8 τὴν θεραπείαν SD 9 νόμω καὶ SD 10 τε om. SD 13 ἐκβάλω S 14 ἐκβάλλουσι A 15 δαιμονιῶντασ V 16 ἂν om. SD 22 οἱ om. V 24 οὖν om. SD 30 χς̄ VSDA ūū̄ Tim. 31—33 πῶς δὲ — αὐτόν om. A 32 διωμολόγηκεν V καθωμολόγησεν SD 33 καὶ om. D 33/34 δυσσεβὲς — δύο om. D 37 ἄνοῡ VA Tim. αὐτοῦ SD 38 καὶ οἱ D 38. 39 δίδραγμα VA 40 ἐλθόντοσ V οἰκείαν D

σοῦς λέγων· τί σοι δοκεῖ, Σίμων; οἱ βασιλεῖς τῆς γῆς ἀπὸ τίνος λαμβάνουσι τέλη ἢ κῆνσον; ἀπὸ τῶν υἱῶν αὐτῶν ἢ ἀπὸ τῶν ἀλλοτρίων; εἶπε δέ· P 206
ἀπὸ τῶν ἀλλοτρίων. ἔφη δὲ αὐτῷ ὁ Ἰησοῦς· ἄρα γε ἐλεύθεροί εἰσιν οἱ υἱοί. Πῶς ἐλεύθερον ἑαυτὸν εἶναί φησι καὶ ἔξω νόμου καὶ ἀσυντελῆ καὶ υἱὸν ἀληθῶς, εἰ μὴ θεός ἐστιν ἑνώσει τῇ καθ' ὑπόστασιν σαρκὸς καὶ αἵματος κεκοινωνηκώς; συν- 5
τετέλεκε δὲ τὸ δίδραχμον ὡς γεγονὼς ὑπὸ νόμον ὁ ὑπὲρ νόμον υἱός. ἄνθρωπος δὲ ὤν, οὐχ ὑπὲρ νόμον νοεῖται· πῶς γάρ; οὐδ' ἂν ἔχοι κατὰ φύσιν τὸ ἐλεύθερον, εἰ μὴ νοεῖται θεὸς ἐν ἀνθρωπείαι μορφῇ.

108 Ἀναβαίνοντος ἐν τοῖς Ἱεροσολύμοις τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ, παῖδες προεβάδιζον εὐφημοῦντές τε καὶ λέγοντες· ὡσαννὰ τῷ υἱῷ Δαυίδ, θεοπρεπὴς 10 PG 1268
δὲ πάντως ἐστὶν ἡ δοξολογία. ἠγανάκτησαν οἱ Φαρισαῖοι καὶ δὴ καὶ προσήιεσαν Mt. 21, 9
λέγοντες· ἀκούεις τί οὗτοι λέγουσιν; ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· ναί. οὐδέ- Mt 21, 16
ποτε ἀνέγνωτε ὅτι ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον; Ἀναγκαῖον ἐν τούτοις διαμνημονεῦσαι τοῦ μακαρίου Δαυὶδ λέγοντος κύριε ὁ Ps 8, 2. 3
κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ, ὅτι ἐπήρθη 15
ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν. ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον. οἱ μὲν γὰρ παῖδες εὐφημοῦντες ἔλεγον ὡσαννὰ τῷ υἱῷ Δαυίδ, καταδέχεται δὲ τὴν δοξολογίαν εὐφημούμενος· ὁ δέ γε μακάριος Δαυὶδ οὐκ ἀνθρώπῳ ταύτην ἀνετίθει κοινῷ, κυρίῳ δὲ μᾶλλον, οὗ καὶ θαυμαστὸν γέγονε τὸ ὄνομα ἐν πάσῃ τῇ γῇ· ἐπήρθη γὰρ ἡ μεγαλοπρέπεια ὑπεράνω τῶν οὐρανῶν. εἶτα 20
πῶς οὐ θεὸς ὁ υἱὸς Δαυίδ, τὸ κατὰ σάρκα Χριστός;

109 Ὅταν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ καὶ πάντες οἱ Mt 25, 31
ἄγγελοι μετ' αὐτοῦ, τότε καθίσει ἐπὶ θρόνον δόξης αὐτοῦ. Ἆρα ὡς ἄν- P 207
θρωπος εἷς τῶν καθ' ἡμᾶς καθεδεῖται Χριστός, παρεστηκότων αὐτῷ πάντων τῶν ἀγγέλων, οὕτω τε κρινεῖ τὸν κόσμον; εἶτα ποῖον ἂν ἔχοι τοῦτο λόγον; γέγραπται γὰρ ὅτι εἷς 25 Iac 4, 12
ἐστιν ὁ νομοθέτης καὶ κριτής. θεὸς οὖν ἄρα Χριστὸς ὁ ἐν δόξῃ θεοῦ καὶ θρόνον ἔχων καὶ παρεστῶτας ἀγγέλους καὶ κρίνων τὴν οἰκουμένην ἐν δικαιοσύνῃ.

110 Καὶ ὁ ἀρχιερεύς, φησίν, εἶπεν αὐτῷ· ὁρκίζω σε κατὰ τοῦ θεοῦ τοῦ Mt 26, 63. 64
ζῶντος ἵνα ἡμῖν εἴπῃς εἰ σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ. λέγει αὐτῷ
ὁ Ἰησοῦς· σὺ εἶπας· πλὴν λέγω ὑμῖν, ἀπ' ἄρτι ὄψεσθε τὸν υἱὸν τοῦ ἀν- 30
θρώπου καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως καὶ ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ. Πῶς ὁ υἱὸς τοῦ ἀνθρώπου κάθηται ἐκ δεξιῶν τῆς δυνάμεως; ἀλλ' ἐστὶ δῆλον ὅτι κἂν εἰ γέγονεν υἱὸς τοῦ ἀνθρώπου ὁ ἐκ θεοῦ λόγος, οὐ πέπαυται τοῦ εἶναι θεός, ἀλλ' ἔστιν ὃ ἦν. ταύτῃ τοι καὶ συνεδρεύει τῷ φύσαντι καὶ ἐν τοῖς τῆς θεότητος ἀξιώμασιν ἐμπρέπων ὁρᾶται, κἂν εἰ γέγονε σάρξ. 35

111 Ὁ δὲ Ἰησοῦς κράξας φωνῇ μεγάλῃ ἀφῆκε τὸ πνεῦμα. καὶ ἰδοὺ Mt. 27, 50-52
τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη ἄνωθεν εἰς δύο ἕως κάτω καὶ ἡ γῆ ἐσείσθη καὶ αἱ πέτραι ἐσχίσθησαν καὶ τὰ μνημεῖα ἀνεῴχθησαν καὶ πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἀνέστησαν. Εἰ κοινὸς ἄνθρωπος ἦν ὁ Χριστός, πῶς τεθνεῶτος αὐτοῦ τοσοῦτος ἦν ἐν τοῖς στοιχείοις ὁ θόρυβος; ὁ μὲν γὰρ 40
ἥλιος τὴν ἀκτῖνα συνέστειλε καὶ ἐν ἡμέραι σκότος εἰργάσατο, ἡ δὲ γῆ τὸν ἑαυτῆς δεσπό-

22—p 90, 3 Tim arm. 290. 291

VS, D [= mn], A

1 τίνων V 3 γε om. A 6 δίδραγμον VA 9 τοῖς om SD 10 προσεβάδιζον VA τε om. SD ὡσανὰ A 11 φαρισσαῖοι SD 14 ἀπομνημονεῦσαι SD 17 ὡσανὰ A 19 ἀνατέθεικε V 19/20 γέγονε τὸ ὄνομα SD τὸ ὄνομα γέγονε A τὸ ὄνομα V 20 γὰρ VD γὰρ καὶ SA 25 ἂν ἔχοι] ἔχει V 26 ὁ χ̄ς̄ A 29 τοῦ θῦ τοῦ ζῶντος m 30 ὁ Ἰησοῦς om. V 33 εἰ om. SD 37 εἰσ δύο ἄνωθεν V 38 ἠνεῴχθησαν SD 39 ἠγέρθησαν m 41 ἡ γῆ δὲ D

την ὁρῶσα ὑπὸ τῶν Ἰουδαίων ἐμπαροινούμενον ἐσχίζετο, ἀφῆκε δὲ καὶ ὁ ἅιδης τὰς τῶν
P 208 ἀντίων ψυχάς. τίνος ταῦτα ποιοῦντος; ἆρα οὐχὶ θεοῦ; θεὸς γὰρ ἦν ἐν σαρκί, ὧι καὶ
PG 1269 ἡ κτίσις ὑβριζομένωι τρόπον τινὰ συνωργίζετο.

Ἐκ τοῦ κατὰ Ἰωάννην εὐαγγελίου

112 Αὐτὸς δὲ ὁ Ἰησοῦς οὐκ ἐπίστευεν αὐτὸν αὐτοῖς διὰ τὸ αὐτὸν γινώ-
Ioh 2, 24. 25 σκειν πάντα καὶ ὅτι οὐ χρείαν εἶχεν ἵνα τις μαρτυρήσηι περὶ τοῦ ἀνθρώ-
που· αὐτὸς γὰρ ἐγίνωσκε τί ἦν ἐν τῶι ἀνθρώπωι. Περὶ θεοῦ γέγραπται ὅτι
Ps. 32, 15 ὁ πλάσας κατὰ μόνας τὰς καρδίας αὐτῶν. καὶ αὐτὸς δέ πού φησι· μὴ ἀπ'
Ier. 39, 27 ἐμοῦ κρυβήσεταί τι; εἰ δὲ πάντα Χριστὸς ἐπίσταται καὶ οἶδε τὰ ἐν τῶι ἀνθρώπωι,
Ier 17, 10 πῶς οὐκ ἂν εἴη θεὸς ὡς καρδίας ἐτάζων καὶ νεφρούς;

113 Ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε, ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν,
Ioh 4, 22 ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστίν. Ἀκούεις ὅτι τὴν σωτηρίαν ἐκ τῶν
Ies 63, 9 Ἰουδαίων εἶναί φησιν; καίτοι σωτῆρα θεὸν ἐπεγραψάμεθα· σέσωκε γὰρ ἡμᾶς οὐ πρέσβις,
οὐκ ἄγγελος, ἀλλ' αὐτὸς ὁ κύριος κατὰ τὰς γραφάς. ὠνόμασται γὰρ Χριστὸς Ἰησοῦς
γεγονὼς ἐξ Ἰουδαίων κατὰ τὴν σάρκα, Ἰησοῦς γε μὴν ἑρμηνεύεται σωτηρία. αὐτος οὖν
Hebr. 2, 16 ἄρα ἐστὶν ἡ ἐκ τῶν Ἰουδαίων σωτηρία, ὥστε κἂν εἰ γέγονε σὰρξ ὁ λόγος καὶ ἐπελάβετο
σπέρματος Ἀβραάμ, θεός ἐστι καὶ μετὰ σαρκός.

114 Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμὲ τὰ ἔργα ἃ ἐγὼ ποιῶ, κἀ-
Ioh. 14,12 13 κεῖνος ποιήσει καὶ μείζονα τούτων ποιήσει, ὅτι ἐγὼ πρὸς τὸν πατέρα
μου πορεύομαι καὶ ὅ τι ἂν αἰτήσητε ἐν τῶι ὀνόματί μου, τοῦτο ποιήσω.
Πορεύεται, φησί, πρὸς τὸν πατέρα, καίτοι φύσει θεος ὑπάρχων ὁ υἱὸς καὶ αὐτὸς ὢν ὁ
P 209 πάντα πληρῶν. πορεύεται τοίνυν ἀνθρωπίνως, ἀνελήφθη γὰρ εἰς τὸν οὐρανόν· ἀλλὰ
ὡς θεὸς ἐπαγγέλλεται πληροῦν τὰ αἰτήματα τῶν προσευχομένων, εἰ ἐν τῶι ὀνόματι αὐτοῦ
ποιοῖντο τὰς λιτάς εἶτα τίνι ἂν πρέποι μᾶλλον τὸ πληροῦν εὐχὰς ἁγίων καὶ χαρίζεσθαι
τὰ αἰτήματα πλὴν ὅτι μόνωι τῶι κατὰ φύσιν καὶ ἀληθῶς ὄντι θεῶι;

115 Οὐχ ὑμεῖς με ἐξελέξασθε, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς, ἵνα ὑμεῖς ὑπά-
Ioh 15, 16 γητε καὶ καρπὸν φέρητε καὶ ὁ καρπος ὑμῶν μείνηι, ἵνα ὅ τι ἂν αἰτήσητε
τὸν πατέρα ἐν τῶι ὀνόματί μου, δώσει ὑμῖν. Ἰδοὺ πανταχῆι δείκνυσιν ὅτι τὰ
Ioh 14, 13 ἴσα μετ' ἐξουσίας ἐνεργεῖ τῶι θεῶι καὶ πατρί. ἔφασκε γάρ· ὅ τι ἂν αἰτήσητε ἐν
τῶι ὀνόματί μου, ποιήσω· νυνὶ δέ φησιν· ὅ τι ἂν αἰτήσητε τὸν πατέρα ἐν
τῶι ὀνόματί μου, δώσει ὑμῖν. ἆρα οὖν ἰδίαι μὲν δίδωσιν ὁ πατὴρ δίχα τοῦ υἱοῦ,
ἰδίαι δὲ καὶ ἀνὰ μέρος ὁ υἱος δίχα τοῦ πατρός; οὐκοῦν παρὰ δύο θεῶν τοῖς ἁγίοις τὰ ἐν
PG 1272 εὐχαῖς αἰτήματα; ἀλλ' οὐχ οὕτως ἔχει ταῦτα· μὴ γένοιτο· εἷς γὰρ θεὸς ὁ πατὴρ καὶ
1 Cor. 8, 6 εἷς κύριος Ἰησοῦς Χριστός διανέμει γὰρ ὁ πατὴρ δι' υἱοῦ τὰ ἀγαθὰ ἐν πνεύ-
ματι, πλὴν ἡ αἴτησις ἡ ἐν προσευχαῖς ἐν Χριστῶι Ἰησοῦ καὶ κύριος Ἰησοῦς ὁ ἐνανθρω-
πήσας νοεῖται καὶ ὀνομάζεται λόγος.

116 Καὶ ἐν ἐκείνηι τῆι ἡμέραι ἐμὲ οὐκ ἐρωτήσετε οὐδέν. ἀμὴν ἀμὴν λέγω
Ioh 16, 23 24 ὑμῖν, ἄν τι αἰτήσητε τὸν πατέρα, δώσει ὑμῖν ἐν τῶι ὀνόματί μου. αἰτεῖτε,
καὶ λήψεσθε, ἵνα ἡ χαρὰ ὑμῶν ἦι πεπληρωμένη. Ἐν ἴσηι καὶ τοῦτο τοῖς
Ioh. 16, 26 27 ἀνωτέρω βραχὺ διανοίαι κείσεται καὶ τὸ ἐφεξῆς ὁμοίως, ἔχει δὲ οὕτως· ἐν ἐκείνηι τῆι

VS, D [= mn], A

1 τῶν om D καὶ om V 2 ἐν om SD 5 ὁ om A 6 μαρτυρίση V 9 τὰ τοῦ ἀνθρώπου V 10 ἐξετάζων SD 15 τὴν om D 20 ποιησω ινα δοξασθῆ ὁ πατὴρ ἐν τῶ υἱῶ ἐάν τι αἰτήσητε ἐν τῶ ὀνόματί μου τοῦτο ποιήσω V 22 τοίνυν] γὰρ V γὰρ] τοίνυν V 24 πρέπη S 28 πανταχοῦ V 29 θεῶι καὶ om V ὅτι ὃ V ἐὰν VSD 30 ἐὰν V 33 ὁ] καὶ V 34 υἱοῦ] οὗ Sm 35 ὁ om SD 36 λόγοσ καὶ ὀνομάζεται SD 38 ἄν τι] ὅτι ἄν A πατέρα μου SD 39 ἡμῶν S

ἡμέραι ἐν τῷι ὀνόματί μου αἰτήσεσθε καὶ οὐ λέγω ὑμῖν ὅτι ἐγὼ ἐρωτήσω τὸν πατέρα· αὐτὸς γὰρ ὁ πατὴρ φιλεῖ ὑμᾶς, ὅτι ὑμεῖς ἐμὲ πεφιλήκατε, ὅτι ἐγὼ παρὰ τοῦ πατρὸς ἐξῆλθον.

117 Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωὴ ἵνα γινώσκωσι σὲ τὸν μόνον ἀληθινὸν θεὸν καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν Εἰ τῆι ἐπιγνώσει τοῦ μόνου καὶ ἀληθινοῦ θεοῦ συνέζευκταί τε καὶ συνεισβαίνειν ἀνάγκη τὴν ἐπίγνωσιν Ἰησοῦ Χριστοῦ καὶ ζωὴν τοῦτο τὴν αἰώνιον προξενεῖ, πῶς οὐχ ἅπασιν ἐναργὲς ὅτι θεός ἐστιν ἀληθὴς ὁ Χριστός; γέγονε γὰρ σὰρξ ὁ λόγος καὶ μεμένηκε λόγος. Ioh. 17, 3

118 Ἵνα ὁ κόσμος πιστεύσηι ὅτι σύ με ἀπέστειλας, κἀγὼ τὴν δόξαν ἣν δέδωκάς μοι, δέδωκα αὐτοῖς, ἵνα ὦσιν ἕν, καθὼς ἡμεῖς ἕν. ἐγὼ ἐν αὐτοῖς καὶ σὺ ἐν ἐμοί, ἵνα ὦσι τετελειωμένοι εἰς ἕν. Ἀκριβῆ τῆς διανοίας τὸν ὀφθαλμὸν ἐπιστήσαντες τῆι τοῦ προκειμένου δυνάμει, θεωρήσωμεν τὰ ἐν αὐτῶι. ποίαν δόξαν εἰληφέναι φησὶ παρὰ τοῦ πατρὸς ὁ υἱὸς καὶ ταύτην ἡμῖν ἐπιδοῦναι; αὐτὸς δὲ ἡμᾶς τῆς ἐπὶ τούτοις ἐρεύνης ἀπαλλάξει λέγων· ἵνα ὦσι, καθὼς ἡμεῖς, ἕν. τῆι μὲν γὰρ φυσικῆι ταυτότητι ἕν ἐστιν ὁ ἐκ θεοῦ λόγος πρὸς τὸν ἑαυτοῦ πατέρα, εἰ καὶ νοεῖται καθ' ὑπόστασιν ἑκάτερος ἰδικήν· πῶς δὲ καὶ ἐν ἡμῖν γέγονε κατὰ τὸν ἴσον τρόπον, οὐσιωδῶς δὴ λέγω καὶ φυσικῶς, καίτοι θεοῦ φύσις ἀσύμβατος παντελῶς εἴη ἂν πρὸς τὴν κτίσιν, ὡς ἐν ταυτότητι λέγω τῆι κατ' οὐσίαν; πῶς οὖν ἐν ἡμῖν γέγονε φυσικῶς ὁ ὑπὲρ τὴν κτίσιν; γέγονε γὰρ ἄνθρωπος, ἵνα ὥσπερ ἐστὶν ἓν τῆι τῆς θεότητος φύσει πρὸς τὸν πατέρα, οὕτω καὶ πρὸς ἡμᾶς ἓν γένηται σχέσει τῆι κατὰ ἀνθρωπότητα· τετελειώμεθα γὰρ οὕτω καὶ ἡμεῖς εἰς ἕν. Ioh. 17, 21-23

119 Οὔσης οὖν ὀψίας τῆι ἡμέραι ἐκείνηι τῆι μιᾶι τῶν σαββάτων καὶ τῶν θυρῶν κεκλεισμένων, ὅπου ἦσαν οἱ μαθηταὶ συνηγμένοι διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἦλθεν ὁ Ἰησοῦς καὶ ἔστη εἰς τὸ μέσον καὶ λέγει αὐτοῖς· εἰρήνη ὑμῖν. Ἐπαπορήσαι τις ἂν κατὰ τὸ εἰκὸς ἐκεῖνο λέγων· εἰ ἐν σώματι καὶ μετὰ τὴν ἀνάστασιν ἦν ὁ λόγος καθὰ καὶ πρὸ τοῦ τιμίου σταυροῦ, πῶς κεκλεισμένων τῶν θυρῶν ἀδοκήτως εἰς μέσον ὤφθη τῶν μαθητῶν; πρὸς τοῦτο φαμὲν ὅτι δυνάμει τῆι θειικῆι. μεμνῆσθαι δεῖ Παύλου λέγοντος ὅτι ὥστε ἡμεῖς ἀπὸ τοῦ νῦν οὐδένα οἴδαμεν κατὰ σάρκα· εἰ δὲ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστόν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν. μετὰ γάρτοι τὴν ἐκ νεκρῶν ἀναβίωσιν, ὡς τετελεσμένης ἤδη τῆς οἰκονομίας ἐφ' ἧι καὶ ἡ τῆς σαρκὸς ἀνάληψις ἐπράχθη χρειωδῶς, ἐξουσίαι καὶ δυνάμει χρῆται τῆι θεοπρεπεῖ, διὰ τούτων μᾶλλον ἢ διὰ τῶν τῆς κενώσεως μέτρων ἐπιγινώσκεσθαι θέλων ὡς ἐν καιρῶι καθήκοντι. Ioh. 20, 19 P 211 PG 1273 2 Cor. 5, 16

120 Καὶ τοῦτο εἰπὼν ἐνεφύσησε καὶ λέγει αὐτοῖς· λάβετε πνεῦμα ἅγιον. ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς· ἄν τινων κρατῆτε, κεκράτηνται. Ὅλον ἐστὶ θεοπρεπὲς τὸ γεγενημένον καὶ τοῦ παντὸς ἄξιον λόγου. πρῶτον μὲν γὰρ οὐκ ἀνθρώπινον τὸ ἐμφυσῆσαι τοῖς ἀποστόλοις καὶ δοῦναι τὸ πνεῦμα· εἶτα μέγα καὶ ὑπὲρ τὴν κτίσιν τὸ τοιαύτην ἐξουσίαν παρασχεῖν ὥστε κρατεῖν ὧν ἂν ἔλοιντο, τὰς ἁμαρτίας, ἀφιέναι δὲ καὶ οἷς ἂν βούλοιντο τυχόν. διὰ τί δὲ καὶ διὰ σαρκικοῦ φυσήματος τὸ πνεῦμα δίδωσιν; ὅτι μὴ ἀλλοτρία τοῦ λόγου γέγονεν ἡ αὐτοῦ σάρξ, ἀλλὰ ἰδικῶς αὐτοῦ. καὶ ἀνθρώπινον μὲν τὸ διὰ σαρκὸς ἐμφύσημα, θειικῆς δὲ δυνάμεως ἔργον τὸ μετόχους ἀποφῆναι τοῦ πνεύματος τοὺς ἠξιωμένους. Ioh. 20, 22. 23

VS, D [= mn], A

6 συνέζευχθαί D 8 γὰρ om. D 10 ἔδωκάσ SD 12/13 φησιν εἰληφέναι SD 13 ἐπὶ τούτοις] τοιαύτησ A 14 τῆ μὲν γὰρ SDA ἐν μὲν γὰρ τῆ V 16 ἰδικῆ S ὑμῖν S 18 ὑμῖν S 23 μαθηταὶ αὐτοῦ SD 25 οἰκάσ V 27 καὶ πρόσ A 28 ὅτι om. SD 30 μετὰ γάρτοι VA ἐπειδὴ μετὰ SD 31 ἐπράχθη VA ἐτελέσθη SD κέχρηται V 32 μέτρων VA τρόπων SD 35 ἀφέωνται SD 39 διὰ² D om. VSA 40 αὐτοῦ ἡ V

P 212 Ἐκ τοῦ κατὰ Λουκᾶν εὐαγγελίου

121 Ἀγγελος θεοῦ τῶι Ζαχαρίαι φησὶ περὶ τοῦ ἁγίου βαπτιστοῦ· καὶ ἔσται χαρά σοι
Lc. 1, 14-16 καὶ ἀγαλλίασις, καὶ πολλοὶ ἐπὶ τῆι γεννήσει αὐτοῦ χαρήσονται. ἔσται γὰρ μέγας ἐνώπιον κυρίου καὶ οἶνον καὶ σίκερα οὐ μὴ πίηι καὶ πνεύματος ἁγίου πλησθήσεται ἔτι ἐκ κοιλίας μητρὸς αὐτοῦ καὶ πολλοὺς τῶν υἱῶν Ἰσραὴλ ἐπιστρέψει ἐπὶ κύριον τὸν θεὸν αὐτῶν. Ὁ μακάριος Ἰωάννης, ἐρο-
Ioh. 1, 19. 23 μένων αὐτὸν τῶν Ἰουδαίων σὺ τίς εἶ; φησίν· ἐγὼ φωνὴ βοῶντος ἐν τῆι ἐρήμωι·
Mt. 3, 3 ἑτοιμάσατε τὴν ὁδὸν κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. προ-
Lc. 1, 76. 77 φητεύων δὲ καὶ αὐτὸς ὁ Ζαχαρίας ἐπὶ τῶι ἰδίωι παιδί φησι· καὶ σύ, παιδίον, προφήτης ὑψίστου κληθήσηι· προπορεύσηι γὰρ πρὸ προσώπου κυρίου ἑτοιμάσαι ὁδοὺς αὐτοῦ τοῦ δοῦναι γνῶσιν σωτηρίας τῶι λαῶι αὐτοῦ ἐν ἀφέσει ἁμαρτιῶν αὐτῶν. προεβάδιζε γὰρ τοῦ Χριστοῦ καὶ αὐτοῦ γέγονε πρόδρομος καὶ αὐτῶι τὰς ὁδοὺς προετοιμάζεσθαι διεκήρυττε καὶ τὸν ἐπ' αὐτῶι προεφήτευε λόγον, ἐπιστρέφων ὡς ἐπὶ θεὸν δικαιοῦν ἰσχύοντα τοὺς ἐν ἁμαρτίαις. εἶτα πῶς οὐ θεὸς ὁ Χριστός;

122 Οὗτος ἔσται μέγας καὶ υἱὸς ὑψίστου κληθήσεται καὶ δώσει αὐτῶι
Lc. 1, 32. 33 κύριος ὁ θεὸς τὸν θρόνον Δαυὶδ τοῦ πατρὸς αὐτοῦ καὶ βασιλεύσει ἐπὶ
PG 1276 τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος. Ἆρ' οὖν ὑφ' ἑνὶ τῶν καθ' ἡμᾶς κεισόμεθα βασιλευόμενοι διηνεκῶς καὶ ἀκαταλήκτως ἢ ὑπὸ θεῶι μᾶλλον ἐσόμεθα βασιλεύοντι ἡμῶν ἐν Χριστῶι καὶ οὐχ ὡς ἔξωθεν μεσίτου τινὸς εἰς τοῦτο παραληφθέντος, ἀλλ' ὡς δι' υἱοῦ καὶ ἐν υἱῶι κατακρατοῦντος τῶν ὅλων τοῦ θεοῦ καὶ πατρός; εἰ δὲ τοῦτο ἀληθές, ‹ὅπερ ἐστὶν ἀληθές›, θεὸς ἄρα ὁ Χριστός.

P 213 128 Εἶπε δὲ Μαριὰμ πρὸς τὸν ἄγγελον· πῶς ἔσται τοῦτο, ἐπεὶ ἄνδρα οὐ
Lc. 1, 34. 35 γινώσκω; καὶ ἀποκριθεὶς ὁ ἄγγελος εἶπεν αὐτῆι· πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἅγιον κληθήσεται υἱὸς θεοῦ. Ἆρα οὖν κέκληται μόνον υἱὸς ὁ ἐκ τῆς ἁγίας παρθένου διὰ τοῦ πνεύματος ἀπορρήτως γεγεννημένος ἢ γοῦν ἐκτισμένος ἢ φύσει τε καὶ ἀληθῶς υἱὸς εἶναι πεπίστευται καὶ θεός; ἀλλ' ἐστὶ τοῦτο ἀληθές· νοείσθω δὴ οὖν σὰρξ καθ' ὑπόστασιν γεγονὼς ὁ λόγος, τουτέστιν ἰδίαν ποιησάμενος σάρκα τὴν διὰ πνεύματος ἐκ τῆς ἁγίας παρθένου· οὕτω γὰρ ἔσται καὶ θεὸς ἀληθῶς.

124 Καὶ ἐγένετο ὡς ἤκουσε τὸν ἀσπασμὸν τῆς Μαρίας ἡ Ἐλισάβετ,
Lc. 1, 41-43 ἐσκίρτησε τὸ βρέφος ἐν τῆι κοιλίαι αὐτῆς καὶ ἐπλήσθη πνεύματος ἁγίου ἡ Ἐλισάβετ καὶ ἀνεφώνησε φωνῆι μεγάληι καὶ εἶπεν· εὐλογημένη σὺ ἐν γυναιξὶ καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου. καὶ πόθεν μοι τοῦτο ἵνα ἔλθηι ἡ μήτηρ τοῦ κυρίου μου πρός με; Ἐνεργήσαντος θεοῦ προφητείας χάριν ἔσται τις προφήτης, καθ' ἕτερον δὲ τρόπον οὐδαμῶς. ὅτε τοίνυν ὁ ἀσπασμὸς τῆς ἁγίας παρθένου Μαρίας κυοφορούσης ἔτι τὸν Ἰησοῦν κεκίνηκεν ἐν μήτραι τὸν Ἰωάννην εἰς προφητείαν, πῶς οὐ θεὸς ὁ Χριστὸς καὶ ἐν τῆι τῆς παρθένου νηδύι κινήσας θεοπρεπῶς εἰς προφητείας δύναμιν τὸν βαπτιστήν;

125 Νῦν ἀπολύεις τὸν δοῦλόν σου, δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνηι,
Lc. 2, 29-32 ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον

1—p. 94, 37 Tim. arm. p. 291—296

VS, D [= mn], A

3 γενέσει S 9 καὶ¹ om. V 12 καὶ om. V 13 αὐτῶι] αὐτοῦ D 14 θῶ V ἰσχύοντι V 19 ἐφ' V ἀκαταλήπτωσ SD 20 βασιλεύοντεσ SD 21 ἀλλ' ὡσ δι' V Tim. ἄλλωσ δὲ SDA 22 εἰ] εἰσ S 22 ὅπερ — ἀληθές Tim. om. VSDA ὁ om. SDA 23 ἔσται μοι V Tim. 27 διὰ VA Tim. ἐκ SD γεγενημένοσ S 28 ἀλλ' — ἀληθές om. SD 31 ἡ ἐλισάβετ τὸν — μαρίασ A 36 δὲ om. SD 37 κυοφορούσησ μαρίασ SD 38 καὶ om. Tim.

πάντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν λαοῦ σου Ἰσραήλ.
Ὁ Συμεὼν τὸν Ἰησοῦν εἰς ἀγκάλας λαβὼν τὰ τοιάδε περὶ αὐτοῦ φησι· πῶς οὖν ἐστι σωτήριον, πῶς δὲ φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, εἰ μὴ θεός ἐστιν ἀληθῶς, εἷς καὶ μόνος υἱὸς ὁ φύσει μὲν ἐκ πατρὸς ὡς λόγος, ἐκ παρθένου δὲ ὁ αὐτὸς κατὰ σάρκα; ποία γὰρ γέγονεν P 214
ἀποκάλυψις τοῖς ἔθνεσιν ἢ ἐπ' αὐτῶι ἔγνωσαν ὅτι θεός ἐστι καὶ αὐτῶι λατρεύσαντες διέ- 5
φυγον τὰ ἐγκλήματα, τὸ θεῶι λατρεύειν ἑτέρωι παρὰ τὸν ἕνα καὶ φύσει καὶ ἀληθῶς;

126 Ἐπιγνοὺς δὲ ὁ Ἰησοῦς τοὺς διαλογισμοὺς αὐτῶν, ἀποκριθεὶς εἶπε PG 1277
πρὸς αὐτούς· τί διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν; τί ἐστιν εὐκοπώτερον, εἰπεῖν ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου, ἢ εἰπεῖν ἔγειραι καὶ περιπάτει; ἵνα δὲ εἰδῆτε ὅτι ὁ υἱὸς τοῦ ἀνθρώπου ἐξουσίαν ἔχει ἐπὶ τῆς γῆς 10
ἀφιέναι ἁμαρτίας, εἶπε τῶι παραλυτικῶι· σοὶ λέγω, ἔγειραι καὶ ἆρας τὸ κλινίδιόν σου πορεύου εἰς τὸν οἶκόν σου. Εἰ μόνος ἡμᾶς ὁ τῶν ὅλων θεὸς ἀπαλλάττει πλημμελημάτων, ἑτέρωι πρέποντος τούτου μηδενί, χαρίζεται δὲ καὶ τοῦτο Χριστὸς μετ' ἐξουσίας θεοπρεποῦς, πῶς οὐκ ἂν εἴη θεός; κέκληται γὰρ υἱὸς ἀνθρώπου, γεννηθεὶς ἐκ γυναικὸς κατὰ σάρκα, καίτοι θεὸς ὢν ὁ λόγος. 15

127 Ἐν ἐκείνηι τῆι ὥραι ἐθεράπευσε πολλοὺς ἀπὸ νόσων καὶ μαστί- Lc. 7, 21-23
γων καὶ πνευμάτων πονηρῶν καὶ τυφλοῖς πολλοῖς ἐχαρίσατο τὸ βλέπειν. καὶ ἀποκριθεὶς εἶπεν αὐτοῖς· πορευθέντες ἀπαγγείλατε Ἰωάννηι ἃ εἴδετε καὶ ἠκούσατε· τυφλοὶ ἀναβλέπουσι, χωλοὶ περιπατοῦσι, λεπροὶ καθαρίζονται, κωφοὶ ἀκούουσι, νεκροὶ ἐγείρονται, πτωχοὶ εὐαγ- 20
γελίζονται, καὶ μακάριός ἐστιν ὅς ἂν μὴ σκανδαλισθῆι ἐν ἐμοί. Ἔργοις αὐτοῖς ἐπιδείξας ἑαυτὸν ὁ Χριστὸς τῶν θεοπρεπῶν μεγαλουργημάτων ἀποτελεστήν, εἰς ἀνάμνησιν ἀναφέρει τῶν εἰρημένων διὰ φωνῆς προφητῶν περὶ αὐτοῦ. ἔφη τοίνυν ὁ μακάριος Ἡσαίας· ἰσχύσατε, χεῖρες ἀνειμέναι καὶ γόνατα παραλελυμένα· P 215
εἶτα μόνον οὐχὶ καὶ χεῖρα προτείνων καταδείκνυσι τὸν Ἐμμανουήλ, οὕτω λέγων· ἰδοὺ ὁ Ies. 35, 3
θεὸς ἡμῶν, ἰδοὺ κύριος μετὰ ἰσχύος ἔρχεται καὶ ὁ βραχίων μετὰ κυρείας. Ies. 40, 9. 10
ἔφη δὲ καὶ ἐν ἑτέροις ὅτι τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν καὶ ὦτα κω- Ies. 35, 5. 6
φῶν ἀκούσονται· τότε ἁλεῖται ὡς ἔλαφος ὁ χωλὸς καὶ τρανὴ ἔσται γλῶσσα μογγιλάλων. καὶ πρὸς τούτοις ἔτι· ἀναστήσονται οἱ νεκροὶ καὶ ἐγερθή- Ies. 26, 19
σονται οἱ ἐν τοῖς μνημείοις· ἡ γὰρ δρόσος ἡ παρὰ σοῦ ἴαμα αὐτοῖς ἐστιν. ἔφη 30
δὲ πάλιν καὶ ἐκ προσώπου Χριστοῦ· πνεῦμα κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με· Ies. 61, 1
εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, κηρῦξαι αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν. ὅτε τοίνυν τῆς ἐφ' ἑαυτῶι πίστεως τὰς τῶν προφητῶν φωνὰς ποιεῖται σημεῖον ἢ γοῦν ἀπόδειξιν, θεὸν δὲ αὐτὸν οἱ προφῆται κηρύττουσι, τίς ὁ τούτοις τἀναντία φάναι τολμῶν; 35

128 Ἐχειμάζοντο, φησί, κατὰ τὴν λίμνην οἱ μαθηταί· εἶτα προσελθόντες διήγειραν Lc. 8, 24
αὐτὸν λέγοντες· ἐπιστάτα, ἀπολλύμεθα. ὁ δὲ διεγερθεὶς ἐπετίμησε τῶι ἀνέμωι καὶ τῶι κλύδωνι τοῦ ὕδατος καὶ ἐπαύσατο καὶ ἐγένετο γαλήνη. Εἴρηται περὶ Χριστοῦ διὰ φωνῆς τοῦ μακαρίου Δαυίδ· σὺ δεσπόζεις τοῦ κράτους τῆς Ps. 88, 10. 12
θαλάσσης, τὸν δὲ σάλον τῶν κυμάτων αὐτῆς σὺ καταπραύνεις. σοί εἰσιν 40
οἱ οὐρανοὶ καὶ σή ἐστιν ἡ γῆ· τὴν οἰκουμένην καὶ τὸ πλήρωμα αὐτῆς σὺ

VS, D [= mn], A

3 εἶσ ἐστιν ἀληθῶσ SD 4 γὰρ om. SD 5 αὐτῶι² om. D 5/6 ἔφυγον V 6 τὸ SDA τοῦ V 9 ἔγειρε S 11 ἆρον A 12 καὶ πορεύου A 12/13 ἀπαλλάττει ὁ τῶν ὅλων θσ̄ V 15 κατὰ σάρκα ἐκ γυναικὸσ D 16 ἡμέρα SD Tim. ἐθεράπευε SD 19 καὶ χωλοὶ A 20 καὶ κωφοὶ A 22 ἀποδείξασ SD 28 ὡσ — χωλὸσ SDA Tim. χωλὸσ ὡσ ἔλαφοσ V 33 ὑφ' A 34 ποιεῖτε S ἀπόδειξιν VA Tim. ἀποκάλυψιν SD 35 τὰ ἐναντία V ἐναντία SD 40 τὸν δὲ SD καὶ τὸν VA τὸν Tim.

ἐθεμελίωσας. ὅτε τοίνυν τῶι καταπραύνοντι τὴν θάλασσαν πρέποι ἂν καὶ τὸ δεσπό-
PG 1280 ζειν τῶν ὅλων ἔχειν τε ἰδίους τοὺς οὐρανοὺς καὶ θεμελιοῦν δύνασθαι τὴν οἰκουμένην καὶ τὸ πλήρωμα αὐτῆς, πῶς οὐκ ἂν ὑπάρχειν νοοῖτο θεὸς ἀληθῶς ὁ Χριστὸς ὁ θαλάσσηι καὶ πνεύμασιν ἐπιτιμῶν καὶ τοῦτο μετ' ἐξουσίας;

P 216 **129** Ἐδεῖτο δὲ αὐτοῦ ὁ ἀνὴρ ἀφ' οὗ ἐξεληλύθει τὰ δαιμόνια, εἶναι σὺν
Lc. 8, 38. 39 αὐτῶι, ἀπέστειλε δὲ αὐτὸν λέγων· ὑπόστρεφε εἰς τὸν οἰκόν σου καὶ διηγοῦ ὅσα σοι πεποίηκεν ὁ θεός. καὶ ἀπῆλθε καθ' ὅλην τὴν πόλιν κηρύσσων ὅσα ἐποίησεν αὐτῶι ὁ θεός. Ἐν τῆι τῶν Γεργεσηνῶν χώραι τεθεράπευκεν ὁ Χριστὸς τὸν ἀγρίως δαιμονιῶντα, ὃς καὶ συνεῖναι αὐτῶι παρεκάλει, ἀλλὰ καίτοι θεραπεύσας αὐτὸν καὶ ἐκβεβληκὼς τὰ πνεύματα, ἐκέλευεν ἀπελθεῖν εἰς τὸν οἶκον αὐτοῦ καὶ κηρύσσειν
ὅσα πεποίηκεν αὐτῶι ὁ θεός. ἐνήργηκεν οὖν αὐτὸς ὡς θεὸς ὑπάρχων ἀληθινός· οὐ γάρ που φαμὲν ὡς ὑπουργὸς γέγονε θείας χάριτος καθ' ἕνα τῶν προφητῶν ἢ γοῦν τῶν ἁγίων ἀποστόλων, ἀλλ' ἣν αὐτὸς δυνάμει τῆι ἰδίαι καὶ θεοπρεπεῖ συντρίβων τὸν σατανᾶν. ἐν ὀνόματι οὖν αὐτοῦ καὶ τοῖς ἁγίοις μαθηταῖς ὑπετάττοντο τὰ δαιμόνια καὶ τοῦτο διωμολόγησαν αὐτοί.

130 Ἐπὶ τῆι θυγατρὶ τοῦ ἀρχισυναγώγου φησὶν ὁ Χριστός· μὴ κλαίετε· οὐ γὰρ
Lc. 8, 52 ἀπέθανε τὸ κοράσιον, ἀλλὰ καθεύδει. Ἆρ' οὖν ἐψεύδετο; μὴ γένοιτο, ἀληθεύει
Mt. 22, 32 δέ, καὶ κατὰ τίνα τρόπον, ὁ Παῦλος διερμηνεύει λέγων· οὐκ ἔστι θεὸς νεκρῶν, ἀλλὰ
cf. Rom. 14, 9 ζώντων. ζῶσι γὰρ τῶι θεῶι ζήσειν μέλλοντες. οὐκοῦν οἱ τεθνεῶτες κατὰ μὲν ἀνθρώπους εἰσὶ νεκροί, κατὰ δέ γε τὴν ζωοποιὸν φύσιν, τουτέστι τὴν θείαν, οὐκ ἀποτεθνήκασιν. ἀληθεύει τοιγαροῦν ὡς θεὸς περὶ τοῦ κορασίου λέγων οὐκ ἀπέθανεν, ἀλλὰ καθεύδει.

131 Τοῖς ἑαυτοῦ μαθηταῖς προσδιαλεγόμενος ἔφασκε· τίς μείζων ἐστίν, ὁ ἀνακεί-
Lc. 22, 27 μενος ἢ ὁ διακονῶν; οὐχὶ ὁ ἀνακείμενος; ἐγὼ δὲ ἐν μέσωι ὑμῶν εἰμὶ ὡς ὁ διακονῶν. Ὁρᾶις ὅπως μὲν ὅσον ἦκεν εἴς γε τὸ τῆι θεότητι πρέπον καὶ τῆι δόξηι τῆι
P 217 δεσποτικῆι, μόνον οὐχὶ καὶ ἀποσείεται τὸ ἐν διακόνου νοεῖσθαι τάξει, τιμᾶι δὲ τοῦτο διὰ τὸ ἀνθρώπινον; ἐγὼ γὰρ εἰμί, φησίν, ἐν μέσωι ὑμῶν ὡς ὁ διακονῶν. οὐκοῦν κἂν εἰ καταβέβηκεν ἐν διακόνοις, ἀλλ' οὖν γέ ἐστιν αὐτὸς ὁ ἀνακείμενος ὡς δεσπότης καὶ παρὰ πάσης κτίσεως διακονούμενος ὡς θεός.

132 Εἶπεν οὖν αὐτοῖς ὁ Χριστός, δηλονότι τοῖς ἀρχιερεῦσι τῶν Ἰουδαίων ἐρωτῶσιν εἰ
Lc. 22, 66-69 σὺ εἶ ὁ Χριστός; ἐὰν ὑμῖν εἴπω, οὐ μὴ πιστεύσητε· ἐὰν δὲ ἐρωτήσω, οὐ μὴ ἀποκριθῆτε. ἀπὸ τοῦ νῦν δὲ ἔσται ὁ υἱὸς τοῦ ἀνθρώπου καθήμενος ἐκ δεξιῶν τῆς δυνάμεως τοῦ θεοῦ. Εἰ κάθηται ἐκ δεξιῶν τῆς δυνάμεως τοῦ θεοῦ ὁ τοῦ ἀνθρώπου υἱός, πῶς οὐ θεὸς ὁ Χριστός, τοῖς ἀνωτάτω θώκοις ἐμπρέπων καὶ ὁμό-
PG 1281 θρονος τῶι πατρί; οὐ γὰρ συνεδρεύει τῶι κατὰ φύσιν θεῶι γενητὴ κτίσις ὅλως, συνεδρεύει δὲ ὁ υἱὸς τοῦ ἀνθρώπου. θεὸς ἄρα καθ' ἕνωσιν οἰκονομικήν, σαρκὸς γεγονότος τοῦ ἐκ θεοῦ φύντος λόγου.

VS, D [= mn], A

2 τε] δὲ V καὶ τὴν SD 5 αὐτῶ V ἐξεληλύθη V 6 δὲ om. A 7 ἐποίησέ σοι, in mg. γρ σοι πεποίηκεν V 9 παρακαλεῖ VA 10 ἐκέλευσεν D 11 ἐποίησεν D ἐνέργηκεν V ὁ αὐτὸς A 13 ὁ αὐτὸς A 14 τῶν ἁγίων μαθητῶν SD 17 ἐψεύσατο D 19 οἱ ζήσειν D 19/20 ἀνθρώποις V 21 τοιγαροῦν] γὰρ V ὡς] ὁ V 23 διαλεγόμενος V 25 ὅρα D ὅσον μὲν V τῆι om. SDA θεότητος S 26 τοῦτο τάξει D 27 φησιν εἰμὶ V 29 ὡς om A 30 Ἰουδαίων] ἱερέων D 34 ἀνωτάτοις S 35 κατὰ φύσιν om. V γεννητὴ SDA Tim. κτίσις VA Tim. φύσις SD 36 θεὸς ἄρα om. V

Ὅτι Ζωὴ καὶ Ζωοποιὸς ὁ Χριστός

Ἐκ τῆς πρὸς Κορινθίους

188 Ὡς φρονίμοις λέγω· κρίνατε ὑμεῖς ὃ φημί. τὸ ποτήριον τῆς εὐλογίας ὃ εὐλογοῦμεν, οὐχὶ κοινωνία ἐστὶ τοῦ αἵματος τοῦ Χριστοῦ; τὸν ἄρτον ὃν κλῶμεν, οὐχὶ κοινωνία ἐστὶ τοῦ σώματος τοῦ Χριστοῦ; ὅτι εἷς ἄρτος, ἓν σῶμα ἐσμὲν οἱ πολλοί· οἱ γὰρ πάντες ἐκ τοῦ ἑνὸς ἄρτου μετέχομεν. Ἢ ἀνθρώπου σάρξ, ὅσον ἦκεν εἰς ἰδίαν φύσιν, οὐκ ἂν εἴη ζωοποιός, ἀλλ' οὐδὲ τὸ αἷμα τὸ ἀνθρώπινον, εἰ κοινὸν εἴη καὶ καθ' ἑαυτό· ζωοποιεῖ δὲ τὸ σῶμα Χριστοῦ καὶ τὸ τίμιον αἷμα, πρέποντος μόνωι θεῶι τοῦ ζωοποιεῖν δύνασθαι τὸ ζωῆς ἐπιδεές. θεὸς οὖν ἄρα Χριστός· οὕτω γὰρ ἔσται ζωοποιὸν τὸ σῶμα αὐτοῦ. εἰ δὲ ἄνθρωπος ἀνὰ μέρος νοεῖται μόνηι τῆι τοῦ Χριστοῦ κλήσει τετιμημένος καὶ γυμνὸν υἱοῦ πρόσωπον ἔχων, πῶς ἂν εἴη ζωοποιὸν τὸ σῶμα αὐτοῦ; 1 Cor. 10, 15-17 5 P 218 10

189 Ἐγένετο ὁ πρῶτος ἄνθρωπος Ἀδὰμ εἰς ψυχὴν ζῶσαν, ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν. καὶ πάλιν· ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοικός, ὁ δεύτερος ἄνθρωπος ὁ κύριος ἐξ οὐρανοῦ. οἷος ὁ χοικός, τοιοῦτοι καὶ οἱ χοικοί, καὶ οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι. καὶ καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοικοῦ, φορέσομεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου. τοῦτο δέ φημί, ἀδελφοί, ὅτι σὰρξ καὶ αἷμα βασιλείαν θεοῦ κληρονομῆσαι οὐ δύνανται οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ. προσεπάγει δὲ τούτοις ὅτι σαλπίσει, καὶ οἱ νεκροὶ ἐγερθήσονται ἄφθαρτοι καὶ ἡμεῖς ἀλλαγησόμεθα. δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι τὴν ἀφθαρσίαν καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι τὴν ἀθανασίαν. Εἰς ψυχὴν ζῶσαν ὁ πρῶτος ἄνθρωπος γέγονεν· ἐδεῖτο γὰρ ὡς ποίημα τοῦ ζωοποιοῦντος θεοῦ· ὅ γε μὴν ἔσχατος Ἀδάμ, τουτέστι Χριστός, ὅτι μὴ ἐδεῖτο ζωῆς ὡς θεός, πνεῦμα γέγονεν εἰς ἡμᾶς ζωοποιοῦν, ὅπερ ἐστὶ θείας φύσεως ἴδιον πλεονέκτημα. καὶ ὁ μὲν πρῶτος ὁ ἐκ γῆς χοικός, ὁ δεύτερος δὲ ἐξ οὐρανοῦ, καίτοι γεννηθεὶς διὰ γυναικός. ὁ γὰρ ἄνωθεν καὶ ἐξ οὐρανοῦ καὶ ἐκ θεοῦ πατρὸς λόγος, κἂν εἰ γέγονεν ἄνθρωπος, ἀλλ' οὐδὲν ἧττόν ἐστιν ἐξ οὐρανοῦ. καὶ εἰ φθορᾶι καὶ θανάτωι κατισχημένοι τὴν εἰκόνα τοῦ χοικοῦ διὰ τοῦτο φορέσαι λεγόμεθα, τὴν ἀφθαρσίαν ἐνδυσάμενοι, τὴν εἰκόνα τοῦ ἐπουρανίου φορέσομεν. ἀφθαρσία δὲ πάλιν ἴδιον ἀγαθὸν τῆς κατὰ φύσιν θεότητος· ἀλλάσσονται γὰρ οἱ νεκροὶ καὶ τὸ φθαρτὸν ἀμφιέννυται τὴν ἀφθαρσίαν, γεγονότος καθ' ἡμᾶς τοῦ μονογενοῦς καὶ μεθιστάντος τὸ θνητὸν εἰς ἀθανασίαν καὶ τὸ φθαρτὸν εἰς ἀφθαρσίαν ἐν ἑαυτῶι καὶ πρώτωι μετασκευάζοντος. οὕτω γὰρ γέγονεν ὁδὸς εἰς ζωὴν καὶ ἡμῖν αὐτοῖς. 1 Cor. 15, 45 1 Cor. 15, 47-50 18 1 Cor. 15, 52. 53 21 25 30 P 219 PG 1284

Ἐκ τῆς πρὸς Κορινθίους β̄

190 Ἀλλὰ αὐτοί, φησίν, ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν, ἵνα μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς, ἀλλ' ἐπὶ τῶι θεῶι τῶι ἐγείροντι τοὺς νεκρούς. Εἰ θεῶι τῶι κατὰ φύσιν πρεπωδέστατον εἶναι φαμὲν τὸ ἐγείρειν τοὺς νεκρούς, ὅτι ζωὴ καὶ ζωοποιός ἐστιν, ἔφη δὲ Χριστὸς ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή, φαίνεται δὲ καὶ ἐγηγερκὼς τοὺς νεκρούς, θεὸς ἄρα ἐστὶν ὡς ζωὴ κατὰ φύσιν. 2 Cor 1.9 Iob 11. 25

VS, D [= mn], A

3 φρόνιμοσ S 8 ζωοποιεῖται SD 11 μόνον SD τοῦ om D 13 καὶ ἐγένετο A ἔσχατοσ ἀδὰμ VA δεύτεροσ ἄνθρωποσ SD 14 χοικῆσ S 17 οἰκόνα V (bis) φορέσομεν V φορέσωμεν SDA 18 ἀδελφὲ S 19 δύναται D 21 τὴν om. DA 22 τὴν om. D 23 γε μήν] δέ γε V 25 ζωοποιὸν A ὁ² om. V 27 ἐστιν om. A 29 φορέσωμεν Sm 31 ἀμφιέννυνται S 33 καὶ om. SD 34 β̄ om. V 35 αὐτοί om V 36 ἐγείραντι V 37 τὸ SD τὸ om. V

Ἐκ τῆς πρὸς Ἑβραίους

136 Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκεν αἵματος καὶ σαρκός, καὶ αὐτὸς
Hebr. 2, 14 παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσηι τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον. Παραπλησίως ἡμῖν τοῖς ἐν τέκνοις θεοῦ τεταγμένοις κεκοινώνηκεν αἵματος καὶ σαρκὸς ὁ ἐκ θεοῦ λόγος, ἵνα τῶι θανάτωι τὸ ἴδιον σῶμα δοὺς ζωοποιήσηι πάλιν αὐτό, ζωὴ κατὰ φύσιν ὑπάρχων ὡς θεός. ἐπεὶ πῶς κατήργηται τοῦ θανάτου τὸ κράτος, εἰ μὴ τὸ πεσὸν εἰς θάνατον ἀνεβίω σῶμα, ἴδιον ὂν τῆς κατὰ φύσιν ζωῆς, τουτέστι τοῦ ἐκ θεοῦ ὄντος λόγου;

Οτι εἷς υἱὸς καὶ κύριος Ἰησοῦς Χριστός

Ἐκ τῆς Ἰωάννου ἐπιστολῆς πρώτης καθολικῆς

137 Ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, ὃ
1 Ioh. 1, 1 2 ἐθεασάμεθα καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν, περὶ τοῦ λόγου τῆς ζωῆς,
P 220 καὶ ἡ ζωὴ ἐφανερώθη καὶ ἑωράκαμεν καὶ μαρτυροῦμεν καὶ ἀπαγγέλλομεν ὑμῖν τὴν ζωὴν τὴν αἰώνιον, ἥτις ἦν πρὸς τὸν πατέρα καὶ ἐφανερώθη ἡμῖν. Ἰδοὺ τὸν ὄντα ἀπ' ἀρχῆς, τουτέστι τὸν ἐκ τοῦ πατρὸς λόγον, τὴν ζωὴν τὴν αἰώνιον, ἑωρακέναι φησὶ τοῖς ὀφθαλμοῖς καὶ μὴν καὶ χερσὶ ψηλαφῆσαι, καίτοι κατὰ φύσιν ἰδίαν τοῦ ἐκ πατρὸς λόγου καὶ ἀοράτου ὄντος καὶ ἀναφοῦς· ἀναφὲς γὰρ τὸ ἀσώματον. ἀλλ' ἐν σαρκὶ γεγονότα τὸν λόγον ἑωρακέναι τε καὶ ψηλαφῆσαί φησιν. εἷς οὖν ἄρα ἐστὶν υἱὸς καὶ θεὸς καὶ κύριος, κἂν εἰ γέγονε σὰρξ ὁ λόγος.

Ὅτι εἰς Χριστὸν ἡ πίστις ὡς εἰς θεόν

Ἐκ τῆς Πέτρου ἐπιστολῆς πρώτης

138 Ὥστε, φησί, τὴν πίστιν ὑμῶν καὶ ἐλπίδα εἶναι εἰς θεόν. Καίτοι
1 Petr. 1, 21 Χριστὸς κηρύττεται διὰ τῶν ἁγίων ἀποστόλων, καὶ αὐτὸς δέ πού φησιν·
PG 1285 ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμὲ ἔχει ζωὴν αἰώνιον. ὅτε τοίνυν εἰς θεὸν ἡ πίστις,
Ioh. 6, 47 Χριστοῦ λέγοντος εἰς ἐμὲ πιστεύετε, πῶς οὐκ ἂν εἴη θεὸς ἐναργῶς;
Ioh. 14, 1

Ἰωάννου ἐπιστολῆς ᾱ

139 Καὶ αὕτη ἐστὶν ἡ ἐντολὴ αὐτοῦ ἵνα πιστεύωμεν τῶι ὀνόματι τοῦ υἱοῦ
1 Ioh. 3, 23 αὐτοῦ Ἰησοῦ Χριστοῦ. Εἰ μὴ ἀνεθέλητόν ἐστι τῶι θεῶι καὶ πατρὶ τὸ πιστεύειν ἡμᾶς εἰς τὸ ὄνομα τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ, πράττεται δὲ παρ' ἡμῶν ἡ πίστις οὐχ ὡς εἰς ἄνθρωπον ἁπλῶς, ἀλλ' ὡς εἰς θεὸν ζῶντα καὶ ἀληθινόν, θεὸς ἄρα Χριστός.

P 221 **140** Ἐν τούτωι γινώσκεται τὸ πνεῦμα τοῦ θεοῦ· πᾶν πνεῦμα ὃ ὁμολογεῖ
1 Ioh. 4, 2. 3 Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα, ἐκ τοῦ θεοῦ ἐστιν, καὶ πᾶν πνεῦμα ὃ μὴ ὁμολογεῖ τὸν Ἰησοῦν, ἐκ τοῦ θεοῦ οὔκ ἐστιν, καὶ τοῦτό ἐστι τὸ τοῦ

7/8 Fcyr 160 ἐκ τῆς αὐτῆς ἐπιστολῆς· πῶς κατήργηται — κατὰ φύσιν ζωῆς 15—19 Fcyr 161 ἐκ τῆς αὐτῆς ἐπιστολῆς· τὴν ζωήν — ἐστὶν ὁ υἱὸς καὶ κύριος Ἰησοῦς ὁ Χριστός 22—25 Tim. arm. p. 302. 303 26—p. 98, 5 ibid. p. 303—305

VS, D [= mn], A

2 κεκοινωνήκαμεν αἵματοσ τὰ παιδία V 7 εἰ Fcyr ἂν VSDA 10 καθολικῆσ ἐπιστολῆσ πρώτησ A 11/12 ὃ ἐθεασάμεθα om. V 13 ἀπαγγέλομεν V 16 φασὶ Fcyr 17 πατρὸσ SDAFcyr τοῦ πρσ̄ V λόγου καὶ ἀοράτου ὄντοσ Fcyr ὄντοσ λόγου καὶ ὄντοσ ἀοράτου VSDA ἀφανοῦσ A 19 καὶ θεὸς om. Fcyr κσ̄ VA ις̄ SD κύριος Ἰησοῦς ὁ Χριστός Fcyr 20 ἡ εἰσ χν̄ πίστισ A 22 καὶ om. V 23 ἀμὴν ἀμὴν SD Tim. 26 ιω̄ — ᾱ A Tim. om. V ἰωάννου ἐπιστολὴ ᾱ post 28 Χριστοῦ SD 28 ἀναθέλητον SD 29 δὲ καὶ V 33 τὸ om. V

ἀντιχρίστου, ὃ ἀκηκόατε ὅτι ἔρχεται, καὶ νῦν ἐν τῷι κόσμωι ἐστὶν ἤδη. Ὁμολογοῦμεν τὸν Ἰησοῦν ἄρα ὡς ἄνθρωπον καὶ τῶν καθ' ἡμᾶς ἕνα, ἢ μᾶλλον ὅτι θεὸς ὢν ὁ λόγος γέγονε σάρξ, οὐκ ὀλιγωρήσας τοῦ εἶναι θεός, μεμενηκὼς δὲ μᾶλλον ὅπερ ἦν, καὶ εἰ γέγονεν ἄνθρωπος; ἀλλὰ τοῦτ' ἐστὶν οὐκ ἀμφίβολον. ὁ τοίνυν οὐ λέγων θεὸν εἶναι ἀληθῆ τὸν Χριστόν, διαιρῶν δὲ καὶ κατασμικρύνων τὴν δόξαν αὐτοῦ τὸ τοῦ ἀντιχρίστου πνεῦμα ἔχων ἀλώσεται.

141 Καὶ ἡμεῖς ἐθεασάμεθα καὶ μαρτυροῦμεν ὅτι ὁ πατὴρ ἀπέσταλκε τὸν υἱὸν σωτῆρα τοῦ κόσμου. ὃς ἂν ὁμολογήσηι ὅτι Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ θεοῦ, ὁ θεὸς ἐν αὐτῷι μένει καὶ αὐτὸς ἐν τῷι θεῷι. Ἀπεστάλθαι φαμὲν παρὰ τοῦ θεοῦ καὶ πατρὸς τὸν υἱόν, τουτέστι τὸν ἐξ αὐτοῦ κατὰ φύσιν μονογενῆ λόγον, ὠνομάσθαι δὲ αὐτὸν Ἰησοῦν, ὅτε καὶ τὴν κατὰ σάρκα γέννησιν ἐκ γυναικὸς ὑπέμεινεν οἰκονομικῶς. οὐκοῦν ὁ ἐκ θεοῦ λόγος γέγονεν ἄνθρωπος κἂν εἴ τις οὕτως ὁμολογήσειεν αὐτόν, ἔχει μένοντα ἐν αὐτῷι τὸν θεόν, ἔσται δὲ καὶ αὐτὸς ἐν θεῷι· μνησθήσεται γὰρ αὐτοῦ, λογιεῖται δὲ καὶ οἰκεῖον ὡς μέτοχον αὐτοῦ. ὁ δὲ μὴ ὁμολογῶν ὅτι αὐτὸς ὁ ἐκ πατρὸς λόγος Ἰησοῦς ἐστιν, καθεὶς ἑαυτὸν εἰς ἀνθρωπότητα, οὔτε θεὸν ἐν αὐτῷι πλουτήσειεν ἂν οὔτε μὴν αὐτὸς ἐν θεῷι ἔσται κατά γε τὸν τῆς πνευματικῆς οἰκειότητος τρόπον. 1 Ioh. 4, 14. 15

142 Πᾶς ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστός, ἐκ θεοῦ γεγέννηται. Οὐκοῦν ὁ μὴ πιστεύων οὐδὲ ἐν τέκνοις θεοῦ καταλογισθείη ἄν. εἰ γὰρ ὅσοι τὸν υἱὸν ἔλαβον, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι, καθά φησιν ὁ εὐαγγελιστής, οἱ μὴ λαβόντες αὐτὸν οὐδ' ἂν ἐν τέκνοις θεοῦ καταλογισθεῖεν, τὸν δι' οὗ τοῦτο ὑπάρχει, μὴ ἐγνωκότες. 1 Ioh. 5, 1 P 222 Ioh. 1, 12

143 Τίς δέ ἐστιν ὁ νικῶν τὸν κόσμον εἰ μὴ ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ θεοῦ; οὗτός ἐστιν ὁ ἐλθὼν δι' ὕδατος καὶ αἵματος Ἰησοῦς Χριστός, οὐκ ἐν τῷι ὕδατι μόνον, ἀλλ' ἐν τῷι ὕδατι καὶ αἵματι. καὶ τὸ πνεῦμά ἐστι τὸ μαρτυροῦν, ὅτι τὸ πνεῦμά ἐστιν ἡ ἀλήθεια, ὅτι τρεῖς μαρτυροῦσι, τὸ πνεῦμα καὶ τὸ ὕδωρ καὶ τὸ αἷμα καὶ οἱ τρεῖς τὸ ἕν εἰσι. Νικᾶι μὲν τὸν κόσμον ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ θεοῦ· τίς δέ ἐστιν Ἰησοῦς, αὐτὸς ἡμῖν ὁ μαθητὴς διατρανοῖ λέγων· οὗτός ἐστιν ὁ ἐλθὼν δι' ὕδατος καὶ αἵματος Ἰησοῦς Χριστός. ‹οὐκ ἐν ὕδατι μόνον,› ἀλλὰ καὶ ἐν ὕδατί φησι καὶ ἐν αἵματι καὶ ἐν πνεύματι καὶ τοὺς τρεῖς τὸ ἓν εἶναί φησιν. οὐκοῦν γέγονε μὲν σὰρξ ὁ λόγος, ἁγιάζει δὲ ἡμᾶς τῷι πνεύματι καὶ καθαρίζει τῷι αἵματι καὶ ἀπολούει πάλιν ὕδατι καθαρῷι. εἷς δὲ δὴ πάντως υἱός, οὗ καὶ εἶναι φαμὲν τὸ πνεῦμα καὶ τὸ ὕδωρ καὶ τὸ αἷμα. 1 Ioh. 5, 5-8 PG 1288

144 Εἰ τὴν μαρτυρίαν τῶν ἀνθρώπων λαμβάνομεν, ἡ μαρτυρία τοῦ θεοῦ μείζων ἐστίν, ὅτι αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ θεοῦ ὅτι μεμαρτύρηκε περὶ τοῦ υἱοῦ αὐτοῦ. ὁ πιστεύων εἰς τὸν υἱὸν τοῦ θεοῦ ἔχει τὴν μαρτυρίαν ἐν ἑαυτῷι· ὁ μὴ πιστεύων τῷι θεῷι ψεύστην πεποίηκεν αὐτόν, ὅτι οὐκ ἐπίστευσεν εἰς τὴν μαρτυρίαν ἣν ἐμαρτύρησε περὶ τοῦ υἱοῦ τοῦ θεοῦ. Μεμαρτύρηκεν ὁ πατὴρ τῷι υἱῷι διὰ τοῦ πνεύματος καὶ διὰ φωνῆς. ὅτι γάρ ἐστιν υἱὸς αὐτοῦ κατὰ ἀλήθειαν, μαρτυρήσειεν ἂν τὸ χορηγεῖν δύνασθαι τοῖς ἁγίοις τὸ πνεῦμα αὐτὸν καὶ δι' αὐτοῦ δυνάμεις ἐνεργεῖν. καὶ γοῦν ἔφασκεν ὅτι ἐκεῖνος ἐμὲ δοξάσει. μεμαρτύρηκε δὲ καὶ καθ' ἕτερον τρόπον. ἔδειξε γὰρ αὐτὸν ἐν τῷι Ἰορδάνηι λέγων· 1 Ioh. 5, 9. 10 P 223 Ioh. 16, 14

VS, D [= mn], A

1 ἀκηκόαμεν V 5 ἀληθῶσ VA 8 ἐστιν om. A 11 καὶ om. D 13 τῷ θῷ V 14 καὶ om. V θῦ πατρὸσ SD Tim. 15 ἐν ἑαυτῷ A om. SD 17 τοῦ θῦ V γεγένηται S 21 ὑπάρχειν S 24 τῷ αἵματι D 25 τὸ[2] om. SD ἡ om. V 26 τὸ[3] om. D 29 οὐκ — μόνον Tim. om. VSDA ὕδατί — αἵματι Tim. αἵματι φησὶ VSDA 32 πάντων D 34 ἡ om. SD 36 αὐτῷ A 38 μεμαρτύρηκε δὲ SD 41 ἔδειξε VA Tim. ἐδόξασε SD

Mt. 3, 17 οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα. ὅσοι τοίνυν ἀποδιαιροῦντές φασιν οὐκ εἶναι υἱὸν ἀληθινὸν τὸν ἐκ γυναικός, ἀναφέρουσι δὲ τὸ τῆς υἱότητος ὄνομα ἐπ' γυμνὸν καὶ μόνον τὸν ἐκ θεοῦ λόγον, ψεύστην ποιοῦσι τὸν πατέρα· σαρκωθέντα γὰρ τὸν λόγον ὑπέδειξεν ἐν τῷι Ἰορδάνηι καὶ τότε μεμαρτύρηκε τὸ πνεῦμα αὐτῷι ὅτι καὶ θεός ἐστι καὶ υἱὸς ἀληθῶς.

Ὅτι ζωή

Ἐκ τοῦ κατὰ Ματθαῖον εὐαγγελίου

145 Mt. 9, 25 Ἐπὶ τῆι θυγατρὶ τοῦ ἀρχισυναγώγου γέγραπται ὅτι ὅτε ἐξεβλήθη ὁ ὄχλος, εἰσελθὼν ὁ Ἰησοῦς ἐκράτησε τῆς χειρὸς αὐτῆς, καὶ ἠγέρθη τὸ κοράσιον. Διὰ τί μὴ μᾶλλον ὡς ἐπὶ τοῦ Λαζάρου ἠρκέσθη λόγωι πρὸς τὴν ἀνάστασιν τοῦ κορασίου, ἐκράτησε δὲ καὶ τῆς χειρὸς αὐτῆς; ἵνα δείξηι ζωοποιὸν τὸ αὐτοῦ σῶμα· σῶμα γάρ ἐστι ζωῆς. οὐκοῦν φυσικὴ μᾶλλον καὶ ἀληθὴς ἡ ἕνωσις ἡ πρὸς τὴν σάρκα τοῦ λόγου καὶ οὐ καθά φασιν ἐξ ἀμαθίας τινές, ὡς ἐν μόνοις πέπρακται προσώποις ἢ κατὰ ψιλὴν εὐφημίαν καὶ θέλησιν ἤτοι συνάφειαν ἁπλῶς.

Ἐκ τοῦ κατὰ Ἰωάννην εὐαγγελίου

Ioh.6,27 146 PG 1289 P 224 Ἐργάζεσθε, φησί, μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ τὴν βρῶσιν τὴν μένουσαν εἰς ζωὴν αἰώνιον, ἣν ὁ υἱὸς τοῦ ἀνθρώπου ὑμῖν δώσει· τοῦτον γὰρ ὁ πατὴρ ἐσφράγισεν ὁ θεός. Βρῶσιν ἡμῖν δέδωκεν ὁ υἱὸς τοῦ ἀνθρώπου τὴν μένουσαν εἰς ζωὴν αἰώνιον, δηλονότι τὴν σάρκα αὐτοῦ· καὶ γάρ ἐστι ζωοποιός. εἶτα πῶς οὐ θεὸς ὁ ζωοποιεῖν δυνάμενος καὶ διὰ τῆς ἰδίας σαρκὸς ἐοικώς τε κατὰ πάντα τῶι θεῶι καὶ πατρί; τοῦτο γὰρ οἶμαι δηλοῦν τὸ ἐσφραγίσθαι λέγειν αὐτὸν παρὰ τοῦ θεοῦ, τοῦ ἐσφραγίσθαι σημαίνοντος τὸ ἀκριβῶς ἐμφερές. ὥσπερ γὰρ εἴ κηρῶι τις ἐμπήξει σφραγῖδα χρυσῆν ἢ γοῦν ἐξ ἑτέρας ὕλης πεποιημένην, ὅλην ἐξ ὅλου τὴν αὐτῆς ἐμφέρειαν ἐνσημαίνεται, οὕτω καὶ ὁ θεὸς καὶ πατὴρ τοὺς τῆς ἑαυτοῦ φύσεως χαρακτῆρας οὐσιωδῶς ἐμπρέποντας ἔχει τῶι υἱῶι, καὶ τοῦτό ἐστι τὸ ἐσφραγίσθαι λέγειν αὐτὸν παρὰ τοῦ πατρός.

Ἐκ τοῦ κατὰ Λουκᾶν εὐαγγελίου

147 Lc. 7, 14 Ἤγειρε τὸν Λάζαρον ὁ Χριστός, τὸ τοῦ ἀρχισυναγώγου θυγάτριον, τὸν τῆς χήρας υἱόν· εἶτα πῶς οὐ ζωὴ κατὰ φύσιν ἐστὶν ὁ μὴ μόνον λόγωι καταπτοεῖν τὸν θάνατον δυνάμενος, ἀλλὰ γὰρ καὶ τῆι τῆς χειρὸς ἁφῆι; καὶ γὰρ ἦν ἀκόλουθόν τε καὶ ἀναγκαῖον ζωοποιὸν εἶναι τὸ σῶμα τῆς κατὰ φύσιν ζωῆς.

Ὅτι ἱλαστήριον διὰ πίστεως

Ἐκ τῆς πρὸς Ῥωμαίους

148 Rom. 3,25.26 Περὶ Χριστοῦ φησιν· ὃν προέθετο ὁ θεὸς ἱλαστήριον διὰ πίστεως ἐν τῷι αὐτοῦ αἵματι εἰς ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ διὰ τὴν πάρεσιν τῶν

VS, D [= mn], A

1 εὐδόκησα nA ἀποδιαιροῦνται S 4 ἀπέδειξεν V 8 τῆ τοῦ A 9 ἤγειρε SD 12 οὐ om. D 15 εὐαγγελίου om. SD 17 ζωὴν τὴν A ἡμῖν SA 20 οἰκείασ A 21 κατὰ πάντα om. V 22 ἀκριβῶσ τὸ SD 23 ὅλου] ὅλησ SD αὐτοῦ SD 24 ὁ πατὴρ V 25 ἐμπρέποντοσ S 27 excidit euangelii locus 29 μόνω V θάνατον om. V 30 τε om. D 33 ῥωμαίουσ ἐπιστολῆσ Sm 34 ὁ θεὸς om. SD

προγεγονότων ἁμαρτημάτων ἐν τῇ ἀνοχῇ τοῦ θεοῦ πρὸς τὴν ἔνδειξιν
τῆς δικαιοσύνης αὐτοῦ ἐν τῷι νῦν καιρῷι εἰς τὸ εἶναι αὐτὸν δίκαιον καὶ P 225
δικαιοῦντα τὸν ἐκ πίστεως Ἰησοῦν. Εἰ οὐκ ἦν ἑτέρως ἱλαστήριον γενέσθαι
Χριστὸν τοῖς ἐν ἁμαρτίαι καὶ ἀρᾶι καὶ θανάτου δίκηι πλὴν ὅτι δι' αἵματος διὰ τὴν πάρεσιν
τῶν προγεγονότων ἁμαρτημάτων ἐκχεῖσθαι μέλλοντος, πῶς οὐκ ἀναγκαῖον σάρκα γενέσθαι
τὸν λόγον, ἵνα καὶ αἵματι τῶι ἰδίωι, δῆλον δὲ ὅτι τῶι τῆς ἑαυτοῦ σαρκός, δικαιώσηι
πάντας τοὺς εἰς αὐτὸν πιστεύοντας;

Ὅτι λελυτρώμεθα καὶ τὴν καταλλαγὴν πρὸς θεὸν ἐσχήκαμεν διὰ τοῦ αἵματος αὐτοῦ

Ἐκ τῆς πρὸς Κορινθίους πρώτης

149 Ἐξ αὐτοῦ δὲ ὑμεῖς ἐστὲ ἐν Χριστῶι Ἰησοῦ, ὃς ἐγενήθη σοφία ἡμῖν 1 Cor. 1, 30. 31
ἀπὸ θεοῦ δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις, ἵνα καθὼς γέ- 11
γραπται, ὁ καυχώμενος ἐν κυρίωι καυχάσθω. Λελυτρώμεθα τοίνυν ἐν Χρι-
στῶι καὶ ἡγιάσμεθα καὶ σοφοὶ γεγόναμεν. πᾶσα δὲ δόσις ἀγαθὴ καὶ πᾶν δώ- Iac. 1, 17
ρημα τέλειον ἄνωθέν ἐστι, καταβαῖνον παρὰ τοῦ πατρὸς τῶν φώτων,
τουτέστι θεοῦ. εἶτα πῶς οὐ θεὸς ὁ Χριστὸς ὁ σοφίαν τε καὶ ἁγιασμὸν καὶ ἀπολύτρωσιν 15 PG 1292
ἡμῖν δωρούμενος;

Ὅτι λελυτρώμεθα διὰ τοῦ αἵματος τοῦ Χριστοῦ

Ἐκ τῆς Πέτρου ἐπιστολῆς

150 Εἰδότες ὅτι οὐ φθαρτοῖς ἀργυρίωι ἢ χρυσίωι ἐλυτρώθητε ἐκ τῆς μα- 1 Petr. 1, 18. 19
ταίας ὑμῶν ἀναστροφῆς πατροπαραδότου, ἀλλὰ τιμίωι αἵματι, ὡς ἀμνοῦ 20
ἀμώμου καὶ ἀσπίλου, Χριστοῦ. Λελυτρώμεθα γὰρ τὸ ἴδιον σῶμα δεδωκότος ὑπὲρ
ἡμῶν τοῦ Χριστοῦ. ἀλλ' εἰ μὲν ὡς ἄνθρωπος νοεῖται κοινός, πῶς ἀντάξιον τῆς ἁπάντων
ζωῆς τὸ αἷμα αὐτοῦ; εἰ δὲ θεὸς ἦν ἐν σαρκὶ ὁ πάντων ἀξιώτερος, ἀξιόχρεως εἰς λύτρωσιν P 226
τοῦ κόσμου παντὸς διὰ τοῦ ἰδίου αἵματος εἴη ἂν καὶ μάλα εἰκότως.

Ὅτι ὁ Χριστοῦ θάνατος τῶι κόσμωι σωτήριος 25

Ἐκ τῆς πρὸς Ῥωμαίους

151 Συνίστησι δὲ τὴν ἑαυτοῦ ἀγάπην εἰς ἡμᾶς ὁ θεὸς ὅτι ἔτι ἁμαρτωλῶν Rom. 5, 8. 9
ὄντων ἡμῶν Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε. πολλῶι οὖν μᾶλλον δικαιω-
θέντες νῦν ἐν τῶι αἵματι αὐτοῦ, σωθησόμεθα δι' αὐτοῦ ἀπὸ τῆς ὀργῆς.
καὶ πάλιν· εἰ γὰρ ἐχθροὶ ὄντες κατηλλάγημεν τῶι θεῶι διὰ τοῦ θανάτου τοῦ 30 Rom. 5, 10
υἱοῦ αὐτοῦ, πολλῶι μᾶλλον καταλλαγέντες σωθησόμεθα ἐν τῆι ζωῆι αὐτοῦ.
Οὐκοῦν εἰ μὴ ἑτέρως ἦν σώιζεσθαι τὸν κόσμον, εἰ μὴ ἐν αἵματι καὶ θανάτωι χρησίμως
παραληφθέντι καὶ οἰκονομικῶς διὰ τὴν πάρεσιν τῶν προγεγονότων ἁμαρτημάτων Rom. 3, 25. 26
ἐν τῆι ἀνοχῆι τοῦ θεοῦ, σεσώσμεθα δὲ διὰ Χριστοῦ, πῶς οὐκ ἀναγκαῖος τῶι ἐκ θεοῦ
φύντι λόγωι ὁ τῆς σαρκώσεως τρόπος, ἵνα δικαιώσηι μὲν ἐν τῶι αἵματι αὐτοῦ τοὺς εἰς 35
αὐτὸν πιστεύοντας, καταλλάξηι δὲ τῶι πατρὶ διὰ τοῦ θανάτου τοῦ ἰδίου σώματος, ἵνα καὶ
συζήσωμεν αὐτῶι;

VS, D [= mn], A

6 τῶι²] τὸ V 8 πρὸσ θῡ̄ καταλλαγὴν D 10 ἐγεννήθη DA 12 χῡ̄ S 13 ἰα-
κώβου πᾶσα A 15 τοῦ θῡ̄ D ὁ² om. SD τε om. SD 16 δωρησάμενοσ V
22 τοῦ om. SD πάντων D 23 αἷμα VA σῶμα SD πάντοτε SD ἀξιότεροσ V
27 δὲ om. SD 28 ἡμῶν ὄντων SDA 30 τοῦ θανάτου om. V 37 συνζήσωμεν S

152 Rom. 6, 3. 4 Ἢ ἀγνοεῖτε ὅτι ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν; συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον, ἵνα ὥσπερ ἠγέρθη Χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ πατρός, οὕτω καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν. Εἰ πᾶσά πως ἀνάγκη τοὺς ἐπὶ τῆς γῆς συνθάπτεσθαι τῷι Χριστῷι διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον, ἵνα ὥσπερ αὐτὸς ἐκ νεκρῶν ἐγήγερται, καὶ ἡμεῖς ἐν καινότητι περιπατήσωμεν ζωῆς ὡς
P 227 συντεθαμμένοι καὶ συνεγηγερμένοι τῷι δι' ἡμᾶς ἀποθανόντι καὶ ἐγηγερμένωι, χρειωδέστατά τε καὶ ἀναγκαίως τὸ τῆς ἐνανθρωπήσεως ἐπράχθη μυστήριον σαρκός τε καὶ αἵματος μετέσχεν ὁ λόγος, ἵνα καὶ ἀποθανεῖν λεγομένωι σαρκικῶς καὶ μὴν καὶ ἐγηγερμένωι συναποθάνωμεν καὶ συνεγερθῶμεν.

Rom. 6, 5 158 Εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷι ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ
PG 1293 καὶ τῆς ἀναστάσεως ἐσόμεθα. Κατὰ τὸν ἴσον τῷι πρώτωι τρόπον νοήσεις καὶ
1 Cor. 15, 21. τοῦτο· ἐπειδὴ γὰρ δι' ἀνθρώπου θάνατος, καὶ δι' ἀνθρώπου ἀνάστασις
22 νεκρῶν· ὥσπερ γὰρ ἐν τῷι Ἀδὰμ πάντες ἀποθνήισκουσιν, οὕτω καὶ ἐν
1 Cor. 15, 47 τῷι Χριστῷι πάντες ζωοποιηθήσονται. δεύτερος Ἀδὰμ κεχρημάτικεν ὁ Χριστὸς καὶ ὥσπερ ὁ πρῶτος Ἀδὰμ ἡμᾶς κατεβίβασεν εἰς φθοράν, οὕτως ὁ δεύτερος ἀνεκόμισεν εἰς ζωήν, οὐχ ὡς ἄνθρωπος ψιλὸς ἀποθανὼν ὑπὲρ ἡμῶν, ἵνα μὴ καὶ ἐν αὐτῷι μείνωμεν νεκροί, ἀλλ' ὡς θεὸς ἐν σαρκὶ καὶ αὐτῆι πεπονθὼς ἀνθρωπίνως, ἵνα θεικῶς ἀναστήσαντι τὸν ἴδιον ναὸν συνεγερθῶμεν ἡμεῖς.

Ἐκ τῆς πρὸς Γαλάτας

154 Gal. 3, 13. 14 Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου γενόμενος ὑπὲρ ἡμῶν κατάρα (γέγραπται γάρ· ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου), ἵνα εἰς τὰ ἔθνη ἡ εὐλογία τοῦ Ἀβραὰμ γένηται ἐν Χριστῷι Ἰησοῦ, ἵνα τὴν ἐπαγγελίαν τοῦ πνεύματος λάβωμεν διὰ τῆς πίστεως. Ἄθρει δή μοι κἀντεῦθεν ὅτι γέγονε τῷι κόσμωι σωτήριος ὁ Χριστοῦ θάνατος· γέγονε γὰρ ὑπὲρ ἡμῶν κατάρα, σταυρὸν ὑπομείνας καὶ κρεμασθεὶς ἐπὶ ξύλου, ἵνα λύσηι τοῦ κόσμου τὴν ἁμαρτίαν, ἵνα εἰς τὰ ἔθνη ἡ εὐλογία τοῦ Ἀβραὰμ γένηται ἐν Χριστῷι Ἰησοῦ, τουτέστιν ἵνα δικαιωθῆι τὰ
P 228 ἔθνη διὰ πίστεως κατὰ τὴν δοθεῖσαν ἐπαγγελίαν τῷι Ἀβραάμ, ἵνα τὴν ἐπαγγελίαν τοῦ πνεύματος λάβωμεν διὰ τῆς πίστεως. ὅτε τοίνυν καὶ τὴν ἐν νόμωι λέλυκεν ἀρὰν ὁ Χριστοῦ θάνατος καὶ προυξένησε τοῖς ἔθνεσι τὴν εὐλογίαν τοῦ Ἀβραάμ, τουτέστι τὴν διὰ πίστεως χάριν, μετόχους δὲ ἡμᾶς ἀπέφηνε καὶ τοῦ ἁγίου πνεύματος, οὐκ ἀνθρώπου κοινοῦ νοοῖτ' ἂν ὁ θάνατος αὐτοῦ, περινοεῖν δὲ προσήκει μᾶλλον ὅτι σὰρξ γεγονὼς ὁ λόγος σαρκὶ πέπονθεν ὑπὲρ τοῦ κόσμου καὶ γέγονεν ἱκανὸν τὸ αὐτοῦ πάθος εἰς τὴν τοῦ παντὸς λύτρωσιν.

Ἐκ τῆς πρὸς Ἐφεσίους

155 Eph. 2, 13-15 Νυνὶ δὲ ἐν Χριστῷι Ἰησοῦ οἵ ποτε ὄντες μακρὰν ἐγενήθητε ἐγγὺς ἐν τῷι αἵματι τοῦ Χριστοῦ. αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν ὁ ποιήσας τὰ ἀμφότερα ἓν καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας, τὴν ἔχθραν, ἐν τῆι σαρκὶ αὐτοῦ τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας. Εἰ καὶ τοὺς ὄντας μακρὰν διὰ τὸ πλανᾶσθαι κατὰ τὸν κόσμον καὶ ἐν ἀθεότητι διατελεῖν ἐγγὺς

VS, D [= mn], A

5 τῷι om. V θάνατον αὐτοῦ V 6 ζωῆσ περιπατήσωμεν V 7 συνηγερμένοι V χρειωδέστατόν SD 8 πέπρακται V 12 ἐώμεθα S τῷι πρώτωι om. D 13 ὁ θάνατοσ V 14 ἐκ νεκρῶν D 16 κατεβίβασεν ἡμᾶσ SD ὁ δεύτεροσ VA καὶ ὁ χσ SD 25 ἐν τῶ A σωτηρία SD 31 ἡμᾶς om. SD 33 τὸ] τοῦ A παντὸς] κόσμου V 38 τῶν ἐντολῶν τὸν νόμον V δόγματι A

πεποίηκε τὸ αἷμα Χριστοῦ, πῶς οὐκ ἀναγκαία τοῖς ἐπὶ τῆς γῆς ἡ τοῦ λόγου σάρκωσις, συλλέγουσα τὰ διηρημένα καὶ προσοικειοῦσα μὲν τῶι θεῶι τοὺς μακράν, κτίζουσα δὲ τοὺς δύο λαοὺς εἰς ἕνα καινὸν ἄνθρωπον διὰ τῆς αὐτοῦ σαρκός; δέδοται γὰρ εἰς λύτρωσιν τῶν ἐν ἁμαρτίαις καὶ δι' αὐτῆς τὰ πάντα κατεκτήσατο τῶι θεῶι καὶ πατρί, καὶ πρὸς τούτοις ἔτι καὶ ὁ πάλαι κατήργηται νόμος ὡς ὑπὲρ αὐτὸν οὔσης τῆς πίστεως, δῆλον δὲ ὅτι τῆς ἐν Χριστῶι. καὶ εἰ τοῦτό ἐστιν ἀληθές, πῶς ὑπὲρ νόμον ἡ πίστις, εἰ μὴ ὡς θεῶι πεπιστεύκαμεν τῶι Χριστῶι;

Ἐκ τῆς πρὸς Ἑβραίους PG 1296

156 Διὸ εἰσερχόμενος εἰς τὸν κόσμον λέγει· θυσίαν καὶ προσφορὰν οὐκ Hebr. 10, 5-7
ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι· ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ P 229
ηὐδόκησας. τότε εἶπον· ἰδοὺ ἥκω, ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ, τοῦ ποιῆσαι, ὁ θεός, τὸ θέλημά σου. Γέγονε μὲν τῶι κόσμωι σωτήριον τὸ τοῦ Χριστοῦ πάθος, πλὴν ἀναγκαῖον ἰδεῖν τίς ὁ εἰς τὸν κόσμον εἰσερχόμενος· ἦν γὰρ ἔξω τοῦ κόσμου πάντηι τε καὶ πάντως. ἐπεὶ πῶς εἰσβέβηκεν εἰς αὐτόν, εἰ οὐκ ἦν ἔξω κόσμου; τοιγαροῦν κατὰ φύσιν ὑπάρχων ὑπὲρ πάντα τὸν κόσμον ὡς θεὸς μονογενής, εἰσβέβηκεν εἰς αὐτὸν μέρος αὐτοῦ γεγονώς, τουτέστιν ἄνθρωπος, οὕτω τε τὴν ὑπὲρ ἡμῶν προσκομίσας θυσίαν καὶ ἑαυτὸν ἀναθεὶς σέσωκε τὴν ὑπ' οὐρανόν.

157 Διὸ καὶ Ἰησοῦς, ἵνα ἁγιάσηι διὰ τοῦ ἰδίου αἵματος τὸν λαόν, ἔξω Hebr. 13, 12
τῆς πύλης ἔπαθεν. Αἷμα ἀνθρώπου κοινοῦ τίνα τρόπον ἁγίους ἡμᾶς ἀποφήνηι; ἀλλὰ μὴν ἡγίασε τὸ αἷμα Χριστοῦ. θεῖον οὖν ἄρα καὶ οὐχ ἁπλῶς ἀνθρώπινον· θεὸς γὰρ ἦν ἐν σαρκί, τῶι ἰδίωι αἵματι καθαρίζων ἡμᾶς.

Ἐκ τῆς πρὸς Τίτον

158 Εἷς γὰρ θεός, εἷς καὶ μεσίτης θεοῦ καὶ ἀνθρώπων ἄνθρωπος Χριστὸς 1 Tim. 2, 5. 6
Ἰησοῦς ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ πάντων. Σωτήριος ὁμολογουμένως ὁ τοῦ Χριστοῦ θάνατος τῶι κόσμωι παντί· πλὴν εἰ μή ἐστι θεός, πῶς ἂν ἀρκέσειεν εἰς τὸ γενέσθαι πάντων ἀντίλυτρον αὐτός τε καὶ μόνος; ἀλλὰ ἤρκεσε μόνος ὑπὲρ πάντων ἀποθανών, ὅτι καὶ ὑπὲρ πάντας ἐστί. θεὸς οὖν ἄρα ἐστί, τῶι θανάτωι τῆς ἰδίας σαρκὸς ἀποστήσας τοῦ κόσμου τὸν θάνατον.

Ἐκ τῶν καθολικῶν P 230

Ἐκ τῆς Πέτρου ἐπιστολῆς

Ὅτι ὁ τοῦ Χριστοῦ θάνατος τῶι κόσμωι σωτήριος

159 Ὅτι Χριστὸς ἅπαξ περὶ ἁμαρτιῶν ἀπέθανε, δίκαιος ὑπὲρ ἀδίκων, 1 Petr. 3, 18-20
ἵνα ἡμᾶς προσαγάγηι τῶι θεῶι, θανατωθεὶς μὲν σαρκί, ζωοποιηθεὶς δὲ πνεύματι, ἐν ᾧι καὶ τοῖς ἐν φυλακῆι πνεύμασι πορευθεὶς ἐκήρυξεν ἀπειθήσασί ποτε. Πολλοὶ τῶν ἁγίων ἀνήιρηνται προφητῶν, ἀλλ' οὐδεὶς ἐκείνων ἀποθανεῖν

32—p. 102, 10 Tim. arm. p. 302

VS, D [= mn], A

1 τῆς om. SD 2 καὶ συλλέγουσα D 4 αὐτοῦ SD ἐκτήσατο D 10/11 οὐκ ηὐδόκησας [εὐδόκησας D] DA ηὐδόκησας S οὐκ ἐζήτησας V, S in mg. m. rec. 12 τῶι κόσμωι om. V 13 τὸ χῦ πάθος SA τοῦ χῦ τὸ πάθος D ἐρχόμενος SD 14 εἰ οὐκ ἦν om. SD 18 ὁ ἰσ A 19 ἅγιον S 20 οὐ χαλεπῶς A 22 τῖτον VSDA, librariorum est error Cyrilli 24 ἀντίλυτρον ἑαυτὸν V 29/30 ἐκ τῆς πέτρου καθολικῆς ἐπιστολῆς A 31 τοῦ om. SD 32 ὁ χσ V 33 δὲ ἐν A

ὑπὲρ ἁμαρτιῶν εἴρηται οὔτε μὴν προσαγαγεῖν ἡμᾶς τῶι θεῶι διὰ τοῦ ἰδίου θανάτου, ἀλλ' οὐδὲ ἐκήρυξέ τις τοῖς ἐν φυλακῆι πνεύμασιν. πέπραχε δὲ τοῦτο Χριστὸς καὶ δι' αὐτοῦ τε καὶ ἐν αὐτῶι λελυτρώμεθα καὶ τὸ αὐτοῦ πάθος ἦν τῶι κόσμωι σωτήριον. ἀπέθανε τοίνυν ὑπὲρ ἡμῶν, οὐχ ὡς ἄνθρωπος εἷς ὑπάρχων τῶν καθ' ἡμᾶς, ἀλλ' ὡς θεὸς ἐν σαρκί, τῆς ἁπάντων ζωῆς ἀντάλλαγμα τὸ ἴδιον σῶμα διδούς.

PG1297 160 Χριστοῦ οὖν παθόντος ὑπὲρ ἡμῶν σαρκί. Ὡς γὰρ ὑπάρχοντος θεοῦ τοῦ
1 Petr. 4, 1 Χριστοῦ, σοφῶς καὶ ἐμφρόνως ὁ μαθητὴς σαρκὶ πεπονθέναι φησὶν αὐτόν, ὑπεξάγων τοῦ παθεῖν τὴν ἀπόρρητον φύσιν, ἧς ἀλλότριον τὸ παθεῖν. ἰδίαι τοίνυν πέπονθε σαρκί, καίτοι τοῦ παθεῖν ἀμοιρεῖν εἰθισμένος, ὁ ἐκ θεοῦ λόγος. θεὸς οὖν ἄρα Χριστός, θεικῶς μὲν ἀπαθής, παθητὸς δὲ κατὰ τὴν σάρκα.

Ὅτι ὁ Χριστοῦ θάνατος τῶι κόσμωι σωτήριος

Ἐκ τοῦ κατὰ Ἰωάννην εὐαγγελίου

161 Ταῦτα οὐκ ἔγνωσαν οἱ μαθηταὶ αὐτοῦ τὸ πρῶτον· ἀλλ' ὅτε ἐδοξάσθη
Ioh. 12, 16 P 231 Ἰησοῦς, τότε ἐμνήσθησαν ὅτι ταῦτα ἦν ἐπ' αὐτῶι γεγραμμένα. καὶ πάλιν·
Ioh. 12, 23. 24 ὁ δὲ Ἰησοῦς ἀποκρίνεται αὐτοῖς λέγων· ἐλήλυθεν ἡ ὥρα ἵνα δοξασθῆι ὁ υἱὸς τοῦ ἀνθρώπου. ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν ἀποθάνηι, αὐτὸς μόνος μένει· ἐὰν δὲ ἀποθάνηι, καρπὸν πλείονα φέρει. Ἔστι δὲ οὐκ ἀμφίλογον ὅτι σέσωσται πᾶς ὁ κόσμος ἀποθανόντος ὑπὲρ αὐτοῦ τοῦ Ἐμμανουήλ, πλὴν ἐκεῖνο λέγομεν· πῶς ἀποθανὼν ἐδοξάσθη; καίτοι μᾶλλον
Hebr. 12, 2 μῶμον ἀσθενείας ἔχει τὸ χρῆμα, ὅθεν καὶ αἰσχύνης καταφρονῆσαι λέγεται, γεγονὼς ὑπήκοος
Phil. 2, 8 μέχρι θανάτου. ἀλλὰ ἴσως ἐρεῖς δεδοξάσθαι διὰ τὴν ἀνάστασιν αὐτόν. ὀρθῶς ἔχει καὶ ἀληθὴς ὁ λόγος. ἆρ' οὖν ἀνεβίω θεικῶς μᾶλλον ἢ ἀνθρωπίνως; ἀλλὰ οἶμαι θεικῶς. ὅταν οὖν αὐτὸς ὁ ἐκ θεοῦ λόγος σαρκὶ λέγηται παθεῖν, μὴ αἰσχυνώμεθα τὸ πάθος· δόξαν γὰρ ἔχει τὸ τέλος καὶ τοῦτο θεοπρεπῆ.

Ὅτι εἷς υἱὸς τοῦ θεοῦ καὶ κύριος Ἰησοῦς Χριστός

Ἐκ τῆς πρὸς Ῥωμαίους

162 Ἄρ' οὖν αὐτὸς ἐγὼ τῶι μὲν νοὶ δουλεύω νόμωι θεοῦ, τῆι δὲ σαρκὶ
Rom. 7, 25-8, 4 νόμωι ἁμαρτίας. οὐδὲν ἄρα κατάκριμα τοῖς ἐν Χριστῶι Ἰησοῦ. ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς ζωῆς ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου. τὸ γὰρ ἀδύνατον τοῦ νόμου ἐν ὧι ἠσθένει διὰ τῆς σαρκός, ὁ θεὸς τὸν ἑαυτοῦ υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας καὶ περὶ ἁμαρτίας, κατέκρινε τὴν ἁμαρτίαν ἐν τῆι σαρκί, ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῆι ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ
P 232 πνεῦμα. Μάχονται μὲν γὰρ ὁμολογουμένως ἀλλήλοις ἡ σὰρξ καὶ τὸ πνεῦμα, τουτέστι τὸ φρόνημα τὸ σαρκικὸν καὶ τῶν ἐμφύτων ἡδονῶν τὸ κίνημα καὶ τῆς κατὰ πνεῦμα ζωῆς ἡ δύναμις, κἂν ὁ θεῖος ἡμᾶς ἀποφέρηι νόμος εἴς γε τὸ δεῖν ἐλέσθαι τὸ ἀγαθόν, ἀλλὰ ἡ

6—10 Fcyr 162 ἐκ τῆς αὐτῆς ἐπιστολῆς· ὡς γὰρ ὑπάρχοντος — κατὰ σάρκα; 12—24 Tim. arm. p. 296

VS, D [= mn], A

p. 101, 35/1 ὑπὲρ ἁμαρτιῶν ἀποθανεῖν SD 7 Χριστοῦ καὶ μὴ μόνον ἀνθρώπου Fcyr 8 πάθος A 9 ἄρα ἐστὶ καὶ ἄνθρωπος ὁ Χριστὸς ὁ Fcyr 11 τοῦ χῦ S σωτήριος τῶ κόσμω SA 12 κατὰ Ἰωάννην] ἰῶ A 14 ὁ ἰσ VD 18 ἀμφίβολον SD 22 ἀληθῶς V μᾶλλον θεικῶς SD 23 αὐτὸν S 26 ῥωμαίους ἐπιστολῆς SD 32 τῆι om. V 35 ἐμφύτων V ἐμφύτων ἐν ἡμῖν SA ἐμφύτων ἡμῖν D

τῆς σαρκὸς ἐπιθυμία καταβιάζεται πρὸς τὸ ἐναντίον. λέλυται δὲ νῦν ἐν Χριστῷ τὸ PG 1300
ἀντιστατοῦν καὶ ἠτόνησε μὲν τῆς ἁμαρτίας ὁ νόμος, κεκράτηκε δὲ ὁ τοῦ πνεύματος. διὰ
ποίαν αἰτίαν; πέπομφε γὰρ ὁ θεὸς τὸν ἑαυτοῦ υἱὸν ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, ἵνα
κατακρίνῃ τὴν ἁμαρτίαν ἐν τῇ σαρκί. εἶτα πῶς οὐ χρειωδεστάτη λίαν ἡ τοῦ λόγου
σάρκωσις; κατακέκριται γὰρ οὕτω καὶ ἐν τῇ σαρκὶ ἡμῶν ἡ ἁμαρτία. εἰ δὲ οὐ γέγονε 5
σὰρξ ὁ λόγος, ἀπομεμένηκεν ἀδιόρθωτα τὰ καθ' ἡμᾶς καὶ δουλεύομεν τῇ σαρκὶ νόμωι
ἁμαρτίας, οὐδενὸς ἐν ἡμῖν αὐτὴν καταργήσαντος. οὐκοῦν ἀναγκαίαν εἶναι φαμὲν τὴν
καθ' ὑπόστασιν ἕνωσιν τοῦ λόγου πρὸς τὴν σάρκα καὶ οὐχὶ δὴ μόνην τὴν ἐν προσώποις
καὶ κατὰ θέλησιν ἤτοι συνάφειαν ἁπλῆν, καθά φασί τινες.

163 Τί οὖν ἐροῦμεν πρὸς ταῦτα; εἰ ὁ θεὸς ὑπὲρ ἡμῶν, τίς καθ' ἡμῶν; ὅς Rom.8,31.32
γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν, 11
πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται; Εἰ τὸν ἴδιον υἱόν, δῆλον
δὲ ὅτι τὸν ἐκ τῆς οὐσίας αὐτοῦ, δέδωκεν ὑπὲρ ἡμῶν ὁ θεὸς καὶ πατήρ, πέπονθε δὲ κατὰ
σάρκα καὶ οὐ φύσει θεότητος, ἴδιον ἄρα ἦν αὐτοῦ τὸ πεπονθὸς σῶμα, ἵνα καὶ αὐτὸς
νοῆται παθὼν οἰκονομικῶς ὁ παθεῖν οὐκ εἰδώς. τὸ τοίνυν ἀπομερίζειν εἰς δύο τὸν ἕνα 15
δυσσεβές· οὐκέτι γὰρ ἴδιον υἱὸν εὑρίσκεται δοὺς ὑπὲρ ἡμῶν ὁ πατήρ, εἴπερ ἐστὶν ἄνθρωπος
διηρημένως καὶ οὐχὶ δὴ μᾶλλον ὡς ἐν προσλήψει σαρκὸς ὁ ἐκ θεοῦ λόγος.

164 Τίς ἐγκαλέσει κατὰ ἐκλεκτῶν θεοῦ; θεὸς ὁ δικαιῶν, τίς ὁ κατακρίνων; P 233
Χριστὸς Ἰησοῦς ὁ ἀποθανών, μᾶλλον δὲ καὶ ἐγερθείς, ὅς ἐστιν ἐν δεξιᾷ Rom.8,33.34
τοῦ θεοῦ, ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν. Εἰ δικαιοῖ τῇ πίστει Χριστός, θεὸς 20
δέ ἐστιν ὁ δικαιῶν, θεὸς ἄρα ἀληθὴς ὁ Χριστός. καὶ εἴπερ ἐστὶν ἐν δεξιᾷ τοῦ θεοῦ,
καίτοι τεθνεὼς καὶ ἐγηγερμένος, συγκάθηται δὲ τῶι πατρί, ἴδιον ἄρα τοῦ λόγου τὸ σῶμά
ἐστι. συνεδρεύει γὰρ οὕτω τῶι πατρὶ μετὰ τῆς ἀναληφθείσης σαρκὸς ὡς υἱὸς κατὰ
φύσιν, καὶ εἰ γέγονε σὰρξ ὁ λόγος.

165 Ἡ δὲ ἐκ πίστεως δικαιοσύνη οὕτως λέγει· μὴ εἴπῃς ἐν τῇ καρδίαι 25
σου· τίς ἀναβήσεται εἰς τὸν οὐρανόν; τοῦτ' ἐστὶ Χριστὸν καταγαγεῖν· ἢ Rom.10,6-10
τίς καταβήσεται εἰς τὴν ἄβυσσον; τοῦτ' ἐστὶ Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν.
ἀλλὰ τί λέγει; ἐγγύς σου τὸ ῥῆμά ἐστιν ἐν τῶι στόματί σου καὶ ἐν τῇ καρδίαι
σου, τουτέστι τὸ ῥῆμα τῆς πίστεως, ὃ κηρύσσομεν ὅτι ἐὰν ὁμολογήσῃς
ἐν τῶι στόματί σου κύριον Ἰησοῦν καὶ πιστεύσῃς ἐν τῇ καρδίαι σου ὅτι 30
ὁ θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ· καρδίαι γὰρ πιστεύεται εἰς
δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν. Εἰ κατά γε τὸ τισὶ
δοκοῦν ἄνθρωπος θεοφόρος νοεῖται Χριστὸς καὶ μόνην ἔχων τὴν ἐν προσώποις ἕνωσιν
πρὸς τὸν ἐκ θεοῦ λόγον, τίνος ἕνεκα πιστεύοντες εἰς αὐτὸν ὡς εἰς κύριον, ὁμολογοῦντες δὲ PG 1301
καὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν αὐτοῦ, δικαιούμεθα τῇ πίστει τῇ εἰς αὐτόν; πράττεται δὲ 35
ἡ πίστις ὡς εἰς θεὸν δηλονότι. ἀναγκαία τοιγαροῦν ἡ καθ' ὑπόστασιν ἕνωσις τοῦ θεοῦ
λόγου πρὸς τὰ ἀνθρώπινα. ἕνα γὰρ οὕτω Χριστὸν ὡς κύριον κατὰ φύσιν ὁμολογήσομεν
καὶ τῆς αὐτοῦ σαρκὸς τὴν ἀνάστασιν ἐπιγινώσκοντες, ὡς εἰς θεὸν πιστεύοντες δικαιούμεθα.

166 Οὐδεὶς γὰρ ἡμῶν ἑαυτῶι ζῇι καὶ οὐδεὶς ἑαυτῶι ἀποθνήισκει. ἐάν P 234
τε οὖν ζῶμεν, τῶι κυρίωι ζῶμεν, ἐάν τε ἀποθνήισκωμεν, τῶι κυρίωι ἀπο- Rom 14. 7-9

---

165 cf. infra 199 15—17 διηρημένως Tim. arm p. 89; 25—p. 104, 39 ibid. p. 306—308 310

VS, D [= mn] A

1 καταβιβάζεται D 7 ἀναγκαῖον SDA 12 δοῦλον in δῦλον corr. S 15 νοεῖται V
17 διηρημένοσ V 19 ις̄ χς̄ SD μᾶλλον δὲ om. D, spatio rel. S 21 χς̄ VA λόγοσ SD
22 δὲ om. SD 25/26 μὴ — σου om. V 28 ἐστιν om. SD 31 ὁ om. A ἤγειρεν αὐτὸν
SD 32 στόματι δὲ] στόματοσ S εἰς σωτηρίαν om. SD 33 προσώπω D 39 ἑαυ-
τῶι[1]] ἑαυτοῦ S ἐν ἑαυτῷ D 40 ἐάν] ἄν S 40/p. 104, 1 ἀποθνήσκωμεν mA

θνήισκομεν. ἐάν τε οὖν ζῶμεν ἐάν τε ἀποθνήισκωμεν, τοῦ κυρίου ἐσμέν· εἰς τοῦτο γὰρ Χριστὸς ἀπέθανε καὶ ἔζησεν, ἵνα καὶ νεκρῶν καὶ ζώντων
Gal. 4, 9 κυριεύσηι. Προσπεφώνηκέ που τοῖς ἐξ ἐθνῶν ὁ μακάριος Παῦλος· νυνὶ δὲ γνόντες θεόν, μᾶλλον δὲ γνωσθέντες ὑπὸ θεοῦ, πῶς ἐπιστρέφετε ἐπὶ τὰ ἀσθενῆ καὶ πτωχὰ στοιχεῖα τοῦ κόσμου, οἷς πάλιν ἄνωθεν δουλεύειν θέλετε; λελυτρώμεθα τοίνυν διὰ τῆς πίστεως τῆς εἰς Χριστὸν ἐκ τῆς τῶν στοιχείων δουλείας καὶ ἠνέχθημεν εἰς τὸ δουλεύειν θεῶι ζῶντι καὶ ἀληθινῶι. εἰ δὲ ἀπέθανεν ὁ Χριστός, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσηι, καὶ αὐτῶι ζῶμεν ὡς θεῶι ζῶντι καὶ ἀληθινῶι, πῶς οὐκ ἀναγκαία τῶι λόγωι ἡ πρὸς σάρκα γέγονεν ἕνωσις ἀληθής; ἐν αὐτῆι γὰρ ἀποθανὼν κεκυρίευκε καὶ ζώντων καὶ νεκρῶν.

Ἐκ τῆς πρὸς Κορινθίους πρώτης

167 Ἔπινον γάρ, φησίν, ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας, ἡ δὲ πέτρα
1 Cor. 10, 4 ἦν ὁ Χριστός. Τὸ Χριστὸς ὄνομα τέθειται τῶι Ἐμμανουήλ, ὅτε γεγέννηται διὰ τῆς ἁγίας παρθένου. πῶς οὖν αὐτὸς ἦν ἡ πέτρα ἡ ποτίζουσα τὸν Ἰσραήλ; ἀλλ' ἐστὶ δῆλον ὅτι Χριστὸν καὶ υἱὸν οἶδεν ἕνα τὸ γράμμα τὸ ἱερόν. γεγονὼς γὰρ ὁ λόγος σάρξ, πάλιν αὐτός ἐστιν ἡ πνευματικὴ πέτρα, τῆς οἰκείας φύσεως τὸ πρεσβύτατον οὐκ ἀποβαλὼν διὰ τὸ νέον τῆς οἰκονομίας.

Ἐκ τῆς πρὸς Κορινθίους δευτέρας

P 235 **168** Ὥστε ἡμεῖς ἀπὸ τοῦ νῦν οὐδένα οἴδαμεν κατὰ σάρκα· εἰ δὲ ἐγνώκα-
2 Cor. 5, 16 μεν κατὰ σάρκα Χριστόν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν. Τί δὴ ἄρα φησὶν ὁ Παῦλος; ἆρα Χριστὸν ἀρνεῖται μετὰ τὴν ἀνάστασιν; οὐκ οἶδεν αὐτὸν ἐγηγερμένον σαρκὶ καὶ ἀναληφθέντα μετ' αὐτῆς εἰς τὸν οὐρανόν; καὶ τίς ὁ φάναι τοῦτο τολμῶν; οὕτω γὰρ οἶδε καὶ ἀναληφθέντα καὶ ἥξοντα κατὰ καιρούς, ὃν τρόπον ἀναβέβηκεν εἰς τὸν οὐρανόν. πῶς οὖν οὐκ εἰδέναι φησὶ κατὰ σάρκα υἱόν; ὅτι μετὰ τὴν ἐκ νεκρῶν ἀναβίωσιν οὐκ ἐκ τῶν τῆς σαρκὸς ἔτι μέτρων, ἀλλ' ὡς ἐκ θείας ὑπεροχῆς ἄμεινον αὐτὸν εἰδέναι καὶ ὁμολογεῖν. οὔπω γὰρ πληρωθείσης τῆς οἰκονομίας, ἐκηρύττετο κατὰ σάρκα, ἵνα πιστεύηται γεγονὼς ἄνθρωπος ὁ μονογενής· ἐπεὶ δὲ τετέλεσται τὸ μυστήριον, ἀφ' ὧν ἐστι θεός, ἄμει-
PG 1304 νον αὐτὸν ὁμολογεῖν ἢ ἀπό γε τοῦ κεκενῶσθαι διὰ τὴν σάρκα. εἷς οὖν Χριστὸς καὶ υἱὸς καὶ κύριος.

169 Γινώσκετε γὰρ τὴν χάριν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὅτι δι'
2 Cor. 8, 9 ἡμᾶς ἐπτώχευσε πλούσιος ὤν, ἵνα ὑμεῖς τῆι ἐκείνου πτωχείαι πλουτήσητε. Εἰ μόνον ἄνθρωπος ὁ Χριστὸς καὶ οὐ καθ' ἕνωσιν ἀληθῆ τὴν πρὸς τὸν θεὸν λόγον πλούσιος ὡς θεός, πῶς ἐπτώχευσε; τίς γὰρ ὅλως ὁ τῆς ἀνθρωπότητος πλοῦτος;
1 Cor. 4, 7 εἴρηται γὰρ ἀνθρώπωι παντί· τί γὰρ ἔχεις ὃ οὐκ ἔλαβες; ἀλλὰ ἐπτώχευσε πλούσιος ὢν ὡς θεός· ἐπτώχευσε γὰρ τὸ τῆς ἀνθρωπότητος μικροπρεπὲς οἰκειωσάμενος οἰκονομικῶς ὁ πλούσιος ἀληθῶς ἐκ πατρὸς λόγος. εἷς ἄρα Χριστὸς καὶ υἱὸς καὶ πλούσιος μὲν ὡς θεός, πτωχὸς δέ, ὅτι γέγονεν ἄνθρωπος, ἵνα ἡμεῖς [γενώμεθα] πλούσιοι δι' αὐτόν.

VS, D [= mn], A

1 ἐάν τε οὖν — ἐσμέν om. V 3 νῦν SD 5 τοῦ κόσμου om. Tim. 7 εἰς τὸ δουλεύειν ἠνέχθημεν SD δὲ καὶ SD 13 τὸ χῦ SD γεγένηται S 16 φύσεως εἰς S 21 οἴδαμεν A 23 μετὰ ταύτης D μετὰ ταύτην S 25 οἶδέ D υἱόν] Χριστόν Tim. 27 ἐπληρώθη SD πιστεύητε S 29 οὖν om. V 32 ὑμᾶς m 34 ὡς] ὧν A 36 σμικροπρεπὲς D 37 θῦ πρσ SD 38 γενώμεθα V om. SDA Tim.

Ἐκ τῆς πρὸς Γαλάτας

170 Παῦλος ἀπόστολος, οὐκ ἀπ' ἀνθρώπων οὐδὲ δι' ἀνθρώπου, ἀλλὰ διὰ Gal. 1, 1
Ἰησοῦ Χριστοῦ καὶ θεοῦ πατρὸς τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν. Ἆρα P 236
οὖν οὐχὶ θεὸν ἐνηνθρωπηκότα καὶ ἕνα τὸν ἐξ ἀμφοῖν ἀποφαίνει διὰ τούτων ἡμῖν υἱὸν καὶ
κύριον ὁ μυσταγωγός; ἔφη μὲν γὰρ ἀπεστάλθαι οὔτε ἀπ' ἀνθρώπων οὔτε δι' ἀνθρώπου, 5
προστέθεικε δὲ ὅτι ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ. καίτοι πῶς οὐκ οἶδεν ἄνθρωπον
ὄντα Χριστὸν ὁ οὕτω τοῖς ἀνὰ πᾶσαν τὴν ὑπ' οὐρανὸν κηρύξας αὐτόν; ἀλλ' οἶδεν ὄντα
οὐκ ἄνθρωπον ἁπλῶς, ἐνηνθρωπηκότα δὲ μᾶλλον τὸν ἐκ θεοῦ λόγον καὶ οὐ θεὸν ἐν ἀν-
θρώπωι νοούμενον, ἀλλ' ὡς αὐτόχρημα γενόμενον ἄνθρωπον μετὰ τοῦ εἶναι θεόν. ὅταν
οὖν λέγηι παρὰ ἀνθρώπου μὴ ἀπεστάλθαι, ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ, πῶς οὐχ ἅπασιν ἐναρ- 10
γὲς ὅτι καὶ θεὸν αὐτὸν οἶδεν ἀληθινὸν μετὰ τοῦ καὶ ἐν σαρκὶ γενέσθαι καὶ καθ' ἡμᾶς;
σημαίνει τοίνυν αὐτὸν οὐκ ἀπό γε τῶν τῆς κενώσεως μέτρων, ἀλλὰ ἐκ τῆς θείας αὐτοῦ
καὶ κατὰ πάντων ὑπεροχῆς.

171 Ὅτε ἦμεν νήπιοι, ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν δεδουλωμένοι· ὅτε Gal. 4, 3-5
δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ γενό- 15
μενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσηι, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν. Τίνα πέπομφεν ὁ θεὸς καὶ πατήρ, ὃς
καὶ γέγονεν ἐκ γυναικός, γέγονε δὲ καὶ ὑπὸ νόμον; ἆρ' οὐχὶ φάναι πρέπει καὶ περινοεῖν
ἄξιον ὅτι πέπομφεν ἐκεῖνον ὃς οὐκ ἂν γέγονεν ἐκ γυναικὸς οὐδ' ἂν ἔπραξεν ὑπὸ νόμον,
εἰ [μὴ] μεμένηκεν ὅπερ ἦν, ἔξω δηλονότι σαρκὸς καὶ αἵματος; ἀλλά ἐστι σαφὴς ὁ λόγος· 20
ὁ γὰρ ἐκ θεοῦ πατρὸς λόγος γέγονεν ἐκ γυναικὸς κατὰ σάρκα, ὁ τοῦ νόμου κύριος ὡς P 237
θεὸς γέγονεν ὑπὸ νόμον, ἵνα γένηται καὶ ἀδελφὸς τοῖς ὑπὸ νόμον. οὕτω γὰρ ἀπελά- PG 1305
βομεν ἡμεῖς τὴν υἱοθεσίαν. ὥστε εἰ μὴ γέγονεν ὑπὸ νόμον καὶ ἐκ γυναικός, οὐδ' ἂν
ἦμεν ἀδελφοὶ τῶι κατὰ φύσιν κυρίωι καὶ θεῶι· ἐπειδὴ δὲ γέγονε, δι' αὐτοῦ τὸ χρῆμα πε-
πλουτήκαμεν. ἀπόδειξιν δὲ ποιεῖται σαφῆ τοῦ πράγματος ὁ θεσπέσιος Παῦλος, ἐπε- 25
νεγκὼν εὐθύς· ὅτι δὲ ἐστὲ υἱοί, ἐξαπέστειλεν ὁ θεὸς τὸ πνεῦμα τοῦ υἱοῦ Gal. 4, 6
αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν, κράζον· ἀββᾶ, ὁ πατήρ. πῶς οὖν πνεῦμα
τοῦ ἐκ γυναικὸς καὶ ὑπὸ νόμον τὸ ἅγιόν ἐστι πνεῦμα, δι' οὗ καὶ κράζομεν ἀββᾶ, ὁ πα-
τήρ, εἰ μὴ θεὸς ὁ Χριστὸς εἷς ὢν καὶ υἱός;

Ἐκ τῆς πρὸς Ἐφεσίους 30

172 Εἷς κύριος, μία πίστις, ἓν βάπτισμα· εἷς θεὸς καὶ πατὴρ πάντων ⟨ὁ ἐπὶ πάν- Eph. 4, 5-10
των⟩ καὶ διὰ πάντων καὶ ἐν πᾶσιν. ἑνὶ δὲ ἑκάστωι ἡμῶν ἐδόθη ἡ χάρις αὕτη
κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ. διὸ λέγει· ἀναβὰς εἰς ὕψος ἠιχμα-
λώτευσεν αἰχμαλωσίαν καὶ ἔδωκε δόματα τοῖς ἀνθρώποις. τὸ δὲ ἀνέβη τί
ἐστιν εἰ μὴ ὅτι καὶ κατέβη εἰς τὰ κατώτατα μέρη τῆς γῆς; ὁ καταβὰς αὐτός 35
ἐστι καὶ ὁ ἀναβὰς ὑπεράνω πάντων τῶν οὐρανῶν, ἵνα πληρώσηι τὰ πάντα.
Ἄθρει δή μοι πάλιν ὅσος ἐν τούτωι λόγος σαφέστατα τε καὶ ἐναργῶς ἀποφαίνει εἰδὼς καὶ

1—p. 107, 18 Tim. arm. p. 310—313

VS, D [= mn], A

3 καὶ θῦ καὶ SD 4 οὖν om. V τῶν SD 5 ὑπ' D ἐπ' S ἀνθρώπων — δι' om. D 7 Χριστὸν om. SD 8 οὐκ VA Tim. οὐκέτι SD 9 μεῖναι Tim. 11 τοῦ καὶ A Tim. καὶ τοῦ V τοῦ S τὸ D καὶ[2] om. V Tim. 12 γε om. SD 14 δεδουλωμένοι ἦμεν V 16/17 ἐξαγοράσηι ἵνα] ἐξαγοράσασ SD 18 καὶ[1] om. V 20 μὴ VSDA om. Tim. 22 γένοιται V 24 καὶ] τῶ V 25 μακάριοσ SD 25/26 ἐπενεγκὼν Tim. προσενεγκὼν VSDA 26 τοῦ υἱοῦ om. V 27 κράζων V 28 τοῦ VA τὸ SD οὗ VA Tim. υἱοῦ SD κράζον SD 30 κορινθίουσ S 31/32 ὁ ἐπὶ πάντων Tim. om. VSDA 33/34 ἠχμαλώτευσασ V 34 ἔδωκασ V 35 καὶ om. D 36 πάντων τῶν] πάντῶν S 37—p. 106, 9 ἄθρει — τὰ πάντα om. V

δυνάμενος ὅτι Χριστὸς καὶ κύριος εἷς, καθ' ἕνωσιν οἰκονομικὴν συνενεχθέντος τοῦ λόγου πρὸς τὸ ἀνθρωπινον· εἷς γὰρ ἐξ ἀμφοῖν υἱὸς ἀληθής. ἐπεὶ πῶς εἷς κύριος; πῶς δὲ μία πίστις; ἢ πῶς ἔν ἐστι τὸ βάπτισμα; εἰ γὰρ υἱοὶ δύο, δύο που πάντως καὶ κύριοι, διττὴ
P 238 καὶ ἡ πίστις καὶ οὐχ ἕν ἐστι τὸ βάπτισμα. εἰς τίνα γὰρ πεπιστεύκαμεν; ἢ εἰς τίνος ὄνομα βεβαπτίσμεθα; ἀλλὰ μὴν εἷς κύριος, μία πίστις, ἓν βάπτισμα· πρόδηλον οὖν ἄρα ὅτι καὶ εἷς υἱός, κἂν εἰ νοοῖτο καθ' ἡμᾶς γεγονὼς ὁ μονογενής. τίς δὲ ὅλως ὁ ἀναβὰς εἰς ὕψος ἢ τίς ὁ κατελθὼν εἰς τὰ κατώτατα μέρη τῆς γῆς; οὐκοῦν αὐτὸς κατέβη μὲν ἀν-
Phil. 2, 8 θρωπίνως, καθῆκε γὰρ ἑαυτὸν εἰς ⟨ἑκούσιον⟩ κένωσιν καὶ τεταπείνωκε, γενόμενος ὑπήκοος μέχρι θανάτου· ἀνέβη δὲ θεικῶς μετὰ τῆς σαρκὸς ὑπεράνω πάντων τῶν οὐρανῶν, ἵνα πληρώσηι τὰ πάντα.

Ἐκ τῆς πρὸς Φιλιππησίους

178 Ἕκαστοι, τοῦτο φρονείσθω ἐν ὑμῖν ὃ καὶ ἐν Χριστῶι Ἰησοῦ, ὃς ἐν
Phil. 2, 4-11 μορφῆι θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῶι, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβὼν ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος ἐταπείνωσεν ἑαυτόν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. διὸ καὶ ὁ θεὸς αὐτὸν ὑπε-
ρύψωσε καὶ ἐχαρίσατο αὐτῶι ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ἵνα ἐν τῶι ὀνό-
PG 1308 ματι Ἰησοῦ [Χριστοῦ] πᾶν γόνυ κάμψηι ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται ὅτι κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν θεοῦ πατρός. Σύνες ὅπως τὸν ἐν μορφῆι τοῦ θεοῦ καὶ πατρὸς ὑπάρχοντα θεὸν λόγον οὐχ ἁρπαγμὸν ἡγήσασθαί φησιν τὸ εἶναι ἴσα θεῶι. ἔχων γὰρ τὸ εἶναι κατὰ φύσιν ἐν ἰσότητι τοῦ πατρὸς κεκένωκεν ἑαυτὸν καὶ μορφὴν δούλου λαβών, τουτέστιν ἄνθρωπος γεγονώς, καὶ οἷον ἐν εἴδει τῶι καθ' ἡμᾶς εὑρεθεὶς τεταπείνωκεν ἑαυτόν.
P 239 ἐπειδὴ δὲ καὶ αὐτὸν ὑπομεμένηκε τὸν σταυρόν, ὑψῶσθαί φησιν αὐτόν, δεδόσθαι δὲ αὐτῶι καὶ τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ὥστε καὶ πᾶν γόνυ κάμψαι καὶ πᾶσαν αὐτῶι γλῶτταν ἐξομολογήσασθαι. πῶς οὖν ὁ ἐν μορφῆι καὶ ἰσότητι τοῦ θεοῦ καθῆκε μὲν ἑαυτὸν εἰς κένωσιν, ὑψῶσθαι δὲ μετὰ τοῦτο λέγεται; ἆρ' οὐχὶ προδηλότατον τὸ Χριστοῦ μυστήριον; θεὸς γὰρ ὢν φύσει, γέγονεν ἄνθρωπος ἐν ταπεινώσει καὶ σμικροπρεπείαι· γεγονὼς δὲ καθ' ἡμᾶς, εἰς τὴν ἑαυτοῦ δόξαν ἀναφοιτᾶι καὶ μετὰ σαρκός, καὶ πρέποι ἂν τὸ ὑψοῦσθαι τῆι οἰκονομίαι καὶ οὐχὶ δὴ μᾶλλον αὐτῆι τῆι φύσει τοῦ λόγου. εἷς οὖν ἄρα Χριστὸς θεὸς ἐν ἀνθρωπότητι καὶ μετὰ τῆς ἀνθρωπότητος ὑπάρχων ὃ ἦν.

Ἐκ τῆς πρὸς Κολασσαεῖς

174 Εὐχαριστοῦντες, φησί, τῶι πατρὶ τῶι ἱκανώσαντι ἡμᾶς εἰς τὴν μερίδα
Col. 1, 12-20 τοῦ κλήρου τῶν ἁγίων ἐν τῶι φωτί, ὃς ἐρρύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους καὶ μετέστησεν εἰς τὴν βασιλείαν τοῦ υἱοῦ τῆς ἀγάπης αὐτοῦ, ἐν ᾧι ἔχομεν τὴν ἀπολύτρωσιν, τὴν ἄφεσιν τῶν ἁμαρτιῶν, ὅς ἐστιν εἰκὼν τοῦ θεοῦ τοῦ ἀοράτου, πρωτότοκος πάσης κτίσεως, ὅτι ἐν αὐτῶι ἐκτίσθη τὰ πάντα ἐν τῶι οὐρανῶι καὶ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, εἴτε θρόνοι εἴτε κυριότητες εἴτε ἀρχαὶ εἴτε ἐξουσίαι, τὰ πάντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται καὶ αὐτός ἐστι πρὸ πάντων καὶ τὰ πάντα ἐν αὐτῶι

VS, D [= mn], A

2 γὰρ καὶ VA 3 που om. SD 7 ὁ αὐτὸσ A 8 ἑκούσιον Tim. om. VSDA 9 θεικῶς om. SD τῆς om. D 11 ἕκαστοσ V, eclogae initium male excerptum φρονεῖτε Tim. 13 ἀνθρώπου S 17 Χριστοῦ om. SD Tim. 19 πατρὸσ ἀμήν SD πατρὸς om. D καὶ πατρὸς om. S 20 θεὸν om. V 22 ἑαυτὸν SDA Tim. ἑαυτὸν εἰσ κένωσιν V 23 δὲ om. SD καὶ ὑψῶσθαι D 24 αὐτῶ γλῶσσαν SA γλῶσσαν αὐτῶ D 26 τὸ DA τοῦ S τὸ τοῦ V 29 οὐ V 32 φησί om. SD 33 τῶι om. A ἐρύσατο D 38 καὶ om. V 39 τὰ om. A

συνέστηκε καὶ αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας, ὅς ἐστιν ἀρχή, πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνα γένηται ἐν πᾶσιν αὐτὸς πρωτεύων, ὅτι ἐν αὐτῷι ηὐδόκησε πᾶν τὸ πλήρωμα κατοικῆσαι καὶ δι' αὐτοῦ ἀποκαταλλάξαι τὰ πάντα εἰς αὐτόν, εἰρηνοποιήσας διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ εἴτε τὰ ἐπὶ τῆς γῆς εἴτε τὰ ἐν τοῖς οὐρανοῖς. Ἰδοὺ δὴ πάλιν εἰκόνα μὲν τοῦ θεοῦ τοῦ ἀοράτου φησὶν αὐτόν, ἐκτίσθαι δὲ δι' αὐτοῦ θρόνους καὶ ἀρχὰς καὶ κυ- P 240 ριότητας διαβεβαιοῦται σαφῶς καὶ εἰς αὐτὸν τὰ πάντα καὶ ἐν αὐτῷι συνεστάναι λέγει καὶ αὐτὸν εἶναι τὴν κεφαλὴν τοῦ σώματος τῆς ἐκκλησίας καὶ πρωτότοκον ἐκ τῶν νεκρῶν. τίς οὖν ἄρα ἐστὶν ἡ εἰκὼν τοῦ θεοῦ, ὁ κτίστης τῶν ὅλων, εἰ μὴ αὐτὸς ὁ μονογενὴς τοῦ θεοῦ υἱός; ὃς καὶ γέγονε πρωτότοκος ἐκ νεκρῶν, ὡς ἀποθανὼν σαρκὶ τῆι ἰδίαι καὶ οὐχὶ δὴ μᾶλλον τῆι τινος ἑτέρου. εἷς οὖν Χριστὸς καὶ υἱός, θεός τε ὁμοῦ καὶ ἄνθρωπος.

Ἐκ τῆς πρὸς Ἑβραίους

175 Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ θεὸς λαλήσας τοῖς πατράσιν ἐν Hebr. 1, 1. 2 τοῖς προφήταις, ἐπ' ἐσχάτου τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν υἱῶι, PG 1309 ὃν ἔθηκε κληρονόμον πάντων, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν. Φύσει τῶν ὅλων κύριος μετὰ τοῦ θεοῦ καὶ πατρὸς ὁ μονογενὴς αὐτοῦ λόγος εἶναι πεπίστευται, τίθεται δὲ κληρονόμος, ὅτε γέγονε σάρξ· εἴρηται γὰρ πρὸς αὐτὸν ὡς καθ' ἡμᾶς ἄνθρωπον πεφηνότα δι' ἡμᾶς· αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν Ps. 2, 8 σου. ἀλλὰ δι' αὐτοῦ τοῦ [θεοῦ τοῦ] κληρονόμου διὰ τὸ ἀνθρώπινον καὶ αὐτοὺς πεποιῆσθαι τοὺς αἰῶνάς φησιν, εἰς τὸ τοῦ λόγου πρεσβύτατον τοῦ πράγματος ἔχοντος τὴν ἀναφοράν. εἷς οὖν ἄρα Χριστὸς καὶ υἱός, ὁ αὐτὸς θεός τε ὁμοῦ καὶ ἄνθρωπος.

176 Ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ Hebr. 1, 3. 4 φέρων τε τὰ πάντα τῶι ῥήματι τῆς δυνάμεως αὐτοῦ, καθαρισμὸν τῶν ἁμαρτιῶν ποιησάμενος, ἐκάθισεν ἐν δεξιᾶι τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς, τοσούτωι κρείττων γενόμενος τῶν ἀγγέλων ὅσωι διαφορώτερον παρ' P 241 αὐτοὺς κεκληρονόμηκεν ὄνομα. Τὸ ἀπαύγασμα τῆς δόξης, ὁ χαρακτὴρ τῆς ὑποστάσεως τοῦ θεοῦ καὶ πατρός, τουτέστιν ὁ ἐξ αὐτοῦ κατὰ φύσιν υἱὸς μονογενής, τίνα τρόπον καθαρισμὸν τῶν ἁμαρτιῶν ἡμῶν ποιησάμενος, δῆλον δὲ ὅτι διὰ τοῦ αἵματος αὐτοῦ, κεκάθικεν ἐν δεξιᾶι τοῦ πατρὸς καὶ κρείττων γενέσθαι λέγεται τῶν ἀγγέλων, καίτοι κατὰ φύσιν καὶ τῆι τῆς θεότητος ὑπεροχῆι τὰ πάντα νικῶν; οὐκοῦν καὶ ἄνθρωπος γεγονώς, πεπλεονέκτηκεν ὡς θεὸς τὴν ἀόρατον κτίσιν, ὁ αὐτὸς ὢν ἀπαύγασμα καὶ χαρακτὴρ ⟨τῆς θεοῦ δόξης⟩ καὶ ἐργασάμενος τῶν ἁμαρτιῶν ἡμῶν τὸν καθαρισμὸν αἵματι τῶι ἰδίωι. εἷς οὖν ἄρα Χριστὸς καὶ υἱὸς καὶ κύριος.

177 Ὅ τε γὰρ ἁγιάζων, φησί, καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνὸς πάντες, δι' ἣν Hebr. 2, 11. 12 αἰτίαν οὐκ ἐπαισχύνεται αὐτοὺς ἀδελφοὺς καλεῖν λέγων· ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου. Τὸ κατὰ φύσιν ἅγιον οὐχ ἁγιάζεται, ὅτι μή ἐστι προσδεὲς ἁγιασμοῦ· τό γε μὴν ὡς ἐν μεθέξει τῆι παρ' ἑτέρου γεγονὸς ἅγιον ἁγιάζειν ἑτέρους οὐ δύναται. πῶς οὖν ὁ αὐτὸς ἁγιάζει καὶ ἁγιάζεται, ζητητέον. ἁγιάζει

18—p. 108, 25 Tim. p. 308—310 36—p. 108, 3 Feyr 163 ἐκ τῆς αὐτῆς ἐπιστολῆς· τὸ κατὰ φύσιν — ἀνθρωπίνως

VS, D [= mn], A

3 εὐδόκησε D 5 τῆς om. SD 8—11 καὶ πρωτότοκον — ἄνθρωπος om. V 9 τί A 10 τῆ σαρκὶ τῆ D 16 πιστεύεται A 17 ὅτε Tim. ὅτι VSDA 18 γεγονότα V Tim. 19 σου καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆσ γῆσ V θεοῦ τοῦ VSDA om. Tim. 21 τε ὁμοῦ θῦ V 22 δόξησ ἀπαύγασμα SD 23 καὶ καθαρισμὸν D 25 διαφορότερον V 25/26 ὄνομα παρ' αὐτοὺσ κεκληρονόμηκε V 28 ἡμῶν om. D δηλονότι δὲ V τοῦ VA Tim. τοῦ ἰδίου SD 30 γεγονὼς om. SD 31/32 τῆς — δόξης Tim. om. VSDA 34 φησί om. V Tim. 37 προσδεὲσ VA$^{\text{acorr}}$ Feyr Tim. πρὸσ δὲ SD 38 ὁ αὐτὸς om. V

τοίνυν ὡς θεός, ἰδίωμα φύσεως τῆς ἑαυτοῦ τὸ ἁγιάζειν δύνασθαι λαχών· ἁγιάζεται δὲ μεθ' ἡμῶν κατὰ τὸ ἀνθρώπινον. εἷς οὖν ἄρα Χριστὸς καὶ υἱὸς καὶ κύριος, ἁγιάζων μὲν θεικῶς, ἁγιαζόμενος δὲ μεθ' ἡμῶν ἀνθρωπίνως.

178 Κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις, τοιοῦτον ἔχομεν ἀρχιερέα, ὃς
Hebr. 8, 1. 2 ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς, τῶν ἁγίων λειτουργὸς καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ κύριος καὶ οὐκ
Hebr. 8, 3 ἄνθρωπος. Εἰ πᾶς ἱερεύς, καθά φησιν ὁ ⟨αὐτὸς⟩ μακάριος Παῦλος, εἰς τὸ προσφέ-
P 242 PG 1312 ρειν δῶρά τε καὶ θυσίας παραλαμβάνεται, οὐχ ἑαυτοῖς τελοῦσι τὰς λατρείας οἱ καλούμενοι πρὸς ἱερωσύνην, θεῶι δὲ μᾶλλον, ὧι τὸ παρὰ πάσης τῆς κτίσεως ὀφείλεται σέβας. ὁ δὲ θεῶι λειτουργῶν οὐκ ἐν ἴσωι μέτρωι κείσεται θεοῦ οὔτε μὴν τὴν αὐτῶι καὶ μόνωι πρέπουσαν φορέσει δόξαν. εἶτα πῶς ἀρχιερεὺς ἡμῶν γεγονὼς ὁ Χριστὸς ἐν δεξιᾶι κάθηται τοῦ θεοῦ καὶ τὸν θρόνον ἔχει τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς καὶ τῶν ἁγίων ἐστὶ λειτουργὸς καὶ τῆς σκηνῆς τῆς ἄνω καὶ ἀληθινῆς, ἑαυτῶι τε καὶ τῶι πατρὶ προσκομίζων τὰς παρὰ πάντων λατρείας; εἷς οὖν ἄρα ἐστὶ Χριστὸς καὶ υἱός, καθήμενος μὲν θεικῶς ἐν τῶι τῆς ἰδίας θεότητος θρόνωι, κεχρηματικὼς δὲ καὶ ἱερεὺς καὶ λειτουργὸς οἰκονομικῶς διὰ τὸ ἀνθρώπινον.

179 Τοιγαροῦν καὶ ἡμεῖς τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν νέφος μαρ-
Hebr. 12, 1. 2 τύρων, ὄγκον ἀποθέμενοι πάντα καὶ τὴν εὐπερίστατον ἁμαρτίαν, δι' ὑπομονῆς τρέχωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα, ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν, ὃς ἀντὶ τῆς προκειμένης αὐτῶι χαρᾶς ὑπέμεινε σταυρόν, αἰσχύνης καταφρονήσας, καὶ ἐν δεξιᾶι τοῦ θρόνου τοῦ θεοῦ κεκάθικεν. Εἰ κοινὸς ἄνθρωπος ὁ Χριστὸς καὶ οὐχὶ θεὸς ἀληθῶς ἐν σαρκί τε καὶ καθ' ἡμᾶς, ποίαν αὐτῶι προκεῖσθαί φησι τὴν χαράν; ἢ πῶς κεκάθικεν ἐν δεξιᾶι τοῦ θρόνου τοῦ θεοῦ; ἀλλὰ μὴν προύκειτό τε αὐτῶι χαρά (καὶ γάρ ἐστιν ἐν ἀκαταλήκτοις θυμηδίαις ἡ ἀνωτάτω φύσις), ὑπέμεινε δὲ σταυρόν, τὸ σταυρωθῆναι δυνάμενον ἴδιον ποιησάμενος σῶμα, καὶ αὐτὸς ὁ ἐσταυρωμένος κεκάθικεν ἐν δεξιᾶι τοῦ θεοῦ καὶ πατρός. εἷς ἄρα κύριος Ἰησοῦς Χριστός, σταυρωθεὶς μὲν ἀνθρωπίνως, συνεδρεύων δὲ θεικῶς τῶι πατρί.

P 243 Ὅτι εἷς υἱὸς καὶ κύριος

180 Πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου καὶ οὐδεὶς γινώσκει τὸν
Mt. 11, 27 υἱὸν εἰ μὴ ὁ πατήρ, οὐδὲ τὸν πατέρα τις γινώσκει εἰ μὴ ὁ υἱὸς καὶ ὧι ἂν βούληται ὁ υἱὸς ἀποκαλύψαι. Οὐδενὸς γινώσκοντος τὸν υἱὸν εἰ μὴ μόνου τοῦ πατρός, πῶς ἀθετοῦσι τινὲς τὴν τοῦ πατρὸς μαρτυρίαν; ὑπέδειξε γὰρ τὸν ἴδιον υἱὸν ἐν
Mt. 3, 17 τῶι Ἰορδάνηι, λέγων· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς ἐν ὧι ηὐδόκησα. ἀλλ' οὐ γυμνὸν ἡμῖν παρέδειξε τὸν ἴδιον λόγον, ἀλλὰ ἐνωθέντα σαρκί, καὶ οὐκ εἴρηκεν ὅτι ἐν τούτωι ἐστὶν ὁ υἱός μου, ἀλλ' οὗτός ἐστιν, ὁ μετὰ σαρκός. εἷς ἄρα καὶ κύριος καὶ υἱός.

25—28 Tim. arm. p. 313. 314; 30—p. 111, 11 ibid. 296—300

VS, D [= mn], A

2 καὶ κσ̄ καὶ υσ̄ D 4 κεφαλὴ S ἐπὶ om. V εἰρημένοισ D 5 κεκάθικεν V κεκάθηκεν A 7 αὐτὸς Tim. om. VSDA 9 τῆς om. VSD, corr. V 13 τῶι om. SD 14 οὖν om. V 15 καὶ[1] om. V Tim. 17 τοιγὰρ V 20 ἐν χν̄ V 22 τοῦ θεοῦ om. V οὐ V 23 ποίαν αὐτῶι om. V προσκεῖσθαι SD κεκάθηκεν A 24—26 ἀλλὰ μὴν — θεοῦ om. A 24 τε om. SD 24/25 ἀλήκτοισ D 25 ἀνωτάτη S 28 τῶ πρ̄ι θεικῶσ SD 30 inscr. ἐκ τοῦ κατὰ ιω̄ [ιω̄ εὐαγγελίου D Λουκᾶν εὐαγγελίου Tim.] VSDA Tim. 31 ὧι] ὃ S ἐὰν A 34 ὁ ἀγαπητὸς om. SD εὐδόκησα D 36 οὖν ἄρα A 36/37 ἄρα καὶ χσ̄ καὶ υσ̄ καὶ θσ̄ Tim.

181 Ἦν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. ἐν τῷι κόσμωι ἦν καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. Θεολογήσας ἀρκούντως καὶ διὰ τοῦ φωτὸς τοῦ ἀληθινοῦ πεφωτίσθαι πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον εἰπὼν καὶ μὴν καὶ αὐτὸν πεποιῆσθαι τὸν κόσμον, εἰς τὰ ἴδιά φησιν αὐτὸν ἐλθεῖν. ἦλθε δὲ γεγονὼς ἄνθρωπος ὁ μονογενὴς ὡς πρὸς ἰδίους καὶ πρό γε τῶν ἄλλων τοὺς ἐξ αἵματος Ἰσραήλ. ὅτε τοίνυν αὐτός ἐστι τὸ φῶς τὸ ἀληθινόν, ὁ δι' οὗ τὰ πάντα, καὶ αὐτός ἐστι μετὰ σαρκὸς ὁ ἐλθὼν εἰς τὰ ἴδια, πῶς οὐκ ἀναγκαῖον ἕνα Χριστὸν καὶ υἱὸν ὁμολογεῖν; Ioh. 1, 9-11 PG 1313

182 Καὶ ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρός, πλήρης χάριτος καὶ ἀληθείας. Εἰ γέγονε σὰρξ ὁ λόγος, τουτέστι παραπλησίως ἡμῖν μετέσχεν αἵματος καὶ σαρκὸς καὶ σπέρματος Ἀβραὰμ ἐπελάβετο, ἵνα κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆι, πῶς ἂν ἐνδοιάσειέ τις ὅτι μεμένηκε λόγος, καὶ σὰρξ γεγονώς; ἄτρεπτος γὰρ ἡ τοῦ λόγου φύσις. καὶ εἰ κεχρημάτικεν ἡμῶν ἀδελφός, πῶς μονογενοῦς ἔχει δόξαν; οὐκοῦν κἂν εἰ γέγονε σάρξ, οὐδὲν ἧττόν ἐστι θεός, καὶ μονογενὴς μὲν ὡς θεός, πρωτότοκος δὲ διὰ τὸν ἀνθρώπινον σταυρόν. Ioh. 1, 14 P 244 Hebr. 2, 14. 16. 17

183 Ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ καὶ κέκραγε λέγων, οὗτος ἦν ὁ εἰπών· ὁ ὀπίσω μου ἐρχόμενος ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν, ὅτι ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν. Ἰωάννης φησὶ περὶ τοῦ Χριστοῦ ὅτι ὁ ὀπίσω μου ἐρχόμενος, τουτέστιν ὁ μετ' ἐμὲ φανερούμενος, ὃν αὐτὸς διεκήρυξε δηλονότι, ἔμπροσθεν αὐτοῦ γέγονε, τουτέστι πρωτεύων κατὰ τὴν δόξαν· καὶ γὰρ ἦν καὶ ἐν ὑπάρξει πρῶτος ὡς θεός. πῶς οὖν ὁ μετ' αὐτὸν πρὸ αὐτοῦ κατὰ χρόνον; ὅτι θεὸς ἦν ὁ λόγος καὶ γέγονε σάρξ, ἔχων μὲν τὸ πρωτεύειν καθὸ λόγος ἐστί, δευτερεύων δὲ κατὰ τὴν σάρκα. εἰ δὲ καὶ ἐκ τοῦ πληρώματος αὐτοῦ πάντες μετεσχήκασιν οἱ ἅγιοι, πλῆρες δὲ μόνον ἐστὶ τὸ θεῖον, καθά φησιν διὰ τῆς Ἡσαίου φωνῆς, πρέποι ἂν αὐτῶι τε καὶ μόνωι τὸ ὡς ἐξ ἰδίου πληρώματος ἑαυτοῦ μετόχους ἀποτελεῖν ἑτέρους, πέπραχε δὲ τοῦτο Χριστός. εἷς ἄρα ἐστὶν υἱὸς καὶ κύριος ὁ ἐκ θεοῦ λόγος γενόμενος σάρξ, ⟨ὁ⟩ αὐτὸς θεός τε ὁμοῦ καὶ ἄνθρωπος. ἔχοι δ' ἂν τὴν ⟨αὐτὴν⟩ διάνοιαν τὸ ἐφεξῆς ῥητόν· οὗτός ἐστι περὶ οὗ ἐγὼ εἶπον· ὀπίσω μου ἔρχεται ἀνὴρ ὃς ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν. ἰδοὺ γὰρ ἄνδρα λέγων αὐτὸν καὶ ἐρχόμενον ὀπίσω, πρῶτον εἶναί φησιν ὡς θεόν· ἐν ἀρχῆι γὰρ ἦν ὁ λόγος καὶ θεὸς ἦν ὁ λόγος. Ioh. 1, 15. 16 Ies. 6, 3 Ioh. 1, 30 P 245 Iob. 1, 1

184 Καὶ ἐμαρτύρησεν Ἰωάννης λέγων ὅτι τεθέαμαι τὸ πνεῦμα καταβαῖνον ὡσεὶ περιστερὰν ἐξ οὐρανοῦ καὶ μένον ἐπ' αὐτόν, κἀγὼ οὐκ ἤιδειν αὐτόν, ἀλλ' ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν· ἐφ' ὃν ἂν ἴδηις τὸ πνεῦμα καταβαῖνον καὶ μένον ἐπ' αὐτόν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν τῶι πνεύματι τῶι ἁγίωι. κἀγὼ ἑώρακα καὶ μεμαρτύρηκα ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ θεοῦ. Ὅρα σαφῶς τε καὶ ἐναργῶς ἐν τούτοις τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν δεχόμενον μὲν ἀνθρωπίνως τὸ πνεῦμα διὰ τὴν μετὰ σαρκὸς οἰκονομίαν (πλούσιος γὰρ ὢν ἐπτώχευσε δι' ἡμᾶς), βαπτίζοντα δὲ θεικῶς ἐν τῶι ἁγίωι πνεύματι. τίνι γὰρ ἂν πρέποι τὸ χορηγεῖν δύνασθαι τὴν τοῦ πνεύματος χάριν πλὴν ὅτι τῶι φύσει τε Ioh. 1, 32-34 2 Cor. 8, 9 PG 1316

VS, D [= mn], A

inscr. ἐκ τοῦ κατὰ ιω̄ εὐαγγελίου Tim. 5 αὐτὸν] δι' αὐτοῦ D 8 ἐστι om. A ὁ μετὰ σαρκὸσ D μετὰ σαρκόσ A 18 ὁ εἰπὼν VSA ὃν εἶπον D Tim. 19 ἐρχόμενος ὃς Tim. 21 ὅτι om. V 21/22 ἐκήρυξε V 22 γέγονε om. SD 25 δὲ² om. SD 26 οἱ om. V πλήρησ S 27 τε om. SD ἀποπληρεῖν V 28 Χριστός om. SD 29 ὁ αὐτὸς Pusey ex Euthymio αὐτόσ SDA om. V αὐτὴν Tim. om. VSDA 30 εἶπον ὅτι SD 32 γὰρ om. SD 35 ἐξ οὐρανοῦ om. V κἀγὼ δὲ V

καὶ ἀληθῶς ὄντι θεῶι; εἷς οὖν ἄρα Χριστὸς καὶ υἱὸς καὶ μαρτυρήσει λέγων ὁ βαπτι-
Ioh. 1, 34 στής· κἀγὼ ἑώρακα καὶ μεμαρτύρηκα ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ θεοῦ.
οὗτος δὲ ποῖος; ὃν τεθέαται μὲν ἀνθρωπίνως τὸ πνεῦμα δεχόμενον, οἶδε δὲ βαπτίζοντα
θεικῶς ἐν τῶι ἁγίωι πνεύματι.

185 Εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν καὶ οὐ πιστεύετε, πῶς ἐὰν εἴπω ὑμῖν τὰ
Ioh. 3, 12. 13 ἐπουράνια, πιστεύσετε; καὶ οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν εἰ μὴ ὁ ἐκ
τοῦ οὐρανοῦ καταβάς, ὁ υἱὸς τοῦ ἀνθρώπου. Πῶς καταβέβηκεν ἐξ οὐρανοῦ
ὁ υἱὸς τοῦ ἀνθρώπου, καίτοι τῆς ἁγίας σαρκὸς γεννηθείσης ἐκ γυναικός; ἀλλ' ἴδιον ἦν τὸ
σῶμα τοῦ ἐξ οὐρανοῦ καταφοιτήσαντος λόγου, ὃς καὶ γέγονεν υἱὸς ἀνθρώπου. εἷς
P 246 οὖν ἄρα Χριστὸς καὶ υἱός· οὕτως ἴδια μὲν τῆς σαρκὸς τὰ τοῦ λόγου γέγονεν, ἴδια δὲ τοῦ
λόγου τὰ τῆς σαρκὸς δίχα μόνης ἁμαρτίας.

186 Καὶ καθὼς Μωυσῆς ὕψωσε τὸν ὄφιν ἐν τῆι ἐρήμωι, οὕτως ὑψωθῆναι
Ioh. 3, 14. 15 δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου, ἵνα πᾶς ὁ πιστεύων ἐπ' αὐτῶι ἔχηι ζωὴν αἰώ-
νιον. Ἔδακνον τοὺς ἐξ Ἰσραὴλ κατὰ τὴν ἔρημον οἱ ὄφεις, εἶτα προστέταχεν ὁ τῶν
Num. 21, 8 ὅλων θεὸς τῶι Μωυσῆι ὄφιν ἀναθεῖναι χαλκοῦν· καὶ ἔσται, φησίν, ἐὰν δάκηι ὄφις ἄνθρω-
πον καὶ ἐμβλέψηι εἰς τὸν ὄφιν, καὶ ζήσεται. τί τοίνυν ἐστὶ τὸ αἴνιγμα; διὰ τί δὲ ὁ
ἐνορῶν τῶι ὄφει σώιζεται; ζωὴ τοιγαροῦν κατὰ φύσιν ὑπάρχων ὁ μονογενὴς τοῦ θεοῦ
λόγος γέγονεν ἐν ὁμοιώματι τῶι καθ' ἡμᾶς, τουτέστιν ἄνθρωπος (πονηρὸν δὲ ἄνθρωπος
καὶ οἷον ὁ ὄφις)· ἀλλ' εἰ καὶ γέγονε καθ' ἡμᾶς, εἴ τις εἰς αὐτὸν ἴδοι, νικᾶι τὸν θάνατον.
τί δέ ἐστι τὸ εἰς αὐτὸν ἰδεῖν ἢ ὅτι πάντως τὸ ἀκριβῶς κατανοῆσαι τὸ ἐπ' αὐτῶι μυστή-
ριον; τότε γὰρ αὐτὸν ὄψεται ἐν ὁμοιώματι μὲν τῶι τῶν πονηρῶν, τουτέστιν ἀνθρώπων,
ζωοποιὸν δὲ ὡς θεὸν καὶ ἀφανίζοντα τὰ τῶν νοητῶν ὄφεων δήγματα. εἷς οὖν ἄρα
κύριος καὶ υἱὸς ὁ αὐτὸς καὶ ζωοποιὸς ὡς θεὸς καὶ ἐν εἴδει τῶι τῶν πονηρῶν δι' οἰκονομίαν.

187 Οἱ παῖδες ἔχοντες τὰ βαία τῶν φοινίκων ἐξῆλθον εἰς ἀπάντησιν αὐτῶι, φησί,
Ioh. 12, 13 καὶ ἐκραύγαζον· ὡσαννά, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου
καὶ ὁ βασιλεὺς τοῦ Ἰσραήλ. Πῶς οὖν φησιν αὐτὸν ἐν ὀνόματι κυρίου παρα-
γενήσεσθαι τὸ γράμμα τὸ ἱερόν; εἰ μὲν οὖν ὡς ἄνθρωπον ἰδικῶς τὸν ἐκ τῆς ἁγίας παρ-
P 247 θένου, μὴ ἐνωθέντος αὐτῶι καθ' ὑπόστασιν τοῦ θεοῦ λόγου, κοινὸν ἔσται τὸ τῆς κυριό-
PG 1317 τητος ὄνομα αὐτῶι καθὰ καὶ ἡμῖν καὶ οὐδὲν ἐπὶ Χριστοῦ τὸ μέγα· εἰ δὲ ὡς κύριος ἀλη-
θῶς ἤξειν προαπηγγέλλετο, ὅπερ ἐστὶ καὶ ἀληθές, ἐλήλυθε δὲ οὐ δίχα σαρκὸς εἰς τόνδε
τὸν κόσμον ὁ μονογενής, εἷς ἄρα ἐστὶ φύσει καὶ ἀληθῶς κύριος καὶ Χριστὸς καὶ υἱός.

188 Καὶ ὑπὲρ αὐτῶν ἐγὼ ἁγιάζω ἐμαυτόν, ἵνα ὦσι καὶ αὐτοὶ ἡγιασμένοι
Ioh. 17, 19 ἐν ἀληθείαι. Ἑαυτὸν ἁγιάζει Χριστός. ἆρα ὡς ἄνθρωπος ἢ ὅτι μᾶλλον θεός
ἐστι κατὰ φύσιν, ἴδιον ἔχων τὸ πνεῦμα τὸ ἅγιον; ὅπερ ἐστὶ καὶ ἀληθές. οὐδενὸς τοι-
γαροῦν ἀνθρώπων ἑαυτὸν ἁγιάζοντος, ἑαυτὸν ἁγιάζει Χριστός. εἷς ἄρα ἐστὶν υἱὸς καὶ
κύριος, ἁγιαζόμενος μὲν ἀνθρωπίνως, ἁγιάζων δὲ θεικῶς τῶι ἰδίωι πνεύματι τὸν ἑαυ-
τοῦ λαόν.

6—11 Fcyr 164 τοῦ αὐτοῦ ἐκ τῆς αὐτῆς ἐπιστολῆς· οὐδεὶς ἀναβέβηκεν — μόνης ἁμαρτίας διὰ τὴν ἄφραστον ἕνωσιν

VS, D [= mn], A

1 λέγων om. V 1/2 βαπτιστής Tim. εὐαγγελιστὴς VSDA 2 ἑώρα V 3 εἶδε D 7/8 πῶς — ἀνθρώπου om. SD 10/11 τὰ τοῦ — σαρκὸς om. SD 11 ἁμαρτίας διὰ τὴν ἄφραστον ἕνωσιν Fcyr 13 ἐπ' αὐτῶ VA ἐν αὐτῶ S εἰσ αὐτὸν D ἔχει V 15 μωυσεῖ A δάκνη VA 16 καὶ διὰ SD 18 δὲ om. V ὁ ἄνθρωποσ VA 19 malim ὁ delere 20 τὸ ἀκριβῶς om. V 21 τῶι om. V 22 νοητῶν VA πονηρῶν SD Tim. 23 ὁ om. V 24 αὐτοῦ V 25 ἔκραζον V 26 καὶ ὁ om. V καὶ om. Tim. αὐτὸν om. V 26/27 παραγενέσθαι V 29 αὐτῶι om. V ὁ κσ̄ V 30 προεπηγγέλλετο SD δὲ] γὰρ V 32 ἑαυτὸν S 37 λαόν Tim. ναόν VSDA

189 Πολλὰ μὲν οὖν καὶ ἄλλα σημεῖα ἐποίησεν ὁ Ἰησοῦς ἐνώπιον τῶν μα- Ioh. 20, 30. 31
θητῶν αὐτοῦ, ἃ οὐκ ἐστι γεγραμμένα ἐν τῷι βιβλίωι τούτωι· ταῦτα δὲ
γέγραπται, ἵνα πιστεύσητε ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ
καὶ ἵνα πιστεύοντες ζωὴν ἔχητε ἐν τῷι ὀνόματι αὐτοῦ. Ὁ ἐκ τῆς ἁγίας
παρθένου γεγεννημένος Ἐμμανουὴλ διὰ τῆς τοῦ ἀγγέλου φωνῆς Ἰησοῦς ὠνόμασται. Lc. 2, 21
ὅτε τοίνυν αὐτός ἐστι καὶ οὐχ ἕτερος υἱὸς τοῦ θεοῦ καὶ ὁ πιστεύων ἔχει ζωὴν αἰώνιον ἐν Mt. 1, 21
τῷι ὀνόματι αὐτοῦ, πῶς οὐ μεμήνασιν οἱ διορίζοντες καὶ φάσκοντες ἕτερον υἱὸν εἶναι καὶ
ἕτερον τὸν ἐκ θεοῦ λόγον καὶ τὸν ἐκ τῆς ἁγίας παρθένου; φαίνεται γὰρ ἐν τούτοις ὁ
εὐαγγελιστὴς καὶ μάλα σαφῶς ἕνα καὶ μόνον τὸν ἐξ ἀμφοῖν εἰδὼς καὶ κηρύττων Ἰησοῦν
Χριστόν, τουτέστι τὸν ἐκ θεοῦ πατρὸς λόγον αἵματος καὶ σαρκὸς κεκοινωνηκότα παρα- Hebr. 2, 14
πλησίως ἡμῖν, καθὰ γέγραπται. 11

Ἐκ τοῦ κατὰ Λουκᾶν εὐαγγελίου P 248

190 Ἐγένετο ἐν τῷι εἶναι αὐτοὺς ἐκεῖ, ἐπλήσθησαν αἱ ἡμέραι τοῦ τεκεῖν Lc. 2, 6. 7
αὐτὴν καὶ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον καὶ ἐσπαργάνωσεν αὐ-
τὸν καὶ ἀνέκλινεν αὐτὸν ἐν τῇι φάτνηι, διότι οὐκ ἦν αὐτοῖς τόπος ἐν τῷι 15
καταλύματι. Ἕνα καὶ μόνον τέτοκεν υἱὸν τὸν Ἐμμανουὴλ ἡ ἁγία παρθένος· πῶς οὖν
φησι τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον; οὐ γὰρ γεγόνασιν ἕτεροι μετ' αὐτόν, με-
μένηκε δὲ παρθένος. ἐπισημαίνεται τοίνυν ὡς ἐκ τῆς θεοπνεύστου γραφῆς· ὠνόμασται
γὰρ πρωτότοκος ὁ μονογενὴς τοῦ θεοῦ λόγος. κεκοινώνηκε γὰρ αἵματος καὶ σαρκὸς Hebr. 2, 14
καὶ παραπλησίως ἡμῖν μετέσχε τῶν αὐτῶν· οὕτω γέγονεν ἐν πολλοῖς ἀδελφοῖς πρωτότο- Rom. 8, 29
κος, πλὴν ὡς θεὸς προσκυνεῖται παρά τε ἡμῶν αὐτῶν καὶ τῶν ἄνω πνευμάτων. 21

191 Καὶ εἶπε, φησί, πρὸς αὐτὸν ἡ μήτηρ αὐτοῦ· τέκνον, τί ἐποίησας ἡμῖν Lc. 2, 48. 49
οὕτως; ἰδοὺ ὁ πατήρ σου καὶ ἐγὼ ὀδυνώμενοι ἐζητοῦμέν σε. καὶ εἶπε
πρὸς αὐτούς· τί ὅτι ἐζητεῖτέ με; οὐκ ἤιδειτε ὅτι ἐν τοῖς τοῦ πατρός μου
δεῖ με εἶναι; Ἆθρει δὴ οὖν ὅπως ἴδιον ἑαυτοῦ πατέρα τὸν ἐν τοῖς οὐρανοῖς ὀνο- 25 PG 1320
μάζει. ἀλλ' εἴπερ ἦν ἄνθρωπος κατὰ μόνας καὶ αὐτὸ δὴ τοῦτο νοούμενος καθ' ἡμᾶς,
πῶς οὐκ ἔδει μᾶλλον εἰπεῖν· οὐκ ἤιδειτε ὅτι ἐν τοῖς τοῦ πάντων πατρὸς εἶναί με δεῖ;
ἀλλὰ ἴδιον αὐτοῦ ποιεῖται· μόνος γὰρ ἐξ αὐτοῦ γεγέννηται κατὰ φύσιν θεικῶς. ὁ δὲ
αὐτὸς καὶ ἄνθρωπος γεγονὼς ἴδιον ἔχει καὶ φύσει πατέρα τὸν θεόν.

192 Καὶ ἐγένετο ἐν τῷι εἶναι αὐτὸν ἐν μιᾶι τῶν πόλεων, καὶ ἰδοὺ ἀνὴρ Lc. 5, 12. 13
πλήρης λέπρας καὶ ἰδὼν τὸν Ἰησοῦν, πεσὼν ἐπὶ πρόσωπον ἐδεήθη αὐτοῦ 31
λέγων· κύριε, ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι. καὶ ἐκτείνας τὴν χεῖρα
ἥψατο αὐτοῦ λέγων· θέλω, καθαρίσθητι. Θαυμάσεις ἐν τούτοις θεικῶς τε ἅμα P 249
καὶ σωματικῶς ἐνεργοῦντα Χριστόν· θεικὸν μὲν οὖν τὸ θέλειν, ἀνθρώπινον δὲ τὸ ἐκτεῖναι
τὴν χεῖρα. εἷς οὖν ἐξ ἀμφοῖν υἱός. εἰ γὰρ καὶ γέγονε σὰρξ ὁ λόγος, ἀλλ' ὡς 35
θεὸς ἐνεργεῖ μετὰ τῆς ἰδίας σαρκός, ἐχούσης αὐτῆς δι' αὐτὸν τὴν δύναμιν.

193 Εἶπε δὲ πρὸς αὐτούς· πῶς λέγουσι τὸν Χριστὸν εἶναι Δαυὶδ υἱόν; Lc. 20, 41-44
αὐτὸς γὰρ Δαυὶδ λέγει ἐν βιβλίωι ψαλμῶν· εἶπεν ὁ κύριος τῶι κυρίωι μου·
κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν
σου. Δαυὶδ αὐτὸν κύριον καλεῖ, καὶ πῶς υἱὸς αὐτοῦ ἐστιν; Ἀκούεις 40
ὅπως ἐν τούτοις πειρᾶται δεικνύειν αὐτὸς ὁ Χριστὸς ὅτι κἂν εἰ γέγονεν ἐκ σπέρματος

VS, D [= mn], A

1 καὶ om. S 5 γεγενημένοσ S ἀγγέλου Tim. εὐαγγελίου VSDA 8 ὁ om. S
9 σοφῶσ SD 16 ἔτεκεν V τὸν] τὸ S 24 τί om. A οἴδατε V 25 εἶναι με V
25/26 ἄθρει — ὀνομάζει om. A 27 εἰπεῖν ὅτι V 28 γεγένηται S 33 αὐτοῦ ἥψατο αὐτοῦ A
36 τὴν om. V 37 εἶναι — υἱὸν A εἶναι υἱὸν δᾱδ V δᾱδ εἶναι υἱὸν SD 38 ὁ δᾱδ V βίβλω V
41 τούτω SD αὐτὸν SD

Δαυὶδ ὁ λόγος κατὰ τὴν σάρκα, ἀλλ' οὖν ἐστι καὶ οὕτω κατὰ φύσιν κύριος ὡς υἱὸς καὶ θεός; εἰ γὰρ δή, φησίν, υἱός ἐστι τοῦ Δαυίδ, πῶς αὐτὸν Δαυὶδ κύριον ὀνομάζει; ἀλλ' οὔτε τὴν ἐκ σπέρματος Δαυὶδ κατὰ σάρκα γέννησιν ἐν τούτοις ἀρνεῖται οὔτε μὴν ἀποπέμπει τοῦ εἶναι κατὰ φύσιν κύριον ἑαυτόν, προσεῖναι δέ φησιν ἀμφότερα, εἰ καὶ ἐξ ἀμφοῖν βούλεται τὸν ἕνα δηλοῦσθαι. εἷς οὖν ἄρα Χριστὸς καὶ υἱὸς ἀληθῶς.

Ὅτι εἰς Χριστὸν ἡ πίστις ὡς εἰς θεόν

Ἐκ τῆς πρὸς Ῥωμαίους

194 Rom. 1, 5. 6 P 250 Δι' οὗ ἐλάβομεν χάριν καὶ ἀποστολὴν εἰς ὑπακοὴν πίστεως ἐν πᾶσι τοῖς ἔθνεσιν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ, ἐν οἷς ἐστὲ καὶ ὑμεῖς κλητοὶ Ἰησοῦ Χριστοῦ. Κέκληνται τὰ ἔθνη διὰ τῆς πίστεως καὶ ἦν ὁ Χριστὸς διὰ τῶν ἁγίων ἀποστόλων ὁ παρ' αὐτοῖς κηρυττόμενος, ἐπράττετο δὲ παρὰ τῶν μυσταγωγουμένων ἡ πίστις οὐχ ὡς εἰς ἄνθρωπον, ἀλλ' ὡς εἰς θεόν. οὐ γάρ που φαμὲν ἐκ πλάνης εἰς πλάνην κεκλῆσθαι τὰ ἔθνη τὴν εἰς Χριστὸν πίστιν παραδεξάμενα, καταλελοιπότα δὲ μᾶλλον τοὺς ψευδωνύμους θεοὺς ἐπιστρέψαι λοιπὸν ἐπὶ θεὸν ζῶντα. ὅτε τοίνυν ἀποστολὴν εἰληφέναι φασὶν οἱ μυσταγωγοὶ εἰς ὑπακοὴν πίστεως ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ, πῶς οὐκ ἂν εἴη θεός, εἴπερ εἰς αὐτὸν ἡ πίστις ὡς εἰς θεόν;

195 Rom. 1, 9 PG 1321 Μάρτυς γάρ μού ἐστιν ὁ θεός, ᾧ λατρεύω ἐν τῷ πνεύματί μου ἐν τῷ εὐαγγελίῳ τοῦ υἱοῦ αὐτοῦ, ὡς ἀδιαλείπτως μνείαν ὑμῶν ποιοῦμαι πάντοτε ἐπὶ τῶν προσευχῶν μου. Οἱ θεῷ λατρεύοντες οὐχ ὡς θεῷ παρ' αὐτὸν ἑτέρῳ λατρεύουσι τῷ Χριστῷ, αὐτοῦ δέ φησι καὶ τὸ εὐαγγέλιον. κηρύττεται γὰρ αὐτὸς ὡς θεὸς τῷ κόσμῳ, καίτοι θεοῦ κατὰ φύσιν ὄντος τοῦ πατρὸς καὶ κατάρχοντος τῶν ὅλων. θεὸς οὖν ἄρα Χριστὸς ὁ δι' οὗ καὶ ἐν ᾧ καὶ αὐτὸς ὁ πατὴρ ὡς θεὸς καταγγέλλεται καὶ τῇ παρὰ πάντων τιμᾶται λατρείαι.

196 Rom. 5, 1. 2 Δικαιωθέντες οὖν ἐκ πίστεως, εἰρήνην ἔχομεν πρὸς τὸν θεὸν διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ νῦν καὶ τὴν προσαγωγὴν ἐσχήκαμεν τῇ πίστει εἰς τὴν χάριν ταύτην, ἐν ᾗ ἑστήκαμεν καὶ καυχώμεθα ἐπ' ἐλπίδι τῆς δόξης τοῦ θεοῦ. Ὡς εἰς θεὸν πιστεύοντες δικαιούμεθα· εἰ δὲ εἰς Χριστὸν Ἰησοῦν ἡ πίστις καὶ δι' αὐτοῦ τὴν προσαγωγὴν ἐσχήκαμεν (συνήφθημεν γὰρ τῷ θεῷ καὶ πατρὶ συνεγείραντος ὥσπερ ἡμᾶς τοῦ Χριστοῦ), πῶς οὐ θεός ἐστι, καὶ εἰ γέγονεν ἐκ σπέρματος Δαυὶδ τὸ κατὰ σάρκα κατὰ τὰς γραφάς;

197 Rom. 9, 33 P 251 Lc. 2, 29-31 Καθὼς γέγραπται, φησίν, ἰδοὺ τίθημι ἐν Σιὼν λίθον προσκόμματος καὶ πέτραν σκανδάλου, καὶ ὁ πιστεύων ἐπ' αὐτῷ οὐ καταισχυνθήσεται. Συμεὼν ὁ δίκαιος, ὅτε τὸ θεῖον εἰς ἀγκάλας ἐδέξατο βρέφος, ἔφη πρὸς τὸν θεόν· νῦν ἀπολύεις τὸν δοῦλόν σου, δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων
Lc. 2, 34 τῶν λαῶν καὶ τὰ ἑξῆς, προσετίθει δὲ τούτοις· ἰδοὺ οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραὴλ καὶ εἰς σημεῖον ἀντιλεγόμενον. αὐτὸς οὖν ἄρα ἐστὶν ὁ τοῦ προσκόμματος λίθος καὶ ἡ πέτρα τοῦ σκανδάλου, καὶ περιπταίοντες μὲν αὐτῷ διὰ τῆς ἀπειθείας συνετρίβησαν τινές, διέφυγον δὲ τὸ καταισχυνθῆναι οἱ τὴν εἰς αὐτὸν πίστιν προσηκάμενοι. ἆρα οὖν ὡς εἰς ἄνθρωπον πεπιστεύκαμεν ἢ ὡς εἰς

VS, D [= mn] A

1 ὁ λόγος om. D ὡς] καὶ A 2 φασιν SD ἐστι om. V 3 γέννησιν κατὰ σάρκα V τούτω SD 6 ἡ εἰσ χν A 11 ὁ om. D 15 εἰλήφαμεν D 16 εἴπερ AV καὶ D om. S 21 τοῦ VA καὶ SD 24 οὖν om. V 28 αὐτοῦ] οὗ V 32 ὁ] οὗ S, sed υ erasum 34 ἐν εἰρήνῃ om. SA 36 ἐθνῶν SnA προσετίθη V 37 ὁ αὐτόσ SD 40 εἰς[1]] πρὸσ V

θεόν; ὡς εἰς θεὸν δηλονότι. Θεὸς οὖν ἄρα Χριστός· ἐπ' αὐτῶι γὰρ ὁ δίκαιος Συμεὼν τὰς ἀρτίως ἡμῖν εἰρημένας ἔφη φωνάς.

198 Περὶ τῶν Ἰουδαίων φησίν· ἀγνοοῦντες γὰρ τὴν τοῦ θεοῦ δικαιοσύνην Rom. 10, 3. 4
καὶ τὴν ἰδίαν ζητοῦντες στῆσαι, τῆι δικαιοσύνηι τοῦ θεοῦ οὐχ ὑπετάγησαν. τέλος γὰρ νόμου Χριστὸς εἰς δικαιοσύνην παντὶ τῶι πιστεύοντι. 5
Εἰ τέλος νόμου Χριστὸς καὶ αὐτός ἐστιν ἡ δικαιοσύνη, δικαιῶν διὰ πίστεως τῆς εἰς αὐτόν, μόνωι δὲ ὡς ἴδιον ἀνακείσεται τὸ δικαιοῦν δύνασθαι τῶι θεῶι, πῶς οὐ θεὸς ὁ Χριστός;

199 Ἡ δὲ ἐκ πίστεως δικαιοσύνη οὕτως λέγει· μὴ εἴπηις ἐν τῆι καρδίαι Rom. 10, 6-11
σου· τίς ἀναβήσεται εἰς τὸν οὐρανόν; τοῦτ' ἐστὶ Χριστὸν καταγαγεῖν· ἢ 10
τίς καταβήσεται εἰς τὴν ἄβυσσον; τοῦτ' ἐστὶ Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν. ἀλλὰ τί λέγει; ἐγγύς σου τὸ ῥῆμά ἐστιν ἐν τῶι στόματί σου καὶ ἐν τῆι καρδίαι σου, τουτέστι τὸ ῥῆμα τῆς πίστεως ὃ κηρύσσομεν, ὅτι ἐὰν ὁμολογήσηις ἐν τῶι στόματί σου κύριον Ἰησοῦν καὶ πιστεύσηις ἐν τῆι P 252
καρδίαι σου ὅτι ὁ θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσηι. καρδίαι γὰρ 15
πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν. λέγει PG 1324
γὰρ ἡ γραφή· πᾶς ὁ πιστεύων ἐπ' αὐτῶι οὐ καταισχυνθήσεται. Εἰ σύμπας ἡμῖν ὁ τῆς πίστεως ὅρος καὶ τῆς ὁμολογίας ἡ δύναμις εἰς τὸ τοῦ Χριστοῦ περίστασις πρόσωπον καὶ ὁμολογοῦντες αὐτοῦ τὸν θάνατον καὶ τὴν ἀνάστασιν ὡς εἰς θεὸν πεπιστευκότες δικαιούμεθα, τίς ὁ φάναι τολμῶν οὐκ εἶναι θεὸν αὐτόν, εἴπερ ἐστὶ κεφάλαιον 20
τῆς ἁπάντων σωτηρίας θύρα τε καὶ ὁδὸς τῆς εἰς αὐτὸν πίστεως ἡ ὁμολογία; δι' αὐτοῦ γὰρ καὶ ἐν αὐτῶι καὶ αὐτὸς ὁ πατὴρ ἐπιγινώσκεται πρὸς ἡμῶν.

200 Τῶι δὲ δυναμένωι ὑμᾶς στηρίξαι κατὰ τὸ εὐαγγέλιόν μου καὶ τὸ κή- Rom. 16, 25-27
ρυγμα Ἰησοῦ Χριστοῦ κατὰ ἀποκάλυψιν μυστηρίου χρόνοις αἰωνίοις σεσιγημένου, φανερωθέντος δὲ νῦν διά τε γραφῶν προφητικῶν κατ' ἐπιταγὴν τοῦ αἰωνίου θεοῦ εἰς ὑπακοὴν πίστεως εἰς πάντα τὰ ἔθνη γνωρισθέντος, μόνωι σοφῶι διὰ Ἰησοῦ Χριστοῦ, ὧι ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας, ἀμήν. Ἰδοὺ δὴ σαφῶς τὸ εὐαγγέλιον καὶ τὸ κήρυγμα Ἰησοῦ Χριστοῦ φησιν εἶναι καὶ κεκρύφθαι μὲν τὸ ἐπ' αὐτῶι μυστήριον καὶ σεσιγῆσθαι χρόνοις αἰωνίοις, ἀποκαλυφθῆναι δὲ νῦν εἰς ὑπακοὴν πίστεως. ἐστράφη γὰρ εἰς Χριστὸν τὰ ἔθνη τῆς 30
ψευδωνύμου λατρείας ἐξηιρημένα καὶ ὡς θεὸν αὐτὸν ἐπεγνωκότα τὸν φύσει καὶ ἀληθῶς. καὶ εἰ σαφῶς διὰ Ἰησοῦ Χριστοῦ ἐγνώσθη θεός, πῶς οὐ μέγα τὸ Χριστοῦ μυστήριον; εἰ δὲ νοεῖται καθ' ἡμᾶς ἄνθρωπος ἁπλῶς καὶ οὐχὶ δὴ μᾶλλον θεὸς ἐνηνθρωπηκώς, οὐκέτι σοφὸν τὸ μυστήριον.

201 Λέγω γὰρ Χριστὸν διάκονον γεγενῆσθαι περιτομῆς ὑπὲρ ἀληθείας P 253
θεοῦ εἰς τὸ βεβαιῶσαι τὰς ἐπαγγελίας τῶν πατέρων, τὰ δὲ ἔθνη ὑπὲρ Rom. 15, 8. 9. 4, 3
ἐλέους δοξάσαι τὸν θεόν. Γέγραπται γὰρ ὅτι ἐπίστευσε δὲ Ἀβραὰμ τῶι θεῶι καὶ ἐλογίσθη αὐτῶι εἰς δικαιοσύνην. εἴρηται δὲ πρὸς αὐτὸν ὅτι ἐνευ- Gen. 12, 3
λογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς, ὃ δὴ καὶ σαφὲς ἡμῖν ἐποίει λέγων ὁ Παῦλος· οὐ γὰρ διὰ νόμου ἡ ἐπαγγελία τῶι Ἀβραὰμ εἰς τὸ κληρονόμον αὐτὸν εἶναι κόσμου, ἀλλὰ διὰ δικαιοσύνης καὶ πίστεως, καὶ πάλιν· Rom. 4, 13

VS, D [= mn], A

2 ἡμῖν om. SD 3 φησίν om. SD δύναμιν καὶ δικαιοσύνην V 4 δικαιοσύνην τῆ δικαιοσύνη D 6 δικαιῶν om. V 7 μόνω δὲ VA μόνω καὶ S καὶ μόνω καὶ D 15 τῶν νεκρῶν V μὲν γὰρ V 16 στόματος S 18 καὶ — δύναμις om. SD 20 θν̄ οὐκ εἶναι τολμῶν V 21 ἡ om. SD 26 τοῦ αἰωνίου om. SD 27 σοφῶ θῶ V 28 αἰῶνας τῶν αἰώνων V 29 σεσιγεῖσθαι S 30 πίστεως εἰς πάντα τὰ ἔθνη V χν̄ VA θν̄ SD 31 ἐπεγνωκότες SD 32 τὸ μυστήριον τοῦ χῦ D 37 δὲ om. SD 39 τῆς γῆς] τοῦ ἰηλ V

ὥστε οἱ ἐκ πίστεως εὐλογοῦνται σὺν τῶι πιστῶι Ἀβραάμ. οὐκοῦν εἰ διὰ πίστεως αἱ ἐπαγγελίαι δέδονται τοῖς πατράσι παρὰ θεοῦ, γέγονε τοίνυν διάκονος ὁ Χριστός, τουτέστι μεσίτης εἰς τὸ βεβαιῶσαι τὰς ἐπαγγελίας τὰς τοῖς πατράσι δοθείσας παρὰ θεοῦ, τουτέστι τὴν διὰ πίστεως δικαίωσιν, γέγονε δὲ μεσίτης, οὐχ ὡς ἑτέρωι τὴν πίστιν πραγματευόμενος, ἀλλ' ὡς ἑαυτῶι μᾶλλον καὶ δι' ἑαυτοῦ τῶι πατρί, θεὸς ἄρα κατὰ φύσιν ἐστί.
PG 1325 δεδικαίωται γὰρ ὁ μακάριος Ἀβραὰμ πεπιστευκὼς εἰς θεόν, οὕτω δὲ καὶ τὰ ἔθνη δικαιωθεῖεν ἂν ἐν αὐτῶι, τοῖς ἴχνεσιν αὐτοῦ κατακολουθήσαντα καὶ ἐν θεῶι πιστεύοντα, τουτέστι Χριστῶι.

Ἐκ τῆς πρὸς Κορινθίους ᾱ

202 Καὶ ταῦτά τινες ἦτε, ἀλλὰ ἀπελούσασθε, ἀλλὰ ἡγιάσθητε, ἀλλὰ ἐδι-
1 Cor. 6, 11 καιώθητε ἐν τῶι ὀνόματι τοῦ κυρίου Ἰησοῦ Χριστοῦ καὶ ἐν τῶι πνεύματι τοῦ θεοῦ ἡμῶν. Εἰ ἐν τῶι ὀνόματι τοῦ Χριστοῦ δικαιούμεθα, ὡς θεὸν τῆι πίστει τιμήσαντες καὶ τὸ αὐτοῦ πνεῦμα δεχόμενοι, πῶς οὐ θεὸς ὁ Χριστός;

P 254 Ἐκ τῆς πρὸς Κορινθίους β̄

208 Εἰ μὲν γὰρ ὁ ἐρχόμενος ἕτερον Ἰησοῦν κηρύσσει, ὃν οὐκ ἐκηρύξαμεν,
2 Cor. 11, 4 ἢ πνεῦμα ἕτερον λαμβάνετε παρ' ὃ ἐλάβετε, ἢ εὐαγγέλιον ἕτερον ὃ οὐκ ἐδέξασθε, καλῶς ἀνέχεσθε. Πρὸ τῶν τῆς ἐνανθρωπήσεως καιρῶν οὐδεὶς ὀνομάσας εὑρίσκεται τὸν ἐκ θεοῦ λόγον Ἰησοῦν ἢ Χριστὸν εἰ μὴ ἄρα κατὰ πρόγνωσιν ὀνομασθησόμενον τοῦτο κατὰ καιροὺς ὅτε καὶ γέγονε σάρξ. ὄνομα τοίνυν αὐτῶι καινὸν τὸ Ἰησοῦς, ὅτε γέγονεν ἄνθρωπος. ἀλλ' εἰ μὲν ὡς θεὸς κηρύσσεται καὶ εἷς ὢν (οὐ γὰρ ἕτερός ἐστι παρ' αὐτόν, ὃν δύνανται κηρῦξαί τινες), εὖ ἂν ἔχοι καὶ θεῶι λατρεύομεν· εἰ δὲ μέτρον αὐτῶι τὸ τῆς ἀνθρωπότητός ἐστι μόνον καὶ ψιλῆι προσώπων ἑνώσει τετίμηται, κεκένωται τῆς πίστεως ἡμῶν ὁ λόγος, ἀνθρώπωι προσάγων ἡμᾶς καὶ οὐ θεῶι. ἀλλὰ τοῦτο δυσσεβές. θεὸς ἄρα Χριστὸς καὶ υἱός, ὡς τοῦ θεοῦ λόγου σαρκὸς γεγονότος.

Ἐκ τῆς πρὸς Γαλάτας

204 Θαυμάζω ὅτι οὕτω ταχέως μετατίθεσθε ἀπὸ τοῦ καλέσαντος ὑμᾶς
Gal. 1, 6-8 ἐν χάριτι Χριστοῦ εἰς ἕτερον εὐαγγέλιον, ὃ οὐκ ἔστιν ἄλλο, εἰ μή τινές εἰσιν οἱ ταράσσοντες ὑμᾶς καὶ θέλοντες μεταστρέψαι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ. ἀλλὰ καὶ ἐὰν ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίσηται παρ' ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω. Εἰ ἔν ἐστιν εὐαγγέλιον τὸ λαληθὲν ἁπάσηι τῆι ὑπ' οὐρανὸν διὰ τῶν ἁγίων μυσταγωγῶν, τοῦτο δέ ἐστιν ἡ πίστις ἡ εἰς Χριστόν, πῶς οὐ θεὸς εἴη ἂν ἀληθής, εἴπερ ἐστὶν ἀναγκαῖον ὁμολογεῖν ὡς ἐκ τῆς ἀρχαίας πλάνης κεκλήμεθα πρὸς ἐπίγνωσιν τοῦ κατὰ φύσιν ὄντος θεοῦ; θαρσεῖ δὲ τοσοῦτον ὁ
P 255 μακάριος Παῦλος, ὡς καὶ ἀγγέλους ἀναθεματίζειν, εἰ δὴ μεταστρέψειαν τὸ εὐαγγέλιον τοῦ Χριστοῦ.

205 Ὅτε δὲ ηὐδόκησεν ὁ θεὸς ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου ἀπο-
Gal. 1, 15-17 καλύψαι τὸν υἱὸν αὐτοῦ ἐν ἐμοί, ἵνα εὐαγγελίζωμαι αὐτὸν ἐν τοῖς ἔθνεσιν, εὐθέως οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι οὐδὲ ἀνῆλθον εἰς τὰ Ἱεροσόλυμα πρὸς τοὺς πρὸ ἐμοῦ ἀποστόλους. Τῶι γὰρ ἅπαξ τὴν ἐκ θεοῦ λαχόντι

VS, D [= mn], A

1 εὐλογοῦνταϲ S διά] ἐκ V 4 δικαιοσύνην V 6 δὲ VA δὴ SD 9 πρώτηϲ V 11/12 καὶ ἐν — δικαιούμεθα om. SD 12 τῶι om. A 13 αὐτὸ VS πνεῦμα om. V 14 δευτέραϲ V 15 κηρύττει SD 16 ὃ οὐκ] παρ' ὃ V 19 καινὸν αὐτῶ V 21 ἐστι] τιϲ V 26 οὕτω om. V καλέσαι S 30 ἡμῖν A 34 ἀναθεματίζει SD 36 εὐδόκησεν DA 37 εὐαγγελίζομαι V 38 τὰ om. V

μυσταγωγίαν καὶ ἀποκάλυψιν οὐκ ἔδει τῆς ἐξ ἀνθρώπων παιδαγωγίας. πλὴν ἐκεῖνο φαμέν· τίνα ἀπεκάλυψεν ὁ πατὴρ τῷι μακαρίωι Παύλωι ἢ τίνα προστέταχεν ἐν τοῖς ἔθνεσιν εὐαγγελίσασθαι; ἆρα θεὸν λόγον καὶ υἱὸν μονογενῆ οὐχ ἑνωθέντα σαρκὶ καὶ γενόμενον ἄνθρωπον οἰκονομικῶς; εἶτα πῶς τοῦτό ἐστιν ἀληθές; διεκήρυξε γὰρ ἄνθρωπόν τε ὁμοῦ καὶ θεὸν τὸν αὐτὸν καὶ ἕνα λέγων υἱὸν καὶ κύριον Ἰησοῦν Χριστόν. PG 1328

206 Εἰδότες δὲ ὅτι οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων νόμου ἐὰν μὴ διὰ πίστεως Ἰησοῦ Χριστοῦ, καὶ ἡμεῖς εἰς Χριστὸν Ἰησοῦν ἐπιστεύσαμεν, ἵνα δικαιωθῶμεν ἐκ πίστεως Χριστοῦ καὶ οὐκ ἐξ ἔργων νόμου. Εἰ τὸ πιστεῦσαι θεῶι μισθὸν ἔχει τὴν δικαίωσιν (δεδικαίωνται γὰρ οὕτω καὶ οἱ πρὸ ἡμῶν· γέγραπται γὰρ ὅτι ἐπίστευσεν Ἀβραὰμ τῶι θεῶι καὶ ἐλογίσθη αὐτῶι εἰς δικαιοσύνην ἡ πίστις), πῶς οὐ θεὸς ὁ Ἐμμανουήλ, εἴπερ ἐστὶν ἀληθὲς ὡς εἰς αὐτὸν πιστεύοντες δικαιούμεθα; Gal. 2, 16 Rom. 4, 3

Ἐκ τῆς πρὸς Ἐφεσίους

207 Ἐν ᾧι ἀκούσαντες καὶ ὑμεῖς τὸν λόγον τῆς ἀληθείας, τὸ εὐαγγέλιον τῆς σωτηρίας ὑμῶν, ἐν ᾧι καὶ πιστεύσαντες ἐσφραγίσθητε τῶι πνεύματι τῆς ἐπαγγελίας, ὃ τῶν ἁγίων ἐστὶν ἀρραβὼν τῆς κληρονομίας ἡμῶν εἰς ἀπολύτρωσιν τῆς περιποιήσεως εἰς ἔπαινον δόξης αὐτοῦ. Πολλὰ κατὰ ταυτὸν ἐν ταῖς τῶν προκειμένων ἐννοίαις κατίδοι τις ἄν, δι' ὧν ἔνεστι μαθεῖν ὅτι θεὸς ἀληθὴς ὁ Χριστὸς καὶ ἡ παρὰ πάντων πίστις εἰς αὐτὸν οὐχ ὡς εἰς ἕνα τῶν καθ' ἡμᾶς ἁπλῶς, ἀλλ' ὡς εἰς ἕνα κύριον καὶ υἱὸν καὶ θεόν. πρῶτον μὲν γὰρ αὐτός ἐστιν τὸ εὐαγγέλιον τῆς σωτηρίας ἡμῶν, ἐν ᾧι καὶ ἡ πίστις, ὡς εἰς θεὸν δηλονότι· ἀκολουθεῖ δὲ καὶ τὸ τῆς πίστεως γέρας, τουτέστι τὸ πνεῦμα τῆς ἐπαγγελίας, ὁ τῆς κληρονομίας ἡμῶν ἀρραβών. ἐκλελυτρώμεθα γὰρ εἰς ἔπαινον δόξης Χριστοῦ· σέσωκε γὰρ ἡμᾶς οὐχ ὡς ἄνθρωπος κοινός, ἀλλ' ὡς θεὸς ἐν σαρκὶ γεγονὼς δι' ἡμᾶς. οὕτω γὰρ εἰς ἔπαινον ἐσόμεθα τῆς δόξης αὐτοῦ. Eph. 1, 13.14 P 256

208 Τούτου χάριν ἐγὼ Παῦλος ὁ δέσμιος τοῦ Χριστοῦ Ἰησοῦ ὑπὲρ ὑμῶν τῶν ἐθνῶν, εἴ γε ἠκούσατε τὴν οἰκονομίαν τῆς χάριτος τοῦ θεοῦ τῆς δοθείσης μοι εἰς ὑμᾶς, ὅτι κατὰ ἀποκάλυψιν ἐγνωρίσθη μοι τὸ μυστήριον, καθὼς προέγραψα ἐν ὀλίγωι, πρὸς ὃ δύνασθε ἀναγινώσκοντες νοῆσαι τὴν σύνεσίν μου ἐν τῶι μυστηρίωι τοῦ Χριστοῦ. Ποία συνέσεως χρεία καὶ ἀποκαλύψεως τῆς παρὰ θεοῦ πρὸς τὸ γνωρισθῆναι τὸ μυστήριον τοῦ Χριστοῦ, εἴπερ ἐστὶν ἄνθρωπος ἰδικῶς καὶ ὁλοτρόπως κεχωρισμένος τοῦ θεοῦ λόγου, ψιλῆι προσώπων ἑνώσει τετιμημένος; τί γὰρ ἔχει τὸ κεκρυμμένον ἢ ποῖον ὅλως τὸ δυσχερὲς τὸ νοῆσαι τυχὸν περὶ ἑνὸς τῶν καθ' ἡμᾶς ἀνθρώπου ὅτι ἄνθρωπός ἐστι; βαθὺ δὲ καὶ μέγα τὸ μυστήριον, εἰ καθ' ἡμᾶς γενέσθαι λέγοιτο θεὸς ὑπάρχων ὁ λόγος. ὅτε τοίνυν οἱ βαθεῖς εἰς σύνεσιν καὶ τὴν θείαν ἀποκάλυψιν ἐσχηκότες ὡς θεῖον ἡμῖν μυστήριον παραδεδώκασι τὸ Χριστοῦ μυστήριον καὶ εἰς αὐτὸν ἡ πίστις ὡς εἰς θεὸν δηλονότι, πῶς οὐκ ἂν εἴη θεός; Eph. 3, 1-4

209 Ἄλλο τούτωι προσεοικὸς καὶ τὴν αὐτὴν ἔχον διάνοιαν· ἐμοὶ τῶι ἐλαχιστοτέρωι πάντων τῶν ἁγίων ἐδόθη ἡ χάρις αὕτη ἐν τοῖς ἔθνεσιν εὐαγγελίσασθαι τὸ ἀνεξιχνίαστον πλοῦτος τοῦ Χριστοῦ καὶ φωτίσαι τίς ἡ οἰκονομία τοῦ μυστηρίου τοῦ ἀποκεκρυμμένου ἀπὸ τῶν αἰώνων ἐν τῶι θεῶι τῶι τὰ πάντα κτίσαντι. P 257 PG 1329 Eph. 3, 8. 9

VS, D [= mn], A

4 ἐστιν om. D 5 ὁμοῦ τὸν αὐτὸν καὶ θν̄ SD 8 οὐκ om. S 15 ὑμῶν V 17 αὐτῆσ A 17/18 κατ' αὐτὸν SD 21 καὶ² om. V 26 ἡμῶν S 29 ἃ V 33 ἔχει] ἐστι A 34 τῶν A τοῦ VSD 35 ἐν συνέσει A 37 εἰς² om. V 38 ἐλαχιστωτέρω A 40 τὸν — πλοῦτον VD τοῦ² om. V

210 Οἱ ἄνδρες, φησίν, ἀγαπᾶτε τὰς γυναῖκας, καθὼς καὶ ὁ Χριστὸς ἠγάEph. 5, 25.26 πησε τὴν ἐκκλησίαν καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ αὐτῆς, ἵνα αὐτὴν ἁγιάσηι, καθαρίσας τῶι λουτρῶι τοῦ ὕδατος ἐν ῥήματι. Ποῖον ἄρα τὸ ῥῆμά ἐστιν ἐν
Hebr. 10, 23 ὧι κεκαθάρμεθα ἀπολουσάμενοι τὸ σῶμα ὕδατι καθαρῶι ἢ πάντως ἐκεῖνο περὶ οὗ φησιν
Rom. 10, 8-10 ὁ θεσπέσιος Παῦλος ὅτι τοῦτό ἐστι τὸ ῥῆμα, τῆς πίστεως ὃ κηρύσσομεν ὅτι ἐὰν ὁμολογήσηις ἐν τῶι στόματί σου κύριον Ἰησοῦν καὶ πιστεύσηις ἐν τῆι καρδίαι σου ὅτι ὁ θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσηι. καρδίαι γὰρ πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν. οὐκοῦν εἰ Χριστὸν ὁμολογοῦντες ἐν πίστει σωιζόμεθα, πῶς οὐ θεὸς ἀληθής ἐστιν εἰς ὃν τὸ τῆς πίστεως εἰ γένοιτο ῥῆμα, κεκαθάρμεθά τε καὶ ἡγιάσμεθα;

Ἐκ τῆς πρὸς Φιλιππησίους

211 Τί γάρ, φησί, πλὴν ὅτι παντὶ τρόπωι, εἴτε προφάσει εἴτε ἀληθείαι,
Phil. 1, 18 Χριστὸς καταγγέλλεται; Ἆρα οὖν ὡς ἄνθρωπος τετιμημένος χάριτι τῶι κόσμωι κηρύσσεται; καίτοι θεὸν ὁ κόσμος ἐπέγνω Χριστόν, τῆι πίστει τετιμηκώς. πῶς οὖν οὐ θεὸς ὁ ἐν δόξηι θεότητος τῶι κόσμωι καταγγελλόμενος;

212 Συναθλοῦντες, φησί, τῆι πίστει τοῦ εὐαγγελίου καὶ μὴ πτυρόμενοι ἐν
Phil. 1, 27-29 P 258 μηδενὶ ὑπὸ τῶν ἀντικειμένων, ἥτις ἐστὶν αὐτοῖς ἔνδειξις ἀπωλείας, ἡμῶν δὲ σωτηρίας, καὶ τοῦτο ἀπὸ θεοῦ, ὅτι ἡμῖν ἐχαρίσθη τὸ ὑπὲρ Χριστοῦ, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν. Εἰ ἐν χάριτος μέρει δεχόμεθα παρὰ θεοῦ τὸ πιστεύειν ἐν Χριστῶι, οὐ πεπλανήμεθα δὲ διὰ τοῦτο μᾶλλον, ἀλλ' ἐγνώκαμεν τὸν φύσει τε καὶ ἀληθῶς ὄντα θεόν, πῶς ἂν ἐνδοιάσειέ τις ὅτι θεὸς ὁ Χριστός;

Ἐκ τῆς πρὸς Τιμόθεον

213 Πιστὸς ὁ λόγος καὶ πάσης ἀποδοχῆς ἄξιος ὅτι Χριστὸς Ἰησοῦς ἦλ1 Tim. 1, 15. 16 θεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι· ὧν πρῶτος εἰμὶ ἐγώ, ἀλλὰ διὰ τοῦτο ἠλεήθην, ἵνα ἐν ἐμοὶ πρώτωι ἐνδείξηται Χριστὸς Ἰησοῦς τὴν ἅπασαν μακροθυμίαν πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν ἐπ' αὐτῶι εἰς ζωὴν αἰώνιον. Εἰ ἁμαρτωλοὺς σώιζει Χριστὸς καὶ μακροθυμεῖ τοῖς πλημμελήσασι, δεχόμενος αὐτῶν τὴν μετάγνωσιν, καὶ εἰ πᾶσα ἡμῶν ἡ πίστις ἐπ' αὐτῶι καὶ διὰ τῆς εἰς αὐτὸν πίστεως τὴν ζωὴν τὴν αἰώνιον κεκερδήκαμεν, πῶς οὐ θεὸς εἴη ἄν; ὅτι καὶ μόνωι θεῶι πρέποι ἂν εἰκότως τὸ καὶ σώιζειν δύνασθαι τὸν κόσμον ἤτοι τοὺς ἐν τῶι κόσμωι καὶ μακροθυμεῖν τοῖς ἁμαρτάνουσι καὶ ζωοποιεῖν διὰ τῆς πίστεως τῆς εἰς αὐτόν.

PG 1332 **214** Καὶ ὁμολογουμένως μέγα ἐστὶ τὸ τῆς εὐσεβείας μυστήριον, ὃς ἐφα1 Tim. 3, 16 νερώθη ἐν σαρκί, ἐδικαιώθη ἐν πνεύματι, ὤφθη ἀγγέλοις, ἐκηρύχθη ἐν ἔθνεσιν, ἐπιστεύθη ἐν κόσμωι, ἀνελήφθη ἐν δόξηι. Τίς ὁ ἐν σαρκὶ φανερωθεὶς ἢ δῆλον ὅτι πάντηι τε καὶ πάντως ὁ ἐκ θεοῦ πατρὸς λόγος; οὕτω γὰρ ἔσται μέγα
P 259 τὸ τῆς εὐσεβείας μυστήριον. ὤφθη δὲ ἀγγέλοις ἀναβαίνων εἰς οὐρανούς, ἐκηρύχθη ἐν ἔθνεσι διὰ τῶν ἁγίων ἀποστόλων, ἐπιστεύθη δὲ καὶ ἐν κόσμωι καὶ οὔ τί που φαμὲν ὅτι καθ' ἡμᾶς ἄνθρωπος ἁπλῶς, ἀλλ' ὡς θεὸς ἐν σαρκὶ καὶ καθ' ἡμᾶς γεγονώς. ἀνελήφθη

VS, D [= mn], A

2 παραδέδωκεν S 3 ἐστὶ τὸ ῥῆμα V 6 ἰν̄ χν̄ V 14 οὐ] ὁ V 16 συναθροῦντεσ S 17 αὐτοῖς om. V ἡμῖν A 19 ἑαυτὸν S 24 ὑποδοχῆσ S 25 ὧν] ὃν V 26 ἐληλύθην A 27 ἐπ' αὐτῶι] εἰσ αὐτὸν V 28/29 πλημμελήμασι VSD 29 ἡμῶν om. V 32 ἑαυτόν VA 33 ὃς legit Cyrillus cf. p. 43, 25 θ̄ῡ̄ VSDA 35 ὁ ἐν VA οὖν SD 37 μυστήριον θ̄ῡ̄ ἐφανερώθη ἐν σαρκὶ V 38 καὶ[1] om. V ὅτι om. SD

δὲ καὶ ἐν δόξῃ, ἵνα λέγοντος ἀκούσῃ τοῦ θεοῦ καὶ πατρός· κάθου ἐκ δεξιῶν μου, Ps. 109, 3
ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.

Ἐκ τῆς πρὸς Τίτον

215 Πιστὸς ὁ λόγος, καὶ περὶ τούτων βούλομαί σε διαβεβαιοῦσθαι, ἵνα Tit 3, 8
φροντίζωσι καλῶν ἔργων προίστασθαι οἱ πεπιστευκότες θεῷ. Ἆρα 5
οὖν οἱ θεῷ πιστεύοντες οὐκ εἰς Χριστὸν πεπιστεύκασι; καίτοι λέγων ὁρᾶται σαφῶς ὁ
μακάριος Ἰωάννης περὶ αὐτοῦ· ὅσοι δὲ ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν Ioh. 1, 12
τέκνα θεοῦ γενέσθαι τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ, καὶ μὴν καὶ
αὐτὸς ὁ μακάριος Παῦλος· εἰδότες δὲ ὅτι οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων Gal. 2, 16
νόμου ἐὰν μὴ διὰ πίστεως Ἰησοῦ Χριστοῦ, καὶ ἡμεῖς εἰς Χριστὸν Ἰησοῦν 10
ἐπιστεύσαμεν, ἵνα δικαιωθῶμεν ἐν αὐτῷ. ὅτε τοίνυν θεῷ πιστεύουσιν
οἱ Χριστῷ τὴν πίστιν προσάγοντες, πῶς οὐκ ἂν εἴη θεὸς ἀληθής;

Ὅτι εἰς Χριστὸν ἡ πίστις

Ἐκ τοῦ κατὰ Ἰωάννην εὐαγγελίου

216 Ὅσοι δὲ ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι 15 Ioh. 1, 12
τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ. Δύο κατὰ ταυτὸν τίθησι θεοπρεπῆ·
παραλαμβάνεται γὰρ οὐχ ἑτέρως παρ' ἡμῶν ὁ Χριστός. πλὴν ὅτι δὲ εἰς αὐτὸν ἡ πί-
στις, σαφηνιεῖ τὸ προκείμενον· τοῖς γὰρ πιστεύουσί φησιν εἰς τὸ ὄνομα αὐτοῦ. P 260
πιστεύομεν δὲ εἰς τὸ ὄνομα αὐτοῦ, οὐκ ἄνθρωπον εἶναι κοινὸν καὶ ἕνα τῶν καθ' ἡμᾶς
πιστεύοντες, ἀλλὰ θεὸν ἐνηνθρωπηκότα. οὐκ ἀνθρώπινον δὲ τὸ ἐξουσίαν διδόναι τέκνα 20
θεοῦ γενέσθαι, θεοπρεπὲς δὲ μᾶλλον καὶ ὑπὲρ τὴν κτίσιν. ὅτε τοίνυν εἰς αὐτὸν ἡ
πίστις καὶ αὐτὸς δίδωσι τῆς υἱοθεσίας τὴν χάριν, πῶς οὐ θεὸς ὁ Χριστός;

217 Ταύτην ἐποίησεν ἀρχὴν τῶν σημείων ὁ Ἰησοῦς ἐν Κανᾷ τῆς Γαλι- Ioh. 2, 11
λαίας καὶ ἐφανέρωσε τὴν δόξαν αὐτοῦ καὶ ἐπίστευσαν εἰς αὐτὸν οἱ μαθη-
ταὶ αὐτοῦ. Γεγονότος ἄρα τοῦ σημείου καὶ φανερώσαντος τοῦ Χριστοῦ τὴν δόξαν 25
αὐτοῦ, ὡς εἰς τίνα πεπιστεύκασιν οἱ μακάριοι μαθηταί; ἆρα εἰς ἄνθρωπον ἅγιον ἁπλῶς;
καίτοι πρὸ τοῦ σημείου ἠκολούθησαν αὐτῷ τεθαυμακότες ὡς ἅγιον· ἀλλὰ τεθέανται διὰ
τοῦ σημείου τὴν ὑπὲρ ἄνθρωπον δύναμίν τε καὶ ἐξουσίαν ἔχοντα. οὐκοῦν πεπιστεύ- PG 1333
κασιν ὡς εἰς θεόν. ἰστέον δὲ ὅτι πολλοὶ τῶν ἁγίων πολλὰ πεποιήκασι καὶ παράδοξα
καὶ ἐθαυμάσθησαν μέν, ἐπίστευσε δὲ εἰς αὐτοὺς οὐδείς. 30

218 Ἔχοι δ' ἂν τὴν ἴσην διάνοιαν· ὡς δὲ ἦν ἐν τοῖς Ἱεροσολύμοις ἐν τῷ πάσχα Ioh. 2, 23
ἐν τῇ ἑορτῇ, πολλοὶ ἐπίστευσαν εἰς τὸ ὄνομα αὐτοῦ, θεωροῦντες αὐτοῦ
τὰ σημεῖα ἃ ἐποίει.

219 Οὐ γὰρ ἀπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ εἰς τὸν κόσμον, ἵνα κρίνῃ Ioh. 3, 17. 18
τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ. ὁ πιστεύων εἰς αὐτὸν οὐ 35
κρίνεται· ὁ δὲ μὴ πιστεύων ἤδη κέκριται, ὅτι μὴ πεπίστευκεν εἰς τὸ ὄνομα
τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ. Εἰ σωτηρίας ὁδός ἐστιν ἡ πίστις ἡ εἰς τὸν υἱόν,
πῶς ἄρα πιστεύομεν εἰς αὐτόν; ἢ πῶς τὴν ἐκ τοῦ κρίνεσθαι διαφευξόμεθα δίκην; ἆρα γὰρ
ὡς ἄνθρωπον καταδεξάμενοι καὶ ἕτερον παρὰ τοῦτο οὐδέν; εἶτα πῶς οὐκ ἀνθρώπῳ λα- P 261
τρεύσομεν; ἀλλ' ὡς εἰς θεόν· τοῦτο γὰρ ἀληθές. τίς οὖν ὁ φάναι τολμῶν οὐκ εἶναι 40
κατὰ ἀλήθειαν θεόν, οὗ δεδικαίωκεν ἡ πίστις τὴν ὑπ' οὐρανόν;

3—12 Tim. arm. p. 314

VS, D [= mn], A

3 Τιμόθεον πρώτης Tim. 5 φροντίζουσι D 12 χω — προσάγοντες VA Tim. πιστεύοντες εἰσ χν SD 16 κατ' αὐτὸν SD 23 τὴν ἀρχὴν SD 26 μακάριοι om. V 27 καίτοι A καίτοι καὶ VSD 33 ἐποίη V 37 ἡ² om. V 39/40 λατρεύσωμεν S

220 Ἔγνω οὖν ὁ πατὴρ ὅτι ἐν ἐκείνῃ τῇ ὥρᾳ ἐν ᾗ εἶπεν αὐτῷ· ὁ υἱός
Ioh. 4, 53 σου ζῇ, καὶ ἐπίστευσεν εἰς αὐτὸν αὐτὸς καὶ ἡ οἰκία αὐτοῦ ὅλη. Ἀνέ-
Ioh. 4, 50 στησεν ἐκ νεκρῶν τοῦ βασιλικοῦ τὸν υἱὸν ὁ Χριστός, εἰρηκὼς αὐτῷ· πορεύου, ὁ υἱός σου ζῇ· εἶτα πεπίστευκε πανοικί. ἆρ' οὖν διὰ τῆς οὕτω μεγάλης καὶ θεοπρεποῦς ἐξουσίας ὡς εἰς ἄνθρωπον πεπίστευκεν ὁ βασιλικὸς ἢ θεὸν ἔγνω κατὰ φύσιν ὄντα αὐτὸν καὶ ζωοποιοῦντα μετ' ἐξουσίας οὓς ἂν ἔλοιτο, καὶ μόνωι ῥήματι; ἀλλ' ἐστὶ δῆλον ὅτι πεπίστευκεν ὡς θεῶι.

221 Ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι ὁ τὸν λόγον μου ἀκούων καὶ πιστεύων τῶι
Ioh. 5, 24 πέμψαντί με ἔχει ζωὴν αἰώνιον. Πέπομφεν ἡμῖν ἐξ οὐρανῶν ὁ θεὸς καὶ πατὴρ
Ioh. 3, 16 τὸν ἴδιον υἱόν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλὰ ἔχηι ζωὴν αἰώνιον. πῶς οὖν ἐν τούτοις φησὶ ζωὴν αἰώνιον ἔχειν τὸν πιστεύοντα τῶι πέμψαντι αὐτόν; εἰς τίνα λοιπὸν ἡ πίστις; ἆρ' ὡς εἰς δύο θεούς, τὸν πατέρα καὶ αὐτόν; μὴ γένοιτο, ἀλλὰ ὡς εἰς ἕνα θεὸν καὶ ἀληθινόν. οὐκοῦν εἴ τις πιστεύσειεν εἰς Χριστόν, πεπίστευκεν εἰς θεόν, κἂν εἰ πιστεύσειεν εἰς θεὸν πατέρα, πεπιστευκὼς ἔσται καὶ εἰς τὸν ἕνα κύριον Ἰησοῦν Χριστόν.

222 Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτοῖς· τοῦτό ἐστι τὸ ἔργον τοῦ θεοῦ
Ioh. 6, 29 ἵνα πιστεύητε εἰς ὃν ἀπέστειλεν ἐκεῖνος. Εἰ τὸ τῶι θεῶι δοκοῦν ἐπιτελοῦμεν
P 262 πιστεύοντες εἰς Χριστόν (αὐτὸν γὰρ ἀληθῶς ἀπέστειλεν ὁ πατὴρ εἰς τὸν κόσμον, ὅτε γέγονεν ἄνθρωπος καθ' ἡμᾶς), πῶς οὐκ ἂν εἴη θεὸς ἀληθινός; οὐ γὰρ ἂν ἦν ἔργον θεοῦ τὸ πιστεύειν εἰς ἄνθρωπον.

223 Ἰησοῦς δὲ ἔκραξε καὶ εἶπεν· ὁ πιστεύων εἰς ἐμὲ οὐ πιστεύει εἰς ἐμέ,
Ioh. 12, 44.45 PG 1336 ἀλλ' εἰς τὸν πέμψαντά με καὶ ὁ θεωρῶν ἐμὲ θεωρεῖ τὸν πέμψαντά με, εἶτα
Ioh. 12, 49 προσεπάγει τούτοις· ἐγὼ ἐξ ἐμαυτοῦ οὐκ ἐλάλησα, ἀλλ' ὁ πέμψας με πατὴρ αὐτός μοι ἐντολὴν δέδωκε τί εἴπω καὶ τί λαλήσω. Ὅτε τοίνυν κατ' ἐντολὰς τοῦ πατρός, κἂν ὡς ἄνθρωπος λέγηι, τὴν πίστιν τὴν εἰς αὐτὸν εἰς τὸν πέμψαντα αὐτὸν ἀναφέρει καὶ ὁ θεωρῶν αὐτὸν θεωρεῖ τὸν πέμψαντα αὐτόν, τίς ὁ φάναι τολμῶν οὐκ εἶναι
Ioh. 14, 1 θεὸν αὐτὸν καὶ τοῦτον ἀληθινόν; ὅμοιον δὲ τούτωι· πιστεύετε εἰς τὸν θεόν, καὶ εἰς ἐμὲ πιστεύετε.

Ἐκ τοῦ κατὰ Λουκᾶν εὐαγγελίου

224 Πλὴν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐλθών, ἆρα εὑρήσει τὴν πίστιν ἐπὶ τῆς γῆς;
Lc. 18, 8 Ὅταν ὁ Χριστὸς ἐξ οὐρανοῦ παραγένηται, ποίαν ἄρα ζητήσει πίστιν ἐν ἡμῖν; εἰ μὲν γὰρ ὡς ἄνθρωπος καθ' ἡμᾶς πιστεύεσθαι βούλεται, τίς ὁ ἀπιστήσας αὐτῶι; ἐνεκάλουν γὰρ οἱ Ἰου-
Ioh. 10, 33 δαῖοι λέγοντες· διὰ τί σὺ ἄνθρωπος ὢν ποιεῖς ἑαυτὸν θεόν; Ἕλληνες δὲ σταυρὸν ἀκούοντες καὶ θάνατον, ὡς περὶ ἀνθρώπου κοινοῦ διάκεινται καὶ τῶν καθ' ἡμᾶς ἑνός. ποίαν οὖν ἄρα πίστιν ζητεῖ ἢ δηλονότι τὴν ἐκκεκηρυγμένην διὰ τῶν θεηγόρων, οἳ καὶ
Lc. 1, 2 αὐτόπται καὶ ὑπηρέται γεγόνασι τοῦ λόγου; ἔφη τοίνυν Ἰωάννης ὅτι ὁ λόγος
Ioh. 1, 14 σὰρξ ἐγένετο, γέγονε δὲ σὰρξ μετὰ τοῦ μεῖναι θεός. αὕτη τοίνυν ἡ πίστις ἐν ὑμῖν παρ' αὐτοῦ ζητηθήσεται κατὰ καιρούς.

VS, D [= mn], A

1 ὁ om. Sm ὥρα VA ἡμέρα SD 2 ἐπίστευσαν SD 4 καὶ om. SD 5 ὄντα κατὰ φύσιν ἔγνω D 9 ἡμῖν om. D οὐρανοῦ DA 10 ἔχει VS, corr. S 12 αὐτόν^{2}] τὸν υἱὸν V 14 τὸν θν^{1} V 15 τὸν χν V 16 ὁ ις V 18 ἀληθῶς om. V 19 θω V 20 ἄνθρωπον Pusey αὐτόν VSDA 25 λέγει V 31 πίστιν ζητήσει SD 32 βούλεται πιστεύεσθαι V οἱ om. A 37 ἡμῖν VD in fine add. τέλος λόγων [λόγων om. S] προσφωνητικῶν [προσφωνιτικῶν S] παρὰ κυρίλλου ἐπισκόπου ἀλεξανδρείας πρὸς τὰς εὐσεβεστάτας δεσποίνας VS

151 = S 133 A 164 Latina uersio extat in Collectione C 87. 88

Ὑπομνήματα πραχθέντα παρὰ τοῖς Ἀνατολικοῖς ἐπισκόποις ἐν οἷς καθαιροῦσι Κύριλλον καὶ L III 589
Μέμνονα τοὺς ἁγιωτάτους καὶ ἀκοινωνήτους ποιοῦσι πάντας τοὺς τῆς ἁγίας συνόδου M IIII 1260

1 Παρόντος ἐν τῶι οἰκείωι καταγωγίωι τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου Ἰωάννου τοῦ ἐπισκόπου τῆς Ἀντιοχέων μητροπόλεως τῆς Ἀνατολικῆς διοικήσεως καὶ τῆς σὺν αὐτῶι ἁγίας συνόδου, ὁ μεγαλοπρεπέστατος καὶ ἐνδοξότατος Κανδιδιανὸς ὁ κόμης τῶν καθωσιωμένων δομεστίκων εἶπεν· Ἐμοὶ μὲν εὐχῆς ἔργον ἦν καὶ τῆς σῆς θεοσεβείας παρούσης καὶ πάσης ὁμοῦ τῆς συνόδου συναχθείσης εἰς ἓν τὰ γράμματα τῶν δεσποτῶν ἡμῶν καὶ εὐσε- ep. 31
βεστάτων βασιλέων ἀποδοῦναι, ὥστε πάσης, ὡς προεῖπον, τῆς συνόδου συναχθείσης τὸ
τηνικαῦτα τὰ προστεταγμένα παρ' αὐτῶν γενέσθαι. ἀλλὰ πρὸ τούτων ἡμερῶν πέντε ὁ d. 22. m.
εὐλαβέστατος ἐπίσκοπος Κύριλλος καὶ Μέμνων ὁ τῆσδε τῆς πόλεως ἐπίσκοπος καὶ οἱ σὺν Iun. 431
αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι συναχθέντες ἐν τῆι ἁγίαι ἐκκλησίαι ἐκωλύοντο παρ' ἐμοῦ καθ' ἑαυτοὺς συνεδρεύειν παρὰ τὰ τεθεσπισμένα παρὰ τῶν δεσποτῶν ἡμῶν καὶ εὐσεβεστάτων βασιλέων καὶ παρηινοῦντο ἀναμεῖναι τὴν πάντων ὑμῶν παρουσίαν· οἳ δὲ ἀπήιτουν παρ' ἐμοῦ τὸ ἀναγνωσθῆναι τὴν σάκραν. μὴ βουλόμενος δὲ τοῦτο ποιῆσαι διὰ τὸ μὴ
παρεῖναι τὴν σὴν ἁγιωσύνην πολλούς τε ἑτέρους ἐπισκόπους καὶ μητροπολίτας μηδέπω M IIII 1261
ἐληλυθέναι, ἠναγκάσθην παρ' αὐτῶν διὰ τὸ εἰρηκέναι αὐτοὺς ὅτιπερ ἀγνοοῦσι τί ἂν εἴη τὸ γραφὲν παρὰ τῶν δεσποτῶν ἡμῶν. τούτου ἕνεκεν συναχθέντων αὐτῶν ἀναγκασθείς, ὑπὲρ τοῦ μὴ δοῦναι πρόφασιν ἀταξίας, ἀνέγνων αὐτοῖς τὴν σάκραν καὶ παρὼν καὶ μέλλων ἐξιέναι διεμαρτυράμην αὐτοὺς μηδὲν προπετὲς πρᾶξαι, καθώσπερ καὶ πολλοὶ τῶν ἁγιωτάτων ἐπισκόπων τῶν σὺν ἐμοὶ πρὸς αὐτοὺς εἰσελθόντων ἴσασιν. οἳ δὲ οὐδὲ οὕτως ἀνασχόμενοι ἔπραξαν ἅπερ αὐτοῖς ἤρεσεν.

2 Ὁ θεοφιλέστατος ἐπίσκοτος Ἰωάννης εἶπεν· Εὐχῆς ἔργον ἐπακοῦσαι τῶν εὐσεβῶν συλλαβῶν· χρὴ γὰρ μὴ καταστοχάζεσθαι τῶν πράγματων, ἀλλ' ἐπ' αὐτοῦ βαίνειν τοῦ ἀλη- L III 592
θοῦς καὶ μαθεῖν τὸν εὐσεβῆ σκοπὸν τῶν θεοφιλεστάτων ἡμῶν βασιλέων, οἵτινες πᾶσαν σπουδὴν ἔχουσιν ὑπὲρ τῶν τοῦ Χριστοῦ ἐκκλησιῶν καὶ προτιμῶσι τούτου οὐδέν. γνωρισάτω οὖν ἡμῖν ἡ ὑμετέρα μεγαλοπρέπεια τίνα ἐστὶ τὰ παρακαλουθήσαντα ἀναγνωσθέντων αὐτοῖς τῶν θεοφιλεστάτων τούτων γραμμάτων.

3 Ὁ μεγαλοπρεπέστατος κόμης Κανδιδιανὸς εἶπεν· Ἀναγινωσκομένης τῆς σάκρας ἐπευφήμησαν πάντες, ὡς νομίσαι με ὅτι ἀληθῶς εἴκουσι πᾶσι τοῖς παρὰ τῶν εὐσεβῶν ἡμῶν βασιλέων θεσπισθεῖσι, καὶ ἔχαιρον ἐγὼ τούτοις. μετὰ δὲ ταῦτα παρακαλοῦντός μου εἶναι πάντας τοῖς γράμμασιν, οὐδεὶς ἐμοῦ ἀνασχέσθαι ἐβούλετο, ἀλλὰ μεθ' ὕβρεως τοὺς εὐλαβεστάτους ἐπισκόπους τοὺς παρὰ τοῦ ἁγιωτάτου ἐπισκόπου Νεστορίου ἀποσταλέντας καὶ τοὺς σὺν αὐτοῖς ἐξέωσαν, κἀμὲ δὲ πάλιν ἐπὶ πολὺ παρακαλοῦντα ἐξέωσαν τοῦ συνεδρίου, ὡσανεὶ οὐκ ὀφείλοντα κοινωνῆσαι τοῖς παρ' αὐτῶν τυπουμένοις. ἄλλως δὲ οὐδὲ τὸ
ἀποσταλὲν αὐτοῖς παραναγνωστικὸν παρὰ τῶν εὐλαβεστάτων ἐπισκόπων συνεχώρησαν Coll. C
ἀναγνωσθῆναι, ὡς οἱ σὺν ἐμοὶ γενόμενοι ἁγιώτατοι ἐπίσκοποι ἴσασι καὶ μαρτυροῦσι τοῖς ep. 82

VS, D [mn], AΛ

ρνα V ρκς' D βιβλίον β' in mg. m 2/3 Ὑπομνήματα — συνόδου om. S 2 πραχθέντα A πραχθέντα ἐν ἐφέσωι D om. V τῶν τῆς ἀνατολῆς ἐπισκόπων D 2/3 καθαιροῦσι — συνόδου VA κύριλλον καὶ μέμνονα καθαιρέσει ὑποβάλλουσιν ἐπὶ παρουσία κανδιδιανοῦ D 4 praemittit *Antiocho cons. VI Kal. Iul.* [d. 26. m. Iun. 431] Λ παρόντεσ S τοῦ² om. A 7 δομεστίκων om. V 11 εὐλαβέστατοσ VAΛ εὐλαβέστατοσ καὶ θεοφιλέστατοσ SD *huius id est Ephesiae* Λ 12 ἁγία VAΛ om. SD 13 θεσπισθέντα SD 14 ἡμῶν SD, corr. S 20 καὶ om. SD 24 στοχάζεσθαι D 25 εὐσεβεστάτων D δεσποτῶν V 28 τούτων om. A 30 ἡμῶν om. A 31 με S 32 οὐδεὶς τ' V ἀνέχεσθαι A ἠβούλετο SD 33 ἐπισκόπου om. SD 34 παρακαλοῦντεσ S 35 ὠφείλοντεσ S δὲ] τε δὲ D 36 ἐπαναγνωστικὸν D

cf. Coll. C 86a περ' ἐμοῦ ἀκολούθως γεγενημένοις. ταῦτα δὲ πάντα καὶ εἰς γνῶσιν τῶν δεσποτῶν τῆς οἰκουμένης ἀνηνέγκαμεν δηλοῦντες ὅτι τῆς σῆς ἁγιωσύνης τὴν παρουσίαν καὶ τῶν σὺν αὐτῇ ἁγιωτάτων ἐπισκόπων ἀναμένομεν.

4 Ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος Ἰωάννης εἶπεν· Ἀναγνωσθήτω καὶ ἡμῖν τὰ εὐσεβῆ
ep. 25. 31 γράμματα.

5 Τῶν δὲ ἁγιωτάτων ἐπισκόπων ἀναστάντων ἀνέγνω ὁ μεγαλοπρεπέστατος κόμης Κανδιδιανός. τούτου δὲ γενομένου καὶ ἐπευξαμένων τῶν θεοφιλεστάτων ἐπισκόπων τῶι εὐσεβεῖ αὐτῶν κράτει, ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος Ἰωάννης εἶπεν· Ἤρκει μὲν αὐτοῦ τοῦ εὐσεβοῦς γράμματος ἡ γαληνότης πρὸς πᾶσαν αὐτοὺς ἀγαγεῖν εὐταξίαν, εἰ καὶ ἔξω ἦσαν τοῦ ἱερατικοῦ τάγματος· ἀλλ' ἐπειδή, ὡς εἶπεν ὑμῶν ἡ μεγαλοπρέπεια, θορύβου καὶ ἀταξίας μετὰ τὴν ἀνάγνωσιν τῶν γραμμάτων τὰ πάντα ἐπλήρωσαν καὶ ὕβρεις ἐπήγαγον καὶ τοῖς θεοφιλεστάτοις ἐπισκόποις καὶ τῇ σῇ μεγαλοπρεπείαι, ἐπιστάντες ἡμεῖς μετὰ τῆς πρεπούσης εὐταξίας καὶ τοῦ γράμματος ἐπηκούσαμεν καὶ τὸν σκοπὸν τῶν θεοφιλεστάτων ἡμῶν βασιλέων εἰς ἔργον ἀγαγεῖν ἑτοίμως ἔχομεν, θεοῦ ἐπιτρέποντος. παρακαλῶ δὲ καὶ εἴ ἕτερόν τι πέπρακται παρ' αὐτῶν, μαθεῖν παρὰ τῆς σῆς μεγαλοπρεπείας.

6 Ὁ μεγαλοπρεπέστατος κόμης Κανδιδιανὸς εἶπεν· Ἐπειδὴ πάντα ἀκριβῶς ζητεῖ ἡ σὴ
M IIII 1264 d. 23. m. Iun. 431 ἁγιωσύνη καὶ ἀκολούθως, δίκαιον καὶ τὰ λοιπὰ λέγεσθαι παρ' ἐμοῦ. τῇι γὰρ ἑξῆς ἡμέραι ἀγνοῶν πάντηι τὰ πεπραγμένα, ἐξαίφνης ἤκουον τὸν ἁγιώτατον ἐπίσκοπον Νεστόριον καθηιρῆσθαι παρ' αὐτῶν προτεθέν τε γράμμα τὸ καθαιρετικὸν ἀποσπάσας ἀνέγνων, ὅπερ ἀπέστειλα τοῖς εὐσεβεστάτοις ἡμῶν βασιλεῦσι. μετ' ὀλίγον δὲ κατὰ τὴν ἀγορὰν ἤκουον καὶ δημοκήρυκας περιόντας τὴν καθαίρεσιν τοῦ μνημονευθέντος ἁγιωτάτου ἐπισκόπου Νε-
Coll. C ep. 86 στορίου ἐκπομπεύειν. ταῦτα τοίνυν γνούς, ἐνοχὰς αὐτοῖς ἀπέστειλα πρὸς τὸ μηδὲν
L III 593 πρᾶξαι παρὰ τὰ προσταχθέντα παρὰ τῶν εὐσεβεστάτων ἡμῶν βασιλέων. οὐδὲν δὲ ἧττον
Coll. C ep. 85 καὶ τοὺς ἁγιωτάτους ἐπισκόπους μεθώδευσα τοὺς μὴ συναθροισθέντας μετ' αὐτῶν ἀναμεῖναι τὴν τῆς ὑμετέρας ἁγιωσύνης παρουσίαν.

7 Ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος Ἰωάννης εἶπεν· Ἀκολούθως τοῖς κανόσι καὶ τοῖς ἐκκλησιαστικοῖς θεσμοῖς καὶ τῶι βασιλικῶι γράμματι ἐπὶ παρουσίαι πάντων διαλεχθέντες καὶ ἐπερωτήσαντες τὰ εἰκότα καὶ τυχόντες ἀποκρίσεως, ἦλθον ἐπὶ τοῦτο ἐλέγχων γενομένων ἢ ἐρήμην κατεδίκασαν τὸν ἄνδρα;

8 Ὁ μεγαλοπρεπέστατος κόμης Κανδιδιανὸς εἶπεν· Ἴσασι πάντες οἱ συμπαρόντες μοι θεοσεβέστατοι ἐπίσκοποι ὡς χωρίς τινος κρίσεως καὶ ἐξετάσεως καὶ ζητήσεως τὰ παρ' αὐτῶν τετύπωται.

9 Ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος Ἰωάννης εἶπεν· Μάλιστα μὲν οὐδὲ τὰ ἐφ' ἡμῶν αὐτοῖς πραχθέντα ἀκόλουθα ἦν· δέον γὰρ αὐτοὺς τοὺς ἄρτι ἐξ ἀποδημίας οὕτω μακρᾶς ἥκοντας ἀδελφικῶς ἀσπάσασθαι καὶ κεκονιαμένους ἔτι φιλοφρονήσασθαι καὶ ἀνακτήσασθαι ἀδελφικῇ διαθέσει, εὐθὺς ἦλθον ταράσσοντες ἡμᾶς καὶ θορυβοῦντες καὶ τὴν συνήθη ἀταξίαν ἐπιδεικνύμενοι. ἀλλ' ὅμως τούτοις ἡ ⟨νῦν⟩ συνοῦσά μοι ἁγία σύνοδος οὐδὲ τὰς ἀκοὰς

4—7 *haec in obscuram breuitatem contracta esse apparet ex* Λ

VS, D [= mn], ΑΛ

2 δηλούντων S 4 ἐπίσκοποσ SD 6 δὲ om. SD ἀνέγνωσεν V 7 γεναμένου S 8 αὐτοῦ VAS αὐτοῖσ S^{corr}D 9/10 ἐξῶσαν VA 11 μεστὰ μετὰ SD ἐποίησαν D 12 καὶ[1] SAΛ om. VD 13 προσηκούσησ A 14 προθύμωσ V 15 τι ΑΛ om. VSD 19 ἐπισπάσας V 20 καὶ κατὰ SD τῆσ ἀγορᾶσ SDA 21 περιιόντασ SDA ἐπισκόπου VAΛ om. SD 22 ἐκπομπεύειν om. V ἐνοχὰσ SD *preces* Λ ἐν εὐχαῖς V καὶ εὐχὰσ A ἀπέστειλα αὐτοῖς V 23 προστεταχθέντα V 24 ἡμῶν ἐπισκόπους V ἐμεθόδευσα V 27 θεσπίσμασι V 30 μοι om. SD 31 θεοσεβέστατοι VAΛ θεοφιλέστατοι SD καὶ ζητήσεως VAΛ om. SD 33 ἐπίσκοπος D οὐδὲ SDAΛ οὖν δὴ V 34/35 οὕτω μακρᾶς ἥκοντασ ΑΛ οὕτω μακρὰν ἥκοντας V μακρᾶσ ἥκοντασ οὕτωσ SD 35 κεκονιωμένουσ A 37 νῦν Λ om. VSDA

ὑπέσχε. δοκιμάσει δὲ ἡ ἁγία σύνοδος τὰ ὀφείλοντα κατὰ τῶν οὕτως ἀθέσμως καὶ τυραννικῶς ἅπαντα συνταραξάντων ἀκολούθως τυπωθῆναι.

10 Τούτων οὕτως ἐχόντων καὶ ἐξελθόντος τοῦ μεγαλοπρεπεστάτου Κανδιδιανοῦ τοῦ κόμητος τῶν καθωσιωμένων δομεστίκων μετὰ τὴν τοῦ εὐσεβοῦς γράμματος ἀνάγνωσιν καὶ τὴν κατάθεσιν τῆς προειρημένης διηγήσεως, ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος Ἰωάννης εἶπεν· Ἀκήκοεν ἡ ὑμετέρα θεοσέβεια τοῦ τε εὐσεβοῦς γράμματος τῶν θεοφιλεστάτων ἡμῶν βασιλέων καὶ τῶν παρὰ τοῦ μεγαλοπρεπεστάτου κόμητος Κανδιδιανοῦ κατατεθέντων καὶ ἔγνω τὸν σκοπὸν τῶν εὐσεβεστάτων βασιλέων, ὡς πᾶσαν πρόνοιαν ποιούμενοι τῆς ἐκκλησιαστικῆς εἰρήνης καὶ τῆς ὑγιοῦς καὶ ἀπεριτρέπτου πίστεως καὶ τῶν ἀποστολικῶν δογμάτων τὴν ἁγίαν ἐνταῦθα συνήθροισαν σύνοδον, ἀξίως τοῦ θεοφιλοῦς αὐτῶν κράτους τοῦτο γενέσθαι προστάξαντες, ὥστε πάντας κατὰ ταυτὸν γενομένους τά τε ζητούμενα ἀδελφικῶς καὶ ὡς ἱερεῦσι πρέπει, βασανίσαι κατά τε πρότασιν καὶ λύσιν καὶ πεῦσιν καὶ ἀπόκρισιν ταραχῆς πάσης ἐκτὸς καὶ θορύβου χωρίς, μηδενὸς ἑτέρου ζητουμένου μήτε ἐγκληματικοῦ μήτε χρη- M IIII 1265
ματικοῦ κεφαλαίου πρὸ τῆς ἀκριβοῦς ἐρεύνης καὶ βεβαιώσεως τῆς εὐσεβοῦς πίστεως τῶν ἁγίων καὶ μακαρίων πατέρων τῶν ἐν Νικαίαι τῆς Βιθυνίας συνεληλυθότων. τί τοίνυν συνοραῖ ὑμῶν ἡ θεοσέβεια δεῖν γενέσθαι ἐπὶ τῆι τοσαύτηι τῶν εὐσεβῶν γραμμάτων καταφρονήσει;

11 Ἡ ἁγία σύνοδος εἶπεν· Δῆλός ἐστιν ὁ εὐλαβέστατος ἐπίσκοπος Κύριλλος ὁ τῆς Ἀλεξανδρέων καὶ Μέμνων ὁ τῆσδε τῆς πόλεως εὐλαβέστατος ἐπίσκοπος ὁ εἰς ἅπαντα συνεργήσας αὐτῶι, ὡς ἀκριβῶς ἔγνωμεν πρὸ τῆς ὑμετέρας παραγενόμενοι θεοσεβείας καὶ πάντα ὡς εἰπεῖν θεασάμενοι τὰ ὑπ' αὐτοῦ τολμηθέντα. τάς τε γὰρ ἁγίας ἐκκλησίας τά τε L III 576
ἅγια μαρτύρια καὶ τὸ ἅγιον Ἀποστόλιον ἀπέκλεισε, μὴ συγχωρήσας μηδὲ τὴν ἁγίαν πεντη- d. 7. m. Iun.
κοστὴν παρὰ τῶν θεοφιλεστάτων ἐπισκόπων ἐπιτελεσθῆναι πλῆθός τε ἀγροικικὸν συναγαγὼν 431
διετάραξε τὴν πόλιν, τοὺς οἰκείους κληρικοὺς εἰς τὰς οἰκίας τῶν θεοφιλεστάτων ἐπισκόπων πέμπων καὶ μυρία ἀνήκεστα ἀπειλῶν, εἰ μὴ συναθροισθεῖεν εἰς τὸ ἀτάκτως ὑπ' αὐτῶν γενόμενον συνέδριον, ἐπὶ κακῶι τῶι συνειδότι ἅπαντα συνταράξαντες καὶ συγχέαντες καὶ θορύβων τὰ ἐκκλησιαστικὰ πληρώσαντες πράγματα καὶ τῶν τε εὐσεβῶν γραμμάτων καταφρονήσαντες τούς τε ἐκκλησιαστικοὺς θεσμοὺς πατήσαντες, ὥστε τὴν αἱρετικὴν κακοδοξίαν μὴ ζητηθῆναι, ἣν ἐν τοῖς κεφαλαίοις εὕρομεν τοῖς ἀποσταλεῖσι πρώιην εἰς τὴν βασιλίδα πόλιν ep. 6
ὑπὸ τοῦ εὐλαβεστάτου Κυρίλλου τοῦ ἐπισκόπου, ὧν τὰ πλεῖστα συμβαίνει τῆι Ἀρείου καὶ Ἀπολιναρίου καὶ Εὐνομίου δυσσεβείαι. χρὴ τοίνυν τήν τε σὴν ἁγιωσύνην καὶ πάντας ἡμᾶς ἐκθύμως ὑπερμαχῆσαι τῆς εὐσεβείας, ὥστε μὴ ὑπαχθῆναί τινας τοῖς αἱρετικοῖς τοῦ θεοφιλεστάτου Κυρίλλου τοῦ ἐπισκόπου κεφαλαίοις μηδὲ διαφθαρῆναι τῶν ἁγίων πατέρων τὴν πίστιν, καὶ τοὺς μὲν ἐξάρχους τοῦ τε αἱρετικοῦ φρονήματος καὶ τῆς πάντα λόγον ὑπερβαλλούσης ἀταξίας τῆι ἀξίαι τῆς παρανομίας ψήφωι καταδικάσαι, τοὺς δὲ ὑπαχθέντας αὐτοῖς καὶ παρασυρέντας ὑπ' αὐτῶν εὐλαβεστάτους ἐπισκόπους ἐκκλησιαστικῶι ἐπιτιμίωι ὑποβαλεῖν.

12 Ὁ θεοφιλέστατος ἐπίσκοπος Ἰωάννης εἶπεν· Εὐχῆς μοι ἔργον ἦν τὸ μηδένα τῶν τῶι θεῶι ἱερατεύειν ἀφορισθέντων ἐκτὸς γενέσθαι τοῦ ἐκκλησιαστικοῦ σώματος· ἐπειδὴ δὲ ἀναγκαία τῶν ἀνιάτως ἐχόντων μελῶν ἡ τομὴ διὰ τὴν τοῦ παντὸς σώματος ὑγίειαν, Κύριλλον μὲν καὶ Μέμνονα ὡς ἐξάρχους τῆς γεγενημένης παρανομίας καὶ τοῦ πατηθῆναι τοὺς

VS, D [= mn], AΛ

1 δοκιμάσει VA δοκιμάσειε SD *deliberet* Λ 3 κανδιδιανοῦ τοῦ VAΛ om. SD 4 καὶ τῶν D 5 ἐπίσκοπος V 8 ἡμῶν βασιλέων V 11 προστάξαντοσ VSΛ 12 πρέπον D 16 δεῖ S 19 ἅπαν SD 21 τε¹ VAΛ om. SD 26 γινόμενον A ταράξαντεσ D 27 τε om. V 28 τοὺς — πατήσαντες om. V 29 ηὔραμεν S 31 ἀπολλιναρίου S 34 τε om. V 35 ἀξίαι] ἀταξία S

ἐκκλησιαστικοὺς θεσμοὺς καὶ τὰ εὐσεβῆ θεσπίσματα τῶν εὐσεβεστάτων ἡμῶν βασιλέων καὶ διὰ τὸ αἱρετικὸν τῶν προειρημένων κεφαλαίων φρόνημα καθαιρέσει ὑποβληθῆναι προσήκει, τοὺς δὲ ὑπ' αὐτῶν ὑπαχθέντας ἀκοινωνήτους γενέσθαι, ὡς ἂν τὸ οἰκεῖον ἐπιγνόντες πλημμέλημα τά τε αἱρετικὰ τοῦ Κυρίλλου κεφάλαια ἀναθεματίσωσι καὶ τῇ ἐκτεθείσῃ πίστει παρὰ τῶν ἁγιωτάτων πατέρων τῶν ἐν Νικαίᾳ συναθροισθέντων ἐμμένειν καθομολογήσωσι μηδὲν ἕτερον αὐτῇ ἢ ξένον τῆς εὐσεβείας ἐπεισάγοντες καὶ κατὰ τὰ εὐσεβῆ γράμματα τῶν
M IIII 1268 θεοφιλεστάτων ἡμῶν βασιλέων σὺν ἡμῖν συνέλθωσι καὶ τῶν τε ζητουμένων τὴν βάσανον ἀδελφικῶς ποιήσωνται καὶ τὴν εὐσεβῆ βεβαιώσωσι πίστιν.

18 Ἡ ἁγία σύνοδος εἶπεν· Ἐννόμως καὶ ἐνδίκως ἡ σὴ ἀπεφήνατο ἁγιότης. δεῖ τοίνυν γράμματι κοινῶι Κυρίλλου μὲν καὶ Μέμνονος τὴν καθαίρεσιν, τῶν δὲ λοιπῶν τὴν ἀκοινωνησίαν ὑπαγορευθῆναι καὶ ταῖς πάντων ὑπογραφαῖς ἡμῶν κυρωθῆναι.

14 Ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος Ἰωάννης εἶπεν· Γενήσεται τὰ συνδόξαντα. Ἰωάννης ἐπίσκοπος Ἀντιοχείας διελάλησα.

Ψῆφος

L III 597 **15** Ἡ ἁγία σύνοδος ἡ χάριτι θεοῦ συγκροτηθεῖσα ἐν Ἐφέσωι κατὰ τὸ γράμμα τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων διελάλησε τὰ ὑποτεταγμένα

Ηὐχόμεθα μὲν κατὰ τοὺς κανόνας τῶν ἁγίων πατέρων καὶ κατὰ τὸ γράμμα τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων εἰρηνικῶς γενέσθαι τὴν σύνοδον· ἐπειδὴ δὲ θρασύτητι καὶ ἀταξίαι καὶ αἱρετικῶι φρονήματι κεχρημένοι καθ' ἑαυτοὺς συνηδρεύσατε, καίτοι ἡμῶν ἐπὶ θύραις ὄντων κατὰ τὸ γράμμα τῶν εὐσεβεστάτων ἡμῶν βασιλέων, καὶ πάσης ταραχῆς τὴν πόλιν καὶ τὴν ἁγίαν σύνοδον ἐνεπλήσατε ὑπὲρ τοῦ μὴ ζητηθῆναι τὰ κεφάλαια ἃ συμβαίνει τῇι Ἀπολιναρίου καὶ Ἀρείου καὶ Εὐνομίου κακοδοξίαι καὶ δυσσεβείαι, καὶ οὐκ ἀνεμείνατε τὴν τῶν ἁπανταχόθεν ἁγιωτάτων ἐπισκόπων παρουσίαν τῶν κληθέντων ὑπὸ τῶν εὐσεβεστάτων ἡμῶν βασιλέων καὶ ταῦτα τοῦ μεγαλοπρεπεστάτου κόμητος Κανδιδιανοῦ ἐγγράφως καὶ ἀγράφως παραγγείλαντος ὑμῖν μηδὲν τοιοῦτον τολμῆσαι, ἀλλὰ ἀναμεῖναι τὸ κοινὸν ἁπάντων τῶν ἁγιωτάτων ἐπισκόπων συνέδριον, τούτου ἕνεκεν γινώσκετε ὡς καθηιρημένοι ἐστὲ καὶ ἀλλότριοι τῆς ἐπισκοπῆς σύ τε Κύριλλος ὁ τῆς Ἀλεξανδρέων καὶ ⟨σὺ⟩ Μέμνων ὁ τῆσδε τῆς πόλεως καὶ πάσης ἐκκλησιαστικῆς λειτουργίας ἀλλότριοι ὡς πάσης τῆς ἀταξίας καὶ παρανομίας ἔξαρχοι καὶ ἡγεμόνες καὶ τοῦ πατηθῆναι τοὺς κανόνας τῶν πατέρων καὶ τὰ βασιλικὰ θεσπίσματα αἴτιοι γεγονότες· οἱ δὲ λοιποὶ πάντες οἱ συμφρονήσαντες τοῖς ἠτακτηκόσι καὶ παρανομήσασι κατὰ τῶν κανόνων καὶ κατὰ τῶν βασιλικῶν θεσπισμάτων ἀκοινώνητοι ἐστέ, ἕως ἂν ἐπιγνόντες τὸ οἰκεῖον πλημμέλημα μετανοήσητε καὶ τὴν πίστιν τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συναθροισθέντων καταδέξησθε μηδὲν ἕτερον αὐτῇ ⟨ἢ⟩ ξένον ἐπεισάγοντες καὶ ἀναθεματίσητε τὰ αἱρετικὰ κεφάλαια τὰ ἐκτεθέντα παρὰ

15—p. 123, 3 affert Liberatus 6 p. 24. 25 Garnier

VS, D [= mn], AΛ

1 γαληνοτάτων Λ 2 διὰ om. S 4 κεφάλαια ἀναθεματίσωσι VAΛ ἀναθεματίσωσι S ἀναθεματίσωσι δόγματα D πίστει om. SD 5 ἁγιωτάτων SAΛ ἁγίων VD καθομολογήσωσι πίστει D 6 ἐπεισάγοντα S καὶ] *et tunc* Λ 7 διέλθωσι A 11 καὶ — κυρωθῆναι om. A τῶν πάντων SD 13 διελάλησα SDΛ διελάλησε A διελάλησεν V 14 om. D 15 θῡ χάριτι A 16 ἡμῶν om. SD 16—18 διελάλησε — βασιλέων om. A 17 εὐχόμεθα SD 18 ἡμῶν καὶ φιλοχρίστων D 19/20 καίτοι — ὄντων] plura in Λ 20 θύρασ S εὐσεβῶν SD 21 μὴ om. V 22 ἀπολλιναρίου S 26 ἁγιωτάτων om. SD 27 σὺ Λ Liberatus om. VSDA 28 *huius ciuitatis Ephesiae* Λ 29 ἀταξίασ καὶ παρανομίασ VAΛ Liberatus ἀναρχίας καὶ παρανομίας ἀτάκτου D ἐξαρχίασ καὶ παρανομίας ἀτάκτου S 30/31 συμφωνήσαντες V 33 τὴν πίστιν τήν D 34 ἢ Λ om. VSDA Liberatus

Κυρίλλου τοῦ Ἀλεξανδρέως τὰ ἐναντιούμενα τῇι εὐαγγελικῇι καὶ ἀποστολικῇι διδασκαλίαι καὶ τῶι γράμματι τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων βασιλέων ἐμμείνητε τῶι κελεύοντι ἡσύχως καὶ ἀκριβῶς τὰ τῆς πίστεως ζητηθῆναι.

16 Εἰσὶ δὲ οἱ ὑπογράψαντες M IIII 1269

[1] Ἰωάννης ἐπίσκοπος Ἀντιοχείας 5
[2] Ἀλέξανδρος Ἀπαμείας μητροπολίτης
[3] Φρίτιλας Ἡρακλείας μητροπολίτης
[4] Ἰωάννης Δαμασκοῦ μητροπολίτης
[5] Ἱμέριος Νικομηδείας μητροπολίτης
[6] Δωρόθεος Μαρκιανουπόλεως μητροπολίτης 10
[7] Ἑλλάδιος Ταρσοῦ μητροπολίτης
[8] Ἀλέξανδρος Ἱερᾶς πόλεως μητροπολίτης
[9] Μαξιμῖνος Ἀναζαρβοῦ μητροπολίτης
[10] Δεξιανὸς Σελευκείας Ἰσαυρίας μητροπολίτης
[11] Εὐθήριος Τυάνων μητροπολίτης 15
[12] Βασίλειος Θεσσαλίας μητροπολίτης
[13] Ἀστέριος Ἀμίδης μητροπολίτης
[14] Ἀντίοχος Βόστρων μητροπολίτης
[15] Θεοδώρητος Κύρου
[16] Παῦλος Ἐμίσης 20
[17] Μακάριος Λαοδικείας
[18] Ἀπρίγγιος Χαλκίδος
[19] Θεοσέβιος Κίου Βιθυνίας
[20] Πολυχρόνιος Ἡρακλείας
[21] Γερόντιος Κλαυδιουπόλεως 25
[22] Κύριλλος Ἀδάνων
[23] Κῦρος Μαρκουπόλεως
[24] Αὐσόνιος Ἱμερίας
[25] Αὐρήλιος Εἰρηνουπόλεως
[26] Πολυχρόνιος Ἐπιφανείας 30
[27] Μελέτιος Νεοκαισαρείας
[28] Μουσαῖος Ἀράδου καὶ Ἀνταράδου
[29] Ἑλλάδιος Πτολεμαίδος
[30] Ἡσύχιος Κασταβάλων
[31] Ταριανος Αὐγούστης 35
[32] Σαλούστιος Κωρύκου
[33] Οὐαλεντῖνος Μαλλοῦ
[34] Ἰάκωβος Δοροστόλου

[1—43] et plura nec omnia eadem nomina habet Λ

VS, D [= mn], ΑΛ

2 βασιλέων SDΛ ἡμῶν βασιλέων VA Liberatus ἐμμένητε S 4 ὑπογράψαντες οὗτοι D [1—13] μητροπολίτης inter episcopi et ciuitatis nomina coll SD [3] φρίτιλασ VA φριτι^{λ} S φριτίλος D [5] νικομηδίας V [8] ἱεραπόλεως V [9] μαξιμιανὸς SD μάξιμοσ ΑΛ ἀναβαρζοῦ SD [10] σαυρίας SD [15] θεοδώριτοσ DA [25] αὐρίλιοσ VS [28—43] ordo in V: 28 27. 30 29 32 31 34. 33 36 35 38 37 40 39 42 41 26 43 [29] πολεμαίδοσ S [30] καβάλων D [32] κορύκου S [33] μάλου SDA [34] δωροστόλου D

[35] Μαρκιανὸς Ἀβρύτου
L III 600 [36] Ζῶσυς Ἐσβοῦντος
[37] Δανίηλος Φαυστινουπόλεως
[38] Εὐστάθιος Παρνασσοῦ
[39] Ἰουλιανὸς Λαρίσσης
[40] Διογένης Σελευκοβήλου
[41] Ἡλιάδης Ζεύγματος
[42] Πλάκων Λαοδικείας
[43] Μαρκελλῖνος Ἄρκης

Ὁμοῦ πάντες μγ

152 = S 134 A 165. Latina uersio extat in Collectione C 89

Γράμμα τῶν αὐτῶν τὸ τῆς ἀκοινωνησίας σταλὲν τῇι ἁγίαι συνόδωι

Ἡ ἁγία σύνοδος τοῖς παρ' ἡμῶν γενομένοις ἀκοινωνήτοις ἐπισκόποις τάδε δηλοῖ καὶ συμβουλεύει. Δεινὸν μὲν ὡς ἀληθῶς τὸ πλημμελεῖν καὶ τὸν δεσπότην παροργίζειν θεόν· δεινότερον δὲ πολλῶι καὶ χαλεπώτερον τὸ μὴ λύειν μεταμελείαι τὴν πλημμέλειαν. ὅπερ ὑμεῖς μέχρι τοῦ παρόντος πεποιήκατε, συνεργήσαντες μὲν τοῖς ἀθέσμως καὶ ἀτάκτως γεγενημένοις ὑπὸ Κυρίλλου τοῦ Ἀλεξανδρέως καὶ Μέμνονος τοῦ Ἐφεσίου, ἀκοινώνητοι δὲ παρ' ἡμῶν τούτου χάριν γεγενημένοι καὶ τῆς φιλανθρωπίας τὴν θύραν ἀνεωιγμένην ὑμῖν διὰ τῶν ἡμετέρων ἀποφάσεων ὁρῶντες καὶ μὴ προστρέχοντες μηδὲ παρακαλοῦντες τῶν τῆς ἀκοινωνησίας ἀπαλλαγῆναι δεσμῶν, ἀλλ' ἔτι συνόντες ἀνδράσιν αἱρετικὸν φρόνημα κεκτημένοις καὶ τούς τε θεσμοὺς τῶν ἁγίων πατέρων τά τε θεσπίσματα τῶν εὐσεβεστάτων βασιλέων πατήσασι
M IIII 1272 καὶ μυρία παράνομα ἐργασαμένοις καὶ τούτου χάριν ὑφ' ἡμῶν καθαιρεθεῖσι καὶ τῆς ἐπισκοπῆς ἀλλοτρίοις γενομένοις. γινώσκετε τοιγαροῦν ὡς εἰ μὴ ταχέως τὸ πρέπον συνίδοιτε καὶ τῆς ἐπιβλαβοῦς ἐκείνης ἐπιμιξίας ἀπαλλαγέντες τήν τε πίστιν τῶν μακαρίων πατέρων τῶν ἐν Νικαίαι συναθροισθέντων κατέχειν ὁμολογήσετε καὶ κατὰ τὰ γράμματα τῶν εὐσεβεστάτων ἡμῶν βασιλέων ἡσύχως καὶ θορύβου παντὸς χωρὶς τὸ συνέδριον σὺν ἡμῖν ποιῆσαι θελήσετε, ἡμᾶς μὲν οὐκ αἰτιάσεσθε, ἑαυτοὺς δὲ τῆς ἀβουλίας ἐπιμέμψεσθε.

153 = S 135 A 166. Latina uersio extat in Collectione C 90

L III 601 Ἀναφορὰ τῶν αὐτῶν πρὸς τὸν βασιλέα δι' ἧς ἐμήνυσαν τὰ παρ' αὐτοῖς πραχθέντα καὶ τὴν αἰτίαν τοῦ βράδους τῆς ἀφίξεως τοῦ Ἀντιοχείας ἐπισκόπου

Τοῖς εὐσεβέσιν ὑμῶν κελευσθέντες γράμμασι κατελάβομεν τὴν Ἐφεσίων μητρόπολιν καὶ εὕρομεν πάσης συγχύσεως καὶ ἐμφυλίου πολέμου γέμοντα τὰ ἐκκλησιαστικὰ πράγματα, Κυρίλλου τοῦ Ἀλεξανδρέως καὶ Μέμνονος συμφραξαμένων καὶ πλῆθος ἀγροικικὸν συνα-
d. 7. m. Iun. 431 θροισάντων καὶ μήτε τῆς ἁγίας πεντηκοστῆς τὴν πανήγυριν ἐπιτελέσαι συγχωρησάντων μήτε τὰς ἑσπερινὰς ἢ τὰς ἑωθινὰς λειτουργίας, πρὸς δὲ τούτοις καὶ τὰς ἁγίας ἐκκλησίας καὶ τὰ ἅγια μαρτύρια ἀποκλεισάντων, καθ' ἑαυτοὺς δὲ σὺν τοῖς ἀπατηθεῖσιν ὑπ' αὐτῶν συνεδρευσάντων καὶ μυρία παράνομα ἐργασαμένων καὶ τούς τε τῶν ἁγίων πατέρων κανόνας

VS, D [= mn], AΛ

[35] ἀβρύτησ SD [36] εἰσβοῦντοσ SD [43] μαρκελῖνος SDA [44] ὁμοῦ — μγ V om. SDA
ρνβ V ρκζ' D 12 τὸ om. SD σταλὲν ἐν SD 13 τοῖς] τῆς V 15 ἡμεῖς S
18 φιλίασ SD ἠνεωγμένην D 20 ἀπηλλάχθαι D 22 ἐργαμένοις V 23/24 συνίδητε D
24 ἐκείνης om. SD 25 ὁμολογήσητε VS 27 ἐπιβουλίασ SD μέμψεσθε SD
ρνγ V ρκη' D 29 ἐπιστολὴ D 31 ἡμῶν S πόλιν S 33 *Ephesio Memnone* Λ

τὰ τε ὑμέτερα πατησάντων θεσπίσματα καὶ ταῦτα τοῦ μεγαλοπρεπεστάτου κόμητος Κανδιδιανοῦ τοῦ παρὰ τῆς ὑμετέρας φιλοχρίστου κορυφῆς ἀποσταλέντος παρεγγυήσαντος αὐτοῖς καὶ ἐγγράφως καὶ ἀγράφως ἀναμεῖναι τοὺς πανταχόθεν ἀφικνουμένους ἁγιωτάτους ἐπισκόπους καὶ τότε κοινῇ τὸ συνέδριον ποιῆσαι κατὰ τὰ γράμματα τῆς ὑμετέρας εὐσεβείας, καὶ αὐτοῦ δὲ Κυρίλλου τοῦ Ἀλεξανδρέως ἐπιστείλαντός μοι τῶι τῆς Ἀντιοχέων πρὸ δύο ἡμερῶν τοῦ γενομένου ὑπ' αὐτοῦ συνεδρίου, ὡς ἡ σύνοδος πᾶσα ἀναμένει μου τὴν παρουσίαν. δι' ὃ ἀμφοτέρους τοὺς προειρημένους καθείλομεν Κύριλλον καὶ Μέμνονα καὶ πάσης ἐκκλησιαστικῆς λειτουργίας ἀλλοτρίους πεποιήκαμεν· τοὺς δὲ λοιποὺς τοὺς ταυτησὶ τῆς παρανομίας αὐτοῖς κοινωνήσαντας ἀκοινωνήτους πεποιήκαμεν ἕως ἂν τά τε κεφάλαια τὰ παρὰ ep. 6
Κυρίλλου ἐκπεμφθέντα τῆς Ἀπολιναρίου καὶ Εὐνομίου καὶ Ἀρείου κακοδοξίας γέμοντα ἐκβάλωσι καὶ ἀναθεματίσωσι καὶ κατὰ τὸ τῆς ὑμετέρας εὐσεβείας γράμμα κοινῇ σὺν ἡμῖν συνεδρεύσαντες ἡσύχως καὶ ἀκριβῶς τά τε ζητήματα σὺν ἡμῖν ἴδωσι καὶ τὸ εὐσεβὲς τῶν πατέρων βεβαιώσωσι δόγμα.

Περὶ δὲ τῆς ἐμῆς βραδυτῆτος ἴστω ὑμῶν ἡ εὐσέβεια ὡς πρὸς τὸ χερσαῖον διάστημα τῆς ὁδοῦ (διὰ γῆς γὰρ ἡμῶν ἡ ὁδὸς γεγένηται) σφόδρα ἐπεταχύναμεν. τεσσαράκοντα γὸρ μονὰς ὡδεύσαμεν, μηδεμιᾶς ἀνακωχῆς κατὰ τὴν πορείαν ἀπολαύσαντες, ὡς ἔξεστιν ὑμῶν τῆι φιλοχρίστωι βασιλείαι παρὰ τῶν τὰς κατὰ τὴν ὁδὸν πόλεις οἰκούντων μαθεῖν. πρὸς δὲ τούτοις καὶ ὁ λιμὸς κατὰ τὴν Ἀντιόχειαν γενόμενος καὶ αἱ καθ' ἑκάστην ἡμέραν M IIII 1273
ταραχαὶ τοῦ δήμου καὶ ἡ παρὰ τὸν καιρὸν σφοδροτάτη γενομένη ἐπομβρία, ἣ καὶ κίνδυνον ἐκ τῶν χειμάρρων ἐπήγαγε τῆι πόλει, οὐκ ὀλίγας ἡμέρας εἰς τὴν προειρημένην ἡμᾶς ἐπέσχε πόλιν.

154 = S 136 A 167. Latina uersio extat in Collectione C 91

'Αναφορὰ πρὸς τὸν βασιλέα 'Ιωάννου ἀρχιεπισκόπου Ἀντιοχείας καὶ τῶν σὺν αὐτῶι ἣν ἀντέγραψαν διὰ Παλλαδίου μαγιστριανοῦ L III 705 M IIII 1380

1 Τοῦτο, εὐσεβεῖς βασιλεῖς, τοῦτο ὀρθοδοξίας σύστασις τὸ λῦσαι πάντα τὰ ἀθέσμως ὑπ' ep. 83
ἐκείνων γεγενημένα καὶ τοῖς κανόσιν ἤδη προλελυμένα, τὸ ἐν πρώτηι τάξει προστάξαι τὴν ἐξέτασιν τῶν δογμάτων ἐν τῆι συνελθούσηι συνόδωι γενέσθαι. ἐμακαρίσαμεν ⟨οὖν⟩ τὴν οἰκουμένην, τὰ πρόσφατον ἡμῖν κομισθέντα ὑμῶν θεσπίσματα σὺν ἐπαίνοις μυρίοις ἀναγνόντες, ἐφ' οἵοις σκήπτροις καὶ ἐφ' οἵαι βασιλείαι διακυβερνᾶται. ἀλλ' ὥσπερ ταῦτα παντὸς θαύματός ἐστιν ἐπέκεινα ὅσα προστετάχατε, εὐσεβέστατοι βασιλεῖς, οὕτω καὶ ἡμῖν ἀναγκαία ἐστὶν ἡ πρὸς τὸ ὑμέτερον κράτος ἀπολογία περὶ ὧν συνηλάθημεν ἐν τῆι Ἐφεσίων γενόμενοι πόλει καταψηφίσασθαι καὶ κατακρῖναι τοὺς ἐκ προοιμίων τὰ ὑμέτερα πατήσαντας θεσπίσματα, τοὺς ἐπειδὴ ὑπὸ τοῦ οἰκείου συνειδότος ἠλαύνοντο, κυρῶσαι θελήσαντας καὶ ἀνανεῶσαι τὰ Ἀπολιναρίου καὶ 'Αρείου δόγματα κατὰ τῆς εὐσεβείας ἐφ' οἷς Κύριλλος ὁ Ἀλεξανδρείας πρώιην εἰς τὴν βασιλίδα πόλιν κεφάλαιά τινα μετὰ ἀναθεματισμῶν ἐξέπεμψε ep. 6
μετὰ πάσης ἐθελοθρησκείας, τοὺς πρὶν ἅψωνται τῆς τῶν θείων δογμάτων ἐρεύνης, πρὸς

VS, D [= mn], AΛ

2 κεφαλῆσ SD 5 τῆς om. A 6 αὐτῶν V 9 τε om. V 10 τοῦ κυρίλλου SD ἀπολλιναρίου S ἀρείου καὶ εὐνομίου SD 12 συνεδρεύσαντας n spatium uacuum δρεύσαν^{t} m ἥδρευσαν S ἡσύχωσ VSAΛ συνήθως D ζητήματα VAΛ ζητούμενα SD ἴδωσι VA συνίδωσι SD 14 βραχύτητος Λ 15 ἐπεταχύνομεν S 19 περὶ D γενομένη σφοδροτάτη D 20 ἡμᾶσ SD ἡμέρασ SD

ρνδ̄ V ρκθ' D 23 ἀναφορὰ τῶν αὐτῶν D 26 γινόμενα nS γενόμενα m 27 γίνεσθαι A οὖν Λ om. VSDA 28 ἡμῖν VAΛ om. SD 32/33 θεσπίσματα πατήσαντας SDA 33 ἰδίου A θελήσαντοσ S 34 ἀρείου καὶ ἀπολιναρίου [ἀπολλιναρίου S] SD ἐφ' scripsi *pro* Λ ἐν VSDA 36 ἅψονται VA ἅψοντασ S ἅψαντασ D

ἔχθραν καὶ ἀπέχθειαν ἰδόντας ἐν οἷς ἐτόλμησαν παρὰ τὰ ὑμέτερα εὐσεβῆ θεσπίσματα ψῆφον οὕτως ἄδικον ἐξενεγκεῖν κατὰ τοσούτου θρόνου τῆς βασιλίδος πόλεως Κωνσταντι-
L III 708 νουπόλεως. ἡ μὲν οὖν τούτων παροινία αὐτόθεν πᾶσιν ἀνθρώποις δήλη ἐστίν, ἐφ' ἧι
M IIII 1381 ἡ ἁγία σύνοδος ὀρθῶι φρονήματι καὶ ζήλωι κατὰ θεὸν κινηθεῖσα καὶ φειδοῖ τῶν ἁγίων ἐκκλησιῶν κατέκρινεν αὐτοκατακρίτους ὄντας, οὐ μεμπτόν τι, μὴ γένοιτο, οὐδὲ θερμόν, ὡς
2 ἄν τις εἴποι, πράττουσα, ἀλλὰ τῆι εὐσεβείαι κινδυνευούσηι πρὸ πάντων ἀμύνουσα. αὕτη ὑπὲρ τῶν παρ' ἡμῶν πεπραγμένων δικαιοτάτη πρὸς τὸ ὑμέτερον κράτος ἔστω ἀπολογία, ἡμῶν μὲν μήτε πρὸς χάριν μήτε πρὸς ἀπέχθειαν βλεπόντων, ἀλλ' ἑνὸς ὄντων τοῦ τὴν εὐσεβῆ πίστιν κυματουμένην ὥσπερ διασῶσαι ὑπὸ τῶν τὰ ἑαυτῶν συγγράμματα αὐθαδείαι βουληθέντων κρατῦναι ἐπ' ἀθετήσει καὶ ὕβρει ὧν Πέτρος ὡμολόγησεν, ὧν Ἰωάννης ἐθεολόγησεν, ὧν Ματθαῖος ἐκήρυξε καὶ οἱ λοιποὶ εὐαγγελισταί, ὧν Παῦλος τῆι τοῦ πνεύματος ἐνεργείαι ἐδίδαξεν, ὧν ἅπαντες οἱ ὀρθόδοξοι πανταχοῦ τῆς οἰκουμένης τὸ κήρυγμα ἐκφέροντες τὴν εὐσεβῆ πίστιν ἐρρίζωσαν. ταύτης τῆς ὀρθοδόξου πίστεως εὐχόμεθα, ὅση τις ἡμῖν εὐχῆς δύναμις, τὴν ὑμετέραν εὐσέβειαν καὶ τὸ ὑμέτερον τῆι ὀρθοθοξίαι ἐντεθραμμένον κράτος ἀντέχεσθαί τε καὶ ὑπερασπίζειν καὶ ἄτρωτον διαφυλάττειν, ὡς ἐν τούτοις ὑμῖν οὔσης τῆς πάντα ὑμῖν συνεχούσης τῶν πραγμάτων ἐλπίδος, ἡμῶν καὶ νῦν καὶ πρότερον παρεσκευασμένων μὴ ἐκκλῖναι τὰ ὑμέτερα θεσπίσματα μήτε δεξιὰ μήτε ἀριστερά,
Deut. 5, 32 ὡς ἡ θεία ἔφησε γραφή. ἐπειδὴ γὰρ πρὸς τὸ εὐσεβὲς τὴν πᾶσαν ῥοπὴν τὸ ὑμέτερον ἔχει κράτος, οἱ μὲν πειθόμενοι ἔξουσι τὸν παρ' ὑμῶν αὐτῶν ἔπαινον καὶ τὴν παρὰ τοῦ θεοῦ ἀποδοχήν, οἱ δὲ πρὸς νεωτερισμοὺς βλέποντες καὶ τὴν ἐκ θορύβων ἐπινοητὴν δύναμιν ἑαυτοῖς κατασκευάζοντες, ὥσπερ οἱ τὰς τυραννίδας ταῖς εὐνομίαις ἐπεισάγοντες, ἀξίαν ἀπενέγκωνται αἰσχύνην ἅτε δὴ τὴν εὐνομίαν διαφθεῖραι σπουδάσαντες καὶ τὰς ὑμετέρας
8 παρεγγυήσεις χαμαὶ ῥῖψαι τολμήσαντες. ὥστε τοίνυν μηδεμίαν ταραχὴν ἢ θόρυβον ἐν τῶι κοινῶι γενέσθαι συνεδρίωι, θεσπισάτω ὑμῶν ἡ φιλόχριστος κορυφὴ δύο ἑκάστωι μη-
ep. 25 τροπολίτηι ⟨ἐπισκόπους⟩ συνεῖναι, ἐπειδὴ καὶ ἡμεῖς τοῖς τῆς ὑμετέρας εὐσεβείας γράμμασιν εἵξαντες τοσούτους ἐπαγόμεθα, δυνάμενοι, εἴπερ ἄρα πλήθους ἦν χρεία, πλείστους ἔχειν μεθ' ἑαυτῶν τοὺς τὰ θεῖα δόγματα ἀκριβῶς ἐπισταμένους καὶ οὐδὲν τῶι ἀμαθεῖ τῶν θείων πλήθει Ἀσιανῶν καὶ Αἰγυπτίων ἐοικότας. εἰ γὰρ τοῦτο μὴ γένοιτο, ἀνάγκη σύγχυσιν αὖθις γενέσθαι, Αἰγυπτίων μὲν ὄντων πεντήκοντα, Ἀσιανῶν δὲ τῶν ὑπὸ Μέμνονα τὸν τῆς τυραννίδος ἡγεμόνα τεσσαράκοντα καὶ τῶν ἐν Παμφυλίαι αἱρετικῶν Μεσαλιανιτῶν λεγομένων δώδεκα χωρὶς τῶν συνόντων τῶι αὐτῶι μητροπολίτηι καὶ ἑτέρων καθηιρημένων καὶ ἀκοινωνήτων κατὰ διαφόρους τρόπους ὑπὸ συνόδων ἢ ὑπὸ ἐπισκόπων γεγενημένων, οἵπερ εἰσὶν οὐδὲν ἕτερον ἢ πλῆθος ἀνθρώπων οὐδὲν μὲν ἀκριβὲς τῶν θείων δογμάτων ἐπισταμένων, ταραχῆς δὲ καὶ θορύβων μεστῶν. δεόμεθα τοίνυν καὶ ἱκετεύομεν τὴν ὑμετέραν εὐσέβειαν αὖθις φροντίσαι, ἐπιτεῖναι δὲ τῆι συνόδωι τὴν εἰρήνην τῶι συνήθει ὑμῶν
4 εὐσεβεῖ θεσπίσματι. νομίσαντες γὰρ νῦν γοῦν αὐτοὺς σωφρονήσειν διὰ τὰ εὐσεβῆ γράμ-
L III 709 ματα τῆς θεοφιλοῦς ὑμῶν κορυφῆς, μετὰ τὸ ἀναγνωσθῆναι αὐτοῖς τὸ πάσης εὐσεβοῦς προ-
M IIII 1384 θέσεως γέμον θέσπισμα καὶ ταῦτα ἡμᾶς ὑπαγορεῦσαι τὰ γράμματα ἀπήλθομεν εἰς τὸ Ἀποστόλιον τοῦ ἁγίου Ἰωάννου τοῦ εὐαγγελιστοῦ καὶ εὐχαριστῆσαι καὶ προσεύξασθαι ὑπὲρ τοῦ

VS, D [= mn], AΛ

1 εἰδόντας n εἰδότασ S 2 οὕτωσ VAΛ om. SD πόλεων V 4/5 καὶ φειδοῖ — ἐκκλησιῶν om. D 5 οὐδὲ [οὐδὲν D] θερμὸν οὐδὲ μεμπτὸν τί μὴ γένοιτο SD 7 ἔσται V 12 πάντες V 14 εὐχῆσ ἡμῖν SD 14/15 ἐκτεθραμμένον V 15 ἄτρωτον] *inmotam* Λ ταύτηι Λ 16 τῶν] τῆσ τῶν VS 17 κατὰ τὰ D 19 ἔχει om. A 22 ἀπενέγκωνται SA ἀπενέγκονται D ἀπενέγκοντες V 24 κεφαλὴ D 25 ἐπισκόπους ex Λ addidi ἡμετέρασ S 26 πλῆθοσ S 27 θείων om. A 28 ἀσινῶν D 29 τὸν S μέμνονοσ V 30 μεσαλινιωτῶν V 32 ἢ ἐπισκόπων A ἐπισκόπων Λ ut uidetur 33 μὲν om. D 35 δὲ om. D τῆι om. S 36 οὖν V σωφρονήσεισ S σωφρονῆσαι D 38/39 ἀποστόλου S

ὑμετέρου κράτους καὶ τοῦ εὐσεβοῦς ὑμῶν σκοποῦ. οἱ δὲ θεασάμενοι ἡμᾶς παραχρῆμα τὸν ναὸν ἀπέκλεισαν· ὡς δὲ ἔξωθεν προσευξάμενοι καὶ μηδενὶ μηδὲν εἰπόντες ἐπανήιειμεν, πλῆθος ἐξῆλθεν οἰκετῶν τινων καὶ τοὺς μὲν ἐξ ἡμῶν κατέσχον, τῶν δὲ τὰ ζῶια ἀπέσπασαν, ἄλλους δὲ τραυματίας ἐποίησαν, ἡμᾶς δὲ ῥοπάλοις καὶ λίθοις κατεδίωξαν μέχρι πολλοῦ διαστήματος, ὡς ἀναγκασθῆναι ἡμᾶς μετὰ πολλῆς ἐπείξεως φυγεῖν ὡς βαρβάρων διωκόντων. ταῦτα δὲ ἐκ πολλοῦ ηὐτρέπισεν ὁ Μέμνων, μὴ συγχωρῶν μηδενὶ μήτε προσεύξασθαι ἐν εὐκτηρίωι οἴκωι μήτε μετὰ εἰρήνης καὶ καταστάσεως διαθεῖναι τὰ ἐκκλησιαστικὰ πράγματα. δεόμεθα τοίνυν τῆς ὑμετέρας εὐσεβείας ἐξαιρέτως Μέμνονα τὸν τύραννον προστάξαι ἐκβληθῆναι τῆς πόλεως ταύτης, διὰ τὰς ἀταξίας αὐτοῦ ταύτας καθαιρεθέντα καὶ κυκῶντα, ὥστε μὴ ἀκριβῶς ἐρευνηθῆναι τὰ κατ' αὐτόν. εἰ γὰρ οὗτος μὴ ἐξέλθοι, ἀδύνατον εἰρήνην γενέσθαι ἢ τὸν σκοπὸν τῆς ὑμετέρας εὐσεβείας εἰς πέρας ἀχθῆναι.

155 = S 137 A 168. Latina uersio extat in Collectione C 92

Ἐπιστολὴ τῶν αὐτῶν πρὸς τὸν Κωνσταντινουπόλεως κλῆρον — L III 601 M IIII 1273

Ἔγνω πάντως ὑμῶν ἡ εὐλάβεια τὰ ἀθέσμως καὶ παρανόμως ὑπὸ Κυρίλλου τοῦ Ἀλεξανδρέως καὶ Μέμνονος τοῦ Ἐφεσίου καὶ τῶν σὺν αὐτοῖς παρὰ τὸ γράμμα τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων συνεδρευσάντων γεγενημένα. δι' ὃ ἀναγκαῖον ὠιήθημεν γνωρίσαι ὑμῶν τῆι θεοσεβείαι ὡς ἐκεῖνα μὲν ἅπαντα τὰ ὑπ' αὐτῶν τολμηθέντα ἰστὸς ἀράχνης κατὰ τὸν προφήτην ὑπάρχει, αὐτοὶ δὲ οἱ ταῦτα τετολμηκότες ὅ τε Κύριλλος καὶ Μέμνων ὡς ἔξαρχοι τῆς ἀταξίας καὶ παρανομίας γενόμενοι ὑφ' ἡμῶν καθηιρέθησαν καὶ ἀλλότριοι τῆς ἐπισκοπῆς ἐγένοντο, τοὺς δὲ σὺν αὐτοῖς συνεδρεῦσαι ἑλομένους ἀκοινωνήτους πεποιήκαμεν, ἕως ἂν τὸ οἰκεῖον ἐπιγνόντες πλημμέλημα τά τε αἱρετικὰ κεφάλαια Κυρίλλου τοῦ Ἀλεξανδρέως ἀναθεματίσωσι καὶ τὴν πίστιν τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι τῆς Βιθυνίας συναθροισθέντων ἀδόλως καταδέξωνται. μὴ τοίνυν θορυβήσηι τις τὴν ὑμετέραν εὐλάβειαν τῶν τὰ τοιαῦτα ποιεῖν εἰωθότων· οὐδεμίαν γὰρ ἰσχύν, ὡς ἤδη ἐδηλώσαμεν, ἔχει τὰ παρανόμως ὑπ' αὐτῶν τολμηθέντα. τοῦτο δὲ καὶ τῶι εὐσεβεῖ καὶ φιλοχρίστωι ἡμῶν βασιλεῖ ἐγνωρίσαμεν καὶ τοῖς μεγαλοπρεπεστάτοις καὶ ἐνδοξοτάτοις ἄρχουσιν. ep. 153. 156

Ies. 59, 5

156 = S 138 A 169. Latina uersio extat in Collectione C 93

Ἐπιστολὴ τῶν αὐτῶν πρὸς τὴν ἐν Κωνσταντινουπόλει σύγκλητον

Τῆι θεοφιλεῖ καὶ φιλοχρίστωι συγκλήτωι ἡ ἁγία σύνοδος. Λίαν ἀλγοῦμεν οἰκείων μελῶν ἐκτομὴν τῆι ὑμετέραι μεγαλοπρεπείαι μηνύειν ἀναγκαζόμενοι. εἰ γὰρ καὶ ἀναγκαῖος ὁ χωρισμὸς τῶν σεσηπότων μελῶν, ἀλλ' ὅμως ὀδύνην πικρὰν τῶι λοιπῶι σώματι κατεργάζεται. εἰ πάσχει γάρ φησιν ὁ μακάριος Παῦλος, ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη. ἀλλ' ὅμως οὐ παραιτητέα τοῖς ἰατροῖς τῶν ἀχρήστων καὶ ἐπιβλαβῶν μελῶν ἡ τομή· ὁ γὰρ ἐχέφρων καὶ σοφὸς τῶν σωμάτων θεραπευτὴς εἰς τὴν τῶν λοιπῶν ἀφορῶν ὑγείαν καταφρονεῖ τοῦ σεσηπότος, παντὶ τῶι σώματι τὴν σωτηρίαν πραγματευόμενος. τοῦτο καὶ ἡμεῖς ἐπὶ τοῦ παρόντος πεποιήκαμεν. εὕρομεν γὰρ Κύριλλον τὸν Ἀλεξαν-

1 Cor. 12, 26

VS, D [= mn], AΛ

3 ἐκεῖθεν ἐξῆλθεν A 5 ἐπιδείξεωσ SD 7 μήτε μετὰ DΛ μετά τε VSA ἐκκλησιαστικὰ VAΛ τῆσ ἐκκλησίασ SD 9 ταύτησ VAΛ om. SD διὰ τὸ τὰς V ρλ' D 14 που πάντως D 17 τῆ τε A τὰ om. D . 19 τῆσ ἀταξίασ καὶ παρανομίασ VSA τῆς παρανομίας καὶ τῆς ἀταξίας D *seditionis* Λ 21 ἂν om. V 22 ἀλεξανδρείας V 23 καταδέξονται V 26 ὑμῶν A ρλα' D 28 τὸν V 29 σύνοδοσ SDAΛ σύνοδος ἐν κῶ χαίρειν V 32/33 ὅλον τὸ σῶμα V, in mg. πάντά τὰ μέλη V 33/34 μελῶν VAΛ om. SD

δρείας ἐπίσκοπον καὶ Μέμνονα τὸν Ἐφέσου μυρία ἄλλα κατὰ τῆς τοῦ θεοῦ ἐκκλησίας ἐργαζομένους δεινὰ καὶ θορύβου καὶ ταραχῆς τήν τε πόλιν καὶ τὴν ἁγίαν σύνοδον ἐμπλήσαντας ναύταις τε Αἰγυπτίοις καὶ ἀγροίκοις Ἀσιανοῖς ὑπουργοῖς τῆς τυραννίδος χρησαμένους καὶ μήτε τοὺς
ep. 31 συγκληθέντας ἁγιωτάτους καὶ θεοφιλεστάτους ἐπισκόπους ἀναμείναντας μήτε τῶν γραμμάτων τῶν
M IIII 1276 θεοφιλεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων ἀνασχομένους μήτε ταῖς εἰσηγήσεσι καὶ παραγγελίαις τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου κόμητος Κανδιδιανοῦ πεισθέντας, ἀλλὰ πάντα φύρδην συγχέαντας τὰ τῆς εὐσεβείαις σεμνὰ ἀθέσμως τε καὶ παρανόμως πάντα
d. 7. m. Iun. 431 ἐργασαμένους καὶ τῆς ἁγίας πεντηκοστῆς τὴν πανήγυριν ἐπιτελέσαι κωλύσαντας τούς τε θείους ναοὺς καὶ τοὺς τῶν καλλινίκων μαρτύρων σηκοὺς ἀποκλείσαντας, ἵνα μηδὲ εὔξασθαι τοῖς βουλομένοις ἐξῇ τοῖς μακρὰν μὲν πορείαν πεποιημένοις, ἐφιεμένοις δὲ πάσας μὲν τὰς τῶν
L III 605 ἁγίων καὶ καλλινίκων μαρτύρων περιπτύξασθαι λάρνακας, οὐχ ἥκιστα δὲ τὴν τοῦ τρισμακαρίου Ἰωάννου τοῦ θεολόγου καὶ εὐαγγελιστοῦ τοῦ πολλὴν πρὸς τὸν σωτῆρα τὸν ἡμέτερον παρρησίαν κτησαμένου. δι' ὃ τοὺς προειρημένους Κύριλλον καὶ Μέμνονα καθελεῖν ἠναγκάσθημεν καὶ τῆς ἐπισκοπῆς ἀλλοτρίους πεποιήκαμεν· τοὺς δὲ συνεργήσανπας αὐτῶν τῇι αὐθαδείαι καὶ τυραννίδι ἢ δι' ἀπάτην ἢ διὰ φόβον ἀκοινωνήτους πεποιήκαμεν, συμμετρήσαντες τὴν παιδείαν τῇι τῆς προαιρέσεως μεταμελείαι. ἦν γὰρ αἴσθωνται τῆς πλημμελείας καὶ τῆς τε αἱρετικῆς παύσωνται κακοδοξίας τήν τε τῶν ἁγίων πατέρων πίστιν τῶν
ep. 25. 31 ἐν Νικαίαι τῆς Βιθυνίας συνελθόντων ἀνακτήσωνται καὶ σὺν ἡμῖν κατὰ τὰ γράμματα τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων εἰς τὸ σύνεδριον εἰσελθόντες μεθ' ἡσυχίας ἱερεῦσι πρεπούσης τὰ ζητούμενα ἐρευνήσωσι, τοῦ τε δεσμοῦ τῆς ἀκοινωνησίας ἀπαλλαγήσονται καὶ τὴν ἱερατικὴν ἀπολήψονται λειτουργίαν.

157 = S 139 A 170. Latina uersio extat in Collectione C 94

Ἐπιστολὴ τῶν αὐτῶν πρὸς τὸν ἐν Κωνσταντινουπόλει λαόν

Τῶι εὐλαβεστάτωι καὶ πιστοτάτωι καὶ φιλοχρίστωι λαῶι τῆς ἐν Κωνσταντινουπόλει
1 ἁγίας τοῦ θεοῦ ἐκκλησίας ἡ σύνοδος. Νόμος ἐστὶν ἄγραφος τοῖς ποιμέσι πολλὴν τῶν προβάτων ποιεῖσθαι κηδεμονίαν, ἵνα μήτε κλέπτης ταῦτα λῃστεύηι μήτε θηρία κατεσθίηι μήτε νόσος λυμαίνηται. εἰ δὴ οἱ τῶν ἀλόγων προβάτων τὴν κηδεμονίαν πεπιστευμένοι τοσαύτην αὐτῶν ποιοῦνται προμήθειαν, ὡς βοᾶν τὸν μακάριον Ἰακὼβ πρὸς τὸν Λάβαν·
Gen 31.40.39 ἤμην συγκαιόμενος τῶι καύματι τῆς ἡμέρας καὶ τῶι παγετῶι τῆς νυκτὸς καὶ ἀφίστατο ὁ ὕπνος ἀπὸ τῶν ὀφθαλμῶν μου καὶ θηριάλωτον οὐκ ἐνήνοχά σοι, ὅσην χρὴ ποιήσασθαι πρόνοιαν τῶν λογικῶν τοῦ σωτῆρος ἡμῶν προβάτων,
Gal. 3. 27 ἃ τοὺς θείους περίκειται χαρακτῆρας, βαπτισθέντα μὲν εἰς Χριστόν, ἐνδυσάμενα δὲ Χριστὸν
Ps. 4. 7 καὶ σημειωθέντα τῶι φωτὶ τοῦ προσώπου κυρίου; τούτου χάριν ἀναγκαῖον ὠιήθημεν τὰς ὑμετέρας διὰ γραμμάτων προθεραπεῦσαι ψυχάς, ἵνα μὴ ταῖς ματαίαις φήμαις ὑπαχθέντες ἀθυμήσητε καὶ ταραχὴν ταῖς διανοίαις εἰσδέξησθε.
πεισθεὶς ⟨περὶ⟩ ἀναστάσεως, τὸν παραδοξοποιὸν ἐδοξολόγει θεόν· ὁ κύριός μου καὶ ὁ θεός μου, οὐ τὸ ψηλαφηθὲν προσαγορεύων θεόν· οὐδὲ γὰρ ψηλαφήσει θεότης εὑρίσκεται.

2 Act. 2, 32. 33

Καὶ μεθ' ἕτερα· Περὶ τοῦ ψηλαφητοῦ τούτου καὶ ὁ Πέτρος ἐβόα· τοῦτον τὸν Ἰησοῦν ἀνέστησεν ὁ θεός. τῇι δεξιᾶ οὖν τοῦ θεοῦ ὑψωθείς· δεξιᾶς δὲ βοηθούσης ὁ θεὸς λόγος οὐκ ἔχρηιζεν, Ἄρειε.

7 1Loofs ⟨ζ̄⟩ p. 358, 9—12

Ἐπειδὴ γὰρ εἰ εἰρήκασιν· ὅτι πιστεύομεν εἰς ἕνα θεὸν λόγον, ἔμελλεν ὁ θάνατος τῇι θείαι λογίζεσθαι φύσει, ὄνομα δέχονται κοινὸν τὸ Χριστὸς Ἰησοῦς, ἵνα καὶ τὸν ἀποθανόντα σημάνωσι καὶ τὸν μὴ ἀποθανόντα.

2 Loofs p. 358, 12-18

Προσεπάγει δὲ τούτοις· Ὥστε εἴ τις λέγοι· ὁ δεῖνα ἄνθρωπος ἀπέθανε, καίτοι ἡ ψυχὴ ἀθάνατός ἐστιν, ἀλλ' ἐπειδὴ τὸ ὄνομα εἶπε τὸ σημαῖνον τὰς δύο φύσεις καὶ τὸ σῶμα τὸ

---

4 cf. Exc. Mar. Merc. XV 5 cf. 2, 10 Exc. Eph. XIIII Exc. Mar. Merc. X 6, 1. 2 cf. Mar. Merc. p. 31, 37—32, 12 6, 1 cf. Exc. Mar. Merc. VIII 22 τοῦτον — 28 adfert Timoth. arm. p. 79; 22 τοῦτον — 24 χερσί p. 136 29 περὶ τοῦ — 31 adfert Timoth. arm. p. 128

VVt

2 φανερώτατα τῆσ Vt 5. 7. 17. 19. 32 numeros om. V 7 ὑμᾶς Loofs ἡμᾶσ VVt 9 κατακιρνώντων Vt 14 εἰ add. Agellius 15 λόγος om. Vt 19 ἀπαρχῆσ ὁ μακάριοσ πέτροσ Vt 19/20 καὶ τὴν — ὕψωσιν Vt om. V 24 τοῦ Vt om. V ψηλάφησον VVt *palpate et uidete* Mar. Merc. p. 31, 42 *palpa et uide* p. 57, 3 25 θεωρεῖται Vt 26 τῇ ψηλαφήσει Vt ψηλαφῆσαι V τοῦ Vt τῆσ τοῦ V 27 περὶ Tim. om. VVt μου V μου δόξα σοι Vt 28 ψηλαφήσει Vt ψηλαφῆσα V 32 εἰ V om. Vt 34 τὸν μὴ V μὴ Vt 35 λέγοι Vt λέγει V

ἀποθνῆισκον καὶ τὴν ψυχὴν τὴν ἀθάνατον, οὐκ ἔχει κίνδυνον ἡ φωνή· ἄνθρωπος γὰρ καλεῖται ἀμφότερα, καὶ τὸ σῶμα καὶ ἡ ψυχή· οὕτω τοίνυν καὶ ὁ μέγας ἐκεῖνος χορὸς ἔφη περὶ Χριστοῦ.

166 Κυρίλλου τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Ἀλεξανδρείας κατὰ τῶν Νεστορίου δυσφημιῶν πεντάβιβλος ἀντίρρησις ἤγουν οἱ πέντε τόμοι τοῦ ἁγίου Κυρίλλου

Τοῖς μὲν τὴν ἁγίαν γραφὴν πολυπραγμονεῖν ἐθέλουσι καὶ ἀποδιώκουσι μὲν τὸ ῥάθυμον ἐν τούτωι, δεδιψηκόσι δὲ μᾶλλον τοῦ πράγματος τὴν κατόρθωσιν ἐγκειμένοις τε νεανικῶς καὶ ὄκνου δίχα παντὸς περιέσται δὴ πάντως τὸ ἐν παντὶ γενέσθαι καλῶι. φωτὸς γὰρ τοῦ θείου τὸν οἰκεῖον ἀναπιμπλᾶσι νοῦν, εἶτα τοῖς τῆς ἐκκλησίας αὐτὸν ἐνιέντες δόγμασιν ἅπαν μὲν ὅσον ἐστὶν ὀρθῶς τε καὶ ἀκιβδήλως ἔχον, προσίενται καὶ λίαν ἀσμένως καὶ τοῖς ἐσωτάτω τῆς ἑαυτῶν ψυχῆς ἐναποκλείουσι θησαυροῖς, ἐπιγάνυνται δὲ οὕτω τοῖς ἐξ εὐμαθείας συνειλεγμένοις ὡς ἂν εἰ καί τινες ἑτέροις τῶν κατὰ τὸν βίον ἢ λίθους τινὰς Ἰνδικὰς ἢ χρυσὸν ἁπλήστως συναγηγερκότες, μᾶλλον δὲ καὶ ἔτι μειζόνως· κρεῖσσον γὰρ σοφία λίθων πολυτελῶν, πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς, καθὰ γέγραπται. χρῆναι δὲ φημὶ τοὺς οἵπερ ἂν ⟨ὦσι⟩ σοφοὶ καὶ ἀγχίνοι καὶ τῶν θείων δογμάτων ἐπιστήμονες, διαμεμνῆσθαι χρησίμως γεγραφότος τινὸς τῶν ἁγίων μαθητῶν· ἀδελφοί, δοκιμάζετε τὰ πνεύματα εἰ ἐκ θεοῦ εἰσι, δεδωρῆσθαι δὲ τοῖς ἁγίοις φησὶ καὶ ὁ θεσπέσιος Παῦλος διακρίσεις πνευμάτων. οἱ μὲν γὰρ λέγοντες ὅτι κύριος Ἰησοῦς, φαῖεν ἂν οὐχ ἑτέρως αὐτὸ πλὴν ὅτι διὰ τοῦ ἁγίου πνεύματος· οἵ γε μὴν ἐξ ἀμαθίας παλίμφημον ἐπ' αὐτοῖς γλῶσσαν ἀνέντες καὶ δι' ὧν ὀρθὰ φρονεῖν ἐγνώκασι, μόνον οὐχὶ λέγοντες ἀνάθεμα Ἰησοῦν, τοῦτο δρῶιεν ἂν ὡς ἀπό γε τοῦ Βεελζεβούλ. δεῖ δὴ οὖν ἄρα λεπτῶς τε καὶ διεσμιλευμένως δοκιμάζειν ἅπαντα μεμελετηκότας καὶ νῶι διεγηγερμένωι χρωμένους περιτυγχάνειν ἡμᾶς τοῖς τινων συγγράμμασι καὶ βασανίζειν εὐτεχνῶς οὕσπερ ἂν ποιοῖντο λόγους περὶ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ ἀπομιμεῖσθαί τε καὶ μάλα ὀρθῶς τοὺς ὅτι δὴ μάλιστα δοκίμους καὶ ἐμπειροτάτους τῶν ἀργυροπρατῶν, οἳ προσίενται μὲν τῶν νομισμάτων τὸ εὐδοκιμοῦν, ἀπόβλητον δὲ ποιεῖσθαι σπουδάζουσι τὸ παράσημον καὶ μεμωμημένον. καὶ πρός γε τοῦτο ἡμᾶς ὁ μακάριος Παῦλος παραθήγει, λέγων· γίνεσθε δόκιμοι τραπεζῖται· πάντα δοκιμάζετε, τὸ καλὸν κατέχετε, ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέχεσθε. ἔστι δὲ δὴ καὶ ἑτέρως πάναισχρόν τε καὶ ἀκαλλὲς ἐπὶ μὲν τοῖς κατὰ τόνδε τὸν βίον πράγμασι κατ' οὐδένα τρόπον ἡμᾶς ἠφειδηκότας ὁρᾶσθαι τοῦ τελοῦντος εἰς ὄνησιν, πειρᾶσθαι δὲ μᾶλλον περὶ πολλοῦ ποιεῖσθαι φιλεῖν τὰ δι' ὧν ἂν γένοιτο βιῶναι λαμπρῶς, ἀλογῆσαι δὲ τῶν οὕτω σεπτῶν καὶ ποιεῖσθαι παρ' οὐδὲν τὴν τῆς ψυχῆς σωτηρίαν βόθροις τε αὐτὴν ἐγκαθιέναι καὶ τέλμασι, πρὸς τὸ δοκοῦν ἁπλῶς τοῖς ἐθέλουσι λαλεῖν ἃ μὴ προσῆκεν, ἔσθ' ὅτε παραρριπτοῦντας τὸν νοῦν, οὐκ ἀναμύοντα πρὸς τὸ ἀληθὲς οὔτε μὴν ἐθέλοντα πολυπραγμονεῖν τί μέν ἐστι τῶν ἀνεγνωσμένων ὀρθὸν καὶ ὀνησιφόρον, τί δὲ δὴ τὸ διάστροφον καὶ δογματικῆς ἀκριβείας ἐκβεβηκὸς καὶ ζημίαν ἐμποιοῦν τὴν εἰς αὐτὴν ὁρῶσαν ψυχήν, ἧς ἀντάξιον οὐδὲν παρά γε τοῖς ἀρτίοις τὴν φρένα. δοκιμαστέον οὖν ἄρα καὶ λίαν ἰσχνῶς τὰς περὶ τῶν θείων δογμάτων συγγραφάς, κἂν μέν τις ἴοι κατ' εὐθὺ τοῦ σκοποῦ τῶν ἱερῶν γραμμάτων καὶ τὴν ἔν γε τουτοισὶ σαφῆ καὶ ἁπλανεστάτην διάιττοι τρίβον, κατακροτείσθω καὶ πρὸς ἡμῶν ταῖς εἰς ὀρθότητα ψήφοις· εἰ δὲ ψυχρὸν καὶ ἐξίτηλον καὶ μεμωμημένον, μᾶλλον δὲ καὶ ὀλέθρου πρόξενον τοῖς ἐντευξομένοις ἐξυφαίνοι τὸν λόγον, ἀκουέτω παρὰ πάντων· ἀλλὰ ἡμῖν λαλεῖτε καὶ ἀναγγέλλετε ἡμῖν

PG 76, 9 Pusey 54
P 55
PG 12
Prou. 8, 11
1 Ioh. 4, 1
1 Cor. 12, 10-3
Preuschen, Antileg. XIII
1 Thess. 5, 21. 22
P 56
31
PG 13
Ies. 30, 10

V

6 ρες V 11 ἐπιγάννυνται V 12 ἑτέροις scripsi ἕτεροι V 15 ὦσι add. Agellius 27/28 δόκιμοι Agellius τρόφιμοι V 40 πρὸ V

Mt. 12, 33 ἑτέραν πλάνησιν. οὐκοῦν ἢ ποιείτωσαν τὸ δένδρον καλὸν καὶ τὸν καρπὸν αὐτοῦ καλὸν ἢ ποιείτωσαν τὸ δένδρον σαπρὸν καὶ τὸν καρπὸν αὐτοῦ σαπρόν. ὁ μὲν γὰρ
Mt 12, 35 ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ προφέρει τὰ ἀγαθά, ὁ δὲ πονηρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ προφέρει τὰ πονηρὰ κατά γε τὴν ἀψευδῆ τοῦ σωτῆρος φωνήν. ἐσκότισε
2 Cor. 4, 4 μὲν γὰρ ὁ θεὸς τοῦ αἰῶνος τούτου τὰ νοήματα τῶν ἀπίστων αἱρετικῶν εἰς τὸ μὴ αὐγάσαι τὸν φωτισμὸν τοῦ εὐαγγελίου τῆς δόξης τοῦ Χριστοῦ, πεπλάνηνται δὲ πολυτρόπως. οἳ μὲν γὰρ τὸν ἐκ θεοῦ πατρὸς φύντα λόγον ἐν μείοσι
P 57 τοῦ γεγεννηκότος εἶναί [τέ] φασιν οἱ δείλαιοι καὶ τὸ ἔκφυλόν τε καὶ δουλοπρεπὲς αὐτῶι προσνέμοντες μέτρον οὐ καταπεφρίκασιν, οἳ δὲ τῶι ἁγίωι πνεύματι τὸ ἀνόσιόν τε καὶ
Ies. 57, 3. 4 ἀκρατὲς ἐπιθήγοντες στόμα δικαίως ἀκούουσι τοῦ προφήτου λέγοντος· ὑμεῖς δὲ προσαγάγετε ὧδε, υἱοὶ ἄνομοι, σπέρμα μοιχῶν καὶ πόρνης· ἐν τίνι ἐνετρυφήσατε καὶ ἐπὶ τίνι ἠνοίξατε τὸ στόμα ὑμῶν καὶ ἐπὶ τίνι ἐχαλάσατε τὴν γλῶσσαν ὑμῶν; οὐχ ὑμεῖς ἐστὲ τέκνα ἀπωλείας, σπέρμα ἄνομον; ἀλλ' ἐκεῖνοι
Ies. 50, 11 μὲν πορεύσονται τῶι ἑαυτῶν φωτὶ καὶ φλόγας εὑρήσουσιν, ἃς ἐξέκαυσαν αὐτοί· ἡμᾶς δὲ ἀκόλουθον, οἷς ὀρθότητος μέλει, σοφόν τε καὶ ἀκριβῆ τὸν ἐφ' ἑκάστωι τῶν θείων δογμάτων ποιεῖσθαι λόγον καὶ τῆς ἐκείνων ἀθυροστομίας παραιτεῖσθαι τὰ ἐγκλήματα, ἵνα μή τι πταί-
1 Cor. 8, 12 οντες καὶ ἁμαρτάνοντες εἰς τοὺς ἀδελφοὺς πλήττοντές τε αὐτῶν τὴν συνείδησιν ἀσθενοῦσαν
Ps. 54, 13-15 εἰς Χριστὸν ἁμαρτάνωμεν. ἀκουσόμεθα γὰρ λέγοντος εὐθὺς ὅτι εἰ ὁ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν, καὶ εἰ ὁ μισῶν με ἐπ' ἐμὲ ἐμεγαλορρημόνησεν, ἐκρύβην ἂν ἀπ' αὐτοῦ. σὺ δέ, ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου καὶ γνωστέ μου, ὃς ἐπὶ τὸ αὐτὸ ἐγλύκανάς μοι ἐδέσματα, ἐν τῶι οἴκωι τοῦ θεοῦ ἐπορεύθημεν ἐν ὁμονοίαι. ἀλλ' ἴοι μὲν εἰς ἐχθρῶν ταυτὶ κεφαλάς, οἳ τῆς τοῦ σωτῆρος ἡμῶν καταστρατεύονται δόξης καὶ τρυφὴν ἡγοῦνται τὰς εἰς αὐτὸν βλασφημίας, ἡμᾶς δέ, ὡς ἔφην, ἀκόλουθόν τε καὶ ἀναγκαῖον τοὺς τὰ αὐτῶι δοκοῦντα φρονεῖν σπουδάζοντας μὴ
* * τῆς ἀληθείας ἐκκεκομισμένον ἢ γοῦν ἑτέρωσέ ποι διάιττοντα καὶ νενευκότα πρὸς τὸ ἐξίτηλον, τὸν πρός γε φημὶ τοὺς ὑπὸ χεῖρα καὶ ταῖς εἰς ὀρθότητα ψήφοις ἐξ αὐτῆς τῆς ἀληθείας στεφανούμενον. καὶ ταῦτα φημὶ τινὶ τῶν βιβλίων περιτυχὼν ὑπό του συντεθειμένωι καὶ πολλὴν μὲν ἔχοντι τῶν ὁμιλιῶν τὴν ἄθροισιν, στοιχηδὸν δὲ καὶ ὡς ἐν τάξει
P 58 κειμένων, ἠμοιρηκότι δὲ κατ' οὐδένα τρόπον τοῦ κατελέγχεσθαι δεῖν. καὶ εἰ μὲν εἴρητό
PG 16 τι παρὰ τοῦ συγγεγραφότος, ὃ ταῖς εἰς λήθην ἀποδημίαις ἠφανίζετο, κἂν ὠιήθην δεῖν σιγὴν τε ἔχειν αὐτὸς καὶ ἑτέροις συμβουλεῦσαι τοῦτο δρᾶν, ὡς ἂν μὴ πολλοῖς ἑτέροις καὶ τοῖς μεθ' ἡμᾶς εἴη γνώριμα τὰ οὕτως ἐκτόπως καὶ ἀτημελῶς εἰρημένα· ἐπειδὴ δὲ δυσφημιῶν ὄχλος ἐνσεσώρευται τῶι βιβλίωι καὶ πολλή τις γέγονεν ἡ κατάρρησις τῶν τῆς ἀληθείας καθυλακτοῦσα δογμάτων, πῶς οὐκ ἀναγκαῖον ἡμᾶς μόνον οὐχὶ καὶ ἀνταποδύσασθαι καὶ ὑπεραθλῆσαι τῶν ἐντευξομένων, ὡς ἂν μή τι πάθοιεν ἐντεῦθεν τὸ βλάβος, εἰδεῖεν δὲ μᾶλλον ἀποκρούεσθαι γεννικῶς τὴν ἀπό γε τῶν οὐκ ὀρθῶς εἰρημένων ζημίαν; ὁ μὲν γὰρ θεσπέσιος
Mc. 3, 17 Ἰωάννης υἱὸς ὠνόμασται βροντῆς παρὰ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ, καὶ μάλα εἰκότως, διά γε τὸ μόνον οὐχὶ κατακτυπῆσαι τῆς ὑπ' οὐρανὸν καὶ καταβροντῆσαι τῆς γῆς, ὡς μέγα τι καὶ ἐξαίσιον εἰρηκώς. διατρανοῖ γὰρ εὖ μάλα τῆς ἐνανθρωπήσεως τοῦ μονο-
Ioh. 1, 1. 3 γενοῦς τὸ σεπτὸν ἀληθῶς καὶ μέγα μυστήριον. ἔφη μὲν γάρ· ἐν ἀρχῆι ἦν ὁ λόγος

V

1. 2 ποιήτωσαν V 9 τε deleui 15 εὑρήσουσιν Agellius εὑρήσκουσιν V 16 μέλλει V 19 ἀκουσόμεθα Agellius ἀκουσώμεθα V 23 εἰς scripsi ὡσ V 26 lacunam signaui e. g. supplendo περιιδεῖν τινα διδάσκειν 28 στεφανούμενον] conicio e. g. στεφανουμένους ἀδίκως προσφερόμενον 30 κατελέγχεσθαι scripsi κατέχεσθαι V εἴρητό scripsi εἴρηταί V 37 γενικῶσ V 39 γε scripsi τε V

καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν καὶ θεὸς ἦν ὁ λόγος. πάντα δι' αὐτοῦ ἐγέ-
νετο καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν. ἐπειδὴ δὲ ἀκριβῆ καὶ τετορνευμένην ἐποιή-
σατο τὴν μυσταγωγίαν καὶ θεὸν ὑπάρχοντα καὶ ἐκ θεοῦ κατὰ φύσιν ἀπορρήτως γεγεννη-
μένον ἀπέφηνε τὸν μονογενῆ ⟨καὶ⟩ κτίστην καὶ ποιητὴν τῶν ὅλων, τότε δὴ τότε καὶ
λίαν ἐπὶ καιροῦ τῆς πανσόφου λοιπὸν δι' ἡμᾶς τε καὶ ὑπὲρ ἡμῶν πεπραγμένης οἰκονομίας 5
ἄρχεται καὶ φησι· καὶ ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν καὶ ἐθεα- Ioh. 1, 14
σάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρός, πλήρης
χάριτος καὶ ἀληθείας. σάρκα μὲν γὰρ ἔφη τὸν λόγον, τῆς ἀληθοῦς ἑνώσεως, δῆλον
δὲ ὅτι τῆς καθ' ὑπόστασιν νοουμένης, ἐμφανίζων τὴν δύναμιν· διὰ δὲ τοῦ καὶ ἐν ἡμῖν αὐ-
τὸν σκηνῶσαι λέγειν οὐκ ἐφίησι νοεῖν εἰς σάρκα τὴν ἀπὸ γῆς τὸν ἐκ θεοῦ κατὰ φύσιν 10
μεταχωρῆσαι λόγον. ὠιήθη μὲν ⟨γὰρ⟩ ἂν οἶμαί τις τῶν οὐ λίαν ἠκριβωκότων ὅ τί ποτέ P 59
ἐστιν ἡ θεία τε καὶ γενητοῦ παντὸς ἐπέκεινα φύσις, τάχα που καὶ τροπῆς εἶναι δεκτικὴν
αὐτὴν καὶ καταραιθυμῆσαι μὲν δύνασθαι τῶν ἰδίων καὶ οὐσιωδῶς αὐτῆι προσπεφυκότων
ἀγαθῶν, μεταφῦναι δὲ ὥσπερ εἰς ἕτερόν τι παρ' ὅπερ ἐστί, καὶ τοῖς τῆς κτίσεως ἐγκαθι-
κέσθαι μέτροις, ἀλλοιώσεσι καὶ μεταβολαῖς ἀδοκήτως ὑπενηνεγμένην· ἀλλ' ὅτι τὸ χρῆμά 15
ἐστιν ἀμήχανον παντελῶς (ἐρήρεισται γὰρ ἡ τοῦ θεοῦ φύσις καὶ ἀκράδαντον ἔχει τὴν ἐφ'
οἷς ἐστι διαμονήν), μεμαρτύρηκεν εἰπὼν τὸ ἐσκήνωσεν ἐν ἡμῖν καίτοι σὰρξ γεγονὼς
ὁ λόγος, καὶ τὸ τῆς οἰκονομίας σοφὸν εὐτεχνῶς ἐξηγούμενος καὶ τό γε μὴ δεῖν τὴν τοῦ
λόγου φύσιν συκοφαντεῖσθαι πρός τινος ὡς σάρκα γεγενημένην ἐξ ἀλλοιώσεως καὶ παρα-
τροπῆς εὖ μάλα τετηρηκώς. φαμὲν οὖν ἄρα καὶ ἡμεῖς αὐτοὶ τὸν τῶν θεηγόρων ἰχνηλα- 20
τοῦντες σκοπὸν καὶ τὸν τῆς πίστεως ὅρον κατ' οὐδένα τρόπον ἐκβαίνοντες τὸν ἐκ θεοῦ
κατὰ φύσιν τὸν μονογενῆ τὸν ἐν κόλποις ὄντα τοῦ πατρός, τὸν δι' οὗ τὰ πάντα καὶ ἐν Ioh. 1, 18
ᾧι τὰ πάντα, καίτοι τὴν πρὸ παντὸς αἰῶνος καὶ χρόνων ἰδικὴν ὕπαρξιν ἔχοντα καὶ ἀεὶ
συνυφεστηκότα τῶι γεγεννηκότι, καθικέσθαι μὲν εἰς ἑκούσιον κένωσιν ἐν ἐσχάτοις τοῦ PG 17
αἰῶνος καιροῖς καὶ μορφὴν δούλου λαβεῖν, τουτέστιν ἐν τοῖς καθ' ἡμᾶς γενέσθαι καὶ ἄν- Phil. 2, 6. 7
θρωπον οἰκονομικῶς ὁμοιωθῆναί τε τοῖς ἀδελφοῖς κατὰ πάντα διὰ τοῦ μεταλαχεῖν ὁμοίως Hebr. 2, 17. 14
αἵματος καὶ σαρκὸς οὕτω τε μεθ' ἡμῶν καὶ τὴν καθ' ἡμᾶς ὑπομεῖναι γέννησιν καὶ τῆς ἰδίας
σαρκὸς τὴν εἰς τὸ εἶναι πάροδον εἰς ἑαυτὸν ἀναλαβεῖν [καί], οὐ δευτέρας ἀρχῆς τῆς εἰς
τὸ εἶναι δεδεημένον (ἦν γὰρ ἐν ἀρχῆι καὶ θεὸς ἦν ὁ λόγος), ἀλλ' ἵνα τὸ ἀνθρώπινον ἀνα- Ioh. 1, 1
κεφαλαιώσηται γένος, ⟨ὡς⟩ ἀπαρχὴ πάντων δευτέρα μετὰ τὴν πρώτην ἐκείνην τικτόμενος 30 Gal. 4, 4
κατὰ σάρκα ἐκ γυναικὸς κατὰ τὰς γραφάς. οὕτω γὰρ ἐπτώχευσε πλούσιος ὤν, ἡμᾶς εἰς τὸν 2 Cor. 8, 9
ἴδιον ἀνακομίζων πλοῦτον καὶ διὰ τῆς ἐνωθείσης αὐτῶι σαρκὸς πάντας ἔχων ἐν ἑαυτῶι· P 60
οὕτω γὰρ οὕτω συντεθάμμεθα μὲν τῶι Χριστῶι διὰ τοῦ ἁγίου βαπτίσματος, συνεγηγέρμεθα Col. 2, 12
δὲ καὶ συνεκαθίσαμεν ἐν τοῖς ἐπουρανίοις. γέγραφε γὰρ οὕτως ὁ τῶν αὐτοῦ μυστηρίων Eph. 2, 6
ταμίας, ὁ κῆρυξ καὶ ἀπόστολος καὶ τῶν εὐαγγελικῶν θεσπισμάτων ἱερουργός, ὁ σοφώτατος 1 Tim. 2, 7
Παῦλος. ἀναγκαῖον τοιγαροῦν εἰς τὴν τοῦ μυστηρίου πίστιν τε ὁμοῦ καὶ παράδειξιν 38
ἀκριβῆ τὸ τῆς ἀληθοῦς ἑνώσεως χρῆμα, τῆς καθ' ὑπόστασιν λέγω, ἵνα καὶ ὁ τῆς κατὰ
σάρκα γεννήσεως τρόπος τοῦ μονογενοῦς τὸ ἀνεπίπληκτον ἔχηι, οὐ πρὸς ὕπαρξιν, ὡς ἔφην,
κεκλημένου δευτέραν (αὐτὸς γάρ ἐστι τῶν αἰώνων ὁ ποιητής), ἑαυτὸν δὲ μᾶλλον καθέντος
οἰκονομικῶς εἰς ἀνθρωπότητα δι' ἡμᾶς καὶ τοὺς τῆς ἀνθρωπότητος οὐκ ἀτιμάσαντος νόμους, 40
ἑλομένου δὲ μᾶλλον μετὰ τῆς σαρκὸς καὶ τὴν τῆς σαρκὸς γέννησιν ὡς ἰδίαν ἔχειν. ταύτηι
τοι φαμὲν γεγεννῆσθαι κατὰ σάρκα τὸν ἀεὶ συνυπάρχοντα τῶι πατρί. κατέκρινε γὰρ Rom. 8, 3
οὕτω τὴν ἁμαρτίαν ἐν τῆι σαρκὶ καὶ κατήργηκεν ἐν ἡμῖν τοῦ θανάτου τὸ κράτος, καθ'
ἡμᾶς γεγονὼς ὁ μὴ εἰδὼς ἁμαρτίαν, ὁ ἐν ᾧι ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν. ἀλλ' 2 Cor. 5, 21
Act. 17, 28

V

4 καὶ[1] addidi 11 ὠήθην V γὰρ addidi 26 τε] malim δὲ 28 καὶ deleui
30 ὡς addidi 38 ἔχοι V

οὐκ οἶδ' ὅπως ἀδικοῦσί τινες τῶν τῆς ἐκκλησίας δογμάτων τὸ ἱερώτατον κάλλος καὶ τὴν ἁγίαν τε καὶ πάναγνον ῥυτιδοῦσι παρθένον, εἰς ἀκαλλῆ σαθρότητα τῶν ἰδίων αὐτὴν κατακομίζοντες ἐννοιῶν καὶ ξένων ἡμῖν εὑρημάτων ἐπιτειχίζοντες ὄχλον. γράφονται μὲν γὰρ ὡς νόθην τινὰ καὶ οὐκ εὐφυᾶ, μᾶλλον δὲ ὡς πέρα παντὸς ἰοῦσαν τοῦ καθήκοντος λόγου τὴν θεοτόκος φωνήν, ἣν ἐπὶ τῇι ἁγίαι παρθένωι συντεθείκασιν οἱ πρὸ ἡμῶν ἅγιοι πατέρες, διιστᾶσι δὲ ἀνὰ μέρος τέμνοντες εἰς υἱοὺς δύο τὸν ἕνα κύριον Ἰησοῦν Χριστόν, ἀποφέρουσι δὲ καὶ τοῦ θεοῦ λόγου τὰ τῆς σαρκὸς πάθη, καίτοι παθεῖν αὐτὸν εἰς ἰδίαν φύσιν, καθὸ
P 61 νοεῖται θεός, οὐδὲ ἡμῶν εἰρηκότων, ἀνατιθέντων δὲ μᾶλλον αὐτῶι μετὰ τῆς σαρκὸς καὶ τὰ
Ies. 53, 5 τῇι σαρκὶ συμβεβηκότα πάθη, ἵνα καὶ αὐτὸς ὁμολογῆται σωτήρ. τῶι γὰρ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν κατὰ τὸ γεγραμμένον καὶ μεμαλάκισται μὲν αὐτὸς διὰ τὰς ἁμαρτίας ἡμῶν, καίτοι τοῦ παθεῖν τὸν μαλακισμὸν ἀνεπίδεκτος ὤν, σεσώσμεθα δὲ ἡμεῖς τὸν ὑπὲρ ἡμῶν ἀναλαβόντος θάνατον διὰ τοῦ ἰδίου σώματος. πειράσομαι δὲ ἅπερ
PG 20 ἔφην, ἐπιδεῖξαι σαφῶς. ἀναγνώσομαι γὰρ ἤδη τὰς τοῦ τὸ βιβλίον συγγεγραφότος φωνὰς καὶ πρό γε τῶν ἄλλων ἐκείνας αἳ γεγόνασιν αὐτῶι τῆς θεοτόκος φωνῆς οὐ μετρίως κατειρηκότι. ἐπειδὴ δὲ πλειστάκις διὰ τῶν αὐτῶν ἔρχεται λόγων, ἀντανισταμένους δὲ καὶ ἡμᾶς διὰ τῶν αὐτῶν ἰέναι πλειστάκις ἐννοιῶν ἀναγκαῖον, δότε δὴ δότε συγγνώμην οὐ ταυτοεπεῖν ἠιρημένοις, ἀλλ' ἤιπερ ἂν ἴοι τῶν ἐκείνου λόγων ὁ σκοπός, ταύτηι καὶ ἡμῖν ἀντιφέρεσθαι δεῖν εὖ μάλα διεγνωκόσιν. ἔφη τοίνυν ὠδὶ τὴν ἐπί γε τῇι ἁγίαι παρθένωι κατακιβδηλεύων φωνήν, φημὶ δὲ τὴν θεοτόκος

Loofs 1 p. 353, 1-12 Ἠρώτησα, φησί, πολλάκις αὐτούς, δῆλον δὲ ὅτι τοὺς ἀντιλέγοντας αὐτῶι· τὴν θεότητα λέγετε γεγεννῆσθαι ἐκ τῆς ἁγίας παρθένου; ἀποπηδῶσιν εὐθὺς πρὸς τὸ ῥῆμα· καὶ τίς, φησί, τοσαύτην βλασφημίαν νοσεῖ, ὥστε ἐκείνην τὴν γεννήσασαν τον ναόν, λέγειν παρὰ τοῦ πνεύματος τὸν θεὸν ἐν ἐκείνηι ἐκτίσθαι; εἶτα ὅταν ἐπαγάγω πρὸς ταῦτα· τί οὖν ἄτοπον ἡμεῖς λέγομεν συμβουλεύοντες φεύγειν τὴν φωνὴν καὶ ἔρχεσθαι ἐπὶ τὸ κοινὸν σημαινόμενον τῶν δύο φύσεων; τότε νομίζεται αὐτοῖς εἶναι βλάσφημον τὸ λεγόμενον. ἢ ὁμολόγησον σαφῶς θεότητα γεγεννῆσθαι ἐκ τῆς μακαρίας Μαρίας ἢ φεύγων ὡς βλάσφημον τὴν φωνήν, τί τὰ αὐτά μοι λέγων ὑποκρίνηι μὴ λέγειν;

Οὐκοῦν οἷς ἔφης αὐτὸς καὶ μὴν καὶ φρονεῖν οὐκ οἶδ' ὅπως ἀξιοῖς, οἱ τὰ ἐναντία δοξάζοντες μεμαρτύρηνται σαφῶς καὶ διὰ τῆς σῆς φωνῆς ὀρθὴν καὶ ἀπλανεστάτην τὴν ἐπί γε
P 62 τῶι πάντων ἡμῶν σωτῆρι Χριστῶι ποιούμενοι δόξαν καὶ πίστιν ἔχοντες εἰς νοῦν, ἣν ταῖς
Lc. 1, 2 ἐκκλησίαις παραδεδώκασιν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου καὶ τῶν θείων ἡμῶν μυστηρίων ἱερουργοὶ καὶ ταμίαι γνήσιοι. ἀποσείονται μὲν γὰρ καὶ μάλα ὀρθῶς ὡς ἀμαθίας τε ὁμοῦ καὶ τῆς εἰς ἄκρον ἠκούσης δυσσεβείας ἀπόδειξιν ἐναργῆ τὸ κἂν γοῦν οἰηθῆναι μόνον τὸν ἐκ θεοῦ πατρὸς λόγον εἰς ἀρχὴν τοῦ εἶναι κεκλῆσθαι δευτέραν ἢ γοῦν τῆς ἰδίας ὑπάρξεως ῥίζαν ὥσπερ τινὰ τῆς ἁγίας παρθένου τὴν σάρκα λαβεῖν, πλὴν ὀνομάζουσι θεοτόκον αὐτὴν ὡς ἀποτεκοῦσαν δηλονότι θεὸν ὄντα κατὰ φύσιν τὸν Ἐμμανουήλ· γέγονε γὰρ μεθ' ἡμῶν θεὸς ὢν φύσει καὶ ὑπὲρ ἡμᾶς ὁ λόγος. ἆρ' οὖν οἷς δοξάζειν ἐγνώκασι, τἀναντία φασίν; ἐρεῖ γὰρ οἱμαί τις τῶν τὰ αὐτά σοι φρονεῖν ἠιρημένων· εἰ μὴ τὴν τοῦ λόγου φύσιν γέννημα σαρκὸς εἶναι φὴς καὶ τῶν εἰς τοῦτο σαυτὸν ἀπαλλάττεις αἰτιαμάτων, πῶς δὴ ἄρα θεὸν ἀποκυῆσαι διαβεβαιοῦ τὴν ἁγίαν παρθένον; ἀν-
Ioh. 1, 14 τακούσεται δὲ πρὸς ἡμῶν· σάρκα γενέσθαι φησὶν ἡ θεόπνευστος γραφὴ τὸν ἐκ θεοῦ πατρὸς λόγον, τουτέστιν ἀσυγχύτως τε καὶ καθ' ὑπόστασιν ἑνωθῆναι σαρκί. οὐ γὰρ ἦν ἀλλότριον αὐτοῦ τὸ ἑνωθὲν αὐτῶι σῶμα, καίτοι γεγεννημένον ἐκ γυναικός, ἀλλ' ὥσπερ

1 = apolog. adu. Orient. 8

1—19. 28—43 V 20—27 V, Va [= lectiones argumentorum]
2 αὐτὴν Agellius αὐτῇ V 25 νομίζετε VVa 36 τὸ V 38 δοξάσειν V 40 διαβεβαιοῖ V 43 καίτοι scripsi καὶ V

ἴδιον τῶν καθ' ἡμᾶς ἑκάστωι τὸ αὐτοῦ, κατὰ τὸν αὐτὸν τουτονὶ τρόπον καὶ τοῦ μονογενοῦς ἴδιον ἦν καὶ οὐχ ἑτέρου τὸ σῶμα· οὕτω γὰρ καὶ γεγέννηται κατὰ σάρκα. εἶτα πῶς ἄν, εἰπέ μοι, γέγονε σὰρξ οὐ παρειλημμένης γεννήσεως τῆς ἐκ γυναικός, τῶν τῆς ἀνθρωπότητος νόμων εἰς τοῦτο καλούντων καὶ τῆς σαρκικῆς ὑπάρξεως ⟨εἰς⟩ τὴν ἀρχὴν οὐχ ἑτέραν ἔχειν δυναμένης τὴν ὁδόν; οὐ γάρ που ταῖς Ἑλλήνων τερθρείαις προσεσχηκότες ἐκ 5 PG 21
δρυὸς ἢ πέτρας τὰ ἀνθρώπων τίκτεσθαι σώματα καὶ ἡμεῖς αὐτοὶ ῥαψωιδήσομεν, νόμους δὲ τοὺς καθ' ἡμᾶς ἡ φύσις ὥρισατο, μᾶλλον δὲ τῆς φύσεως ὁ δημιουργός. τίκτεται γὰρ ὥσπερ ἀφ' ἑκάστου τῶν ὄντων τὸ συγγενές, οὕτω καὶ ἐξ ἡμῶν αὐτῶν, καὶ οὐκ ἂν ἑτέρως ἔχοι τὸ χρῆμα, πόθεν; ἀνέφικτον μὲν γὰρ παντελῶς οὐδὲν ὧν ἂν ἕλοιτο κατορθοῦν, P 63
τῆι θείαι τε καὶ ἀπορρήτωι δυνάμει, ἔρχεται δὲ διὰ τῶν εἰκότων τῆι τῶν ὄντων φύσει, 10
τοὺς παρ' αὐτῆς τεθειμένους οὐκ ἀτιμάζουσα νόμους. καὶ ἦν οὐκ ἀνέφικτον τῶι πάντα ἰσχύοντι λόγωι, κεκρικότι μὲν δι' ἡμᾶς γενέσθαι καθ' ἡμᾶς, παραιτουμένωι γε μὴν γέννησιν τὴν ἐκ γυναικός, ἔξωθεν ἑαυτῶι καὶ ἰδίαι δυνάμει πλαστουργῆσαι τὸ σῶμα, καθάπερ ἀμέλει γενέσθαι φαμὲν καὶ ἐπὶ τοῦ προπάτορος Ἀδάμ (ἔλαβε γάρ, φησίν, ὁ θεὸς χοῦν ἀπὸ τῆς Gen. 2, 7
γῆς καὶ ἔπλασε τὸν ἄνθρωπον)· ἐπειδὴ δὲ πρόφασις αὕτη τοῖς ἀπίστοις ἦν συκοφαντεῖν 15
ἐθέλουσι τῆς ἐνανθρωπήσεως τὸ μυστήριον καὶ πρό γε τῶν ἄλλων τοῖς ἀνοσίοις Μανιχαίοις, οὓς ἄνω τε καὶ κάτω δεδιέναι φὴς μὴ ἄρα που τοῖς θεοτόκον λέγουσι τὴν ἁγίαν παρθένον ἐπιπηδήσειαν ὡς ἐν μόναις φαντασίαις διαβεβαιουμένοις γενέσθαι τοῦ λόγου τὴν σάρκωσιν, κεχώρηκεν ἀναγκαίως διὰ τῶν τῆς ἀνθρωπίνης φύσεως νόμων καὶ ἐπείπερ ἦν ὁ σκοπὸς αὐτῶι πληροφορῆσαι σύμπαντας ὅτι γέγονεν ἄνθρωπος ἀληθῶς, ἐπελάβετο σπέρ- 20
ματος Ἀβραὰμ καὶ μεσιτευούσης πρὸς τοῦτο αὐτὸ τῆς μακαρίας παρθένου παραπλησίως Hebr. 2, 16
ἡμῖν μετέσχεν αἵματος καὶ σαρκός. ἦν γὰρ οὕτω καὶ οὐχ ἑτέρως μεθ' ἡμῶν γενέσθαι Hebr. 2, 14
θεόν. χρειωδεστάτη δὲ καὶ ἑτέρως τοῖς ἐπὶ τῆς γῆς ἡ τοῦ λόγου σάρκωσις ἢ γοῦν ἐνανθρώπησις ἦν. εἰ μὴ γὰρ γεγέννηται καθ' ἡμᾶς κατὰ σάρκα ⟨καὶ⟩ εἰ μὴ τῶν αὐτῶν ἡμῖν μετέσχε παραπλησίως, οὐκ ἂν τὴν ἀνθρώπου φύσιν τῶν ἐν Ἀδὰμ ἀπήλλαξεν ἐγκλη- 25
μάτων οὐδ' ἂν τῶν ἡμετέρων σωμάτων ἀπεσόβησε τὴν φθορὰν οὐδ' ἂν κατέληξε τῆς ἀρᾶς ἡ δύναμις, ἣν ἐπὶ τῆι πρώτηι γυναικὶ γενέσθαι φαμέν· εἴρηται γὰρ πρὸς αὐτήν· ἐν λύ- Gen. 3, 16
παις τέξηι τέκνα. ἀλλὰ νενόσηκε μὲν ἡ ἀνθρώπου φύσις τὸ ἀπειθὲς ἐν Ἀδάμ, γέγονε ⟨δὲ⟩ νῦν εὐδόκιμος ἐν Χριστῶι διὰ τῆς εἰς ἅπαν ὑπακοῆς· γέγραπται γὰρ ὅτι
ὥσπερ διὰ τῆς παρακοῆς τοῦ ἑνὸς ἀνθρώπου ἁμαρτωλοὶ κατεστάθησαν 30 P 64
οἱ πολλοί, οὕτω καὶ διὰ τῆς ὑπακοῆς ἑνὸς ἀνθρώπου δίκαιοι κατασταθή- Rom. 5, 19
σονται οἱ πολλοί. πέπονθεν ἐν Ἀδὰμ τὸ γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσηι· πεπλού- Gen. 3, 19
τηκεν ἐν Χριστῶι τὸ κατ⟨ευμεγεθῆσαι⟩ δύνασθαι τῶν τοῦ θανάτου βρόχων καὶ οἱονεὶ κατορχεῖσθαι φθορᾶς, ἐκεῖνο λέγουσα τὸ προφητικόν· ποῦ ἡ νίκη σου, θάνατε; ποῦ τὸ κέν- Os. 13, 14 cf.
τρον σου, ἅιδη; γέγονεν ἐπάρατος, ὡς ἔφην, ἀλλ' ἤρτησεν ἐν Χριστῶι καὶ τοῦτο. 1 Cor. 15, 55
καὶ γοῦν εἴρηταί που πρὸς τὴν ἁγίαν παρθένον, προφητευούσης ἐν πνεύματι τῆς Ἐλισάβετ· 36
εὐλογημένη σὺ ἐν γυναιξὶ καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου. Lc. 1, 42
βεβασίλευκεν ἡμῶν ἡ ἁμαρτία καὶ ὁ τῆς ἁμαρτίας εὑρετὴς καὶ πατὴρ τῶν ἀνὰ πᾶσαν τὴν PG 24
ὑπ' οὐρανὸν κατεσοβαρεύετο, τῶν θείων νόμων τὴν παράβασιν ἐγκαλῶν· ἀλλ' ἐν Χριστῶι τὴν ἀνθρώπου φύσιν ὡς ἐν ἀπαρχῆι τοῦ γένους δευτέραι παρρησίαν ἔχουσαν ὁρῶμεν πρὸς 40
θεόν. ἔφη γὰρ ἐναργῶς· ἔρχεται ὁ ἄρχων τοῦ κόσμου τούτου καὶ ἐν ἐμοὶ Ioh. 14, 30
εὑρήσει οὐδέν. ἀλλ' ὦ βέλτιστε, φαίην ἂν εἰκότως, εἰ μὴ γέγονε καθ' ἡμᾶς ὁ μονογενής, γέγονε δὲ καθ' ἡμᾶς οὐχ ἑτέρως πλὴν ὅτι διὰ γεννήσεως σαρκικῆς τῆς ἐκ γυναικός, οὐκ ἂν ἡμεῖς τὰ αὐτοῦ πεπλουτήκαμεν. ὡς γὰρ ὁ σοφώτατος γράφει Παῦλος, δεύτερος 1 Cor. 15, 17

V

4 εἰς addidi 6 ῥαψωδίσωμεν V 7 ὁρίσατο V 24 καὶ addidi 26 ἐπεσόβησε V
29 δὲ addidi 31/32 καταθήσονται V 33 κατευμεγεθῆσαι scripsi κατ spatium X fere litt. V

ἡμῖν Ἀδὰμ οὐκ ἀπό γε τῆς γῆς κατὰ τὸν πρῶτον, ἀλλ' ἐξ οὐρανοῦ πέφηνεν ὁ Ἐμμανουήλ. ὁ γὰρ ἄνωθέν τε καὶ ἐκ πατρὸς λόγος οὐκ εἰς τὴν τοῦδέ τινος οὔτε μὴν εἰς ἀλλοτρίαν καταπεφοίτηκε σάρκα, καθάπερ ἤδη προεῖπον, οὐδ' αὖ ἐφ' ἕνα τινὰ τῶν καθ' ἡμᾶς καταβέβηκεν, ὡς ἐνοικήσων αὐτῷ, καθάπερ ἀμέλει καὶ ἐν προφήταις ἦν· ἀλλ' ἴδιον ποιησάμενος σῶμα τὸ ἐκ γυναικὸς καὶ γεννηθεὶς ἐξ αὐτῆς κατὰ σάρκα τὴν ἀνθρώπου γέννησιν ἀνεκεφα-
P 65 λαιοῦτο δι' ἑαυτοῦ, μεθ' ἡμῶν κατὰ σάρκα γενόμενος ὁ πρὸ παντὸς αἰῶνος ἐκ πατρός. ταύτην ἡμῖν τῆς πίστεως τὴν ὁμολογίαν αἱ θεῖαι παρέδοσαν γραφαί, σὺ δὲ δεδιέναι μὲν προσποιῇ μὴ ἄρα τις τῶν καθ' ἡμᾶς ὑποπτεύσειε τῆς ὑπάρξεως τὴν ἀρχὴν ἀπὸ γηίνης σαρκὸς ἐσχηκέναι τὸν ἐκ θεοῦ φύντα λόγον, ἀναιρεῖς δὲ εἰς ἅπαν τῆς μετὰ σαρκὸς οἰκονομίας τὸ μυστήριον, μὴ χρῆναι λέγων ὀνομάζεσθαι πρὸς ἡμῶν θεοτόκον τὴν ἁγίαν παρθένον, περιτρέπεις δὲ ὥσπερ εἰς ἄφυκτόν τε καὶ ἀναγκαίαν ὁμολογίαν τοὺς θεοτόκον λέγοντας αὐτὴν τοῦ δεῖν οἴεσθαι σαρκὸς γενέσθαι καρπὸν τὸν ἐκ θεοῦ λόγον. ἀλλ' οὐχ ὧδε τοῦτ' ἔχει, πολλοῦ γε καὶ δεῖ. ὁ γὰρ ἐκ θεοῦ πατρὸς τὴν ὕπαρξιν ἔχων τὴν παντὸς ἐπέκεινα χρόνου (καὶ γάρ ἐστι τῶν αἰώνων δημιουργός) ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς, ἐπεί τοι γέγονε σάρξ, γεγεννῆσθαι λέγεται κατὰ σάρκα. εἰ γὰρ ἴδιον αὐτοῦ τὸ σῶμα νοεῖται, πῶς οὐ πάντῃ τε καὶ πάντως τὴν τοῦ ἰδίου σώματος γέννησιν οἰκειώσεται; ἀλλ' ἐπήινεσας ἂν καὶ αὐτὸς τὴν τῶν οὕτω δοξαζόντων ὀρθὴν καὶ ἀβέβηλον πίστιν, εἰ [δὲ] σαυτὸν ἀναπείθειν ἤθελες διαλογίζεσθαι καὶ ὁμολογεῖν ὅτι θεὸς ἀληθῶς ἐστιν ὁ Χριστός, εἷς τε καὶ μόνος ὢν ‹υἱὸς› τοῦ θεοῦ καὶ πατρός, οὐ διῃρημένος εἰς ἄνθρωπον ἰδικῶς καὶ ὁμοίως εἰς θεόν, ἀλλ' ὁ αὐτὸς ὑπάρχων καὶ ἐκ θεοῦ πατρὸς λόγος καὶ ἐκ γυναικὸς ἄνθρωπος καθ' ἡμᾶς μετὰ τοῦ μεῖναι θεός. ὅτι δὲ συκοφαντεῖς τοῦ λόγου τὴν κατὰ σάρκα γέννησιν, δύο πρεσβεύων υἱοὺς πανταχῇ καὶ διατέμνων τὸν ἕνα κύριον Ἰησοῦν Χριστόν, οὐ διὰ τῶν ἐμῶν, ἀλλὰ διὰ τῶν σῶν δειχθήσεται λόγων.

Loofs p. 277,19-278,2 **2 1** Τοῦ Νεστορίου. Βλέπε τὸ συμβαῖνον, αἱρετικέ. οὐ φθονῶ τῆς φωνῆς τῇ Χριστοτόκωι παρθένωι, ἀλλ' οἶδα σεβασμίαν τὴν δεξαμένην θεόν, δι' ἧς παρῆλθεν ὁ τῶν
Mal. 4, 2 ὅλων δεσπότης, δι' ἧς ἀνέλαμψεν τῆς δικαιοσύνης ὁ ἥλιος. πάλιν ὑποπτεύω τὸν κρότον·
P 66 PG 25 πῶς τὸ παρῆλθεν ἐνοήσατε; οὐκ εἴρηταί μοι τὸ παρῆλθεν ἀντὶ τοῦ ἐγεννήθη· οὐ γὰρ οὕτω ταχέως ἐπιλανθάνομαι τῶν ἰδίων. τὸ παρελθεῖν τὸν θεὸν ἐκ τῆς Χριστοτόκου παρθένου παρὰ τῆς θείας ἐδιδάχθην γραφῆς, τὸ δὲ γεννηθῆναι θεὸν ἐξ αὐτῆς οὐδαμοῦ ἐδιδάχθην.

Loofs p. 278, 5-7 **2** Καὶ μεθ' ἕτερα· Οὐδαμοῦ τοίνυν ἡ θεία γραφὴ θεὸν ἐκ τῆς Χριστοτόκου λέγει γεγενῆσθαι, ἀλλὰ Ἰησοῦν, Χριστόν, υἱόν, κύριον.

3 Προσεπάγει δὲ τούτοις ὅτι μὴ θεὸς ἀληθῶς, θεοφόρος δὲ μᾶλλον ἄνθρωπος ἦν ὁ Χριστός, ὡς γοῦν οἴεται καταδεικνὺς τὴν τοῦ ἀγγέλου φωνὴν τῷι μακαρίωι λέγοντος Ἰω-
Mt. 2, 13 σήφ· ἐγερθεὶς παράλαβε τὸ παιδίον. εἰδέναι δέ φησι καὶ τοὺς ἀγγέλους, καίτοι σοφωτέρους ὄντας ἡμῶν, ὅτι παιδίον ἦν.

Αἱρετικὸν μὲν οὖν ἐν τούτοις ἀποκαλεῖ τὸν ὀρθὴν ἔχοντα καὶ τεθαυμασμένην ἐπὶ Χριστῷι τὴν πίστιν καὶ ἐπείπερ ἐστὶ θεὸς ἀληθῶς, θεοτόκον ὀνομάζοντα τὴν τεκοῦσαν αὐτόν· γένοιτο δ' ἂν οὐδενὶ τῶν εὖ φρονούντων ἀμφίλογον ὅτι τοῖς ὀρθὰ φρονεῖν ἠιρημένοις τὸν τῶν αἱρέσεων μῶμον ἀνάπτων αὐτὸς τῶν ἰδίων καθοριεῖ λόγων τὸ ἀκαλλές, μόνον δὲ οὐχὶ καὶ διωμολόγηκεν ἐναργῶς ὡς ἔξω που τῆς εἰς εὐθὺ φέρεται τρίβου καὶ τροχιὰς ποι-

---

24—29 = Exc. Eph. II ep. 128, 9 30—35 cf. Exc. Eph. III ep. 128, 9

1—23. 36—40 V 24—35 VVa

17 δὲ deleui δὴ Agellius 19 υἱὸς addidi 34 καίτοι suspectum 35 σοφοτέρους V 40 τροχιὰς Agellius τροπὰς V

εἶται τὰς διεστραμμένας. εἶτα πῶς οὐ φθονεῖς, εἰπέ μοι, τῆς τοιᾶσδε φωνῆς τῇι ἁγίαι παρθένωι, καίτοι τῆς θείας γεννήσεως ἀναιρῶν τὸ ἀξίωμα καὶ θεοτόκον οὐκ εἶναι λέγων αὐτήν; κατακιβδηλεύων δὲ τὴν λέξιν καὶ βλασφημίας ἐπίμεστον εἶναι διαβεβαιούμενος, τίνα τρόπον ἐφίης τοῖς ἐθέλουσιν ἀπονέμειν αὐτὴν τῇι ἁγίαι παρθένωι; καίτοι σεβασμίαν ἀκούω λέγοντος αὐτήν. εἶτα τὴν βλάσφημον οὕτω φωνὴν κατά γε τὸ αὐτῶι σοι καὶ μόνωι δοκοῦν πρέπειν οἰηθεὶς τῇι σεβασμιωτάτηι κοσμεῖν καὶ στεφανοῦν ὑποπλάττηι, γέρας ὥσπερ ἐξαίρετον ἀνατιθεὶς αὐτῇι τὴν κατὰ τοῦ θεοῦ λόγου συκοφαντίαν; εἰ γάρ ἐστιν ὅλως τῶν ἀπηχθημένων τῶι ἐκ θεοῦ φύντι λόγωι τὸ γέννησιν ὑπομεῖναι σαρκικήν, εἶτα θεοτόκον P 67 ὀνομάζεσθαι συγχωρεῖς τὴν οὐ τεκοῦσαν θεόν, ἆρ' οὐκ ἀληθὲς εἰπεῖν ὡς καταπεφρόνηκας ἐναργῶς τῶν δεσποτικῶν θελημάτων; οὐκ ἂν ἁλοίης περιυβρίζων μᾶλλον τὴν σεβασμίαν ἢ γοῦν, ὡς αὐτὸς οἶει τε καὶ λέγεις, τιμᾶν ἡιρημένος, τὴν τῶι θεῶι κατεστυγημένην φωνὴν ἀπονέμων αὐτῇι; εἰ γὰρ οὓς τιμᾶν ἐγνώκαμεν, τούτοις ὀνόματα χαριούμεθα τὰ δι' ὧν ⟨ἂν⟩ ἡ τῆς ἀνωτάτω φύσεως ἀδικοῖτο δόξα, πρῶτον μὲν σφᾶς αὐτοὺς τοιαύτης δυσφημίας ἐγκλήμασιν ἐνιέντες ἀγνοήσομεν, εἶτα πρὸς τούτοις οὐ μετρίως ἀδικήσομεν, ὡς ἐν ὑπολήψει τιμῆς τοὺς ἐπαινουμένους τοῖς οὐκ ἐπαινοῦσι κατασεμνύνοντες καὶ θεομισὲς αὐτοῖς ἐξυφαίνοντες τὸ ἐγκώμιον. θαυμάσειε δ' ἄν τις πρὸς τούτωι κἀκεῖνο. ἄνω τε γὰρ καὶ κάτω ταῖς τῶν ἀνοσίων αἱρετικῶν ἐπιπλήττων φωναῖς καὶ κατ' οὐδένα τρόπον ἐφιεὶς PG 28 ἰσχύειν αὐτάς, ὅτι τῶν θείων δογμάτων παραιροῦνται τὸ ἀληθές, εἶτα τὴν θεοτόκος φωνὴν οὐκ ἐν ὀλίγαις τιθεὶς αἰτίαις καὶ ὁμοῦ ταῖς ἄλλαις γραφόμενος ὡς οὐκ ἀληθῶς καὶ δύσφημον, συγχωρεῖν φὴς καὶ οὐ φθονεῖν τῇι παρθένωι, κἂν εἰ ἕλοιτό τις εἰπεῖν θεοτόκον αὐτήν. ἐφίης οὖν ἆρα καὶ τοῖς τὴν Ἀρείου νοσοῦσι μανίαν ἐν μείοσιν εἶναι λέγειν τοῦ πατρὸς τὸν υἱὸν ἢ γοῦν τοῖς ἄλλοις, οἳ τὴν τοῦ ἁγίου πνεύματος κατακομίζουσι φύσιν τῆς θεοπρεποῦς ὑπεροχῆς; ἀλλ' οὐκ ἂν ἕλοιο τοῦτο δρᾶν, κἂν εἴ τις ἐθέλοι τὴν αἰτίαν ἀναμαθεῖν, ἐρεῖς δή που πάντως ὅτι φωνῆς οὐκ ἀνέχομαι δυσσεβοῦς. οὐκοῦν εἰ μή ἐστι θεοτόκος, εἶτα τοῦτο λέγεσθαι συγχωρεῖς, ἴσθι λελοιπὼς τὴν ἀλήθειαν καὶ σμικρὰ φροντίζων ἔτι τοῦ δοκεῖν εἶναι σοφός. ἢ γὰρ οὐχὶ καὶ τὴν Ἐλισάβετ ἢ γοῦν ἑτέραν τῶν ἁγίων γυναικῶν αἰδοῦς ἁπάσης ἀξίαν εἶναι φής; ἆρ' οὖν οὐ φθονήσεις, εἰ δή τις ἕλοιτο θεοτόκους καὶ αὐτὰς εἰπεῖν; ἀλλ', οἶμαι, πάντηι τε καὶ πάντως ἀνταναστήσηι λέγων· οὐχ οὕτω ταῦτ' ἔχει· τετόκασι γὰρ ἀνθρώπους ἡγιασμένους καὶ ἦν ἐν ἐκείνοις θεὸς κατὰ φύσιν οὐδείς. P 68 οὐκοῦν ἢ γυναικὸς ἁπάσης ἀποσόβει τὸ χρῆμα ἢ γοῦν ἔχειν ἐφιεὶς μόνηι παρὰ πάσας τῇι ἁγίαι παρθένωι, ποίοις ἄρα κεχρήσηι λόγοις εἰς ἀπολογίαν; εἰ μὲν γὰρ ἀληθὲς ἐπ' αὐτῇι τὸ ῥῆμα καὶ θεὸν τέτοκεν ἀληθῶς, ὡς σάρκα γεγονότα τὸν ἐκ θεοῦ λόγον ὁμολόγει σὺν ἡμῖν, καὶ ἀπαλλάξεις σεαυτὸν τῶν εἰς δυσσέβειαν ἐγκλημάτων· εἰ δὲ θεὸν οὐ τέτοκε, τὸ ἐφεῖναι λέγειν τισὶ θεοτόκον αὐτὴν κοινωνεῖν ἐστι τῆς δυσσεβείας αὐτοῖς. ἀλλ' ἔστι θεοτόκος, ὅτι γέγονεν ἄνθρωπος καθ' ἡμᾶς ὁ μονογενής, σαρκὶ κατὰ ἀλήθειαν ἡνωμένος καὶ σωματικὴν ὑπομείνας γέννησιν καὶ τοὺς τῆς ἡμετέρας φύσεως οὐκ ἀτιμάσας νόμους, καθάπερ ἤδη προεῖπον.

Ἐπειδὴ δέ φησιν εἰδέναι σεβασμίαν αὐτήν, δῆλον δὲ ὅτι τὴν ἁγίαν παρθένον, φέρε δὴ φέρε καταθρήσωμεν καὶ τῆς ἐπ' αὐτῇι γενομένης αἰδοῦς ⟨τὰς⟩ αἰτίας. οἶδα γάρ φησι σεβασμίαν αὐτήν, δι' ἧς παρῆλθεν ὁ τῶν ὅλων δεσπότης, δι' ἧς ἀνέλαμψεν ὁ τῆς δικαιοσύνης ἥλιος. πῶς δὴ ἄρα φὴς ὑποδέχεσθαι θεὸν αὐτήν; ἢ τίνα παρῆλθε τρόπον δι' αὐτῆς ὁ τῶν ὅλων δεσπότης; ἢ καὶ ὅπως ἀνέλαμψεν ὁ τῆς δικαιοσύνης ἥλιος; εἰ μὲν γὰρ οὐ τέτοκε θεόν, τὸ κατὰ σάρκα φημί, πῶς ἐδέξατο θεόν; πῶς παρῆλθε δι' αὐτῆς;

V

6 οἰηθεὶς scripsi οἰήσηι V σεβασμιοτάτη V κοσμεῖν scripsi κοσμοῦν V 12 εἰ Agellius οὐ V ἂν addidi 15 ἐπαινοῦσι ed. Rom. ἐπινοοῦσι V 20 φὴς scripsi ἔφησ V 30 ἀποσόβη V 31 καὶ χρήσηι V 39 τὰς addidi

ἀλλ' ἴσως ἐρεῖς τὸ σὸν δὴ τοῦτο καὶ σοφόν, ὡς γοῦν οἶει τε καὶ λέγειν ἀποστολμαῖς· θεὸς γὰρ ἦν ὁ λόγος ἀνθρώπωι τε συνημμένος καὶ ἐνοικῶν αὐτῶι. ἀλλ' ἥ γε τῆς πίστεως παράδοσις τοῖς εἰς τοῦτο σοῖς ἀνταποδύεται λόγοις· οὐ γὰρ θεοφόρον ἄνθρωπον, ἀλλ' ἐνανθρωπήσαντα θεὸν προσκυνεῖν δεδιδάγμεθα, σὺ δὲ οὐχ οὕτως φής. εἶτα πῶς οὐκ αἰσθάνηι ληρῶν καὶ τὴν ἐν τοῖς θείοις δόγμασι παραχαράττων ἀλήθειαν; γέγονε γὰρ
PG 29 σὰρξ ὁ λόγος. ἀνθ' ὅτου δὲ δὴ καὶ θεὸν ὑποδέχεσθαι φὴς αὐτήν, εἰ μὴ πεπίστευκας ὅτι θεον ὄντα κατὰ φύσιν ἐκτέτοκε τὸν Ἐμμανουήλ; πῶς δι' αὐτῆς παρῆλθεν ὁ τῶν ὅλων
P 69 δεσπότης καὶ ὁ τῆς δικαιοσύνης ἀνέλαμψεν ἥλιος καὶ τίνα τοῖς τοιούτοις ὀνόμασι κατακαλλύνειν ἀξιοῖς; ἆρα κοινὸν μὲν ἄνθρωπον ὡς ἕνα τῶν καθ' ἡμᾶς, πλὴν ἡγιασμένον ὡς ἔνοικον ἔχοντα τὸν τοῦ θεοῦ λόγον; εἶτα πῶς ὁ τοιοῦτος τῶν ὅλων ἔσται δεσπότης καὶ ὁ τῆς δικαιοσύνης ἥλιος; τὸ γὰρ δεσπόζειν τε καὶ κρατεῖν τῶν ὅλων δύνασθαι καὶ φωτίζειν τὰ νοητὰ πρέποι ἂν οὐ μέτροις τοῖς καθ' ἡμᾶς, ἀνακείσεται δὲ μόνηι τῆι ὑπερτάτω καὶ ἀνωτάτω φύσει.

Ἐπειδὴ δὲ τὸ διῆλθεν ὅλως οὐκ οἶδ' ὅθεν λαβὼν τέθεικας ἐπὶ θεοῦ, διασάφει τὴν λέξιν. τί τὸ χρῆμα τῆς ἐνθάδε λεγομένης διόδου; τῆς σῆς εἴη ἂν φρενὸς ἠγνοηκόσιν εἰπεῖν. εἰ μὲν γὰρ οὕτω διῆλθεν αὐτὴν ὁ τοῦ θεοῦ λόγος, ὡς ἐκ τόπου πρὸς ἕτερον μεταχωρῆσαι τόπον, αὐτόθεν καταβαλεῖ σε· ἀκούσηι γὰρ λέγοντος αὐτοῦ διὰ φωνῆς τῶν
Ier. 23, 24 ἁγίων· μὴ οὐχὶ τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ; λέγει κύριος. οὐ γὰρ ἐν τόπωι τὸ θεῖον καὶ μεταστάσεις οὐκ οἶδε σωματικάς, πληροῖ γὰρ τὰ πάντα. εἰ δὲ ἐπείπερ τὸν τῶι τόκωι πρέποντα περιμείνας καιρὸν σχετικὴν ἐν ἀνθρώπωι τὴν ἐνοίκησιν ἐποιήσατο, διελάσαι φὴς τὸν θεὸν τῆς ἁγίας παρθένου ἢ γοῦν παρελθεῖν ⟨δι'⟩ αὐτῆς (κεχρήσομαι γὰρ πανταχῆι ταῖς ἱεραῖς σου φωναῖς), οὐδὲν ἄρα τὸ περιττὸν ἐν τῆι ἁγίαι παρθένωι παρὰ τὰς ἄλλας ὁρῶμεν. ἐκτέτοκε γὰρ ἡ Ἐλισάβετ τὸν μακάριον βαπτιστὴν ἡγιασμένον διὰ τοῦ πνεύματος, δι' οὗ πνεύματος καὶ αὐτὸς ὁ υἱὸς ἐν ἡμῖν αὐλίζεται.
1 Ioh. 4, 13 καὶ μαρτυρήσει λέγων ὁ σοφὸς Ἰωάννης· ἐν τούτωι γινώσκομεν ὅτι ἐν ἡμῖν ἐστιν, ὅτι ἐκ τοῦ πνεύματος αὐτοῦ ἔδωκεν ἡμῖν. διῆλθεν οὖν ἄρα καὶ αὐτὴν τὴν Ἐλισάβετ ὁ ἐκ θεοῦ λόγος, καὶ πρὸ τῆς γεννήσεως ἐνωικηκὼς τῶι βρέφει διὰ τοῦ πνεύματος.

Ἀλλ' ὑποπτεύεις τὸν κρότον, ὡς ὀρθά σοι λαλεῖν ἡιρημένωι λοιπὸν γεγονότα παρὰ λαῶν. ἥλιον γὰρ δικαιοσύνης ὠνόμασας καὶ τῶν ὅλων δεσπότην τὸν ἐκ τῆς ἁγίας
P 70 παρθένου γεγεννημένον. εἶτα πάλιν ἀκριβολογεῖσθαι προσποιῆι καὶ τὸν κρότον αἰτιᾶι καὶ χαίροντας ἐπὶ σοὶ γράφηι πάλιν ὡς οὐ νενοηκότας. ὦ πολλῆς ἰσχύος, ἣ τοῖς σοῖς ἔνεστι λόγοις. οὐ γέγονας μελλητὴς εἴς γε τὸ χρῆναι καταλυπεῖν αὐτούς, ἔστρεψας εὐθὺς εἰς πένθος τὴν χαράν, διέρρηξας τὴν εὐφροσύνην καὶ διέζωσας σάκκον, ἐπαπαγὼν εὐθύς [εἶτα]

Loofs p.277, 22-278, 2 Πάλιν ὑποπτεύω τὸν κρότον· πῶς τὸ παρῆλθεν ἐνοήσατε; οὐκ εἴρηταί μοι τὸ παρῆλθεν ἀντὶ τοῦ ἐγεννήθη· οὐ γὰρ οὕτω ταχέως ἐπιλανθάνομαι τῶν ἰδίων. τὸ παρελθεῖν τὸν θεὸν ἐκ τῆς Χριστοτόκου παρθένου παρὰ τῆς θείας ἐδιδάχθην γραφῆς, τὸ δὲ γεννηθῆναι θεὸν ἐξ αὐτῆς οὐδαμοῦ ἐδιδάχθην.

Οὐκοῦν σὰ μὲν ἦν ἐκεῖνα τὰ διεστραμμένα, τῶι γε μὴν ἐν ὑποψίαις ὀρθότητος τον σὸν γεγενῆσθαι νοῦν ὁ ἐξ ἀγάπης ⟨ἐγένετο⟩ κρότος. ἐνστήσομαι δὲ καὶ νῦν

V

2 θεὸς — αὐτῶι generaliter dicta sunt neque ex hac ipsa Nestorii ecloga desumpta 12 πρέπει V 17 καταβαλεῖ σε scripsi καταβαλλεῖσ V 21 δι' αὐτῆς scripsi αὐτὴν V 32 γράφηι scripsi γράφησ V 33 μελλητὴσ V 35 εἶτα deleui 36 ἐποπτεύω V 40 ἦν scripsi εἶναι V 41 ἐγένετο addidi

οὐδὲν ἧττον, ἐκεῖνο λέγων· τί τὸ παρῆλθεν ἐστὶν εἰ μὴ δηλοῖ τὴν γέννησιν; ἆρα γὰρ PG 32
ἐρεῖς ὡς αὐτὸς καθ' ἑαυτὸν καὶ δίχα σαρκὸς ὁ ἐκ θεοῦ λόγος διήλασε τῆς παρθένου; καίτοι
πῶς οὐ τῆς ἁπασῶν * ἀβελτηρίας ἔμπλεως εἴη ἂν ὁ λόγος * * αὐτῶι; ἢ γὰρ πεποσῶσθαι
τὸ θεῖον ἀνάγκη νοεῖν καὶ ποιεῖσθαι κίνησιν τὴν ἐκ τόπου πρὸς τόπον ἕτερον μεταστατι-
κήν, ἢ εἴπερ ἐστὶ τὸ θεῖον ἀσώματον, εὐρὺ δὲ καὶ πανταχοῦ καὶ οὐκ ἐν τόπωι καὶ περι- 5
γραφῆι, πῶς ἂν δι' ἑνὸς παρέλθοι σώματος; ἀλλ' ὅ τί ποτέ ἐστιν ὃ φής, πῶς οὐκ
ἔδει διατρανοῦν καὶ ἐναργέστερον εἰπεῖν, εἰ ταῖς σαυτοῦ περὶ τούτου δόξαις τεθαρσηκὼς
μαρτυρεῖν ἔχεις αὐταῖς τὸ ἀμώμητον; ποῦ δὲ δὴ καὶ ἀκήκοας τῆς θεοπνεύστου λεγούσης
γραφῆς ὅτι παρῆλθεν ὁ τοῦ θεοῦ λόγος διὰ τῆς ἁγίας παρθένου; ὅτι μὲν γὰρ βραχὺς καὶ 9
συνεσταλμένος τῶν ἐπὶ γῆς ὁ βίος, ἐδίδαξε λέγων ὁ μακάριος Δαυίδ· ἄνθρωπος ὡσεὶ Ps.102, 15.16
χόρτος αἱ ἡμέραι αὐτοῦ· ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει, ὅτι P 71
πνεῦμα διῆλθεν ἐν αὐτῶι καὶ οὐχ ὑπάρξει· περὶ δὲ τῆς ἁγίας παρθένου τί τοιοῦ-
τον ἔχεις γεγραμμένον εἰπεῖν; ὅτι δὲ γεγέννηται θεὸς ἐξ αὐτῆς, τὸ κατὰ σάρκα φημί, δια-
μεμήνυκεν ἐναργῶς ἡ θεόπνευστος γραφή.

Εἶμι δὲ δὴ πάλιν ἐπί γε τοὺς σούς, ὦ πανάριστε, λόγους. διωμολόγηκας γὰρ καὶ 15
αὐτός, καὶ τοῦτο πλειστάκις, ὅτι γέγονε σὰρξ ὁ λόγος, καὶ οὐκ ἀπόβλητον ἐποιήσω τὴν
φωνὴν καὶ πρός γε τούτωι κἀκεῖνο· τὴν γάρτοι τοῦ μονογενοῦς θεότητα σαφῶς καὶ ἀνα-
φανδὸν ἐνανθρωπῆσαι φής. γέγραφας δὲ τουτονὶ τὸν τρόπον

3 1 Οὕτω καὶ ἐν ἑτέροις φησίν· ἐλάλησεν ἡμῖν ἐν υἱῶι, ὃν ἔθετο κληρονόμον Loofs p. 268,
πάντων, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν· ὃς ὢν ἀπαύγασμα τῆς δόξης 21-269, 5
θεὶς τὸ υἱός, καλεῖ τοῦτον ἀσφαλῶς καὶ ἀπαύγασμα τῆς δόξης καὶ θετὸν κληρονό- 21
μον, κληρονόμον μὲν κατὰ τὴν σάρκα θετόν, ἀπαύγασμα δὲ τῆς τοῦ πατρὸς δόξης κατὰ
τὴν θεότητα· οὐ γὰρ ἀπέστη τῆς πρὸς τὸν πατέρα σαρκωθεὶς ὁμοιότητος.

2 Καὶ πρός γε δὴ τούτωι πάλιν οὕτω φησί· Τοὺς γὰρ χρόνους τῆς ἀγνοίας Loofs p. 269,
ὑπεριδὼν ὁ θεὸς τὰ νῦν πᾶσιν ἀνθρώποις παραγγέλλει μετανοεῖν, καθότι 5-13
ἔστησεν ἡμέραν ἐν ἧι μέλλει κρίνειν τὴν οἰκουμένην ἐν ἀνδρὶ ὧι ὥρισε, Act.17, 30.31
πίστιν παρασχὼν πᾶσιν ἀναστήσας αὐτὸν ἐκ νεκρῶν. πρότερον εἰπὼν 26
ἐν ἀνδρί, προστίθησι τότε τὸ ἀναστήσας αὐτὸν ἐκ νεκρῶν, ἵνα μηδεὶς τὴν ἐναν-
θρωπήσασαν ὑποπτεύοι τεθνηκέναι θεότητα.

Τίς οὖν ἄρα ἐστὶν ὁ σεσαρκωμένος ἢ τίνα σεσάρκωται τρόπον; ποία δὲ θεότης ⟨ἡ⟩ 30
ἐνανθρωπήσασα; φράσαις ἄν, ὦ βέλτιστε, τοῖς ἐθέλουσι μαθεῖν. ἆρα σεσαρκῶσθαι
δώσομεν τὸν ἐκ θεοῦ θεὸν λόγον καὶ ἐνανθρωπῆσαι φαμὲν αὐτὸν ὡς καθ' ἡμᾶς γεγονότα
καὶ γεγεννημένον σαρκί; ἢ τοῦτο μὲν οὐδαμῶς, ἄνθρωπον δὲ νομιοῦμεν πρὸς τοῦτο ἐλθεῖν
θεῶι συνημμένον κατὰ σέ; ἀλλ' οἶμαι, φαίης ἂν ὡς ἄμεινον δή που καὶ σοφὸν τὸ ἐναν- P 72
θρωπῆσαι φρονεῖν τὸν ἐκ θεοῦ λόγον καὶ σάρκα γενέσθαι κατὰ τὰς γραφάς. οὐ γάρ Ioh. 1, 14
που τὸ ἐν ὧι τίς ἐστιν, ὁρῶιτο ἄν, οἶμαι, προσλαβών· εἰ δὲ δή γένοιτό πως ἐν οἷς οὐκ 38
ἦν ἐν ἀρχαῖς, κεκαινουργῆσθαί τι περὶ αὐτὸν ἐκδείξειεν ἂν ὁ λόγος εὐθύς. οὐκοῦν
ἀμαθὲς τὸ ἐνανθρωπῆσαι λέγειν καὶ σάρκα γενέσθαι τινὰ τῶν τελούντων ἐν ἡμῖν καὶ τοὺς
τῆς ἀνθρωπότητος ὅρους ἐκβεβηκότα, πρέποι δ' ἂν καὶ μάλα εἰκότως ἡ ἐνανθρώπησις ἢ
γοῦν ἡ σάρκωσις τῆι τῆς ἀνθρωπότητος ἐπέκεινα φύσει. εἰ δὲ ἐνηνθρώπησεν ἀληθῶς 40
καὶ γέγονε σάρξ, ἄνθρωπος δή που νοεῖσθαι πεπίστευται καὶ οὐκ ἀνθρώπωι τινὶ συνημ-

---

1—18. 30—41 V 19—29 VVa

3 lacunam signaui, e. g. supplendo ἐσχάτης lacunam signaui, e g. supplendo καὶ εἰς ἅπαν ἐναντίος 4/5 μεταστικὴν V 19 νεστορίου V in mg. 24 τοῦτο VVa 28 προστίθεισι V 30 κυρίλλου in mg. V ἡ addidi 32 δώσωμεν V 37 κεκαινουργεῖσθαί V

στοεπεῖν εἰωθόσιν ἐπιτιμᾶν εἴη ἂν οὐκ ἀζήμιον, μᾶλλον δὲ ἤδη καὶ ἀπόδειξις ἐναργὴς τοῦ προσκεκλίσθαι τῶι ψεύδει καὶ τοῦ ἑλέσθαι τιμᾶν ἃ καὶ μισεῖν ἄμεινον ὡς λογισμοῦ τοῦ εἰκότος ἡμαρτηκότα. ἀλλὰ τῶν οὕτως αἰσχρῶν ἐννοήσας οὐδὲν ἑαυτὸν μὲν ἔφη τῆς ἀληθείας γενέσθαι τὸν ἐραστήν, ἡμᾶς δὲ τεκταίνεσθαι τὸ ψεῦδος αὐτῶι, καίτοι τὸ χρῆμα ἔστιν ἐξ ἀντιστρόφου μᾶλλον ἰδεῖν ὅτι τε ὀρθῶς ἔχει καί ἐστιν ἀληθές. ὁ γάρτοι τοῦ ψεύδους καὶ τῆς ἀπάτης συνήγορος τοῖς τῆς ἀληθείας συνασπισταῖς ἀνάπτειν πειρᾶται τῆς ψευδομυθίας τὸν μῶμον, τάχα που καὶ εἰς λήθην ἐληλακὼς τοῦ προφήτου λέγοντος
Ies. 5, 20 οὐαὶ οἱ λέγοντες τὸ πονηρὸν καλὸν καὶ τὸ καλὸν πονηρόν, οἱ τιθέντες τὸ σκότος εἰς φῶς καὶ τὸ φῶς εἰς σκότος· πλὴν ἐκ τοῦ παροισθέντος αὐτῶι παραδείγματος μηδὲ εἰδότα σαφῶς ὃ λέγει, διελέγξαι πειράσομαι.

Τίκτεται μὲν γὰρ ἀπὸ σαρκὸς ἡ σὰρξ ὁμολογουμένως, ὁ δέ γε τῶν ὅλων δημιουργὸς καθ' ὃν οἶδε τρόπον τε καὶ λόγον, ποιεῖται τὴν ψύχωσιν. ἀλλ' ἡ τεκοῦσα γυνή, καίτοι μόνης οὖσα πηγὴ τῆς σαρκός, ἄνθρωπον ὅλον ἀποτεκεῖν πιστεύεται, τὸν ἐκ ψυχῆς δὴ λέγω καὶ σώματος, καίτοι πρὸς τὴν τῆς ψυχῆς ὕπαρξιν τῶν παρ' ἑαυτῆς συνεισενεγκοῦσα μηδέν, ὁ δέ γε ἄνθρωπον εἰπὼν συνεσήμηνέ που πάντως τῶι σώματι τὴν ἐνωθεῖσαν αὐτῶι ψυχήν. ὥσπερ οὖν ἡ γυνή, καίτοι τὸ σῶμα τεκοῦσα μόνον, τὸν ἐκ ψυχῆς καὶ σώματος ἀποτίκτειν
PG 40 λέγεται, διαλυμανεῖται δὲ τοῦτο τοῖς τῆς ψυχῆς λόγοις οὐδὲν ὡς σάρκα τὴν τῆς ἰδίας
P 77 ὑπάρξεως λαμβανούσης ἀρχήν, οὕτω καὶ ἐπὶ τῆς μακαρίας παρθένου. εἰ γὰρ καὶ μήτηρ ἐστὶ τῆς ἁγίας σαρκός, ἀλλ' οὖν ἐκτέτοκεν ἐνωθέντα αὐτῆι κατὰ ἀλήθειαν τὸν ἐκ θεοῦ θεὸν λόγον, κἂν εἴ τις λέγει θεοτόκον αὐτήν, οὐχὶ δή που πάντως καθοριεῖ τοῦ θεοῦ λόγου τὸ νεώτερον οὔτε μὴν τῆς ἰδίας ὑπάρξεως τὴν ἀρχὴν πεποιῆσθαι τὴν σάρκα, συνήσει δὲ
Hab. 3, 1 μᾶλλον τῆς οἰκονομίας τὸν τρόπον καὶ δὴ καὶ θαυμάσας τὸ χρῆμα ἐρεῖ· κύριε, εἰσακήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην· κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην. ἀλλ' ὁ πάνσοφος ἡμῖν καὶ ἀγχίνους ἐξηγητὴς τὴν τοῦ παραδείγματος δύναμιν ⟨μὴ⟩ νενοηκώς

Loofs p. 352, 11-14 Οὕτω, φησί, καὶ ἡ ἁγία παρθένος, καὶ εἰ τέτοκεν ἄνθρωπον συμπαρελθόντος αὐτῶι τοῦ θεοῦ λόγου, ἀλλ' οὐ διὰ τοῦτο θεοτόκος. οὐ γὰρ παρὰ τῆς μακαρίας παρθένου τὸ ἀξίωμα τῶι λόγωι, ἀλλ' ἣν φύσει θεός.

Τὸ μὲν οὖν συμπαρελθεῖν τῆι σαρκὶ τὸν λόγον ὅ τί ποτέ ἐστιν, αὐτὸς ἂν εἰδείη καὶ μόνος, ἄγαμαι δὲ σφόδρα τῆς οὕτω λεπτῆς ἀκριβείας αὐτοῦ. ἡνῶσθαι μὲν γὰρ τῆι σαρκὶ καθ' ὑπόστασιν τὸν τοῦ θεοῦ λόγον ὁ τῆς ἀληθείας πρεσβεύει λόγος, τὸ δὲ συμπαρελθεῖν οὐκ οἶδ' ὅ τι λέγων διαβεβαιοῦται συχνῶς. εἶτα περὶ φύσεως ἡμῖν καὶ τῆς καθ' ὑπόστασιν ἑνώσεως τοῦ παντὸς προκειμένου λόγου καὶ διερευνᾶν σπουδάζοντος, οὐχ ὅ τί ποτέ ἐστι κατὰ τὴν ἀξίαν ὁ ἐκ θεοῦ λόγος, ἀλλ' εἰ γέγονεν οἰκονομικῶς ἄνθρωπος ἰδίαν ποιησάμενος σάρκα τὴν ἐκ γυναικός, εἰς ἕτερα μεθιστὰς ἀλλοκότως τὸ ζητούμενον

Loofs p. 352, 13. 14 Οὐ παρὰ τῆς ἁγίας παρθένου, φησί, τὸ ἀξίωμα τῶι λόγωι, ἀλλ' ἣν φύσει θεός.

Καίτοι πῶς οὐχ ἕτερόν τι καὶ ἕτερον ἐναργῶς ἀξίωμά τε καὶ φύσις; ἀλλ' οὐ πολὺς ἄγαν τῆς ἔν γε τούτοις ἡμῖν ἰσχνομυθίας ὁ λόγος· τὸ δ' οὖν ἐφεξῆς ἀναγκαῖον ἰδεῖν.
P 78 ἐπιτειχίζει γάρ τι καὶ ἕτερον τοῖς πρὸς ἡμῶν λεγομένοις, ὡς γοῦν οἴεταί που, καὶ δυσδιά-

---

1—24. 28—34. 36—38 25—27. 35 VVa

3 οὐδὲν Agellius οὐδεὶσ V 5 ἔχοι V 6 ἀληθείαισ V 16 οὖν ed. Rom. γοῦν V 17 τὴν Vcorr τὴν ἀπὸ V 24 μὴ addidi 27 τῶ λόγω Va τοῦ λόγου V 29 αὐτοῦ scripsi αὐτῶ V 37 τοῖσ V γε Agellius τε V 38 ἐπιτυχίζει V πρὸς Agellius πρὸ V 39/p. 25, 1 δυσδιαφικτον V

φυκτον κομιδῆι καὶ ἀποχρώντως ἔχον εἴς γε τὸ δύνασθαι καὶ μάλα νεανικῶς ὕθλον εἰκαῖον ἡμῖν τὴν ἐκ γυναικὸς ἀποφῆναι γέννησιν τοῦ Ἐμμανουήλ, ἔφη δὲ οὕτω πάλιν

Ὁ μακάριος Ἰωάννης ὁ βαπτιστὴς προκηρύττεται παρὰ τῶν ἁγίων ἀγγέλων ὅτι πλησθήσεται τὸ βρέφος πνεύματος ἁγίου ἔτι ἐκ κοιλίας μητρὸς αὐτοῦ, καὶ πνεῦμα ἅγιον ἔχων, οὕτως ὁ μακάριος βαπτιστὴς ἀπετίκτετο. τί οὖν; καλεῖς τὴν Ἐλισάβετ πνευματοτόκον; ἐνταῦθα τὸν νοῦν συνάγαγε, κἂν τινες ὦσιν ἐν ὑμῖν πρὸς τὰ λεγόμενα ξενιζόμενοι, σύγγνωτε τῆς ἀπειρίας αὐτοῖς. Loofs p. 352, 15-21 Lc. 1, 15

Καὶ τίς τῶν τοιούτων ἐπακούσας λόγων οὐκ εὐθὺς ἐρεῖ τὸ διὰ τῆς τοῦ προφήτου φωνῆς· ὁ γὰρ μωρὸς μωρὰ λαλήσει καὶ ἡ καρδία αὐτοῦ μάταια νοήσει τοῦ συντελεῖν ἄνομα καὶ λαλεῖν πρὸς κύριον πλάνησιν; πλάνησις γὰρ ὁμολογουμένως καὶ ἕτερον οὐδὲν τὸ ψυχραῖς οὕτω καὶ μειρακιώδεσιν ἐννοίαις ὡς ἀληθέσιν ἐπιθαρσεῖν. τῆς μὲν οὖν ἡμερότητος κατατεθήποι τις ἂν αὐτόν· καὶ συγγνώμης γὰρ καὶ φιλανθρωπίας ἀξιοῦσθαι δεῖν ἔφη τοὺς τῶν παρ' αὐτοῦ λόγων τὴν ἐμπειρίαν οὐχ ἔχοντας. ἀλλ' ἦν τοῦτο καὶ ἡμῖν αὐτοῖς τριπόθητον, εἰ συνέβη, μᾶλλον δὲ καὶ ἅπασι τοῖς τελοῦσιν ἐν Χριστιανοῖς· μοχθηρῶν γὰρ οὕτω καὶ διεστραμμένων ἀπαλλάττεσθαι λόγων πῶς οὐχ ἅπασι δι' εὐχῆς; πλὴν ἐκεῖνο φαμέν· τέτοκε μὲν γὰρ ὁμολογουμένως ἡ Ἐλισάβετ τῶι ἁγίωι πνεύματι κεχρισμένον ἐν μήτραι τὸν μακάριον βαπτιστήν, ἀλλ' εἰ μὲν εἴρηταί που παρὰ τῆς θεοπνεύστου γραφῆς ὅτι καὶ τὸ πνεῦμα γέγονε σάρξ, ὀρθῶς ἂν ἔφης ὀνομάζεσθαι δεῖν πρὸς ἡμῶν πνευματοτόκον αὐτήν· εἰ δὲ ψιλῆι καὶ μόνηι λέγεται τὸ τεχθὲν τετιμῆσθαι χρίσει, τί τὸ τῆς σαρκώσεως χρῆμα παρισοῦν ἀξιοῖς τῆι κατὰ μέθεξιν χάριτι; οὐ γάρ ἐστι ταυτὸν σάρκα τε εἰπεῖν γενέσθαι τὸν λόγον καὶ ὅτι κέχρισταί τις διὰ τοῦ πνεύματος πνεύματι προφητικῶι. περὶ μὲν γὰρ τῆς ἁγίας παρθένου γέγραπται· ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱόν, καὶ τόκος ὠνόμασται καὶ μὴν καὶ Ἐμμανουὴλ ὁ τεχθείς, ὅ ἐστι μεθερμηνευόμενον μεθ' ἡμῶν ὁ θεός· περὶ δέ γε τῆς Ἐλισάβετ ὅτι γεννήσει υἱὸν ὃς προελεύσεται μὲν ἐν πνεύματι καὶ δυνάμει Ἠλίου, προπορεύσεται δὲ πρὸ προσώπου κυρίου ἑτοιμάζων τὰς ὁδοὺς αὐτοῦ. οὐκοῦν ἥκιστα μὲν εἴη ἂν πνευματοτόκος ἡ Ἐλισάβετ, ἐκτέτοκε γὰρ προφήτην ὑψίστου· θεοτόκος γε μὴν ἀληθῶς ἡ ἁγία παρθένος, ὅτι θεὸν ἐνωθέντα σαρκὶ τέτοκε σαρκικῶς, τουτέστι κατὰ σάρκα. ἐπειδὴ γὰρ ἄνθρωπος ἡ τεκοῦσά ἐστι, ταύτηι τοι καὶ μάλα ἐμφρόνως τὸν τῆς γεννήσεως τρόπον ἀνθρωπίνως πεπρᾶχθαι φαμέν. ἦν γὰρ οὕτω καὶ οὐχ ἑτέρως δύνασθαι καθ' ἡμᾶς γενέσθαι τὸν ὑπὲρ πᾶσαν φύσιν, οὐ τοῦ εἶναι τοῦθ' ὅπερ ἐστίν, ὀλιγωρήσαντα, πόθεν; μεμενηκότα δὲ μᾶλλον ὅπερ ἦν τε καὶ ἔστι καὶ ἔσται· τροπῆς γὰρ ἀμείνων ἡ θεία τέ ἐστι καὶ ὑπερτάτη φύσις. ὀρθὰ μὲν οὖν ὅτι φρονεῖν εἰθίσμεθα θεὸν γεγεννῆσθαι κατὰ σάρκα ἐπὶ σωτηρίαι τῶν ὅλων διαβεβαιούμενοι, μεμαρτύρηκεν ἡ θεόπνευστος γραφή· ἐπειδὴ δὲ τοῖς νεωτάτοις αὐτοῦ δόγμασι τὴν ἀλήθειαν καὶ αὐτὸ τῆς ἐκκλησιαστικῆς πίστεως ἀντεξάγει τὸ σύμβολον ὃ διὰ τῆς τοῦ πνεύματος φωταγωγίας οἱ κατὰ καιροὺς ἐν τῆι Νικαέων συναγηγερμένοι πατέρες ὡρίσαντο, δεδιὼς μὴ ἄρα πως ὑγιᾶ τὴν πίστιν διασώσαιντό τινες ταῖς ἐκείνων φωναῖς παιδαγωγούμενοι πρὸς ἀλήθειαν, πειρᾶται συκοφαντεῖν καὶ τῶν λέξεων ἐναλλάττει τὴν ἀπόδοσιν, καὶ αὐτὴν δὲ τῶν ἐννοιῶν ⟨τὴν⟩ δύναμιν παρασημαίνειν ἀποτολμᾶι. ἐπειδὴ γὰρ αὐτὸς ἐπὶ μέσης ἐκκλησίας βεβήλοις ἐχρῆτο καινοφωνίαις, ἀνήρ τις τῶν ἄγαν

Loofs p. 352, 15-21 Lc. 1, 15 Is. 32, 6 PG 41 P 79 Is. 7, 14 Mt. 1, 23 Lc. 1, 17. 76 Lc. 1, 76

35—38 cf. Loofs p. 288, 3 40—p. 26, 10 cf. Coll. Auell. 99, 4. Euagr. 1, 9. Leont. adu. incorruptic. ap. Mai spicil. 10, 89

1/2. 8—40 V 3—7 VVa
5 οὕτωσ Va οὗτοσ V μακάριος om. Va 6/7 ξενιζόμενοι πρὸσ τὰ λεγόμενα Va 21 κέχρησταί V 39 τὴν add. ed. Rom. 40 κενοφωνίαισ V

P 80 ἐπιεικῶν καὶ τελῶν μὲν ἐν λαικοῖς ἔτι, πλὴν οὐκ ἀθαύμαστον συναγηοχὼς ἐν ἑαυτῶι τὴν παίδευσιν, θερμῶι τε καὶ φιλοθέωι κεκίνηται ζήλωι καὶ τορόν τι κεκραγὼς αὐτὸν ἔφη τὸν
PG 44 προαιώνιον λόγον καὶ δευτέραν ὑπομεῖναι γέννησιν, δῆλον δὲ ὅτι τὴν κατὰ σάρκα καὶ ἐκ γυναικός. θορυβησάντων δὲ πρὸς ταῦτα τῶν δήμων καὶ τῶν μὲν πλείστων καὶ συνετῶν οὐ μετρίοις αὐτὸν ἐπαίνοις τετιμηκότων ὡς εὐσεβῆ τε καὶ συνετώτατον καὶ τῆς τῶν δογμάτων ὀρθότητος οὐκ ἠμοιρηκότα, λελυττηκότων γε μὴν κατ' αὐτοῦ τῶν ἄλλων, διαλαβὼν αὐτὸς ἀποδέχεται μὲν εὐθὺς ἐκείνους οὓς τὰ ἑαυτοῦ διδάσκων ἀπολώλεκεν, ἐπιθήγει δὲ τὴν γλῶτταν αὐτῶι τε τῶι μὴ ἀνασχομένωι τὰ αὐτοῦ καὶ μὴν καὶ τοῖς ἁγίοις πατράσιν οἳ τὸν εὐσεβῆ
Hebr. 6, 19 τῆς πίστεως ὅρον ἡμῖν τεθεσμοθετήκασιν, ἣν ὡς ἄγκυραν ἔχομεν τῆς ψυχῆς ἀσφαλῆ τε καὶ βεβαίαν κατὰ τὸ γεγραμμένον.

Loofs 6 Χαίρω γὰρ ἔφη, τὸν ὑμέτερον θεασάμενος ζῆλον. αὐτόθεν ἐστὶ σαφὴς τῆς τῶν
P. 352, 22-25 λεχθέντων ὑπὸ τοῦ δειλαίου μιαρίας ὁ ἔλεγχος. ὧν γὰρ δύο γεννήσεις, τούτων δύο υἱοί· ἡ δὲ ἐκκλησία ἕνα οἶδεν υἱόν, τὸν δεσπότην Χριστόν.

Ἀνοητότατα μὲν οὖν τὸν τῶν ἐπὶ τούτοις ἐννοιῶν ὅρον ἐξηνέγκατο λέγων· ὧν γὰρ δύο γεννήσεις, τούτων καὶ δύο υἱοί· ἰσχνομυθίας γε μὴν τῆς ἔν γε τούτοις ἀφέμενοι, τέως πρὸς τὸν τοῦ λόγου σκοπὸν τὰ ἐξ ἀκριβοῦς ἐρεύνης φέρε δὴ φέρε συλλέγωμεν. οὐκοῦν * * ἀπαράδεκτον ἐποιήσατο, χρῆναι δέ φησι μίαν ὁμολογεῖσθαι πρὸς ἡμῶν, ἵνα μὴ δύο νοῶμεν υἱούς, ὡς ὃν ἐπάναγκες, εἰ δύο πάντως αἱ ἀποτέξεις εἶεν, δύο καὶ υἱοὺς εἰσφέρεσθαι, διδασκέτω παρελθὼν ποίαν ἄρα τῶν γεννήσεων παραδέξεται, τὴν προαιώνιόν τε καὶ ἐκ πατρός, καθ' ἣν οὔπω σεσαρκωμένος θεὸς ἦν ὁ λόγος, ἢ γοῦν ταυτηνὶ τὴν πρόσφατον καὶ ἐκ γυναικός; εἰ μὲν οὖν ἐκείνην ἐρεῖ καὶ μόνην, τὴν προαιώνιον λέγω καὶ ἐκ πατρός,
P 81 ἐκεῖνος ἂν εἴη καὶ μόνος υἱὸς ὁ ἐξ αὐτοῦ κατὰ φύσιν, οὔπω σαρκὸς καὶ αἵματος κεκοινωνηκώς, εἰκῆι δέ, ὡς ἔοικε, τὸ τῆς ἐνανθρωπήσεως λαλεῖται μυστήριον καὶ κεκένωκε μὲν ἑαυτὸν κατ' οὐδένα τρόπον οὔτε μὴν ἐν τῆι τοῦ δούλου γέγονε μορφῆι, μεμένηκε δὲ οὕτω, τὴν πρὸς σάρκα σύνοδον ἀληθῆ καὶ εἰς δεῦρο παραιτούμενος· ἀλλ' ⟨εἰ⟩ ὁ ἐν ἐσχάτοις καιροῖς ἐκ γυναικὸς αὐτὸς [ἂν] λέγοιτο καὶ μόνος υἱὸς καὶ δὴ καὶ μίαν ταυτηνὶ τὴν ἐκ γυναικὸς παραδεξόμεθα γέννησιν, ἀπώλισθεν ἀναγκαίως τοῦ εἶναι κατὰ φύσιν υἱὸς ὁ ἐκ θεοῦ πατρὸς λόγος. ἀλλ' ὁρᾶι που πάντως ὁ θεοφιλὴς τὴν τῶν ἐννοιῶν ἀτοπίαν καὶ τὸ λίαν ἀπονενευκὸς εἰς ἀσέβειαν. ἵνα τοίνυν ὁδὸν ἐρχώμεθα τὴν βασιλικήν, δύο φαμὲν γενέσθαι τὰς ἀποτέξεις, ἕνα δὲ τὸν δι' ἀμφοῖν υἱόν, οὔπω μὲν ἐν σαρκὶ γεγονότα τὸν ἐκ θεοῦ λόγον, τὸν αὐτὸν δὲ μετὰ τοῦτο καὶ σεσαρκωμένον καὶ δι' ἡμᾶς τὴν ἐκ γυναικὸς ἀνατλάντα γέννησιν κατὰ σάρκα. εἰ μὲν γὰρ ἐπ' ἀνθρώπων ἔφασκε τὸ χρῆναι δὴ πάντως δύο νοεῖσθαι τοὺς υἱούς, εἰ [δὲ] δύο γεννήσεις ὀνομάζομεν, ὀρθῶς ἂν ἔφη καὶ ἦν ἀληθές· ἐπειδὴ
PG 45 δὲ τὸ Χριστοῦ μυστήριον καὶ ὁ τῆς ἐνανθρωπήσεως λόγος ἑτέραν ἔχει τὴν ὁδὸν καὶ οὐκ ἔν γε τοῖς καθ' ἡμᾶς ἰσοτρόπως ὁρᾶται, τί ταῖς καθ' ἡμᾶς συνηθείαις ἐνορῶν, εἶτα τοῖς παραδόξοις καὶ ὑπὲρ λόγον τὸν νοῦν ἐνιείς, εἰς ἀδρανεστάτην καὶ ἀμαθῆ τὴν ὀλιγοπιστίαν καταφωρᾶται πεσών;

Ὃ δέ μοι θαυμάζειν ἔπεισιν, ἐκεῖνό ἐστιν· ἕνα γὰρ ἐν τούτοις ὁμολογῶν υἱὸν εἰδέναι τὴν ἐκκλησίαν, προστεθεικὼς δὲ ὅτι τὸν δεσπότην Χριστόν, οὐκέτι τετήρηκεν ἕνα. διίστησι γὰρ ἀλλήλων τὰ ἡνωμένα καὶ ἀνὰ μέρος ἑκάτερον τίθησιν, οὐ τί μέν ἐστι κατὰ φύσιν ὁ λόγος, διερευνώμενος, τί δὲ καὶ ἡ σάρξ, ἄνθρωπον δὲ μᾶλλον καὶ θεὸν ὡς ἐν ἰσότητι μόνηι

1—10. 14—41 V 11—13 VV^a

9 τεθεσμοτεθήκασιν V 13 δεσπότην om. V^a 17 lacunam signauit Agellius supplendo εἰ δύο εἶναι γεννήσεις, malim εἰ τὸ τῶν γεννήσεων διπλοῦν 25 εἰ add. Agellius 26 ἂν deleui 31 ἡμᾶς Agellius ἡμῶν V 33 δὲ del. Agellius

τῆς δόξης, καθάπερ γοῦν οἴεται, συλλέγων εἰς ἕν, ὅπερ ἐστὶ παντελῶς ἀπίθανον, μᾶλλον δὲ καὶ ἀνέφικτον καὶ τὸν τοῦ μυστηρίου λόγον κατασείει πρὸς τὸ ἀκαλλές. ἔφη δὲ οὕτως

7 1 Δεῖ δὲ ἡμᾶς (νῦν γὰρ ἤλθον εἰς ἔννοιαν) καὶ τὴν κατὰ Νίκαιαν σύνοδον μαθεῖν οὐδαμοῦ τολμῶσαν εἰπεῖν ὅτι θεὸς ⟨λόγος⟩ ἐγεννήθη ἐκ Μαρίας· ἔφη γὰρ ὅτι πιστεύομεν εἰς ἕνα θεὸν πατέρα παντοκράτορα καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστόν. προσέχετε ὅτι πρότερον τεθεικότες τὸ Χριστός, ὅ ἐστι μήνυμα τῶν δύο φύσεων, οὐκ εἶπαν εἰς ἕνα θεὸν λόγον, ἀλλ' ἔλαβον τὸ ὄνομα τὸ σημαῖνον ἀμφότερα, ἵνα ὅταν ὑποκαταβαίνων ἀκούσῃς θάνατον, μὴ ξενίζῃ, ὅταν τὸν σταυρωθέντα καὶ ταφέντα, μὴ πλήττῃ τὴν ἀκοὴν ὡς θεότητος ταῦτα παθούσης. P 82 Loofs p. 295, 1-12

2 Εἶτα τούτοις ἐπιφέρει· Πιστεύομεν εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τὸν μονογενῆ, τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα, τὸν ὁμοούσιον τῷ πατρί, τὸν κατελθόντα [ἐκ τῶν οὐρανῶν] δι' ἡμᾶς καὶ σαρκωθέντα ἐκ πνεύματος ἁγίου. οὐκ εἶπον ὅτι καὶ γεννηθέντα ἐκ πνεύματος ἁγίου. Loofs p. 296, 1-6

3 Διερμηνεύοντας δὲ τοὺς ἁγίους πατέρας τί δὴ ἄρα τὸ σαρκωθέντα ἐστί, φησὶν εἰπεῖν τὸ ἐνανθρωπήσαντα. τί δὲ τὸ ἐνανθρωπήσαντα κατασημήνειεν ἄν, διατρανῶν αὐτὸς ἔφη πάλιν· Οὐ τροπὴν τῆς ἰδίας φύσεως ὑπομεινάσης εἰς τὴν σάρκα, ἀλλὰ τὴν ἐνοίκησιν τὴν εἰς ἄνθρωπον. Loofs p. 296, 7-9

Ἆρα ἂν ἀνάσχοιτό τις τῶν τελούντων ἐν Χριστιανοῖς ἢ τῆς ἐνούσης τοῖς λόγοις ἀβελτηρίας ἢ τῆς τῶν ἐννοιῶν δυσσεβείας; ἆρ' οὐκ ἐναργὴς εἴη ἂν τοῖς ἀληθῶς ἀρτίφροσι βωμολοχία ταυτὶ καὶ τρόπος οὐκ ἀγεννὴς τῆς κατὰ Χριστοῦ γλωσσαλγίας; συκοφαντεῖ γὰρ τὴν ἀλήθειαν. οὐκ εἶναί φησιν υἱὸν ἀληθῶς αὐτόν, ἑτέρωι τοῦτο προσνέμων· προσέχετε γάρ φησιν ὅτι πρότερον τεθεικότες τὸ Χριστός, ὅ ἐστι μήνυμα τῶν δύο φύσεων, οὐκ εἶπαν· πιστεύομεν εἰς ἕνα θεὸν λόγον. καὶ περὶ μὲν τοῦ ὀνόματος, φημὶ δὲ δὴ τοῦ Χριστός, μετὰ βραχὺ διερευνήσομαι πότερόν ποτε τῶν δύο φύσεων σημαντικόν ἐστιν ἢ μή· τὸ δὲ ἐν χερσίν, ὡς ἔνι, διαγυμνάζωμεν. οἰστὰ μὲν οὖν εἶεν ἂν κατ' οὐδένα τρόπον τὰ οὕτως ἐκτόπως καὶ ἀτημελῶς αὐτῶι πεφλυαρημένα, φαίη δ' ἂν οἶμαί τις, τοὺς ὑπέρ γε τῶν ἁγίων πατέρων ποιούμενος λόγους· τί δρᾷς οὕτως, ὦ γενναῖε, γλῶσσαν τὴν ἄγροικον ἐφιεὶς ἀνδράσιν ἁγίοις, οἷς ἂν πρέποι τὸ λέγεσθαι παρ' αὐτοῦ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ· οὐχ ὑμεῖς ἐστὲ οἱ λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα τοῦ πατρὸς ὑμῶν τὸ λαλοῦν ἐν ὑμῖν; τί γὰρ οὐ νενόηται τῶν λίαν ἀπεξεσμένων εἰς ἰσχνότητα τὴν τεθαυμασμένην; τί τῶν ἀναγκαίων παρῶπται δογμάτων ἢ ποῖος αὐτοῖς ἀσφαλείας ἠμέληται τρόπος; P 83 Mt. 10, 20 PG 48

Οὐ τετολμήκασι, φησί, τοῖς περὶ τῆς πίστεως ἐνθεῖναι λόγοις ὅτι θεὸς λόγος ἐκ Μαρίας ἐγεννήθη.

Οὐκοῦν εἰ ταύτης ἕνεκα τῆς αἰτίας τοὺς πρὸ ἡμῶν γεγονότας αἰτιᾶι καὶ λελυπῆσθαι φῂς ὅτι μὴ ἀπαραλλάκτως ταῖς σαῖς εὕρηνται κεχρημένοι φωναῖς, ὥρα τάχα που συναιτιᾶσθαι καὶ αὐτοὺς τοὺς ἁγίους ἀποστόλους καὶ εὐαγγελιστάς. συγγεγράφασι μὲν γὰρ τῆς ἐπὶ Χριστῶι μυσταγωγίας τὰς βίβλους, αὐτολεξεὶ δὲ ταῖς σαῖς οὐκ ἂν ἐπιδείξειέ τις

3—17 Marc. Merc. exc. I [uol. V p. 55] 3—9 Tim. arm. p. 116. 152

1/2. 18—38 V 3—17 VVa

4 θ̄ῡ λόγοσ Va Mar. Tim. ὁ θ̄ῡ V 6 εἶπον Va 8 ὅταν scripsi ἵνα VVa Tim. *cum* Mar. Merc. 10 εἶτα — ἐπιφέρει VVa *deinde uideamus quid illi subiungant, ait* Mar. Merc. 11/12 ἐκ τῶν οὐρανῶν V om. Va Mar. Merc. 19 δυσφημίασ V γρ̣φεται δυσσεβείασ Vmg 22 ὅσ V 25 διαγυμνάζομεν V, corr. ed. Rom. 28 ἐφιεὶς scripsi ἐνιεὶσ V

φησι καὶ κατ' οὐδένα τρόπον αὐτῇ συμβαίνουσαν (καὶ μάλα ὀρθῶς· ἐπαινέσομεν γὰρ ἐν τούτοις ἀριστοεπεῖν ἡιρημένον, φημὶ γὰρ ἀκράδαντον ὑπάρχειν αὐτὴν καὶ ὡς οὐκ ἂν μεταθεῖτο πρὸς ἕτερόν τι παρ' ὅπερ εἶναι πεπίστευται)· διημάρτηκε δὲ ὅτι τοῦ πρέποντός τε
PG 53 καὶ ἀληθοῦς ὁ λόγος αὐτῶι τὴν ἐνανθρώπησιν εἶναι διαβεβαιουμένωι τὴν εἰς ἄνθρωπον ἐνοίκησιν, καταδεῖξαι πειράσομαι. εἰ μὲν γὰρ ἐφ' ἑνός τε καὶ μόνου τοῦ Ἐμμανουὴλ ἀληθὲς εἶναι τὸ χρῆμά φησι, διδασκέτω τὴν αἰτίαν (μαθεῖν γὰρ οὐκ ἔχω), ἢ γοῦν ὁριστὴν αὐτὸν καὶ νομοθέτην ὧν ἂν βούλοιτο λέγειν ἀκατασκέπτως, ἀνάσχοιτο ἂν οὐδείς· ἀλλ' οὐκ ἐφ' ἑνὸς μὲν ἴσως ἡ τῶν ὁρισθέντων διήκει δύναμις οὐ διαβεβλήσεται μὲν κἂν εἰ κατὰ πάντων εἴη τυχόν. οὐκοῦν οὐχ ἅπαξ, ἀλλὰ πλειστάκις ἐνηνθρωπηκότα θεὸν εὑρήσομεν καὶ οὔ τί που μόνον τὸν ἐκ θεοῦ πατρὸς λόγον, προσθείην δ' ἂν ἔγωγε καὶ αὐτὸν τὸν πατέρα καὶ προσέτι τὸ πνεῦμα τὸ ἅγιον. ἔφη μὲν γὰρ δι' ἑνὸς τῶν ἁγίων προφητῶν
2 Cor. 6, 16 περὶ τῶν ἐν πίστει δεδικαιωμένων ὅτι ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω
cf. Ioh. 14, 23 καὶ ἔσομαι αὐτῶν θεὸς καὶ αὐτοὶ ἔσονταί μου λαός. ἔφη δὲ καὶ αὐτὸς ὁ Χριστός· καὶ ἐάν τίς μου ἀκούσηι, ἐλευσόμεθα ἐγὼ καὶ ὁ πατὴρ καὶ μονὴν παρ' αὐτῶι
Hebr. 3, 5. 6 ποιησόμεθα καὶ ἐν αὐτῶι καταλύσομεν. γέγραφε δέ που καὶ ὁ σοφώτατος Παῦλος· καὶ
P 88 Μωσῆς μὲν πιστὸς ἐν ὅλωι τῶι οἴκωι αὐτοῦ ὡς θεράπων εἰς μαρτύριον τῶν λαληθησομένων, Χριστὸς δὲ ὡς υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ, οὗ οἶκος
1 Cor. 3, 16 ἐσμὲν ἡμεῖς, καὶ μὴν καὶ περὶ τοῦ ἁγίου πνεύματος· οὐκ οἴδατε ὅτι ναὸς θεοῦ ἐστὲ καὶ τὸ πνεῦμα τοῦ θεοῦ οἰκεῖ ἐν ὑμῖν; οὐκοῦν εἰ τὸ ἐνοικῆσαί τισι λέγεσθαι καὶ τὸν τῶν ὅλων θεὸν τοῦτ' ἐστὶν ἡ ἐνανθρώπησις ἢ γοῦν ἡ σάρκωσις, λεγέσθω καὶ ἐφ' ἑκάστου τῶν τῆς θείας φύσεως γεγονότων κοινωνῶν καὶ μὴν καὶ ἔνοικον ἐσχηκότων αὐτὸν ὅτι [τε] καὶ ἐνηνθρώπησε καὶ πρός γε τούτωι τὸ ἐσαρκώθη. οὗ δὴ γεγονότος καὶ παραδεχθέντος ὡς ἀληθοῦς, πλειστάκις κἂν λέγοιτο γεγενῆσθαι σὰρξ ὁ ἐκ θεοῦ πατρὸς λόγος, ἐνοικεῖ δὲ καὶ εἰς δεῦρο πολλοῖς τῶν σεβομένων αὐτόν. ἀλλὰ ναί, φησί,
Ioh. 1, 14 γέγραπται περὶ τοῦ θεοῦ λόγου ὅτι ἐσκήνωσεν ἐν ἡμῖν, ἔφη δὲ καὶ ὁ θεσπέσιος
Col. 2, 9 Παῦλος περὶ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ ὅτι ἐν αὐτῶι κατώικηκε πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς. ἐσκήνωσε μὲν ἐν ἡμῖν ὁμολογουμένως· γέγραπται γὰρ ὠδί· καὶ μὴν καὶ ὅτι κατώικηκεν, οὐκ ἀντιτάξομαι λέγοντί σοι· βούλομαι δὲ μᾶλλον τὰς τῶν θεηγόρων βασανίζειν φωνάς. ὁ μὲν γὰρ μακάριος εὐαγγελιστὴς προ-
Ioh. 1, 14 ειρηκὼς ὅτι καὶ ὁ λόγος σὰρξ ἐγένετο, προσεπήνεγκε χρειωδῶς καὶ τὸ ἐσκήνωσεν ἐν ἡμῖν, ἵνα δι' ἀμφοῖν ἀδιαλώβητον ἡμῖν ἐνεργάσηται τοῦ κατὰ Χριστὸν μυστηρίου τὴν γνῶσιν. ὅτι μὲν γὰρ ἠνιώθη σαρκὶ καθ' ὑπόστασιν ὁ ἐκ θεοῦ πατρὸς λόγος, διαμεμήνυκεν ἐναργῶς διά γε τοῦ σάρκα γενέσθαι λέγειν αὐτόν· ὅτι δὲ σὰρξ γεγονὼς οὐκ εἰς τὴν
PG 56 τῆς σαρκὸς μετακεχώρηκε φύσιν, τροπὴν ὑπομείνας τὴν εἰς ὅπερ οὐκ ἦν, ἀλλὰ μετὰ τοῦ γενέσθαι καθ' ἡμᾶς μεμένηκεν ὅπερ ἦν, διατρανοῖ πάλιν τὸ ἐσκήνωσεν ἐν ἡμῖν τῶι
P 89 πρώτωι προστεθεικώς. κατοικῆσαι δέ φησιν ὁ θεσπέσιος Παῦλος ἐν τῶι Χριστῶι πᾶν
Col. 2, 9 τὸ πλήρωμα τῆς θεότητος σωματικῶς, ἵνα μὴ ἁπλῆν ἢ γοῦν σχετικὴν τὴν κατοίκησιν ὑποτοπήσειέ τις, ἀλλ' ὥσπερ ἔφην ἀρτίως, ἀληθινήν τε καὶ καθ' ὑπόστασιν. ὅτι μὲν γὰρ ἀσώματός τέ ἐστι καὶ ἀναφὴς ὁ τοῦ θεοῦ λόγος, οὐκ ἠγνόηκεν ὁ πνευματοφόρος· ἐπειδὴ δὲ ἦν ἀναγκαῖον τὴν τοῦ μυστηρίου δήλωσιν κατ' οὐδένα τρόπον ὁρᾶσθαι μεμωμημένην, ἀκριβῆ δὲ οὕτω γενέσθαι καὶ διηρθρωμένην εἰς τὸ εὐθύ τε καὶ ἀληθές, ὡς ἐπέκεινα παντὸς ἰέναι θαύματος, καταβιάζεται τὸ εἰκὸς καὶ μόνον οὐχὶ τὸ πρέπον ὑπερορᾶι τῆι ἀσωμάτωι τε καὶ ὑπερτάτωι φύσει. προστέθεικε γὰρ τὸ σωματικῶς, οὐχ ἑτέρως ἔχων εἰπεῖν

V

7 οὐκ] conicio οὐκ ⟨εἰ⟩ 8 οὐ διαβεβλήσεται μέν] conicio ⟨ἐπὶ δὲ τῶν ἄλλων⟩ οὔ, διαβεβλήσεται μόνον, ⟨ἀλλά⟩ 20 καὶ deleuerim 22 τε deleui 32/33 διαμεμήνυκεν Nicetas in catena in Ioh. διαμεμένηκεν V

ἢ ὡς ἂν γένοιτο καὶ νῦν καὶ γλώττῃ τῇ καθ' ἡμᾶς ἐφικτόν. μὴ τοίνυν ἁπλῆν ἡμῖν ὀνομάζοντα ἐνοίκησιν οἷόν τι λέγειν αὐτὸν τῶν οὐ σφόδρα διαβεβλημένων· ἀνατρέπων γάρ, καθάπερ οὖν οἴεται, καὶ μάλα νεανικῶς τὴν κατὰ σάρκα γέννησιν τοῦ υἱοῦ, συντίθησι λογισμὸν γραοπρεπῆ καὶ ἠλίθιον καὶ ὑποβάθραν οὐκ ἔχοντα τὴν ἐξ ἀληθείας. γράφει γὰρ καὶ ὧδε πάλιν, πεποίηται δὲ πρὸς Ἀρειανοὺς ὁ λόγος αὐτῶι·

9 Ὅμως δὲ κἂν θεότητος μείζονος τὸν θεὸν λόγον ληροῦσι νεώτερον· οὗτοι δὲ αὐτὸν τῆς μακαρίας Μαρίας ἐργάζονται δεύτερον καὶ μητέρα χρονικὴν τῇ δημιουργῶι τῶν χρόνων ἐφιστῶσι θεότητι, μάλλον δὲ οὐδὲ μητέρα τοῦ Χριστοῦ τὴν Χριστοτόκον ἐῶσιν. εἰ γὰρ οὐκ ἀνθρώπου φύσις, ἀλλὰ θεὸς [ὁ] λόγος ἦν, ὥσπερ ἐκεῖνοί φασιν, ὁ παρ' ἐκείνης, ἡ τεκοῦσα τοῦ τεχθέντος οὐ μήτηρ· πῶς γὰρ ἂν εἴη τις μήτηρ τοῦ τῆς φύσεως αὐτῆς ἀλλοτρίου; εἰ δὲ μήτηρ παρ' αὐτῶν ὀνομάζοιτο, ἀνθρωπότης τὸ τεχθέν, οὐ θεότης· πάσης γὰρ ἴδιον μητρὸς ὁμοούσια τίκτειν. ἢ οὖν οὐκ ἔσται μήτηρ ὁμοούσιον ἑαυτῆι μὴ τεκοῦσα ἢ μήτηρ παρ' αὐτῶν καλουμένη τὸν ἑαυτῆι κατ' οὐσίαν ἐγέννησεν ὅμοιον. Loofs p. 245, 15-27

Ὡς βαθὺ τὸ χρῆμα τῶν ἐννοιῶν, δεινὴ δὲ καὶ δυσδιάφυκτος τοῦ τὰ τοιάδε συγγεγραφότος ἡμῖν ἡ ἐκ τῶν συλλογισμῶν ἀνάγκη φαίνεται. πόθεν ἡμῖν τὰ τοιάδε συναγηγερκὼς εἰς μέσον ἔρχηι μυθάρια; ἢ τίς ὅλως ἀμαθίας εἰς τοῦτο κατώλισθεν ἐννοιῶν, ὡς οἴεσθαί τε καὶ λέγειν τὴν θεότητα τοῦ μονογενοῦς οὐ προαιώνιον ἔχειν τὴν ὕπαρξιν ἐκ πατρός, ἀρχὴν δὲ μᾶλλον τῆς εἰς τὸ εἶναι παρόδου σάρκα τε καὶ αἷμα λαβεῖν; τίς οὕτως ἐμβρόντητος καὶ ὀλιγογνώμων ἐστὶ καὶ τῶν ἱερῶν γραμμάτων ἀνήκοος παντελῶς; τίς οὐ διαμέμνηται διακεκραγότος μὲν Ἡσαίου περὶ αὐτοῦ τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; γεγραφότος δὲ καὶ Ἰωάννου σαφῶς ἐν ἀρχῇ ἦν ὁ λόγος καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν καὶ θεὸς ἦν ὁ λόγος. πάντα δι' αὐτοῦ ἐγένετο καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν. καὶ εἰ πάντα δι' αὐτοῦ, πῶς τῶν δι' αὐτοῦ γεγονότων ὀψιγενέστερος εἴη ἂν ὁ πρὸ παντὸς αἰῶνος καὶ χρόνων; τί τοίνυν τὸ πᾶσιν ἀπόβλητον ὡς εἰρημένον εἰσφέρεις; παῦσαι συκοφαντῶν τοὺς τὰ σὰ δικαίως ἐπαιτιωμένους καὶ τῆς ἐν αὐτοῖς ἀμαθίας διαγελῶντας τὸ μέγεθος. P 90 Ies. 53, 8 Ioh. 1, 1. 3 PG 57

Ὅτε τοίνυν οὐδεὶς ὁ λέγων ἐστὶν ὡς ἐκτέτοκεν ἡ παρθένος ἐκ τῆς ἰδίας σαρκὸς τὴν τῆς θεότητος φύσιν, μὴ διατείνου μάτην λογισμοὺς ἡμῖν ἀναπλέκων οὐκ ἐξ ἀληθῶν καὶ ἅπασιν ὁμολογουμένων γεγονότας λημμάτων. τί δέ σε τὸ πεπεικὸς ἀκρατῆ καὶ ἀπύλωτον οὕτω χαλάσαι τὴν γλῶτταν κατὰ τῶν ὀρθὰ φρονεῖν διεσπουδακότων καὶ παντὸς τοῦ σεβομένου θεὸν ἔγκλημα καταχέαι δεινὸν καὶ παγχάλεπον; ἔφης γὰρ πάλιν ἐπ' ἐκκλησίας

10 Εἶπον δὲ ἤδη πλειστάκις ὅτι εἴ τις ἢ ἐν ὑμῖν ἀφελέστερος εἴτε ἐν ἄλλοις τισὶ χαίρει τῇ τοῦ θεοτόκος φωνῇ, ἐμοὶ πρὸς τὴν φωνὴν φθόνος οὐκ ἔστι· μόνον μὴ ποιείτω τὴν παρθένον θεάν. Loofs p. 353, 17-20

Πάλιν ἡμῖν διαλοιδορῆι καὶ πικρὸν οὕτως ἐπιθήγεις στόμα, ὀνειδίζεις δὲ τὴν συναγωγὴν κυρίου κατὰ τὸ γεγραμμένον. ἀλλ' ἡμεῖς γε, ὦ τᾶν, οἱ θεοτόκον λέγοντες αὐ- cf. 1 Reg. 17, 45 P 91

6—13 cf. Exc. Mar. Merc. VII 11—13 Timoth. Patr. or. 13, 233 32—34 ibid. p. 234

1—5. 14—31. 35. 36 V 6—13. 32—34 VVa

5 ἀρειανοὺσ Va ἀδριανοὺσ V 6 ληροῦσι VVa ληρῶσιν ἐλάττονα, ὅμως οὐχ ὁμολογοῦσι Mar. Merc. 9 λόγοσ Va ὁ λόγοσ V ἐκεῖνοι Va ἐκεῖνο V 10 αὐτῆσ V τῆσ αὐτῆσ Vcorr Va 12 οὖν V τοίνυν Va 32 εἴ τισ ἢ V ὅστισ Va ὑμῖν Va ἡμῖν V ἀφελέστεροσ Va ἀσφαλέστεροσ V 33 ποιήτω V 35 ἐπιθήγεις Agellius ἐπιθήση V

τήν· τεθεοποιήκαμεν δὲ οὐδένα πώποτε τῶν τελούντων ἐν κτίσμασι, κατειθίσμεθα δὲ θεὸν εἰδέναι τὸν ἕνα καὶ φύσει καὶ ἀληθῶς, ἴσμεν δὲ ἄνθρωπον οὖσαν καθ' ἡμᾶς τὴν μακαρίαν παρθένον. ἀλώσηι δὲ καὶ οὐκ εἰς μακρὰν ἄνθρωπον ἡμῖν θεοφόρον ἀποφαίνων αὐτὸς τὸν Ἐμμανουὴλ καὶ τῶν σῶν ἐπιχειρημάτων τὴν κατάρρησιν ἐπιτιθεὶς ἑτέρωι.

P 92 Τόμος δεύτερος

Iac. 3, 6. 8 Ἡ γλῶσσα μὲν πῦρ καὶ ἀκατάσχετόν ἐστι κακόν, καθὰ γέγραπται· τὰ δὲ
Ps. 140, 3. 4 ἐντεῦθεν βλάβη διωθούμενος ὁ θεσπέσιος ψάλλει Δαυίδ· θοῦ, κύριε, φυλακὴν τῶι στόματί μου καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου· μὴ ἐκκλίνηις τὴν καρδίαν μου εἰς λόγους πονηρίας. τὸ μὲν γὰρ εὐστομεῖν δύνασθαι καὶ ἀκριβῆ τὴν ἐπιτήρησιν ἐπὶ γλώττης ἔχειν ὧν ἂν δεήσηι λέγειν ἢ μή, θεόδοτον ἀληθῶς εἴη ἂν καὶ τὸ χρῆμά ἐστιν οὐκ ἐν μικρῶι λόγωι παρά γε τοῖς οὐκ ἀθαύμαστον ἐπιτηδεύουσι πολιτείαν· τό γε μὴν προαλὲς εἰς λόγους καὶ τὸ ἀχάλινον εἰς τερθρείας κινδύνου μεστὸν καὶ εἰς πέ-
Prou. 9, 18 ταυρον ἄδου κατακομίζει τοὺς κεχρημένους. γέγραπται δὲ ὅτι θάνατος καὶ ζωὴ ἐν
Prou. 18, 21 χειρὶ γλώσσης, οἱ δὲ κρατοῦντες αὐτῆς ἔδονται τοὺς καρποὺς αὐτῆς.
Sir. 5, 12 προσπεφώνηκε δὲ καὶ ἕτερός τις ἡμῖν τῶν σοφῶν· εἰ μὲν ἔστι σοι λόγος συνέσεως, ἀποκρίθητι· εἰ δὲ μή, χεὶρ ἔστω ἐπὶ τῶι στόματί σου. ἀμαθοῦς γὰρ λόγου
PG 60 πῶς οὐκ ἀμείνων ἡ σιωπή; ἐπάρατον δὲ καὶ ἑτέρως τὸ πικροὺς ἐρεύγεσθαι λόγους καὶ τῆς ἀπορρήτου δόξης καταχέαι φωνὰς τὰς ἀλιτηρίους, καίτοι δέον ἀκαταλήκτοις αὐτὴν
1 Cor. 8, 12 εὐφημίαις καταγεραίρεσθαι πρὸς ἡμῶν. ἁμαρτάνοντες δὲ εἰς τοὺς ἀδελφοὺς καὶ τύπτοντες ἀσθενοῦσαν τὴν συνείδησιν εἰς Χριστὸν ἁμαρτάνομεν· γέγραφε γὰρ οὕτως ὁ θεσπέσιος Παῦλος. καὶ ταῦτα φημὶ τοῖς Νεστορίου λόγοις ἐντετυχηκὼς
P 93 καὶ οὐ μόνον αὐτὸν ἀποφάσκοντα βλέπων τὸ χρῆναι λέγειν ἡμᾶς ὡς ἔστι μὲν θεοτόκος ἡ ἁγία παρθένος, ἐκτέτοκε δὲ θεὸν ὄντα τὸν Ἐμμανουήλ, ἀλλὰ γὰρ ἔτι πρὸς τούτωι καὶ καθ' ἑτέρους τρόπους τῆι Χριστοῦ δόξηι πολεμεῖν ἐγνωκότα· θεοφόρον γὰρ ἡμῖν αὐτὸν πειρᾶται δεικνύειν καὶ οὐχὶ θεὸν ἀληθῶς, ἄνθρωπον δὲ θεῶι συνημμένον ὡς ἐν ἰσότητι τῆς ἀξίας. οὕτω γὰρ αὐτῶι καὶ μόνωι παρὰ πάντας τοὺς ἄλλους δοκεῖ φρονεῖν τε καὶ λέγειν, καίτοι
Eph. 5, 27 τῆς καθολικῆς ἐκκλησίας, ἣν αὐτὸς ἑαυτῶι παρέστησεν ὁ Χριστός, τὰς τοῦ τὰ τοιάδε συγγεγραφότος οὐκ ἐχούσης ῥυτίδας, οὔσης δὲ μᾶλλον ἀμώμου καὶ ἀνεπίπληκτον παντελῶς τὴν ἐπ' αὐτῶι γνῶσιν ἐχούσης καὶ τῆς πίστεως τὴν παράδοσιν εὖ μάλα πεποιημένης. πιστεύομεν γὰρ εἰς ἕνα θεὸν πατέρα παντοκράτορα, πάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητὴν καὶ εἰς ἕνα κύριον Ἰησοῦν τὸν Χριστὸν καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, ἑπόμενοι δὲ ταῖς τούτοις ἐπενηνεγμέναις τῶν ἁγίων πατέρων ὁμολογίαις αὐτὸν τὸν ἐκ τοῦ θεοῦ καὶ πατρὸς οὐσιωδῶς φύντα λόγον καθ' ἡμᾶς γενέσθαι φαμὲν σαρκωθῆναί τε καὶ ἐνανθρωπῆσαι, τουτέστιν ἑαυτῶι σῶμα λαβεῖν ἐκ τῆς ἁγίας παρθένου καὶ ἴδιον αὐτὸ ποιήσασθαι. οὕτω γὰρ ἔσται καὶ ἀληθῶς εἷς κύριος Ἰησοῦς Χριστός, οὕτως αὐτὸν ὡς ἕνα προσκυνήσομεν, οὐκ ἀνὰ μέρος τιθέντες ἄνθρωπον καὶ θεόν, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν εἶναι πιστεύοντες ὡς ἐν θεότητι καὶ ἀνθρωπότητι, τουτέστι θεόν τε ὁμοῦ καὶ ἄνθρωπον. ὁ δέ γε τῆς νεωτάτης ἡμῖν ἀσεβείας εὑρετής, καίτοι Χριστὸν ἕνα λέγειν προσποιούμενος, διαιρεῖ μὲν πανταχοῦ τὰς φύσεις καὶ ἀνὰ μέρος ἵστησιν ἑκατέραν, οὐκ ἀληθῶς ἀλλήλαις συμβῆναι λέγων αὐτάς,
Ps. 140, 4 προφασιζόμενος δὲ προφάσεις ἐν ἁμαρτίαις κατὰ τὸ γεγραμμένον, ἐπινοεῖ τινα συναφείας τρόπον, τὸν κατὰ μόνον, ὡς ἔφην, τὴν ἰσότητα τῆς ἀξίας, καθάπερ ἀμέλει καὶ ἐκ τῶν
P 94 αὐτοῦ δειχθήσεται λόγων. καὶ ἐνοικίζει μὲν μεθεκτῶς ὡς ἀνθρώπωι κοινῶι τὸν ἐκ θεοῦ

1—4 VVa 5—42 V

4 κατάρρυσιν V 19 εὐφημίοισ V 35 προσκυνήσωμεν V 39 ἀληθῶς Agellius ἀληθέσ V

λόγον, μερίζει δὲ τὰς ἐν τοῖς εὐαγγελίοις φωνάς, ὡς ποτὲ μὲν τάσδε τινὰς μόνωι τε καὶ ἰδικῶς ἀνατιθέναι τῶι λόγωι, ποτὲ δὲ ἰδίαι τῶι ἐκ γυναικός. καίτοι πῶς οὐχ ἅπασιν εἴη ἂν οὐκ ἀναμφιλόγως ἔχον ὅτι θεὸς ὢν φύσει γέγονεν ἄνθρωπος ὁ μονογενής, οὐ κατὰ συνάφειαν ἁπλῶς, ὡς γοῦν ἐκεῖνός φησι, τὴν θύραθεν ἐπινοουμένην ἤτοι σχετικήν, ἀλλὰ καθ' ἕνωσιν ἀληθῆ, ἀπορρήτως τε καὶ ὑπὲρ νοῦν, οὕτω τε εἷς νοεῖται καὶ μόνος ἅπας τε αὐτῶι πρέπει λόγος καὶ ὡς ἐξ ἑνὸς προσώπου τὰ πάντα λελέξεται; μία γὰρ ἤδη νοεῖται φύσις μετὰ τὴν ἕνωσιν ἡ αὐτοῦ τοῦ λόγου σεσαρκωμένη, καθάπερ ἀμέλει καὶ ἐφ' ἡμῶν αὐτῶν PG 61 νοοῖτ' ἂν εἰκότως. ἄνθρωπος γὰρ εἷς ἀληθῶς συγκείμενος ἔξ ἀνομοίων πραγμάτων, ψυχῆς δὴ λέγω καὶ σώματος. ἐπισημήνασθαι δὲ καὶ νῦν ἀναγκαῖον ὅτι τὸ ἑνωθὲν τῶι θεῶι λόγωι σῶμα φαμὲν ἐψυχῶσθαι ψυχῆι λογικῆι, προσθήσομεν δὲ κἀκεῖνο χρησίμως· ἑτέρα μὲν γὰρ παρὰ τὸν ἐκ θεοῦ λόγον ἡ σὰρξ κατά γε τὸν τῆς ἰδίας φύσεως λόγον, ἑτέρα δὲ πάλιν οὐσιωδῶς ἡ αὐτοῦ τοῦ λόγου φύσις. πλὴν εἰ καὶ νοεῖται διάφορα καὶ εἰς ἑτερότητα φυσικὴν διεσχοινισμένα τὰ ὠνομασμένα, ἀλλ' εἷς ἐξ ἀμφοῖν νοεῖται Χριστὸς καθ' ἕνωσιν ἀληθῆ ἀλλήλοις συμβεβηκότων, θεότητός τε καὶ ἀνθρωπότητος. ἐμπεδοῖ δὲ πρὸς τοῦτο ἡμᾶς ἡ θεόπνευστος γραφὴ διὰ μυρίων μὲν ὅσων πραγμάτων τε καὶ λόγων, παραδείγμασι δὲ χρωμένη, δι' ὧν ἄν τις καὶ λίαν ἀκονιτὶ πρός γε τὸ δύνασθαι κατιδεῖν τὸ Χριστοῦ μυστήριον διελάσειε σαφῶς. ἔφη τοίνυν ὁ μακάριος προφήτης Ἡσαίας· καὶ ἀπεστάλη πρός με ἓν τῶν σεραφὶμ καὶ τῆι χειρὶ εἶχεν ἄνθρακα, ὃν τῆι Ies. 6, 6. 7 λαβίδι ἔλαβεν ἀπὸ τοῦ θυσιαστηρίου, καὶ ἥψατο τοῦ στόματός μου καὶ P 95 εἶπεν· ἰδοὺ ἥψατο τοῦτο τῶν χειλέων σου, καὶ ἀφελεῖ τὰς ἀνομίας σου καὶ τὰς ἁμαρτίας σου περικαθαριεῖ. πολυπραγμονοῦντες δέ, ὡς ἔνι, τὸ τῆς ὁράσεως βάθος, οὐχ ἕτερον εἶναι φαμὲν πλὴν ὅτι τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ἐν τῶι θυσιαστηρίωι κείμενον ἄνθρακα νοητόν, ἐφ' ὧι παρ' ἡμῶν εὐωδιάζει θυμίαμα τῶι θεῶι καὶ πατρί· δι' αὐτοῦ γὰρ τὴν προσαγωγὴν ἐσχήκαμεν δεκτοί τε ἐσμὲν τὰς πνευματι- Eph. 2, 18 κὰς τελοῦντες λατρείας. οὗτος τοίνυν ὁ ἄνθραξ ὁ θεῖος ὅταν ἅψηται τῶν χειλέων τοῦ προσιόντος αὐτῶι, διεσμηγμένον εὐθὺς ἀποφανεῖ καὶ ἁπάσης ἁμαρτίας ἡμοιρηκότα παντελῶς, ἅπτεται δὲ τίνα τρόπον τῶν ἐν ἡμῖν χειλέων, διδάξει λέγων ὁ μακάριος Παῦλος· ἐγγύς σου τὸ ῥῆμά ἐστιν ἐν τῶι στόματί σου καὶ ἐν τῆι καρδίαι σου, ὅτι Rom. 10, 8-10 ἐὰν εἴπηις ἐν τῶι στόματί σου ὅτι κύριος Ἰησοῦς, καὶ πιστεύσηις ἐν τῆι καρδίαι σου ὅτι ὁ θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσηι· καρδίαι γὰρ πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν. ἄνθρακι δὲ παρεικάζεται διά τοι τὸ ἐκ δυοῖν νοεῖσθαι καὶ ἀνομοίων πραγμάτων, συνόδωι γε μὴν τῆι κατὰ ἀλήθειαν μόνον οὐχὶ συνδεῖσθαι πρὸς ἕνωσιν· εἰσδεδυκὸς γὰρ τῶι ξύλωι τὸ πῦρ εἰς οἰκείαν αὐτὸ μεταστοιχειοῖ τρόπον τινὰ δόξαν τε καὶ δύναμιν, καίτοι τετηρηκὸς ὅπερ ἦν. μαργαρίτηι δὲ πάλιν ἑαυτὸν ἀφομοιοῖ λέγων ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός· ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπωι ἐμπόρωι ζητοῦντι καλοὺς Mt. 13, 45. 46 μαργαρίτας, εὑρὼν δὲ ἕνα πολύτιμον μαργαρίτην ἀπελθὼν πέπρακεν ὅσα εἶχε, καὶ ἠγόρασεν αὐτόν. ἀκούω δὲ καὶ ἑτέρως ἑαυτὸν ἡμῖν καταδεικνύντος καὶ λέγοντος· ἐγὼ ἄνθος τοῦ πεδίου, κρίνον τῶν κοιλάδων. ἔχει μὲν γὰρ ἐν Cant. 2, 1 ἰδίαι φύσει τὴν θεοπρεπῆ λαμπρότητα τοῦ θεοῦ καὶ πατρός, εὐωδιάζει δὲ πάλιν αὐτό, κατά γε φημὶ τὴν νοητὴν εὐοσμίαν. ὥσπερ τοίνυν ἐπί γε τοῦ μαργαρίτου καὶ μὴν καὶ τοῦ P 96 κρίνου νοεῖται μὲν τὸ σῶμα τὸ ὑποκείμενον, ἡ δέ γε ἐν αὐτῶι λαμπρότης ἢ γοῦν εὐωδία κατ' PG 64 ἴδιον λόγον ὡς ἕτερα μὲν παρὰ τὰ ἐν οἷς εἰσιν, ἴδια δὲ πάλιν αὐτῶν καὶ οὐκ ἀλλότρια τῶν

6. 7 ὡς ἐξ ἑνὸς — σεσαρκωμένη Timoth. arm. p. 197

V

17 διελάσειε scripsi διελάσει V 26 τοῦ Agellius σου V ἀποφανῆ V 29 πιστεύσεισ V 33 εἰσδεδυκὼσ V 34 μεταστοιχειοῖ Patrologia μεταστοιχιεῖ V 35 μαργαρίτην V 40 αὐτό scripsi αὐτόν V 41 γε scripsi τε V 42 μὲν τὸ scripsi μέντοι V

ἐχόντων ἐστὶ τὰ ἀχωρίστως ἐμπεφυκότα, κατὰ τὸν αὐτὸν οἶμαι τρόπον λογιούμεθά τε καὶ ⟨νοήσομεν καὶ⟩ φρονήσομεν καὶ ἐπί γε τοῦ Ἐμμανουήλ. ἑτεροῖα μὲν γὰρ κατὰ τὴν φύσιν θεότης τε καὶ σάρξ, ἀλλ' ἴδιον ἦν τοῦ λόγου τὸ σῶμα, τοῦ δὲ σώματος οὐ κεχωρισμένος ὁ ἑνωθεὶς αὐτῷ λόγος. νοοῖτο γὰρ ⟨ἂν⟩ ὧδέ τε καὶ οὐχ ἑτέρως ὁ Ἐμμανουήλ,
Mt. 1, 23 τουτέστι μεθ' ἡμῶν ὁ θεός. τοιγάρτοι ποτὲ μὲν ὡς ἄνθρωπος καὶ ἐκ τῶν τῆς κενώ-
Ioh. 10, 18 σεως μέτρων ἑαυτὸν ἡμῖν ἐμφανῆ καθιστὰς ἔφασκεν οὐδεὶς αἴρει τὴν ψυχήν μου ἀπ' ἐμοῦ· ποτὲ δὲ πάλιν ὡς θεὸς ὢν ὁ λόγος καὶ ἐξ οὐρανοῦ νοούμενος καὶ εἷς μετὰ τῆς ἰδίας
Ioh. 3, 13 σαρκὸς οὐδεὶς ἀναβέβηκε, φησίν, εἰς τὸν οὐρανὸν εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ υἱὸς τοῦ ἀνθρώπου.

Πανταχόθεν τοίνυν εἰς ἕνωσιν ἀδιάτμητόν τε καὶ ἀληθῆ συνδέοντος ἡμῖν τοῦ ἱεροῦ γράμματος τὸν υἱὸν καὶ εἰς πρόσωπον ἓν ἀποφέροντος ἐν πίστει, διίστησι πολλαχῶς ὁ περιττὸς οὑτοσὶ καὶ ⟨κατα⟩πεφλυάρηκεν εἰκῇ καὶ αὐτοῦ τοῦ Χριστοῦ, θεὸν ὀνομάζων ⟨μόνον⟩ τὸν ἐκ θεοῦ πατρὸς λόγον, καθάπερ ἀμέλει προιὼν ὁ λόγος ἐκδείξει σαφῶς [ὡς] ἐν οἰκείωι καιρῶι καὶ τόπωι. ὑποπλάττεται μὲν γὰρ δεδιέναι μὴ ἄρα τις αἰδοῖ τῆι περὶ τὴν ἁγίαν παρθένον ἡττώμενος, εἶτα θεοτόκον αὐτὴν ὀνομάσας φυρμὸν καὶ ἀνάκρασιν, τὴν εἰς ἀλλήλας φημί, τῶν ὑποστάσεων γενέσθαι νομίσας τῶν τῆς ἐκκλησίας δογμάτων καταχέηι τὸ ἀκαλλές, καίτοι τοῦτο φρονοῦντος οὐδενός, ἐπανορθῶν δέ, ὡς οἴεται, τὸ δεινόν, ἄνω τε καὶ κάτω τὰ πάντα συγχεῖ, τῶν εἰς ὀρθότητα καὶ ἀλήθειαν ἀφειδήσας ἐννοιῶν. ἔφη γὰρ οὕτως

Loofs p. 272, 13-273, 17 P 97 Εἰ μετὰ πίστεως ἁπλῆς τὸ θεοτόκος προέφερες, οὐκ ἄν σοι τῆς λέξεως ἐφθόνησα, τὸν νοῦν ἐξετάζων τοῦ ῥήματος· ἀλλ' ἐπειδήπερ ὁρῶ σε προφάσει τῆς περὶ τὴν μακαρίαν Μαρίαν τιμῆς τῶν αἱρετικῶν βεβαιοῦντα τὴν βλασφημίαν, διὰ τοῦτο τὴν τῆς λέξεως προφορὰν ἀσφαλίζομαι, τὸν ἐν τῆι λέξει κρυπτόμενον κίνδυνον ὑφορώμενος. ἵνα δὲ αὐτὸ σαφέστερον καὶ πᾶσιν εὐληπτότερον εἴπω, τοῖς Ἀρείου καὶ Εὐνομίου καὶ Ἀπολιναρίου καὶ πάντων τοῖς χοροῖς τῶν τῆς τοιαύτης φατρίας σπουδὴ θεοτόκον εἰσάγειν, ὡς κράσεως γινομένης καὶ τῶν δύο φύσεων μὴ διαιρουμένων μηδὲν τῶν εὐτελῶν εἰς τὴν ἀνθρωπότητα λαμβάνεσθαι καὶ χώραν αὐτοὺς λοιπὸν κατὰ τῆς θεότητος ἔχειν, ὡς πάντων λεγομένων παρ' ἑνός, οὐ κατὰ τὴν ἀπὸ τῆς συναφείας ἀξίαν, ἀλλὰ κατὰ τὴν φύσιν. εἷς μὲν γὰρ ὁ Χριστὸς καὶ εἷς κύριος· ἀλλ' ἐπὶ τοῦ Χριστοῦ, ἐπὶ τοῦ μονογενοῦς λέγω υἱοῦ, καὶ τὸ Χριστός καὶ τὸ υἱός ποτὲ μὲν ἐπὶ τῆς θεότητος, ποτὲ δὲ ἐπὶ τῆς ἀνθρωπότητος, ⟨ποτὲ δὲ ἐπὶ τῆς ἀνθρωπότητος⟩ καὶ θεότητος.

Ὁρᾶις ὅπως πολυτρόποις ἐννοιῶν εὑρήμασιν ἀνοσίως καταποικίλλεται καὶ τὴν κατὰ
PG 65 σάρκα γέννησιν τοῦ μονογενοῦς ὡς οὐκ ἂν ἑτέρως ἐσομένην πειρᾶται δεικνύειν, εἰ μή τις γένοιτο τῶν ὑποστάσεων εἰς ἀλλήλας ἀνάχυσις ἢ γοῦν σύγκρασις; καίτοι τῶν τῆς ἐκκλησίας διδασκάλων οὐ τοῦτον ἡμᾶς μυσταγωγούντων τὸν τρόπον. σύνοδον γὰρ ἀληθῆ γενέσθαι φαμέν, ἑνώσαντος μὲν ἑαυτῶι τοῦ λόγου τὸ σῶμα, μεμενηκότος δὲ ὅπερ ἦν· ὃ δὲ τῶν τοιούτων εἰς νοῦν ἔχων οὐδὲν δεδυσσέβηκεν οὐ μετρίως, διιστὰς εἰς δύο πρόσωπά τε καὶ ὑποστάσεις ὁλοτρόπως ἀλλήλων διηρημένας ἑκατέραι τε λόγους τοὺς αὐτῆι πρέποντας ἀνατιθεὶς ἰδικῶς. καὶ πάλιν ἕνα φησὶ Χριστὸν Ἰησοῦν κύριον, ὡς ἀνθρώπου

---

23 ἵνα — 28 ἑνός adferuntur in Apol. adu. Orient. 39

1—19. 32—39 V 20—31 Va

2 νοήσομεν καὶ suppleui, spatium fere VIIII litterarum V 4 ἂν addidi 7 δὲ Agellius δὴ V 12 καταπεφλυάρηκεν scripsi φλυάρηκεν V πεφλυάρηκεν Vcorr 13 μόνον addidi ὡς deleui 23 αὐτὸ V Apol. τὸ αὐτὸ Va 30/31 ποτὲ — ἀνθρωπότητος add. Agellius

θεῶι συνημμένου κατὰ μόνην τὴν ἀξίαν, οὐ καθ' ἕνωσιν ἀληθῆ, τουτέστι τὴν κατὰ φύσιν.
πῶς οὖν ⟨εἷς⟩ ἐστι Χριστὸς καὶ υἱὸς καὶ κύριος, εἴπερ ἀμφοῖν ἀνὰ μέρος ἁρμόσειεν [ἄν], ὡς P 98
ἔφης, τὸ ὧδέ τε κατονομάζεσθαι καὶ εἶναι κατὰ ἀλήθειαν διά τοι τὸ συμβῆναι καθ' ἕνωσιν
ἥκιστα μὲν ἀλλήλων τὰς ὑποστάσεις, ἑνοῦσθαι δὲ κατὰ μόνην τὴν ἀξίαν ἤτοι τὴν αὐθεντίαν
ἢ γοῦν ἐξουσίαν; καίτοι τὰς τῶν πραγμάτων πολυπραγμονοῦντες φύσεις τὰ ἐν ἰσότητι τῆς 5
ἀξίας οὐ ταύτης ἕνεκα τῆς αἰτίας ἀποβεβληκότα καταθρήσαιμεν ἂν τὸ ὑπάρχειν ἰδιοσυστά-
τως οὔτε μὴν τὸ ἰσομοιρεῖν εἰς δόξαν ἀρκέσει πρὸς ἕνωσιν. οἷόν τι φημί, Πέτρος τε
καὶ Ἰωάννης ἄμφω μὲν ἦστην ἀπόστολοί τε καὶ ἅγιοι καὶ ταῖς ἰσομέτροις τιμαῖς καὶ δυνά-
μεσι ταῖς διὰ τοῦ πνεύματος κατηγλαισμένοι παρὰ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ·
ἤκουον γὰρ ὁμοῦ τοῖς ἄλλοις· ὑμεῖς ἐστὲ τὸ φῶς τοῦ κόσμου τούτου, καὶ πάλιν· 10 Mt. 5, 14
ἀσθενοῦντας θεραπεύετε, νεκροὺς ἐγείρετε, λεπροὺς καθαρίζετε, δαιμό- Mt. 10, 8
νια ἐκβάλλετε. ἆρα οὖν ἐξ ἰσομοιρούσης ἀξίας ἢ γοῦν αὐθεντίας αὐτοῖς ὑπάρξαι
φαμὲν τὸ εἰς ἄνθρωπον ἕνα καταλογίζεσθαι τοὺς δύο καὶ ἀρκεῖ τοῦτο πρὸς ἕνωσιν, τὴν ὡς
ἔν γε ταῖς ὑποστάσεσι λέγω; εἶτα πῶς οὐκ ἠλίθιον κομιδῆι τὸ ὧδε φρονεῖν νοοῖτ' ἂν
εἰκότως; τί τοιγαροῦν ὑποπλάττηι μὲν εἶναι τὴν πίστιν ὀρθὸς ἕνα λέγων Χριστὸν 15
Ἰησοῦν κύριον, εἶτα διατέμνων εἰς δύο πρόσωπά τε καὶ ὑποστάσεις τὸν ἕνα [καὶ] τὸν μὲν
τῆς ἀληθοῦς ἑνώσεως ἀτιμάζεις τρόπον, δι' ἧς ἀληθῶς εἷς τε καὶ μόνος ἂν εἴη ὁ Χριστός,
συνάφειαν δὲ ἀμαθῶς ὀνομάζεις τὴν ἰσοτιμίαν; ποῖος γὰρ οὗτός ἐστι συναφείας τρόπος;
ἢ οὐκ οἶσθα ὅτι φίλον πως ἀεὶ τοῖς κατὰ τόνδε τὸν βίον τὸ ἐν εὐκλείαις εἶναι κοσμικαῖς,
οἳ τὰς παρὰ τῶν κρατούντων πλουτοῦσι τιμάς, ἀλλ' ἐν ἴσοις ὄντες ἀξιώμασιν ἔσθ' ὅτε 20
διεστήκασιν ἀλλήλων, ὑπάρξει τε τῆι καθ' ἕνα φημὶ καὶ μέντοι τῶι ⟨μὴ⟩ βούλεσθαι τὰ αὐτὰ
φρονεῖν τε καὶ ὁρᾶν; ἀλλ' εἴπερ ἦν τις δεσμὸς ἀναγκαῖος εἰς ἑνότητα συλλέγων αὐτοὺς P 99
τῆς ἀξίας ὁ τρόπος καθάπερ ἀμέλει καὶ σύμβασις φυσική, οὐκ ἂν ἐν ἰσότητι γερῶν ἤτοι
τῆς ἀξίας ὑπάρχοντες ὑποστάσεσί τε καὶ γνώμαις εἰς τὸ ἕτερος εἶναι καὶ ἕτερος ἰδικῶς ἀλλή-
λων ἀπενοσφίζοντο. ποῦ τοιγαροῦν τὴν σὴν συνάφειαν θήσομεν, τί δὲ καὶ δρᾶσαι λογι- 25
σόμεθα; ὁμογνωμονεῖν ἄρα πέπεικεν αὐτοὺς ἢ συμβῆναι παρεσκεύασεν εἰς ἑνότητα μυστικήν;
ἀλλ' οὐκ ἂν ἔχοις εἰπεῖν. ἐκδέδειχε γὰρ ὁ λόγος πρὸς ἄμφω ταυτὶ πολὺ νοσοῦσαν τὸ PG 68
ἀδρανές. φράζε δέ μοι κἀκεῖνο· προσερήσομαι γὰρ ἀναγκαίως τί τὸ τῆς ἀξίας ὤνησε
χρῆμα τόν, ὥσπερ ἔφης αὐτός, τῶι θεῶι λόγωι συνημμένον ἄνθρωπον καὶ ἐκ γυναικός;
ἆρα γὰρ ἴσον ἀπέφηνεν ἐν δόξηι καὶ ὑπεροχῆι καὶ τοσοῦτον εἶναι παρεσκεύασεν ὅσος ἂν 30
εἶναι πιστεύοιτο καὶ αὐτός; εἶτα πῶς οὐ διαψεύσεται λέγων· τὴν δόξαν μου ἑτέρωι Ies. 42, 8
οὐ δώσω; πεφλυάρηκε δὲ μάτην καὶ αὐτὸς ἡμῖν ὁ θεσπέσιος μελωιδὸς ὠδί που λέγων
ὅτι τίς ἐν νεφέλαις ἰσωθήσεται τῶι κυρίωι ἢ τίς ὁμοιωθήσεται τῶι κυ- Ps. 88, 7
ρίωι ἐν υἱοῖς θεοῦ; ἢ οὐχ ἕτερος παρὰ τὸν ἕνα καὶ φύσει καὶ ἐκ θεοῦ πατρὸς
λόγον ὁ κατ' ἰδίαν ὑπόστασιν τῆς πρὸς αὐτὸν ἑνότητος ἀληθῶς διεσχοινισμένος; εἶτα πῶς 35
οὐχ ἅπασιν ἐναργές; ἀλλ' οὐκ ἴσον μὲν τῶι θεῶι λόγωι πεποίηκεν ἡ ἀξία τὸν συνημμένον,
ὁρᾶταί γε μὴν καὶ ἔστιν ἐν μείοσι. πῶς οὖν ἕνα φῂς Χριστὸν καὶ υἱὸν καὶ κύριον,
καίτοι προύχοντος ἑνὸς κατά γε τῶν ἐννοιῶν τὴν δύναμιν καὶ ὑφιζηκότος ἑτέρου τῆς πρὸς
αὐτὸν ἰσότητός τε καὶ δόξης; ἄλλως τε (προσεποίσω γὰρ οἷς ἔφην, καὶ τόδε) δεδώρηται
κατ' αὐτὸν ὁ ἐκ θεοῦ πατρὸς λόγος τὴν ἰδίαν ἀξίαν τῶι ἐκ γυναικός· κατὰ τίνα δὲ τρόπον 40
αὐτὸ δὴ τουτὶ πεπρᾶχθαί φησι, βασανίζειν ἄξιον. ἆρα γέγονε καὶ αὐτὸς φῶς ἀληθινόν; ἆρα
φύσει θεὸς καὶ ζωὴ καὶ σοφία καὶ δημιουργὸς καὶ δύναμις, εἰκὼν καὶ ἀπαύγασμα τῆς ὑποστά- Hebr. 1, 3
σεως τοῦ πατρός, καὶ τὰ τῆς ἄνω δόξης πλεονεκτήματα κεχώρηκε φυσικῶς εἰς ἕνα τινὰ τῶν P 100

V

2 εἷς add. Pusey ex florilegio syriaco ἁρμόσειεν scripsi ἁρμόσοιεν ἂν V 16 καὶ deleui
18 ἀμαθῶς Pusey ex florilegio syriaco ἀληθῶσ V 21 τῶι μὴ scripsi τὸ V 25 malim κἂν
δρᾶσαι λογισαίμεθα 26 μυστικὴν V φυσικὴν Agellius 36 τὸν scripsi τὸ V 41 δὴ] δὶ V

πεποιημένων; τί οὖν ἐστι τὸ ἐξαίρετον ἐν τῶι κατὰ φύσιν θεῶι; τί τὸ μέγα καὶ ὑπὲρ ἡμᾶς, εἰ ἐνδέχεται τὴν κτίσιν καταπλουτεῖν δύνασθαι καὶ τοῦτο οὐσιωδῶς τὰ ἐν οἷς ἐστιν, ἀγαθά; ἀλλ' ὡς ἐν μεθέξει τῆς θείας τυχὸν ὑπεροχῆς πεφόρηκε τὴν ἀξίαν; δύο δὴ πάλιν ἀναμφιλόγως υἱοί, εἴπερ ἐστὶν ἀληθὲς ὡς ἕτερόν τι καὶ ἔλαττον κατὰ φύσιν ἐστὶ τοῦ τὴν μέθεξιν ἐμποιοῦντος αὐτῶι τὸ σχέσει τῆι πρὸς αὐτὸν τιμώμενον. ἀλώσηι δὴ οὖν οὐδὲ εἰδὼς ἃ λέγεις. αἰτιᾶι δὲ ἀνθ' ὅτου τοὺς ἑνὶ προσώπωι προσνέμοντας τὰς ἐν τοῖς εὐαγγελίοις φωνάς; ἆρ' οὐχὶ δύο καινοτομῶν υἱούς; πῶς γὰρ ἔτι κύριος εἷς καὶ Χριστὸς καὶ υἱός, εἰ πρόσωπον ἰδικὸν ἑκατέρωι καὶ λόγος καὶ μὴν καὶ ὑπόστασις ἀναχωροῦσα πρὸς ἑτερότητα καὶ τὸ τῆς ἀληθοῦς ἑνώσεως χρῆμα παραιτουμένη καὶ τὸ ἀσύμβατον ὁλοτρόπως ἔχουσα πρὸς τὴν ἑτέραν; καὶ τό γε παράδοξον καὶ τῶν αὐτοῦ δυσφημιῶν ἀποφαῖνον τὴν βδελυρίαν, κοινά φησιν εἶναι τὰ ὀνόματα, τό τε υἱός φημὶ καὶ Χριστός καὶ κύριος. καὶ εἰ μὲν εἶναι κοινά φησιν ὡς ἑνὶ τῶι Χριστῶι καί τισι παρ' αὐτὸν ἑτέροις, ἔχοι ἂν εἰκὸς ὁ λόγος αὐτῶι· εἰ δὲ διίστησιν ἀμαθῶς οἴεταί τε πρέπειν αὐτὰ καὶ ἰδικῶς τῶι λόγωι καὶ μὴν τῶι ἐκ γυναικός, δύο που πάντως πάλιν καὶ ἀναμφιλόγως Χριστοὶ καὶ υἱοὶ καὶ κύριοι. ἔφη γὰρ ὅτι τὸ Χριστὸς ὄνομα ποτὲ μὲν θετέον ἐπὶ τῆς θεότητος αὐτῆς, ποτὲ δὲ καὶ ἐπὶ
PG 69 τῆς ἀνθρωπότητος ἢ καὶ ἐπ' ἀμφοῖν, ὀνήσειεν δ' ἂν ἡ ὁμωνυμία τὸ σύμπαν οὐδὲν εἴς γε τὸ δεῖν ἕνα νοεῖσθαι Χριστὸν καὶ υἱὸν καὶ κύριον, τέμνοντα δίχα ⟨μετὰ⟩ τοῦ καὶ αὐτὰς ἀλλήλων τὰς ὑποστάσεις ἀποφοιτᾶν καὶ εἰς ἰδικὴν ἑτερότητα τῶν προσώπων διεσταλμένων. ἐμφανῆ γὰρ ὥσπερ ἡμῖν καθιστὰς τῆς ἐνούσης αὐτῶι δυσμαθίας τὴν δύναμιν, προσεπάγει καὶ φησιν

Loofs p. 273, 18-274, 17 P 101 **2** Ὅταν οὖν ἡ θεία γραφὴ μέλλῃ λέγειν ἢ γέννησιν τοῦ Χριστοῦ τὴν ἐκ τῆς μακαρίας παρθένου ἢ θάνατον, οὐδαμοῦ φαίνεται τιθεῖσα ⟨τὸ⟩ θεός, ἀλλ' ἢ Χριστὸς ἢ υἱὸς ἢ κύριος, ἐπειδὴ ταῦτα τὰ τρία τῶν δύο φύσεών ἐστι σημαντικά, ποτὲ μὲν ταύτης, ποτὲ δὲ ἐκείνης, ποτὲ δὲ ταύτης κἀκείνης. οἷόν τι λέγω, ὅταν τὴν ἐξ ἀνθρώπου γέννησιν ἡμῖν ἡ γραφὴ
Gal. 4, 4 διηγῆται, τί λέγει; ἐξαπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ. οὐκ εἶπεν· ἐξαπέστειλεν ὁ θεὸς τὸν θεὸν λόγον, ἀλλὰ λαμβάνει τὸ ὄνομα τὸ μηνῦον τὰς φύσεις τὰς δύο. ἐπειδὴ
Gal. 4, 4 γὰρ ὁ υἱὸς ἄνθρωπός ἐστι καὶ θεός, λέγει· ἐξαπέστειλε τὸν υἱὸν αὐτοῦ γενόμενον ἐκ γυναικός, ἵνα ὅταν ἀκούσῃς τὸ γενόμενον ἐκ γυναικός, εἶτα ἴδῃς τὸ ὄνομα προκείμενον τὸ μηνῦον τὰς φύσεις τὰς δύο, [ἵνα] τὴν γέννησιν τὴν ἐκ τῆς μακαρίας παρθένου υἱοῦ μὲν καλῇς· υἱὸν γὰρ ἐγέννησε θεοῦ καὶ ἡ Χριστοτόκος παρθένος, ἀλλ' ἐπειδήπερ ὁ υἱὸς τοῦ θεοῦ διπλοῦς ἐστι τὰς φύσεις, οὐκ ἐγέννησε μὲν τὸν υἱὸν τοῦ θεοῦ, ἀλλ' ἐγέννησε τὴν ἀνθρωπότητα, ἥτις ἐστὶν υἱὸς διὰ τὸν συνημμένον υἱόν.

Ἀλλ' ἡμεῖς γε, ὦ τᾶν, οἱ τῶν σῶν τερετισμάτων τὰ ἀμείνω φρονεῖν ἐγνωκότες καὶ
1 Cor. 8, 6 τῆς θεοπνεύστου γραφῆς ἰχνηλατοῦντες τὸν σκοπὸν ἕνα λεγούσης τὸν πατέρα καὶ θεόν, ἐξ οὗ τὰ πάντα, καὶ ἕνα κύριον Ἰησοῦν Χριστόν, δι' οὗ τὰ πάντα παρήχθη πρὸς γένεσιν, ὅταν ἀκούσωμεν ἐκ τῆς ἁγίας παρθένου γεγεννῆσθαι Χριστόν, τότε δὴ τότε καὶ μάλα ἐμφρόνως καὶ κατ' εὐθὺ τῆς ἀληθείας ἰέναι σπουδάζοντες τὸν ἐκ θεοῦ πατρὸς φύντα λόγον ἐνανθρωπῆσαί τε φαμὲν καὶ ἑνωθῆναι σαρκὶ καθ' ὑπόστασιν γεννηθῆναί τε κατὰ σάρκα καὶ τῆς σῆς εἰς τοῦτο τερθρείας οὐκ ἀνεξόμεθα, ἑνὶ δὲ καὶ μόνωι τῶι κατὰ φύσιν υἱῶι τὸ Χριστός ὄνομα προσνεμοῦμεν εἰκότως, γεννήσεως ὀνομαζομένης τῆς διὰ τῆς ἁγίας παρθένου.

---

2 = Exc. Eph. I

1—20. 33—40 V 21—32 V^{Va}

5 αὐτόν] αὐτό V 6 λέγεις ed. Rom. λέγει V 17 μετὰ addidi 21 μέλλει V 22 τὸ V^{a} om. V 25 διηγεῖται V 29 ἵνα VV^{a} uaria lectio in Exc. Eph. 31 οὐκ V^{a} Exc. Eph. om. V [= Coll. Pal. 38, 58] 34 σκοπὸν Agellius κόσμον V 36 γεγενῆσθαι V 38 ἑνωθεῖναι V

κοινὰ μὲν γάρ, ὡς ἔφην, αὐτῶι καὶ ἑτέροις εἶεν ἂν τὰ τοιάδε τῶν ὀνομάτων ὁμολογου- P 102
μένως, πολλοὶ γὰρ υἱοὶ κατὰ χάριν καὶ θεοὶ καὶ κύριοι ἔν τε οὐρανῶι καὶ ἐπὶ τῆς γῆς, 1 Cor. 8, 5
καθὰ καὶ ὁ θεσπέσιος ἡμῖν γράφει Παῦλος, πλὴν ὡς ἐν μεθέξει τοῦ κατὰ φύσιν καὶ κατὰ
μίμησιν· τὸ δέ γε Χριστός ὄνομά τε καὶ χρῆμα πρέποι ἂν κατ' οὐδένα τρόπον τῶι ἐκ
πατρὸς ὄντι λόγωι γυμνῶι καὶ καθ' ἑαυτὸν καὶ ἔξω σαρκὸς πρὸς ἡμῶν νοουμένωι. εἰ 5
δὲ δὴ λέγοιτο κενῶσαί τε ἑαυτὸν καὶ ἐν τῆι τοῦ δούλου καθικέσθαι μορφῆι καὶ καθ' ἡμᾶς Phil. 2, 7
γενέσθαι διὰ τὴν σάρκα, κεκλήσεται καὶ αὐτὸς διά τοι τὸ κεχρίσθαι Χριστός. οὐ γὰρ
κέχρισται κατ' ἰδίαν φύσιν θεὸς ὢν ὁ λόγος, γέγονε δὲ μᾶλλον ἡ χρίσις αὐτῶι περὶ τὸ
ἀνθρώπινον. οὕτω τοιγαροῦν προεισβεβηκότος ἐκείνου [περὶ] οὗ γέγονεν ἡ χρίσις (αὐτοῦ PG 72
γὰρ ἡ ἐνανθρώπησις, περὶ ἣν ἡ χρίσις), ὅταν ἡμῖν ὀνομάζηται Χριστός, οὐ κατά γε τὴν 10
σὴν ἀθυροστομίαν ἄνθρωπον ἁπλῶς ὑποτοπήσομεν διηρημένον τοῦ λόγου καὶ ἀνὰ μέρος
κείμενον ἐκ τῆς ἁγίας τετέχθαι παρθένου, ἀλλ' αὐτόν, ὡς ἔφην, τὸν ἐκ θεοῦ πατρὸς λόγον
ἑνωθέντα σαρκὶ καὶ τῶι ἐλαίωι τῆς ἀγαλλιάσεως κεχρισμένον ἀνθρωπίνως παρὰ τοῦ θεοῦ
καὶ πατρός. ὅτι δὲ γέγονε τῶι θεῶι λόγωι περὶ τὸ ἀνθρώπινον ἡ χρίσις, ὅτε πέφηνε 14
καθ' ἡμᾶς, ⟨τὸ⟩ ἱερὸν ἡμᾶς πιστώσεται γράμμα. ὁ μὲν γὰρ θεσπέσιος Ἰακὼβ τῆς τοῦ Gen. 28, 7.
πατρὸς ἀπαίρων ἑστίας εἰς τὴν τῶν ποταμῶν ἠπείγετο μέσην καὶ πρὸς Λάβαν ἤιει τὸν 29, 1. 28, 11-
τοῦ Βαθουήλ, ἑνὶ δὲ τῶν διὰ μέσου χωρίων ἐμβεβληκὼς κατηυλίζετο. καὶ δὴ καὶ λίθωι 13. 18
τὴν κεφαλὴν ὑποκλίνας τὸν ὕπνον εἰσδέχεται κλίμακά τε τεθεαμένος τὴν ἐκ γῆς ἄνω διή-
κουσαν εἰς τὸν οὐρανὸν ἀναβαίνοντάς τε καὶ καταβαίνοντας δι' αὐτῆς τοὺς ἀγγέλους,
ἐπεστηριγμένον δὲ τὸν κύριον ἐπ' αὐτῆς, θαῦμα μὲν τῶν ὁράσεων ἐποιεῖτο πολύ, λαβὼν 20
δὲ τὸν λίθον, ἔστησεν αὐτὸν στήλην καὶ ἐπέχεεν ἔλαιον ἐπὶ τὸ ἄκρον αὐτῆς. ἄθρει δὴ
ἐν τούτοις τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ἕνα καὶ μόνον καὶ ἀληθῶς υἱὸν ὡς λίθον P 103
ἀναστηλούμενον· καὶ γάρ ἐστι λίθος ἐκλεκτὸς ἀκρογωνιαῖος ἔντιμος, εἰς κεφαλὴν γωνίας Ies. 28, 16
καὶ εἰς τὰ θεμέλια Σιὼν τεθειμένος παρὰ τοῦ θεοῦ καὶ πατρός. ἄθρει δέ μοι πρὸς Ps. 117, 22
τούτωι καὶ τίνα κέχρισται τρόπον· οὐ γὰρ ὅλον δι' ὅλου τῶι ἐλαίωι κατέδευσε τὸν λίθον 25
ὁ θεσπέσιος Ἰακώβ, ἐπέχεε δὲ μᾶλλον ἐπὶ τὸ ἄκρον αὐτοῦ. οὐκοῦν, ἵν' οὕτως εἴπωμεν,
οὐχ ἅπας οὔτε μὴν ἦι λόγος ἐστὶν ὁ μονογενής, εἰς ἰδίαν αὐτὸς κέχρισται φύσιν (πῶς
γὰρ ἂν νοοῖτο μετεσχηκὼς τοῦ ἰδίου πνεύματος;), χρίεται δὲ μᾶλλον, ὡς ἔφην, ἐπὶ τὸ
ἄκρον, τουτέστιν ἐξωφανῶς καὶ οἷον ἐν μέρει καὶ ἄκρωι τῶι καθ' ἕνωσιν τὴν ἀληθινὴν
ἰδίωι σώματι καὶ ὥσπερ λέγεται παθεῖν σαρκὶ ἀνθρωπίνως, καίτοι τὴν φύσιν ὑπάρχων 30 1 Petr. 4, 1
ἀπαθὴς ὡς θεός, οὕτω νοεῖται κεχρισμένος κατά γε τὸ ἀνθρώπινον, καίτοι χρίων αὐτὸς
τῶι ἰδίωι πνεύματι τοὺς οἷς ἂν πρέποι μεταλαχεῖν τῆς ἁγιότητος αὐτοῦ. ἀλλ' ἡμεῖς μὲν
ὧδέ τε φρονεῖν ἐγνώκαμεν καὶ ὀρθοποδεῖν εἰθίσμεθα τὴν βασιλικήν τε καὶ ἀδιάστροφον
ἐρχόμενοι τρίβον, σημαντικὰ δὲ λέγων οὗτος τῶν δύο φύσεων τὰ τοιάδε τῶν ὀνομάτων,
ἑκατέραι τὸ δοκοῦν ἀπονέμει μετ' ἐξουσίας καὶ τὸ μέτριον εἰς λόγους τῆς μετὰ σαρκὸς 35
οἰκονομίας αἰσχύνεται κἂν ἀκούσηι λέγοντος τοῦ μακαρίου Παύλου ἐξαπέστειλεν ὁ θεὸς Gal. 4, 4
τὸν υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον, ἄπαγε, φησί,
μὴ τὸν ἐκ θεοῦ φύντα λόγον ἀπεστάλθαι νομίσηις· οὐ γὰρ γέγονεν ἐκ γυναικός, οὐ γέγονεν
ὑπὸ νόμον.

Ὅτι δὲ οὐ φενακισμὸς εἰκαῖος τὰ παρ' ἡμῶν, κεχρήμεθα δὲ μᾶλλον ταῖς αὐτοῦ φω- 40
ναῖς, αὐτὰ δὴ πάλιν εἰς μέσον οἵσω τὰ εἰρημένα

3 Ἐξαπέστειλε γάρ φησιν, ὁ θεὸς τὸν υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικός, Loofs
γενόμενον ὑπὸ νόμον. ἐνταῦθα μηνύει μὲν τὰς δύο φύσεις, τὸ συμβὰν δὲ περὶ p. 297, 4-8
PG 73
Gal. 4, 4

3 Exc. Mar. Merc. III; — p. 38, 1 λέγει adfert Tim. syr. f. 45b

1—41 V 42. 43 Va

8 αὐτῶι ed. Rom. αὐτὸ V 9 περὶ deleui 15 τὸ addidi 34 οὗτος scripsi αὐτὸσ V
43 δὲ συμβὰν Va

P 104 τὴν ἀνθρωπότητα λέγει, ἐπεὶ ἀπαίτησον τὸν φιλόνεικον· τίς ἐγένετο ὑπὸ νόμον; ὁ θεὸς λόγος;

Εἶτα πῶς οὐκ ἐμβρόντητος ἀληθῶς εἴη ἂν τὰ οὕτω σαφῆ καὶ ἅπασιν ἐγνωσμένα καὶ ἀναμφιλόγως ἔχοντα, τό γε ἧκον εἰς αὐτόν, ἀνατρέπειν πειρώμενος; τίνα πέπομφεν ἡμῖν ἐξ οὐρανῶν ὁ πατὴρ σωτῆρα καὶ λυτρωτήν; οὐ τὸν ἐκ τῆς οὐσίας αὐτοῦ φύντα λόγον;
Eph. 4, 10 τίς ἐστιν ὁ καταβὰς καὶ ἀναβὰς ὑπεράνω τῶν οὐρανῶν, ἵνα πληρώσῃ τὰ πάντα; ἆρα τὸ πάντα δύνασθαι πληροῦν τῆς καθ' ἡμᾶς φύσεως ἔργον εἶναι φὴς καὶ τοῖς
Ioh. 3, 31 τῆς ἀνθρωπότητος ἀνάψεις μέτροις; περὶ τίνος γέγραφεν ὁ μακάριος Ἰωάννης ὁ ἄνωθεν ἐρχόμενος ἐπάνω πάντων ἐστίν; ἢ τάχα που καὶ αὐτὸς ψευδομυθήσειεν ἂν τοῖς
Ioh. 8, 23 Ἰουδαίων δήμοις ἐπιτιμῶν τε καὶ λέγων ὑμεῖς ἐκ τῶν κάτω ἐστέ, ἐγὼ ἐκ τῶν ἄνω εἰμί, καὶ πάλιν ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου τούτου; εἰ γὰρ ἦν ἄνθρωπος ἐκ γυναικὸς καθ' ἕνα τῶν ἄλλων καὶ οὐχὶ δὴ μᾶλλον σεσαρκωμένος καὶ ἐν ἀνθρωπείαι μορφῇι πεφηνὼς ὁ ἄνωθέν τε καὶ ἐκ θεοῦ πατρὸς λόγος, πῶς ἂν νοοῖτο καὶ ἄνωθεν καὶ ἐξ οὐρανοῦ; πῶς ἐπάνω πάντων καὶ οὐκ ἀπό γε τοῦ κόσμου, καίτοι κόσμου μέρος ὑπάρχων διὰ τὴν σάρκα καὶ ὅσον ἦκεν εἰπεῖν κατά γε τὸ πρέπον τῆι ἀνθρωπότητι μέτρον, γεγονὼς μετὰ πάντων ὑπὸ θεοῦ; ταύτηι τοι καὶ θεὸν ἑαυτοῦ κατωνόμαζε τὸν πατέρα, καίτοι φύσει καὶ αὐτὸς ὑπάρχων θεὸς καὶ ἐκ τῆς οὐσίας αὐτοῦ πεφηνὼς υἱὸς μονογενής. περὶ τίνος ἄρα
Ps. 106, 20 φησὶν ὁ μακάριος Δαυίδ· ἐξαπέστειλε τὸν λόγον αὐτοῦ καὶ ἰάσατο αὐτούς;
Ies. 63, 9 σέσωκε γὰρ ἡμᾶς οὐ πρέσβις οὐκ ἄγγελος, ἀλλ' αὐτὸς ὁ κύριος κατὰ τὰς γραφάς. ἀλλὰ ναί, φησίν, ὁ πάντα πληροῦν δυνάμενος θεὸς λόγος ἀπέσταλται· τίνα τρόπον; ποῦ γὰρ οὐκ εἶναι φαμὲν αὐτόν; ἢ καὶ ὅποι πεμφθήσεται; καταγορεύσεις οὖν ἄρα καὶ τοῦ πανσόφου
Exod. 19, 18 Μωσέως ὡς τὴν ἀπόρρητον τοῦ θεοῦ δόξαν οὐ μετρίως ἠδικηκότος; ἔφη γὰρ ὅτι καταβέ-
P 105 βηκεν ὁ θεὸς εἴδει πυρὸς ἐπὶ τὸ ὄρος Σινᾶ. κἂν ἀκούσῃς λέγοντος τοῦ μακαρίου
Ps. 103, 30 Δαυὶδ πρὸς τὸν τῶν ὅλων κρατοῦντα θεόν· ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς, ἀπιστήσεις τάχα που καὶ ψευδηγορεῖν οἰήσῃ τὸν πνευματοφόρον; οὐ γάρτοι κίνησιν μεταβατικὴν ποιεῖται τὸ θεῖον οὐδ' ἂν ἐκ τόπου πρὸς τόπον μεταχωρήσειεν ἄν, ὡς οὐκ ἐνὸν αὐτῶι τὸ ἐν πᾶσιν εἶναι καὶ τὰ πάντα πληροῦν. ταῦτά που * * καὶ σαυτόν, λογιῇι δὲ πάλιν καὶ τῶν ἀληθῶν ἀπαναστήσῃι δογμάτων σαυτῶι τε καὶ μόνωι κατακολουθεῖν ἠιρημένος. ἀλλ' ἦσθά που πάντως ἐν ἀμείνοσιν ἐννοίαις, ἐκεῖνο διενθυμούμενος ὡς ἅπας ἡμῖν περὶ θεοῦ λόγος πε-
Gal. 4, 4 ποίηται μὲν ἀνθρωπίνως, νοεῖταί γε μὴν ὡς ἂν αὐτῶι καὶ μόνωι πρέποι· τεθορύβηκε δὲ οὐ
PG 76 μετρίως αὐτὸν τὸ ὑπὸ νόμον λέγεσθαι τὸν ἐκ θεοῦ πατρὸς γεγενῆσθαι λόγον. ἀλλ' οὐδὲν ἐν τούτωι τὸ δεῖμα· μεμένηκε γὰρ ὃ ἦν, νομοθέτης δηλονότι καὶ θεός. καὶ εἰ μὲν οὐ γέγονεν ἄνθρωπος, οὐ γέγονεν ὑπὸ νόμον· ἐπειδὴ δέ ἐστιν ἀληθὲς ὅτι τεταπείνωκεν ἑαυτὸν ὁ κατὰ φύσιν ἰδίαν ἄνω που καὶ ὑψηλός, εἶτα γέγονε καθ' ἡμᾶς ὁ ὑπὲρ πᾶσαν τὴν
2 Cor. 8, 9 κτίσιν καὶ πλούσιος ὢν ἐπτώχευσε διὰ τοῦ γενέσθαι καθ' ἡμᾶς, πῶς οὐκ ἂν λέγοιτο μεθ' ἡμῶν γενέσθαι καὶ ὑπὸ νόμον; ἢ γὰρ οὐ λογιούμεθα φρονοῦντες ὀρθῶς τὸ τῆς ἀνθρώπου φύσεως ὁρίζεσθαι μέτρον ὡς ἔν γε τῶι δεῖν καὶ ὑποκεῖσθαι νόμωι; τὸ γὰρ ἄφετόν τε καὶ ὑπὲρ νόμον φύσει τε καὶ ἀληθῶς ἐλεύθερον εἴη ἂν ἕτερον οὐδὲν πλὴν ὅτι τὸ θεῖον.
Mt. 17, 27 οὐκοῦν ὅτε γέγονε σάρξ, τότε γέγονε καὶ ὑπὸ νόμον· συνετέλεσε γὰρ τοῖς δασμολογοῦσι τὸ δίδραχμον, καίτοι κατὰ φύσιν ἰδίαν ἐλεύθερος ὢν ὡς θεὸς καὶ υἱός, καὶ ὅτε γέγονε σάρξ. εἰ δέ σοι δοκεῖ τὸν ἕνα τέμνειν εἰς δύο καὶ ἰδικῶς ἡμῖν ἄνθρωπον ἀποφαίνειν τὸν ἐκ γυναικός, πῶς ἂν λέγοιτο γενέσθαι καὶ ὑπὸ νόμον ὁ τῆς ὑπὸ νόμον φύσεως ὤν; οὐ

---

1. 2 VVa 3—43 V

21 περιφήσεται V 22 ἠδικηκότος scripsi ἠδικηκότα V 25 **ἀπιστήσεις Agellius** ἀποστήσειο V 28 lacunam significaui, e. g. supplendo νοεῖν πείσεις

γάρτοι τὸ ἔχον τὸ δεῖν ὑποκεῖσθαι νόμωι γένοιτ' ἂν ὑπὸ νόμον, ἀλλὰ τὸ φύσιν ἔχον τὴν P 106
ὑπὲρ νόμον καὶ ἔξω νόμου. μόνη γάρ, ὡς ἔφην, ἐστὶν ἡ θεία τε καὶ ὑπερτάτη φύσις
καὶ νόμων ἐπέκεινα καὶ μέντοι καὶ ἐλευθέρα καὶ τὸν ἐπιστάτην ἔχουσα παντελῶς οὐδένα,
κατάρχουσα δὲ μᾶλλον αὐτὴ τῶν ὅλων καὶ πᾶσι τὸν ἑαυτῆς ἐπιτιθεῖσα ζυγόν ὃ δὲ
λογισμοῦ τοῦ πρέποντος διημαρτηκὼς δυσσεβείας εἰς τοῦτο κατώλισθεν ἐννοιῶν καὶ εἰς 5
ἄκρον ἥκει σκαιότητος ἀπό γε τοῦ διαιρεῖν εἰς δύο τὸν ἕνα κύριον Ἰησοῦν Χριστόν, ὡς
ἀνυποστόλως εἰπεῖν μήτε θεὸν ἀληθῶς μήτε μὴν υἱὸν εἶναι κατὰ φύσιν τὸν Ἐμμανουήλ,
ὠνομάσθαι δὲ οὕτω Χριστὸν καὶ ἅγιον, καθάπερ ἀμέλει καὶ ἕτεροί τινες τῶν καθ' ἡμᾶς ἢ
γοῦν τῶν λελατρευκότων τοῖς ἀκαθάρτοις δαίμοσιν· ἔφη γὰρ οὕτω πάλιν 9

4 Ἀλλ' ὥσπερ λέγομεν θεὸν τὸν πάντων δημιουργὸν καὶ θεὸν τὸν Μωσέα (θεὸν γάρ φησι, Loofs
τέθεικά σε τοῦ Φαραώ) καὶ υἱὸν τὸν Ἰσραὴλ τοῦ θεοῦ (υἱὸς γάρ φησι, πρωτότο- p 289, 6-15
κός μου Ἰσραήλ) καὶ ὥσπερ λέγομεν Χριστὸν τὸν Σαούλ (οὐ μὴ γάρ φησιν, ἐπιβάλω Exod 7, 1.
τὴν χεῖρά μου ἐπ' αὐτόν, ὅτι Χριστὸς κυρίου ἐστί) καὶ ⟨τὸν⟩ Κῦρον ὡσαύτως 4. 22
(τάδε λέγει κύριος τῶι Χριστῶι μου Κύρωι) καὶ τὸν Βαβυλώνιον ἅγιον (ἐγὼ γάρ 1 Reg 24, 7
φησι, συντάσσω αὐτοῖς, ⟨ἡγιασμένοι εἰσὶ κἀγὼ ἄγω αὐτούς⟩), οὕτω λέγομεν Ies 45, 1
καὶ τὸν δεσπότην Χριστὸν καὶ θεὸν καὶ υἱὸν καὶ ἅγιον. ἀλλ' ἡ μὲν κοινωνία τῶν ὀνο- Ies 13, 3
μάτων ὁμοία, οὐχ ἡ αὐτὴ δὲ ἀξία. 16

Τί φής; ποῖον ἐρεύγηι λόγον ἀπὸ καρδίας τῆς σῆς καὶ οὐκ ἀπὸ στόματος κυρίου Ier. 23, 16
κατὰ τὸ γεγραμμένον; οὐδεὶς λέγει ἀνάθεμα Ἰησοῦν εἰ μὴ ἐν Βεελζεβούλ. ὡς ἂν νοοῖτο PG 77
τυχὸν ἢ λέγοιτο πρὸς ἡμῶν θεὸς ὁ Μωσῆς, οὕτω καὶ ὁ Χριστός, καθ' ὁμοιότητα δὲ τὴν 20
πρός γε τὸν Ἰσραὴλ εἴη ἂν καὶ υἱός; εἰπέ μοι. ὦ τῆς δυσσεβείας· ὦ λόγων ἠφειδη-
κότων τῆς τοῦ σωτῆρος ἡμῶν κατεπαίρεσθαι δόξης· ὦ δυσμαθείας ἀκράτου καὶ πάντα
νικώσης ὄκνον, τὸν ἐπὶ τῶι χρῆναι φημὶ τῶν τῆς ἐκκλησίας δογμάτων ἀνοσίως καταθρα- P 107
σύνεσθαι. ψαλλέτω καὶ νῦν ὁ μακάριος Δαυίδ· οἱ ἐχθροὶ κυρίου ἐψεύσαντο Ps 80, 16
αὐτῶι. Μωσῆς μὲν γὰρ ὁ θεσπέσιος ἄνθρωπος ἦν καθ' ἡμᾶς τὴν φύσιν καὶ ἕτερον 25
οὐδέν· ἐπειδὴ δὲ θεοῦ λέγοντος δεῦρο, ἀποστείλω σε πρὸς Φαραὼ βασιλέα Exod 3, 10
Αἰγύπτου καὶ ἐξάξεις τοὺς υἱοὺς Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου, παραιτήσεως
ἀφορμὰς ἐποιεῖτο τὴν ἰσχνομυθίαν καὶ τὸ μὴ εὔλαλος εἶναι πρὸ τῆς χθὲς καὶ προ τῆς Exod 4, 10
τρίτης, ἤκουσε θεοῦ λέγοντος· ἰδοὺ δέδωκά σε θεὸν Φαραὼ καὶ Ἀαρὼν ὁ ἀδελ- Exod 7, 1
φός σου ἔσται σοι ὑποφήτης. ἀδρανὴς μὲν γὰρ ὁ νόμος εἰς τὸ ἀπαλλάττειν 30
δύνασθαί τινας τῆς ὑπὸ τῶι διαβόλωι δουλείας, μεσιτεύοντος δὲ τοῦ Χριστοῦ καὶ τοῦτο
κατώρθωται, καθάπερ ἀμέλει συνόντος τὸ τηνικάδε τοῦ Ἀαρὼν τῶι θεσπεσίωι Μωσεῖ τῆς
ἐν Αἰγύπτωι δουλείας ὁ Ἰσραὴλ ἀπηλλάττετο, ἐπειδὴ δὲ κατὰ καιροὺς ἔμελλεν ὁ Χριστὸς
γενέσθαι καὶ ὑπὸ νόμον ὡς καθ' ἡμᾶς τε καὶ ἄνθρωπος, τέθειταί πως ἐν δευτέροις τοῦ
Μωσέως ὁ Ἀαρών. καὶ ὁ μὲν τοῦ μυστηρίου λόγος οὑτοσί· πλὴν εἰ ἔλοιτό τις κἀκεῖνο 35
εἰπεῖν ὡς τῆι τοῦ θεοῦ κλήσει καὶ ὁ μέγας ἐκεῖνος τετίμηται Μωσῆς κατὰ τὸ κοινὸν δὴ
τοῦτο καὶ ὡς ἐν χάριτι καὶ φιλοτιμίαι τῆι παρὰ θεοῦ [τὸ] πρὸς ἡμᾶς εἰρημένον· ἐγὼ εἶπα· Ps 81, 6
θεοί ἐστὲ καὶ υἱοὶ ὑψίστου πάντες, ἆρα καὶ οὕτω θεὸς ὁ Χριστός; καίτοι πῶς οὐ

---

4 = Exc Eph VI, de Cyrilli fraudibus cf Nestorium in Coll Casin 81

1—9 18—38 V 10—17 VV^a

4 ἐπιτιθεῖσα scripsi ὑποτιθεῖσα V 10 12 λέγομεν VV^a ἐλέγομεν Exc Eph 13 τὸν V^a Exc Eph om V ὡσαύτω V 15 συντάξω Exc. Eph ἡγιασμένοι — αὐτοὺς V^a Exc. Eph. om V 16 ἅγιον καὶ Χριστόν Exc Eph 18 φής ed. Rom. φησι V 19 βεελβοὺλ V 31 τινας scripsi τινος V 37 τὸ deleui

μανία τοῦτό γε καὶ φρενὸς ἀμαθοῦς ἀπόβρασμα κενόν; ὃ μὲν γάρ, ὡς ἔφην, ψιλῆι καὶ μόνηι τετίμηται κλήσει τὴν φύσιν ἄνθρωπος ὤν, ὃ δέ ἐστι θεὸς ἀληθῶς· θεὸς γὰρ ἦν ὁ λόγος ἐν ἀνθρωπείαι μορφῆι τῆς ἰδίας φύσεως τὴν κατὰ πάντων ὑπεροχὴν ἀδιαλώβητον ἔχων. οὐ γὰρ ἂν ἐν παρατροπαῖς ταῖς ἐπὶ τὸ χεῖρον ἡ θεία γένοιτο φύσις διά γε τοῦ καθικέσθαι πρὸς κοινωνίαν αἵματος καὶ σαρκός. καὶ γοῦν ὡς θεὸς ἐπιγινώσκεται καὶ ἄνθρωπος πεφηνώς καὶ τούτου σαφὴς ἀπόδειξις τὰ ἐν τοῖς εὐαγγελίοις περὶ αὐτοῦ γεγραμ-
Ioh. 2, 23-25 μένα. ἔφη γὰρ ὁ θεσπέσιος Ἰωάννης· ὡς δὲ ἦν ἐν τοῖς Ἱεροσολύμοις ἐν τῆι
P 108 ἑορτῆι, πολλοὶ ἐπίστευσαν εἰς τὸ ὄνομα αὐτοῦ, θεωροῦντες αὐτοῦ τὰ σημεῖα ἃ ἐποίει· αὐτὸς δὲ ὁ Ἰησοῦς οὐκ ἐπίστευεν ἑαυτὸν αὐτοῖς διὰ τὸ αὐτὸν γινώσκειν πάντα καὶ ὅτι οὐ χρείαν εἶχεν ἵνα τις μαρτυρήσηι περὶ τοῦ ἀνθρώπου· αὐτὸς γὰρ ἐγίνωσκε τί ἦν ἐν τῶι ἀνθρώπωι. καίτοι τὸ καθορᾶν δύνασθαι καρδίαν ἀνδρὸς εἰδέναι τε τὰ κεκρυμμένα πρέποι ἂν οὐκ ἀνθρώπωι, πόθεν; τῶν καθ' ἡμᾶς ἑνί, ἀλλ' οὐδ' ἂν ἑτέρωι τωι τῶν πεποιημένων, μόνωι δὲ μᾶλλον
Ps. 32, 15 ἐκείνωι ὃς καὶ πλάσαι λέγεται κατὰ μόνας τὰς καρδίας ἡμῶν. εἶτα πῶς ψιλῆι καὶ μόνηι
PG 80 τετίμηται κλήσει κατὰ Μωσέα χρηματίζων θεὸς ὁ Ἐμμανουὴλ καὶ οὐχὶ δὴ μᾶλλον ὑπάρχων τοῦτο κατὰ ἀλήθειαν ὅπερ εἶναι καὶ λέγεται, γράφει δὲ οὕτω πάλιν ὁ Ἰωάννης περὶ
Ioh. 3, 34 αὐτοῦ· ὃν γὰρ ἀπέστειλεν ὁ θεός, τὰ ῥήματα τοῦ θεοῦ λαλεῖ καὶ οὐκ ἐκ μέτρου δίδωσι τὸ πνεῦμα. συνιεῖς οὖν ὅπως καίτοι καθ' ἡμᾶς ὁρώμενος ἄνθρωπος, τὰ ῥήματα τοῦ θεοῦ λαλεῖ; θεῶι γὰρ μόνωι τῶι κατὰ φύσιν καὶ ἀληθῶς πρέποι ἂν ὡς ἐξαίρετον καὶ ὑπὲρ τὴν κτίσιν τὸ καὶ ῥήματι δύνασθαι κατορθοῦν τὸ κατὰ γνώμην αὐτῶι καὶ μετόχους ἀποτελεῖν τοῦ ἁγίου πνεύματος τοὺς ἐν πίστει δεδικαιωμένους, ἴδοι δ' ἄν τις
Mt. 8, 3 ἐν τούτοις ὄντα Χριστόν. ἔφη μὲν γὰρ τῶι λεπρῶι· θέλω, καθαρίσθητι, τῶι δὲ
Lc. 7, 14 τῆς χήρας υἱῶι· νεανίσκε, σοὶ λέγω, ἐγέρθητι· μετόχους δὲ τοῦ ἁγίου πνεύματος
Ioh. 20, 22 τοὺς ἰδίους ἀπέφηνε μαθητάς, ἐνεφύσησε γὰρ αὐτοῖς λέγων· λάβετε πνεῦμα ἅγιον. εἶτα τίνα τρόπον ὁ εἰς τοῦτο διειλημμένως καὶ θεοπρεπέσιν εὐκλείαις κατεστεμμένος οὕτω θεὸς ἂν εἴη καθάπερ ἀμέλει καὶ ὁ Μωσῆς; τὴν τίνος ⟨ἐκεῖνος⟩ ἔγνω καρδίαν; τίς πεπίστευκεν εἰς τὸ ὄνομα αὐτοῦ; τίνα δεδικαίωκε διὰ τῆς πίστεως τῆς εἰς ἑαυτόν; ποῦ λελά-
P 109 ληκεν ὡς υἱὸς τοῦ θεοῦ τὰ ῥήματα; καίτοι γε κεκραγὼς ὁρᾶται τοῖς ἐξ Ἰσραήλ· τάδε λέγει
Hebr. 3, 5 κύριος, καὶ μέτρον ἔχων οἰκετικόν· γέγονε γὰρ πιστὸς ὡς θεράπων ἐν τῶι οἴκωι τοῦ θεοῦ. εἰ δὲ δὴ καὶ οὕτως υἱὸς ὁ Ἐμμανουὴλ καθὰ καὶ ὁ κατὰ σάρκα γεγονὼς Ἰσραήλ, κατεκόμισας ἐν δούλοις τὸν κατὰ φύσιν ἰδίαν ἐλεύθερον, κἂν εἰ γέγονεν ⟨ἐν⟩ δούλου μορφῆι διά τοι τὴν σάρκα καὶ τὰ αὐτῆς· ἐν ἴσωι τέθεικας μέτρωι τοῖς κατὰ χάριν υἱοῖς τὸν δι' ὃν ἐκεῖνοι τὴν τῆς υἱοθεσίας πεπλουτήκασι χάριν. κεχρημάτικε μὲν γὰρ πρωτότοκος ἡμῶν διὰ τὸ ἀνθρώπινον, πλὴν καὶ οὕτω μεμένηκε μονογενὴς ὡς θεός. ταύτηι τοι καθά
Hebr. 1, 6 φησιν ὁ σοφώτατος Παῦλος, εἰσενεχθέντα παρὰ τοῦ πατρὸς τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην προστάττονται προσκυνεῖν αἱ ἄνω δυνάμεις καὶ τὸ ἐπ' αὐτῶι μαθοῦσαι μυστήριον
Ioh. 1, 12 ἀκαταλήκτοις δοξολογίαις γεραίρουσι τὸν ἕνα καὶ φύσει καὶ ἀληθῶς υἱόν. εἰ γὰρ δίδωσιν ἐξουσίαν τοῖς λαβοῦσιν αὐτὸν τέκνα θεοῦ γενέσθαι κατά γε τὴν Ἰωάννου φωνὴν καὶ εἴπερ
Gal. 4, 6 ἐστὶν ἀληθὲς ὡς υἱοποιεῖ τὸ πνεῦμα αὐτοῦ καὶ ἡμᾶς αὐτούς (ἐξαπέστειλε γὰρ ὁ θεὸς τὸ πνεῦμα τοῦ υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ἡμῶν κράζον ἀββᾶ ὁ πατήρ), ἀνάσχοιτο ἂν οὐδεὶς τῶν εὖ φρονεῖν εἰωθότων τούτου λέγοντος οὕτως εἶναι καὶ αὐτὸν υἱὸν ὡς τὸν Ἰσραήλ. πῶς δὲ καὶ οὕτω Χριστὸς καὶ ἅγιος ὡς ἂν εἶναι λέγοιτο Χριστὸς Κῦρός τε ὁ τῶν Περσῶν βεβασιλευκὼς καὶ μὴν καὶ αὐτοὶ Πέρσαι τε καὶ Μῆδοι; ὥρα γὰρ εἰπεῖν
PG 81 μηδὲ ἡγιάσθαι Χριστὸν ἀνθρωπίνως, καίτοι καταπτάντος ἐπ' αὐτὸν τοῦ ἁγίου πνεύματος ἐν

V

24 ἀπέφηνε scripsi ἐνέφηνε V 26 ἐκεῖνος addidi 31 ἐν addidi 32 χάριν ed. Rom. χώραν V 33 κεχρημάτηκε V

εἴδει περιστερᾶς. Κῦρος μὲν γὰρ ὁ Καμβύσου κατεστράτευσε τῆς Βαβυλωνίων κατὰ καιρούς, πεπλάνητο δὲ καὶ τοῖς ἀκαθάρτοις δαίμοσιν ἀνετίθει τὸ σέβας· ἐπειδὴ δὲ θεοῦ παραθήγοντος καὶ διανιστάντος αὐτὸν εἰς ὀργὰς εἶλε τὴν Βαβυλωνίων, ὀνόματι κοινῶι, καίτοι πνεύματι τῶι ἁγίωι μὴ κεχρισμένος, εἴρηται Χριστός, ἅγιοι δὲ οὕτω Πέρσαι τε καὶ Μῆδοι οἱ συνασπίζοντες αὐτῶι· λελατρεύκασι γὰρ κἀκεῖνοι τῆι κτίσει παρὰ τὸν κτίσαντα θεὸν καὶ προσκεκυνήκασι τοῖς ἔργοις τῶν ἰδίων χειρῶν. ἐπειδὴ δὲ καὶ ἅπαξ κατά γε τὰς ἐν τῶι Μωσαικῶι νόμωι φωνὰς τὸ ἀφορισθὲν τῶι θεῶι θύμα, κἂν εἴτε μόσχος εἴη τυχὸν ἢ ὄις, ἅγιον ὠνομάζετο, ταύτηι τοι καὶ διὰ τῆς τοῦ προφήτου φωνῆς ἅγιοι κέκληνται καὶ αὐτοὶ διά τοι τὸ ἀφωρίσθαι τοῖς θείοις νεύμασι πρὸς ⟨τὸ⟩ ἁλῶναι τὴν Βαβυλωνίων. εἴπερ οὖν ἐστιν οὕτω Χριστὸς ὁ Ἐμμανουὴλ καθὰ καὶ ὁ Κῦρος, καὶ οὕτως ἅγιος καθὰ καὶ Μῆδοι καὶ Πέρσαι, φαίη τις ἂν εἰκότως ὡς ἀπό γε τῆς τῶν ἐννοιῶν ἀτοπίας μήτε κεχρίσθαι τῶι ἁγίωι πνεύματι μήτε μὴν ἅγιον ὑπάρχειν αὐτόν. ψευδοεπήσει δὴ οὖν ὁ θεῖος ἡμῶν Δαυὶδ πρὸς αὐτόν που λέγων· ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀδικίαν· διὰ τοῦτο ἔχρισέ σε, ὁ θεός, ὁ θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. καταφλυαρήσας δὲ οὕτω τῆς τοῦ σωτῆρος ἡμῶν ὑπεροχῆς τε καὶ δόξης, ἀποκρούεσθαι δοκεῖ τὰ ἐκ τῶν δυσφημιῶν ἐγκλήματα, μειρακιώδές τι καὶ ἀσύνετον λέγων· ἡ μὲν γὰρ κοινωνία, φησί, τῶν ὀνομάτων ὁμοία, οὐχ ἡ αὐτὴ δὲ ἀξία. πῶς; εἰπέ μοι· νοεῖν γὰρ οὐκ ἔχω. εἰ γάρ ἐστιν οὕτω θεὸς ὡς ἂν εἴη καὶ ὁ Μωσῆς, καὶ οὕτως υἱὸς ὡς Ἰσραήλ, οὕτω τε Χριστὸς ὡς Κῦρος, καὶ μὴν καὶ οὕτως ἅγιος ὡς Μῆδοι, πῶς ἂν διαφύγοι τὸ καὶ ἐν ἰσότητι κεῖσθαι δεῖν πρὸς αὐτοὺς τῆς ἀξίας; ἁλώσηι δὴ οὖν καὶ εἰς αὐτὴν δεδυσσεβηκὼς τὴν τοῦ λόγου φύσιν· ἔφης γὰρ πάλιν

4 Rom. 1, 25 P 110 Ps. 44, 8 Loofs p. 289, 14. 15

5 Εἰπὲ τὸν ἀναλαβόντα ὅτι θεός· πρόσθες τὸν ἀναληφθέντα ὅτι δούλου μορφή· ἐπάγαγε μετὰ ταῦτα τὸ τῆς συναφείας ἀξίωμα, ὅτι τῶν δύο ἡ αὐθεντία κοινή· ὅτι τῶν δύο ταὐτὸν τὸ ἀξίωμα, τῶν φύσεων μενουσῶν, ὁμολόγει τὴν τῆς ἀξίας ἑνότητα.

Loofs p. 354, 7-11

Διατέμνει μὲν οὖν εἰς δύο δὴ πάλιν, ἀσυνέτως δὲ σφόδρα τὴν τῆς ἑνώσεως δύναμιν τῆι ἀξίαι χαρίζεται, τάχα που μὴ συνιεὶς ὅ τί ποτέ ἐστιν ἡ ἕνωσις καὶ τί τῆς ἀξίας τὸ χρῆμα. πλὴν ἐκεῖνο φαμέν· μίαν ἔφη τῶν δύο φύσεων τὴν αὐθεντίαν καὶ ἐν τὸ ἀξίωμα. P 111 ὅτε τοίνυν ὁ ἐν ἰσότητι δόξης τῆι πρὸς θεὸν λόγον οὐχ ὑπερκείσεται τὸν Μωσέα κατά γε τὸ εἶναι θεός, δῆλον ἂν εἴη δήπουθεν ὅτι καὶ αὐτὸς ὁ ἐκ θεοῦ λόγος ἰσοστατήσειεν ἂν τῆι τοῦ Μωσέως τάχα που φύσει καὶ δόξηι. εἰ γάρ ἐστιν ἐοικὸς καὶ ἀπαραλλάκτως ἔχον πᾶν ὁτιοῦν τῶι πρώτωι καὶ τρίτωι τὸ διὰ μέσου, εἴη ἂν οὐχ ἑτεροῖος αὐτοῖς ὁ τῆς φύσεως λόγος. ἀλλ' ἴσως ἐρεῖ τῆς ἀξίας τὸν τρόπον οὐκ εἶναι καὶ φύσιν. οὐκοῦν ἀνθ' ὅτου τὰ τῆς πρὸς ἄλληλα κοινωνίας καὶ μὴν καὶ ἰσότητος οὐσιωδῶς τοσοῦτον ἀφεστηκότα PG 84 συλλέγειν εἰς μίαν, καθὰ φῆς αὐτός, αὐθεντίαν καὶ τιμαῖς ταῖς ἴσαις στεφανοῦν ἀξιοῖς; ὅπου γὰρ ὅλως μειονεκτεῖται φύσις ἑτέρας ὑπερκειμένης, πῶς ἂν αὐτῆι προσγένοιτο καὶ γερῶν ἰσότης καὶ ἰσομοιροῦν ἀξίωμα καὶ ὁ τῆς εὐκλείας οὐχ ἕτερος τρόπος;

"Οτι δὲ συνάφειαν ὀνομάζων τάχα που τὴν κατ' ἐγγύτητα μόνην καὶ κατὰ παράθεσιν ἢ γοῦν σχετικὴν νοουμένην αὐτὸς τοῖς ἰδίοις ἀντανίσταται λόγοις, ἃ κατέλυσεν, οἰκοδομῶν καὶ ἀνιστὰς τὸ καθηιρημένον, σαφὲς ἂν γένοιτο καὶ διὰ τοῦδε δὴ πάλιν· ἔφη γὰρ οὕτως

5 = Apol. adu. Orient. 25, Tim. arm. p. 70; 24 τῶν δύο[1] — 25 p. 65

1—22. 26—40 V 23—25 VV[a]
1 καμβύσσου V 6 προσεκυνήκασι V 9 τὸ addidi 13 αὐτόν Agellius αὐτό V 14 ἀνομίαν superscr. ἀδικίαν V 20 διαφύγη V 20/21 πρὸς αὐτοὺς τῆς scripsi τῆσ πρὸσ αὐτοὺσ V 29 τῆι scripsi τῆσ V 30 δήποθεν V

Loofs p. 280,17-281,9 **6** Διὰ τοῦτο βούλομαι ὑμᾶς μετὰ ἀσφαλείας κροτεῖν· διαίρεσις οὐκ ἔστι τῆς συναφείας, τοῦ ἀξιώματος, τῆς υἱότητος. αὐτοῦ τοῦ εἶναι Χριστὸς οὐκ ἔστι διαίρεσις, τῆς δὲ θεότητος καὶ ἀνθρωπότητος ἔστι διαίρεσις. ὁ Χριστὸς κατὰ τὸ Χριστὸς ἀδιαίρετος * *· οὐ γὰρ ἔχομεν δύο Χριστοὺς οὐδὲ δύο υἱούς. οὐ γὰρ ἔστι παρ' ἡμῖν πρῶτος ‹Χριστὸς› καὶ δεύτερος οὐδὲ ἄλλος καὶ ἄλλος οὐδὲ πάλιν ἄλλος υἱὸς καὶ ἄλλος πάλιν, ἀλλ' αὐτὸς ὁ υἱός ἐστι διπλοῦς οὐ τῇ ἀξίαι, ἀλλὰ τῇ φύσει.

Φράζε δή μοι πάλιν τί δὴ ἄρα τὴν ἀδιαίρετον συνάφειαν εἶναι φῄς; ἆρα τὴν ἕνωσιν,
P 112 δῆλον δὲ ὅτι τὴν καθ' ὑπόστασιν, ἣν ἡμεῖς πρεσβεύομεν τοῖς τῆς ἀληθείας συναθλοῦντες δόγμασιν, ἢ ταυτηνὶ τὴν κατὰ παράθεσιν καὶ τὴν πρὸς τόδε τι τοῦ δεῖνος ἐγγύτητα νοουμένην; δέχεται γὰρ οὕτω τὴν λέξιν ἡ θεόπνευστος γραφή. καὶ γοῦν ἔφη πρὸς Μωσέα
Exod. 26, 6 τὸν ἱερώτατον περὶ τῆς ἀρχαίας ἐκείνης σκηνῆς συντιθεὶς τοὺς λόγους· καὶ ποιήσεις κρίκους πεντήκοντα χρυσοῦς καὶ συνάψεις τὰς αὐλαίας ἑτέραν τῇ ἑτέραι
Exod. 26, 3 τοῖς κρίκοις. πέντε γὰρ οὖσαι καὶ ἰδικῶς ἑκάστη πρὸς τὸ ἑτέρα τις εἶναι παρὰ τὰς ἄλλας ἔχουσα, συνῆπτο τοῖς κρίκοις. ἡμεῖς δὲ οὐχ οὕτω φαμὲν πεπρᾶχθαι ἐπὶ Χριστοῦ τὴν ἕνωσιν· οὐδὲ γὰρ ὥσπερ ὁ δεῖνα τυχὸν τῶι δεῖνι συνάπτοιτο ἂν ἢ κατὰ τὸν τῆς ὁμοψυχίας τρόπον ἢ γοῦν κατὰ τὸ ἐγγὺς ἐν σώματι, οὕτω καὶ αὐτός, ἀλλὰ γάρ, ὡς ἤδη πλειστάκις ἔφην, ἴδιον ἐποιήσατο σῶμα τὸ ληφθὲν ἐκ τῆς ἁγίας παρθένου, καὶ ἀληθῶς ἡνῶσθαι φαμὲν οὐκ ἀψύχωι σαρκὶ τὸν ἐκ θεοῦ λόγον. οὐκοῦν τῆς παρ' αὐτοῦ λεγομένης συναφείας ἡ δύναμις εἰ τὴν καθ' ἡμᾶς νοουμένην ἑνότητα δηλοῖ, φημὶ δὴ τὴν καθ' ὑπόστασιν, ἔφη ἂν εἰκότως μηδεμίαν εἶναι Χριστοῦ τὴν διαίρεσιν κατὰ τὸ εἶναι Χριστόν· οὐ γάρ ἐστιν ἕτερος καὶ ἕτερος οὔτε μὴν υἱὸς καὶ υἱός, ἄλλος καὶ ἄλλος, πρῶτος καὶ δεύτερος, ἀλλ' εἷς δηλονότι καὶ πρὸ σαρκὸς καὶ μετὰ σαρκός. ἔσται γὰρ οὕτω κατά γε τὴν ἀξίαν, ὡς σὺ φῄς, καὶ μέντοι τὴν δυναστείαν ἀδιαίρετος, μᾶλλον δὲ ὁ αὐτός. εἶτα πῶς τὸν ἕνα καὶ ἀδιαίρετον διπλοῦν εἶναι φῂς καὶ οὐχὶ τῇ ἀξίαι μᾶλλον, ἀλλὰ τῇ φύσει; οὐ γὰρ ἐπείτοι σάρκα λαβὼν ὁ ἐκ θεοῦ πατρὸς λόγος προῆλθεν ἄνθρωπος καθ' ἡμᾶς, ταύτης ἕνεκα τῆς
PG 85 αἰτίας ὀνομάζοιτο ἂν καὶ διπλοῦς· εἷς γάρ ἐστι καὶ οὐ δίχα σαρκὸς ὁ κατὰ φύσιν ἰδίαν
P 113 ἔξω σαρκὸς καὶ αἵματος. ὥσπερ γὰρ εἴ τις τῶν καθ' ἡμᾶς ἄνθρωπον ἀποκτανὼν οὐχ ὡς δύο που μᾶλλον ἠδικηκὼς ἀνθρώπους κατηγοροῖτ' ἂν εἰκότως, ἀλλ' ἕνα καὶ μόνον, κἂν ἐννοοῖτο τυχὸν ἐκ ψυχῆς καὶ σώματος καὶ τῶν ἀλλήλοις συμβεβηκότων, ἡ φύσις εἴη ἂν οὐχ ἡ αὐτὴ μᾶλλον, ἀλλὰ διάφορος, οὕτω πάλιν ἐπὶ Χριστοῦ νοητέον. οὐ γάρτοι διπλοῦς ἐστιν, ἀλλ' εἷς τε καὶ μόνος κύριος καὶ υἱὸς ὁ ἐκ θεοῦ πατρὸς λόγος οὐ δίχα σαρκός. ἀνθρωπότητος μὲν γὰρ καὶ θεότητος δοίην ἂν καὶ αὐτὸς ἐγὼ πλείστην εἶναι τὴν διαφορὰν ἤτοι διάστασιν, ἕτερα γὰρ κατά γε τὸν τοῦ πως εἶναι λόγον καὶ οὐδὲν ἀλλήλοις ἐοικότα φαίνεται τὰ ὠνομασμένα· παρενηνεγμένου γε μὴν εἰς μέσον ἡμῖν μυστηρίου τοῦ κατὰ Χριστόν, ὁ τῆς ἑνώσεως λόγος οὐκ ἀγνοεῖ μὲν τὴν διαφοράν, ἐξίστησι δὲ τὴν διαίρεσιν, οὐ συγχέων [τὰς φύσεις] ἢ ἀνακιρνῶν τὰς φύσεις, ἀλλ' ὅτι σαρκὸς καὶ αἵματος μετεσχηκὼς ὁ τοῦ θεοῦ λόγος εἷς δὴ πάλιν καὶ οὕτως υἱὸς νοεῖται καὶ ὀνομάζεται. σὺ δὲ μὴ χρῆναι λέγων Χριστοὺς ὀνομάζεσθαι δύο μήτε μὴν υἱοὺς ὁμολογεῖν εἶναι δύο καὶ τῆς εἰς τοῦτο δογματικῆς ὀρθότητος ὑποκλέπτων τὴν δόκησιν, δύο δὴ λέγων ἁλίσκηι Χριστοὺς καὶ

---

6 = Exc. Mar. Merc. XVII; 5 οὐδὲ — 6 Tim. arm. p. 65 24—26 διπλοῦς Timoth. arm. p. 68

1—6 VVa 7—39 V

1 κροτεῖν Va Mar. Merc. κρατεῖν V 3 lacunam signauit Loofs, suppleo ex Mar. Merc. ὁ υἱὸς κατὰ τὸ υἱὸς ἀδιαίρετος 4 χριστόσ Va Mar. Merc. om. V 5 ἄλλοσ πάλιν V πάλιν ἕτεροσ Va 6 υἱόσ Va Mar. Merc. Tim. εἷσ V 12 ταῖσ αὐλαίαισ V 24 διπλοῦν ed. Rom. διπλῆν V 27 ἀποκτενῶν V 36 τὰς φύσεις omittere Seuerum testatur Pusey 37 σὺ δὲ Agellius οὐδὲ V

εἰς ἰδικὴν ἑτερότητα διιστὰς ἄνθρωπον καὶ θεόν, καὶ τὸν μὲν ἐνεργούμενον, τὸν δὲ καὶ ἐνηργηκότα καταδεῖξαι πειρᾶσαι. ἔχει δὲ οὕτω τὰ παρὰ σοῦ

7 Ἡ γοῦν τοῦ μονογενοῦς εὐδοξία ποτὲ μὲν τῶι πατρὶ περιῆπται (ἔστι γάρ φησιν, ὁ πατήρ μου ὁ δοξάζων με), ποτὲ δὲ τῶι πνεύματι (τὸ γὰρ πνεῦμα τῆς ἀληθείας, φησίν, ἐμὲ δοξάσει), ποτὲ δὲ τῆι Χριστοῦ δυναστείαι· ἐξελθόντες γάρ φησι, διεκήρυσσον τὸν λόγον πανταχοῦ, τοῦ κυρίου συνεργοῦντος καὶ τὸν λόγον βεβαιοῦντος διὰ ⟨τῶν⟩ ἐπακολουθούντων σημείων. Loofs p. 225, 14-21 Ioh. 8, 54 Ioh.16, 13.14 Mc. 16, 20

Εἰ μὲν ὡς δόξης ἐπιδεᾶ τὸν μονογενῆ τοῦ θεοῦ λόγον, καθὸ ἔστι καὶ νοεῖται λόγος καὶ οὔπω σεσαρκωμένος, δεδοξάσθαι φησὶ παρὰ τοῦ πατρὸς καὶ τοῦ ἁγίου πνεύματος, ὅτι καὶ παραπταίει καὶ διημάρτηκε τἀληθοῦς, παρήσω λέγειν εἰς τὸ παρόν, ἄγει γὰρ ἡμᾶς ἐφ' ἕτερον ὁ καιρός· ἐπιλελῆσθαι δέ μοι δοκεῖ τῶν ἀρτίως αὐτῶι τεθεωρημένων τε καὶ εἰρημένων. ἔφη γάρ· οὐχ ἕτερος καὶ ἕτερος ὁ Χριστός, οὐκ ἄλλος καὶ ἄλλος υἱός· οὐδὲ γὰρ ἔχομεν Χριστοὺς δύο καὶ υἱοὺς δύο. ἀλλ', ὦ συνετώτατε, φαίην ἄν, εἰ τῆι Χριστοῦ δυναστείαι περιῆφθαι διαβεβαιοῦ τὴν τοῦ μονογενοῦς εὐδοξίαν, πῶς οὐχ ἕτερος καὶ ἕτερος εἶεν ἂν ἢ πῶς οὐ δύο πάντηι τε καὶ πάντως, εἴπερ ἐστὶν οὐχ ὁ αὐτὸς ὁ διδοὺς καὶ δεχόμενος ἢ γοῦν περιάπτων ὡς ἑτέρωι παρ' ἑαυτὸν τὰ φύσει προσόντα αὐτῶι. ἐνήργηκε γοῦν ἐνεργούμενος, ὡς ἕτερός τις ὑπάρχων Χριστὸς παρὰ τὸν μονογενῆ. εἰ γὰρ περιῆπται μὲν αὐτῶι, καθὰ φής, ἡ τοῦ μονογενοῦς εὐδοξία, τῆι δὲ παρ' αὐτοῦ δυναστείαι χρώμενοι διεκήρυττον τὸν ⟨λόγον⟩ καὶ ἠργάζοντο τὰς θεοσημείας οἱ θεσπέσιοι μαθηταί, πῶς οὐκ ἀληθὲς ὅπερ ἔφην; ἐνήργηκε γὰρ ἀλλοτρίαι δυνάμει χρώμενος, ἵν' ὁ ἐνεργήσας καὶ οὐκ αὐτῶι που μᾶλλον παρὰ τῶν ἐν κόσμωι δοξάζηται. τί οὖν, εἰπέ μοι, τὸ πλέον ἔν τε αὐτῶι φαίνεται καὶ τοῖς ἁγίοις ἀποστόλοις; ἀποτετελέκασι γὰρ οὐκ ἰδίαι δυνάμει τὰς θαυματουργίας καὶ τοῦτο αὐτοὶ ὡμολόγησαν ἐναργῶς, ἀξιάγαστοι δὲ καὶ τοῦτο εἰδότες καὶ τὸν ἐν αὐτοῖς ἐνεργοῦντα δοξάζοντες. εἶτα πῶς οὐκ ἔδει τὸν ἐνεργούμενον παρ' ἑτέρου κατὰ σὲ Χριστὸν καὶ θύραθεν ἔχοντα τὴν τοῦ μονογενοῦς εὐδοξίαν τοῖς προσιοῦσιν ὡς θεῶι καὶ τῆς παρ' αὐτοῦ δεδεημένοις ἐπικουρίας ἐπιφωνεῖν· ἐν ὀνόματι τοῦ μονογενοῦς ἢ γοῦν ἐν δυνάμει τόδε τί σοι γένοιτο τῶν ἀγαθῶν; τοῦτο γὰρ ἔδρων οἱ πάνσοφοι μαθηταὶ Ἰησοῦν τὸν ἐκ Ναζαρὲτ ὀνομάζοντες πανταχοῦ. ἀλλ' οὐδενὶ μὲν τοῦτο προσπεφώνηκε παντελῶς, ἀνετίθει δὲ μᾶλλον ἰδίαι δυνάμει τὰ κατορθούμενα, ποτὲ μὲν λέγων τοῖς τυφλοῖς πιστεύετε ὅτι δύναμαι τοῦτο ποιῆσαι καὶ τὴν συναίνεσιν ἀπαιτῶν, ποτὲ δὲ μετ' ἐξουσίας [ἀπαιτῶν] λέγων θέλω, καθαρίσθητι. τί μὴ παρεὶς τὰ σαυτῶι τε καὶ μόνωι ἐξηυρημένα γραοπρεπῆ μυθάρια σοφῆι διανοίαι τὸ τοῦ μυστηρίου περιεργάζηι βάθος; ἀλλ' ἔστιν ἰδεῖν ὅτι τῶν μὲν ἀναγκαίων εἰς ὄνησιν ὀλίγος αὐτῶι παντελῶς ὁ λόγος, δέδιε δὲ ὥσπερ μὴ ἄρα τι καὶ τῶν ἀληθῶς ⟨ἐχόντων⟩ παραφθέγξαιτο καί τι τῶν ἐπαινουμένων ἁλοίη πεφρονηκώς, οἴεται δὲ πᾶν ὁτιοῦν τῶν ἀπηχεστάτων καὶ ἀκατάσκεπτον κομιδῆι τῶν τῆς ἐκκλησίας δογμάτων ποιεῖται τὴν κατάρρησιν, καίτοι μεμνῆσθαι δέον αὐτὸν θεοῦ λέγοντος διὰ φωνῆς Ἰεζεκιὴλ τοῖς τῶν λογικῶν ποιμνίων προεστηκόσιν ὅτι τὴν καλὴν νομὴν ἐνέμεσθε καὶ τὸ καθεστηκὸς ὕδωρ ἐπίνετε καὶ τὸ κατάλοιπον ἐταράττετε τοῖς ποσὶν ὑμῶν καὶ τὰ πρόβατά μου τὰ πατήματα τῶν ποδῶν ὑμῶν ἐνέμοντο καὶ τὸ τετα- Ezech 34.18. 19

7 = Exc. Mar. Merc. IIII cf. Exc. Eph. XIII Apol. adu. Orient. 57

1/2. 8—39 V 3—7 VVa
4/5 φησὶ τῆς ἀληθείας Va 5 τοῦ χῦ Va 7 τῶν Va om. V ἐπακολουθούντων Va ἐπακολουθησάντων V 14 διαβεβαιοῖ V 18/19 διεκήρυττον τὸν λόγον scripsi διεκήρυττόντο V 20 αὐτῶι που μᾶλλον V coniecerim αὐτό που μᾶλλον ⟨τὸ ἐνεργούμενον⟩ 30 ἀπαιτῶν del. Agellius 34 ἐχόντων addidi καί τι Agellius καίτοι V 35/36 ποιῆται V

ραγμένον ὕδωρ ὑπὸ τῶν ποδῶν ὑμῶν ἔπινον. ταῖς μὲν γὰρ θεοπνεύστοις γραφαῖς τὸν νοῦν ἐνιέντες ἡμεῖς τὴν καλὴν νομὴν νεμόμεθα κατὰ τὸ γεγραμμένον καὶ μὴν καὶ τὸ ὕδωρ πίνομεν τὸ καθεστηκός, τουτέστι τὸν ἀμιγῆ τῶι ψεύδει διειδῆ τε καὶ καθαρώτατον τοῦ πνεύματος λόγον, ἐμφύροντες δὲ καὶ ἀναμίσγοντες θολὸν ὥσπερ τινὰ τῶν ἰδίων ἐνθυμημάτων τὸ ἀτερπὲς αὐτῶι ταῖς τοῦ σωτῆρος ἀγέλαις ἐπιβουλεύομεν. ἐκδείξειε δ' ἂν καὶ τοῦτο ἡμῖν ὡς ἐστιν ἀληθές, τὰ περὶ Χριστοῦ πάλιν αὐτῶι τεθεωρημένα τε καὶ ἀτημελῶς εἰρημένα, ἔχει δὲ οὕτως

Loofs P. 275, 1-14 P 116 PG 89

8 Ἦν μὲν γὰρ ὁ θεὸς λόγος καὶ πρὸ τῆς ἐνανθρωπήσεως υἱὸς καὶ θεὸς καὶ συνὼν τῶι πατρί, ἀνέλαβε δὲ ἐν ὑστέροις καιροῖς τὴν τοῦ δούλου μορφήν. ἀλλ' ὢν πρὸ τούτου υἱὸς καὶ καλούμενος, μετὰ τὴν ἀνάληψιν οὐ δύναται καλεῖσθαι κεχωρισμένος υἱός, ἵνα μὴ δύο υἱοὺς δογματίσωμεν· ἀλλ' ἐπειδήπερ ἐκείνωι συνῆπται τῶι ἐν ἀρχῆι ὄντι υἱῶι τῶι πρὸς αὐτὸν συναφθέντι, οὐ δύναται κατὰ τὸ ἀξίωμα τῆς υἱότητος διαίρεσιν δέξασθαι, κατὰ τὸ ἀξίωμα φημὶ τῆς υἱότητος, οὐ κατὰ τὰς φύσεις. διὰ τοῦτο καὶ Χριστὸς ὁ θεὸς λόγος ὀνομάζεται, ἐπείπερ ἔχει τὴν συνάφειαν τὴν πρὸς τὸν Χριστὸν διηνεκῆ καὶ οὐκ ἔστι τὸν θεὸν λόγον ἄνευ τῆς ἀνθρωπότητος πρᾶξαί τι. ἀπηκρίβωται γὰρ εἰς ἄκραν συνάφειαν, οὐκ εἰς ἀποθέωσιν κατὰ τοὺς σοφοὺς τῶν δογματιστῶν τῶν νεωτέρων.

Ὁ φάναι τολμήσας τὴν τοῦ μονογενοῦς εὐδοξίαν τῆι Χριστοῦ περιῆφθαι δυναστείαι καὶ τὸν τῆς ἑνότητος σύνδεσμον διασπάσας συνάγει πάλιν εἰς ἕνωσιν διαλύει τε αὖ καὶ ἐξίστησιν ἀλλήλων τὰς φύσεις πλεῖστά τε ὅσα περὶ τούτων ἡμῖν κενολογεῖ καὶ τερατεύεται, ἵνα κἂν εἴ τι φαίνοιτο λέγων τῶν εἰς ὀρθότητα νενευκότων, ἐξελέγχηται σαφῶς μὴ εἰδὼς ὃ λέγει. εἶναι μὲν γὰρ ἐνθάδε φησὶ τὸν τοῦ θεοῦ λόγον καὶ υἱὸν καὶ θεὸν καὶ πρὸ τῆς ἐνανθρωπήσεως καὶ μὴν ὅτι καὶ ἐν ὑστέροις καιροῖς ἀνέλαβε τὴν τοῦ δούλου μορφήν. φράζε δὴ οὖν, εἰ μή σοι δοκῶ τὰ εἰκότα λέγειν, τίς δὴ ἄρα ἐστὶν ὁ ἐνανθρωπῆσαι λεγόμενος καὶ τί τὸ ἐνανθρωπῆσαι φής; τίς ὁ τὴν τοῦ δούλου μορφὴν ἀναλαβών; ἀνελήφθη δὲ παρ' αὐτοῦ τίνα τρόπον; ὅτι μὲν οὖν ἄνθρωπον ἐνανθρωπῆσαι λέγων γέλωτος ἀξίαν ἀποφανεῖ τὴν ἑαυτοῦ φρένα, πῶς ἂν ἐνδοιάσειέ τις; ὁ γὰρ ὢν ἄνθρωπος κατὰ φύσιν πῶς ἂν ὃ ἦν, γένοιτο πάλιν καὶ ὡς ἐφ' ἕτερόν τι μετακεχωρηκὼς εἴη ἄν κατά γε φημὶ τὸν τῆς φύσεως λόγον, τὸ δὲ κατὰ φύσιν ἰδίαν οὐκ ἐλεύθερον τίνα τρόπον ἂν λέγοιτο γεγενῆσθαι δοῦλον, ὡς τοῦτο οὐκ ὂν ἐν ἀρχαῖς; οὐκοῦν οὐκ ἀνθρώπωι πρέποι ἂν τὸ ἐνανθρωπῆσαι, πολλοῦ γε δεῖ, καὶ τὴν τοῦ δούλου μορφὴν λαβεῖν οὐχὶ τιῦι καὶ ἐν ἀρχαῖς τὸ τῆς δουλείας ἔχοντι μέτρον, ἀλλ' ἐκείνωι μᾶλλον, ὃς οὐκ ὢν ἄνθρωπος κατὰ
P 117 φύσιν τοῦτο γενέσθαι πιστεύεται καὶ τῶν ὅλων ὑπάρχων δεσπότης ὡς θεὸς καθῆκεν ἑαυτὸν ἐν τοῖς καθ' ἡμᾶς, ἑνώσας ἑαυτῶι καθ' ὑπόστασιν τὸ ἀνθρώπινον καὶ τὴν τοῦ δούλου μορφὴν ἀναλαβών. οὕτω γὰρ ἔσται καὶ ἀληθὲς ὅπερ ἔφης, ὅτι μετὰ τὴν ἀνάληψιν οὐ δύναται καλεῖσθαι κεχωρισμένος υἱός, ἵνα μὴ δύο υἱοὺς δογματίσωμεν. καὶ ἡ μὲν τῶν δογμάτων ὀρθή τε καὶ ἀδιάστροφος καὶ εἰς εὐθὺ διάιττουσα τρίβος ἥδε τέ ἐστι καὶ οὐχ ἑτέρα· αὐτὸς δὲ δὴ πάλιν ὁ τὴν ἐνανθρώπησιν ἡμῖν ὀνομάσας τοῦ ἐκ πατρὸς ὄντος λόγου μόνον οὐχὶ καὶ εἰς λήθην εὐθὺς ὢν ἔφη, παρενεχθείς, διίστησι πάλιν εἰς δύο τὸν ἕνα καὶ ταῖς τῶν νοημάτων ἐξιτηλίαις ἀσυφήλως ἐπινηχόμενος καὶ φωναῖς ἀβασανίστοις ἀεὶ κεχρημένος. ἔφη γάρ

8 [— 14 διηνεκῆ] = Exc. Eph. VIIII; 13 διὰ τοῦτο — 14 διηνεκῆ adferuntur in ep. 128, 11

1—7. 17—40 V 8—16 VVa

1 ἐνέπινον V 5/6 ἐκδείξειε δ' scripsi ἐκδείξειεν V 8 συνὼν Va Exc. Eph. συναινῶν V
11 ἐκείνωι Va Exc. Eph. ἐκεῖνο V 26 ἐνδιάσειέ V

Ἀλλ' ἐπειδήπερ ἐκείνωι συνῆπται τῶι ἐν ἀρχῆι ὄντι υἱῶι τῶι πρὸς αὐτὸν συναφθέντι, Loofs
οὐ δύναται κατὰ τὸ ἀξίωμα τῆς υἱότητος διαίρεσιν δέξασθαι, κατὰ τὸ ἀξίωμα, φησί, τῆς p. 275, 5-9
υἱότητος, οὐ κατὰ τὰς φύσεις.

Ὀρθῶς γε, ὦ τάν, τὸ ἀνασφαλὲς εἶναι δοκοῦν ⟨ὡς⟩ ἀχρεῖον παραιτῆι, ⟨τὸ δ'⟩ ἀεὶ
διεγηγερμένωι κεχρῆσθαι τῶι λόγωι διὰ σπουδῆς τέθειταί σοι. ἰδοὺ γὰρ ἰδοὺ διαιρῶν 5
τὰς φύσεις συλλέγεις εἰς ἕνωσιν κατὰ τὸ ἀξίωμα τῆς υἱότητος. ἆρ' οὖν ἀπόχρη πρὸς
ἕνωσιν ἀληθῆ τοῖς κατὰ φύσιν ἀλλήλων διεστηκόσιν ἡ τῶν ὀνομάτων ταυτότης ἢ γοῦν
ὁμωνυμία καὶ τὸ κατ' αὐτὴν ἀξίωμα; σοὶ γὰρ καὶ οὕτω φάναι δοκεῖ. οὐκοῦν ἐπειδήπερ
τό τε Χριστὸς ὄνομα καὶ μὴν τὸ υἱός καὶ κύριος κοινὰ τέθεινται καὶ ἑτέροις (πλεῖστοι γὰρ PG 93a
ὅσοι γεγόνασι Χριστοί, κέκληνται δὲ καὶ υἱοὶ καὶ κύριοι), εἶεν ἂν καὶ αὐτοὶ κατὰ τὸ ἀξίωμα 10
τῆς υἱότητος ἀδιαίρετοί τε ἀλλήλων καὶ ἐν οἱ πάντες καθ' ἕνωσιν, ἣν δὴ πεπρᾶχθαι νομί-
ζεις αὐτὸς καὶ ἐπὶ Χριστοῦ. διεστήξει δὴ ὅλως πρὸς τὸν ἐκ θεοῦ λόγον ἄνθρωπος καθ'
ἡμᾶς. εἶτα πῶς οὐ διήρηνται πάλιν, πῶς δὲ καὶ υἱὸς εἷς, οὐκ ἔχω νοεῖν, εἰ μὴ καθ' P 118
ἕνωσιν ἀληθῆ συμβεβηκέναι φαμὲν τῶι λόγωι τὸ ἀνθρώπινον. ἐπειδὴ δὲ χρὴ διά γε
τὰς τούτου φωνὰς καὶ εἰς ἐκτόπους ἐννοίας περιενεγκεῖν τὸν λόγον, ἵνα πανταχόθεν ἐλέγχη- 15
ται πεφρονηκὼς οὐκ ὀρθά, φέρε δὴ φέρε κἀκεῖνο λέγωμεν. εἰ γὰρ ἀρκεῖ πρὸς ἕνωσιν
τῆς υἱότητος τὸ ἀξίωμα, ἐπειδὴ καλεῖταί τε καὶ ἔστιν υἱὸς τοῦ θεοῦ καὶ πατρὸς ὁ ἐξ αὐτοῦ
λόγος, κοινὸν δὲ πολλοῖς ἄλλοις τοὔνομα, τί τὸ λυποῦν, εἰπέ μοι, καὶ αὐτοὺς ἡνῶσθαι
λέγειν αὐτῶι καὶ τοὺς ἄλλους ἅπαντας, ἵνα μηδὲν ἔχηι παρ' αὐτοὺς τὸ πλεῖον ὁ Ἐμμα-
νουήλ; φιλονεικήσει γὰρ κατὰ τὸ εἰκὸς αὐτῶι καὶ περὶ τῶν ἴσων ἁμιλλήσεται τὸ τῶν αὐ- 20
τῶν ὀνομάτων ἠξιωμένον καὶ τῆς συναφείας ἡμῖν ὁ τρόπος κατὰ ψιλὴν καὶ μόνην ἔσται
τὴν κλῆσιν ἢ γοῦν τὴν ὁμωνυμίαν. εἶτα τί τὸ τῆς ἐνανθρωπήσεως νοεῖται χρῆμα; τί
δὲ πρὸς τούτωι καὶ τὸ ἐν τῆι τοῦ δούλου καθικέσθαι μορφῆι; εἰ γάρ ἐστι κατ' αὐτὸν ὁ τῆς
ἐνανθρωπήσεως τρόπος συνάφειά τις ψιλὴ καὶ κατὰ μόνον τῆς υἱότητος τὸ ἀξίωμα, τί τὸ
κωλῦον ἔτι καὶ ἐπὶ τοῖς ἄλλοις ἅπασι πεπρᾶχθαι λέγειν αὐτήν; ἀλλ' ὁρᾶι που πάντως ὁ 25
φιλομαθὴς τοῦ λόγου τὸ ἀκαλλές. ποῖ δὴ οὖν ἀποφέρεται, πρὸς ἃ μὴ θέμις, ἐξεστη-
κώς; εἰρήσεται δε πρὸς ἡμῶν αὐτῶι τὸ διὰ τῆς Ἱερεμίου φωνῆς· ταῖς πολυοδίαις σου Ies. 57, 10
ἐκοπίασας· κλυδωνίζεται γὰρ ἀνέμωι παντὶ περιφερόμενος, καθά φησιν ὁ σοφώτατος Eph. 4, 10
Παῦλος. οὐκοῦν δέχου τὴν ἄγκυραν τῆς ψυχῆς τὴν ἀσφαλῆ καὶ βεβαίαν, στῆσον ἐπὶ Hebr 6, 19
πέτραν τοὺς ἑαυτοῦ πόδας· εἰ ἐνανθρωπῆσαι φῂς τὸν τοῦ θεοῦ λόγον, ἀρκέσει τοῦτο πρὸς 30
δήλωσιν τοῦ καθ' ἡμᾶς γενέσθαι τὸν ὑπὲρ πᾶσαν τὴν κτίσιν· ἔλαβε τὴν τοῦ δούλου μορ-
φήν, καίτοι τὴν ἐλευθερίαν ἔχων ὡς θεός. ἦν γὰρ ἐν ἰσότητι τοῦ πατρὸς τοῦ τὸ κατὰ
πάντων ἔχοντος κράτος. παῦσαι διαιρῶν τὰς φύσεις μετὰ τὴν ἕνωσιν. ὅτι μὲν
γὰρ ἕτερόν τι καὶ ἕτερόν ἐστιν ἥ τε θεία καὶ ἡ ἀνθρώπου φύσις, πρέποι ἂν εἰδέναι καὶ P 119
ἀναγκαῖον εἶναι φημὶ τοῖς ἀρτίφροσι, διεστήκασι γὰρ ἀλλήλων καὶ ἀσυγκρίτοις διαφοραῖς· 35
ἐπὶ δὲ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ συνειση νεγκὼν εἰς ἕνωσιν τὴν ἀληθῆ τε καὶ
καθ' ὑπόστασιν, παραιτοῦ τὴν διαίρεσιν. ἕνα γὰρ οὕτως ὁμολογήσεις Χριστὸν καὶ υἱὸν
καὶ κύριον. ἀλλ' οὐκ οἶδ' ὅπως ὁ τῶν ἐξιτήλων ἡμῖν δογμάτων εὑρετὴς ἐν σμικρῶι
μὲν κομιδῆι πεποίηται λόγωι τὸ τῆς ἑνώσεως χρῆμα, διωσάμενος δὲ καὶ αὐτὸ κατὰ τὸ εἰκὸς PG 93
καὶ τῆς ἀληθείας τὴν δύναμιν κεχώρηκε πάλιν ἐπὶ τὸ αὐτῶι δοκοῦν καί φησι 40

Διὰ τοῦτο καὶ Χριστὸς ὁ θεὸς λόγος ὀνομάζεται, ἐπείπερ ἔχει τὴν συνάφειαν τὴν Loofs
πρὸς τὸν Χριστὸν διηνεκῆ καὶ οὐκ ἔστι τὸν θεὸν λόγον ἄνευ τῆς ἀνθρωπότητος πρᾶξαί τι. p. 275, 9-14
ἀπηκρίβωται γὰρ εἰς ἄκραν συνάφειαν, οὐκ εἰς ἀποθέωσιν κατὰ τοὺς σοφοὺς τῶν δογμα-
τιστῶν τῶν νεωτέρων.

V

4 δοκοῦν ὡς scripsi δοκεῖν δοκεῖν, δοκεῖν alterum erasum, V τὸ δ' addidi 13 διήρειν-
ται V 19 ἔχει in ἔχοι corr. V 27 πολυωδίαισ V 34 πρέπει V

Ὅτε τοίνυν Χριστὸν ὠνομάσθαι φησὶν ἰδικῶς τὸν ἐκ θεοῦ πατρὸς λόγον ὡς ἔχοντα τὴν συνάφειαν πρὸς Χριστόν, ὡς πρὸς ἕτερόν που δηλονότι, πῶς οὐ πεφλυάρηκέ που μάτην εἰρηκὼς ὅτι μετὰ τὴν ἀνάληψιν οὐ δύναται καλεῖσθαι κεχωρισμένος ⟨υἱός⟩, εἴπερ οὐχ ἕν τι νοεῖται πρὸς ἡμῶν τὸ ἑτέρωι τινὶ σχετικῶς συνῆφθαι λεγόμενον; δύο γὰρ πάντως τὰ ἀλλήλοις συμβαίνοντα καὶ οὐχ ἓν αὐτό τι τὸ ἑαυτῶι συναπτόμενον νοοῖτ' ἂν εἰκότως. ψευδομυθία δὴ οὖν τὰ ἐκείνου καὶ λῆρος ἑτέρως· ἡμεῖς δὲ μετὰ τὴν ἕνωσιν, κἂν εἰ θεὸν λόγον ὀνομάσειέ τις, οὐ δίχα νοοῦμεν αὐτὸν τῆς ἰδίας σαρκός, κἂν εἴπηι Χριστόν, σαρκωθέντα τὸν λόγον ἐπιγινώσκομεν. τίς δὲ δὴ ἄρα καὶ ὁ τῆς παρὰ σοῦ λεγομένης συναφείας νοεῖται τρόπος; εἰ μὲν γὰρ ἡνῶσθαι φὴς καθ' ὑπόστασιν τῶι ἐκ θεοῦ φύντι λόγωι τὸ ἀνθρώπινον, τί τὴν θείαν, εἰπέ μοι, περιυβρίζεις σάρκα, καίτοι προσκυνεῖν αὐτῆι μὴ παραιτούμενος, πρέποντος μόνηι τῆι θείαι τε καὶ ἀπορρήτωι φύσει τοῦ προσκυνεῖσθαι δεῖν;
P 120 εἰ δὲ ἀληθῆ μὲν οὐκ οἴει γενέσθαι τὴν ἕνωσιν, συνάφειαν δὲ μᾶλλον ἡμῖν ὀνομάζεις τὴν κατά γε τὴν ὁμωνυμίαν καὶ τὴν ἐν ψιλαῖς καὶ μόναις ταῖς ἴσαις κλήσεσιν ἀξίαν, τί σεμνοληρεῖς ἀπηκριβῶσθαι λέγων τὸν ἐκ γυναικὸς πρὸς ἄκραν συνάφειαν, δῆλον δὲ ὅτι τὴν πρὸς τὸν λόγον; ὁμώνυμον μὲν γὰρ ἀλλήλοις εἶεν ἂν τό τε υἱὸς υἱῶι καὶ κύριος κυρίωι, ἀλλ' οὐδὲν ἀλλήλων μειονεκτοῖτο ἄν τὰ ὀνόματα καὶ τὸ περιττὸν ἐν τούτοις πολυπραγμονεῖν εἰκαῖον οἶμαί που· υἱὸς γὰρ υἱοῦ κατὰ τὸ υἱός οὔτε τὸ μεῖζον οὔτε τὸ ἔλαττον ἔχει. περισσοεπεῖς οὖν ἄρα καὶ μάλα σαφῶς, ἀπηκριβῶσθαι λέγων αὐτὸν πρὸς ἄκραν συνάφειαν. πρέποι δ' ἂν κατά γε τὸ αὐτῶι μοι δοκοῦν οὐχὶ ταῖς ὁμωνυμίας τὸ ἀπηκριβῶσθαι λέγειν αὐτὰς ἀλλήλαις, ἐκείνοις δὲ μᾶλλον, ἃ τὴν εἰς πᾶν ὁτιοῦν ἰσότητά τε καὶ ὁμοιότητα τῶν ἓν εἶναι πεπιστευμένων διαλαχόντα φαίνεται, οἷον φέρε εἰπεῖν ἀπηκριβῶσθαι φαμὲν πρὸς ἄκραν ἐμφέρειαν τῆς τοῦ δεῖνος μορφῆς ἢ τὸν ἐξ αὐτοῦ γεγονότα υἱὸν ἢ φέρε εἰπεῖν εἰκόνα, κατὰ δέ γε τὸν τῆς συναφείας τρόπον πῶς ἂν ἀπηκριβῶσθαι λέγοιντο καὶ νοοῖντό τινα; ἀλλ' αὐτὸς μὲν ἡμῖν ἡρμήνευσε τῆς συναφείας τὴν δύναμιν· οὐ γὰρ ἔστι, φησί, τὸν θεὸν λόγον ἄνευ τῆς ἀνθρωπότητος πρᾶξαί τι. ὁμόφρονες οὖν ἀλλήλοις καὶ ὁμογνώμονες κατὰ σέ, καὶ ἀπὸ κοινῶν σκεμμάτων ἐφ' ἕκαστα τῶν πρακτέων ἰέναι πιστεύσομεν τὴν τῶν παρὰ σοῦ λεγομένων υἱῶν ξυνωρίδα· εἶτα πῶς οὐ δύο Χριστοὶ καὶ υἱοὶ καὶ κύριοι; ἀλλ' ὡς ὀργάνωι τῶι σώματι κεχρῆσθαι τὸν λόγον διισχυρίζηι κατὰ τὸ εἰκός. ἀλλ' εἰ μὲν ἕνα φὴς υἱὸν καὶ μίαν ὑπόστασιν τὴν τοῦ λόγου σεσαρκωμένην, οὐκ αὐτὸς ἔσται θεό-
PG 96 τητος ὄργανον, κεχρήσεται δὲ μᾶλλον οἷάπερ ὀργάνωι τῶι ἰδίωι σώματι καθάπερ ἀμέλει καὶ
P 121 ἡ τοῦ ἀνθρώπου ψυχή. οὐκοῦν ὁμολόγησον ἕνα, μὴ διαιρῶν τὰς φύσεις, μετὰ τοῦ εἰδέναι καὶ φρονεῖν ὅτι σαρκὸς μὲν ἕτερος ὁ λόγος, θεότητος δὲ πάλιν ὁ αὐτῆι καὶ μόνηι πρέπων. ἥκιστα μὲν γὰρ θεότητα γενέσθαι φαμὲν τοῦ λόγου τὴν σάρκα, θείαν δὲ μᾶλλον ὡς ἰδίαν αὐτοῦ. εἰ γὰρ ἀνθρώπου σὰρξ ἡ ἀνθρωπίνη λέγεται, τί τὸ κωλῦον ἔτι καὶ θείαν εἰπεῖν τὴν τοῦ θεοῦ λόγου; τί τοίνυν διαγελᾶις τῆς ἀληθείας τὸ κάλλος, ἀποθέωσιν ἡμῖν ὀνομάζων τῆς ἁγίας σαρκός, μόνον δὲ οὐχὶ καὶ κατονειδίζων τοῖς ὀρθὰ φρονεῖν ἠιρημένοις τὴν θεοποίησιν; καίτοι λέγων αὐτός

Loofs 9 p. 354, 22-25 Ἵνα τοίνυν δειχθῆι καὶ τοῖς μάγοις τίς ἐστιν οὗτος ὁ παρ' αὐτῶν προσκυνούμενος καὶ ἐπὶ τίνα ἤγαγεν αὐτοὺς τοῦ πνεύματος τοῦ ἁγίου ἡ χάρις, ὅτι οὐκ ἐπὶ ψιλὸν ἁπλῶς θεωρούμενον βρέφος, ἀλλ' ἐπί τι σῶμα συνημμένον ἀρρήτως θεῶι.

Ὅτε τοίνυν ἀρρήτως συνῆφθαι θεῶι τὸ σῶμά φησι, τὸ δὲ ἀπόρρητον ἀληθῶς ὑπὲρ νοῦν ἐστι καὶ λόγον, ἀληθής που πάντως ἡ ἕνωσις ἢ γοῦν ἡ συνάφεια κατ' αὐτόν.

31 ὁμολόγησον — 33 πρέπων Leont. Hierosol. [Mai scriptt. uet. 7, 130] 38—40 Tim. arm. p. 85. syr. f. 45b

1—37. 41. 42 V 38—40 VVa

3 κεχωρισμένος υἱός scripsi κεχωρισμένοσ, ο ex ω corr., V 12 οἴει ed. Rom. εἴη V 17 κατὰ scripsi καὶ V 19 πρέπει V 30 κεχρίσεται V 39 παναγίου Va 41 τὸ¹ ed. Rom. τῶ V

ἀπόρρητα γὰρ τὰ τοιάδε καὶ τῶν οὕτως ἀλλήλοις συμβεβηκότων οὐκ ἂν οἶμαί τις εἰδείη τὸν τρόπον. εἰ δὲ οἶσθα λέγειν οἵει τε δύνασθαι διατρανοῦν τῆς συναφείας τὴν δύναμιν, πῶς ἀπόρρητον ἔτι τὸ χρῆμά ἐστι; θαυμάζω δὲ ὅτι καίτοι σῶμα λέγων συνῆφθαι θεῶι καὶ τοῦτο ἀπορρήτως, οὐκ αὐτοῦ δὴ τοῦτο καὶ ἴδιον εἶναί φησιν, ἵν' ὡς ἓν νοοῖτο μετ' αὐτοῦ, μερίζει δὲ πάλιν εἰς ἄνθρωπον καὶ θεὸν ἀνὰ μέρος τε καὶ ἰδικῶς τὸν ἕνα Χριστὸν καὶ κύριον Ἰησοῦν καὶ ὀρθὰ φρονεῖν ὑποπλάττεται λέγων

10 Ἀλλ' οὐ ψιλὸς ἄνθρωπος ὁ Χριστός, συκοφάντα, ἀλλ' ἄνθρωπος ὁμοῦ καὶ θεός. εἰ δὲ μόνον ὑπῆρχε θεός, ἐχρῆν εἰπεῖν, Ἀπολινάριε· τί με ζητεῖτε ἀποκτεῖναι, θεὸν ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα; ⟨νῦν δὲ λέγει· τί με ζητεῖτε ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα;⟩ οὗτος ὁ τὸν ἀκάνθινον περιθέμενος στέφανον· οὗτος ὁ λέγων θεέ μου, θεέ μου, ἵνα τί με ἐγκατέλιπες; οὗτος ὁ τριήμερον τελευτὴν ὑπομείνας· προσκυνῶ δὲ σὺν τῆι θεότητι τοῦτον ὡς τῆς θείας συνήγορον αὐθεντίας. Loofs p. 259, 16-260, 7 Ioh. 8, 40 Mt 27, 46 P 122

Ἄθρει δή μοι πάλιν συναρπάζοντα μὲν καὶ τῆς ἀληθείας τὴν μόρφωσιν τοῖς ἑαυτοῦ περιθέντα λόγοις (οὐ γὰρ ψιλὸς ἄνθρωπος, φησίν, ὁ Χριστός, ἀλλ' ἄνθρωπος ὁμοῦ καὶ θεός), διιστάντα δὲ πάλιν καὶ οὐχ ἕνα λέγοντα καὶ ἀνυπόθετόν τι δεχόμενον ἀμαθῶς καὶ κατασκευάζοντα τὸ δοκοῦν. ὡς γὰρ λέγοντός τινος γυμνὸν ἐπὶ γῆς καὶ δίχα σαρκὸς ὠφθαί τε ἡμῖν τὸν λόγον καὶ τοὺς πρὸς ἡμᾶς ποιήσασθαι λόγους ἢ γοῦν ἐνεργῆσαι τὰς θεοσημείας, ἢ γοῦν ὅτι κοινὸς ἦν ἄνθρωπος καὶ οὐκ αὐτὸς ὁ λόγος γέγονε σάρξ, οὐ ψιλός, PG 97 φησίν, ἄνθρωπος ὁ Χριστός, ἀλλὰ καὶ θεός. ἡμεῖς δέ, ὦ βέλτιστε, φαίην ἂν ἔγωγε, κἂν λέγωμεν αὐτὸν ἄνθρωπόν τε ὁμοῦ καὶ θεόν, οὐκ ἀνὰ μέρος τιθέντες τὰ τοιάδε φαμέν, τὸν αὐτὸν δὲ μᾶλλον εἰδότες καὶ πρὸ τῆς ἐνανθρωπήσεως υἱὸν καὶ θεὸν καὶ λόγον τοῦ πατρός, ἄνθρωπον δὲ μετὰ τοῦτο καθ' ἡμᾶς γεγονότα καὶ σεσαρκωμένον. ὃ δὲ διισχυριζόμενος μὴ δεῖν αὐτὸν ἄνθρωπον νοεῖσθαι ψιλόν, ἀλλὰ θεὸν καὶ ἄνθρωπον, ἀπονέμει μὲν τὸν ἀκάνθινον στέφανον καὶ τὰ ἕτερα τῶν παθῶν ἰδικῶς ἀνθρώπωι καὶ ἀνὰ μέρος, προσκυνεῖν δὲ ὁμολογεῖ σὺν τῆι θεότητι τοῦτον καί, τὸ ἔτι δυσσεβέστερον, ὡς οὐκ ὄντα μὲν κατὰ τὸ εἰκὸς θεὸν ἀληθῶς καὶ υἱόν, συνήγορον δὲ γεγονότα τῆς αὐθεντίας τοῦ λόγου. ὅτι γὰρ διίστησιν ἐναργῶς, σαφηνιεῖ πάλιν τὸ σὺν τῆι θεότητι προσκυνεῖσθαι δεῖν αὐτὸν ὁμολογεῖν. τὸ γὰρ ἑτέρωι συμπροσκυνούμενον ἕτερόν που πάντως ἐστὶ παρ' ἐκεῖνο μεθ' οὗ προσκυνεῖσθαι λέγεται. ἡμεῖς δὲ μιᾶι προσκυνήσει τιμᾶν εἰθίσμεθα τὸν Ἐμμανουήλ, οὐ διιστάντες τοῦ λόγου τὸ ἑνωθὲν αὐτῶι καθ' ὑπόστασιν σῶμα. τί δ' ἂν νοοῖτο τὸ τῆς θείας συνήγορον αὐθεντίας, βασανίζειν ἄξιον. ἆρα γὰρ καὶ αὐτὸς ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καθ' ἕνα τῶν ἁγίων ἀποστόλων καὶ εὐαγγελιστῶν ἕτερον τῶι κόσμωι διεκήρυξε Χριστὸν ἢ γοῦν υἱὸν καὶ κύριον ὡς θείαν ἔχοντα τὴν ἐφ' ἅπασιν αὐθεντίαν ἢ P 123 γοῦν ἐξουσίαν, συνηγόρευσε δὲ καὶ αὐτὸς τῆι ἑτέρου δόξηι; καίτοι τῶν θεηγόρων ὁ χορὸς Ἰησοῦν Χριστὸν τὸν ἐκ σπέρματος Δαυὶδ κατὰ σάρκα τῶι κόσμωι διακηρύττουσι καὶ τῆς πίστεως ἡμῶν ὁ τρόπος διὰ τῆς εἰς αὐτὸν ὁμολογίας ἔρχεται, δικαιούμεθα δὲ πιστεύοντες οὐχ ὡς ⟨εἰς⟩ ἕνα τῶν καθ' ἡμᾶς ἄνθρωπον ἁπλῶς, ἀλλ' εἰς τὸν φύσει τε καὶ ἀληθῶς ὄντα θεόν. καὶ γοῦν ἄθεα μὲν τὰ ἔθνη διετέλουν κατὰ τὸν κόσμον, Χριστὸν οὐκ εἰδότα ποτέ, Eph. 2, 12. 13 καθά φησιν ὁ μακάριος Παῦλος· ἐπειδὴ δὲ ἐγνώκασιν, οὐ μεμενήκασιν ἐν ἀγνοίαι τοῦ κατὰ φύσιν ὄντος θεοῦ. οὐκοῦν διδασκέτω τῆι τίνος δόξηι καὶ αὐθεντίαι συνηγόρευσεν ὁ

---

10 cf. Exc. Eph. XIIII Exc. Mar. Merc. X [= Mar. Merc. 21 p. 34, 25—31]; adfert Tim. arm. p. 121. 162; 8—12 ὑπομείνας p. 79

1—6 13—41 V 7—12 VVa

8 εἰπεῖν Va om. V 9/10 νῦν δὲ — λελάληκα Va Mar. Merc. Tim. om. V Tim. p 79 12 συνήγορον VVa Tim. συνεργόν Exc. Eph. Mar. Merc. cf. p. 48, 39 συνήγορον ἤτοι συνεργόν 37 εἰς addidi

Χριστός, καίτοι τῶν προσιόντων αὐτῶι τὴν πίστιν ἐφ' ἑαυτῶι μὲν αἰτῶν, ἀνατιθεὶς δὲ ταύ-
Ioh. 14, 1 την [ἐν] αὐτῶι τῶι πατρί. καὶ γοῦν ἔλεγε· πιστεύετε εἰς ἐμέ, καὶ εἰς τὸν θεὸν
Ioh. 12,44 45 πιστεύετε, καὶ πάλιν· ὁ πιστεύων εἰς ἐμὲ οὐ πιστεύει εἰς ἐμέ, ἀλλ' εἰς τὸν
πέμψαντά με καὶ ὁ θεωρῶν ἐμὲ θεωρεῖ τὸν πέμψαντά με. ἀλλ' ἴσως τὸ
συνηγορεῖν κατὰ τὸ αὐτῶι δοκοῦν τάχα που ὑπεμφήνειεν ἂν τὸ ἰσηγορεῖν· ἐφίημι γάρ, 5
καίτοι τῆς λέξεως ἑτέραν ἐχούσης τὴν δήλωσιν. εἶτα πῶς ἰσηγορήσειεν ἂν ἄνθρωπος
θεῶι, κατὰ σὲ καὶ τὰς ἐκ τῶν Ἰουδαίων παροινίας διενεγκών; φέρε γὰρ τὸν ἑκατέρωι πρέ-
ποντα καταθρήσωμεν λόγον. πρέποι δ' ἂν εἰπεῖν τῶι γε ὄντι θεῶι κατὰ φύσιν· εἰμὶ
μὲν ἀόρατος ἀναφὴς καὶ τοῦ παθεῖν ἀνώτερος καὶ μὴν καὶ ἀσώματος, ζωὴ καὶ ζωοποιὸς
καὶ ἐπάνω πάντων ὡς θεός· ὃ δὲ τὴν ἰδίαν ἡμῖν, ὅπως ἂν ἔχοι, φύσιν ἐξηγούμενος ἔφη ἂν 10
PG 100 εἰκότως· ὁρατός εἰμι καὶ ἁπτός, παθητὸς καὶ ὑπὸ φθορὰν καὶ ὑπὸ θεῶι. ἆρ' οὖν ὁ τὰ
τοιάδε λέγων ἰσηγορήσειεν ἂν τῶι προύχοντι καὶ ὑπερκειμένωι κατά γε τοὺς τῆς ἰδίας φύ-
σεως λόγους; εἶτα πῶς τοῦτο οὐκ ἀμαθὲς εἰπεῖν; διαψεύσεται γὰρ πάντως ἢ ἐκεῖνος ἢ
P 124 οὗτος. συνηγορίαν δὲ λέγων ἢ γοῦν συνηγόρευσιν, οὐχ ἕτερόν τι πάλιν ἑτέρωι συνηγορεῖν
καὶ οὐχ ἑκὼν ὁμολογεῖς ὁ συνάφειαν ἡμῖν ὀνομάζων καὶ ἕνα Χριστὸν καὶ κύριον [καὶ] 15
τέμνων εἰς δύο προσκυνεῖς, μᾶλλον δὲ συμπροσκυνεῖς καὶ ἀπαλλάττειν οἴει τὴν ἐκκλησίαν
τοῦ τῆς θεοποιίας ἐγκλήματος, θεοποιῶν αὐτὸς ἄνθρωπον καὶ οὐχ ἕνα λέγων υἱόν, κἂν εἰ
μὴ δίχα νοοῖτο τῆς ἰδίας σαρκός; προσκυνήσεις γὰρ τότε καὶ ἀνεγκλήτως καὶ γνώσηι ποῦ
? ἦσθα κατὰ τὸ γεγραμμένον, τῶν τῆς ἀληθείας ἀποφοιτῶν δογμάτων. ἀλλὰ ναί, φησίν,
Mt. 8, 3 εἴρηκε τῶι λεπρῶι θέλω, καθαρίσθητι, καὶ τῆι τοῦ ἀρχισυναγώγου θυγατρὶ ἡ παῖς, 20
Lc. 8, 54
Mc. 4, 39 ἔγειραι, καὶ τῆι θαλάσσηι σιώπα, πεφίμωσο· συνήγορος δὴ κατὰ τοῦτο· τοὺς γάρτοι
θείους ἐφθέγγετο λόγους, δι' ὧν ἦν πάντα δύνασθαι κατορθοῦν εὐκόλως. δύο δὴ οὖν
οἱ προστάττοντες καὶ ἀμφοτέρων εἶναι δώσομεν τοὺς ἐφ' ἅπασι λόγους. ὅταν οὖν λέγηι·
Ioh. 8, 40 τί με ζητεῖτε ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα; τίνος,
εἰπέ μοι, τοὺς τοιούσδε λόγους εἶναι φής; ἢ ἐκείνους μὲν ἀπονέμεις τῶι λόγωι, τούτους 25
γε μὴν ὡς ἀνθρώπωι παρ' αὐτὸν ἑτέρωι τῶι ἐκ γυναικός; εἶτα ὅποι ποτὲ θήσεις τὸν ἱερώ-
1 Cor. 8, 6 τατον Παῦλον λέγοντα σαφῶς· ἡμῖν δὲ εἷς θεὸς ὁ πατήρ, ἐξ οὗ τὰ πάντα καὶ
ἡμεῖς εἰς αὐτόν, καὶ εἷς κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα καὶ ἡμεῖς
δι' αὐτοῦ; ὃ δὲ ἄνω τε καὶ κάτω λέγων· εἷς υἱὸς καὶ οὐκ ἄλλος καὶ ἄλλος οὔτε μὴν
Χριστὸς καὶ δεύτερος Χριστός, τοῖς ἑαυτοῦ διαμαχεῖται λόγοις, δυσὶ προσώποις καὶ ὑποστά- 30
σεσιν ἰδικαῖς τάς τε τῶν θεηγόρων καὶ τὰς αὐτοῦ διανέμων φωνάς.

Ἀλλὰ γὰρ τῶν ἰδίων οὐκ ἀμελήσας ἐννοιῶν, ἐπιφέρει πάλιν

Loofs p. 11 Σέβω αὐτὸν ὡς τῆς παντοκράτορος εἰκόνα θεότητος. ὑπερύψωσε γὰρ αὐτὸν
261,17-262,2 καὶ ἐχαρίσατο αὐτῶι ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ἵνα ἐν τῶι ὀνόματι Ἰησοῦ
Phil. 2, 9-11
P 125 Χριστοῦ πᾶν γόνυ κάμψηι ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων καὶ 35
πᾶσα γλῶσσα ἐξομολογήσηται ὅτι κύριος Ἰησοῦς Χριστός.

Καὶ τίς ἂν νοοῖτο πάλιν ὤν, ὡς γε οἴεται, σέβειν ὁμολογεῖ καὶ τῆι πρὸς θεὸν ὁμοιώσει
τιμᾶν ὑποκρίνεται, ἢ ἐκεῖνός που πάντως ὃν ἀρτίως ἡμῖν ὠνόμαζεν, οὐκ οἶδ' ὅτι λέγων,
τῆς θείας συνήγορον ἤτοι συνεργὸν αὐθεντίας, ὃν τῆι θεότητι συμπροσκυνεῖσθαι δεῖν ἀνοή-
τως ἔφασκεν ὡς ἕτερον ὄντα καὶ ἰδικῶς υἱὸν παρὰ τὸν τοῦ θεοῦ λόγον; αὐτὸν καὶ ὑψῶ- 40
σθαι λέγει παρὰ τοῦ θεοῦ καὶ πατρὸς καὶ μὴν καὶ τὸ ὄνομα λαβεῖν τὸ ὑπὲρ πᾶν ὄνομα,

---

11 cf Exc Eph VIII Exc Mar. Merc. XI [Mar Merc. 21 p. 35, 13—16]. Apol adu. Or 23

1—32 37—41 V 33—36 VVa
2 ἐν deleui 5 ἐφίειμι V 15 καὶ deleui 21 δὴ scripsi δὲ V 35 χῡ VVa Exc. Mar. Merc. om Exc. Eph.

ἵνα καὶ πᾶν αὐτῶι γόνυ κάμψηι ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων καὶ πᾶσα γλῶσσα PG 101
ἐξομολογήσηται ὅτι κύριος Ἰησοῦς Χριστός. εἰ μὲν οὖν θεὸν ὄντα κατὰ φύσιν καὶ πρὸ
τῆς ἐνθάδε λεγομένης ὑψώσεως ὑψοῦ τέθεικεν ὁ πατήρ, τὸν τῆς μεταξὺ ταπεινώσεως πολυ-
πραγμονοῦντες τρόπον οἰκονομίαν τινὰ σοφὴν εὑρήσομεν, καθ' ἣν ἀδοξήσας διὰ μέσου γέ-
γονε πάλιν ἐν οἷς ἦν ἀεὶ καὶ οὐσιωδῶς ἐνυπάρχων, καὶ ἐν ἰδίοις ἀληθῶς ὑψώμασιν· εἰ δὲ 5
τοῦτο μὲν οὐχί, καθάπερ οὖν οἴεται καί φησιν, ἕτερον δέ τινα παρὰ τὸν τοῦ θεοῦ λόγον
τὸν αὐτῶι συνημμένον ἄνθρωπον προσκυνητὸν ἐποίησεν οὐρανῶι τε καὶ γῆι καὶ τοῖς ἔτι
κατωτέρω, τεθεοποίηκεν ἄρα καθ' ἡμᾶς ἄνθρωπον, αἰτιάσεται δὲ ἡμᾶς οὐκέτ' ἐν [τῶι] κόσμωι
λοιπὸν ὡς θεοποιεῖν ἐθέλοντας τὸν οὐκ ὄντα θεόν, καίτοι δέον ἀνάπτειν αὐτῶι τῶι θεῶι
καὶ πατρὶ τῆς ἐπ' αὐτῶι δὴ τούτωι πλημμελείας τὰ ἐγκλήματα. ὁρᾶι δὴ οὖν ὁ χριστο- 10
μαθὴς ὅποι ποτὲ αὐτῶι διεκπαίουσιν οἱ λόγοι καὶ τὰ ἐκ τῆς ἀκράτου ταυτησὶ δυσβουλίας
εὑρήματα πρὸς ποῖον αὐτῶι καταίρει λόγον. ἡμεῖς μὲν γὰρ θεὸν ὄντα κατὰ φύσιν τὸν
υἱόν, τουτέστι τὸν ἐκ τοῦ θεοῦ πατρὸς λόγον καθικέσθαι φαμὲν εἰς ἑκούσιον κένωσιν, ἀνα-
φοιτῆσαι δὲ αὖ καὶ μετὰ σαρκὸς εἰς τὸ τῆς ἑνούσης ὑπεροχῆς αὐτῶι θεοπρεπὲς ἀξίωμα·
προσκυνεῖται γὰρ καὶ μετὰ σαρκὸς ὡς καὶ πρὸ αὐτῆς ὑπάρχων προσκυνητός, ἦν γὰρ καὶ 15 P 126
ἔστι κατὰ φύσιν θεὸς καὶ πρὸ τῆς κενώσεως καὶ ὅτε τὴν κένωσιν ὑπομεῖναι λέγεται γε-
γονὼς καθ' ἡμᾶς· ὃ δὲ τῶν οὕτω σεπτῶν καὶ ἀκιβδήλων δογμάτων ὑπερορῶν ἄνθρωπον
συνάπτει θεῶι κατά γε τὴν ἔξωθεν σχέσιν καὶ ὡς ἐν ἰσότητι τῆς ἀξίας καὶ ὡς ἕτερον
ἑτέρωι συμπροσκυνεῖν οὐκ αἰσχύνεται. διατείνεται δὲ * * φησίν, ὡς ἄηθές τι καὶ ξένον
καὶ ὡς ἐν χάριτος μοίραι λαβεῖν τὸ κάμψαι τε αὐτῶι πᾶν γόνυ καὶ μὴν καὶ τὸ πᾶσαν 20
ἐξομολογήσασθαι γλῶσσαν ὅτι κύριος Ἰησοῦς Χριστός. καὶ εἰ μὲν φύσει θεὸν γενέσθαι
φησὶν αὐτόν, δεδυσφήμηκεν ἐναργῶς, γενητὴν εἶναι λέγων τὴν τῆς θεότητος φύσιν· εἰ δὲ
ἥκιστα μὲν κατὰ φύσιν, δοτὸν δὲ καὶ θύραθεν ἑλόντα τὸ ἀξίωμα καὶ ὡς ἐν μόνηι φωνῆι,
πῶς οὐκ ἐκεῖνό φησιν ἐναργῶς ὅτι λελατρεύκαμεν τῶι μὴ φύσει θεῶι καὶ σὺν ἡμῖν, ὡς
ἔοικε, καὶ ἡ τῶν ἄνω πνευμάτων πεπλάνηται νῆψις καὶ τούτων ἡμῖν αὐτὸς ὁ πατὴρ καὶ ἀρχὴ 25 Hebr. 1, 6
καὶ πρόφασις; πῶς ἂν οὖν ἔτι διαμωμήσαιτο τοὺς παρ' αὐτὸν τῆι κτίσει προσκυνεῖν ἠιρημέ-
νους; γράφεται δὲ ἀνθ' ὅτου ⟨καὶ⟩ κολάζει τοὺς πεπλανημένους, εἰ τοῖς αὐτοῦ νεύμασι
πεπλάνηται * * προσκυνητὸν ἡμῖν ἀποφήναντος τὸν οὐκ ὄντα φύσει θεόν; ἐπειδὴ δὲ παρα-
τιθεὶς τὸ ῥητὸν ἐν τούτοις, φημὶ δὴ τὸ ἐν χερσὶν ὅτι αὐτῶι κάμψει πᾶν γόνυ καὶ πᾶσα
γλῶσσα ἐξομολογήσεται ὅτι κύριος Ἰησοῦς Χριστός, παρῆκε τὸ λεῖπον καὶ ἐφεξῆς ἀναγκαίως 30
τῶι μακαρίωι Παύλωι προσεπενηνεγμένον, οὐκ οἶδ' ὅ τι διενθυμούμενος, φέρε προσθέντες
ἡμεῖς ἐκεῖνο λέγωμεν· ἐξομολογεῖται γὰρ πᾶσα γλῶσσα ὅτι κύριος Ἰησοῦς Χριστὸς PG 104
εἰς δόξαν θεοῦ πατρός. Phil. 2, 11
οὐκοῦν εἰ μὴ φύσει θεός ἐστι, διὰ συνάφειαν δὲ σχετι-
κήν, τὴν πρός γε φημὶ τὸν ἐκ θεοῦ λόγον, προσκυνεῖσθαί φησιν αὐτὸν πρός τε ἡμῶν αὐ- P 127
τῶν καὶ τῶν ἁγίων ἀγγέλων, εὐκλείας τις ἄρα τρόπος ἐξηύρηται τῶι πατρὶ τὸ θεοποιεῖσθαι 35
σὺν αὐτῶι τὴν κτίσιν καὶ λελύπηται μάτην ἐπί τισιν ὡς τοῦτο πεποιηκόσι. καὶ εἰ πρὸς
εὐκλείας ἦν τὸ χρῆμα αὐτῶι, πῶς οὐκ ἔδει καὶ ἀμοιβῆς ἀξιοῦν ἐπαίνου τε καὶ δόξης τοὺς
τοῦτο δρᾶν ἠιρημένους; ἀλλ' ἴσως ἐκεῖνο φαῖεν ἄν· τίνα τρόπον πρὸς εὐκλείας ἔσται τῶι
πατρὶ τὸ κάμψαι πᾶν γόνυ τῶι Ἐμμανουήλ; ὅτι θεὸς ὢν φύσει καὶ ἐξ αὐτοῦ, τουτέστιν
ἐκ τῆς οὐσίας αὐτοῦ γέγονε σὰρξ ὁ λόγος, προσκυνεῖται δέ, ὡς ἔφην, ὡς εἷς τε καὶ μόνος 40
καὶ ἀληθῶς υἱὸς μετὰ τῆς ἰδίας αὐτοῦ σαρκός, δοξάζεταί γε μὴν ὁ πατὴρ ὡς θεὸς ἔχων
ἀληθινὸν τὸν ἐκ τῆς οὐσίας αὐτοῦ γεννηθέντα υἱόν, ὃν καὶ σάρκα γεγονότα δέδωκεν ὑπὲρ

V

5 ἐνυπάρχων scripsi ἐνυπάρχουσι V 8 τῶι deleui 11 διεκπαίουσι ex διεκπαιδεύουσι corr. V 16 ἔστι Agellius ἔτι V 19 lacunam signaui e. g. supplendo αὐτὸν δι' ὧν 22 φησὶν Agellius φησὶ V γενητὴν Pusey γεννητὴν V 26 πῶς ἂν scripsi ἐπὰν V 27 καὶ add. Agellius 28 spatium fere VIIII litt. V, e. g. suppleo πᾶς ὁ εἰς Χριστὸν πιστεύων 35 τὸ scripsi τῶ V 39 τῶι Agellius τὸν V

Ioh 3, 16 ἡμῶν, ἵνα σαρκὶ παθὼν διασώσηι τὴν ὑπ' οὐρανόν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν
Ioh. 12, 45 οὐ μὴ ἀπόληται, ἀλλ' ἔχηι ζωὴν αἰώνιον, ἵνα πᾶς ὁ θεωρῶν αὐτὸν θεωρῆι τὸν πατέρα. Ζωοποιὸν δὲ τὸ χρῆμα, καὶ τοῦτο ἡμῖν ὑπάρχον ἀληθῶς αὐτὸς ἐκδέδειχεν ὁ
Ioh. 17, 3 υἱός, ἔφη γάρ· αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν θεὸν καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν.

Καὶ ἡ μὲν εἰς εὐθὺ καὶ ἁπλανεστάτη τῶν ἐννοιῶν αὕτη τε καὶ οὐχ ἑτέρα τρίβος ὁ δὲ ἄνω τε καὶ κάτω τὰ πάντα κυκῶν

Loofs 12 p. 262, 3. 4 Διὰ τὸν φοροῦντα, φησί, τὸν φορούμενον σέβω· διὰ τὸν κεκρυμμένον προσκυνῶ τὸν φαινόμενον.

Ἄθρει δή μοι πάλιν φεύγοντα πανταχοῦ τὴν ἕνωσιν καὶ δεδιότα τὸ ἀληθὲς καὶ τῶν θείων δογμάτων τὴν ὀρθότητα παραιτούμενον. οὐχ ἕτερος ἦν ὁ φορῶν παρὰ τὸν φορούμενον, ὁ αὐτὸς δὲ μᾶλλον ὡς ἐν συνόδωι νοούμενος θεότητός τε καὶ ἀνθρωπότητος εἷς τε καὶ μόνος ἀληθῶς υἱὸς τοῦ θεοῦ καὶ πατρός. οὐκοῦν ὡς ἕνα προσκύνει μετὰ τῆς
P 128 ἰδίας αὐτοῦ σαρκὸς τὸν ἐκ θεοῦ λόγον. ἐπεὶ φράσον εἰ μή σοι δοκῶ τὰ εἰκότα φρονεῖν τὴν σὴν ἐν τούτοις ἰσχνομυθίαν ὡς ἀδρανῆ παρωθούμενος. ἆρα γὰρ εἰ δή τις ἕλοιτο λέγειν περὶ ὁτουοῦν τῶν καθ' ἡμᾶς ἀνθρώπων ἢ γοῦν ἐφ' ἑνὸς τῶν ἐπὶ γῆς βασιλέων· διὰ τὴν τοῦ βασιλέως ψυχὴν σέβω τὸ σῶμα αὐτοῦ, διὰ τὸν κεκρυμμένον προσκυνῶ τὸν φαινόμενον, οὐκ ἄν τις εὐθὺς ἐπισκήψειε· τί δρᾶις, ὦ οὗτος; λέγων, εἷς που πάντως ἄνθρωπός ἐστιν ὁ κρατῶν, κἂν ἐκ δυοῖν ὁρῶιτο συγκείμενος, ψυχῆς δὴ λέγω καὶ σώματος; τί τοίνυν ἡμῖν εἰκῆι βατταρίζεις, φοροῦντα καὶ φορούμενον, κεκρυμμένον καὶ φαινόμενον ὀνομάζων καὶ ὡς ἕτερον ἑτέρωι συμπροσκυνεῖν ὁμολογῶν καὶ τὸν τῆς ἑνώσεως ἀτιμάζων τρόπον, ἕνα Χριστὸν καὶ κύριον ἀποφαινούσης ἡμῖν τῆς θεοπνεύστου γραφῆς
PG 105 τὸν ἐκ θεοῦ πατρὸς λόγον μετὰ τοῦ ἰδίου σώματος; ἢ οὐκ οἶσθα ὅτι τεθεράπευκε μὲν ἐν Ἱεροσολύμοις τὸν ἐκ γενετῆς τυφλόν, εἶτα τοῦτον εὑρὼν ἐν τῶι ἱερῶι, βεβαίαν αὐτῶι καὶ
oh. 9, 35-37 ἱδρυμένην ἐνετίθει τὴν πίστιν; ἤρετο γὰρ προσελθών· σὺ πιστεύεις εἰς τὸν υἱὸν τοῦ θεοῦ; καὶ πρός γε ταυτὶ διακεκραγότος ἐκείνου· τίς ἐστι, κύριε, ἵνα πιστεύσω εἰς αὐτόν, ἔφη πάλιν αὐτός· καὶ ἑώρακας αὐτὸν καὶ ὁ λαλῶν μετὰ σοῦ ἐκεῖνός ἐστιν. ὁρᾶις ὅπως οὐ τὸν φοροῦντα δέδειχεν, οὐ τὸν ἔσω κεκρυμμένον, ἀλλ' ὡς ἕνα
1 Ioh 1, 1 μᾶλλον ἑαυτὸν μετὰ τῆς σαρκός; καὶ γοῦν ὁ σοφὸς Ἰωάννης ὃ ἦν ἀπ' ἀρχῆς, φησίν, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, ὃ ἐθεασάμεθα καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν περὶ τοῦ λόγου τῆς ζωῆς. καίτοι τὸ θεῖόν ἐστιν ἀναφές, ἀλλὰ γέγονεν ἁπτὸς ὁ λόγος ὡς διὰ τῆς ἰδίας σαρκός, ἀόρατος κατὰ φύσιν, ἀλλ' ἦν ἐμφανὴς διὰ σώματος. σὺ δὲ δὴ πάλιν διιστᾶις ὁλοτρόπως καὶ κατασοφίζηι
Loofs p. 262, 5. 6 P 129 τὸ ἀληθές, τὰς μὲν φύσεις χωρίζων, ἑνῶν δέ, ὡς φής, τὴν προσκύνησιν. ἀλλ' εἰ χωρίζεις τὰς φύσεις, συναποφοιτήσειεν ἂν αὐτοῖς καὶ τὰ ἑκατέρας ἴδια φυσικῶς, ἐλάσει δὲ διαμπὰξ τῆς διαφορᾶς ὁ λόγος. δύο δὴ οὖν ὁμολογουμένως· πλὴν ἐρομένωι φράσον· τί τὸ διιστὰν ἀλλήλων τὰς φύσεις καὶ τῆς διαφορᾶς τίς ἂν εἴη ὁ τρόπος; ἀλλ' ἐρεῖς που πάντως ὡς ἕτερον μὲν κατὰ φύσιν ἄνθρωπος ἢ γοῦν ἀνθρωπότης, ἕτερον δὲ θεὸς ἤτοι θεότης, καὶ ἡ μὲν ἀσυγκρίτως θατέρας ὑπερηρμένη, μείων γε μὴν ἐκείνη τοσοῦτον ὅσον ἄνθρωπος θεοῦ. πῶς οὖν, εἰπέ μοι, μιᾶι προσκυνήσει τιμᾶν ἀξιοῖς τὰ οὕτως

12 cf Exc Eph. VIII. XV Exc Mar. Merc. XI Apol. adu. Or. 23; adfert Tim syr. f 45b

1—7 10—40 V 8 9 VVa
2 ἔχει V 6 ἡ Agellius εἰ V ἁπλανεστάτη scripsi ἁπλανεστάτην V 26 διακεκραγότος Pusey δακεκραγότοσ V 36 ἐρωμένω V

ἀλλήλοις ἀνισοφυῆ καὶ κατὰ τὸν τοῦ· πως εἶναι λόγον ἀσυγκρίτοις διαφοραῖς διεσχοινισμένα; ἆρα γὰρ ἵππωι περιθεὶς τὴν ἀνθρώπου δόξαν ἐργάσηι τι τῶν ἐπαινουμένων; ἢ μᾶλλον ἐξυβριεῖς τὸ ὑπερτεροῦν, κατασύρων εἰς τὸ δυσκλεὲς τὴν ἀμείνω φύσιν;

Ἀλλ' ἐξηύρηταί τι σοφὸν εἰς ἀπολογίαν αὐτῶι· προσεπάγει γάρ 4

13 Οὐ καθ' ἑαυτὸ θεὸς τὸ πλασθὲν ἐπὶ μήτρας· οὐ καθ' ἑαυτὸ θεὸς τὸ κτισθὲν ἐκ τοῦ πνεύματος· οὐ καθ' ἑαυτὸ θεὸς τὸ ταφὲν ἐπὶ μνήματος. οὕτω γὰρ ἂν ἦμεν ἀνθρωπολάτραι καὶ νεκρολάτραι σαφεῖς. ἀλλ' ἐπειδήπερ ἐν τῶι ληφθέντι θεός, ἐκ τοῦ λαβόντος ὁ ληφθείς, ὡς τῶι λαβόντι συναφθείς, συγχρηματίζει θεός. Loofs p. 262, 7-12

Ἰδοὺ δὴ πάλιν ἡμῖν ὁ τὴν συνάφειαν ὀνομάζων πανταχοῦ καὶ τὰ τῆς ἀνθρωπολατρίας ἐγκλήματα δεδιὼς ἥλω γεγονὼς ἀνθρωπολάτρης καὶ τοῖς τῆς ἑαυτοῦ δυσβουλίας βρόχοις ἐνίσχηται καὶ καταφωρᾶται πεσὼν εἰς ἀδόκιμον νοῦν. τὸ γάρτοι τεχθὲν ἐκ μήτρας οὐ καθ' ἑαυτό, φησί, θεός. ὡς ἄγαμαί σε τῆς ἀγχινοίας καὶ φρενὸς τῆς οὕτω λεπτῆς. τίς γὰρ ὅλως ὁ τοῦτο φάναι τεθαρσηκώς; ἢ τίς ἠγνόηκεν ὅτι τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστιν; ἀλλ' ἦν ἰδία τοῦ λόγου καὶ εἷς νοεῖται μετ' αὐτῆς ⟨ὡς⟩ καθάπερ ἀμέλει φθάσαντες εἴπομεν, καὶ ἡ τοῦ ἀνθρώπου ψυχὴ μετὰ τοῦ ἰδίου σώματος. ἆρ' οὖν εἴ τις ἕλοιτο καὶ ἐφ' ἡμῶν εἰπεῖν ⟨ὅτι⟩ οὐκ ἄνθρωπος τὸ σῶμα καθ' ἑαυτό, οὐ περιττὸς εἰς λόγους καὶ εἰκαιόμυθος ὀνομάζοιτο ἂν εἰκότως; ἀρνήσεται γὰρ οὐδεὶς ὅτι μὴ ἄνθρωπος τὸ σῶμα καθ' ἑαυτό, σῶμα δὲ μᾶλλον ἀνθρώπου λέγοιτ' ἄν· πλὴν οὐ δίχα διατεμὼν καὶ ἀνὰ μέρος τιθεὶς ψυχήν τε καὶ σῶμα φαίη τις ἂν ὅτι συγχρηματιεῖ τὸ σῶμα τῆι ψυχῆι πρὸς ἑνὸς ἀνθρώπου δήλωσιν (εἴη γὰρ ἂν οὐκ ἐν κόσμωι γεγενημένος ὁ τοιόσδε λόγος, μᾶλλον δὲ καὶ ἀμαθίας ἔμπλεως), ἄμφω γε μὴν καθ' ἕνωσιν φυσικὴν συνενεγκὼν εἰς ἑνὸς ἀνθρώπου σύστασιν, τότε καὶ ἄνθρωπον ὀνομάσει καὶ κἂν οὕτω δόξηι ἀσύφηλόν τε καὶ ἀκαλλὲς εἰπεῖν. ἔδει τοίνυν, εἴπερ τις ἦν ὅλως σοφός τε καὶ νουνεχής, σῶμα μὲν εἰπεῖν τὸ ἐκ γυναικός, προσομολογῆσαι δὲ ὅτι τῆι καθ' ὑπόστασιν ἑνώσει συνενεχθὲν τῶι λόγωι Χριστὸν ἕνα καὶ υἱὸν καὶ κύριον ἀποτετέλεκε τὸν αὐτὸν ὄντα θεὸν καὶ ἄνθρωπον· νυνὶ δὲ τοῦτο μεθεὶς ἴεται μὲν τὴν διεστραμμένην τῆς εἰς εὐθὺ διεκπίπτων ὁδοῦ, δύο δὲ ἡμῖν διακηρύττει θεούς, ἕνα μὲν ὡς φύσει καὶ ἀληθείαι τὸν ἐκ θεοῦ πατρὸς λόγον, ἕτερον δὲ παρ' αὐτὸν τὸν συγχρηματίζοντα αὐτῶι, ὅνπερ τρόπον οὐδεὶς ἂν λέγοιτο τῶν καθ' ἡμᾶς ἑαυτῶι καὶ μόνωι συνδιαιτᾶσθαι τυχόν, ἑτέρωι δὲ μᾶλλον συνδιαιτήσεται. κἂν εἴ τινα λέγοι τῶν ἐπὶ γῆς βασιλέων ἑαυτῶι συμβασιλεύειν, ὄφλοι ἂν εἰκότως γέλωτα καὶ βατταριεῖ τὸ ἐφ' ἑνός τε καὶ μόνου τιθεὶς καὶ λέγων ὡς ἐπὶ δυοῖν. οὕτως ἀσύνετον κομιδῆι τὸ συγχρηματίζειν οἴεσθαι καθ' ἑνός τε καὶ μόνου δύνασθαι χωρεῖν· δύο γὰρ που πάντως εἶεν ἂν καὶ ὃ μέν ἐστι κατὰ φύσιν θεός, ὃ δέ τάχα που καὶ μόνον τό γε συγχρηματίσαι θύραθέν τε καὶ ἐπίκτητον ἔχων πρόσφατος ἡμῖν ἀνεδείχθη θεός. ἆρ' οὖν ψεύδεται λέγων ὁ φύσει τε καὶ ἀληθῶς τῶν ὅλων θεός· ἐὰν ἀκούσηις μου, οὐκ ἔσται ἐν σοὶ θεὸς πρόσφατος οὐδὲ προσκυνήσεις θεῶι ἀλλοτρίωι; εἶτα πῶς προσκεκυνήκαμεν τῶι Χριστῶι καὶ αὐτῶι κάμψει πᾶν γόνυ; πῶς δὲ καὶ σέβειν αὐτὸν ὁμολογεῖς, καίτοι δεδιώς, ὡς ἔφης, τὸ ἀνθρωπολάτρης εἶναι δοκεῖν; ἀλλ' ἔχει τινά, καθάπερ οὖν οἴεται, σοφὸν ἐπὶ τῶιδε λόγον· ὡς γὰρ τῶι λαβόντι συναφθείς, συγχρηματίζει θεός. πῶς ἐλήφθη, Ps. 80, 9. 10 P 130 PG 108 P 131

13 cf. Exc. Eph. XV Exc. Mar. Merc. XI [Mar. Merc. 21 p. 35, 18—22]

1—4. 9—39 V 5—8 VVa

5 κτισθὲν Va Exc. Eph. πλασθὲν V 7 σαφὴς V 11 γάριοι Agellius γὰρ σοι V 14 ὡς addidi 16 ὅτι addidi 22 κἂν οὕτω δόξη V, sensum ita restituere conatus sum ⟨ἀνθρώπου σῶμα καὶ οὐδὲν⟩ ἂν οὕτω δόξειεν 26 ἴεται Agellius οἴεται V 28 ὅνπερ scripsi ὃν γὰρ V

φράσον, ἢ τίνα συνήφθη τρόπον; εἰ μὲν οὖν καθ' ἕνωσιν ἀληθῆ, τὴν καθ' ὑπόστασιν λέγω, παῦσαι μερίζων τὸ ἡνωμένον, ἐπὶ καιροῦ δὲ οἶμαι καὶ πρός γε ἡμῶν εἰρήσεται διατέμνοντί
Mt. 19, 6 σοι τὸ ἄτμητον· ὃ οὖν θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω· εἰ δέ γε τὴν λῆψιν ἢ γοῦν τὴν συνάφειαν ἔξωθέν τε καὶ σχετικὴν εἶναι φής, πῶς ἠγνόηκας ὅτι καὶ ἐν
2 Petr. 1, 4 ἡμῖν ἔστι θεὸς καὶ ἡμεῖς αὐτῶι συναπτόμεθα σχετικῶς καὶ κοινωνοὶ τῆς θείας αὐτοῦ γε-
Ps. 62, 9 γόναμεν φύσεως; ψάλλει γοῦν ὁ θεσπέσιος Δαυίδ· ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου. συγχρηματιοῦμεν οὖν ἄρα καὶ ἡμεῖς τῶι κατὰ φύσιν θεῶι, * * θεοὶ κατ' αὐτόν,
PG 109 κάμψει καὶ ἡμῖν πᾶν γόνυ. τί προστέταχε τοῖς ἄνω πνεύμασιν ὁ θεὸς καὶ πατήρ, δι-
Hebr. 1, 6 δασκέτω παρελθὼν ὁ θεσπέσιος Παῦλος· ὅταν γάρ φησιν, εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει· καὶ προσκυνησάτωσαν αὐτῶι πάντες ἄγγελοι θεοῦ. οὐκοῦν ἐπειδήπερ ἐν τούτοις τὸ σὸν δὴ καὶ σοφὸν οὐκ ἐπενήνεκται, προσκυνεῖσθαι δὲ μᾶλλον προστέταχεν ὡς ἕνα που πάντως καὶ οὐχ ἕτερον σὺν ἑτέρωι, τίς δὴ ὁ παρὰ τῶν ἀγγέλων προσκυνούμενος; καίτοι τὸν πρωτότοκον ἡ θεία λέγει γραφή, πρωτότοκον δὲ ὠνομάσθαι φαμὲν τὸν ἐκ θεοῦ πατρὸς λόγον, καίτοι θεὸν ὄντα κατὰ φύσιν καὶ υἱὸν μονογενῆ καὶ ἀσύντακτον τῆι κτίσει κατά γε τὸν τῆς θεότητος λόγον, ὅτι γέγονεν
Rom. 8, 29 ἄνθρωπος καὶ ἐν πολλοῖς ἀδελφοῖς πρωτότοκος. εἷς οὖν ἄρα πρὸς τῶν ἄνω πνευμάτων ὁ προσκυνούμενος, ὁ ἐκ θεοῦ πατρὸς λόγος μετὰ τῆς ἰδίας σαρκός· τότε γὰρ τότε καὶ ὡς πρωτεύων ἐν πᾶσι νοεῖται πρωτότοκος.

Col. 1, 18 Ἀλλ' αἱ μὲν θεόπνευστοι γραφαὶ Χριστὸν ἕνα διακηρύττουσι καὶ υἱὸν καὶ κύριον, δύο
P 132 γε μὴν ὁ περιττὸς οὑτοσί, καὶ προσκυνούμενον ἄνθρωπον τῆι ἁγίαι τε καὶ ὁμοουσίωι τριάδι προστιθεὶς οὐκ αἰσχύνεται· φησὶ γὰρ πάλιν

Loofs 14 1 Ἀλλ' οὗτος ὁ κατὰ σάρκα τοῦ Ἰσραὴλ συγγενής, ὁ κατὰ τὸ φαινόμενον ἄνθρωπος,
p. 248, 7-10 Rom. 1, 3 ὁ κατὰ τὴν Παύλου φωνὴν ἐκ σπέρματος γεγεννημένος Δαυὶδ παντοκράτωρ τῆι συναφείαι θεός.

Loofs p. 248, 12. 13 19 -249, 4 2 Εἶτα τούτοις ἐπάγει· Ἄκουσυν ἀμφότερα τοῦ Παύλου κηρύττοντος· ὁμολογεῖ τὸν ἄνθρωπον πρότερον καὶ τότε τῆι τοῦ θεοῦ συναφείαι θεολογεῖ τὸ φαινόμενον, ἵνα μηδεὶς ἀνθρωπολάτρην τὸν Χριστιανισμὸν ὑποπτεύηι. ἀσύγχυτον τοίνυν τὴν τῶν φύσεων τηρῶμεν συνάφειαν· ὁμολογῶμεν τὸν ἐν ἀνθρώπωι θεόν· σέβωμεν τὸν τῆι θείαι συναφείαι τῶι παντοκράτορι θεῶι συμπροσκυνούμενον ἄνθρωπον.

Εἰ μὲν οὖν ἄνθρωπον ὀνομάζων οἶσθα μετὰ τούτου καὶ θεὸν ὄντα κατὰ φύσιν αὐτόν, εὖ ἂν ἔχοι καὶ πεπαύσομαι· εἰ δὲ μερίζων τὰς φύσεις οὐχὶ τῶι εἰδέναι μόνον τίς μὲν ἡ ἀνθρωπεία, τίς δὲ δὴ πάλιν ἡ θεία, διιστὰς δὲ μᾶλλον τῆς πρὸς ἑνότητα συνδρομῆς,
Ps. 127, 2 ἀνθρωπολατρεῖς ὁμολογουμένως καὶ σοι πρὸς ἡμῶν εἰρήσεται· τοὺς καρποὺς τῶν πόνων σου φάγεσαι. σκληρὸς δὲ καὶ ἀνουθέτητος ὢν μόνος ἴθι τὴν διεστραμμένην· ἡμεῖς δὲ τὴν εὐσεβῆ καὶ ἀμώμητον τῶν ἁγίων πατέρων ἰχνηλατοῦντες τρίβον τοῖς τε ἀποστολικοῖς καὶ εὐαγγελικοῖς συγγράμμασιν εὖ μάλα παιδαγωγούμενοι, ὁμοῦ τῶι θεῶι καὶ
PG 112 πατρὶ καὶ τῶι ἁγίωι πνεύματι μιᾶι προσκυνήσει τιμήσομεν τὸν ἕνα κύριον Ἰησοῦν Χριστόν· δι' οὗ καὶ μεθ' οὗ τῶι θεῶι καὶ πατρὶ δόξα σὺν τῶι ἁγίωι πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

14, 1 repetitur infra p. 69, 7, adfert Tim. Patr. or. 13, 234 2 cf. Exc. Eph. V. X 27 ἀσύγχυτον — 29 adferuntur in ep. 128, 11

1—21. 30—39 V 22—29 VVa

7 lacunam signaui e. g. supplendo εἰ δ' ἐσόμεθα 13 δὴ scripsi δὲ V 17 γὰρ τότε scripsi γὰρ τέτοκε V 27 χριστιανισμὸν Va Exc. Eph. χριστιανὸν V 28 ἐν ἄνω Va Exc. Eph. ἕνα V

Τόμος τρίτος P 133

Μέγα μὲν ὁμολογουμένως ἐστὶ τὸ τῆς εὐσεβείας μυστήριον, τεθαύμασται δὲ καὶ παρ' 1 Tim. 3, 16
αὐτοῖς τοῖς ἁγίοις ἀγγέλοις καὶ πρός γε τοῦτο ἡμᾶς ἐμπεδοῖ λέγων ὁ σοφώτατος Παῦλος·
ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις Eph. 3, 10-12
διὰ τῆς ἐκκλησίας ἡ πολυποίκιλος σοφία τοῦ θεοῦ κατὰ πρόθεσιν τῶν 5
αἰώνων, ἣν ἐποίησεν ἐν τῷ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, ἐν ᾧ ἔχομεν
τὴν παρρησίαν καὶ προσαγωγὴν ἐν πεποιθήσει διὰ τῆς πίστεως. σοφία
γὰρ ἀληθῶς καὶ οὐκ ἀνθρωπίνη, πόθεν; θεία δὲ μᾶλλον καὶ ἐν ἀπορρήτοις τισὶ βάθεσί τε
καὶ ἀκαταληψίαις κειμένη τὸ Χριστοῦ μυστήριον. ψάλλει γοῦν ὁ μακάριος Δαυίδ· καὶ Ps. 17, 12
ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ κύκλωι αὐτοῦ ἡ σκηνὴ αὐτοῦ, σκοτεινὸν 10
ὕδωρ ἐν νεφέλαις ἀέρων, σκότον οἶμαι λέγων οὐδὲν ἕτερον πλὴν ὅτι που πάντως
τὴν τῶν ἐννοιῶν δυσκάτοπτον εὕρεσιν τοῖς τῆς διανοίας ὀφθαλμοῖς ἀχλύος δίκην ἐμπί-
πτουσαν. ταύτηι τοι φαμὲν ζητημάτων ἰσχνῶν καὶ περιεργίας τῆς ἐπέκεινα νοῦ δεδεῆ-
σθαι μὲν οὐδαμῶς τὸ Χριστοῦ μυστήριον, πίστεως δὲ μᾶλλον ἁπλῆν καὶ ἀκάκουργον ἐχούσης
τὴν παράδοσιν. οὕτω καὶ ἡμεῖς αὐτοὶ φρονεῖν δεδιδάγμεθα καὶ πεπιστεύκαμεν ὅτι θεὸν 15
ὄντα κατὰ φύσιν τὸν ἴδιον υἱὸν ἀπέστειλεν ὁ θεὸς καὶ πατὴρ ἄνθρωπον γεγονότα καὶ ἐκ
γυναικὸς κατὰ σάρκα γεγεννημένον, ἵνα δικαιώσηι τοὺς εἰς αὐτὸν πιστεύοντας καὶ τῶν ἐν
ἀγνοίαι πταισμάτων χρηστοῖς καὶ ἡμερωτάτοις ἀπαλλάξας νεύμασι καθαροὺς καὶ ἀμώμους
προσκομίσειε δι' αὐτοῦ τῶι θεῶι καὶ πατρὶ καὶ τῆς θείας ἑαυτοῦ φύσεως ἐργάσηται κοι- 2 Petr. 1, 4
νωνοὺς τοὺς ὑπὸ θάνατον καὶ φθοράν, κηρύξηι δὲ καὶ τυφλοῖς ἀνάβλεψιν καὶ τὰς τῶν P 134
πεπλανημένων ἀγέλας εἰς τὸ τῆς ἀληθοῦς θεογνωσίας μετακομίσηι φῶς διδάξηι τε λοιπὸν 21 Lc. 4, 19
τίς ὁ φύσει τε καὶ ἀληθῶς ἐστι θεὸς καὶ τῶν ὅλων δημιουργός. γέγονε γὰρ ὀσμὴ τῆς 2 Cor. 2, 14
γνώσεως τοῦ θεοῦ καὶ πατρὸς καὶ ἐν αὐτῶι τεθεάμεθα τὸν ἐξ οὗ γεγέννηται κατὰ φύσιν,
ἐγνώκαμέν τε σαφῶς τὴν εἰς ζωὴν ἡμᾶς τὴν ἀίδιον ἀποφέρουσαν ὁδόν. οὕτω καὶ ταῖς
τῶν ἐθνῶν ἀγέλαις ἐπιλάμψειν τὸν υἱὸν ὁ μακάριος προφήτης Ἡσαίας προανεκεκράγει λέ- 25
γων· οὕτω λέγει κύριος· ἐκοπίασεν Αἴγυπτος καὶ ἐμπορίαι Αἰθιόπων καὶ Ies. 45, 14. 15
οἱ Σαβαὶμ ἄνδρες ὑψηλοὶ ἐπὶ σὲ διαβήσονται καί σοι ἔσονται δοῦλοι καὶ
ὀπίσω σοῦ ἀκολουθήσουσι δεδεμένοι χειροπέδαις καὶ προσκυνήσουσί σοι
καὶ ἐν σοὶ προσεύξονται, ὅτι ἐν σοὶ ὁ θεός ἐστι καὶ οὐκ ἔστι θεὸς πλὴν
σοῦ. σὺ γὰρ εἶ θεὸς καὶ οὐκ ἤιδειμεν, ὁ θεὸς τοῦ Ἰσραὴλ σωτήρ. εἴρηται 30
δέ που πρὸς τὸν υἱὸν ὡς ἐκ προσώπου πάλιν τοῦ θεοῦ καὶ πατρός· ἰδοὺ τέθεικά σε Ies. 49, 6
εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν τοῦ εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχά-
του τῆς γῆς. νενομοθέτηκε μὲν γὰρ τὸν ἐξ αἵματός τε καὶ γένους Ἰσραὴλ τὴν καινὴν PG 113
διαθήκην, παλαιωθείσης τῆς πρώτης, ἐπέφανε δὲ καὶ μέχρι τερμάτων τῆς ὑπ' οὐρανὸν τοῖς Hebr. 8, 13
ἀνὰ πᾶσαν χώραν τε καὶ πόλιν ἔθνεσί τε καὶ λαοῖς. προσκεκυνήκασι γὰρ αὐτῶι καὶ 35
μὴν καὶ ἔπονται νοητῶς, ἀρρήκτοις ἀγάπης δεσμοῖς καθάπερ τισὶ χειροπέδαις ἐνισχημένα
καὶ μόνον οὐχὶ λέγοντα τὸ διὰ φωνῆς Ἱερεμίου· ἰδοὺ οἵδε ἡμεῖς ἐσόμεθά σοι, ὅτι Ier. 3, 22
σὺ κύριος ὁ θεὸς ἡμῶν εἶ. ὅρα δέ μοι τῶν προφητικῶν ἐννοιῶν τὴν ἐγρήγορσιν·
προσκυνήσουσί σοι, φησί, καὶ ἐν σοὶ προσεύξονται, ὅτι ἐν σοὶ θεός ἐστι Ies. 45, 15
καὶ οὐκ ἔστι θεὸς πλὴν σοῦ. ἤιδει μὲν οὖν ὁμολογουμένως ὡς πνευματοφόρος 40
τὸν ἐκ θεοῦ πατρὸς λόγον ἐν ἡμῖν σκηνώσοντα, καθά φησιν ὁ μακάριος εὐαγγελιστὴς Ioh. 1, 14
Ἰωάννης (ταύτηι τοί φησιν ὅτι ἐν σοὶ θεός ἐστι)· πλὴν οὐκ εἰς δύο τέμνεσθαι θεοὺς P 135
συγκεχώρηκε τὸν Ἐμμανουήλ, ἀλλ' εἰ καὶ γέγονεν ἄνθρωπος ὁ μονογενής, ἕνα καὶ οὕτως
ὡμολόγει πάλιν αὐτόν. καὶ γοῦν εὐθὺς προσεπήνεγκεν ὅτι οὐκ ἔστι θεὸς πλὴν σοῦ.

V

41 σκηνώσοντα Agellius σκηνώσαντα V 44 ὁμολόγει V

ἐπιτήρει γὰρ ἀκριβῶς τὴν τοῦ προφήτου φωνήν. προηγορευκὼς γάρ, ὡς ἔφην, ὅτι ἐν σοὶ ὁ θεός ἐστιν, οὐ προστέθεικεν ὅτι καὶ οὐκ ἔστι θεὸς πλὴν τοῦ ἐν σοί, ἀλλ' εἰς ἑνότητα συνενεγκὼν οἰκονομικήν, οὐκ ἔστι, φησί, θεὸς πλὴν σοῦ. ὅτι δὲ ἄνθρωπος γεγονὼς ὁ μονογενὴς τοῦ θεοῦ λόγος διὰ πάσης τῆς θεοπνεύστου γραφῆς ὡς ἕπος εἰπεῖν καταγγέλλεται, διὰ πλείστων μὲν ὅσων ἀκονιτὶ καταδεῖξαι ῥᾴιον, ἀπόχρη δέ, οἶμαι, πρὸς τὸ παρὸν ἐκεῖνο εἰπεῖν. ἔφη γάρ που θεὸς πρὸς τὸν μακάριον Δαυίδ· καὶ ἀναστήσω ἐκ τοῦ σπέρματός σου μετὰ σὲ ὃς ἔσται ἐκ τῆς κοιλίας σου, καὶ ἑτοιμάσω τὴν βασιλείαν αὐτοῦ· αὐτὸς οἰκοδομήσει οἶκον τῷι ὀνόματί μου. καὶ ἀνορθώσω τὸν θρόνον αὐτοῦ ἕως εἰς τὸν αἰῶνα καὶ ἐγὼ ἔσομαι αὐτῷι εἰς πατέρα καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν. ἀλλ', οἶμαι, φαίη τις ἄν, οὐκ ἐπί γε τῶι Ἐμμανουήλ, εἰρῆσθαι δὲ μᾶλλον ἐπὶ Σολομῶντι ταυτί· Παῦλός γε μὴν ὁ σοφώτατος τοῖς οὕτως ἐθέλουσι νοεῖν ἀντιτάξεται γεννικῶς. δέχεται γὰρ ἐπὶ Χριστῶι τὰς φωνὰς καὶ αὐτὸν εἶναί φησι πρὸς ὃν εἴρηται παρὰ τοῦ θεοῦ καὶ πατρὸς ὅτι ἔσομαι αὐτῷι εἰς πατέρα καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν. ὅτι δὲ καθ' ἡμᾶς γεγονώς, τουτέστιν ἄνθρωπος ἱερουργήσειν ἔμελλε τῶι θεῶι καὶ πατρὶ διὰ τῆς εἰς αὐτὸν πίστεως σεσωσμένην τὴν ὑπ' οὐρανόν, διεσάφει λέγων ἐν ἑτέροις· καὶ ἀναστήσω ἐμαυτῶι ἱερέα πιστὸν ὃς πάντα τὰ ἐν τῆι καρδίαι μου καὶ ἐν τῆι ψυχῆι μου ποιήσει, καὶ οἰκοδομήσω αὐτῷι οἶκον πιστὸν καὶ διελεύσεται ἐνώπιόν μου πάσας τὰς ἡμέρας. ἆρει δή μοι πάλιν ὡς ἐν ἑτέροις εἰπὼν οὗτος οἰκοδομήσει οἶκον τῶι ὀνόματί μου, τῶι υἱῶι τὸν οἶκον ἐγείρειν ὁ πατὴρ ἐπαγγέλλεται. καὶ τοῦτο συνεὶς ὁ θεσπέσιος Παῦλος Μωσέα μὲν ἔφη πιστὸν ἐν ὅλωι γενέσθαι τῶι οἴκωι μου, τὸ οἰκετικὸν ἔχοντα μέτρον, Χριστόν γε μὴν ὡς υἱὸν ἐπὶ τὸν οἶκον αὐτοῦ, οὗ οἶκος ἐσμὲν ἡμεῖς. τρόπος δὲ τῆς ἱερουργίας αὐτῶι τὰ καθ' ἡμᾶς, οὐχ αἷμα ταύρων καὶ μόσχων, ἀλλ' ἡ τῆς ἁπάντων πίστεως ὁμολογία. καὶ πιστώσεται πάλιν ὠδὶ γεγραφὼς ὁ μακάριος Παῦλος· ὅθεν, ἀδελφοὶ ἅγιοι, κλήσεως ἐπουρανίου μέτοχοι, κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν, πιστὸν ὄντα τῶι ποιήσαντι αὐτόν. αὐτὸν οὖν ἄρα φαμὲν τὸν ἐκ θεοῦ πατρὸς λόγον, ὅτε δι' ἡμᾶς κεκενῶσθαι λέγεται μορφὴν δούλου λαβών, τότε καὶ ἐν τοῖς τῆς ἀνθρωπότητος μέτροις ἑαυτὸν καθεῖναι, οἷς ἂν πρέποι, καὶ μάλα εἰκότως, καὶ τὸ ἀπεστάλθαι δοκεῖν καὶ τῆς ἀνωτάτω τιμῆς ἡγεῖσθαι πρόξενον τὴν ἱερουργίαν. εἰ γὰρ ἐπείπερ γέγονε καθ' ἡμᾶς, προσκεκύνηκε μεθ' ἡμῶν ὡς ἄνθρωπος, καίτοι προσκυνούσης αὐτὸν τῆς ἄνω πληθύος καὶ τῶν ἁγίων πνευμάτων λέγοντός τε Μωυσέος περὶ αὐτοῦ· εὐφράνθητε, οὐρανοί, ἅμα αὐτῷι καὶ προσκυνησάτωσαν αὐτῷι πάντες υἱοὶ θεοῦ, τί τὸ ξένον ἢ τῆς οἰκονομίας λόγοις ἀνάρμοστον, εἰ κεχρημάτικεν ἀρχιερεὺς ὡς εἰς ὀσμὴν εὐωδίας ἑαυτόν τε ὑπὲρ ἡμῶν καὶ ἡμᾶς ἀνατιθεὶς δι' ἑαυτοῦ τε καὶ ἐν ἑαυτῶι τῶι θεῶι καὶ πατρί; Χριστοῦ γὰρ ἐσμὲν εὐωδία κατὰ τὸ γεγραμμένον. ἀλλ' ἥκιστα μὲν ἐν κόσμωι τῶι δέοντι πεπρᾶχθαι ταυτὶ διισχυρίζεται πάλιν ὁ γεννάδας οὑτοσί, μόνον δὲ οὐχὶ καταμειδιᾶι τῶν οὕτω ταῦτ' ἔχειν ὑπειληφότων καὶ τοῖς θείοις σκέμμασιν ἀνοσίως ἐπιτιμῶν οὕτω πού φησιν

2Reg 7,12-14

Hebr. 1, 5

1 Reg. 2, 35

P 136
Hebr 3, 5 6

PG 116

Hebr 3, 1 2

Phil 2, 7

Hebr 1, 6

Deut 32, 43

Eph. 5, 2

2 Cor. 2, 15

Loofs 11
p. 232, 8-17
Hebr 3, 1

Ἀποστόλου γὰρ ἀκούοντες ὄνομα, τὸν θεὸν λόγον νοοῦσιν ἀπόστολον· ἀρχιερέως ἀναγινώσκοντες κλῆσιν, θεότητα τὸν ἀρχιερέα φαντάζονται παραδόξου φρενοβλαβείας ἰδέαι.

1, 1 = Exc Mai Merc V; 39 40 adfert Tim arm. p. 100

1—38 V 39 40 VVa

1 προηγορευκὼς scripsi προσηγορευκὼσ V 8 μου] σου V 12 malim ἀντιτετάξεται γεννικῶς ed Rom γενικῶσ V 19 οὕτοσ V malim αὐτός 21 μου suspectum 39 νεστορίου V in mg

τίς γὰρ ἀποστόλου λειτουργίαν μαθών, οὐκ εὐθὺς ἄνθρωπον μηνυόμενον ἔγνω; τίς ἀρχιε- P 137
ρέως ὀνομασίαν ἀκούων, θεότητος ⟨ἂν⟩ οὐσίαν τὸν ἀρχιερέα νομίσειεν; εἰ γὰρ ἀρχιερεὺς ἡ θεότης, τίς ὁ τῆι παρὰ τῆς ἀρχιερωσύνης λειτουργίαι θεραπευόμενος; εἰ θεὸς ὁ προσφέρων, οὐδεὶς ὧι προσφέρεται. τί γὰρ θεότητος ἄξιον, ἵν' ὡς ἐλάττων προσφέρηι τῶι μείζονι;

2 Προσεπάγει δὲ τούτοις· Πόθεν οὖν αὐτοῖς ὁ θεὸς κεκλῆσθαι νῦν ἀρχιερεὺς ἐνομίσθη Loofs
ὁ θυσίας εἰς προκοπὴν ἰδίαν κατὰ τοὺς ἀρχιερέας μὴ χρήιζων; ὁ θεότητος κτήτωρ ἐξ p. 233, 4-7
ἀνθρώπων ληφθεὶς ὑπὲρ ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν θεόν. Hebr. 5, 1

Οὐκοῦν οὐδὲ ἀπεστάλθαι φὴς εἰς τόνδε τὸν κόσμον τὸν τοῦ θεοῦ λόγον; πεφενάκικεν οὖν ἄρα κατὰ τὸ εἰκὸς τοὺς δι' αὐτοῦ κεκλημένους ὁ σοφώτατος Παῦλος· ἔφη γὰρ
ὅτι ἐξαπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ γενόμενον ἐκ γυναικός, γενόμενον Gal. 4, 4
ὑπὸ νόμον, ἁλοίη δ' ἂν κατὰ σὲ καὶ ὁ μακάριος Δαυὶδ ἐρραψωιδηκὼς εἰκῆι καὶ τὰ ἀνέφικτα ζητῶν· ἔφη γάρ που πρὸς τὸν ἐν τοῖς οὐρανοῖς πατέρα καὶ θεόν· ἐξαπόστειλον Ps. 42, 3
τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου. τί δέ; εἰπέ μοι, οὐχὶ καὶ αὐτὸς ὁ υἱὸς ψευ- PG 117
δοεπήσει τάχα που λέγων οὐ γὰρ ἀπέστειλεν ὁ θεὸς τὸν υἱὸν εἰς τὸν κόσμον, 15 Ioh. 3, 17
ἵνα κρίνηι τὸν κόσμον, ἀλλ' ἵνα σωθῆι ὁ κόσμος δι' αὐτοῦ, καὶ πάλιν ἐγὼ Ioh. 8, 42
ἐκ τοῦ πατρὸς ἐξῆλθον καὶ ἥκω; γράφει δέ που καὶ ὁ σοφὸς Ἰωάννης περὶ αὐτοῦ· ὁ λαμβάνων αὐτοῦ τὴν μαρτυρίαν ἐσφράγισεν ὅτι ὁ θεὸς ἀληθής ἐστιν· Ioh. 3, 33. 34
ὃν γὰρ ἀπέστειλεν ὁ θεός, τὰ ῥήματα τοῦ θεοῦ λαλεῖ. ἀπεστάλθαι δὲ φαμὲν τὸν τοῦ θεοῦ λόγον τὸ τῆς ἀποστολῆς ὄνομά τε καὶ χρῆμα μετὰ τῶν τῆς κενώσεως ἔχοντα 20
μέτρων, σὺ δὲ δὴ δέδιας ἀμαθῶς καὶ αὐτῶι προσνέμειν ἐρυθριᾶις ἀνθ' ὅτου τό τε τῆς ἀποστολῆς καὶ τῆς ἀρχιερωσύνης ὄνομά τε καὶ χρῆμα; ἆρα γὰρ ἁρμόσειν ὑπείληφας ὡς ἑτέρωι παρ' αὐτὸν ἀνθρώπωι τῶι ἐκ γυναικός, ψιλὴν ἔχοντι τὴν συνάφειαν κατὰ σὲ καὶ ὡς ἐν ἰσότητι μόνης τῆς ἀξίας; πῶς οὖν ἔτι τὰ καθ' ἡμᾶς ὀνήσας ὁρᾶται θεὸς ὢν ὁ λόγος, P 138
εἰ καὶ προσκεκομίσμεθα δι' ἑτέρου τῶι θεῶι καὶ πατρί; οὐκέτι γὰρ δι' αὐτοῦ τὴν προσα- 25 Eph. 2, 18
γωγὴν ἐσχήκαμεν, ἀλλὰ γέγονεν ἡμῶν μεσίτης ἄνθρωπος καθ' ἡμᾶς, τὸ τῆς θεότητος ὄνομα κατάπλαστον ἔχων. ἀλλὰ ναί, φησί, σμικρὸν ἂν εἴη τῶι ἐκ θεοῦ πατρὸς φύντι λόγωι τὸ ἱερουργεῖν. σμικρὸν ὁμολογουμένως, συνεργὸν γάρ σοι πρεσβεύοντι τἀληθές· ἀλλ' οὐ γυμνῆι τῆι θεότητι κεχρημένος ἐπέφανε τοῖς ἐπὶ τῆς γῆς, γεγονὼς δὲ μᾶλλον ἄνθρωπος καθ' ἡμᾶς, ὧι μέγα τι χρῆμα καὶ ἐξαίρετον ἡ ἱερουργία. εἰ δὲ δὴ παραιτεῖτο τὸ ἱερουρ- 30
γεῖν ὡς ἀνθρώπωι πρέπον ἢ γοῦν ἑτέρωι τῶι τῆς δουλείας ἔχοντι μέτρον, πῶς οὐκ ἄμεινον παρὰ πολὺ καὶ πρό γε τούτου παραιτεῖσθαι τὴν ἐνανθρώπησιν; ἀλλ' οὐκ ἀπόβλητον ἐποιήσατο δι' ἡμᾶς τὴν γέννησιν, οὐτοσὶ δέ, ὡς ἔφην, αἰσχύνεται τἀληθές, ἄσοφόν τε καὶ ἀνεπιστήμονα καταδεικνὺς ἑαυτόν, καίτοι τοῦ μακαρίου Παύλου λέγοντος· οὐ γὰρ ἐπαι- Rom. 1, 16
σχύνομαι τὸ εὐαγγέλιον, δύναμις γὰρ θεοῦ ἐστιν εἰς σωτηρίαν παντὶ τῶι 35
πιστεύοντι. θαυμάσειε δ' ἄν τις τὸν τοῦ θεοῦ λόγον τῆς ἁπάντων ἕνεκα σωτηρίας καὶ ζωῆς τοσαύτην ἀνασχόμενον παθεῖν τὴν ταπείνωσιν, ἣν οὐκ οἶδ' ὅπως ὁ τῶν εἰκαίων ἡμῖν διδαγμάτων εὑρετὴς καὶ μόνον ὁμολογεῖν αἰσχύνεται, καίτοι δέον ἄγασθαι μὲν ἐπὶ τούτοις αὐτόν, ἀνακραγεῖν δὲ ὁμοῦ τῶι μακαρίωι προφήτηι· κύριε, εἰσακήκοα τὴν Hab. 3, 2

1, 2 = Exc. Mar. Merc. V; 2—5 repetuntur infra p. 69, 23

1—5 VV^a 6—39 V

2 ἂν cod. Dresd. Chrysostom. ap. Loofs p. 232, 13 om. VV^a 3 τῆ παρὰ cod. Dresd. παρὰ τῆ V, V^a et hoc et altero [p. 69, 23] loco 9 κυρίλλου V in mg. 22 ἁρμόσειν Agellius ἁρμόσειεν V 28 συνερῶ Agellius συνεργῶ V 33 malim τὴν γέννησιν τὴν ἐκ γυναικός 37 ἀνασχόμενον scripsi ἀνασχομένω V 39 ἀνακεκραγεῖν V

ἀκοήν σου καὶ ἐφοβήθην· κατενόησα τὰ ἔργα σου καὶ ἐξέστην. ἐπειδὴ δὲ ἁπάσης αὐτῶι τῆς θεοπνεύστου γραφῆς ἀντειρομένης τρόπον τινὰ καὶ ἀντανιστώσης τὴν ἀλήθειαν ψυχρόν τε καὶ ἄυλον καὶ οὐδαμόθεν ἐπικουρούμενον ἀποφαινούσης αὐτῶι τὸν ἐπὶ τοῖς ἰδίοις εὑρήμασι λόγον, διηπόρηκεν οὐ μετρίως τῶν εἰς ὀρθότητά τε καὶ ἀλήθειαν ἐννοιῶν τε καὶ διασκέψεων, ταύτηι τοι καὶ ἃ μηδεὶς πώποτε τῶν εἰς ὀρθότητα τὴν δογμα-
P 139 τικὴν μεμαρτυρημένων ἢ πεφρονηκὼς ἢ λέγων ἁλίσκεται, ταύτας ποιεῖται τοῦ λόγου τὰς
PG 120 ἀφορμὰς σκιαμαχεῖ τε καὶ διατείνεται μάτην, ἀντεξάγοντος οὐδενὸς ἢ φιλονεικεῖν ἐθέλοντος
1 Cor. 9, 26 περὶ τούτων αὐτῶι, καὶ τοῦτο οἶμαί ἐστι τὸ εἰς ἀέρα δέρειν. ἔφη γάρ

Loofs p 232, 11-14 Τίς ἀποστόλου λειτουργίαν μαθών, οὐκ εὐθὺς ἄνθρωπον μηνυόμενον ἔγνω; τίς ἀρχιερέως ὀνομασίαν ἀκούων, θεότητος ⟨ἂν⟩ οὐσίαν τὸν ἀρχιερέα νομίσειεν;

Ὅτε τοίνυν οὐδεὶς ὁ τοῦτο λέγων ἐστί, τίσιν, εἰπέ μοι, φιλονεικεῖς καὶ τὸ ταῖς ἁπάντων ψήφοις κατεγνωσμένον ὡς μόνος αὐτὸς ἀνατρέπων οἴει τάχα που καὶ γερῶν ἀξίαν ποιεῖσθαι τὴν ἔνστασιν; καίτοι πῶς οὐκ ἀληθὲς ὡς τοῦτο λέγοντος οὐδενὸς εἰς μέσον ἄγεις αὐτὸς ὁ σιωπᾶν ἄμεινον καὶ μὴ ταῖς τῶν ἁπλουστέρων ἐνίεσθαι ψυχαῖς; τίς γὰρ οὕτως ἐμβρόντητος, ὡς θεότητος οὐσίαν τὸν ἀρχιερέα νομίζειν; ἄνθρωπος ἦν Ἀαρών, καίτοι τὸ προύχειν τῶν ἄλλων ἐν ἱερωσύνηι τῆι θείαι λαχών. πῶς οὖν ἄν τις οὐσίαν θεότητος τὸν ἀρχιερέα νομίσειεν; ἢ πῶς ἂν οὐχὶ πάντηι τε καὶ πάντως ὁμολογήσειεν ἀνθρώπου γενέσθαι μνήμην, ὅταν ἡμῖν ὁ Μωυσέος ἀδελφὸς ὡς ἀρχιερεὺς ὀνομάζηται; ἀλλὰ γὰρ κοινόν τινα καὶ κατὰ παντὸς ἀρχιερέως τῶν καθ' ἡμᾶς ἰόντα τε καὶ πρέποντα προτιθεὶς τὸν λόγον, τῆς ἐν Χριστῶι νοουμένης οἰκονομίας τὸ παράδοξον παραλύειν ἐπιχειρεῖ καὶ οἷον ἐκ βάθρων αὐτῶν κατασείειν ἀποτολμᾶι τὸ θεῖον ἡμῶν μυστήριον, οὐκ ἐννοῶν ὅτι τεθεμελίωκεν
Mt. 16, 18 ὁ Χριστὸς ἐπὶ πέτραν τὴν ἐκκλησίαν καὶ πύλαι ἅιδου οὐ κατισχύσουσιν αὐτῆς. ἥκιστα μὲν γὰρ ἀξιοῖ τῆι κοινῆι καὶ ἁπάντων τῶν ὀρθὰ φρονεῖν εἰωθότων ἕπεσθαι δόξηι, καινοτομεῖ * * καὶ μόνος ἀβασανίστως τὸ δοκοῦν. ἡμεῖς μὲν γάρ, καθάπερ ἤδη προεῖπον, τὸν ἐκ θεοῦ πατρὸς λόγον ἄνθρωπον γεγονότα καὶ ἱερουργῆσαι φαμὲν ἑαυτῶι καὶ τῶι πατρὶ τῆς πίστεως ἡμῶν τὴν ὁμολογίαν πρέπουσάν τε καὶ κατ' οὐδένα τρόπον ἀνάρμοστον τοῖς τῆς κενώσεως μέτροις ποιήσασθαι τὴν οἰκονομίαν, ἀλλ' οὐχ ὧδε ταὐτ' ἔχειν
P 140 ἐκείνωι δοκεῖ, ἰδίαι δὲ μᾶλλον καὶ ἀνὰ μέρος ἀπολαβὼν ὡς ἕτερον ὄντα Χριστὸν τὸν ἐκ τῆς ἁγίας παρθένου παρά γε τὸν ἐκ θεοῦ πατρὸς λόγον, αὐτὸν γενέσθαι φησὶν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν, οἴεται δὲ καί ⟨τι⟩ τῶν εἰς εὐσέβειαν ἡκόντων ἐννοεῖν, ἐκεῖνο λέγων

Loofs p. 232, 15-17 Εἰ θεὸς ὁ προσφέρων, οὐδεὶς ὧι προσφέρεται. τί γὰρ θεότητος ἄξιον, ἵν' ὡς ἐλάττων προσφέρηι τῶι μείζονι;

Ἀλλ' εἰ μέν τις ἦν ὁ διατεινόμενός τε καὶ λέγων αὐτὸν ἀληθῶς τὸν ἐκ θεοῦ πατρὸς λόγον καὶ πρὸ τῆς ἐνανθρωπήσεως τετάχθαι πρὸς ἱερουργίαν καὶ ἐν μέτροις εἶναι τοῖς λειτουργικοῖς ταύτης τε ἕνεκα τῆς αἰτίας ὀνομάζεσθαι δεῖν ἀρχιερέα καὶ ἀπόστολον, σοφὴν ἂν ἐποιήσατο τὴν ἐπίπληξιν, πεποιῆσθαι δὲ καὶ ἐν κόσμωι φαίη τις ἂν αὐτῶι τὸν ἐπὶ τούτωι συλλογισμόν, οὐ γὰρ ἦν ἐν σπάνει τῶν ἱερουργῶν ἡ τῶν ὅλων κατάρχουσα φύσις, ἵν' ἑαυτῆι λειτουργήσειεν· ἐπειδὴ δὲ φύσει θεὸς ὑπάρχων ὁ μονογενὴς καὶ τὰς παρὰ τῶν ἱερατεύοντων λειτουργίας δεχόμενος εἰς τὸ τῶν τεταγμένων εἰς ἱερουργίαν καταπεφοίτηκε μέτρον ἄνθρωπος γεγονώς, ὡς ἔφην, γένοιτο ἂν τῶν ἀτόπων οὐδέν, εἰ καλοῖτο πρὸς ἡμῶν
PG 121 καὶ ἀρχιερεύς. ἢ οὐ καταβέβηκεν ἐν τῆι τοῦ δούλου μορφῆι, μορφὴν δηλονότι δούλου

V

6 ποιῆται V 8 αὐτῶι Agellius αὐτῶν V 10 ἂν om. V cf. p. 55. 2 11 φιλονικεῖσ V 13 ποιῆσθαι V 14 οὕτως ed. Rom. οὐτοσ V 24 lacunam signaui e. g. supplendo δὲ διισχυριζόμενος αὐτὸς 30 τι addidi 33 προσφέρει V 37 ἐπίπληξιν Agellius ἀπόπληξιν V 38 σπάνη V 39 ἑαυτῆι Agellius ἐν αὐτῆ V 41 καλεῖτο V

λαβών, καίτοι χαρακτὴρ ὑπάρχων καὶ ἀπαύγασμα τῆς δόξης τοῦ πατρός; ἀλλ' οὐκ ἂν Hebr. 1, 3
ἐνδοιάσειέ τις. ὅτε τοίνυν ὁ κατὰ φύσιν ἰδίαν ἐλεύθερος ὡς θεός, ὁ ἐν μορφῇ καὶ
ἰσότητι τοῦ γεγεννηκότος, κεχρημάτικε δοῦλος, τῶν ὑπὸ ζυγὰ δουλείας τὸ μέτρον οὐ διω-
θούμενος οἰκονομικῶς, ἀνθ' ὅτου δέδιας αὐτὸν καὶ ἀρχιερέα καλεῖν διὰ τὸ ἀνθρώπινον;
καθιεροῖ γὰρ ἡμᾶς εἰς ὀσμὴν εὐωδίας διὰ τῆς πίστεως ἑαυτόν τε ὑπὲρ ἡμῶν ὡς εὐοσμώ- 5 Eph. 5, 2
τατον θύμα προσκεκόμικεν τῷι πατρί. ὃ δὲ οὐκ οἶδ' ὅ τι λέγων προσεπάγει τού-
τοις εὐθύς

Πόθεν οὖν ὁ θεὸς αὐτοῖς κεκλῆσθαι νῦν ἀρχιερεὺς ἐνομίσθη ὁ θυσίας εἰς προκοπὴν Loofs
ἰδίαν μὴ χρήιζων; ὁ θεότητος κτήτωρ ἐξ ἀνθρώπων ληφθεὶς ὑπὲρ ἀνθρώπων κα- p 233, 4-7
θίσταται τὰ πρὸς τὸν θεόν. P 141
Hebr. 5, 1

Πόθεν μὲν οὖν ἦν ἢ διὰ ποίαν αἰτίαν ὠνόμασται Χριστός, τουτέστιν ἄνθρωπος γε- 11
γονὼς ὁ ἐκ θεοῦ λόγος, ἀπόστολος καὶ ἀρχιερεύς, διαρκῶς ἡμῖν ὁ λόγος ἀποδέδειχεν ἀρτίως·
οἶμαι δὲ δεῖν οὐκ ἀβασάνιστον ἐᾶν τὴν ἀσυνήθη τε καὶ ξένην αὐτοῦ φωνήν. ἆρα γὰρ
θεότητος κτήτορα τὸν ἐκ θεοῦ φησι λόγον, κἂν εἰ ἀνὰ μέρος βούλοιτό τις νοεῖν αὐτὸν καὶ
δίχα σαρκός; ἆρ' ὡς παρ' αὐτὸν ἑτέραν τὴν θεότητα αὐτοῦ διορίζεται, ἧς οὐκ οἶδ' ὅπως, 15
καθά φησιν αὐτός, γέγονε κτήτωρ ὡς προσειλημμένης ἔξωθεν καὶ ἐπισυμβάσης [αὐτῶι],
καίτοι θεῶι κατὰ φύσιν [οὐκ] ὄντι, αὐτῶι ποτε, ὁποῖόν ἐστι τὸ παρὰ τῆς ἀρχαίας ἐκείνης
γυναικός, φημὶ δὴ τῆς Εὔας, τεκούσης τὸν Σὴθ ἐκτησάμην ἄνθρωπον διὰ τοῦ θεοῦ; Gen. 4, 1
ἀλλ' οἶμαι τοῦτό ἐστιν ἀπόβλητον παντελῶς αὐτῶι τε καὶ πᾶσι. τί οὖν ἀκυρολογεῖ καὶ
παραρριπτεῖ φωνὰς ἀσυνέτους ἐπ' ἀναγκαίοις οὕτω πράγμασιν; ἢ οὐκ ἂν ὄφλοι γέλωτα 20
καὶ φρενοβλαβείας γραφήν, εἰ δὴ βούλοιτό τις ἕνα τῶν καθ' ἡμᾶς ἀνθρωπότητος κτήτορα
λέγειν ἢ γοῦν τὸν ἵππον ἱππότητος; τίς ἆρα λοιπὸν ὁ τῆς θεότητος κτήτωρ, ὃς ἐξ ἀνθρώ-
πων ληφθεὶς τὰ πρὸς τὸν θεὸν καθίσταται; ἐρεῖ τάχα που διελὼν εἰς δύο τὸν ἕνα Χριστὸν
* * τὸν ἐκ τῆς ἁγίας παρθένου· τέτραπται γάρ πως εἰς τοῦτο καὶ νῦν ὁ σκοπὸς αὐτῶι.
κτῆσις οὖν ἀνθρώπου γέγονεν ἡ θεότης, εἰπέ μοι, καὶ συνέβη τινὶ τῶν καθ' ἡμᾶς τὸ φύσει 25
τε καὶ ἀληθείαι γενέσθαι θεὸν καὶ τῆς ἀνωτάτω πασῶν καὶ ὑπερτάτης οὐσίας καταπλου-
τῆσαι τὴν ὑπεροχήν; ἄπαγε τῆς δυσβουλίας, ἄνθρωπε· κεκτήσεται γὰρ οὐδεὶς καὶ ὡς ἰδίαν
ἂν ἔχοι τὴν τῆς θεότητος φύσιν τῶν τελούντων ἐν γενητοῖς. ἴδιον ἦν τὸ σῶμα τοῦ
λόγου καὶ ὡς ἕνα θεὸν καὶ Χριστὸν καὶ υἱὸν καὶ κύριον σὺν αὐτῶι προσκεκύνηκεν ἡ κτίσις
καὶ δοξολογοῦσιν οἱ οὐρανοὶ καὶ σὺν αὐτοῖς ἡμεῖς. ὡς γὰρ ὁ προφήτης φησίν, ἐκά- 30 Hab 3, 3
λυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ καὶ τῆς αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ, οὐχ P 142
ὡς ἀνθρώπου θεότητα κτησαμένου· πῶς γὰρ ἦ πόθεν; ἀλλ' ὡς ἐν προσλήψει σαρκὸς ἀν-
θρώπου γεγονότος τοῦ ἐκ θεοῦ πατρὸς λόγου. ἀλλ' ἔστω τυχὸν ὁ ἐξ ἀνθρώπων ληφθεὶς
θεότητος κτήτωρ κατά γε τὸ αὐτῶι σοι δοκοῦν· πῶς καθίσταται τὰ πρὸς τὸν θεόν, ὡς PG 124
ἀρχιερεὺς δηλονότι; πότερα οὖν γυμνὸς ἧς ἐκτήσατο θεότητος, ἱερατεύσει τῶι θεῶι ἢ ταύ- 35
την ἤδη πως ἰδίαν ἔχων; τουτὶ γὰρ οἶμαι καὶ ἕτερον οὐδὲν κατασημάνειεν ἂν τὸ κτήσασθαι
λέγειν αὐτόν. ἀλλ' εἰ μὲν γυμνός, οὐκ ἐκτήσατο· εἰ δὲ ὡς ἰδίαν ἔχων αὐτήν, θεότης
που πάντως ἱερατεύσει θεῶι. τί οὖν ἀλύεις ἄνω τε καὶ κάτω διακυκᾶις καὶ παρασημ-
μαίνων οὐκ ἐρυθριᾶις τῆς πίστεως τὴν παράδοσιν; ἔχει πρόφασιν ἀναγκαίαν ὁ ἐκ θεοῦ
πατρὸς λόγος κἂν ⟨εἰ⟩ ἱερατεῦσαι λέγοιτο τῶι πατρί· κεχρημάτικε γὰρ ἱερεὺς οὐ δίχα σαρκός, 40
καθ' ἡμᾶς δὲ γεγονώς, ὡς ἔφην, οἷς καὶ ἐν εὐκλείας τάξει λελόγισται τῆς ἱερωσύνης τὰ
αὐχήματα. καὶ καθ' ἕτερον δὲ τρόπον ἀταλαίπωρον ἰδεῖν ὡς ἐστι τῶν ἄγαν ἐκτοπω-

---

V

3 τῶν Agellius τὸν V 5/6 εὐοσμότατον V 16 αὐτῶι deleui 17 οὐκ deleui
18 postulatur Κάιν, est lapsus ipsius Cyrilli 22 ὃς scripsi ὁ V 24 lacunam signaui e g.
supplendo εἰς τὸν ἐκ θεοῦ πατρὸς λόγον καὶ τέτραπται Agellius γέγραπται V 35 ἱερατεύσει
ed. Rom. ἱερεύσει V 36 κατασημαίνειεν V 37 θεότης Agellius θεότητός V 40 εἰ addidi
41 οἷς Agellius οὗσ V

ἅπαντες ἡγιάσθησαν ἢ ἐδοξάσθησαν· οὐκ ἄρα τῆς πρὸς υἱὸν συμμορφίας τὸ χρῆμα κατὰ μόνην ἂν νοοῖτο τὴν τῆς σαρκὸς φύσιν ἢ γοῦν τῆς ἀνθρωπότητος, ἀλλὰ καὶ καθ' ἕτερον
1 Cor. 15, 49 τρόπον. καὶ τοῦτο ἡμῖν παρίστησι λέγων ὁ μακάριος Παῦλος· καὶ καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοικοῦ, φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου, χοικοῦ μὲν λέγων εἰκόνα τὴν τοῦ προπάτορος Ἀδάμ, ἐπουρανίου γε μὴν τὴν τοῦ Χριστοῦ. τίς οὖν ⟨ἡ⟩ πρώτη τοῦ προπάτορος εἰκών; τὸ εὐπόριστον εἰς ἁμαρτίαν, τὸ ὑπὸ θάνατον γενέσθαι καὶ φθοράν. ποία δὲ πάλιν ἡ τοῦ ἐπουρανίου; τὸ κατ' οὐδένα τρόπον ἡττᾶ-
PG 129 σθαι παθῶν, τὸ μὴ εἰδέναι πλημμελεῖν, τὸ μὴ ὑποκεῖσθαι θανάτωι καὶ φθορᾶι, ὁ ἁγιασμὸς ἡ δικαιοσύνη καὶ ὅσα τούτοις ἀδελφά τε καὶ παραπλήσια. ἀλλ' οἶμαι, ταυτὶ πρέποι ἂν τῆι θείαι τε καὶ ἀκηράτωι διακεκτῆσθαι φύσει. κρεῖττον γάρ ἐστι καὶ ἁμαρτίας καὶ φθορᾶς ἁγιασμὸς καὶ δικαιοσύνη. ἀναφέρει δὲ καὶ ἡμᾶς ἐν τούτοις ὁ ἐκ θεοῦ πατρὸς
2 Petr. 1, 4 λόγος, τῆς θείας ἑαυτοῦ φύσεως κοινωνοὺς ἀποφαίνων διὰ τοῦ πνεύματος. ἔχει τοίνυν ἀδελφοὺς ἐοικότας αὐτῶι καὶ τῆς θείας αὐτοῦ φύσεως φοροῦντας εἰκόνα κατά γε τὸν τοῦ
P 147 ἡγιάσθαι τρόπον· οὕτω γὰρ ἐν ἡμῖν μορφοῦται Χριστός, μεταστοιχειοῦντος ὥσπερ ἡμᾶς τοῦ ἁγίου πνεύματος ἐκ τῶν ἀνθρωπίνων εἰς τὰ αὐτοῦ. ταύτηι τοι καὶ πρὸς ἡμᾶς ὁ
Rom. 8, 9 μακάριος ἔφη Παῦλος· ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί, ἀλλ' ἐν πνεύματι. οὐκοῦν μεθίστησι μὲν ὁ υἱὸς οὐδὲν τὸ παράπαν τῶν πεποιημένων εἰς τὴν τῆς ἰδίας θεότητος φύσιν
2 Petr. 1, 4 (ἀμήχανον γάρ), ἐνσημαίνεται δέ πως τοῖς τῆς θείας φύσεως αὐτοῦ γεγονόσι κοινωνοῖς διὰ τοῦ μετασχεῖν ἁγίου πνεύματος ἡ πρὸς αὐτὸν ἐμφέρεια νοητὴ καὶ τὸ τῆς ἀρρήτου θεότητος κάλλος ταῖς τῶν ἁγίων ἐναστράπτει ψυχαῖς. τί τοίνυν ἡμῖν γυμνήν τε καὶ μόνην τῆς σαρκὸς τὴν ἐμφέρειαν ἀπονέμων οὐκ ἐρυθριᾶις, τῆς θείας τε καὶ νοητῆς μορφώσεως κατημεληκώς, μᾶλλον δὲ καὶ εἰς ἅπαν αὐτὴν ἀναιρῶν; ἀλλ' ὁ μὲν τῶν ὅλων κύριος καὶ θεὸς μονογενὴς καθῆκεν ἑαυτὸν εἰς κένωσιν δι' ἡμᾶς, ἵνα ἡμῖν χαρίσηται τῆς πρὸς αὐτὸν ἀδελφότητος τὸ ἀξίωμα καὶ τῆς ἐνούσης αὐτῶι εὐγενείας τὸ ἀξιέραστον κάλλος· ὁ δὲ ἁπάντων ἡμᾶς τῶν καλλίστων ἀποστερῶν ἄνθρωπον ἡμῖν ἁπλῶς ἀδελφὸν γεγενῆσθαί φησι καὶ πιστόν, ὡς οἴεται, τὸν ἔν γε τούτοις ἡμῖν ἀποφαίνει λόγον προστιθείς

Loofs p. 234,10-16 Hebr. 2,17.18 Σκόπει καὶ τὸ τούτοις εὐθὺς συναπτόμενον· ἵνα ἐλεήμων γένηται καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν θεόν. ἐν ὧι γὰρ πέπονθεν αὐτὸς πειρασθείς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι. οὐκοῦν ὁ παθὼν ἀρχιερεὺς ἐλεήμων· παθητὸς δὲ ὁ ναός, οὐχ ὁ ζωοποιὸς τοῦ πεπονθότος θεός.

Ὅτι μὲν οὖν ὧδέ τε φρονεῖν ἠρημένος καὶ μὴν καὶ λέγειν ἀποτολμῶν ἀποδιίστησιν πάλιν εἴς τε ὑποστάσεις ἰδικὰς καὶ μὴν καὶ πρόσωπα δύο τόν τε ἐκ θεοῦ πατρὸς λόγον καὶ ὃν αὐτὸς ἡμῖν ἀρτίως ὡς θεοφόρον εἰσκεκόμικεν ἄνθρωπον, εἴπερ ἐστὶν ἕτερός τε καὶ ἀνὰ μέρος ὁ παθὼν καὶ ἕτερος ὁ ζωοποιός, ἐνδοιάσειν οἶμαι παντελῶς οὐδένα· παραπαίει
Deut. 32, 32 δὲ καὶ ἑτέρως, τὸν ἐξ ἀμπέλου Σοδόμων οἶνον ἐκπεπωκὼς καὶ καταμεθύων τῆι πλάνηι καὶ
P 148 τάχα που μηδὲ εἰδὼς ὃ λέγει. ποῦ γὰρ ὠνόμασται θεὸς τοῦ Χριστοῦ (καταπέφρικα δὲ λέγων) ὁ ἐκ θεοῦ πατρὸς λόγος; εἷς γὰρ κύριος Ἰησοῦς Χριστὸς καὶ μία πίστις ἡ εἰς αὐτόν, οὐχ ὡς εἰς δύο καὶ ἀνὰ μέρος, ἀλλ' ὡς δι' ἑνὸς βαπτίσματος εἰς υἱὸν ἕνα καὶ θεὸν καὶ κύριον τὸν ἐκ θεοῦ πατρὸς λόγον καὶ ὅτε γέγονεν ἄνθρωπος. οὐ γὰρ ὅτι γέγονε καθ' ἡμᾶς, τὸ εἶναι θεὸς ἀπολέσει, πόθεν; οὔτε μὴν ὅτι θεὸς κατὰ φύσιν ἐστίν, τὴν πρὸς ἡμᾶς ὁμοίωσιν ἀπαράδεκτον ἔχει καὶ τὸ ἄνθρωπος εἶναι παραιτήσεται, μεμένηκε δὲ ὥσπερ

---

29 παθητὸς — 30 Tim. syr. f. 48a 39—p. 61, 2 Iustinian. c. Monophys. [Mai scriptt. uett. 7, 294] Κύριλλος ἐν τῶι τρίτωι τόμωι τῶι πρὸς Νεστόριον· οὐ γὰρ — Ἐμμανουήλ; eadem extant apud Leont. adu. Nestor. et Eutychian. 1 flor. 68 [Junglas, Leontius p. 31]

V

4 φορέσομεν V 6 ἡ addidi 35 σοδόμον V 40/41 τὴν πρὸς ἡμᾶς Iust. om. V

ἐν ἀνθρωπότητι θεός, οὕτω καὶ ἐν φύσει τε καὶ ὑπεροχῇ θεότητος ὤν, ἄνθρωπος οὐδὲν PG 132
ἧττόν ἐστιν. ἄμφω δὴ οὖν ἐν ταυτῷ καὶ εἷς θεός τε ὁμοῦ καὶ ἄνθρωπος ὁ Ἐμμανουήλ.
ἀλλ' ὁ χρηστὸς οὑτοσὶ τῆς οἰκονομίας τὸν τρόπον ὡς ἀκαλλῆ παραιτούμενος, ἀποφέρει τοῦ
θεοῦ λόγου τὰ ἀνθρώπινα, ἵν' ὁρῷτο λοιπὸν κατ' οὐδένα τρόπον ὀνήσας τὰ καθ' ἡμᾶς.
οὐ γάρτοι φησὶν αὐτὸν ἐλεήμονά τε καὶ πιστὸν ἀρχιερέα γενέσθαι, προσνέμει δὲ μᾶλλον 5
ὡς ἑτέρωι παρ' αὐτὸν τὸ χρῆμα τῶι πεπονθότι. καίτοι πῶς οὐκ ἔδει μυσταγωγὸν εἶναι
θέλοντα σοφὸν τῶν ἐν τῇι θεοπνεύστωι γραφῇι φωνῶν τε καὶ ἐννοιῶν ἀκριβῆ ποιεῖσθαι
τὴν ἄθροισιν ἐννοεῖν τε ὅτι καὶ θεοπρεπὲς ἀληθῶς τὸ χρῆμά ἐστι καὶ οὐκ ἔξω λόγου τοῦ
τῇι κενώσει πρέποντός τε καὶ ἐοικότος; καὶ τίνα τρόπον; ἐροῦμεν βραχυλογοῦντες ὡς ἔνι.
κατεχρησμώιδησε μὲν γὰρ ὁ τῶν ὅλων θεὸς τοῖς ἀρχαιοτέροις τὸν νόμον μεσολαβοῦντος 10
Μωσέως, ἀλλ' οὐκ ἦν ἐν νόμωι τὸ δύνασθαι κατορθοῦν τοῖς ἐθέλουσιν ἀμωμήτως τὸ
ἀγαθόν. τετελείωκε γὰρ οὐδέν, ἀλλ' οὐδὲ ἄμεμπτος ἦν ἡ πρώτη διαθήκη, κατάκριμα δὲ Hebr. 7, 19
διακονίας ὠνόμαζεν αὐτὴν ὁ πάνσοφος Παῦλος, ἀκούω δὲ λέγοντος· οἴδαμεν ὅτι cf. 2 Cor. 3, 9
ὅσα ὁ νόμος λέγει, τοῖς ἐν τῶι νόμωι λέγει, ἵνα πᾶν στόμα φραγῇι καὶ Rom. 3, 19. 20
ὑπόδικος γένηται πᾶς ὁ κόσμος τῶι θεῶι, διότι ἐξ ἔργων νόμου οὐ δι- 15
καιωθήσεται πᾶσα σὰρξ ἐνώπιον αὐτοῦ. κατεργάζεται γὰρ ὁ νόμος [εἰς] P 149
ὀργὴν καὶ τὸ γράμμα ἀποκτέννει καὶ ὥς πού φησιν αὐτός, ἀθετήσας τις νόμον Μω- Rom. 4, 15
σέως χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήισκει. κατα- 2 Cor. 3, 6
κρίνοντος τοίνυν τοῦ νόμου τοὺς ἁμαρτάνοντας καὶ τὴν ἐσχάτην ἔσθ' ὅτε ποινὴν καθορι- Hebr. 10, 28
ζοντος τῶν ἠμεληκότων καὶ κατ' οὐδένα τρόπον οἰκτείραντος, πῶς οὐκ ἀναγκαία τοῖς ἐπὶ 20
τῆς γῆς ἡ τοῦ φιλοικτίρμονος καὶ ἐλεήμονος ἀληθῶς ἀρχιερέως ἀνάδειξις ἦν, παύοντος μὲν
τὴν ἀράν, ἀνακόπτοντος δὲ τὴν δίκην καὶ ἀπαλλάττοντος τοὺς ἡμαρτηκότας ἀμνησικάκωι
χάριτι καὶ τοῖς ἐξ ἡμερότητος νεύμασιν; ἐγὼ γάρ φησιν, εἰμὶ ὁ ἐξαλείφων τὰς ἀνο- Ies. 43, 25
μίας σου καὶ οὐ μὴ μνησθήσομαι. δεδικαιώμεθα γὰρ ἐν πίστει καὶ οὐκ ἐξ ἔργων Gal. 2, 16
νόμου κατὰ τὸ γεγραμμένον. εἰς τίνα δὴ οὖν πιστεύοντες δικαιούμεθα; οὐκ εἰς τὸν πα- 25
θόντα δι' ἡμᾶς τὸν κατὰ σάρκα θάνατον; οὐκ εἰς ἕνα κύριον Ἰησοῦν Χριστόν; οὐ τὸν
θάνατον αὐτοῦ καταγγέλλοντες καὶ ὁμολογοῦντες τὴν ἀνάστασιν λελυτρώμεθα; εἰ μὲν οὖν
εἰς ἄνθρωπον τῶν καθ' ἡμᾶς ἕνα πεπιστεύκαμεν καὶ οὐχὶ δὴ μᾶλλον εἰς θεόν, ἀνθρωπολα-
τρία τὸ χρῆμα καὶ ἕτερον οὐδὲν ὁμολογουμένως· εἰ δὲ θεὸν εἶναι τὸν πεπονθότα σαρκὶ
πιστεύομεν, ὃς καὶ γέγονεν ἡμῶν ἀρχιερεύς, πεπλανήμεθα μὲν κατ' οὐδένα τρόπον, ἄνθρω- 30
πον δὲ γεγονότα τὸν ἐκ θεοῦ λόγον ἐπιγινώσκομεν, πράττεται δὲ οὕτω πρὸς ἡμῶν ἡ πίστις
εἰς θεὸν τὸν ἔξω τιθέντα δίκης καὶ ἁμαρτιῶν ἀπαλλάττοντα τοὺς ἐναλόντας αὐταῖς. ἔχει Mt. 9, 6
γὰρ ἐξουσίαν ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας, ὥς που καὶ αὐτός PG 133
φησιν. ἀντιπαραθέντες τοίνυν τῇι διὰ Χριστοῦ σωτηρίαι καὶ χάριτι τῆς νομικῆς ἀποτο-
μίας, ἵν' οὕτως εἴπω, τὸ ἀπηνές, ἐλεήμονα φαμὲν ἀρχιερέα γενέσθαι Χριστόν. ἦν μὲν 35
γὰρ καὶ ἔστι θεὸς ἀγαθὸς τῇι φύσει φιλοικτίρμων τε καὶ ἐλεήμων ἀεί, καὶ οὐκ ἐν χρόνωι τοῦτο
γέγονεν, ἀλλ' * * εἰς ἡμᾶς ἐδείχθη τοιοῦτος. κατωνόμασται δὲ πιστὸς ὡς μένων ὅ P 150
ἐστιν, ἀεὶ κατά γε τὸ εἰρημένον καὶ ἐπ' αὐτοῦ τοῦ πατρός· πιστὸς δὲ ὁ θεός, ὃς οὐκ 1 Cor. 10, 13
ἐάσει ἡμᾶς πειρασθῆναι ὑπὲρ ὃ δυνάμεθα. οὐκοῦν ἐλεήμων ἅμα καὶ πιστὸς
ἀρχιερεὺς εἰς ἡμᾶς γέγονεν ὁ Ἐμμανουήλ. ὡς γὰρ ὁ Παῦλός φησιν, οἱ μὲν πλείονές Hebr. 7, 23-25
εἰσιν ἀρχιερεῖς γεγονότες διὰ τὸ θανάτωι κωλύεσθαι παραμένειν, ὃ δὲ 41
διὰ τὸ μένειν αὐτὸν εἰς τὸν αἰῶνα ἀπαράβατον ἔχει τὴν ἱερωσύνην, ὅθεν
καὶ σώιζειν εἰς τὸ παντελὲς δύναται τοὺς προσερχομένους δι' αὐτοῦ τῶι

V

2 θεός τε ὁμοῦ Iustinian. τὲ θ̄ῦ̄ V 16 τοῦ θ̄ῦ̄ V γρ. αὐτοῦ Vmg εἰς deleui 17 ἀποκτέ-
νει V 37 lacunam signaui, e. g. supplendo ἄνωθεν καὶ διὰ παντὸς 39 παρ' ὃ, superscr.
ὑπὲρ ὃ V

θεῶι πάντοτε ζῶν εἰς τὸ ἐντυγχάνειν ὑπὲρ αὐτῶν. ὅτι δὲ μενένηκε θεὸς ὁ ἐκ πατρὸς λόγος, καίτοι γεγονὼς ἱερεὺς κατὰ τὸ γεγραμμένον διὰ τὸ πρέπον τῆι μετὰ σαρκὸς οἰκονομίαι σχῆμά τε καὶ μέτρον, ἀποχρῶν ἡμῖν εἰς πληροφορίαν ὁ τοῦ μακαρίου
Hebr. 8, 1. 2 Παύλου γεγένηται λόγος. ἔφη γὰρ πάλιν· κεφάλαιον δὲ ἐπὶ τοῖς εἰρημένοις, τοιοῦτον ἔχομεν ἀρχιερέα ὃς ἐκάθισεν ἐν δεξιᾶι τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς τῶν ἁγίων λειτουργὸς καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ κύριος καὶ οὐκ ἄνθρωπος. ἄθρει δὴ οὖν ἄθρει τὸν ἐκ θεοῦ φύντα λόγον διαπρέποντα μὲν ὡς θεὸν ταῖς ὑπερτάταις εὐκλείαις καὶ ἐν τοῖς θεότητος θώκοις, ἱερουργοῦντα δὲ τὸν αὐτὸν ὡς ἄνθρωπον καὶ οὐκ ἐπίγειον τινὰ θυσίαν προσκομίζοντα τῶι πατρί, θείαν δὲ μᾶλλον καὶ νοητὴν καὶ σκηνὴν ὥσπερ ἁγίαν ἔχοντα τὸν
Hebr. 7, 16 οὐρανόν. οὐ γὰρ κατὰ νόμον ἐντολῆς σαρκίνης γέγονεν ἀρχιερεύς, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου, καθὰ γέγραπται. πιστὸς οὖν ἄρα καὶ κατὰ τοῦτο καὶ τοῖς προσιοῦσιν ἐχέγγυος εἴς γε τὸ δύνασθαι καὶ μάλα ῥαιδίως διασώιζειν αὐτούς·
Hebr. 10, 14 αἵματι γὰρ τῶι ἰδίωι καὶ μιᾶι προσφορᾶι τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζο-
Hebr. 2, 18 μένους. τοῦτ̣ὶ γὰρ οἶμαι δηλοῦν τὸν ἱερὸν ἡμῖν λέγοντα Παῦλον· ἐν ὧι γὰρ πέπονθεν αὐτὸς πειρασθείς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι. τί τοίνυν ἡμῖν τῶν εἰς εὐσέβειαν ἀφειδήσας ἐννοιῶν καὶ τῶν εἰς ὀρθότητα καὶ ἀλήθειαν ἀποφοιτήσας
P 151 λόγων, >ὁ παθών<, φησίν, >ἀρχιερεὺς ἐλεήμων· παθητὸς δὲ ὁ ναός, οὐχ ὁ ζωοποιὸς τοῦ πεπονθότος θεός<;

Ὅτι μὲν οὖν σαρκὶ πέπονθεν ἑκὼν δι' ἡμᾶς ὁ τοῦ θεοῦ λόγος, ἐν ἰδίωι καιρῶι δειχθήσεται· ὅτι δὲ μερίζει τὸν ἀμέριστον καὶ δύο πρεσβεύει Χριστοὺς τῆι τῶν ἰδίων ἐννοιῶν δυνάμει, κἂν εἰ φαίνοιτό που Χριστὸν ἕνα λέγων, οὐδὲν ἧττον ἐλεγχθήσεται καὶ διὰ τῶν εὐθὺς ἐπενηνεγμένων· ἔφη γὰρ πάλιν

Loofs 3 Σπέρμα Ἀβραὰμ ὁ χθὲς καὶ σήμερον κατὰ τὴν τοῦ Παύλου φωνήν, οὐχ ὁ λέγων·
234,16-235,4 πρὶν Ἀβραὰμ γενέσθαι, ἐγὼ εἰμί· ὅμοιος τοῖς ἀδελφοῖς κατὰ πάντα ὁ ψυχῆς ἀν-
Hebr. 13, 8 Ioh. 8, 58 θρωπίνης καὶ σαρκὸς ἀναλαβὼν ἀδελφότητα, οὐχ ὁ λέγων· ὁ ἑωρακὼς ἐμὲ ἑώρακε
PG 136 τὸν πατέρα. ἀπεστάλη [δὲ] ὁ ἡμῖν ὁμοούσιος καὶ κέχρισται κηρύττων αἰχμαλώτοις
Ioh. 14, 9 Lc. 4, 18 ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν· πνεῦμα γὰρ κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με.

Iud. 14 Διορίζεις οὖν εἰς δύο δὴ πάλιν καὶ μάλα σαφῶς· εἶτα πῶς οὐκ ἐλήλεγξαι ψυχικὸς καὶ πνεῦμα μὴ ἔχων, καθά φησι τοῦ σωτῆρος ὁ μαθητής; ἀλλ' ἥ γε τῆς ἀληθείας δύναμις τοῖς σοῖς, ὦ οὗτος, ἀντιτετάξεται λόγοις. διισχυριζόμεθα γὰρ αὐτὸν τὸν ἐκ θεοῦ πα-
Hebr. 2, 16 τρὸς λόγον ἐπιλαβέσθαι σπέρματος Ἀβραὰμ καὶ ἴδιον ποιήσασθαι σῶμα ψυχὴν ἔχον τὴν λογικὴν τὸ ἐκ τῆς ἁγίας παρθένου ληφθέν. καὶ δὴ καθ' ἕνωσιν ἀληθῆ ‹Χριστὸν› ἕνα
Hebr. 13, 8 τε καὶ τὸν αὐτὸν εἶναι φαμὲν τὸν χθὲς καὶ σήμερον καὶ εἰς τοὺς αἰῶνας ὄντα τε πρὸ Ἀβραὰμ θεικῶς, γεγονότα δὲ καὶ μετὰ τοῦτο ἄνθρωπον καὶ γέννησιν ὑπομεῖναι τὴν ἐκ
Ioh. 8, 58 γυναικός. οὐκοῦν οὐ ψευδοεπήσει λέγων· ἀμὴν λέγω ὑμῖν, πρὶν Ἀβραὰμ γενέσθαι, ἐγὼ εἰμί. ἀλλ' οὐ συνίησιν ὅλως ὅ τι ποτέ ἐστι τὸ χθὲς καὶ σήμερον καὶ εἰς τοὺς αἰῶνας. ἵνα γὰρ ἀίδιον ὄντα καὶ ὡσαύτως ἔχοντα κατὰ φύσιν καὶ τροπῆς ἀμείνω καὶ μεταβολῆς τὸν τοῦ θεοῦ καταδείξηι λόγον, κἂν εἰ γέγονεν ἄνθρωπος,
P 152 εἰς καιροὺς μὲν διέστησε τρεῖς τὸν ἅπαντα χρόνον, τίθησι δὲ τὸ μὲν χθές ἐπὶ τοῦ παρωι-

---

3 cf. Exc. Eph. XVII Apol. adu. Or. 85; 24—28 = p. 58, 25—28 27. 28 — ἀνάβλεψιν Tim. Patrol. or. 13, 233

1—23. 29—40 V 24—28 VVa

13 ἐχέγγυος ed. Rom. ἐχέγγυον V 27 δὲ V om. Va, V p. 65, 12 30 γε Agellius τε V 32 ἔχον Agellius ἔχων V 33 Χριστὸν addidi

χηκότος, ἐπὶ δέ γε τοῦ ἐνεστηκότος τὸ σήμερον καὶ ἐπὶ τοῦ μέλλοντος τὸ εἰς αἰῶνας· ὁ δὲ ἄγροικος οὑτοσὶ τὸ χθὲς καὶ σήμερον ὡς ἐπ' ἀνθρώπου δέχεται παρ' αὐτὸν κοινοῦ παραλόγως, οὐκ ἐννοῶν ὅτι πρεσβύτερόν τε καὶ προυπάρχοντα τῆς ἑαυτοῦ γεννήσεως ἀποφανεῖ πάντηι τε καὶ πάντως, εἴπερ ἦν ὅλως καὶ κατὰ τὴν χθές, ὅπερ ἐστὶ τοῦ παρωιχηκότος καιροῦ σημαντικόν. ὅτι μὲν ⟨οὖν⟩ οὐχ ἕτερος ὁ χθὲς καὶ σήμερον Ἰησοῦς Χριστός, ἕτερος δὲ ὁ λέγων πρὶν Ἀβραὰμ γενέσθαι, ἐγὼ εἰμί, ἀλλ' εἷς τε καὶ ὁ αὐτὸς καθ' ἕνωσιν ἀληθῆ, ἀνθρώπου καθ' ἡμᾶς γεγονότος τοῦ λόγου καὶ τῆι ἰδίαι φύσει τετηρηκότος, καὶ ὅτε γέγονε σάρξ, τὸ ἄναρχον ἐν χρόνωι, καταθρήσαι τις ἂν καὶ ἀταλαιπώρως κομιδῆι διά γε τῆς θεοπνεύστου γραφῆς. [ὃ] φησὶ μὲν γὰρ ὁ μακάριος εὐαγγελιστὴς Ἰωάννης περὶ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ· Ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ καὶ κέκραγε λέγων· ὁ ὀπίσω μου ἐρχόμενος ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν, καὶ πάλιν· τῆι ἐπαύριον βλέπει τὸν Ἰησοῦν ἐρχόμενον πρὸς αὐτὸν καὶ λέγει· ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· οὗτός ἐστι περὶ οὗ ἐγὼ εἶπον· ὀπίσω μου ἔρχεται ἀνὴρ ὃς ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν. ὁρᾶις οὖν ἄρα καὶ μάλα σαφῶς τὸν θεσπέσιον βαπτιστὴν ἄνδρα λέγοντα τὸν Ἰησοῦν καὶ ὀπίσω μὲν ἐρχόμενον ὡς ὀψιγενῆ τε καὶ μετ' αὐτόν, προυπάρχοντά γε μὴν αὐτοῦ καὶ προυφεστηκότα· δηλοῖ γὰρ οἶμαι τουτὶ τὸ ὅτι πρῶτός μου ἦν, καὶ ἔμπροσθέν μου γέγονεν. εἶτα πῶς εἴπερ ἐστὶν ἀνήρ, προυφεστηκὼς νοεῖται καὶ προυπάρχειν λέγεται τοῦ προειληφότος κατὰ τὸν χρόνον καὶ πρεσβυτέραν ἔχοντος τὴν κατὰ σάρκα αὐτοῦ γέννησιν; εἰ μὲν γὰρ ἐπί τινος τῶν καθ' ἡμᾶς ταυτὶ λέγοιτο τυχόν, ἀπορήσειεν ἂν οἶμαί που καὶ ἀπαστισοῦν [εἰς] ἀπολογίας· ἐπὶ δέ γε τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ τὸ ἐμποδὼν οὐδέν. οἰκειοῦται μὲν γὰρ ὁ ἐκ θεοῦ ⟨καὶ πατρὸς λόγος⟩ τῆς ἰδίας σαρκὸς τὴν γέννησιν, πλὴν οὐκ ἠγνόηκεν ὅτι τῶν αἰώνων ἐστὶ ποιητὴς καὶ προυφέστηκεν ὡς θεὸς καὶ τῶι ἰδίωι πατρὶ συναίδιος. οὐ γάρτοι φαμὲν ὅτι τῆι γεννήσει τοῦ ἰδίου σώματος σύγχρονον ἔχει τὴν ὕπαρξιν, ἀλλ' ἦν, ὡς ἔφην, ἐκ τῆς τοῦ θεοῦ καὶ πατρὸς οὐσίας ἀπορρήτως γεγεννημένος. οὐκοῦν ἔχων τὸ εἶναι πρὸ Ἀβραὰμ ὡς θεός, κἂν εἰ γέγονεν ἄνθρωπος, οὐκ ἂν διαψεύσαιτο λέγων ὡς εἷς ἀληθῶς καὶ υἱὸς καὶ κύριος· πρὶν Ἀβραὰμ γενέσθαι, ἐγὼ εἰμί. καὶ μήτοι θαυμάσηις εἰ τῆι ἰδίαι νενέμηκε φύσει τὸ εἶναι πρὸ Ἀβραάμ, διαλογίζου δὲ μᾶλλον ὅτι καίτοι τὸ σῶμα λαβὼν ἐκ τῆς ἁγίας παρθένου ἔφη πρὸς τὸν Νικόδημον εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν καὶ οὐ πιστεύετε, πῶς ἐὰν εἴπω ὑμῖν τὰ ἐπουράνια, πιστεύσετε; καὶ οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ υἱὸς τοῦ ἀνθρώπου, καίτοι κεχρημάτικε καὶ υἱὸς ἀνθρώπου, γεννηθεὶς ἐκ γυναικὸς κατὰ σάρκα. ψευδοεπήσει δὴ οὖν καταβεβηκέναι λέγων ἐξ οὐρανοῦ τὸν υἱὸν τοῦ ἀνθρώπου, τουτέστιν ἑαυτόν; μὴ γένοιτο· καὶ γάρ ἐστιν αὐτὸς ἡ ἀλήθεια. πῶς οὖν ἄνωθεν ὁ υἱὸς τοῦ ἀνθρώπου νοοῖτ' ἂν εἰκότως; ὅτι θεὸς ὢν ὁ λόγος καὶ ἐκ τῆς ἀνωτάτω πασῶν οὐσίας καταβεβηκέναι λέγεται καὶ δούλου μορφὴν ἀναλαβεῖν, εἶτα διαλέγεται πρὸς ἡμᾶς, οὐχ ὡς γυμνὸς ἔτι λόγος, ἀλλ' ὡς ἄνθρωπος καθ' ἡμᾶς καὶ ὡς εἷς ἤδη νοούμενος μετὰ τῆς ἐνωθείσης αὐτῶι σαρκός. ὥσπερ δὲ διὰ τὸ τῆι κενώσει πρέπον οἰκειοῦται πάντα τὰ τοῦ ἰδίου σώματος, καίτοι τὴν φύσιν ἀσώματος ὤν, οὕτω καὶ ἄνωθεν ὢν αὐτὸς καὶ ἐξ οὐρανοῦ τὸ ἄνωθεν ἥκειν ἀπονέμει πάλιν ἑαυτῶι, καὶ ὅτε γέγονεν ἄνθρωπος, κἂν εἰ γεγέννηται κατὰ σάρκα μεθ' ἡμῶν ἐκ γυναικός. γέγονε τοίνυν ἴδια μὲν τοῦ λόγου τὰ τῆς ἀνθρωπότητος, ἴδια δὲ πάλιν τῆς ἀνθρωπότητος τὰ αὐτοῦ τοῦ λόγου. εἷς γὰρ οὕτω νοεῖται Χριστὸς καὶ υἱὸς καὶ κύριος. ἐπειδὴ δὲ προστέθεικεν ὁ καινοτόμος οὑτοσὶ ὅτι

Ioh. 8, 58 Ioh. 1, 15 Ioh. 1, 29. 30 Ioh. 8, 58 Ioh. 3, 12. 13

V

2 δέχεται παρ' αὐτὸν scripsi λέγεται παρ' αὐτοῦ V 5 οὖν addidi 9 ὃ del. Agellius 13/14 τοῦ κόσμου τὴν ἁμαρτίαν V 21 εἰς deleui 23 καὶ πατρὸς λόγος addidi 29 νενέμηκε Agellius τετίμηκε V 41/42 γεγένηται V

Loofs p. 234, 18-235, 1 Ioh. 14, 9

Ὅμοιος τοῖς ἀδελφοῖς κατὰ πάντα ὁ ψυχῆς ἀνθρωπίνης καὶ σαρκὸς ἀναλαβὼν ἀδελφότητα, οὐχ ὁ λέγων ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα.

Φέρε δὴ πάλιν ὅ τι ποτέ ἐστιν ὅ φησιν ἐν τούτοις, ὡς ἔνι, περιαθρήσομεν. ὅτι μὲν γὰρ εἰκών ἐστι καὶ χαρακτὴρ τοῦ θεοῦ καὶ πατρὸς ὁ υἱός, διωμολόγηκε καὶ αὐτός· τίς δ' ἂν εἴη λοιπὸν ὁ ψυχῆς ἀνθρωπίνης καὶ σώματος ἀναλαβὼν ἀδελφότητα, δῆλον δὲ ὅτι τὴν πρὸς ἡμᾶς, διδασκέτω παρελθών. οὐ γὰρ που φαίη τις ἂν ὡς ὁ καθ' ἡμᾶς φαινόμενος ἄνθρωπος οἷον Βαρνάβας τυχὸν ἢ Παῦλος ἢ γοῦν ἕτερός τις τῶν τελούντων ἐν ἀνθρώποις ψυχῆς ἀνθρωπίνης καὶ σώματος ἀδελφότητα λαβεῖν λέγοιτο ἂν ὡς ἕτερόν τι παρὰ
PG 140 τοῦτο ὑπάρχων, εἶθ' οὕτω λαβών· ἔστι δὲ μᾶλλον ἕν γε τῶι εἶναι τοῦθ' ὅπερ ἐστίν. οὐκοῦν οὐκ ἄνθρωπός τις ὑπάρχων, ὡς ἕτερόν τι παρ' ἑαυτόν, λαβεῖν ἂν νοοῖτο τὸ εἶναι ὅ ἐστι, πρέποι δ' ἂν μᾶλλον τῶι ἐκ θεοῦ φύντι λόγωι τὸ ἀσύντακτον ἔχοντι πρὸς ἡμᾶς κατά γε τοὺς τῆς ἰδίας φύσεως λόγους ψυχῆς ἀνθρωπίνης καὶ σώματος τὴν πρὸς ἡμᾶς ἀδελφότητα λαβεῖν. καὶ πρός γε τοῦτο ἡμῖν ὁ τῆς ἀληθείας ἐπαγωνιεῖται λόγος καὶ τῆς ἀμωμήτου πίστεως ἡ παράδοσις. ἄραρεν οὖν ὅτι ἐν μορφῆι τοῦ θεοῦ καὶ πατρὸς θεὸς λόγος ἀδελφὸς ἡμῖν κατὰ πάντα γέγονε, ψυχῆς ἀνθρωπίνης καὶ σώματος ἀδελφότητα λα-
Ioh. 14, 9 βών, καὶ οὐκ ἂν διαψεύσαιτο λέγων· ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα. εἰ μὲν γάρ τις τῶν ἐν ἡμῖν ἀμαθίας εἰς τοῦτο κατώλισθεν ἐννοιῶν, ὡς οἴεσθαι καὶ αὐτὸν τὸν ἐν τοῖς οὐρανοῖς πατέρα καὶ θεὸν κατακομίζεσθαι δεῖν, εἴς γε τὸ χρῆναι φημὶ τὴν πρὸς ἡμᾶς ὁμοίωσιν ἔχειν, δῆλον δὲ ὅτι τὴν σωματικήν, ὀρθῶς ἐδεδίει μὴ ἄρα που λέγον-
P 155 τος τοῦ Χριστοῦ ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα καὶ αὐτὸν ὑποτοπήσειε τὸν ἐξ οὗπέρ ἐστιν, ἐν εἴδει τε εἶναι τῶι καθ' ἡμᾶς καὶ ἐν τοῖς κατὰ σῶμα σχηματισμοῖς· ἐπειδὴ δὲ καὶ υἱὸς ἀνθρώπου γεγονὼς τὸ εἶναι θεὸς διεσώσατο καὶ τὸ τῆς ἰδίας φύσεως κάλλος ἀπαραποίητον ἔχει, κατοκνήσαιμ' ἂν οὐδαμῶς εἰπεῖν ὅτι καὶ τὴν πρὸς ἡμᾶς ὁμοίωσιν ἔχει κατά γε τὸ εἶναι καθ' ἡμᾶς ἄνθρωπος ὁ ἐκ ψυχῆς καὶ σώματος, καίτοι θεὸς ὢν φύσει
Hebr. 1, 3 καὶ χαρακτὴρ τῆς ὑποστάσεως τοῦ γεγεννηκότος. εἷς οὖν ἄρα καὶ ὁ αὐτός, παραπλήσιος μὲν τοῖς ἀδελφοῖς κατὰ σάρκα, δεικνύων δὲ καὶ αὐτὸν ἐν ἰδίαι φύσει τὸν γεννήτορα, κατά γε φημὶ τὸ εἶναι θεός. ὁ δὲ τοῦτο μὲν οὐ συνίησι, πόθεν; παρασημαίνων δὲ ὥσπερ τὸν ὀρθῶς τε καὶ ἀκιβδήλως ἔχοντα τοῦ μυστηρίου λόγον, ἕτερον ἡμῖν καὶ ἕτερον εἰσκομίζει Χριστὸν καὶ τοῖς Ἰουδαικοῖς ἐγκλήμασιν ἐναλοὺς οὐδὲ ὁποιπέρ ἐστι καὶ ἵν' ἥκει κακῶν, αἰσθάνεται. ἤκουον μὲν γὰρ οἱ ἐξ αἵματος Ἰσραὴλ θεοῦ διακεκραγότος δι' ἑνὸς
Mich. 5, 2 τῶν ἁγίων προφητῶν περὶ τοῦ Ἐμμανουήλ· καὶ σύ, Βηθλεέμ, οἶκος τοῦ Ἐφραθᾶ, ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα· ἐκ σοῦ μοι ἐξελεύσεται τοῦ εἶναι εἰς ἄρχοντα ἐν τῶι Ἰσραὴλ καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν
Ies. 53, 8 αἰῶνος. καὶ πάλιν· τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ. εἶτα συνιέντες οὐδαμῶς τὸ μυστήριον οὔτε μὴν εἰδότες ὅτι καίτοι θεὸς ὢν φύσει καὶ τῆς ὑπάρξεως τὴν ἀρχὴν ἄποπτόν τε καὶ ἀκατάληπτον ἔχων κεχρημάτικε Βηθλεεμίτης ὡς ἐκ ῥίζης Ἰεσσαὶ καὶ Δαυίδ, ἐκεῖ γεννηθεὶς κατὰ σάρκα, πρὸς
Ioh. 7, 25-27 ἀλλήλους ἔφασκον· οὐχ οὗτός ἐστιν ὃν ζητοῦσιν ἀποκτεῖναι; ἴδε παρρησίαι λαλεῖ καὶ οὐδὲν αὐτῶι λέγουσι· μήποτε ἔγνωσαν οἱ ἄρχοντες ὅτι οὗτός ἐστιν ὁ Χριστός; ἀλλὰ τοῦτον οἴδαμεν πόθεν ἐστίν, ὁ δὲ Χριστὸς ὅταν ἔρχηται, οὐδεὶς γινώσκει πόθεν ἐστίν. ἤκουον γάρ, ὡς ἔφην, τοῦ προφήτου λέγοντος ἐναργῶς τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; καὶ ὅτι τὰς ἐξόδους ἤτοι τὴν
PG 141 P 156 ὕπαρξιν πρὸ παντὸς αἰῶνος ἔχει. ἄθρει δή μοι πάλιν τῆς Ἰουδαίων ἐμβροντησίας τὸ
Ioh. 7, 40-42 μέγεθος. φάσκοντες γὰρ ὅτι ὁ Χριστὸς ὅταν ἔρχηται, οὐδεὶς γινώσκει πόθεν ἐστί, πάλιν πρὸς ἀλλήλους ἔλεγον· οὗτός ἐστιν ἀληθῶς ὁ προφήτης· ἄλλοι

V

19 πρὸς scripsi καθ' V

δὲ ἔλεγον, φησίν, ὅτι αὐτός ἐστιν ὁ Χριστός· οἱ δὲ ἔλεγον· μὴ γὰρ ἐκ τῆς Γαλιλαίας ὁ Χριστὸς ἔρχεται; οὐχὶ ἡ γραφὴ εἶπεν ὅτι ἐκ σπερματος Δαυὶδ καὶ ἀπὸ Βηθλεὲμ τῆς κώμης, ὅπου ἦν Δαυίδ, ὁ Χριστὸς ἔρχεται; ὁρᾷς οὖν ὅπως καὶ καταμεθύουσι, καὶ τὸ ἄναρχον θεικῶς καὶ τὴν ἐν χρόνωι γέννησιν σαρκικὴν ὁμολογοῦντες αὐτοῦ; ἀλλ' οὐκ ἂν εἰς οὕτως ἐκτόπους ἀπεκομίζοντο δυσβουλίας, εἴπερ ἤιδεσαν ἀληθῶς ὅτι θεὸς ὢν ὁ λόγος ἐκ ῥίζης τῆς Ἰεσσαὶ καὶ Δαυὶδ καὶ τῆς ἁγίας παρθένου προῆλθεν ἄνθρωπος, ὠνόμασται δὲ καὶ Βηθλεεμίτης ὁ γῆς τε καὶ οὐρανοῦ καὶ τῶν ὅλων δεσπότης· συνεπτώχευσε γὰρ ἡμῖν πλούσιος ὢν κατὰ τὸ γεγραμμένον. τί τοιγαροῦν ταῖς τῶν Ἰουδαίων τερθρείαις σαυτὸν ἐνιεὶς πεφρόνηκάς τε καὶ λέγεις ἃ μήτε θέμις εἰπεῖν μήτε μὴν ἐννοεῖν ἀζήμιον; ἕνα μεθ' ἡμῶν ὁμολόγει Χριστὸν καὶ μὴ διατέμνων εἰς δύο δὴ πάλιν ἐκεῖνο λέγε 2 Cor. 8, 9

Ἀπεστάλη ὁ ἡμῖν ὁμοούσιος καὶ κέχρισται κηρύττων αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν. Loofs p. 235, 1-3

Εἶτα ὅποι ποτὲ βαδιεῖται τῶν θεηγόρων ὁ λόγος, οἳ μυσταγωγοὶ γεγόνασι τῆς ὑπ' οὐρανόν; αὐτὸν γὰρ διακεκράγασι τὸν ἐκ θεοῦ πατρὸς λόγον σωτῆρα τῶν ὅλων γενέσθαι καὶ λυτρωτήν, οὐχ ὡς ἀνθρώπου μεσιτεύοντος παρ' αὐτὸν ἑτέρου καθάπερ ἀμέλει καὶ ὁ Μωσῆς, ἐν εἴδει δὲ μᾶλλον καὶ ἐν ὁμοιώματι σωματικῶι πρὸς ἡμᾶς καθιγμένον. κέχρισται γὰρ οὗτος εἰς ἀρχιερέα καὶ ἀπόστολον. καὶ τοῦν Ἰουδαίοις ἐπετίμα λέγων· οὐκ ἔστι γεγραμμένον ἐν τῶι νόμωι ὑμῶν· ἐγὼ εἶπα· θεοί ἐστέ; εἰ ἐκείνους εἶπε θεοὺς πρὸς οὓς ὁ λόγος τοῦ θεοῦ ἐγένετο, καὶ οὐ δύναται λυθῆναι ἡ γραφή, ὃν ὁ πατὴρ ἡγίασε καὶ ἀπέστειλεν εἰς τὸν κόσμον, ὑμεῖς λέγετε ὅτι βλασφημεῖς, ὅτι εἶπον· υἱὸς τοῦ θεοῦ εἰμί; ἀνθ' ὅτου δὲ δὴ τὸν ἑαυτὸν καθέντα πρὸς κένωσιν, ἵνα σώσηι τὴν ὑπ' οὐρανόν, τῶν εἰς ἡμᾶς γεγονότων θεοπρεπεστάτων καὶ ἀξιαγάστων ἀληθῶς κατορθωμάτων ἐκπέμψομεν, ἀπεστάλθαι λέγοντες ὡς ἕτερόν τινα παρ' αὐτὸν ἡμῖν ὁμοούσιον; καίτοι πῶς οὐκ ἄμεινον εἰπεῖν καὶ μὴν καὶ ἑλέσθαι φρονεῖν ὡς ἀπέσταλταί τε καὶ γέγονεν ἡμῖν ὁμοούσιος, τουτέστιν ἄνθρωπος, ὁμοούσιος δὲ μεμενηκὼς καὶ αὐτῶι τῶι θεῶι καὶ πατρὶ καθὸ καὶ νοεῖται καὶ ἦν τε καὶ ἔστι θεός; ἔστι γὰρ ἔστιν ὃ ἦν, καὶ προσλαβὼν τὸ ἀνθρώπινον, ἔχων δὲ τὴν ταυτότητα τῆς οὐσίας πρὸς τὸν ἐν τοῖς οὐρανοῖς πατέρα καὶ θεὸν ἐπελάβετο σοφῶς καὶ τῆς πρὸς ἡμᾶς ὁμοιότητος, τέθειται δὲ καὶ μεσίτης, συνδέων δι' ἑαυτοῦ πρὸς ἑνότητα σχετικὴν τὰ τοῖς τῆς φύσεως λόγοις ὁλοτρόπως ἀλλήλων διηιρημένα. γέγονε γάρ, θεὸς ὢν φύσει, κατὰ ἀλήθειαν ἄνθρωπος, ἵνα καὶ ἡμεῖς χρηματίσωμεν γένος οὐκέτι τοῦ πρώτου, τουτέστι τοῦ χοικοῦ, πρὸς ὃν εἴρηται παρὰ θεοῦ γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσηι, τοῦ καὶ εἰς θάνατον παραπέμποντος, ἀλλὰ τοῦ δευτέρου, τοῦ ἄνωθεν καὶ ἐξ οὐρανοῦ, φημὶ δὴ Χριστοῦ, τοῦ πρὸς ζωὴν ἡμᾶς τὴν ἀκήρατον ἀναφέροντος καὶ ἄφθαρτον ἀποφαίνοντος τὸ θανάτωι κάτοχον καὶ ἀπαλλάττοντος ἁμαρτιῶν τὸ τοῖς ἁμαρτίας βρόχοις ἐνειλημμένον. οὕτω που πρὸς τὸν υἱὸν αὐτός φησιν ὁ πατήρ· ἰδοὺ δέδωκά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν, ἀνοῖξαι ὀφθαλμοὺς τυφλῶν, ἐξαγαγεῖν ἐκ δεσμῶν δεδεμένους καὶ ἐξ οἴκου φυλακῆς καθημένους ἐν σκότει. καὶ πάλιν διὰ φωνῆς Ἡσαίου· εὐλογήσει με τὰ θηρία τοῦ ἀγροῦ, σειρῆνες καὶ θυγατέρες στρουθῶν, ὅτι ἔδωκα ἐν τῆι ἐρήμωι ὕδωρ καὶ ποταμοὺς ἐν γῆι ἀνύδρωι ποτίσαι τὸ γένος μου τὸ ἐκλεκτόν, λαόν μου ὃν περιεποιησάμην τὰς ἀρετάς μου διηγεῖσθαι. ὃ δὴ καὶ συνιεὶς εὖ μάλα τοῖς ἐξ ἐθνῶν διὰ πίστεως κεκλημένοις εἰς θεογνωσίαν ἀληθῆ Ies. 42, 6. 7 Ies. 43, 20. 21

25—28 ἀνθρώπινον Timoth. syr. f. 31b arm. p. 195

V

9 σαυτὸν Agellius αὐτὸν V 26 δὲ om. Tim.

1 Petr. 2,9.10 γράφει καί φησιν ὁ θεσπέσιος Πέτρος· ὑμεῖς δὲ γένος ἐκλεκτόν, βασίλειον ἱεράP 158 τευμα, ἔθνος ἅγιον, λαὸς εἰς περιποίησιν, ἵνα τὰς ἀρετὰς ἐξαγγείλητε τοῦ ἐκ σκότους ὑμᾶς καλοῦντος ἐπὶ τὸ θαυμαστὸν αὐτοῦ φῶς, οἵ ποτε οὐ λαός, νῦν δὲ λαὸς ⟨θεοῦ⟩. εἰ δὲ καθάπερ αὐτῶι σοι δοκεῖ καὶ φρονεῖν καὶ λέγειν, ἀπεστάλη ὁ ἡμῖν ὁμοούσιος, οὐκέτι δὲ καὶ αὐτῶι τῶι πατρί, κατ' οὐδένα τρόπον ἡμεῖς
2 Petr. 1, 4 θείας φύσεως γεγόναμεν κοινωνοί, μεμενήκαμεν ⟨δέ,⟩ ὡς ἔφην, καὶ ἐσμὲν ἔτι γένος τοῦ πρώτου τοῦ παραπέμποντος εἰς ἀρὰν καὶ θάνατον καὶ ὑπὸ ποινὴν ἁμαρτίας. μεματαιώμεθα δὴ οὖν καὶ ἐσμὲν οὐδὲν ἧττον καὶ νῦν ἐν οἷς ἦμεν πάλαι καὶ πρὸ τῆς ἐπιδημίας.
2 Cor. 5, 17 πῶς οὖν ἔτι τὰ ἀρχαῖα παρῆλθε καὶ ἰδοὺ γέγονε καινά; ποῦ δὲ ⟨τὸ⟩ εἴ τις ἐν Χριστῶι, καινὴ κτίσις; ἀλλ' αἰσχύνηι θεὸν ὁμολογεῖν καθ' ἡμᾶς γενόμενον ἄνθρωπον
Mt. 16, 23 τὸν τοῦ θεοῦ λόγον; ἐπιπλήττεις οὖν αὐτῶι καὶ οὐ σοφὰ βεβουλεῦσθαι φὴς ὅτι κεκένωκεν ἑαυτὸν δι' ἡμᾶς. οὐκοῦν ἀκούσηι λέγοντος· ὕπαγε ὀπίσω μου, σατανᾶ, σκάνδαλόν μου εἶ, ὅτι οὐ φρονεῖς τὰ τοῦ θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων. ἐρεύνησον μεθ' ἡμῶν τὴν θεόπνευστον γραφήν. ὤφθη ποτὲ καὶ τῶι πατριάρχηι Ἰακὼβ τῆς μὲν τοῦ Λάβαν ἑστίας ἀπαίροντι, πρὸς αὐταῖς δὲ γεγονότι ταῖς διαβάσεσι τοῦ Ἰαβὼκ καθὰ
Gen. 32,24-26 γέγραπται. ὑπελείφθη γὰρ Ἰακὼβ μόνος καὶ ἐπάλαιεν ἄνθρωπος μετ' αὐτοῦ ἕως πρωί. εἰδὲ δὲ ὅτι οὐ δύναται πρὸς αὐτόν, καὶ ἥψατο τοῦ πλάτους τοῦ μηροῦ αὐτοῦ καὶ ἐνάρκησε τὸ πλάτος τοῦ μηροῦ Ἰακὼβ ἐν τῶι παλαίειν αὐτὸν μετ' αὐτοῦ. εἶπε δὲ αὐτῶι· ἀπόστειλόν με· ἀνέβη γὰρ ὁ ὄρθρος. ὁ δὲ εἶπεν· οὐ μή σε ἀποστείλω, ἐὰν μή με εὐλογήσηις. καὶ μεθ' ἕτερα πάλιν·
Gen. 32,30.31 καὶ ἐκάλεσεν Ἰακὼβ τὸ ὄνομα τοῦ τόπου ἐκείνου Εἶδος θεοῦ· εἶδον γὰρ θεὸν πρόσωπον πρὸς πρόσωπον, καὶ ἐσώθη μου ἡ ψυχή. ἀνέτειλε δὲ αὐτῶι ὁ ἥλιος, ἡνίκα παρῆλθε τὸ εἶδος τοῦ θεοῦ. σύνες οὖν ὅπως οὐχ ὡς ἀσώματός τε καὶ ἀναφὴς λόγος ἠξίου φαίνεσθαι τῶι πατριάχηι τὸ τηνικάδε τὸν τοῦ μυP 159 στηρίου τύπον προαναφαίνων αὐτῶι, ἀλλ' ἣν ἄνθρωπος ὁ παλαίων καὶ ὅλην εἰς τοῦτο
PG 145 δαπανήσας τὴν νύκτα· πλὴν διαυγαζούσης ἡμέρας ὄρθρου τε γεγενημένου τὸ ἀπόστειλόν μέ φησιν, ὅπερ ἦν ἐναργῶς καταλύοντος τὴν πάλην. καὶ τίς ὁ τοῦ μυστηρίου λόγος, εἰπεῖν ἀναγκαῖον. τοῖς μὲν γὰρ ὡς ἐν νυκτὶ καὶ σκότωι διατελοῦσι καὶ ἀχλὺν ἔχουσι τὴν νοητὴν εἰς νοῦν καὶ καρδίαν οὔπω τε νοεῖν ἰσχύουσι τὸ ἐπ' αὐτῶι μυστήριον παλαίειν τε καὶ μάχεσθαι καὶ νικᾶν ἔθος αὐτῶι· τοῖς γε μὴν ἐν φωτὶ γεγονόσι καὶ ὡς ἐν ὄρθρωι τῶι νοητῶι καὶ νενοηκόσιν εὖ μάλα τὸ μυστήριον οὐκέτι παλαίειν ἀξιοῖ, διανέμει δὲ μᾶλλον εὐλογίας πνευματικάς. οὐκοῦν κἂν ὀψὲ καὶ μόλις εἰ γένοιο καὶ αὐτὸς μεθ' ἡμῶν ἐν φωτὶ καὶ οἷον ἐν ὄρθρωι, πεπαύσεταί σοι μαχόμενος ὁ πάντας νικῶν. θέα δὲ ὅπως ἀνθρώπου παλαίοντος ὁ θεσπέσιος Ἰακὼβ ἑωρακέναι φησὶ τὸν θεὸν πρόσωπον πρὸς πρό-
Gen. 32, 31 σωπον, προστέθεικε δὲ τὸ γράμμα τὸ ἱερὸν ὅτι ἀνέτειλεν αὐτῶι ὁ ἥλιος, ἡνίκα παρῆλθε τὸ εἶδος τοῦ θεοῦ. ἀνθ' ὅτου δὴ οὖν ἐπερυθριᾶις τοῖς τῆς κενώσεως μέτροις, καίτοι τὸν ἐκ θεοῦ πατρὸς λόγον σαρκωθῆναί τε καὶ ἐνανθρωπῆσαι παντὸς οἶμαι λέγοντος τοῦ καὶ ὀρθὴν ἔχοντος πίστιν καὶ βασανίζοντος ἀκριβῶς τῆς θεοπνεύστου γραφῆς τὸν σκοπόν; ὁ τοίνυν ἡμῖν ὁμοούσιος καθὸ γέγονεν ἄνθρωπος, καὶ αὐτῶι δὲ τῶι πατρὶ
Ies. 61, 1. 2 καθὰ μεμένηκε καὶ ⟨ἐν⟩ ἀνθρωπότητι θεός, ἀπεστάλη κηρύσσειν αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν ἰάσασθαί τε τοὺς συντετριμμένους τὴν καρδίαν, καλέσαι δὲ καὶ ἐνιαυτὸν κυρίου δεκτόν. αὐτοῦ γὰρ μόνου καὶ οὐχ ἑτέρου τινὸς τὰ τοιάδε γέγονεν εἰς ἡμᾶς

39—41 ἀνάβλεψιν Timoth. arm. p. 195

V

4 θεοῦ addidi 6 δέ addidi 9 τὸ addidi 17 οἵδε V 40 ἐν ἐνανθρωπήσει Tim. ἀνθρωπότητι V κηρύσσειν Tim. κηρύσσων V

κατορθώματα καὶ πιστώσεταί τις τῶν ἁγίων προφητῶν, οὕτω λέγων· οὐ πρέσβυς, οὐκ Ies. 63, 9
ἄγγελος, ἀλλ' αὐτὸς ὁ κύριος ἔσωσεν ἡμᾶς, ὁ καὶ ἐναργέστατα λέγων· διὰ τοῦτο P 160
γνώσεται ὁ λαός μου τὸ ὄνομά μου ἐν τῇ ἡμέραι ἐκείνῃ· αὐτὸς ὁ λαλῶν Ies. 52, 6
πάρειμι. καίτοι πῶς εἴπερ ἦν τις ἄνθρωπος ἁπλῶς ὁ ἀπεσταλμένος, αὐτὸς ἂν νοοῖτο
καὶ τὸν πάλαι τοῖς ἀρχαιοτέροις κεχρησμωιδημένον λαλήσας νόμον; οὐ γάρτοι προὼν ὡς 5
ἄνθρωπος ἄνθρωπος γεγενῆσθαι λέγοιτ' ἄν, ἵνα μὴ τῆς εἰς τὸ εἶναι παρόδου πρεσβυτέραν
ἔχων ὁρῷτο τὴν ὕπαρξιν· ἀλλ' ὡς θεὸς προυπάρχων λελάληκε μὲν τὸν νόμον, παρεῖναι δέ
φησι ξένως τε καὶ ἀσυνήθως, ὅτε γέγονεν ἄνθρωπος. ἀλλὰ ναί, φησί, τὰ πάντα πλη-
ροῖ θεὸς ὢν ὁ λόγος· πῶς οὖν ἄρα καὶ ἀπεστάλη; ποῦ γὰρ οὐκ ἦν ὁ πάντα πληρῶν;
τί δέ, εἰπέ μοι, τὴν θείαν καὶ ὁμοούσιον τριάδα συνεστάλθαι δώσομεν ἢ κατευρύνεσθαί τε 10
τῶν ὅλων καὶ πάντα πληροῦν; εἶτα πῶς ὁ μέγας ἡμῖν Μωσῆς, ὅτε τὸν οὐρανομήκη πύργον
ἀνεδείμαντο τινὲς τῶν ἀρχαιοτέρων, εἰσκεκόμικε λέγοντα τὸν θεὸν δεῦτε καὶ κατα- Gen. 11, 7
βάντες συγχέωμεν ἐκεῖ τὰς γλώσσας αὐτῶν; ποίας ἐδεῖτο καταβάσεως ἡ οὐρανόν
τε καὶ γῆν ἀναπιμπλᾶσα φύσις; γέγραπται δὲ καὶ περὶ τοῦ ἁγίου πνεύματος ὅτι πνεῦμα Sap. Sal. 1, 7
κυρίου πεπλήρωκε τὴν οἰκουμένην. ψάλλει καί φησιν ὁ μακάριος Δαυὶδ περὶ 15
τῶν ἐν γῆι κειμένων πρὸς τὸν ζωοποιεῖν ἰσχύοντα θεόν· ἐξαποστελεῖς τὸ πνεῦμά σου καὶ Ps. 103, 30
κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. πῶς ἐξαποστέλλεται PG 148
τὸ πάντα πληροῦν; μὴ τοίνυν ὡς σοφόν τι καὶ δυσανά‹λυτον› προτιθεὶς τὸ πάντα πλη-
ροῦν ἰσχύοντα τὸν ἐκ θεοῦ πατρὸς λόγον ἀνέφικτον ἔχειν τὴν ἀποστολήν, παραλύειν ἐπείγου τὸ ἀληθὲς καὶ τὴν τοῦ μυστηρίου δύναμιν ἀνατρέπειν, ἐννόει δὲ μᾶλλον ὅτι λέγεται 20
μὲν ἀνθρωπίνως τὰ περὶ θεοῦ, νοεῖται δὲ οὕτω * * πρὸς ἡμᾶς ὡς ἂν αὐτός τε εἰδείη
καὶ δρᾶν ἔθος αὐτῶι.

Ἐπειδὴ δὲ ὡς βραχὺ καὶ ἀνθρώπινον καὶ τῆς τοῦ μονογενοῦς ἀξίας ἠττώμενον ἀμέ- P 161
τρως δέχεται τὴν χρίσιν, φέρε τὰ εἰκότα καὶ εἰς τοῦτο λέγωμεν, τὰς τοῦ σκανδάλου λύοντες
ἀφορμάς. εἰ μὲν οὖν οὐ γέγονεν ἄνθρωπος, ἀποσειέσθω τὰ ἀνθρώπινα, παραιτείσθω 25
τὴν οἰκονομίαν ὡς ἐν μείοσι τιθεῖσαν αὐτὸν καὶ τῆς ἀνωτάτω δόξης καὶ θεοπρεποῦς ὑπε-
ροχῆς κατόπιν ἰεῖσαν, σμικρὰ γὰρ τῶι λόγωι τὰ καθ' ἡμᾶς· ἐπειδὴ δὲ σοφὸν ἀληθῶς τὸ
μυστήριον καὶ οὐκ ἀπόβλητον αὐτῶι τὸ τῆς κενώσεως χρῆμα, τί τοῖς ὀρθῶς ἔχουσι ῥιψο-
κινδύνως ἐπιτιμᾶις καὶ τὸ ταῖς αὐτοῦ ψήφοις στεφανούμενον ὡς ἀκαλλὲς ἀποτρέπηι; εἶδες
χριόμενον ἀνθρωπίνως· ὅρα τὸν αὐτὸν καὶ χρίοντα θεικῶς. γέγραπται γὰρ ὅτι καὶ 30
ἐμαρτύρησεν Ἰωάννης λέγων ὅτι τεθέαμαι τὸ πνεῦμα καταβαῖνον ὡσεὶ Ioh. 1, 32-34
περιστερὰν καὶ μένον ἐπ' αὐτὸν κἀγὼ οὐκ ἤιδειν αὐτόν, ἀλλ' ὁ πέμψας με
βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν· ἐφ' ὃν ἂν ἴδηις τὸ πνεῦμα κατα-
βαῖνον καὶ μένον ἐπ' αὐτόν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν τῶι πνεύματι τῶι
ἁγίωι. καὶ ἑώρακα καὶ μεμαρτύρηκα ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ θεοῦ.
ἆρα γὰρ ἀνθρωπότητος ἔργον εἶναι φῆς τὸ βαπτίζειν δύνασθαι τοὺς πιστεύοντας ἐν ἁγίωι 35
πνεύματι; καίτοι πῶς οὐκ εὔηθες τὸ οὕτως ἔχειν οἴεσθαι ταυτί; πῶς γὰρ τὸ μεῖον τὴν τοῦ
προύχοντος ἀσυγκρίτως χαριεῖται μέθεξιν; ἄθρει δὲ ὅτι αὐτὸς ἐκεῖνος ἐφ' ὃν καταπτῆναι
τὸ πνεῦμα λέγεται μεῖναί τε ἐπ' αὐτόν, ἐν ἁγίωι βαπτίζει πνεύματι, καταχρίων δὲ δηλονότι
τοὺς πιστεύοντας ὡς θεὸς τῶι ἰδίωι πνεύματι. καὶ γοῦν ἀνεβίω μὲν ἐκ νεκρῶν, ἐνεφύ-
σησε δὲ τοῖς μαθηταῖς, λέγων· λάβετε πνεῦμα ἅγιον· οἱ δὲ λαβόντες φασίν· ἡμεῖς 40 Ioh.20,22
δὲ οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλὰ τὸ πνεῦμα τὸ ἐκ τοῦ θεοῦ, 1 Cor. 2, 12
ἵνα εἰδῶμεν τὰ ὑπὸ τοῦ θεοῦ χαρισθέντα ἡμῖν. γράφει δὲ καὶ ὁ σοφώτατος

V

5 γάρτοι Agellius γάρ τι V 18 τι Pusey τε V δυσανάλυτον scripsi δυσανά spatium X fere litt. V 19 ἀποστολήν Agellius ἐπιστολήν V 21 lacunam signaui, e. g. supplendo τὰ ὡμοιωμένα 24 χρίσιν Agellius χρῆσιν V 26 μείοσι scripsi μειώσει V 40 λαβόντε φησίν V τὸ scripsi τὸν V

Rom. 8, 8. 9 Παῦλος· οἱ δὲ ἐν σαρκὶ ὄντες θεῷ ἀρέσαι οὐ δύνανται. ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί, ἀλλ' ἐν πνεύματι, εἴπερ πνεῦμα θεοῦ οἰκεῖ ἐν ὑμῖν. εἰ δέ
P 162 τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἐστιν αὐτοῦ. καὶ μὴν καὶ ἑτέρωθι·
Rom. 8, 14 ὅσοι γὰρ πνεύματι θεοῦ ἄγονται, οὗτοί εἰσιν υἱοὶ θεοῦ. οὐκοῦν ὅταν ἴδῃς αὐτὸν τῷ ἰδίῳ χριόμενον πνεύματι, διαμέμνησο τῆς μετὰ σαρκὸς οἰκονομίας καὶ καταλογίζου τὸ ἀνθρώπινον· ὅταν ἴδῃς τὸ πνεῦμα διδόντα, θαύμαζε μετὰ τούτου τὸν καὶ ἐν ἀνθρωπότητι θεόν. ἀλλ' οὐδὲν τῶν τοιούτων ὑπολογιζόμενος ὁ δύσερις οὑτοσὶ πάλιν ὧδέ φησιν

Loofs p. 4 Οὗτος ὁ πιστὸς τῷ θεῷ γεγενημένος ἀρχιερεύς (ἐγένετο γάρ, οὐκ ἀιδίως ἦν)· οὗτος
235, 6-236, 14 PG 149 ὁ κατὰ μικρὸν εἰς ἀρχιερέως, αἱρετικέ, προκόψας ἀξίωμα. ἄκουε σαφεστέρας σοι διαHebr. 5, 7-9 βοώσης φωνῆς· ὃς ἐν ταῖς ἡμέραις, φησί, τῆς σαρκὸς αὐτοῦ δεήσεις τε καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον σώιζειν αὐτὸν ἐκ θανάτου μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσενέγκας καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας, καίπερ ὢν υἱός, ἔμαθεν ἀφ' ὧν ἔπαθε, τὴν ὑπακοὴν καὶ τελειωθεὶς ἐγένετο τοῖς ὑπακούουσιν αὐτῷ αἴτιος σωτηρίας ἀκαταλύτου. τελειοῦται δὲ τὸ
Lc. 2, 52 κατὰ μικρὸν προκόπτον, αἱρετικέ, περὶ οὗ καὶ Ἰωάννης ἐν τοῖς εὐαγγελίοις βοᾷ· Ἰησοῦς προέκοπτεν ἡλίκίαι καὶ σοφίαι καὶ χάριτι, οἷς σύμφωνα καὶ Παῦλος φθεγγόμενος
Hebr. 5, 9. 10 τελειωθείς, φησίν, ἐγένετο τοῖς ὑπακούουσιν αὐτῷ πᾶσιν αἴτιος σωτηρίας αἰωνίου, προσαγορευθεὶς ὑπὸ τοῦ θεοῦ ἀρχιερεὺς κατὰ τὴν τάξιν
Hebr. 3, 3 Μελχισεδέκ. οὗτος ὁ Μωσεῖ κατὰ τὸν τῆς στρατηγίας συγκρινόμενος τύπον, ὁ σπέρμα
Hebr. 2, 16. 17 τοῦ Ἀβραὰμ κεκλημένος, ὁ κατὰ πάντα τοῖς ἀδελφοῖς παραπλήσιος, ὁ χρόνωι γενόμενος
Hebr. 5, 5 Hebr. 5, 8. 9 ἀρχιερεύς, ὁ διὰ παθημάτων τελειωθείς, ὁ ἐν ὧι πέπονθεν αὐτὸς πειρασθείς, δυνάμενος
2, 18 τοῖς πειραζομένοις βοηθῆσαι, ὁ κατὰ τὴν τάξιν Μελχισεδὲκ ἀρχιερεὺς κεκλημένος.
Hebr. 5, 10 τί οὖν ἀνθερμηνεύεις τῷ Παύλωι, τὸν ἀπαθῆ θεὸν λόγον ἐπιγείωι καταμιγνὺς σώματι καὶ παθητὸν ἀρχιερέα ποιῶν;

P 163 Ὡς ἀκμαιοτάτην, ὦ τᾶν, καὶ μάλα νεανικὴν τῶν τῆς εὐσεβείας δογμάτων ἐποιήσω τὴν καταδρομήν. καὶ ὁ μὲν θεσπέσιος Βαρουὶχ τὸν τοῦ θεοῦ λόγον, ἐνηνθρωπηκότα δὲ
Bar. 3, 36-38 ἤδη καὶ ἐν ὁμοιώσει τῆι καθ' ἡμᾶς πεφηνότα καταδεικνὺς οὗτος, φησίν, ὁ θεὸς ἡμῶν· οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ καὶ Ἰσραὴλ τῶι ἠγαπημένωι ὑπ' αὐτοῦ καὶ μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη. σὺ δὲ τὸ οὗτος καὶ μάλα πλειστάκις ἀναφωνῶν μόνον οὐχὶ καὶ χεῖρα προτείνων τίνα τοῖς πεπιστευκόσι καθίστης ἐναργῆ καὶ μὴν καὶ ὁρᾶσθαι ποιεῖς καὶ δὴ καὶ προκόψαι φὴς εἰς ἀρχιερέα κατὰ βραχύ; ἀλλ' οἶμαί που πάντως ἐκεῖνον ὃν καὶ ἔναγχος παραδειγματίζων ἔφασκες

p. 58, 23-28 Οὐκοῦν ὁ παθὼν ἀρχιερεὺς ἐλεήμων, οὐχ ὁ ζωοποιὸς τοῦ πεπονθότος θεός. σπέρμα
Hebr. 13, 8 Ἀβραὰμ ὁ χθὲς καὶ σήμερον κατὰ τὴν τοῦ Παύλου φωνήν, οὐχ ὁ λέγων· πρὶν Ἀβραὰμ
Ioh. 8, 58 γενέσθαι, ἐγὼ εἰμί· ὅμοιος τοῖς ἀδελφοῖς κατὰ πάντα ὁ ψυχῆς ἀνθρωπίνης καὶ
Ioh. 14, 9 σαρκὸς ἀναλαβὼν ἀδελφότητα, οὐχ ὁ λέγων· ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα.

---

4 cf. Exc. Eph. XVII. XVIII; Apolog. adu. Orient. 85 adu. Theodoret. 77; 23—25 Tim. arm. p. 152. Patr. or. 13, 234

1—8. 26—39 V 9—25 VV^a

9 γεγενημένος V^a γεγεννημένος V πεποιημένος Exc. Eph. 10 εἰσ ἀρχιερέωσ αἱρετικὲ V^a Exc. Eph. cod. Dresd. αἱρετικὲ εἰσ ἀρχιερέωσ V 16 Ἰωάννης cf. Exc. Eph. 35 ἔφασκες Agellius ἔφασκεν V

Καὶ ὅτι μὲν τοῦ πεπονθότος θεὸν τὸν ζωοποιὸν τοῦ θεοῦ λόγον ὑπάρχειν διαβεβαιούμενος τοῖς τῆς ἀφύκτου δυσφημίας ἐγκλήμασι σεαυτὸν ἐνιεὶς ἠδίκηκας οὐ μετρίως, ἀποχρῶν PG 152
ἡμῖν διέδειξε λόγος· θαυμάζω δὲ ὅτι τῶν ἰδίων αὐτὸς ἀμνημονήσας φωνῶν κατὰ βραχὺ προελθεῖν εἰς ἀρχιερέως ἀξίωμα φάναι τε ὁμοῦ καὶ μὴν καὶ φρονεῖν ἀξιοῖς, ὃν καὶ θεὸν εἶναι φῂς παντοκράτορα. προκειμένης γάρ σοι τῆς Ἑβραίοις γραφείσης ἐπιστολῆς 5
ἁλίσκηι λέγων

Ἀλλ' οὗτος ὁ κατὰ σάρκα τοῦ Ἰσραὴλ συγγενής, ὁ κατὰ τὸ φαινόμενον ἄνθρωπος, p. 52, 22-24
ὁ κατὰ τὴν Παύλου φωνὴν ἐκ σπέρματος γεγεννημένος Δαυὶδ παντοκράτωρ τῆι συνα- Rom. 1, 3. 4
φείαι θεός.

Πῶς ἔτι προέκοψε κατὰ τὴν ⟨σὴν⟩ εἰκαιομυθίαν εἰς ἀρχιερέως ἀξίωμα, καίτοι θεὸς 10 P 164
παντοκράτωρ καὶ διὰ τῆς σῆς φωνῆς μαρτυρούμενος; κἂν τὴν ἀκλεᾶ καὶ τὴν οὐκ οἶδ' ὅπως ἐξευρημένην αὐτῶι σοι καὶ μόνωι συνάφειαν ὀνομάζηις, παρήσω νυνί, πλὴν ἐρήσομαι κατὰ ῥοῦν ἰέναι τὸν αὐτῶι πρέποντά τε καὶ προκείμενον τῶι λόγωι σκοπὸν ἐφιείς· ἆρ' οὐχὶ τὸ προκόπτον εἰς ἱερωσύνην καὶ δόξαν τὴν εἰς τὰ ἀμείνω καὶ προύχοντα ποιεῖται βάδισιν ἢ γοῦν ἐπίδοσιν; καίτοι πῶς οὐχ ἁπαστισοῦν ἐπιψηφιεῖται τῶι λόγωι τὸ ἀληθές; 15
μεῖζον οὖν ἄρα τοῦ εἶναι θεὸν παντοκράτορα τῆς ἱερωσύνης τὸ χρῆμα. εἶτα πῶς ὁ μὲν ἱεράσθαι λαχὼν λειτουργεῖ καὶ παρέστηκεν ὡς λάτρις θεῶι καὶ ὡς οἰκέτης δεσπότηι, προσκομίζων τὰ νενομισμένα καὶ θυσίας ἀνατιθείς, ὁ δὲ ὡς δόξηι τῆι ὑπερτάτηι κατεστεμμένος προσδέχεται τὰς θυσίας καὶ τιμᾶται θεραπευόμενος; ἀλλ' ἐκεῖνο, οἶμαι, φῂς ὅτι θεὸς παντοκράτωρ ὑπάρχων ὁ αὐτὸς γέγονεν ἀρχιερεύς. κεκένωται δὴ οὖν καὶ τεταπείνωκεν 20
ἑαυτὸν καθεὶς ἐν μείοσι. πῶς οὖν ἔτι προέκοψεν εἰς ἀξίωμα γεγονὼς ἱερεύς; διαμέμνησο δὴ πάλιν τῶν σαυτοῦ λόγων· ἔφης γὰρ οὕτως ἐν τοῖς ἀνωτέρω βραχύ

Εἰ δὲ ἀρχιερεὺς ἡ θεότης, τίς ὁ τῆι παρὰ τῆς ἀρχιερωσύνης λειτουργίαι θεραπευό- p. 55, 2-6
μενος; εἰ θεὸς ὁ προσφέρων, οὐδεὶς ὧι προσφέρεται. τί γὰρ θεότητος ἄξιον, ἵν' ὡς ἐλάττων προσφέρηι τῶι μείζονι; 25

Στῆθι καὶ νῦν γοῦν ἐν ταῖς σεαυτοῦ φωναῖς· ἀλλὰ τοῦτο μὲν οὐχ οἷός τε ἔσηι δρᾶν, περιφέρηι δὲ ὥσπερ ἀνέμωι παντὶ καὶ διαρριπτούμενος οὐκ αἰσθάνηι, ποτὲ μὲν ἐξ Eph. 4, 14
ἐκείνων εἰς ταῦτα, ποτὲ δὲ πάλιν ἐκ τούτων εἰς ἐκεῖνα μεταπηδῶν, δέδιας δὲ κατ' οὐδένα τρόπον τὸ διὰ τῆς τοῦ Παύλου φωνῆς· εἰ γὰρ ἃ κατέλυσα, ταῦτα πάλιν οἰκοδο- Gal. 2, 18
μήσω, παραβάτην ἐμαυτὸν συνιστάνω. ἐρεῖς δὲ ἴσως ἐκεῖνο· Χριστὸν ἕνα καὶ 30
υἱὸν καὶ κύριον διισχυριζόμενος εἶναι πανταχοῦ τὸν ἐκ θεοῦ πατρὸς λόγον μετὰ τῆς ἰδίας P 165
σαρκός, πῶς δὴ φῆς εἰς ἀρχιερέα τεθεῖσθαι καὶ ἀπόστολον; εἶτα τοῦτο λέγων οὐχ ὑβριεῖς τῆς θείας αὐτοῦ δόξης τὸ ὑπερφερὲς ἀξίωμα; ὅτι, ὦ βέλτιστε, φαίην ἄν, γέγονεν ἄνθρωπος ὁ μονογενὴς τοῦ θεοῦ λόγος καὶ τοῖς τῆς ἀνθρωπότητος μέτροις οὐκ ἀνάρμοστον ἂν εἴη τὸ χρῆμα τῆς ἱερωσύνης καὶ μὴν καὶ τὸ ἀπεστάλθαι λέγειν αὐτόν. κατεφρόνησε γὰρ 35 Hebr. 12, 2
αἰσχύνης, ὡς ὁ θεσπέσιος γράφει Παῦλος, καὶ τὰ ἔτι μείω τε καὶ ἀπηχέστερα δι' ἡμᾶς ὑπομείνας. δέδωκε γὰρ τὸν νῶτον εἰς μάστιγας, τὸ δὲ πρόσωπον αὐτοῦ οὐκ ἀπεστράφη Ies. 50, 6
ἀπὸ αἰσχύνης ἐμπτυσμάτων καὶ τῆς Ἰουδαίων παροινίας τλῆπαθῶς ἠνέσχετο. ἀλλ' οὐκ ἀξιοῖς ἱερέα λέγειν ὡς ὑπάρχοντα θεόν; δέχου τῆς οἰκονομίας τοὺς λόγους, διαλογίζου τὴν PG 153
κένωσιν, τὴν εἰς τὴν τοῦ δούλου μορφὴν καταφοίτησιν. οὐ δὴ προκόψαι φαμὲν καὶ εἰς 40
ἀξίωμα δραμεῖν τὸν τοῦ θεοῦ λόγον, εἰ κεχρημάτικεν ἡμῶν ἀρχιερεύς, καθικέσθαι δὲ μᾶλλον καὶ διὰ τούτου πρὸς κένωσιν. ἐπεὶ πῶς κεκένωται καὶ τεταπεινῶσθαι λέγεται, καίτοι τὸ ἄτρεπτον ἔχων καὶ ὑπάρχων ἐν μορφῆι καὶ ἰσότητι κατὰ πᾶν ὁτιοῦν πρὸς τὸν ἑαυτοῦ

V

5 τοῖς V 8 γεγενημένος V 10 σὴν addidi 15 ἀληθές Agellius ἀληθῶς V 17 λάτρης V 23 ὁ παρὰ τῆ τῆς V cf. p. 55, 3 25 προσφέρει V 26 καὶ νῦν scripsi νῦν καὶ V 32 ὑβριεῖς Patrol. ὑβριεῖ V

γεννήτορα, πῶς δὲ καὶ προέκοψε κατὰ βραχύ, καὶ τοῦτο, καθὰ φὴς αὐτός, εἰς τὸ τῆς ἀρχιερωσύνης ἀξίωμα; ποίαν εἰς τοῦτο δεχόμενος τὴν ἐπίδοσιν; εἰ μὲν οὖν τὴν σώματος, ἐρήσομαι πάλιν· ἆρα γὰρ ἡ σώματος αὔξησις πρὸς τὴν τῆς ἱερωσύνης ἀνακομίζει δόξαν; οὐκοῦν ἔστω τὸ χρῆμα κοινὸν καὶ ὁ σὸς οὑτοσί κατὰ παντὸς ἴτω λόγος τοῦ προκόπτοντος σωματικῶς· ἀλλὰ μὴν οὐχ ἅπασι τοῖς εἰς αὔξησιν τὴν σωματικὴν ἀναφοιτᾶν εἰωθόσι τὸ ἱεραῖσθαι πρέπει. πῶς οὖν ἡμῖν εἰς ἀπόδειξιν ὧν ἔφης, παρατιθεὶς οὐκ ἐρυθριᾶις τὸ
Lc. 2, 52 διὰ φωνῆς εἰρημένον τοῦ θεσπεσίου Λουκᾶ· Ἰησοῦς δὲ προέκοπτεν ἡλικίαι καὶ σοφίαι καὶ χάριτι; ἀλλ' εἰς σοφίαν φὴς γενέσθαι τὴν ἐπίδοσιν· καίτοι πῶς τοῦτο
P 166 οὐκ ἀμαθές; πεπιστεύκαμεν γὰρ ἐκ νηδύος αὐτῆς καὶ μήτρας τῆς παρθενικῆς θεὸν ὄντα τὸν Ἐμμανουὴλ ἄνθρωπον προελθεῖν, πλήρη που πάντως σοφίας καὶ χάριτος τῆς ἐνούσης αὐ-
Col. 2, 3 τῷι φυσικῶς. ποίαν οὖν ⟨ἂν⟩ ἐπιδέξαιτο τὴν ἐπίδοσιν ὁ ἐν ὧι πάντες εἰσὶν οἱ θησαυροὶ τῆς σοφίας, ὁ τῆς ἄνωθεν χάριτος συνδοτὴρ τῶι θεῶι καὶ πατρί; πῶς οὖν ἄρα προκόπτειν εἴρηται; συμμετροῦντος, ὥς γε οἶμαι, τοῦ θεοῦ λόγου τῆι τοῦ ἰδίου σώματος αὔξηι τε καὶ ἡλικίαι τῶν ἐνόντων αὐτῶι θεοπρεπεστάτων ἀγαθῶν τὴν ἔκφανσιν. ἐννοῶμεν γὰρ ὅτι καίτοι καθ' ἡμᾶς γεγονὼς ἄνθρωπος, λανθάνειν ἐσπούδαζεν ἐν ἀρχαῖς καὶ οἷον ἀψοφητὶ καὶ σεσιγημένως τὴν τοῦ μυστηρίου δύναμιν κατὰ βραχὺ διοικούμενος. καὶ πρός γε
Ies. 42, 1-3 τοῦτο ἡμᾶς αὐτὸς ὁ θεὸς καὶ πατὴρ πιστώσεται λέγων· Ἰακὼβ ὁ παῖς μου, ἀντιλήψομαι αὐτοῦ· Ἰσραὴλ ὁ ἐκλεκτός μου, προσεδέξατο αὐτὸν ἡ ψυχή μου. ἔδωκα τὸ πνεῦμά μου ἐπ' αὐτόν, κρίσιν τοῖς ἔθνεσιν ἐξοίσει. οὐ κεκράξεται οὐδὲ ἀνήσει οὐδὲ ἀκουσθήσεται ἡ φωνὴ αὐτοῦ ἔξω. κάλαμον
Mt. 12, 16 συντεθλασμένον οὐ συντρίψει καὶ λίνον τυφόμενον οὐ σβέσει. ἐπετίμα δέ που καὶ αὐτοῖς τοῖς ἁγίοις ἀποστόλοις, ἵνα μὴ φανερὸν αὐτὸν ποιῶσιν. οὐκοῦν ἐδείχθη ἂν ἅπασιν ἀληθές τι χρῆμα καὶ ξένον καὶ περιεργίας ἄξιον, εἰ βρέφος ὢν ἔτι θεοπρεπῆ τῆς σοφίας ἐποιεῖτο τὴν ἔνδειξιν· κατὰ βραχὺ δὲ καὶ ἀναλόγως τῆι τοῦ σώματος ἡλικίαι κατευρύνων αὐτὴν ἐμφανῆ τε ἅπασι καθιστάς, προκόπτειν ἂν λέγοιτο καὶ μάλα εἰκότως. πῶς οὖν ἄρα κατὰ μικρὸν προέκοψεν εἰς ἱερωσύνην; κατὰ ἀρετήν, εἰπέ μοι, τελειούμενος; εἶτα πῶς ἂν ἢ πόθεν ἐνδοιάσειέ τις ὅτι τὸ ἡμαρτηκὸς τοῦ τελείως ἔχοντος κατὰ ἀρετὴν ὑπὸ μῶμον ἔσται καὶ οὐκ εἰς ἅπαν τεθαυμασμένον, μᾶλλον δὲ τάχα που καὶ ὑπὸ γραφὴν
1 Petr. 2, 22 ἁμαρτίας; ἀλλὰ μὴν ἀληθὲς ὡς οὐ πεποίηκεν ἁμαρτίαν οὐδὲ εὑρέθη δόλος ἐν τῶι
PG 156 στόματι αὐτοῦ, καθὰ γέγραπται. παντέλειος οὖν ὁ τοιόσδε πρὸς πᾶν ὁτιοῦν καὶ
P 167 κατ' οὐδένα τρόπον ἂν ἔχοι τὸ ἐνδεὲς τοῦ ἀρτίως ἔχοντος εἰς κατόρθωσιν ἀρετῆς. πότε δὲ ἦν οὐ τέλειος εἰς τὸ ἀγαθὸν ὁ καὶ ἐν μήτραι θεός; περὶ οὗ καὶ ὁ προφήτης φησὶν
Ies. 7, 15. 16 Ἡσαίας· βούτυρον καὶ μέλι φάγεται· πρὶν ἢ γνῶναι αὐτὸν ἢ προελέσθαι πονηρά, ἐκλέξεται τὸ ἀγαθόν· διότι πρὶν ἢ γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κακόν, ἀπειθεῖ πονηρίαι τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν. ποῦ τοίνυν ἂν ἔχοις ἐπιδεῖξαι Χριστοῦ τὸ ἀτελὲς ἔτι πρὸς τὸ ἀγαθόν; ἢ ποίας ἂν δέοιτο προκοπῆς ὁ οὕτως ἀρτίως ἔχων, ὡς ἀπάσηι μὲν ἀπειθεῖν πονηρίαι, προτάττειν δὲ αὐτῆς καὶ μὴν καὶ μόνον αἱρεῖσθαι τὸ ἀγαθόν; ἀλλ' οὐκ οἶδ' ὅπως ὁ διαβεβαιούμενός τε καὶ λέγων >οὗτος ὁ κατὰ μικρὸν προκόψας εἰς ἀρχιερέως ἀξίωμα< καὶ παρενεγκὼν εἰς ἀπόδειξιν τῶν ἑαυτοῦ λόγων
Lc. 2, 52 τὸ Ἰησοῦς δὲ προέκοπτεν ἡλικίαι καὶ σοφίαι καὶ χάριτι, μόνον οὐχὶ τῶν ἑαυτοῦ λόγων καθορίζων τὸ ἀτερπὲς καὶ ὧν εὖ ἔχειν ὑπείληφεν, εἰς λήθην ὑπενεχθείς, τὸν τῆς τελειώσεως τρόπον ἑτέρως ἡμῖν πεπρᾶχθαι διισχυρίζεται λέγων

Loofs p. 236, 9. 10 Οὗτος ὁ χρόνωι γεγενημένος ἀρχιερεύς, ὁ διὰ παθημάτων τελειωθείς.

Ἆρ' οὐκ ἐναργὴς ἀποπληξία τοῦτό γε, μᾶλλον δὲ οὐχ ἁπάσης βαιδιουργίας ἔλεγχος; τετελείωται μὲν γὰρ διὰ παθημάτων ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός, ὃ δέ, καίτοι τοῦ

V

8 εἰς Agellius ὡς V 11 ἂν addidi 18 αὐτῶ V 35 ἀπειθῆ V ἔχησ V 36 post ἀτελὲσ deletum ἔχειν V

τετελειῶσθαι τὸν τρόπον οὐκ ἠγνοηκώς, τὸν τῶν ἁπλουστέρων ἀποκομίζει νοῦν εἰς ἐκτόπους τινὰς ἐννοιῶν περιαγωγὰς καὶ προκόψαι φησὶν εἰς ἀρχιερέα καὶ τετελειῶσθαι πρὸς τοῦτο τόν, ὅτι τοῦτο γέγονε, κεκενῶσθαι λεγόμενον. ὥσπερ δὲ διαρκῶς ἀποφήνας ὅτι μηδὲ γέγονε σὰρξ ὁ τοῦ θεοῦ λόγος μήτε μὴν προῆλθεν ἄνθρωπος ἐκ γυναικός, τοῖς τὰ τοιάδε φρονεῖν ἠιρημένοις ἐπιτιμᾷ καί φησι 5

Τί οὖν ἀνθερμηνεύεις τῶι Παύλωι, τὸν ἀπαθῆ θεὸν λόγον ἐπιγείωι καταμιγνὺς σώματι καὶ παθητὸν ἀρχιερέα ποιῶν; Loofs p. 236, 12-14

Οὐκοῦν ἄκουε καὶ πρὸς ἡμῶν, οἷς δὴ καὶ μᾶλλον ἡ ἀλήθεια φίλη· τί παρερμηνεύεις τὸν Παῦλον, μᾶλλον δὲ ἅπασαν συκοφαντεῖς τὴν θεόπνευστον γραφήν, ὑπεξάγων τῆς μετὰ σαρκὸς οἰκονομίας τὸν τοῦ θεοῦ λόγον καὶ ἄνθρωπον ἡμῖν συναφείαι ψιλῆι τιμώμενον ἐφι- 10 P 168
στᾶις ἱερέα, καίτοι τὸν αὐτὸν ἀκούων ἀρχιερέα τε ὁμοῦ καὶ σύνθρονον ὄντα τῶι θεῶι καὶ πατρί, καθάπερ ἤδη φθάσαντες εἴπομεν; ἔφη γὰρ ὁ Παῦλος ὅτι τοιοῦτον ἔχομεν ἀρχιε- Hebr. 8, 1
ρέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρα-
νοῖς. ὅτι μὲν γὰρ ἀπαθὴς ὁ ἐκ θεοῦ πατρὸς λόγος, παντί που δῆλον ἂν εἴη δήπουθεν· ὅτι δὲ πέπονθεν ὑπὲρ ἡμῶν σαρκί, κατασφραγιεῖ πρὸς ἀλήθειαν ἡ τῶν θεηγόρων φωνή. 15 1 Petr. 4, 1
εἰ δὲ ἀποφέρεις αὐτὸς ἐπιγείου σώματος τὸν ἐκ θεοῦ λόγον, οἰχήσεταί σοι τὸ σύμπαν εἰς τὸ μηδέν. εἰ γὰρ μὴ γέγονεν ἄνθρωπος, οὐδὲ ἀπέθανεν ὑπὲρ ἡμῶν, καὶ εἰ μὴ δέδωκε τῶι θανάτωι τὸ ἴδιον σῶμα, πῶς εἶναι λέγεται πρωτότοκος ἐκ νεκρῶν; οὐκοῦν οὔτε ἀπέ-
θανεν οὔτε ἀνεβίω Χριστός. ἴτω δὴ οὖν εἰς μέσον ὁ θεσπέσιος Παῦλος, ἀνακεκραγέτω 19
λέγων· εἰ νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς ἐγήγερται· εἰ δὲ Χριστὸς 1 Cor. 15, 16-18
οὐκ ἐγήγερται, ματαία ἡ πίστις ὑμῶν, ἔτι ἐστὲ ἐν ταῖς ἁμαρτίαις ὑμῶν. PG 157
ἄρα καὶ οἱ κοιμηθέντες ἐν Χριστῶι ἀπώλοντο. ἀλλ' ἐγήγερται Χριστὸς ἐκ νεκρῶν· γέγονε γὰρ ἄνθρωπος ὁ μονογενὴς τοῦ θεοῦ λόγος καὶ γήινον σῶμα λαβὼν ἑνώσας τε καθ' ὑπόστασιν ἑαυτῶι χάριτι θεοῦ κατὰ τὸ γεγραμμένον ὑπὲρ παντὸς ἐγεύσατο Hebr. 2, 9
θανάτου, κεχρημάτικε δὲ καὶ ἀπαρχὴ τῶν κεκοιμημένων, ἐγηγερμένος ἐκ νεκρῶν. 1 Cor. 15, 20
ἀσφαλὴς οὖν ἄρα καὶ οὐ ματαία λοιπὸν ἡ πίστις ἡμῶν, ἣν ὡς ἄγκυραν ἔχομεν τῆς 26 Hebr. 6, 19
ψυχῆς ἀσφαλῆ τε καὶ βεβαίαν κατὰ τὸ γεγραμμένον. ὥσπερ δὲ κατ' οὐδένα τρόπον ἠδικηκὼς τῆς μετὰ σαρκὸς οἰκονομίας τοὺς λόγους διά γε τοῦ φάναι ταυτὶ καὶ τῶν τῆς ἀληθείας δογμάτων ἀκρατῆ τε καὶ βδελυρώτατον καταχέαι τὸν ἔμετον, ἐφ' ἑτέραν ἔρχεται δυσβουλίαν, μᾶλλον δὲ δυσσέβειαν ἐναργῆ καί φησιν 30

5 Ὄντος οὖν ἡμῖν τούτου μόνου ἀρχιερέως συμπαθοῦς καὶ συγγενοῦς καὶ βεβαίου, τῆς Loofs p. 240, 4-9
εἰς αὐτὸν μὴ παρατρέπεσθε πίστεως. αὐτὸς γὰρ ἡμῖν τῆς ἐπηγγελμένης εὐλογίας ἐκ P 169
σπέρματος Ἀβραὰμ ἀπεστάλη ὡς ὑπὲρ ἑαυτοῦ καὶ τοῦ γένους τὴν τοῦ σώματος θυσίαν συνεπαγόμενος.

Ἀρχιερέα τοίνυν ἡμῖν συγγενῆ τε καὶ συμπαθῆ καὶ βέβαιον καὶ προσέτι μόνον ἐκεῖνον 35
εἶναι φῆς ὃν ἀρτίως ἡμῖν ὁ σὸς ἐναργῶς διέδειξε λόγος· ἔφης γάρ

Σπέρμα Ἀβραὰμ ὁ χθὲς καὶ σήμερον κατὰ τὴν τοῦ Παύλου φωνήν, οὐχ ὁ λέγων· p. 62, 24-28
πρὶν Ἀβραὰμ γενέσθαι, ἐγὼ εἰμί· ὅμοιος τοῖς ἀδελφοῖς κατὰ πάντα ὁ ψυχῆς ἀν- Hebr. 13, 8
θρωπίνης καὶ σαρκὸς ἀναλαβὼν ἀδελφότητα, οὐχ ὁ λέγων ὁ ἑωρακὼς ἐμὲ ἑώρακε Ioh. 8, 58
τὸν πατέρα. ἀπεστάλη ὁ ἡμῖν ὁμοούσιος καὶ κέχρισται κηρύττων αἰχμαλώτοις ἄφεσιν Ioh. 14, 9
καὶ τυφλοῖς ἀνάβλεψιν. 41

5 = Exc. Eph. XX; cf. Apol. adu. Theodoret. 77

1—30. 35—41 V 31—34 VVa
1 τελειῶσθαι V 6 ἀνθερμηνεύει V 21 ἡμῶν V ἐστὲ] ἐστὶν V ἡμῶν V
29 βδελυρότατον V 32 εὐλογίας V cf. p. 73, 24 Va Exc. Eph. ἀρχιερεὺς εὐλογίας cod. Dresd.

Οὕτος οὖν ἄρα καὶ συγγενὴς ἂν νοοῖτο τοῖς ἐπὶ τῆς γῆς καὶ οὐχ, ὡς σὺ φής, ὁ
Ioh. 14, 9 λέγων ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα. * * εἰ μὲν γὰρ εἰς ἓν ἄμφω συλλέγων
καθ' ἕνωσιν ἀληθῆ ἕνα μεθ' ἡμῶν ὁμολογεῖς υἱόν, πεποίηκας μάτην ἰδίαι τε καὶ ἀνὰ μέρος
ἑκάτερον ἀποφέρων ὑποστάσεσί τε καὶ προσώποις διιστὰς ὁλοτρόπως, οὐχὶ τῶι εἰδέναι
μόνον ὅτι σαρκὸς μὲν φύσις ἑτέρα παρὰ τὴν θείαν, συνόδωι γε μὴν τῆι καθ' ἕνωσιν ἀληθῆ
ἰδία γέγονεν αὐτῆς· εἰ δὲ ἀσύμβατος ἡμῖν κατὰ τὴν δόξαν ὁρᾶσθαι θέλων καὶ παραιτού-
μενος πανταχῆι τὴν ἕνωσιν ἕτερον εἶναι φῆς καὶ ἕτερον καὶ τὸν μὲν ἐκ θεοῦ γεγεννῆσθαι
πατρός, τὸν δὲ συγγενῆ τε ὑπάρχειν ἡμῖν καὶ ὁμοούσιον, πῶς δὴ χρῆναι φῆς τῆς εἰς αὐ-
τὸν μὴ παρατρέπεσθαι πίστεως, εἰπέ μοι, καὶ συγγενῆ πιστεύσομεν, ἀφέντες τὸν λέγοντα
Ioh. 8, 58 πρὶν Ἀβραὰμ γενέσθαι, ἐγὼ εἰμί, ⟨ἢ⟩ ἐπιγραψόμεθα θεὸν τὸν ψυχῆς ἀνθρωπίνης καὶ
Ioh. 14, 9 σαρκὸς ἀναλαβόντα πρὸς ἡμᾶς ἀδελφότητα, παρέντες τὸν λέγοντα ὁ ἑωρακὼς ἐμὲ
Ioh. 3, 16. 18 ἑώρακε τὸν πατέρα; καίτοι φησὶν αὐτός· οὕτως γὰρ ἠγάπησεν ὁ θεὸς τὸν
P 170 PG 160 κόσμον, ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων
εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχηι ζωὴν αἰώνιον, καὶ πάλιν· ὁ πιστεύων εἰς
αὐτὸν οὐ κρίνεται· ὁ δὲ μὴ πιστεύων ἤδη κέκριται ὅτι μὴ πεπίστευκεν εἰς
τὸ ὄνομα τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ. ἆρ' οὖν ὑπάρχειν νοεῖται μονογενὴς
Ioh. 1, 18 ἰδίαι τε καὶ μόνος ὁ ἐκ σπέρματος Ἀβραάμ, καίτοι γεγραφότος Ἰωάννου σαφῶς· ὁ μονο-
γενὴς υἱὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρός, ἐκεῖνος ἐξηγήσατο, καὶ μὴν
Hebr. 1, 6 καὶ ἑτέρου γράμματος ἱεροῦ· ὅταν δὲ εἰσαγάγηι τὸν πρωτότοκον εἰς τὴν οἰκου-
μένην, λέγει· καὶ προσκυνησάτωσαν αὐτῶι πάντες ἄγγελοι θεοῦ. πρω-
Rom. 8, 29 τότοκος δὲ πάντηι τε καὶ πάντως εἴη ἂν ὁ ἐν πολλοῖς ἀδελφοῖς, οὐχ ὁ μόνος ἐκ μόνου
γεγεννημένος τοῦ θεοῦ καὶ πατρός. ἐψόμεθα γὰρ τέως ταῖς σαῖς, ὦ οὗτος, διαστολαῖς,
καραδοκοῦντες οἰκονομικῶς ὅποι ποτὲ ἡμῖν διεκπαίουσιν οἱ λόγοι. οὐκοῦν (ἀνακομίσω
γὰρ τὸν λόγον εἰς τὸ ἀπ' ἀρχῆς) ὁ ψυχῆς ἀνθρωπίνης καὶ σαρκὸς πρὸς ἡμᾶς ἀναλαβὼν
ἀδελφότητα, γεγονὼς δὲ ἐκ σπέρματος Ἀβραὰμ πρωτότοκος εἴη ἂν ὡς ἐν πολλοῖς ἀδελ-
φοῖς, ὅ γε μὴν ἐν κόλπωι τοῦ θεοῦ καὶ πατρὸς μονογενὴς θεὸς λόγος. εἶτα τῆς θεο-
πνεύστου γραφῆς εἰς τὸν υἱὸν τοῦ θεοῦ τὸν μονογενῆ χρῆναι λεγούσης ποιεῖσθαι τὴν πίστιν,
τὸν συγγενῆ τε καὶ ἡμῖν ὁμοούσιον ἀνθ' ὅτου παρατιθεὶς μὴ δὴ χρῆναι φῆς τῆς εἰς αὐτὸν
παρατρέπεσθαι πίστεως; οὐκοῦν ἀνάγκη συνδεῖν εἰς ἕνα κύριον καὶ Χριστόν, καθ' ἕνωσιν
δὲ δηλονότι τὴν καθ' ὑπόστασιν, ἵν' ἐν ταυτῶι νοοῖτο μονογενὴς καὶ πρωτότοκος ὁ αὐτὸς
καθὸ φύσει θεὸς ὑπάρχων ὁ ἐκ θεοῦ πατρὸς λόγος γέγονεν ἄνθρωπος καθ' ἡμᾶς καὶ ἐκ
σπέρματος Ἀβραάμ. ἀλλὰ γὰρ ἐξηύρηταί τι σοφὸν αὐτῶι, καθάπερ οὖν οἴεται, καί φησιν
οὕτω πάλιν

Loofs 6 Μέμνησθε δέ που πάντως καὶ τὰ πολλάκις μοι πρὸς ὑμᾶς εἰρημένα τὰς διπλᾶς πρὸς
p. 354, 12-18 P 171 τὸν δεσπότην Χριστὸν διακρίνοντι φύσεις. διπλαῖ μὲν γὰρ τῆι φύσει, τῆι δὲ ἀξίαι μο-
ναδικαί· ἡ γὰρ τῶν φύσεων αὐθεντία διὰ τὴν συνάφειαν μία, τῶν μὲν φύσεων ἐν τῆι
οἰκείαι τάξει διὰ παντὸς μενουσῶν, τῆς δὲ ἀξίας συνημμένης, ὡς προεῖπον, εἰς αὐθεντίαν
μοναδικήν.

Ἀλλ' ἦσθ' ⟨ἄν⟩ που πάντως εὐμαθής, τῆι θεοπνεύστωι γραφῆι κατακολουθεῖν ἡιρη-
μένος ἕνα λεγούσηι κύριον Ἰησοῦν Χριστὸν καὶ οὐκ ἀνὰ μέρος τιθείσηι τὸν ἐκ σπέρματος

6 Tim. Patr. or. 13, 234; inde a 36 f. 44a; inde a 34 τάς arm. p. 65

1—33. 39/40 V 34—38 VVa
2 lacunam signaui, e. g. supplendo ἀλλὰ πῶς λέγεις χρῆναι τῆς εἰς αὐτὸν μὴ παρατρέπεσθαι πίστεως 4 τῶι Agellius τὸ V 7 γεγενῆσθαι V 10 ἢ addidi 14 ἔχει V 29 καθ' ἕνωσιν scripsi κατ' ἔνδησιν V 35 διακρίνοντι Va διακρούοντι V 37 παντὸς Va πασῶν V 37/38 ὡς — μοναδικήν V εἰσ αὐθεντίαν ὡσ προεῖπον μίαν Va 39 ἦσθ' ἄν scripsi ἦσθα V

Ἀβραὰμ καὶ τὸν ἐκ θεοῦ πατρὸς λόγον. καὶ πρός γε δὴ τούτωι κἀκεῖνο διανοεῖσθαι χρῆν· ἕτερον μὲν γάρ τι χρῆμα θεότης, ἕτερον δὲ καὶ ἡ καθ' ἡμᾶς ἀνθρωπότης κατά γε τὸν ἑνόντα ταῖς φύσεσι λόγον, συμβάσει δὲ τῆι καθ' ἕνωσιν ἀληθῆ εἷς ἐξ ἀμφοῖν ὁ Χριστός, καθὰ πλειστάκις εἰρήκαμεν. τῶν γε μὴν ὑποστάσεων, ὡς σὺ φής, διιρημένων εἰς δύο καὶ νοουμένων ὑπάρχειν ἀνὰ μέρος τε καὶ ἰδικῶς, πῶς ἂν γένοιτο σύμβασις εἰς πρόσωπον ἕν, εἰ μὴ ἄρα πως ἴδιον ἐν ἑνὸς λέγοιτο, καθάπερ ἀμέλει τῆς ἀνθρώπου ψυχῆς ἴδιον ἂν νοοῖτο τὸ σῶμα αὐτῆς, καίτοι πρὸς αὐτὴν ὑπάρχον ἑτεροφυές; οὐ γάρ που ταυ- PG 161
τὸν ἂν εἴη ψυχή τε καὶ σῶμα. ἀλλ' ἴσως ἐρεῖ τις· πῶς ἡ ἁγία καὶ προσκυνουμένη τριὰς διορίζεται μὲν εἰς τρεῖς ὑποστάσεις, μίαν δὲ θεότητος ἀποτελεῖ φύσιν; ὅτι, φαίην ἄν, τῆι τῶν ὑποστάσεων διαφορᾶι τὸ ταυτὸν εἰς οὐσίαν ἀναγκαίως ἑπόμενον εἰς μίαν θεότητος ἀνακομίζει φύσιν τῶν πιστευόντων τὸν νοῦν· ἐπὶ δέ γε τοῦ Ἐμμανουήλ, ἐπειδὴ θεότης ἕτερόν τι παρὰ τὴν ἀνθρωπότητά ἐστιν, εἰ μὴ φαμὲν ἴδιον γενέσθαι τὸ σῶμα τοῦ λόγου καθ' ἕνωσιν ἀληθῆ, πῶς ἂν ἓν ἀποτελοῖτο πρόσωπον [τὸ] ἀμφοῖν, ἑκατέρας ἡμῖν ὑποστάσεως φερούσης ἴδιον, ὡς ἀνὰ μέρος κειμένης; καὶ εἰ μὴ γέγονεν ἴδιον τὸ ληφθὲν τοῦ προσειληφότος, οὐκ ἀρκέσει συνάφεια κατὰ σύνοδον ἁπλῶς τὴν ὡς ἐν ἀξίαι τε μόνηι καὶ αὐ- P 172
θεντίαι τὸν ἕνα καὶ μόνον ἡμῖν ἀποτελέσαι Χριστὸν τὸν αὐτὸν ὄντα θεὸν ὁμοῦ τε καὶ ἄνθρωπον. τότε γὰρ τότε καὶ μάλα * * τῆς εἰς αὐτὸν παρατρέπεσθαι πίστεως, κἂν εἰ ἐκ σπέρματος Ἀβραὰμ νοοῖτο κατὰ τὴν σάρκα. ἕτερον δὲ καὶ ἕτερον εἶναι λέγων, εἶτα τῶι ἐκ σπέρματος Ἀβραὰμ προσκομίζεσθαι δεῖν τὴν πίστιν διαβεβαιούμενος, ἴσθι τοι καὶ μάλα σαφῶς τῆς ἑαυτοῦ κεφαλῆς τὰ τῆς ἀνθρωπολατρίας καταχέων ἐγκλήματα, καίτοι παραιτούμενος, καὶ λίαν ὀρθῶς, τὸ ἀνθρωπολάτρης εἶναι δοκεῖν. ἀλλ' ὀλίγα κομιδῆι τοῦ χρῆναι φρονεῖν τὰ εἰκότα πεφροντικώς, συκοφαντεῖ καὶ ἑτέρως τὸ μέγα τῆς εὐσεβείας μυστήριον. ἐπιφέρει γὰρ εὐθύς

Αὐτὸς γὰρ ἡμῖν τῆς ἐπηγγελμένης εὐλογίας ἐκ σπέρματος Ἀβραὰμ ἀπεστάλη ὡς ὑπὲρ p 71, 32-34
ἑαυτοῦ καὶ τοῦ γένους τὴν τοῦ σώματος θυσίαν συνεπαγόμενος.

Ὑφ' ἁμαρτίαν οὖν ἄρα καὶ αὐτὸς γέγονεν ὁ Χριστὸς ὁ δι' οὗ τὸ καθ' ἡμῶν τῆς ἁμαρτίας ἐμφράττεται στόμα κατὰ τὴν τοῦ ψάλλοντος φωνήν; ἆρα καὶ αὐτοῦ τοῦ Ps. 106, 42
φωτὸς τοῦ ἀληθινοῦ τὸ τῆς ἐπαράτου φαυλότητος ἥψατο σκότος; ἆρα μεθ' ἡμῶν ἐδεήθη 2 Cor 6, 14
τοῦ λυτρουμένου καὶ σώιζοντος ὁ δι' οὗ πᾶσα λύτρωσις καὶ σωτηρίας ἐλπίς; πρέποι δ' ἂν αὐτῶι κατά γε τὸ εἰκὸς μεθ' ἡμῶν ἀναφέρειν τὰ χαριστήρια, θεοῦ λέγοντος ἀμνησι- 30
κάκως· ἐγὼ εἰμὶ ὁ ἐξαλείφων τὰς ἁμαρτίας σου καὶ οὐ μὴ μνησθήσομαι, Ies 43, 25
καταγορεύσει δὲ καὶ αὐτοῦ, καθὰ καὶ ἡμῶν, ὁ τῆς ἁμαρτίας πατήρ. εἶτα πῶς οὐ ψευδοεπήσει λέγων ἔρχεται ὁ ἄρχων τοῦ αἰῶνος τούτου καὶ ἐν ἐμοὶ εὑρήσει Ioh 14, 30
οὐδέν; δεδυσφημήκασί ποτε κατ' αὐτοῦ καὶ τῆς Ἰουδαίων συναγωγῆς οἱ προεστηκότες· ἐπειδὴ γὰρ τοῖς τοῦ φθόνου βέλεσι κατετρύχοντο, τεθεραπευμένον ἀδοκήτως ὁρῶντες τὸν 35
ἐκ γενετῆς τυφλόν, ἀνοσίως ἔφασκον· δὸς δόξαν τῶι θεῶι· ἡμεῖς οἴδαμεν ὅτι Ioh. 9, 24
οὗτος ὁ ἄνθρωπος ἁμαρτωλός ἐστιν. ὁ δέ γε κύριος ἡμῶν Ἰησοῦς Χριστος ἀθυροστομοῦντας ἐλέγχων διαρρήδην ἔφασκε· τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρ- P 173
τίας; εἰ δὲ ἀλήθειαν λέγω, διὰ τί ὑμεῖς οὐ πιστεύετέ μοι; οὐκοῦν εἰ προ- Ioh 8, 46
σκεκόμικε τὴν θυσίαν ὑπέρ τε ἡμῶν αὐτῶν καὶ προσέτι καὶ ἑαυτοῦ, δεδέηταί που πάντως 40 PG 164
ἀναγκαίως αὐτῆς, καθὰ καὶ ἡμεῖς οἱ ὑπὸ ζυγὸν ἁμαρτίας. ἔλεγξον τοίνυν αὐτὸν περὶ ἁμαρτίας· εἰ τέθυκε δὲ μεθ' ἡμῶν, δεῖξον ἡμῖν συνημαρτηκότα. ποιμὴν ὑπάρχων ἀγαθος Ioh 10, 15
ὑπὲρ τίνος τέθεικε τὴν ἰδίαν ψυχήν; ὑπὲρ ἑαυτοῦ μᾶλλον ἢ ὑπὲρ τῶν προβάτων; ἀκούω λέγοντος περὶ ἡμῶν· ὑπὲρ αὐτῶν ἐγὼ ἁγιάζω ἐμαυτόν, καὶ καθά φησιν ὁ θεσπέ- Ioh. 17, 19

V

10 φύσεων, superscr. ὑποστάσεων V 13 ἀποτελοῖτο scripsi ἀποτελεῖται V τὸ deleui 17 lacunam signauit Agellius, suppleuerim e g ὀρθῶς οὐ φαμέν 18 τῶι Agellius πῶσ V 20 ἀνθρωπολατρείασ V 26 ἡμῶν Agellius ἡμᾶσ V 38 ἡμῶν V

Hebr. 2, 9 σιος Παῦλος, χάριτι θεοῦ ὑπὲρ παντὸς ἐγεύσατο θανάτου, καὶ πάλιν παρεδόθη
Rom. 4, 25 διὰ τὰ παραπτώματα ἡμῶν καὶ ἠγέρθη διὰ τὴν δικαίωσιν ἡμῶν, καὶ καθά
Ies. 53, 5 φησιν ὁ προφήτης Ἡσαίας, παιδεία εἰρήνης ἡμῶν ἐπ' αὐτόν, τῶι μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν, οὐκ αὐτὸς τῶι τῆς ἰδίας σαρκὸς τεθεράπευται πάθει. παρεδόθη διὰ τὰ παραπτώματα ἡμῶν, οὐ διά γε τὰ ἑαυτοῦ· πολλοῦ γε καὶ δεῖ. κατενήνεκται μὲν γὰρ ὁμολογουμένως ἡ ἀνθρώπου φύσις ἐκ τῆς ἐν Ἀδὰμ παραβάσεως εἰς ἀρὰν καὶ θάνατον, κατηρρώστησε δὲ πρὸς τούτοις καὶ τὸ εὔκολον εἰς ἁμαρτίαν ἐν τῆι σαρκί,
Rom. 8, 4 ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῆι ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα περι-
1 Cor. 15, 46 πατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα. κεχρημάτικε γὰρ διὰ τοῦτο καὶ ἔσχατος Ἀδάμ, οὐ τὰ τοῦ πρώτου νοσεῖν ἀνεχόμενος, ἀπαλλάττων δὲ μᾶλλον ὡς ἐν ἑαυτῶι τε καὶ πρώτωι τὴν ἀνθρώπου φύσιν τῶν ἐκ παραβάσεως τῆς ἀρχαίας ἐκείνης αἰτιαμάτων. κατεγνώσθη μὲν γὰρ ἐν Ἀδάμ, ἀλλ' ὤφθη δοκιμωτάτη καὶ ἀξιάγαστος ἐν Χριστῶι. χοικὸς οὖν ἐκεῖ-
Gen. 3, 7 νος, ἐπουράνιος δὲ ὁ Χριστός. καὶ ἐνετράπη μὲν ἐν τῶι πρώτωι, κατακομισθεῖσα πρὸς παρακοήν, ὅπερ ἐστὶν ἁμαρτία· τετήρηκε δὲ τὸ ἀπαράβατον ἐν Χριστῶι καὶ ὡς ἐν ἀπαρχῆι
P 174 δευτέραι τοῦ γένους, ὤφθη τε ἄτρωτος ἁμαρτίαις καὶ κρείττων ἀρᾶς καὶ δίκης καὶ θανάτου
Rom. 5, 19 καὶ φθορᾶς. προσεμπεδοῖ δὲ ἡμᾶς ὁ σοφώτατος Παῦλος, ὠδὶ γεγραφώς· ὥσπερ γὰρ διὰ τῆς παρακοῆς τοῦ ἑνὸς ἀνθρώπου ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοί, οὕτω καὶ διὰ τῆς ὑπακοῆς τοῦ ἑνὸς δίκαιοι κατασταθήσονται οἱ πολλοί. δεῖται δὴ οὖν θυσίας τῆς ὑπέρ γε τῶν ἰδίων πλημμελημάτων πᾶς εἴ τις γέγονεν ἁμαρτίαις ἔνοχος, καὶ προσκεκόμικε μὲν ὁ Χριστὸς ἑαυτὸν ὑπὲρ τοῦ κατὰ σάρκα γένους, τουτέστιν ὑπὲρ ἡμῶν, ὑπὲρ ἑαυτοῦ δὲ οὐκέτι, κρείττων ἁμαρτίας ὑπάρχων ὡς θεός. εἰ γὰρ τέθυται
Apoc. 5, 9 δι' ἑαυτόν, οὐχ ἡμεῖς ἠγοράσμεθα μόνοι τῶι αἵματι αὐτοῦ κατὰ τὰς γραφάς, ἀλλ' εἴη [δ']
Ies. 53, 6 ἂν καὶ αὐτὸς ἡμῖν συνηγορασμένος, οὐκέτι κατὰ τὴν τοῦ Ἡσαίου φωνὴν κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν, δέδοται δὲ μᾶλλον καὶ ὑπὲρ τῶν ἰδίων. οὐ γὰρ ὅλως θυσία καὶ προσαγωγή, ἐκεῖ που πάντως καὶ ἄφεσις ἁμαρτίας. πεφενάκικεν οὖν ἄρα τοὺς ἀνὰ πᾶσαν τὴν ὑπ' οὐρανὸν ὁ θεσπέσιος Παῦλος, περὶ αὐτοῦ γεγραφώς·
Hebr. 7, 26-28 τοιοῦτος γὰρ ἡμῖν ἔπρεπεν ἀρχιερεύς, ὅσιος ἄκακος ἀμίαντος, κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν καὶ ὑψηλότερος τῶν οὐρανῶν γενόμενος, ὃς οὐκ ἔχει καθ' ἡμέραν ἀνάγκην, ὥσπερ οἱ ἀρχιερεῖς, πρότερον ὑπὲρ
PG 165 τῶν ἰδίων ἁμαρτιῶν θυσίας ἀναφέρειν, ἔπειτα τῶν τοῦ λαοῦ· τοῦτο γὰρ ἐποίησεν ἐφ' ἅπαξ ἑαυτὸν προσενέγκας. ὁ νόμος γὰρ ἀνθρώπους καθίστησιν ἀρχιερεῖς ἔχοντας ἀσθένειαν, ὁ λόγος δὲ τῆς ὁρκωμοσίας τῆς μετὰ τὸν νόμον υἱὸν εἰς τὸν αἰῶνα τετελειωμένον. πῶς οὖν ὅσιος ἀρχιερεὺς ὁ Χριστὸς ἢ κατὰ τίνα τρόπον ἄκακος καὶ ἀμίαντος, εἰ δεδέηται μεθ' ἡμῶν τῆς θυσίας προσκεκομισμένης εἰς ἄφεσιν τῶν πλημμελημάτων καὶ εἰς δικαίωσιν τῶν ἡμαρτηκότων;
P 175 πῶς κεχώρισται τῶν ἁμαρτωλῶν, εἰ δικαιοῦται σὺν αὐτοῖς, οὐχ ἑτέρου του χάριν τῆς θυσίας προσκεκομισμένης ἢ τούτων αὐτῶν; θαυμάζω δὲ ὅτι διακεκραγότος τοῦ Παύλου καὶ μάλα σαφῶς οὐκ εἶναι παραπλήσιον τοῖς ὑπὲρ τῶν ἰδίων πλημμελημάτων προσκομίζειν κεκελευσμένοις, ἔπειτα τῶν τοῦ λαοῦ, πρεσβεύειν οὐ δέδιας, οἷς ἔφη, τἀναντία φάναι τε τολμᾶις καθ' ὁμοιότητα τὴν ἐκείνων οἳ κατὰ νόμον γεγόνασιν ἱερεῖς, καὶ αὐτὸν ὑπὲρ ἑαυτοῦ
Hebr. 7, 28 προσάγειν θυσίαν. καὶ εἴπερ ἐστὶν ἀληθὲς ὡς ὁ νόμος μὲν καθίστησιν ἀρχιερεῖς ἔχοντας ἀσθένειαν, ὁ λόγος δὲ τῆς ὁρκωμοσίας τῆς μετὰ τὸν νόμον υἱὸν εἰς τὸν αἰῶνα τετελειωμένον, τί τοῖς ἀσθενεῖν εἰωθόσι ποιεῖς συναρίθμιον τὸν τῆς ἐκείνων πληθύος ἐξηιρημένον καὶ τὴν ὑπὲρ νόμον ἔχοντα τελείωσιν οἰκοθέν τε καὶ κατὰ

V

4 τεθεράπευται Pusey τεραθεράπευται V 22 δ' deleui 34 δεδέηται scripsi δὲ δέεται V
35 προσκεκομισμένης Agellius προσκεκομισμένοσ V 43 ποιεῖς Agellius ποιεῖν V

φύσιν, εἴπερ ἐστὶν υἱὸς ἀληθῶς καὶ διὰ τοῦτο θεός; ἴδωμεν δὲ καὶ ἐκ τοῦ νομικοῦ καὶ ἀρχαιοτέρου γράμματος τίνα δὴ τρόπον καὶ ὑπὲρ τίνων εἰσκεκόμικεν ἑαυτὸν ὁ Ἐμμανουὴλ Eph. 5, 2 εἰς ὀσμὴν εὐωδίας τῶι θεῶι καὶ πατρί. σκιὰ μὲν γὰρ ὁμολογουμένως ὁ νόμος ἦν, πλὴν Hebr. 10, 1 ὑποτύπωσιν ἔχει μυστηρίου τοῦ κατὰ Χριστὸν καὶ τῆς ἀληθείας ὠδίνει τὴν μόρφωσιν. καὶ γοῦν ἔφη που Χριστὸς τοῖς Ἰουδαίοις προσλαλῶν· εἰ ἐπιστεύετε Μωυσῆι, ἐπι- 5 Ioh. 5, 46 στεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψε. πῶς οὖν ἄρα τεθύκασι τὸν ἀμνὸν μέλλοντες τῆς Αἰγυπτίων ἀπαίρειν οἱ ἐξ αἵματος Ἰσραήλ; ὑπὲρ ἑαυτῶν ἄρα καὶ μόνων ἢ καὶ ὑπὲρ αὐτοῦ τοῦ ἀμνοῦ; τίνας ἐλυτροῦτο διὰ τοῦ αἵματος; ἆρα τοὺς ὑπὸ ζυγὸν δουλείας καὶ δύσοιστον ἀνατλάντας τὴν ἐκ τῶν Αἰγυπτίων πλεονεξίαν ἢ καὶ ἑαυτόν; τίνος ἀπεσόβει τὸν ὀλοθρευτήν; τίσιν ἔφασκεν ὁ τῶν ὅλων θεός· καὶ ὄψομαι τὸ αἷμα καὶ Exod. 12, 13 σκεπάσω ὑμᾶς; ἆρα τοῖς δεδεημένοις τῆς παρ' αὐτοῦ σκέπης ἢ γοῦν καὶ αὐτῶι τῶι 11 ἀμνῶι; διετύπου μὲν γὰρ τὰς ὑπὲρ τῶν ἁμαρτιῶν ποιεῖσθαι θυσίας, καθάπερ ἐν πίνακι, τῶι νόμωι σκιαγραφῶν ἔτι τὸ Χριστοῦ μυστήριον ὁ θεὸς καὶ πατήρ, ἔφη δὲ οὕτως P 176 πρὸς τὸν ἱεροφάντην Μωσέα· ἐὰν δὲ πᾶσα συναγωγὴ υἱῶν Ἰσραὴλ ἀγνοήσηι Leu. 4, 13. 14 ἀκουσίως καὶ λάθηι ῥῆμα ἐξ ὀφθαλμῶν τῆς συναγωγῆς καὶ ποιήσωσι μίαν 15 ἀπὸ πασῶν τῶν ἐντολῶν κυρίου, ἣ οὐ ποιηθήσεται, καὶ πλημμελήσωσι καὶ γνωσθῆι αὐτοῖς ἡ ἁμαρτία ἣν ἥμαρτον αὐτῆι, καὶ προσάξει ἡ συναγωγὴ μόσχον ἐκ βοῶν ἄμωμον περὶ ἁμαρτίας. τίνα δὲ τρόπον τὰ τῆς θυσίας ἐπιτελεῖσθαι χρή, διειπὼν εὖ μάλα, προσεπάγει καὶ φησι· καὶ ἐξιλάσεται περὶ αὐτῶν PG 168 ὁ ἱερεὺς καὶ ἀφεθήσεται αὐτοῖς ἡ ἁμαρτία. ἄθρει δὴ οὖν ὅτι προσεκομίζετο Leu. 4, 20 μὲν ὁ μόσχος ἐν τύπωι Χριστοῦ τοῦ πανάγνου καὶ μῶμον [τοῦ] μὴ ἔχοντος, ἀπηλλάττοντο 21 δὲ τῶν ἰδίων αἰτιαμάτων οἱ προσκομίζοντες καὶ οὔτι που μᾶλλον ὁ μόσχος. τέθυται γὰρ οὐχ ὑπέρ γε μᾶλλον ἑαυτοῦ, καθὰ σὺ φής, ἀλλ' ὑπέρ γε τῶν ἠσθενηκότων, ὑπὲρ ὧν ἐποιεῖτο τὰς λιτὰς ὁ κατὰ νόμους ἀρχιερεύς, ἵνα πάλιν ἐννοῆις τὸν ὑπὲρ ἡμῶν γεγονότα παράκλητον ἄμωμόν τε καὶ ὅσιον ἀρχιερέα κεχωρισμένον τῶν ἁμαρτωλῶν. πανταχόθεν 25 Hebr. 7, 26 τοιγαροῦν ἠρρωστηκότι τοῦ λόγου τὸ ἀκαλλὲς τῶι δι' ἐναντίας ἀρχιερέα καὶ ἀπόστολον τῆς Hebr. 3, 1 ὁμολογίας ἡμῶν γενέσθαι φαμὲν αὐτὸν τὸν ἐκ θεοῦ πατρὸς λόγον, ὅτε γέγονεν ἄνθρωπος, καθεὶς ἑαυτὸν εἰς κένωσιν καὶ ἐν τοῖς καθ' ἡμᾶς, ἵνα καὶ ὑπὲρ πάντων εἰς ὀσμὴν εὐωδίας Eph. 5, 2 ἑαυτὸν ἀναθεὶς τῶι πατρὶ κατακτήσηται τὴν ὑπ' οὐρανόν, ἐξέληται τῶν ἀρχαίων αἰτιαμάτων, δικαιώσηι τῆι χάριτι διὰ πίστεως, θανάτου καὶ φθορᾶς ἀποφήνηι κρείττοντας ἱερούς 30 τε καὶ ἡγιασμένους καὶ πᾶν εἶδος ἀρετῆς εὖ μάλα κατωρθωκότας ⟨τοὺς⟩ σωτῆρα καὶ λυτρωτὴν ὁμολογοῦντας αὐτόν· δι' οὗ καὶ μεθ' οὗ τῶι θεῶι καὶ πατρὶ ἡ δόξα σὺν ἁγίωι πνεύματι εἰς τοὺς αἰῶνας. ἀμήν.

Τόμος τέταρτος P 177

Ὁ θεσπέσιος Παῦλος οὐκ ἀσυντελῆ πρὸς ὄνησιν τοῖς εὐσεβεῖν ἠιρημένοις τὴν ἔν γε 35 τῶι νόμωι σκιὰν ἀποφαίνων καὶ μὴν καὶ τὰ πάλαι τοῖς ἀρχαίοις συμβεβηκότα καθάπερ τινὰ πίνακα καὶ γραφὴν τῶν ἀληθεστέρων ταῖς ἁπάντων διανοίαις εὖ μάλα παρατιθεὶς ταῦτα δέ⟨, φησί⟩, τυπικῶς συνέβαινεν ἐκείνοις, ἐγράφη δὲ πρὸς νουθεσίαν 1 Cor. 10, 11 ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντηκε. φέρε δὴ οὖν ἐκ νομικῶν γραμμάτων ἑλόντες λέγωμεν ὡς κατηυλίζοντο μὲν ἐν ἐρήμωι ποτὲ τῆς Αἰγυπτίων ἀπαί- 40 ρουντες οἱ ἐξ Ἰσραὴλ καὶ εἰς τὴν τῆς ἐπαγγελίας διασπεύδοντες γῆν· ἐπειδὴ δὲ τῶν ἐν Αἰγύπτωι θαυμάτων ἀμνημονοῦντες οἱ τάλανες καὶ τῆς εἰς θεὸν ἀγάπης ἀμνημονήσαντες διεγόγγυζον ἀνοσίως, ὑπὸ τῶν ὄφεων ἀπώλλυντο κατὰ τὸ γεγραμμένον. διέδρων γε μὴν τὰ τῶν 1 Cor. 10, 9

V

8 αὐτοῦ Patrol. ἑαυτοῦ V 9 ἀνατλάντας Agellius ἀνατλᾶν V 14 ἱεροφάντα V 21 τοῦ deleui 31 τοὺς addidi 38 φησί add. Agellius

ἰοβόλων δήγματα, τὸν ὄφιν αὐτοῖς τὸν χαλκοῦν ἀναστηλώσαντος τοῦ Μωσέως, τοῦ πάν-
Num. 21, 8 των σωτῆρος θεοῦ κεχρησμωιδηκότος· ποίησον σαυτῷι ὄφιν καὶ θὲς αὐτὸν ἐπὶ
σημείου, καὶ ἔσται ἐὰν δάκηι ὄφις ἄνθρωπον, πᾶς ὁ δεδηγμένος ἰδὼν
αὐτὸν ζήσεται. μυστήριον δὲ ἄρα τὸ κατὰ Χριστὸν ἡ τύπωσις ἦν. θεὸς γὰρ
ὑπάρχων ὁ μονογενὴς τοῦ θεοῦ λόγος καὶ ἐξ ἀγαθοῦ πατρὸς ἀγαθὸς κατὰ φύσιν, μετέσχεν
Hebr. 2, 14 αἵματος καὶ σαρκός, τουτέστι γέγονεν ἄνθρωπος ἡμῖν τε τοῖς πονηροῖς παραπλήσιος κατά
γε τὸ εἶναι καθ' ἡμᾶς ἄνθρωπος δηλονότι, τέθειται δὲ καὶ ἐφ' ὑψηλοῦ, τουτέστι σταυρὸν
ἀνέτλη τὸν ἐπὶ ξύλου καὶ τὸν κατὰ σάρκα θάνατον, εἰ καὶ ἀνεβίω τριήμερος, τὸ τοῦ θανά-
P178 PG169 του πατήσας κράτος. ὅταν τοίνυν ἐκ πολλῆς ἄγαν ἀσυνεσίας τῆς μετὰ σαρκὸς οἰκονο-
μίας καταγογγύζοντες καὶ τὸ ἀκαλλὲς αὐτῆς καθορίζοντες αἰσχυνώμεθα φρονεῖν ἢ λέγειν
ἄνθρωπον γενέσθαι καθ' ἡμᾶς τὸν τοῦ θεοῦ λόγον καὶ ἑνωθῆναι σαρκὶ κατὰ ἀλήθειαν, τότε
καὶ δράκων ἡμᾶς ὁ ἀρχέκακος ἀποκτενεῖ, τῆς ἑαυτοῦ δυστροπίας ἰὸν ὥσπερ τινὰ ταῖς
ἡμετέραις διανοίαις ἐνιεὶς τὴν πλάνησιν, διαφευξόμεθα δὲ καὶ τὰ τῆς ἐκείνου σκαιότητος
διακρουσόμεθα βλάβη, τοῖς τῆς καρδίας ὄμμασιν ἑνορῶντες τῶι ὄφει, τουτέστι τὸ Χριστοῦ
μυστήριον ἀκριβεῖ διανοίαι κατασκεπτόμενοι. τότε γὰρ τότε φρονοῦντες ὀρθὰ ἀνενδοιά-
στως ὁμολογήσομεν ὅτι γέγονε σὰρξ ὁ τοῦ θεοῦ λόγος καὶ προῆλθεν ἐκ γυναικὸς μετὰ τοῦ
μεῖναι θεὸς καί ἐστιν ὁ αὐτὸς θεός τε ὁμοῦ καὶ ἄνθρωπος, οὔτε τοῖς τῆς ἀνθρωπότητος
μέτροις ἐπερυθριῶν διά γε τὸ τῆς ὑπεροχῆς ἀξίωμα οὔτε μὴν τῆς θεοπρεποῦς ἐξουσίας καὶ
ὑπερτάτης εὐκλείας ἐστερημένος διὰ τὸ ἀνθρώπινον. οἱ δὲ δὴ τὰ τοιάδε διακρίνειν εὖ
μάλα κατειθισμένοι δι' ἀμφοῖν τὸν ἕνα καὶ τὸ ἐπ' αὐτῶι μυστήριον ἰσχνῶς καὶ ἐξητασμέ-
Rom. 11, 33. νως συνιέντες λέγουσιν· ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως θεοῦ, ὡς
34 ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ. τίς γὰρ
ἔγνω νοῦν κυρίου; ἀλλ' οὐκ οἶδ' ὅπως ὡς ἀνέφικτά τε καὶ ἀκαλλῆ ταυτὶ διωθούμενος, τῆς τοῦ σωτῆρος ἡμῶν εὐκλείας καὶ ὑπεροχῆς οὐ μετρίαν οὑτοσὶ ποιεῖσθαι κατατολμᾶι τὴν κατάρρησιν καὶ μέτρον ὥσπερ αὐτῶι τὸ καθ' ἡμᾶς ἀπονέμων καὶ ἕτερον οὐδὲν
δεδοξάσθαι φησὶν αὐτὸν παρὰ τοῦ ἁγίου πνεύματος, οὐχ ὡς ἰδίαι δυνάμει χρώμενον τῆι
δι' αὐτοῦ καὶ πληροῦντα τὰς θεοσημίας, ἀλλ' ἔξωθεν καὶ εἰσκεκριμένως κερδαίνοντα τὸ κατορθοῦν δύνασθαί τι τῶν τεθαυμασμένων, ἵνα δὴ φαίνοιτο καθ' ἡμᾶς ἰαμάτων που τάχα
1 Cor. 15, 10 χάρισμα λαβὼν φάναι τε ὀφείλων κατὰ τὸν μακάριον Παῦλον· χάριτι δὲ θεοῦ εἰμὶ ὅ
P 179 εἰμί. οἷς γὰρ ἐπακτὸν καὶ θύραθεν τὸ εἶναί τι καὶ δύνασθαι κατορθοῦν, οὗτοι φαῖεν
ἂν εἰκότως καὶ τὴν τοιάνδε φωνήν. δεῖξαι γάρ, ὡς οἴεται, βουληθεὶς ἰσουργὸν εἰς
ἅπαντα τὴν ἁγίαν τριάδα, πάλιν ὧδέ φησιν

Loofs p. 11 Ὁ θεὸς λόγος ἐγένετο σὰρξ καὶ ἐσκήνωσεν ἐν ἡμῖν. συνεκάθισεν ἑαυ-
226,20-227,5 τῶι τὴν ἀναληφθεῖσαν ὁ πατὴρ ἀνθρωπότητα· εἶπε γάρ φησιν, ὁ κύριος τῶι κυρίωι
Ioh. 1, 14
Ps. 109, 1 μου· κάθου ἐκ δεξιῶν μου. τὴν τοῦ ἀναληφθέντος τὸ πνεῦμα κατελθὸν συνεκρό-
Ioh. 16, 13. 14 τησε δόξαν· ὅταν γάρ φησιν, ἔλθηι τὸ πνεῦμα τῆς ἀληθείας, ἐκεῖνος ἐμὲ δοξάσει. βούλει καὶ ἄλλην ἐπὶ τούτοις αὐτοῖς τῆς τριάδος ἐνέργειαν; ἐνώικησεν ὁ υἱὸς
ἐν τῶι σώματι, συνέστησεν ὁ πατὴρ βαπτιζόμενον, διέπλασεν ἐν παρθένωι τὸ πνεῦμα.

Loofs 2 p 227, 6-8 Ioh. 15, 16 Ioh. 17, 17 Mt. 10, 20 Εἶτα πάλιν φησὶ περὶ τῶν ἁγίων ἀποστόλων· Ὁ υἱὸς ἐξελέξατο (ἐγὼ γάρ φησιν, ὑμᾶς ἐξελεξάμην)· ὁ πατὴρ ἡγίασε (πάτερ γάρ φησιν, ἁγίασον αὐτοὺς ἐν τῆι ἀληθείαι σου)· τὸ πνεῦμα κατεσκεύασε ῥήτορας.

1, 1 cf. Exc. Eph. XVI

1—32 V 33—41 VVa

3 σημεῖον V 15 ἀκριβῆ V 18 γε Agellius τε V 20 κατηθισμένοι V 22 ἀνεχνίαστοι V 25 κατάρρησιν Agellius κατάρρυσιν V 27 πληροῦντα τὰς scripsi πληροῦν τὰ τῆσ V θεοσημείασ V 35 κατελθὸν ex κατελθών corr. V 36 ἔλθη Va ἔλθοι V

Ὅτι μὲν οὖν ἄσοφός τε καὶ ἀτερπὴς ὁ σύμπας αὐτῶι πεποίηται λόγος, καταδεῖξαι PG 172
ῥᾶιον· παραπαίει δὲ κἀν τούτωι, καὶ ὅπως, ἐρῶ. μία μὲν γὰρ θεότητος φύσις, ὑφέ-
στηκε δὲ ἰδικῶς ὁ πατὴρ καὶ μέντοι καὶ ὁ υἱός, ὁμοίως δὲ καὶ τὸ πνεῦμα· πράττεταί γε
μὴν τὰ πάντα παρὰ πατρὸς καὶ δι' υἱοῦ ἐν πνεύματι καὶ οἷον κεκινημένου τοῦ πατρὸς εἰς
ἐνέργειαν τὴν ἐπί τισιν ἐνεργεῖ δὴ πάντως ὁ υἱὸς ἐν πνεύματι κἂν εἴ τι λέγοιτο πληροῦν 5
ὁ υἱὸς ἢ τὸ πνεῦμα, τοῦτο δὴ πάντως ἐστὶν ἐκ πατρὸς καὶ διὰ πάσης ἔρχεται τῆς ἁγίας
καὶ ὁμοουσίου τριάδος ἡ εἰς πᾶν ὁτιοῦν ἐνέργειά τε καὶ βούλησις, πλὴν ἔν γε τούτοις
ἐκεῖνο φαμέν. • ἆρει δὴ πάλιν ὡς σαφῶς τε καὶ ἐναργῶς, καίτοι σάρκα λέγων τὸν ἐκ
θεοῦ γεγενῆσθαι λόγον, τὴν τῶν ἐννοιῶν παρασημαίνει δύναμιν καὶ τῆς ὀρθότητος ἀπο-
φέρει μακράν, ὡς ἐνέργειαν αὐτοῦ τὴν σάρκωσιν ἀποφαίνων. ἐπιφέρει γὰρ εὐθύς »βούλει 10
καὶ ἄλλην ἐπὶ τούτοις αὐτοῖς τῆς τριάδος ἐνέργειαν;« ὡς ἤδη πρώτην ἀποδεδειχὼς ἐνέργειαν P 180
τοῦ θεοῦ λόγου τὸ σάρκα γενέσθαι κατὰ τὰς γραφάς. καὶ τίς ἡ ἑτέρα μετὰ τὴν πρώ- Ioh. 1, 14
την ἐνέργειαν, διαδεικνύς, ὥσπερ οἴεται, φησίν· »ἐνώικησεν ὁ υἱὸς ἐν τῶι σώματι.« θεο-
φόρος οὖν ἄνθρωπος ὁ Χριστός. εἶτα καὶ μόνον τοῦτο ἐνεργήσας εἰς ἄνθρωπον ὁ τοῦ
θεοῦ καὶ πατρὸς διαφαίνεται λόγος, ὥστε κἂν εἰ λέγοι τυχὸν ὁ μακάριος εὐαγγελιστὴς ὁ 15
λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν, καταδηλοῦν ἡμῖν ἕτερον οὐδὲν πλὴν Ioh. 1, 14
ἐκεῖνο καὶ μόνον ὅτι κατώικησεν ἐν ἀνθρώπωι θεὸς ὢν ὁ λόγος καθὰ καὶ ἐν ἡμῖν αὐτοῖς.
ναοὶ γὰρ ἐσμὲν θεοῦ ζῶντος καὶ ἐν τούτωι γινώσκομεν ὅτι ἐν ἡμῖν ἐστιν, ὅτι ἐκ τοῦ πνεύ- 2 Cor. 6, 16
ματος αὐτοῦ ἔδωκεν. ἀλλ' οὐ τοῦτο μὲν ἴσως ἐρεῖς καταναρκήσας τὴν δυσφημίαν, 1 Ioh. 4, 13
ὁμολογήσεις δὲ μεθ' ἡμῶν ὅτι γέγονεν ἄνθρωπος ὁ τοῦ θεοῦ λόγος καὶ τοῦτό ἐστιν ἡ σάρ- 20
κωσις, συνθήσηι δὲ ὅτι μεμένηκε θεὸς καὶ τὸ τῆς ἰδίας φύσεως διεσώσατο κάλλος, κἂν εἰ
κεχρημάτικεν υἱὸς ἀνθρώπου γέγονέ τε τοῦτο κατὰ ἀλήθειαν. εἶτα τί μαθὼν συγκαθίσαι
φῆς ἑαυτῶι τὸν πατέρα τὴν ἀναληφθεῖσαν ἀνθρωπότητα καὶ οὐχὶ δὴ μᾶλλον τοῖς τῆς ἰδίας
θεότητος ἐνιδρῦσθαι θώκοις ἐν εὐδοκίαι τοῦ θεοῦ καὶ πατρός, καὶ ἄνθρωπον γεγονότα, τὸν
ἐξ αὐτοῦ φύντα λόγον, ἵνα μὴ ὡς ἑτέρα τις παρ' αὐτὸν ἡ ἀνθρωπότης αὐτοῦ πρὸς ἡμῶν 25
νοοῖτο καὶ λέγοιτο, καίτοι τῆς κατὰ ἀλήθειαν ἑνώσεως ἕνα τε ἡμῖν ἀποφαινούσης αὐτὸν
καὶ οὐκ ἀλλοτρίαν αὐτοῦ τὴν σάρκα αὐτοῦ; ψευδοεπὴς οὖν ἄρα καὶ λογισμοῦ τοῦ καθή-
κοντος οὐ μετρίως ἡμαρτηκὼς ἁλίσκηι κἀν τούτωι. καὶ εἰ μηδὲν ἕτερόν ἐστι τὸ φάναι
δὴ σάρκα γεγενῆσθαι τὸν λόγον ἢ ὅτι γέγονεν ἄνθρωπος ἐν ὑπεροχῆι θεότητος ὢν καὶ με-
μενηκὼς ὅπερ ἦν, ποίας ἂν ἐδεήθη τῆς ἔξωθεν δόξης, καίτοι τῆς δόξης κύριος ὢν αὐτός; 30
ἐδοξάζετο μὲν γὰρ ὁμολογουμένως ἐνεργοῦντος τοῦ πνεύματος τὰς θεοσημίας, ἀλλ' οὐχ ὡς P 181
ἄνθρωπος θεοφόρος ἐξ ὀθνείας τε καὶ ὑπερκειμένης φύσεως τὸ χρῆμα κερδαίνων, καθὰ καὶ
ἡμεῖς, ὡς ἰδίωι δὲ μᾶλλον κεχρημένος τῶι πνεύματι. θεὸς γὰρ ἦν φύσει καὶ οὐκ ἀλλό-
τριον αὐτοῦ τὸ πνεῦμα αὐτοῦ. οὐκοῦν οὐκ ἔξωθεν οὐδὲ εἰσποίητον αὐτῶι δεδόσθαι φαμὲν PG 173
τοῦ πνεύματος τὴν ἐνέργειαν καθὰ καὶ ἡμῖν αὐτοῖς ἢ γοῦν τοῖς ἁγίοις ἀποστόλοις. δεδώ- 35
ρηται γὰρ αὐτοῖς ἐξουσίαν ὁ Χριστὸς κατὰ πνευμάτων ἀκαθάρτων, ὥστε ἐκβάλλειν αὐτά, Mt. 10, 1
προστέταχε δὲ θεραπεύειν καὶ πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῶι λαῶι. οἴκοθεν
οὖν ἄρα καὶ παρ' αὐτοῦ τὸ πνεῦμα αὐτοῦ. καὶ τούτου σαφὴς ἀπόδειξις εἴη ἂν τὸ καὶ
ἑτέροις δύνασθαι χορηγεῖν αὐτὸ καὶ οὐκ ἐκ μέτρου, καθά φησιν ὁ μακάριος εὐαγγελιστής. Ioh. 3, 34
ἐπεμέτρησε μὲν γὰρ τοῖς ἁγίοις τὴν διὰ τοῦ πνεύματος χάριν ὁ τῶν ὅλων θεὸς καὶ ᾧι μὲν 1 Cor. 12, 8.9
ἔδωκε λόγον σοφίας, ἄλλωι δὲ λόγον γνώσεως, ἑτέρωι δὲ χάρισμα ἰαμάτων, καὶ τοῦτο 41
οἶμαί ἐστι τὸ ὡς ἐκ μέτρου ⟨δοῦναι⟩ δύνασθαι τοὺς ἔχοντας ἐνέργειαν· ὁ δέ γε κύριος
ἡμῶν Ἰησοῦς Χριστὸς ἐξ ἰδίου πληρώματος προιεὶς τὸ πνεῦμα, καθὰ καὶ αὐτὸς ὁ πατήρ,
οὐχ ὡς ἐκ μέτρου δίδωσιν αὐτὸ τοῖς ἀξίοις ἐλεῖν. ἀνθ' ὅτου δὴ οὖν, ὦ βέλτιστε, τὸν

V

3 μέν τι V 5 δὴ scripsi δὲ V 13 διαδεικνύς scripsi διαδείκνυσιν V δεικνύς Patrol.
41 ἄλλο V 42 δοῦναι addidi

οὐκ ἐκ μέτρου διδόντα τὸ πνεῦμα τοῖς μεμετρημένον ἔχουσιν αὐτὸ ποιεῖς ἐναρίθμιον, συγκεκροτῆσθαι λέγων παρὰ τοῦ πνεύματος τὴν δόξαν αὐτοῦ καὶ ἐνηργῆσθαι μᾶλλον ὡς ἕνα τῶν καθ' ἡμᾶς, ἐν χάριτος τάξει λαβόντα τὴν παρ' αὐτοῦ συγκρότησιν, ἢ γοῦν ἐνεργῆσαι μᾶλλον ὡς δι' ἰδίου πνεύματος τὰς θεοσημίας; Ἰουδαῖοι μὲν γὰρ οἱ πάντολμοι πικρὰν
Mt. 12, 24.27 ἐπ' αὐτῶι καταθήγοντες γλῶτταν ἀνοσίως ἔφασκον· οὗτος οὐκ ἐκβάλλει τὰ δαιμόνια εἰ μὴ ἐν Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων, ὁ δέ γε κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ἀμαθαίνοντας οὐ μικρῶς, μᾶλλον δὲ καὶ δυσσεβοῦντας ἐλέγχων εἰ ἐγώ, φησίν, ἐν Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλω τὰ δαιμόνια, οἱ υἱοὶ ὑμῶν
P 182 ἐν τίνι ἐκβάλλουσι; τεθαύμασται γὰρ ὁ λαμπρὸς καὶ μέγας τῶν ἁγίων ἀποστόλων
Act. 4, 10 χορὸς ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου πληρῶν τὰ παράδοξα. καὶ γοῦν ὑπέ-
Lc. 10, 17 στρεφον χαίροντές τε καὶ λέγοντες· κύριε, καὶ τὰ δαιμόνια ἡμῖν ὑποτάσσεται ἐν τῶι ὀνόματί σου. ἀλλ' εἴπερ ἐστὶν ἐφικτὸν ἐν ὀνόματί τινος τῶν ἐνεργουμένων καὶ ἑτέρους δύνασθαι τὰ ἴσα πληροῦν, ἡκέτω, φραζέτω διὰ ποίαν αἰτίαν οὐδεὶς ἐν ὀνόματι τῶν ἁγίων τινὸς ἢ ἀκαθάρτοις πνεύμασιν ἐπιτιμήσας θαυμάζεται ἢ γοῦν ἕτερόν τι τῶν πέρα λόγου τετελεκώς. ἀλλ' οἳ μὲν ἐνήργηνται παρὰ τοῦ πνεύματος καὶ μεμετρημένην ἔχουσι χάριν, ὃ δὲ ὡς θεὸς ἐνεργεῖ καὶ ὡς δι' ἰδίου πνεύματος ἀμογητὶ κατορθοῖ
Lc. 8, 44-46 τὰ δι' ὧν θαυμάζεται. καὶ γοῦν ἡ τὴν τοῦ αἵματος ῥύσιν ἀρρωστήσασα γυνὴ προσελθοῦσά ποτε λεληθότως ἀπὸ ὄπισθεν αὐτοῦ, (γέγραπται ὠδί) ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ καὶ παραχρῆμα ἔστη ἡ ῥύσις τοῦ αἵματος αὐτῆς. ὃ δὴ καὶ συνιεὶς ὁ Χριστὸς τίς ὁ ἁψάμενός μου; φησίν. ἐπειδὴ ⟨δὲ⟩ πρὸς τοῦτο ἔφασκον οἱ θεσπέσιοι μαθηταί· ἐπιστάτα, οἱ ὄχλοι συνέχουσί σε καὶ ἀποθλίβουσι, πάλιν ἔφασκεν αὐτός· ἥψατό μού τις· ἐγὼ γὰρ ἔγνων δύναμιν ἐξελ-
PG 176 θοῦσαν ἀπ' ἐμοῦ. συνιεὶς οὖν ὅπως οὐκ εἰσκεκριμένον ἔξωθεν, ἀλλ' οἰκοθεν ἔχει καὶ ἐξ ἑαυτοῦ τὸ ἐνεργεῖν δύνασθαι καὶ ἀπαλλάττειν ἀρρωστημάτων; γράφει δέ που καὶ
Lc. 6, 19 ὁ μακάριος εὐαγγελιστὴς Ματθαῖος· καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ, ὅτι δύναμις παρ' αὐτοῦ ἐξήρχετο καὶ ἰᾶτο πάντας. δύναμις οὖν αὐτοῦ τὸ πνεῦμα
Ps. 32, 6 αὐτοῦ, καὶ πιστώσεται λέγων ὁ θεσπέσιος Δαυίδ· τῶι λόγωι κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν καὶ τῶι πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐ-
P 183 τῶν. στόμα δὲ τοῦ θεοῦ καὶ πατρὸς τὸν ἐξ αὐτοῦ φησι λόγον, οὗ τῶι πνεύματι διακρατεῖται πρὸς ὕπαρξιν τὰ δι' αὐτοῦ γεγονότα.

Ἤδη μὲν οὖν ἔφην ὅτι τῆς εὐσεβείας τὸ μυστήριον, ὃ καὶ παρ' αὐτοῖς τεθαύμασται τοῖς ἁγίοις ἀγγέλοις, κατακομίζει πρὸς τὸ μηδὲν καὶ τῶν εἰς ἀλήθειαν δογμάτων οὐ πεφροντικὼς κατασμικρύνει, λέγων

Loofs p. 227, 3-5 Βούλει καὶ ἄλλην ἐπὶ τούτοις αὐτοῖς τῆς τριάδος ἐνέργειαν; ἐνώικησεν ὁ υἱὸς ἐν τῶι σώματι, συνέστησεν ὁ πατὴρ βαπτιζόμενον, διέπλασεν ἐν παρθένωι τὸ πνεῦμα.

Ὅτι δὲ τοῖς πρὸς ἡμῶν εἰρημένοις ἕψεται δὴ πάντως τὸ ἀληθὲς καὶ οὐ ψιλὴν κατάρρησιν τῶν αὐτοῦ πεποιήμεθα λόγων, ἔλεγχον δὲ μᾶλλον σαφῆ τε καὶ ἀληθῆ, διαδείξει λέγων αὐτὸς ἐν ἑτέροις ὠδί

Loofs 2 p. 355, 8. 9 Καὶ τῆς συνεργίας ἡ ἀπόδειξις πρόδηλος· ὁ υἱὸς ἐνηνθρώπησεν, ὁ πατὴρ συνέστησεν, τὸ πνεῦμα σημείοις ἐσέμνυνε.

Ἆρ' οὖν ἐνδοιάσειεν ἂν καὶ μετὰ τοῦτό τις ὅτι τῶν ἐννοιῶν ὁ σκοπὸς αὐτῶι πρὸς ἀμαθίαν τε ὁμοῦ καὶ ἀνοσιότητα βλέπει καὶ τῶν τῆς εὐσεβείας δογμάτων καταθρασύνεται;

1—38. 41. 42 V 39. 40 VVa

1/2 συγκεκροτεῖσθαι V 11 ἐν] ἐπὶ V 20 δὲ addidi 25 Ματθαῖος] est lapsus ipsius Cyrilli 29 τῶι] τὸ V 36/37 κατάρρησιν Agellius κατάρρυσιν V 37 διαδείξη V 39 συνεργίασ Va συνεργείασ V συνέστησεν Va, V p. 79, 19 ἐνηθρόνησε V

ὥσπερ ⟨γὰρ⟩ τὸ γενέσθαι σάρκα τὸν τοῦ θεοῦ λόγον ἀσυνέτως ἐκβαλὼν ἐνεργῆσαί φησιν
εἰς ἄνθρωπον τὴν ἐνοίκησεν, οὕτω δὴ πάλιν τὸ ἐνανθρωπῆσαι δέχεται, καίτοι τῶν ἀνὰ
πᾶσαν τὴν ὑπ' οὐρανὸν ἁγίων ἐκκλησιῶν, καὶ αὐτῶν δὲ τῶν ἀοιδίμων πατέρων, οἳ τὸν
τῆς ὀρθῆς τε καὶ ἀμωμήτου πίστεως ὅρον ἡμῖν ἐξήνεγκαν λαλοῦντος ἐν αὐτοῖς τοῦ ἁγίου
πνεύματος, τὸ σαρκωθῆναί τε καὶ ἐνανθρωπῆσαι τὸν τοῦ θεοῦ λόγον οὐδὲν ἕτερον εἶναι
νοούντων πλὴν ὅτι μόνον τὸ γενέσθαι καθ' ἡμᾶς ἄνθρωπον ἀποτεχθῆναί τε κατὰ σάρκα ἐκ
γυναικός, ὅτι καὶ γέγονε μεθ' ἡμῶν ὑπὸ νόμον ὁ ὑπὲρ νόμον ὡς θεός. ἐπειδὴ δὲ ὡς P 184
ἤδη πλειστάκις ἔφην, σκοπὸς αὐτῷ παραλύειν τὴν ἀλήθειαν, ταύτῃ τοι καὶ μάλα νεανικῶς
ἀνταίρει μόνος καὶ ταῖς ἁπάντων μάχεται γνώμαις καὶ κατὰ τῆς ἀρρήτου δόξης τὰ ὅπλα
κινεῖ καὶ τὸ αὐτῷ καὶ μόνῳ δοκοῦν συρφετὸν ὥσπερ τινὰ ταῖς ἐκκλησίαις τοῦ θεοῦ παρει-
σκρίνειν ἐπιχειρεῖ. διισχυρίζεται γὰρ ἐνοίκησιν εἶναι τὴν ἐνανθρώπησιν καὶ οὐχὶ δὴ
μᾶλλον τὸ αἵματος καὶ σαρκὸς παραπλησίως ἡμῖν μετασχεῖν ἐλέσθαι τὸν ἐκ θεοῦ λόγον, Hebr 2, 14
καίτοι πᾶσι μὲν τοῖς ἁγίοις ἐνωικηκότος τε καὶ ἐνοικοῦντος ἔτι τοῦ λόγου, γεγονότος δὲ
ἅπαξ ἐν τοῖς καθ' ἡμᾶς καὶ σαρκὶ μιᾷ καθ' ὑπόστασιν κεκοινωνηκότος, καθ' ἣν καὶ ὑπὲρ
ἡμῶν ἀποθανεῖν τε καὶ ἐγηγέρθαι πιστεύεται· σαρκὶ ⟨γὰρ⟩ πέπονθεν ἑκών. ὅτι δὲ καὶ PG 177
εἰκῇ παραρριπτεῖ λόγους καὶ τῆς τῶν φωνῶν ἀτοπίας ὀλίγα πεφροντικὼς σημείοις φησὶ
τοῖς διὰ τοῦ πνεύματος κατασεμνύνεσθαι τὸν Χριστόν, ὁ γεγονὼς ἡμῖν ἔναγχος καὶ διαρ-
κῶς, ὡς γε οἶμαι, διέδειξε λόγος· βασανίζωμεν δέ, εἰ δοκεῖ, τὰς ἑτέρας αὐτοῦ φωνάς.
»ὁ πατήρ«, φησί, »συνέστησε«. τὸ μὲν οὖν συνέστησεν ὅ τι ποτέ ἐστιν ἐν τούτοις, οὐκ
ἂν ἔχοιμι νοεῖν· καὶ γάρ ἐστιν ὁμολογουμένως ἀγοραία τε καὶ ἀγυρτώδης καὶ τερθρείας
ἰδιωτικῆς ἀνάμεστος ἡ φωνή· πλὴν οἶμαι δηλοῦν ἐθέλειν αὐτὸ τὸ παρέθετο, φέρε εἰπεῖν,
ἢ γοῦν μεμαρτύρηκε. πῶς οὖν, εἰπέ μοι, συνέστησεν ὁ πατὴρ ἐνοικήσεως θείας ἠξιω-
μένον; ἢ τοῦτο μὲν ἥκιστά γε, κατέδειξε δὲ μᾶλλον ἐνανθρωπήσαντα τὸν ἴδιον υἱόν, μεμε-
νηκότα δὲ καὶ ἐν σαρκὶ τοῦθ' ὅπερ ἦν τε καὶ ἔστι καὶ ἔσται, θεὸν δηλονότι; Ἰησοῦς Hebr. 13, 8
γὰρ Χριστὸς ὁ χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας. φέρε τοίνυν
τὰς ἐπ' αὐτῷ πολυπραγμονῶμεν φωνάς. τί φησιν ὁ εὐαγγελιστής; καὶ ἐμαρτύρησεν Ioh. 1, 32-34
Ἰωάννης λέγων ὅτι τεθέαμαι τὸ πνεῦμα καταβαῖνον ὡσεὶ περιστερὰν ἐξ P 185
οὐρανοῦ καὶ μένον ἐπ' αὐτόν. οὗτός ἐστιν ὁ βαπτίζων ἐν πνεύματι
ἁγίῳ κἀγὼ ἑώρακα καὶ μεμαρτύρηκα ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ θεοῦ.
εἴη μὲν γὰρ οἰκονομικῶς ἁγιάσων τὸν Ἰορδάνην ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός, κατη-
ξίου δὲ σὺν ἡμῖν βαπτίζεσθαι, τῆς μετὰ σαρκὸς οἰκονομίας τὸ μυστήριον διὰ τῶν αὐτῇ
πρεπόντων διοικούμενος τρόπων. ἔδει γὰρ ἄνθρωπον γεγονότα γινώσκεσθαι τὸν ἐκ θεοῦ
πατρὸς λόγον, ἀλλ' ἐβαπτίζετο μὲν ὡς ἄνθρωπος, ἐβάπτιζε ⟨δὲ⟩ θεικῶς ἐν ἁγίῳ πνεύματι.
καὶ οὐ δήπου φαμὲν ⟨ὡς⟩ ἢ ὑπουργικῶς ἢ ὡς παρ' ἑτέρου τινὸς τοῖς βαπτιζομένοις τὴν
τοῦ ἁγίου πνεύματος διηκονεῖτο μέθεξιν, ἀπετέλει δὲ μᾶλλον ἡγιασμένους, ὡς φύσει θεὸς
ἐνιεὶς αὐτὸς ἐξ ἰδίου πληρώματος. πῶς οὖν ἀφειδήσας τῶν εἰς ὀρθότητα λόγων καὶ
μέντοι καὶ ἐννοιῶν ἐνηργῆσθαι φῂς ἐν ἀνθρώπῳ τὴν ἐνοίκησιν παρὰ τοῦ θεοῦ λόγου,
καίτοι πλείστων τε ὅσων ἁγίων ἔν γε δὴ σφίσιν αὐτοῖς ἐσχηκότων ἔνοικον τὸν τῶν ὅλων
θεόν, βαπτίσαντος δὲ οὐδενὸς ἐν ἰδίῳ πνεύματι ἢ γοῦν θεικῶς ἐνοικῆσαί τισιν εἰρημένου
καὶ ἐνωικηκότος; καὶ αὐτὸς ὁ Χριστὸς ἐν ἡμῖν αὐλίζεται διὰ τοῦ ἁγίου πνεύματος, ὅπερ
ἐστὶ καὶ ἴδιον αὐτοῦ, καθάπερ ἀμέλει τοῦ θεοῦ καὶ πατρός, καὶ πρός γε τοῦτο ἡμᾶς ἐμπεδοῖ
λέγων αὐτός· ὅταν δὲ ἔλθῃ ὁ παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Ioh 15, 26
πατρός, τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται, ἐκεῖ-
νος μαρτυρήσει περὶ ἐμοῦ. ἆρει δὴ οὖν ὅπως τὸ παρὰ τοῦ θεοῦ καὶ πατρὸς

V

1 γὰρ addidi ex Seuero a Puseyo allato 4/5 λαλοῦντος — τὸ σαρκωθῆναι Patrol. τὸ λαλοῦντος — σαρκωθῆναι V 15 γὰρ ex Seuero add. Pusey 30 εἴη] conicio ἦιει ἁγιάσων] conicio ⟨ὡς⟩ ἁγιάσων ⟨ἑαυτὸν ἐπὶ⟩ 33 δὲ add. ed. Rom. 34 ὡς addidi

Ioh. 14, 6 ἐκπορευόμενον πνεῦμα τοῦτο καὶ τῆς ἀληθείας ἴδιον εἶναί φησιν, αὐτὸς δέ που πάντως ἐστὶν ἡ ἀλήθεια. εἶτα πῶς εἴπερ ἐστὶν ἀληθῶς οὐκ ἐνανθρωπήσας θεός, ἄνθρωπος δὲ μᾶλλον τὴν θείαν ἐνοίκησιν ὡς ἐνέργειαν ἔχων, ὡς ἴδιον πνεῦμα τὸ τοῦ θεοῦ καὶ πατρὸς τοῖς πιστεύουσιν εἰς αὐτὸν καταπέμψειν ἐπαγγέλλεται; ἀλλὰ γάρ, ὡς ἔφην, τὴν τοῦ μυστηριου δόξαν κατασείει πρὸς τὸ μηδέν, μερίζων ὥσπερ τῆς ἁγίας τριάδος τὴν ἐπὶ τισὶ τῶν
P186 PG180 δρωμένων ἐνέργειαν ἑκάστηι τε τῶν ὑποστάσεων ἀπονέμων ἰδικῶς ὃ μὴ πέπραχεν ἡ ἑτέρα. πάλιν ὧδέ φησιν

p. 76, 39-41 Ioh. 15, 16 Ὁ υἱὸς ἐξελέξατο (ἐγὼ γάρ φησιν, ὑμᾶς ἐξελεξάμην), ὁ πατὴρ ἡγίασε, τὸ πνεῦμα κατεσκεύασε ῥήτορας.

Ὦ τῆς ἀμετρήτου φρενοβλαβείας. εἰ πάντα γέγονε παρὰ τοῦ πατρὸς δι' υἱοῦ ἐν πνεύματι καὶ οὐκ ἄν τι δρῶιτο παρὰ τοῦ θεοῦ καὶ πατρὸς πλὴν ὅτι κατὰ τοῦτον αὐτὸν τὸν τρόπον, πῶς οὐκ ἀπόπληκτος εἴη ἂν καὶ μάλα εἰκότως ὁ ταῖς ὑποστάσεσι καταμερίζων ἰδικῶς τὰς ἐπί γέ τισιν ἐνεργείας τῆς ἀκηράτου καὶ μιᾶς θεότητος καὶ οὐχὶ δὴ μᾶλλον ἕκαστα τῶν δρωμένων πεπρᾶχθαι διαβεβαιούμενος παρὰ πατρὸς δι' υἱοῦ ἐν πνεύματι; εἰ
1 Cor. 1, 24 γάρ ἐστιν ὁ υἱὸς καὶ βουλὴ καὶ σοφία καὶ δύναμις τοῦ πατρός, πάντα που πάντως ὡς διὰ βουλῆς καὶ σοφίας καὶ δυνάμεως ὁ πατὴρ ἐργάσεται δι' υἱοῦ. οὕτως ἀριστίνδην ἀπολέκτους ἐποιεῖτο τοὺς μαθητάς, οὕτως ἡγιάσθαι φαμὲν τοὺς ἐξειλεγμένους, οὕτω γεγε-
Ioh. 17, 17 νῆσθαι ῥήτορας, ὡς ἐκ μιᾶς δηλονότι θεότητος, παρὰ πατρὸς δι' υἱοῦ ἐν πνεύματι. πάτερ γὰρ ἅγιε, φησίν, ἁγίασον αὐτοὺς ἐν τῆι ἀληθείαι σου. ἁγιάζει τοίνυν ἡ ἀλήθεια, τουτέστιν ὁ υἱός, ἐνίησι δὲ καὶ τὸ ἅγι<ον πνεῦμα> ὁμοίως καὶ ἀποφαίνει σοφοὺς καὶ διὰ τῆς τοῦ ἁγίου πνεύματος ἐνεργείας θεοφιλῶς κατεγλωττισμένους. ἔφη γοῦν ἐν μὲν
Mt. 10, 19. 20 <τῆι> τοῦ Ματθαίου συγγραφῆι πρὸς τοὺς ἑαυτοῦ μαθητάς· ὅταν δὲ παραδιδῶσιν ὑμᾶς, μὴ μεριμνήσητε πῶς ἢ τί λαλήσητε· δοθήσεται γὰρ ὑμῖν ἐν ἐκείνηι τῆι ὥραι τί λαλήσετε. οὐ γὰρ ὑμεῖς ἐστὲ οἱ λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα
Lc. 21, 14. 15 τοῦ πατρὸς ὑμῶν τὸ λαλοῦν ἐν ὑμῖν, διὰ δέ γε τῆς τοῦ Λουκᾶ· θέσθε οὖν ἐν ταῖς καρδίαις ὑμῶν μὴ προμελετᾶν ἀπολογηθῆναι· ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ἧι οὐ δυνήσονται ἀντειπεῖν ἢ ἀντιστῆναι πάντες οἱ
P 187 ἀντικείμενοι ὑμῖν. ἀκούεις ὅπως λαλοῦντος ἐν αὐτοῖς τοῦ ἁγίου πνεύματος αὐτὸς δίδωσι τὸ στόμα; λόγου γάρ ἐστι δοτὴρ ὡς λόγος, καὶ πνεύματος χορηγὸς ὡς ἴδιον ἔχων αὐτὸ φυσικῶς, καθὰ καὶ αὐτὸς ὁ πατήρ. ταυτοενεργεῖ μὲν οὖν ἡ ἁγία τριὰς καὶ ἅπερ ἂν δρώιη καὶ βούλοιτο κατορθοῦν ὁ πατήρ, ταῦτα καὶ ὁ υἱὸς κατὰ τὸν ἴσον τρόπον, ὁμοίως δὲ καὶ τὸ πνεῦμα· τό γε μὴν ἀνὰ μέρος διδόναι τὰς ἐνεργείας ἑκάστηι τῶν ὑποστάσεων ἰδικῶς οὐδὲν ἕτερόν ἐστιν ἢ τρεῖς ἀνὰ μέρος καὶ ὁλοτρόπως ἀλλήλων διεστηκότας ἀποφαίνειν θεούς. ὁ μὲν γὰρ τῆς φυσικῆς ἑνότητος λόγος ἐπὶ τῆς ἁγίας τριάδος μίαν δή που τὴν ἐφ' ἅπασι τοῖς δρωμένοις ἀποφαίνει κίνησιν· εἰ δὲ δὴ λέγοιμεν ὅτι μιᾶς ὑποστάσεως οἷον εἰς ἔργα κεκινημένης ἀπρακτήσειαν ἂν αἱ δύο, πῶς οὐ παχεῖα τομὴ παρεισκρίνεται, τόπον ὥσπερ τινὰ τῶν ὑποστάσεων ἑκάστηι νέμουσα τῶι ἔξω τε καὶ ἀπεσχοινισμένως νοεῖσθαι τῶν ἄλλων, οὐ κατά γε τὸ ὑπάρχειν ἰδιοσυστάτως (τοῦτο γὰρ ἀληθές), ἀλλ' ὡς ἐν τῆι κατὰ πᾶν ἑτερότητι μὴ ἀνεχομένηι λόγου τοῦ συναγείροντος εἰς ἑνότητα φυσικήν; μία γὰρ θεότητος φύσις ἐν ἁγίαι καὶ ὁμοουσίωι νοεῖται τριάδι, ὁ δὲ χρηστὸς
PG 181 οὑτοσὶ τὸν ὁμοούσιον τῶι θεῶι καὶ πατρὶ θεὸν λόγον ὡς οὐκ εἰδὼς ὅτι γέγονεν ἄνθρωπος, οὐ τὸ εἶναι θεὸς ἀποβεβληκώς, προσειληφὼς δὲ μᾶλλον ὅπερ οὐκ ἦν, κατασμικρύνειν ἀποτολμᾶι. συναγορεύει μὲν γάρ, ὡς εἴρηται, τῶι ἁγίωι πνεύματι, περιυβρίζει δὲ τὸν υἱόν, οὕτω λέγων πρός τινας τῶν τὰ Ἀρείου φρονεῖν ἡιρημένων

V

1 φησιν Agellius φὴσ V 10 ἀμετρίτου V 11 δρῶτι V 16 ἀριστίνδ' V 20 -ον πνεῦμα om. in fine lineae V 22 τῆι add. ed. Rom. 25 ἡμῖν V 36 ἀπρακτήσειεν V 37 τῶι Agellius τὸ V 40 χρηστὸς ed. Rom. χ̄σ̄ V

3 Πλείονα, φησί, τὴν εἰς αὐτὸν κατασκευάζοντες ὕβριν καὶ τὸ πνεῦμα τῆς θείας ἀποτέμνοντες φύσεως τὸ τὴν ἀνθρωπότητα αὐτοῦ διαπλάσαν (τὸ γὰρ ἐν τῇι Μαρίαι, φησί, γεννηθὲν ἐκ πνεύματός ἐστιν ἁγίου), ⟨τὸ⟩ κατὰ δικαιοσύνην τὸ πλασθὲν ἀναπλάσαν (ἐφανερώθη γάρ φησιν, ἐν σαρκί, ἐδικαιώθη ἐν πνεύματι), τὸ δαίμοσι φοβερὸν ⟨αὐτὸν⟩ ἐργασάμενον (ἐγὼ γάρ φησιν, ἐν πνεύματι θεοῦ ἐκβάλλω τὰ δαιμόνια), τὸ τὴν αὐτοῦ σάρκα πεποιημένον ναόν (τεθέαμαι γάρ φησι, τὸ πνεῦμα καταβαῖνον ὡσεὶ περιστερὰν καὶ μεμένηκεν ἐπ' αὐτόν), τὸ τὴν ἀνάληψιν αὐτῶι χαρισάμενον (ἐντειλάμενος γάρ φησι, τοῖς ἁγίοις ἀποστόλοις οὓς ἐξελέξατο, διὰ πνεύματος ἁγίου ἀνελήφθη), τοῦτο δὴ τὸ τηλικαύτην Χριστῶι χαρισάμενον δόξαν Χριστοῦ κατασκευάζουσι δοῦλον. Loofs p. 293, 12-294, 6 Mt. 1, 20 1 Tim. 3, 16 5 Mt. 12, 28 P 188 Ioh 1, 32 Act. 1, 2 10

Τὸ μὲν οὖν τῆς θείας τε καὶ ἀκηράτου φύσεως ἀποτέμνειν τὸ πνεῦμα κατατολμᾶν μοχθηρᾶς εἶναι φημὶ καὶ ἀλιτηρίου φρενὸς καὶ πολὺ τοῦ εἰκότος ἐξωικισμένης (ὁμοούσιον γάρ ἐστι τῶι θεῶι καὶ πατρὶ καὶ μὴν καὶ αὐτῶι τῶι υἱῶι καὶ θεὸς εἶναι καὶ ἐκ θεοῦ πιστεύεται), χρῆναι δὲ οἶμαι ταυτὶ μεθέντας εἰς τὸ παρὸν τὸν ἐν χερσὶν ἡμῖν πολυπραγμονῆσαι λόγον καὶ ὅποι ποτὲ βλέπει, νουνεχέστατα κατιδεῖν. πλείονα γάρ φησι, τὴν εἰς αὐτὸν κατασκευάζοντες ὕβριν, δῆλον δὲ ὅτι τὸν ἐκ θεοῦ πατρὸς λόγον, καὶ τὸ πνεῦμα τῆς θείας ἀποτέμνοντες φύσεως τὸ τὴν ἀνθρωπότητα αὐτοῦ διαπλάσαν. τὴν τίνος, ὦ βέλτιστε, φὴς διαπεπλάσθαι ἀνθρωπότητα διὰ τοῦ πνεύματος; καίτοι τοὺς λόγους ἡμῖν ἀρτίως ἐπ' αὐτῶι πεποίησαι τῶι μονογενεῖ καὶ ἐκ θεοῦ πατρὸς ἀπορρήτως γεγεννημένωι· θείαν γὰρ δὴ φύσιν ὠνόμαζες αὐτόν, αὐτοῦ δὲ οἶμαι καὶ οὐχ ἑτέρου τὴν ἀνθρωπότητα φής. οὐκοῦν διαμέμνησο τῶν σεαυτοῦ φωνῶν· ἰδίαν γὰρ εἶναι φὴς τοῦ λόγου τὴν σάρκα, ψυχῆς ἐνούσης αὐτῆι τῆς λογικῆς δηλονότι, ἔσται γὰρ οὕτως ἡ ἀνθρωπότης αὐτοῦ. εἶτα πῶς, εἴπερ ἐστὶν ἓν μετὰ τῆς ἰδίας σαρκὸς ὁ ἐκ θεοῦ πατρὸς λόγος, ἰσχύος εἶναι νομίζεις αὐτὸν τῆς θεοπρεποῦς ἐπιδεᾶ καὶ φοβερὸν αὐτὸν εἰργάσθαι τοῖς δαίμοσι τὸ πνεῦμα τὸ ἅγιον, ὡς ἀπό γε τῆς ἰδίας φύσεως οὐκ ἔχοντα τοῦτο δρᾶν καὶ μὴν καὶ τὸ δύνασθαι συντρίβειν τὸν σατανᾶν ὡς δοτὸν παρ' ἑτέρου καὶ μόλις ἐρανιζόμενον; εἰ μὲν οὖν οἶσθα ὅτι τὸ ἀποτέμνειν τὸ πνεῦμα τῆς θείας αὐτοῦ φύσεως ἐγκλημάτων αἴσχιστον εἴη ἂν καὶ μάλα εἰκότως, αὐτοῦ δηλονότι τὸ πνεῦμά ἐστιν ὡς δι' αὐτῆς προιὸν τῆς ἀπορρήτου φύσεως αὐτοῦ καὶ ὁμοούσιον αὐτῶι, καὶ οὐκ ἂν ἐδεήθη καθάπερ τινὸς τῆς ἔξωθέν τε καὶ ἐπακτῆς δυνάμεως τῆς παρ' αὐτοῦ, χρήσεται δὲ μᾶλλον ὡς ἰδίωι πνεύματι καὶ φοβερὸν ἑαυτὸν τοῖς δαίμοσιν ἀποφανεῖ δι' αὐτοῦ. εἰ δέ σοι δοκεῖ τῶν εἰς δυσσέβειαν ἐγκλημάτων ἀποφαίνειν ἡμοιρηκότας τοὺς ἀποτέμνοντας, πῶς ἡμῖν ἀρτίως ὑβριστὰς ὠνόμαζες αὐτούς, εἶτα τούτοις σαυτὸν ἐναρίθμιον οὐκ αἰσθάνηι ποιῶν, εἴπερ ἑνωθέντα σαρκὶ τὸν ἐκ θεοῦ πατρὸς λόγον καθάπερ ἕνα τινὰ τῶν καθ' ἡμᾶς καὶ κοινὸν ἁπλῶς ⟨ἄνθρωπον⟩ τῆς τοῦ πνεύματος ἐπικουρίας δεδεῆσθαι φής, ἵνα φοβερὸς τοῖς ἀκαθάρτοις ὁρῶιτο πνεύμασιν; εἰ γὰρ καὶ ἐν πνεύματι θεοῦ φησιν ἑαυτὸν ἐκβάλλειν τὰ δαιμόνια, πῶς οὐκ ἔδει τοῦ λόγου τὴν οἰκονομίαν ἀξιάγαστον οὖσαν ἰδεῖν; οἱ μὲν γὰρ τῶν Ἰουδαίων καθηγηταὶ τῆι τοῦ σωτῆρος ἡμῶν εὐκλείαι διεφθονηκότες καὶ ἀπύλωτον ἐπ' αὐτῶι διοιγνύντες στόμα κατεφλυάρουν οἱ δείλαιοι, φάσκοντες ἐν Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλειν τὰ δαιμόνια· ὁ δὲ τῆι ἐμφύτωι πρὸς ἅπαντας γαληνότητι κεχρημένος καὶ μεθιστὰς τοὺς πεπλανημένους ἢ γοῦν ἀθυροστομεῖν ἐθέλοντας ἐπ' αὐτῶι πρὸς τὸ ἄμεινόν τε καὶ ἀληθές, θεῶι δὴ μᾶλλον τῶι κατὰ Loofs p. 293, 12-14 Mt 12, 28 Mt 12, 24 15 20 25 30 35 40 Pr189 PG184

3 = Exc. Mar. Merc XXII; cf. ep. 18, *Concilstud.* 10 Apol adu Theodoret 63

1—10 VVa 11—41 V

3 τὸ — ἀναπλάσαν Agellius cf. Mar. Merc. ἀνέπλασεν VVa 5 αὐτὸν Va om. V 9 χω̄ V Mar. Merc. αὐτῶ Va 12 εἰκότως V 32 ὠνόμαζες Agellius ὀνομάζεισ V 34 ἄνθρωπον addidi

φύσιν τὴν ἐπί γε τῶι δύνασθαι συντρίβειν τὸν σατανᾶν ἀνετίθει δόξαν, ἐν πνεύματι θεοῦ λέγων τὰ πονηρὰ διώκειν πνεύματα καὶ οὐκ ἔξω τιθεὶς ἑαυτὸν τοῦ κατὰ φύσιν εἶναι θεὸν καὶ ἴδιον ἔχειν τὸ πνεῦμα τὸ ἅγιον. ἐπειδὴ δὲ ἦν ἀκόλουθον καὶ θεοπρεποῦς εὐτεχνίας ἄξιον τὰς τῶν φονώντων ὑποτρέχειν ὀργὰς καὶ τὰς τῶν ἐπ' αὐτῶι σκανδαλιζομένων περι-
Ioh. 10, 33 κόπτειν ἀφορμάς (ἐπεφύοντο γὰρ λέγοντες· περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας, ὅτι σὺ ἄνθρωπος ὢν ποιεῖς σεαυτὸν θεόν), ταύτηι
P 190 τοι καὶ ἄγαν ἀστείως τοῖς ἀσθενοῦσιν ἔτι συγκαθιστάμενος θεοῦ τὸ πνεῦμά φησιν. οἶδε γὰρ οἶδεν, ὡς ἔφην, ἑαυτὸν ὄντα φύσει θεὸν ὁμοῦ τῶι γεγεννηκότι καὶ πάντα ἔχοντα τὰ
Ioh. 17, 10 αὐτοῦ δίχα μόνου τοῦ εἶναι πατήρ. τοιγάρτοι καὶ ἔφασκε πρὸς αὐτὸν ὅτι πάντα τὰ ἐμὰ σά ἐστι καὶ τὰ σὰ ἐμά, καὶ δεδόξασμαι ἐν αὐτοῖς, καὶ πρός γε ἡμᾶς αὐ-
Ioh. 16, 15 τούς, περὶ τοῦ ἁγίου πνεύματος τοὺς λόγους ποιούμενος· πάντα, φησίν, ὅσα ἔχει ὁ πατήρ, ἐμά ἐστι· διὰ τοῦτο εἶπον ὑμῖν ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν. ὥσπερ γὰρ πρόεισιν ἐκ τοῦ πατρὸς τὸ πνεῦμα τὸ ἅγιον, αὐτοῦ κατὰ φύσιν ὑπάρχον, καὶ κατὰ τὸν ἴσον τούτωι τρόπον καὶ δι' αὐτοῦ τοῦ υἱοῦ, φυσικῶς ὂν αὐτοῦ καὶ ὁμοούσιον αὐτῶι. οὐκοῦν κἂν δοξάζηται διὰ τοῦ πνεύματος, αὐτὸς ἑαυτὸν ὡς δι' ἰδίου πνεύματος νοεῖται δοξάζων καὶ οὐχ ὡς θύραθεν τὸ χρῆμα αὐτῶι, κἂν εἰ ὁρῶιτο γεγονὼς ἄνθρωπος καθ' ἡμᾶς. ἀνασφαλὲς δὲ πρὸς τούτωι κἀκεῖνο εἰπεῖν περὶ τοῦ πνεύματος τὸ τὴν σάρκα τὴν αὐτοῦ πεποιημένον ναόν. ἦν μὲν γὰρ ἡ σὰρξ ἰδία τοῦ λόγου καὶ τοῦτο ἡμῖν ἀρτίως διωμολόγηκας αὐτός· αὐτοῦ γὰρ ἔφης εἶναι τὴν ἀνθρωπότητα
PG 185 καὶ ναὸς αὐτοῦ κεχρημάτικε τὸ ἐκ τῆς ἁγίας παρθένου ληφθὲν ἅγιον σῶμα· ἴδιον δὲ πάλιν αὐτοῦ τὸ πνεῦμα αὐτοῦ καὶ οὐκ ἂν νοοῖτο πώποτε δίχα τοῦ ἰδίου πνεύματος ὁ ἐκ θεοῦ πατρὸς λόγος. ἄμεινον οὖν ἄρα καὶ σοφώτερον ναὸν μὲν τοῦ λόγου τὸ σῶμα λέγειν καὶ ἰδίαν αὐτοῦ τὴν σάρκα, πιστεύειν δὲ ὅτι σύνεστιν ἀεὶ τῶι λόγωι τὸ πνεῦμα αὐτοῦ καθάπερ ἀμέλει καὶ αὐτῶι τῶι πατρί. οὐκ ἀμώμητον δὲ πρὸς τούτωι φαίην ἂν τὸ ὡς ἐπ' ἀνθρώπου κοινοῦ τὴν ἀνάληψιν αὐτῶι τὴν εἰς οὐρανὸν δεδωρῆσθαι λέγειν παρὰ τοῦ
Act. 1, 2 πνεύματος. ἐπιλέκτους μὲν γὰρ ἐποιεῖτο τοὺς μαθητὰς διὰ τοῦ ἁγίου πνεύματος, ἀνελήφθη γε μὴν ὡς θεός, οὐχ ὡς παρ' ἑτέρου δοτὸν τὸ χρῆμα λαβών, αὐτὸς δὲ δὴ μᾶλλον πρωτόλειον ὥσπερ τι τῆς ἀνθρωπίνης φύσεως ἀνανεωθείσης εἰς ἀφθαρσίαν ἐμφανίζων
P 191 ἑαυτὸν τῶι θεῶι καὶ πατρὶ καὶ ἡμῖν ἐγκαινίζων ὁδὸν πρόσφατον καὶ ζῶσαν καὶ
Hebr. 10, 20 Hebr. 6, 19. 20 εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος, ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσελθεῖν λέγεται, κατὰ τὴν τάξιν Μελχισεδὲκ ἀρχιερεὺς γενόμενος εἰς τοὺς αἰῶνας. ὅτι δὲ πρὸς τὰ ἄνω βαδίζοντι τῶι Χριστῶι πάλιν ἐνυπῆρχεν ὡς ἴδιον αὐτοῦ τὸ πνεῦμα τὸ ἅγιον, οὐκ ἂν ἐνδοιάσειέ τις. πῶς οὖν οὐ δέδιας, εἰπέ μοι, λέγειν
Loofs p. 294, 4-6 τοῦτο δὴ τὸ τηλικαύτην Χριστῶι χαρισάμενον δόξαν Χριστοῦ κατασκευάζουσι δοῦλον; οἱ μὲν γὰρ δοῦλον αὐτὸ κατασκευάζοντες τοῦ Χριστοῦ δυσσεβοῦσιν ὁμολογουμένως καὶ αὐτὸν ἀτιμάζουσι τὸν ὁμοούσιον αὐτῶι θεοῦ λόγον, τοῖς δουλοπρεπέσι περιβάλλοντες μέτροις τὸ παρ' αὐτοῦ τε καὶ ἐν αὐτῶι κατὰ φύσιν καὶ ἴδιον αὐτοῦ· τὸ δὲ κεχαρίσθαι λέγειν αὐτῶι τὴν δόξαν παρὰ τοῦ πνεύματος ἀβελτηρίας ἐστὶ τῆς ἐσχάτης ἀπόδειξις ἐναργής. εἰκῆι δὲ ἁλώσηι πεφλυαρηκὼς ἐν τούτωι καὶ τὸ ἐπ' αὐτῶι μυστήριον οὐ νενοηκώς, μᾶλλον δὲ σαυτῶι καὶ φρονῶν καὶ λέγων τὰ ἐναντία. εἰ γὰρ πεπίστευκας ὅτι θεὸς ὢν ὁ λόγος γέγονε σάρξ (αὐτοῦ γὰρ ἔφης εἶναι τὴν ἀνθρωπότητα), τί τὸν τῆς δόξης κύριον ὡς οὐκ ἔχοντα δόξαν ἰδίαν τῆς παρὰ τοῦ πνεύματος δεδεῆσθαι φῆς καὶ ἐν τοῖς τῆς κτίσεως κατα-
1 Cor. 4, 7 λογίζηι μέτροις, ἢι πάντα ἐστὶν ἔξωθεν [τὰ] καὶ δοτά; τί γὰρ ἔχεις ὃ οὐκ ἔλαβες;

V

1 ἀνετίθη V 17 ἀνασφαλὲς Agellius ἀνασφαλεὶσ V 22 σοφότερον V 28 ἐμφανίζων scripsi ἐμφανίσων V 36 θεοῦ scripsi θῦ V 43 ἔξωθεν scripsi ἔξω θέντα V ἔξωθέν τε Agellius

πρέποι ἂν ἀκοῦσαι τῆι κτίσει. ἀλλὰ ναί, φησίν, εὑρίσκω λέγοντα τὸν Ἐμμανουήλ· πάτερ, δόξασόν σου τὸν υἱόν. οὐκοῦν προστίθει τὸ λεῖπον, τοῦτο δέ ἐστιν ἵνα Ioh. 17, 1
καὶ ὁ υἱός σου δοξάσηι σε. εἰ μὲν ὡς δόξης ἐπιδεᾶ τῆς παρὰ πατρὸς ἐφίεσθαι δόξης διισχυρίζηι τὸν υἱόν, [ὅ] τί ποτε ἄρα φής, ὅταν δοξάζηται καὶ αὐτὸς ὁ πατὴρ παρὰ τοῦ υἱοῦ; ἆρ' ὡς δόξαν οὐν ἔχων ἢ τῆς παρ' ἑτέρου δεδεημένος; ἄπαγε τῆς δυσβουλίας· τερθρεία γὰρ ἤδη ταυτὶ καὶ ἀνοσιότης ἐννοιῶν καὶ ἕτερον οὐδέν. ἡ μὲν γὰρ θεία τε καὶ τῶν ὅλων ἐπέκεινα φύσις φῶς ἀπρόσιτον οἰκεῖ καὶ κατεξουσιάζει τῶν ὅλων καὶ δόξαν P 192
ἀνῆπται τὴν αὐτῆι τε καὶ μόνηι πρεπωδεστάτην· ἐπειδὴ δὲ γέγονεν ἄνθρωπος ὁ μονογενὴς 1 Tim. 6, 16 PG 188
τοῦ θεοῦ λόγος ἔμελλέ τε χάριτι θεοῦ διὰ τῆς ἰδίας σαρκὸς ὑπὲρ παντὸς γεύσασθαι θανά- Hebr. 2, 9
του καὶ ⟨τὸ⟩ δυσάντητον αὐτοῦ παραλύειν κράτος, ζωοποιήσας ὡς θεὸς τὸν ἴδιον ναὸν σκήπτε- 10
ται τὴν εὐχὴν ὡς ἄνθρωπος καὶ συνευδοκῆσαί οἱ βούλεται τὸν πατέρα τὴν ἀνθρώπου φύσιν μετασκευάζοντι πρὸς τὸ ἀπ' ἀρχῆς καὶ ἀνανεοῦντι πρὸς ἀφθαρσίαν καὶ τῶν τοῦ θανάτου βρόχων ἀποφαίνοντι κρείττονα, λελυμένης δηλονότι τῆς ἀρχαίας ἐκείνης ἀρᾶς καὶ τῆς ἐπὶ τῶι πρωτοπλάστωι δίκης. οὐκοῦν ἐπειδήπερ καὶ ἐν σαρκὶ καθορώμενος υἱὸς εἶναι θεοῦ
κηρύττεται φύσει τε καὶ ἀληθείαι, δόξασόν σου, φησίν, ὦ πάτερ, τὸν υἱὸν ὡς ἄνθρω- 15
πον καὶ θανάτου κρείττονα καὶ φθορᾶς ἀποφήνας, ἵνα σὸς εἶναι πιστεύηται, ζωὴ κατὰ φύσιν ὑπάρχων ὡς θεὸς κατά γε τὸν τῆς ἰδίας φύσεως λόγον· τότε γάρ σε καὶ ὁ υἱὸς δοξάσει. δόξα ⟨δ'⟩ ἀληθῶς τῶι θεῶι καὶ πατρὶ τὸ πιστεύεσθαι πρὸς ἡμῶν ὅτι θεὸς ὑπάρχων ἀληθινὸς καὶ ζωὴ καὶ ζωοποιὸς ἴσον τε καὶ ὅμοιον ἑαυτῶι κατὰ πᾶν ὁτιοῦν ἀπορρήτως τε καὶ ὑπὲρ νοῦν ἐκτέτοκε τὸν υἱόν, ὃς ἦν οὐκ ἐν μείοσιν, ⟨εἰ⟩ καὶ ἐν σαρκὶ γέ- 20
γονεν, ἀλλὰ τῆς ἐνούσης αὐτῶι φυσικῆς εὐγενείας ἀδιαλώβητον παντελῶς τὸ ὑπερφυὲς καὶ ἐξαίρετον διεσώσατο κάλλος, ζωὴ καὶ αὐτὸς ὑπάρχων ὡς ἐκ ζωῆς πάντα τε ἰσχύων καὶ ἀμογητὶ κατορθῶν καὶ τοῖς ὑπὸ θάνατον καὶ φθορὰν τὴν ἀφθαρσίαν δωρούμενος. οὐκοῦν κἂν εἰ δοξάζεσθαι λέγοιτο παρὰ τοῦ πατρὸς ὁ υἱός, τὸ τῆς ἀνθρωπότητος ἀναλογίζου μέτρον μη⟨δὲ⟩ διατέμνης εἰς δύο μετὰ τὴν ἕνωσιν τὸν ἕνα Χριστὸν καὶ υἱὸν καὶ κύριον, 25
ἀλλ' ἕνα καὶ τὸν αὐτὸν ⟨ὁμολόγησον⟩ ὁμοίως καὶ τῆς δόξης κύριον ὡς θεὸν καὶ δόξαν P 193
δεχόμενον ἀνθρωπίνως. ἐννόει γὰρ ὅτι καίτοι φύσει τε καὶ ἀληθείαι θεός τε καὶ βασιλεὺς τῶν ὅλων ὑπάρχων καὶ κύριος, κεχειροτονῆσθαι λέγεται βασιλεύς, ὅτε καθ' ἡμᾶς γενό- Ps. 2, 6
μενος ἄνθρωπος τεταπείνωκεν ἑαυτὸν καὶ γέγονεν ὑπήκοος τῶι θεῶι καὶ πατρὶ καὶ μεθ' ἡμῶν ὑπὸ νόμον. θορυβήσει δὴ οὖν κατ' οὐδένα τρόπον τοὺς σοφούς τε καὶ ἐπιστήμονας 30
καὶ ἱδρυμένους ἐν πίστει τὰ τοῖς τῆς κενώσεως πρέποντα μέτροις, ἀλλ' ἐξ αὐτῶν τε ὁμοῦ καὶ τῶν τῆι θείαι πρεπόντων φύσει θεὸν ὄντα τὸν αὐτὸν καὶ ἄνθρωπον ἐπιγινώσκουσι τὸν υἱόν. ἀλλὰ γὰρ ὑγιαίνουσι μὲν οὐ προσέρχεται λόγοις, ἀπονενευκὼς δὲ λίαν εἰς τὸ 1 Tim. 6, 3
ἐξήνιον ἀσυνέτως περιαυτίζεται καὶ τὰ αὐτῶι καὶ μόνωι δοκοῦντά τε καὶ εὖ ἔχειν ὑπειλημμένα φρονεῖν ἀξιοῖ. διόλλυσι δὲ καὶ ἑτέρους πρὸς οἷς ἔφη, διιστὰς εἰς δύο τὸν ἕνα 35
κύριον Ἰησοῦν τὸν Χριστὸν καὶ αὐτὸ τὸ θεῖον ἡμῶν συκοφαντῶν μυστήριον ἀπό γε τοῦ μὴ ἀνέχεσθαι μεθ' ἡμῶν ὁμολογεῖν ὅτι μὴ καθ' ἕνα τῶν ἁγίων προφητῶν ἢ γοῦν ἀποστόλων καὶ εὐαγγελιστῶν θεοφόρος ἦν ἄνθρωπος ὁ Χριστός, θεὸς δὲ μᾶλλον γενόμενος ἄνθρωπος μετέσχηκέ τε κατὰ ἀλήθειαν αἵματος καὶ σαρκός. ἔφη δὲ οὕτω πάλιν ὡς ἐκ Hebr. 2, 44
προσώπου Χριστοῦ παρατιθεὶς τὸ ῥητόν 40

4 Ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει κἀγὼ PG 189
ἐν αὐτῶι. μνημόνευσον ὅτι περὶ τῆς σαρκὸς τὸ λεγόμενον. καθὼς ἀπέστειλέ Ioh. 6, 56 Loofs p. 228, 4-16 Ioh. 6, 57

4 = Exc. Mar. Merc. XIIII cf. Exc. Eph. XXII Apol. adu. Orient. 98

1—40 V 41. 42 VVa

4 ὅ del. ed. Rom. δοξάζηται scripsi δοξάσηται V 7 φύσις scripsi φύσεων V 10 τὸ addidi 18 δ' addidi 20 εἰ καὶ Pusey καὶ V καὶ ὅτε Agellius 25 μηδὲ scripsi μὴ V 26 ὁμολόγησον addidi ex Seuero a Puseio allato ὡς Seuerus καὶ V 42 μνημονεύετε Exc. Eph.

με ὁ ζῶν πατήρ, ἐμὲ τὸν φαινόμενον. ἀλλ' ἐνίοτε παρερμηνεύω· ἀκούσωμεν ἐκ τῶν ἑξῆς. καθὼς ἀπέστειλέ με ὁ ζῶν πατήρ· ἐκεῖνος λέγει τὴν θεότητα, ἐγὼ τὴν ἀνθρωπότητα· ἴδωμεν τίς ὁ παρερμηνεύων. λέγει ὁ αἱρετικὸς ἐνταῦθα τὴν θεότητα· ἀπέστειλεν ἐμὲ τὸν θεὸν λόγον. καθὼς ἀπέστειλέ με ὁ ζῶν πατήρ, κατ' ἐκεῖνον
Ioh. 6, 57 κἀγὼ ζῶ, ὁ θεὸς λόγος, διὰ τὸν πατέρα. εἶτα μετὰ τοῦτο καὶ ὁ τρώγων με κἀκεῖνος ζήσεται. τίνα ἐσθίομεν, τὴν θεότητα ἢ τὴν σάρκα;

P 194 Μόνην δὴ οὖν ἀπεστάλθαι τὴν σάρκα φὴς καὶ αὐτὴν εἶναι διαβεβαιοῖ τὸν φαινόμενον· ἀπόχρη δὴ οὖν καὶ μόνον ἡμῖν εἰς τὸ δύνασθαι ζωοποιεῖν τὸ θανάτωι τυραννούμενον.
Ioh. 1, 14 τί οὖν; αἱ θεόπνευστοι γραφαὶ ῥαψωιδοῦσι μάτην σάρκα γενέσθαι τὸν ἐκ θεοῦ πατρὸς λόγον ἄνω τε καὶ κάτω διισχυριζόμεναι; ποία γὰρ ὅλως γένοιτ' ἂν τοῦ λόγου χρεία, τῆς ἀνθρωπίνης φύσεως ἀποχρώσης ἡμῖν, κἂν εἰ νοοῖτο μόνη καὶ καθ' ἑαυτήν, εἴς γε τὸ δύνασθαι καταργῆσαι θάνατον καὶ τὸ τῆς φθορᾶς παραλῦσαι κράτος; καὶ εἴπερ ἐστίν, ὥσπερ οὖν οἴει καὶ δοξάζειν ἀξιοῖς, οὐχ ὁ θεὸς λόγος ὁ ἀπεσταλμένος διὰ τοῦ γενέσθαι καθ' ἡμᾶς, μόνη δέ, ὡς ἔφης, ἀπέσταλται παρὰ τοῦ πατρὸς ἡ φαινομένη σάρξ, πῶς οὐχ ἅπασιν ἐναργὲς ὅτι σώματος ἀνθρωπίνου καὶ τῶν ἡμετέρων κατ' οὐδένα παντελῶς διενεγκόντος τρόπον ἐν μεθέξει γεγόναμεν; πῶς οὖν ἐν ἑτέροις διαγελᾶις τοὺς ὧδε διακειμένους; ἔφης γὰρ πάλιν

Loofs 5 Ἐρῶ δὲ καὶ τοῦ σκανδάλου τὰ ῥήματα. περὶ τῆς οἰκείας σαρκὸς ὁ δεσπότης
p. 355,13-18 Χριστὸς πρὸς αὐτοὺς διελέγετο· ἐὰν μὴ φάγητε, φησί, τὴν σάρκα τοῦ υἱοῦ τοῦ
Ioh. 6, 53 ἀνθρώπου καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. οὐκ ἠνεγκαν τὸ τῶν λεγομένων ὑψηλὸν οἱ ἀκούσαντες· ἐνόμιζον ⟨γὰρ⟩ ὑπὸ ἀμαθίας ἀνθρωποφαγίαν εἰσάγειν.

Εἶτα πῶς τὸ χρῆμά ἐστιν οὐκ ἐναργὴς ἀνθρωποφαγία; τίνα δὲ τρόπον ὑψηλὸν ἔτι τὸ μυστήριον, εἰ μὴ ἀπεστάλθαι φαμὲν τὸν ἐκ θεοῦ πατρὸς λόγον καὶ τόν γε τῆς ἀποστολῆς τρόπον ὁμολογοῦμεν εἶναι τὴν ἐνανθρώπησιν; τότε γὰρ τότε καταθρήσομεν ζωοποιεῖν ἰσχύουσαν τὴν ἑνωθεῖσαν αὐτῶι σάρκα καὶ οὐχ ἑτέρου σάρκα, πλὴν ὅτι γέγονεν ἰδία τοῦ τὰ πάντα ζωοποιεῖν ἰσχύοντος. εἰ γὰρ τὸ πῦρ δὴ τοῦτο τὸ αἰσθητὸν τῆς
PG 192 ἐνούσης αὐτῶι φυσικῆς ἐνεργείας τὴν δύναμιν ταῖς ὕλαις ἐνίησιν αἷς ἂν φαίνοιτο προσο-
P 195 μιλοῦν, καὶ αὐτὸ δὲ τὸ ὕδωρ, καίτοι ψυχρὸν κατὰ φύσιν ὑπάρχον, μεθίστησι πρὸς τὸ παρὰ φύσιν καὶ θερμὸν ἀποτελεῖ, τί τὸ παράδοξον, ἀπιστοῖτο δ' ἂν κατὰ τίνα τρόπον, εἰ ζωὴ κατὰ φύσιν ὑπάρχων ὁ ἐκ θεοῦ πατρὸς λόγος τὴν ἑνωθεῖσαν αὐτῶι σάρκα ζωοποιὸν ἀπέφηνεν; ἰδία γάρ ἐστιν αὐτοῦ καὶ οὐχ ἑτέρου τινὸς παρ' αὐτὸν ἀνὰ μέρος τε νοουμένου καὶ τῶν καθ' ἡμᾶς ἑνός. ἀποστήσας δὲ τῆς πρὸς τὸ σῶμα μυστικῆς τε καὶ ἀληθοῦς ἑνώσεως τὸν ζωοποιὸν τοῦ θεοῦ λόγον καὶ διιστὰς ὁλοτρόπως, πῶς ἂν αὐτὸ καταδείξειας ἔτι
Ioh. 6, 56 ζωοποιόν; τίς δὲ ἦν ὁ λέγων ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει κἀγὼ ἐν αὐτῶι; εἰ μὲν οὖν ἄνθρωπός τις ἰδικῶς καὶ οὐχὶ δὴ μᾶλλον γεγονὼς καθ' ἡμᾶς ὁ τοῦ θεοῦ λόγος, ἀνθρωποφαγία τὸ δρώμενον καὶ ἀνόνητος
Ioh. 6, 63 παντελῶς ἡ μέθεξις. αὐτοῦ γὰρ ἀκούω λέγοντος τοῦ Χριστοῦ· ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν· τὸ πνεῦμά ἐστι τὸ ζωοποιοῦν. ὅσον γὰρ ἦκεν εἰς ἰδίαν φύσιν, φθαρτὴ μὲν ἡ σάρξ, ζωοποιήσει δὲ κατ' οὐδένα τρόπον ἑτέρους, οἴκοθεν αὐτὴ νοσοῦσα τὴν φθο-

---

1—6. 18—22 VVa 7—17. 23—40 V

2 ἐγὼ Va ἐγὼ δὲ V 3 θεότητα λέγει Exc. Eph. 4 ἐμὲ V με Va Exc. Eph. ἐκείνους Exc. Eph. 5 εἶτα τὸ Exc. Eph. 21 γὰρ Va om. V 30 ἀπιστοῖτο Agellius ἀπιστεῖτω V εἰ Agellius ἡ V 37 γεγονὼς scripsi γέγονε per abbreuiaturam V

ράν. εἰ δὲ αὐτοῦ τοῦ λόγου τὸ σῶμα ἴδιον εἶναι φῄς, τί τερατεύῃ καὶ εἰκαιομυθεῖς οὐκ αὐτὸν ἀπεστάλθαι τὸν ἐκ θεοῦ πατρὸς λόγον διατεινόμενος, ἀλλ' ὡς ἕτερόν τινα παρ' αὐτόν, τὸν ὁρώμενον ἤτοι τὴν σάρκα αὐτοῦ, καίτοι Χριστὸν ἕνα τῆς θεοπνεύστου γραφῆς διαβοώσης πανταχοῦ καὶ ἄνθρωπον καθ' ἡμᾶς γενέσθαι τὸν λόγον εὖ μάλα διαβεβαιουμένης καὶ τῆς ὀρθῆς πίστεως τὴν παράδοσιν ὁριζομένης ἐν τούτοις; ἀλλ' ἐκ πολλῆς ἄγαν εὐλαβείας ἐπερυθριᾷ κατὰ τὸ εἰκὸς τοῖς τῆς κενώσεως μέτροις καὶ οὐκ ἀνέχεται τὸν τῷι θεῷι καὶ πατρὶ συναίδιον υἱὸν τὸν ἐν μορφῇι καὶ ἰσότητι τῇι κατὰ πᾶν ὁτιοῦν τῷι γεγεννηκότι καθιγμένον ἰδεῖν εἰς ταπείνωσιν, γράφεται δὲ τὴν οἰκονομίαν καὶ τὴν θείαν τάχα που βουλήν τε καὶ σκέψιν ἀκαταιτίατον οὐκ ἐᾷι. σκήπτεται μὲν γὰρ πολυπραγμονεῖν τῶν εἰρημένων παρὰ Χριστοῦ τὴν δύναμιν καὶ οἷον ἀναμασώμενος τὸ τῶν ἐννοιῶν βάθος, εἶτα περιιστάς, ὡς οἴεται, τὸν παρ' ἡμῶν λόγον εἰς τὸ ἐκτόπως τε καὶ ἀμαθῶς πεποιῆσθαι δοκεῖν. P 196

Ἴδωμεν, φησί, τίς ὁ παρερμηνεύων. καθὼς ἀπέστειλέ με ὁ ζῶν πατήρ, κατ' ἐκεῖνον κἀγὼ ζῶ, ὁ θεὸς λόγος, διὰ τὸν πατέρα. καὶ ὁ τρώγων με κἀκεῖνος ζήσεται. τίνα ἐσθίομεν, τὴν θεότητα ἢ τὴν σάρκα; Loofs p. 228, 10. 11. 14-16 Ioh. 6, 57

Ἆρ' οὖν αἰσθάνηι λοιπὸν ὅποι ποτὲ εἶ φρενῶν; ἀπεστάλθαι γὰρ λέγων ἑαυτὸν ὁ τοῦ θεοῦ λόγος καὶ ὁ τρώγων με, φησί, κἀκεῖνος ζήσεται. ἐσθίομεν δὲ ἡμεῖς, οὐ τὴν θεότητα δαπανῶντες, ἄπαγε τῆς δυσβουλίας, ἀλλὰ τὴν ἰδίαν τοῦ λόγου σάρκα, ζωοποιὸν γεγενημένην, ὅτι γέγονεν αὐτοῦ ζῶντος διὰ τὸν πατέρα, καὶ οὐχ ὅτι που φαμὲν κατὰ μέθεξιν τὴν ἔξωθεν καὶ εἰσκεκριμένως ζωοποιεῖσθαι τὸν λόγον παρὰ τοῦ πατρός, ζωὴν δὲ μᾶλλον κατὰ φύσιν εἶναι διαβεβαιούμεθα· γεγέννηται γὰρ ὡς ἐκ ζωῆς τοῦ πατρός. ὅνπερ γὰρ τρόπον τὸ τοῦ ἡλίου πεμπόμενον σέλας, εἰ λέγοι τυχὸν λαμπρὸν εἶναι διὰ τὸν πεπομφότα ἢ γοῦν τὸν ἐξ οὗ πάρεστιν, οὐ κατὰ μέθεξιν ἔχει τὸ εἶναι λαμπρόν, ἀλλ' οἷον ἐκ φυσικῆς εὐγενείας τὸ τοῦ πεπομφότος ἢ γοῦν ἀπαστράψαντος πλεονέκτημα φορεῖ, κατὰ τὸν ἴσον οἶμαι τούτωι τρόπον τε καὶ λόγον, κἂν εἰ λέγοι ζῆν ἑαυτὸν ὁ υἱὸς διὰ τὸν πατέρα, μαρτυρήσειεν ἂν ἑαυτῶι τὴν ἐκ πατρὸς εὐγένειαν καὶ οὐ τοῖς ἄλλοις κτίσμασιν ἀναμὶξ ἐπακτήν τε καὶ ἔξωθεν ἔχειν ὁμολογήσει τὴν ζωήν. ὥσπερ δὲ τὸ αὐτοῦ τοῦ λόγου σῶμα ζωοποιόν ἐστιν, ἴδιον αὐτοῦ ποιησαμένου καθ' ἕνωσιν ἀληθῆ τὴν ὑπὲρ νοῦν τε καὶ λόγον, οὕτω καὶ ἡμεῖς εἰ ἐν μεθέξει γενοίμεθα τῆς ἁγίας σαρκὸς καὶ αἵματος αὐτοῦ, πάντηι τε καὶ πάντως ζωοποιούμεθα, μένοντος ἐν ἡμῖν τοῦ λόγου θεικῶς μὲν διὰ τοῦ ἁγίου πνεύματος, ἀνθρωπίνως δὲ αὖ διὰ τῆς ἁγίας σαρκὸς καὶ τοῦ τιμίου αἵματος. ἐπιψηφιεῖται δὲ οἷς ἔφην, τὸ ἀληθὲς ὁ ἱερώτατος Παῦλος, ὠδὶ γεγραφὼς τοῖς ἐν Κορίνθωι πεπιστευκόσιν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν· ὡς φρονίμοις λέγω· κρίνατε ὑμεῖς ὃ φημί, τὸ ποτήριον τῆς εὐλογίας ὃ εὐλογοῦμεν, οὐχὶ κοινωνία ἐστὶ τοῦ αἵματος τοῦ Χριστοῦ; τὸν ἄρτον ὃν κλῶμεν, οὐχὶ κοινωνία τοῦ σώματος τοῦ Χριστοῦ ἐστιν; ὅτι εἷς ἄρτος, [καὶ] ἓν σῶμα οἱ πολλοὶ ἐσμέν· οἱ γὰρ πάντες ἐκ τοῦ ἑνὸς ἄρτου μετέχομεν. πνεύματος μὲν γὰρ τοῦ ἁγίου μετεσχηκότες, αὐτῶι τε τῶι πάντων σωτῆρι Χριστῶι καὶ ἀλλήλοις ἑνούμεθα, σύσσωμοι δὲ κατὰ τοῦτον ἐσμὲν τὸν τρόπον, ὅτι εἷς ἄρτος, ἓν σῶμα οἱ πολλοὶ ἐσμέν· οἱ γὰρ πάντες ἐκ τοῦ ἑνὸς ἄρτου μετέχομεν. συνδεῖ γὰρ ἡμᾶς εἰς ἑνότητα τὸ ἐν ἡμῖν σῶμα Χριστοῦ, μεμέρισται δὲ κατ' οὐδένα τρόπον. ὅτι δὲ διὰ τοῦ σώματος τοῦ Χριστοῦ πρὸς ἑνότητα τὴν πρὸς αὐτὸν καὶ πρός γε τὴν εἰς ἀλλήλους συνενηνέγμεθα, πιστώσεται γράφων ὁ μακάριος Παῦλος· τούτου χάριν ἐγὼ Παῦλος ὁ δέσμιος Ἰησοῦ Χριστοῦ ὑπὲρ ὑμῶν τῶν ἐθνῶν, εἴ γε ἠκούσατε τὴν οἰκονομίαν τῆς χάρι- P 197 1 Cor. 10, 15-17 Eph. 3, 1-6

V

9 σκέψιν Agellius σκῆψιν V 10 ἀναμασσώμενοσ V 14 κἀγὼ] γὰρ V 19 οὐχ om. V, add. in mg. 29 εἰ Pusey οἱ V 36 καὶ del. Pusey 43/44 χῡ ιῡ χῡ V

τος τοῦ θεοῦ τῆς δοθείσης μοι εἰς ὑμᾶς, ὅτι κατὰ ἀποκάλυψιν ἐγνωρίσθη μοι τὸ μυστήριον, καθὼς προέγραψα ἐν ὀλίγωι, πρὸς ὃ δύνασθε ἀναγινώσκοντες νοῆσαι τὴν σύνεσίν μου ἐν τῶι μυστηρίωι τοῦ Χριστοῦ, ὃ ἑτέραις γενεαῖς οὐκ ἐγνωρίσθη τοῖς υἱοῖς τῶν ἀνθρώπων, ὡς νῦν ἀπεκαλύφθη τοῖς ἁγίοις ἀποστόλοις αὐτοῦ καὶ προφήταις ἐν πνεύματι, εἶναι τὰ ἔθνη συγκληρονόμα καὶ σύσσωμα καὶ συμμέτοχα τῆς ἐπαγγελίας ἐν Χριστῶι. ἐπειδὴ δὲ τὴν τοῦ μυστηρίου παράδοσίν τε καὶ δύναμιν ἠγνοηκότες ἐν ἀρχῆι τῶν πιστευσάντων τινὲς ἔξω φέρεσθαι τοῦ εἰκότος ἤθελον, πανδαισίας τε καὶ δημοθοινίας πληροῦντες
1 Cor. 11, 22 ἐν ἐκκλησίαις, τοῖς τοῦτο δρᾶν εἰωθόσιν ἐπετίμα γράφων ὁ μακάριος Παῦλος· μὴ γὰρ
-26
PG 196 οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν ἢ πίνειν; ἢ τῆς ἐκκλησίας τοῦ θεοῦ καταφρονεῖτε καὶ καταισχύνετε τοὺς μὴ ἔχοντας; τί εἴπω ὑμῖν; ἐπαινέσω ὑμᾶς; ἐν τούτωι οὐκ ἐπαινῶ. ἐγὼ γὰρ παρέλαβον ἀπὸ τοῦ κυρίου, ὃ καὶ παρέ-
P 198 δωκα ὑμῖν, ὅτι ὁ κύριος Ἰησοῦς Χριστὸς ἐν τῆι νυκτὶ ἧι παρεδόθη, ἔλαβεν ἄρτον καὶ εὐχαριστήσας ἔκλασε καὶ εἶπε· τοῦτό μού ἐστι τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. ὡσαύτως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι, λέγων· τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐστὶν ἐν τῶι αἵματι τῶι ἐμῶι· τοῦτο ποιεῖτε ὁσάκις ἂν πίνητε, εἰς τὴν ἐμὴν ἀνάμνησιν. ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον καὶ τὸ ποτήριον πίνητε, τὸν θάνατον τοῦ κυρίου καταγγέλλετε, ἄχρις οὗ ἔλθηι. καὶ θεῖον μὲν ὅτι τὸ μυστήριον καὶ ζωοποιὸς ἡ μέθεξις καὶ τῆς ἀναιμάκτου ταυτησὶ θυσίας ἡ δύναμις παρὰ πολὺ τῆς ἐν νόμωι λατρείας ἀμείνων, ἀταλαίπωρον ἰδεῖν καὶ ὡς ἀπό γε τοῦ
Hebr. 10, 1 λέγεσθαι σκιὰν μὲν ἐκεῖνα τὰ διὰ Μωσέως τοῖς ἀρχαιοτέροις τεθεσπισμένα, Χριστόν γε μὴν εἶναι καὶ τὰ αὐτοῦ τὴν ἀλήθειαν· συλλήψεται δὲ πρὸς τοῦτο ἡμῖν καὶ ὁ σοφώτατος
Hebr. 10, 28. Παῦλος, ὠδὶ γεγραφώς· ἀθετήσας τις νόμον Μωσέως χωρὶς οἰκτιρμῶν ἐπὶ
29 δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήισκει· πόσωι δοκεῖτε χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν υἱὸν τοῦ θεοῦ καταπατήσας καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος, ἐν ὧι ἡγιάσθη, καὶ τὸ πνεῦμα τῆς χάριτος ἐνυβρίσας; ἦσθιον μὲν γὰρ οἱ πάλαι καταθύοντες τὸν ἀμνόν, ἡ δέ γε τῆς βρώσεως δύναμις οὐκ εἰς κόρον ἁπλῶς ἐχώρει γαστρός. ἀλλ' οὐδὲ ταύτης ἕνεκα τῆς αἰτίας τὰ τῆς θυσίας ἐπετηδεύετο κατὰ νόμον, ἀλλ' ἵνα θανάτου τοῖς ἄλλοις ἐμπεπτωκότος κρείττους τε εἶεν τοῦ παθεῖν αὐτοὶ καὶ διαδιδράσκοιεν τὸν ὀλοθρευτήν. καὶ γοῦν ἀνήιρηνται μὲν ἐν μιᾶι νυκτὶ τὰ πρωτότοκα Αἰγυπτίων, οἳ δὲ καὶ ψιλῶι τῶι τύπωι τετειχισμένοι μόνοι παρ' ἐκείνου ἐσώιζοντο καὶ σύνοπλον ἔχοντες τὴν σκιὰν καὶ αὐτοῦ θανάτου κατευμεγεθοῦντες ἐφαίνοντο. οὐκοῦν ἔσωιζον μὲν οἱ τύποι τοὺς πρὸ ἡμῶν· ἐν τίσι δὲ ἄρα τὰ καθ' ἡμᾶς, οἷς αὐτὴ λοιπὸν ἐπέλαμψεν ἡ ἀλήθεια, τουτέστι Χριστός, τὴν ζωοποιὸν ἑαυτοῦ σάρκα παρατιθεὶς εἰς
P 199 μέθεξιν; πῶς οὐχ ἅπασιν ἐναργές; πολὺ γὰρ δὴ λίαν ἐν ἀμείνοσι καὶ ἐν τοῖς ἄγαν ὑπερκειμένοις. καὶ τὴν γε τοῦ μυστηρίου δύναμιν ἐναργῆ καθιστὰς ὁ κύριος ἡμῶν Ἰη-
Ioh. 6, 47-51 σοῦς ὁ Χριστὸς ἀμήν, φησί, λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμὲ ἔχει ζωὴν αἰώνιον. ἐγὼ εἰμὶ ὁ ἄρτος τῆς ζωῆς. οἱ πατέρες ὑμῶν ἔφαγον τὸ μάννα ἐν τῆι ἐρήμωι καὶ ἀπέθανον· οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων, ἵνα τις ἐξ αὐτοῦ φάγηι καὶ μὴ ἀποθάνηι. ἐγὼ εἰμὶ ὁ ἄρτος ὁ ζῶν ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· ἐάν τις ἐκ τούτου τοῦ ἄρτου φάγηι, ζήσεται εἰς τὸν αἰῶνα. καὶ ὁ ἄρτος δὲ ὃν ἐγὼ δώσω, ἡ σάρξ μού ἐστιν ἡ ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. ἐπειδὴ γὰρ οἱ ἐξ αἵματος Ἰσραὴλ Μωσέα κατατεθήπεσαν ἐπὶ τῆι

V

10 τὴν ἐκκλησ(ίαν) V 19 πίητε V 30 ἐμπεπτωκότος scripsi ἐκπεπτωκότος V 32 τύπωι Agellius τόπω V 44 κατεθήπεσαν V

τοῦ μάννα χορηγίαι, καθιεμένου μὲν τοῖς τὸ τηνικάδε κατὰ τὴν ἔρημον, ἀποπληροῦντος δὲ τύπον τῆς μυστικῆς εὐλογίας (σκιὰ γὰρ ὁ νόμος), ταύτηι τοι καὶ λίαν εὐτεχνῶς ὁ κύριος PG 197
ἡμῶν Ἰησοῦς ὁ Χριστὸς κατασμικρύνει τὸν τύπον, μετασοβῶν εἰς ἀλήθειαν. οὐ γάρτοι,
φησίν, ἐκεῖνος ἦν ὁ τῆς ζωῆς ἄρτος, ἀλλ' ἐγὼ μᾶλλον ὁ ἐξ οὐρανοῦ καὶ ζωοποιῶν τὰ
πάντα καὶ τοῖς ἐσθίουσιν ἐμαυτὸν ἐνιεὶς καὶ διὰ τῆς ἐνωθείσης ἐμοὶ σαρκός, ὃ δὴ καὶ 6
σαφέστερον ἐποίει λέγων· ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ Ioh. 6, 53-57
τοῦ ἀνθρώπου καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. ὁ
τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἔχει ζωὴν αἰώνιον κἀγὼ
ἀναστήσω αὐτὸν ἐν τῆι ἐσχάτηι ἡμέραι. ἡ γὰρ σάρξ μου ἀληθής ἐστι
βρῶσις καὶ τὸ αἷμά μου ἀληθής ἐστι πόσις. ὁ τρώγων μου τὴν σάρκα καὶ 10
πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει κἀγὼ ἐν αὐτῶι. καθὼς ἀπέστειλέ με ὁ
ζῶν πατὴρ κἀγὼ ζῶ διὰ τὸν πατέρα, καὶ ὁ τρώγων με κἀκεῖνος ζήσεται.
ἄθρει δὴ οὖν ὅπως ἐν ἡμῖν μένει καὶ φθορᾶς ἀποφαίνει κρείττονας, τοῖς ἡμετέροις σώ-
μασιν ἐγκαθιεὶς ἑαυτόν, ὡς ἔφην, καὶ διὰ τῆς ἰδίας σαρκός, ἣ καὶ ἀληθής ἐστι βρῶσις,
τῆς ἐν νόμωι σκιᾶς καὶ τῆς κατ' αὐτὴν λατρείας οὐκ ἐχούσης τὴν ἀλήθειαν. καὶ ὁ μὲν 15 P 200
τοῦ μυστηρίου λόγος ἁπλοῦς τε καὶ ἀληθής, οὐ ποικίλοις ἐννοιῶν εὑρήμασιν εἰς ἀνοσιότητα
περιειργασμένος, ἁπλοῦς δέ, ὡς ἔφην. πιστεύομεν γὰρ ὡς τῶι τεχθέντι διὰ τῆς ἁγίας
παρθένου σώματι ψυχὴν ἔχοντι λογικὴν ἑνώσας ἑαυτὸν ὁ ἐκ θεοῦ πατρὸς λόγος (ἀπόρρητος
δέ που καὶ μυστικὴ πάντως ἡ ἕνωσις) ζωοποιὸν ἀπέφηνεν αὐτό, ζωὴ κατὰ φύσιν ὑπάρ-
χων ὡς θεός, ἵνα ἡμᾶς ἑαυτοῦ μετόχους ἀποτελῶν πνευματικῶς τε ἅμα καὶ σωματικῶς 20
καὶ φθορᾶς ἀποφήνηι κρείττονας καὶ τῆς ἁμαρτίας τὸν νόμον τὸν ἐν τοῖς μέλεσι τῆς σαρ-
κὸς καταργήσηι δι' ἑαυτοῦ· κατέκρινε ⟨γὰρ⟩ τὴν ἁμαρτίαν ἐν τῆι σαρκί, καθὰ Rom. 8, 3
γέγραπται. ἀνδάνει δὲ οἶμαι ταυτὶ κατ' οὐδένα τρόπον τῶι τῶν νέων ἡμῖν εὑρημάτων
δογματιστῆι, ὃς οἷά τις μόσχος ἀτιμαγέλας ἐπὶ μόνον ἴεται τὸ κατὰ γνώμην αὐτῶι καὶ τὴν
τοῦ μυστηρίου δύναμιν κατασμικρύνει, λέγων 25

6 Ἄκουσον καὶ τὸ κύριος ποτὲ μὲν ἐπὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ, ποτὲ δὲ ἐπὶ Loofs p. 356,
τῆς θεότητος αὐτοῦ, ποτὲ δὲ ἐπ' ἀμφοτέρων κείμενον. ὁσάκις ἂν ἐσθίητε τὸν 12-357, 4
ἄρτον ⟨τοῦτον⟩ καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ κυρίου καταγγέλλετε. 1 Cor. 11, 26
ἄκουσον ἐκ τῶν προηγουμένων τὴν ἀμαθίαν τῶν ἀντιτιθέντων, ὡς
ἰσχυρὰν ἀναγινώσκουσι τοῦ μυστηρίου τὴν ὠφέλειαν καὶ τίνος τοῖς ἀνθρώποις παρέχεται 30
τὴν ἀνάμνησιν, καὶ ἄκουσον μὴ ἐμοῦ ταῦτα λέγοντος, ἀλλὰ τοῦ μακαρίου Παύλου. ὁσά-
κις ⟨ἂν⟩ ἐσθίητε τὸν ἄρτον τοῦτον· οὐκ εἶπεν· ὁσάκις ἂν ἐσθίητε τὴν θεότητα
ταύτην. ὁσάκις ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον· βλέπε περὶ τοῦ σώματος αὐτῶι
τοῦ δεσποτικοῦ τὸ προκείμενον ⟨ὄν⟩. ὁσάκις ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, οὗ ἐστι
τὸ σῶμα ἀντίτυπον. ἴδωμεν οὖν ⟨ἀπὸ τούτου⟩ τίνος ὁ θάνατος· ὁσάκις ἂν ἐσθίητε 35
τὸν ἄρτον τοῦτον καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ κυρίου
καταγγέλλετε. ἄκουσον καὶ ἐν τοῖς ἐφεξῆς φανερώτερον· ἄχρις οὗ ἔλθηι. τίς PG200 P201
δὲ ὁ ἐρχόμενος; ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν νεφελῶν Mt. 24, 30
τοῦ οὐρανοῦ μετὰ δόξης πολλῆς. καὶ τὸ δὴ μεῖζον, πρὸ τῶν ἀποστόλων ὁ
προφήτης σαφέστερον τὸν ἐρχόμενον δείκνυσι καὶ κέκραγε περὶ Ἰουδαίων βοῶν· ὄψονται 40 Ioh. 19, 37
εἰς ὃν ἐξεκέντησαν. τίς οὖν ἐστιν ὁ κεντηθείς· ἡ πλευρά· πλευρὰ δὲ σώματος ἢ
θεότητός ἐστι;

1—25 V 26—42 VVa

22 γὰρ addidi 28 τοῦτον Va om. V 30 ἰσχυρὰν Va, V p. 88, 18 ἰσχυρὸν V 32 ἂν Va om. V 34 ὃν addidi 35 οὖν ἀπὸ τούτου V p. 88, 38 ἀπὸ τοῦτου Va, V p. 89, 18 οὖν V 37 οὗ V hic et p. 88, 41. 89, 18 οὗ ἂν Va 38 δὲ V hic et p. 88, 41, cf. p. 90, 1 δέ ἐστιν Va, V p. 89, 18 41 ἢ V οὐ Va

Δεῖ δὴ πάλιν ἡμᾶς τοῖς τῆς ἀληθείας δόγμασι συνειπεῖν καὶ τοῖς σοῖς, ὦ οὗτος, ἀντιφέρεσθαι λόγοις καὶ πρό γε τῶν ἄλλων τοῖς φιλακροάμοσιν ἐκεῖνο εἰπεῖν ὅτι σοι σκοπὸς καὶ διὰ σπουδῆς τέθειται πολλῆς δύο δὴ πάλιν ἀποφῆναι Χριστούς, οἷς καὶ ἀνὰ μέρος ἁρμόσειεν ἂν ἡ τῆς κυριότητος κλῆσις. ἀμαθέστατα δὲ καὶ πρός γε τοῦτο ἰὼν οὐ σὺν ἰδρῶτι μακρῶι πρὸς ἡμῶν δειχθήσεται. φέρε γὰρ ἐρομένωι φράσον ποῖον ἄρα διορίζηι Χριστόν, οὗ καὶ τὴν ἀνθρωπότητα καὶ μέντοι καὶ τὴν θεότητα εἶναι φής; εἰ μὲν τὸν ἐκ θεοῦ πατρὸς λόγον, διωμολόγηκας ἐναργῶς τὸν αὐτὸν εἶναι καὶ ἄνθρωπον, αὐτοῦ γὰρ ἔφης τὴν ἀνθρωπότητα· εἰ δὲ τὸν ἐκ τῆς παρθένου κατὰ σέ, τὸν αὐτὸν οὐδὲν ἧττον ἀλώσηι καὶ θεὸν ἀποφήνας, αὐτοῦ γὰρ ἔφης εἶναι καὶ τὴν θεότητα. πανταχόθεν δὴ οὖν συνωθούμενος καὶ ἀβουλήτως εἰς ἀλήθειαν, ἕνα μεθ' ἡμῶν ὁμολόγει Χριστὸν καὶ κύριον. παύσηι γὰρ οὕτω λέγων πε-

Loofs p. 356, 12-14 Ἄκουσον δὲ καὶ τὸ κύριος ποτὲ μὲν ἐπὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ, ποτὲ δὲ ἐπὶ τῆς θεότητος αὐτοῦ, ποτὲ δὲ ἐπ' ἀμφοτέρων κείμενον.

Ἔνθα γὰρ υἱὸς εἷς, ποῖον ἂν ἔχοι τόπον τὸ ἐπ' ἀμφοῖν εἰπεῖν; καταμειδιᾶις δὲ ἀνθ' ὅτου τῶν τὸ θεῖον ἡμῶν τεθαυμακότων μυστήριον, ἀνοσιώτατα λέγων

Loofs p. 356, 14-19 Ὁσάκις ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον καὶ τὸ ποτήριον ⟨τοῦτο⟩ πί-
1 Cor. 11, 26 νητε, τὸν θάνατον τοῦ κυρίου καταγγέλλετε. ἄκουσον ἐκ τῶν προηγουμέ-
P 202 νων τὴν ἀμαθίαν τῶν ἀντιτιθέντων, ὡς ἰσχυρὰν ἀναγινώσκουσι τοῦ μυστηρίου τὴν ὠφέλειαν καὶ τίνος τοῖς ἀνθρώποις παρέχεται τὴν ἀνάμνησιν.

Οὐδὲν οὖν ἄρα τὸ ἐξαίρετον τῆς ἀναιμάκτου θυσίας, ὀνίνησι δὲ κομιδῆι σμικρὰ καὶ τῆς ὠφελείας τὴν δύναμιν περιποιήσει τάχα που μέχρι δὴ μόνου τοῦ καταγγεῖλαι τὸν ἀνθρώπου θάνατον καὶ τῶν καθ' ἡμᾶς ἑνὸς ποιήσασθαι τὴν ἀνάμνησιν. οὐκοῦν διαψεύδεται ζωοποιὸν ἑαυτὸν εἶναι λέγων ὁ ψεύδεσθαι μὴ εἰδώς, τουτέστι Χριστός, πεφενακίσμεθα δὲ καὶ ἡμεῖς εἰκαίαν ἔχοντες ἐπ' αὐτῶι τὴν δόξαν, πεποδηγήμεθα δὲ νῦν ὀψέ ποτε καὶ μόλις εἰς ἀληθείας εὕρεσιν τουτοισὶ τοῖς σοῖς περιτυχόντες λόγοις. ἀλλά σοι ταυτὶ

Ier. 22, 17 φρονεῖν ἡιρημένωι πρὸς ἡμῶν εἰρήσεται τὸ διὰ τῆς προφήτου φωνῆς· Ἰδοὺ οὐκ εἰσιν οἱ ὀφθαλμοί σου οὐδὲ ἡ καρδία σου καλή. συνίησι γὰρ οὐδαμῶς ὅτι τὸν θάνατον καταγγέλλοντες τοῦ Χριστοῦ, προσομολογοῦντες δὲ τὴν ἀνάστασιν καὶ τὴν ἐν πίστει τελείωσιν διὰ τούτου κερδαίνοντες, εἶτα τῆς θείας αὐτοῦ φύσεως κοινωνοὶ γεγονότες καὶ

PG 201 διὰ τοῦ μεταλαχεῖν τῆς πρὸς αὐτὸν ἑνότητος πνευματικῶς τε ἅμα καὶ σωματικῶς ἁγιαζό-
1 Cor. 15, 53 μεθα καὶ ζωοποιούμεθα. δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν. ἄμφιον δὲ τὸ ἐξ οὐρανοῦ καὶ ἄφθαρτον καὶ ἀθανασίας ἐμποιητικὸν γέγονεν ἡμῖν ὁ Χριστὸς καὶ πιστώσεται γράφων ὁ ἱερώ-

Rom. 13, 14 τατος Παῦλος, ποτὲ μὲν ὅτι ἐνδύσασθε τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ὁτὲ
Gal. 3, 27 δὲ αὖ ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε, τὸν θεο-
Ioh. 11, 25 πρεπῶς λέγοντα καὶ ἀληθῶς ἐγὼ εἰμὶ ἡ ἀνάστασις καὶ ἡ ζωή. πρὸς δὴ τὰ τοιάδε καταδείσας οὐδέν, βδελυρωτέραν ἔτι τὴν δυσφημίαν ἀποφαίνει, προστιθείς

Loofs p. 356, 19-357, 4 Ἄκουσον μὴ ἐμοῦ ταῦτα λέγοντος, ἀλλὰ τοῦ μακαρίου Παύλου. ὁσάκις [δ'] ἂν
1 Cor. 11, 26 ἐσθίητε τὸν ἄρτον τοῦτον, οὗ ἐστι τὸ σῶμα ἀντίτυπον. ἴδωμεν οὖν ἀπὸ τούτου τίνος ὁ θάνατος· ὁσάκις ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον καὶ τὸ ποτήριον τοῦτο

P 203 πίνητε, τὸν θάνατον τοῦ κυρίου καταγγέλλετε. ἄκουσον καὶ ἐν τοῖς ἐφεξῆς
Mt. 24, 30 φανερώτερον· ἄχρις οὗ ἔλθηι. τίς δὲ ὁ ἐρχόμενος; ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ μετὰ δόξης πολλῆς. καὶ τὸ δὴ μεῖζον, ὁ προφήτης πρὸ τῶν ἀποστόλων σαφέστερον τὸν ἐρχόμενον δείκνυσι

V

5 ἐρωμένω V 13 κείμενα V 16 τοῦτο om. V 19 τίνας V 37 δ' deleui

καὶ κέκραγε περὶ Ἰουδαίων βοῶν, ὄψονται εἰς ὃν ἐξεκέντησαν. τίς οὖν ἐστιν ὁ Ioh. 19, 37
κεντηθείς; ἡ πλευρά· πλευρὰ δὲ σώματος ἢ θεότητός ἐστι;

Σμικρὰ τοιγαροῦν, ὡς ἔφην, τῆς ἀναιμάκτου θυσίας ἡ ὄνησις, ὅτι τάχα που μὴ γέγονεν ἐφικτὸν ὁμοῦ τῇι σαρκὶ καὶ τὴν τῆς θεότητος δαπανᾶσθαι φύσιν, ὅτι μὴ τῶν ἀμηχάνων κεκρατήκαμεν, ἐδεστὸν ἔχοντες γυμνὸν τὸ ἀσώματον. ἐπιλελῆσθαι δέ μοι δοκεῖς 5
ὡς ἥκιστα μὲν θεότητος φύσις ἐστὶ τὸ προκείμενον ἐν ἁγίαις τραπέζαις ἐκκλησιῶν, πλὴν ἴδιον σῶμα τοῦ ἐκ θεοῦ πατρὸς φύντος λόγου, θεὸς δὲ φύσει καὶ ἀληθῶς ὁ λόγος. τί τοίνυν ἅπαντα συγχεῖς καὶ ἀσυνέτως διακυκᾶις, τὸν ἄρτον ἡμῖν τὸν ἐξ οὐρανοῦ καὶ ζωὴν διδόντα τῶι κόσμωι μόνον οὐχὶ καὶ διαγελῶν, ὅτι μὴ θεότης ὠνόμασται διὰ τῆς τῶν θεηγόρων φωνῆς. σῶμα δὲ μᾶλλον τοῦ δι' ἡμᾶς ἐνηνθρωπηκότος, τουτέστι τοῦ ἐκ θεοῦ πατρὸς 10
λόγου; σῶμα δὲ δεσποτικὸν ἀνθ' ὅτου δή, φράσον, ὀνομάζεις ὅλως, εἰ μὴ θεῖον οἶσθα καὶ θεοῦ; δοῦλα γὰρ ἅπαντα τοῦ πεποιηκότος. ἀλλὰ γὰρ οὐκ ὀρθῶς ἔχει σοι τὰ κατὰ τὸν Ps. 118, 91
νοῦν, ἄνθρωπον δὲ εἶναι πεπίστευκας θεοφόρον ἁπλῶς τὸν Ἐμμανουήλ· εἶτα τῶν εἰς εὐσέβειαν ἐννοιῶν τε καὶ λόγων ἀφειδήσας παντελῶς, τὸν τῆς ἀληθείας ἱερουργόν, τὸν σοφὸν 1 Cor. 3, 10
ἀρχιτέκτονα καὶ διδάσκαλον τῶν ἐθνῶν, τὸν ἱερὸν ἀληθῶς καὶ πάνσοφον Παῦλον ἔσεσθαί 15 1 Tim. 2, 7
σοι συλλήπτορα συκοφαντοῦντι προσδοκᾶις, τῆς εἰς εὐθὺ καὶ δοκιμωτάτης ἀποφέρων ὁδοῦ τῶν ὀρθῶς τε καὶ ἀκιβδήλως εἰρημένων παρ' αὐτοῦ τὴν δύναμιν.

Ἴδωμεν γάρ φησιν, ἀπὸ τούτου τίνος ὁ θάνατος· ἄχρις οὗ ἔλθηι. τίς δέ ἐστιν PG 204
ὁ ἐρχόμενος; ὄψονται ⟨τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν νεφελῶν P 204
τοῦ οὐρανοῦ μετὰ δόξης πολλῆς. καὶ τὸ δὴ μεῖζον, πρὸ τῶν ἀποστόλων ὁ 20 25. 26. 29
προφήτης σαφέστερον τὸν ἐρχόμενον δείκνυσι καὶ κέκραγε περὶ Ἰουδαίων βοῶν· ὄψον- —357, 3
ται⟩ εἰς ὃν ἐξεκέντησαν.

Ἥξει τοίνυν ὁ πεπονθὼς μὲν τὸν θάνατον ἀνθρωπίνως, ἐγηγερμένος δὲ θεικῶς, ἀναφοιτήσας δὲ καὶ εἰς οὐρανούς, ὃς καὶ τοῖς τῆς ἀρρήτου θεότητος ἐναβρύνεται θώκοις καὶ συνεδρεύει τῶι πατρί, περιεστώτων ἐν κύκλωι δηλονότι τῶν σεραφὶμ καὶ τῶν ἀνωτάτω 25
δυνάμεων, οὐκ ἀγνοουσῶν τῆς ἐπ' αὐτῶι δουλείας τὸ μέτρον προσκυνούσης τε αὐτῶι καὶ ἐξουσίας ἁπάσης δυνάμεώς τε καὶ κυριότητος· κάμψει γὰρ αὐτῶι πᾶν γόνυ καὶ πᾶσα Phil. 2, 10. 11
γλῶσσα ἐξομολογήσεται ὅτι κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν θεοῦ πατρός.
ἥξει δέ, ὡς ἔφην, οὐκ ἔν γε τῆι καθ' ἡμᾶς σμικροπρεπείαι φαινόμενος, ἐν εὐκλείαι δὲ μᾶλλον τῆι θεοπρεπεστάτηι, δορυφοροῦντος οὐρανοῦ καὶ τῶν ἄνω πνευμάτων ὡς θεῶι τε καὶ βα- 30
σιλεῖ καὶ τῶι τῶν ὅλων δεσπότηι παρεστηκότων. εἴπερ οὖν ἐστιν οὐκ ἐν σαρκὶ μᾶλλον ἢ γοῦν ἄνθρωπος γεγονὼς ὁ τοῦ θεοῦ πατρὸς λόγος, ἄνθρωπος δὲ θεοφόρος πλευρὰν ἔχων σώματος καὶ ὑπομείνας τὴν διακέντησιν, πῶς ἐν θρόνοις ὁρᾶται τῆς ἀνωτάτω θεότητος, τέταρτος ὥσπερ τις ἡμῖν μετὰ τὴν ἁγίαν τριάδα πρόσφατος θεὸς ἀναδεδειγμένος;
οὐ καταπέφρικας κοινὸν ἄνθρωπον * * τῆι κτίσει τὸ σέβας ἐπινοῶν; ἆρα τοῖς ἀρχαίοις 35
ἐνισχήμεθα βρόχοις; ἆρα πεπαρώινηκεν εἰς θεὸν καὶ πεπλάνηται μεθ' ἡμῶν ἡ ἁγία τῶν ἄνω πνευμάτων πληθύς; εἰ τῆς ἀρχαίας ἀπάτης ἐκλελυτρώμεθα, τὸ τῆι κτίσει λατρεύειν ὡς δυσσεβὲς παραιτούμενοι, τί πάλιν ἡμᾶς τοῖς ἀρχαίοις ἐγκλήμασιν ἐνιεὶς ἀποφαίνεις ἀνθρωπολάτρας; ἡμεῖς μὲν γὰρ ἴσμεν καὶ πεπιστεύκαμεν ὅτι γέγονεν ἐν προσλήψει σαρκός
τε καὶ αἵματος ὁ ἐκ θεοῦ πατρὸς λόγος, ἐπειδὴ δὲ μεμένηκεν ὁ αὐτός, θεὸς δηλονότι, τῆς 40
ἐνούσης κατὰ πάντων ὑπεροχῆς τὸ ἀξίωμα διεσώσατο, καίπερ ὢν ⟨ἐν⟩ σαρκὶ καθ' ἡμᾶς.
θεὸς δὲ ὑπάρχων οὐδὲν ἧττον ἢ πάλαι, καὶ νῦν, κἂν εἰ γέγονεν ἄνθρωπος, λάτριν ἔχει τὸν οὐρανὸν καὶ προσκυνοῦσαν τὴν γῆν· γέγραπται γὰρ ὅτι τῆς αἰνέσεως σου πλήρης P 205
ἡ γῆ· ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετή σου, κύριε. σὺ δὲ δὴ πάλιν τὸν οὕτως Hab. 3, 3

V

8 ἅπαντα Agellius ἅπανταϲ V 19—22 τὸν υἱὸν — ὄψονται addidi 26 ἐπ' αὐτῶι scripsi
ὑπ' αὐτῶν V 29 γε ed. Rom. τε V 35 lacunam signaui e. g. supplendo θεοποιῶν καὶ κτήσει V
41 ἐν add. Agellius 42 λάτρην V

ἔχοντα φύσεώς τε καὶ δόξης ἐκ πολλῆς ἄγαν ἀβελτηρίας οὐχ ὁρᾷς. ἔφης γάρ· τίς ὁ
Mt. 24, 30 ἐρχόμενος; ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ
οὐρανοῦ, ὥσπερ δεδιὼς μὴ ἄρα τις ἀπιστήσειεν υἱὸν ἀνθρώπου λέγοντι τὸν ἐρχόμενον.
Ioh 19, 37 καὶ προφητικῇ μαρτυρίαι βεβαιοῖς τὴν ἀπόδειξιν, γεγράφθαι γὰρ φής· ὄψονται εἰς ὃν
ἐξεκέντησαν, καὶ τὸ ἐπὶ τούτῳ, ὥσπερ οὖν ὠιήθης, εἰς ἐλέγχους εὐσθενέστερον ἀσυνε- 5
τώτατα προστιθείς· τίς οὖν, φησίν, ἐστὶν ὁ κεντηθείς; ἡ πλευρά· πλευρὰ δὲ σώματός
ἐστιν ἢ θεότητος; ἀλλ' εἰ μὲν ἦσάν τινες οἱ λέγοντες ὡς οὐ γέγονε καθ' ἡμᾶς ἄνθρω-
πος ὁ τοῦ θεοῦ λόγος, ἐπεφοίτησε δὲ τοῖς ἐπὶ γῆς γυμνῇ τῇι θεότητι χρώμενος ἢ γοῦν
ἐν δοκήσει καὶ ὡς ἐν σκιᾷ, καθὰ φρονεῖν ἔδοξε τισὶ τῶν ἀνοσίων αἱρετικῶν, ἦν ἄν σοι
πρόφασις τῆς τοιᾶσδε τῶν λόγων κατασκευῆς οὐκ ἔξω τρέχουσα τοῦ εἰκότος· ἐπειδὴ δὲ 10
PG 205 τὸ τῆς ἀληθείας κήρυγμα σαφῶς τε καὶ ἐναργῶς τὸν τοῦ θεοῦ λόγον σάρκα [τε] γενέσθαι
φησί, χρηματίσαι δὲ καθ' ἡμᾶς καὶ υἱὸν ἀνθρώπου καὶ παθεῖν ὑπὲρ ἡμῶν σαρκί, ἀφίξεσθαι
Act. 1, 11 δὲ καὶ οὕτως αὐτόν, ὡς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν [καὶ] κατὰ τὴν τοῦ ἀγγέλου φωνήν,
πρὸς τίνας διατεινόμενος, εἰπέ μοι, καὶ τὴν τίνος δόξαν κατακιβδηλεύων ὡς ἀμαθῆ καὶ
ἀσύφηλον ἄνθρωπον ἡμῖν ἀποφῆναι φιλονεικεῖς τὸν ἐρχόμενον, πλευρὰν ἔχοντα σωματικὴν 15
τὴν τῇι λόγχηι διανενυγμένην; ἀλλά σοι σκοπός, ὡς ἔφην, ἄνθρωπον ἡμῖν θεοφόρον καὶ
οὐχὶ δὴ μᾶλλον θεὸν ἐνηνθρωπηκότα παρακομίζειν εἰς μέσον τὸν Ἐμμανουήλ. γέγονε
γὰρ ἄνθρωπος ὁ τοῦ θεοῦ λόγος καὶ πίστις ἥδε ταῖς ἱεραῖς τε καὶ θείαις συμβαίνουσα
γραφαῖς καὶ τῆς ἀποστολικῆς τε καὶ εὐαγγελικῆς παραδόσεως σκοπὸς εἰς αὐτὸ τοῦτο συν-
τείνεται. 20

P 206 Σὺ δὲ δὴ πάλιν καὶ καθ' ἕτερον ἡμῖν τερατεύηι τρόπον. σκήπτηι μὲν γὰρ ἐπιτι-
μᾶν τοῖς εἰς μίαν κατακιρνῶσιν οὐσίαν τήν τε τῆς σαρκὸς καὶ τὴν τῆς θεότητος φύσιν,
καίτοι μηδενός, ὥς γε οἶμαι, ταυτὶ συγχέοντος μήτε μὴν ἀλλήλοις συμφύροντος, καὶ δὴ
καὶ φής

Loofs p. 7 229,17-230,5 Διὰ τί δὲ καί, ὡς ἀρτίως ἠκούομεν, ἀμφοτέρων κατὰ σὲ κεκραμένων, ὁ κύριος τὴν 25
Lc. 22, 19 τοῦ μυστηρίου δύναμιν τοῖς μαθηταῖς παραδιδούς, οὕτω φησί; λαβὼν ἄρτον καὶ εὐ-
Mt. 26, 26 χαριστήσας ⟨ἔκλασε καὶ⟩ ἔδωκε τοῖς μαθηταῖς αὐτοῦ λέγων· λάβετε φάγετε
πάντες· τοῦτο γάρ μού ἐστι τὸ σῶμα. διὰ τί μὴ εἶπε· τοῦτό ἐστιν ἡ θεότης
μου ἡ ὑπὲρ ὑμῶν κλωμένη; καὶ πάλιν τὸ ποτήριον τῶν μυστηρίων διδούς, οὐκ εἶπε·
Mt. 26, 28 τοῦτό ἐστιν ἡ θεότης ⟨μου⟩ ἡ ὑπὲρ ὑμῶν ἐκχεομένη· ἀλλὰ τοῦτό ἐστι τὸ αἷμά ⟨μου⟩ 30
Lc. 22, 20 τὸ ὑπὲρ ὑμῶν ἐκχεόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὅτι μὲν οὖν εὔηθες κομιδῇι τὸ ἀντιτετάχθαι δοκεῖν τοῖς οὐκ οὖσιν ὅλως καὶ ἀντεξά-
γειν εἰκῇι δεχομένους εἰς ἀντίστασιν τὸ μηδενί που τάχα δοκοῦν ἢ φρονεῖν ἢ λέγειν, πῶς
οὐχ ἅπασιν ἐναργές; εἰ γὰρ δή τις ἔλοιτο φιλονεικεῖν ὅτι μὴ ἵππος ἐστὶ κατὰ φύσιν ὁ
βοῦς μήτε μὴν ὁ ἄνθρωπος ἵππος, τοῦτο φρονεῖν ἢ λέγειν ἀνεχομένου μηδενός, πῶς οὐ 35
καταγέλαστος καὶ πρός γε τούτωι εἰκαιόμυθος, εἰς ἀέρα δέρων καὶ πυκτεύων ἐπ' ἀδήλοις
καὶ ἐπ' οὐδενὶ τῶν προκειμένων ἱδρῶτας ἑαυτῶι καὶ πόνους ἐπινοῶν; χρῆναι γὰρ ἔγωγε
φημὶ προυποκεῖσθαί τι τὸ ὡμολογημένον, ἵν' ἐν κόσμωι δὴ τότε τὰ παρ' ἡμῶν ἀντεπάγοιτο,
πλὴν ἐκεῖνο ἴδωμεν. εἰ μὲν γάρ τις ἦν ὁ φάναι τολμῶν εἰς τὴν κατὰ ⟨σὲ⟩ τοῦ σώμα-
τος μεταπεποιῆσθαι φύσιν τὸν ἐκ θεοῦ λόγον, ἐπαιτιῶιτό τις ἂν καὶ μάλα εἰκότως ὅτι μὴ 40

7 cf. Exc. Mar. Merc. XV

1—24. 32—40 V 25—31 VVa
5 τούτωι scripsi τούτων V 11 τε deleui 13 καὶ del. ed. Rom. 23 ὥς γε Pusey ὥστε V
27 ἔκλασε καὶ Va Mar. Merc. om. V 29 ἡμῶν V . 30 μου Va Mar. Merc. om. V 31 ἐκχεό-
μενον Va ἐκχυνόμενον V 39 ἴδωμεν scripsi ἴωμεν V σὲ addidi

μᾶλλον ἔφη τὸ σῶμα διδούς· λάβετε φάγετε· τοῦτό μού ἐστιν ἡ θεότης ἡ ὑπὲρ ὑμῶν κλωμένη καὶ τοῦτό ἐστιν οὐ τὸ αἷμά μου μᾶλλον, ἀλλ' ἡ θεότης ἡ ὑπὲρ ὑμῶν ἐκχεομένη· ἐπειδὴ δὲ θεὸς ὢν ὁ λόγος ἴδιον ἐποιήσατο σῶμα τὸ ἐκ γυναικός, ἀλλοίωσιν ἢ τροπὴν οὐδεμίαν ὑπομε- P 207
μενηκώς, πῶς οὐκ ἔδει πρὸς ἡμᾶς οὐ ψευδοεποῦντα λέγειν ὅτι λάβετε φάγετε· τοῦτό PG 208
μού ἐστι τὸ σῶμα; Mt. 26, 26
ζωὴ δὲ ὑπάρχων ὡς θεός, ζωὴν καὶ ζωοποιὸν ἀπέφηνεν αὐτό. βραχὺ τοιγαροῦν ἀναμύσας πρὸς τὸ ἀληθές, αὐτός, οἶμαι, κατὰ σεαυτοῦ τὸ περιττὸν εἰς 6
λόγους καθοριεῖς, βατταρίζων πανταχοῦ καὶ τοῖς τῆς εὐσεβείας δόγμασιν ἀσυνέτως ἀνταγωνιστὰς τὸν παράσημον τουτονὶ καὶ ἀτερπῆ σου λόγον.

Τόμος πέμπτος

Ἐπισεμνύνεται μὲν ὁ θεσπέσιος Παῦλος τοῖς παθήμασι τοῦ Χριστοῦ καὶ δή φησιν 10 P 208
ὅτὲ μὲν ὅτι ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι εἰ μὴ ἐν τῷι σταυρῷι τοῦ Χρι- Gal. 6, 14
στοῦ, δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται κἀγὼ τῷι κόσμωι, ὅτὲ δὲ αὖ· οὐ γὰρ Rom. 1, 16
ἐπαισχύνομαι τὸ εὐαγγέλιον· δύναμις γὰρ θεοῦ ἐστιν εἰς σωτηρίαν παντὶ τῷι πιστεύοντι, Ἰουδαίωι τε πρῶτον καὶ Ἕλληνι. ἀλλ' ὧδε μὲν ὁ πνευματοφόρος ἠξίου τε φρονεῖν αὐτὸς καὶ μὴν καὶ ἑτέρους μυσταγωγεῖν (γέγραφε γὰρ οὐ μάτην, 15
ἀλλ' ἵνα ἡμᾶς ἀναπείσηι τῆς ἐνούσης αὐτῶι πίστεως τὴν ὀρθότητα ζηλοῦν ἠιρημένους τοῖς Χριστοῦ παθήμασιν ἐναβρύνεσθαι), ἐπερυθριῶσι δέ τινες τῶι σταυρῶι καὶ τοῖς γεγονόσι τῆς ὑφ' ἡλίωι μυσταγωγοῖς ἀνοσίως ἀντανιστάμενοι διὰ τοῦ φρονεῖν ἐλέσθαι τὰ ἐναντία μόνον οὐχὶ καταμειδιῶσιν οἱ τάλανες τῶν Χριστοῦ παθημάτων αἰσχύνονταί τε τὸ εὐαγγέλιον, Ἰουδαικὴν νοσοῦντες ἀμαθίαν καὶ τῆς ἐκείνων ἀβελτηρίας κατ' οὐδένα τρόπον ἠττώ- 20
μενοι· γέγονε γὰρ αὐτοῖς σκάνδαλον ὁ τοῦ σωτῆρος σταυρός. καὶ γοῦν τῶι ξύλωι 1 Cor. 1, 23
προσηλωθέντα βλέποντες τὸν τῆς ζωῆς ἀρχηγόν, τὸ τοῦ νόμου τέλος, ἔσειον μὲν ἐπ' αὐτῶι τὰς θεομισεῖς κεφαλάς, οὐ θεὸν εἶναι πιστεύοντες ἀληθῶς ἐνηνθρωπηκότα τε καὶ καθιγμένον εἰς κένωσιν, οἰόμενοι δὲ μᾶλλον ἕνα τῶν καθ' ἡμᾶς ἄνθρωπον ἁπλῶς ὑπάρχειν αὐτόν, ἔφασκον δὲ ὡς ἐκ πονηροῦ θησαυροῦ τῆς καρδίας αὐτῶν προφέροντες τὰ πονηρά· ὁ κα- 25 Mt. 12, 35
ταλύων τὸν ναὸν τοῦ θεοῦ καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν αὐτόν, σῶσον P 209
σεαυτόν· εἰ υἱὸς εἶ τοῦ θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ, καὶ πάλιν· ἄλλους Mt. 27, 40. 42
ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι· εἰ βασιλεὺς Ἰσραήλ ἐστι, καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ καὶ πιστεύσομεν ἐπ' αὐτόν. οὐ γάρτοι, καθάπερ ἔφην ἀρτίως, θεὸν ὤιοντο κατὰ φύσιν ὑπάρχειν αὐτὸν οὔτε μὴν υἱὸν ἀληθῶς τοῦ θεοῦ καὶ πα- 30
τρός, περιαυτίζεσθαι δὲ μᾶλλον καὶ τὴν τῆς θεότητος δόξαν ἑαυτῶι προσνέμειν ἀποτολμᾶν. τοιγάρτοι ποτὲ μὲν ἔφασκον· περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ Ioh. 10, 33
βλασφημίας, ὅτι σὺ ἄνθρωπος ὢν ποιεῖς σεαυτὸν θεόν, ποτὲ δὲ Πιλάτωι προσῆγον καὶ σταυροῦσθαι παρεκάλουν, εἶτα τῆς ἐπ' αὐτῶι σκαιότητος τὰς αἰτίας εἰπεῖν ἐξαιτούμενοι, κατηγόρευον εὐθὺς καὶ κατακεκράγεσαν λέγοντες ὅτι υἱὸν θεοῦ ἑαυτὸν 35 Ioh. 19, 7
ἐποίησεν. PG 209
ἀλλ' ἰδοὺ δὴ καὶ νῦν οὐ παρά γε τῶν ἐξ Ἰσραὴλ οὔτε μὴν τῆς τῶν Φαρισαίων πληθύος, ἀλλ' ἐκ τῶν δοκούντων εἶναι Χριστιανῶν καὶ τεταγμένων ἐν διδασκάλοις καὶ ἐν τοῖς τὴν θείαν λαχοῦσιν ἱερουργίαν τὰ ἴσα πάσχων ὁρᾶται. ἀπιστεῖται γὰρ ὅτι καὶ θεὸς κατὰ φύσιν ἐστὶν εἷς τε καὶ μόνος καὶ ἀληθῶς υἱὸς τοῦ θεοῦ καὶ πατρός, πρόφασις δὲ τῆς ἐπ' αὐτῶι δὴ τούτωι δυσβουλίας αὐτοῖς τὸ παθεῖν ἐλέσθαι σαρκὶ τὸν δι' 40
ἡμᾶς θάνατον, καίτοι διὰ τοῦτο καθιγμένον εἰς κένωσιν οἰκονομικῶς, ἵνα καὶ παθὼν ὑπὲρ ἡμῶν σαρκὶ καταργήσηι τοῦ θανάτου τὸ κράτος ἅτε δὴ ὑπάρχων κατὰ φύσιν ζωὴ καὶ ἐκ Hebr. 2, 14
ζωῆς ἀναφὺς τοῦ θεοῦ καὶ πατρός. κατηρρώστησε γὰρ ἡ ἀνθρώπου φύσις τὴν φθορὰν ὡς ἐν ἀπαρχῆι καὶ ῥίζηι τῆι πρώτηι, τουτέστιν Ἀδάμ. ἐπειδὴ γὰρ προσκέκρουκε διὰ

V
11 δὲ μὴ V in mg., μὲν V 16 ἠιρημένους Agellius ἠρημένοσ V 17 ἐναμβρύνεσθαι V

τῆς παρακοῆς τῶι νομοθέτηι καὶ θεῶι καὶ παρενεγκόντι πρὸς ὕπαρξιν, ἐπάρατος ἦν
Rom. 5, 14 εὐθὺς καὶ θανάτου κάτοχος καὶ βεβασίλευκεν ὁ θάνατος ἀπὸ Ἀδὰμ καὶ μέχρι Μωσέως,
P 210 ἐκτεινομένης εἰς ἅπαν τὸ ἐξ αὐτοῦ σπέρμα τε καὶ γένος τῆς ἐπὶ τῶιδε δίκης. ῥίζης γὰρ
ὥσπερ ἀναφύντες φθαρτῆς, φθαρτοὶ καὶ ἡμεῖς καὶ τοῖς τοῦ θανάτου βρόχοις ἐνισχημένοι
διετελοῦμεν οἱ δείλαιοι. ἐπειδὴ δὲ χρηστὰ περὶ ἡμῶν ὁ δημιουργὸς ἐσκέψατο καὶ ἀνη- 5
ρημένης τῆς φθορᾶς ἀναστοιχειῶσαι πρὸς τὸ ἀπ' ἀρχῆς τὴν ἀνθρώπου φύσιν ἠθέλησε,
ῥίζαν ὥσπερ ἡμῖν ἐπήνθησε δευτέραν οὐκ ἀνεχομένην κρατεῖσθαι θανάτωι, τὸν ἕνα κύριον
Ἰησοῦν τὸν Χριστόν, τουτέστι τὸν ἐκ τῆς οὐσίας αὐτοῦ θεὸν λόγον καθ' ἡμᾶς γενόμενον
Gal. 4, 4 ἄνθρωπον, γενόμενον ἐκ γυναικός. οὐ γάρτοι θεοφόρον εἶναι φαμὲν ἄνθρωπον ἁπλῶς,
Ioh. 10, 15 ἀλλ' αὐτόχρημα κατὰ ἀλήθειαν τὸν ἐκ θεοῦ λόγον ἡνῶσθαι σαρκί, ἵνα τὴν ἰδίαν ψυχὴν 10
τεθεικὼς ὑπὲρ ἡμῶν καὶ δοὺς τῶι θανάτωι τὸ ἑαυτοῦ σῶμα δι' ἡμᾶς οἰκονομικῶς, εἶτα
κρεῖττον αὐτὸ τῆς φθορᾶς ἀποφήνας διὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως, πληροφορήσηι
σύμπαντας τοὺς εἰς αὐτὸν πιστεύοντας ὅτι καὶ ἡμᾶς ἐγερεῖ καὶ ἀμείνους ἀποφανεῖ τῶν
τοῦ θανάτου δεσμῶν καὶ τῆς φθορᾶς ἀρκύων ὀλίγα πεφροντικότας. ἐντεῦθεν οἶμαί που
καὶ τὸν θεσπέσιον Παῦλον ἐν παντὶ ποιεῖσθαι λόγωι καὶ θαύματι τοῦ θεοῦ καὶ πατρὸς τὴν 15
Rom.8,31.32 εἰς ἡμᾶς ἀγάπην. ἔφη γὰρ ὧδε· τί οὖν ἐροῦμεν πρὸς ταῦτα; εἰ ὁ θεὸς ὑπὲρ
ἡμῶν, τίς καθ' ἡμῶν; ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν
πάντων παρέδωκεν αὐτόν, πῶς οὐχὶ καὶ σὺν αὐτῶι τὰ πάντα ἡμῖν χαρί-
σεται; καίτοι πλεῖστοι μὲν ὅσοι χάριτί τε καὶ κατὰ θέσιν υἱοί (καὶ κεκλήμεθα γὰρ
Ps. 81, 6 θεοὶ καὶ υἱοὶ ὑψίστου πάντες), εἷς δὲ καὶ μόνος ὁ κατὰ φύσιν καὶ ἴδιος αὐτοῦ, τουτέστιν 20
PG 212 ὁ ἐξ αὐτοῦ θεὸς λόγος, καὶ ὅτε γέγονε σάρξ. οὕτω γὰρ αὐτὸν καὶ ὑπὲρ πάντων δεδό-
Ioh. 3, 16 σθαι φαμέν, καθὰ καὶ αὐτός πού φησιν· οὕτω γὰρ ἠγάπησεν ὁ θεὸς τὸν κόσμον,
ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν
μὴ ἀπόληται, ἀλλ' ἔχηι ζωὴν αἰώνιον. μονογενὴς μὲν οὖν ὁ δοθείς· ἀνέφυ γὰρ
P 211 μόνος ἐκ τῆς τοῦ θεοῦ καὶ πατρὸς οὐσίας ὁ ἐξ αὐτοῦ τε καὶ ἐν αὐτῶι λόγος· ἐπειδὴ δὲ 25
γέγονεν ἄνθρωπος, ταύτηι τοι τὴν εἰς αὐτὸν ποιούμεθα πίστιν, τὸν κατὰ σάρκα θάνατον
αὐτοῦ καταγγέλλοντες καὶ ὁμολογοῦντες τὴν ἀνάστασιν, τὸν αὐτὸν εἰδότες καὶ προαιώνιον
υἱὸν καὶ ἐν ἐσχάτοις καιροῖς ἄνθρωπον οἰκονομικῶς παθόντα τε σαρκὶ δι' ἡμᾶς τὸν θάνα-
τον καὶ ἐγηγερμένον ἐκ νεκρῶν. ἀλλ' οὐκ οἶδ' ὅπως τοῖς παρ' ἡμῶν ἐπασχάλλει λόγοις
ὁ τῆς Ἰουδαίων ἀμαθίας συνήγορος· ἔφη γὰρ πάλιν 30

Loofs 1 Ὅτι μὲν οὖν ἐπὶ τῆς γεννήσεως τῆς ἐκ τῆς Χριστοτόκου παρθένου τίθησι τὸ υἱός ἡ
p. 357, 5-10 θεία γραφή, δεδηλώκαμεν· ἄκουσον δὲ καὶ ἐπὶ τοῦ θανάτου, εἴ ἐστι ποτὲ κείμενος ὁ θεός,
Rom 5, 10 ἵνα παθητὸν τὸν θεὸν εἰσαγάγωμεν. ἐχθροί, φησίν, ὄντες κατηλλάγημεν τῶι
θεῶι διὰ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ. οὐκ εἶπε διὰ τοῦ θανάτου τοῦ
θεοῦ λόγου. 35

Eccles. 7, 16 Ἀληθὲς ὅτι κατὰ τὸ γεγραμμένον ἔστι δίκαιος ἀπολλύμενος ἐν δικαίωι αὐ-
τοῦ, ἀποφέρει δὲ τοῦ εἰκότος καὶ τὸν εὖ βεβηκότα νοῦν τὴν τοῦ συμφέροντος δόκησιν
ὑποτρέχον ἔσθ' ὅτε τὸ πεφυκὸς ἀδικεῖν. οἴεται μὲν γὰρ οὐ μετρίως εὐσεβεῖν τὸ πᾶσιν
ὁμολογούμενον κρατύνειν ἐπιχειρῶν, ταύτηι τοι λέγων ὅτι κατὰ φύσιν ἰδίαν ἐπέκεινά τέ
ἐστι παθῶν καὶ θανάτου κρείττων ὡς θεός ὁ ἐκ θεοῦ πατρὸς λόγος (τεθναίη γὰρ ἂν κατά 40
τινα τρόπον ἡ Ζωή)· προσκρούει γε μὴν οὐδὲν ἧττον καὶ νῦν τοῖς τῆς ἐκκλησίας δόγμασι,
τῆς μετὰ σαρκὸς οἰκονομίας τοῦ μονογενοῦς εἰς ἅπαν ἠφειδηκὼς καὶ τοῦ μυστηρίου τὸ

1—30. 36—42 V 31—35 V^{Va}

12 πληροφορήσηι Agellius πληροφορήσασ V 31 οὖν om. V^a τίθεισι V 38 ὑποτρέχον, ο ex ω corr. V 39 ταύτηι τοι suspecta

βάθος κατ' οὐδένα τρόπον ἐννοῶν. εἰ μὲν ⟨οὖν⟩ ἐξητάζετο πρὸς ἡμῶν ὁποία τίς ἐστιν
ἡ τοῦ λόγου φύσις, ἢ γοῦν ἐρομένοις καὶ ἀναμαθεῖν ἐθέλουσιν ἑτέροις ἡμᾶς ἐξηγεῖσθαι
χρῆν, ἦν δήπου πάντως ἀκόλουθόν τε καὶ ἀναγκαῖον διὰ πάσης ἐννοίας σοφῆς τε καὶ
ἀληθοῦς ἰέναι, σπουδάζοντας ἀπρόσιτον αὐτὴν τῶι θανάτωι δεικνύειν καὶ παθῶν εἰς ἅπαν
ἀπηλλαγμένην· ἐπειδὴ δὲ ὁ τῆς ἐνανθρωπήσεως τρόπος δίδωσιν αὐτῶι, τό γε ἧκον εἰς 5 P 212
τοὺς τῆς οἰκονομίας λόγους, τὸ κἂν εἰ ἔλοιτο τεθνάναι σαρκί, μηδὲν εἰς ἰδίαν ὑπομεῖναι
φύσιν, τί τῶν καλλίστων ἡμᾶς αὐχημάτων ἀποστερεῖς; διεπύθου γὰρ λέγοντος· ὁ ποιμὴν Ioh. 10, 11
ὁ καλὸς τὴν ψυχὴν ἑαυτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων. οὐκοῦν κἂν εἰ
λέγοιτο παθεῖν, ἀπαθῆ μὲν ἴσμεν ὡς θεόν, πεπονθέναι δὲ φαμὲν οἰκονομικῶς ἰδίαι σαρκὶ
τὸν θάνατον, ἵνα πατήσας αὐτὸν καὶ ἐγηγερμένος, καθὸ πέφυκεν εἶναι ζωὴ καὶ ζωοποιός, 10
μεταστοιχειώσηι πρὸς ἀφθαρσίαν τὸ θανάτωι τυραννούμενον, τουτέστι τὸ σῶμα οὕτω τε PG 213
καὶ εἰς ἡμᾶς ἡ τοῦ κατορθώματος διατρέχηι δύναμις, εἰς ἅπαν ἐκτεινομένη τὸ γένος. καὶ
γοῦν ὁ θεσπέσιος Παῦλος ἐγὼ γὰρ διὰ νόμου, φησί, νόμωι ἀπέθανον, ἵνα θεῶι Gal. 2, 19-21
ζήσω. Χριστῶι συνεσταύρωμαι, ζῶ δὲ οὐκέτι ἐγώ, ζῆι δὲ ἐν ἐμοὶ ὁ Χρι-
στός. ὃ δὲ νῦν ζῶ, ἐν πίστει ζῶ [ἐν σαρκὶ] τῆι τοῦ υἱοῦ τοῦ θεοῦ τοῦ 15
ἀγαπήσαντός με καὶ παραδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ. οὐκ ἀθετῶ τὴν χάριν
τοῦ θεοῦ. οὐ γὰρ ἔτι τὴν ἰδίαν διαζῶμεν ζωήν, τὴν Χριστῶι δὲ μᾶλλον καί ἐστιν
ἀληθὲς ὡς εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, 2 Cor. 5, 15
ἀλλὰ τῶι ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι. πρὶν μὲν γὰρ ἡμῖν ἐπι-
λάμψαι τὸν μονογενῆ τοῦ θεοῦ λόγον, ἀμαθίαι καὶ σκότωι κεκρατημένοι καὶ τὸν τῆς ἁμαρ- 20
τίας ἔχοντες ζυγὸν καὶ ἀνάπτοντες ἀνοσίως τῆι κτίσει τὸ σέβας παρὰ τὸν κτίστην καὶ Rom. 1, 25
ποιητὴν καὶ πᾶν εἶδος φαυλότητος ἀνεπιπλήκτως ἐπιτηδεύοντες, ἐν διαστάσει διετελοῦμεν
οἱ τάλανες, ἐχθρὰ φρονοῦντες αὐτῶι, κατηλλάγμεθα δὲ διὰ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ, Rom. 5, 10
καθὰ γέγραπται. σὺ δὲ πάλιν ἐν σμικρῶι πεποίησαι λόγωι τὸ ἀληθὲς καὶ ἀχάλινον εἰς
ἐξιτηλίαν ἀποφαίνων ἡμῖν τὸν σεαυτοῦ λόγον κατηλλάχθαι φὴς τῶι θεῶι τὸν κόσμον οὐ 25
διά γε τοῦ μονογενοῦς, τουτέστι τοῦ ἐκ πατρὸς φύντος λόγου, ἀκούων δὲ θάνατον τοῦ
υἱοῦ, εἶτα βασανίζων, ὡς οἴει, λεπτῶς τὰς τοῦ θεηγόρου φωνάς, οὐ κατέδεισας εἰπεῖν· P 213
οὐκ ἔφη διὰ τοῦ θανάτου τοῦ θεοῦ λόγου. εἶτα πῶς ἦν, εἰπέ μοι, σοφός, μᾶλλον δὲ
πῶς οὐχ ἁπάσης ἐμβροντησίας ἔμπλεως ὁ τοιόσδε λόγος; θανάτωι γὰρ κάτοχον ἀποφῆναι
τὴν ζωὴν πῶς ἦν ἀκόλουθον; εἰπέ μοι, καὶ τῆς τὰ πάντα ζωογονούσης φύσεως κατηγο- 30
ρῆσαι τὴν φθορὰν πῶς οὐκ ἀπόπληκτον κομιδῆι καὶ τῆς εἰς λῆξιν ἡκούσης δυσφημίας ἐπί-
κλημα γένοιτ' ἂν καὶ μάλα εἰκότως; οὐκοῦν ἥκιστα μὲν ταῖς σαῖς εἰς τοῦτο περιεργίαις ἡ
γοῦν εἰκαιομυθίαις ὁ τῶν ἁγίων ἕπεται νοῦς, οἶδε δὲ οἶδε παθόντα σαρκὶ δι' ἡμᾶς τὸν τοῦ
θεοῦ λόγον καὶ τῶι θανάτωι τοῦ ἰδίου σώματος κεκληκότα τὸν κόσμον εἰς διαλλαγάς, τὰς
πρός γε φημὶ τὸν ἐν τοῖς οὐρανοῖς πατέρα. καὶ γοῦν ἔφη που πρὸς ἕνα τῶν ἁγίων 35
μαθητῶν τοὺς λόγους ποιούμενος· ἐγὼ εἰμὶ ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωὴ καὶ Ioh. 14, 6
οὐδεὶς ἔρχεται πρὸς τὸν πατέρα εἰ μὴ δι' ἐμοῦ. ἀλήθεια δὲ καὶ ζωὴ καὶ ὁδὸς
τίς ἂν ἕτερος εἴη παρά γε τὸν ἐκ θεοῦ φύντα λόγον, εἰ καὶ γέγονε καθ' ἡμᾶς μορφὴν
δούλου λαβών; ὅτι δὲ δι' αὐτοῦ θείας φύσεως ἀποδεδείγμεθα κοινωνοὶ καὶ οἱ ποτὲ 2 Petr. 1, 4
ὄντες μακρὰν γεγόναμεν ἐγγύς, ἑνούμενοι σχετικῶς δι' αὐτοῦ τῶι πατρὶ καὶ μὴν καὶ ἀλλή- 40 Eph. 2, 13
λοις ὡς ἐν πίστει μιᾶι καὶ ὁμοψυχίαι διὰ τὸ ἑνὸς μετεσχηκέναι πνεύματος, αὐτὸς πιστώ-
σεται λέγων πρὸς τὸν ἐν οὐρανοῖς πατέρα καὶ θεόν· οὐ περὶ τούτων δὲ ἐρωτῶ PG 216
μόνον, ἀλλὰ καὶ περὶ τῶν πιστευσάντων διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμέ, Ioh 17, 20-23
ἵνα πάντες ἓν ὦσι, καθὼς σύ, πάτερ, ἐν ἐμοὶ κἀγὼ ἐν σοί, ἵνα καὶ αὐτοὶ

V

1 οὖν ἐξητάζετο scripsi ἐξητάζητο V 3 χρῆν scripsi χρὴ V 5 ἐπειδὴ δὲ scripsi ἐπειδὲ V
12 διατρέχηι scripsi διατρέχει V 15 δ] ὧ V ἐν σαρκὶ deleui 17 δειξανῶμεν, ει in ι, ν
in ζ corr V 31/32 ἐπίβλημα V

ἐν ἡμῖν ἓν ὦσιν, ἵνα ὁ κόσμος πιστεύσηι ὅτι σύ με ἀπέστειλας. κἀγὼ τὴν δόξαν ἣν δέδωκάς μοι, δέδωκα αὐτοῖς, ἵνα ὦσιν ἕν, καθὼς ἡμεῖς ἕν, κἀγὼ ἐν αὐτοῖς καὶ σὺ ἐν ἐμοί, ἵνα ὦσι τετελειωμένοι εἰς ἕν. σύνες οὖν ὅπως αὐτὸς μέν ἐστι φυσικῶς ἐν τῶι ἰδίωι πατρί, μεσίτης δὲ καὶ διαλλακτὴς ἀποδεδειγμένος διὰ
P 214 τοῦ γενέσθαι καθ' ἡμᾶς ἐν ἡμῖν δέ ἐστι διά τε τῆς ἰδίας σαρκὸς ζωοποιούσης ἡμᾶς ἐν πνεύματι καὶ διὰ τοῦ μεταλαχεῖν τῆς ἁγιότητος αὐτοῦ, δῆλον δὲ ὅτι πάλιν τῆς διὰ τοῦ ἁγίου πνεύματος. αἰτεῖ δὲ ὡς δόξαν παρὰ πατρὸς τὸ τὴν ἰδίαν ἡμῖν ἐναργῆ καταστῆσαι
Ioh. 17, 4. 5 φύσιν ὅτι τε εἴη ζωοποιὸς καὶ φθορᾶς ἀμείνων ὡς θεός. καὶ γοῦν ἔφη πάλιν· ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς, τὸ ἔργον τελειώσας ὃ δέδωκάς μοι ἵνα ποιήσω· καὶ νῦν δόξασόν με σύ, πάτερ, παρὰ σεαυτῶι τῆι δόξηι ἣι εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί. ἔργον δὲ τετελειωμένον ἐσμὲν ἡμεῖς ὡς ἐν αὐτῶι καὶ πρώτωι νικῶντες φθορὰν καὶ τὸ τοῦ θανάτου πατοῦντες κράτος· ἀνεβίω γὰρ ἐκ νεκρῶν, πάντας ἔχων ἐν ἑαυτῶι. ἀλλ' ἐφ' ἑτέρας ἴσως ἐννοίας ἀποκομίζων τὸ εἰρημένον, οὐκ ἐπί γε τοῦ θεοῦ λόγου ταυτὶ δὴ χρῆναι νοεῖσθαι φής, ἀποφέρων δὲ αὐτοῦ καὶ τιθεὶς ἀνὰ μέρος τὸν ἐκ τῆς ἁγίας παρθένου γεγεννημένον ὡς ἕτερον υἱόν, αὐτῶι τὰ τοιάδε πρέπειν τε αὐτὸς διαβεβαιοῖ καὶ μὴν καὶ ἑτέρους ἀναπείθειν ἐπείγηι ταὐτά σοι φρονεῖν καὶ λέγειν. ἐρεῖς δέ που πάντως ὅτι τῆς δόξης κύριος ὢν ὁ μονογενὴς τοῦ θεοῦ λόγος οὐκ ἂν ὡς δόξης ὑπάρχων ἐπιδεὴς ἐζήτησε τὴν παρὰ πατρός. ἄκουε τοίνυν καὶ πρὸς ἡμῶν· εἰ μὴ αὐτὸν εἶναι φὴς τὸν ἐκ θεοῦ κατὰ φύσιν υἱὸν μονογενῆ δόξαν ἐν τούτοις αἰτοῦντα παρὰ
Ioh. 17, 5 τοῦ πατρός, τίς ἦν ὁ λέγων· δόξασόν με τῆι δόξηι ἣι εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί; πῶς οὖν, εἰπέ μοι, προκόσμιος ὁ ἐκ τῆς ἁγίας παρθένου κατὰ σὲ νοούμενος ἄνθρωπος ἰδικῶς; ἆρ' οὐχὶ πρέποι ἂν τῶι τῶν αἰώνων δημιουργῶι τὸ πρεσβυτέραν ἔχειν τοῦ κόσμου τὴν ὕπαρξιν καὶ συναίδιον τῶι πατρί; ἀλλ' οὐκ ἂν ἐνδοιάσειέ τις τῶν εὖ φρονεῖν εἰωθότων. ὅτε τοίνυν ἑαυτὸν κεκένωκε μορφὴν δούλου λαβών, τότε δὴ τότε καὶ εἰς τὴν ἐνοῦσαν αὐτῶι κατὰ φύσιν ἀναφοιτῆσαι δόξαν ἐθέλων, καὶ μετὰ τῆς
Ioh. 17, 5. 21-23 ἐνωθείσης αὐτῶι σαρκὸς ἐπὶ καιροῦ φησι· δόξασόν με σύ, πάτερ, παρὰ σεαυτῶι
P 215 τῆι δόξηι ἣι εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί, ἵνα ὁ κόσμος πιστεύσηι ὅτι σύ με ἀπέστειλας. κἀγὼ τὴν δόξαν ἣν δέδωκάς μοι, δέδωκα αὐτοῖς, ἵνα ὦσιν ἕν, καθὼς ἡμεῖς ἕν, ἐγὼ ἐν αὐτοῖς καὶ σὺ ἐν ἐμοί, ἵνα ὦσι τετελειωμένοι εἰς ἕν. δι' αὐτοῦ τοιγαροῦν τὴν καταλλαγὴν ἐσχήκαμεν· τετελείωκε γὰρ οὕτω τὸ ἔργον ὃ δέδωκεν αὐτῶι εἰς τελείωσιν ὁ πατήρ. συλλήπτορα δὲ τῶν ἐμῶν λόγων ποιήσομαι πάλιν τὸν ἱερώτατον Παῦλον ὠδὶ γεγραφότα τοῖς ἐξ ἐθνῶν κεκλη-
PG 217 μένοις· νυνὶ δὲ ἐν Χριστῶι Ἰησοῦ ὑμεῖς οἱ ποτὲ ὄντες μακρὰν ἐγενήθητε
Eph. 2, 13-17 ἐγγὺς ἐν τῶι αἵματι τοῦ Χριστοῦ. αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἓν καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας, τὴν ἔχθραν ἐν τῆι σαρκὶ αὐτοῦ, τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι, καταργήσας, ἵνα τοὺς δύο κτίσηι ἐν αὐτῶι εἰς ἕνα καινὸν ἄνθρωπον ποιῶν εἰρήνην καὶ ἀποκαταλλάξηι τοὺς ἀμφοτέρους ἐν ἑνὶ σώματι τῶι θεῶι διὰ τοῦ σταυροῦ ἀποκτείνας τὴν ἔχθραν ἐν αὐτῶι. καὶ ἐλθὼν εὐηγγελίσατο εἰρήνην
Rom. 5, 1 ὑμῖν τοῖς μακρὰν καὶ τοῖς ἐγγύς. καὶ μὴν καὶ ἑτέρωθι· δικαιωθέντες οὖν ἐκ πίστεως εἰρήνην ἔχομεν πρὸς τὸν θεὸν διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. οὐκοῦν κατηλλάγμεθα τῶι θεῶι καὶ πατρὶ διὰ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ, καταργήσαντος ἢ γοῦν ἀποκτείναντος τὴν ἔχθραν ἐν τῆι σαρκὶ αὐτοῦ κατά γε τὴν πίστιν τῶν ἱερῶν γραμμάτων. ἀναιρεῖς δὲ τοὺς λόγους τῆς οἰκονομίας αὐτὸς καὶ ὁμολογεῖν οὐκ ἀξιοῖς ὅτι σαρκὶ πέπονθεν ὑπὲρ ἡμῶν ὁ τοῦ θεοῦ λόγος, εὑρεσιλογίαις τισὶν ἀσυνέτοις

V

14 φής scripsi φαμέν V φής μέν Agellius 38 ἀπαλλάξη V

χρώμενος. κοινὸν γὰρ ὄνομα φῆς τῶι ἐκ θεοῦ φύντι λόγωι καὶ ἡμῖν αὐτοῖς τὸ υἱός, εἶτα τῶν εἰς ἡμᾶς γεγονότων ἀγαθῶν ἀεργῆ καθιστὰς τὸν δι' οὗ σεσώσμεθα, θεὸν λόγον, ὡς ἑτέρωι παρ' αὐτὸν καὶ ἰδικῶς νοουμένωι τῶν καθ' ἡμᾶς ἑνὶ τὰ ἐφ' οἷς δοξάζεται, προσνενεμηκὼς ἁλώσηι σαφῶς. οἶει δέ σοι πρὸς ἀπόδειξιν ὧν ἔφης καὶ μὴν καὶ πεφρόνηκας οὐκ ὀρθῶς, ἀποχρήσειν εὖ μάλα τὴν ὁμωνυμίαν, οὐκ ἐννοῶν ὅτι κἂν τοῖς κατὰ φύσιν εἶναί τι λαχοῦσιν ὁμωνύμως ἕτερα λέγηται τῶν ὄντων τινά, οὐχὶ ταύτης ἕνεκα τῆς αἰτίας ἐξωστέον τὰ κατὰ φύσιν, περιτιθέντας ἀεὶ τὰ αὐτῶν τοῖς κατὰ θέσιν ἢ μίμησιν. δεῖ δὲ οἶμαι τὰς τῶν ὁρωμένων ἀεὶ δοκιμάζεσθαι φύσεις καὶ οἷς ἂν μάλιστα πρέποι, προσνέμειν αὐτά, οἷον, φέρε εἰπεῖν, θεὸς ὠνόμασται καὶ ἔστι κατὰ ἀλήθειαν ὁ πατήρ, ἐξ αὐτοῦ δὲ καὶ πᾶσα πατριὰ ἔν τε οὐρανῶι καὶ ἐπὶ γῆς ὀνομάζεται κατὰ τὸ γεγραμμένον· ἀλλ' εἰσὶ καὶ ἕτεροι σαρκικοί τε ἡμῖν καὶ πνευματικοὶ πατέρες. ἆρ' οὖν εἴ τι λέγοιτο τῶν θεοπρεπεστάτων περὶ τοῦ θεοῦ καὶ πατρός, ἁρμόσειεν ἂν καὶ τοῖς κατὰ θέσιν τὴν αὐτὴν ἐκείνωι λαχοῦσι κλῆσιν καὶ ὁ τῆς ὁμωνυμίας τρόπος τῶν αὐτῶι καὶ μόνωι πρεπωδεστάτων ἐξώσειεν ἂν αὐτόν; καίτοι πῶς οὐχ ἅπασιν ἐναργὲς ὡς ἔκτοπόν τε καὶ ἀπηχὲς τὸ ὧδε τινὰς τῶν ἐν ἡμῖν ἐλέσθαι φρονεῖν ἢ λέγειν; τί τοίνυν ἡμῖν τὴν ὁμωνυμίαν ἀειλογῶν τὸν φύσει τε καὶ ἀληθῶς ἀτιμάζεις υἱόν, τῶν εἰς ἡμᾶς εὐεργετημάτων ἔξω τε τιθεὶς καὶ ἀλλότριον ἀποφαίνων; καίτοι δέον συλλέγειν εἰς ἕνωσιν ἃ διιστᾶν ὁλοτρόπως οὐκ ἐρυθριᾶις, ἕνα τε νοεῖν μετὰ τῆς ἰδίας αὐτοῦ σαρκὸς τὸν ἐκ θεοῦ πατρὸς λόγον. ἰδρῶτος γὰρ οὕτω μακροῦ σαυτὸν ἀπαλλάξεις ὀρθά τε πεφρονηκὼς ἐπαινεθήσηι λοιπὸν καὶ ἥκιστα μὲν παθητὴν ἐρεῖς τὴν θεότητα τοῦ μονογενοῦς, ὁμολογήσεις δὲ σὺν ἡμῖν ὅτι καὶ ζωὴ καὶ ζωοποιὸς κατὰ φύσιν ἐστὶ καὶ μὴν καὶ παντὸς ἐπέκεινα πάθους, εἶτα παθούσης τῆς ἑνωθείσης αὐτῶι σαρκὸς χάριτι θεοῦ κατὰ τὸ γεγραμμένον ὑπὲρ παντὸς ἐγεύσατο θανάτου, ἵνα τοῦ πάντας νενικηκότος τοὺς ἐπὶ τῆς γῆς τὸν ἑαυτοῦ ναὸν ἀποφήνας κρείττονα χρηματίσηι μὲν ἀπαρχὴ τῶν κεκοιμημένων καὶ πρωτότοκος ἐκ νεκρῶν, παραπέμπων δὲ καὶ εἰς ἡμᾶς τὴν χάριν, ὡς εἷς τε καὶ μόνος ὑπάρχων υἱὸς καὶ πρὸ τῆς ἐνανθρωπήσεως καὶ μετ' αὐτὴν ἔτι σωτὴρ ὀνομάζηται καὶ λυτρωτὴς τῶν ὅλων, εἶτα τῆς ἁμαρτίας, ὡς ἔφην, ἐλευθερῶν ἅπαντας τοὺς εἰς αὐτὸν πιστεύοντας, εἰρήνη γένηται τοῖς μακρὰν καὶ τοῖς ἐγγύς, καταλλάττων δι' ἑαυτοῦ τῶι θεῶι καὶ πατρὶ τοὺς πάλαι τῆι κτίσει λελατρευκότας καὶ διὰ τῆς ἁμαρτίας ἐχθρεύοντας τῶι παναγάθωι θεῶι. ἀλλ' εἰς δυάδα πάλιν υἱῶν καταμερίζων τὸν ἕνα κύριον Ἰησοῦν Χριστὸν ὧδέ πού φησιν

Ἐφ. 3, 15 P 216 PG 220 Hebr. 2, 9 1 Cor, 15, 20 Col. 1, 18 P 217 Is. 57, 19

2 1 Ἄκουσον καὶ τὴν ἄλλην αὐτῶν μαρτυρίαν. εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν· ἰδοὺ ⟨τὸν⟩ κύριον τῆς δόξης λέγει, οὐ καλεῖ τὴν ἀνθρωπότητα, ἀλλὰ τὴν θεότητα. τοῦτο δέ ἐστι καὶ διασπώντων τὴν συνάφειαν τὴν ἀκριβῆ· ὅταν γὰρ λέγηις ὅτι οὗτος μὲν οὐκ ἐστι κύριος, ἐκεῖνος δὲ κύριος, οὐ ψιλὸν ἄνθρωπον ποιεῖς τὸν Χριστόν; τί οὖν λέγεις ἐν ἐκκλησιαστικῶι προσωπείωι, αἱρετικέ; κύριος καὶ ὁ ἄνθρωπος ἢ οὔ; εἰ μὲν οὖν κύριος, κοινωνεῖ τὰ λεγόμενα· εἰ δὲ οὐ κύριος, μὴ σύ, ψιλὸν ἄνθρωπον τὸν Χριστὸν ποιῶν, ἐμοὶ πρόστριβε τὸν ὀνειδισμόν.

Loofs p. 357, 11-21 1 Cor 2, 8

2 Εἶτά φησιν· Ἀκούσωμεν τοῦ μακαρίου Παύλου φανερῶς κεκραγότος τίς ἐστιν ὁ σταυρωθείς. ἄκουσον τοίνυν φανερωτάτης φωνῆς· καὶ γὰρ ἐσταυρώθη, φησίν, ἐξ ἀσθενείας, ἀλλὰ ζῆι ἐκ δυνάμεως θεοῦ. εἰ ἐσταυρώθη ἐξ ἀσθενείας, τίς ἠσθένησεν, αἱρετικέ; ὁ θεὸς λόγος;

Loofs p. 357, 22-26 2 Cor. 13, 4

Ἀποκομίζεται εἰς ἐννοίας ἐκτόπους καὶ εἰς ἀδόκιμον νοῦν, τὴν τοῦ μυστηρίου δύναμιν κατ' οὐδένα τρόπον συνιείς, ὥς γε μοι φαίνεται, μᾶλλον δὲ τοῖς ἰδίοις σκέμμασιν ἑπόμενος

1—30. 42—43 V 31—41 VVa

4 ἔφης Agellius ἔφην V 17 ὁλοτρώπως V 32 τὸν Va om. V 34 λέγεισ VVa οὐ Va σὺ V 36 κοινωνεῖ VVa συνάδει V p. 97, 14 39 φανερωτάτης scripsi φανερώτατα τῆς V σαφεστάτης Va

πανταχοῦ καὶ τάχα που δεδιὼς μὴ ἄρα τι τῶν εἰς ὀρθότητα ἢ ἀλήθειαν ἢ πεφρονηκὼς ἢ λέγων ἀλῶι. ἀντανίστησι μὲν γὰρ ἑαυτῶι καθάπερ οὖν οἴεται, τὰς τῶν ὀρθοδόξων φωνάς, καταφωρᾶται δὲ πάλιν ἐκεῖνα τιθεὶς ἃ μηδεὶς πώποτε τῶν ὀρθοποδεῖν εἰωθότων περὶ τὴν πίστιν κἂν γοῦν ἑτέρου λέγοντος ἀνάσχοιτο ἄν. κύριον μὲν γὰρ τῆς δόξης τὸν ἐσταυρωμένον εἶναί τε φαμὲν
P 218 καὶ ἔστι κατὰ ἀλήθειαν, ἀδιαίρετον δὲ καὶ ἕνα μετὰ τῆς ἑνωθείσης αὐτῶι σαρκὸς ψυχὴν ἐχούσης
Hebr. 9, 14 τὴν λογικὴν τὸν τοῦ θεοῦ λόγον ἐπιγινώσκοντες αὐτὸν εἶναι φαμὲν τὸν ⟨διὰ⟩ τοῦ ἰδίου σώματος
PG 221 ὡς ἄμωμον ἱερεῖον καὶ εὐοσμώτατον θύμα προσκομίσαντα μὲν ἑαυτὸν τῶι θεῶι καὶ πατρί,
Col. 2, 14 προσηλώσαντα δὲ τῶι ξύλωι τὸ καθ' ἡμῶν χειρόγραφον. ἔστι γοῦν ἀκοῦσαι λέγοντος διὰ
Hebr. 10, 5-7 φωνῆς τοῦ Δαβίδ· θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι· ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ηὐδόκησας. τότε εἶπον· ἰδοὺ ἥκω, ἐν κεφα- λίδι βιβλίου γέγραπται περί ἐμοῦ τοῦ ποιῆσαι, ὁ θεός, τὸ θέλημά σου. ἀπρακτούσης ἤδη τῆς κατὰ νόμον ἐντολῆς καὶ τελειούσης οὐδὲν καὶ ἀνεθελήτους ἔχοντος τοῦ θεοῦ καὶ πατρὸς τὰς δι' αἱμάτων θυσίας, σῶμα κατηρτίσθαι φησὶν ἑαυτῶι, ἵνα τῆς ἁπάντων σωτηρίας καὶ ζωῆς ἀντάλλαγμα δοὺς αὐτὸ πάντας ἐξέληται καὶ θανάτου καὶ φθορᾶς καὶ πρός γε τούτωι καὶ ἁμαρτιῶν. αὐτὸν οὖν ἄρα φαμὲν τὸν ἐκ θεοῦ πατρὸς λόγον ἐλέσθαι καὶ παθεῖν ὑπὲρ ἡμῶν
1 Petr. 4, 1 σαρκὶ κατὰ τὰς γραφάς. οὕτως ἡμᾶς μεμυσταγώγηκεν ὁ ἱερώτατος Παῦλος· ὃς ἐν
Phil. 2, 6-9 μορφῆι θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῶι, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτὸν γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. διὸ καὶ ὁ θεὸς αὐτὸν ὑπερύψωσεν.
Hebr. 1, 3 καθορᾶι δὴ ὅπως ὁ ἐν μορφῆι τοῦ θεοῦ καὶ πατρὸς ὑπάρχων ὡς θεός, ὁ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ καὶ κατ' οὐδένα τρόπον μειονεκτούμενος, ⟨ὁ ἐν⟩ ἰσότητι τῆι κατὰ πᾶν
Phil. 2, 8 ὅτιοῦν ὑπάρχων τε καὶ νοούμενος, κεκένωκεν ἑαυτὸν καὶ καθῆκεν ἑαυτὸν ἑκὼν εἰς ταπείνωσιν. εἶτα τίς ἂν εἴη, φράσον, ὁ τῆς κενώσεως τρόπος, τεταπείνωται δὲ ὅπως μορφὴν δούλου λαβὼν καὶ μέχρι θανάτου γεγονὼς ὑπήκοος, θανάτου δὲ σταυροῦ; ἢ οὐχ ἅπασιν ἐναργὲς ὅτι ταπεινοῦται τὸ ὑψηλόν, οὐ τὸ οἰκοθέν τε καὶ φυσικῶς ἐν ὑφέσει τε ὑπάρχον καὶ
P 219 τεταπεινωμένον; κενοῦται δὲ οἶμαι τὸ πλῆρες ὑπάρχον καὶ δεδεημένον οὐδενός· δέχεται καὶ δούλου μορφὴν τὸ πρὸ αὐτῆς ἐλεύθερον κατὰ φύσιν· εὑρίσκεται δὲ καὶ ἄνθρωπος ὁ μὴ τοῦτο ὑπάρχειν πρίν, ὅτε οὐκ ἦν, εὑρεθείς. τίς οὖν ἄρα ἐστὶν ὁ ὑψηλὸς κατὰ φύσιν καὶ καθεὶς ἑαυτὸν εἰς ταπείνωσιν; τίς δὲ ὁ πλήρης, ἵνα νοῆται κεκενωμένος; τίς ὁ τῶν τῆς δουλείας ἐπέκεινα μέτρων, ἵνα λέγηται μορφὴν δούλου λαβεῖν; τίς οὐκ ὢν πρότερον καθ' ἡμᾶς ἄνθρωπος, τοῦτο εὑρῆσθαι λέγεται; ταυτὶ γὰρ οἶμαι τῶν καθ' ἡμᾶς ἐνὶ καὶ ἀνθρώπωι κοινῶι προσνέμειν ἀποτολμᾶν εὔηθες ἂν εἴη καὶ τῆς ἁπασῶν ἐσχάτης ἀσυνεσίας ἐπίμεστον ἀληθῶς, ἁρμόσειε δ' ἂν καὶ μάλα εἰκότως τῆι ὑπερτάτηι φύσει. ἀλλ' ὁ μὲν τοῦ θεοῦ λόγος ἐκ πολλῆς ἄγαν τῆς εἰς ἡμᾶς ἡμερότητος καὶ φιλανθρωπίας προσκεκόμικεν ὑπὲρ ἡμῶν τὸ ἴδιον σῶμα καὶ μορφὴν δούλου λαβὼν γέγονεν ὑπήκοος τῶι θεῶι καὶ πατρὶ μέχρι θανάτου καὶ οὐκ ἀπόβλητον ἐποιήσατο τὸ παθεῖν ἐλέσθαι σαρκὶ καίτοι τὴν φύσιν ὑπάρχων ἀπαθὴς ὡς θεός· ἐπερυθριᾶι γε μὴν ἀσυνέτως οὑτοσὶ τοῖς ὑπὲρ ἡμῶν θεοπρεπεστάτοις αὐτοῦ σκέμμασι καὶ τιμᾶν οἰόμενος ἀδικεῖ. ἀποφέρει μὲν γὰρ τοῦ παθεῖν αὐτὸν καίτοι μηδενὸς ἑτέρου παθεῖν λέγοντος εἰς ἰδίαν φύσιν, οὐκ αἰσθάνεται δὲ ὅτι σωτῆρα καὶ λυτρωτὴν οὐκ
PG 224 ἐφίησιν αὐτὸν ὁμολογεῖσθαι τῶν ὅλων, εἴπερ ἐστὶν ἕτερος παρ' αὐτὸν ἰδικῶς καὶ ἀνὰ μέρος υἱὸς καὶ κύριος ὁ δι' οὗ σεσώσμεθα καὶ ἐκλελυτρώμεθα διὰ τοῦ τιμίου σταυροῦ. καὶ εἴπερ ἐστὶν ἄνθρωπος ἁπλῶς καὶ οὐχὶ δὴ μᾶλλον ἐν ἀνθρωπείαι μορφῆι πεφηνὼς ὁ ἐκ θεοῦ πατρὸς λόγος, ἡκέτω, δεικνύτω καὶ ἐν μορφῆι τοῦ πατρὸς ὑπάρχοντα αὐτὸν καὶ μέντοι καὶ ἐν

V

6 διὰ addidi 7 εὐοσμότατον V 9 κατηρτήσω V 14 αὐτὸ Pusey αὐτῶ V 22 ὁ ἐν addidi πᾶν ed. Rom. πάντα V 27 οὐδενός scripsi οὐδέν V 29 ὑπάρχειν scripsi ὑπάρχων V 30 κεκενοῦμενοσ V 34 ἁρμόσει V 42 ἐκλυτρώμεθα V

ἰσότητι (οὐ γὰρ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ) καὶ πρὸς ἔτι τούτῳ τὴν τοῦ Phil. 2, 6
δούλου λαβόντα μορφὴν ὡς οὐκ ἔχοντά ποτε καὶ ἐν κενώσει γεγενημένον ὡς ἐν ἰδίαι φύσει
λαχόντα τὸ πλήρες. ὁ γάρτοι θεσπέσιος Παῦλος τὸν ἐν μορφῇ καὶ ἰσότητι τοῦ θεοῦ P 220
καὶ πατρὸς γενέσθαι φησὶν ὑπήκοον αὐτῷ καὶ μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. ἆρ' Phil. 2, 8
οὐκ ἐναργὴς ἡ τῶν ἐννοιῶν ἀτοπία; κύριον δὲ τῆς δόξης ὀνομάζοντος ἡμῖν τοῦ 1 Cor. 2, 8
μακαρίου Παύλου τὸν ἐσταυρωμένον, φαίη ἂν οὐδείς· οὐ λέγει τὴν ἀνθρωπότητα, ἀλλὰ 6
τὴν θεότητα. ἕνα γὰρ ὁμολογοῦμεν Χριστὸν καὶ υἱὸν καὶ τῆς δόξης κύριον τὸν ἐκ θεοῦ
πατρὸς λόγον ἐνανθρωπήσαντα δι' ἡμᾶς παθόντα τε ὑπὲρ ἡμῶν καὶ σαρκὶ κατὰ τὰς 1 Petr. 4, 1
γραφάς. πλὴν οὐ μετρίως καταιτιώμενος ὡς τὴν ἀκριβῆ συνάφειαν, καθά φησιν αὐτός,
διασπᾶν ἐθέλοντας τοὺς ἀπονέμοντας μὲν τῷ θεῷ λόγῳ τὸ τῆς κυριότητος ὄνομα, τῆς γε 10
μὴν ἀνθρωπότητος ἀποφέροντας αὐτό, καθάπερ εἰς λήθην ὧν ἔφη, πεσών, διασπᾶν εἰς
δύο καταφωρᾶται τὸν ἕνα καὶ τῆς ἀκριβοῦς κατ' αὐτὸν συναφείας ὀλίγα πεφροντικώς.
ἐρωτᾶι γὰρ ἀμαθῶς

Κύριος καὶ ὁ ἄνθρωπος ἢ οὔ; εἰ μὲν οὖν κύριος, συνάιδει τὰ λεγόμενα. Loofs p. 357, 18. 19

Οὐκοῦν εἰ κατὰ τὴν σὴν ἀσύνετον πεῦσιν κύριος μὲν ὁ λόγος ἰδικῶς, κύριος δὲ καὶ 15
ὁ ἄνθρωπος, δύο που πάντως οἱ κύριοι καὶ υἱοί. ὀνήσει δὴ οὖν τῆς ἀκριβοῦς συναφείας
ἡ δύναμις κατ' οὐδένα τρόπον τοὺς πεπιστευκότας εἴς γε τὸ χρῆναι νοεῖν ἕνα Χριστὸν
καὶ κύριον καὶ υἱὸν μετὰ τῆς ἑνωθείσης αὐτῷ σαρκός. προκειμένου γὰρ καὶ παρενεχθέν-
τος εἰς μέσον τοῦ προσώπου τοῦ Ἐμμανουήλ, κἂν εἴ τις ἄνθρωπον λέγοι, τὸν ἐκ θεοῦ
πατρὸς λόγον μορφὴν δούλου λαβόντα νοοῦμεν καὶ ἐκ τῶν τῆς κενώσεως μέτρων δηλοῦσθαι 20
φαμέν· εἰ δὲ δὴ καὶ θεὸν μονογενῆ, τὸν αὐτὸν εἶναι πιστεύομεν ἐνηνθρωπηκότα τε ἤδη
καὶ σεσαρκωμένον. ἀλλὰ γάρ, ὡς ἔφην, ἑνὶ δὴ καὶ μόνῳ καὶ ἰδικῶς νοουμένῳ παρὰ
τὸν ἐκ πατρὸς λόγον ἀνθρώπῳ προσνέμει τῆς μετὰ σαρκὸς οἰκονομίας τὰ κατορθώματα
καὶ αὐτὸν ὑπὲρ ἡμῶν ὑπομεῖναί φησι σταυρὸν εἶναί τε τῆς δόξης διαβεβαιοῦται κύριον, P 221
γυμνῶι κτίσματι περιτιθεὶς τῆς ἀνωτάτω φύσεως τὰ αὐχήματα. φησὶ γάρ 25

Ἀκούσωμεν τοῦ μακαρίου Παύλου φανερῶς κεκραγότος τίς ἐστιν ὁ ἐσταυρωμένος. Loofs p. 357, 22-26
καὶ γὰρ ἐσταυρώθη ἐξ ἀσθενείας, ἀλλὰ ζῆι ἐκ δυνάμεως θεοῦ. τίς 2 Cor. 13, 4
ἠσθένησεν; ὁ θεὸς λόγος, αἱρετικέ;

Ἀσθενείας μὲν οὖν ἁπάσης ἀμέτοχος παντελῶς ὁ ἐκ θεοῦ πατρὸς λόγος πρὸς ἡμῶν
εἶναι πιστεύεται, αὐτὸς γάρ ἐστιν ὁ τῶν δυνάμεων κύριος· πλὴν ἐκεῖνο φράσον· δέδιας 30
ἐπ' αὐτοῦ τὸ τῆς ἀσθενείας ὄνομα λαβεῖν; διὰ ποίαν αἰτίαν; καίτοι τῆς μετὰ σαρκὸς
οἰκονομίας τοῦ κατεψέχθαι δεῖν ἔξω τιθείσης αὐτόν, κἂν εἰ λέγοιτό τι παθεῖν τῶν ὅσα PG 225
ἐστὶ παρά γε τὴν αὐτοῦ φύσιν τε καὶ δόξαν. εἰ γὰρ πλούσιος ὢν ἐπτώχευσε καὶ 2 Cor. 8, 9
γέγονε καθ' ἡμᾶς μορφὴν δούλου λαβών, κἂν εἰ ἀσθενῆσαι λέγοιτο κατὰ τὸ ἀνθρώπινον, τὸ
ἀπεικὸς οὐδέν, ἵνα πτωχεύσαντα θεωρῆις τὸν πλούσιον, ἐν ταπεινώσει τὸν ὑψηλόν, ἐν τῆι 35
καθ' ἡμᾶς ἀσθενείαι τὸν τῶν δυνάμεων κύριον, τεθαύμασται δὲ διὰ τοῦτο τὸ περὶ αὐτοῦ
μυστήριον. πῶς γὰρ καὶ πεινῆσαι λέγεται, καίτοι ζωῆς ἄρτος ὑπάρχων αὐτὸς καὶ ἐκ τοῦ οὐρανοῦ Ioh. 6, 33
καταβὰς καὶ ζωὴν διδοὺς τῶι κόσμωι; τίνα τρόπον κεκοπίακεν ἐκ τῆς ὁδοιπορίας ὁ τῶι ἰδίωι Ioh. 4, 6
πνεύματι στερεῶν οὐρανούς; ἀλλ' οὐκ ἀνέξηι κατὰ τὸ εἰκός, εἰ περὶ αὐτοῦ λέγοιτο ταυτὶ
τοῦ μονογενοῦς, καίτοι τοὺς σοὺς πολυπραγμονήσας λόγους εὑρίσκω λέγοντας σαφῶς ὡς 40
ἐκ προσώπου τοῦ μονογενοῦς

3 Ὅτι μορφὴ θεοῦ ὑπάρχων μορφὴν περιβέβλημαι δούλου· ὅτι θεὸς λόγος ὢν ἐν σαρκὶ Loofs p. 358, 1-5
καθορῶμαι· ὅτι δεσπόζων τοῦ παντός, πτωχεύοντος δι' ὑμᾶς περιβέβλημαι πρόσωπον· ὅτι
πεινῶν ὁρατῶς, χορηγῶ τοῖς πεινῶσι τροφήν.

1—41 V 42—44 VVa

11 αὐτό Agellius αὐτῷ V 14 οὖν] οὐ V 21 πιστεύομεν Agellius πιστεύοντεσ V 23 προσνέμει scripsi προσνέμων V 24 διαβεβαιοῦται Agellius διαβεβαιοῦνται V 35 θεωρεῖσ V 43 ὑμᾶς Loofs ἡμᾶς VVa

Πῶς οὖν, εἰπέ, τὸ τῆς ἀσθενείας ὄνομα δεδιὼς καὶ ἀποκομίζων αὐτοῦ, κἂν ὁ τῆς
P 222 οἰκονομίας μὴ βούληται λόγος, αὐτὸν ἔφης πεινῆν μὲν ὁρατῶς ἢ γοῦν ἀνθρωπίνως, χορηγεῖν δὲ θεικῶς τοῖς πεινῶσι τροφήν; ἆρ' οὐκ ἀσθενείας τρόπον εἶναι φῆς τὸ ἐν ἐνδείαι γενέσθαι τροφῆς καὶ πεινῆσαι λέγεσθαι καθ' ἡμᾶς; ἀλλὰ τοῖς ἐθέλουσι φιλοψογεῖν ἀντιτετάξεται γεννικῶς τῆς οἰκονομίας ὁ τρόπος. δεῖ τοίνυν ἡμᾶς ἢ πάντων αὐτὸν τῶν ἀνθρωπίνως τε καὶ σμικροπρεπῶς εἰρημένων ἀποκομίζοντας ἀνθρώπωι ψιλῶι περιτιθέναι τὰ τοιάδε τῶν παθῶν ἢ γοῦν ἐννενοηκότας ὅτι θεὸς ὢν γέγονε καθ' ἡμᾶς, ἀπαθῆ μὲν ὑπάρχειν αὐτὸν ὁμολογεῖν κατά γε τὴν τῆς θεότητος φύσιν, παθεῖν δὲ πρὸς τούτωι λέγειν τὴν ὑπὲρ ἡμῶν ἀσθένειαν ⟨, τὴν⟩ κατὰ τὸ ἀνθρώπινον καὶ κατὰ γε τὴν σάρκα φημί. ἐπεὶ φράσον
2 Cor. 13, 4 ἐρομένωι πάλιν· ἐσταυρῶσθαί φησιν αὐτὸν ἐξ ἀσθενείας ὁ θεσπέσιος Παῦλος, ἀποφέρει δὲ αὐτὸς τοῦ θεοῦ λόγου τὸ χρῆμα, μικρὸν οἶμαί που καὶ δυσκλεὲς εἶναι λέγων καὶ οὐκ ἄξιον αὐτοῦ· ἕτερος οὖν παρ' αὐτὸν ὁ ἐσταυρωμένος, ὃν καὶ τῆς δόξης κύριον ὁ θεῖος
1 Cor. 2, 8 ἡμῖν μυσταγωγὸς ἀποκαλεῖ λέγων εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν; ἆρ' οὖν ἔτι μεμένηκε τῆς δόξης κύριος ὁ ἠσθενηκὼς καὶ τὸ δυσκλεὲς δὴ τοῦτο καὶ σμικροπρεπὲς ὑπομείνας πάθος; εἰ μὲν οὖν μεμένηκεν, οὐδεμίαν ἔχει τῶι ἀσθενῆσαι ζημίαν· πῶς οὖν δέδιας τὸν τοῦ θεοῦ λόγον ἐν τούτοις γενέσθαι λέγειν οἰκονομικῶς; εἰ δὲ ἀπώλισθεν ἀληθῶς τοῦ ὑπάρχειν ἔτι τῆς δόξης κύριος ὧδέ τε τοῦτο ἔχειν διαβεβαιοῦταί τις, δυσσεβείας τῆς ἀνωτάτω καὶ μάλα εἰκότως ὑπομενεῖ τὴν γραφήν. κάμπτει
Phil. 2, 10. 11 γὰρ αὐτῶι πᾶν γόνυ καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται ὅτι κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν θεοῦ πατρός. κατευρύνεται γὰρ ἁπάσης τῆς ὑπ' οὐρανὸν ἡ δόξα
PG 228 Χριστοῦ παθόντος ὑπὲρ ἡμῶν σαρκί, καθὰ πλειστάκις εἰρήκαμεν. ὅταν οὖν ἀκούσηις
2 Cor. 13, 4 τοῦ πνευματοφόρου λέγοντος ἐσταυρώθη ἐξ ἀσθενείας, ἀλλὰ ζῆι ἐκ δυνάμεως
P 223 θεοῦ, σύνες εὐσεβῶς· πεπονθέναι γὰρ ἀνθρωπίνως φησὶν αὐτόν, καίτοι τὴν φύσιν ἔχοντα τοῦ παθεῖν ἐπέκεινα παντελῶς. ἔχων δὲ οὕτως ἀσθενούσης ἠνέσχετο τῆς σαρκὸς καὶ παθὼν ἀνθρωπίνως τὸ ἀποθανεῖν ἀνεβίω θεικῶς, ζωοποιήσας τὸν ἑαυτοῦ ναὸν αὐτὸς ὡς δύναμις τοῦ πατρός. καὶ γοῦν ἐνεστηκότος ἤδη τοῦ καιροῦ καθ' ὃν ἔδει τὸν ὑπὲρ
Mt. 26, 39 ἡμῶν ὑπομεῖναι σταυρόν, ἀπελθὼν προσηύξατο λέγων· πάτερ, εἰ δυνατόν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο, προσετίθει δὲ τούτοις ἐπὶ τέλει τῆς προσευχῆς· πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ. ἐπειδὴ δὲ ἅπαξ, καίτοι παναλκὴς ὢν λόγος καὶ θεός, καὶ ἐν τῆι καθ' ἡμᾶς ἀσθενείαι γενέσθαι νενόμισται, τὴν τοῦ πράγματος αἰτίαν ἀποδι-
Mt. 26, 41 δοὺς οἰκονομικώτατά φησι· τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής. ἄθρει δὴ οὖν ὅπως οὐδὲν καθυφεὶς αὐτὸς οὔτε μὴν εἰς ἰδίαν φύσιν τὸ ἀσθενῆσαι παθὼν συγκεχώρηκε τῆι σαρκὶ καὶ διὰ τῶν ἰδίων ἰέναι νόμων καὶ αὐτοῦ τὸ χρῆμα λέγεται διά τοι τὸ ἴδιον εἶναι τὸ σῶμα αὐτοῦ. οὐκοῦν ἄνθρωπον μὲν ἡμῖν ἀπέφηνεν αὐτὸν τὸ ἀσθενῆσαι κατὰ τὴν σάρκα, θεόν γε μὴν ἀσθενεῖν οὐκ εἰδότα τὸ μὴ ἀνασχέσθαι θανάτου καὶ ἀποσοβῆσαι τὴν φθορὰν τοῦ ἰδίου σώματος· ζωὴ γάρ ἐστι καὶ δύναμις τοῦ πατρός. ὅτι γὰρ ἀσυνήθη τε καὶ ἀνεθέλητον οὖσαν αὐτῶι τὴν ἔν γε τούτοις ἀσθένειαν ἐποιήσατο θελητὴν ἐν εὐδοκίαι τοῦ θεοῦ καὶ πατρός, ἵνα σώσηι τὴν ὑπ' οὐρανόν, διδάξει λέγων αὐτὸς ὅτι
Ioh. 6, 38 39 καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με, ⟨τοῦτο δέ ἐστι τὸ θέλημα τοῦ πέμψαντός με⟩ ἵνα πᾶν ὃ δέδωκέ μοι, μὴ ἀπολέσω ἐξ αὐτοῦ, ἀλλὰ ἀναστήσω αὐτὸ ἐν τῆι ἐσχάτηι ἡμέρα. καίτοι πῶς εἴπερ ἐστὶν ἀγαθὸν τὸ θέλημα τοῦ πατρός, ἀγαθὸν δὲ πάντως ἴδιον, ἔχειν καὶ ἕτερον
P 224 παρὰ τοῦτο θέλημά φησιν ἑαυτὸν ὁ υἱός; εἰ γὰρ μή ἐστιν ἀγαθός, πῶς εἰκὼν ἔτι καὶ χαρακ-

32—34 αὐτοῦ adfert Ephraim Ant. ap. Phot. p. 259, 3-7

V

2 πινῆ V 4 ἀντιτετδξεται scripsi ἀντιτάξεται V 5 γεννικῶς Agellius γενικῶσ V 9 τὴν addidi 14 ἠσθενηκὼς Agellius ἠθετηκὼσ V 15 τῶι scripsi τοῦ V 33 ἰδίων in mg. add. V 38 σώσει V 40 τοῦτο — με addidi

τὴρ αὐτοῦ πιστεύεται; πῶς δὲ ἀληθεύσει λέγων ἐγὼ καὶ ὁ πατὴρ ἓν ἐσμέν, καὶ Ioh. 10, 30
ὁ ἑωρακώς ἐμὲ ἑώρακε τὸν πατέρα; οὐ γὰρ ἔν γε τῶι μὴ ἀγαθῶι καταθρήσαι τις Ioh. 14, 9
ἂν τὸν ἀγαθὸν κατὰ φύσιν. ἀλλὰ μὴν ἀγαθὸς ὁ υἱὸς ἐξ ἀγαθοῦ πέφηνε τοῦ πατρὸς
καί ἐστιν εἰκὼν ἀπαράλλακτος αὐτοῦ κατὰ πᾶν ὁτιοῦν. ποῖον οὖν ἄρα θέλημα παρείς,
ὅπερ εἶναί φησιν ἑαυτοῦ, πεπραχέναι φησὶ τὸ τοῦ πατρός; ἔμελλε τῶι θανάτωι τῆς ἰδίας 5
σαρκὸς ἀπαλλάττειν θανάτου τοὺς ὑπ' αὐτὸν γεγονότας, τουτέστιν ἡμᾶς, ἀλλ' ἦν τὸ
τεθνάναι σαρκὶ δυσκλεὲς ἀσύνηθές τε, ὡς ἔφην, καὶ ἀπηχθημένον αὐτῶι, ὑπομεμένηκε δὲ
καὶ τοῦτο δι' ἡμᾶς ἐν εὐδοκίαι τοῦ πατρός. ἤιδει γὰρ ἤιδει καὶ μάλα σαφῶς ὅτι τῶν
τῆς σαρκὸς ἕνεκα παθῶν ἀδοξήσας βραχὺ διασώσει σύμπαντας ἐπὶ τὸ ἀσυγκρίτως ἄμεινον
μεθιστάς. εἴ τις γὰρ ἐν Χριστῶι, καινὴ κτίσις τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ 2 Cor. 5, 17
γέγονε τὰ πάντα καινά, καθὰ γέγραπται. 11

Αἱ μὲν οὖν θεόπνευστοι γραφαὶ Χριστὸν ἕνα καὶ υἱὸν καὶ κύριον τῶι κόσμωι διακηρύττουσι PG 229
καὶ αὐτὸν εἶναί φασι τὸν τῆς δόξης κύριον καὶ τὰς ἐκ τῶν Ἰουδαίων παροινίας ἐθελοντὶ
ὑπομεῖναι δι' ἡμᾶς ἀνατλῆναί τε τὸν ἐπὶ ξύλου θάνατον οἰκονομικῶς, οὐχ ἵνα μεθ' ἡμῶν
ἀπομείνηι νεκρός, ἀλλ' ἵνα τὸ πᾶσι δυσάντητον τοῦ θανάτου καταλύσας κράτος ἀνακομίσηι 15
πρὸς ἀφθαρσίαν τὴν ἀνθρώπου φύσιν, θεὸς γὰρ ἦν ἐν σαρκί· οὗτοσὶ δὲ πάλιν ἀφορμὰς τοῦ
διορίζειν εἰς δύο τὸν ἕνα πανταχόθεν ἑαυτῶι συναγείρειν ἐπιχειρῶν ἀντιφέρεται μὲν εἰκῆι
τοῖς οὐκ οὖσιν ὅλως, ἐπίκλημα δὲ ποιεῖται τισὶν ὡς τῆς ἀληθείας κατειρηκόσι καὶ παρα-
σημαίνειν ἐθέλουσι τοῦ μυστηρίου τὸν τρόπον καί φησιν

4 Ἡδέως ἂν ἐνταῦθα τῶν αἱρετικῶν ἐπυθόμην τῶν τὴν τῆς θεότητος καὶ τῆς ἀνθρω- Loofs p. 229,
πότητος φύσιν εἰς μίαν κατακιρνώντων οὐσίαν, τίς ἐστιν ἐνταῦθα ὁ παρὰ τοῦ προδότου 21 4-16
τοῖς Ἰουδαίοις παραδιδόμενος; εἰ γὰρ κρᾶσις ἀμφοτέρων γεγένηται, ἀμφότερα παρὰ τῶν P 225
Ἰουδαίων συγκατεσχέθη, καὶ ὁ θεὸς λόγος καὶ ἡ τῆς ἀνθρωπότητος φύσις. τίς δέ
ἐστιν ὁ καὶ τὴν σφαγὴν ὑπομείνας; ἀναγκάζομαι χρήσασθαι κατωτέροις λόγοις, ὡς πᾶσι
γενέσθαι τὸ λεγόμενον δῆλον· περὶ τίνα τὰ τῆς πράξεως, εἰπέ μοι, συμβέβηκεν; εἰ 25
μὲν γὰρ περὶ τὴν τῆς θεότητος φύσιν, πῶς ἀμφότερα συγκιρνᾶν κατατολμᾶις, καὶ ⟨εἰ⟩
μεμένηκεν ὁ θεὸς τοῖς Ἰουδαίοις ἀκατάσχετος καὶ τῆς σφαγῆς οὐ κεκοινώνηκε τῆι σαρκί,
πόθεν, εἰπέ μοι, παρεισάγεις τὴν κρᾶσιν;

Εἰ μὲν οὖν τινές εἰσιν οἱ τὴν τῶν φύσεων εἰς ἀλλήλας ἀνάχυσιν γεγενῆσθαι λέγοντες
καὶ τὸν ἀνέφικτον ὑπομεῖναι φυρμὸν καὶ τὴν εἰς σάρκα τροπὴν παθεῖν δύνασθαι διατεινό- 30
μενοι τὴν τοῦ λόγου φύσιν ἢ γοῦν εἰς θεότητα μεταχωρῆσαί ποτε τὴν ἑνωθεῖσαν αὐτῶι
σάρκα, διημαρτήκασι τἀληθοῦς καὶ φρενὸς ἔξω γεγονότες ὀρθῆς, μᾶλλον δὲ τὴν ἁπασῶν
ἐσχάτην νοσοῦντες ἐμβροντησίαν ἀκούσονται πρὸς ἡμῶν πλανᾶσθε μὴ εἰδότες τὰς Mt 22, 29
γραφὰς μηδὲ τὴν δύναμιν τοῦ θεοῦ (ἀκράδαντος γὰρ ἡ τοῦ θεοῦ λόγου φύσις καὶ
τροπῆς οὐκ οἶδεν ἀποσκίασμα παθεῖν, σαρκὶ δὲ καὶ αἵματι κεκοινωνηκὼς καὶ μετεσχηκὼς 35 Iac. 1, 17
ὁμοίως ἡμῖν τῶν αὐτῶν, καθὰ γέγραπται, μεμένηκεν ὁ αὐτός)· εἰ δὲ ἅπας οὖν τις τῶν Hebr. 2, 14
τοῖς ἱεροῖς ἐντεθραμμένων γράμμασιν ἀπηχθημένον ποιεῖται τὸ κἂν γοῦν ἀκοῦσαι μόνον
ἐπὶ τοῦ μονογενοῦς πεπρᾶχθαι τὴν τροπήν, τί τὰ οὕτως αἰσχρὰ καὶ μιᾶι τῆι παρὰ πάντων
ψήφωι κατεγνωσμένα καὶ ἀπόβλητα παντελῶς ὡς ἀληθῆ τε καὶ εἰρημένα δεχόμενος πειρᾶι
διατέμνειν τὸν ἀμέριστον, καὶ τοῦτο μετὰ τὴν ἕνωσιν; εἰ γὰρ δὴ κατὰ ἀλήθειαν ἕλοιο 40
μαθεῖν τίς ὁ παρὰ τοῦ προδότου τοῖς Ἰουδαίοις παραδιδόμενος καὶ τὴν σφαγὴν ὑπομείνας,

5 cf. Exc. Mar. Merc. XV

1—19. 29—41 V 20—28 VVa
6 αὐτοῦ V 21 κατακιρνάντων Va 26 εἰ add. Agellius 33 νοσοῦντεσ ἐμβροντησίαν ed. Rom. νοοῦντεσ ἐμβορτησίαν V 35 κεκοινωνικὼσ V 37 ἀπηχθημένον Agellius ἀπηχθημένων V

P 226 ἀκούσηι σαφῶς· ὁ εἷς καὶ μόνος Χριστὸς καὶ υἱὸς καὶ κύριος, τουτέστι μορφὴν δούλου λαβὼν ὁ ἐκ θεοῦ λόγος ἐνανθρωπήσας τε καὶ σεσαρκωμένος. πέπρατο μὲν γὰρ παρὰ τοῦ προδότου τοῖς Ἰουδαίων καθηγηταῖς καὶ κατείχετο μὲν ἀνθρωπίνως, ὅτι καὶ ἄνθρωπος
PG 232 ἦν μετὰ τοῦ μεῖναι θεός, ἤλεγχε δὲ θεικῶς τῶν κατεχόντων αὐτὸν τὴν ἀσθένειαν. καὶ
Ioh. 18, 3-6 τοῦτο ἡμῖν καθίστησιν ἐναργὲς ὁ θεσπέσιος εὐαγγελιστὴς Ἰωάννης ὡδὶ γεγραφώς· ὁ οὖν Ἰούδας λαβὼν τὴν σπεῖραν καὶ ἐκ τῶν ἀρχιερέων καὶ ἐκ τῶν Φαρισαίων ὑπηρέτας, ἔρχεται ἐκεῖ μετὰ φανῶν καὶ λαμπάδων καὶ ὅπλων, Ἰησοῦς δὲ εἰδὼς πάντα τὰ ἐρχόμενα ἐπ' αὐτὸν ἐξελθὼν εἶπεν αὐτοῖς· τίνα ζητεῖτε; ἀπεκρίθησαν αὐτῶι· Ἰησοῦν τὸν Ναζωραῖον. λέγει αὐτοῖς ὁ Ἰησοῦς· ἐγώ εἰμί. εἱστήκει ⟨δὲ⟩ καὶ Ἰούδας ὁ παραδιδοὺς αὐτὸν μετ' αὐτῶν. ὡς οὖν εἶπεν αὐτοῖς ὅτι ἐγώ εἰμί, ἀπῆλθον εἰς τὰ ὀπίσω καὶ ἔπεσον χαμαί. ἀκούεις ὅπως κατασοβαρεύεσθαι μὲν τῆς παρ' αὐτῶι δόξης οὐκ ἐᾶι τοὺς παρὰ τοῦ προδότου συνειλεγμένους· προσκεκόμικε μὲν γὰρ ἑαυτὸν τὸ ἐγὼ εἰμί λέγων, οἳ δὲ καὶ πρὸς μόνην ἀτονήσαντες τὴν φωνὴν ἀπῆλθον εἰς τὰ ὀπίσω· ὅτι δὲ οὐχὶ τῆς αὐτῶν ἰσχύος ἔργον ἦν τὸ κατασχεῖν αὐτόν, ἀλλ' ὡς ἐν καιρῶι καὶ χρείαι τὸν ὑπὲρ ἡμῶν θάνατον ἐποιεῖτο παραδεκτόν,
Mt 26, 55. 56 πεπληροφόρηκε λέγων· ὡς ἐπὶ λῃστὴν ἐξήλθετε μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με· καθ' ἡμέραν ἐν τῶι ἱερῶι ἐκαθεζόμην διδάσκων καὶ οὐκ ἐκρατήσατέ με. τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῶσιν αἱ γραφαὶ τῶν προφητῶν. ὃ γὰρ πάλαι προείρηκε διὰ προφητῶν ἁγίων, τοῦτο πεπλήρωκε καθεὶς
Phil. 2, 7 ἑαυτὸν εἰς κένωσιν ὁ ὑπὲρ πᾶσαν τὴν κτίσιν καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος ὁ ἐν μορφῆι καὶ ἰσότητι τοῦ πατρός. ἀνθ' ὅτου δὴ οὖν ταῖς τῶν ἁπλουστέρων ἀκοαῖς τὸ τῆς κράσεως ὄνομα παρεισκρίνειν ἐπιχειρῶν τῆς μετὰ σαρκὸς οἰκονομίας ἀδικεῖς τὸ θαῦμα;
P 227 οὐ γάρτοι προσῆκε πικρῶς τε καὶ ἀπηνῶς εἰς μέσον ἰέναι λέγοντα· ἆρα ὁ θεὸς λόγος κατεσχέθη; ἆρα τὴν σφαγὴν ὑπέμεινεν ἡ τῆς θεότητος φύσις; ὅτι οὖν ἐξ ἀκριβοῦς ἀμαθίας τὰ τοιάδε φῄς, ἐντεῦθεν εἴσηι τοι καὶ μάλα ῥαιδίως. τετελειῶσθαι φαμὲν τοὺς
2 Tim. 4, 7 ἁγίους μάρτυρας πάντα παθεῖν ἑλομένους, ἵνα τὸν καλὸν ἀγῶνα ἀγωνισάμενοι, τὸν δρόμον τελέσαντες, τὴν πίστιν τηρήσαντες, τὸν τῆς εἰς Χριστὸν γνησιότητος ἀναδήσωνται στέφανον. ἆρ' οὖν εἴ τις ἔροιτο προσιών· ὅτε τὰ τῶν ἁγίων σώματα σιδήρωι κατεξαίνετο ἢ γοῦν δεδαπάνητο πυρὶ ἢ καὶ ὅτε τὴν ἀρχὴν δεσμῶται γεγόνασιν, ἆρα τοῖς σώμασι συγκατείρχθησαν αἱ ψυχαί, ἆρα γεγόνασι καὶ αὗται πυρὸς ἔργον καὶ ξίφους; καίτοι φαμὲν αὐτὰς ἀπαλλάττεσθαι τῶν σωμάτων, τῶν τοιούτων αἰκιῶν οὐδὲν εἰς ἰδίαν ὑπομενούσας φύσιν. ἆρ' οὖν, εἰπέ μοι, ταύτης ἕνεκα τῆς αἰτίας ἀμέτοχοι τῶν στεφάνων εἶεν ἄν, ὅτι μὴ πεπόνθασι τὰ σωμάτων; ἀλλ' ὅ γε τῆς ἀληθείας λόγος οὐκ ἔξω τίθησι τοῦ παθεῖν αὐτάς· πεπόνθασι γὰρ τὰ αὐτῶν καὶ οὐ τὰ ἑτέρων σωμάτων. ἀμαθὲς οὖν ἄρα τὸ διαπυνθάνεσθαι φιλεῖν εἰ παραδέδοται μετὰ τῆς σαρκὸς ἡ τῆς θεότητος φύσις ἢ γοῦν ἐνεσχέθη τοῖς Ἰουδαίων βρόχοις ἢ καὶ αὐτὴν ὑπέμεινε τὴν σφαγήν, εὐσεβὲς δὲ μᾶλλον ἐννοεῖν ὅτι πάντηι ⟨τε⟩ καὶ πάντως ᾠκειώσατο μὲν ὁ λόγος τὰ τῆι ἰδίαι σαρκὶ συμβεβηκότα πάθη,
PG 233 μεμένηκε δὲ ἀπαθὴς ὡς θεός, πλὴν οὐκ ἔξω τοῦ πάσχοντος σώματος. αὐτὸς δὲ τὰ οὕτως οἰκονομικῶς πεπραγμένα τοῖς τῆς ἀτοπίας ἐγκλήμασιν ἐνιεὶς ἄνω τε καὶ κάτω λέγων μὴ δὴ χρῆναι πρός τινος τὴν τῆς θεότητος φύσιν ὑπομεῖναι λέγεσθαι τὴν σφαγήν, περιίστησιν ἀνοσίως εἰς ἄνθρωπον ἰδικῶς τοῦ μυστηρίου τὴν δύναμιν καὶ αὐτὸν εἶναί φησι τὸν ἐσταυρωμένον καὶ τὸν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς ἀνατλάντα θάνατον. ἀκούω γὰρ λέγοντος ἐν ἐξηγήσει πάλιν ἑτέραι

V

10 δὲ om. V 23 προσῆκε scripsi προσήκει προσήκει V ἰέναι ed. Rom. εἶναι V 24 οὖν scripsi οὐκ V δὲ Agellius 28 ὅτε Agellius ὅτι V 31 αὐτοὺσ V 34 αὐτάς Agellius αὐτούσ V 37 τε om. V ᾠκειώσατο scripsi οἰκειώσεται V

5 Οὗτος ὁ τὸν ἀκάνθινον περιθέμενος στέφανον, οὗτος ὁ λέγων θεέ μου θεέ μου, ἵνα τί με ἐγκατέλιπες; οὗτος ὁ τριήμερον τελευτὴν ὑπομείνας. P 228 Loofs p. 260, 3-5 Mt. 27, 46

Ἑπόμενος μὲν οὖν αὐτὸς τῶι ἰδίωι σκοπῶι τὰ τοιάδε φησίν, ἡμεῖς δὲ αὐτῶι σοφώτερόν τε καὶ ἀληθέστερον ἐπιδείξομεν τὸν Ἐμμανουὴλ τὸν τοῦ κόσμου παντὸς σωτῆρα καὶ λυτρωτήν. γέγονε γάρ, ὡς ἤδη πλειστάκις εἴπομεν, σὰρξ ὁ λόγος σῶμά τε ἴδιον ποιησάμενος τὸ πάσχειν εἰδὸς αἰκίας τε καὶ θάνατον δέδωκεν ὑπὲρ ἡμῶν αὐτὸ καί, καθά φησιν ὁ θεσπέσιος Παῦλος, ὑπέμεινε σταυρὸν αἰσχύνης καταφρονήσας. ἢ γὰρ οὐκ Hebr. 12, 2 αἰσχύνη καὶ οἱονεί τίς ἐντροπὴ τῶι πανσθενεῖ καὶ ζωοποιῶι καὶ παθῶν ἐπέκεινα λαχόντι τὴν φύσιν τὸ ἐξ ἀνθρωπίνης ἀσθενείας σταυρωθῆναι δοκεῖν καὶ ἐν θανάτωι γενέσθαι κατὰ τὴν σάρκα; καὶ γοῦν ὁ αὐτός πού φησι διὰ φωνῆς Ἡσαίου· τὸν νῶτόν μου Ies. 50, 6 δέδωκα εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα, τὸ δὲ πρόσω- 11 πόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων, καὶ πάλιν· διὰ τοῦτο Ies. 50, 7. 8 οὐκ ἐνετράπην, ἀλλ' ἔθηκα τὸ πρόσωπόν μου ὡς στερεὰν πέτραν καὶ [οὐκ] ἔγνων ὅτι οὐ μὴ καταισχυνθῶ, ὅτι ἐγγίζει ὁ δικαιώσας με. ὅσον μὲν γὰρ ἦκεν εἴς γε τὰς Ἕλλήνων καὶ μέντοι καὶ Ἰουδαίων ἀνοσίας ἀγέλας, σκάνδαλόν τε ὁμοῦ 1 Cor. 1, 23 καὶ μωρία νενόμισται τὸ Χριστοῦ μυστήριον· καταμειδιῶσι γὰρ οἱ τάλανες τοῦ τιμίου 18 σταυροῦ· ἐκβέβηκε δὲ τῆς δοκούσης αὐτοῖς ἀσθενείας τὸ πέρας εἰς εὐκλείας δύναμιν τῆς ἀληθῶς θεοπρεπεστάτης. μεμαρτύρηται γὰρ διὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως ὅτι τε εἴη θεὸς καὶ θεοῦ κατὰ ἀλήθειαν υἱὸς ὡς θανάτου κρείττων καὶ φθορᾶς, καὶ ὁμοῦ τῶι γεγεννηκότι προσκυνεῖται παρὰ πάντων. ἄκουε δὲ διακεκραγότος ἡμῖν αὐτὸ δὴ τοῦτο γράμ- 20 ματος ἱεροῦ· οὕτως λέγει κύριος· ἁγιάσατε τὸν φαυλίζοντα τὴν ψυχὴν αὐ- Ies. 49, 7 τοῦ, τὸν βδελυσσόμενον ὑπὸ τῶν ἐθνῶν τῶν δούλων τῶν ἀρχόντων. βα- P 229 σιλεῖς ὄψονται αὐτὸν καὶ ἀναστήσονται ἄρχοντες καὶ προσκυνήσουσιν αὐτῶι. ὁμολογεῖτε, φησίν, ἅγιον εἶναι κατὰ φύσιν ὡς θεὸν τὸν τὴν ἰδίαν ψυχὴν ἐκφαυλίζοντα, τουτέστι τὸν τῆς ἑαυτοῦ καταφρονήσαντα ψυχῆς· τέθεικε γὰρ αὐτὴν ὑπὲρ Ioh. 10, 11 τῶν προβάτων ὡς ποιμὴν ἀγαθός. ὃν ἐβδελύξαντο μὲν τὰ ἔθνη, δοῦλοι δὲ καὶ ὑπη- 26 PG 236 ρέται ῥαπίσμασιν ὕβρισαν, τῆς τῶν Φαρισαίων πληθύος ἀνοσίως ἐμπαροινούσης αὐτῶι, τοῦτον ὄψονται βασιλεῖς καὶ ἀναστήσονται· τούτωι προσκυνήσουσιν ἄρχοντες ὡς θεῶι δηλονότι καθιγμένωι πρὸς κένωσιν, ἵνα παθὼν σαρκὶ διασώσηι τὴν ὑπ' οὐρανόν· οὗτος ὁ ὑπὲρ ἡμῶν τὸν ἀκάνθινον περικείμενος στέφανον· οὗτος, οὐκ ἄλλος ὁ σταυρούμενος μὲν 30 ἀνθρωπίνως καὶ λέγων θεέ μου θεέ μου, ἵνα τί με ἐγκατέλιπες, συστέλλων δὲ Mt. 27, 46 θεικῶς τοῦ ἡλίου τὸ φῶς καὶ ἐν ἡμέραι μέσηι νύκτα τιθείς, ἵνα μὴ ἄνθρωπον ἁπλῶς ψιλῆι Mt. 27, 45 κατὰ σὲ συναφείαι τετιμημένον, τῆι πρός γε φημὶ τὸν ἐκ θεοῦ λόγον, ὁμολογῶμεν αὐτόν, θεὸν δὲ μᾶλλον εἶναι πιστεύσωμεν ἐν εἴδει τῶι καθ' ἡμᾶς καὶ ἐν τῆι τοῦ δούλου μορφῆι, μεμνημένοι διὰ φωνῆς ἁγίου λέγοντος· καὶ ἐνδύσω τὸν οὐρανὸν σκότος καὶ θήσω Ies. 50, 3 ὡς σάκκον τὸ περιβόλαιον αὐτοῦ. αὐτὸς γὰρ ὁ λαλῶν πάρεστι καὶ ὃ πάλαι 36 προμεμήνυκεν ἐσόμενον ὡς θεός, ἐπλήρου κατὰ καιροὺς ἀνθρωπίνως σταυρούμενος. μόνον οὐχὶ γὰρ πενθικὸν ἱμάτιον ὁ οὐρανὸς τὸν σκότον ἠμπέσχετο, ἥλιος δὲ τῶν ἀκτίνων τὸ σέλας οὐκέτι διδοὺς τοῖς ἐμπαροινῆσαι τετολμηκόσι τῶι τῶν ὅλων δεσπότηι καὶ θεῶι τὸν εἰς νοῦν καὶ καρδίαν ἐσόμενον αὐτοῖς προκαταμεμήνυκε σκότον. ψάλλει γάρ που 40

5 cf. 2, 10 Exc. Eph. XIIII Mar. Merc. X

1—2 VVa 3—40 V

6 εἰδῶσ V 8 οἱονή V 12 ἀπέστραψα V ἐπτυσμάτων V 13 οὐκ del. ed. Rom. 14 ἐγγύζη V 35 ἁγίου V Ἡσαίου Seuerus ut testatur Pusey 38 ἠμπέσχετο Pusey ὑμπέσχετο V 39 διδιδοὺσ V

Ps. 68, 24 καὶ ὁ μακάριος Δαυὶδ περὶ αὐτῶν· σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ
P 230 βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διὰ παντὸς σύγκαμψον. διερρήγνυτο δὲ καὶ
τὸ καταπέτασμα τοῦ ναοῦ τοῖς εἰς αὐτὸν πιστεύουσιν ἐκκαλύπτον ἤδη τὰ ἅγια τῶν ἁγίων
Hebr. 9, 8 καὶ τὰ ἐσωτάτω δεικνύον, ὡς οὐκέτι μὲν ἐχούσης στάσιν τῆς πρώτης σκηνῆς, πεφανερω-
μένης δὲ ἤδη τῆς τῶν ἁγίων ὁδοῦ, δῆλον δὲ ὅτι τῆς εἰς τὰ ἅγια τῶν ἁγίων. ἅγιος 5
Gal. 3, 24 μὲν γὰρ ὁμολογουμένως καὶ ὁ νόμος ἦν, ὅτι καὶ δικαιοσύνης πρύτανις, γέγονε δὲ καὶ
παιδαγωγὸς εἰς Χριστόν· ἁγιωτέρα γε μὴν ἀσυγκρίτως ἡ ἐν Χριστῶι νοεῖται Ζωὴ καὶ τῆς
ἐν σκιαῖς καὶ τύποις λατρείας προφερεστέρα τε καὶ ἐν ἀμείνοσιν ἡ ἐν πνεύματί τε καὶ
ἀληθείαι. ἆρ' οὐχὶ θεοπρεπῆ καὶ ὑπὲρ ἀνθρώπου φύσιν τὰ τοιάδε τῶν κατορθωμάτων εἶεν
Gen. 3, 24 ἄν; οὐ τὸ σωτήριον πάθος δεδυσώπηκε μὲν τὴν στρεφομένην ῥομφαίαν, εἰσκεκόμικε δὲ 10
πάλιν ἐν τῶι παραδείσωι τὸν ἄνθρωπον; ἔφη γὰρ ὁ Χριστὸς τῶι συγκρεμαμένωι λιστῆι
Lc. 23, 43 σήμερον μετ' ἐμοῦ ἔσηι ἐν τῶι παραδείσωι. οὐκ ἐπέλαμψε τοῖς ἐν σκότωι μετ'
Ies. 49, 9 ἐξουσίας ἐπιφωνῶν τὸ ἀνακαλύφθητε; κεκένωκε γὰρ τὸν ἅιδην ὡς θεὸς καὶ δεσμῶν
Iob 38,16.17 ἀνῆκε τοὺς ἐν αὐτῶι καὶ αὐτὸς ἦν ὁ πάλαι βοῶν πρὸς τὸν τληπαθέστατον Ἰώβ· ἦλθες
ἐπὶ πηγὴν θαλάσσης, ἐν δὲ ἴχνεσιν ἀβύσσου περιεπάτησας· ἀνοίγονταί σοι 15
φόβωι πύλαι θανάτου, πυλωροὶ δὲ ἅιδου ἰδόντες σε ἔπτηξαν. τί τοίνυν
τὰ ἔτι * * θεοπρεπῆ τῶν καθ' ἡμᾶς ἑνὶ καὶ ἀνθρώπωι μόνωι προσνέμων οὐκ ἐρυθριᾶις; ὅτι
γὰρ αὐτὸς ὁ τοῦ θεοῦ λόγος μορφὴν δούλου λαβὼν σαρκός τε καὶ αἵματος κεκοινωνηκὼς
PG 237 ἠνέσχετο μὲν δοῦναι τῶι θανάτωι τὸ ἴδιον σῶμα δι' ἡμᾶς καὶ ὑπάρχων ἀπαθὴς κατὰ φύσιν
Col. 1, 12-18 σαρκὶ πέπονθεν ἑκών, πιστώσεται γράφων ὁ πάνσοφος Παῦλος· εὐχαριστοῦντες τῶι 20
πατρὶ τῶι ἱκανώσαντι ἡμᾶς εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῶι
φωτί, ὃς ἐρρύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους καὶ μετέστησεν εἰς
τὴν βασιλείαν τοῦ υἱοῦ τῆς ἀγάπης αὐτοῦ, ἐν ὧι ἔχομεν τὴν ἀπολύτρωσιν,
P 231 τὴν ἄφεσιν τῶν ἁμαρτιῶν, ὅς ἐστιν εἰκὼν τοῦ θεοῦ τοῦ ἀοράτου,
πρωτότοκος πάσης κτίσεως, ὅτι ἐν αὐτῶι ἐκτίσθη τὰ πάντα ἐν τοῖς οὐ- 25
ρανοῖς καὶ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, εἴτε θρόνοι εἴτε κυριότητες
εἴτε ἀρχαὶ εἴτε ἐξουσίαι, τὰ πάντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται καὶ
αὐτός ἐστι πρὸ πάντων καὶ τὰ πάντα ἐν αὐτῶι συνέστηκε καὶ αὐτός ἐστιν
ἡ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας, ὅς ἐστιν ἀρχή, πρωτότοκος ἐκ τῶν
νεκρῶν, ἵνα γένηται ἐν πᾶσιν αὐτὸς πρωτεύων. ἰδοὺ δὴ καὶ μάλα σαφῶς 30
ὁ τῶν αὐτοῦ μυστηρίων ἱερουργὸς αὐτὸν ἔφη τὸν δι' οὗ τὰ πάντα καὶ ἐν ὧι τὰ πάντα
θεὸν λόγον, ὅς ἐστιν εἰκὼν τοῦ θεοῦ τοῦ ἀοράτου, τὸν δι' οὗ παρήχθη πρὸς ὕπαρξιν τά
τε ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, τὸν ὄντα πρὸ πάντων,
ἐν ὧι τὰ πάντα συνέστηκε, κεφαλὴν δεδόσθαι τῆι ἐκκλησίαι καὶ αὐτὸν εἶναι πρωτότοκον
ἐκ νεκρῶν. ἀλλ' ἐστίν, ἴσως ἐρεῖς, κατὰ φύσιν ζωὴ ὁ ἐκ θεοῦ πατρὸς λόγος· εἶτα 35
πῶς ἢ τίνα δὴ τρόπον τεθναίη ἂν ἡ ζωή; καλῶς, ἀναγκαία καὶ ἐπωφελὴς ἡ πεῦσις.
οὐκοῦν εἰς τὴν τοῦ μυστηρίου δύναμιν χρησίμως παραλαμβάνεται τὸ σάρκα γενέσθαι νοεῖν
τε καὶ λέγειν τὸν ἀεί τε ζῶντα καὶ ζωοποιὸν τοῦ θεοῦ λόγον, τουτέστιν ἴδιον ποιήσασθαι
σῶμα τὸ θανάτου δεκτικόν, ἵνα νοῆται παθὼν αὐτός, ὅτι τὸ ἴδιον αὐτοῦ πέπονθε σῶμα.
1 Cor. 15, 20 οὕτω γὰρ αὐτὸν γενέσθαι φαμὲν ἀπαρχὴν τῶν κεκοιμημένων καὶ πρωτότοκον ἐκ νεκρῶν. 40
τεθεῖσθαι γὰρ λέγεται μεθ' ἡμῶν ἐν μνήματι διὰ τῆς ἰδίας σαρκὸς ὁ ἀνιστὰς τοὺς νεκρούς,
Hebr. 10, 20 ἵνα καὶ ἡμεῖς συνεγερθῶμεν αὐτῶι· ταύτην γὰρ ἡμῖν ἐνεκαίνισε τὴν ὁδὸν καὶ ταύτης
ἕνεκα τῆς αἰτίας τεταπείνωκεν ἑαυτὸν καθεὶς εἰς κένωσιν καὶ εἰς ἀνθρωπότητα μεθ' ἡμῶν,
καίτοι θεὸς ὢν φύσει καὶ ἐκ θεοῦ πατρὸς πεφηνὼς ὁ μονογενής.

V

8 σκιαῖς Agellius σκηναῖσ V 17 lacunam signaui, c. g. supplendo μείζω καὶ παντὸς μᾶλλον
36 τεθναίη ἂν scripsi τεθνάναι V 39 ἵνα ed. Rom. εἶνα V νοεῖται V 42 ἐνεκαίνησε V

Ἀλλ' οἴεται μὲν κατὰ τὸ εἰκὸς τοὺς ὧδε ταῦτ' ἔχειν ὑπειληφότας καὶ ἀληθῶς δοξάζοντας P 232
ἐμβροντησίας εἰς λῆξιν τῆς ἀνωτάτω δραμεῖν, σκηπτόμενος δὲ πανταχοῦ τὸ δεῖν ἀπαθῆ
τὸν ἐκ θεοῦ πατρὸς ἡμῶν ὁμολογεῖσθαι λόγον, ἐξίστησιν αὐτοῦ, καὶ τοῦτο εἰς ἅπαν, τῆς
οἰκονομίας τὸν τρόπον, οὐκ ἀξιοῖ δὲ ὥσπερ ἢ φρονεῖν ἢ λέγειν ὅτι πέπονθεν ὑπὲρ ἡμῶν,
καίτοι τῆς θεοπνεύστου γραφῆς σαρκὶ λεγούσης παθεῖν καὶ ἀπαθῆ καὶ ἀσώματον * * ὅτι 1 Petr. 4, 1
τὸ ἴδιον αὐτοῦ καὶ ἑνωθὲν αὐτῷι πέπονθε σῶμα. ἔφη δὲ πάλιν ὡδί 6

6 **1** Διὰ τοῦτο περὶ τῆς ἡμετέρας ἀπαρχῆς ὁ μακάριος Πέτρος καταγγέλλων καὶ τὴν ἐκ Loofs p. 267,
τῆς θεότητος τῆς φαινομένης φύσεως διηγούμενος ὕψωσιν, τοῦτον, φησί, τὸν Ἰησοῦν 11-268, 3
ἀνέστησεν ὁ θεός. οὐκ ἀπέθανε θεός, ἀλλ' ἀνέστησεν. ἄκουε τῶν τοῦ Πέτρου Act. 2, 32
ῥημάτων, Ἀπολινάριε, ἄκουε σὺν Ἀπολιναρίωι καὶ Ἄρειε. τοῦτον, φησί, τὸν Ἰησοῦν 10 PG 240
ἀνέστησεν ὁ θεὸς τὸν φαινόμενον, τοῦτον τὸν ὁρώμενον ὄμμασι, τὸν ξύλωι προσηλω-
θέντα, τὸν ταῖς τοῦ Θωμᾶ ψηλαφηθέντα χερσί, τὸν πρὸς αὐτὸν κεκραγότα· ψηλάφησον,
ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα. καὶ Lc. 24, 39
ταύταις πεισθεὶς ὁ μαθητὴς ταῖς φωναῖς καὶ τῆι ψηλαφήσει τοῦ σταυρωθέντος σώματος
πεισθεὶς ⟨περὶ⟩ ἀναστάσεως τὸν παραδοξοποιὸν ἐδοξολόγει θεόν· ὁ κύριός μου καὶ Ioh. 20, 28
ὁ θεός μου [δόξα σοι], οὐ τὸ ψηλαφηθὲν προσαγορεύων θεόν· οὐδὲ γὰρ ψηλαφήσει 16
θεότης εὑρίσκεται.

2 Καὶ μεθ' ἕτερα· Περὶ τοῦ ψηλαφητοῦ τούτου καὶ ὁ Πέτρος ἐβόα· τοῦτον τὸν Ἰη- Loofs p. 268,
σοῦν ἀνέστησεν ὁ θεός. τῆι δεξιᾶι οὖν τοῦ θεοῦ ὑψωθείς· δεξιᾶς δὲ βοη- 12-14
θούσης ὁ θεὸς λόγος οὐκ ἔχρηιζεν, Ἄρειε. Act. 2, 32. 33 20

Ἀνίστησι μὲν ὁ υἱὸς τοὺς νεκροὺς καὶ θανάτου κρείττονα φαμὲν ὑπάρχειν αὐτόν,
μεμνήμεθα γὰρ ἀναφανδὸν εἰρηκότος ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή· πλὴν ὅταν Ioh. 11, 25
ἡμῖν ὁ θεσπέσιος Πέτρος εὐαγγελίζηται λέγων τοῦτον τὸν Ἰησοῦν ἀνέστησεν ὁ P 233
θεός, αὐτὸν εἶναι πιστεύομεν Ἰησοῦν τὸν ἐνανθρωπήσαντα λόγον. πῶς οὖν ἐγηγέρθαι Act. 2, 32
φαίη τις ἂν αὐτὸν παρὰ τοῦ πατρὸς ὑψῶσθαί τε τῆι αὐτοῦ δεξιᾶι; χρῆναι γὰρ οἶμαι ταυτὶ 25
διατρανοῦσθαι σαφῶς τοῖς οὐκ ἔχουσι νοεῖν, ἵνα καὶ τὴν τοῦ σκανδάλου πρόφασιν ἀπο-
κείραντες ὀρθὴν καὶ ἁπλανεστάτην τὴν τῆς ἀληθείας ἀποφήνωμεν ὁδόν. δέδωκε τοίνυν
τὸ ἴδιον σῶμα τῶι θανάτωι πρὸς βραχύ (χάριτι γὰρ θεοῦ, καθά φησιν ὁ Παῦλος, ὑπὲρ Hebr. 2, 9
παντὸς ἐγεύσατο θανάτου), εἶτα ὑπάρχων αὐτὸς ἡ ζωοποιὸς τοῦ θεοῦ καὶ πατρὸς
δεξιὰ καὶ δύναμις φθορᾶς καὶ θανάτου κρεῖττον ἀπέφηνεν αὐτό. καὶ πρός γε τοῦτο 30
ἡμᾶς πιστώσεται λέγων πρὸς Ἰουδαίους· λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν Ioh. 2, 19
ἡμέραις ἐγερῶ αὐτόν. σύνες οὖν ὅπως αὐτὸς ἐγείρειν τὸν ἑαυτοῦ ναὸν ἐπαγγέλ-
λεται, καίτοι τοῦ θεοῦ καὶ πατρὸς ἀναστῆσαι λεγομένου· δεξιὰ γάρ, ὡς ἔφην, ἐστὶ καὶ
δύναμις τοῦ πατρὸς ἡ ζωοποιὸς ὁ υἱός. ὥστε κἂν ἐνεργεῖν ὁ πατὴρ λέγηται τὴν τοῦ
θείου ναοῦ ζωοποίησιν, ἐνήργηκε δι' υἱοῦ, κἂν εἰ ὁρῶιτο πάλιν ὁ υἱὸς ἐνεργήσας, ἀλλ' οὐ 35
δίχα τοῦ πατρὸς ἐν πνεύματι. μία γὰρ ἡ θεότητος φύσις, ἐν τρισὶν ὑποστάσεσιν ἰδικαῖς
νοουμένη καὶ τὴν ἐφ' ἅπασι τοῖς δρωμένοις κίνησίν τε καὶ ἐνέργειαν ἔχουσα, νοητὴν δη-
λονότι καὶ θεοπρεπῆ. οὐκοῦν παρεχώρει μὲν τὸ σῶμα τοῖς τῆς ἰδίας φύσεως νόμοις
καὶ τὴν τοῦ θανάτου γεῦσιν ἐδέχετο, καὶ τοῦτο παθεῖν ἐφέντος αὐτῶι χρησίμως τοῦ ἑνω-

---

6, 1. 2 cf. Mar. Merc. p. 31, 37—32, 12; 6, 1 cf. Exc. Mar. Merc. VIII

1—6. 21—39 V 7—20 VV^a

5 lacunam signaui e. g. supplendo ὑπάρχοντα ὡς θεόν 7 ὁ — πέτρος ἀπαρχῆς V 12 τοῦ om. V^a 12/13 *palpa et uide* Mar. Merc. p. 57, 3 *palpate et uidete* p. 31, 42 13 θεωρεῖται V 15 περὶ addidi cf. p. 12, 27 16 δόξα σοι V om. V^a Mar. Merc. 39 αὐτῶι Patrol. αὐτὸ V

θέντος λόγου θείαι γε μὴν ἐζωοποιεῖτο δυνάμει τῆι τοῦ ἐνωθέντος αὐτῶι καθ' ὑπόστασιν
Mt. 1, 23 λόγου. ὅλον οὖν νοοῦμεν τὸν Ἐμμανουήλ, ὅ ἐστι μεθερμηνευόμενον μεθ' ἡμῶν ὁ θεός,
Act. 2, 32 ὅταν ἀκούσωμεν λέγοντος τοῦ θεσπεσίου Πέτρου τοῦτον τὸν Ἰησοῦν ἀνέστησεν ὁ
P 234 θεός, κἂν τὸν ὁρώμενον λέγηις καὶ προσηλωθέντα τῶι ξύλωι τόν ⟨τε⟩ ταῖς τοῦ Θωμᾶ
PG 241 ψηλαφηθέντα χερσίν, οὐδὲν ἧττον ἡμεῖς σεσαρκωμένον νοοῦμεν τὸν ἐκ θεοῦ πατρὸς λόγον
ἕνα τε καὶ τὸν αὐτὸν ὁμολογοῦμεν υἱόν. ἀόρατος γὰρ τὴν φύσιν ὑπάρχων γέγονεν
ὁρατός, ὅτι καὶ ἴδιον ἦν αὐτοῦ τὸ ὁρώμενον σῶμα. ψάλλει γοῦν ὁ θεῖος ἡμῖν Δαυίδ·
Ps. 49, 3 ὁ θεὸς ἐμφανῶς ἥξει, ὁ θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται, καὶ μὴν καὶ ὁ
Hab. 3, 3 μακάριος Ἀμβακούμ· ὁ θεὸς ἐκ Θαιμὰν ἥξει καὶ ὁ ἅγιος ἐξ ὄρους κατασκίου
δασέως. οὗτος ὑπάρχων καὶ ἀναφής, ἁπτὸς γενέσθαι λέγεται διὰ τὸ ἑνωθὲν αὐτῶι
Lc. 1, 1. 2 σῶμα. γράφει γοῦν ὁ Λουκᾶς· ἐπειδήπερ πολλοὶ ἐπεχείρησαν ἀνατάξασθαι
διήγησιν περὶ τῶν πεπληροφορημένων ἡμῖν πραγμάτων, καθὰ παρέδοσαν
ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου, καὶ πρός γε
1 Ioh. 1, 1. 2 τούτωι φησὶν ὁ σοφὸς Ἰωάννης· ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν
τοῖς ὀφθαλμοῖς ἡμῶν, ὃ ἐθεασάμεθα καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν,
περὶ τοῦ λόγου τῆς ζωῆς καὶ ἡ ζωὴ ἐφανερώθη καὶ ἑωράκαμεν καὶ μαρτυ-
ροῦμεν καὶ ἀπαγγέλλομεν ὑμῖν τὴν ζωὴν τὴν αἰώνιον, ἥτις ἦν πρὸς τὸν
πατέρα καὶ ἐφανερώθη ἡμῖν. ἀλλ' εἰ μὴ γέγονεν ἁπτός τε καὶ ὁρατὸς ὡς ἴδιον
ἔχων τὸ ὑποπίπτον ἁφῆι καὶ ὁράσει σῶμα, πῶς αὐτόπται τοῦ λόγου γεγόνασιν οἱ πάνσο-
φοι μαθηταί; πῶς δὲ καὶ τεθέανται καὶ ψηλαφῆσαί φασι τὸν λόγον τῆς ζωῆς, ἥτις ἦν
πρὸς τὸν πατέρα καὶ ἐφανερώθη ἡμῖν; τοῦτον οὖν αὐτὸν τὸν ἁπτόν τε καὶ ὁρατόν,
τὸν τῶι ξύλωι προσηλωμένον ἐπέγνω μὲν ὁ Θωμᾶς, ὡμολόγει δὲ καὶ μάλα ὀρθῶς θεὸν καὶ
Ioh. 20, 28. 29 κύριον. ἔφη γὰρ εὐθύς· ὁ κύριός μου καὶ ὁ θεός μου, εἶτα πρὸς αὐτὸν ὁ κύριος
ἡμῶν Ἰησοῦς Χριστὸς ὅτι ἑώρακάς με, πεπίστευκας· μακάριοι οἱ μὴ ἑωρα-
κότες καὶ πιστεύσαντες. τί πιστεύσαντες, εἰπέ μοι; ἆρ' οὐχ ὅτι θεὸς ὢν φύσει
P 235 τὸν ἴδιον ἐκ νεκρῶν ἀνέστησε ναόν; καίτοι πῶς ἀμφίλογον τὸ πρᾶγμά ἐστιν; ἀλλ' ὁ
χρηστὸς οὑτοσὶ μόνον οὐχὶ ταῖς τοῦ μαθητοῦ φωναῖς ἐπερυθριῶν ἀσυνέτως οὐχ ὁμολογῆσαί
φησιν αὐτὸν ὅτι καὶ κύριος καὶ θεός ἐστιν ὁ πρωτότοκος ἐκ νεκρῶν, παρατρέπει δὲ μᾶλλον
ἐπὶ τὸ αὐτῶι δοκοῦν τὴν τοῦ λόγου δύναμιν καί φησιν ὅτι τὸν παραδοξοποιὸν ἐδοξολόγει
θεόν, λέγων· ὁ κύριός μου καὶ ὁ θεός μου. προσεπάγει δὲ τούτοις
Loofs p. 268, 1-3 Οὐ τὸ ψηλαφηθὲν προσαγορεύων θεόν· οὐ γὰρ ψηλαφήσει θεότης εὑρίσκεται.
Ἐπιτιμᾶις οὖν, εἰπέ μοι, τῶι μαθητῆι κύριον καὶ θεὸν ὀνομάζοντι τὸν Χριστόν;
καίτοι δέδειχεν ἡμῖν ἀρτίως ὁ λόγος ὅτι θεὸς ὢν κατὰ φύσιν ὁ μονογενὴς ἀναφὴς καὶ
ἀόρατος ἁπτὸς γέγονε καὶ ὁρατός. ὅταν δὲ λέγηις· οὐ γὰρ ψηλαφήσει θεότης εὑρίσκεται,
πάλιν ἐκεῖνο ἐροῦμεν· τί παρωσάμενος τὴν οἰκονομίαν ὡς περὶ γυμνῆς διαλέγηι θεότητος,
εἰς λήθην δὲ ὥσπερ ἐληλακὼς ὅτι καὶ ἐσαρκώθη καὶ ἐνηνθρώπησεν ὁ ἀναφὴς καὶ ἀσώ-
ματος, οὐκ ἀνέχηι θεὸν ὀνομαζούσης αὐτὸν τῆς θεοπνεύστου γραφῆς διά τοι τὸ ἐψηλα-
φῆσθαι σαρκὶ ὤφθαί τε ὁμοίως τοῖς ἁγίοις ἀποστόλοις; ἀλλ' ἡμεῖς γε, ὦ τᾶν, ὁμοῦ
τῶι μακαρίωι Θωμᾶι τὸν τῶι ξύλωι προσηλωμένον, τὸν ψηλαφηθέντα χερσὶν ἑωραμένον τε
PG 244 τοῖς ἀνθρωπίνοις ὄμμασι ταῖς αὐτῶι πρεπούσαις εὐφημίαις στεφανοῦντες φαμέν· ὁ κύ-
ριός μου καὶ ὁ θεός μου.

Ὅτι δὲ κἂν εἴ τις λέγοι σαρκὶ τῆι ἰδίαι παθεῖν τὸν τοῦ θεοῦ λόγον, οὐκ ἂν ἀμοιρήσειε τοῦ καὶ ἐπαινεῖσθαι δεῖν καὶ φρονεῖν ἐλέσθαι τὰ ἀληθῆ (μεμένηκε γὰρ καὶ οὕτως ἀπαθής), πειράσομαι καταδεῖξαι πάλιν ἐξ ὧν γέγραφας αὐτὸς ἢ γοῦν ἔφης ἐν ἐκκλησίαις.

V

4 τε addidi 17 ἀπαγγέλλωμεν ἡμῖν V 27 ὁμολογῆσαί scripsi ὁμολόγησε V 40 στεφανοῦνται V, τεσ in mg.

ἐπαίνου μὲν γὰρ ἀξιοῖς τοὺς ἁγίους πατέρας ἡμῶν, τοὺς ἔν γε φημὶ τῇι Νικαέων κατὰ καιροὺς συναγηγερμένους ὡς ἀκριβῆ καὶ τετορνευμένην τῆς πίστεως ἡμῖν τὴν ὁμολογίαν εὖ μάλα πεποιημένους, πεφρόνηκάς γε μὴν οὐ τὰ ἐκείνων, πόθεν; οὔτε μὴν τοῖς τῆς ἀληθείας δόγμασιν ἐνερείσας τὸν νοῦν ὀρθὰ βαίνειν ἐπιθυμεῖς, χωλεύεις δὲ ὥσπερ ἀμφοτέραις P 236
ταῖς ἰγνύαις κατὰ τὸ γεγραμμένον, τοῖς μὲν τῆς ὀρθότητος ἐρασταῖς ἀσυνέτως ἐπιτιμῶν, 3 Reg. 18, 21
κρατύνων γε μὴν ὡς ἀλήθειαν τὸ αὐτῶι σοι δοκοῦν, μᾶλλον δὲ οὐδὲ οἷς αὐτὸς ἔφης, 6
ἐμμένειν ἀξιῶν. εὑρίσκω γὰρ λέγοντα περὶ τῶν ἁγίων πατέρων

7 1 Ἐπειδὴ γὰρ ⟨εἰ⟩ εἰρήκασιν ὅτι πιστεύομεν εἰς ἕνα θεὸν λόγον, ἔμελλεν ὁ θάνατος τῆι Loofs P. 358,
θείαι λογίζεσθαι φύσει, ὄνομα δέχονται κοινὸν τὸ Χριστὸς Ἰησοῦς, ἵνα καὶ τὸν ἀποθανόντα 9-18
σημάνωσι καὶ ⟨τὸν⟩ μὴ ἀποθανόντα. 10

Προσεπάγει δὲ τούτοις· Ὥστε εἴ τις λέγοι· ὁ δεῖνα ἄνθρωπος ἀπέθανε, καίτοι ἡ ψυχὴ ἀθάνατός ἐστιν, ἀλλ' ἐπειδὴ τὸ ὄνομα εἶπε τὸ σημαῖνον τὰς δύο φύσεις καὶ τὸ σῶμα τὸ ἀποθνῆισκον καὶ τὴν ψυχὴν τὴν ἀθάνατον, οὐκ ἔχει κίνδυνον ἡ φωνή· ἄνθρωπος γὰρ καλεῖται ἀμφότερα, καὶ τὸ σῶμα καὶ ἡ ψυχή· οὕτω τοίνυν καὶ ὁ μέγας ἐκεῖνος χορὸς ἔφη περὶ Χριστοῦ. 15

Ὅτι μὲν Χριστὸν Ἰησοῦν ὀνομάσαντες οὐ δύο καὶ ἀνὰ μέρος υἱοὺς κοινὸν ἔχοντας ὄνομα τὸ Χριστὸς Ἰησοῦς, ἐνηνθρωπηκότα δὲ μᾶλλον τὸν ἐκ θεοῦ λόγον κατασημαίνουσιν, ἀνταίρειν οἶμαι τῶν εὖ φρονούντων οὐδένα καὶ τὸ ἔτι μακροὺς περὶ τούτων ἡμᾶς ἀντεξάγειν λόγους πρὸς τοῖς ἤδη γεγενημένοις περιττὸν οἶμαί που· πλὴν εἰ τοῖς πρὸς ἡμῶν οὐκ ἀναπείθηι λόγοις εἴς γε τὸ ἑλέσθαι φρονεῖν ὅτι κἂν λέγωμεν σαρκὶ πεπονθέναι δι' ἡμᾶς 20
τὸν τοῦ θεοῦ λόγον, ἀπαθῆ καὶ οὕτω τηροῦμεν αὐτὸν ὡς θεόν, κἂν γοῦν ταῖς σεαυτοῦ χαρίζου φωναῖς τὸ εὖ πεποιῆσθαι δοκεῖν. ὥσπερ γὰρ ὁ ἄνθρωπον εἰπὼν συνεσήμανε τῶι σώματι τὴν ψυχήν, καίτοι τὴν φύσιν ὑπάρχουσαν ἑτεροφυᾶ παρ' αὐτό, κἂν εἰ λέγοιτο τὸ τοῦ δεῖνος σῶμα τυχὸν ἀποθανεῖν, ὅλος τοῦτο πεπονθὼς ὁ ἄνθρωπος νοοῖτ' ἂν εἰκότως, καίτοι θανάτου οὐκ ἔχων δεκτικὴν τὴν ψυχήν, οὕτω καὶ ἐπὶ τοῦ πάντων ἡμῶν σωτῆρος 25 P 237
Χριστοῦ. ἐπειδὴ γὰρ ὁ ἐκ θεοῦ πατρὸς λόγος, καθὰ πλειστάκις εἰρήκαμεν, μετέσχηκεν αἵματος καὶ σαρκὸς παραπλησίως ἡμῖν σῶμά τε ἴδιον ἐποιήσατο τὸ ἐκ τῆς ἁγίας παρθένου Hebr. 2, 14
κεχρημάτικέ τε οὕτω καὶ υἱὸς ἀνθρώπου, ταύτης ἕνεκα τῆς αἰτίας ἀποθανούσης αὐτοῦ τῆς σαρκὸς αὐτῶι μὲν τὸ πάθος ὁ τῆς ἀληθοῦς ἑνότητος ἀνάπτει λόγος, ἔξω γε μὴν οἶδε PG 245
μεμενηκότα τοῦ παθεῖν, ὅτι καὶ θεός ἐστι κατὰ φύσιν καὶ ζωή. καὶ γοῦν ὁ θεσπέσιος 30
Πέτρος τοιαύτην ἡμῖν παρατιθεὶς τὴν μυσταγωγίαν ὧδέ πήι φησι περὶ αὐτοῦ τοῖς πιστεύουσιν
εἰς αὐτόν· ὃν οὐκ ἰδόντες ἀγαπᾶτε, εἰς ὃν ἄρτι μὴ ὁρῶντες, πιστεύοντες 1 Petr. 1, 8-12
δὲ ἀγαλλιᾶσθε χαρᾶι ἀνεκλαλήτωι καὶ δεδοξασμένηι, κομιζόμενοι τὸ τέλος
τῆς πίστεως, σωτηρίαν ψυχῶν, περὶ ἧς σωτηρίας ἐξεζήτησαν καὶ ἐξηρεύνησαν
προφῆται οἱ περὶ τῆς εἰς ὑμᾶς χάριτος προφητεύσαντες, ἐρευνῶντες εἰς τίνα 35
ἢ ποῖον καιρὸν ἐδήλου τὸ ἐν αὐτοῖς πνεῦμα Χριστοῦ προμαρτυρόμενον τὰ
εἰς Χριστὸν παθήματα καὶ τὰς μετὰ ταῦτα δόξας, οἷς ἀπεκαλύφθη ὅτι
οὐχ ἑαυτοῖς, ἡμῖν δὲ διηκόνουν αὐτὰ ἃ νῦν ἀνηγγέλη ὑμῖν διὰ τῶν εὐαγ-
γελισαμένων ὑμᾶς πνεύματι ἁγίωι ἀποσταλέντι ἀπ' οὐρανοῦ, εἰς ἃ ἐπιθυ-
μοῦσιν ἄγγελοι παρακύψαι. ἀκούεις ὅπως τὸ πνεῦμα Χριστοῦ καὶ ἐν τοῖς ἁγίοις 40
προφήταις ἦν, προανακεκράγασι δὲ τὰ εἰς Χριστὸν παθήματα καὶ τὰς μετὰ ταῦτα δόξας;
ἆρ' οὖν ὡς ἄνθρωπον ἁπλῶς ὑπὲρ ἡμῶν πεπονθότα τῶι κόσμωι διακηρύττοντες; καὶ τοῦτό

1—7. 16—42 V 8—15 VVa

8 εἰ Va om. V 10 τὸν μὴ Va μὴ V 24 νοοῖτ' ed. Rom. νοεῖτ' V 32 οἰδόντες V
37 χῦ V 38 ἀνηγγέλλει ἡμῖν V 39 ἡμᾶς V

ἐστι τὸ μυστήριον τὸ διὰ τῶν ἁγίων ἡμῶν ἀποστόλων τε καὶ εὐαγγελιστῶν ἐν πίστει δεδωρημένον καὶ εἰς ταῦτα παρακύψαι φησὶν ἐπιθυμεῖν τοὺς ἀγγέλους; καίτοι πῶς οὐκ ἀπόβλητος εἴη ἂν ὁ μέχρι δὴ μόνων τῶν τῆς ἀνθρωπότητος ὅρων τὴν τοῦ μυστηρίου
P 238 Phil. δύναμιν κατακλείειν ἐπιχειρῶν; αὐτὸς ὁ ἐν μορφῇ τοῦ θεοῦ καὶ πατρὸς ὑπάρχων θεὸς
2, 6. 7 λόγος κεκένωκεν ἑαυτὸν μορφὴν δούλου λαβὼν καὶ τὴν κατὰ σάρκα γέννησιν ὑπομεμένηκε διʼ ἡμᾶς· αὐτὸς πέπονθεν ὑπὲρ ἡμῶν τῇ ἰδίαι σαρκὶ καὶ ἀνεβίω πάλιν ὡς θεός, κενώσας
Ies. 49, 9 τὸν ἅιδην καὶ εἰρηκὼς τοῖς ἐν δεσμοῖς· ἐξέλθετε, καὶ τοῖς ἐν τῶι σκότει· ἀνακαλύφθητε. τί τοίνυν ἀνατρέπειν ἐπιχειρεῖς τὴν οὕτω σεπτὴν καὶ ἀξιάγαστον οἰκονομίαν, διʼ ἧς καὶ σεσώσμεθα καὶ παντὸς εἴσω γεγόναμεν ἀγαθοῦ; τί γὰρ διʼ αὐτῆς ἐκερδάναμεν, εἴσηι
Col. 1, 21-23 τοι καὶ μάλα σαφῶς, ὠδὶ γεγραφότος τοῦ μακαρίου Παύλου· καὶ ὑμᾶς ποτε ὄντας ἀπηλλοτριωμένους καὶ ἐχθροὺς τῇι διανοίαι ἐν τοῖς ἔργοις τοῖς πονηροῖς, νυνὶ δὲ ἀποκατήλλαξεν ἐν τῶι σώματι τῆς σαρκὸς αὐτοῦ διὰ τοῦ θανάτου, παραστῆσαι ὑμᾶς ἁγίους καὶ ἀμώμους καὶ ἀνεγκλήτους κατʼ ἐνώπιον αὐτοῦ, εἴ γε ἐπιμένετε τῇι πίστει. οὐκοῦν ὀνίνησι μὲν ἡ πίστις τοὺς ἀσάλευτον αὐτὴν ἑλομένους τηρεῖν, ὀνίνησι δὲ κατὰ τίνα τρόπον, ὁ πάνσοφος
1 Ioh. 5, 5-10 ἡμᾶς Ἰωάννης πιστώσεται λέγων· τίς δέ ἐστιν ὁ νικῶν τὸν κόσμον εἰ μὴ ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ θεοῦ; οὗτός ἐστιν ὁ ἐλθὼν διʼ ὕδατος καὶ αἵματος Ἰησοῦς Χριστός, οὐκ ἐν τῶι ὕδατι μόνον, ἀλλʼ ἐν τῶι ὕδατι καὶ αἵματι, καὶ τὸ πνεῦμά ἐστι ⟨τὸ μαρτυροῦν, ὅτι τὸ πνεῦμά ἐστιν⟩ ἡ ἀλήθεια, ὅτι τρεῖς μαρτυροῦσι, τὸ πνεῦμα, τὸ ὕδωρ
PG 248 καὶ τὸ αἷμα καὶ οἱ τρεῖς τὸ ἕν εἰσιν. εἰ τὴν μαρτυρίαν τῶν ἀνθρώπων λαμβάνομεν, ἡ μαρτυρία τοῦ θεοῦ μείζων ἐστίν, ὅτι αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ θεοῦ ὅτι μεμαρτύρηκε περὶ τοῦ υἱοῦ αὐτοῦ. ὁ πιστεύων εἰς τὸν υἱὸν τοῦ θεοῦ ἔχει τὴν μαρτυρίαν ἐν ἑαυτῶι· ὁ μὴ πιστεύων τῶι θεῶι ψεύστην πεποίηκεν αὐτόν, ὅτι οὐκ ἐπίστευσεν εἰς τὴν μαρτυρίαν ἣν μεμαρτύρηκε περὶ τοῦ υἱοῦ αὐτοῦ. μεμαρτύρηκε δὲ τίνα τρόπον ὁ θεὸς καὶ πατὴρ τῶι υἱῶι,
Ioh. 1, 33. 34 σαφηνιεῖ λέγων ὁ θεσπέσιος ἡμῖν Ἰωάννης ὁ βαπτιστής· κἀγὼ οὐκ ἤιδειν αὐτόν, ἀλλʼ ὁ πέμψας με βαπτίζειν ὕδατι, ἐκεῖνός μοι εἶπεν· ἐφʼ ὃν ἂν ἴδηις τὸ
P 239 πνεῦμα καταβαῖνον καὶ μένον ἐπʼ αὐτόν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν τῶι πνεύματι τῶι ἁγίωι, καὶ ἐγὼ ἑώρακα καὶ μεμαρτύρηκα ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ θεοῦ. μαρτυρεῖται τοίνυν καὶ διὰ τῆς τοῦ πατρὸς φωνῆς ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ὅτι φύσει τε καὶ κατὰ ἀλήθειαν υἱός ἐστιν αὐτοῦ, μαρτυρεῖται δὲ οὐδὲν ἧττον διά τε τοῦ ὕδατος καὶ τοῦ αἵματος καὶ τοῦ πνεύματος. ὕδατι μὲν γὰρ τῶι ἁγίωι διασμήχει τῶν πιστευόντων τὰς ἁμαρτίας, ζωοποιεῖ δὲ διὰ τοῦ ἰδίου αἵματος καὶ συνάπτει θεῶι τοὺς ἐπὶ τῆς γῆς· ἐπειδὴ δέ ἐστι κατὰ φύσιν θεός, καὶ τὴν τοῦ ἁγίου πνεύματος χορηγίαν ποιεῖται πλουσίως, ὡς ἴδιον αὐτὸ ταῖς τῶν πιστευόντων ἐκχέων ψυχαῖς θείας τε
2 Petr. 1, 4 φύσεως κοινωνοὺς ἀποφαίνων καὶ τῆι τῶν ἐσομένων ἀγαθῶν ἐλπίδι στεφανῶν. ἕνα τοίνυν ὁμολογοῦμεν υἱὸν Χριστὸν Ἰησοῦν κύριον, τουτέστι τὸν τοῦ θεοῦ λόγον ἐνανθρωπήσαντα καὶ σεσαρκωμένον, καὶ τοῦτον ἐσταυρωμένον καὶ ἐγηγερμένον ἐκ νεκρῶν ἥξοντά τε κατὰ καιροὺς ἐν τῆι δόξηι τοῦ θεοῦ καὶ πατρὸς μετὰ τῶν ἁγίων ἀγγέλων, διʼ αὐτοῦ τε καὶ σὺν αὐτῶι τῶι θεῶι καὶ πατρὶ ἡ δόξα σὺν ἁγίωι πνεύματι εἰς τοὺς αἰῶνας. ἀμήν.

V

4 κατακλείειν ed. Rom. κατακλύειν V 19/20 τὸ μαρτυροῦν — ἐστιν om. V

167—169 Versio latina extat in Collectione Palatina 40 [Λ^P], Syriaca in cod. Mus. Brit. Add. 12156. praeterea libellus habetur coniunctus cum Solutionibus XII capitulorum [148] Graece in A 25 [Ψ], Latine in Collectione Sichardiana 4 [Λ^s]

Ἐπιστολὴ Θεοδωρήτου

Pusey 382
PG 76, 389

1 Λίαν ἤλγησα τοῖς ἀναθεματισμοῖς ἐντυχών, οὓς ἀπέστειλας, ἀνατρέψαι τούτους ἡμῖν ἐγγράφως κελεύσας καὶ τὴν αἱρετικὴν αὐτῶν ἔννοιαν γυμνὴν ἅπασι καταστῆσαι ἤλγησα δὲ ὅτι ἀνὴρ ποιμαίνειν λαχὼν καὶ ποίμνην τοσαύτην πεπιστευμένος καὶ θεραπεύειν τὰ ἀσθενῆ τῶν προβάτων προστεταγμένος νοσεῖ μὲν αὐτὸς καὶ λίαν σφοδρῶς, ἀναπιμπλάναι δὲ πειρᾶται τῆς νόσου τὰ θρέμματα καὶ τῶν ἀγρίων θηρῶν χαλεπώτερον τὰ ποιμαινόμενα διατίθησιν. οἳ μὲν γὰρ τὰ ἐσκεδασμένα καὶ τῆς ποίμνης κεχωρισμένα διασπῶσιν ἁρπάζοντες ὁ δὲ ἐν μέσωι ταύτης τυγχάνων καὶ σωτὴρ εἶναι καὶ φύλαξ νενομισμένος λαθραίαν τὴν βλάβην τοῖς πειθομένοις ἐνίησι. τὸ μὲν γὰρ προφανῶς πολεμοῦν δυνατὸν καὶ φυλάξασθαι· τὸ δ' ἐν σχήματι φιλίας τὴν ἐπιβουλὴν προσφέρον ἀφύλακτον εὑρίσκει τὸ πολεμούμενον καὶ ῥαιδίαν αὐτῶι τὴν βλάβην ἐντίθησι διο καὶ τῶν ἔξωθεν πολεμούντων οἱ ἔνδοθεν προδιδόντες εἰσὶ χαλεπώτεροι τοῦτό με μειζόνως ἠνίασεν το ἐν εὐσεβείας ὀνόματι καὶ σχήματι καὶ ἐν ποιμένος ἀξιώματι τυγχάνοντα τὰς αἱρετικὰς καὶ βλασφήμους ῥῆξαι φωνὰς καὶ τὴν πάλαι σβεσθεῖσαν Ἀπολιναρίου φλήναφον ὁμοῦ καὶ δυσσεβῆ διδασκαλίαν ἀνανεώσασθαι, πρὸς δὲ τούτοις το μὴ μόνον ταῦτα πρεσβεῦσαι, ἀλλὰ καὶ τοὺς οὐ πειθομένους αὐτῶι συμβλασφημεῖν ἀναθεματίσαι τολμῆσαι, εἴπερ ἀληθῶς αὐτοῦ ταῦτα τὰ γεννήματα

Libri initium ita ordinatur in Y Theodoreti epistula integra, anathematismus primus, oblocutio Theodoreti, Cyrilli epistula ad Euoptium, anathematismus primus iterum, apologia Cyrilli, item in Z nisi quod altero loco anathematismus deest, in V primo loco ponitur sub numero ρξζ' Theodoreti epistula integra, deinde sub numero ρξη' Cyrilli epistula ad Euoptium, tum sub numero ρξθ' anathematismus primus, pars epistulae Theodoreti [18 προς—p 108, 2 φλόγα = V_1] coniuncta cum oblocutione Theodoreti, denique apologia Cyrilli in $\Lambda^P\Sigma$ initium facit Cyrilli ep ad Euoptium, secuntur anathematismus primus, pars illa Theodoreti epistulae [18—p 108, 2] inscripta μέμψις τοῦ αἱρετικοῦ μεθ' ἑτερα et coniuncta cum illius oblocutione, responsio Cyrilli

In codicibus ARW initium facit Cyrilli epistula, secuntur prooemium Solutionum XII capitum [V 148, 1—3], anathematismus primus, Solutio prima [V 148, 5 6], pars illa epistulae Theodoreti [18—p 108, 2] coniuncta cum oblocutione eiusdem, denique apologia Cyrilli similiter in l et Collectione Sichardiana [Λ^s], nisi quod pro parte Theodoreti epistula extat integra et in Λ^s Solutio prima post Theodoreti oblocutionem collocatur, in b initium facit epistula Theodoreti integra, secuntur epistula Cyrilli ad Euoptium, prooemium Solutionum, anathematismus primus, Solutio prima, Theodoreti oblocutio prima, cui in margine m 1 apposita est pars illa epistulae [18—p 108, 2] inscripta ἀρχη τῆς θεοδωρήτου μέμψεως, denique Cyrilli apologia

---

YZVlbΛ^s, in 18/19 accedunt ARWV_1b$^{mg}\Lambda^P\Sigma$

inscr Ἐπιστολὴ θεοδωρήτου Y Ἐπιστολη θεοδωρήτου ἐπισκόπου κύρου V Θεοδωρήτου ἐπισκόπου ἀνατροπὴ τῶν τοιουτων ιβ̄ κεφαλαίων [XVII litterae euanidae] ἕκαστον τοῦ ἁγίου κυριλλου ἐπισκόπου ἀλεξανδρείασ — προοίμιον τῆσ ἀνατροπῆσ — Ἐπιστολη θεοδωρήτου πρὸσ τὸν ἁγιωτατον κύριλλον ἀλεξανδρείασ Z θεοδωρίτου ἐπισκόπου κύρου ἐπιστολη κατα τοῦ μακαρίου κυρίλλου ἀρχιεπισκόπου ἀλεξανδρείασ b μέμψισ θεοδωρίτου l epistulam ad Iohannem Antiochenum scriptam esse testatur Λ^s

5/6 ἡμῖν ἐγγραφωσ YZb ἡμᾶσ ἐγγράφωσ l ἐγγραφωσ ημῖν V 7 καὶ ὁτι Y 8 ἀναπιμπλᾶν Vb 9 τα Ylb καὶ τα VZΛ^s θηρῶν Yl θηρίων VZb 9/10 χαλεπωτερον — διατίθησιν Yl χαλεπώτερα — διατίθησιν Zb χαλεπώτερα — καθίστησιν V 10 ἐσκεδασμένα lΛ^s ἐσπουδασμένα Y διεσπασμένα Y^{mg}Vb διεσπαρμένα Z 12 βλαβην YlbA^s πλάνην VZ 13 ἐκφέρον b τὸ YlΛ^s τον VZb 15 προδιδόντες YlbZΛ^s πολεμοῦντεσ V τουτί VZ ἐν om Y τε καὶ b$^{l\,corr}$V 16 καὶ [1]] τον l τυγχάνοντι YZb καὶ βλασφήμουσ ZVblΛ^s om Y 17 σβεσθεῖσαν VZblΛ^s συντεθεῖσαν Y φλήναφον] βλάσφημον l 18 δὲ om b^{mg} οὐ om V superscr μη 19 συνβλασφημεῖν R τολμῆσαι ZVV_1b^{corr}lΣ τολμήσασ Ybb^{mg}ARW 19 — p 108, 1 τὰ γεννήματα — ταῦτα om Z τα VblAR om YWV_1b^{mg} νοήματα V_1

P 383 καὶ οὐ τῶν ἐχθρῶν τις τῆς ἀληθείας ὡς ἐξ ἐκείνου ταῦτα συντεθεικὼς ἔρριψεν ἐν μέσωι
2 κατὰ τὸ μυθευόμενον ἐκεῖνο μῆλον, τῆς ἔριδος εἰς ὕψος ἐγείρων τὴν φλόγα. ἐγὼ τοίνυν, εἴτε ἐκεῖνος εἴτε ἄλλος τις ὡς ἐξ ἐκείνου ταῦτα συντέθεικεν, τῶι φωτὶ τοῦ παναγίου πνεύματος συνεργῶι πρὸς τὴν ἔρευναν τῆς αἱρετικῆς κακοδοξίας χρησάμενος, κατὰ τὸ μέτρον τῆς δοθείσης μοι παρὰ τοῦ θεοῦ δυνάμεως διήλεγξα ταῦτα ὡς οἷόν τε ἦν, καὶ τὰς εὐαγγελικὰς αὐτοῖς καὶ ἀποστολικὰς ἀντέθηκα διδασκαλίας καὶ τὸ ἀλλόκοτον τοῦ δόγματος ἔδειξα καὶ ὅσην ἔχει διαφωνίαν πρὸς τὰ θεῖα διδάγματα, πεποίηκα φανερόν, παρεξετάσας αὐτὰ τοῖς τοῦ θείου πνεύματος λόγοις καὶ δείξας ὅπως ἐστὶν ἀσύμφωνα καὶ τῶν θείων ἀλλό-
Gal. 1, 8 τρια. πρὸς δὲ τὴν τοῦ ἀναθεματισμοῦ τόλμαν τοσοῦτον ἐρῶ ὅτι Παῦλος ὁ μεγαλοφωνότατος τῆς ἀληθείας κῆρυξ τοὺς παραφθείραντας τὰ εὐαγγελικὰ καὶ ἀποστολικὰ διδάγματα
PG 392 ἀνεθεμάτισεν, καὶ τῶν ἀγγέλων κατατολμήσας, οὐ τοὺς ἐμμένοντας τοῖς δοθεῖσιν ὅροις
Gal. 6, 16 ὑπὸ τῶν θεολόγων ἀνδρῶν· τούτους γὰρ καὶ εὐλογίαις ᾠχύρωσεν, εἰπών· ὅσοι τῶι κανόνι τούτωι στοιχήσουσιν, εἰρήνη ἐπ' αὐτοὺς καὶ ἔλεος καὶ ἐπὶ τὸν Ἰσραὴλ τοῦ θεοῦ. δρεπέσθω τοίνυν ὁ τῶν λόγων τούτων πατὴρ ἐκ τῆς ἀποστολικῆς ἀρᾶς τῶν οἰκείων πόνων τὰ ἐπίχειρα καὶ τῶν αἱρετικῶν σπερμάτων τὰ δράγματα· ἡμεῖς δὲ τῆι τῶν ἁγίων πατέρων ἐμμενοῦμεν διδασκαλίαι. ὑπέταξα δὲ καὶ τὰς γεγενημένας ἀντιρρήσεις τῆιδέ μου τῆι ἐπιστολῆι, ἵνα ἀναγνοὺς δοκιμάσηις εἰ δυνατῶς τῶν αἱρετικῶν προβλημάτων τὴν λύσιν ἐποιησάμεθα. ἕκαστον δὲ τῶν ἀναθεματισμῶν καθ' ἑαυτὸν τεθεικώς, προσήγαγον τὴν ἀντίρρησιν, ὅπως ἂν ῥαιδία τοῖς ἐντυγχάνουσιν ἡ κατανόησις γένηται καὶ σαφὴς τῶν δογμάτων ὁ ἔλεγχος.

P 388 3 Εἴ τις οὐχ ὁμολογεῖ θεὸν εἶναι κατὰ ἀλήθειαν τὸν Ἐμμανουὴλ καὶ διὰ τοῦτο θεοτόκον τὴν ἁγίαν παρθένον (γεγέννηκε γὰρ σαρκικῶς σάρκα γεγονότα τὸν ἐκ θεοῦ λόγον), ἀνάθεμα ἔστω.

4 Ἡμεῖς ὅσοι ταῖς εὐαγγελικαῖς ἀκολουθοῦμεν διδασκαλίαις, οὐ σάρκα φύσει γεγονέναι οὐδ' εἰς σάρκα μεταβληθῆναι τὸν θεὸν λόγον φαμέν· ἄτρεπτον γὰρ τὸ θεῖον καὶ ἀναλλοίω-

---

in 1/2 accedunt ARWV$_1$bmgΛpΣ; 1—20 YZVblΛ^s; 21—25 Φ [= YZVb], ΛpΣ, Ψ [= ARWl], Λ^s; uariam in anathematismo lectionem ΨΛ^s quaeras in V 148

1 τισ τῆς ἀληθειασ V$_1$b^{corr}lWΛ^s τί τῆσ ἀληθειασ R τῆσ ἀληθειασ VAbb^{mg} τῆσ ἀληθειασ τίσ Y ὡς — ταῦτα] ἐξεῦρε καὶ V$_1$ ὡς] δσ Vb, corr. b ταῦτα τίσ b^{mg} εἰσ μέσον ἔρριψε b^{mg} ἐμμέσω R 2 ἐκεῖνον V om bb^{mg} ἐκεῖνο superscr. b τῆσ ἔριδοσ μῆλον b^{mg} ἐγείρων ZblVWV$_1$ ἐγεῖρον ARΛpΣ ἐγεῖραι Y τὴν φλόγα om. W 3 τις om. Y ἁγίου Z 4 πρὸς om. Z περὶ b αἱρετικῆς om. Y 5 παρὰ τοῦ θεοῦ om. V 6 αὐτοῖς om. VZ ἀντέθηκα Vbl ἀντέθεικα Y ἀνατέθεικα Z 7 δόγματα V φανεράν l 8 δείξασ YblΛ^s διδάξασ VZ ὅπη l ἐστὶν om. V 9 περὶ b 10 παραφθείροντασ Y διατάγματα b 12 παρὰ l θεοφόρων l εὐλογήσασ Y 13 στοιχήσουσιν Y στοιχοῦσιν ZVbl 17 δοκιμάσασ V 19 προσήγαγον YblΛ^s ἐξήγαγον VZ ῥαδίωσ V 19/20 ἡ κατανόησισ om. l 20 ὁ om. bl

21 inscr. Τοῦ ἁγίου κυρίλλου κεφάλαιον πρῶτον κατὰ τοῦ νεστορίου post alteram inscriptionem infra ad 24 enotatam Y ἔστιν οὖν ὁ πρῶτοσ ἀναθεματισμὸσ οὗτοσ: κυρίλλου κατὰ τῶν νεστορίου δογμάτων Z κυρίλλου ἀρχιεπισκόπου ἀλεξανδρείασ πρὸσ τοὺσ τολμῶντασ συνηγορεῖν τοῖσ νεστορίου δόγμασιν ὡσ ὀρθῶσ ἔχουσιν κεφάλαια ιβ: ἀναθεματισμὸσ πρῶτοσ V [cf. A 24] ἀναθεματισμὸσ πρῶτοσ b 22 γεγονότα om. Y ἐκ θῦ Z τοῦ θῦ YbV

24 inscr. θεοδωρίτου [θεοδωρήτου Y] ἐπισκόπου κύρου ἀνατροπὴ ἣν ἐποίησεν ὡσ ἐνόμισεν κατὰ τῶν δώδεκα κεφαλαίων τοῦ ἁγιωτάτου [ἁγίου b] κυρίλλου [κυρίλλου ἀρχιεπισκόπου ἀλεξανδρείασ b] ὧν ἐξέθετο κατὰ τοῦ δυσσεβοῦσ νεστορίου ἢ γοῦν ἀναθεματισμῶν καὶ τῶν ὁμοφρόνων αὐτοῦ [αὐτῷ b] Yb ἀνατροπὴ θεοδωρήτου Z, ante partem epistulae Theodoreti cum oblocutione coniunctam θεοδωρήτου ἐπισκόπου κύρου ἀνατροπὴ τῶν ιβ κεφαλαίων. καὶ μεθ' ἕτερα [cf. ΛpΣ] V μέμψισ θεοδωρήτου [θεοδωρίτου AW] AWR ante epistulam integram Theodoreti et inscriptione oblocutionis omissa μέμψισ θεοδωρίτου l ἡμεῖσ Ylb οὕτω μὲν ἐκεῖνοσ ἡμεῖσ δὲ Z ἡμεῖσ δὲ VARWΛ^{ps}Σ ἀκολουθοῦντεσ Z διδασκαλίαισ YZbΨΛ^{s}Σ φωναῖσ V

τον. δι' ὃ καὶ Δαυὶδ ὁ προφήτης λέγει· σὺ δὲ ὁ αὐτὸς εἶ καὶ τὰ ἔτη σου οὐκ Ps. 101, 28
ἐκλείψουσιν, ὅπερ Παῦλος ὁ μέγας τῆς ἀληθείας κῆρυξ εἰς τὸν υἱὸν εἰρῆσθαι ἐν τῇι Hebr. 1, 12
πρὸς Ἑβραίους ἐδίδαξεν. καὶ ἑτέρωθι δὲ διὰ τοῦ προφήτου φησὶν ὁ θεός· ἐγὼ εἰμὶ ἐγὼ Mal. 3, 6
εἰμὶ καὶ οὐκ ἠλλοίωμαι. εἰ τοίνυν ἄτρεπτον τὸ θεῖον καὶ ἀναλλοίωτον, τροπῆς ἐστιν
καὶ μεταβολῆς ἀνεπίδεκτον· εἰ δὲ ἀδύνατον τραπῆναι τὸ ἄτρεπτον, οὐκ ἐγένετο σὰρξ ὁ θεὸς 5
λόγος τραπείς, ἀλλὰ ἀνέλαβε σάρκα καὶ ἐσκήνωσεν ἐν ἡμῖν κατὰ τὴν τῶν εὐαγγελίων Ioh. 1, 14
5 φωνήν. καὶ τοῦτο σαφὲς ὁ θειότατος Παῦλος ποιῶν ἐν τῇι πρὸς Φιλιππησίους φησίν·
τοῦτο φρονείσθω ἐν ὑμῖν ὃ καὶ ἐν Χριστῶι Ἰησοῦ· ὃς ἐν μορφῇι θεοῦ Phil. 2, 5-7
ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῶι, ἀλλ' ἑαυτὸν ἐκένωσεν PG 393
μορφὴν δούλου λαβών. δῆλον τοίνυν ἐκ τῶν εἰρημένων ὡς ἡ τοῦ θεοῦ μορφὴ οὐκ 10
ἐτράπη εἰς δούλου μορφήν, ἀλλὰ μένουσα ὃ ἦν, ἔλαβε τὴν τοῦ δούλου μορφήν. εἰ τοί-
νυν οὐ γέγονε σὰρξ ὁ θεὸς λόγος, ἀλλὰ σάρκα ζῶσαν καὶ λογικὴν ἀνέλαβεν, οὐκ αὐτὸς
φύσει ἐκ τῆς παρθένου γεγέννηται συλληφθεὶς καὶ διαπλασθεὶς καὶ μορφωθεὶς καὶ ἀρχὴν
ἐκεῖθεν τοῦ εἶναι λαβὼν ὁ πρὸ τῶν αἰώνων ὑπάρχων καὶ θεὸς ὢν καὶ πρὸς τὸν θεὸν ὢν
καὶ τῶι πατρὶ συνὼν καὶ μετὰ τοῦ πατρὸς γνωριζόμενός τε καὶ προσκυνούμενος, ἀλλ' ἑαυτῶι 15 P 392
ναὸν ἐν τῇι παρθενικῇι γαστρὶ διαπλάσας συνῆν τῶι πλασθέντι καὶ κυηθέντι καὶ μορφω-
6 θέντι καὶ γεννηθέντι. οὗ χάριν καὶ τὴν ἁγίαν ἐκείνην παρθένον θεοτόκον προσαγο-
ρεύομεν, οὐχ ὡς θεὸν φύσει γεννήσασαν, ἀλλ' ὡς ἄνθρωπον τῶι διαπλάσαντι αὐτὸν ἡνω-
μένον θεῶι. εἰ δὲ οὐκ ἄνθρωπος ὁ ἐν τῇι γαστρὶ τῆς παρθένου διαπλασθείς, ἀλλὰ θεὸς
λόγος ὁ πρὸ αἰώνων, ποίημα ἄρα τοῦ πνεύματος ὁ θεὸς λόγος. τὸ γὰρ ἐν αὐτῇι 20 Mt. 1, 20
φησὶ γεννηθὲν ὁ Γαβριήλ, ἐκ πνεύματός ἐστιν ἁγίου. εἰ δὲ ἄκτιστος ὁ μονο-
γενὴς τοῦ θεοῦ λόγος καὶ τῶι πατρὶ ὁμοούσιός τε καὶ συναίδιος, οὔκ ἐστι πλάσμα ἢ κτίσμα
τοῦ πνεύματος. εἰ δὲ οὐ τὸν θεὸν λόγον τὸ πνεῦμα τὸ ἅγιον ἐν τῇι γαστρὶ τῆς παρθέ-
νου διέπλασεν, λείπεται νοεῖν τὴν τοῦ δούλου μορφὴν καὶ πλασθῆναι καὶ μορφωθῆναι καὶ
7 κυηθῆναι καὶ γεννηθῆναι φύσει. ἐπειδὴ δὲ οὐ γυμνὴ ἦν τῆς τοῦ θεοῦ μορφῆς, ἀλλὰ 25
ναὸς ἦν θεὸν ἔνοικον ἔχων κατὰ τὴν τοῦ Παύλου φωνήν (ἐν αὐτῶι γάρ φησιν εὐδό- Col. 1, 19
κησεν πᾶν τὸ πλήρωμα τῆς θεότητος κατοικῆσαι σωματικῶς), οὐκ ἀνθρωποτόκον, cf. 2, 9
ἀλλὰ καὶ θεοτόκον τὴν παρθένον προσαγορεύομεν, τὴν μὲν τῇι διαπλάσει καὶ μορφώσει
καὶ κυήσει, τὴν δὲ τῇι ἑνώσει τιθέντες προσηγορίαν. διὰ τοῦτο καὶ τὸ τεχθὲν βρέφος
Ἐμμανουὴλ προσαγορεύεται, οὔτε θεὸς ἀνθρωπείας κεχωρισμένος φύσεως οὔτε ἄνθρωπος γε- 30
γυμνωμένος θεότητος. τὸ γὰρ Ἐμμανουὴλ τὸ μεθ' ἡμῶν ἑρμηνεύει εἶναι θεὸν κατὰ τὴν τῶν

11—19 adferuntur a Timotheo arm. p. 54 et in Concilii quinti collatione V [L v 504 = M viii 290] 11—16 πλασθέντι adfert sed breuiata Tim. arm. p. 74 25—29 Tim. arm. p 54 29—31 adfert Cyrillus infra 17

Φ [= YZVb], ΛpΣ, Ψ [= ARWlb], Λs

1 Δαυὶδ ὁ προφήτης] ὁ δᾶδ Z ὁ αὐτός] αὐτὸσ R 2 ὁ μέγασ ὁ V 3 ἐδόξασε Y 3/4 εγὼ εἰμὶ ἐγὼ εἰμὶ YAWΛpΣ ἐγὼ εἰμὶ ZVbRlΛs 4 τοίνυν YbΨ οὖν VZ τροπῆσ ἀπάσησ bcorr 5 τὸ Φl τὸν ARWbcorrΛs θεὸς om. l 7 σαφῶσ Vl λέγων VZ 8 ἡμῖν Vb, corr. b 10/11 δῆλον — μορφήν² om. l 11 εἰ om. VZ 13 ἐκ τῆσ παρθένου φύσει Yb γεγένηται Y συλλημφθεῖσ R πλασθεῖσ Yb 14 τῶν om. l 15 τοῦ om. Vb 16 κυηθέντι καὶ μορφωθέντι καὶ om. V 17 παρθένον ἐκείνην b 19 τῇ [om. V] γαστρὶ τῆσ παρθένου VZΨbcorrΣ τῇ παρθένω Yb ἀλλ' ὁ Yb 20 προαιώνιοσ Y 21 γεννηθὲν φησὶν Z ἐκ — ἁγίου ὁ γαβριὴλ Y ἐστιν om. V 22 οὐκ ἐστι] οὐκέτι V 23 οὐ — ἅγιον om. Yb, add. b² in mg. 24/25 κυηθῆναι καὶ μορφωθῆναι b 25 γυμνὴ ἦν YVblAcorrRΛs γυμνὴν AW πᾶν ἦν ZΛpΣTim. τῆσ τοῦ θῦ μορφῆσ VZΨbcorrΛs Tim. *serui formae* Λp ἡ τοῦ θῦ μορφὴ YbΣ superscr. ἀνου Y 26 θῦ ἔνοικον ἔχων Yb ἔνοικον ἔχων θῦ l ἔνοικον τὸν θῦ λόγον ἔχων VZ ἔνοικον ἔχων AWRΛpsΣTim. τοῦ om. YbW φησὶν post εὐδόκησε coll. Z om. W 26/27 ηὐδόκησε VW 27 τῆσ θεότητος om. V ἐνοικῆσαι b 28 ἀλλὰ καὶ VZWΛpsΣ μόνον ἀλλὰ καὶ Ybl ἀλλὰ ARTim. 29 κυήσει YbΨΛs ἑνώσει VZΛpΣTim. τῇ A 30 προσαρεύεται R φύσεωσ κεχωρισμένοσ YVb 31 τὸ ² om. l τὸν YZbΣ εἶναι VbcorrΨΛps om. YZbΣ

Mt. 1, 23 εὐαγγελίων φωνήν· τὸ δὲ μεθ' ἡμῶν ὁ θεὸς καὶ τὸν ἐξ ἡμῶν ὑπὲρ ἡμῶν ληφθέντα δηλοῖ καὶ τὸν ἀνειληφότα θεὸν λόγον κηρύττει. οὐκοῦν τὸ βρέφος Ἐμμανουὴλ διὰ τὸν ἀνειληφότα θεόν, καὶ θεοτόκος ἡ παρθένος διὰ τὴν πρὸς τὴν κυηθεῖσαν δούλου μορφὴν ἕνωσιν τῆς τοῦ θεοῦ μορφῆς· οὐ γὰρ εἰς σάρκα ὁ θεὸς λόγος ἐτράπη, ἀλλ' ἡ τοῦ θεοῦ μορφὴ ἔλαβε τὴν τοῦ δούλου μορφήν.

P 384 8 PG 385 Κύριλλος τῶι εὐλαβεστάτωι καὶ ποθεινοτάτωι ἀδελφῶι καὶ συλλειτουργῶι Εὐοπτίωι ἐν κυρίωι χαίρειν. Ἐνέτυχον τοῖς παρὰ τῆς σῆς θεοσεβείας ἀρτίως ἐπεσταλμένοις τεθαύμακά τε τὴν διάθεσιν καὶ ἀγάπης τῆς ἐν Χριστῶι τὸ γνήσιον. χρῆναι δὲ ὑπολαμβάνω Prou. 18, 19 καὶ νῦν εἰπεῖν ὡς ἔστιν ἀληθὲς τὸ ἐν βιβλίωι Παροιμιῶν γεγραμμένον· ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθούμενος ὡς πόλις ὀχυρά. καί μοι δοκεῖ τῆς ἀγάπης τὸ χρῆμα τοῦ παντὸς ἄξιον γενέσθαι λόγου παρὰ τῆι θεοπνεύστωι γραφῆι, καὶ μάλα εἰκότως· πλή- Rom. 13, 10 ρωσιν γὰρ ἔχει τοῦ νόμου καὶ προύχει τῶν ἄλλων ἀρετῶν καὶ ἐν πολλῶι κεῖται θαύματι P 386 παρὰ ταῖς τῶν ἁγίων ψυχαῖς. πληροῦσθαί γε μὴν αὐτὴν φαμὲν οὐκ ἐν ψιλαῖς τε καὶ μόναις ῥημάτων προφοραῖς, ἀλλὰ δι' αὐτῶν τῶν πραγμάτων μαρτυρουμένην. ὥσπερ γὰρ αἱ πολυτελέσταται τῶν λίθων, ἃς καὶ Ἰνδικὰς εἶναί φασιν, οὐκ ἐξ ὧν ἄν τις ἐξηγοῖτο περὶ αὐτῶν, ἀλλ' ἐξ ὧν εἰσίν, παρὰ τοῖς ὁρῶσιν θαυμάζονται, τὸν αὐτὸν οἶμαι τρόπον καὶ PG 388 τὸ λαμπρὸν τῆς ἀγάπης ἐκφαίνεται κάλλος δι' αὐτῶν τῶν κατορθωμάτων ἐφ' ἅπασι τοῖς 9 ἀρίστοις μαρτυρούμενον. ταύτην ἡ σὴ θεοσέβεια ποιεῖται περὶ πολλοῦ, τῆς τῶν ἁγίων φρενὸς ἰοῦσα κατ' ἴχνος καὶ τὸ τῆς ἐκείνων εὐζωίας εἰς ἑαυτὴν ἀναματτομένη καύχημα δέδεγμαι δὲ καὶ νῦν εἰς πληροφορίαν τῆς ἐνούσης διαθέσεως τῆι σῆι θεοσεβείαι τον διαπεμφθέντα τόμον, ὃν συνθεῖναι λέγεται κατὰ τῶν ἀναθεματισμῶν Θεοδώρητος ὁ Κύρου καλεῖσθαι γὰρ οὕτω φασὶ τὸ πολίχνιον. ἐντυχὼν δὲ τοῖς ἐγκειμένοις, ἀνέθηκα τῶι Ps. 119, 2 θεῶι τὰς χαριστηρίους ὠιδάς, οὐ διαλέλοιπα δὲ κἀκεῖνο λέγων· κύριε, ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων καὶ ἀπὸ γλώσσης δολίας. εὑρίσκω γὰρ ἐμαυτὸν συκοφαντούμενον πανταχοῦ καὶ ἐφ' ἑκάστωι τῶν κεφαλαίων ὑπομένοντα τοῦτο. ἐννενοηκὼς δὲ ὅτι καίτοι, καθά φασι τῶν γνωρίμων τινές, οὐκ ἔξω τριβῆς τῆς τό γε ἧκον εἰς λόγους ὑπάρχων ὁ ἀνήρ, συναγηγερκὼς δὲ τάχα καὶ τῶν ἱερῶν

Φ [= YZVb], ΛpΣ, Ψ [= ARWl], Λs

1 δὲ om Rl ληφθέντα θν̄ b 3 ἡ διά Ycorr πρὸς τὴν κυηθεῖσαν] προσκυνηθεῖσαν Y προσληφθεῖσαν Ycorr ἀποκυηθεῖσαν b τοῦ δούλου Ybl 4 λόγος ΦΛpΣ om ΨΛs

6 inscr ἀπολογία τοῦ ἁγιωτάτου κυρίλλου ἀρχιεπισκόπου ἀλεξανδρείας πρὸς τὴν παρὰ θεοδωρητου ἀντίρρησιν κατὰ τῶν δώδεκα κεφαλαίων Y ἐπιστολὴ τοῦ ἁγίου κυρίλλου πρὸς εὐόπτιον προς τὴν παρα θεοδωρήτου [τοῦ θεοδωρίτου b] γενομένην [γενομένην om Vb] κατὰ τῶν προγραφέντων [προγραφέντων om Vb] δώδεκα κεφαλαίων ἀντίρρησιν ZVb κυρίλλου [κυρίλλου ἀρχεπισκόπου [om W] ἀλεξανδρείας RW] πρὸς τα παρὰ θεοδωρήτου [θεοδωρίτου AW] εἰρημένα κατὰ τῶν ἀναθεματισμῶν ARWΛp inscriptio detrita in l

6 Τῶ — εὐοπτίω κύριλλος A Τῶ — εὐοπτίω κὺριλλος ἐπίσκοποσ ἀλεξανδρείασ Z συνλειτουργῶ R εὐωπίω W om V 7 ἀρτίως om. V 8 καὶ om Y ἀγαπησ — χω̄ ARWb τῆσ ἀγάπησ τῆσ ἐν χω̄ Yl τῆσ ἐν χω̄ ἀγάπησ VZ 9 ἐν YbΨ ἐν τῆ VZ βιβλίω YAW βίβλω VZRbl τῶν παροιμιῶν VZ εἰρημένον V 10 χρήσιμον b in ras 12 γαρ om VZ τῶν ἄλλων ἀρετῶν in τῶν ἀρετῶν τῶν ἄλλων corr b 13 αὐτὴν φαμὲν Φ φαμὲν αὐτὴν ARW αὐτὴν l 14 μόνον Y πληροφορίαισ b in ras μαρτυρουμέναισ V 15 πολυτελέστατοι Z, b in ras καὶ om Wb, corr b ἐξηγεῖτο b, corr b 16 οἶμαι VZbΨΛs δὴ Y 17 ἐμφαίνεται V ἐκφαίνεσθαι W κατορθωμάτων YbΨΛs κατορθουμένιων VZ 18 μαρτυρούμενον VZbΨΛsΣ κατορθούμενον YΛp 19 ἑαυτῆσ ZcorrV 20 δὲ om Z καὶ νῦν ΦlΛpsΣ om ARW 21 θεοδώριτοσ bA κύρρου R 22 ἀνέθηκα in ἀνατέθεικα corr b 23 εὐχαριστηρίουσ b 25 ἑκάστου V 26 ἐννενοηκὼσ YZbRWΛsΣ ἐννεόηκε V ἐννενόηκα A ἐννενόησα l καίτοι om l 27 τῆς] εἰσ in ras b τό γε in ras b τότε A ἧκον in ras b ἵἡκειν YZ ὑπάρχει Z τάχα] πανταχοῦ b in ras.

γραμμάτων οὐ μετρίαν εἴδησιν, ἀπεκομίσθη τοσοῦτον τοῦ συνιέναι τῶν κεφαλαίων τὴν δύναμιν, ὥστε με λοιπὸν οἴεσθαί τε καὶ φρονεῖν ὅτι ταῖς τινων ἐπιθυμίαις τὸ δοκεῖν ἠγνοηκέναι χαρίζεται, ἵνα μὴ ἀκόμψως καὶ περιττῶς, εὐαφόρμως δὲ μᾶλλον ταῖς καθ' ἡμῶν P 388
λοιδορίαις κεχρῆσθαι νομίζηται (καίτοι δυσχερὲς ἢ ἄναντες οὐδέν, ὡς γε οἶμαι, παντελῶς ἐν τοῖς
10 παρ' ἡμῶν εἰρημένοις ἐστὶν οὔτε μὴν δυσέφικτον ἔχει τὴν προσβολήν), ἐπειδὴ δὲ ἦν ἀναγκαῖον 5
καίτοι γεγραφότας ἤδη περὶ τούτων ἡμᾶς ὀλίγα καὶ πρὸς αὐτὸν εἰπεῖν, ἵνα μή τις οἴηται σιωπᾶν ἐλέσθαι κατεγνωσμένους, ποιήσομαι τὴν ἀπολογίαν, βραχυλογήσας ὡς ἔνι. ἔδει μὲν οὖν αὐτὸν ταῖς θεοπνεύστοις ἐνησκημένον γραφαῖς, εἴπερ ἦν ὅλως σκοπὸς αὐτῷ τοὺς περὶ τῶν θείων ἡμῖν μυστηρίων ποιεῖσθαι λόγους, τῶν ἱερῶν γραμμάτων διαμεμνῆσθαι μόνων ἐξυφαίνειν τε οὕτως ἁγιοπρεπῶς τὴν ἀφήγησιν καὶ μὴ μύθους ἡμῖν ἀρχαίους καὶ 10
ὀδωδότας παρακομίζειν εἰς μέσον. παρεικάζειν γὰρ ἀξιοῖ τοὺς ἐμοὺς λόγους τῷ μήλῳ τῆς Ἔριδος, τάχα που πρὸς ἔνδειξιν τῆς ἐνούσης σοφίας αὐτῷ τὸ χρῆμα ποιούμενος. ὅθεν καὶ ἡμεῖς ἐν πλείστῳ τε ὅσῳ καὶ μεγάλῳ θαύματι τὰ κατ' αὐτὸν πεποιήμεθα· φαίνεται γὰρ ἐκ πολλῆς ἄγαν ἐλλογιμότητος καὶ φιλομαθείας τὸ μῆλον τῆς Ἔριδος οὐκ ἠγνοηκὼς οὔτε μὴν τὸν Πριάμου Πάριν. πλὴν τὰ τοιάδε μεθέντες εἰς τὸ παρόν, ἀνθεξόμεθα 15
μᾶλλον τοῦ προκειμένου σκοποῦ.

11 Εἴ τις οὐχ ὁμολογεῖ θεὸν εἶναι κατὰ ἀλήθειαν τὸν Ἐμμανουὴλ καὶ διὰ τοῦτο θεοτόκον τὴν ἁγίαν παρθένον (γεγέννηκε γὰρ σαρκικῶς σάρκα γεγονότα τὸν ἐκ θεοῦ [θεὸν] λόγον, ἀνάθεμα ἔστω.

Ἀπολογία κεφαλαίου ᾱ 20

12 Πλείστην ὅσην πεποιήμεθα τὴν καταβοὴν τῶν ὁμολογεῖν οὐκ ἀνεχομένων θεὸν εἶναι P 394
κατὰ ἀλήθειαν τὸν Ἐμμανουὴλ καὶ μὴν ὅτι θεοτόκος ἐστὶν ἡ ἁγία παρθένος, ὅτι γεγέννηκε PG 393
κατὰ σάρκα τὸν τοῦ θεοῦ λόγον, ὅτε γέγονε σάρξ, τουτέστιν ἄνθρωπος. ὁ δὲ τῶν PG 396
οὕτως ὀρθῶς εἰρημένων κατήγορος, εἰ μὴ θεὸν οἶδεν κατὰ ἀλήθειαν ὄντα τὸν Ἐμμανουήλ, εἰ μὴ γεγέννηται κατὰ σάρκα ἐκ τῆς ἁγίας παρθένου σὰρξ γεγονὼς ὁ τοῦ θεοῦ λόγος κατὰ 25
τὰς γραφάς, τί μὴ μᾶλλον ἔφασκεν ἐναργῶς· τί δρᾷς, ὦ γενναῖε; δεινάς τε καὶ παλιμφή- Ioh. 1, 14
μους ἐρεύγῃ φωνάς, τῶν τῆς ἀληθείας κατανεανιεύῃ δογμάτων· οὐκ ἔστιν θεὸς κατὰ ἀλήθειαν ὁ Ἐμμανουὴλ οὔτε μὴν θεοτόκος ἡ ἁγία παρθένος, ἵνα καὶ ἡμεῖς ταυτὶ βοῶντι καὶ λέγοντι τὰ ἐκ τῆς θεοπνεύστου γραφῆς ἀντανιστάντες ἐμφρόνως καὶ τῆς ἀποστολικῆς τε

Φ [= YZVb], ΛpΣ, Ψ [= ARWl], Λs

1 τοσοῦτο AR om. l συνιέναι δύνασθαι YZ συνιέναι μὲν b συνιέναι μὲν δύνασθαι bcorr 2 με om. Z τῶ Wbcorr 3 ἠγνοηκέναι om. Y 4 κεχράσθαι R νομίζεται l ἡ] ἣν R παντελῶσ ὥσ γε οἶμαι VZ 5 προβολὴν Y 6 γεγραφηκότασ bcorr καὶ om. bA 7 σιωπὴν A τῶ σιωπᾶν l 8 ὅλοσ Z 10 μόνον b 12 πρόσ YbΨΣ καὶ VZ αὐτῶ σοφίασ VW 13 τε ὅσω VΨ, b in ras. ποσῶι YZ 14 ἄγαν om. Z φιλομαθίασ Vb 15 μὴν om. Z ἀνθεξώμεθα YW

17—19 non extant nisi in Y, sine inscriptione 18 θεὸν Y, deleui

Φ [= YZVb], ΛpΣ, Ψ [= ARWl], Λs

20 inscr. Ἀπολογία — ᾱ Y κυρίλλου Ymg τοῦ αὐτοῦ ἀπολογία τῆσ μέμψεωσ τοῦ πρώτου κεφαλαίου Z ἀπολογία κυρίλλου V ἀπολογία πρόσ ταῦτα τοῦ ἁγίου κυρίλλου b ἀπολογία τοῦ ὀρθοδόξου ΛpΣ ἀντίθεσισ τοῦ ἁγίου κυρίλλου Ψ 22 ὅτι] ὄντωσ Z ὅτι γεγέννηκε ΦΛps γεγέννηκε γὰρ Ψbcorr Σ 23 τοῦ θῡ VZΣΨ θῡ Yb ὅτι VZ 25 γεγένηται Z 27 τῶν ΦΛp τί τῶν ΨΛs τῆς om. l 27/28 κατὰ ἀλήθειαν θῡ Yb κατὰ ἀλήθειαν Σ 28 καὶ ΦΛpΣ om. ΨΛs ταύτη AR ταῦτα VZ 29 ἀντανιστῶντεσ l ἐμφαρῶς Y, ρ ex ν corr.

καὶ εὐαγγελικῆς πίστεως τὴν παράδοσιν καὶ τὴν τῶν πατέρων ὁμολογίαν τῶν κατὰ καιροὺς ἐν τῇι Νικαέων συνειλεγμένων ἀντεξάγοντες δυσωπήσωμεν, ὡς οὔτε ὀρθῶς οὔτε μὴν ἐν κόσμωι τοῖς παρ' ἡμῶν εἰρημένοις ἐπιπλήττειν ἐπιχειρεῖ, μᾶλλον δὲ ἁπάσαις ἀναίδην ταῖς
P 396 **13** θείαις μάχεται γραφαῖς. ἀλλ' ὁ σοφὸς καὶ ἀγχίνους ἐξηγητής, ἃ μὲν ἦν εἰκός τε καὶ ἀναγκαῖον εἰπεῖν, παρελάσας, πεφροντικὼς δὲ ὅλως τῶν τοιούτων οὐδενὸς ἐφ' ἑτέραν ἴεται τρίβον. ἐτράπετο γὰρ εὐθὺς ἐπί γε τὸ δεῖν ἀποφαίνειν ὅτι τροπῆς ἀμείνων ἐστὶν ὁ τοῦ θεοῦ λόγος καὶ οὐκ εἰς φύσιν μετεποιήθη σαρκός, ὡς τοῦτο κρατύνοντος καὶ ἀληθὲς ἀποφαίνειν ἐθέλοντος τοῦ ἀναθεματισμοῦ. ἀκουέτω τοίνυν, ὑπαντᾶν οἷς ἀντιλέγει, κατ' οὐδένα τρόπον εἰδώς· εἰκαιολογεῖς, ἄνθρωπε, καὶ μάχηι φρονήματι μεμισημένωι καὶ πρὸς
Iac. 1, 17 ἡμῶν. ἴσμεν γὰρ ὅτι τροπῆς ἀποσκίασμα παθεῖν ἡ θεία τε καὶ ὑπερτάτη φύσις οὐκ ἀνέχεται οὔτε μὴν ὁ τοῦ θεοῦ λόγος τὸ εἶναι μεθεὶς τοῦθ' ὅπερ ἐστίν, εἰς τὴν τῆς σαρκὸς
14 μετακεχώρηκε φύσιν. ἐπειδὴ δέ φησιν παρὰ τῆς τοῦ θεοῦ μορφῆς ἀναληφθῆναι δούλου μορφήν, διδασκέτω παρελθὼν εἰ δίχα τῶν ὑποστάσεων μόναι καὶ καθ' ἑαυτὰς αἱ μορφαὶ συνῆλθον ἀλλήλαις. ἀλλ', οἶμαι, καταβαλεῖ καὶ αὐτὸς αὐτόθεν· οὐ γὰρ ὁμοιότητες ἁπλῶς ἀνυπόστατοι καὶ μορφαὶ συνέβησαν ἀλλήλαις καθ' ἕνωσιν οἰκονομικήν, ἀλλὰ πραγμάτων αὐτῶν ἢ γοῦν ὑποστάσεων γέγονεν σύνοδος, ἵνα καὶ ὁ τῆς ἐνανθρωπήσεως λόγος ἀληθῶς γενέσθαι πιστεύηται. οὐκοῦν εἰ λέγοιμεν σάρκα γενέσθαι τὸν λόγον, οὐ σύγχυσιν, οὐ φυρμὸν ἢ τροπὴν ἢ ἀλλοίωσιν συμβῆναι περὶ αὐτὸν φαμέν, ἡνῶσθαι δὲ μᾶλλον ἀφράστως τε καὶ ἀπορρήτως ἁγίωι σώματι ψυχὴν ἔχοντι τὴν νοεράν. τὸ δὲ ἑνοῦσθαι λεγόμενον
P 398 οὐ συγχεῖται πάντως, ἐν προσλήψει δὲ μᾶλλον ἑτέρου γίνεται. διαβεβαιούμεθα τοίνυν τὸν ἐκ θεοῦ πατρὸς λόγον ἐν προσλήψει γεγονότα τῆς ἁγίας τε καὶ ἐμψύχου σαρκὸς ἑνωθέντα τε κατὰ ἀλήθειαν ἀσυγχύτως ἐκ μήτρας αὐτῆς προελθεῖν ἄνθρωπον, μεμενηκέναι δὲ
15 καὶ οὕτω θεὸν ἀληθινόν· ταύτηι τοι καὶ θεοτόκος ἐστὶν ἡ ἁγία παρθένος. περιττὸν δὲ

SCHOLION ARETHAE: 16 ὑποστάσεων] Οὐκ ἀκριβὲς ὑποστάσεων ἕνωσιν γεγονέναι φάσκειν ἐπὶ Χριστοῦ, ἀλλ' ἡ τοῦ θεοῦ λόγου ὑπόστασις φύσιν ἀνθρωπείαν λαβοῦσα ὑπέστησεν ἐν ἑαυτῶι, καθὸ καὶ μίαν ὑπόστασιν ἔχειν τὸν κύριον Ἰησοῦν Χριστόν δογματίζομεν. εἰ γὰρ ὑπόστασιν ἤγουν πρόσωπον ὡρισμένον δοξάσομεν, ὅπερ βούλεται δηλοῦν ἡ ὑπόστασις, τίς λόγος ἔτι τὴν Νεστορίου λύσσαν ἀναχαιτεῖ μὴ οὐχὶ δύο ὑποστάσεις ἐν τῶι Χριστῶι πρεσβεύειν; τίνι γὰρ λόγωι τὰ δύο τέλεια πρόσωπα εἰς ἓν πρόσωπον συσταῖεν ἄν [συστακῆναι Y]; εἰ γὰρ τοῦτο δῶμεν, δώσωμεν ἀφορμὴν καὶ τοῖς μίαν φύσιν σύνθετον ἐπὶ Χριστοῦ ληρωιδοῦσιν κατ' ὀρθότητα τοῦτο δογματίζειν.

12—17 Doctr. patr. 22, 13 Εὐβούλου ἐπισκόπου Λύστρων ἐκ τοῦ λόγου τοῦ πρὸς τὸν χάρτην τὸν ἐπιδοθέντα τῶι . . . βασιλεῖ Ἡρακλείωι ὑπὸ Ἀθανασίου τοῦ τῶν Σευηριανῶν ψευδεπισκόπου πονηθέντος αὐτῶι . . . ἐν τῇι ἀπολογίαι τοῦ πρώτου ἀναθεματισμοῦ πρὸς τὰς Θεοδωρήτου μέμψεις λέγει τάδε· 'ἐπειδή — πιστεύηται'. 17—20 Fcyr 55 ἐκ τῆς πρὸς Θεοδώριτον ἑρμηνείας τοῦ πρώτου ἀναθεματισμοῦ· 'οὐκοῦν — γίνεται'. 20—23 Fcyr 56 διαβεβαιούμεθα — ἀληθινόν

Φ [= YZVb], ΛpΣ, Ψ [ARWl], Λs

p. 111, 29/1 εὐαγγελικῆσ τε καὶ ἀποστολικῆσ bl 1/2 τὴν² — συνειλεγμένων VZbΨ τῶν ἐν νικαία κατακαιροὺσ συνηλεγμένων πατέρων τὴν ὁμολογίαν Y 2 ὀρθῆσ Y 3 τοῖσ τὰ R ἀνέδην ἁπάσαισ l ἀνέδην V om. Λp 4 ὁ] ὡς Z 5 παρήλασε VZ πεφρόντικε γὰρ W ὅλως om. Y οὐδὲν YΛs 6 ἐπὶ γε τὸ] ἐπεί γε τὸ Y [cf. Λs], corr. Y ἐπειγόμενοσ in ras. b γε] τε W om. VZ ἐστὶν om. Y 8 ὑπαντᾶν VΨbcorrΛpsΣ ὁ πάντα YZ, b ut uid., πάντ' ἐν superscr. b ἀντιλέγειν V ἀντιλέγοι RW 9 εἰκαιολογεῖς] εἰ καὶ ὁμολογεῖσ Z πρὸ W πρόσ in παρ' corr. b 11 τοῦθ' om. VZ 12 ἀναληφθῆναι R ἀνειληφέναι Yb 13 διδασκέτω παρελθὼν VZ, b in ras., ΨΛsΣDoctr. διδασκέσθω παρ' ἡμῶν Y *doceat nos* Λp καὶ ΦΛp om. ΨΛsDoctr. 14 καταβαλεῖ bcorrARΛps καταβάλλει Doctr. καταβαλῆ W καταβάλη VZ καταβαλεῖν Yb καταλαβεῖν l αὐτόσ ARWbcorrΛpsΣ Doctr. αὐτοὺσ Yb αὐτὸν l αὐτὸσ ἑαυτὸν VZ 16 αὐτῶν om. VZ ἀνθρωπήσεωσ R ἀληθῆσ Y 17 λέγομεν Fcyr 18 φυρμὸν ἢ τροπὴν YZAΣ φυρμὸν οὐ τροπὴν VWlbΛsFcyr τροπὴν οὐ φυρμὸν R ἢ] οὐκ V δὲ] τὲ V 19 τε om. YVb ἁγίωι YbΨΛpsΣ Fcyr om. VZ τὴν Ψ om. Φ utrumque codd. Fcyr 21 ἐμ προσλήμψει R τε om. Fcyr 22 αὐτὸν Y

οἶμαι τὸ δεῖν οἴεσθαι καὶ ἀνθρωποτόκον αὐτὴν εἰπεῖν. εἰ μὲν γὰρ ἦσάν τινες οἱ ἐκ πολλῆς ἄγαν φρενοβλαβείας λέγοντες τὴν τοῦ λόγου φύσιν πηγὴν ὥσπερ τινὰ καὶ τῆς ἰδίας ὑπάρξεως ἀρχὴν ἐσχηκέναι τὴν σάρκα, τάχα τις ἦν οὐκ ἀπὸ σκοποῦ καὶ ἀπόβλητος λόγος PG 397
τοῖς ἐθέλουσιν ὀνομάζεσθαι δεῖν καὶ ἀνθρωποτόκον αὐτήν· ἐπειδὴ δὲ βδελυρὰ καὶ ἀπηχθημένη παρὰ πᾶσίν ἐστιν ἡ τοιάδε δόξα, νοεῖται δὲ οὐχ ἑτέρως θεοτόκος ἡ ἁγία παρθένος, 5
εἰ μὴ προεισδέξαιτό τις τὴν πίστιν τοῦ ὅτι γέγονεν σάρξ, τουτέστιν ἄνθρωπος ὁ ἐκ θεοῦ πατρὸς λόγος (οὐ γάρ που θεότητα γυμνήν, ὡς ἔφην, ἐκτέτοκεν ἡ παρθένος), τί τὸ τῆς
16 ἐνστάσεως ὄφελος τῶν χρῆναι λεγόντων ὀνομάζεσθαι δεῖν καὶ ἀνθρωποτόκον αὐτήν; ἀλλ' ὡς ἔοικεν, ἐξεύρηταί τι πικρὸν αὐτοῖς κατὰ Χριστοῦ τὸ σκαιώρημα· οὐ γὰρ ἀνέχονται φρονεῖν ἢ λέγειν αὐτὸν τὸν ἐκ θεοῦ καὶ πατρὸς προαιώνιον υἱὸν ἐν ἐσχάτοις τοῦ αἰῶνος 10
καιροῖς ἀσυγχύτως ἀτρέπτως ἐκ μήτρας ἐνωθῆναι σαρκὶ ψυχὴν ἐχούσῃ τὴν λογικὴν οὕτω τε γενέσθαι καθ' ἡμᾶς ἄνθρωπον, ἀλλ' ὡς ἕνα τῶν ἁγίων ἔνοικον ἔχοντα θεὸν διακηρύττειν ἐπείγονται καὶ φρονεῖν ἀναπείθουσιν, οὐκ ἐννοοῦντες ὅτι καὶ ἐν ἡμῖν ἐστιν διὰ τοῦ πνεύματος, ὡς ἐν ἁγίοις ναοῖς, ὁ τῶν ὅλων θεός. γέγραπται γὰρ ὅτι οὐκ οἴδατε ὅτι P 400
ναὸς θεοῦ ἐστὲ καὶ τὸ πνεῦμα τοῦ θεοῦ οἰκεῖ ἐν ὑμῖν; εἴ τις οὖν τὸν ναὸν 1 Cor. 3,16.17
τοῦ θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ θεός· ὁ γὰρ ναὸς τοῦ θεοῦ ἅγιός ἐστιν, 16
οἵτινες ἐστὲ ὑμεῖς. ἀλλ' εἰ καὶ ὠνομάσμεθα ναοί, θεὸν ἔχοντες τὸν ἐνοικοῦντα διὰ τοῦ πνεύματος, ἀλλ' ἕτερον ἴσμεν τοῦ κατὰ Χριστὸν μυστηρίου τὸν τρόπον. ἡνῶσθαι γὰρ τῷ θεῷ λόγῳ κατὰ ἀλήθειαν τὴν σάρκα φαμέν, ψυχῆς δηλονότι τῆς λογικῆς ἐνούσης αὐτῇ. ἐπυθόμην δ' ἂν ἡδέως αὐτοῦ· πότερα δὴ τὴν ἕνωσιν τοῦ λόγου πρὸς τὸ ἀνθρώ- 20
πινον ἢ γοῦν τὴν πρὸς τὸ ἅγιον σῶμα ψυχωθὲν νοερῶς πεπρᾶχθαί φησιν κατὰ ἀλήθειαν ἢ τοῖς ἄλλοις ὁμοῦ καὶ αὐτὸς κατὰ συνάφειαν σχετικὴν δουλοπρεποῦς καὶ ἀνυποστάτου μορφῆς πρὸς ἀνυπόστατον καὶ θείαν μορφὴν ἢ καὶ καθ' ἕτερον τρόπον, κατὰ μόνην τῆς υἱότητος τὴν ὁμωνυμίαν καὶ κατὰ τὴν ἰσότητα τῶν ἀξιωμάτων; εἴπερ τις ὅλως συναφείας
17 οὕτωσὶ νοεῖται τρόπος. ἀλλὰ γάρ, ὡς ἔοικεν, παρενοχλῶ μάτην, πεποίημαι δὲ περιττῶς 25
τὴν πεῦσιν, ἔχων αὐτοῦ φωνὰς καὶ σαφῆ τὴν ὁμολογίαν. ἐν γάρτοι τῷ πρώτῳ κεφαλαίῳ φησὶν αὐταῖς λέξεσιν ὧδε

Διὰ τοῦτο τὸ τεχθὲν βρέφος Ἐμμανουὴλ προσαγορεύεται, οὔτε θεὸς ἀνθρωπείας p. 109, 29-31
κεχωρισμένος φύσεως οὔτε ἄνθρωπος γεγυμνωμένος θεότητος.

Ἔδει μὲν οὖν αὐτὸν ἀκριβῆ καὶ τετορνευμένην τὴν περί γε τούτων ἀφήγησιν ποιεῖ- 30
σθαι φιλεῖν, πλὴν ἐκεῖνο τέως ἐπισημήνασθαι χρή ἰδοὺ γὰρ ἐνθάδε καὶ μάλα σαφῶς

SCHOLIA ARETHAE: 9 σκαιώρημα] τοῦτο εἰ μὲν κατὰ Νεστορίου, ἔχεται λόγου· εἰ δὲ κατὰ Θεοδωρήτου, συκοφαντία ἄκρατος καὶ φθόνου δόξης τῷ λέγοντι περιποιητικός.

20—24 Doctrina patr. l. c. καὶ μετ' ὀλίγα· ἐπυθόμην—ἀξιωμάτων 28/29 Fcyr 57 διὰ τοῦτο—θεότητος

Φ [= YZVb], ΛpΣ, Ψ [= ARWl], Λs

1 εἰπεῖν αὐτὴν V οἱ om. VZ 2 λόγου ΦΛpΣ θῡ λόγου ΨΛs 3 τις ἦν] τισὶν RW οὐκ] καὶ οὐκ Y ὁ λόγοσ b 4 ἐπεὶ Z 4/5 ἀπηχθημένη ΦΛpsΣ ἀπηχημένη Ψbcorr 5 γρ. καὶ παρὰ πάντων bmg τοιαύτη V ἡ ἁγία θεοτόκοσ Yb 6 προεισδέξαιτό YZbcorrΛpsΣ προεισδέξοιτό Ψ παρεισδέξαιτο YV 6/7 θεοῦ πατρὸς] superscr. γρ. καὶ θῡ b 7 ἡ] ἡ ἁγία V τί VZbcorrΨΛpsΣ καὶ τί Yb 8 ὑποστάσεωσ A 9 πικρῶσ in ras. b τοῦ χῡ Z σκευόρημα, o in ω corr., Z 10 τὸν om. b τοῦ θῡ Zb καὶ om. b ἐν bΨ ἐπ' Y om. VZ 12 ἀνοσ̄ l 13 τοῦ om. A 14 ὅτι om. Z 15 τοῦ θῡ l ἡμῖν V 16 φθείρη A φθειρεῖ R 17 ἡμεῖσ l θν̄ YARlΛpsΣ θῡ Wb θῡ θν̄ VZ 19 τῆσ ψυχῆσ ARW 20 δ' οὖν Z ἂν l πότερον ΨbcorrDoctr. πρότερον Σ 21 τὴν YbΨ τῇ VZ om. Doctr. ψυχωθὲν YbΨΛps Doctr. τὸ καὶ ψυχωθὲν VZ 22 αὐτὸ Y καὶ om. Y 23 ἀνυπόστατον ZbcorrΛpsΣ Doctr. τὸ ἀνυπόστατον R ἐνυπόστατον YVbWl τὴν ἐνυπόστατον A καὶ[3] YbcorrARWΛs Doctr. om. VZbl μόνησ l 23/24 τὴν τῆσ υἱότητοσ Y 24 τὴν[2]] μόνην τὴν ΨDoctr. ὅλωσ YbΨΛps ἄλλοσ VZ 25 οὑτοσὶ VbARlΛpsΣ οὑτωσὶ YZW πρώτῳ om. ARW 28 προσαγορεύεται om. VZ 30 οὖν om. A γε om. bl

διερμηνεύων αὐτὸς τὴν ἕνωσιν φύσεως ἀνθρωπίνης οὐ κεχωρίσθαι φησὶν τὸν θεόν, προ-
P 402 σομολογεῖ δὲ ὅτι καὶ ἕνα καθ' ἕνωσιν οἶδεν ὄντα Χριστόν, τὸν αὐτὸν δηλονότι θεόν τε ὁμοῦ καὶ ἄνθρωπον. εἶτα πῶς οὐκ ἐρυθριᾷ τοῖς παρ' ἡμῶν γεγονόσιν ἐπιπλήττων λόγοις;

PG 400 Κυρίλλου κεφάλαιον β̄ 5

18 Εἴ τις οὐχ ὁμολογεῖ σαρκὶ καθ' ὑπόστασιν ἡνῶσθαι τὸν ἐκ θεοῦ πατρὸς λόγον ἕνα τε εἶναι Χριστὸν μετὰ τῆς ἰδίας σαρκός, τὸν αὐτὸν δηλονότι θεόν τε ὁμοῦ καὶ ἄνθρωπον, ἀνάθεμα ἔστω.

Θεοδωρήτου

19 Ἕνα μὲν Χριστὸν ὁμολογοῦμεν ταῖς θείαις τῶν ἀποστόλων διδασκαλίαις πειθόμενοι 10 καὶ τὸν αὐτὸν διὰ τὴν ἕνωσιν θεόν τε καὶ ἄνθρωπον ὀνομάζομεν· τὴν δὲ καθ' ὑπόστασιν ἕνωσιν παντάπασιν ἀγνοοῦμεν ὡς ξένην καὶ ἀλλόφυλον τῶν θείων γραφῶν καὶ τῶν ταύτας ἑρμηνευκότων πατέρων. εἰ δὲ τοῦτο βούλεται λέγειν διὰ τῆς καθ' ὑπόστασιν ἑνώσεως ὁ ταῦτα γεννήσας ὡς κρᾶσις σαρκὸς καὶ θεότητος γέγονεν, ἀντεροῦμεν σὺν πάσῃ προθυμίαι καὶ τὴν βλασφημίαν ἐλέγξομεν. ἀνάγκη γὰρ τῇ κράσει ἀκολουθῆσαι τὴν σύγχυσιν· 15 εἰσιοῦσα δὲ ἡ σύγχυσις ἀφαιρεῖται τὴν ἑκάστης φύσεως ἰδιότητα. τὰ γὰρ κεραννύμενα οὐ μένει ἃ πρότερον ἦν· τοῦτο δὲ ἐπὶ τοῦ θεοῦ λόγου καὶ τοῦ ἐκ σπέρματος Δαυὶδ λέγειν τῶν ἀτοπωτάτων ἂν εἴη. χρὴ δὲ πείθεσθαι τῷι κυρίωι δεικνύντι τὰς δύο φύσεις καὶ
Ioh. 2, 19 λέγοντι τοῖς Ἰουδαίοις· λύσατε τὸν ναὸν τοῦτον καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. εἰ δὲ κρᾶσις ἐγεγόνει, οὔτε ὁ θεὸς μεμενήκει θεὸς οὔτε ὁ ναὸς ἐγνωρίζετο 20 ναός, ἀλλὰ καὶ ὁ ναὸς φύσει θεὸς καὶ ὁ θεὸς ναός (τοῦτο γὰρ ὁ τῆς κράσεως βούλεται λόγος) καὶ περιττῶς ὁ κύριος εἶπεν τοῖς Ἰουδαίοις λύσατε τὸν ναὸν τοῦτον καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. ἐχρῆν γὰρ φάναι· λύσατέ με καὶ ἐν τρισὶν ἡμέ-
P 404 ραις ἐγερθήσομαι, εἴπερ ἀληθῶς κρᾶσίς τις ἐγεγόνει καὶ σύγχυσις. νῦν δὲ δείκνυσι τὸν

SCHOLIA ARETHAE: 10sq. ἀπροσωπολήπτως ἐρεῖν πλημμελῶς ἀλλήλους ἐφορμῶσιν, τὸ αὐτὸ φάσκοντες περὶ τοῦ αὐτοῦ καὶ διαφωνεῖν διατεινόμενοι ὃν τρόπον καὶ οἱ διαφερόμενοι περὶ ἀριθμόν εἰ ὁ μὲν ἕνδεκα λέγει τὰς τοσαύτας μονάδας, ὁ δὲ δέκα καὶ μίαν.

12 τοῦτο ὁμοία πλημμέλεια τῇ Ἀρίου μανίαι, ἐπὶ τῇ τοῦ ὁμοουσίου λέξει μὴ παρὰ τοῖς παλαιοῖς πατράσιν εὑρημένηι διατεινομένωι, ἀλλὰ νεαρῶς καινολογουμένωι.

14 τί δὲ Θεοδώρητε; οὐκ ἤκουσας τῆς θεολόγου φωνῆς· ὦ τῆς καινῆς μίξεως, ὦ τῆς παραδόξου κράσεως; ἐπὶ ταῦτα ληρολε⟨σ⟩χεῖν οὐκ αἰδῇι;

10—13 adferuntur in Concilii quinti collatione V [L V 504 = M VIIII 290] 18—20. 24. p. 115, 1 Timoth. arm. p. 128

Φ [= YVZb], ΛpΣ, Ψ [= ARWl], Λs; uariam lectionem ΨΛs in anathematismo quaeras in V 148

1 οὐκ ἐχωρίσθη Y, corr. Y τὸ θεῖον Y 2 ἕνωσιν οἰκονομικὴν V τὸν χν̄ YVb

5 κυρίλλου [τοῦ ἁγίου κυρίλλου b] — β̄ Yb ἀναθεματισμὸς β̄ VZ post inscriptionem habet *et criminatur inmerito secundum anathematismum qui se ita habet* Λp similiter Σ

9 θεοδωρήτου Ymg ἀνατροπή ZV θεοδωρίτου ἀνατροπή b μέμψις θεοδωρήτου [θεοδωρήτου β̄ R] Ψ μέμψις τοῦ αἱρετικοῦ ΛpΣ 10 μὲν om. Z διδασκαλίαισ πειθόμενοι ZbΣ διδασκαλίαισ ἑπόμενοι YV γρ πειθόμενοι Vmg πειθόμενοι διδασκαλίαισ Ψ *obtemperantes* Λp *oboedientes* ΛsConc. 11 τε ΦlΛpsΣConc. τε ἰδικῶσ ARW 12 θείων om. Y ταὐτας] τὰσ θείασ γραφὰσ Y 13 ἡρμηνευκότων YZcorrVbAcorrW 14 ἀνταναιροῦμεν Y σὺν YVb οὖν Z om. Ψ 16 ἀφαιρεῖ Vb τῆσ Vb 20 γεγόνει R ὁ om. V μεμενήκει Yb ἐμμεμενήκει VZ μεμένηκε Ψ οὔτε] ὅτε R 21 ἀλλὰ om. Y φύσει Ybl cf. Coll. Pal. p. 166, 17 Theodoret. ep. 151 p. 1294 om. VZARWΛpsΣ ὁ θεὸσ] θσ̄ ὁ A

λυόμενον ναὸν καὶ τὸν ἀνιστῶντα θεόν. περιττὴ τοίνυν ἡ καθ' ὑπόστασιν ἕνωσις, ἣν ἀντὶ κράσεως ἡμῖν, ὡς οἶμαι, προβάλλεται· ἀρκεῖ δὲ λέγειν τὴν ἕνωσιν, ἥτις καὶ τὰς τῶν φύσεων ἰδιότητας δείκνυσιν καὶ τὸν ἕνα προσκυνεῖν διδάσκει Χριστόν.

Τοῦ ἁγίου Κυρίλλου ἀπολογία κεφαλαίου β̄

20 Ἰδοὺ δὴ πάλιν ὁ γεννάδας οὑτοσὶ πρόφασιν τῆς καθ' ἡμῶν ἀθυροστομίας τὸ παρατυχὸν ποιεῖσθαι σπουδάζων διασύρει τὴν λέξιν, τὴν καθ' ὑπόστασιν λέγω, καθορίζει δὲ τὸ ἀσύνηθες αὐτῆς καὶ δὴ καὶ ξένως αὐτὴν πεποιῆσθαι διισχυρίζεται, οὐκ ἐννοήσας ὅτι ταῖς τῶν ἀνοσίων αἱρεσιωτῶν εὑρεσιλογίαις ἡ τῶν λέξεων δύναμις τὸ ἀληθὲς ἀντεξάγουσα παραλύειν ἐπιχειρεῖ τὸ ἀντιτετάχθαι δοκοῦν. Νεστορίου τοιγαροῦν ἀναιροῦντος πανταχοῦ τοῦ θεοῦ λόγου τὴν κατὰ σάρκα γέννησιν καὶ μόνων ἡμῖν ἀξιωμάτων ἑνότητα παρεισκρίνοντος ἄνθρωπόν τε θεῶι συνῆφθαι λέγοντος τῆι τῆς υἱότητος ὁμωνυμίαι τετιμημένον, ἀναγκαίως ἡμεῖς τοῖς ἐκείνου μαχόμενοι τὴν καθ' ὑπόστασιν ἕνωσιν γενέσθαι φαμέν, τοῦ PG 401
καθ' ὑπόστασιν οὐδὲν ἕτερον ὑποφαίνοντος πλὴν ὅτι μόνον ἡ τοῦ λόγου φύσις ἢ γοῦν ὑπόστασις, ὅ ἐστιν αὐτὸς ὁ λόγος, ἀνθρωπείαι φύσει κατὰ ἀλήθειαν ἑνωθεὶς τροπῆς τινος δίχα καὶ συγχύσεως, καθὰ πλειστάκις εἰρήκαμεν, εἷς νοεῖται καὶ ἔστιν Χριστός, ὁ αὐτὸς
21 θεὸς καὶ ἄνθρωπος. τοῦτο δέ, ὡς γε οἶμαι, καὶ αὐτῶι Θεοδωρήτωι δοκεῖ, φύσεως P 406
ἀνθρωπίνης οὐ κεχωρίσθαι λέγοντι τὸν θεὸν οὔτε μὴν θεότητος δίχα νοεῖσθαι τὸ ἀνθρώ- p. 109, 29-31
πινον. οὐκοῦν οὔτε δίχα τῶν ὑποστάσεων δούλου τε καὶ θεοῦ μορφὴν ἡνῶσθαι φαμὲν οὔτε μὴν κοινὸν ἄνθρωπον ἰσότητι μόνηι τῶν ἀξιωμάτων τετιμημένον σχετικῶς συνῆφθαι τῶι λόγωι διοριζόμεθα, ἀλλ' αὐτόν, ὡς ἔφην, τὸν υἱὸν τοῦ θεοῦ τὸν μονογενῆ γεγονότα
κατὰ ἀλήθειαν ἐν προσλήψει τῆς ἑνωθείσης αὐτῶι σαρκὸς ψυχὴν ἐχούσης τὴν λογικὴν ἄνθρωπον γενέσθαι μετὰ τοῦ εἶναι καὶ θεόν. ἀλλ' ὁ δεινὸς εἰς λόγους καὶ πικρὸς εἰς θεωρίας κράσεως εἶναι σημαντικὴν τὴν λέξιν ὁρίζεται καὶ λέγειν ἀποτολμᾶι καὶ τὰ ἐκ τοῦ

SCHOLIA ARETHAE: 18 ὑποστάσεων] κακῶς πάλιν ὑποστάσεων λέγει ἕνωσιν.
23 κράσεως] κράσεως, ἀλλὰ παραδόξου [cf. p. 114, 14].

5—16 Doctr. patr. 21, 1 Κυρίλλου ἐκ τοῦ πρὸς τὰς Θεοδωρήτου μέμψεις· ἀπολογία τοῦ β' ἀναθεματισμοῦ· ''Ἰδού — θεὸς καὶ ἄνθρωπος' 12—16 Ephraim Antioch. ap. Phot. 229 p. 252b 7 Κύριλλος ἐν ταῖς ἀντιρρήσεσιν . . . 'ἀναγκαίως — ἄνθρωπος' 12] Leont. Hieros. [Mai Scriptt. uett. 7, 128] Κυρίλλου ἐκ τῆς ἑρμηνείας τῶν ἰδίων κεφαλαίων· 'ἀναγκαίως — γενέσθαι φαμέν' 12—21 Fcyr 58 τὴν καθ' ὑπόστασιν — λογικήν

Φ [= YZVb], ΛpΣ, Ψ [= ARWl], Λs

1 ἣν] τὴν R 2 προβάλλεται YΨΛsΣ προβάλλονται VZbΛp 2/3 τῆσ φύσεωσ Y 3 δεικνύει W

4 Τοῦ — β̄ Y ἀπολογία τοῦ ἁγίου κυρίλλου κε(φαλαίου) δευτέρ(ου) b Κυρίλλου ἀπολογία B̄ Ymg ἀπολογία ὀρθοδόξου ΛpΣ ἀπολογία κυρίλλου VZ ἀντίρρησισ [ἀντίθεσισ W] τοῦ ἁγίου κυρίλλοιι Ψ 5 οὑτωσὶ YW, corr. Y 6 λέγων bR, corr. b καθυβρίζει Ycorrbmg 7 αὐτοῖσ l 8 αἱρεσιωτῶν VΨΛpsDoctr. αἱρέσεων YZbΣ εὑρεσιολογίαισ Y εὑρησιλογίαισ R 9 τοίνυν Z παντα-χοῦ VΨΣ πανταχῆ YZbDoctr. 10 μόνων bAΛps μόνον YZRWl μόνων et μόνον Doctr. μόνην V om. Σ 12 ἀναγκαίωσ καὶ Y 13 ὑποφαίνοντοσ YZbcorrFcyrEphr.Doctr. ἀποφαίνοντοσ VbΨ μόνη YlFcyrEphr. τοῦ λόγου] τοὐτου W φύσεισ et φύσει Fcyr codd. 14 ὑποστάσεισ et ὑποστάσει Fcyr codd. ἡ ὑπόστασισ V ὅ om. Fcyr κατὰ ἀλήθειαν] καθ' ἕνωσιν θείαν W 15 καθάπερ l ὁ χ̄σ̄ Fcyr 16 τοὐτωι Y θεοδωρίτω bAW 17 λέγοντα Z λέγοντεσ Fcyr 18 ἡνῶσθαι μορφὴν l 21 ἐμ προσλήμψει R ψυχὴν] τῆσ ἑνωθείσησ αὐτῶ ψυχῆσ l ἐχούση ARW 22 καὶ om. Yb πικρὸσ YZbRWlΛpΣ γρ καὶ πικρὸσ Amg πυκνὸσ VA 23 διορίζεται V τὰ YVbΨ τὴν YcorrZ

συγκεκρᾶσθαι τὰς φύσεις παρακομίζει βλάβη, ὡς ἡμῶν ἠγνοηκότων. ἢ τάχα που περιαυτίζεται καὶ φιλοκομπεῖ, οἴεται δὲ ἴσως ἕτερον οὐδένα μακρηγορεῖν δύνασθαι, τὸ παρ' οὐδενὸς εἰρημένον ὡς ἀληθὲς δεχόμενος, ἵνα τις εἶναι δοκῇ παρά γε τοῖς οὐκ εἰδόσιν διακρίνειν ὀρθῶς τίς μὲν εἰκαιομυθεῖ καὶ ψεύδεται, τίς δὲ κατ' εὐθὺ τῆς ἀληθείας ἔρχεται
p. 111, 2. 3 σοφῶν τε καὶ ἀναγκαίων ἅπτεται λόγων. ὤιμην μὲν οὖν ἐν ἀρχαῖς, ὁμολογῶ, τῶν κεφαλαίων τὴν δύναμιν οὐκ ἀγνοῆσαι μὲν αὐτόν, ὑποπλάττεσθαι δέ, ὡς ἔφην, τὸ δοκεῖν ἠγνοηκέναι καὶ τοῦτο χαρίζεσθαι τισίν· ἠγνοηκότα γε μὴν αὐτὸν κατὰ ἀλήθειαν εὑρίσκω λοιπόν.

P 408 Κυρίλλου

22 Εἴ τις ἐπὶ τοῦ ἑνὸς Χριστοῦ διαιρεῖ τὰς ὑποστάσεις μετὰ τὴν ἕνωσιν, μόνῃ συνάπτων αὐτὰς συναφείαι τῇ κατὰ τὴν ἀξίαν ἢ γοῦν αὐθεντίαν ἢ δυναστείαν καὶ οὐχὶ δὴ μᾶλλον συνόδωι τῇι καθ' ἕνωσιν φυσικήν, ἀνάθεμα ἔστω.

Θεοδωρήτου ἀνατροπή

23 Σκοτεινὴ μὲν καὶ ζοφώδης τῶν εἰρημένων ἡ ἔννοια, δήλη δὲ αὐτῶν τοῖς εὐσεβέσιν ἡ ἄνοια. τίνι γὰρ οὐκ εὔδηλον ὡς συνάφεια καὶ σύνοδος οὐδὲν διαφέρουσιν; ἥ τε γὰρ σύνοδος τῶν κεχωρισμένων ἐστὶν σύνοδος ἥ τε συνάφεια τῶν διηιρημένων συνάφεια· ὁ δὲ σοφώτατος τῶν λόγων τούτων πατὴρ ὡς ἐναντία τὰ σύμφωνα τέθεικεν. οὐ χρὴ γάρ φησιν, συνάπτειν τὰς ὑποστάσεις συναφείαι, ἀλλὰ συνόδωι, καὶ συνόδωι φυσικῆι, ἣ ἀγνοῶν ἴσως ὃ λέγει, ἢ ἐν γνώσει βλασφημῶν. ἡ γὰρ φύσις ἀναγκαστικόν τί ἐστιν καὶ ἀβούλητον χρῆμα, οἷόν τι λέγω, φυσικῶς πεινῶμεν, οὐ γνώμηι τοῦτο πάσχοντες, ἀλλὰ ἀνάγκηι. ἢ γὰρ ἂν οἱ πτωχείαι συζῶντες τοῦ προσαιτεῖν ἀπηλλάγησαν, τοῦ μὴ πεινῆν

SCHOLIA ARETHAE: 1/2 περιαυτίζεται] τοῖς αὐτοῖς περιστρέφεται.

10 ὦ τί πάλιν ὑποστάσεις;

17sq. ὁ προαιώνιος θεὸς λόγος ὑπόστασις υἱοῦ τῆς πατρικῆς προιῶν θείας ὑποστάσεως προσλήψει φύσεως ἀνθρωπίνης, οὐκ ἠφωρισμένωι ἀτόμωι, τὸν κύριον Ἰησοῦν Χριστὸν ἑαυτὸν ἀπετέ<λε>σεν, σύνθετον μὲν ἐξ ὑποστάσεως θείας, οὐ μέντοι καὶ ὑποστάσεως ἀνθρωπίνης. οὐ γὰρ καὶ τινὰ ἄνθρωπον, ἀλλὰ φύσεως ἀνθρωπίνης ψυχὴν καὶ σῶμα [καὶ] ἠτόμωσεν ἐν ἑαυτῶι, τὸν θεάνθρωπον ἀποφήνας. ἐπεὶ τοίνυν οὐκ ἠτομωμένον ἀνέλαβεν ἄνθρωπον, φύσιν δὲ ἀνθρωπείαν καὶ ἠτόμωσεν ἐν αὑτῶι ὑπόστασιν μίαν τὴν θεάνθρωπον, κατὰ τοῦτο φαμὲν εὐλαβεῖσθαι δύο λέγειν ἐπὶ Χριστοῦ ὑποστάσεις συντεθῆναι, τὸ λυσσῶδες ὑποστελλόμενοι Νεστορίου· ἓν γὰρ καὶ τὴν πρόσληψιν τῆς ἀνθρωπείας φύσεως τῶν ἀτομούντων κατὰ τὸν κύριον Ἰησοῦν. πλὴν εἰ μήπου τὰς δύο ἐπ' αὐτοῦ ὑποστάσεις οἰκονομικῶς εἰρῆσθαι διὰ τὴν κακουργίαν Ἀρίου καὶ Ἀπολιναρίου καὶ τῶν κατ' ἐκείνους φαντασιαστῶν.

Φ [= YZVb], ΛpΣ, Ψ [= ARWl], Λs; uariam in anathematismo lectionem ΨΛs quaeras in V 148

1 βλάβη VbcorrARIΣ βλαβερὰ W *noxietates* Λs βλάβην YZb om. Λp που om. VZ 2 φιλοκομητεῖ W οὐδένα YblΛpsΣ οὐδὲν ἢ VZΨ 3 εἰρημένον om. Y ἀληθῶσ R δεχόμενον AR ἵνα γε Ψ δοκῇ bΨ δοκεῖ YV δοκεῖν Z 4 ἄρχεται R 5 σοφῶν τε YbΨ καὶ σοφῶν VZ 5/6 τοῦ κεφαλαίου l 6 τῶ Y 7 τούτω VZ εὑρίσκω κατὰ ἀλήθειαν Yb

9 κυρίλλου Ymg τοῦ ἁγίου κυρίλλου κε(φάλαιον) τρίτον b ἀναθεματισμὸσ τρίτοσ VZ *habet autem se ita anathematismus tertius* Λp similiter Σ 11 τῆι] τὴν Z αὐθεντία Ycorr ἢ Yb καὶ VZ δυναστείαν VZb δυναστεία Y 12 φυσικὴν bcorrΛpsΣ φυσικὴ Φ ἔστω om. Z

13 θεοδωρήτου ἀνατροπή Ymg θεοδωρίτου κεφάλαιον τρίτον b ἀνατροπή VZ μέμψισ θεοδωρίτου [θεοδωρίτου γ̄ Rl] Ψ μέμψις αἱρετικοῦ ΛpΣ 14 μὲν om. V 14/15 δήλη — ἄνοια oni. V 14 ἔννοια] ἔνωσισ Y εὐσεβέσιν ZbΨ εὐσεβοῦσιν Y 15 τε καὶ Yb οὐδὲν YbWΛp οὐδενὶ VZARlΛs 16 γὰρ — ἥ τε om. V γὰρ et τῶν — σύνοδοσ superscr. b ἐστὶ συνάφεια ΨΛs 18 εἰσ συνάφειαν Yb 19 δυσφημῶν ἢ βλασφημῶν V 20 φυσικῶς om. b 21 πτωχείαν ἔχοντεσ W πεινεῖν Y

τὴν ἐξουσίαν ἐν τῇι βουλήσει κεκτημένοι. φυσικῶς διψῶμεν, φυσικῶς καθεύδομεν, φυ- PG 404
σικῶς ἀναπνέομεν τὸν ἀέρα· πάντα δὲ ταῦτα τῶν ἀβουλήτων, ὡς ἔφην. ὁ γὰρ μηδὲν
τούτων καταδεχόμενος ἀνάγκηι τὸ τῆς ζωῆς ὑποδέχεται τέλος. εἰ τοίνυν φυσικὴ γέγονεν
τῆς τοῦ θεοῦ μορφῆς καὶ τῆς τοῦ δούλου μορφῆς ἡ ἕνωσις, ὑπ' ἀνάγκης τινὸς βιαζόμενος,
ἀλλ' οὐ φιλανθρωπίαι κεχρημένος ὁ θεὸς λόγος συνήφθη τῆι τοῦ δούλου μορφῆι, καὶ εὑρε- 5
24 θήσεται ὁ τοῦ παντὸς νομοθέτης ἀναγκαστικοῖς νόμοις ἀκολουθῶν. ἀλλ' οὐ ταῦτα ἡμᾶς P 404
ὁ μακάριος ἐδίδαξεν Παῦλος, τουναντίον δὲ ὅτι ἑαυτὸν ἐκένωσεν μορφὴν δούλου Phil. 2, 7
λαβών· τὸ δὲ ἑαυτὸν ἐκένωσεν τὸ ἐθελούσιον δείκνυσιν. εἰ τοίνυν γνώμηι καὶ
βουλήσει τῆι ἐξ ἡμῶν ἀναληφθείσηι ἡνώθη φύσει, περιττὴ τῆς φυσικῆς λέξεως ἡ προσθήκη.
ἀρκεῖ γὰρ ὁμολογῆσαι τὴν ἕνωσιν, ἕνωσις δὲ ἐπὶ τῶν διηιρημένων λαμβάνεται· διαιρέσεως 10
γὰρ οὐκ οὔσης, οὐκ ἄν ποτε ἕνωσις νοηθείη. ὁ τοίνυν τὴν ἕνωσιν λαμβάνων προσ-
λαμβάνει τὴν διαίρεσιν. πῶς τοίνυν φησὶν μὴ δεῖν τὰς ὑποστάσεις διαιρεῖν εἴτ' οὖν
φύσεις; καὶ ταῦτα εἰδὼς ὡς τελεία μὲν ἡ τοῦ θεοῦ λόγου ὑπόστασις πρὸ τῶν αἰώνων
ὑπῆρχεν, τελεία δὲ ὑπ' ἐκείνης ἐλήφθη ἡ τοῦ δούλου μορφή, δι' ὃ καὶ ὑποστάσεις εἶπεν,
ἀλλ' οὐχ ὑπόστασιν. εἰ τοίνυν ἑκατέρα φύσις τὸ τέλειον ἔχει, εἰς ταυτὸν δὲ συνῆλθον 15
ἀμφότεραι, τῆς τοῦ θεοῦ μορφῆς δηλονότι λαβούσης τὴν τοῦ δούλου μορφήν, ἓν μὲν πρό-
σωπον καὶ ἕνα υἱὸν καὶ Χριστὸν ὡσαύτως ὁμολογεῖν εὐσεβές, δύο δὲ τὰς ἑνωθείσας ὑπο-
25 στάσεις εἴτ' οὖν φύσεις λέγειν οὐκ ἄτοπον, ἀλλὰ καὶ λίαν ἀκόλουθον. εἰ γὰρ ἐπὶ τοῦ
ἑνὸς ἀνθρώπου διαιροῦμεν τὰς φύσεις καὶ καλοῦμεν τὴν μὲν θνητὴν σῶμα, τὴν δὲ ἀθάνα-
τον ψυχήν, ἑκατέραν δὲ ἄνθρωπον, πολλῶι μᾶλλον τοῦ ἀνειληφότος θεοῦ καὶ ἀναληφθέντος 20
ἀνθρώπου τὰς τῶν φύσεων ἰδιότητας γνωρίζειν εὔλογον. εὑρίσκομεν δὲ καὶ τὸν μακά-
ριον Παῦλον τὸν ἕνα ἄνθρωπον εἰς δύο ἀνθρώπους διαιροῦντα καὶ ποτὲ μὲν λέγοντα
ὅσον ὁ ἔξω ἄνθρωπος διαφθείρεται, τοσοῦτον ὁ ἔσωθεν ἀνακαινοῦται, 2 Cor. 4, 16
ποτὲ δὲ συνήδομαι τῶι νόμωι τοῦ θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον καὶ αὖθις Rom. 7, 22
εἰς τὸν ἔσω ἄνθρωπον κατοικῆσαι τὸν Χριστόν. εἰ δὲ τὴν φυσικὴν συνά- Eph. 3, 16. 17
φειαν τῶν ὁμοχρόνων φύσεων ὁ ἀπόστολος διαιρεῖ, πῶς ἀσεβείας γράφεται τοὺς τὰ ἴδια 26

SCHOLIA ARETHAE: 1sq. αἰσχρὸν καὶ ἱκανῶς ἄλογον ἐκ τῶν κάτω τῶν ἄνω λαμβάνειν τὴν εἰκασίαν καὶ τὸν ὑπερούσιον ἐκ τῶν ἐνύλων τεθμᾶσθαι [σταθμᾶσθαι?] οὐσιῶν καὶ ἀπὸ τῶν κτισμάτων ἑαυτοῦ τὸ ἄκτιστον ζυγοστατεῖν καὶ τὴν ἐν τούτοις ἀνάγκην τῶι ἐξ οὐκ ὄντων παραγαγόντι (καὶ συνελόντι φάναι ἀνάγκηι καὶ αὐτὸν τοιαῦτα παραγαγεῖν) προσλογίζεσθαι καὶ ὑπὲρ τῶν ἀγνώστων ὡς πάντηι ἐγνωσμένων ζυγομαχεῖν.

3 εἰ οὐ φυσικὴ διὰ τὸ μὴ ἀνάγκηι ὑποπεσεῖν, πῶς οὐ μᾶλλον ἀναγκαστικώτερον τό παρὰ φύσιν καὶ οὕτως ὡς καὶ τοῖς ἀβουλήτοις καὶ ἀθελήτοις ὑποκατακλίνεσθαι, ἐκβιάζεσθαι;

19 φύσιν, ἀλλ' οὐχ ὑπόστασιν

---

26 — p. 118, 2 πῶς — ἀνθρώπου Timotheus arm. p. 65

Φ [= YZVb], ΛpΣ, Ψ [= ARWl], Λs

1 οὐσίαν W βουλήσει YblΛs βουλῆ VZARW 2 πάντα — τῶν VZl ταῦτα δὲ πάντα τῶν Yb πάντα δὲ πάντων ARΛs πάντα δὲ πάντωσ W ἀβουλήτων Φl ἀβουλήτωσ ARWΛs 3 ὑποδέχεσθαι V 3/4 γέγονεν ἕνωσισ τῆσ[1] — δούλου μορφῆσ Yb 4 ἕνωσις] καθ' ἕνωσιν σύνοδοσ VZ σύνοδος ΛsΣ 5 οὐχὶ V θεὸς] τοῦ θῦ in ras. b 7 ἐδίδαξεν ὁ μακάριοσ b 10 εἰρημένων V 11/12 προλαμβάνει l 14 ὑπάρχει Yb δὲ om. V ἡ om. Z 15 ἔχει om. Z ταυτὸ Ψ αὐτὸ Λs 17 Χριστὸν] ἕνα χν̄ l ὡσαύτως om. V 18 καὶ λίαν Ybl κατ' αἰτίαν VZARWΛps κατ' αἰτίαν καὶ λίαν Σ ut uidetur τοῦ om. A 19 διαιροῦμεν ἀνοῡ Z 20 ἑκάτερα Y post καὶ superscr. τοῦ b ἀναλημφθέντοσ R 22 τὸν om. A διαιροῦντα ἀνοῡσ b 23 ὅσον ΦW ὅσω ARl ἔξωθεν b φθείρεται VA ἀνακενοῦται A 24 ὁτὲ Al ὅτε RW *quando* Λs τῶ ΦlΛsΣ δὲ τῶ ARW *enim* Λp τοῦ om. A 24/25 καὶ αὖθις — ἄνθρωπον om. Z 26 ὁμοχρόνων ΦΑΛpΣ ὁμοφρόνων RWl

τῶν φύσεων διαιροῦντας τοῦ προαιωνίου θεοῦ καὶ τοῦ ἐπ' ἐσχάτου τῶν ἡμερῶν ἀναληφθέντος ἀνθρώπου ὁ τὴν κρᾶσιν ἡμᾶς δι' ἑτέρων ὀνομάτων διδάσκων;

P 412 Ἀπολογία κεφαλαίου γ̄

26 Ἄθρει δὴ ὅπως ὁ πάνσοφος οὑτοσὶ πρῶτον μὲν τὸ ἀσυμφανὲς τῶν εἰρημένων καταψεύδεται, ἀφεγγῆ δὲ καὶ σκοτεινὴν τὴν διάνοιαν ἔχων αὐτὸς σκοτεινὸν εἶναί φησι τὸν
PG 405 οὕτω διαφανῆ καὶ τοῖς εὖ φρονεῖν ἐθέλουσι γνωριμώτατον λόγον. ὡιήθη δὲ ὅτι σύνοδον λέγεσθαι καὶ οὐχὶ δὴ μᾶλλον συνάφειαν ὀνομάζεσθαι δεῖν ὁ πρὸς ἡμῶν γεγονὼς διισχυρίζεται λόγος, εἶτα τῆς ἐνούσης εὐτεχνίας αὐτῶι ποιούμενος τὴν ἐπίδειξιν μίαν ἡμῖν ἀποφαίνει τὴν ἐκ τῶν σημαινομένων δύναμιν, κἂν εἴτε συνάφειαν εἴτ' οὖν σύνοδον πεπρᾶχθαί τις λέγοι. ἐγὼ δὲ κἂν τούτωι θαυμάσας ἔχω τῆς οὕτως ἰσχνῆς εὐβουλίας αὐτόν· ἔγνω γάρ, ὡς ἔοικε, μόνος τὸ μηδενί ποτε τάχα τῶν ὄντων ἀγνοηθέν, πεπατημένον δὲ οὕτως, ὡς καὶ αὐτοῖς εἶναι καταφανὲς τοῖς εἰς ἅπαν ἡμοιρηκόσι καὶ σοφίας κοσμικῆς καὶ λόγων
27 τριβῆς καὶ τῆς ἐκ παρακουσμάτων μετρίας τε καὶ οὐκ ἀκριβοῦς ἐπιστήμης. τεθαυμακὼς τοίνυν τῆς εὐμαθίας αὐτὸν ἐκεῖνο φημί· βραχὺ διαγρηγορήσας καθάπερ ἐξ ὕπνου καὶ μέθης, ὁ τὸ πλατὺ καθ' ἡμῶν διευρύνων στόμα, ἄθρει λεπτῶς τὸ μυστήριον. τὴν ἐπὶ Χριστῶι λεγομένην ἕνωσιν συκοφαντοῦσι τινὲς παρατρέποντες εἰς τὸ ἀκαλλὲς καὶ εἰς τὸ δοκοῦν αὐτοῖς παρά γε τὸν σκοπὸν τῶν ἱερῶν γραμμάτων. φασὶ γὰρ δὴ διιρῆσθαι μὲν εἰς ἅπαν ἀλλήλων καὶ ὁλοτρόπως ἀποφοιτᾶν τὰς φύσεις ἰδίαι τε εἶναι καὶ ἀνὰ μέρος ἑκατέραν·
P 414 ἄνθρωπον δὲ οὕτω συνῆφθαι θεῶι σχετικῶς διατείνονται κατὰ μόνην τὴν ἀξίαν ἢ γοῦν αὐθεντίαν καὶ κατὰ τὴν τῆς υἱότητος ὁμωνυμίαν. ταύτην ἀναιρεῖ τὴν δόξαν ὁ ἀναθεματισμὸς καὶ ταῖς οὕτω βδελυρωτάταις κενοφωνίαις ἀντανίσταται διαβεβαιοῦται γὰρ ἑνωθέντα κατὰ φύσιν, τουτέστιν οὐ σχετικῶς, ἀλλὰ κατὰ ἀλήθειαν τῆι ἁγίαι σαρκὶ τὸν λόγον ψυχὴν ἐχούσηι τὴν νοερὰν κατὰ μηδένα τρόπον διατέμνεσθαι δεῖν, ἵνα μὴ δύο νοῶμεν
28 υἱούς, μερίζοντες τὸν ἀμέριστον. ὃ δὲ οὐ συνιεὶς ὅ τι ποτέ ἐστιν ἕνωσις φυσική, τουτέστιν ἀληθής, οὐ συγχέουσα τὰς φύσεις οὔτε μὴν ἀνακιρνῶσα πρός γε τὸ δεῖν ἑκατέραν ἑτεροίως ἔχειν ἢ ὅπερ ἐστίν, μειρακιῶδές τι καὶ ψυχρὸν δέχεται πρὸς ἀπόδειξιν ὧν εὖ ἔχειν ὑπείληφεν, καὶ δὴ καί φησιν· εἰ φυσικὴ γέγονεν ἡ ἕνωσις, οὐχ ἑκούσιος ἡ κένωσις τοῦ λόγου, ἀλλ' οἷον ἐξ ἀνάγκης καὶ βίας· ἀναγκαστικὴ γὰρ ἡ φύσις. καὶ πρός γε δὴ

SCHOLIA ARETHAE: 8/9 μίαν ἡμῖν ἀποφαίνει] ἀλλ' εἰ μὴ μία, διάφορος δέ, παρὸν ἐλέγχειν, τί τὸ αἴτιον ἀμελεῖν ἐν ψιλαῖς ἐπαγγελίαις ἐναβρυνόμενον;

Φ [= YZVb], ΛpΣ, Ψ [= ARWl], Λs

1 ἐσχάτων VbTim. 1/2 ἀναλημφθέντοσ R 2 ἡμῖν VZ

3 ἀπολογία — γ̄ Y κυρίλλου ἀπολογία Ymg ἀπολογία κυρίλλου πρὸσ ταῦτα κεφάλ(αιον) Γ̄ b ἀπολογία κυρίλλου VZ ἀντίρρησισ [ἀντίθεσισ W] τοῦ ἁγίου κυρίλλου Ψ ἀπολογία ὀρθοδόξου ΛpΣ 4 δὴ οὖν Vcorr οὗτοσ VZ 5 δὲ om. b 6 γνωριμότατον Y 7 γεγονὼσ VZbcorrARWmglΛsΣ om. YbW 8 αὐτόν l ἀπόδειξιν l 8/9 ὑποφαίνει W 10 οὕτωσ om. Yb, corr. b ἐσχνῆσ V 11/12 μηδενί — αὐτοῖς] μηδενὶ τοισ [τοισ in τοὐτοισ corr.] Y 11 ποτε VZΛp που bΨΛs ante τῶν superscr. τοῖσ b 12 ἡιμυρηκόσι Y ἠὐμοιρηκόσι Ycorr ἀμοιρηκόσι RWl κοσμικοῖσ Z 13 τριβῆσ ex διατριβῆσ corr. b τιμαῖσ Z 14 εὐμαθείασ Ψ διαγρηγορήσασ VZlΛsΣ διεγρηγορήσασ YcorrbAW διεγρηγόρησασ YRΛp καὶ καθάπερ l 15 διερευνῶν R θεώρει VZ ἐν l 16 συκοφαντῆσαι V ἀκαλέσ A 17 φησὶ VZ δὴ YbARl om. VZW 18 ἀπαλλήλων A 19 θῶ̄ ex χῶ̄ corr. b 20 δι' δ ταὐτην Ycorr 21 βεβαιοῦται b 23 νοοῦμεν ZR 24 συνεὶσ l 25 ἀνακιρνῶσα ΦΑΛpsΣ ἀνακιρνᾶσα l ἀνακρίνουσα W ἀνακρίνασα R γε] τε Λs 26 ἑτέρωσ Y ἢ om. VZ τι] τὲ W δέχεται om. b 27 καί² om. b οὐχ — κένωσις om. R κένωσις] ἔνωσισ W 28 δὴ om. Ψ

τοῦτο φαίη τις ἂν αὐτῶι· πεῖνά τε καὶ δίψα καὶ τὰ λοιπά, καθάπερ ἔφης αὐτός, σαρκὸς ἂν εἶεν ἀρρωστήματα φυσικὰ καὶ ἐν ἡμῖν αὐτοῖς τὴν κίνησιν ἔχει, ὅτι καὶ τυραννουμένην τοῖς πάθεσιν τὴν φύσιν κεκτήμεθα· ἡ δέ γε θεία τε καὶ ἀπόρρητος τοῦ λόγου φύσις πάθους καὶ ἀνάγκης ἀνεπίδεκτος οὖσα παντελῶς οὐ βεβίασται πρός τινος οὔτε μὴν ἐξ ἑαυτῆς πρός γε τὸ δεῖν ἀβουλήτως γενέσθαι σὰρξ ἢ γοῦν τὸ ἀνθρώπινον οἰκειώσασθαι μέτρον ἐπιλαβέσθαι τε σπέρματος Ἀβραάμ. Hebr. 2, 16

29 Ὅτι δὲ ἀκατάσκεπτος κομιδῆι γέγονεν ὁ λόγος αὐτῶι, χαλεπὸν οὐδὲν τοῖς ἐθέλουσιν ἰδεῖν. ἔφη γὰρ ὅτι πάντηι τε καὶ πάντως τὰ κατὰ φύσιν τοῖς τῆς ἀνάγκης ὑποκείσεται P 416
νόμοις, καὶ παρεκόμισεν εἰς ἀπόδειξιν τὸ ἀβουλήτως ἡμᾶς πεῖνάν τε καὶ δίψαν εἰσδέχεσθαι, PG 408
καλούσης εἰς τοῦτο τῆς φύσεως, κἂν εἰ μὴ βούλοιτό τις. ἀλλ' ἦν ἀνδρὸς εὐμαθοῦς καὶ ἠκονημένον ἔχοντος εἰς ταῦτα τὸν νοῦν καὶ τὰ ἕτερα τῶν πραγμάτων ἰδεῖν, ἃ καὶ λόγου πλείονος ἀξιοῖτ' ἂν εἰκότως. ἦ γὰρ οὐκ ἀληθὲς ὅτι λογικός ἐστι κατὰ φύσιν ὁ ἄνθρωπος; ἆρ' οὖν ἀβουλήτως καὶ ἠναγκασμένως ἐστὶ λογικός; τί δέ; εἰπέ μοι, καὶ ὁ τῶν ὅλων θεὸς οὐ κατὰ φύσιν ἐστὶ θεός; οὐ κατὰ φύσιν ἅγιος δίκαιος ἀγαθὸς Ζωὴ φῶς σοφία καὶ δύναμις; ἆρ' οὖν καὶ αὐτὸς ἀβουλήτως καὶ ὡς ἐξ ἀνάγκης ἐστὶν ἅ ἐστιν; ἀλλ' οἶμαι τὸ οὕτως ἐλέσθαι φρονεῖν τῆς εἰς λῆξιν ἡκούσης ἐμβροντησίας οὐκ ἀσυμφανὴς ἔλεγχος εἴη ἄν. τί τοίνυν ἡμῖν ὡς ἄμαχόν τι καὶ δυσκαταγώνιστον ἐπιτείχισμα ποιεῖται
30 τὸ ψεῦδος καὶ τῶν οὕτω σαθρῶν ἅπτεται προβλημάτων; καὶ φυσικὴν ἀκούων γενέσθαι τὴν ἕνωσιν, τουτέστιν ἀληθῆ, καὶ τροπῆς ἐλευθέραν καὶ ἀσύγχυτον παντελῶς τῶν ὑποστάσεων σύνοδον, περιτρέπειν πειρᾶται τῶν εἰρημένων τὴν δύναμιν εἰς τὸ μὴ ὀρθῶς πεποιῆσθαι δοκεῖν καὶ καθ' ὁμοιότητα τὴν πρὸς ἡμᾶς οὐ δέδιεν ὁ θρασὺς ἀφύκτοις ἀνάγκαις τὴν τοῦ λόγου φύσιν ὑποτιθείς. κεκένωκεν ἑαυτὸν οὐκ ἀβουλήτως, ἀλλ' ἐθελοντὴς ὁ μονογενὴς γέγονεν ἄνθρωπος καὶ οὐχ ὡς σὺ φής, ἀνέλαβεν ἄνθρωπον, σχετικὴν αὐτῶι δωρούμενος τὴν συνάφειαν καὶ τῆι τῆς υἱότητος χάριτι στεφανῶν καθάπερ ἡμᾶς. ὥστε κἂν P 418

SCHOLIA ARETHAE: 9 καὶ παρεκόμισε] καλῶς γε ποιῶν· οὐ γὰρ ταυτὸν πάθος φυσικόν τε καὶ ἀδιάβλητον, δι' οὗ καὶ τὸ ἐπίκαιρον [uoluit ἐπίκηρον] τῆς ἥσπερ ἐστίν, ἀπελέγχεται φύσεως, τῶι ὧι μόνωι κατὰ τὸ κρεῖσσον καὶ εἰς ἀεὶ καὶ ἀναλλοιώτως εἰς παράστασιν τῆς τοῦ δηλουμένου φύσεως πρ⟨όσεστι⟩ν.

14 ἀλλὰ ταῦτα συστατικὰ τοῦ ὑποκειμένου καὶ εἰς ἀεὶ προσόντα· τὰ δὲ πρὸς δεῖγμα φθορᾶς οὔτε συμπαρόντα ἀεὶ ἐνεργῶς καὶ κατ' ἐξουσίαν τοῦ ὧι πρόσεστιν, [τὸ] ἀνεργὰ ὁρᾶσθαι παραχωρούμενα. ὁ Θεσβίτης Ἠλίας καὶ ὅσοι κατ' ἐκεῖνον τὴν ἀρετήν, παρέξουσι τὸ πιστόν.

19/20 τῶν ὑποστάσεων σύνοδον] μέχρι τίνος ὑποστάσεων φάσκων ἕνωσιν Νεστορίωι θύρας ὑπανοίγεις βλασφημίας;

ibid.] ἰδοὺ καὶ νῦν ἀδιαστάλτως σύνοδον συναφείαι ἐπάγεις ὥσπερ ἐπιλελησμένος τῆς ἐπαγγελίας τοῦ διάφορον τὴν σημασίαν ἑκατέρου παρασχεῖν.

23/24 σχετικὴν . . . συνάφειαν] καὶ ποῦ σχετικῆς ἑνώσεως παρὰ Θεοδωρήτωι λόγος;

17—20 Fcyr 59 τί — δύναμιν

Φ [= YZVb], Λp(Σ), Ψ [= ARWl], Λs

1 τούτοισ Y τοῦτο in ras. b ἂν om. Ψ αὐτῶ YbΨΛs αὐτῶ ὅτι VZΛp πεῖναν Y δίψαν Y 3 τε om. l 4 οὐκ ἐκβεβίασται Y αὐτῆσ ZR 5 τὸ γενέσθαι Y οἰκειοῦσθαι Ψ 7 δὲ καὶ A κομηδὴ Y 8 ἰδεῖν ἢ μαθεῖν b πάντηι τε] τὲ πάντη l 9 μέτροισ V ἡμᾶσ om. Y 11 ἕτερα YΨΛpsΣ στερρὰ VZb 12 ἢ l ἡ YARWΣ εἰ VZbΛps κατὰ φύσιν λογικόσ ἐστιν l κατὰ φὺσιν ὁ ἀνσ ἐστὶν b 13 ἆρ' οὖν YbΣ ἆρ' οὖν καὶ αὐτὸσ Ψ ἄρα VZΛps δαι YZ 14 οὐ κατὰ φύσιν ἐστὶ — φύσιν om. Z οὐs — ἅγιος om. Vb 15 καὶ αὐτόσ VZbΛpsΣ αὐτόσ Y om. Ψ 16 ἐλέσθαι om. R δεῖξιν Zb 17 ἂν εἴη Vb τι superscr. b τε V ποιεῖται] εἰ Fcyr 18 σαθρῶς Fcyr 18/19 ἀκούων — ἐλευθέραν om. V 18 γεγενῆσθαι Fcyr 19 τὴν ἀληθῆ ZbRFcyr τὴν τῶν Fcyr 21 post δοκεῖν repetit τῶν εἰρημένων τὴν δύναμιν Y τὴν om. b δέδειεν ZR δέδοικεν W 22 ὑποδεικνύσ superscr. τιθεὶσ V 23 προσέλαβεν Y 24 τὴν om. Y

νοῶμεν ἡνῶσθαι τὰς ὑποστάσεις ἐνανθρωπῆσαί τε καὶ σαρκωθῆναι τὸν λόγον καὶ δοκῇ πως κατὰ τοῦτο φυσικὴ λέγεσθαι παρ' ἡμῶν ἡ ἕνωσις, τὴν οὐκ ἀληθῆ τε καὶ σχετικὴν ἐκβάλλουσα (ἣν ἡμεῖς ἐσχήκαμεν διὰ πίστεως καὶ ἁγιασμοῦ, ὅτι καὶ θείας φύσεως γεγό-
1 Cor. 6, 17 ναμεν κοινωνοὶ καί, καθά φησιν ὁ Παῦλος, ὁ κολλώμενος τῷι κυρίωι ἓν πνεῦμά ἐστιν), ἀλλ' οὐχ ὑποτίθησιν ἀνάγκαις καὶ πλεονεξίαις φυσικαῖς τὸν ἀπαθῆ καὶ ἐλεύθερον
31 τοῦ θεοῦ λόγον. τὸ δέ γε μὴ θέλειν μετὰ τὴν ἕνωσιν διαιρεῖσθαι δίχα τὰ ἡνωμένα καὶ ἀλλήλων ἀποφοιτᾶν, εἴη ἄν, ὡς γέ μοι φαίνεται, παντελῶς ἀνυπαίτιον καὶ μώμου μακράν, μάλισθ' ὅτι καὶ αὐτὸς ὁ χρηστὸς οὑτοσὶ Θεοδώρητος τὸν ἕνα καθ' ἡμᾶς νοούμενον ἄνθρωπον εἰς παράδειγμα λαβὼν οὐκ ἐᾷ τέμνεσθαι δίχα, καίτοι τῆς ἐπ' αὐτῷι θεωρίας οὐκ ἀπαράδεκτον ἐχούσης τὴν οἱονεὶ τομὴν καὶ διαίρεσιν, τό γε ἧκον εἰς τὸ εἰδέναι φημὶ ὡς ἕτερον μέν τι κατὰ φύσιν ἐστὶν ἡ ψυχή, ἕτερον δὲ κατ' ἰδίαν φύσιν ἡ σάρξ. οὐκοῦν κατά γε τὸν ἴσον λόγον πολυπραγμονοῦντες τὴν ἕνωσιν, ἥπερ ἂν ἐπὶ Χριστῷι πεπρᾶχθαι νοοῖτο, τῇι μὲν θεωρίαι θεότητός τε καὶ ἀνθρωπότητος σύνοδον ἀληθῆ καθ' ἕνωσιν γενέσθαι φαμέν, οὐκ ἠγνοηκότες ὅτι ἕτερος μὲν παρὰ τὴν σάρκα κατὰ φύσιν ἐστὶν ὁ ἐκ θεοῦ λόγος, ἑτέρα δὲ αὖ κατ' ἰδίαν φύσιν παρ' αὐτὸν ἡ σάρξ. ἑνωθέντα δὲ ἅπαξ διατέμνειν οὐκ
PG 409 ἀσφαλὲς οὔτε μὴν εἰς υἱοὺς καταμερίζειν δύο τὸν ἕνα Χριστὸν καὶ υἱὸν καὶ κύριον ἐφίησί
P 420 τισιν ὁ τῆς ὀρθότητος λόγος, παιδαγωγούσης ἡμᾶς εἰς τοῦτο τῆς ἁγίας καὶ θεοπνεύστου γραφῆς. ἀλλὰ γὰρ τῶν μὲν τῆς ἀληθείας δογμάτων ὀλίγος αὐτῷι παντελῶς ὁ λόγος καὶ τὸ εἰδέναι μέν τι τῶν ἀναγκαίων εἰς ὄνησιν οὐ μετρίως ἀποσπουδάζεται καθάπερ τι τῶν ἀδικεῖν πεφυκότων, ἐπισεμνύνεται δὲ κατὰ τὸ εἰκὸς τῷι ψεύδει, καὶ τὸ εἰδέναι συκο-
Ps. 51, 3. 4 φαντεῖν εὖ μάλα κατωρθωκὼς ἀκουέτω πρὸς ἡμῶν· τί ἐγκαυχᾶι ἐν κακίαι ὁ δυνατὸς ἀνομίαν; ὅλην τὴν ἡμέραν ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου.

Τοῦ ἁγίου Κυρίλλου ἀναθεματισμὸς δ̄

32 Εἴ τις προσώποις δυσὶν ἢ γοῦν ὑποστάσεσιν τάς τε ἐν τοῖς εὐαγγελικοῖς καὶ ἀποστολικοῖς συγγράμμασι διανέμει φωνὰς ἢ ἐπὶ Χριστῷι παρὰ τῶν ἁγίων λεγομένας ἢ παρ' αὐτοῦ περὶ ἑαυτοῦ καὶ τὰς μὲν ὡς ἀνθρώπωι παρὰ τὸν ἐκ θεοῦ λόγον ἰδικῶς νοουμένωι προσάπτει, τὰς δὲ ὡς θεοπρεπεῖς μόνωι τῷι ἐκ θεοῦ λόγωι, ἀνάθεμα ἔστω.

SCHOLIA ARETHAE: 2/3 ἐάλωκας, ὦ πάτερ, οἷς ἐπιμέμφηι Θεοδωρήτωι· ποῦ γὰρ οὗτος τοῖς νῦν σοι κεκαττυμένοις κατονειρώττων ἐάλωκεν;

14 sq. καὶ ποῦ ταῦτα ληροῦντος ἔστι Θεοδωρήτου ἀκοῦσαι; εἰ οὐδαμοῦ, βέβαιον αὐτῷι τὸ ψαλμικὸν ἐκεῖνο ἐρεῖν τὸ κατ' ἐμοῦ πάντες οἱ διαλογισμοὶ αὐτῶν εἰς κακόν [Ps. 55, 6].

6—7 μακράν Timoth. arm. p. 73 11—15 Fcyr 60 οὐκοῦν — σάρξ

Φ [= YZVb], ΛpΣ, Ψ [= ARWl], Λs, uariam in anathematismo lectionem ΨΛs quaeras in V 148

1 δοκῇ Wcorr δοκεῖ ΦΨ 2 γενέσθαι Y ἡ om. R 3 καὶ ὅτι καὶ b 4 καὶ YVZΛps om. bΨΣ 5 καὶ — φυσικαῖς om. b 6 γε δὲ Rl διχῇ V 7 ἐπιφοιτᾶν V γε om. b 8 αὐτὸς ὁ] αὐτὸν l ὁ χρηστὸς om. Y εἰ οὑτοσὶ l θεοδώριτοσ bAW καθ' YRΛpΣ καὶ καθ' VZbAWlΛs 8/9 ἄνθρωπον om. b 9 δίχα τέμνεσθαι l 11 μέν τι] μέντοι VZ ἐστὶν — φύσιν om. Y post σάρξ add. ἕτερον δὲ ὁ θεὸσ λόγοσ Ycorr δέ τι V 12 εἴπερ YZFcyr ἥνπερ Ycorr ὅπερ bW, corr. b χν̄ Y χν̄ in χω̄ corr. b 14 σάρκα — φύσιν] φύσιν καὶ τὴν σάρκα b θῦ θσ̄ b 15 παρ' αὐτὸν] ἐστὶν Fcyr 16 υἱοὺσ — δύο YZb δύο καταμερίζειν υἱοὺσ V υἱοὺσ διαμερίζειν δύο Ψ υἱὸν καὶ om. b ἀφίησιν b 17 τισιν om. b θεότητοσ W 18 ὀλίγος] ὁ λόγοσ b ὁ λόγος] ὀλίγοσ in ras. b 20 κατὰ τὸ YΨ καὶ ὡσ VZ ὡσ b 21 κατορθωκὼσ bRWlZ, corr. bR 21 ἡμᾶσ b ἐγκαυχᾶ R 22 ἀδικίαν om. Z

23 τοῦ — δ̄ Y κυρίλλου ἀναθεματισμὸσ δ̄ Ymg ἀναθεματισμὸσ τέταρτοσ VZb 26 νοουμένασ Z 27 ὡσ VZbΛpΣ om. Y θῦ VZbΛpΣ θῦ πρσ̄ YΛs

P 424 εἰκὼν ἀπαράλλακτος, οὐκ ἄρα τοῦ θεοῦ λόγου ἡ ἄγνοια, ἀλλὰ τῆς τοῦ δούλου μορφῆς τῆς τοσαῦτα κατ' ἐκεῖνο τοῦ καιροῦ γινωσκούσης ὅσα ἡ ἐνοικοῦσα θεότης ἀπεκάλυψεν. 34 ταῦτα καὶ περὶ τῶν ἄλλων τῶν ὁμοίων ἔστιν εἰπεῖν. πῶς γὰρ ἂν ἔχοι λόγον τὸν θεὸν
Mt. 26, 39 λόγον εἰπεῖν πρὸς τὸν πατέρα· πάτερ, εἰ δυνατόν, παρελθέτω τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ· πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ; πολλὰ γὰρ ἐντεῦθεν πάλιν συμβαίνει τὰ ἄτοπα, καὶ πρῶτον μὲν τὸ διχονοεῖν τὸν πατέρα καὶ τὸν υἱὸν καὶ ἕτερα μὲν βούλεσθαι τὸν πατέρα, ἕτερα δὲ τὸν υἱόν· ἔφη γάρ· πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ· ἔπειτα πολλὴν αὖθις ἄγνοιαν ἐν τῶι υἱῶι θεωρήσομεν. εὑρεθήσεται γὰρ ἀγνοῶν εἰ δυνατὸν ἢ μή, παρελθεῖν τὸ ποτήριον· τοῦτο δὲ περὶ τοῦ θεοῦ λόγου λέγειν δυσσεβὲς καὶ βλασφημίας γέμον. ἤιδει γὰρ ἀκριβῶς ὁ διὰ τοῦτο παραγενόμενος, ὁ ἑκοντὶ τὴν ἡμετέραν φύσιν ἀναλαβών, ὁ ἑαυτὸν κενώσας τοῦ τῆς οἰκονομίας μυστηρίου
Mt. 20, 18. 19 τὸ τέλος, δι' ὃ καὶ τοῖς ἱεροῖς προύλεγεν ἀποστόλοις· ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδοθήσεται εἰς χεῖρας ἐθνῶν εἰς τὸ ἐμπαῖξαι αὐτὸν καὶ μαστιγῶσαι καὶ σταυρῶσαι καὶ τῆι τρίτηι ἡμέραι
Mt. 16, 22. 23 ἀναστήσεται. ὁ τοίνυν ταῦτα προκηρύξας καὶ τῶι Πέτρωι ἐπιτιμήσας ἀπευξαμένωι τὸ γενέσθαι, πῶς ἀπεύχεται μὴ γενέσθαι, ὃς σαφῶς οἶδεν πᾶν τὸ ἐσόμενον; πῶς δὲ
Ioh. 8, 56 οὐκ ἄτοπον Ἀβραὰμ μὲν πρὸ πολλῶν γενεῶν ἰδεῖν τὴν ἡμέραν αὐτοῦ καὶ χαρῆναι καὶ Ἡσαΐαν ὡσαύτως προθεσπίσαι αὐτοῦ τὰ σωτήρια πάθη καὶ Ἱερεμίαν καὶ Δανιὴλ καὶ Ζαχαρίαν καὶ πάντα τῶν προφητῶν τὸν χορόν, αὐτὸν δὲ καὶ ἀγνοεῖν καὶ ἀπαλλαγὴν αἰτεῖν καὶ ἀπεύχεσθαι ὃ ἐπὶ σωτηρίαι τῆς οἰκουμένης ἔμελλεν ἔσεσθαι; οὐκοῦν οὐ τοῦ θεοῦ λόγου ταῦτα τὰ ῥήματα, ἀλλὰ τῆς τοῦ δούλου μορφῆς τῆς δειλιώσης τὸν θάνατον διὰ τὸ μήπω λυθῆναι τὸν θάνατον, ἣι ὁ θεὸς λόγος ταῦτα εἰπεῖν συνεχώρησεν, χώραν δεδωκὼς
P 426 τῆι δειλίαι, ἵνα φανῆι τοῦ δεχθέντος ἡ φύσις καὶ μὴ δόκησιν ἢ φαντασίαν τὸ ἐξ Ἀβραὰμ
PG 413 καὶ Δαυὶδ ὑπολάβωμεν, ὃ τῶν δυσσεβῶν αἱρετικῶν ἡ συμμορία παθοῦσα ταύτην τὴν βλασφημίαν ἐγέννησεν. οὐκοῦν τὰ μὲν θεοπρεπῶς εἰρημένα καὶ πεπραγμένα τῶι θεῶι λόγωι προσάψομεν, τὰ δὲ ταπεινῶς εἰρημένα καὶ πεπραγμένα τῆι τοῦ δούλου μορφῆι προσαρμόσομεν, ἵνα μὴ τὴν Ἀρείου καὶ Εὐνομίου βλασφημίαν νοσήσωμεν.

1—3 adfert Cyrillus infra 38 1/2 **adferuntur in Concilii quinti collatione V** [L V 504 = M VIIII 290]

Φ [= YZVb], ΛpΣ, Ψ [= ARWl], Λs

2 τοῦ om. Yb 3 τῶν ὁμοίων VZbΨΛpsΣ ὁμοίως Y ἂν om. Ψ ἔχει l 4 παρελθάτω R 5 τοῦτο om. V 5/6 ἐντεῦθεν πάλιν VZΛp ἐνταῦθα Yb πάλιν ἐντεῦθεν ΨΛs 6 διχὰ νοεῖν Y 8 αὖθισ καὶ b θεωρήσωμεν V 9 ἢ μή om. Y 9/10 λέγειν δυσσεβὲσ] λίαν ἀσεβὲσ Y 10 ὁ[1]] ὅτι l 11 ἑκὼν VZ post κενώσας add. διὰ τὴν ἡμῶν σ̄ρ̄ιαν πῶσ Ycorr τὸ τῆσ οἰκονομίας τοῦ μυστηρίου τέλοσ Y, post οἰκονομίας superscr. ἀγνοεῖ Y 12 οὗ VZbRΛpΣ ἀποστόλοισ προὐλεγεν Y 14 αὐτὸν YVbWl αὐτῶ YmgZAR 15 ἐγερθήσεται Ψ ταῦτα om. Z 16 τὸ ZbΨ τῶ V ταῦτα Y ἐπεὐχεται W ὃ Y πᾶν τὸ] πάντωσ Y 18 προθεσπίζειν Y 18/19 ζαχαρίαν καὶ δανιὴλ b 19 πάντα τῶν VbΨ πάντα τὸν Z πάντων τῶν Y καὶ[2] om. bl 22 ἢ ὁ ZΛsΣ ἢ ὁ YV εἰ ὁ bARWΛp ὁ δὲ l δέδωκασ b 23 δεχθέντοσ ARΛs λεχθέντοσ bΛp δειχθέντοσ W ληφθέντοσ Yl τεχθέντοσ VZ τὸ ΨΛps τοῦ Y τὸν VZb τῶ bcorr 24 ὃ] ὧ AR ἡ τῶν ἀσεβῶν αἱρετικῶν συμμορίσ W παθοῦσα] πόθεν ARW 26 προσάψομεν V, b in ras. προσάψωμεν ZΨ συνάψομεν Y καὶ πεπραγμένα om. Y 26/27 προσαρμόσομεν YV, b in ras. προσαρμόσωμεν ZΨ 27 μήτε A νοσήσωμεν YbcorrΨ νοσῶμεν VZb

Ἀπολογία Κυρίλλου κεφαλαίου δ̄

35 Καὶ πῶς οὐκ ἄμεινον, ὦ τάν, τὴν τῶν εἰρημένων βασανίσαι δύναμιν μίσους τε καὶ προσπαθείας ἐλευθέραν ἔχοντα τὴν διάνοιαν; ἀλλ' ἥκιστα μὲν τοῦτο δρᾶν ἀξιοῖ, περιίστησι δὲ πάλιν ἐπὶ τὸ αὐτῶι δοκοῦν καὶ δὴ καί φησι

Συγγενῆ καὶ ταῦτα τοῖς ἤδη λεχθεῖσι· βούλεται γάρ, ὡς κράσεως γεγενημένης, μη- 5 p. 121, 2-5
δεμίαν εἶναι λόγων διαφορὰν τῶν ἐν τοῖς ἱεροῖς εὐαγγελίοις ἢ τοῖς ἀποστολικοῖς συγγράμμασιν εἰρημένων, καὶ ταῦτα πολεμεῖν ἴσως Ἀρείωι καὶ Εὐνομίωι καὶ τοῖς λοιποῖς αἱρεσιάρχαις σεμνυνόμενος.

36 Ἀλλὰ ταῦτα μὲν ἐκεῖνος· ἐγὼ δὲ τοσοῦτον ἀφέστηκα τοῦ συγκεκρᾶσθαι λέγειν ἀλλήλαις τὰς φύσεις φυρμόν τε καὶ συγχυσιν ὑπομεῖναι καὶ τροπὴν ὅσον καὶ αὐτὸς τοῦ δοξάζειν 10
ὀρθῶς. ἀλλ' οὐδὲ λόγων διαφορὰν ἀνειρήκαμεν· ἴσμεν γὰρ ὅτι οἳ μὲν αὐτῶν γεγόνασι θεοπρεπῶς, οἳ δὲ ἀνθρωπίνως, καὶ οἳ μὲν τῆι ὑπερτάτηι πρέπουσι δόξηι, οἳ δέ εἰσι τοῖς τῆς κενώσεως μέτροις ἁρμοδιώτεροι. χρῆναι δὲ φαμὲν αὐτοὺς οὐ προσώποις δυσὶν ἀλλήλων εἰς ἅπαν διηιρημένοις ἀπονέμεσθαι δεῖν· εἰ γάρ ἐστιν εἷς ὁ κύριος ἡμῶν Ἰησοῦς P 428
ὁ Χριστὸς μία τε πίστις ἡ εἰς αὐτὸν καὶ ἐν τὸ βάπτισμα, ἓν ἔσται πάντως αὐτοῦ καὶ Eph. 4, 5
πρόσωπον ὡς ἑνός, καὶ εἴπερ ἐστὶν ὁ αὐτὸς θεός τε ὁμοῦ καὶ ἄνθρωπος, ἁρμόσειεν ἂν 16
αὐτῶι καὶ δίχα μώμου παντὸς θεοπρεπῶς τε ὁμοῦ καὶ μέντοι καὶ ἀνθρωπίνως ποιεῖσθαι τοὺς λόγους, οὔτε τῆς θείας αὐτοῦ καὶ ἀπορρήτου φύσεως μειονεκτουμένης κατά τι γοῦν ὅλως τῆς τοῦ πατρὸς ὑπεροχῆς διά τοι τὸ λαλεῖν ἀνθρωπίνως οὔτε μὴν ἀπιστουμένης τῆς οἰκονομίας τῆς μετὰ σαρκός, ὅταν μετὰ τοῦ εἶναι θεὸς καὶ ἄνθρωπος καθ' ἡμᾶς γενέσθαι 20
37 κηρύττηται. πάντα τοίνυν ἐστὶ τοῦ ἑνὸς Χριστοῦ, τά τε θεοπρεπῆ καὶ τὰ ἀνθρώπινα. εἰ μὲν γὰρ οὐ γέγονεν ἄνθρωπος ὁ ἐκ θεοῦ πατρὸς λόγος, μὴ λαλείτω καθ' ἡμᾶς ἀνθρωπίνως· εἰ δὲ ἀληθὲς ὅτι παραπλησίως ἡμῖν μετέσχεν αἵματος καὶ σαρκὸς καὶ ὡμοιώθη κατὰ Hebr. 2, 14. 17
πάντα τοῖς ἀδελφοῖς, ἡμῖν δηλονότι, τί τὸ τῆς οἰκονομίας εὐτελὲς ἀνοητότατα διασύρουσιν, φωνῆς ἀνθρωπίνης οὐκ ἀνεχόμενοι καὶ τὸ ἐν λόγοις μικροπρεπὲς διὰ τὴν οἰκονομίαν, ὡς 25
ἑτέρωι κατ' ἰδίαν υἱῶι, τῆι τοῦ δούλου μορφῆι, καθάπερ αὐτοί φασιν, ἀνατιθέναι σπουδάζοντες; ἀσύνετον δὲ παντελῶς τὸ σκήπτεσθαι μὲν δεδιέναι τὰς τῶν αἱρετικῶν δυστροπίας, εἶτα τῆς ὀρθῆς πίστεως τὴν παράδοσιν ἀποκομίζειν αὐτοὺς ἔξω τοῦ καθήκοντος λόγου.

SCHOLIA ARETHAE: 16 sq. καὶ τί τοῦτο παραλλάττον τῆς Θεοδωρήτου περὶ Χριστοῦ ἀκριβολογίας, εἰ μὴ τοσοῦτον ὅσον οἱ καὶ τὸ ἓν καὶ δέκα τοῦ μία καὶ δέκα διαφέρειν λογομαχεῖν ματαιούμενοι

9—14 Fcyr 61 ἐγὼ — δεῖν

Φ [= YZVb], ΛpΣ, Ψ [= ARWI], Λs

1 ἀπολογία — δ̄ Y κυρίλλου ἀπολογία δ̄ Ymg ἀπολογία κυρίλλου VZ ἀπολογία τοῦ ἐν ἁγίοις κυρίλλου πρὸς ταῦτα: κε̄ δ̄ b ἀντίθεσις τοῦ ἁγίου κυρίλλου [κυρίλλου δ̄ R] Ψ ἀπολογία ὀρθοδόξου ΛpΣ 2 ὦ τὰν V ὦ τᾶν YbAl ὦ τᾶν W ὦ πὰν R ὅταν τις Z βασανίση Z 3 ἔχων Z δρᾶν] δὴ ἂν Z 4 καὶ δὴ καὶ YbARW καὶ δὴ VZl 5 διαλεχθεῖσι VZb διελεγχθεῖσι bcorr γενομένησ b 7 εἰρημένοις Y 9 ταυτὶ bAl συγκεκερᾶσθαι RW 9/10 ἀλλήλασ Z 10 τοῦ] τοῦτο Z 11 ὡραίωσ Zb, superscr. γρ καὶ ὀρθῶσ b οἳ μὲν αὐτῶν om Fcyr αὐτῶι Y 12 μὲν αὐτῶν b εἰσι om. Y 13 ἁρμοδιότεροι YR 14 διηρημένουσ Y ὑπονέμεσθαι Z ἐστιν om Y ὁ om Y 15 ὁ om. VbR τὸ om R superscr. Z 16 τὸ πρόσωπον b ὁ om. VZ θσ̄ τὲ ὁμοῦ YbΨ τὲ θσ̄ ὁμοῦ Z τε ὁμοῦ θσ̄ V ἂν om Ψ 17 παντὸσ μώμου l μέντοι καὶ om V 19 τοι om Yb erasit l τῆς² om. Y 20 ὅταν τὴν Z 21 κηρύττεται Rl τὰ τοῦ Y τε om. R 22 ante λόγος superscr θσ̄ b 24 τί om YZb τὸ om W, post οἰκονομίας superscr. W εὐτυχὲς V ἀνοητοτάτωσ VZ ἀνοήτωσ b ἀνοητότατοι Λs 25 φωνὰσ ἀνινάσ̄ Zb σμικροπρεπὲσ VΨ 26 τὴν — μορφὴν VZ φησιν Z ἀντιτιθέναι A 27 σκέπτεσθαι b δεδιέναι δὲ Y

PG 416 ἄμεινον δὲ φαίην ἂν καὶ πολὺ λίαν εὐμαθέστερον τὰς ἀνθρωπίνας ἀνάπτειν φωνὰς οὐχ ἑτέρωι προσώπωι μᾶλλον νοουμένωι τε ἰδικῶς καὶ ἀνὰ μέρος υἱῶι, τῆι τοῦ δούλου μορφῆι,
P 430 καθὰ λέγειν ἔθος αὐτοῖς, προσνέμειν δὲ μᾶλλον τοῖς τῆς ἀνθρωπότητος αὐτοῦ μέτροις·
88 ἔδει γὰρ ὄντα θεόν τε ὁμοῦ καὶ ἄνθρωπον δι' ἀμφοῖν ἰέναι τοῖν λόγοιν. θαυμάζω δὲ ὅπως ὑποκρίνεται μὲν καὶ αὐτὸς ὁμολογεῖν ὅτιπερ εἷς ἐστιν ὁ Χριστός, ὁ αὐτὸς δηλονότι θεός τε ὁμοῦ καὶ ἄνθρωπος, εἰς λήθην δὲ ὥσπερ ὑπενεχθεὶς ὧν εὖ ἔχειν ὑπείληφεν, διίστησι
Mt. 24, 36 πάλιν εἰς δύο τὸν ἕνα. παρατίθησι μὲν γὰρ τοῦ σωτῆρος φωνὴν λέγοντος· περὶ δὲ τῆς ἡμέρας ἢ τῆς ὥρας ἐκείνης οὐδεὶς οἶδεν οὐδὲ οἱ ἄγγελοι τῶν οὐρανῶν οὐδὲ ὁ υἱός, εἰ μὴ ὁ πατήρ. εἶτα σοφίαν εἶναι διαβεβαιούμενος τὸν ἐκ θεοῦ πατρὸς φύντα λόγον πάντα τε εἰδέναι τὰ ἐσόμενα, προσεπάγει καί φησιν
p. 122, 1-3 Οὐκ ἄρα τοῦ θεοῦ λόγου ἡ ἄγνοια, ἀλλὰ τῆς τοῦ δούλου μορφῆς τῆς τοσαῦτα κατ' ἐκεῖνο καιροῦ γινωσκούσης ὅσα ἡ ἐνοικοῦσα θεότης ἀπεκάλυψεν. ταῦτα καὶ περὶ τῶν ἄλλων τῶν ὁμοίων ἔστιν εἰπεῖν.

Οὐκοῦν εἰ μὴ ψεύδηι λέγων ἕνα Χριστὸν καὶ κύριον Ἰησοῦν, τὸν αὐτὸν δηλονότι θεόν τε ὁμοῦ καὶ ἄνθρωπον, διαιρεῖς ἀνθ' ὅτου καὶ δύο λέγων υἱοὺς οὐκ ἐρυθριᾶις; ἢ οὐχὶ
δύο που πάντως εἶεν ἄν, εἴπερ ἐστὶν οὐχ ὁ αὐτὸς τῶι μεμετρημένην ἔχοντι γνῶσιν ὁ πάντα εἰδώς, τῶι μερικὴν δεχομένωι τὴν ἀποκάλυψιν ὁ τέλειος ἐν σοφίαι καὶ τοσαῦτα γινώσκων ὅσα καὶ ὁ πατήρ; καὶ εἴπερ ἐστὶν εἷς τε καὶ ὁ αὐτὸς διὰ τὸ τῆς ἀληθοῦς
P 432 ἑνώσεως χρῆμα καὶ οὐχ ἕτερος καὶ ἕτερος διηιρημένως τε καὶ ἀνὰ μέρος, αὐτοῦ πάντως ἔσται καὶ τὸ εἰδέναι καὶ μέντοι καὶ τὸ μὴ εἰδέναι δοκεῖν. οὐκοῦν οἶδεν μὲν θεικῶς ὡς σοφία τοῦ πατρός· ἐπειδὴ δὲ τὸ τῆς ἀγνοούσης ἀνθρωπότητος ὑπέδυ μέτρον οἰκονομικῶς, οἰκειοῦται καὶ τοῦτο μετὰ τῶν ἄλλων, καίτοι, καθάπερ ἔφην ἀρτίως, ἠγνοηκὼς οὐδέν, ἀλλ' εἰδὼς
Ioh. 4, 6 **89** ἅπαντα μετὰ τοῦ πατρός. ἐπεὶ διὰ ποίαν αἰτίαν πεινῆσαι λέγεται καὶ καμεῖν ἐξ ὁδοι-
Ioh. 6, 51. 33 πορίας, καίτοι ζωὴ καὶ ζωοποιὸς ὑπάρχων ὡς θεός, καὶ αὐτὸς ὢν ὁ ἄρτος ὁ ζῶν ὁ ἐκ
Ps. 23, 10 τοῦ οὐρανοῦ καταβὰς καὶ ζωὴν διδοὺς τῶν κόσμωι καὶ αὐτὸς ὢν ὁμοίως ὁ τῶν δυνάμεων κύριος; ἀλλ' ἵνα πιστεύηται κατὰ ἀλήθειαν γενόμενος ἄνθρωπος, οἰκειοῦται τὰ ἀνθρώπινα, τοῖς τῆς ἰδίας φύσεως ἀγαθοῖς ἐμφιλοχωρῶν καὶ ἀκλονήτως ἔχων τὰ ἐν οἷς ἦν ἀεὶ καὶ ἔστιν καὶ ἔσται διὰ παντός. ὅ γε μὴν ἀποκάλυψιν δεδόσθαι λέγων τῆι τοῦ δούλου μορφῆι παρὰ τοῦ ἐνοικήσαντος θεοῦ καὶ τοῦτο μεμετρημένην, προφήτην ἡμῖν ἀποφαίνει
40 τὸν Ἐμμανουὴλ καὶ θεοφόρον ἄνθρωπον καὶ ἕτερον οὐδέν. ἀλλὰ γὰρ οἴεταί τι σοφὸν
Mt. 26, 39 καὶ ἀνανταγώνιστον εἰπεῖν. εἰ γὰρ ὁ τοῦ θεοῦ λόγος, φησίν, ὁ κεκραγὼς ἐστι πάτερ,

SCHOLIA ARETHAE: 14/15 θεόν τε ὁμοῦ καὶ ἄνθρωπον διαιρεῖς] συκοφαντία πλημμελής.

23 sq. ὡς ἔοικεν, κατεσχηματισμένα ταῦτα καὶ οὐκ ἀληθείαι προῆγεν ὁ θεάνθρωπος· εἰ δὲ ἀληθείαι, μάτην ἡ πρὸς Θεοδώρητον ἀλλόκοτος μέμψις, τὰ αὐτὰ κἀκείνου, εἰ καὶ τρανότερον, διεξιόντος.

Φ [= YZVb], ΛpΣ, Ψ [= ARWl], Λs

1 ἂν om. VZ εὐμαρέστερον Z ἀνάπτειν Φ προσάπτειν Ψ 2 τε YVb τὰ Z τὲ καὶ Ψ 3 αὐτοῦ om. W 4 τε om. VZ ἰέναι Φl εἶναι ARW 5 ὅπωσ VZbΨ ὅτιπερ Y 6 θσ̄ ὁμοῦ VZ ὁμοῦ θσ̄ b εὖ om. Zb 7 φωνὴν om. Y δὲ om. l 8 ἢ — ἐκείνησ YZRWΛpsΣ ἐκείνησ καὶ ὥρασ V ἐκείνησ καὶ τῆσ ὥρασ b ἐκείνησ ἢ τῆσ ὥρασ A ἐκείνησ l 9 οὔτε Y πηρ̄ μόνοσ Y πατρὸς om. V 10 πάντα τε Φ καὶ πάντα τε RWl καὶ πάντα γε A 13 τῶν ὁμοίων AWΛps ὁμοίων bR ὁμοίωσ ΦlΣ 14 χν̄ καὶ κν̄ YZbΨΛps κν̄ καὶ χν̄ V 15 ὁμοῦ om. VZ ἀνθότου διαιρεῖσ VZA διαιρεῖν W λέγειν Wcorr 16 που om. ΨΛs εἶε ἂν R ἢ ἕνα Y οὐχ om. Y 17 δεχομένωι] ἔχοντι Y 19 διηρημένωσ ΨΛpsΣ διηρημένοσ YZb de V propter abbreuiaturam non constat κατὰ l ἐστὶ Y 20 καὶ³ YVbA om. ZRWl μὴ τὸ l μὲν] μὲν καὶ αὐτὸσ V 22 ἔφην om. W 23 ἐπειδὴ R 24 ὧν] ἐστιν Y 24/25 ὁ ἄρτος — ὢν om. l 25 ὢν] ἦν RW ὁμοίως om. Y ὁ om. VZ 27 τὰ] ἃ Z ἀεὶ om. b 28 καὶ ἔσται διὰ παντός] τί δαὶ πάντωσ Y τε] τε b ἀποκαλύψασ Y λέγων δεδόσθαι V 29 τοῦτο YARlΛs τότε W ταὐτην VZbΛp 30 τι om. Y 31 ἀνταγώνιστον Z ἀκαταγώνιστον b φησὶν ΦΛp om. ΨΛs

εἰ δυνατόν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο, πρῶτον μὲν διχονοεῖ πρὸς
τὸν πατέρα, παραιτεῖται δὲ οὐκ ὀρθῶς τὸ πιεῖν τὸ ποτήριον, καίτοι, φησίν, οὐκ ἠγνοηκὼς PG 417
ὅτι τῶι κόσμωι σωτήριον ἔμελλεν ἔσεσθαι τὸ παθεῖν αὐτόν. οὐκοῦν οὐκ ἂν εἶεν, φησίν,
αἱ τοιαίδε τοῦ θεοῦ λόγου φωναί. ἀντακούσεται τοίνυν καὶ πρός γε ἡμῶν ὁ τοῖς οὕτω P 434
κιβδήλοις νηχόμενος λογισμοῖς· οὐκοῦν ἐπειδή σοι δοκεῖ τοῦ μὲν θεοῦ λόγου τὰς τοιάσδε 5 Iob 11, 12
φωνὰς ἀποσοβεῖσθαι δεῖν, μόνηι δὲ αὐτὰς ἀνάπτειν τῆι τοῦ δούλου μορφῆι, ἆρ' οὐκ εἰς
δύο πάλιν υἱοὺς καταδιαιρεῖς τὸν ἕνα; καὶ τίνι τοῦτο τῶν εὖ φρονούντων ἀσυμφανές;
ἐρεῖ γὰρ ἴσως τις τοῖς σοῖς, ὦ οὗτος, ἑπόμενος λογισμοῖς, ὅτι καὶ ἀπίθανον καὶ λόγου
πέρα τοῦ πρέποντος τὸ παραιτεῖσθαι τὸ πάθος τὴν τοῦ δούλου μορφὴν καὶ διχονοοῦσαν
ὁρᾶσθαι πρὸς τὸν πατέρα καὶ πρὸς αὐτὸν δὲ τὸν ἐνοικήσαντα λόγον· ἤιδει γὰρ οἶμαι τὸ 10
πάθος πρὸς σωτηρίαν ἔσεσθαι τοῖς ὑπ' οὐρανὸν καὶ ζωῆς πρόξενον τοῖς θανάτωι νενικη-
μένοις. ἔδει δὴ οὖν ὁρᾶσθαι, φησίν, καὶ δειλίας ἀμείνω καὶ τοῖς θείοις νεύμασιν ἀκο-
λουθεῖν ἡιρημένον. ἆρ' οὖν οὐκ αἰσθάνηι πεφλυαρηκὼς εἰκῆι; τίς ἡ τοσαύτη τῶν ἐν-
41 νοιῶν χυδαιότης; ἐγὼ δὲ ὅτι μὲν σμικρὰ τῶι ἐκ θεοῦ φύντι λόγωι πάντα ἐστὶν τὰ
ἀνθρώπινα, φαίην ἂν ὄκνου δίχα παντός· ζητῶ δὲ τὴν κένωσιν τίνος ἂν γενέσθαι νοοῖτο 15
καὶ τίς ὁ τοῦτο παθὼν ἑκουσίως. εἰ μὲν γάρ, ὡς αὐτοί φασιν, ἡ τοῦ δούλου μορφὴ
ἤτοι τὸ ἐκ σπέρματος τοῦ Δαυίδ, πῶς ἢ τίνα κεκένωται τρόπον, εἰ προσελήφθη παρὰ
θεοῦ; εἰ δὲ αὐτὸς ὁ ἐν μορφῆι καὶ ἰσότητι τοῦ θεοῦ καὶ πατρὸς ὑπάρχων λόγος ἑαυτὸν
κενῶσαι λέγεται, πῶς δὴ πάλιν ἢ τίνα κεκένωται τρόπον, εἰ παραιτοῖτο τὴν κένωσιν;
κένωσις δὲ τῶι θεῶι λόγωι παθεῖν οὐκ εἰδότι τὴν τροπὴν τὸ δρᾶσαί τι καὶ εἰπεῖν τῶν 20
ἀνθρωπίνων διὰ τὴν πρὸς σάρκα σύνοδον οἰκονομικήν. ἀλλ' εἰ καὶ γέγονεν ἄνθρωπος, P 436
κατ' οὐδένα τρόπον αὐτὸν ὁ τοῦ μυστηρίου λόγος εἰς τὴν αὐτοῦ φύσιν ἀδικήσειεν ἄν·
μεμένηκε γὰρ ὃ ἦν, καὶ ἐν ἀνθρωπότητι καθιγμένος διὰ τὴν τοῦ κόσμου σωτηρίαν καὶ ζωήν.
οὐκοῦν οὐ προσώποις δυσίν, ἀλλ' ὡς ἑνὶ Χριστῶι καὶ υἱῶι καὶ θεῶι τάς τε εὐαγγελικὰς
καὶ τὰς τῶν ἁγίων ἀποστόλων ἀναθήσομεν φωνάς, οὔτε τὴν θείαν αὐτοῦ κατασμικρύνοντες 25
φύσιν τε καὶ δόξαν διὰ τὰ ἀνθρώπινα οὔτε μὴν ἀρνούμενοι τὴν οἰκονομίαν, ἀλλ' αὐτοῦ τοῦ
λόγου γενέσθαι πιστεύοντες τὴν δι' ἡμᾶς ἐνανθρώπησιν.

SCHOLIA ARETHAE: 14 χυδαιότης] εἰ χυδαιότης, οὐκ οἶδα· τοῖς αὐτοῖς γοῦν καὶ αὐτὸς συμπερι-
φέρηι λόγοις.

---

14 [inde a ὅτι μέν] — 22 adfert Iustinianus in epistula quam edidit Bandini [Catal. cod. gr. bibl. Med. 1, 180 = PG 86, 1067]

Φ [= YZVb], ΛpΣ, Ψ [= ARWl], Λs

1 παρελθάτο R ἀπελθέτω b 2 τοῦ πιεῖν Y 3 τῶι κόσμωι om. V σριαν V ἤμελλεν RWl 4 τοιαίδε VZAl τοιάδε R, b in ras. τοιάδαι W τοιαῦται Y τοῦ — φωναὶ VZbΛp τοῦ λόγου φωναὶ ΨΛs φωναὶ τοῦ θῡ λόγου Y ἀκούσεται b τοίνυν] πάλιν b 5 τοιαύτασ VZb 6 αὐτὰσ om. b 7 δύο VRW δύο καὶ Y δύο δὴ ZbAl καταδιαιρήσεισ Ψ 8 λόγοισ Y 9 πέραν V τὸ] τὸ γαρ R τό γε A διχονοοῦσα R 11 σριασ RW 12 ἀμείνω Yb ἀμείνονα Ψ ἀμείνων VZ 12/13 ἀκολουθοῦσιν l 13 ἡρημένοσ VZ τοσαύτη ΦΣ τοιαύτη ΨΛs 16 τούτου R 17 τὸ YΨΛps ὁ VZ τοῦ b τοῦ om b 17—19 πῶσ — πάλιν in margine partim absciso add. l 17 προσελήμφθη R 17—19 προσελήφθη — εἰ om. V 18 αὐτόσ ὁ YZlΛps ὁ αὐτὸσ b ὁ αὐτὸσ ὁ ARW 19 κεκενῶσθαι Y post τρόπον rep. εἰ προσελήφθη — κεκένωται τρόπον A παρητεῖτο Y 20 τι add. Ycorr 21 καὶ om. RWl 22 αὐτόσ Y εἰσ om. Z, spatio relicto 23 καθιγμένοσ Ψ καθηγμένοσ YV κατηγμένοσ b καθειμένοσ, ει in ras., Z 24 ἑνὶ] ἐν Y υἱῶ θῶ Rl, corr. l 25 τὰς om. A 25 ἀναθήσωμεν Z αὐτοῦ YbΨΛpsΣ τοῦ κῦ VZ 26 οἰκείαν οἰκονομίαν b 27 πιστεύοντεσ γενέσθαι b

Κυρίλλου ἀναθεματισμὸς ε̄

42 Εἴ τις τολμᾶι λέγειν θεοφόρον ἄνθρωπον τὸν Χριστὸν καὶ οὐχὶ δὴ μᾶλλον θεὸν εἶναι
Hebr. 2, 14 κατὰ ἀλήθειαν ὡς υἱὸν ἕνα καὶ φύσει, καθο γέγονε σὰρξ ὁ λόγος καὶ κεκοινώνηκε παραπλησίως ἡμῖν αἵματος καὶ σαρκός, ἀνάθεμα ἔστω.

Θεοδωρήτου ἀνατροπή

43 Κεκοινωνηκέναι μὲν ἡμῖν παραπλησίως αἵματος καὶ σαρκὸς καὶ ψυχῆς ἀθανάτου τὸν θεὸν
PG 420 λόγον διὰ τὴν ἕνωσιν τὴν πρὸς ταῦτα φαμέν· σάρκα δὲ τὸν θεὸν λόγον τροπῆι τινι γεγενῆσθαι οὐ μόνον οὐ λέγομεν, ἀλλὰ καὶ τοὺς λέγοντας ἀσεβείας γραφόμεθα. ἐναντίον δὲ τοῦτο καὶ αὐτοῖς τοῖς εἰρημένοις ἔστιν ἰδεῖν. εἰ γὰρ ἐτράπη ὁ λόγος εἰς σάρκα, οὐ κεκοινώνηκεν ἡμῖν σαρκὸς καὶ αἵματος· εἰ δὲ σαρκὸς καὶ αἵματος κεκοινώνηκεν, ὡς ἄλλος παρὰ ταῦτα κεκοινώνηκεν εἰ δὲ ἄλλο τι παρ' αὐτὸν ἡ σάρξ, οὐκ αὐτὸς ἐτράπη εἰς
P 438 σάρκα. οὐκοῦν τῶι τῆς κοινωνίας ὀνόματι χρώμενοι, ὡς ἕνα μὲν υἱὸν προσκυνοῦμεν
44 τὸν λαβόντα καὶ τὸ ληφθέν, τῶν δὲ φύσεων τὴν διαφορὰν γνωρίζομεν. καὶ τὸν θεοφόρον δὲ ἄνθρωπον ὡς πολλοῖς τῶν ἁγίων πατέρων εἰρημένον οὐ παραιτούμεθα, ὧν εἷς
Bas. de sp. s. 12 ὁ μέγας Βασίλειος ἐν τῶι πρὸς Ἀμφιλόχιον περὶ τοῦ ἁγίου πνεύματος λόγωι τούτωι χρησάμενος τῶι ὀνόματι καὶ ἐν τῆι τοῦ πεντηκοστοῦ ἑνάτου ψαλμοῦ ἑρμηνείαι. καλοῦμεν δὲ θεοφόρον ἄνθρωπον, οὐχ ὡς μερικήν τινα θείαν χάριν δεξάμενον, ἀλλ' ὡς πᾶσαν ἡνωμένην ἔχοντα τοῦ υἱοῦ τὴν θεότητα. τοῦτο γὰρ ἑρμηνεύων ὁ μακάριος ἔλεγε Παῦλος·
Col. 2, 8. 9 βλέπετε, μή τις ἔσται ὁ συλαγωγῶν ὑμᾶς διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων κατὰ τὰ στοιχεῖα τοῦ κόσμου καὶ οὐ κατὰ Χριστόν, ὅτι ἐν αὐτῶι κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς.

Κυρίλλου ἀπολογία κεφαλαίου ε̄

45 Κἀνταῦθα δὴ πάλιν εἰκαιομυθοῦντα δεικνύειν χαλεπὸν οὐδέν. φαμὲν γὰρ ἡμεῖς τὸ μὴ χρῆναι πρός τινος θεοφόρον ἄνθρωπον ὀνομάζεσθαι τὸν Χριστόν, ἵνα μὴ καθ' ἕνα τῶν ἁγίων νοοῖτο, θεὸν δὲ μᾶλλον ἀληθινὸν ἐνανθρωπήσαντα καὶ σεσαρκωμένον τὸν τοῦ θεοῦ λόγον· ἐπιπλήττει δὲ πάλιν οὑτοσὶ τοῖς ὀρθῶς εἰρημένοις καὶ ποικίλως τερατεύεται καὶ ψευδηγορεῖ. φησὶ γὰρ ἡμᾶς εἰς τὴν τῆς σαρκὸς φύσιν παρατετράφθαι λέγειν τὸν τοῦ

12/13 adfert Timotheus arm p 65

Φ [= YZVb], ΛpΣ, Ψ [= ARWl], Λs, uariam in anathematismo lectionem ΨΛs quaeras in V 148

1 κυρίλλου — ε̄ Y κυρίλλου ἀναθεματισμόσ Ymg ἀναθεματισμὸσ πέμπτος VZb 2 ἄνδρα Y δὴ VZb δὲ YΣ 2/3 κατὰ ἀλήθειαν θν̄ εἶναι V θεὸν εἶναι ὁμοῦ καὶ ανθρωπον Σ 3 ἕνα om Σ καὶ φύσει VZb κατὰ φύσιν YΛpΣ κεκοινωνηκέναι Z

5 θεοδωρήτου ἀνατροπή Ymg ἀνατροπὴ VZ ἀνατροπὴ θεοδωρίτου ἐπὶ τῶ πέμπτω κε(φαλαίω) b μέμψισ θεοδωρίτου [θεοδωρήτου ε R θεοδωρίτου ε̄ l] Ψ μέμψις αἱρετικοῦ ΛpΣ 6 μὲν om VZ παραπλησίωσ ἡμῖν Ψ 7 θεὸν om Y 7/8 γενέσθαι Yb 8 γράφομεν l 9 τοῖς om R ὁ θσ̄ λόγοσ Y 10 ἡμῖν VZbΨΛsΣ δὴ Ycorr om. Λp αιματοσ καὶ σαρκὸσ ARW αιματοσ σαρκὸσ l δὲ ZVbΨΛpsΣ δὲ καὶ Y 12 τῶι] τὸ V 13 δὲ duo bl 14 ἁγίων om b ειρημένων l 15 περὶ om W 16 καὶ — ἑρμηνείαι om Y, locum in homilia PG 29, 460 sq. non inueni νθ̄ bl ἐννάτου V 17 δὲ om. b 18 ὁ μακάριοσ ἑρμηνεύων V 19 ἔστω A om V ἡμᾶσ bAl, corr l σοφίασ Zb 20 κόσμου τούτου W

23 κυρίλλου — ε̄ Y κυρίλλου ἀπολογία ε̄ Ymg ἀπολογια κυρίλλου VZ ἀπολογία τοῦ ἐν ἁγίοισ κυριλλου πρὸσ ταῦτα b ἀντίθεσισ τοῦ ἁγίου κυρίλλου [κυρίλλου ε̄ Rl] ΨΛs ἀπολογία ὀρθοδόξου ΛpΣ 24 δὲ YV, corr Y δείκνυσιν R δείκνυσιν ἑαυτὸν καὶ W 25 ἕνα] εἷσ Y 25/26 νοοῖτο τῶν ἁγίων b

θεοῦ λόγον καὶ λογισμοὺς ἀνορύττει, δι' ὧν ἀποφαίνειν ἐσπούδακεν ὡς οὐκ ἂν εἴη τρεπτὸς ὁ τοῦ θεοῦ λόγος. ὃ δὲ δὴ πλειστάκις ἔφην, τοῦτο καὶ νῦν ἀναγκαίως ἐρῶ· οὐδενὸς εἰς σάρκα τὴν ἀπὸ γῆς μεταπεποιῆσθαι λέγοντος τὴν θείαν τε καὶ ἀκήρατον τοῦ λόγου φύσιν, ἄτρεπτον δὲ ἁπάντων ὁμολογούντων αὐτήν, παύσασθε πόνους δαπανῶντες κενοὺς εἴς γε τὸ χρῆναι πληροφορεῖν τοὺς οὐδαμόθεν ἠπατημένους ὅτι καὶ ἄτρεπτος κατὰ φύσιν 5 P 440
καὶ ἀναλλοίωτός ἐστιν ὁ ἐκ θεοῦ θεὸς λόγος. τίς γὰρ οὕτως ἀπόπληκτος ἢ παράφρων ἐστίν, ὡς τὰ οὕτως αἰσχρὰ καὶ αὐτοῖς τάχα που τοῖς ἀνοήτοις ἀπόβλητα φρονεῖν ἐλέσθαι
46 καὶ λέγειν; καταπέπληγμαι δὲ ὅτι καίτοι διαβεβαιούμενος πανταχῆι θεὸν εἶναι τὸν Ἐμμανουήλ, προφητικὸν αὐτῶι μέτρον ἐκνενεμηκὼς ἐν τούτοις εὑρίσκεται. ἄνθρωπον γὰρ εἶναί φησι θεοφόρον αὐτόν, ἵν' ὁρῶιτο καθ' ἡμᾶς τοὺς ἕναυλον ἔχοντας διὰ τοῦ ἁγίου 10
πνεύματος τὸν τῶν ὅλων θεόν· κατοικεῖ γὰρ ἐν ταῖς καρδίαις ἡμῶν καὶ ἐσμὲν ναοὶ θεοῦ PG 421
ζῶντος. ἔστιν δὲ οὐ ταυτὸν ἄνθρωπον εἰπεῖν γενέσθαι τὸν λόγον καὶ θεὸν ἐν ἀνθρώπωι Eph. 3, 16
κατοικῆσαι νομίζειν. εἰ γὰρ καί ἐστιν ἀληθὴς ἡ τοῦ μακαρίου Παύλου φωνὴ ὅτι ἐν 2 Cor. 6, 16
Col. 1, 19. 2, 9
αὐτῶι ηὐδόκησε κατοικῆσαι πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς
τουτέστιν οὐ σχετικῶς, ἀλλ' οὖν ἕνα φησὶν εἶναι θεὸν τὸν πατέρα καὶ ἕνα κύριον Ἰησοῦν 15 1 Cor. 8, 6
Χριστόν, δι' οὗ τὰ πάντα. φαίη δ' ἄν τις καὶ ἐν ἀνθρώπωι κατοικεῖν τὸ πνεῦμα αὐτοῦ.
καὶ γοῦν γέγραπται περί τινων τοὺς δὲ κατοικοῦντας οἰκίας πηλίνας, ἐξ ὧν καὶ Iob 4, 19
αὐτοὶ ἐκ τοῦ αὐτοῦ πηλοῦ ἐσμέν· ἀλλ' οὖν εἷς νοεῖται καὶ ἔστιν κατὰ σύνθεσιν
47 ἄνθρωπος ἀπό τε σαρκὸς καὶ τῆς ἐν αὐτῆι κατοικούσης ψυχῆς νοερᾶς. τί τοίνυν διακυκῶν οὐ παύεται τὸν ὀρθόν τε καὶ ἀδιάστροφον τῆς πίστεως λόγον; ποτὲ μὲν γὰρ ἕνα φησὶν 20
Χριστὸν καὶ υἱὸν καὶ κύριον, τὸν αὐτὸν θεόν τε ὁμοῦ καὶ ἄνθρωπον, ποτὲ δὲ τοῖς τῶν προφητῶν ἐνίησι μέτροις, θεοφόρον ἄνθρωπον ὀνομάζων αὐτόν. ἠγνόηκεν δὲ τάχα που καὶ ἡμῖν αὐτοῖς ἐν ἴσωι τιθείς, εἴπερ ἐστὶν οὐ θεὸς ἀληθῶς, ναὸς δὲ μᾶλλον, ὡς ἐνοικοῦν- P 442
τος αὐτῶι τοῦ λόγου, καθὰ καὶ ἐν ἡμῖν. ἀλλ' οὐχ ὧδε ταῦτ' ἔχειν ἡ θεόπνευστος ἔφη
γραφή (γέγονε γὰρ σὰρξ ὁ λόγος καὶ ἐσκήνωσεν ἐν ἡμῖν), ἵνα μή τις οἴηται 25 Ioh. 1, 14
κατὰ τροπὴν καὶ μετάστασιν εἰς τὴν τῆς σαρκὸς αὐτὸν μεταπεποιῆσθαι φύσιν. ὁ δὲ γεγονὼς σὰρξ ἢ γοῦν ἄνθρωπος οὐκ ἄνθρωπος θεοφόρος ἐστίν, θεὸς δὲ μᾶλλον εἰς ἐθελούσιον κένωσιν καθεὶς ἑαυτὸν καὶ ἰδίαν ποιησάμενος σάρκα τὴν ἐκ γυναικός, σάρκα δὲ
οὐκ ἄψυχον οὐδὲ ἄνουν, ἀλλ' ἔμψυχόν τε καὶ νοεράν. μεμνήμεθα δὲ καὶ ναὸν ὀνομά- Ioh 2, 19
σαντος τὸ ἴδιον σῶμα, πλὴν οὐ σχετικὴν ἐποιήσατο τὴν ἐνοίκησιν, καθὰ καὶ ἐν ἡμῖν διὰ 30
τοῦ πνεύματος, ἀλλ' εἷς καθ' ἕνωσιν νοεῖται Χριστὸς καὶ υἱὸς καὶ κύριος.

SCHOLIA ARETHAE: 10 τί δαί, οὐχὶ καὶ Βασιλείωι τῶι θείωι [de spir. s. 12] καὶ Γρηγορίωι τοῦτο δοκοῦν τῶι θεολόγωι ἐν τῶι πρὸς Εὐνομιανοὺς λόγωι;

19 sq. συκοφαντία καὶ τοῦτο ποῦ γὰρ Θεοδώρητος διετείνατο δύο πρόσωπα ἐν τῶι κυρίωι Ἰησοῦ Χριστῶι πρεσβεύειν;

Φ [= YZVb], ΛpΣ, Ψ [= ARWI], Λs

1 ἀνορύττει — ἀποφαίνειν ΦΛpsΣ ἀποφαίνει δι' ὧν ἀνορύττειν Ψ ἄτρεπτοσ V 2 δὴ om. V 3 τὴν1] τῆσ R τοῖσ l 4 φύσιν] φύσιν ὑπέχειν δεῖ τὴν ἀκοὴν Ycorr δὲ] τε Z διαπονοῦντεσ Ψ καινοὺσ R 5 γε] τε ARl *autem* Λs 5/6 ἐστὶ κατὰ φύσιν καὶ ἀναλλοίωτοσ Ψ 6 ἐκ θῦ θσ̄ YZbΣ ἐκ θῦ Λs θσ̄ VΛp τοῦ θῦ Ψ παράφοροσ Ymg 7 που om. V 8 καίτοι om. b πανταχοῦ AΛsΣ 9 προφητικῶσ V 10 τοὺς] τὸ Z ἔχοντας om. Z 11 ναὸσ b 12 εἰπεῖν ἀνο̄ν̄ b λόγον] θν̄ λόγον RΣ 14 εὐδόκησε ZA 15 τουτέστιν οὐ σχετικῶσ ΦlΣ om ARWΛps θν̄ εἶναι Y 16 δ' om Y κατοικεῖν om. V 17 τινων uitium antiquissimum; latet ⟨ψυχῶν τῶν ἀνθρω⟩πίνων siue tale quid, cf schol Cyrill. 13 [uol. V p. 194, 10] de eodem uersu 20 φησὶν ἕνα Y 22 ἄνθρωπον om. Y 23 οὐ] ὁ l ἀληθὴσ Y 24 ἔφη ἡ θεόπνευστοσ Ψ 24/25 γραφὴ ἔφη b 25 γὰρ ΦAWΛsΣ δὲ l om. RΛp ἐσκήνωσεν om. V οἴεται b 26 καὶ μετάστασιν] ἢ μετάβασιν b αὐτὸν ΦlΛpΣ αὐτοῦ ARWΛs μεταποιεῖσθαι YZ 28 ἕνωσιν b 29 τε om. Y 31 νοεῖται om. Y χσ̄ ὁ ῦσ̄ Y καὶ κσ̄ ΦΛpΣ om. ΨΛs

Κυρίλλου ἀναθεματισμὸς ϛ̄

48 Εἴ τις λέγει θεὸν ἢ δεσπότην εἶναι τοῦ Χριστοῦ τὸν ἐκ θεοῦ πατρὸς λόγον καὶ οὐχὶ δὴ μᾶλλον τὸν αὐτὸν ὁμολογεῖ θεόν τε ὁμοῦ καὶ ἄνθρωπον, ὡς γεγονότος σαρκὸς τοῦ
Ioh. 1, 14 λόγου κατὰ τὰς γραφάς, ἀνάθεμα ἔστω.

Θεοδωρήτου ἀνατροπὴ ϛ̄

Phil. 2, 7 49 Ὁ μὲν μακάριος Παῦλος τὸ ληφθὲν ὑπὸ τοῦ θεοῦ λόγου μορφὴν δούλου προσαγορεύει· ἐπειδὴ δὲ πρὸ τῆς ἑνώσεως ἡ λῆψις, περὶ δὲ τῆς λήψεως ὁ μακάριος διαλεγόμενος Παῦλος μορφὴν δούλου τὴν ληφθεῖσαν προσηγόρευσε φύσιν, οὐκέτι χώραν ἔχει, τῆς ἑνώσεως γενο-
P 444 μένης, τῆς δουλείας τὸ ὄνομα. εἰ γὰρ τοῖς εἰς αὐτὸν πεπιστευκόσιν ὁ ἀπόστολος γρά-
Gal. 4, 7 PG 4²⁴ φων ἔλεγεν ὥστε οὐκέτι εἶ δοῦλος, ἀλλὰ υἱός καὶ ὁ κύριος τοῖς μαθηταῖς οὐκέτι
Ioh. 15, 15 καλέσω ὑμᾶς δούλους, ἀλλὰ φίλους, πολλῷι μᾶλλον ἡ ἀπαρχὴ τῆς ἡμετέρας φύσεως, δι' ἧς καὶ ἡμεῖς τοῦ τῆς υἱοθεσίας χαρίσματος ἠξιώθημεν, τῆς τοῦ δούλου προσηγορίας ἀπήλλακται. θεὸν τοίνυν ὁμολογοῦμεν καὶ τὴν τοῦ δούλου μορφὴν διὰ τὴν ἑνωθεῖσαν
Ies. 7, 14 αὐτῆι τοῦ θεοῦ μορφὴν καὶ πειθόμεθα τῶι προφήτηι καὶ Ἐμμανουὴλ τὸ βρέφος προσαγο-
Ies. 9, 6 ρεύοντι καὶ τὸ γεννηθὲν παιδίον μεγάλης βουλῆς ἄγγελον καὶ θαυμαστὸν σύμβουλον καὶ θεὸν ἰσχυρὸν καὶ ἐξουσιαστὴν καὶ ἄρχοντα εἰρήνης καὶ πατέρα τοῦ μέλλοντος αἰῶνος. ὅμως δὲ ὁ αὐτὸς προφήτης καὶ μετὰ τὴν ἕνωσιν κηρύττων τοῦ ληφθέντος τὴν φύσιν, δοῦλον προσα-
Ies. 49, 3. 5. 6 γορεύει τὸν ἐκ σπέρματος Ἀβραάμ, οὕτωσὶ λέγων· δοῦλός μου εἶ σύ, Ἰσραήλ, καὶ ἐν σοὶ δοξασθήσομαι καὶ πάλιν οὕτως λέγει κύριος ὁ πλάσας με ἐκ κοιλίας δοῦλον ἑαυτῶι καὶ μετ' ὀλίγα ἰδοὺ δέδωκά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς. τὸ δὲ πλασθὲν ἐν κοιλίαι οὐχ ὁ θεὸς λόγος, ἀλλ' ἡ τοῦ δούλου μορφή. οὐ γὰρ ὁ θεὸς λόγος τραπεὶς ἐγένετο σάρξ, ἀλλ' ἀνέλαβεν σάρκα ψυχὴν ἔχουσαν νοεράν.

SCHOLIA ARETHAE: 13 sq. τί τὸ διάφορον ἐνταῦθα τῶι ἀναθεματισμῶι, συνειδεῖν [sic] οὐκ ἔχω, ὥστε μάτην ἁλίσκονται διαπληκτιζόμενοι ἀλλήλοις οἱ προκείμενοι πατέρες, ἀεὶ περὶ τὰ αὐτὰ στρεφόμενοι καὶ περὶ τῶν αὐτῶν τὰ αὐτὰ διαβεβαιούμενοι καὶ συμφωνοῦντες ⟨ὥστε⟩ οὐκ ἔχω εἰπεῖν ἀνθότου διάφοροι καθίστανται ἀλλήλοις.

6—14 μορφήν Timoth. arm. p. 109

Φ [= YZVb], ΛρΣ, Ψ [= ARWl], Λˢ; uarias in anathematismo lectiones ΨΛˢ quaeras in V 148

1 κυρίλλου — ϛ̄ Y ἀναθεματισμὸσ ἕκτοσ ZVb 2 θεὸν λόγον Σ 4 ἔστω om. Z

5 θεοδωρήτου ἀνατροπή ϛ̄ Yᵐᵍ ἀνατροπὴ VZᵐᵍ ἀνατροπὴ θεοδωρίτου τοῦ ἕκτου κε(φαλαίου) b μέμψισ θεοδωρίτου [θεοδωρήτου ϛ̄ R θεοδωρίτου ϛ̄ l] ΨΛˢ μέμψισ αἱρετικοῦ ΛρΣ 7 δὲ om. Y λήμψισ R δὲ om. VΣ λήμψεωσ R ὁ μακάριοσ διαλεγόμενοσ ZbΨΛρˢTim. αὐτόσ διαλεγόμενοσ ὁ μακάριοσ Y om. V ὁ μακάριος om. Σ 8 λημφθεῖσαν R φύσιν] ὁ αὐτόσ φύσιν Z φύσιν δι' ὅπερ Yᶜᵒʳʳ 8/9 τῆς ἑνώσεως γενομένης om. Y 9 ὁ ἀπόστολοσ ΦAᶜᵒʳʳRWΛˢ ὁ ἀπόστολοσ παῦλοσ A ὁ μακάριοσ παῦλοσ ΛρΣ Παῦλος Tim. 10/11 οὐκέτι — ὑμᾶσ VZb οὐκέτι ὑμᾶσ καλέσω ΨTim. ὑμᾶσ δὲ οὐκέτι καλέσω Y 11 πολλῶ YZbW πολλῶ δὲ R πολλῶ δὴ VAl 12 ἣν Zb οὐ V 13 ἀπηλλάγη ἄν Z ἀπηλλάγει ἄν V 14 καὶ² om. YΛp 14/15 προσαγορεύοντι Φl πρόσαγορευθέντι R προσαγορεύσαντι AW 15 θαυμαστὸν καὶ ΛρˢΣ 16 καὶ ἐξουσιαστὴν VZbΨΛρˢ ἐξουσιαστὴν Y om. Σ 17 λημφθέντοσ R 17/18 προσαγορεύει] κηρύττει b 18 οὕτωσὶ om. V 19 ἐν om. Z οὗτοσ l 20 ἑαυτοῦ VZb 21/22 ἐκ κοιλίασ V 23 ἔλαβε b ἔχουσα R

Κυρίλλου ἀπολογία ⟨κεφαλαίου⟩ ϛ̄

50 Τῆς μετὰ σαρκὸς οἰκονομίας τοῦ μονογενοῦς τὸ μυστήριον τοῖς παρ' ἡμῶν γεγονόσιν καὶ νῦν οὐδὲν ἧττον συνασπιεῖ λόγοις καὶ τοῦ πρέποντος οὐκ ἠμοιρηκότας καταδείξειεν ἂν αὐτοὺς καὶ μάλα ῥαιδίως. ὁ γὰρ ὑπάρχων ἐν μορφῇ τοῦ θεοῦ καὶ πατρὸς μονογενὴς υἱός, ὁ κατὰ πᾶν ὁτιοῦν ἰσομέτρως ἔχων τῶι γεγεννηκότι, ὁ ἰσοκλεὴς καὶ ἐλεύθερος, μορφὴν δούλου λαβὼν κεχρημάτικεν ἀδελφὸς τοῖς ὑπὸ ζυγὰ δουλείας, τουτέστιν ἡμῖν. καὶ γοῦν ὡς εἷς ἐξ ἡμῶν συντετέλεκε μὲν τοῖς δασμολογοῦσι τὸ δίδραχμον καὶ γέγονεν ὑπὸ νόμον ὡς ἄνθρωπος ὁ νομοθέτης ὡς θεός· ἐδίδασκε δὲ τοὺς ἑαυτοῦ μαθητὰς ὅτι καὶ υἱός ἐστιν ἀληθῶς καὶ ἐν μορφῇ δούλου διὰ τὴν σάρκα, καίτοι κατὰ φύσιν ἰδίαν ἐλεύθερος ὢν ὡς ἐκ θεοῦ καὶ θεός, πλὴν ὡς ἰδίαν ἔχων τὴν τοῦ δούλου μορφὴν διὰ τὸ τῆς κενώσεως μέτρον τοῖς τῶν τελῶν πρακτῆρσιν ὑπόφορος ἦν. ὥστε κἂν εἴ τις λέγοι δοῦλον αὐτὸν ὠνομάσθαι διὰ φωνῆς τῶν ἁγίων προφητῶν, κατ' οὐδένα τρόπον σκανδαλίζεσθαι πρέπει· ἠιδεσαν γὰρ ἀπυκαλύπτοντος αὐτοῖς τοῦ ἁγίου πνεύματος ὅτι γεγονὼς ἄνθρωπος ὁ ἐκ θεοῦ πατρὸς λόγος ἦν μὲν καὶ οὕτως ἐλεύθερος ὡς υἱός, οὐκ ἀπόβλητον δὲ τὸ τῆς εὐτεχνοῦς κενώσεως ἐποιεῖτο μέτρον, ἡμῖν τοῖς ὑπὸ ζυγὰ δουλείας συμμορφούμενος. οὕτω καὶ θεὸν ἑαυτοῦ τὸν πατέρα φησίν, καίτοι φύσει θεὸς ὑπάρχων καὶ ἐξ αὐτοῦ καὶ κατ'
51 οὐδένα τρόπον τῆς τοῦ τεκόντος ὑπεροχῆς ἠττώμενος. Νεστορίου τοίνυν ὠδὶ γεγραφότος περὶ τοῦ Χριστοῦ 'ὥστε ὁ παθὼν ἀρχιερεὺς ἐλεήμων, οὐχ ὁ ζωοποιὸς τοῦ πεπονθότος θεός', καὶ θεὸν τοῦ Χριστοῦ τὸν ἐκ θεοῦ λόγον ὀνομάσαντος, προσθέντος δὲ τούτοις 'ἦν δὲ ὁ αὐτὸς καὶ βρέφος καὶ τοῦ βρέφους δεσπότης', οὐκ ἐν κόσμωι γενέσθαι τῶι δέοντι, μᾶλλον δὲ καὶ δυσσεβῶς ἄγαν διαβεβαιούμεθα τοὺς λόγους αὐτῶι. εἰ γὰρ θεός ἐστιν τοῦ Χριστοῦ ὁ ἐκ θεοῦ πατρὸς λόγος, δύο που πάντως εἶεν ἂν καὶ ἀναμφιλόγως. πῶς δ' ἂν νοοῖτο καὶ βρέφος ὁ αὐτὸς καὶ τοῦ βρέφους δεσπότης; οὐκ ἂν οὖν λέγοιτο καὶ θεὸς ἑαυτοῦ καὶ δεσπότης ὁ Ἐμμανουήλ, εἴπερ ἐστὶν ὁ αὐτὸς θεός τε ὁμοῦ καὶ ἄνθρωπος, ὡς ἐνανθρωπήσας καὶ σεσαρκωμένος ὁ τοῦ θεοῦ λόγος. ὅτι δὲ θεότης μὲν ἕτερόν τι κατὰ φύσιν ἰδίαν ἐστίν, ἕτερον δ' αὖ κατὰ φύσιν ἰδίαν ἀνθρωπότης, πῶς ἂν ἐνδοιάσειέν τις; πλὴν εἷς ἐξ ἀμφοῖν ὁ Χριστός, θεότητός τε καὶ ἀνθρωπότητος καθ' ἕνωσιν οἰκονομικήν.

P 446 Gal. 5, 1 Mt. 17, 24 sq. Gal. 4, 4 PG 425 Loofs p. 234, 14-16 ibidem p. 292, 3. 4 P 448

18/19 cf. Exc. Eph. XI Cyrill. c. Nest. 3, 2 19/20 cf. Exc. Eph. XII 25—27 Fcyr 62 ὅτι — τις

Φ [= YZVb], ΛpΣ, Ψ [= ARWl], Λs

1 κυρίλλου ἀπολογία ϛ̄ YYmg ἀπολογία κυρίλλου VZ ἀπολογία τοῦ ἐν ἁγίοις κυρίλλου πρὸς ταῦτα b ἀπολογία ὀρθοδόξου ΛpΣ ἀντίθεσις τοῦ ἁγίου κυρίλλου [κυρίλλου ϛ̄ Rl] ΨΛs 2 τὸ μυστήριον τοῦ μονογενοῦς b πρὸς VZ 3 ἧττον Φ ἔλαττον Ψ συνασπιεῖ ΦlΣ συνάπτειν RWΛs συναφθέν A καὶ om. A 4 τοῦ om. W καὶ πρσ̄ ΦΛp πρσ̄ ARlΛs om. W 5 πάντα Y ἰσομερῶς Y ὁ ΦlΣ om. ARW 6 ζυγὸν Z ζυγῶ b 7 δίδραγμον YR 8 ὡς²] καὶ Y δὲ om. ARW 9 ἀληθὴς Y ἐν om. Λs 9/10 ἐλεύθερος — ἰδίαν om. R 10 καὶ om. Λs 11 πρακτῆρσιν YAR πράκτορσιν VZbl πράκτωρσιν W λέγη V 12 ὀνομάζεσθαι Zb 14 ἀπόβλητος l δὲ YZbΛpΣ δὲ καὶ οὕτως VΨΛs 15 ἑνώσεως V ἐποίει Y ζυγῶ Yb 16 αὐτοῦ Y καὶ² om. VW 17 ὠδὶ om. b 18 ἱερεὺς l 19 θεός om. R ἐκ θῦ YZb τοῦ θῦ V θῦ ΨΛs om. Λp 20 ὁ αὐτὸς ΦΣ αὐτὸς Ψ καὶ¹ om. b 21 αὐτῶ YZbΣ αὐτοῦ VΨΛs om. Λp 22 καὶ om. VZbΣ ἀναμφιλόγως YVb ἀναμφιβόλως ZΨ 23 ἂν² om. A 25 δὲ — μὲν] μὲν θεότης VΛs θεότητος μὲν Fcyr 26 ἰδίως Y δ' αὖ [δὲ αὖ Y] YbARlΛsFcyrΣ δὲ VZW ἡ ἀνθρωπότης Vb

Κυρίλλου ἀναθεματισμὸς ζ̄

52 Εἴ τίς φησιν ὡς ἄνθρωπον ἐνηργῆσθαι παρὰ τοῦ θεοῦ λόγου τὸν Ἰησοῦν καὶ τὴν τοῦ μονογενοῦς εὐδοξίαν περιῆφθαι ὡς ἑτέρωι παρ' αὐτὸν ὑπάρχοντι, ἀνάθεμα ἔστω.

Θεοδωρήτου ἀνατροπή

53 Εἰ θνητὴ τοῦ ἀνθρώπου ἡ φύσις, ζωὴ δὲ ὁ θεὸς λόγος καὶ ζωοποιός, ἀνέστησεν δὲ
Ioh. 2, 19 τὸν ὑπὸ τῶν Ἰουδαίων λυθέντα ναὸν καὶ εἰς οὐρανοὺς ἀνήγαγεν, πῶς οὐ δεδόξασται ἡ τοῦ δούλου μορφὴ διὰ τῆς τοῦ θεοῦ μορφῆς; εἰ γὰρ θνητὴ ὑπάρχουσα κατὰ φύσιν ἀθάνατος γέγονεν διὰ τὴν πρὸς τὸν θεὸν λόγον ἕνωσιν, ἔλαβεν ὃ μὴ εἶχεν· ὃ δὲ μὴ εἶχεν, λαβοῦσα καὶ δοξασθεῖσα παρὰ τοῦ δεδωκότος δεδόξασται. διὸ καὶ ὁ ἀπόστολος βοᾶι·
Eph. 1, 19.20 κατὰ τὴν ἐνέργειαν τοῦ κράτους τῆς ἰσχύος αὐτοῦ, ἣν ἐνήργηκεν ἐν τῶι Χριστῶι ἐγείρας αὐτὸν ἐκ νεκρῶν.

P 450

Κυρίλλου ἀπολογία κεφαλαίου ζ̄

54 Οἱ Χριστὸν ὀνομάζοντες οὐχ ἕνα τινὰ τῶν καθ' ἡμᾶς κοινὸν ἄνθρωπον, ἀλλ' ἐνανθρωπήσαντα καὶ σεσαρκωμένον τὸν ἐκ θεοῦ φύντα λόγον τοῖς ἀκροωμένοις κατασημαίνουσιν, ὥστε κἂν εἴπερ τι τῶν θεοπρεπεστάτων ἐνεργῆσαι λέγοιτο διὰ τοῦ ἰδίου σώματος ὀργανικὴν αὐτῶι πληροῦντος τὴν ὑπουργίαν, οὐδὲν ἧττον αὐτὸς ὁ τῶν δυνάμεων κύριος ὁ ἐνεργῶν ἐστιν, οὐ τὸ ἐνεργεῖν ἑτέρωι δύνασθαι διδούς, καθάπερ ἀμέλει καὶ τοῖς μακα-
Mt. 10, 1 ρίοις ἀποστόλοις ἐξουσίαν ἐδίδου κατὰ πνευμάτων ἀκαθάρτων, ὥστε ἐκβάλλειν αὐτὰ καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῶι λαῶι. καὶ
Rom. 15, 18. 19 γοῦν ὁ θεσπέσιος Παῦλος οὐ γὰρ τολμῶ τι λέγειν, φησίν, ὧν οὐ κατειργάσατο διʼ ἐμοῦ Χριστὸς λόγωι καὶ ἔργωι ἐν δυνάμει σημείων καὶ τεράτων ἐν
PG 428 δυνάμει πνεύματος ἁγίου. χαίροντες δὲ καὶ οἱ μακάριοι μαθηταὶ προσήιεσάν ποτε
Lc. 10, 17 λέγοντες τῶι Χριστῶι· κύριε, καὶ τὰ δαιμόνια ἡμῖν ὑποτάσσεται ἐπὶ τῶι ὀνόματί σου. ἐνηργῆσθαι μὲν γὰρ διὰ Χριστοῦ ἐν πνεύματι τοὺς ἁγίους φαμὲν ὡς ἑτέ-

SCHOLIA ARETHAE: 16 εἰ ὀργανικὴν δίδως ὑπουργίαν τῶι ἀνθρωπίνωι τοῦ κυρίου, οὐδὲν δὲ ὄργανον ἄνευ τοῦ τεχνίτου τὸ ἑαυτοῦ ἐκτελέσειεν, τίς ἡ μέμψις τῶι τὰ αὐτὰ διατεινομένωι ὑμῖν; ἐρεῖς ἴσως ὅτι καθὸ μηδὲν πλέον ἔχον [ἔχων Y] τῶν ἀποστόλων δίδοται τῶι κυρίωι οὕτω προιόντι; ἀλλ' ἀγνοοῦντος ὁ λόγος τί μὲν τὸ συνυπάρχον ἀεὶ ὄργανον καὶ ἀνθυπόβλητον τῶι τεχνίτηι, τί δὲ τὸ δι' ἑτέρου καὶ ἐπικτήτου τὴν χρείαν ἀναπληροῦν. οὐδὲ γὰρ οἱ ξύλινοι φερεπόδες εἰς χορίαν [sic] παραληφθέντες ταυτόν τι τοῖς ἐγγενέσιν ποσὶν ὑποληφθεῖεν.

Φ [= YVZb], ΛpΣ, Ψ [= ARWl], Λs; uariam in anathematismo lectionem ΨΛs quaeras in V 148

1 κυρίλλου — ζ̄ YYmg ἀναθεματισμὸσ ζ̄ Z ἀναθεματισμὸσ ἕβδομοσ Vb 2 φησιν om. Y ἐνηργεῖσθαι Y 3 εὐδοξίαν Vb δόξαν Z ἀξίαν Y αὐτῶ περιῆφθαι Z γρ καὶ ὡσ ἕτερον παρ' αὐτὸν ὑπάρχοντα bmg ἑτέρου Y ὑπάρχοντα Y

4 θεοδωρήτου ἀνατροπή Ymg ἀνατροπὴ VZmg μέμψισ θεοδωρίτου ἤτοι ἀνατροπὴ b μέμψις αἱρετικοῦ ΛpΣ μέμψισ θεοδωρίτου [θεοδωρήτου ζ̄ R θεοδωρίτου ἑβδόμη l] ΨΛs 5 θνητὴ] παθητὴ Σ δὲ om. V 6 λυθέντα ὑπὸ ἰουδαίων b 8 τὸν om. VZb λόγον om. Σ 9—11 διʼ ὃ — νεκρῶν om. Y 10 ἐνήργηκεν ZARl ἐνήργησεν VbW 11 τῶν νεκρῶν bW, corr. b

12 κυρίλλου — ζ̄ Y κυρίλλου ἀπολογία ζ̄ Ymg ἀπολογία κυρίλλου VZ ἀπολογία τοῦ ἐν ἁγίοισ κυρίλλου πρὸσ ταῦτα b ἀπολογία ὀρθοδόξου ΛpΣ ἀντίθεσισ τοῦ ἁγίου κυρίλλου [κυρίλλου ζ̄ Rl] ΨΛs 13 χν̄ VRΛp χν̄ ιν̄ YZbAWlΛs ιν̄ χν̄ Σ τινὰ om. YV ὑμᾶσ Z κοινὸν ἄνον̄ bΨΛps κοινῶν ἀνῶν̄ VZ ἀνῶν̄ Y ἄνθρωπον Σ 15 κἂν] καὶ Y εἴπερ] ὑπέρ R θεοπρεπεστέρων l ἐνεργεῖσθαι Y ἐνηργῆσθαι l 16 τὴν om. Y κσ̄ YZbΛpsΣ χσ̄ RWl κσ̄ χσ̄ VA 17 οὐ] ὁ V 19 πᾶσαν¹ om. Λs πᾶσαν² om. AW 20 τολμῶ τι] τολμῶσι A οὐ om. Y κατηργάσατο W 21 ὁ χσ̄ b λόγω καὶ ἔργω ΨΛpsΣ ἔργω καὶ λόγω YVZ om. b ἐν²] καὶ ἐν b 23 ἐπὶ] ἐν b 24 ἐνεργεῖσθαι Yb, corr. b

ρους ὄντας παρ' αὐτόν, οὐ μὴν οὕτω· καὶ κατὰ τὸν ἴσον τρόπον καὶ αὐτὸν ἐνηργῆσθαι τὸν Ἰησοῦν παρὰ τοῦ λόγου νοοῦμεν ἐν πνεύματι, ὡς ἕτερον ὄντα υἱὸν παρά γε τὸν ἐκ θεοῦ μονογενῆ· ἕνα γὰρ δέδειχεν ἡ ἕνωσις καὶ τὸ διαιρεῖν εἰς δύο παραιτούμεθα. εἰ γὰρ καὶ γέγονε σὰρξ ὁ λόγος κατὰ τὰς γραφάς, ἀλλ' ἔστιν καὶ οὕτως υἱὸς μονογενὴς καθ' ἕνωσιν Ioh. 1, 14 ἀληθῆ τὴν ὑπὲρ νοῦν καὶ λόγον. αὐτὸς τοιγαροῦν ὁ εἷς τε καὶ μόνος Χριστὸς Ἰησοῦς 5 P 452 ὡς δι' ὀργάνου τοῦ ἰδίου σώματος ἐνήργηκεν τὰς θεοσημείας καὶ οὐκ ἐνηργῆσθαι φαμὲν
55 αὐτὸν καθ' ὁμοιότητα τῶν ἁγίων· ἀνόσιον γὰρ τοῦτο καὶ ἀπηχὲς κομιδῇ. εἰ δὲ καὶ ἤγειρεν ἐκ νεκρῶν τὸ ἑαυτοῦ σῶμα, καθὸ καὶ ζωὴ καὶ ζωποιός ἐστιν, αὐτὸς ἑαυτὸν δοξάζων ὁρᾶται, ζωοποιὸν ἀποφήνας τὴν ἑαυτοῦ φύσιν, καὶ οὐχ ἑτέρωι τινὶ παρ' ἑαυτὸν τὴν ἐπὶ τούτωι κεχάρισται δόξαν. καὶ γοῦν ἔφασκεν πρὸς τὸν ἐν οὐρανοῖς πατέρα καὶ θεόν· 10
πάτερ, δόξασόν με τῇι δόξηι, ἧι εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ Ioh. 17, 5
σοί, καίτοι καὶ θεός ἐστιν καὶ ἐκ θεοῦ κατὰ φύσιν καὶ τῆς δόξης κύριος. εἶτα πῶς 1 Cor. 2, 8
ὡς δόξης ἐπιδεὴς τὴν προκόσμιον αὐτοῦ δόξαν αἰτεῖ; ἐπειδὴ γὰρ γέγονεν ἄνθρωπος καὶ διὰ τῆς ἑαυτοῦ σαρκὸς χάριτι θεοῦ ὑπὲρ παντὸς ἐγεύσατο θανάτου, καθά φησιν ὁ μακάριος Hebr. 2, 9
Παῦλος, τῆς ἐντεῦθεν ἀδοξίας τὸν ὀνειδισμὸν παραιτούμενος προαναφωνεῖ τὴν ἀνάστασιν, 15
δι' ἧς ὅτι καὶ ζωὴ καὶ ζωοποιός ἐστιν ὡς θεός, εὖ μάλα διαγινώσκεται οὕτω τε πρὸς ἡμῶν πιστεύεται. ἐδόξασε τοίνυν οὐχ ἕτερόν τινα μᾶλλον, ἀλλ' ἑαυτόν, θανάτου κρείττονα τὸν ἐνωθέντα αὐτῶι κατὰ ἀλήθειαν ἀποφήνας ναόν· ὅτι δὲ τὸ ἑνωθὲν αὐτῶι σῶμα οὐκ ἄψυχον οὐδὲ ἄνουν εἶναι πιστεύομεν, ἀλλ' ἔμψυχόν τε καὶ ἔννουν, πλειστάκις εἰρήκαμεν.

Κυρίλλου ἀναθεματισμὸς η̄ 20

56 Εἴ τις τολμᾶι λέγειν τὸν ἀναληφθέντα ἄνθρωπον συμπροσκυνεῖσθαι δεῖν τῶι θεῶι λόγωι καὶ συνδοξάζεσθαι καὶ συγχρηματίζειν θεὸν ὡς ἕτερον ἑτέρωι [τὸ γὰρ σὺν ἀεὶ προ- P 454 στιθέμενον τοῦτο νοεῖν ἀναγκάσει] καὶ οὐχὶ δὴ μᾶλλον μιᾶι προσκυνήσει τιμᾶι τὸν Ἐμμανουὴλ καὶ μίαν αὐτῶι τὴν δοξολογίαν ἀνάπτει, καθὸ γέγονε σὰρξ ὁ λόγος, ἀνάθεμα ἔστω.

SCHOLIA ARETHAE: 2/3 καὶ τίς τοῦτο τῶν εὐσεβῶν κἂν ἐπ' ἐννοίαι ἔλαβεν, ὅπου γε μηδὲ Θεοδώρητος; διὸ ἀκίχητα διώκεις, τὰ μηδὲ ὄναρ ὑποτετοπημένα τῶι διωκομένωι ἐπιχειρῶν ἀναιρεῖν.

---

3 ἕνα γάρ — 5 Timoth. arm. p. 107 5/6 Fcyr 63 αὐτόσ — θεοσημείας

Φ [= YZVb], ΛpΣ, Ψ [= ARWl], Λs; uariam in anathematismo lectionem ΨΛs quaeras in V 148

1 καὶ[1] om. Vb ἐνεργεῖσθαι Yb, corr. b ἐνηργῆσαι V 2 νοοῦμεν om. VZ ὅσοι μὲν b γρ ἐνηργῆσθαι τὸν ιν παρὰ τοῦ λόγου νοοῦμεν ἐν πνι bmg ὡς om. V τὸν υν Y 4 ὁ λόγοσ σὰρξ Z ἔστι] ἔτι Z μονογενὴς om. Σ 5 τὴν ΦΛpsΣ om. Ψ τε om. VlFcyr ις χς b 6 ὡς om. Fcyr θεοσημίασ VbcorrAl ἐνεργεῖσθαι Z 7 τοῦτο ΦΛps καὶ τοῦτο Ψ κομηδή Y 8 αὐτοῦ τὸ V ζωὴ VΨΛpsΣ ζῶν YZb 8/9 ὁρᾶται δοξάζων b 9 αὐτὸν Rl 10 τοῖσ οὐρανοῖς VZ 12 ἐκ θυ υσ Y 13 ἑαυτοῦ ZbWl αἰτεῖ] ἐπιζητεῖ A 16 ζωὴ καὶ om. V ζῶν Z καὶ ὡσ θς Ycorr om. W γινώσκεται b τι A 18 ὅτι om. Λp δὲ om. Y 19 ἄννουν A ἀλλ' — εἰρήκαμεν om. Λp

20 κυρίλλου — η̄ YYmg ἀναθεματισμὸς η̄ Z ἀναθεματισμὸς ὄγδοοσ Vb 22 θν̄ VZbΛp θεῶι YΣ ἐν ἑτέρω VZbΣ 22/23 τὸ γὰρ — ἀναγκάσει Yb om. VZΛpΣ, cf. Solut. XII cap. [V 148] 22. apolog. adv. Orient. 62 23 δὴ om. Y τιμᾶ ZbΛpΣ τιμᾶν YV 24 αὐτοῦ b ἁνάπτει Z ἀναπέμπειν YV προσάπτει b καθὰ V

Θεοδωρήτου ἀνατροπή

57 Μίαν μέν, ὡς πολλάκις ἔφην, τὴν δοξολογίαν προσφέρομεν τῶι δεσπότηι Χριστῶι καὶ τὸν αὐτὸν θεὸν ὁμοῦ καὶ ἄνθρωπον ὁμολογοῦμεν, τοῦτο γὰρ ἡμᾶς ὁ τῆς ἑνώσεως ἐδίδαξε λόγος· τῶν δὲ φύσεων τὰς ἰδιότητας οὐ παραιτησόμεθα λέγειν. οὔτε γὰρ ὁ
PG 429 θεὸς λόγος τὴν εἰς σάρκα τροπὴν ἐδέξατο οὔτε πάλιν ὁ ἄνθρωπος ἀπώλεσε μὲν ὃ ἦν, εἰς δὲ τὴν τοῦ θεοῦ φύσιν μετεβλήθη. οὐκοῦν ἑκατέρας φύσεως τὰ ἴδια λέγοντες τὸν δεσπότην προσκυνοῦμεν Χριστόν.

Κυρίλλου ἀπολογία η̄

58 Ἡμεῖς δέ, ὦ τάν, τὰ ἀμείνω τε καὶ ἀληθέστερα φρονεῖν εἰωθότες καὶ ἰσχνοτέρων ἐννοιῶν ἁπτόμενοι πρὸς τὴν τοῦ μυστηρίου διασάφησίν τε καὶ εἴδησιν ἀκριβῆ καὶ κατά γε τὸ τοῖς ἱεροῖς γράμμασιν δοκοῦν καὶ ταῖς τῶν ἁγίων πατέρων ἐπιεικείαις, οὐκ ἄνθρωπον ἀνειλῆφθαι φαμὲν παρὰ τοῦ θεοῦ λόγου συνῆφθαί τε κατὰ σχέσιν αὐτῶι τὴν θύραθεν ἐπινουμένην, ἄνθρωπον δὲ μᾶλλον αὐτὸν γενέσθαι διοριζόμεθα ταύτης τε ἕνεκα τῆς αἰτίας τῶν τῆς εὐσεβείας δογμάτων ἐξεστηκέναι φαμὲν τοὺς τολμῶντας λέγειν τὸν ἀναληφθέντα ἄνθρωπον χρῆναί τε διαβεβαιουμένους αὐτὸν ὡς ἕτερον ἑτέρωι συμπροσκυνεῖσθαι δεῖν τῶι
P 456 υἱῶι τοῦ θεοῦ. εἰ γάρ ἐστιν ὁ αὐτὸς θεὸς τε ὁμοῦ καὶ ἄνθρωπος, προσκυνεῖται μᾶλλον ὡς εἷς προσκυνήσει μιαῖ καὶ οὐχὶ συμπροσκυνεῖται καὶ συγχρηματίζει θεός, ἵνα μὴ ἄνθρωπος ἁπλῶς κοινός τε καὶ καθ' ἡμᾶς ὁ Ἐμμανουὴλ εἶναι πιστεύηται, θείας δόξης μετεσχηκὼς κατὰ χάριν, ὁμολογῆται δὲ μᾶλλον θεὸς ἐν σαρκὶ δι' ἡμᾶς ἤτοι κατὰ ἀλήθειαν ἄνθρωπος γεγονώς, οὐ μεταστάσει φύσεως τῆι κατ' ἀλλοίωσιν καὶ τροπήν, ἀλλ' ἑνώσεως οἰκονομίαι.

Κυρίλλου ἀναθεματισμὸς θ̄

59 Εἴ τίς φησι τὸν ἕνα κύριον Ἰησοῦν Χριστὸν δεδοξάσθαι παρὰ τοῦ πνεύματος ὡς ἀλλοτρίαι δυνάμει τῆι δι' αὐτοῦ χρώμενον καὶ παρ' αὐτοῦ λαβόντα τὸ ἐνεργεῖν δύνασθαι

SCHOLIA ARETHAE: 1—7 οὐ κατὰ σκοποῦ οὗτοι βάλλοντες οἱ λόγοι. ὁ μὲν γὰρ δυάδα προσώπων ἐκκλίνειν φησίν, οὐδὲ [leg. ὁ δὲ] ἐπὶ φύσεων ἑνώσει τὴν ἔκκλισιν ἀκούει, ἐκεῖνο μεμφόμενος, οὗ μηδεμία διαστολὴ γέγονε.

12 καὶ τοῦτο περιεργότερον καὶ σοφιστικὸν καὶ κατὰ τὸ ἐν Ἰωβ [11, 12] βροτὸς δ' ἄλλως ἐπινήχεται λόγοις. ποῦ γὰρ Θεοδωρήτωι λόγος σχετικῆς ἑνώσεως ἐφ' ἧι βρενθύεσθαι οὐδαμῶς κατηκενει [sic Y, καθῆκέ σοι?]

1—3 Timoth. arm. p. 70; 6/7 p. 65

Φ [= YZVb], ΛpΣ, Ψ [= ARWl], Λs; uariam in anathematismo lectionem ΨΛs quaeras in V 148

1 θεοδωρήτου ἀνατροπή Ymg ἀνατροπή VZ μέμψις θεοδωρίτου [θεοδωρήτου η̄ R θεοδωρίτοῦ η̄ l] ΨbΛs μέμψις αἱρετικοῦ ΛpΣ 2 μὲν om. W ἀναφέρομεν Y 3 αὐτοῦ R θν̄ ὁμοῦ VZAWl θν̄ τὲ ὁμοῦ b θν̄ ὁμοῦ τε R ὁμοῦ θν̄ YTim. ὁμοῦ Σ ὁ τῆς ἑνώσεωσ ἡμασ Y 5 οὐδὲ Ψ μὲν om. Y 6 τὴν om. Y μετεβλήθη φύσιν Y 6/7 προσκυνοῦμεν τὸν δεσπότην χν̄ b

8 κυρίλλου ἀπολογία η̄ YYmg ἀπολογία κυρίλλου VZ ἀπολογία τοῦ ἐν ἁγίοισ κυρίλλου b ἀπολογία ὀρθοδόξου ΛpΣ ἀντίθεσισ τοῦ ἁγίου κυρίλλου [κυρίλλου η̄ Rl] ΨΛs 9 δέ om. Y μὲν Σ τὰν ZV τᾶν YbRWl ταν A οἱ τὰ VZb τε om. Y ἀληθέστατα V εἰωθότεσ φρονεῖν Y ἰσχυροτέρων b 10 καὶ[2] om. bAΛpΣ 12 ἀνηλῆφθαι YZ τε καὶ κατὰ V τε καὶ l 13 τε om. lΛp ἕνεκεν Y 15 τε ΦΑΛsΣ δὲ RWl ὡς om. Y 16 εἰ] εἶσ W τε om. Ψ 17 καὶ[1] om. VZ 18 κοινόσ VbARlΛpsΣ κοινῶσ ZW om. Y εἶναι πιστεύηται om. V εἶναι om. b, corr. b θείασ τε VZb, τε del. b 19 ὁμολογεῖται YVΛps μᾶλλον om. b

22 κυρίλλου — θ̄ YYmg ἀναθεματισμὸσ θ̄ [ἔννατοσ V] VZb 23 φησι om. Y δεδοξάσθαι Vb δεδοξάσθαι λέγει Z δεδοξάσθαι λέγοι Y

κατὰ πνευμάτων ἀκαθάρτων καὶ τὸ πληροῦν εἰς ἀνθρώπους τὰς θεοσημείας, καὶ οὐχὶ δὴ μᾶλλον ἴδιον αὐτοῦ τὸ πνεῦμά φησι, δι' οὗ καὶ ἐνήργηκε τὰς θεοσημείας, ἀνάθεμα ἔστω.

Θεοδωρήτου ἀνατροπὴ θ̄

60 Ἐνταῦθα σαφῶς οὐ τοὺς νῦν εὐσεβοῦντας μόνον, ἀλλὰ καὶ τοὺς πάλαι γεγενημένους κήρυκας τῆς ἀληθείας καὶ αὐτοὺς τοὺς τῶν θείων εὐαγγελίων συγγραφέας καὶ τὸν τῶν ἱερῶν ἀποστόλων χορὸν καὶ πρὸς τούτοις Γαβριὴλ τὸν ἀρχάγγελον ἀναθεματίζειν ἐτόλμησεν. τὸν γὰρ κατὰ σάρκα Χριστὸν ἐκ πνεύματος ἁγίου γεγεννῆσθαι πρῶτος ἐκεῖνος καὶ πρὸ τῆς συλλήψεως ἐκήρυξεν καὶ μετὰ τὴν σύλληψιν τὸν Ἰωσὴφ ἐδίδαξεν, πρὸς μὲν τὴν Μαρίαν ἐρωτῶσαν πῶς ἔσται μοι τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω; λέγων πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἅγιον κληθήσεται υἱὸς θεοῦ· πρὸς δὲ τὸν Ἰωσὴφ μὴ φοβηθῆις παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου· τὸ γὰρ ἐν αὐτῆι γεννηθὲν ἐκ πνεύματός ἐστιν ἁγίου. καὶ ὁ εὐαγγελιστὴς μνηστευθείσης δέ, φησί, τῆς μητρὸς αὐτοῦ Μαρίας τῶι Ἰωσήφ, εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ πνεύματος ἁγίου. καὶ αὐτὸς δὲ ὁ κύριος εἰσελθὼν εἰς τὴν συναγωγὴν τῶν Ἰουδαίων καὶ λαβὼν τὸν προφήτην Ἡσαίαν καὶ ἀναγνοὺς τὸ χωρίον ἐν ὧι λέγει πνεῦμα κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέν με καὶ τὰ ἑξῆς, ἐπήγαγεν· σήμερον ἐπληρώθη ἡ γραφὴ αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν. τοῦτο δὲ καὶ ὁ μακάριος Πέτρος πρὸς Ἰουδαίους διαλεγόμενος ἔφη· Ἰησοῦν τὸν ἀπὸ Ναζαρέτ, ὃν ἔχρισεν ὁ θεὸς τῶι πνεύματι τῶι ἁγίωι. καὶ Ἡσαίας δὲ πρὸ πολλῶν γενεῶν τοιαῦτα προεθέσπισεν· ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται καὶ ἐπαναπαύσεται ἐπ' αὐτὸν πνεῦμα τοῦ θεοῦ, πνεῦμα σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα γνώσεως καὶ εὐσεβείας· πνεῦμα φόβου θεοῦ ἐμπλήσει αὐτόν. καὶ πάλιν· ἰδοὺ ὁ παῖς μου, ὃν ἡιρετισάμην, ὁ ἀγαπητός μου, εἰς ὃν εὐδόκησεν ἡ ψυχή μου, θήσω τὸ πνεῦμά μου ἐπ' αὐτόν· κρίσιν τοῖς ἔθνεσιν ἐξοίσει. ταύτην δὲ τὴν μαρτυρίαν καὶ ὁ εὐαγγελιστὴς ἐν τοῖς οἰκείοις συγγράμμασιν τέθεικεν, καὶ αὐτὸς δὲ ὁ κύριος ἐν τοῖς εὐαγγελίοις πρὸς τοὺς Ἰουδαίους ἔφη· εἰ δὲ ἐν πνεύματι θεοῦ ἐγὼ ἐκβάλλω τὰ δαιμόνια, ἔφθασεν ἐφ' ὑμᾶς ἄρα ἡ βασιλεία τοῦ θεοῦ. καὶ ὁ Ἰωάννης ὁ ἀποστείλας με, φησίν, βαπτίζειν ἐν ὕδατι, αὐτός μοι εἶπεν· ἐφ' ὃν ἂν ἴδηις τὸ πνεῦμα καταβαῖνον καὶ μένον ἐπ' αὐτόν, αὐτός ἐστιν ὁ βαπτίζων ἐν πνεύματι

P 458 Lc. 1, 34. 35 Mt. 1, 20 PG 432 Mt. 1, 18 Lc. 4, 16-18 Lc. 4, 21 Act. 10, 38 Ies. 11, 1-3 Ies. 42, 1 Mt 3, 17 Mt. 12, 28 Ioh. 1, 33

7/8 adfert Cyrillus infra 65

Φ [= YZVb], ΛpΣ, Ψ [= ARWl], Λs

1 πνωῶν VZbΛp πάντων τῶν Y εἰς ἀνθρώπους om. bΛp θεοσημίασ Vb 2 ἴδιον om. Y φασὶ Y ἐνήργηκε Zb ἐνηργηκέναι Y ἐνήργησε V θεοσημίασ Vb

3 θεοδωρήτου — θ̄ Ymg ἀνατροπή VZ μέμψισ θεοδωρίτου AWbΛs μέμψισ θεωδωρήτου [θεοδωρίτου l] θ̄ Rl μέμψις αἱρετικοῦ ΛpΣ 4 μόνον om. Y 5 τοὺσ οιπ. Z τὸν om. V 6 ἀρχιστράτηγον l ἀναθεματίσαι τετόλμηκεν Y 7 τὸν ΦΣ τὸ Ψ κατὰ σάρκα χν̄ VZbARWΛpsΣ σρα̅ χν̄ κατὰ σάρκα Y κατὰ σάρκα τὸν σρα̅ χν̄ l γεγενῆσθαι bAWlΛpΣ, corr. Wl 8 συλλήμψεωσ R ἐδίδαξε, superscr. κήρυ V 8/9 μαριάμ Ψ 9 ἐρωτήσασαν Y om. W μοι om. Y λέγει b 11 ἅγιον οιπ. W φοβηθεὶσ YV 13 ἁγίου ἐστί Z δὲ VZbΨΛpΣ om. YΛs φησί om. V 15 ἐλθὼν b 17 προφητεία V γρ γραφή Vmg ἡ γραφὴ om. b 18 δὲ om. VZ πρὸσ ἰουδαίουσ VZb ἰουδαίοισ Y πρὸσ τοὺσ ἰουδαίουσ Ψ 20 δὲ ὁ R τοιάδε A 24 ἠρέτισα b 25 ηὐδόκησεν RW 26 κρίσιν VZΨΛsΣ καὶ κρίσιν YbΛp 27 οἰκείοισ YZb ἰκείοισ, κεί ex corr., V ἰδίοισ Ψ 28 ἐγὼ om. V 29 ἐφ' ὑμᾶς ἄρα VZbΨΛs ἄρα [ἄρα Ycorr] ἐφ' ὑμᾶσ YΛp τοῦ θεοῦ] τῶν οὐνωῶν Z 30 οὗτοσ b εἶπεν] ἔφη W 31 οὗτόσ Vb

61 ἁγίωι. οὐ τοίνυν προφήτας μόνους καὶ ἀποστόλους οὐδὲ Γαβριὴλ τὸν ἀρχάγγελον ἀνεθεμάτισε μόνον ὁ ἀκριβὴς τῶν θείων δογμάτων ἐξεταστής, ἀλλὰ καὶ εἰς αὐτὸν τὸν σωτῆρα τῶν ὅλων τὴν βλασφημίαν ἐξέτεινεν. ἐδείξαμεν γὰρ καὶ αὐτὸν τὸν κύριον νῦν
P 460 μὲν τοῖς Ἰουδαίοις μετὰ τὴν ἀνάγνωσιν τοῦ πνεῦμα κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν
Lc. 4, 18. 21 ἔχρισέν με, φήσαντα σήμερον ἡ γραφὴ αὕτη ἐπληρώθη ἐν τοῖς ὠσὶν ὑμῶν·
Mt. 12, 24. 28 νῦν δὲ πρὸς τοὺς εἰπόντας ἐν Βεελζεβοὺλ αὐτὸν ἐκβάλλειν τὰ δαιμόνια εἰρηκότα ἐν πνεύ-
62 ματι θεοῦ ἐκβάλλειν τοὺς δαίμονας. διαπλασθῆναι δὲ ὑπὸ τοῦ ἁγίου πνεύματος καὶ χρισθῆναι οὐ τὸν θεὸν λόγον φαμὲν τὸν τῶι πνεύματι ὁμοούσιον καὶ συναίδιον, ἀλλὰ τὴν ἐπ' ἐσχάτου τῶν ἡμερῶν ὑπ' αὐτοῦ ληφθεῖσαν ἀνθρωπείαν φύσιν. ἴδιον δὲ τὸ πνεῦμα τοῦ υἱοῦ, εἰ μὲν ὡς ὁμοφυὲς καὶ ἐκ πατρὸς ἐκπορευόμενον ἔφη, συνομολογήσομεν καὶ ὡς εὐσεβῆ δεξόμεθα τὴν φωνήν· εἰ δὲ ὡς ἐξ υἱοῦ ἢ δι' υἱοῦ τὴν ὕπαρξιν ἔχον, ὡς βλάσφημον
Ioh. 15, 26 τοῦτο καὶ ὡς δυσσεβὲς ἀπορρίψομεν. πιστεύομεν γὰρ τῶι κυρίωι λέγοντι τὸ πνεῦμα, ὃ ἐκ τοῦ πατρὸς ἐκπορεύεται, καὶ τῶι θειοτάτωι δὲ Παύλωι ὁμοίως φάσκοντι·
1 Cor. 2, 12 ἡμεῖς δὲ οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλὰ τὸ πνεῦμα τὸ ἐκ τοῦ πατρός.

PG 433

Κυρίλλου ἀπολογία θ̄

63 Φθάσας ἔφην ὅτι τοῖς Νεστορίου βατταρισμοῖς ἢ γοῦν δυσφημίαις καὶ τοῖς ἄγαν ἀτημελῶς εἰρημένοις ἡ τῶν κεφαλαίων μάχεται δύναμις. ἐκείνου γὰρ λέγοντος περὶ τοῦ
Loofs p. 294, 4. 5. 293, 17. 18. 294, 2. 3 ἁγίου πνεύματος 'τοῦτο δὴ τὸ τηλικαύτην τῶι Χριστῶι χαρισάμενον δόξαν, τὸ δαίμοσιν αὐτὸν φοβερὸν ἐργασάμενον, τὸ τὴν ἀνάληψιν αὐτῶι τὴν εἰς οὐρανοὺς χαρισάμενον' καὶ ὡς περί τινος τῶν καθ' ἡμᾶς ἀνθρώπου κοινοῦ τὰ τοιάδε πεφλυαρηκότος, γέγονεν ἀναγκαίως ὁ ἀναθεματισμός, οὐ κατά γε τῶν λεγόντων δεδοξάσθαι παρὰ τοῦ ἁγίου πνεύματος τὸν Ἰησοῦν, τουτέστιν ἐνανθρωπήσαντα τὸν τοῦ θεοῦ λόγον, κατ' ἐκείνων δὲ μᾶλλον οἳ καὶ
P 462 **64** ἀναίδην αὐτὸν ὡς ἀλλοτρίαι δυνάμει τῆι διὰ τοῦ πνεύματος κεχρῆσθαί φασι. μεμνήμεθα
Ioh. 16, 14 γὰρ δὴ εἰπόντος σαφῶς περὶ τοῦ ἁγίου πνεύματος ἐκεῖνος ἐμὲ δοξάσει ἴσμεν τε πρὸς τούτωι τῆι τοῦ ἁγίου πνεύματος ἐνεργείαι τὰς πονηράς τε καὶ ἀκαθάρτους δυνάμεις συντρίβοντα· ἀλλ' οὐχ οὕτω φαμὲν αὐτὸν καθάπερ ἀμέλει καὶ τῶν ἁγίων ἕκαστον ὡς ἀλλοτρίαι δυνάμει κεχρῆσθαι τῆι διὰ τοῦ πνεύματος. ἦν γὰρ καὶ ἔστιν αὐτοῦ τὸ πνεῦμα, καθάπερ ἀμέλει καὶ τοῦ πατρός. καὶ τοῦτο ἡμῖν εὖ μάλα σαφηνιεῖ γεγραφὼς ὁ θεσπέσιος Παῦλος·
Rom. 8, 8. 9 οἱ δὲ ἐν σαρκὶ ὄντες θεῶι ἀρεσαι οὐ δύνανται· ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν

19—21 cf. Cyrill. adu. Nestor. 4, 3

Φ [= YZVb], ΛpΣ, Ψ [= ARWl], Λs

1 τοίνυν ΦlΛpsΣ γὰρ ARW μόνον Y καὶ] οὐδὲ b 2 δογμάτων om. Y 4 ἀνάγωσιν Y τοῦ] τῶν προφητικῶν τοῦ b 5 σήμερον φήσαντα b πεπλήρωται l 6 ἐκβάλλειν VZbΨΛpsΣ ἐλαύνεσθαι Y 7/8 καὶ χρισθῆναι ὑπὸ τοῦ ἁγίου πνεύματοσ b 8 πνι VZWΛpsΣ πρι YbARl 9 ὑπ' αὐτοῦ om. Σ αὐτοῦ VZbΨΛps τοῦ θυ Y 10 συνομολογίσωμεν R 11 δεξώμεθα R ὡς² om. Λs 12 τοὐτον R om. Y ὡς om YbΛp 13 δὲ om. b 14/15 τοῦ πρσ VZbΛpΣ τοῦ θυ YRWl θυ A *deo* Λs

16 κυρίλλου ἀπολογία θ̄ YYmg ἀπολογία κυρίλλου VZ ἀπολογία τοῦ ἐν ἁγίοις κυρίλλου b ἀπολογία ὀρθοδόξου ΛpΣ ἀντίθεσισ τοῦ ἁγίου κυρίλλου [κυρίλλου θ̄ Rl] ΨΛs 17 βατταρίσμασιν Y βαρβαρισμοῖσ Z 19 δὴ τῶ — χαρισαμένω l τῶ χω VZbΨΛpsΣ αὐτῶ Y 20 τὴν² om. R ουνον Y καὶ om. Λs 21 ὡς περί] ὡσπερεί V τοῦ b τοιαῦτα Y ἀναγκαίωσ VARWΛpΣ ἀναγκαῖοσ YZlΛs ἀναγκαῖοσ καὶ b 22 λεγόντων VZbΨΛpsΣ λεγομένων Y 24 ἀναίδην YVZΛpsΣ ἀνέδην bΨ κεχρίσθαι WΛs 25 γὰρ δὴ εἰπόντοσ WΛpsΣ γὰρ διειπόντοσ ARl δὲ δὴ εἰπόντοσ VZ δὴ εἰπόντοσ b δὲ εἰπόντοσ Y τε VZARl δὲ YbΣ om. WΛps 26 τούτω VZbAWΣ τοῦτο Rl τούτοισ YΛs 27 καὶ om. YΛs 28 κεχρίσθαι W τῆι om. W τοῦ ἁγίου Y 28/29 ἦν γὰρ — πατρός om. b 28 ἔστιν om. Y

σαρκί, ἀλλ' ἐν πνεύματι, εἴπερ πνεῦμα θεοῦ οἰκεῖ ἐν ὑμῖν. εἰ δέ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὔκ ἐστιν αὐτοῦ. ἐκπορεύεται μὲν γὰρ ἐκ τοῦ θεοῦ καὶ πατρὸς τὸ πνεῦμα τὸ ἅγιον κατὰ τὴν τοῦ σωτῆρος φωνήν, ἀλλ' οὐκ ἀλλό- Ioh. 15, 26 τριόν ἐστιν τοῦ υἱοῦ· πάντα γὰρ ἔχει μετὰ τοῦ πατρός. καὶ τοῦτο αὐτὸς ἐδίδαξεν εἰπὼν περὶ τοῦ ἁγίου πνεύματος· πάντα ὅσα ἔχει ὁ πατήρ, ἐμά ἐστιν· διὰ τοῦτο Ioh. 16, 15 εἶπον ὑμῖν ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν. οὐκοῦν ἐδόξασεν 6 μὲν τὸν Ἰησοῦν τὸ πνεῦμα τὸ ἅγιον ἐνεργοῦν τὰ παράδοξα, πλὴν ὡς πνεῦμα αὐτοῦ καὶ οὐκ ἀλλοτρία δύναμις καὶ κρείττων αὐτοῦ, καθὸ νοεῖται θεός. οὐ δεδυσφημήκαμεν τοίνυν εἰς ἁγίους ἀγγέλους οὔτε μὴν εἰς προφήτας, καθὰ τετόλμηκεν εἰπεῖν ὁ μόνον εἰδὼς
65 τὸ κατηγορεῖν· ἐπειδὴ δέ ἐστιν σκοπὸς αὐτῶι τε καὶ τοῖς κατ' αὐτὸν τὸ διαιρεῖν εἰς 10 δύο Χριστοὺς τὸν ἕνα καὶ τὸν μὲν δοξαζόμενόν τε καὶ ἐνεργούμενον, τὸν δὲ δοξάζοντά τε καὶ ἐνεργοῦντα λέγειν, κατασκώπτουσιν ἀσυνέτως πάντα λόγον εὐσεβῆ καὶ τῆς τοιαύτης P 464 αὐτοὺς ἀφιστῶντα κακοδοξίας. καὶ γοῦν περὶ τοῦ μακαρίου Γαβριὴλ τὸν λόγον ποιούμενος ὁ φιλαίτιος οὑτοσὶ 'τὸν γὰρ κατὰ σάρκα', φησίν, 'Χριστὸν ἐκ πνεύματος ἁγίου γε- p. 133, 7. 8 γεννῆσθαι πρῶτος ἐκεῖνος καὶ πρὸ τῆς διαπλάσεως ἐκήρυξεν'. ἕτερος οὖν ἄρα ἐστὶν 15 Χριστὸς ὁ κατὰ σάρκα καὶ ἕτερος ἰδικῶς Χριστὸς δὴ πάλιν ὁ ἐκ θεοῦ πατρὸς λόγος. PG 436 ποῦ τοιγαροῦν ἡ ἕνωσις καὶ τί τὸ ἐντεῦθεν ὄφελος, εἰ δύο Χριστοὶ καὶ ἰδικῶς ἀνὰ μέρος ἑκάτερος νοεῖται καὶ λέγεται; οὐκοῦν κἂν τὸ τῆς εὐσεβείας προσωπεῖον ἑαυτοῖς περι-πλάττοντες ἕνα λέγωσι Χριστόν, δύο φρονοῦντες κατὰ ἀλήθειαν, ἀκουέτωσαν πρὸς ἡμῶν· ἕως πότε χωλανεῖτε ἐπ' ἀμφοτέραις ταῖς ἰγνύαις ὑμῶν; ὀρθοποδεῖν γὰρ 3 Reg. 18, 21 ἄμεινον πίστιν ἔχοντας τὴν ἀβέβηλον καὶ ἐρηρεισμένην καὶ οὐκ ἀσυνέτοις σκάζουσαν 21 λογισμοῖς.

Κυρίλλου ἀναθεματισμὸς ῑ

66 Ἀρχιερέα καὶ ἀπόστολον τῆς ὁμολογίας ἡμῶν γεγενῆσθαι Χριστὸν ἡ θεία λέγει γραφὴ Hebr. 3, 1 προσκεκόμικέναι τε ὑπὲρ ἡμῶν ἑαυτὸν εἰς ὀσμὴν εὐωδίας τῶι θεῶι καὶ πατρί. εἴ τις 25 Eph. 5, 2

SCHOLIA ARETHAE: 10 οὐ μὰ τὸν κύριον τῆς δόξης ἔργον ποιούμενος τὸ κατηγορεῖν, εἰ μὴ καὶ ἐναλήθως καθικνούμενος τῶν προτεθέντων λόγων.

10 sq. καὶ τοῦτο συκοφαντία· ποῦ γὰρ καὶ πόθεν ἐστὶ δεῖξαι τοῦτο;

15 εἰ τὸ κατὰ σάρκα μέμφηι, μεμπτέος σοι καὶ Πέτρος ὁ ἀπόστολος πρῶτος τοῦτο εἰσηγησάμενος ἐν οἷς δημηγορῶν φησι πρὸς Ἰουδαίους περὶ τοῦ Δαυὶδ λέγοντος περὶ Χριστοῦ· προφήτης οὖν ὑπάρχων καὶ εἰδὼς ὅτι ὅρκωι ὤμοσεν [sic] αὐτῶι ὁ θεὸς ἐκ τῆς ὀσφύος αὐτοῦ τὸ κατὰ σάρκα ἀναστήσειν τὸν Χριστόν [Act. 2, 30].

18 sq. ἀπροσπαθῶς καὶ φιλαλήθως ἐρεῖν οὗτοι, κενοδοξίαι κατακρατούμενοι καὶ τὸ [leg. τῶι] τίς τῶι ὀλεθρίωι ταινιωθείη αὐτῆς κράτει, οὐκ ἔγνωσαν οὐδὲ συνῆκαν ὡς τὰ αὐτὰ περὶ τῶν αὐτῶν ὁμογλώσσως διεξιῶντες [sic] κακεντρεχείαι δόξης κενῆς διάφωνα δεικνύειν ἀπηυθαδίσαντο.

Φ [= YZVb], ΛpΣ, Ψ [= ARWl], Λs; uariam in anathematismo lectionem ΨΛs quaeras in V 148

2 μὲν om. YW γὰρ ὡς V 6 λήψεται ΦΛps λαμβάνει Ψ 7 ἐνεργοῦν τὰ] ἐνεργοῦντα lΛps 8 κρεῖττον Z οὐκ ἐδυσφημήσαμεν VZ 9 τοὺς ἁγίους Z om. Σ καθὸ ARW μονοειδῶς R 10 ἐπεὶ V ἔτι ἐστὶν Λp τίς σκοπὸς b τοῖς] τῶν Z 11 τε[1] om b 12 ἀσυνέτως VZbΨΛpsΣ ἀσεβῶς Y 13 αὐτοὺς om. l ἀφιστῶντος V ἐφιστῶνται Λs ut uidetur 14 οὑτωσί Y τὸν ΦlΣ καὶ ARW γὰρ om. b χσ AR, corr. A 14/15 γεγενῆσθαι ZbAΛpΣ, corr. b 15 ἄρα [ἄρα VR cf. Λp] ἐστὶ VZbΨ ἔστιν ἄρα YΣ 16 ὁ χσ ὁ bA, corr. b λόγος om. Σ 17 καὶ ἰδικῶς ΦARWΛs ἰδικῶς καὶ lΣ; aut haec coniectura recipienda est aut ἀνὰ μέρος delendum 17/18 ἑκάτερος ἀνὰ μέρος W ἀνὰ μέροσ b 18 νοεῖτο R κἂν] καὶ Z 18/19 περι-πλάττονται ἵνα Zcorr; fuit, ni fallor, περιπλάττοντεσ sine ἕνα 19 λέγωσι χν ZbAl λέγουσι χν YRWΛs χν λέγωσι V δύο] οὐ b παρ' VZ 20 ταῖς om. ARW 21 ἐρειρισμένην YZ ἐρηρισμένην R

23 κυρίλλου — ῑ YYmg ἀναθεματισμὸσ ῑ [δέκατοσ Vb] VZb 24 τὸν χν b γραφὴ λέγει Z 25 προσκεκομικέναι τὲ YVZbΣ προσκεκόμικε δὲ Λp cf. Solut XII cap. 26 apol. adu. Orient. 80 ἑαυτὸν ὑπὲρ ἡμῶν Y

τοίνυν ἀρχιερέα καὶ ἀπόστολον ἡμῶν γεγενῆσθαι λέγει οὐκ αὐτὸν τὸν ἐκ θεοῦ λόγον, ὅτε γέγονε σὰρξ καὶ καθ' ἡμᾶς ἄνθρωπος, ἀλλ' ὡς ἕτερον παρ' αὐτὸν ἰδικῶς ἄνθρωπον ἐκ
P 466 γυναικός, ἢ εἴ τις λέγει καὶ ὑπὲρ ἑαυτοῦ προσενεγκεῖν αὐτὸν τὴν προσφορὰν καὶ οὐχὶ δὴ μᾶλλον ὑπὲρ μόνων ἡμῶν (οὐ γὰρ ἂν ἐδεήθη προσφορᾶς ὁ μὴ εἰδὼς ἁμαρτίαν), ἀνάθεμα ἔστω.

Θεοδωρήτου ἀνατροπή

67 Οὐκ εἰς σαρκὸς φύσιν ἡ ἄτρεπτος ἐτράπη φύσις, ἀλλ' ἀνθρωπείαν ἀνέλαβε φύσιν καὶ ταύτην ὑπὲρ τοὺς κοινοὺς ἀρχιερέας κατέστησεν, ὡς ὁ μακάριος Παῦλος διδάσκει λέ-
Hebr. 5, 1-3 γων· πᾶς γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος ὑπὲρ ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν θεόν, ἵνα προσφέρῃ δῶρά τε καὶ θυσίας ὑπὲρ ἁμαρτιῶν μετριοπαθεῖν δυνάμενος τοῖς ἀγνοοῦσι καὶ πλανωμένοις, ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένειαν καὶ δι' αὐτὴν ὀφείλει καθὼς περὶ τοῦ λαοῦ, οὕτως καὶ περὶ ἑαυτοῦ προσφέρειν περὶ ἁμαρτιῶν. καὶ μετ' ὀλίγον
Hebr. 5, 4. 5 τοῦτο ἑρμηνεύων φησίν· καθάπερ καὶ Ἀαρών, οὕτως καὶ ὁ Χριστός. εἶτα
Hebr. 5, 7-10 δεικνὺς τὴν τῆς ἀναληφθείσης φύσεως ἀσθένειάν φησιν· ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ δεήσεις τε καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον σώιζειν αὐτὸν ἐκ θανάτου μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσενέγκας καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας, καίπερ ὢν υἱός, ἔμαθεν ἀφ' ὧν ἔπαθεν, τὴν ὑπακοὴν καὶ τελειωθεὶς ἐγένετο πᾶσιν τοῖς ὑπακούουσιν αὐτῷ αἴτιος σωτηρίας αἰωνίου, προσαγορευθεὶς ὑπὸ τοῦ θεοῦ ἀρχιερεὺς κατὰ τὴν τάξιν Μελχισεδέκ.

68 Τίς τοίνυν ὁ πόνοις ἀρετῆς τελειωθεὶς καὶ μὴ φύσει τέλειος ὑπάρχων; τίς ὁ πείραι μαθὼν τὴν ὑπακοὴν καὶ ταύτην ἀγνοῶν πρὸ τῆς πείρας; τίς ὁ εὐλαβείαι συμβιώσας καὶ μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων τὰς ἱκετείας προσενεγκὼν καὶ σώιζειν ἑαυτὸν οὐ δυνάμενος, ἀλλὰ τὸν δυνάμενον σώιζειν παρακαλῶν καὶ τοῦ θανάτου τὴν ἀπαλλαγὴν αἰτῶν; οὐχ ὁ θεὸς λόγος ὁ ἀθάνατος ὁ ἀπαθὴς ὁ ἀσώματος, οὗ ἡ μνήμη κατὰ τὸν προφήτην
Ies. 25, 8 εὐφροσύνη καὶ δακρύων ἀπαλλαγή (αὐτὸς γὰρ ἀφεῖλε πᾶν δάκρυον ἀπὸ παντὸς
PG 437 προσώπου, καὶ πάλιν ὁ προφήτης ἐμνήσθην, φησί, τοῦ θεοῦ καὶ εὐφράνθην),
Ps. 76, 4 Sus.42 P 468 ὁ στεφανῶν τοὺς εὐλαβείαι συζῶντας, ὁ πάντα γινώσκων πρὶν γενέσεως αὐτῶν, ὁ πάντα ἔχων τὰ τοῦ πατρὸς καὶ εἰκὼν ὑπάρχων ἀπαράλλακτος τοῦ γεννήσαντος, ὁ ἐν ἑαυτῷ

7/8 adfert Tim. arm. p. 65; 14 — p. 137, 11 p. 100; 22 — p. 137, 2 κράτος [ualde abbreuiata] p. 137 7—13. 22—25 adfert Cyrillus infra 78. 81 22—26. p. 137, 1—6 adferuntur in Concilii quinti coll. V [L V 504 = M VIII 291]

Φ [= YZVb], ΛpΣ, Ψ [= ARWl], Λs

1 καὶ ἀπόστολον ἡμῶν γεγενῆσθαι λέγει VZb φησὶ καὶ ἀπόστολον γεγενῆσθαι Y λόγον ZVbΣ θν̄ Y ὅτι Zb 3 καὶ[1] YVZΣ om. bΛp; cf. Solut. XII cap. 26 apolog. adu. Orient. 80 4 μόνων ἡμῶν VZb ἡμῶν μόνων Y ἡμῶν μόνον Ycorr ἂν om. YΛp

6 θεοδωρήτου ἀνατροπή Ymg ἀνατροπή VZ μέμψισ θεοδωρίτου [θεοδωρίτου ῑ l] ΨΛs μέμψις θεοδωρίτου ἤτοι ἀνατροπή b μέμψις αἱρετικοῦ ΛpΣ 7 οὐχ Y ἡ om. V ἔλαβεν R 8 τοὺσ κοινοὺσ ἀρχιερέασ VZbΨΛpsΣTim. τοῦ κοινοῦ γένουσ ἀρχιερέα Yl 10 τε om. Y 12 διὰ ταύτην Y διὰ ταύτησ b καθὼσ καὶ l 13 αὐτοῦ Z ὀλίγα Y 14 καὶ om. AΛs ἀβραὰμ A ὁ om. V 15 ἀναλημφθήσησ, ει superscr. R 16 ἱκεσίασ b 16/17 αὐτὸν σώζειν Ψ 18 ἀφ' ὧν ἔπαθεν ἔμαθε l 22 ὁ om. VZb 24 ἰσχυρᾶς om. Y ἱκετηρίας YVR 24/25 καὶ σώιζειν — ἀλλὰ] πρὸσ R 24 οὐ Φ μὴ AWl 26 ὁ ἀπαθὴσ ὁ ἀθάνατοσ V ὁ ἀθάνατοσ καὶ ἀπαθὴσ A 27 ἀφείλετο Y 27/28 προσώπου παντὸσ V 28 φησὶ ZbΨΛpsTim. om. YVΣ ηὐφράνθην VbRWl 29 ἐν εὐλαβεία bA ζῶντασ A γινώσκων — πάντα om. bΛp 30 γεννήσαντος] πρσ̄ V αὐτῷ YbRl

δεικνὺς τὸν πατέρα· ἀλλὰ τὸ ἐκ σπέρματος Δαυὶδ ληφθὲν ὑπ' αὐτοῦ, τὸ θνητὸν τὸ παθητὸν τὸ δεδιὸς τὸν θάνατον, εἰ καὶ αὐτὸ μετὰ ταῦτα κατέλυσε τοῦ θανάτου τὸ κράτος διὰ τὴν πρὸς τὸν ἀνειληφότα θεὸν ἕνωσιν, τὸ διὰ πάσης ὁδεῦσαν δικαιοσύνης καὶ πρὸς τὸν Ἰωάννην φῆσαν· ἄφες ἄρτι, οὕτως γὰρ πρέπον ἐστὶν πληρῶσαι πᾶσαν δι- Mt. 3, 15
καιοσύνην, τοῦτο τῆς ἀρχιερωσύνης τὴν προσηγορίαν ἔλαβεν κατὰ τὴν τάξιν Μελχισεδέκ. 5
αὐτὸ γὰρ περιέκειτο τῆς φύσεως τὴν ἀσθένειαν καὶ οὐχ ὁ πάντα δυνάμενος θεὸς λόγος.
69 δι' ὃ καὶ πρὸ βραχέων ὁ μακάριος ἔφη Παῦλος· οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ δυνά- Hebr. 4, 15
μενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν, πεπειραμένον δὲ κατὰ πάντα
καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας. ἐν πείραι δὲ γέγονε τῶν ἡμετέρων παθημάτων
ἄνευ ἁμαρτίας ἡ ἐξ ἡμῶν ὑπὲρ ἡμῶν ληφθεῖσα φύσις, οὐχ ὁ ταύτην λαβὼν τῆς ἡμετέρας 10
ἕνεκα σωτηρίας. καὶ ἐν ἀρχῇ δὲ τοῦ κεφαλαίου τούτου τοιαῦτα πάλιν διδάσκει κατα- Hebr. 3, 1. 2
νοήσατε, λέγων, τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν,
πιστὸν ὄντα τῷι ποιήσαντι αὐτόν, ὡς καὶ Μωυσῆς ἐν ὅλωι τῷι οἴκωι
αὐτοῦ. ποίημα δὲ οὐκ ἄν τις εἴποι τὴν ὀρθοδοξίαν πρεσβεύων τὸν ἄκτιστον καὶ
ἀποίητον καὶ τῷι πατρὶ συναίδιον θεὸν λόγον, ἀλλὰ τὸν ἐξ ἡμῶν ἀναληφθέντα ἄνθρωπον, 15
οὔτε μὴν αὐτὸν τὸν ἐκ θεοῦ θεὸν λόγον χειροτονηθῆναι ἡμῖν ἀρχιερέα, ἀλλὰ τὸν ἐκ σπέρματος
Δαυίδ, ὃς πάσης ἁμαρτίας ὑπάρχων ἐλεύθερος ἀρχιερεὺς ἡμῶν καὶ ἱερεῖον ἐγένετο, αὐτὸς
ἑαυτὸν ὑπὲρ ἡμῶν τῷι θεῷι προσενεγκών, ἔχων ἐν ἑαυτῷι δηλαδὴ τὸν ἐκ θεοῦ θεὸν λόγον
ἡνωμένον αὐτῷι καὶ ἀχωρίστως συνημμένον.

Κυρίλλου ἀπολογία ῑ 20

70 Ὁ προφήτης Ἱερεμίας προσκεκρουκότι τῷι Ἰσραὴλ καὶ καταθήγοντι πρὸς ὀργὰς τὸν
τῶν ὅλων θεὸν ἐπιστυγνάζων ἔφασκεν τίς δώσει τῇι κεφαλῇι μου ὕδωρ καὶ τοῖς Ier. 9, 1
ὀφθαλμοῖς μου πηγὴν δακρύων, καὶ κλαύσομαι τὸν λαὸν τοῦτον ἡμέρας P 470
καὶ νυκτός; οἶμαι δὲ ἔγωγε τὰς τοιάσδε φωνὰς οὐκ ἐκείνοις μᾶλλον ἐοικέναι τε καὶ
πρέπειν, ἀλλὰ τοῖς ἀπύλωτον καὶ ἀκρατὲς ἔχουσιν ἐπὶ Χριστῷι τὸ στόμα, οἳ καὶ τῆς ἀρρή- 25
του καταφλυαροῦσι δόξης, τολμηταὶ καὶ αὐθάδεις ὄντες κατὰ τὸ γεγραμμένον. 2 Petr. 2, 10
θρήνου δὴ οὖν καὶ οἰμωγῆς ἄξιοι κατὰ τὸ ἀληθὲς εἶεν ἂν οἳ ἐκ πολλῆς ἄγαν ἀβελτηρίας
τὴν εἰς εὐθύ τε καὶ ἀδιάβλητον τῆς εἰς Χριστὸν εὐσεβείας ἀφέντες ὁδὸν τροχιὰς ποιοῦνται
τὰς διεστραμμένας καὶ κατεφθαρμένοις ἐννοιῶν εὑρήμασι τὸ τῆς ἀληθείας παρασημαίνουσι
71 κάλλος. οὐκοῦν ἀκουέτωσαν τὰ πᾶσιν ἀπόβλητα φρονεῖν ἠρημένοι· πλανᾶσθε μὴ 30 Mt. 22, 29
εἰδότες τὰς γραφὰς μήτε μὴν τὸ σεπτὸν καὶ μέγα τῆς ἐνανθρωπήσεως μυστήριον. PG 440
αἱ μὲν γὰρ θεόπνευστοι γραφαὶ θεὸν ἡμῖν ἐνηνθρωπηκότα διακηρύττουσιν τὸν Ἐμμανουὴλ

5—11 Timoth. arm. p. 80; 6 p. 137 16—19 cf. Cyrill. infra 83

Φ [= YZVb], ΛpΣ, Ψ [= ARWl], Λs

1 τὸ] τί τὸ VZ 2 κατέλυσε μετὰ ταῦτα Ψ 3 ἀνειληφότα ex ἀναληφθέντα corr. b 4 ἰωσὴφ l 5 εἶληφε A 6 τὴν om. V παντοδύναμος Y 7 καὶ om. W παῦλος ἔφη R 8 κατὰ om. Vb 9 καὶ καθ' ZR Tim. p. 100 δὲ add. Ycorr 10 λημφθήσα R 11 ἕνεκεν Y πάλιν] που V 13 μωσῆς Y 14 πρεσβεύων τὴν ὀρθοδοξίαν b 15/16 τὸν ἐξ — ἀλλὰ Yl om. VZbΨΛpsΣ 16 θῡ Y om. l 17 ἡμῖν Y 18 ἑαυτοῦ l ἐκ [om Y] θῡ θῡ ΦRWΣ ἐκ θῡ AΛs ἐκ θῡ πρσ̄ l

20 κυρίλλου — ῑ YYmg ἀπολογία κυρίλλου VZ ἀπολογία τοῦ ἁγίου κυρίλλου b ἀπολογία ὀρθοδόξου ΛpΣ ἀντίθεσις τοῦ ἁγίου κυρίλλου [κυρίλλου ῑ R κυρίλλου δεκάτη l] ΨΛs 21 καταθήγοντι] καθηγὸν Y ὀργὴν VA 24 τοιάσδε VbΨ τοιαῦτας YZ 25 χῡ bl οἳ ΦlΛpsΣ om. ARW 26 ὄντως A 27 γοῦν Ψ οἰμογῆς YA ἀβελτερίας R ἀβελτιρίας Y ἀβελτριρίασ Ycorr 28 ποιοῦντες Y 29 εὑρέμασι Y καταπημαίνουσι V 30 τὰ] τοῖς Y πλανᾶσθαι ZR 31 τὸ μέγα καὶ σεπτὸν μυστήριον τῆς ἐνανθρωπήσεως b 32 κηρύττουσι Y

Hebr. 2, 14 μετεσχηκέναι τε σαρκὸς καὶ αἵματος παραπλησίως ἡμῖν τὸν τοῦ θεοῦ καὶ πατρὸς διαβε-
Ioh. 1, 14 βαιοῦνται λόγον σάρκα τε γενέσθαι, τουτέστιν ἄνθρωπον, οὐ κατὰ τροπὴν ἢ ἀλλοίωσιν,
Eph. 4, 5 ἀλλ' ἑνώσεως ἀφράστου δυνάμει. ταύτῃ τοι καὶ ἕνα φαμὲν Χριστὸν Ἰησοῦν κύριον
72 μίαν τε τὴν πίστιν καὶ ἓν τὸ ἅγιον βάπτισμα. οἳ δὲ τῶν οὕτως ὀρθῶν ἀποφοιτῶντες
δογμάτων καὶ τοῖς ἱεροῖς γράμμασιν σκληρὸν καὶ ἀγέρωχον ἀντανιστάντες τὸν νοῦν πρὸς
μόνον ὁρῶσι τὸ αὐτοῖς εὖ ἔχειν δοκοῦν, ἄνθρωπον δὲ ἀνειλῆφθαι παρὰ τοῦ θεοῦ λόγου
Amos 7, 14.15 φασὶ κατ' ἐκεῖνό που τάχα τὸ δι' ἑνὸς τῶν ἁγίων προφητῶν εἰρημένον· οὐκ ἤμην προ-
P 472 φήτης οὐδὲ υἱὸς προφήτου, ἀλλ' αἰπόλος ἤμην κνίζων συκάμινα, καὶ ἀνέ-
Ps. 146, 6 λαβέ με κύριος ἐκ τῶν προβάτων· ἢ καὶ καθά φησιν ὁ μακάριος Δαυίδ· ἀνα-
λαμβάνων πραεῖς ὁ κύριος, κατὰ σχέσιν δηλονότι καὶ οἰκειότητα τὴν πνευματικὴν
1 Cor. 6, 17 τὴν ὡς ἐν θελήσει καὶ χάριτι καὶ ἁγιασμῷ, καθὰ καὶ ἡμεῖς αὐτοὶ κολλώμενοι τῷι κυρίωι
ἓν πνεῦμα ἐσμὲν κατὰ τὸ γεγραμμένον. ἀλλ' οὐχὶ τοῦτό ἐστιν τὸ ἐνανθρωπῆσαι θεὸν
οὔτε μὴν παραπλησίως ἡμῖν μετασχεῖν αἵματος καὶ σαρκός, οἰκειώσασθαι δὲ μᾶλλον ἄν-
θρωπον καὶ οὐ καθ' ἕτερον τρόπον ἢ καθ' ὃν ἂν λέγοιτο καὶ προφήτας καὶ ἀποστόλους
73 καὶ τοὺς ἄλλους ἅπαντας ἁγίους. ἆρ' οὖν ὁ θεσπέσιος Παῦλος πεφενάκικε τοὺς ἡγια-
2 Cor. 8, 9 σμένους διὰ τῆς πίστεως, ἐναργέστατα λέγων περὶ τοῦ μονογενοῦς ὅτι πλούσιος ὢν ἐπτώ-
χευσεν δι' ἡμᾶς; μὴ γένοιτο· ἀληθεύει γὰρ πάντως τῆς ἀληθείας ὁ κῆρυξ. ἀλλὰ γὰρ
τίς ὁ πλούσιός ἐστιν καὶ τίνα τρόπον ἐπτώχευσεν, βασανιζέτω καὶ νῦν ὁ λόγος ἡμῖν.
εἰ μὲν γὰρ καθὰ καὶ φρονεῖν καὶ λέγειν αὐτοὶ τεθαρσήκασιν, ἄνθρωπος ἀνελήφθη παρὰ
τοῦ θεοῦ, πῶς ἐπτώχευσεν ὁ ἀναληφθεὶς καὶ τοῖς ὑπὲρ φύσιν ἀξιώμασιν ἐκλελαμπρυσμένος;
δεδόξασται γάρ· ἢ εἰ μὴ τοῦτό ἐστιν ἀληθές, διαβεβλήσεται παρ' αὐτῶν ἡ ἀνάληψις, ὡς
κατακομίσασα πρὸς τὸ μεῖον καὶ πρός γε τὸ δυσκλεέστερον τὸ τῆς ἀνθρωπότητος μέτρον.
ἀλλ' ὧδε φρονεῖν ἀπηχές· οὐκοῦν οὐκ ἐπτώχευσεν ὁ ἀναληφθείς. λείπεται τοίνυν
P 474 74 εἰπεῖν ὅτι γέγονεν ἐν πτωχείαι τῆι καθ' ἡμᾶς ὁ πλούσιος ὡς θεός. εἶτα πῶς ἐπτώ-
χευσεν; φέρε δὴ φέρε καταθρήσωμεν ἀναγκαίως. ἄτρεπτος μὲν γὰρ κατὰ φύσιν
ἐστὶν ὁμολογουμένως· οὐ μετακεχώρηκεν εἰς φύσιν σαρκός, τὴν ἰδίαν ἀφείς· μεμένηκεν
ὅπερ ἦν, τουτέστι θεός. ποῦ τοιγαροῦν ὀψόμεθα τῆς πτωχείας τὸ ὑφειμένον; ἆρ' ἐν
τῶι τινὰ τῶν καθ' ἡμᾶς ἀναλαβεῖν, καθὰ φάναι τετολμήκασιν οἱ τῆς Νεστορίου δυσσεβείας
παράσιτοι; καὶ ποῖος ἂν γένοιτο πτωχείας αὐτῶι καὶ κενώσεως τρόπος; ὡς ἔν γε δὴ

SCHOLIA ARETHAE: 6 καὶ ποῦ τοῦτο Θεοδώρητος οὗτος ἑάλω φθεγξάμενος, οὐκ ἔστιν εἰπεῖν, ὥστε συκοφαντεῖται νῦν ὁ ἀνήρ.

15—24 adfert Iustinianus in epistula quam edidit Bandini [cf. supra] = PG 86, 1067

Φ [= YZVb], ΛpΣ, Ψ [= ARWl], Λs

1 καὶ[2]] τε καὶ Y 2 ἢ VZbΨΛpsΣ καὶ Y 3 φαμὲν καὶ ἕνα Y καὶ κν̄ Z 4 τὴν om. VA τὸ om. V ἅγιον om. Σ οὕτως] ὄντως Y ὀρθῶς l 5 ἀντανιστῶντες Yb 6 ἔχοι l δὲ VZbΨΛs τε YΛpΣ 7 τάχα που b τάχα Y ἁγίων om. b οὐκ εἰμὶ, superscr. γρ οὐκ ἤμην b 8 ἀλλ' ἢ bARW 9 κς̄ ΦIΣ *deus* Λp om. ARWΛs ἢ καὶ Φ *aut forte* Λp ἢ Σ καὶ RWlΛs om. A 10 δηλαδὴ Y τὴν om. Yl 11 ἐν YbARlΛs om. VZWΛp 14 ὃν ἂν] ἕνα Z 15 πεφαινάκικε YRW πεφενάκηκε l 16 διὰ τῆς πίστεως om. Y 17 ἀληθεύει ΦAΛsΣ ἀληθεύσει RWlΛp 17/18 γὰρ τίς VbΨ τίς γὰρ Z τίς Y 18 βασανιζέσθω WΛs 19 καθὸ Y τεθαρρήκασιν YV ἀνελήμφθη R 20 τῷ θῷ̄ V ἀναλημφθεὶς R 21 ἢ εἰ] εἰ γὰρ Z ἀνάλημψις R 22 μηὸν superscr. ει R μεῖζον Y, corr. Y, superscr. γρ καὶ μεῖζον b δυσκληρέστερον Y τὸ — μέτρον om. VZ 23 ἄλλως δὲ Y οὐκοῦν οὐκ YbΨΣ οὐκοῦν Z οὔκουν V 24 ὁ πλούσιος ὡς VZΨΛsΣ ὁ πλούσιος b ὡς πλούσιος ὁ YΛp 25 μὲν om. l 25/26 ἐστὶ κατὰ φύσιν Y 26 οὐ VZbARWΛs καὶ οὐ YlΛpΣ μετακεχώρηκε δὲ b μεμένηκε ZΛp μεμένηκε δὲ YΣ μεμένηκε γὰρ VbΨΛs 28 νεστορίου δυσσεβείας ZbΨ δυσσεβείας νεστορίου Y δυσσεβείας τοῦ νεστορίου V 29 λέγοιτο Σ

μόνωι τῶι ἐθελῆσαι τυχὸν τιμῆσαι τινὰ τῶν καθ' ἡμᾶς ἄνθρωπον; ἀδικεῖται γὰρ κατ' οὐδένα τρόπον ἀγαθουργῶν ὁ τῶν ὅλων θεός. πῶς οὖν ἐπτώχευσεν; ὅτι θεὸς PG 441 ὢν φύσει καὶ υἱὸς τοῦ θεοῦ καὶ πατρὸς γέγονεν ἄνθρωπος καὶ ἐκ σπέρματος τοῦ Δαυὶδ γεγέννηται κατὰ σάρκα καὶ δουλοπρεπὲς ὑπέδυ μέτρον, τουτέστι τὸ ἀνθρώπινον ὁ ἐν μορφῆι τοῦ θεοῦ καὶ πατρός, ὁ δι' οὗ τὰ πάντα καὶ ἐν ὧι τὰ πάντα, καὶ τῶν ὅλων δημιουργός. ἄνθρωπος δὲ γεγονὼς τὸ τῆς ἀνθρωπότητος μέτρον οὐκ αἰσχύνεται· ὁ γὰρ αὐτὸ τὸ γενέσθαι καθ' ἡμᾶς οὐκ ἀπόβλητον ποιησάμενος τίνα δὴ τρόπον παραιτοῖτο ἂν τὰ δι' ὧν ἦν ἰδεῖν γεγονότα κατὰ ἀλήθειαν δι' ἡμᾶς καθ' ἡμᾶς; ὅταν οὖν τῶν ἀνθρωπίνων αὐτὸν ἀποστήσωμεν καὶ πραγμάτων καὶ λόγων, κατ' οὐδένα διοίσομεν τρόπον τῶν, εἴπερ τι τῶν ἐνδεχομένων ἦν, μόνον οὐχὶ καὶ ἀποδυόντων αὐτὸν τῆς σαρκὸς καὶ ἀπιστούντων τῆι θεοπνεύστωι γραφῆι ἀνατρεπόντων τε εἰς ἅπαν τῆς ἐνανθρωπήσεως τὸ μυστήριον, τὴν τοῦ
75 κόσμου σωτηρίαν, τὴν ἐλπίδα, τὴν πίστιν, τὴν ἀνάστασιν. ἀλλ' ἴσως ἐρεῖ τις μικρὸν P 476 εἶναι τῶι θεῶι λόγωι καὶ ἀπεοικὸς εἰς ἅπαν τὸ κλαῦσαι, τὸ δεδιέναι τὸν θάνατον, τὴν τοῦ ποτηρίου παραίτησιν, τῆς ἱερωσύνης τὸ χρῆμα. ναί, φαίην ἄν [ὅτι] καὶ αὐτὸς ἐγώ, τῆι θείαι καὶ ὑπερτάτηι φύσει τε καὶ δόξηι τὰ τοιάδε σμικρά· ἀλλ' ἐν αὐτοῖς τεθεάμεθα τὴν πτωχείαν ἣν δι' ἡμᾶς ὑπέμεινεν ἑκών. ὅταν σοι φαίνηται φορτικὸν τὸ ἐκ τῆς κενώσεως δυσκλεές, θαύμαζε μειζόνως τὴν εἰς ἡμᾶς ἀγάπησιν τοῦ υἱοῦ· ὃ γὰρ σὺ μικρὸν εἶναι φῆς, τοῦτο θελητὸν ἐποιήσατο διὰ σέ. ἔκλαυσεν ἀνθρωπίνως, ἵνα τὸ σὸν περιστείλῃ δάκρυον· Ioh. 11, 35 ἐδειλίασεν οἰκονομικῶς ἐφιεὶς τῆι σαρκὶ καὶ πάσχειν ἔσθ' ὅτε τὰ ἴδια, ἵν' εὐτολμοτάτους Mt. 26, 37 ἡμᾶς ἀποφήνῃ· παρῃτήσατο τὸ ποτήριον, ἵνα τῆς Ἰουδαίων δυσσεβείας ὁ σταυρὸς κατη- 20 Mt. 26, 39 γορῆι· ἀσθενῆσαι λέγεται κατὰ τὸ ἀνθρώπινον, ἵνα παύσῃ τὴν σὴν ἀσθένειαν· δεήσεις Hebr. 5, 2 ἀνέτεινε καὶ ἱκετηρίας, ἵνα καὶ ταῖς παρὰ σοῦ λιταῖς βάσιμον ἀποφήνῃ τὴν τοῦ πατρὸς Hebr. 5, 7 ἀκοήν· ἐνύσταξεν, ἵνα σὺ μάθῃς μὴ νυστάζειν ἐν πειρασμοῖς, συντείνεσθαι δὲ μᾶλλον εἰς Mt. 8, 24 προσευχάς. καὶ γοῦν ἐπῃτιᾶτο νυστάζοντας τοὺς ἁγίους ἀποστόλους καὶ δὴ καὶ ἔφασκεν· οὕτως οὐκ ἰσχύσατε μίαν ὥραν γρηγορῆσαι μετ' ἐμοῦ; γρηγορεῖτε καὶ Mt. 26, 40. 41 προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν. ἀνατύπωσιν γὰρ ὥσπερ 26 εὐαγοῦς πολιτείας τὰ καθ' ἑαυτὸν ἀναθεὶς ὠφέλησε τὴν ὑπ' οὐρανόν· τὰς τῆς ἀνθρωπότητος ἀσθενείας ὡικειώσατο, διὰ ποίαν αἰτίαν; ἵνα καὶ κατὰ ἀλήθειαν ἄνθρωπος γενέσθαι P 478
76 πιστεύηται, καίτοι μεμενηκὼς ὅπερ ἦν, τουτέστι θεός. ἀλλ' οὐκ οἶδ' ὅπως οἱ Χριστὸν

SCHOLIA ARETHAE: 29 sq. τίς ὁ τοσοῦτος παράλογος ἐφ' ὅσον οὐδὲν τῶν δοκούντων διὰ τούτων ἐλέγχεσθαι Θεοδώρητος κατείληπται πρεσβεύων;

ibid. συκοφαντία τοῦτο· ἢ δεικνύσθω τοῦτο.

2—6 πῶς οὖν — αἰσχύνεται Tim. arm. p. 73 8—12. 12—29 Timoth. arm. p. 84. 113

Φ [= YZVb], ΛpΣ, Ψ [= ARWl], Λs

1 μόνω VΨΛs μόνον YZb τῶ VZARl τό YbW ἐκθελήσαι R θελῆσαι VZb τινὰ — ἀνου bΨΛpsΣ τινὰ — ἀνῶν YZ τῶν καθ' ἡμᾶσ ἀνου τινὰ V 2 ὅλων VZbΨΛsΣ ὅλων δεσπότησ Y θεὸς[2]] πλούσιοσ b 3 τοῦ[2] om. Y 4 ὑπέστη Y 5 ὁ τῶν Y 6 γεγονὼς καθ' ἡμᾶς Tim. 7 ποιησάμενος] ἡγησάμενοσ b δὴ om. VZ 7/8 ἰδεῖν γεγονότα] γεγονὼσ Y 8 δι' ἡμᾶς om. Λp καθ' ἡμᾶς om. YV 11 τε] δὲ VΣ τὸ τῆσ ἐνανθρωπήσεωσ YV 12 τὴν ἐλπίδα om. Λs τὴν πίστιν om. V 14 χρίσμα b ναί om. W ὅτι — ἐγὼ YZbARW καὶ — ἐγὼ ὅτι VlΛsΣ Tim., ὅτι deleui 15 θεία τὲ καὶ b φύσει] τιμῆ W μικρὰ Yb, corr. Y 16 ἐκ om. A 19 καὶ YZV τὸ bΨ 19/20 ἡμᾶσ εὐτολμοτάτουσ Y 22 ἀνέτεινε YZlΛp Tim. ἀνατείνει bARWΛs om. spatio rel. V τὰσ — λιτὰσ R 23 ἐνύσταξεν VbΨ om. YZΛpsΣ Tim. τοῖσ πειρασμοῖσ b 24 γοῦν] νῦν Y ἐπῃτιᾶτο [ἐπαιτιᾶτο R] νυστάζοντασ bΨΛpsΣ Tim. ἐπαιτιᾶται νυστάζοντασ Y ἐπί τινασ ἀπονυστάζοντασ VZ τοὺσ — δὴ καὶ [καὶ om. l] YbΨΛpsΣ Tim. τῶν ἁγίων ἀποστόλων VZ 25 ἀγρυπνῆσαι b 26 εἰσέλθητε YbWΛpsΣ Tim. ἐμπέσητε VZARl 27 τὰ καθ' om. W ἀνατιθεὶσ b καὶ τὰσ l 28 οὖν αἰτίαν Y γενέσθαι καὶ Z

ἕνα λέγειν ὑποκρινόμενοι καὶ υἱὸν καὶ κύριον, τὸν αὐτὸν θεὸν καὶ ἄνθρωπον, οὐ τὸν ἐκ
Hebr. 3, 1 θεοῦ φύντα λόγον χρηματίσαι φασὶν ἀρχιερέα καὶ ἀπόστολον τῆς ὁμολογίας ἡμῶν, ὅτε γέγονεν ἄνθρωπος, ἀλλ' ὡς ἕτερόν τινα κατὰ μόνας ἄνθρωπον τὸν ἐκ σπέρματος Δαυὶδ κεκλῆσθαι πρὸς τοῦτο διισχυρίζονται δεδιότες τάχα που μὴ τῆς Νεστορίου κακοδοξίας ὀλι-
PG 444 γωρήσαντες ὀρθὰ φρονοῦντες ἁλίσκοιντο. ἔφη γὰρ οὕτως ἐκεῖνος

Loofs, 77 p. 235, 6-9 Οὗτος ὁ πιστὸς τῷι θεῷι πεποιημένος ἀρχιερεύς (ἐγένετο γὰρ οὗτος, οὐκ ἀιδίως προῆν)· οὗτος ὁ κατὰ μικρὸν εἰς ἀρχιερέως, αἱρετικέ, προκόψας ἀξίωμα.

ibid. p. 236, 1.2 Lc. 2, 52 Εἶτα, καθάπερ οἴεται, βεβαιῶν εἰς ἀλήθειαν τὰς ἑαυτοῦ φωνάς, ἐπιφέρει καί φησιν Περὶ οὗ καὶ Ἰωάννης ἐν τοῖς εὐαγγελίοις ἐβόα· Ἰησοῦς δὲ προέκοπτεν ἡλικίαι καὶ σοφίαι καὶ χάριτι.

ibid. p. 240, 2-9 Καὶ πάλιν· ὄντος ἡμῖν τούτου μόνου ἀρχιερέως συμπαθοῦς καὶ συγγενοῦς καὶ βεβαίου, τῆς εἰς αὐτὸν μὴ παρατρέπεσθε πίστεως. αὐτὸς γὰρ ἡμῖν τῆς ἐπηγγελμένης εὐλογίας ἐκ σπέρματος Ἀβραὰμ ἀπεστάλη, ὡς ὑπὲρ ἑαυτοῦ καὶ τοῦ γένους τὴν τοῦ σώματος θυσίαν συνεπαγόμενος.

78 Ὁ δὲ τῆς ἐκείνου βδελυρίας ἄριστος μιμητής, ὁ χρηστὸς οὑτοσὶ Θεοδώρητος οὐκ
p. 136, 7-13 ἐρυθριᾶι λέγων· ἀνθρωπείαν φύσιν ἔλαβεν καὶ ταύτην ὑπὲρ τοὺς κοινοὺς ἀρχιερέας κατέ-
Hebr. 5, 1-3 στησεν, καθὰ καὶ Παῦλός φησιν· πᾶς γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος ὑπὲρ ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν θεόν, μετριοπαθεῖν δυνά-
P 480 μενος τοῖς ἀγνοοῦσι καὶ πλανωμένοις, ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένειαν καὶ δι' αὐτὴν ὀφείλει ὥσπερ ὑπὲρ τοῦ λαοῦ, οὕτως καὶ περὶ ἑαυτοῦ προσφέρειν περὶ ἁμαρτιῶν.

79 Ἆρ' οὐκ ἄνθρωπον ἡμῖν κοινόν, τό γε ἧκον εἰς τὸ αὐτῶι δοκοῦν, ἀποτετέλεκε τὸν Ἐμμανουήλ; οὐκ ἀδελφὰ τῶν ἀρτίως ἡμῖν ὠνομασμένων τὰ φρονήματα καὶ τὴν ἴσην ὠδίνοντα δυσφημίαν; δέδιας, εἰπέ μοι, τῆς ἱερωσύνης τὸν τρόπον τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ; ἀνάρμοστον εἶναι φὴς τῶι θεῶι λόγωι τὸ ἱερουργεῖν ἀνθρωπίνως διὰ τὴν οἰκονομίαν; οὐκοῦν ἄφελε τὸ προσωπεῖον, ἀρνοῦ μὴ ὑπεσταλμένως τοῦ λόγου τὴν ἐνανθρώπησιν, δι' ἣν ὠνόμασται καὶ ἀρχιερεύς. ἆρα θύοντα βλέπεις, ὡς ἑτέρωι

SCHOLIA ARETHAE: 16 εἶτα σὺ τί φής; οὐκ ἀνθρωπείαν φύσιν ἀνειληφέναι τὸν θεὸν λόγον, ἀλλά τινα ἄνθρωπον; τῆς ἐμπλήκτου συμφωνίας πρὸς τοὺς εἰς δύο ὑποστάσεις τὸν ἕνα διαιροῦντας Χριστόν, καὶ ὅπως φθάσαντες παρεθέμεθα.

26 ἀλλὰ σὺ τί λέγεις; ἀρχιερεὺς οὐ κατὰ τὸ ἀνθρώπινον ἑαυτοῦ ὁ Χριστός, ἀλλὰ κατὰ τὸ θεῖον ἐλέχθη; καὶ τὸ θεικὸν αὐτοῦ τὸ χρίσμα τὸ ἱερατικὸν ἔσχηκε καὶ τὸ κατὰ τὴν τάξιν Μελχισεδὲκ ἱεράτευμα; τῆς ἀναισθήτου βίας καὶ τοῦ μηδὲ ὡς Κάιν εἰδότος πρὸς οἷς μὴ ὀρθῶς κρίνει[ν] μηδὲ ὀρθῶς διαιρεῖ[ν] [Gen. 4, 7].

---

77 cf. Cyrill. adu. Nestor. 3, 4. 5 = Exc. Eph. XVII. XX. adu. Orient. 85

Φ [= YZVb], ΛpΣ, Ψ [= ARWl], Λs

1 τὸν — θεόν] καὶ θν̄ τὸν αὐτὸν b 2 φησὶν Y ὅτε YVZWlΛpsΣ ὅτι bAR 3 ὡς om. Y τὸν] τὸ Y σπέρματοσ τοῦ ARl 5 φρονοῦντεσ YVZΛp φρονεῖν bΨΛs ἁλίσκωνται b 6 γὰρ om. Y οὕτωσ W 7 προῆν VARΛpsΣ πρώην YZbWl εἰς ἀρχιερέωσ αἱρετικὲ VbRWlΛps αἱρετικὲ εἰσ ἀρχιερέωσ A εἰς ἀρχιερέωσ ἀρθεὶσ καὶ Y εἰσ ἀρχιερέωσ ἱερατικὸν Z εἰς ἀρχιερέως Σ 8 καθάπερ οὖν bΨ 9 ἰωάννησ YVZΛpCyrill. adu. Nest. Exc. Eph. λουκᾶσ bΨΛsΣ, nomen a Nestorio omissum et ab excerptore falso illatum esse uidetur ἐβόα] φησὶν V 11 ἡμῖν VbWlΛs ὑμῖν YZARWcorrΛpΣ ἐβεβαίου Y 12 παρατρέπεσθαι YbRl πίστεως] φύσεωσ ΛpΣ 14 ἐπαγόμενοσ Y 15 βδελλυρίασ YZb οὗτοσ bΨ θεοδώριτοσ bAWl 16 λέγων ὅτι VZA ἀρχιερεῖσ Vl 20 διὰ ταύτην Y ὡσ V ὑπὲρ add. Ycorr τοῦ ZVbWΛpsΣ τῶν τοῦ YARl περὶ YbAcorrRWl ὑπὲρ ZVA 23 τὴν] τῶν Y 24 ὠδινόντων Y δέδειασ R 24/25 τοῦ — Χριστοῦ om. V 26 διὰ om. Y ἄφελε] ἀδελφὲ Y πρόσωπον R ὑποστελλόμενοσ Y 27 βλέπεισ ὡς] βόασ ἢ σπένδοντα Y

θεῶι καὶ προύχοντι, τῶι πατρί; βουθυτοῦντα τεθέασαι κατ' ἐκείνους τοὺς ἐξ ἀνθρώπων ληφθέντας μετριοπαθεῖν τε δυναμένους τοῖς ἀγνοοῦσι καὶ πλανωμένοις διὰ τὸ εἶναι καὶ αὐτοὺς ἐν ταῖς καθ' ἡμᾶς ἀσθενείαις; οὐκ ἐννενόηκας ὅτι τὴν παρὰ πάντων πίστιν ἢ γοῦν τῆς πίστεως τὴν ὁμολογίαν ἑαυτῶι καθιεροῖ καὶ τῶι παναγίωι πατρί; ἆρ' οὖν, εἰπέ μοι, τρόπος ἐστὶν ἀνθρωπίνης ἱερουργίας τὸ πίστιν αἰτεῖν τοὺς εἰς ὀσμὴν εὐωδίας προσκεκο- 5 Eph. 5, 2
80 μισμένους ἐν πνεύματι; ὅρα δὲ καὶ ἑτέρως ὄντα θεόν, κἂν εἰ ἀνθρωπίνως ἱεράσθαι λέγοιτο διὰ τὴν οἰκονομίαν· συνεδρεύει γὰρ τῶι θεῶι καὶ πατρὶ καὶ ἐν τοῖς ἀνωτάτω θώκοις ὁρᾶται διαπρεπής. θορυβεῖ σε τὸ ἀνθρώπινον; οὐκ ἀπαλλάττει δειμάτων τὸ θεοπρεπές; οὐκ ἀνέχηι δι' αὐτῶν ἰδεῖν τῶν πραγμάτων θεόν τε ὁμοῦ καὶ ἄνθρωπον ὄντα τὸν Ἐμμανουήλ, ἀλλ' οὕτως ἀνέδην καὶ ἀπηνῶς, μᾶλλον δὲ δυσσεβείας ἁπάσης ἐπέκεινα τρέχων 10 P 482
τετελειῶσθαι φῆς κατ' ἀρετὴν ἐν πόνοις αὐτὸν καὶ προκόψαι κατὰ βραχὺ εἰς ἀρχιερέως ἀξίωμα; εἰ προέκοψεν, ποῦ κεκένωται καὶ ἐπτώχευσεν; εἰ τετελείωται κατ' ἀρετήν, ἐξ ἀτελοῦς δηλονότι καὶ ἐν χρόνωι γέγονε τέλειος· τὸ δὲ ἀτελὲς ἅπαν εἰς ἀρετὴν ὑπὸ PG 445
μώμου γραφὴν καὶ τὸ ὑπὸ μῶμον ὑφ' ἁμαρτίαν. πῶς οὖν γέγραπται περὶ αὐτοῦ ὅτι 1 Petr. 2, 22
81 ἁμαρτίαν οὐκ ἐποίησεν; τετόλμηκας εἰπεῖν τὰ ὑποτεταγμένα 15

Τίς τοίνυν (ὁ ἱερατεύσας, φησίν) ὁ πόνοις ἀρετῆς τελειωθεὶς καὶ μὴ φύσει τέλειος p. 136, 22-25
ὑπάρχων; τίς ὁ πείραι μαθὼν τὴν ὑπακοὴν καὶ ταύτην ἀγνοῶν πρὸ τῆς πείρας; τίς ὁ εὐλαβείαι συμβιώσας καὶ μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων ἱκετείας προσενεγκὼν καὶ σώιζειν ἑαυτὸν οὐ δυνάμενος, ἀλλὰ τὸν δυνάμενον σώιζειν παρακαλῶν;

82 Ὦ παντόλμου φωνῆς καὶ μιαρωτάτης. ποῖον ἀρκέσει δάκρυον εἰς ἀπόνιψιν ἁμαρ- 20
τίας τοῖς τοιάδε φρονεῖν ἠιρημένοις; εἰ καταδέχηι τὴν ἕνωσιν, πῶς ἠγνόησας ὅτι περὶ θεοῦ σοι λόγος ἦν ἐνηνθρωπηκότος; τεταπείνωκεν ἑαυτὸν διὰ σέ, καὶ ἀνοσίως ἀναφωνεῖς· ἵλεώς σοι, κύριε, οὐ μὴ ἔσται σοι τοῦτο. οὐκοῦν ἀκούσηι λέγοντος· Mt. 16, 22. 23
83 ὕπαγε ὀπίσω μου, σατανᾶ, σκάνδαλόν μου εἶ. ἀλλὰ γὰρ ἐπὶ τέλει τῶν ἑαυτοῦ λόγων φησίν 25

Οὐκοῦν ὁ ἐκ σπέρματος Δαυὶδ ἀρχιερεύς, ἔχων ἐν ἑαυτῶι δηλονότι τὸν ἐκ θεοῦ λόγον p. 137, 16-19
ἡνωμένον καὶ ἀχωρίστως συνημμένον.

Πῶς οὖν ἡνῶσθαι φῆς τῶι ἐκ σπέρματος Δαυὶδ τὸν ἐκ θεοῦ λόγον, εἰ μόνωι τῶι

SCHOLIA ARETHAE: 10 sq. εἰ Θεοδωρήτου ταῦτα, ἀλλ' οὐ τοῦ θείου Παύλου τὰ ῥήματα, καλῶς ἔχει σοι τὰ ἐγκλήματα· εἰ δὲ τοῦ θείου Παύλου, ἀφεὶς τῶι γεννήτορι τῶν [τὸν Y] λόγων τὰς μέμψεις ἐπανατείνεσθαι Θεοδωρήτωι ἐπηρεάζειν προήιρησαι. ἐπεὶ δὲ Παῦλον οὐκ ἔχων ἐλέγχειν (οἶδας γάρ, δοκῶ μοι, ὅπως ἐκεῖνος φρονῶν ταῦτα προφέρει, ὡς γε δὴ καὶ Θεοδώρητος), ἆρα τῆς ἐπὶ τοῖς ῥητοῖς τούτοις ἐκλήψεως ὠλιγώρησας [ὀλιγωρησας Y] τοῖς ἃ [legas τῶι ἴσα] τοῖς ἐνδιαστρόφως ταῦτα φέρουσιν τὰ ὀνείδη Θεοδωρήτωι προσάπτεσθαι; τῆς ἀδικοδοξίας.

15 Παύλωι ταῦτα ἐγκαλῶν, ἐπὰν μὴ ὡς ἐκεῖνος εἴρηκεν, ταῦτα νοεῖν ἐκὼν τυφλώττεις, μέγας ἔσηι πρόβολός τε καὶ πρόμαχος τῶν ἀπὸ τῶν περὶ αὐτὰ ἐνδιαστρόφων νοημάτων εἰς ὀλεθρίας αἱρέσεις ὀλισθησάντων.

28—p. 142, 5 Timoth. arm. p. 77

Φ [= YZVb], ΛpΣ, Ψ [= ARWl], Λs

1 τῶ ΦlΛpΣ θῶ̄ τῶ ARWΛs οὖν τεθέασαι Y 2 δυνάμενον Y δυνάμενοσ I 3 οὐκ ἐννενόηκασ Ψ οὐκ ἐνενόηκασ Yb οὐ νενόηκασ VZ 4 πρ̄ὶ VZΨΛps πν̄ι YbΣ 5 τοὺσ] τὸ Y 6 ὅρα] ἆρα Y κἂν] καὶ Y 7 πρ̄ὶ καὶ θῶ̄ Y θάκοισ R 9 ἰδεῖν om. Y ὁμοῦ τέ b ὄντα τὸν ἐμμανουὴλ καὶ ἀνο̄ν Y 10 ἀναίδην VR ἀναιδῶσ Y ἀπανθρώπωσ A τρέχον Z 11 τελειῶσθαι Z 12 πῶσ V τετελείται V 14 νόμου W γραφὴν καὶ τὸ ΥΛpsΣ γραφὴν τὸ bAR γράφοιτο W γραφὴν τὸ δὲ VZl post οὖν superscr. εἰ Y 15 πῶσ τετόλμηκασ b 16 φησίν om. ΥΛpsΣ 18 μετὰ δακρύων Y ἱκετηρίασ b 19 οὐ om. ZbA, superscr. b, μὴ superscr. A 20 ἀπόνηψιν YZW 21 τὰ τοιάδε YV 22 ὁ λόγοσ l ὅτι τεταπείνωκεν b 26 ἐν om. AR ἐν ἑαυτῶ om. b 28 φὴσ εἰ Y φησὶ Λp τῶι — λόγον om. Σ 28—p. 142, 1 τὸν — Δαυὶδ om. Y 28 εἰ bWlΛps Tim. εἰ δὴ Z ἦ δὲ V εἰ δε R πῶσ δὲ A μόνον Zb

P 484 ἐκ σπέρματος Δαυὶδ ἐκνενέμηκας τὴν ἱερωσύνην; εἰ γὰρ ἀληθὴς ἡ ἕνωσις, οὐ δύο που πάντως εἰσίν, ἀλλ' εἷς τε καὶ μόνος ὁ ἐξ ἀμφοῖν νοεῖται Χριστός. πρόδηλον οὖν ὅτι πλάττονται μὲν ὁμολογεῖν τὴν ἕνωσιν τὰς τῶν ἁπλουστέρων ὑποτρέχοντες γνώμας, συνάφειαν δὲ φρονοῦσι τὴν ἔξωθέν τε καὶ σχετικήν, ἣν καὶ ἡμεῖς ἐσχήκαμεν, κοινωνοὶ τῆς θείας αὐτοῦ φύσεως ἀναδεδειγμένοι διὰ τοῦ πνεύματος. προσεκτέον τοιγαροῦν οὐ τοῖς ἐκείνων βατταρισμοῖς, ἀλλὰ τῇ ὀρθῇ τε καὶ ἀμωμήτῳ πίστει καὶ τοῖς εὐαγγελικοῖς τε καὶ ἀποστολικοῖς θεσπίσμασιν.

Κυρίλλου ἀναθεματισμὸς ῑ̅α̅

84 Εἴ τις οὐχ ὁμολογεῖ τὴν τοῦ κυρίου σάρκα ζωοποιὸν εἶναι καὶ ἰδίαν αὐτοῦ τοῦ ἐκ θεοῦ πατρὸς λόγου, ἀλλ' ὡς ἑτέρου τινὸς παρ' αὐτὸν συνημμένου μὲν αὐτῷ κατὰ τὴν ἀξίαν ἢ γοῦν ὡς μόνην θείαν ἐνοίκησιν ἐσχηκότος, καὶ οὐχὶ δὴ μᾶλλον ζωοποιόν, ὡς ἔφημεν, ὅτι γέγονεν ἰδία τοῦ λόγου τοῦ τὰ πάντα ζωοποιεῖν ἰσχύοντος, ἀνάθεμα ἔστω.

Θεοδωρήτου ἀνατροπὴ ῑ̅α̅

85 Ἔοικεν ἐκών, ὡς οἶμαι, τῆς ἀσαφείας φροντίζειν, ἵνα ταύτῃ τὴν κακοδοξίαν συγκαλύψας λάθῃ τὰ αὐτὰ τοῖς αἱρετικοῖς δογματίζων. ἀλλ' οὐδὲν τῆς ἀληθείας δυνατώτερον, ἤτις ταῖς οἰκείαις ἀκτῖσι γυμνοῖ τὸ ζοφῶδες τοῦ ψεύδους. ταύτῃ φωτιζόμενοι δήλην αὐτοῦ τὴν ἑτερόδοξον καταστήσομεν πίστιν. πρῶτον μὲν γὰρ οὐδαμοῦ σαρκὸς νοερᾶς
P 486 ἐμνημόνευσεν οὔτε ἄνθρωπον τέλειον τὸν ἀναληφθέντα ὡμολόγησεν, ἀλλὰ πανταχοῦ σάρκα λέγει, τοῖς Ἀπολιναρίου δόγμασιν ἀκολουθῶν· ἔπειτα τὴν τῆς κράσεως ἔννοιαν ἑτέροις
PG 448 ἐμβαλὼν ὀνόμασι κατασπείρει τοῖς λόγοις. ἐνταῦθα γὰρ σαφῶς ἄψυχον τὴν τοῦ κυρίου σάρκα φησίν· εἴ τις γάρ, φησίν, [οὐχ] ὁμολογεῖ τὴν τοῦ κυρίου σάρκα μὴ ἰδίαν αὐτοῦ τοῦ

SCHOLIA ARETHAE: 3 sq. ἀληθῆ τὴν ἕνωσιν καὶ πιστεύομεν καὶ κρειττόνως ἡ σύ· οὐ γὰρ ἐκ δύο ὑποστάσεων ταύτην φαμέν, ὡς σὺ πολλάκις ἁλίσκῃ φρονῶν, ἀλλ' ἐκ δύο μὲν φύσεων, θεότητος καὶ ἀνθρωπότητος, μιᾶς δὲ ὑποστάσεως τοῦ θείου λόγου, ὃς φύσιν ἀνθρωπίνην λαβὼν ἤτουν ψυχὴν καὶ σῶμα ἠτώμωσεν [sic] ἐν ἑαυτῷ, καθὸ καὶ σύνθετος ἡ τοῦ κυρίου ὑπόστασις πρεσβεύεται τῇ τῶν πιστῶν ἐκκλησίαι. δύο δὲ φύσεις αὐτοῦ ἀκενοτόμητοι [sic], αἷς δυσὶ φύσεσι τὰ θεῖα καὶ τὰ ἀνθρώπινα ἐνήργει, οὐκ ἀνὰ μέρος δὲ διὰ τὴν ἄκραν ἕνωσιν· πῶς δέ, αὐτῷ μόνῳ ἀνάκειται ἀκριβῶς εἰδέναι. εἰ δὲ σὺ τὴν ἀκρίβειαν ταύτην ἑαυτῷ ἐπανατιθεὶς τό τινὰ ἑαυτὸν εἶναι θηρᾷς, οὐδεὶς σοὶ φθόνος πλὴν ἀποσχομένῳ τοῖς τὸ ἁπλοῦν καὶ ἄδολον μυστήριον ἁπλῶς μετιοῦσιν βλασφήμως προσφέρεσθαι, καίτοιγε φιλαληθῶς ἐρεῖν [legas ἐκείνοις] οἷς βάλλεις [βαλλεῖν Y] ἄλλους τούτοις [τούτουσ Y] αὐτὸς πρῶτος ἐνεχόμενος.

---

usque ad 7 Φ [= YZVb], ΛpΣ, Ψ [= ARWl], Λs, inde a 8 YZVb, l [praeter 8—12], ΛpΣ

1 ἡ γὰρ ἀληθὴσ ἕνωσισ b που om. l 2 νοεῖται] ὁ εἷσ τε b μὲν οὖν b 3 μὲν om. b 4 δὲ VZΛsΣ τε YbΨ *namque* Λp ἔξοδον Y τε om. Yb ὁσίασ V οὐσίασ Z 5 οὐ προσεκτέον τοιγαροῦν VZ post θεσπίσμασιν pergunt θεόσ ἐστιν ἐν σαρκὶ καὶ αἵματι κτλ. [= apolog. adu. Orient. 89] bΨΛs

8 κυρίλλου — ῑ̅α̅ YYmg ἀναθεματισμόσ ῑ̅α̅ Z ἀναθεματισμὸσ ἑνδέκατοσ Vb 9/10 τὸν — λόγον Z 10 συνημμένωι Y αὐτῇ b 11 ὡς om. b ζωοποιὸν om. Z 12 ζωογονεῖν Z ἐνισχύοντοσ b

13 θεοδωρήτου — ῑ̅α̅ Y ἀνατροπή VZ μέμψισ αἱρετικοῦ ΛpΣ post oblocutionem Orientalium εὕρηται ἐν ἄλλῳ ἀντιγράφῳ καὶ αὕτη ἡ ἀνατροπὴ τοῦ θεοδωρ(ή)τ(ου), in mg. ᾱ μέμψισ b item post oblocutionem Orientalium τοῦ αὐτοῦ καὶ ἄλλωσ l 14 ἑκὼν Yl om. ZVbΛpΣ οἶμαι] ἔφην b ἀσαφείασ YblΛpΣ ἀληθείασ VZ 15 λάθηι om. Σ ταυτὰ Yl 17 καταστήσομεν τὴν ἑτερόδοξον l οὐδαμῶσ b 17/18 ἐμνημόνευσε νοερᾶσ Y 19 συνακολουθῶν V 20 γὰρ VZbΛpΣ δὲ Yl ἄψυχον εἶναι Yl 21 φησίν — σάρκα om. Z φησίν YVl λέγει b φησιν ὁμολογεῖ Λp φησιν οὐχ ὁμολογεῖ lΣ οὐχ ὁμολογεῖ Y φησιν Vb μὴ ἰδίαν YZVΛp οὐχ ὁμολογεῖ μὴ ἰδίαν b ἰδίαν lΣ 21—p. 143, 1 τοῦ — λόγου om. l

ἐκ θεοῦ πατρὸς λόγου, ἀλλ' ὡς ἑτέρου παρ' αὐτόν, ἀνάθεμα ἔστω. ἐξ ὧν εὔδηλον ὡς οὐχ ὁμολογεῖ ψυχὴν ἀνειληφέναι τὸν θεὸν λόγον, ἀλλὰ σάρκα μόνην, αὐτὸν δὲ εἶναι ἀντὶ ψυχῆς τῇι σαρκί. ἡμεῖς δὲ ζωοποιὸν εἶναι φαμὲν τὴν ἔμψυχον καὶ λογικὴν τοῦ κυρίου σάρκα διὰ τὴν ἡνωμένην αὐτῇι ζωοποιὸν θεότητα. ὁμολογεῖ δὲ καὶ αὐτὸς ἄκων τῶν δύο φύσεων τὸ διάφορον, σάρκα λέγων καὶ θεὸν λόγον καὶ ἰδίαν αὐτοῦ προσαγορεύων τὴν σάρκα. οὐκοῦν οὐχ ὁ θεὸς λόγος εἰς σαρκὸς ἐτράπη φύσιν, ἀλλ' ἰδίαν ἔχει σάρκα τὴν ἀναληφθεῖσαν φύσιν καὶ ζωοποιὸν αὐτὴν τῇι ἑνώσει πεποίηκεν.

Ἀπολογία Κυρίλλου ιᾱ

86 Οἱ τῶν εἰς ὀρθότητα καὶ ἀλήθειαν ἐννοιῶν ἐξ ἀμαθίας ἀπολισθήσαντες καὶ μόνον οὐχὶ λέγοντες ἐθέμεθα ψεῦδος τὴν ἐλπίδα ἡμῶν καὶ τῶι ψεύδει σκεπασθησόμεθα, τὴν καθ' ὧν ἂν ἕλοιντο ψῆφον ἀπεριμερίμνως ἐκφέρουσιν, οὐ μεμνημένοι λεγούσης τῆς θεοπνεύστου γραφῆς κρίμα δίκαιον κρίνετε καὶ πάλιν μάρτυς ψευδὴς οὐκ ἀτιμώρητος ἔσται. ἡμεῖς γὰρ ζωοποιὸν εἶναι φαμὲν τὸ ἅγιον σῶμα τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ· καὶ γάρ ἐστιν οὐχ ἑνὸς ἁπλῶς τῶν καθ' ἡμᾶς ἀνθρώπου κοινοῦ, ἴδιον δὲ ἀληθῶς τοῦ τὰ πάντα ζωογονοῦντος λόγου, ἴδιον δὲ οὕτως ὡς ἂν εἰ καὶ τῶν καθ' ἡμᾶς ἑκάστου τυχὸν ἴδιον λέγοιτο τὸ σῶμα αὐτοῦ. ὁ δὲ χρηστὸς οὑτοσὶ καὶ τῆς καθ' ἡμῶν γλωσσαλγίας οὐδένα τρόπον ἀνεπιτήδευτον ἀφείς, καίτοι συναινῶν οἷς ἔφην, ἐπιφημίζει πάλιν ἡμῖν τῆς Ἀπολιναρίου κακοδοξίας τὸν μῶμον καὶ οὐκ αἰσχύνεται λέγων ὅτι λέξεσιν ἑτέραις τὸ τῆς κράσεως ἤτοι συγχύσεως ἐπικρύπτει χρῆμα καὶ ἄψυχον εἶναι διαβε-
87 βαιοῦται τὴν ἑνωθεῖσαν τῶι λόγωι σάρκα. ἀλλ', ὦ βέλτιστε, φαίη τις ἂν εἰκότως, ἆρ' οὖν τοῖς ἴσοις περιβαλεῖς ἐγκλήμασι καὶ τὸν μακάριον εὐαγγελιστὴν Ἰωάννην; ἔφη γὰρ ὅτι ὁ λόγος σὰρξ ἐγένετο. καταλαζονεύσηι καὶ αὐτοῦ καὶ δὴ καὶ ἐρεῖς ὅτι ψυχῆς ἠμνημόνησε νοερᾶς καὶ ἄψυχον εἶναί φησι τοῦ κυρίου τὴν σάρκα; τί δὲ ὅταν καὶ αὐτοῦ λέγοντος ἀκούσηις τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ· ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς καὶ πάλιν ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου

10 Ies. 28, 15
Zach. 7, 9
Prou. 19, 2
15 P 488
20
Ioh. 1, 14
Ioh. 6, 53
25
Ioh. 6, 56

SCHOLIA ARETHAE: 1 sq. συκοφαντία τοῦτο· εἰ γὰρ μὴ τοῦτο, εὑρίσκεται καὶ ⟨ὁ⟩ θεολόγος Ἰωάννης τῇι αὐτῇι ἐνεχόμενος αἰτίαι δι' ὧν φησι καὶ ὁ λόγος σὰρξ ἐγένετο [Ioh. 1, 14].

9 οὕτως οἶμαι ὀρθῶς προενεχθείη τὰ προκείμενα τοῦ λόγου· οἱ τῶν ἐννοιῶν τῆς ὀρθότητος καὶ ἀληθείας ἀπολισθήσαντες. ὡς γὰρ νῦν ἔχει, ἀσύντακτον ὅλως καὶ ἀνελλήνευτον.

13—16 Timoth. arm. p. 88 13—15 Doctr. patr. 20, 4 ἐκ τῶν κατηγοριῶν Θεοδωρήτου· 'ἡμεῖς μὲν γάρ — ζωογονοῦντος λόγου'.

YZVb, l, ΛpΣ

1 λόγου om. b ὡς om. Y ἑτέρου YVZbΛpΣ ἑτέρου τινὸσ bcorr1 ὡς om. VZ 2 σάρκα ζῶσαν l 3 ἔμψυχον καὶ om. Σ 4 καὶ om. V 6 οὐχ ὁ θ̄σ̄ λόγοσ VZΛpΣ οὐχ ὁ θ̄σ̄ b ὁ θ̄σ̄ λόγοσ οὐκ Y ὁ θ̄σ̄ λόγοσ οὔτε l σαρκὸς] σάρκα Y τὴν φύσιν Y 6/7 ἀλλ' — φύσιν om. Yl

8 ἀπολογία — ιᾱ Y κυρίλλου ἀπολογία ιᾱ Ymg ἀπολογία κυρίλλου VZ ἀπολογία ὀρθοδόξου ΛpΣ ἀπολογία τοῦ ἁγίου κυρίλλου statim post Theodoreti oblocutionem b τοῦ αὐτοῦ καὶ ἄλλωσ post responsionem aduersus Orientales l 9 εἰσ — ἀλήθειαν ZVb τὴν ὀρθότητα καὶ ἀλήθειαν Y τῆσ ὀρθότητοσ καὶ ἀληθείασ l cf. schol. Arethae ὀλισθήσαντεσ l 10 καὶ om. V 11 τὴν — ψῆφον om. V ἀμερίμνωσ Yl 12 κρίνατε b ψευδὴς om. l 13 μὲν γὰρ Yl φαμὲν εἶναι V Tim. ἅγιον om. Σ 14 κοινοῦ om. Σ 17 ἐν οἷσ Yl 18 ἡμῖν om. Yl 21 οὖν om. Y περιβαλεῖσ [περιβάλλεισ Z] ἐγκλήμασι VZb *accusabis* Λp παραβάλλεισ ἐγκλήμασι l ἐγκλήμασι περιβαλεῖσ Y 22 καὶ Yb1 γὰρ καὶ VZ καὶ δὴ καὶ Yb καὶ δὴ l καὶ VZ 23 ἡμνημόνευσε b ἐμνημόνευσε V, μὴ add. Vmg φῆισ Y τὴν τοῦ κ̄ῡ Y δαι Yl 24 σ̄ρ̄σ̄ ἡμῶν Y ἀμὴν ἀμὴν V 25 τοῦ υἱοῦ τοῦ ἀνθρώπου om. b ποίητε V πίετε l αὐτοῦ om. b

Ioh. 6, 51 τὸ αἷμα ἐν ἐμοὶ μένει κἀγὼ ἐν αὐτῷ καὶ πάλιν καὶ ὁ ἄρτος δὲ ὃν ἐγὼ δώσω, ἡ σάρξ μού ἐστιν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. ἐπιπήδησον, εἰ δοκεῖ, καὶ τοῖς αὐτοῦ λόγοις· σάρκα γὰρ ὀνομάζει μόνην καὶ ψυχῆς ἐν τούτοις τῆς νοερᾶς οὐδεμίαν
88 παντελῶς πεποίηται μνήμην. ἀλλ' εἴπερ ἦσθά τις σοφὸς καὶ ἀγχίνους, οὐκ ἂν ἠγνόησας
PG 449 ὅτι καὶ ἀπὸ μόνης ἔσθ' ὅτε τῆς σαρκὸς τὸ ἐκ ψυχῆς καὶ σώματος κατασημαίνεται ζῶιον,
Ies. 40, 5 τουτέστιν ἄνθρωπος. γέγραπται γὰρ ὅτι καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον
P 490 τοῦ θεοῦ. οὐκοῦν ὁ σάρκα λέγων γενέσθαι τὸν λόγον οὐκ ἠγνόηκεν ὅτι πάντηι τε καὶ πάντως καὶ ψυχῆς νοερᾶς πεποίηται μνήμην. ἀλλὰ γάρ, ὡς ἔφην ἐν ἀρχαῖς, ἀπορήσας εἰς ἀντίστασιν σκέπην ἑαυτῶι ποιεῖται τὸ ψεῦδος καὶ πειρᾶται συκοφαντεῖν, ἵνα δοκῆι τι λέγειν. οὐκ ἄνθρωπον δὲ ἀνειλῆφθαι παρὰ θεοῦ τοῖς ἁγίοις πατράσι δοκεῖ· πεφρονήκασι γὰρ οὐχ ὧδε· πόθεν; αὐτὸν δὲ μᾶλλον τὸν ἐκ θεοῦ λόγον ἄνθρωπον γενέσθαι φασίν, ἑνωθέντα σαρκὶ ψυχὴν ἐχούσηι τὴν νοεράν (ἀσύγχυτος δὲ καὶ τροπῆς ἐλευθέρα παντελῶς ἡ ἕνωσις· ἀναλλοίωτος γὰρ ὁ τοῦ θεοῦ λόγος), καὶ οὕτως πιστεύομεν.

Κυρίλλου ἀναθεματισμὸς ιβ̄

89 Εἴ τις οὐχ ὁμολογεῖ τὸν τοῦ θεοῦ λόγον παθόντα σαρκὶ καὶ ἐσταυρωμένον σαρκὶ καὶ θανάτου γευσάμενον σαρκὶ γεγονότα τε πρωτότοκον ἐκ τῶν νεκρῶν, καθὸ ζωή ἐστι καὶ ζωοποιὸς ὡς θεός, ἀνάθεμα ἔστω.

Θεοδωρήτου ἀνατροπὴ ιβ̄

90 Τὰ πάθη τοῦ παθητοῦ ἴδια· ὁ γὰρ ἀπαθὴς παθῶν ἐστιν ὑψηλότερος. ἔπαθεν τοίνυν ἡ τοῦ δούλου μορφή, συνούσης αὐτῆι δηλονότι τῆς τοῦ θεοῦ μορφῆς καὶ συγχωρούσης μὲν παθεῖν διὰ τὴν ἐκ τῶν παθῶν τικτομένην σωτηρίαν, οἰκειουμένης δὲ διὰ τὴν ἕνωσιν τὰ παθήματα. οὐκοῦν οὐχ ὁ θεὸς ὁ παθών, ἀλλ' ὁ ἐξ ἡμῶν ὑπὸ τοῦ θεοῦ ληφθεὶς ἄν-
Ies. 53, 3 θρωπος. δι' ὃ καὶ ὁ μακάριος Ἡσαίας προθεσπίζων βοᾶι· ἄνθρωπος ἐν πληγῆι ὢν
P 492 καὶ εἰδὼς φέρειν μαλακίαν. καὶ αὐτὸς δὲ ὁ δεσπότης Χριστὸς πρὸς τοὺς Ἰου-
Ioh. 8, 40 δαίους ἔλεγεν· τί με ζητεῖτε ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα; ἀποκτείνεται δὲ οὐχ ὁ αὐτοζωή, ἀλλ' ὁ θνητὴν ἔχων τὴν φύσιν. καὶ
Ioh. 2, 19 τοῦτο διδάσκων ἑτέρωθι ὁ κύριος πρὸς τοὺς Ἰουδαίους ἔφη· λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. οὐκοῦν ἐλύθη μὲν ὁ ἐκ Δαυίδ, ἀνέστησε δὲ τοῦτον λυθέντα ὁ ἐκ πατρὸς ἀπαθῶς γεννηθεὶς πρὸ τῶν αἰώνων μονογενὴς θεὸς λόγος.

19—20 μορφῆς. 22—23 ἄνθρωπος Timoth. arm. p. 80. 137

YZVb, l [praeter 14—17], ΛpΣ, Λs [inde a 19]

1 καὶ² VZb om. YlΛpΣ δὲ VZΛp om. YblΣ 2 ἐστὶν δν [ἦν V] ἐγὼ δώσω VΣ 2/3 ἐπιπήδησον δὲ καὶ τοῖσ αὐτοῦ λόγοισ, εἰ δοκεῖ b 3 αὐτοῦ] αὐτοῦ ἄρξου Z 4 μνείαν Y 6 ὁ ἀν̄ος̄ Yb γέγραπται] ἔφη V ὅτι om. l 7 ὁ om. V γεγεννῆσθαι l τὲ πάντη l 8 καὶ om. l νοερᾶς om. Σ 9 ἑαυτοῦ b 9/10 ἵνα δοκῆ τι [τὶ δοκεῖ Z] λέγειν ZVblΛpΣ οὐκ εἰδὼσ δ λέγει Y 11 ὧδε· πόθεν; Pusey secundum Σ ὧδε ποθέν Y γρ ὧδε ποθέν bmg ὁ δή ποθεν Z ὠδίποθεν V ὧδε ποτέ blΛp θῡ πρ̄σ̄ V θῡ θν̄ l 12 πάντωσ VZ

14 κυρίλλου — ιβ̄ Ymg ἀναθεματισμόσ δωδέκατοσ VZb 15/16 καὶ θανάτου — σαρκὶ om. Y 16 τε om. Y τῶν om. V καθὰ Z καὶ ζωὴ Λp 17 ὡς θεός om. Λp

18 θεοδωρήτου — ιβ̄ Ymg ἀνατροπή VZ μέμψισ αἱρετικοῦ ΛpΣ ἀντίρρησισ θεοδωρίτου b, post oblocutionem Orientalium τοῦ αὐτοῦ καὶ ἄλλωσ l 19 ὑψηλότεροσ ἐστὶν l 20 μὲν YblΛps om. VZΣ 21 οἰκειουμένησ YlΛpsΣTim. οἰκειούμενοσ VZb 22 θεὸσ ZbΛpsΣTim. θσ̄ λόγοσ Yl χσ̄ V θῡ ZVbΛp θῡ λόγου Yl 23 βοᾶ ZVbΛpΣ ἐβόα YlΛs 24 δὲ om. Yl 25 δσ ZVbl ὅστισ Y 26 ἀποκτένεται Yl οὐχ ὁ αὐτοζωὴ Yl οὐκ αὐτὴ ἡ ζωὴ ZVb 27 ὁ κσ̄ ἑτέρωθι l ἔφη πρὸσ τοὺσ ἰουδαίουσ Y 28 ἐκ om. V 29 τοῦτον YZVlΛs τὸν bΛp ἀπαθῶσ ZVbΛpsΣ om. Yl

Κυρίλλου ἀπολογία ιβ

91 Ἔστι μὲν ἀπαθὴς ὁμολογουμένως ἡ τοῦ λόγου φύσις, καὶ τοῦτο, οἶμαι, ἐστὶν οὐδενὶ τῶν ὄντων ἀσυμφανές, οὐδ' ἂν εἰς τοῦτο φρενοβλαβείας καθίκοιτό τις, ὡς τὴν ἀπόρρητον καὶ ὑπερφυᾶ καὶ τοῦ δύνασθαί τι παθεῖν ἐπέκεινα φύσιν ἀσθενείαις ταῖς καθ' ἡμᾶς ἐνισχῆσθαι λέγειν. ἐπειδὴ δὲ ἦν τὸ παθεῖν τῶι κόσμωι σωτήριον καὶ πάλιν ἀμήχανον τὸ παθεῖν εἰς ἰδίαν φύσιν τὸν ἐκ θεοῦ φύντα λόγον, μέτεισιν εὐτεχνῶς τῆς οἰκονομίας τὸ χρῆμα. ἴδιον γὰρ ἐποιήσατο σῶμα τὸ παθεῖν δυνάμενον, ἵνα τῶι παθεῖν πεφυκότι λέγοιτο παθεῖν, καίτοι μεμενηκὼς ἀπαθὴς κατ' ἰδίαν φύσιν αὐτός. ἐπειδὴ δὲ σαρκὶ πέπονθεν ἑκών, ταύτηι τοι τῶν ὅλων σωτὴρ ἐστί τε καὶ ὀνομάζεται. ὡς γὰρ ὁ Παῦλός φησι, χάριτι θεοῦ ὑπὲρ παντὸς ἐγεύσατο θανάτου· μαρτυρήσει δὲ καὶ ὁ θεσπέσιος Πέτρος, σοφώτατα λέγων Χριστοῦ οὖν παθόντος ὑπὲρ ἡμῶν, οὐ φύσει θεότητος μᾶλλον, ἀλλὰ σαρκί. ἐπεὶ τίνα τρόπον ὁ τῆς δόξης κύριος ἐσταυρῶσθαι λέγεται; πῶς δὲ ὁ δι' οὗ τὰ πάντα καὶ ἐν ὧι τὰ πάντα συνέστηκεν, καθά φησιν ὁ μακάριος Παῦλος, δέδοται παρὰ τοῦ θεοῦ καὶ πατρὸς κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας, γέγονε δὲ καὶ πρωτότοκος ἐκ νεκρῶν; οἰκειωσάμενος δηλονότι τὰ τῆι ἰδίαι σαρκὶ συμβαίνοντα πάθη. κύ-
92 ριος δὲ τῆς δόξης οὐκ ἂν γένοιτο κοινὸς καὶ καθ' ἡμᾶς ἄνθρωπος. ἀλλ' ἐρεῖς ἐκεῖνό που τάχα ὡς ἀπόχρη λίαν ἡ ἕνωσις εἰς τὸ ἀποφῆναι Χριστὸν ἕνα καὶ κύριον τὸν ἐσταυρωμένον. οὐκοῦν λεγέσθω πάντα αὐτοῦ καὶ ὁμολογείσθω σωτὴρ ὁ τοῦ θεοῦ λόγος, μεμενηκὼς μὲν ἀπαθὴς τῆι τῆς θεότητος φύσει, σαρκὶ δὲ παθών, ὡς εἶπεν ὁ Πέτρος. αὐτοῦ γὰρ ἦν ἴδιον καθ' ἕνωσιν ἀληθῆ τὸ τοῦ θανάτου γευσάμενον σῶμα. ἐπεὶ τίνα τρόπον ἐξ Ἰουδαίων κατὰ σάρκα Χριστὸς καὶ θεὸς ἐπὶ πάντων ἐστὶν καὶ εὐλογητὸς εἰς τοὺς αἰῶνας, ἀμήν; εἰς τὸν τίνος θάνατον βεβαπτίσμεθα; τὴν τίνος ἀνάστασιν ὁμολογοῦντες δικαιούμεθα; καίτοι κατὰ φύσιν ἰδίαν θανάτου κρείττων ἐστὶν ὁ τοῦ θεοῦ λόγος, μᾶλλον δὲ αὐτόχρημα ζωή. ἆρ' οὖν εἰς θάνατον ἀνθρώπου κοινοῦ βεβαπτίσμεθα καὶ εἰς αὐτὸν πιστεύοντες δικαιούμεθα; ἤ, ὅπερ ἐστὶν ἀληθές, ἐνανθρωπήσαντος θεοῦ καὶ παθόντος ὑπὲρ ἡμῶν σαρκὶ τὸν θάνατον καταγγέλλομεν καὶ ὁμολογοῦντες τὴν ἀνάστασιν τὸ τῆς ἁμαρτίας ἄχθος ἀποπεμπόμεθα; ἠγοράσμεθα γὰρ τιμῆς, οὐ φθαρτοῖς ἀργυρίωι ἢ χρυσίωι, ἀλλὰ τιμίωι αἵματι ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου Χριστοῦ. καὶ πλεῖστα μὲν ἕτερα πρὸς τούτοις εἰπεῖν χαλεπὸν οὐδὲν καὶ τὰς τῶν ἁγίων πατέρων παραθεῖναι χρήσεις,

PG 452
10 Hebr. 2, 9
1 Petr. 4, 1
P 494
1 Cor. 2, 8
Hebr. 2, 10
Col. 1, 17. 18
15
1 Petr. 4, 1
20
Rom. 9, 5
Rom. 6, 3
25
1 Cor. 6, 20
1 Petr. 1, 18. 19

1—12 Fcyr 64 ἔστι — σαρκί 18—28 Tim. arm. p. 197

YZVbIΛpΣ

1 κυρίλλου ἀπολογία ιβ̄ YYmg ἀπολογία κυρίλλου VZ ἀπολογία ὀρθοδόξου ΛpΣ ἀπολογία τοῦ ἐν ἁγίοις κυρίλλου πρὸς ταῦτα b τοῦ αὐτοῦ ἄλλως I 2 καὶ ὁμολογουμένως VZ λόγου ZbΛpΣFcyr θῡ̄ λόγου YIV 3 φρενοβλαβείας VZbΛpΣFcyr φρενοβλαβείας καὶ εἰκαιότητος YI καθίκοιτό VZbΛpΣFcyr ἔλθοι YI τις om. Y τὸν I 4 καί¹] τε καὶ I 4/5 ἐνισχῆσθαι VZbFcyr ἐνισχεῖσθαι Y ἐνηχεῖσθαι I 5 τὸ — σριον ZVbFcyr τὸ — σρια Y τῶ κόσμω σρια τὸ παθεῖν I 5/6 τὸ παθεῖν ἀμήχανον I τὸ μὴ παθεῖν ἀμήχανον ἦν Fcyr 6 τὸν — λόγον εἰς ἰδίαν φύσιν I 7 γὰρ om. VZ δὲ Σ ποιεῖται Y τὸ σῶμα τὸ Zb τὸ Y 8 κατ' ἰδίαν φύσιν ἀπαθὴς Fcyr κατ' ἰδίαν φύσιν I ὁ αὐτός YI 9 τε om. Y 11 σαφέστατα b 12 μᾶλλον om. Y σαρκός V 13 δὲ δι' Y καὶ — πάντα YbΛpΣ om. ZVI 15 ἐκ νεκρῶν om. YI οἰκεία Yb 16 ἐρεῖ Y 17 καὶ om. I 20 ἑαυτοῦ YI 22 τοὺς om. VZ βεβαπτίσμεθα — ὁμολογοῦντες om. I βεβαπτίσμεθα Ycorr in ras. 23 δικαιούμεθα ZVbΛpΣTim. βεβαιούμεθα YI 24 κοινοῦ om. Σ 25 πιστεύσαντες Y ἢ καὶ I 27 ἠγοράσθημεν V φθαρτοῖς VZTim. φθαρτῆς bI φθαρτῶι YΣ ἢ χρυσίωι om. Y 28/29 καὶ — τούτοις I καὶ — τούτοις ἦν V καὶ πλεῖστα μὲν ἦν ἕτερα πρὸς τούτοις ZbΣ πλεῖστα μὲν οὖν ἕτερα πρὸς τούτοις Y 29 χαλεπὸν οὐδὲν YbIΛp χαλεπὸν δὲ [καὶ χαλεπὸν Σ] οὐδὲν ἦν VZΣ παραθῆναι YV

P 496 ἀρκέσει δέ, οἶμαι, καὶ ταῦτα τοῖς εὐμαθεστέροις. γέγραπται γὰρ ὅτι δίδου σοφῷ
Prou. 9, 9 ἀφορμήν, καὶ σοφώτερος ἔσται· γνώριζε δικαίωι, καὶ προσθήσει τοῦ δέχεσθαι.

170 Τοῦ ἁγίου Γρηγορίου τοῦ θαυματουργοῦ ἐπισκόπου Νεοκαισαρείας περὶ τῆς τοῦ θεοῦ λόγου σαρκώσεως

Θεοῦ χάριτι τὸ πῶς δεῖ πιστεύειν περὶ τῆς σαρκώσεως καὶ ἐνανθρωπήσεως τοῦ υἱοῦ τοῦ θεοῦ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν, νόμου προμηνύσαντος, προφητῶν μαρτυρησάντων, ἀποστόλων κηρυξάντων, αὐτοῦ τοῦ κυρίου καὶ λόγωι διδάξαντος καὶ ἔργωι ἑαυτὸν φανερώσαντος,

ᾱ εἴ τις λέγει δοκήσει πεφανερῶσθαι τὸν Χριστὸν τῶι κόσμωι καὶ μὴ ὁμολογεῖ αὐτὸν ἐν σαρκὶ ἐληλυθέναι, καθὼς γέγραπται, ἀναθεματιζέσθω·

β̄ εἴ τις λέγει ἄψυχον ἢ ἀνόητον τὸ σῶμα τοῦ Χριστοῦ καὶ μὴ ὁμολογεῖ αὐτὸν τέλειον κατὰ πάντα, ἕνα καὶ τὸν αὐτόν, καθὼς γέγραπται, ἀναθεματιζέσθω·

γ̄ εἴ τις λέγει μέρος ἀνθρώπου ἀνειληφέναι τὸν Χριστὸν καὶ μὴ ὁμολογεῖ αὐτὸν καθ'
Hebr. 4, 15 ὁμοιότητα [ἡμῶν] κατὰ πάντα χωρὶς ἁμαρτίας, καθὼς γέγραπται, ἀναθεματιζέσθω·

δ̄ εἴ τις λέγει τρεπτὸν ἢ ἀλλοιωτὸν τὸν Χριστὸν καὶ μὴ ὁμολογεῖ αὐτὸν ἄτρεπτον τῶι πνεύματι, ἄφθαρτον τῆι σαρκί, καθὼς γέγραπται, ἀναθεματιζέσθω·

ε̄ εἴ τις λέγει ἄνθρωπον [τέλειον] τὸν Χριστὸν διαιρετῶς καὶ θεὸν τὸν λόγον διαιρετῶς καὶ μὴ ὁμολογεῖ ἕνα κύριον Ἰησοῦν Χριστόν, καθὼς γέγραπται, ἀναθεματιζέσθω·

10—19 Timotheus arm. p. 189 [Tarm] = Anecd. syr. ed. Land 3, 153 [Tan] 16/17 Dialogus orthodoxi et Seueriani quem edidit Bonwetsch, Nachr. d. Gött. Ges. d. Wiss. 1909, 143: ὁ . . . θαυματουργὸς Γρηγόριος ἐν τοῖς αὐτοῦ ἀναθεματισμοῖς φησιν ὅτι εἴ τις οὐ λέγει τὸν Χριστὸν ἄτρεπτον μὲν τῶι πνεύματι, ἄφθαρτον δὲ τῆι σαρκί, ἀνάθεμα ἔστω

YZVbIΛpΣ

1 ἀρκέσει δὲ bIΣ ἀρκεῖ δέ Y ἀλλ' ἀρκέσει Z ἀλλ' ἀρκέσειν VΛp καὶ om. YI ταυτὶ I subscr. litteras secretas quibus superscripsit τελοσ τησ φιλονεικίασ Z τέλοσ τῶν παρὰ τοῦ ἁγίου κυρίλλου ἐκτεθέντων ιβ̄ κεφαλαίων, ὅτε ὁ δυσσεβὴσ καθηρέθη νεστόριοσ, τῶν καὶ παρ' αὐτοῦ τοῦ ἁγίου κυρίλλου καὶ ἑτέρων ὀρθοδόξων ἀναθεματισθέντων καὶ ἀναθεματιζομένων, τῆς ὑπὲρ τῶν τοιούτων κεφαλαίων ἀνατροπῆσ τοῦ θεοδωρήτου καὶ τῆσ πρὸσ τὰ παρὰ τοῦ θεοδωρήτου γραφέντα ἀπολογίασ τοῦ ἁγίου κυρίλλου: V

VRB, Σ [= Timotheus syriace editus a Lagardio in Anal. syr. p. 65 sq. et Pitra in Anal. sacr. 4, 95 sq.]

ρ̄ο̄ V 4 τοῦ — νεοκαισαρείασ V τοῦ ἐν ἁγίοισ γρηγορίου τοῦ θαυματουργοῦ B τοῦ αὐτοῦ μεγάλου γρηγορίου R τοῦ αὐτοῦ Σ 4/5 περὶ — σαρκώσεωσ R ἐκ τοῦ λόγου περὶ τῆσ σαρκώσεωσ καὶ πίστεωσ Σ κεφάλαια περὶ πίστεωσ ἐν οἷσ καὶ ἀναθεματισμὸσ κεῖται ὑπ' αὐτοῦ V περὶ τῆσ ἐνανθρωπήσεωσ τοῦ θῡ̄ λόγου πίστισ ἐκτεθεῖσα ἐν κεφαλαίοισ ιβ̄ καὶ ἑρμηνευθεῖσα B 6—9 θεοῦ — φανερώσαντος om. Σ 6 τὸ πῶσ R ὅπωσ VB 7 προμηνύοντοσ καὶ B 7/8 προμαρτυρουμένων V διαμαρτυρομένων καὶ B 8 καὶ αὐτοῦ B διδάξαντος om. B ἑαυτὸν R ἑαυτὸν ἡμῖν B αὐτοῦ V

ordinem capitulorum exhibui secundum RBΣ; explicationum secundum RΣ; singulas explicationes singulis capitibus subiungunt VB; totum ordinem inuertit V 10 ᾱ RBΣ ιβ̄ V τὸν χ̄ν̄ δοκήσει πεφανερῶσθαι B 11 ἐν σαρκὶ om. V ἐν om. B ὡσ γέγραπται R om. V ἀνάθεμα ἔστω B 12 β̄ RBΣ ιᾱ V ἄνουν B χ̄ῡ RBΣTarmTan κ̄ῡ V αὐτὸ B 13 πάντα RBΣTarm ἄνθρωπον V καθὼς γέγραπται om. V 14 γ̄ RBΣ ῑ V εἰληφέναι B 15 ἡμῶν VΣTan om. RBTarm κατὰ om. B καθὼς γέγραπται om. V ἀνάθεμα ἔστω B 16 δ̄ RBΣ θ̄ V οὐχ B 17 ἄφθαρτον RBΣTarmTan φθαρτὸν V τῶ σώματι B καθὼς γέγραπται om. V ἀνάθεμα ἔστω B 18 ε̄ RBΣ η̄ V ἄνθρωπον Σ ἄνθρωπον τέλειον RBTarmTan τέλειον ἄνθρωπον V καὶ θεὸν — διαιρετῶς om. VTan 19 ῑ̄ν̄ χ̄ν̄ θ̄ν̄ σεσαρκωμένον B om. V

ϛ εἴ τις λέγει σωιζόμενον τὸν Χριστὸν καὶ μὴ ὁμολογεῖ αὐτὸν σωτῆρα τοῦ κόσμου καὶ φῶς τοῦ κόσμου, καθὼς γέγραπται, ἀναθεματιζέσθω·

ζ εἴ τις λέγει· ἄλλος ὁ παθὼν καὶ ἄλλος ὁ μὴ παθών, καὶ μὴ ὁμολογεῖ αὐτὸν τὸν ἀπαθῆ θεὸν λόγον σαρκὶ ἰδίαι παθόντα ἀτρέπτως, καθὼς γέγραπται, ἀναθεματιζέσθω·

η εἴ τις λέγει· ἄλλος ὁ πρὸ αἰώνων υἱὸς τοῦ θεοῦ καὶ ἄλλος ὁ ἐπ' ἐσχάτων, καὶ μὴ ὁμολογεῖ αὐτὸν τὸν προαιώνιον τὸν αὐτὸν ἐπ' ἐσχάτων, καθὼς γέγραπται, ἀναθεματιζέσθω·

θ εἴ τις λέγει ἐκ σπέρματος ἀνδρὸς γεγεννῆσθαι τὸν Χριστὸν [ἐκ παρθένου] ὡς πάντες ἄνθρωποι, καὶ μὴ ὁμολογεῖ αὐτὸν ἐκ πνεύματος ἁγίου καὶ τῆς ἁγίας παρθένου σαρκωθέντα καὶ ἐνανθρωπήσαντα ἐκ σπέρματος Δαυίδ, καθὼς γέγραπται, ἀναθεματιζέσθω·

ι εἴ τις λέγει ἄνθρωπον τέλειον ἀνειληφέναι τὸν Χριστὸν ὡς ἕνα τῶν προφητῶν καὶ μὴ ὁμολογεῖ αὐτὸν σαρκώσει τῇι ἐκ παρθένου γενόμενον ἄνθρωπον τὸν ἐν Βηθλεὲμ τεχθέντα καὶ ἐν Ναζαρὲτ ἀνατραφέντα καὶ προκοπὴν ἡλικίας ἐπιδειξάμενον καὶ χρόνων ἀρίθμησιν ποιησάμενον ἐν Ἰορδάνηι βαπτισθέντα καὶ ὑπὸ τοῦ πατρὸς μαρτυρηθέντα οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, καθὼς γέγραπται, ἀναθεματιζέσθω· Mt. 3, 17

ια εἴ τις λέγει τὴν σάρκα τοῦ Χριστοῦ ὁμοούσιον τῆς θεότητος καὶ μὴ ὁμολογεῖ αὐτὸν ἐν μορφῇι θεοῦ ὑπάρχοντα θεὸν προαιώνιον καὶ ἑαυτὸν κενώσαντα καὶ λαβόντα δούλου μορφήν, καθὼς γέγραπται, ἀναθεματιζέσθω·

ιβ εἴ τις λέγει ἄκτιστον τὸ σῶμα τοῦ Χριστοῦ καὶ μὴ ὁμολογεῖ αὐτὸν τὸν ἄκτιστον θεὸν λόγον ἐκ τῆς κτιστῆς ἀνθρωπότητος τὴν σάρκωσιν καὶ τὴν ἐνανθρώπησιν ἐπιδεξάμενον, καθὼς γέγραπται, ἀναθεματιζέσθω.

ιβ Πῶς γὰρ ἂν ἄκτιστον λέγοιτο τὸ σῶμα; τὸ γὰρ ἄκτιστον ἀπαθὲς ἄτρωτον ἀψηλάφητον, Χριστὸς δὲ ἐκ νεκρῶν ἀναστὰς τύπον ἥλων καὶ νύξιν λόγχης καὶ ψηλάφησιν σώματος ἐπεδείκνυτο τοῖς μαθηταῖς, καίτοι τῶν θυρῶν κεκλεισμένων εἰσελθών, ἀλλ' ἵνα δείξηι καὶ τῆς θεότητος τὴν ἐνέργειαν καὶ τοῦ σώματος τὴν ἀλήθειαν [, ὅτι θεὸς ὢν ἄνθρωπος ἐγνωρίζετο φυσικῶς καὶ ἄνθρωπος γενόμενος ἀληθῶς θεὸς τοῖς ἔργοις ἐφαίνετο].

3—10. 16—p. 148, 2 Tarm p. 190. 191 = Tan 3, 153; 3/4 Tarm p. 141; 5—7 p. 60; 19—p. 148, 2 Tim. syr. f. 31r

---

VRBΣ

1 ϛ RBΣ ζ V 1/2 καὶ²—κόσμου om. V 3 ζ RBΣ ϛ V αὐτὸν om. V 4 θεὸν VΣTarm om. RB σαρκὶ — ἀτρέπτωσ [ἀτρέπτως om. TarmTan] RBΣTarmTan καὶ ἄτρεπτον σαρκὶ ἰδία παθόντα V ἀνάθεμα ἔστω VB 5 η RBΣ ε V τοῦ om. V 6 τὸν om. R προαιώνων VB αὐτὸν R τὸν Rcorr αὐτὸν καὶ B καθὼς γέγραπται om. V 6/7 ἀνάθεμα ἔστω V 8 θ RBΣ δ V ἐκ παρθένου om. BΣTarmTan καθὼσ B πάντεσ οἱ B 9 πνεύματος ἁγίου καὶ om. R μαρίασ τῆσ VTan 10 ἀνάθεμα ἔστω V 11 ι RBΣ γ V Χριστὸν] θν̄ λόγον B 12 τῇ σαρκώσει τῇ V γεγενημένον V 13 ἐπιδειξάμενον ἡλικίασ B ἐπιδεξάμενον Σ om. V 14 ποιησάμενον VBΣ ἐπιδεξάμενον R τοῦ om. B 15 ὁ ἀγαπητὸσ ἐν ὢ εὐδόκησα B om. R ἀνάθεμα ἔστω V 16 ια RBΣ β V λέγει om. R κῡ B αὐτὸν τὸν B 17 πρὸ αἰώνων B καὶ¹ om. B 18 ἀνάθεμα ἔστω V 19 ιβ RBΣ α V 19/20 τὸν — λόγον om. Tarm 19 θν̄ RBΣTarmTan τοῦ θῦ V 20 ἐπιδεξάμενον ΣTarmTan ἐπιδειξάμενον RVB 21 ἀνάθεμα ἔστω V

22 ιβ erasum R α V γὰρ ἂν [ἂν om. R] RBΣTarm δ' ἂν V ἄκτιστον λέγοιτο [λέγοιτο ἄκτιστον V] τὸ [om. R] σῶμα VRΣ λέγοι τίσ τὸ σῶμα τοῦ χῦ ἄκτιστον B 23 λόγχησ νύξιν B 23/24 σώματοσ ψηλάφησιν B ψηλάφησιν σώματι R 24 ἀλλ' om. ΣTan 25—27 ὅτι — ἐφαίνετο om. RΣTarmTan 25 ὅτι B καίτοι V 26 γενόμενοσ B ὑπάρχων V 127 post ἐφαίνετο secuntur in B p. 150, 15 ἐπὶ ταύτη — p. 151, 3

ια Πῶς δὲ ἡ μετὰ χρόνον σὰρξ ὁμοούσιος ἂν λέγοιτο τῆς ἀχρόνου θεότητος; ὁμοούσιον γὰρ λέγεται τὸ ταυτὸν τῇι φύσει καὶ τῇι ἀιδιότητι ἀπαραλλάκτως.

ι Πῶς δ' ἂν λέγοι τις ἄνθρωπον τέλειον ἀνειληφέναι τὸν κύριον ὡς ἕνα τῶν προφητῶν,
1 Cor. 15, 47 αὐτοῦ τοῦ κυρίου ἀνθρώπου γενομένου τῇι ἐκ παρθένου σαρκώσει; διὸ γέγραπται ὅτι
ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοικός, ἐπειδὴ δὲ ἐκ γῆς πλασθεὶς εἰς γῆν ἀπελή-
1 Cor. 15, 45 λυθεν, ὁ δεύτερος ἄνθρωπος εἰς οὐρανοὺς ἀνελήλυθεν. καὶ λέγεται ὁ πρῶτος Ἀδὰμ
καὶ ὁ ἔσχατος Ἀδάμ, καὶ ὥσπερ ὡμολόγηται ὅτι ὁ δεύτερος ἐκ τοῦ πρώτου τὸ κατὰ
σάρκα, διὸ καὶ ἄνθρωπος καὶ υἱὸς ἀνθρώπου Χριστός, οὕτως μεμαρτύρηται ὅτι ὁ δεύ-
τερος τοῦ πρώτου σωτήρ, διότι κατελήλυθεν ἐξ οὐρανοῦ. ἐπειδὴ δὲ ἐξ οὐρανοῦ κα-
1 Cor. 15, 47 ταβὰς ὁ λόγος καὶ ἄνθρωπος γενόμενος εἰς οὐρανοὺς ἀνελήλυθεν, διὰ τοῦτο λέγεται ἐξ
οὐρανοῦ ὁ δεύτερος Ἀδάμ.

θ Πῶς δ' ἂν λέγοι τις ἐκ σπέρματος ἀνδρὸς γεγεννῆσθαι τὸν Χριστὸν ἐκ παρθένου,
Lc. 1, 34. 35 τοῦ ἁγίου ἀγγέλου [καὶ τοῦ] εὐαγγελισαμένου τὴν Μαριάμ [τῆς παρθένου εἰρηκυίας πῶς
ἔσται μοι τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω; δι' ὃ λέγει] πνεῦμα ἅγιον ἐπε-
λεύσεται ἐπὶ σὲ καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι· δι' ὃ καὶ τὸ γεν-
νώμενον ἐκ σοῦ ἅγιον κληθήσεται υἱὸς ὑψίστου. καὶ τῶι Ἰωσὴφ λέγει·
Mt. 1, 20. 21. μὴ φοβηθῆις παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου· τὸ γὰρ ἐν αὐτῇι
23 γεννηθὲν ἐκ πνεύματός ἐστιν ἁγίου. τέξεται δὲ υἱὸν καὶ καλέσουσι
τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ, ὅ ἐστι μεθερμηνευόμενον μεθ' ἡμῶν
ὁ θεός.

η Πῶς δ' ἂν λέγοιτο ἄλλος ὁ πρὸ αἰώνων τοῦ θεοῦ υἱὸς καὶ ἄλλος ὁ ἐπ' ἐσχά-
Ioh. 8, 58 των, αὐτοῦ τοῦ κυρίου λέγοντος πρὸ τοῦ Ἀβραὰμ γενέσθαι ἐγὼ εἰμὶ καὶ
Ioh. 8, 42 ἐκ τοῦ πατρὸς ἐξῆλθον καὶ ἥκω καὶ πάλιν πορεύομαι πρὸς τὸν πα-
Ioh. 14, 12 τέρα μου;

ζ Πῶς δ' ἂν λέγοιτο ἄλλος ὁ παθὼν καὶ ἄλλος ὁ μὴ παθών, αὐτοῦ τοῦ κυρίου λέ-
Mc. 8, 31 γοντος δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου πολλὰ παθεῖν καὶ ἀποκτανθῆναι καὶ
cf. Mt. 19, 28 τῇι τρίτηι ἡμέραι ἐκ νεκρῶν ἀναστῆναι καὶ ὅταν ἴδητε τὸν υἱὸν τοῦ ἀνθρώπου
Mc. 8, 38 καθήμενον ἐν δεξιᾶι τοῦ πατρός, καὶ ὅταν ἔλθηι ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇι δόξηι
τοῦ πατρὸς αὐτοῦ;

3—4 σαρκώσει Tarm p. 87

VRB, Σ [usque ad 2; post 2 add. Tan [p. 154, 5—13] quae a ceteris testibus aliena sunt]

1 ια erasum R β̄ V γὰρ B 1/2 θεότητος — φύσει om. V 1 ἀχράντου B ὁμοούσιος R 2 ἰδιότητι Tan ἀπαράλλακτος V 3 ι erasum R γ̄ V δ' ἂν R γὰρ ἂν B om. V λέγοι τις B λέγοιτο RTarm λέγει V κν̄ RB χ̄ν̄ V 4 ὅτι om. VB 5 δὲ om. B δὲ ὁ V 6 ὁ δὲ B ἄνθρωπος R ἄνθρωπος γενόμενος V ἄνθρωπος ἐξ οὐρανοῦ ὁ καταβὰς λόγος καὶ ἄνθρωπος γενόμενος B ὁ om. V 7 ὁμολογεῖται V ἐκ τοῦ πρώτου ὁ δεύτερος VB 8 οὕτω καὶ V 9 διότι B δι ὃν R διὸ V 9/10 ἐπειδὴ — καταβὰς om. B 9 δὲ om. R 10 τοὺς οὐρανοὺς V διὰ τοῦτο VB καὶ R 10/11 ἐξ οὐρανοῦ om. B ἀνος̄ B 12 θ erasum R δ̄ V δ' [om. B] ἂν λέγοι τις RB γὰρ λέγοιτο V ἐκ παρθένου om. B 13 ἀγγέλου V εὐαγγελίου καὶ τοῦ RB μαρίαν R ἁγίαν μαρίαν καὶ B 13/14 τῆς — εἰρηκυίας [εἰρηκυιῆς πῶς ἔσται μοι τοῦτο ἐπεὶ R] ἄνδρα οὐ γινώσκω διὸ λέγει RB εἰπόντος V 16 ὑψίστου R θῦ B θῦ προειρήκει γὰρ ἡ ἁγία παρθένος πῶς ἔσται μοι τοῦτο ἐπεὶ ἄνδρα οὐ γινώσκω V 19/20 ἐμμανουήλ — θσ̄ RB ἵν̄ αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν V 21 ε̄ V δ'] γὰρ B λέγοιτό τις V υἱὸς τοῦ θῦ B 22 λέγοντος ἀμὴν ἀμὴν λέγω ὑμῖν B πρὸ τοῦ R πρὶν VB 23 ὅτι ἐκ VB 24 μου om. B 25 ζ̄ V δ'] γὰρ B λέγοι τίς V 25/26 λέγοντος τοῦ κῦ B 26 ἀποκτανθῆναι VR ἀποδοκιμασθῆναι B 27 ἀναστῆναι ἐκ νεκρῶν V 28 ἐκ δεξιῶν B

ϛ Πῶς δ' ἂν λέγοι τις σωιζόμενον τὸν Χριστόν, αὐτοῦ τοῦ κυρίου λέγοντος ἐγὼ Ioh. 11, 25
εἰμὶ ἡ ζωή, κἀγὼ ἐλήλυθα, ἵνα ζωὴν ἔχωσιν καὶ ὁ πιστεύων εἰς ἐμὲ θάνατον Ioh. 10, 10
οὐ μὴ θεωρήσηι, ἀλλ' ὄψεται τὴν ζωὴν τὴν αἰώνιον; cf. Ioh. 8, 51

ε Πῶς δ' ἂν λέγοι τις ἄνθρωπον τέλειον τὸν Χριστὸν διαιρετῶς καὶ θεὸν λόγον διαιρετῶς, αὐτοῦ τοῦ κυρίου λέγοντος τί ζητεῖτέ με ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν 5 Ioh. 8, 40
ἀλήθειαν ὑμῖν λελάληκα ἣν ἤκουσα παρὰ τοῦ πατρός; οὐ γὰρ ἄνθρωπον ἔδωκεν ὑπὲρ ἡμῶν, ἀλλ' ἑαυτὸν παρέδωκεν ὑπὲρ ἡμῶν ὁ θεὸς λόγος ἄνθρωπος γενόμενος δι' ἡμᾶς, δι' ὃ λέγει· λύσατε τὸν ναὸν τοῦτον καὶ ἐν τρισὶν ἡμέραις Ioh. 2, 19. 21
ἐγερῶ αὐτόν. αὐτὸς δὲ ἔλεγεν περὶ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ.

δ Πῶς δ' ἂν λέγοι τις τρεπτὸν ἢ ἀλλοιωτὸν τὸν Χριστόν, αὐτοῦ τοῦ κυρίου λέγοντος 10
ἐγὼ εἰμὶ καὶ οὐκ ἠλλοίωμαι καὶ πάλιν οὔτε ἡ ψυχὴ αὐτοῦ ἐγκατελήφθη εἰς Mal. 3, 6
ἅιδην οὔτε ἡ σὰρξ αὐτοῦ εἶδεν διαφθοράν; Act. 2, 31

γ Πῶς δ' ἂν λέγοι τις μέρος ἀνθρώπου ἀνειληφέναι τὸν Χριστόν, αὐτοῦ τοῦ κυρίου
λέγοντος τὴν ψυχήν μου τίθημι, ἵνα πάλιν λάβω αὐτήν, καὶ ἡ σάρξ μου ἀληθής Ioh. 10, 18
ἐστιν βρῶσις καὶ τὸ αἷμά μου ἀληθής ἐστι πόσις, καὶ ὁ τρώγων μου τὴν Ioh. 6, 55
σάρκα καὶ πίνων μου τὸ αἷμα ἔχει ζωὴν αἰώνιον; Ioh. 6, 54
16

β Πῶς δ' ἂν λέγοιτο ἄψυχον ἢ ἀνόητον τὸ σῶμα τοῦ Χριστοῦ; ταραχὴ γὰρ καὶ λύπη
καὶ ἀδημονία οὔτε σαρκὸς ἀψύχου οὔτε ψυχῆς ἀνοήτου οὔτε θεότητος ἀτρέπτου οὔτε
δοκήσεως ἔνδειξις οὔτε ἀνθρωπίνης ἀσθενείας ἥττημα, ἀλλὰ τῶν καθ' ἡμᾶς παθῶν τὴν
ἐπίδειξιν ἐν ἑαυτῶι ἐποιεῖτο ὁ λόγος καταδεξάμενος τὸ παθητικόν, καθὼς γέγραπται ὅτι 20
αὐτὸς τὰς ἀσθενείας ἡμῶν ἀνέλαβεν καὶ τὰς νόσους ἐβάστασεν. ται- Mt. 8, 17
ραχὴ γὰρ καὶ λύπη καὶ ἀδημονία ψυχῆς νοσήματα, κόπος δὲ καὶ ὕπνος καὶ τρῶσις σώματος σαρκὸς ἀσθενήματα.

α Πῶς δ' ἂν λέγοι τις δοκήσει πεφανερῶσθαι τὸν Χριστὸν τῶι κόσμωι τὸν ἐν Βηθλεὲμ
τεχθέντα καὶ περιτομῆι σαρκὸς προσαγόμενον καὶ ὑπὸ τοῦ Συμεῶνος βασταχθέντα καὶ 25
δωδεκαετῆ ἀνατραφέντα καὶ τοῖς γονεῦσιν ὑποταγέντα καὶ ἐν Ἰορδάνηι βαπτισθέντα καὶ
σταυρῶι προσηλωθέντα καὶ ἐκ νεκρῶν ἀναστάντα; δι' ὃ κἂν λέγηται· ἐταράχθη τῶι
πνεύματι, ἐλυπήθη τῆι ψυχῆι, ἐτρώθη τῶι σώματι, τὰς κατὰ τὴν ἡμετέραν σύστασιν τῶν
παθῶν προσηγορίας παριστῶν καὶ ἵνα δείξηι ὅτι καὶ ἄνθρωπος ἐγεννήθη ἐν κόσμωι καὶ
τοῖς ἀνθρώποις συνανεστράφη καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας. ἐγεννήθη γὰρ ἐν 30
Βηθλεὲμ θεοπρεπῶς κατὰ σάρκα, ἀγγέλων οὐρανίων ἐπεγνωκότων τὸν ἑαυτῶν ποιητὴν καὶ

VRB, Σ [inde a 17]

1 ζ̄ V δ'] γὰρ B λέγοντοσ τοῦ κῦ B 3 αἰώνιον καὶ οὐ μὴ ἀπόληται εἰσ τὸν αἰῶνα B 4 η̄ V δ'] γὰρ B διαιρετῶς om. V θν̄ τὸν λόγον V 5 με ζητεῖτε VB 6 οὐδὲ B 7 δέδωκεν R ὑπὲρ ἡμῶν om. B 7/8 ὁ θεὸς — ἡμᾶς om. R 9 δὲ] γὰρ B τοῦ σώματοσ τοῦ ναοῦ V 10 θ̄ V γὰρ ἄν τισ λέγοι B λέγει VR, corr. R αὐτοῦ om. B 11 ὅτι οὔτε B ἐγκατελείφθη VB 12 ἅδου V 13 ῑ V λέγοιτό V μέροσ RB τρεπτὸν ἢ ἀλλοιωτὸν ἢ μέροσ V 14 ἵνα — αὐτὴν R ὑπὲρ τῶν προβάτων VB καὶ] καὶ ὅτι B 15 τὸ αἷμά — ἐστι om. R 17 ιᾱ V δ'] γὰρ B λέγοιτο RBΣ λέγοι τισ V χῦ RBΣ κῦ V 20 ὁ λόγοσ ἐν ἑαυτῶ ἐποιήσατο B παθητικὸν πάθοσ V 21 ἀνέλαβε τὰσ ἀσθενείασ ἡμῶν B ἔλαβε V 22 ὕπνοσ VBΣ πόνοσ R τρῶσεισ V 24 ιβ̄ V δ'] γὰρ B τὸν χν̄ δοκήσει πεφανερῶσθαι B τὸν[1] om. V 25 συμεὼν V 26 δωδεκαετῆ — ὑποταγέντα καὶ om. R τοῖς om. B ὑποτασσόμενον B 27 ἐν σταυρῶ V κἂν om. B λέγηται RΣ λέγεται ὅτι B.om. V 28 καὶ ἐλυπήθη B 29 παριστῶν B ἵστησι V om. R 30 συνανεστράφη καθ' ὁμοιότητα [καθ' ὁμοιότητα om. B] χωρὶσ ἁμαρτίασ RB συνανεστράφη — ἁμαρτίας καὶ ὅτι ἐν ἅιδηι ἐωράθη καὶ τοῖς ἐκεῖ ἐφανερώθη καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας Σ ἐφανερώθη καθ' ὁμοιότητα χωρὶσ ἀσθενείασ V 31 ἐπουρανίων V αὐτῶν V ποιητὴν RΣ δεσπότην VB

Lc. 2, 14 ἀνυμνούντων τὸν ἐν φάτνῃ σπαργανωθέντα καὶ λεγόντων δόξα ἐν ὑψίστοις θεῷ καὶ ἐπὶ γῆς εἰρήνη· ἐν Ναζαρὲτ ἀνετράφη θεοφανῶς, ἐν μέσῳ τῶν διδασκάλων καθεζόμενος καὶ ἐκπλήττων αὐτοὺς τῇ σοφίαι παρὰ καιρὸν ἡλικίας τῆς κατὰ τὸ σῶμα, ὡς ἀπαριθμεῖται ὁ εὐαγγελικὸς λόγος· ἐν Ἰορδάνῃ ἐβαπτίσθη, οὐχ ἁγιασμοῦ πρὸς λῆψιν προσαγόμενος, ἀλλ' ἁγιασμοῦ μετοχὴν χαριζόμενος· ἐν τῇ ἐρήμῳ ἐπειράσθη, οὐ πειρασμῷ ὑποκείμενος, ἀλλὰ τοὺς ἡμετέρους πειρασμοὺς ἐν τῇ προσκλήσει τοῦ πειράζοντος προβαλ-
Ioh. 16, 33 λόμενος, ἵνα μάταιον δείξῃ τὸν πειράζοντα, δι' ὃ λέγει θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον, οὐ θεικὴν πάλην προβαλλόμενος, ἀλλὰ τὴν ἰδίαν σάρκα νικητήριον πάθους καὶ θανάτου καὶ φθορᾶς ἐπιδεικνύμενος, ἵνα δι' ἧς σαρκὸς ἡ ἁμαρτία εἰσῆλθεν εἰς τὸν κόσμον καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος ἐβασίλευσεν πάντων ἀνθρώπων, διὰ τῆς αὐτῆς σαρκὸς καθ' ὁμοιότητα κατακριθῇ ἡ ἁμαρτία ἐν τῇ σαρκὶ καὶ νικηθῇ ὁ τῆς ἁμαρτίας ἔφορος ὁ πειράζων καὶ καταλυθῇ ὁ θάνατος τοῦ μηκέτι βασιλεύειν καὶ καταργηθῇ ἡ φθορὰ ἐν ταφῇ τοῦ σώματος καὶ ἀπαρχὴ ἀναστάσεως ἀναδειχθῇ καὶ ἀρχὴ δικαιοσύνης ἐν κόσμῳ πολιτεύσηται διὰ τῆς πίστεως καὶ βασιλεία οὐρανῶν ἐν ἀνθρώποις εὐαγγελισθῇ καὶ θεοῦ πρὸς ἀνθρώπους γένηται κοινωνία. ἐπὶ ταύτῃ τῇ χάριτι δοξάσωμεν τὸν πατέρα τὸν δεδωκότα τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς· δοξάσωμεν τὸν υἱὸν τὸν δεδωκότα ἑαυτὸν ὑπὲρ τῆς ἡμετέρας σωτηρίας· δοξάσωμεν τὸ πνεῦμα τὸ ἅγιον τὸ ἐνεργοῦν, τὸ ζωοποιοῦν ἡμᾶς, τὸ παρέχον χαρίσματα πρὸς θεοῦ κοινωνίαν καὶ μὴ περιεργασώμεθα τὸν εὐαγγελικὸν λόγον λέξεσι περιξήροις, ἀπεράντους ζητήσεις καὶ λογομαχίας περισπείροντες καὶ τὸν λεῖον καὶ εὐθύτατον λόγον τῆς πίστεως τραχοῦντες, ἀλλὰ μᾶλλον ἐργασώμεθα τὸ ἔργον τῆς πίστεως, τὴν εἰρήνην ἀγαπήσωμεν, τὴν ὁμόνοιαν ἐπιδειξώμεθα, τὴν ἑνότητα φυλάξωμεν, τὴν ἀγάπην γεωργήσωμεν, δι' ἧς εὐαρεστεῖται θεός.
Act. 1, 7 ὥσπερ οὐχ ἡμῶν ἐστιν γνῶναι χρόνους ἢ καιροὺς οὓς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίαι ἐξουσίαι, πιστεῦσαι δὲ δεῖ ὅτι καὶ χρόνου ἔσται τέλος καὶ μέλλοντος αἰῶνος ἔσται φανέρωσις καὶ κρίσεως ἀποκάλυψις καὶ τοῦ υἱοῦ τοῦ θεοῦ παρουσία καὶ ἔργων ἀνταπόδοσις καὶ βασιλείας οὐρανῶν κληρονομία, οὕτως οὐχ ἡμῶν ἐστιν γνῶναι τὸ πῶς ὁ υἱὸς τοῦ θεοῦ
Ies. 53, 8 ἄνθρωπος γέγονεν (τὸ γὰρ μυστήριον τοῦτο μέγα ἐστίν, καθὼς γέγραπται ὅτι τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ), ἀλλὰ πιστεῦσαι
Bar. 3, 38 ὅτι ὁ υἱὸς τοῦ θεοῦ ἐγένετο ἄνθρωπος κατὰ τὰς γραφὰς καὶ ὅτι ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη κατὰ τὰς γραφὰς καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας καὶ ὅτι ἀπέθανεν ὑπὲρ ἡμῶν καὶ ἀνέστη ἐκ νεκρῶν, καθὼς γέγραπται, καὶ ὅτι εἰς οὐρανοὺς ἀνελήλυθεν καὶ ἐκάθισεν ἐν δεξιᾷ τοῦ πατρός, ὅθεν ἥξει κρῖναι ζῶντας καὶ νεκρούς, καθὼς

VR, B [cf. ad p. 147, 27], Σ [usque ad 2 εἰρήνη et 12 καὶ καταλυθῇ — 13 ἀναδειχθῇ]

1 ὑμνούντων B σπαργανωθέντα θῡ V 2 εἰρήνη ἐν ἀνθρώποισ εὐδοκία [εὐδοκία τούτεστι καταλλαγὴ B] VB ἐμμέσῳ R τῶν om. VB 3 τὸ om. V 3/4 ὡσ ἀπαριθμεῖται VB ἀπαρίθμειται ὡσ R 4 πρόσληψιν ἁγιασμοῦ B προσλήψει V 5 μετοχὴν ἁγιασμοῦ B 6 πειρασμοὺς om. V τῇ om. B 6/7 προσλαβόμενοσ B 7 δείξῃ μάταιον V 8 πάλην θεικὴν B 11 ἐν — νικηθῇ] καὶ νικηθῇ ἐν σαρκὶ B 11/12 ὁ πειράζων om. B 12 καὶ ὁ θάνατοσ καταργηθῇ τοῦ B μὴ V καταργηθῇ ἡ φθορὰ VΣ καταλυθῇ ἡ φρορὰ R ἡ φθορὰ καταλυθῇ B 13 τῇ τοῦ σώματοσ ταφῇ V ἀναστάσεωσ δειχθῇ V δειχθῇ ἀναστάσεωσ B τῷ κόσμῳ V 14 πολιτεύεται B τῆς om. B ἐν om. VB 15 δοξάσομεν B 16 μονογεννῆ B 16/17 δεξάσωμεν — σωτηρίας om. V 17 αὐτὸν VR ἡμετέρας] τοῦ κόσμου B 18 τὰ χαρίσματα V 19 περιεργαζώμεθα — λόγον R τὸν — λόγον μὴ περιεργασώμεθα B 19/20 καὶ ἀπεράντοισ ζητήσεσι καὶ λογομαχίαισ ζιζάνια σπείροντεσ B 20 σπείροντεσ V τραχύνοντεσ VB 21 ἐργαζώμεθα R 22 εὐχαριστεῖται R 23 ὥσπερ γὰρ B τὸ γνῶναι V ἢ] καὶ B 24 δεῖ om. V καὶ[1] om. VB τέλοσ ἔσται B ἔσται om. VB 25 καὶ[2] om. V 26 οὐρανῶν βασιλείασ VB ἐστιν om. V 27 γέγονεν ἄνθρωποσ V ὅτι om. B 28 πιστεῦσαι δεῖ V 29 ὁ RB ἀληθῶσ V ἐγένετο R ἀληθῶσ γέγονεν B ἀληθῶσ ἐγεννήθη κατὰ σάρκα V 29—31 ἐπὶ — ὅτι[1] om. B 30 καθ' — ἁμαρτίασ κατὰ τὰσ γραφὰσ V 31 ὑπὲρ ἡμῶν ἀπέθανε B 32 ζῶντασ κρῖναι B 32 — p. 151, 1 κατὰ τὰσ γραφὰσ B

γέγραπται, μήποτε ἡμῶν λογομαχούντων πρὸς ἀλλήλους βλασφημήσωσί τινες τὸν τῆς πίστεως λόγον καὶ ἐπέλθῃ τὸ εἰρημένον· δι' ἡμᾶς διὰ παντὸς τὸ ὄνομα τοῦ θεοῦ Rom. 2, 24
βλασφημεῖται ἐν τοῖς ἔθνεσιν. δόξα σοι, Χριστὲ βασιλεῦ.

171 = A 135. Latinae uersiones extant duae, altera in Collectione Casinensi 305, altera Dionysii exigui in Sichardiana 8

Ὑπομνηστικὸν τοῦ θεοφιλεστάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου Κυρίλλου πρὸς τὸν μακαριώτατον Σούκενσον ἐπίσκοπον τῆς Διοκαισαρέων κατὰ τὴν Ἰσαύρων ἐπαρχίαν

1 Ἐνέτυχον μὲν τῷι ὑπομνηστικῷι τῷι παρὰ τῆς σῆς ὁσιότητος ἀποσταλέντι, ἥσθην PG 77, 228
δὲ ἄγαν ὅτι καίτοι δυνάμενος ἡμᾶς τε καὶ ἑτέρους ὠφελεῖν ἐκ πολλῆς φιλομαθείας προ- [ep. 45] PG 229
τρέπειν ἀξιοῖς, ἃ εἰς νοῦν ἔχομεν καὶ εὖ ἔχειν ὑπειλήφαμεν, ταῦτα καὶ γράψαι. φρο-
νοῦμεν τοίνυν περὶ τῆς τοῦ σωτῆρος ἡμῶν οἰκονομίας ἃ καὶ οἱ πρὸ ἡμῶν ἅγιοι πατέρες· ἀναγνόντες γὰρ τοὺς ἐκείνων πόνους τὸν ἑαυτῶν νοῦν καταρυθμίζομεν, ὥστε κατόπιν αὐ-
2 τῶν ἰέναι καὶ μηδὲν τῇι τῶν δογμάτων ὀρθότητι καινὸν ἐπεισφρῆσαι. ἐπειδὴ δὲ ἡ σὴ τελειότης διαπυνθάνεται, πότερόν ποτε χρὴ λέγειν ἐπὶ Χριστοῦ δύο φύσεις ἢ μή, δεῖν ὠιήθην πρὸς τοῦτο εἰπεῖν. Διόδωρός τις, πνευματομάχος ὢν κατὰ καιρούς, ὥς φασι, κεκοι-
νώνηκε τῇι τῶν ὀρθοδόξων ἐκκλησίαι· οὗτος ἀποθέμενος, ὥσπερ οὖν ἐνόμισεν, τὸν τῆς Μακεδονιανῆς αἱρέσεως σπίλον, εἰς ἑτέραν ἐμπέπτωκεν ἀρρωστίαν. πεφρόνηκε γὰρ καὶ γέγραφεν ὅτι ἕτερος μὲν υἱὸς κατ' ἰδίαν ἐστὶν ὁ ἐκ σπέρματος Δαυὶδ γεννηθεὶς ἐκ τῆς ἁγίας παρθένου, ἕτερος δὲ πάλιν ἰδικῶς υἱὸς ὁ ἐκ θεοῦ πατρὸς λόγος. κωδίωι δὲ ὥσπερ Mt. 7, 15
προβάτου κατασκιάζων τὸν λύκον, προσποιεῖται μὲν Χριστὸν ἕνα λέγειν, ἀναφέρων τὸ ὄνομα ἐπὶ μόνον τὸν ἐκ θεοῦ πατρὸς λόγον γεννηθέντα υἱὸν μονογενῆ, ὡς ἐν χάριτος δὲ

---

6 ἀναγκαία ἀναγινώσκεσθαι Wmg

Fcyr 36 ἐκ τοῦ πρώτου ὑπομνηστικοῦ τοῦ πρὸς Σούκενσον ἐπίσκοπον τῆς Διοκαισαρέων κατὰ τὴν Ἰσαύρων ἐπαρχίαν, οὗ ἡ ἀρχή· Ἐνέτυχον — ἀποσταλέντι

VRB

1/2 τὸν λόγον τῆσ πίστεωσ βλασφημήσωσι τινέσ B 2 ἀπέλθη τὸ εἰρημένον V τὸ εἰρημένον ἐπέλθη B δι' ὑμᾶσ V ἐφ' ἡμᾶσ B διὰ — τοῦ θῦ R τὸ ὄνομά μου διὰ παντόσ V διὰ παντόσ τό ὄνομα μου δι' ὑμᾶσ B 3 ἐν — ἔθνεσι βλασφημεῖται B δόξα — βασιλεῦ R τῶ δὲ θῶ καὶ πρὶ ἡ δόξα σὺν τῶ υἱῶ καὶ τῶ ἁγίω πνὶ εἰσ τοὺσ αἰῶνασ ἀμήν B om. V

VARWBEFLUZΛ^{d}Λ^{c}

ροα' V 6 ἐπιστολὴ τοῦ ἁγίου κυρίλλου ἀρχιεπισκόπου ἀλεξανδρείασ V τοῦ αὐτοῦ ἁγίου κυρίλλου ἀλεξανδρείασ ἐπιστολή Z τοῦ ἐν ἁγίοισ κυρίλλου ἐπισκόπου ἀλεξανδρείασ ἐπιστολὴ F τοῦ αὐτοῦ ἐπιστολή BU ὑπομνηστικὸν τοῦ θεοφιλεστάτου καὶ ἁγιωτάτου [καὶ ἁγιωτάτου om. L] ἀρχιεπισκόπου κυρίλλου [κυρίλλου ἀρχιεπισκόπου R] REL τοῦ αὐτοῦ ὑπομνηστικὸν A τοῦ αὐτοῦ W 6/7 τὸν μακαριώτατον [μαριώτατον V μακάριον L] σούκενσον ἐπίσκοπον [ἐπίσκοπον σούκενσον ARW] VARWELUZ σούκενσον τὸν μακαριώτατον ἐπίσκοπον B σούκενσον ἐπίσκοπον F 7 τῆσ διοκαισαρέων L διοκαισαρέων E τῆσ διοκαισαρέων τῆσ VUZ τῆσ διοκαισαρέων τῶν AR τῆσ διοκαισαρέων πόλεωσ W τῆσ διοκαισαρέων ἐκκλησίασ B διοκαισαρείασ F κατὰ τὴν [τῶν R om. A] ἰσαύρων [ἰσαυρέων AR] ἐπαρχίαν VARWBELUZ τῆσ ἰσαύρων χώρασ F post ἐπαρχίαν add. περὶ πίστεωσ VARW περὶ τῶν δυσσεβεστάτων νεστορίου δογμάτων Z 8 μὲν om. L ἠγάσθην Z 9 πολλῆσ ἄγαν VU φιλομαθίασ VAL 9/10 προτρέπων UZ 10 εὖ ἔχειν BEFΛ^{dc} σὲ νὺν R σὲ W σὲ νῦν εὖ ἔχειν LUZ σὲ φρονεῖν VA καὶ om. ARW 11 τοίνυν om. ARW τοῦ om. U ἡμῶν om. ARW 13 δογμάτων αὐτῶν FΛ^{c} καινῶσ ex καινόσ corr. F ἐπισφρῆσαι REF 14 πυνθάνεται W πότερόν ποτε om. A ποτε om. VUZ χρὴ om. U ὠήθημεν V 15 ταῦτα LΛ^{c} 16 οὖν om. FU post ἐνόμισεν coll. Z 17 μακεδονιακῆσ VWZ ἐκπέπτωκεν VB 18 γεγράφηκεν ARW ἐστὶν om. ARWL 19 παρθένου καὶ θεομήτοροσ V δὲ om. V ὡσ περι F 20 χν ἕνα BEF ἕνα χν VARWLUZ ἀναφέρων μὲν VARWL 21 λόγον om. BF μονογεννῆ B^{corr}F^{corr}

τάξει προσνέμων αὐτό, καθά φησιν αὐτός, καὶ τῶι ἐκ σπέρματος Δαυὶδ καὶ υἱὸν ἀποκαλεῖ, ὡς ἐνωθέντα, φησίν, τῶι κατὰ ἀλήθειαν υἱῶι, ἐνωθέντα δὲ οὐχ ὥσπερ ἡμεῖς δοξάζομεν,
3 ἀλλὰ κατὰ μόνην τὴν ἀξίαν καὶ κατὰ αὐθεντίαν καὶ κατὰ ἰσοτιμίαν. τούτου γέγονεν μαθητὴς Νεστόριος καὶ ἐκ τῶν ἐκείνου βιβλίων ἐσκοτισμένος προσποιεῖται μὲν Χριστὸν ἕνα καὶ υἱὸν καὶ κύριον ὁμολογεῖν, μερίζει δὲ καὶ αὐτὸς εἰς δύο τὸν ἕνα καὶ ἀμέριστον, ἄνθρωπον συνῆφθαι λέγων τῶι θεῶι λόγωι τῆι ὁμωνυμίαι, τῆι ἰσοτιμίαι, τῆι ἀξίαι. καὶ γοῦν τὰς φωνὰς τὰς ἐν τοῖς εὐαγγελικοῖς καὶ ἀποστολικοῖς κηρύγμασιν περὶ Χριστοῦ κειμένας διορίζει καί φησιν τὰς μὲν ἐφορμόζεσθαι δεῖν τῶι ἀνθρώπωι, δηλονότι τὰς ἀνθρωπίνας, τὰς δὲ πρέπειν κατὰ μόνας τῶι θεῶι λόγωι, δηλονότι τὰς θεοπρεπεῖς. καὶ ἐπειδὴ διίστησι πολλαχῶς καὶ ἀνὰ μέρος τίθησιν ὡς ἄνθρωπον ἰδικῶς τὸν ἐκ τῆς ἁγίας παρθένου γεγεννημένον καὶ ὁμοίως ἰδικῶς καὶ ἀνὰ μέρος υἱὸν τὸν ἐκ θεοῦ πατρὸς λόγον,
4 διὰ τοῦτο τὴν ἁγίαν παρθένον οὐ θεοτόκον εἶναί φησιν, ἀνθρωποτόκον δὲ μᾶλλον. ἡμεῖς δὲ οὐχ οὕτως ταῦτ' ἔχειν διακείμεθα, ἀλλ' ἐδιδάχθημεν παρὰ τῆς θείας γραφῆς καὶ τῶν ἁγίων πατέρων ἕνα υἱὸν καὶ Χριστὸν καὶ κύριον ὁμολογεῖν, τουτέστιν τὸν ἐκ θεοῦ πατρὸς λόγον, γεννηθέντα μὲν ἐξ αὐτοῦ πρὸ αἰώνων θεοπρεπῶς καὶ ἀρρήτως, ἐν ἐσχάτοις δὲ τοῦ αἰῶνος καιροῖς τὸν αὐτὸν δι' ἡμᾶς γεννηθέντα κατὰ σάρκα ἐκ τῆς ἁγίας παρθένου, καὶ ἐπειδὴ θεὸν ἐνανθρωπήσαντα καὶ σαρκωθέντα γεγέννηκεν, διὰ τοῦτο καὶ ὀνομάζομεν θεοτόκον αὐτήν. εἷς οὖν ἐστιν υἱός, εἷς κύριος Ἰησοῦς Χριστὸς καὶ πρὸ τῆς σαρκώσεως καὶ μετὰ τὴν σάρκωσιν. οὐ γὰρ ἕτερος ἦν υἱὸς ὁ ἐκ θεοῦ πατρὸς λόγος, ἕτερος δὲ πάλιν ὁ ἐκ τῆς ἁγίας παρθένου· ἀλλ' αὐτὸς ἐκεῖνος ὁ προαιώνιος καὶ κατὰ σάρκα ἐκ γυ-
PG 232 ναικὸς γεγεννῆσθαι πιστεύεται, οὐχ ὡς τῆς θεότητος αὐτοῦ λαβούσης ἀρχὴν εἰς τὸ εἶναι ἢ γοῦν εἰς ἀρχὴν ὑπάρξεως κεκλημένης διὰ τῆς ἁγίας παρθένου, ἀλλ' ὅτι μᾶλλον, ὡς ἔφην, προαιώνιος ὢν λόγος ἐξ αὐτῆς γεγεννῆσθαι λέγεται κατὰ σάρκα. ἰδία γὰρ ἦν αὐτοῦ ἡ
5 σὰρξ καθάπερ ἀμέλει καὶ ἡμῶν ἑκάστου τὸ ἴδιον αὐτοῦ σῶμα. ἐπειδὴ δὲ τινὲς ἐπιπλέκουσιν ἡμῖν τὰς Ἀπολιναρίου δόξας καί φασιν ὅτι εἰ ἕνα λέγετε καθ' ἕνωσιν ἀκριβῆ καὶ συνεσταλμένην υἱὸν τὸν ἐκ θεοῦ πατρὸς λόγον ἐνανθρωπήσαντα καὶ σεσαρκωμένον, τάχα που κἀκεῖνο φαντάζεσθε καὶ φρονεῖν ἐγνώκατε ὅτι σύγχυσις ἤτοι σύγκρασις ἢ φυρμὸς ἐγένετο τοῦ λόγου πρὸς τὸ σῶμα ἢ γοῦν τοῦ σώματος εἰς φύσιν θεότητος μεταβολή,

---

13. 14 Doctr. patr. 24, 12 p. 168, 10 Κυρίλλου ἐκ τῆς πρὸς Σούκενσον ἐπιστολῆς· 'ἐδιδάχθημεν — ὁμολογεῖν'

24 — p. 153, 4 Fcyr 36 ἐπειδὴ — οἰκονομικῆι

VARWBEFLUZΛdΛc

1 αὐτὸ ARWBEZΛc αὐτῶ VFLUZcorrΛd φασὶν F τῶ BE τὸ FZ τὸν VARWLU καὶ BEFZΛd om. VARWLU υἱὸν αὐτὸν Z καλεῖ FU 3 κατὰ² om. F κατὰ³ om. BEL 4 βίβλων L ὁ ἐσκοτισμένοσ W 4/5 ἕνα χν B ἕνα F 5 καὶ κύριον om. L τὸν ἕνα εἰσ δύο ARW ἀμέριστον BEFLUZΛdc ἀνὰ μέροσ τὸν ARW ἀνὰ μέροσ V 6 τῆ ἀξία BEFLUZΛdc τῆ τάξει τῆ ἀξία VARW 7 τοῖσ ἀποστολικοῖσ ELU 8 διορίζει] μερίζει F δεῖ WF 8/9 ἀνθρωπίνας — δηλονότι τὰς om. Z 8 δῆλον δὲ ὅτι L 10 ἐπειδὴ διίστησι] ἐπιδιίστησι E 11 καὶ² om. E 12 εἶναί om. U φασὶν F 13 οὐ ταῦτα οὕτωσ ARW διατεινόμεθα U παρά τε τῆσ BDoctr. 14 πρων ἡμῶν L τουτέστιν om. Z αὐτὸν τὸν F 16/17 κατὰ σάρκα — ἐνανθρωπήσαντα om. F 17/18 θεοτόκον ὀνομάζομεν ARW 18 Ἰησοῦς] εἶσ F τῆσ σαρκόσ F σαρκώσεωσ L 19 τὴν om. L ὁ υσ ὁ RB ὁ F 20 ὁ ἐκ τῆς] τῆσ L ἁγίας om. ARW πρὸ αἰῶνοσ AR πρὸ αἰώνων L 21 λαβούσησ — εἶναι EL ἀρχὴν λαβούσησ εἰσ τὸ εἶναι V ἀρχὴν εἰσ τὸ εἶναι λαβούσησ UZ λαβούσησ ἀρχὴν τοῦ εἶναι BF τὴν ἀρχὴν τοῦ εἶναι λαβούσησ ARW 22 κεκινημένησ F 23 ὁ λόγοσ ARWBL γεγενῆσθαι L κατὰ VBUZ *secundum* Λdc κατὰ τὴν EF διὰ τὴν ARWL 24 σῶμα αὐτοῦ Z 25 εἰ] εἰσ L λέγεται RBFLZ, corr. B καὶ om. R 26 συνεσταλμένην BEUΛcFcyr συνεσταλμένον F συγκεκραμένην VAWL συνκεκραμένην R συγκεκραμμένην Z 27 φαντάζεσθαι VARBEFLZ ἐγνώκαται F σύγχυσισ ἤτοι σύγκρασισ ELΛdcFcyr σύγχυσισ ἢ κράσισ UZ σύγκρασισ ἤτοι σύγχυσισ VARWBF 28 γέγονε VARW γοῦν om. EFcyr μεταβολὴν RWBE, corr. B καὶ μεταβολήν Wcorr

ταύτηι τοι καὶ μάλα ἐμφρόνως ἡμεῖς ἀποκρουόμενοι τὴν συκοφαντίαν φαμὲν ὅτι ὁ ἐκ θεοῦ πατρὸς λόγος ἀπερινοήτως τε καὶ ὡς οὐκ ἔστιν εἰπεῖν, ἥνωσεν ἑαυτῶι σῶμα ἐψυχωμένον ψυχῆι νοερᾶι καὶ προῆλθεν ἄνθρωπος ἐκ γυναικός, οὐ μεταβολῆι φύσεως καθ' ἡμᾶς γεγονώς, ἀλλ' εὐδοκίαι μᾶλλον οἰκονομικῆι. ἠθέλησε γὰρ ἄνθρωπος γενέσθαι τὸ εἶναι θεὸς κατὰ φύσιν οὐκ ἀποβαλών, ἀλλ' εἰ καὶ ἐν τοῖς καθ' ἡμᾶς καθίκετο μέτροις καὶ πεφόρηκε τὴν τοῦ δούλου μορφήν, καὶ οὕτως μεμένηκεν ἐν ταῖς τῆς θεότητος ὑπεροχαῖς καὶ ἐν κυριότητι τῆι φυσικῆι. ἑνοῦντες τοίνυν ἡμεῖς τῆι ἁγίαι σαρκὶ ψυχὴν ἐχούσηι τὴν νοερὰν ἀπορρήτως τε καὶ ὑπὲρ νοῦν τὸν ἐκ θεοῦ πατρὸς λόγον ἀσυγχύτως ἀτρέπτως ἀμεταβλήτως, ἕνα υἱὸν καὶ Χριστὸν καὶ κύριον ὁμολογοῦμεν, τὸν αὐτὸν θεὸν καὶ ἄνθρωπον, οὐχ ἕτερον καὶ ἕτερον, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν τοῦτο κἀκεῖνο ὑπάρχοντα καὶ νοούμενον. τοιγάρτοι ποτὲ μὲν ὡς ἄνθρωπος οἰκονομικῶς ἀνθρωπίνως διαλέγεται, ποτὲ δὲ ὡς θεὸς μετ' ἐξουσίας τῆς θεοπρεποῦς ποιεῖται τοὺς λόγους. φαμὲν δὲ κἀκεῖνο· βασανίζοντες εὐτεχνῶς τῆς μετὰ σαρκὸς οἰκονομίας τὸν τρόπον καὶ περιαθροῦντες ἰσχνῶς τὸ μυστήριον, ὁρῶμεν ὅτι ὁ ἐκ θεοῦ πατρὸς λόγος ἐνηνθρώπησέν τε καὶ ἐσαρκώθη καὶ οὐκ ἐκ τῆς θείας ἑαυτοῦ φύσεως τὸ ἱερὸν ἐκεῖνο πεπλαστούργηκε σῶμα, ἀλλ' ἐκ παρθένου μᾶλλον ἔλαβεν αὐτό, ἐπεὶ πῶς γέγονεν ἄνθρωπος, εἰ μὴ σῶμα πεφόρηκε τὸ ἀνθρώπινον; ἐννοοῦντες τοίνυν, ὡς ἔφην, τῆς ἐνανθρωπήσεως τὸν τρόπον ὁρῶμεν ὅτι δύο φύσεις συνῆλθον ἀλλήλαις καθ' ἕνωσιν ἀδιάσπαστον ἀσυγχύτως καὶ ἀτρέπτως· ἡ γὰρ σὰρξ σάρξ ἐστιν καὶ οὐ θεότης, εἰ καὶ γέγονεν θεοῦ σάρξ, ὁμοίως δὲ καὶ ὁ λόγος θεός ἐστιν καὶ οὐ σάρξ, εἰ καὶ ἰδίαν ἐποιήσατο τὴν σάρκα οἰκονομικῶς. ὅταν οὖν ἐννοῶμεν τοῦτο, οὐδὲν ἀδικοῦμεν τὴν εἰς ἑνότητα συνδρομὴν ἐκ δύο φύσεων γεγενῆσθαι λέγοντες· μετὰ μέντοι τὴν ἕνωσιν οὐ διαιροῦμεν τὰς φύσεις ἀπ' ἀλλήλων οὐδὲ εἰς δύο τέμνομεν υἱοὺς τὸν ἕνα καὶ ἀμέριστον, ἀλλ' ἕνα φαμὲν υἱὸν καὶ ὡς οἱ πατέρες εἰρήκασιν, μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην. οὐκοῦν ὅσον

7—10 νοούμενον Fcyr 37 10 Doctr. patr. 29, 15 [ex Eulogio] p. 212, 18 ὁ ἐν ἁγίοις φησὶ Κύριλλος ἐν τῆι δευτέραι πρὸς Σούκενσον ἐπιστολῆι· 'ἕνα — ὑπάρχοντα', idem locus adfertur 30, 3 p. 219, 27 12 φαμέν — 16 ἀνθρώπινον Fcyr 38 16—20 Fcyr 39 Ephraim ap. Phot. bibl. 229 p. 262 b 2 Κύριλλος ἐν τῆι πρὸς Σούκενσον ἐπιστολῆι . . . 'ἐννοοῦντες — οἰκονομικῶς'. Doctr. patr. 24, 12 p. 169, 21 K. ἐκ τῆς πρὸς Σούκενσον α' ἐπιστολῆς· 'ἐννοοῦντες — οἰκονομικῶς'. item Theodoret. eran. 2, 168 = flor. Chalc. 14 17 — p. 154, 2 Leont. c. Monoph. [Mai, scriptt. uett. 7, 141] Κυρίλλου ἐκ τῆς πρὸς Ἀκάκιον ἐπιστολῆς· 'ὁρῶμεν — φαμέν'. 18—20 flor. R II 31 ἡ γὰρ σάρξ — οἰκονομικῶς 20 — p. 154, 1 Doctr. patr. 2, 19 [= flor. cod. Paris. 1115 f. 250 u] ἐκ τῆς πρὸς Σούκενσον ἐπιστολῆς· 'ὅταν οὖν — ἐποιήσατο σάρκα'. 20—22 Fcyr 40 ὅταν — ἀμέριστον 21/22 Leont. c. Monoph. [Mai, scriptt. uett. 7, 129] Κυρίλλου· 'μετὰ μέντοι — ἀμέριστον'. 21/22 floril. R II 2 μετὰ μέντοι — ἀλλήλων 23—p. 154, 3 Ephraim ap. Phot. 229 p. 262 b 8 et Iustinian. PG 86, 1001 [ἐν τῆι πρώτηι πρὸς Σούκενσον ἐπιστολῆι] 'οὐκοῦν — σεσαρκωμένον' Fcyr 42 οὐκοῦν — κύριον

VARWBEFLUZΛdΛc

1 ἡμεῖς om. ARWL 2 τὸ σῶμα F ἐμψυχωμένον LZ 4 ἤθελεν L 4/5 τῆ φύσει ARW 5 καθείκετο EZ πεφόρεκε VARWFcorrU 6 μεμενηκὼσ E κυριότητι τῆ VEU τῆ κυριότητι τῆ LZ κυριότητι ARWBF 7 ἐννοοῦντεσ BEFcyr, corr. B 8 τε om. Fcyr 8/9 υἱὸν καὶ χν̄ καὶ κν̄ BFZΛcFcyr χν̄ καὶ υἱὸν καὶ κν̄ VΛd ūν̄ καὶ χν̄ E ūν̄ καὶ κν̄ LU χν̄ καὶ υἱὸν ARW 10 τοῦτο τὲ BF καὶ νοούμενον VBEFLUZΛcFcyr νοοῦμεν ARW ἑνούμενον pro νοούμενον legisse uidetur Λd 11 ἀνθρωπίνωσ EFUZΛdc καὶ ἀνθρωπίνωσ VARWBL δὲ om. B ὡς θεὸς om. ARW τῆς om. U 12 τοὺσ λόγουσ ποιεῖται B 13 περιαρθροῦντεσ WFFcyr ὁρῶμεν om. B 14 θείασ ἑαυτοῦ BFUZ θείασ αὐτοῦ EL utrumque Fcyr codd. ἑαυτοῦ θείασ VARW 15 παρθένου ARWBF *ex uirgine* Λc τῆσ παρθένου EFcyr τῆσ παρθένου μαρίασ VLUZ *ex uirgine sancta* Λd 16 πεφόρεκε VARWUFcyr ἀνθρώπινον] ἡμέτερον V ἑνοῦντεσ E 17 ἀλλήλαισ συνῆλθον B 18 καὶ[1] VARWcorrBEUZΛdc Fcyr Theod. Leont. om. WFL Ephr. Doctr. 18/19 εἰ — σάρξ om. V 19 θεοῦ] θū̄ B εἰ δὲ καὶ V εἰ om. Fcyr 20 ἑνοοῦμεν F οὐδὲ B 21 διαιροῦντεσ VZ 22 οὔτε Fcyr 23 λόγου BEUZΛdc Leont. θū̄ λόγου VARWFL Doctr.

μὲν ἦκεν εἰς ἔννοιαν καὶ εἰς μόνον τὸ ὁρᾶν τοῖς τῆς ψυχῆς ὄμμασιν τίνα τρόπον ἐνην-
PG 233 θρώπησεν ὁ μονογενής, δύο τὰς φύσεις εἶναι φαμὲν τὰς ἑνωθείσας, ἕνα δὲ Χριστὸν καὶ υἱὸν καὶ κύριον, τὸν τοῦ θεοῦ λόγον ἐνανθρωπήσαντα καὶ σεσαρκωμένον. καὶ εἰ δοκεῖ, δεξώμεθα πρὸς παράδειγμα τὴν καθ' ἡμᾶς αὐτοὺς σύνθεσιν καθ' ἣν ἐσμὲν ἄνθρωποι. συντεθείμεθα γὰρ ἐκ ψυχῆς καὶ σωματος καὶ ὁρῶμεν δύο φύσεις, ἑτέραν μὲν τὴν τοῦ σώματος, ἑτέραν δὲ τὴν τῆς ψυχῆς· ἀλλ' εἷς ἐξ ἀμφοῖν καθ' ἕνωσιν ἄνθρωπος καὶ οὐχὶ τὸ ἐκ δύο συντεθεῖσθαι φύσεων ἀνθρώπους δύο τὸν ἕνα παρασκευάζει, ἀλλ' ἕνα τὸν ἄνθρωπον κατὰ σύνθεσιν, ὡς ἔφην, τὸν ἐκ ψυχῆς καὶ σώματος. ἐὰν γὰρ ἀνέλωμεν τὸ ὅτι ἐκ δύο καὶ διαφόρων φύσεων ὁ εἷς καὶ μόνος ἐστὶ Χριστός, ἀδιάσπαστος ὢν μετὰ τὴν ἕνωσιν, ἐροῦσιν οἱ τῇι ὀρθῇι δόξηι μαχόμενοι· εἰ μία φύσις τὸ ὅλον, πῶς ἐνηνθρώπησεν ἢ ποίαν ἰδίαν ἐποιήσατο σάρκα;

8 Ἐπειδὴ δὲ εὗρον ἐν τῶι ὑπομνηστικῶι ἔμφασίν τινα λόγου τοιαύτην ὅτι μετὰ τὴν ἀνάστασιν τὸ ἅγιον σῶμα τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ εἰς θεότητος φύσιν μετακεχώρηκεν, ὡς εἶναι τὸ ὅλον θεότητα μόνην, δεῖν ὠιήθην καὶ πρός γε τοῦτο εἰπεῖν. ὁ μακάριος γράφει Παῦλος, τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ τὰς αἰτίας
Rom. 8, 3. 4 ἡμῖν ἐξηγούμενος, ποτὲ μὲν ὅτι τὸ γὰρ ἀδύνατον τοῦ νόμου ἐν ὧι ἠσθένει διὰ τῆς σαρκός, ὁ θεὸς τὸν ἑαυτοῦ υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας καὶ περὶ ἁμαρτίας, κατέκρινεν τὴν ἁμαρτίαν ἐν τῇι σαρκί, ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇι ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα περιπα-
Hebr. 2, 14-17 τοῦσιν, ἀλλὰ κατὰ πνεῦμα· ποτὲ δὲ πάλιν ἐπειδὴ γὰρ τὰ παιδία κεκοινώνηκεν αἵματος καὶ σαρκός, καὶ αὐτὸς παραπλησίως μετέσχεν τῶν αὐτῶν,

---

2/3 Doctr. patr. 2, 12 p. 170, 6 et Leont. c. Monoph. [Mai, scriptt. uett. 7, 133] ἐκ τῆς πρὸς Σούκενσον ἐπιστολῆς· 'δύο τὰς φύσεις — σεσαρκωμένον' 3—6 Fcyr 41 Ephraim ap. Phot. 229 p. 250 a 8 κἀν τῇι προτέραι πρὸς Σούκενσον ἐπιστολῇι· 'καὶ εἰ — ψυχῆς' 4—8 Leont. c. Monoph. [Mai, scriptt. uett. 7, 142] δεξώμεθα — σώματος καὶ ψυχῆς 8—11 floril. R II 1 ἐὰν γὰρ — ἐνηνθρώπησεν ὁ μονογενής, Eulog. ap. Phot. 230 p. 273 a 21 ἐν ταῖς ἐπιστολαῖς αἳ τὸν Σούκενσον ἐπιγράφονται . . . 'ἐὰν γὰρ — ἐνηνθρώπησεν' 10/11 Fcyr 43 Doctr. patr. 2, 51 p. 25, 13 'εἰ μία — σάρκα

VARWBEFLUZΛdΛc

1 μὲν om. BFUZ ἐννοίασ FZ Fcyr εἰσ BEFUZ Fcyr Ephr. Leont. Doctr. εἴσ γε VARWL 2 τὰς om. UZ εἶναι φαμὲν τὰσ ἑνωθείσασ VLUZ εἶναι φαμὲν ἑνωθείσασ E *adunatas* Λd *unitas* Λc ἡνῶσθαι φαμὲν F Par. εἶναι φαμὲν ARWB Ephr. Leont. 2/3 υἱὸν καὶ $\overline{χν}$ καὶ $\overline{κν}$ ARWF Fcyr 3 θῦ $\overline{πρσ}$ VLUZ 4 δεξόμεθα F αὐτοὺς om. R αὐτοῦ L, uaria lectio in Doctr. 5 συντιθέμεθα F Ephr. Leont. 5—8 καὶ ὁρῶμεν — σώματος om. U, add. Umg, ubi 5 καὶ ὁρῶμεν — μὲν τὴν abscissa sunt 5 δύο τὰσ φύσεισ F τὴν om. ARWF Leont. τῆσ E 6 τὴν om. ARWF Leont. εἷς om. ARW Leont. 6/7 οὐχὶ τὸ EFUΛdc Doctr. οὐχί τοι B οὐχ ὅτι VARWLZ Leont. 7 ἐκ] καὶ B συντεθεῖσθαι EFUΛdc Doctr. συντέθειται VARWLZ Leont. συνημμένων B ἀνθρώπουσ δύο EUΛdc ἀνθρώπουσ [$\overline{ἀνοσ}$ F] δύο νοεῖσθαι BF Doctr. ὁ ἄνθρωποσ δύο ἀνθρώπουσ VLZ ὁ ἄνθρωποσ δὺο ARW Leont. παρασκευάζει BEFUΛdc Doctr. νομιστέον VARWLZ Leont. 7/8 τὸν ἄνθρωπον BEFΛdc ἄνθρωπον U τὸν αὐτὸν VARWLZ Leont. 8 σύγκρασιν B τὸν VELUZΛdc τὴν ARWBF Leont. σώματοσ [τοῦ σώματοσ A] καὶ ψυχῆσ ARW Leont. post σώματος habent καὶ οὐχὶ τὸ ἐκ δύο συντεθεῖσθαι φύσεων ἀνθρώπουσ δύο τὸν ἕνα παρασκευάζει ἀλλ' ἕνα ἄνθρωπον κατὰ σύνθεσιν ὡσ ἔφην τὸν ἐκ ψυχῆσ καὶ σώματοσ VZ γὰρ] οὖν UZ ἀνέλω B 9 ἐκ δὺο καὶ ἐκ E καὶ μετὰ VLUZ 10 ὀρθοδοξία ARW 11 ἢ — σάρκα om. R ἐποιήσατο] ἔχειν ὁρῶτο B 12 εὕρομεν B 14 ὡσ ὅλον θεότητα εἶναι ARW 14/15 ὁ — παῦλοσ EFL ὁ μακάριοσ παῦλοσ γράφει VBUZ παῦλοσ ὁ μακάριοσ γράφει ARW 15 τοῦ θεοῦ om. Z 16 ἡμῖν om. V 18 καὶ περὶ ἁμαρτίας om. L τίασ R 20 ἐπεὶ L γὰρ] οὖν LΛc δὲ W om. Λd 20/21 κεκοινώνηκε τὰ παιδία UZ 21 σαρκὸσ καὶ αἵματοσ BLΛc παραπλησίωσ καὶ αὐτὸσ F

ἵνα διὰ τοῦ θανάτου καταργήσηι τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστιν τὸν διάβολον, καὶ ἀπαλλάξηι τούτους ὅσοι φόβωι θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται· ὅθεν ὤφειλεν κατὰ πάντα
9 τοῖς ἀδελφοῖς ὁμοιωθῆναι. φαμὲν οὖν ὅτι ἐκ τῆς παραβάσεως τῆς ἐν Ἀδὰμ τῆς ἀνθρωπίνης φύσεως παθούσης τὴν φθορὰν καὶ τυραννουμένης τῆς ἐν ἡμῖν διανοίας ἐκ τῶν τῆς σαρκὸς ἡδονῶν ἤτοι κινημάτων ἐμφύτων, ἀναγκαῖον γέγονεν εἰς σωτηρίαν ἡμῖν τοῖς ἐπὶ τῆς γῆς τὸ ἐνανθρωπῆσαι τὸν τοῦ θεοῦ λόγον, ἵνα τὴν σάρκα τὴν ἀνθρωπίνην ὑπενηνεγμένην τῆι φθορᾶι καὶ νοσήσασαν τὸ φιλήδονον ἰδίαν ποιήσηται καὶ ἐπειδήπερ ἐστὶν ζωὴ καὶ ζωοποιός, καταργήσηι μὲν τὴν ἐν αὐτῆι φθοράν, ἐπιτιμήσηι δὲ καὶ τοῖς ἐμφύτοις κινήμασιν, τοῖς εἰς φιληδονίαν δηλαδή. ἦν γὰρ οὕτως νεκρωθῆναι τὴν ἁμαρτίαν ἐν αὐτῆι· μεμνήμεθα δὲ καὶ τοῦ μακαρίου Παύλου νόμον ἁμαρτίας καλέσαντος τὸ ἐν ἡμῖν ἔμφυτον κίνημα. οὐκοῦν ἐπειδήπερ ἡ ἀνθρωπίνη σὰρξ γέγονεν ἰδία τοῦ λόγου, πέπαυται μὲν τοῦ ὑποφέρεσθαι τῆι φθορᾶι καὶ ἐπειδὴ ἁμαρτίαν οὐκ οἶδεν ὡς θεὸς ὁ οἰκειωσάμενος αὐτὴν καὶ ἰδίαν ἀποφήνας, ὡς ἔφην, πέπαυται καὶ τοῦ νοσεῖν τὸ φιλήδονον. καὶ οὐχ ἑαυτῶι τοῦτο κατώρθωκεν ὁ μονογενὴς τοῦ θεοῦ λόγος (ἔστι γὰρ ὅ ἐστιν, ἀεί), ἀλλ' ἡμῖν δηλονότι. εἰ γὰρ ὑπενηνέγμεθα τοῖς ἐκ παραβάσεως τῆς ἐν Ἀδὰμ κακοῖς, ἥξει πάντως ἐφ' ἡμᾶς καὶ τὰ ἐν Χριστῶι, τουτέστιν ἡ ἀφθαρσία καὶ τῆς ἁμαρτίας ἡ νέκρωσις. οὐκοῦν γέγονεν ἄνθρωπος, οὐκ ἄνθρωπον ἀνέλαβεν, ὡς Νεστορίωι δοκεῖ, καὶ ἵνα πιστευθῆι γεγονὼς ἄνθρωπος, καίτοι μεμενηκὼς ὅπερ ἦν, δῆλον δὲ ὅτι θεὸς κατὰ φύσιν, ταύτηι τοι καὶ πεινῆσαι λέγεται καὶ καμεῖν ἐξ ὁδοιπορίας, ἀνασχέσθαι δὲ καὶ ὕπνου καὶ ταραχῆς καὶ λύπης καὶ τῶν ἄλλων ἀνθρωπίνων καὶ ἀδιαβλήτων παθῶν. ἵνα δὲ πάλιν πληροφορῆι τοὺς ὁρῶντας αὐτὸν ὅτι μετὰ τοῦ εἶναι ἄνθρωπος καὶ θεός ἐστιν ἀληθινός, εἰργάζετο τὰς θεοσημείας, θαλάσσαις ἐπιτιμῶν, νεκροὺς ἐγείρων καὶ τὰ ἕτερα παράδοξα κατορθῶν. ὑπέμεινεν δὲ καὶ σταυρόν, ἵνα σαρκὶ παθὼν τὸν θάνατον καὶ οὐ φύσει θεότητος γένηται πρωτότοκος ἐκ νεκρῶν καὶ ὁδοποιήσηι τῆι ἀνθρώπου φύσει τὴν εἰς ἀφθαρσίαν ὁδὸν καὶ
10 σκυλεύσας τὸν ἅιδην τὰς αὐτόθι καθειργμένας ἐλεήσηι ψυχάς. μετὰ δέ γε τὴν ἀνά-

Rom. 7, 23. 25 — PG 236 — Mt. 4, 2 — Ioh. 4, 6 — Mt. 8, 24. 26, 38 — Mt. 8, 26 — Col. 1, 18

---

5 — 12 Fcyr 44 φαμέν — ἐν αὐτῆι 18/19 Eulogius ap. Phot. cod. 230 p. 272 v 30 et p. 276 b 39 ἐν ταῖς πρὸς Σούκενσον ἐπιστολαῖς· 'οὐκοῦν — δοκεῖ' 21—27 Fcyr 45 πεινῆσαι — ψύχας 27—p. 156, 5 Fcyr 46 μετά — θεοπρεπεστάτηι

VARWBEFLUZΛdΛc

1 καταργήσει F θανάτου om. R 4 ἀλλὰ — ἐπιλαμβάνεται om. Z. 5 τῆς ἐν om. F τοῦ V 6 φύσεως] *substantiam* Λd διαφθοράν Fcyr τῆσ — διανοίασ τυραννουμένησ B 7 ἤ F κεινημάτων R κοινημάτων U ἐμφύτων ἐπεισενεχθέντων τῆ φύσει ΕΛdFcyr ἡμῖν εἰσ σ̄ρῑαν̄ VARWUZ 8 τῆς om. ARWU 9 ποιήσεται F 10 ζωὴ om. UZ κατήργησε ARWFL Fcyr αὐτῶι L ἐπιτιμήσει E ἐπετίμησε ARWFLFcyr 11 νεκρῶν L ἁμαρτίαν BEFUZFcyr ἁμαρτίαν τὴν VAWLΛc ἁμαρτίαν τῆ R 13 οὐκοῦν ἐπειδήπερ VBEFLUZΛdc ἐπειδὴ τοίνυν ARW 14 τὸ ὑποφέρεσθαι VARWL καὶ om. UZ ἐπειδὴ] ἐπεὶ δὲ U οἶδεν BEFUZΛdc ἐποίησεν VARWL ὁ θ̄σ̄ F ὁ EFΛdc om. VARWBLUZ 15 τοῦ] τὸ R 16 τούτω F κατώρθωσεν F λόγοσ τοῦ θ̄ῡ U 17 γὰρ ARWBEFΛdc γὰρ μὴ VLUZ τῆς] τοῖσ VRWF, corr. V 18 τῶι χ̄ῶ̄ L ἀφθαρσίασ R 19 καὶ οὐκ B καθάπερ F 20 ἀνο̄σ̄ γεγονὼσ VUZ κατὰ φύσιν θ̄σ̄ L 21 ἀνέχεσθαι ARW δὲ] τε UZ ὕπνου καὶ λύπησ καὶ ταραχῆσ F λύπησ E 22 πληροφορήση VARWL 23 τοῦ] τὸ B 24 θεοσημίασ VABU θαλάσσηι LFcyr καὶ νεκροὺσ BFcyr 25 ὑπομένει UZ ὑπομεῖναι Fcyr ἵνα σαρκὶ — γένηται VEFLUZΛcFcyr σαρκὶ — θεότητοσ ἵνα γένηται ARWBΛd καὶ om. U γένηται καὶ L 26 τῶν νεκρῶν VFLUZ ὁδοποιήσει RF ὁδοποιήσασ LUZ ἄνοδον L 27 τὸν ἅδην σκυλεύσασ B ἐλεήση RWBLZΛc ἐλεήσει EFU utrumque Fcyr codd. ἐλευθερώση VA γε om. FL

στασιν ἦν μὲν αὐτὸ τὸ σῶμα τὸ πεπονθός, πλὴν οὐκέτι τὰς ἀνθρωπίνας ἀσθενείας ἔχον ἐν ἑαυτῷ. οὐ γὰρ ἔτι πείνης ἢ κόπου ἢ ἑτέρου τινὸς τῶν τοιούτων δεκτικὸν εἶναι φαμὲν αὐτό, ἀλλὰ λοιπὸν ἄφθαρτον καὶ οὐχὶ τοῦτο μόνον, ἀλλὰ γὰρ καὶ ζωοποιόν· ζωῆς γὰρ σῶμά ἐστιν, τουτέστιν τοῦ μονογενοῦς, κατελαμπρύνθη δὲ καὶ δόξῃ τῇ θεοπρεπεστάτῃ καὶ νοεῖται θεοῦ σῶμα. τοιγάρτοι κἂν εἴ τις αὐτὸ λέγοι θεῖον, ὥσπερ ἀμέλει τοῦ ἀνθρώπου [τὸ] ἀνθρώπινον, οὐκ ἂν ἁμάρτοι τοῦ πρέποντος λογισμοῦ· ὅθεν οἶμαι καὶ τὸν
2 Cor. 5, 16 σοφώτατον Παῦλον εἰπεῖν· εἰ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστόν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν. θεοῦ γάρ, ὡς ἔφην, ἴδιον σῶμα ὑπάρχον, ὑπερέβη πάντα τὰ ἀνθρώπινα, μεταβολὴν δὲ τὴν εἰς τὴν τῆς θεότητος φύσιν οὐκ ἐνδέχεται παθεῖν σῶμα τὸ ἀπὸ γῆς· ἀμήχανον γάρ, ἐπεὶ καταγορεύσομεν τῆς θεότητος ὡς γενητῆς καὶ ὡς προσλαβούσης τι ἐν ἑαυτῇ ὃ μή ἐστιν κατὰ φύσιν ἴδιον αὐτῆς. ἴσον γάρ ἐστιν εἰς ἀτοπίας λόγον τὸ εἰπεῖν ὅτι μετεβλήθη τὸ σῶμα εἰς θεότητος φύσιν, καὶ μὴν κἀκεῖνο ὅτι μετεβλήθη ὁ λόγος εἰς τὴν τῆς σαρκὸς φύσιν. ὥσπερ γὰρ τοῦτο ἀμήχανον (ἄτρεπτος γὰρ καὶ ἀναλλοίωτός ἐστιν), οὕτως καὶ τὸ ἕτερον· οὐ γάρ ἐστιν τῶν ἐφικτῶν εἰς θεότητος οὐσίαν ἤτοι φύσιν μεταχωρῆσαί τι δύνασθαι τῶν κτισμάτων· κτίσμα δὲ καὶ ἡ σάρξ. οὐκοῦν θεῖον μὲν εἶναι φαμὲν τὸ σῶμα Χριστοῦ, ἐπειδὴ καὶ θεοῦ σῶμά ἐστιν, καὶ ἀρρήτωι δόξῃ κατηγλαισμένον, ἄφθαρτον ἅγιον ζωοποιόν· ὅτι δὲ εἰς φύσιν θεότητος μετεβλήθη, οὔτε τῶν πατέρων τις τῶν ἁγίων ἢ πεφρόνηκεν ἢ εἴρηκεν οὔτε ἡμεῖς οὕτω διακείμεθα.

11 Μὴ ἀγνοείτω δὲ κἀκεῖνο ἡ σὴ ὁσιότης ὅτι ὁ τῆς μακαρίας μνήμης ὁ πατὴρ ἡμῶν Ἀθανάσιος ὁ γενόμενος κατὰ καιροὺς τῆς Ἀλεξανδρέων ἐπίσκοπος, κεκινημένων τινῶν κατ'
18. 19 titulus corruptus 23 Ἡ om. D 36 μεταξὺ τοῦ μδ καὶ με κεφαλαίου κεῖται πρόσταγμα τῶν βασιλέων σημεῖον ἔχον τοῦτο, **sequitur figura quaedam Dmg m. recentiore**

S 48 μη Κυρίλλου ἐπισκόπου Ἀλεξανδρείας ἐπιστολὴ γραφεῖσα ἀπὸ Ἐφέσου πρὸς τοὺς πατέρας τῶν μοναζόντων = V 68

49 μθ Ἀναφορὰ πρὸς τοὺς εὐσεβεστάτους βασιλεῖς παρὰ τῆς ἁγίας συνόδου περὶ τῆς καθαιρέσεως Νεστορίου = V 81

50 ν Ἐπιστολὴ γραφεῖσα παρὰ τῆς ἁγίας συνόδου πρὸς τὸν κλῆρον καὶ τὸν λαὸν Κωνσταντινουπόλεως περὶ τῆς καθαιρέσεως Νεστορίου = V 85

51 να Ἐπιστολὴ γραφεῖσα παρὰ τοῦ κλήρου Κωνσταντινουπόλεως πρὸς τὴν ἁγίαν σύνοδον = V 86. repetitur infra 110

52 νβ Ἴσον βασιλικοῦ γράμματος ἀποσταλὲν ἐν Ἐφέσωι πρὸς τὴν ἁγίαν σύνοδον διὰ Παλλαδίου μαγιστριανοῦ, ἀνατρέποντος τὰ παρ' αὐτῶν πραχθέντα ὡς ὀφειλούσης ἄνωθεν γενέσθαι ζητήσεως = V 83

53 νγ Ἀναφορὰ τῆς συνόδου ἀντιγραφεῖσα πρὸς τὴν σάκραν καὶ διδάσκουσα ὡς ψευδῆ τὰ ἀνενεχθέντα παρὰ τοῦ Κανδιδιανοῦ ἐστιν = V 84

Πρᾶξις πρώτη

54 νδ Λίβελλος ἐπιδοθεὶς τῆι ἁγίαι συνόδωι παρὰ τῶν ἁγιωτάτων ἐπισκόπων Κυρίλλου Ἀλεξανδρείας καὶ Μέμνονος Ἐφέσου

Ὑπομνήματα πραχθέντα ἐν Ἐφέσωι ἐν οἷς ἀκοινωνησίαν ὥρισε κατὰ τῶν Ἀνατολικῶν = V 87

D (48) μη Ἐπιστολὴ τοῦ αὐτοῦ γραφεῖσα ἀπὸ Ἐφέσου πρὸς τοὺς ἐν Ἀλεξανδρείαι μοναχούς, δι' ἧς δίδωσιν αὐτοῖς εἴδησιν ὅτι καθηιρέθη Νεστόριος, ἧς ἡ ἀρχή· Ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὅτι τὰς παρὰ τῶν Ἰουδαίων ὑπέμενε παροινίας.

(49) μθ Ἀναφορὰ πρὸς τοὺς εὐσεβεστάτους βασιλεῖς παρὰ τῆς ἁγίας συνόδου περὶ τῆς καθαιρέσεως Νεστορίου, μεθ' ἧς ἀπέστειλαν καὶ αὐτὰ τὰ ὑπομνήματα τῶν πράξεων, ἧς ἡ ἀρχή· Ἐκ προγόνων τὴν ἀληθῆ πίστιν παραλαβοῦσα ἡ ὑμετέρα εὐσέβεια.

(50) ν Ἐπιστολὴ γραφεῖσα παρὰ τῆς ἁγίας συνόδου πρὸς τὸν κλῆρον καὶ τὸν λαὸν τῆς Κωνσταντινουπόλεως περὶ τῆς καθαιρέσεως τοῦ Νεστορίου, ἧς ἡ ἀρχή· Ἐπὶ τὸ πολυστένακτον ἤλθομεν μήνυμα.

(51) να Ἐπιστολὴ ἀντιγραφεῖσα πρὸς τὴν ἁγίαν σύνοδον παρὰ τοῦ κλήρου Κωνσταντινουπόλεως καὶ Δαλματίου τοῦ ἀρχιμανδρίτου, ἧς ἡ ἀρχή· Ἀεὶ καὶ ἐκ νέας ἡλικίας ὀρθοδόξωι δόγματι σεμνυνόμενοι.

(52) νβ Ἴσον βασιλικοῦ γράμματος ἀποσταλέντος ἐν Ἐφέσωι πρὸς τὴν ἁγίαν σύνοδον διὰ Παλλαδίου μαγιστριανοῦ, δι' οὗ διορίζεται ὁ βασιλεὺς μὴ κρατεῖν τὰ προβάντα παρὰ τῆς συνόδου ὡς γεγονότα ἐξ ἀπουσίας τοῦ πατριάρχου Ἀντιοχείας καὶ τῆς συνόδου αὐτοῦ, ἐξ ἀρχῆς δὲ τηρηθῆναι τὴν ὑπόθεσιν, οὗ ἡ ἀρχή· Τοῦ μεγαλοπρεπεστάτου κόμητος τῶν καθωσιωμένων δομεστίκων Κανδιδιανοῦ γνωρίσαντος.

(53) νγ Ἀναφορὰ τῆς συνόδου πρὸς τοὺς βασιλεῖς διὰ τοῦ αὐτοῦ Παλλαδίου μαγιστριανοῦ, δι' ἧς ἀπολογεῖται ἡ σύνοδος ὡς πάντα κατὰ κανόνας ἐγένοντο, καὶ ἀξιοῖ δέξασθαι πρόσταξιν ἵνα ἀποσταλῶσι πέντε ἐπίσκοποι παρὰ τῆς συνόδου καὶ ἀναδιδάξωσι ψευδῆ πάντα εἶναι τὰ κατὰ τῆς συνόδου λεχθέντα τῶι βασιλεῖ παρὰ τῶν συναιρομένων τῶι Νεστορίωι, ἧς ἡ ἀρχή· Τὸ μὲν ὑμέτερον κράτος τὴν εὐσέβειαν βεβαιῶσαι βουλόμενον.

(54) νδ Ἰστέον ὅτι μετὰ ταῦτα κατέλαβε καὶ ὁ πατριάρχης Ἀντιοχείας Ἰωάννης μετὰ καὶ ἐπισκόπων τῆς Ἀνατολικῆς διοικήσεως καὶ εὑρόντες ἀφορμὴν ὅτι κατὰ ἀπουσίαν αὐτῶν καθήιρησεν ἡ σύνοδος τὸν Νεστόριον, ἐπιμεμψάμενοί τε καὶ τῆι ἐκθέσει τῶν κεφαλαίων τοῦ ἁγίου Κυρίλλου ὡς αἱρετικοὺς πανταχοῦ διεφήμιζον Κύριλλόν τε τὸν ἁγιώτατον πάππαν Ἀλεξανδρείας καὶ Μέμνονα τὸν Ἐφεσίων μητροπολίτην ὡς ἐξάρχους δῆθεν τῆς κατὰ Νεστορίου συνόδου καὶ δὴ καὶ γράμματα περὶ τούτου ἔστειλαν πρὸς τὸν βασιλέα, ὡς δηλοῦται ἀπὸ τῶν ἑξῆς γεγραμμένων. τοῦτο οὖν μαθόντες Κύριλλός τε καὶ Μέμνων ἐπὶ συνόδου λιβέλλους ἐπιδεδώκασι κατὰ Ἰωάννου τοῦ Ἀντιοχείας καὶ τῶν σὺν αὐτῶι ἐκκαλούμενοι αὐτοὺς ἐλθεῖν καὶ ποιῆσαι μὲν καὶ ἀπολογίαν ὑπὲρ ὧν ἀνεξετάστως ὑβρίζουσιν οὕτως αὐτούς καὶ τὴν σύνοδον εἰπεῖν τε καὶ εἴ τι ἔχουσι κατ' αὐτῶν. ἔστι δὲ ἡ ἀρχὴ τῶν πραχθέντων ἐν τούτοις οὕτως· Συνόδου συγκροτηθείσης ἐν τῆι Ἐφεσίων μητροπόλει ἐπεδόθη λίβελλος παρὰ Κυρίλλου καὶ Μέμνονος τῆι συνόδωι, οὗ ἡ ἀρχή·

---

9 postulatur ἀποσταλέντος

S 55—57 νε—νζ Gesta de Orientalibus = V 88. 89

Πρᾶξις β

58. 59 νη νθ Gesta de Orientalibus = V 89. 90

60 ξ Ἴσον ἀναφορᾶς παρὰ τῆς ἁγίας συνόδου πρὸς τοὺς εὐσεβεστάτους βασιλέας περὶ τῶν Ἀνατολικῶν = V 92

61 ξα Γράμματα ἀποσταλέντα παρὰ τῆς ἁγίας συνόδου τοῖς καθ' ἑκάστην ἐπαρχίαν τε καὶ πόλιν ἐπισκόποις πρεσβυτέροις διακόνοις καὶ λαικοῖς περὶ τῶν Ἀνατολικῶν ἐπισκόπων = V 91

62 ξβ Ἴσον ὑπομνήματος πραχθέντος ἐπὶ παρουσίαι τῶν ἀπὸ Ῥώμης ἐλθόντων ἐπισκόπων καὶ πρεσβυτέρων = V 106

63 ξγ Caelestini epistula et Gesta in praesentia legatorum Romanorum = V 106

64 ξδ Πρᾶξις β = V 106

65 ξε Ἴσον ἀναφορᾶς πρὸς τοὺς εὐσεβεῖς βασιλεῖς παρὰ τῆς ἁγίας συνόδου περὶ τῶν ἀπὸ Ῥώμης ἐλθόντων ἐπισκόπων τε καὶ πρεσβυτέρων διὰ τοῦ διακόνου Εὐτυχοῦς = V 107

D (55) νε Εὐσεβὲς θέσπισμα ἐν τῆιδε τῆι Ἐφεσίων μητροπόλει καὶ ἡμᾶς καὶ τὴν ὑμῶν ὁσιότητα συνδραμεῖν ἐκέλευσε. ταῦτα δὲ διὰ δύο δηλοῦται πράξεων.

(56) νς Ὅτι ἀπεστάλησαν παρὰ τῆς συνόδου τρεῖς ἐπίσκοποι πρὸς τὸν δηλωθέντα Ἰωάννην Ἀντιοχείας καὶ τοὺς σὺν αὐτῶι ἐκκαλούμενοι αὐτοὺς ἐλθεῖν καὶ ἀπολογήσασθαι πρὸς τὰ προτεθέντα παρ' αὐτῶν κατὰ Κυρίλλου καὶ Μέμνονος. καὶ ὑποστρέψαντες εἶπον μηδὲ συγχωρηθῆναι πλησιάσαι αὐτοὺς τῶι τούτου οἰκήματι ὑπὸ στρατιωτῶν φυλαττομένωι, ὕβρεις δὲ ἀκοῦσαι παρὰ τῶν προστυχόντων κατά τε τῆς συνόδου καὶ Κυρίλλου καὶ Μέμνονος.

(57) νζ Ἀπεστάλησαν ἐκ δευτέρου ἕτεροι ἐπίσκοποι τρεῖς ὑπομιμνήσκοντες αὐτὸν πάλιν παραγενέσθαι εἰς τὴν σύνοδον καὶ ἀπελθόντες καὶ ὑποστρέψαντες εἶπον αὐτὸν μὲν τὸν Ἰωάννην μὴ ἰδεῖν, μηνυθῆναι δὲ αὐτοῖς διὰ κληρικῶν αὐτοῦ ὅτι ἡμεῖς ἀνθρώποις καθαιρεθεῖσι παρ' ἡμῶν καὶ ἀκοινωνήτοις οὖσιν οὐδὲ ἀπόκρισιν ποιοῦμεν.

(58) νη Ἔτι καὶ τρίτον προσεκαλέσαντο αὐτὸν δι' ἑτέρων ἐπισκόπων καὶ οὐδὲ οὕτως ἐπείσθη ἐλθεῖν μηνύσας αὐτοῖς διά κληρικοῦ αὐτοῦ ὅτι τύπον ἐκδεχόμεθα παρὰ τοῦ βασιλέως, ἐπειδήπερ ἅπαξ τὰ δόξαντα ἡμῖν ἐκεῖ ἀνηνέγκαμεν.

(59) νθ Ὅτι ἡ ἁγία σύνοδος ἀπόφασιν ἐξήνεγκε κατ' αὐτοῦ τε καὶ τῶν σὺν αὐτῶι ὥστε ἀλλοτρίους εἶναι τούτους τῆς ἐκκλησιαστικῆς κοινωνίας καὶ μηδὲ ἄδειαν ἔχειν ἐξ αὐθεντίας ἱερατικῆς εἰς τὸ δύνασθαί τινας βλάπτειν ἐκ ταύτης ἢ ὠφελεῖν, προδήλου τυγχάνοντος ὅτι οὐδὲ τὰ ἤδη πρότερον γενόμενα παρ' αὐτῶν κατὰ Κυρίλλου καὶ Μέμνονος ἰσχὺν ἔχει τινά. καὶ ὑπέγραψαν πάντες ἐπὶ τῆι τοιαύτηι ἀποφάσει.

(60) ξ Ἀναφορὰ τῆς συνόδου περὶ τῆς τοιαύτης πράξεως πρὸς τοὺς βασιλεῖς, ἧς ἡ ἀρχή· Τὰ μὲν προστεταγμένα τῆι ἁγίαι συνόδωι παρὰ τοῦ ὑμετέρου κράτους εἰς πέρας ἦλθε τὸ προσῆκον.

(61) ξα Γράμμα ἀποσταλὲν παρὰ τῆς ἁγίας συνόδου τοῖς καθ' ἑκάστην ἐπαρχίαν τε καὶ πόλιν ἐπισκόποις πρεσβυτέροις διακόνοις τε καὶ λαικοῖς περὶ τῶν τοιούτων Ἀνατολικῶν ἀποκηρύσσον αὐτοὺς ὡς τὰ Νεστορίου φρονοῦντας, οὗ ἡ ἀρχή· Συναχθέντων ἡμῶν κατὰ τὸ εὐσεβὲς γράμμα ἐν τῆι τῶν Ἐφεσίων μητροπόλει ἀπεστάτησαν τινὲς ἐξ ἡμῶν.

(62) ξβ Ἴσον ὑπομνήματος πραχθέντος ἐπὶ τῆι παρουσίαι τῶν ἀπὸ Ῥώμης ἐλθόντων, οὗ ἡ ἀρχή· Συνόδου συγκροτηθείσης.

(63) ξγ Γράμμα ἀποσταλὲν παρὰ Κελεστίνου τοῦ πάππα Ῥώμης τῆι ἁγίαι συνόδωι δι' Ἀρκαδίου καὶ Προιέκτου Ῥωμαίων ἐπισκόπων καὶ Φιλίππου πρεσβυτέρου, οἵτινες κατέλαβον μετὰ μίαν ἡμέραν τῆς καθαιρέσεως Νεστορίου προθυμοποιοῦντες τὴν σύνοδον εἰς τὸ γενναίως ἀντιστῆναι τῆι προκειμένηι αἱρέσει, οὗ ἡ ἀρχή· Τοῦ ἁγίου πνεύματος ἐμφανίζει τὴν παρουσίαν τῶν ἱερέων ἡ σύνοδος.

(64) ξδ Ἑτέρα πρᾶξις, ἐν ἧι ἐζήτησαν οἱ τοιοῦτοι Ῥωμαῖοι λαβεῖν γνῶσιν τῶν πεπραγμένων ἐπὶ Νεστορίωι καὶ ἀνεγνώσθη αὐτοῖς ἥ ὅλη πρᾶξις καὶ ἐβεβαίωσαν ταύτην καὶ οὗτοι διὰ τῶν οἰκείων ὑπογραφῶν.

(65) ξε Ἀναφορὰ πρὸς τοὺς εὐσεβεῖς βασιλεῖς παρὰ τῆς ἁγίας συνόδου περὶ τῶν ἀπὸ Ῥώμης ἐλθόντων ἀξιοῦσα λυθῆναι τὴν σύνοδον καὶ ἀπελθεῖν ἕκαστον εἰς τὰ ἴδια, μόνον φροντίσασαν τῆς χειροτονίας τοῦ μέλλοντος προβληθῆναι ἀντὶ Νεστορίου, ἧς ἡ ἀρχή· Τὴν περὶ τὴν εὐσέβειαν ὑμῶν φροντίδα τε καὶ σπουδὴν φιλόχριστοι βασιλεῖς.

35 ἡμετέρου D 39 ὑμῶν D

S 66 ξ̄ς ἴσον σάκρας ἀποσταλείσης διὰ Ἰωάννου κόμητος ⟨τῶν σακρῶν παρὰ τῶν εὐσεβεστάτων βασιλέων τῇι ἁγίαι καὶ μεγάλῃι συνόδωι⟩ = V 93

67 ξ̄ζ̄ ἴσον ἀναφορᾶς τῆς ἁγίας συνόδου πρὸς τὴν σάκραν τὴν ἀναγνωσθεῖσαν παρὰ τοῦ μεγαλοπρεπεστάτου κόμητος τῶν σακρῶν Ἰωάννου = V 94

68 ξ̄η̄ ἴσον ἐπιστολῆς Κυρίλλου ἀρχιεπισκόπου Ἀλεξανδρείας γραφείσης πρὸς τὸν κλῆρον καὶ τὸν λαὸν Κωνσταντινουπόλεως = V 100

69 ξ̄θ̄ ἴσον ἐπιστολῆς γραφείσης παρὰ Μέμνονος ἐπισκόπου Ἐφέσου πρὸς τὸν κλῆρον Κωνσταντινουπόλεως = V 101

70 ō ἴσον ἀναφορᾶς σταλείσης παρὰ τῆς ἁγίας συνόδου πρὸς τὸν εὐσεβέστατον βασιλέα Θεοδόσιον = V 102

71 Ἐπιστολὴ γραφεῖσα παρὰ τῆς ἁγίας συνόδου τοῖς ἐν Κωνσταντινουπόλει ἐπισκόποις πρεσβυτέροις καὶ διακόνοις = V 105

72 Δέησις καὶ ἱκεσία ὑπὸ τοῦ κλήρου Κωνσταντινουπόλεως ὑπὲρ τῆς ἐν Ἐφέσωι ἁγίας συνόδου = V 103

73 ἴσον ἐπιστολῆς γραφείσης παρὰ τῆς ἁγίας συνόδου πρὸς τὸν ἀρχιεπίσκοπον τῆς Ῥώμης Κελεστῖνον δηλοῦσα πάντα τὰ πραχθέντα ἐν αὐτῇι τῇι ⟨ἐν τῇι⟩ Ἐφεσίων ἁγίαι καὶ μεγάλῃι συνόδωι = V 82

74 ἴσον ἐπιστολῆς γραφείσης παρὰ τοῦ ἀρχιεπισκόπου Κυρίλλου τοῖς ἐν Κωνσταντινουπόλει εὐλαβεστάτοις ἐπισκόποις Θεοπέμπτωι καὶ Ποτάμωνι καὶ Δανιήλωι = V 104

D (66) ξ̄ς ἴσον σάκρας ἀποσταλείσης διὰ Ἰωάννου κόμητος τῶν σακρῶν παρὰ τῶν εὐσεβεστάτων βασιλέων τῇι Ἀνατολικῇι συνόδωι, δι' ἧς καταδέχεται τὴν Κυρίλλου καὶ Μέμνονος καθαίρεσιν ἐπίσης τῇι καθαιρέσει Νεστορίου, ἐντέλλεται δὲ αὐτοῖς φροντίσαι τοῦ λυθῆναι πᾶσαν ἀμφισβήτησιν καὶ οὕτω μετ' εἰρήνης εἰς τὰ οἰκεῖα ἐπανελθεῖν, οὗ ἡ ἀρχή· Ὅσον περὶ τὴν εὐσέβειαν καὶ τῆς προγονικῆς πίστεως τὸν ζῆλον διετελοῦμεν ἔχοντες.

(67) ξ̄ζ̄ ἴσον ἀναφορᾶς τῆς ἁγίας συνόδου πρὸς τοὺς βασιλεῖς, ἐν ἧι ἀξιοῖ ἀποδοθῆναι αὐτῇι Κύριλλον καὶ Μέμνονα ὡς μηδὲν εὐλόγως αἰτιαθέντας, ἧς ἡ ἀρχή· Ἡ μὲν φιλόχριστος ὑμῶν βασιλεία, εὐσεβέστατοι βασιλεῖς, ἐκ παίδων τὸν περὶ τὴν πίστιν καὶ τοὺς κανόνας ἐπεδείξατο ζῆλον.

(68) ξ̄η̄ Ἐπιστολὴ τσῦ ἁγίου Κυρίλλου γραφεῖσα πρὸς τὸν κλῆρον καὶ τὸν λαὸν τῆς Κωνσταντινουπόλεως περὶ τῶν αὐτῶν, ἧς ἡ ἀρχή· Ἐταράχθη λίαν ἡ ἁγία σύνοδος ἀκούσασα ὅτι οὐ πάντως ὀρθῶς ἀνήνεγκεν ὁ μεγαλοπρεπέστατος κόμης Ἰωάννης.

(69) ξ̄θ̄ Ἐπιστολὴ γραφεῖσα παρὰ Μέμνονος ἐπισκόπου Ἐφέσου πρὸς τὸν κλῆρον τῆς Κωνσταντινουπόλεως, ἧς ἡ ἀρχή· Οἶα διὰ τὴν τοῦ θεοῦ πίστιν τὴν ἀληθῆ τε καὶ ὀρθόδοξον ὑπομένομεν ἐν Ἐφέσωι.

(70) ō ἴσον ἀναφορᾶς σταλείσης παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου πρὸς τοὺς βασιλεῖς, δι' ἧς ἀξιοῖ περὶ τῶν αὐτῶν, ἀποδοθῆναι δηλαδὴ τῇι συνόδωι τοὺς ἐξάρχους αὐτῶν, ἧς ἡ ἀρχή· Τὸ μὲν ὑμέτερον κράτος οὐ περιεῖδε τὴν ἀληθῆ πίστιν ὑποῤῥυττομένην ὑπὸ τῆς Νεστορίου διδασκαλίας.

(71) ō ᾱ Ἐπιστολὴ σταλεῖσα παρὰ τῆς αὐτῆς ἁγίας συνόδου τοῖς ἐν Κωνσταντινουπόλει ἐπισκόποις πρεσβυτέροις καὶ διακόνοις, δι' ἧς ἀξιοῖ αὐτοὺς δεηθῆναι τοῦ βασιλέως ἵνα ἀποδοθῶσιν αὐτοῖς οἱ ἔξαρχοι αὐτῶν Κύριλλος καὶ Μέμνων, ἧς ἡ ἀρχή· Τοῖς ἐν τοσαύτηι τρικυμίαι καθεστῶσι πραγμάτων.

(72) ō β̄ Δέησις πρὸς τοὺς βασιλεῖς παρὰ τοῦ κλήρου Κωνσταντινουπόλεως ὑπὲρ τῆς ἐν Ἐφέσωι ἁγίας συνόδου, ἧς ἡ ἀρχή· Εἰδότες τὴν ὑμετέραν εὐσέβειαν πολύν τινα λόγον ποιησαμένην τῶν ἁγίων τοῦ θεοῦ ἐκκλησιῶν.

(73) ō γ̄ Ἐπιστολὴ γραφεῖσα παρὰ τῆς ἁγίας συνόδου πρὸς τὸν πάππαν Ῥώμης Κελεστῖνον δηλοῦσα πάντα τὰ πραχθέντα ἐν αὐτῇι τῇι ἐν Ἐφέσωι ἁγίαι καὶ μεγάλῃι συνόδωι, ἧς ἡ ἀρχή· Τῆς μὲν σῆς ὁσιότητος ὁ περὶ τῆς εὐσεβείας ζῆλος.

---

1. 2 τῶν — συνόδωι exciderunt in S propter folii defectum, suppleui ex eis quae D in ipso textu habet 11 hinc inde numeri deficiunt in S 16 ἐν τῇι addidi 18—p. 11, 8 praetermittit capitulatio D 19 titulo et salutatione conflatis post Δανιήλωι pergit ἀγαπητοῖς καὶ συλλειτουργοῖσ ἐν κ̄ῳ̄ χαίρειν S 32 διὰ n [= Mon. 116] δὴ D

S 75 Ἐπιστολὴ πραχθεῖσα παρὰ τῆς ἁγίας συνόδου τοῖς ἀποσταλεῖσι παρ' αὐτῆς τῆς ἁγίας συνόδου τοῖς ἐν Κωνσταντινουπόλει εὐλαβεστάτοις ἐπισκόποις ὥστε αὐτοὺς δικάσασθαι τοῖς ἀπὸ τῆς Ἀνατολῆς. in margine adnotatur ζήτει τὰ πρεβάντα μετὰ τὴν τοιαύτην ἐντολὴν κατὰ ἀκολουθίαν ἐν τῶι δευτέρωι βιβλίωι, ἐν ὧι καὶ αὕτη προτέτακται = V 95

76 Ἐντολὴ πραχθεῖσα παρὰ τῶν Ἀνατολικῶν τοῖς ἀποσταλεῖσι παρ' αὐτῶν ἐν Κωνσταντινουπόλει ἐπισκόποις ὥστε δικάσασθαι μετὰ τῶν ἀποσταλέντων παρὰ τῆς οἰκουμενικῆς συνόδου ὀρθοδόξοις ἐπισκόποις ἐν αὐτῆι Κωνσταντινουπόλει. in margine adnotatur ζήτει καὶ τὰ ἐπὶ ταύτηι παρακολουθήσαντα ἐν τῶι δευτέρωι βιβλίωι ὁμοίως = V 96

77 Ἐπίλυσις τῶν ιβ̄ κεφαλαίων ῥηθεῖσα ἐν Ἐφέσωι ὑπὸ Κυρίλλου ἀρχιεπισκόπου Ἀλεξανδρείας, τῆς ἁγίας συνόδου ἀξιωσάσης αὐτὸν σαφέστερον ἐκθεῖναι αὐτοῖς τὴν τούτων λύσιν = V 148

78 Τοῦ ἁγίου Κυρίλλου ἐξήγησις λεχθεῖσα ἐν Ἐφέσωι ἐν τῶι ἁγίωι Ἰωάννηι τῶι εὐαγγελιστῆι = V 76

79 Τοῦ αὐτοῦ Κυρίλλου κατὰ τοῦ ἀποσχίσαντος Ἰωάννου τοῦ Ἀντιοχέως = V 78

80 Τοῦ αὐτοῦ Κυρίλλου = V 75

81 ⟨Τοῦ αὐτοῦ Κυρίλλου⟩ = V 77

82 Τοῦ αὐτοῦ πρὸς Νεστόριον = V 80

83 Maximiani epistula ad Cyrillum = V 114

84 Cyrilli epistula ad Maximianum = V 115

85 Τοῦ αὐτοῦ Κυρίλλου λόγος ἀπολογητικὸς πρὸς τὸν εὐλαβέστατον ἡμῶν βασιλέα Θεοδόσιον = V 118

86 Ἴσον θείου γράμματος ἀποσταλέντος δι' Ἀριστολάου τριβούνου καὶ νοταρίου Ἰωάννηι τῶι ἐπισκόπωι Ἀντιοχείας περὶ τῆς εἰρήνης καὶ ἑνώσεως τῶν ἁγίων ἐκκλησιῶν = V 120

D (77) ϟδ̄ Τοῦ ἁγίου Κυρίλλου ἐπίλυσις τῶν παρ' αὐτοῦ ἐκτεθέντων δώδεκα κεφαλαίων ῥηθεῖσα ἐν Ἐφέσωι τῆς ἁγίας συνόδου ἀξιωσάσης αὐτὸν σαφέστερον ἐκθεῖναι αὐτοῖς τὴν τούτων λύσιν, ἐν ἧι ἀνατάττει πρῶτα μὲν ἕκαστον κεφάλαιον, εἶτα καὶ τὴν ἐπίλυσιν, ἧς ἡ ἀρχή· Πάντα ἐνώπια τοῖς συνιοῦσι καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν.

(78) ο̄ε̄ Τοῦ αὐτοῦ ὁμιλία ῥηθεῖσα ἐν ἡμέραι Ἰωάννου τοῦ εὐαγγελιστοῦ, ἧς ἡ ἀρχή· Τῆς μὲν τῶν ἁγίων εὐκλείας τε καὶ δόξης ἐλάττων ἐστὶ πᾶς λόγος.

(79) ο̄ς̄ Τοῦ αὐτοῦ ὁμιλία κατὰ Νεστορίου καὶ Ἰωάννου τοῦ Ἀντιοχείας, ἧς ἡ ἀρχή· Τῆς εἰς Χριστὸν ἀγάπης τὴν δύναμιν παρὰ τῆς θείας δεδιδάγμεθα γραφῆς.

(80) ο̄ζ̄ Τοῦ αὐτοῦ ὁμιλία, ἧς ἡ ἀρχή· Ἔδει μὲν ἀρκεῖσθαι ταῖς τῶν προλαβόντων διδασκάλων μυσταγωγίαις.

(81) ο̄η̄ Τοῦ αὐτοῦ ὁμιλία, ἧς ἡ ἀρχή· Οἱ τοῖς ἱεροῖς προσέχοντες γράμμασι.

(82) ο̄θ̄ Τοῦ αὐτοῦ ὁμιλία ῥηθεῖσα ἐν Ἐφέσωι εἰς τὴν καθαίρεσιν Νεστορίου, ἧς ἡ ἀρχή· Φαιδρὸν ὁρῶ τὸ σύστημα τῶν ἁγίων πατέρων.

(83) π̄ Ἐπιστολὴ τοῦ προβληθέντος ἀρχιεπισκόπου Κωνσταντινουπόλεως Μαξιμιανοῦ πρὸς Κύριλλον τὸν Ἀλεξανδρείας, ἐν ἧι συνιστᾶι ἑαυτὸν καὶ ὑπερεπαινεῖ τὸν ἅγιον ὡς ὑπὲρ εὐσεβείας ἀνδρισάμενον, ἧς ἡ ἀρχή· Πεπλήρωταί σοι τὰ τῆς ἐπιθυμίας θεοφιλέστατε.

(84) π̄ᾱ Ἀντίγραφον τοῦ ἐν ἁγίοις Κυρίλλου πρὸς τὸν αὐτὸν Μαξιμιανόν, οὗ ἡ ἀρχή· Πρέπει δή με καὶ νῦν εἰπεῖν τῆς σῆς τελειότητος τὴν πολύευκτον ἡμῖν λαχούσης ἱερωσύνην· εὐφράνθητι ὁ οὐρανὸς ἄνωθεν.

(85) π̄β̄ Τοῦ αὐτοῦ λόγος ἀπολογητικὸς πρὸς τὸν εὐσεβέστατον βασιλέα Θεοδόσιον διδάσκων πάντα τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους πραχθέντα κατὰ τὴν ἐν Ἐφέσωι σύνοδον, οὗ ἡ ἀρχή· Ἡ μὲν θεία καὶ ἀκήρατος καὶ τῶν ὅλων κατεξουσιάζουσα φύσις.

Ἀρχὴ τῶν προβάντων ἐπὶ τῆι ἑνώσει τῶν ἐκκλησιῶν

(86) π̄ϛ̄ Γράμμα βασιλικὸν ἀποσταλὲν διὰ Ἀριστολάου τριβούνου καὶ νοταρίου Ἰωάννηι ἐπισκόπωι Ἀντιοχείας περὶ τῆς ἑνώσεως τῶν ἐκκλησιῶν, οὗ ἡ ἀρχή· Σκοπὸς ἡμῖν τῆς εἰρήνης τὸ κατόρθωμα.

---

1 postulatur Ἐντολή 16 exciderunt in S propter folii defectum, suppleui ex eis quae D in textu habet 20 postulatur εὐσεβέστατον

S 87 Λίβελλοι δοθέντες τῶι ἁγιωτάτωι ἀρχιεπισκόπωι Κυρίλλωι παρὰ Παύλου ἐπισκόπου Ἐμέσης ἀποσταλέντες παρὰ Ἰωάννου Ἀντιοχέως = V 122

88 Iohannis Antiocheni epistula ad Cyrillum = V 123

89 Cyrilli epistula ad Iohannem Antiochenum = V 127

90 Ἐπιστολὴ Κυρίλλου ἀρχιεπισκόπου Ἀλεξανδρείας γραφεῖσα πρὸς Ἀκάκιον ἐπίσκοπον μεμψάμενον αὐτὸν δι' ἐπιστολῆς ὡς συνθέμενον τοῖς Ἀνατολικοῖς = V 128

91 Ὑπομνηστικὸν Εὐλογίωι πρεσβυτέρωι παραμένοντι ἐν Κωνσταντινουπόλει παρὰ τοῦ ἀρχιεπισκόπου Κυρίλλου = V 132

92 Τοῦ αὐτοῦ Κυρίλλου ἐπιστολὴ γραφεῖσα πρὸς Ἰωάννην τὸν Ἀντιοχείας ἐπίσκοπον καὶ τὴν συναχθεῖσαν ἐκεῖσε σύνοδον = V 133

93 Ὁμιλία Πρόκλου ἐπισκόπου λεχθεῖσα καθεζομένου Νεστορίου ἐν τῆι μεγάληι ἐκκλησίαι Κωνσταντινουπόλεως = V 19

94 Ἴσον σάκρας γραφείσης πρὸς Ἀκάκιον τὸν τῆς Βεροιαίων καὶ Συμεῶνα τὸν ἀναχωρητὴν καὶ ἄλλαις ἐπαρχίαις ἰδίαι ἑκάστωι = V 23

95 α̅ Πρὸ τῆς συνόδου ἐπιστολὴ πρώτη ἀπὸ Ῥόδου = V 26

96 β̅ Τοῦ αὐτοῦ δευτέρα ἐπιστολή = V 27

97 γ̅ Τοῦ αὐτοῦ γ̅ = V 28

98 δ̅ Τοῦ αὐτοῦ ἐπιστολὴ τετάρτη = V 29

D (87) πδ̅ Λίβελλος ἤγουν ὁμολογία ἐπιδοθεῖσα τῶι ἁγίωι Κυρίλλωι παρὰ Παύλου ἐπισκόπου Ἐμέσης, οὗ ἡ ἀρχή· Οἱ εὐσεβέστατοι καὶ καλλίνικοι ἡμῶν βασιλεῖς ἣν ἄνωθεν ἔχειν ἀξιοῦσι σπουδήν.

(88) πε̅ Ἐπιστολὴ τοῦ μακαρίου Ἰωάννου ἐπισκόπου Ἀντιοχείας πρὸς τὸν ἅγιον Κύριλλον, ἧς ἡ ἀρχή· Πρώην ἐκ θεσπίσματος τῶν εὐσεβεστάτων ἡμῶν βασιλέων.

(89) πς̅ Ἐπιστολὴ τοῦ ἁγίου Κυρίλλου πρὸς τὸν μακάριον Ἰωάννην τὸν Ἀντιοχείας σταλεῖσα διὰ τοῦ εὐλαβεστάτου ἐπισκόπου Παύλου, ἧς ἡ ἀρχή· Εὐφραινέσθωσαν οἱ οὐρανοὶ καὶ ἀγαλλιάσθω ἡ γῆ.

(90) πζ̅ Τοῦ αὐτοῦ ἐπιστολὴ πρὸς Ἀκάκιον Βερροίας ἤτοι Μελιτηνῆς, ἧς ἡ ἀρχή· Χρῆμα μὲν ἀδελφοῖς ἡ πρόσρησις γλυκὺ τε καὶ ἀξιέραστον.

(91) πη̅ Ἐπιστολὴ τοῦ αὐτοῦ ἁγίου Κυρίλλου πρὸς Εὐλόγιον πρεσβύτερον Ἀλεξανδρείας ὄντα ἐν Κωνσταντινουπόλει, ἧς ἡ ἀρχή· Ἐπιλαμβάνονταί τινες τῆς ἐκθέσεως ἧς πεποίηνται οἱ Ἀνατολικοί.

(92) πθ̅ Ἐπιστολὴ τοῦ αὐτοῦ πρὸς Ἰωάννην ἐπίσκοπον Ἀντιοχείας, ἧς ἡ ἀρχή· Οὐκ ἠρέμησεν ὁ δράκων ὁ ἀποστάτης.

(93) ϛ̅ Ὁμιλία Πρόκλου ἐπισκόπου Κυζίκου λεχθεῖσα ἐν Κωνσταντινουπόλει εἰς τὴν ἐνανθρώπησιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐξεφώνησε δὲ τὴν τοιαύτην ὁμιλίαν προκαθημένου τοῦ Νεστορίου, προτραπεὶς εἰς τοῦτο παρ' αὐτοῦ, ἧς ἡ ἀρχή· Παρθενικὴ πανήγυρις σήμερον.

(94) ϛα̅ Ἴσον σάκρας γραφείσης πρὸς Ἀκάκιον τὸν Βερροιαίων καὶ Συμεῶνα τὸν ἐν Ἀντιοχείαι ἀναχωρητὴν καὶ ἄλλας ἐπαρχίας ἰδίαι ἑκάστωι, ἧς ἡ ἀρχή· Οὐδὲν παντελῶς ἡμῖν παραλέλειπται τῶν ὑπὲρ τῆς ἑαυτῶν ὀφειλόντων σπουδασθῆναι θρησκείας.

(95) ϛβ̅ Ἐπιστολὴ Κυρίλλου πρὸς τὸν αὐτοῦ κλῆρον σταλεῖσα ἀπὸ Ῥόδου πρὸ τοῦ ἀπαντῆσαι εἰς τὴν σύνοδον, ἧς ἡ ἀρχή· Χάριτι καὶ φιλανθρωπίαι τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ τὸ πλατὺ καὶ μέγα διενηξάμεθα πέλαγος.

(96) ϛγ̅ Τοῦ αὐτοῦ ἐπιστολὴ δευτέρα πρὸς τοὺς αὐτοὺς μεθ' ὃ κατήντησεν εἰς τὴν σύνοδον, ἧς ἡ ἀρχή· Διψῶντί μοι πάλιν τῆς ὑμῶν ἐπιεικείας τὴν πρόσρησιν.

(97) ϛδ̅ Τοῦ αὐτοῦ ἐπιστολὴ πρὸς τοὺς ἐν Ἀλεξανδρείαι ἐπισκόπους καὶ διακόνους καὶ τὸν λαὸν δηλοῦσα συνοπτικῶς τὰ συμβάντα ἐν τῆι συνόδωι, ἧς ἡ ἀρχή· ⟨Εἰ⟩ καὶ πλατύτερον ἔδει τὰ γεγενημένα τῆι ὑμῶν θεοσεβείαι γνωρίσαι.

(98) ϛε̅ Τοῦ αὐτοῦ ἐπιστολὴ πρὸς τοὺς αὐτοὺς ἀπὸ Ἐφέσου, ἧς ἡ ἀρχή· Τὰ λαμπρὰ καὶ μεγάλα τῶν κατορθωμάτων οὐ δίχα πόνων εἰς πέρας ἄγεται.

---

5 post ἐπίσκοπον add. μελιτηνῆς in mg. S 43 Εἰ om. D

S 99—103 Additamenta ad Gesta primaria sessionis primae = V 54—59
104 Concilii epistula ad clerum et populum Constantinopolitanum = V 69
105 Ὁμιλία λεχθεῖσα ἐν Ἐφέσωι Ῥηγίνου ἐπισκόπου Κύπρου μετὰ τὴν καθαίρεσιν Νεστορίου = V 70
106 Θεοδότου ἐπισκόπου Ἀγκύρας λεχθεῖσα ἐν Ἐφέσωι = V 71
107 Θεοδότου ἐπισκόπου Ἀγκύρας εἰς τὴν γένναν τοῦ σωτῆρος ἀναγνωσθεῖσα ἐν τῆι συνόδωι ἐπὶ τοῦ ἐπισκόπου Κυρίλλου = V 72
108 Ἀκακίου ἐπισκόπου Μελιτηνῆς ὁμιλία λεχθεῖσα ἐν Ἐφέσωι = V 74
109 Ὁμιλία Κυρίλλου ἐπισκόπου Ἀλεξανδρείας λεχθεῖσα ἐν Ἐφέσωι πρὶν συσχεθῆναι παρὰ τοῦ κόμητος καὶ ὑπὸ στρατιωτῶν φυλαχθῆναι = V 79 cf. 121
110 Ἴσον ἐπιστολῆς γραφείσης παρὰ τοῦ κλήρου Κωνσταντινουπόλεως πρὸς τὴν ἁγίαν σύνοδον [= 51] = V 86
111 Synodi Orientalium decretum cf. V 96
112 Iohannis Antiocheni Himerii Theodoreti ceterorum epistula ad Rufum = V 97

D (99) $\overline{\varsigma\varsigma}$ Ὑπομνήματα πραχθέντα παρὰ τῆι ἐν Ἐφέσωι ἁγίαι συνόδωι ἐπὶ τῆι βεβαιώσει τοῦ συμβόλου τῶν ἐν Νικαίαι ἁγίων πατέρων καὶ ἐπὶ τῶι δοθέντι λιβέλλωι παρὰ Χαρισίου πρεσβυτέρου καὶ οἰκονόμου τῆς Φιλαδελφέων ἐκκλησίας περὶ τοῦ παραπλασθέντος συμβόλου παρά τινων πρεσβυτέρων φοιτητῶν τοῦ Νεστορίου, ἐν ὅσωι ἀνέμενεν ἡ σύνοδος τὴν ἀπὸ τοῦ βασιλέως πρόσταξιν καὶ τὴν ὑποστροφὴν ὧν ἀπέστειλεν ἐπισκόπων. ἐν δὲ τῆι τοῦ συμβόλου βεβαιώσει καὶ μαρτυρίαι κατέστρωνται ἁγίων πολλῶν.
(100) $\overline{\varsigma\zeta}$ Λίβελλος δοθεὶς παρὰ τοῦ δηλωθέντος Χαρισίου πρὸς τὴν ἁγίαν σύνοδον, οὗ ἡ ἀρχή· Εὐχὴ μέν ἂν εἴη τοῖς εὖ φρονοῦσι τιμὴν ἀεὶ καὶ πρέπουσαν αἰδῶ πνευματικοῖς μάλιστα πατράσι καὶ διδασκάλοις ἀπονέμειν.
(101) $\varsigma\overline{\eta}$ Ἔκθεσις τοῦ παραπλασθέντος συμβόλου παρὰ Ἀντωνίου καὶ Ἰακώβου τῶν δηλωθέντων φοιτητῶν Νεστορίου, ἧς ἡ ἀρχή· Τοὺς ἢ νῦν ἢ πρῶτον παιδευομένους τῶν ἐκκλησιαστικῶν δυγμάτων τὴν ἀκρίβειαν.
(102) $\overline{\varsigma\theta}$ Ἐπιστροφὴ τῶν Τεσσαρεσκαιδεκατιτῶν ἀπὸ τῆς αὐτῶν αἱρέσεως καὶ ὁμολογία ἔγγραφος τῆς ὀρθοδόξου πίστεως, ἧς ἡ ἀρχὴ ἐφ' ἑκάστωι· Ὁ δεῖνα Φιλαδελφεὺς Τεσσαρεσκαιδεκατίτης ἐπιγνοὺς τὴν ἀληθῆ πίστιν.
(104) $\overline{\rho}$ Ἐπιστολὴ τῆς ἁγίας συνόδου πρὸς τὸν κλῆρον καὶ τὸν λαὸν τῆς Κωνσταντινουπόλεως μετὰ τὴν καθαίρεσιν Νεστορίου, ἧς ἡ ἀρχή· Οὐδεὶς τολμήσας τῶι ἰδίωι κτίστηι ἐναντιωθῆναι ἔμεινεν ἐκτὸς θείας δίκης.
(105) $\overline{\rho\alpha}$ Ὁμιλία Ῥηγίνου τοῦ ἐπισκόπου Κύπρου ῥηθεῖσα ἐν Ἐφέσωι μετὰ τὴν καθαίρεσιν Νεστορίου, ἧς ἡ ἀρχή· Ἐμοὶ μέν ἐδόκει σιγᾶν καὶ ταύτηι τοὺς πατέρας τιμᾶν.
(106) $\overline{\rho\beta}$ Ὁμιλία Θεοδότου ἐπισκόπου Ἀγκύρας ἐν ἡμέραι Ἰωάννου τοῦ εὐαγγελιστοῦ πρὸς Νεστόριον, ἧς ἡ ἀρχή· Ὅπερ ἐστὶ τοῖς σώμασιν ἡμῶν ἰατρός, τοῦτο ταῖς ψυχαῖς ἱερεύς.
(107) $\overline{\rho\gamma}$ Ὁμιλία τοῦ αὐτοῦ εἰς τὴν γέννην τοῦ σωτῆρος ἀναγνωσθεῖσα ἐν τῆι συνόδωι ἐπὶ τοῦ ἐπισκόπου Κυρίλλου, ἧς ἡ ἀρχή· Λαμπρὰ τῆς παρούσης ἑορτῆς ἡ ὑπόθεσις.
(108) $\overline{\rho\delta}$ Ὁμιλία Ἀκακίου Μελιτηνῆς λεχθεῖσα ἐν Ἐφέσωι, ἧς ἡ ἀρχή· Ὁρῶντί μοι, ἀγαπητοί, τὸ φαιδρὸν τοῦτο καὶ πνευματικὸν τῆς ἁγίας συνόδου συνέδριον.
(109) $\overline{\rho\varepsilon}$ Ἴσον ἐπιστολῆς τοῦ ἁγίου Κυρίλλου πρὸς Νεστόριον περὶ τῆς πίστεως, ἧς ἡ ἀρχή· Ὁ μακάριος προφήτης Δαυὶδ τοὺς ἐπὶ θεῶι πεποιθότας εὐτολμοτάτους ἀποφαίνει.
(111) $\overline{\rho\varsigma}$ Ἔκθεσις πίστεως ἣν ἐκθέμενοι οἱ Ἀνατολικοὶ ἐπίσκοποι καὶ οἱ σὺν αὐτοῖς ὑπογράψαντες ἐν αὐτῆι δεδώκασι τοῖς παρ' αὐτῶν σταλεῖσιν ἐν Κωνσταντινουπόλει, ἧς ἡ ἀρχή· Τῶν ἔναγχος ἀναφυέντων ἐκκλησιαστικῶν ἕνεκεν ζητημάτων.
(112) $\overline{\rho\zeta}$ Ἐπιστολὴ τῶν ἐν Καλχηδόνι ὄντων ἐκ τῶν ἀποσχισθέντων πρὸς Ῥοῦφον τὸν ἐπίσκοπον ὄντα ἐν Ἐφέσωι, ἧς ἡ ἀρχή· Λίαν βεβλάφθαι τὴν εὐσέβειαν καὶ τὴν ἐκκλησιαστικὴν εἰρήνην ὑπὸ τῆς ἀπουσίας τῆς σῆς ἁγιωσύνης ἡγούμεθα.

---

29 ζήτει μετὰ τὸ $\overline{\varsigma\theta}$ κεφάλαιον ἐφε⟨ξῆς τόν⟩ [ἐφε tum spatium uacuum D] ὅρον τῆς συνόδου περὶ πίστεως καὶ περὶ ὧν ἀνήνεγκεν ὁ Χαρίσιος Dmg m. rec. 41 Ἴσον ἐπιστολῆς nescio an ex capitulo (110) praetermisso intrusa sint 42 τὸ ἑξῆς ζήτει ἐπιστολὴν γραφεῖσαν παρὰ τοῦ κλήρου Κωνσταντινουπόλεως πρὸς τὴν ἁγίαν σύνοδον Dmg m. rec.

S 113 Concilii epistula ad episcopos Eulalium Entrechium Acacium Chrysaphium Hieremiam Theodulum Esaiam = V 99

114 Ἀντίγραφον ἀναφορᾶς παρὰ τῆς ἁγίας συνόδου διὰ Ἰουβεναλίου Φίρμου Φλαυιανοῦ Ἀρκαδίου Θεοδότου Ἀκακίου Εὐοπτίου ἐπισκόπου καὶ Φιλίππου πρεσβυτέρου = V 108

115 Βασιλικὸν θέσπισμα τὸ δημεῦον καὶ ἐξορίζον Νεστόριον = V 109

116 Ἀντίγραφον ἑρμηνείας βασιλικοῦ θεσπίσματος γραφέντος πρὸς Ἰσίδωρον ἔπαρχον πραιτωρίων καὶ ὕπατον περὶ τῆς ἐξορίας Νεστορίου = V 110

117 Ἀντίγραφον θείου νόμου = V 111

118 Edictum praefectorum praetorio = V 112

119 Ἐπιστολὴ συνοδικὴ γραφεῖσα ἀπὸ Κωνσταντινουπόλεως = V 113

120 Alypii presbyteri epistula ad Cyrillum = V 116

121 Cyrilli epistula ad Alypium. post satis magnam partem epistula abrumpitur: προεγράφη καὶ τὰ ἑξῆς ζήτει ὄπισθεν εἰς τὴν ὁμιλίαν Κυρίλλου Ἀλεξανδρείας [109] = V 117

122 Θεῖον γράμμα ἀποσταλὲν πρὸς Ἀκάκιον ἐπίσκοπον Βεροίας = V 121

d. 25. m.Dec.a.432 123 Ὁμιλία Παύλου ἐπισκόπου Ἐμίσης λεχθεῖσα Χοιὰκ κθ̄ ἐν τῇι μεγάλῃι ἐκκλησίαι Ἀλεξανδρείας, καθημένου τοῦ μακαρίου Κυρίλλου, εἰς τὴν γένναν τοῦ Χριστοῦ καὶ ὅτι θεοτόκος ἡ ἁγία παρθένος Μαρία καὶ ὅτι οὐ δύο υἱοὺς λέγομεν, ἀλλ' ἕνα υἱὸν κύριον τὸν Χριστὸν καὶ εἰς τὸν ἀρχιεπίσκοπον ἐγκώμια = V 124

124 Τοῦ αὐτοῦ ὁμιλία λεχθεῖσα ἐν τῇι μεγάλῃι ἐκκλησίαι Ἀλεξανδρείας καὶ εἰς τὴν ἐνανθρώπησιν τοῦ σωτῆρος ἡμῶν Χριστοῦ καὶ εἰς τὸν ἀρχιεπίσκοπον Κύριλλον ἐγκώμια = V 125

125 Κυρίλλου ἀρχιεπισκόπου Ἀλεξανδρείας εἰς τὸν προεξηγησάμενον καὶ εἰς τὴν ἐνανθρώπησιν τοῦ κυρίου = V 126

D (113) ρη̄ Ἐπιστολὴ τῆς ἁγίας συνόδου ἀπὸ Ἐφέσου πρὸς τοὺς ἀποσταλέντας ἐν Κωνσταντινουπόλει ἐπισκόπους, ἧς ἡ ἀρχή· Τοὺς οὕτω διακειμένους ὡς ἐδήλωσεν ἡμῖν καὶ τὰ γράμματα.

(114) ρθ̄ Ἀντίγραφον ἀναφορᾶς παρὰ τῆς συνόδου πρὸς τοὺς βασιλεῖς σταλὲν διὰ τῶν ἐν Κωνσταντινουπόλει σταλέντων ἐπισκόπων, οὗ ἡ ἀρχή· Πάντα μὲν τὰ τῆς ὑμετέρας βασιλείας ἐπαινετά.

(115 cf. 117) ρῑ Βασιλικὸν θέσπισμα τὸ δημεῦον καὶ ἐξορίζον Νεστόριον, οὗ ἡ ἀρχή· Τὸ τῇι εὐσεβεστάτηι θρησκείαι παρ' ὑμῶν ὀφειλόμενον σέβας.

(118) ριᾱ Διάταγμα τῶν ἐπάρχων περὶ τοῦ μὴ ἀναγινώσκεσθαι τὰ Νεστορίου, οὗ ἡ ἀρχή· Οὐδὲν οὕτω φίλον τοῖς κρατοῦσιν.

(119) ριβ̄ Ἐπιστολὴ συνοδικὴ γραφεῖσα ἀπὸ Κωνσταντινουπόλεως πρὸς τὴν ἐν Ἐφέσωι ἁγίαν σύνοδον, ἧς ἡ ἀρχή· Εἰδότες τὴν τῶν ἀποσχισάντων ἐπιβουλήν τε καὶ ἀπάτην τὴν κατὰ τῶν ἐκκλησιῶν. τῇι δὲ τοιαύτηι ἐπιστολῆι συναπεστάλη καὶ τὸ προφρηθὲν συνοδικὸν γράμμα οὗ ἡ ἀρχὴ ἦν·

ριγ̄ Συναχθέντων ἡμῶν κατὰ τὸ εὐσεβὲς γράμμα ἐν τῇι Ἐφεσίων μητροπόλει.

(120) ριδ̄ Ἐπιστολὴ Ἀλυπίου πρεσβυτέρου τῶν ἀποστόλων πρὸς τὸν ἅγιον Κύριλλον, ἧς ἡ ἀρχή· Μακάριος ἄνθρωπος ὃν ἂν καταξιώσηι ὁ θεὸς πρῶτον ἰδεῖν τὴν θεοφιλῆ καὶ ἁγίαν σου κεφαλήν.

(122) ριε̄ Γράμμα βασιλικὸν ἀποσταλὲν διὰ τοῦ δηλωθέντος Ἀριστολάου τῶι μακαρίωι Συμεῶνι τῶι στυλίτηι, οὗ ἡ ἀρχή· Ὅλον τὸν τῆς σῆς εὐλαβείας βίον ἐπεστράφθαι πρὸς τὸν θεὸν καὶ οὕτως ζῆν.

(123) ριϛ̄ Ὁμιλία Παύλου ἐπισκόπου Ἐμίσης λεχθεῖσα ἐν τῇι μεγάλῃι ἐκκλησίαι Ἀλεξανδρείας, καθημένου τοῦ ἁγιωτάτου ἐπισκόπου Κυρίλλου, εἰς τὴν γέννησιν τοῦ Χριστοῦ καὶ ὅτι θεοτόκος ἡ ἁγία παρθένος Μαρία καὶ ὅτι οὐ δύο υἱοὺς λέγομεν, ἀλλ' ἕνα υἱὸν Ἰησοῦν τὸν Χριστὸν καὶ εἰς τὸν ἀρχιεπίσκοπον Κύριλλον ἐγκώμιον, ἧς ἡ ἀρχή· Εὔκαιρον σήμερον τὴν ὑμετέραν παρακαλέσαι εὐλάβειαν.

(124) ριζ̄ Τοῦ αὐτοῦ εὐλαβεστάτου ἐπισκόπου Παύλου ὁμιλία λεχθεῖσα ἐν τῇι αὐτῇι μεγάλῃι ἐκκλησίαι εἰς τὴν ἐνανθρώπησιν τοῦ σωτῆρος καὶ εἰς τὸν ἀρχιεπίσκοπον Κύριλλον, ἧς ἡ ἀρχή· Πρώην πρὸς τὴν ὑμετέραν ἀγωνιστικώτερον διαλεγόμενοι ἀγάπην.

(125) ριη̄ Ὁμιλία Κυρίλλου τοῦ ἁγιωτάτου ῥηθεῖσα μετὰ τὸ ὁμιλῆσαι τὸν μακάριον Παῦλον τὸν ἐπίσκοπον, ἧς ἡ ἀρχή· Ὁ μακάριος προφήτης Ἡσαίας τῶν ἐν Χριστῶι διδασκάλων τὰς εὐστομίας προανακηρύττων ἔλεγεν.

---

4 εὐοππίου S 6 βασιλικῆσ S 15 χοιάθ S 37 συμεώνη D 39 ἀλεξανδρείασ n [= Mon. 116] ἀλεξανδρεία D

S 126 Τοῦ αὐτοῦ πρὸς Δυνάτον ἐπίσκοπον Νικοπόλεως Παλαιᾶς Ἠπείρου ἐπιστολή = V 129
127 Ἰωάννου ἐπισκόπου Ἀντιοχείας καὶ τῶν λοιπῶν τῶν σὺν αὐτῷι ἐπιστολὴ πρὸς Ξύστον ἐπίσκοπον Ῥώμης καὶ πρὸς Κύριλλον ἐπίσκοπον Ἀλεξανδρείας καὶ Μαξιμιανὸν ἐπίσκοπον Κωνσταντινουπόλεως = V 130
128 Κυρίλλου ἐπισκόπου Ἀλεξανδρείας πρὸς Μαξιμιανὸν ἐπίσκοπον Κωνσταντινουπόλεως ἐπιστολή = V 131
129 Ἴσον ἐπιστολῆς γραφείσης παρὰ τοῦ αὐτοῦ πρὸς Ἀκάκιον ἐπίσκοπον περὶ τοῦ ἀποπομπαίου = V 134
130 Βασιλικὸς νόμος περὶ τῶν προσφευγόντων ἐν ἐκκλησίαις = V 137
131 Ἴσον θείου θεσπίσματος τοῦ εὐσεβεστάτου βασιλέως Θεοδοσίου κατά τε Πορφυρίου καὶ Νεστοριανῶν καὶ κατὰ Εἰρηναίου τοῦ Τυρίων ἐπισκόπου = V 138
132 Διάταγμα προτεθὲν παρὰ τῶν ἐπάρχων μετὰ τοῦ θείου πραγματικοῦ κατὰ Πορφυρίου καὶ Νεστορίου καὶ Εἰρηναίου = V 139
133 Gesta synodi Orientalium = V 151
134 Γράμμα τῶν αὐτῶν τῆς ἀκοινωνησίας σταλὲν ἐν τῆι ἁγίαι συνόδωι = V 152
135 Ἀναφορὰ τῶν αὐτῶν πρὸς τὸν βασιλέα δι' ἧς ἐμήνυσαν τὰ παρ' αὐτοῖς πραχθέντα καὶ τὴν αἰτίαν τοῦ βράδους τῆς ἀφίξεως τοῦ Ἀντιοχείας ἐπισκόπου = V 153

D (126) ριθ̄ Ἐπιστολὴ τοῦ αὐτοῦ ἁγίου Κυρίλλου πρὸς Δυνάτον ἐπίσκοπον Νικοπόλεως Ἠπείρου, ἧς ἡ ἀρχή· Δεῖν ὠιήθην τῆι σῆι θεοσεβείαι τὰ παρακολουθήσαντα ἐπὶ τῆι εἰρήνηι τῶν ἐκκλησιῶν καταστῆσαι γνώριμα.

(127) ρκ̄ Ἐπιστολὴ Ἰωάννου Ἀντιοχείας ἐπισκόπου καὶ τῶν σὺν αὐτῷι ἐπισκόπων πρὸς Ξύστον πάππαν Ῥώμης καὶ Κύριλλον ἐπίσκοπον Ἀλεξανδρείας καὶ Μαξιμιανὸν ἐπίσκοπον Κωνσταντινουπόλεως, ἧς ἡ ἀρχή· Καὶ σπουδὴ καὶ σκοπὸς ἅπασι τοῖς ἱερᾶσθαι λαχοῦσιν.

(128) ρκᾱ Ἐπιστολὴ τοῦ ἁγίου Κυρίλλου πρὸς Μαξιμιανὸν ἐπίσκοπον Κωνσταντινουπόλεως σταλεῖσα διὰ Ἀριστολάου, ἧς ἡ ἀρχή· Οὐκ ἦν ἀμφίβολον ὅτι πάντηι τε καὶ πάντως αἱ τῆς σῆς ὁσιότητος ἰσχύουσι προσευχαί.

(129) ρκβ̄ Ἐπιστολὴ τοῦ αὐτοῦ ἁγίου Κυρίλλου πρὸς Ἀκάκιον ἐπίσκοπον περὶ τοῦ ἀποπομπαίου, ἧς ἡ ἀρχή· Τοῖς παρὰ τῆς σῆς ὁσιότητος ἀρτίως ἀπεσταλμένοις ἐντυχὼν ἥσθην ἄγαν.

(130) ρκγ̄ Ἐν τούτοις ἐτελειώθη πάντα τὰ περιεχόμενα τῶι Πρακτικῶι τῆς τρίτης συνόδου· εὕρηται δὲ ἐν τῶι τέλει τοῦ βιβλίου καὶ βασιλικὸς νόμος περὶ τῶν προσφευγόντων ἐν τῆι ἐκκλησίαι, οὗ ἡ ἀρχή· Ἀρχαία τις καὶ ἀπὸ τῶν καιρῶν τῆς πλάνης συνήθεια καὶ νόμου φυσικοῦ διάταξις δι' εὐσέβειαν ἀεί τις τοιαύτη κεκράτηκεν.

(131) ρκδ̄ Ἴσον θείου θεσπίσματος τοῦ βασιλέως Θεοδοσίου κατὰ Πορφυρίου καὶ Νεστοριανῶν καὶ κατὰ Εἰρηναίου τοῦ Τυρίων ἐπισκόπου, οὗ ἡ ἀρχή· Πρέπειν ἡγούμεθα τῆι ἡμετέραι βασιλείαι τοὺς ὑπηκόους τοὺς ἡμετέρους περὶ τῆς εὐσεβείας ὑπομιμνήσκειν.

(132) ρκε̄ Διάταγμα παρὰ τῶν ἐπάρχων προτεθὲν μετὰ τοῦ δηλωθέντος θεσπίσματος κατὰ τῶν αὐτῶν Πορφυρίου Νεστορίου καὶ Εἰρηναίου, οὗ ἡ ἀρχή· Καὶ νόμων καὶ αὐτῆς τῆς πολιτείας σύστασιν εἶναι τὴν ὀρθόδοξον θρησκείαν καλῶς δοκιμάσας ὁ θειότατος ἡμῶν αὐτοκράτωρ.

(133) ρκς̄ Ὑπομνήματα πραχθέντα ἐν Ἐφέσωι παρὰ τοῖς Ἀνατολικοῖς ἐπισκόποις, ἐν οἷς καθαιροῦσι Κύριλλον καὶ Μέμνονα τοὺς ἁγιωτάτους καὶ ἀκοινωνήτους ποιοῦσι πάντας τοὺς τῆς ἁγίας συνόδου παρουσίαι καὶ τοῦ κόμητος Κανδιδιανοῦ, ὧν ἡ ἀρχή· Παρόντος ἐν τῶι οἰκείωι καταγωγίωι τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου Ἰωάννου τοῦ ἐπισκόπου τῆς Ἀντιοχέων πόλεως τῆς Ἀνατολικῆς διοικήσεως καὶ τῆς σὺν αὐτῷι ἁγίας συνόδου ὁ μεγαλοπρεπέστατος.

(134) ρκζ̄ Γράμμα τῶν αὐτῶν ἐπισκόπων τὸ τῆς ἀκοινωνησίας σταλὲν τῆι ἁγίαι συνόδωι, οὗ ἡ ἀρχή· Δεινὸν μὲν ὡς ἀληθῶς τὸ πλημμελεῖν.

(135) ρκη̄ Ἀναφορὰ τῶν αὐτῶν πρὸς τὸν βασιλέα δι' ἧς ἐμήνυσαν τὰ παρ' αὐτοῖς πραχθέντα καὶ τὴν αἰτίαν τοῦ βράδους τῆς ἀφίξεως τοῦ Ἀντιοχείας ἐπισκόπου, ἧς ἡ ἀρχή· Τοῖς εὐσεβέσιν ὑμῶν κελευσθέντες γράμμασι κατελάβομεν τὴν Ἐφεσίων μητρόπολιν.

---

11 τυρέων S

S 136 Ἀναφορὰ πρὸς τὸν βασιλέα Ἰωάννου ἀρχιεπισκόπου Ἀντιοχείας καὶ τῶν σὺν αὐτῷ ἦν ἀντέγραψαν διὰ Παλλαδίου μαγιστριανοῦ = V 154

137 Ἐπιστολὴ τῶν αὐτῶν πρὸς τὸν Κωνσταντινουπόλεως κλῆρον = V 155

138 Ἐπιστολὴ τῶν αὐτῶν πρὸς τὴν ἐν Κωνσταντινουπόλει σύγκλητον = V 156

139 Ἐπιστολὴ τῶν αὐτῶν πρὸς τὸν ἐν Κωνσταντινουπόλει λαόν = V 157

140 Ἀναφορὰ τῶν αὐτῶν πρὸς τὸν εὐσεβέστατον βασιλέα ἥνπερ ἔδωκαν μετὰ τῆς ἀναφορᾶς τῆς προγεγραμμένης τῷι μεγαλοπρεπεστάτωι κόμητι Εἰρηναίωι = V 159

141 Ἀναφορὰ τῶν αὐτῶν πρὸς τὰς βασιλίδας = V 160

142 Ἐπιστολὴ τῶν αὐτῶν πρὸς τὸν ἔπαρχον καὶ τὸν μάγιστρον ὁμοίως = V 161

143 Ἐπιστολὴ τῶν αὐτῶν πρὸς τὸν πραιπόσιτον καὶ σχολαστικὸν γενόμενον = V 162

144 Ἀναφορὰ τῶν Ἀνατολικῶν πρὸς τὸν βασιλέα ἧς προέταξαν τὸ σύμβολον τῶν ἐν Νικαίαι ἁγίων πατέρων, ἀναγαγόντες τὰ ὑπὸ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τυπωθέντα ἐπὶ τοῖς προδοθεῖσιν αὐτῷι λιβέλλοις παρὰ Κυρίλλου καὶ Μέμνονος τῶν ἁγιωτάτων, ἥτις ἐστάλη Εἰρηναίωι κόμητι καὶ δι' αὐτοῦ ἀπεδόθη.

145 Ἐπιστολὴ γραφεῖσα παρὰ τοῦ κόμητος Εἰρηναίου πρὸς τοὺς Ἀνατολικοὺς περὶ τῶν ἐπὶ τῆι ὑποθέσει πραχθέντων μετὰ τὴν εἴσοδον αὐτοῦ τὴν ἐν Κωνσταντινουπόλει καὶ τὴν ἀπόδοσιν τῶν ἀναφορῶν.

146 Τῶι τὰ πάντα ἁγιωτάτωι καὶ μακαριωτάτωι ἀδελφῶι καὶ συλλειτουργῶι κυρίωι Λέοντι πάπαι τῆς πρεσβυτέρας Ῥώμης Νικηφόρος ἐλέωι θεοῦ ἐπίσκοπος Κωνσταντινουπόλεως χαίρειν. inc. Μέγας μὲν ὡς ἀληθῶς καὶ ἀξιάγαστος = [L VII 1205 sq. = M XIIII 29 sq.]
ultimae paginae ultima uerba sunt μιχαὴλ δὲ τῶ ὁσιωτάτω μητροπολίτη τῆσ συναδέων φιλοχρί- [L VII 1232 = M XIIII 56]

D (136) ρκθ Ἀναφορὰ τῶν αὐτῶν δευτέρα πρὸς τὸν βασιλέα, ἣν ἀντέγραψαν διὰ Παλλαδίου μαγιστριανοῦ, ἧς ἡ ἀρχή· Τοῦτο εὐσεβεῖς βασιλεῖς τοῦτο ὀρθοδοξίας σύστασις.

(137) ρλ Ἐπιστολὴ τῶν αὐτῶν πρὸς τὸν τῆς Κωνσταντινουπόλεως κλῆρον, ἧς ἡ ἀρχή· Ἔγνω που πάντως ὑμῶν ἡ εὐλάβεια τὰ ἀθέσμως καὶ παρανόμως.

(138) ρλα Ἐπιστολὴ τῶν αὐτῶν πρὸς τὴν ἐν Κωνσταντινουπόλει σύγκλητον, ἧς ἡ ἀρχή· Λίαν ἀλγοῦμεν οἰκείων μελῶν ἐκτομὴν τῆι ὑμετέραι μεγαλοπρεπείαι μηνύειν ἀναγκαζόμενοι.

(139) ρλβ Ἐπιστολὴ τῶν αὐτῶν πρὸς τὸν ἐν Κωνσταντινουπόλει λαόν, ἧς ἡ ἀρχή· Νόμος ἐστὶν ἄγραφος τοῖς ποιμέσι πολλὴν τῶν προβάτων ποιεῖσθαι κηδεμονίαν.

(140) ρλγ Ἀναφορὰ τῶν αὐτῶν πρὸς τοὺς βασιλεῖς δηλοῦσα καὶ αὖθις τὴν παρ' αὐτῶν γεγενημένην καθαίρεσιν Κυρίλλου καὶ Μέμνονος, ἧς ἡ ἀρχή· Ἠλπίσαμεν λύσιν ἔσεσθαι τοῦ Αἰγυπτιακοῦ κλύδωνος.

(141) ρλδ Ἀναφορὰ τῶν αὐτῶν πρὸς τὰς βασιλίδας, ἧς ἡ ἀρχή· Ἕτερα γνωρίζειν τῆι ὑμετέραι προσδοκήσαντες εὐσεβείαι τὰ ἐναντία δηλώσειν ἠναγκάσθημεν.

(142) ρλε Ἐπιστολὴ τῶν αὐτῶν πρὸς τὸν μάγιστρον καὶ τὸν ἔπαρχον, ἧς ἡ ἀρχή· Εἰς ἔσχατα κακῶν τὸ δὴ λεγόμενον ἐληλάκαμεν.

(143) ρλς Ἐπιστολὴ τῶν αὐτῶν πρὸς τὸν πραιπόσιτον καὶ τὸν σχολαστικόν, ἧς ἡ ἀρχή· Οὐδὲν ἀπονοίας ἐν τοῖς πλημμελήμασι χαλεπώτερον.

(144) ρλζ Ἑτέρα ἀναφορὰ τῶν αὐτῶν πρὸς τὸν βασιλέα περὶ τῶν ὑπὸ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τυπωθέντων ἐπὶ τοῖς προδοθεῖσιν αὐτοῖς λιβέλλοις παρὰ Κυρίλλου καὶ Μέμνονος τῶν ἁγιωτάτων, ἧς ἡ ἀρχή· Θρήνων ὡς ἀληθῶς καὶ ὀδυρμῶν καὶ δακρύων ἄξια.

(145) ρλη Ἐπιστολὴ τοῦ κόμητος Εἰρηναίου πρὸς τοὺς Ἀνατολικοὺς δηλοῦσα τὰ γεγονότα μετὰ τὴν ἐν Κωνσταντινουπόλει εἴσοδον αὐτοῦ καὶ τὴν ἀπόδοσιν τῶν ἀναφορῶν, ἧς ἡ ἀρχή· Μόγις μοι νῦν ἐγένετο ἐπιστεῖλαι πρὸς τὴν ὁσιότητα ὑμῶν.

(146) ρλθ Ἐπιστολὴ συστατικὴ τοῦ ἁγίου Νικηφόρου τοῦ γεγονότος πατριάρχου Κωνσταντινουπόλεως πρὸς Λέοντα τὸν τότε πάπταν Ῥώμης, ἧς ἡ ἀρχή· Μέγας μὲν ὡς ἀληθῶς καὶ ἀξιάγαστος καὶ πάσης εὐφημίας ἐπάξιος ὅστις ποτέ ἐστιν ὁ πιστὸς ἐκεῖνος καὶ φρόνιμος οἰκέτης.

in margine manu recentiore additur

(147) ρμ Ἐπιστολὴ τοῦ ἁγίου Κυρίλλου πρὸς ἐπίσκοπον Οὐαλεριανόν = V 119

---

10 σχολαστικὸν γενόμενον] postulatur Σχολαστίκιον ὁμοίως

COLLECTIO ATHENIENSIS

A = Codex Atheniensis societatis archaeologicae Christianae 9 s. XIII
J = Codex Vallicellianus F 22 s. XV
R = Codex Vaticanus 1431 s. XI

V = Codex Vaticanus 830 s. XV
Collectionis Vaticanae recensio breuior
M = Codex Ambrosianus M 88 sup. s. XIII
P { h = Codex Parisinus 416 s. XVI
  { k = Codex Monacensis 43 s. XVI
Collectio Seguieranae
S = Codex Parisinus Coislinianus 32 s. XI
D = Codex Leningradensis 785 s. XII/XIII, inde descripti sunt
m = Codex Monacensis 115 s. XVI
n = Codex Monacensis 116 s. XVI
W = Codex Vindobonensis theol. gr. 40 s. XII
X = Codex Parisinus 1115 s. XII
X_1 = Codicis Parisini 1115 additamenta recentia
U = Codex Vallicellianus C 4 s. XIIII
Θ { f = Codex Laurentianus VI 17 s. XII
  { v = Codex Vaticanus 447 s. XII
l = Codex Laurentianus VI 12 s. XIIII

K = codices canonum
a = Codex Palatinus 376
b = Codex Parisinus 1334
c = Codex Vaticanus 2060
d = Codex Vaticanus 2184
e = Codex Parisinus suppl. 614
f = Codex Parisinus suppl. 1085
l = Codex Oxoniensis Laudianus 39
p = Codex Patmensis 172
q = Codex Patmensis 173
r = Codex Vallicellianus F 10
s = Codex Laurentianus X 1
t = Codex Vaticanus 827
u = Codex Vaticanus 1980
y = Codex Oxoniensis Baroccianus 26

F_{cyr} = Florilegium Cyrillianum codicis Parisini 415 [Ven. 165] et Sinaitici 1690

1 = V 7 Liber ad Theodosium de recta fide. initium deest propter prima folia amissa

2 = V 149 R 8 Τοῦ αὐτοῦ προσφωνητικὸς ταῖς εὐσεβεστάταις βασιλίσι περὶ τῆς ὀρθῆς πίστεως

3 = R 9 primus edidit A. Mai in Scriptt. uett. VII 108 sq. = Noua bibl. patr II 75 sq.

Τοῦ αὐτοῦ κατὰ τῶν μὴ βουλομένων ὁμολογεῖν θεοτόκον τὴν ἁγίαν παρθένον

1 Ἴσασιν ἰατρῶν παῖδες προφυλακτικὰ τῶν παθῶν βοηθήματα, τῇ τέχνῃ προανα- PG 76, 256
στέλλοντες τὴν μέλλουσαν βλάβην καὶ τῇ τῶν διαφόρων φαρμάκων συνθέσει τὴν τῶν παθῶν νικῶντες ἀγριότητα· προορῶσι καὶ κυβερνῆται πολλάκις τὰς τῶν πνευμάτων μεταβολὰς ὑπὸ τῆς συνηθείας ὁδηγούμενοι καὶ τὴν προσήκουσαν τῇ χρείαι ποιούμενοι πρόνοιαν ἀναυάγητον τὸ σκάφος τῇ τοῦ θεοῦ συνεργίαι διαφυλάττουσιν. τοσαύτην τῶν ἡμετέρων ψυχῶν ὁ θεὸς ποιούμενος πρόνοιαν, προλέγει τῶν πειρασμῶν ἡμῖν τὸν κίνδυνον, ἵνα μαθόντες πρὸ τῆς πείρας τὴν βλάβην ἀσφαλῶς τὸν ἐκ ταύτης διαφύγωμεν κίνδυνον. οἶδεν γὰρ τὰ πάντα πρὶν γενέσεως αὐτῶν, οὐ στοχασμῷ καθάπερ ἐκεῖνοι τὸ χρήσιμον λογιζόμενος, ἀλλὰ προγνώσει θεοπρεπεῖ γινώσκων τὰ μέλλοντα. οὕτω καὶ τῆς κρίσεως ἡμῖν ἐπέδειξε πρὸ καιροῦ τὰ κολαστήρια, ὡς ἂν τῷι φόβωι τῶν δεινῶν παιδευθέντες τὴν ἐκ τούτων εὐκόλως τιμωρίαν ἐκφύγωμεν, οὐδὲν δὲ ἧττον καὶ τοῦτο πρὸς τοῖς ἄλλοις προείρηκεν PG 257
ὡς ἔσονται ψευδόχριστοι καὶ ψευδοδιδάσκαλοι, οἵτινες παρεισάξουσιν αἱρέσεις ἀπωλείας, Mt. 24, 24
αὐτὸν τὸν μόνον δεσπότην καὶ κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀρνούμενοι, καὶ πολλοὶ ἐξακολουθήσουσιν αὐτῶν ταῖς ἀσελγείαις, δι' οὓς ἡ ὁδὸς τῆς ἀληθείας βλασφημηθήσεται, ἵνα τούτων παραγενομένων μηδαμῶς ἀπατώμεθα τοῖς ὀλεθρίοις αὐτῶν ὑποπίπτοντες δόγ-
2 μασιν. πεπλήρωται δὲ τῆς προρρήσεως τὸ ἔργον· πολλαὶ γὰρ κατὰ καιρὸν ἐπανέστησαν αἱρέσεις τῇ τοῦ θεοῦ ἐκκλησίαι, τὴν ὀρθὴν παραλύειν πολυτρόπως βιαζόμεναι πίστιν, ὧν ἡ μὲν τὸν τοῦ θεοῦ λόγον ξένον παντάπασιν τῆς πατρώιας οὐσίας λέγειν τετόλμηκεν, ἡ δὲ τοῦ πνεύματος τὴν ἀξίαν ἠγνόηκεν, ἡ δὲ τῆς ἐπιδημίας τοῦ λόγου ἠρνήσατο τὴν ἀλήθειαν, ἐσχάτη δὲ πασῶν καὶ καθάπερ τρυγίας τῶν κακῶν, ἡ νῦν ἀναπέφανται βλασφημία μὴ γεγενῆσθαι τὸν λόγον ἄνθρωπον, ἀλλ' ἐν ἀνθρώπωι γεννηθέντι ἐκ γυναικὸς ἐνωικηκέναι λέγουσα, ὡς λοιπὸν εἰς δύο τὸν ἕνα Χριστὸν διὰ τοῦτο μερίζεσθαι, εἵς τε θεὸν φημὶ καὶ ἄνθρωπον. ἔστι δὲ τοῦτο τῆς ἀποστολικῆς διδασκαλίας ἀλλότριον, δαιμονικῆς δὲ μᾶλλον ἐπινοίας ἐφεύρεσις. ἄνθρωπον μὲν γὰρ τὸν τοῦ θεοῦ λόγον ἐπὶ συντελείαι τῶν αἰώνων γενόμενον ὁ Hebr. 9, 26
θεῖος ἡμῖν εὐαγγελίζεται λόγος, οὐκ εἰς ἀνθρώπου μεταβαλόντα φύσιν, ἀλλὰ ταύτην εἰς ἑαυτὸν προσλαβόμενον· ἄτρεπτος γὰρ ὑπάρχει καὶ ἀναλλοίωτος. εἰ δὲ καθάπερ ἐκεῖνοί φασιν, εἰς ἄνθρωπον ἐκ γυναικὸς τεχθέντα ἡ θεία γέγονεν ἐπιφοίτησις, τοῦτο καὶ ἐν τοῖς προφήταις πᾶσιν ἐγίνετο. ἔδει τοιγαροῦν, εἴπερ οὕτως ἐγένετο, μεμερισμένως ἑκάστου

AR

6 θ̄ R δ̄ A m. rec. 11 συνεργεία R 14 στοχῶ R 18 παρεισάξωσιν R 20 ἐξακολουθήσωσιν R 26 καὶ om. R τρυγίοσ R

παρὰ τῆι θείαι γραφῆι τὰς ὁμολογίας εὑρίσκεσθαι καὶ τὸν μὲν ἰδίαι καὶ καθ' ἑαυτὸν ὡς θεοῦ λόγον ἀνυμνεῖσθαι, τὸν δὲ ὡς ἄνθρωπον καὶ ἕνα τῶν καθ' ἡμᾶς τοῖς ἀνθρώπωι
3 πρέπουσι δοξάζεσθαι λόγοις. ἀλλ' οὐχ οὕτως ἡμῖν οἱ ἀπόστολοι τὴν θείαν εὐαγγελίαν ἐκήρυξαν, ἀλλ' ἕνα Χριστὸν θεὸν ὁμοῦ καὶ ἄνθρωπον τὸν αὐτὸν παραδεδώκασιν. καὶ
Ioh. 1, 1 τοῦτο σαφῶς ὁ μὲν θεολόγος Ἰωάννης ἐν εὐαγγελίοις διδάσκει λέγων· ἐν ἀρχῆι ἦν ὁ λόγος καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν καὶ θεὸς ἦν ὁ λόγος, εἶτα ἑξῆς ἐπάγων·
Ioh. 1, 14 καὶ ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν· ὁ δὲ ἱεροκῆρυξ Παῦλος
Hebr. 2, 14 Ἑβραίοις ἐπιστέλλει λέγων· ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκεν αἵματος καὶ σαρκός, καὶ αὐτὸς παραπλησίως μετέσχεν τῶν αὐτῶν. ἀκούεις ὅπως ὃ μὲν σάρκα γεγενῆσθαι τὸν λόγον, ὁ δὲ πάλιν αὐτὸν τῶν αὐτῶν μετασχόντα εἴρηκεν; εἰ δὲ ἄνθρωπος 10
μὲν ἐκ γυναικὸς ὁ Ἰησοῦς ἐτέχθη, μετὰ δὲ ταῦτα ἡ τοῦ λόγου πρὸς αὐτὸν γέγονεν ἐπιφοίτησις, ἔδει, καθάπερ εἴρηται, δύο καὶ πάντηι μεμερισμένως πρὸς ἅπαν τὰς ὁμολογίας εὑρίσκεσθαι· νυνὶ δὲ τῆς θεοπνεύστου γραφῆς κοινολογούσης τά τε τῆι θεότητι φυσικῶς ἁρμόζοντα καὶ τὰ τῆι τοῦ ἀνθρώπου πρέποντα φύσει, καθαρὰ τῆς ἑνώσεως ἡ οἰκονομία εὑρί-
PG 260 σκεται. ὅταν τοίνυν ἀκούσηις τοῦ ἀποστόλου λεγοντος προσδεχόμενοι τὴν μακαρίαν 15
Tit. 2, 13 ἐλπίδα καὶ τὴν ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἆρ' οὐκ ἐρυθριᾶις διαιρῶν τοῦ λόγου τὸν Ἰησοῦν; οὐ γὰρ εἶπεν τοῦ μεγάλου θεοῦ τοῦ ἐν Ἰησοῦ Χριστῶι, ἀλλὰ τὸν αὐτὸν θεὸν καὶ Ἰησοῦν ἐκήρυξεν, δι' ὃ καὶ
4 μίαν τὴν ἐπιφάνειαν εἴρηκεν. ἔστι δὲ ὅτε καὶ τὰ τῆς ἀνθρωπότητος ἴδια τῆι τοῦ θεοῦ προσηγορίαι ἡ θεία κηρύττει γραφή. τοῦ γὰρ σωτηρίου πάθους τῆι τῆς θεότητος φύσει 20
οὐδαμῶς νοεῖσθαι δυναμένου, εἰς δὲ τὸ σῶμα παντελῶς τῶν παθημάτων γεγενημένων, διὰ
1 Cor. 2, 8 τὸ συνεῖναι ἀχωρίστως καὶ καθ' ἕνωσιν αὐτῶι τὴν θεότητα εἰ ἔγνωσαν φησὶν ὁ ἀπόστολος, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν. ὁρᾶις ὅπως κοινολογεῖ τῆς ἑνώσεως χάριν τὴν εἰς τὸν Χριστὸν ὁμολογίαν τῆς ἀποστολικῆς διδασκαλίας ὁ λόγος; οὐ γὰρ ἄνθρωπος μὲν ψιλὸς Ἰησοῦς ὑπῆρξέν ποτε πρὸ τῆς τοῦ λόγου πρὸς αὐτὸν κοινωνίας 25
τε καὶ ἑνώσεως, ἀλλ' αὐτὸς ὁ λόγος ἐν αὐτῆι τῆι μακαρίαι παρθένωι γενόμενος τὸν ἴδιον ναὸν ἑαυτῶι ἐκ τῆς οὐσίας τῆς παρθένου ἔλαβεν καὶ προῆλθεν ἐξ αὐτῆς ἄνθρωπος μὲν ἔξωθεν θεωρούμενος, ἔνδοθεν δὲ θεὸς ὑπάρχων ἀληθινός, δι' ὃ καὶ μετὰ τὸ τεχθῆναι παρθένον τὴν τεκοῦσαν τετήρηκεν, ὅπερ ἐπ' οὐδενὸς τῶν ἄλλων ἁγίων γεγένηται. ἐπειδὴ γὰρ ἐκεῖνοι τὴν φύσιν ὑπῆρχον ἄνθρωποι, ἀνθρωπίνην καὶ ἴσην τὴν γένεσιν ἔλαχον ἅπαντες· 30
οὗτος δὲ ἐπειδὴ κατὰ φύσιν ὑπῆρχεν θεός, προσλαβὼν ἐν χρόνωι ἐσχάτωι καὶ τὸ ἀνθρώπινον ξένην παρὰ πάντας τὴν ἐκ τῆς παρθένου γένεσιν ἐπεδείξατο. οὐκοῦν εἰκότως καὶ θεοτόκος καὶ παρθενομήτωρ ἡ μακαρία δικαίως ἂν λέγοιτο· οὐ γὰρ ἄνθρωπος ψιλὸς ἦν ὁ
5 τεχθεὶς ἐξ αὐτῆς Ἰησοῦς. πῶς γάρ, ὅπου καὶ τὰ πρὸ τῆς ἐπιδημίας γεγενημένα τῆι τούτου ἐνεργείαι καὶ ἐξουσίαι ἡ θεία προσαναφέρει γραφή; καὶ γοῦν Ἰούδας ὁ μακάριος 35
μαθητὴς μεγαλοφώνως ἡμῖν τὴν τοιαύτην παραδέδωκεν πίστιν· τῶν γὰρ πρὸ πολλῶν γενεῶν
Iud. 5. 6 τῆς ἐκ παρθένου προόδου μεμνημένος οὕτω φησίν· ὑπομνῆσαι δὲ ὑμᾶς βούλομαι εἰδότας ἅπαντα ὅτι Ἰησοῦς λαὸν ἐκ γῆς Αἰγύπτου σώσας τὸ δεύτερον τοὺς μὴ πιστεύσαντας ἀπώλεσεν ἀγγέλους τε τοὺς μὴ τηρήσαντας τὴν ἑαυτῶν ἀρχήν, ἀλλὰ ἀπολιπόντας τὸ ἴδιον οἰκητήριον εἰς κρίσιν μεγάλης 40
ἡμέρας δεσμοῖς ἀιδίοις ὑπὸ ζόφον τετήρηκεν. εἰ δὲ ἄνθρωπον ψιλὸν ἔτεκεν ἡ μακαρία παρθένος τὸν Ἰησοῦν, τοῦτον δέ φησιν ὁ μαθητὴς τῆς Αἰγυπτίων χειρὸς τὸν Ἰσραὴλ ἐλευθερώσαντα καὶ ἡγούμενον τοῦ λαοῦ κατὰ τὴν ἔρημον, ὃς καὶ τῶν τεραστίων

AR

1 καὶ[2] om. R 3 θείαν A εὐθεῖαν R 6 εἶτ' R 11 ὁ om. A γέγονεν πρὸσ αὐτὸν R 12 μεμερισμένως Mai μεμερισμένων AR 13 φυκῶσ R 14 τοῦ om. R 18 χῡ R 22 καὶ καθ' ἕνωσιν A κατένωσιν R 25 λόγου om. R 34 τὰ om. R 36 παρέδωκε A πρὸ om. A 39 πιστεύοντασ A 40 ἀπολειπόντας R

ἐπετέλει τὰ θαύματα πρὸ τοσούτων γενεῶν τῆς ἐκ παρθένου γεννήσεως, ποῦ τοῦτον ἄρα PG 261
κατ' ἐκείνους τοὺς χρόνους ὑπάρχειν δώσουσιν, πότε δὲ τῆς γενέσεως τὴν ἀρχὴν ἐσχηκότα;
οὐκέτι γὰρ αὐτοῖς ὁ λόγος συγχωρήσει λέγειν ἐκ τῆς παρθενικῆς προόδου τὴν ἀρχὴν αὐτὸν
τοῦ εἶναι εἰληφότα. διδασκέτωσαν τοίνυν οἱ τῶν κακῶν ἐφευρεταὶ δογμάτων πότε τῆς
γενέσεως τὴν ἀρχὴν οὗτος ὁ ἄνθρωπος ἔσχηκεν, ποῦ δὲ καὶ ἐν τίσιν ἄρα διετέλει τοσούτοις 5
ἔτεσιν. ἀλλ' οὐκέτι τοῦτον ἄνθρωπον εἶναι τῶν εὖ φρονούντων τις ἐρεῖ, ὃς καὶ τοῖς
κατὰ τὸ παλαιὸν ἁμαρτήσασιν καὶ τὸ ἴδιον ἀπολιποῦσιν οἰκητήριον ἔκτοτε τὰς τιμωρίας
ὥρισεν καὶ τῆς Αἰγυπτίων χειρὸς τὸν Ἰσραὴλ ἐνδόξως ἐρρύσατο. εἰ τοίνυν κατὰ τὴν
αὐτῶν ἔκδοσιν οὔτε ὁ θεὸς λόγος ὑπονοεῖσθαι δύναται διὰ τὸ τὸν ἐκ τῆς παρθένου τεχθέντα
εἶναι τὸν Ἰησοῦν οὔτε ἄνθρωπος πάλιν ὁ ταῦτα θαυματουργήσας (ξένα γὰρ τῆς ἀνθρώπου 10
φύσεώς τε καὶ δυνάμεως τὰ προειρημένα καθέστηκεν), τίνα λοιπὸν ἐπινοῆσαι οὐσίαν τούτωι
6 καὶ τάξιν δυνήσονται; ἀλλ' ἡμεῖς τὰ τούτων ῥήματα τοσαύτης ἀνοίας καὶ παραφροσύνης
ὁρῶντες μεστὰ καὶ οἷάπερ ἐν ὕπνοις καὶ μέθηι πρὸς αὐτῶν λεγόμενα, τούτοις μὲν κατὰ τὴν
τοῦ σωτῆρος ἐροῦμεν φωνήν· πλανᾶσθε μὴ εἰδότες τὰς γραφὰς μηδὲ τὴν δύνα- Mt. 22, 29
μιν τοῦ θεοῦ (δι' ὃ δὴ ἐκνήψατε δικαίως καὶ μὴ ἁμαρτάνετε, ἀγνωσίαν θεοῦ εἰς τοσοῦτον 15
νοσήσαντες), ὀρθῶς δὲ πάλιν καὶ ὡς προαποδέδοται, τῆς ἑνώσεως νοοῦντες τὴν δόξαν
θεόν τε ἀεὶ ὄντα τοῦτον, γενόμενον δὲ ἐπ' ἐσχάτων καὶ ἄνθρωπον ἐπιστάμενοι ἀτρέπτου
καὶ ἀναλλοιώτου φυλαχθείσης αὐτοῦ τῆς θεότητος, αὐτὸν καὶ τότε τῆς ἐξ Αἰγύπτου πορείας
τοῦ Ἰσραὴλ σωτῆρα πιστεύωμεν, ἀεὶ μὲν τοῦ πατρὸς ὄντα λόγον καὶ φῶς καὶ ἀπαύγασμα
καὶ τῆς θεοπρεποῦς δόξης τὴν δυναστείαν ἔχοντα (δι' ὃ δὴ καὶ ἔλεγεν τᾶι μακαρίωι Μωυσῆι 20
ἐγὼ εἰμὶ ὁ ὤν, καὶ ἐγὼ ὁ θεὸς Ἀβραὰμ καὶ θεὸς Ἰσαὰκ καὶ θεὸς Ἰακώβ), Exod. 3, 14. 6
τὴν δὲ τοῦ υἱοῦ προσηγορίαν προσλαβόντα μέν, ὅτε γέγονεν ἄνθρωπος, τῆς δὲ ἑνώσεως
χάριν καὶ διὰ τὸ αὐτὸν ἄνθρωπον γεγενῆσθαι, ἀλλ' οὐκ ἐν ἀνθρώπωι ἐνωικηκέναι καὶ τὰ
τότε καὶ τὰ νῦν τῆι Ἰησοῦ καὶ Χριστοῦ προσηγορίαι ἀκολούθως ὑπὸ τῆς θεοπνεύστου
γραφῆς δοξαζόμενον. 25

7 Καὶ γοῦν τὴν τοιαύτην ὑπόθεσιν ἔξεστι διὰ πλειόνων θεωρεῖν ὑπὸ τῶν ἁγίων
κηρυττομένην ἀνδρῶν, τοῦ μὲν Ἱερεμίου διαρρήδην βοῶντος· οὗτος ὁ θεὸς ἡμῶν, οὐ Bar. 3, 36-38
λογισθήσεται ἕτερος πρὸς αὐτόν. ἐξεῦρεν πᾶσαν ὁδὸν ἐπιστήμης καὶ
ἔδωκεν αὐτὴν Ἰακὼβ τῶι παιδὶ αὐτοῦ καὶ Ἰσραὴλ τῶι ἠγαπημένωι ὑπ'
αὐτοῦ· μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη, 30
τοῦ δὲ ὑμνογράφου μελωιδοῦντος Δαυίδ· μήτηρ Σιὼν ἐρεῖ ἄνθρωπος, καὶ ἄνθρω- Ps. 86, 5
πος ἐγεννήθη ἐν αὐτῆι καὶ αὐτὸς ἐθεμελίωσεν αὐτὴν ὁ ὕψιστος. τοῦτο γὰρ PG 264
τί ἂν εἴη ἕτερον, ἀλλ' ἢ ὅτι αὐτὸς ὑπάρχει θεὸς καὶ ἄνθρωπος; ἄνθρωπον γὰρ καὶ ὑψιστον
καὶ θεμελιωτὴν τὸν αὐτὸν ὡμολόγησεν. οὐδὲν δὲ ἧττον καὶ ἐν ἑτέρωι ψαλμῶι ἀδιαίρετον
τῆς ἑνώσεως φυλάττων τὸν λόγον, τὰ τῆς ἀνθρωπότητος ἴδια ὡς αὐτῶι πάλιν τῶι θεῶι 35
λόγωι ἀναφέρων εὑρίσκεται, οὐ τῶν οὐσιῶν σύγχυσιν ἐργαζόμενος, ἀλλὰ τῆς ἑνώσεως τῶν
οὐσιῶν ἐπιγινώσκων τὸν λόγον. λέγει τοιγαροῦν οὕτως ἐν τεσσαρακοστῶι τετάρτωι
ψαλμῶι· ὁ θρόνος σου, ὁ θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ῥάβδος εὐθύτητος Ps. 44, 7. 8
ἡ ῥάβδος τῆς βασιλείας σου. ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας
ἀδικίαν· διὰ τοῦτο ἔχρισέν σε, ὁ θεός, ὁ θεός σου ἔλαιον ἀγαλλιάσεως 40
παρὰ τοὺς μετόχους σου. ὁρᾶις ὅπως τὸν λόγον θεολογήσας θεόν τε καὶ βασιλέα
ὁμολογήσας, οὐ διελὼν οὐδὲ ἕτερον πρόσωπον εἰσενέγκας αὐτῶι καὶ τὸ κεχρίσθαι εἴρηκεν;
λεγέτωσαν οὖν τί ἐστιν τὸ λεγόμενον. πῶς δὲ θεὸς ὢν ὁ λόγος ἐχρίετο, ἀλλ' ἢ πάντως,

---

AR

3 ὁ om. R 7 ἀπολειποῦσιν R 8 ἐρύσατο R 12 καὶ[1] R κατὰ A 19 τοῦ A
τον R πιστεύωμεν Mai πιστεύομεν AR 20 ἔχοντοσ R 21 ὁ θ̄ς ἰσαὰκ καὶ ὁ θ̄ς A
28 ἔξηύρεν R 29 αὐτὴν om. A 32 ἐγενήθη R 34 ἐν om. A 37 μ̄δ R

ὅτι αὐτὸς ἦν ὁ τὴν τοῦ δούλου μορφὴν ἐνδυσάμενος, ἣι καὶ τὸ χρίσμα λαμβάνειν εἴη ἂν πρεπωδέστατον; κἂν γὰρ λέγωσιν διὰ τὴν πρὸς τὸν ἄνθρωπον ἐνοίκησιν, ὡς αὐτοὶ πλανῶνται, τοῦ λόγου πρόσωπον τὸ χρίσμα λέγεσθαι, μανθανέτωσαν ὅτιπερ ἐνοίκησις οὐκ ἐπὶ τοῦ Χριστοῦ, ἀλλ' ἐπὶ τῶν προφητῶν καὶ τῶν ἄλλων ἁγίων λέγεται καὶ ὑπερβαίνει σφόδρα τοὺς τῆς ἐνοικήσεως ὅρους τὸ λεγόμενον. καὶ γοῦν ἐνοικήσαντος τοῦ θεοῦ ἐν τοῖς ἁγίοις πᾶσιν ἁγιαζομένοις τε καὶ χριομένοις, οὐ λέγεται ὡς αὐτὸς ἁγιαζόμενος ἢ χριόμενος.

Εἰ μὲν οὖν καθ' ὁμοιότητα τῶν ἁγίων καὶ ἐπ' αὐτοῦ τὴν ἐνοίκησιν λέγουσιν, ἔκδηλος
8 ἡ ἀσέβεια πᾶσιν ἔσται καὶ τῆς ἀποστολικῆς διδασκαλίας παντελῶς ἀλλοτρία. περὶ [μὲν] γὰρ τῶν προφητῶν καὶ τοῦ Χριστοῦ διαλεγόμενος ὁ Παῦλος ἀσύγκριτον τούτου πρὸς ἐκείνους διαφορὰν ἡμᾶς ἐδίδαξεν, λέγω δὴ τοῦ λεγομένου κεχρίσθαι. τὸν μὲν γὰρ υἱὸν
Hebr. 1, 3 καὶ τοῦ πατρὸς ἀπαύγασμα καὶ χαρακτῆρα τῆς ὑποστάσεως αὐτοῦ, τοὺς δὲ προφήτας ὠνόμασεν καὶ τό γε θαυμαστὸν ὅτι μετὰ τούτων τῶν ὑψηλῶν τοῦ χρίσματος καὶ αὐτὸς
Hebr. 1, 1-3 ἐμνημόνευσεν· πολυμερῶς γάρ φησιν, καὶ πολυτρόπως πάλαι ὁ θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις ἐπ' ἐσχάτου τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν υἱῶι, ὃν ἔθηκεν κληρονόμον πάντων, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν· ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ φέρων τε τὰ πάντα τῶι ῥήματι τῆς δυνάμεως αὐτοῦ, καθαρισμὸν τῶν ἁμαρτιῶν ποιησάμενος, ἐκάθισεν ἐν δεξιᾶι τῆς μεγαλωσύνης ἐν
Hebr. 1, 7-9 ὑψηλοῖς. καὶ μετ' ὀλίγα φησίν· καὶ πρὸς μὲν τοὺς ἀγγέλους λέγει· ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα· πρὸς δὲ τὸν υἱόν· ὁ θρόνος σου, ὁ θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου· ἠγάπησας δικαιοσύνην
PG 265 καὶ ἐμίσησας ἀδικίαν· διὰ τοῦτο ἔχρισέν σε, ὁ θεός, ὁ θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. θεωρεῖς ὡς σφόδρα ἄλλότριος ἐπὶ τοῦ Χριστοῦ ὁ τῆς ἐνοικήσεως ὅρος; εἰ δὲ λέγουσιν ἐνταῦθα τὴν ἐνοίκησιν μὴ τοῖς ἁγίοις ὁμοίως, ἀλλὰ καθ' ἕνωσιν τοῦ λόγου πρὸς ἄνθρωπον ἐκ τῆς παρθένου τεχθέντα γεγενῆσθαι, οὐ δυνατὸν μὲν μετὰ τὴν ἀποκύησιν ἕνωσιν ἀληθῆ λέγεσθαι, ἀλλ' ἢ μόνον τὴν κατὰ χάριν
9 καὶ μετοχὴν τοῦ θεοῦ, ὡς ἐν τοῖς ἁγίοις πάλιν ἐγένετο· εἰ δὲ ἐνταῦθα τὴν ἐνοίκησιν ἕνωσιν εἶναι λέγουσιν οὐκ ἐν τῆι παρθένωι, ἀλλὰ μετὰ τὸ τεχθῆναι ἐξ αὐτῆς, φέρε καὶ οὕτω τὸ λεγόμενον ἐξετάσωμεν. εἰ διὰ τοῦτο εἰς τὸ τοῦ λόγου πρόσωπον τὸ χρίσμα εἰρῆσθαι λέγουσιν, διὰ τὸ συνεῖναι καὶ ἡνῶσθαι, ὡς αὐτοί φασι, τῶι ἀνθρώπωι τὸν λόγον, πάντως ὅτι μετὰ τὴν ἕνωσιν αὐτὸν κεχρίσθαι λέγειν ἐξ ἀνάγκης ἀπαιτηθήσονται· τὸν γὰρ θεὸν λόγον ὁ προφήτης, ἔτι γε μὴν καὶ ὁ ἀπόστολος θεολογήσας, αὐτῶι καὶ τὸ χρίσμα φανερῶς ἀνέθηκεν. εἰ τοίνυν διὰ τὴν ἕνωσιν καὶ τὸ συνεῖναι αὐτὸν τῶι ἀνθρώπωι τὸ τοῦ ἀνθρώπου χρίσμα τῶι λόγωι προσάπτουσιν [οἱ ἅγιοι], μετὰ τὴν ἕνωσιν αὐτὸ τὸ χρίσμα γεγενῆσθαι πάντως ὁμολογήσουσιν· εἰ δὲ μετὰ τὴν ἕνωσιν κέχρισται, τὴν δὲ ἕνωσιν οὐ βούλονται λέγειν πρὶν ἐκ τῆς παρθένου τεχθῆναι, οὐδὲ Χριστοτόκος οὐκέτι πρὸς αὐτῶν ἡ παρθένος ὁμολογηθήσεται. εἰ γὰρ Χριστοτόκος, πάντως ὅτι καὶ θεοτόκος· εἰ δὲ οὐ θεοτόκος, οὐδὲ Χριστοτόκος. εἰ γὰρ τὸ χρίσμα μετὰ τὴν ἕνωσιν καὶ διὰ τοῦτο εἰς τὸ τοῦ λόγου πρόσωπον τοῦτο λέγεται, τὴν δὲ ἕνωσιν μετὰ τὴν ἐκ τῆς παρθένου γέννησιν γεγενῆσθαι λέγουσιν, οὐδὲ Χριστοτόκος οὐκέτι εὑρεθήσεται· εἰ δὲ Χριστοτόκος, καὶ θεοτόκος.

AR

1 ἢ R ὢ A 3 τοῦ] coniecerim εἰς τὸ τοῦ 6 ἁγιαζομένων — χριομένων R 9 μὲν deleui 16 καὶ om. R 16/17 ἐποίησεν τούσ αἰῶνασ R 19 ἁμαρτιῶν ἡμῶν A 27 κατένωσιν R τὸν λόγον AR 29 τὴν ἐνταῦθα τὴν R 34 ὁ² om. A καὶ om. A 36 οἱ ἅγιοι deleui 39 εἰ¹ A ἢ R

τοῦ γὰρ χρίσματος πρὸ τῆς ἑνώσεως μὴ δυναμένου νοεῖσθαι, εἰ Χριστοτόκος ἡ παρθένος ἐν αὐτῇι δὴ τῆς ἑνώσεως γενομένης, οὐκέτι ἄνθρωπον, ὡς αὐτοί φασιν, ἀλλ' ἑνωθέντα τῶι λόγωι γεννήσασα, θεοτόκος δικαίως ἂν λέγοιτο, εἴ γε, καθὼς ἔμπροσθεν εἴρηται, τὴν ἕνωσιν ἀληθῆ καὶ οὐ καθάπερ ἐν τοῖς ἁγίοις λέγουσιν. τοῦτο δὲ φαμὲν ὅτι οὐ δυνατὸν ἕνωσιν ἀληθῆ λέγειν μετὰ τὴν γέννησιν· ἡμεῖς γὰρ οὐκ ἄνθρωπον θεῶι ἑνωθέντα, ἀλλὰ θεὸν τὰ ἀνθρώπινα προσλαβόμενον οἴδαμεν τὸν Χριστόν, λέγω δὴ σῶμα καὶ ψυχὴν καὶ νοῦν τελείως χωρὶς ἁμαρτίας ἑνόντα τῆι ἁγίαι παρθένωι. διὰ τοῦτο κἂν ἄνθρωπον ἀκούσηις τὸν Χριστὸν ὀνομαζόμενον, μὴ ἐπιλανθάνου ὅτι καὶ θεὸς γέγονεν. οὕτως ἐπιστάμενος ὁ μακάριος Παῦλος ποτὲ μὲν ἐκ σπέρματος Δαυίδ, ποτὲ δὲ θεὸν ἐκήρυττεν· μνημόνευε γάρ φησιν, Ἰησοῦν Χριστὸν ἐγηγερμένον ἐκ νεκρῶν καὶ ἐκ σπέρματος Δαυίδ, καὶ πάλιν· ὁ δὲ θεὸς καὶ τὸν κύριον ἤγειρεν καὶ ἡμᾶς ἐξεγερεῖ διὰ τῆς δυνάμεως αὐτοῦ. ἀκούεις τὸν ἐκ σπέρματος Δαυὶδ καὶ ἐκ νεκρῶν ἐγηγερμένον σαφῶς κηρυττόμενον; ὅτε τοίνυν ἐναργῶς ἀποδέδεικται οὐκ ἄνθρωπος, ὡς ἐκεῖνοι νομίζουσιν, ἀλλ' ὁ ἀίδιος τοῦ θεοῦ λόγος ἐνανθρωπήσας [ἐστὶν] ὁ ἐκ τῆς παρθένου προελθών, μεταγινωσκέτωσαν οἱ πεπλανημένοι καὶ τῆς Ἰουδαϊκῆς ἀνοίας ληγέτωσαν· ἐὰν γὰρ μὴ ἐπιστραφῶσιν, τὴν ῥομφαίαν αὐτοῦ κατ' αὐτῶν στιλβώσει ὁ κύριος. ὅτι γὰρ οὐκ εἰς τέλος αὐτῶν ἀνέξεται [βλασφημούντων] καὶ διὰ μακροθυμίαν ἔτι καὶ νῦν ἀνέχεται βλασφημούντων, ἄκουε τί φησιν διὰ τοῦ μακαρίου προφήτου, τὴν ἐκ τῆς ἀνοχῆς πρὸς τοὺς ἐπιμένοντας τῆι κακίαι ἐπαγομένην ἐκδίκησιν δηλῶν· ἐσιώπησα, φησί· μὴ καὶ ἀεὶ σιωπήσομαι καὶ ἀνέξομαι; ἐκαρτέρησα ὡς ἡ τίκτουσα· ἐκστήσω καὶ ξηρανῶ ἅμα καὶ ἐρημώσω ὄρη καὶ βουνοὺς καὶ πάντα τὸν χόρτον αὐτῶν ξηρανῶ καὶ θήσω ποταμοὺς εἰς νήσους καὶ ἕλη ξηρανῶ. οὐδὲν δὲ ἧττον καὶ ὁ θειότατος ὑμνωιδὸς ταχεῖαν τῶν ἀσεβῶν διδάσκει τὴν ἀπώλειαν, κἂν πρὸς ὀλίγον διὰ μακροθυμίαν θεοῦ ἰσχύσωσιν· εἶδον γὰρ ἀσεβῆ ὑπερυψούμενον καὶ ἐπαιρόμενον ὡς τὰς κέδρους τοῦ Λιβάνου καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν· καὶ ἐζήτησα αὐτόν, καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ. ταῦτα γὰρ καὶ τὰ τοιαῦτα κοινὰ πάντων ἐστὶν ὅσοι τῆς εὐσεβείας διασκορπίζειν ἐπιχειροῦσι τὸ ποίμνιον, ὥσπερ οὖν καὶ τῶν προειρημένων αἱρέσεων τὸ τέλος ἐπέδειξεν. τί γὰρ ὤνησεν τῆς Ἀρείου δυσσεβείας ἡ πλάνη; τί δὲ ἡ Εὐνομίου καὶ τῶν τὸ πνεῦμα τὸ ἅγιον βλασφημούντων καὶ τοῦ Σαμοσατέως Παύλου καὶ τοῦ καλουμένου Ἀπολιναρίου ἡ παραφροσύνη; πάντες γὰρ οὗτοι καὶ ἐν τῶι παρόντι ἐπονείδιστον τέλος ἐσχήκασιν καὶ τῶν ἐκκλησιαστικῶν περιβόλων ἐξώσθησαν, καὶ τῆς ἐν οὐρανοῖς δὲ τῶν πρωτοτόκων ἐκκλησίας ἐξορισθήσονται· ἐξηλείφθησαν γὰρ ἐκ βίβλου Ζώντων καὶ μετὰ δικαίων οὐκ ἐγγραφήσονται. τὸ δ' αὐτὸ καὶ τούτους ἐκδέξεται τέλος, εἰ μὴ ἄρα θᾶττον τῆς ἀνοίας λαβόντες αἴσθησιν ἐπανελθεῖν ὅθεν ἐξέπεσαν, σπουδάσουσι, καὶ μάλιστα τοὺς ἀρχηγοὺς τῆς κακοφροσύνης γενομένους. ἀκούσονται γὰρ μόνον οὐχὶ καὶ τούτων ἕκαστος παρὰ τοῦ σωτῆρος· ὃν τρόπον ἱμάτιον ἐν αἵματι πεφυρμένον οὐκ ἔσται καθαρόν, οὕτως οὐδὲ σὺ ἔσηι καθαρός, διότι τὴν γῆν μου ἀπώλεσας καὶ τὸν λαόν μου ἀπέκτεινας· οὐ μὴ μείνηις εἰς τὸν αἰῶνα χρόνον. ἡμεῖς δὲ οἱ τὴν ἑαυτῶν πίστιν ἐπὶ τὴν ἀρραγῆ πέτραν οἰκοδομήσαντες βεβαίαν μέχρι τέλους τὴν εὐσέβειαν διαφυλάξωμεν, μηδαμῶς ὑπὸ τῶν ἐναντίων θορυβούμενοι, ἀλλὰ τὴν εἰς τὸν κύριον ἀγάπην ὅπλον ἀνίκητον ἔχοντες, ἐν αὐτῶι καυχώμεθα διὰ παντός, λέγοντες τὰ τοῦ προφήτου ῥήματα καὶ γελῶντες τῶν ἐναντίων τὴν εὐτέλειαν· μεθ' ἡμῶν ὁ θεός· γνῶτε, ἔθνη, καὶ ἡττᾶσθε, ἰσχυκότες ἡττᾶσθε. ἐὰν γὰρ πάλιν ἰσχύσητε, πάλιν ἡττηθήσεσθε, καὶ ἢν ἂν

AR

4/5 καὶ οὐ — ἀληθῆ om. A 5 γὰρ A δὲ R 7 ἑνόντα A ἑνοῦται R 12 ἐξεγείρει R 14 ἐστὶν deleui 17 βλασφημούντων deleui 24 ἰσχύωσιν A 32 ἔξω ῥιφήσονται R 35 σπουδάσωσιν R

10 2 Tim. 2, 8 — 1 Cor. 6, 14 — 15 PG 268 — Ps. 7, 13 — Ies. 42, 14. 15 — Ps. 36, 35. 36 — Hebr. 12, 23 — Ps. 68, 29 — Ies. 14, 19. 20 — Ies. 8, 8-10

βουλεύσησθε βουλὴν διασκεδάσει κύριος, καὶ λόγον ὃν ἐὰν λαλήσητε, οὐ μὴ ἐμμείνηι ἐν ὑμῖν, ὅτι μεθ' ἡμῶν κύριος ὁ θεός.

12 Ἀλλ' ἰδού, φασίν, ὁ ἀπόστολος φανερῶς αὐτὸν ἄνθρωπον ὡμολόγησεν· Τιμοθέωι
1 Tim. 2, 5 γὰρ ἐπιστέλλων οὕτω φησίν· ἄνθρωπος Χριστὸς Ἰησοῦς. τοῦτο δὲ λέγοντες τῶν
PG 269 ἀκεραιοτέρων δοκοῦσιν ταράττειν τὸν νοῦν· εἰ γάρ τις συνετῶς τῶι ἀποστολικῶι ἐπιβάλοι ῥητῶι, ἐκ τούτου μάλιστα τοῦ ῥητοῦ τῆς ἀσεβείας αὐτῶν καταψηφίσεται. ἀλλὰ μὴ οὕτως ἀκρωτηριάζωμεν τὴν λέξιν, ἀλλὰ ὀλίγον τῶν ἔμπροσθεν ἐπιμνησθέντες, ὀρθὴν τῆς οἰκονομίας ἐντεῦθεν τὴν ὁμολογίαν νοῆσαι δυνησόμεθα. τί οὖν φησιν ὁ μακάριος Παῦ-
1 Tim. 2, 5 λος; εἷς θεὸς φησὶν περὶ τοῦ πατρὸς καὶ περὶ τοῦ υἱοῦ εἷς καὶ μεσίτης θεοῦ καὶ ἀνθρώπων. εἰ γάρ, φησίν, καὶ γέγονεν ἄνθρωπος, ἀλλ' οὐ διὰ τοῦτο δύο αὐτὸν ὑποπτεύειν ὀφείλομεν. ὥσπερ γὰρ θεὸς ἦν πρὸ τῆς ἐπιδημίας ὁ λόγος, οὕτω καὶ γενόμενος ἄνθρωπος καὶ μεσιτεύσας καὶ τῆι ἀνθρώπου φύσει, εἷς πάλιν ἐστίν. διὰ γὰρ τοῦτο μεσίτην αὐτὸν εἴρηκεν θεοῦ καὶ ἀνθρώπων, ὡς ἐξ ἀμφοτέρων τῶν οὐσιῶν ἕνα ὄντα· τὸ γάρ τινων μεσιτεῦον ἀμφοτέρων ἔχεται πάντως. ἔστι τοίνυν μεσίτης θεοῦ διὰ τὸ τῆς αὐτῆς οὐσίας ὑπάρχειν τῶι πατρί, ἔστι δὲ πάλιν καὶ ἀνθρώπων μεσίτης διὰ τὸ καὶ τῆς ἀνθρωπείας μετεσχηκέναι φύσεως τελείως χωρὶς ἁμαρτίας. ἄνθρωπον οὖν αὐτὸν ὅταν λέγηι Χριστὸν Ἰησοῦν, μὴ διὰ τοῦτο σκανδαλιζέσθωσαν, ἀλλ' ἐννοείτωσαν αὐτὸν καὶ κύριον καὶ θεὸν ὀνομαζόμενον μετὰ τοῦ καὶ Χριστὸν πάλιν λέγειν καὶ Ἰησοῦν· ἀκουέτωσαν
Tit. 2, 13. 14 γὰρ αὐτοῦ τοῦ ἀποστόλου τοῦτο φανερῶς οὕτω κηρύττοντος· προσδεχόμενοι, φησίν, τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου θεοῦ καὶ σω-
18 τῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃς ἔδωκεν ἑαυτὸν περὶ ἡμῶν. ὁρᾶις ὅπως ἐκεῖ μὲν ἄνθρωπον Χριστὸν Ἰησοῦν λέγει τὸν ὑπὲρ πάντων ἑαυτὸν δεδωκότα, ἐνταῦθα δὲ μέγαν θεὸν Χριστὸν Ἰησοῦν τὸν δόντα πάλιν ἑαυτὸν ὑπὲρ ἡμῶν; διπλῆ γὰρ ἐνταῦθα κατ' αὐτῶν, μᾶλλον δὲ ὑπὲρ αὐτῶν, εἰ ἐθέλοιεν μεταγινώσκειν, γέγονεν ἡ ἀπόδειξις διὰ τοῦ λέγειν καὶ θεὸν καὶ κύριον Ἰησοῦν, ὃν ἐκεῖσε ἄνθρωπον εἴρηκεν, καὶ διὰ τοῦ ἐν ἀμφοτέροις
1 Tim. 2, 5. 6 ἑαυτὸν ὑπὲρ ἡμῶν δεδωκότα σημαίνειν. ἄνθρωπος γάρ φησιν, Χριστὸς Ἰησοῦς ὁ
Tit. 2, 13. 14 δοὺς ἑαυτὸν ὑπὲρ πάντων ἀντίλυτρον, καὶ πάλιν· προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ τὴν ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας καὶ καθαρίσηι ἑαυτῶι λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων. εἰ δὲ ἄνθρωπος κατ' ἐκείνους μόνον Χριστὸς Ἰησοῦς ὁ δοὺς ἑαυτὸν ὑπὲρ ἡμῶν καὶ περιποιησάμενος ἡμᾶς ἑαυτῶι λαὸν περιούσιον, ἀνθρώπωι ἄρα λατρεύομεν παραπλησίως τοῖς ἔθνεσιν καὶ τῆι κτίσει λοιπὸν τὴν δεσποτικὴν αὐθεντίαν ἀποδιδόαμεν. ἀλλ' οὐκ ἔστιν οὕτως, μὴ γένοιτο, ἀλλὰ κύριον καὶ θεὸν ἐπιγινώσκομεν τὸν Χριστόν·
PG 272 γέγονεν μὲν γὰρ ἄνθρωπος δι' ἡμᾶς ὁ τοῦ θεοῦ λόγος μετασχὼν τῆς ἀνθρωπείας φύσεως καὶ γεγέννηται διὰ φιλανθρωπίαν ἄφατον μετὰ ταύτης ἐκ τῆς ἁγίας καὶ ἀπειρογάμου παρθένου, ἀλλ' ἦν καὶ οὕτω κατὰ φύσιν θεὸς καὶ τοῦ θεοῦ υἱός. διὰ ταύτην τοιγαροῦν τὴν αἰτίαν καλεῖται
14 καὶ ἄνθρωπος, καλεῖται δὲ καὶ θεός, εἷς καὶ ὁ αὐτὸς ὑπάρχων ἐν ἑκατέραι προσηγορίαι Χριστός. ὅτι γὰρ οὐκ ἄνθρωπον, ὡς οὗτοι μυθολογοῦσιν, ὁ Παῦλος ἐκήρυττεν τὸν Χριστόν, ἄκουε Κο-
2 Cor. 4, 5 ρινθίοις ἐπιστέλλοντος αὐτοῦ καὶ λέγοντος· οὐ γὰρ ἑαυτοὺς κηρύσσομεν, ἀλλὰ Ἰησοῦν Χριστὸν κύριον, ἑαυτοὺς δὲ δούλους ὑμῶν διὰ Ἰησοῦν. ὁρᾶις

34—38 Iustinian. adu. Monoph. [PG 86, 1132] Κύριλλος ἐν τῶι λόγωι τῶι Ὅτι χρὴ θεοτόκον ὁμολογεῖν τὴν παρθένον... 'κύριον — Χριστός'

AR

1 βουλὴν βουλεύσησθε A 5 ἐπιβάλοι scripsi ἐπιβάλη A ἐπιβάλλει R 6 καταψηφίσηται R 9 καὶ περὶ A καὶ εἰη περὶ R υἱοῦ ex θῦ corr. A καὶ² om. A 17 λέγει R 24 θέλοιεν A το R

τῆς ἀποστολικῆς γνώμης τὸν ὅρον; Ἰησοῦν Χριστόν, φησίν, κύριον, ἑαυτοὺς δὲ δούλους κηρύσσομεν. Ῥωμαίοις δὲ πάλιν ἐπιστέλλων οὕτω φησίν· ἐξ ὧν ὁ Χριστὸς Rom. 9, 5
τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας· ἀμήν. εἰ δὲ ἄνθρωπον ἠπίστατο τὸν Χριστόν, ἔδει λέγειν ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ἐν ᾧ ὁ ἐπὶ πάντων θεός· νῦν δὲ τοῦτο μὲν οὐκ εἴρηκεν, θεὸν δὲ τὸν Χριστὸν ἐπὶ πάντων μεγαλοφώνως ἀπέφηνεν. οὐ μὴν [δὲ] ἀλλά γε κἀκεῖνο διασκεψώμεθα ὡς εἰ μὴ θεὸν ἅμα καὶ ἄνθρωπον ἠπίστατο τὸν Χριστόν, οὐκ ἂν ἔλεγεν τὸ κατὰ σάρκα· τοῦτο γὰρ φανερῶς ἐπὶ τοῦ μὴ μόνον ἀνθρώπου, ἀλλὰ καὶ καθ' ἕτερόν τι τὴν οὐσίαν ὄντος λέγεται, ὥσπερ οὖν καὶ ἐπήγαγεν ὁ ὢν ἐπὶ πάντων θεός· διπλῆν γὰρ ἐνταῦθα τὴν περὶ τοῦ σωτῆρος ἡμῶν ὁμολογίαν παραδέδωκεν, καὶ τὸ κατὰ σάρκα ἐπιδείξας καὶ θεὸν ἀνακηρύξας. ὅνπερ γὰρ τρόπον ὁ ἐπὶ γῆς βασιλεὺς εἴ ποτε ἐν ὑπάτου σχήματι προελθεῖν βουληθείη, οὐ διὰ τοῦτο τοῦ εἶναι βασιλεὺς πέπαυται οὔτε μὴν τὴν προτέραν αὐθεντίαν ἀπώλεσεν, ἀλλ' εἷς καὶ ὁ αὐτὸς ὑπάρχει, πρὸς τῇ βασιλείαι καὶ τὸ τῆς ὑπατείας ἔχων ἀξίωμα, κἂν εἴ τις ὀνομάσοι βασιλέα, οἶδεν ὡς αὐτός ἐστιν ὁ καὶ τὸ τοῦ ὑπάτου σχῆμα περιβαλλόμενος, πάλιν τε εἰ ὕπατον τὸν αὐτὸν ὀνομάσοι, τὸν αὐτὸν οἶδεν καὶ βασιλέα ὑπάρχοντα, οὕτως ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ἦν μὲν ἀεὶ τοῦ θεοῦ υἱός, θεὸς ὑπάρχων ἀληθινός, προσλαβὼν δὲ ἐν ὑστέροις χρόνοις καὶ τὸ ἀνθρώπινον, εἷς καὶ ὁ αὐτὸς ὑπάρχει, κἂν θεὸς λέγηται κἂν ἄνθρωπος κἂν Ἰησοῦς.

15 Τούτων δὲ οὕτως ἐχόντων, φέρε καὶ τὴν κυριακὴν εἰς μέσον φωνὴν ἀγάγωμεν, ἐφ' ἧι μάλιστα καὶ θρασύτερον ἡμῖν ἐφίστανται, λέγοντες ὡς αὐτὸς ἐν τοῖς εὐαγγελικοῖς κηρύγμασιν ἄνθρωπον ἑαυτὸν ὡμολόγησεν λέγων· τί με ζητεῖτε ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα; εἰ δέ τις φιλαλήθως τοῖς εὐαγγελικοῖς ἐπιβάλοι χωρίοις, ἔνθα τοῦτο λελάληκεν ὁ σωτήρ, σφόδρα καταγνώσεται τῆς κακοτεχνούσης PG 273
γνώμης αὐτῶν καὶ φιλεγκλήμονας δικαίως ἀποκαλέσει καὶ συκοφάντας· τοσαῦτα γὰρ λελάληκεν πρὸ ταύτης τῆς λέξεως, θεὸν ἑαυτὸν ἀποφαίνων καὶ θεοῦ υἱόν, ὡς καὶ αὐτοὺς τότε τοὺς Ἰουδαίους, ἐπείπερ ἐτύφλωττον τῆς διανοίας τὸ ὄμμα, διὰ τοῦτο μάλιστα βούλεσθαι αὐτὸν ἀναιρεῖν. καὶ πάντα ἐκεῖνα σιωπῇι παραδιδόντες ταύτην ἁρπάζουσι τὴν λέξιν, ὅμοιόν τι ποιοῦντες τοῖς τότε Φαρισαίοις. κἀκεῖνοι γὰρ διδάσκοντι τῶι σωτῆρι προσέμενον οὐ πιστεύειν ἐθέλοντες καὶ διδάσκεσθαι, ἀλλὰ θηρεῦσαί τι ἐκ τοῦ στόματος αὐτοῦ βουλόμενοι, ὡς ὁ εὐαγγελιστὴς ἱστορεῖ, ὥσπερ οὖν καὶ οὗτοι νῦν ἀναγινώσκουσιν, μᾶλλον δὲ περιεργάζονται τὰς θείας γραφάς, ἵνα τι κατηγορεῖν εὕρωσιν τοῦ τὴν ψυχὴν ὑπὲρ αὐτῶν
16 τεθεικότος. τί δὲ ἐν τοῖς πρὸ ταύτης τῆς φωνῆς ἔλεγεν, κατανοήσωμεν. ὁ πατήρ μου, φησίν, ἕως ἄρτι ἐργάζεται κἀγὼ ἐργάζομαι. καὶ πατέρα ἴδιον ἔλεγεν τὸν θεόν, ἴσον ἑαυτὸν ποιῶν τῶι θεῶι τὰ αὐτὰ τῶι πατρὶ παραπλησίως δημιουργοῦντα· ἃ γὰρ ἂν ἐκεῖνος, φησί, ποιῇι, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ, καὶ ὅτι τὴν κρίσιν αὐτῶι πᾶσαν δέδωκεν ὁ πατήρ, ἵνα πάντες τιμῶσι τὸν υἱὸν καθὼς τιμῶσι τὸν πατέρα, καὶ ἔρχεται ὥρα καὶ νῦν ἔστιν, ὅτε οἱ νεκροὶ ἀκούσουσιν τῆς φωνῆς τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ οἱ ἀκούσαντες ζήσουσιν. εἶτα ἵνα μὴ τὰ θεοπρεπῆ ταῦτα ἀκούοντες σκανδαλίζωνται διὰ τὴν σάρκα, ὅτι ἄνθρωπος ὁρώμενος τοιαῦτα ἐφθέγγετο, ἐξῆς ἐπάγει μετ' ὀλίγα καί φησιν ὅτι υἱὸς ἀνθρώπου ἐστίν· μὴ θαυμά-

Ioh. 8, 40 — Lc. 11, 54 — Ioh. 5, 17 — Ioh. 5, 19 — Ioh. 5, 22 — Ioh. 5, 25 — Ioh. 5, 27

6—10 Iustinian. adu. Monophys. p. 1132 ἐν τῶι λόγωι τῶι Ὅτι χρὴ θεοτόκον τὴν ἁγίαν παρθένον ὁμολογεῖν· 'οὐ μὴν — ἀνακηρύξας'

AR

2 οὕτοσ ἐπιστέλλων οὕτω A 6 δὲ AR om. Iust. 7 Χριστὸν ὁ θεῖος ἀπόστολος Iust. 9 ἐνταῦθα om. Iust. 13 ἀξίωμα om. R 23 ἐπιβάλλει R κακοτέχνου R 35 φησί om. R ποιεῖ R 36 ἔδωκεν A 37 ακούσωσιν R 38 ζήσωσιν R

ζετε τοῦτο. καὶ γὰρ καὶ ταύτης τῆς εἰρημένης φωνῆς ὅτι οἱ ἀκούσαντες ζή-
Ioh. 5, 25, σουσιν * * ἔρχεται ὥρα ὅτε καὶ πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσονται
28. 29 καὶ ἐκπορεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ
φαῦλα πράξαντες εἰς ἀνάστασιν κρίσεως τὸ μὲν [γὰρ] πρότερον εἰρημένον ὅτι
ἔρχεται ὥρα καὶ νῦν ἔστιν, καὶ τὸ οἱ ἀκούσαντες ζήσονται, περὶ τῶν κατὰ τὸν
καιρὸν ἐκεῖνον ἀναστάντων νεκρῶν εἰρῆσθαι, τὸ δὲ πάντες οἱ ἐν τοῖς μνημείοις τὴν
ἀναστάσιμον τῆς ἐνδόξου παρουσίας αὐτοῦ σημαίνειν ἡμέραν. καὶ μετ' ὀλίγα δὲ πάλιν
Ioh. 6, 35 φησίν· ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς. ἀλλὰ ταῦτα πάντα ὥσπερ οὐκ ἀκούοντες,
Ioh. 8, 40 μᾶλλον δὲ ἐθελοκωφοῦντες παραπέμπονται, ταύτην δὲ τὴν φωνὴν τὴν λέγουσαν νῦν δὲ
ζητεῖτέ με ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα, περιφέ-
ρουσιν πρὸς τὸ τῶν ἀκεραιοτέρων διαταράττειν τὸν νοῦν. ἐχρῆν δὲ αὐτούς, εἴπερ ἦσαν
ὀρθοί, τοῦτο λογίζεσθαι ὅτιπερ ὁ τὰ προειρημένα λαλήσας αὐτὸς καὶ ταύτην εἴρηκεν τὴν
φωνήν, καὶ μὴ διὰ ταύτην τῶν τοσούτων ὥσπερ ἐπιλανθανομένους σκανδαλίζεσθαι [διὰ
ταύτην]. κἀκεῖνοι γὰρ ἄνθρωπον ὁρῶντες καὶ τὰς θεοπρεπεῖς φωνὰς ἀκούειν οὐκ ἀνε-
Ioh. 6, 42 χόμενοι ἔλεγον· οὐχ οὗτός ἐστιν ὁ υἱὸς Ἰωσήφ, οὗ ἡμεῖς οἴδαμεν τὸν πατέρα
Ioh. 8, 53 καὶ τὴν μητέρα; καὶ πάλιν αὐτῶι προσήιεσαν λέγοντες· τίνα σεαυτὸν ποιεῖς; καὶ
PG 276 πάλιν· πεντήκοντα ἔτη οὔπω ἔχεις, καὶ Ἀβραὰμ γινώσκεις; καὶ ἐχρῆν μὲν τοῖς
Ioh. 8, 57 ἤδη προειρημένοις ἀρκεῖσθαι καὶ μηδὲν πλέον ἐπιζητεῖν· οἱ γὰρ λογισμὸν ὀρθὸν ἔχειν σπου-
δάζοντες περὶ τὴν τῶν θείων γραφῶν ἀκρόασιν εὐγνωμόνως λέξουσιν ὡς οὐδὲν ἄτοπον
εἴη θεὸν ὁμοῦ καὶ ἄνθρωπον ὄντα, ὅτε ταῦτα λελάληκεν, ποτὲ μὲν θεόν, ποτὲ δὲ ἄνθρωπον
17 ὀνομάζεσθαι, οὐδαμῶς ἑκατέρας προσηγορίας τὴν ἑτέραν ἀθετούσης· ἐπειδὴ δὲ ἔνεστι καὶ
ἑτέρωθεν τοῦτο θεωρῆσαι ὡς οὐκ ἄνθρωπος νοεῖσθαι διὰ τοῦτο ὀφείλει κατὰ τὴν τούτων
ὑπόνοιαν, τοῦτο καθ' ἑαυτοὺς λογισώμεθα. μετὰ τὸ πρᾶξαι τοὺς Ἰουδαίους τοῦτο ὅπερ
ἐνταῦθα αὐτοὺς ἐμέμφετο ὁ κύριος, λέγω δὴ τὸ σωτήριον πάθος, εἰ ἄρα ὡς ἄνθρωπον
ἀποκτείναντες κατεκρίθησαν, τότε [γὰρ] ἂν δυνηθείη λόγον ἔχειν τὸ ὑπ' αὐτῶν λεγόμενον· εἰ δὲ ὡς κατὰ δεσπότου καὶ κυρίου τολμήσαντες κατεδικάσθησαν, δῆλον ὡς ματαίαν ὑπόνοιαν ἑαυτοῖς ἐπλάσαντο, ἄνθρωπον νομίσαντες εἶναι, κἂν ἐνοικεῖν εἰς αὐτὸν τὸν λόγον λέγωσιν. ὁ μὲν οὖν μακάριος Παῦλος περὶ τῶν σταυρωσάντων διαλεγόμενος κυριοκτό-
1 Cor. 2, 8 νους αὐτοὺς ἐναργῶς παρίστησιν, αὐταῖς λέξεσιν γράφων οὕτως· εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν· καὶ αὐτὸς δὲ ὁ κύριος ἐν τῆι τοῦ
Mt. 21, 34-39 ἀμπελῶνος παραβολῆι ἀπεσταλκέναι φησὶν τὸν οἰκοδεσπότην τοὺς δούλους αὐτοῦ πρὸς τοὺς γεωργούς, καὶ ὃν μὲν ἔδειραν, φησίν, ὃν δὲ ἀπέκτειναν, ὃν δὲ ἐλιθοβόλησαν, οἱ γεωργοὶ δηλονότι, ὕστερον δὲ ἀπεσταλκέναι φησὶν αὐτὸν τὸν υἱόν, ὃν οἱ γεωργοὶ θεασάμενοι εἶπον πρὸς ἑαυτούς· οὗτός ἐστιν ὁ κληρονόμος· δεῦτε, ἀποκτείνωμεν αὐτὸν καὶ σχῶμεν αὐτοῦ τὴν κληρονομίαν, καὶ λαβόντες αὐτὸν ἐξέβαλον ἔξω τοῦ ἀμπελῶνος καὶ ἀπέκτειναν. εἰ τοίνυν ὁ μὲν ἀπόστολος κύριον τῆς δόξης τὸν ἐσταυρωμένον ὁμολογεῖ, αὐτὸς δὲ ὁ σωτὴρ τοὺς μὲν προφήτας δούλους ἀπεσταλμένους διδάσκει, ἑαυτὸν δὲ τοῦ δεσπότου τῶν δούλων υἱόν, τίς ἔτι τολμήσει
Ioh. 8, 40 λέγειν ὡς ἄνθρωπος ἦν ὁ λέγων νῦν δὲ ζητεῖτέ με ἀποκτεῖναι καὶ οὐχὶ μᾶλλον θεὸς ἐνηνθρωπηκώς; καὶ μάλισθ' ὅταν καὶ τὰ θεοπρεπῆ ἔργα τῆι ἀνθρώπου προσηγορίαι
Ioh. 5, 25 λεγόμενα ἀκούηι μέλλοντα γίνεσθαι· ἔρχεται γὰρ ὥρα καὶ νῦν ἔστιν, ὅτε οἱ νεκροὶ ἀκούσουσιν τῆς φωνῆς τοῦ υἱοῦ τοῦ ἀνθρώπου καὶ οἱ ἀκούσαντες ζή-
Mt. 25, 31 σουσι καὶ ὅταν ἔλθηι, φησίν, ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῆι βασιλείαι αὐτοῦ

AR

1/2 ζήσωσιν R 2 lacunam statui e. g. supplendo φανερὸν καὶ τῆς ὅτι 3 πορεύσονται R 4 γὰρ deleui 10/11 περιφέρουσι γὰρ A 13/14 διὰ ταύτην del. Mai 14 οὐκ R 23 τοῦτο — λογισώμεθα om. R 25 γὰρ deleui 32 δὲ² om. R 37 ὡμολόγει A 42 ἀκούσωσιν R 42/43 ζήσωσιν R

καὶ πάντες οἱ ἄγγελοι μετ' αὐτοῦ, τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ,
τὴν δικαίαν ἅπασιν ἐπιφέρων κρίσιν, καὶ οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν εἰ Ioh. 3, 13
18 μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ υἱὸς τοῦ ἀνθρώπου. ἀκούεις φανερῶς τὸν
θεὸν λόγον τῇ ἀνθρώπου προσηγορίαι διὰ τὴν πρὸς τὴν σάρκα ἕνωσιν ὀνομαζόμενον; τίς
γὰρ ἂν εἴη ἕτερος ἐκ τοῦ οὐρανοῦ καταβάς; μηκέτι οὖν σκανδαλίζου, ὅταν λέγῃ νῦν 5 Ioh. 8, 40
δὲ ζητεῖτέ με ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα, ἀλλ'
ἐννοῶν τὴν οἰκονομίαν εὐσεβῶς δέχου τὸ λεγόμενον. ἐκ τούτων γὰρ τῆς ἑνώσεως μά- PG 277
λιστα ἡ οἰκονομία δείκνυται καὶ ὅτι κἂν ἄνθρωπος ὀνομάζηται, οὐ δίχα τῆς θεότητος
ὀφείλει καθ' ἑαυτὸν ἄνθρωπος ὀνομάζεσθαι. τίς γὰρ τολμήσει λέγειν ἄνθρωπον καὶ
ταῦτα ἐνεργήσειν τὰ προειρημένα, λέγω δὴ τὴν ἐξ οὐρανοῦ μέλλουσαν ἔσεσθαι παρουσίαν 10
αὐτοῦ καὶ τὴν περὶ πάντων δικαίαν κρίσιν; τοῦ ἱεροψάλτου μάλιστα Δαυὶδ ἄιδοντος· σοὶ Ps. 64, 2. 3
πρέπει ὕμνος, ὁ θεός, ἐν Σιὼν καὶ σοὶ ἀποδοθήσεται εὐχὴ ἐν Ἱερουσαλήμ.
εἰσάκουσον προσευχῆς, πρὸς σὲ πᾶσα σὰρξ ἥξει. τί γὰρ ἕτερόν ἐστιν τοῦτο
ἀλλ' ἢ ὅπερ τὸν υἱὸν τοῦ ἀνθρώπου ποιήσειν μεμαθήκαμεν; τότε γάρ φησιν, καθίσει Mt. 25, 31. 32
ἐπὶ θρόνου δόξης αὐτοῦ καὶ συναχθήσονται ἔμπροσθεν αὐτοῦ πάντα τὰ 15
ἔθνη. ὁρᾷς ὅπως τοῦ Δαυὶδ ὡς πρὸς θεὸν λέγοντος πρὸς σὲ πᾶσα σὰρξ ἥξει,
εἰς τὸν υἱὸν τοῦ ἀνθρώπου τοῦτο πληροῦσθαι μέλλον ἀποδέδεικται; θεὸς οὖν ἐστιν ἄρα
ἐνανθρωπήσας ὁ ἐκ Μαρίας τεχθείς, τῶν θείων ἡμῖν γραφῶν τοῦτο διὰ πολλῶν ἀποδείξεων
ἐναργῶς ἐμφαινουσῶν, θεοτόκος δὲ πάντως καὶ αὐτὴ ἡ καλλιπάρθενος, κἂν οὗτοι μὴ βού-
λωνται. εἰ γὰρ ἄνθρωπος ἦν ὁ ἐξ αὐτῆς προελθὼν Ἰησοῦς Χριστός, πῶς ὁ Παῦλος 20
Γαλάταις ἐπιστέλλων ἔγραφεν· Παῦλος ἀπόστολος οὐκ ἀπ' ἀνθρώπων οὐδὲ δι' Gal. 1, 1
ἀνθρώπου, ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ; δῆλον ὡς οὐκ ἄνθρωπος μόνον, ἀλλὰ
θεὸς ἐνηνθρωπηκώς ἐστιν· μὴ τοίνυν σκανδαλιζέσθωσαν ἐπὶ ταῖς τοιαύταις φωναῖς οἱ
ἀπαίδευτοι, ἀλλὰ διδασκέσθωσαν τοῦ θείου μυστηρίου τὴν οἰκονομίαν καὶ προσκυνείτωσαν
λοιπὸν τὸν Χριστὸν μετὰ τῶν ἀγγέλων καὶ αὐτοί. ὅταν γάρ φησιν, εἰσαγάγῃ τὸν 25 Hebr. 1, 6
πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει· καὶ προσκυνησάτωσαν αὐτῷ
πάντες ἄγγελοι θεοῦ, καὶ ἐν τῷ ὀνόματι δὲ Ἰησοῦ Χριστοῦ πᾶν γόνυ κάμψει Phil. 2, 10. 11
ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων καὶ πᾶσα γλῶσσα ἐξομολογή-
σεται ὅτι κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν θεοῦ πατρός. μνημονευέτωσαν
Χριστὸν Ἰησοῦν κύριον ὁμολογούμενον καὶ μὴ ταραττέσθωσαν ὅταν ἄνθρωπον διὰ τὴν 30
οἰκονομίαν ἀκούωσιν.

19 Οὕτω νοείτωσαν καὶ τὰ διά τινα χρείαν ἡ οἰκονομία περὶ αὐτοῦ εἰρημένα, οἷόν ἐστιν
καὶ τὸ ὑπὸ Πέτρου τοῦ ἀποστόλου λεγόμενον. Ἰησοῦν γάρ φησιν τὸν Ναζωραῖον Act. 2, 22
ἄνδρα ἀποδεδειγμένον ἀπὸ τοῦ θεοῦ εἰς ὑμᾶς πρὸς Ἰουδαίους διαλεγόμενος ὁ
Πέτρος· χρὴ γὰρ τὸν τοῖς θείοις λογίοις ἐντυγχάνοντα καὶ τὰ πρόσωπα θεωρεῖν καὶ τὸν 35
χρόνον καὶ διὰ ποίαν αἰτίαν ἕκαστον εἴρηται, λογίζεσθαι· οὕτω γὰρ ἑκάστῳ ῥητῷ τὴν
πρέπουσαν ἐφαρμόσαι θεωρίαν τις τῇ τοῦ πνεύματος δυνήσεται χάριτι. ἐπεὶ οὖν καὶ
τοῦτο τὸ ῥητὸν ἐκεῖνοι πρὸς σύστασιν τῆς ἑαυτῶν δυσσεβείας προβάλλονται, ἴδωμεν τί
δήποτε ὁ Πέτρος οἰκονομῆσαι βουλόμενος οὕτω λελάληκεν, μᾶλλον δὲ αὐτὸν ἐπερωτήσωμεν
τὴν αἰτίαν ἀπαγγεῖλαι ἡμῖν, δι' ἣν οὕτω λέγειν προήχθη. τί φῄς, ὦ μακάριε; ἄνθρωπον 40
κηρύττεις τὸν Χριστὸν καὶ τούτῳ πιστεύειν ἡμᾶς ἀναπείθεις, ἵνα κτίσματι λατρεύειν δι-
δάξῃς; καὶ μὴν ἕτερος ἀπόστολος μέμφεται τοὺς τῇ κτίσει λατρεύειν ἐθέλοντας. εἶτα Rom. 1, 25
πῶς αὐτὸς ἐρωτηθεὶς παρ' αὐτοῦ τίνα ἐνόμιζες εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου, ἀπεκρίθης PG 280
σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος; καίτοι τότε ἡ πεῦσις τοῖς μὴ σφόδρα εἰδόσι τῆς Mt. 16, 16
οἰκονομίας τὸ μυστήριον τάχα καί τινα τοιαύτην ἔννοιαν ἐμποιεῖν ἠδύνατο, λέγω δὴ τοῦ 45

AR

5 λέγει R 6 ἀποκτεῖναι om. A 7 ἐνοῶν R 35 λόγοισ R 37 ἐφορμάσαι R 38 εἴ-
δωμεν R 45 τὸ R

Mt. 16, 13 ἄνθρωπον αὐτὸν νομίσαι· τίνα γὰρ ἔλεγεν, οἱ ἄνθρωποι λέγουσιν εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου; καὶ τότε μὲν υἱὸν ἀνθρώπου ἀκούων αὐτόν, τὸν υἱὸν τοῦ θεοῦ αὐτὸν εἶναι ἔλεγες· νῦν δὲ μετὰ τὸ ἄλλων πολλῶν σημείων θεάσασθαι δύναμιν, μετὰ τὸ καὶ τῆς μακαρίας αὐτοῦ ἀναστάσεως καὶ τῆς εἰς οὐρανὸν ἀνόδου ἐν πείραι γενέσθαι ἄνθρωπον
20 αὐτὸν εἶναι λέγεις; καὶ μή τις οἰέσθω δύνασθαι καὶ τότε ὡς περὶ ἀνθρώπου λέγειν
Mt. 16, 16 αὐτὸν τὸ σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, ὡς καὶ τῶν ἁγίων χρηματιζόντων υἱῶν θεοῦ. οὐ γὰρ ἁπλῶς εἶπεν· σὺ εἶ υἱὸς θεοῦ, ἀλλὰ σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ· ἡ γὰρ τοῦ ἄρθρου προσθήκη δείκνυσι τὸν ἕνα καὶ μόνον ἀληθινὸν υἱὸν ὁμολογῆσαι τὸν Πέτρον. πρὸς ταῦτα δὲ τοιούτοις μόνον οὐχὶ αὐτὸς ὁ μακάριος Πέτρος ἀπήντησεν ἂν ῥήμασιν· μὴ τοῦτο νομίσητέ με εἰρηκέναι ὅτιπερ ἄνθρωπος καθ' ἡμᾶς εἷς ἐστιν ὁ Χριστός· οὐ τοῦτό ἐστιν ὃ φημί, πρᾶγμα δέ τι οἰκονομῶ θαυμαστὸν καὶ παράδοξον. καὶ ποῖον τοῦτό ἐστιν; τῇ καθόδωι τοῦ πνεύματος περιηχηθεὶς τῶν Ἰουδαίων ὁ δῆμος συνέδραμεν πρὸς ἡμᾶς· εὑρὼν οὖν καιρὸν ἁλιείας ἀνθρώπων εἶναι τότε, εἶτα φανερῶς αὐτοῖς καὶ ἀπ' εὐθείας οὐ δυνάμενος τὸν Χριστὸν θεὸν ἀνακηρύττειν, ἐπείπερ αὐτὸν πρὸ ὀλίγου σταυρώσαντες ἦσαν καὶ βαρὺ αὐτοῖς διὰ τοῦτο τὸ πρᾶγμα ἐφαίνετο, κρύπτω τὸ ἄγκιστρον τοῦ λόγου, καθάπερ ἐπὶ τῶν ἰχθύων τῇ τροφῇ, τοῖς ταπεινοτέροις τούτοις ῥήμασιν καὶ τὸν Ἰησοῦν Ναζωραῖον ὀνομάζω καὶ ἐσταυρωμένον καὶ ὅτι ὁ θεὸς ἤγειρεν αὐτὸν ἐκ νεκρῶν, καὶ οὕτω κεκαλυμμένως εἰσφέρω καὶ τὴν θεολογίαν αὐτοῦ, καὶ ταύτην μετά τινος
Act. 2, 25-28 τέχνης. τοὺς γὰρ Δαυὶδ αὐτοὺς ὑπομιμνήσκω λόγους, ἐπείπερ τὰ ἐκείνου μᾶλλον ἀνυπόπτως ἐδέχοντο, καὶ δι' ἐκείνων πάλιν τῇ τοῦ θεοῦ δυνάμει τὸ πᾶν ἀνατίθημι, ἵν' οὕτω
κατὰ μικρὸν αὐτοὺς καταδέξασθαι ποιήσω τὸ σωτήριον κήρυγμα, οὗ δὴ γενομένου καὶ εἰς
Act. 2, 38 κατάνυξιν ἐλθόντων αὐτῶν φανερώτερόν πως αὐτὸν λοιπὸν θεὸν ἐπιδείξω διὰ τῆς τοῦ βαπτίσματος τούτου εἰς τὸ ὄνομα αὐτοῦ προστάξεως, ἄφεσιν ἁμαρτιῶν αὐτοῖς τοῦτο χα-
Act. 2, 22 21 ρίζεσθαι δυνάμενον διδάξας. καὶ ὅρα σύνεσιν ἀποστολικήν. Ἰησοῦν, φησίν, τὸν Ναζωραῖον, ἄνδρα ἀποδεδειγμένον ἀπὸ τοῦ θεοῦ εἰς ὑμᾶς δυνάμεσι καὶ τέρασι καὶ σημείοις οἷς ἐποίησεν δι' αὐτοῦ ὁ θεὸς ἐν μέσωι ὑμῶν. καὶ ἀπὸ θεοῦ ἀποδεδειγμένον λέγει καὶ τὸν θεὸν ταῦτα δι' αὐτοῦ ἐνεργήσαντα, ἵνα τῇ τοῦ πατρὸς προσηγορίαι πείσηι αὐτοὺς καὶ αὐτὸν τὸν Ἰησοῦν καὶ τὰ ἔργα αὐτοῦ καταδέξασθαι,
Act. 2, 22 ὡς ἐκείνου δι' αὐτοῦ ταῦτα ποιοῦντος, λέγω δὴ τοῦ πατρός. οἷς ἐποίησεν γάρ
PG 281 φησίν, δι' αὐτοῦ ὁ θεός, εἶτα τοῦ σταυροῦ μνημονεύσας καὶ τὴν ἀνάστασιν εἰσφέρει, καὶ ταύτην ὡς παρὰ τοῦ πατρὸς πάλιν γεγενημένην, ἵνα διὰ τούτου πάλιν καὶ αὐτὴν αὐτοὺς καταδέξασθαι ποιήσηι, καὶ λοιπὸν ὥσπερ κεκαλυμμένως αὐτοῖς καὶ τὴν θεολογίαν
Act. 2, 24 εἰσφέρει· εἰρηκὼς γὰρ ὃν ὁ θεὸς ἀνέστησεν λύσας τὰς ὠδῖνας τοῦ θανάτου, ἐπάγει· καθ' ὅτι οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ' αὐτοῦ. οὐκέτι λοιπὸν ὡς περὶ ἀνθρώπου τοῦτο· εἰ γὰρ ἄνθρωπος ἦν, πάντως ὅτι καὶ κρατεῖσθαι ἠδύνατο ὑπὸ τοῦ θανάτου· ἀλλὰ τοῦτο εἰρηκὼς καταφεύγει ταχέως ἐπὶ τὴν προφητικὴν μαρτυρίαν, ἵνα μηκέτι ὡς παρ' αὐτοῦ, ἀλλ' ὡς παρὰ τοῦ προφήτου μᾶλλον ἀκούοντες προθυμότερον δέ-
Act. 2, 25 ξωνται τὸ λεγόμενον, καὶ φησιν· Δαυὶδ γὰρ λέγει εἰς αὐτόν· προωρώμην τὸν κύριον ἐνώπιόν μου διὰ παντὸς καὶ τὰ ἑξῆς. ὅρα μεθ' ὅσης τέχνης αὐτοῖς τὴν κυριολογίαν εἰσήγαγεν. εἶτα τὴν μαρτυρίαν πληρώσας, πάλιν αὐτῶν ὥσπερ τὸν λογισμὸν καταστέλλων, ἐπειδήπερ φανερώτερον αὐτὸν ἐθεολόγει, ἐπὶ τὴν τοῦ πατρὸς πάλιν κατα-
Act. 2, 36-38 τρέχει προσηγορίαν καὶ φησιν· ἀσφαλῶς οὖν γινωσκέτω πᾶς οἶκος Ἰσραὴλ ὅτι καὶ κύριον καὶ Χριστὸν ὁ θεὸς ἐποίησεν τοῦτον τὸν Ἰησοῦν, ὃν ὑμεῖς

AR

4 ἐμ R 7 υἱὸσ θῦ εἶ R 13 ἁλείασ A ἁλίασ R 18 καικαλυμμένοσ R 23/24 τοῦτου — δυναμένου R 33 ὠδύνασ R 37 ἄλλα R 38 προωρόμην A προόρῶμην R 39 ὅρα R ὅσα A 41 πρσ̄ R σωτῆροσ A

ἐσταυρώσατε, καὶ αἰτησάντων αὐτῶν λοιπὸν ἐκείνων, τί ποιῆσαι ὤφειλον, βαπτισθῆναι αὐτοῖς προσέταξεν ἐπὶ τῶι ὀνόματι αὐτοῦ καὶ ἄφεσιν ἁμαρτιῶν διὰ τούτου λαμβάνειν, τῆι τῶν ἁμαρτιῶν ἀφέσει τὴν κυριότητα αὐτοὺς ἐννοῆσαι ποιῶν, διὰ δὲ τοῦ λέγειν ὁ θεὸς
22 ἐποίησεν τὴν ἐκείνων ἀποκλείων ἐναντιολογίαν. ὅτι γὰρ πρόσφατον ἡμῖν κύριον ὁ πατὴρ οὐκ ἐποίησεν, οὐδένα οἶμαι τῶν εὖ φρονούντων ἀντερεῖν. καὶ γὰρ οὐχ ὥς τινες ἀνοήτως εἰς τὴν τοῦ υἱοῦ θεότητα τὸ ῥητὸν ἐκλαμβάνουσιν, οὕτως εἴρηκεν· οὐ γὰρ περὶ τῆς ὑπάρξεως αὐτοῦ σκοπὸς ἦν τῶι ἀποστόλωι διαλέγεσθαι, ἀλλὰ περὶ τῆς μετὰ τὴν ἀνάστασιν δόξης. τὸ οὖν κύριον αὐτὸν ἐποίησεν, ἀντὶ τοῦ κυριότητα καὶ Χριστοῦ δόξαν αὐτῶι δέδωκεν, οὐχ ὅτι δόξαν ἐπίκτητον ἔλαβεν ὁ υἱός, ἀλλ' ἐκείνοις διὰ τὴν προειρημένην οἰκονομίαν οὕτως διαλεγόμενος ὅτι οὕτω πιστεύειν εἰς αὐτὸν ὀφείλετε ὡς Χριστῶι καὶ κυρίωι προσιόντες. ὅτι γὰρ οὐκ ἄνθρωπος καθ' ἡμᾶς γεγεννημένος χωρὶς τῆς τοῦ λόγου ἑνώσεως Ἰησοῦς ὁ Ναζωραῖος ὁ τὸ ἴδιον ὑπὲρ ἡμῶν αἷμα ἐκχεῖσθαι καταδεξάμενος, ἄκουε σαφῶς τοῦ ἀποστόλου Παύλου τοῖς Ἐφεσίων διδασκάλοις τοῦτο φανερὸν καθιστῶντος· προσέχετε γάρ φησιν, ἑαυτοῖς καὶ παντὶ τῶι ποιμνίωι ἐν ὧι ὑμᾶς Act. 20, 28
τὸ πνεῦμα τὸ ἅγιον ἔθετο ἐπισκόπους, ποιμαίνειν τὴν ἐκκλησίαν τοῦ θεοῦ, ἣν περιεποιήσατο διὰ τοῦ αἵματος τοῦ ἰδίου. ἀκούεις θεὸν φανερῶς ὑπὸ τοῦ ἀποστόλου τὸν ἐσταυρωμένον κηρυττόμενον; ποιμαίνειν γάρ φησιν τὴν ἐκκλησίαν τοῦ θεοῦ, ἣν περιεποιήσατο διὰ τοῦ αἵματος τοῦ ἰδίου, οὐχ ὅτι τῆι φύσει τῆς θεότητος ἔπασχεν, ἀλλ' ὅτι τὰ τῆς σαρκὸς αὐτοῦ πάθη εἰς αὐτὸν ἀναφέρεται διὰ τὸ μὴ ἀνθρώπου τινὸς εἶναι ταύτην, ἀλλ' αὐτοῦ τοῦ λόγου ἰδίαν σάρκα. εἰ τοίνυν θεοῦ αἷμα τὸ αἷμα λέγεται, δῆλον ὡς θεὸς ἦν σάρκα περικείμενος.

23 Εἰ δὲ ἐπιμένοιεν λέγοντες· ποῦ τῆς γραφῆς θεοτόκος ἡ παρθένος ὠνόμασται; ἀκουέ- PG 284
τωσαν σαφῶς τοῦτο τοῦ ἀγγέλου τοῖς ποιμέσιν εὐαγγελιζομένου καὶ λέγοντος ὅτι ἐτέχθη Lc. 2, 11
ὑμῖν σήμερον σωτήρ, ὅς ἐστιν Χριστὸς κύριος, οὐ λέγει δὲ ὃς ἔσται κύριος ἢ ἐν ὧι ὁ κύριος ἐνοικήσειν μέλλει, ἀλλ' ὅς ἐστιν κύριος. ἰδοὺ τοίνυν κύριον φανερῶς τὸν τεχθέντα ὁ ἄγγελος εὐαγγελίζεται, εἶτα καὶ σημεῖον ὥσπερ αὐτοῖς τῆς τοῦ κυρίου θέας παρεχόμενος εὑρήσετε, φησίν, βρέφος ἐσπαργανωμένον καὶ κείμενον ἐν φά- Lc. 2, 12
τνηι, παραπλήσιά τε τῶι ἀγγέλωι καὶ ὁ Πέτρος κηρύττων, ὅτε πρὸς τὸν Κορνήλιον εἰσῆλθεν, ἔλεγεν· τὸν λόγον ἀπέστειλεν τοῖς υἱοῖς Ἰσραὴλ εὐαγγελιζόμενος Act. 10, 36
εἰρήνην διὰ Ἰησοῦ Χριστοῦ· οὗτός ἐστι κύριος πάντων. ὁρᾶις πῶς τὸν λόγον ἀντὶ τοῦ τὸ σωτήριον κήρυγμα διὰ Ἰησοῦ Χριστοῦ ἀπεστάλθαι φησὶν καὶ δεικνὺς αὐτοῖς τίς εἴη Ἰησοῦς Χριστός, οὗτός ἐστιν, ἔφη, πάντων κύριος; ὁρᾶις τὸ βρέφος κύριον ⟨ὀνομαζόμενον⟩ καὶ ὑπὸ τοῦ ἀγγέλου καὶ ὑπὸ τοῦ Πέτρου; οὐκοῦν θεοτόκος ἀναμφιβόλως ἡ τὸν κύριον γεννήσασα. οὕτως αὐτὴν καὶ ἡ τοῦ μακαρίου βαπτιστοῦ μήτηρ ὑπὸ πνεύματος ἁγίου κινουμένη προσηγόρευσεν· ἐπλήσθη γάρ φησιν, ἡ Ἐλισάβετ πνεύ- Lc. 1, 41-43
ματος ἁγίου καὶ ἀνεβόησεν· εὐλογημένη σὺ ἐν γυναιξὶν καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου, καὶ πόθεν μοι τοῦτο ἵνα ἡ μήτηρ τοῦ κυρίου μου ἔλθηι πρός με; τίς ἐπὶ τοσοῦτον μέμηνεν, ὡς μὴ βούλεσθαι μετὰ τῶν εὐαγγελίων θεοτόκον ἀποκαλεῖν τὴν ἁγίαν παρθένον; μὴ τοίνυν τῶν ἀκεραιοτέρων τὰς ἀκοὰς θορυβείτωσαν παιδίον καὶ βρέφος ὀνομάζοντες, ἵνα μὴ κατ' ὀλίγον καὶ πᾶσαν αὐτοῦ τὴν ἐπιδη-
24 μίαν ἀρνήσωνται· ὠνόμασται γὰρ βρέφος ὑπὸ τοῦ ἀγγέλου, ἀλλ' ἅμα καὶ κύριος. μηδ' ἐν τούτωι δὲ πάλιν ψιθυριζέτωσαν τὸ πάθος προβαλλόμενοι καὶ τὴν ἀνάστασιν καὶ ὅτι ὁ θεὸς αὐτὸν ἤγειρεν. ἤδη μὲν γὰρ καὶ ἐν τοῖς προλαβοῦσιν ἀποδέδεικται τῆς οἰκονομίας ὁ λόγος, πλὴν εἰ καὶ φανερώτερον μανθάνειν βούλονται τίς ὁ ἐσταυρωμένος ὑπῆρχεν,

---

AR

2 τῶν ἁμαρτιῶν A 4 ἀντιλογίαν in ἐναντιλογίαν corr. A 5 ἐποίει A οὐκ' R
11 γεγενημένος A 13 φανερῶν R 24 ἡμῖν A 33 ὀνομαζόμενον addidi καὶ[1] om. A

1 Cor. 11, 23 ἀκουέτωσαν τοῦ τῆς οἰκουμένης διδασκάλου τοῦτο Κορινθίοις ἐπιστέλλοντος· ἐγὼ γάρ φησι, παρέλαβον ἀπὸ τοῦ κυρίου, ὃ καὶ παρέδωκα ὑμῖν, ὅτι ὁ κύριος Ἰησοῦς ἐν τῇ νυκτὶ ᾗ παρεδίδοτο, ἔλαβεν ἄρτον καὶ τὰ ἑξῆς. θεωρεῖς τὸν ὑπὲρ
Act. 13, 30 ἡμῶν παθόντα κύριον φανερῶς κηρυττόμενον; εἰ δὲ καὶ τὸ ὁ θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν σκανδαλίζει τοὺς ἀνθρώπους ὡς περὶ ἀνθρώπου λεγόμενον, αὐτοῦ πάλιν τοῦ ἀποστόλου καὶ ταύτην ἀκουέτωσαν ἀναιροῦντος τὴν ὑπόνοιαν. οἰκονομικῶς γὰρ τὰ τοιαῦτα ἐν ταῖς ἁγίαις εἴρηται γραφαῖς· ὅτι γὰρ κύριος ἦν ὁ τῇ σαρκὶ καὶ πάσχων καὶ ἀνιστάμενος καὶ οὐχ, ὡς αὐτοί φασιν, ἄνθρωπος ἐνοίκησιν ἔχων τοῦ λόγου, ἀκουέτωσαν
Rom. 4, 23. τοῦ Παύλου Ῥωμαίοις οὕτω παρρησίαι γράφοντος περὶ τοῦ Ἀβραάμ· οὐκ ἐγράφη δι'
24 αὐτὸν μόνον, ἀλλὰ καὶ δι' ἡμᾶς, οἷς μέλλει λογίζεσθαι τοῖς πιστεύουσιν
PG 285 ἐπὶ τὸν ἐγείραντα Ἰησοῦν τὸν κύριον ἡμῶν ἐκ νεκρῶν. ἤκουσας τὸν ἐγειρόμενον κύριον προσαγορευόμενον· μηκέτι σκανδαλίζου ἐπὶ τοῖς οἰκονομικῶς λεγομένοις.

25 Καὶ τοῦτο δὲ τοῖς εἰρημένοις προσθεῖναι ἀναγκαῖον ὑπάρχει, ἵνα μή τις ὑπολάβῃ χάριτι καὶ αὐτὸν καθάπερ ἡμᾶς θεὸν καὶ κύριον καὶ υἱὸν προσαγορευόμενον. ἡμεῖς μὲν
Ps. 81, 6. 7 γὰρ εἰ καὶ καλούμεθα θεοί, ἀλλὰ πάλιν ἀκούομεν καὶ τῆς ἀσθενείας ἡμῶν τὸ μέτρον· ἐγὼ γὰρ εἶπα, φησίν, θεοὶ ἐστὲ καὶ υἱοὶ ὑψίστου, ἀλλ' εὐθέως ἐπάγει· ὑμεῖς δὲ δὴ ὡς ἄνθρωποι ἀποθνήσκετε, καὶ δῆλον ὡς τὴν προσηγορίαν κατὰ χάριν ἐσχήκαμεν, αὐτὸς δὲ οὐχ οὕτως, ἀλλὰ μετὰ τῆς θεοπρεποῦς δόξης καὶ τὴν προσηγορίαν ἔχει. καλεῖ-
Rom. 9, 5 ται γὰρ οὐχ ἁπλῶς θεός, ἀλλὰ θεὸς ἐπὶ πάντων καὶ εὐλογητὸς εἰς τοὺς αἰῶνας, καλεῖται
1 Cor. 2, 8 δὲ πάλιν καὶ κύριος, οὐκ ὀνόματι μόνον ὥσπερ ἡμεῖς, ἀλλὰ κύριος τῆς δόξης καὶ κύριος
Act. 10, 36 πάντων, ὡς ὁ Πέτρος ἐδίδαξεν· λεγόμενος δὲ καὶ υἱός, οὐδὲ τοῦτο καθάπερ ἡμεῖς ἁπλῶς
1 Ioh. 5, 20 υἱός, ἀλλὰ υἱὸς μόνος καὶ ἀληθινὸς κατ' οὐσίαν, ὡς φησιν Ἰωάννης· καὶ ἐσμὲν ἐν τῷ ἀληθινῷ θεῷ καὶ ἐν τῷ υἱῷ αὐτοῦ· οὗτός ἐστιν ὁ ἀληθινὸς θεὸς καὶ ζωὴ αἰώνιος. φανερώτερον δὲ τοῦτον καὶ ὁ ἀπόστολος Παῦλος ἀπὸ τῶν πολλῶν
1 Cor. 8, 5. 6 διορίζει ὡς μόνον καὶ κατὰ ἀλήθειαν υἱόν· λέγει γὰρ οὕτως· καὶ γὰρ εἴπερ εἰσὶν λεγόμενοι θεοί, εἴτε ἐν οὐρανῷ εἴτε ἐπὶ τῆς γῆς, ὥσπερ εἰσὶν θεοὶ πολλοὶ καὶ κύριοι πολλοὶ λεγόμενοι, πάλιν, ἵνα νοῇς· ἀλλ' ἡμῖν εἷς θεὸς ὁ πατήρ, ἐξ οὗ τὰ πάντα, καὶ εἷς κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα. ὁρᾷς ὡς οὐ μετὰ πάντων αὐτὸς κύριος ἢ θεὸς ὀνομάζεται, ἀλλὰ μόνος τῷ πατρὶ συνδοξάζεται, ὡς ἐξ αὐτοῦ κατὰ φύσιν ὑπάρχων;

26 Καιρὸς δὲ λοιπὸν καὶ τὴν ἑτέραν τοῦ ἀποστόλου μαρτυρίαν εἰς μέσον παραγαγεῖν, τοῦτον τόν ἀληθινὸν υἱὸν δεικνῦσαν ἄνθρωπον εἶναι τὸν ἐκ τῆς καλλιπαρθένου τεχθέντα,
Gal. 4, 4 ἔχει δὲ οὕτως· ὅτε δὲ ἦλθεν τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ γενόμενον ἐκ γυναικός. μηδεὶς δὲ τοῦτο λέγειν ἐρυθριάτω· οὐδεμίαν γὰρ ὕβριν τοῦτο τῷ λόγῳ φέρει, φιλανθρωπίαν δὲ μᾶλλον καὶ δόξαν διὰ τοῦτο ἄπειρον καὶ ἀμέτρητον. ὅτι γὰρ οὐδὲν ἐκ τούτου ὁ λόγος ἐβλάπτετο, ἄψαυστος ὑπάρχων τὴν φύσιν καὶ ἀπαθὴς καὶ ἀπερίγραφος, ἀρρήτωι δὲ φιλανθρωπίαι τὸ πρᾶγμα διήνυσεν,
Hebr. 13, 8 ἄκουε πάλιν αὐτοῦ τοῦ Παύλου τοῦτο διδάσκοντος· Ἰησοῦς Χριστός, φησίν, χθὲς καὶ σήμερον, ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας. τὸ γὰρ χθὲς λέγων τὴν προαιώνιον αὐτοῦ σημαίνει δόξαν, τὸ δὲ σήμερον ἐνεστῶτος καιροῦ ποιεῖται σημαντικόν, καὶ ὅτι οὐκ ἐτράπη, ἀλλ' ὅτι ὁ αὐτὸς ἔμεινεν, καὶ ἐν σαρκὶ γενόμενος, καὶ ἔσται εἰς τοὺς αἰῶνας, ἐπήγαγεν, ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας. ὅτε τοίνυν ταῦτα οὕτως ἔχει,
PG 288 φιλανθρωπίαι μεγάλῃ τὴν εἰς ἡμᾶς ἀγάπην ἐνεδείξατο καὶ κεκοινώνηκεν τῇ ἡμετέραι φύσει, ἵνα ἀναστήσῃ αὐτὴν καὶ τῆς ὑπὸ τὸν διάβολον ἀπαλλάξῃ δουλείας. μηδεὶς οὖν

AR

1 οἰκουμένησ R οἰκονομίασ A 2 δ om. R 16 δὴ om. R 24 καὶ om. R 28 καὶ om. A 32 δεικνὺσ R 33 δὲ om. A

αἰσχυνέσθω παιδίον ἀκούων καὶ βρέφος καὶ ὅσα ἀνθρωπινώτερον περὶ αὐτοῦ γέγραπται· ὑπέμεινεν γὰρ πάντα οὐ δι' ἑαυτόν, ἀλλὰ δι' ἡμᾶς, πανταχοῦ τὸ πρέπον φυλάττων τῇ
27 ἀνθρωπείαι φύσει, ἵνα μὴ φαντασία ἡ οἰκονομία νομίζηται. οὐκοῦν κἂν ἀκούσῃς ὅτι Mt. 2, 14
παραλαμβάνει αὐτὸν ὁ μακάριος Ἰωσὴφ καὶ φεύγει εἰς Αἴγυπτον, μὴ αἰσχύνην αὐτὸ νόμιζε, τὴν δὲ οἰκονομίαν ἐννόει. καὶ γὰρ οὐ τότε μόνον τοῦτο περὶ αὐτοῦ γέγραπται, ἀλλὰ καὶ ὅτε εἰς τὸν τριακοστὸν ἐνιαυτὸν ἐλθὼν ἤρξατο κηρύττειν καὶ διδάσκειν καὶ τῶν θαυμασίων ἐπετέλει τὴν δύναμιν, πάλιν τοιαῦτα περὶ αὐτοῦ γεγραμμένα εὑρίσκομεν. ἀκού- Mt. 4, 12
σας γάρ φησιν, ὅτι Ἰωάννης παρεδόθη, ἀνεχώρησεν εἰς τὴν Γαλιλαίαν,· καὶ ἕτερα δὲ τοιαῦτα ἔστιν εὑρεῖν. ἀλλ' οὐ φόβωι τοῦτο ἐποίει οὐδὲ τότε οὐδὲ νῦν, ἀλλὰ τὸν πρέποντα καιρὸν ἀναμένων τοῦ σωτηρίου πάθους· ἔδει γὰρ πρῶτον διαλάμψαι τὸ κήρυγμα καὶ πάντα ἐπιτελέσαι ὅσα ἐβούλετο, καὶ τότε καὶ ἐπὶ τὸ σωτήριον πάθος ἐλθεῖν, ὃ δὴ καὶ γέγονεν. ὅτι δὲ οὐ φόβωι καὶ δειλίαι τοῦτο ἐγίνετο, δῆλον ἀφ' ὧν πεποίηκεν, ὅτε παραδοθῆναι οὐκ ἐβούλετο. καὶ γὰρ τῶν Ἰουδαίων αὐτὸν τότε κατακρημνίσαι θελησάντων, αὐτός, φησίν, διελθὼν διὰ μέσου αὐτῶν ἐπορεύετο, καὶ ἄλλοτε δέ, Lc. 4, 30
φησίν, πιάσαι αὐτὸν θελόντων, οὐδείς, φησίν, ἐπέβαλεν ἐπ' αὐτὸν τὰς χεῖρας, 16 Ioh. 7, 30
ὅτι οὔπω ἐλήλυθεν ἡ ὥρα αὐτοῦ. πλὴν ἀλλὰ καὶ ἀχείρωτος εἶναι δυνάμενος ὡς θεός, πάλιν διὰ τὸ ἀνθρώπινον ὑπανεχώρει, ἵνα φαίνηται κατὰ ἀλήθειαν γενόμενος ἄνθρωπος. εἰ δὲ λέγοι τις· διὰ τί μὴ καὶ τότε ὅτε παιδίον ἦν, δι' ἑαυτοῦ τὴν ἐπιβουλὴν ἐξέκλινεν, ἀλλ' ἀγγέλου χρηματίζοντος; μανθανέτω ὡς καὶ τότε αὐτοῦ ἦν τὸ ἔργον, ἀλλ' ἵνα μὴ τῆς οἰκονομίας τοσοῦτον παραλύσηι τὸν λόγον διὰ τὴν ἡλικίαν, διὰ τοῦτο δι' 20
28 ἀγγέλου τὸ πρᾶγμα πεποίηκεν. ὅτι δὲ τὰ πρέποντα σώιζειν βουλόμενος πάντα οἰκονομικῶς ἐποίει καὶ συνεχώρει τῆι σαρκὶ δεικνύειν τὰ αὐτῆι ἀκόλουθα, πληροφορήσει σε πάλιν αὐτός. ὅτε γὰρ ὁ μακάριος βαπτιστὴς αὐτῶι ἔλεγεν· ἐγὼ χρείαν ἔχω ὑπὸ Mt. 3, 14. 15
σοῦ βαπτισθῆναι, ἀπεκρίνατο πρὸς αὐτὸν ἄφες ἄρτι· οὕτω γὰρ πρέπον ἐστὶν πληρῶσαι πᾶσαν δικαιοσύνην. ὁρᾶις ὅτι καὶ τὸ βάπτισμα καὶ πάντα τὰ πρέποντα 25
οἰκονομῶν κατεδέχετο; ὅταν τοίνυν ἀκούσῃς παιδίον καὶ βρέφος καὶ ὅσα ἀνθρωπινώτερον περὶ αὐτοῦ γέγραπται, καθὼς προείρηται, μηδέποτε δίχα τῆς θεότητος αὐτὸν ὄντα ὑπολάμβανε· καὶ γὰρ καὶ ἄνθρωπος λεγόμενος, δείκνυται θεὸς ὑπάρχων, ὡς πολλάκις ἀποδέδεικται. ἐπιμαρτυρήσει δὲ πρὸς τοῦτο τοῖς εἰρημένοις καὶ ὁ μακάριος βαπτιστὴς οὕτω λέγων περὶ αὐτοῦ· ὀπίσω μου ἔρχετσι ἀνὴρ ὃς ἔμπροσθέν μου γέγονεν, ὅτι Ioh. 1, 30. 31
πρῶτός μου ἦν κἀγὼ οὐκ ἤιδειν αὐτόν. πῶς οὖν ἄνδρα λέγων αὐτόν, πρῶτον 31
ἑαυτοῦ φησιν αὐτὸν εἶναι; καὶ μὴν κατὰ τὸν τῆς οἰκονομίας χρόνον αὐτὸς πρῶτος ὁ μακάριος βαπτιστὴς γεγεννημένος εὑρίσκεται. ὅτε γὰρ ὁ Γαβριὴλ τῆι θεοτόκωι Μαρίαι PG 289
τὴν ἄχραντον σύλληψιν εὐγγελίζετο, ἕκτον ἔλεγεν ἤδη μῆνα τὴν Ἐλισάβετ ἔχειν συνει- Lc. 1, 36
ληφυῖαν τὸν βαπτιστήν. πῶς οὖν ἄνδρα λέγων πρῶτόν φησιν αὐτὸν ἑαυτοῦ ὄντα, εἰ 35
μήτι θεὸν φανερῶς ἐνανθρωπήσαντα αὐτὸν ἠπίστατο; ὀπίσω μου γάρ φησιν, ἔρχεται Ioh. 1, 30
ἀνὴρ ὃς ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν. πῶς δὲ εἰ πρῶτος ἦν, ἔμπροσθεν ὕστερον ἐγένετο; τῆι φανερώσει καὶ τῆι γνώσει τῆι πρὸς τὸν λαόν. πρὶν μὲν γὰρ ἐπὶ τὸ κηρύττειν παρέλθηι, οὐ σφόδρα ἦν τοῖς πολλοῖς γνώριμος, ὁ δὲ βαπτιστὴς ἤδη καὶ ἐκήρυττεν καὶ ἐβάπτιζεν πρὸ αὐτοῦ· ὅτε δὲ λοιπὸν καὶ ὁ κύριος ἤρξατο κηρύττειν 40
καὶ τὰ θαύματα ἐπιτελεῖν, ἔμπροσθεν, τουτέστιν μᾶλλον τοῦ βαπτιστοῦ τὰ πρωτεῖα ἔφερεν. καὶ ὅτι τοῦτό ἐστιν τὸ ἔμπροσθεν, ἄκουε τί πρὸς τὸν Ἰωάννην οἱ αὐτοῦ μαθηταὶ ἔλεγον· ῥαββί, ὃς ἦν μετὰ σοῦ ἐν τῶι Ἰορδάνηι, ὧι σὺ μεμαρτύρη- Ioh. 3, 26
κας, ἴδε οὗτος βαπτίζει καὶ πάντες ἔρχονται πρὸς αὐτόν. θεωρεῖς πῶς καὶ ἄνδρα καὶ πρῶτον αὐτὸν ἐκήρυξεν;

AR
6 λ̃ R 23 ὁ αὐτὸς A 27 εἴρηται A

29 Εἰ δὲ τῆι προλαβούσηι κεκαρωμένοι μέθηι ἔτι καὶ νῦν ἀναβάλλονται τῆι ἀληθείαι πείθεσθαι οἱ πεπλανημένοι, φέρε κἀκείνην αὐτοῖς τὴν μαρτυρίαν εἰς μέσον ἀγάγωμεν, πρὸς ἣν ἀντειπεῖν οὐδὲ αὐτοὶ οἱ τὰ αὐτὰ αὐτοῖς ὑπειληφότες Ἰουδαῖοι καὶ νομίζοντες ἄνθρωπον εἶναι
Mt. 22, 41-45 ψιλὸν οὐκέτι ἠδυνήθησαν· ποία δὲ αὕτη ἐστίν; αὐτὸς τότε τοὺς Φαρισαίους ὁ κύριος ἠρώτησεν λέγων· τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ; τίνος υἱός ἐστιν; τῶν δὲ ἀποκριναμένων τοῦ Δαυίδ, ἔφη πρὸς αὐτούς· πῶς οὖν Δαυὶδ ἐν πνεύματι καλεῖ αὐτὸν κύριον λέγων· εἶπεν ὁ κύριος τῶι κυρίωι μου· κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου; εἰ οὖν Δαυὶδ καλεῖ αὐτὸν κύριον, πῶς υἱὸς αὐτοῦ ἐστιν; ὁρᾶις φανερῶς πῶς κύριον τοῦ Δαυὶδ ἑαυτὸν ἀπέδειξεν· πῶς οὖν ὁ ἐκ σπέρματος Δαυὶδ κύριος αὐτοῦ εἶναι ἠδύνατο καὶ τοῦ πατρὸς σύνθρονος, εἰ μὴ ὅτι θεὸς ἦν τὰ ἀνθρώπινα περιβαλόμενος; υἱὸν γὰρ Δαυὶδ καὶ κύριον τὸν ἐκ τῆς παρθένου τεχθέντα, τουτέστιν ἑαυτὸν ἀπέδειξεν, ἀλλ' ἐκεῖνοι μὲν ταύτην τὴν μαρτυρίαν ἀκούσαντες ἀνετράπησαν καὶ τοῦ ἀντιλέγειν ἐπαύσαντο,
Mt. 22, 46 ὡς ὁ εὐαγγελιστὴς ἱστορεῖ· οὐδεὶς γάρ φησιν, ἠδύνατο ἀποκριθῆναι αὐτῶι λόγον οὐδὲ ἐτόλμησεν ἀπ' ἐκείνης τῆς ὥρας ἐπερωτῆσαι αὐτὸν οὐκέτι.

30 γένοιτο δὲ καὶ τούτους κἂν ὀψέ ποτε τῆς ἀνοίας ἀποστάντας ἐπιγνῶναι τῆς εὐσεβείας τὸ κήρυγμα, ἡμεῖς δὲ ταύτης ἐχώμεθα τῆς πίστεως, ἀγαπητοί, διὰ παντός· ταύτην καὶ ἐν διανοίαι κατέχωμεν καὶ τῆι γλώττηι φανερῶς καὶ μετὰ παρρησίας κηρύττωμεν, πάντα διὰ ταύτην ὑπομένειν προθύμως ἀνεχόμενοι. αὕτη γὰρ προφητῶν μέν ἐστιν πρόρρησις, ἀποστόλων δὲ κήρυγμα καὶ τῆς τῶν οὐρανῶν βασιλείας πρόξενος, αὕτη τῆς αἰωνίου ζωῆς ὁδηγός, αὕτη τῶν πατέρων ὁ πλοῦτος, αὕτη καὶ ἡμῶν ὁ ἀληθινὸς θησαυρός, ὑπὲρ οὗ
PG 292 πάντα πωλεῖν καὶ προέσθαι δίκαιον. τοῦτον εἴ τις ἡμῶν ἀποσυλῆσαι θελήσοι, ἀποστρεφώμεθα ὡς Χριστομάχον καὶ τῆς ἡμετέρας σωτηρίας ἐχθρόν, πειθόμενοι τῶι παραγγέλλοντι
Gal. 1, 8 ἀποστόλωι· κἂν ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίσηται ὑμῖν παρ' ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω.

4 = V 135 R 5 Τοῦ αὐτοῦ ἑρμηνεία εἰς τὸ ἐν Νικαίαι σύμβολον
5 = V 8 R 21 Σάκρα ἀποσταλεῖσα τῶι ὁσιωτάτωι Κυρίλλωι
6 = V 9 Κελεστίνου ἀρχεπισκόπου Ῥώμης πρὸς τὸν ἀρχιεπίσκοπον Κύριλλον
7 = V 10 Τοῦ αὐτοῦ πρὸς Νεσ·όριον
8 = V 11 Τοῦ αὐτοῦ πρὸς τὸν κλῆρον καὶ τὸν λαὸν Κωνσταντινουπόλεως ἐπιστολή
9 = V 12 Τοῦ αὐτοῦ πρὸς Ἰωάννην τὸν Ἀντιοχείας ἐπίσκοπον
10 = V 2 R 11 Κυρίλλου πρὸς Νεστόριον, ἡνίκα ἔμαθεν αὐτὸν κακῶς φρονεῖν
11 = V 3 R 12 Νεστορίου πρὸς Κύριλλον
12 = V 4 R 13 Κυρίλλου πρὸς Νεστόριον
13 = V 5 R 14 Νεστορίου πρὸς Κύριλλον
14 = V 21 Κυρίλλου πρὸς τοὺς ἐγγράφος αὐτὸν αἰτιασαμένους ὅτιπερ οὐ σεσιώπηκεν ἐξ ἀκοῆς μαθὼν ἔρπειν ἐπὶ τὸ χεῖρον τὴν δυσσεβῆ Νεστορίου διδασκαλίαν
15 = V 20 Τοῦ αὐτοῦ ἐπιστολὴ πρός τινα ζηλωτὴν περὶ Νεστορίου
16 = V 13 Τοῦ αὐτοῦ πρὸς Ἰωάννην τὸν Ἀντιοχείας
17 = V 30 Ἰωάννου ἐπισκόπου Ἀντιοχείας πρὸς τὸν ἁγιώτατον Κύριλλον
18 = V 15 Κυρίλλου πρὸς Ἰουβενάλιον ἐπίσκοπον Ἱεροσολύμων

AR
1 δὲ om. R 3 οὔτε AR 9 ὅρα A 17 διὰ παντὸσ ἀγαπητοῖ R 19 μὲν γὰρ προφητῶν R 25 ὑμῖν om. A

A
4 ϵ' in mg. A m. rec.

19 = V 19 R 46 Ὁμιλία Πρόκλου ἐπισκόπου Κυζίκου λεχθεῖσα ἐν Κωνσταντινουπόλει καθεζομένου Νεστορίου εἰς τὴν ἐνανθρώπησιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὅτι θεοτόκος ἐστὶν ἡ ἁγία παρθένος Μαρία καὶ ὅτι ὁ τεχθεὶς οὔτε θεὸς γυμνὸς οὔτε ἄνθρωπος ψιλός, ἀλλ' Ἐμμανουὴλ τυγχάνει, θεὸς καὶ ἄνθρωπος ἀσυγχύτως καὶ ἀμεταβλήτως ὑπάρχων· εἶπε δὲ αὐτήν, ὅτε ἦν ἐπίσκοπος Νεστόριος, προτραπεὶς παρ' αὐτοῦ 5

20 = V 14 R 16 Ἰωάννου ἐπισκόπου Ἀντιοχείας πρὸς Νεστόριον, ἐν ᾗ μακάριον ἀποκαλεῖ Θεόδωρον τὸν αἱρετικόν

21 = V 18 Διαμαρτυρία προτεθεῖσα ἐν Κωνσταντινουπόλει

22 = V 24 Τοῦ αὐτοῦ Κυρίλλου πρὸς τὸν κλῆρον καὶ τὸν λαὸν Κωνσταντινουπόλεως

23 = V 6 R 15 Τοῦ αὐτοῦ πρὸς Νεστόριον 10

24 = R 6. Latina uersio extat in Coll. Palatina 39, Syriaca in cod. Mus. Brit. add. 12156

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Κυρίλλου ἀρχιεπισκόπου Ἀλεξανδρείας πρὸς τοὺς τολμῶντας συνηγορεῖν τοῖς Νεστορίου δόγμασιν ὡς ὀρθῶς ἔχουσιν Pusey 260 PG 76, 316

1 Οἱ τῶι παναγίωι θεῶι τὴν ἑαυτῶν διάνοιαν παραστήσαντες καὶ τοῖς τῆς ἀληθείας δόγμασιν συνειπεῖν ἡιρημένοι παραιτοῦνται μὲν τὰς βεβήλους κενοφωνίας τῶν ἀνοσίων αἱρετικῶν, ἐνερείσαντες δὲ τὸν ἔσω καὶ κεκρυμμένον τῆς καρδίας ὀφθαλμὸν τῆι θεοπνεύστωι γραφῆι οὕτω τε αὐτὸν πλουσίως ἀναμεστώσαντες ἐννοιῶν ἀγαθῶν τοῖς τὰ ὀρθὰ διαστρέ-
2 φουσιν ἀντανίστανται καὶ μάλα νεανικῶς, μόνον οὐχὶ λέγοντες· Ζηλοῦντες ἐζηλώσαμεν τῶι 3 Reg. 19, 14 κυρίωι. Νεστορίου τοίνυν πολλάς τε καὶ διαφόρους καταχέοντος δυσφημίας τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ καὶ οἷον ἐκ βάθρων ἀναμοχλεύοντος τὸ σεπτὸν καὶ μέγα τῆς ἐνανθρωπήσεως μυστήριον, οὐκ ἀκίνδυνον εἰδότες τὸ ἐπί γε τούτοις ἑλέσθαι σιγᾶν συμβουλεύσαντές τε πλειστάκις αὐτῶι τῶν τοιούτων ἀποσχέσθαι δυσφημιῶν, ὀνήσαντες δὲ παντελῶς οὐδέν, κεχωρήκαμεν ἀναγκαίως ἐπὶ τὸ χρῆναι συναθλεῖν τοῖς τῆς εὐσεβείας δόγμασιν. P 262 ἀπολεξάμενοι δὲ κεφάλαιά τινα τῶν ἐκείνου δυσφημιῶν, ταῦτα χρησίμως ἀνεθεματίσαμεν PG 317 ἤτοι τοὺς φρονεῖν ἐθέλοντας αὐτά, πειθόμενοι λέγοντι τῶι μακαρίωι Παύλωι· εἴ τις Gal. 1, 9. 8
ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω· ἀλλὰ κἂν ἡμεῖς ἢ 26
ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίσηται ὑμᾶς παρ' ὃ παρελάβετε, ἀνάθεμα
3 ἔστω. ἀλλ' οὐκ οἶδ' ὅπως δεδυσφορήκασι τινὲς ἐπὶ τούτωι λίαν, ἢ ὁμόφρονες ὄντες ἐκείνωι καὶ ἰσογνώμονες ἢ προσποιούμενοι μὲν παραιτεῖσθαι τὴν ὁμοδοξίαν, πειρώμενοι δὲ διὰ τρόπου παντὸς ἐπικουρεῖν αὐτῶι καὶ ποιεῖσθαι κατεστυγημένους τοὺς τῶι σωτῆρι 30
Χριστῶι συνηγορεῖν ἐθέλοντας. ἀλλ' ἦν ἀκόλουθον ἐννοεῖν ὅτι τὸ τοῖς ἑτεροδιδασκαλοῦσιν ἐπιτιμᾶν προυξένησεν ἂν αὐτοῖς τῆς εἰς Χριστὸν ἀγάπης τὸ γνήσιον· νῦν δὲ πεπράχασι μὲν οὐχ ὅπερ ἦν ἄμεινον· πολλοῦ γε καὶ δεῖ· πεποίηνται δὲ πολεμιωτάτους ὧν εἰ
4 γεγόνασι ζηλωταί, ἀνεδήσαντο ἂν σὺν αὐτοῖς τῆς ἀφθαρσίας τὸν στέφανον. ἐπιλαμβά-

---

12/13 Κατὰ Ἀνδρέου fmg; cf. epistulam Rabbulae ap. Overbeck, S. Ephraemi opp. sel. 222 et Theodor. Lect. 2, 40 [Rév. archéol. n. s. 26, 401] et epistulam Cyrilli ad Rufum Thessalonicensem [R 41] πρὸς τὰ . . . Ἀνδρέου εἰς τὰ κεφάλαια

Θ [= fv], ARΛΣ

12/13 Τοῦ — ἔχουσιν νΣ Τοῦ — συνηγορεῖν ὡσ ὀρθῶσ ἔχουσι τοῖσ νεστορίου δόγμασι f τοῦ αὐτοῦ ἀπολογητικὸσ ὑπὲρ τῶν δώδεκα κεφαλαίων πρὸσ τοὺσ τῆσ ἀνατολῆσ ἐπισκόπουσ ἐγγράφωσ μεμψαμένουσ τοῖσ τοιούτοισ κεφαλαίοισ A κυρίλλου ἀρχιεπισκόπον ἀλεξανδρείασ ἀπολογιτικὸσ ὑπὲρ τῶν ιβ κεφαλαίων πρὸσ τοὺσ τῆσ ἀνατολῆσ ἐπισκόπουσ R om. Λ 14 ἁγίω R 15 καινοφωνίασ ΛΣ 16 ἀνερήσαντεσ R ἀντερείσαντεσ Rcorr κατακεκρυμμένον AR 18 καὶ μονονουχί ν ἐζηλώσαμεν Θ ἐζηλώκαμεν AR 19 δυσφημίασ Θ βλασφημίασ AR 21 γε ἐπὶ ν 23 συνελθεῖν A 30 κατεστυγημένουσ Θ κατεστυγμένουσ AR 31 συνηγορεῖν Θ συναγορεύειν AR 32 τὸν χν ν νυνὶ R

νονται τοίνυν τῶν ἀναθεματισμῶν ὡς οὐκ εὖ γεγονότων καὶ δὴ καὶ ἑκάστωι παραθέντες ἐγγράφως τὰ τῆς ἑαυτῶν διανοίας εὑρήματα καὶ ἀσυνέτους τινὰς εἰκαιομυθίας, συναρπάσειν οἴονται τοὺς ἐντευξομένους καὶ ἀβασανίστως τοῖς παρ' αὐτῶν ἐντυγχάνοντας λόγοις. ἦν οὖν ἀναγκαῖον καὶ ἡμᾶς αὐτοὺς ἀντιπαρεξάγειν τὸ ἀληθὲς καὶ ἀποκρούεσθαι τὴν κατάρρησιν ἀποφῆναί τε φιλοσκώμμονας ἢ γοῦν ἀληθείας ἐρευνητὰς τοὺς δι' ἐναντίας. προτάξαντες τοίνυν ἕκαστον τῶν ἀναθεματισμῶν, εἶτα τούτοις τὰ παρ' ἐκείνων συντεθειμένα συντάξαντες, παρεζεύξαμεν τὰ παρ' ἑαυτῶν, τοῖς τῶν θείων γραφῶν ἐπιστήμοσι δικασταῖς οἱονεὶ χρώμενοι καὶ ψῆφον αἰτοῦντες ὀρθήν τε καὶ ἀνεπίπληκτον παρὰ τῶν εἰδότων τὴν ἀλήθειαν.

P 264 Ἀναθεματισμὸς ᾱ

5 Εἴ τις οὐχ ὁμολογεῖ θεὸν εἶναι κατὰ ἀλήθειαν τὸν Ἐμμανουὴλ καὶ διὰ τοῦτο θεοτόκον τὴν ἁγίαν παρθένον (γεγέννηκεν γὰρ σαρκικῶς σάρκα γεγονότα τὸν ἐκ θεοῦ λόγον), ἀνάθεμα ἔστω.

Μέμψις αἱρετικῶν

6 Καὶ τίς σαρκικῶς σάρκα γεγονότα τὸν ἐκ θεοῦ λόγον ἀποτετέχθαι συνομολογήσειεν
Lc. 1, 35 ⟨ἄν⟩; εἰ γὰρ σαρκικῶς ἐγέννησεν, οὐκέτι κατὰ παρθένον. καὶ ποῦ θήσομεν τὸ πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι, σαρκικῶς κατ' αὐτὸν τῆς παρθένου καὶ οὐ θεοπρεπῶς γεννησάσης; καὶ πῶς ταύτην ἀστὴρ παραδόξως φαινόμενος κατεμήνυεν, μάγοι δὲ ἐκ Περσίδος δι' αὐτοῦ ὁδηγούμενοι παρήιεσαν τὸν τεχθέντα ζητοῦντες καὶ εὑρόντες ἔφερον δῶρα καὶ τῶι νοουμένωι καὶ τῶι φαινομένωι πρόσφορα ἄγγελοί τε οὐρανόθεν κατελθόντες τὴν γέννησιν μετὰ ποιμένων ἀναμιγέντες
Lc. 2, 14 ἐχόρευον λέγοντες· δόξα ἐν ὑψίστοις θεῶι καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις
PG 320 εὐδοκία; ταῦτα τίνος μηνύματα, σαρκικῆς ἢ θεοπρεποῦς γεννήσεως; ἄλλως τε εἰ
2 Cor. 5, 21 ἀβασανίστως ταῖς φωναῖς ἐμβάλοιμεν, καὶ τροπὴν τοῦ λόγου καὶ μεταβολὴν τὴν εἰς σάρκα
Gal. 3, 13 φαντασθησόμεθα καὶ οὕτως καὶ ἁμαρτίαν καὶ κατάραν αὐτὸν γεγενῆσθαι ὑποληψόμεθα, εἰ τοῖς ἑπομένοις ἢ ἡγουμένοις τῶν κειμένων καὶ αὐτῆι τῆι συνηθείαι τῆς γραφῆς μὴ προσέχοιμεν. ἀλλὰ γὰρ τὸ γενέσθαι σάρκα τὸν λόγον τὴν ἐν τῆι σαρκὶ σκήνωσιν καλῶς ἐκλαμβάνομεν κατὰ τὴν τῶν εὐαγγελίων διάνοιαν.

Ἀπολογία ὀρθοδόξου

7 Τῆς μετὰ σαρκὸς οἰκονομίας τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ τὸ μυστήριον ὁ πάνσοφος
Ioh. 1, 14 Ἰωάννης διατρανοῖ γεγραφώς· καὶ ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν
P 266 ἡμῖν. ταῦτα συνέντες ὀρθῶς οἱ μακάριοι πατέρες οἱ κατὰ καιροὺς ἐν τῆι Νικαέων συνειλεγμένοι αὐτὸν ἔφασαν τὸν ἐκ θεοῦ πατρὸς φύντα λόγον τὸν δι' οὗ τὰ πάντα πεποίηκεν ὁ πατήρ, τὸ φῶς τὸ ἐκ τοῦ φωτός, τὸν θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ, σαρκωθῆναί τε καὶ ἐνανθρωπῆσαι, τουτέστιν ἑνωθῆναι σαρκὶ ψυχὴν ἐχούσηι τὴν λογικὴν καὶ ἄνθρωπον γενέσθαι μετὰ τοῦ καὶ ἀπομεῖναι θεόν. ὅτι δὲ ἀτρέπτως τε καὶ ἀσυγχύτως τὸ τῆς ἑνώσεως πέπρακται χρῆμα, μεμενηκότος, ὡς ἔφην, τοῦ θεοῦ λόγου τοῦθ' ὅπερ ἐστί, καὶ

Θ [= fv], ΑRΛΣ

2 αὐτῶν v εὑρέματα Θ 2/3 συναρπάζειν Θ 8 ἀνεπίληπτον A 10 πρῶτος vA 12 θῡ ΘΛΣ θῡ πρᾱ AR 14 μέμψις αἱρετικῶν [αἱρετικοῦ Σ] ΘΛΣ ἀντίρρησις τῶν ἀνατολικῶν AR ᾱ in mg. R 15 ἀποτετάχθαι v 16 ἄν addidi 17 τὸ ἅγιον f 20 ταχθέντα v 21 τῶν ποιμένων R 23 εὐδοκία ΘARΣ εὐδοκίας Λ 24 τροπὴν] πρὸς τὴν f 28 τοῦ εὐαγγελίου Σ 29 ὀρθοδόξου ΘΛΣ κυρίλλου AR, ᾱ in mg. R 31 γεγραφηκὼς AR 32 συνιέντες R 33 συνειλιγμένοι R 34 τοῦ om. A ἀληθινὸν AR τὸν ἀληθινὸν Θ 36 μετὰ καὶ τοῦ μεῖναι v 37 θεοῦ ARΛΣ om. Θ

εἰ γέγονε σάρξ (ἀναλλοίωτος γὰρ κατὰ φύσιν ἐστίν), οὐδενὶ τῶν ὄντων ἀμφίβολον· τὸ γὰρ σαρκοῦσθαι λεγόμενον οὐκ εἰς σαρκὸς τρέπεται φύσιν, ἀλλ' ἕτερόν τι νοεῖται παρ' αὐτὴν ὑπάρχον καὶ ἑνωθὲν αὐτῇ. οὕτω φρονοῦντες οἱ μακάριοι πατέρες θεοτόκον ὠνόμασαν τὴν ἁγίαν παρθένον· πεπιστεύκασι γὰρ ὅτι σαρκωθέντα τε καὶ ἐνανθρωπήσαντα γεγέννηκεν τὸν υἱὸν τὸν δι' οὗ τὰ πάντα πεποίηκεν ὁ πατήρ. ὁ δὲ τῶν νέων ἡμῖν δυσφημιῶν εὑρετὴς Νεστόριος τῇ τοιᾷδε μαχόμενος δόξῃ κατακιβδηλεύει μὲν ὡς οὐκ οὖσαν ἀληθῆ τὴν θεοτόκος φωνήν, ἔφη δὲ οὕτως

8 Ἠρώτησα, φησίν, πολλάκις αὐτούς· τὴν θεότητα λέγετε γεγεννῆσθαι ἐκ τῆς μακαρίας παρθένου; ἀποπηδῶσιν εὐθὺς πρὸς τὸ ῥῆμα· καὶ τίς, φησίν, τοσαύτην βλάσφημίαν νοσεῖ, ὡς ἐκείνην τὴν γεννήσασαν τὸν ναόν, λέγειν παρὰ τοῦ πνεύματος τὸν θεὸν ἐν ἐκείνῃ ἐκτίσθαι; εἶτα ὅταν ἐπαγάγω· τί οὖν ἄτοπον ἡμεῖς λέγομεν συμβουλεύοντες φεύγειν τὴν φωνὴν καὶ ἔρχεσθαι ἐπὶ τὸ κοινὸν σημαινόμενον τῶν δύο φύσεων; τότε νομίζεται αὐτοῖς εἶναι βλάσφημον τὸ λεγόμενον. ἢ ὁμολόγησον σαφῶς θεότητα γεγεννῆσθαι ἐκ τῆς μακαρίας Μαρίας ἢ φεύγων ὡς βλάσφημον τὴν φωνὴν τί τὰ αὐτά μοι λέγων ὑποκρίνῃ μὴ λέγειν; Loofs, Nestoriana p. 353, 1-12 P 268

9 Περιστάντος τοίνυν ἐκείνου, μᾶλλον δὲ ἀναπείθοντος ἀνοσίως τοὺς θεοτόκον λέγοντας τὴν παρθένον εἰς τὸ δεῖν ὁμολογεῖν σαρκὸς γενέσθαι καρπὸν γυμνήν τε καὶ κατὰ μόνας τὴν τῆς θεότητος φύσιν καὶ τῆς ὑπάρξεως τὴν ἀρχὴν ἐκ γυναικὸς ἐσχηκέναι τὸν τοῦ θεοῦ λόγον, πληροφορεῖν ἐθέλοντες ὅτι τῆς τοιᾶσδε δόξης ἀλλότριοι παντελῶς καθεστήκαμεν (οὐ γὰρ οὕτω λελῃρήκαμεν, ὡς ἐλέσθαι φρονεῖν παρ' ὃ δεῖ φρονεῖν), ἀποτεκεῖν ἔφημεν τὴν παρθένον σάρκα γεγονότα κατὰ τὰς γραφὰς τὸν τοῦ θεοῦ λόγον, τουτέστιν ἄνθρωπον, ἀποτεκεῖν δὲ αὐτὸν σαρκικῶς, τουτέστιν κατὰ σάρκα. ὁ μὲν γὰρ θεὸς καὶ πατὴρ θεικῶς γεγέννηκεν ἐξ ἑαυτοῦ θεὸν ὄντα τὸν υἱόν· ἐπειδὴ δὲ τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστιν, γεγέννηκεν ἡ παρθένος, ὡς σὰρξ ὑπάρχουσα, σαρκικῶς· τὸ δὲ σαρκικῶς εἰπεῖν οὐκ ἀναιροῦντός ἐστιν τῆς γεννήσεως τὸ παράδοξον οὔτε μὴν ἀνατρέποντος τοῦ ἁγίου πνεύματος τὴν ἐνέργειαν, δι' ἧς ἐν μήτραι διέπλασεν τὸ τεχθέν, διδάσκοντος δὲ μᾶλλον ὅτι ὥσπερ θεὸς τίκτει θεικῶς ἤτοι θεοπρεπῶς κατὰ τὴν ἰδίαν φύσιν, οὕτω καὶ ἄνθρωπος ἀνθρωπίνως ἤτοι σὰρξ σαρκικῶς. θεὸς δὲ ὢν κατὰ φύσιν ὁ λόγος, καίτοι σὰρξ γεγονώς, προῆλθεν θεοπρεπῶς, τουτέστιν ὡς ἂν πρέποι τῷι γε ὄντι κατὰ ἀλήθειαν θεῷι. μόνος γὰρ ἔσχεν μητέρα τὴν ἀπειρόγαμον καὶ τετήρηκεν παρθένον τὴν τεκοῦσαν αὐτὸν κατὰ σάρκα. θαυμάζω δὲ ὅτι θεοτόκον ὀκνοῦντες εἰπεῖν τὴν ἁγίαν παρθένον θεοπρεπῶς αὐτὴν γεννῆσαί φασιν· οὐ γὰρ ἄνθρωπος κοινὸς τίκτεται θεοπρεπῶς. Ioh. 3, 6 P 270

10 δῶρα δὲ προσκεκομίσθαι φασὶν παρὰ τῶν μάγων τὰ πρόσφορα καὶ τῷι νοουμένωι καὶ τῷι φαινομένωι, διαιροῦντες εἰς δύο δὴ πάλιν μετὰ τὴν ἕνωσιν τὸν ἕνα κύριον Ἰησοῦν Χριστόν· ὁ γὰρ νοούμενος γέγονεν ὁρατός, οὐ μεταβολῇι φύσεως, ἀλλ' ἑνώσει τῇι πρὸς τὸ ὁρώμενον σῶμα. καὶ γοῦν αὐτόπτας καὶ ὑπηρέτας γενέσθαι τοῦ λόγου τοὺς ἁγίους ἀποστόλους τὸ γράμμα φησὶ τὸ ἱερόν· καίτοι πῶς οὐ παντί τωι σαφὲς ὡς ἐστιν ἀσώματος τε καὶ ἀναφὴς ὁ ἐκ θεοῦ πατρὸς λόγος; ἀλλ' εὑρίσκω λέγοντας τοὺς ἁγίους μαθητάς· ὃ ἦν Lc. 1, 2 1 Ioh. 1, 1

1—3 Fcyr 122 ἐκ τῆς ἀπολογίας τοῦ πρώτου ἀναθεματισμοῦ ἣν ποιεῖται πρὸς τοὺς τῆς Ἀνατολῆς, ἧς ἡ ἀρχή· Τῆς μετὰ σαρκὸς οἰκονομίας· 'τὸ γὰρ — αὐτῆι' 8—15 = Cyrill. adu. Nestor. 1, 1 33—p. 36, 2 Timoth. arm. p. 93 35—38 Fcyr 123 ὁ γὰρ — λόγος

Θ [= fv], ARΛΣ

2 τι om. Fcyr νοεῖται om. v 8 λέγεται ΘR, corr. fR ἁγίασ v 11 ἐκτίσθαι v κεκτίσθαι AR κεκτῆσθαι f φεύγειν Θ φυγεῖν AR 13 αὐτοῖσ ex ἑαυτοῖσ corr. R γεγενῆσθαι v 14 Μαρίας om. R 16 περιστάντος A 23 ἑαυτοῦ Θ αὐτοῦ AR γεγενημένον v 27 κατὰ] καὶ A 37 καίτοι] καὶ v πάντη τὸ R πάντη τοῦτο Fcyr 38 ἀναφὴσ ΘΛΣTim. ἀναφὴς καὶ ἀόρατοσ AR ἀναφὴς καὶ μὴν καὶ ἀόρατος Fcyr ἐκ] τοῦ v μαθητὰσ ΘΛΣTim. ἀποστόλουσ AR

ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν, ὃ ἐθεασάμεθα τοῖς ὀφθαλμοῖς ἡμῶν καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν περὶ τοῦ λόγου τῆς ζωῆς. πρόσφορα τοίνυν τὰ δῶρα τῶι ἑνί, τουτέστι Χριστῶι· καὶ γάρ ἐστιν ἐν ταυτῶι θεός τε ὁμοῦ καὶ ἄνθρωπος ὁ αὐτός. ταύτηι τοι τεχθέντος αὐτοῦ χοροστασίαι μὲν ἦσαν τῶν ἁγίων
11 ἀγγέλων, στρατιαὶ δὲ πνευμάτων σωτῆρα καὶ λυτρωτὴν λεγόντων αὐτόν. ἐπειδὴ δὲ τοῦ
Ioh. 1, 14 εὐαγγελιστοῦ λέγοντος ὁ λόγος σὰρξ ἐγένετο, δεδιέναι φασὶ μὴ ἄρα πως τοῦ ἐγένετο τὴν ἰδίαν σώιζοντος δήλωσιν τροπή τις νοοῖτο περὶ τὴν θείαν τοῦ λόγου γενέσθαι φύσιν, ἐπαινῶ μὲν τὸ δεῖμα, θαυμάζω δὲ ὅτι παραιρούμενοι τὴν λέξιν τὴν ἀληθῆ τε καὶ ἀναγκαίαν
Gal. 3, 13 δήλωσιν οὕτω γενέσθαι φασὶ σάρκα τὸν λόγον, ὡς ἂν εἰ λέγοιτο γενέσθαι κατάρα καὶ
2 Cor. 5, 21 ἁμαρτία. εἶτα πῶς οὐκ ἔδει νουνεχεστάτους ὄντας ὁρᾶν ὅτι τὸ ἐγένετο τεθεικὼς ὁ
PG 324 μακάριος εὐαγγελιστὴς ἁπάσης τροπῆς ὑπόνοιαν ἀναιρεῖ, προσεπενεγκὼν εὐθὺς τὸ καὶ
P 272 ἐσκήνωσεν ἐν ἡμῖν; ἄτοπον δὲ καὶ ἑτέρως τὸ λέγειν ἀποτολμᾶν οὕτω γενέσθαι σάρκα τὸν λόγον, ὡς γενέσθαι λέγεται κατάρα καὶ ἁμαρτία. οὐ γὰρ αὐτόχρημα γέγονε
Lc. 22, 37 κατάρα οὔτε μὴν ἁμαρτία, ἀλλ' ἐν τοῖς ἀνόμοις ἐλογίσθη δίκαιος ὤν, ἵνα καταργήσηι τὴν
Gal. 3, 13 ἁμαρτίαν, καὶ κεχρημάτικεν ἐπικατάρατος ὁ εὐλογῶν τὴν κτίσιν, ἵνα λύσηι τὴν καθ' ἡμῶν ἀρὰν καὶ ἀπαλλάξηι δίκης τοὺς πιστεύοντας εἰς αὐτόν. οὐκοῦν οὐ γέγονεν κατὰ ἀλήθειαν κατάρα καὶ ἁμαρτία, κεχρημάτικε δὲ ταῦτα, ἵνα καταργήσηι κατάραν καὶ ἁμαρτίαν.
12 οὐκοῦν εἰ οὕτω γέγονε σάρξ, κατήργηκεν ἄρα τὴν σάρκα καθὰ καὶ τὴν ἀρὰν καὶ τὴν ἁμαρτίαν, καὶ οὔτε γέγονεν ἄνθρωπος οὔτε μὴν ἐσαρκώθη κατὰ ἀλήθειαν, ἀλλ' ἐν δοκήσει μόνηι τὸ μυστήριον καὶ ἐν ψιλοῖς ὀνόμασιν ὁ τῆς ἐνανθρωπήσεως εὑρίσκεται τρόπος, ἀνήιρηται
Rom. 6. 3 δὲ εἰς ἅπαν καὶ ἡ τῆς ἀναστάσεως ἐλπίς. εἰς τὸν τίνος οὖν ἄρα θάνατον βεβαπτίσμεθα;
Rom. 10, 8. 9 ποῦ τὸ ῥῆμα τῆς πίστεως, ὃ κηρύσσομεν; ὁμολογήσαντες γὰρ ὅτι κύριος Ἰησοῦς, καὶ πιστεύσαντες ὅτι ὁ θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωιζόμεθα. ἆρ' οὖν εἰς ἕνα τῶν καθ' ἡμᾶς καὶ κοινὸν ἄνθρωπον ἡ πίστις, οὐκέτι δὲ τὸν ἐν ἀνθρωπείαι μορφῆι
Phil. 2, 7 πεφηνότα δι' ἡμᾶς προσκυνοῦμεν λόγον; οὐκ ἔλαβεν τὴν τοῦ δούλου μορφὴν ὁ ἐλεύθερος ὡς θεός; οὐ τεταπείνωκεν ἑαυτὸν ὁ τοῖς τῆς θεότητος ὑψώμασι διαπρέπων; ὁ ἐν μορφῆι καὶ ἰσότητι τοῦ πατρὸς οὐ καθῆκεν ἑαυτὸν εἰς κένωσιν, καίτοι διανέμων ἐξ ἰδίου πληρώματος τῆι κτίσει τὰ ἀγαθά; ἄπαγε τῆς δυσβουλίας· ἑτέρως ἡμᾶς μεμυσταγωγήκασιν οἱ μακάριοι πατέρες. σαρκωθῆναι γὰρ καὶ ἐνανθρωπῆσαι κατὰ ἀλήθειαν αὐτὸν ἔφασαν
P 274 τὸν ἐκ θεοῦ πατρὸς λόγον ἀτρέπτως τε καὶ ἀσυγχύτως· ἀπόρρητος δὲ παντελῶς τῆς οἰκονομίας ὁ τρόπος. μάρτυρας δὲ τῶν εἰρημένων τοὺς αὐτῶν ποιήσομαι λόγους.

Πέτρου μάρτυρος ἐπισκόπου Ἀλεξανδρείας

Ioh. 1, 14 **13** Ὅθεν καὶ ὁ εὐαγγελιστὴς ἀληθεύει λέγων· ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν, τότε δηλονότι ἀφ' οὗ ὁ ἄγγελος ἠσπάσατο τὴν παρθένον εἰπών·
Lc. 1, 28 χαῖρε κεχαριτωμένη, ὁ κύριος μετὰ σοῦ. τὸ γὰρ ὁ κύριος μετὰ σοῦ νῦν
ἔστιν ἀκοῦσαι τοῦ Γαβριὴλ ἀντὶ τοῦ ὁ θεὸς λόγος μετὰ σοῦ· σημαίνει γὰρ αὐτὸν γεννώ-
Lc. 1, 35 μενον ἐν μήτραι καὶ σάρκα γινόμενον, καθὼς γέγραπται· πνεῦμα ἅγιον ἐπελεύσεται

---

32 = Exc. Ephes. II

Θ [= fv], ARΛΣ

8 μὲν om. A παραιρούμενοι ΘΛ παραιτούμενοι AR 10 νουνεχεστάτους ὄντας ΘRΛΣ νοῦν ἔχοντας A 11 τὸ καὶ ΘR^{corr}ΛΣ καὶ τὸ AR 12 τὲ γενέσθαι A 16 καταδίκησ v 22 ῑσ̄ χσ̄ f 23 σωζόμεθα ARΛΣ σωθησόμεθα Θ 24 τὸν R 26 ὡς om. R 27 ἀιδίου v 28 κτήσει f 29 ἅγιοι A 30 ἀπορρήτως v 30/31 παντελῶς — τρόπος om. v 31 ποιήσο in fine lineae f 32 μάρτυροσ vAR μάρτυροσ καὶ fΛΣ 35 τὸ γὰρ — σοῦ om. f 37 γενόμενον A

ἐπὶ σὲ καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι· διʼ ὃ καὶ τὸ γεννώμενον ἅγιον κληθήσεται υἱὸς θεοῦ.

Ἀθανασίου ἐπισκόπου Ἀλεξανδρείας

14 Ὅθεν καὶ γεννωμένης τῆς σαρκὸς ἐκ τῆς θεοτόκου Μαρίας, αὐτὸς λέγεται γεγεννῆσθαι ὁ τοῖς ἄλλοις γένεσιν εἰς τὸ εἶναι παρέχων, ἵνα τὴν ἡμῶν εἰς ἑαυτὸν μεταθῇ γέννησιν. Athan c. Ar 3, 33

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Ἐπίκτητον ἐπιστολῆς

15 Πῶς δὲ καὶ ἀμφιβάλλειν ἐτόλμησαν οἱ λεγόμενοι Χριστιανοὶ εἰ ὁ ἐκ Μαρίας προελθὼν κύριος υἱὸς μὲν τῇ οὐσίαι καὶ φύσει τοῦ θεοῦ ἐστιν, τὸ δὲ κατὰ σάρκα ἐκ σπέρματός ἐστι Δαυίδ, σαρκὸς δὲ τῆς ἁγίας Μαρίας, τινὲς δὲ ἄρα οὕτω τολμηροὶ γεγόνασιν, ὥστε εἰπεῖν τὸν Χριστὸν τὸν σαρκὶ παθόντα καὶ ἐσταυρωμένον μὴ εἶναι κύριον καὶ σωτῆρα καὶ θεὸν καὶ υἱὸν τοῦ πατρός; ἢ πῶς Χριστιανοὶ θέλουσιν ὀνομάζεσθαι οἱ λέγοντες εἰς ἄνθρωπον ἅγιον ὡς ἐπὶ ἕνα τῶν προφητῶν ἐληλυθέναι τὸν λόγον καὶ μὴ αὐτὸν ἄνθρωπον γεγονέναι λαβόντα ἐκ Μαρίας τὸ σῶμα, ἀλλ᾽ ἕτερον εἶναι τὸν Χριστὸν καὶ ἕτερον τὸν τοῦ θεοῦ λόγον τὸν πρὸ Μαρίας καὶ πρὸ αἰώνων υἱὸν ὄντα τοῦ πατρός; ἢ πῶς εἶναι Χριστιανοὶ δύνανται οἱ λέγοντες ἄλλον εἶναι τὸν υἱὸν καὶ ἄλλον τὸν τοῦ θεοῦ λόγον; ad Epict. 2 PG 325 P 276

16 Ταύταις ἡμεῖς ταῖς τῶν ἁγίων πατέρων ἐψόμεθα δόξαις· εἰ δέ τις ἑτεροδιδασκαλεῖ καὶ ἑτερόφρων ἐστίν, ἔξω τῆς εἰς εὐθὺ καὶ βασιλικῆς φέρεται τρίβου. ὅτι δὲ καὶ τὸ σαρκικῶς λέγεσθαι γεννηθῆναι Χριστὸν οὐκ ἀσύνηθες τοῖς ἁγίοις πατράσιν, ἔστι δὲ δὴ μᾶλλον καὶ ἑτέροις ἐντριβὴς ἡ λέξις, οὐδὲν ἧττον ἡμῖν ἀληθὲς ὑπάρχον ἀποφαίνει τὸ ὑποτεταγμένον ῥητόν, ἔχει δὲ οὕτως

Ἰκονίου ἐπισκόπου

17 Εἰ μὴ γὰρ ἐκεῖνος ἐγεννήθη σαρκικῶς, οὐκ ἂν σὺ ἐγεννήθης πνευματικῶς· εἰ μὴ ἐκεῖνος ἠνέσχετο τῆς τοῦ δούλου μορφῆς, οὐκ ἂν σὺ τὴν δόξαν τῆς υἱοθεσίας ἐκέρδανας.

18 Δηλοῖ δὲ κἀνταῦθα τὸ σαρκικῶς τὸ κατὰ σάρκα, καθάπερ ἀμέλει τὸ θεικῶς τὸ κατὰ θεότητα.

Ἀναθεματισμὸς γ̄

19 Εἴ τις ἐπὶ τοῦ ἑνὸς Χριστοῦ διαιρεῖ τὰς ὑποστάσεις μετὰ τὴν ἕνωσιν, μόνῃ συνάπτων αὐτὰς συναφείαι τῇ κατὰ τὴν ἀξίαν ἢ γοῦν αὐθεντίαν ἢ δυναστείαν, καὶ οὐχὶ δὴ μᾶλλον συνόδωι τῇ καθ᾽ ἕνωσιν φυσικήν, ἀνάθεμα ἔστω.

---

3 cf. Exc. Ephes. IIII 6 = Exc. Ephes. V 21 cf. Exc. Ephes. [A 74] XVIIII 26 Ζήτει τὸν β̄ Θmg

---

Θ [= fv], ARΛΣ

2 καὶ ῡ̄σ̄ f 3 Ἀθανασίου — Ἀλεξανδρείας] τοῦ μεγάλου ἀθανασίου v ἀρχιεπισκόπου R 4 ὁ αὐτὸς v γεγενῆσθαι f 5 γέννησιν Σ γένεσιν v 9 οὕτω ἄρα A ἄρα R 10 ἐν σαρκὶ v καὶ[1]] κἂν A 13 τοῦ θεοῦ] θεὸν v 14 υἱὸν om. v 16 ἑπόμεθα v 17 εἰς εὐθὺ καὶ om. v εἰς om. R 19 ἑτέροις om. v 21 Ἀμφιλοχίου ἐπισκόπου Ἰκονίου Σ 24 ἀμέλει om. v 24/25 τὸ κατὰ θεότητα AR κατὰ θεότητα Θ 26 κυρίλλου ἀναθεματισμὸς τρίτος AR 29 φυσικὴν ARΛΣ φυσικῆ Θ

P 278 Μέμψις αἱρετικῶν

20 Πάλιν αὐτὸν τῶν αὐτοῦ ὑπομνήσωμεν λόγων δεικνύντες αὐτὸν δύο ὑποστάσεις λέ-
V 1, 15. 16 γοντα ἐν οἷς φησιν ἐν τῷι πρώτωι τόμωι· οὐκοῦν ὅσον εἰς ἰδίαν φύσιν, οὐχ ἡγίασται μόνος ὁ ἐκ θεοῦ πατρὸς λόγος· εἰ δὲ δή τις οἴοιτο τὸν ἐκ τῆς ἁγίας παρθένου γεγεννημένον κεχρίσθαι τε καὶ ἡγιάσθαι μόνον, ταύτηι τοι καὶ ὠνομάσθαι Χριστόν. πῶς οὖν ὡς ἐπιλαθόμενος τῶν ἑαυτοῦ εἰς μίαν ὑπόστασιν συνάγει συγχέων τὰς φύσεις, φυσικὴν τὴν θείαν ἕνωσιν ἀποκαλῶν; καὶ τίς ποτε παραδέξεται φυσικὴν τὴν θείαν ἕνωσιν τοῦ μυστηρίου τῆς οἰκονομίας; εἰ γὰρ φυσικὴ ἡ ἕνωσις, ποῦ ἡ χάρις; ποῦ τὸ θεῖον μυστήριον; αἱ γὰρ φύσεις, ὡς δεδιδάγμεθα, ἅπαξ παρὰ τοῦ τάξαντος θεοῦ ταγεῖσαι ἀνάγκαις ἀκολουθίας δουλεύουσιν. ἢ καὶ ἔσται πάλιν κατὰ ἀνακύκλησιν καὶ φύσεως ἀκολουθίαν τὸ τῆς οἰκονομίας χρῆμα κατὰ τὸν λῆρον καὶ τὰ μυθώδη τῆς χιλιονταετηρίδος τοῦ δυσωνύμου Ἀπολιναρίου διδάγματα;

PG 328 Ἀπολογία ὀρθοδόξου

21 Ὁ θεσπέσιος Παῦλος τὸ τίνα δὴ τρόπον γέγονεν ἄνθρωπος ὁ μονογενὴς τοῦ θεοῦ
1 Cor. 4, 1 λόγος, ἐναργὲς ἅπασι καθιστὰς ὡς οἰκονόμος μυστηρίων θεοῦ καὶ αὐτὸν ἔχων ἐν ἑαυτῶι
2 Cor. 13, 3 λαλοῦντα Χριστόν, οὐ γὰρ δή που ἀγγέλων ἐπιλαμβάνεται, φησίν, ἀλλὰ σπέρ-
Hebr. 2, 16. 17 ματος Ἀβραὰμ ἐπιλαμβάνεται· ὅθεν ὤφειλεν κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν θεόν. ἡμεῖς δὲ ταῖς εἰς ὀρθότητα ψήφοις στεφανοῦντες τὸ εἰρημένον ἑπόμενοί τε πανταχοῦ ταῖς
P 280 θεοπνεύστοις γραφαῖς καὶ τὰς τῶν θεηγόρων φωνὰς τοῦ παντὸς ἀξιοῦντες θαύματος, μᾶλλον δὲ καὶ θείους ἡγούμενοι νόμους, οὐ τῆς τῶν ἁγίων ἀγγέλων οὔτε μὴν τῆς ἑαυτοῦ φύσεως ἐπιλαβέσθαι φαμὲν τὸν ἐκ θεοῦ πατρὸς λόγον, πεπιστεύκαμεν δὲ ὅτι κατά γε τὸ
Lc. 1, 35 τοῖς ἱεροῖς γράμμασιν δοκοῦν ἐπισκιάσας τῆι ἁγίαι παρθένωι, ἅτε δὴ καὶ δύναμις ὢν τοῦ ὑψίστου πατρός, ἔπλασεν ἑαυτῶι σῶμα τὸ ἐξ αὐτῆς, πλὴν δι' ἐνεργείας τοῦ ἁγίου πνεύματος, καὶ γέγονεν ἄνθρωπος καὶ κεχρηματικέ γε καὶ υἱὸς Ἀβραὰμ καὶ Δαυίδ, οὐκ ἀπολέσας διὰ τὸ ἀνθρώπινον τὸ εἶναι κατὰ ἀλήθειαν υἱὸς τοῦ θεοῦ καὶ πατρός, μεμενηκὼς δὲ μᾶλλον, καὶ εἰ γέγονε σάρξ, ἐν φύσει τε καὶ ὑπεροχῆι καὶ δόξηι θεότητος· ἀναλλοίωτος γάρ ἐστι
22 καὶ τροπῆς ἀμείνων ὡς θεός. ἔστι τοίνυν εἷς τε καὶ ὁ αὐτὸς υἱὸς καὶ κύριος καὶ πρὸ τῆς σαρκώσεως καὶ μετὰ τὴν σάρκωσιν, καὶ τὸ διαιρεῖν εἰς υἱοὺς δύο τὸν ἕνα καὶ τὸ τῆς ἀληθοῦς ἑνώσεως παραλύειν χρῆμα, διιστάντας ἀνὰ μέρος καὶ τιθέντας ἰδικῶς ἄνθρωπον καὶ ἰδικῶς θεόν, δυσσεβείας ἔχει τῆς ἀνωτάτω γραφήν. ὀλίγα δὲ τούτου πεφροντικὼς Νεστόριος τετόλμηκεν εἰπεῖν αὐταῖς λέξεσιν οὕτως

7—10. 14—31 Timoth. arm. p. 70. 114 5 plura adfert Cyrillus infra 28 13 [ἰστέον ὅτι praemittit v] ἐκ τῆς ἀπολογίας ταύτης συνάγεται ἐκ δύο φύσεων καὶ ὑποστάσεων εἶναι τὸν Χριστόν, ὡς τῆς αὐτῆς οὔσης τῆι ὑποστάσει τῆς μιᾶς φύσεως fmg, v post inscriptionem

---

Θ [= fv], ARΛΣ

1 ἀντίρρησις τῶν ἀνατολικῶν AR γ̄ Rmg αἱρετικοῦ Σ 2 ὑπομνήσομεν f 4/5 γεγεννημένον Θ, corr. f 5 ὀνομάσθαι ΘR, corr. R 6 ἑαυτοῦ AR αὐτοῦ Θ 7 τὴν[1] om. f 7/8 τῶν μυστηρίων Tim. 8 τῆς] τῆσ θείασ v εἰ] ἡ f 9/10 ἀκολουθίαισ f ἀκολουθείαισ R 11 τὰ om. R χιλίαντα ἐτήριδοσ R 12 διδάγματα ΘΣ δόγματα AR 13 ὀρθοδόξου ΘΛΣ κυρίλλου AR, γ̄ in mg. R 14 δὲ R γέγονε τρόπον A θεοῦ] πατρός Σ 15 ἔχων ἐν] ἔχων ἔχων f 16 τὸν χριστὸν v φησίν om. v 19 πανταχῆ AR 21 ἁγίων om. v αὐτοῦ Θ 22 ἐπιλαμβάνεσθαι A πεπιστεύκαμεν δὲ om. Tim. γε Θ om. AR 25 καὶ — ἄνθρωπος om. Tim. καὶ κεχρηματικέ fΣ κεχρηματικέ vARTim. γε Θ τε AR ἀπολέσασ per rasuram f, Σ ἀπωλέσασ v ἀπελάσας Tim. ἀπεμπολήσασ AR 26 κατὰ — πατρός] θεὸσ v 28 υἱὸς] θεὸσ v 29 υἱοὺς om. Λ τὸ om. f 30 τεθέντασ v ἄνθρωπον om. f 31 τῆς ARΛ τὴν ΘTim.

23 Τοῦτο φρονείσθω ἐν ὑμῖν ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων ἑαυτὸν ἐκένωσεν, μορφὴν δούλου λαβών. οὐκ εἶπεν τοῦτο φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν τῷι θεῷι λόγωι, ὃς ἐν μορφῇι θεοῦ ὑπάρχων μορφὴν δούλου ἔλαβεν· ἀλλὰ λαβὼν τὸ Χριστός, ὡς τῶν δύο φύσεων προσηγορίαν σημαντικήν, ἀκινδύνως αὐτὸν καὶ δούλου μορφὴν λαβεῖν καὶ θεὸν ὀνομάζει, τῶν λεγομένων εἰς τὸ τῶν φύσεων ἀλήπτως μεριζομένων διπλοῦν. Loofs, Nestoriana p. 254, 5-12 Phil. 2, 7 5 P 282

Ἐν ἑτέραι δὲ πάλιν ἐξηγήσει φησίν

24 Ἵνα ἐν τῷι ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψηι ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται ὅτι κύριος Ἰησοῦς Χριστός. διὰ τὸν φοροῦντα τὸν φορούμενον σέβω· διὰ τὸν κεκρυμμένον προσκυνῶ τὸν φαινόμενον. ἀχώριστος τοῦ φαινομένου θεός· διὰ τοῦτο τοῦ μὴ χωριζομένου τὴν τιμὴν οὐ χωρίζω. χωρίζω τὰς φύσεις, ἀλλ' ἑνῶ τὴν προσκύνησιν. Loofs, Nestoriana p. 261, 20-262, 6 Phil. 2, 10. 11

Καὶ ἐν ἐξηγήσει πάλιν ἑτέραι

25 Εἰπὲ τὸν ἀναλαβόντα ὅτι θεός. πρόσθες τὸν ἀναληφθέντα ὅτι δούλου μορφή· ἐπάγαγε μετὰ ταῦτα τὸ τῆς συναφείας ἀξίωμα, ὅτι τῶν δύο ἡ αὐθεντία κοινή· ὅτι τῶν δύο ταυτὸν τὸ ἀξίωμα, τῶν φύσεων μενουσῶν, ὁμολόγει τὴν τῆς ἀξίας ἑνότητα. Loofs, Nestoriana p. 354, 7-11 PG 329 16

26 Ὁραῖς πανταχῆι διορίζοντα μὲν ἀλλήλων τὰς φύσεις, ἑνοῦντα δέ, ὡς φησιν, τὴν προσκύνησιν καὶ κοινὴν αὐθεντίαν ὀνομάζοντα καὶ τὴν τῆς ἀξίας ἑνότητα μόνης. τὸ δὲ κοινὸν οὐχ ἑνὶ κοινὸν εἴη ἄν, ἀλλὰ δύο που πάντως ἢ πλείοσιν ἰδικῶς τε καὶ ἀνὰ μέρος θεωρουμένοις. ἀνθ' ὅτου δὴ οὖν τοσαύτην πεποίηνται τὴν κατάρρησιν τοῦ τὰ τοιάδε καλῶς ἀναθεματίσαντος λόγου; τί τὸ ἄτοπον, εἰ τοῖς βδελυροῖς καὶ ἀπηχεστάτοις Νεστορίου λόγοις τὰ τῆς εὐσεβείας ἀντεγείροντες δόγματα τῆς τῶν ἀδελφῶν ἀσφαλείας φροντίδα τὴν δέουσαν πεποιήμεθα; 20

27 Ἐπειδὴ δέ φασιν ἐμὲ τοῖς ἐμαυτοῦ μάχεσθαι λόγοις, παρακομίζουσι δὲ πρὸς ἀπόδειξιν μέρος τῆς ἐπιστολῆς ἧς γέγραφα πρὸς τοὺς ἁγίους μοναστάς, δεῖν ὠιήθην τὰ εἰκότα καὶ πρός γε τοῦτο εἰπεῖν. φασὶ γὰρ ὅτι δύο καὶ αὐτὸς ὠνόμασεν ὑποστάσεις, καὶ ἀποχρήσειν αὐτοῖς εἰς ἔλεγχον τοῦ καὶ ἡμᾶς ἑλέσθαι ταυτὸ εἰπεῖν αὐτοῖς αὐτὸ δὴ τοῦτο νομίζουσιν. παραθεὶς οὖν ἀναγκαίως τὸ τῆς ἐπιστολῆς μέρος, προσεποίσω μετὰ τοῦτο τὰ δι' ὧν ἂν γένοιτο ψευδομυθεῖν ἠιρημένους ἀποφῆναι πανταχοῦ. ἔχει δὲ οὕτως 25 P 284

28 Οὐκοῦν ὅσον εἰς ἰδίαν φύσιν, οὐχ ἡγίασται κατὰ μόνας ὁ ἐκ θεοῦ πατρὸς λόγος· εἰ δὲ δή τις οἴοιτο τὸν ἐκ τῆς ἁγίας παρθένου γεγεννημένον κεχρίσθαι τε καὶ ἡγιάσθαι μόνον, ταύτηι τοι καὶ ὠνομάσθαι Χριστόν, λεγέτω παρελθὼν εἰ ἀπόχρη τὸ χρίσμα πρὸς τὸ ἀποφῆναι τὸν χριόμενον ἰσοκλεᾶ καὶ ὁμόθρονον τῶι πάντων ἐπέκεινα θεῶι. V 1, 15. 16 31

29 Ἐπειδὴ γὰρ τὸν ἐκ θεοῦ λόγον ἰδικῶς ὠνομάσθαι Χριστὸν ὁ τῶν νέων ἡμῖν βλασφημιῶν εὑρετὴς Νεστόριος διαβεβαιοῦται συχνῶς, ἰδικῶς δὲ καὶ ἀνὰ μέρος Χριστὸν ἕτερον τὸν ἐκ τῆς ἁγίας παρθένου γεγεννημένον, κατακιβδηλεύοντες τὴν δόξαν ὡς ἀκαλλῆ καὶ ἀσύφηλον καὶ τῆς ἀληθείας ἐξωικισμένην, οὔτε τὸν ἐκ θεοῦ πατρὸς λόγον κατὰ μόνας νοούμενον κεχρίσθαι 35

---

1 = Exc. Eph. VII 8 = Exc. Ephes. VIII 14 = Cyrill. adu. Nest. 2, 5

Θ [= fv], ARΛΣ

3 ἐν[1] om. v μορφὴν δούλου Θ δούλου μορφὴν AR 5 λαβεῖν ΘR φησὶ λαβεῖν ΑΣ ἣν ἔλαβεν ΛExc. Eph. δὲ λεγομένων AR 8 Ἰησοῦ] υἱοῦ v κάμψει v 9 ἐξομολογήσεται ΘR 10 τὸν φορούμενον Θ τὸ φορούμενον AR 11 τὸ φαινόμενον R μὴ om. R 14 μορφὴν A 17 πανταχοῦ v 18 καὶ[2]] κατὰ A δὲ om. v 19 ἑνὶ Θ, A in ras., ΛΣ ἓν εἰ R τε om R 24 ἑμαυτοῦ ΘA^{corr}Σ αὐτοῦ A αὐτοῦ R δέχεσθαι v 26 γε AR om. Θ τούτου R ὠνόμασα Λ 27 ταυτὸ εἰπεῖν R ταυτοεπεῖν A τοῦτο εἰπεῖν Θ αὐτοῖσ ΘΑΣ τοῖσ R 28 προσεποιήσω fA, corr. A 29 γένοιτο ἂν v 31 γεγενημένον v κεχρῆσθαι f 36 γεγενημένον v ἀκαλῆ vA ἀσύμφηλον A 37 οὔτε ΑΣ οὔτε δὲ ΘR

τῶι ἐλαίωι τῆς ἀγαλλιάσεως διαβεβαιούμεθα οὔτε μὴν ἰδίαι τε καὶ κατὰ μόνας ὡς ἄνθρωπον καὶ ἕτερον ὄντα υἱὸν παρὰ τὸν ἐκ θεοῦ λόγον τὸν ἐκ τῆς ἁγίας παρθένου, ἕνα δὲ μᾶλλον χρῆναι πρὸς ἁπάντων ὁμολογεῖσθαι Χριστὸν διισχυριζόμεθα σαρκωθέντα καὶ ἐναν-
Eph. 4, 5 θρωπήσαντα τὸν μονογενῆ τοῦ θεοῦ λόγον· εἷς γὰρ κύριος, μία πίστις, ἓν βάπτισμα. ἔστιν τοίνυν οὐδενὶ τῶν ὀρθὰ φρονεῖν εἰωθότων ἀσυμφανὲς ὅτι παραχα- 5
P 286 ράττουσι τῶν παρ' ἐμοῦ γεγραμμένων τὴν διάνοιαν καὶ συκοφαντοῦσι κἂν τούτωι τὴν
80 ἀλήθειαν. καὶ καθ' ἕτερον δὲ τρόπον ἀπλημμελὲς εἴη ἂν καὶ μάλα εἰκότως, ἀμοιρήσειεν δ' ἂν καὶ μώμου παντὸς τὸ εἰδέναι τυχὸν ὡς ἑτέρα μέν ἐστιν κατὰ φύσιν ἰδίαν ἡ σὰρξ παρά γε τὸν ἐκ θεοῦ πατρὸς φύντα λόγον, ἕτερος δὲ αὖ κατά γε τὸν τῆς ἰδίας φύσεως
PG 332 λόγον ὁ μονογενής· ἀλλ' οὐ τὸ εἰδέναι ταῦτα μερίζειν ἐστὶ τὰς φύσεις μετὰ τὴν ἕνωσιν. 10
εἰ δὲ δή τις βούλοιτο τὴν τοῦ μυστηρίου δύναμιν ἀκριβεῖ διανοίας ὄμματι κατασκέπτεσθαι,
Hebr. 2, 16 καταθρήσειεν ἂν ὅτι, καθάπερ ἔφην ἐν ἀρχαῖς, οὐ τῆς ἑαυτοῦ φύσεως ἐπελάβετο θεὸς ὢν ὁ λόγος, ἀλλὰ σπέρματος Ἀβραάμ· οὐχ ὁμοούσιον δὲ τῶι ἐκ θεοῦ φύντι λόγωι τὸ ἐκ σπέρματος Ἀβραὰμ ἅγιον σῶμα, ὅπερ ἐκ τῆς μακαρίας παρθένου λαβὼν προῆλθεν ἄνθρωπος, ἵνα τοῖς ἀδελφοῖς ὁμοιωθῆι καὶ χρηματίσηι πρωτότοκος ὁ μονογενής. ἀλλ' εἰ καί ἐστιν 15
ἑτεροφυὲς τὸ σῶμα παρά γε τὸν ἐκ θεοῦ πατρὸς λόγον, ἀλλ' οὖν εἷς Χριστὸς καὶ υἱὸς καὶ θεὸς καὶ κύριος, καὶ εἰ γέγονε σάρξ, καὶ τὸν τῆς ἀληθοῦς ἑνώσεως τρόπον παραλύειν οὐκ ἀζήμιον διιστάντας εἰς δύο τὰς ὑποστάσεις, ἀποφοιτώσας μὲν ἀλλήλων εἰς τὸ ἰδίαι τε εἶναι καὶ ἀνὰ μέρος, ἐχούσας δὲ μόνην συνάφειαν τὴν ἐξιυθέν τε καὶ ὡς ἐν τάξει τιμῆς.
31 Εἰ δὲ δὴ λέγοιμεν φυσικὴν τὴν ἕνωσιν, τὴν ἀληθῆ φαμέν, ἔθος ἐχούσης τῆς θεο- 20
πνεύστου γραφῆς οὕτω κεχρῆσθαι τῆι λέξει. γράφει γάρ πού τισιν ὁ θεσπέσιος Παῦλος·
Eph. 2, 3 καὶ ἦμεν τέκνα φύσει ὀργῆς, ὡς καὶ οἱ λοιποί· καὶ οὐ δή πού φαίη τις ἂν ὑφεστάναι κατὰ φύσιν τὴν θείαν ὀργήν, ὥστε καὶ αὐτῆς γεννήματα νοεῖσθαι τοὺς ἁμαρτά-
P 288 νοντας, ἢ πάντηι τε καὶ πάντως ἐσόμεθα σύμφρονες τοῖς τὴν Μανιχαίων νοσοῦσιν μανίαν. ἀλλὰ τὸ φύσει δηλοῖ τὸ κατὰ ἀλήθειαν. οὐκοῦν οὐ συγχέοντες τὰς φύσεις οὔτε μὴν 25
ἀλλήλαις αὐτὰς ἀναφύροντες, καθά φασιν οἱ δι' ἐναντίας, φυσικὴν φαμὲν γενέσθαι τὴν ἕνωσιν, ἀλλ' ἐκ δύο πραγμάτων ἀνομοίων, θεότητός τε καὶ ἀνθρωπότητος, τὸν ἕνα γενέσθαι Χριστὸν καὶ υἱὸν καὶ κύριον διαβεβαιούμεθα πανταχοῦ. τῶν δὲ Ἀπολιναρίου δογμάτων οὐδεὶς παντελῶς ἡμῖν ὁ λόγος· τοὺς γὰρ ἅπαξ κατακεκριμένους ὡς παραχαράττοντας τὴν ἀλήθειαν ἀποστρέφεσθαι χρή. 30

Ἀναθεματισμὸς δ̄

32 Εἴ τις προσώποις δυσὶν ἢ γοῦν ὑποστάσεσιν τάς τε ἐν τοῖς εὐαγγελικοῖς καὶ ἀποστολικοῖς συγγράμμασιν διανέμει φωνὰς ἢ ἐπὶ Χριστῶι παρὰ τῶν ἁγίων λεγομένας ἢ παρ' αὐτοῦ περὶ ἑαυτοῦ καὶ τὰς μὲν ὡς ἀνθρώπωι παρὰ τὸν ἐκ θεοῦ λόγον ἰδικῶς νοουμένωι προσάπτει, τὰς δὲ ὡς θεοπρεπεῖς μόνωι τῶι ἐκ θεοῦ πατρὸς λόγωι, ἀνάθεμα ἔστω. 35

7—10 Fcyr 124 ἐκ τῆς αὐτῆς ἀπολογίας τοῦ τρίτον ἀναθεματισμοῦ, ἧς ἡ ἀρχή· 'Ο θεσπέσιος Παῦλος τὸ τίνα δὴ τρόπον γέγονε· 'καὶ καθ' — φύσεις' 8—10 Doctr. patr. 2, 37 ὡς ἀπὸ τοῦ . . . Κυρίλλου ἐκ τῶν πρὸς Ἀνδρέαν ἐπὶ τῆι μέμψει τοῦ γ' κεφαλαίου τῶν ἀναθεματισμῶν ὁ Σευῆρός φησιν· 'ἑτέρα μέν — τὴν ἕνωσιν' 11—14 Fcyr 125 εἰ δὲ — ἔλαβε παρθένου 15—19 Timoth. arm. p. 114 25—27 Fcyr 126 οὐ — ἕνωσιν

Θ [= fv], ARΛΣ

1/2 ὡς — ὄντα] νοούμενον κεχρῖσθαι τα f 3 τέ καὶ A 6 κατὰ τοῦτο A 8 παντὸς μώμου Fcyr ἐστιν om. Fcyr 12 ἔφη Fcyr 13/14 οὐχ — Ἀβραὰμ om. A 13 τὸ fFcyr φύντι — ἐκ om. Fcyr 14 ἔλαβε παρθένου Fcyr 15 χρηματήσει f 18 διιστᾶν τέ A δύο ΘΛΣTim. υἱοὺσ δύο AR 19 ὡς om. f 24 τῶν μανιχαίων v 25 κατὰ φύσιν v 26 φασιν οἱ ARΛΣ φησιν ὁ Θ ἀλλὰ φυσικὴν Fcyr 27 ἐναντίων v 31 κυρίλλου ἀναθεματισμὸσ τέταρτοσ AR, δ̄ in mg. R 32 ὑπόστασιν v 35 θεοῦ πατρὸσ ARΣ θεοῦ ΘΛ

Μέμψις αἱρετικῶν

Cyrill. hom. pasch. 17 p. 230 Aub.

33 Ἀκόλουθον κἀνταῦθα τῶν αὐτοῦ θεσπισμάτων αὐτὸν ὑπομνῆσαι, ἐν οἷς φησιν· κἂν ἀκούσῃς ὅτι προέκοπτεν ἡλικίαι καὶ σοφίαι καὶ χάριτι, μὴ σοφὸν ἐξ ἐπιδόσεως γενέσθαι νομίσῃς τὸν τοῦ θεοῦ λόγον μηδ' αὖ ἐκεῖνο φληνάφως τολμήσῃς εἰπεῖν ὅτι τὸ προκόπτειν ἐν ἡλικίαι καὶ σοφίαι καὶ χάριτι τῷι ἀνθρώπωι προσάψομεν. ἀλλ' εἰ καὶ ἀρνεῖται ἐνταῦθα τὴν τῆς γραφῆς μαρτυρίαν διδάσκουσαν ὅτι κατὰ τὴν τῆς φαινομένης σαρκὸς τοῦ κυρίου τὰ τῆς προκοπῆς ἐγίνετο, ἀλλ' οὐ καιρὸς νῦν τοῦτο διελέγχειν ἐπειγο- P 290 PG 333
μένοις ἐπὶ τὸ προκείμενον κεφάλαιον· τοῦ γὰρ δεῖξαι δύο ὑποστάσεις αὐτὸν λέγοντα καὶ
34 ἑαυτῷι ἐναντιούμενον, παρεθήκαμεν τὰ πάλαι αὐτῷι εἰρημένα. ὡς δὲ προσώποις δυσὶν ἢ ὑποστάσεσιν δυσὶν ἢ υἱοῖς δυσίν, διαιροῦντας τὴν ἕνωσιν ἢ γοῦν τὸν ἕνα υἱόν, τὰς φωνὰς ἐφαρμόζειν οὐ δεῖ· ἀδιαίρετος γὰρ καὶ ἀχώριστος ἡ ἄκρα ἕνωσις καὶ ὁ εἷς υἱὸς κατὰ πάντα καὶ λόγον καὶ τρόπον καὶ ἔννοιάν ἐστιν. τῆς δὲ ἄκρας ἑνώσεως φυλαττομένης καὶ τοῦ ἑνὸς υἱοῦ καὶ Χριστοῦ καὶ κυρίου ὁμολογουμένου, περὶ τὸν ἕνα καὶ τὸν αὐτὸν υἱὸν ἐκλαμβάνεσθαι χρὴ τὰ λεγόμενα. κατὰ μέντοι τὴν τῶν ἑνωθεισῶν φύσεων δύναμιν ἐφαρμόζεσθαι πρέπει τῷι ἑνὶ υἱῷι τὰ λεγόμενα· τὸ δὲ μὴ διαιρεῖν τὰς ἐν τοῖς
35 εὐαγγελίοις φωνὰς ἢ τὰς παρ' αὐτοῦ τοῦ κυρίου περὶ ἑαυτοῦ εἰρημένας ἢ τὰς ἐν τοῖς ἀποστολικοῖς συγγράμμασιν κειμένας, ποίαν ὑπερβολὴν οὐχ ὑπεραίρει; εἰ γὰρ μὴ διαιροῦμεν τὰς φωνάς, πῶς ἂν ἀντιβλέψαιμεν τοῖς Εὐνομίου καὶ Ἀρείου πάντα ὡς εἰς μίαν φύσιν εἰρημένα συμφύρουσιν καὶ τὰ ταπεινὰ τῆς ἀνθρωπότητος εἰς τὴν ὑψηλοτάτην τῆς ἀκηράτου θεότητος φύσιν βλασφήμως ἀνάγουσιν; ἢ πῶς νοήσομεν τὰς τοῦ κυρίου φωνὰς διὰ τὴν τῆς φαινομένης σαρκὸς φύσιν εἰπόντος· οὐκ ἦλθον τὸ ἐμὸν θέλημα ποιῆσαι καὶ τὸ ἐντολὴν ἔλαβον τί εἴπω καὶ τί λαλήσω καὶ τὸ ἐγὼ ἀπ' ἐμαυτοῦ οὐδὲν ποιῶ καὶ τὸ πορεύομαι πρὸς τὸν πατέρα μου καὶ πατέρα ὑμῶν καὶ θεόν μου καὶ θεὸν ὑμῶν καὶ τὰ λοιπὰ ὅσα τοιαῦτα; ἀδιαιρέτων τῶν φωνῶν, ὥσπερ καὶ τῶν φύσεων, μενουσῶν, ἔσται κατ' αὐτὸν τοῦ μονογενοῦς θεοῦ θεὸς ὁ πατήρ, λειτουργὸς δὲ καὶ διάκονος τῶν πατρικῶν προσταγμάτων ὁ υἱὸς κατὰ τὴν θεότητα. καὶ εἰ τὰ ταπεινὰ εἰς τὴν τῆς θεότητος φύσιν ἐκλάβοιμεν, τίνι τὸ ἐγὼ καὶ ὁ πατὴρ ἓν ἐσμέν ἁρμόσομεν καὶ τὸ ὁμοίως αὐτὸν ποιεῖν τῷι πατρὶ καὶ τὸ ὥσπερ γὰρ ὁ πατὴρ ἐγείρει τοὺς νεκρούς, οὕτως καὶ ὁ υἱὸς οὓς θέλει, καὶ οὐχ οὓς προστάσσεται, ζωοποιεῖ; ἀλλ' ἔστιν ὀρθῶς κατὰ τὴν αὐτοῦ τοῦ κυρίου φωνὴν πατὴρ καὶ θεὸς ὁ πατήρ, θεὸς μὲν τῆς ἐν ὑστέροις καιροῖς ἐκ σπέρματος Δαυὶδ σαρκός, πατὴρ δὲ τοῦ ἐξ αὐτοῦ ἀπαθῶς τε καὶ ἀιδίως γεννηθέντος θεοῦ λόγου, τῆς υἱότητος ἐν τῷι μοναδικῷι τύπωι φυ-
36 λαττομένης τε καὶ ὁμολογουμένης. πῶς δ' αὖ νοήσωμεν τὸ ἀμὴν ἀμὴν λέγω ὑμῖν, πρὶν Ἀβραὰμ γενέσθαι, ἐγὼ εἰμὶ καὶ τὸ πάντα δι' αὐτοῦ ἐγένετο, ἀδιαιρέτων τῶν φωνῶν μενουσῶν; ἆρα περιάψομεν τὴν φωνὴν τῇι φύσει τῇι ἐκ σπέρματος Δαυὶδ ἐν ὑστέροις καιροῖς γενομένηι, τὸ πρὸ τοῦ Ἀβραὰμ καὶ Δαυὶδ εἶναι καὶ πάντα δι' αὐτῆς γενέσθαι; ἢ φήσομεν εὐσεβῶς, τῶν φύσεων ἀσυγχύτων μενουσῶν καὶ τῆς ἑνώσεως ἀδιαιρέτου ὁμολογουμένης, τὰς φωνὰς ἐφαρμόζεσθαι κατὰ τὴν τῶν ἑνωθεισῶν φύσεων δύ- PG 336

Ioh. 6, 38
Ioh. 12, 49
Ioh. 8, 28
Ioh. 20, 17
Ioh. 10, 30
Ioh. 5, 19
Ioh. 5, 21
P 292
Ioh. 8, 58
Ioh. 1, 3

2—5 plura adfert Cyrillus infra 48 9—15 adfert Cyrillus infra 41

Θ [= fv], ARΛΣ

1 ἀντίρρησισ τῶν ἀνατολικῶν [ἀνατολικῶν τετάρτη R] AR αἱρετικοῦ Σ 2 φησὶν ὅτι v 4 γενέσθαι ARΣ om. Θ τοῦ om. v 5 ἐν om. Θ προσάψωμεν Θ 6 τὴν²] postulatur τὰ 7 σαρκὸσ φύσιν ed. Romana 16 παρὰ τοῦ κῦ R 17 ἀποστολοισ f 18 ἂν om. v ὡς εἰς] ὡσεὶ v 20 βλασφήμωσ ARΣ βλασφημίαν f om. vΛ ἀνάγουσιν AR ἄγουσιν Θ 22 λαλήσω] ποιήσω v 24 γὰρ τῶν ΑΛΣ 25 τῆς φύσεως αὐτοῦ Σ 27 ἐκλάβωμεν v ἐν om. v 28 ἁρμόσωμεν fR, corr. R τὸ² om. f 29/30 καὶ ζωοποιεῖ v 30 αὐτοῦ ARΛΣ αὐτὴν Θ 31 τῆσ vA^{corr}R^{corr}ΛΣ τοῖσ fAR 33 αὖ coni. edd. Romani ἂν ΘAR 35 περιάψωμεν fR, corr. R

ναμιν, ὡς προείρηται, εἰς ἕνα μὲν τὸν υἱὸν καὶ κύριον καὶ Χριστόν, ἀλλ' οὐκ εἰς μίαν φύσιν τὰ πάντα συναιροῦντες; ὡς καὶ ἐξ ἑνὸς τῶν φύσεων ὀνόματος ἑκατέρας νοεῖσθαι
Ioh. 3, 13 διὰ τὸ τῆς ἑνώσεως ἄκρον καὶ ἡμῖν ἀκατάληπτον, ὥς που καὶ τὸ οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ υἱὸς τοῦ ἀνθρώπου,
Ioh. 6, 62 ὁ ὢν ἐν τῷι οὐρανῷι καὶ τὸ ἐὰν οὖν ἴδητε τὸν υἱὸν τοῦ ἀνθρώπου ἀναβαί- 5
νοντα ὅπου ἦν τὸ πρότερον. οὐχὶ ἐκ τῆς προσηγορίας τοῦ υἱοῦ τοῦ ἀνθρώπου καὶ τὸν αὐτῶι ἀσυγχύτως τε ἅμα καὶ ἀχωρίστως συνημμένον νοοῦμεν; εἰ γὰρ καὶ υἱὸν ἀνθρώπου ὠνόμαζε διὰ τὴν τῆς προσληφθείσης καὶ φαινομένης σαρκὸς φύσιν, ἀλλὰ διὰ
87 τῶν παρ' αὐτοῦ τελουμένων θεὸν ἑαυτὸν παρεδείκνυ. καὶ πάλιν· Ἰησοῦς Χριστός,
1 Cor. 8, 6 Hebr. 13, 8 δι' οὗ τὰ πάντα καὶ πάλιν· Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ 10
εἰς τοὺς αἰῶνας. εἰ χθὲς καὶ σήμερον, πῶς δι' αὐτοῦ τὰ πάντα; εἰ δὲ δι' αὐτοῦ τὰ πάντα, πῶς χθὲς καὶ σήμερον; ἀλλὰ καὶ τὸ πάντα δι' αὐτοῦ ἀληθές, καὶ τὸ χθὲς καὶ σήμερον πιστόν, καὶ τὸ ὁ αὐτὸς εἰς τοὺς αἰῶνας ἀληθινόν, ἐὰν κατὰ τὸ τῶν ἑνωθεισῶν ἀσυγχύτως τε καὶ ἀχωρίστως φύσεων διάφορον τὰς φωνὰς ἐφαρμόζωμεν, νο-
P 294 οῦντες κατὰ μὲν τὸ φαινόμενον χθὲς καὶ σήμερον, κατὰ δὲ τὸ νοούμενον εἰς τοὺς 15
αἰῶνας, κατὰ δὲ τὸ τῆς υἱότητος μοναδικὸν ἕνα καὶ τὸν αὐτόν.

Ἀπολογία ὀρθοδόξου

88 Σκοπός, ὡς ἔοικε, τοῖς ἐθέλουσιν ἀπερισκέπτως ἐπιτιμᾶν τοῖς παρ' ἡμῶν χρειωδέστατά τε καὶ ἀναγκαίως γεγονόσιν ἀναθεματισμοῖς φρονεῖν μὲν ἢ λέγειν τῶν ἀληθινῶν οὐδέν, φιλοψογίας δὲ μόνης ἀπόδειξιν ἐναργῆ ποιεῖσθαι τὸ χρῆμα· ἢ γὰρ ἂν ἰσχνόν τε καὶ ἀκριβῆ 20
τοῖς γεγραμμένοις τὸν οἰκεῖον ἐνερείσαντες νοῦν οὐκ ἠγνόησαν ὅτι κρατύνουσι ταῖς παρ' ἑαυτῶν ψήφοις καὶ δι' ὧν πεποίηνται λόγων τὸν ἀναθεματισμὸν καὶ οὐχὶ δὴ μᾶλλον ἀνε-
89 πιστημόνως αὐτὸν γεγονότα καταδεικνύουσιν. καὶ τίνα τρόπον, ἐρῶ. ὁ χρηστὸς ἡμῖν Νεστόριος ἔφη τι τοιοῦτον ἐπ' ἐκκλησίας ἐξηγούμενος

Loofs, Nestoriana p. 273, 5-12 Ἵνα δὲ αὐτὸ σαφέστερον καὶ πᾶσιν εὐληπτότερον εἴπω, τοῖς Ἀρείου καὶ Εὐνομίου 25
καὶ Ἀπολιναρίου καὶ πάντων τοῖς χοροῖς τῶν τῆς τοιαύτης φατρίας σπουδὴ τὸ θεοτόκος εἰσάγειν, ὡς κράσεως γινομένης καὶ τῶν φύσεων μὴ διαιρουμένων μηδὲν τῶν εὐτελῶν εἰς τὴν ἀνθρωπότητα λαμβάνεσθαι καὶ χώραν αὐτοὺς λοιπὸν κατὰ τῆς θεότητος ἔχειν, ὡς πάντων τῶν λεγομένων παρ' ἑνὸς λεγομένων.

40 Τούτων ὠδὶ λελεγμένων, χρειωδέστατα παρ' ἡμῶν γέγονεν ὁ ἀναθεματισμός, οὐκ 30
PG 337 ἐφιεὶς εἰς δύο μερίζεσθαι πρόσωπά τε καὶ ὑποστάσεις τὸν ἕνα κύριον Ἰησοῦν Χριστόν.
P 296 ὅτι δὲ καὶ αὐτοὶ τοῖς παρ' ἡμῶν συμφέρονται λόγοις, δῆλον ἂν εἴη δήπουθεν ἐξ ὧν γεγράφασι καὶ φρονεῖν ἐγνώκασιν· ἔχει δὲ οὕτως

---

23 cf. Cyrill. adu. Nestor. 2, 1

Θ [= fv], ARΛΣ

1 μὲν τὸν AR μέντοι Θ καὶ $\overline{\chi\nu}$ καὶ $\overline{\kappa\nu}$ R, corr. R^{mg} 5 ἐν τῶι οὐρανῶι ὢν v 6 τοῦ υἱοῦ ἀνθρώπου R 8 ὠνομάζομεν R 8/9 φύσιν — θεὸν om. v 11/12 εἰ δὲ — πάντα om. R 11 αὐτοῦ] ἑαυτοῦ v 12 τὸ τὰ πάντα f 13 καὶ εἰσ vΛ τὸ om. v 17 ὀρθοδόξου ΘΛΣ κυρίλλου [κυρίλλου δ R] AR 19 ἀληθῶν Θ 20 μόνην v ἢ ΘA εἰ R ἂν ἰσχνόν τε ΘAΣ ἀνείσχονται R ἀνίσχοντα R^{corr} ἀκριβοῦν, οὖν in ras., R 21 ἐνεργήσαντεσ v 23 καὶ — ἐρῶ om. Λ ἡμῖν ΘA^{corr} ὑμῖν AR 24 ἐπ' om. f 25 πᾶσιν om. Θ ἀληπτότερον v 26 τοιαύτης ΘΣCyrill adu. Nest. αὐτῆς ARΛ 28 αὐτοῖσ Λ λοιπὸν om. v 29 τῶν — λεγομένων ΘARΛΣ λεγομένων παρ' ἑνὸς οὐ κατὰ τὴν ἀπὸ τῆς συναφείας ἀξίαν, ἀλλὰ κατὰ τὴν φύσιν Cyrill. adu. Nest. 30 παρ' AR πρὸσ Θ

41 Ὡς δὲ προσώποις δυσὶν ἢ ὑποστάσεσι δυσὶν ἢ υἱοῖς δυσίν, διαιροῦντας τὴν ἕνωσιν p. 41, 9-14
ἢ γοῦν τὸν ἕνα υἱόν, τὰς φωνὰς ἐφαρμόζειν οὐ δεῖ· ἀδιαίρετος γὰρ καὶ ἀχώριστος ἡ ἄκρα
ἕνωσις καὶ ὁ εἷς υἱὸς κατὰ πάντα καὶ λόγον καὶ τρόπον καὶ ἔννοιάν ἐστιν. τῆς δὲ
ἄκρας ἑνώσεως φυλαττομένης καὶ τοῦ ἑνὸς υἱοῦ καὶ Χριστοῦ καὶ κυρίου ὁμολογουμένου,
περὶ τὸν ἕνα καὶ τὸν αὐτὸν υἱὸν ἐκλαμβάνεσθαι χρὴ τὰ λεγόμενα. κατὰ μέντοι τὴν τῶν 5
ἑνωθεισῶν φύσεων δύναμιν ἐφαρμόζεσθαι πρέπει τῶι ἑνὶ υἱῶι τὰ λεγόμενα.

42 Οὐκοῦν τῆς εἰς ἄκρον ἑνώσεως σωιζομένης, ποία παρείσδυσις ἢ γοῦν φαντασία τομῆς
παρεισκρίνοιτο ἂν ἔτι; καὶ ὁ μερίζειν ἀποτολμῶν πῶς οὐκ ἔξω φέρεται τῆς εὐθείας ὁδοῦ
καὶ τῶν τῆς εὐσεβείας δογμάτων εἰς ἅπαν ἀποφοιτᾶι; τί οὖν φησιν ὁ ἀναθεματισμός;
εἴ τις μερίζει τὰς φωνὰς κατά γε τουτονὶ τὸν τρόπον, ὡς τὰς μὲν ὡς ἀνθρώπωι παρὰ 10
τὸν ἐκ θεοῦ λόγον ἰδικῶς νοουμένωι προσάπτειν, τὰς δὲ ὡς θεοπρεπεῖς μόνωι τῶι ἐκ θεοῦ
λόγωι, ἔστω ἀνάθεμα. εἰ μὲν οὖν οἱ διιστάντες καὶ διορίζοντες εἰς ἄνθρωπον ἰδικῶς τε
καὶ ἀνὰ μέρος καὶ εἰς θεὸν λόγον ἰδικῶς καὶ ἀνὰ μέρος οὐ μερίζουσι τὸν ἕνα Χριστὸν
οὐδὲ δύο λέγουσιν υἱούς, ἀγανακτείτωσαν καθ' ἡμῶν οἱ φιλεγκλήμονες· εἰ δὲ τομὴ καὶ
διαίρεσις τὸ οὕτω φρονεῖν ἐστιν, κατὰ τίνα τρόπον τοῖς παρ' ἡμῶν λόγοις ἐπιτιμᾶν ἐγνώ- 15
κασι, καίτοι καὶ αὐτοί, καθά φασιν, ἀδιαίρετόν τε καὶ ἕνα κατὰ ἄκραν ἕνωσιν ὁμολογοῦντες P 298
43 ὑπάρχειν τὸν Ἐμμανουήλ; τὸ μὲν οὖν ἐμφρόνως ἑκάστην φωνὴν ἢ ἐπὶ Χριστῶι κειμένην
ἢ καὶ παρ' αὐτοῦ τυχὸν εἰρημένην ἐκλαμβάνεσθαι δεῖν, ἐπαινέσαιμ' ἂν καὶ αὐτὸς ἐγὼ καὶ
ἅπας τις οὖν οἶμαι τῶν ὀρθὰ φρονεῖν εἰωθότων· αἳ μὲν γάρ εἰσι θεοπρεπεῖς, αἳ δὲ τῆι
μετὰ σαρκὸς οἰκονομίαι μᾶλλον ἁρμοδιώτεραι· ἐπειδὴ δέ ἐστιν εἷς καὶ ὁ αὐτός, θεός τε 20
ὁμοῦ καὶ ἄνθρωπος, ταύτηι τοι καὶ λίαν ὀρθῶς ποτὲ μὲν θεικῶς, ποτὲ δὲ καὶ ἀνθρωπίνως
ποιεῖται τοὺς λόγους. πλὴν τοῦ ἑνὸς Ἰησοῦ Χριστοῦ ταύτας τε κἀκείνας εἶναι φωνὰς
διισχυριζόμεθα, οὔτε ψιλοῦντες θεότητος τὸν ἐκ τῆς ἁγίας παρθένου ναὸν οὔτε μὴν ἄσαρκον
εἰδότες τὸν ἐκ θεοῦ πατρὸς λόγον μετὰ τὴν ἄρρητον ἕνωσιν.

44 Θαυμάζω δὲ ὅτι καίτοι πολυπραγμονοῦντες ἄγαν καί, ὥς γε νομίζουσι, λεπτῶς βα- 25
σανίζοντες τὰς ἐμὰς ἐπιστολάς, τὰ μὲν ὅσα ἐστὶν ἐν αὐταῖς χρήσιμά τε καὶ ἀναγκαῖα πρὸς
ἀπόδειξιν τῆς τῶν δογμάτων ὀρθότητός τε καὶ ἀκριβείας, ἐθελονταὶ παρατρέχουσιν, ἐπιπη-
δῶσι δὲ καὶ μάλα γοργῶς τοῖς κἂν γοῦν ἰσχνὴν ἔχουσιν ὑποψίαν, κατά γε τὸ αὐτοῖς δο-
κοῦν, εἰς τὸ δύνασθαι δι' αὐτῶν τὰς καθ' ἡμῶν ποιεῖσθαι συκοφαντίας. μεμνήσομαι δὲ
τῶν ἐμαυτοῦ ῥημάτων· γέγραφα γὰρ οὕτως ἐν τῆι πρὸς Νεστόριον ἐπιστολῆι 30

45 Τὰς δέ γε ἐν τοῖς εὐαγγελίοις τοῦ σωτῆρος ἡμῶν φωνὰς οὔτε ὑποστάσεσι δυσὶν V 6,8 PG 340
οὔτε μὴν προσώποις δυσὶ καταμερίζομεν (οὐ γάρ ἐστι διπλοῦς ὁ εἷς καὶ μόνος Χριστός,
κἂν ἐκ δύο νοῆται καὶ διαφόρων πραγμάτων εἰς ἑνότητα τὴν ἀμέριστον συνενηνεγμένος,
καθάπερ ἀμέλει καὶ ἄνθρωπος ἐκ ψυχῆς νοεῖται καὶ σώματος καὶ οὐ διπλοῦς μᾶλλον, ἀλλ' P 300
εἷς ἐξ ἀμφοῖν), ἀλλὰ τάς τε ἀνθρωπίνας καὶ πρός γε τούτωι τὰς θεικὰς παρ' ἑνὸς εἰρῆσθαι 35
διακεισόμεθα φρονοῦντες ὀρθῶς. ὅταν μὲν γὰρ θεοπρεπῶς λέγηι περὶ ἑαυτοῦ ὁ ἑωρα- Ioh. 14, 9
κὼς ἐμὲ ἑώρακε τὸν πατέρα καὶ ἐγὼ καὶ ὁ πατὴρ ἓν ἐσμέν, τὴν θείαν αὐτοῦ Ioh. 10, 30

7—9 Timoth. arm. p. 88 20—24 Fcyr 127 ἐκ τῆς αὐτῆς ἀπολογίας τοῦ τετάρτου ἀναθεματισμοῦ, ἧς ἡ ἀρχή· Σκοπός, ὡς ἔοικε, τοῖς ἐθέλουσιν ἀπερισκέπτως· 'ἐπειδὴ — ἕνωσιν' 35—p. 44, 17 Timoth. arm. p. 106

Θ [= fv], ARΛΣ

2 ἤ τουν Θ 3 καὶ λόγον om. v 7 ἤ τουν Θ 8 ἂν om. A τολμῶν R 10 γε AR τε Θ 12 λόγου v ἔστω om. A διορίζοντες] διαμερίζοντεσ v 13 καὶ εἰς θεὸν — μέρος om. vR 14 οὐδὲ ΘΛΣ οὐ AR 17/18 ἢ ἐπὶ — ἢ ΘΛΣ εἰ R περὶ χῦ παρὰ τῶν ἁγίων ἡ A 18 ἑαυτοῦ A 19 οὖν om. fA 20 καὶ AR τε καὶ Θ ὁ om. v 21 καὶ[2] ΘΣFcyr om. ARΛ 22 ἰῦ ARΛΣFcyr om. Θ 27 ἐθελονταὶ Θ ἐθέλοντεσ AR 32 δυσὶ ARΛΣ om. Θ 33 νοεῖται fR, corr. R καὶ om. v ἀδιαφόρων R 35 γε A γε AR τε Θ

καὶ ἀπόρρητον ἐννοοῦμεν φύσιν, καθ' ἣν ἔν ἐστι πρὸς τὸν ἑαυτοῦ πατέρα διὰ τὴν ταυτότητα
Hebr. 1, 3 τῆς οὐσίας εἰκών τε καὶ χαρακτὴρ καὶ ἀπαύγασμα τῆς δόξης αὐτοῦ· ὅταν δὲ τὸ τῆς ἀνθρω-
Ioh. 8, 40 πότητος μέτρον οὐκ ἀτιμάζων τοῖς Ἰουδαίοις προσλαλῇ νῦν δέ με ζητεῖτε ἀποκτεῖ-
ναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα, πάλιν οὐδὲν ἧττον αὐτὸν τὸν
ἐν ἰσότητί τε καὶ ὁμοιότητι τοῦ πατρὸς θεὸν λόγον καὶ ἐκ τῶν τῆς ἀνθρωπότητος αὐτοῦ
μέτρων ἐπιγινώσκομεν. εἰ γάρ ἐστιν ἀναγκαῖον τὸ πιστεύειν ὅτι θεὸς ὢν φύσει γέγονε
σὰρξ ἢ γοῦν ἄνθρωπος, ἐψυχωμένης ψυχῇ λογικῇ τῆς σαρκός, ποῖον ἂν ἔχοι λόγον τὸ
ἐπαισχύνεσθαί τινα ταῖς παρ' αὐτοῦ φωναῖς, εἰ γεγόνασιν ἀνθρωποπρεπῶς; εἰ γὰρ
παραιτοῖτο τοὺς ἀνθρώπωι πρέποντας λόγους, τίς ὁ ἀναγκάσας γενέσθαι καθ' ἡμᾶς ἄν-
θρωπον; ὁ δὲ καθεὶς ἑαυτὸν δι' ἡμᾶς εἰς ἑκούσιον κένωσιν, διὰ ποίαν αἰτίαν παραι-
τοῖτο ἂν τοὺς τῆι κενώσει πρέποντας λόγους; ἑνὶ τοιγαροῦν προσώπωι τὰς ἐν τοῖς
1 Cor. 8, 6 εὐαγγελίοις πάσας ἀναθετέον φωνάς, ὑποστάσει μιᾶι τῆι τοῦ λόγου σεσαρκωμένηι· κύριος
γὰρ εἷς Ἰησοῦς Χριστὸς κατὰ τὰς γραφάς.

46 Οὐκοῦν καὶ ὡς ἀπό γε τῶν ἤδη προγεγραμμένων, οὐκ ἠγνοηκότες μὲν ἁλωσόμεθα
P 302 τὴν οἰκονομίαν τὴν ἑκάστηι πρέπουσαν φωνῆι, οὐκ ἐφιέντες δὲ μᾶλλον τοῖς ψυχικοῖς καὶ
Iuda 19 πνεῦμα μὴ ἔχουσι δύο νοεῖν ἢ λέγειν υἱούς, διαιροῦντας ἀλλήλων τὰς ὑποστάσεις μετὰ τὴν
ἀδιάσπαστον ἕνωσιν.

47 Ἐπειδὴ δὲ βραχύ τι μέρος λαβόντες ἐξ ἡμετέρας ἐπιστολῆς τεθείκασιν ἐκ ἀρχῆι τῶν
ἰδίων λόγων, ἀπειλοῦντες ἡμᾶς ἐπὶ καιροῦ διελέγχειν ὡς οὐ μετρίως ἡμαρτηκότας εἰς τὸν
ἐκ θεοῦ πατρὸς λόγον καὶ τῆι αὐτοῦ φύσει τὴν τῆι σαρκὶ πρέπουσαν αὔξην τε καὶ προ-
κοπὴν ἀβουλότατα προσνενεμηκότας, φέρε καὶ πρός γε ταυτὶ τὰ εἰκότα λέγωμεν, ὅλον πα-
ραθέντες τῆς ἐπιστολῆς τὸ μέρος. δεδιότες γὰρ αὐτοὶ τὴν ἀλήθειαν καὶ συναρπάζοντες
τοὺς ἀκροωμένους, μέρος τι τεθείκασιν, ὅπερ αὐτοῖς ἐδόκει χρειωδέστατον εἶναι πρὸς τὸ
δύνασθαί τε καὶ μὴν καὶ δοκεῖν εὐλόγως τὰς καθ' ἡμῶν ποιεῖσθαι συκοφαντίας· ἔχει δὲ
οὕτως τὸ εἰρημένον

Cyrill. hom. pasch. 17 p. 230 Aub. PG 341 **48** Κἂν ἀκούσηις ὅτι προέκοπτεν ὁ Ἰησοῦς ἡλικίαι καὶ σοφία καὶ χάριτι, μὴ σοφὸν ἐξ
ἐπιδόσεως γενέσθαι νομίσηις τὸν τοῦ θεοῦ λόγον, διαμέμνησο δὲ μᾶλλον γεγραφότος ὠδὶ
τοῦ θεσπεσίου Παύλου· Χριστὸς θεοῦ δύναμις καὶ θεοῦ σοφία. μηδ' αὖ ἐκεῖνο φληνάφως
1 Cor. 1, 24 τολμήσηις εἰπεῖν ὅτι τὸ προκόπτειν ἐν ἡλικίαι τε καὶ σοφίαι καὶ χάριτι τῶι ἀνθρώπωι προ-
σάψομεν· τοῦτο γάρ, οἶμαι, ἐστὶν ἕτερον οὐδὲν ἢ διελεῖν εἰς δύο τὸν ἕνα Χριστόν. ἀλλ'
ὥσπερ ἔφην ἀρτίως, προαιώνιος ὢν υἱὸς ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς εἰς υἱὸν ὡρίσθαι
λέγεται θεοῦ, τῆς ἰδίας σαρκὸς τὴν γέννησιν οἰκειούμενος οἰκονομικῶς. οὕτω καὶ ὑπάρχων
σοφία τοῦ γεγεννηκότος, προκόπτειν ἐν σοφίαι λέγεται, καίτοι παντέλειος ὢν ὡς θεός, τὰ
P 304 τῆς ἀνθρωπότητος ἴδια διὰ τὴν εἰς ἄκρον ἕνωσιν εἰς ἑαυτὸν εἰκότως ἀναλαβών.

Zach. 7, 9 **49** Ἀνθ' ὅτου δὴ οὖν θεοῦ λέγοντος κρίμα δίκαιον κρίνατε, παραλογίζονται τὴν

11—13 Timoth. arm. p. 92 14—17 Fcyr 128 οὐκοῦν — ἕνωσιν

Θ [= fv], ARΛΣ

1 ἓν ΘΣTimoth. om. ARΛ 3 προσλαλεῖ f 5 ὁμοιότητι AR ὁμοιώματι Θ τῶν om. f 6 μέτρων ARΛΣTim. μερῶν Θ 7 ἔχη Θ 8 τὰσ R φωνὰσ, α in αι corr., R 9 πρέποντα R 13 ὁ χσ̄ R 14 καὶ om. Timoth.Fcyr ὑπό f ἀλλασσόμεθα Fcyr 15 τὴν² ΘΛΣ καὶ τὴν R καὶ τῆ A τῆ Fcyr ἑκάστηι fΛΣTim. ἑκάστω v ἑκάστη φύσει AR φωνῆ ΘΛΣFcyr φωνὴν ARTimoth. 16 διαιροῦσιν A 17 ἀδιάστατον v 19 εἰσ om. v 20 αὔξην Θ αὔξησίν AR 21 γε AR τε Θ λέγωμεν ARcorr λέγομεν ΘR 22 δεδιότεσ v δεδειότεσ f δεδοιότεσ R δεδοικότεσ ARcorr 23 τι om. A 26 ὁ fA om. vR ἡλικία τε Θ 27 νομίσησ γενέσθαι v διαμέμνησο ΘΣ διαμεμνήσομαι ARΛ μᾶλλόν γε A 28 θεοῦ¹ om. v αὖ] ἂν f 29/30 προσάψωμεν fR, corr. R 30 ἐστιν οἶμαι v 31 ὁ ῡσ̄ R 33 παντελῶσ v ὢν om. R 34 ἄκρον AR ἄκραν Θ

ἀλήθειαν; οὔτε γὰρ μερισμὸν τῶν ὑποστάσεων μετὰ τὴν ἕνωσιν δογματίζομεν οὔτε τὴν τῆς θεότητος φύσιν αὔξης τε καὶ προκοπῆς δεδεῆσθαι φαμέν, ἐκεῖνο δὲ μᾶλλον ὅτι κατ' οἰκείωσιν οἰκονομικὴν ἑαυτοῦ πεποίηται τὰ ἴδια τῆς σαρκός, ὡς σὰρξ γεγονὼς κατὰ τὰς Ioh. 1, 14 γραφάς.

50 Ὅτι δὲ τῇ τοιᾷδε πίστει τε καὶ δόξῃ καὶ ὁ τῶν ἁγίων πατέρων συνάιδει χορός, ἐπιδεῖξαι πειράσομαι, παραθεὶς εἰς πληροφορίαν ἐξηγήσεως μέρος γενομένης κατὰ καιροὺς παρὰ τοῦ τῆς μακαρίας μνήμης Ἀττικοῦ· ἔχει δὲ οὕτως

Σήμερον Χριστὸς ὁ δεσπότης τὴν τῆς φιλανθρωπίας γέννησιν ἀνεδέξατο· τὴν γὰρ τῆς θεικῆς ἀξίας προυπῆρχεν.

Εἶτα τούτοις ἐπιφέρει πάλιν· Ὁ τῆς φιλανθρωπίας λόγος κενοῦται, ἀκένωτος τὴν φύσιν τυγχάνων· ἑαυτὸν γὰρ ἐκένωσεν, μορφὴν δούλου λαβών. ὁ ἄσαρκος διὰ σὲ σαρκοῦται· ὁ γὰρ λόγος σὰρξ ἐγένετο. ὁ ἀφῆι μὴ ὑποπίπτων διὰ τὸ τῆς φύσεως ἀσώματον ψηλαφᾶται· ὁ ἄναρχος ὑπὸ ἀρχὴν γίνεται σωματικήν· ὁ τέλειος αὔξει· ὁ ἄτρεπτος προκόπτει· ὁ πλούσιος ἐν καταλύματι γίνεται· ὁ περιβάλλων τὸν οὐρανὸν ἐν νεφέλαις σπαργανοῦται· ὁ βασιλεὺς ἐν φάτνηι τίθεται.

Phil. 2, 7
Ioh. 1, 14

51 Ὅτι δὲ διαιρεῖν τὰς ὑποστάσεις μετὰ τὴν ἕνωσιν οὐκ ἀπλημμελές, μᾶλλον δὲ ἀνατρεπόντων ἐστὶν τὸ σεπτὸν τῆς ἐνανθρωπήσεως μυστήριον, οὐδὲν ἧττον εἰσόμεθα, τοῖς ἐντεταγμένοις ἐντυγχάνοντες ῥητοῖς Ἰουλίου τε καὶ Φήλικος τῶν ἀφηγησαμένων κατὰ καιροὺς τῆς Ῥωμαίων ἐκκλησίας.

Ἰουλίου ἐπισκόπου Ῥώμης P 300

52 Κηρύσσεται δὲ εἰς συμπλήρωσιν τῆς πίστεως καὶ σαρκωθεὶς ἐκ παρθένου Μαρίας ὁ τοῦ θεοῦ υἱὸς καὶ σκηνώσας ἐν ἀνθρώποις, οὐκ ἐν ἀνθρώπωι ἐνεργήσας (τοῦτο γὰρ ἐπὶ προφητῶν ἐστι καὶ ἀποστόλων), τέλειος θεὸς ἐν σαρκὶ καὶ ἄνθρωπος τέλειος ἐν πνεύματι· οὐ δύο υἱοί, εἷς μὲν γνήσιος υἱὸς ἀναλαβὼν ἄνθρωπον, ἕτερος δὲ θνητὸς ἄνθρωπος ἀναληφθεὶς ὑπὸ θεοῦ, ἀλλ' εἷς μονογενὴς ἐν οὐρανῶι, μονογενὴς ἐπὶ γῆς θεός.

Lietzmann, Apollinaris p. 284

Φήλικος τοῦ ἁγιωτάτου ἐπισκόπου καὶ μάρτυρος Ῥώμης PG 344

53 Περὶ δὲ τῆς σαρκώσεως τοῦ λόγου καὶ πίστεως, πιστεύομεν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ἐκ παρθένου Μαρίας γεννηθέντα ὅτι οὗτός ἐστιν ὁ τοῦ θεοῦ ἀίδιος υἱὸς καὶ λόγος καὶ οὐκ ἄνθρωπος ὑπὸ θεοῦ ἀναληφθείς, ἵν' ἕτερος ἦι παρ' ἐκεῖνον· οὐδὲ γὰρ ἄνθρωπον ἀνέλαβεν ὁ τοῦ θεοῦ υἱός, ἵνα ἦι ἕτερος παρ' αὐτόν, ἀλλὰ θεὸς ὢν τέλειος γέγονεν ἅμα καὶ ἄνθρωπος τέλειος, σαρκωθεὶς ἐκ παρθένου.

Lietzmann, Apollinaris p. 318

1—3 Fcyr 129 οὔτε μερισμὸν — σαρκός 8 = Exc. Ephes. [A 74] XVII 16. 17 Fcyr 130 τό δὲ διαιρεῖν — μυστήριον 20. 26 = Exc. Ephes. VII. VIII

Θ [= fv], ARΛΣ

1 τῶν ARFcyr om. Θ 3 τὰ ἴδια] διὰ Fcyr 7 μακαριασ ARΛ ἁγίασ Θ 8 ὁ δεσπότης χσ̄ A 13 ὑπὸ — σωματικήν] ἄρχεται v 16 ὅτι] τὸ Fcyr δὲ[1] ARΛΣFcyr om. Θ 18 φήλικοσ R φίλικοσ f φίληκοσ vA 23 καὶ ἀποστόλων ἐστὶν R ἀνο̄σ τέλειοσ AR τελειοσ ἀνο̄σ Θ 25 θεόσ ΘΛΣ om. AR 26 φίλικοσ f φίληκοσ vA φηλήκου R τοῦ — ῥώμησ ΡΛΣ τοῦ ἁγιωτάτου ἐπισκόπου ῥώμησ καὶ μάρτυροσ A ἱερομάρτυροσ ἐπισκόπου ῥώμησ Θ 28 παρθένου fR τῆσ παρθένου vA μαρίασ om. R 29 εἷ v 30 ἢ ἕτεροσ AR ἕτεροσ ἢ f ἕτεροσ εἰ v

Ἀναθεματισμὸς ζ̄

54 Εἴ τίς φησιν ὡς ἄνθρωπον ἐνηργῆσθαι παρὰ τοῦ θεοῦ λόγου τὸν Ἰησοῦν καὶ τὴν τοῦ μονογενοῦς εὐδοξίαν περιῆφθαι ὡς ἑτέρωι παρ' αὐτὸν ὑπάρχοντι, ἀνάθεμα ἔστω.

P 308 Μέμψις αἱρετικῶν

55 Ἐνηργῆσθαι τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ὑπὸ τοῦ πνεύματος ὡς ἄνθρωπον ἁπλῶς ἢ ὡς προφήτην ἢ ὡς ἀπόστολον οὐδεὶς ἂν ὁμολογήσειεν· τὰς μέντοι ἀποστολικὰς φωνὰς περὶ αὐτοῦ διὰ τὴν τῆς φαινομένης σαρκὸς φύσιν εἰρημένας οὔτ' ἀρνησόμεθα οὔτ'
Eph. 1, 19. 20 ἂν ἐξαλείψαιμεν, ποτὲ μὲν λεγούσας κατὰ τὴν ἐνέργειαν τοῦ κράτους τῆς ἰσχύος αὐτοῦ, ἣν ἐνήργησεν ἐν τῶι Χριστῶι, ἐγείρας αὐτὸν ἐκ νεκρῶν, καὶ πάλιν
Act. 2, 24 ὃν ὁ θεὸς ἤγειρεν ἐκ νεκρῶν λύσας τὰς ὠδῖνας τοῦ θανάτου, καὶ πάλιν τῆι
ibid. 33 δυνάμει τοῦ θεοῦ ὑψωθείς, καὶ ὅσα τοιαῦτα. ἀλλ' εἰ καὶ ταῦτα πρόσκειται διὰ τὸ φαινόμενον, οὐδεὶς ἂν ἐκλάβοι ἢ ὡς ἄνθρωπον ἁπλῶς αὐτὸν ἐνεργούμενον ἢ ὡς δίκαιον ἢ ὡς προφήτην ἢ ὡς ἀπόστολον. οὔτε οὖν τὰς θείας φωνὰς ἐξαλείφομεν ἢ ἀρνούμεθα ἢ ἀμαθῶς τε ὁμοῦ καὶ βλασφήμως ἀναθεματίζομεν, εἰρημένας καὶ κειμένας διὰ τὴν τῆς φαινομένης σαρκὸς φύσιν, οὔτε ὡς ἄνθρωπον ἁπλῶς ἢ ὡς δίκαιον ἢ προφήτην ἢ ἀπόστολον ἐνηργῆσθαι φήσομεν· οὐ γὰρ ἔλεγεν· τάδε λέγει κύριος, ἀλλ' ὡς υἱὸς νομοθετῶν
Mt. 5, 28 ἐγὼ δὲ λέγω ὑμῖν.

Ἀπολογία ὀρθοδόξου

56 Καὶ νῦν ἡμῖν οὐδὲν ἧττον διὰ τῶν ἴσων ἔρχεται λόγων τῆς ἀπολογίας ὁ τρόπος· εἷς μὲν γάρ ἐστιν ὁμολογουμένως ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ αὐτὸς εἶναι πεπιστευμένος καὶ ἐκ θεοῦ πατρὸς λόγος ἀΐδιός τε καὶ προαιώνιος καὶ ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς ἄνθρωπος ἐκ γυναικὸς παράδοξον ἐσχηκὼς τὴν κατὰ σάρκα γέννησιν. ἀλλ' εἷς ὑπάρχων υἱὸς καὶ θεὸς καὶ κύριος εἰργάζετο τὰς θεοσημείας διὰ τῆς ὑπὲρ ἄνθρωπον ἰσχύος,
P 310 πληροφορῶν ὅτι καὶ εἰ γέγονεν σάρξ, ἀλλ' οὐδὲν ἧττόν ἐστιν καὶ οὕτω θεὸς ἀληθινὸς καὶ
PG 345 δύναμις τοῦ πατρός. οὐ γὰρ πέπαυται τοῦ εἶναι ὃ ἦν, γενόμενος ἄνθρωπος. ἐπλήρου τοιγαροῦν τὰ παράδοξα, τοῦτο μὲν δαιμονίοις ἐπιτιμῶν καὶ συντρίβων τὸν σατανᾶν, τοῦτο δὲ τυφλοῖς τὸ φῶς ἐνιείς, νεκροὺς ἀνιστάς, θάλασσαν ἀγριαίνουσαν ἑνὶ κατευνάζων ῥήματι, οὐχ ὡς ἄνθρωπόν τινα καὶ ἕτερον ὄντα κατὰ μόνας Χριστὸν δοξάζεσθαι ποιῶν καθάπερ ἀμέλει καὶ ἕνα τῶν ἁγίων προφητῶν ἢ γοῦν ἀποστόλων, ἀλλ' ἑαυτῶι τὴν δόξαν πραγματευόμενος, ἵνα παρὰ πάντων πιστεύηται θεὸς ὢν φύσει, καὶ εἰ γέγονεν ἄνθρωπος. ἦν οὖν ἄρα τῶν ἐκτοπωτάτων ἀνασχέσθαι Νεστορίου λέγοντος

cf. Loofs, Nestoriana p. 225, 13-18 57 Κοιναὶ γὰρ τῆς τριάδος αἱ ἐνέργειαι καὶ μόναις ὑποστάσεσι τὴν διαίρεσιν ἔχουσαι. ἡ γοῦν τοῦ μονογενοῦς εὐδοξία ποτὲ μὲν τῶι πατρὶ περιῆπται, ποτὲ δὲ τῶι πνεύματι, ποτὲ δὲ τῆι Χριστοῦ δυναστείαι.

---

1 ζήτει ε̄ καὶ ς̄ Θ 20. 21 Fcyr 131 ἐκ τῆς αὐτῆς ἀπολογίας τοῦ ἑβδόμου ἀναθεματισμοῦ, ἧς ἡ ἀρχή ἐστι τόδε· Καὶ νῦν — τρόπος· 'εἷς — πεπιστευμένος θεός τε ὁμοῦ καὶ ἄνθρωπος' 32 cf. Cyrill. adu. Nestor. 2, 7. Exc. Ephes. XIII

Θ [= fv], ARΛΣ

1 κυρίλλου ἀναθεματισμὸς ζ̄ AR 3 ἔστω om. v 4 ἀντίρρησις τῶν ἀνατολικῶν [ἀνατολικῶν ζ̄ R] AR αἱρετικοῦ Σ 7 οὔτ' AR οὔτ' ἂν Θ 9/10 καὶ πάλιν — νεκρῶν ΘΛΣ om. AR 10 ἄϊδου Σ 12 ἑαυτὸν R 13 ἢ ἀπόστολον f ὅτε v ἐξαλείφωμεν v 15 ἢ ὡσ προφήτην RΛΣ 16 γὰρ ἂν Λ 18 ὀρθοδόξου ΘΛΣ κυρίλλου A κυρίλλου ζ̄ R 20 ὁμολογουμένως] ὁ μονογενὴς Fcyr χ̄σ̄ Θ ὁ χ̄σ̄ AR 20/21 πεπιστευμένος] πεπιστευμένος θεός τε ὁμοῦ καὶ ἄνθρωπος Fcyr 23 θ̄σ̄ κ̄σ̄ v θεοσημίασ A 24 καὶ εἰ AR εἰ καὶ Θ 29 γοῦν om. v 30 καὶ εἰ fA καὶ v εἰ κε R 31 ἀνέχεσθαι A τοῦ νεστορίου v 33 ἤγουν Θ εὐδοξίαν v περιῆπτε v 34 τοῦ χ̄ῡ v

58 Οὐκοῦν ἃ δεικνύτωσαν οἱ ἐπιτιμᾶν ἐθέλοντες ἕτερον ἡμῖν Χριστὸν ἰδίαι τε καὶ ἀνὰ μέρος ὑπάρχοντα καὶ νοούμενον, ὧι τὴν ἑαυτοῦ δυναστείαν περιῆψεν ὁ μονογενὴς τοῦ θεοῦ λόγος, ὡς ἕτερος ὢν παρ' αὐτὸν ἰδικῶς υἱός· ἢ εἰ μή ἐστιν ἕτερος καὶ ἕτερος, ἀλλ' εἷς τε καὶ ὁ αὐτὸς καὶ ἐκ πατρὸς μονογενὴς καὶ ἐκ γυναικὸς ἄνθρωπος κατὰ σάρκα, πῶς ἦν ἀκόλουθον ἐλέσθαι σιγᾶν καὶ οὐχὶ δὴ μᾶλλον ἀνταναστῆσαι πάλιν τῆς ἀληθείας τὴν δύναμιν τοῖς παρ' ἐκείνου βατταρισμοῖς τῶν τῆς εὐσεβείας δογμάτων τὸ κάλλος παρασημαίνουσιν;

59 Ἦν μὲν οὖν καὶ ἔστιν θεὸς ὁ υἱός· ἐπειδὴ δὲ ἄπαξ τὸ τῆς ἀνθρωπότητος ὑπέδυ μέτρον, οὐκ ἀπόβλητον ἐποιήσατο τὴν οἰκονομίαν, ὑπέμεινε δὲ πάντα διὰ τὴν κένωσιν ἐθε- P 312
λοντὴς δι' ἡμᾶς. ταύτηι τοι, καίτοι κατὰ φύσιν ὑπάρχων ζωή, ζωοποιεῖσθαι λέγεται παρὰ τοῦ πατρὸς καὶ τῆς δόξης κύριος ὢν δόξαν λέγεται λαβεῖν. ἔφη γοῦν ὁ Ἑβραῖος 10 Phil. 3, 5
ἐξ Ἑβραίων, ὁ νομομαθὴς ἀληθῶς καὶ ἐκ φυλῆς Βενιαμίν· Παῦλος ἀπόστολος οὐκ Gal. 1, 1
ἀπ' ἀνθρώπων οὐδὲ δι' ἀνθρώπου, ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ καὶ θεοῦ πατρὸς τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν καὶ δόξαν αὐτῶι δόντος. ἀλλὰ καίτοι 1 Petr. 1, 21
λεγόμενος δόξαν λαβεῖν παρὰ τοῦ πατρός, διήκοντος τοῦ πράγματος ἐπὶ τὸ τῆς ἀνθρωπότητος μέτρον, οἷδεν ἑαυτὸν ἔχοντα, καθὸ καὶ νοεῖται καὶ ἔστι θεός, τὸ ὑπὲρ κτίσιν ἀξίωμα. 15
ἔφη γοῦν· πάντα μοι παρεδόθη παρὰ τοῦ πατρός μου, καὶ οὐδεὶς ἐπιγι- Mt. 11, 27
νώσκει τίς ἐστιν ὁ υἱὸς εἰ μὴ ὁ πατήρ, οὐδὲ τὸν πατέρα τις ἐπιγινώσκει
60 τίς ἐστιν εἰ μὴ ὁ υἱὸς καὶ ὧι ἐὰν ὁ υἱὸς ἀποκαλύψηι. ἀλλ' ἴσως ἐρεῖ τις τῶν φιλομαθεστέρων· εἰ πάντα σοι παρεδόθη παρὰ τοῦ πατρὸς ὡς δόξης δεδεημένωι καὶ δοτὸν ἔχειν ὀφείλοντι τὸ κατὰ πάντων κράτος διὰ τὸ ἀνθρώπινον, πῶς ἀνέφικτον ἔτι ταῖς 20
ἀνθρώπων διανοίαις εἶναι φὴς τὸ εἰδέναι σε καθάπερ ἀμέλει καὶ τὸν πατέρα; ἀλλὰ ναί, φησίν, οὐ μέχρι τῶν ὁρωμένων ἡ ἐπ' ἐμοὶ συστέλλεται γνῶσις. εἰμὶ γὰρ θεὸς ἐν σαρκὶ καὶ αἵματι, κατὰ μὲν τὴν σάρκα γινωσκόμενος, κατὰ δὲ τὴν τῆς θεότητος φύσιν τε καὶ δόξαν ἰσομέτρως ἔχων τῶι θεῶι καὶ πατρὶ καὶ νοῦ καὶ λόγου παντὸς ἐπέκεινα τρέχων. PG 348
οὐκοῦν (ἀνθέξομαι γὰρ τῆς τῶν προκειμένων ἐννοίας) οὔτε τὰς ἀποστολικὰς ἀναιροῦμεν 25
φωνάς, μὴ γένοιτο, οὔτε μὴν ἕτερα ἄττα παρὰ τὸ εἰκὸς ἢ φρονοῦντες ἢ λέγοντες τοῖς τῆς ἐνανθρωπήσεως ἀντιπράττομεν λόγοις, ἑπόμενοι δὲ πανταχοῦ τοῖς ἱεροῖς γράμμασι καὶ P 314
ταῖς τῶν θεηγόρων φωναῖς τὸ χρῆναι κρατεῖν ἀπονέμοντες, ἀντανιστάμεθα μόνοις τοῖς τὰ ὀρθὰ τῆς ἐκκλησίας δόγματα διαστρέφουσιν.

61 Ὅτι δὲ ὁ πατὴρ ἐκ νεκρῶν ἀναστῆσαι λέγεται τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, 30
ἐνεργουμένου δηλονότι περὶ τὴν σάρκα αὐτοῦ τοῦ πράγματος, οὐκ ἂν ἐνδοιάσειέ τις. αὐτὸς δὲ ὑπάρχων ἡ ζωοποιός τε καὶ ἐνεργὴς δύναμις τοῦ πατρός, τὸν ἴδιον ἐζωοποίει ναὸν κατὰ τὸ λύσατε τὸν ναὸν τοῦτον καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. Ioh. 2, 19
ἦν οὖν ἄρα τὸ ζωοποιούμενον οὐκ ἀλλότριον οὔτε μὴν ἑνὸς τῶν καθ' ἡμᾶς ἀνθρώπων, ἀλλ' ἴδιον αὐτοῦ τοῦ λόγου σῶμα. 35

Ἀναθεματισμὸς η̄

62 Εἴ τις τολμᾶι λέγειν τὸν ἀναληφθέντα ἄνθρωπον συμπροσκυνεῖσθαι δεῖν τῶι θεῶι καὶ συνδοξάζεσθαι καὶ συγχρηματίζειν θεὸν ὡς ἕτερον ἑτέρωι καὶ οὐχὶ δὴ μᾶλλον μιᾶι

30—35 Fcyr 132 ὅτι — σῶμα

Θ [= fv], ARΛΣ

1 θέλοντεσ ν τε Θ om. AR 3 ἰδικῶσ παρ' αὐτὸν A καὶ ἡ R 11 ὁ νομομαθὴσ ΑΛΣ ὀνομασθεὶσ ΘR 12 ἀνοῦ ARΣ ἀνῶν ΘΛ 15 καὶ νοεῖται Θ νοεῖται AR 16/17 ἐπιγινώσκει R γινώσκει ΘA 18 ἐὰν AR ἂν Θ 20 ἔτι AR ἐστι Θ 21 τῶν ἀνῶν ν 25 γὰρ om. A ἐννοίασ ΘRΣ αἰτίασ A 30 λέγεται τὸν — χν̄ ΘFcyr τὸν — χν̄ λέγεται AR τὸν χν̄ f 32 ζωοποιόσ ΘΛΣFcyr ζωὴ ὁποίοσ, in ὁμοίωσ corr., R ζωὴ ζωοποιόσ A 36 κυρίλλου ἀναθεματισμόσ η̄ [ὄγδοοσ A] AR 37 συνπροσκυνεῖσθαι f θῶ ΘΛΣ θῶ λόγω AR 38 συνχρηματίζειν fR θν̄ ARΛΣ θῶ Θ ἐν ἑτέρω A

προσκυνήσει τιμᾶι τὸν Ἐμμανουὴλ καὶ μίαν αὐτῶι τὴν δοξολογίαν ἀνάπτει, καθὸ γέγονεν σὰρξ ὁ λόγος, ἀνάθεμα ἔστω.

Μέμψις αἱρετικῶν

63 Τὸ συμπροσκυνεῖσθαι καὶ συνδοξάζεσθαι ὡς περὶ προσώπων ἢ ὑποστάσεων ἢ υἱῶν δύο οὐ λέγομεν, ὡς τῆι σαρκὶ ἑτέρως τῆς προσκυνήσεως γινομένης καὶ τῶι θεῶι λόγωι
P 316 ἑτέρως· ἀλλὰ μᾶλλον μίαν προσκύνησιν καὶ τὰ λοιπὰ ὡς ἑνὶ υἱῶι προσφέρομεν, καὶ τὸ
Cyrill. hom. pasch. 17 p. 226 Aub. σύν πρόσκειται, ὡς καὶ αὐτὸς ἐν τῶι πρώτωι τόμωι λέγει· καίτοι γὰρ ἀεὶ συνεδρεύων ὡς λόγος τῶι ἰδίωι πατρὶ καὶ ἐξ αὐτοῦ τε καὶ ἐν αὐτῶι κατὰ φύσιν ὑπάρχων, πάλιν ἤκουε
Ps. 109, 1 λέγοντος καὶ μετὰ σαρκός· κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. οὕτω καὶ προσκυνεῖσθαι φαμὲν αὐτὸν πρός τε ἡμῶν αὐτῶν καὶ τῶν ἁγίων ἀγγέλων. πρὸς οὖν ταῦτα φαμὲν ὡς πάνυ ἐπιστημονικῶς ἐπέσκηψε τοῖς σὺν τῆι σαρκὶ προσκυνεῖν τῶι ἑνὶ καὶ τῶι αὐτῶι υἱῶι βουλομένοις, ὡς ἑτέρου τινὸς ὄντος παρὰ τὸ σύν τοῦ μετά, ὅπερ αὐτὸς ἔθηκεν, ὡς προείρηται, λέγων αὐτὸν μετὰ σαρκὸς δεῖν προσκυνεῖσθαι, ἀπαγορεύων δὲ συμπροσκυνεῖσθαι τῆι θεότητι τὴν σάρκα.

Ἀπολογία ὀρθοδόξου

64 Νουνεχεστάτους ἡμᾶς ὁ θεσπέσιος Παῦλος ἀποφαίνει, λέγων ἑαυτοὺς δοκιμάζετε
2 Cor. 13, 5 PG 349 εἰ ἐστὲ ἐν τῆι πίστει. νοῦς μὲν γὰρ ὁ ἀνθρώπινος ὑπὸ φιλαυτίας ἔσθ' ὅτε κἂν εἰ ἔξω φέροιτο τῆς εὐθείας ὁδοῦ καὶ τῶν τῆς ἀληθείας δογμάτων ἀποφοιτῶσαν ἔχοι τὴν κίνησιν, τῶν ἰδίων ἐννοιῶν καθορίζειν τὸ ἀπηχὲς οἰκεῖ πως ἀεὶ καὶ δέδιεν· ἑαυτόν γε μὴν ἐπανορθώσεται καὶ μάλα ῥαιδίως, τοὺς τῶν ἁγίων πατέρων πολυπραγμονήσας πόνους, οἳ καὶ ἐπ' ὀρθότητί τε καὶ ἀκριβείαι δογμάτων διαβόητον ἔχουσιν παρὰ πάντων τὴν εὐφημίαν. τότε τὴν οἰκείαν εὐτεχνῶς δοκιμάσει πίστιν· σκοπὸς γὰρ ἅπασι τοῖς ἀρτίοις τὴν φρένα ταῖς ἐκείνων ἔπεσθαι δόξαις, ὅτι καὶ αὐτοὶ τῆς τε ἀποστολικῆς καὶ εὐαγγελικῆς παραδόσεως τὸν οἰκεῖον ἐμπλήσαντες νοῦν καὶ τὸν ἐπὶ τῆι πίστει λόγον ὀρθῶς τε καὶ ἀμωμήτως ἐκ
Phil. 2, 15. 16 τῶν ἱερῶν γραμμάτων εὖ μάλα κατωρθωκότες φωστῆρες ἦσαν ἐν κόσμωι, λόγον
P 318 ζωῆς ἐπέχοντες κατὰ τὸ γεγραμμένον. γράφει τοίνυν ὁ τῆς ἀοιδίμου μνήμης πατὴρ ἡμῶν ἐπίσκοπος Ἀθανάσιος περὶ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ

Lietzmann, Apollinaris p. 250, 6-251, 6 **65** Ὁμολογοῦμεν καὶ εἶναι αὐτὸν υἱὸν τοῦ θεοῦ καὶ θεὸν κατὰ πνεῦμα, υἱὸν ἀνθρώπου κατὰ σάρκα, οὐ δύο φύσεις τὸν ἕνα υἱόν, μίαν προσκυνητὴν καὶ μίαν ἀπροσκύνητον, ἀλλὰ μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην καὶ προσκυνουμένην μετὰ τῆς σαρκὸς αὐτοῦ μιᾶι προσκυνήσει· οὐδὲ δύο υἱούς, ἄλλον μὲν υἱὸν θεοῦ ἀληθινὸν καὶ προσκυνούμενον, ἄλλον δὲ ἐκ Μαρίας ἄνθρωπον μὴ προσκυνούμενον, κατὰ χάριν υἱὸν θεοῦ γενόμενον, ὡς καὶ ἄνθρωποι.

l.c. p. 251, 12-15 **66** Καὶ μεθ' ἕτερα πάλιν· Ὁ τοίνυν γεννηθεὶς ἐκ τῆς παρθένου Μαρίας, υἱὸς θεοῦ φύσει καὶ θεὸς ἀληθινός, καὶ οὐ χάριτι καὶ μετουσίαι κατὰ σάρκα μόνον τὴν ἐκ Μαρίας ἄνθρωπος, κατὰ δὲ πνεῦμα αὐτὸς υἱὸς θεοῦ καὶ θεός.

Θ [= fv], ARΛΣ

1 τιμᾶ τὸν ἐμμανουὴλ fR^{corr}ΛΣ τιμᾶν τὸν ἐμμανουὴλ vR τὸν ἐμμανουὴλ τιμᾶν A ὁμολογίαν Σ προσάπτει v 3 ἀντίρρησισ [ἡ ἀντίρρησισ A^{corr}] τῶν ἀνατολικῶν AR ἢ R^{mg} αἱρετικοῦ Σ 4 συνπροσκυνεῖσθαι fR ἢ^{1} om. Θ 5 οὐ om. A 6 ἑνὶ ΘA^{corr}Σ ἐν AR 7 σὺν πρόσκειται ΘΣ συνπροσκυνεῖται R συμπροσκυνεῖται A λέγει ἐν τῶ πρώτω τόμω A S τε om. AR 14 συνπροσκυνεῖσθαι f τὴν θεότητα f 15 κυρίλλου A κυρίλλου ἢ R 17 ὁ om. R 18 ἔχει R 20 ἐπανορθώσασ τέ A 22 δοκιμάσει ΘR^{corr} δοκιμάσειε A δοκιμάσισ R 25 κατορθωκότεσ ΘR 27 ἡμῶν^{1} fΛΣ ἡμῶν καὶ vAR χῦ ΘΛΣ χῦ ἐν τοῖσ περὶ τῆσ σαρκώσεωσ AR 30 λόγου ΘΛΣ θῦ λόγου AR 35 μόνον Θ μόνην AR

67 Καὶ πάλιν· Εἰ δέ τις παρὰ ταῦτα ἐκ τῶν θείων γραφῶν διδάσκει, ἕτερον λέγων υἱὸν l. c. p. 253, τοῦ θεοῦ καὶ ἕτερον τὸν ἐκ Μαρίας, κατὰ χάριν υἱοποιηθέντα ὡς ἡμεῖς, ὡς εἶναι δύο υἱούς, 3-14 ἕνα κατὰ φύσιν υἱὸν τοῦ θεοῦ τὸν ἐκ θεοῦ καὶ ἕνα κατὰ χάριν τὸν ἐκ Μαρίας ἄνθρωπον, ἢ εἴ τις τὴν τοῦ κυρίου ἡμῶν σάρκα ἄνωθεν λέγει καὶ μὴ ἐκ τῆς παρθένου Μαρίας, ἢ τραπεῖσαν τὴν θεότητα εἰς σάρκα ἢ συγχυθεῖσαν ἢ ἀλλοιωθεῖσαν ἢ παθητὴν τὴν τοῦ κυρίου θεότητα, ἢ ἀπροσκύνητον τὴν τοῦ κυρίου ἡμῶν σάρκα ὡς ἀνθρώπου καὶ μὴ προσκυνητὴν ὡς κυρίου καὶ θεοῦ σάρκα, τοῦτον ἀναθεματίζει ἡ ἁγία καὶ καθολικὴ ἐκκλησία, πειθομένη τῶι θείωι ἀποστόλωι λέγοντι· εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. Gal. 1, 9

68 Ταῦτα φρονοῦντος καὶ γεγραφότος ἡμῖν τοῦ ἀνδρός, ὁ τῆι Χριστοῦ δόξηι πολεμεῖν P 320 ἡιρημένος καὶ ἀπύλωτον ἐπ' αὐτῶι τὴν γλῶσσαν ἀνεὶς Νεστόριος οὕτω που πάλιν φησίν

Ὁμολογῶμεν τὸν ἐν ἀνθρώπωι θεόν· σέβωμεν τὸν τῆι θείαι συναφείαι τῶι θεῶι λόγωι συμπροσκυνούμενον ἄνθρωπον. Loofs, Nestoriana p. 249, 2-4

69 Ἆρ' οὐκ ἐναργῶς θεοφόρον ἄνθρωπον ὀνομάζει Χριστὸν καὶ συνάφειαν ἁπλῶς ἀνθρώπου φησὶ γενέσθαι πρὸς θεὸν κατ' ἐκεῖνο τάχα που τὸ διὰ τῆς τοῦ Παύλου φωνῆς PG 352 ὁ κολλώμενος τῶι κυρίωι ἓν πνεῦμά ἐστιν; καίτοι πῶς οὐκ ἀληθὲς ὅτι μᾶλλον 1 Cor. 6, 17 ἦν ὁ αὐτὸς θεός τε ὁμοῦ καὶ ἄνθρωπος, καὶ οὐκ ἄνθρωπός τις ἀνὰ μέρος τε καὶ ἰδικῶς νοούμενος καὶ σχετικὴν ἔχων συνάφειαν πρὸς θεόν; μετὰ γάρτοι τὴν ἄφραστον ἕνωσιν κἂν εἴ τις λέγοι θεὸν τὸν Ἐμμανουήλ, ἐνανθρωπήσαντα καὶ σεσαρκωμένον τὸν τοῦ θεοῦ λόγον νοεῖσθαι πρέπει, κἂν ἄνθρωπον ὀνομάσηι, ἀλλ' οἶδαμεν μετὰ τούτου καὶ λόγον ὄντα αὐτὸν τοῦ πατρός. ἔστι τοίνυν ἕτερον τὸ ἕνα λέγειν υἱὸν μετὰ τῆς ἑνωθείσης αὐτῶι σαρκὸς τὸν ἐκ θεοῦ πατρὸς λόγον καὶ ὁμοίως ἕτερον τὸ ἐν ἀνθρώπωι λέγειν εἶναι θεὸν καθάπερ ἀμέλει καὶ ἐν προφήταις ἦν ἢ γοῦν καὶ ἐν ἡμῖν αὐτοῖς διὰ τοῦ ἁγίου πνεύματος.

70 ἀκινδύνως δὲ καὶ ἀλήπτως, ὥς γε οἶμαι, φαίη τις ἂν ὅτι ὁ σαρκωθεὶς τοῦ θεοῦ λόγος, ὡς εἷς ὑπάρχων υἱός, οὐχὶ δίχα τῆς ἑαυτοῦ σαρκός, μετ' αὐτῆς δὲ μᾶλλόν ἐστιν προσκυνητός, καθάπερ ἀμέλει καὶ ἡ τοῦ ἀνθρώπου ψυχὴ μετὰ τοῦ ἰδίου τιμᾶται σώματος κλήσει τε μιᾶι τὸ ἐξ ἀμφοῖν ὡς ἓν σημαίνεται ζῶιον. ὅταν τοίνυν περὶ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ τοὺς λόγους ποιεῖσθαι προθυμούμενος διέληις εἰς δύο τὸν ἕνα καὶ ἄνθρωπον ἰδικῶς καὶ ἀνὰ μέρος νοούμενον ἀποφήνηις, εἶτα τοῦτον συμπροσκυνεῖσθαι δεῖν καὶ συγχρηματίζειν θεὸν ὡς ἑτέρωι παρ' αὐτὸν ὑπάρχοντι Χριστῶι τῶι ἐκ θεοῦ κατὰ φύσιν υἱῶι τολμήσηις εἰπεῖν, τίς ὁ καρτερῆσαι δυνάμενος καὶ τὴν οὕτω προφανῆ κατ' αὐτοῦ γλωσσαλγίαν σιωπῆι παρατρέχων; ἔδει γὰρ μᾶλλον εἰπεῖν· σέβωμεν τὸν τοῦ θεοῦ λόγον γενόμενον ἄνθρωπον καὶ χρηματίζοντα θεὸν καὶ ἐν ἀνθρωπότητι προσκυνούμενον, ὅτι καὶ φύσει θεός ἐστιν καὶ ἐκ θεοῦ πέφηνε πατρός. P 322

12. 13 cf. Cyr. adu. Nest. 2, 14 Exc. Eph. X

Θ [= fv], ARΛΣ

5 συνχυθεῖσαν R 6/7 ὡς ἀνθρώπου — σάρκα om. v 6 ὡσ ἀνθρώπου ΑΛΣ ὡσ ἀνον R om. f 7 καὶ² om. RΣ καθολικὴ] ἀποστολικὴ Σ 10 μῖν Θ, corr. v 12 ὁμολογῶμεν fΛΣ ὁμολογῶ μὲν AR ὁμολογοῦμεν v σέβωμεν ΘΛΣ σέβω δὲ AR τῶ θω̄ λόγω ARΛΣ τῶ τοῦ θῡ λόγω Θ τῶι παντοκράτορι θεῶι Cyrill. adu. Nest. 2, 14 Exc. Eph. X 13 συνπροσκυνούμενον R 15 δή που v τοῦ ΘΑΛΣ τοῦ ἀποστόλου R 16 ἓν vARΛΣ φησι ἓν f 19 λέγοι ARΛΣ λέγοιτο Θ 20 ὀνομάσει Θ, corr. v οἶδα v τοῦτο v 22—25 τὸν ἐκ θεοῦ — σαρκός om. v 24 γε AR τε f 25 οὐχὶ ARΛΣ καὶ οὐ f μετ' αὐτῆσ ΘΛΣ μετὰ ταύτησ AR 27 τε ΘΛ δὲ ARΣ 29 συνπροσκυνεῖσθαι fR, corr. R 30 συνχρηματίζειν fR 31 τολμησεισ f 32 σέβωμεν fΛΣ σέβω μὲν AR σέβομεν v 34 πρσ̄ fmg vARΛΣ σαρκοσ f

71 Ἀλλὰ γὰρ ναί, φασὶν οἱ δι' ἐναντίας, ἀλώσηι που καὶ αὐτὸς ἐν ἐπιστολῆι γεγραφὼς
p. 48, 7 ὅτι συνήδρευσεν ὁ υἱὸς τῶι πατρὶ μετὰ τῆς ἰδίας σαρκός· εἶτα πῶς ἐπιλαμβάνηι τοῦ
λέγοντος ὅτι χρὴ συμπροσκυνεῖσθαι τὸν ἄνθρωπον τῶι θεῶι λόγωι καὶ συγχρηματίζειν θεόν;
72 ταυτὸν γάρ ἐστιν εἰπεῖν καὶ τὸ σύν καὶ τὸ μετά. οὐκοῦν ἠγνοηκότας ἐλέγχωμεν τῶν
εἰρημένων τὴν δύναμιν καὶ τῆι τῶν πραγμάτων οὐκ ἐνορῶντας φύσει. ὅταν μὲν γὰρ
ἐφ' ἑνὸς προσώπου καὶ φύσεως ἢ γοῦν ὑποστάσεως μιᾶς βασανίζων ὁ λόγος τὰ ἐξ ὧν
ἐστιν ἤτοι σύγκειται φυσικῶς, ἐπιφέρηι τὸ σύν ἤτοι τὸ μετά, τετήρηκε τῶι σημαινομένωι
καὶ οὕτω τὸ ἓν εἶναι κατὰ σύνθεσιν καὶ οὐκ εἰς δύο διηιρημένως διοριεῖ· ὅταν δὲ προ-
διηιρημένων ὑποστάσεων εἰς δύο, καὶ πρός γε τὸ δεῖν ἀνὰ μέρος ἑκατέραν νοεῖσθαι καὶ
P 324 ἰδικῶς τὸ σύν ἢ γοῦν τὸ μετά λέγηται, τότε δυοῖν ἢ καὶ ἔτι πλειόνων αὐτὸ καὶ οὐχ ἑνὸς
κατὰ σύνθεσιν ποιεῖσθαι φαμὲν τὴν δήλωσιν. οἷον εἰ λέγοιμι τυχὸν συντιμᾶσθαι τῶι
PG 353 ἰδίωι σώματι τὴν τοῦ ἀνθρώπου ψυχήν, εἴ τις γένοιτο παρά του τιμὴ περὶ τὸν ἕνα ἄνθρω-
πον, ὅς ἐστιν ἐξ ἀμφοῖν, ἢ γοῦν εἴ τις λέγοι τὴν ψυχὴν ἓν εἶναι ζῶιον μετὰ τοῦ ἰδίου
σώματος, οὐχὶ πάντως εἰς ἀνθρώπους δύο διοριεῖ τὸν ἕνα, φαίνεται δὲ μᾶλλον οὐκ ἠγνοη-
κὼς τὰ ἐξ ὧν ἐστιν ἤτοι σύγκειται φυσικῶς. ὅταν δὲ εἴπω· Πέτρος τε καὶ Ἰωάννης
συγχρηματίζουσιν ἄνθρωποι ἢ γοῦν ὅτι μετὰ Πέτρου καὶ Ἰωάννης ἀνέβαινεν εἰς τὸ ἱερόν,
οὐκέτι τὸ σύν ἢ γοῦν τὸ μετὰ τὴν ἑνός τινος ποιεῖται δήλωσιν. οὐ γὰρ συντέθειται
Πέτρος Ἰωάννηι, ἀλλ' οὐδὲ εἰς ἑνὸς ἀνθρώπου σύστασιν τελοῦσιν ἀμφότεροι. τί τοίνυν
73 σοφίζονται τὴν ἀλήθειαν, διαιροῦντες ἀμαθῶς εἰς δύο Χριστοὺς τὸν ἕνα; εἰ δὲ νομί-
ζουσιν ὅτι συνεδρεύειν λέγοντες τῶι πατρὶ τὸν υἱὸν μετὰ τοῦ ἰδίου σώματος δύο νοεῖσθαι
δεδώκαμεν υἱούς, ἐρευνάτωσαν εἰ μὴ ἕνα λέγοντες υἱὸν μιᾶι συνεδρεύσει τετιμῆσθαι φαμὲν
καὶ οὐ δυσὶ μᾶλλον, ὡς μίαν μὲν καὶ ἰδικὴν ἐκνενεμῆσθαι τῶι σώματι, ἑτέραν δὲ πάλιν καὶ
ἰδικὴν τῶι λόγωι. ἀλλ' οὐκ ἂν ἔχοιεν ἐπιδεῖξαι τοῦτο· πῶς γὰρ ἢ πόθεν; ἕνα γὰρ ὄντα
μετὰ τῆς ἰδίας σαρκὸς τὸν υἱὸν θεόν τε ὁμοῦ καὶ ἄνθρωπον τὸν αὐτὸν μιᾶι συνεδρεύσει
τῆι πρὸς τὸν πατέρα διαπρέπειν διαβεβαιούμεθα. τό γε μὴν συμπροσκυνεῖσθαι λέγειν
ἄνθρωπον θεῶι καὶ συγχρηματίζειν θεὸν δύο που πάντως ὁμολογεῖν ἐστιν τοὺς προσκυ-
P 326 νουμένους ἢ καὶ ἀλλήλοις συγχρηματίζοντας. εὐήθης δὲ λίαν καὶ τῶν εἰς ὀρθότητα καὶ
ἀλήθειαν ἐννοιῶν ἀλλότριος παντελῶς ὁ τοιόσδε λόγος. γέγονε τοίνυν ὁ ἀναθεματισμὸς
κατὰ τῶν ὁλοτρόπως διοριζόντων τὸν Ἐμμανουὴλ εἰς ἄνθρωπον ἰδικῶς καὶ θεὸν λόγον
ἰδικῶς· ἕνα γὰρ ἡμῖν αὐτὸν ὁ τῶν θεηγόρων ἐκήρυξεν λόγος καὶ τῶν ἱερῶν γραμμάτων ἡ
ἀκιβδήλευτος γνῶσις.

Ἀναθεματισμὸς θ̄

74 Εἴ τίς φησιν τὸν ἕνα κύριον Ἰησοῦν Χριστὸν δεδοξάσθαι παρὰ τοῦ πνεύματος, ὡς
ἀλλοτρίαι δυνάμει τῆι δι' αὐτοῦ χρώμενον καὶ παρ' αὐτοῦ λαβόντα τὸ ἐνεργεῖν δύνασθαι
κατὰ πνευμάτων ἀκαθάρτων καὶ τὸ πληροῦν εἰς ἀνθρώπους τὰς θεοσημείας, καὶ οὐχὶ δὴ
μᾶλλον ἴδιον αὐτοῦ τὸ πνεῦμά φησι, δι' οὗ καὶ ἐνήργηκε τὰς θεοσημείας, ἀνάθεμα ἔστω.

Θ [= fv], ARΛΣ

1 ἀλώση ΑΛΣ ἀλώσει R ἀλλ' ὡσ εἴ [εἰ v] Θ 2 ἐπιλαμβάνει fR, corr. R 3 συνπροσκυ-
νῆσθαι f συνχρηματίζειν f θῡ ARcorrΛΣ θῶ ΘR 4 ἐλέγχομεν A 6 ὑφ v 7 ἤτου A
εἴτουν Acorr ἐπιφέρει ΘR, corr. R 8 διορισμένωσ v 9 γε AR τε Θ δεῖν AR ἓν Θ
ἑκάτερον AR 10 ἔτι Θ ἐπὶ AR 12 ἢ τίσ A ἤ τισ R, corr. R παρά του ΑΣ παρ' αὐτοῦ R
παρὰ τοῦτο Θ 15 σύγκειται Θ συντέθειται AR τε om. R 16 συνχρηματίζουσιν fR
17 συντέθηται fR, corr. R 20 λέγοντεσ ὅτι v 22 πάλιν] μᾶλλον v 25 συνπροσκυνεῖσθαι f
26 θῡ R συνχρηματίζειν f 27 συνχρηματίζοντασ fR 31 ἀκίβδηλοσ A 32 κυρίλλου
ἀναθεματισμὸσ θ̄ [ἕνατοσ A] AR 33 δοξάζεσθαι A 34 δι' αὐτοῦ ΘRcorr αὐτοῦ ARΛΣ 35. 36 θεο-
σημίασ A

Μέμψις αἱρετικῶν

75 Αὖθις καλὸν τὰ πάλαι αὐτῶι εἰρημένα εἰς μέσον ἀγαγεῖν καὶ ἴσως ἐπιλελησμένον τῶν αὐτοῦ αὐτὸν ὑπομνῆσαι· οὐ γὰρ μόνον τὸν κύριον τὰ σημεῖα ἐν πνεύματι ποιεῖν ἀπεφήνατο, ἀλλὰ δὴ καὶ αὐτὸν τεθνεῶτα ζωοποιηθῆναι πνεύματι, ἐν οἷς φησιν ἐν τῶι πρώτωι τόμωι

Εἰ τοίνυν οὐ πέπονθεν τὸ τεθνάναι σαρκικῶς κατὰ τὰς γραφάς, οὐδὲ ἐζωοποιήθη πνεύματι. V 1, 25 1 Petr. 3, 18

Σκοπεῖν δὲ δεῖ τὴν αὐτοῦ πρὸς ἑαυτὸν ἐναντιότητα, ἐν μὲν τοῖς ἀναθεματισμοῖς αὐτοῦ ἀπαγορεύσαντος τὸν κύριον ἐν πνεύματι θεοῦ δαίμονας ἐκβάλλειν καὶ τὰ ἄλλα σημεῖα ποιεῖν καὶ τὴν ἐν τοῖς εὐαγγελίοις κειμένην ἔγγραφον τοῦ κυρίου φωνὴν ἀθετοῦντος, εἰ- 10 PG 356
πόντος εἰ δὲ ἐν πνεύματι θεοῦ ἐγὼ ἐκβάλλω τὰ δαιμόνια. ἀλλ' ἡμεῖς τὸν Mt. 12, 28
κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ τῆι οἰκείαι δυνάμει καὶ τῆι τοῦ πνεύματος ἐνεργείαι ἐπι- P 328
τελέσαι τὰ σημεῖα ὁμολογοῦμεν· οὐ γὰρ ὡς οὐκ ἔχοντα ἰδίαν δύναμιν χρᾶσθαι τῆι δυνάμει τοῦ ἁγίου πνεύματος. μὴ συνεῖναι δὲ τὸ πνεῦμα τὸ ἅγιον ἀρνουμένων ἐστίν, ὡς οἶμαι, τὰς θείας γραφάς. κἂν γάρ που ἡ θεία γραφὴ λέγηι τὸν πατέρα ἐπιτελεῖν τὰ ἔργα τῶν 15
θαυμάτων, δι' ὧν φησιν ὁ πατὴρ ὁ μένων ἐν ἐμοί, αὐτὸς ποιεῖ τὰ ἔργα ἃ ἐγὼ Ioh. 14, 10. 12
ποιῶ, ὁ υἱός ἐστιν ὁ ποιῶν· πάντα γὰρ τὰ τοῦ πατρὸς τοῦ υἱοῦ· κἂν τὸ πνεῦμα λέγηι ποιεῖν, δι' ὧν φησιν εἰ δὲ ἐγὼ ἐν πνεύματι θεοῦ ἐκβάλλω τὰ δαιμόνια, ὁ κύ- Mt. 12, 28
ριός ἐστιν ὁ ποιῶν ἐν πνεύματι. οὐδὲ γὰρ ἠλλοτρίωται ὁ υἱὸς τοῦ πατρὸς ἢ τοῦ πνεύματος οὐδὲ κεχωρισμέναι καὶ ἰδιάζουσαί που αἱ τῆς τριάδος ἐνέργειαι, ἀλλ' οἰκεία τῆς 20
τριάδος ἡ ἑκάστης ὑποστάσεως ἐν τῆι γραφῆι λεγομένη ἐνέργεια, ὥς που καὶ πᾶσαν τὴν κτίσιν ποτὲ μὲν λέγει ἡ γραφὴ τοῦ υἱοῦ ἔργον, λέγουσα τῶι λόγωι κυρίου οἱ οὐ- Ps. 32, 6
ρανοὶ ἐστερεώθησαν, ποτὲ δὲ τοῦ πνεύματος, δι' ὧν ἐπάγει καὶ τῶι πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν. ἀλλ' οὐχ ὡς ἀδυνατοῦντος τοῦ πατρὸς τὰ πάντα ποιῆσαι δημιουργεῖ καὶ ὁ υἱός, οὐδ' αὖ πάλιν ὡς ἀσθενοῦντος τοῦ υἱοῦ 25
εἰς τὴν δημιουργίαν συμπαραλαμβάνεται τὸ πνεῦμα (ἀληθὲς γὰρ τὸ πάντα δι' αὐτοῦ Ioh. 1, 3
ἐγένετο)· ἀλλ' ἵνα τὸ τῆς τριάδος ὁμοούσιον καὶ ὁμότιμον καὶ ὁμοδύναμον ἡμῖν παραστήσηι, λέγει τὰ αὐτὰ ποτὲ μὲν ὑπὸ τοῦ πατρός, ποτὲ δὲ ὑπὸ τοῦ υἱοῦ, ποτὲ δὲ ὑπὸ τοῦ ἁγίου πνεύματος γεγενῆσθαι· οὕτω γὰρ καὶ μιᾶς τινος οὐσίας [θείας] ἠρτῆσθαι πάντα νοοῦμεν. ὡς γὰρ λόγος ἐνούσιος ἐνυπόστατος ὁ μονογενὴς ἐξ αὐτῆς ἀπαθῶς ἐγεννήθη, 30
καὶ τὸ πνεῦμα δὲ καὶ αὐτὸ ἐξ αὐτῆς ἐκπορευόμενον ἐν ἰδίαι ὑποστάσει τυγχάνει, ὡς τὴν μίαν οὐσίαν ἐν τρισὶν ὑποστάσεσιν χαρακτηρίζεσθαι καὶ μηδ' ἑτέραν αὐτῶν τῶι τῆς οὐσίας λόγωι ἠλλοτριωμένην θεωρεῖσθαι, μόναις δὲ ἰδιότησιν χαρακτηριστικαῖς εἴτ' οὖν διοριστικαῖς ἀλλήλων νοεῖσθαι. πῶς οὖν ἰδιάζουσα ἐνέργεια ὧν μία καὶ ἡ οὐσία καὶ ἡ δύναμις καὶ ἡ βούλησις; ὧν γὰρ ταῦτα κοινά, μία πάντως καὶ ἐνέργεια. 35

Ἀπολογία ὀρθοδόξου P 330

76 Ἆρα μοι μαρτύρων δεήσει φωνῆς πρὸς τὸ ἀποφῆναι τοὺς δι' ἐναντίας εἰκαιολογεῖν ἐθέλοντας καὶ ταῖς καθ' ἡμῶν δυσφημίαις ἀπερισκέπτως χρωμένους; ἀλλ' οἶμαι τουτὶ

Θ [= 1v], ARΛΣ

1 ἀντίρρησισ τῶν ἀνατολικῶν AR θ̄ R^{mg} αἱρετικοῦ Σ 4 ἀλλ' ἤδη v αὐτὸν ΘΛΣ αὐτὸν τὸν AR 5 τόκω f 8 αὐτοῦ ΑΣ ἑαυτοῦ ΘR μὲν] malim deesse 9 δαίμονα v 10/11 εἰπόντοσ ARΛΣ om. Θ 12 χν̄ Θ τὸν χν̄ AR 13 οὐ γὰρ] οὐχ' v ἰδίαν AR οἰκείαν Θ 17 γὰρ τὰ ΘΛΣ τὰ ἔργα AR τοῦ υἱοῦ κἂν ΘΛΣ κἂν τὰ τοῦ υἱοῦ AR 24 αὐτοῦ v 26 συνπεραλαμβάνεται fR 29 οὐσίας ΛΣ οὐσίασ θείασ AR θείασ οὐσίασ Θ τὰ πάντα v ἐγεννήθη ἀπαθῶσ R 33 εἴτ' οὖν διοριστικαῖσ ΑΛΣ εἴτ' οὖν [ἤτουν f] ἰδιωτικαῖσ Θ om. R 34 ἡ ἐνέργεια v 35 ἡ ἐνέργεια v 36 ὀρθοδόξου] κυρίλλου A κυρίλλοῦ θ̄ R 37 δεήση v

καὶ μόνος ὁ παρ' αὐτῶν διαδείξει λόγος. ἐν μὲν γὰρ τῶι προκειμένωι ἀναθεματισμῶι διισχυρισάμεθα σαφῶς ἴδιον εἶναι τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον καὶ μὴν ὅτι δι' αὐτοῦ τετέλεκε τὰς θεοσημείας· οἳ δέ, καίτοι πλειστάκις ἐπιλήσμονά με τῶν ἐμαυτοῦ λόγων γε-
PG 357 νέσθαι διισχυριζόμενοι, προήκουσιν εἰς τοῦτο νωθείας αὐτοὶ καὶ μὴν καὶ ἀβελτηρίας, ὡς οἴεσθαί με λέγειν οὐ διὰ τοῦ πνεύματος ἐκβάλλειν τὸν Ἰησοῦν τὰ δαιμόνια. ἆρ' οὐκ ἐναργὴς συκοφαντία τοῦτό γε; εἰ μὲν γὰρ οὐκ ἀξιοῦσιν ὁμολογεῖν θεοσημείας εἶναι τρόπον τὸ ἐκβάλλεσθαι τὰ δαιμόνια, λεγόντων ἃ βούλονται, ποιείσθωσαν κατ' ἐμοῦ τὸ χρῆμα γραφήν, ἐγκαλείτωσαν ὅτι μὴ τοῦτο ἔφην ἐναργῶς, σιωπήσας τὰς θεοσημείας· εἰ δὲ ὁμοῦ τοῖς ἄλλοις καὶ τὸ ἐκβάλλεσθαι τὰ δαιμόνια τρόπος ἂν εἴη καὶ οὐκ ἀθαύμαστος τῆς θεοσημείας, τί δή ποτε μεθέντες ὡς ἀκερδὲς τὸ ἑλέσθαι μᾶλλον εὐστομεῖν καὶ τὸ χρῆναι λαλεῖν τὴν ἀλήθειαν ὡς ἔωλον παραιτούμενοι, τὸ τῆς καθ' ἡμῶν ἀθυροστομίας τετιμήκασι χρῆμα καὶ οὐκ ἐν μικρῶι πεποίηνται λόγωι τὸ οὕτω κατεψεγμένον παρά τε θεῶι καὶ ἀνθρώποις;
Mt. 7, 4. 5 ἐπιλελῆσθαι δέ μοι δοκοῦσιν λέγοντος τοῦ Χριστοῦ πῶς ἐρεῖς τῶι ἀδελφῶι σου· ἀδελφέ, ἄφες ἐκβάλω τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ ἰδοὺ ἡ δοκὸς
P 332 ἐν τῶι σῶι ὀφθαλμῶι; ὑποκριτά, ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ σοῦ ὀφθαλμοῦ, καὶ τότε περιβλέψεις ἐκβαλεῖν τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ τοῦ ἀδελφοῦ σου.

77 Ὅτι μὲν οὖν ὁμοούσιός τέ ἐστιν ἡ ἁγία τριὰς ἰσοσθενής τε καὶ ἰσουργός, οὐ διά γε τοῦ παρ' ὑμῶν ἐγνώκαμεν λόγου, πεπληροφορήμεθα δὲ μᾶλλον ἐκ τῆς θεοπνεύστου γραφῆς· ὅτι δὲ κατ' οὐδένα τρόπον τοῖς τῆς ὀρθῆς πίστεως διαλυμανεῖται λόγοις, ὀνίνησι δὲ μᾶλλον ὁ προκείμενος ἀναθεματισμός, ἀταλαίπωρον ἰδεῖν. τοὺς γάρτοι διαιροῦντας τὸν ἕνα κύριον Ἰησοῦν Χριστὸν μερίζοντάς τε αὐτόν, ὡς ἤδη πλειστάκις εἰρήκαμεν, εἰς ἄνθρωπον ἰδικῶς καὶ εἰς θεὸν λόγον ἰδικῶς, ὡς δύο νοεῖσθαι πρόσωπά τε καὶ ὑποστάσεις διεσχοινισμένας ἀλλήλων, τοῦτο δρᾶν οὐκ ἐᾶι οὔτε μὴν ἐφίησι λέγειν ὡς ἕνα κοινὸν ἄνθρωπον ἐνηργῆσθαι παρὰ τοῦ πνεύματος τὸν Ἰησοῦν πρός γε τὸ δύνασθαι κατορθοῦν τὰς θεοσημείας· ἐπεὶ κατ' οὐδένα διοίσει τρόπον τῶν ἁγίων ἀποστόλων ἢ γοῦν προφητῶν, οἳ διὰ
1 Cor. 15, 10 τῆς ἄνωθεν ἡμερότητος τῶν θείων χαρισμάτων ἀναπιμπλάμενοι φαίεν ἂν εἰκότως· χάριτι
78 θεοῦ ἐσμὲν ὃ ἐσμέν. ἀλλὰ τοῖς μὲν ἁγίοις ἀνδράσιν, οἷς ἡ τῶν παρὰ θεοῦ χαρισμάτων ἐμπρέπει διανομή, ἁρμόσειεν ἂν εἰκότως ἡ τοιάδε φωνή, Χριστῶι δὲ οὐκέτι. ἴδιον γὰρ αὐτοῦ τὸ πνεῦμά ἐστι τὸ ἅγιον, καθάπερ ἀμέλει καὶ τοῦ θεοῦ καὶ πατρός· ἐνεργεῖ δὲ ὥσπερ ὁ πατὴρ διὰ τοῦ πνεύματος, οὕτως καὶ αὐτός. καὶ γοῦν, καίτοι λέγων Ἰουδαίοις
Ioh. 10, 32. πολλὰ καλὰ ἔργα ἔδειξα ὑμῖν παρὰ τοῦ πατρός μου, καὶ ἀπ' ἐμαυτοῦ οὐ
14, 10 P 334 λαλῶ, ὁ δὲ πατὴρ ἐν ἐμοὶ μένων ποιεῖ τὰ ἔργα αὐτός, ἔφη που πάλιν· εἰ δὲ
Mt. 12, 28 ἐγὼ ἐν πνεύματι θεοῦ ἐκβάλλω τὰ δαιμόνια, τὴν διὰ τοῦ πνεύματος ἐνέργειαν ἀνατιθεὶς ἑαυτῶι τε καὶ τῶι πατρὶ διὰ τὴν ταυτότητα τῆς οὐσίας. καὶ πολὺς μὲν ἂν
PG 360 γένοιτο καὶ μακρὸς ὁ περὶ τούτων λόγος, δεῖ δὲ οἶμαι καιροῦ τοῦ καθήκοντος τοῖς ἐθέ-
79 λουσιν κατευρύνειν αὐτόν. οὐκοῦν οὐχ ὡς ἀλλοτρίαι δυνάμει τῆι διὰ πνεύματος ἐνηργῆσθαι φαμὲν τὸν Ἐμμανουήλ, ἀποκεχρῆσθαι δὲ μᾶλλον αὐτῆι θεικῶς καὶ ἰδίαν ἔχειν τὴν τοῦ
Act 3, 12 ὁμουσίου πνεύματος. οἱ μὲν γὰρ μακάριοι μαθηταὶ τὰ σημεῖα ποιοῦντες ἔλεγον· ἄνδρες, τί ἡμῖν προσέχετε ὡς ἰδίαι δυνάμει ἢ εὐσεβείαι πεποιηκόσι τοῦ περιπατεῖν

Θ [= fv], ARΛΣ

1 διδάξει A 3 θεοσημίασ A ut solet ἑαυτοῦ v 7 ποιείσθωσαν f ποιείσθωσαν δὲ vA ποιεῖσθωσαν [superscr. τ] δὲ R 8 ἐγκαταλείπωσαν v 8—26 εἰ δὲ ὁμοῦ — τὰς θεοσημείας om. v 10 λαβεῖν f 18 οὖν] γὰρ R ὁμοουσία fAR, corr. R 19 ὑμῖν f 20 ὀνήσει A 23 καὶ — ἰδικῶς om. R add. R^{mg} 23/24 διεσχυνισμένασ R 24 δρᾶν] ἀρ ἂν f ἐφείησι f 25 τε f 28 ἡ om. v 29 ἐμπρέπειε v ἀρκέσειεν v 30 πατρός] τοῦ πρσ̄ v 33 ὁ ἐν v μένων in ὁ μένων corr. A 34 θεοῦ om. f πνεύματος] πρσ̄ v 35 μὲν ΘΛ om. AR 37 διὰ τοῦ v 40 ὑμῖν A εὐσεβείαι] ἐξουσίαι Σ τὸ A

τὸν τῆι ὡραίαι πύληι προσιζήσαντα χωλόν; ἴδιον δὲ Χριστοῦ τὸ πνεῦμα αὐτοῦ. τοῖς γε μὴν κατασκώπτειν ἐθέλουσι τὰ παρ' ἡμῶν ἐκεῖνο φαμέν· εἰ μὲν γὰρ οὐκ ἀπάιδει ταῖς αὐτῶν διανοίαις τὸ μερίζεσθαι τὸν ἀμέριστον καὶ ὡς κοινὸν ἄνθρωπον ἐνεργεῖσθαι λέγειν διὰ τοῦ πνεύματος τὸν Ἰησοῦν, οὐ πολὺς τῶν οὕτω διακειμένων ὁ λόγος· εἰ δὲ Χριστὸν ἕνα καὶ υἱὸν καὶ κύριον ὁμολογοῦσιν ὑπάρχειν, τὸν αὐτὸν ὄντα θεόν τε ὁμοῦ καὶ ἄνθρωπον, πιστευέτωσαν μεθ' ἡμῶν ὡς οὐκ ἐνεργεῖται μᾶλλον ὡς κρείττονι παρ' αὐτὸν καὶ ἀλλοτρίαι δυνάμει τῆι διὰ τοῦ πνεύματος, ἐνεργεῖ δὲ μᾶλλον αὐτὸς τὰς θεοσημείας ὡς δι' ἰδίου πνεύματος, ἐν ὧι καὶ πᾶσα τῶν γενητῶν ἡ δύναμις· πεπαύσονται γὰρ οὕτω διαλοιδορούμενοι μάτην καὶ τοὺς τῆς βασκανίας ὀδόντας ἡμῖν ἐπιτρίζοντες.

Ἀναθεματισμὸς ῑ

10 P 336

80 Ἀρχιερέα καὶ ἀπόστολον τῆς ὁμολογίας ἡμῶν γεγενῆσθαι Χριστὸν ἡ θεία λέγει γραφή, Hebr. 3, 1
προσκεκόμικε δὲ ὑπὲρ ἡμῶν ἑαυτὸν εἰς ὀσμὴν εὐωδίας τῶι θεῶι καὶ πατρί. εἴ τις τοίνυν Eph. 5, 2
ἀρχιερέα καὶ ἀπόστολον ἡμῶν γενέσθαι φησὶν οὐκ αὐτὸν τὸν ἐκ θεοῦ λόγον, ὅτε γέγονε σὰρξ καὶ καθ' ἡμᾶς ἄνθρωπος, ἀλλ' ὡς ἕτερον παρ' αὐτὸν ἰδικῶς ἄνθρωπον ἐκ γυναικός, ἢ εἴ τις λέγει ὑπὲρ ἑαυτοῦ προσενεγκεῖν αὐτὸν τὴν προσφορὰν καὶ οὐχὶ δὴ μᾶλλον ὑπὲρ μόνων ἡμῶν (οὐ γὰρ ἂν ἐδεήθη προσφορᾶς ὁ μὴ εἰδὼς ἁμαρτίαν), ἀνάθεμα ἔστω.

Μέμψις αἱρετικῶν

81 Εἰ ἀρχιερεὺς ὁ θεὸς λόγος, τίνι θεῶι αὐτοῦ ἢ ποίωι τὰ τῆς θεραπείας προσφέρει; ἀλλ' ἐπελάθετο τοῦ μακαρίου Παύλου εἰπόντος· οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν, πεπειραμένον δὲ κατὰ πάντα [καθ' ὁμοιότητα] χωρὶς ἁμαρτίας. τίς οὖν ἐστιν ὁ πεπειραμένος; ὁ θεὸς λόγος ἢ ἡ ἀνθρωπεία φύσις, τὸ τοῦ Δαυὶδ σπέρμα; καὶ πάλιν· οὐχ ἑαυτῶι τις λαμβάνει τὴν τιμήν, ἀλλ' ὁ καλούμενος ὑπὸ τοῦ θεοῦ, καθώσπερ καὶ Ἀαρών· οὕτως καὶ ὁ Χριστὸς οὐχ ἑαυτὸν ἐδόξασεν γενέσθαι ἀρχιερέα. τίς οὖν ὁ τῶι Ἀαρὼν κατὰ τὸ τῆς ἱερωσύνης ἀξίωμα καὶ τῶι μὴ ἀφ' ἑαυτοῦ λαμβάνοντι τὴν τιμήν, ἀλλὰ καλουμένωι ὑπὸ τοῦ θεοῦ καὶ εἰς τὴν ἀξίαν τῆς ἱερωσύνης ἀναβαίνοντι συγκρινόμενος; PG 361
ἡ θεία φύσις ἡ τῶι πατρὶ συναίδιος, ἡ πάντα τὰ τοῦ πατρὸς ἴδια ἔχουσα; καὶ εἰς ποῖον ἀξίωμα μεῖζον ἑαυτῆς ἀνέβαινεν; καὶ φήσομεν τὴν ἱερωσύνην ἀξιωτέραν τῆς θείας φύσεως ὑπάρχειν, πρὸς ἣν οὐκ ἀφ' ἑαυτοῦ, ἀλλὰ καλούμενος ὑπὸ τοῦ θεοῦ κατ' αὐτὸν ἀνέβαινεν καὶ δι' αὐτῆς ἐδοξάζετο; P 338
ἢ ἡ ἐκ σπέρματος Δαυίδ, ἡ γενομένη καὶ ὁρισθεῖσα; ἢι καὶ ὤμοσεν ὁ θεὸς κατὰ τὸν ψαλμωιδὸν δώσειν εἰς τὸν αἰῶνα τὸ τῆς ἱερωσύνης· ὤμοσε γάρ φησιν, κύριος καὶ οὐ μεταμεληθήσεται· σὺ ἱερεὺς εἰς τὸν αἰῶνα Ps. 109, 4
κατὰ τὴν τάξιν Μελχισεδέκ. ἡ θεότης τοῦ μονογενοῦς ἐνωμότους ὑποσχέσεις παρὰ τοῦ θεοῦ ἐλάμβανεν λήψεσθαι τὴν ἱερωσύνην εἰς τὸν αἰῶνα καὶ παρ' αὐτῆς δοξασθήσεσθαι; καὶ τίς ἡμῶν ⟨ἂν⟩ ἀνάσχοιτο ταῦτα λεγόντων ἢ νοούντων, καὶ οὐ κατευτελίσει ἡμᾶς θεὸν εἰσά-

---

Θ [= fv], ARΛΣ

1 τὸν — χωλόν] αὐτόν v προσιζήσαντες, superscr. α f γε AR τε Θ 2 κατασκόπτειν AR, corr. R 2/3 ἑαυτῶν v 3 ἐνεργῆσθαι A 8 γενητῶν fRΣ γεννητῶν vΛΛ οὗτοι v 8 ἐπιτρίβοντεσ A 10 κυρίλλου ἀναθεματισμὸσ δέκατοσ [ῑ R] AR 11 γεγεννῆσθαι A γραφὴ λέγει R 12 προσκεκόμικε δὲ ΘΛ προσκεκομικέναι τε AR καὶ προσκεκομικέναι δὲ Σ 13 ἡμῖν v ὅτε vARΛ ὅτι f 15 λέγει καὶ Rcorr δεῖ f 17 ἀντίρρησισ τῶν ἀνατολικῶν [ἀνατολικῶν ι R] AR αἱρετικοῦ Σ 19 ἐπελάθετο ΘRcorrΛΣ ἐπελάβετο AR 21 καθ' ὁμοιότητα AR om. ΘΛΣ 22 ἡ om. R 23 ἀλλ' ὁ ΘRcorrΛΣ ἀλλὰ AR καθώσπερ AR καθάπερ Θ 24 τί v 26 τοῦ om. v 27 πάντα AR τὰ πάντα Θ καὶ εἰσ AΛ εἰσ ΘRΣ 29 κατ' αὐτὸν ARΛΣ κατὰ ταυτὸν Θ 30 ἢ ἡ ΑΛΣ ἢ R ἡ Θ 33 ἐν ὁμότουσ f ἐννομότουσ v 34 λήμψεσθαι R 35 ἂν addidi ἀνέσχοιτο R οὐ κατευτελήσει Θ οὐ κατευτελίση R οὐκ εὐτελίσει A

γοντας χειροτονούμενον ἀρχιερέα καὶ ἐνωμότους συνθήκας λαμβάνοντα καλεῖσθαί τε εἰς τὸ τῆς ἱερωσύνης ἀξίωμα καὶ οὐχ ἑαυτῶι λαμβάνοντα τὴν τιμήν, ἀλλ' εἰς ταύτην καλούμενον
Hebr. 5, 6 καὶ συγκρινόμενον τῶι πρώτωι τὴν ἱερωσύνην λαβόντι; καὶ πάλιν φησί· καθὼς καὶ ἐν ἑτέρωι λέγει· σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. καὶ τίς πάλιν κατὰ τὴν ἱερωσύνην τοῦ Μελχισεδὲκ ἀπείκασται; ἆρα ὅσιον τὸν θεὸν λόγον ὑπολαμβάνειν ἢ τὴν ἐξ ἡμῶν ληφθεῖσαν σάρκα τὴν αὐτῶι ἀχωρίστως τε ἅμα καὶ ἀσυγχύ-
Hebr. 5, 7 τως συνημμένην; καὶ πάλιν φησίν· ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ δεήσεις τε καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον σώιζειν αὐτὸν ἐκ θανάτου μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων. ἆρα ὁ θεὸς λόγος δεήσεις καὶ ἱκετηρίας καὶ μετὰ κραυγῆς ἰσχυρᾶς πρός τινα δυνάμενον σώιζειν αὐτὸν προσφέρων εἰσηκούσθη
Hebr. 5, 8 ἀπὸ τῆς εὐλαβείας καὶ ἔμαθεν ἀφ' ὧν ἔπαθε τὴν ὑπακοήν; εἰ τοίνυν ὁ
82 θεὸς λόγος ἀρχιερεύς, καὶ ἔμαθεν ἀφ' ὧν ἔπαθεν αὐτός, καὶ ἐτελειώθη. ἀλλὰ μὴ ταρασ-
Hebr. 5, 8 σέσθω ὑμῶν ἡ διάνοια περὶ τοῦ παθόντος ἀκούσασα καίπερ ὢν υἱός. οὐ γὰρ δύο υἱοὺς φαμέν, τόν τε παθόντα καὶ τὸν ἀπαθῆ μείναντα· οὐ γὰρ κεχωρισμένως καὶ ἰδιαζόντως
P 340 τῆς θεότητος τὸ ἐκ σπέρματος Δαυὶδ υἱὸς ὠνόμασται, ὡς οὐδὲ ἡ θεότης μετὰ τὴν ἕνωσιν ἄνευ τῆς φαινομένης σαρκὸς υἱὸς προσηγόρευται. τὸ γὰρ τῆς υἱότητος μετὰ τὴν ἕνωσιν ἑκατέραις ταῖς φύσεσιν ἐν οὐ κεχωρισμέναις ἀλλήλων· οὐ γὰρ μετὰ τὴν ἕνωσιν χωρισμὸς ἐπεγένετο· μένει γὰρ αἰώνιος ἡ ἕνωσις. ἀλλὰ γὰρ καὶ ἐν τοῖς πάθεσιν τῆς σαρκὸς ἡ θεότης ἀχώριστος, ἀπαθὴς μένουσα, καὶ τὰ θεοπρεπῆ διὰ τῆς σαρκὸς ἐπετελεῖτο. ὅθεν ἕνα καὶ τὸν αὐτὸν υἱὸν ὁμολογοῦμεν, ἀσυγχύτων τῶν φύσεων μενουσῶν, οὐκ ἄλλον καὶ
Hebr. 3, 1 ἄλλον λέγοντες, μὴ γένοιτο, ἀλλ' ἕνα καὶ τὸν αὐτόν. ἀρχιερέα οὖν καὶ ἀπόστολον ἡμῶν
PG 364 γεγενῆσθαι τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν κατὰ τὰς θείας γραφὰς οὐδεὶς ἂν οὐχ ὁμολογήσειεν, οὐ κεχωρισμένον μέντοι ἰδικῶς ἄνθρωπον ἐκ γυναικὸς τοῦ ἐκ θεοῦ πατρὸς λόγου, ὡς εἶναι τὸ ἐκ σπέρματος Δαυὶδ ἡνωμένον ἀσυγχύτως ἀφράστως καὶ ἀχωρίστως
Hebr. 4, 15 τῶι ἐκ πατρὸς λόγωι, ἀρχιερέα πεπειραμένον κατὰ πάντα χωρὶς ἁμαρτίας καὶ
Hebr. 5, 8 μαθόντα ἀφ' ὧν ἔπαθεν, τὴν ὑπακοήν, προσκεκομικότα δὲ τῶι θεῶι καὶ πατρὶ οὐχ ὑπὲρ ἑαυτοῦ, ἀλλ' ὑπὲρ ἡμῶν μόνων τὴν οἰκείαν σάρκα. οὐ γὰρ ἀμαθῶς φήσομεν τὸν θεὸν λόγον ἀρχιερέα καὶ προσκεκομικέναι ἑαυτὸν τῶι θεῶι καὶ πατρί· οὐ γὰρ τῆς τοῦ μονογενοῦς θεότητος θεὸς ὁ πατήρ, ἀλλὰ πατήρ.

Ἀπολογία ὀρθοδόξου

83 Ἐπὶ καιροῦ δὴ πάλιν εἰρήσεται πρὸς ἡμῶν τοῖς δι' ἐναντίας· ἕως πότε χωλα-
3 Reg. 18, 21 νεῖτε ἐπ' ἀμφοτέραις ταῖς ἰγνύαις ὑμῶν; χρὴ γὰρ ὑμᾶς ὑγιᾶ καὶ ἀρτίως ἔχοντα πρὸς εἴδησιν ἀκριβῆ τῶν τῆς εὐθείας δογμάτων ἔχειν τὸν νοῦν, οὐ ταῖς διψυχίαις χωλεύοντα
Iac. 1, 8. 7 καὶ πολὺ νοσοῦντα τὸ ἄναλκι καὶ ὀρθὰ βαίνειν οὐκ ἀνεχόμενον· ἀκατάστατος γὰρ ὁ δίψυχος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ καὶ οὐκ ἄν τι λάβοι παρὰ τοῦ κυρίου. καὶ ταῦτα φημὶ
P 342 τεθαυμακὼς ἄγαν τοὺς δι' ἐναντίας ἀνέδην οὕτω καὶ προαλῶς ἐπιπλήττειν ἐθέλοντας τῶι

12—16. 19—24 adferuntur infra 88 16—18 Timoth. arm. p. 70

Θ [= fv], ARΛΣ

1 ἐνομότους f ἐννομότους v 2 εἰς] εἰ f 9 καὶ[3] AR τε καὶ Θ 11 ἔμαθεν] ἔλαθεν v 11/12 ἔπαθε — ἀφ' ὧν om. ΘΛ 13 ὑμῶν f[corr]ARΛΣ ἡμῶν Θ ἀκούουσα vR 14 υἱοὺσ φαμεν AR φαμὲν υἱοὺσ Θ 19 θεοπρεπεῖ f 20/21 καὶ ἄλλον om. A 22 τὸν χν AR χν Θ 23 τοῦ] τὸ v ἐκ Θ om. ARΣ πατρὸς om. Σ 26 παθόντα v ἔμαθε v 27 οἰκείαν fAR ἑαυτοῦ v 30 ὀρθοδόξου] κυρίλλου [κυρίλλου ī R] AR 31 δὴ AR δὲ Θ ὑμῶν R 31/32 χολανεῖτε v 32 ἡμῶν v 33 εὐθείασ AR εὐσεβείασ [ex ἀσεβείασ corr. v] Θ *scripturae* Λ ἀληθείας Σ 34 νοσοῦντα τὸ ἄναλκι [ex ἀναλκεῖ corr. R] AR νοσοῦντα τῷ ἀναλκεῖ f τῷ ἀναλκεῖ νοσοῦντα v ἐχόμενον A 35 τοῦ om. A 36 προαλασ v

προκειμένωι καὶ νῦν ἀναθεματισμῶι. καὶ τὸ ἀπεικὸς οὐδέν, εἰ μὴ βούλονται τὸν ἐκ θεοῦ πατρὸς λόγον ὀνομάζεσθαι πρὸς ἡμῶν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν, ὅτε γέγονεν ἄνθρωπος· οἱ γὰρ ὅλως τὴν κατὰ σάρκα γέννησιν αὐτοῦ συκοφαντεῖν πειρώμενοι καὶ ἀπόβλητον, ὡς οὐκ ἀληθῆ, ποιεῖσθαι τολμήσαντες οὐκ ἀνεχόμενοί τε θεοτόκον εἰπεῖν τὴν ἁγίαν παρθένον, πῶς οὐ παραιτήσονται τῆς οἰκονομίας τοὺς τρόπους; ἀκουέτωσαν τοίνυν τὸ διὰ τῆς Ἡσαίου φωνῆς ἐὰν μὴ πιστεύσητε, οὐδ' οὐ μὴ συνῆτε. ὁ μὲν γὰρ θεσπέσιος εὐαγγελιστὴς Ἰωάννης μέγα τι καὶ ἑξαίσιον κατεβρόντησε τῆς ὑπ' οὐρανόν, σάρκα λέγων γεγενῆσθαι τὸν λόγον· οἱ δὲ τῆς ἀληθείας τὴν δύναμιν ὑποκλέπτοντες
84 οὕτω σάρκα γενέσθαι φασὶν αὐτόν, ὡς ἂν νοοῖτο γενέσθαι κατάρα καὶ ἁμαρτία. καὶ περὶ μὲν τούτων ἤδη φθάσαντες εἴπομεν ἅπερ ἦν εἰκὸς ἔωλον αὐτοῖς ἀποφαίνειν δύνασθαι τὸν ἔν γε τουτοισὶ λόγον, πρὸς δέ γε τοὺς φιλαιτίους εἰς τὸ παρὸν ἐκεῖνο φαμέν· μάθετε ἀκούειν στενοχωρούμενοι· καταδέξασθε τοῦ κατὰ Χριστὸν μυστηρίου τὸν θεμέλιον, τῆς οἰκονομίας τὰς πρώτας ἀρχὰς καὶ αὐτήν, ἵν' οὕτως εἴπω, τὴν εἰσβολήν· πιστεύσατε μεθ' ἡμῶν, μᾶλλον δὲ τοῖς ἱεροῖς γράμμασιν· δότε δὴ δότε τῆς ἀληθείας τὴν ψῆφον, ὁμολογοῦντες ὅτι αὐτὸς ὁ μονογενὴς τοῦ θεοῦ λόγος ὁ ἐν κόλποις ὢν τοῦ πατρός, ὁ δι' οὗ τὰ πάντα καὶ ἐν ᾧι τὰ πάντα, γέγονε σάρξ, οὐ τροπὴν ἢ φυρμὸν ὑπομείνας, ἀλλ' ὢν ἀεί
PG 365 τοῦτο κατὰ φύσιν ὅπερ ἦν τε καὶ ἔστι καὶ ἔσται· γέγονε δὲ σάρξ, γέννησιν ὑπομείνας ἐκ τῆς ἁγίας παρθένου, τὴν κατὰ σάρκα φημί, καὶ κεχρημάτικεν υἱὸς ἀνθρώπου καὶ παραπλη-
P 344 σίως ἡμῖν μετέσχεν αἵματος καὶ σαρκός. οὕτω διατεθειμένοις καὶ τὴν οὕτω σεπτὴν καὶ ἀληθεστάτην πίστιν εἰσδεξαμένοις πάντα φανεῖται τὰ ἐφεξῆς βάσιμά τε καὶ ἱππήλατα καὶ οὐδὲν ἄναντες ἢ τραχύ· γέγραπται γὰρ ὅτι πάντα ἐνώπια τοῖς συνιοῦσιν καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν.

85 Χρῆναι δὲ οἶμαι καὶ νῦν ἡμᾶς τὴν αἰτίαν εἰπεῖν δι' ἣν γέγονεν ὁ ἀναθεματισμός. ὁ γάρτοι πάντα διακυκήσας ἄνω τε καὶ κάτω τὰ πάντα συγχέας Νεστόριος ἔφη τι τοιοῦτον περὶ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ

Ἀπεστάλη κηρῦξαι αἰχμαλώτοις ἄφεσιν· οὗτος ὁ πιστὸς τῶι θεῶι πεποιημένος ἀρχιερεύς (ἐγένετο γὰρ οὗτος, οὐκ ἀιδίως ἦν)· οὗτος ὁ κατὰ μικρὸν εἰς ἀρχιερέως, αἱρετικέ, προκόψας ἀξίωμα. Loofs, Nestoriana p. 235, 2. 6-9

86 Ἕτερα δὲ τούτοις ἀδελφὴν ὠδίνοντα τὴν ἀσέβειαν προσεπάγει πολλά. τίς οὖν ἄρα τῶν οὕτως αἰσχρῶν ἐπακούσας λόγων οὐ πάντα ἂν ἕλοιτο παθεῖν ἢ τὴν τῶι θεῶι κατεστυγημένην ἀγαπῆσαι σιγήν; ἀπέθανεν ὑπὲρ ἡμῶν ὁ Χριστός, αἰσχύνης καταφρονήσας Hebr. 12, 2 σταυρὸν ὑπέμεινεν καὶ τὸν κατὰ σάρκα θάνατον· εἶτα ἡμεῖς οὐδὲ ταῖς εἰς λόγους εὐνοίαις ἀμειψόμεθα τὸν εὐεργέτην, ἀλλ' ἡσυχῆι καθεδούμεθα τῶν οὕτως ἐκτόπων δυσφημιῶν ἀκροώμενοι ἢ τάχα που καὶ μεριζόμενοι τῆς κατ' αὐτοῦ γλωσσαλγίας τὰ ἐγκλήματα; τί φῆς ὦ οὗτος; προέκοπτεν εἰς ἀρχιερέα κατὰ βραχύ; καίτοι κεκένωκεν ἑαυτὸν θεὸς ὢν ὁ λόγος· Phil. 2, 7 ἔλαβεν δούλου μορφὴν ὁ ἐλεύθερος κατὰ φύσιν· τεταπείνωκεν ἑαυτὸν ὁ παντὸς ἐπέκεινα γενητοῦ καὶ τοῖς τῆς θεότητος ἐπαυχῶν ὑψώμασιν. εἰ δὲ προέκοψεν, κατὰ τίνα κεκέ-

---

11 πρὸς δέ γε — 22 Timotheus arm. p. 32 23 cf. Cyrill. adu. Nest. 3, 4. Exc. Ephes. XVII

Θ [= fv], ARΛΣ

1 καὶ[1] om. v 6 ἡσαίου φωνῆσ Θ φωνῆσ ἡσαίου AR 9 νοοῖτο] ἐροοῖτο f 11 τούτοισ fA πρόσ f 12 ἀκούειν om. Tim. καταδέξασθαι fRTim., corr. R 17 τὴν ἐκ Λ 20 φανεῖται Θ 21 ἐνώπια πάντα v 23 ἣν αἰτίαν R 24 τι ARΛ om. Θ 25 σρ̄σ ἡμῶν f 27 ἦν ΘARΣ Cyr. adu. Nest. προῆν Λ Exc. Eph. 29 καὶ ἕτερα R^{corr} πολλά AR δὲ πολλὰ Θ 30/31 κατεστυγμένην AR 31 ἀπέθανεν ἂν v ὁ om. A 33 καθευδούμεθα ΑΛ 35 προέκοπτεν AR προέκοψεν Θ καίτοι καὶ f 37 γεννητοῦ vΑΛ

P 346 νωται τρόπον; ἢ πῶς ἑαυτὸν καθῆκεν εἰς ταπείνωσιν; τιμῆς ἆρα καὶ δόξης αὐτῷ προμνήστριαν γενέσθαι φαίη τις ἂν τὴν κένωσιν; εἶτα πῶς ἔτι κένωσις τὸ χρῆμά ἐστιν;

87 Ἀλλὰ ναί, φασίν, εἰ αὐτὸς ὁ ἐκ θεοῦ πατρὸς λόγος γέγονεν ἀρχιερεύς, τίς ἆρα ἐστὶν ὁ μείζων αὐτοῦ καὶ τῇ τῆς ἱερουργίας λειτουργίαι θεραπευόμενος; οὐκοῦν (ἐρῶ δή τι πάλιν) πίστευσον ὅτι καίτοι θεὸς κατὰ φύσιν ὑπάρχων καὶ ἐν μορφῇ τοῦ πατρὸς ὁ υἱὸς

Phil. 2, 6. 7 οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσεν μορφὴν δούλου λαβών. εἰ δὲ γέγονεν ἄνθρωπος, ἔλαβεν δὲ καὶ δούλου μορφήν, πῶς ἡγήσεται μικρὸν καὶ τοῖς τῆς οἰκονομίας λόγοις ἀνάρμοστον τὸ χρηματίσαι καὶ ἀπόστολος καὶ ἀρχιερεύς; καὶ ὁ τῆς καθ' ἡμᾶς ἀνθρωπότητος τὸ μέτρον οὐκ ἀτιμάσας πῶς ἂν ἀπόβλητα ποιήσαιτο τὰ ἀνθρώπινα;

88 καὶ ἦν μὲν ἴσως χαλεπὸν οὐδὲν καὶ διὰ πλειόνων ἔτι λόγων ἐλθεῖν καὶ μακροτέραν εἰς τοῦτο κατατεῖναι τὴν ἀφήγησιν· μεθεὶς δὲ τοῦτο πρὸς τὸ παρόν, τοὺς παρ' αὐτῶν γεγονότας παροίσω λόγους· γεγράφασι γὰρ ὡδί

PG 368 Hebr. 5, 8 p. 54, 12-16 Ἀλλὰ μὴ ταραττέσθω ὑμῶν ἡ διάνοια περὶ τοῦ παθόντος ἀκούσασα καίπερ ὢν υἱός. οὐ γὰρ δύο υἱοὺς φαμέν, τόν τε παθόντα καὶ τὸν ἀπαθῆ μείναντα· οὐ γὰρ κεχωρισμένως καὶ ἰδιαζόντως τῆς θεότητος τὸ ἐκ σπέρματος Δαυὶδ υἱὸς ὠνόμασται, ὡς οὐδὲ ἡ θεότης μετὰ τὴν ἕνωσιν ἄνευ τῆς φαινομένης σαρκὸς υἱὸς προσηγόρευται.

p. 54, 19-24 Hebr. 3, 1 Καὶ πάλιν· Ὅθεν ἕνα καὶ τὸν αὐτὸν υἱὸν ὁμολογοῦμεν, ἀσυγχύτων τῶν φύσεων μενουσῶν, οὐκ ἄλλον καὶ ἄλλον λέγοντες, μὴ γένοιτο, ἀλλ' ἕνα καὶ τὸν αὐτόν. ἀρχιερέα ⟨οὖν⟩ καὶ ἀπόστολον ἡμῶν γεγενῆσθαι τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν κατὰ τὰς

P 348 θείας γραφὰς οὐδεὶς ἂν οὐχ ὁμολογήσειεν, οὐ χωριζόμενον μέντοι ἰδικῶς ἄνθρωπον ἐκ γυναικὸς τοῦ ἐκ θεοῦ πατρὸς λόγου.

89 Οὐκοῦν εἰ ἕνα φασὶν υἱόν, κατ' οὐδένα τρόπον διαιροῦντες εἰς δύο τό τε ἐκ σπέρματος Δαυὶδ καὶ τὸν ἐκ θεοῦ πατρὸς λόγον, πῶς οὐκ ἀδικοῦσι τὸ μυστήριον, μερίζοντες τὴν οἰκονομίαν θεῷ καὶ ἀνθρώπῳ, καὶ οὐχὶ δὴ μᾶλλον τὸν ἕνα καὶ τὸν αὐτὸν καὶ θεὸν εἶναί φασιν καὶ ἄνθρωπον, ὡς εἶναι πάντα αὐτοῦ, τά τε θεοπρεπῆ καὶ τὰ ἀνθρώπινα; ὅταν γάρ τι τῶν ὅτι μάλιστα θεοπρεπεστάτων λέγηται περὶ αὐτοῦ, τοῦτο δὴ πάντως καὶ ἀληθὲς εἶναι φαμέν, θεὸν γὰρ ἴσμεν αὐτόν· κἂν ἀνθρώπινόν τι τὸ λαλούμενον ᾖ, καὶ οὕτως συννεύσομεν. ὁμολογοῦμεν γὰρ ὅτι θεός ἐστιν ἐν σαρκὶ καὶ αἵματι, καὶ τὸ τῆς ἀνθρω-

Dan. 7, 10 πότητος μέτρον διὰ τῶν ἀνθρωπίνων ἐπιγινώσκομεν. χίλιαι μὲν γὰρ χιλιάδες ἁγίων

Ies. 6, 2 ἀγγέλων λειτουργοῦσιν αὐτῷ καὶ τὸν θεῖον αὐτοῦ θρόνον περιεστᾶσι τὰ σεραφίμ· ἐπειδὴ δὲ γέγονεν ἄνθρωπος, κεχρημάτικε καὶ ἀρχιερεύς, οὐχ ὡς μείζονι θεῷ προσκομίζων τὴν ἱερουργίαν, ἀλλ' ἑαυτῷ τε καὶ τῷ πατρὶ τῆς πίστεως ἡμῶν τὴν ὁμολογίαν πραγματευό-

90 μενος. ἐρυθριᾷς ἀκούων ὅτι κεχρημάτικεν ἱερεύς, διὰ τὸ ἀνθρώπινον· εἶτα πῶς οὐ τεθαύμακας ὅτι μὴ κατὰ τὸ τῶν ἱερέων ἔθος ἑτέρῳ ποιεῖται τῆς ἱερουργίας τὸν τρόπον, ἑαυτῷ δὲ μᾶλλον, ὡς ἔφην, καὶ τῷ πατρί; ὅταν εἴπῃς οὐκ ἄξιον εἶναι θεοῦ τὸ ἱερουργεῖν, σύμφημι κἀγώ· ἀλλ' εἰ μόνος ἦν καὶ δίχα σαρκὸς ὁ λόγος, ἔφης ἂν ὀρθῶς· ἐπειδὴ δὲ γέγονεν ἄνθρωπος, ὅρα καὶ ἱερουργοῦντα διὰ τὸ ἀνθρώπινον καὶ ἐν τοῖς ὑπὲρ

P 350 κτίσιν ἀξιώμασιν ὡς θεόν· συνεδρεύει γὰρ τῷ θεῷ καὶ πατρί. ὅρα τοίνυν αὐτὸν ἱερατεύοντα μὲν κατὰ τὸ ἀνθρώπινον, συνεδρεύοντα δὲ ὡς θεόν. τί γάρ φησιν ὁ μακάριος

Θ [= fv], ARΛpΣ et inde a 28 θεός ἐστι codicum apologiae contra Theodoretum [V 169] altera stirps Ψ = A_1R_1Wl et uersio Latina collectionis Sichardianae 4 [$Λ^s$]

2 γενέσθαι om. v τὸ χρῆμα ΘRcorrΣ πρόχρημα AR 3 φασιν ΘΣ φησιν ARΛ 8 τοῖς τῆς] τῆσ, superscr. οισ R 10 ἐλθεῖν ARΛ ἐλεῖν Θ 12 γεγονότασ AR γεγραφότασ Θ 13 ταρασσέσθω R ἡμιῶν v 19 οὖν p. 54, 21 Λ om. ΘARΣ τὸν² om. v 20 χαριζόμενον v 22 τό ΘΛ τόν AR 23 τοῦ δᾱδ Θ 25 τε om. R 26 λέγεται f 27 ᾖ] εἴν v 28 ἐν σαρκί ἐστι v 29 ἀνω̄ν̄ v γὰρ om. R_1 ἁγίων om. l 30 εἰσὶ λειτουργοῦσαι v περιίστασι R_1l 31 καὶ κεχρημάτικε καὶ R_1Wl 33 ὅτι] δ v ἀρχιερεὺσ W 34 τό om. R_1 ἑτεροποιεῖται fW 35 θῡ ΘΨ τοῦ θῦ AR 38 θσ̄ f τοιγαροῦν l

Παῦλος; τοιοῦτον ἔχομεν ἀρχιερέα ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς Hebr. 8, 1
μεγαλωσύνης ἐν τοῖς ὑψηλοῖς. εἰδότες τοίνυν ὅτι θεὸς ὢν γέγονεν ἄνθρωπος,
ἔστι δὲ εἷς καὶ ὁ αὐτὸς υἱός, αὐτῷ πάντα προσνεμοῦμεν ὡς ἑνὶ καὶ τοὺς τῆς οἰκονομίας
οὐκ ἀγνοήσομεν τρόπους, τὴν τῶν ἐννοιῶν δύναμιν εὐτεχνῶς καὶ ἐμφρόνως ἀεὶ περιτρέ- 2 Cor. 10, 5
ποντες εἰς τὴν ὑπακοὴν αὐτοῦ.

Ἀναθεματισμὸς ιᾱ

91 Εἴ τις οὐχ ὁμολογεῖ τὴν τοῦ κυρίου σάρκα ζωοποιὸν εἶναι καὶ ἰδίαν αὐτοῦ τοῦ ἐκ
θεοῦ πατρὸς λόγου, ἀλλ' ὡς ἑτέρου τινὸς παρ' αὐτόν, συνημμένου μὲν αὐτῷ κατὰ τὴν PG 369
ἀξίαν ἢ γοῦν ὡς μόνην θείαν ἐνοίκησιν ἐσχηκότος, καὶ οὐχὶ δὴ μᾶλλον ζωοποιόν, ὡς ἔφην,
ὅτι γέγονεν ἰδία τοῦ λόγου τοῦ τὰ πάντα ζωογονεῖν ἰσχύοντος, ἀνάθεμα ἔστω.

Μέμψις αἱρετικῶν

92 Ἰδίαν γενέσθαι τὴν δεσποτικὴν σάρκα τοῦ λόγου διὰ τῆς ἑνώσεως ὁμολογεῖσθαι καλόν,
νοοῦντας μέντοι ἐξ ἡμῶν αὐτὴν προσειλῆφθαι. περιττὸν δὲ τὸ ἐπάγειν καὶ οὐχ ἑτέρου
τινὸς παρ' αὐτόν, εἰ μὴ ἄρα ἐξαιρεῖ αὐτὴν τοῦ ἐξ ἡμῶν εἰλῆφθαι. τὸ γὰρ συνεχῶς
λέγειν αὐτὸν ἰδίαν ἐξαιροῦντός ἐστιν τὴν δεσποτικὴν σάρκα ⟨τοῦ⟩ εἶναι τῆς ἡμετέρας φύ-
σεως. καὶ ποῦ τὸ καύχημα ἡμῶν; διὰ τίνος λέγει ὁ Παῦλος συνήγειρεν ἡμᾶς καὶ Rom 3, 27
συνεκάθισεν ἡμᾶς; καὶ τίνος γὰρ τῶν ἀνθρώπων ἑτέρου ἡ ἑκάστου σάρξ; οὐχὶ Eph. 2, 6
ἕκαστος ἡμῶν κοινὴν μὲν ἔχει σάρκα ἑκάστωι τῶι τοῦ ὁμοουσίου λόγωι, ἰδίαν δὲ τῶι τὴν P 352
ἑκάστου μὴ εἶναι ἑτέρου ἢ μόνου οὗ ἐστιν σάρξ; τί οὖν αὐτῷ βούλεται τὸ ἰδίαν ὡς
ἕτερόν τι λέγοντι; εἰ γὰρ νοεῖ τὴν δεσποτικὴν σάρκα ἐκ τῆς ἡμετέρας εἰλῆφθαι, νοεῖ δὲ
ὡς ἡ ἑκάστου σὰρξ ἐκείνου ἐστὶν ἰδία οὗ [καί] ἐστιν σάρξ, καὶ οὐχ ἑτέρου, τί ὡς τι ξένον
93 λέγει ἰδίαν αὐτὴν εἶναι; ἢ δῆλον ὅτι δι' ἐπικαλύμματος οὐ λέγει αὐτὴν ἐκ τῆς ἡμετέρας
φύσεως εἰλῆφθαι; ὡς σαφέστερον λέγει ἐν τῷι πρώτωι αὐτοῦ τόμωι· καὶ τὸ βρέφος, Cyrill hom.
φησίν, ἣν οὐ καθ' ἡμᾶς, τουτέστιν οὐκ ἐν ψιλῆι καὶ μόνηι τῆι πρὸς ἡμᾶς ὁμοιότητι, ἀλλ' pasch. 17
ἐν ἀνθρωπότητι μὲν διὰ τὴν σάρκα, θεῖον δὲ ὡς ὑπὲρ ἡμᾶς καὶ ἐξ οὐρανοῦ. καὶ πάλιν p 228 Aub.
ἐν τῷι δευτέρωι τόμωι, καθά φησιν· σῶμα γὰρ ἦν οὐχ ἑτέρου τινὸς τῶν καθ' ἡμᾶς, ἴδιον V 1, 20
δὲ μᾶλλον αὐτοῦ τοῦ ἐκ πατρὸς ὄντος λόγου τὸ γεννηθὲν ἐξ αὐτῆς. τίς γὰρ εἰπέν
ποτε ὅτι ἑτέρου τινὸς τῶν ἀπ' αἰῶνος ἀνθρώπων γέγονεν ἡ δεσποτικὴ σάρξ, τυχὸν ἢ τοῦ
Ἄβελ ἢ Νῶε ἢ Ἠλία ἤ τινος τῶν ἀπ' αἰῶνος ἀνθρώπων; οὐ μόνον δὲ περὶ τῆς δεσπο-
τικῆς σαρκὸς ἀποφαινόμεθα ὡς οὐ γέγονεν ἑτέρου τινὸς τῶν ἀπ' αἰῶνος ἀνθρώπων, ἀλλ'
αὐτοῦ τοῦ κυρίου ἰδία καὶ μόνη, ἡ ἀσυγχύτως καὶ ἀχωρίστως ἑνωθεῖσα τῶι θεῶι λόγωι·
ἀλλ' οὐδ' ἡ ἑνὸς ἑκάστου ἡμῶν σὰρξ γέγονέ ποτε, ὡς ἔφαμεν, ἑτέρου τινος πλὴν ἐκείνου
οὗ ἐστιν σάρξ. τούτου τοίνυν παρὰ πᾶσιν τοῖς τῆς ἐκκλησίας ὁμολογουμένου, τί αὐτῷ
βούλεται τὸ συνεχῶς ἰδίαν αὐτὴν λέγειν, εἰ μὴ ἄρα ἐξαιρεῖ αὐτὴν τοῦ εἶναι τῆς ἡμετέρας

Θ [= fv], ARΛpΣ et praeter 6—10 Ψ [= A_1, R_1 [usque ad 28 τυχὸν ἡ του], Wl], $Λ^s$

2 τοῖσ ΘR om. AΨ 3 ὁ om. W 4 ἐντέχνωσ A_1Wl ἐντεχνῶσ R_1 εὐφρόνωσ f 6 κυρίλλου ἀναθεματισμὸσ ἑνδέκατοσ [ιᾱ R] AR 8 θεοῦ om. Σ 9 ἐσχηκότασ f 10 τὰ Θ om. AR 11 ἀντίρρησισ τῶν ἀνατολικῶν [ιᾱ R^{mg}] AR μέμψισ θεοδωρίτου [θεοδωρήτου ιᾱ R_1 θεοδωρίτου ἑνδεκάτη l] Ψ αἱρετικοῦ Σ 12 γεγενῆσθαι Θ 13 αὐτῶν ν 14 ἐξαίρη fcornv αὐτὸν ν 15 τοῦ addidi 16 τίνασ A_1 ὁ Παῦλος om. ν ἡμᾶς om. ΨΛs 17 ἑτέρου om. W 18 ἑκάστου Θ μὲν ἡμῶν κοινὴν AR ἑκάστου A_1 τὸ W δὲ ΨΛpΣ τὲ ΘARΛs 19 τῶ f ὡς] ὧ R_1 21 ἡ om. W καὶ[1] ΨΣ om. ΘARΛps τι ξένον AΣ ξένον ΘlΛp ξένου RA_1R_1WΛs 22 λέγει δι' ἐπικαλύμματοσ αὐτὴν μὴ, μὴ superscr., A_1 ἐπιμελείασ ν 23 ἑαυτοῦ AR 24 οὐ] εὖ R καὶ om. R 27 τοῦ] τὸ ν 28 γέγονεν ἀνω̄ν AR post τυχὸν ἡ του] ζ[r] ὁπίσθεν εἰσ τὶν ια ἀντίρρησιν τῶν ἀνατολικῶν R_1 29 νῶε fAA_1W τοῦ νῶε νRl 31 καὶ[2] om. νΨΛs θειῶι om l 32 ἡμῶν ἑκάστου ν 34 ἐξαίρη ν ὑμετέρασ ν

94 φύσεως; πῶς δὲ καὶ ἀπαγορεύει μὴ δεῖν λέγεσθαι συνημμένου μὲν αὐτῶι κατὰ τὴν
Cyrill. hom. pasch. 17 p. 226 Aub. ἀξίαν καὶ τὴν αὐθεντίαν, αὐτὸς λέγων ἐν τῶι πρώτωι τόμωι· οὕτω γὰρ καὶ ἡμεῖς τῆι
αὐτοῦ πτωχείαι πεπλουτήκαμεν, ἀνακομισθείσης ἐν αὐτῶι τῆς ἀνθρωπείας φύσεως εἰς ἀξίωμα
P 354 τὸ θεοπρεπές; ἀλλ' ἡμεῖς εἴπωμεν αὐτῶι ἐναντιουμένωι καὶ ἑαυτῶι· εἰ τοίνυν αἱ φύσεις
PG 372 μένουσιν ἀσύγχυτοι, μένει δὲ καὶ ἡ ἕνωσις, φαμὲν δὲ τὰ τῆς προσκυνήσεως καὶ δυνάμεως
καὶ ἀξίας καὶ αὐθεντίας ὡς ἑνὶ υἱῶι προσφέρεσθαι ἄξιον, μενουσῶν τῶν φύσεων ἐν τῆι
ἑνώσει ἀσυγχύτων, τί ὑπολείπεται ἕτερον ὃ ἀκριβεστέραν τὴν ἕνωσιν χαρακτηρίζει; καὶ
δώσομεν καὶ συνθησόμεθα, ἐκτὸς τῆς τῶν φύσεων συγχύσεως· ἀλλὰ πρόδηλον ὡς
οὐδὲν αὐτῶι ἐξαρκεῖ εἰς τὸ τῆς ἑνώσεως ἄκρον, μὴ τὰς φύσεις συγχέοντι. ἀλλ' ἡμεῖς
τὰς μὲν φύσεις οὔσας ἀσυγχύτους φυλάσσομεν καὶ τὴν ἕνωσιν ἄκραν καὶ θείαν καὶ ἡμῖν
ἀκατάληπτον ὁμολογοῦμεν, πάντα εἰς δοξολογίαν ὡς θεῶι καὶ ἑνὶ υἱῶι προσφέροντες καὶ
Mt. 16, 16 λέγοντες αὐτῶι τὴν τοῦ μακαρίου Πέτρου φωνήν· σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ.

Ἀπολογία ὀρθοδόξου

95 Κατεθήγοντό ποτε πρὸς ἀνοσίους ὀργὰς οἱ τάλανες Ἰουδαῖοι, τοῖς τοῦ φθόνου βέλεσι
τὸν νοῦν κατηκοντισμένοι· ἐπειδὴ δὲ πρὸς τούτωι καὶ τὰς βεβήλους ἐπέφερον χεῖρας τῶι
πάντων ἡμῶν σωτῆρι Χριστῶι, τῶν τοιούτων αὐτοὺς τολμημάτων τὰς αἰτίας εἰπεῖν διεκε-
Ioh. 10, 32-36 λεύετο, λέγων· πολλὰ καλὰ ἔργα ἔδειξα ὑμῖν ἐκ τοῦ πατρός μου· διὰ ποῖον
αὐτῶν ἔργον ἐμὲ λιθάζετε; οἱ δὲ ἦκον εἰς τοῦτο δυσβουλίας τε ὁμοῦ καὶ ἀνο-
σιότητος ἐννοιῶν, ὥστε καὶ τοῖς τῆς δυσφημίας ἐγκλήμασιν περιβάλλειν ἐπιχειρεῖν· ἔφασκον
γάρ· περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας, ὅτι σὺ
ἄνθρωπος ὢν ποιεῖς σεαυτὸν θεόν. ἔφη δέ που πρὸς αὐτοὺς ὁ σωτήρ· οὐκ
ἔστι γεγραμμένον ἐν τῶι νόμωι ὑμῶν· ἐγὼ εἶπα, θεοί ἐστέ; εἰ ἐκείνους
P 356 εἶπεν θεοὺς πρὸς οὓς ὁ λόγος τοῦ θεοῦ ἐγένετο, καὶ οὐ δύναται λυθῆναι
ἡ γραφή· ὃν ὁ πατὴρ ἡγίασεν καὶ ἀπέστειλεν εἰς τὸν κόσμον, ὑμεῖς λέγετε
96 ὅτι βλασφημεῖς, ὅτι εἶπον· υἱὸς θεοῦ εἰμί; περιεργαζόμενοι δὲ ἡμεῖς τῆς
ἐνθάδε λεγομένης ἀποστολῆς τὸν τρόπον, ἐκ τῶν ἱερῶν γραμμάτων τὴν ἐπὶ τῶιδε γνῶσιν
Ies. 61, 1 ἐρανιζόμεθα. ἔφη τοίνυν αὐτὸς διὰ φωνῆς Ἡσαίου· πνεῦμα κυρίου ἐπ' ἐμέ, οὗ
εἵνεκεν ἔχρισέν με· εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέν με, κηρῦξαι
αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν. ἀπεστάλθαι δὲ φαμὲν τὸν υἱὸν
παρὰ τοῦ θεοῦ καὶ πατρὸς γενόμενον ἄνθρωπον· πρέποι γὰρ ἂν καὶ μάλα ὀρθῶς τοῖς τῆς
κενώσεως μέτροις τὸ τῆς ἀποστολῆς ὄνομά τε καὶ χρῆμα. ἀπεστάλη δέ, ὡς ἔφην, οὐ
γυμνὸς καὶ ἄσαρκος ὁ ἐκ θεοῦ πατρὸς λόγος, γέννησιν δὲ μᾶλλον ὑπομείνας τὴν κατὰ
σάρκα ἤτοι σῶμα λαβὼν ἐκ τῆς ἁγίας παρθένου, τοῦτό τε ἀφράστως καὶ ἀσυγχύτως
Ps. 117, 27 ἑνώσας ἑαυτῶι, καθὰ πλειστάκις εἰρήκαμεν, ἐπέφανεν ἡμῖν θεὸς κύριος κατὰ τὰς γραφάς.
ἴδιον οὖν τὸ σῶμα φαμὲν γενέσθαι τοῦ λόγου καὶ οὐκ ἀνθρώπου τινὸς ἰδικῶς καὶ κεχω-
ρισμένως ἑτέρου παρ' αὐτὸν νοουμένου Χριστοῦ καὶ υἱοῦ, ὥσπερ δὲ ἴδιον ἡμῶν ἑκάστου

36—p. 59, 9 Timoth. arm. p. 77

Θ [= fv], ARΛpΣ, Ψ [= A_1Wl]

1 συνημμένην ARΛP 2 τὴν om. AR 3 αὐτοῦ ΘΛpΣ ἐκείνου ARΨΛs 4 τὸ om. vA καὶ om. AA_1 6 ἑνὶ υἱῶι] ἐν οὐνῶ W 8 φύσεωσ W 9 αὐτὸ l 10 φυλάσσομεν ΘΛps φυλάξομεν AA_1l φυλάξωμεν RW 11 ἑνὶ ARΛs ἐν ΘW om. A_1lΛpΣ καὶ προσφέροντεσ καὶ f 12 θῡ ΘΨΛpΣ θῡ τοῦ ζῶντοσ ARΛs 13 ἀπολογία ὀρθοδόξου ΘΛpΣ ἀπολογία κυρίλλου [κυρίλλου ιᾱ R] AR ἀντίθεσισ τοῦ ἁγίου κυρίλλου [κυρίλλου ιᾱ R_1 κυρίλλου ἑνδεκάτη l] Ψ 14 κατεθήγοντο — τάλανεσ ζr ὄπισθεν κυρίλλου ἀπολογία ιᾱ R_1 ὀργὰς om. v 16 αὐτοῖσ Wl 17 καὶ καλὰ ΑΛP ἐκ AR παρὰ Θ om. ΨΛs 20 ὅτι ΘARΛpΣ καὶ ὅτι ΨΛs 21 που om. R 22 ἐγὼ δὲ v καὶ εἰ f 25 ὅτι[1] om. v 26 τόδε I 29 δὲ om. v δὴ Λs τὸν υἱὸν φαμὲν A ῡν ΘARΛpΣ χν̄ ΨΛs 30 πρ̄σ καὶ θῡ v πρέπει Wl πρέπη in πρέποι corr. A 33 τοῦτό τε ΘARΛpsΣ om. Ψ

λέγεται σῶμα τὸ ἰδικῶς αὐτοῦ, οὕτω καὶ ἐπὶ τοῦ ἑνὸς Χριστοῦ νοητέον. καίτοι γὰρ PG 373
ὑπάρχον τοῖς ἡμετέροις σώμασιν ὁμογενὲς ἢ γοῦν ὁμοούσιον (γεγέννηται γὰρ ἐκ γυναικός),
97 ἴδιον αὐτοῦ, ὡς ἔφην, νοεῖται καὶ λέγεται. ἐπειδὴ δὲ ζωὴ κατὰ φύσιν ἐστὶν ὁ ἐκ θεοῦ
πατρὸς λόγος, ζωοποιὸν ἀπέφηνε τὴν ἑαυτοῦ σάρκα· ταύτηι τοι γέγονεν ἡμῖν εὐλογία 4
ζωοποιός. καὶ γοῦν ἔφασκεν ὁ Χριστός· ἀμὴν λέγω ὑμῖν, ἐγὼ εἰμὶ ὁ ἄρτος ὁ Ioh. 6, 51. 33
ζῶν ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς καὶ ζωὴν διδοὺς τῶι κόσμωι. καὶ πάλιν· καὶ P 358
ὁ ἄρτος δὲ ὃν ἐγὼ δώσω, ἡ σάρξ μού ἐστιν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. Ioh. 6, 51
καὶ πάλιν· ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει Ioh. 6, 56
κἀγὼ ἐν αὐτῶι. ἄθρει δὴ οὖν ὅπως πανταχοῦ ἑαυτοῦ σῶμα τὸ ἐκ γυναικὸς ὀνομάζει
διὰ τὴν εἰς ἄκρον ἕνωσιν. τοῦτον ἔχοντος τοῦ μυστηρίου τὸν λόγον, ἐν ἐξηγήσει πάλιν 10
ἰδίαι φησὶν ὁ Νεστόριος

98 Ἀκούσατε τοίνυν προσέχοντες τοῖς ῥητοῖς· ὁ τρώγων μου, φησί, τὴν σάρκα· Looſs, Nestoriana
μνημονεύετε ὅτι περὶ τῆς σαρκός ἐστι τὸ λεγόμενον καὶ ὅτι οὐ παρ' ἐμοῦ προστέθειται τὸ p. 227, 20-
τῆς σαρκὸς ὄνομα, ὥστε μὴ δοκεῖν ἐκείνοις παρερμηνεύειν. ὁ τρώγων μου τὴν 228, 16
σάρκα καὶ πίνων μου τὸ αἷμα· μὴ εἶπεν· ὁ τρώγων μου τὴν θεότητα καὶ πίνων μου 15
τὴν θεότητα; ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ
μένει κἀγὼ ἐν αὐτῶι· μνημονεύετε ὅτι περὶ τῆς σαρκὸς τὸ λεγόμενον. καθὼς Ioh. 6, 57
ἀπέστειλέ με ὁ ζῶν πατήρ, ἐμὲ τὸν φαινόμενον. ἀλλ' ἐνίοτε παρερμηνεύω· ἀκού-
σωμεν ἐκ τῶν ἐφεξῆς· καθὼς ἀπέστειλέν με ὁ ζῶν πατήρ. ἐκεῖνος λέγει τὴν
θεότητα, ἐγὼ τὴν ἀνθρωπότητα· ἴδωμεν τίς ὁ παρερμηνεύων. καθὼς ἀπέστειλέν 20
με ὁ ζῶν πατήρ. λέγει ὁ αἱρετικός· ἐνταῦθα τὴν θεότητα λέγει· ἀπέστειλεν ἐμέ,
τὸν θεὸν λόγον, ὁ ζῶν πατὴρ κατ' ἐκείνους κἀγὼ ζῶ, ὁ θεὸς λόγος, διὰ τὸν
πατέρα.

Εἶτα μετὰ τοῦτο· καὶ ὁ τρώγων με κἀκεῖνος ζήσεται· τίνα ἐσθίομεν, τὴν
θεότητα ἢ τὴν σάρκα; 25

99 Περὶ μὲν οὖν τῶν οὕτως ἐκτόπως καὶ ἀτημελῶς αὐτῶι πεφλυαρημένων μακρὸς ἤδη P 360
παρ' ἡμῶν πεποίηται λόγος· τί δ' ἂν βούλοιτο νοεῖν, οὐ τὸν θεὸν λόγον ἀπεστάλθαι λέγων
σαρκωθέντα καὶ ἐνανθρωπήσαντα, τιθεὶς δὲ δὴ πάλιν ἰδίαι τε καὶ ἀνὰ μέρος, ὡς αὐτός
φησι, τὸν φαινόμενον, οὐκ ἔχω λέγειν, μᾶλλον δὲ καὶ ἐναργὲς ἤδη τὸ σόφισμα. τὸν
γὰρ τῆς ἑνώσεως παραλύει τρόπον, ἵνα κοινὸν εὑρίσκηται τὸ σῶμα Χριστοῦ, οὐκέτι δὲ 30
ἴδιον ἀληθῶς τοῦ πάντα ζωοποιεῖν ἰσχύοντος. μικρὰ μὲν ὁμολογουμένως τῶι θεῶι λόγωι
πάντα ἐστὶ τὰ ἀνθρώπινα· ἐπειδὴ δὲ κατηξίωσε δι' ἡμᾶς τὴν τῶι κόσμωι σωτήριον ὑπο-
μεῖναι κένωσιν, κἂν ἀπεστάλθαι λέγηται κηρύξων αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν, Ies. 61, 1
δοξάζεται μᾶλλον ὡς ὑπενεγκὼν τῆς μετὰ σαρκὸς οἰκονομίας τὸ ταπεινόν, καὶ οὐκ ἂν οἶμαί

12 = Exc. Ephes. XXI. XXII; cf. Cyr. adu. Nest. 4, 4

Θ [= fv], ARΛpΣ, Ψ [= A_1Wl], $Λ^s$
1 τὸ σῶμα ἰδικῶσ A_1W 2 ὑπάρχων AR ὁ μονογενέσ v γεγέννηται v$Λ^s$ 3 ἴδιον γὰρ f 4 γέγονεν] λέγεται W 5 ἀμὴν ἀμὴν vΛpTim. 6—8 καὶ ὁ ἄρτος — πάλιν om. vW 9 οὖν om. v πῶσ A τὸ σῶμα τὸ v 10 εἰσ ἄκραν W ἄκραν A_1 12 προσεχόντωσ v φησί ΘARΣ om. ΨΛps 14 ἐκείνοισ ΘARΛpsΣ ἐκείνοισ αὐτὸσ l αὐτὸσ A_1W 17 σαρκὸσ ἐστὶ Ψ 17/18 καθὼς [καὶ καθὼς Σ] — τὸν φαινόμενον ΘΛpΣ om. ARΨ$Λ^s$ 19 ἑξῆς A_1 καὶ καθὼς Σ 21 ἐνταῦθα ὁ αἱρετικόσ AR μὴ λέγει AR 21/22 ἀπέστειλεν — πατήρ] melius Exc. Ephes. ἀπέστειλέν με, φησί, τὸν θεόν λόγον. καθὼς ἀπέστειλέν με ὁ ζῶν πατήρ 22 ὁ θσ̄ λόγοσ ζῶ Ψ$Λ^s$ 24 ἐκεῖνοσ A_1l 26 τῶν] τούτων l 28 δὲ δὴ ΘA_1l δὴ W δὲ AR 29 τὸν ΘΛp τὸ ARΨ$Λ^s$ 30 τοῦ χῡ̄ l δὲ om. l$Λ^s$ 31 τὰ πάντα Θ μὲν ARΛps μὲν γὰρ ΘΣΨ 33 λέγεται Θ κηρύσσων Ψ 34 ὡς om. l

τις διαμωμήσαιτο τῶν εὖ φρονεῖν εἰωθότων ὅτι καθῆκεν ἑαυτὸν ἐν τοῖς καθ' ἡμᾶς δι' ἡμᾶς.
PG 376 ἆρ' οὖν ὡς ἕτερόν τινα υἱὸν καὶ Χριστὸν παρὰ τὸν ἐκ θεοῦ λόγον τὸν φαινόμενον εἶναι διαβεβαιούμενος, ὧι καὶ μόνωι τὸ τῆς ἀποστολῆς προσνενέμηκε χρῆμα, οὐκ ἀνθρωποφαγίαν ἡμῶν ἀποφαίνει τὸ μυστήριον, περιιστὰς ἀνοσίως εἰς ἐξιτήλους ἐννοίας τῶν πιστευσάντων τὸν νοῦν καὶ λογισμοῖς ἀνθρωπίνοις ὑποφέρειν ἐπιχειρῶν ἃ μόνηι καὶ ἀζητήτωι πίστει καταλαμβάνεται; οὐ γὰρ ἐπειδήπερ οὐκ ἐσθίεται θεότητος φύσις, διὰ τοῦτο κοινὸν εἶναι
100 φαίη τις ἂν τὸ ἅγιον σῶμα Χριστοῦ. εἰδέναι δὲ ἀναγκαῖον ὅτι, καθὰ φθάσαντες εἴπομεν,
P 362 ἴδιόν ἐστι σῶμα τοῦ τὰ πάντα ζωογονοῦντος λόγου· ἐπειδὴ δέ ἐστι σῶμα ζωῆς, ζωοποιόν ἐστι. δι' αὐτοῦ γὰρ τοῖς θνητοῖς ἡμῶν σώμασιν ἐνίησι τὴν ζωὴν ὁ υἱὸς καὶ καταργεῖ τοῦ θανάτου τὸ κράτος. ζωοποιεῖ δὲ ἡμᾶς κατὰ τὸν ἴσον τρόπον καὶ τὸ ἅγιον πνεῦμα
Ioh. 6, 63 Χριστοῦ· τὸ γὰρ πνεῦμά ἐστιν τὸ ζωοποιοῦν κατὰ τὴν αὐτοῦ τοῦ σωτῆρος φωνήν.

Λυπεῖ δὲ οὐδὲν ὑπέρ γε τοῦ μὴ δοκεῖν ἐμέ τε καὶ μόνον ἴδιον ὀνομάζειν τὸ σῶμα τοῦ λόγου, καὶ τὰς τῶν ἁγίων πατέρων παραθεῖναι χρήσεις, ἵν' ἴδοιεν οἱ δι' ἐναντίας ὡς
101 μάτην ἡμῶν κατακεκράγασιν ἑπομένων πανταχοῦ ταῖς ἐκείνων φωναῖς. ἔφη τοίνυν ὁ πανεύφημος ἡμῶν πατὴρ καὶ ἐπίσκοπος Ἀθανάσιος ἐν τῶι Περὶ τῆς ἁγίας τριάδος λόγωι

Athan c. Ar. 3, 32 Καὶ ἐδείκνυτο ὅτι μὴ φαντασίαι, ἀλλὰ ἀληθῶς ἔχων ἦν σῶμα. ἔπρεπε δὲ τὸν κύριον, ἐνδιδυσκόμενον ἀνθρωπίνην σάρκα, ταύτην μετὰ τῶν ἰδίων παθῶν αὐτῆς ὅλην ἐνδύσασθαι, ἵν' ὥσπερ ἴδιον αὐτοῦ λέγομεν εἶναι τὸ σῶμα, οὕτω καὶ τὰ τοῦ σώματος πάθη ἴδια μόνον αὐτοῦ λέγηται, εἰ καὶ μὴ ἥπτετο κατὰ τὴν θεότητα αὐτοῦ.

l. c. 35 **102** Καὶ πάλιν· Ταῦτα ἀναγκαίως προεξητάσαμεν, ἵν' ἐὰν ἴδωμεν αὐτὸν ὡς δι' ὀργάνου τοῦ ἰδίου σώματος θεικῶς πράττοντα ἢ λέγοντα, γινώσκωμεν ὅτι θεὸς ὢν ταῦτα ἐργάζεται.

103 Καὶ ταῦτα μὲν ὁ μακάριος πατὴρ ἡμῶν Ἀθανάσιος· πλὴν κἂν ἴδιον λέγηται τοῦ λόγου τὸ σῶμα, ἀλλ' οὖν ἐστιν ἐκ γυναικὸς καὶ τοῖς ἡμετέροις συγγενές, καθὸ νοεῖται σάρξ.
1 Cor. 15, 47 καὶ ὁ μὲν μακάριος Παῦλος ὁ πρῶτος ἄνθρωπος, φησίν, ἐκ γῆς χοικός, ὁ δεύ-
P 304 τερος ἐξ οὐρανοῦ. αὐτὸς δὲ ὁ Χριστός οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανόν,
Ioh. 3, 13 φησίν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ υἱὸς τοῦ ἀνθρώπου. φαμὲν δὲ ὅτι οὐκ ἐξ οὐρανοῦ τὸ σῶμα τὸ ἐνωθὲν αὐτῶι κατενεγκὼν ὁ λόγος τοιάδε φησίν· ἐπειδὴ δὲ ἄνωθεν ὢν αὐτὸς καὶ ἐξ οὐρανοῦ ἴδιον ἐποιήσατο τὸ ἐνωθὲν αὐτῶι σῶμα ἀφράστως ἀπερινοήτως ἀτρέπτως τε καὶ ἀσυγχύτως, ταύτηι τοι καὶ ἐξ οὐρανοῦ φησιν ἑαυτόν, καὶ ὅτε γέγονεν υἱὸς ἀνθρώπου. ὀρθῶς τοιγαροῦν καὶ ἀμωμήτως ἔχοντος ἡμῖν τοῦ λόγου,
ποία τις ἄρα τοῖς φιλοψογεῖν ἐθέλουσιν εὑρεσιλογίας τῆς καθ' ἡμῶν ἡ πρόφασις, εἰ μάχεται
104 ταῖς τινων δυσφημίαις ὁ ἀναθεματισμός, τῶι ψεύδει τὸ ἀληθὲς ἀντεξάγων; οἶμαι δὲ ἔγωγε κατ' οὐδένα τρόπον ἡμαρτηκέναι τοῦ πρέποντος, εἰ Χριστὸν ἔφην ὑπὲρ ἡμᾶς· εἰ γὰρ

---

14 plura adfert infra 115

Θ [= fv], ARΛpΣ, Ψ [= A_1Wl], Λs

1 διαπονήσαιτο W φρονούντων A_1l 3 ἀποστολικῆσ f προσένεμε v προσνενέμηται A_1W 3/4 ἀνθρωποφαγίαν ἡμῶν] ἀνθρωπο spatio relicto W 4 περιιστάσ ΘA$_1$lΛpΣ παριστάσ ARW 5 μόνη ψιλῆ A_1 6 καταλαμβάνεται Θ προσλαμβάνεται AR λαμβάνεται Ψ 7 τοῦ χῦ l 8 τὸ σῶμα v τὰ om. vR ζωογονοῦντοσ ΘΨ ζωοποιοῦντοσ AR καὶ ζωοποιόν f 9 διὰ τοῦτο AR ὁ ῦσ̄ ΘlΛpΣ ὡσ ARA$_1$WΛs καταργεῖν AWΛs 11 τοῦ χῦ AR 12 τε AR 13 εἰδοῖεν A_1 εἰδεῖεν ΘlΛpsΣ 15 ἁγίας om. v 16 ἐδείκνυ f 16—18 ἔπρεπε — σῶμα om. v 17 κν̄ fARΛpΣ χν̄ ΨΛs 18 λέγωμεν A_1l 20 προεξετάσαμεν f προεζητήσαμεν A εἰδῶμεν Θ 21 γινώσκομεν l ὅτι ὡσ l 22 ἡμῶν πηρ̄ AR 24 φησίν ὁ πρῶτοσ ἀνοσ̄ Ψ ἐκ γῆς om. ARΛs 25 οὐδεὶσ vARA$_1$ΛpΣ καὶ οὐδεὶσ fWlΛs 26 φησίν om. Θ 27 τὰ τοιάδε ARA$_1$W ἐπεὶ v 28 ἀφράστωσ τε καὶ A ἀφράστωσ καὶ R 29 τε καὶ om. WΛps 30 ὅγε v ἡμῖν om. v 31 φιλολογεῖν v εὑρησιλογίασ ΘR ἡ] ἢ v εἰ f 33 χσ̄ A_1.

καὶ γέγονεν ἄνθρωπος ὁ τοῦ θεοῦ λόγος, ἀλλ' ἔστιν καὶ οὕτως οὐχ ὑπέρ γε μόνους ἡμᾶς, PG 377
ἀλλὰ καὶ ὑπὲρ πᾶσαν τὴν κτίσιν. οὐ γὰρ μόνον ἄνθρωπος νοεῖται καθ' ἡμᾶς, ἀλλ' ὁ
αὐτὸς καὶ θεὸς ἄνωθεν καὶ ἐξ οὐρανοῦ.

Ἀναθεματισμὸς ιβ̄

105 Εἴ τις οὐχ ὁμολογεῖ τὸν τοῦ θεοῦ λόγον παθόντα σαρκὶ καὶ ἐσταυρωμένον σαρκὶ καὶ 5
θανάτου γευσάμενον σαρκὶ γεγονότα τε πρωτότοκον ἐκ τῶν νεκρῶν, καθὸ ζωή τέ ἐστι καὶ
ζωοποιός, ἀνάθεμα ἔστω.

Μέμψις αἱρετικῶν P 366

106 Πάλιν ἐνταῦθα τῶν αὐτοῦ λόγων αὐτὸν ὑπομιμνήσκομεν, ὡς πάντηι ἀπαθῆ τὴν θείαν
φύσιν λέγει ἐν τῶι πρώτωι τόμωι φάσκων οὕτως· εἷς οὖν ὁ πάντων ἀξιώτερος τὴν ἰδίαν 10 V 1, 25
ὑπὲρ πάντων τέθεικε ψυχὴν καὶ συγχωρεῖ μὲν οἰκονομικῶς καταβιβάζεσθαι πρὸς βραχὺ τῶι
θανάτωι τὴν σάρκα, κατήργηκε δὲ πάλιν αὐτὸν ὡς ζωή, παθεῖν οὐκ ἀνασχόμενος τὸ παρὰ
φύσιν ἰδίαν. εἴπωμεν οὖν αὐτῶι ἐναντιολογοῦντι· πῶς οὖν ὁ τὴν σάρκα συγχωρῶν
πρὸς βραχὺ τῶι θανάτωι καταβιβάζεσθαι καὶ καταργῶν τὸν θάνατον ὡς ζωή, οὐκ ἀνεχό-
μενος παθεῖν τὸ παρὰ φύσιν ἰδίαν, νῦν κατὰ σὲ πάσχει διὰ τῆς σαρκός; ἀλλ' οὐκ 15
ἔπαθεν ὁ θεὸς τῆι σαρκὶ συνημμένος, ἀλλ' ἡ σὰρξ ἡνωμένη τῶι θεῶι λόγωι κατὰ τὴν αὐ-
τοῦ συγχώρησιν τὰ οἰκεῖα ὑπέμεινεν. οὐ γὰρ ἂν μὴ αὐτοῦ συγχωροῦντος πάθος ἢ
θάνατος ἐπεγένετο· εἰ γὰρ ψυχῆς παρούσης οὐκ ἐπιγίνεται θάνατος, πῶς ἂν θεοῦ παρόντος
καὶ οὐ μόνον παρόντος ἁπλῶς, ἀλλὰ καὶ συνημμένου κατ' ἄκραν τινὰ ἕνωσιν καὶ αὐτῶι
μόνωι καταληπτὴν ἠνώχλει τῶι οἰκείωι ναῶι, μὴ συγχωροῦντος αὐτοῦ, ἢ πάθος ἢ θάνατος; 20
ἀλλὰ γὰρ οὐχ ἡ θεότης τῆι σαρκὶ συνημμένη ἔπαθεν, ἀλλ' ἡ σὰρξ συγχωρούσης αὐτῆς τὰ
107 οἰκεῖα ὑπέμεινεν. ἀλλ' ὅτι κακούργως αὐτῶι κεῖται τὸ ἔπαθε σαρκί πρὸς πλάνην τῶν
ἀφελεστέρων, πρόδηλον αὐτόθεν. οὐ γὰρ ἐφύλαξε τὸ ἀπαθὲς τῆι θείαι φύσει ὁ εἰπὼν
ἔπαθεν σαρκί· τὸ γὰρ ἔπαθε σαρκί οὐδὲν ἕτερόν ἐστιν ἢ μετὰ σαρκὸς παθεῖν, κἂν οὖν
μετὰ τῆς σαρκὸς ἔπαθεν, παθητὸς ὡμολόγηται. ἢ γὰρ κατὰ φύσιν ἔχων τὸ παθεῖν 25
ἔπαθεν ἢ παρὰ φύσιν. καὶ εἰ μὲν κατὰ φύσιν ἔπαθεν, ἔσται καὶ ὁ πατὴρ παθητός,
ὁμοούσιος ὢν τῶι υἱῶι (ἀνάγκη γὰρ προσεῖναι πάντα τῶι γεγεννηκότι ὅσα τῶι γεννηθέντι
πρόσεστιν)· ἢ ὁμολογοῦμεν αὐτὸν μὲν πεπονθέναι ἐπιτηδείως ἔχοντα πρὸς τὸ πάθος, τὸν δὲ
πατέρα παθεῖν μὴ ἐπιδέχεσθαι. ἀλλ' οὕτως λέγοντες συναινέσομεν αἱρετικοῖς λέγουσι P 368
τὴν θεότητα τοῦ μονογενοῦς παθητήν, τὴν δὲ τοῦ πατρὸς μὴ ἐπιδέχεσθαι πάθος, ὅθεν καὶ 30
τὸ ἑτεροούσιον λέγουσιν. εἰ δὲ φήσουσι παρὰ φύσιν αὐτὸν πεπονθέναι, ἐροῦμεν· καὶ
ποῖον πάθος ἰσχυρότερον τῆς θείας φύσεως, ὥστε εἰς τὸ παρὰ φύσιν πάθος ἑλκύσαι τὸν
κατὰ φύσιν ἀπαθῆ; ἀλλά φησιν· αὐτοῦ βούλησις. ἀλλὰ φαμέν· ἡ αὐτοῦ βούλησις

Θ [= fv], ARΛpΣ, Ψ [= A_1Wl] praeter 4—7, $Λ^s$ [usque ad 3]

2 ὑπέρ γε WlΛp καὶ καθ' AR 3 καὶ[1] ΘlΣ om. A_1WΛ^s πᾶσι AR 4 κυρίλλου ἀναθεματισμὸσ ιβ̄ AR 5/6 καὶ θανάτου — σαρκὶ om. R 6/7 ἐστὶ καὶ ζωοποιόσ fΛpΣ καὶ ζωοποιόσ ἐστιν ν ἐστὶ καὶ ζωοποιόσ ὡσ θεὸσ AR 8 ἀντίρρησισ τῶν ἀνατολικῶν [ἀνατολικων ιβ̄ R] AR μέμψισ θεοδωρίτου [θεοδωρήτου ιβ̄ R_1l] Ψ αἱρετικοῦ Σ 9 αὐτὸν om. l ὑπομνήσκομεν RR$_1$ 10 λέγειν A λέγει εἶναι l λέγων εἶναι A_1W λέγων εἶναι ζ^r ὄπισθεν ἀντίρρησισ των ἀνατολικων ιβ̄ R_1 τῶι om. Ψ 11 μὲν Θ om. ARΨ καταβιάζεσθαι f 13—15 εἴπωμεν — ἰδίαν om. ν 13 εἰπομεν R 17 ὑπέμενεν Θ ἂν ΘlΛp om. ARA_1W 18 ἐγένετο Ψ εἰ γὰρ ARΨΛpΣ εἴπερ Θ ἐπιγινώσκεται l 19 ἕνωσιν ARΣ om. ΘWl post καταληπτὴν coll. A_1 21 αὐτῆ Wl 22 ὑπέμενεν f 24 ἔπαθεν σαρκὶ om. A τὸ γὰρ — σαρκί om. RA_1W οὐδὲ W ἕτερόν ἐστιν] γὰρ ἧττον A_1 ἢ ὅτι l εἰ A_1 τῆσ σαρκὸσ Θ ἔπαθε l 24/25 παθεῖν — σαρκὸς om. A_1W 26 παθὸσ f 27 προσειπεῖν AR πάντα ΘΛpΣ πάντωσ ARΨ γεννηθέντι] γεννήσαντι A_1 28 τὸ om. f 30 μονογενοῦσ υἱοῦ AR 32 θείασ om. ν 33 φασὶν ΨΣ αὐτοῦ RΨ αὐτοῦ ἡ A ἡ αὐτοῦ Θ αὐτοβούλησισ W

PG 380 ἀπαθής, ζητοῦμεν δὲ πάθος τὸ τὴν ἀπαθῆ φύσιν εἰς τὴν αὐτοῦ ἐμπάθειαν μετενέγκαν.
108 ἄλλως τε καὶ ἡ θεία βούλησις ἐκεῖνα θέλει τὰ αὐτῆι πρέποντα. καὶ τί, φησίν, πρεπωδέστερον τοῦ σῶσαι τὸ τῶν ἀνθρώπων γένος; καὶ πῶς ἔμελλε τὸ τῶν ἀνθρώπων γένος περισώιζεσθαι, αὐτὸ εἰς ἀπάθειαν μεταβαῖνον ἢ τὴν θείαν καὶ ἀπαθῆ φύσιν εἰς πάθος κατασπῶν; πάντως γὰρ ὡς ἰσχυροτέρα εἰς τὸ ἑαυτῆς ἐμπαθὲς μετέστησε τὸ ἀπαθές. καὶ τίς ὄνησις τῶι παθητῶι, εἰ καὶ τὸ ἀπαθὲς παθητὸν γένοιτο; σωτηρία δὲ τοῦ παθητοῦ οὐχ ἡ τοῦ ἀπαθοῦς πρὸς αὐτὸ διὰ τοῦ πάθους κοινωνία· τοῦτο γὰρ μᾶλλον αὔξησις τοῦ κακοῦ, οὐκ ἀναίρεσις· τῶι γὰρ ὁμοίωι τὸ ἕτερον οὐκ ἀναιρεῖται, ἀλλ' αὐξάνεται. τίς οὖν ἡ σωτηρία τοῦ παθητοῦ; ὡς ἔφαμεν, οὐχ ἡ τοῦ ἀπαθοῦς πρὸς αὐτὸ κοινωνία, ἀλλ' ἡ αὐτοῦ πρὸς τὸ ἀπαθὲς μετάστασις· ὃ καὶ πεποίηκεν ὁ δεσπότης Χριστός, οὐκ αὐτὸς κατὰ τὴν θεότητα εἰς πάθος καταβιβασθείς, ἀλλὰ καὶ τὴν ἀνθρωπότητα πᾶσαν διὰ τῆς ἁγίας σαρκὸς εἰς ὕψος ἐγείρας καὶ τὴν χαμαὶ κειμένην εἰς οὐρανοὺς ἀνελκύσας καὶ τὴν ἀπαρρησίαστον πρώην υἱοθεσίας ἀξιώσας. τίς δὲ ἐχρεώστει τὸν ἐκ τῆς παρακοῆς θάνατον; πάντως ἡ ἀνθρωπεία φύσις, οὐχ ἡ θεία. τίνα οὖν ἀκόλουθον ἦν ἀποδοῦναι τὸν τῆς παρακοῆς θάνατον;

P 370 Ἀπολογία ὀρθοδόξου

109 Ἀξιάγαστος ἀληθῶς τῆς ἀληθείας ἡ δύναμις καὶ μάρτυς ἡ πεῖρα· οὐ γάρ μοι μακροῦ δεήσει λόγου πρὸς ἀπολογίαν ἢ γοῦν ἀναπείθειν οἵου τε τοὺς ἠπατημένους, οἰομένους ὅτι παθητὴν εἶναι φαμὲν τὴν θείαν τοῦ λόγου φύσιν, ἅπαξ τῶν δι' ἐναντίας καταβεβληκότων αὐτόθεν διωμολογηκότων τε καὶ μάλα σαφῶς ὡς ἀλλότριοι καὶ ἔξω που τῶν ἐπί γε τουτοισὶ καθεστήκαμεν ἐγκλημάτων. ἐπειδὴ δὲ ἀνυπόθετον λῆμμα κατὰ τὸ αὐτοῖς δοκοῦν προθέντες ἀβούλως καὶ πικροῖς ἐννοιῶν εὑρήμασιν χρώμενοι πειρῶνται δεικνύειν τῆς ἐνούσης αὐτοῖς ἀγχινοίας τὴν δείνωσιν, κατασκευάζουσι δὲ καὶ μάλα γοργῶς ἀποφαίνοντες ἀπαθῆ
1 Cor. 9, 26 κατ' ἰδίαν φύσιν τὸν τοῦ θεοῦ λόγον, ἀκουέτωσαν πρὸς ἡμῶν ὅτι πυκτεύουσι μάτην καὶ δέρουσιν εἰς ἀέρα μηδενὸς αὐτοῖς ἀντεξάγοντος εἰς τοῦτο μήτε μὴν φρονοῦντος τὰ ἐναντία. τί τοίνυν ἱδροῦσι μάτην καὶ διατείνονται περιττά; τίς οὕτως ἐμβρόντητος, ὡς τῆς ἀνωτάτω πασῶν οὐσίας τὸ ἐμπαθὲς καθορίζειν καὶ εἰς τὴν τῶν ποιημάτων ἀσθένειαν κατα-
110 σείειν ἀποτολμᾶν τὸ παντὸς ἐπέκεινα γενητοῦ καὶ ἀσώματον; ἐπειδὴ δὲ ὁ τοῦ μυστηρίου λόγος ἄνθρωπον οἷδεν γενόμενον οἰκονομικῶς τὸν ἐκ θεοῦ κατὰ φύσιν υἱὸν μονογενῆ
P 372 ἴδιόν τε ὑπάρχειν αὐτοῦ διαβεβαιούμεθα τὸ ἐκ τῆς μακαρίας παρθένου ληφθὲν ἅγιον σῶμα,

---

16 λείπει fmg 26—28 Fcyr 133 τίς — ἀσωμάτου

Θ [= fv], ARΛpΣ, Ψ [= A_1Wl], Λs [inde a 16]

1 δὲ] δὴ Σ ἀπάθειαν l 3 τὸ l σῶσαι καὶ v ἤμελλε AR 4 περισώζεσθαι ΘARlΣ περισώζειν AcorrΛpA_1Wcorr ἢ ΘA_1lΣ ἡ ARΛpA_1corrW τὸ πάθοσ Ψ 5 κατασπῶν ΘlΣ κατασπῶσα ARΛpA_1W αὐτῆσ Θ 6 καὶ τίς — ἀπαθὲς om. f 7 τοῦ^2 om. Θ 9 αὐτὸ ARA$_1$W αὐτὸν WcorrI τοῦτο διὰ πάθουσ ΘΣ 11 καὶ om. Ψ 12 ἀνουσ̄ v ̲ ἑλκύσασ Ψ 14 ἦν om. A_1 16 ἀπολογία ὀρθοδόξου ΘΛpΣ κυρίλλου A ἀπολογία κυρίλλου ιβ R ἀντίθεσισ τοῦ ἁγίου κυρίλλου [κυρίλλου ιβ R_1 κυρίλλου δωδεκάτη l] Ψ 17 ἀξιάγαστοσ ἀληθῶσ τῆσ ζ^{ησ} ὄπισθεν ἀπολογία κυρίλλου ιβ R_1 18 ἡ γοῦν] εἰ Rcorr *qua* Λs οἵου τε vΛpA_1l οἷοσ τε fΛs οἷόν τε A οἵονται R οἷοί τε W om. Σ οἰομένουσ ARA$_1$WΛs οἰομένουσ τε Θ καὶ οἰομένουσ l *et opinati* ΛpΣ 19 καταβεβηκότων f, corr. f 20 τε ΘlΛps om. ARΣ δὲ A_1W καὶ μάλα] μᾶλλον f μάλα A_1 20/21 τοὐτοισ AR 22 προσθέντεσ ARΨΛs καὶ ΘlΛpΣ om. ARA$_1$WΛs κεχρημένοι Θ 23 αὐτῆσ v ἕνωσιν Θ 24 φύσιν om. f 25 οὐδερουσιν f δαίρουσι A δαίρουσιν A_1l πρὸσ AR φρονοῦντεσ l τἀναντία Ψ 26 ἱδρῶσι RW, corr. R περισσὰ A_1 οὗτοσ l 27 ποιημάτων ΘΛpΣFcyr παθημάτων ARΨΛs 27/28 κατασείειν ARA$_1$WΛsΣ κατάγειν Θl 28 τὸν Wl τε Fcyr γεννητοῦ vAΨFcyr ἀσωμάτου Fcyr 29 θῦ πρσ̄ A_1 30 δὲ ΨΛs αὐτοῦ ὑπάρχειν Θ μακαρίας παρθένου] μαρίασ παρθένου in παρθένου μαρίασ corr. R *ex Maria uirgine* Λs

ταύτηι τοι καὶ μάλα ὀρθῶς κατ' οἰκείωσιν οἰκονομικὴν αὐτοῦ λέγεσθαι φαμὲν τὰ τῆς σαρκὸς πάθη, τετηρηκότες πανταχοῦ τῆι αὐτοῦ φύσει τὸ ἀπαθές· θεὸς γὰρ ἐστιν ἐκ θεοῦ. ὅταν PG 381
τοίνυν σαρκὶ λέγηται παθεῖν, οὐκ αὐτὸς εἰς ἰδίαν φύσιν νοεῖται παθὼν καθὸ θεός ἐστιν,
ἰδιοποιούμενος δὲ μᾶλλον τὸ πάθος· αὐτοῦ γὰρ γέγονεν τὸ ἐνωθὲν αὐτῶι σῶμα, καθάπερ
111 ἔφην ἀρτίως. διὰ τοῦτο καὶ ὁ θεσπέσιος Παῦλος αὐτὸν τὸν δι' οὗ τὰ πάντα καὶ 5
ἐν ὧι τὰ πάντα πεποίηκεν ὁ πατήρ, πρωτότοκον ἐκ νεκρῶν γενέσθαι φησίν. γράφει
δὲ οὕτως

Εὐχαριστοῦντες τῶι πατρὶ τῶι ἱκανώσαντι ἡμᾶς εἰς τὴν μερίδα τοῦ Col. 1, 12-20
κλήρου τῶν ἁγίων ἐν τῶι φωτί, ὃς ἐρρύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ
σκότους καὶ μετέστησεν εἰς τὴν βασιλείαν τοῦ υἱοῦ τῆς ἀγάπης αὐτοῦ, 10
ἐν ὧι ἔχομεν τὴν ἀπολύτρωσιν, τὴν ἄφεσιν τῶν ἁμαρτιῶν· ὅς ἐστιν εἰκὼν
τοῦ θεοῦ τοῦ ἀοράτου, πρωτότοκος πάσης κτίσεως, ὅτι ἐκ αὐτῶι ἐκτίσθη
τὰ πάντα τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα,
εἴτε θρόνοι εἴτε κυριότητες εἴτε ἀρχαὶ εἴτε ἐξουσίαι, τὰ πάντα δι' αὐτοῦ
καὶ εἰς αὐτὸν ἔκτισται, καὶ αὐτός ἐστι πρὸ πάντων καὶ τὰ πάντα ἐν αὐ- 15
τῶι συνέστηκεν, καὶ αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας·
ὅς ἐστιν ἀρχή, πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνα γένηται ἐν πᾶσιν αὐτὸς
πρωτεύων, ὅτι ἐν αὐτῶι ηὐδόκησεν πᾶν τὸ πλήρωμα κατοικῆσαι καὶ δι'
αὐτοῦ ἀποκαταλλάξαι τὰ πάντα εἰς αὐτόν, εἰρηνοποιήσας διὰ τοῦ αἵματος
τοῦ σταυροῦ αὐτοῦ εἴτε τὰ ἐπὶ τῆς γῆς εἴτε τὰ ἐν τοῖς οὐρανοῖς. 20

112 Ἆθρει δὴ οὖν ὅπως δι' αὐτοῦ τὰ πάντα πεποιῆσθαι λέγων ὁρατὰ καὶ ἀόρατα θρό- P 374
νους τε καὶ ἐξουσίας αὐτὸν δεδόσθαι φησὶν τῆι ἐκκλησίαι κεφαλὴν καὶ πρωτότοκον ἐκ
νεκρῶν γενέσθαι διισχυρίζεται ἀποκαταλλαχθῆναί τε τὰ πάντα δι' αὐτοῦ εἰς αὐτὸν εἰρη-
νεῦσαί τε διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ εἴτε τὰ ἐπὶ τῆς γῆς εἴτε τὰ ἐν τοῖς οὐρα-
νοῖς. εἶτα τίς ὁ ἐνδοιάζων καὶ μετὰ τοῦτο ἔτι καὶ δεδιὼς εἰκῆι μὴ ἄρα πως παθητὴν 25
τὴν τοῦ υἱοῦ φύσιν ὁ τοῦ μυστηρίου λόγος ἀποφήνηι, ὅταν λέγηται σαρκὶ παθεῖν; ἰδιο-
ποιεῖται γάρ, ὡς ἔφην, τὰ τοῦ ἰδίου σώματος πάθη. τοῦτο φρονεῖν ἐδόκει καὶ τῶι
θεσπεσίωι Πέτρωι λέγοντι· Χριστοῦ οὖν παθόντος ὑπὲρ ἡμῶν σαρκί. ἕτερον 1 Petr. 4, 1
δὲ τὸ σαρκὶ λέγεσθαι παθεῖν καὶ ἕτερον ὁμοίως τὸ παθεῖν λέγεσθαι τῆι τῆς θεότητος φύσει.
ἐπειδὴ γάρ ἐστιν ὁ αὐτὸς θεός τε ὁμοῦ καὶ ἄνθρωπος, ἀπαθὴς μὲν τό γε ἦκον εἰς τὴν 30
τῆς θεότητος φύσιν, παθητὸς δὲ κατὰ τὸ ἀνθρώπινον, τί τὸ ἄτοπον, εἰ τῶι παθεῖν πεφυ-
κότι λέγεται παθεῖν, τῶι παθεῖν οὐκ εἰδότι μεμενηκὼς ἀπαθής; ὅτι δὲ τῆι τοιᾶιδε πίστει
καὶ ὁ τῶν ἁγίων πατέρων διέπρεψε χορός, ἐξ αὐτῶν εἰσόμεθα πάλιν ὧν γεγράφασιν αὐτοί,
τὴν τοῦ σωτῆρος τηρήσαντες ἐντολήν· διεμέμνηντο γὰρ λέγοντος δωρεὰν ἐλάβετε, Mt. 10, 8
δωρεὰν δότε. 35

25—32 Fcyr 134 εἶτα — ἀπαθής

Θ [= fv], ARΛpΣ, Ψ [= A_1Wl], $Λ^s$

1 αὐτῶ A_1l 2 τεθηκότεσ ex corr. v 3 λέγοιτο Ψ 6 ὁ πατήρ om. I γενέσθαι Θ γεγενῆσθαι ARΨ 11 τὴν ἄφεσιν ΘΛpΣ om. ARΨ$Λ^s$ 13 τὰ[2] om. Θ καὶ[1] om. f τὰ[3] om. Θ 15 καὶ πάντα τὰ f 18 πλήρωμα τῆσ θεότητοσ AR κατοικῆσαι σωματικῶσ AR 20 τῆς om. A 21 τὰ πάντα] τὸ πάντα Θ 23 γεγένῆσθαι AR 23/24 εἰρηνεῦσαί τε ΘΨ εἰρηνεῦσαι RΛ^s καὶ εἰρηνεῦσαι A 24 τῆς om. A 25 εἴτέ τισ Θ δεδοικῶσ AR εἰ μὴ A_1 26 τοῦ υἱοῦ τὴν vFcyr τοῦ υἱοῦ W παθεῖν σαρκί Fcyr 29 παθεῖν λέγεσθαι AR τῆι om. Fcyr 31 φύσιν παθητὸς om. Fcyr 31—35 τί τὸ ἄτοπον — δωρεὰν δότε om. W spatio uacuo relicto 31 τὸ[2] om. Fcyr 33 διέπρεπε Θ πάλιν ΘΛpΣ om. ARΨ$Λ^s$ γεγραφήκασιν Ψ 35 δῶτε fR, corr. R

or. 1 de beat. [PG p. 1201]

Γρηγορίου τοῦ μακαριωτάτου ἐπισκόπου Νύσης

P 376 **113** Τοῦτο φρονείσθω, φησίν, ἐν ὑμῖν ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ· ὃς ἐν
Phil. 2, 5-7 μορφῇ θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ, ἀλλ'
PG 384 ἑαυτὸν ἐκένωσεν μορφὴν δούλου λαβών. τί πτωχότερον ἐπὶ θεοῦ τῆς τοῦ δούλου μορφῆς; τί ταπεινότερον ἐπὶ τοῦ βασιλέως τῶν ὅλων ἢ τὸ εἰς κοινωνίαν τῆς
Apoc. 19, 16 πτωχῆς ἡμῶν φύσεως ἑκουσίως ἐλθεῖν; ὁ βασιλεὺς τῶν βασιλευόντων καὶ κύριος τῶν κυριευόντων τὴν τῆς δουλείας μορφὴν ὑποδύεται· ὁ κριτὴς τοῦ παντὸς ὑπόφορος τοῖς δυναστεύουσι γίνεται· ὁ τῆς κτίσεως κύριος ἐν σπηλαίοις κατάγεται· ὁ τοῦ παντὸς περιδεδραγμένος οὐχ εὑρίσκει τόπον ἐν τῷι καταλύματι, ἀλλ' ἐν φάτνηι τῶν ἀλόγων παραρρίπτεται· ὁ καθαρὸς καὶ ἀκήρατος τὸν τῆς ἀνθρωπίνης φύσεως καταδέχεται ῥύπον καὶ διὰ πάσης τῆς πτωχείας ἡμῶν διεξελθὼν μέχρι τῆς τοῦ θανάτου πρόεισι πείρας. ὁρᾶτε τῆς ἑκουσίου πτωχείας τὸ μέτρον· ἡ Ζωὴ θανάτου γεύεται· ὁ κριτὴς εἰς κριτήριον ἄγεται· ὁ τῆς Ζωῆς τῶν ὄντων κύριος ἐπὶ τῇι ψήφωι τοῦ δικάζοντος γίνεται· ὁ πάσης τῆς ὑπερκοσμίου δυνάμεως βασιλεὺς τὰς τῶν δημίων οὐκ ἀπωθεῖται χεῖρας.

Βασιλείου ἐπισκόπου Καισαρείας

114 Οὐ γὰρ τοσοῦτον οὐρανὸς καὶ γῆ καὶ τὰ μεγέθη τῶν πελαγῶν καὶ τὰ ἐν ὕδασι διαde spir. s. 18 τώμενα καὶ τὰ χερσαῖα τῶν ζώιων καὶ φυτὰ καὶ ἀστέρες καὶ ἀὴρ καὶ ὧραι καὶ ἡ ποικίλη τοῦ παντὸς διακόσμησις τὸ ὑπερέχον τῆς ἰσχύος συνίστησιν ὅσον τὸ δυνηθῆναι τὸν θεὸν τὸν ἀχώρητον ἀπαθῶς διὰ σαρκὸς συμπλακῆναι τῶι θανάτωι, ἵν' ἡμῖν τῶι ἰδίωι πάθει τὴν ἀπάθειαν χαρίσηται.

P 378

Ἀθανασίου ἐπισκόπου Ἀλεξανδρείας

Athan. **115** Καὶ ἐδείκνυτο ὅτι μὴ φαντασίαι, ἀλλὰ ἀληθῶς ἔχων ἦν σῶμα. ἔπρεπε δὲ τὸν
c. Ar. 3, 32, cf. p. 60 κύριον ἐνδιδυσκόμενον ἀνθρωπίνην σάρκα, ταύτην μετὰ τῶν ἰδίων παθῶν αὐτῆς ὅλην ἐνδύσασθαι, ἵν' ὥσπερ ἴδιον αὐτοῦ λέγομεν εἶναι τὸ σῶμα, οὕτω καὶ τὰ τοῦ σώματος πάθη ἴδια μόνον αὐτοῦ λέγηται, εἰ καὶ μὴ ἥπτετο κατὰ τὴν θεότητα αὐτοῦ. εἰ μὲν οὖν
Ioh. 1, 14 ἑτέρου τὸ σῶμα, ἐκείνου ἂν λέγοιτο καὶ τὰ πάθη· εἰ δὲ τοῦ λόγου ἡ σάρξ (ὁ γὰρ λόγος σάρξ ἐγένετο), ἀνάγκη καὶ τὰ τῆς σαρκὸς πάθη λέγεσθαι αὐτοῦ, οὗ καὶ ἡ σάρξ ἐστιν. οὗ γὰρ λέγεται τὰ πάθη, οἷά ἐστι μάλιστα τὸ κατακριθῆναι, τὸ μαστιγωθῆναι, τὸ διψᾶν καὶ ὁ σταυρὸς καὶ ὁ θάνατος καὶ αἱ ἄλλαι τοῦ σώματος ἀσθένειαι, τούτου καὶ τὸ κατόρθωμα καὶ ἡ χάρις ἐστίν. διὰ τοῦτο τοίνυν ἀκολούθως καὶ πρεπόντως οὐκ ἄλλου ἀλλὰ τοῦ

---

2 Exc. Ephes. XVI 16 Exc. Ephes. XV 25—p. 65, 4 εἰ μὲν — σωτῆρα καὶ ἀληθινὸν υἱόν flor. R I 11 [= Tim. Ael arm p 157]

Θ [= fv], ARΛpΣ, l [inde a 21], Λs

1—p. 65, 11 om. A_1W 1—20 horum loco habet l: οὐαλεριανοῦ ἐπισκόπου ἰκονίου: εἰ μὴ γὰρ ἐκεῖνοσ — κατὰ θεότητα [= supra 17]: — τοῦ μακαρίου ἀθανασίου ἐπισκόπου ἀλεξανδρείασ: Ὅθεν καὶ γεννωμένησ — μετάθη γέννησιν [= 14] 1 τοῦ μακαριωτάτου ARΛpΣ om. Θ ἐπισκόπου om. ν νύσσησ A 2 φησὶν RΛpsΣ om. ΘA 4 τοῦ om. ν 5 ἢ τὸ ARΣ τοῦ Θ 7 τὴν τῆσ δουλείασ f τῆσ δουλείασ τὴν ν τὴν τοῦ δούλου ARΛsΣ 8 τῷ σπηλαίῳ A 9/10 παραρίπτεται fR 13 ὑπὸ Θ 14 χεῖρασ οὐκ ἀπωθεῖται AR 15 βασιλείου καισαρείασ f τοῦ ἁγίου βασιλείου νΣ ἐπισκόπου Καισαρείας om. ν 16 οὐνοσ τε R ὁ οὐρανόσ τε A 17 ὧραι καὶ ἀὴρ Θ 18 τῆς ἰσχύοσ τοῦ θῦ συνίστησιν f τῆσ τοῦ θῦ συνίστησιν ἰσχύοσ ν δυνηθῆναι om. ν 21 τοῦ ἁγίου ἀθανασίου Θ τοῦ αὐτοῦ ἁγιωτάτου ἀθανασίου l τοῦ μακαρίου Ἀθανασίου Σ 22 ἦν ἔχων l 23 ἐνδιδυσκομένην ν τὴν ἀνθρωπίνην ARl αὐτῆσ ΘlΛps αὐτὴν ΛR 24 λέγωμεν Al 25 οὖν om. AR 26 γὰρ om. ν 29 καὶ[1] om l αἱ om. Θ

κυρίου λέγεται τὰ τοιαῦτα πάθη, ἵνα καὶ ἡ χάρις παρ' αὐτοῦ ἦι καὶ μὴ ἀνθρωπολάτραι γινώμεθα, ἀλλὰ ἀληθῶς θεοσεβεῖς, ὅτι μηδένα τῶν γενητῶν μηδὲ κοινόν τινα ἄνθρωπον, ἀλλὰ τὸν ἐκ θεοῦ φύσει καὶ ἀληθινὸν υἱόν, τοῦτον καὶ γενόμενον ἄνθρωπον, οὐδὲν ἧττον κύριον αὐτὸν καὶ θεὸν καὶ σωτῆρα ἐπικαλούμεθα.

116 Ἀπόχρη τοίνυν εἰς πληροφορίαν, ὥς γε οἶμαι, τοῖς ἀρτίφροσι τὰ προτεθέντα ῥητά, 5 PG 385
τοῦ θείου νόμου διαρρήδην λέγοντος· ἐπὶ στόματος δύο καὶ τριῶν μαρτύρων Deut. 19, 15
σταθήσεται πᾶν ῥῆμα. εἰ δὲ δή τις βούλοιτο καὶ μετὰ τοῦτο ἔτι φιλονεικεῖν,
ἀκουέτω πρὸς ἡμῶν· αὐτὸς ἴθι τὴν κατὰ σαυτόν, ἡμεῖς δὲ οἱ τῆι ἀληθείαι προσκείμενοι P 380
τοῖς τε ἱεροῖς γράμμασι καὶ τῆι τῶν ἁγίων πατέρων ἑψόμεθα πίστει. κερδανοῦμεν γὰρ Phil. 3, 14
οὕτω τῆς ἄνω κλήσεως τὸ βραβεῖον ἐν Χριστῶι, δι' οὗ καὶ μεθ' οὗ τῶι θεῶι καὶ πατρὶ 10
ἡ δόξα σὺν ἁγίωι πνεύματι εἰς τοὺς αἰῶνας· ἀμήν.

25 = R 7 cf. V 167—169. 148. Κυρίλλου πρὸς τὰ παρὰ Θεοδωρίτου εἰρημένα κατὰ τῶν ἀναθεματισμῶν. secuntur Apologeticus XII capitulorum contra Theodoretum et Solutiones ex recensione Ψ

26 = R 1. Ἔκθεσις τῶν τιη ἁγίων πατέρων 15

Πιστεύομεν εἰς ἕνα θεὸν πατέρα παντοκράτορα, πάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητήν· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ γεννηθέντα ἐκ τοῦ πατρὸς μονογενῆ, τουτέστιν ἐκ τῆς οὐσίας τοῦ πατρός, θεὸν ἐκ θεοῦ, φῶς ἐκ φωτός, θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ, γεννηθέντα οὐ ποιηθέντα, ὁμοούσιον τῶι πατρί, δι' οὗ τὰ πάντα ἐγένετο τά τε ἐν τῶι οὐρανῶι καὶ τὰ ἐν τῆι γῆι, τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ 20
τὴν ἡμετέραν σωτηρίαν κατελθόντα καὶ σαρκωθέντα, ἐνανθρωπήσαντα, παθόντα καὶ ἀναστάντα τῆι τρίτηι ἡμέραι, ἀνελθόντα εἰς οὐρανούς, ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς· καὶ εἰς τὸ ἅγιον πνεῦμα.

Τοὺς δὲ λέγοντας ἦν ποτε ὅτε οὐκ ἦν· καὶ πρὶν γεννηθῆναι οὐκ ἦν· καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο, ἢ ἐξ ἑτέρας ὑποστάσεως ἢ οὐσίας φάσκοντας εἶναι ἢ τρεπτὸν ἢ ἀλλοιωτὸν 25
τὸν υἱὸν τοῦ θεοῦ, τούτους ἀναθεματίζει ἡ ἀποστολικὴ καὶ καθολικὴ ἐκκλησία.

27 = R 2 V 142. Ἔκθεσις τῶν τι καὶ ὀκτὼ πατέρων κατὰ Παύλου τοῦ Σαμοσατέως

28 = R 3 Τὸ σύμβολον τῶν ἑκατὸν πεντήκοντα

Πιστεύομεν εἰς ἕνα θεὸν πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς ὁρατῶν τε πάντων καὶ ἀοράτων· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ τὸν μονογενῆ, 30
τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων, φῶς ἐκ φωτός, θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ, γεννηθέντα οὐ ποιηθέντα, ὁμοούσιον τῶι πατρί, δι' οὗ τὰ πάντα ἐγένετο, τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν

16—26. 29—p. 66, 8 Timoth. syr. f. 36b. 37a [Σ; extant ap. Caspari, Quellen z. Gesch. d. Taufsymbols p. 101]; cf. *Zeitschr. f. neutest. Wiss.* 25, 70. 71

Θ [= fv], ARlΛpΣΛs

1 εἴη AR ἀνθρωπολάτραι Σ ἄλλου λάτραι ΘΛpsflor. εἰδωλολάτραι ARlΛs 2 γενώμεθα vR γεννητῶν fAl 4 θεὸν καὶ om. R 5 προστεθέντα Λp 6 μαρτύρων καὶ τριῶν ARl 8 ἡμῶν ex ἡμᾶς corr. f ἴσθι R δὲ ARlΛps γὰρ ΘΣ οἱ — προσκείμενοι ΘΛpΣ om. ARlΛs 9 τε ἱεροῖς ΘΛpsΣ ὀρθοῖς ARl 10 ῑ̄ῡ̄ v πρὶ καὶ θῶ̄ R 11 ἡ om. R αἰῶνας τῶν αἰώνων vΛp AR

15 τριακοσίων δέκα καὶ ὀκτὼ R 16 τε om. A 27 τῆσ ἁγίασ συνόδου τῶν τριακοσίων δέκα καὶ ὀκτὼ R 28 ρ̄ν̄ R 29 πιστεύω Σ 31 φῶς ἐκ φωτός om. R 33 ἐκ τῶν οὐρανῶν om. R

καὶ σαρκωθέντα ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου καὶ ἐνανθρωπήσαντα σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου καὶ ταφέντα καὶ ἀναστάντα τῇι τρίτηι ἡμέραι κατὰ τὰς γραφὰς καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐν δεξιᾶι τοῦ πατρὸς καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος· καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τὸ κύριον καὶ ζωοποιόν, τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, τὸ σὺν πατρὶ καὶ υἱῶι συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν· εἰς μίαν καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν. ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. προσδοκῶ ἀνάστασιν νεκρῶν καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος· ἀμήν.

29 = R 4. primi ediderunt Benedictini ex R in Athanas. opp. 2, 1278 [PG 26, 1231]

Ἀθανασίου ἐπισκόπου Ἀλεξανδρείας ἑρμηνεία εἰς τὸ σύμβολον

Πιστεύομεν εἰς ἕνα θεὸν πατέρα παντοκράτορα, πάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητήν· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ, γεννηθέντα ἐκ τοῦ πατρὸς μονογενῆ, τουτέστιν ἐκ τῆς οὐσίας τοῦ πατρός, θεὸν ἐκ θεοῦ, φῶς ἐκ φωτός, θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ, γεννηθέντα οὐ ποιηθέντα, ὁμοούσιον τῶι πατρί, δι' οὗ τὰ πάντα ἐγένετο τά τε ἐν τῶι οὐρανῶι καὶ τὰ ἐπὶ τῆς γῆς, ὁρατά τε καὶ ἀόρατα, τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα, σαρκωθέντα, ἐνανθρωπήσαντα, τουτέστι γεννηθέντα τελείως ἐκ Μαρίας τῆς ἀειπαρθένου διὰ πνεύματος ἁγίου, σῶμα καὶ ψυχὴν καὶ νοῦν καὶ πάντα ὅσα ἐστὶν ἀνθρώποις, χωρὶς ἁμαρτίας ἀληθινῶς καὶ οὐ δοκήσει ἐσχηκότα, παθόντα, τουτέστιν σταυρωθέντα, ταφέντα καὶ ἀναστάντα τῇι τρίτηι ἡμέραι καὶ ἀνελθόντα εἰς οὐρανοὺς ἐν αὐτῶι τῶι σώματι ἐνδόξως καθίσαντα ἐν δεξιᾶι τοῦ πατρός, ἐρχόμενον ἐν αὐτῶι τῶι σώματι ἐν δόξηι κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. καὶ πιστεύομεν εἰς τὸ πνεῦμα τὸ ἅγιον τὸ οὐκ ἀλλότριον πατρὸς καὶ υἱοῦ, ἀλλ' ὁμοούσιον ὂν πατρὶ καὶ υἱῶι, τὸ ἄκτιστον, τὸ τέλειον, τὸ παράκλητον, τὸ λαλῆσαν ἐν νόμωι καὶ ἐν προφήταις καὶ ἐν εὐαγγελίοις, καταβὰν ἐπὶ τὸν Ἰορδάνην, κηρῦξαν ἐν ἀποστόλοις, οἰκοῦν ἐν ἁγίοις. καὶ πιστεύομεν εἰς μίαν μόνην ταύτην καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν, εἰς ἓν βάπτισμα μετανοίας καὶ ἀφέσεως ἁμαρτιῶν, εἰς ἀνάστασιν νεκρῶν, εἰς κρίσιν αἰώνιον ψυχῶν τε καὶ σωμάτων, εἰς βασιλείαν οὐρανῶν καὶ εἰς ζωὴν αἰώνιον.

Τοὺς δὲ λέγοντας ὅτι ἦν ποτε ὅτε οὐκ ἦν ὁ υἱὸς ἢ ἦν ποτε ὅτε οὐκ ἦν τὸ ἅγιον πνεῦμα ἢ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο ἢ ἐξ ἑτέρας ὑποστάσεως ἢ οὐσίας, φάσκοντας εἶναι τὸν υἱὸν τοῦ θεοῦ ἢ τὸ πνεῦμα τὸ ἅγιον τρεπτὸν ἢ ἀλλοιωτόν, τούτους ἀναθεματίζομεν, ὅτι αὐτοὺς ἀναθεματίζει ἡ καθολικὴ μήτηρ ἡμῶν καὶ ἀποστολικὴ ἐκκλησία. καὶ ἀναθεματίζομεν πάντας τοὺς μὴ ὁμολογοῦντας ἀνάστασιν σαρκὸς καὶ πᾶσαν αἵρεσιν, τουτέστι τοὺς μὴ ὄντας ἐκ ταύτης τῆς πίστεως τῆς ἁγίας καὶ μόνης καθολικῆς ἐκκλησίας.

Ἀρχὴ τῆς συνόδου

30 = V 31. Σάκρα βασιλική

31 = V 32. Ἴσον θείου γράμματος ἀναγνωσθέντος τῇι συνόδωι παρὰ τοῦ κόμητος **Κανδιδιανοῦ**

32 = V 33—54. 60—62. Gesta primae sessionis

---

29 cf. Epiphan. Ancor. 119, 3—12 [*Zeitschr. f. neutest. Wiss.* 25, 87]

A, R [usque ad 32 αὐτοὺς ἀναθ, cetera m. recentissima suppleta]

2 καὶ παθόντα καὶ ταφέντα Σ 3 κατὰ τὰς γραφὰς om. R 4 μετὰ δόξης om. R 6 συνπροσκυνούμενον R 7 ἀποστολικὴν καὶ καθολικὴν Σ καθολικὴν R ὁμολογούμεν R 8 καὶ προσδοκῶ Σ προσδοκιῦμεν R καὶ om. R 10 ἀρχιεπισκόπου R σύμβουλον R 25/26 καὶ ἀποστολικὴν om. R 27 εἰς[3] om. R

33 = V 63. Ἡ καθαίρεσις ἡ πεμφθεῖσα αὐτῶι τῆι ἐπαύριον τοῦ καθαιρεθῆναι αὐτόν

34 = V 65. Ἐπίσταλμα πεμφθὲν πρὸς τοὺς κληρικοὺς καὶ οἰκονόμους τῆς ἐκκλησίας Κωνσταντινουπόλεως ἐν αὐτῆι τῆι ἡμέραι ἐν ἧι καὶ αὐτῶι ἐπεστάλη

35 = V 16. Τοῦ αὐτοῦ πρὸς Ἀκάκιον ἐπίσκοπον Βερροίας περὶ τοῦ αἱρετικοῦ Νεστορίου

36 = V 17. Ἀκακίου ἐπισκόπου πρὸς Κύριλλον

37. 38 = V 87—90. Λίβελλοι ἐπιδοθέντες τῆι ἁγίαι συνόδωι παρὰ τῶν ἁγιωτάτων ἐπισκόπων Κυρίλλου Ἀλεξανδρείας καὶ Μέμνονος Ἐφέσου

39 = V 92. Ἴσον ἀναφορᾶς παρὰ τῆς ἁγίας συνόδου πρὸς τοὺς εὐσεβεστάτους βασιλέας περὶ τῶν Ἀνατολικῶν

40 = V 91. Γράμματα ἀποσταλέντα παρὰ τῆς ἁγίας συνόδου τοῖς καθ' ἑκάστην ἐπαρχίαν τε καὶ πόλιν ἐπισκόποις πρεσβυτέροις διακόνοις καὶ λαικοῖς περὶ τῶν Ἀνατολικῶν

41. 42 = V 106. Ἴσον ὑπομνήματος πραχθέντος ἐπὶ παρουσίαι τῶν ἀπὸ Ῥώμης ἐλθόντων ἐπισκόπων καὶ πρεσβυτέρου

43 = V 107. Ἴσον ἀναφορᾶς πρὸς τοὺς εὐσεβεῖς βασιλέας παρὰ τῆς ἁγίας συνόδου περὶ τῶν ἀπὸ Ῥώμης ἐλθόντων ἐπισκόπων τε καὶ πρεσβυτέρου διὰ τοῦ διακόνου Εὐτυχοῦς

44 = V 93. Ἴσον σάκρας ἀποσταλείσης διὰ Ἰωάννου τοῦ κόμητος τῶν σακρῶν παρὰ τῶν εὐσεβεστάτων βασιλέων τῆι ἁγίαι καὶ μεγάληι συνόδωι

45 Latinae uersiones extant duae, in Collectione Casinensi 104 [Λ^{c}] et in Collectione Winteriana 9 [Λ^{w}]

Ἴσον ἐπιστολῆς τοῦ μεγαλοπρεπεστάτου κόμητος τῶν σακρῶν Ἰωάννου γραφείσης ἀπὸ Ἐφέσου

1 Εἰς εὐσέβειαν συντελεῖν ἐπιστάμενος τὸ θείοις ἐξυπηρετεῖσθαι τύποις, ἅπαντα κατὰ σκοπὸν τῆς ἀχράντου κορυφῆς κατὰ δύναμιν πέπραχα· τίνα δέ ἐστι τὰ παρακολουθήσαντα, ἐντεῦθεν μαθήσεσθε. πολλῶι πόνωι καὶ τάχει χρησάμενος, τηι πρὸ τοσῶνδε τὴν Ἐφεσίων κατέλαβον πόλιν (θᾶττον δ' ἂν παρεγενόμην, εἰ μὴ παρεμποδὼν διάφορα γέγονε πράγματα, ἅπερ, σὺν θεῶι δὲ εἰρήσθω, παραγενόμενος κατὰ πρόσωπον ἀφηγήσομαι τῶι ὑμετέρωι μεγέθει) εὐθέως τε αἰδεσίμως τοὺς ἐντεῦθεν κἀκεῖθεν ἁγιωτάτους ἐπισκόπους συνελθόντας ἠσπασάμην· μέρη γὰρ ἀποκαλεῖν προσήκει διὰ τὴν προσοῦσαν αὐτοῖς διχόνοιαν. τεταραγμένων δὲ ἁπάντων καὶ Κυρίλλου καὶ Μέμνονος ἑαυτοὺς ἀσφαλισαμένων, δι' ἐμαυτοῦ τοῖς συνελθοῦσι παρήγγειλα, καὶ δι' ἑτέρων δὲ τοῖς ἀποῦσιν ἐφανέρωσα, ὥστε τῆι ἑξῆς δίχα τινὸς ἀναβολῆς ἅπαντας συνελθεῖν εἰς τὸ ἐμὸν καταγώγιον. ὑπὲρ δὲ τοῦ μὴ συμπληγάδα τινὰ γενέσθαι, ἀναμὶξ αὐτῶν συνιόντων (ἐχρῆν γὰρ καὶ τοῦτο προσδοκᾶν διὰ τὴν προσγενομένην
2 αὐτοῖς οὐκ οἶδα πόθεν ἀγριότητα), τὰς εἰσόδους διένειμα. παραγενομένου δὲ Νεστορίου ἅμα τῆι ἕωι ⟨καὶ⟩ μετ' οὐ πολὺ καὶ Ἰωάννου τοῦ θεοσεβεστάτου ἐπισκόπου ἅμα τοῖς σὺν αὐτῶι ἁγιωτάτοις ἐπισκόποις, παραγίνεται καὶ Κύριλλος μετὰ πάντων τῶν θεοσεβεστάτων ἐπισκόπων, ἀπολιμπανομένου δὲ μόνου Μέμνονος. πολὺς μὲν τάραχος καὶ θόρυβος ἐγίνετο, φασκόντων τῶν μετὰ Κυρίλλου συνελθόντων μηδαμῶς ὑποστήσεσθαι μηδὲ τὴν θέαν τὴν Νεστορίου τοῦ παρ' αὐτῶν καθαιρεθέντος· συνελθόντων δὲ ὅμως, τὴν ἀνάγνωσιν τῶν θείων τύπων ἐβουλόμην ποιήσασθαι. φασκόντων δὲ τῶν συναινούντων Κυρίλλωι μήτε δίχα Κυρίλλου γενέσθαι τὴν ἀνάγνωσιν τῶν θείων καὶ φοβερῶν τύπων μήτε παρόντος Νεστορίου μήτε μὴν τῶν ἐκ τῆς Ἀνατολῆς συνελθόντων ὁσιωτάτων ἐπισκόπων καὶ πολλῆς περὶ τούτου στάσεως γιγνομένης, μᾶλλον δὲ πολέμου καὶ μάχης, τὰ αὐτὰ διεδέξαντο λέγοντες ⟨καὶ⟩ οἱ ἅμα Ἰωάννηι τῶι θεοφιλεστάτωι συνιστάμενοι ἁγιώτατοι ἐπίσκοποι, διαβεβαιωσάμενοι καὶ αὐτοὶ

ARΛ^{cw}

24 τῆι πρὸ τοσῶνδε] recte uertit *pridie quam hae litterae darentur* Λw 34 καὶ^{1} addidi secundum Λ^{cw} 35 θεοφιλεστάτων Λc 42 καὶ^{2} addidi secundum Λ^{cw}

Κύριλλον μὴ χρῆναι παρεῖναι τῆς ἀναγνώσεως γιγνομένης τῶν θείων τύπων, ἅτε δὴ καὶ αὐτοῦ
8 ἅμα Μέμνονι καθαιρεθέντος παρ' αὐτῶν. πολλῆς δὲ περὶ τούτου φιλονεικίας γιγνομένης καὶ τοῦ πλείστου τῆς ἡμέρας ἀναλωθέντος διαστήματος, συμφέρειν ἐδοκίμασα ἄνευ Κυρίλλου καὶ Νεστορίου τοῖς λοιποῖς φανερὰς γενέσθαι τὰς βασιλικὰς ψήφους, ἐπειδήπερ οὐδὲ τοῖς μνημονευθεῖσι παρὰ τῶν δεσποτῶν τῆς οἰκουμένης ἐγέγραπτο. ἀνανευσάντων δὲ καὶ πρὸς τοῦτο τῶν θεοφιλεστάτων ἐπισκόπων τῶν ἅμα Κυρίλλωι συνελθόντων καὶ μὴ βουλομένων μηδὲ μετὰ τῶν ἅμα τῶι θεοφιλεστάτωι Ἰωάννηι παραγενομένων τὰς ἀκοὰς ὑποσχεῖν διὰ τὸ φάσκειν αὐτοὺς ἀκανονίστως τὴν καθαίρεσιν πεποιηκέναι Κυρίλλου καὶ Μέμνονος, μόλις ἐξίσχυσα πειθοῖ καὶ βίαι, εἰ δεῖ τἀληθέστερον εἰπεῖν, χρησάμενος, χωριζομένων Νεστορίου καὶ Κυρίλλου, παρασκευάσαι τὴν σύνοδον ἅπασαν ἀκροάσασθαι τῆς βασιλικῆς διατυπώσεως. συ- 10
νελαθέντων τοιγαροῦν ἁπάντων, πεποίημαι τὴν ἀνάγνωσιν τῶν σεβασμίων συλλαβῶν, ἐν αἷς καθήιρηνται Νεστόριος καὶ Κύριλλος καὶ Μέμνων. εὐμενῶς δὲ δεξαμένων τὴν ἀνάγνωσιν καὶ ἐπευφημησάντων τῶν ἅμα Ἰωάννηι τῶι εὐλαβεστάτωι συνελθόντων, οἱ ἅμα Φλαβιανῶι τῶι εὐλαβεστάτωι συνελθόντες, ὡς ἀκανονίστως τῆς καθαιρέσεως Κυρίλλου καὶ Μέμνονος
4 γενομένης, τῆς ἀκροάσεως βαρέως ἐπήκουσαν. οὕτω δὴ τῆς ἀναγνώσεως γενομένης περὶ 15
δείλην ἑσπέραν, ὑπὲρ δὲ τοῦ μὴ τάραχον γενέσθαι μείζονα, Νεστόριον μὲν ὑπεδέξατο φυλάξων ὁ μεγαλοπρεπέστατος κόμης τῶν καθωσιωμένων δομεστίκων Κανδιδιανὸς ὁ ἐν ἅπασι τοῖς παρ' ἐμοῦ βουλευομένοις καὶ πραττομένοις παρών, Κύριλλον δὲ φυλαχθησόμενον καὶ αὐτὸν παραδέδωκα τῶι περιβλέπτωι κόμητι καὶ πραιποσίτωι Ἰακώβωι τῆς τετάρτης σχολῆς. ἐπειδὴ δὲ ἀπῆν, ὡς προείρηται, Μέμνων, μεταστειλάμενος τὸν οἰκονόμον καὶ τὸν ἔκδικον καὶ τὸν 20
πρωτοδιάκονον τῆς κατ' Ἔφεσον ἁγιωτάτης ἐκκλησίας, αὐτὰ ταῦτα φανερὰ πεποίηκα ὡς καθήιρηται Μέμνων ὁ μνημονευθεὶς μετὰ τῶν προειρημένων, ἐχεγγυησάμενος αὐτοῖς τὰ ἐκκλη-
5 σιαστικὰ χρήματα ἰδίωι φυλάττειν κινδύνωι μετὰ πάσης ἀσφαλείας. τούτων οὕτω παρακολουθησάντων, ἐπειδήπερ ἐχρῆν με καὶ εὐχαῖς σχολάσαι, κατήιειν ἐπὶ τὴν ἁγιωτάτην ἐκκλησίαν· μαθὼν δὲ ἐν τῶι ἐπισκοπείωι διάγειν Μέμνονα, ἀποστέλλω τὸν ἐξυπηρετούμενόν 25
μοι πριμικήριον τῶν καθωσιωμένων παλατίνων πρὸς τὸν μνημονευθέντα, ὥστε συντυχίαν γοῦν ποιήσασθαι πρός με καὶ μαθεῖν εἴ γε παντελῶς ἀρνεῖται τὴν ὡς ἐμὲ ἄφιξιν. ὃ δὲ ἀνυπερθέτως παραγενόμενος καὶ ἐγκληθεὶς παρ' ἐμοῦ ἀνθ' ὅτου ὑπὸ τὴν ἕω μὴ παρεγένετο, ἔφησεν ἀρρωστίαι κατεσχῆσθαι καὶ διὰ τοῦτο μὴ παραγεγενῆσθαι· μὴ ἀνασχόμενος δὲ δευτέρας παραινέσεως ἢ συμβουλῆς, ἔφθασε τοὺς ἐμοὺς λόγους καὶ εἰς τὴν ἐμὴν ὥρμησεν οἰκίαν, 30
εἶξας τοῖς θείοις καὶ βασιλικοῖς προστάγμασιν. παραδέδοται τοιγαροῦν καὶ αὐτὸς τῶι αὐτῶι περιβλέπτωι κόμητι Ἰακώβωι καὶ φυλάττεται παρά τε σκουταρίων καθωσιωμένων παρά
6 τε αἰδεσιμωτάτων παλατίνων. ταῦτα τὰ ἐν τῆι πρώτηι ἡμέραι παρ' ἐμοῦ πραχθέντα· ἐπειδὴ δὲ καὶ περὶ εἰρήνης ἐχρῆν με λόγους προσαγαγεῖν τοῖς θεοφιλεστάτοις ἐπισκόποις ὑπὲρ τοῦ μὴ αἱρέσεις καὶ σχίσματα τῆι ὀρθοδόξωι ἐγγενέσθαι θρησκείαι, καὶ εἰς τούτους ἐμαυτὸν 35
καθῆκα τοὺς λόγους καὶ παντὶ σθένει τὰ δυνατὰ σπουδάσω διαπράξασθαι, συνευδοκοῦντος τοῦ κρείττονος καὶ τῆς εὐσεβείας καὶ τοῦ ὀρθοῦ σκοποῦ τοῦ δεσπότου τῆς οἰκουμένης, εἰ καὶ ὅτι μάλιστα ἀκηρύκτους καὶ ἀσπόνδους συνορῶ πρὸς ἀλλήλους καθεστάναι τοὺς θεοφιλεστάτους ἐπισκόπους, οὐκ οἶδ' ὅθεν εἰς τοῦτο λύπης τε καὶ τραχύτητος αὐτῶν ἐληλυθότων. εἴ τι δὲ πλέον πραχθείη, ἢ δι' ἐμαυτοῦ ἢ διὰ γραμμάτων σὺν εὐμενείαι τοῦ κρείττονος μετὰ 40
πολλοῦ τοῦ τάχους φανερὸν ποιήσω τῶι ὑμετέρωι μεγέθει.

46 = V 104. Ἴσον ἐπιστολῆς τοῦ ἀρχιεπισκόπου Κυρίλλου γραφείσης τοῖς ἐν Κωνσταντινουπόλει εὐλαβεστάτοις ἐπισκόποις Θεοπέμπτωι Ποταμίωνι καὶ Δανιὴλ ὑπὲρ ὧν πέπονθε συσκευῶν τῶν κατὰ Νεστόριον καὶ Ἰωάννην χάριν, ὅτε παρεγένετο ἐν Ἐφέσωι ὁ κόμης τῶν σακρῶν Ἰωάννης 45

---

42 ἐν κωνσταντινουπόλει τοῖσ A

47 = V 94. Ἴσον ἀναφορᾶς τῆς ἁγίας συνόδου πρὸς τὴν σάκραν τὴν ἀναγνωσθεῖσαν παρὰ τοῦ μεγαλοπρεπεστάτου κόμητος τῶν σακρῶν Ἰωάννου

48 Latinae uersiones extant duae, in Collectione Casinensi 105 [Λ^{c}] et in Collectione Winteriana 10 [Λ^{w}]

Ἴσον ἀναφορᾶς τῶν Ἀνατολικῶν ἀντιγραφείσης πρὸς τὴν προγεγραμμένην σάκραν τὴν διὰ τοῦ κόμητος Ἰωάννου

1 Μακαρίσαι ἄν τις εἰκότως τοὺς νῦν ἀνθρώπους ἢ τοὺς τὴν ἡμετέραν προειληφότας γενεὰν ὑπὸ τοῦ ὑμετέρου κράτους κυβερνωμένους. μυρίαις γὰρ φροντίσιν ἡ ὑμετέρα εὐσέβεια ὑπὲρ τῆς οἰκουμένης χρωμένη τὴν ὑπὲρ τῆς εὐσεβοῦς θρησκείας πάντων τῶν ἄλλων προτέθεικε, προτιμᾶι δὲ τὸ ὑμέτερον πανύμνητον κράτος τὰ τοῦ θεοῦ πάντων τῶν ἐπὶ γῆς, ἐπειδὴ ἡ εἰς αὐτὸν πίστις τῶν ὑμετέρων ἐννοιῶν τε καὶ πράξεων ἐπικρατοῦσα πρὸς ἅπαντα ὑμῶν τῆι εὐσεβείαι τὰ καλὰ συνεργεῖ. ταῦτα οὕτως ἔχειν ἀεὶ μὲν ἐκ τῶν συμβαινόντων μανθάνομεν, μάλιστα δὲ ἐπὶ τοῦ παρόντος καιροῦ τοῦτο καταφανὲς γεγένηται. ὡς γὰρ τὰ τῶν ἱερέων ἀδόκητοι διέλαβον ταραχαί, ἑκάστων ἑκάστοις συρραγέντων, καὶ ἐσαλεύθη τὸ κοινὸν τοῦ ἡμετέρου συστήματος, τοῦ Αἰγυπτίου συνήθως τὴν οἰκουμένην ταράξαντος, τὸ τῆς ὑμετέρας εὐσεβείας φοιτῆσαν θέσπισμα διὰ τοῦ πάντα μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου κόμητος τῶν ἁπανταχοῦ λαργιτιόνων Ἰωάννου ἱκανὸν ὑπάρχει πάντων καταστεῖλαι τὰς ματαίας
2 φλεγμονάς, εἴπερ σωφρονεῖν βουλοίμεθα. ἐκεῖνο δὲ πάντων μεῖζον τὸ προστάξαι ὑμῶν τὸ κράτος ἐν αὐτοῖς τοῖς γράμμασιν ἀνελεῖν μὲν τὰ σκάνδαλα τὰ τῆι ὀρθῆι πίστει παρά τινων ἐπισυρέντα, κανόνι δὲ καὶ γνώμονι χρήσασθαι τῆι ἐν Νικαίαι ὑπὸ τῶν πατέρων ἐκτεθείσηι πάλαι ποτὲ πίστει, ἥτις, οὔτε ἐλλιπές τι οὔτε περιττὸν ἔχουσα, σύντομον τὴν σωτηρίαν χαρίζεται, ῥήμασιν ὀλίγοις τὸ πᾶν διαλαβοῦσα τῶν ὅσα αἱ θεῖαι γραφαὶ ἡμῖν περὶ εὐσεβείας παραδεδώκασιν, καὶ ἐξοικίσασα τὰ τῶν καινουργεῖν ἡμῖν βουλομένων καὶ πεπλανημένων φρονήματα. τούτου χάριν δεξάμενοι τῆς ὑμετέρας εὐσεβείας τὰ γράμματα, θεασάμενοι τὸν σκοπὸν τοῦ V 94
ὑμετέρου κράτους τῆι ὀρθῆι πίστει τῶν πατέρων συμβαίνοντα, ἐσπουδάσαμεν τὰ ἔναγχος ὑπὸ Κυρίλλου ἐκτεθέντα κεφάλαια κατὰ τῆς εὐαγγελικῆς καὶ ἀποστολικῆς διδασκαλίας ἐκβαλεῖν, ἐν οἷς πάντας τούς τε νῦν ὄντας τούς τε πάλαι ποτὲ γεγενημένους ἁγίους ἀναθεματίσαι ἐτόλμησε, τινὰ δὲ ἐπὶ τοῦ παρόντος, ὥσπερ καιροῦ δραξάμενος τῆς παρούσης ἐπισκοπικῆς ταραχῆς, συνεργὸν τὴν τῶν πολλῶν ἀπειρίαν λαβών, ἐνίων δὲ καὶ νόσον πάλαι μὲν κρυπτομένην, νῦν δὲ
3 φανερὰν γενομένην περιδρομῆς αὐθαδείαι, συνοδικῆι αὐθεντίαι κυρῶσαι ἐπεχείρησε. ταῦτα δὲ ὡς ἔγνω τὸ ὑμέτερον κράτος, καὶ ὁ θεοφιλέστατος καὶ ἁγιώτατος πατὴρ ἡμῶν καὶ ἐπίσκοπος Ἀκάκιος διὰ γραμμάτων ἐδίδαξε τὴν ἁγίαν σύνοδον ὅτι τῆι Ἀπολιναρίου δυσσεβείαι συμβαίνει· οἶδε δὲ ταῦτα σαφῶς ἀνὴρ δέκα μὲν πρὸς τοῖς ἑκατὸν ἔτεσι βεβιωκώς, πάντα δὲ τὸν βίον ἐν ἀποστολικοῖς ἱδρῶσι καταναλώσας καὶ συνόδοις πλείσταις συγγενόμενος καὶ τοὺς τὰ Ἀπολιναρίου φρονοῦντας πλησίον ἀεὶ ἐσχηκώς, ὅθεν ῥαιδίως ἐδυνήθη φωρᾶσαι ὡς ἐκείνης
4 τυγχάνει τῆς κακοδοξίας τὰ προειρημένα κεφάλαια. ταῦτα καὶ τοὺς ἤδη ἀπατηθέντας ἐπι- V 96 p. 38,
σκόπους καὶ καθυπογράψαι αὐτοῖς ἀνασχομένους παρεκαλέσαμεν σὺν τῶι μεγαλοπρεπεστάτωι 13 sq.
καὶ ἐνδοξοτάτωι κόμητι Ἰωάννηι ἐκβαλεῖν καὶ ἀλλοτριῶσαι τῆς ὀρθοδόξου πίστεως καὶ σὺν ἡμῖν καθυπογράψαι τῆι τῶν πατέρων τῶν ἐν Νικαίαι συναθροισθέντων ὀρθοδόξωι πίστει, καὶ πεῖσαι μὴ δυνηθέντες διὰ τὴν γεγενημένην κακὴν αὐτῶν πρόληψιν, ἠναγκάσθημεν καθ' ἑαυτοὺς ἀκέραιον τὴν ὀρθὴν ἐκείνην καθομολογῆσαι πίστιν καὶ ταύτηι καθυπογράψαι καὶ ἐκβαλεῖν ἐγγράφωι ὁμολογίαι τὴν περιττὴν ἐκείνην κακοδοξίας γέμουσαν τῶν κεφαλαίων ἔκθεσιν. ἀρκεῖ γὰρ ἡ τῶν ὀλίγων ἐκείνων ῥημάτων τῆς ὀρθῆς πίστεως ὁμολογία καὶ πᾶσαν τὴν αἱρετικὴν πλάνην ἐλέγξαι καὶ τὴν ἀλήθειαν τοὺς βουλομένους διδάξαι. οὔτε γὰρ ἐν τοῖς

AΛcw

7 ἄν scripsi λίαν A 21 τι Λ^{c} τε A 42 ἐγγράφωι Λ^{c} ἀγράφω A

περὶ τῆς θεότητος τοῦ μονογενοῦς ἡ προειρημένη τῶν πατέρων πίστις ἀφῆκε τῆιδε κἀκεῖσε φέρεσθαι, ἀλλὰ τὸ ὁμοούσιον κηρύξασα ἀπαρασαλεύτους τὰς τῶν πιστῶν διεφύλαξε διανοίας, τὴν Ἀρειανικὴν καθελοῦσα αἵρεσιν, καὶ περὶ τῆς οἰκονομίας τοὺς ἀκριβεῖς παρέδωκεν ὅρους, τό τε ἄτρεπτον καὶ ἀναλλοίωτον τῆς θεότητος τοῦ μονογενοῦς ἡμᾶς ἐκδιδάξασα καὶ τὸ μὴ ψιλὸν ἄνθρωπον εἶναι τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἀλλ' ὄντως υἱὸν τοῦ θεοῦ πεπεῖσθαι διαγορεύσασα, συνωιδὰ ταῖς θείαις καὶ ἁγίαις γραφαῖς ἀποφηναμένη· ὅθεν καὶ ἡμεῖς ἐκείνοις ἀκολουθοῦντες τῆι μὲν πίστει καὶ τῆι ἐκθέσει τῆς ὁμολογίας οὔτε προστίθεμέν τι οὔτε ἀφαιροῦμεν, ἀρκούσης πρὸς ἅπαντα τῆς τῶν πατέρων ἐκθέσεως. ἐπειδὴ δὲ προστετάχατε, εὐσεβέστατοι βασιλεῖς, μετὰ τὴν συγκατάθεσιν ταύτην τῆς ἀρραγοῦς πίστεως καὶ περὶ τῆς ἁγίας καὶ θεοτόκου παρθένου γνωρισθῆναι ὑμῶν τῆι ἀνυπερβλήτωι εὐσεβείαι (τοῦτο γὰρ ἡμῖν ἀπήγγειλεν ὁ μεγαλοπρεπέστατος καὶ ἐνδοξότατος κόμης Ἰωάννης), καὶ τοῦτο, τὴν παρὰ τοῦ θεοῦ αἰτήσαντες βοήθειαν (μεῖζον γὰρ ἢ κατὰ ἄνθρωπον τὸ τοιούτοις ἐγχειρεῖν), γνωρίζομεν τῆι ὑμετέραι εὐσεβείαι ἃ ἀπὸ τῶν θείων δεδιδάγμεθα γραφῶν, τῆι ὁμολογίαι τῆς οἰκείας ἀσθενείας ἀποκλείοντες τοῖς ἐπιφύεσθαι βουλομένοις ἐν οἷς [τὲ] τὰ ὑπὲρ ἄνθρωπον διασκεπτόμεθα. ὁμολογοῦμεν τοιγαροῦν τὸν κύριον ἡμῶν· Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ τὸν μονογενῆ, θεὸν τέλειον καὶ ἄνθρωπον τέλειον ἐκ ψυχῆς λογικῆς καὶ σώματος, πρὸ αἰώνων μὲν ἐκ τοῦ πατρὸς γεννηθέντα κατὰ τὴν θεότητα, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν ἐκ Μαρίας τῆς παρθένου κατὰ τὴν ἀνθρωπότητα, ὁμοούσιον τῶι πατρὶ τὸν αὐτὸν κατὰ τὴν θεότητα καὶ ὁμοούσιον ἡμῖν κατὰ τὴν ἀνθρωπότητα· δύο γὰρ φύσεων ἕνωσις γέγονε, δι' ὃ ἕνα Χριστόν, ἕνα υἱόν, ἕνα κύριον ὁμολογοῦμεν. κατὰ ταύτην τὴν τῆς ἀσυγχύτου ἑνώσεως ἔννοιαν ὁμολογοῦμεν τὴν ἁγίαν παρθένον θεοτόκον διὰ τὸ τὸν θεὸν λόγον σαρκωθῆναι καὶ ἐνανθρωπῆσαι καὶ ἐξ αὐτῆς τῆς συλλήψεως ἑνῶσαι ἑαυτῶι τὸν ἐξ αὐτῆς ληφθέντα ναόν. ταῦτα διδαχθέντες παρὰ τῶν θεολόγων ἀνδρῶν, εὐγγελιστῶν καὶ ἀποστόλων καὶ προφητῶν καὶ τῶν κατὰ καιρὸν γενομένων τῆς εὐσεβοῦς πίστεως διδασκάλων, ὡς ἐν κεφαλαίωι ἐξεθέμεθα, παρακαλοῦντες καὶ ἱκετεύοντες τὸ ὑμέτερον κράτος συνήθως ὑπερασπίσαι τῆς εὐσεβοῦς θρησκείας κινδυνευούσης διαφθαρῆναι ὑπὸ τῆς ἐπισκηψάσης νόσου ἐκ τῶν Αἰγυπτιακῶν κεφαλαίων καὶ θεσπίσαι πάντας τοὺς προεστῶτας τῶν ἁγίων ἐκκλησιῶν ἱερέας ἐκβαλεῖν μὲν τὰ ἐπὶ λύμηι τῶν ἐκκλησιῶν ἐπεισαχθέντα τῆι ὀρθοδόξωι πίστει παρὰ τοῦ προειρημένου Κυρίλλου κεφάλαια, μόνηι δὲ τῆι ὑπὸ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι συναθροισθέντων ὁμολογίαι καθυπογράψαι. οὐδὲ γὰρ ἔνεστιν ἄλλως τὴν εἰρήνην βραβευθῆναι ταῖς τοῦ θεοῦ ἐκκλησίαις, μὴ ἐκείνης τῆς δυσσεβοῦς ἐκβαλλομένης ἐκθέσεως.

49 = V 102. Ἴσον ἀναφορᾶς σταλείσης παρὰ τῆς ἁγίας συνόδου πρὸς τὸν εὐσεβέστατον βασιλέα Θεοδόσιον

50 = V 105. Ἐπιστολὴ σταλεῖσα παρὰ τῆς ἁγίας συνόδου τοῖς ἐν Κωνσταντινουπόλει ἐπισκόποις πρεσβυτέροις καὶ διακόνοις

51 = V 100. Ἴσον ἐπιστολῆς Κυρίλλου ἀρχιεπισκόπου Ἀλεξανδρείας γραφείσης πρὸς τὸν κλῆρον καὶ τὸν λαὸν Κωνσταντινουπόλεως

52 = V 101. Ἴσον ἐπιστολῆς γραφείσης παρὰ Μέμνονος ἐπισκόπου Ἐφέσου πρὸς τὸν κλῆρον Κωνσταντινουπόλεως

53 = V 103. Δέησις καὶ ἱκεσία παρὰ τοῦ κλήρου Κωνσταντινουπόλεως ὑπὲρ τῆς ἐν Ἐφέσωι ἁγίας συνόδου

8. 15 cf. V 123. 126

ΑΛcw

13 ante τῆι ὁμολογίαι add. *non quasi contra inconprehensibilia quodlibet audentes, sed* Λc cf. V 123. 126 14 τὲ deleui 17 ante ἐκ Μαρίας add. *propter nos et propter nostram salutem* Λc cf. V 123. 126 19 γὰρ ΑΛw δὲ Λc 20 ἕνα κύριον ἕνα υἱόν Λc

54 = V 82. Ἴσον ἐπιστολῆς γραφείσης παρὰ τῆς ἁγίας συνόδου πρὸς τὸν ἀρχιεπίσκοπον τῆς Ῥώμης Κελεστῖνον δηλοῦσα πάντα τὰ πραχθέντα ἐν αὐτῇι τῇι Ἐφεσίων ἁγίαι καὶ μεγάλῃι συνόδωι

55 Latina uersio extat in Collectione Casinensi 112

Ἐπιστολὴ Ἀντιόχου ἐπάρχου πραιτωρίων πρὸς Νεστόριον χάριν τοῦ ἀπελθεῖν αὐτὸν εἰς τὸ ἰδικὸν αὐτοῦ ἐν Ἀνατολῇι μοναστήριον ὡς βεβαιωθείσης τῆς καθαιρέσεως αὐτοῦ

Τὰ διὰ τῆς συνόδου γενέσθαι δόξαντα κρίνειν ἐπὶ πλεῖστον ἀνεβαλόμεθα, καίτοι σφόδρα πολλῶν αἰτιωμένων καὶ ἐνοχλούντων· ἐπειδὴ δὲ γράμματα ἡμῖν τῆς σῆς ὁσιότητος ἀπεδόθη δηλοῦντα ἀηδῆ γεγονέναι τὴν ἐν Ἐφέσωι διατριβὴν καὶ καταθύμιον εἶναι λοιπὸν τῇι σῇι θεοσεβείαι τὴν ἐκδημίαν, ἀπεστείλαμεν τοὺς ὑπηρετήσασθαι διὰ τῆς ὁδοῦ πάσης ὀφείλοντας, εἴτε πλεῦσαι εἴτε διὰ τῆς Ἀσίας ἢ τῆς Ποντικῆς ὁδεῦσαι δόξειεν, ὥστε μέχρι τοῦ μοναστηρίου ὑπηρετήσασθαι. καὶ ἀγγαρείας δὲ καὶ ἀννόνας πεπόμφαμεν, παρὰ τῆς τοῦ θεοῦ φιλανθρωπίας αἰτοῦντες ὑγιαίνειν σου τὴν ὁσιότητα καὶ διάγειν καταθυμίως. παραμυθίας γάρ σε μὴ χρήιζειν πιστεύομεν, πρὸς τὴν ἔμφρονά σου ψυχὴν ὁρῶντες καὶ τὰ μυρία πλεονεκτήματα.

56 Latina uersio extat in Collectione Casinensi 113

Ἐπιστολὴ Νεστορίου ἣν ἀντέγραψε τῶι αὐτῶι ἐπάρχωι Ἀντιόχωι

Ἐδεξάμεθα τῆς σῆς μεγαλοπρεπείας τὰ γράμματα, ἐν οἷς παρὰ τοῦ εὐσεβεστάτου καὶ πανυμνήτου βασιλέως μεμαθήκαμεν ἡμῶν τὴν ἐπὶ τοῦ μοναστηρίου προστετάχθαι διαγωγήν, καὶ τὸ τῆς διατυπώσεως ἡσπασάμεθα δῶρον· οὐδὲν γὰρ ἡμῖν τοῦ δι' εὐσέβειαν ἰδιασμοῦ προτιμότερον. ἐκεῖνο δὲ τὴν ὑμετέραν παρακαλῶ μεγαλόνοιαν τὰς περὶ τῆς θρησκείας πρὸς τὸν εὐσεβέστατον βασιλέα συνεχῶς ὑπομνήσεις ποιεῖσθαι ὥστε τῶν κατεγνωσμένων παρὰ τῆς εὐσεβείας τῆς αὐτοῦ Κυρίλλου φλυαριῶν διὰ βασιλικοῦ γράμματος δημοσιεῦσαι ταῖς τῶν ὀρθοδόξων ἐκκλησίαις πανταχοῦ τὴν κατάγνωσιν, ἵνα μὴ τὸ χωρὶς γραμμάτων τοῦ εὐσεβοῦς βασιλέως λέγεσθαι τὰ Κυρίλλου παρ' αὐτοῦ κατεγνῶσθαι τοῖς ἁπλουστέροις σκανδάλων παράσχηται πρόφασιν ὡς οὐ μετὰ ἀληθείας λεγόμενα. καὶ ταῖς σαῖς δὲ πρέπον ἂν εἴη φρεσὶ τὰ δυνατὰ τῆι τῆς ἀληθείας συνεισφέρειν συνηγορίαι· ἀρκεῖ γὰρ τοσοῦτον εἰπεῖν πρὸς σὲ τὸν διὰ πάντων ὧν ἐπιστεύθης, εὐδόκιμον.

57 Ἴσον σάκρας σταλείσης Φλαβιανῶι ἐπισκόπωι Φιλίππων ἐλθόντι ἐν Χαλκηδόνι σὺν τοῖς λοιποῖς τοῖς ἀπὸ τῆς ἁγίας συνόδου σὺν αὐτῶι σταλεῖσιν

Αὐτοκράτορες Καίσαρες Θεοδόσιος καὶ Οὐαλεντινιανὸς νικηταὶ τροπαιοῦχοι μέγιστοι ἀεισέβαστοι αὔγουστοι τῶι εὐλαβεστάτωι Φλαβιανῶι ἐπισκόπωι Φιλίππων. Γνόντες παρὰ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου κόμητος τῶν θείων ἡμῶν λαργιτιόνων Ἰωάννου ἀνωμαλίαι περιπεπτωκότα τὴν σὴν θεοσέβειαν, οὐχ ὡς ἔτυχεν ἐφροντίσαμεν. εἰ γὰρ καὶ ἐναντία τινὰ τῆι ἡμετέραι γαληνοτάτηι προθέσει ἀπέβη ἀπὸ τῆς τῶν ἁγιωτάτων καὶ θεοσεβεστάτων ἐπισκόπων διχονοίας, ὥστε μὴ αὐτόθι τυπωθῆναι τὰ τῆς εἰρήνης, μάλιστα τῆς σῆς ἁγιωσύνης ἐκεῖσε παραγενομένης, ὅμως χαίρομεν μεμαθηκότες ῥαίσασάν σου τὴν θεοσέβειαν εἰς τὴν Χαλκηδονέων ἐληλυθέναι, δι' ἧς τὰ προλαβόντα πταίσματα προσδοκῶμεν θεοῦ ἐπινεύοντος διόρθωσιν τὴν τῆι ἐκκλησιαστικῆι εἰρήνηι καὶ τῆι ἡμετέραι εὐσεβείαι πρέπουσαν λήψεσθαι. ἔσο τοιγαροῦν ἐν τῆι μνημονευθείσηι πόλει ἐν τῶι μεταξὺ τὰς συνήθεις εὐχὰς ὑπὲρ τῆς εὐσεβείας ἡμῶν ἐκτελῶν καὶ τῆι ἡμετέραι περὶ σὲ σχέσει πεποιθώς. ὁ θεός σε διαφυλάττοι πολλοῖς χρόνοις, πάτερ ἁγιώτατε καὶ εὐλαβέστατε.

ΑΛ

7 κρίνειν **A** *iudicium* Λ

58 = V 95. Ἐντολὴ πραχθεῖσα παρὰ τῆς ἁγίας συνόδου τοῖς ἀποσταλεῖσι παρ' αὐτῆς ἐν Κωνσταντινουπόλει εὐλαβεστάτοις ἐπισκόποις, ὥστε αὐτοὺς δικάσασθαι τοῖς ἀπὸ τῆς Ἀνατολῆς

59 = V 108. Ἀναφορὰ πρὸς τοὺς βασιλεῖς σταλεῖσα διὰ Ἰουβεναλίου Φίρμου Φλαβιανοῦ Ἀρκαδίου Θεοδότου Ἀκακίου Εὐοπτίου τῶν θεοφιλεστάτων ἐπισκόπων καὶ Φιλίππου τοῦ εὐλαβεστάτου πρεσβυτέρου, εἰς οὓς καὶ τὸ προτεταγμένον ἐντολικὸν γέγονε

60 = V 96. Ἐντολὴ πραχθεῖσα παρὰ τῶν Ἀνατολικῶν τοῖς ἀποσταλεῖσι παρ' αὐτῶν ἐν Κωνσταντινουπόλει ἐπισκόποις ὥστε δικάσασθαι μετὰ τῶν ἀποσταλέντων παρὰ τῆς οἰκουμενικῆς συνόδου ὀρθοδόξων ἐπισκόπων ἐν τῇ αὐτῇ Κωνσταντινουπόλει

61 = V 96. Ἔκθεσις πίστεως ἣν ἐκθέμενοι οἱ Ἀνατολικοὶ ἐπίσκοποι καὶ οἱ σὺν αὐτοῖς καὶ ὑπογράψαντες αὐτῇ δεδώκασι τοῖς παρ' αὐτῶν σταλεῖσιν ἐν Κωνσταντινουπόλει

62 Latinae uersiones extant duae, in Collectione Casinensi 121 [Λ^{c}] et in Collectione Winteriana 15 [Λ^{w}]

Δέησις πρώτη τῶν ἑπτὰ Ἀνατολικῶν ἐπισκόπων σταλεῖσα τῷ βασιλεῖ ἀπὸ Χαλκηδόνος διὰ τὸ μὴ συγχωρηθῆναι αὐτοὺς εἰσελθεῖν ἐν Κωνσταντινουπόλει

1 Εὐκτὸν ἦν μηδὲ παρ' ἑτέρου τινὸς ἐπὶ προσδοκίαις ἀτόποις τοὺς τῆς εὐσεβείας προδίδοσθαι λόγους, μήτι γε δὴ παρὰ τῶν ἱερατεύειν λαχόντων καὶ προστατεῖν ἐκκλησιῶν· οὓς οὐκ ἴσμεν ὅπως προεδρίας ἔρως καὶ φιλαρχία καὶ ψυχραί τινες ὑποσχέσεις κατήγαγον εἰς τὸ πάντων μὲν ὁμοῦ τῶν Χριστιανικῶν παραγγελμάτων ὑπεριδεῖν, μόνωι δὲ σκοπῶι δουλεύειν ἀνδρὸς ἐκ προλήμματος πάντα ἐλπίσαντος ἑαυτῶι τε καὶ τοῖς πρὸς τοῦτο αὐτῶι συνεργήσασι κατορθώσειν, φαμὲν δὲ τοῦ Ἀλεξανδρέως Κυρίλλου, ὃς ἐρεσχελίας ἕνεκα μόνης αἱρετικὰ ταῖς ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις ἐπεισάγων δόγματα καὶ ταῦτα ἐλεγχθήσεσθαι προσδοκήσας διὰ μόνης τῆς Μέμνονος ὑπουργίας καὶ τῆς τῶν προλεχθέντων συμπράξεως ἐπισκόπων διαφεύ-
2 ξεσθαι ἤλπισε τὰς ἐπὶ τοῖς ἡμαρτημένοις εὐθύνας. δι' ὃ καὶ σφόδρα ἡσυχίας ἐρῶντες καὶ ἐν τοῖς λοιποῖς κεκρικότες φιλοσοφεῖν, τὴν δὲ ἐπὶ τούτοις ἡσυχίαν καὶ φιλοσοφίαν τῆς πίστεως νομίσαντες προδοσίαν, ἐπὶ τοὺς μόνους μετὰ τὴν ἄνωθεν δύναμιν τῆς οἰκουμένης σωτῆρας ὑμᾶς τὴν ἱκεσίαν τρέπομεν, τοὺς ὑπὲρ τῆς εὐσεβείας ἀγῶνας ὑμῖν ἰδικῶς προσήκειν ἡγούμενοι, ὡς καὶ μέχρι τοῦδε αὐτὴν φυλάξασι καὶ δι' αὐτῆς σφόδρα πεφυλαγμένοις. τὴν δὲ ἱκεσίαν ταύτην προσάγομεν ὡς καὶ ἐνώπιον τοῦ παναγίου θεοῦ μέλλουσαν παρέξειν ἀπολογίαν ἡμῖν, εἰ μηδὲν τῶν ὑπὲρ τῆς θρησκείας ὀκνήσοιμεν, ἀλλὰ καὶ τῇ σῇ εὐσεβείαι τοὺς ὑπὲρ αὐτῆς λόγους ἀποκαλύψαιμεν. οὐ γὰρ ἔστι τι πλέον ἐν Χριστιανικοῖς καιροῖς ἱερέας ποιῆσαι πλὴν τοῦ τὸν οὕτω πιστὸν βασιλέα μαρτύρασθαι, εἰ καὶ μυριάκις εἴημεν πρόθυμοι τήν τε Ζωὴν
3 ἡμῶν καὶ τὰ σώματα τοῖς ὑπὲρ τῆς πίστεως ἀγῶσιν ἐκδοῦναι. διόπερ ἐπὶ τοῦ πάντας
Act. 17. 31 ἐφορῶντος θεοῦ καὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ μέλλοντος κρίνειν ἅπαντας ἐν δικαιοσύνηι καὶ τοῦ ἁγίου πνεύματος, οὗ τῇ χάριτι τὴν βασιλείαν εὐθύνετε, καὶ τῶν ἐκλεκτῶν ἀγγέλων τῶν φρουρούντων ὑμᾶς, οὓς παρεστῶτας ὄψεσθε τῶι φοβερῶι θρόνωι καὶ τὸν φρικτὸν ἐκεῖνον ἁγιασμὸν διηνεκῶς τῶι θεῶι προσφέροντας, ὃν νῦν τινὲς παραχαράττειν ἐπιχειροῦσιν, ἐπαμῦναι τῇ εὐσεβείαι πολιορκουμένηι καὶ κελεῦσαι τὰ ἐπεισαχθέντα τῇ πίστει αἱρετικὰ κεφάλαια ἐκβληθῆναι, ἃ παντελῶς ἀλλότρια ὑπάρχει τῶν ὀρθῶν δογμάτων καὶ ταῖς τῶν αἱρετικῶν κακοδοξίαις συμβαίνει, ἢ εἴ τις τῶν συνθεμένων καὶ ὑπογραψάντων αὐτοῖς καὶ μετὰ τὴν

---

62 cf. Theodoret. ep. 112 καὶ μὲν δὴ καὶ εἰς τὴν Κωνσταντινούπολιν κληθέντες πέντε διαγνώσεις ἐπ' αὐτοῦ τοῦ βασιλέως ἐσχήκαμεν καὶ τρεῖς ὕστερον αὐτῶν διαμαρτυρίας ἐπέμψαμεν

ΑΛ^{cw}

16/17 τόν — λόγον Λ^{cw} 18 φιλαρχία Λ^{cw} φιλαρχίασ A τιναῖσ A 30 ὀκνήσωμεν A 37/38 ἐπαμῦναι] add. *quaesumus* Λ^{c} *obsecra[ui]mus* Λ^{w}

ἐπαγγελθεῖσαν παρ' ἡμῶν συγγνώμην φιλονεικεῖν ἔτι βούλοιτο, κελεύσατε τοῦτον εἰς μέσον ἐλθεῖν καὶ προφανῶς τούτων ὑπὸ τοῖς ἐκκλησιαστικοῖς ἐπιτιμίοις ὑπερμαχεῖν τῆς σῆς κρινούσης εὐσεβείας. οὐδὲν γὰρ ἂν εἴη σοί, βασιλεῦ, τοῦδε βασιλικώτερον, ὑπὲρ οὗ καὶ πρὸς Πέρσας ἤδη καὶ πρὸς ἑτέρους βαρβάρους ἔσπευσας ἐπανελέσθαι πολέμους, ἀντιδιδόντος σοι τοῦ Χριστοῦ τὰς ἀκμητὶ νίκας τῆς ὑπὲρ αὐτοῦ προθυμίας. γενέσθαι δὲ ἐπὶ τῆς σῆς εὐσεβείας ἐγγράφως τὰς ζητήσεις παρακαλοῦμεν· οὕτω γὰρ ἂν εὐκολώτερον διαγνωσθεῖεν τε καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον διελεγχθεῖεν οἱ ἁμαρτάνοντες. εἰ δέ τις, τοὺς ὑπὲρ ὧν πεπλημμέληκε λόγους ὀκνῶν, κρατεῖν τῆς ὀρθῆς πίστεως ἐξ ἐπιτάγματος βούλοιτο, τῆς σῆς ἂν εἴη δικαιοκρισίας σκοπεῖν εἰ μὴ καὶ αὐτὴν τὴν προσηγορίαν διδασκάλων ἀποβεβλήκασιν οἱ περὶ ὧν εἰσάγουσι δογμάτων ὀκνοῦντες διαγωνίζεσθαι καὶ οὔτε συνίστασθαι τοῖς εἰρημένοις ἐθέλοντες, ὡς ἂν μὴ διελεγχθεῖεν ἠσεβηκότες, οὔτε ἐκβαλεῖν ἀξιοῦντες αὐτά, ὡς ἂν μὴ ἄκαρπος
4 αὐτοῖς ἡ πρὸς ἀλλήλους γένοιτο σύμφραξις. μεμελετῆσθαι γὰρ δή τινας αὐτοῖς ὑπὲρ τῆς ἀσεβείας ταύτης προεδριῶν ἀντιδόσεις καὶ τύπους ἄλλους ἐπὶ τῇι τῶν κανόνων διαφθορᾶι, καὶ διὰ τῶν ἐπιχειρηθέντων ἤδη δεδήλωται καὶ ἀκριβέστερον ἐλεγχθήσεται, εἰ μὴ τὸ σὸν ἀντισχῇι κράτος· καὶ ὄψεται αὐτοὺς ἡ σὴ εὐσέβεια μετ' οὐ πολὺ τὸν τῆς προδοσίας ταύτης μισθὸν ὥσπερ σκῦλα τῆς τοῦ Χριστοῦ πίστεως νείμασθαι βουλομένους. ἡμεῖς δὲ ἤδη μὲν τινῶν παρὰ τοῦ εὐλαβεστάτου Ἰουβεναλίου τοῦ Ἱεροσολυμιτῶν πρώην ἐγχειρισθέντων ἡσυχάσαμεν, καίτοι τῶν κανόνων ὑπερμαχεῖν ὀφείλοντες, ὡς ἂν μὴ δόξαιμεν τιμῆς ἕνεκα οἰκείας ἀλγεῖν, καὶ νῦν αὐτοῦ σπουδάς τινας καὶ φαντασίας τοιαύτας κατὰ Φοινίκης ἑκατέρας καὶ Ἀραβίας οὐκ ἀγνοοῦμεν· οὐ μὴν περὶ τούτων τέως ἐσμὲν οἷοι διαγωνίζεσθαι, οἵ γε καὶ τῶν πόλεων αὐτῶν ὧν τὴν λειτουργίαν ἐγκεχειρίσμεθα, καὶ αὐτῆς, εἰ δεήσειε, τῆς ζωῆς μᾶλλον ἄν ἀποσταίημεν ἢ
5 τῆς ὑπὲρ τῆς πίστεως προθυμίας. ἀλλὰ πρὸς μὲν τὰς τούτων ἐλπίδας τήν τε τοῦ θεοῦ καὶ τὴν τῆς σῆς εὐσεβείας ἀντιστήσομεν κρίσιν· νυνὶ δὲ ἱκετεύομεν μόνην καὶ πρώτην τὴν εὐσέβειαν φροντισθῆναι καὶ μὴ τὴν ἐπὶ τοῦ τῆς ἁγίας λήξεως Κωνσταντίνου μόλις ποτὲ τῆς ὀρθοδόξου θρησκείας γεγονυῖαν ἔκλαμψιν καὶ διὰ τῶν τρισμακαρίων πάππου τε καὶ πατρὸς τῆς σῆς εὐσεβείας βεβαιωθεῖσαν, παρὰ δὲ τοῦ σοῦ κράτους εἴς τε ἕτερα ἔθνη βαρβαρικὰ καὶ εἰς τὴν Περσῶν χώραν κρατυνθεῖσαν ἐν αὐτοῖς κάμνειν τοῖς βασιλείοις καὶ παρὰ τῇι ὑμετέραι θολοῦσθαι γαληνότητι. οὐ γὰρ διπλᾶς Χριστιανισμοῦ πέμψεις, βασιλεῦ, εἰς Περσίδα διδασκαλίας, οὐδέ τι μέγα διχονοούντων ⟨ἡμῶν⟩ καὶ οὐδενὸς διακρίνοντος παρ' ἐκείνοις νομισθήσεται τὸ ἡμέτερον, οὐδὲ διπλοῖς εὐαγῶς κοινωνήσει τις λόγοις ἢ μυστηρίοις οὐδὲ μὴν εὐσεβῶς τοσούτων ἀποστήσεται πατέρων καὶ ἁγίων ἀκαταγνώστων, ἀλλ' οὐδὲ τὰ τῆς βασιλείας χρηστὰ ταῖς τῶν ἀλλήλοις ἐναντία φρονούντων εὐχαῖς ἐπιγραφήσεται, οὐδὲ μικρὸς ὁ γέλως ἔσται ὃν τοῖς ἐχθροῖς τῆς εὐσεβείας ὀφλήσομεν, καὶ μυρίας δὲ ἄλλας τῆς πονηρᾶς ἄν τις φιλονεικίας αὐτῶν καταλέ-
6 ξειε βλάβας. εἰ δὲ ἔστιν ὁ μικρὸν οὕτως τὴν πρὸς τὰ ἐπουράνια σχέσιν ἡγούμενος, πᾶς μὲν ἕτερος ἔστω μᾶλλον ἢ ὧι πᾶσαν τῆς οἰκουμένης τὴν ἐξουσίαν δέδωκεν ὁ θεός, ἡμῖν δὲ εὐχὴ παρὰ τῆς σῆς δέξασθαι εὐσεβείας κρίσιν· ὁδηγήσει γὰρ πρὸς τὴν ἀκριβῆ τῶν ζητουμένων σύλληψιν τὴν σὴν διάνοιαν ὁ θεός. εἰ δέ τι τὸ νῦν διακωλῦόν ἐστι (οὐ γὰρ πάντα ἡμῖν ἐφικτὰ ὅσα τῇι σῇι περὶ τῶν πραγμάτων εὐσεβείαι), τὴν γοῦν ἐπὶ τὰ οἰκεῖα ἀναχώρησιν εὐμαρῶς ἡμῖν ὑπάρξαι καὶ ἀσφαλῶς παρὰ τῆς σῆς αἰτοῦμεν γαληνότητος· οὐ γὰρ μικρὰ τὰς ἐγχειρισθείσας ἡμῖν πόλεις ἐκ τῆς τοιαύτης βλαπτομένας ὁρῶμεν τριβῆς, οὐδενὸς ἐνταῦθα προβαίνοντος διὰ τοὺς φιλονεικεῖν, ὡς ἔοικεν, καὶ πρὸς τὴν ⟨σὴν⟩ εὐσέβειαν αἱρουμένους.

AΛcw

2 τούτων Λc τοῦτον A 10 οὐδὲ A 29 ἡμῶν Λcw om. A 34 μικρὸν Λcw μακρὰν A 41 σὴν Λc om. AΛw

63 Latinae uersiones extant duae, et in Collectione Casinensi 123 [Λ^{c}] et in Collectione Winteriana 16 [Λ^{w}]

Δέησις τῶν αὐτῶν δευτέρα σταλεῖσα τῷι βασιλεῖ ἀπὸ Χαλκηδόνος

1 Πολλάκις ἤδη τὴν ὑμετέραν εὐσέβειαν καὶ δι' ἑαυτῶν καὶ δι' ὧν ἀνηνέγκαμεν, ἐδιδάξαμεν ὡς διαφθαρῆναι κινδυνεύει τῆς ὀρθοδοξίας τὸ δόγμα καὶ διασπάσαι μηχανῶνται τῆς ἐκκλησίας τὸ σῶμα οἱ πάντα ἄνω καὶ κάτω πεποιηκότες καὶ πάντα μὲν θεσμὸν ἐκκλησιαστικόν, ⟨πάντα δὲ νόμον βασιλικὸν⟩ πατήσαντες καὶ πάντα ἄρδην συγχέαντες, ἵνα τὴν ἐκτεθεῖσαν αἵρεσιν ὑπὸ Κυρίλλου τοῦ Ἀλεξανδρέως κρατύνωσιν. ὡς γὰρ ἐκλήθημεν ὑπὸ τῆς ὑμετέρας εὐσεβείας εἰς τὴν Ἔφεσον ἐπὶ τῶι τὰ ἀναφυέντα ζητήματα ἐξετάσαι καὶ τὴν εὐαγγελικὴν καὶ ἀποστολικὴν ὑπὸ τῶν μακαρίων πατέρων ἐκτεθεῖσαν βεβαιῶσαι πίστιν, μηδέπω πάντων παραγενομένων τῶν
d. 22. m. Iun. a. 431 συγκληθέντων ἐπισκόπων, μερικὸν συνέδριον πεποιηκότες, τὰ αἱρετικὰ ἐκεῖνα κεφάλαια τὰ τῆι Ἀρείου καὶ Εὐνομίου καὶ Ἀπολιναρίου δυσσεβείαι συμβαίνοντα ἐπὶ ὑπομνημάτων ἐγγράφως ἐκύρωσαν καὶ τοὺς μὲν ἀπατήσαντες, τοὺς δὲ φοβήσαντες, ἑτέρους δὲ ἐπὶ αἱρέσεσιν ἐγκαλουμένους ⟨ἀκρίτους⟩ εἰς κοινωνίαν δεξάμενοι καὶ ἄλλοις ἀκοινωνήτοις μισθὸν δεδωκότες τῆς ἀκοινωνησίας τὴν λύσιν, ἑτέρους δὲ ἐλπίσιν ἀρχῆς οὐ προσηκούσης ἀναπτερώσαντες, πλῆθος ἑαυτοῖς
2 συνήθροισαν, ὥσπερ οὐκ εἰδότες ὅτι τὴν εὐσέβειαν οὐ πλῆθος ἀλλὰ ἀλήθεια δείκνυσιν. ἀνε-
V 31 γνώσθη πάλιν γράμματα τῆς ὑμετέρας εὐσεβείας διὰ τοῦ μεγαλοπρεπεστάτου κόμητος Κανδιδιανοῦ σημαίνοντα ὡς χρὴ ἀδελφικῶς καὶ εἰρηνικῶς τὰ ἀναφυέντα ἐξετασθῆναι ζητήματα, πάντων δὲ συνελθόντων τῶν συγκληθέντων θεοφιλεστάτων ἐπισκόπων· οὐδὲν ὤνησεν ἡ ἀνά-
V 83 γνωσις. ἀφίκετο ὁ καθωσιωμένος Παλλάδιος ὁ μαγιστριανὸς ἕτερα γράμματα τοῦ ὑμετέρου κράτους κομίζων δηλοῦντα ὡς χρὴ ἀνατραπῆναι πάντα τὰ μερικῶς γεγενημένα καὶ ἄνωθεν συγκροτηθῆναι τὸ συνέδριον καὶ τὸ ἀληθὲς βεβαιωθῆναι δόγμα· κατεφρονήθη συνήθως καὶ τοῦτο τὸ εὐσεβὲς ὑμῶν θέσπισμα παρὰ τῶν πάντα τολμώντων. παρεγένετο αὖθις ὁ μεγαλοπρεπέστατος μάγιστρος Ἰωάννης, κόμης ὢν τηνικαῦτα τῶν ἁπανταχοῦ λαργιτιόνων, ἕτερα
V 93 πάλιν κομίζων γράμματα σημαίνοντα ὡς τῶν τριῶν αἱ καθαιρέσεις ἐδέχθησαν παρὰ τοῦ ὑμετέρου κράτους καὶ ὅτι χρὴ τὰ μὲν ἀναφυέντα σκάνδαλα περιαιρεθῆναι, μόνην δὲ τὴν ἐν Νικαίαι ἐκτεθεῖσαν πίστιν ὑπὸ τῶν μακαρίων καὶ ἁγίων πατέρων παρὰ πάντων βεβαιωθῆναι· παρεβάθη καὶ οὗτος συνήθως ὁ νόμος ὑπὸ τῶν πάντα παιζόντων. οὐ γὰρ ἐπαύσαντο καὶ μετὰ τὴν ἀνάγνωσιν καὶ κοινωνοῦντες τοῖς καθαιρεθεῖσι καὶ μεμνημένοι αὐτῶν ὡς ἐπισκόπων, οὐδὲ ἠνέσχοντο ἐκβαλεῖν τὰ ἐπὶ λύμηι καὶ διαφθορᾶι τῆς εὐσεβοῦς πίστεως ἐκτεθέντα κεφάλαια, καὶ ταῦτα πολλάκις ὑφ' ἡμῶν πρὸς διάλεξιν προσκληθέντες· ἑτοίμους γὰρ εἴχομεν τὰς ἀποδείξεις τῶν αἱρετικῶν κεφαλαίων. καὶ μαρτυρεῖ τούτοις ὁ προειρημένος μεγαλοπρεπέστατος μάγιστρος, καὶ τρὶς καὶ τετράκις καὶ ἡμᾶς καὶ αὐτοὺς συγκαλέσας καὶ τοῦτο
3 ἡμῶν προτεινάντων ἀκούσας. ἐδέησε μετὰ ταῦτα διὰ τὴν ἐκείνων ἀπείθειαν ἐνταῦθα ἡμᾶς κληθῆναι· παρεγενόμεθα οὐδὲ πρὸς βραχὺ ἀναβαλόμενοι· οὐκ ἐπαυσάμεθα ἀφ' οὗ παρεγενόμεθα, καὶ ἐπὶ τῆς ὑμετέρας εὐσεβείας καὶ ἐπὶ τοῦ λαμπροῦ κονσιστορίου παρακαλοῦντες ἀναδέξασθαι αὐτοὺς τὸν ὑπὲρ τῶν κεφαλαίων ἀγῶνα καὶ ἐλθεῖν εἰς διάλεξιν ἢ ⟨γοῦν⟩ ἐκβαλεῖν αὐτὰ ὡς ἀλλότρια τῆς ὀρθοδόξου πίστεως καὶ ἐμμεῖναι τῆι ἐκθέσει μόνηι τῆς πίστεως τῶν μακαρίων πατέρων τῶν ἐν Νικαίαι συνελθόντων. καὶ οἱ μὲν οὐδέτερον τούτων ποιῆσαι θελήσαντες, ἀλλ' ἐπιμείναντες τῆι αἱρετικῆι ταύτηι φιλονεικίαι, ἐκκλησιάζειν καὶ ἱερατεύειν συνεχωρήθησαν· ἡμεῖς δὲ ἀσύνακτοι μεμενηκότες τοσοῦτον χρόνον ⟨καὶ⟩ ἐν Ἐφέσωι καὶ ἐνταῦθα καὶ μυρίους κἀκεῖ καὶ ἐνθάδε κινδύνους ὑπομένοντες καὶ ὑπὸ δούλων σχῆμα μοναχικὸν περιβεβλημένων καταλευσθέντες καὶ μικροῦ δεῖν ἄρδην διαφθαρέντες ἐστέρξαμεν ὡς ὑπὲρ εὐσε-

---

AΛcw

6/7 πάντα δὲ -- βασιλικὸν ex Λcw addidi 14 ἀκρίτους addidi secundum Λc 37 γοῦν addidi secundum Λc 41 καὶ[1] addidi secundum Λcw

βείας ἅπαντα ὑπομένοντες. μετὰ ταῦτα ἔδοξε τῶι ὑμετέρωι κράτει αὖθις καὶ ἡμᾶς καὶ ἐκείνους συγκαλέσαι καὶ καταναγκάσαι τοὺς ἀπειθοῦντας εἰς τὴν ἐξέτασιν ἐλθεῖν τῶν δογμάτων. τούτου ἔσεσθαι προσδοκωμένου, ἡ εὐσέβειά σου εἰς τὴν πόλιν ἀφίκετο καὶ τοὺς μὲν ἐπὶ αἱρέσει κατηγορουμένους καὶ διὰ τοῦτο τοὺς μὲν καθαιρεθέντας ὑφ' ἡμῶν, τοὺς δὲ ἀκοινωνησίαι ὑποβληθέντας, λοιπὸν δὲ καὶ ὑπὸ τὸν κανόνα γεγενημένους προσέταξε τὴν πόλιν καταλαβεῖν καὶ ἱερουργῆσαι καὶ χειροτονῆσαι· ἡμᾶς δὲ τοὺς τὸν ὑπὲρ εὐσεβείας ἀναδεξαμένους ἀγῶνα καὶ πάντα κίνδυνον ὑπὲρ τῶν ὀρθῶν δογμάτων ὑποστῆναι προαιρουμένους οὔτε εἰσελθεῖν εἰς τὴν πόλιν ἐκέλευσε καὶ τῆι πολεμουμένηι συμμαχῆσαι πίστει καὶ ὑπὲρ τῶν ὀρθῶν ἑνστῆναι δογμάτων οὔτε τὰ οἰκεῖα καταλαβεῖν ἐπέτρεψεν, ἀλλ' ἐσμὲν ἐν τῆι Χαλκηδόνι ἀνιώμενοι καὶ στένοντες ἐπὶ τῶι μελετωμένωι τῆς ἐκκλησίας σχίσματι. τούτου χάριν ὡς μηδεμιᾶς τυγχάνοντες ἀποκρίσεως, ἀναγκαῖον ὠιήθημεν διὰ τῶνδε τῶν γραμμάτων διδάξαι τὴν ὑμετέραν εὐσέβειαν ἐνώπιον τοῦ θεοῦ καὶ τοῦ Χριστοῦ αὐτοῦ καὶ τοῦ ἁγίου πνεύματος ὡς εἰ χειροτονηθείη τις πρὸ τῆς διορθώσεως τῶν ὀρθῶν δογμάτων παρὰ τῶν τὰ αἱρετικὰ φρονούντων, ἀνάγκη πᾶσαν ἐκκλησίαν μερισθῆναι, καὶ κλήρων καὶ λαῶν σχιζομένων καὶ κατ' ἀλλήλων χωρούντων· οὐδεὶς γὰρ τῶν εὐσεβούντων ἀνέξεται τοῖς τὰ αἱρετικὰ θρησκεύουσι κοινωνῆσαι καὶ τὴν οἰκείαν προέσθαι σωτηρίαν. τούτου δὲ ἐσομένου, ἡ ὑμετέρα εὐσέβεια παρὰ τὸν οἰκεῖον πρᾶξαι σκοπὸν ἀναγκασθήσεται· καὶ γὰρ τὸ σχίσμα παρὰ γνώμην ἴσως κρατυνεῖ καὶ τοὺς ὑπὲρ τῆς εὐσεβείας ἀγωνιζομένους λυπήσει, οὐκ ἀνεξομένους τὰς οἰκείας προδοῦναι ψυχὰς καὶ συνθέσθαι τοῖς τὰ δυσσεβῆ Κυρίλλου δόγματα ἐκδικεῖν φιλονεικοῦσι. πολλοὶ δὲ οἱ τῆς εὐσεβείας ὑπερμαχοῦντες, ἡμεῖς τε οἱ τῆς Ἀνατολικῆς διοικήσεως ἅπαντες καὶ αἱ σὺν ἡμῖν ἐπαρχίαι ἔκ τε τῆς Ποντικῆς καὶ Ἀσιανῆς καὶ Θραικικῆς διοικήσεως καὶ τοῦ Ἰλλυρικοῦ καὶ τῶν Ἰταλιῶν. οὐδὲ γὰρ ἐκεῖνοι τοῖς Κυρίλλου συνθέσθαι δόγμασιν ἀνέξονται, οἵτινες καὶ τῆι ὑμετέραι εὐσεβείαι βίβλον τοῦ μακαριωτάτου Ἀμβροσίου ἀπέστειλαν ἐναντία τῆι ἀναφυείσηι ταύτηι θρησκείαι διδάσκουσαν. ἵνα τοίνυν μή τι τοιοῦτο γένηται καὶ πλέον ἡ ὑμετέρα εὐσέβεια ἀθυμήσηι, ἀντιβολοῦμεν ἱκετεύομεν παρακαλοῦμεν θεσπίσαι μὴ πρότερον τὴν χειροτονίαν γενέσθαι, ἕως ἂν τύπον τὰ τῆς ὀρθοδόξου πίστεως λάβηι, ἧς ἕνεκα καὶ συνήγαγεν ἡμᾶς ἡ φιλόχριστος ὑμῶν κορυφή.

64 Latinae uersiones extant duae, in Collectione Casinensi 124 [Λ^{c}] et in Collectione Winteriana 17 [Λ^{w}]

Δέησις τῶν αὐτῶν τρίτη σταλεῖσα ὁμοίως ἀπὸ Χαλκηδόνος

Οὐκ εἰς ταῦτα καταντήσειν τῆς ὑμετέρας εὐσεβείας προσεδοκῶμεν τὴν κλῆσιν. ἐκλήθημεν γὰρ ἐντίμως ὡς ἱερεῖς παρὰ βασιλέως καὶ ἐκλήθημεν ἐπὶ βεβαιώσει τῆς τῶν ἁγίων πατέρων πίστεως, δι' ὃ καὶ ὡς βασιλεῖ εὐσεβεῖ ὑπακούσαντες ἤλθομεν καὶ ἐλθόντες οὔτε τῆς ἐκκλησιαστικῆς ἐξέστημεν ἀκολουθίας οὔτε τῶν ὑμετέρων κατεφρονήσαμεν θεσπισμάτων, ἀλλὰ διετελέσαμεν ἀφ' ἧς ἡμέρας εἰς τὴν Ἐφεσίων ἀφικόμεθα, μέχρι τῆς σήμερον τοῖς ὑμετέροις ἑπόμενοι νεύμασιν. ἀλλ' οὐδὲν ἡμᾶς, ὡς ἔοικεν, ὤνησεν κατὰ τὸν παρόντα βίον ἡ εὐταξία, μᾶλλον δὲ καὶ τὰ μέγιστα, ὡς ὁρῶμεν, ἔβλαψεν. ἡμεῖς μὲν γὰρ οἱ ταύτηι χρησάμενοι μέχρι μὲν τοῦ παρόντος ἐν τῆι Χαλκηδόνι ἐπεχόμενοι διηγάγομεν, νῦν δὲ ἀπελύθημεν ἐπὶ τὰ οἰκεῖα· οἱ δὲ πάντα συγχέαντες καὶ ταραχῆς τὴν οἰκουμένην ἐμπλήσαντες καὶ τὰς ἐκκλησίας διασπάσαι φιλονεικοῦντες καὶ τῆι εὐσεβείαι προφανῶς πολεμοῦντες ἱερουργοῦσιν, ἐκκλησιάζουσι, τῆς ἀθέσμως ἐλπιζομένης χειροτονίας τὸ κῦρος ἔχουσιν, ὡς νομίζουσι, στάσεις ἐν ταῖς ἐκκλησίαις ἐγείρουσι, τὰ εἰς τὰς χρείας τῶν πενήτων καρποφορούμενα εἰς τοὺς οἰκείους ἀναλίσκουσι στασιώτας. καὶ μὴν οὐκ ἐκείνων μόνον, ἀλλὰ

ΑΛ^{cw}

22 οὔτε A 36 οὐδὲ A

καὶ ἡμῶν βασιλεύεις. μέρος γὰρ οὐ μικρὸν τῆς σῆς βασιλείας ἡ Ἀνατολὴ τυγχάνει, ἐν ἧι ἀεὶ τὰ τῆς ὀρθοδοξίας διέλαμψε, πρὸς δὲ ταύτηι καὶ αἱ λοιπαὶ ἐπαρχίαι καὶ διοικήσεις ἐξ
2 ὧν συνηθροίσθημεν. μὴ τοίνυν παρίδηι τὸ ὑμέτερον κράτος τὴν πίστιν διαφθειρομένην, εἰς ἣν καὶ ὑμεῖς ἐβαπτίσθητε καὶ οἱ ὑμέτεροι πρόγονοι, εἰς ἣν ἐπάγη τὰ τῆς ἐκκλησίας θεμέλια, δι' ἣν οἱ τρισμακάριοι μάρτυρες μυρία θανάτων εἴδη μεθ' ἡδονῆς κατεδέξαντο, μεθ' ἧς καὶ βαρβάρους ἐνικήσατε καὶ τυράννους κατελύσατε, ἧς καὶ ἐν τῶι νῦν τὴν Ἀφρικὴν καταλαβόντι χρήιζετε πολέμωι. ἔσται γὰρ ὑμῖν ὁ τῶν ὅλων θεὸς σύμμαχος, ἐὰν τῶν εὐσεβῶν δογμάτων αὐτοῦ ὑπερασπίσητε καὶ κωλύσητε ῥαγῆναι τῆς ἐκκλησίας τὸ σῶμα· ῥαγήσεται γάρ, εἰ τὸ ἐπεισαχθὲν τῆι πίστει ὑπὸ Κυρίλλου καὶ κυρωθὲν ὑπὸ τῶν ἄλλων αἱρετικῶν φρόνημα κρατυνθείη. ταῦτα πολλάκις μὲν ἤδη ἐνώπιον τοῦ θεοῦ καὶ ἐν Ἐφέσωι καὶ ἐνταῦθα διεμαρτυράμεθα καὶ τὴν ὑμετέραν εὐσέβειαν ἐδιδάξαμεν, ἀπολογίαν ἑαυτοῖς ἐπὶ τοῦ θεοῦ τῶν ὅλων πορίζοντες· ἀπαιτεῖ γὰρ καὶ τοῦτο παρ' ἡμῶν, ὡς αἱ θεῖαι γραφαὶ αἵ
1 Tim. 6, 13 τε προφητικαὶ καὶ ἀποστολικαὶ διδάσκουσι. καὶ γὰρ ὁ μακάριος Παῦλος βοᾶι· διαμαρτύρομαι ἐνώπιον τοῦ θεοῦ τοῦ ζωογονοῦντος τοὺς νεκροὺς καὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ μαρτυρήσαντος ἐπὶ Ποντίου Πιλάτου τὴν
cf. Ezech. 3, 18. 20 καλὴν ὁμολογίαν, καὶ τῶι Ἰεζεκιὴλ ὁ θεὸς παρεγγυᾶι διαστείλασθαι τοῖς ἐν τῶι λαῶι καὶ ἀπειλὴν τίθησι λέγων· ἐὰν μὴ διαστείληι, τὸ αἷμα τῶν ἀπολλυμένων ἐκ χειρός σου ζητήσω. τοῦτο τὸ κρίμα δεδιότες, ἀναγκαῖον ὠιήθημεν αὖθις διδάξαι τὸ ὑμέτερον κράτος ὡς τὰ Ἀπολιναρίου καὶ Ἀρείου καί Εὐνομίου διδάσκουσιν ἐν ταῖς ἐκκλησίαις οἱ ἐκκλησιάζειν συγχωρηθέντες καὶ ἀθέσμως καὶ παρὰ τοὺς κανόνας ἱερουργοῦντες καὶ διαφθείρουσι τὰς ψυχὰς τῶν εἰσερχομένων, εἴ τις ἄρα καὶ ἀκούειν αὐτῶν ἀνέχεται. διὰ γὰρ τὴν θείαν χάριν τὴν πάντων ἀνθρώπων κηδομένην καὶ πάντας βουλομένην σωθῆναι τὸ πλεῖστον τοῦ λαοῦ ὑγιαίνει καὶ τῶν εὐσεβῶν ὑπεραγωνίζεται δογμάτων, δι' οὓς μάλιστα ἀλγοῦμεν καὶ κεντούμεθα τὴν ψυχήν, δεδιότες μὴ κατὰ μικρὸν ἡ ἐπισκήψασα νόσος τῶν πλείστων ἐπιλάβηται καὶ κοινὸν γένηται τὸ κακόν. ταῦτα ἡμεῖς τὴν ὑμετέραν ἀναδιδάσκομεν γαληνότητα καὶ διδάσκοντες οὐ παυσόμεθα καὶ εὐχόμεθα ἐπινεῦσαι ταῖς ἡμετέραις ἱκεσίαις τὸ ὑμέτερον κράτος καὶ μηδὲν ἐᾶσαι ἐπεισενεχθῆναι τῆι τῶν ἁγίων πατέρων πίστει τῶν ἐν Νικαίαι συνεληλυθότων. εἰ δὲ καὶ μετὰ ταύτην ἡμῶν τὴν δέησιν καὶ τὴν ἐπὶ τοῦ θεοῦ διδασκαλίαν μὴ προσδέξεται ἡ ὑμετέρα εὐσέβεια, ἡμεῖς καὶ τὸν κονιορτὸν τῶν ποδῶν τιναξόμεθα καὶ βοη-
Act. 20, 26 σόμεθα μετὰ τοῦ μακαρίου Παύλου· καθαροὶ ἡμεῖς ἀπὸ τοῦ αἵματος πάντων. οὐ γὰρ ἐπαυσάμεθα νύκτωρ καὶ μεθ' ἡμέραν ἀφ' οὗ εἰς τήνδε τὴν εὐλογημένην παρεγενόμεθα σύνοδον, καὶ βασιλέα καὶ ἄρχοντας καὶ στρατιώτας καὶ ἱερέας καὶ λαικοὺς διαμαρτυρόμενοι μὴ προέσθαι τὴν παραδοθεῖσαν ἡμῖν ὑπὸ τῶν πατέρων εὐσέβειαν.

65 Latinae uersiones extant duae, in Collectione Casinensi 114 [Λ^{c}] et in Collectione Winteriana 18 [Λ^{w}]

Ἐπιστολὴ τῶν αὐτῶν πρὸς τοὺς ἰδίους τοὺς ἐν Ἐφέσωι

Τῆι ἁγιωτάτηι καὶ θεοφιλεῖ συνόδωι τῆι ἐν Ἐφέσωι Ἰωάννης Ἰωάννης Παῦλος Μακάριος Ἀπρίγγιος Θεοδώρητος ἐν κυρίωι χαίρειν. Παραγενόμενοι εἰς τὴν Χαλκηδόνα (εἰς γὰρ τὴν Κωνσταντινούπολιν οὔτε ἡμεῖς οὔτε οἱ ἐναντίοι συνεχωρήθημεν εἰσελθεῖν διὰ τὰς στάσεις τῶν καλῶν μοναζόντων), περιηχήθημεν ὅτι πρὸ ὀκτὼ ἡμερῶν τοῦ ἐπιστῆναι ἡμᾶς ἣν δόξαν τῶι εὐσεβεστάτωι βασιλεῖ τὸν κύριον Νεστόριον ἀπὸ τῆς Ἐφέσου ἀπολυθῆναι

ΑΛ^{cw}

11 αὐτοῖς Λ^{w}

AJΛ^{cw}

36 τῶν αὐτῶν ΑΛ^{w} τῶν ἑπτὰ ἀνατολικῶν ἐπισκόπων J 37 θεοφιλῆ AJ 41 ἐφέσω J

ὅπου βούλεται ἀπελθεῖν, καὶ σφόδρα ἠλγήσαμεν τὴν ψυχήν, εἴ γε ἀληθές, ὅτι τὰ ἀκρίτως καὶ ἀθέσμως γεγενημένα τέως δοκεῖ κρατεῖν. ἡμᾶς δὲ γινωσκέτω ὑμῶν ἡ ὁσιότης ἐκθύμως ὑπὲρ τῆς πίστεως ἀγωνίζεσθαι καὶ μέχρι θανάτου τοῦτον αἱρεῖσθαι τὸν ἀγῶνα· προσδοκῶμεν δὲ σήμερον, τοῦτ' ἐστὶ τῇι ἑνδεκάτηι τοῦ Γορπιαίου μηνὸς περᾶν τὸν εὐσε- d.11.in.Sept. βέστατον βασιλέα ἡμῶν εἰς Ῥουφινιανὰς κἀκεῖ τῆς ὑποθέσεως διακούειν. εὐξάσθω τοίνυν 5 a. 431 ἡ ὑμετέρα ἁγιότης συμπρᾶξαι ἡμῖν τὸν δεσπότην Χριστόν, ἵνα δυνηθῶμεν τῶν ἁγίων πατέρων κρατῦναι τὴν πίστιν καὶ τὰ ἐπὶ λύμηι τῆς ἁγίας ἐκκλησίας ἀναφυέντα κεφάλαια πρόρριζα ἀνασπάσαι. τὰ αὐτὰ δὲ καὶ τὴν ὑμετέραν ὁσιότητα καὶ φρονῆσαι καὶ ποιῆσαι παρακαλοῦμεν καὶ ἐμμεῖναι τῇι καλῇι ὑμῶν ὑπὲρ τῆς ὀρθοδόξου πίστεως προθυμίαι. ὅτε δὲ ἐγράφη ἡ ἐπιστολή, οὕπω ἦν ἀπαντήσας ὁ κύριος Ἰμέριος· τάχα γὰρ ἀνωμάλησε κατὰ 10 τὴν ὁδόν. μηδὲν δὲ ὑμῶν τοῦτο τὴν θεοσέβειαν διαταράξηι· ἐλπίζομεν γὰρ ὅτι καὶ τὰ λυπηρὰ σβεσθήσεται καὶ ἡ ἀλήθεια ἀναλάμψει, τῆς ὑμετέρας θεοσεβείας προθύμως συναγωνιζομένης ἡμῖν.

66 Latinae uersiones extant duae, in Collectione Casinensi 115 [Λ^{c}] et in Collectione Winteriana 19 [Λ^{w}] 15

Αλλη ἐπιστολὴ τῶν αὐτῶν πρὸς τοὺς αὐτούς

Διὰ τῶν εὐχῶν τῆς ὑμετέρας ὁσιότητος γέγονεν ἡμῖν συντυχία πρὸς τὸν εὐσεβέστατον ἡμῶν βασιλέα καὶ τῆς θείας ῥοπῆς τυχόντες περιεγενόμεθα τέως τῶν τὰ ἐναντία φρονούντων ἐν τοῖς ἀγῶσιν, ὡς πάντα μὲν τὰ ἡμέτερα δεχθῆναι παρὰ τῶι φιλοχρίστωι ἡμῶν βασιλεῖ, τὰ δὲ ὑπ' ἐκείνων λεχθέντα ἄδεκτα φανῆναι καὶ ἀνακόλουθα. ἄνω γὰρ καὶ κάτω 20 Κυρίλλου μνημονεύοντες καὶ παρακαλοῦντες αὐτὸν κληθῆναι καὶ αὐτὸν ὑπὲρ ἑαυτοῦ ἀπολογήσασθαι, μέχρι τοῦ παρόντος οὐκ ἔπεισαν, ἀλλ' ἤκουσαν ὡς χρὴ τὸν περὶ τῆς εὐσεβείας κινηθῆναι λόγον καὶ κρατυνθῆναι τὴν πίστιν τῶν μακαρίων πατέρων. διηλέγξαμεν δὲ καὶ Ἀκάκιον καταθέμενον ἐπὶ ὑπομνημάτων παθητὴν εἶναι τὴν θεότητα, καὶ τοσοῦτον ἐδυσχέ- V 47. 8 ρανεν ὁ εὐσεβὴς ἡμῶν βασιλεύς, ὡς τινάξασθαι τὴν πορφυρίδα καὶ εἰς τουπίσω χωρῆσαι 25 διὰ τὸ τῆς βλασφημίας μέγεθος. εἴδομεν δὲ καὶ ὅλον τὸ κονσιστόριον σφόδρα ἡμᾶς ἀποδεξάμενον ὡς ὑπὲρ εὐσεβείας ἀγωνιζομένους. ἔδοξε τοίνυν τῶι εὐσεβεστάτωι ἡμῶν βασιλεῖ ἕκαστον ἐκθέσθαι τὸ οἰκεῖον φρόνημα καὶ προσενεγκεῖν αὐτοῦ τῇι εὐσεβείαι, ἀπεκρινάμεθα δὲ ἡμεῖς ὅτι ἑτέραν ἔκθεσιν ἀδύνατον ἡμᾶς ποιῆσαι πλὴν τῆς ἐν Νικαίαι γενομένης ὑπὸ τῶν μακαριωτάτων πατέρων, καὶ συνήρεσεν αὐτοῦ τῶι κράτει. πρόκειται 30 τοίνυν ἐκείνην ἐν ἧι ὑπέγραψεν ὑμῶν ἡ ὁσιότης, προσενεγκεῖν αὐτοῦ τῇι εὐσεβείαι. ὁ δὲ V 96 λαὸς ἅπας ὁ Κωνσταντινουπόλεως ἀπαύστως πρὸς ἡμᾶς περᾶι, δεόμενος γενναίως ὑπὲρ τῆς πίστεως ἀγωνίσασθαι, καὶ πολὺν ἔχομεν κάματον ἐπέχειν αὐτούς, ἵνα μὴ δόξωμεν πρόφασιν διδόναι τοῖς ἐναντίοις. ἀπεστείλαμεν δὲ ὑμῶν τῇι θεοσεβείαι τὸ ἴσον τῆς ἐκθέσεως, ἵνα δύο ἀντίγραφα ποιῆσαι καταξιώσητε καὶ τοῖς δύο καθυπογράψητε. 35

67 Latinae uersiones extant duae, in Collectione Casinensi 116 [Λ^{c}] et in Collectione Winteriana 20 [Λ^{w}]

Ἀντίγραφα τῶν ἐν Ἐφέσωι Ἀνατολικῶν πρὸς τοὺς ἐν Κωνσταντινουπόλει

1 Τοῖς τὰ πάντα θεοφιλεστάτοις καὶ ἁγιωτάτοις καὶ ὁσιωτάτοις συλλειτουργοῖς Ἰωάννηι Ἰωάννηι Ἰμερίωι Παύλωι Μακαρίωι Ἀπριγγίωι Θεοδωρήτωι Ἑλλαδίωι ἐπισκόποις ἡ ἐν Ἐφέσωι 40

1/2 adfert Eutherius Tyanensis in Coll. Cas. 205, 6

AJΛ^{cw}

16 τοὺς om. J 26 ὅλον τὸ κονσιστόριον AJΛ^{w} *omnem senatum (et) qui erant in consistorio* Λ^{c} 27 ἀγωνιζομένους AJΛ^{w} *laboribus desudantes* Λ^{c} 35 τοὺς J καθυπογράψετε J 40 Ἑλλαδίωι om. Λ^{c}

συγκροτηθεῖσα σύνοδος ἐν κυρίωι χαίρειν. Μαθόντες τοὺς γενομένους ὑμῖν ἀγῶνας ὑπὲρ τῆς εὐσεβείας μετὰ τῆς θείας χάριτος ἐπὶ τοῦ φιλοχρίστου καὶ εὐσεβεστάτου βασιλέως ἡμῶν, ἔγνωμεν διὰ τῆς πείρας ὡς οὐκ ἐγκαταλέλοιπεν ὁ δεσπότης Χριστὸς τὰς ἐκκλησίας αὐτοῦ, ὅς γε καὶ ὑμῖν τοῖς ὀρθοδόξοις πρέπουσαν χάριν παρέσχε καὶ τῶν δι' ἐναντίας πολλὴν αἰσχύνην κατέχεε καὶ τὸν εὐσεβέστατον ἡμῶν βασιλέα τῆι ὀρθοδόξωι πίστει τῆς ἁγιωτάτης ἐκκλησίας προσθέσθαι παρεσκεύασε. καὶ θαρροῦμεν ὡς καὶ ὑμῶν μετὰ τῆς ἐπιβαλλούσης ἱερεῦσι Χριστοῦ παρρησίας ἀγωνιζομένων καὶ τῆς τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως ζωῆς ὑπὸ τοῦ θεοῦ σωιζομένης εἰρηνικὸν πέρας ἕξει τὰ τῆς ὑποθέσεως καὶ στηλιτευθήσεται μὲν τὰ τῆς αἱρέσεως, ἀναλάμψει δὲ πάλιν κατὰ πᾶσαν τὴν οἰκουμένην ἐν ταῖς ἐκκλησίαις ἡ τῶν ἁγίων πατέρων ὀρθόδοξος πίστις. οὐ παύονται δὲ οἱ δι' ἐναντίας τῆι συνήθει τυραννίδι κεχρημένοι μέχρι τοῦ παρόντος διὰ τὸ μηδεμιᾶς ἀγανακτήσεως πειραθῆναι· πανταχοῦ γὰρ ἐν ταῖς ἐκκλησίαις τὰς ἀθεμίτους καθαιρέσεις διαπεμπόμενοι ταράσσουσι καὶ τοὺς κλήρους
2 καὶ τοὺς λαούς. ὑπεγράψαμεν δὲ εἰς τὰ δύο ἰσότυπα τὰ παρὰ τῆς ὑμετέρας ὁσιότητος ἀποσταλέντα, ὑπὲρ ὧν παρακαλοῦμεν μέχρις αἵματος ἀντικαταστῆναι ὑμᾶς, ὑπὲρ τῆς ἀληθείας ἀγωνιζομένους πρὸς τὴν ἀναφυεῖσαν ἀσέβειαν, εἰδότας ὡς σύμφωνοι τῆς ὑμετέρας ὁσιότητος ὄντες ἕτοιμοι ἐσμὲν πρότερον τὰς ψυχὰς ἀποθέσθαι ἢ δέξασθαί τι τῶν αἱρετικῶν
3 κεφαλαίων Κυρίλλου τοῦ Ἀλεξανδρέως. τὰ δὲ κατὰ τὸ ἠδικημένον πρόσωπον γνόντες, εἰς πᾶσαν ἀφασίαν κατέστημεν· οἱ γὰρ καθελόντες αὐτὸν ἐν αὐτοῖς τοῖς αἱρετικοῖς ὑπομνήμασι τὰ κεφάλαια τὰ αἱρετικά, ὡς ἴστε, συνῆψαν τῆι τῶν πατέρων πίστει, καὶ ταύτηι δείξαντες αὐτοὺς αἱρετικοὺς καὶ τῆς ὀρθοδόξου πίστεως ἀλλοτρίους. πῶς οὖν ἐνδέχεται, παρακαλῶ, ἀμφότερα ταῦτα συνελθεῖν ὄντα ἐναντία, τήν τε καθαίρεσιν τά τε κεφάλαια; εἰ γὰρ ἀξιόπιστοί εἰσι καθελόντες, ἀξιόπιστοι ἔσονται καὶ ἐν οἷς ἐξέθεντο αἱρετικοῖς κεφαλαίοις· εἰ δὲ τὰ κεφάλαια ἐλέγχει αὐτοὺς αἱρετικούς, αἱρετικῶν πάντως καὶ ἡ καθαίρεσις.
68 4 ταῦτα δὲ προσεφωνήσαμεν καὶ πρὸς τὸν εὐσεβέστατον ἡμῶν βασιλέα, ἀποστείλαντες τῆι ὑμετέραι ὁσιότητι, ἵνα τὸ δοκοῦν διαπράξησθε. ἀγωνιῶμεν γὰρ ὡς ἐπὶ τῆς ἀληθείας αὐτῆς, μὴ τῆς καθαιρέσεως τῆς ὑπὸ τῶν αἱρετικῶν γεγενημένης κρατούσης ἰσχύν τινα ἔχηι καὶ τὰ αἱρετικὰ κεφάλαια καὶ τὰ ἄλλα τὰ παρ' ἐκείνων κατὰ πολλῶν ἱερέων γεγενημένα· ἅπερ ἅπαντα μαθοῦσαν ὑμῶν τὴν ὁσιότητα θαρροῦμεν ἐκεῖνα ποιήσειν ἃ καὶ πάντα τὰ γενόμενα κατὰ πάντων ὑπὸ τῶν αἱρετικῶν ἀκυρώσει, εἴτε καθαίρεσιν εἴτε ἀκοινωνησίαν, διά τε συνοδικοῦ γράμματος καὶ βασιλικοῦ θεσπίσματος. οὐκ ἀγνοεῖ γὰρ ὑμῶν ἡ θεοσέβεια ὡς ἔχομεν τινὰς τῶν ἐπισκόπων μεθ' ἡμῶν μεμονωμένους ἐν ταῖς ἑαυτῶν ἐπαρχίαις. ἀπεστείλαμεν δὲ τῆι ὑμετέραι ὁσιότητι καὶ τὴν πρόσφατον γενομένην ἑρμηνείαν ὑπὸ τοῦ
V 148 Ἀλεξανδρέως τῶν αἱρετικῶν κεφαλαίων, ἀκριβέστερον καὶ δι' αὐτῆς δείξαντος τὴν ἑαυτοῦ ἀσέβειαν. καθὼς δὲ παρεκαλέσαμεν ὑμῶν τὴν ὁσιότητα, καταξιώσατε φροντίσαι ταχέως ἡμᾶς ἀπολυθῆναι, μάλιστα τοῦ χειμῶνος ἐπικειμένου.

68 Latinae uersiones extant duae, altera in Collectione Casinensi 117 [Λ^{c}], altera in Collectione Winteriana 21 [Λ^{w}]

Ἀναφορὰ τῶν ἐν Ἐφέσωι Ἀνατολικῶν καὶ τῶν σὺν αὐτοῖς πρὸς τὸν βασιλέα

1 Τοῖς εὐσεβεστάτοις καὶ φιλοχρίστοις βασιλεῦσι Θεοδοσίωι καὶ Οὐαλεντινιανῶι αὐγού-
66 στοις παρὰ τῆς ἁγίας συνόδου τῆς ἐν Ἐφέσωι συγκροτηθείσης. Διδαχθέντες ἐκ γραμμάτων τῶν ἁγιωτάτων καὶ θεοφιλεστάτων συλλειτουργῶν ἡμῶν τῶν ὑπὲρ ὅλης τῆς συνόδου

A J Λ^{cw}

6 προθέσθαι J 8 τοῦ om. J 11 παρόντος A Λ^{cw} παλατίου J 31 ἐν — ἐπαρχίαις A J Λ^{w} *ex propriis mansionibus* Λ^{c} 35 secuntur subscriptiones in Λ^{c} 40/41 τῶν γραμμάτων τῶν J

καταλαβόντων τὸ εὐσεβὲς ὑμῶν στρατόπεδον τήν τε μετ' εὐμενείας γενομένην εἴσοδον αὐτῶν ἐπὶ τῆς ὑμετέρας εὐσεβείας καὶ τὸν ὑπὲρ τῆς ὀρθοδοξίας ζῆλον τοῦ ὑμετέρου κράτους, ἤσθημεν ὡς τοῖς προειρημένοις παρόντες καὶ τὸ γαληνὸν τῆς ὑμετέρας εὐσεβείας πρόσωπον ἅμα αὐτοῖς ἐποπτεύοντες. ἔγνωμεν γὰρ πῶς τὰ μὲν παρὰ τῶν ἐναντίων ἄδεκτα γέγονε τῇ ὑμετέραι δικαιοκρισίαι, ἡ δὲ τῶν ἁγίων πατέρων τῶν κατὰ Νίκαιαν πίστις, ὑπὲρ ἧς καὶ οἱ παρόντες θεοφιλέστατοι ἐπίσκοποι καὶ ἡμεῖς ἀγωνιζόμεθα, ἀποδοχῆς ἠξιώθη, καὶ πιστεύομεν οὕτω τοῦ θεοῦ ἐξηρτημένης ὑμῶν τῆς εὐσεβείας μηδαμῶς παρασαλευθήσεσθαι παρὰ τῶν ἐπιχειρησάντων τὴν ἀποστολικὴν πίστιν, δι' ἧς ἄνωθεν ἐκ προγόνων βασιλεύει τε τὸ ὑμέτερον κράτος καὶ πᾶν τὸ ἀλλόφυλον ὑποχείριον ἔχει, καὶ ἐπὶ τούτοις τὰς εὐχαριστηρίους φωνὰς καὶ τὰς ὑπὲρ τῆς ὑμετέρας εὐσεβείας ἐκτενεῖς δεήσεις εἰωθότως ἀνεπέμψαμεν μετὰ
2 πολλῆς τῆς περιχαρείας τῶι δεσπότηι Χριστῶι. ἐπειδὴ δὲ πολλή τίς ἐστιν ἐπὶ τοῦ εὐσεβοῦς ὑμῶν κράτους παρρησία τοῖς ἱερεῦσι, θαρροῦμεν καὶ τὰ εἰς ἀθυμίαν ἡμᾶς ἐμβάλλοντα καὶ ἀγωνίαν διδάξαι τὸ ὑμέτερον κράτος καὶ τούτων αἰτῆσαι τὴν ἴασιν· ὅθεν δεόμεθα καὶ προκυλινδούμεθα τῶν ὑμετέρων ἰχνῶν μετὰ μακροθυμίας προσπίπτοντες ἡμᾶς τῇ ὑμετέραι εὐσεβείαι δέξασθαι, δίκαια αἰτοῦντας περὶ τοῦ ἠδικημένου προσώπου παρὰ τῶν τὰ αἱρετικὰ κεφάλαια Κυρίλλου τοῦ Ἀλεξανδρέως δεδεγμένων καὶ εἰς αὐτὸ τὸ θεῖον ἠσεβηκότων. οἱ γὰρ ἐπεισαγαγόντες τὰ αἱρετικὰ κεφάλαια καὶ θολώσαντες τὴν τῶν ἁγίων πατέρων πίστιν τό γε αὐτῶν μέρος ἐν αὐτοῖς τοῖς ὑπομνήμασι καὶ τὴν ἀθέμιτον καθαίρεσιν πεποιήκασι, καὶ πιστεύομεν μὴ φανήσεσθαι τῇ ἀπροσκλινεῖ ὑμῶν καὶ ὀρθῇ κρίσει δίκαιον ἐκείνων στῆναι τὴν κατάκρισιν, οὓς κατακρίνεσθαι χρὴ σαφῶς ἐληλεγμένους αἱρετικούς. τὰ δὲ κατὰ μέρος παρακολουθήσαντα παρ' ἐκείνων καὶ κατὰ τῶν ἐκκλησιαστικῶν θεσμῶν καὶ κατὰ τῶν εὐσεβεστάτων ὑμῶν γραμμάτων ἤδη παρὰ πολλῶν μεμάθηκε τὸ ὑμέτερον κράτος, τοῦ παρ' αὐτῶν ἠδικημένου ἐν μηδενὶ μήτε τοῖς ὑμετέροις θεσπίσμασιν ἀντιπεσόντος καὶ τὴν ἐκκλησιαστικὴν πίστιν ὀρθοδόξως κηρύττοντος. εἰ γὰρ καὶ μυριάκις φεύγων τὰς ταραχὰς αὐτὸς ἰδιάζειν βούλεται, δέος μή τι τῇ πίστει γένηται βλάβος τῶι τὴν ἄθεσμον ἐκείνην καθαίρεσιν παρὰ τῶν τὰ αἱρετικὰ κεφάλαια ἐπεισαγαγόντων γεγενῆσθαι.

69 Latinae uersiones extant duae, in Collectione Casinensi 119 [Λ^{c}] et in Collectione Winteriana 22 [Λ^{w}]

Ἐπιστολὴ Θεοδωρήτου ἐπισκόπου Κύρου πρὸς Ἀλέξανδρον τὸν Ἱεραπόλεως γραφεῖσα ἀπὸ Χαλκηδόνος

1 Οὐ κατελίπομεν εἶδος, οὐκ ἐπιεικείας, οὐ τραχύτητος, οὐ παρακλήσεως, οὐ καταβοήσεως, ὧι οὐκ ἐχρησάμεθα ἐπὶ τοῦ εὐσεβεστάτου βασιλέως καὶ τοῦ λαμπροῦ κονσιστορίου διαμαρτυρόμενοι ἐνώπιον τοῦ θεοῦ τοῦ τὰ πάντα ἐφορῶντος καὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ μέλλοντος κρίνειν ἐν δικαιοσύνηι τὴν οἰκουμένην καὶ τοῦ ἁγίου πνεύματος καὶ τῶν ἐκλεκτῶν Act. 17, 31
αὐτοῦ ἀγγέλων μὴ παροφθῆναι διαφθειρομένην τὴν πίστιν ὑπὸ τῶν τὰ αἱρετικὰ κεφάλαια δεξαμένων καὶ τούτοις καθυπογράψαι τετολμηκότων, ἀλλὰ κελεῦσαι μόνον τὴν ἐν Νικαίαι ἐκτεθῆναι καὶ ἐκβληθῆναι τὴν ἐπεισαχθεῖσαν αἵρεσιν ἐπὶ λύμηι καὶ διαφθορᾶι τῆς εὐσεβείας. καὶ μέχρι τῆς σήμερον ἡμέρας οὐδὲν ἀνύσαι ἠδυνήθημεν, τῆιδε κἀκεῖσε τῶν ἀκροατῶν περι-
2 φερομένων καὶ νῦν μὲν ἐπαινούντων τὰ ἡμέτερα, νῦν δὲ μεταπειθομένων. ἀλλ' ὅμως οὐδὲν ἡμᾶς τούτων μετέπεισε τῆς προκειμένης ἐνστάσεως ἐκστῆναι, ἀλλ' ἐχόμεθα τούτου, σὺν θεῶι δὲ εἰρήσθω· πεπείκαμεν γὰρ μεθ' ὅρκου τὸν εὐσεβέστατον ἡμῶν βασιλέα ὡς ἀδύνατον Κύριλλον καὶ Μέμνονα δι' ἡμῶν ἀποκαταστῆναι καὶ ὡς ἀμήχανον ἡμᾶς κοινω-

---

A JΛ^{cw}

4 παρὰ om. Λ^{c} . ιρακολουθήσοντα Λ^{w} 23 μὴ δὲ AJ 26 in fine add. *et subscriptiones* Λ^{c}

νῆσαι τοῖς ἄλλοις, μὴ ἐκβαλοῦσι πρότερον τὰ αἱρετικὰ κεφάλαια. ἡμεῖς μὲν οὖν τοῦτον
Phil. 2, 21 ἔχομεν τὸν σκοπόν· σπουδὴ δέ ἐστι τοῖς τὰ ἑαυτῶν ζητοῦσιν, οὐχὶ δὲ τὰ Χριστοῦ
Ἰησοῦ, ἀποκαταστῆσαι αὐτοὺς καὶ παρὰ γνώμην ἡμετέραν. ἀλλ' οὐδὲν ἡμῖν τούτου μέλει·
ὁ γὰρ θεὸς τὴν ἡμετέραν πρόθεσιν ἀπαιτεῖ καὶ τὴν δύναμιν ἐξετάζει καὶ τῶν παρὰ γνώμην
3 γινομένων οὐκ εἰσπράττεται δίκας. περὶ δὲ τοῦ φίλου ἵστω σου ἡ ἁγιότης ὡς εἴ ποτε αὐτοῦ
μνήμην ἐποιησάμεθα ἢ ἐπὶ τοῦ εὐσεβεστάτου βασιλέως ἢ ἐπὶ τοῦ λαμπροῦ κονσιστορίου,
καθοσιώσεως ἐκρίθημεν· τοσαύτη ἐστὶ τῶν ἔσω πρὸς αὐτὸν ἡ ἀπέχθεια. καὶ τὸ πάντων
χαλεπώτατον ὅτι αὐτὸς ὁ εὐσεβέστατος βασιλεὺς πάντων μάλιστα ἀποστρέφεται τὸ ὄνομα,
φανερῶς ἡμῖν λέγων ὅτι περὶ τούτου μηδείς μοι μηδὲν λεγέτω· τύπον γὰρ ἅπαξ τὰ κατ'
αὐτὸν ἔλαβεν. ἀλλ' ὅμως εἰ ἐνταῦθα ἐσμέν, οὐ παυσόμεθα πάσῃ δυνάμει καὶ τούτου
4 τοῦ μέρους φροντίζοντες, εἰδότες τὴν γενομένην εἰς αὐτὸν ὑπὸ τῶν ἀθέων ἀδικίαν. σπου-
δάζομεν δὲ καὶ ἡμεῖς ἀπαλλαγῆναι ἐντεῦθεν καὶ τὴν ὑμετέραν ἀπαλλάξαι θεοσέβειαν· οὐδὲν
γάρ ἐστιν ἐλπίσαι χρηστὸν ἐντεῦθεν τῶι πάντας πληροφορηθῆναι τῶι χρυσῶι καὶ φιλονεικεῖν
αὐτοὺς τοὺς κριτὰς μίαν εἶναι φύσιν θεότητος καὶ ἀνθρωπότητος. ὁ δὲ λαὸς ἅπας σὺν θεῶι
ὑγιαίνει καὶ ἀπαύστως πρὸς ἡμᾶς ἐξέρχεται, ἠρξάμεθα δὲ αὐτοῖς καὶ διαλέγεσθαι καὶ ἐπετελέσα-
μεν συνάξεις μεγίστας καὶ τέταρτον αὐτοῖς διελέχθην εὐχαῖς τῆς σῆς θεοσεβείας περὶ τῆς πίστεως
καὶ μετὰ τοσαύτης ἤκουσαν ἡδονῆς, ὡς μέχρις ὥρας ἑβδόμης μὴ ἀποστῆναι, ἀλλ' ἀνέχεσθαι
τῆς τοῦ ἡλίου θερμότητος. ἐν γὰρ τῆι αὐλῆι μεγίστηι οὔσηι καὶ τέσσαρας ἐχούσηι στοὰς
5 πλῆθος ἠθροίσθη καὶ ἡμεῖς ἄνωθεν ἐκ τῶν διστέγων τὰς διαλέξεις ἐποιησάμεθα. ὁ δὲ
κλῆρος ἅπας μετὰ τῶν καλῶν μοναζόντων σφόδρα ἡμῖν πολεμεῖ, ὡς καὶ γενέσθαι μίαν
συμβολήν, ἡνίκα ἀπὸ Ῥουφινιανῶν μετὰ τὴν συντυχίαν τοῦ εὐσεβεστάτου βασιλέως ἐπανή-
ειμεν, καὶ πολλοὺς τραυματισθῆναι καὶ τῶν μεθ' ἡμῶν λαικῶν καὶ τῶν ψευδομοναζόντων.
ἔγνω δέ ὁ εὐσεβέστατος βασιλεὺς ὡς πλῆθος ἀθροίζεται πρὸς ἡμᾶς, καὶ μόνοις ἡμῖν
συντυχὼν ἔφη· Ἔγνων ὅτι παρασυνάγετε. εἶπον δὲ αὐτῶι· Ἐπειδὴ ἔδωκας παρρη-
σίαν, μετὰ συγγνώμης ἄκουσον. δίκαιον τοὺς μὲν αἱρετικοὺς καὶ ἀκοινωνήτους ἐκκλησιάζειν,
ἡμᾶς δὲ τοὺς ὑπὲρ τῆς πίστεως ἀγωνιζομένους καὶ διὰ τοῦτο ἐκείνους ἀκοινωνήτους
πεποιηκότας μὴ εἰσιέναι εἰς ἐκκλησίαν; ὃ δὲ ἔφη· Κἀγὼ τί ποιήσω; ἀπεκρινάμην
τοίνυν αὐτῶι· Ὃ ἐποίησεν ὁ μάγιστρός σου κόμης ὢν λαργιτιόνων ἐν Ἐφέσωι. εὑρὼν
γὰρ ἐκείνους μὲν συναγομένους, ἡμᾶς δὲ μὴ συναγομένους, ἐπέσχεν αὐτοὺς λέγων ὡς
ἐὰν μὴ εἰρηνεύσητε, οὐ μὴ συγχωρήσω ἑνὶ μέρει συναχθῆναι. καὶ ἐχρῆν καί τὴν σὴν
εὐσέβειαν προστάξαι ἐνταῦθα τῶι ἐπισκόπωι μὴ συγχωρῆσαι μήτε ἐκείνοις μήτε ἡμῖν
συναχθῆναι, ἕως ἂν συμβῶμεν, ἵνα ἡ δικαία σου ψῆφος γνώριμος ἅπασι γένηται. πρὸς
ταῦτα ἔφη ὅτι ἐγὼ προστάσσειν ἐπισκόπωι οὐ δύναμαι. ἀπεκρινάμην τοίνυν ἐγώ· Οὐκοῦν
μηδὲ ἡμῖν ἐπιτάξῃς, καὶ λαμβάνομεν ἐκκλησίαν καὶ συναγόμεθα καὶ γνώσεταί σου ἡ εὐσέ-
βεια ὡς πολλῶι πλείους οἱ μεθ' ἡμῶν ὑπὲρ τοὺς μετ' αὐτῶν. πρὸς δὲ τούτοις εἴπαμεν
αὐτῶι ὅτι ἡ ἡμετέρα σύναξις οὔτε ἀνάγνωσιν ἔσχε τῶν ἁγίων γραφῶν οὔτε προσφοράν,
μόνας δὲ λιτὰς ὑπὲρ τῆς πίστεως καὶ τοῦ ὑμετέρου κράτους καὶ τὰς περὶ τῆς εὐσεβείας
διαλέξεις. ἀπεδέξατο οὖν καὶ τέως οὐκ ἐκώλυσε τοῦτο γίνεσθαι. αὔξονται οὖν αἱ
συνάξεις, τοῦ πλήθους περῶντος πρὸς ἡμᾶς καὶ μεθ' ἡδονῆς ἁπάσης τῆς διδασκαλίας
ἀκούοντος. εὐξάσθω τοίνυν ἡ ὑμετέρα θεοσέβεια τέλος λαβεῖν τὴν ὑπόθεσιν τῶι θεῶι
ἀρέσκον· ἡμεῖς γὰρ καθ' ἑκάστην ἡμέραν ἐν κινδύνωι ἐσμέν, καὶ τὰς ἐφόδους τῶν μονα-
ζόντων καὶ τῶν κληρικῶν ὑφορώμενοι καὶ τῶν κρατούντων τὴν εὐκολίαν ὁρῶντες.

AJΛcw

3 οὐδὲ AJ, corr J μέλλει J 25/26 ἐκκλησιάζειν — ἀκοινωνήτους om. J

70 Latinae uersiones extant duae, in Collectione Casinensi 120 [Λ^{c}] et in Collectione Winteriana 23 [Λ^{w}]

Ἐπιστολὴ τῶν ἐν Κωνσταντινουπόλει σταλέντων Ἀνατολικῶν πρὸς τοὺς ἰδίους τοὺς ἐν Εφέσωι

1 Κυρίοις τιμιωτάτοις καὶ θεοφιλεστάτοις ἐπισκόποις τοῖς ἐν Ἐφέσωι διάγουσιν Ἰωάννης Ἰωάννης Ἱμέριος Παῦλος Μακάριος Ἀπρίγγιος Θεοδώρητος. Πέμπτης εἰσόδου τετυχηκότες καὶ πολλὰ περὶ τῶν αἱρετικῶν κεφαλαίων Ζυγομαχήσαντες καὶ ὁμωμοκότες πολλάκις τῶι εὐσεβεστάτωι βασιλεῖ ὡς ἀδύνατον ἡμᾶς κοινωνῆσαι τοῖς τὰ ἐναντία φρονοῦσι, μὴ ἐκβαλλομένων τῶν κεφαλαίων, καὶ ὅτι οὐδ' ἂν ἐκβάληι Κύριλλος τὰ κεφάλαια, δεχθήσεται παρ' ἡμῶν διὰ τὸ αἱρεσιάρχην αὐτὸν τῆς ἀσεβοῦς ταύτης αἱρέσεως γενέσθαι, οὐδὲν τέως ἠνύσαμεν τῶι καὶ τοὺς ἐναντίους ἐνίστασθαι καὶ τοὺς ἀκούοντας μὴ ἐπιπλήττειν τοῖς ἀναιδῶς ἀντιπίπτουσι μηδὲ ἀναγκάζειν αὐτοὺς εἰς ἐξέτασιν ἐλθεῖν καὶ διάλεξιν. φεύγουσι γὰρ ἐκεῖνοι παντελῶς τὴν περὶ τῶν κεφαλαίων βάσανον καὶ οὐδ' ὅλως διαλεχθῆναι περὶ τούτων ἀνέχονται, ἡμεῖς δὲ διὰ τὰς ὑμετέρας εὐχὰς μέχρι θανάτου ἕτοιμοι ἐσμὲν ἐνστῆναι καὶ μήτε Κύριλλον δέξασθαι μήτε τὰ ὑπ' αὐτοῦ ἐκτεθέντα κεφάλαια μήτε τούτοις κοινωνῆσαι, πρὶν ἢ ἐκβληθείη τὰ κακῶς ἐπεισαχθέντα τῆι πίστει. παρακαλοῦμεν τοίνυν καὶ τὴν ὑμετέραν ἁγιωσύνην τὰ αὐτὰ ἡμῖν φρονεῖν καὶ τὸν αὐτὸν ἐπιδείκνυσθαι τόνον· ὑπὲρ γὰρ τῆς εὐσεβείας ἐστὶν ἡμῖν ὁ ἀγών, ἣν μόνην ἔχομεν ἐλπίδα καὶ δι' ἣν προσδοκῶμεν τῆς
2 τοῦ σωτῆρος ἡμῶν ἀπολαύσεσθαι εὐμενείας ἐν τῶι μέλλοντι βίωι. περὶ τοῦ θεοφιλεστάτου καὶ ἁγιωτάτου ἐπισκόπου Νεστορίου ἴστω ὑμῶν ἡ θεοσέβεια ὡς σπουδὴ ἡμῖν ἐγένετο παρεμβαλεῖν τὸν περὶ αὐτοῦ λόγον καὶ τέως οὐκ ἰσχύσαμεν τῶι πάντας καὶ πρὸς αὐτὸ τὸ ὄνομα ἀπεχθῶς διακεῖσθαι, σπουδάζομεν δὲ ὅμως καὶ τούτων οὕτως ἐχόντων, εἰ ἐπιλαβώμεθα καιροῦ καὶ τῆς τῶν ἀκουόντων εὐμενείας, καὶ τοῦτο ποιῆσαι, τοῦ θεοῦ δηλονότι
3 συνεργοῦντος ἡμῶν τῶι σκοπῶι. ἵνα δὲ μηδὲ τοῦτο ἀγνοήσηι ὑμῶν ἡ ὁσιότης, γινώσκετε ὡς θεασάμενοι τοὺς Κυριλλιανοὺς τυραννίδι καὶ ἁπάτηι καὶ κολακείαι καὶ δώροις πάντας ὡς ἔπος εἰπεῖν ἀπατήσαντας, πολλάκις τὸν εὐσεβέστατον βασιλέα παρεκαλέσαμεν καὶ τοὺς μεγαλοπρεπεστάτους ἄρχοντας ὥστε καὶ ἡμᾶς ἐπὶ τὴν Ἀνατολὴν ἀπολυθῆναι καὶ τὴν ὑμετέραν θεοσέβειαν ἐπὶ τὰ οἰκεῖα, ἐννοοῦντες τοῦτο ὅτι μάτην παραβραδύνομεν οὐδὲν περὶ τῶν προκειμένων ἀνύοντες διὰ τὸ Κύριλλον παντάπασι φεύγειν τὴν πρὸς ἡμᾶς διάλεξιν, εἰδότα τὸ φανερὸν τῶν ἐλέγχων τῶν βλασφημιῶν ὧν ἐν τοῖς δώδεκα κεφαλαίοις αὐτοῦ ἐξέθετο. ἔδοξε δὲ τῶι εὐσεβεστάτωι βασιλεῖ μετὰ πολλὰς παρακλήσεις ἕκαστον ἡμῶν ep. 97
ἐπὶ τὰ ἴδια ἐπανελθεῖν ἐπὶ τῶι καὶ τὸν Αἰγύπτιον καὶ Μέμνονα τὸν Ἐφέσιον ἐν τῶι τόπωι αὐτῶν μεῖναι· οὕτω γὰρ ἠδυνήθη ὁ Αἰγύπτιος πάντας τυφλῶσαι διὰ τῶν δώρων αὐτοῦ, ὡς αὐτὸν μὲν μυρία δράσαντα κακὰ ἐπὶ τὸν θρόνον αὐτοῦ ἐπανελθεῖν, τὸν δέ γε ἀναίτιον ἄνδρα ἐπὶ τὴν μονὴν αὐτοῦ ἀπολυθῆναι.

Πᾶσαν τὴν σὺν ὑμῖν ἀδελφότητα ἡμεῖς τε καὶ οἱ σὺν ἡμῖν πλεῖστα προσαγορεύομεν.

Ἰωάννης ἐπίσκοπος Ἀντιοχείας τῆς Ἀνατολῆς ἐρρῶσθαι ὑμᾶς ἐν κυρίωι εὔχομαι, κύριοι θεοφιλέστατοι καὶ ὁσιώτατοι. ὑπέγραψαν δὲ καὶ οἱ ἄλλοι ὁμοίως.

---

6 cf. quae ex Theodoreti ep. 112 ad 62 enotaui 9/10 adfert Eutherius Tyanensis in Coll. Cas. 205, 6

A J Λcw

9 ἐκβάλληι J δεχθῆναι J 17 πόνον Λw 19 ἀπολαύσασθαι J 26/27 τὸν μεγαλοπρεπέστατον ἄρχοντα Λc 36—39 om. Λc

71 Latinae uersiones extant duae, in Collectione Casinensi 125 [Λ^{c}] et in Collectione Winteriana 25 [Λ^{w}]

Μέρος ὁμιλίας Θεοδωρήτου ἐπισκόπου Κύρου λεχθείσης ἐν Χαλκηδόνι ἐν τῶι μέλλειν αὐτοὺς ἐκδημεῖν

Χριστὸς ἡμῖν ἡγείσθω τοῦ λόγου, δι' ὃν αὐτοί τε οἱ λόγοι καὶ ἡμεῖς οἱ τῶν θείων
Luc. 2, 34 αὐτοῦ λογίων διάκονοι· Χριστὸς ὁ κείμενος εἰς πτῶσιν πολλῶν καὶ ἀνάστασιν
καὶ εἰς σημεῖον ἀντιλεγόμενον πάλαι μὲν τῶι σαρκικῶι Ἰσραήλ, νυνὶ δὲ καὶ τῶι
1 Petr. 1, 8. 6 πνευματικῶι· Χριστὸς ὁ τοῖς μὲν ἀπίστοις λίθος προσκόμματος καὶ πέτρα σκαν-
Ies. 28, 16 δάλου, μὴ καταισχύνων δὲ τοὺς πιστεύοντας· Χριστὸς ὁ πολυτελὴς λίθος, ὁ θεμέλιος κατὰ
1 Petr. 2, 7 τὴν Ἡσαίου φωνήν· Χριστός, ὁ λίθος ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, καὶ
Dan. 2, 34. 35 γενόμενος εἰς κεφαλὴν γωνίας· Χριστὸς ὁ τῆς ἐκκλησίας θεμέλιος· Χριστὸς ὁ λίθος
ὁ τμηθεὶς ἄνευ χειρῶν καὶ γενόμενος εἰς ὄρος μέγα καὶ καλύψας τὴν οἰκουμένην κατὰ τὴν
τοῦ Δανιὴλ προφητείαν· Χριστός, ὑπὲρ οὗ καὶ μεθ' οὗ καὶ δι' ὃν πολεμούμεθα καὶ δι' ὃν
τῆς βασιλίδος κεκωλύμεθα πόλεως, ἀλλὰ τῆς τῶν οὐρανῶν βασιλείας οὐκ ἐστερήμεθα,
ἀλλὰ πόλιν ἔχομεν τὴν ἐπουράνιον Ἱερουσαλήμ, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ θεὸς κατὰ
Hebr. 12, 22 τὴν τοῦ Παύλου φωνήν· Χριστός, δι' ὃν τῶν φοβερῶν τῆς Προποντίδος κατατολμᾶτε κυ-
μάτων, ἵνα τῆς ἡμετέρας φωνῆς εἰσακούσητε, ἴνδαλμα νομίζοντες εἶναι τῆς τοῦ ὑμετέρου
ποιμένος φωνῆς. ἐφίεσθε γὰρ ἀκοῦσαι τῶν τερπνῶν τοῦ ποιμένος ὑμῶν συριγμάτων,
ποιμένος ὃν οἱ συμποιμένες καλάμοις κατέσφαξαν, ὡς νομίζουσι· πρὸς οὓς ὁ θεὸς διὰ τοῦ
Ierem. 12, 10 προφήτου βοᾶι τὸ ποιμένες πολλοὶ διέφθειραν τὸν ἀμπελῶνά μου, ἐμόλυναν
τὴν μερίδα μου· ἔθεντο τὴν μερίδα μου τὴν ἐπιθυμητὴν εἰς ἔρημον ἄβατον.
Os. 4. 7 λεγέτω περὶ αὐτῶν καὶ δι' ἑτέρου προφήτου· κατὰ τὸ πλῆθος αὐτῶν, οὕτως ἥμαρτόν
μοι· τὴν δόξαν αὐτῶν εἰς ἀτιμίαν θήσομαι. λεγέτω καὶ δι' ἑτέρου πάλιν προ-
Ies. 30, 1 φήτου· οὐαὶ τέκνα ἀποστάται· ἐποιήσατε βουλήν, καὶ οὐ δι' ἐμοῦ· καὶ συν-
θήκας, καὶ οὐ διὰ τοῦ πνεύματός μου, προσθεῖναι ἁμαρτίας ἐφ' ἁμαρτίαις.
Ies. 31, 6 ἐπιστράφητε οἱ τὴν βαθεῖαν βουλὴν βουλευσάμενοι καὶ ἄνομον. λεγέτω
Ies. 59, 3-5 πρὸς αὐτοὺς [καὶ] Ἡσαίας· αἱ γὰρ χεῖρες ὑμῶν μεμολυσμέναι αἵματι καὶ οἱ
δάκτυλοι ὑμῶν ἐν ἁμαρτίαις· ἡ γλῶσσα ὑμῶν ἐλάλησεν ἀνομίαν καὶ τὸ
στόμα ὑμῶν ἀδικίαν μελετᾶι· οὐδεὶς λαλεῖ δίκαια, ὅτι κύουσι πόνον καὶ
τίκτουσιν ἀνομίαν. ὠιὰ ἀσπίδων ἔρρηξαν καὶ ἱστὸν ἀράχνης ὑφαίνουσιν.
ὁρᾶτε κατηγορίαν κακίας καὶ τοῦ σαθροῦ τῆς κακίας τὸν ἔλεγχον, ὠιὰ ἀσπίδων καὶ
ἱστὸν ἀράχνης, τὸ μὲν κύημα τῆς κακίας, τὸ δὲ διάταγμα τῆς ἀσθενείας. ὠιὰ ἀσπί-
δων τῆς κακίας τὸ εἶδος, ἱστὸς ἀράχνης τῆς ἀσθενείας ὁ ἔλεγχος. καὶ ὁ μέλλων τῶν
ὠιῶν αὐτῶν φαγεῖν συντρίψας οὔριον εὗρεν. εἶδες κακίαν ἀσθενοῦσαν; εἶδες
τὸν ἀδικούμενον μὴ ἀδικούμενον; εἶδες τὸν πολεμούμενον στεφανούμενον; καὶ ὁ μέλλων
τῶν ὠιῶν αὐτῶν φαγεῖν συντρίψας οὔριον ηὗρεν, οὔριον δὲ τί ἐστιν; ἄγονον,
ἀντὶ τοῦ ἀτέλεστον. Ἡσαία, κήρυξον ἡμῖν καὶ τῆς κακίας τὸ εἶδος * * καὶ ἐν αὐ-
τῶι βασιλίσκος. τὸ γὰρ θαυμαστὸν ὅτι καὶ βασιλίσκος ἐν αὐτῶι καὶ οὔριον· βασι-
λίσκος δὲ τὴν κακίαν σημαίνει. ἐπειδὴ γὰρ τοῦτο τὸ θηρίον πικρότατόν ἐστι πάντων

---

5. 16—21 adferuntur in Concilii quinti collatione V [L V 506 = M VIIII 293]

ΑΛcw

27 Ἡσαίας Λc καὶ ἡσαίας ΑΛw 32/33 διάταγμα — ἀράχνης om. Λc nullo sensus damno 33 post ἔλεγχος add. *addit ergo dicens* Λc 35 post μέλλων add. φησί Λc 37 lacunam signaui; quae exciderint, apparet ex Λc, ubi inter εἶδος et καὶ ἐν αὐτῶι habentur *ait enim quod mirum est, sic dicens* 38 post οὔριον add. *hoc est sterile* Λw 38/39 βασιλίσκον Α

τῶν ἑρπετῶν, τούτωι ἀπεικάζει τῆς κακίας τὸ γέννημα. οὔριον δὲ τὸ αὐτὸ πάλιν διὰ τὸ ἀσθενὲς τῆς κακίας. εἶτα ἡ ἀπόφασις· ὁ ἱστὸς αὐτῶν οὐκ ἔσται εἰς ἱμάτιον Ies. 59, 6 οὐδὲ μὴ περιβάλωνται ἀπὸ τῶν ἔργων τῶν χειρῶν αὐτῶν. διὰ τί; ὅτι τὰ ἔργα αὐτῶν ἔργα ἀνομίας. εἰπὲ τὸ εἶδος τῆς ἀνομίας· οἱ πόδες αὐτῶν εἰς Ies. 59, 7. 8 κακίαν τρέχουσιν. ἐπὶ τῶι τί ποιῆσαι; καὶ ταχινοί εἰσι τοῦ ἐκχέαι αἷμα. τί πρὸς τούτοις; σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν· αἱ γὰρ τρίβοι αὐτῶν διεστραμμέναι, ἃς διοδεύουσι, καὶ ὁδὸν εἰρήνης οὐκ οἴδασιν. ἀληθῶς θρήνων ἄξια ταῦτα, τὸ ἱερέας καθ' ἱερέων τοιαῦτα λέγειν· λέγομεν δὲ οὐκ ἐκείνων τοσοῦτον κατηγοροῦντες ὅσον ὑμῶν προνοούμενοι.

Καὶ μεθ' ἕτερα· Ἀληθῶς ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτωι καὶ ἔφριξεν ἐπὶ Ier. 2, 12 πλεῖον ἡ γῆ, λέγει κύριος, ὅτι δύο καὶ πονηρὰ ἐποίησεν ὁ λάος μου. ἐμέ, φησίν, ἐγκατέλιπον, πηγὴν ὕδατος ζῶντος, καὶ ὤρυξαν ἑαυτοῖς λάκκους συντετριμμένους, οἳ οὐ δυνήσονται ὕδωρ συνέχειν. λεγέτω πρὸς αὐτοὺς ὁ θεὸς διὰ Ἱερεμίου τοῦ προφήτου· διέλθετε εἰς νήσους Χεττιεὶμ καὶ ἴδετε [καὶ εἰς Ier. 2, 10. 11 Κηδὰρ ἀποστείλατε καὶ νοήσατε σφόδρα, εἰ γέγονε τοιαῦτα. ποῖα τοιαῦτα; εἰ ἀλλάξονται ἔθνη θεοὺς αὐτῶν. διέλθετε εἰς νήσους Χεττιείμ]. οὐ θέλετε, φησί, τῶν ἐμῶν ἀνέχεσθαι ῥημάτων, οὐκ ἀνέχεσθε τῶν προφητῶν, οὐ δέχεσθε τὸν νόμον, οὐ πιστεύετε ταῖς θείαις γραφαῖς; λάβετε Ἑλλήνων παῖδας διδασκάλους, πορεύεσθε εἰς τὰ ἔθνη καὶ μάθετε πῶς τιμῶνται παρ' αὐτῶν οἱ νομιζόμενοι θεοί, καὶ ταῦτα μὴ ὄντες θεοί. διέλθετε εἰς νήσους Χεττιεὶμ καὶ ἴδετε καὶ εἰς Κηδὰρ ἀποστείλατε καὶ νοήσατε σφόδρα εἰ γέγονε τοιαῦτα. ποῖα τοιαῦτα; εἰ ἀλλάξονται ἔθνη θεοὺς αὐτῶν. ποίους τούτους; καὶ αὐτοὶ οὐκ εἰσὶ θεοί. καὶ τίνος ἕνεκα ταῦτα λέγεις; ὁ δὲ λαός μου ἠλλάξατο τὴν δόξαν αὐτοῦ, ἐξ ἧς οὐκ ὠφεληθήσεται. ταῦτα καὶ περὶ τούτων ἁρμόττει λέγεσθαι. Ἑλλήνων παῖδες ξύλα καὶ λίθους τιμῶντες ἀθάνατα ταῦτα προσαγορεύουσι, σὺ δὲ ἐκείνοις διαγορεύων ἐκεῖνα μὴ προσκυνεῖν, ἀλλὰ τὸν μόνον ἀληθινὸν θεόν, τὸν στήσαντα ⟨τὰ⟩ ὄρη σταθμῶι καὶ τὰς νάπας Ies. 40, 12 ζυγῶι, τὸν μετρήσαντα τῆι χειρὶ τὸ ὕδωρ καὶ τὸν οὐρανὸν σπιθαμῆι καὶ πᾶσαν τὴν γῆν δρακί, τὸν στήσαντα τὸν οὐρανὸν ὡς εἰ καμάραν, τὸν κατέχοντα τὸν γῦρον Ies. 40, 22 πάσης τῆς γῆς καὶ τοὺς ἐνοικοῦντας ἐν αὐτῆι ὡς εἰ ἀκρίδας, τὸν ταῦτα πάντα λόγωι πεποιηκότα καὶ ἐν μιᾶι καιροῦ ῥοπῆι παραστήσαντα τὰ μὴ ὄντα ὡς ὄντα καὶ δεδωκότα τοῖς μὴ οὖσι τὸ εἶναι βουλήματι μόνωι, ὥσπερ ἐπιλαθόμενος τούτων ἁπάντων, πάθεσί τε ὑποβάλλεις καὶ ὡς παθητὸν θεὸν προσκυνεῖσθαι νομοθετεῖς; καὶ Ἑλλήνων μέν, ὡς προείρηται, παῖδες ἀπληστίαν νοσοῦντες καὶ τὸν οὐρανὸν ἀπαθῆ καλοῦσι καὶ τὸν ἥλιον ἀπαθῆ προσαγορεύουσι καὶ τοὺς ἀστέρας ἀθανάτους νομοθετοῦσι καὶ τὴν γῆν, ἣν πατοῦσι, θεοποιοῦσιν· ἡμεῖς δὲ τὸν ἀόρατον, τὸν ἀγένητον, τὸν ἀκατάληπτον, τὸν ἀπερινόητον παθητὸν εἶναι πιστεύσομεν; μὴ γένοιτο, σῶτερ ἡμέτερε καὶ εὐεργέτα· μὴ οὕτως ἀποστάται εἴημεν τῆς σῆς προσκυνήσεως· μὴ οὕτως ἀγνοήσαιμεν τὴν σὴν φύσιν· μὴ οὕτως ἀγνωμονήσαιμεν περὶ τὰς σὰς δωρεὰς μηδὲ ὑπολάβωμεν παθητὸν τὸν ἡμέτερον ἐλευθερωτήν, τὸν ἡμᾶς ἐκ παθῶν εἰς ἀπάθειαν μεταγαγόντα, τὸν τοῖς παθητοῖς τὸ ἀπαθὲς χαρισάμενον. ταύτην καὶ ὑπὲρ ἡμῶν καὶ ὑπὲρ ὑμῶν τὴν πρεσβείαν προσφέρομεν τῶι θεῶι, ὧι ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

ΑΛcw

2 post κακίας add. *infirma enim est malitia* Λw 6 σύντριμα A 14—16 καὶ εἰς Κηδὰρ — Χεττιείμ om. Λc 20 ἀποστείλετε A 26 τὰ ὄρη Λcw ὄρια A

72 Latinae uersiones extant duae, in Collectione Casinensi 126 [Λ^{c}] et in Collectione Winteriana 25 [Λ^{w}]

Ὁμιλία Ἰωάννου ἐπισκόπου Ἀντιοχείας ῥηθεῖσα ἐν Χαλκηδόνι μετὰ τὸ ὁμιλῆσαι Θεοδώρητον

Ps. 59, 9 Νόμος ἐστὶν ἱερὸς τοῖς πατράσιν ἀνατιθέναι τὰ τῶν παίδων· ἐμὸς τοίνυν ἐστὶ Γαλαὰδ καὶ ἐμός ἐστι Μανασσῆς, μᾶλλον δὲ οὐκ ἐμοί, ἀλλὰ τοῦ θεοῦ τοῦ τὴν ἱερὰν ὑμῶν πρὸς ἡμᾶς συναθροίσαντος ποίμνην καὶ τὴν ὑπὲρ εὐσεβείας ἔνστασιν αὐτῇ μετὰ τῶν ἄλλων δωρησαμένου. ἐγὼ δὲ τοσοῦτον ἐν ὑμῖν ἀνέστην εἰπεῖν ὅσον ἀσπάσασθαι ὁμοῦ καὶ συντάξασθαι. ἀπαίρομεν γὰρ παρ' ὑμῖν μένοντες καὶ πάλιν μεθ' ὑμῶν ἐσμὲν πρὸς τοὺς ἀδελφοὺς τοὺς ὑμετέρους ἀπαίροντες. φοιτᾶι γὰρ ἀνεμποδίστως πανταχοῦ τῆς ἀγάπης ἡ φύσις. ἀσπάζομαι ὑμᾶς καὶ παρακαλῶ εἰρήνην ἔχειν πρὸς τὸν θεὸν τοὺς πρότερον μὲν πιστούς, νῦν δὲ καὶ ὁμολογητάς. πᾶς ὃς πέπεισται μεγάλης ἐπειλῆφθαι περιουσίας, ἀνδρείως ἀγωνίζεται καὶ ὑπὲρ ὧν κέκτηται, πονεῖν οὐκ ὀκνεῖ, ἵνα μὴ προδῶι τὰ κτηθέντα· μηδεὶς οὖν ὑμᾶς τὴν πατρώιαν ἀφέληται πίστιν, ἣν καὶ ἡμεῖς ὡς παρακαταθήκην τέκνοις παρατιθέμεθα. ἀπίδετε εἰς τοὺς προγόνους, οὓς οὔτε βάσανοι οὔτε θάνατος οὔτ' ἄλλο τι τῶν ἀνθρωπίνων ἴσχυσεν ἀφελέσθαι τὸ τῆς πίστεως γνήσιον, ἐφ' ἡμῶν δὲ μικραὶ μὲν αἱ ἀπειλαί, μέγας δὲ ὁ μισθός· μικρὰ τὰ παθήματα, ἀλλ' οἱ στέφανοι μεγάλοι. μηδεὶς ὑμᾶς τὴν παρα<κατα>θήκην συλήσηι, λέγω δὴ τὴν τῶν δογμάτων ἀκρίβειαν· μηδεὶς ὑμᾶς πείσηι φρονεῖν θεότητα παθητὴν μηδὲ σώματος καὶ θεότητος φύσιν μίαν. ἡ μὲν γάρ ἐστιν αὐτοθεία οὐσία, τὴν δὲ ἔλαβε· δι' ὃ συνάφειαν κηρύττομεν καὶ οὐ σύγχυσιν, ἕνωσιν, οὐ κρᾶσιν. θεὸς τοῦτο δι' ἐκεῖνο· υἱὸς τοῦτο δι' ἐκεῖνο· πάντα τοῦτο δι' ἐκεῖνο· προσκυνεῖται μετ' ἐκείνου· δεδόξασται μετ' ἐκείνου· καὶ τούτωι συνημμένον ἀχωρίστως ἀεί, ἀπαρχὴ χρηματίζει τῆς ἡμετέρας φύσεως. ταῦτα φυλάττετε, καὶ ὁ θεὸς τῆς εἰρήνης ἔσται μεθ' ὑμῶν, ἀντιλαμβανόμενος ὑμῶν ὃν ἐπίσταται τρόπον. αὐτῶι ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

73—79 Latinae uersiones extant tres, 1) in Collectione Palatina 38 [Λ^{p}]; 2) in Collectione CT 46 [Λ^{tc}]; 3) in Gestorum Chalcedonensium uersione antiqua [Λ^{k}] et a Rustico correcta [Λ^{r}]

73 Ὑπομνήματα πραχθέντα παρὰ τῆι ἐν Ἐφέσωι ἁγίαι συνόδωι ἐπὶ τῆι βεβαιώσει τοῦ συμβόλου τῶν ἐν Νικαίαι ἁγίων πατέρων καὶ ἐπὶ τῶι ἐπιδοθέντι λιβέλλωι παρὰ Χαρισίου πρεσβυτέρου

Τοῖς μετὰ τὴν ὑπατείαν τῶν δεσποτῶν ἡμῶν Φλαυίου Θεοδοσίου τὸ ιγ̄ καὶ Φλαυίου Οὐαλεντινιανοῦ τὸ τρίτον τῶν αἰωνίων αὐγούστων τῆι πρὸ δεκαμιᾶς Καλανδῶν Αὐγούστων,

d. 22. m. Iul a. 431 ἥτις ἐστὶ κατ' Αἰγυπτίους Ἐπιφὶ κ̄η̄,

συνόδου συγκροτηθείσης ἐν τῆι Ἐφεσίων μητροπόλει ἐκ θεσπίσματος τῶν θεοφιλεστάτων καὶ φιλοχρίστων βασιλέων καὶ καθεσθέντων ἐν τῶι ἐπισκοπείωι τοῦ θεοσεβεστάτου ἐπισκόπου Μέμνονος τῶν θεοφιλεστάτων καὶ θεοσεβεστάτων ἐπισκόπων

[1] Κυρίλλου Ἀλεξανδρείας, διέποντος καὶ τὸν τόπον τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου τῆς Ῥωμαίων ἐκκλησίας Κελεστίνου

---

36 est idem catalogus atque in V 33

AΛcw

3 μετὰ — Θεοδώρητον] *post sermonem Athanasii presbyteri et episcopi Theodoreti* Λ^{o} 17 παραθήκην A

AΛptckr

31 Φλαουίου] *Flauiorum* Λ^{r} Φλαυίου om. Λ^{r}

post [1] ins. [186—187] Λ^{tc}

[2] καὶ Ἰουβεναλίου Ἱεροσολύμων
[3] καὶ Μέμνονος τῆς Ἐφεσίων
[4] καὶ Φλαβιανοῦ Φιλίππων, ἐπέχοντος καὶ τὸν τόπον Ῥούφου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Θεσσαλονικέων
[5] καὶ Φίρμου Καισαρείας Καππαδοκίας πρώτης
[6] Θεοδότου Ἀγκύρας Γαλατίας
[7] Ἀκακίου Μελιτηνῆς
[8] Ἐρεννιανοῦ Μύρων τῆς Λυκίας
[9] Ἰκονίου Γορτύνης τῆς Κρήτης
[10] Περιγένους Κορίνθου τῆς Ἑλλάδος
[11] Κύρου Ἀφροδισιάδος τῆς Καρίας
[12] Οὐαλεριανοῦ Ἰκονίου
[13] Ἡσυχίου Παρίου
[14] Ἑλλανίκου Ῥόδου
[15] Δυνατοῦ Νικοπόλεως Ἠπείρου παλαιᾶς
[16] Εὐχαρίου Δυρραχίου Ἠπείρου νέας
[17] Περρεβίου Φαρμάλου
[18] Εὐδοξίου Χώματος τῆς Λυκίας
[19] Σιλουανοῦ Χερετάπων Φρυγίας
[20] Βερινιανοῦ Πέργης τῆς Παμφυλίας
[21] Ἀμφιλοχίου Σίδης
[22] Ἐπιφανίου Κρατίας Ὀνωριάδος
[23] Γρηγορίου Κερασοῦντος Πόντου Πολεμωνιακοῦ
[24] Σεννεκίωνος Σκόδρων
[25] Δαλματίου Κυζίκου
[26] Δοκιμασίου Μαρωνείας τῆς Θράικης
[27] Ἰωάννου Προικοννήσου
[28] Δανιήλου Κολωνείας Καππαδοκίας δευτέρας
[29] Ῥωμανοῦ Ῥαφίας
[30] Παυλινιανοῦ Μαιουμᾶ
[31] Παύλου Ἀνθηδόνος
[32] Φίδου Ἰόππης
[33] Ἀιανοῦ Συκαμαζόνος
[34] Θεοδώρου Γαδάρων
[35] Λητοίου Λιβιάδος
[36] Ἀπελλᾶ Ἐλούσης
[37] Θεοδώρου Ἀρινδηλῶν
[38] Πέτρου Παρεμβολῆς
[39] Ἰωάννου Αὐγουστοπόλεως
[40] Σαιδᾶ Φαινοῦς
[41] Ῥουφίνου Γάβων
[42] Ἀνυσίου Θηβῶν

A Λptckr

[4] θεοσεβεστάτου Λtc [7] *Melitinae Armeniae* Λtckr [8] om. Λptckr [= V 33, 35] [9] post [24] coll. Λptk rep. Λcr post [12] ins. *et Palladio Amasiae hellesponti* Λtckr [17] *farmachi* Λr *farmaci* Λtc [24] κόδρων ΑΛp [29] βαφείας A [33] *Iohanne* Λptckr [35—183] om. Λtc [36] ἀπελλᾶ ΑΛpkr cf. V 33, 36 [41] *Gabon* Λp *Gabuensi* Λk *Gabonnensi* Λr τδβων A

[43] Καλλικράτους Ναυπάκτου
[44] Δομνίνου Ὀποῦντος
[45] Νικίου Μεγάρων
[46] Ἀγαθοκλέους κολωνειας
[47] Φίληκος Ἀπολλωνίας καὶ Βελλίδος
[48] Θεοδώρου Δωδώνης
[49] Ἀνδηρίου Χερρονήσου Κρήτης
[50] Κυρίλλου Κοίλων τῆς Χερρονήσου
[51] Παύλου Λάμπης
[52] Ζηνοβίου Κνωσσοῦ
[53] Λουκιανοῦ Τοπείρου Θράικης
[54] Ἐννεπίου Μαξιμιανουπόλεως
[55] Σεκουνδιανοῦ Λαμίας
[56] Δίωνος Θηβῶν Θεσσαλίας
[57] Θεοδώρου Ἐχιναίου
[58] Μαρτυρίου Ἰλίστρων
[59] Θωμᾶ Δέρβης
[60] Ἀθανασίου παρωσιθου
[61] Θεμιστίου Ἰασσοῦ
[62] Ἀφθονήτου Ἡρακλείας
[63] Φιλητοῦ Ἀμυζόνος
[64] Ἀπελλᾶ Κιβύρας
[65] Σπουδασίου Κεράμων
[66] Ἀρχελάου Μύνδου
[67] Φανία Ἀρπάσων
[68] Προμαχίου Ἀλινδῶν
[69] Φιλίππου Περγάμων τῆς Ἀσίας
[70] Μαξίμου Κύμης
[71] Δωροθέου Μυρίνης
[72] Μαξίμου Ἀσσοῦ
[73] Εὐπόρου Ὑπαίπων
[74] Ἀλεξάνδρου Ἀρκαδιουπόλεως
[75] Εὐτυχίου Θεοδοσιοπόλεως
[76] Ῥόδωνος Παλαιᾶς πόλεως
[77] Εὐτροπίου Εὐάζων
[78] Ἀφοβίου Κολόης
[79] Νεστορίου Σιών
[80] Ἡρακλέωνος Τράλλεων
[81] Θεοδότου Νύσης
[82] Θεοδώρου Ἀνινήτου
[83] Τιμοθέου Βριούλων
[84] Θεοδοσίου Μασταύρων

ΑΛpkr
[46] Κορωνείας infra 79, 88 post [47] ins. *et Prothymio Conanensi* Λk post [49] Λr [51] *Lappae* Λp cf. V 33, 51 [55] *Secundino* Λpk [58] *Ilistron* Λp *Elistrensi* Λr λύστρων A [60] παρωσίθου corruptela antiquissima ex V 33, 60 deprompta, latet Πάρου τῆς νήσου cf. 79, 185 [63] *Aphonio* Λk [63] *Philippo* Λr [72. 71. 70] coll. Λk [72] *Maximiano* Λr [73] ὑπέπων A [81] *Theodoro* Λp [82] ἀνηνίτου A

[85] Τυχικοῦ Χύτρων
[86] Εὐσεβίου Κλαζομενῶν
[87] Εὐθαλίου Κολοφῶνος
[88] Μοδέστου Ἀναίων
[89] Θεοδοσίου Πριήνης
[90] Εὐσεβίου Μαγνησίας Σιπύλων
[91] Σαπρικίου Πάφου τῆς Κύπρου
[92] Ζήνωνος Κουρίου τῆς Κύπρου
[93] Ῥηγίνου Κωνσταντείας
[94] Εὐαγρίου Σόλων
[95] Καισαρίου χωρεπισκόπου
[96] Τριβωνιανοῦ Ἀσπένδου τῆς **Παμφυλίας**
[97] Νουνεχίου Σέλγης
[98] Σόλωνος Καραλλίας
[99] Ἀκακίου Κοτεννῶν
[100] Νησίου Κορυβρασσοῦ
[101] Ματιδιανοῦ Κορακησίου
[102] Νεκταρίου Σεννέων
[103] Εὐτροπίου Ἐτεννῶν
[104] Ταριανοῦ Λύρβης
[105] Εὐσεβίου Ἀσπόνων τῆς Γαλατίας
[106] Φιλουμένου Κίννης
[106a Στρατηγίου]
[107] Εὐσεβίου τῆς Ἡρακλείας Ὀνωριάδος
[108] Παραλίου Ἀνδραπῶν τῆς Ἑλενοπόντου
[109] Ἑρμογένους Ῥινοκουρούρων
[110] Εὐοπτίου Πτολεμαίδος τῆς Πενταπόλεως
[111] Εὐσεβίου Πηλουσίου
[112] Ἀδελφίου Ὀνούφεως
[113] Παύλου Φραγώνεως
[114] Φοιβάμμωνος Κοπτοῦ
[115] Μακαρίου Μετήλεως
[116] Ἀδελφίου Σάεως
[117] Μακεδονίου Ξόεως
[118] Μαρίνου Ἡλιουπολιτῶν
[119] Μητροδώρου Λεόντων
[120] Μακαρίου Ἄντεως
[121] Πέτρου Ὀξυρύγχου
[122] Στρατηγίου Ἀθριβίδος
[123] Ἀθανασίου Παράλου
[124] Σιλουανοῦ Κοπριθίδος
[125] Ἰωάννου Ἡφαίστου

AΛPkr

[88] ἀνέων A [89] θεοδοσίου A *aliter* ***Theodosio*** Rusticus *Theosebio* ΛPkr per correcturam, sed recte cf. V 33, 89. 45, 52. 62, 56 [92] κυρίου A post [89] ins. *et Pabisco* [*Panisco* Λr] *Apollonianensi* Λkr [106a = 122]; idem uitium inuenitur in catalogo primae sessionis [108] ἑλληνοπόντου A *Hellespontiadis* ΛP, cf. V 33, 108 post [106] rep. 19 APkr eodem uitio quod in catalogis primae sessionis inuenitur post [118] ins. *et Eulogio Terenuthensi* Λkr

126 Ἀριστοβούλου Θμούεως
127 Θέωνος Σεθροίτου
128 Λαμπετίου Κασίου
129 Κύρου Ἀχαιοῦ
130 Πουπλίου Ὀλβίας
131 Σαμουήλου Δύσθεως
132 Ζηνοβίου Βάρκης
133 Ζήνωνος Τευχείρων
134 Σωπάτρου Σεπτιμιακῆς
135 Εὐσεβίου Νειλουπόλεως
136 Ἡρακλείδου Ἡρακλεοῦς
137 Χρυσαορίου Ἀφροδιτοῦς
138 Ἀνδρέου Ἑρμουπόλεως μεγάλης
139 Σαβίνου Πανός
140 Ἀβραὰμ Ὀστρακίνης
141 Ἱέρακος Ἀφναίου
142 Ἀλυπίου Σελή
143 Ἀλεξάνδρου Κλεοπατρίδος
144 Ἰσαὰκ Ταβᾶ
145 Ἀμμωνος Βουτοῦ
146 Ἡρακλείου Θύνεως
147 Ἰσαὰκ Ἐλεαρχίας
148 Ἡρακλείου Ταμιαθίδος
149 Θεωνᾶ Ψίγχους
150 Ἀμμωνίου Πανεφύσου
151 Εὐγενίου Ἀπολλωνιάδος
152 Καλλινίκου Ἀπαμείας
153 Πέτρου Προύσης τῆς Βιθυνίας
154 Βεσούλα διακόνου Καρθαγένης
155. 156 Ἀρκαδίου καὶ Προιέκτου τῶν θεοσεβεστάτων ἐπισκόπων καὶ πρεσβευτῶν
157 καὶ τοῦ θεοσεβεστάτου πρεσβυτέρου Φιλίππου τοῦ ἀποστολικοῦ θρόνου Ῥωμαίων καὶ ληγάτου

74 1 Πέτρος πρεσβύτερος Ἀλεξανδρείας καὶ πριμικήριος νοταρίων εἶπεν· Ἡ ἁγία καὶ μεγάλη σύνοδος ὑμῶν πᾶσαν τιθεμένη πρόνοιαν τῆς ὀρθῆς καὶ ἀποστολικῆς πίστεως καὶ τῶν τῆς ἀληθείας δογμάτων, προνοοῦσα δὲ καὶ τῆς καταστάσεως καὶ εὐταξίας τῶν ἐκκλησιῶν, ὅρον ἐξήνεγκεν, ὃν καὶ μετὰ χεῖρας ἔχοντες, εἰ παρίσταται τῇ ὁσιότητι ὑμῶν, ἀναγνωσόμεθα.

---

33 cf. Cyrilli ep. ad Acacium Beroeensem [A 107, 5] πέπρακται ἐν τῇ Ἐφέσωι περὶ τούτου ἰδικὸν ὑπόμνημα, βεβαιούσης τῆς συνόδου τὴν ἐκτεθεῖσαν πίστιν παρὰ τῶν ἁγίων ἡμῶν πατέρων τῶν ἐν Νικαίαι συνειλεγμένων κατὰ καιρούς, καὶ πέπομφα τοῦτο πρὸς εὐμάθειαν τῇ σῇ ὁσιότητι . . . παρεθήκαμεν δὲ καὶ τῶν ἁγίων καὶ μακαρίων πατέρων χρήσεις, ἵν' εἰδεῖεν οἱ ἐντυγχάνοντες τίνα τρόπον ἐκεῖνοι νενοήκασι τὸ τῆς πίστεως σύμβολον 1—p. 89, 13 adfert Eutyches in florilegio 13 1—p. 89, 3 post V 63 habet CT 27

ΑΛpkr; 151—153 om. Λpkr
post 134 ins. *et Danihelo Darneensi* [*Dardensi* Λk] Λkr, sed adnotat de hoc et de 135 Rusticus *Acymitanus non habet* 138 *Heraclio* Λk post 143 ins. *et Theopempto Cabasensi* Λkr 146 θυάνεως A
ΑΛpickr
3 τῶν ἁγίων Λkr

2 Ἡ ἁγία σύνοδος εἶπεν· Ὁ ἐξενεχθεὶς ὅρος παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς ταύτης συνόδου ἀναγινωσκέσθω καὶ ἐμφερέσθω τοῖς πραττομένοις.

3 Ἡ ἐν Νικαίαι σύνοδος πίστιν ἐξέθετο ταύτην· Πιστεύομεν εἰς ἕνα θεὸν πατέρα παντοκράτορα, πάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητήν· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ, γεννηθέντα ἐκ τοῦ πατρὸς μονογενῆ, τουτέστιν ἐκ τῆς οὐσίας τοῦ πατρός, θεὸν ἐκ θεοῦ, φῶς ἐκ φωτός, θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ, γεννηθέντα οὐ ποιηθέντα, ὁμοούσιον τῶι πατρί, δι' οὗ τὰ πάντα ἐγένετο τά τε ἐν τῶι οὐρανῶι καὶ τὰ ἐν τῆι γῆι, τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα καὶ σαρκωθέντα, ἐνανθρωπήσαντα, παθόντα καὶ ἀναστάντα τῆι τρίτηι ἡμέραι, ἀνελθόντα εἰς τοὺς οὐρανούς, ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς· καὶ εἰς τὸ ἅγιον πνεῦμα. τοὺς δὲ λέγοντας ἦν ποτε ὅτε οὐκ ἦν· καὶ πρὶν γεννηθῆναι οὐκ ἦν· καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο ἢ ἐξ ἑτέρας ὑποστάσεως ἢ οὐσίας φάσκοντας εἶναι ἢ τρεπτὸν ἢ ἀλλοιωτὸν τὸν υἱὸν τοῦ θεοῦ, τούτους ἀναθεματίζει ἡ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία.

4 Τῆι μὲν οὖν ἁγίαι ταύτηι πίστει πάντας συντίθεσθαι προσήκει· ἔχει γὰρ εὐσεβῶς καὶ ἀποχρώντως εἰς ὠφέλειαν τῆς ὑπ' οὐρανόν. ἐπειδὴ δὲ τινες προσποιοῦνται μὲν ὁμολογεῖν αὐτὴν καὶ συντίθεσθαι, παρερμηνεύουσι δὲ τῶν ἐννοιῶν τὴν δύναμιν ἐπὶ τὸ αὐτοῖς δοκοῦν καὶ σοφίζονται τὴν ἀλήθειαν, πλάνης ὄντες υἱοὶ καὶ ἀπωλείας τέκνα, ἐδέησεν ἀναγκαίως ἁγίων πατέρων καὶ ὀρθοδόξων παραθέσθαι χρήσεις πληροφορῆσαι δυναμένας τίνα τε τρόπον νενοήκασιν αὐτὴν καὶ κηρῦξαι τεθαρρήκασιν, ὥστε δηλονότι καὶ πάντας τοὺς ὀρθὴν καὶ ἀμώμητον ἔχοντας πίστιν οὕτω καὶ νοεῖν καὶ ἑρμηνεύειν καὶ κηρύττειν αὐτήν.

75 1 Πέτρος πρεσβύτερος Ἀλεξανδρείας καὶ πριμικήριος νοταρίων εἶπεν· Ἐπειδὴ μετὰ χεῖρας ἔχομεν καὶ βιβλία τῶν ἁγιωτάτων καὶ ὁσιωτάτων πατέρων καὶ ἐπισκόπων καὶ διαφόρων μαρτύρων, ἐπελεξάμεθα δὲ ἐκ τούτων ὀλίγα κεφάλαια, εἰ παρίσταται, ἀναγνωσόμεθα.

2 Φλαβιανὸς ἐπίσκοπος Φιλίππων εἶπε· Καὶ ταῦτα ἀναγνωσθέντα ἐμφερέσθω.
Καὶ ἀνεγνώσθη οὕτως

Πέτρου τοῦ ἁγιωτάτου ἐπισκόπου καὶ μάρτυρος ἐκ τοῦ Περὶ θεότητος βιβλίου

[I] 3 Ἐπεὶ καὶ ἀληθῶς ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο (ὅθεν καὶ χάριτι ἐσμὲν σεσωσμένοι κατὰ τὸ ἀποστολικὸν ῥητὸν καὶ τοῦτο, φησίν, οὐκ ἐξ ἡμῶν· θεοῦ τὸ δῶρον, οὐκ ἐξ ἔργων, ἵνα μή τις καυχήσηται), θελήματι θεοῦ ὁ λόγος σὰρξ γενόμενος καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος οὐκ ἀπελείφθη τῆς θεότητος. οὐδὲ γὰρ ἵνα τῆς δυνάμεως αὐτοῦ ἡ δόξης τέλεον ἀποστῆι, πτωχεύσας πλούσιος ὤν, τοῦτο ἐγένετο, ἀλλ' ἵνα καὶ τὸν θάνατον ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν ἀναδέξηται, δίκαιος ὑπὲρ ἀδίκων, ὅπως ἡμᾶς προσαγάγηι τῶι θεῶι, θανατωθεὶς μὲν σαρκί, ζωοποιηθεὶς δὲ πνεύματι. Ioh. 1, 17 Eph. 2, 8 Phil. 2, 7 2 Cor. 8, 9 1 Petr. 3, 18

3—15 οὐρανόν post excerpta patrum primae sessioni inserunt V 54, M, P [= hk] 52; in appendice habent S 100 D 95 21—25 et capitula I—XVI repetita sunt ex sessione prima [uol. 1, 2 p. 39 sq. = Ω]

AΛptckr

6 θεὸν ἐκ θεοῦ VMPSDΛptckr om. A 7 τε om. A τῶι om. D 8 καὶ σαρκωθέντα om. SD σαρκωθέντα Λp 9 καὶ ἐνανθρωπήσαντα VΛptckr παθόντα ταφέντα P καὶ ἀνελθόντα VΛp τοὺς om. MPSD 10 καὶ ἐν δεξιᾶ τοῦ πατρὸσ καθήμενον καὶ ἐρχόμενον V 13 ἡ ἁγία AΛr ἡ ἁγία τοῦ θεοῦ V καθολικὴ καὶ ἀποστολικὴ VAΛper ἀποστολικὴ καὶ καθολικὴ MPSDΛιk 14 τῆ — πίστει AΛptckr ταύτη τῆ ἁγία πίστει VMPSD 23 κεφάλαια AΛpt κεφάλαια ἃ Λckr et Hadriana in Λp cf. Ω 29 θεοῦ τό δῶρον om. Λp 30/31 τῆσ θεότητοσ AΛpter *ab unitate* Λk 31 τῆσ δυνάμεωσ AΛpter *diuinitatis* Λk 33 *deo patri* Λt

[II] 4 Καὶ μεθ' ἕτερα· Ὅθεν καὶ ὁ εὐαγγελιστὴς ἀληθεύει λέγων· ὁ λόγος σὰρξ ἐγένετο
Ioh. 1, 14 καὶ ἐσκήνωσεν ἐν ἡμῖν, τότε δηλονότι ἀφ' οὗ ὁ ἄγγελος ἠσπάσατο τὴν παρθένον
Lc. 1, 28 εἰπών· χαῖρε κεχαριτωμένη, ὁ κύριος μετὰ σοῦ. τὸ γὰρ ὁ κύριος μετὰ σοῦ
νῦν ἔστιν ἀκοῦσαι τοῦ Γαβριὴλ ἀντὶ τοῦ ὁ θεὸς λόγος μετὰ σοῦ· σημαίνει γὰρ αὐτὸν γεν-
Lc. 1, 35 νώμενον ἐν μήτραι καὶ σάρκα γιγνόμενον, καθὼς γέγραπται· πνεῦμα ἅγιον ἐπελεύ-
σεται ἐπὶ σὲ καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον
ἅγιον κληθήσεται υἱὸς θεοῦ.

[III] 5 Καὶ πάλιν μεθ' ἕτερα· Ὁ δὲ θεὸς λόγος παρὰ τὴν ἀνδρὸς ἀπουσίαν κατὰ βούλησιν
τοῦ τὰ πάντα δυναμένου κατεργάσασθαι θεοῦ γέγονεν ἐν μήτραι τῆς παρθένου σὰρξ μὴ
δεηθεὶς τῆς ἀνδρὸς ἐνεργείας ἢ παρουσίας. ἐνεργέστερον γὰρ τοῦ ἀνδρὸς ἐνεποίησεν
ἡ τοῦ θεοῦ δύναμις ἐπισκιάσασα τῇι παρθένωι σὺν τῶι ἐπεληλυθότι ἁγίωι πνεύματι.

Ἀθανασίου τοῦ ἁγιωτάτου γενομένου ἐπισκόπου Ἀλεξανδρείας ἐκ τοῦ Κατὰ Ἀρειανῶν βιβλίου

[IIII] 6 Πολλοὶ γοῦν ἅγιοι γεγόνασι καὶ καθαροὶ πάσης ἁμαρτίας, Ἱερεμίας δὲ καὶ ἐκ κοιλίας
c. Arian. 3, 33 ἡγιάσθη καὶ Ἰωάννης ἔτι κυοφορούμενος ἐσκίρτησεν ἐν ἀγαλλιάσει ἐπὶ τῇι φωνῆι τῆς θεο-
Ier. 1, 5
Lc. 1, 44 τόκου Μαρίας· καὶ ὅμως ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωυσέος καὶ
Rom. 5, 14 ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας ἐπὶ τῶι ὁμοιώματι τῆς παραβάσεως Ἀδὰμ καὶ
οὕτως ἔμενον οὐδὲν ἧττον οἱ ἄνθρωποι θνητοὶ καὶ φθαρτοί, δεκτικοὶ τῶν ἰδίων τῆς φύσεως
παθῶν. νῦν δὲ τοῦ λόγου γενομένου ἀνθρώπου καὶ ἰδιοποιουμένου τὰ τῆς σαρκός,
οὐκέτι ταῦτα τοῦ σώματος ἅπτεται διὰ τὸν ἐν αὐτῶι γενόμενον λόγον, ἀλλ' ὑπ' αὐτοῦ μὲν
ἀνήλωται, λοιπὸν δὲ οἱ ἄνθρωποι οὐκέτι κατὰ τὰ ἴδια πάθη μένουσιν ἁμαρτωλοὶ καὶ νεκροί,
ἀλλὰ κατὰ τὴν τοῦ λόγου δύναμιν ἀναστάντες ἀθάνατοι καὶ ἄφθαρτοι ἀεὶ διαμένουσιν.
ὅθεν καὶ γεννωμένης τῆς σαρκὸς ἐκ τῆς θεοτόκου Μαρίας αὐτὸς λέγεται γεγεννῆσθαι ὁ τοῖς
ἄλλοις γέννησιν εἰς τὸ εἶναι παρασχών, ἵνα τὴν ἡμῶν εἰς ἑαυτὸν μεταθῆι γέννησιν καὶ
μηκέτι ὡς γῆ μόνη ὄντες εἰς γῆν ἀπέλθωμεν, ἀλλ' ὡς τῶι ἐξ οὐρανοῦ λόγωι συναφθέντες
εἰς οὐρανὸν ἀναχθῶμεν παρ' αὐτοῦ. οὐκοῦν οὕτως καὶ τὰ ἄλλα πάθη τοῦ σώματος οὐκ
ἀπεικότως εἰς ἑαυτὸν μετέθηκεν, ἵνα μηκέτι ὡς ἄνθρωποι, ἀλλ' ὡς ἴδιοι τοῦ λόγου τῆς
1 Cor. 15, 22 αἰωνίου ζωῆς μετασχῶμεν. οὐκέτι γὰρ κατὰ τὴν προτέραν γένεσιν ἐν τῶι Ἀδὰμ πάντες
ἀποθνήισκομεν, ἀλλὰ λοιπὸν τῆς γενέσεως ἡμῶν καὶ πάσης τῆς σαρκικῆς ἀσθενείας μετα-
Gal. 3, 13 τεθέντων εἰς τὸν λόγον ἐγειρόμεθα ἀπὸ γῆς, λυθείσης τῆς δι' ἁμαρτίαν κατάρας διὰ τὸν ἐν
ἡμῖν ὑπὲρ ἡμῶν γενόμενον κατάραν.

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Ἐπίκτητον ἐπιστολῆς

[V] 7 Πῶς δὲ καὶ ἀμφιβάλλειν ἐτόλμησαν οἱ λεγόμενοι Χριστιανοὶ εἰ ὁ ἐκ Μαρίας προελθὼν
ad Epict. 2 κύριος υἱὸς μὲν τῆι οὐσίαι καὶ φύσει τοῦ θεοῦ ἐστι, τὸ δὲ κατὰ σάρκα ἐκ σπέρματός ἐστι
Δαυίδ, σαρκὸς δὲ τῆς ἁγίας Μαρίας, τινὲς δὲ ἄρα οὕτω τολμηροὶ γεγόνασιν ὥστε εἰπεῖν
τὸν Χριστὸν τὸν σαρκὶ παθόντα καὶ ἐσταυρωμένον μὴ εἶναι κύριον καὶ σωτῆρα καὶ θεὸν
καὶ υἱὸν τοῦ πατρός; ἢ πῶς Χριστιανοὶ θέλουσιν ὀνομάζεσθαι οἱ λέγοντες εἰς ἄνθρωπον
ἅγιον ὡς ἐπὶ ἕνα τῶν προφητῶν ἐληλυθέναι τὸν λόγον καὶ μὴ αὐτὸν ἄνθρωπον γεγονέναι
λαβόντα ἐκ Μαρίας τὸ σῶμα, ἀλλ' ἕτερον εἶναι τὸν Χριστὸν καὶ ἕτερον τὸν τοῦ θεοῦ λόγον
τὸν πρὸ Μαρίας καὶ πρὸ αἰώνων υἱὸν ὄντα τοῦ πατρός; ἢ πῶς εἶναι Χριστιανοὶ δύ-
νανται οἱ λέγοντες ἄλλον εἶναι τὸν υἱὸν καὶ ἄλλον τὸν τοῦ θεοῦ λόγον;

[VI] 8 Καὶ μεθ' ἕτερα πάλιν· Οὐ θέσει δὲ ταῦτα ἐγίνετο, μὴ γένοιτο, ὥς τινες πάλιν ὑπέ-
ad Epict. 7 λαβον, ἀλλ' ὄντως ἀληθείαι ἀνθρώπου γενομένου τοῦ σωτῆρος ὅλου τοῦ ἀνθρώπου σωτηρία

AΛpickr (Ω)

1 *et uerbum* Λikr 6 *nascetur ex te* Λk et uaria lectio in Λp 27 πάντες om. Λpicr cf. Ω
29/30 ἐν ἡμῖν om. Λp 34 τίνες AΛpickr cf. Ω οὗτοι A *adeo* Λp *sic* Λc om. Λt *isti tam* Λkr cf. Ω

ἐγίνετο. εἰ γὰρ θέσει ἦν ἐν τῷι σώματι ὁ λόγος κατ' ἐκείνους, τὸ δὲ θέσει λεγόμενον φαντασία ἐστίν, εὑρίσκεται δοκήσει καὶ ἡ σωτηρία καὶ ἡ ἀνάστασις τῶν ἀνθρώπων λεγομένη κατὰ τὸν ἀσεβέστατον Μανιχαῖον. ἀλλὰ μὴν οὐ φαντασία ἡ σωτηρία ἡμῶν οὐδὲ σώματος μόνου, ἀλλ' ὅλου ἀνθρώπου, ψυχῆς καὶ σώματος, ἀληθῶς ἡ σωτηρία γέγονεν· ἀνθρώπινον φύσει τὸ ἐκ Μαρίας κατὰ τὰς θείας γραφὰς καὶ ἀληθινὸν ἦν τοῦ σωτῆρος.

Ἰουλίου τοῦ ἁγιωτάτου γενόμενου ἐπισκόπου Ῥώμης ἐκ τῆς πρὸς Προσδόκιον ἐπιστολῆς

[VII] **9** Κηρύσσεται δὲ εἰς συμπλήρωσιν τῆς πίστεως καὶ σαρκωθεὶς ἐκ παρθένου Μαρίας ὁ τοῦ θεοῦ υἱὸς καὶ σκηνώσας ἐν ἀνθρώποις, οὐκ ἐν ἀνθρώπωι ἐνεργήσας (τοῦτο γὰρ ἐπὶ προφητῶν ἐστι καὶ ἀποστόλων), τέλειος θεὸς ἐν σαρκὶ καὶ ἄνθρωπος τέλειος ἐν πνεύματι· οὐ δύο υἱοί, εἷς μὲν γνήσιος υἱὸς ἀναλαβὼν ἄνθρωπον, ἕτερος δὲ θνητὸς ἄνθρωπος ἀναληφθεὶς ὑπὸ θεοῦ, ἀλλ' εἷς μονογενὴς ἐν οὐρανῶι, μονογενὴς ἐπὶ γῆς ⟨θεός⟩. Lietzmann, Apollinaris p. 284

Φίληκος τοῦ ἁγιωτάτου ἐπισκόπου Ῥώμης καὶ μάρτυρος ἐκ τῆς πρὸς Μαξιμῖνον τὸν ἐπίσκοπον καὶ τὸν κλῆρον τῆς Ἀλεξανδρείας ἐπιστολῆς

[VIII] **10** Περὶ δὲ τῆς σαρκώσεως τοῦ λόγου καὶ πίστεως, πιστεύομεν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν τὸν ἐκ τῆς παρθένου Μαρίας γεννηθέντα ὅτι αὐτός ἐστιν ὁ τοῦ θεοῦ ἀίδιος υἱὸς καὶ λόγος καὶ οὐκ ἄνθρωπος ὑπὸ θεοῦ ἀναληφθείς, ἵν' ἕτερος ἦι παρ' ἐκεῖνον. οὐδὲ γὰρ ἄνθρωπον ἀνέλαβεν ὁ τοῦ θεοῦ υἱός, ἵνα ἦι ἕτερος παρ' αὐτόν, ἀλλὰ θεὸς ὢν τέλειος γέγονεν ἅμα καὶ ἄνθρωπος τέλειος, σαρκωθεὶς ἐκ παρθένου. Lietzmann, Apollinaris p. 318

Θεοφίλου τοῦ ἁγιωτάτου ἐπισκόπου Ἀλεξανδρείας ἐκ τῆς ε̄ ἑορταστικῆς ἐπιστολῆς

[VIIII] **11** Ἔστι γὰρ καὶ νῦν τῶν τότε θαυμάτων τὰ λείψανα. μὴ ἀπιστείτωσαν ὅτι δύναμις θεοῦ ἰσχύει ποιεῖν παρθένον ἀποτίκτειν, ἐν ἧι γενόμενος ὁ ζῶν τοῦ θεοῦ λόγος διὰ τὴν πρὸς ἡμᾶς ὁμοίωσιν (ἄλλως γὰρ ἡμῖν συνομιλεῖν αὐτὸν ἐγγύτερον οὐχ οἷόν τε ἦν), ἵνα μὴ ἐξ ἡδονῆς καὶ ὕπνου, καθάπερ ἐπὶ τῶν ἄλλων ἀνθρώπων ἔχει, δέξηται σῶμα, τὸ ἐν ὁμοιώματι τούτου λαμβάνει ἐκ παρθένου τικτόμενος ἄνθρωπος, φαινόμενος μὲν ὡς ἡμεῖς κατὰ τὴν δουλείαν μορφήν, ἐκ δὲ τῶν ἔργων ἀποδεικνύμενος ὅτι τῶν ἁπάντων δημιουργὸς καὶ κύριός ἐστι, πράττων ἔργα θεοῦ. Sap. Sal. 7, 3

Τοῦ αὐτοῦ ἐκ τῆς ἕκτης ἑορταστικῆς ἐπιστολῆς

[X] **12** Οἷα γὰρ τῶν τεχνιτῶν οἱ ἄριστοι οὐκ ἐν τιμίαις μόνον ὕλαις τὴν τέχνην ἐκφαίνουσι θαυμαζόμενοι, ἀλλ' εὐτελοῦς πηλοῦ καὶ κηροῦ διαλυομένου πολλάκις ἐπειλημμένοι τῆς ἐπιστήμης ἑαυτῶν ἀποδεικνύουσι τὴν δύναμιν πολλῶι μᾶλλον ἐπαινούμενοι, οὕτως ὁ πάντων ἀριστοτέχνης, ὁ ζῶν καὶ ἐνεργὴς τοῦ θεοῦ λόγος, τάξεως ἁρμονίαι διακοσμήσας τὰ σύμπαντα, οὐχ οἱά τινος τιμίας ὕλης, οὐρανίου λαβόμενος σώματος πρὸς ἡμᾶς ἀφῖκται, ἀλλ' ἐν πηλῶι τὸ μέγα τῆς ἑαυτοῦ δείκνυσι τέχνης, τὸν ἐκ πηλοῦ πλασθέντα διορθούμενος ἄνθρωπον αὐτὸς ἐκ παρθένου καινοπρεπῶς προιὼν ἄνθρωπος, τῶι μὲν τρόπωι τῆς γενέσεως διαλλάττων, τὴν δὲ κατὰ πάντα πρὸς ἡμᾶς χωρὶς ἁμαρτίας οὐκ ἐκφεύγειν κρίνας ὁμοίωσιν, τικτόμενος σπαργανούμενος τιθηνούμενος, βρέφος ἐν φάτνηι κείμενος, τῆς φύσεως ἡμῶν τὴν ἀσθένειαν ἐκδεχόμενος διὰ τὰς προλαβούσας αἰτίας. ἀλλ' ἔτι βρέφος ὤν, Pind. frg. 57 Hebr. 4, 12 Hebr. 4, 15

ΑΛptckr (Ω)

5 ἀνθρώπινον ΑΛι ἀνθρώπινον ἄρα Λpckr cf. Ω *domini saluatoris* Λkr 6 γενομένου om. Λptck cf. Ω 11 θεός Λptckr om. A cf. Ω 12 μαξιμῖνον A *Maximianum* Λtkr *Maximum* ΛcΩ et *Maximinum* et *Maximum* Λp 16 υἱὸς λόγος Λc 24 μὲν φαινόμενος Λpc cf. Ω 27 ἕκτης om. Λtckr cf. Ω 32 τιμίας om. Λpk οὐρανίου om. Λt ἐφῖκται A 34 καινοπρεπῶσ Λtk καινοπρεπὴσ ΑΛpcr cf. Ω 36 τικτόμενος om. Λk

Mt. 2, 8. 12 ὁμοῦ καὶ τὸν ἐχθρὸν καὶ τὴν τούτου θορυβεῖ φάλαγγα, μάγους ἕλκων ἐπὶ μετάνοιαν καὶ παρασκευάζων τοῦ ἀποστείλαντος αὐτοὺς περιφρονεῖν βασιλέως.

Κυπριανοῦ τοῦ ἁγιωτάτου ἐπισκόπου καὶ μάρτυρος ἐκ τοῦ Περὶ ἐλεημοσύνης, ἑρμηνεία

[XI] 13 de opere et elemos. 1 Πολλαὶ καὶ μέγισται τυγχάνουσιν, ἀγαπητοὶ ἀδελφοί, αἱ θεῖαι εὐεργεσίαι ἀφ' ὧν τὴν ἡμετέραν σωτηρίαν ἡ τοῦ θεοῦ πατρὸς καὶ ⟨Χριστοῦ⟩ δαψιλὴς καὶ πλουσία φιλανθρωπία εἰργάσατο καὶ ἀεὶ ἐργάζεται, δι' ὃ φυλάξαι ἡμᾶς καὶ ζωοποιῆσαι ὁ πατὴρ τὸν υἱὸν ἔπεμψεν, ἵνα ἡμᾶς ἀνακαινίσῃ, καὶ πεμφθεὶς ὁ υἱὸς ἠθέλησεν υἱὸς ἀνθρώπου γενέσθαι, ὅπως ἡμᾶς υἱοὺς θεοῦ καταστήσῃ. ἐταπείνωσε τοίνυν ἑαυτόν, ἵνα τὸν λαὸν τὸν ἀπερριμμένον ἀνακτήσηται· τετραυμάτισται, ἵνα τὰ ἡμέτερα τραύματα θεραπεύσῃ· ἐδούλευσεν, ὅπως ἐκ δουλείας εἰς ἐλευθερίαν τοὺς δουλεύοντας ἀγάγῃ· θάνατον ὑπέστη, ἵνα τοῖς θνητοῖς τὴν ἀθανασίαν ἀποδῶι.

Ἀμβροσίου τοῦ ἁγιωτάτου γενομένου ἐπισκόπου Μεδιολάνων, ἑρμηνεία

[XII] 14 de fide 1, 94 Gal. 4, 4 Εἰ ἐμοὶ οὐ πιστεύουσι, πιστεύσωσι τῶι ἀποστόλωι λέγοντι· ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ γενόμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον. τὸν υἱὸν φησὶν αὐτοῦ, οὐχ ἕνα τῶν πολλῶν· οὐ κοινόν, ἀλλ' ἑαυτοῦ· τῆς αἰδίου γεννήσεως τὴν ἰδιότητα ἐσήμανε. τοῦτον μετὰ ταῦτα γενόμενον ἐκ γυναικὸς κατασκευάζει, ὅπως τὸ γενέσθαι οὐ τῆι θεότητι, ἀλλὰ τῶι προσληφθέντι σώματι περιγράψῃ, γενόμενον ἐκ γυναικὸς διὰ τῆς προσληφθείσης σαρκός, γενόμενον ὑπὸ νόμον διὰ τῆς τοῦ νόμου φυλακῆς. ἡ γὰρ θειοτάτη αὐτοῦ γέννησις πρὸ τοῦ νόμου, αὕτη δὲ μετὰ τὸν νόμον.

Τοῦ αὐτοῦ

[XIII] 15 de fide 2, 77. 78 1 Cor. 2, 4 Σιωπήσωσι τοίνυν αἱ ἀπὸ τῶν λόγων μάταιαι ζητήσεις, ὅτι ἡ τοῦ θεοῦ βασιλεία, καθὼς γέγραπται, οὐκ ἐν πειθοῖς λόγων ἀνθρωπίνων ἐστίν, ἀλλ' ἐν ἀποδείξει δυνάμεως. φυλάξωμεν τὴν διαφορὰν τῆς θεότητος καὶ τῆς σαρκός. εἷς ἐν ἑκατέρωι λαλεῖ ὁ τοῦ θεοῦ υἱός, ὅτι ἐν αὐτῶι ἡ ἑκατέρα φύσις ἐστίν. ὁ αὐτὸς λαλεῖ καὶ οὐκ ἐν ἑνὶ πάντοτε διαλέγεται τρόπωι. πρόσχες ἐν αὐτῶι νυνὶ μὲν δόξαν θεοῦ, νυνὶ δὲ ἀνθρώπου πάθη, ὅτι ὡς θεὸς διδάσκει τὰ θεῖα, ἐπεὶ λόγος ἐστίν, ὡς δὲ ἄνθρωπος λέγει τὰ ἀνθρώπινα, ἐπεὶ ἐν Ioh. 6, 51. 58 τῆι ἐμῆι οὐσίαι διελέγετο. οὗτός ἐστιν ὁ ἄρτος ὁ ζῶν, ὃς κατέβη ἐξ οὐρανοῦ· οὗτος ὁ Ioh. 6, 54 ἄρτος ἡ σάρξ ἐστι, καθὼς αὐτὸς ἔφη· οὗτος ὁ ἄρτος ὃν ἐγὼ δώσω, ἡ σάρξ μού ἐστιν. οὗτός ἐστιν ὁ καταβάς· οὗτός ἐστιν ὃν ὁ πατὴρ ἡγίασε καὶ ἔπεμψεν εἰς τὸν κόσμον. οὐδὲ αὐτὸ τὸ γράμμα ἡμᾶς διδάσκει τοῦ ἁγιασμοῦ μὴ τὴν θεότητα χρείαν ἐσχηκέναι, ἀλλὰ τὴν σάρκα.

4—11 ipsa Cypriani uerba exhibent Λpkr et Λc in Collectione C 24, uersionis Graecae uersionem Latinam Λtc in Collectione CT 46 13—20. 22—32 ipsa Ambrosii uerba exhibent Λptckr; Ambrosii codicum notitia accurata praesto non est

---

AΛptckr (Ω)

5 καὶ Χριστοῦ Λtc καὶ A cf. Ω 12 γενομένου om. Λptck 16 ἑαυτοῦ] *suum, suum cum dicit* Λkr Ambr. *suum, cum dicit suum* Λtc 24 διαφορὰν ex ἀνάγνωσιν corr. A cf. Ω ἑκατέρωι AΛtcr quam lectionem a Seuero introductam esse contendit Eulogius ap. Phot. 230 p. 271b 13 sq. *utraque* Λk Ambros. codd. *utroque* et *utraque* Λp cf. Ω 25 καὶ] scribendum ⟨εἰ⟩ καὶ, cf. Λ et Ambr. 26 ὅτι AΛc om. ΛptkrAmbr. 30/31 *in hunc mundum* Λptckr 31 οὐδὲ] *nec* Λt[46]cr [corruptum ex *haec*] *et* Λpt[24]k cf. Ω

Γρηγορίου τοῦ μεγάλου ἁγιωτάτου ἐπισκόπου γενομένου Ναζιανζοῦ

[XIIII] 16 Μὴ ἀπατάτωσαν οἱ ἄνθρωποι μηδὲ ἀπατάσθωσαν, ἄνθρωπον ἄνουν δεχόμενοι τὸν κυριακόν, ὡς αὐτοὶ λέγουσι, μᾶλλον δὲ τὸν κύριον ἡμῶν καὶ θεόν. οὐδὲ γὰρ τὸν ἄνθρωπον χωρίζομεν τῆς θεότητος, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν δογματίζομεν, πρότερον μὲν οὐκ ἄνθρωπον, ἀλλὰ θεὸν καὶ υἱὸν μόνον καὶ προαιώνιον, ἀμιγῆ σώματος καὶ τῶν ὅσα σώματος· ἐπὶ τέλει δὲ καὶ ἄνθρωπον, προσληφθέντα ὑπὲρ τῆς ἡμετέρας σωτηρίας, παθητὸν σαρκί, ἀπαθῆ θεότητι· περιγραπτὸν σώματι, ἀπερίγραπτον πνεύματι· τὸν αὐτὸν ἐπίγειον καὶ οὐράνιον, ὁρώμενον καὶ νοούμενον, χωρητὸν καὶ ἀχώρητον, ἵν' ὅλωι ἀνθρώπωι τῶι αὐτῶι καὶ θεῶι ὅλος ἄνθρωπος ἀναπλασθῆι πεσὼν ὑπὸ τὴν ἁμαρτίαν. ep. 101 [PG p. 177-181]

Εἴ τις οὐ θεοτόκον τὴν Μαρίαν ὑπολαμβάνει, χωρίς ἐστι τῆς θεότητος.

Εἴ τις ὡς διὰ σωλῆνος τῆς παρθένου δραμεῖν, ἀλλὰ μὴ ἐν αὐτῆι διαπεπλάσθαι [λέγοι] θεικῶς ἅμα καὶ ἀνθρωπικῶς, θεικῶς μὲν ὅτι χωρὶς ἀνδρός, ἀνθρωπικῶς δὲ ὅτι νόμωι κυήσεως, [ἀνάθεμα ἔστω.]

εἴ τις διαπεπλάσθαι λέγει τὸν ἄνθρωπον, εἶθ' ὑποδεδυκέναι θεόν, κατάκριτος· οὐ γὰρ γέννησις θεοῦ τοῦτό ἐστιν, ἀλλὰ φυγὴ γεννήσεως.

Εἴ τις εἰσάγει δύο υἱούς, ἕνα μὲν τὸν ἐκ τοῦ θεοῦ καὶ πατρός, δεύτερον δὲ τὸν ἐκ τῆς μητρός, ἀλλ' οὐχὶ ἕνα καὶ τὸν αὐτόν, τῆς υἱοθεσίας ἐκπέσοι τῆς ἐπηγγελμένης τοῖς ὀρθῶς πιστεύουσι. φύσεις μὲν γὰρ δύο θεὸς καὶ ἄνθρωπος, ἐπεὶ καὶ ψυχὴ καὶ σῶμα· υἱοὶ δὲ οὐ δύο οὐδὲ θεοί. οὐδὲ γὰρ ἐνταῦθα δύο ἄνθρωποι, εἰ καὶ οὕτως ὁ Παῦλος τὸ ἐντὸς τοῦ ἀνθρώπου καὶ τὸ ἐκτὸς προσηγόρευσε, καὶ εἰ δεῖ συντόμως εἰπεῖν, ἄλλο μὲν καὶ ἄλλο τὰ ἐξ ὧν ὁ σωτήρ, εἴπερ μὴ ταυτὸν τὸ ἀόρατον τῶι ὁρατῶι καὶ τὸ ἄχρονον τῶι ὑπὸ χρόνον· οὐκ ἄλλος δὲ καὶ ἄλλος, μὴ γένοιτο· τὰ γὰρ ἀμφότερα ἓν τῆι συγκράσει, θεοῦ μὲν ἐνανθρωπήσαντος, ἀνθρώπου δὲ θεωθέντος ἢ ὅπως ἄν τις ὀνομάσειε. λέγω δὲ ἄλλο καὶ ἄλλο ἔμπαλιν ἢ ἐπὶ τῆς τριάδος ἔχει. ἐκεῖ μὲν γὰρ ἄλλος καὶ ἄλλος, ἵνα μὴ τὰς ὑποστάσεις συγχέωμεν, οὐκ ἄλλο δὲ καὶ ἄλλο· ἓν γὰρ τὰ τρία καὶ ταυτὸν τῆι θεότητι. Eph. 1, 5 2 Cor. 4, 16

Εἴ τις ὡς ἐν προφήτηι λέγει κατὰ χάριν ἐνηργηκέναι, ἀλλὰ μὴ κατ' οὐσίαν συνῆφθαι καὶ συναναπεπλάσθαι, εἴη κενὸς τῆς κρείττονος ἐνεργείας, μᾶλλον δὲ πλήρης τῆς ἐναντίας.

Εἴ τις οὐ προσκυνεῖ τὸν ἐσταυρωμένον, ἀνάθεμα ἔστω καὶ τετάχθω μετὰ τῶν θεοκτόνων.

Εἴ τις ἐξ ἔργων τετελειωμένον ἢ μετὰ τὸ βάπτισμα ἢ μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν υἱοθεσίας ἠξιῶσθαι λέγει καθάπερ [οὓς] Ἕλληνες παρεγγράπτους εἰσάγουσιν, ἀνάθεμα ἔστω. τὸ γὰρ ἠργμένον ἢ προκόπτον ἢ τελειούμενον οὐ θεός, κἂν διὰ τὴν κατὰ μικρὸν αὔξησιν οὕτως λέγηται.

Βασιλείου τοῦ ἁγιωτάτου γενομένου ἐπισκόπου Καισαρείας τῆς πρώτης Καππαδοκίας

[XV] 17 Οὐ γὰρ τοσοῦτον οὐρανὸς καὶ γῆ καὶ τὰ μεγέθη τῶν πελαγῶν καὶ τὰ ἐν ὕδασι διατώμενα καὶ τὰ χερσαῖα τῶν ζώιων καὶ φυτὰ καὶ ἀστέρες καὶ ἀὴρ καὶ ὧραι καὶ ἡ ποικίλη τοῦ παντὸς διακόσμησις τὸ ὑπερέχον τῆς ἰσχύος συνίστησιν ὅσον τὸ δυνηθῆναι τὸν θεὸν τὸν ἀχώρητον ἀπαθῶς διὰ σαρκὸς συμπλακῆναι τῶι θανάτωι, ἵνα ἡμῖν τῶι ἰδίωι πάθει τὴν ἀπάθειαν χαρίσηται. de spir. s. 18

ΑΛptckr (Ω)

1 γενομένου om. Λptckr cf. Ω in fine add. *ex epistula ad Clidonium* Λckr 2 Μὴ] *nec* Λr 3 ὡς om. Λk 7 πνεύματι ΑΛtc *deitate* Λp *diuinitate* Λkr cf. Ω 8 ἵν' ἐν Λtk 11 λέγοι om. Λptk cf. Ω 13 ἀνάθεμα ἔστω om. Λpkr cf. Ω 16 καὶ om. Λpkr 17 *Maria* Λtc καὶ τῆς υἱοθεσίας Λc cf. Ω 31 οὓς ΑΛc om. Λtkr Ἕλληνες οἳ Λp cf. Ω 34 γενομένου om. Λptck 36 καὶ φυτὰ om. Λp

Γρηγορίου ἁγιωτάτου ἐπισκόπου Νύσης

[XVI] 18 or. 1 de beatit. [PG p. 1201] Phil. 2, 5-7 Apoc. 19, 16 Ies. 40, 12 Lc. 2, 7

Τοῦτο γὰρ φρονείσθω, φησίν, ἐν ὑμῖν ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ· ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών. τί πτωχότερον ἐπὶ θεοῦ τῆς τοῦ δούλου μορφῆς; τί ταπεινότερον ἐπὶ τοῦ βασιλέως τῶν ὄντων ἢ τὸ εἰς κοινωνίαν τῆς πτωχῆς ἡμῶν φύσεως ἑκουσίως ἐλθεῖν; ὁ βασιλεὺς τῶν βασιλευόντων καὶ ὁ κύριος τῶν κυριευόντων τὴν τῆς δουλείας μορφὴν ὑποδύεται· ὁ κριτὴς τοῦ παντὸς ὑπόφορος τοῖς δυναστεύουσι γίνεται· ὁ τῆς κτίσεως κύριος ἐν σπηλαίοις κατάγεται· ὁ τοῦ παντὸς περιδεδραγμένος οὐχ εὑρίσκει τόπον ἐν τῶι καταλύματι, ἀλλ' ἐν φάτνηι τῶν ἀλόγων παραρρίπτεται· ὁ καθαρὸς καὶ ἀκήρατος τὸν τῆς ἀνθρωπίνης φύσεως καταδέχεται ῥύπον καὶ διὰ πάσης τῆς πτωχείας ἡμῶν διεξελθὼν μέχρι τῆς τοῦ θανάτου πρόεισι πείρας. ὁρᾶτε τῆς ἑκουσίου πτωχείας τὸ μέτρον· ἡ Ζωὴ θανάτου γεύεται· ὁ κριτὴς εἰς κριτήριον ἄγεται· ὁ τῆς Ζωῆς τῶν ὄντων κύριος ἐπὶ τῆι ψήφωι τοῦ δικάζοντος γίνεται· ὁ πάσης τῆς ὑπερκοσμίου δυνάμεως βασιλεὺς τὰς τῶν δημίων οὐκ ἀπωθεῖται χεῖρας. πρὸς τοῦτό σοι, φησί, τὸ ὑπόδειγμα τῆς ταπεινοφροσύνης βλεπέτω τὸ μέτρον.

Ἀττικοῦ ἐπισκόπου Κωνσταντινουπόλεως

L III 518

[XVII] 19 M IIII 1196 Phil. 2, 7 Ioh. 1, 14

Σήμερον Χριστὸς ὁ δεσπότης τὴν τῆς φιλανθρωπίας γέννησιν ἀνεδέξατο· τὴν γὰρ τῆς θεικῆς ἀξίας προυπῆρχεν.

Εἶτα τούτοις ἐπιφέρει πάλιν· Ὁ τῆς φιλανθρωπίας λόγος κενοῦται, ἀκένωτος τὴν φύσιν τυγχάνων· ἑαυτὸν γὰρ ἐκένωσε μορφὴν δούλου λαβών. ὁ ἄσαρκος διὰ σὲ σαρκοῦται· ὁ γὰρ λόγος σὰρξ ἐγένετο. ὁ ἁφὴι μὴ ὑποπίπτων διὰ τὸ τῆς φύσεως ἀσώματον ψηλαφᾶται· ὁ ἄναρχος ὑπὸ ἀρχὴν γίνεται σωματικήν· ὁ τέλειος αὔξει· ὁ ἄτρεπτος προκόπτει· ὁ πλούσιος ἐν καταλύματι γίνεται· ὁ περιβάλλων τὸν οὐρανὸν ἐν νεφέλαις σπαργανοῦται· ὁ βασιλεὺς ἐν φάτνηι τίθεται.

Ἀμφιλοχίου ἐπισκόπου Ἰκονίου

[XVIII] 20

Ἐπειδὴ γὰρ ὁ αὐτὸς καὶ βασιλεὺς καὶ θεὸς καὶ νεκρώσεως διὰ τὴν τοῦ πάθους οἰκονομίαν γευσάμενος, τὰ δῶρα τῶν μυστηρίων ἐστὶν αἰνίγματα. προσφέρουσι χρυσόν· γνωρίζουσι γὰρ αὐτὸν βασιλέα. προσφέρουσι λίβανον· θεῷ γὰρ ἴσασι προσφέροντες. προστιθέασι καὶ σμύρναν διὰ τὴν ἐν τῶι μυστηρίωι τοῦ πάθους νέκρωσιν.

XVII = Cyrill. apol. adu. Orient. 50. or. ad dominas [V 150] 11 XVIII. XVIIII adferuntur in florilegio cod. Mus. Brit. Add. 12156 f. 74r

---

AΛpIckr (Ω); in XVII—XX accedunt V 54 P 52 S 99 D 96 A 38 $Λ^{i24}$ $Λ^{u}$ et in XVII. XVIII codex Vaticanus Collectionis C 24 [$Λ^{v}$], cf. quae adnotaui 2 p. 44. ordo in XVII. XX. XVIII. XVIIII mutatus est in VPSD

2 Ἰησοῦ] *filio* Λp 5 τῶν ὄντων A *omnium* Λtc *uniuersorum* Λkr om. Λp cf. Ω 7 τῆς δουλείας AΛter *serui* Λk *seruilem* Λp cf. Ω 13 τῶν ὄντων] *omnium* Λpic *uniuersorum* Λkr cf. Ω 17 χ̄σ̄ ὁ δεσπότης A Cyr. ad dom. ὁ χ̄σ̄ [Χρηστὸς D] δεσπότης SD ὁ χ̄σ̄ καὶ δεσπότης VP ὁ δεσπότης χ̄σ̄ A^{89} 17/18 τὴν²] τῇ A^{38} 18 ἀξίαν V 19 ἀκενώτατος SD 20 γὰρ om. VDΛkr 20/21 διὰ σὲ om. Λp 23 γεννᾶται SD τίκτεται Cyr. ad dom. οὐρανὸν om. V 25 *Iconii episcopi* Λpcu antiquo ipsius Cyrilli errore, cf. Cyrill. apolog. adu. Orient. 17 26 καὶ βασιλεὺς $AA^{36}Λptkrt^{24}u$ βασιλεῦσ VPSDΛcv ἡμετέρου πάθους SD 27 *munera magorum* Λtcvu 27/29 χρυσόν — αὐτὸν $AA^{36}Λptkrt^{24}vu$ οἱ μάγοι χρυσίον γνωρίζοντες αὐτὸν εἶναι VPSD 28 *scimus* $Λt^{24}u$ 29 προστιθέασι $AA^{89}Λptct^{24}vuflor.$ προσφέρουσι VDΛkr προσάγουσι PS καὶ $AA^{38}Λpckrv$ om. VPSD$Λti^{24}u$ σμύραν D

Τοῦ αὐτοῦ

XVIIII 21 Εἰ μὴ γὰρ ἐκεῖνος ἐγεννήθη σαρκικῶς, οὐκ ἂν σὺ ἀνεγεννήθης πνευματικῶς. εἰ μὴ L III 519
ἐκεῖνος ἠνέσχετο τῆς τοῦ δούλου μορφῆς, οὐκ ἂν σὺ τὴν δόξαν τῆς υἱοθεσίας ἐκέρδανας· διὰ τοῦτο γὰρ ἐπὶ γῆς ὁ ἐπουράνιος, ἵνα σὺ εἰς οὐρανοὺς ἀναχθῆις ὁ ἐπίγειος. διὰ τοῦτο Χριστὸς ἑαυτὸν ἐκένωσεν, ἵνα ἡμεῖς πάντες ἐκ τοῦ πληρώματος αὐτοῦ λάβωμεν. 5 Phil. 2, 7
ὁ ἐκείνου θάνατος σὴ γέγονεν ἀθανασία· τὸ τοῦ δεσπότου πάθος τοῦ δούλου γέγονεν Ioh. 1, 16
ὕψωμα· σὺ δὲ τὴν εὐεργεσίαν λαμβάνεις βλασφημίας ἐφόδιον.

Ὁμοίως Ἀττικοῦ γενομένου ἐπισκόπου Κωνσταντινουπόλεως L III 518

XX 22 Εἴ τινα διακρίνοι ἡ τοῦ μονογενοῦς ἐνανθρώπησις καὶ παρθένου κύησις καὶ παθῶν
κοινωνία καὶ σταυρὸς καὶ πάθος καὶ θάνατος, μανθάνων γινωσκέτω πρόξενα ταῦτα τῆς 10
οἰκουμενικῆς σωτηρίας, ἀλλὰ μὴ ἀνάξια τῆς φιλανθρωπίας τοῦ κρείττονος. εἰ γὰρ αἰσχρὸν
θεῶι τὸ παρθένον οἰκῆσαι, αἰσχρότερόν που πάντως καὶ τὸ ποιῆσαι· εἰ δὲ δημιουργῶν οὐχ
ὑβρίσθη, οὐδὲ οἰκῆσαι τὸ δημιούργημα αἰσχύνης ἄξιον ἔκρινε. καὶ εἰ τὸ παθεῖν κακόν,
τὸ παθῶν ἀπαλλάξαι ἡλίκον; ὥστε καὶ τέθνηκεν ⟨ἀθανάτωι⟩ θανάτωι θανατώσας τὸν θά-
νατον, καὶ ἀνέστη τὴν ἡμετέραν πρυτανεύων ἀνάστασιν, καὶ ταῦτα πάντα δέχεται οὐ φύσει 15
θεότητος, ἀλλὰ προσλήψει σαρκός, τῆι μὲν ἐν ἀσύλοις τῆς οἰκείας ἀπαθείας οἰκῶν, τῆι δὲ
τὰ πάντα παθών τε καὶ ὑπομείνας, ὡς ἂν γένοιτο πολιτείας ἀρίστης ἡγεμών τε καὶ νο-
μοθέτης.

76 1 Κατὰ θέσπισμα τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων βασιλέων Θεοδοσίου καὶ Οὐαλεν- L III 673
τινιανοῦ συναχθείσης ἐν τῆι Ἐφεσίων μητροπόλει ἐξ ἁπάσης ὡς ἔπος εἰπεῖν τῆς οἰκου- M IIII 1344
μένης τῆς ἁγίας ταύτης συνόδου τῶν θεοσεβεστάτων ἐπισκόπων τῶν ἁπανταχοῦ ἁγίων 21
ἐκκλησιῶν καὶ συνεδρευούσης ὁριζούσης τε κρατεῖν καὶ βεβαίαν εἶναι τὴν πίστιν τὴν ἐκτε-
θεῖσαν διὰ τοῦ ἁγίου πνεύματος παρὰ τῶν ἁγίων πατέρων τῶν κατὰ καιροὺς ἐν τῆι Νι-

---

XVIIII 1—3 = Cyrill. apolog. adu. Orient. 17 XX adfertur in florilegio cod. Mus. Brit. Add. 12156 f. 74r 19 inter patrum capitula et actionem de Charisio inserunt 74, 3. 4 [p. 89, 3—15] VMPSD; actionem de Charisio post sententiam concilii de Nestorii depositione exhibet Collectio Veronensis [Λu]

AΛptckrVPSDA^{38}Λt^{34}u

1 ὁμοίωσ τοῦ αὐτοῦ VPSDΛkr 2 ἀνεγεννήθησ VAA^{38}Λpct^{24}u ἐγεννήθησ PSDΛkrCyr.flor. εἰ δὲ SD 3 τὴν om. P 4 τῆσ γῆσ SD εἰσ — ἐπίγειοσ AA^{38}Λct^{24}uflor. ὁ ἐπίγειοσ [ἐπὶ γῆσ V] εἰσ οὐρανὸν ἀναχθῆσ VPSDΛpkr 6 σὴ γέγονεν AA^{38}Λpct^{24}uflor. γέγονέ σοι VPSDΛr *nostra facta est* Λk γέγονε τοῦ δούλου VPSD 8 ὁμοίως — Κωνσταντινουπόλεως] ὁμοίωσ τοῦ αὐτοῦ VPS ὁμοίως] τοῦ αὐτοῦ D om. Λp γενομένου om. DΛptckrt^{24}u 9 διακρίνοι PSDA^{38} διακρίνει VA πάθουσ P 10 καὶ πάθοσ καὶ θάνατοσ AA^{38}Λptckrt^{24}uflor. καὶ θάνατοσ καὶ ἀνάστασισ VPSD ταῦτα AA^{38}Λkr ταῦτα εἶναι VPSDΛp 11 ἀλλὰ AA^{38}Λptt^{24}uckr καὶ VPSDflor. κρείττονοσ AA^{38}Λpckr^{24}uflor. κρείττονοσ λογιζέσθω VPSD 12 τὸ om. V που] προ V 14 ἀθανάτωι θανάτωι θανατώσασ scripsi secundum Λct^{24}uflor. *immortalis morte et mortem morte damnauit* Λp θανάτω θανατώσασ AA^{38} ἵν' ἀθανάτωι θανάτωι θανατώσηι Λkr ἀθάνατοσ ὢν ἵνα θανατώση VPSD 15 καὶ^{2}] ἀλλὰ καὶ P 16 τῆ δὲ APΛkru τῶ δὲ VSDA^{38}Λtc 17 τε om. VPSD 17/18 ὡς ἂν — νομοθέτης om. P ἡγεμών — νομοθέτης om. SD 17 τῆσ ἀρίστησ V *aeternae* Λp

AVM, P [= hk], SDΛpΛtΛcΛuΛkΛr

νε' V νγ' P ςς' D inscr. ὅτε χαρίσιοσ προσῆλθε τῆ ἁγία συνόδω κατὰ τῶν τεσσαρεσκαιδεκατιτῶν MPSD ἀρχὴ τοῦ κατὰ χαρίσιον πρακτικοῦ ὅτε προσῆλθε τῆ ἁγία συνόδω κατὰ τῶν τεσσαρεσκαιδεκατιτῶν V praemittit *Quibus lectis* [om. Λtu] *Petrus presbyter Alexandriae et primicerius notariorum dixit* Λtcu 19—p. 96, 2 Κατὰ θέσπισμα — τρόπον om. Λu 19 τὸ θέσπισμα MP 19/20 post *Valentiniani* ins. *sicut praediximus* Λc 20 ἔποσ om. D 22 εἶναι πίστιν SD 23 τῶν^{2} om. MPSD

καέων πόλει συνειλεγμένων, ὄντων τὸν ἀριθμὸν τριακοσίων δέκα καὶ ὀκτώ, τυπούσης τὲ τὰ περὶ τούτου καθ' ὃν ἔδει τρόπον, Χαρίσιός τις ὀνόματι πρεσβύτερος καὶ οἰκονόμος γεγονὼς τῆς Φιλαδελφέων πόλεως ἁγίας ἐκκλησίας ἐδίδαξεν ὅτι τινὲς τῶν ἀπὸ Λυδίας ὁρμωμένων αἱρετικῶν ἠθέλησαν τὴν μὲν ἑαυτῶν ἀφεῖναι πλάνην, ἐπιστρέψαι δὲ πρὸς τὸ τῆς ἀληθείας φῶς καὶ μυσταγωγηθῆναι τὰ τῆς καθολικῆς ἐκκλησίας ὀρθά τε καὶ εὐσεβῆ δόγματα· εἶτα δέον αὐτοὺς ἐπὶ τὴν ἀλήθειαν χειραγωγηθῆναι μειζόνως ἠπάτηνται καὶ οἷον ἐκ βόθρου πεπτώκασιν εἰς χείρονα βόθρον. ἐδίδαξε γὰρ ὅτι Ἀντώνιος καὶ Ἰάκωβος, πρεσβυτέρων ἔχοντες ὄνομα, κατῆλθον ἀπὸ τῆς Κωνσταντινουπόλεως ἐπιστολὰς ἔχοντες παραθέσεως παρὰ
M IIII 1345 Ἀναστασίου τινὸς καὶ Φωτίου, συνόντων τὸ τηνικάδε τῶι αἱρετικῶι Νεστορίωι, καὶ αὐτῶν δὲ πρεσβυτέρων ἐχόντων ὄνομα, καὶ δέον τήν τε ἀποστολικὴν καὶ εὐαγγελικὴν παράδοσιν τῆς πίστεως ἣν καὶ ἐξέθεντο κατὰ καιροὺς οἱ πατέρες οἱ ἐν τῆι Νικαέων συνελθόντες, παραθεῖναι τοῖς ἐκ πλάνης ἐπιστρέφουσιν εἰς ἀλήθειαν καὶ ἀπὸ τοῦ σκότους εἰς τὸ φῶς ἔρχεσθαι ζητοῦσι, προσεκόμισαν ἔκθεσίν τινα δογμάτων ἀσεβῶν ὡς ἐν τάξει συμβόλου συντεθειμένην καὶ ταύτηι καθυπογράψαι παρεσκεύασαν τοὺς ἀθλίους ἐκείνους, πάντα τρόπον ἀσεβείας νικῶντες ἐν τούτωι. ὑπὲρ δὲ σαφηνείας ἀκριβοῦς τῶν εἰρημένων ἐντέτακται ὁ ἐπιδοθεὶς λίβελλος παρὰ τοῦ μνημονευθέντος πρεσβυτέρου Χαρισίου καὶ ἡ τῆς ἀσεβοῦς ἐκείνης ἔκθεσις κακοδοξίας ἡ περὶ τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ μεθ' ὑπογραφῆς τῶν ἠπατημένων.

2 Τῆι ἁγιωτάτηι καὶ θεοφιλεῖ συνόδωι οἰκουμενικῆι συνελθούσηι ἐν τῆι Ἐφεσίων μητροπόλει παρὰ Χαρισίου πρεσβυτέρου καὶ οἰκονόμου Φιλαδελφείας. Εὐχὴ μὲν ἅπασι τοῖς εὖ φρονοῦσι τιμὴν ἀεὶ καὶ πρέπουσαν αἰδῶ πνευματικοῖς μάλιστα πατράσι καὶ διδασκάλοις ἀπονέμειν· εἰ δέ που συμβῆι τοὺς διδάσκειν ὀφείλοντας τοιαῦτα τοῖς ὑπηκόοις ἐνηχεῖν περὶ τῆς πίστεως οἷα τὰς ἁπάντων ἀκοὰς καὶ καρδίας καταβλάπτει, ἀνάγκη τὴν τάξιν ἀνταλλάττεσθαι καὶ τοὺς κακῶς διδάσκειν ἑλομένους ὑπὸ τῶν ἡσσόνων διελέγχεσθαι.
L III 676 ἐπεὶ οὖν εἷς τούτων ὑπάρχει Νεστόριος ὁ τῆς ἰδίας κακοδοξίας τοὺς καρποὺς δρεπόμενος, ὃς κάκιστα περὶ τῆς εἰς Χριστὸν πίστεως διακείμενος διδάξας τε πολλάκις ἃ μὴ προσῆκε, πᾶσαν ὁμοῦ τὴν ὑφ' ἥλιον διετάραξεν, ὡς καὶ τοὺς φιλοχρίστους βασιλέας ἀναγκασθῆναι θεσπίσαι τὴν ὑμετέραν ἁγιωσύνην ἐνταῦθα συνελθοῦσαν τὰ τῆς ὀρθοδοξίας ἐπικρατῦναι δόγματα καὶ τοῦτο διὰ τὴν οἰκείαν φιλανθρωπίαν ὁ δεσπότης θεὸς παρασχὼν ἅπαντας ὑμᾶς τοὺς ἁγίους πατέρας ἐνταῦθα συνήγαγε τοῦ προλεχθέντος ἕνεκεν, τούτου χάριν ἐγὼ τῆι ὑμετέραι προσπίπτων ὁσιότητι διδάσκω ὡς οὐ μόνος αὐτός, ἀλλὰ γὰρ καὶ οἱ τούτου συμμέτοχοι τῆς ἀσεβείας Ἀναστάσιος καὶ Φώτιος οἱ πρεσβύτεροι, τὴν αὐτὴν καὶ ἐν ταῖς ἄλλαις πόλεσι κακοπιστίαν διασπαρῆναι παρασκευάζοντες, Ἰάκωβόν τινα τὰ ὅμοια αὐτοῖς φρονοῦντα συνεκρότησαν καὶ συγκροτοῦσι μέχρι τοῦ δεῦρο, τραπέζης καὶ παρρησίας αὐτῶι

AVM, P [= hk], SDΛpΛtΛcΛuΛkΛr

1 τιῆ M δεκαοκτώ VPSD 2 τούτων VMPSDΛkr 4 αὐτῶν PD 7 ἀντωνῖνοσ ΑΛkr 8 ὀνόματα MSDΛptcu τῆς om. P παρενθέσεωσ V 9 ἀθανασίου M φωτεινοῦ MPS uaria lectio in Λp τὸ τηνικάδε om. MPSD τῶν αἱρετικῶν S 10 ὀνόματα MSDΛpickru ἀποστολικὴν καὶ εὐαγγελικὴν ΑΛpickru εὐαγγελικὴν καὶ ἀποστολικὴν VMPSD 11 καὶ om. VPSDΛkr 12 ὑποστρέφουσιν SD 13 προεκόμισαν VMΛkr 14 ταύτην MP καθυπογράφειν V τοὺσ ἀθλίουσ ἐκείνουσ παρεσκεὐασαν VMPSD εὐσεβείασ S 15 συναφείασ S 17 κακοδοξίας om. MPSD 19 νς' V νδ' P ςζ' D inscr. οἱ ἐπιδοθέντεσ λίβελλοι [ὁ ἐπιδοθεὶσ λίβελλοσ D] παρὰ χαρισίου πρεσβυτέρου VMPSD ἁγία ταύτη D καὶ om. D θεοφιλεστάτη VMPSD οἰκουμενικῆ συνόδω PSD τῆ συνελθούση P 20 παρὰ — Φιλαδελφείας om. V 22 τοῖς om. D 23 τῆς om. D βλάπτει D 24 ἐναλλάττεσθαι P 25 ἐπειδὴ M ὁ AV om. MPSD 26 δσ ΑΛpicukr om. VMPSD προσήκει P 27 ὑφηλίω S ἐτάραξεν P βασιλεῖσ SD 28 κρατῦναι SD 29 τοῦτο διὰ om. SD οἰκείαν A ἰδιαν VMPSD παρασχὼν θσ̄ V 30 ἐγὼ om. Λc 31 τῆ ὑμετέρα προσπίπτων ΑΛpicukr τῆ ὑμετέρα προσπίπτω VMP προσπίπτω τῆ ὑμετέρα SD 31 διδάσκω ΑΛpicukr διδάσκων VMPSD γὰρ A om. VMPSD 32 μέτοχοι SD 33 τὰ om. V 34 τοῦ AP τῆσ VMSD παρρησίασ καὶ τραπέζησ Λpicu

μεταδιδόντες· ὃν καὶ διὰ γραμμάτων ἤδη ὡς ὀρθόδοξον συνέστησαν τοῖς θεοσεβεστάτοις τῆς Λυδῶν ἐπισκόποις. τοιαῦτα δὲ τούτωι τετόλμηται ἃ τὴν ὑμετέραν πάντως ἁγιωσύνην μαθοῦσαν κινήσει πρὸς κανονικὴν κατ' αὐτοῦ τιμωρίαν καὶ κατὰ τῶν αὐτὸν συγκροτούντων. τὴν γὰρ Φιλαδελφέων πόλιν τῆς Λυδίας καταλαβὼν καὶ τινὰς τῶν ἁπλουστέρων ἀπατήσας (κληρικοὶ δὲ οὗτοι), τὴν τῶν ἐν Νικαίαι ἁγίων πατέρων ἔκθεσιν τῆς πίστεως ἐξουθενώσας, ἑτέραι τινὶ πίστεως ἐκθέσει, μᾶλλον δὲ ἀπιστίας καθυπογράψαι παρεσκεύασε. καὶ δὴ τοῦτο πεποιήκασιν, ὡς ἁπλούστεροι καθυπογράψαντες ὅτι δὴ ταύτηι στοιχοῦμεν, φησί, τῆι ὀρθοδόξωι πίστει· ἥτις ἔκθεσις αἱρετικῆς βλασφημίας πεπληρωμένη ἔχουσά τε τὰς M IIII 1348 τῶν ὑπ' αὐτοῦ συναρπαγέντων ὑπογραφὰς σώιζεται, ἣν ἀξιῶ ἀναγνωσθῆναι ἐπὶ τῆς ὑμετέρας ὁσιότητος πρὸς τὸ νοηθῆναι τὴν ὑπ' αὐτῶν μελετηθεῖσαν τῆς ὀρθοδοξίας ἀνατροπήν, οὐ μόνον δέ, ἀλλὰ καὶ τὰ γράμματα τῶν προλεχθέντων, ἔνθα Ἰακώβωι μὲν τῶι αἱρετικῶι τοιαῦτα τολμήσαντι μαρτυροῦσιν ὀρθοδοξίαν, ἐμὲ δὲ ὡς αἱρετικὸν τῆς κοινωνίας καὶ λειτουργίας ἐκώλυσαν, εὐσεβῶς φρονοῦντα καθὼς ὑποτέτακται. τούτων γὰρ ἀναγνωσθέντων, μαθήσεται πάντως ἡ ὑμετέρα θεοφίλεια τὰ κατὰ τῆς ὀρθοδοξίας ὑπ' αὐτῶν τολμηθέντα, ἅτινα ὁ θεὸς διὰ τῆς ὑμετέρας ἁγιωσύνης εἰς τέλος καταργήσει.

3 Πιστεύω εἰς ἕνα θεὸν πατέρα παντοκράτορα, κτίστην πάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητήν· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστόν, τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ, θεὸν ἐκ θεοῦ, φῶς ἐκ φωτός, θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ, ὁμοούσιον τῶι πατρί, τὸν δι' ἡμᾶς καὶ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν, σαρκωθέντα, γεννηθέντα ἐκ τῆς ἁγίας παρθένου, ἐνανθρωπήσαντα, σταυρωθέντα ὑπὲρ ἡμῶν, ἀποθανόντα, ἀναστάντα τῆι τρίτηι ἡμέραι, ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ πάλιν ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς· καὶ εἰς τὸ πνεῦμα τῆς ἀληθείας, τὸν παράκλητον, ὁμοούσιον πατρὶ καὶ υἱῶι, καὶ εἰς ἁγίαν καθολικὴν ἐκκλησίαν· εἰς ἀνάστασιν νεκρῶν· εἰς ζωὴν αἰώνιον.

Ἐγὼ Χαρίσιος δέδωκα τοὺς λιβέλλους ὡς προγέγραπται, ὑπογράψας χειρὶ ἐμῆι. L III 677

Ἴσον τῆς ἐκθέσεως τοῦ παραπλασθέντος συμβόλου

4 Τοὺς ἢ νῦν πρῶτον παιδευομένους τῶν ἐκκλησιαστικῶν δογμάτων τὴν ἀκρίβειαν ἢ ἔκ τινος αἱρετικῆς πλάνης μεθίστασθαι βουλομένους ἐπὶ τὴν ἀλήθειαν διδάσκεσθαι προσήκει καὶ ὁμολογεῖν ὅτι πιστεύομεν εἰς ἕνα θεὸν πατέρα ἀίδιον, οὐχ ὕστερον ἀρξάμενον τοῦ εἶναι, ἀλλ' ἄνωθεν ὄντα ἀίδιον θεόν, οὔτε μὴν ὕστερον γεγονότα πατέρα, ἐπειδήπερ ἀεὶ θεός τε

---

26 symboli praeter uersiones Latinas supra allatas extant duae, ipsius Marii Mercatoris [Coll. Palat. 16, Λm] et in gestis Concilii quinti [Λs, L V 454. 455 = M VIIII 227—229]

AVM, P [= hk], SDΛpΛtΛcΛuΛkΛr

2 τῶν P τοιαῦτα — τετόλμηται om. D πάντωσ τοῦτω S 2/3 πάντωσ ἁγιωσύνην AVM ἁγιωσύνην πάντωσ P ἁγιωσύνην SD 5 αὐτοὶ PΛtc ἁγίων om. VMPΛptcu θέσιν P 6 ἐξουθενήσασ VMPSD 7/8 φησὶν τῆ ὀρθοδόξω στοιχοῦμεν V 12 προσμαρτυροῦσιν M 12/13 λειτουργίας καὶ κοινωνίας MΛkr 13/14 γὰρ ἀναγνωσθέντων] παραναγνωσθέντων MP 14 τὰ ὑπ' M 15 ὁ A om. VMPSD ἁγιωσύνησ VMPSD ἁγιότητοσ A 16 *credimus* Λc κτίστην AVMPSD om. Λtckru ἀπάντων V τε] τε πάντων SD 17 τὸν υἱὸν om. Λk αὐτοῦ AVM τοῦ θεοῦ PDS θεὸν ἐκ θεοῦ om. SD 19 τὴν VMPΛptcu διὰ τὴν SDAΛkr 21 τοὺς om. MSDA 22 τὸ παράκλητον SD, corr. S καὶ[2] om. A 23 εἰς[2]] καὶ P 24 inscr. *et alia manu* Λiu ἐπέδωκα A ἔδωκα M *libellum* Λiu

AVM, P [= hk], SDWΛmΛpΛtcuΛkrΛs

25 νζ' V νε' P ϛη' D Ἴσον — συμβόλου inscr. AVMPSDAWΛptcukr *expositio prauae fidei Theodori* Λm *sceleratum symbolum impii Theodori* Λs cf. Cyrill. ep. 72 [V 133] et Theodoretum in librorum contra Cyrillum loco qui adfertur in Gestis concilii Epheseni alterius [Abhdlg. d. Gött. Ges. d. Wiss. 15, 1 p. 104, 31] 26 ἢ om. WΛkrs καὶ πρώτωσ W 27 προσῆκε MSDA 28 οὐχ' AWΛms οὔθ' VMPSDΛptcukr 29/p. 98, 1 θεόσ τε ἦν ἀεὶ W

5 ἦν καὶ πατήρ. πιστεύομεν δὲ καὶ εἰς ἕνα υἱὸν θεοῦ μονογενῆ, ἐκ τῆς οὐσίας ὄντα τοῦ πατρός, ὡς ὄντως υἱὸν καὶ τῆς αὐτῆς οὐσίας ὄντα τοῦ οὗπερ ἔστι τε καὶ πιστεύεται υἱός. **6** καὶ εἰς τὸ πνεῦμα δὲ τὸ ἅγιον, ἐκ τῆς θεοῦ τυγχάνον οὐσίας, οὐχ υἱόν, θεὸν δὲ ὂν τῇ οὐσίαι, ὡς ἐκείνης ὂν τῆς οὐσίας ἥσπερ ἐστὶν ὁ θεὸς καὶ πατήρ, ἐξ οὗπερ κατ' οὐσίαν
1 Cor. 2, 12 ἐστίν. ἡμεῖς γάρ φησιν, οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλὰ τὸ πνεῦμα τὸ ἐκ τοῦ θεοῦ, τῆς μὲν κτίσεως αὐτὸ χωρίσας ἁπάσης, θεῶι δὲ συνάψας, ἐξ οὗπερ κατ' οὐσίαν ἐστὶν ἰδιάζοντι λόγωι παρὰ πᾶσαν τὴν κτίσιν, ἣν οὐ κατ' οὐσίαν, ἀλλ' αἰτίαι δημιουργίας ἐκ θεοῦ νομίζομεν εἶναι, καὶ οὔτε υἱὸν νομίζοντες οὔτε δι' υἱοῦ τὴν **7** ὕπαρξιν εἰληφός. ὁμολογοῦμεν δὲ πατέρα τέλειον προσώπωι καὶ υἱὸν ὁμοίως, καὶ πνεῦμα
M IIII 1349 δὲ ἅγιον ὡσαύτως, σωιζομένου τοῦ λόγου τῆς εὐσεβείας ἡμῖν τῶι πατέρα καὶ υἱὸν καὶ πνεῦμα ἅγιον μὴ τρεῖς τινας οὐσίας διαφόρους νομίζειν, ἀλλὰ μίαν τῆι ταυτότητι τῆς θεότητος γνωριζομένην.

8 Χρὴ δὲ καὶ περὶ τῆς οἰκονομίας ἣν ὑπὲρ τῆς ἡμετέρας σωτηρίας ἐν τῆι κατὰ τὸν δεσπότην Χριστὸν οἰκονομίαι ὁ δεσπότης ἐξετέλεσε θεός, εἰδέναι ὅτι ὁ θεὸς λόγος ἄνθρωπον εἴληφε τέλειον ἐκ σπέρματος ὄντα Ἀβραὰμ καὶ Δαυὶδ κατὰ τὴν διαγόρευσιν τῶν θείων γραφῶν, τοῦτο ὄντα τὴν φύσιν ὅπερ ἦσαν ἐκεῖνοι ὥνπερ ἐκ σπέρματος ἦν, ἄνθρωπον τέλειον τὴν φύσιν, ἐκ ψυχῆς τε νοερᾶς καὶ σαρκὸς συνεστῶτα ἀνθρωπίνης· ὃν ἄνθρωπον ὄντα καθ' ἡμᾶς τὴν φύσιν, πνεύματος ἁγίου δυνάμει ἐν τῆι τῆς παρθένου μήτραι διαπλα-
Gal. 4, 4. 5 σθέντα γενόμενον τε ἐκ γυναικὸς καὶ γενόμενον ὑπὸ νόμον, ἵνα πάντας ἡμᾶς ἐξαγοράσηι τῆς τοῦ νόμου δουλείας, τὴν πόρρωθεν προωρισμένην υἱοθεσίαν ἀπολα-
Eph. 1, 20. 21 βόντας, ἀπορρήτως συνῆψεν ἑαυτῶι, θανάτου μὲν αὐτὸν κατὰ νόμον ἀνθρώπων πειραθῆναι παρασκευάσας, ἐγείρας δὲ ἐκ νεκρῶν καὶ ἀναγαγὼν εἰς οὐρανὸν καὶ καθίσας ἐκ δεξιῶν τοῦ θεοῦ, ὅθεν δὴ ὑπεράνω πάσης ὑπάρχων ἀρχῆς τε καὶ ἐξουσίας καὶ κυριότητος καὶ δυνάμεως καὶ παντὸς ὀνόματος ὀνομαζομένου οὐκ ἐν τῶι αἰῶνι τούτωι μόνον, ἀλλὰ καὶ ἐν τῶι μέλλοντι, τὴν παρὰ πάσης τῆς κτίσεως δέχεται προσκύνησιν ὡς ἀχώριστον πρὸς τὴν θείαν φύσιν ἔχων τὴν συνάφειαν, ἀναφορᾶι **9** θεοῦ καὶ ἐννοίαι πάσης αὐτῶι τῆς κτίσεως τὴν προσκύνησιν ἀπονεμούσης. καὶ οὔτε δύο φαμὲν υἱοὺς οὔτε δύο κυρίους, ἐπειδὴ εἷς υἱὸς κατ' οὐσίαν ὁ θεὸς λόγος, ὁ μονογενὴς υἱὸς τοῦ πατρός, ὥιπερ οὗτος συνημμένος τε καὶ μετέχων υἱότητος κοινωνεῖ τῆς υἱοῦ προσηγορίας τε καὶ τιμῆς, καὶ κύριος κατ' οὐσίαν ὁ θεὸς λόγος, ὧι συνημμένος οὗτος κοινωνεῖ

AVM, P [= hk], SDWΛmptcukrs, 28—p. 99, 4 κυρίου syriace extant ap. Lagarde, Anal. syr. p. 106, 29—107, 11 [Σ]

1 υἱὸν θεοῦ AΛmptcus θεοῦ υἱὸν SDΛkr θεὸν υἱὸν VMPW 1/2 τοῦ $\overline{\text{πρσ}}$ ὡσ AΛmptcukrs τῆσ πατρώασ VMPSDW 2 καὶ[1] om. SDΛt τοῦ A om. VMPSDW τε AΛms om. VMPSDW πεπίστευται A 3 δὲ[1] AVMPΛckrs om. SDW θεοῦ AVM τοῦ θεοῦ PSDW ὄντα VMPSDW 5 τοῦ κόσμου ἐλάβομεν AMPW ἐλάβομεν τοῦ κόσμου V τοῦ κόσμου ἐλάβετε SD 6 τοῦ om. VP αὐτὸ χωρίσασ AMPW αὐτὸν χωρίσασ SD αὐτοῦ Λk ἀποχωρίσασ V 8 αἰτίαν W νομίζομεν SDΛptcu 9 εἰληφέναι P καὶ υἱὸν δὲ Λc 10 δὲ AVMPΛs om. SDWΛptcukr τὸ SD υἱὸν AΛmptcukrs υἱὸν ὁμοίωσ VMPSDW 13 σωτηρίας om. P 13/14 τὸν δεσπότην om. D 14 θεὸσ ἐξετέλεσεν SD ὁ[2]] ὁ δεσπότησ VMP 15 εἰλήφει SD 16 τοιοῦτον P οἷοιπερ P *et illi* Λmptcu ὥνπερ — ἦν om. V καὶ ἐκ Λk 17 ψυχῆσ τε καὶ σαρκὸσ νοερᾶσ S σαρκόσ τε καὶ ψυχῆσ νοερᾶσ D 18 παρθενίας S 18/19 διαπλασθέντοσ S 19 γενόμενον[1] AVΛmptcukrs γεγονέναι MPSDW τε AΛtcus om. VMPSDWΛpkr καὶ AVMPWΛrs om. SDΛmptcuk 20/21 ἀποβαλόντασ V 21 θανάτου μὲν AVMPW θανατοῦμενον SD 22 δὲ om. SD 23/24 ἀρχῆσ καὶ ἐξουσίασ ὑπάρχων κυριότητόσ τε καὶ δυνάμεωσ SD 23 τε A om. VMPW 24 καὶ δυνάμεωσ om. Λptcu 25 μόνον τούτω P τῆσ om. W 26/27 ὡσ ἀχώριστον — προσκύνησιν om. SD ὡσ ἀχώριστον — ἀπονεμούσησ om. W 26 οὐσίαν V superscr. φύσιν 28 φαμὲν om. SDW κυρίουσ δύο W 28—p. 99, 1 υἱὸσ κατ' οὐσίαν — δήλου om. D 28 ὁ[2] om. PSW υἱὸσ om. MPSW 29 ὥσπερ Λk υἱότητοσ AΛptcurΣ θεότητοσ VMPSW om. Λks 30 καὶ τιμῆς om. Λp 30/p. 99, 1 καὶ κύριοσ — τιμῆς om. S

τῆς τιμῆς. καὶ διὰ τοῦτο οὔτε δύο φαμὲν υἱοὺς οὔτε δύο κυρίους, ἐπειδή, δήλου τοῦ L III 680
κατ' οὐσίαν ὄντος κυρίου τε καὶ υἱοῦ, ἀχώριστον ἔχων πρὸς αὐτὸν τὴν συνάφειαν ὁ ὑπὲρ
τῆς ἡμετέρας ληφθεὶς σωτηρίας [ἕνεκεν] συναναφέρεται τῇι τε ὀνομασίαι καὶ τῇι τιμῇι τοῦ
τε υἱοῦ καὶ τοῦ κυρίου, οὐχ ὥσπερ ἡμῶν ἕκαστος καὶ καθ' ἑαυτὸν ὑπάρχων υἱός, ὅθεν δὴ Gal. 3, 26
καὶ πολλοὶ υἱοὶ κατὰ τὸν μακάριον λεγόμεθα Παῦλον, ἀλλὰ μόνος ἐξαίρετον ἔχων τοῦτο ἐν 5
τῇι πρὸς τὸν θεὸν λόγον συναφείαι τῆς τε υἱότητος καὶ τῆς κυριότητος μετέχων ἀναιρεῖ
μὲν πᾶσαν ἔννοιαν δυάδος υἱῶν τε καὶ κυρίων, παρέχει δὲ ἡμῖν ἐν τῇι πρὸς τὸν θεὸν
λόγον συναφείαι πᾶσαν ἔχειν αὐτοῦ τήν τε πίστιν καὶ τὴν ἔννοιαν καὶ τὴν θεωρίαν, ὑπὲρ
ὧν δὴ καὶ τὴν προσκύνησιν ἀναφορᾶι θεοῦ παρὰ πάσης δέχεται τῆς κτίσεως.

10 Ἕνα τοίνυν τὸν υἱὸν φαμὲν καὶ κύριον Ἰησοῦν Χριστόν, δι' οὗ τὰ πάντα ἐγένετο, 10
πρωτοτύπως μὲν τὸν θεὸν λόγον νοοῦντες τὸν κατ' οὐσίαν υἱὸν θεοῦ καὶ κύριον, συνεπι-
νοοῦντες δὲ τὸ ληφθέν, Ἰησοῦν τὸν ἀπὸ Ναζαρέτ, ὃν ἔχρισεν ὁ θεὸς πνεύματι καὶ Act. 10, 38
δυνάμει, ὡς ἐν τῇι πρὸς τὸν θεὸν λόγον συναφείαι υἱότητός τε μετέχοντα καὶ κυριότητος·
11 ὃς καὶ δεύτερος Ἀδὰμ κατὰ τὸν μακάριον καλεῖται Παῦλον ὡς τῆς αὐτῆς μὲν φύσεως 1 Cor. 15, 45
ὑπάρχων τῶι Ἀδάμ, ἀναδείξας δὲ ἡμῖν τὴν μέλλουσαν κατάστασιν, καὶ τοσαύτην ἔχων πρὸς 15
ἐκεῖνον τὴν διαφορὰν ὅσηπερ ἂν γένοιτο τοῦ τὰ ἀπόρρητα χορηγοῦντος ἐπὶ τῆς μελλούσης
καταστάσεως ἀγαθὰ πρὸς τὸν τῶν παρόντων λυπηρῶν δεδωκότα τὴν ἀρχήν. τὸν ὅμοιον
δὲ τρόπον καὶ δεύτερος ἄνθρωπος καλεῖται ὡς τὴν δευτέραν κατάστασιν ἐκφήνας, ἐπειδὴ 1 Cor. 15, 47
τῆς μὲν προτέρας ἀρχὴ γέγονεν ὁ Ἀδὰμ τῆς θνητῆς καὶ παθητῆς καὶ πολλῶν γεμούσης
ὀδυνηρῶν, ἐν ὧι δὴ καὶ τὴν πρὸς αὐτὸν εἰλήφαμεν ὁμοίωσιν, τὴν δευτέραν δὲ ἀνέδειξεν 20
ὁ δεσπότης Χριστός, ὃς ἐξ οὐρανῶν ἐπὶ τοῦ μέλλοντος φανεὶς ἅπαντας ἡμᾶς εἰς τὴν κοι-
νωνίαν ἄξει τὴν οἰκείαν. ὁ γὰρ πρῶτος, φησίν, ἄνθρωπος ἐκ γῆς χοικός, ὁ 1 Cor. 15,
δεύτερος ἄνθρωπος ὁ κύριος ἐξ οὐρανοῦ, τουτέστιν ἐκεῖθεν ἀναφαίνεσθαι μέλλων 47-49
ἐπὶ τῶι πάντας εἰς μίμησιν ἀγωγεῖν ἑαυτοῦ, ὅθεν ἐπάγει· οἷος ὁ χοικός, τοιοῦτοι
καὶ οἱ χοικοί· καὶ οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι. καὶ 25
καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοικοῦ, φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ
ἐπουρανίου. ἐν τούτωι δὴ φαινομένωι τε καὶ παρὰ πάντων ὁρωμένωι τῶν κρίνεσθαι
μελλόντων ἐν ἀφανεῖ τυγχάνουσα ποιήσεται τὴν κρίσιν ἡ θεία φύσις κατὰ τὸν μακάριον Act. 17, 30.
Παῦλον τὸν λέγοντα· τοὺς γὰρ χρόνους τῆς ἀγνοίας ἡμῶν ὑπεριδὼν ὁ θεὸς 31
τὰ νῦν παραγγέλλει τοῖς ἀνθρώποις πᾶσι πανταχοῦ μετανοεῖν, καθότι 30
ἔστησεν ἡμέραν ἐν ἧι μέλλει κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνηι ἐν
ἀνδρὶ ὧι ὥρισεν, πίστιν παρασχὼν ἀναστήσας αὐτὸν ἐκ νεκρῶν.

AVM, P [= hk]. SDWΛmptcukrs, 10—13 ἕνα — κυριότητος syriace extant ap. Lagarde, Anal. syr. p. 106, 29—107, 11 [Σ]

2 ἔχει V 2/3 ὑπέρ — ἕνεκεν AVMPW τῆσ ἡμετέρασ σριασ ἕνεκεν S τῆσ ἡμετέρασ ἕνεκεν σριασ D *pro* Λmptcus *causa* Λkr 3 συναναφέρηται S 4 τε om. SDΛc 4 ὑμῶν S καὶ AVMPWΛr om. SDΛmptcuks 5 παῦλον λεγόμεθα W μόνον V τοῦτο ἐν A τοῦτο τὸ ἐν VMPSW τοῦτο D 6 τὸν om. P 6—8 τῆς τε υἱότητος — συναφείαι om. V 6 τῆσ κυριότητοσ A κυριότητοσ MPSDW 7 τὸν om. P 9 τὴν om. SD ἀναφορᾶ AΛmptcukrs καὶ ἀναφορὰν VMPSDW 10 υἱὸν AΛptcukrs $\overline{κν}$ VMPSDW *deum* Λm 12 $\overline{υν}$ Λpu $\overline{χσ}$ SD *spiritu sancto* Λmtc 13 τὸν om. P 14 καλεῖται om. W τῆς om. M 16 διαφορὰν AΛmptcukrs ἀναφορὰν VMPSDW 17 τὰ ἀγαθὰ SDW τὸ SW δεδωκότι S 18 ἄνθρωποσ AVMPWΛptcus ἀδὰμ SDΛmkr ἐπειδὴ A ἐπειδήπερ VMPSDW 19 ἀρχῆς Λkr 20 εἰλήφαμεν] *demonstrauit habere* Λs δὲ δευτέραν W 21 ὃς om. VMPSW *iste* Λs οὐρανῶν δὲ P πάντασ W 22 ἄξων V ἕξει Λtc 23 ὁ κύριος om. Λptcu 24 ἄγειν V οἷοσ χοικὸσ S 27 φαινομένη — ὁρωμένη Λpu παρὰ πάντων om. Λt 28 τὴν om. P 28/29 κατὰ — λέγοντα AΛtu om. VMPSDWΛptcukrs 29 γὰρ om. MP ἡμῶν om. Λpu 30 πᾶσι om. Λpk πανταχοῦ om. Λptu 31 ἔστησασ S ἐν δικαιοσύνηι om. Λptu 32 παρασχεῖν Λs *praebens omnibus* Λptcu

Αὕτη τῶν ἐκκλησιαστικῶν δογμάτων ἡ διδασκαλία καὶ πᾶς ὁ ἐναντία τούτοις φρονῶν ἀνάθεμα ἔστω. πᾶς ὁ μὴ δεχόμενος τὴν σωτήριον μετάνοιαν ἀνάθεμα ἔστω. πᾶς ὁ μὴ ποιῶν τὴν ἁγίαν ἡμέραν τοῦ πάσχα κατὰ τὸν τῆς ἁγίας καὶ καθολικῆς ἐκκλησίας θεσμὸν ἀνάθεμα ἔστω.

L III 681 12 Βούδιος Ἰουνικοῦ Φιλαδελφεύς, τεσσαρεσκαιδεκατίτης, ἐπιγνοὺς τὴν ἀληθῆ πίστιν τῆς ὀρθοδοξίας καὶ παρακαλέσας τὸν ἁγιώτατον ἐπίσκοπον Θεοφάνιον προσῆλθον τῇι ἁγιωτάτηι καὶ καθολικῆι ἐκκλησίαι καὶ ἀναθεματίζω πᾶσαν αἵρεσιν, ἐξαιρέτως δὲ τὴν τῶν τεσσαρεσκαιδεκατιτῶν, εἰς ἣν τὸ πρότερον ἐπλανώμην, καὶ συντίθεμαι τῇι προγεγραμμένηι ἐκθέσει τῆς ὀρθοδόξου πίστεως, ἀναθεματίζων καὶ τοὺς μὴ ποιοῦντας τὴν ἁγίαν ἡμέραν τοῦ πάσχα καθὼς ἡ ἁγία καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία ποιεῖ, ἐξομνύμενος τὴν ἁγίαν καὶ ὁμοούσιον τριάδα καὶ τὴν εὐσέβειαν καὶ νίκην τῶν δεσποτῶν τῆς οἰκουμένης Φλαυίου Θεοδοσίου καὶ Φλαυίου Οὐαλεντινιανοῦ τῶν αἰωνίων αὐγούστων· εἰ δέ τι τούτων παρασαλεύσω ποτέ, ὑποκεῖσθαί με τῇι τῶν νόμων αὐστηρίαι. καὶ ὑπαναγνωσθείσης μοι τῆς ἐκθέσεως ὑπέγραψα διὰ Ἡσυχίου Φιλαδελφέως βουλευτοῦ διὰ τὸ γράμματα με μὴ εἰδέναι.

13 Ἡσύχιος Κερδανεπίου Φιλαδελφεὺς βουλευτής, τεσσαρεσκαιδεκατίτης, ἐπιγνοὺς τὴν ἀληθῆ πίστιν τῆς ὀρθοδοξίας καὶ παρακαλέσας προσῆλθον τῇι ἁγιωτάτηι καὶ καθολικῆι ἐκκλησίαι καὶ ἀναθεματίζω πᾶσαν αἵρεσιν, ἐξαιρέτως δὲ τὴν τῶν τεσσαρεσκαιδεκατιτῶν καὶ
M IIII 1353 συντίθεμαι τῇι προγεγραμμένηι ἐκθέσει τῆς ὀρθοδόξου πίστεως, ἀναθεματίζων καὶ τοὺς μὴ ποιοῦντας τὴν ἁγίαν ἡμέραν τοῦ πάσχα καθὼς ἡ ἁγία καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία ποιεῖ, ἐξομνύμενος τὴν ἁγίαν καὶ ὁμοούσιον τριάδα καὶ τὴν εὐσέβειαν καὶ νίκην τῶν φιλοχρίστων βασιλέων Φλαυίου Θεοδοσίου καὶ Φλαυίου Οὐαλεντινιανοῦ τῶν αἰωνίων αὐγούστων· εἰ δέ τι τούτων παρασαλεύσω ποτέ, ὑποκεῖσθαί με τῇι τῶν νόμων αὐστηρίαι. καὶ ὑπέγραψα χειρὶ ἐμῇι.

14 Ῥουφῖνος δὶς Φιλαδελφεύς, τεσσαρεσκαιδεκατίτης, ἐπιγνοὺς τὴν ἀληθῆ πίστιν τῆς ὀρθοδοξίας, παρεκάλεσα προσπίπτων τῇι ἁγιωτάτηι καὶ καθολικῆι ἐκκλησίαι καὶ ἀναθεματίζω πᾶσαν αἵρεσιν, ἐξαιρέτως δὲ τὴν τῶν τεσσαρεσκαιδεκατιτῶν, καὶ συντίθεμαι μετὰ παντὸς τοῦ οἴκου μου τῇι προγεγραμμένηι ἐκθέσει τῆς ὀρθοδόξου πίστεως, ἀναθεματίζων καὶ τοὺς μὴ ποιοῦντας τὴν ἁγίαν ἡμέραν τοῦ πάσχα καθὼς ἡ ἁγία καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία ποιεῖ,

---

AVM, P [= hk], SDWΛpkr, Λms [usque ad 2 ἔστω], Λtcu; SDW post p. 101, 5 omnia omittunt, Λtcu post 14 nihil praebent nisi nomina subscriptorum, adnotante Λc: *a secundo nomine in aliis codicibus totae singulorum suscriptiones insertae sunt, habentes nonnullas ad inuicem differentias. quod hic totum deest; inuenitur uero haec actio integerrima circa finem primae actionis sanctae atque uniuersalis synodi Calcedonensis*

2 πᾶς ὁ μὴ δεχόμενος — ἔστω om. WΛmts 3 κατὰ — θεσμὸν om. SD ἁγίας καὶ om. Λpu καὶ om. PΛtckr 5 νη' V ςθ' D ῥούδιος SD ἰουνικοῦ SDWΛptcukr ἰωνικοῦ A ἰκονικοῦ VMP τεσσαρισκαιδεκατίτης sicut semper SD 6 θεοφάνην V 7 καὶ[1] om. Λr 8 τὸ om. V συντίθημι A 10 καὶ καθολικὴ MSDWΛu αἱ ἀποστολικὴ om. MW ἐπομνύμενος V 11 φλαβίου sicut semper VPDW 14 διὰ Ἡσυχίου] ἡσύχιος SD φιλαδελφέως ΑΛptc φλαυίου MSΛu φλαβίου VPDW *Flauium Hesychium Philadelphiae* Λkr βουλευτὴς SD 15 *Flauius Hesychius* Λkr φιλαδελφεὺς ΑΛptcu φλαύιος MS φλδβιος VDW om. PΛkr 17 δὲ τὴν om. SDΛk 17—26 καὶ[2] — τεσσαρεσκαιδεκατιτῶν om. W 17/18 καὶ συντίθεμαι VMPΛp συντίθεμαι δὲ SDAΛr 19 καθολικὴ ΑΛp om. VMPSD καὶ ἀποστολικὴ om. Λkr 20 ποιεῖ om. V ἐπομνύμενος V καὶ ὁμοούσιον om. VΛk τὴν[2] om. A 24—p. 105, 19 om. M pro iis ponendo ὁμοίως τούτοις τοῖς δυσὶ καὶ ῥουφῖνος εὐγένιος φαυστῖνος δαλμάτιος φλαυιανὸς πολυχρόνιος εὐστάθιος μαρκέλλου εὐτύχιος στρατόνικος ἀμμωνίου θεοδώρητος καὶ ἀλέξανδρος μαρῖνος κυριακὸς εὐξένιος διομήδης ἰουλιανὸς εὐτύχιος χωρίου αὔλακος καὶ ἔξαρχος τῆς τῶν τεσσαρεσκαιδεκατιτῶν αἱρέσεως πατρίκιος δεύτερος πρεσβύτερος κώμης παραδιοξύλου καὶ ζήνων χωρίου σαγόρου ποιθα ἀμφότεροι φιλαδελφεῖς καὶ τεσσαρεσκαιδεκατῖται ἐπιγνόντες τὴν ἀληθῆ πίστιν τῆς ὀρθοδοξίας καὶ ἀναθεματίσαντες πᾶσαν αἵρεσιν ἐξαιρέτως τὴν τῶν τεσσαρεσκαιδεκατιτῶν ὑπέγραψαν 24 δὶς om. VPSDΛptu 25 καὶ[1] om. VSΛk 26 τὴν om. A καὶ συντίθημι AW *et adsentio* Λp συντίθεμαι δὲ [δὲ om. S] VPSDΛr 28 τοῦ πάσχα ἡμέραν W καθὼς καὶ D καθολικὴ καὶ ἀποστολικὴ ΑΛpkr καὶ καθολικὴ VPSDW

ἐξομνύμενος τὴν ἁγίαν καὶ ὁμοούσιον τριάδα καὶ τὴν εὐσέβειαν καὶ νίκην τῶν φιλοχρίστων βασιλέων Φλαυίου Θεοδοσίου καὶ Φλαυίου Οὐαλεντινιανοῦ τῶν αἰωνίων αὐγούστων· εἰ δέ τι τούτων παρασαλεύσω ποτέ, ὑποκεῖσθαί με μετὰ παντὸς τοῦ οἴκου μου τῇι τῶν νόμων αὐστηρίαι. καὶ ὑπαναγνωσθείσης μοι τῆς ἐκθέσεως καὶ ἀρεσάσης, ὑπέγραψα τῇι οἰκείαι ἐμαυτοῦ γνώμηι καὶ προαιρέσει.

15 Εὐγένιος δὶς Φιλαδελφεύς, τεσσαρεσκαιδεκατίτης, ἐπιγνοὺς μετὰ παντὸς τοῦ οἴκου μου τὴν ἀληθῆ τῆς ὀρθοδοξίας πίστιν, παρακαλέσας τὸν ἁγιώτατον ἐπίσκοπον Θεοφάνιον, προσῆλθον τῇι ἁγιωτάτηι καθολικῆι ἐκκλησίαι καὶ ἀναθεματίζω πᾶσαν αἵρεσιν, ἐξαιρέτως δὲ τὴν τῶν τεσσαρεσκαιδεκατιτῶν καὶ τοὺς μὴ ποιοῦντας τὴν ἡμέραν τοῦ πάσχα καθὼς ἡ ἁγία καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία ποιεῖ, καὶ συντίθεμαι μετὰ παντὸς τοῦ οἴκου μου τῇι προγεγραμμένηι ἐκθέσει τῆς ὀρθοδόξου πίστεως, ἐξομνύμενος τὴν ἁγίαν καὶ ὁμοούσιον L III 684
τριάδα καὶ τὴν εὐσέβειαν καὶ νίκην τῶν φιλοχρίστων βασιλέων Φλαυίου Θεοδοσίου καὶ Φλαυίου Οὐαλεντινιανοῦ τῶν αἰωνίων αὐγούστων· εἰ δέ τι τούτων παρασαλεύσω ποτέ, ὑποκεῖσθαί με μετὰ παντὸς τοῦ οἴκου μου τῇι τῶν νόμων αὐστηρίαι. καὶ ὑπαναγνωσθείσης μοι τῆς ἐκθέσεως καὶ ἀρεσάσης, ὑπέγραψα χειρὶ ἐμῇι.

16 Φαυστῖνος λαικὸς δὶς Φιλαδελφεύς, τεσσαρεσκαιδεκατίτης, ἐπιγνοὺς τὴν ἀληθῆ πίστιν τῆς ὀρθοδοξίας, παρακαλέσας τὸν ἁγιώτατον ἐπίσκοπον Θεοφάνιον, προσῆλθον τῇι καθολικῆι ἐκκλησίαι καὶ ἀναθεματίζω πᾶσαν αἵρεσιν, ἐξαιρέτως δὲ τὴν τῶν τεσσαρεσκαιδεκατιτῶν, εἰς ἣν πρότερον ἐπλανώμην, καὶ συντίθεμαι τῇι προγεγραμμένηι ἐκθέσει τῆς ὀρθοδόξου πίστεως, ἀναθεματίζων καὶ τοὺς μὴ ποιοῦντας τὴν ἁγίαν ἡμέραν τοῦ πάσχα καθὼς ἡ ἁγία καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία ποιεῖ, ἐξομνύμενος τὴν ἁγίαν καὶ ὁμοούσιον τριάδα καὶ τὴν εὐσέβειαν καὶ νίκην τῶν δεσποτῶν τῆς οἰκουμένης Φλαυίου Θεοδοσίου καὶ Φλαυίου Οὐαλεντινιανοῦ τῶν αἰωνίων αὐγούστων· εἰ δέ τι τούτων παρασαλεύσω ποτέ, ὑποκεῖσθαί με τῇι τῶν νόμων αὐστηρίαι. καὶ ὑπαναγνωσθείσης μοι τῆς ἐκθέσεως, προσελθὼν μετὰ παντὸς τοῦ οἴκου μου τῇι εὐσεβεῖ ταύτηι πίστει ὑπέγραψα χειρὶ ἐμῇι.

17 Δαμάλιος καὶ Ἀλέξανδρος, χεῖρα χρησάμενοι παρὰ Εὐτροπίου υἱοῦ Θεοδώρου τοῦ M IIII 1356
εὐλαβεστάτου διακόνου, ἐπιγνόντες τὴν ὀρθοδοξίαν καὶ παρακαλέσαντες τὸν εὐλαβέστατον ἐπίσκοπον Θεοφάνιον, προσήλθομεν τῇι καθολικῆι ἐκκλησίαι, ἀναθεματίζοντες πᾶσαν αἵρεσιν, ἐξαιρέτως δὲ τὴν τῶν τεσσαρεσκαιδεκατιτῶν, ἐν ἧι ἐπλανώμεθα, καὶ τοὺς μὴ ποιοῦντας τὴν ἁγίαν ἡμέραν τοῦ πάσχα καθὼς οἱ ὀρθόδοξοι. καὶ ὑπαναγνωσθείσης ἡμῖν τῆς ἐκθέσεως, ἐξομοσάμενοι τὸν σεβάσμιον ὅρκον τῆς ἁγίας τριάδος καὶ τὴν νίκην καὶ σωτηρίαν τῶν δεσποτῶν τῆς οἰκουμένης Φλαυίου Θεοδοσίου καὶ Φλαυίου Οὐαλεντινιανοῦ τῶν αἰωνίων αὐγούστων μὴ παρασαλεῦσαί τι τῶν προγεγραμμένων καὶ πιστεύσαντες μετὰ τῶν οἴκων ἡμῶν, ὑπεγράψαμεν.

18 Φλάυιος Νυμφιδιανὸς δὶς Φιλαδελφεύς, σχολαστικός, πᾶσι τοῖς δόγμασι καὶ τοῖς ἔθεσι

AVP, SDW [usque ad 5], Λp(ιcu)kr

1 ἐπομνύμενοσ V 3 με om. W 3/4 μετὰ — αὐστηρία PWΛpkr τῇ — αὐστηρία μετα — μου VSD τῇ τῶν νόμων αὐστηρία A τοῦ — μου παντὸσ W 4 ἀρεσάσησ μοι D 4/5 τῇ οἰκεία ἐμαυτοῦ ΑΛpkr οἰκεία τῇ ἐμαυτοῦ P οἰκεία χειρὶ τῇ ἐμαυτοῦ SD οἰκεία μου χειρὶ τῇ ἐμαυτοῦ V οἰκεία μου καὶ W 6 δὶς Λpιcukr om. AVP 7 θεοφάνην V 8 ἁγία P 9 καθώσ καὶ V 10 ἁγία καὶ VΛpkr καὶ ἀποστολικὴ om. V καὶ συντίθεμαι APΛp συντίθεμαι δὲ VΛr 11 ἐπομνύμενοσ V 12 *victoriam et diuturnitatem* Λr 14 αὐστηρότητι P 15 ἀρεσάσησ μοι VP οἰκεία χειρὶ ὑπέγραψα V 16 δὶς ΑΛpιcukr om. VP 17 καὶ παρακαλέσασ V θεοφάνην V 20 ἀναθεματίζω VP καθὼσ καὶ P καθολικὴ om. VP 21 ἐπομνύμενοσ V 22 δεσποτῶν τῆσ οἰκουμένησ VPΛkr φιλοχρίστων βασιλέων A *principum* Λp hinc inde scribere solet φλαυίου V 23 ποτέ om V με δεῖ P 26 δαμάλιοσ ΑΛpιcukr δαλμάτιοσ VP χειρὶ VP εὐτροπίου AVPΛkr *Euprepii* Λpιu *Eutropii* ex *Euprepii* corr. Ac 28 θεοφάνην V 30 καθὼσ καὶ V ἐπαναγνωσθείσησ P 34 οἰκείων A 35 φλαβιανόσ VP δὶς om. VPΛtcu

τοῖς οὖσι μὲν τῆς τῶν τεσσαρεσκαιδεσκατιτῶν αἱρέσεως, μὴ προσδεχομένοις δὲ τὰ παρὰ τῆς ὀρθοδόξου πίστεως ἀποτάττομαι, ὁμολογῶν κοινωνεῖν τῇι ὀρθοδόξωι πίστει ἐν πᾶσι καὶ ταύτην προσδέχεσθαι.

19 Πολυχρόνιος Τατιανοῦ Φιλαδελφεύς, χεῖρα χρησάμενος παρὰ Φλαυίου Ἡσυχίου Κερδανεπίου Φιλαδελφέως βουλευτοῦ διὰ τὸ βραδέως με γράφειν, ἐπιγνοὺς τὴν ὀρθοδοξίαν καὶ παρακαλέσας τὸν εὐλαβέστατον ἐπίσκοπον Θεοφάνιον, προσῆλθον τῇι καθολικῇι ἐκκλησίαι, ἀναθεματίσας πᾶσαν αἵρεσιν, ἐξαιρέτως δὲ τὴν τῶν τεσσαρεσκαιδεκατιτῶν, ἐν ἧι ἐπλανώμην, καὶ τοὺς μὴ ποιοῦντας τὴν ἁγίαν ἡμέραν τοῦ πάσχα καθὼς οἱ ὀρθόδοξοι. καὶ ὑπαναγνωσθείσης μοι τῆς ἐκθέσεως, ἐξωμοσάμην τὸν σεβάσμιον ὅρκον τῆς ἁγίας τριάδος καὶ τὴν νίκην καὶ σωτηρίαν τῶν δεσποτῶν τῆς οἰκουμένης Φλαυίου Θεοδοσίου καὶ Φλαυίου Οὐαλεντινιανοῦ τῶν αἰωνίων αὐγούστων μὴ παρασαλεῦσαί τι τῶν προγεγραμμένων, καὶ πιστεύσας μετὰ παντὸς τοῦ οἴκου μου, συμφωνεῖ μοι πάντα τὰ προγεγραμμένα.

L III 685 **20** Εὐστάθιος Μαρκέλλου Φιλαδελφεύς, χρυσοχόος, τεσσαρεσκαιδεκατίτης, ἐπιγνοὺς τὴν ὀρθοδοξίαν καὶ παρακαλέσας τὸν ἁγιώτατον ἐπίσκοπον Θεοφάνιον, προσῆλθον οἰκείαι τῇι ἐμαυτοῦ γνώμηι καὶ προαιρέσει τῇι ἁγίαι τοῦ θεοῦ καθολικῇι καὶ ὀρθοδόξωι ἐκκλησίαι καὶ ἀναθεματίζω πᾶσαν αἵρεσιν, ἐξαιρέτως δὲ τὴν τῶν τεσσαρεσκαιδεκατιτῶν καὶ τοὺς μὴ ποιοῦντας τὴν ἁγίαν ἡμέραν τοῦ πάσχα καθὼς οἱ ὀρθόδοξοι, καὶ ἐξωμοσάμην τὴν ἁγίαν τριάδα καὶ τὴν εὐσέβειαν τῶν φιλοχρίστων βασιλέων Φλαυίου Θεοδοσίου καὶ Φλαυίου Οὐαλεντινιανοῦ τῶν αἰωνίων αὐγούστων, εἰ παρασαλεύσω τι τῶν προγεγραμμένων, ὑπεύθυνον εἶναί με τῇι τῶν νόμων αὐστηρίαι. καὶ ὑπέγραψα χειρὶ ἐμῇι.

21 Εὐτύχιος δὶς Φιλαδελφεὺς ἐπιγνοὺς τὴν ὀρθοδοξίαν καὶ παρακαλέσας τὸν ἁγιώτατον ἐπίσκοπον Θεοφάνιον, προσῆλθον οἰκείαι τῇι ἐμαυτοῦ γνώμηι καὶ προαιρέσει τῇι ἁγίαι τοῦ θεοῦ καθολικῇι καὶ ὀρθοδόξωι ἐκκλησίαι καὶ ἀναθεματίζω πᾶσαν αἵρεσιν, ἐξαιρέτως δὲ τὴν τῶν τεσσαρεσκαιδεκατιτῶν καὶ τοὺς μὴ ποιοῦντας τὴν ἁγίαν ἡμέραν τοῦ πάσχα καθὼς οἱ ὀρθόδοξοι, καὶ ἐξωμοσάμην τὴν ἁγίαν τριάδα καὶ τὴν εὐσέβειαν τῶν φιλοχρίστων βασιλέων
M IIII 1357 Φλαυίου Θεοδοσίου καὶ Φλαυίου Οὐαλεντινιανοῦ τῶν αἰωνίων αὐγούστων, εἰ παρασαλεύσω τι τῶν προγεγραμμένων, ὑποκεῖσθαί με τῇι τῶν νόμων αὐστηρίαι. καὶ ὑπέγραψα χειρὶ ἐμῇι.

22 Στρατόνικος Ἀμμωνίου Φιλαδελφεύς, τεσσαρεσκαιδεκατίτης, ἐπιγνοὺς τὴν ὀρθοδοξίαν καὶ παρακαλέσας τὸν ἁγιώτατον ἐπίσκοπον Θεοφάνιον, προσῆλθον τῇι ἁγίαι τοῦ θεοῦ καθολικῇι τῶν ὀρθοδόξων ἐκκλησίαι καὶ ἀναθεματίζω πᾶσαν αἵρεσιν, ἐξαιρέτως δὲ τὴν τῶν

AVPΛp(teu)kr

1 τῆσ οὔσησ VP, corr. V μὲν] μοι P μὴ om. P προσδεχόμενοσ P *suscipiens consentiens uero his quae sunt* Λr δὲ om. P τὰ AΛkr om. VP 4 ταττιανὸσ V φιλαδελφεὺσ AΛpicur φλαύιοσ V φλάβιοσ P om. Λk χειρὶ VP 5 Φιλαδελφέως Λpic Φιλαδελφείας Λu φιλαδελφεὺσ VP Φιλαδελφέων Λr om AΛk βουλευτοῦ A βουλευτὴσ VP 6—12 παρακαλέσας — προγεγραμμένα] τὰ ἑξῆσ A 6 παρακαλέσαντόσ μου P θεοφάνην V 7 δὲ om. P 8 καθὼς καὶ Λr 9 ἐπαναγνωσθείσησ VP ἐπωμοσάμην V 12 συμφωνεῖ μοι PΛpkr συμφωνῶ V in fine add. *Polychronius mutuatus sum manum* [*manum Eustathii* Λkr] Λpkr 13 εὐστάθιοσ μαρκέλλου [μαρκέλου P] AVPΛpicu *Flauius Marcellus* Λkr, sed cf finem Polychronii subscriptionis Φιλαδελφεύς om Λkr 14 θεοφάνην V 14—20 προσῆλθων — αὐστηρίαι] καὶ τὰ ἑξῆσ A 14/15 μου τῇ V 15 καὶ καθολικῇ Λr καὶ ὀρθοδόξω P *et orthodoxorum* Λp om VΛkr 17 καθὼσ καὶ V 19 εἰ δὲ Λk 20 καὶ — ἐμῇι om. V 21 εὔτυχοσ A δισφιλαδελφεὺσ AΛpkr διὰ φιλαδέλφου VP Φιλαδελφεύς Λicu 22 θεοφάνην V 22—27 προσῆλθον — αὐστηρίαι καὶ] καὶ τὰ ἑξῆσ A 22 μου τῇ V 23 καὶ καθολικῇ V καὶ ὀρθοδόξω Λp τῇ ὀρθοδόξω P om. VΛkr ἀναθεματίζω μὲν V 25 ἐξομνύμενοσ Λkr 26 εἰ δὲ Λkr 27 με om. P αὐστηρότητι P 27/28 καὶ — ἐμῇι om. V 29—p. 103, 20 om. V 29 ἀμμωνίου AΛcukr ἐμμονίου PΛpt φιλαδελφεὺσ AΛpicur φλάβιοσ P om. Λk 30 ἐπιφάνιον P 30—p. 103, 4 προσῆλθον — αὐστηρίαι] καὶ τὰ ἑξῆσ A 31 τῶν ὀρθοδόξων om. Λpkr

τεσσαρεσκαιδεκατιτῶν καὶ τοὺς μὴ ποιοῦντας τὴν ἁγίαν ἡμέραν τοῦ πάσχα καθὼς οἱ ὀρθόδοξοι καὶ ἐξωμοσάμην τὴν ἁγίαν τριάδα καὶ τὴν εὐσέβειαν τῶν φιλοχρίστων βασιλέων Φλαυίου Θεοδοσίου καὶ Φλαυίου Οὐαλεντινιανοῦ τῶν αἰωνίων αὐγούστων, εἰ παρασαλεύσω τι τῶν προγεγραμμένων, ὑποκεῖσθαί με τῇι τῶν νόμων αὐστηρίαι. καὶ ὑπέγραψα διὰ τοῦ ἐγγόνου μου Ἀλεξάνδρου διὰ τὸ μὴ εἰδέναι με γράμματα.

23 Θεοδώρητος καὶ Ἀλέξανδρος καὶ Φιλάδελφος ὑπογράψαντες δι' ἑνὸς ἡμῶν τοῦ Ἀλεξάνδρου, ἐπιγνόντες τὴν ὀρθοδοξίαν καὶ παρακαλέσαντες τὸν ἁγιώτατον ἐπίσκοπον Θεοφάνιον, προσήλθομεν τῇι ἁγίαι τοῦ θεοῦ καθολικῇι καὶ ἀποστολικῇι ἐκκλησίαι τῶν ὀρθοδόξων καὶ ἀναθεματίζομεν πᾶσαν αἵρεσιν, ἐξαιρέτως δὲ τὴν τῶν λεγομένων Καθαρῶν καὶ τοὺς μὴ ποιοῦντας τὴν ἁγίαν ἡμέραν τοῦ πάσχα καθὼς οἱ ὀρθόδοξοι καὶ ἐξωμοσάμεθα τὴν ἁγίαν τριάδα καὶ τὴν εὐσέβειαν καὶ νίκην τῶν δεσποτῶν τῆς οἰκουμένης Φλαυίου Θεοδοσίου καὶ Φλαυίου Οὐαλεντινιανοῦ τῶν αἰωνίων αὐγούστων, εἰ παρασαλεύσομέν τι τῶν προγεγραμμένων, ὑποκεῖσθαι ἡμᾶς τῇι τῶν νόμων αὐστηρίαι. καὶ ὑπαναγνωσθείσης ἡμῖν τῆς ἐκθέσεως ταύτης, ὑπεγράψαμεν.

24 Μαρῖνος Εὐηθίου χεῖρα χρησάμενος παρὰ Νεωτερίου ἀναγνώστου τῶν ὀρθοδόξων, ἐπιγνοὺς τὴν ὀρθοδοξίαν καὶ παρακαλέσας τὸν ἁγιώτατον ἐπίσκοπον Θεοφάνιον, προσῆλθον τῇι ἁγίαι καθολικῇι καὶ ἀποστολικῇι ἐκκλησίαι καὶ ἀναθεματίζω πᾶσαν αἵρεσιν καὶ τοὺς μὴ ποιοῦντας τὴν ἡμέραν τοῦ πάσχα καθὼς οἱ ὀρθόδοξοι· ἐξωμοσάμην τὸν θεῖον ὅρκον, καὶ εἰ παρασαλεύσω τι τῶν προγεγραμμένων, ὑποκεῖσθαί με τῇι τῶν νόμων αὐστηρίαι. καὶ ὑπέγραψα.

25 Παδίκιος Φιλαδελφεὺς ὑπέγραψα χειρὶ ἐμῆι· ἐπιγνοὺς τὴν ὀρθοδοξίαν καὶ παρακαλέσας τὸν ἁγιώτατον ἐπίσκοπον Θεοφάνιον, προσῆλθον τῇι ἁγίαι τοῦ θεοῦ καθολικῇι καὶ ἀποστολικῇι τῶν ὀρθοδόξων ἐκκλησίαι καὶ ἀναθεματίζω πᾶσαν αἵρεσιν, ἐξαιρέτως δὲ τὴν τῶν τεσσαρεσκαιδεκατιτῶν καὶ τοὺς μὴ ποιοῦντας τὴν ἁγίαν ἡμέραν τοῦ πάσχα καθὼς οἱ ὀρθόδοξοι καὶ ἐξωμοσάμην τὸν σεβάσμιον ὅρκον, εἰ παρασαλεύσω τι τῶν προγεγραμμένων, ὑποκεῖσθαί με τῇι τῶν νόμων αὐστηρίαι. καὶ ὑπαναγνωσθείσης μοι τῆς ἐκθέσεως, ὑπέγραψα χειρὶ ἐμῆι.

26 Κυριακὸς Φιλαδελφεύς, τῆς τῶν Ναυατιανῶν αἱρέσεως, ἐπιγνοὺς τὴν ὀρθοδοξίαν καὶ παρακαλέσας τὸν ἁγιώτατον ἐπίσκοπον Θεοφάνιον, προσῆλθον τῇι ἁγίαι τοῦ θεοῦ καθολικῇι τῶν ὀρθοδόξων ἐκκλησίαι καὶ ἀναθεματίζω πᾶσαν αἵρεσιν, ἐξαιρέτως δὲ τὴν τῶν Καθαρῶν καὶ ἐξωμοσάμην τὸν σεβάσμιον ὅρκον, εἰ παρασαλεύσω τι τῶν προγεγραμμένων, ὑποκεῖσθαί με τῇι τῶν νόμων αὐστηρίαι. καὶ ὑπαναγνωσθείσης μοι τῆς ἐκθέσεως ταύτης, ὑπέγραψα διὰ Εὐσεβίου τοῦ Καλλιοπίου Σύρου.

27 Εὐξένιος Φιλαδελφεύς, Ναυατιανός, ἐπιγνοὺς τὴν ὀρθοδοξίαν καὶ παρακαλέσας τὸν ἁγιώτατον ἐπίσκοπον Θεοφάνιον, προσελθὼν τῇι ἁγίαι τοῦ θεοῦ καθολικῇι τῶν ὀρθοδόξων

A, V [inde a 21 usque ad 24 τῶν τεσσαρεσκαιδεκατιτῶν], PΛp(teu)kr

2 ἐξομοσάμενος Λk βασιλέων ἡμῶν Λr 3 εἰ δὲ Λr 5 ἐγγόνου μου A ἐνόμου P 6 *Theodorus* Λcr φιλάδελφοσ PΛkr φιλαδελφεύσ AΛteu utrumque in Λp 8—14 προσήλθομεν — ὑπεγράψαμεν] καὶ τὰ ἑξῆσ A 12 εἰ δὲ Λkr 15 μαρῖνοσ PΛptcukr μαριανὸσ A εὐηθίου AΛptcukr συνθίου P χειρὶ P νεωτερίου PΛkr νεωρίου AΛteu utrumque in Λp 16—20 προσῆλθον — ὑπεγραψα] καὶ τὰ ἑξῆσ A 17 αἵρεσιν PΛpteu αἵρεσιν ἐξαιρέτως δὲ τὴν τῶν τεσσαρεσκαιδεκατιτῶν Λkr 18 καὶ ἐξωμοσάμην Λkr 21 ὑπέγραψα VPΛpkr ὑπογράψασ A 22 ὀρθόδοξον καὶ ἁγιώτατον V θεοφάνην V 22—27 προσῆλθον — ἐμῆι] καὶ τὰ ἑξῆσ A 23 τῶν ὀρθοδόξων om. V 24—p. 104, 14 καὶ τοὺς μὴ — τῶν τεσσαρεσκαιδεκατιτῶν om. V 25 ἐξομνύμενος Λkr 29—32 προσῆλθον — ταύτης] καὶ τὰ ἑξῆσ A 30 τῶν ὀρθοδόξων om. Λpk 31 εἰ δὲ Λr 34 εὐξένιοσ APΛpu Rusticus in nota *Auxonius* Λtckr ναυατιανὸσ PΛckr ναυάτοσ A *nauta* Λptu 35—p. 104, 2 προσελθὼν — προγεγραμμένων] καὶ τὰ ἑξῆσ A 35 τῶν ὀρθοδόξων om. Λk

ἐκκλησίαι, ἀναθεματίζω πᾶσαν αἵρεσιν καὶ ἐξωμοσάμην τὸν σεβάσμιον ὅρκον μὴ παρασαλεῦσαί τι τῶν προγεγραμμένων. καὶ ὑπέγραψα χειρὶ ἐμῇι.

28 Διομήδης οἰκῶν ἐν κώμηι Κάκκαβα, ἐπιγνοὺς τὴν ὀρθόδοξον πίστιν καὶ παρακαλέσας τὸν ἁγιώτατον ἐπίσκοπον Θεοφάνιον, προσῆλθον ἑκουσίαι τῆι ἐμαυτοῦ γνώμηι καὶ αὐθαιρέτωι προαιρέσει τῆι ἁγίαι καθολικῆι καὶ ἀποστολικῆι ἐκκλησίαι καὶ ἀναθεματίζω πᾶσαν αἵρεσιν, ἐξαιρέτως δὲ τὴν τῶν τεσσαρεσκαιδεκατιτῶν, εἰς ἣν τὸ πρὶν ἐπλανώμην, καὶ ἐξόμνυμι τὴν ἁγίαν καὶ ὁμοούσιον τριάδα καὶ τὴν νίκην καὶ εὐσέβειαν τῶν δεσποτῶν τῆς οἰκουμένης ἐμμεῖναί με τοῖς προγεγραμμένοις καὶ μὴ παρασαλεῦσαί τι, ἀλλ' ἐν πᾶσι διαφυλάττειν ἐμμένοντα τῆι ορθοδόξωι πίστει· εἰ δὲ φανείην ποτὲ παρασαλεύων τι τῶν προγεγραμμένων, ὑποκεῖσθαί με τῆι τῶν νόμων αὐστηρίαι. ἐπακούσας τῆς ἐκθέσεως ὑπέγραψα χειρὶ ἐμῆι.

29 Ἰουλιανὸς δὶς Φιλαδελφεύς, ἐπιγνοὺς τὴν ὀρθοδοξίαν, προσῆλθον τῆι ἁγίαι τοῦ θεοῦ καθολικῆι τῶν ὀρθοδόξων ἐκκλησίαι καὶ ἀναθεματίζω πᾶσαν αἵρεσιν, ἐξαιρέτως δὲ τὴν τῶν τεσσαρεσκαιδεκατιτῶν καὶ ἐξόμνυμι τὸν σεβάσμιον ὅρκον καὶ τὴν εὐσέβειαν τῶν φιλοχρίστων βασιλέων, εἰ παρασαλεύσω τι τῶν προγεγραμμένων, ὑποκεῖσθαί με τῆι τῶν νόμων αὐστηρίαι. καὶ ἀρεσθεὶς ὑπέγραψα διὰ Μαρτυρίου ἀναγνώστου.

30 Εὐτύχιος χωρίου Αὔλακος, ἔξαρχος τῆς τῶν τεσσαρεσκαιδεκατιτῶν αἱρέσεως, ἐπιγνοὺς τὴν ἀληθῆ πίστιν τῆς ὀρθοδοξίας καὶ παρακαλέσας τὸν ἁγιώτατον ἐπίσκοπον Θεοφάνιον καὶ τὸν εὐλαβέστατον χωρεπίσκοπον Ἰάκωβον καὶ τὸν εὐλαβέστατον πρεσβύτερον καὶ οἰκονόμον Χαρίσιον, προσῆλθον τῆι ἁγίαι καθολικῆι ἐκκλησίαι καὶ ἀναθεματίζω πᾶσαν αἵρεσιν, ἐξαιρέτως δὲ τὴν τῶν τεσσαρεσκαιδεκατιτῶν, εἰς ἣν τὸ πρότερον ἐπλανώμην, καὶ συντίθεμαι τῆι προγεγραμμένηι ἐκθέσει τῆς ὀρθοδόξου πίστεως, ἀναθεματίζων καὶ τοὺς μὴ ποιοῦντας τὴν ἁγίαν ἡμέραν τοῦ πάσχα καθὼς ἡ ἁγία καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία ποιεῖ, ἐξομνύμενος τὴν ἁγίαν καὶ ὁμοούσιον τριάδα καὶ τὴν εὐσέβειαν καὶ νίκην τῶν δεσποτῶν τῆς οἰκουμένης Φλαυίου Θεοδοσίου καὶ Φλαυίου Οὐαλεντινιανοῦ τῶν αἰωνίων αὐγούστων· εἰ δέ τι τούτων παρασαλεύσω ποτέ, ὑποκεῖσθαί με τῆι τῶν νόμων αὐστηρίαι. καὶ ὑπέγραψα χειρὶ ἐμῆι.

31 Πατρίκιος δευτερόπρεσβυς κώμης Παραδιοξύλου, χεῖρα χρησάμενος παρὰ Μαξίμου τοῦ συμπρεσβυτέρου διὰ τὸ ἐμὲ γράμματα μὴ εἰδέναι, ἐπιγνοὺς τὴν ἀληθῆ πίστιν τῆς ὀρθοδοξίας καὶ παρακαλέσας τὸν ἁγιώτατον καὶ θεοφιλέστατον ἐπίσκοπον Θεοφάνιον καὶ τὸν εὐλαβέ-

---

A, V [inde a 14 καὶ ἐξόμνυμι], PΛp(icu)kr

1 post αἵρεσιν add. *praecipue autem Nauatianorum et consentio cum omni domo mea praescriptae expositioni catholicae fidei* Λkr 1/2 ἐξωμοσάμην — ἐμῆι PΛp *iurans uenerabili sacramento sanctam et homousion trinitatem et pietatem et uictoriam dominorum imperatorum Flauii Theodosii et Flauii Valentiniani perpetuorum augustorum, si autem aliquid horum praeuaricatus fuero, subiacere me cum omni domo mea legum seueritati. et perlecta mihi expositione et conplacens subscripsi manu mea* Λkr sed adnotat Rusticus: *codices Graeci solum habent: et iuraui uenerabili sacramento non praeuaricari aliquid supra scriptorum et suscripsi manu mea* 3 ὀρθόδοξον πίστιν P ὀρθοδοξίαν A 4—10 προσῆλθον — ἐκθέσεως] καὶ τὰ ἑξῆς A 5 ἁγίαι τοῦ θεοῦ Λkr ἀποστολικῆι τῶν ὀρθοδόξων Λpkr 8/9 ἀλλ' — ἐμμένοντα om. Λk 9/10 τῶν προγεγραμμένων P *eorum quae mihi placent* Λr om. Λk 10/11 καὶ ὑπέγραψα A 12 δὶς om. PΛicu φιλαδελφεὺς AΛkr φιλαδελφεὺς τεσσαρεσκαιδεκατίτης P 13 καθολικῆι om. Λkr ἐκκλησία τῶν ὀρθοδόξων A ἐκκλησίαι Λp 13—15 καὶ ἀναθεματίζω — αὐστηρίαι] καὶ τὰ ἑξῆς A 14 ἐπόμνυμαι V τὸν σεβάσμιον ὅρκον PΛpr *per sanctam trinitatem* Λk 14/15 καὶ — βασιλέων om. Λpkr 15 εἰ δὲ Λr 16 ἀρεσθεὶς om. A *aegrotans* Λp 17 χωρίου AVPΛptu *chorepiscopus* Λckr 18 θεοφάνην V 19 ἐπίσκοπον VΛp 19/20 χαρίσιον καὶ οἰκονόμον V 20 ἁγία APΛk ἁγίαι καὶ Λr ἁγιωτάτη τοῦ θεοῦ καὶ V 20—26 καὶ ἀναθεματίζω — αὐστηρίαι] καὶ τὰ ἑξῆς A 23 *sicut et* Λk 24 τῶν — οἰκουμένης VΛpkr τῶν φιλοχρίστων βασιλέων P 25 τούτων τί V 26 ποτὲ PΛr om. VΛpk καὶ — ἐμῆι om. V 27 δευτεροπρέσβυς A δεύτερος πρεσβύτερος VP *presbyter* Λptcukr χειρὶ V 28 συμπρεσβυτέρου AΛpkr πρεσβυτέρου k συμπρεσβυτέρου μου Vh *chorepiscopi* Λc om. Λtu γραμματά με V 29 ἁγιώτατον καὶ om. V καὶ θεοφιλέστατον om. Λk 29—p. 105, 1 θεοφάνιον — χωρεπίσκοπον om. P 29 θεοφάνην V

στατον χωρεπίσκοπον Ἰάκωβον καὶ τὸν εὐλαβέστατον πρεσβύτερον καὶ οἰκονόμον Χαρίσιον ἀξιώσας καὶ παρακαλέσας προσφάτως κοινωνῆσαι τῇ ἁγίαι τοῦ θεοῦ καθολικῇ ἐκκλησίαι τῆς τῶν ὀρθοδόξων πίστεως καὶ ἀναθεματίζω πᾶσαν αἵρεσιν, ἐξαιρέτως δὲ τὴν τῶν τεσσαρεσκαιδεκατιτῶν καὶ τοὺς μὴ ποιοῦντας τὴν ἡμέραν [τοῦ θεοῦ] τὴν ἁγίαν τοῦ πάσχα καθὼς ἡ καθολικὴ τοῦ θεοῦ ἐκκλησία, καὶ ἐξωμοσάμην τὴν ἁγίαν καὶ ζωοποιὸν τριάδα καὶ τὴν εὐσέβειαν καὶ νίκην τῶν δεσποτῶν τῆς οἰκουμένης Φλαυίου Θεοδοσίου καὶ Φλαυίου Οὐαλεντινιανοῦ τῶν αἰωνίων αὐγούστων· εἰ δέ τι τούτων παρασαλεύσω, ὑποκείσομαι τῇ τῶν νόμων αὐστηρίαι.

82 Ζήνων χωρίου Σαγαρίου Πυθᾶ, τῆς τῶν τεσσαρεσκαιδεκατιτῶν αἱρέσεως, ἐπιγνοὺς τὴν ἀληθῆ πίστιν τῆς ὀρθοδοξίας καὶ παρακαλέσας τὸν ἁγιώτατον ἐπίσκοπον Θεοφάνιον καὶ τὸν εὐλαβέστατον χωρεπίσκοπον Ἰάκωβον καὶ τὸν εὐλαβέστατον πρεσβύτερον καὶ οἰκονόμον Χαρίσιον, προσῆλθον τῇ ἁγίαι καὶ καθολικῇ ἐκκλησίαι καὶ ἀναθεματίζω πᾶσαν αἵρεσιν, ἐξαιρέτως δὲ τὴν τῶν τεσσαρεσκαιδεκατιτῶν, εἰς ἣν τὸ πρότερον ἐπλανώμην, καὶ συντίθεμαι τῇ προγεγραμμένῃ ἐκθέσει τῆς ὀρθοδοξίας, ἀναθεματίζων καὶ τοὺς μὴ ποιοῦντας τὴν ἁγίαν ἡμέραν τοῦ πάσχα καθὼς ἡ ἁγία καθολικὴ ἐκκλησία ποιεῖ, ἐξομνύμενος τὴν ἁγίαν καὶ ὁμοούσιον τριάδα καὶ τὴν εὐσέβειαν καὶ νίκην τῶν δεσποτῶν τῆς οἰκουμένης Φλαυίου Θεοδοσίου καὶ Φλαυίου Οὐαλεντινιανοῦ τῶν αἰωνίων αὐγούστων· εἰ δέ τι τούτων παρασαλεύσω ποτέ, ὑποκεῖσθαί με τῇ τῶν νόμων αὐστηρίαι. τὴν δὲ χεῖρα ἔχρησα ὑπὲρ αὐτοῦ Φλαύιος Παλλάδιος διὰ τὸ αὐτὸν παρόντα λέγειν γράμματα μὴ εἰδέναι.

77 Τούτων τοίνυν ἀναγνωσθέντων, ὥρισεν ἡ ἁγία σύνοδος ἑτέραν πίστιν μηδενὶ ἐξεῖναι L III 689
προφέρειν ἢ γοῦν συγγράφειν ἢ συντιθέναι παρὰ τὴν ὁρισθεῖσαν παρὰ τῶν ἁγίων πατέρων
τῶν ἐν τῇ Νικαέων συναχθέντων σὺν ἁγίωι πνεύματι· τοὺς δὲ τολμῶντας ἢ συντιθέναι M IIII 1361
πίστιν ἑτέραν ἢ γοῦν προκομίζειν ἢ προφέρειν τοῖς ἐθέλουσιν ἐπιστρέφειν εἰς ἐπίγνωσιν
τῆς ἀληθείας ἢ ἐξ Ἑλληνισμοῦ ἢ ἐξ Ἰουδαισμοῦ ἢ γοῦν ἐξ αἱρέσεως οἱασδηποτοῦν, τούτους, εἰ μὲν εἶεν ἐπίσκοποι ἢ κληρικοί, ἀλλοτρίους εἶναι τοὺς ἐπισκόπους τῆς ἐπισκοπῆς

---

20 κανὼν τῆσ ἁγίασ συνόδου, δσ ἐν τοῖσ κανονικοῖσ βιβλίοισ ζ̄ ἐπιγέγραπται A in mg.

20—p. 106, 8 adfert Eutyches in florilegio 13

A, V [usque ad 8], PΛp(tcu)kr

1 χωρεπίσκοπον — εὐλαβέστατον om. VΛp χωρεπίσκοπον A *presbyterum* Λkr 2 καὶ παρακαλέσας om. V προσφάτωσ AΛP προσῆλθον τοῦ VPΛkr καθολικῇ A καθολικῇ καὶ ἀποστολικῇ Λpkr om. VP 3 τῆς om. P τῆς et πίστεως om. Λp 3—8 καὶ ἀναθεματίζω — αὐστηρία] καὶ τὰ ἑξῆσ A 4 τοῦ θεοῦ om. Λpkr 5 τοῦ θεοῦ PΛkr καὶ ἀποστολικὴ V ἐξομνύμενοσ Λkr 8 in fine add. *et lecta mihi expositione et complacens suscripsi manu mea* Λkr 9—19 om. V 9 χωρίου APΛpu *chorepiscopus* Λtckr σαγαρίου AΛp σαγόρου P om. Λkr πυθᾶ AΛptcu om. PΛkr 10 τῆσ ὀρθοδοξίασ A τῶν ὀρθοδόξων PΛpkr 11 ἐπίσκοπον P 12 ἁγία καὶ A ἁγιωτάτη P *sanctissimam et* Λp *sanctam dei* [*dei et* Λr] *catholicam* Λkr 12—18 καὶ ἀναθεματίζω — αὐστηρίαι] καὶ τὰ ἑξῆσ A 15 ποιεῖ ἐκκλησία h 18 ποτέ om. Λk τὴν δὲ χεῖρα ἔχρησα AΛpkr τῇ δὲ χειρὶ ἐχρήσατο P

20—25 AVM, P [= hk], SDWΛptcukr et codices canonum [K = abcdeflpqr, t [usque ad inscriptionis finem, cetera exciderunt propter foliorum defectum], uy

inscr. ὅροσ VMPDW ὅροσ ὅροσ ὅροσ S διαλαλιὰ τῆσ αὐτῆσ [αὐτῆσ om. lrtu] ἁγίασ συνόδου ἐκφωνηθεῖσα μετὰ τὸ ἀναγνωσθῆναι [ἀναγνωσθεῖσα c] τὴν ἔκθεσιν [τὴν ἔ. om. c] τῶν τιη̄ ἁγίων πρω̄ν τῶν ἐν νικαίᾳ καὶ τὸ δυσσεβὲσ σύμβολον τὸ [τοῦ pqu] ὑπὸ [τὸ ὑπὸ om. y] τοῦ [om. abcdefltu] θεοδώρου τοῦ [τοῦ om. p] μοψουεστίασ [μομψουεστίασ abcdeftu, corr. a] παραπλασθὲν καὶ ὑπὸ χαρισίου πρεσβυτέρου φιλαδελφείασ ἐπιδοθὲν [ἐπιδοθὲν om. p] τῇ αὐτῇ κατὰ ἔφεσον ἁγίᾳ συνόδῳ K

20 νθ̄ V νς̄ P ζ̄ K 21 προσφέρειν SDW ἢ[2] καὶ W 22 τῇ om. lruy νικαίᾳ lr ἐν P ἢ om. l 23 προσφέρειν VMSDuΛr θέλουσιν K 24 γοῦν om. Vlr

καὶ τοὺς κληρικοὺς τοῦ κλήρου· εἰ δὲ λαικοὶ εἶεν, ἀναθεματίζεσθαι. κατὰ τὸν ἴσον δὲ τρόπον, εἰ φωραθείέν τινες εἴτε ἐπίσκοποι εἴτε κληρικοὶ εἴτε λαικοὶ ἢ φρονοῦντες ἢ διδάσκοντες τὰ ἐν τῇι προκομισθείσηι ἐκθέσει παρὰ Χαρισίου τοῦ πρεσβυτέρου περὶ τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ ἢ γοῦν τὰ μιαρὰ καὶ διεστραμμένα Νεστορίου δόγματα, ἃ καὶ ὑποτέτακται, ὑποκείσθωσαν τῇι ἀποφάσει τῆς ἁγίας ταύτης καὶ οἰκουμενικῆς συνόδου, ὥστε δηλονότι τὸν μὲν ἐπίσκοπον ἀλλοτριοῦσθαι τῆς ἐπισκοπῆς καὶ εἶναι καθηρημένον, τὸν δὲ κληρικὸν ὁμοίως ἐκπίπτειν τοῦ κλήρου· εἰ δὲ λαικός τις εἴη, καὶ οὗτος ἀναθεματιζέσθω καθὰ προείρηται.

Ἐκ τοῦ βιβλίου αὐτοῦ Νεστορίου τετράδος ιζ̄ εἰς δόγμα

Loofs, **78 1** Nestoriana p. 273, 18–274, 17

Gal. 4, 4

Gal. 4, 4

Gal. 4, 4

Ὅταν οὖν ἡ θεία γραφὴ μέλλῃι λέγειν ἢ γέννησιν τοῦ Χριστοῦ τὴν ἐκ τῆς μακαρίας παρθένου ἢ θάνατον, οὐδαμοῦ φαίνεται τιθεῖσα τὸ θεός, ἀλλ' ἢ Χριστός ἢ υἱός ἢ κύριος, ἐπειδὴ ταῦτα τὰ τρία τῶν φύσεων ἐστὶ σημαντικὰ τῶν δύο, ποτὲ μὲν ταύτης, ποτὲ δὲ ἐκείνης, ποτὲ δὲ ταύτης κἀκείνης. οἷόν τι λέγω, ὅταν τὴν ἐκ παρθένου γέννησιν ἡμῖν ἡ γραφὴ διηγῆται, τί λέγει; ἐξαπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ. οὐκ εἶπεν· ἐξαπέστειλεν ὁ θεὸς τὸν θεὸν λόγον, ἀλλὰ λαμβάνει τὸ ὄνομα τὸ μηνῦον τὰς φύσεις τὰς δύο. ἐπειδὴ γὰρ ὁ υἱὸς ἄνθρωπός ἐστι καὶ θεός, λέγει· ἐξαπέστειλε τὸν υἱὸν αὐτοῦ γενόμενον ἐκ γυναικός, ἵν' ὅταν ἀκούσηις τὸ γενόμενον ἐκ γυναικός, εἶτα ἴδηις τὸ ὄνομα προκείμενον τὸ μηνῦον τὰς φύσεις τὰς δύο, τὴν γέννησιν τὴν ἐκ τῆς μακαρίας παρθένου υἱοῦ μὲν καλῆις· υἱὸν γὰρ ἐγέννησε θεοῦ καὶ ἡ Χριστοτόκος παρθένος, ἀλλ' ἐπειδήπερ ὁ υἱὸς τοῦ θεοῦ διπλοῦς ἐστι κατὰ τὰς φύσεις, οὐκ ἐγέννησε μὲν τὸν υἱὸν τοῦ θεοῦ, ἀλλ' ἐγέννησε τὴν ἀνθρωπότητα, ἥτις ἐστὶν υἱὸς διὰ τὸν συνημμένον υἱόν.

Ὁμοίως τοῦ αὐτοῦ τετράδος κᾱ

Loofs, **2** Nestoriana p. 277, 19–278, 2

Mal. 4, 2

Βλέπε τὸ συμβαῖνον, αἱρετικέ. οὐ φθονῶ τῆς φωνῆς τῇι Χριστοτόκωι παρθένωι, ἀλλ' οἶδα σεβασμίαν τὴν δεξαμένην θεόν, δι' ἧς προῆλθεν ὁ τῶν ὅλων δεσπότης, δι' ἧς ἀνέλαμψεν ὁ τῆς δικαιοσύνης ἥλιος. πάλιν ὑποπτεύω τὸν κρότον· πῶς τὸ προῆλθεν ἐνοήσατε; οὐκ εἴρηταί μοι τὸ προῆλθεν ἀντὶ τοῦ ἐγεννήθη· οὐ γὰρ οὕτω ταχέως ἐπιλανθάνομαι τῶν ἰδίων. τὸ προελθεῖν τὸν θεὸν ἐκ τῆς Χριστοτόκου παρθένου παρὰ τῆς θείας ἐδιδάχθην γραφῆς, τὸ δὲ γεννηθῆναι θεὸν ἐξ αὐτῆς οὐδαμοῦ ἐδιδάχθην.

---

78 desumpta sunt excerpta ex gestis primae sessionis [= Ω] 10 = Cyrill. adu. Nest. 2, 2 23 cf. Cyrill. adu. Nest. 1, 2. V 128, 9

1—8 AVM, P [= hk], SDWΛptcukr et codices canonum [K = abcdeflpqruy]

1 λαικὸσ c δὲ[2] om. WΛptcu 2 κληρικοὶ — ἢ[1]] κληρικοὶ ἀλλοτρίουσ εἶναι τοὺσ ἐπισκόπουσ τῆσ ἐπισκοπῆσ καὶ τοὺσ κληρικούσ τοῦ κλήρου· εἰ δὲ λαικοὶ εἶεν ἀναθεματίζεσθαι ὡσαύτωσ δὲ V εἴτε λαικοὶ om. D ἢ[1] om. a 3 προσκομισθείσηι lpqΛkr τοῦ om. VMPSDW'd 4 μικρὰ cdeu τοῦ νεστορίου pqr 5 ἃ — ὑποτέτακται om. lr 6—8 ὥστε — προείρηται om. V 6 ἀπαλλοτριοῦσθαι de 7 ἐκπίπτειν ὁμοίωσ lr ἂν P τις om. df εἴη] ἢ P αὐτός Λr 8 καθὰ προείρηται om. lr καθὼσ SDdf εἴρηται de

ΑΛp, Λtc [usque ad 21], Λkr

9 τοῦ αὐτοῦ Λtc om. Λkr cf. Ω 10/11 *ex Maria uirgine* Λtc *ex uirgine Maria* Λkr cf Ω 14 τί om. Λk 16 ἀνθρώπου uaria lectio in Λp et Ω ἐξαπέστειλεν ὁ θεός Λpkr cf. Ω 17 *muliere factum sub lege* Λk 18 προκείμενον Λtckr προσκείμενον ΑΛp cf. Ω ἵνα τὴν γέννησιν Λpckr cf. Ω 19 υἱόν Λptckr cf. Ω ἢ] εἰ Λt 20 οὐκ om. Λp 25 τῆς δικαιοσύνης ὁ ἥλιος Ω 27 *quod procedere* Λk *nam procedere* Λr

3 Καὶ μεθ' ἕτερα· Οὐδαμοῦ τοίνυν ἡ θεία γραφὴ θεὸν ἐκ τῆς Χριστοτόκου παρθένου λέγει γεγεννῆσθαι, ἀλλὰ Ἰησοῦν Χριστὸν υἱὸν κύριον. ταῦτα πάντες ὁμολογῶμεν· ἃ γὰρ ἐδίδαξεν ἡ θεία γραφή, ἄθλιος ὁ μὴ εὐθὺς δεχόμενος. ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ. αὕτη τῶν ἀγγέλων ἡ φωνή· τάχα δὲ μᾶλλον σοῦ τὰ κατὰ τὴν γέννησιν ἤιδεσαν οἱ ἀρχάγγελοι. ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ. οὐκ εἶπεν· ἐγερθεὶς παράλαβε τὸν θεὸν καὶ τὴν μητέρα αὐτοῦ. Loofs, Nestoriana p. 278, 5-13 Mt. 2, 13

Ὁμοίως τοῦ αὐτοῦ τετράδος κδ

4 Ὅπερ οὖν ἐλέγομεν μὴ φοβηθῆις παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου· τὸ γὰρ ἐν αὐτῆι γεννηθέν εἴτε διὰ τοῦ ἑνὸς νῦ εἴτε διὰ τῶν δύο, τῶι νοήματι οὐδὲν λυμαίνεται (τὸ γὰρ ἐν αὐτῆι τεχθὲν ἐκ πνεύματός ἐστιν ἁγίου), ἐὰν δὲ εἴπωμεν ὅτι ὁ θεὸς λόγος ἐγεννήθη ἐν τῆι γαστρί. ἄλλο γάρ ἐστι τὸ συνεῖναι τῶι γεννωμένωι καὶ ἄλλο τὸ γεννᾶσθαι. τὸ γὰρ ἐν αὐτῆι, φησί, γεννηθὲν ἐκ πνεύματός ἐστιν ἁγίου, τουτέστι τὸ πνεῦμα τὸ ἅγιον ἔκτισε τὸ ἐν αὐτῆι. εἶδον οὖν οἱ πατέρες, ὡς ἐπιστήμονες τῶν θείων γραφῶν, ὅτι ἐὰν ἐπὶ τοῦ σαρκωθέντος θῶμεν τὸ γεννηθέντα, εὑρίσκεται ἡ υἱὸς τοῦ πνεύματος ὁ θεὸς λόγος ἢ δύο πατέρας ἔχων, ἢ διὰ τοῦ ἑνὸς νῦ εὑρεθήσεται ὁ θεὸς λόγος κτίσμα τοῦ πνεύματος ὤν. φεύγοντες οὖν τὴν τῆς γεννήσεως λέξιν, ἔθηκαν >τὸν κατελθόντα δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν καὶ σαρκωθέντα<. τί ἐστι σαρκωθέντα; οὐ τραπέντα ἀπὸ τῆς θεότητος εἰς σάρκα· τῶι σαρκωθέντα ἐκ πνεύματος ἁγίου ἠκολούθησαν τῶι εὐαγγελιστῆι. καὶ γὰρ ὁ εὐαγγελιστὴς ἐλθὼν εἰς τὴν ἐνανθρώπησιν ἔφυγε γέννησιν εἰπεῖν ἐπὶ τοῦ λόγου καὶ τέθεικε σάρκωσιν. ποῦ; ἄκουσον· καὶ ὁ λόγος σὰρξ ἐγένετο. οὐκ εἶπεν· ὁ λόγος διὰ σαρκὸς ἐγεννήθη· ὅπου μὲν γὰρ μνημονεύουσιν ἢ οἱ ἀπόστολοι ἢ οἱ εὐαγγελισταὶ τοῦ υἱοῦ, τιθέασιν ὅτι ἐγεννήθη ἐκ γυναικός. πρόσεχε τῶι λεγομένωι, παρακαλῶ. ὅπου λέγουσι τὸ ὄνομα τοῦ υἱοῦ καὶ ὅτι ἐγεννήθη ἐκ γυναικός, τιθέασι τὸ ἐγεννήθη· ὅπου δὲ μνημονεύουσι τοῦ λόγου, οὐδεὶς αὐτῶν ἐτόλμησεν εἰπεῖν γέννησιν διὰ τῆς ἀνθρωπότητος. ἄκουε· ὁ μακάριος εὐαγγελιστὴς Ἰωάννης ἐλθὼν εἰς τὸν λόγον καὶ τὴν ἐνανθρώπησιν τὴν αὐτοῦ, ἄκουσον οἷά φησιν· ὁ λόγος σὰρξ ἐγένετο, τουτέστιν ἀνέλαβε σάρκα, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, τουτέστι τὴν ἡμετέραν ἐνεδύσατο φύσιν ‹καὶ› ἐνώικησεν ἐν ἡμῖν, καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, τοῦ υἱοῦ. οὐκ εἶπεν· ἐθεασάμεθα τὴν γέννησιν τοῦ λόγου. Loofs, Nestoriana p. 285, 24-287, 21 Mt. 1, 20 Ioh. 1, 14 Ioh. 1, 14

Ὁμοίως τοῦ αὐτοῦ τετράδος ιε εἰς δόγμα

5 Οὕτω καὶ τὸν κατὰ σάρκα Χριστὸν ἐκ τῆς πρὸς τὸν θεὸν λόγον συναφείας θεὸν ὀνομάζομεν, τὸ φαινόμενον εἰδότες ὡς ἄνθρωπον. ἄκουσον ἀμφότερα τοῦ Παύλου κηρύττοντος· ἐξ Ἰουδαίων, φησίν, ὁ Χριστὸς τὸ κατὰ σάρκα ὁ ὢν ἐπὶ πάντων θεός. ὁμολογεῖ τὸν ἄνθρωπον πρότερον καὶ τότε τῆι τοῦ θεοῦ συναφείαι θεολογεῖ τὸ φαινόμενον, ἵνα μηδεὶς ἀνθρωπολάτρην τὸν Χριστιανισμὸν ὑποπτεύηι. Loofs, Nestoriana p. 248, 10-249, 1 Rom. 9, 5

---

19 ἠκολούθησαν — 27 ἐγένετο = Cyrill. adu. Nest. 1, 8 31 inde ab 32 ἄκουσον = Cyrill. adu. Nest. 2, 14

ΑΛpkr(Ω)

2 γεγενῆσθαι A ὁμολογῶμεν Λp ὁμολογοῦμεν ΑΛkr cf. Ω 7 ὁμοίως om. Λp ut solet κδ ΑΛr κα Λk XXVIIII Λp 10 ἐὰν δὲ Λkr ἐὰν ΑΛp 11 ἐστι ΑΛp om. Λkr cf. Ω 15. 16 *spiritus sancti* Λpkr 17 δι' ἡμᾶς — καὶ[1] om. Λp 18 τῆς om. Ω τῶι σαρκωθέντα] *incarnatum enim* Λkr 22 υἱοῦ οὐ Λp 28 καὶ[1] Λpkr om. A cf. Ω 30 τοῦ αὐτοῦ om. Λk εἰς δόγμα om. Λp cf. Ω 32 τὸ ΑΛkr τὸν Λp cf. Ω 33 *Christum* Λpkr cf. Ω 34 ὁμολόγει Λk θεολόγει Λk τὸ ΑΛkr τὸν Λp cf. Ω 35 *Christum* Λk

Ὁμοίως τοῦ αὐτοῦ τετράδος κζ

Loofs, Nestoriana p. 289, 6-15; Exod. 7, 1; Exod. 4, 22; 1 Reg. 24, 7; Ies. 45, 1; Ies. 13, 3

Ἀλλ' ὥσπερ ἐλέγομεν θεὸν τὸν πάντων δημιουργὸν καὶ θεὸν τὸν Μωυσέα (θεὸν γάρ φησι τέθεικά σε τοῦ Φαραώ) καὶ υἱὸν τὸν Ἰσραὴλ τοῦ θεοῦ (υἱὸς γάρ φησι πρωτότοκός μου Ἰσραήλ) καὶ ὥσπερ ἐλέγομεν Χριστὸν τὸν Σαούλ (οὐ μὴ γάρ φησιν ἐπιβάλω τὴν χεῖρά μου ἐπ' αὐτόν, ὅτι Χριστὸς κυρίου ἐστίν) καὶ τὸν Κῦρον ὡσαύτως (τάδε λέγει φησὶ κύριος τῷι Χριστῷι μου Κύρωι) καὶ τὸν Βαβυλώνιον ἅγιον (ἐγὼ γάρ φησι συντάξω αὐτοῖς· ἡγιασμένοι εἰσὶ κἀγὼ ἄγω αὐτούς), οὕτω λέγομεν καὶ τὸν δεσπότην Χριστὸν καὶ θεὸν καὶ υἱὸν καὶ ἅγιον καὶ Χριστόν· ἀλλ' ἡ μὲν κοινωνία τῶν ὀνομάτων ὁμοία, οὐχ ἡ αὐτὴ δὲ ἀξία.

Ὁμοίως τοῦ αὐτοῦ τετράδος ιε

Loofs, Nestoriana p. 254, 5-12; Phil. 2, 5. 7

Τοῦτο φρονείσθω ἐν ὑμῖν ὃ καὶ ἐν Χριστῷι Ἰησοῦ, ὃς ἐν μορφῇι θεοῦ ὑπάρχων ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών. οὐκ εἶπε· τοῦτο φρονείσθω ἐν ὑμῖν ὃ καὶ ἐν τῷι θεῷι λόγωι, ὃς ἐν μορφῇι θεοῦ ὑπάρχων μορφὴν δούλου ἔλαβεν· ἀλλὰ λαβὼν τὸ Χριστός ὡς τῶν δύο φύσεων προσηγορίαν σημαντικήν, ἀκινδύνως αὐτὸν καὶ δούλου μορφήν, ἣν ἔλαβε, καὶ θεὸν ὀνομάζει, τῶν λεγομένων εἰς τὸ τῶν φύσεων ἀληπτως μεριζομένων διπλοῦν.

Ὁμοίως τοῦ αὐτοῦ τετράδος ις

Loofs, Nest. p. 261, 20-262, 6; Phil. 2, 10. 11

Ἵνα ἐν τῷι ὀνόματι Ἰησοῦ, φησί, πᾶν γόνυ κάμψηι ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται ὅτι κύριος Ἰησοῦς Χριστός. διὰ τὸν φοροῦντα τὸν φορούμενον σέβω· διὰ τὸν κεκρυμμένον προσκυνῶ τὸν φαινόμενον. ἀχώριστος τοῦ φαινομένου θεός· διὰ τοῦτο τοῦ μὴ χωριζομένου τὴν τιμὴν οὐ χωρίζω. χωρίζω τὰς φύσεις, ἀλλ' ἑνῶ τὴν προσκύνησιν.

Ὁμοίως τοῦ αὐτοῦ τετράδος ιζ εἰς δόγμα

Loofs, Nestoriana p. 275, 1-11

Ἦν μὲν γὰρ ὁ θεὸς λόγος καὶ πρὸ τῆς ἐνανθρωπήσεως καὶ υἱὸς καὶ θεὸς καὶ συνὼν τῷι πατρί, ἀνέλαβε δὲ ἐν ὑστέροις καιροῖς τὴν τοῦ δούλου μορφήν. ἀλλ' ὢν πρὸ τούτου υἱὸς καὶ καλούμενος, μετὰ τὴν ἀνάληψιν οὐ δύναται καλεῖσθαι κεχωρισμένος υἱός, ἵνα μὴ δύο υἱοὺς δογματίσωμεν· ἀλλ' ἐπειδήπερ ἐκείνωι συνῆπται τῷι ἐν ἀρχῇι ὄντι υἱῷι τῷι πρὸς αὐτὸν συναφθέντι, οὐ δύναται κατὰ τὸ ἀξίωμα τῆς υἱότητος διαίρεσιν δέξασθαι, κατὰ τὸ ἀξίωμα φημὶ τῆς υἱότητος, οὐ κατὰ τὰς φύσεις. διὰ τοῦτο καὶ Χριστὸς ὁ θεὸς λόγος ὀνομάζεται, ἐπειδήπερ ἔχει τὴν συνάφειαν τὴν πρὸς τὸν Χριστὸν διηνεκῆ.

Ὁμοίως τοῦ αὐτοῦ τετράδος ιε εἰς δόγμα

Loofs, Nestoriana p. 249, 1-4

Ἀσύγχυτον τοίνυν τὴν τῶν φύσεων τηρῶμεν συνάφειαν· ὁμολογῶμεν τὸν ἐν ἀνθρώπωι θεόν· σέβωμεν τὸν τῆι θείαι συναφείαι τῶι παντοκράτορι θεῶι συμπροσκυνούμενον ἄνθρωπον.

---

2 = Cyrill. adu. Nest. 2, 4 11 = Coll. Pall. 29, 9 18 [nsque ad 21 φαινόμενον] cf. Cyrill. adu. Nest. 2, 11. 12 20—22 redeunt in 15 24 = Cyrill. adu. Nestor. 2, 8. V 128, 11 32 = Cyrill. adu. Nestor. 2, 14. V 128, 11

ΑΛpkr(Ω)

4 ἐλέγομεν ΑΛkr λέγομεν Λp 7 ἡγιασμένοι εἰσὶ ΑΛkr ἡγιασμένοις Λp 8 καὶ χν ΑΛkr om. Λp 11. 12 φρονείσθω ΑΛkr φρονεῖτε Λp cf. Ω 18/19 καὶ ἐπιγείων Ω ἐπιγείων A 20 τὸν φορούμενον ΑΛpr *indumentum* Λk cf. Ω 21 ἀχώριστος γὰρ Λkr 23 εἰς δόγμα om. Λk 24 καὶ υἱὸσ A υἱὸς Λpkr cf. Ω 26 κεχωρισμένοσ Λpkr κεχωρισμένωσ A cf. Ω 27 ὄντω A 31 εἰς δόγμα om. Λp 32/33 τηροῦμεν — ὁμολογοῦμεν — σέβομεν Λk

Ὁμοίως τοῦ αὐτοῦ τετράδος ς̄

11 Σκόπει καὶ τὸ τούτοις εὐθὺς συναπτόμενον· ἵνα ἐλεήμων, φησί, γένηται καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν θεόν. ἐν ᾧι γὰρ πέπονθεν αὐτὸς πειρασθείς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι. οὐκοῦν ὁ παθὼν ἀρχιερεὺς ἐλεήμων· παθητὸς δὲ ὁ ναός, οὐχ ὁ ζωοποιὸς τοῦ πεπονθότος θεός. Loofs, Nestoriana p. 234, 10-16 Hebr. 2, 17. 18 5

Ὁμοίως τοῦ αὐτοῦ τετράδος κζ̄

12 Ἵνα μάθητε, φησίν, ὡς σφοδρά τις τῆς θεότητος ὑπῆρχε συνάφεια, καὶ ἐν βρέφει τῆς δεσποτικῆς καθορωμένης σαρκός. ἦν γὰρ ὁ αὐτὸς καὶ βρέφος καὶ τοῦ βρέφους δεσπότης. ἐπηνέσατε τὴν φωνήν· ἀλλὰ μηδὲ αὐτὴν ἀβασανίστως κροτεῖτε. εἶπον γάρ· ὁ αὐτὸς ἦν βρέφος καὶ τοῦ βρέφους οἰκήτωρ. Loofs, Nestoriana p. 292, 1-6 10

Ὁμοίως τοῦ αὐτοῦ τετράδος ᾱ

13 Κοιναὶ γὰρ αἱ τῆς τριάδος ἐνέργειαι καὶ μόναις ὑποστάσεσι τὴν διαίρεσιν ἔχουσαι. ἡ γοῦν τοῦ μονογενοῦς εὐδοξία ποτὲ μὲν τῶι πατρὶ περιῆπται (ἔστι γάρ φησιν, ὁ πατήρ μου ὁ δοξάζων με), ποτὲ δὲ τῶι πνεύματι (τὸ πνεῦμα γάρ φησι, τῆς ἀληθείας ἐμὲ δοξάσει), ποτὲ δὲ τῆι Χριστοῦ δυναστείαι. Loofs, Nestoriana p. 225, 13-18 Ioh. 8, 54 Ioh. 16, 13. 14 15

Ὁμοίως τοῦ αὐτοῦ τετράδος ις̄

14 Περὶ τοῦ Ἰησοῦ λέγων· Οὗτος ὁ λέγων· θεέ μου, θεέ μου, ἵνα τί με ἐγκατέλιπες; οὗτος ὁ τριήμερον τελευτὴν ὑπομείνας· προσκυνῶ δὲ σὺν τῆι θεότητι τοῦτον ὡς τῆς θείας συνεργὸν αὐθεντίας. Loofs, Nest. p. 260, 4-7 Mt. 27, 46

15 Καὶ μεθ' ἕτερα· Διὰ τὸν φοροῦντα τὸν φορούμενον σέβω· διὰ τὸν κεκρυμμένον προσκυνῶ τὸν φαινόμενον. ἀχώριστος τοῦ φαινομένου θεός· διὰ τοῦτο τοῦ μὴ χωριζομένου τὴν τιμὴν οὐ χωρίζω. χωρίζω τὰς φύσεις, ἀλλ' ἑνῶ τὴν προσκύνησιν. οὐ καθ' ἑαυτὸ θεὸς τὸ πλασθὲν ἐπὶ μήτρας· οὐ καθ' ἑαυτὸ θεὸς τὸ κτισθὲν ἐκ τοῦ πνεύματος· οὐ καθ' ἑαυτὸ θεὸς τὸ ταφὲν ἐπὶ μνήματος· οὕτω γὰρ ἂν ἦμεν ἀνθρωπολάτραι καὶ νεκρολάτραι σαφεῖς. ἀλλ' ἐπειδήπερ ἐν τῶι ληφθέντι θεός, ἐκ τοῦ λαβόντος ὁ ληφθείς, ὡς τῶι λαβόντι συναφθείς, συγχρηματίζει θεός. Loofs, Nestoriana p. 262, 3-12 20 25

Ὁμοίως τοῦ αὐτοῦ τετράδος γ̄ κατὰ αἱρετικῶν

16 Περὶ τοῦ πνεύματος λέγων· Πῶς γὰρ ἂν εἴη δοῦλον, φησί, τὸ μετὰ υἱοῦ καὶ πατρὸς ἐργαζόμενον; κἂν ζητῆι τις τὰς τοῦ πνεύματος πράξεις, εὑρήσει τῶν τοῦ υἱοῦ καὶ πατρὸς κατ' οὐδὲν λειπομένας, οὐχ ὡς τῆς μιᾶς μεριζομένης θεότητος, ἀλλὰ τῆς θείας γραφῆς τὰ τῆς μιᾶς ἰσχύος καὶ καθ' ἑκάστην μεριζομένης ὑπόστασιν εἰς ἀπόδειξιν τοῦ τῆς τριάδος ὁμοίου. καί μοι σκόπει τὸ ὅμοιον ἐκ τῶν ἐν ἔργοις καιρίων ἀρξάμενον. ὁ θεὸς Loofs, Nestoriana p. 226, 14-227, 3 31 Ioh 1, 14

---

2 = Cyrill. adu. Nestor. 3, 2. Coll. Pal. 29, 6 7 = Coll. Pal. 29, 21 12 inde a 13 ἡ γοῦν = Cyrill. adu. Nest. 2, 7. Coll. Pal. 29, 4 17 cf. Cyrill. adu. Nestor. 2, 10. Coll. Pal. 29, 10 20 [cf. p. 108, 18] = Cyrill. adu. Nestor. 2, 12 [usque ad 21 φαινόμενον]. 13. Coll. Pal. 29, 11 28 inde a 32 ὁ θεός = Cyrill. adu. Nest. 4, 1

ΑΛpkr(Ω)

2 σκοπεῖτε Λp τούτοις om. Λkr 3/4 πειρασθεὶσ Ω [praeter A] πειραθεὶσ A 8 καθορωμένη Λkr cf. Ω ὁ A cf. Ω 9 κροτεῖτε ΑΛpc κρατεῖτε Λk cf. Ω εἶπεν Λp 15 τοῦ Χριστοῦ Ω [praeter A] 17 περὶ — λέγων om. Λp *de filio dei* Λk *de filio* Λr cf Ω 29/30 υἱοῦ καὶ πατρὸς ΑΛkr *patris et filii* Λp cf. Ω 31 τὰ ΛpcΩ τὰσ A καὶ ΑΛr om. Λpk cf Ω 32 καιρίων A καιρῶν Λp cf. Ω

λόγος ἐγένετο σὰρξ καὶ ἐσκήνωσεν ἐν ἡμῖν. συνεκάθισεν ἑαυτῶι τὴν ἀνα-
Ps. 109, 1 ληφθεῖσαν ὁ πατὴρ ἀνθρωπότητα· εἶπε γάρ φησιν, ὁ κύριος τῶι κυρίωι μου· κάθου
ἐκ δεξιῶν μου. τὴν τοῦ ἀναληφθέντος τὸ πνεῦμα κατελθὸν συνεκρότησε δόξαν·
Ioh.16,13.14 ὅταν γάρ φησιν, ἔλθηι τὸ πνεῦμα τῆς ἀληθείας, ἐκεῖνος ἐμὲ δοξάσει.

Ὁμοίως τοῦ αὐτοῦ τετράδος ϛ̄

Lc.4,18.19 17 Περὶ Χριστοῦ λέγων ὅτι ἀπεστάλη κηρῦξαι αἰχμαλώτοις ἄφεσιν ὡς [ὁ]
Loofs, Nest. p. 235,6-236, 6 ἀπόστολος, ἐπιφέρει καί φησιν· Οὗτος ὁ πιστὸς τῶι θεῶι πεποιημένος ἀρχιερεύς (ἐγένετο
Hebr.2,17 γὰρ οὗτος, οὐκ ἀιδίως προῆν)· οὗτος ὁ κατὰ μικρὸν εἰς ἀρχιερέως, αἱρετικέ, προκόψας
Hebr 5, 7-9 ἀξίωμα. καὶ ἄκουε σαφεστέρας σοι τοῦτο διαβοώσης φωνῆς· ἐν ταῖς ἡμέραις,
φησί, τῆς σαρκὸς αὐτοῦ δεήσεις τε καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον
σώιζειν αὐτὸν ἐκ θανάτου μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσε-
νεγκὼν καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας, καίπερ ὢν υἱός, ἔμαθεν ἀφ'
ὧν ἔπαθεν, τὴν ὑπακοὴν καὶ τελειωθεὶς ἐγένετο τοῖς ὑπακούουσιν αὐτῶι
πᾶσιν αἴτιος σωτηρίας αἰωνίου. τελειοῦται δὲ τὸ κατὰ μικρὸν προκόπτον,
Lc. 2, 52 αἱρετικέ. περὶ οὗ καὶ Ἰωάννης ἐν τοῖς εὐαγγελίοις βοᾶι· Ἰησοῦς προέκοπτεν
Hebr. 5, 9. 10 ἡλικίαι καὶ σοφίαι καὶ χάριτι· οἷς σύμφωνα καὶ Παῦλος φθεγγόμενος τελειωθείς,
φησίν, ἐγένετο πᾶσι τοῖς ὑπακούουσιν αὐτῶι αἴτιος σωτηρίας αἰωνίου,
προσαγορευθεὶς ὑπὸ τοῦ θεοῦ ἀρχιερεὺς κατὰ τὴν τάξιν Μελχισεδέκ.

Loofs, Nestoriana p. 236, 12-14 18 Καὶ μεθ' ἕτερα· Καὶ ἀρχιερεὺς κεκλημένος. τί οὖν ἀνθερμηνεύεις τῶι Παύλωι, τὸν
ἀπαθῆ θεὸν λόγον ἐπιγείωι καταμιγνὺς ὁμοιώματι καὶ παθητὸν ἀρχιερέα ποιῶν;

Ὁμοίως τοῦ αὐτοῦ τετράδος ζ̄

Loofs, Nestoriana p 240, 1-4 Hebr. 3, 1. 2 19 Ὅθεν, ἀδελφοὶ ἅγιοι, κλήσεως ἐπουρανίου μέτοχοι, κατανοήσατε τὸν
ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν, πιστὸν ὄντα τῶι
ποιήσαντι αὐτόν.

Loofs, Nestoriana p. 240, 4-9 20 Καὶ μεθ' ἕτερα· Ὄντος οὖν ἡμῖν τούτου μόνου ἀρχιερέως συμπαθοῦς καὶ συγγενοῦς
καὶ βεβαίου, τῆς εἰς αὐτὸν μὴ παρατρέπεσθε πίστεως. αὐτὸς γὰρ ἡμῖν τῆς ἐπηγγελμένης
εὐλογίας ἐκ σπέρματος Ἀβραὰμ ἀπεστάλη ὡς ὑπὲρ ἑαυτοῦ καὶ τοῦ γένους τὴν τοῦ σώματος
θυσίαν συνεπαγόμενος.

Σημειωτέον ὅτι ὁμολογήσας πάντα ἀρχιερέα δεῖσθαι θυσίας καὶ ὑπεξελὼν τὸν Χριστὸν
ὡς μὴ δεόμενον, ἐν τούτοις φησὶν ὑπὲρ ἑαυτοῦ προσφέρειν καὶ τοῦ γένους τὴν θυσίαν.

Ὁμοίως τοῦ αὐτοῦ τετράδος δ̄

Loofs, Nestoriana p. 227, 20-228, 3 Ioh. 6, 56 21 Ἀκούσατε τοίνυν προσέχοντες τοῖς ῥητοῖς. ὁ τρώγων μου, φησί, τὴν σάρκα.
μνημονεύετε ὅτι περὶ τῆς σαρκός ἐστι τὸ λεγόμενον καὶ ὅτι οὐ παρ' ἐμοῦ προστέθειται τὸ
τῆς σαρκὸς ὄνομα, ὥστε μὴ δοκεῖν ἐκείνοις παρερμηνεύειν. ὁ τρώγων μου τὴν
σάρκα καὶ πίνων μου τὸ αἷμα. μὴ εἶπεν· ὁ τρώγων μου τὴν θεότητα καὶ πίνων

---

6. 19 = Cyrill. adu. Nest. 3, 4 25 = Cyrill. adu. Nest. 3, 5 32 = Coll. Palat. 29, 20

AΛpkr(Ω)

5 ὁμοίως om. Λkr 6 ὁ deleui cf. *quasi apostolus* Λp 8 ὢν αἱρετικέ Λkr 9 ὃς ἐν Λp [= Cyrill.] cf. Ω 15 ὢν αἱρετικέ Λr Ἰωάννης AΛp [Cyrill.] λουκᾶς Λkr cf. Ω; crediderim nomen a Nestorio omissum et ab excerptore falso suppletum esse 19 καὶ² AΛr om. Λpk cf. Ω 20 ὁμοιώ-ματι] σώματι Rusticus in nota, cf. Ω 21 ὁμοίως A πάλιν Λk καὶ πάλιν Λr VIII Λp 25 nihil ex Nestorii uerbis omissum συμπαθοῦς ἢ συγγενοῦς Λp 30 καὶ ὑπὲρ Λkr καὶ τοῦ γένους om. Λk 31 τετράδος δ̄ om. Λp 33 *memento* Λp 34 μού φησι Λp 35 πίνων²] ὁ πίνων Λpk

μου τὴν θεότητα; ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει κἀγὼ ἐν αὐτῷ.

22 Καὶ μεθ' ἕτερα· Ἀλλ' ἐπὶ τὸ προκείμενον. ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει κἀγὼ ἐν αὐτῷ. μνημονεύετε ὅτι περὶ τῆς σαρκὸς τὸ λεγόμενον. καθὼς ἀπέστειλέ με ὁ ζῶν πατήρ, ἐμὲ τον φαινόμενον. ἀλλ' ἐνίοτε παρερμηνεύω· ἀκούσωμεν ἐκ τῶν ἑξῆς. καθὼς ἀπέστειλέ με ὁ ζῶν πατήρ. ἐκεῖνος λέγει τὴν θεότητα, ἐγὼ τὴν ἀνθρωπότητα ἴδωμεν τίς ὁ παρερμηνεύων καθὼς ἀπέστειλέ με ὁ ζῶν πατήρ. λέγει ὁ αἱρετικός· ἐνταῦθα τὴν θεότητα λέγει· ἀπέστειλέ με, φησί, τον θεον λόγον. καθὼς ἀπέστειλέ με ὁ ζῶν πατήρ, κατ' ἐκείνους κἀγὼ ζῶ, ὁ θεὸς λόγος, διὰ τον πατέρα. εἶτα το μετὰ τοῦτο· καὶ ὁ τρώγων με κἀκεῖνος ζήσεται. τίνα ἐσθίομεν, τὴν θεότητα ἢ τὴν σάρκα; Loofs, Nestoriana p 228, 4-16 Ioh 6, 57 6 10

Ὁμοίως τοῦ αὐτοῦ τετράδος ιϛ

23 Καὶ ὅλως, φησίν, εἰ πᾶσαν ὁμοῦ τὴν καινὴν μεταλλεύοις, οὐκ ἂν εὕροις οὐδαμοῦ παρὰ ταύτῃ τὸν θάνατον τῶι θεῶι προσαπτόμενον, ἀλλ' ἢ Χριστῶι ἢ υἱῶι ἢ κυρίωι. το γὰρ Χριστός καὶ το υἱός καὶ το κύριος, ἐπὶ τοῦ μονογενοῦς παρὰ τῆς γραφῆς λαμβανόμενον, τῶν φύσεων ἐστὶ τῶν δύο σημαντικὸν καὶ ποτὲ μὲν δηλοῦν τὴν θεότητα, ποτὲ δὲ τὴν ἀνθρωπότητα, ποτὲ δὲ ἀμφότερα, οἷον ὅταν Παῦλος ἐπιστέλλων κηρύττηι ἐχθροὶ ὄντες κατηλλάγημεν τῶι θεῶι διὰ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ, τὴν ἀνθρωπότητα βοᾶι τοῦ υἱοῦ· ὅταν δὲ λέγηι πάλιν ὁ αὐτὸς προς Ἑβραίους ὁ θεὸς ἐλάλησεν ἡμῖν ἐν υἱῶι, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησε, τὴν θεότητα δηλοῖ τοῦ υἱοῦ. οὐδὲ γὰρ ‹ἡ› σὰρξ δημιουργος τῶν αἰώνων ἡ μετ' αἰῶνας δημιουργηθεῖσα πολλούς Loofs, Nestoriana p 269, 14-27 16 Rom 5, 10 Hebr 1, 2 21

24 Καὶ μεθ' ἕτερα· Οὐδὲ θεότης ἀδελφον τὸν Ἰάκωβον ἔσχεν οὐδὲ τον τοῦ θεοῦ λόγου καταγγέλλομεν θάνατον, το δεσποτικὸν αἷμά τε καὶ σῶμα σιτούμενοι. Loofs, Nestoriana p 271, 1-3

Ὁμοίως τοῦ αὐτοῦ τετράδος κϛ 25

25 Προσέχω, φησί, τοῖς ἡμετέροις δήμοις εὐλάβειαν μὲν πολλὴν κεκτημένοις καὶ θερμοτάτην εὐσέβειαν, ὑπο δὲ τῆς περὶ τὸ δόγμα θεογνωσίας ἀγνοίας ὀλισθαίνουσι τοῦτο δὲ οὐκ ἔγκλημα τῶν λαῶν, ἀλλὰ (πῶς ἂν εὐπρεπῶς εἴποιμι,) τοῦ μὴ ἔχειν τοὺς διδασκάλους καιρὸν καί τι τῶν ἀκριβεστέρων ὑμῖν παραθέσθαι δογμάτων. Loofs, Nestoriana p 283, 2 8

26 Πέτρος πρεσβύτερος Ἀλεξανδρείας καὶ πριμικήριος νοταρίων εἶπεν Ἰδοὺ φανερῶς ἐν τούτοις φησὶν ὅτι τῶν προ αὐτοῦ διδασκάλων οὐδεὶς ταῦτα ἐλάλησε τοῖς λαοῖς 30

79 [1] Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας ὑπέγραψα —
[2] ARCADIVS EPISCOPVS ET LEGATVS SEDIS ‹APOS›TOLICAE SVBSCRIBSI —

---

3 [inde a 3 ὁ τρώγων] = Cyrill adu Nest 4, 4 Coll Pal 29, 14 23 = Coll Pal 29, 12 26 adfert Cyrillus in ep ad clericos [V 22]

AΛpkr(Ω), Λtc inde a 30

3/4 Καὶ — αὐτῶι om Λk 4 *memento* Λp [= Cyrill] 6 *uideamus* Λp 7 ειδῶμεν A 9 φησί om Λpkr 14 ομως Λp 18 καὶ ἀμφότερα Λkr ἐχθροὶ γαρ Λkr 20 δὲ AΛkr om Λp cf Ω 22 ἡ Ω om A 23 θεότητος Λk cf Ω 25 τοῦ — κϛ om Λp 27 ἀγνοιας πεπηρωμένοις Cyr ἀγνοία ὀλισθαίνουσι AΛpkr cf Ω 28 ὅπως Λpkr 30 Πέτρος — εἶπεν om Λp Ἀλεξανδρείας om Λk

AΛptcukr

in initio Λtcu secuntur gestorum primae sessionis et uerba et ordinem praeter legatos Romanos insertos, subscriptionibus ita collocatis 1 2 3 4 5 24 [24 5 Λtc] 6 12 14 7 15 20 11 188 10 8, inde a 9 consentiunt cum Γ et Λpkr nisi quod subscriptiones quas initio exhibuerant, postea omittunt [2] *et* om Λr SEDISTOLICAE A

[3] Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων ὑπέγραψα: —
[4] PROIECTVS EPISCOPVS LEGATVS SEDIS APOSTOLICAE SVBSCRIBSI: —
[5] FILIPPVS PRESBYTER SEDIS APOSTOLICAE LEGATVS SVBSCRIBSI: —
[6] Φίρμος ἐπίσκοπος Καισαρείας ὑπέγραψα: —
[7] Θεόδοτος ἐπίσκοπος Ἀγκύρας ὑπέγραψα: —
[8] Βερινιανὸς ἐπίσκοπος τῆς Περγαίων μητροπόλεως ὑπέγραψα διὰ Τιμοθέου ἐπισκόπου: —
[9] Σεβῆρος ἐπίσκοπος Συνάδων ὑπέγραψα: —
[10] Περιγένης ἐπίσκοπος Κορίνθου ὑπέγραψα: —
[11] Ἰκόνιος ἐπίσκοπος Γορτύνης τῆς Κρήτης ὑπέγραψα: —
[12] Μέμνων ἐπίσκοπος Ἐφέσου ὑπέγραψα: —
[13] Ῥηγῖνος ἐπίσκοπος Κωνσταντείας Κύπρου ὑπέγραψα: —
[14] Ἀκάκιος ἐπίσκοπος Μελιτηνῆς ὑπέγραψα: —
[15] Παλλάδιος ἐπίσκοπος Ἀμασείας ὑπέγραψα: —
[16] Ἐρεννιανὸς ἐπίσκοπος Μύρων ὑπέγραψα: —
[17] Οὐαλεριανὸς ἐπίσκοπος Ἰκονίου ὑπέγραψα: —
[18] Πίος ἐπίσκοπος τῆς Πισινουντίων μητροπόλεως ὑπέγραψα: —
[19] Κῦρος ὁ ἐλάχιστος ἐπίσκοπος Ἀφροδισιάδος ὑπέγραψα: —
[20] Ἀμφιλόχιος ἐπίσκοπος τῆς Σιδηνῶν μητροπόλεως ὑπέγραψα: —
[21] Μαιόνιος ἐπίσκοπος τῆς ἐν Σάρδεσιν ἐκκλησίας Λυδίας ὑπέγραψα: —
[22] Ἑλλάνικος ἐπίσκοπος Ῥόδου ὑπέγραψα: —
[23] Δαλμάτιος ἐπίσκοπος Κυζίκου ὑπέγραψα: —
[24] Φλαβιανὸς ἐπίσκοπος Φιλίππων ὑπέγραψα: —
[25] Ἀριστόνικος ἐπίσκοπος τῆς Λαοδικέων ὑπέγραψα: —
[26] Παράλιος ἐλέει Χριστοῦ ἐπίσκοπος Ἀνδράπων ὑπέγραψα: —
[27] Ἰνδούας ἐπίσκοπος Σμύρνης ὑπέγραψα: —
[28] Ὀλύμπιος ἐπίσκοπος πόλεως Κλαυδιουπόλεως ὑπέγραψα διὰ τῶν ἐπισκόπων Ἐπιφανίου καὶ Εὐσεβίου: —
[29] Δυνατὸς ἐπίσκοπος Νικοπόλεως τῆς Ἠπείρου ὑπέγραψα: —
[30] Δομνῖνος ἐπίσκοπος πόλεως Κοτυαείου ὑπέγραψα: —
[31] Εὐστάθιος ἐπίσκοπος πόλεως Δοκιμίου ὑπέγραψα: —
[32] Ἐπιφάνιος ἐπίσκοπος πόλεως Κρατίας ὑπέγραψα: —
[33] Γρηγόριος ἐπίσκοπος πόλεως Κερασοῦντος ὑπέγραψα: —
[34] Ἑλλάδιος ἐπίσκοπος Ἀτραμύτου ὑπέγραψα: —
[35] Ἀνύσιος ἐπίσκοπος πόλεως Θηβῶν τῆς Ἑλλάδος ὑπέγραψα: —
[36] Δομνῖνος ἐπίσκοπος πόλεως Ὀποῦντος ὑπέγραψα: —
[37] Καλλικράτης ἐπίσκοπος πόλεως Ναυπάκτου ὑπέγραψα: —
[38] Νικίας ἐπίσκοπος πόλεως Μεγάρων ὑπέγραψα: —
[39] Καλλίνικος ἐπίσκοπος Ἀπαμείας ὑπέγραψα: —
[40] Πέτρος ἐλάχιστος τῶν ἐπισκόπων Προύσης ὑπέγραψα: —

ΑΛptcukr

[5] *et legatus* Λtcu *atque legatus* Λkr [8] *Berenianus* Λpu μητροπόλεως Λptcukr πόλεως A ἐπισκόπου ΑΛpkr πρεσβυτέρου Λtcu [11] Γορτὺνης om. Λtcu [13] om. Λt [20] μητροπόλεωσ Λpkr πόλεωσ A [26] ἐλέει χῡ ΑΛkr ἐλέει θῡ Λpc om. Λtu(Λp) [27] ΑΛckr om. Λptu Ἰδδούας Λr V 62, 149 [28] *per episcopum* Λtukr(Λp) εὐσεβίου ΑΛckr Θερσεβίου Λptu [29] *ueteris Epiri* Λkr post [29] ins. *Theodorus episcopus Dodonae per Florentium diaconum subscripsi* Λc [30] πόλεως] νικοπόλεωσ A [34] *Adramytti ciuitatis* Λc [35] πόλεως om. Λk [38] *Niceas* Λcukr(Λp) [39. 40] coll. Λptcukr [40. 39] A [40] τῶν ἐπισκόπων A ἐπίσκοπος Λptcukr

[41] Εὐπρέπιος ἐπίσκοπος Βύζης ὑπέγραψα: —
[42] Δίων ἐπίσκοπος τῆς Θηβαίων πόλεως ὑπέγραψα: —
[43] Περρέβιος ἐπίσκοπος τῶν Θεσσαλικῶν σαλτῶν ὑπέγραψα: —
[44] Παῦλος ἐπίσκοπος πόλεως Ἀνθηδόνος ὑπέγραψα: —
[45] Θεόδωρος ἐπίσκοπος πόλεως τῶν Ἀνινησίων ὑπέγραψα: —
[46] ⟨Εὐσέβιος ἐπίσκοπος Ἡρακλείας ὑπέγραψα: —⟩
[47] Ἰωάννης ἐπίσκοπος τῆς Λέσβου τῶν Σεληνιακῶν αἰγιαλῶν ὑπέγραψα: —
[48] Θωμᾶς ἐπίσκοπος Δέρβης ὑπέγραψα: —
[49] SENECION EPISCOPVS SCODRINAE CIVITATIS SVBSCRIBSI: —
[50] Τριβουνιανὸς ἐπίσκοπος τῆς ἐν Πριμοπόλει ἁγίας ἐκκλησίας ὑπέγραψα: —
[51] Μαρτύριος ἐπίσκοπος πόλεως Ἰλίστρων ὑπέγραψα: —
[52] Νήσιος ἐπίσκοπος Κολυβράσσου ὑπέγραψα: —
[53] Ἀκάκιος ἐπίσκοπος Κοτεννῶν ὑπέγραψα: —
[54] Ἀβλάβιος ἐπίσκοπος πόλεως Ἀμορίου ὑπέγραψα: —
[55] Φίλιππος ἐπίσκοπος Περγάμου ὑπέγραψα: —
[56] Ἡρακλέων ὁ καὶ Θεόφιλος ἐπίσκοπος πόλεως Τράλλεων ὑπέγραψα: —
[57] Δάφνος ἐπίσκοπος πόλεως Μαγνησίας ⟨Μαιάνδρου⟩ ὑπέγραψα: —
[58] Εὐσέβιος ἐπίσκοπος Μαγνησίας πόλεως Σιπύλου ὑπέγραψα: —
[59] Ἀνδήριος ὁ ἐλάχιστος ἐπίσκοπος Χερσονήσου ὑπέγραψα: —
[60] Παῦλος ὁ ἐλάχιστος ἐπίσκοπος πόλεως Λάμπης ὑπέγραψα: —
[61] Εὐτρόπιος ὁ ἐλάχιστος τῶν ἐπισκόπων πόλεως Εὐάζων ὑπέγραψα: —
[62] Σεβῆρος ἐλάχιστος ἐπίσκοπος ἐπαρχίας Πισιδίας πόλεως Σωζοπόλεως ὑπέγραψα: —
[63] Σιλβανὸς ἐπίσκοπος πόλεως Χερετάπων ὑπέγραψα: —
[64] Κόμοδος ὁ ἐλάχιστος ἐπίσκοπος Τριπόλεως ὑπέγραψα: —
[65] Κωνστάντιος ἐπίσκοπος τῆς Διοκλητιανῶν πόλεως ὑπέγραψα: —
[66] Νεστόριος ἐπίσκοπος Σιῶν ὑπέγραψα: —
[67] Ἀφόβιος ὁ ἐλάχιστος ἐπίσκοπος Κολόης ὑπέγραψα: —
[68] * *
[69] Παῦλος ἐπίσκοπος τῆς Δαλδιανῶν πόλεως ὑπέγραψα: —
[70] Λιμένιος ἐπίσκοπος τῆς Σεττηνῶν πόλεως ὑπέγραψα: —
[71] Δωρόθεος ἐπίσκοπος πόλεως Μυρίνης ὑπέγραψα: —
[72] Θεόδωρος ἐπίσκοπος πόλεως Ἀτταλείας ⟨ὑπέγραψα⟩: —
[73] Ἀφθόνητος ὁ ἐλάχιστος ἐπίσκοπος τῆς Ἡρακλεωτῶν Λάτμου πόλεως ὑπέγραψα: —

AΛptcukr

[41] *Eutrepius* Λtu [43. 42] coll. Λc [42] τῶν — σαλτῶν A, Λp ut uidetur, *saltuum Thessalonicensium* (Λp) Λtu *thessalonicensium sardorum* Λkr *zisardorum saltuum thessalonicensium* Λc [45] Ἀνινησίων Λptcu ἀνηνισίων A *magnesiae* Λkr *magnesiorum aninensiorum* Λc [46] Λptcukr om. A [47] Λέσβου τῶν — αἰγιαλῶν scripsi λεοβούτων σεληνιακῶν αἰγιαλῶν A *Lesbopordoselenensis et littorum* Λkr *Lesbi selenicatorum* [i. e. *Seleniac⟨orum litt⟩orum* Λptcu [48] *Theonas* Λptu *Hierbae* Λptu [49] SENECIOS A [50] ἁγίας om. Λptcu [52] *anesius* Λkr *Coribrassi* Λpu [54] ἀμμορίου A [56. 55] coll. Λptcu [58] ὁ om. Λkr θεόφιλοσ AΛtckr Θεοφάνιος Λptu Τράλλεων Λptcukr ἡρακλεοῦσ A [57] Δάφνος Λptcukr δάφνις A Μαιάνδρου Λptcukr om. A [59] *Andreas* Λkr [60] τῶν ἐπισκόπων Λr Λαμπήνης Λptcukr [61] ὁ ἐλάχιστος om. Λk ἐπίσκοπος Λptcur [62] ἐλάχιστος om. Λk [55] *Constantinus* Λcukr *Dioclitiapolitanus* Λkr [69] σιῶν AΛckr σπων Λptu [68] om. A *Phoscus* [*Phocus* Λtu *Dioscorus* Λc] *episcopus ciuitatis quae est in Thyatireno* [*Thyatirae sanctae ecclesiae* Λc], *subscripsi* Λptcu *Dioscos* [uar. lectio *Dioscorus* in Λr], *episcopus Thyatirenae* [*en Thyaterenae* Λr] *ciuitatis subscripsi* Λkr cf. V 62, 176 [69] *Deluianae* Λk *Deddianae* Λr [70] Σεπτηνῶν Λkr [72] om. Λc πόλεως om. Λptu ὑπέγραψα om. A [73] Ἀφθόνιος Λk ἐλάχιστος om. Λuc τῆς scripsi τῶν A

[74] Σπουδάσιος ὁ ἐλάχιστος ἐπίσκοπος Κεράμου ὑπέγραψα:—
[75] Φιλητὸς ὁ ἐλάχιστος ἐπίσκοπος Ἀμυζόνος ὑπέγραψα:—
[76] Δοκιμάσιος ἐπίσκοπος πόλεως Μαρωνείας ὑπέγραψα:—
[77] Ἐννέπιος ἐπίσκοπος πόλεως Μαξιμιανουπόλεως ὑπέγραψα:—
[78] Εὐθάλιος ἐπίσκοπος πόλεως Κολοφῶνος ὑπέγραψα:—
[79] Λουκιανὸς ἐπίσκοπος πόλεως Τοπείρου ὑπέγραψα:—
[80] Ῥουφῖνος ἐπίσκοπος πόλεως Γαβῶν ὑπέγραψα:—
[81] Ῥωμανὸς ἐπίσκοπος πόλεως Ῥαφείας ὑπέγραψα:—
[82] Φίδος ἐπίσκοπος Ἰόππης ὑπέγραψα:—
[83] Ἡσύχιος ἐπίσκοπος πόλεως Παρίου ὑπέγραψα:—
[84] Τιμόθεος ἐπίσκοπος πόλεως Τερμησοῦ ⟨καὶ⟩ Εὐδοκιάδος ὑπέγραψα:—
[85] Εὐχάριος ἐπίσκοπος πόλεως Δυρραχίου ὑπέγραψα:—
[86] Εὐάγριος ἐπίσκοπος πόλεως Σόλων τῆς Κύπρου ὑπέγραψα:—
[87] Νεκτάριος ἐπίσκοπος πόλεως Κάσων ὑπέγραψα:—
[88] Ἀγαθοκλῆς ἐπίσκοπος πόλεως Κορωνείας ὑπέγραψα:—
[89] Ἀιανὴς ἐπίσκοπος Συκαμαζόνος ὑπέγραψα:—
[90] Αἰδέσιος ἐπίσκοπος Ἰσίνδων ὑπέγραψα:—
[91] Σεκουνδιανὸς ἐπίσκοπος πόλεως Λαμίας ὑπέγραψα:—
[92] Νουνέχιος ἐπίσκοπος πόλεως Σέλγης ὑπέγραψα:—
[93] Ματιδιανὸς ἐπίσκοπος Κορακησίου ὑπέγραψα:—
[94] Κύριλλος ἐπίσκοπος Κοίλων ὑπέγραψα διὰ χειρὸς Ἑλλησπόντου πρεσβυτέρου:—
[95] Σαπρίκιος ἐπίσκοπος Πάφου τῆς Κύπρου ὑπέγραψα:—
[96] Θεμίστιος ἐλάχιστος ἐπίσκοπος πόλεως Ἰασσοῦ ὑπέγραψα:—
[97] Προμάχιος ὁ ἐλάχιστος ἐπίσκοπος πόλεως Ἀλινδῶν ὑπέγραψα:—
[98] Εὐδόξιος ἐπίσκοπος πόλεως Χώματος ὑπέγραψα:—
[99] Λιβάνιος ἐπίσκόπος Παλαιᾶς πόλεως ὑπέγραψα:—
[100] Ταριανὸς ἐπίσκοπος πόλεως Λύρβης ὑπέγραψα:—
[101] Ἀλέξανδρος ἐπίσκοπος Ἀρκαδιουπόλεως ὑπέγραψα:—
[102] Θεόδοτος ἐπίσκοπος Νύσης ὑπέγραψα:—
[103] Ῥόδων ἐπίσκοπος Παλαιᾶς πόλεως ὑπέγραψα:—
[104] Τυχικὸς ὁ ἐλάχιστος ⟨ἐπίσκοπος⟩ τῆς Ἐρυθραίων πόλεως ὑπέγραψα:—
[105] Εὐγένιος ἐπίσκοπος πόλεως Ἀπολλωνιάδος ὑπέγραψα:—
[106] Ἀέτιος ἐπίσκοπος πόλεως Παιονίων Ἑλλησπόντου ὑπέγραψα:—
[107] Τιμόθεος ἐπίσκοπος Γέρμης Ἑλλησπόντου ὑπέγραψα:—
[108] Ἀρχέλαος ἐλάχιστος ἐπίσκοπος Μύνδου ὑπέγραψα:—
[109] Ἀπελλᾶς ὁ ἐλάχιστος ⟨ἐπίσκοπος⟩ Κιβύρας ὑπέγραψα:—

AΛ^{ptcukr}

75. 74 coll. Λtcu 74. 80. 81. 75. 79. 80. 81. 82—88. 76—78. 89 coll. Λk 75 ὁ ἐλάχιστος om. Λk 76 πόλεως om. Λkr 78 Εὐθάλιος Λptcukr εὐστάθιος A 79 *toroperi* Λtu 80 Γάβων Λptcu τάβων AΛkr 82 Ἰόππης AΛckr *pre* [latet corruptela pro Παρίου ex 83 intrusa] Λptu 83 *paro* Λtu 84 *termei* Λptu καὶ Λptcukr om. A 86 *selorum* Λp 87 *nasorum* Λp 88 *caroniae* Λp uaria lectio in Λr κολωνείας A^{78}46 89 *Ianes* Λptu *Iohannes* Λck *Azanus* Λr *gycamazonis* Λtu *gicazonis* Λp 90 σίνδων Λp σίδων Λtuk πισίδων Λr 91 *Secundinus* Λckr 92 *selegae* Λp 97 *pomacius* Λtu *gromatius* Λc *liundorum* Λp *aliundorum* Λu 100 *Traianus* Λpk *librae* Λp 102 θεόδοτοσ AΛk uaria lectio in Λr Θεόδωρος Λptcu uaria lectio in Λr 103 post 120 coll. Λp *palaeas poleos asiae* Λc 104 Τύχιος Λp uaria lectio in Λk ἐπίσκοπος om. A *erhchetorum* Λp *erycheorum* Λt *eritcheorum* Λu cf. 73^{85} 107. 106 coll. A 106 *poeoniorum* Λp *praeoniorum* Λu 107 *germaniae* Λt om. Λc Τέρμης Λr 108 ἐλάχιστος om. Λptcu μίνδου A 108 Ἀπελλῆς Λkr ἐπίσκοπος om. A

110 Φιλάδελφος ὁ ἐλάχιστος ἐπίσκοπος τῆς Γρατιανοπόλεως ὑπέγραψα: —
111 Εὐθήριος ὁ ἐλάχιστος ἐπίσκοπος τῆς Στρατονικέων Λυδίας ὑπέγραψα: —
112 Ἰωάννης ὁ ἐλάχιστος ἐπίσκοπος τῆς Αὐρηλιουπολιτῶν πόλεως ὑπέγραψα: —
113 Μάξιμος ὁ ἐλάχιστος ἐπίσκοπος Κύμης ὑπέγραψα: —
114 Μόδεστος ἐπίσκοπος τῆς Ἀνεατῶν πόλεως ὑπέγραψα: —
115 Θεοδόσιος ὁ ἐλάχιστος ἐπίσκοπος πόλεως Μασταύρων ὑπέγραψα: —
116 Θωμᾶς ἐπίσκοπος Οὐαλεντινιανουπόλεως ὑπέγραψα: —
117 Εὐσέβιος ἐπίσκοπος Κλαζομενῶν ὑπέγραψα: —
118 Εὐσέβιος ἐπίσκοπος Ἀσπώνων ὑπέγραψα: —
119 Εὐπόριος ἐπίσκοπος Ὑπαίπων ὑπέγραψα: —
120 Σάιδος ἐπίσκοπος Φαινοῦς ὑπέγραψα: —
121 Δόμνος ἐπίσκοπος πόλεως Ὀρκιστοῦ ὑπέγραψα: —
122 Ἰωάννης ἐπίσκοπος Αὐγουστοπόλεως ὑπέγραψα: —
123 Πέτρος ἐπίσκοπος Παρεμβολῶν ὑπέγραψα: —
124 Νατίρας ἐπίσκοπος Γάζης ὑπέγραψα: —
125 Ζήνων ἐπίσκοπος Κουρίου τῆς Κύπρου ὑπέγραψα: —
126 Εὐόπτιος ἐπίσκοπος Πτολεμαΐδος τῆς Πενταπόλεως ὑπέγραψα: —
127 Μακάριος ἐπίσκοπος Μετηλιτῶν ὑπέγραψα: —
128 Εὐσέβιος ἐπίσκοπος Πηλουσίου ὑπέγραψα: —
129 Ἑρμογένης ἐπίσκοπος Ῥινοκουρούρων ὑπέγραψα: —
130 Μαρῖνος ἐπίσκοπος Ἡλιουπόλεως ὑπέγραψα: —
131 Ἰωάννης ἐπίσκοπος Ἡφαίστου ὑπέγραψα: —
132 Ἡράκλειος ἐπίσκοπος Ταμιάθεως ὑπέγραψα: —
133 Στρατήγιος ἐπίσκοπος Ἀθρίβεως ὑπέγραψα: —
134 Ἀριστόβουλος ἐπίσκοπος Θμούεως ὑπέγραψα: —
135 Θέων ἐπίσκοπος Ἡρακλεοῦς τοῦ Σεθροίτου ὑπέγραψα: —
136 Σόλων ἐπίσκοπος Καραλλίων ὑπέγραψα: —
137 Ἀλύπιος ἐπίσκοπος πόλεως Σελῆ ὑπέγραψα: —
138 Μακεδόνιος ἐπίσκοπος Ξόεως ὑπέγραψα: —
139 Πέτρος ἐπίσκοπος Ὀξυρύγχου ὑπέγραψα: —
140 Μητρόδωρος ἐπίσκοπος Λεόντων ὑπέγραψα: —
141 Παῦλος ἐπίσκοπος Φραγώνεως ὑπέγραψα: —
142 Ἀμμώνιος ἐπίσκοπος Πανεφύσου ὑπέγραψα: —
143 Πούπλιος ἐπίσκοπος Ὀλβίων ὑπέγραψα: —
144 Ἱέρακις ἐπίσκοπος Ἀφναίου ὑπέγραψα: —
145 Σαμουὴλ ἐπίσκοπος Δύσθεως ὑπέγραψα: —
146 Σώπατρος ἐπίσκοπος τῆς Λιβύης Σεπτιμιακῆς ὑπέγραψα: —
147 Ἰσαὰκ ἐπίσκοπος Ἐλεαρχίας ὑπέγραψα: —

ΑΛptcukr

110 Φιλαδέλφιος V 62, 88 Τραιανοπόλεως Ακ Τραιανουπόλεως Αr 113. 114 coll. Ατcu 115 Θεόδωρος Ακ 118 *Valentiniapoleos* Αp 117 om. Αptu 118 om. Ac *aspanorum* Αtu uaria lectio in Αp 119 Εὔπορος Ακr ὑπέπων A *pepon* Αptukr *saudus* Ac 121 ναtῆρας A *Natiras* Αtkr *Netiras* Αpcu 125 *cyri* Αptu 127 *metoliton* Αp *meletinon* At 129 ῥινοκουρούρων ΑΑr *rinocoruron* Αtck *rinocororus* Αp *linocorurus* Au 133. 134 om. Αptu 133 Ἀθλιβεως Ακr 134 post 137 coll. Ac 134 *thumeos* Ac *ithemoensis* Ακ *ithmuensis* Αr 135 *Heracliae* Ακ *Sethoitu* Αpu 138 *Solomon* Ac *Corallion* Αptur 137 *selo* Au *seuleu* Αp *selenuntis* Atc *selenutensis* siue *selenuntensis* Akr 141 Φραγγώνεως Ακ *frangoneos* At *fraboneos* Αr *flauoneos* Au 144 *Hieracus* Ack *aphau* Αp *aphneti* At *aphnaitis* Ac *planutensis* Ακ 147 om. Αp

148 Ἰσαὰκ ἐπίσκοπος πόλεως Ταυᾶ ὑπέγραψα: —
149 Ἡράκλειος ἐπίσκοπος Θύνεως ὑπέγραψα: —
150 Θεωνᾶς ἐπίσκοπος Ψίγχους ὑπέγραψα: —
151 Κῦρος ἐπίσκοπος Ἀχαιῶν ὑπέγραψα: —
152 Εὐλόγιος ἐπίσκοπος Τερενούθεως ὑπέγραψα: —
153 Ἀλέξανδρος ἐπίσκοπος Κλεοπάτριδος ὑπέγραψα: —
154 Σιλουανὸς ἐπίσκοπος Κοπρίθεως ὑπέγραψα· ἐγὼ δὲ Ἡράκλειος ἐπίσκοπος ὑπέγραψα ὑπὲρ αὐτοῦ διὰ τὸ κακοῦσθαι αὐτόν:
155 Ἀδέλφιος ἐπίσκοπος Ὀνούφεως ὑπέγραψα: —
156 Ἀβραὰμ ἐπίσκοπος πόλεως Ὀστρακίνης ὑπέγραψα: —
157 Ἀθανάσιος ἐπίσκοπος τῆς Παράλου ὑπέγραψα: —
158 Ἀδέλφιος ἐπίσκοπος Σάεως ὑπέγραψα: —
159 Λαμπέτιος ἐπίσκοπος τοῦ Κασίου ὑπέγραψα: —
160 Χρυσαόριος ἐπίσκοπος Ἀφροδιτοῦς ὑπέγραψα: —
161 Ἄμμων ἐπίσκοπος Βουτῶν ὑπέγραψα: —
162 Εὐτύχιος ἐπίσκοπος Θεοδοσιουπόλεως ὑπέγραψα: —
163 Βενάντιος ἐπίσκοπος Ἱεραπόλεως μητροπόλεως ὑπέγραψα· **ὑπέγραψα δὲ διὰ τοῦ** νοταρίου μου Θεοδοσίου: —
164 ⟨Ζηνόβιος ἐπίσκοπος πόλεως Βάρκης ὑπέγραψα: —⟩
165 Ζήνων ἐπίσκοπος πόλεως Τευχείρων ὑπέγραψα: —
166 Εὐσέβιος ἐπίσκοπος Νειλουπόλεως ὑπέγραψα: —
167 Ἡρακλείδης ἐπίσκοπος Ἡρακλεοῦς ἄνω ὑπέγραψα: —
168 Μακάριος ἐπίσκοπος Ἀντέου ὑπέγραψα: —
169 Σαβῖνος ἐπίσκοπος Πανὸς ὑπέγραψα: —
170 Ἀθανάσιος ἐπίσκοπος τῆς Σκηψίων πόλεως ὑπέγραψα: —
171 Φιλούμενος ἐπίσκοπος Κίννης ὑπέγραψα: —
172 FELIX EPISCOPVS CIVITATVM APOLLONIENSIVM SVBSCRIBSI: —
173 Τιμόθεος ἐπίσκοπος ἐπαρχίας Σκυθίας πόλεως Τομέων ὑπέγραψα: —
174 Ζηνόβιος ἐπίσκοπος πόλεως Κνωσσοῦ ὑπέγραψα: —
175 Παυλῖνος ἐπίσκοπος τοῦ Μαιουμᾶ ὑπέγραψα: —
176 Φοιβάμμων ἐπίσκοπος τοῦ Κοπτοῦ ὑπέγραψα: —
177 Παβίσκος ἐπίσκοπος Ἀπόλλωνος ὑπέγραψα: —
178 Ἀνδρέας ἐπίσκοπος Ἑρμουπόλεως ὑπέγραψα: —
179 Φανίας ὁ ἐλάχιστος ἐπίσκοπος Ἁρπάσων ὑπέγραψα: —
180 Θεοσέβιος ἐπίσκοπος Πριήνης ὑπέγραψα: —
181 Μάξιμος ἐπίσκοπος ἀσιασ ὑπέγραψα: —
182 Θεόκτιστος ἐπίσκοπος Φωκείας ὑπέγραψα: —
183 Ἑρμόλαος ἐλάχιστος ἐπίσκοπος Ἀττουδαίων ὑπέγραψα: —

AΛptcukr

148 *tarbensis* Λk 152 *Terenuntheos* Λtc *Terenantheos* Λu 154 *Cobrithi* Λt *Cobrithensis* Λkr *Cobrinthiae* Λc *corinto* Λu 156. 155. 160. 157. 158 coll. A 157 *Paraliae* Λpu 161 *Amon* Λp *Ammonius* Λckr Βουτοῦς Λp Βουτοῦ Λtuk *Botu* Λc *Botuensis* Λr 162 εὔτυχοσ A uaria lectio in Λr 163 Θεοδότου Λtu 164 om. A post 155 coll. Λu 167 *Heraclius* Λkr 168 ἀντίου A *antheon* Λu 170 *cepiorum* Λp *scepiorum* Λu *sepliorum* Λc 172 *episcopus agens uices apostolicae sedis* Λr *episcopus apostolicae sedis* Λc IVITATVM A *ciuitatis* Λptukr om. Λc *Apolloniensium et Bellidiensium* [*Bellidensium ciuitatis* Λk] Λkr 175. 176. 174 coll. Λkr 174 πόλεως om. Λc *conosi* Λp *consi* Λu *cossensi* Λk 175 *Paulinianus* Λptukr *Paulianus* Λc et uaria lectio in Λpr *Paulinus Rusticus* in nota Λr 179 *Faneas* Λk 181 ἀσίασ AΛptcukr latere uidetur Ἀσσοῦ

[184] Θεόδωρος ἐπίσκοπος Γαδάρων ὑπέγραψα χειρὶ Αἰθερίου ἀρχιδιακόνου: —
[185] Ἀθανάσιος ἐπίσκοπος Πάρου τῆς νήσου ὑπέγραψα: —
[186] Παῦλος ἐπίσκοπος Ὀρύμνων ὑπέγραψα: —
[187] Τιμόθεος ἐπίσκοπος Βριούλων ὑπέγραψα: —
[188] Δανιὴλ ἐπίσκοπος Κολωνείας Καππαδοκίας ὑπέγραψα: —
[189] Ἀσκληπιάδης ἐπίσκοπος τῆς Τραπεζοπολιτῶν ὑπέγραψα: —
[190] Θεόδωρος ἐπίσκοπος πόλεως Ἐχίνου ὑπέγραψα: —
[191] BESSVLA[S] DIACONVS ECCLESIAE CARTAGENIENSIVM SVBSCRIBSI: —
[192] Στέφανος ἐπίσκοπος Τέω πόλεως Ἀσίας ὑπέγραψα: —
[193] Καισάριος χωρεπίσκοπος πόλεως Ἄρκης ὑπέγραψα: —
[194] Θεόδουλος ἐπίσκοπος Ἑλούσης ὑπέγραψα: —
[195] Θεόδωρος ἐπίσκοπος Ἀρινδηλῶν ὑπέγράψα: —
[196] Λητόιος ἐπίσκοπος Λιβιάδος ὑπέγραψα: —
[197] Ἀριστόκριτος ἐπίσκοπος Ὀλύμπου ὑπέγραψα: —

80 Latina uersio extat in Collectione Winteriana 3

Ὅρος τῆς αὐτῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τῆς ἐν Ἐφέσωι κατὰ τῶν δυσσεβῶν Μεσσαλιανιτῶν ἢ γοῦν Εὐχιτῶν

Συνελθόντες ἐφ' ἡμῶν οἱ εὐλαβέστατοι καὶ θεοφιλέστατοι ἐπίσκοποι Οὐαλεριανὸς καὶ Ἀμφιλόχιος καὶ σκέψιν προθέντες κοινὴν περὶ τῶν λεγομένων ἐν τοῖς τῆς Παμφυλίας μέρεσι Μεσσαλιανιτῶν εἴτ' οὖν Εὐχιτῶν ἢ γοῦν Ἐνθουσιαστῶν εἴτε ὁπωσοῦν ἡ μιαρωτάτη τῶν μνημονευθέντων αἵρεσις σαφηνισθείη, ἡμῶν δὲ διασκοπούντων, προεκόμισεν ὁ εὐλαβέστατος καὶ θεοσεβέστατος ἐπίσκοπος Οὐαλεριανὸς χαρτίον συνοδικὸν περὶ τούτων αὐτῶν συνταχθὲν ἐν τῆι μεγάληι Κωνσταντινουπόλει ἐπὶ τοῦ τῆς μακαρίας μνήμης Σισιννίου· ὃ καὶ ἀναγνωσθὲν ἐπὶ πάντων ἔδοξεν εὖ πεποιῆσθαι καὶ ὀρθῶς ἔχειν. καὶ συνήρεσεν ἅπασιν ἡμῖν καὶ τοῖς θεοφιλεστάτοις ἐπισκόποις Οὐαλεριανῶι καὶ Ἀμφιλοχίωι καὶ πᾶσι τοῖς τῶν Παμφύλων καὶ Λυκαόνων ἐπαρχιῶν εὐλαβεστάτοις ἐπισκόποις τὰ ἐν τῶι συνοδικῶι χαρτίωι τυπωθέντα κρατεῖν ἅπαντα καὶ κατὰ μηδένα τρόπον παραβαίνεσθαι αὐτά, βεβαίων ὄντων δηλαδὴ καὶ τῶν πεπραγμένων ἐν Ἀλεξανδρείαι, ὥστε τοὺς ὄντας κατὰ πᾶσαν ἐπαρχίαν τῆς Μεσσαλιανῶν ἢ γοῦν Ἐνθουσιαστῶν αἱρέσεως ἢ καὶ ἐν ὑποψίαις τῆς τοιαύτης νόσου γεγενημένους, εἴτε κληρικοὶ εἶεν εἴτε λαικοί, μεθοδεύεσθαι, καὶ ἀναθεματίζοντας κατὰ τὰ ἐν τῶι μνημονευθέντι συνοδικῶι διηγορευμένα ἐγγράφως, μένειν τοὺς μὲν κληρικοὺς ἐν τῶι κλήρωι, τοὺς δὲ λαικοὺς ἐν τῆι κοινωνίαι τῆς ἐκκλησίας· ἀνανεύοντας δὲ πρὸς τοῦτο καὶ μὴ ἀναθεματίζοντας, τοὺς μὲν πρεσβυτέρους καὶ διακόνους καὶ τοὺς ἕτερόν τινα βαθμὸν ἔχοντας ἐν ἐκκλησίαι ἐκπίπτειν καὶ κλήρου καὶ βαθμοῦ καὶ κοινωνίας, τοὺς δὲ λαικοὺς ἀναθεματίζεσθαι· μονα-

2 Phot. bibl. 52 p. 13ª 28 ἐξήνεγκε δὲ καὶ ὅρον ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος ἡ ἐν Ἐφέσωι τρίτη, ἀπογυμνώσασα αὐτῶν καὶ τὰ ἐν τῶι λεγομένωι αὐτῶν βιβλίωι Ἀσκητικῶι βλάσφημα καὶ αἱρετικὰ κεφάλαια καὶ καθυποβαλοῦσα τῶι ἀναθέματι 8/9 ibid. 7 sq.

AΛptcukr

[184] χειρὶ] *per alterius manum id est* Λkr *Etherici* Λk ἀρχιδιακόνου Λptcukr διακόνου A [186] Ὀρύμνων Λptcur *Orumnensis* Λk ὀρύμμων A [190] ἐχίνου AΛk *Echinei* Λcr *Eschinei* Λtu *Escinei* Λp [191] praemittit *Latinorum interpretatio* Λc BESSVLAS A ECCLESIAE om. Λk *Carthag.* Λp *Carthaginiensis* Λtkr *Carthaginensis* Λu *Carthaginis* Λc [193] Τέω πόλεως scripsi cf. V 62, 148 τάω πόλεωσ A *teopoleos* Λc *theopolitanus* Λk *theupolitanus* Λr *gaiupoleos* Λptu [193] ἐπίσκοπος Λptk [196. 197. 194] coll. Λp [195] *Aridelon* Λptc *Ariddelon* Λukr [195] λιτόιοσ A λιβυάδοσ A subscr. EXPLICIT EPISCOPORVM NOMINA QVI INTERFVERVNT SYNODO CONTRA NESTORIVM NVMERO CXCIII [CENTVM NONAGINTA SEX Λu] Λpu

20 ἐκπίπτειν Λ ἐκκόπτειν A

στήρια δὲ μὴ συγχωρεῖσθαι ἔχειν τοὺς ἐλεγχομένους ὑπὲρ τοῦ μὴ τὸ ζιζάνιον ἐκτείνεσθαι καὶ ἰσχύειν· πράττεσθαι δὲ ταῦτα παντὶ σθένει χρωμένων τῆς ἐπὶ τούτων σπουδῆς αὐτῶν τε τῶν θεοφιλεστάτων ἐπισκόπων Οὐαλεριανοῦ καὶ Ἀμφιλοχίου καὶ τῶν κατὰ πᾶσαν τὴν ἐπαρχίαν εὐλαβεστάτων ἐπισκόπων. συνήρεσε δὲ πρὸς τούτοις ἀναθεματισθῆναι τὸ βιβλίον τὸ προφερόμενον τῆς μιαρᾶς ἐκείνης αἱρέσεως τὸ λεγόμενον παρ' αὐτοῖς Ἀσκητικόν, τὸ προκομισθὲν παρὰ τοῦ εὐλαβεστάτου καὶ θεοφιλεστάτου ἐπισκόπου Οὐαλεριανοῦ, ὡς παρὰ τῶν αἱρετικῶν ἐκτεθέν, καὶ εἴ τι ἕτερον σύνταγμα τῆς ἐκείνων ἀνοσιότητος εὑρίσκοιτο παρά τισι, καὶ τοῦτο εἶναι ἀνάθεμα. ἐπὶ τούτοις ἀλλήλοις συμβεβηκότων τότε εἰς ὁμοψυχίαν καὶ κοινωνίαν καὶ διάθεσιν, ἀναγκαῖον ἦν ἐγγράφως τὰ δόξαντα φανερὰ καταστῆσαι· εἰ δὲ δή τις γένηται ζήτησις περὶ τούτων ἐν τῷδε τῷι πράγματι αὐτοῖς τε τοῖς θεοσεβεστάτοις ἐπισκόποις Οὐαλεριανῷι καὶ Ἀμφιλοχίωι καὶ τοῖς κατὰ πᾶσαν τὴν ἐπαρχίαν εὐλαβεστάτοις ἐπισκόποις καὶ εἴ τι δόξειεν ἀνακύπτειν τῶν δυσχερῶν ἢ ἀμφισβητησίμων, εὖ ἔδοξεν ἔχειν παραληφθέντων τῶν θεοσεβεστάτων ἐπισκόπων ἢ Λυκίων ἢ Λυκαόνων, οὐκ ἀπολιμπανομένου τοῦ μητροπολίτου ἧς ἂν ἕλοιντο ἐπαρχίας, εἰς τύπον ἀνάγεσθαι τὸν δέοντα διὰ τῆς αὐτῶν μεσιτείας τὰ κινούμενα.

81 Latina uersio extat in Collectione Winteriana 6

Ἴσον ὑπομνημάτων περὶ τῶν Κυπρίων ἐπισκόπων

d. 31. m. Aug. a. 431 Τοῖς μετὰ τὴν ὑπατείαν τῶν δεσποτῶν ἡμῶν Φλαυίου Θεοδοσίου τὸ ιγ̄ καὶ Φλαυίου Οὐαλεντινιανοῦ τὸ γ̄ τῶν αἰωνίων αὐγούστων πρὸ μιᾶς Καλανδῶν Σεπτεμβρίων, συνόδου συγκροτηθείσης κατὰ θεοῦ χάριν καὶ θέσπισμα τῶν θεοφιλεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων κατὰ τὴν Ἐφεσίων μητρόπολιν ἐν τῇι ἁγίαι ἐκκλησίαι τῇι καλουμένηι Μαρίαι,

Ῥηγῖνος ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας τῆς κατὰ Κωνστάντειαν τῆς Κύπρου εἶπεν· Ἐπειδὴ διαταράττουσι τινὲς τὰς παρ' ἡμῖν ἁγιωτάτας ἐκκλησίας, ἀξιῶ τὸν λίβελλον ὃν μετὰ χεῖρας ἔχω, ὑποδεχθέντα ἀναγινώσκεσθαι.

Ἡ ἁγία σύνοδος εἶπεν· Ὁ προκομισθεὶς λίβελλος ὑποδεχθεὶς ἀναγινωσκέσθω.

Τῇι ἁγιωτάτηι καὶ ἐνδόξωι καὶ μεγάληι συνόδωι τῇι χάριτι τοῦ θεοῦ καὶ νεύματι τῶν θεοφιλεστάτων ἡμῶν βασιλέων εἰς τὴν Ἐφεσίων θεοφύλακτον συναχθείσηι μητρόπολιν ἀξίωσις παρὰ Ῥηγίνου καὶ Ζήνωνος καὶ Εὐαγρίου ἐπισκόπων τῆς Κύπρου. Ἐκπαλαι μὲν καὶ ὁ ἅγιος ἡμῶν πατὴρ καὶ ἐπίσκοπος γεγονὼς Τρωίλος μυρία πέπονθεν ὑπὸ τοῦ Ἀντιοχέων κλήρου καὶ τοῦ θεοσεβεστάτου ἐπισκόπου Θεοδότου, βίαν οὐ τὴν τυχοῦσαν ὑπομείνας μέχρι καὶ πληγῶν, ἃς οὐκ ἦν προσῆκον οὐδὲ μαστιγίας ἀνθρώπους ὑπομένειν, ἀθέσμως καὶ παραλόγως καὶ ἀκανονίστως. δι' ἑτέραν μὲν ⟨γὰρ⟩ ὑπόθεσιν ἀφικομένου, ἐκείνης δὲ αἴσιον λαβούσης τέλος ἀποχρησάμενοι τῇι ἀφίξει βιάζεσθαί τε ἤθελον καὶ ὑποτάττειν ἑαυτοῖς τοὺς ἐν τῇι νήσωι ἁγίους ἐπισκόπους παρὰ τοὺς κανόνας τοὺς ἀποστολικοὺς καὶ τοὺς ὅρους τοὺς τῆς κατὰ Νίκαιαν ἁγιωτάτης συνόδου, καὶ νῦν γνόντες ὡς ὁ μακάριος τέλει τοῦ βίου ἐχρήσατο, παρεσκεύασαν τὸν μεγαλοπρεπέστατον στρατηλάτην Διονύσιον ἐπιστεῖλαι τῶι τε ἄρχοντι τῆς ἐπαρχίας προστάγματα καὶ τῶι ἁγιωτάτωι τῆς Κωνσταντιέων ἐκκλησίας κλήρωι γράμματα δημόσια, ἅτινα καὶ μετὰ χεῖρας ἔχομεν καὶ ἕτοιμοι ἐσμὲν τῇι ὑμετέραι ἐπιδεικνύειν ἁγιωσύνηι. τούτου χάριν δεόμεθα καὶ καθικετεύομεν μηδεμίαν [ἡμᾶς] καινοτομίαν συγχωρεῖν εἰσπράττεσθαι τοὺς οὐδὲν ἀτόλμητον ἡγουμένους, ἀνθρώπους ἄνωθεν καὶ ἐξ ἀρχῆς βουληθέντας παρὰ κανόνας ἐκκλησιαστικοὺς καὶ θεσμοὺς τοὺς ἐκτεθέντας παρὰ

19 ἥτις ἐστὶ λᾱ τοῦ Αὐγούστου μηνός A in mg.

AΛ

8 τότε scripsi] τά τε A 10 τε scripsi γε A 13 παραλειφθέντων Λ 31 οὔτε A 32 γὰρ Λ om. A 39 ἡμᾶς A om. Λ 40 εἰσπράττεσθαι A *inuehere* Λ

τῶν ἁγιωτάτων πατέρων τῶν ἐν τῇι Νικαέων συνελθόντων μεγάλῃι καὶ ἁγίαι συνόδωι τοῖς οὐδὲν προσήκουσιν ἐπιβαίνειν ἐθέλοντας ὅροις. ὡς γὰρ ἔφημεν, οὐκ ἂν παρωρμήθη σήμερον ὁ μεγαλοπρεπέστατος στρατηλάτης Διονύσιος, ἀνὴρ τὴν τῶν τακτικῶν φροντίδα μόνην ἐμπεπιστευμένος, καὶ ἃ μὴ προσήκει αὐτῶι, προσελάβετο, πρὸς τὰ ἐκκλησιαστικὰ πράγματα μηδένα λόγον ἔχων, εἰ μή γε ὑπὸ τῶν ὁσιωτάτων τῶν ἐκεῖσε συναχθέντων ἐπισκόπων καὶ τοῦ κλήρου αὐτῶν ἀπατηθεὶς νενόμικεν εἶναι κανονικόν, ὡς καὶ τὰ προστάγματα αὐτοῦ διαλαλεῖ, τὸ δίχα τῆς αὐτῶν γνώμης μὴ καθίστασθαι ἐν Κωνσταντείαι τῆι μητροπόλει τῆς Κύπρου ἐπίσκοπον. ἀξιοῦμεν δὲ αὐτὰ τὰ γράμματα τοῦ μεγαλοπρεπεστάτου στρατηλάτου ἀναγινώσκεσθαι καὶ τὰ ἐπιτάγματα καὶ σύμπαντα ὁμοῦ τὰ ἐπὶ ταύτηι τῆι τραγωιδίαι ἀποσταλέντα τε καὶ πεπραγμένα, ἵνα ἐξ αὐτῶν γνῶι ἡ ἁγία ὑμῶν καὶ μεγάλη σύνοδος τὴν ἀνύποιστον βίαν τὴν γεγενημένην· καὶ γὰρ οὐχ ὁ τυχὼν θόρυβος κατείληφε πᾶσαν τὴν μητρόπολιν. προσέτι γνωρίζομεν τῆι ὑμετέραι ἁγίαι συνόδωι ὅτι μετὰ τῶν τοῦ ἐνδοξοτάτου στρατηλάτου γραμμάτων καὶ διάκονος ἀπεστάλη τῆς Ἀντιοχέων ἁγίας ἐκκλησίας. δι' ὃ καθικετεύομεν καὶ προσπίπτομεν τοῖς ὑμετέροις ἁγίοις ἴχνεσι, κανονικῆι ψήφωι καὶ νῦν, ὥσπερ καὶ ἐξ ἀρχῆς ἀπό τε τῶν ἀποστολικῶν χρόνων καὶ τῶν θεσμῶν καὶ κανόνων τῆς ἁγιωτάτης καὶ μεγάλης συνόδου τῆς κατὰ Νίκαιαν ἄτρωτος καὶ ἀνεπιβούλευτος καὶ ἐλευθέρα πάσης καταδυναστείας διατετέλεκεν ἡ ἡμετέρα σύνοδος ἡ κατὰ Κύπρον, οὕτω καὶ νῦν τῆι ὑμετέραι ἀδεκάστωι καὶ δικαιοτάτηι ψήφωι καὶ τῶι ὑμετέρωι θεσμῶι ὑπάρξαι ἡμῖν δίκαιον.

Ῥηγῖνος ἐπίσκοπος Κωνσταντείας τῆς Κύπρου ὑπέγραψα χειρὶ ἐμῆι.

Ζήνων ἐπίσκοπος τῆς κατὰ τὸ Κούριον ἁγίας τοῦ θεοῦ ἐκκλησίας τῆς Κύπρου ὑπέγραψα χειρὶ ἐμῆι.

Εὐάγριος ὁ ἐλάχιστος ἐπίσκοπος τῆς κατὰ Σόλους τῆς Κύπρου ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὑπέγραψα χειρὶ ἐμῆι.

Ῥηγῖνος ἐπίσκοπος εἶπεν· Ἐπειδὴ καὶ πρόσταγμα ἐπιφερόμεθα τοῦ μεγαλοπρεπεστάτου στρατηλάτου Διονυσίου γραφὲν πρὸς τὸν λαμπρότατον ἄρχοντα τῆς ἐπαρχίας, ἀξιῶ γενέσθαι αὐτοῦ τὴν ἀνάγνωσιν.

Ἡ ἁγία σύνοδος εἶπεν· Ἀναγινωσκέσθω καὶ τὸ τοῦ μεγαλοπρεπεστάτου Διονυσίου πρόσταγμα.

FLAVIVS DIONYSIVS VIR CLARISSIMVS ET MAGNIFICENTISSIMVS MAGI· VTRIVSQVE MILITIAE THEODORO VIRO CLARISSIMO CONSVL· PROVINCIAE CYPRI. IMPERIALIS AVCTORITAS MVLTAS OB CAVSAS ET MAXIME ECCLESIASTICAS REVERENTISSIMOS ANTISTITES EFESVM CONVENIRE DIVINIS APICIBVS DISPOSVIT PROROGATIS. QVIA ITAQVE CONPERIMVS CONSTANTIAE CIVITATIS ANTISTITEM A PRAESENTI VITA MIGRASSE ET DIEM SIBI PRAEFINITVM COMPLESSE, NECESSARIAM HANC AD TE AVCTORITATEM ESSE CENSVIMVS EMITTENDAM, SCILICET VT NE QVIS SINE CONSCIENTIA VEL DISPOSITIONE REVERENTISSIMI CONVENTVS AVDEAT IN DEFVNCTI LOCVM ALIQVEM NOMINARE. EXPECTARI NAMQVE CONVENIT FORMAM QVAM TOT REVERENTISSIMORVM EPISCOPORVM DABIT ADSENSVS. SICVT ENIM DICTVM EST, HARVM GRATIA RERVM MEMORATI RELIGIOSISSIMI VIRI CONVENIRE PRAECEPTI SVNT. SI ITAQVE MOTVM CONTVMACIBVS DEBITVM TAM TVA GRAVITAS QVAM OFFICIVM OBTEMPERANS SIBI DESIDERAT EVITARE, ID MODIS OMNIBVS PROHIBEBIT NEC ALI-

---

A, Λ [usque ad 29]

2 ἐθέλοντας male additum 6 προστάγματα Λ πράγματα A 30—p. 120, 10 om. Λ 30/31 MGIVTRVSQVE A 32 AVSTORITAS A 36 EMTTENDAM A SCILICET A QVIS| CVIS A 37 REVERENTISSIM A 38 NOMINRE A FORMAV A 39 DICTV A 40 MEMORTI A

QVEM, QVOD DICTVM EST, PROVEHI PATIATVR ANTE AVCTORITATEM HORVM QVORVM INTERESSE REVERENTISSIMORVM DICITVR SACERDOTVM. QVODSI HAS AVCTORITATES EIVS DE QVO AGITVR ORDINATIO PRAECESSIT ANTISTITIS, EVM PRO CAELESTI ORACVLO AD EFESVM SICVT ALIOS FACIAS PERVENIRE. NEC ENIM IGNORARE DEBES QVOD SI SECVS ALIQVID FVERIT PERTEMPTATVM, TV QVIDEM QVINQVE LIBRAS AVRI, OFFICIVM VERO ALIAS TOT FISCI VIRIBVS INFERRE COGIMINI. VT AVTEM HAEC QVAE PRO POSTVLATIONE RELIGIOSISSIMORVM ANTISTITVM VIDENTVR ESSE DISPOSITA, MATVRVM SORTIANTVR EFFECTVM, MATVRIVM ET ADELFIVM IVSSIMVS EX OFFICIO SPECIALITER DESTINARI. DATA DVODECIMO CALENDAS IVNIAS ANd. 21. m. Mai. a. 431 TIOCHIAE.

Ἑρμηνεία

Φλάυιος Διονύσιος ὁ λαμπρότατος καὶ μεγαλοπρεπέστατος μάγιστρος ἑκατέρας στρατείας Θεοδώρωι τῶι λαμπροτάτωι ὑπατικῶι τῆς Κυπρίων χώρας. Ἡ βασιλικὴ αὐθεντία διὰ πολλὰς αἰτίας καὶ μάλιστα ἐκκλησιαστικὰς τοὺς εὐλαβεστάτους ἐπισκόπους κατ' Ἔφεσον συνελθεῖν θείαις ἐκτεθείσαις διετύπωσε κεραίαις. ἐπειδὴ τοίνυν ἔγνωμεν τὸν ἐπίσκοπον Κωνσταντείας τῆς πόλεως ἐκ τοῦ παρόντος μεταστῆναι βίου καὶ τὴν προορισθεῖσαν αὐτῶι ἡμέραν πεπληρωκέναι, ἀναγκαίαν ταύτην τὴν αὐθεντίαν πρὸς σὲ πεμπτέαν εἶναι δηλαδὴ ἐκρίναμεν, ἵνα μή τις χωρὶς συνειδήσεως ἢ διατυπώσεως τῆς εὐλαβεστάτης συνόδου τολμήσοι εἰς τὸν τοῦ τελευτήσαντος τόπον τινὰ ὀνομάσαι. πρέπει γὰρ ἀναμεῖναι τὸν τύπον ὃν τῶν τοιούτων εὐλαβεστάτων ἐπισκόπων ἡ συναίνεσις δοίη. ὡς γὰρ λέλεκται, τούτων χάριν τῶν πραγμάτων οἱ μνημονευθέντες θεοφιλέστατοι ἄνδρες συνελθεῖν παρηγγέλθησαν. ἐὰν τοίνυν τὴν τοῖς φιλονείκοις ὀφειλομένην κίνησιν τοῦτο μὲν ἡ σὴ στιβαρότης, τοῦτο δὲ καὶ ἡ πειθομένη αὐτῆι τάξις σπεύδηι ἐκφυγεῖν, τοῦτο πᾶσι τρόποις κωλύσει καὶ μή τινα, ὡς εἴρηται, προελθεῖν ἀνάσχηται πρὸ τῆς αὐθεντίας τῶν μεσιτευόντων εὐλαβεστάτων ἐπισκόπων. διὸ εἰ ταύτας τὰς αὐθεντίας προέλαβεν ἡ τοῦ ἀμφισβητουμένου ἐπισκόπου χειροτονία, τοῦτον κατὰ τὸ οὐράνιον ἀπόφθεγμα εἰς Ἔφεσον ὡς τοὺς ἄλλους ποιήσεις παραγενέσθαι. οὐ γὰρ ὀφείλεις ἀγνοεῖν ὅτι περ εἰ ἀλλοίως τι δοκιμασθῆι γενέσθαι, σὺ μὲν πέντε χρυσίου λίτρας, ἡ δὲ τάξις ἄλλας τοσαύτας τῶι δημοσίωι εἰσκομίσαι καταναγκασθῆτε. ὅπως δὲ ταῦτα τὰ κατὰ τὴν τῶν εὐλαβεστάτων ἐπισκόπων αἴτησιν δόξαντα διατυποῦσθαι ταχεῖαν κληρώσωνται ἄνυσιν, Ματούριον καὶ Ἀδέλφιον ἐκελεύσαμεν ἐκ τῆς τάξεως ἰδικῶς ἀποσταλῆναι. ἐδόθη πρὸ ιβ̄ Καλανδῶν Ἰουνίων ἐν Ἀντιοχείαι.

Ῥηγῖνος ἐπίσκοπος εἶπεν· Ἔστι καὶ ἕτερον πρόσταγμα τοῦ αὐτοῦ μεγαλοπρεπεστάτου στρατηλάτου Διονυσίου γραφὲν πρὸς τὸν εὐλαβέστατον κλῆρον τῆς Κωνσταντιέων μητροπόλεως, καὶ ἀξιῶ καὶ τοῦτο ἀναγνωσθῆναι.

Ἡ ἁγία σύνοδος εἶπεν· Ἀναγνωσθὲν καὶ τοῦτο ἐμφερέσθω τῆι πράξει τῶν ὑπομνημάτων.

Φλαύιος Διονύσιος ὁ μεγαλοπρεπέστατος καὶ ἐνδοξότατος κόμης καὶ στρατηγὸς ἑκατέρας δυνάμεως καὶ ἀπὸ ὑπάτων τοῖς εὐλαβεστάτοις κληρικοῖς τῆς ἁγιωτάτης ἐκκλησίας τῆς ἐν τῆι μητροπόλει Κωνσταντείαι τῆς Κύπρου. Οἶδε καὶ ἡ ὑμετέρα θεοσέβεια ὡς οἱ τροπαιοῦχοι καὶ καλλίνικοι δεσπόται τῆς οἰκουμένης τοὺς ὁσιωτάτους καὶ ἁγιωτάτους εἰς Ἔφεσον συνελθεῖν ἐθέσπισαν ἐπισκόπους διὰ πολλὰς μὲν καὶ ἄλλας, μάλιστα δὲ τὰς ἐκκλησιαστικὰς αἰτίας. ἐπεὶ οὖν ἔγνωμεν, αὐτῶν τῶν ἁγιωτάτων ἐπισκόπων ἡμᾶς τῶν ἐνταῦθα συνελθόντων διδαξάντων, ὡς ὁ γενόμενος ὑμῶν μακαριώτατος ἐπίσκοπος κατὰ

A, Λ [inde a 12]

1 PRVEHI A 2 INTEREST A 3 CELESTI A 8 MARTVRIVN A ADELFVM A

βούλησιν κεκοίμηται θεικήν, ἀναγκαῖον ὠιήθην δῆλον ὑμῶν τῆι εὐλαβείαι ποιῆσαι καὶ παρεγγυῆσαι [καὶ] παραφυλάξασθαι ὑμᾶς τοῦ μηδένα παρά τινος εἰς ἐπίσκοπον ψηφισθῆναι ἢ καὶ χειροτονηθῆναι· πάντως γὰρ καὶ περὶ τούτου δοθήσεται τύπος· ἀλλ' ἀναμείνατε τὸν ἐντεῦθεν δοθησόμενον ὅρον. ἀκόλουθον γὰρ καὶ τῶι ἐκκλησιαστικῶι πρέπον θεσμῶι τὸ τοῖς ἁγίοις πατράσι τὰ τῶν πατέρων φυλάσσειν. εἰ δὲ καὶ ἄρα πρὸ τῶν ἡμετέρων γραμμάτων συνέβη τινὰ ἐνθρονιασθῆναι, ὅπερ οὐκ οἰόμεθα, τοῦτον μετὰ τῶν ἄλλων εὐλαβεστάτων ἀνδρῶν εἰς τὴν Ἔφεσον κατὰ τὰ θειωδῶς θεσπισθέντα ὑπομνήσατε παραγενέσθαι, οὐκ ἀγνοοῦντες ὡς ἀκολουθήσει μὲν ἔπαινος τοῖς πειθομένοις, ἀπειθοῦντας δὲ ὁ προσήκων καὶ παρὼν προσηκόντως διορθώσεται τύπος.

Ἡ ἁγία σύνοδος εἶπε· Τὰ μὲν ἀναγνωσθέντα φανερά· ἐπειδὴ δὲ ἡ αἰτία ἡ κινήσασα τὸν μεγαλοπρεπέστατον καὶ ἐνδοξότατον στρατηλάτην Διονύσιον πρὸς τὸ ταῦτα ἐπιστεῖλαι ἀμυδρότερον ἔγκειται τοῖς προστεταγμένοις, διδασκέτωσαν οἱ παρόντες θεοφιλέστατοι ἐπίσκοποι τῶν ἁγίων ἐκκλησιῶν τῶν ἐν τῆι Κύπρωι σαφέστερον, τί τὸ κινῆσαν τὸν μεγαλοπρεπέστατον στρατηλάτην πρὸς τὸ ταῦτα ἐκπέμψαι τὰ προστάγματα.

Ζήνων ἐπίσκοπος πόλεως Κουρίου τῆς Κύπρου εἶπε· Καὶ ὁ τῆς μακαρίας μνήμης Σαπρίκιος ὁ ἐπίσκοπος ὁ σὺν ἡμῖν παραγενόμενος ταύτης ἕνεκα τῆς χρείας ἐληλύθει. ἐπεὶ οὖν μετέστη τοῦ βίου, ἀναγκαίως ἡμεῖς διδάσκομεν τὴν ἁγίαν ὑμῶν καὶ οἰκουμενικὴν σύνοδον ὅτι γε καθ' ὑποβολὴν τοῦ Ἀντιοχέως ἐπισκόπου καὶ κλήρου ὁ μεγαλοπρεπέστατος στρατηλάτης τὰ προστάγματα ἐξαπέστειλε τῶι τε ἄρχοντι καὶ τῶι κλήρωι.

Ἡ ἁγία σύνοδος εἶπε· Τί βουλομένου τοῦ Ἀντιοχέως;

Εὐάγριος ἐπίσκοπος Σόλων τῆς Κύπρου εἶπε· Κατέχειν τὴν ἡμετέραν νῆσον καὶ ἁρπάζειν εἰς ἑαυτὸν τὰς χειροτονίας ἐπιχειροῦντος παρά γε τοὺς κανόνας καὶ τὴν ἄνωθεν καὶ ἐξ ἀρχῆς κρατήσασαν συνήθειαν.

Ἡ ἁγία σύνοδος εἶπεν· Οὐδέποτε οὖν φαίνεται ὁ τῆς Ἀντιοχέων χειροτονήσας ἐπίσκοπον ἐν τῆι Κωνσταντείαι;

Ζήνων ἐπίσκοπος Κουρίου τῆς Κύπρου εἶπεν· Ἀπὸ τῶν ἁγίων ἀποστόλων οὐδέποτε ἔχουσι δεῖξαι ὅτι ἐπέστη Ἀντιοχεὺς καὶ ἐχειροτόνησεν οὔτε ἐπεκοινώνησέ ποτε τῆι νήσωι χειροτονίας χάριν οὔτε ἕτερός τις.

Ἡ ἁγία σύνοδος εἶπε· Μέμνηται ἡ ἁγία σύνοδος τοῦ κανόνος τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι συναχθέντων κατ' ἐκεῖνο καιροῦ φυλάττοντος ἑκάστηι ἐκκλησίαι τὰ πρεσβεῖα, ἔνθα μέμνηται καὶ τῆς Ἀντιοχέων πόλεως. διδάσκετε τοίνυν εἰ μὴ ἐξ ἔθους ἀρχαίου τὸ δίκαιον τοῦ χειροτονεῖν παρ' ὑμῖν ἔχει ὁ τῆς Ἀντιοχέων ἐκκλησίας ἐπίσκοπος. Can. Nic. 6

Ζήνων ἐπίσκοπος εἶπε· Φθάσαντες κατεθέμεθα ὡς οὐδέποτε ἐπέστη οὔτε μὴν ἐχειροτόνησέ ποτε οὔτε ἐν τῆι μητροπόλει οὔτε ἐν ἑτέραι πόλει, ἀλλ' ἡ σύνοδος ἡ τῆς ἡμετέρας ἐπαρχίας συναγομένη κατὰ τοὺς κανόνας καθιστᾶι τὸν παρ' ἡμῖν μητροπολίτην, καὶ ἀξιοῦμεν τὴν ὑμετέραν ἁγίαν σύνοδον ἐπιψηφίσασθαι τούτοις καὶ βεβαιῶσαι ταῦτα, ὥστε τὰ ἀρχαῖα ἔθη τὰ κρατήσαντα ταῦτα καὶ νῦν κρατεῖν καὶ μηδεμίαν καινοτομίαν ὑπομένειν παρά τινων τὴν ἡμετέραν ἐπαρχίαν.

Ἡ ἁγία σύνοδος εἶπε· Διδασκέτωσαν καὶ πάλιν οἱ θεοφιλέστατοι ἐπίσκοποι· Τρωίλος ὁ τῆς ὁσίας καὶ μακαρίας μνήμης ὁ νῦν ἀναπαυσάμενος ἢ ὁ πρὸ αὐτοῦ ὁ τῆς ἁγίας μνήμης Σαβῖνος ἢ ὁ πρὸ ἐκείνων ἀοίδιμος Ἐπιφάνιος παρὰ ποίας συνόδου κεχειροτόνηνται;

Ζήνων ἐπίσκοπος εἶπε· Καὶ οὗτοι οἱ νῦν μνημονευθέντες ἅγιοι ἐπίσκοποι καὶ οἱ πρὸ αὐτῶν ὁσιώτατοι ἐπίσκοποι καὶ οἱ ἀπὸ τῶν ἁγίων ἀποστόλων, ὄντες πάντες ὀρθόδοξοι, παρὰ τῶν ἐν τῆι Κύπρωι κατέστησαν καὶ οὐδέποτε χώραν ἔσχεν ὁ τῆς Ἀντιοχέων ἐπίσκοπος ἢ ἕτερός τις εἰς τὴν ἐπαρχίαν τὴν ἡμετέραν χειροτονίαν ποιήσασθαι

ΑΛ

2 καὶ A om. Λ 12 προτεταγμένοις Λ 39 ἐπίσκοποι A διδάσκαλοι Λ

Ἡ ἁγία σύνοδος εἶπε· Πρᾶγμα παρὰ τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς καὶ τοὺς κανόνας τῶν ἁγίων πατέρων καινοτομούμενον καὶ τῆς πάντων ἐλευθερίας ἁπτόμενον προσήγγειλεν ὁ θεοσεβέστατος συνεπίσκοπος Ῥηγῖνος καὶ οἱ σὺν αὐτῶι εὐλαβέστατοι ἐπίσκοποι τῆς Κυπρίων ἐπαρχίας Ζήνων καὶ Εὐάγριος· ὅθεν ἐπειδὴ τὰ κοινὰ πάθη μείζονος δεῖται τῆς θεραπείας ὡς καὶ μείζονα τὴν βλάβην φέροντα, εἰ μηδὲ ἔθος ἀρχαῖον παρηκολούθησεν ὥστε τὸν ἐπίσκοπον τῆς Ἀντιοχέων πόλεως τὰς ἐν Κύπρωι ποιεῖσθαι χειροτονίας, καθὰ διὰ τῶν λιβέλλων καὶ τῶν οἰκείων φωνῶν ἐδίδαξαν οἱ εὐλαβέστατοι ἄνδρες οἱ τὴν πρόσοδον τῆι ἁγίαι συνόδωι ποιησάμενοι, ἔξουσιν τὸ ἀνεπηρέαστον καὶ ἀβίαστον οἱ τῶν ἁγίων ἐκκλησιῶν τῶν κατὰ τὴν Κύπρον προεστῶτες, κατὰ τοὺς κανόνας τῶν ὁσίων πατέρων καὶ τὴν ἀρχαίαν συνήθειαν δι' ἑαυτῶν τὰς χειροτονίας τῶν εὐλαβεστάτων ἐπισκόπων ποιούμενοι. τὸ δὲ αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων διοικήσεων καὶ τῶν ἁπανταχοῦ ἐπαρχιῶν παραφυλαχθήσεται, ὥστε μηδένα τῶν θεοφιλεστάτων ἐπισκόπων ἐπαρχίαν ἑτέραν οὐκ οὖσαν ἄνωθεν καὶ ἐξ ἀρχῆς ὑπὸ τὴν αὐτοῦ ἢ γοῦν τῶν πρὸ αὐτοῦ χεῖρα καταλαμβάνειν, ἀλλ' εἰ καί τις κατέλαβεν καὶ ὑφ' ἑαυτὸν πεποίηται βιασάμενος, τοῦτον ἀποδιδόναι, ἵνα μὴ τῶν πατέρων οἱ κανόνες παραβαίνωνται μηδὲ ἐν ἱερουργίας προσχήματι ἐξουσίας τῦφος κοσμικῆς παρεισδύηται μηδὲ λάθωμεν τὴν ἐλευθερίαν κατὰ μικρὸν ἀπολέσαντες, ἣν ἡμῖν ἐδωρήσατο τῶι ἰδίωι αἵματι ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ πάντων ἀνθρώπων ἐλευθερωτής. ἔδοξεν τοίνυν τῆι ἁγίαι καὶ οἰκουμενικῆι συνόδωι σώιζεσθαι ἑκάστηι ἐπαρχίαι καθαρὰ καὶ ἀβίαστα τὰ αὐτῆι προσόντα δίκαια ἐξ ἀρχῆς καὶ ἄνωθεν κατὰ τὸ πάλαι κρατῆσαν ἔθος, ἄδειαν ἔχοντος ἑκάστου μητροπολίτου τὰ ἴσα τῶν πεπραγμένων πρὸς τὸ οἰκεῖον ἀσφαλὲς ἐκλαβεῖν. εἰ δέ τις μαχόμενον τύπον τοῖς νῦν ὡρισμένοις προκομίσοι, ἄκυρον τοῦτον εἶναι ἔδοξεν τῆι ἁγίαι πάσηι καὶ οἰκουμενικῆι συνόδωι.

82 Latina uersio extat in Collectione Winteriana 4

Ἴσον λιβέλλου ἐπιδοθέντος τῆι ἁγίαι συνόδωι παρὰ Εὐπρεπίου ἐπισκόπου Βύζης καὶ Ἀρκαδιουπόλεως καὶ Κυρίλλου ἐπισκόπου Κοίλων

Τῆι ἁγίαι καὶ οἰκουμενικῆι συνόδωι τῆι κατὰ θεοῦ χάριν καὶ νεῦμα τῶν εὐσεβεστάτων βασιλέων συγκροτηθείσηι ἐν τῆι Ἐφεσίων μητροπόλει παρὰ Εὐπρεπίου ἐπισκόπου Βύζης καὶ Ἀρκαδιουπόλεως καὶ Κυρίλλου Κοίλων. Ἔθος ἐκράτησεν ἀρχαῖον ἐπὶ τῆς Εὐρωπαίων ἐπαρχίας ἕκαστον τῶν ἐπισκόπων καὶ δύο καὶ τρεῖς ἔχειν ὑφ' ἑαυτὸν πόλεις, ὅθεν ὁ μὲν τῆς Ἡρακλείας ἐπίσκοπος ἔχει τήν τε Ἡράκλειαν καὶ τὸ Πάνιον καὶ Ὀρνοὺς καὶ Γάνον, τέσσαρας πόλεις τὸν ἀριθμόν, ὁ δὲ τῆς Βύζης ἐπίσκοπος ἔχει τήν τε Βύζην καὶ Ἀρκαδιούπολιν, ὁ δὲ Κοίλων ὁμοίως ἔχει τήν τε Κοῖλα καὶ Καλλίπολιν, ὁ δὲ Σαυσαδίας ἐπίσκοπος ἔχει τήν τε Σαυσαδίαν καὶ Ἀφροδισιάδα, δύο τῶν τῆς Εὐρώπης ἐπισκόπων ἄνωθεν καὶ ἐξ

1—22 κανὼν οὗτος η̄ τῆς ἁγίας ἀνελήφθη συνόδου A in mg.

AΛ et usque ad 22 codices canonum [K = abcdeflpqruy]

1 inscr. ψῆφοσ τῆσ αὐτῆσ ἁγίασ συνόδου ἐκφωνηθεῖσα [ἐκφωνιθὲν u] ἐκ προσελεύσεωσ [προελεύσεωσ dp] γενομένησ αὐτῆ παρὰ τῶν κυπρίων ἐπισκόπων K η K Ἡ — εἶπε om. K 2 πατέρων] ἀποστόλων de προήγγειλεν pq 3 θεοφιλέστατοσ K ἐπίσκοποσ du 4 ἐπαρχίασ καὶ l 5 φέροντα] φέροντα ὁρίζομεν ὥστε lr μὴ δὲ abcefpquy μηδὲν A μὴ dlrΛ ὥστε om. lr 7 προσέλευσιν lr 8 ἔξουσιν] ἔχειν lr 8/9 τοὺσ — προεστῶτασ lr 9 κατὰ²] καὶ A ὁσίων] ἁγίων pq 10 καὶ δι' lr ποιεῖσθαι lr 13 ἑαυτοῦ¹ l ἢ — αὐτοῦ om. c 14 ἑαυτὸν Alr ἑαυτῶ abcefpquy ἑαυτοῦ d τοῦτον ΛK καὶ τοῦτον A 16 μάθωμεν d ἰδίω K οἰκείω A 17 ὁ χ̄σ̄ e 18/19 αὐτῆσ uy 20 ἐκβαλεῖν lr post ἐκλαβεῖν add. *si autem quis ueterem figuram contempserit, poenam non effugiet* Λ 21 πρὸσκωμίσοι u προσκομίσει c *attulerit* Λ προκομίσει A 22 πάσηι] ταύτη u

ἀρχῆς [τὰς] ἐκκλησίας διοικούντων καὶ μηδέποτε τῶν μνημονευθεισῶν πόλεων ἰδίους δεξαμένων ἐπισκόπους, ἀλλ' αἳ μὲν ὑπὸ τὸν Ἡρακλείας ἔτυχον ἐξ ἀρχῆς εἶναι, ἡ δὲ ὑπὸ τὸν Βύζης ἐπίσκοπον, ἡ Ἀρκαδιούπολις λέγω· ἡ δὲ Καλλίπολις ὁμοίως ὑπὸ τὸν Κοίλων ἐπίσκοπον. ἐπεὶ οὖν νῦν ὁ τῆς Ἡρακλείας ἐπίσκοπος Φριτιλᾶς τῆς ἁγίας ἀποστατήσας συνόδου προσένειμεν ἑαυτὸν Νεστορίωι καὶ τοῖς τὰ αὐτοῦ φρονοῦσιν, ὑφορώμεθα δὲ μήποτε ὡς δυσμενεῖς ἀμυνόμενος ἡμᾶς ἢ αὐτὸς ἢ οἱ μετ' αὐτὸν τὴν τῆς Ἡρακλείας ἐπισκοπὴν διοικοῦντες ἔλθωσιν ἐπὶ τὸ χειροτονεῖν ἐπισκόπους παρὰ τὴν ἐξ ἀρχῆς κρατήσασαν συνήθειαν ἐν ταῖς μνημονευθείσαις πόλεσι ταῖς ὑφ' ἡμᾶς ταῖς μηδέποτε ἰδίους ἐπισκόπους λαβούσαις, τά τε ἀρχαῖα ἔθη καὶ τὴν ἄνωθεν καὶ ἐξ ἀρχῆς κρατήσασαν συνήθειαν παρασαλεῦσαι βουλόμενοι διὰ τῆς καινοτομίας, δεόμεθα τῆς ὑμετέρας θεοσεβείας ὅρον ἐξενεχθῆναι περὶ τούτου παρὰ τῆς ἁγίας ὑμῶν καὶ μεγάλης συνόδου οἰκείαι τε ὑποσημειώσει βεβαιῶσαι τοῦτον ἐπὶ τῶι μήτε ἡμᾶς τῶν ἡμετέρων ἐκκλησιῶν ἀποστερηθῆναι, ἐν αἷς πλεῖστα κεκμήκαμεν, μήτε τὸ ἀρχαῖον ἔθος καὶ ἐν μακρῶι χρόνωι βεβαιωθὲν ὑπό τινος τῶν μνημονευθέντων παρασαλευθῆναι καὶ πολέμους καὶ μεγίστην ἀταξίαν ἐμποιῆσαι τοῖς τῆς Εὐρώπης ἐπισκόποις. καὶ τούτου τυχόντες χάριν εἰσόμεθα τῶι τῶν ὅλων θεῶι τῶι τὴν ὑμετέραν ὁσιότητα ἐνταῦθα συναθροίσαντι ἐπὶ διορθώσει τῶν κατὰ τὴν οἰκουμένην ἐκκλησιῶν.

Ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος εἶπεν· Εὔλογος ἡ αἴτησις τῶν θεοφιλεστάτων ἐπισκόπων Εὐπρεπίου καὶ Κυρίλλου, ἣν δηλοῦσιν οἱ ὑποτεταγμένοι λίβελλοι· ὅθεν καὶ τῶν ἁγίων κανόνων καὶ τῶν ἔξωθεν νόμων τὰ ἔθη τὰ ἀρχαῖα δεχομένων ἐν τάξει νόμου οὐδὲν καινοτομηθήσεται περὶ τὰς πόλεις Εὐρώπης, ἀλλὰ κατὰ τὴν παλαιὰν συνήθειαν τελέσουσιν ὑπὸ τοὺς ἐπισκόπους, ὑφ' οὓς καὶ ἄνωθεν, οὐδενὸς οὔτε τοῦ νῦν ὄντος μητροπολίτου, ὅς γε καὶ ἄλλως ἀφήιρηται τὴν ἐξουσίαν, οὔτε τῶν μετ' αὐτὸν ἐσομένων δυναμένου τι καινουργῆσαι παρὰ τὴν ἀρχαίαν κατάστασιν.

83 Latina uersio extat in Collectione Winteriana 5

Ἴσον ἐπιστολῆς τῆς ἁγίας συνόδου πρὸς τὴν σύνοδον τῆς Παμφυλίας περὶ Εὐσταθίου τοῦ γενομένου αὐτῶν μητροπολίτου

Ἡ ἁγία σύνοδος ἡ κατὰ θεοῦ χάριν καὶ νεύμασι τῶν θεοφιλεστάτων βασιλέων ἐν τῆι Ἐφεσίων συγκροτηθεῖσα τῆι ἁγίαι συνόδωι τῆι κατὰ Παμφυλίαν, ἀγαπητοῖς ἀδελφοῖς καὶ συλλειτουργοῖς, ἐν κυρίωι χαίρειν. Μετὰ βουλῆς πάντα ποίει τῆς θεοπνεύστου λεγούσης γραφῆς, χρὴ δὴ μάλιστα τοὺς ἱερᾶσθαι λαχόντας μετὰ πάσης ἀκριβείας τὴν ἐφ' ἅπασι τοῖς πρακτέοις ποιεῖσθαι διάσκεψιν· διαβιοῦν γὰρ οὕτως ἐθέλουσιν ἐν καλῶι τῆς ἐλπίδος κεῖσθαί τε τὰ κατ' αὐτοὺς καὶ οἷον ἐξ οὐρίας ἐν τοῖς κατ' εὐχὴν ἀποφέρεσθαι συμβαίνει καὶ πολὺ τό γε εἰκὸς ὁ λόγος ἔχει. ἀλλ' οἶδεν ἔσθ' ὅτε δριμεῖα καὶ ἀφόρητος λύπη κατασκήψασα νοῦ καταθολῶσαί τε δεινῶς αὐτὸν καὶ τῆς τῶν δεόντων ἀποκομίσαι θήρας ἀναπεῖσαί τε τὸ πεφυκὸς ἀδικεῖν ὥς τι τῶν ὀνησιφόρων ἰδεῖν. τοιοῦτόν τι πεπονθότα τεθεάμεθα τὸν εὐλαβέστατον καὶ θεοσεβέστατον ἐπίσκοπον Εὐστάθιον. κεχειροτόνηται μὲν γάρ, ὡς μεμαρτύρηται, κανονικῶς, τεθορυβημένος δέ, ὥς φησιν, παρὰ τινῶν καὶ ἀδοκήτοις περι-

---

ΑΛ

1 τὰς deleui 4 φριτηλᾶσ A

ΑΛ et codices canonum [K = abcdeflpqruy]

25 ἴσον — παμφυλίασ ΑΛ ἐπιστολὴ τῆσ αὐτῆσ ἐν ἐφέσω ἁγίασ συνόδου πρὸσ τὴν [τὴν om. c] ἐν παμφυλία [πανφυλήα c παμφιλία u] εὐαγῆ σύνοδον K εὐστάθιον d 26 γινομένου y 27—29 Ἡ — χαίρειν om. K 29 πάντων l 30 χρὴ δὴ Apq χρὴν δεῖ abcdefly χρῆναι δεῖ r δεῖν u 31 ἐν] ὡσ ἐν u 32 κατὰ ταυτοὺσ r ἐξ οὐρίας] ἐξουσίασ d συνβαίνειν c πολλοὶ y 34 νοῦν dlry τε] δε c τε καὶ r τε τὸ] τε τότε d τι τῶ u 36 καὶ — ἐπίσκοπον om. d ἐπίσκοπον om. e 37 τεθορυβημέναισ lry δὲ καὶ ὡσ u φασὶ f

στάσεσιν ἐμβεβηκώς, εἶτα ἐκ πολλῆς ἄγαν ἀπραγμοσύνης ἀπειρηκὼς τὴν ἀντίστασιν τῶν ἐπενηνεγμένων αὐτῶι φροντίδων, καὶ διακρούεσθαι τὰς παρὰ τῶν ἐπιφυομένων αὐτῶι δυσφημίας δυνάμενος, παραιτήσεως οὐκ ἴσμεν ὅπως προσεκόμισε βιβλίον. ἔδει γὰρ ὡς ἅπαξ ἐγκεχειρισμένον ἱερατικὴν φροντίδα ταύτης ἔχεσθαι μετ' εὐρωστίας πνευματικῆς καὶ οἷον ἀνταποδύεσθαι τοῖς πόνοις καὶ ἱδρῶτα τὸν ἔμμισθον ἐθελοντὴν ὑπομεῖναι. ἐπειδὴ δὲ ἅπαξ ὀλιγώρως ἔχοντα παρέδειξεν ἑαυτόν, τοῦτο παθὼν ἐξ ἀπραγμοσύνης μᾶλλον ἢ ὄκνου καὶ ῥαθυμίας, κεχειροτόνηκεν ἀναγκαίως ἡ ὑμετέρα θεοσέβεια τὸν εὐλαβέστατον καὶ θεοσεβέστατον ἀδελφὸν ἡμῶν καὶ συνεπίσκοπον Θεόδωρον φροντιοῦντα τῆς ἐκκλησίας· οὐ γὰρ ἦν ἀκόλουθον χηρεύειν αὐτὴν καὶ ἐπιστάτου δίχα διατελεῖν τοῦ σωτῆρος τὰ ποίμνια. ἐπειδὴ δὲ προσῆλθεν κλαίων, οὐ περὶ τῆς πόλεως οὐδὲ τῆς ἐκκλησίας φιλονεικῶν τῶι μνημονευθέντι θεοσεβεστάτωι ἐπισκόπωι Θεοδώρωι, ἐξαιτῶν δὲ τέως τὴν τοῦ ἐπισκόπου τιμὴν καὶ κλῆσιν, συνηλγήσαμεν ἅπαντες τῶι πρεσβύτηι καὶ κοινὸν εἶναι λογισάμενοι τὸ αὐτοῦ δάκρυον ἐσπεύδομεν μαθεῖν εἰ καθαίρεσιν ἔννομον ὑπομεμένηκεν ὁ μνημονευθεὶς ἢ γοῦν ἐπὶ τισὶ τῶν ἀτόπων ἐλήλεγκται παρὰ τινῶν καταφλυαρησάντων αὐτοῦ τῆς ὑπολήψεως. καὶ δὴ ἐμάθομεν πεπρᾶχθαι μὲν τοιοῦτον οὐδέν, γενέσθαι δὲ μᾶλλον τῶι μνημονευθέντι ἀντ' ἐγκλήματος τὴν παραίτησιν· ὅθεν οὐδὲ τῆι ὑμετέραι θεοσεβείαι ἐμεμψάμεθα χειροτονησάσηι δεόντως εἰς τὸν αὐτοῦ τόπον τὸν μνημονευθέντα εὐλαβέστατον ἐπίσκοπον Θεόδωρον. ἐπειδὴ δὲ τῆι ἀπραγμοσύνηι τοῦ ἀνδρὸς οὐ σφόδρα φιλονεικεῖν ἀκόλουθον, ἔδει δὲ μᾶλλον ἐλεῆσαι πρεσβύτην ἔξω καὶ πόλεως τῆς ἐνεγκούσης αὐτὸν καὶ πατρώιων ἐνδιαιτημάτων ἐν μακροῖς οὕτω γεγονότα χρόνοις, ἐδικαιώσαμεν καὶ ὡρίσαμεν δίχα πάσης ἀντιλογίας ἔχειν αὐτὸν τό τε τῆς ἐπισκοπῆς ὄνομα καὶ τὴν τιμὴν καὶ τὴν κοινωνίαν, οὕτω μέντοι ὥστε μήτε χειροτονεῖν αὐτὸν μήτε μὴν ἐκκλησίαν καταλαβόντα ἱερουργεῖν ἐξ ἰδίας αὐθεντίας, ἀλλ' εἰ ἄρα, συμπαραλαμβανόμενον εἴτ' οὖν ἐπιτρεπόμενον, εἰ τύχοι, παρὰ ἀδελφοῦ καὶ συνεπισκόπου κατὰ διάθεσιν καὶ ἀγάπην τὴν ἐν Χριστῶι. εἰ δέ τι βουλεύσεσθε χρηστότερον ἐπ' αὐτῶι ἢ νῦν ἢ εἰς τὸ μετὰ ταῦτα, ἀρέσει καὶ τοῦτο τῆι ἁγίαι συνόδωι.

84 Ἐπιστολὴ τῶν ἑπτὰ θεοφιλεστάτων ἐπισκόπων τῶν σταλέντων ἐν Κωνσταντινουπόλει παρὰ τῆς ἐν Ἐφέσωι ἁγίας συνόδου πρὸς Κελεστῖνον τὸν ἁγιώτατον πάπαν Ῥώμης ἕνεκεν τοῦ ἁγιωτάτου Μαξιμιανοῦ τοῦ ὑπ' αὐτῶν χειροτονηθέντος ἐπισκόπου τῆς βασιλευούσης πόλεως

Τῶι θεοφιλεστάτωι καὶ ὁσιωτάτωι συλλειτουργῶι Κελεστίνωι Ἰουβενάλιος Ἀρκάδιος Φίλιππος πρεσβύτερος Φίρμος Φλαβιανὸς Θεόδοτος Ἀκάκιος Εὐόπτιος Δανιὴλ καὶ ἡ συμπαροῦσα ἡμῖν ἁγία σύνοδος ἐν κυρίωι χαίρειν. Ἐν πολλοῖς τοῖς προλαβοῦσι χρόνοις γνησίας καὶ ἀπαρατρέπτου τῆς ἱερωσύνης τῆι βασιλευούσηι γενομένης πόλει πολλῶν τε ἐφεξῆς αὐτῆι τὸν θησαυρὸν τῆς πίστεως φυλαξάντων ἀνεπιχείρητον τῶν ἐκ παιδὸς τὴν τῆς ἐκκλησίας ἐν τοῖς πρώτοις βαθμοῖς ἱερωσύνην ἀνελομένων, συμβάντος δέ τινος καὶ ἀρρωστήματος ἐκ τοῦ ἔπηλύν τινα καὶ οὐ γνήσιον παῖδα τῆς ἐκκλησίας ἐπὶ τὸν τῆς ἀρχιερωσύνης ἀναχθῆναι θρόνον, ἐπισκεψάμενος ὁ σωτὴρ ὁ τὰς ἑαυτοῦ ἐκκλησίας οἰκονομῶν τὸν μὲν ἀνάξιον καὶ πρὸς ἀπιστίαν ἐξολισθήσαντα τοῦ τῆς ἱερωσύνης ἀπεώσατο θρόνου, πάλιν

ΑΛ et usque ad 25 codices canonum [K = abcdeflpqruy]

2 ἀπενηνεγμένων c καίπερ lr διακρούσασθαι l παρ' αὐτῶν y 3 μὴ δυνάμενος Λecorruy 4 ἐγχειρισμένον y ἐκκεχειρισμένων u ἐγκεχειρισμένην e ἱερατικὸν c om. ly ταύτην Ad 5 οἷον] ὁ pq ἐθελοντὴν Abcfpq ἐθελοντὶ delry ἐθελοντεῖ a ἐθελοντὴ u 6 ἔδειξεν ἐπ' αὐτὸν y 7/8 καὶ θεοφιλέστατον Λ om. r 8 ἡμῶν ἀδελφὸν u 9 τὸ ποίμνιον lr 10 ἐπεὶ u προῆλθεν cu περὶ τῆσ pu 11 θεοφιλεστάτωι d om. u θεοδώρω ἐπισκόπω y 12 πρεσβυτέρω Ad 13 εἰ ἐπὶ l 14 ἐλήλεκται depqy 15 πέπραχε pq 16 ὅθεν οὖν l 17 ἐπίσκοπον om. dlry 20 οὕτω] αὐτῶ pq 22 μήτε[1] ΑΛ μὴ K 23 εἰ[1] ἢ pqr 24/25 εἰ δέ — τοῦτο] περὶ γὰρ τοῦ χρηστότερόν τι γενέσθαι εἰσ αὐτὸν τοῦτο ὡσ ἀρέσει lr 24 βουλεύσησθε K praeter lr

δὲ ἐκ τῶν οἰκείων θεραπευτῶν τῆς ἐκκλησίας ἐπιλεξάμενος τοῦτον ἐπὶ τὴν ἀρχιερωσύνην ἀνήγαγε, χρόνωι μακρῶι καὶ πείραι λαμπρᾶι ἐν τῶι τοῦ πρεσβυτέρου βαθμῶι τὴν οἰκονομίαν τῆς ἐκκλησίας πληρώσαντα, τὸν θεοφιλέστατον καὶ ἁγιώτατον Μαξιμιανόν, μάρτυρας ἐπαγόμενον τοῦ βίου οὐ τοὺς λογάδας μόνον καὶ περιβλέπτους, ἀλλὰ καὶ αὐτοὺς τοὺς εὐσεβεστάτους καὶ φιλοχρίστους βασιλέας καὶ τοὺς ἐν τοῖς βασιλείοις τὰ πρῶτα τελοῦντας καὶ τοὺς πενίαι συζῶντας, ὧν ἀξιόπιστος ἡ μαρτυρία τὴν εἰς αὐτοὺς γεγενημένην φιλοτιμίαν τοῦ ἀνδρὸς ἐκβοῶσα, πενίας θεραπευτήν, σωφροσύνης διδάσκαλον ἐγκρατείας τύπον τοῖς τε κατ' αὐτὸν καὶ τοῖς ἔπειτα παρεχόμενον, ἡσυχίαν τιμῶντα, τὰ δὲ εἰς τὴν τοῦ θεοῦ τελοῦντα δοξολογίαν φθεγγόμενον, ἀνθοῦντα τῆι πολιᾶι, τοῖς κατορθώμασιν εὐανθέστερον, ἐκ κοιλίας Ναζιραῖον, ἕνα σκοπὸν τοῦ βίου πεποιημένον τὴν εἰς τοὺς δεομένους φιλοτιμίαν, οὐ τὰ τῶν ἀρρωστούντων καὶ πενομένων μόνον θεραπεύειν εἰδότα σώματα, ἀλλὰ καὶ τοῖς τελευτῶσιν ὡς ἂν σεμνὴ καὶ τῆι ὁσίαι πρέπουσα ἡ κατάλυσις γένοιτο, προνοήσαντα, μόνην εὑρόντα Χριστιανῶι πρέπουσαν φιλοτιμίαν οὐκ ἐν ἰδίων οἰκοδομημάτων κατασκευαῖς, ἀλλὰ κοινῶι πολυανδρίωι καὶ περιφανεῖ τὰ τῶν ξένων σώματα καὶ τῶν ἀθεραπεύτων τιμήσαντα, πλοῦτον ἡγούμενον τὴν θεραπείαν τῶν δεομένων, τριχίνοις ῥακίοις σκεπόμενον καὶ δῆμον ὅλον κοσμοῦντα ταῖς ἀναγκαίαις περιβολαῖς. τράπεζα τούτωι οἵα καὶ τῶν πενήτων, μᾶλλον δὲ κοινὴ πρὸς τοὺς πένητας· οὐδὲν γὰρ ἴδιον, ἀλλὰ πάντα κοινὰ πρὸς τοὺς δεομένους πεποίηται, Ἐλισσαῖός τις ὄντως ἢ τις ἄλλος ἑστιάτωρ τοιοῦτος, πάντας πλουτῶν, ἴσως μετέχειν τῶν ἑαυτοῦ πρὸς τοὺς πολλοὺς ἀνεχόμενος, γνήσιος τοῦ Χριστοῦ οἰκονόμος, κατὰ τὴν εὐαγγελικὴν παράδοσιν ἀφθόνως τὸ σιτομέτριον ἐκ τῶν οἰκείων τοῖς ὁμοδούλοις μεταδιδούς. καὶ τί ἂν τοσοῦτον εἴποιμεν ὅσον αὐτὰ βοᾶι εἰς μαρτυρίαν τὰ πράγματα, ἑκάστης ἡμέρας ἰδίαν αὐτῶι προστιθείσης κατορθωμάτων ὑπόθεσιν; τοῦτον ἐπὶ τὴν ἀρχιερωσύνην ταῖς τοῦ θεοῦ ψήφοις ἠγάγομεν, τῆι πρώτηι ὄψει οἷόν τινα βασιλέα σμήνους πρὸς ἑαυτὸν τοὺς διασκεδασθέντας ἑλκύσαντα, ὡς ἓν εἶναι πάλιν τῆς ἐκκλησίας τὸ σῶμα καὶ τῶν ψυχῶν γενέσθαι παραυτίκα θεραπευτὴν τὸν ἐν τοῖς σώμασι τῶν πενομένων τὴν τέχνην ἐπιδειξάμενον· ὧι χρόνον ἐπιμετρηθῆναι πολὺν παρὰ τοῦ χορηγοῦντος τοῖς δεομένοις εὐξάμενος, θεοφιλέστατε, ἀκύμαντον ἡμῖν τε καὶ τοῖς ἔτι τὴν ἐκκλησίαν φυλάξειν, ὑπὸ ἀγαθῶι φρουρουμένην ποιμένι καὶ προκινδυνεύειν ταύτης ἐν τοῖς ὑπὲρ τῆς εὐσεβείας ἀγῶσιν ἐθέλοντι. τὴν δὲ ἐκκλησιαστικὴν ἐπίστασαι ἀκολουθίαν ὥστε καὶ ἐπιστέλλειν καὶ δέχεσθαι παρ' αὐτοῦ κοινωνικὰ γράμματα καὶ μεμνῆσθαι τοῦ ὀνόματος αὐτοῦ ἐν ταῖς μυστικαῖς λειτουργίαις. ἀπεστείλαμεν δὲ ταύτης ἕνεκεν τῆς ὑποθέσεως τὸν εὐλαβέστατον πρεσβύτερον Ἰωάννην καὶ τὸν εὐλαβέστατον διάκονον Ἐπιθυμητόν.

4 Reg. 4, 3-7

Lc. 12, 42

85 Latinum exemplar [JK 385] extat in Collectione Veronensi 26

Ἐπιστολὴ Κελεστίνου τοῦ ἁγιωτάτου ἀντιγραφεῖσα τοῖς αὐτοῖς ὁσιωτάτοις ἐπισκόποις

1 Κελεστῖνος Ἀρκαδίωι Φιλίππωι Ἰουβεναλίωι Φίρμωι Φλαβιανῶι Θεοδότωι Ἀκακίωι Εὐοπτίωι Δανιήλωι καὶ πᾶσι τοῖς ἐπισκόποις τοῖς ἐν τῆι ἁγίαι συνόδωι παραγενομένοις ἀγαπητοῖς ἀδελφοῖς ἐν κυρίωι χαίρειν. Μόλις ἐπὶ τῶι τέλει τῶν κακῶν ἐχάρημεν· μόλις ἡμῖν πᾶσι κοινῆι ῥητέον· ἡ δεξιά σου, κύριε, δεδόξασται ἐν ἰσχύι· ἡ δεξιά σου χείρ, κύριε, ἔθραυσεν ἐχθρούς. κυρίως γὰρ ἐκεῖνοι συνετρίβησαν οἱ λαλοῦντες ἄδικα, ὧν εἴδομεν, ὡς φησιν ὁ Δαυίδ, ἀποφραγέντα τὰ στόματα. τούτου μέντοιγε οὕτως πιστῶς παρελθόντος τοῦ πράγματος ὑμᾶς ἐκβιβαστὰς μεθ' ἡμῶν γεγονέναι ὁρῶμεν τοὺς τῆς πίστεως ἱερέας, οἵτινες συναχθέντες εἰς ἓν καὶ κατὰ τὸν ἀπόστολον οὐ τὰ ὑμέ-

Exod. 15, 6

Ps. 62, 12

Phil. 2, 21

A

12 μόνον A 15 τρυχίνοισ A

τερα ζητοῦντες, ἀλλὰ τὰ τοῦ Ἰησοῦ Χριστοῦ, τὸ πρᾶγμα τοῦ κοινοῦ δεσπότου ἐπράξατε.
Rom. 10, 18 ἐφ' ὑμῶν οὖν περὶ τῆς ὑμετέρας διεξερχόμεθα ἁγιότητος, ὧν εἰς πᾶσαν τὴν γῆν τὸν φθόγγον χαίρομεν ἐξεληλυθέναι, ὁπότε καὶ εἰς τὰ πέρατα τοῦ κόσμου τῆς αὐτῆς κηρυττομένης ἀληθείας τὰ ῥήματα ὑμῶν διέβη. ὁ θεὸς ἡμῶν οὐκ ἀνέχεται λανθάνειν ὃ παρέσχεν, ἐπειδὴ οὐδέποτε αἱ εὐεργεσίαι αἱ ἐπουράνιοι ἀποκρύπτονται. οὕτω τοιγαροῦν γίνεται
1 Tim. 2, 4 ὥστε τηλικούτου δώρου ἐπουρανίου φανερουμένου κατὰ τὴν θείαν βούλησιν, ὡς γέγραπται, πάντας ἀνθρώπους σώιζεσθαι καὶ ἔρχεσθαι εἰς γνῶσιν τῆς ἀληθείας. προσφωνῶ οὖν τοῖς νικηταῖς καὶ τοῖς ἐν τῶι πολέμωι μόνην ἀντικρὺ τῶν πολεμίων βαστάσασι τὴν πίστιν,
1 Ioh. 5, 4 ἥτις, ὡς Ἰωάννης φησὶν ὁ ἀπόστολος, νικᾶι καὶ τὸν κόσμον· ὑμῖν τοῦ αὐτοῦ κυρίως ἀντι-
1 Ioh. 2, 13. 14 γράφω τὰ ῥήματα, οἵτινες κατὰ τὴν θείαν γραφὴν ὡς πατέρες ἔγνωτε τὸ ἀπ' ἀρχῆς ὄν, καὶ ὡς νεανίσκοι, ὡς ἔτι ἐστὲ γενναῖοι καὶ τὸ ῥῆμα τοῦ θεοῦ ἐν ὑμῖν μένει, ἐνικήσατε τὸν κακοήθη. τοιούτοις κοινωνοῖς εὐχαριστοῦντες, περὶ ταύτης τῆς ἐκβάσεως οὐδαμῶς ἀμφεβάλομεν· ἔσχε τὴν ψυχὴν τὴν ἡμετέραν θάρσος τοῦ νικῆσαι, οἵτινες ὑμῖν ἐωρῶμεν τοῦ ἐπουρανίου πράγματος τὸ ἄχθος ἐπικεῖσθαι, οὓς πάνυ καλῶς ἠπιστάμεθα κατ' ἐκεῖνο τὸ
Ps. 25, 5 προφητικὸν μεμισηκέναι συναγωγὴν πονηρευομένων καὶ μετὰ ἀσεβῶν μὴ καθίσαι. ἐγκρατὴς ἐγενόμην οὐ προσεδόκων, ἐπειδὴ ἄντικρυς ἀδικούντων καὶ διεστραμμένων, ὡς ὁ προ-
Ps. 24, 21 2 ειρημένος λέγει, ἄκακοι καὶ εὐθεῖς ἐκολλῶντό μοι. μιᾶι τοίνυν καὶ τῆι αὐτῆι ἀναφορᾶι διὰ τῶν υἱῶν τῶν ἡμετέρων τῶν εὐλαβεστάτων καὶ θεοφιλεστάτων ἀνδρῶν Ἰωάννου τοῦ πρεσβυτέρου καὶ Ἐπιθυμητοῦ τοῦ διακόνου καθαίρεσιν δικαίαν καὶ ἀνύψωσιν
Luc. 1, 52 ἐμάθομεν δικαιοτέραν, ἐκεῖνο ὅπερ ἐν τῶι εὐαγγελίωι ἀνέγνωμεν, παριστῶντες ὅτι ὁ θεὸς ἡμῶν ἀνυψοῖ ταπεινοὺς καὶ καθαιρεῖ δυνάστας ἀπὸ θρόνων, ἀφ' ἧς ἀποφάσεως ἐκεῖνος ὁ
Sir. 10, 21 lat. ἡμέτερος σοφώτατος οὐδαμῶς ἐξετράπη, ὃς εἴρηκεν ὑπὸ τοῦ θεοῦ ἡμῶν φυλάττεσθαι τῶν ταπεινῶν τὴν μνήμην, ἀπόλλυσθαι δὲ τὴν τῶν ὑπερηφάνων. ὅπερ πότε οὕτως ὁρᾶται
Ps. 52, 6 ἀκριβῶς πεπληρωμένον ἢ νῦν; ὅτε ὁ σωτὴρ προθέμενος τοὺς ἀξίους τιμῆσαι, τὰ ὀστᾶ τῶν ἀνθρωπαρέσκων διεσκόρπισε καὶ προνοηθέντος ποιμένος ἀξιωτάτου τὸν ἀνήμερον λύκον ἀπὸ τῶν ἰδίων ποιμνίων ὁ ἀμνὸς ὁ ἄμωμος ἐξεώσατο. ἀνέγνωμεν αὐτοῦ τὰ παρὰ τῆς
ep. 84 ἀδελφότητος τῆς ὑμετέρας γεγραμμένα ἐγκώμια, καὶ οὐδεὶς ἡμῶν ἠδυνήθη θαυμάσαι, ἐπειδὴ ἐγνωσμένα εἰρήκατε. διήγησις χορηγείσθω τοῖς ἀδήλοις· μαρτυρίαν τὰ ἐγνωσμένα οὐ ζητοῦσι τῶν καλῶν. τοῦτον τῶν πράξεων ἡ παλαίστρα πάντοτε ἐγύμνασε· τοιοῦτον τοῦτον ἐδώκαμεν οἷον ἐν τοῖς γράμμασιν ηὕρομεν, τοιοῦτον ἀληθῶς, ἵνα διὰ βραχέων εἴπω, οἷον ὁ διδάσκαλος ἡμῶν εἶναι προστάττει τὸν ἱερέα, ἵνα προσφόρως τῆι πάντων κρίσει ἀξιωθῆι
Ioh. 1, 47 ἀκούειν ἰδοὺ ἀληθῶς ἄνθρωπος Ἰσραηλίτης ἐν ᾧ δόλος οὐκ ἔστιν. οὐκ ἄρα τοῖς ἐπαίνοις τοῖς ὑμετέροις εἰς αὐτὸν ταῦτα συμβαίνει; ἄλλως τοιγαροῦν ἅπερ εἰρήκατε, ἀκούετε; τοιοῦτον διάδοχον ἐζήτει ὁ τῆς μακαρίας μνήμης Σισίννιος, ἡ μακαρία ἁπλότης, ἵνα τὸν τόπον αὐτοῦ, εἰ μὴ ὁ αὐτοῦ ὅμοιος, μὴ κατάσχηι. καὶ γὰρ κάλλιον πράττομεν, εἰ ἀπεχόμενοι λοιπὸν ἐκείνου τοῦ ἱεροσύλου ὀνόματος τὴν καθέδραν ἐσχολακέναι φαίημεν, πεπρᾶχθαι δὲ θείαι κρίσει ὥστε τούτου τὴν ἐκκλησίαν ἀντὶ θεραπείας ἐπιτυχεῖν. τοιγαροῦν τὴν διχόνοιαν ἐξεῖλε καὶ τὴν ὁμόνοιαν ἀπέδωκε χειροτονηθείς· τί οὐ δυνήσεται
3 παρασχεῖν κατὰ καιροὺς οὗτινος τοῦτο αἱ ἀρχαὶ παρέσχον; ταῦτα περὶ τούτου ἀμοιβαδὸν λέγομεν ἃ ἡ εἰρήνη ἀνακαινισθησομένη ἐπιζητεῖ· παρῆμεν καὶ οὐκ ἂν εἴποιμεν ἑαυτοὺς ἀπόντας, ὅτε αὐτοῦ τῆι κεφαλῆι τὰ μυστικὰ ῥήματα ἐπελέγετο, ὅτε ἀπεδίδοτο πᾶσι τῆς ἐπουρανίου χαρᾶς ἡ σωτηρία· τὸ δὴ τελευταῖον, οὐδεὶς ἐκεῖσε τῶν καθολικῶν ἀπελείφθη, ὅπου γε πάντες κοινῆι ἐνίκησαν. πρὸς τούτοις ἐχάρημεν τοῦ φιλανθρωποτάτου καὶ χριστιανικωτάτου βασιλέως τῆι περὶ τούτου μαρτυρίαι, ὅτι ταῖς ἐπιστολαῖς τῆς ἀγάπης τῆς

ΑΛ

7 προσφωνῶ οὖν scripsi secundum Λ προσφώνωσ σὺν A 40 ἐπεζήτει Λ 41 ἐπελέγετο Λ ἐπελέγετε A 41/42 τῆς — σωτηρία] *diuini laetitia salutaris* Λ 43 γε scripsi τὲ A

ὑμετέρας τὴν αὐτοῦ ἀπόφασιν ἐωρῶμεν συμφωνεῖν. καὶ οὐ θαυμαστὸν εἰ ψυχὴ βασιλέως Prou. 21, 1
ἡ ἐν χειρὶ οὖσα θεοῦ συνήινεσε τούτοις οὓς αὐτοῦ ἠπίστατο ἱερέας. λέγει γὰρ ὁ λόγος
ὁ κοσμικὸς ὁ τὰ θεῖα πράγματα ἐκβιβάζων, ὃς συνεστρατεύσατο τῶι βασιλεῖ· εὐτυχὲς τὸ
βασίλειον, ὧι στρατεύεται ὁ ἐκβιβασμὸς τῶν θείων, καὶ οὐδὲ οὗτος ἔλαττον εὐτυχής, ὃν
οὕτως ἀνακηρύττει ἡ βασιλεία τῶν ἐν τῶι κόσμωι. ταύτηι τῆι μαρτυρίαι ἄξιός ἐστιν ὁ 5
κατασταθησόμενος δοκιμασθῆναι, οὐχ ὁ ἀποδοκιμασθῆναι ⟨δυνάμενος⟩ χειροτονούμενος.
οἴδαμεν ποίαι ὁδῶι ὁ ἁγιώτατος ἀδελφὸς καὶ συνεπίσκοπος ἡμῶν Μαξιμιανὸς καὶ ποίοις
κατὰ βαθμὸν καμάτοις τῆι ἀξίαι τῆς ἱερωσύνης ἐπέβη. τοῦτον οὐ πλούτου δόξα, οὐ
δυναστείας ὄρεξις, ἥτις εἴωθε προσγίνεσθαι τοῖς περιτρέχουσι τῶν τιμῶν τὸ μέγεθος, προ- 9
ήγαγε δὲ ἡ βοήθεια τῶν πενήτων, οἷς ὡς πιστὸς δοῦλος καὶ σοφὸς τροφὴν διδοὺς ἐπὶ Luc. 12, 42. 44
πᾶσι τοῖς τοῦ δεσπότου τοῦ ἰδίου κατέστη ἀγαθοῖς· καὶ ὅμως εἰ καὶ ὠρέχθη τῆς ἐπισκοπῆς,
οὐκ ἄλλως εἰ μὴ δι' ἔργον καλόν, ὡς λέγει ὁ ἀπόστολος, ἐπεθύμησεν. οὕτως ὁ θεὸς 1 Tim. 3, 1
ἡμῶν καὶ τί βουλόμεθα καὶ διὰ τί, καθορᾶι. τίς ἀμφιβάλλει μὴ δύνασθαι μᾶλλον πράττειν
τὸν προκαθήμενον ὅπερ ἠδύνατο καὶ ἐποίει ὁ ὑποκείμενος;

Ἐκβέβληται, ἐμισήθη ἐκεῖνος ὁ βλάσφημος· ταύτην τὴν τάξιν ἔχειν οὐκ ἠδύνατο ἣν 15
οὗτος εἶχε, τὴν τῶν σωμάτων λέγω ἐπιμέλειαν, ὅς γε ἐπεχείρει τὰς ψυχὰς τραυματί-
ζειν. ἐγένετο ἡ πτῶσις αὐτοῦ μεγάλη, οὕτως μεγάλη, ὡς καὶ τῆς φαύλης διδασκαλίας Matth. 7, 27
αὐτοῦ. τοίνυν ἐπειδὴ περὶ τῆς τῶν παρελθόντων διορθώσεως χαίρομεν, φυλάξασθαι ἡμᾶς
χρὴ εἰς τὸ αὖθις ὥστε μὴ δυνηθῆναι ἐπὶ πλεῖον τὰ ἐκκοπέντα βλαστῆσαι. ἐπικείσθω
οὖν ἡ ὑμετέρα ἀδελφότης· ἐπειδὴ ἐν οἱωιδηποτοῦν τόπωι ὁ λοιμὸς οὗτος ἐὰν ἦι τοῦ 20
ἡμετέρου σώματος, ἐκεῖ ἀνάγκη τὰ μέλη συντρίβεσθαι καὶ διὰ τῆς ἀνεξικακίας ἡμῶν τὰ
πάθη χειρόνως δόξει τῶν προτέρων τρέφεσθαι, ἐγράψαμεν τῆι φιλανθρωπίαι τῆι βασιλικῆι ep. 86
ἵν' ἐκ μέσης τῆς ὑγείας μακρότερον ἡ ἀσθένεια ἀπαχθῆι. ἔγνωμεν τοῦτον εἰς τὴν Ἀν-
τιόχειαν ὑποστρέψαι καὶ ἐκεῖσε αὐτῶι, ὅθεν ἐληλύθει, τοῦ βίου παρεσχῆσθαι τὴν ἄδειαν.
τῶν ἀκάκων ὄλεθρός ἐστιν οὗτος ὁ περιορισμός. ἴδωμεν ἐπιμελέστερον ὅ τι ἠδύνατο ἐκεῖσε 25
τεκεῖν ἅπερ ἐκεῖσε συνελήφθη πρὸ τούτου. οὐκ ἐστι τοὺς γνωρίμους πεῖσαι δυσχερές
ἐν τοῖς ὀφθαλμοῖς ἐστι τῆς αὐτῆς πόλεως ἡ ἐκκλησία ἥτις διὰ τούτου ἀπώλεσε τὸν ἱερέα
καὶ ὅμως κάμνομεν συνιδεῖν τίς τίνι ἐγένετο αἴτιος τοῦ ἁμαρτῆσαι; εἰ μή που ἄρα ἐκεῖνος,
ὃ[ν] περὶ τῆς εἰρήνης τῶν ἐκκλησιῶν λέγομεν, ἠπατῆσθαι ἑαυτὸν ἐπιδείξει καταλιπὼν τὸν
κατακριθέντα. ἀλλὰ τίς ἐκεῖσε ἐλπίσει τινὰ δεδυνῆσθαι διορθώσασθαι, ὅπου γε τὸ 30
ἄκρον ὁρᾶι κατέχον τὸν τῆς διαστροφῆς αὐθέντην, ὅπου γε παρὰ πάντων σέβεται ὁ ἐξό-
ριστος; μεγάλη ἐστὶν ἐκεῖσε, ὅπερ θρηνοῦντες λέγομεν, ἡ ἀπαγόρευσις τῆς ὑγείας, ὅπου,
καθὼς Ἡσαίας λέγει, πᾶσα κεφαλὴ εἰς πόνον καὶ πᾶσα καρδία εἰς λύπην ἀπὸ Ies. 1, 5. 6
ποδῶν μέχρι κεφαλῆς. πότε ἐκεῖσε μέλος τι σχεῖν δυνήσεται ἐλπίδα σωτηρίας,
ἔνθα κινδυνεύει πᾶσα τοῦ σώματος ἡ σύμπηξις; κάμνετε, ἀδελφοὶ γνησιώτατοι, κάμ- 35
νετε, παρακαλῶ, ἵν' ἀληθῶς ἀρθῆι ἐκ τοῦ μέσου ὑμῶν ὁ τοῦτο ποιῶν τὸ ἔργον· μόνη πρέπει
τοῖς τοιούτοις ἀνθρώποις ἡ ἐρημία. ποῦ γὰρ ὀφείλει οὗτος εὑρεῖν ἀνάπαυσιν ἀλλαχοῦ
ὁ οὕτω διεξελθὼν περὶ τοῦ πανταχοῦ βασιλεύοντος; ἐτελέσθη παρ' ὑμῶν τὸ σύμπαν
πέρας τοῦ πράγματος· νῦν πρακτέον ἐστὶ τὸ ἐνεστὼς καὶ ὑπολεῖπον, ὥστε μὴ εἰς κενὸν
εἶναι τὸ πεπονημένον ἡμῖν. μακρὰν μέν διακείμεθα, ἀλλὰ διὰ τῆς φροντίδος τὸ πᾶν 40
ἐγγυτέρω ὁρῶμεν· πάντας ἔχει ἡ τοῦ μακαρίου ἀποστόλου Πέτρου φροντὶς παρόντας,
οὐδαμῶς ἑαυτοὺς δυνησόμεθα ἐνώπιον τοῦ θεοῦ ἡμῶν παραιτήσασθαι εἰς ἃ ἐπιστάμεθα.
καὶ εἰ καὶ ὅτι μάλιστα ταῦτα ἃ λέγομεν, ἡ ἁγιότης ἡ ὑμετέρα ἐσιώπησεν, ὅμως δ' οὖν
ἔγνωμεν πάντα ἐπιμελέστερον ἀναζητοῦντες. τηλικούτωι τοίνυν πράγματι τὸ λεῖπον

ΑΛ

6 δυνάμενος addidi secundum Λ 25 ἴδωμεν Λ εἴδομεν A 29 δ Λ ὃν A ἐπι-
δίξει A

τέλος ταῖς πράξεσι ταῖς ὑμετέραις παρακαλῶ ἀποκρίνασθαι, ἐπειδὴ οὐ θέλομεν κἂν ἐν τῶι τυχόντι γοῦν ὑμᾶς ὑστερῆσαι τοῖς τὰ μέγιστα κατορθώσασι βοηθείαι τῶν τῆς γῆς βασιλέων. τούτοις προστίθεσθε οἷς ἐγράψαμεν εἰδότες γινώσκουσιν καὶ αὐτοῖς τί τοῖς ἰδίοις ὀφείλουσι παρασχεῖν καιροῖς· γινώσκουσιν ὅτι τοῖς θεμελίοις τῆς καθολικῆς πίστεως ἡ ἰδία αὐτῶν συνέστηκε βασιλεία, καθαρὰ παρὰ τῶν ἁγίων κληρονόμων τῆς πατρώιας καὶ παππώιας πίστεως ἡ φλὲψ φυλάττεται· βρύει ἀπ' αὐτῶν ἄφθορος διὰ τῶν ἀπογόνων· οὐδέποτε ταύτην ἐν τούτοις τίς ποτε ἰλὺς συνεθόλωσε· φυλάττει τῆς πηγῆς τῆς ἰδίας τὸν ἀρχαῖον τῆς πίστεως δρόμον, ὅταν τοῦτο ὅπερ εἴληφε τὸ γένος, ὁρᾶται ἐν τοῖς
Phil. 3, 2 ἐκγόνοις. κύνα καὶ ἐργάτην κακὸν ὁμοῦ διώξωμεν· ποιήσατε παρόντες ὑμεῖς ὅπερ προτρεπόμεθα ἡμεῖς ἀπόντες. γενικῶς γὰρ τὴν φροντίδα ταύτην πᾶσι μὲν χρεωστοῦμεν, ἐξαιρέτως δὲ προσῆκον ἡμᾶς Ἀντιοχεῦσι κινδυνεύουσι βοηθῆσαι, οὓς ἡ λοιμώδης νόσος
Act. 11, 26 ἐπολιόρκησε. λύσωμεν τῶν συνδέσμων πάντων τὴν πόλιν, ἐν ἧι, ὡς αἱ Πράξεις τῶν ἀποστόλων λέγουσι, χρηματίσαντας πρώτως ἔγνωμεν Χριστιανοὺς ἡμᾶς. πάσηι οὖν δυνάμει τούτους ἐπαμύνωμεν οἷς κατὰ τὴν θρησκείαν χρεωστεῖν ἡμᾶς γιγνώσκομεν ὃ καλούμεθα.

6 Ταύτην τὴν φροντίδα τήν ἡμετέραν παρόντες ἐδοκίμασαν οἱ θεοφιλέστατοι υἱοὶ καὶ πάνυ ἡμῖν καταθύμιοι Ἰωάννης τε ὁ πρεσβύτερος καὶ Ἐπιθυμητὸς ὁ διάκονος, οὕστινας παραγενομένους πρὸς ἡμᾶς θᾶττον ἀπελύσαμεν, φροντιστικώτερον τοῦτο πράττοντες ἵν' οὓς ταῖς ἡμέραις τῆς δεσποτικῆς γεννήσεως ἐδεξάμεθα, τούτους τῶι καιρῶι τῆς ἀναστά-
d. 3. m. Apr. a. 432 σεως τῆς δεσποτικῆς ἀποκαταστήσωμεν. περὶ δὲ τούτων τῶν μετὰ Νεστορίου τὴν αὐτὴν φρονησάντων ἀσέβειαν καὶ κοινωνοὺς ἑαυτοὺς τῶν τούτου ἀσεβημάτων προσθεμένων, εἰ καὶ ὅτι μάλιστα γιγνώσκεται ἡ ὑμετέρα κατ' αὐτῶν ἀπόφασις, ὅμως καὶ ἡμεῖς δογματίζομεν τὸ παραστάν. πολλὰ συνορᾶν δεῖ ἐν ταῖς τοιαύταις ὑποθέσεσιν, ἅπερ ἡ ἀποστολικὴ καθέδρα πάντοτε κατεῖδεν. ὃ λέγομεν, τῶν Κελεστιανῶν τὰ ὑποδείγματα μαρτυρεῖ, οἵτινες τὴν ἐλπίδα ἀπὸ τῆς συνόδου μέχρι τοῦ νῦν ἐσχήκασιν, ἔχουσι δὲ ἄδειαν τοῦ ἐπανελθεῖν, ἐὰν ἀνανήψωσιν, ὅπερ τούτοις μόνοις οὐ συγκεχώρηται, οἵτινες δικαίως μετὰ τῶν αὐθεντῶν τῆς αἱρέσεως τῶν ἀδελφῶν πάντων τῆι ὑπογραφῆι δείκνυνται κατακεκρίσθαι· ἐκ τοῦ τούτων δέ τινας διὰ τὸ ἔλεος τοῦ θεοῦ ἀριθμοῦ πρὸς ἡμᾶς λοιπὸν ἐπανελθεῖν ὁρῶντες χαίρομεν. ὅπερ ταύτηι τῆι γνώμηι γέγονεν, ὥστε οὓς ἡ συνείδησις ἡ μεμιγμένη οὐκ ἠδύνατο διακρῖναι, κἂν γοῦν ἀπόφασις χωρίσηι. τούτοις τὴν ὑμετέραν ἀδελφότητα ἀκολουθῆσαι ὑπομιμνήσκω· ὑπόδειγμα ἔστω τούτοις ἡ κεφαλὴ τοῦ μύσους μετὰ τούτων οὓς κατακεκριμένους ὁ συνοδικὸς διαλαλεῖ ὅρος, τοὺς δὲ ὑπολοίπους ⟨οὓς⟩ ὡς τὰ τούτου φρονοῦντας ἐν τῆι κοινωνίαι τῆι ἐκκλησιαστικῆι οὐκ ἔχομεν, ἐκβάλλεσθαι τῶν πόλεων τῶν ἰδίων καὶ ἑαυτοὺς ἐν τῶι ἡμετέρωι καταλόγωι γιγνωσκέτωσαν μὴ ἔσεσθαι, εἰ μή που γε κατὰ τὸν ἐκκλησιαστικὸν καὶ τὸν τῶν Χριστιανικωτάτων βασιλέων ὅρον τὰ κατακεκριμένα μετὰ τῶν οἰκείων αὐθεντῶν κατακρίνοντες ὁμολογήσουσι⟨ν ἑαυ⟩τοὺς καθολικοὺς ἱερέας· ὄντινα τύπον καὶ περὶ τούτους βουλόμεθα φυλάττεσθαι, οἵτινες ἐν ταῖς ἐκκλησιαστικαῖς ὑποθέσεσι συναρπάζειν τοὺς Χριστιανοὺς βασιλέας θέλουσι καθὼς ὠιήθησαν, καὶ ἄλλωι τρόπωι πάλιν τὰς ἐκκλησίας κατειλήφασιν. τὸν δέ γε Ἀντιοχέων ἐπίσκοπον, εἰ ἔχει ἐλπίδα διορθώσεως, παρὰ τῆς ὑμετέρας ἀδελφότητος βουλόμεθα μεθοδευθῆναι, ἵν' εἰ μὴ ἅπερ φρονοῦμεν, φρονήσει τῶι αὐτῶι τύπωι τὴν καινὴν βλασφημίαν ἐγγράφως ἰδίαι ὁμολογίαι ἀναθεματίζων, γιγνωσκέτω καὶ περὶ αὐτοῦ τὴν ἐκκλησίαν ὁρίσαι ὅπερ τῆς πίστεως τῆς ἡμετέρας τὸ πρόσχημα παρακελεύεται. πιστεύομεν δὲ τῆι ἐπου-

---

ΑΛ

3 προστίθεσθαι A, in ceteris uersionem infelicem reliqui intactam 9 διώξομεν A 12 πάντων A *talibus* Λ 33 οὓς addidi secundum Λ 34 καὶ ἑαυτοὺς Λ ἑαυτοὺς καὶ A 36 ὁμολογήσουσιν ἑαυτοὺς scripsi ὁμολογήσουσι τοὺσ A 38 καθὼς scripsi καὶ ὡσ A

ρανίωι ἐλεημοσύνηι ὅτι πάντες εἰς τὴν ὁδὸν ἐπαναχθήσονται, εἰ ἀπὸ τοῦ προρρηθέντος τόπου τούτων τῶν κακῶν ἡ κεφαλὴ καὶ ἡ ἀφορμὴ περιαιρεθῆι. καλῶς σωθείητε, ἀδελφοί.

Ἐδόθη Εἰδοῖς Μαρτίαις Ἀετίου καὶ Βαλερίου ὑπάτων. d.15.m.Mart. a.432

86 Latinum exemplar [JK 386] extat in Collectione Veronensi 23

Τοῦ αὐτοῦ τῶι βασιλεῖ Θεοδοσίωι

1 Τῶι ἐνδοξοτάτωι καὶ γαληνοτάτωι Θεοδοσίωι αὐγούστωι Κελεστῖνος ἐπίσκοπος. Ταῖς ὑποθέσεσι ταῖς ἰδίαις τὴν ἐπουράνιον εὐδοκίαν παρεσχηκέναι ὅπερ ἠλπίζομεν, ἐπέγνωμεν. οὔτε γὰρ ἄλλο ἔσεσθαι αἱ διάνοιαι ἠδύναντο λογίζεσθαι, ὑμῶν ὄντων πιστῶν βασιλέων, ἢ τοῦτο ὅπερ ἀποβὰν ὁρῶντες χαίρομεν, ἵνα τὸ κήρυγμα τὸ κατὰ τοῦ θεοῦ τὸ ἀσεβὲς συμπέσηι καὶ μετὰ τοῦ ἰδίου ἀρχηγοῦ ἡ τοῦ καινοῦ δόγματος καταργηθεῖσα φαυλότης ἀπόληται. ἐπηνέχθησαν μὲν τῆι πίστει πόλεμοι καὶ κατὰ τοῦ αἰωνίου βασιλέως ἱεροσύλων ῥημάτων γένεσις ἐπεχειρήθη· ἀλλ' ὑμεῖς οἱ τῶι Χριστῶι τῶι θεῶι ἡμῶν τῶι αὐθέντηι βασιλεῖ συμβασιλεύοντες τοὺς πολεμίους ταύτης τῆς πίστεως τῆι ὑμετέραι ἀνδρείαι ἐνικήσατε, τὸν ἐπουράνιον ἀνακαλούμενοι θρίαμβον, δι' οὗ τῆι εὐλαβεῖ βασιλείαι τεῖχος παράσχητε εἰς τὸ διηνεκές. ἀληθῶς γὰρ προφητικὴ φωνὴ τῆι ὑμετέραι δόξηι συμβαίνει καὶ ἡ βασιλεία ὑμῶν λέγεσθαι δύναται ταύτηι τῆι ὑποθέσει βασιλεία πάντων τῶν αἰώνων, ὅτι ἐκδικηθείσης τῆς πίστεως τοῖς ἀξίοις γνωρίζεται καὶ αὐξομένης τῆς ἁγίας θρησκείας ἡ παραφυλακὴ τῆς Χριστιανότητος ἡ ἐμφυτευθεῖσα τῆι σῆι εὐσεβείαι πάντοτε αὔξεται, ἐνδοξότατε καὶ γαληνότατε βασιλεῦ αὔγουστε. ἰδοὺ νῦν οἱ οἶκοι τοῦ κυρίου εὐχαῖς σχολάζουσι καὶ τὴν ὑμετέραν ἀνὰ πάσας τὰς ἐκκλησίας τῶι θεῶι ἡμῶν προσάγοντες θυσίας παρατίθενται βασιλείαν, οὐδὲν ἀποκινήσαντος ἢ διαταράξαντος τοῦ τολμήματος τοῦ σκανδάλου, εἰ καὶ τὰ μάλιστα ὁ λοιμώδης λόγος ἐπὶ πολὺ τὰς ψυχὰς τῶν ἀνθρώπων τραυματίζει. τὴν σωτηρίαν ἅπασι τῶν ἰδίων ψυχῶν, πασῶν τῶν ἐκκλησιῶν προνοοῦντες, ἀπεδώκατε· αὕτη ἐστὶν ἀληθὴς καὶ ἐπαινετὴ τῆς ὑμετέρας βασιλείας ἡ φιλανθρωπία, δι' ἧς οὐ γαῖ, οὐκ ἐπαρχίαι, ἀλλὰ πάντων αἱ ψυχαὶ ἐξεδικήθησαν. λογίσασθε ταύτην εἶναι νίκην τὴν παντὶ τῶι κόσμωι σωτήριον, ἥντινα οὐκ ἐκ πολέμων, οὐ ξίφεσιν, ἀλλὰ μόνηι θεοσεβείαι τῆι περὶ θεὸν προσκείμενοι ἐπορίσασθε. μένει ἐνταῦθα τῆς ὑμετέρας δόξης ἡ στήλη καὶ μενεῖ, ὥστε μηδεμίαν αὐτὴν ἡλικίαν, μηδεμίαν χρόνου παλαιότητα ἐξαλεῖψαι· αἰωνία γάρ ἐστιν ἥνπερ ἡ τοῦ αἰωνίου βασιλέως ἀγάπη παρέσχηται. οὕτως ἡ τοῦ Ἀβραὰμ πίστις τῶι κόσμωι διαλάμπει, Δαυὶδ τοῦ βασιλέως ὁ ἄξιος περὶ θεοῦ ζῆλος αἰώνιος γέγονε· τοὺς γὰρ ἐχθροὺς τοῦ θεοῦ ἰδίους εἶναι ἐνόμιζεν ἐχθροὺς καὶ ἐμίσει οὓς τῶι θεῶι μισητοὺς εὕρισκε. καὶ Ἠλίας ὁ προφήτης τοὺς τὰ ψευδῆ προφητεύοντας οὐκ ἠρκέσθη ἐλέγξαι, ἀλλ' οὕτως καὶ εἰς αὐτοὺς ἠθέλησεν ἐκδικῆσαι, ὥστε διώκων αὐτοὺς ἀπολέσαι, οὓς κατε-
2 νόει εἰς ἀπώλειαν σπεύδειν τοῦ ἰδίου λαοῦ. ὁμοία σοι μετ' ἐκεῖνον ἡ δόξα· ἐκεῖνος τοῖς τὰ ψευδῆ προφητεύουσιν ἀντέστη, σὺ τοῖς τὰ διεστραμμένα διδάσκουσιν· ἐκεῖνος τοὺς ψευδομένους εἰς τὸν θεὸν προφήτας ἐδίωξε, σὺ τοὺς περὶ τοῦ Χριστοῦ τοῦ θεοῦ ἡμῶν καταγγέλλοντας τὰ ἀσεβῆ ἀπελαύνεις, κἂν δοκῶσιν ἱερεῖς εἶναι· ἐκεῖνος τῆι κολάσει τούτων μόνον προσεῖχεν, ἡ ὑμετέρα εὐσέβεια οὐ τὰ ἀσεβῆ κολάζει μόνον, ἀλλὰ καὶ εὐλαβῆ ἐκδικεῖν σπουδάζει. οὔτε γὰρ ἦρκει ἀπεληλακέναι τὸν λοιμὸν καὶ τὴν φθορὰν ἐξεῶσαι, εἰ μὴ καὶ εἰς ὑγείαν τοὺς νοσήσαντας ἀποκαταστήσειας καὶ ζωτικὴν τοῖς παραποιηθεῖσιν οὐσίαν

---

3 τουτέστιν μηνὸς Μαρτίου ῑε A in mg.

ΑΛ

2 καλῶς — ἀδελφοί om. Λ 24 ἀληθὴς] *uera* pro *uestra*

ἐχορήγησας, τοιοῦτον ἐκείνηι τῆι ἐκκλησίαι καθιστῶν ἱερέα, τὸν ἁγιώτατον φημὶ Μαξιμιανόν, ὅς γε πάλαι τούτου ἑαυτὸν ἄξιον τοῦ ἀξιώματος πᾶσι τοῖς γνωρίμοις ἀπέδειξε. γέννημά τι καὶ ὡσανεὶ τοῦ ἰδίου σώματος μέρος τῆι Ῥωμαίων μαρτυρίαι ἡ ἐκκλησία ἔχουσα, ἥτις τοῦτον πάντοτε ἐν τοῖς ἰδίοις ἔσχε καὶ ἠρίθμησε, φέρει τῶν ἰδίων προγόνων ἔπαθλα, οἷς ὁσίως προσεκεκόλλητο. οὕτως γὰρ τῶι τῆς εὐλαβοῦς μνήμης Ἀττικῶι τῶι ὑπὲρ τῆς καθολικῆς πίστεως καθαρῶς πολεμιστῆι ἰσχυρῶι τῆι διανοίαι ὁμοῦ καὶ τῆι ὑπηρεσίαι συνῆν, ὥστε ἔκτοτε τῆς μελλούσης εἰς αὐτὸν ἐπισκοπῆς τὰ σύμβολα προλάμπειν. ἀλλὰ [τί] γίνεται ἀπορρήτωι γνώμηι τῆς ἐπουρανίου θειότητος εἰς τὸ μετὰ ταῦτα ἅπερ δήποτε εἰσί, φυλαχθῆναι καλλίονα, ὥστε καὶ εἰς ἡσυχίαν διά τινων σκανδάλων τῶν ταραττόντων ἐλθεῖν. χρεωστεῖται τῆι τοῦ ἀδελφοῦ τοῦ ἐμοῦ δόξηι Μαξιμιανοῦ τοῦ ἐπισκόπου, ὥστε μή τινα αὐτοῦ προτετιμῆσθαι εἰς τοῦτο ὅπερ ὑπομείνασα ἡ πόλις πλανηθεῖσα μετανοεῖν τότε ἤρξατο καὶ νῦν ἐπιλεγέντος αὐτοῦ τῆς ἰδίας πίστεως ἐκείνωι ἑαυτὴν τὸ τέλειον χρεωστεῖν ἡίσθετο.

Ἀλλὰ τούτωι ἐκείνης τῆς ἐκκλησίας ἱερεῖ ὀψέ ποτε κατὰ τὴν ἰδίαν ἀξίαν ἐπιλεγέντι οὕτως, ὡς καὶ συναινέσει τῆς ἁγίας συνόδου τῆς παραγενομένης τὴν χειροτονίαν αὐτὸν ὑποδέξασθαι, πρὸς τὸ τῆς ἐκκλησίας συνθεῖναι τὴν κατάστασιν καὶ πᾶν τραῦμα τῆς φαύλης αἱρέσεως ἀπὸ ῥιζῶν ἀνασπάσαι, ἵνα μὴ τολμήσηι τὰ ἐκκοπέντα βλαστῆσαι, ἱκετεύομεν καὶ ἐξαιτοῦμεν πρὸ τῆς ἐκείνου ἐπικλήσεως σέ, ὃν παρακαλεῖ, τῆι πίστει τῆι ἡμετέραι, ὡς ἔθος ὑμῖν, παρασχεῖν τὰ ὅπλα. νῦν γάρ ἐστι πᾶσα φυλακὴ ἀντιθετέα αὐτοῦ τῆι δυσσεβείαι, μὴ ὁ ἅρπαξ λύκος ἀγριούμενος ὡς ἀποκεκλεισμένος ἀπὸ τῆς τῶν προβάτων τῶν δεσποτικῶν ἀγέλης, πάλιν ὡς ὄφις ὀλισθήσας εἰς τὸν θάνατον παραγένηται τῶν ψυχῶν, διορύξας ἐν ὧι δἂν δυνηθῆι μέρει, ταῖς περιδρομαῖς. οὔτε γὰρ δύναται ἠρεμεῖν ὁ τῆι ἰδίαι ἁρπαγῆι λυσσωδῶς ἐπιθυμῶν ἐπαναπαύεσθαι. ὀχύρωμα τοῖς ὑγιαίνουσιν, τὰ ἰάματα τὰ γεγενημένα βεβαιώσατε εἶναι ἀσάλευτα τοῖς ῥωσθησομένοις. τῆς ὑμετέρας πίστεως περιστοιχίσατε τείχεσι τῆς θρησκείας τῆς καθολικῆς τὴν ἀλήθειαν, δι' ὧν καὶ οἱ πιστεύοντες ὀχυρωθήσονται καὶ οἱ τῆι τοσαύτηι ἀκολουθήσαντες πλάνηι οὐ μὴ τολμήσωσιν εἰσελθεῖν. οὗτος γὰρ πληρέστατος τῆς νίκης τῆς ὑμετέρας ὁ καρπὸς ἔσται, μηδὲν καταλιπεῖν ὃ εἰσαῦθις ἡ τοῦ θεοῦ ἐκκλησία ὀφείλει εὐλαβεῖσθαι καὶ τηρεῖν. ὃν οὖν ἡ πάντων διέβαλεν ἀπόφασις τῶν ἱερέων ἐν τῶι διαμένειν αὐτὸν προσομιλοῦντα τὰ ἱερόσυλα, τοῦτον ἡ ὑμετέρα ἡμερότης ἀπὸ τῆς τῶν πάντων κοινωνίας ἀποκινησάτω, ὥστε ἄδειαν μὴ ἔχειν τοῦ τινας ἀπολλύειν.

4 Τοὺς μέντοιγε εὐλαβεστάτους υἱοὺς τοὺς ἐμοὺς Ἰωάννην τὸν πρεσβύτερον καὶ Ἐπιθυμητὸν τὸν διάκονον τοὺς τοῦ τηλικούτου πράγματος ἀγγέλους μετὰ πάσης τῆς συγχαρμονῆς τῆς ἐκκλησίας ὑπεδεξάμεθα καὶ ἀναγνωσθέντων τῶν γραμμάτων τῆς ὑμετέρας εὐσεβείας ἐν τῆι συναγωγῆι τοῦ παντὸς τῶν Χριστιανῶν λαοῦ ἐν τῶι τοῦ μακαριωτάτου ἀποστόλου Πέτρου μαρτυρίωι, τῶι κυρίωι ἡμῶν ὑπὲρ ὑμῶν εὐχὰς ἀπεδώκαμεν. οὕτως γὰρ τοῦ κυρίου συνεργήσαντος πρὸς ἡμᾶς παρεγένοντο, ὡς ἐν αὐτῆι τῆι ἡμέραι ἀπαντῆσαι, ἐν ἧι Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἡ γενέθλιος ἦν ἡ κατὰ σάρκα, ἧι τινι καὶ ἡ ζήτησις εἰσήγετο, καὶ τὴν ἀσέβειαν τοῦ ἡττημένου ὑπὸ πάσης ἅμα τῆς ἐκκλησίας καταισχυνθῆναι.

Ὁ παντοδύναμος θεὸς τὴν βασιλείαν σου ἐπὶ μήκιστον χρόνου διάστημα διαφυλάξοι, ἐνδοξότατε καὶ γαληνότατε βασιλεῦ αὔγουστε.

ΑΛ

1/2 τὸν — Μαξιμιανόν om. Λ 5 οὕτως Λ οὕτοσ Α 7 τί deleui 20 ἀπὸ τῆς scripsi τῆσ ἀπό Α 27 οὕτως Α μηδὲν Λ μὴ δὲ Α post 39 haud pauca a translatore omissa 40. 41 om. Λ

87 Latinum exemplar [JK 388] extat in Collectione Veronensi 25

Τοῦ αὐτοῦ τῶι κλήρωι καὶ τῶι λαῶι Κωνσταντινουπόλεως

1 Κελεστῖνος ἐπίσκοπος τῶι κλήρωι καὶ λαῶι Κωνσταντινουπόλεως ἀγαπητοῖς ἀδελφοῖς ἐν κυρίωι χαίρειν. Ἀγαλλίασις μητρός ἐστιν ἡ συναγωγὴ τῶν τέκνων· τοιγαροῦν χαίρει ἡ ἐκκλησία οὕτως ἑαυτῆς τὰ τέκνα τὰ ὑπὸ τοῦ διαβόλου σκορπισθέντα πάλιν ἀναγαγοῦσα, ὥστε ἐκ τούτων μηδένα ἀπολωλέναι εἰ μὴ τὸν υἱὸν τῆς ἀπωλείας, ἐπειδὴ αὐτὸν υἱὸν ἴδιον οὐδαμῶς ὁ πατὴρ ἡμῶν ἐπέγνω. ἐκεῖνον γὰρ μιμησάμενος ἐξ οὗ ἦν, ὡς ἀνέγνωμεν, Ioh. 8, 44 ὑμῶν τῶν νομίμων τοῦ θεοῦ υἱῶν τὴν κληρονομίαν ἐπεχείρει ἀποσπάσαι, οὓς λέγοντος Rom. 8, 17 τοῦ ἀποστόλου καὶ κληρονόμους θεοῦ καὶ Χριστοῦ συγκληρονόμους κατὰ τὴν πίστιν ὑμῶν ἔσεσθαι πιστεύομεν. οὐ συνεχωρήθη οὖν αὐτῶι κατὰ τούτων βραβεῖα νίκης ἀπενέγκασθαι, οἵτινες μᾶλλον κατ' αὐτοῦ χρησάμενοι τοῖς ὅπλοις τῆς πίστεως ἐθριάμβευσαν. νικητὰς ὑμᾶς, ὁμοῦ τοῦ κοινοῦ βασιλέως [εἰς] τὴν κατὰ τοῦ πολεμίου νίκην βοᾶι ὁ τύραννος
2 ἀποκλεισθείς· ἐνίκησεν ἐν ὑμῖν οὗ ἄδηλος γίνεσθαι ἡ θειότης ἐνομίζετο. εἴ γε ἠνείχετο ἡ γέννησις ζήτησιν, ζήτησιν εἴποιμ' ἂν ἣν ἑαυτῶι ἕκαστος καλῶς πιστεύων ἁπλουστάτως ὀφείλει ἀνακαλύπτειν. τίς γὰρ εἰς κρίσιν καλεῖν τολμήσοι τὸν θεὸν καὶ ἐρευνᾶν αὐτὸν ὅπως ἦλθε βοηθήσων; οὐκ ἦν δυσχερὲς τῶι θεῶι δύνασθαι ὃ ἠβούλετο, ὅς γε κατηξίωσεν ἐλευθερῶσαι δυνάμενος. ἀλλὰ πόθεν ἐκείνου τοῖς στέρνοις ἐν τοσαύτηι ἑαυτοῦ τῆι ἀχλύι τὸ φῶς ἰδεῖν; πόθεν ταῖς γηίνοις κακοτεχνίαις τὴν ἐν τοῖς ἀνωτάτω κειμένην συλλέξαι ἀλήθειαν; ταῦτα ἐν ταῖς ἰδίαις σκοτίαις ὁρᾶν οὐ δύνανται οἱ τοῦ λύχνου ἐκείνου τὸ ῥῆμα ἀγνοοῦντες, ὅπερ εἶναι φῶς ταῖς τρίβοις αὐτοῦ Δαυὶδ ὁ προφήτης μαρτυρεῖ. Ps. 118, 105 μεθ' οὗ ψαλμωιδοῦ, ὡς προείπομεν, τῆς μητρὸς ἀγαλλιωμένης ἐν τῆι ἰδίαι γαστρὶ ἀνα- 21 στρεψάντων οὓς ἡ διάλεξις ἡ μέχρι νῦν γελοιώδης καὶ βλάσφημος ἐτάραττεν, ἅσαι ἐτέρφθη· ἰδοὺ δὴ τί καλὸν ἢ τί τερπνὸν ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς Ps. 132, 1 ἐπὶ τὸ αὐτό; ἁρμοδίως ἐγὼ τούτοις τοῖς ῥήμασι περὶ ἑαυτοῦ χρήσομαι· ἐμαυτῶι γὰρ ἐκ τοῦ πλείστου μέρους καὶ τὸ ὅλον τῆς παρούσης ἐκδικῶ χαρᾶς τῆι βοηθείαι 25 τῆς ἁγίας τριάδος, τῆς καθόλου ἐκκλησίας τὴν ἡσυχίαν, ἣν μέχρι τοῦ παρόντος πᾶς
3 ὁ σκανδαλιζόμενος κατέφλεγε καὶ τὸ ἀσθενές τινων ἐποίει ἀβέβαιον. μέμνηται ἡ ἀγάπη ἡ ὑμετέρα πάλαι πρὸς ὑμᾶς μοι περὶ τοῦ πάθους γεγονέναι λόγον· κατεβάλομεν V 11 ἃ ὤφειλον σπέρματα ὁ ἱερεὺς εἰς τὰς ψυχὰς τῶν Χριστιανῶν οὔτε ἐμὲ τὸ ἐν ὑμῖν ἐλπιζόμενον λήιον ἔσφαλέ τι. τῆι γὰρ ὑπομονῆι τῆι ὑμετέραι αὐτοῖς τοῖς καρποῖς ἐπιδείκ- 30 νυσθε τὸ θέρος. τούτοις βασκαῖνον ἐπιμένει τὸ ὁλέθριον ζιζάνιον εἰς τινῶν διανοίας· ὁ ὁλέθριος γεωργὸς πολὺ μακρὰν ἐπιμένει, ἄλλο ἢ ὅπερ ἦν λαβὼν πρὸς τὸ σπεῖραι, εὑρηκὼς ἐσπαρμένον. ἔχομεν ὄντως τῆς πίστεως τῆς ἡμετέρας τὰ σπέρματα, ἅπερ αὐτοῦ τοῦ δεσπότου ὁ λόγος καὶ ἡ τῶν ἀποστόλων διδαχὴ κατεβάλετο· ἅπερ ὁσάκις ταῦτα συμβαίνει, αὐτὴ ἡ γῆ οὐχ ὑποδεχομένη, ἀλλὰ ἕτερα ἐπιχεθέντα διαφθείρει. οὐδαμῶς τῆ 35 ἁπλῆι ὑμῶν πίστει ὁ τοῦ θερισμοῦ δεσπότης δυνήσεται ἐπιμέμψασθαι, ὅς γε ἐν τῶι εὐαγγελίωι τὸν ἀρχηγὸν τοῦ ζιζανίου ἐρωτηθεὶς ἐπέδειξεν. ἐκεῖνοι τότε εἰρήκασιν· ἐν τῶι Mt. 13, 27 καλῶι σπέρματι πόθεν ζιζάνια; ἡμεῖς εἴπωμεν· ἐν τοσαύτηι δαψιλείαι πίστεως πόθεν ἡ ἀπιστία; ἀποκρινώμεθα ὅμως ἡμεῖς ἑαυτοῖς τοῖς ῥήμασι τοῦ Χριστοῦ· ἄνθρωπος Mt. 13, 28 ἐχθρὸς τοῦτο ἐποίησε. πῶς ὑμᾶς ἐγύμνασεν ἡ τῶν προτέρων διδασκάλων παλαί- 40 στρα, ἡ στερεότης τῆς ὑμετέρας διανοίας ἐδίδαξε. τὴν ἐπίγνωσιν χρεωστεῖτε αὐτοῖς ταύτης τῆς πλάνης ὧν αὐτὸς ἀνάξιος τῶν ἐπαίνων ἐγένετο, ὅς γε οὕτως ἔνδοξα ἀγαθὰ παρεῖδεν. οὐκ ἐν μέρει τῆς περιστερᾶς τῆι ἁπλότητι, ἀλλ' ἐν τῶι ὁλοκλήρωι ἐσπού- Mt. 10, 16

AA

12 εἰς deleui 17 τοῖς στέρνοις] *pectori* pro *peccatori* 39 ἑαυτοῖς] *nobis* pro *uobis* legit translator

δασε τοῦ ὄφεως τῆι πονηρίαι. καὶ οὐ θαυμαστὸν εἰ ἑτοιμαζόμενος ἀνελεῖν ὁ πονηρὸς τὰς ἁπλουστέρας ψυχὰς ἐκείνωι ἀπατῶντι ἠκολούθησεν, ὃς ἀπατῶν πρῶτος ἀπέκτεινε.
Gen. 3, 1 sq. τοιγαροῦν ῥήμασιν αὐτὸν ἀνέγνωμεν ἠπατηκέναι, καὶ ἐνταῦθα εἰσαγαγεῖν θάνατον οὐκ
4 ἄλλως εἰ μὴ διὰ ῥημάτων ἐπείρασεν. οὐκ ἀτιμωρητὶ μέντοι τῶι ἰδίωι αὐθέντηι ἐξηκο-
Act. 1, 25 λούθησεν, ὁπότε τῶι ὑποδείγματι Ἰούδα τὴν ἐπισκοπὴν αὐτοῦ ἄλλος ἔλαβεν. εὐλόγως 5
ἑκατέρων κρατεῖ μία ἀπόφασις, ἐπειδὴ εἷς ἓν καθὼς ὁρῶμεν, ἑκάτεροι ἥμαρτον. ἵτω τοιγαροῦν ἑκάτερος πρὸ τῶν ὀφθαλμῶν ἡμῶν, τοῦ σωτῆρος ἡμῶν συκοφάντης καὶ προδότης· ὅμως δ' οὐν βουλεύεσθαι δυσχερές ἐστιν μεταξὺ τοῦ ζητοῦντος τὴν γέννησιν καὶ τοῦ ἀρχηγοῦ τοῦ θανάτου. ἐπὶ τῶι ἀτοπήματι τῶι ἰδίωι, εἰ καὶ εἰς κενὸν Ἰούδας εὐθὺς μετενόησεν, ἔφθασε τὴν ἔξοδον τοῦ παραδιδομένου ἡ τιμωρία τοῦ παραδόντος. οὖκ 10
ἐστιν ἀφανὴς ἡ ἀσέβεια· ἐκεῖνος ὁμολογήσας τὴν ἰδίαν ἁμαρτίαν εὐθέως ἀγχόνην ἐξελέξατο, ἐνταῦθα ἡ τῆς ἀσεβείας ἐπιμονὴ μέγα φρονεῖ. οὐδὲ ἐγὼ ταύτηι τῆι ἀπιστίαι δώσω καιρὸν πλάνης· οὐκ ἐστι πλάνη ἡ ἀσέβεια, ἀλλ' ὄντως ἀσέβειά ἐστι. πᾶς τοιγαροῦν ὅστις τῆι ἐκκλησίαι ἢ τῆι ταύτης ἡσυχίαι διάβολος ὁσάκις ἐβάσκηνεν, αὐτῆς εἴσω τῆς τεχθείσης φιλονεικίας ἀκεραίαν ἐφύλαξεν αὐτῆς τῆς φιλονεικίας τὴν ὑπόθεσιν· ποῦ συνε- 15
βάλλετο ὁ ἀγὼν οὗτος; ποῦ ἐπονεῖτο, οὐχ ἵνα τῆι θρησκείαι νικήσηι, ἀλλ' ἵνα αὐτὴ ἡ
5 θρησκεία ἡττηθῆι; μέμνησθε πάντως αὐτοῦ, ἐπειδὴ καὶ ἀναγκαῖόν ἐστι μεμνῆσθαι τῶν βλασφημιῶν· ἀλλὰ λοιπὸν λήθην τῶν τοσούτων κακῶν βούλομαι ταῖς ἀγαθαῖς διανοίαις ἐπιτετάχθαι. ἐξαιρείσθω τῶν ψυχῶν ὁ ὑποσυρεὶς τῶν ὀφθαλμῶν· ἀρθήτω δὴ ὁ ἀσεβής, ἐπειδὴ οὕτως καλεῖσθαι δεῖ τὸν πλήκτην τοῦ ἐνδοτάτου. ἔσχε πυκνὰς ὁ διεστραμμένος 20
Ps. 10, 2 προσομιλητὴς τὰς ἐπιβουλάς· ἔτεινε τόξον συνεχῶς, ὡς ἀνέγνωμεν, καὶ τῶι ἰδίωι στόματι τὰς ἀκίδας φαρμακώδεις ἠκόντιζεν, οὐδένα δ' ὅμως ἐκ τοῦ ὑμετέρου ἀριθμοῦ πλῆξαι
Ps. 10, 2 εὗρεν. ἀναστραφέντα εἰς αὐτὸν τὰ βέλη ὑπέστρεψε μετὰ τὸ μὴ δυνηθῆναι τοξεῦσαι ἐν ἀποκρύφωι τοὺς εὐθεῖς τῆι καρδίαι, καὶ οὐκ ἐξουσίασεν εἰς τοὺς υἱοὺς τοῦ φωτὸς ὁ υἱὸς τῆς σκοτίας. ποία ἡμᾶς φροντὶς ὑμῶν ἐν τῶι πολέμωι τῶι ἐμφυλίωι ὄντων, ποία μέριμνα 25
τότε κατέσχεν; ἴσας εἶναι τῶν ἡμερῶν ἡγησάμεθα τὰς νύκτας, ἐπειδὴ ἐν ταῖς τοιαύταις ὑποθέσεσι πᾶς καιρὸς στενός ἐστιν· οὐ τοὺς ὀφθαλμοὺς τῶι ὕπνωι ἐπεκλίναμεν, οὐ τὸν λογισμὸν ἀφήκαμεν εἰς ἡσυχίαν. τίνα γὰρ εἶχεν ἐπιθυμία ὕπνου, οὕτως ἀγρυπνοῦντος τοῦ ἅρπαγος; οἴδαμεν ποῖος ἐν ταῖς μάνδραις φόβος, πόσον ἐν τοῖς περιφράγμασι δέος, ὁσάκις τῶν λύκων ἡ γειτονία πεινῶσα διὰ περιδρομῆς εἴσοδον ζητεῖ πρὸς ἁρπαγὴν χαλε- 30
6 παίνουσα καὶ κατὰ τῶν ἀπόντων ἀπειλοῦσα ὄλεθρον. ἡλίκου ἐνταῦθα ὑπὲρ τῆς ἰδίας ἀσφαλείας ἐπαίνου ἡ ἀγέλη ἀξία, ἧς οὐχ ἥψατο σὺν αὐτῆι ὁ ἅρπαξ ἐγκεκλεισμένος; πεφανέρωται ἡ αἰτία τῆς ἀσφαλείας ταύτης· πρόδηλός ἐστιν ὁ ἀντιστὰς τῶι ἐχθρῶι. νοή-
Ioh. 10, 11 σωμεν καὶ ὁμολογήσωμεν πάντες ὅτι ὑμᾶς ἐκεῖνος ἐφύλαξεν ὁ ποιμὴν ὁ ἐν τῶι εὐαγγελίωι ἑαυτὸν καλὸν εἶναι λέγων ποιμένα· παρῆν καὶ οὐκ ἐγκατέλιπεν ὑμᾶς ὁ πάσχων ἐν ὑμῖν. 35
εἰς τοῦτον τοιγαροῦν καθ' ἡμέραν ἠκονᾶτο ἡ γλῶσσα τῆς βλασφημίας· εἰς αὐτὸν τοὺς ὀδόντας τοὺς ἰδίους ὁ ἀσεβὴς προσομιλητὴς ὥπλιζε. ματαίωι δὲ ὅμως πάντοτε διε-
Ps. 22, 4 παίχθη τῶι δήγματι, ὁπότε ἐκείνου τοῦ ποιμένος ἡ ῥάβδος ὑμᾶς παρεκάλει καὶ ἡ βακτηρία,
Ioh. 22, 15-17 ὃς τὴν ἀγέλην τὴν ἰδίαν παρέδωκεν εἰς βοσκὴν ἀπιὼν εἰς τοὺς οὐρανούς. αὗται ὑμῖν μέχρι νῦν οὐκ ἠμείφθησαν αἱ βοσκαί· ταῖς αὐταῖς νομαῖς ἐκορέσθητε· ἀποστολικῶι ὑμᾶς 40
οἱ διδάσκαλοι καὶ εὐσεβεῖ πάντοτε λόγωι ἔθρεψαν. ὅμως ἐπιβλαβὲς ἐγένετο ἀντὶ ὑγιεινοῦ ἐδέσματος δέλεαρ ὑποβαλλόμενον, ὅτε ὁ ἐναντίος ταῖς πεινώσαις ψυχαῖς μεμιγμένας ἀκάν-
2 Cor. 2, 15 θας ἄνθεσι παρετίθει· καὶ ὅμως ἡ ἀπάτη ὑμᾶς αὕτη οὐκ ἠπάτησεν. οἱ γὰρ Χριστοῦ εὐωδία ὄντες ἐν κυρίωι, ἐμισήσατε τὴν βοτάνην τῆς θανατηφόρου ἀγρώστεως μετὰ τὸ
Sir. 28, 24 ὑμῖν πολὺ μακρὰν ἕτερον πνεῦσαι ἢ εἰώθει· περιεφράξατε τὰς ἀκοὰς ὑμῶν ἀκάνθαις, ἵνα 45

ΑΛ

1 τῆι πονηρίαι Λ ἡ πονηρία A 10/11 οὐκ—ἡ ἀσέβεια om. Λ 18 διανοίασ A 22 ἡμετέρου A

μὴ τῆς ἀδίκου γλώσσης ἀκούσητε. οὐ κατῆλθεν οὖν εἰς τὴν διάνοιαν τὸ προσκροῦσαν
7 τῇι ἀκοῇι οὐδὲ τὸ ἐνδότερον πλῆξαι ἠδυνήθη, ὅπερ τὸ ἐξώτερον οὐ παρεδέξατο. ἐξεκλίνατε τοῦτον ὥιπερ, καθὼς μεμαθήκαμεν, καὶ κατὰ πρόσωπον ἀντέστητε· ἐξεκλίνατε κατὰ τὴν τοῦ μακαρίου Παύλου ἀπόφασιν ἐκεῖνον ὃν ἐγινώσκετε λοιπὸν εἶναι ἔνοχον. ἀνέ- Tit. 3, 10
γνωτε γάρ, μᾶλλον δὲ μνημονικῶς ἤδη κατέχετε, ἐπειδὴ μνήμης πάντων ἄξιά ἐστι, τὰ τοῦ 5
τῆς Ἀλεξανδρέων ἐκκλησίας ἱερέως Κυρίλλου, τουτέστι τοῦ καθολικοῦ διδασκάλου πρὸς
τοῦτον γράμματα, οἷς αὐτῶι οὕτως ἐπέστειλεν ὥστε θέλειν ἐσπούδασεν αὐτὸν εἶναι διορ- V 4
θούμενον. ἔδραμε τὸν ὀλισθήσαντα ἐπανακαλέσασθαι [εἰς] ἑταῖρον· ἐπέδωκε τὴν δεξιὰν
τῆς ἰδίας δίδασκαλίας, ὁμοῦ θέλων πολλοῖς βοηθῆσαι. ἔπληττεν ἀρχαίου ἱερέως τὸν λογισμὸν ἐπισκόπου βαμβαίνοντος ἡ πτῶσις τῶν πολλῶν. ἐγίνετο ὃ ἔπραξε, καθὼς γέγραπται, 2 Paral. 19, 11
εὐλογημένον τὸ ἔργον κυρίου ἐπιμελῶς. ἐν οὐδενὶ αὐτῶι τῶν καθηκόντων ἐνέλειψε τῶι 11
ἀποστόλωι· ὡς ἀνὴρ ἀποστολικὸς παρεκάλεσεν, ἤλεγξεν, ἐπετίμησεν. ἐκεῖνος δὲ ὁ εἰς 2 Tim. 4, 2
τὸ βάθος τῶν ἰδίων βλασφημιῶν τῶι βάρει μεμεθυσμένος, τὴν τοσούτου ἀνδρὸς διδασκαλίαν ἀπωθούμενος καὶ ἀποκεχρημένος τῆι προτροπῆι, εὐμαθὴς εἶναι οὐκ ἠθέλησεν ὁ μηδὲ διδάσκαλος εἶναι δυνάμενος· ὑβρίζει τὸν συγκροτοῦντα τὴν ὀρθότητα ὁ τῆς διαστροφῆς 15
συνήγορος· ἐχάρη ἐνταῦθα καὶ οὐκ ἐσκυθρώπασεν ὁ ἀδελφός [καὶ], καθ' ἑαυτὸν λογιζόμενος
ὅτι δικαίως τοῦ ἑαυτοῦ συνδούλου οὐ φείδεται τοῦ οὕτως εὐτελίζοντος τὸν ἑαυτοῦ δεσπότην. εὑρέθη δι' ἐπιμέλειαν ἐκεῖνος ὁ ἐν τῶι εὐαγγελίωι υἱὸς τοῦ πλουσίου ἢ ὁ πιστὸς Mt. 25, 21. 23
δοῦλος· καὶ γὰρ καὶ τὴν πατρώιαν ἐφύλαξεν οὐσίαν καὶ ηὔξησε τὸν ἀριθμὸν τῶν ταλάντων. οὐ γὰρ διπλασιάσαι μόνον, ἀλλὰ καὶ πολυπλασιάσαι εἴποιμ' ἂν τὸ κεφάλαιον ὃν 20
ὁρῶμεν καὶ τοῖς μακρὰν οὖσιν εὐσεβεῖ δανείσματι συνεληλυθέναι. ὦ ἁγίας ὑμνήσεως
δάνειον· ἡλίκην χάριν ἐπὶ τοῦ κοινοῦ δεσπότου ὁ τῆς πίστεως πραγματευτὴς εὑρήσει Κύριλλος, ὅς γε διὰ τὸ τῶν ψυχῶν κέρδος τὸ τῆς πίστεως πρᾶγμα κἀκεῖσε ἐγύμνασεν, ἔνθα ἕτερος ἐπιστεύθη; οὐκ ἄρα οὗτος δικαίως παρὰ τοῦ οἰκοδεσπότου ἀκούσεται· εὖ,
δοῦλε ἀγαθὲ καὶ πιστέ· εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου; ταῦτα 25
8 τούτωι ἁρμόζει, ὅς γε καὶ τὰ τοῖς ἄλλοις πιστευθέντα ἐφύλαξε. τί ἀκούσεται ἐκεῖνος, τί δὲ ἐρεῖ, ὅταν τοῦ ἐγχειρισθέντος αὐτῶι ταλάντου ὁ λόγος ζητῆται; ὃς εἰκότως ἐνείχετο τῶι ἐγκλήματι, εἰ καὶ ἦν αὐτὸς μόνος σωθείς, ὑμῶν κἂν εἰ δι' ἑτέρου ἀπολομένων.
οἶδατε πάντως κατὰ τὴν φρόνησιν τὴν ὑμετέραν ποία τιμωρία τοὺς ἀμελεῖς μένει ἱερεῖς, 29
οὓς γε ὁ ἀπόστολος προεστάναι καὶ τῶν ἰδίων οἴκων κελεύει ἐπιμελῶς. Ἦλεί τοιγα- 1 Tim. 3, 4
ροῦν καθ' ἑαυτὸν ἀναίτιος ὤν, τῶι θεῶι διὰ τῶν υἱῶν προσέκρουσε· προσέκρουσεν ὑπὲρ υἱῶν 1 Reg. 2,
ὁ πατὴρ καὶ ἀρχιερεύς· προσέκρουσεν ἡ ἐξουσία καὶ ἡ εὐσέβεια. εἰ τοίνυν ἐκεῖνος μὴ ἀνα- 12 sq.
στέλλων τὴν τῶν παίδων τόλμαν ἑάλω, πόσωι μᾶλλον οὗτος προέκρουσε τῶι θεῶι, ὁπότε οὐδὲ ἑαυτοῦ ἐφείσατο; οὐχὶ καὶ ῥᾴθυμον τοῦτον εἴποιμ' ἂν καὶ ἀμελῆ· ἔσχετε ἄνθρωπον
9 μετὰ τάχους λέγοντα καί, ἐπειδὴ πρὸς εἰδότας λέγω, ἔσχετε ἐγρήγορον ὀλετῆρα. οὔτε 35
δὲ ὁ μακάριος ἀπόστολος Πέτρος ἐγκατέλιπε τὸν οὕτως ἀφορήτως κάμνοντα. ὡς γὰρ ἤδη ὄζον πᾶσιν ἀηδίαν παρεῖχε, χωρισθῆναι τὸ τοιοῦτον τραῦμα ἀπὸ τοῦ ἐκκλησιαστικοῦ σώματος ἔπειθεν, ἐπειδὴ ἐκείνωι ἑπόμεθα ὥι ἀκολουθοῦμεν, ὅς γε οὐδὲ ἀπὸ τῶν ἐλα- Mt. 18, 14
χίστων τινὰ βούλεται ἀπολέσθαι, πρὸ τοῦ σιδήρου προσηγάγομεν καὶ ἐμβροχήν· ἀλλ'
ἐκεῖνος θάνατον, ἀπελπίσας ἑαυτοῦ, εἵλετο, ἀποχρησάμενος τῆι ἡμετέραι σπουδῆι. τοι- 40
γαροῦν τὴν θεραπείαν ἀποπτύων ἠρήσατο ἐκκοπῆναι· ἀπηνέγκατο αὐτὸς περὶ ἑαυτοῦ τὴν
ἀποστολικὴν ψῆφον, κἂν τοῦτο μεθ' ἡμῶν φρονῶν, ἵνα ἐκκοπῆι ὁ διαταράττων ἡμᾶς καὶ Gal. 5, 12
βουλόμενος διαστρέψαι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ. οὐδεμίαν τῆς ἰατρείας βοήθειαν
τῶι ἀρρώστωι, ὡς προείπομεν, ὑστερήσαμεν· οὐκ ἐγένετο σκοπὸς τῆι ἡμετέραι ἀποφάσει

ΑΛ

6 Κυρίλλου om. Λ 8 ἑταῖρον scripsi secundum Λ εἰσ ἕτερον A 9/10 τὸν λογισμὸν ἐπισκόπου scripsi secundum Λ ἐπισκόπου τὸν λογισμὸν A 16 καὶ delevi secundum Λ 22/23 Κύριλλος om. Λ 40 ὑμετέρα A

Mt. 18, 17. 15 ὥστε τῆι ταύτης ταχυτῆτι γενέσθαι αὐτὸν ἡμῖν ἢ ἐθνικὸν ἢ τελώνην· οἴδαμεν ὅπως καὶ ποσάκις τοὺς στελλομένους κατὰ τῶν θείων αἱ γραφαὶ κελεύουσι μεθοδεύεσθαι, ὅπερ νῦν μάλιστα πεπλήρωται. καὶ γὰρ τὸν ὀφείλοντα ἔτι τότε καλεῖσθαι ἀδελφὸν ἀδελφὸς ὑπέμνησεν, ἔπειτα ὁ μονότονος ὑφ' ἑνὸς καὶ δευτέρου, μᾶλλον δὲ καὶ ὑπὸ πολλῶν μαρτύρων μεθωδεύθη, ἀκολούθως παρὰ πάσης τῆς ἐκκλησίας, οὐδὲν ἧττον καὶ ἡμετέρωι ῥήματι ἐπετι- 5
V 10 μήθη. οὐδὲν ἀπέπαντον, οὐδὲν εἰς τοῦτον ἐπράξαμεν ἄωρον, ὃν τῆς θείας διατάξεως ἡ τάξις φυλαχθεῖσα κατεδίκασεν. οὐκ ἠδυνήθημεν περαιτέρω ὑπερθέσθαι, μὴ κατὰ τὸ
Ps. 49, 18 γεγραμμένον κλέπτηι συντρέχειν δόξωμεν καὶ μετὰ μοιχοῦ τῆς πίστεως τὴν ἡμετέραν τί-
Mt. 5, 29. 10 θεσθαι μερίδα, ὁπότε καὶ ὀφθαλμὸς σκανδαλίζων κελεύεται ἐκβάλλεσθαι. πρὸς ταῦτα
18, 9 ἐκεῖνος τοῖς ἐξ ἑτοίμου τοσαυτάκις προσενεχθεῖσιν ἰάμασι πεδίον πρὸς ἀγῶνα ἐπιζητεῖ· 10
ἱερατικὴν ἐξαιτεῖ κρίσιν, εἰς ἣν οὐκ ἤμελλε παραγίνεσθαι· ἐξέρχεται ἀπελευσόμενος εἰς πόλεμον ὁ τῶν παρατάξεων ἡγεμὼν ὡμολογημένος πολέμιος, ὁ διδάσκαλος τῆς πίστεως ἄντικρυς τῆς πίστεως ἐπιφερόμενος ὅπλα ἀπιστίας, ὁ οὐ τοσοῦτον ἀφιγμένος ὅσον ἑωρᾶτο ἀπελαθείς. οὐ ζητῶ ὁποίας τότε πρὸς τὸν θεὸν ἡμῶν εὐχὰς ἐξεχέατε, ὁπότε ἡ ἔκβασις διδάσκει τί ἠδυνήθητε εὐχόμενοι ἀνύσαι, μηδὲ ἡμᾶς τῶν γενομένων πραγμάτων νομίζετε ἀγνῶτας, 15
V 82 ὧν ἡμῖν τὴν τάξιν τοῦ ἁγίου ἀδελφου ἡμῶν Κυρίλλου ἡ ἀναφορὰ ἐφανέρωσεν. ὑπέμνησε τὸν ἄνθρωπον ἥτις ἀπαραιτήτως αὐτὸν κατὰ τὸ ἔθος ἐκάλει· παρεῖναι κατεφρόνησε. τίς τὸν τὴν σύνοδον ἐπιζητήσαντα ἐπίστευσεν ἀπολειφθήσεσθαι ταύτης; ἐταπεινώθη ἐκεῖσε τοῦ ψεύδους ἡ κουφότης τῶι βάρει τῆς ἀληθείας καὶ ἑαυτὴν οὐκ ἐτόλμησεν ἐν τῆι λαμπηδόνι τῶν ἱερατικῶν ἀκτίνων ἡ τοῦ κρυπτομένου ἀπίστου ἀχλὺς ἐγκαταμῖξαι. τὸ φῶς ἐφυγάδευε τὸ σκότος, 20
2 Cor. 6, 14 ἐπειδὴ κοινωνίαν ἀνέγνωμεν [ἐν] τούτοις εἶναι μὴ δύνασθαι· ἀμοιβαδὸν τὰ ἐναντία ἑαυ-
Mt. 10, 27 τοῖς πάντοτε προσκρούει. ποῦ ἐστι τὸ λαληθὲν αὐτῶι ἐν τῆι σκοτίαι, ὥστε ἐξειπεῖν ἐν τῶι φωτὶ καὶ ἐπάνω τῶν δωμάτων κηρῦξαι ὃ ἤκουσεν εἰς τὸ οὖς; ἀλλὰ διὰ τοῦτο ἠθέλησε παρὼν λαθεῖν, ὥστε τὴν ἐκφερομένην ἀπόφασιν κρινούσης τῆς συνειδήσεως τὴν
Mt. 5, 15 αἰδῶ προλαβεῖν. τὸν λύχνον τὸν ἴδιον διὰ τί ἠθέλησεν ἔχειν ὑπὸ τὸν μόδιον, εἰ αὐτὸν 25
καλῶς ἐνόμιζε φαίνειν; πάσηι τῆι ἁγίαι συνόδωι φᾶναι ὤφειλεν, ὥστε ἀπὸ τοῦ ἀλη-
cf. Ioh. 3, 20 θινοῦ πάντων φωτὸς δοκιμασθῆναι. οὐ ψεύδεται ἡ θεία ἀπόφασις ὅτι οἱ ἐν τῆι σκοτίαι ὄντες φῶς ἰδεῖν οὐ δύνανται· ἔμεινε κρυπτόμενος καὶ ἐκκλίνων τὴν τῶν ἱερέων σύνοδον ἑαυτὸν τρόπον τινὰ τῆι ἀξίαι ἀπηγόρευσεν. οὕτως ἐκεῖνος ὁ πρωτόπλαστος ἄν-
Gen. 3, 10 θρωπος Ἀδάμ, τοῦ ἑαυτοῦ ἁμαρτήματος συνίστωρ ὤν, πρὸ προσώπου τοῦ θεοῦ γυμνὸς ἀπε- 30
κρύβη, καί ⟨ὅ⟩ γε οὐκ εἰς αὐτόν, ἀλλ' εἰς τὰς ἐντολὰς αὐτοῦ ἁμαρτήσας ἐπτοήθη ἐκείνην ἧς κατεφρόνησε, τὴν φωνὴν καὶ φόβωι ἀπατηθεὶς περιέπεσε μετὰ τὸ τῆς ἁπλότητος τὸ θάρσος ἀπολέσθαι τῆι αἰτίαι τῆς παρακοῆς. οὐ συγχωρεῖ ἀμφιβάλλεσθαι περὶ τοῦ ἐγκλήματος ἡ ὁμολογία τῶν κρυπτομένων· οὐδεὶς ἑαυτὸν ἐν ταῖς βαρείαις ὑποθέσεσιν ἀναιτίως ἀποκρύπτει.
11 ἔστω οὖν ἐκείνου τοῦ ἀρχηγοῦ τοῦ θανάτου ἡμῶν τοῦ ἀπολέσαντος τὸ ἔνδυμα τῆς τιμῆς καὶ 35
1 Cor. 15, 45 δόξης ἀκολουθήσας οὗτος ὑπόδειγμα, ὃς εὐλόγως τοῦτο μετὰ τοῦ πρώτου ἀνθρώπου Ἀδὰμ ἐποίησεν ἄν, τὴν θεότητα τοῦ ἐσχάτου Ἀδὰμ οὕτως ἀρνησάμενος. οὐκ ἐγένετο πρὸ ὀφθαλμῶν αὐτοῦ ὁ σκυλμὸς τῶν τοσούτων ἱερέων, οὐ τὸ συναχθὲν ἐκ παντὸς σχεδὸν τοῦ κόσμου κοινοβούλιον· ἀπελείφθη τούτων μεθ' ὧν ἑαυτὸν εἶναι οὐκ ἤιδει. τί αὐτὸν ὠφέλησε τούτους ἐκκλῖναι; ἀποφυγεῖν ἠβουλήθη οὓς ἐκφυγεῖν οὐ συνεχωρεῖτο. ποίωι 40
γὰρ λόγωι ἠδύνατο ἐκκλῖναι, διώκοντος ἐκείνου ὥιτινι ἑαυτὸν οὐδεὶς ἀποκρύπτει; ἢ ἐπειδὴ τοιούτοις κοινωνοῖς ἐχρήσατο, ἄνευ ἁμαρτίας ἑαυτὸν εἶναι ὑπολαμβάνων, οὐ κατηξίωσεν
Ps. 138, 7. 8 ἐνθυμηθῆναι ὅ τις προφήτης βοᾶι· ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; ἐὰν ἀναβῶ εἰς τὸν οὐρανόν, σὺ

ΑΛ

14 θεὸν] $d\overline{m}$ pro $d\overline{nm}$ legit translator 21 ἐν deleui secundum Λ 31 ὅ om. A 41 ἐκείνου Λ ἐκεῖνον A

ἐκεῖ εἶ· ἐὰν καταβῶ εἰς τὸν ἅιδην, πάρει. ἐκεῖνος βοᾶι ἐλλεῖψαι ἀποφυγὴν
ταῖς ἰδίαις ἁμαρτίαις μήτε ταύτας θεὸν δύνασθαι λαθεῖν· ἐκεῖνος αὐτὸν ὁμολογεῖ πανταχοῦ
12 παρεῖναι, ὃν οὗτος ἠγωνίζετο δεῖξαι ἐν τῆι γαστρὶ συλληφθέντα ἀπολιμπάνεσθαι. ὀψὲ
γοῦν ἐν τοῖς ἱερεῦσι τοῖς ἑαυτοῦ, ὡς πάντοτε, Ζῶν τὸ ἓν καὶ ἅγιον πνεῦμα εἰς πάντας
ἔστησεν ὁ τοῖς πᾶσι βοηθήσηι. οὐδεμία περὶ ἕλκους ἀναφυομένου ὑπόνοια, ἐπειδὴ ἐπι- 5
μελῶς ἀφηιρέθη ὅπερ ἡ χεὶρ ἡ πνευματικὴ περιέκοψεν. ἔκβαλε γάρ φησιν ὁ Σολομών, Prou. 22, 10
ἐκ συνεδρίου λοιμὸν καὶ συνεξελεύσεται αὐτῶι νεῖκος. μεθ' ἑαυτοῦ τὸ σκάνδαλον τὸ
ἴδιον, ὅπερ ἐπεισήγαγεν, ἀπηνέγκατο, ἐπειδὴ παρ' ὑμῖν ὃ εὗρηκε, τοῦτο κατέλιπεν. οὐκ
ἠδύνατο λέγοντος τοῦ κυρίου μὴ ἐκριζωθῆναι ἡ φυτεία ἣν οὐκ ἐφύτευσεν ὁ πατήρ, καὶ ἡ Mt. 15, 13
ἐν ταύτηι πλείονα καρπὸν δοκιμαζομένη φέρειν· ἐφύλαξε τὴν ἄμπελον τὴν ἰδίαν ὁ κύριος 10 Ies. 5, 7
τοῦ Ἰσραήλ· ἡ ἄμπελος τοῦ Χριστοῦ οἶκος τοῦ Ἰσραήλ ἐστι, καὶ διὰ τοῦτο οὐκ ἔστι θαυ-
μαστὸν εἰ τὸν κλέπτην ὁ οἶκος αὐτοῦ ἐξέφυγεν, οὗ ἀνέγνωμεν μηδὲ ὑπνοῦν μηδὲ νυστάζειν Ps. 120, 4
τὸν φύλακα. τί ποιεῖ ὁ ἐπίμονος ἀσεβής; τί αὐτῶι ἀπέμεινεν ἐλπίδος καὶ βοηθείας;
οὐκ ἔχει τόπον συγγνώμης, ὧι γέγραπται ὅτι οὔτε ἐνταῦθα οὔτε εἰς τὸ μέλλον δυνήσεται Mt. 12, 32
αὐτῶι συγχωρηθῆναι. ταπεινοῦται πᾶς ὑψωθείς, τουναντίον δὲ ὕψος τίκτει ταπεινότης Mt. 23, 12
Χριστιανῶι, ἐπειδὴ τοῦτον αὐτὸς ὁ ἐπ' αὐτὸν ἐπαναπαυόμενος ὑψοῖ. ἐκείνου διὰ τοῦ 16
προφήτου ῥήματα εἰσίν οὐκ οἰκήσει ἐν μέσωι τοῦ οἴκου μου ποιῶν ὑπερηφανίαν, ὃς διὰ Ps. 100, 7
13 τοῦ ἀποστόλου ἐπαγγέλλεται ἑαυτὸν τὴν μωρὰν τοῦ κόσμου σοφίαν ἀπολλύναι. ἀκουέτω 1 Cor. 1, 19. 20
νῦν παρ' ἡμῶν ὅπερ Παῦλος τότε καὶ ἤδη κηρύσσων ἤκουσε τὰ πολλά σε γράμματα Act. 26, 24
εἰς μανίαν ἤγαγεν. ἀπείη μέντοι ἀπ' αὐτοῦ τοῦτο τὸ ὑπόδειγμα· οὐ γὰρ τὸ περὶ 20
τοῦ διδασκάλου ῥηθὲν ἄξιός ἐστιν ἀκοῦσαι ὁ ἀμαθής. διὰ τί γὰρ ἀντικρὺ τοῦ σκεύους
τῆς ἀποβολῆς τὸ σκεῦος τῆς ἐκλογῆς καλοῦμεν εἰς μέσον; ὁπότε εἰς τὸ ἀποδοκιμάσαι Act. 9, 15
τοῦτον ἐκεῖνος ἀρκέσει, ὃν κρεμάμενον μετὰ τοσαῦτα ἀτοπήματα ἐν τῶι σταυρῶι τῆς
τιμωρίας ἅμα τῶι Χριστῶι ἡ εὐεργεσία ἐποίησε τὸν δεσπότην ὁμολογῆσαι καὶ μνήμην ἑαυ- Luc. 23, 42
τοῦ παρ' αὐτοῦ ζητεῖν ἐν τῆι βασιλείαι. τούτωι βραχεῖ λόγωι διέλυσεν εἴ τι δὰν ἥμαρτε, 25
τοῖς ἐγκλήμασι τῶν καιρῶν καιροῦ ῥοπῆι συνερχόμενος, καὶ οὐ βραδύνει τὸ ἔπαθλον τὸν
ὁμολογοῦντα· εὐθέως αὐτῶι τὸ ἀντίδωρον καὶ ἡ ἀμοιβὴ ὑπακούει. ὁ ἡδέως προσδεχό-
μενος τὸν οἱαιδήποτε ὥραι ἐπ' αὐτὸν ἐπιστρεφόμενον μετ' ἐμοῦ ἔσηι, φησίν, ἐν τῶι Luc. 23, 43
παραδείσωι ἐπαγγέλλεται αὐτῶι τῶν μελλόντων τὴν κοινωνίαν τῶι μετ' αὐτοῦ τὰ πα-
ρόντα ὑπομένοντι· ἐγένετο αὐτῶι εἰς δικαιοσύνην ἡ τῆς καρδίας πίστις καὶ εἰς σωτηρίαν Rom. 10, 10
ἡ τοῦ στόματος ὁμολογία. ἐκβοᾶν ἐνταῦθα ὁμοῦ καὶ ὀδύρεσθαι ὀφείλομεν ἐν τοσαύτηι 31
ἐναντιότητι πραγμάτων· ἀθέμιτόν ἐστιν τοῦτο ἐπίσκοπον ἀπολωλεκέναι ὅπερ ὁ ληιστὴς
ἠδυνήθη εὑρεῖν. ὦ πίστεως καὶ ἀπιστίας ἔπαθλον· ὦ κρίματα θεοῦ, ἄβυσσος πολλή· ὁ Ps. 35, 7
14 ληιστὴς παραδείσου ἠξιώθη καὶ ὁ ἱερεὺς ἐξορίας. σχῶμεν δ' ὅμως τούτου τοῦ πράγματος
ἀμφοτέρους ἑρμηνέας· τοῦτον ἐκεῖνος ἐν βασάνοις ὄντα ἐπέγνω, ὃν οὗτος ἐν τιμῆι τυγχά- 35
νων ἠγνόησεν. οὐκ ἄρα τοῦτο ἐκεῖνό ἐστι καὶ ἄνθρωπος ἐν τιμῆι ὢν οὐ συνῆκε· Ps. 48, 13
παρεσυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις; ποῖόν ἐστιν ἕτερον νοήματος
τεκμήριον ἢ τὸ γινώσκειν σοφίαν καὶ ἐπιστήμην καὶ νοεῖν τὰ ῥήματα τῆς φρονήσεως; Prou. 1, 2
ἐκείνη ἐστὶν ἀληθὴς σοφία, ἥτις ἀρχὴν λαμβάνει, αὐτοῦ Σολομῶντος λέγοντος, παρὰ τοῦ Prou. 1, 7
φόβου τοῦ θεοῦ, ἣν ἑαυτὸν μεταξὺ τελείων λαλεῖν ὁ μακάριος Παῦλος διαβεβαιοῦται· ἥντινα 1 Cor. 2, 6
οὐχ οὕτω βαρύ ἐστιν, ὅτι αὐτὴν τότε οὐδαμῶς ὁ κόσμος ἐπέγνω, ἢ ὅτι νῦν ὁ ἐπίσκοπος 1 Cor. 1, 21
ἠγνόησεν. ἐνταῦθα χρήσομαι τοῦ θεοῦ ἡμῶν διὰ Ἱερεμίου τοῦ προφήτου τοῖς ῥήμασιν·
οἱ σέβοντες τὸν νόμον μου ἠγνόησάν με, καὶ τοὺς προφητεύοντας ἐκρότησαν ταῖς χερσὶν Ierem. 2, 8.
οἱ ἱερεῖς· καὶ διὰ τοῦ αὐτοῦ ἀλλαχοῦ· οἱ ἱερεῖς μου ἔθυσαν μοι πλαστῶς. ἐκέχρητο 5, 31 Ier. 2, 10 sq.

ΑΛ

2 αὐτόν] *eum* pro *enim* legit translator 5 ὑπόνοια] *suspicio* pro *suscepit* legit translator
39 περὶ A 43 *prophetantibus iniquitatem* Λ 44 οἱ ἱερεῖς — μοι interpolata etiam in Λ

λοιπὸν ἐκδικίαι καὶ ἐπαίνωι ἐθνῶν, ἐπίσκοπον τοιοῦτον μηδέποτε γεγονέναι μαρτυρούντων.
15 ἀληθῶς ταῦτα καὶ ἀποδεδειγμένως ἔλεγον, ἐπεὶ πότε ἠδύνατο ἐπίσκοπος εὑρεθῆναι ὁ Χριστιανὸν εἶναι ἑαυτὸν ἀγνοῶν; μέντοιγε διὰ τοῦτο τοῖς ἐχθροῖς προήχθη, ἐπειδὴ οὐδέποτε ἀπαρέσκουσι τοῖς πολεμίοις οἱ προδόται. ἠκούσαμεν τοῦτον πράττοντα ἐναντία τοῦ νόμου καὶ τῶι ἀδίκωι ποῖαι παραμυθίαι παρείποντο. παρεγένοντο μεταξὺ τῶν ἄλλων καὶ οὐκ ἐγκατέλιπον αὐτὸν οἱ τῆς Κελεστιανῆς ἀδικίας ἐργάται, οὓς τοῦ ὑμνολόγου τοῦ
Ps. 91, 10 ἡμετέρου διώκει φανερὰ ἀπόφασις· ἐκ πολλοῦ τοιγαροῦν οἱ ἐχθροὶ τοῦ θεοῦ διασπείρονται
Ps. 13, 4 καὶ ἀπόλλυνται οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. ὡς αὐτὸς λέγει, ὡσανεὶ τροφὴν ἄρτου τὸν λαὸν τὸν δεσποτικὸν κατήσθιον. χωρίζειν γὰρ δύσχερές ἐστιν οὓς τὰ ἀτοπήματα μόνα συνῆψεν, ἐπειδὴ μείζονι δεσμοῦνται κόλλητι αἱ σπονδαὶ τῶν ἐλαττωμάτων. ποῖον μέντοι
Sap. Sal. 4, 18. 19 τέλος ἐστί; πάντως ἐκεῖνο ὃ ἀνέγνωμεν· ἐκγελάσεται αὐτοὺς ὁ κύριος καὶ ἔσονται μετὰ τοῦτο εἰς πτῶμα ἄτιμον καὶ εἰς ὕβριν ἐν νεκροῖς δι' αἰῶνος.
16 ἀλλὰ τί ἐπὶ πολὺ ἐνδιατρίβομεν; ἀδολεσχίαν τυχὸν ἐμποιήσει τὸ μηκύνειν λόγον· ἐάσωμεν
Mt. 8, 22 τοὺς τεθνεῶτας θάψαι τοὺς ἑαυτῶν νεκρούς. ἀκούσατε νῦν καὶ δέξασθε τοῦ ὑμετέρου ἁπλοῦ διδασκάλου ῥήματα· ἀκούσατε παρὰ τούτου ἅπερ παρὰ τῶν προγόνων τῶν ἡμετέρων μεθ' ἡμῶν τυγχάνων πολλάκις ἤκουσεν· ἀκούσατε ἀληθῶς τὰ πολλάκις ἀκουσθέντα καὶ μὴ τὰ σπουδῆι καινότητος ἐφευρεθέντα. τῶι ἡμετέρωι ὑμῖν λαλεῖ στόματι ὁ συγκοινωνός, ἐπειδὴ μίαν πίστιν ἀναγκαῖον ἑνικῶς κηρύττεσθαι. οὐκ ἐνταῦθα εἰς τὸ τούτου πρόσωπον τινὸς μαρτυρίαι χρησόμεθα· παρ' ἡμῶν ἐδόθη ὁ ἐπιλεγεὶς ἐξ ὑμῶν· οὐκ ἔστιν ἄγνωστος, οὐχ ἑτέρωθεν ἀχθείς· ἔσχετε ἐπαινετέαν περὶ τοῦ παρόντος κρίσιν, οὓς
17 τῶι προκρίματι τῶι ἰδίωι ἡ φήμη πάλαι ἠπάτησε τοῦ ἀπόντος. πολλὰ περὶ αὐτοῦ διεξιέναι οὐκ ἀσφαλές, ἐπειδὴ περισσόν ἐστι τὰ ἐγνωσμένα ἐπαινεῖν· ἡμεῖς μέντοιγε ὑμᾶς τοῖς ὑμετέροις κυρίως ῥήμασιν βουλόμεθα ἐξ ἔθους ὑπομνῆσαι. μηδεὶς ἐν ὑμῖν ἐκεῖνον
1 Petr. 2, 6 σαλεύσηι τὸν θεμέλιον, ὃν ἡ ἰσχυρὰ πέτρα καὶ ὁ ἀκρογωνιαῖος λίθος κατεσκεύασεν· οἰκο-
1 Cor. 3, 11-16 δομεῖτε ἐπάνω τούτου, καθολικοί, ὅπερ εἰώθατε. ἐμάθετε τί ἐστιν ἐποικοδομεῖν τὸ μένον καὶ τί μὴ ἐποικοδομεῖν τὸ καυθησόμενον. τοῦτο τῆι ζημίαι, ἐκεῖνο τῶι μισθῶι ἀντισταθμήσεται, ὅταν τὰ ἔργα ἑκάστου δοκιμάζειν ἄρξηται τοῦ πυρὸς ἡ δοκιμασία. χαίρω ὑμᾶς τῶι θεμελίωι τούτωι οὐ καλάμην, οὐ ξύλα, οὐ χόρτον, ἀλλ' ἐκεῖνον ἐπιτεθεικέναι τὸν πλοῦτον ὃν τὸ τῶν ἀρχιτεκτόνων τῶν σοφῶν πρόσταγμα ἐνετέλλετο ἐπιτεθῆναι. καλῶς μενεῖτε οἱ οὕτως πεφροντισμένως οἰκοδομοῦντες· τὰ οἰκήματα μεγάλα τὰ τοιαῦτα ἐπαγγέλλεται ἀναλώματα· χρυσῶι, ἀργύρωι καὶ λίθοις τιμίοις ἐκείνην ὑμῖν τὴν ἀτίμητον κατασκευάζετε μονήν. οὐδενὶ τιμήματι διατιμῶνται τὰ αἰώνια, ἅτε δὴ μήτε ἀδικίαι μήτε παλαιότητι διαλυόμενα, ὅτι αὐτὰ ἀπὸ τῆς καταστάσεως τοῦ κόσμου τούτου τοῖς δικαίοις ὁ κύριος
Ies. 35, 3. 4 ἡτοίμασεν. ἐνδυναμούσθω ἡ χεὶρ τῶν πιστῶν ἡ κεκμηκυῖα· τὰ ὀκλάζοντα, προτρεπομένου τοῦ προφήτου, γόνατα στερεούσθω· οἱ ὀλιγόψυχοι ἐπιρρωννύσθωσαν. οὐκ ἔστιν ὃ περαιτέρω φοβηθήσονται. ἰδοὺ νικητὴς ἡμῶν ὁ σωτὴρ ἐφάνη· ἐπέδειξε τῶι ψεύδει ὁ θεὸς τί ἐστιν ὀχλεῖν καὶ ἐπεισιέναι τῆι ἀληθείαι, μετὰ τὸ αὐτὴν τὴν φιλονεικίαν ἐκεῖθεν ἐγγενέσθαι ὅθεν ὑπεισῆλθε. διόπερ, ἀδελφοὶ τιμιώτατοι, διαμείνατε ἐν τούτωι τῶι ὄντι,
1 Cor. 1, 10 ἵνα νικήσητε, ἐν ὑμῖν. ἐν τῆι αὐτῆι διανοίαι καὶ τῆι αὐτῆι γνώσει ἐστὲ τέλειοι, ἵνα παρὰ
Mt. 25, 31. 41. 34 τοῦ υἱοῦ τοῦ ἀνθρώπου, ὅταν ἔλθηι ἐν τῆι ἑαυτοῦ θεότητι, μὴ τὸ ἀπόστητε ἀπ' ἐμοῦ οἱ κατηραμένοι, ἀλλὰ δεῦτε οἱ εὐλογημένοι δυνηθῆτε ἀκοῦσαι. μενέτω ὁ ἔριφος τὴν ἀπέλασιν τοῦ ἐλευσομένου· ὑμᾶς τοιούτους θέλομεν εὑρεθῆναι, ἵν' ὅταν εἰς τὸ πῦρ τοὺς ἑστῶτας ἀπελάσηι ἀπὸ τῶν ἀριστερῶν, ὑμᾶς ἀπὸ τῶν δεξιῶν καλέσηι εἰς τὴν βασι-

---

ΑΛ

3 προήχθη] *prouectus* pro *probatus* legit translator 9 post κατήσθιον nonnulla omisit translator 19 ὑμῶν] *nostris* Λ 23 ὑμετέροις] *nostris* Λ 26 μὴ om. Λ 31/32 κατασκευάζεται Α

λείαν. οὐκ ἀναμένετε ἑτοιμασθῆναι ὅπερ πάλαι ὑμᾶς ἐκδέχεται, ἵνα βασιλεύσητε· στενὴν Mt. 7, 13
νῦν εἴσοδον σπουδαίως εἰσέλθετε, ἥτις τούτους δέχεται οἷς οὐδέποτε τὰ εὐρύχωρα ἐβοήθησε.

Ταῦτα τῇ ἀγάπῃ τῇ ὑμετέραι ὑπὲρ χαρᾶς τῶν καθολικῶν ἀρκείτω εἰρῆσθαι, ὅπερ πολλάκις ἀναγινώσκειν ὑμᾶς βουλόμεθα, ἵνα τῶι θριάμβωι τῆς ὑμετέρας πίστεως χαίροντες συνειδῆτε τὸν θεὸν τῆς ἀγάπης καὶ τῆς εἰρήνης εἶναι μεθ' ὑμῶν. καλῶς σωθείητε, ἀδελφοί.

Ἐδόθη Εἰδοῖς Μαρτίαις Ἀετίου καὶ Βαλερίου ὑπάτων. d.15.m.Mart. a.432

88 = V 114 Ἐπιστολὴ Μαξιμιανοῦ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως πρὸς Κύριλλον τὸν ἁγιώτατον κατὰ Νεστορίου καὶ περὶ τῆς οἰκείας χειροτονίας

89 = V 115 Ἀντίγραφον τοῦ ἐν ἁγίοις Κυρίλλου πρὸς τὸν αὐτὸν ἐν ἁγίοις Μαξιμιανόν

90 Latina uersio extat in Collectione CT 66

Τοῦ αὐτοῦ ἐπιστολὴ πρὸς τοὺς ἑπτὰ θεοφιλεστάτους ἐπισκόπους τοὺς ἀπὸ τῆς ἁγίας συνόδου ἀποσταλέντας καὶ χειροτονήσαντας τῇ Κωνσταντινουπόλει Μαξιμιανὸν τὸν ἁγιώτατον ἐπίσκοπον

Κυρίοις ποθεινοτάτοις καὶ θεοσεβεστάτοις ἀδελφοῖς καὶ συλλειτουργοῖς Ἰουβεναλίωι Φλαβιανῶι Ἀρκαδίωι Προιέκτωι Φίρμωι Θεοδότωι Ἀκακίωι καὶ Φιλίππωι πρεσβυτέρωι Κύριλλος ἐν κυρίωι χαίρειν. Πεπληροφορήμεθα πάλιν καὶ διὰ πείρας αὐτῆς ἐγνώκαμεν ὅτι ζῇι ἡ ἀλήθεια καὶ νικᾶι κατὰ τὴν τοῦ ἁγίου φωνήν, ἀντιτάττεται δὲ αὐτῇι τὸ σύμπαν 1 Esr. 4, 38
οὐδέν, ἔστι δὲ οὕτως εὐσθενεστάτη, ὡς κατεξανίστασθαι παντὸς ἐχθροῦ καὶ τῶν ἀνθεστηκότων αὐτῇι παραλύειν τὴν δύναμιν. ἰδοὺ γὰρ ἰδοὺ τὰ μὲν τῶν ψευδηγορούντων ἤργησε χείλη καὶ πέπαυται τῶν ἐκτόπων δυσφημιῶν ἡ ἀχλύς, ἀνέλαμψε δὲ τῶν τῆς ἀληθείας δογμάτων τὸ κάλλος, χειροτονηθέντος ἐπισκόπου κατὰ ψῆφον θεοῦ καὶ βούλησιν διὰ d.25.m.Oct.
τῆς θεοσεβείας ὑμῶν τοῦ εὐλαβεστάτου καὶ θεοσεβεστάτου Μαξιμανοῦ, ὃν καὶ μακρὸν ἐκό- a.431
σμησε γῆρας οὐκ ἐν ῥαιστώναις ὄντα καὶ τρυφαῖς, ἀλλ' ἐν πόνοις τοῖς ὑπὲρ ἀρετῆς, καὶ πλείστη πραγμάτων κατεκόσμησε φροντίς, τῶν ὑπέρ γε τῆς ἀληθείας φημὶ καὶ τῶν τῆς εὐσεβείας δογμάτων. συγχαίρων τοίνυν ἁπάσαις ταῖς ἐκκλησίαις καὶ τοῖς ἐκεῖσε λαοῖς εἴποιμι ἂν εἰκότως· εὐλογητὸς κύριος ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν Luc. 1, 68
τῶι λαῶι αὐτοῦ. οὐ γὰρ ἦν ἀπονυστάξαι τὸν ἀγαθὸν οὕτω ποιμένα, ὥστε καὶ τὴν ἰδίαν θεῖναι ψυχὴν ὑπὲρ τῶν προβάτων· ὡς δὲ ἀεὶ σώιζειν εἰδώς, τὸν μὲν πονηρὸν ἀπε- Ioh. 10, 11
σόβησε θῆρα τῆς ἱερᾶς τε καὶ θείας αὐλῆς, σοφώτατον δὲ καὶ ἁπάσης ἀρετῆς ἐπιστήμονα τὸν ἐπιστάτην ἀνέδειξεν, ὃν καὶ πιστεύομεν διαπρέψειν ἐν παντὶ καλῶι καὶ εἰς τὸν εὐαγῆ καὶ ἐξαίρετον ἀπευθῦναι βίον τοὺς ὑπὸ χεῖρα λαούς.

Ἐρρῶσθαι ὑμᾶς καὶ μνημονεύειν ἡμῶν τῶι κυρίωι εὔχομαι, ἀγαπητοὶ καὶ ποθεινότατοι.

91 = V 113 Ἐπιστολὴ Μαξιμιανοῦ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως καὶ τῶν ἀπὸ τῆς Ἐφέσου ἁγίας συνόδου σταλέντων ἑπτὰ ὁσιωτάτων ἐπισκόπων τῶν καὶ χειροτονησάντων αὐτὸν καὶ τῶν λοιπῶν ἐπισκόπων τῶν ἐνδημούντων τῇι βασίλιδι πόλει σταλεῖσα κατὰ πᾶσαν ἐπαρχίαν

92 Ἐπιστολὴ τῶν αὐτῶν πρὸς τὸν κλῆρον καὶ τὸν λαὸν Τενέδου

Τῶι εὐλαβεστάτωι καὶ φιλοχρίστωι κλήρωι καὶ τῶι σεμνοτάτωι βουλευτηρίωι καὶ παντὶ τῶι πιστῶι λαῶι τῆς Τενεδίων πόλεως Μαξιμιανὸς Ἰουβενάλιος Φίρμος Ἀρκάδιος Φίλιππος

ΑΛ
5/6 καλῶς — ἀδελφοί om. Λ 26 συγχαίρων Λ συγχαίρω Α 30 θῆρα ΑΛ¹ θήρασ Λ^c ἐπίσημον Λ 31 διατρίψειν Λ^c

Φλαβιανὸς Θεόδοτος Εὐόπτιος Δανιὴλ καὶ ἡ συμπαροῦσα ἡμῖν ἁγία σύνοδος ἐν κυρίωι χαίρειν. Ἐδιδάχθημεν διὰ λιβέλλων τῶν παρὰ τοῦ ἀγαπητοῦ καὶ εὐλαβεστάτου πρεσβυτέρου Τιμοθέου καὶ τῶν σὺν αὐτῶι ἐπιδοθέντων ἡμῖν ὅσα Ἀναστασίωι τῶι οὐκ οἶδ' ὅπως παρὰ τὴν παλαιὰν συνήθειαν γενομένωι ὑμῶν ἐπισκόπωι κατὰ τῆς ὀρθοδοξίας τετόλμηται, καὶ ἀποδεξάμενοι τῶν ἐπιδεδωκότων τὸν ζῆλον, γράφομεν παρεγγυῶντες ὑμῖν τὸν αὐτὸν καὶ ὑμᾶς ἀναδέξασθαι ζῆλον καὶ τὸν πάντηι τοῦ θεοῦ ἀλλότριον καὶ τοῦ σώματος τῆς ἐκκλησίας ξένα ἀπεργασάμενον Ἀναστάσιον καθηιρημένον εἰδέναι. πρὸς γὰρ ταῖς προειρημέναις αἰτιάσεσι καὶ ὑπομνήματα ἡμῖν ἐπεδείχθη πεπραγμένα ἐν τῆι ἁγίαι καὶ οἰκουμενικῆι συνόδωι τῆι ἐν Ἐφέσωι συγκροτηθείσηι, ἐν οἷς ὑπομνήμασιν οἱ ἁγιώτατοι καὶ θεοφιλέστατοι ἐπίσκοποι Ῥόδων Ἀρχέλαος Ἀφθόνητος Φιλητὸς Θεμίστιος καὶ ὁ εὐλαβέστατος πρωτοπρεσβύτερος Ἀσκληπιάδης τῆς Ῥοδίων καὶ Εὐσέβιος ὁ πρεσβύτερος καὶ οἰκονόμος τοῦ ἁγίου ἀποστόλου Τιμοθέου μεγίσταις αὐτὸν βλασφημίαις χρήσασθαι κατά τε τῆς ἁγίας καὶ θεοτόκου παρθένου καὶ κατὰ τῆς ἁγίας συνόδου τῆς τε ἐν Νικαίαι πάλαι συγκροτηθείσης καὶ τῆς ἐν Ἐφέσωι διωρίσαντο, πρὸς ὃ κινηθεῖσα ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος τῶι συνοδικῶι γράμματι τῶι
V 91 παρ' αὐτῆς ἐκπεμφθέντι τὸν αὐτὸν Ἀναστάσιον ὑπέβαλεν, ὅπερ ἐπίσταλμα τοὺς ταῖς βλασφημίαις χρησαμένους καὶ τὰ Νεστορίου φρονοῦντας πάντηι ἀλλοτρίους τοῦ ἱερατικοῦ βαθμοῦ εἶναι ἀπεφήνατο. αἱ δὲ τοῦ εὐλαβεστάτου πρεσβυτέρου Τιμοθέου καὶ τῶν σὺν αὐτῶι δοθεῖσαι αἰτιάσεις προσθεῖναι αὐτὸν τοῖς προειρημένοις ἀσεβήμασι καὶ τοῦτο ἐδίδασκον ὅτι δὴ ἑαυτῶι ἐπιτρέψας καὶ τῶι θρόνωι ἐπεπήδησε καὶ τῆι ἱερουργίαι, ὥστε αὐτὸν μηδὲ ἐλπίδα ἀπολογίας ἔχειν ποτέ. εἰδότες οὖν πάντηι αὐτὸν ἀλλότριον εἶναι τοῦ ἐπισκοπικοῦ βαθμοῦ, ἑαυτούς τε καὶ τὴν ἐκκλησίαν καὶ τὰ ἐκκλησιαστικὰ πάντα φυλάξατε, ὑπακούοντες κατὰ τὴν ἀρχαίαν συνήθειαν τῶι τῆς Λέσβου ἐπισκόπωι τῶι εὐλαβεστάτωι Ἰωάννηι, ὥιπερ καὶ ἡμεῖς φροντίζειν ὑμῶν ἐνετειλάμεθα. εἰ δέ τις μετὰ τὸ γράμμα τοῦτο ἕτερόν τι φρονήσειε, καὶ αὐτὸς τοῖς αὐτοῖς ἐπιτιμίοις ὑποβληθήσεται.

[1] Μαξιμιανὸς ἐπίσκοπος ἐρρῶσθαι ὑμᾶς ἐν κυρίωι εὔχομαι, ποθεινότατοι ἀδελφοί
[2] Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων ὁμοίως
[3] Ἀρκάδιος ἐπίσκοπος ὁμοίως
[4] Φίλιππος πρεσβύτερος Ῥώμης ὁμοίως
[5] Φλαβιανὸς ἐπίσκοπος Φιλίππων ὁμοίως
[6] Φίρμος ἐπίσκοπος Καισαρείας ὁμοίως
[7] Θεόδοτος ἐπίσκοπος Ἀγκύρας ὁμοίως
[8] Ἀκάκιος ἐπίσκοπος Μελιτηνῆς ὁμοίως
[9] Εὐόπτιος ἐπίσκοπος Πτολεμαίδος ὁμοίως
[10] Δανιὴλ ἐπίσκοπος Κολωνείας ὁμοίως
[11] Ὀλύμπιος ἐπίσκοπος Κουκκουσσοῦ ὁμοίως
[12] Μαρῖνος ἐπίσκοπος Ἡλιουπόλεως ὁμοίως
[13] Εὐπρέπιος ἐπίσκοπος Βύζης ὁμοίως
[14] Βεσσουλᾶς διάκονος Καρθαγένης ὁμοίως
[15] Ῥωμανὸς ἐπίσκοπος Ῥαφείας ὁμοίως
[16] Σιλβανὸς ἐπίσκοπος Κερατάπων ὁμοίως
[17] Παῦλος ἐπίσκοπος Ἀνθηδόνος ὁμοίως
[18] Ἀιανὴς ἐπίσκοπος Συκαμαζόνος ὁμοίως
[19] Ἀκάκιος Ἀριαραθίας ὁμοίως
[20] Ἡσαίας ἐπίσκοπος ὁμοίως
[21] Σεβῆρος ἐπίσκοπος Κοδουλλίων ὁμοίως
[22] Φανίας ἐπίσκοπος Ἁρπάσων ὁμοίως
[23] Χρυσάφιος ἐπίσκοπος Ἄπρων ὁμοίως

93 Λίβελλος Πέτρου ἐπισκόπου Τραιανουπόλεως μετανοητικὸς ἐπιδοθεὶς τοῖς αὐτοῖς ἁγιωτάτοις ἐπισκόποις

Τοῖς ἁγιωτάτοις καὶ θεοφιλεστάτοις ἐπισκόποις Μαξιμιανῶι Ἰουβεναλίωι Φλαβιανῶι Φίρμωι Ἀρκαδίωι Φιλίππωι πρεσβυτέρωι Ῥώμης Θεοδότωι Ἀκακίωι Εὐοπτίωι καὶ πάσηι τῆι ἁγίαι συνόδωι παρὰ Πέτρου ἐπισκόπου. Πολλοὺς οἶμαι τῶν ἐνταῦθα παρόντων ἁγίων ἐπισκόπων τὰ κατ' ἐμὲ σαφῶς ἐπίστασθαι, ὅτι δὴ διὰ τὴν χάριν τοῦ θεοῦ ἄνωθεν καὶ ἐξ ἀρχῆς εἰς τὴν ἁγίαν ταύτην καὶ ὀρθόδοξον ηὐξήθην πίστιν. γενομένης δὲ τῆς κατὰ Νεστόριον ταραχῆς μετὰ τῶν ἄλλων κατέλαβον καὶ αὐτὸς τὴν Ἔφεσον καὶ τὰ μὲν πρῶτα προσδοκήσας εἰρήνην ἔσεσθαι μεταξὺ τῶν μερῶν ἀμφοτέρων συνήμην τῶι μνημονευθέντι, οὐ δογμάτων ἕνεκα, ἀλλὰ φιλίας μόνον, μετὰ δὲ τὴν γενομένην αὐτοῦ καθαίρεσιν παραγενόμενοι τινὲς πρὸς ἡμᾶς καὶ συκοφαντήσαντες τὴν ἁγίαν σύνοδον ἔβλαψάν μου τὸ συνειδός, δι' ἣν αἰτίαν ἐν Ἐφέσωι τυγχάνων οὐ προσῆλθον τῆι ἁγίαι συνόδωι. ἐνταῦθα δὲ παραγενόμενος ἐσπούδασα μαθεῖν εἴ γε ἀληθῶς ταῦτα λέγεται παρὰ τῆς ἁγίας συνόδου ἅπερ τινές, ὡς νῦν ἔγνων, ἐσυκοφάντησαν. συντετυχηκὼς οὖν ἁγίοις ἐπισκόποις, ὧν εἷς ἐστιν ὁ θεοσεβέστατος ἐπίσκοπος Φλαβιανός, καὶ τὸ πλῆττόν μου τὴν συνείδησιν ἐξηγησάμενος, ἐπληροφορήθην παρ' αὐτοῦ κατὰ πᾶσαν ἀκρίβειαν περὶ ὧν ἀμφέβαλλον, διδαχθεὶς ὑγιῆ καὶ καθαρὰν εἶναι τῆς ὀρθοδοξίας τὴν πίστιν ἣν ἡ ἁγία ὑμῶν σύνοδος καὶ ἡ πάλαι κατὰ τὴν Νικαέων γενομένη ἐκήρυξε. τούτου ἕνεκα πρόσειμι τῆι ὑμετέραι θεοφιλείαι, δεόμενος συγγνῶναί μοι ἐπί τε τῶι χωρισμῶι τῆς ἁγίας συνόδου καὶ ἐφ' οἷς συναρπασθεὶς ὑπέγραψα τῆι γενομένηι ἀθέσμως καὶ ἀκανονίστως ὕβρει τῆς λεγομένης καθαιρέσεως παρὰ Ἰωάννου τοῦ Ἀντιοχέως καὶ τῶν σὺν αὐτῶι ⟨κατὰ τῶν⟩ ἁγιωτάτων καὶ θεοφιλεστάτων ἐπισκόπων Κυρίλλου καὶ Μέμνονος, συνομολογοῦντός μου καὶ τὸ ὀρθὸν τῆς ἐκκλησίας φρόνημα, ὅπερ καὶ ἡ ὑμετέρα θεοσέβεια φρονεῖ, καὶ μεγάληι φωνῆι τὴν ἁγίαν Μαρίαν θεοτόκον ὀνομάζοντος καὶ Κύριλλον καὶ Μέμνονα τοὺς θεοφιλεστάτους καὶ ὁσιωτάτους ὁμολογοῦντος εἶναι ἐπισκόπους καὶ ἠδικῆσθαι παρὰ Ἰωάννου τοῦ Ἀντιοχέως καὶ τῶν σὺν αὐτῶι ἀντιδιαταξαμένων τῆι ἁγίαι καὶ οἰκουμενικῆι συνόδωι. ἀναθεματίζω δὲ καὶ Νεστόριον τὸν αἱρετικὸν τόν ποτε γενόμενον ἐπίσκοπον τῆς μεγαλοπόλεως καὶ τὸ τούτου ἀσεβὲς δόγμα, καὶ πάντας δὲ τοὺς τὰ Νεστορίου φρονοῦντας καὶ μὴ τῆι πίστει τῶν ἁγίων πατέρων ἀκολουθήσαντας, ἀκοινωνήτους ἔχων ἐκείνους οὓς ἡ ἁγία ὑμῶν σύνοδος ἀνενεγήτους καὶ ἀφωρισμένους εἶναι προσέταξε, καὶ παρακαλῶ δεχθῆναι εἰς κοινωνίαν, ἐπειδὴ ἐμαυτὸν ἄχρι τοῦ νῦν ἀκοινώνητον ἐφύλαξα κατὰ τὸ ἐπιτίμιον τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου, ἐκδεχόμενος τὴν παρ' ὑμῶν φιλανθρωπίαν. V 91

Πέτρος ἐπίσκοπος τῆς Τραιανουπόλεως μητροπόλεως ἐπέδωκα τούσδε τοὺς λιβέλλους καὶ ὑπέγραψα χειρὶ ἐμῆι.

94 Λίβελλος μετανοητικὸς Ἰουλιανοῦ ἐπισκόπου Σαρδικῆς ἐπιδοθεὶς Ῥούφωι ἐπισκόπωι Θεσσαλονίκης καὶ τῆι σὺν αὐτῶι συνόδωι

⟨Τοῖς⟩ ἁγίοις καὶ προσκυνητοῖς ἱερεῦσιν Ῥούφωι ἀρχιεπισκόπωι Εὐχαρίωι Σεννεκίωνι Φλαβιανῶι Δομνίνωι Βασιλιανῶι Ἑρμείαι Περεβίωι Μαρκιανῶι Κρισκονίωι Προιέκτωι καὶ Γενναδίωι ἀπὸ Ἰουλιανοῦ ἐπισκόπου Σαρδικῆς. Οὔτε τὴν σὴν λανθάνειν ἡγοῦμαι μακαριότητα καὶ πᾶσαν τὴν συμπαροῦσαν σοι ἁγίαν σύνοδον τὰ κατ' ἐμέ· σαφῶς γὰρ ἴστε ὡς διὰ τὴν χάριν τοῦ θεοῦ ἄνωθεν καὶ ἐξ ἀρχῆς εἰς τὴν ἁγίαν καὶ ὀρθόδοξον ἣν ὑμεῖς πρεσβεύετε, παρὰ πατέρων διαδεξάμενος ηὐξήθην πίστιν. γενομένης δὲ τῆς κατὰ Νε-

---

A

21 κατὰ τῶν addidi 37 Τοῖς addidi 41 ὡς διὰ — θεοῦ scripsi διὰ — θῦ ὡσ A

στόριον ταραχῆς, κατὰ θέσπισμα τῶν εὐσεβεστάτων βασιλέων κατέλαβον καὶ αὐτὸς τὴν
cf. V 97 Ἐφεσίων μητρόπολιν, ἐν ἧι ἀπεδόθη μοι γράμματα τῆς ἁγιότητός σου παρακελευόμενα πάντων μὲν ἐκτὸς τῶν σχισμάτων γίνεσθαι, συντίθεσθαι δὲ τῆι ἐν τῆι Νικαέων πόλει ἐκτεθείσηι ὑπὸ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων πατέρων ὀρθοδόξωι πίστει. τὰ πρῶτα τοιγαροῦν συνήμην τῶι μνημονευθέντι Νεστορίωι, οὐ δογμάτων χάριν, ἀλλὰ φιλίας ἕνεκα μόνης· μετὰ δὲ τὴν γενομένην αὐτοῦ καθαίρεσιν παραγενόμενοι τινὲς καὶ συκοφαντήσαντες τὴν ἁγίαν σύνοδον τὴν καθελοῦσαν αὐτὸν βλάβας τινας ψυχικὰς ἐνεποίησαν ἐμοί τε καὶ ἄλλοις πολλοῖς ταῖς ἑαυτῶν ματαιολογίαις καὶ διὰ ταὐτην τὴν αἰτίαν συναρπαγείς, ὡς ἔφην, ἐν Ἐφέσωι τυγχάνων οὐ προσῆλθον τῆι αὐτῶν ἁγιότητι. ἐνταῦθα δὲ παραγενόμενος ἐπείσθην ὡς ἑωλα πάντα ἐτύγχανε τὰ εἰρημένα μοι κατὰ τῆς ἁγίας συνόδου, ἐπληροφορήθην τε σώιζεσθαι παρ' αὐτῆι ὑγιῆ καὶ καθαρὰν τῆς ὀρθοδόξου πίστεως τὴν ὁμολογίαν ἣν ἥ τε κατὰ τὴν Νικαέων συγκροτηθεῖσα τῶν ἁγίων πατέρων ἐξέθετο πληθὺς καὶ ἡ ὑμῶν ἁγιότης διατελεῖ κηρύττουσα. τούτου ἕνεκα πρόσειμι τῆι ὑμετέραι θεοφιλείαι, δέομενος συγγνῶναί μοι ἐπί τε τῶι χωρισμῶι τῆς ἁγίας συνόδου καὶ ἐφ' οἷς συναρπασθεὶς ὑπέγραψα τῆι γενομένηι ἀθέσμως καὶ ἀνοσίως καὶ ἀκανονίστως ὕβρει τῆς λεγομένης καθαιρέσεως παρὰ Ἰωάννου τοῦ Ἀντιοχέως καὶ τῶν σὺν αὐτῶι κατὰ τῶν ἁγιωτάτων καὶ θεοσεβεστάτων ἐπισκόπων Κυρίλλου καὶ Μέμνονος, ἀνακηρύττοντός μου δηλαδὴ καὶ τὸ ὀρθὸν τῆς ἐκκλησίας φρόνημα, ὅπερ καὶ ἡ ὑμῶν θεοσέβεια φρονεῖ, καὶ μεγάληι φωνῆι βοῶντος τὴν ἁγίαν Μαρίαν θεοτόκον εἶναί τε καὶ λέγεσθαι τῶι τὸν πρὸ τῶν αἰώνων ὄντα θεὸν λόγον, τὸν μονογενῆ τοῦ θεοῦ υἱόν, δι' οὗ τὰ πάντα ἐγένετο τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, αὐτὸν κατελθόντα, μένοντα ὅπερ ἦν κατὰ φύσιν, δίχα πάσης τροπῆς καὶ ἀλλοιώσεως ἐνωθέντα σαρκὶ καθ' ὑπόστασιν τετέχθαι ἐξ αὐτῆς, ὁμολογῶ τε καὶ Κύριλλον καὶ Μέμνονα τοὺς θεοφιλεστάτους καὶ ὁσιωτάτους ἐπισκόπους εἶναι ὀρθοδόξους καὶ κήρυκας τῆς ὀρθῆς πίστεως, ἠδικῆσθαι δὲ παρὰ Ἰωάννου τοῦ Ἀντιοχέως καὶ τῶν σὺν αὐτῶι ἀντιδιαταξαμένων τῆι ἁγίαι καὶ οἰκουμενικῆι συνόδωι. ἀναθεματίζω μέντοι καὶ Νεστόριον τὸν αἱρετικὸν τόν ποτε γενόμενον τῆς Κωνσταντινουπόλεως ἐπίσκοπον καὶ τὸ τούτου ἀσεβὲς δόγμα ἔτι τε καὶ Πελάγιον καὶ Κελέστιον καὶ Βόνωσον καὶ πάντας τοὺς τὰ ἐκείνων φρονοῦντας καὶ μὴ τῆι πίστει τῶν ἁγίων πατέρων ἀκολουθήσαντας ἀκοινωνήτους τε ἔχω
V 91 κἀκείνους οὓς ἡ ἁγία σύνοδος ἀφωσιωμένους εἶναι καὶ ἀνενεργήτους πάσης ἱερατικῆς λειτουργίας προσέταξε, καὶ παρακαλῶ δεχθῆναι εἰς κοινωνίαν· καὶ γὰρ καὶ ἐμαυτὸν ἄχρι τοῦ νῦν ἀκοινώνητον ἐφύλαξα κατὰ τὸ ἐπιτίμιον τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τὸ ὁρισθὲν παρ' αὐτῆς καθ' ἡμῶν τῶν ἀποσχισάντων ἑαυτοὺς καὶ πολυτρόπως πλημμελησάντων, ἐκδεχόμενος τὴν παρ' ὑμῶν φιλανθρωπίαν.

Ἰουλιανὸς ἐπίσκοπος Σαρδικῆς τούτωι τῶι λιβέλλωι παρ' ἐμοῦ ὑπαγορευθέντι καὶ ἀναγνωσθέντι ὑπέγραψα καὶ προσήγαγον.

95 Κυρίλλου ἐπισκόπου Ἀλεξανδρείας πρὸς Ἀκάκιον ἐπίσκοπον Βεροίας

Κυρίωι μου ἀγαπητῶι ἀδελφῶι καὶ συλλειτουργῶι Ἀκακίωι Κύριλλος ἐν κυρίωι χαίρειν. Ὀρθῶς εἰρῆσθαι πιστεύων παρὰ τοῦ μακαρίου Παύλου τὸ ἀπόδοτε πᾶσι τὰς
Rom. 13, 7 ὀφειλάς, οὐ διαλέλοιπα κατὰ τὸν παρωιχηκότα καιρόν, ὡς γε ἐμαυτὸν πείθω, τὴν ὀφειλομένην καὶ πρέπουσαν τῆι σῆι τελειότητι τιμὴν καθάπερ ἐν ὀφειλήματος τάξει καθηκόντως ἀποτινύς· ἔδει γὰρ ἔδει τοῦτο δρᾶν καὶ τὴν οὕτω σεπτὴν πολιὰν ἀεὶ ταῖς προσρήσεσι στεφανοῦν. ὅτι δὲ περὶ παντὸς ἐκκλησιαστικοῦ καὶ ἀναγκαίου πράγματος ἀνεκοινούμην, καὶ

A

28 κόνωσον A 37 βερροίασ A

τοῦτο οἶμαι τὴν σὴν θεοφιλεστάτην εἰδέναι φρένα· γέγραφα δὲ καὶ περὶ Νεστορίου πλει- cf. V 16
στάκις ὅτι τὰ πάντα διακυκᾶι καὶ τὴν τῶν ἐκκλησιῶν διαταράττει γαλήνην, ξένοις τισὶ καὶ
νεωτάτοις εὑρήμασι λογισμῶν τὸν ὀρθῶς ἔχοντα καὶ ἀβέβηλον ἀληθῶς τῆς τε ἀποστολικῆς
καὶ εὐαγγελικῆς παραδόσεως παραχαράττων λόγον. καὶ γοῦν ἐκομισάμην τὰ παρὰ τῆς V 17
σῆς θεοσεβείας πρὸς τοῦτο γράμματα μόνον οὐχὶ δακρυούσης καὶ οἷον ἐκ προμηθείας τὴν 5
μέλλουσαν ἔσεσθαι τῶν πραγμάτων κατάστασιν ὑφορωμένης. ὅτι δὲ οὐχ ἡμεῖς σύνο-
δον γενέσθαι παρακεκλήκαμεν, ἀλλ' ἐκεῖνος αὐτὸς ὁ καὶ τῆς διχονοίας ἐν ἀρχαῖς καταβα-
λόμενος τὸν θεμέλιον καὶ τῶν ζιζανίων σπορεύς, ἅπασι προδηλότατον. ἀλλ' οὐδὲ
ἐγὼ τῇι Ῥωμαίων ἐκκλησίαι γεγράφηκα κατ' αὐτοῦ πρῶτος, ἤρξατο δὲ μᾶλλον αὐτὸς καὶ
τούτου. ἡμῶν γὰρ συμβουλευόντων μὲν αὐτῶι τῶν κατὰ Χριστοῦ δυσφημιῶν ἀπο- 10
σχέσθαι μᾶλλον, φρονῆσαι δὲ μεθ' ἡμῶν ὀρθά, τοῖς ἰδίοις αὐτὸς ἑπόμενος λογισμοῖς, ἐξη-
γήσεις ἑαυτοῦ διεστραμμένας καὶ μακρὰς συνθεὶς ἐπιστολὰς ἀπέστειλε πρὸς τὸν κύριόν Coll. Veron.
μου τὸν θεοσεβέστατον καὶ εὐλαβέστατον τῆς Ῥωμαίων ἐκκλησίας ἐπίσκοπον Κελεστῖνον, 3. 4
ὃς καὶ τοῖς αὐτοῦ γράμμασιν ἐντυχὼν καὶ ταῖς ἐξηγήσεσι κατέγνω τοσοῦτον εἰκῆι βατταρ-
ίζοντος, μᾶλλον δὲ δυσσεβῆ τινα καὶ παλίμφημα λέγοντος κατὰ τοῦ πάντων ἡμῶν σω- 15
τῆρος Χριστοῦ, ὥστε καὶ ὅρον ἐξενεγκεῖν ἐπ' αὐτῶι, γράψαι δὲ καὶ πρός με καὶ πάλιν V 9
αὐτὸν ὑπομνῆσαι δι' ἐπιστολῶν ὥστε ἀποσχέσθαι μὲν τῆς ἑαυτοῦ κακοδοξίας, ἀνθελέσθαι
δὲ μᾶλλον τὸ ἐν ὀρθῆι πίστει διαπρέπειν ἐπείγεσθαι. καὶ ἵνα μὴ μακροὺς εἰς τοῦτο
δαπανήσας λόγους δόξαιμί πως εἶναι τῆι θεοσεβείαι σου φορτικός, ἐπ' αὐτὸ πάλιν εἶμι
τὸ πρᾶγμα, καὶ (τίνα ⟨γὰρ⟩ τρόπον ἡ ἁγία σύνοδος ἐν τῆι Ἐφεσίων μητροπόλει συγκε- 20
κρότηται, διηγησάμεθα) ἅπαξ ἐκεῖνο φημί· ὤιμην τὴν σὴν ὁσιότητα συνδραμεῖσθαι πάντως
ὡς οὐ περί τινος τῶν τυχόντων συγκροτουμένης συνόδου, ἀλλὰ περὶ αὐτῆς τῆς ὀρθῆς
πίστεως καὶ τῆς καταστάσεως ἁπασῶν τῶν ἐκκλησιῶν. διατετέλεκα δὲ καὶ κατ' αὐτὴν
τὴν Ἐφεσίων ὁμοῦ τοῖς ἄλλοις ἅπασι θεοσεβεστάτοις ἐπισκόποις τοιαύτας δεχόμενος φή-
μας ὅτι τε ἥξει καὶ παρέσται καὶ τοῦτο ἐπήγγελται δρᾶν, ἀλλ' ἴσως πλεῖστα γέγονε τὰ 25
ἐμποδὼν καὶ πρό γε τῶν ἄλλων τὸ σεπτὸν οὕτω καὶ τίμιον γῆρας καὶ ἡ τοῦ σώματος
ἀρρωστία. ἐπειδὴ δὲ ἐγγὺς ὄντες ἀπήγγελλον οἱ ἐκ τῆς Ἀνατολῆς, ἐμάθομεν μόλις τῆς
σῆς τελειότητος τὴν παραίτησιν. εἶτα πῶς ἰὴν ἐξ ἁπάσης ὡς ἔπος εἰπεῖν τῆς Ῥωμαίων
ἀρχῆς συναγηγερμένων θεοσεβεστάτων ἐπισκόπων ἑκάστου τε ἀλύοντος ἐπὶ τῆι παρατάσει
τῶν ἡμερῶν καὶ φάσκοντος τὴν οἰκείαν ἐπείγεσθαι καταλαβεῖν ἐκκλησίαν τε καὶ πόλιν διὰ 30
τὸ πλείστους εἶναι ἐν ἑκάστηι τοὺς αἱρετικοὺς καὶ μὴν καὶ ἑτέρας συμβαίνειν διαστροφάς,
γράψαι πρὸς τὴν σὴν ὁσιότητα ἐκ τῆς Ἐφεσίων καὶ ἐκ τοσούτων διαστημάτων αἰτῆσαι
συγγνώμην; οὔτε στρατιώτου τρέχοντος ὀξέως (οὐ γὰρ εἴχομεν τὸν ὑπηρετοῦντα πρὸς
τοῦτο) οὔτε μὴν [ὡς ἔφην] περιμένοντα τινὸς ἀποδημίαν κληρικοῦ καὶ ἐπάνοδον (πλείστη
γὰρ ἦν, ὡς ἔφην, τῶν ἀλυόντων πληθύς)· ἤδη γὰρ ἀνεκοινωσάμην τῆι σῆι θεοσεβείαι 35 V 16
περὶ τούτων ἁπάντων καὶ πρὶν ἐκδημῆσαι ἀπὸ τῆς Ἀλεξανδρείας. μὴ τοίνυν οἰέσθω
με τὸ σὸν θεοφιλὲς ἀλογῆσαι τοσοῦτον τοῦ πρέποντος, ὡς ἐλέσθαι σιωπᾶν ἐπί γε τοῖς
οὕτως ἀναγκαιοτάτοις πράγμασιν. μετά γε δὲ τὰ ἐν τῆι συνόδωι πεπραγμένα λελύπημαι
λίαν· τινὲς γὰρ τῶν ἐκ τῆς Ἀνατολῆς περιεκόμιζον ἴσον ἐπιστολῆς ὡς γραφείσης παρὰ cf V 93
τῆς σῆς ὁσιότητος κατ' ἐμοῦ πρὸς τὸν εὐσεβέστατον βασιλέα καὶ ὁ τῶν γραμμάτων τύπος 40
οὗτος ἦν ὅτι ὁ τῆς Ἀλεξανδρείας ἐπίσκοπος ἔχθραν ἔχων πρὸς Νεστόριον συνεσκευάσατο
αὐτόν, καὶ ἑτερά τινα τούτοις ὁμοίαν ἔχοντα δύναμιν. καὶ εἰ μὲν τῆς σῆς ὁσιότητος
τὸ γράμμα ἐστίν, εἰκότως, ὥς γε οἶμαι, λελύπημαι· ποίαν γὰρ ἔχθραν ἐγὼ πρὸς Νεστόριον
ἐσχηκὼς ἰδίαν εὑρίσκομαι; καίτοι χειροτονηθέντος εὐθὺς ἔγραψα τὰ κοινωνικὰ καὶ μεστὴν

A

18 τὸ scripsi τοῦ A 20 γὰρ addidi 32 τῆς scripsi τῶν A 34 ὡς ἔφην deleui περιμένοντα scripsi περιμένοντοσ A 43 γράμμα scripsi πρᾶγμα A

ἔπεμψα ἐπαίνων πρὸς αὐτὸν ἐπιστολήν· οὐ γὰρ ἤιδειν τὰ ἐσόμενα· εἶτα ὁ σύμπας πρὸς αὐτὸν γέγονέ μοι λόγος οὐ περὶ κοινοῦ πράγματος, ἀλλὰ μόνης τῆς ὀρθῆς πίστεως. εἰ δὲ ἐπλάσαντο τινὲς τὴν ἐπιστολήν, ἀπολογήσονται τῶι θεῶι καὶ τὴν σὴν θεοσέβειαν διασύραντες κἀμοὶ σιωπῆς καὶ λύπης γεγονότες παραίτιοι. ὅτι δὲ τῶν ἀτόπων οὐδὲν ἢ γοῦν ἔξω τοῦ εἰκότος ἢ τῶν πέρα λόγου τοῦ πρέποντος ἡ ἁγία πέπραχε σύνοδος κατὰ τὴν Ἐφεσίων μητρόπολιν, ἐξ αὐτῶν ἔνεστι τῶν πραγμάτων ἰδεῖν. οὐ γὰρ περί τινος ἑτέρου συνεδρεύσαμεν, οὐ καλοῦντος εἰς δίκην ἀδελφοῦ, οὐκ ἀνεχόμενοι τῶν σαλεύειν ἐθελόντων πράγματα τισίν, ἀλλὰ περὶ μόνης τῆς ὀρθῆς πίστεως τὰς συνόδους ἐποιούμεθα, κρατύνοντες μὲν τὰ τοῖς ἁγίοις πατράσιν ὁρισθέντα περὶ αὐτῆς ἐν τῆι Νικαέων πόλει καὶ τὴν ἁγίαν ἐκείνην καὶ μεγάλην σύνοδον παμψηφὶ στεφανοῦντες ὡς ἀκριβῆ καὶ τετορνευ-
77 μένον τὸν τῆς ἀμωμήτου πίστεως ὅρον ἐξενεγκοῦσαν, συνομολογοῦντες δὲ καὶ συναινοῦντες ὅτι χρὴ μηδενὶ τρόπωι παρασαλεύειν τι τῶν τεθεσπισμένων, Νεστόριον δὲ καταδικάσαντες ὡς παραχαράττοντα αὐτὴν καὶ ὑπερβαίνοντα ὅρια ἃ ἔθεντο οἱ μακάριοι πατέρες ἡμῶν λαλοῦντος δι' αὐτῶν τοῦ ἁγίου πνεύματος· οὕτω γὰρ πεπιστεύκαμεν.

Πρόσειπε τὴν παρὰ σοὶ ἀδελφότητα· σὲ ἡ σὺν ἡμῖν ἐν κυρίωι προσαγορεύει.

96 = V 118 Τοῦ αὐτοῦ λόγος ἀπολογητικὸς πρὸς τὸν εὐσεβέστατον βασιλέα Θεοδόσιον σημαίνων πάντα τὰ πραχθέντα κατὰ τὴν Ἐφεσίων πόλιν

97 Latina uersio habetur in Collectione Casinensi 122

Θεῖον γράμμα πρὸς τὴν ἐν Ἐφέσωι ἁγίαν σύνοδον ἀπολῦον πάντας τοὺς ἐπισκόπους εἰς τὰ ἴδια καὶ ἀποκαθιστῶν Κύριλλον καὶ Μέμνονα τοὺς ἁγιωτάτους ταῖς ἰδίαις ἐκκλησίαις

Ἡμεῖς τὴν τῶν ἐκκλησιῶν εἰρήνην ἁπάσης ἄλλης ἀσχολίας προτιμήσαντες, οὐ μόνον διὰ τῶν ἡμετέρων ἀρχόντων, ἀλλὰ καὶ δι' ἑαυτῶν συναγαγεῖν ὑμᾶς ἐβουλήθημεν, ἀσεβὲς εἶναι καὶ ἀνάξιον τῆς ἡμετέρας βασιλείας πιστεύσαντες τὸ ῥαθυμούντων ἡμῶν καὶ μὴ πάντα ὅσα ἐνδέχεται, ποιούντων διαιρεθῆναι τὰς ἐκκλησίας. ἐπειδὴ δὲ οὔτε ἑνωθῆναι ὑμᾶς γεγένηται δυνατὸν οὔτε εἰς τοὺς λόγους τοὺς περὶ τῶν ἀμφισβητουμένων ἐλθεῖν ἠθέλησεν ἡ ὑμετέρα εὐλάβεια, τετυπώκαμεν τοὺς Ἀνατολικοὺς ἐπισκόπους ἀπελθεῖν εἰς τὰς ἑαυτῶν πατρίδας καὶ τὰς ἐκκλησίας καὶ τὴν σύνοδον διαλυθῆναι τὴν ἐν Ἐφέσωι ἐπὶ τῶι Κυρίλλον εἰσελθεῖν ἐν Ἀλεξανδρείαι καὶ Μέμνονα μεῖναι ἐν Ἐφέσωι. τοσοῦτον γὰρ δηλοῦμεν τῆι ὑμετέραι θεοσεβείαι ὅτι ἕως ὅτε ζῶμεν, καταγνῶναι τῶν Ἀνατολικῶν οὐ δυνάμεθα· οὐδὲν γὰρ ἐπὶ ἡμῶν ἠλέγχθησαν οὐδενὸς αὐτοῖς συζητῆσαι θελήσαντος. εἰ οὖν ἔστι σκοπὸς εἰρήνης, ἑλόμενοι ταύτην ἀφιλονείκως γνωρίσατε ἡμῖν· εἰ δὲ μή γε, εὐθέως πρὸς ἃ γεγράφαμεν, τῆς ἐκδημίας φροντίσατε, οὐχ ἡμῶν ὄντων αἰτίων, ἀλλὰ τοῦ θεοῦ τοὺς αἰτίους γινώσκοντος.

98 Κελεστίνου ἀρχιεπισκόπου Ῥώμης πρὸς Φλαβιανὸν ἐπίσκοπον Φιλίππων ἐπανελθόντα ἐκ τῆς κατ' Ἔφεσον ἁγίας συνόδου

Τῶι ἀδελφῶι ἀγαπητῶι Φλαβιανῶι Κελεστῖνος. Κεχαρισμένα, καὶ γὰρ οὐκ ὀλίγον μοι προθυμίας ἐπεδαψιλεύσατο, διὰ τῶν τέκνων τῶν ἡμετέρων τῶν εὐλαβεστάτων Ἰωάν-

97 Primus edidit I. B. Cotelier in Ecclesiae Graecae monumentis 1, 41

A

10/11 τετορευμένον A

$AX_1JΛ$

19 ἀπολύων JX_1 20 μένονα X_1 25 τῶν om. X_1 27/28 ἐπὶ — Ἐφέσωι om. J 29 ὅτι $J_{corr}Λ$ ὅτε AJX_1 ἀνατολῶν J 31/32 γράφωμεν X_1

A

36 καὶ γὰρ scripsi καίπερ A

νου τοῦ πρεσβυτέρου καὶ Ἐπιθυμητοῦ τοῦ διακόνου γράμματα τῆς ἁγιωσύνης σου ὑπεδεξάμην. τοσοῦτον γάρ μοι χαρᾶς παρεσχήκασιν ὅσον πρὸς τὴν πίστιν τοῦ πράγματος ἡ σὴ ἀδελφότης καμάτου συνεισηνέγκατο. ἐξεπλήρωσας διὰ πάντων τὸν ἱερέα τοῦ κυρίου, ἀγωνισάμενος ὑπὲρ τοῦ κοινοῦ βασιλέως, ἀφ' οὗ ἀμοιβαδὸν ἐλπίζεσθαι ὀφείλει ὑπὸ τῆς σῆς ἀδελφότητος ἡ ἀντίδοσις. ἢ ἀγνοεῖς, ἀδελφὲ τιμιώτατε; ἥντινα σὴν σπουδὴν εἴ τις ὅμοιός σοι μεταχειρίσαι, γινωσκέτω εἶναι κρεῖττον καμάτου, ἵνα τῇ τοῦ θεοῦ ἡμῶν βοηθείαι πάντας οὓς ἑαυτῷ ὁ διάβολος ἐπερείδεται ἐκδικῶν, ὠφελοίημεν.

99 Ξύστου ἀρχιεπισκόπου Ῥώμης πρὸς τὸν αὐτόν

Τῷι ἀγαπητῷι ἀδελφῷι Φλαβιανῷι Ξύστος. Νενομισμένον ἐστὶ τῇι ὁσιότητι τῇι σῇι τὸν ἀποστολικὸν θρόνον προσεχῶς ὁμιλεῖν· οὕτως γὰρ τὴν θείαν ὡς ἅτε ἱερεὺς δόκιμος ἐξεβίβασας ὑπόθεσιν, ὡς θριαμβεύοντά σε κατὰ τῶν ἐχθρῶν εἰς τὴν πεπιστευμένην σοι ἐκκλησίαν ἐπανελθεῖν. χαίρωμεν οὖν· ἀνεκαλέσω γὰρ ἀπὸ τοῦ πολέμου τοὺς πιστοὺς στρατιώτας μετὰ σημείων νικηφόρων, ὁπότε τοῖς τούτου μέρεσι συνηγόρησας, οὗτινος τὸν νόμον οἱ καλῶς δεδιδαγμένοι ἱερεῖς οὐκ ἠδύναντο μὴ εἶναι νικηταί. εἰ καὶ ὅτι μάλιστα γνώριμος ἡμῖν γέγονεν ὁ κάματος τῆς ἀδελφότητος τῆς σῆς ἐκ πολλῶν ἀναφορῶν, ὅμως τὴν σπουδὴν καὶ τὴν ἐγρήγορσίν σου ὁ λόγος τοῦ ἀδελφοῦ καὶ συμπρεσβυτέρου τοῦ ἡμετέρου Φιλίππου πρὸς ἡμᾶς ἐπανελθόντος σαφέστερον ἀνεδίδαξεν. ἀγαλλιῶ τοίνυν, γνησιώτατε ἀδελφέ, τῇι μαρτυρίαι τῇι καθόλου ἀγαλλιῶ· ὀφείλεται ἀπὸ τῆς Ῥωμαίων ἐκκλησίας τοῖς τοσούτοις καμάτοις τῶν σῶν πράξεων εὐχαριστία, ἥντινα διὰ Οὔρσου τοῦ προσφιλεστάτου ἡμῖν καὶ ἀπὸ τῶν ἡμετέρων πλευρῶν ὑποδιακόνου ἐκπεμφθέντος ὁ κατὰ πρόσωπον λόγος ἐγκλείει, καὶ τὸ τῆς ἀγάπης ὄφλημα ἀποδιδοὺς τοῖς τῆς διαδοχῆς τύποις καὶ ποιῶν τῆς ἡμετέρας καταστάσεως τὴν γνῶσιν. δίκαιον γὰρ τῇι ἁγίαι σου ψυχῇι ἀμοιβαδὸν τοῦτο παραπλησίως ἐκείνωι κατατιθέναι, οὗτινος τὸ πρόσωπον ἤτοι τὴν ὑπηρεσίαν παρὰ τῆς θείας προνοίας διαδέδεγμαι.

d. 31. m. Iul. a. 432

100 Τοῦ αὐτοῦ ἐπιστολὴ πρὸς τὸν ἁγιώτατον ἀρχιεπίσκοπον Κύριλλον

Ἥσθην ἐπὶ τοῖς δηλωθεῖσί μοι δι' ἐπιστολῆς παρὰ τῆς σῆς ὁσιότητος περὶ τῶν ἁγίων καὶ συνεπισκόπων μου, οὓς ὀλίγη χρῆσις καὶ συντυχία, οἷοί τε καὶ ὅσοι εἶεν, ἀπέδειξε. καὶ τάχα ἧττον ἂν τοῖς περὶ αὐτῶν γράμμασιν ἐπιστεύσαμεν, εἰ μὴ τὴν παρ' αὐτῶν μαρτυρίαν ἐνίκησεν ἑαυτῇ μαρτυροῦσα ἡ τῶν ἀνδρῶν παρουσία. εἴδομεν ἀληθῶς τοῦ κυρίου ἱερέας· εἴδομεν ἄνδρας μεστοὺς χάριτος πνευματικῆς, ἥτις ἐν πρώτοις παρ' αὐτοῦ δίδοται τοῦ θεοῦ, ἔτι μὴν αὐτοὺς χαριεστέρους ἡμῖν ἡ τοῦ θεοῦ περὶ ἡμᾶς κρίσις ἀπέδειξεν. ἔσχε γὰρ αὐτοὺς παρόντας ἡ ἡμετέρα χειροτονία καὶ ἐν πᾶσι τοῖς ἀποτελοῦσιν ἱερέα κεκοσμημένοι αὐτὴν ἡμῖν τὴν παρουσίαν ἐνεδείξαντο τῆς σῆς ἁγιότητος, ἣν οὐκ ἄνευ πολλῆς τῆς ἀξίας ἀδελφικῆι ἀεὶ διαθέσει περιπλεκόμεθα. τοσοῦτον γάρ σοι ὀφείλει ἡ κοσμικὴ ἐκκλησία, ὅσον σοι πάντες εἰσὶν ὑποχείριοι, ὅς γε πανταχοῦ πάντας νενίκηκας. ἐπιμένοντος τοίνυν καὶ ὑγιῶς πάντα ὑποβάλλοντος τοῦ υἱοῦ ἡμῶν Θεμίσωνος τοῦ ἀρχιδιακόνου, τὰ πρέποντα δεδώκαμεν γράμματα πρὸς τοὺς ἀδελφοὺς καὶ συνεπισκόπους ἡμῶν πρὸς οὓς

d. 31. m. Iul. a. 432

---

100 JK 390 primus edidit I. B. Cotelier in Eccl. gr. monum. 1, 42

A

5 ὑπὸ scripsi ὑπὲρ A 6 κρείττων A 16 ἐγρήγορσίν scripsi γόργησίν A

AX$_1$

25 ξύστου πάπα πρὸσ κύριλλον inscr. X$_1$ 26 δηλωθήσοισ X$_1$ 28 αὐτῶν scripsi αὐτὸν AX$_1$ 34 ἀεὶ om. X$_1$

ep. 85 ἤιτησαν οἱ προειρημένοι συνιερεῖς ἡμῶν. ἤρκει μὲν γὰρ κἀκεῖνα ἃ πρὸ τούτου διά τε τῶν τῆς κατὰ Κωνσταντινούπολιν ἐκκλησίας κληρικῶν καὶ ὕστερον διὰ τῶν διακόνων τῆς σῆς ἁγιότητος ἔμπλεω πάντων ἀναγκαίων ἀπέστειλα· ἑπόμενος δὲ καὶ νῦν τῇι τε ὑπομνήσει τῆς σῆς ἀδελφότητος καὶ τῶι ἡμετέρωι ἔθει οὐ παρέλειψα τὰ ὑγιῶς μοι ὑποβληθέντα, χάριν ὁμολογῶν καὶ ἐν εὐεργεσίαις τιθέμενος τοῦτο ὃ πέπεισμαί μοι οὐρανόθεν δεδωρῆσθαι, ἵνα περί τε τῆς ἐμῆς χειροτονίας καὶ τῆς πίστεως τὰ αὐτὰ πρὸς τὴν σὴν ὁμόνοιαν μίξωμεν ῥήματα.

Περί τε τοῦ Ἀντιοχείας καὶ τῶν λοιπῶν οἵτινες μετ' αὐτοῦ ἀκόλουθοι γενέσθαι Νεστορίου ἠθέλησαν, καὶ περὶ πάντων δὲ τῶν παρὰ τὴν ἐκκλησιαστικὴν ἐπιστήμην ἐκκλησίας διοικούντων κατειληφότες τοῦτο ὡρίσαμεν φυλακτέον ἵνα, εἰ ἀνανήψειαν καὶ μετὰ τοῦ ἰδίου ἡγεμόνος ἀθετήσειαν ἅπαντα ἅπερ ἡ ἁγία σύνοδος ἡμῶν ἐπιβεβαιούντων ἠθέτησεν, ἐπανέλθοιεν εἰς τὸ τῶν ἱερέων συνέδριον. ὥσπερ γὰρ ἐπιμένοντες τοῖς προτέροις οὐκ ἠδυνήθησαν ἐν τῇι ἡμετέραι εἶναι κοινωνίαι, οὕτως βουλόμεθα αὐτοὺς διὰ τὴν ἑνότητα καὶ εἰρήνην τῶν ἐκκλησιῶν ἀπολογουμένους, ὡς εἰρήκαμεν, ὑποδεχθῆναι. αὐτοὶ δὲ καθ' ἑαυτῶν εὑρεθήσονται τὴν ἴσην ἀπόφασιν ἐξενεγκάμενοι, εἰ ἔξω μένοντες δείξειαν ἑαυτοὺς πρὸς τὸν καταβληθέντα καὶ ἐξωθηθέντα τοσαύτης ἀσεβείας κοινωνοὺς καὶ μετόχους.

101 Τοῦ αὐτοῦ

Χάριν ὁμολογοῦντες τῇι περὶ ἡμᾶς τοῦ θεοῦ ἡμῶν φιλανθρωπίαι ὅτι κατὰ τὸν καιρὸν ἐν ὧι ἡμᾶς εἰς τὸ ὑπερέχον τῆς ἱερωσύνης ἄκρον καλέσαι κατηξίωσεν, ἐδωρήσατο ἡμῖν κατὰ τὴν ἰδίαν εὐσέβειαν τὴν παρουσίαν τῶν ἁγίων ἀδελφῶν καὶ συνεπισκόπων ἡμῶν Ἑρμογένους καὶ Λαμπετίου, ἀναγκαίως πρὸς τὴν ὑμετέραν ἀδελφότητα δι' αὐτῶν ταῦτα τὰ γράμματα μαρτυρούντων ἡμῶν τῇι χειροτονίαι δεδώκαμεν. ἐν τούτοις γὰρ πάντας ὑμᾶς, παρ' ὧν ἐκεῖνοι ἀπεστάλησαν, παραγεγενῆσθαι πεπιστεύκαμεν, ἐπειδὴ οὐδαμῶς διαστήματι χωρίζονται οὓς συνδεσμεῖ πνευματικὴ χάρις. μεθ' οἵας δὲ πάντων ὁμονοίας κατὰ οἰκονομίαν θείας προνοίας αὕτη ἡ ἡμετέρα γεγένηται χειροτονία, μαθοῦσα καὶ ἡ ὑμετέρα ἁγιωσύνη καὶ ἐκ τῶν ἡμετέρων γραμμάτων καὶ ἐκ τῆς ἀναφορᾶς τῶν ἀδελφῶν πάντως τὸ δῶρον τῶι παρασχόντι κυρίωι ὑπὲρ ἡμῶν ὁμολογήσει, ἀδελφοὶ ἀγαπητότατοι, ἵνα τῆς ἰδίας ὧν δωρεᾶς φύλαξ τὴν ἐκκλησιαστικὴν εἰρήνην τηρῆσαι καταξιώσηι· ὁ θεὸς ἡμῶν ὁ πάντα εἰς αὐτὸν τὰ ἀνήκοντα οὕτως διοικῶν, ἵνα μηδὲ ἓν λεῖψαι συγχωρήσηι, εὐεργεσίαν μοι ἐν τῇι ἀφορμῇι τῆς ἀδελφότητος δέδωκε. διὰ γὰρ τῶν ἁγίων συνιερέων ἡμῶν Ἑρμογένους καὶ Λαμπετίου παραγενομένων τῇι ἡμετέραι χειροτονίαι ταῦτα τὰ γράμματα
ep. 85 ἔδοξεν ἀποσταλῆναι πρὸς τὴν σὴν εὐλάβειαν, οἷα δὴ πρὸς τὴν ἁγίαν σύνοδον ἀπεστείλαμεν περὶ τῶν ἑπομένων Νεστορίωι. ὁμολογῶ τοίνυν, σφόδρα ἥσθημεν ὅτι συνέβη ἡμῖν διὰ μιᾶς καὶ τῆς αὐτῆς εὐκαιρίας τά τε περὶ τῆς πίστεως καὶ τὰ περὶ ἡμῶν αὐτῶν ἀνακοινώσασθαι· ἅπαντας γὰρ ἔσχε τοὺς ἀδελφοὺς παρόντας ἡ χειροτονία ἡμῶν. τίς γὰρ ἂν ἔδοξε μὴ παραγενέσθαι, ὁπότε ἡ Ἀνατολὴ διὰ τῶν ἰδίων πρεσβυτέρων παρεγένετο καὶ ἐθεάσαντο μίαν πάντων καρδίαν καὶ μίαν ἐν πᾶσι ψυχὴν ἔγνωσαν ὁμόφωνόν τε τοῦ θείου πλήθους φωνήν; οὕτως ἡ κατὰ Ῥώμην ἐκκλησία μίαν ψῆφον ἐφύλαξε τῇι καταστάσει τοῦ τῆς πίστεως κήρυκος, ὥσπερ ἐν αὐτῶι τῶι τῆς πίστεως κηρύγματι μίαν ἀεὶ γνώμην ἐτήρησαν. ἐπειδὴ τοίνυν ἀρκεῖ διὰ βραχέων δεδηλῶσθαί μου τὴν χειροτονίαν, λαλητέον

101 JK 389 primus edidit I. B. Cotelier in Eccl. gr. mon. 1, 44

AX$_1$

3 καὶ in τοι corr. X$_1$ ὑπομνήσει A ὑπομονῆ X$_1$ 14 ἀπολογουμένοισ X$_1$ 17 τοῦ αὐτοῦ A ξύστου τοῦ μακαριωτάτου πάπα ῥώμησ διαδόχου κελεστίνου πρὸσ κύριλλον X$_1$ 26 καὶ^1 om. X$_1$

λοιπὸν ἡμῖν περὶ ὧν ὁ ἅγιος ἡμῶν ἀδελφὸς Κύριλλος ἀμνημονῶν τῆς ἰδίας ὕβρεως καὶ τῶν καμάτων αἰτεῖ. ἀρκεῖ μὲν γὰρ τὰ ἤδη γραφέντα παρὰ τοῦ τῆς μακαρίας μνήμης τοῦ ἐμὲ προηγησαμένου περὶ τῆς πίστεως ὑπὲρ ἧς χαίρομεν θριαμβεύοντες κατὰ βοήθειαν τοῦ Χριστοῦ τοῦ θεοῦ ἡμῶν, καθ' οὗ ἡ ζήτησις ἐκεκίνητο· ὅμως ἐπειδὴ οὐκ ὀκνητέον ἀναλαμβάνειν πολλάκις τὰ ὑγιῶς ὁρισθέντα, ἀναγκαῖον ἡγησάμην γράφων νῦν πρὸς τὴν σὴν ἀδελφότητα διὰ τῶν ἁγίων ἀδελφῶν καὶ συνεπισκόπων ἡμῶν Ἑρμογένους καὶ Λαμπετίου ταῦτα δηλοῦν διὰ βραχέων ἅπερ πολλῶι ἤδη τῶι λόγωι πάλαι ἡ ἀπόφασις τοῦ ἀποστολικοῦ ὥρισε θρόνου, καὶ μὴ ἀποκάμηι ἀκούων, ἀλλὰ καὶ ἥδιστα ἀκουέτω ὁ χαίρων ὅτι νενίκηκεν. εἰ γὰρ Νεστόριος ὁ τῶν ἀνοσίων διατριβῶν διδάσκαλος βιβλία ἐκδέδωκε κηρύττων τὰ καθαιρετέα, πόσωι μᾶλλον ἡμᾶς δεῖ φαίνεσθαι τῆς πατρικῆς πίστεως φύλακας πάντηι ἀναιροῦντας τὰ καθηιρημένα; ὁ δὲ ἅγιος καὶ συνεπίσκοπος ἡμῶν ἀδελφὸς ὁ προστάτης τῆς Ἀλεξανδρέων ἐκκλησίας δεικνύων ὅπως καὶ ὅσον φροντίζων τῆς πίστεως καταφρονῶν τε τῶν ὕβρεων ἃς ἐνδόξως κατὰ τὸν ἀπόστολον πέπονθε, μᾶλλον διοικηθῆναι τὰς ἐκκλησίας ἢ ἑαυτὸν ἐκδικηθῆναι ἐπιθυμεῖ, αὐτίκα [δὲ] τοῖς ἐν ναυαγίωι κάμνουσιν αἰτεῖ ἀνοιχθῆναι λιμένα, ἐκείνου μόνου ἀρκούμενος τῶι θανάτωι, ὃς δοκῶν εἶναι ἐν ἀπαιδευσίαι διδάσκαλος ἐξεδίκει ἑαυτῶι τὰ τοῦ δεσποτικοῦ φόβου πηδάλια, ἀλλ' ἐπιμένειν τῶι θρόνωι οὐκ ἠδυνήθη, διδάσκειν οὐκ εἰδώς. μόνος οὖν εἴη ναυαγήσας αὐτός, ὃν ἐν τοσαύτηι ὁμίχληι τῶν ἰδίων διδαγμάτων μηδὲν ὁρῶντα τὸ τῆς ἀσεβείας κῦμα προσέρρηξε τῶι σκοπέλωι τῆς καθαιρέσεως. ἔσχε μὲν οὖν πάντας χειμὼν εἰς, ἀλλὰ βυθισθέντος τοῦ ταῦτα ἐπινοήσαντος ὑγιασθῆναι βούλεται τοὺς λοιπούς. ἔστι τοίνυν καὶ ἐν ἡμῖν ἡ αὐτὴ ψῆφος· εὐσεβεῖν γὰρ περὶ τούτους βέλτιον εἰς θεὸν ἀσεβεῖν παυσαμένους. ὅθεν δεχθῶσιν οἱ βουλόμενοι εἰς τὴν εὐθεῖαν ἐπανελθεῖν, περὶ ὧν πολυλογεῖν οὐ χρή, τούτων τῶν ὀλίγων ἀρκούντων· γινωσκέτωσαν γὰρ ἔσεσθαι φροντίδα περὶ τὰς καταλειφθείσας παρ' αὐτῶν ἐκκλησίας, εἰ μὴ αὐτοὶ ἑαυτοῖς βοηθήσουσι τὰ αὐτὰ ἡμῖν φρονεῖν ἐθελήσαντες. περὶ δὲ τοῦ Ἀντιοχείας Ἰωάννου ταῦτα ὁρίζομεν ὀφείλειν φυλάττεσθαι, ἅπερ ἔγκειται ταῖς προαπεσταλμέναις ἐπιστολαῖς, ἵνα γνῶι ἐσόμενος εἷς τῶν καθολικῶν, εἰ πάντα τὰ παρὰ τῆς συνόδου καθαιρεθέντα καθαιρῶν ἀποδείξειεν ἑαυτὸν καθολικὸν ἱερέα. 2 Cor. 12, 10

Κάτεχε οὖν ἰσχυρῶς τά τε συνοδικὰ καὶ τὰ παρ' ἡμῶν ὡρισμένα, ἀδελφὲ ἀγαπητότατε· ἀφίησι γὰρ ὁ ἀδελφὸς τὰς ὕβρεις αἵτινες αὐτῶι χρησιμεύουσιν ἐνώπιον τοῦ κοινοῦ δεσπότου, ἡ γὰρ τοιαύτη ὕβρις νίκη ἐστίν. ὅθεν ἐπιεικῶς ἤνεγκε πάντων τῶν κέντρων τὰς πληγὰς οὐδὲ ἐκεῖνα αὐτὸν ἐλύπησεν ἐφ' οἷς νῦν ἥδεται μεμνημένος ὅτι ἠγωνίσατο διὰ στέφανον. οἶδε γὰρ οἷα μένει νικητήρια τοὺς τοιαῦτα νικῶντας. ἀγαλλιάσθω ἐπὶ τῆι κοινωνίαι τοῦ τοιούτου θριάμβου πᾶς ὁ παραγενόμενος, τῆι δὲ ψυχῆι συναινέσας. ταῦτα δὲ εἰς τὴν τῶν γειτνιώντων ἀδελφῶν γνῶσιν βούλομαι πεμφθῆναι διὰ τῆς σῆς εὐλαβείας, ἵνα μάθωσι περὶ τοῦ τηλικούτου πράγματος, εἰ καὶ πάλαι πληρέστατα πάντα ὡρίσαντο, μὴ ἀργεῖν ὅμως τὸν ἀποστολικὸν θρόνον. οὐ γὰρ ἐπιτρέπει ἡμᾶς ἠρεμεῖν ἀπὸ τῶν τοιούτων φροντίδων ἡ ὑπὲρ πασῶν τῶν ἐκκλησιῶν μέριμνα.

Ἀρχὴ τῶν κεκινημένων ἐπὶ τῆι ἑνώσει τῶν ἐκκλησιῶν

102 = V 120 Γράμμα βασιλικὸν ἀποσταλὲν διὰ Ἀριστολάου τριβούνου καὶ **νοταρίου Ἰωάννηι** ἐπισκόπωι Ἀντιοχείας περὶ τῆς ἑνώσεως τῶν ἐκκλησιῶν

AX_1

7 ἅπερ A περ X_1 8 ὁ χαίρων **A** om. X_1 14 δὲ deleui 22 **πολυγονεῖν A** 23 **καταλειφθείσας scripsi** καταληφθείσασ AX_1 33 **malim** ὁ οὐ παραγενόμενος

103 Latina uersio extat in Collectione Casinensi 140

Γράμμα βασιλικὸν ἀποσταλὲν διὰ τοῦ αὐτοῦ Ἀριστολάου Ἀκακίωι ἐπισκόπωι Βεροίας

Ἔργον ἐξ ἀρχῆς τοῦτο τῆς σῆς εὐλαβείας τὸ τὴν ὀρθοδοξίαν καὶ συγκροτεῖσθαι καὶ αὔξεσθαι. ἤδη γὰρ καὶ πρὸ τούτου σῶι πόνωι καὶ καμάτωι ⟨τὰ⟩ διεσπαρμένα μέλη τῆς καθολικῆς καὶ ἀληθοῦς πίστεως καλῶς συνήρμοσται, καὶ νῦν, ἐπειδὴ διαβόλου τινὸς κακοτροπίαι καὶ οὐχ ἁπλῆι οὐδὲ εὐθυνομένηι διδασκαλίαι σπέρματα διχονοίας τοῖς ἡνωμένοις καὶ ἓν καὶ τὸ αὐτὸ φρονοῦσιν ἐμβέβληται, ἀναλαβεῖν σε τὴν ἐγνωσμένην τοῖς πᾶσι δύναμιν προτρέπομεν, ἵνα εὐχαῖς ὁμοῦ ταῖς πρὸς τὸν θεὸν καὶ συμβουλαῖς ταῖς περὶ τοὺς ἱερεῖς συναγαγεῖν καὶ συνάψαι τὰ μεμερισμένα καὶ οὐ δικαίως οὐδὲ ὁσίως εἰς μάχην τραπέντα σπουδάσειας. ἔσται δὲ τοῦτο εὐχερῶς, ὥσπερ ἡγούμεθα, τῆι σῆι ἁγιωσύνηι, εἰ τὸν εὐλαβέστατον Ἰωάννην τὸν τῆς Ἀντιοχέων ἐπίσκοπον μὴ φιλονεικῆσαι μηδὲ ἐνστῆναι ἀνθρωπίνηι βουλήσει ἢ πλάνηι προτρέψηι, μᾶλλον δὲ κἀκείνου ἐπείξειας ἀποστῆναι, οὗ δὴ πάντες τὴν ἐπίνοιαν καὶ τὸ τῆς διδασκαλίας καινὸν ἀπομάχονται. πρέπει γὰρ ἐν τούτωι τῶι γήραι καὶ τοῦτον τὸν ἆθλον ἀνύσαι τὴν σὴν θεοσέβειαν, ὃν ἀγωνισάμενος ὢν πάλαι γενναίως κατώρθωσας, νικητὴς ἀνακηρυχθήσηι. καὶ τοῦτο εὖ ἴσμεν ὡς εὐχαῖς τε καὶ συμβουλαῖς καὶ αὐθεντίαι διαπράξηι, τὰ δὲ συνήθη καὶ νῦν ἐξαιτοῦμεν ὥστε εὐχαῖς ταῖς πρὸς τὸ κρεῖττον ἐπιμένειν σπουδαιότερον, ὅσον οἷόν τέ ἐστι, καὶ ἐπιπονώτερον τὴν ἐκεῖθεν ἡμῖν τε καὶ τοῖς ἐξ ἡμῶν καὶ πᾶσι τοῖς τῆς βασιλείας τῆς ἡμετέρας πράγμασιν εὐμένειαν καὶ ἐπικουρίαν ⟨προ⟩καλεῖσθαι.

104 = V 121 Γράμμα βασιλικὸν ἀποσταλὲν διὰ τοῦ αὐτοῦ **τῶι μακαρίωι Συμεῶνι τῶι στυλίτηι**

105 Latina uersio extat in Collectione Casinensi 142

Πρότασις ἐπιδοθεῖσα Ἀκακίωι ἐπισκόπωι Βεροίας παρὰ Ἰωάννου ἐπισκόπου Ἀντιοχείας καὶ τῶν σὺν αὐτῶι καὶ παρ' αὐτοῦ σταλεῖσα τῶι μακαρίωι Κυρίλλωι διὰ Ἀριστολάου

Ἐμμένομεν τῆι πίστει τῶν ἐν Νικαίαι συνεληλυθότων ἁγίων πατέρων τὴν εὐαγγελικὴν καὶ ἀποστολικὴν διδασκαλίαν ἐχούσηι καὶ προσθήκης οὐ δεομένηι. σαφῆ δὲ αὐτῆς ποιεῖ τὴν ἔννοιαν καὶ ὁ ἁγιώτατος καὶ μακαριώτατος Ἀθανάσιος ὁ ἐπίσκοπος τῆς Ἀλεξανδρέων καὶ ὁμολογητὴς ἐν τῆι ἐπιστολῆι τῆι πρὸς τὸν μακαριώτατον καὶ θεοφιλέστατον Ἐπίκτητον τὸν ἐπίσκοπον Κορίνθου. ἐμμένομεν τοίνυν καὶ αὐτῆι ὡς ἀκριβῆ ἑρμηνείαν ἐχούσηι τῆς προειρημένης πίστεως. τὰ δὲ πρόσφατον ἐπεισαχθέντα δόγματα ἢ δι' ἐπιστολῶν ἢ διὰ κεφαλαίων ὡς τὸ κοινὸν διαταράξαντα ἐκβάλλομεν, ἀρκούμενοι τῆι παλαιᾶι τῶν πατέρων νομοθεσίαι καὶ πειθόμενοι τῶι εἰπόντι μὴ μέταιρε ὅρια αἰώνια ἃ ἔθεντο οἱ πατέρες σου.

Prou. 22, 28

106 Latina uersio extat in Collectione Casinensi 144

Ἐπιστολὴ Ἀκακίου πρὸς Ἀλέξανδρον τὸν Ἱεραπόλεως

Κατήντησεν ὁ ἀπὸ τῆς Ἀλεξανδρέων, οὐχ ὁ τὰ πάντα θαυμασιώτατος καὶ πιστότατος Ἀριστόλαος ὁ τριβοῦνος καὶ νοτάριος, ἀλλ' ὁ εὐγενέστατος μαγιστριανὸς Μάξιμος ὁ συνὼν

---

22 cf. Theodoret. ep. 112 ἀπέστειλα τῆς τε τοῦ μακαρίου Ἀκακίου ἐπιστολῆς καὶ τῆς τοῦ μακαρίου Ἰωάννου [108] πρὸς τὸν μακάριον Κύριλλον γραφείσης τὸ ἴσον, ἵνα γνῶις ὡς καὶ περὶ συμβάσεως αὐτῶι γράφοντες τὴν τῶν κεφαλαίων τούτων κατηγορίαν ἐποιήσαντο

ΑΛ

2 βερροίασ A 4 τὰ addidi 9 τραπέντασ A 14 ὢν scripsi secundam Λ δν A 15—19 καὶ τοῦτο — προκαλεῖσθαι om. Λ 19 προκαλεῖσθαι scripsi καλεῖσθαι A 22 βεροοίασ A

αὐτῶι· τοῦτον γὰρ ἀπέστειλε πρὸς ἡμᾶς αὐτοῦ τε ἐπαγόμενον γράμματα καὶ τοῦ ἁγιωτάτου ἐπισκόπου Κυρίλλου. καὶ ὁ μὲν ἐν Ῥώμηι ἐπίσκοπος μίαν ἐπιστολὴν πρὸς ἡμᾶς ἔγραψεν, ὁ δὲ Ἀλεξανδρείας τρεῖς ἢ τέσσαρας, ὧν τῆς μιᾶς τὸ ἀντίγραφον ἀπέστειλά σου τῆι θεο- ep. 107
σεβείαι. εἰ τοίνυν δυνατὸν σκυλῆναί σε ἕως ἡμῶν, ποιεῖς καλῶς· εἰ δέ, ὡς ἐπέστειλας, εἰσέτι ὀδυνᾶσαι τοὺς πόδας, ἐγκύψας τοῖς γράμμασι τοῦ θεοφιλεστάτου ἐπισκόπου Κυρίλλου καὶ γνοὺς ὅσηι ἀκριβείαι ἐχρήσατο τῆς πίστεως ἕνεκα, γράφων πρὸς ἡμᾶς σύνθου τοῖς ὑφ' ἡμῶν ἀντιγραφομένοις μετὰ γνώμης τοῦ θεοφιλεστάτου καὶ ἁγιωτάτου ἐπισκόπου Ἰωάννου καὶ Παύλου καὶ τῶν λοιπῶν τῶν ἐν Ἀντιοχείαι εὑρισκομένων κυρίων ἐπισκόπων. τὸ δὲ αὐτὸ τῆς ἐπιστολῆς ἀντίγραφον μετὰ γραμμάτων ἐμῶν ἀπέστειλα καὶ τῶι κυρίωι μου τῶι θεοφιλεστάτωι ἐπισκόπωι Θεοδωρήτωι, παρακαλέσας αὐτὸν γενέσθαι ἕως ἡμῶν, εἰ δὲ ἐπέχεται διὰ τὴν αὐτόθι ἐνδημίαν τοῦ μεγαλοπρεπεστάτου στρατοπεδάρχου, γράψαι πρὸς ἡμᾶς ὅτι στοιχεῖ τοῖς ὑφ' ἡμῶν τυπουμένοις καὶ ἀντιγραφομένοις ἐν Ἀλεξανδρείαι. τοῦ δὲ βαθυτάτου ἡμῶν γήρους φείσασθε, παρακαλῶ, καὶ δότε χεῖρα περὶ πολλοῦ ποιουμένωι περιαιρεθῆναι ἡμῶν τὴν αἰσχύνην ταύτην καὶ τὴν ἀπὸ τῆς διχονοίας ἀφόρητον βλάβην. οἶδατε γὰρ ὡς ἐν πᾶσιν ὑμῖν συμπεριηνέχθην καὶ ὅτι ἐν μὲν Ἐφέσωι ὁ θεοφιλέστατος ἐπίσκοπος Παῦλος ὑπέγραφεν ὑπὲρ ἐμοῦ, ἐγὼ δὲ καθάπερ ὑπέθεσθε, ἐπὶ τὸν εὐσεβῆ ἡμῶν cf. V 96
ἀνήνεγκα βασιλέα, μνημονεύσας ὡς αἱρετικοῦ τοῦ θεοφιλεστάτου ἐπισκόπου Κυρίλλου, ὃς cf. V 93
καὶ ἐπελάβετο ἡμῶν ἐν οἷς πρὸς ἡμᾶς ἔγραψεν, ἠρέμα πῶς ὑπογογγύζων ὅτι ὡς αἱρετικοῦ ep. 95
αὐτοῦ ἐμνημόνευσα ἐν οἷς ἀνήνεγκα ἐπὶ τὸν ἡμερώτατον βασιλέα.

Πᾶσαν τὴν σὺν σοὶ ἀδελφότητα ἐγώ τε καὶ οἱ σὺν ἐμοὶ προσαγορεύομεν.

107 Latina uersio extat in Collectione Casinensi 145

Τοῦ ἐν ἁγίοις Κυρίλλου πρὸς τὸν μακάριον Ἀκάκιον τὸν Βεροίας ἀντίγραφον

1 Κυρίωι μου ἀγαπητῶι ἀδελφῶι καὶ συλλειτουργῶι Ἀκακίωι Κύριλλος ἐν κυρίωι χαίρειν. Πρέπουσαν ἑαυτῆι φροντίδα καὶ νῦν ἡ σὴ ὁσιότης ἀνεδέξατο· σκοπὸς γὰρ αὐτῆι κατὰ τὸ ἀγαθὸν θέλημα τοῦ πάντων ἡμῶν σωτῆρος θεοῦ συνάψαι τὰς ἐκκλησίας καὶ ποιῆσαι μὲν ἐκ μέσου τὸ μικροψυχεῖν ἀναπεῖθον τοὺς ὀφείλοντας ὁμογνωμονεῖν, ἅπαν δὲ περιελεῖν τὸ λυποῦν καὶ τοῖς τῆς ἀγάπης περισφίγξαι δεσμοῖς τὰ διεσπασμένα. ἀλλ' ὡς ἔοικε, τῶν αὐτόθι τινὲς δεδίασι μὲν κατὰ τὸ εἰκὸς τὸ δοκεῖν ἐναργῶς ἀντανίστασθαι τῶι τῆς σῆς τελειότητος σκοπῶι, δρῶσι δὲ τοῦτο ἀσυμφανῶς καὶ οἷον λανθάνειν σπουδάζοντες. τὸ γὰρ τοιαῦτα πράττειν καὶ ἀπαιτεῖν ἃ μὴ γενέσθαι δύναται, τί ἕτερόν ἐστιν εἰ μὴ αὐτοῖς πράγμασιν ἀναφωνεῖν ὡς ἀβούλητον αὐτοῖς τὸ τῆς εἰρήνης χρῆμά ἐστι; καὶ ταῦτα φημὶ τὴν διαπεμφθεῖσαν παρὰ τῆς σῆς τελειότητος ἐπιστολὴν ἀναγνούς, δι' ἧς ἐμάνθανον ἀπαι- ep. 105
τεῖν αὐτοὺς πᾶν σύγγραμμα καὶ πᾶσαν ἐπιστολὴν τὴν πρὸ τῆς συνόδου καταγινώσκεσθαι καὶ ἀθετεῖσθαι χρῆναι παρ' ἡμῶν, συναινέσαι δὲ τῶι συμβόλωι τῆς ὀρθῆς πίστεως τῶι ὁρισθέντι κατὰ καιροὺς παρὰ τῶν ἁγίων πατέρων ἐν τῆι κατὰ Νίκαιαν μεγάληι συνόδωι. ἐγὼ δὲ ὅτι μὲν τὸ σεπτὸν ἐκεῖνο τῆς πίστεως σύμβολον ἀπόχρη πρὸς πᾶσαν εἴδησιν ἀγαθήν, ἐνδεῖ δὲ αὐτῶι παντελῶς οὐδέν, φαίην ⟨ἂν⟩ καὶ συνθήσομαι κἂν εἰ μὴ ἑτέροις
2 δοκεῖ τισι τοῦτο φρονεῖν ἢ λέγειν· τεθαύμακα δὲ λίαν ἐκεῖνο. Νεστορίου γὰρ τὰς παλιμφήμους ἐκείνας καὶ βδελυρωτάτας ἐρευγομένου φωνὰς κατὰ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ καὶ τοῦτο ἐπ' ἐκκλησίας, ἐγράψαμεν ἃ γεγράφαμεν, ἀντιλέγοντες αὐτῶι καὶ ταῖς βεβήλοις αὐτοῦ καινοφωνίαις ἀντεξάγοντες τὴν ἀλήθειαν, καὶ διὰ τὴν τοῦ θεοῦ χάριν καὶ τοῖς τόμοις ἐντυχόντες ὠφέληνται πολλοὶ καὶ ὀρθῆι συνέσει τετιμήκασι τὰ κατ' ἐκείνου παρ'

ΑΛ

16 εὐσεβεῖ A 18 ἔγραψεν] *scripsit in praesenti* Λ 22 βερροίασ A 37 ἂν addidi 38 δοκῆ A 41 καινοφωνίαις Λ κενοφωνίαισ A

ἡμῶν εἰρημένα. ἀλλ' οὐκ οἶδ' ὅπως οἱ νῦν ὀφείλοντες τὰ ἐκείνου ἀναθεματίζειν μιαρὰ δόγματα καὶ ἀλλοτριοῦν ἑαυτοὺς τῆς δυσσεβείας αὐτοῦ πρὸς πᾶν τοὐναντίον περιτρέποντες τὴν σπουδὴν ἀφανίζεσθαι ζητοῦσι τὰ κατ' αὐτοῦ γεγραμμένα. ποῖον ἔχει τοῦτο λόγον; ἐννοείτω γὰρ ἡ σὴ ὁσιότης ὅσην ἔχει τὸ πρᾶγμα τὴν ἀτοπίαν, ⟨εἰ⟩ οἱ ὑπὲρ τῆς ὀρθῆς πίστεως γεγραφότες ἀρνησόμεθα τὰ ἑαυτῶν, μᾶλλον δὲ κατηγορήσομεν τῆς ἑαυτῶν πίστεως; οὐκοῦν εἰ μὴ ὀρθῶς ἔχει τὰ κατὰ Νεστορίου ἤτοι τῶν ἀνοσίων αὐτοῦ δογμάτων γεγραμμένα, μάτην καθήιρηται καὶ τάχα που φρονεῖ μὲν ἐκεῖνος ὀρθῶς, πεπλανήμεθα δὲ ἡμεῖς οὐ συνενεχθέντες αὐτῶι, γεγραφότες δὲ μᾶλλον οἷς ἔφη, τὰ ἐναντία, καίτοι Νεστορίου πολλαὶ περιφέρονται βίβλοι διακυκῶσαι τὸ πᾶν καὶ διαθορυβοῦσαι τὰς ἐκκλησίας. εἶτα πῶς ἡμεῖς
8 ἀφανίσομεν τὰ κατ' αὐτοῦ κἂν γοῦν ἔσθ' ὅτε βραχεῖαν τὴν ὄνησιν ἐμποιοῦντα τισί; συνορᾶι τοίνυν ἡ σὴ πανσύνετος τελειότης ὅτι πρᾶγμα ζητοῦσιν ἀμήχανον καὶ τοσοῦτον ἀφεστήκασι τοῦ κατευνάζειν βούλεσθαι τὴν μεταξὺ κειμένην διχόνοιαν, ὥστε καὶ εἰς ἀρχὰς ἀνατείνειν αὐτὴν ἀκαταλήκτου φιλονεικίας. διὰ τί γὰρ μᾶλλον ἐν τῆι Ἐφεσίων μητροπόλει ἀφιγμένοι οὐ γεγόνασι σύμψηφοι τῆι ἁγίαι συνόδωι κατὰ τοῦ τοσαῦτα καὶ τοιαῦτα δυσσεβῶς δυσφημήσαντος; εἰ γὰρ καὶ ὑστέρησαν βραχύ, τί τὸ κωλῦον ἦν ἐντυχόντας τοῖς πεπραγμένοις ὑπομνήμασι πληροφορηθῆναι μὲν ὅτι γεγόνασιν ἐνθέσμως, συναινέσαι δέ, ὡς ἔφην, ὀρθῆι καὶ ἀνεπιπλήκτωι τῆι παρὰ πάντων ψήφωι; ἀλλ' ἐκ τῶν ἐναντίων οὔτε θεὸν ἐννοήσαντες οὔτε τὸν ζῆλον τῶν συνειλεγμένων (οὐ γὰρ περὶ κοινοῦ τινος πράγματος ὁ λόγος ἦν, ἀλλὰ περὶ πίστεως δι' ἧς σέσωκε τὴν οἰκουμένην ὁ θεὸς καὶ πατὴρ ἐν Χριστῶι), πᾶσαν ὠμότητα καὶ πάντα μισαδελφίας τρόπον εἰς ἡμᾶς ἐνεδείξαντο, τοῦτο μὲν τὴν ἁγίαν καὶ οἰκουμενικὴν σύνοδον ἀκοινωνησίαι περιυβρίσαντες καὶ τοῦτο ἀκρίτως, τοῦτο δὲ καὶ οἷον ἀνημέρωι δεξιᾶι τὸ τῆς ἀγριότητος κατωθήσαντες ξίφος ἐμοῦ τε καὶ τοῦ εὐλαβεστάτου ἐπισκόπου Μέμνονος. ὑποκείσθω γὰρ ὅτι κατ' ἀλήθειαν καὶ παρῆλθέ τι τῶν εἰς ὀρθότητα δογμάτων ἡμᾶς ἢ καθ' ἑτέρους τρόπους ἔνοχοι τισὶ γεγόναμεν τῶν πταισμάτων· οὐκ ἐχρῆν ἀξιωθῆναι λόγου; συντυχίας; μέμψεως; καίτοι Νεστορίου τριετῆ δαπανήσαντος χρόνον ἐν τῶι δυσφημεῖν πάντες ἡνεσχόμεθα, καὶ ἡ σὴ δὲ μεθ' ἡμῶν ὁσιότης καὶ πάντες συνεβουλεύσαμεν ἀποσχέσθαι μὲν αὐτὸν ἐκείνων, μεταποιεῖσθαι ⟨δὲ⟩ μᾶλλον τῶν εἰς ὀρθότητα καὶ ἀλήθειαν ὁρώντων δογμάτων. ἐμμείναντα δὲ καὶ τὰ ἔτι πολλῶι χείρονα τῆς Χριστοῦ δόξης καταφλυαρήσαντα καὶ ἐν αὐτῆι τῆι Ἐφεσίων μητροπόλει, λοιπὸν ὡς ἀνίατον
4 ἐσχηκότα τὴν νόσον ἡ ἁγία σύνοδος μετέστησε τῆς ἱερωσύνης. βούλομαι δέ τι τὴν σὴν ὁσιότητα χρησίμως εἰς τὸ παρὸν ὑπομνῆσαι. ὅτε γὰρ κατὰ τὴν μεγάλην Κωνσταντινούπολιν ἡ ἁγία ὑμῶν σύνοδος συνεκροτήθη, Ἰωάννου τὸ τηνικάδε κατηγορουμένου, εἶτα πέπρακτο τὰ ἐπ' αὐτῶι παρὰ πολλῶν ὑπομνήματα, μελλούσης ἐκφέρεσθαι τῆς κατ' αὐτοῦ ψήφου, κἀγὼ ἐτύγχανον τῶν ἑστηκότων εἷς, οἶδα τῆς σῆς ὁσιότητος ἀκούσας τῆι ἁγίαι συνόδωι λεγούσης ὅτι εἰ ἤιδειν ὅτι συγγνωσθεὶς Ἰωάννης ἀμείνων ἑαυτοῦ γενήσεται καὶ τῆς ἐνούσης αὐτῶι δυστροπίας ἀποστήσεται; πάντας ἂν ὑμᾶς παρεκάλεσα ὑπὲρ αὐτοῦ. τεθαύμασται δὲ καὶ ἐπὶ τούτωι πάλιν ἡ σὴ ὁσιότης ὡς εἰποῦσα τὸ ἀληθές. τί τοίνυν ἔδει τὴν ἁγίαν ποιῆσαι σύνοδον, ἀμετανόητον εὑροῦσαν καὶ οὕτως ἐνστατικὸν τὸν τῆι ὀρθῆι πίστει
5 μαχόμενον; ἐπειδὴ δέ φασιν ὅτι χρὴ μόνωι συνθέσθαι τῶι συμβόλωι ἤτοι τῆι ἐκθέσει τῆς πίστεως τῶν τιη, κἀγὼ πρὸς τοῦτο ἐρῶ ὅτι σκοπὸς γέγονεν εἷς τῆι ἁγίαι καὶ οἰκουμενικῆι συνόδωι τῆι συναχθείσηι κατὰ τὴν Ἐφεσίων μητρόπολιν τοῦ στῆσαι τὸ σύμβολον, ὥστε καὶ πάντας ὁμολογεῖν τε καὶ πιστεύειν οὕτω καὶ διδάσκειν, μήτε προστεθέντος τινὸς μήτε μὴν ὑφηιρημένου. οὐ γὰρ ἔστιν ἐπ' αὐτῶι προσθεῖναι καὶ ἀπ' αὐτοῦ οὐκ ἔστιν ἀφελεῖν· διὰ γάρτοι τοῦτο καὶ Νεστορίου κατεψηφίσατο ὡς μὴ τηρήσαντος αὐτό, παρα-

---

ΑΛ

4 εἰ Λ om. A 14 τοιαῦτα καὶ τοσαῦτα Λ 18 τὸν — συνειλεγμένων A *causam pro qua congregati sunt* Λ 27 δὲ Λ om. A

κεκινηκότος δὲ μᾶλλον καὶ παρασημήναντος καὶ κατ' οὐδένα μὲν τρόπον ἀκολουθήσαντος αὐτῶι, ἕτερα δέ τινα καὶ ξένα τῶν τῆς ἐκκλησίας δογμάτων ταῖς τῶν λαῶν ἀκοαῖς ἀνοσίως ἐνσπείραντος. πέπρακται τοίνυν ἐν τῆι Ἐφέσωι περὶ τούτου ἰδικὸν ὑπόμνημα, βεβαιούσης τῆς συνόδου τὴν ἐκτεθεῖσαν πίστιν παρὰ τῶν ἁγίων ἡμῶν πατέρων τῶν ἐν Νικαίαι συνειλεγμένων κατὰ καιρούς, καὶ πέπομφα τοῦτο πρὸς εὐμάθειαν τῆι σῆι ὁσιότητι· ὅτι γὰρ ὀρθῶς καὶ ἀνεπιπλήκτως ἔχει, διδάξει σαφῶς ἡ ἀνάγνωσις. παρεθήκαμεν δὲ καὶ τῶν ἁγίων καὶ μακαρίων πατέρων χρήσεις, ἵν' εἰδεῖεν οἱ ἐντυγχάνοντες τίνα τρόπον ἐκεῖνοι νενοήκασι τὸ τῆς πίστεως σύμβολον, οἳ καὶ ἡμῶν αὐτῶν γεγόνασι μυσταγωγοί. ἤδη τοίνυν τούτου γεγονότος παρὰ πάντων, διὰ τί μὴ μᾶλλον συναινοῦσι καὶ αὐτοί; ἐὰν γὰρ τὸ πᾶσιν ἀρέσαν παρὰ πάντων κρατύνηται, κρατήσει πάντως ἡ εἰρήνη, ὑπ' οὐδενὸς τὸ σύμπαν
6 ἀντιλεγομένη. οὐκοῦν εἰ καὶ πλεῖστα καὶ παγχάλεπα ⟨τὰ⟩ παρ' αὐτῶν εἰς ἡμᾶς γεγονότα καὶ πᾶν εἶδος ἀπανθρωπίας ἐπεχειρήθη, ἀλλ' ἐννοοῦντες τὸ τῶι θεῶι δοκοῦν καὶ ἀρέσκον τῶι εὐσεβεστάτωι καὶ φιλοχρίστωι βασιλεῖ, καὶ αὐτὸ δὲ τὸ τῆς ἐκκλησίας χρήσιμον καὶ τὰς τῆς σῆς ὁσιότητος συμβουλὰς ἁπάσης αἰδοῦς ἀξιοῦντες, εἰκότως ἀφίεμεν ὡς ἀδελφοῖς τὰ εἰς ἡμᾶς, ζητοῦμεν δὲ μᾶλλον ὃ πᾶσι δοκεῖ καλῶς καὶ ὀρθῶς ἔχειν, συναρέσκει δὲ καὶ τῶι θεοφιλεστάτωι βασιλεῖ. συναινείτωσαν τῆι καθαιρέσει Νεστορίου, ἀναθεματίζοντες αὐτοῦ τὰς δυσφημίας καὶ τὰ βέβηλα δόγματα, καὶ λοιπὸν ἔτι τὸ κωλῦον οὐδὲν ἐκ μέσου γενέσθαι τὴν διχόνοιαν· ἀπολήψονται γὰρ ἀλλήλας αἱ ἐκκλησίαι, Χριστοῦ τὴν εἰρήνην αὐταῖς βραβεύοντος.

7 Μὴ γὰρ δὴ τινὲς ἁπλῶς ἀλλοκότους ἐμείτωσαν καθ' ἡμῶν λόγους, τὰ Ἀπολιναρίου με φρονεῖν ἐπιφημίζοντες ἢ γοῦν τὰ Ἀρείου ἢ Εὐνομίου, καθὰ γεγράφασιν ἐν τῆι Ἐφεσίων. V 151, 11 ἐγὼ γὰρ διὰ τὴν τοῦ σωτῆρος χάριν ἀεί γέγονα καὶ ὀρθόδοξος, ἐτράφην δὲ καὶ εἰς χεῖρας ὀρθοδόξου πατρὸς καὶ οὔτε τὰ Ἀπολιναρίου πεφρόνηκα πώποτε, μὴ γένοιτο, οὔτε τὰ Ἀρείου ἢ Εὐνομίου οὔτε μὴν τὰ ἑτέρου τινὸς τῶν αἱρετικῶν, ἀναθεματίζω δὲ μᾶλλον αὐτούς. οὐ γὰρ ἄψυχον λέγω τὸ σῶμα Χριστοῦ, ὁμολογῶ δὲ ὅτι ἐψύχωτο ψυχῆι λογικῆι, καὶ οὔτε σύγχυσιν ἢ φυρμὸν ἢ ἀνάκρασιν γεγενῆσθαι διισχυρίζομαι, καθά φασί τινες, ἄτρεπτον δὲ καὶ ἀναλλοίωτον ὑπάρχοντα κατὰ φύσιν τὸν τοῦ θεοῦ λόγον ἐπίσταμαι καὶ παντὸς ἀνεπίδεκτον πάθους κατὰ τὴν ἰδίαν φύσιν. ἀπαθὲς γὰρ τὸ θεῖον καὶ τροπῆς ἀποσκίασμα Iac. 1, 17 παθεῖν οὐκ ἀνέχεται, ἐρήρεισται δὲ μᾶλλον ἐν ἰδίοις ἀγαθοῖς, ἔχει δὲ καὶ ἀκράδαντον τὴν ἐφ' οἷς ἐστι, διαμονήν. ἕνα δὲ ὄντα Χριστὸν καὶ κύριον τὸν μονογενῆ τοῦ θεοῦ υἱόν,
τοῦτον λέγω παθεῖν ὑπὲρ ἡμῶν σαρκὶ κατὰ τὰς γραφὰς ἤτοι κατὰ τὴν τοῦ μακαρίου Πέ- 1 Petr. 4, 1
8 τρου φωνήν. ἡ δέ γε τῶν κεφαλαίων δύναμις κατὰ τῶν Νεστορίου δογμάτων γέγραπται μόνων· ἃ γὰρ ἐκεῖνος εἴρηκέ τε καὶ πεφρόνηκεν οὐκ ὀρθῶς, ταῦτα ἐκβάλλει. οἱ δὲ ἀναθεματίζοντες καὶ ἀρνούμενοι τὴν κακοδοξίαν αὐτοῦ παύσονται τοῖς παρ' ἡμῶν ἐπιπλήττοντες· ὄψονται γὰρ τὰς τῶν κεφαλαίων ἐννοίας κατὰ μόνων τῶν ἐκείνου χωρούσας δυσφημιῶν. ἀποδοθείσης δὲ τῆς κοινωνίας καὶ γενομένης εἰρήνης μεταξὺ τῶν ἐκκλησιῶν, ὅτε καὶ γράφειν ἀδεῶς ἐξέσται τοῖς μὲν αὐτόθι πρὸς ἡμᾶς, ἡμῖν δὲ πάλιν αὐτοῖς, τότε καὶ μάλα ῥαιδίως, εἴ τι περ ὅλως οὐ νενόηται τισὶν ὀρθῶς τῶν παρ' ἡμῶν γεγραμμένων, τοῦτο καταλευκανθήσεται. πληροφορήσομεν γὰρ σὺν θεῶι οὐχ ὡς ἔτι μαχομένους, ἀλλ' ὡς ἀδελφούς, ὅτι

20—32 Fcyr 20 ἐκ τῆς πρὸς Ἀκάκιον τὸν Βεροίας δευτέρας ἐπιστολῆς, ἧς ἡ ἀρχή· Πρέπουσαν ἑαυτῆι φροντίδα καὶ νῦν ἡ σὴ ὁσιότης ἀνεδέξατο· μὴ γὰρ — φωνήν 32. 36. 39 Theodoret. ep. 112 καὶ αὐτὸς δὲ ὁ μακαρίτης Κύριλλος γράφων τῶι μακαρίωι Ἀκακίωι τὸν τῶν κεφαλαίων τούτων παρεδήλωσε σκοπὸν εἰρηκὼς ὅτι ἐκεῖνα πρός τὰς τοῦδε καινοτομίας ἐγράψαμεν καὶ ὅτι τῆς εἰρήνης γενομένης ἐκλευκαυθήσεται

ΑΛ

11 τὰ addidi 20 ἀλλοκότους Fcyr ἀλλοκότωσ A ἀλλοκότων Λ καθ' ἡμῶν ἐμείτωσαν Fcyr 21 με om. Fcyr ἢ² ΑΛ καὶ Fcyr

πάντα ὀρθῶς ἔχει, καὶ ὧν γεγράφαμεν ἡμεῖς τοῖς Νεστορίου μαχόμενοι δόγμασιν, ἀπᾶιδον οὐδὲν ὅλως ἐστὶν ἢ ταῖς ἁγίαις καὶ θεοπνεύστοις γραφαῖς ἢ γοῦν τῶι ἐκτεθέντι τῆς πίστεως ὅρωι παρὰ τῶν ἁγίων πατέρων, τῶν ἐν Νικαίαι φημὶ συνεδρευσάντων κατὰ καιρούς. ἡμεῖς τοίνυν εἰς εἰρήνην ἔχομεν τὸν σκοπὸν ἠὐτρεπίσμεθά τε κατακολουθεῖν τοῖς ὁρισθεῖσι παρὰ τοῦ εὐσεβεστάτου καὶ θεοφιλεστάτου βασιλέως, οὕτω δηλονότι ὡς τῆι Νεστορίου καθαιρέσει συναινεῖν ἐθέλουσι καὶ ἀναθεματίζουσιν αὐτοῦ τὰ μιαρὰ δόγματα κοινωνῆσαί τε
Eph. 2, 14 καὶ εἰς ὁμόνοιαν ἐλθεῖν, Χριστοῦ πρὸς τοῦτο συνείροντος· αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν
9 κατὰ τὰς γραφάς. τῶν δὲ λεγόντων ἐκβάλλεσθαι δεῖν ἃ κατὰ τῶν βεβήλων Νεστορίου δογμάτων ἐγράψαμεν, ἀνάσχοιτο ἂν οὐδείς· ἐναργέστατα γὰρ ἡμᾶς ἀγλώττους εἶναι βούλονται ταῖς ἐκείνου δυσφημίαις τὴν παρὰ πάντων πραγματευόμενοι σιωπήν. ἢ τάχα ποτὲ καὶ ἡμᾶς ἀναπείσειν οἴονται τὰ ἐκείνου φρονεῖν, εἰ τὰ ἑαυτῶν ἀρνούμεθα ὀρθῶς τε καὶ ἀμωμήτως ἔχοντα καὶ ταῖς ἐκείνου καινοφωνίαις ἀντανιστάμενα; εἰ δὲ τινὲς τῶν αὐτόθι κατὰ τὸ αὐτοῖς δοκοῦν διασύρουσι τινά, παρατρέποντες αὐτῶν ἐφ' ἃ μὴ δεῖ, τὰς ἐννοίας, ἀλλ' ἴστωσαν ὅτι παρὰ πάντας τοὺς κατὰ τὴν οἰκουμένην ὄντας θεοσεβεστάτους ἐπισκόπους τοῦτο δρῶντες ἁλίσκονται. συνήινεσάν τε γὰρ καὶ συναινοῦσιν ἅπαντες τοῖς παρ' ἡμῶν ὡς ὀρθῶς ἔχουσί τε καὶ εἰρημένοις, καίτοι τῶν θείων δογμάτων ἀκριβεῖς ὄντες
10 ἐρευνηταί. κἀκεῖνο δὲ πρὸς τούτοις ἡ σὴ θεοσέβεια ἐννοείτω ὅτι χρὴ τὴν εἰρήνην οὕτω συντεθῆναι, ὥστε μηδενὶ ἀπαρέσαι τῶν κατὰ πᾶσαν τὴν Ῥωμαίων ἀρχὴν θεοφιλεστάτων ἐπισκόπων, ἵνα καὶ οἰκουμενικὴ γένηται καὶ μὴ σχίσμα συνάψαντες ἕν ἕτερα πολλὰ ποιήσωμεν. οὐ γὰρ συναινέσουσι πάντως, εἴ τι γένοιτο παρὰ τὸ εἰκός, καὶ μάλιστα τούτου φροντίσαι χρή. πάντων γὰρ ἐνστάντων ἐν τῆι Ἐφέσωι καὶ οὐκ ἀνασχομένων κοινωνῆσαι τοῖς ἐκ τῆς Ἀνατολῆς, προτεινόντων δὲ ὅτι οὐ πρότερον ἔσται τοῦτο, εἰ μὴ καταδέξαιντο τὴν καθαίρεσιν Νεστορίου καὶ ἀναθεματίσουσιν αὐτοῦ τὰ δόγματα μεθ' ἡμῶν, πῶς τούτου μὴ γεγονότος τὰ τῆς κοινωνίας στήσεται; τίς δὲ ἡμῶν οὐ καταβοήσεται τὰς ἑαυτῶν προδεδωκότων ψυχὰς καὶ ἀρνησαμένων τὴν ὀρθὴν πίστιν καὶ ἃ πᾶσιν ἤρεσεν, ἡμῶν ἐκβαλόντων ὡς οὐκ ὀρθῶς εἰρημένα; ἢ οὐ δεῖ πάντως ἡμᾶς γενομένης εἰρήνης ἐπιστεῖλαι τοῖς ἁπανταχοῦ ἐπισημοτέροις τῶν ἄλλων θεοσεβεστάτων ἐπισκόπων, ὥστε καὶ αὐτοὺς ὁμογνωμονήσαντας ἀποδοῦναι τὴν κοινωνίαν αὐτοῖς; εἶτα τίς ὁ ἀναπείθων αὐτούς, εἴ τι γένοιτο παρὰ τὸ πᾶσι δοκοῦν καὶ τὴν εἰς τοῦτο παρὰ πάντων ἔνστασιν εἰς τὸ χρῆναι καθηιρημένον ἔχειν Νεστόριον ἀναθεματίσαι τε τὴν ἐκτοπωτάτην αὐτοῦ διδασκαλίαν, μᾶλλον
11 δὲ φλυαρίαν κατὰ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ; λυπουμένους δὲ σφόδρα καὶ ἀφορήτως ἔχοντας διὰ τὰ κατ' ἐμοῦ πεπραγμένα παρὰ τῶν ἐκ τῆς Ἀνατολῆς τούς τε ἀπὸ τοῦ κλήρου τῆς Ἀλεξανδρείας, καὶ πάντας δὲ τοὺς κατὰ τὴν Αἰγυπτιακὴν διοίκησιν θεοσεβεστάτους ἐπισκόπους κατεπράυνεν οὕτως ὁ κύριός μου ὁ θαυμασιώτατος τριβοῦνος Ἀριστόλαος, ὥστε μοι καὶ λειοτάτην ἀπεργάσασθαι τὴν εἰς τὴν εἰρήνην ὁδὸν καὶ εἰς τοῦτο γνώμης ἐλθεῖν ἅπαντας. καὶ πλείστην ὅσην ὁμολογῶ τῆι θαυμασιότητι αὐτοῦ τὴν χάριν, συνεργασαμένωι πρὸς ἅπαντα καὶ τοῖς καθήκουσι λογισμοῖς ἀφανίσαντι τὸ λυποῦν.

Πρόσειπε τὴν παρὰ σοὶ ἀδελφότητα· σὲ ἡ σὺν ἡμῖν ἐν κυρίωι προσαγορεύει.

ΑΛ

12 καινοφωνίαις Λ κενοφωνίαισ A 20 συναινέσουσι Λ συναινοῦσι A 25 ἃ — ἤρεσεν] *quae recte dicta omnibus placuerunt* Λ

108 Latina uersio extat in Collectione Casinensi 169

Ἐπιστολὴ Ἰωάννου ἐπισκόπου Ἀντιοχείας πρὸς Κύριλλον ἀρχιεπίσκοπον Ἀλεξανδρείας περὶ τῆς συμβάσεως διὰ Παύλου πεμφθεῖσα τοῦ Ἐμίσης καὶ μὴ προσδεχθεῖσα παρὰ Κυρίλλου

1 Ὁ σωτὴρ καὶ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς μυρία μὲν καὶ ἄλλα παραδέδωκε τοῖς ἑαυτοῦ μαθηταῖς σωτήρια παραγγέλματα, δύο δὲ ταῦτα ἐναντία μὲν ἐκ διαμέτρου δοκοῦντα εἶναι ἀλλήλοις, πᾶσαν δὲ συμφωνίαν πρὸς ἄλληλα διασώιζοντα, εἰρήνην τε φημὶ καὶ πόλεμον, πόλεμον μὲν τὸν ὑπὲρ αὐτοῦ καὶ τῆς εἰς αὐτὸν εὐσεβοῦς ὁμολογίας, εἰρήνην δὲ τὴν παρ' αὐτοῦ πρὸς τοὺς αὐτοῦ, καθ' ἣν ἡ συνάφεια τῶν πανταχοῦ γῆς πιστῶν συνίσταται, μιᾶς ἐκκλησίας νοουμένης τῶν ἐν Ἕλλησι καὶ βαρβάροις πανταχοῦ τῆς οἰκουμένης τὸ εὐσεβὲς φρόνημα διασωιζόντων. αὐταῖς δὲ αὐτοῦ χρηστέον μᾶλλον ταῖς παναγίαις φωναῖς, ἐν αἷς καὶ τὸν πόλεμον ἐμβάλλει καὶ τὴν ἑαυτοῦ δίδωσιν ἡμῖν εἰρήνην· οὐκ ἦλθον γάρ Mt. 10, 34
φησιν βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν, ἀλλὰ μάχαιραν καὶ εἰρήνην τὴν ἐμὴν Ioh. 14, 27
δίδωμι ὑμῖν. ὅταν μὲν οὖν διαστασιάζηται ἡ εἰς Χριστὸν εὐσεβὴς ὁμολογία, βελτίων ἐνταῦθα ὁ πόλεμος καὶ τοὺς χρωμένους σώιζειν οἶδεν, οὐ τὰ ἑαυτῶν ἀλλὰ τὰ τοῦ δεσπότου διεκδικοῦντας· ὅταν δὲ ἡ εὐσεβὴς εἰς αὐτὸν ἔρρωται πίστις, τότε ἡ τῶν ὁμοφρόνων εἰρήνη
2 τοῦ παντὸς ἐκκλησιαστικοῦ σώματός ἐστιν ὑγίεια. οὐχ ἁπλῶς μοι ταῦτα εἴρηται οὐδ' ἵνα φιλοτιμήσωμαι (πόρρω γὰρ τοῦτο τοῦ ἐμοῦ ἤθους ἐστίν), ἀλλ' ἵνα δείξω ὅτι ἡ μὲν διάστασις ἡ πρὸς σέ, θεοφιλέστατε ἀδελφέ, ἐν καιρῶι γεγένηται, ἀληθείας μᾶλλον, οὐ σωματικοῦ τινος ἕνεκα οὐδ' ἔχθρας ἢ μικροψυχίας ἡγησαμένης (ἦν γάρ τις ἡμῖν [ἡ] πρὸς ἀλλήλους καὶ πλείων τῶν πρὸ ἡμῶν σχέσις τε καὶ διάθεσις, ἣν ἡ κατὰ πρόσωπον συντυχία οὐκ ἐφύτευσεν, ἀλλ' ἡ τῶν γραμμάτων συνέχεια ὡς κάλλιστά τε καὶ κράτιστα ἱκανῶς συνεκρότει), ἀλλ' αἰτίαν ἔλαβε τὴν τῶν κεφαλαίων ἐκείνων ἐκπομπήν, ἣν ὄφελος ἦν μὴ γενέσθαι. πιστεῦσαι γάρ μοι χρή σου τὴν φιλοθείαν ὡς τοσοῦτον ἡμᾶς ἐξένισεν, ὥστε οὐδὲ ἐνομίσαμεν ταῦτα σὰ εἶναι παρὰ τὴν ἀρχήν (καὶ πάντως που ἔγνω τοῦτο ἡ σὴ ὁσιότης Coll. Cas.
ἐξ ἐπιστολῶν ἡμετέρων τῶν πρός τινας γεγραμμένων), ἀλλὰ τινὸς τῶν οὐ τὰ ἡμέτερα, 79, 3
τουτέστι τὰ τῆς ἐκκλησίας πεφρονηκότων. καὶ τοῦτο εὐθὺς ὑπειλήφαμεν, πάνυ ἐπ' αὐ-
3 τοῖς ταραχθέντες. ὧν κεφαλαίων οὐ μικρὰ ἴασις γεγένηται, καὶ ἐλπίδα δὲ ἔτι μᾶλλον ἡμῖν παρέχει τῆς τελείας ἰάσεως τὰ πρόσφατον παρὰ σοῦ γραφέντα, θεοσεβέστατε, ἅτινα ep. 107
ἀπέσταλται μὲν πρὸς τὸν κύριόν μου τὸν θεοσεβέστατον καὶ κοινὸν πατέρα Ἀκάκιον, ηὔφρανε δὲ πάντας ὅσοι τῆς ἐκκλησιαστικῆς εἰρήνης εἰσὶν ἐρασταί, ἐφ' οἷς ὑπερφυῶς καὶ ἡμεῖς ἥσθημεν, εἰ καὶ συνέζευκτο πολλαῖς ταῖς καθ' ἡμῶν καὶ ἀδελφικαῖς κατηγορίαις. παρεῖχε γὰρ ἡμῖν πληροφορίαν τινὰ οὐ μικρὰν καὶ δεῖται οὐ πολλῆς τῆς προσθήκης, ἀλλ' ἣν αὐτὸς ὑπέσχου ποιήσασθαι, ἐκεῖνο φήσας ὅτι τῆς εἰρήνης γενομένης ἔτι μᾶλλον ἐκλευκανθήσεται p. 149, 36-39
τὰ τῆς πληροφορίας. πλέον δὲ ἡμᾶς κἀκεῖνο ηὔφρανε μαθόντας ὡς καὶ τὴν τοῦ μακαρίου καὶ κοινοῦ πατρὸς Ἀθανασίου ἐπιστολὴν περιχαρῶς ἐδέξω, ἱκανὴν οὖσαν τοῖς πᾶσι λῦσαι τὰς ἀμφισβητήσεις τῶι μὴ μόνον ὀρθῶς περιέχειν, ἀλλὰ καὶ ἐκ τῆς ἐκείνου ἀξιοπιστίας περιελεῖν τούτων τὴν σύστασιν. ἔστω γὰρ ἡμῖν οὗτος ἑρμηνεὺς ἀξιόχρεως τῆς ἐν Νικαίαι παρὰ τῶν ἁγίων πατέρων ἐκτεθείσης πίστεως διὰ τὸ εἶναι τινὰς τῶν τε ἐν τῆι ἐκκλησίαι καὶ τῶν ἔξω τῆς ἐκκλησίας, οἳ προβάλλονται μὲν αὐτὴν ὡς μέγα τι τοῖς ἀνθρώποις φέρουσαν ὄφελος, παρατρέπουσι δὲ τινὰ τῶν ἐν αὐτῆι πρὸς τὸν ἴδιον νοῦν καὶ τὸ

1 cf. quae ad ep. 105 ex Theodoreti ep. 112 adnotaui

AJΛ

3 ἐμέσης J 5 σωτηρίας J 8 αὐτοῦ AJ αὐτούς Λ 19 ἡ deleui 21 γραμμάτων AJ πραγμάτων Λ 24 οὔτε AJ 29 θεοφιλέστατον Λ 37 περιελεῖν scripsi secundum Λ ἐλεῖν AJ

ἑκάστωι ἁπλῶς παριστάμενον· ἀρκεῖ γὰρ τοσοῦτον εἰπεῖν. τούτων τοίγαροῦν ἠργμένων καλῶς, ἃ μὲν ἦν τῆς γενομένης ἡμῖν πρὸς ἀλλήλους διαφορᾶς, τὸ λοιπὸν πεπαύσθω, κρατείτω δὲ τὰ τῆς εἰρήνης, καμνόντων τῶν πανταχοῦ τῆς οἰκουμένης λαῶν τοῖς διαφόροις δοξάσμασι καὶ τῆιδε κἀκεῖσε περιελκομένων, οὐκ εἰδότων πολλῶν τῶν περιελκόντων αὐτοὺς
1 Tim. 1, 7 οὔτε ἃ λέγουσιν οὔτε περὶ τίνων διαβεβαιοῦνται. πλεονάζουσι γὰρ πανταχοῦ αἱ τῶν ἀναθεματισμῶν νιφάδες, ἀκμάζουσι δὲ καὶ λοιδορίαι ἐπινοούμεναι ἀδελφοῖς κατὰ ἀδελφῶν, ἱερεῦσι κατὰ ἱερέων, λαοῖς κατὰ λαῶν. οἱ μὲν γὰρ Ἰουδαίους τοὺς Χριστιανοὺς ἀποκαλοῦσι, καὶ ἔστιν Ἀπολιναρίου καὶ αὕτη κατὰ τῆς καθόλου ἐκκλησίας ἀρχαία λοιδορία, ἣν μετὰ τοῦ φρονήματος οἱ πολλοὶ παρειλήφασιν· ἐκεῖνος γὰρ ὁ δυσσεβὴς καὶ τοῦ θεοῦ ἐχθρὸς τοὺς ἀντιτεταγμένους τῆι ἑαυτοῦ πλάνηι, τοὺς τῆς ἐκκλησίας φημὶ πατέρας, Ἰουδαίους ἀποκαλεῖ καὶ οὐκ αἰσχύνεται. οἱ δὲ ἄλλοι τούτους Ἕλληνας καὶ Ἑλλήνων χείρους προσαγορεύουσι, κοινωνοὺς αὐτοῖς πολλάκις τῶν ἀρρήτων γεγενημένους μυστηρίων. καὶ οὐδὲν ἄλλο ἔστιν ὁρᾶν πανταχοῦ τῆς γῆς γινόμενον ἢ ταραχὴν καὶ ἀκήρυκτον πόλεμον καὶ ὀργὴν ἄσχετον καὶ ὠμότητα νικῶσαν πᾶσαν βαρβαρικὴν ἀπανθρωπίαν, καὶ ὁ πάσχων ἐπὶ
Amos 6, 6 τῆι συντριβῆι τοῦ Ἰωσὴφ οὐκ ἔστιν· ἀλλήλους δάκνομεν καὶ κατεσθίομεν καὶ ὑπ' ἀλλήλων λοιπὸν ἀνηλώμεθα, ἡδονὴν παρέχοντες τοῖς τῆς εὐσεβείας ἐχθροῖς. καὶ ταῦτα λέγω οὐ τοὺς μὲν αἰτιώμενος, τοὺς δὲ ἐξαιρῶν τῆς αἰτίας, ἀλλ' ἐπιγράφων τῆι διὰ τὰς κοινὰς ἁμαρτίας γενομένηι συγχύσει. προκόπτοντος γὰρ τοῦ εὐαγγελίου καὶ τῶν Ἑλλήνων καὶ αἱρετικῶν μειουμένων, ἀναγκαίως ἡμῖν δυσμεναίνουσιν οἱ τῆς εὐσεβείας ἐχθροί, οἳ τῆς ἐνεστώσης ταραχῆς τοῦ καιροῦ δραξάμενοι πάντα ἀδεῶς διέφθειραν· ὅθεν αἰφνίδιον τὰ μὲν σεμνὰ τοῦ
Ps. 82, 3. 4 Χριστιανισμοῦ πεπάτηται, οἱ δὲ ἐχθροὶ τοῦ θεοῦ ἐξαίφνης ἤχησαν καὶ ἦραν κεφαλὴν
5 καὶ ἐπὶ τὸν λαὸν τοῦ θεοῦ κατεπανουργεύσαντο γνώμην. τούτων πάντων ἕνεκα τὸν μὲν ἐμὸν ἀδελφόν, τῆς δὲ σῆς φιλοθείας ἐραστήν, τὸν κύριον μου τὸν ὁσιώτατον ἐπίσκοπον Παῦλον ἐγώ τε καὶ ὁ κύριός μου ὁ ὁσιώτατος ἐπίσκοπος Ἀκάκιος προετρέψαμεν, αὐτὸς δὲ ἥρπασε τὸ δραμεῖν πρὸς τὴν σὴν ὁσιότητα, ἀνὴρ ἀεὶ ἐν τοῖς ἐκκλησιαστικοῖς ὑπάρχων ἐπίσημος καὶ εἰδὼς πράγμασιν εὖ καὶ καλῶς χρῆσθαι καὶ κεκτημένος τὴν πρὸς θεὸν εὐλάβειαν, ἣι χρώμενος πολλὰ πολλάκις τῶι κοινῶι συνεβάλετο ὑπὸ θεοῦ ὁδηγούμενος, μᾶλλον δὲ καὶ συμβαλεῖται διὰ τὴν ἐνυπάρχουσαν αὐτῶι ἔμφυτον προθυμίαν. τοῦτον ἡδέως ἰδεῖν καταξίωσον καὶ θαρρῆσαι ὡσανεὶ καὶ ἐμοὶ καὶ θαρρηθῆναι παρ' αὐτοῦ ὡς παρ' ἐμοῦ καὶ σκοπῆσαι σὺν αὐτῶι τὰ τὴν οἰκουμένην ἀνορθῶσαι δυνάμενα. μὴ γὰρ δὴ τοσοῦτος ἔστω σου τῆι φιλοθείαι ὁ λόγος μήτε ἐμοῦ μήτε σοῦ αὐτοῦ, ἀλλὰ τοῦ ὅπως τῶν σκανδάλων περιαιρεθέντων τὴν ἐκκλησίαν τοῦ Χριστοῦ εἰς ἑαυτὴν προσήκει θᾶττον ἐπανελθεῖν, ὅπως τούτων γενομένων καὶ τὰ τῶι εὐσεβεστάτωι καὶ φιλοχρίστωι βασιλεῖ παραστάντα περὶ τῆς ἐκκλησιαστικῆς εἰρήνης προβῆι.

109 = V 122 Λίβελλος ἤγουν ὁμολογία ἐπιδοθεῖσα τῶι ἁγιωτάτωι Κυρίλλωι παρὰ Παύλου ἐπισκόπου Ἐμίσης

110 = V 123 Ἐπιστολὴ τοῦ μακαρίου Ἰωάννου ἐπισκόπου Ἀντιοχείας πρὸς Κύριλλον τὸν ἁγιώτατον

111 = V 124 Ὁμιλία Παύλου ἐπισκόπου Ἐμίσης λεχθεῖσα ἐν τῆι μεγάληι ἐκκλησίαι Ἀλεξανδρείας καθημένου τοῦ ἁγιωτάτου ἐπισκόπου Κυρίλλου εἰς τὴν γέννησιν τοῦ Χριστοῦ καὶ ὅτι θεοτόκος ἡ ἁγία παρθένος Μαρία καὶ ὅτι οὐ δύο υἱοὺς λέγομεν, ἀλλὰ ἕνα υἱὸν Ἰησοῦν τὸν Χριστόν, καὶ εἰς τὸν ἀρχιεπίσκοπον Κύριλλον ἐγκώμιον

112 = V 125 Τοῦ αὐτοῦ εὐλαβεστάτου ἐπισκόπου Παύλου ὁμιλία λεχθεῖσα ἐν τῆι αὐτῆι μεγάληι ἐκκλησίαι εἰς τὴν ἐνανθρώπησιν τοῦ σωτῆρος καὶ εἰς τὸν ἀρχιεπίσκοπον Κύριλλον

AJΛ

17 αἰτιώμενος Λ αἰνιττόμενοσ AJ

113 = V 126 Ὁμιλία Κυρίλλου τοῦ ἁγιωτάτου ῥηθεῖσα μετὰ τὸ ὁμιλῆσαι τὸν μακάριον Παῦλον τὸν ἐπίσκοπον

114 = V 127 Κυρίλλου τοῦ ἁγιωτάτου πρὸς τὸν μακάριου Ἰωάννην τὸν Ἀντιοχέα ἐπιστολὴ σταλεῖσα διὰ τοῦ εὐλαβεστάτου ἐπισκόπου Παύλου

115 Τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

Κυρίωι μου ἀγαπητῶι ἀδελφῶι καὶ συλλειτουργῶι Ἰωάννηι Κύριλλος ἐν κυρίωι χαίρειν. Εὐφραίνει μὲν λίαν τὸ ἐν μεθέξει γενέσθαι τῶν καλῶν καὶ τοὺς οἵπερ ἂν εἶεν τυχόντες τούτων, λυπεῖ δὲ καὶ σφόδρα ἐν ἴσωι μέτρωι τὸ ἀποστερεῖσθαι δοκεῖν αὐτῶν. τοῦτο ἡμᾶς πεπονθότας ἡ σὴ γινωσκέτω τελειότης· ἥσθην μὲν γὰρ συντυχὼν τῶι εὐλαβεστάτωι καὶ θεοφιλεστάτωι ἀδελφῶι καὶ συλλειτουργῶι Παύλωι καὶ τεθαύμακα τοῦ ἀνδρὸς τὸ εἰς ἅπαν δεξιόν, ἐδήχθην δὲ οὐ μετρίως τῆς Ἀλεξανδρέων ἀπαίροντος. καὶ ἦν μὲν ἀνάγκη καὶ οὐχ ἑκόντα παραχωρεῖν τοῦτο δρᾶν ἐθέλοντι· μεμνήσομαι δὴ οὖν τῆς τε ἡδίστης αὐτοῦ συντυχίας καὶ ἀγάπης καὶ θαυμάζων οὐ πεπαύσομαι τήν τε σὴν ὁσιότητα, ὅτι δὴ τὸν οὕτως εὐδοκιμεῖν εἰωθότα προέτρεψεν ἀφικέσθαι πρὸς ἡμᾶς, καὶ αὐτὸν δὲ τῆς ἀγχινοίας καὶ ὅτι τῶν σῶν ἀγαθῶν θερμοτέρους ἡμᾶς κατέστησεν ἐραστάς.

116 Τοῦ αὐτοῦ ὁμοίως πρὸς τὸν αὐτόν

Κυρίωι μου ἀγαπητῶι ἀδελφῶι καὶ συλλειτουργῶι Ἰωάννηι Κύριλλος ἐν κυρίωι χαίρειν. Πανσύνετος οὖσα ἡ σὴ ὁσιότης καὶ τοὺς τῶν ἐκκλησιαστικῶν εἰδυῖα θεσμούς, ἐννοεῖ που πάντως ὅτι τῶν πραγμάτων τὰ μέν ἐστιν ἐφ' ἡμῖν, τὰ δὲ ἐφ' ἑτέροις καὶ ὅτι ἕκαστος ἡμῶν διοικεῖ τὴν ἑαυτοῦ ἐκκλησίαν καὶ τῆς ἐφ' ἑκάστωι τῶν κινουμένων οἰκονομίας ἀνῆπται τὴν ἐξουσίαν. γεγραφότος τοίνυν τοῦ κυρίου μου τοῦ θεοσεβεστάτου καὶ εὐγηροτάτου Ἀκακίου τοῦ ἐπισκόπου τῆς Βεροίας ⟨τοῖς⟩ ἐν τῆι Κωνσταντινουπόλει ὅτι παρὰ τῆς σῆς ὁσιότητος εἰς τὴν Ἀλεξάνδρειαν ἀπεστάλη ὁ κύριός μου ὁ θεοσεβέστατος ἀδελφὸς καὶ συλλειτουργὸς Παῦλος, καὶ αὐτὸ δὴ τοῦτο καταμηνύσαντος, ἔγραψε πρός με ὁ κύριός μου παραχρῆμα ὁ θεοσεβέστατος καὶ ὁσιώτατος ἐπίσκοπος Μαξιμιανός, πλεῖστα μὲν παρεγγυῶν περὶ τοῦ δεῖν νηφαλίως τὰ τῆς τῶν ἐκκλησιῶν εἰρήνης καταθέσθαι θεμέλια, προσθεὶς δὲ ὅτι καθήιρηνται τινὲς παρά τε αὐτοῦ, καὶ ἑτέρων δὲ πολλῶν παρατυχόντων ἐπισκόπων ἐν τῆι μεγάληι Κωνσταντινουπόλει, καὶ ὀνομαστὶ ἐγγράψας τὰ ὀνόματα, Ἑλλάδιόν τε φημὶ τὸν Ταρσοῦ καὶ Εὐθήριον τὸν Τυάνων καὶ Δωρόθεον τὸν Μαρκιανουπόλεως καὶ Ἱμέριον τὸν Νικομηδείας. εἶτα προσεπήγαγεν ὅτι εἰ ἐφαψαίμην τῆς τοιαύτης ὑποθέσεως καὶ παραλύσαιμι τὴν ἐξενεχθεῖσαν κατ' ἐκείνων ψῆφον, χωλεύσει πάντως τὰ τῆς εἰρήνης, ἐγγὺς δὲ λοιπὸν ἀπειλῆς ἦσαν αἱ φωναὶ καὶ ἀκοινωνησίαν θέσθαι καὶ πλείστην ἀηδίαν μεταξὺ ἡμῶν τε καὶ αὐτοῦ, εἴ τι καινοτομηθείη παρ' ἐμοῦ περὶ ταύτην τὴν ὑπόθεσιν. καὶ καθ' ἕτερον δὲ τρόπον, εἰ δεῖ τὸ ἀληθὲς εἰπεῖν, οὔτε ὑπομνήμασιν ἐνέτυχον τοῖς πεπραγμένοις περὶ αὐτῶν οὔτε ἐπὶ τίσι τὴν τῆς καθαιρέσεως ὑπέμειναν ψῆφον, ἴσμεν ἀκριβῶς, καὶ ἦν ἀναγκαῖον, ἐπισημηναμένου μάλιστα τοῦ αὐτοῦ ὁσιωτάτου ἀνδρός, ἡμᾶς τοῦ πράγματος μὴ ἐφάψασθαι. πολλὰ τοίνυν κέκμηκεν ὁ κύριός μου ὁ θεοσεβέστατος ἐπίσκοπος Παῦλος τοὺς περὶ τούτων πρός με κινῶν λόγους, ἔφην δὲ ταῦτα πρὸς τὴν θεοσέβειαν αὐτοῦ ἃ καὶ νῦν γέγραφα πρὸς τὴν σὴν ὁσιότητα, κἀκεῖνο προσθεὶς ὅτι, σὺν θεῶι φάναι, γενομένης εἰρήνης ἐξέσται λοιπὸν ἀδεῶς ὡς ἤδη κοινωνικοῖς ἀνελθεῖν ἢ γοῦν ἀποστεῖλαι εἰς τὴν Κωνσταντινούπολιν καὶ τὰς ὑπὲρ ἐκείνων παρακλήσεις προσαγαγεῖν, εἴπερ τις ὅλως θεραπείας βεβαιώσεται τρόπος ἐν

A

22 βερροίασ A τοῖς addidi malim ὅτε 29 Δωρόθεον scripsi θεόδωρον A

τοῖς πεπραγμένοις περὶ αὐτῶν ὑπομνήμασιν· οἶμαι δὲ ὅτι οὐδὲ βραδὺς ἔσται ταῖς τῶν παρακαλούντων φωναῖς.

117 Latina uersio extat in Collectione Casinensi 173

Τοῦ αὐτοῦ πρὸς Θεόγνωστον καὶ Χαρμόσυνον πρεσβυτέρους καὶ Λεόντιον διάκονον διάγοντας ἐν Κωνσταντινουπόλει καὶ τὰς ἀποκρίσεις αὐτοῦ ποιουμένους

Κύριλλος Θεογνώστωι καὶ Χαρμοσύνωι πρεσβυτέροις καὶ Λεοντίωι διακόνωι ἐν κυρίωι χαίρειν. Περὶ πάντων γράφομεν τῶν πραγμάτων ὑμῖν, εἶτα ὡς οὐδὲν μαθόντες γράφετε θορύβων πληροῦντες ἡμᾶς. οἶδα τοίνυν ἐπιστείλας ὅτι ὁ εὐγηρότατος καὶ θεοσεβέστατος
ep. 105 Ἀκάκιος ὁ τῆς Βεροίας προτραπεὶς παρά τινων τῶν ἐκ τῆς Ἀνατολῆς εὐλαβεστάτων ἐπισκόπων ἔγραψε πρός με διὰ τοῦ κυρίου μου τοῦ μεγαλοπρεπεστάτου Ἀριστολάου ὅτι χρὴ πάντα ἀφανίσαι τὰ ἐν βίβλοις καὶ ἐπιστολαῖς γεγραμμένα καὶ μόνωι στοιχῆσαι τῶι συμβόλωι τῶι ἐκτεθέντι ἐν τῆι ἁγίαι συνόδωι τῆι ἐν Νικαίαι. ἐγὼ δὲ πρὸς ταῦτα πολύστιχον ἐπι-
ep. 107 στολὴν πρὸς αὐτὸν ἔγραψα, ἣν καὶ ἐδέξασθε πάντως· τοῦτο γὰρ ἐδίδαξεν ὁ ἀγαπητὸς πρεσβύτερος Εὐλόγιος. καὶ νῦν ἐλθόντος τοῦ εὐλαβεστάτου ἐπισκόπου Παύλου τοῦ τῆς Ἐμίσης εἰς τὴν Ἀλεξάνδρειαν, πάντα ἐτυπώθη χρηστῶς μὲν καὶ εἰρηνικῶς, ἀσφαλῶς δὲ καὶ ὡς ἔδει. οὔτε γὰρ τοὺς καθηιρημένους παρὰ τοῦ θεοσεβεστάτου ἐπισκόπου Μαξιμιανοῦ κατεδεξάμεθα ἢ κοινωνικοὺς ἔχειν ἢ ἀπολῦσαι τῆς ἐπενεχθείσης αὐτοῖς ψήφου οὔτε ἁπλῶς τῶι μνημονευθέντι Παύλωι τὴν κοινωνίαν δεδώκαμεν τὴν εἰς πρόσωπον αὐτοῦ μόνου, εἰ μὴ προσήνεγκε πρότερον χάρτην ὁμολογῶν ὅτι καὶ θεοτόκος ἐστὶν ἡ ἁγία παρθένος
V 124. 125 καὶ ὅτι ἀναθεματίζει τὰ Νεστορίου δόγματα. λαβὼν δὲ καὶ εἰπεῖν ἐν τῆι ἐκκλησίαι, μεγάληι τῆι φωνῆι εἴρηκεν ὅτι ὁμολογοῦμεν θεοτόκον τὴν ἁγίαν παρθένον καὶ ὅτι ἀναθεματίζομεν τοὺς μὴ λέγοντας τοῦτο καὶ ὅτι εἷς υἱὸς καὶ Χριστὸς καὶ κύριος, οὐ δύο. ἐπειδὴ δὲ οὐκ ἦλθε χάρτην ἔχων ὡς ἀναθεματίζοντος Ἰωάννου τὰ Νεστορίου δόγματα καὶ ὁμολο-
ep. 108 γοῦντος ὅτι καθηιρημένον ἔχουσιν αὐτόν, ἀλλ' ἦσαν ἁπλῶς αἱ ἐπιστολαὶ αἱ παρ' αὐτοῦ πεμφθεῖσαι οὐδὲν τῶν ἀναγκαίων ἔχουσαι, ἔφασκον ὅτι οὐ δύναμαι τὴν κοινωνίαν ἀποδοῦναι αὐτῶι, πρὶν ταῦτα ποιήσει. ὡς δὲ ἀκηδιῶντας εἶδον πρὸς τοῦτο καὶ αὐτὸν τὸν εὐλαβέστατον ἐπίσκοπον Παῦλον ὀλιγωρήσαντα σφόδρα καὶ τὸν κύριον τὸν μεγαλοπρεπέστατον τριβοῦνον καὶ νοτάριον Ἀριστόλαον, λύσιν διδοὺς τῶι πράγματι καὶ ἵνα μὴ νομισθῶμεν παραιτεῖσθαι τὴν εἰρήνην, εἰς ὑπερθέσεις ἔτι μακρὰς πεμπομένου τοῦ πράγμα-
V 127 τος, ἐγράψαμεν τὰ κοινωνικά. ὑπηγορεύθη δὲ καὶ χάρτης κατὰ γνώμην τοῦ εὐλαβεστάτου
V 123, 4 ἐπισκόπου Παύλου, ἐν ὧι ὀφείλει ὑπογράψαι καὶ ὁ τῆς Ἀντιοχέων, καὶ συνεξέπεμψα τῶι θαυμασιωτάτωι Ἀριστολάωι δύο κληρικοὺς ὥστε ἐὰν ὑπογράψηι Ἰωάννης τῆι καθαιρέσει Νεστορίου καὶ ἀναθεματίσηι αὐτοῦ τὰ δόγματα, δοῦναι τὰ κοινωνικά· εἰ δὲ μή, παρακατασχεῖν αὐτά, ἀναδεξαμένου ἐνωμότως τοῦ θαυμασιωτάτου Ἀριστολάου ὅτι οὐ μὴ προδοθῆι τὸ χαρτίον. ἔφη δὲ ὅτι ἐὰν μὴ θελήσηι ὑπογράψαι, εὐθυδρομῶ ἐν τῆι Κωνσταντινουπόλει ἀναδιδάσκων τὸν εὐσεβέστατον ἡμῶν βασιλέα ὅτι παρὰ τὴν Ἀλεξανδρέων ἐκκλησίαν οὐδέν, ἀλλ' ὁ τῆς Ἀντιοχέων ἐκκλησίας ἐστὶν ὁ μὴ ἀγαπήσας τὴν εἰρήνην. μηδένα τοίνυν ἀθυμεῖν συγχωρήσητε· οὐ γὰρ οὕτως λελιηρήκαμεν, ὥστε ἀναθεματίσαι τὰ ἑαυτῶν, ἀλλ' ἐμμένομεν οἷς γεγράφαμεν καὶ φρονοῦμεν. ὀρθὰ γάρ ἐστι καὶ ἀδιάβλητα καὶ ταῖς θείαις συμβαίνοντα γραφαῖς καὶ τῆι πίστει τῆι ἐκτεθείσηι παρὰ τῶν ἁγίων ἡμῶν πατέρων.

---

117 Primus edidit I. Aubert in Cyrilli opp. t. V 152. 153

AX$_1$Λ

4 Τοῦ αὐτοῦ A κυρίλλου X$_1$ 9 βερροίασ AX$_1$ 13 ἔγραψα πρὸσ αὐτὸν X$_1$ 14 ἐπισκόπου om. X$_1$ 15 ἐμέσησ X$_1$ 16 οὐδὲ AX$_1$ 21 ὅτι^2 om. X$_1$ 24/25 αἱ παρ' αὐτοῦ πεμφθεῖσαι ἐπιστολαὶ X$_1$ 27 ὀλιγωρήσαντα] *coartatum* Λ = στενοχωρηθέντα 27/28 κύριον καὶ μεγαλοπρεπέστατον X$_1$

118 Ἐπιστολὴ Ἰωάννου ἐπισκόπου Ἀντιοχείας πρὸς Κύριλλον

Τῶι δεσπότηι μου τῶι θεοφιλεστάτωι καὶ ἁγιωτάτωι συλλειτουργῶι Κυρίλλωι Ἰωάννης ἐν κυρίωι χαίρειν. Ἀπειλήφαμεν ἀλλήλους, δέσποτα, εὐδοκίαι μὲν θεοῦ εἶτ' οὖν μεσιτείαι τοῦ τὰ πάντα θεοσεβεστάτου ἀμφοτέροις ἡμῖν τοῦ κυρίου Παύλου τοῦ ἐπισκόπου, ἀνδρὸς πάντων τῶν καθ' ἑαυτὸν ἀμελήσαντος, ὅπως ταῖς ἐκκλησίαις τοῦ θεοῦ κατευνασθείη τὰ τῶν ταραχῶν καὶ ἡ θεῶι ἀρεστὴ γένοιτο συνάφεια. ἐπανήκει οὖν ἡμῖν μετὰ εἰρήνης καὶ τὰ ἰδιάζοντα τῆς φιλίας δίκαια γεγένηται παρ' ἡμῶν ἀπαραλείπτως ἅπαντα πρὸς τὴν σὴν θεοσέβειαν, μικρᾶι ἐναλλαγῆι χρησαμένων ἡμῶν παρὰ τὰ ὑπὸ τῆς σῆς ὁσιότητος ὑπαγορευόμενα, οὐ διαφορὰν ἐχούσηι δυνάμεως, ἀλλ' οἰκονομίας μεταχείρισιν. βούλομαι γάρ, μᾶλλον δὲ καὶ εὔχομαι οὐ μόνον ἐμαυτόν, ἀλλὰ καὶ πάντας τοὺς κυρίους τοὺς θεοφιλεστάτους ἐπισκόπους τῆς Ἀνατολῆς συνάψαι τῆι φίληι ἐμοὶ καὶ τιμίαι κεφαλῆι, τῆς σῆς φημὶ γνησιότητος, ἣν περὶ πλείστου μὲν ἐποιούμην, διέκοψε δέ τις βραχὺς χρόνος, εἶτ' αὖθις πάλιν θεοῦ βουληθέντος πρὸς ἑαυτοὺς ἐπανήλθομεν ἅπαντα σβέσαντες τὰ λυπηρὰ καὶ μηδὲν τὸ σύνολον καταλιπόντες παρ' ἑαυτοῖς ἔριδος ἢ φιλονεικίας ἄξιον. οὐκ ἀθεεὶ δὲ τοῦτο γενένηται, ἀλλὰ θεοῦ πρυτανεύσαντος καὶ τῶν φιλοχρίστων καὶ εὐσεβεστάτων βασιλέων τῆι αὐτοῖς πρεπούσηι σπουδῆι χρησαμένων. ἀποδεξάσθω οὖν ἡ σὴ θεοσέβεια τοὺς εὐλαβεστάτους Κάσιον καὶ Ἀμμώνιον εἵξαντας ἡμῖν, οὐχ ἵνα σοὶ ἀπειθήσωσιν, ἀλλ' ὅπως τὰ σοὶ οἰκοδομηθέντα εἰς βεβαίωσιν καὶ πέρας κάλλιστον ἀχθείη. χάριν δὲ ἴσμεν ἐπὶ τούτωι καὶ τῶι κυρίωι μου τῶι θαυμασιωτάτωι καὶ περιβλέπτωι Ἀριστολάωι τῶι τριβούνωι καὶ νοταρίωι, ὃς συνεῖδεν ἐκ τῶν παρ' ἡμῖν κινουμένων πραγμάτων κρεῖττον εἶναι τὸ παρὰ βραχείας συλλαβὰς ἰσχυρῶς καὶ βεβαίως ἀλλήλοις ἡμᾶς συμβῆναι. δέχου οὖν, παρακαλῶ, καὶ τὰ παρ' ἡμῶν εὖ καὶ καλῶς καὶ πᾶσαν ἰσχὺν ἔχοντα εἰς πληροφορίαν τὴν σὴν οἰκονομηθέντα μὲν καὶ ἐπεσταλμένα, καὶ μηδείς σε εἰσέλθηι λογισμὸς ὡς ἡμῶν τι ἐν τοῖς προκειμένοις πανούργως πεπραχότων. ἐπίσταται γὰρ ἡμῶν τὸ συνειδὸς καὶ τὸν ἄνωθεν ἕλκει μάρτυρα ὡς οὐ τὰ σὰ σαθρῶς ἐβουλήθημεν, ἀλλὰ τὰ καθ' ἡμᾶς αὐτοὺς οἰκονομῆσαι πρὸς τὸ συνοῖσον ταῖς τοῦ Χριστοῦ ἐκκλησίαις. ἐροῦσι δὲ οἱ αὐτοὶ εὐλαβέστατοι διάκονοι τὸν τρόπον τῆς οἰκονομίας· πέπρακται γὰρ ἡμῖν ἀπαραλείπτως ἅπαντα, ὡς ἂν μηδεὶς ἔχοι ἀφωσιῶσθαι κατὰ τῆς γενομένης συμβάσεως. δέχου οὖν, παρακαλῶ, ἡδέως τοὺς ἀδελφοὺς εἰρήνης σοι ἀγαθὰ προσκομίζοντας καὶ εὐχέσθω σου ἡ ὁσιότης αἰσίως ταῖς τοῦ Χριστοῦ ἐκκλησίαις τὰ πράγματα προβαίνειν. ὥσπερ γάρ ἑαυτοὺς φέροντες τῶι τῆς διαθέσεως νόμωι ἐπιδεδώκαμέν σοι, οὕτως καὶ σπουδάζομεν καὶ βουλόμεθα, μᾶλλον δὲ καὶ εὐχόμεθα μηδένα τῶν παρ' ἡμῖν παραλιπεῖν, ὃς οὐ τὰ αὐτὰ ἡμῖν σκέψεται, ἡμῶν σπουδὴν ἐχόντων ἀνεξικάκως καὶ οἰκονομικῶς κατὰ μέρος ἐφέλκεσθαι τοὺς ὀλιγίστης παραμυθίας, μᾶλλον δὲ καὶ ὁδηγίας τῆς παρ' ἡμῶν ἔτι δεομένους ἐπὶ συμφέροντι τῆς καθολικῆς ἐκκλησίας καὶ τῶν ἐν αὐτῆι πραγμάτων. εὖ ἴσθι τοιγαροῦν τοὺς αὐτοὺς εἶναι ἡμᾶς οὕσπερ ἤιδεις καὶ πρότερον, μετὰ τῆς αὐτῆς διαθέσεως καὶ πέμπων καὶ δεχόμενος τὰ παρ' ἡμῶν γράμματα· τοῦτο γὰρ καὶ ἡμᾶς κοσμήσει καὶ τὴν σὴν ὁσιότητα στεφανώσει.

Πᾶσαν τὴν σὺν σοὶ ἀδελφότητα πλεῖστα προσαγορεύομεν.

---

118 Primus edidit I. Aubert in Cyrilli opp. t. V 153

AJX$_1$

4 τοῦ] τοῖσ J θεοσεβεστάτοισ J κυροῦ J 6 ἡμῖν om. X$_1$ 8 ἐναλλαγῆ AJ ἐν ἀλλήλοισ X$_1$ 9 ἐχούσηι scripsi ἔχοντα AJX$_1$ 10 δὲ om. X$_1$ 17 κάσσιον X$_1$ ἀμώνιον X$_1$ 28 ἀφωσιῶσαι JX$_1$

119 Latina uersio extat in Collectione Casinensi 77

Τοῦ αὐτοῦ πρὸς πάντας τοὺς τῆς Ἀνατολῆς ἐπισκόπους μηνύουσα τὴν γεγενημένην εἰρήνην

1 Κεκράτηκεν ἡ εὐσέβεια καὶ ἀπίτω πᾶς ὁ τοῦ διαβόλου φθόνος· κεκράτηκεν οὐδεμίαν χώραν τὸ λοιπὸν καταλιποῦσα τοῖς ῥαιδιουργεῖν ἀδεῶς ἐπιχειροῦσι τὴν τῶν προγόνων τῆς ἐκκλησίας περὶ πίστεως ἔκθεσιν· κεκράτηκεν οὕτως ὥστε τὴν εὐσεβῆ ὁμολογίαν τῆς θείας ἐνανθρωπήσεως μὴ παρ' ἡμῖν ἑτέρως, ἑτέρωθι δὲ ἄλλως παραλαμβάνεσθαι. συνεφθάσαμεν γὰρ ἀλλήλοις ἡμεῖς τε καὶ ὁ κύριός μου ὁ θεοφιλέστατος ἐπίσκοπος Κύριλλος, ἓν καὶ τὸ αὐτὸ φρόνημα κατὰ τὸν ἀληθῆ τῶν εὐαγγελίων κανόνα διασώιζοντες. οὐδὲν γὰρ
V 127 μέσον οὐδὲ ἀμφιβολίας ἄξιον ἐν οἷς ἀπέστειλε πρὸς ἡμᾶς, ἐξέθετο περὶ πίστεως, ἀλλὰ πάντα τρανῶς καὶ τηλαυγῶς κατὰ τὰς ἡμετέρας προτάσεις τῆι παρ' αὐτοῦ πρὸς ἡμᾶς πληροφορίαι ἐνέθηκε. γεγένηται οὖν, σὺν θεῶι φάναι, ἐπὶ τούτοις ἡ κοινωνία καὶ ἡ σύμβασις τῶν πανταχοῦ τῆς οἰκουμένης ἐκκλησιῶν, οὔτε ἡμῶν σαθρῶς ἐπιβάντων τῆς ἐκκλησιαστικῆς εἰρήνης οὔτε μὴν τοῦ αὐτοῦ θεοφιλεστάτου ἀνδρὸς ἀνασχομένου ἀλλοίαν πρὸς ἡμᾶς ῥῆξαι φωνὴν παρὰ τὸ τῶν θείων γραφῶν βούλημα. οὕτω γὰρ καθαρῶς καὶ ἀδόλως ἔλυσε τὴν μεταξὺ ἀμφισβήτησιν, ὥστε μηδεμίαν παρασχεῖν ἀφορμὴν τοῖς περὶ τῶν θείων δογμάτων πρὸς αὐτὸν διαφέρεσθαι βουλομένοις.

2 Δεξώμεθα τοιγαροῦν περιχαρῶς τὴν τῆς εὐσεβοῦς ὁμολογίας συμφωνίαν καὶ μετ' αὐτῆς τὴν ἐπ' αὐτῆι τῆς ἐκκλησίας εἰρήνην, μὴ ἐνδιδόντες λοιπὸν τοῖς ἐπὶ προφάσει εὐσεβείας ζηλωτῶν καὶ σπουδαίων πρόσχημα ἀναδεδέχθαι ἐπιτηδεύουσι. λέλυται γὰρ διὰ τὴν χάριν τοῦ Ἰησοῦ πᾶσα περὶ τῆς κατὰ σάρκα τοῦ κυρίου οἰκονομίας ἀντίρρησις καὶ οἱ ἐρεσχελεῖν ἐθέλοντες δῆλοί εἰσιν οὐ τοῦτο ἄνωθεν διεκδικοῦντες, ἀλλὰ ταῖς ἐκκλησίαις τοῦ θεοῦ τῆς ὁμονοίας βασκαίνοντες. οἱ μὲν γὰρ ἐξ ἀληθείας τὸν Χριστὸν κηρύττουσιν, οἱ δὲ ἐξ ἐριθείας, καὶ ἐπίσταται τοῦτο ἐμοῦ πλέον ἡ ὑμετέρα θεοσέβεια. ἦσαν γὰρ ἦσαν καὶ παρὰ τοῖς ἐναντίοις οἱ ἐπαμφοτερίζοντες ἐν τῆι ἐκθέσει τῆς πίστεως, οἷς ἡ μὲν διάνοια τῆι ἀληθείαι ἐτίθετο, ἡ δὲ γλῶσσα καὶ ἡ σπουδὴ ἐναντία οἷς ἐφρόνουν, ἐπετήδευε πράγματα. ἀπεχθείαι γὰρ καὶ χάριτι ἐδούλευον, ἵν' ἡμῖν μετὰ προφάσεως πολεμήσωσιν.

3 πάντα ταῦτα λοιπὸν θεοῦ χάριτι ἔσβεσται. ἃ γὰρ ἡμεῖς ὑπηγορεύσαμεν, τὰ μὲν ἐν
V 96 Ἐφέσωι περὶ τῆς ὀρθῆς πίστεως συνθέντες, τὰ δὲ ἐνταῦθα, ἐν Ἀντιοχείαι φημί, ἐν ἀλλήep. 105 λοις σκεψάμενοι, ταῦτα οὐ μόνον ἐδέξατο ὁ ὁσιώτατος ἐπίσκοπος Κύριλλος, ἀλλὰ γὰρ καὶ
V 127, 6 ἀνύμνησεν, ἱερὰς ἡμῶν τὰς φωνὰς ἀποκαλέσας καὶ ἀποδεξάμενος καὶ βεβαιώσας οἷς αὐτὸς παραπλησίως ἐξέθετο, συνυφήνας ἡμῖν τὴν πατρώιαν παράδοσιν μικροῦ ἐξ ἀνθρώπων γενέσθαι, ἵν' οὕτως εἴπω, κινδυνεύσασαν, κατὰ τὴν αὐτὴν ἐλθὼν ἡμῖν τοῖς Ἀνατολικοῖς καὶ ῥημάτων καὶ νοημάτων καὶ ὀρθῆς πίστεως ἔκθεσιν, οὐδὲν μέσον οὐδὲ ἱκανὸν ἐμποιῆσαι οὐδὲ τὴν σμικροτάτην διάκρισιν τοῖς αὐτοῦ πρὸς ἡμᾶς ἐνθεὶς γράμμασιν, ἀλλὰ διδάξας καὶ τοὺς ἔτι τῆι ἀληθείαι ἀνθισταμένους λαμπρᾶι τῆι φωνῆι ὁμολογεῖν μὲν τῶν φύσεων τὸ διάφορον καὶ διαιρεῖν τὰς δύο φωνὰς καταλλήλως ταῖς φύσεσιν ὁμολογουμένης τῆς ἑνὸς προσώπου παρὰ πᾶσι τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ ταυτότητος. καὶ πιστεύω, θεοφιλέστατοι ἀδελφοί, ὡς ἐξαρκέσει τουτὶ τὸ ἀπεσταλμένον, ὡς αὐτὸς ἔφησε, χαρτίον τοῖς πανταχοῦ τῆς οἰκουμένης πιστοῖς, τοῖς μὲν εὐγνώμοσιν ἐμποιῆσαι πληροφορίαν, τοῖς δὲ ἀπειθοῦσιν ἐντροπὴν καὶ τὸν ἔσχατον ἐνεγκεῖν ἔλεγχον (παρασκευάσει δὲ καὶ ἐκεῖνο τὸ
Ies. 35, 6 προφητικὸν κἂν τοῖς παροῦσι πληρωθῆναι καιροῖς ὅτι γλῶσσαι μογγιλάλων μαθήσονται

31/32 adfert Cyrillus in ep. V 128, 21

AJΛ

3 ἀπήτω AJ 20 ῑ̄ AJ θεοῦ Λ 32 **τὴν αὐτὴν scripsi** τῶν αὐτῶν AJ 36 **τὰσ δύο AJ** *diuinas* Λ

τρανῶς λαλεῖν), οἷς σπουδὴ τῆι τοῦ ὁσιωτάτου ἀνδρὸς ἀποκεχρημένοις ἀξιοπιστίαι πάντα μὲν συγχέαι ὅσα τοῦ εὐσεβοῦς φρονήματος ἥρτηται, ἀνανεώσασθαι δὲ τὴν τοῦ μιαροῦ καὶ βεβήλου Ἀπολιναρίου δυσσεβῆ αἵρεσιν.

4 Ἀλλ' ἵνα μὴ μακρολογῶ, αὐτὸ ὑμῶν ἐξέπεμψα τῆι φιλοθείαι τὸ τῆς ἀπολογίας ἐν προσχήματι ἐπιστολῆς βιβλίον παρ' ἐκείνου μὲν συσταθέν, παρ' ἡμῶν δὲ μετὰ τῆς κοινωνίας ἀνενδοιάστως προσδεχθέν, μᾶλλον δὲ καὶ θαυμασθὲν ἐπὶ τῆι ὀρθότητι τῆς πίστεως, καὶ ἔξεστιν ὑμῖν, γνησιώτατοι ἀδελφοί, ἐντυχεῖν, καὶ πληροφορηθῆναι καὶ δόξαν δοῦναι τῶι παναγίωι θεῶι, ἐφ' οἷς Αἴγυπτος μὲν τὰ τῆς Ἀνατολῆς, ἡ Ἀνατολὴ δὲ τὰ τῆς Αἰγύπτου φρονεῖ καὶ ἀσπάζεται. ταῖς γὰρ μεθ' ἡμᾶς γενεαῖς παραπεμφθήσεται ὁμολογία εὐσεβής, ἣν οἰκείωι αἵματι καὶ παθήμασι πλείστοις ὅσοις τῆι οἰκουμένηι θεοῦ χάριτι διεφυλάξαμεν. μεμένηκε γὰρ ὁ σπινθὴρ ὁ τῆς πίστεως καί, θεοῦ δόντος καιρόν, μετάρσιον ἤγειρε τὴν τῆς εὐσεβείας φλόγα, ὥστε καταλάμπεσθαι τῶι φωτὶ τῆς θεογνωσίας τούς τε ἐκεῖ τούς τε ἐνθάδε, μᾶλλον δὲ τοὺς πανταχόσε τῆς οἰκουμένης πιστούς, οἷς εὐχὴ καὶ ἐπιθυμία οἶμαι μιᾶς καὶ τῆς ⟨αὐτῆς⟩ ὁμολογίας δράξασθαι, ἀνορθούσης πᾶσι τὰ πεπτωκότα φρονήματα.

5 ἀπέστειλα δὲ τὴν ἐπιστολὴν συζεύξας καὶ τὴν ἐμὴν ἐπιστολὴν τὴν πρὸς τὸν αὐτὸν θεοσεβέστατον ἐπίσκοπον Κύριλλον, ἵνα γνῶτε ὡς οὐκ αἰσχρῶς οὐδὲ δουλοπρεπῶς τῶι τῆς εὐσεβείας φρονήματι χρησάμενοι ἐπὶ τὴν μακαρίαν ταύτην σύμβασιν ἤλθομεν. παρακαλῶ καὶ αὖθις τὸν θεὸν παρακαλῶ ἐπὶ τούτοις δοξάσαι καὶ κόπους ἡμῖν τὸ λοιπὸν μηδεὶς παρεχέτω, οἷς τὸ οἰκοδομεῖν πρέπει, οὐ τὰ καλῶς δόξαντα τῶι θείωι βουλήματι ἀνατρέπειν.

120 Latina uersio extat in Collectione Casinensi 179

Τοῦ αὐτοῦ ἀναφορὰ πρὸς τὸν βασιλέα περὶ εἰρήνης σταλεῖσα διὰ Ἀριστολάου

1 Τοῖς θεοφιλεστάτοις καὶ εὐσεβεστάτοις βασιλεῦσιν ἡμῶν τοῖς ἀξίως παρὰ τοῦ θεοῦ τετιμημένοις Θεοδοσίωι καὶ Οὐαλεντινιανῶι αὐγούστοις Ἰωάννης ἐπίσκοπος Ἀντιοχείας τῆς ὑμετέρας Κοίλης Συρίας ἐν κυρίωι χαίρειν. Εὔκαιρον νῦν εἰπεῖν τὸ προφητικὸν ἐκεῖνο λόγιον ὅτι ἔσται τὰ σκολιὰ εἰς εὐθεῖαν· ὅταν γάρ τι θεὸς ποιῆι, πᾶσα ἐν τοῖς πραττομένοις ἕπεται εὐκολία καὶ βουλήματι θείωι ἀνθέστηκεν οὐδείς. ἠβουλήθη νῦν καὶ ηὐδόκησε διὰ τὸν εὐσεβῆ ὑμῶν σκοπὸν καὶ τὰς μακαρίας ταύτας φροντίδας ἃς ὑπὲρ τῆς τοῦ Χριστοῦ ἐκκλησίας τὸ ὑμέτερον ἀναδέδεκται κράτος, τὴν οἰκουμένην πρὸς εἰρήνην συνάψαι καὶ δοῦναι ἕνωσιν ἐν ἧι οὐκ ἄλλος ἄλλο τι φρονεῖ περὶ τῶν ἐκκλησιαστικῶν δογμάτων, ἀλλ' ἓν καὶ τὸ αὐτὸ σώιζεται φρόνημα περὶ τῆς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐνανθρωπήσεως. ὁμοφρονοῦμεν γοῦν ἅπαντες καὶ κοινὴ ἡμῖν ὁμολογία γεγένηται, συνωιδὰ περιέχουσα οἷς ἄνωθεν καὶ ἐξ ἀρχῆς οἱ πατέρες ἐξέθεντο, πληροφορησάντων ἡμῶν ἀλλήλους ⟨περὶ ὧν⟩ ἡμεῖς ἠμφισβητοῦμεν πρὸς τὸν κύριόν μου τὸν θεοσεβέστατον ἐπίσκοπον Κύριλλον· αὐτὸς δὲ νῦν τὰ παρ' ἡμῶν δεξάμενος καὶ ἅπερ τῆι σῆι εὐσεβείαι συνθέντες ἐπεδώκαμεν ἐν τῆι Χαλκηδονέων πόλει, ταῦτα ἀσμενίσας καὶ καταδεξάμενος παραπλησίοις τοῖς ἐνθυμήμασι συνύφανεν ἡμῖν τὴν ὁμολογοῦσαν τῆι ἀποστολικῆι πίστει παράδοσιν. ἐκβέβληται τοιγαροῦν πᾶσα αἵρεσις καὶ φιλονεικία, τῆς ὑμετέρας εὐσεβείας τῆι οἰκουμένηι ἐρρωμένης, ἧς τὰ σκῆπτρα τῆι εὐσεβεῖ ὁμολογίαι ἐστὶ σύντροφα καίτοι ⟨καὶ⟩ κεκράτηκε καὶ κρατήσει γε εἰς τὸ διηνεκὲς τῆι θείαι δεξιᾶι συγκροτούμενα. καὶ ὡς ἂν ἔχηι ὑμῶν τὸ κράτος εἰδέναι τά τε παρ' ἡμῶν πρὸς αὐτὸν καὶ αὐτοῦ πρὸς ἡμᾶς, ἐν οἷς

AJΛ

10 παθήμασι Λ παθήματι AJ 14 αὐτῆς addidi secundum Λ 16 δουλοπρεπῶς Λ δουλοπρεπεῖ AJ

AΛ

33 περὶ ὧν addidi secundum Λ 38 καὶ² addidi secundum Λ

V 123. 127 ἓν καὶ τὸ αὐτὸ πατρῶιον διασώιζομεν φρόνημα, αὐτὰς ἡμῶν τὰς πρὸς ἀλλήλους ἐπιστολὰς τῶιδε τῶι γράμματι ἡμῶν ὑποτάξαντες ἀπεστείλαμεν, ἐγχειρίσαντες τὴν ἐπιστολὴν τῶι περιβλέπτωι καὶ σπουδῆι πάσηι χρησαμένωι εἰς τὴν ὑπόθεσιν, ὡς ἂν τὸ ὑμέτερον προβαίη βούλημα εὐσεβὲς ὂν καὶ ὅσιον, τῶι τριβούνωι καὶ νοταρίωι Ἀριστολάωι τῶι ὑμετέρωι.
2 τούτων οὖν οὕτως ἐχόντων καὶ τῆς πίστεως τὸ ἀναμφισβήτητον λαβούσης, ἐθέμεθα πᾶσιν οἷς προστετάχατε, εὐσεβέστατοι βασιλεῖς, διὰ τοῦ θεοσεβεστάτου ἐπισκόπου Παύλου, ἀνδρὸς ὃν ἴστε καὶ ὑμεῖς, ὡς οἶμαι, εἰρήνηι τε χαίροντος καὶ εἴδησιν οὐ μικρὰν κεκτημένου ἐν τοῖς ἐκκλησιαστικοῖς πράγμασιν. δεδέγμεθα γοῦν καὶ τὴν κατάστασιν τοῦ ὁσιωτάτου καὶ θεοσεβεστάτου ἐπισκόπου Μαξιμιανοῦ, ἀνδρὸς οὗ τὴν ἀρετὴν καὶ τὴν πολιτείαν ἄνωθεν ἴσμεν, καὶ καθηιρημένον ἔχομεν Νεστόριον τὸν πάλαι γενόμενον τῆς μεγαλωνύμου πόλεως ἐπίσκοπον, ἀναθεματισμῶι ὑποβάλλοντες ὅσα αὐτῶι ἀλλοτρίως καὶ ξένως εἴρηται ἢ πεφρόνηται πρὸς τὴν ἀποστολικὴν διδασκαλίαν. ἱκετεύομεν δὲ τὴν ὑμετέραν εὐσέβειαν τελείαν παρασχεθῆναι τῶι κόσμωι τὴν ἑορτήν, ὡς μηδεμίαν πόλιν τῆς τοιαύτης ἑορτῆς ἔξω καὶ πανηγύρεως γενέσθαι, καὶ κελεῦσαι τοὺς θεοφιλεστάτους ἐπισκόπους τοὺς ἐν τοῖς προλαβοῦσι θορύβοις ἐκβληθέντας ἢ ἐκβεβλῆσθαι δόξαντας εἰς τὸ παλαιὸν ἀποκατασταθῆναι σχῆμα καὶ πάσης ἐνοχλήσεως ἀπηλλάχθαι τοῦ μηδὲ ἓν λείψανον ἀθυμίας καταλειφθῆναι ταῖς τοῦ Χριστοῦ ἐκκλησίαις. ῥάιδιον δὲ τοῦτο ποιῆσαι τῶι ὑμετέρωι κράτει τῶι καὶ παλαιὰ ἔχειν ὑποδείγματα τοιούτων διορθώσεων, αἳ τοὺς μὲν παλαιοὺς θεοφιλεστάτους ἐπισκόπους τοῖς ἑαυτῶν ἀπέδωκαν θρόνοις, τοὺς δὲ ἐν ταραχῆι χειροτονηθέντας σχολάζειν παρεσκεύασαν
3 καὶ ἀναμεῖναι τὴν ἐκείνων ἐκ τοῦ βίου μετάστασιν. τούτων γὰρ οὕτω σὺν θεῶι, ὡς ἔφαμεν, εὖ καὶ καλῶς προβάντων, εὐχαὶ καὶ ἱκεσίαι πᾶσιν ἀνθρώποις ὑπὲρ τοῦ ὑμετέρου κράτους γενήσονται· δι' ὑμᾶς γὰρ καὶ διὰ τὴν ὑμετέραν εὐσέβειαν ταῖς μὲν ἐκκλησίαις ἐδόθη ἡ προτέρα κατάστασις, σέσωσται δὲ τὰ Χριστιανικὰ πράγματα, εἰρηνεύουσι δὲ τὸ λοιπὸν πόλεις καὶ δῆμοι καὶ χῶραι. ἐπιπρέπει γὰρ τῆι ὑμετέραι βασιλείαι τὸ ἀτάραχον καὶ οἱοίπερ ἐστὲ ὑμεῖς γαληνοὶ καὶ ἥμεροι, τοιαύτην προσήκει εἶναι καὶ τὴν τῶν πραγμάτων κατάστασιν, κοινῆι πάντων καὶ ἰδίαι ἑκάστου συνέχειν ὀφειλόντων τὴν παρὰ πᾶσαν ταύτην γενομένην προσδοκίαν ἕνωσιν. ἐπαινετὸς γὰρ καὶ παρὰ θεῶι μακάριος ἕκαστος ἐν τῶι
Mt. 5, 9 μέρει ἀνορθῶν τὰ συγχυθέντα καὶ κατὰ τὴν τοῦ κυρίου φωνὴν μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ υἱοὶ θεοῦ κληθήσονται, οὗ τὴν ἄμαχον ἴσμεν δύναμιν καὶ νῦν σύνδρομον γενέσθαι τῶι τῆς ὑμετέρας φιλοθείας σκοπῶι. πηγὴ γὰρ ὑμεῖς παντὸς ἀγαθοῦ καὶ προχεῖται ἐκ τῶν ὑμετέρων βασιλείων τὰ τῆς εὐεργεσίας τῆι οἰκουμένηι νάματα καὶ ἀπολαύουσι τὸ λοιπὸν οἱ τοῦ θεοῦ ἱερεῖς τῆς πρόσθεν ἡσυχίας, ἧς μάλιστα δέονται εἰς τὸ εἰλικρινεῖς καὶ ἐσπουδασμένας τὰς ὑπὲρ τοῦ ὑμετέρου κράτους ποιεῖσθαι προσευχάς.

121 Τοῦ αὐτοῦ ἐπιστολὴ πρὸς Ξύστον ἐπίσκοπον Ῥώμης

Τῶι δεσπότηι μου τῶι θεοσεβεστάτωι καὶ ἁγιωτάτωι συλλειτουργῶι Ξύστωι Ἰωάννης ἐν κυρίωι χαίρειν. Ἐπὶ καλῶι τῆς οἰκουμένης πεπιστεύκαμέν σου τὴν ὁσιότητα τοῦ ἀπο-
d. 31. m. Iul. a. 432 στολικοῦ ἐπιβεβηκέναι θρόνου· λαμπτῆρα ἔξουσιν αἱ πανταχοῦ γῆς τοῦ Χριστοῦ ἐκκλησίαι, λαμπτῆρα οὐ τὴν Ἑσπέραν μόνην φωτίζοντα, ἀλλὰ γὰρ καὶ τὰς ἐσχατιὰς τῆς οἰκουμένης. ὅτι δὲ θεοῦ εὐδοκίαι νομίζομεν τὴν τῆς σῆς ὁσιότητος κατάστασιν γεγονέναι, δηλοῖ καὶ ἡ συμφωνία ἡ ἐπὶ σοὶ τῶν τε λαῶν καὶ τῶν συνεληλυθότων θεοσεβεστάτων ἐπισκόπων ἐπὶ τῆι σῆι χειροτονίαι· τοῦτο γὰρ μεμαθήκαμεν παρὰ τοῦ κυρίου μου τοῦ θεοσεβεστάτου ἐπισκόπου Κυρίλλου, ἀφ' ὧν ἴσως ἡ σὴ ὁσιότης πρὸς αὐτὸν ἐπέστειλεν. ὅθεν ὡρμήθην ἐπὶ τοῦ παρόντος τὰ μὲν κατεπείγοντα εὐθὺς καὶ παραχρῆμα γνωρίσαι, τὰ δὲ εἰς τιμὴν

ΑΛ

1 διασωιζομεν A *in ministrando seruamus* Λ

συντελοῦντα τῆς ἀδελφικῆς παρὰ θεῶι διαθέσεως εὐκαίρως πρὸς τὴν σὴν ἀποπληρῶσαι ὁσιότητα, ὅταν, σὺν θεῶι φάναι, δεξώμεθα καὶ τὰ ἐξ ἔθους ἀποστελλόμενα συνοδικά, ἐν οἷς τὰ εὐαγγέλια τῆς σῆς προεδρίας ἡμῖν μηνυθήσεται, ποθεινὰ ὄντα καὶ πάσηι τῆι Ἀνατολῆι ἐράσμια. ὃ δέ, ὡς φθάσας εἶπον, κατεπεῖγόν ἐστι, τοῦτο ἐντεῦθεν ἤδη κατάδηλόν σου ποιῆσαι τῆι ὁσιότητι ὡς ἐκποδὼν πᾶσα αἵρεσις καὶ φιλονεικία, συμβάσεως γενομένης ταῖς πανταχοῦ τοῦ θεοῦ ἐκκλησίαις. ὅσα γὰρ ἦν διαταράττοντα τὸ κοινόν, συμβαίνουσαν τὴν ὁμολογίαν τὴν παρ' ἡμῶν καὶ τοῦ κυρίου τοῦ ὁσιωτάτου ἐπίσκοπου καὶ συλλειτουργοῦ ἡμῶν Κυρίλλου εἴληφε, πληροφορησάντων ἡμῶν καὶ πληροφορηθέντων περὶ τῆς κατὰ σάρκα τοῦ Χριστοῦ οἰκονομίας, ὥστε ὁμογνώμονα εἶναι καὶ ὁμονοῆσαι τῆι τῶν πατέρων πίστει μίαν καὶ τὴν αὐτὴν οὖσαν τὴν παρ' ἡμῶν ἔκθεσιν, ἥντινα χρὴ καὶ τὸν ἀποστολικὸν ἐκεῖνον θρόνον γνῶναι, πατρώιαν οὖσαν, οὗ ἕνεκα αὐτὴν καὶ τῶιδε ἡμῶν τῶι γράμματα ἐντεθείκαμεν, ἔχουσαν οὕτως.

Περὶ δὲ τῆς θεοτόκου παρθένου ὅπως καὶ φρονοῦμεν καὶ λέγομεν, τοῦ τε τρόπου V 123. 127
τῆς ἐνανθρωπήσεως τοῦ υἱοῦ τοῦ θεοῦ, ἀναγκαίως, οὐκ ἐν προσθήκης μέρει, ἀλλ' ἐν πληροφορίας εἴδει, ὡς ἄνωθεν ἔκ τε τῶν θείων γραφῶν ἔκ τε τῆς παραδόσεως τῶν ἁγίων πατέρων παρειληφότες ἐσχήκαμεν, διὰ βραχέων ἐροῦμεν, οὐδὲν τὸ σύνολον προστιθέντες τῆι τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι ἐκτεθείσηι πίστει. ὡς γὰρ ἔφθημεν εἰρηκότες, πρὸς πᾶσαν ἐξαρκεῖ καὶ εὐσεβείας γνῶσιν καὶ πάσης αἱρετικῆς κακοδοξίας ἀποκήρυξιν. ἐροῦμεν δὲ οὐ κατατολμῶντες τῶν ἀνεφίκτων, ἀλλὰ τῆι ὁμολογίαι τῆς οἰκείας ἀσθενείας ἀποκλείοντες τοῖς ἐπιφύεσθαι βουλομένοις, ἐν οἷς τὰ ὑπὲρ ἄνθρωπον διασκεπτόμεθα. ὁμολογοῦμεν τοιγαροῦν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ τὸν μονογενῆ, θεὸν τέλειον καὶ ἄνθρωπον τέλειον ἐκ ψυχῆς λογικῆς καὶ σώματος, πρὸ αἰώνων μὲν ἐκ τοῦ πατρὸς γεννηθέντα κατὰ τὴν θεότητα, ἐπ' ἐσχάτου δὲ τῶν ἡμερῶν τὸν αὐτὸν δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Μαρίας τῆς παρθένου κατὰ τὴν ἀνθρωπότητα, ὁμοούσιον τῶι πατρὶ τὸν αὐτὸν κατὰ τὴν θεότητα καὶ ὁμοούσιον ἡμῖν κατὰ τὴν ἀνθρωπότητα. δύο γὰρ φύσεων ἕνωσις γέγονε, δι' ὃ ἕνα Χριστόν, ἕνα υἱόν, ἕνα κύριον ὁμολογοῦμεν. κατὰ ταύτην τὴν τῆς ἀσυγχύτου ἑνώσεως ἔννοιαν ὁμολογοῦμεν τὴν ἁγίαν παρθένον θεοτόκον διὰ τὸ τὸν θεὸν λόγον σαρκωθῆναι καὶ ἐνανθρωπῆσαι καὶ ἐξ αὐτῆς τῆς συλλήψεως ἑνῶσαι ἑαυτῶι τὸν ἐξ αὐτῆς ληφθέντα ναόν. τὰς δὲ εὐαγγελικὰς καὶ ἀποστολικὰς περὶ τοῦ κυρίου φωνὰς ἴσμεν τοὺς θεολόγους ἄνδρας τὰς μὲν κοινοποιοῦντας ὡς ἐφ' ἑνὸς προσώπου, τὰς δὲ διαιροῦντας ὡς ἐπὶ δύο φύσεων, καὶ τὰς μὲν θεοπρεπεῖς κατὰ τὴν θεότητα τοῦ Χριστοῦ, τὰς δὲ ταπεινὰς κατὰ τὴν ἀνθρωπότητα παραδιδόντας. ἐπὶ τούτοις ἔδοξε καὶ κεκράτηκε κατά τε τὸ θέσπισμα τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων καὶ τὸ κοινῆι ταῖς τοῦ Χριστοῦ ἐκκλησίαις λυσιτελοῦν ἔχειν ἡμᾶς Νεστόριον τὸν πάλαι γενόμενον τῆς Κωνσταντινουπόλεως ἐπίσκοπον καθηιρημένον, ἀναθεματίσαι δὲ ὅσα βεβήλως αὐτῶι καὶ φαύλως παρὰ τὴν εὐαγγελικὴν καὶ ἀποστολικὴν πίστιν εἴρηται, συναινέσαι δὲ τῆι χειροτονίαι τοῦ κυρίου μου τοῦ ὁσιωτάτου ἐπισκόπου Μαξιμιανοῦ, ἀνδρὸς οὗ πεῖραν καὶ ἡ ὑμετέρα θεοσέβεια ἔχει, ὡς ἔγωγε οἶμαι, ὃν ἴσμεν καλόν τε καὶ ἀγαθὸν ἄνωθεν γενονότα καὶ ἐν ἀρετῆι διαλάμψαντα.

Δεξαμένη οὖν ἡ σὴ ὁσιότης ταῦτα ἡμῶν τὰ γράμματα, ἀνυμνείτω τὸν θεόν, ὃς παρ' ἐλπίδα πᾶσαν καὶ προσδοκίαν ἀνθρωπίνην σπουδῆι καὶ φροντίδι περὶ τὰς ἐκκλησίας τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων συνήθως ταῖς ἑαυτοῦ ἐκκλησίαις ἐβράβευσε τὴν εἰρήνην. ὃς συγχωρεῖ μὲν πολλάκις καὶ συνεχώρησε πρὸς ὀλίγον διαθορυβηθῆναι τὸ κοινὸν τῶν Χριστιανῶν, ὡς ἂν οἱ δόκιμοι φανεροὶ γένωνται, ἐπήγαγε δὲ οὐκ εἰς μακρὰν τὴν ἴασιν· οἶδε γὰρ οἶδε τὰ τοιαῦτα συμβαίνοντα βασανίζειν καὶ στεφανίτας ἐργάζεσθαι

A

9 ὁμογνώμοναϲ A 17 τῶν] τῆ A 30 τὰϲ] τὰ A

τοὺς περὶ τὸ εὐσεβὲς στερροὺς καὶ ἐνστηματικούς, τὰ δὲ νόθα καὶ κίβδηλα πολλάκις ἀπὸ τῆς πολλῆς γυμνασίας πρόρριζα ἀναιρεῖν. ὅπερ καὶ νῦν γεγένηται, διαιρέσεως μὲν γενομένης διὰ τὰς κοινὰς ἡμῶν ἁμαρτίας, συναφείας δὲ διὰ τὴν αὐτοῦ φιλανθρωπίαν καὶ χάριν, καὶ εὐξάσθω σου ἡ ἱερὰ καὶ φιλόθεος ψυχὴ ταύτην ἄνωθεν κρατυνθῆναι καὶ παρὰ
Ps. 126, 1 τοῦ θεοῦ λαβεῖν τὴν βεβαίωσιν· ἐὰν γὰρ ὁ κύριος, φησί, μὴ οἰκοδομήσηι οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες αὐτόν. πιστεύομεν δὲ ὅτι τῆς αὐτοῦ οἰκονομίας τὸ νῦν ἔργον γεγένηται καὶ διακρατήσει αὐτὸ εἰς τὸ διηνεκὲς καὶ μοχλοὶ ἅδου οὐ
Mt. 16, 18 κατισχύσουσι τῆς ἐκκλησίας· ἄμαχον γὰρ ἔχει τὴν παρὰ τοῦ σωτῆρος δύναμιν καὶ ἤλεγξε τὴν τοῦ θεοῦ ἐκκλησίαν πειρασμὸς οὐδεὶς πώποτε, τοῦ θεοῦ ἐπιταχύνοντος τὴν βοήθειαν,
Mt. 28, 20 ὃς εἶπε τοῖς ἑαυτοῦ μαθηταῖς ὅτι μεθ' ὑμῶν εἰμὶ μέχρι τῆς συντελείας τοῦ αἰῶνος.

122 = V 130 Τοῦ αὐτοῦ καὶ τῶν λοιπῶν ἐπισκόπων τῶν σὺν αὐτῶι ἐπιστολὴ πρὸς Ξύστον ἐπίσκοπον Ῥώμης καὶ Κύριλλον ἐπίσκοπον Ἀλεξανδρείας καὶ Μαξιμιανὸν ἐπίσκοπον Κωνσταντινουπόλεως

123 Τοῦ αὐτοῦ ἐπιστολὴ ἐνωτικὴ πρὸς Μαξιμιανὸν ἐπίσκοπον Κωνσταντινουπόλεως σταλεῖσα διὰ Ἀριστολάου τριβούνου

Τῶι δεσπότηι μου τῶι θεοφιλεστάτωι καὶ ἁγιωτάτωι συλλειτουργῶι Μαξιμιανῶι Ἰωάννης ἐν κυρίωι χαίρειν. Ἔδει μὲν ἄνωθεν ἡσθέντας ἡμᾶς ὑπερβαλλόντως ἐπὶ τῆι τῆς σῆς θεοσεβείας καταστάσει γράμμασί τε εὐθὺς χρήσασθαι τὴν ἡμετέραν μηνύουσιν ἡδονὴν καὶ τὰ τῆς σῆς καταστάσεως εὐαγγέλια ἐν συνοδικοῖς τοῖς εἰωθόσι δέξασθαι· ἀλλ' ἐπειδὴ πονηρός τις δαίμων τὰ πράγματα οὕτω διετάραξεν, ὥστε τὰ τῆς ἀληθείας πρὸς βραχὺν χρόνον διακοπῆναι, νῦν ὅτε διὰ τὴν τοῦ θεοῦ χάριν ἡ συνάφεια τῶν ἐκκλησιῶν ἐγένετο, ἐπὶ τὰ καθήκοντα προθυμότατα ἤκομεν, προσφθεγγόμενοί σου τὴν ὁσιότητα τοῦτο μὲν ἐν γράμμασι, τοῦτο δὲ καὶ διὰ τοῦ κυρίου μου τοῦ θαυμασιωτάτου καὶ περιβλέπτου Ἀριστολάου τοῦ τριβούνου καὶ νοταρίου, οὗ τῆς σπουδῆς πολὺς ἐν ταῖς ἐκκλησίαις ἔσται ὁ ἔπαινος, ὡς ἂν καὶ διὰ ζώσης φωνῆς ἔχοιμεν τὴν πρὸς σὲ ἐκπιμπλάναι διάθεσιν· ὃν ὁ κύριος τῆς προεδρίας ἠξίωσεν, ὅπως ἴασιν ἀρκοῦσαν τὰ διαταραχθέντα δέξηται πράγματα, ἀπὸ σοῦ ἤθους καὶ τοῦ προσόντος τῆι σῆι φιλοθείαι προσηνοῦς καὶ φιλαλλήλου λαβόντα τὰς ἀφορμάς. ἀρκεῖ γὰρ πρόθεσις ἀγαθὴ καὶ οἵαν ἡ σὴ κέκτηται ἁγιωσύνη, ἣνπερ ἴσμεν καὶ διὰ πραγμάτων ἄνωθεν παρειλήφαμεν, οὐκ οὖσαν μὲν ὁμόνοιαν φυτεῦσαι, γενομένην δὲ καὶ εἰς τὸ ἀρχαῖον ἀποκαταστᾶσαν ὑπὲρ προσδοκίαν ὀχυρῶσαι. καὶ πάνυ τεθάρρηκα, δέσποτα, ὡς σπουδὴ ἔσται σου τῆι ἁγιωσύνηι ἅπαν μὲν τὸ λυποῦν πρόρριζον ἀνασπάσαι, περιθεῖναι δὲ ἰσχὺν τῆι γενομένηι θεοῦ εὐδοκίαι συμβάσει, ὥστε ἐξεῖναι καὶ νῦν ἐκεῖνο τὸ προφητικὸν
Ps. 95, 1 μεθ' ἡδονῆς ἄιδειν λόγιον ἄισατε τῶι κυρίωι ἆισμα καινόν· ἄισατε τῶι κυρίωι, πᾶσα ἡ γῆ. ἐμεγάλυνε κύριος τῶι ὄντι τὴν ἑαυτοῦ χάριν, καὶ ἀποδέδεικται μὲν διὰ
Mt. 19, 26 πάντων ἀεὶ μέν, μάλιστα δὲ νῦν, ὅτι τὰ παρὰ ἀνθρώποις ἀδύνατα παρὰ τῶι θεῶι δυνατά ἐστι. ταῦτα παρ' ἡμῶν ὡς ἐν τάχει δεξάσθω σου ἡ θεοσέβεια· μικρὸν δὲ ὕστερον ἀποσταλήσονται παρ' ἡμῶν οἱ καὶ βαθμοῦ ἐκκλησιαστικοῦ μετέχοντες, οὓς ἂν ὁ κύριος κατευθύνηι. ἤνυσε δ' ἂν τὴν ὁδὸν προθυμότατα καὶ ὁ κύριός μου ὁ θεοσεβέστατος καὶ κοινὸς ἡμῶν ἀδελφὸς ἐπίσκοπος Παῦλος ὁ σὸς θερμὸς ἐραστής, εἰ μὴ συνέβη αὐτὸν ἀπὸ πολλοῦ τῆς ὁδοιπορίας πόνου τὴν ἐσχάτην ὑπομεῖναι ἀσθένειαν, οὗ βαΐσαντος πληρωθήσεται ἡμῶν

15 cf. Coll. Casin. 203

A
26 ἔχοιμεν scripsi ἔχοιεν A ἐκπιμπλάναι scripsi ἐκλιμπάναι A

καὶ οὗτος ὁ σκοπὸς αὐτοῦ τε κἀμοῦ, καλλίστην ἐπιθυμίαν ἐχόντων ἐμοῦ μὲν ἀποστεῖλαι αὐτόν, αὐτοῦ δὲ δραμεῖν καὶ τὴν φίλην ἡμῖν καὶ ἄνωθεν γνησίαν ἀσπάσασθαι κεφαλήν. καὶ γὰρ θεοῦ τῇι χάριτι ἤρκεσεν, ὥσπερ μεμαθήκατε, τοιαύτην ποιῆσαι τῶι κόσμωι συνάφειαν, ὥστε μηδενὶ τὸ λοιπὸν ἐξεῖναι περὶ φρονήματος ἢ δόγματος ἐκκλησιαστικοῦ μηκέτι διαφέρεσθαι, ἀλλὰ στέργειν καὶ ἀγαπᾶν τὴν ἐγγενομένην πληροφορίαν ἡμῖν παρὰ τοῦ κυρίου μου τοῦ ἁγιωτάτου ἐπισκόπου Κυρίλλου καὶ αὐτῶι παρ' ἡμῶν, πρὸς ὃν καὶ συντετέλεσται ἡμῖν μετὰ πάσης ἀκριβείας καὶ τὰ περὶ τῆς καθαιρέσεως τοῦ ἀσεβοῦς Νεστορίου τοῦ πρώην γενομένου ἐπισκόπου τῆς μεγαλωνύμου ἐκείνης πόλεως καὶ πρὸς τὴν σὴν ὁμοίως θεοσέβειαν. ἡμεῖς γὰρ σὲ μὲν καὶ τὴν σὴν θεοφίλειαν ἐπιστάμεθα ἐπίσκοπον ἄξιον τῆς ἐκκλησιαστικῆς προεδρίας, ἐκεῖνον δὲ γεγυμνῶσθαι ταύτης παντελῶς καὶ ἀναθεματίσθαι τὰ φαύλως αὐτῶι λεχθέντα ἢ φρονηθέντα παρά τε τὴν πατρώιαν διδασκαλίαν καὶ τὸ ἀποστολικὸν καὶ εὐαγγελικὸν κήρυγμα. καὶ τὰ νῦν παρ' ἡμῶν ἐκ κοινῆς ὁμολογίας συγκείμενα οἷς ὀφείλουσάν σου τὴν κατὰ θεὸν ἐμμέλειαν ἐντυχεῖν ἀπεστείλαμεν, τὸ ἴσον ὑποτάξαντες τοῖσδε ἡμῶν τοῖς γράμμασι τῶν τε παρ' ἡμῶν πρὸς τὸν ἁγιώτατον καὶ ὁσιώτατον ἐπίσκοπον Κύριλλον ἐπεσταλμένων καὶ τῶν παρ' αὐτοῦ πρὸς ἡμᾶς ὑπηγορευμένων, ἀφ' ὧν καὶ ἔξεστιν ὑμᾶς γνῶναι ὡς ἓν καὶ τὸ αὐτὸ τῆι τοῦ θεοῦ χάριτι σώιζομεν φρόνημα καὶ πᾶσα διχονοίας ἢ ἀμφιβολίας ἀνήιρηται πρόφασις, ὁμόλογα καὶ συμβαίνοντα ἡμῶν ἐκθεμένων καὶ προτεινάντων καὶ δεξαμένων διὰ τοῦ κυρίου μου τοῦ θεοσεβεστάτου ἐπισκόπου Παύλου τῆι ἀποστολικῆι καὶ εὐαγγελικῆι ἐκκλησίαι. V 123. 127

124 Ἀκακίου ἐπισκόπου Βεροίας πρὸς Μαξιμιανὸν ἐπίσκοπον Κωνσταντινουπόλεως

Τῶι ἁγιωτάτωι καὶ ὁσιωτάτωι δεσπότηι ἐμῶι ἀρχιεπισκόπωι Μαξιμιανῶι Ἀκάκιος ἐν κυρίωι χαίρειν. Ἡ ἐπισκοπὴ τῆς σῆς εὐλαβείας οὐκ ἐδεήθη μελλησμοῦ γνωρίζοντος τίς εἶ καὶ τίς ἔσηι, ἀλλὰ δῆλος καὶ καταφανὴς τοῖς πᾶσι κατέστης παραυτὰ τῶι τὴν χάριν τοῦ θεοῦ ἐπὶ σοὶ ἐπισκηνῶσαι, ὡς πᾶν ὁτιοῦν τῆι ἐπισκοπῆι συνοῖσον τῶν ἐν τῶι ἐκκλησιαστικῶι θεσμῶι ἀνελλιπῶς ἐν ἑαυτῶι περιφέρεις, καὶ μετὰ πάντων καὶ πρὸ πάντων δι' ἔργου μετερχόμενος τὸ ἀποστολικὸν λόγιον τὸ φάσκον τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν ἀνθρώποις, ὅπερ διαιρῶν καὶ διασαφῶν ὁ αὐτὸς ἀπόστολος καὶ δεικνύων ὅσος ἐστὶν ὄγκος τῆς τοῦ λόγου περιουσίας καὶ ὅσον τὸ κλέος τῆς ταπεινοφροσύνης, ἐπάγει λέγων· ἡ γνῶσις φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκοδομεῖ. ἀπαιτεῖ γὰρ ἡ ἐπισκοπὴ οὐκ ἐπίδειξιν ῥημάτων, ἀλλ' ἐνέργειαν πραγμάτων· ὅθεν καὶ ὁ μακάριος ἀπόστολος Παῦλος δεικνὺς ὅτι τὸ ἔργον τοῦ λόγου τιμιώτερον, πρὸς Κορινθίους ἐπιστέλλων φάσκει· θέλω πέντε λόγους εἰπεῖν ἐν τῶι νοί μου ἢ μυρίους λόγους ἐν γλώσσηι. ἐπεγένετό δέ που ἐκ περιουσίας τῆι ⟨σῆι⟩ ἐπισκοπῆι καὶ τοῦτο θεοῦ τῆι χάριτι εὐκαίρως, τὰ ἐν τοῖς ἔμπροσθεν οὐκ ἀνεκτὰ καταλαβόντα καὶ τὴν διχόνοιαν ἑκατέροις τοῖς μέρεσιν ἐμποιήσαντα ἐπὶ τῆς σῆς θεοσεβείας σβεσθῆναί τε καὶ ἀποσκεδασθῆναι, πληρουμένου τοῦ ἀποστολικοῦ ῥητοῦ τοῦ φάσκοντος αὐτός ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἓν καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας, τὴν ἔχθραν, ἐν τῆι σαρκὶ αὐτοῦ, τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας, ἵνα τοὺς δύο κτίσηι ἐν ἑαυτῶι εἰς ἕνα καινὸν ἄνθρωπον, ποιῶν εἰρήνην, καὶ ἀποκαταλλάξηι ἐν ἑνὶ τοὺς ἀμφοτέρους σώματι καὶ τὰ ἑξῆς. καὶ ἀπελάβομεν θεοῦ χάριτι πάντες πάντας, ἀναθεματίσαντες τὸν ἀσεβῆ Νεστόριον, μιᾶι πίστει, μιᾶι ἐλπίδι, μιᾶι ἀγάπηι. ὅπως δὲ καὶ τίνα τρόπον ἡ τοῦ θεοῦ χάρις τὴν εἰρήνην τῆι καθόλου ἐκκλησίαι ἐβράβευσε, μεσιτεύσασα ἑκατέροις τοῖς μέρεσι, τῶι τε πάντα ἁγιωτάτωι ἐπισκόπωι Κυρίλλωι καὶ τῶι Phil. 4, 5 1 Cor. 8, 1 1 Cor. 14, 19 Eph. 2, 14-16

A

13 οἷς] coniecerim ὡς πρὸς 16 ὑφ' A 20 βερροίασ A 33 σῆι addidi

τὰ πάντα θεοφιλεστάτωι ἐπισκόπωι Παύλωι, συμπαρόντος τοῦ θαυμασιωτάτου καὶ φιλοχρίστου Ἀριστολάου τοῦ τριβούνου καὶ νοταρίου, παρόντος δὲ κἀμοῦ αὐτοῖς τῆι τοῦ ἐπι-
ep. 105 στολιμαίου γράμματος ἐγχαραγῆι καὶ εἰσηγουμένου τὰ δυνατά, δι' οἰκείου μὲν γράμματος ὁ
V 131 ἁγιώτατος καὶ θεοφιλέστατος ἐπίσκοπος Κύριλλος, ὡσαύτως δὲ καὶ ὁ τὰ πάντα πιστότατος καὶ εὐγενέστατος Ἀριστόλαος ὁ νοτάριος καὶ τριβοῦνος, ὧι πλείστας χάριτας ὁμολογοῦμεν ἱκανῶς ἡμῖν δυστραπέλου οὔσης τῆς ὑποθέσεως συμπεριενεχθέντι καὶ τὰ δυνατὰ συνενεγκαμένωι, διὰ ζώσης φωνῆς διδάξουσί σου ἀνελλιπῶς τὴν θεοσέβειαν. ταῦτα ἐχρῆν μετὰ τῆς ἐγκυκλίου ἐπιστολῆς τῆς παρὰ τῆς ἡμετέρας μικρότητος γραφείσης ἰδικῶι γράμματι ἐνθέντας ἡμᾶς διαπέμψασθαί σου τῆι ἁγιωσύνηι, ἧς ἐγκυκλίου ἐπιστολῆς περιεχούσης τά τε γενόμενα σκυθρωπὰ καὶ τὰ ἐπιγενόμενα φαιδρὰ χρὴ τοὺς ἐγγὺς καὶ τοὺς μακρὰν ἀδελφούς τε καὶ συνεπισκόπους ἐπακοῦσαι, προσέτι δὲ καὶ τοὺς ἐν οἱωιδήποτε ἐπιτηδεύματι ἐν καιρῶι τὴν συμπάθειαν ἐπιδειξαμένους καὶ νῦν τὸ ἀποστολικὸν ἀπενεγκαμένους ῥητὸν τὸ φάσκον·
Rom. 6, 8 εἰ ἀπεθάνομεν σὺν Χριστῶι, πιστεύομεν ὅτι καὶ συζήσομεν αὐτῶι.
ἥντινα ἐπιστολὴν ⟨τὴν⟩, πέπεισμαι, τὰ εἰς εἰρήνην καὶ ὁμόνοιαν, προσέτι δὲ καὶ ἀγαλλίασιν συντείνοντα πᾶσιν ὁμοῦ μνηστευομένην προστάξειας τοῖς ἐγγὺς καὶ τοῖς μακρὰν θεοσεβεστάτοις ἐπισκόποις διαπεμφθῆναι.

125 = V 131 Κυρίλλου πρὸς τὸν αὐτὸν Μαξιμιανὸν σταλεῖσα διὰ Ἀριστολάου

126 Τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν ἐπιστολὴ δευτέρα

Κυρίωι μου ἀγαπητῶι ἀδελφῶι καὶ συλλειτουργῶι Μαξιμιανῶι Κύριλλος ἐν κυρίωι
cf. ep. 117 χαίρειν. Γράφουσι πρός με οἱ ἀγαπητοί μου οἱ κληρικοὶ ὡσανεὶ τῆς σῆς θεοσεβείας τάχα που καὶ λελυπημένης ὅτι μὴ γέγραφα τίνα τρόπον συντέθειται τὰ τῆς εἰρήνης τῶν ἁγίων ἐκκλησιῶν. ἐγὼ δὲ οὐχ οὕτως εἰμὶ ῥάθυμος περὶ τὰ ἀναγκαῖα τῶν πραγμάτων, ὡς ἐλέσθαι σιγᾶν καὶ μὴ διδάσκειν ἕκαστα σαφῶς οὓς χρὴ ταῦτα εἰδέναι, καὶ πρό γε τῶν ἄλλων τὴν σὴν ὁσιότητα. ἐγράψαμεν οὖν ἀπαραλείπτως καὶ διὰ τοῦ κυρίου μου τοῦ θαυμασιωτάτου τριβούνου καὶ νοταρίου Ἀριστολάου· ἐπειδὴ δὲ τεθρυλήκασι τινὲς ὡς δόξαν ἅπασιν ἡμῖν τε καὶ τοῖς κατὰ τὴν Ἀνατολὴν μόνωι συνθέσθαι τῶι συμβόλωι τῶι ἐκτεθέντι παρὰ τῶν ἁγίων καὶ ἀοιδίμων ἡμῶν πατέρων ἐν τῆι Νικαέων, ἀθετουμένων πάντων ὧν γεγράφαμεν κατὰ τῶν μιαρῶν Νεστορίου δογμάτων, καὶ τάχα που τινὲς ἐπὶ τούτωι καὶ ἐσκανδαλίσθησαν, δεῖν ὠιήθην καὶ διὰ τοῦδε τοῦ γράμματος τὴν σὴν διδάξαι τελειότητα. οὐ γὰρ ἀθετήσαντες τὰ ἑαυτῶν συναινοῦμεν τῶι συμβόλωι τῆς ὀρθῆς πίστεως, ἀλλὰ κἀκεῖνα γεγράφαμεν κατὰ σκοπὸν τρέχοντες τῶν ἁγίων πατέρων, οἳ καὶ τὸ τῆς πίστεως ἡμῖν τεθεσμοθετήκασι σύμβολον. ἴσμεν δὲ ὅτι ὀρθοποδοῦμεν ἀληθῶς καὶ οὐκ ἔξω τῆς εὐθείας ἐσμὲν ὁδοῦ, κανόνα τῆς εἰς πᾶν ὁτιοῦν ἀκριβείας τοὺς ἐκείνων ποιούμενοι λόγους. γεγράφασι μὲν γὰρ ἐν ἀρχαῖς οἱ ἐκ τῆς Ἀνατολῆς, μᾶλλον δὲ παρεσκεύασαν γράψαι τὸν
ep. 105 κύριόν μου τὸν τὰ πάντα ὁσιώτατον ἐπίσκοπον τῆς Βεροιαίων Ἀκάκιον ὅτι πᾶσιν ἀρέσκει μόνωι συνθέσθαι τῶι συμβόλωι καὶ ἀκυρῶσαι τὰς ἐπιστολὰς καὶ τοὺς τόμους οὓς γεγράφαμεν ταῖς Νεστορίου κενοφωνίαις ἀντανιστάντες τὴν ἀλήθειαν. ἐγὼ δὲ πρὸς τοῦτο μειδιάσας ἔφην ὅτι εἰ ἀφανίζομεν τὰ ἑαυτῶν, καταγινώσκομεν τῆς ἑαυτῶν πίστεως, καὶ οὔτε συνεθέμην οὔτε ἠκύρωσά τι τῶν γεγραμμένων· γέγραπται γὰρ ὀρθῶς καὶ μετὰ τῆς ἀληθείας. ἐπειδὴ δὲ ἦλθεν εἰς τὴν Ἀλεξάνδρειαν ὁ εὐλαβέστατος ἐπίσκοπος Παῦλος ὁ

A
10 φαιδρὰ scripsi σφοδρὰ A 14 τὴν addidi 15 μνηστευομένην scripsi μνηστευόμενος A

AJ
18 β̄ J 21 μὴ A μὲν J 26 τε] τὸ A 35 βερροιαίων AJ 39 γραμμάτων J

τῆς Ἐμίσης, φάσκων ἑτοίμως ἔχειν ἅπαντας καὶ ἀναθεματίζειν τὰ Νεστορίου δόγματα καὶ καταδέχεσθαι τὴν καθαίρεσιν αὐτοῦ, ἀναγκαίως τὰ τῆς κοινωνίας ἔδοξεν ἐπὶ τούτοις βεβαιωθῆναι, κατ' οὐδένα τρόπον τοῦ συμβόλου τῆς πίστεως ἀδικουμένου παρά τινος. καὶ γὰρ καὶ ἡ ἁγία σύνοδος ἡ ἐν τῇι Ἐφέσωι συναχθεῖσα πάλιν τὸ σύμβολον τῆς πίστεως ἐβεβαίωσε καὶ Νεστορίου κατεψηφίσατο τὴν καθαίρεσιν, ὡς παρερμηνεύοντος αὐτοῦ καὶ εἰς τὸν ἴδιον περιέλκοντος σκοπὸν τὴν ὀρθῶς καὶ ἐξητασμένως ἐκτεθεῖσαν τῆς πίστεως ὁμολογίαν παρὰ τῶν ἁγίων ἡμῶν πατέρων. μὴ τοίνυν σκανδαλιζέσθωσαν τινὲς ὅτι βέβαιον ὁμολογοῦμεν τηρεῖν τὸ τῆς πίστεως σύμβολον, ἐν ὧι καὶ ἐβαπτίσθημεν, ἀλλ' ἐννοείτωσαν ὅτι τοὺς μὴ τηροῦντας αὐτὸ ταῖς ἐννομωτάταις ὑποφέρουσι ψήφοις οἱ τῶν ἁγίων ἐκκλησιῶν κατὰ καιροὺς τὴν φροντίδα πεπιστευμένοι παρὰ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ.

Πρόσειπε τὴν παρὰ σοὶ ἀδελφότητα· σὲ ἡ σὺν ἡμῖν ἐν κυρίωι προσαγορεύει.

127 = V 128 Τοῦ αὐτοῦ πρὸς Ἀκάκιον Μελιτηνῆς μεμψάμενον αὐτῶι ὅτι συνέθετο

128 = R 29 Totius epistulae uersio Latina extat in Collectione Casinensi 183, partis prioris usque ad 27 καλλύνεται in Actis Concilii quinti coll. V

Θεοδωρήτου πρὸς Ἰωάννην ἐπίσκοπον Ἀντιοχείας

Ὁ πάντα σοφῶς πρυτανεύων θεὸς καὶ τῆς ἡμετέρας προμηθούμενος ὁμονοίας καὶ τῆς τῶν λαῶν κηδόμενος σωτηρίας συναθροισθῆναι ἡμᾶς κατὰ ταὐτὸν παρεσκεύασεν καὶ συμφώνους ἀλλήλοις τὰς ἁπάντων ἔδειξε γνώμας. ἐν κοινῶι γὰρ ἀναγνόντες τὰ Αἰ- V 127
γύπτια γράμματα καὶ ἐξετάσαντες αὐτῶν ἀκριβῶς τὴν διάνοιαν, εὕρομεν σύμφωνα τοῖς ⟨παρ' ἡμῶν⟩ εἰρημένοις τὰ ἐκεῖθεν ἀπεσταλμένα καὶ ἄντικρυς ἐναντία τοῖς δώδεκα κεφαλαίοις, οἷς μέχρι τοῦ παρόντος ὡς ἀλλοτρίοις τῆς εὐσεβείας πολεμοῦντες διετελέσαμεν. ἐκεῖνα μὲν γὰρ εἶχεν σαρκικῶς σάρκα γεγονότα τὸν ἐκ θεοῦ λόγον καὶ καθ' ὑπόστασιν ἕνωσιν καὶ σύνοδον τὴν καθ' ἕνωσιν φυσικὴν καὶ τὸν θεὸν λόγον πρωτότοκον γεγενημένον ἐκ νεκρῶν, ἀπηγόρευε δὲ καὶ τῶν περὶ τοῦ κυρίου φωνῶν τὴν διαίρεσιν, καὶ ἕτερα δὲ πρὸς τούτοις εἶχεν τῶν μὲν ἀποστολικῶν σπερμάτων ἀλλότρια, τῶν δὲ αἱρετικῶν ζιζανίων βλαστήματα· τὰ δὲ νῦν ἐπεσταλμένα τῆι εὐαγγελικῆι εὐγενείαι καλλύνεται. θεὸς γὰρ τέλειος καὶ ἄνθρωπος τέλειος ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ἐν αὐτοῖς ἀναγορεύεται καὶ φύσεις δύο καὶ τούτων διαφορὰ καὶ ἕνωσις ἀσύγχυτος οὐ κατὰ κρᾶσιν καὶ φυρμόν, ἀλλ' ἀπορρήτως καὶ θεοπρεπῶς γενομένη καὶ τῶν φύσεων τὰς ἰδιότητας ἀκράτους διαφυλάξασα, καὶ ἀπαθὴς μὲν ὁ θεὸς λόγος καὶ ἄτρεπτος, παθητὸς δὲ ὁ ναὸς καὶ τῶι θανάτωι πρὸς ὀλίγον παραδοθεὶς καὶ πάλιν τῆι δυνάμει τοῦ ἐνωθέντος θεοῦ ἐγερθεὶς καὶ τὸ πνεῦμα τὸ

---

128 Primus ex R edidit Leo Allatius in Vindiciis synodi Ephesinae p. 137, deinde J. B. Cotelier e X_1 in Ecclesiae graecae monumentis 1, 48, denique I. Garnier in Auctario Theodoreti p. 93

A

1 ἐμέσης J 7 ὁμολογίαν A ὁμόνοιαν J

ARX_1 Λ^c Λ^s

16 inscr. ex AX_1 ἴσον ἐπιστολῆς θεοδωρήτου πρὸς ἰωάννην ἐπίσκοπον ἀντιοχείας R ἐπίσκοπον om. X_1 16 σαφῶς X_1 18 καταυτὸν R 21 παρ' ἡμῶν addidi ex Λ^s ἀφ' ἡμῶν Cotelier 22 παρόντος $R\Lambda^{cs}$ πέρατος AX_1 25 ἀπηγόρευσεν R δὲ^2 om. R 26 σπερμάτων ARX_1 δογμάτων Λ^c om. Λ^s τῶν δετῶν R 28 ιῦ χῦ X_1 29 διαφορὰ om. X_1 30 ἀκράτους scripsi ἀκρατῶς ARX_1 *integras* Λ^o

ἅγιον οὐκ ἐξ υἱοῦ ἢ δι' υἱοῦ τὴν ὕπαρξιν ἔχον, ἀλλ' ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, ἴδιον δὲ υἱοῦ ὡς ὁμοούσιον ὀνομαζόμενον. ταύτην τὴν ὀρθότητα ἐν τοῖς γράμμασιν θεασάμενοι καὶ ἐναντίαν ἐκ διαμέτρου τοῖς ἤδη πρότερον γραφεῖσιν εὑρόντες, ὑμνήσαμεν τὸν
Ies. 32, 4 τὰς ψελλιζούσας γλώσσας ἰατρεύοντα καὶ τὸν ἀπηχῆ φθόγγον εἰς ἠχὴν ἡδεῖαν μεταρρυθμίζοντα.

129 = V 129 Κυρίλλου πρὸς Δυνατὸν ἐπίσκοπον Νικοπόλεως Παλαιᾶς Ἠπείρου

130 Τοῦ αὐτοῦ ἐπιστολὴ πρὸς Εὐσέβιον πρεσβύτερον

Τὴν μὲν παρὰ τῆς σῆς εὐλαβείας ἐπιστολὴν ἀνέγνων, εὗρον δὲ λελυπημένην ὡσανεὶ τῆς εἰρήνης τῶν ἐκκλησιῶν συντεθείσης οὐ κατὰ λόγον ἐτεκμηράμην τε ὅτι ἐξ ἀγάπης κεκίνηται τὸ σὸν ἐπιεικές, οὐ μὴν ἔοικεν ἀκριβῶς εἰδέναι τὰ δόξαντα. περιφέρουσι μὲν γάρ, ὡς μανθάνω, τινὲς ἐπιστολὰς ὡς πρός με γραφείσας παρὰ τοῦ εὐλαβεστάτου καὶ θεοσεβεστάτου ἐπισκόπου Ἰωάννου, εἰκὸς δὲ αὐτὰς ἢ πεπλασμένας εἶναι ἢ καὶ προσθήκας ἔχειν τὰς τοῖς φρονοῦσι τὰ Νεστορίου καθ' ἡδονήν. ἐγὼ γὰρ κατὰ τὸ δόξαν τῇι ἁγίαι συνόδωι ἐν τῇι Ἐφεσίων μητροπόλει οὐ πρότερον αὐτῶι τὴν κοινωνίαν ἀποδέδωκα, εἰ μὴ
V 123 ἀνεθεμάτισεν ἐγγράφως τὰ Νεστορίου δόγματα καὶ ὡμολόγησεν ἔχειν αὐτὸν καθηιρημένον καὶ συνέθετο τῇι χειροτονίαι τοῦ εὐλαβεστάτου καὶ θεοσεβεστάτου ἐπισκόπου Μαξιμιανοῦ· κεκμηκότος δὲ μυρία τοῦ θεοσεβεστάτου ἐπισκόπου τῆς Ἐμεσηνῶν Παύλου περὶ τῶν καθηιρημένων, Ἑλλαδίου τε φημὶ καὶ Εὐθηρίου καὶ Δωροθέου καὶ Ἱμερίου, καὶ παρακαλοῦντος μετὰ τῆς εἰρήνης τῶν ἐκκλησιῶν καὶ τὴν κατ' αὐτοὺς ὑπόθεσιν τύπον σχεῖν, ἔφην ἀπροκρίτως ὅτι οὐδένα τῶν καθηιρημένων ἐγὼ ποιοῦμαι λόγον, ἀλλ' ἐν τούτωι δεῖ μένειν αὐτοὺς τῶι σχήματι ἐν ὧι καὶ νῦν εἰσι. συγκεχώρηκα δὲ τὴν εἰς ἐμὲ γενομένην παρ' αὐτῶν ὕβριν· οὐ γὰρ ἦν ἀκόλουθον ταύτης ἕνεκα καὶ μόνης τῆς αἰτίας εἰς διχόνοιαν τέμνεσθαι τὰς ἐκκλησίας, τοῦ ἀναγκαιοτέρου πρὸς πέρας ἀγομένου, φημὶ δὴ τοῦ ἀναθεματισθῆναι τὰ Νεστορίου δόγματα καὶ ὁμολογῆσαι τὴν καθαίρεσιν αὐτοῦ τοὺς οὐκ ἀνασχομένους πάλαι
V 123 τοῦτο ποιῆσαι. ὡμολόγησαν δὲ ἐγγράφως ὅτι θεοτόκος ἐστὶν ἡ ἁγία παρθένος καὶ ὅτι αὐτὸς ὁ πρὸ παντὸς αἰῶνος γεννηθεὶς ἐκ τοῦ πατρὸς υἱὸς μονογενὴς ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς ἐγεννήθη κατὰ σάρκα ἐκ γυναικὸς καὶ ὅτι ἓν τοῦ υἱοῦ τὸ πρόσωπον καὶ ὅτι τὰς ἀποστολικὰς καὶ εὐαγγελικὰς φωνὰς ἐφαρμόζουσιν οἱ θεολόγοι τὰς μὲν τῇι θεότητι αὐτοῦ, τὰς δὲ τῇι ἀνθρωπότητι πάλιν αὐτοῦ. Νεστόριος μὲν γὰρ διαιρῶν εἰς δύο τὸν ἕνα υἱὸν καὶ Χριστὸν καὶ κύριον ἄνθρωπον ἰδικῶς ἐτίθει καὶ κατὰ μόνας υἱὸν καὶ τὸν ἐκ θεοῦ λόγον ἰδικῶς καὶ κατὰ μόνας ἕτερον υἱὸν καὶ ἔφασκεν ὅτι αἳ μὲν τῶν φωνῶν τοῦ ἀνθρώπου εἰσίν, αἳ δὲ τοῦ θεοῦ λόγου· ἡ δὲ ὀρθὴ περὶ Χριστοῦ γνῶσις οὐχ οὕτως ἔχει. ἕνα γὰρ ἴσμεν υἱὸν καὶ Χριστὸν καὶ κύριον, τὸν αὐτὸν θεὸν καὶ ἄνθρωπον, καὶ αὐτοῦ φαμὲν εἶναι καὶ τὴν θεότητα, αὐτοῦ δὲ ὁμοίως καὶ τὴν ἀνθρωπότητα· λαλεῖ γὰρ ποτὲ μὲν ὡς θεὸς θεοπρεπῶς, ποτὲ δὲ ὁ αὐτὸς ὡς ἄνθρωπος ἀνθρωποπρεπῶς. ὁμολογησάντων

---

1. 2 περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου πνεύματος ἐκ θεοῦ πατρὸς μόνου, καὶ οὐχὶ δὲ ἐκ τοῦ υἱοῦ, ὡς οἱ λατῖνοι φρονοῦσιν Ar in mg

5 plura secuntur in Ac

130 Primus edidit Gallandi in Bibl. patr. XIIII app. 150

ARX$_1$Acs

4 in fine add. Garnier ταύταισ ὑμῶν ἐντυχόντες — παρ' ὑμῖν ἐκκλησίαι quae desumpta sunt ex ep. V 127 [uol. I 4 p. 17, 21—25]

AU

8 ὡσανεὶ U ὡσ ἂν A 9 τὲ U μὲν A 10 κεκίνητο U 19 ἔχειν U 21 νῦν εἰσι U σύνεισι A 22 διχονοίασ A 25 καὶ θεοτόκος U 30 καὶ^2 om. A

τοίνυν ταῦτα ἐκείνων πῶς οὐ περιττὸν ἦν ἔτι τὸ φιλονεικεῖν τοὺς μὴ θέλοντας κρατῆσαι σχίσμα καὶ εἰς αἵρεσιν ἀποκλῖναι τὰς κατὰ τὴν Ἀνατολὴν ἐκκλησίας; γένοιτο δὲ καὶ τοὺς ἄλλους ἅπαντας οὕτω διατεθῆναι· Ἑλλάδιος γὰρ ὁ ἐν τῇι Ταρσῶι καὶ ἕτεροί τινες εἰ καὶ μὴ φρονοῦσιν ὀρθῶς, οὐδὲν τοῦτο πρὸς τοὺς ὀρθὰ φρονεῖν ἠιρημένους. οἰχέσθωσαν γάρ, εἰ βούλονται, δύο καὶ τρεῖς, τῶν ἁπανταχοῦ ἐκκλησιῶν μίαν καὶ τὴν αὐτὴν ἐχουσῶν πίστιν. μὴ ἀγνοείτω δὲ μηδὲ τοῦτο ἡ σὴ θεοσέβεια. ἐλθὼν γὰρ εἰς τὴν Ἀλεξάνδρειαν ὁ μνημονευθεὶς ἐπίσκοπος Παῦλος τῆς Ἐμισηνῶν ἔφασκεν ὅτι κατεψεύσαντο τινὲς τῆς σῆς εὐλαβείας ὡς παθητὴν λεγούσης τὴν τῆς θεότητος φύσιν καὶ ὅτι ἐξ οὐρανοῦ κατήνεγκε τὴν ἑαυτοῦ σάρκα ὁ λόγος καὶ ὅτι μεταβολὴν ὑπέμεινεν εἰς τὴν τῆς σαρκὸς φύσιν. ἔδει τοίνυν τὰς τῶν ψευδηγόρων ἀπάτας φανερὰς γενέσθαι τοῖς ἐπιεικεστέροις, ἵνα μὴ ταῦτα θρυλούντων ἐκείνων σκανδαλίζωνται. διὰ τοῦτο γράφων πρὸς τὸν θεοσεβέστατον τῆς V 127 Ἀντιοχέων ἐπίσκοπον Ἰωάννην ἐγέλασα τὰς ἐκείνων διαβολάς· οὔτε γὰρ ἐκ μεταβολῆς πρὸς τὸ οὕτω φρονεῖν ἀφῖγμαι οὔτε δὲ ἐν τόμωι ἢ ἐπιστολῆι οὔτε ἐν βιβλίωι εὑρίσκομαί τι τοιοῦτο πώποτε εἰρηκώς. τὸ δὲ τῆς συνουσιώσεως ὄνομα οὐδὲ ὅ τί ποτέ ἐστιν, ἴσμεν ὅλως. εἰκὸς δὲ τοὺς τοιαῦτα γράφοντας ἐκεῖσε ἀπολογουμένους περὶ τῆς προπετείας τῆς ἐν τῆι Ἐφέσωι καθ' ἡμῶν γενομένης εὑρεσιλογεῖν τοιαῦτά τινα, ἵνα μὴ δοκοῖεν κεκινῆσθαι μάτην· ἐλέγχει γὰρ αὐτοὺς τὸ συνειδός. ἀπολογείσθω τοίνυν ἡ σὴ εὐλάβεια τοῖς ἕτερα ἀνθ' ἑτέρων ἐκεῖσε λαλοῦσι· πάντα γὰρ γέγονεν ἀσφαλῶς. ὁ δὲ ἀγαπητὸς Κάσιος ὁ διάκονος εἷς ἐστι τῶν ἀπελθόντων ἐν Ἀντιοχείαι καὶ εἰπεῖν δύναται ὅσας ἡμέρας ἐκεῖ πεποίηκεν οὐκ ἀποδιδοὺς αὐτῶι τὰ τῆς κοινωνίας γράμματα, εἰ μὴ πρότερον ἐχειρογράφησε περὶ πάντων τούτων.

131 = V 132 Τοῦ αὐτοῦ πρὸς Εὐλόγιον πρεσβύτερον Ἀλεξανδρείας στατίζοντα ἐν Κωνσταντινουπόλει

132 = V 133 Τοῦ αὐτοῦ ἐπιστολὴ πρὸς Ἰωάννην τὸν Ἀντιοχείας ἐπίσκοπον καὶ τὴν συναχθεῖσαν ἐκεῖ σύνοδον

133 = R 46 Πρόκλου ἐπισκόπου Κωνσταντινουπόλεως πρὸς Ἀρμενίους περὶ πίστεως. edidi in appendice t. IIII 2

134 = V 119 Κυρίλλου ἴσον ἐπιστολῆς γραφείσης πρὸς τὸν εὐλαβέστατον ἐπίσκοπον Οὐαλεριανόν

135 = V 171 Τοῦ αὐτοῦ ὑπομνηστικὸν πρὸς τὸν μακαριώτατον ἐπίσκοπον Σούκενσον τῆς Διοκαισαρέων τῶν κατὰ τὴν Ἰσαύρων ἐπαρχίαν περὶ πίστεως

136 = V 172 Ἀντίγραφον πρὸς τὰς πεύσεις ἡμῶν παρὰ τοῦ αὐτοῦ Κυρίλλου πρὸς τὸν αὐτὸν Σούκενσον

137 = V 22 Τοῦ ἁγίου Κυρίλλου

138 = V 23 Ἴσον σάκρας γραφείσης πρὸς Ἀκάκιον τὸν Βερροιαίων καὶ Συμεῶνα τὸν Ἀντιοχείας ἀναχωρητὴν καὶ ἄλλας ἐπαρχίας ἰδίαι ἑκάστωι

139 = V 26 Κυρίλλου ἐπιστολὴ πρώτη ἀπὸ Ῥόδου σταλεῖσα πρὸ τοῦ ἀπαντῆσαι εἰς τὴν σύνοδον

140 = V 27 Τοῦ αὐτοῦ δευτέρα πρὸς τοὺς αὐτοὺς μεθ' ὃ κατήντησεν

Inter 136 et 137 spatium non paruum relictum in A

AU

1 τὸ om. A 2 ἀποκλεῖναι U 7 ἐμεσηνῶν U 10 γενέσθαι φανερὰς A 11 θρυλλούντων U 14 οὐδὲν U

141 = V 29 Τοῦ αὐτοῦ πρὸς τοὺς αὐτοὺς ἀπὸ Ἐφέσου

142 = V 69 Ἐπιστολὴ τῆς ἁγίας συνόδου πρὸς τὸν κλῆρον καὶ τὸν λαὸν Κωνσταντινουπόλεως

143 = V 70 Ὁμιλία Ῥηγίνου ἐπισκόπου Κύπρου ῥηθεῖσα ἐν Ἐφέσωι μετὰ τὴν καθαίρεσιν Νεστορίου

144 = V 72 Ὁμιλία Θεοδότου ἐπισκόπου Ἀγκύρας εἰς τὴν γέννησιν τοῦ σωτῆρος ἀναγνωσθεῖσα ἐν τῆι συνόδωι ἐπὶ τοῦ ἐπισκόπου Κυρίλλου

145 = V 73 Ἑτέρα τοῦ αὐτοῦ λεχθεῖσα ἐν τῆι ἡμέραι τῆς γεννήσεως τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὑπανεγνώσθη δὲ καὶ αὐτὴ ἐν τῆι αὐτῆι συνόδωι

146 = V 74 Ἀκακίου ἐπισκόπου Μελιτηνῆς ὁμιλία λεχθεῖσα ἐν Ἐφέσωι

147 = V 97 Ἐπιστολὴ τῶν ἐν Χαλκηδόνι ὄντων ἐκ τῶν ἀποσχισάντων πρὸς τοὺς ἐν Ἐφέσωι

148 = V 99 Synodi epistula ad Eulalium Entrechium Acacium Chrysaphium Hieremiam Theodulum Esaiam

149 = V 109 Βασιλικὸν θέσπισμα τὸ δηλοῦν καὶ ἐξορίζον Νεστόριον

150 = V 110 Ἀντίγραφον ἑρμηνείας βασιλικοῦ θεσπίσματος γραφέντος πρὸς Ἰσίδωρον ἔπαρχον πραιτωρίων καὶ ὕπατον περὶ τῆς ἐξορίας Νεστορίου

151. 152 = V 111. 112 Ἀντίγραφον θείου νόμου

153 = V 113 Ἐπιστολὴ συνοδικὴ γραφεῖσα ἀπὸ Κωνσταντινουπόλεως

154 = V 116 Alypii presbyteri epistula ad Cyrillum

155 = V 134 Ἴσον ἐπιστολῆς τοῦ ἁγίου Κυρίλλου πρὸς Ἀκάκιον ἐπίσκοπον περὶ τοῦ ἀποπομπαίου

156 = V 137 Βασιλικὸς νόμος περὶ τῶν προσφευγόντων ἐν ἐκκλησίαι

157 = V 138 Ἴσον θείου θεσπίσματος τοῦ εὐσεβεστάτου βασιλέως Θεοδοσίου κατά τε Πορφυρίου καὶ Νεστοριανῶν καὶ κατὰ Εἰρηναίου τοῦ Τυρίων ἐπισκόπου

158 = V 139 Διάταγμα προτεθὲν παρὰ τῶν ἐπάρχων μετὰ τοῦ θείου πραγματικοῦ κατὰ Πορφυρίου καὶ Εἰρηναίου

159 = V 150 Τοῦ ἁγίου Κυρίλλου προσφωνητικὸς ταῖς εὐσεβεστάταις δεσποίναις

160 = V 143 Δέησις Βασιλείου διακόνου καὶ λοιπῶν μοναχῶν

161 = V 144 Κυρίλλου ἐπισκόπου Ἀλεξανδρείας ἐπιστολὴ πρὸς Κελεστῖνον ἐπίσκοπον Ῥώμης

162 = V 145 Τοῦ αὐτοῦ καὶ τῆς αὐτῆς συνόδου πρὸς τοὺς ἐν Κωνσταντινουπόλει μοναχούς

163 = V 146 Ἀναφορὰ Νεστορίου καὶ τῶν σὺν αὐτῶι ἐπισκόπων πρὸς τὸν βασιλέα περὶ τῶν πεπραγμένων παρὰ τῆι ἁγίαι συνόδωι γροφεῖσα πρὸ τοῦ παραγενέσθαι ἐν Ἐφέσωι τὸν Ἀντιοχείας ἐπίσκοπον

164 = V 151 Ὑπομνήματα πραχθέντα παρὰ τοῖς Ἀνατολικοῖς ἐπισκόποις, ἐν οἷς καθαιροῦσι Κύριλλον καὶ Μέμνονα τοὺς ἁγιωτάτους καὶ ἀκοινωνήτους ποιοῦσι πάντας τοὺς τῆς ἁγίας συνόδου

165 = V 152 Γράμμα τῶν αὐτῶν τὸ τῆς ἀκοινωνησίας σταλὲν τῆι ἁγίαι συνόδωι

166 = V 153 Ἀναφορὰ τῶν αὐτῶν πρὸς τὸν βασιλέα, δι' ἧς ἐμήνυσαν τὰ παρ' αὐτοῖς πραχθέντα καὶ τὴν αἰτίαν τοῦ βράδους τῆς ἀφίξεως τοῦ Ἀντιοχείας ἐπισκόπου

167 = V 154 Ἀναφορὰ πρὸς τὸν βασιλέα Ἰωάννου ἐπισκόπου Ἀντιοχείας καὶ τῶν σὺν αὐτῶι, ἣν ἀντέγραψαν διὰ Παλλαδίου μαγιστριανοῦ

168 = V 155 Ἐπιστολὴ τῶν αὐτῶν πρὸς τὸν Κωνσταντινουπόλεως κλῆρον

169 = V 156 Ἐπιστολὴ τῶν αὐτῶν πρὸς τὴν ἐν Κωνσταντινουπόλει σύγκλητον

170 = V 157 Ἐπιστολὴ τῶν αὐτῶν πρὸς τὸν ἐν Κωνσταντινουπόλει λαόν

171 = V 158 Ἀναφορὰ τῆς Ἀνατολικῆς συνόδου πρὸς τὸν καλλίνικον βασιλέα δηλοῦσα καὶ αὖθις τὴν γεγενημένην καθαίρεσιν Κυρίλλου καὶ Μέμνονος

172 = V 159 Ἀναφορὰ τῶν αὐτῶν πρὸς τὸν εὐσεβέστατον βασιλέα ἥνπερ ἔδωκαν μετὰ τῆς ἀναφορᾶς τῆς προγεγραμμένης τῶι μεγαλοπρεπεστάτωι κόμητι Εἰρηναίωι

173 = V 160 Ἀναφορὰ τῶν αὐτῶν πρὸς τὰς βασιλίδας

174 = V 161 Ἐπιστολὴ τῶν αὐτῶν πρὸς τὸν ἔπαρχον καὶ τὸν μάγιστρον ὁμοίως

175 = V 162 Ἐπιστολὴ τῶν αὐτῶν πρὸς τὸν πραιπόσιτον καὶ Σχολαστίκιον ὁμοίως

176 = V 163 Ἀναφορὰ τῶν Ἀνατολικῶν πρὸς τὸν βασιλέα ἧς προέταξαν τὸ σύμβολον τῶν ἐν Νικαίαι ἁγίων πατέρων ἀναγαγόντες τὰ ὑπὸ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τυπωθέντα ἐπὶ τοῖς προδοθεῖσιν αὐτῆι λιβέλλοις παρὰ Κυρίλλου καὶ Μέμνονος τῶν ἁγιωτάτων, ἥτις ἐστάλη Εἰρηναίωι κόμητι καὶ δι' αὐτοῦ ἀπεδόθη

177 = V 164 Ἐπιστολὴ γραφεῖσα παρὰ τοῦ κόμητος Εἰρηναίου πρὸς τοὺς Ἀνατολικοὺς περὶ τῶν ἐπὶ τῆι ὑποθέσει πραχθέντων μετὰ τὴν εἴσοδον αὐτοῦ τὴν ἐν Κωνσταντινουπόλει καὶ τὴν ἀπόδοσιν τῆς ἀναφορᾶς

Quae secuntur laciniae, pertinent **ad Nicephori patriarchae epistulam ad Leonem papam III**, cf. I 4 p. VII

A

175 σχολαστικὸν A 176 κόμοτι A

COLLECTIONES MINORES

U = Codex Vallicellianus C 4 s. XIIII

E = Codex Vaticanus 504 s. XII

H = Codex Musei Britannici Arundelianus 529 s. XII

X = Codex Parisinus 1115 s. XII

COLLECTIO U

1. Κυρίλλου ἐπιστολὴ γραφεῖσα πρός τινα ζηλωτὴν περὶ τοῦ αὐτοῦ Νεστορίου = V 20
2. Τοῦ αὐτοῦ πρὸς Εὐλόγιον πρεσβύτερον Ἀλεξανδρείας στατίζοντα ἐν Κωνσταντινουπόλει = V 132
3. Τοῦ αὐτοῦ ἐπιστολὴ δευτέρα πρὸς Νεστόριον = V 4
ὁ δὲ αὐτὸς τοῦ ἀϊδίου πατρὸς μονογενὴς ἀΐδιος ἐτέχθη ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου, ἥτις γέννησις χρονικὴ τῆς θείας αὐτοῦ καὶ ἀϊδίου γεννήσεως οὔτε τι ἀπεμείωσεν οὔτε μήν τι ταύτηι προσέθηκεν, ἀλλ' ὅλην ἑαυτὴν εἰς τὸ σῶσαι τὸν ἄνθρωπον πεπλανημένον ἐκένωσεν, ἵνα καὶ τὸν θάνατον νικήσηι καὶ τὸν διάβολον τὸν τὸ κράτος Hebr. 2, 14
ἔχοντα τοῦ θανάτου τῆι οἰκείαι καταβάλληι δυνάμει. οὐδὲ γὰρ ἂν ἠδυνήθημεν νικῆσαι 30

MpSM¹BHXp¹NJWRVUZ, K [= dl, m inde a 17 κοινὴν, u], Tim.¹

1 πράξει M¹BRK^{lu} ἐκκύψαντεσ HX ὑπὸ p¹ 2 τί om. M¹R τὸ om. p¹UK ἡμῖν X ἀναφυὲν M¹NK^{lu} Tim.¹ ἐγνώκαμεν p¹ ἀνέγνωμεν Tim.¹ τὰ om. Z 3 λελυθέναι M¹U ὃς] ὡσ NK^{lu} ὁ M¹Bp¹N^{corr} K^{d} om. p conflatae sunt uersiones ὃς ἐνομίσθη et νομισθείς τῆσ M¹p¹K^{du} τις K^{l} 4 προσηγορίασ τιμῆσ p¹K^{d} προσηγορίασ καὶ τιμῆσ M¹K^{lu} εἶναι ἄξιοσ MpSNVUZ τε καὶ ἀξίασ ἄξιοσ p¹K^{d} ἄξιοσ M¹BHXWRK^{lu} ἄξιοσ εἶναι J ἀμαθὴσ λίαν M¹ 5 ἀναδείκνυται ZK^{lu} ἐβουλήθη M¹U 6 ἀνομίαν p¹K^{d} ἐλογίσατο WR 8 ἄγνοιαν Tim.¹ 9 οὐκ — φωνάς om. p¹ δὲ om. VUZ οὐκ² — γραφάς om. M¹ 10 κατατρέχουσιν K^{lu} 11 ἀποδεικνύμενοι H γενόμενοι B ἀναδείκνυνται K^{lu} μὴ om. p γεγένηνται M¹ 12 βιβλίων BNWRU γραφῶν K^{l} 13 τοῦ προοιμίου τοῦ συμβόλου M¹K^{lu} προοιμίων] μυστηρίων V 13/14 τὴν οἰκουμένην om. K^{lu} 14 προσφέρεται p¹K^{d} ἐπὶ M¹BHXNR τούτου om. W 15 τοῦ om. K^{l} ἀγνοὸν τονυν K^{l} ἀγνωσία νοσῶν τὸν νοῦν K^{u} τοίνυν ἀγνοῶν N 18 ὁμολογίαν ἣν δέον ἣν αὐτὸν K^{l} ὁμολογίαν δέον ἣν αὐτῶ K^{u} ἀκροάσει] περισπουδάστω ἀκροάσει K^{lu} περι μέριμναν ποιήσασθαι R μεριμνοποιήσασθαι K^{u} πιστῶν] πλειστων R 18/19 ἅπαν τὸ πλῆθοσ τῶν πιστῶν N 19 αὐτὸν pSHp¹NK^{dlu} ἑαυτὸ Z om. W ἕνα θῦ N ἕνα χῦ N 20 τὸν μονογενῆ αὐτοῦ ῦῦ K^{u} τὸν αὐτοῦ μονογενῆ K^{l} 21 παρθένου καὶ εἰσ τὸ πῦα τὸ ἅγιον N σχεδὸν τὰ πάντων K^{lu} πάντα p¹K^{d} τῶν αἱρετικῶν VUK^{m} 22 καὶ πατὴρ καὶ παντοκράτωρ HXp¹ καὶ²] ὁ W 23 ὁ om. Z ἀναδείκνυται B 24 συναίδιος] ἀΐδιοσ K^{lu} υἱὸσ B οὔτε MJVUZ 25 χρόνου pS ἐλάττων HX ἐλάσσω K^{u} 26 ἠδίου K^{l} ἀΐδιοσ υἱὸσ N ἐκ πῦσ ἐτέχθη B 27 γεννήσεως] φύσεωσ K^{lu} Tim.¹ τι om. K^{m} 28 τι om. M¹ ὅλον ἑαυτὸν K^{u} 28/29 ἐκένωσεν εἰς τὸ σῶσαι τὸν πεπλανημένον ἀνῦ K^{u} 30 καταβάλη τῆ οἰκεία M¹ δυνάμει καταβάλη N οὐ Z ἐδυνήθημεν M¹K^{l}

τῆς ἁμαρτίας καὶ τοῦ θανάτου τὸν ἀρχηγόν, εἰ μὴ τὴν ἡμετέραν αὐτὸς φύσιν ἀνέλαβεν καὶ οἰκείαν εἰργάσατο, ὃν οὔτε ἁμαρτία μολῦναι οὔτε θάνατος κατασχεῖν ἠδυνήθη. συνελήφθη μὲν οὖν δηλονότι ἐκ πνεύματος ἁγίου ἐν γαστρὶ παρθένου μητρός, ἥτις οὕτω φυλαχθείσης τῆς παρθενίας αὐτὸν ἀπεκύησεν, ὥσπερ οὖν καὶ ἀκεραίου μεινάσης τῆς παρθενίας συνέλαβεν. ἀλλ' εἴπερ ἐκ ταύτης τινὰ τῆς ἐν τῇ πίστει τῶν Χριστιανῶν εὐαγεστάτης πηγῆς καθαρὰν ἀρύσασθαι διάνοιαν οὐκ ἠδύνατο διὰ τὸ τῆς τηλαυγοῦς ἀληθείας αὐτὸν ἑαυτῶι τὸ φέγγος ἐκ τῆς οἰκείας ἐπισκοτίζειν τυφλώσεως, τῆι διδασκαλίαι γοῦν τῆι τῶν
Mt. 1, 1 εὐαγγελίων ἑαυτὸν ὑπήγαγεν ἂν καὶ λέγοντος Ματθαίου βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ υἱοῦ Δαυὶδ υἱοῦ Ἀβραάμ καὶ τοῦ ἀποστολικοῦ δὲ κηρύγματος τὴν
Rom. 1, 1—3 εἰσήγησιν ἂν ἐπεζήτησεν καὶ ἀναγινώσκων ἐν τῆι ἐπιστολῆι τῆι πρὸς Ῥωμαίους Παῦλος
PL 762 δοῦλος Ἰησοῦ Χριστοῦ, κλητὸς ἀπόστολος ἀφωρισμένος εἰς εὐαγγέλιον θεοῦ, ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν γραφαῖς ἁγίαις περὶ τοῦ υἱοῦ αὐτοῦ τοῦ γενομένου ἐκ σπέρματος Δαυὶδ τὸ κατὰ σάρκα ἐπὶ τὰς προφητικὰς οὕτως ἂν βίβλους τὴν εὐσεβῆ φροντίδα μετήγαγεν, καὶ εὑρίσκων
Gen. 22, 18 τὴν ἐπαγγελίαν τοῦ θεοῦ πρὸς τὸν Ἀβραὰμ λέγοντος ἐν τῶι σπέρματί σου ἐνευλογηθήσονται πάντα τὰ ἔθνη, ὅπως ἂν περὶ τῆς κυριότητος τούτου μὴ ἀμφιβάλῃι τοῦ
Gal. 3, 16 σπέρματος, ἠκολούθησεν ἂν καὶ τῶι ἀποστόλωι λέγοντι τῶι Ἀβραὰμ ἐρρέθησαν αἱ ἐπαγγελίαι καὶ τῶι σπέρματι αὐτοῦ. οὐκ εἶπεν· καὶ τοῖς σπέρμασιν, ὡς ἐπὶ πολλῶν, ἀλλ' ὡς ἐφ' ἑνός· καὶ τῶι σπέρματί σου, ὅπερ ἐστὶν Χριστός,
Ies. 7, 44 καὶ τὸ Ἡσαίου δὲ κήρυγμα διὰ τῆς ἐνδοτέρας κατέσχεν ἂν ἀκροάσεως λέγοντος Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται καὶ τέξεται υἱὸν καὶ καλέσουσιν τὸ ὄνομα
Mt. 1, 23 αὐτοῦ Ἐμμανουήλ, ὅπερ ἐστὶν μεθερμηνευόμενον μεθ' ἡμῶν ὁ θεός, καὶ
Ies 9, 6 τοῦ αὐτοῦ δὲ προφήτου πιστῶς ἂν ὑπανέγνω τὰ ῥήματα παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ καὶ καλέσουσιν τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος, θεὸς ἰσχυρός, ἐξουσιαστής, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος, οὐδὲ ματαίως λαλῶν οὕτως ἂν εἶπεν σάρκα γεγενῆσθαι τὸν λόγον, ὡς ὅτιπερ ὁ τεχθεὶς ἀπὸ τῆς παρθένου Χριστὸς εἶχεν μὲν ἀνθρώπου μορφήν, οὐκ εἶχεν δὲ τοῦ μητρώιου σώματος τὴν ἀλήθειαν. ἢ τάχα διὰ τοῦτο τὸν δεσπότην Χριστὸν οὐκ εἶναι τῆς ἡμετέρας ἐνόμισεν φύσεως, ὅτι

MpSM¹BHXp¹NJWRVUZ, K [= dlmu], Tim.¹

1 φύσιν αὐτὸς UK^{lu} ἐν ἑαυτῶ φύσιν p¹K^{d} 2 μολύνεται p¹K^{d} ἐδυνήθη M¹ ἠδύνατο R 3 τῆς παρθένου M¹NK^{m} μητρός] μαρίασ M¹K^{lmu} 4 παρθενίασ [παρθένου K^{lu}] αὐτὸν M¹p¹RK^{dlu} 5 τινὰ om. M^{corr}JK^{lu} 5/6 εὐαγεστάτην πηγὴν K^{m} 6 καθαρὰν τινὰ [τὴν Ku] διάνοιαν ἀρύσασθαι K^{lu} διάνοιαν οὗτος ὁ γέρων N μὴ K^{lu} ἐδύνατο M¹K^{lu} 6,7 αὐτὸν — οἰκείας] φέγγοσ ἐκ τῆσ οἰκείασ ἑαυτοῦ [τοῦ ἑαυτὸν Kl] K^{lu} 6 αὐτὸν] ἀδύνατον VUZ 7 ἐν ἑαυτῶ p¹K^{d} ἐπισκοτίζει MVZK^{m}, corr. MK^{m} οὖν VZ τε U τῆι om. M¹N 8 ἑαυτὸν om. M¹K^{u} ὑπήγαγεν ἂν ἑαυτὸν BW ἐπήγαγεν M¹X καὶ om. p¹K^{d} τοῦ ματθαίου WR 9 δὲ om. U 10 ἐξήγησιν pSB ἔκθεσιν HX ἂν om. K^{lu} ἐζήτησε S καὶ om. Bp¹K^{d} ἀναγνοὺσ M¹ τῆ ἐπιστολῆ πρὸσ ῥωμαίουσ MJVUK^{m}, corr. K^{m} τῆ πρὸσ ῥωμαίουσ ἐπιστολῆ SZ τοὺσ ῥωμαίουσ R 12 αὐτοῦ om. W ἐν — ἁγίαις] ἁγίων Tim.¹ 13 γεννομένου K^{l} γεναμένου K^{u} τὸ om. M¹Bp¹NWRK^{dlu} 14 καὶ ἐπὶ B Tim.¹ ἔπειτα Z οὕτοσ ὃν pSV οὕτωσ M¹U ἂν p¹K^{d} ἂν οὕτωσ K^{lu} ἂν (βίβλουσ) οὕτω J ἐπήγαγεν K^{lu} 15 τὸν om. V 15/16 ἐνευλογηθήσεται HX εὐλογιθήσωνται K^{u} 16 τούτου] τοῦ K^{l} αὐτοῦ Z om. K^{u} ἀμφιβάλλη M¹Xp¹RVZK^{d} ἀμφιβάλλοι BK^{lu} ἀμφιβάλοι N 17 ἂν om. K^{u} καὶ om. NVU τῶ δὲ M¹HXNZK^{lmu} ἐρέθησαν U ἐρρήθησαν BWZ ἠρέθησαν K^{d} 18/19 οὐκ — σπέρματί σου om. J 19 πολλοῖσ VUZ ἐν ἑνὶ pSM¹R ἑνὶ VUZK^{m} καὶ — σου om. K^{d} ὃ ἐστιν ὁ M¹ τουτέστιν K^{lu} 20 δὲ om. U ἀκροάσεως κατέσχεν ἂν M¹ ἂν om. VUZK^{lmu} 21 ἔξει M¹p¹K^{dlu} 22 ὃ M¹B μεθερμηνευόμενον om. K^{lu} 23 ἂν om. V προέγνω Z ῥήματα ὅτι K^{lu} 24 καλεῖται M¹HXp¹NVK^{dlu} Tim.¹ 25 αὐτοῦ ἐμμανουὴλ p^{corr} ἄγγελοσ θαυμαστὸσ σύμβουλοσ HXp¹K^{d} 26 τοῦ om. R οὐδὲ] ὁ δὲ pS, M¹ ex corr. 27 ὁ τεχθεὶσ ὁ S ἐκ N 28 δὲ om. U μητρώιου] ἡμέτερου K^{lu} 29 εἰ U διὰ τοῦτο om. S ὅτι] ἐπειδήπερ K^{lu}

πρὸς τὴν μακαρίαν Μαρίαν ὁ πεμφθεὶς ἄγγελος εἶπεν πνεῦμα ἅγιον ἐπελεύσεται Lc. 1, 35
ἐπὶ σὲ καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι, δι' ὃ καὶ τὸ γεννώμενον ἐκ
σοῦ ἅγιον κληθήσεται υἱὸς θεοῦ, ὅπως ἂν ἐπειδήπερ ἡ σύλληψις τῆς παρθένου PG 764
θείας ἔργον γεγένηται δημιουργίας, ἐκ τῆς φύσεως τῆς συλλαβούσης ἡ σὰρξ τοῦ συλλη-
φθέντος μὴ γένηται; ἀλλ' οὐχ οὕτως νοητέον ἐκείνην τὴν γέννησιν, ἥτις μονογενῶς ἐστιν
θαυμαστὴ καὶ θαυμαστῶς ἐστιν μονογενής, ὥστε διὰ τοῦ καινοπρεποῦς τῆς γεννήσεως τὴν
τοῦ γένους ἐκβάλλεσθαι κυριότητα. τὸ μὲν γὰρ γόνιμον τῇι παρθένωι τὸ ἅγιον πνεῦμα
παρέσχεν, ἡ δὲ τοῦ σώματος ἀλήθεια προσελήφθη ἐκ σώματος, καὶ τῆς σοφίας οἰκοδο- Prou. 9, 1
μούσης ἑαυτῇι οἶκον ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν, τουτέστιν Ioh. 1, 14
ἐν τούτωι τῶι σώματι ὅπερ ἔλαβεν ἐξ ἀνθρώπου καὶ ὃ πνεύματι ζωῆς λογικῆς ἐνεψύ-
3 χωσεν. σωιζομένης τοίνυν τῆς ἰδιότητος ἑκατέρας φύσεως καὶ εἰς ἓν πρόσωπον συνιούσης
ἀνελήφθη ἀπὸ μὲν τῆς θεότητος ἡ ταπεινότης, ἀπὸ δὲ τῆς δυνάμεως τὸ ἀδύνατον, ἀπὸ
τοῦ ἀθανάτου τὸ θνητόν, καὶ πρὸς τὸ τὸ χρεωστούμενον ὄφλημα τῆς ἡμετέρας φύσεως
ἐκτιθῆναι ἡ θεία φύσις ἡνώθη τῇι φύσει τῇι παθητῇι, ἵνα τοῦτο δὴ τὸ ταῖς ἡμετέραις
ἰάσεσιν ὑπάρχον ἁρμόδιον, ὁ εἷς καὶ ὁ αὐτὸς ὢν μεσίτης θεοῦ καὶ ἀνθρώπων ἄνθρωπος 1 Tim. 2, 5
Χριστὸς Ἰησοῦς καὶ ἀποθνήισκειν ἐκ τοῦ ἑνὸς δυνηθῆι καὶ τελευτᾶν ἐκ τοῦ ἑτέρου μὴ δυνηθῆι. 16
ἐν ἀκεραίαι τοιγαροῦν ἀληθοῦς ἀνθρώπου καὶ τελείαι τῆι φύσει θεὸς ἀληθὴς ἐτέχθη, ὅλος
ἐν τοῖς ἑαυτοῦ καὶ ὅλος ἐν τοῖς ἡμῶν. ἡμέτερα δὲ λέγομεν ἅπερ ἡμῖν ἐξ ἀρχῆς ὁ δημιουρ-
γὸς ἐναπέθετο καὶ ἅπερ ἀνακαινιστέα πάλιν ἐδέξατο· ἐκεῖνα γὰρ ἅπερ ὁ ἀπατεὼν ἐπει-
σήγαγεν καὶ ὁ ἀπατηθεὶς ἄνθρωπος ἥμαρτεν, τὸ τυχὸν ἐπὶ τοῦ σωτῆρος ἴχνος οὐκ ἔσχηκεν. 20
οὐδὲ ἐπειδὴ κοινωνίαν τῆς ἀνθρωπίνης ὑπεισελήλυθεν ἀσθενείας, διὰ τοῦτο καὶ κοινωνὸς
τῶν ἡμετέρων γέγονεν ἁμαρτημάτων. προσέλαβεν γὰρ δούλου μορφὴν δίχα ῥύπου PG 766
τινὸς ἁμαρτήματος, καὶ τὸ ἀνθρώπινον αὔξων καὶ τὸ θεῖον οὐ μειῶν, ἐπειδήπερ ἡ κένωσις
ἐκείνη δι' ἧς ἑαυτὸν ὁ ἀόρατος ὁρατὸν παρεσκεύασεν καὶ ὁ ποιητὴς καὶ δεσπότης τῶν
ὅλων εἰς τῶν ἀνθρώπων ἠβουλήθη γενέσθαι, συγκατάβασις ἦν εὐσπλαγχνίας, οὐκ 25
ἀσθένεια τῆς δυνάμεως. τοιγαροῦν ὃς μένων ἐν μορφῆι θεοῦ πεποίηκεν ἄνθρωπον,
αὐτὸς ἐν μορφῆι δούλου γέγονεν ἄνθρωπος· φυλάττει γὰρ ἑκατέρα φύσις ἀνελλιπῶς

13—16 καὶ πρὸς—δυνηθῆι adferuntur in Gest. Chalced. 3. 24

MpSM¹BHX, p¹ [inde a 14 ἡνώθη P¹], NJWRVUZ, K [= dlmu], Tim.¹, Timoth.² arm. syr. [27 φυλάττει — p. 14. 2 ἐμείωσεν]

1 μακαρίαν om. VUK^{m} Μαρίαν om. Z 2 σοὶ R γενόμενον Z 2/3 ἐκ σοῦ om. M¹ 3 ἅγιοσ K^{u} 4 γεγέννηται p¹RK^{d} γένηται VK^{l} 5 οὐχ om. U 6 καὶ θαυμαστὴ καὶ Z ὁ μονογενὴσ pS τῆσ καινοπρεποῦσ γεννήσεωσ Z 7 γένουσ in μονογενοῦσ corr. M, J τεκεῖν τὴν παρθένον [τῆ παρθένω K^{l} ex corr.] γόνημον K^{lu} 8 παρέσχηκεν RK^{lu} ἐξ αὐτοῦ προσελήφθη τοῦ σώματοσ JK^{lu}, ex corr. MK^{m} 9 αὐτῆ U ἑαυτῶ J τουτέστιν om. p¹K^{d} 10 τῶ σώματι τοῦτω K^{u} ἀνῶν U Μαρίας Tim.² arm. ὁ om. MJVUZK^{lmu}, corr. K^{m} πνᾶ K^{lu} 10/11 ἐψύχωσε U 11 τῆς om. p¹K^{d} συντρεχούσησ N 12 ὑπὸ p¹NK^{d} θεώσεωσ p¹K^{d} ὑπὸ p¹NK^{d} δὲ] μὲν pV om. N ὑπὸ p¹NK^{d} ἀπὸ δὲ pSHXVUK^{lu} Tim.¹ καὶ ἀπὸ Tim.² arm. 13 θανάτου p¹RVUZK^{dlu} τὸ om. V τὸ τὸ pSM¹B, K^{m} ex corr. τῶ τὸ MHXNJp¹RK^{d} τὸ WVUZK^{lmu} 14 ἐκτισθῆναι MpSM¹JWR κτισθῆναι HX ἐκτεθῆναι V om. K^{lu} δὴ τοῦτο U τὸ om. B 15 ὁ om. M¹N ὁ om. MpSXP¹JWVUK^{d}, corr. X ἄνθρωποσ om. U 16 ἰσ χσ BJ δυνηθῆ ἐκ τοῦ ἑνόσ H δυνηθείη K^{lu} δυνηθείη K^{lu} 17 ἀκεραίω HXK^{lu} ἀληθηνοῦ ἀνοῦ K^{lu} ἀληθῶσ ἀνοῦ M¹BHXP¹WRZK^{d} ἀνοῦ ἀληθῶσ N τῆι om. BW ἀληθεινὸσ K^{lu} ἀληθῶσ M¹ ἐπεδείχθη B 18 ἑαυτῶ U ἡμετέρασ K^{lu} ὅσαπερ MJ ἐν ἡμῖν MJRZK^{m}, corr. K^{m} 18/19 ἐναπέθετο ὁ δημιουργὸσ B 19 καὶ om. MJ ἃ R om. ZK^{lu} 20 καὶ ἅπερ K^{lu} οὐδὲ τὸ τυχὸν — ἴχνοσ ἔσχηκεν N 21 κοινωνία HX ἀνθρωπείασ P¹ZK^{d} ἐπεισελήλυθεν V ἀσθενείας] προνοίασ V 22 τῶν om. R γέγονε τῶν ἡμετέρων M¹N 23 ἡ κένωσισ om. Z 24 ὁ ἀόρατοσ ἑαυτὸν ὁρατὸν K^{lu} ἑαυτὸν ὁρατὸν ὁ ἀόρατοσ P¹K^{d} κατεσκεύασε U καὶ¹ om. Z τε καὶ Z 25 εὐσπλαγχνία MVUZ, corr. M 26 τῆσ om. P¹ ὡσ HXN 27 αὐτὸσ] ἑαυτὸν Tim.¹ ἄνθρωποσ om. MJVUZ γὰρ] δὲ Tim.¹ Tim.² syr. ἐν ἑκατέρα φύσει U

τὴν ἑαυτῆς ἰδιότητα καὶ ὥσπερ οὐκ ἀναιρεῖ τὴν τοῦ δούλου μορφὴν ἡ μορφὴ τοῦ θεοῦ, οὕτως τὴν τοῦ θεοῦ μορφὴν ἡ τοῦ δούλου μόρφωσις οὐκ ἐμείωσεν. ἐπειδὴ γὰρ κατεκαυχᾶτο ὁ διάβολος τὸν ἄνθρωπον τὸν ἡπατημένον ἐκ τῆς πλάνης αὐτοῦ τῶν θείων δωρεῶν ἐστερημένον καὶ τῶν τῆς ἀφθαρσίας ἀγαθῶν γεγυμνωμένον ὑπὸ τὴν τοῦ θανάτου χαλεπὴν ἀπόφασιν γεγενῆσθαι καὶ ἐν τοῖς ἰδίοις κακοῖς παραμυθίαν αὐτὸν εὑρηκέναι τινὰ ἐκ τῆς αὐτοῦ τοῦ γεγονότος προδότου κοινωνίας, ὡς καὶ τὸν θεόν, τοῦτο τῆς αὐτοῦ δικαιοσύνης ἀπαιτούσης, ἀμεῖψαι περὶ τὸν ἄνθρωπον τὴν οἰκείαν ἀπόφασιν, ὃν τοσαύτῃ τιμῇ κατεσκεύασεν, χρεία τῆς οἰκονομίας τοῦ ἀπορρήτου μυστηρίου γεγένηται, ἵνα ὁ ἀναλλοίωτος θεός, οὗτινος ἡ βούλησις τῆς ἐμφύτου χρηστότητος στερηθῆναι μὴ δύναται, πρώτην περὶ ἡμᾶς τὴν τῆς οἰκείας εὐσεβείας ἀπορρήτῳ μυστηρίῳ πληρώσῃ διοίκησιν καὶ ἵνα ὁ ἄνθρωπος ὁ τῇ κακουργίᾳ τῆς διαβολικῆς κακίας πρὸς ἁμαρτίαν συνελαθεὶς
4 μὴ παρὰ βούλησιν ἀπόληται τοῦ θεοῦ. προέρχεται τοίνυν εἰς τὸ ταπεινὸν τοῦτο τοῦ κόσμου ὁ υἱὸς τοῦ θεοῦ ἀπὸ τοῦ οὐρανίου θρόνου καταβαίνων καὶ ἀπὸ τῆς πατρικῆς δόξης οὐκ ἀφιστάμενος καινῇ τινι τάξει καὶ καινῇ τῇ γεννήσει γεννώμενος, καινῇ μὲν τῇ τάξει, ὅτιπερ ἀόρατος ὢν ἐν τοῖς ἑαυτοῦ ὁρατὸς γέγονεν ἐν τοῖς παρ' ἡμῖν καὶ ἀκατα-
PG 768 ληπτος ὢν ἠβουλήθη καταλαμβάνεσθαι καὶ προαιώνιος μένων εἶναι ἤρξατο ἀπὸ χρόνου καὶ τοῦ παντὸς ὢν δεσπότης τὴν δουλικὴν μορφὴν ἀνεδέξατο τῆς οἰκείας θεότητος ἐπισκιάσας τὸ μέγεθος καὶ ὁ ἀπαθὴς θεὸς οὐκ ἀπηξίωσεν παθητὸς εἶναι ἄνθρωπος καὶ ὁ ἀθάνατος νόμοις ὑποκεῖσθαι θανάτου· καινῇ δὲ τῇ γεννήσει τεχθείς, ἐπείπερ ἡ ἄχραντος παρθενία ἐπιθυμίαν μὲν ἠγνόησεν, τὴν δὲ τῆς σαρκὸς ἐχορήγησεν ὕλην. καὶ προσελήφθη ἐκ τῆς μητρὸς τοῦ δεσπότου φύσις, οὐχ ἁμαρτία· οὐ μὴν ἐπειδήπερ ἐν τῷι δεσπότηι Ἰησοῦ Χριστῷι τῷι τεχθέντι ἐκ τῆς γαστρὸς τῆς παρθένου θαυμαστή τίς ἐστιν ἡ γέννησις, διὰ τοῦτο ἡμῖν οὐχ ἡ φύσις ὁμοία. ὁ γὰρ ὢν θεὸς ἀληθὴς αὐτός ἐστιν καὶ ἄνθρωπος ἀληθής. καὶ ψεῦδος οὐδὲν ἐν ταύτῃ τῇ ἑνώσει τυγχάνει, ἐν ὅσῳ τὰ συναμφότερα μετ' ἀλλήλων ἐστίν, καὶ τοῦ ἀνθρώπου τὸ ταπεινὸν καὶ τὸ μέγεθος τῆς θεότητος. ὥσπερ γὰρ τῷι ἐλεεῖν ὁ θεὸς τροπὴν οὐχ ὑφίσταται, οὕτως ὁ ἄνθρωπος τῷι μεγέθει τῆς θείας ἀξίας οὐκ ἀναλίσκεται. ἐνεργεῖ γὰρ ἑκατέρα μορφὴ μετὰ τῆς θατέρου κοινωνίας ὅπερ ἴδιον ἔσχηκεν, τοῦ μὲν λόγου κατεργαζομένου τοῦθ' ὅπερ ἐστὶν τοῦ λόγου, τοῦ δὲ σώματος ἐκτελοῦντος ἅπερ ἐστὶν τοῦ σώματος, καὶ τὸ μὲν αὐτῶν διαλάμπει τοῖς θαύ-

---

M, p [usque ad 27 θατέρου], P [inde a 27 κοινωνίασ], SM¹BHXP¹ NJWRVUZ, K[= dlmu], Tim.¹, Tim.² arm. syr. [24 ἐν ὅσωι — 15, 1 ὑποπέπτωκεν]

2 οὕτωσ οὐδὲ τὴν μορφὴν τοῦ θῦ MpSJVUZK^m οὕτω καὶ R τοῦ¹ om. K^u μορφὴ NK^lu οὐκ del. K^m ἐκένωσεν HX 2/3 καὶ ἐκαυχᾶτο K^lu 3 τὸ τὸν M¹K^l, K^m ex corr. τὸν² del. K^m ἡπατημένον] κτησάμενον X τῆς] τῆς οἰκείασ K^lu ἑαυτοῦ MpSJ 4 γεγυμνῶσθαι καὶ K^lu, K^m ex corr. 5 ἑαυτὸν [ἑαυτῶι Tim.¹] ἐν τοῖς οἰκείοισ κακοῖσ παραμυθίαν [μὴ ins. Tim.¹] εὑρηκέναι K^lu Tim.¹ ηὑρηκέναι MpSHJR 6 κοινωνίασ γενομένησ K^lu 6/7 τῆς — δικαιοσύνης τοῦτο N 7 τὴν — ἀπόφασιν om. K^lu ὃν ἐν M¹R ὃν τῇ BW 8 χρεία γέγωνε τῆσ — μυστηρίου ἵνα K^lu τοῦ — μυστηρίου τῆσ οἰκονομίασ B ἀπορρήτου] τοιούτου Tim.¹ 9 δύνηται VU 10 πρῶτον N πρὸσ τὴν K^lu εὐσεβείασ om. MpSJVUZ 11 συνελασθεὶσ HXR 12 τοίνυν προέρχεται N προσέρχεται MpSXJ, corr. M τὸ — τοῦτο] τὰ ἔσχατα K^lu τοῦτο] τοῦτου R 13 ἀπὸ om. M¹ πατρικῆς] οὐρανίας Tim.¹ 14 μὴ K^lu om. K^d χωριζόμενοσ K^lu τινι] τῇ MpSJK^m om. K^u καὶ om. B γενόμενοσ XZK^u 15 ἐν om. K^lu ἡμῶν B 16 ἐβουλήθη M¹ μένων] ὢν K^l ὃν K^u ἤρξατο εἶναι V ἀπὸ χρόνου ἤρξατο N ἀπὸ τοῦ χρόνου B ὑπὸ χρόνον P¹K^d 17 μένων B τὴν om. K^lu ἐδέξατο B 18 ὁ om. U εἶναι παθητὸσ N παθητὸς γενέσθαι BP¹WK^d ὁ] ὢν K^lu 19 νόμοις om. K^lu θανάτω K^lu ἐπειδήπερ M¹ 20 παρθένοσ B 21 ἡ τοῦ δεσπότου M¹BWK^mu τοῦ δεσπότου ἡ U 22 τῆσ παρθένου γαστρὸσ BW 23 οὐχ ἡ φύσισ ἡμῖν [ἡμῶν K^du] P¹K^dlu ὁ αὐτὸσ RJ 24 τῇ ἑνώσει ταύτῃ K^lu ἑνώσει] γεννήσει HX ἐστὶ τυγχάνει V καθέστηκεν K^lu 25 ἡ ταπεινότησ τοῦ ανοῦ K^lu 26 τῷι — ὁ¹ om. K^lu ἐν τῷ N τοῦ V οὕτωσ καὶ K^lu 28 ἔσχεν HX 29 ὅπερ M¹K^lu Tim.² arm. αὐτοῦ WR om. Tim.¹ Tim.²

μασιν, τὸ δὲ ταῖς ὕβρεσιν ὑποπέπτωκεν. καὶ καθάπερ ὁ λόγος ἀπὸ τῆς ἰσότητος
τῆς τοῦ πατρὸς δόξης ἐστὶν ἀχώριστος, οὕτως τὸ σῶμα τὴν φύσιν τοῦ ἡμετέρου γένους
οὐκ ἀπολέλοιπεν· εἷς γὰρ καὶ ὁ αὐτὸς ἀληθῶς υἱὸς τοῦ θεοῦ καὶ ἀληθῶς υἱὸς ἀνθρώπου 3
τυγχάνει, θεὸς μὲν κατὰ τοῦτο καθ' ὃ ἐν ἀρχῇ ἦν ὁ λόγος καὶ ὁ λόγος ἦν πρὸς Ioh. 1, 1
τὸν θεὸν καὶ θεὸς ἦν ὁ λόγος, ἄνθρωπος δὲ κατὰ τοῦτο καθ' ὃ ὁ λόγος σὰρξ Ioh. 1, 14
ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν· καὶ θεὸς μὲν κατὰ τοῦτο καθ' ὃ δι' αὐτοῦ τὰ πάντα Ioh. 1, 3
ἐγένετο καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ἄνθρωπος δὲ κατὰ τοῦτο καθ' ὃ
γέγονεν ἐκ γυναικός, γέγονεν ὑπὸ νόμον. καὶ ἡ μὲν τῆς σαρκώσεως γέννησις Gal. 4, 4
ἀνθρωπίνης ἐστὶν δήλωσις φύσεως, ὁ δὲ τοκετὸς τῆς παρθένου μήνυμα τῆς θείας ὑπάρχει
δυνάμεως, καὶ ἡ μὲν νηπιότης τοῦ βρέφους διὰ τῆς τῶν σπαργάνων εὐτελείας ἐπιγινώσκε- 10
ται, τὸ δὲ μέγεθος τῆς αὐτοῦ μεγαλωσύνης διὰ τῶν ἀγγελικῶν φωνῶν ἀποδείκνυται,
καὶ ὁμοιοῦται μὲν τοῖς νεωστὶ τικτομένοις ἀνθρώποις οὗτος ὃν Ἡρώιδης ἀσεβῶς φονεῦσαι Mt. 2, 16
βουλεύεται, ἀλλὰ ἐστὶν δεσπότης τῶν ὅλων ὃν μάγοι χαίρουσιν ἱκετευτικῶς προσκυνεῖν.
ὅτε δὲ πρὸς τὸ τοῦ προδρόμου ἑαυτοῦ Ἰωάννου ἔρχεται βάπτισμα, ὅπως ἂν μὴ λάθηι
ὅτιπερ τῶι προκαλύμματι τῆς σαρκὸς ἡ θεότης ἐκρύπτετο, ἡ τοῦ πατρὸς φωνὴ ἐξ οὐρανῶν 15
ἐπιβοῶσά φησιν· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ὧι ηὐδόκησα. τοι- Mt. 3, 17
γαροῦν ὃν ὡς ἄνθρωπον ἡ τοῦ διαβόλου πειράζει πανουργία, τούτωι ἅτε δὴ θεῶι ἡ τῶν Mt. 4, 11
ἀγγέλων τάξις διακονεῖ. τὸ μὲν γὰρ πεινῆν καὶ διψῆν, κοπιᾶν καὶ ὑπνοῦν ὁμολογουμένως
ἐστὶν ἀνθρώπου, ἀλλὰ τὸ πέντε ἄρτοις πέντε χιλιάδας ἀνθρώπων κορέσαι καὶ χαρίσασθαι 19
τῆι Σαμαρείτιδι ζῶν ὕδωρ, ὅθεν ἀρυσαμένηι αὐτῆι ὑπῆρξεν τὸ μηκέτι διψῆν, καὶ ἐπὶ Ioh. 4. 10. 14
μὲν νώτων θαλάσσης περιπατεῖν τῶν ποδῶν οὐ βαπτιζομένων, τὰς δὲ τῶν κυμάτων Mt. 14, 25
οἰδήσεις ἐπιτιμωμένου τοῦ κλύδωνος κατευνάζειν ἐστὶν ἀναμφιβόλως θεοῦ. ὥσπερ Lc. 8, 24
οὖν, ἵνα τὰ πολλὰ παραλείψω, οὐ τῆς αὐτῆς ἐστιν φύσεως τὸ κλαίειν ἐκ διαθέσεως οἰκτου Ioh. 11, 35
τὸν τελευτήσαντα φίλον καὶ τὸ τὸν αὐτὸν ἀναζῆν μέλλοντα διασκεδασθέντος τοῦ προσχώ- 24
ματος τῆς τεταρταίας ἤδη ταφῆς ἐξαναστῆσαι πρὸς τὸ κέλευσμα τῆς φωνῆς ἢ τὸ ἐπὶ Ioh. 11, 39.
43

MPSM¹BHXP¹NJWRVUZ, K[= dlmu], Tim.¹, Tim.² arm. syr. [4 θεὸς μέν — 16 ηὐδόκησα, 18 τὸ μὲν γὰρ — p. 16, 7 καθέστηκεν].

1 τοῖσ παθήμασιν M¹BW, K^m ex corr. ἐν ἄλλω ταῖσ ὕβρεσιν M¹ in mg. 2 τῆς om. K^d 3 μὲν γὰρ VUK^m ὁ om. XZ ἀληθῶς¹ om. RVUZK^lu Tim.¹ υἱὸς — καὶ om. VZK^m θῦ υἱόσ M¹B τοῦ θῦ K^d τοῦ om. WP¹RUK^lu τε MPSJ 3/4 ἀληθῶς² — τυγχάνει] υἱὸς ἀνῦ τυγχάνει ἀληθῶσ [ἀληθὴσ U om. K^m]VUK^m 4 καθὸν K^l 4/5 καὶ ὁ λόγος — ὁ λόγος om. K^lu 5—7 ὁ λόγος σὰρξ — καθ' ὃ om. V 6 καθ' ὃ om. K^l ὅτι K^u 6/7 δι' αὐτοῦ — καθ' ὃ om. J δι' — ἐγένετο om. K^lu 6 τὰ om. HXP¹K^d 7 καὶ om. K^u οὐδέν BW ἓν ὃ γέγονεν M¹NK^lu, K^m ex corr., Tim.¹ Tim.² 8 γυναικὸσ καὶ NK^u σαρκώσεωσ αὐτοῦ J 9 ἀνθρωπίνωσ PS φύσεωσ δήλωσισ V μήνυμα — ὑπάρχει] ἔλεγχοσ ὑπάρχει θείασ K^lu 10 τοῦ βρέφουσ νηπιότησ N παρθένων B 10/11 ἐπιγινώσκεται εὐτελείασ M¹BW 11 εὐαγγελικῶν MPSJVZK^lmu 12 μὲν ἐν X ἀνῦσ K^l, K^u ex corr. οὗτος] ὁ αὐτὸσ N 12/13 φονεῦσαι βούλεται SM¹BWRVUZK^lu βούλεται φονεῦσαι HX 13 οἱ μάγοι P¹K^dlu χαίρουσιν [σπεύδουσιν W] ἱκετικῶσ P¹WK^d προσκυνοῦντεσ RK^lu, K^m ex corr., Tim.¹ Tim.² 14 ὅτι S αὐτοῦ MPSP¹JK^dm, corr. K^m Ἰωάννου om. V 15 ὅτι R τῶι om. K^lu οὐρανοῦ R 16 εὐδόκησα BXP¹NUZK^d 17 ὡς om. U ἀνῦσ HX ἅτε om. UK^u τῶ θῶ VU 18 διψὰν K^u κοπιᾶν] καὶ κοπιᾶν HXP¹NK^d Tim.² arm. κοπιᾶν τε K^lu ὑπνοῖν HXK^lu 19 ἀλλὰ τὸ] τὸ δὲ S ἐκ πέντε ἄρτων K^lu πέντε μυριάδασ U πεντακισχιλίουσ ἀνῦσ M¹BW 20 ζῶν ὕδωρ τῆ σαμαρείτιδι N ὕδωρ ζῶν M¹RK^lu ὑπῆρξε ταύτη P¹K^d ὑπῆρχε M¹BW διψᾶν M¹Z καὶ τὸ U 21 μὲν om. VU περιπατεῖν] ὠχεσθαι K^lu δὲ] τε U ὑδάτων B 22 κατευνάζει HX, corr. H ἀναμφιβόλωσ ἐστὶ HX Tim.² arm. 23 τὰ om. VU παραλίπω P¹K^d φύσεωσ ἐστὶ BNK^u καὶ ἐκ X οἰκτων N οἰκον V 24 τετελευτηκότα N τελευτηκότα HX τὸ om. B τὸν om. K^u ἄξειν K^l ἄξει K^u 24/25 προσκώματοσ X προσχήματοσ H^corr 25 τελευταίασ P¹K^d ἐξαναστῆναι M¹BW ἐξαναστῆσαι τὸν ἀναζήσαντα [ἀναζητήσαντα U] MPSJVUZK^m πρὸσ τὸ τῆσ φωνῆσ κέλευσμα ἐξαναστῆσαι [ἐξαναστῆναι K^l]K^lu φωνῆς] ταφῆσ V ἢ om. PS τὸ] τοῦ UK^lu om. PS ἀπὸ MX]

Mt. 27, 45. 51 ξύλου ἡρτῆσθαι καὶ ἐξ ἡμέρας εἰς νύκτα μεταβληθέντα τὰ στοιχεῖα πάντα συσσεῖσαι
Lc. 23, 43 ἢ τὸ διαπεπάρθαι τοῖς ἥλοις καὶ τὰς τοῦ παραδείσου πύλας ἀνοῖξαι τῇι πίστει τῆι τοῦ
Ioh. 10, 30 ληιστοῦ, οὕτως οὐ τῆς αὐτῆς ἐστιν φύσεως τὸ λέγειν ἐγὼ καὶ ὁ πατὴρ ἓν ἐσμέν
Ioh. 14, 28 καὶ τὸ λέγειν ὁ πατήρ μου μείζων μού ἐστιν. εἰ καὶ τὰ μάλιστα γὰρ ἐν τῶι δεσπότηι Ἰησοῦ Χριστῶι τοῦ θεοῦ καὶ τοῦ ἀνθρώπου ἓν ἐστιν πρόσωπον, ὅμως ἕτερόν ἐστιν ἐκεῖνο ἐξ οὗ ἐν ἑκατέρωι κοινόν ἐστιν τὸ τῆς ὕβρεως, καὶ ἕτερον ἐξ οὗ κοινὸν τὸ τῆς δόξης καθέστηκεν. ἐξ ἡμῶν μὲν γάρ ἐστιν αὐτῶι ἡ ἐλάσσων τοῦ πατρὸς ἀνθρωπότης, ἀπὸ δὲ τοῦ πατρὸς ἐστιν αὐτῶι ἡ μετὰ τοῦ πατρὸς ἴση θεότης. διὰ ταύτην τοίνυν τοῦ προσώπου τὴν ἕνωσιν τὴν ἐν ἑκατέραι φύσει νοεῖσθαι ὀφείλουσαν καὶ υἱὸν ἀναγινώσκομεν ἀνθρώπου κατεληλυθέναι ἐξ οὐρανοῦ, ὁπότε ὁ υἱὸς τοῦ θεοῦ τὸ σῶμα ἐξ αὐτῆς τῆς παρθένου ἐξ ἧς ἐτέχθη, προσέλαβεν, καὶ πάλιν ὁ υἱὸς τοῦ θεοῦ σταυρωθεὶς λέγεται καὶ ταφείς, ὁπότε ταῦτα οὐκ ἐν αὐτῆι τῆι θεότητι ἐν ᾗι μονογενὴς καὶ συναίδιος καὶ ὁμοούσιος ὢν τῶι πατρί, ἀλλ' ἐν τῆι ἀσθενείαι τῆς ἀνθρωπίνης ὑπομεμένηκε φύσεως. ὅθεν τὸν μονογενῆ υἱὸν τοῦ θεοῦ τὸν σταυρωθέντα καὶ ταφέντα πάντες καὶ ἐν τῶι συμ-
1 Cor. 2, 8 βόλωι συνομολογοῦμεν κατ' ἐκεῖνο τὸ ἀποστολικὸν εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν. ὅτε δὲ αὐτὸς ὁ κύριος ἡμῶν καὶ σωτὴρ τὴν
Mt. 16, 13. 15 πίστιν τῶν μαθητῶν διὰ τῶν οἰκείων ἐξεπαίδευεν ἐρωτήσεων, τίνα με, φησίν, λέγουσιν οἱ ἄνθρωποι εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου; καὶ ἐκείνων ἀποκριναμένων ἄλλας ἄλλων εἶναι δόξας ὑμεῖς, φησίν, τίνα με λέγετε εἶναι; ἐμὲ δηλαδὴ τὸν υἱὸν τοῦ ἀνθρώπου καὶ ὃν ἐν μορφῆι δούλου καὶ ἀληθείαι σώματος θεωρεῖτε, τίνα με λέγετε [εἶναι]; ἔνθα ὁ μακάριος Πέτρος θεόθεν ἐμπνευσθεὶς καὶ διὰ τῆς οἰκείας ὁμολογίας πᾶσιν μέλλων γίνεσθαι
Mt. 16, 16 σωτηρία τοῖς ἔθνεσιν σὺ εἶ, φησίν, ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος καὶ ἀξίως μακάριος ἀπεφάνθη παρὰ τοῦ κυρίου καὶ ἀπὸ τῆς πρωτοτύπου πέτρας τὸ στερεὸν
PL 774 ἐπεσπάσατο τῆς τε ἀρετῆς καὶ τῆς προσηγορίας. ὅστις δι' ἀποκαλύψεως τοῦ πατρὸς τὸν αὐτὸν καὶ υἱὸν θεοῦ ὡμολόγησεν καὶ Χριστόν, ἐπειδήπερ ἓν τούτων δίχα θατέρου λαμβανόμενον ἀνόνητον ἐτύγχανεν εἰς σωτηρίαν καὶ τοῦ αὐτοῦ ὑπῆρχεν κινδύνου τὸ τὸν κύριον Ἰησοῦν Χριστὸν ἢ θεὸν μόνον ἄνευ ἀνθρώπου ἢ δίχα θεοῦ πιστεύειν ἄνθρωπον μόνον. μετὰ δὲ τὴν ἀνάστασιν τοῦ κυρίου, ἥτις δηλαδὴ τοῦ ἀληθοῦς αὐτοῦ σώματος

MPSM¹BHXP¹NJWRVUZ, K [= dlmu], Tim.¹, Tim.² [8 διὰ ταύτην — 13 φύσεως. 24 ὅστις — 28 ἄνθρωπον μόνον]

1 τοῦ ξύλου M¹ καὶ τὸ B μεταβαλόντα N συσσεῖσθαι P¹ συσσεῖσθω K^{d} 2 διὰ τὸ πεπάρθαι S 2/3 τῆ τοῦ ληστοῦ πίστει S 2 τῆι² om. M¹BHP¹WK^{dlu}, corr. H 3 οὕτωσ οὖν οὐ HX φύσεωσ ἐστὶ BHXN φύσεωσ U φύσεωσ ὡσ Z 4 μου² om. B εἶ] εἶτα Z γὰρ om. M¹BWRK^{u} 5 τῶ χῶ K^{u} τοῦ² om. M¹BWR τὸ πρόσωπον M¹BW ἕτερόν τι N ἓν U 6 ἐστι] λέγεται δι' οἰκειώσεωσ Tim.¹ Tim.² 7 μὲν om. M¹ αὐτοῦ U om. M¹B 8 αὐτοῦ U 9 προσώπου] $\overline{\text{πρσ}}$ K^{lu} ἕνωσιν] ἑνότητα WR μονότητα HX νοεῖσθαι ἀδύνατον V 9/10 υἱὸν — ἀνθρώπου] υἱὸς ἀνθρώπου λέγεται Tim.¹ Tim.² 9 ἀναγινωσκόμενον UK^{u} ἕνα γινώσκομεν H 10 ἐξ οὐρανοῦ κατεληλυθέναι Z ὁ om. XK^{lu} 11 προσέλαβεν ἐξ ἧσ ἐτέχθη Z ὁ om. N ὁ σταυρωθεὶσ K^{u} σταυρωθῆναι P¹K^{d} 12 ταφῆναι P¹K^{d} 13 ἀνθρωπίνης] ἡμετέρασ W 14 ταφέντα καὶ ἀναστάντα P¹JK^{dlu} καὶ ἀναστάντα M in mg. καὶ om. M¹BW 15 ὁμολογοῦμεν VU κατ' ἐκεῖνο] κακεῖνο K^{lu} 16 ὅτι U καὶ ὅτι HX 17 τῶν μαθητῶν om. P¹K^{d} ἐξεπαίδευσεν SM¹BXP¹WRUK^{dlu}, corr. M¹ με om. R μεν K^{u} 17/18 λέγουσιν εἶναι τὸν — ἀνθρώπου οἱ ἀνοὶ φησὶ B οἱ $\overline{\text{ανοὶ}}$ λέγουσιν εἶναι [εἶναι om. HX] M¹HXNW οἱ ἀνοὶ εἶναι λέγουσι Z ἀνθρώπου] θῦ W 18/19 καὶ ἐκείνων — ἀνθρώπου om. Z 18 κακείνων M¹BW ἀποκριναμένων P¹K^{d} 19 με om. H ἐμὲ om. K^{lu} 20 εἶναι HXRVK^{lu} Tim.¹ om. MPSM¹BP¹NJWUZK^{dm} ἐνταῦθα HU, corr. H 21 ὁμολογίας] πίστεως Tim.¹ μέλλων πᾶσι M¹BW γενέσθαι UK^{lu} 23 στερρὸν M¹BP¹WK^{d} 24 προσηγορίας] ὁμολογίασ καὶ τῆσ προσηγορίασ VUK^{m} εἶτισ V 25 τοῦ θῦ H^{corr}XN ὁμολόγησεν εἶναι K^{lu} ἐπειδὴ γὰρ VU ἐν τούτω PSX ἑτέρου K^{lu} 26 ἀνόητον V Tim.¹ Tim.² syr. ἀνθρωπίνη τὸν H ἀν spat. uacuum X ἐντυγχάνειν HX εἰσ σριαν ἐτύγχανεν NW κινδύνου ὑπῆρχεν N τὸ om. Z 27 ἢ om. PSH, corr. H μόνον om. N 28 τὴν τοῦ κῦ ἀνάστασιν N ἀληθινοῦ U

γέγονεν, ἐπειδήπερ οὐκ ἄλλος ἀνέστη εἰ μὴ ὁ σταυρωθεὶς καὶ ἀποθανών, τί ἕτερον τῆι τῶν τεσσαράκοντα ἡμερῶν αὐτοῦ διαγωγῆι γέγονεν ἢ ἵνα ἐκ πάσης ἀχλύος τὰ τῆς πίστεως Act. 1, 3 ἡμῶν καθαρθῆι; διαλεγόμενος γὰρ τοῖς ἑαυτοῦ μαθηταῖς καὶ συνδιατρίβων καὶ συναλι- Act. 1, 4 ζόμενος ἀκριβέστερόν τε καὶ πολυπραγμονικώτερον διὰ τῆς ἁφῆς ἑαυτὸν ψηλαφᾶσθαι παρὰ τούτων, οὓς ἔπληττεν τὸ ἀμφίβολον, ἐνδιδοὺς διὰ τοῦτο καὶ κεκλεισμένων τῶν θυρῶν Ioh. 20, 19. 22 εἰσήιει πρὸς τοὺς μαθητὰς καὶ τῶι φυσήματι τῶι ἑαυτοῦ παρεῖχεν ἅγιον πνεῦμα καὶ χαρι- 6 ζόμενος τὸ φῶς τὸ τῆς γνώσεως τῶν θείων γραφῶν ἀνεκάλυπτε τὰ ἀπόρρητα καὶ πάλιν ὁ αὐτὸς τὰ τραύματα τῆς πλευρᾶς καὶ τὰς διατρήσεις τῶν ἥλων καὶ πάντα τὰ τοῦ νεαροῦ πάθους ἐπεδείκνυ σημεῖα λέγων· ψηλαφήσατέ με καὶ ἴδετε ὅτι πνεῦμα σάρκα Lc. 24, 39 καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα, ὅπως ἂν ἐν αὐτῶι μεμενηκέναι 10 γνωσθῆι ἡ ἰδιότης τῆς τε θείας καὶ τῆς ἀνθρωπίνης φύσεως ἀδιαίρετος οὕτω τε μάθωμεν τὸν λόγον μὴ τοῦτο εἶναι ὅπερ ἐστὶν ἡ σάρξ, ἀλλ' ἕνα υἱὸν τοῦ θεοῦ καὶ τὸν λόγον ὁμο- λογήσωμεν καὶ τὴν σάρκα. ἦστινος πίστεως τοῦ μυστηρίου κοῦφος ὢν Εὐτυχὴς οὗτος καὶ ἀμέτοχος ὀφείλει νομίζεσθαι, ὃς τὴν φύσιν τὴν ἡμετέραν ἐν τῶι μονογενεῖ τοῦ θεοῦ οὔτε διὰ τῆς ταπεινότητος τῆς ἀνθρωπότητος οὔτε διὰ τῆς δόξης ἐπέγνω τῆς ἀναστά- 15 σεως οὔτε τὴν ἀπόφασιν ἐφοβήθη τοῦ μακαρίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ λέγοντος πᾶν πνεῦμα τὸ ὁμολογοῦν Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐλη- 1 Ioh. 4, 2. 3 λυθέναι ἀπὸ θεοῦ ἐστιν καὶ πᾶν πνεῦμα τὸ διαιροῦν Ἰησοῦν Χριστὸν PL 776 ἀπὸ θεοῦ οὐκ ἐστιν καὶ οὗτός ἐστιν ὁ ἀντίχριστος. τί δέ ἐστιν τὸ διαι- ροῦν Ἰησοῦν εἰ μὴ τὴν ἀνθρωπίνην ἀπ' αὐτοῦ φύσιν ἀποχωρίζειν καὶ τὸ μυστήριον 20 δι' οὗπερ ἐσώθημεν μόνου, πειρᾶσθαι μάταιον διὰ πλασμάτων ἀναιδῶν ἀπεργάζεσθαι; ὁ δὲ τὴν ἀχλὺν ὑφιστάμενος περὶ τὴν φύσιν τοῦ σώματος τοῦ Χριστοῦ ἀναγκαίως καὶ περὶ τὸ πάθος αὐτοῦ τῆι παραπλησίαι τυφλώσει παραφρονεῖ. καὶ γὰρ εἰ τὸν σταυρὸν τοῦ δεσπότου ψευδῆ μὴ νενόμικεν καὶ τὸ πάθος τὸ ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας ἀναδεχθὲν ἀληθὲς γενόμενον οὐδαμῶς ἀμφιβάλλει, οὗτινος οὖν ἐπιγινώσκει τὸν 25 θάνατον, ἐπιγινωσκέτω [καὶ] τὴν σάρκα καὶ μηδὲ τῆς ἡμετέρας αὐτὸν σαρκὸς ἄνθρωπον ἀπαρνείσθω, ὃν παθητὸν ἔγνω γενόμενον, ἐπειδήπερ ἡ ἄρνησις τοῦ ἀληθοῦς σώματος ἄρνησίς ἐστιν καὶ τοῦ πάθους τοῦ σώματος. εἰ τοίνυν δέχεται πίστιν Χριστιανῶν

MPSM¹BHXP¹NJWRVUZ, K[= dlmu], Tim.¹, Tim.² [14 ὃς — 16 ἀναστάσεως].

1 ἐπείπερ HXP¹NRK^{dlu} εἴπερ Tim.¹ τί δὲ καὶ K^{lu} τί δὲ K^{m} ex corr. εἰσ τί P¹K^{d} τῆι] ἡ PSP¹K^{dlu} Tim.¹ σαράκοντα K^{lu} 2 αὐτοῦ ἡμερῶν διαγωγῆ P¹WVUK^{d} ἡμερῶν διαγωγῆ αὐτοῦ NK^{lu} 3 μὲν γὰρ K^{m} ex corr. αὐτοῦ N 3/4 συναυλιζόμενοσ SBXWRUZK^{du}, corr. B 4 τε] δὲ PSM¹K^{lu} om. B 5 τούτων] πάντων N ἐκδιδοὺσ V ἐδίδου B ἐνεδίδου K^{m} ex corr. ἀνεδίδου P¹K^{d} τούτων V καὶ om. MPSHXJRVUZK^{m} Tim.¹, corr. K^{m} 6 εἰσῆλθε HX τῶι²] τὸ MSHJK^{lu} 7 τὸ² om. MPSJVUZK^{lmu} ἀπεκάλυπτε MPSJVUZK^{lmu}, corr. K^{m} 8 τὰ om. K^{u} 9 ἐπιδίκνυ K^{u} ἐπιδείκνυε HX ὑπεδείκνυ JU ἐπιδείκνυσιν BW ἐπεδείκνυτο Z σημεῖα] ἴδια BW 10 μεμενηκέναι ἐν αὐτῶ MPSJVUZK^{m} 11 γνωσθείη VUZK^{lmu} τε om. BHXWVUK^{lu} φύσεωσ καὶ τῆσ ἀνθρωπίνησ Z τῆς om. M¹BWR ἀδιαιρέτωσ VUK^{lu} μανθάνομεν P¹K^{d} 12 τοῦτον K^{lu} τοῦ θεοῦ om. Tim.¹ 13 τοῦ om. R 14 καὶ om. B λογίζεσθαι P¹K^{d} ὅστισ HXK^{lu} ὡσ Z τοῦ θῦ υἱῶι M¹BW υἱῶ τοῦ θῦ HXP¹JRK^{dlu}, K^{m} ex corr., Tim.¹ Tim.² arm. 15 τῆς ἀνθρωπότητος om. VUZK^{m}, corr. K^{m} οὔτε] οὐδὲ N 16 μακαρίου — καὶ om. S Ἰωάννου om. P¹K^{d} 17 τοῦ om. PSM¹BNWVUZ τοῦ θεολόγου X λέγοντοσ ὅτι M¹BW 17/18 ἐληλυθέναι ἐν σαρκὶ R ἐληλυθέναι Z 19 τοῦ θῦ N τοῦτό HXNR τοῦ ἀντιχρίστου PSHP¹VUZK^{dm}, corr. K^{m} τὸ τοῦ ἀντιχρίστου H^{corr} XNR 19/20 διαιρεῖν P¹K^{d} τὸν ῑ̄ν M¹BHXP¹WK^{ld} τὸν χ̄ν N ῑ̄ν χ̄ν VUK^{m} 20 τὸ τὴν K^{m} ex corr. ἀπ' αὐτοῦ om. Tim.¹ ἀπ' om. X 21 διὰ πλασμάτων] ἀνάπλασμα τῶν U 22 ἀφιστάμενοσ PSVUK^{d} ἐπιστάμενοσ K^{lu} Χριστοῦ] κῦ HX 23 τοῦ πάθουσ N παραφρονεῖν ZK^{m} εἰ om. K^{u} ἡ K¹ εἰσ X 23/24 τὸν τοῦ δεσπότου σταυρὸν B 23 σταυρὸν] θησαυρὸν Z 24 μὴ νενόμικεν] μὲν ἐνόμησεν K^{lu} τῆς om. X 25 ἀναδειχθὲν M¹BHXP¹WVUZK^{lmu} ἀληθῶσ MM¹BJK^{m} ex corr. μὴδαμῶσ K^{d} ἀμφιβάλοι MNJ οὖν om. P¹K^{d} 26 καὶ¹ P¹K^{dlu} Tim.¹ om. MPSM¹BHXNJWRVUZK^{m} μηδὲν MPSJ μὴ διὰ HX σαρκὸσ αὐτὸν BW σαρκὸσ R 28 ἄρνησίς — σώματος om. U ἐστιν τε R τὴν πίστιν τῶν B

καὶ ἀπὸ τοῦ κηρύγματος τοῦ εὐαγγελίου μὴ τὴν οἰκείαν ἀκοὴν ἀποστρέφει, σκοπείτω
Ioh. 19, 34 ποία φύσις διαπεπαρμένη τοῖς ἥλοις ἐν τῶι τοῦ σταυροῦ ξύλωι κεκρέμαστο καὶ ἀνοιγείσης τῆς πλευρᾶς τοῦ προσπεπηγότος τῶι σταυρῶι διὰ τοῦ δόρατος τοῦ στρατιώτου νοείτω πόθεν τὸ αἷμα καὶ τὸ ὕδωρ ἐρρύη, ὥστε τὴν ἐκκλησίαν τοῦ θεοῦ τῶι τε λουτρῶι καταρδεύεσθαι καὶ τῶι πόματι. ἀκουέτω δὲ καὶ τοῦ μακαρίου Πέτρου τοῦ ἀποστόλου
1 Petr. 1, 2 κηρύττοντος ὅτι ὁ καθαρισμὸς τοῦ πνεύματος διὰ τοῦ ῥαντισμοῦ γίνεται τοῦ αἵματος τοῦ Χριστοῦ, μηδὲ παροδικῶς ἀναγινωσκέτω τοῦ αὐτοῦ ἀποστόλου τὰ ῥήματα λέ-
1 Petr. 1, 18. γοντος· εἰδότες ὅτιπερ οὐ φθαρτοῖς ἀργυρίωι ἢ χρυσίωι ἐξηγοράσθητε
19 ἐκ τῆς ματαίας ὑμῶν πατροπαραδότου ἀναστροφῆς, ἀλλὰ τῶι τιμίωι αἵματι ὡσανεὶ ἀμνοῦ ἀγίου καὶ ἀμώμου Ἰησοῦ Χριστοῦ. καὶ τοῦ μα-
1 Ioh. 1, 7 καρίου δὲ Ἰωάννου τοῦ ἀποστόλου τῆι μαρτυρίαι μὴ ἀνθιστάσθω λέγοντος· καὶ τὸ
PL 778 αἷμα Ἰησοῦ τοῦ υἱοῦ τοῦ θεοῦ καθαρίζει ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας καὶ
1 Ioh. 5, 4-8 πάλιν· αὕτη ἐστὶν ἡ νίκη ἡ νικήσασα τὸν κόσμον, ἡ πίστις ἡμῶν. τίς ἐστιν ὃς ἐνίκησεν τὸν κόσμον εἰ μὴ ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ θεοῦ; οὗτος ὁ ἐρχόμενος δι' ὕδατος καὶ αἵματος Ἰησοῦς Χριστός,
οὐκ ἐν τῶι ὕδατι μόνον, ἀλλ' ἐν ὕδατι καὶ αἵματι, καὶ τὸ πνεῦμά ἐστιν τὸ μαρτυροῦν, ἐπειδὴ τὸ πνεῦμά ἐστιν ἡ ἀλήθεια. τρεῖς γάρ εἰσιν οἱ μαρτυροῦντες, τὸ πνεῦμα καὶ τὸ ὕδωρ καὶ τὸ αἷμα, καὶ οἱ τρεῖς τὸ ἕν εἰσιν, τὸ πνεῦμα δηλονότι τοῦ ἁγιασμοῦ καὶ τὸ αἷμα τῆς λυτρώσεως καὶ τὸ ὕδωρ τοῦ βαπτίσματος, ἅπερ τὰ τρία ἕν ἐστιν καὶ ἀμέριστα μένει καὶ οὐδὲν αὐτῶν ἀπὸ τῆς ἑαυτῶν
χωρίζεται συναφείας, ἐπειδήπερ ἡ καθολικὴ ἐκκλησία ἐν ταύτηι ζῆι καὶ προκόπτει τῆι πίστει, ἵνα μήτε δίχα τῆς ἀληθοῦς θεότητος ἡ ἀνθρωπότης μήτε δίχα τῆς ἀληθοῦς ἀνθρωπότητος ἡ θεότης πιστεύηται.

6 Πρὸς μέντοιγε τὴν διαλαλιὰν τῆς ὑμετέρας ἀκροάσεως ὡς Εὐτυχὴς ἀπεκρίνατο λέγων· ὁμολογῶ ἐκ δύο φύσεων γεγενῆσθαι τὸν κύριον ἡμῶν πρὸ τῆς ἑνώσεως, μετὰ
δὲ τὴν ἕνωσιν μίαν φύσιν ὁμολογῶ, θαυμάζω τὴν οὕτως ἀλλόκοτον καὶ οὕτω διεστραμμένην ὁμολογίαν μηδεμιᾶι τῶν δικαζόντων ἐπιτιμήσει δόξασαν ἐπιλήψιμον καὶ τὸν οὕτως ἄφρονα λόγον ἐν παραδρομῆι γεγονότα ὡς τῶν ἀκουσθέντων οὐδενὶ προσκρου-

---

MPSM¹BHXP¹NJWRVUZ, K [= dlmu], Tim.¹, Tim.² [1 σκοπείτω — 4 ἐρρύη, 22/23 ἵνα — πιστεύηται]

1 εὐαγγελικοῦ M¹BHXW 2 ἡ φύσις Z τοῖς ἥλοις διαπεπαρμένη N τοῦ om. K[lmu], corr. K[m] κεκρέματο K[l], K[d] ex corr. ἐκρέματο M¹BNW ἐκρέμαστο PS 2/3 νυγείσης PSM¹BP¹NWVUZK 3 προσπαγέντος P¹K[d] στρατιωτικοῦ J 4 τὸ ὕδωρ καὶ τὸ αἷμα M¹BW τοῦ] τὴν τοῦ MPSJVUK[lmu] 5 καὶ τοῦ ἀποστόλου πέτρου S 6 κηρύσσοντος M¹BW πνεύματος] θῦ M¹ 7 μήτε HX 8 ὅτι K[lu] τοῖς φθαρτοῖς MPSP¹NRZK[dm], corr. MK[m] ἀργυρίου ἢ χρυσίου K[m] ἠγοράσθητε VUK[lu] 9 ματαίας] ἁμαρτίας P¹K[d] τῶι om. M¹BWVU 10 ὡς M¹BW ἀμώμου καὶ ἀγίου NZ χυ ιυ MPSJRVK[m], corr. K[m] χῦ U 10/11 μακαρίου — ἀποστόλου] ἀποστόλου ιῶ S 11 τοῦ ἀποστόλου om. P¹ τὴν μαρτυρίαν V τῆ μαρία K[d] ἀνθίστασθαι R ἀντιστάσθαι H ἀντίστασθε X ἐπανιστάσθω K[lu] 12 Ἰησοῦ om. M¹BW ιυ χῦ HX Tim.¹ τοῦ¹ om. S ὑμᾶς P¹K[d] 13 ἡ νίκη om. BHXNZK[l] ὑμῶν P¹K[d] καὶ τίς M¹W, K[m] ex corr. τίς δὲ HX 14 ὁ νικήσας HXK[lu] ἡ νικήσασα NZ εἰ μὴ] ἢ U ισ αὐτός P¹K[d] om. M¹ 14/15 ὁ υἱὸς — οὗτος om. K[lu] 15 οὗτος ἐστιν M¹HP¹WRK[d], K[m] ex corr. ἐλθὼν HX αἵματος] πνσ J Ἰησοῦς Χριστός om. B 16 τῶι om. K[lu] μόνω BW τῶ ὕδατι καὶ τῶ αἵματι VU 18 καὶ¹ om. SHP¹K[d] τρεῖς εἰσ P¹SRU 18/19 εἰσι τὸ ἓν Z 19 τοῦ²] τὸ τοῦ R 20 βαπτίσματος] σώματοσ MJ τὰ om. M¹BHXP¹WRK[d] αὐτῶν M¹B αὐτοῦ K[lu] 22 ἀνθρωπότησ γνωρίζηται [γνωρίζεται K[lu]]PSP¹K[dlu], K[m] ex corr. μήτε² — ἀνθρωπότητος om. Tim.¹ ἀληθοῦς om. K[lu] 23 θεότησ εἶναι K[lu] πιστεύεται HXNRK[lu], corr. R 24 γε] γὰρ NZ ὡς] ὁ M[corr] JV 25 γεγεννῆσθαι WV ἡμῶν om. K[lu] πρὸ] περὶ K[d] 26 δὲ] μέντοι M¹BW ὄντωσ NVUZK[m] ἀλληλόκοτον K[lu] οὕτω om. J 27 ἐπιλήμψιμον R 28 παράφρονα K[lu] 28/p. 19, 1 ἀκουσθέντων — προσκρουσάντων] ἀκουσάντων K[lu] προσκρούσαντα M[corr]

σάντων, ὁπότε τὸν αὐτὸν τρόπον ἐστὶν ἀσεβὲς τὸ λέγειν ὡς ἐκ δύο φύσεων πρὸ τῆς ἐνανθρωπήσεως ὁ μονογενὴς ἐστιν υἱὸς τοῦ θεοῦ, ὥσπερ ἐστὶν ἀθέμιτον τὸ διαβεβαιοῦσθαι ὡς μετὰ τὸ τὸν λόγον σάρκα γενέσθαι μία ἐν αὐτῶι φύσις ἐστίν. ὅπερ ὅπως ἂν μὴ Εὐτυχὴς ὀρθῶς εἶτ' οὖν ἀνεκτῶς ὑπολάβηι ῥηθέν, ἐπειδήπερ ἐξ οὐδεμιᾶς ὑμῶν ἐπεστόμισται ψήφου, τὴν τῆς σῆς ἀγάπης ὑπομιμνήισκομεν ἀκρίβειαν, ἀδελφὲ τιμιώτατε, ἵνα εἰ διὰ τῶν τοῦ θεοῦ οἰκτιρμῶν εἰς ἀπολογίαν περιίσταται τὰ τοῦ πράγματος, ἡ ἀγνωσία τοῦ ἀμαθοῦς ἀνθρώπου καὶ ἀπὸ ταύτης τῆς φθορᾶς τῆς κατὰ τὴν οἰκείαν διάνοιαν καθαρθῆι. ὅστις μὲν οὖν, ὡς ἡ τάξις τῶν πεπραγμένων δηλοῖ, καλῶς ἀναχωρεῖν ἣν ἀρξάμενος ἀπὸ τῆς ἰδίας ἐνστάσεως, ὁπηνίκα τῆι ὑμῶν ἀποφάσει συνεχόμενος ὡμολόγει λέγειν ἑαυτὸν ὃ πρότερον οὐκ εἰρήκει, καὶ ταύτηι ἐφησυχάζειν τῆι πίστει ἧς ἐτύγχανεν πρώην ἀλλότριος, ἀλλ' ὁπότε ἐν τῶι ἀναθεματιστέωι ἀσεβεῖ δόγματι συναινεῖν οὐκ ἠβούλετο, ἔγνω αὐτὸν ἡ ὑμῶν ἀδελφότης ἐν τῆι οἰκείαι διαμένοντα κακοδοξίαι καὶ ἄξιον εἶναι τοῦ δέχεσθαι τὴν κρίσιν τῆς καθαιρέσεως. ἐφ' ὥιπερ εἰ πιστῶς καὶ συμφερόντως ἀλγεῖ καὶ εἰ βράδιον γοῦν ὅμως ἐπιγινώσκει ὅπως εἰς δέον ἡ τῶν ἐπισκόπων ἐπ' αὐτῶι αὐθεντία κεκίνηται, ἢ εἰ πρὸς τὸ τέλειον τῆς ἀπολογίας ἴδοι, ὥστε πάντα τὰ παρ' αὐτοῦ κακῶς φρονηθέντα ἐναργεῖ καὶ παρούσηι τῆι φωνῆι, καὶ οἰκείαι δὲ καταδικασθῆναι ὑπογραφῆι, οὐκ ἔσται καταγνώσεως ἄξιος ὁ περὶ τὸν διορθωθέντα ὁπόσος οὖν ἔλεος, ἐπειδήπερ ὁ κύριος ἡμῶν ὁ ἀληθινὸς καὶ ἀγαθὸς ποιμὴν ὁ τὴν ψυχὴν θεὶς ὑπὲρ Ioh. 10, 11
τῶν προβάτων τῶν ἑαυτοῦ καὶ ὃς ἦλθεν τὰς ψυχὰς τῶν ἀνθρώπων σῶσαι, οὐκ ἀπο- Lc. 9, 56
λέσαι, μιμητὰς ἡμᾶς τῆς οἰκείας ἀγαθότητος εἶναι βούλεται, ἵνα τοὺς μὲν ἁμαρτάνοντας σωφρονίσηι τὸ δίκαιον, τοὺς ἐπιστρέψαντας δὲ ὁ τῆς συμπαθείας μηδαμῶς οἶκτος ἀπώσηται. τότε γὰρ ὄντως, τότε σὺν ἀγαθῶι τῶι καρπῶι τὸ τῆς πίστεως ἀληθὲς ἐκδικεῖται, ὅτε καὶ παρὰ τῶν τῆς δυσσεβείας ἐξάρχων ἡ οἰκεία κακοδοξία καταδικάζεται.

Πρὸς δὲ τὸ πᾶσαν τὴν ὑπόθεσιν εὐσεβῶς καὶ πιστῶς ἐξανυσθῆναι τοὺς ἀδελφοὺς PL 782
ἡμῶν Ἰούλιον τὸν ἐπίσκοπον καὶ Ῥενάτον τὸν πρεσβύτερον, ἔτι γε μὴν καὶ τὸν υἱόν μου Ἴλαρον τὸν διάκονον εἰς τὸν ἡμῶν ἀπεστάλκαμεν τόπον, οἷς Δουλκίτιον τὸν νοτάριον

MPSM¹BHXP¹NJWRVUZ, K[= dlmu], Tim.¹

1 ἀσεβέσ ἐστι M¹BW 2 υἱός — ἐστιν om. K¹ᵘ τὸ om. MPSNVUZK^{m}, corr. MK^{m} 3 τὸ om. MPSM¹HXK, corr. MHK^{m} γεγενῆσθαι HXR μίαν UK^{m} ὅπως om. V 4 ἢτ' οὖν MM¹ ἢ γοῦν BHXK¹ᵘ ἐκτὸσ NZ ὑπολάβοι M¹BWRK¹ᵘ τὸ ῥηθὲν M¹ ἡμῶν MPSHX 5 ἐπιστομεῖσθαι X ἐπιστόμισται K¹ᵘ σῆς om. NZ 6 εἰ om. R τῶν οἰκτιρμῶν τοῦ θῦ M¹BW τὰ om. W γράμματοσ HX 6/7 ἡ ἀγνωσία om. VU 7 τῆς² om. M¹BWK¹ᵘ, K^{m} ex corr. 8 πρᾶξισ HX καλῶς] καθὼσ N 9 ἣν om. WR οἰκείασ R 10 ταύτηι om. NZ ἐπισυχάζειν HRK¹ᵘ ἐπησυχάζειν X ἐφησύχαζε B ἐφησυχάζει W ἢ K¹ᵘ om. R 11 ὁπότε] ὃ [ὧ Z] πρότερον NZ καὶ ἀσεβεῖ WR 12 ἐβούλετο M¹BWU μένοντα M¹BW, K^{m} ex corr. δόξη VU 13 εἶναι] οἶμαι PS τοῦ om. NZ 14 ὅμωσ] ὅπωσ R ὅπως] πῶσ HX ὡσ P¹K^{d} 14/15 ἐπ' αὐτῶ ἡ τῶν ἐπισκόπων B 15 αὐθεντία ἐπ' αὐτῶ HX ἐπ' αὐτὸν VU ἐπαύετο K¹ᵘ ἢ εἰ] εἰ PSHXP¹K^{d} Tim.¹ ἵν' εἰ M¹B, K^{m} ex corr. ἢ K^{m} ἐν ἢ K^{m} in marg. ἢ τι N ὡσ εἴ γε K¹ᵘ 15/16 τὰ — φρονηθέντα πάντα Z 16 κακῶς φρονηθέντα] καταφρονηθέντα R φρονηθέντα N ἐναργεῖ καὶ] ἐναργεῖν R ἐναργεῖ τῆ U θαρρούση B, K^{m} ex corr. καὶ² om. X 17 γραφῆ J τῆ ὑπογραφῆ V ἔσται δὲ NVUZK^{m}, corr. K^{m} ἐστιν R ἄξιον ZK^{m} ὁ om. PSNVUZK^{m} 17/18 ὁπωσοῦν MBH^{corr} P¹JVUK^{dlu}, K^{m} ex corr. ποιήσασ WR 18 ἀγαθὸσ καὶ ἀληθινὸσ U ψυχὴν ἑαυτοῦ BWR, K^{m} ex corr. ψυχὴν αὐτοῦ K^{u} ψυχὴν τὴν ἑαυτοῦ M¹P¹K^{dl} θεισ post ἑαυτοῦ coll. HX 19 τῶν² om. SM¹BHXWK¹ᵘ αὐτοῦ BK^{u} καὶ om. BTim.¹ 20 βεβούληται BP¹RK^{d} βεβούλευται MPSNK^{m}, corr. M 21 ὑποστρέψαντασ δὲ M¹B ἐπιστρέφοντασ δὲ SHXP¹WRK^{d} δὲ ἐπιστρέψαντασ K¹ᵘ ὁ om. HX τῆ συμπαθεία HX μηδαμῶσ ὁ — συμπαθείασ οἶκτοσ VU οἶκτοσ μηδαμῶσ NZK¹ᵘ 22 τότε om. W 23 ὅταν V ἡ om. HX καταδικάζηται HXP¹JRVK, corr. J

24—p. 20, 5 om. M¹P¹NJRVUZK^{dm} 24—p. 20, 4 om. MPS 24 δὲ καὶ K¹ᵘ τὸ] τῶν X εὐσεβῶσ] ἀκριβῶσ K¹ᵘ ἀνυσθῆναι K¹ᵘ 25 ῥεννάτον BW μενάτον X 26 μου Ἴλαρον] μάλλαρον K¹ᵘ Ἰλάριον BH^{corr}WTim.¹ Ἰλαρίωνα X ἀπεστείλαμεν H ἀπεσταλμένον X

τὸν ἡμέτερον, οὗ τὴν πίστιν ἐδοκιμάσαμεν, συνεζεύξαμεν, θαρροῦντες τὴν τοῦ θεοῦ παρεσομένην βοήθειαν ὥστε τὸν πλανηθέντα καταδικασθείσης τῆς σκαιότητος τοῦ φρονήματος τοῦ οἰκείου σωθῆναι.

Ὁ θεὸς ἐρρωμένον σε διαφυλάττοι, ἀδελφὲ προσφιλέστατε.

d. 13. m. Iun. a. 449 Ἐδόθη Εἰδοῖς Ἰουνίαις Ἀστυρίου καὶ Πρωτογένους τῶν λαμπροτάτων ὑπάτων

L IIII 358 M VI 961 Ὁμοίως μαρτυρίαι ἁγίων πατέρων καὶ ὁμολογητῶν

1 Τοῦ ἁγίου Ἱλαρίου ἐπισκόπου καὶ ὁμολογητοῦ ἐν τῶι περὶ πίστεως θ λόγωι

de trin. 9, 3 Οὐκ οἶδεν, οὐκ οἶδεν ὄντως τὴν ἑαυτοῦ ζωὴν ὃς Ἰησοῦν τὸν Χριστὸν ὡς ἀληθῆ θεόν, οὕτως καὶ ἀληθῆ ἄνθρωπον οὐκ ἐπίσταται. τοῦ γὰρ αὐτοῦ κινδύνου τὸ πρᾶγμα τυγχάνει, ἐὰν Χριστὸν Ἰησοῦν ἢ πνεῦμα θεοῦ ἢ σάρκα τοῦ ἡμετέρου ἀρνησώμεθα σώματος. Mt. 10, 32. 33 πᾶς τοιγαροῦν ὃς ἂν ὁμολογήσηι με ἔμπροσθεν τῶν ἀνθρώπων, κἀγὼ ὁμολογήσω αὐτὸν ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς· ὃς δ' ἂν ἀπαρνήσηταί με ἔμπροσθεν τῶν ἀνθρώπων, κἀγὼ ἀρνήσομαι αὐτὸν ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς. ταῦτα ὁ λόγος σὰρξ γενόμενος ἔλεγεν καὶ ἄνθρωπος Ἰησοῦς Χριστὸς ὁ κύριος τῆς δόξης ἐδίδασκεν, πρὸς τὴν τῆς ἐκκλησίας σωτηρίαν μεσίτης αὐτὸς ὑπάρχων ἐν ἑαυτῶι, ⟨αὐτῶι⟩ τούτωι τῶι μυστηρίωι δι' οὗπερ θεῶι καὶ ἀνθρώποις ἐμεσίτευσεν, εἷς τυγχάνων τὸ συναμφότερον, ἐκ τῶν ἑνωθεισῶν εἰς τὸ αὐτὸ τοῦτο δὴ φύσεων ἓν καὶ ταὐτὸ δι' ἑκατέρας φύσεως ὤν, πλὴν οὕτως ὡς ἐν ἑκατέρωι μηδετέρου χηρεύειν, μή πως παύσηται θεὸς εἶναι τικτόμενος ἄνθρωπος ἢ πάλιν ἄνθρωπος οὐκ ἦι τῶι διαμένειν θεός. οὐκοῦν τοῦτο τῆς ἐν ἀνθρώποις ἀληθοῦς πίστεως τὸ μακάριον τὸ τὸν μὲν θεὸν καὶ ἄνθρωπον κηρύττειν, τὴν δὲ σάρκα καὶ λόγον ὁμολογεῖν καὶ τόν τε θεὸν εἰδέναι ὅτι καὶ ἄνθρωπος εἴη, καὶ τὴν σάρκα μὴ ἀγνοεῖν ὅτι καὶ λόγος ἐστίν.

L IIII 359 2 Ὁμοίως τοῦ αὐτοῦ ἐν τῶι αὐτῶι λόγωι

de trin. 9. 5—7 Ἐκ παρθένου τοίνυν τεχθεὶς ἄνθρωπος ὁ μονογενὴς θεὸς καὶ κατὰ τὴν συμπλήρωσιν τοῦ καιροῦ μέλλων αὐτὸς ἐν ἑαυτῶι τὴν τοῦ ἀνθρώπου προκοπὴν εἰς θεὸν ἀπεργάζεσθαι, ταύτην τὴν τάξιν ἐν ἅπασιν τοῖς εὐαγγελικοῖς λόγοις ἐφύλαξεν, ἵνα ἑαυτὸν καὶ υἱὸν εἶναι θεοῦ διδάξηι πιστεύεσθαι καὶ ἀνθρώπου υἱὸν ὑπομνήσηι κηρύττεσθαι, τῶι μὲν ἄνθρωπος εἶναι λαλῶν ἅπαντα καὶ πράττων ἅπερ ἐστὶν θεοῦ, αὖθις δὲ καὶ τῶι θεὸς ὑπάρχειν λαλῶν τε ἅπαντα καὶ πράττων ἅπερ ἐστὶν ἀνθρώπου, οὕτω μέντοι ὥστε

Hanc testimoniorum collectionem a Leone ei tomi exemplari adnexam esse quod mense Iulio a. 450 Constantinopolim misit, ex epp. 30. 31. 45 recte concluserunt Ballerini. eandem collectionem, sed auctam repetiit Leo in appendice ep. 104 [Λ]

1—3 interpolata sunt in collectionem Theodoreti eran. 2, 162—165 [T^{i}]

1. 2 = ep. 104. 2. 3

MSP [praeter 1—4], BHXW, K [= Iu], Tim.^{1}

p. 19, 26/1 τὸν ἡμῶν [ἐμὸν HK^{Iu}] νοτάριον HXK^{Iu} ὢν καὶ K^{Iu} θαρροῦντεσ] τοιγαροῦν καὶ [καὶ om. X] HX τὴν] τουτέστι X τοῦ θεοῦ] θείαν K^{Iu} 1/2 παρεπομένην X 2/3 καταδικασθείσης — οἰκείου om. K^{Iu} 2 καταδικασθείσησ τῆσ φαυλότητοσ HX καταδικάσαντα τὴν σκαιότητα BW 4 ὁ θεός — προσφιλέστατε om. B Tim.^{1} post 5 coll. HX διαφυλάξει K^{Iu} θεωφιλέστατε K^{Iu} 5 om. WK^{Iu} Tim.^{1} ἀστυρίου HX ἀστερίου MPS ὑπατείασ ἀστερίου B πρωτογόνουσ HX πρωτογόνου H^{corr}

MPS

6 μαρτυρία P μαρτυρία τῶν S 7 ἐννάτω P 9 οὕτως ΛT^{i} ὄντωσ MPS 10 θεὸν ΛT^{i} ἀρνησόμεθα M 16 αὐτῶι addidi ex Λ 18 ταυτὸν PS 20 ἦι Λ εἶ PS ἐν M 22 λόγω S τόν τε P τότε MS 25 τοίνυν om. S καὶ om. S 26 ὁ αὐτὸσ M 28 ὑπομιμνήσει S 29 καὶ^{2} om. S τῶ P τὸ MS 30 τε om. S

ταύτηι αὐτῆι τῆι καθ' ἑκάτερον γένος αὐτὸν ὁμιλίαι μηδὲ πώποτε λαλεῖν εἰ μὴ μετὰ τοῦ σημαίνειν θεόν τε καὶ ἄνθρωπον. ἐντεῦθεν τοιγαροῦν τοῦ δελεάζειν τοὺς ἁπλουστέρους καὶ τοὺς ἀγνοοῦντας τοῖς αἱρετικοῖς γίνεται πρόφασις, ὥστε τὰ παρ' ἐκείνου κατὰ τὴν ἀνθρωπότητα λαληθέντα ψευδομένους λέγειν ὡς κατ' ἀσθένειαν τῆς θείας εἴρηται φύσεως, M VI 964
καὶ ἐπειδήπερ εἷς καὶ ὁ αὐτός ἐστιν ὁ πάντα λαλῶν ὅσαπερ καὶ ἐλάλει, φιλονεικεῖν αὐτοὺς περὶ ἑαυτοῦ πάντα αὐτὸν εἰρηκέναι. καὶ οὐδ' ἡμεῖς μὲν ἀρνούμεθα πάντας τοὺς ὄντας αὐτοῦ λόγους τῆς ἰδίας αὐτοῦ φύσεως εἶναι, ἀλλ' εἴπερ Ἰησοῦς ὁ Χριστὸς ἄνθρωπος καὶ θεὸς καὶ οὔτε ὅτε ἄνθρωπος, τότε πρῶτον θεός, οὔτε μὴν ὅτε ἄνθρωπος, τότε οὐκ ἦν καὶ θεὸς οὐδὲ μετὰ τὸν ἄνθρωπον ἐν τῶι κυρίωι οὐχὶ ὅλος ἄνθρωπος καὶ ὅλος θεός, ἐπάναγκές ἐστιν ἓν καὶ τὸ αὐτὸ εἶναι μυστήριον τῶν αὐτοῦ λόγων ὃ καὶ τοῦ τόκου καθέστηκεν. καὶ ὅταν ἐν αὐτῶι κατὰ καιρὸν τὸν ἄνθρωπον ἀπὸ τοῦ θεοῦ διαιρῆις, τότε τά τε τοῦ θεοῦ καὶ τοῦ ἀνθρώπου διαχώριζε ῥήματα, καὶ ὁπηνίκα θεὸν καὶ ἄνθρωπον ὁμολογεῖς ἐν καιρῶι, ⟨ἐν καιρῶι⟩ τὰ τοῦ θεοῦ καὶ ἀνθρώπου διάκρινε ῥήματα· ὅταν δὲ ἐκ θεοῦ καὶ ἀνθρώπου, πάλιν ἀνθρώπου καθόλου καὶ καθόλου θεοῦ τὸν καιρὸν εἶναι νοεῖς. εἴ τι τοιοῦτο λελάληται πρὸς τὸ μηνῦσαι τὸ κατ' ἐκεῖνο καιροῦ, τῶι καιρῶι τὰ λεχθέντα προσάρμοσον, καὶ ἐπειδήπερ ἄλλο ἐστὶν πρὸ τοῦ ἀνθρώπου θεός, ἄλλο δὲ πάλιν ἄνθρωπος καὶ θεὸς καὶ ἄλλο μετὰ τὸν ἄνθρωπον καὶ θεὸν ὅλος ἄνθρωπος καὶ ὅλος θεός, μὴ συγχέηις τοῖς καιροῖς καὶ τοῖς γένεσι τὸ τῆς οἰκονομίας μυστήριον. ἀνάγκη γὰρ κατὰ τὴν ποιότητα τῶν γενῶν καὶ τῶν φύσεων ἄλλην μὲν αὐτοῦ γεγενῆσθαι τὴν ὁμιλίαν μηδέπω κατὰ τὸ τοῦ ἀνθρώπου τεχθέντος μυστήριον, ἄλλην δὲ ἔτι προσελαύνοντος τῶι θανάτωι καὶ ἄλλην ἤδη τυγχάνοντος αἰωνίου. δι' ἡμᾶς τοίνυν ἅπαντα ταῦτα μένων Χριστὸς Ἰησοῦς καὶ τεχθεὶς ἄνθρωπος σώματος ἡμετέρου, κατὰ τὴν συνήθειαν τῆς ἡμετέρας ἐλάλησεν φύσεως, οὐ μὴν τῆς οἰκείας ἀποβαλὼν φύσεως τὸ εἶναι θεός. εἰ γὰρ καὶ ἐν τῶι τόκωι καὶ τῶι πάθει καὶ τῶι θανάτωι τὰς τῆς ἡμετέρας φύσεως πράξεις διήνυσεν, ὅμως ἅπαντα ταῦτα τῆι δυνάμει τῆς ἑαυτοῦ διεπράξατο φύσεως.

3 Ὁμοίως τοῦ αὐτοῦ ἐν τῶι αὐτῶι λόγωι L IIII 362

Ὁρᾶις ἄρα οὕτω θεὸν καὶ ἄνθρωπον ὁμολογεῖσθαι ὥστε τὸν μὲν θάνατον τῶι ἀνθρώπωι, τῶι δὲ θεῶι τῆς σαρκὸς λογίζεσθαι τὴν ἀνάστασιν; τὴν μὲν γὰρ τοῦ θεοῦ φύσιν ἐν τῆι δυνάμει τῆς ἀναστάσεως νόει, τὴν δὲ κατ' ἄνθρωπον οἰκονομίαν ἐν τῶι θανάτωι ἐπίγνωθι. καὶ ἐπειδήπερ ἑκάτερα ταῖς οἰκείαις γεγένηνται φύσεσιν, ἕνα μοι Χριστὸν Ἰησοῦν ἐκεῖνον εἶναι μνημόνευε τὸν ὄντα ἀμφότερα. ταῦτα δὲ τούτου χάριν διὰ βραχέων ὑπέδειξα, ἵνα ἑκατέραν φύσιν ἐν τῶι κυρίωι ἡμῶν Ἰησοῦ Χριστῶι νοεῖσθαι μνημονεύωμεν· ὁ γὰρ ὢν ἐν μορφῆι θεοῦ ἔλαβεν δούλου μορφήν. de trin. 9, 11 14

4 Τοῦ ἁγίου Γρηγορίου τοῦ Ναζιανζοῦ ἐν τῆι ὁμιλίαι τῆι περὶ τῶν ἐπιφανίων M VI 965

Ἐπειδὴ τοίνυν προῆλθεν ἐκ τῆς παρθένου θεὸς [μετὰ τῆς προσλήψεως] ἐν αὐτῆι

---

3 = ep. 104, 4. 5

4. 5 = ep. 104, 12. 13. interpolata sunt in Theodoreti eran. 2, 148. non sunt ipsa Gregorii uerba, sed Graece uersa ex translatione Rufini [CSEL 46] p. 100. 101. 103

MPS

1 αὐτῆι om. M μηδέποτε S 5 φιλονικεῖν M 8 οὔτε¹] οὔτε μὴν M 9 ὅλος PS ὁ λόγος M ὅλος PS ὁ λόγος M θῶ ὁ P 13 ἐν καιρῶι addidi secundum Λ διάκριναι P 14 νοεῖς Λ νοῆς PS νόησον M 14/15 εἴ τι [τε S] τοιοῦτον PS ταῦτο in ταῦτα corr. M 15 τὸ] τῶ P τὸ] τῶ M 16 ἄλλος M ἄλλος M 20 τεχθέντος Ti τεχθέντα MPS 21 διαιωνίου M 23 φύσεως ἀποβαλὼν PS 23/24 καὶ ἐν τῶ πάθει καὶ ἐν τῶ S 29 νόει τὴν M νοητὴν PS 30 ἐν ταῖς PS 34 τοῦ ἁγίου om. S τοῦ om. S 35 μετὰ τῆς προσλήψεως ex ipso Gregorio interpolata 35/p. 22, 1 ἓν — ἑαυτοῖς scripsi secundum Λ ἐκ δύο τῶν ἐν αὐτῆ ἦν προσέλαβεν ἀνθρωπεία φύσει ἐπειδὴ τῶν [ἐν — τῶν in mg. suppl. M] ἑαυτοῖσ [ἐν αὐτοῖσ S] MPS

ἣν προσέλαβεν ἀνθρωπείαι φύσει, ⟨ἐν⟩ ἐκ δύο τῶν ἑαυτοῖς ἐναντίων, σαρκὸς καὶ πνεύματος ὤν, τὸ μὲν αὐτῶν εἰς τὸν θεὸν προσελήφθη, τὸ δὲ τὴν χάριν παρέσχηκεν τῆς θεότητος.

5 'Ομοίως τοῦ αὐτοῦ μετ' ὀλίγα

'Απεστάλη μὲν, ἀλλ' ὡς ἄνθρωπος· διπλῆ γὰρ ἦν ἡ φύσις ἐν αὐτῷ. ἀμέλει 5 τοι ἐντεῦθεν καὶ ἐκοπίασεν καὶ ἐπείνησεν καὶ ἐδίψησεν καὶ ἠγωνίασεν καὶ ἐδάκρυσεν ἀνθρωπίνου σώματος νόμῳ.

de fide 2, 58 6 Τοῦ ἁγίου 'Αμβροσίου ἐπισκόπου καὶ ὁμολογητοῦ ἐκ τῶν περὶ πίστεως λόγων τῶν πρὸς Γρατιανὸν τὸν βασιλέα λόγου β̄

1 Cor. 2, 8 "Οθεν ἐκεῖνο τὸ ἀναγνωσθὲν ὡς ὁ κύριος τῆς δόξης ἐσταύρωται, μὴ τῇ ἑαυτοῦ 10 δόξῃ σταυρωθέντα νομίσωμεν, ἀλλ' ἐπειδὴ ὁ αὐτὸς θεός τε καὶ ἄνθρωπος, κατὰ μὲν τὴν θεότητα θεός, κατὰ δὲ τὴν πρόσληψιν τῆς σαρκὸς ἄνθρωπος, 'Ιησοῦς Χριστὸς ὁ κύριος τῆς δόξης ἐσταυρῶσθαι λέγεται. καὶ γὰρ ἑκατέρας μετέχει φύσεως, τουτέστιν ἀνθρωπίνης καὶ θείας· ἐν τῇ τοῦ ἀνθρώπου γὰρ φύσει τὸ πάθος ὑπέμεινεν, ἵνα ἀδιαιρέτως
Ioh. 3, 13 καὶ κύριος τῆς δόξης καὶ υἱὸς ἀνθρώπου εἶναι λέγηται ὁ παθών, καθὼς γέγραπται ὁ 15 ἐκ τοῦ οὐρανοῦ καταβάς.

ibid. 77 7 'Ομοίως τοῦ αὐτοῦ ἐν τῷ αὐτῷ λόγῳ ἐν ἄλλῳ τόπῳ

Σιγάτωσαν τοιγαροῦν αἱ περὶ τῶν λόγων μάταιαι ζητήσεις· ἡ γὰρ τοῦ θεοῦ βασιλεία,
1 Cor. 2, 4 καθὼς γέγραπται, οὐκ ἐν πειθοῖς λόγων ἐστίν, ἀλλ' ἐν ἀποδείξει δυνάμεως. φυλάξωμεν τὴν διαφορὰν τῆς σαρκός τε καὶ τῆς θεότητος· εἷς γὰρ θεοῦ υἱὸς ἐν ἑκατέραι λαλεῖ, 20 ἐπειδήπερ ἑκατέρα φύσις ἐστὶν ἐν αὐτῷ. ἀλλ' εἰ καὶ ὁ αὐτὸς λαλεῖ, οὐχ ἑνὶ μέντοιγε πάντοτε τρόπῳ λαλεῖ. ὁρᾷς γὰρ ἐν αὐτῷ νῦν μὲν δόξαν θεοῦ, νυνὶ δὲ πάθη ἀνθρώπου. ὡς θεὸς λαλεῖ τὰ ὄντα θεῖα, ἐπειδήπερ λόγος ἐστίν· ὡς ἄνθρωπος λαλεῖ τὰ ὄντα ἀνθρώπινα, ἐπειδήπερ ἐν ταύτῃ ἐλάλει τῇ φύσει.

L IIII 363 8 de incarn. sacr. 49 'Ομοίως τοῦ αὐτοῦ ἐν τῷ λόγῳ τῷ περὶ τῆς ἐνανθρωπήσεως τοῦ κυρίου κατὰ 'Απο- 25 λιναριαστῶν

'Αλλ' ἐν ὅσῳ τούτους ἐλέγχομεν, ἀνεφύησαν ἕτεροι λέγοντες τό τε σῶμα τοῦ κυρίου καὶ τὴν θεότητα μιᾶς φύσεως εἶναι. ποῖος ἄιδης τὴν τοσαύτην βλασφημίαν ἠρεύξατο; 'Αρειανοὶ γὰρ ἤδη τυγχάνουσιν ἀνεκτότεροι, ὧν ἡ ἀπιστία διὰ τούτους κρατύνεται, ὥστε μείζονι φιλονεικίαι πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα μιᾶς οὐσίας μὴ λέγειν, ἐπει- 30 δήπερ οὗτοι τὴν θεότητα τοῦ κυρίου καὶ τὴν σάρκα μιᾶς φύσεως εἰπεῖν ἐπεχείρησαν.

6—9 = ep. 104, 7—10. interpolata sunt in Theodoreti eran. 2, 143. 144

7 uersio differt ab Exc. Ephes. XIII

8 eiusdem fere uersionis eadem ecloga extat in codicis Vaticani 1431 [R] florilegio 2, 65 [*Abhndlg. d. Bayer. Akad. d. Wiss.* XXXII 6 p. 48]

MPS

2 παρέσχε S 4 ὁμοίως — αὐτοῦ om. S 5 αὐτῷ PSΛ τούτω M 8 τοῦ ἁγίου om. S τῶν²] τοῦ PS 9 τὸν om. PS 11 ἐπεὶ M αὐτόσ τε θῦ S 14 θείασ καὶ ἀνθρωπίνησ S 17 ὁμοίωσ om. S ἐν ἄλλῳ τόπῳ om. S 19 πιθοῖσ M 23 ὄντα² PSΛ om. M 24 ἐλάλει MΛ λαλεῖ PS 25 ὁμοίως om. S τῷ¹ om. P 25/26 ἀπολιναριστῶν M 27 ἠλέγχομεν M ἕτεροι om. R 28 ἠρεύξατο τὴν τοσαύτην ἀσέβειαν R 29 ἀνεκτότεροι τυγχάνουσιν R πίστισ R 30 ὥστε MPS οἷσ R μείζονι M μείζων ἡ PS πλέον ἡ R μὴ λέγειν μιᾶς οὐσίασ R

9 Ὁμοίως τοῦ αὐτοῦ μετ' ὀλίγα ibid. 52

Καὶ οὗτος λέγει μοι συνεχῶς τῆς ἐν Νικαίαι συνόδου ἑαυτὸν κατέχειν τὴν ἔκθεσιν. M VI 968
ἀλλ' ἐν ἐκείνηι τῆι ἐξετάσει οἱ ἡμέτεροι πατέρες οὐχὶ τὴν σάρκα, τὸν δὲ τοῦ θεοῦ λόγον μιᾶς τῶι πατρὶ οὐσίας εἶναι εἰρήκασιν καὶ τὸν μὲν λόγον ἐκ τῆς τοῦ πατρὸς προεληλυθέναι οὐσίας, τὴν δὲ σάρκα ἐκ τῆς παρθένου τυγχάνειν ὡμολογήκασιν. διὰ τί τοίνυν ἡμῖν 5
τὸ μὲν τῆς ἐν Νικαίαι συνόδου προτείνουσιν ὄνομα, εἰσάγουσιν δὲ καινὰ καὶ ἅπερ οὐκ ἐνεθυμήθησαν πώποτε οἱ ἡμέτεροι πρόγονοι;

10 Ὁμοίως τοῦ ἁγιωτάτου Ἰωάννου ἐπισκόπου Κωνσταντινουπόλεως ἐν τῆι ὁμιλίαι τῆι περὶ τῆς ἀναλήψεως τοῦ κυρίου

Καθάπερ γὰρ δύο τινῶν ἁψιμαχίαι διαστάντων ἕτερός τις ἐν μέσωι παρεντεθεὶς λύει τὴν τῶν ἐριζόντων μάχην τε καὶ διχόνοιαν, οὕτω καὶ ὁ Χριστὸς ἐποίησεν. ὠργί- 11
ζετο μὲν ἡμῖν δικαίως ὁ θεός, ἡμεῖς δὲ τῆς αὐτοῦ κατεφρονοῦμεν ὀργῆς τὸν φιλάνθρωπον δεσπότην ἀποστρεφόμενοι, καὶ μέσον ἑαυτὸν ἐμβαλὼν ὁ Χριστὸς ἑκατέραν φύσιν εἰς φιλίαν συνήγαγεν καὶ τὴν παρὰ τοῦ πατρὸς ἐπικειμένην ἡμῖν αὐτὸς τιμωρίαν ὑπέμεινεν.

11 Ὁμοίως τοῦ αὐτοῦ Ἰωάννου ἐν τῆι αὐτῆι ὁμιλίαι 15

Προσήνεγκεν τοίνυν ὁ Χριστὸς τὰς ἀπαρχὰς τῆς ἡμετέρας φύσεως τῶι πατρὶ καὶ τὸ δῶρον αὐτὸς ἐθαύμασεν ὁ πατὴρ διά τε τὴν τοσαύτην ἀξίαν τοῦ προσκομίσαντος καὶ τοῦ προσενεχθέντος τὸ ἄμωμον. καὶ γὰρ οἰκείαις ἐδέξατο τοῦτο χερσὶν καὶ τοῦ θρόνου μέτοχον εἶναι τοῦ οἰκείου πεποίηκεν καὶ τὸ πλέον, ἐν τῶι τῆς ἑαυτοῦ δεξιᾶς αὐτὸ μέρει καθίδρυσεν. οὐκοῦν ἐπιγνῶμεν τίς ἐκεῖνος ὁ ἀκούσας ἐστὶν κάθου ἐκ Ps. 109, 1
δεξιῶν μου; τίς ἦν ἡ φύσις ἐκείνη πρὸς ἣν εἶπεν· ἔσο τοῦ θρόνου μου κοινωνός; 21
ἐκείνη ἦν ἡ φύσις πρὸς ἣν εἶπεν· γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσηι. Gen. 3, 19

12 Καὶ πάλιν τοῦ αὐτοῦ Ἰωάννου μετ' ὀλίγα

Ποίωι χρήσομαι λόγωι, ποίοις φθέγξομαι ῥήμασιν, ἀπορῶ. ἡ φύσις ἡ σαθρά, ἡ φύσις ἡ εὐτελής, ἡ πάντων ἐλάσσων ἀποδειχθεῖσα πάντα νενίκηκεν, ὑπερέβαλεν ἅπαντα. 25
σήμερον ἀνωτέρα γενέσθαι πάντων ἠξίωται· σήμερον ἀπέλαβον ὅπερ ἐπὶ χρόνον πολὺν ἐπεθύμησαν ἄγγελοι· σήμερον ἀρχάγγελοι τῶν ἐπὶ πολὺ ποθουμένων θεαταὶ γενέσθαι δεδύνηνται καὶ τὴν φύσιν τὴν ἡμῶν ἐν τῶι θρόνωι τοῦ βασιλέως τῆι δόξηι τῆς ἀθανασίας ἐκλάμπουσαν κατενόησαν.

13 Ὁμοίως ἐκ τῆς ἐπιστολῆς τῆς πρὸς Βολουσιανὸν τοῦ ἁγιωτάτου ἐπισκόπου Αὐγουστίνου L IIII 366
31

Νῦν δὲ οὕτως μεταξὺ θεοῦ καὶ ἀνθρώπων ἀνεφάνη μεσίτης, ὥστε αὐτὸν ἐν τῆι ep. 137, 9
τοῦ προσώπου ἑνότητι συνάπτειν ἑκατέραν τὴν φύσιν, καὶ τὰ ἐν ἔθει αὔξοντα τοῖς ἀήθεσιν καὶ τὰ ἀήθη συγκεράσαντα τοῖς ἐξ ἔθους.

10—12 = ep. 104, 15—17, interpolata sunt in Theodoreti eran. 2, 159. 160. ceterum non sunt ipsa Iohannis [PG 49, 445. 446. 448] uerba, sed Graece uersa ex translatione Latina

13—15 = ep. 104, 22. 23. 26. interpolata sunt in Theodoreti eran. 2, 165. 166

MPS

1 ὁμοίως om. S 2 οὗτος Ti *hi* Λ οὕτως MPS λέγειν PS 7 ποτε M 8 ὁμοίως om. S 11 τῶν ἐριζόντων τὴν S 15 ὁμοίως om. S 16 ὁ Χριστὸς om. M 23 καὶ πάλιν om. S Ἰωάννου om. S 24 ἀπορῶ PS Λ ἀγνοῶ M 30/31 ὁμοίως — Αὐγουστίνου] αὐγουστίνου ἐκ τῆσ ἐπιστολῆς τῆσ πρὸσ βολουσιανόν S 32 οὕτως Λ οὕτοσ MPS ἐνεφάνη S 33 τοῦ om. S 34 ἀήθη M ἀληθῆ PS

14 Ὁμοίως τοῦ αὐτοῦ Αὐγουστίνου ἐν τῇ ἐκθέσει τοῦ εὐαγγελίου τοῦ κατὰ τὸν ἅγιον Ἰωάννην

tractat. 78, 2 M VI 969 Τί τοίνυν, αἱρετικέ; ἐπειδὴ Χριστός ἐστιν θεὸς καὶ ἄνθρωπος, λαλεῖ μὲν ὡς ἄνθρωπος, συκοφαντεῖς δὲ θεόν; ἐκεῖνος ἐν αὐτῷ τὴν ἀνθρωπίνην φύσιν ὑψοῖ, σὺ ἐν ἐκείνῳ τολμᾷς ἐξευτελίσαι τὴν θείαν;

15 Ὁμοίως τοῦ αὐτοῦ Αὐγουστίνου ἐν τῷ λόγῳ τῷ περὶ τῆς ἐκθέσεως τῆς πίστεως

Καὶ γὰρ ἡμέτερόν ἐστιν τὸ πιστεύειν, ἐκείνου δὲ τὸ εἰδέναι, καὶ οὕτως αὐτὸς ὁ θεὸς λόγος τὸ πᾶν ὑποδεξάμενος, ὅπερ ἐστὶν ἀνθρώπου, ἄνθρωπος ἔστω καὶ ὁ προσληφθεὶς ἄνθρωπος ὑποδεξάμενος ἅπαν ὅπερ ἐστὶν θεοῦ, ἄλλο τι μὴ ἔστω πλὴν ὅπερ θεός. οὐ μὴν ἐπειδὴ σεσαρκωμένος εἶναι λέγεται καὶ μικτός, μεμειῶσθαι τὴν οὐσίαν τὴν αὐτοῦ νομιστέον. οἶδεν μιγνύναι θεὸς ἑαυτὸν δίχα τῆς οἰκείας φθορᾶς καὶ μιγνύναι μέντοιγε κατ' ἀλήθειαν. οἶδεν οὕτως ἐν ἑαυτῷ ὑποδέξασθαι, ὥστε μηδὲν αὐτῷ προσθήκης αὐξάνεσθαι· καθὼς οἶδεν, ἑαυτὸν ὅλον ἐνέχεεν, ὥστε μηδὲν αὐτῷ συμβῆναι μειώσεως. μὴ τοίνυν κατὰ τὴν τῆς ἡμετέρας ἀσθενείας ἔννοιαν καὶ τὰ αἰσθητὰ τῆς πείρας διδάγματα στοχαζόμενοι ἐκ τῶν ἴσων τῶν ἑαυτοῖς μιγνυμένων κτισμάτων μεμῖχθαι νομίσωμεν θεόν τε καὶ ἄνθρωπον καὶ τῇ τοιαύτῃ συγχύσει τοῦ τε λόγου καὶ τῆς σαρκὸς ὡσανεί τι σῶμα γενόμενον. ἀπέστω οὕτω πιστεύειν, μή πως τῷ τρόπῳ τῶν συγχωνευομένων δύο φύσεις εἰς μίαν ὑπόστασιν ἐνηνέχθαι νομίσωμεν· ἡ γὰρ τοιαύτη μῖξίς ἐστιν ἑκατέρου μέρους φθορά. ὁ δὲ θεὸς ὁ χωρῶν, ἀλλ' οὐ χωρούμενος, ἐρευνῶν, οὐκ ἐρευνώμενος, πληρῶν, ἀλλ' οὐ πληρούμενος, ὁ πανταχοῦ ὁμοῦ ὢν ὅλος καὶ δι' ὅλων χωρῶν διὰ τοῦ ἐγχέαι τὴν ἑαυτοῦ δύναμιν ὡς οἰκτίρμων ἐμίγη τῇ φύσει τῇ ἀνθρωπείαι, οὐ μὴν ἡ ἀνθρώπου φύσις ἐμίγη τῇ θείαι.

16 Κυρίλλου ἐπισκόπου Ἀλεξανδρείας ἀπὸ τῶν Σχολίων

t. I 5 p. 226, 26—29 Hebr. 2, 14 Bar. 3, 38 Ἄνθρωπος ὠνόμασται καίτοι κατὰ φύσιν ὑπάρχων θεὸς ὁ ἐκ θεοῦ πατρὸς λόγος ὡς μετεσχηκὼς αἵματος καὶ σαρκὸς παραπλησίως ἡμῖν. ὤφθη γὰρ οὕτω τοῖς ἐπὶ γῆς καὶ οὐ μεθεὶς ὅπερ ἦν, ἀλλ' ἐν προσλήψει γεγονὼς τῆς καθ' ἡμᾶς ἀνθρωπότητος τελείως ἐχούσης κατὰ τὸν ἴδιον λόγον.

17 Τοῦ αὐτοῦ Κυρίλλου περὶ τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς

ibid. p. 222, 30—33 Εἷς οὖν ἄρα ἐστὶν ὁ καὶ πρὸ τῆς ἐνανθρωπήσεως θεὸς ἀληθὴς καὶ ἐν ἀνθρωπότητι μεμενηκὼς ὅπερ ἦν τε καὶ ἔστιν καὶ ἔσται. οὐ διαιρετέον οὖν ἄρα τὸν ἕνα κύριον Ἰησοῦν Χριστὸν εἰς ἄνθρωπον ἰδικῶς καὶ εἰς θεὸν ἰδικῶς, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν Χριστὸν Ἰησοῦν εἶναι φαμέν, τὴν τῶν φύσεων εἰδότες διαφορὰν καὶ ἀσυγχύτους ἀλλήλαις τηροῦντες αὐτάς.

L IIII 367 18 ibid. p. 228, 20—24 Τοῦ αὐτοῦ Κυρίλλου μετὰ ἄλλα

Νοεῖται γὰρ πάντως ὡς ἕτερον ἐν ἑτέρῳ τὸ κατοικοῦν, τουτέστιν ἡ θεία φύσις

15 desumpta sunt ex libello fidei quem Leporius obtulit episcopis Africanis

16—18 = ep. 104. 28—30. interpolata sunt in Theodoreti eran. 2, 168. 169 [T^{i}]

16. 17 sunt ipsa Cyrilli uerba

35—p. 25, 3 ἐν ἑτέρῳ sunt ipsa Cyrilli uerba, cetera Graece uersa ex translatione Latina

MPS

1 ὁμοίως et Αὐγουστίνου om. S τὸν ἅγιον om. S 4 αὐτῷ MP αὐτῷ in ἑαυτῷ corr. S 6 ὁμοίωσ — πίστεωσ M ὁμοίωσ — ἐν τῇ ἐκθέσει τοῦ εὐαγγελίου τοῦ κατὰ τὸν ἅγιον Ἰωάννην P τοῦ αὐτοῦ μετ' ὀλίγον S 12 αὐτῷ S 17 συγχωνευομένων PS συνευχομένων M 18 νομίσωμεν θν̄ τε καὶ ἄνθρωπον PS 21 ἐκχέαι PS 28. 34 Κυριλλου om. S 31 εἰς ἄνθρωπον om. PS 35 νοεῖτε PS

ἐν ἀνθρωπότητι καὶ οὐ παθοῦσα φυρμὸν ἢ ἀνάχυσίν τινα καὶ μετάστασιν τὴν εἰς ὅπερ οὐκ ἦν. τὸ γὰρ ἐνοικεῖν ἑτέρωι λεγόμενον οὐκ αὐτὸ γέγονεν ὅπερ ἐστὶν τοῦτο ἐν ὧι κατοικεῖ, νοεῖται δὲ μᾶλλον ἕτερον ἐν ἑτέρωι. ἐν δέ γε τῆι φύσει τοῦ λόγου καὶ τῆς M VI 972
ἀνθρωπότητος μόνην ἡμῖν σημαίνει διαφορὰν τῶν φύσεων τὸ διάφορον· εἷς γὰρ ἐξ ἀμφοῖν νοεῖται Χριστός. οὐκοῦν τὸ ἀσύγχυτον εὖ μάλα τετηρηκὼς φησιν ἐν ἡμῖν ἐσκηνωκέναι τὸν λόγον· ἕνα γὰρ υἱὸν οἶδεν μονογενῆ τὸν σάρκα γενόμενον καὶ ἐνανθρωπήσαντα. Ioh. 1, 14

Ἐπιστολὴ Λέοντος ἀρχεπισκόπου Ῥώμης πρὸς Θεοδόσιον τὸν βασιλέα μεμφομένη τὴν ἐν Ἐφέσωι γενομένην σύνοδον κατὰ Φλαβιανοῦ καὶ ἑτέραν ἐξαιτοῦντος γενέσθαι

12 Τῶι φιλανθρωποτάτωι καὶ γαληνοτάτωι Θεοδοσίωι αὐγούστωι Λέων ἐπίσκοπος καὶ ἡ ἁγία σύνοδος ἡ ἐν τῆι Ῥωμαίων πόλει συναχθεῖσα. Τοῖς γράμμασι τῆς ὑμετέρας φιλανθρωπίας οἵσπερ πρώην εἰς τὴν καθέδραν Πέτρου τοῦ μακαριωτάτου ἀποστόλου πόθωι τῆς καθολικῆς πίστεως ἐξεπέμψατε, τοσαύτην παρρησίαν ἐλάβομεν εἰς ἐκδίκησιν τῆς δι' ὑμῶν ἀληθείας καὶ τῆς εἰρήνης, ἵνα ἐν πράγματι οὕτως ἁπλουστέρωι καὶ ἀσφαλεῖ μηδὲν ἡγησώμεθα δύνασθαι καινοτομεῖσθαι πρὸς βλάβην, μάλιστα ὅταν εἰς τὸ ἐπισκοπικὸν κριτήριον, ὅπερ ἐν τῆι Ἐφεσίων συναχθῆναι προσετάξατε, οὕτως ἀσφαλεῖς ἀπεστάλησαν, ὡς εἰ τὰ γράμματα ἃ πρὸς τὴν ἁγίαν σύνοδον ἢ καὶ πρὸς Φλαβιανὸν τὸν ἐπίσκοπον διεπεμψάμεθα, τῶν ἐπισκόπων ταῖς ἀκοαῖς δημοσιευθῆναι ὁ τῆς Ἀλεξανδρείας ἐπίσκοπος συνεχώρησεν, οὕτω τῆι φανερότητι τῆς καθαρᾶς πίστεως, ἥντινα θεόθεν ἐμπνευσθεῖσαν καὶ παρελάβομεν καὶ φυλάττομεν, πᾶσα φιλονεικία καὶ ταραχὴ ἡσύχασεν ἄν, ἵνα μήτε ἡ ἀπαιδευσία περαιτέρω παρεφρόνησεν μήτε ἀφορμὴν βλάβης ἡ βασκανία ἐξεῦρεν. ἀλλ' ὅταν τὰ ἰδικὰ πράγματα τῆι τῆς ἐκκλησίας ἀφορμῆι ἐγυμνάζετο, ἐτολμήθη τι δι' ὀλίγων ἀσέβειαν, ὅπερ τὰς ἁπανταχοῦ ἐκκλησίας ἐτραυμάτισεν. μεμαθήκαμεν γὰρ οὐχὶ ἀδήλωι φήμηι, ἀλλὰ βεβαίωι ἀγγέλωι τῶν πραχθέντων Ἱλάρωι τῶι διακόνωι ἡμῶν, ὅστις πέφευγε διὰ τὸ μὴ ἀναγκασθῆναι βιαίως ὑπογράψαι, καὶ ἐπείσθημεν [μὲν] ἐν τῆι συνόδωι συνελθεῖν πλείστους ἐπισκόπους, οἳ δηλαδὴ τῆι χρησίμωι καὶ συνεχεῖ προνοίαι ἐν τῶι κριτηρίωι συμβαλέσθαι ἐδυνήθησαν, εἰ ἐκεῖνος ὅστις ἑαυτῶι τόπον ἄρχοντος ἐξεδίκησεν, ἐπισκοπικὴν ἐπιείκειαν φυλάξαι ἠνέσχετο, ἵνα ὡς τὸ ἔθος ἔχει, πάντων ταῖς ἀποφάσεσιν ἐλευθερίως προενεχθεισῶν ἐκεῖνο ἡσύχωι καὶ δικαίαι ὁρισθῆι διαγνώσει ὅπερ καὶ τῆι πίστει συνέτρεχεν καὶ τοῖς πλανωμένοις συνεβάλλετο. ἐν αὐτῆι

12 = Epist. coll. H 9 = coll. B 13. est translatio ipsius Leonis ep. 18 = Epist. ante Gesta Coll. 15

MPS

6 ἀνθρωπήσαντα S in PS secuntur Gesta [infra p. 55, 1]

MBVHX

7 ἐπιστολὴ λέοντος — βασιλέα HX τοῦ αὐτοῦ ἁγιωτάτου ἀρχιεπισκόπου ῥώμης λέοντος ἐπιστολὴ πρὸς τὸν αὐτὸν βασιλέα θεοδόσιον MBV 7/8 μεμφομένη — γενέσθαι HXΛ τὴν σύνοδον ἐξαιτοῦντος εἰς τὰ μέρη τῆς ἰταλίας γενέσθαι ὡς μεμφομένου [μεμφόμενος M] τὴν ἐν ἐφέσω δευτέραν γενομένην [γενομένην δευτέραν BV] σύνοδον MBV 11 φιλανθρωπίας ἐντυχόντες MBV ἐπισκόπου καὶ ἀποστόλου HX 13 τῆς utroque loco melius abesset 14 ἡγησόμεθα MVH ὅτε H ὅτι X ἐπίσκον H ἐπ spat. vac. X 15 ἐφέσω HX ἀσφαλῶς BV 16 ἁγίαν HXΛ om. MBV πρὸς om. HX 17 ἀλεξανδρέων HX 19 καὶ¹] ἦν καὶ M πᾶση H ἄν om. HX 20 περαιτέρω] περ [παρ' X] ἑτέρω HX βασκανία HX *aemulatio* Λ ἀφροσύνη MBV ἐξηύρεν H 21 ἴδια HX τῆι HX om. MBV τι HX om. MBV 22 ἀσέβειαν om. MBV πανταχοῦ HX 23 ἀγγέλωι scripsi, cf. *narratore* Λ διαγέλωτι HX ἀγγελωτί H^{corr} διαγγέλματι MBV τῶν πραχθέντων HX om. MBV 23/24 ἱλάρω τῶ [ἱλαροτάτω X] διακόνω ἡμῶν HX διὰ ἱλάρου τοῦ ἡμετέρου διακόνου MBV 24 βιαίως HXM^{corr} βεβαίως MBV ἐπιθῆκεν HX μὲν deleui μὲν spat. οὖν H μὲν οὖν X μὲν MBV 25 οἳ] ὧν HX καὶ HX om. MBV συνεχεῖ HX συγγενεῖ MBV 26 ἠδυνήθησαν V ἠδυνήθη ἂν HX εἰ om. H ἑαυτοῦ V τρόπον X 27 ἐπισκοπὴν X 28 προενεχθεισῶν M^{corr} προσενεχθεισῶν MHX προσενεχθέντων BV; aut τῶν ἀποφάσεων aut προενεχθείσαις restituendum

γὰρ τῆι κρίσει οὐ πάντας τοὺς συνελθόντας συνεῖναι μεμαθήκαμεν· τινὰς γὰρ ἀπορριφέντας, ἄλλους δὲ μεμαθήκαμεν εἰσαχθέντας, οἵτινες κατὰ τὴν γνώμην τοῦ προλεχθέντος ἐπισκόπου ταῖς ἀσεβέσιν ὑπογραφαῖς αἰχμαλώτους τὰς χεῖρας ἐπέδωκαν (ἤιδεισαν γὰρ βλαβερὸν τοῖς ἁγίοις αὐτῶν ἀξιώμασιν εἶναι, εἰ μὴ τὰ κελευσθέντα πεποιήκασιν), τοιαύτην δὲ παρ' αὐτοῦ γενέσθαι τὴν ἀπόφασιν, ἵν' ἑνὸς ἀνθρώπου ἀδίκως ἐναγομένου κατὰ πάσης τῆς ἐκκλησίας χαλεπαίνηι. ὅπερ οἱ ἡμέτεροι οἱ ἀπὸ τῆς ἀποστολικῆς καθέδρας ἀποσταλέντες τοσοῦτον ἀσεβὲς καὶ ἐναντίον τῆι καθολικῆι πίστει ἰδόντες ἐπὶ τῆι συγκαταθέσει μηδεμιᾶι καταπονήσει δυνηθῆναι συγκαταθέσθαι, ὥστε μετὰ παρρησίας ἐν αὐτῆι τῆι συνόδωι διεμαρτύραντο οὐδαμῶς τοῦτο τὸ παρ' αὐτῶν δογματισθὲν δύνασθαι πάμπαν δέξασθαι τὴν ἀποστολικὴν καθέδραν, ὅτι ὡς ἀληθῶς πάσης τῆς καθολικῆς πίστεως τὸ μυστήριον, ὅπερ ἀπείη ἀπὸ τῶν καιρῶν τῆς ὑμετέρας εὐσεβείας, σχίζεται, εἰ μὴ αὕτη ἡ χαλεπωτάτη πρᾶξις, ἥτις πᾶσαν ἀσέβειαν ὑπερβάλλει, ἐξαλειφθείη. ἀλλ' ἐπειδὴ ἡ διαβολικὴ κακουργία λεπτομερῶς ἀπατῶσα τοὺς ἀφελεστέρους τῶι τρόπωι τούτωι τινῶν τὴν ἀπαιδευσίαν ἐπὶ ὁμοιώματι τῆς εὐσεβείας ἀπατᾶν ἐπεχείρησεν, ἵνα ὑπὲρ τῶν ὑγιεινῶν τὰ βλαβερὰ συμβουλεύσηι, ἀποκινήσατε, παρακαλοῦμεν, ἀπὸ τῆς συνειδήσεως τῆς ὑμετέρας εὐσεβείας τὸν κίνδυνον τῆς θρησκείας καὶ τῆς πίστεως καὶ ὅπερ ἐπὶ τοῖς κοσμικοῖς πράγμασιν τῆι ἰσότητι τῶν ὑμετέρων νόμων συγχωρεῖται, καὶ ἐν τοῖς θείοις δόγμασι σκεψάμενοι παράσχετε, ἵνα τῶι εὐαγγελίωι τοῦ Χριστοῦ βίαν μὴ ἐπενέγκηται ἡ ἀνθρωπίνη προπέτεια. ἰδοὺ γὰρ ἐγώ, Χριστιανὲ καὶ αἰδέσιμε βασιλεῦ, μετὰ τῶν συλλειτουργῶν μου πληρῶν τὰ περὶ τὴν αἰδῶ τῆς ὑμετέρας εὐσεβείας καθαρῶι πόθωι ποιοῦμαι τὴν διακονίαν, ἐπιθυμῶν ὑμᾶς ἐν πᾶσιν ἀρέσαι θεῶι, πρὸς ὃν ὑπὲρ ὑμῶν αἱ ἐκκλησίαι καταδέονται, μὴ ἐπὶ τοῦ βήματος τοῦ κυρίου αἴτιοι τῆς σιωπῆς κριθῶμεν· παρακαλοῦμεν ἐνώπιον τῆς μιᾶς θεότητος τῆς ἀδιαιρέτου τριάδος, ἥτις φύλαξ οὖσα ὑμετέρα καὶ αὐθέντρια τῆς βασιλείας, καὶ ἐνώπιον τῶν ἀγγέλων τοῦ θεοῦ, πάντα ἐν τῆι αὐτῆι καταστάσει εἶναι κελεύσατε, ἐν ἧι γεγόνασι πρὸ πάσης κρίσεως, ἕως ἂν ἀπὸ παντὸς τοῦ κόσμου μείζων ἀριθμὸς συναχθῆι τῶν ἐπισκόπων, μήτε μὴν ἀλλοτρίαι ἁμαρτίαι ἀνέχεσθε ἑαυτοὺς βαρηθῆναι, ἐπειδὴ ὅπερ ἀναγκαῖον ἡμῖν ἐστιν εἰπεῖν, δεδοίκαμεν μὴ ἀπ' ἐκείνου οὗ ἡ θρησκεία βλάπτεται, ἀγανάκτησις παρακολουθήσηι. πρὸ ὀφθαλμῶν ἔχετε καὶ πάσηι τῆι τῆς καρδίας ὀξύτητι εὐλαβῶς προσέχετε τοῦ μακαρίου Πέτρου τὴν δόξαν καὶ τοὺς κοινοὺς στεφάνους πάντων τῶν μετ' αὐτοῦ ἀποστόλων πάντων τε τῶν μαρτύρων τὰ νικητήρια, οἷς οὐ γέγονεν ἄλλη ἀφορμὴ τοῦ πάθους εἰ μὴ ἡ ὁμολογία τῆς ἀληθινῆς θεότητος καὶ τῆς ἀληθινῆς ἐνανθρωπήσεως τοῦ Χριστοῦ. ὧιτινι μυστηρίωι ἐπειδὴ νῦν ἀσεβῶς ἀπὸ ὀλίγων ἀφρόνων ἐναντιοῦται, πάντων τῶν μερῶν

MBVHX

1 τοὺσ — συνεῖναι HX οὺσ συνελθεῖν συνιέναι MV οὺσ συνιέναι B 1/2 τινάσ — μεμαθήκαμεν HX om. MBV 2 τὴν om. MV προγραφέντοσ HX 3 ταῖς] τὰ ὡσ HX ὑπογραφαῖσ αἰχμαλώτους] τοὺσ αἰχμαλώτουσ ὑπογραφαῖσ X 5 ἀπόφασιν scripsi secundum Λ πρόφασιν MBVHX 6 οἱ² om. MBV 7 καὶ — πίστει HX om. MBV ἰδόντεσ ἐπὶ τῆι συγκαταθέσει turbata 8 καταπονήσει scripsi cf. *oppressione* Λ κατανοήσει MBVHX 9 αὐτοῦ X 10 πάσης om. HX 11 μυστήριον MHX μαρτύριον BV ἀπήει M ἀπίει X 12 εἴ τισ VH ὑποβάλλει M ἀπαλειφθείη HX 13 ἀπαιτῶσα HX τούτων HX 14 τινῶν HX om. MBV 14/15 τῶν ὑγιεῖν ὄντα H τὸν ὑγιῆ ὄντα X τῶν ὑγιαινόντων τὰ MBV 17 συγχωρεῖται HΛ συγχωρεῖτε MBVX 18 σκεψαμένηι H om. VX παράσχει τινὰ τὸ εὐαγγελίω [εὐαγγέλιον X] HX 18/19 ἐπενέγκη BV προεπενέγκηται HX 19 ἡ om. BV αἰδεσίω H 20 τοῦ συλλειτουργοῦ MBV τὴν] τῆσ V 22 ἡμῶν VX καταδίενται H καταδύονται X 22/23 κατακριθῶμεν BV 23 θεότητοσ] θεότητοσ παρακαλοῦμεν ἐνώπιον HX εἴτισ H 24 αὐθεντία HX 25 ἕωσ BV ὡσ MHX 26 ἀπὸ om. MBV τοῦ om. X συναχθείη MBV ἀλλοτρίω V 27 ἀνέχεσθε M^{corr} ἀνέχεσθαι MBV ἀνασχῆσθε HX βαρυνθῆναι X ἐστὶν ἡμῖν H^{corr} X ἐστιν H 28 παρακολουθήσει HX 29 ἐχέτω HX πάσηι om. MBV 32 ἀληθινῆς² om. HX 33 ἐναντιοῦνται HX

ἡμῶν αἱ ἐκκλησίαι πᾶσαι τῆς ὑμετέρας φιλανθρωπίας μετὰ στεναγμῶν καὶ δακρύων καταδέονται διὰ τῶν ἐπισκόπων, ἐπειδὴ καὶ οἱ ἡμέτεροι πιστῶς ἀντειρήκασιν καὶ αὐτοῖς ἐκείνοις Φλαβιανὸς ὁ ἐπίσκοπος λίβελλον ἐκκλήτου ἐπιδέδωκεν, γενικὴν σύνοδον κελεύσατε ἐν τῇι Ἰταλίαι συνελθεῖν, ἥτις πάντα τὰ προσκόμματα οὕτως ἀποκινήσει καὶ καταπραυνεῖ, ἵνα μὴ περαιτέρω τί ποτε ἢ περὶ τῆς πίστεως εὑρεθῆι ἀμφίβολον ἢ ἐν τῇι ἀγάπηι μεμερισμένον, συνερχομένων δηλαδὴ καὶ τῶν κατὰ τὴν Ἀνατολὴν ἐπαρχιῶν ἐπισκόπων, ἵνα ὅσοι καταπονηθέντες ἀπειλαῖς καὶ ὕβρεσιν ἀπὸ τῆς ὁδοῦ τῆς ἀληθείας ἐξέκλιναν, εἰς σωτηρίας παραμυθίαν ὁλόκληρον ἀνακληθῶσιν, καὶ αὐτοὶ δὲ ὧν ἐστιν ἡ σκληροτάτη ἀπόφασις, ἐὰν γνώμαις κρείττοσιν ἐπακολουθήσωσιν, ἀπὸ τῆς ἑνότητος τῆς ἐκκλησίας μηδαμῶς ἀποστῶσιν. ὅπως γὰρ μετὰ τὴν ἔκκλητον τοῦτο ἀναγκαίως αἰτοῦμεν, τῶν κατὰ Νίκαιαν κανόνων αἱ ψῆφοι μαρτυροῦσιν, αἵτινες ἀπὸ τῶν πανταχοῦ τοῦ κόσμου ἐπισκόπων καθιδρύθησαν, οὗσπερ ὑπετάξαμεν. συνέλθετε τοῖς καθολικοῖς τῶι ὑμετέρωι πατρώιωι ἔθει καὶ δότε παρρησίαν τῆς πίστεως εἰς ἐκδίκησιν, ἥντινα σωιζομένης τῆς αἰδοῦς τῆς ὑμετέρας εὐσεβείας οὐδεμία βία, οὐδεμία κοσμικὴ ἀπειλὴ δυνήσεται ἀποκινῆσαι. ὅταν γὰρ τῆς ἐκκλησίας τὰ δόγματα γυμνάζωμεν, τῆς ὑμετέρας βασιλείας καὶ σωτηρίας φροντίζομεν, ἵνα τῶν ὑμετέρων ἐπαρχιῶν ἡσύχωι δικαιώματι ἀπολαύητε. ἐκδικήσατε κατέναντι τῶν αἱρετικῶν τὸν ἀσάλευτον τῆς ἐκκλησίας θεσμόν, ἵνα καὶ τῆς ὑμετέρας βασιλείας τῆι δεξιᾶι τοῦ Χριστοῦ ἐκδικηθείη τὸ κράτος.

Ἴσον σάκρας ἀποσταλείσης παρὰ τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου βασιλέως Μαρκιανοῦ πρὸς τοὺς ἁπανταχοῦ θεοφιλεστάτους ἐπισκόπους περὶ τοῦ συνελθεῖν πάντας εἰς τὴν Νικαέων L IIII 65 M VI 55[2]

13 Νικηταὶ Οὐαλεντινιανὸς καὶ Μαρκιανὸς ἔνδοξοι τροπαιοῦχοι ἀεισέβαστοι [Λέοντι καὶ] Ἀνατολίωι. Τῶν πραγμάτων ἁπάντων δεῖ προτιμᾶσθαι τὰ θεῖα· τοῦ θεοῦ γὰρ τοῦ παντοκράτορος εὐμενοῦς καθεστῶτος τὰ τῆς κοινῆς πολιτείας καὶ φυλάττεσθαι καὶ βελτιοῦσθαι θαρροῦμεν. ἐπειδὴ τοίνυν ἀμφιβολίαι τινὲς περὶ τὴν ὀρθόδοξον θρησκείαν ἡμῶν γεγενῆσθαι δοκοῦσιν, καθάπερ καὶ ἡ ἐπιστολὴ τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς ἐνδόξου πόλεως Ῥώμης Λέοντος δηλοῖ, τοῦτο ἰδικῶς τῆι ἡμετέραι ἤρεσεν ἡμερότητι ἵνα ἁγία σύνοδος ἐν τῆι Νικαέων πόλει τῆς Βιθυνῶν ἐπαρχίας συγκροτηθῆι ἐφ' ὥι τε συμβαινόντων τῶν λογισμῶν καὶ πάσης τῆς ἀληθείας ἐρευνηθείσης ἐκποδών τε γενομένων τῶν σπουδῶν αἷς πρώην τινὲς χρησάμενοι τὴν ἁγίαν καὶ ὀρθόδοξον θρησκείαν διετάραξαν, τὴν ἀληθῆ πίστιν ἡμῶν εἰς ἅπαντα χρόνον σαφέστερον ἐπιγνωσθῆναι, ὥστε τοῦ λοιποῦ μηδεμίαν δύνασθαι εἶναι ἀμφιβολίαν ἤτοι διχόνοιαν. ὅθεν ἡ ἁγιότης L IIII 68

---

13 = Epist. coll. H 17 et epistularum quae in B ante primam actionem habentur. 1. uersio Latina extat in Rerum Chalcedonensium coll. Vaticana 1 [Λ[a]], altera in Epist. ante Gesta Coll. 31 [Φ[cr]]

MBVHX

1 μετὰ — δακρύων om. MBV 2 ὑμέτεροι HX ἀντείρηκαν X ἀντήρικαν H 2/3 αὐτοῖσ ἐκείνοισ HXΛ αὐτὸσ ἐκείνοισ M αὐτὸσ ἐκεῖνοσ BV 3 λίβελλον ἐκκλησίασ τοῦ φλαβιανοῦ ἐπίσκοποσ ἐπέδωκεν HX 4 τῆι om. HX ἀποκινήσει] ἀπόκειται X 4/5 καὶ — ποτε om. X καταπραύνη B 8 σωτηρίαν X ἐστιν om. BV 9 κρείττοσιν] κρίττωσιν H κηρύττωσιν X 11 καὶ κανόνων X οἵτινεσ HX 12 καθιδρύνθησαν BV καθίδρυνται HX οὗσπερ Λ ὥσπερ MBVHX 13 τῶι] αἰτῶ τῶ HX ἡμετέρω BV πατρώιωι om. HX 14 αἰδῶ MV βία MHXΛ κακία BV 15 τῆς[2]] τὰ τῆσ HX 16 βασιλείασ HXΛ εὐσεβείασ MBV φροντίζωμεν X δικαιώματα HX 17 ἀπολαύετε M τελεῖ εἴτε HX 18 Χριστοῦ] θῦ HX ἐκνικηθείη V

MBHXΛ[a]Φ[cr]

19 praem. πρακτικὸν τῆσ δ̄ συνόδου B ἀρχὴ συνό(δ) τῆ ἐν χαλκηδόνι HX 20 ἁπανταχῆ H 22 οἱ νικηταὶ HX 22/23 Λέοντι καὶ deleui 23 καὶ ὡσαύτωσ ἀνατολίω καὶ λοιποῖσ ἐν πᾶσιν HX γὰρ θῦ HX 27 ἰδικῶσ] εἰρηκὼσ HX ἤρεσεν τῆ ἡμῶν HX 28 ἡ ἁγία HX συνκροτηθῆ HX 29 τὲ HXΛ[a]Φ[cr] om. MB 31 ἐτάραξαν HX εἰσ ἅπαντα χρόνου HX *cuncto saeculo* Λ[a]Φ[cr] om. MB

ἡ σὴ μεθ' ὧν ἂν ἀρέσῃ θεοφιλεστάτων ἐπισκόπων καὶ οὓς ἂν ἐκ τῶν ἐκκλησιῶν τῶν
M VI 553 ὑπὸ τὴν φροντίδα τελουσῶν τῆς σῆς ἱερωσύνης ἀξιοπίστους καὶ [οὓς] πρὸς τὴν τῆς ὀρθοδόξου θρησκείας διδασκαλίαν ἐμπαρασκεύους ὑπάρχειν δοκιμάσῃ, ἐπὶ τὴν προειρημένην Νικαέων πόλιν ἐντὸς Καλανδῶν Σεπτεμβρίων ἐλθεῖν σπουδασάτω. ἵστω δὲ ἡ σὴ θεοφίλεια καὶ τὴν ἡμετέραν θειότητα τῇ σεβασμίαι παρεσομένην συνόδωι, εἰ μὴ τυχὸν δημόσιαί τινες χρεῖαι εἰς ἐκστρατείαν ἡμᾶς ἀπασχολήσουσιν.

Ὁ θεός σε διαφυλάττοι εἰς πολλοὺς ἐνιαυτούς, ἁγιώτατε καὶ ὁσιώτατε πάτερ.

d. 23. m. Mai. a. 451 Ἐδόθη τῇ πρὸ δέκα Καλανδῶν Ἰουνίων ἐν Κωνσταντινουπόλει ὑπατείαι τοῦ δεσπότου ἡμῶν Μαρκιανοῦ τοῦ αἰωνίου αὐγούστου καὶ τοῦ δηλωθησομένου

L IIII 73 M VI 557 Ἴσον δευτέρου βασιλικοῦ γράμματος πεμφθέντος τῇ ἁγίαι συνόδωι τῇ ἐν Νικαίαι συνδραμούσῃ περὶ τοῦ δεῖν μετελθεῖν εἰς τὴν Χαλκηδονέων

14 Νικηταὶ Οὐαλεντινιανὸς καὶ Μαρκιανὸς ἔνδοξοι τροπαιοῦχοι μέγιστοι ἀεισέβαστοι τῇ θεοφιλεῖ συνόδωι. Σπεύδοντας ἡμᾶς εἰς τὴν ἁγίαν παραγενέσθαι σύνοδον ἐπέσχε δημοσίων καὶ σφόδρα ἀναγκαίων πραγμάτων αἰτία· ἔγνωμεν δὲ ἐκ τῶν γεγραμμένων παρὰ τῆς ὑμετέρας θεοφιλείας ὡς ὅτι πλείους ἐξ ὑμῶν καὶ διὰ τὸ τοῦ σώματος ἀσθενὲς καὶ δι' ἑτέρας αἰτίας διαφόρους κάμνουσιν. ὅθεν εἰ καὶ τὰ μάλιστα πολλὰ τῶν δημοσίων πραγμάτων ἐνταῦθα μένειν ἡμᾶς ἀναγκάζει, ὅμως προτιμοτέραν ἡγούμεθα πάντων τῆς ἁγίας καὶ ὀρθοδόξου πίστεως τὴν φροντίδα. καὶ γὰρ οἱ εὐλαβέστατοι ἐπίσκοποι καὶ πρεσβύτεροι οἱ ὑπὲρ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου Λέοντος τοῦ ἀρχιεπισκόπου τῆς πανευδαίμονος Ῥώμης παραγενόμενοι ἐδεήθησαν τῆς ἡμετέρας γαληνότητος ὥστε παντὶ τρόπωι παρεῖναι ἡμᾶς τῇ ἁγίαι συνόδωι, διαβεβαιούμενοι ὡς οὐχ αἱροῦνται αὐτόθι παραγενέσθαι ἀπούσης τῆς ἡμετέρας εὐσεβείας. κατὰ δὲ τὴν αἴτησιν τῆς ὑμετέρας θεοσεβείας καὶ αὐτοὶ σφόδρα ἐπιζητοῦντες ταχέως τὴν ἁγιωτάτην ὑμῶν σύνοδον συγκροτηθῆναι σπεύδομεν θᾶττον πρὸς ὑμᾶς ἀφικέσθαι. ὅθεν εἰ παρασταίη τῇ ὑμετέραι θεοσεβείαι, εἰς τὴν Χαλκηδονέων πόλιν παραγενέσθαι καταξιώσατε. ἐκεῖσε γὰρ ἐκδραμούμεθα, εἰ καὶ ἐνταῦθα δημόσιαι ἡμᾶς ἐπέχουσι χρεῖαι, ἐπειδὴ τὰ συμβαλλόμενα τῇ ἀληθεῖ καὶ ὀρθοδόξωι πίστει καὶ τῇ εἰρήνῃ καὶ εὐταξίαι τῶν ἁγιωτάτων καὶ καθολικῶν ἐκκλησιῶν πάντων ἡγούμεθα προτιμότερα. καὶ οὐκ ἀμφιβάλλομεν ὡς τοῦτο ἀρέσει καὶ τῇ ὑμῶν ἁγιότητι, ἵνα μὴ καὶ τὸ στενὸν τῆς πόλεως πλεῖον ὑμᾶς παρασκεύσῃ καμεῖν καὶ ἀπούσης τῆς ἡμετέρας γαληνότητος ἐπὶ πολὺ τὰ τῆς ἁγίας συνόδου δόξῃ παρέλκεσθαι. εὔχεσθαι δὲ καταξιώσατε ὑπὲρ τῆς ἡμετέρας βασιλείας, ὥστε

---

14 = Epist. coll. H 19 et epistularum quae in B ante primam actionem habentur, 2. Latinae uersiones extant duae, altera in Rerum Chalcedonensium coll. Vatic. 2 [Λ^a], altera in Epist. ante Gesta coll. 34 [Φ^{cr}]

MBHX$\Lambda^a\Phi^{cr}$

1 θεοφιλέστατε ἐπίσκοπε HX καὶ οὓς ἂν] κλίουσαν H κλείουσαν X 2 τῆσ σῆσ ἁγιωσύνησ τελουσῶν B ἱερωσύνησ HX$\Lambda^a\Phi^{cr}$ ἁγιωσύνησ MB οὓς om. $\Lambda^a\Phi^{cr}$ 3 δοκιμάσει HX 3/4 τῇ προειρημένη HX 4 πόλιν om. HX ἐλθεῖν HX$\Lambda^a\Phi^{cr}$ om. MB 6 χρεῖαι τινὲσ HX ἐκστρατείαν HXΦ^{cr} ἐκστρατείασ MBΛ^a ἡμᾶσ HX$\Lambda^a\Phi^{cr}$ om. MB ἀπασχολήσωσιν MHX 7 φυλάξει H φυλαττώσει X 8 τῇ πρὸ δέκα HX$\Lambda^a\Phi^{cr}$ πρὸ δεκαὲξ MB ἐκ κωνσταντινουπ(ο) B 10 ὁμοίωσ ἴσον HXΛ^a βασιλικοῦ γράμματοσ δευτέρου HX τῇι αὐτῇ MB 12 οἱ νικηταὶ HX οὐαλεντίνοσ H μέγιστοι om. MB 14 ἀναγκαιοτάτων MB αἰτίασ HX, corr. H 15 ἡμετέρασ X ὑμῶν B ὡς om. MB 17 μένειν ἡμᾶσ ἐνταῦθα HX ἀναγκάζῃ M 18 καὶ γὰρ καὶ MB 21 διαβεβαιωσάμενοι MB οὐκ HX 22/23 ἡμετέρασ H 24 σπεύδωμεν MHX παρέσται HX 27 καὶ^4 om. X 29 πλέον HX 29,'30 παρασκευάση [παρασκευάσει H] καμεῖν HX$\Lambda^a\Phi^{cr}$ παρασκευάσει καὶ μὴν M ἀγανακτῆσαι παρασκευάση καὶ μὴν B

καὶ τοὺς πολεμίους ὑφ' ἡμῖν γενέσθαι καὶ τὴν εἰρήνην βεβαιωθῆναι τῆς οἰκουμένης καὶ τὰ Ῥωμαικὰ πράγματα ἐν ἀμεριμνίαι διάγειν, ὅπερ καὶ νῦν ὑμᾶς ποιεῖν πεπιστεύκαμεν.

Ὁ θεὸς ὑμᾶς διαφυλάττοι εἰς πολλοὺς ἐνιαυτούς, ἁγιώτατοι.

Ἴσον βασιλικοῦ γράμματος ἀποσταλέντος παρὰ τῆς εὐσεβεστάτης καὶ φιλοχρίστου βασιλίδος Πουλχερίας πρὸς τὸν κονσουλάριον Βιθυνίας Στρατήγιον περὶ τοῦ φροντίσαι τῆς κατὰ τὴν σύνοδον εὐταξίας πρὸ τοῦ δόξαι ἀπὸ τῆς Νικαέων εἰς τὴν Χαλκηδονέων μεταστῆναι τὴν σύνοδον L IIII 69 M VI 556

15 Σκοπὸς τῇι ἡμετέραι γαληνότητι πρὸ τῶν πολιτικῶν πραγμάτων τὰς ἁγίας τοῦ θεοῦ ἐκκλησίας καὶ τοὺς ἐν αὐταῖς ἱερωμένους ἐν εἰρήνηι διατελεῖν τήν τε ὀρθόδοξον πίστιν, ἣν συνέχειν τὴν ἡμετέραν πεπιστεύκαμεν βασιλείαν, ἀτάραχον καὶ ἀσάλευτον παρὰ παντὸς τοῦ τῶν ἀνθρώπων γένους φυλάττεσθαι. ὅθεν πρώην μικρᾶς τινος ἀνακυψάσης διχονοίας πολλὴν ἐθέμεθα φροντίδα ὥστε τὴν ἁπανταχόθεν τῶν ἁγιωτάτων ἐπισκόπων πληθὺν εἰς ταυτὸν ἀθροισθῆναι ἐν τῇι Νικαέων ἐφ' ὧι τε τῇι πάντων ὁμογνωμοσύνηι πάντα μὲν τάραχον ἐκποδὼν γενέσθαι, εἰς δὲ τὸ ἑξῆς βεβαίαν καὶ ἀσάλευτον τὴν εὐαγῆ πίστιν κρατύνεσθαι. ἐπεὶ οὖν κατὰ τὸ ἡμέτερον θέσπισμα οἱ μὲν θεοσεβέστατοι ἐπίσκοποι παραγεγόνασιν ἅπαντες ἀναμένοντες τὴν παρουσίαν τοῦ ἡμετέρου κράτους, ἥτις μετ' οὐ πολὺ θεοῦ συνεργοῦντος παρέσται, τινὲς δέ, ὡς ἐπυθόμεθα, τῶν ταράττειν εἰωθότων καὶ συγχεῖν τὴν τῶι θεῶι φίλην εὐταξίαν ἐπεισφρήσαντες ἑαυτοὺς τῇι Νικαέων κληρικοί τε καὶ μονάζοντες καὶ λαικοὶ θορυβεῖν ἐπιχειροῦσι, διαφιλονεικοῦντες παρὰ τὰ ἡμῖν δεδοκιμασμένα, ἀναγκαίως τόδε τὸ εὐσεβὲς πρὸς τὴν σὴν λαμπρότητα διαπεμπόμεθα γράμμα ὥστε σε μετὰ πάσης στερρότητος τοὺς δίχα ἡμετέρας κλήσεως ἢ ἐπιτροπῆς τῶν οἰκείων ἐπισκόπων αὐτόθι ἐνδημοῦντας κληρικούς, εἴτε ἐντὸς τυγχάνοιεν βαθμοῦ εἴτε καὶ τινὲς ἐξ αὐτῶν ὑπὸ τῶν οἰκείων ἐπισκόπων ἀπώσθησαν, ἢ μονάζοντας ἢ λαικοὺς οὓς οὐδεὶς λόγος ἐπὶ σύνοδον καλεῖ, πάντηι ἀπελάσαι τῆς πόλεως τε καὶ τῶν αὐτόθι τόπων, ὥστε μετὰ πάσης εὐταξίας συνεδρευσάσης τῆς ἁγίας συνόδου δίχα σάλου τινὸς καὶ ἀμφισβητήσεως τὰ παρὰ τοῦ δεσπότου Χριστοῦ ἀναδεικνύμενα κοινῆι παρὰ πάντων κρατυνθῆναι. ἴσθι γὰρ ὡς εἰ φωραθείη τις τοῦ λοιποῦ τῶν θορυβοποιῶν ἐνδημῶν τοῖς αὐτόθι ἢ πρὸ τῆς παρουσίας τῆς ἡμετέρας γαληνότητος ἢ καὶ μετὰ τὴν παρουσίαν, οὐχ ὁ τυχὼν σε παραστήσεται κίνδυνος.

---

15 = Epist. coll. H 18 et epistularum **quae in B ante primam actionem habentur. 3. Latinus textus extat** in Epist. ante Gesta coll. 33

MBHXΛ^{a}Φ^{cr}

2 ἅπερ HX

MBHXΦ^{cr}

4 ἐπισταλέντοσ MB 5 βασιλίδοσ καὶ αὐγούστησ HX κονοουλάριον MB στρατηγὸν MB 6 δόξαι] διῶξαι X 6/7 μεταστῆναι εἰσ τὴν χαλκηδονέων ἀπὸ τῆς νικαέων MB 8 πολεμικῶν HX 10 ἣν συνέχειν MB ἣν H καὶ X ἣν καὶ X^{corr} βασιλείαν πεπιστεύκαμεν HX 12 τὴν] μὴν X πανταχόθεν HX 13 ἐν om. HX τε om. B 15 θεοφιλέστατοι HX 16 ἀναμένουσι X 17 εἴ τισ H παρείσεται HX ἐπυθώμεθα H ἐπειθώμεθα X ταράττειν] πράττειν HX 18 τῶι om. MB 20 τὸ om. HX διαπεμπόμεθα HX πεπόμφαμεν B πέπομφα M 21 γράμματα HX, corr. H 22 εἴτε] κἂν B τυγχάνειε X 24 λέγων HX καλεῖ HXΦ^{cr} κσλεῖν MB τε] ὥστε HX, corr. H 26 περὶ B ἀναδεικνύμενα om. MB 27 ἴσθι] ἴσοι HX λοιποῦ τῶν H del. τῶν, λυπούντων X θορύβουσ ποιῶν HX 28 τοῖς] τῆσ X ἢ om. X παρρησίασ X γαληνότητος om. HX παρρησίαν X 29 παραστήσεται X *imminere* Φ^{cr} μεταστῆσεται H περιστήσεται MB

L IIII 73 M VI 560 Ὁμοίως ἴσον βασιλικοῦ γράμματος τρίτου καταπεμφθέντος ἐν Νικαίαι τῆι ἁγίαι συνόδωι, ἔτι τοῦ εὐσεβεστάτου βασιλέως κατὰ τὴν Θράικην ἐπεχομένου, περὶ τοῦ δεῖν ἀνυπερθέτως μετελθεῖν ἐν τῆι Χαλκηδονέων

16 Αὐτοκράτορες Καίσαρες Οὐαλεντινιανὸς καὶ Μαρκιανὸς νικηταὶ τροπαιοῦχοι ἀεισέβαστοι τῆι ἁγίαι συνόδωι τῆι ἐν Νικαίαι κατὰ βούλησιν θεοῦ καὶ θέσπισμα ἡμέτερον συναχθείσηι. Ἤδη μὲν καὶ δι' ἑτέρων θείων ἡμῶν γραμμάτων ἐδηλώσαμεν τῆι ὑμετέραι θεοσεβείαι ὥστε εἰς τὴν Χαλκηδονέων παραγενέσθαι πόλιν ἐφ'
L IIII 76 ὧι τε τὰ περὶ τῆς ἁγίας καὶ ὀρθοδόξου πίστεως παρὰ τῶν ἁγίων ἡμῶν πατέρων πάλαι ὁρισθέντα βεβαιωθῆναι, ὡς ἂν μὴ ἐπὶ πολὺ τὸ τῶν ὀρθοδόξων πλῆθος διαφόρως πλανώμενον ἀπατῶιτο, ἀλλ' ἵνα πάντες τὸν δεσπότην ἡμῶν καὶ σωτῆρα Χριστόν, ὡς προσῆκεν καὶ ὡς οἱ ἁγιώτατοι ἡμῶν πατέρες ἐδογμάτισαν, ὁμολογῶσιν. ἡμεῖς γὰρ διὰ τὸν θερμὸν τῆς πίστεως ζῆλον τὰς τῶν δημοσίων ἀναγκαίας χρείας ἐπὶ τοῦ παρόντος ὑπερεθέμεθα, περὶ πολλοῦ ποιούμενοι τὰ τῆς ὀρθοδόξου καὶ ἀληθοῦς πίστεως παρούσης τῆς ἡμετέρας γαληνότητος βεβαιωθῆναι. τὰ γὰρ κατὰ τὸ Ἰλλυρικὸν συμβεβηκότα καὶ εἰς τὰς ὑμετέρας ἀκοὰς ἐληλυθέναι πιστεύομεν, ἄτινα εἰ καὶ τῆι τοῦ θεοῦ βουλήσει τῆς προσηκούσης τετύχηκεν ἐκδικήσεως, ὅμως τὸ τῶν δημοσίων ὄφελος ἀπήιτει τὴν τῆς ἡμετέρας γαληνότητος ἐπὶ τὸ Ἰλλυρικὸν ἄφιξιν. ἀλλ' ἐπειδή, καθάπερ εἴρηται, οὐδὲν τῆς ὀρθοδόξου πίστεως καὶ τοῦ ταύτην βεβαιωθῆναι τιμιώτερον ἡγούμεθα, τούτου ἕνεκα τὴν μὲν ἐπὶ τὰ περαιτέρω ἐκστρατείαν τέως ὑπερεθέμεθα, καὶ νῦν δὲ ἰδικῶς τῆι ὑμετέραι θεοσεβείαι διὰ τῶνδε τῶν θείων ἡμῶν γραμμάτων παρεγγυῶμεν ὥστε δίχα τινὸς ὑπερθέσεως τὴν Χαλκηδονέων πόλιν καταλαβεῖν. ἐπειδὴ δὲ Ἀττικοῦ τοῦ διακόνου τῆς κατὰ τὴν βασιλεύουσαν πόλιν ἁγιωτάτης καὶ καθολικῆς ἐκκλησίας ἀναγαγόντος τῆι ἡμετέραι γαληνότητι ἔγνωμεν ὑφορᾶσθαι τὴν ὑμετέραν ὁσιότητα μὴ τυχὸν τινὲς τῶν τὰ Εὐτυχοῦς φρονούντων ἢ ἕτερός τις στάσιν ἢ θόρυβόν τινα κατασκευάζειν ἐπιχειρήσοι, τούτου ἕνεκα δηλοῦμεν ὑμῖν ὥστε τὴν προειρημένην αἰτίαν μηδ' ὅλως εὐλαβουμένους εἰς τὴν Χαλκηδονέων παραγενέσθαι πόλιν. ἐλπίζομεν γὰρ εἰς τὴν τοῦ θεοῦ φιλανθρωπίαν ὡς χωρίς τινος ταραχῆς καὶ θορύβου πάντων τῶν
M VI 561 κατὰ τὴν ὀρθόδοξον καὶ ἀληθῆ πίστιν δικαίως καὶ ὡς τῶι θεῶι φίλον, τυπωθέντων ἕκαστος ὑμῶν εἰς τὰ οἰκεῖα θᾶττον ἐπανελεύσεται. σπουδάσατε τοίνυν παραγενέσθαι καὶ μηδεμίαν ὑπέρθεσιν ἐμποιῆσαι τῶι πράγματι, ἵνα μὴ διὰ τῆς ὑμετέρας μελλήσεως ὑπέρθεσιν ἔχηι ἡ τῆς ἀληθείας εὕρεσις. σπουδὴ γὰρ ἡμῖν πλείστη καθέστηκεν σὺν εὐμενείαι τοῦ κρείττονος πέρας αἴσιον δεξαμένου τοῦ πράγματος διὰ ταχέων πάλιν ἐπὶ τὴν εὐτυχεστάτην ἐκστρατείαν ἐπανελθεῖν.

Ὁ θεὸς ὑμᾶς διαφυλάξοι εἰς πολλοὺς ἐνιαυτούς, ἁγιώτατοι καὶ θεοφιλέστατοι πατέρες.

---

16 = Epist. coll. H 20 et epistularum quae in B ante primam actionem habentur, 4. Latinae uersiones extant duae, altera in Rerum Chalcedonensium coll. Vatic. 3 [Λ^a], altera in Epist. ante Gesta coll. 35 [Φ^{cr}]

MBHX$\Lambda^a\Phi^{cr}$

1 τῆ ἁγία συνόδω τῆ ἐν νικαία MB 2 ἐπερχομένου X 4 τροπαιοῦχοι HXΦ^c τροπαιοῦχοι μέγιστοι MB om. $\Lambda^a\Phi^r$ 5 ἀεισέβαστοι αὔγουστοι MB 5/6 κατὰ — συναχθείσηι om. HX 7 ὥστε om. HX 8 τε om. B τὰ om. HX περὶ B παρὰ MHX τὰ παρὰ HX πατέρων ἡμῶν HX 9 πάλαι om. $\Lambda^a\Phi$ τὸ om. HX 10 ἀπατοῖτο MB ἀπατᾶται HX 11/12 ὁμολογήσωσιν HX 12 ζῆλον τῆς πίστεως B 13/14 ἀληθοῦσ καὶ ὀρθοδόξου B 14 καὶ γὰρ τὰ MB 15 Ἰλλύριον HX 19 ἡγούμεθα προτιμότερον MB ἕνεκα] χάριν B 20 θείων — γραμμάτων om. HX ἡμῶν τῶν θείων B 21 παρεγγυῶμεν ὥστε] παρεγγυομένων τὲ HX 22 δὲ om. Φ διακόνου [διάκονοσ H] HX$\Lambda^a\Phi$ ἀρχιδιακόνου MB 24 μή τινεσ τυχὸν B 25 τινα om. B κατασκευάζειν om. HX ἕνεκεν HX 26 εὐλαβούμενοι HX 27 τοῦ θεοῦ MBΦ αὐτοῦ HX 29 σπεύσατε HX 30/31 ὑπέρθεσισ X σχοίη HX 31 πλείστη HXΛ^a om. MBΦ 32 αἴσιον om. HX τάχουσ HX 34 φυλάξει HX 35 subscr. DAT̄ X KL̄ OCTB HERACLEA Φ^{cr}

Ἶσον ἐπιστολῆς τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου ἀρχιεπισκόπου τῆς Ῥωμαίων Λέοντος γραφείσης πρὸς τὴν ἁγίαν καὶ οἰκουμενικὴν σύνοδον, ἥτις κομισθεῖσα διὰ τῶν θεοφιλεστάτων ἐπισκόπων Πασκασίνου καὶ Λουκηνσίου καὶ Βονιφατίου πρεσβυτέρου Ῥώμης ἀνεγνώσθη ἐπὶ τῆς ἁγίας συνόδου

17 Λέων ἐπίσκοπος τῇι ἁγίαι συνόδωι τῇι ἐν Νικαίαι ἀγαπητοῖς ἀδελφοῖς ἐν κυρίωι χαίρειν. Ἐμοὶ μὲν ἦν εὐκταῖον, ἀγαπητοί, κατὰ τὴν προσοῦσαν διάθεσιν τῶι ἡμετέρωι συστήματι τοὺς τοῦ κυρίου σύμπαντας ἱερέας ἐν ἑνὶ ζήλωι τῆς καθολικῆς πίστεως συνεστάναι καὶ μηδένα πρὸς χάριν ἢ φόβον βιωτικῆς δυναστείας τὸ φαῦλον αἱρούμενον τῆς ὁδοῦ τῆς ἀληθείας ἐκτρέπεσθαι, ἀλλ' ἐπειδὴ πολλὰ συμβαίνει πολλάκις τὰ δυνάμενα μετάνοιαν ἐμποιεῖν καὶ ὁ ἔλεος τοῦ θεοῦ νικᾶι τῶν ἁμαρτανόντων τὰ πλημμελήματα καὶ διὰ τοῦτο τὰ τῆς τιμωρίας ἐν ἀναρτήσει καθίσταται, ὅπως ἂν χώραν σχεῖν ἡ διόρθωσις δυνηθῆι, περιπτύσσεσθαι δίκαιον πλῆρες εὐσεβείας ὑπάρχον τοῦ γαληνοτάτου βασιλέως τὸ βούλημα δι' οὗ τὴν ἁγίαν ὑμῶν ἀδελφότητα πρὸς ἀνατροπὴν μὲν τῶν ἐπιβουλῶν τοῦ διαβόλου, τῆς δὲ ἐκκλησιαστικῆς εἰρήνης ἀνάκτησιν συνελθεῖν ἐβουλήθη, τοῦ μακαριωτάτου Πέτρου τοῦ ἀποστόλου φυλαττομένων τῶν τε δικαίων καὶ τῆς τιμῆς ἐπὶ τοσοῦτον ὡς καὶ ἡμᾶς ὑπ' αὐτοῦ πρὸς τοῦτο δι' οἰκείων προτραπῆναι γραμμάτων, ἐφ' ὧι τε τὴν οἰκείαν παρουσίαν ἡμᾶς παρασχεῖν τῆι ἁγίαι συνόδωι. ὅπερ μὲν οὖν οὐκ ἠδύνατο οὐδὲ ἡ ἀνάγκη τοῦ καιροῦ οὐδὲ μήν τις ἐπιτρέψαι συνήθεια, πλὴν ἐν τούτοις τοῖς ἀδελφοῖς, τουτέστιν Πασκασίνωι καὶ Λουκηνσίωι τοῖς ἐπισκόποις καὶ Βονιφατίωι καὶ Βασιλείωι τοῖς πρεσβυτέροις τοῖς ἀπεσταλμένοις ὑπὸ τοῦ θρόνου τῶν ἀποστόλων ἐμὲ τῆς συνόδου προεδρεύειν ἡ ὑμῶν ἀδελφότης ἡγείσθω, μὴ κεχωρισμένης ὑμῶν τῆς ἐμῆς παρουσίας, ὅστις διὰ τῶν τοποτηρητῶν ὑμῖν πάρειμι τῶν ἐμῶν καὶ διὰ τοῦ κηρύττειν τὴν καθολικὴν πίστιν οὐκ ἀπολείπομαι, ὡς ὑμᾶς τοὺς ἀγνοεῖν μὴ δυναμένους τί περὶ τῆς ἀρχαίας πιστεύομεν παραδόσεως, ἀμφιβάλλειν μὴ δύνασθαι ποία τις ἐπιθυμία ἡμῖν καθέστηκεν. ὅθεν, ἀδελφοὶ προσφιλέστατοι, γενομένης ἐκποδὼν τῆς τολμηρᾶς διαλέξεως ὑπεναντίον τῆς θεόθεν πίστεως ἐμπνευσθείσης ἡ ματαία τῶν πεπλανημένων ἀπιστία τὴν ἡσυχίαν ἀγέτω ἐκδικείτω τε τοῦτο μηδεὶς ὃ πιστεύειν οὐ θέμις, ὁπότε κατὰ τὴν τῶν εὐαγγελίων αὐθεντίαν, κατὰ τὰς φωνὰς τῶν προφητῶν καὶ τὴν τῶν ἀποστόλων διδασκαλίαν πληρέστατα καὶ σαφέστα-

17 = Epist. coll. H 21 et epistularum quae in B ante primam actionem habentur, 5. Latinum exemplar extat in Leonis epist. 52. lecta est epistula in Actione XVI [M_1 B_1]

MBHXM_1B_1

1—4 Ἶσον — συνόδου HX ἐπιστολὴ τοῦ μακαριωτάτου λέοντος ἀρχιεπισκόπου ῥώμης πρὸς τὴν ἁγίαν σύνοδον MB om. M_1B_1 3/4 πρεσβυτέρων H 5 νικαίᾳ MBHX χαλκηδόνι M_1B_1 τοῖς ἀγαπητοῖς M_1B_1 καὶ τοῖς HX 6 ἦν om. HX εὐεκταῖον HX σχέσιν M_1B_1 ὑμετέρω H 7 πάντας MB ἐν om. M_1B_1 9 πολλάκις πολλὰ συμβαίνει B_1 10 τὸ ἔλεος HX 11 ἐν ἀναρτήσει] ἐναρτήσει X ἐν ἀρτίσει H ἔχειν M_1B_1 12 πλήρης HX 13 τῶν ἐπιβούλων καὶ τοῦ HX τοῦ ἐπιβουλεύοντος M_1B_1 διαβόλου κατεσκεύασε M 14 τῆς δὲ] τὴν δὲ τῆσ HXM_1 ἠβουλήθη HX 14/15 φυλαττομένων τοῦ μακαριωτάτου — ἀποστόλου MB 14 τῷ θρόνῳ τοῦ μακαρίου M_1B_1 16 ὑπ' αὐτοῦ] αὐτὸν M_1B_1 ἐπὶ τοῦτο B_1 ἐπὶ τούτῳ M_1 προτρέψαι M_1B_1 ἰδίαν HX ἑαυτοῦ B_1 ἑαυτῶν M_1 17 ἡμᾶς παρασχεῖν] παρασχεῖν ἡδέως M_1B_1 μὲν om. B_1 οὐ δύναται HX οὐκ ἦν δυνατὸν M_1B_1 18 μήν] μέν HX ἐπέτρεψε HX ἐπιτρέπει M_1B_1 τουτέστιν ἐν MHX om. B 18/19 πασχασίῳ M πασκασίῳ B πασχασίνῳ X 19 λουκινσίῳ MBB_1 λουκινίνῳ HX βονηφατίῳ M 20 ἀποσταλμένοισ X παρὰ M_1B_1 ἐμὲ] ὁμε X ὁ μετὰ H 21 κεχωρισμένων MB τῶν] τὴν X 22 ὑμῖν om. B_1 διὰ τὸ HX δι' αὐτῶν M_1B_1 23 ὡσ καὶ M_1B_1 τοὺς om. B τοῦ M μὴ δυναμένουσ ἀγνοεῖν B_1 τί] τῆ M 24 ποία — καθέστηκεν] περὶ τῆσ ἡμετέρασ βουλήσεωσ M_1B_1 ἡμῖν ἐπιθυμία HX 25 γενομένησ [γινωμένησ HX] — τολμηρᾶσ [πονηρᾶσ HX] διαλέξεωσ HXM_1B_1 πᾶσα παντελῶσ τολμηρὰ διάλεξισ MB 25/26 ἐμπνευσθείσησ πίστεωσ M 26 ἡ HXM_1B_1 καὶ MB ἀπληστίασ M_1 ἀναγέτω HX ἐχέτω M_1B_1 ἐκδίκω HX 27 τε] δὲ B πιστεύων HX τῶν om. HX κατά τε M_1B_1 28 καὶ] κατὰ B

τα δι' ὧν πρὸς τὸν τῆς μακαρίας μνήμης Φλαβιανὸν τὸν ἐπίσκοπον ἐπεστείλαμεν, ἤδη δεδήλωται ποία τίς ἐστιν ἡ περὶ τοῦ μυστηρίου τῆς ἐνανθρωπήσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εὐσεβὴς ὁμολογία καὶ καθαρά. ἐπειδὴ δὲ πολλῶν καταστάσεις ἐκκλησιῶν ὑπὸ φαύλων τινῶν ἀντιστάσεων διατεταραγμένας ἐγνώκαμεν καὶ πλείστους ἐπισκόπους τοὺς οὐ καταδεξαμένους τὰ τῶν αἱρετικῶν ἐκβεβλῆσθαι τῶν θρόνων τῶν ἑαυτῶν καὶ ἐξορίαι παραδοθέντας εἰς τόπον τε τῶν ἔτι περιόντων ὑποκαταστάντας ἑτέρους, τούτοις πρὸ πάντων τοῖς τραύμασιν ἡ τοῦ δικαίου προσαγέσθω θεραπεία καὶ μηδεὶς οὕτως ἑστερημένος ἔστω τῶν ἑαυτοῦ, ὡς ἄλλον κεχρῆσθαι τοῖς ἄλλου, ὁπότε εἴ γε, καθάπερ ἐστὶν ἡμῖν καταθύμιον, τὴν πλάνην ἀπολιμπάνουσιν ἅπαντες, παραπολέσθαι μὲν ὀφείλει τὰ τῆς τιμῆς οὐδενί, τοῖς δέ γε κεκμηκόσιν ὑπὲρ τῆς πίστεως μετὰ τῶν προνομίων τῶν οἰκείων ἁπάντων ὀφείλει τὸ δίκαιον ἀποκαταστῆναι τὸ ἴδιον. οἱ μέντοιγε τῆς προτέρας ἐν Ἐφέσῳ συνόδου, ἧστινος ὁ τῆς ἁγίας μνήμης Κύριλλος τότε προήδρευεν, κατὰ Νεστορίου ἰδικῶς ὅροι διαμενέτωσαν, μή πως ἡ τότε καταδικασθεῖσα δυσσέβεια διὰ τοῦτο καθ' ὁτιοῦν ἑαυτὴν ἀπατήσῃ, ὅτιπερ Εὐτυχὴς δικαίως ἀναθεματισθεὶς καταβέβληται. ἡ καθαρότης γὰρ ἡ τῆς πίστεως καὶ τῆς διδασκαλίας, ἣν τῷ αὐτῷ πνεύματι κηρύττομεν ὥσπερ οἱ ἅγιοι πατέρες ἡμῶν, καὶ τὴν Νεστορίου καὶ τὴν Εὐτυχοῦς μετὰ τῶν ἡγουμένων αὐτῶν ἐπίσης καταδικάζει τε καὶ διώκει κακοδοξίαν.

Ἔρρωσθε ἐν κυρίῳ, ἀδελφοὶ προσφιλέστατοι.

27. m. Iun. a. 451 Ἐδόθη τῇ πρὸ πέντε Καλανδῶν Ἰουλίων

MBHXM$_1$B$_1$

1 ὁσίασ MB ἀπεστείλαμεν HX 3 εὐσεβεῖ HX, corr. H κατάστασισ HXM$_1$ 4 ἀπὸ B$_1$ ἔγνωμεν HX 5 θρόνων MBHX τόπων M$_1$B$_1$ τῶν om. MB 6 παραδοθῆναι B$_1$ τόπουσ MB τε om. HX ἔτι τὲ M$_1$ ἑτέρουσ αὐτῶν H 7 προαγέσθω HX 8 ἑστερημένος ἔστω] ἑστερημένων ὄντων HX ἄλλων HX ἄλλοισ HX ὁπότε εἴ γε] ποτέ HX 9 ἡμῖν ἐστιν MB παραπολεῖσθαι MB 9/10 παραπολέσθαι — οὐδενί] παραπόλλυται μὲν οὐδενὸσ ἡ τιμή M$_1$B$_1$ 10 γε om. HX ὑπὸ M$_1$ 11 τὸ ἴδιον om. HX οἱ] καὶ M$_1$B$_1$ 12 ἁγίασ MB ὁσίασ M$_1$B$_1$ μακαρίασ HX τότε om. MB προέδρευε HX 13 ὅροι] τὰ συνοδικῶσ πραχθέντα M$_1$B$_1$ 14 ἀπατήσει HX om. M$_1$ spat. uac. rel. B$_1$ 15 ἡ om. B καὶ ἡ HX ἐν τῷ M$_1$B$_1$ αὐτῷ HXM$_1$B$_1$ ἁγίω MB κηρύττωμεν M$_1$ 16 καὶ^1 om. B τὴν^2 om. MB 17 καταδικάζει τὲ B$_1$ καταδικάζεται HXM$_1$ καταδικάζει MB 19 Ἐδόθη — Ἰουλίων om. M$_1$B$_1$ τῇ om. HX Ἰουνίων HX

EPISTVLARVM COLLECTIO H

Ἴσον ἀντιγράφου τῆς ἰδιοχείρου πίστεως Φλαβιανοῦ ἐπισκόπου Κωνσταντινουπόλεως ἐπιδοθείσης παρ' αὐτοῦ αἰτήσαντι τῶι βασιλεῖ

L IIII 16 = M VI 540

1 Φλαβιανὸς ἐπίσκοπος Κωνσταντινουπόλεως τῶι εὐσεβεστάτωι καὶ φιλοχρίστωι ἡμῶν βασιλεῖ Θεοδοσίωι χαίρειν. Οὐδὲν οὕτω πρέπει ἱερεῖ θεοῦ καὶ τῶι τὰ θεῖα παιδεύοντι δόγματα ὡς ἕτοιμον εἶναι πρὸς ἀπολογίαν παντὶ τῶι αἰτοῦντι αὐτὸν λόγον περὶ τῆς ἐν ἡμῖν ἐλπίδος καὶ χάριτος. οὐ γὰρ ἐπαισχυνόμεθα τὸ εὐαγγέλιον [τοῦ Χριστοῦ]· δύναμις γὰρ θεοῦ ἐστιν εἰς σωτηρίαν παντὶ τῶι πιστεύοντι. ἐπεὶ οὖν καὶ ἡμεῖς ἐλέει τοῦ παμβασιλέως [ἡμῶν Χριστοῦ τοῦ] θεοῦ ἱερουργοὶ τοῦ εὐαγγελίου ἐκληρώθημεν, φρονοῦμεν ὀρθῶς καὶ ἀνεπιλήπτως, πάντοτε ταῖς θείαις γραφαῖς ἑπόμενοι καὶ ταῖς ἐκθέσεσι τῶν ἁγίων πατέρων τῶν τε ἐν Νικαίαι [καὶ ἐν Κωνσταντινουπόλει] συνελθόντων καὶ τῶν ἐν Ἐφέσωι ἐπὶ τοῦ τῆς ὁσίας μνήμης Κυρίλλου τοῦ γενομένου ἐπισκόπου τῆς Ἀλεξανδρέων. καὶ κηρύττομεν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, πρὸ αἰώνων μὲν ἐκ θεοῦ πατρὸς ἀνάρχως γεννηθέντα κατὰ τὴν θεότητα, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν τὸν αὐτὸν δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Μαρίας τῆς παρθένου κατὰ τὴν ἀνθρωπότητα, θεὸν τέλειον καὶ ἄνθρωπον τέλειον τὸν αὐτὸν ἐν προσλήψει ψυχῆς λογικῆς καὶ σώματος, ὁμοούσιον τῶι πατρὶ κατὰ τὴν θεότητα καὶ ὁμοούσιον τῆι μητρὶ τὸν αὐτὸν κατὰ τὴν ἀνθρωπότητα. καὶ γὰρ ἐκ δύο φύσεων [ὁμολογοῦντες] τὸν Χριστὸν μετὰ τὴν σάρκωσιν τὴν ἐκ τῆς ἁγίας παρθένου καὶ ἐνανθρώπησιν, ἐν μιᾶι ὑποστάσει καὶ ἐν ἑνὶ προσώπωι ἕνα Χριστόν, ἕνα υἱόν, ἕνα κύριον ὁμολογοῦμεν. καὶ μίαν μὲν τοῦ θεοῦ λόγου φύσιν, σεσαρκωμένην μέντοι καὶ ἐνανθρωπήσασαν λέγειν οὐκ ἀρνούμεθα διὰ τὸ ἐξ ἀμφοῖν ἕνα καὶ τὸν αὐτὸν εἶναι κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν. τοὺς γε μὴν δύο υἱοὺς ἢ δύο ὑποστάσεις ἢ δύο πρόσωπα καταγγέλλοντας, ἀλλ' οὐχὶ ἕνα καὶ τὸν αὐτὸν κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ τοῦ ζῶντος κηρύττοντας ἀναθεματίζομεν καὶ ἀλλοτρίους εἶναι τῆς ἐκκλησίας κρίνομεν καὶ πρῶτον πάντων Νεστόριον τὸν δυσσεβῆ ἀναθεματίζομεν καὶ τοὺς τὰ αὐτοῦ φρονοῦντας ἢ λέγοντας καὶ ἐκπέσωσιν οἱ τοιοῦτοι τῆς υἱοθεσίας τῆς ἐπηγγελμένης τοῖς ὀρθῶς πιστεύουσιν.

Rom. 1, 16

1 Petr. 3, 15

---

1 = Epist. coll. B 1. Latinae uersiones extant duae, altera in Epist. ante Gesta coll. 1 [Φ^{cr}], altera in Innocentii Maronitae epistula de collatione cum Seuerianis [t. IIII 2 p. 174. 175 = Λ^{i}]

HXMBV$\Phi^{cr}\Lambda^{i}$

1 ἴσον ἀντιγράφου HXΛ^{i} ἀντίγραφον MBVΦ 4 τῶι om. V 5 παιδεύοντι HXΛ^{i} παιδευθέντι MBVΦ λόγον αὐτὸν BV 6 ἐπαισχυνόμεθα HXΛ^{i} ἐπαισχύνομαι MBVΦ 7 τοῦ χῦ HXMBV *dei* Φ om. Λ^{i} θεοῦ om. V 8 ἡμῶν — τοῦ MBVΦ om. HXΛ^{i} 10 τε HX om. MBV 10/11 καὶ ἐν [ἐν om. V] Κωνσταντινουπόλει MBV *et centum quinquaginta qui hic congregati sunt* Φ om. HXΛ^{i} 11 ἐν om. V θείασ HX 12 καὶ om. HX κύριον HX$\Lambda^{i}\Phi$ ἕνα κύριον MBV 13 τοῦ θῦ HX τοῦ BVΛ^{i} 14 ὑμετέραν V 15 κατὰ] διὰ V 16 καὶ^{2} om. V 17 γὰρ] παρ' HX ἐκ δύο φύσεων HX$\Lambda^{i}\Phi$ ἐκ δύο φύσεσιν V ἐν δύο φύσεσιν MB 18 ὁμολογοῦντεσ MBVΦ om. HXΛ^{i} 22 τὸν om. MV, corr. M γε μὴν HX δὲ MBV 23 κύριον om. V τὸν om. V 24 υἱὸν] τὸν X, υἱὸν add. post ζῶντος X τοῦ^{2} om. HX τῆσ ἐκκλησίασ εἶναι HX 25 δυσσεβὴν H αὐτὰ B 26 ἐλέγχονταασ X ἐλέγχοντεσ X^{corr} ἐκπέσουσιν HX

Καὶ μετὰ ταῦτα προσέθηκεν καὶ σημείοις ὑπεσημήνατο· Δέσποτα Χριστέ, βοήθησον ἡμῖν, ὁ θεός. Καὶ πάλιν· Ταῦτα ἔγραψα τῇ ἐμαυτοῦ χειρὶ εἰς πληροφορίαν τοῦ ὑμετέρου κράτους καὶ εἰς τὸ καταισχυνθῆναι τοὺς ἐπηρεάζοντας ἡμῶν τὴν [ἀγαθὴν καὶ] ἁπλῆν ἐν Χριστῷ ἀναστροφήν.

2 Ἀντίγραφον λιβέλλου Εὐσεβίου ἐπισκόπου Δορυλαίου = Gesta Chalced. 1, 225. 230

Ἐπιστολὴ Φλαβιανοῦ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως πρὸς Λέοντα ἀρχιεπίσκοπον Ῥώμης

3 Τῷ ὁσιωτάτῳ καὶ θεοφιλεστάτῳ πατρὶ καὶ συλλειτουργῷ Λέοντι Φλαβιανὸς
Iac. 3, 8 ἐν κυρίῳ χαίρειν. Οὐδὲν ἴστησιν ἄρα τὴν τοῦ διαβόλου πονηρίαν, τὸ ἀκατάσχετον
1 Petr. 5, 8 κακὸν τὸ πλῆρες ἰοῦ θανατηφόρου. ἄνω γὰρ καὶ κάτω περινοστεῖ ζητῶν τίνα πλήξῃ, τίνα σπαράξῃ, τίνα καταπίῃ. δι' ὃ καὶ γρηγορεῖν καὶ νήφειν εἰς προσευχὰς καὶ τῷ
2 Tim. 2, 23 θεῷ ἐγγίζειν καὶ τὰς μωρὰς ζητήσεις παραιτεῖσθαι καὶ τοῖς πατράσιν ἀκολουθεῖν καὶ
Prou. 22, 28 μὴ μετατιθέναι ὅρια αἰώνια ὑπὸ τῶν θείων γραφῶν δεδιδάγμεθα. ἀποθέμενος οὖν τοῦ πένθους τὸν ὄγκον, τῶν δακρύων τὸ πλῆθος, ὅτι γε τῶν ὑπ' ἐμὲ τελούντων κληρικὸς εἷς θηριάλωτος γέγονεν καὶ οὐκ ἠδυνήθην αὐτὸν περισῶσαι οὐδὲ ἁφαρπάσαι τοῦ λύκου, καίτοι τὴν ψυχήν μου ἑτοίμως ἔχων θεῖναι ὑπὲρ αὐτοῦ, πῶς ἠρπάγη, πῶς ἀπεπήδα μισῶν τὴν τοῦ καλοῦντος φωνὴν καὶ πρὸς τὸν ἀπολλύντα μάλιστα τρέχων, τάχα που καὶ τὰ μνήματα τῶν πατέρων ἐκκλίνων καὶ τὰς τρίβους αὐτῶν μυσαττόμενος, βαδιοῦμαι τῷ λόγῳ.
Mt. 7, 15. 16 Εἰσὶ τινὲς ἐν ἐνδύμασι προβάτων ἔσωθεν ὄντες λύκοι ἅρπαγες, οὓς ἀπὸ τῶν καρπῶν ἐπιγινώσκομεν. οὗτοι τὰ πρῶτα δοκοῦσι μὲν εἶναι ἐξ ἡμῶν, ἀλλ'
1 Ioh. 2, 19 οὐκ εἰσιν ἐξ ἡμῶν· εἰ γὰρ ἦσαν ἐξ ἡμῶν, μεμενήκεσαν ἂν μεθ' ἡμῶν. ὅταν δὲ τὴν ἑαυτῶν ἀπεμέσωσι δυσσέβειαν, τὸν ἐν αὐτοῖς κρυπτόμενον ἀπορρήξαντες δόλον,
Hebr. 5, 14 ἐπιλαβόμενοι τῶν ἀσθενεστέρων καὶ τὰ αἰσθητήρια πρὸς τὰ θεῖα λόγια ἐχόντων ἀγύμναστα, σὺν ἑαυτοῖς ὠθοῦσιν αὐτοὺς εἰς ἀπώλειαν, στρεβλοῦντες καὶ σκώπτοντες τὰς τῶν
2 Petr. 3, 16 πατέρων διδασκαλίας ὡς καὶ τὰς λοιπὰς γραφὰς πρὸς τὴν ἰδίαν ἑαυτῶν ἀπώλειαν. οὓς δεῖ προγινώσκοντας φυλάττεσθαι, ἵνα μὴ τῇ πανουργίαι αὐτῶν
Ps. 139, 4 ἀπαχθέντες τινὲς ἐκπέσωσι τοῦ ἰδίου στηριγμοῦ. ἠκόνησαν γὰρ γλῶσσαν αὐτῶν ὡσεὶ ὄφεως· ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν, περὶ τούτων ἀνακέκραγεν ὁ προφήτης. τοιοῦτός τις ἡμῖν ἀναπέφανται τὰ νῦν Εὐτυχὴς ὁ πάλαι πρεσβύτερος καὶ ἀρχιμανδρίτης, ὃς τὰ ἡμέτερα δῆθεν φρονῶν καὶ τὴν ὀρθὴν πίστιν ἐν ἑαυτῷ ἔχων, τῇ μὲν Νεστορίου δυσσεβείαι ἀνθεστηκὼς καὶ τὸν πρὸς αὐτὸν πόλεμον ὑποκορι-

3 = Coll. B 5. Latinae uersiones extant duae, altera in Collectione Nouariensi de re Eutychis 3 [Λ^n], altera in Epistularum ante Gesta collectione 5 [Φ^{cr}]

HXMBVΦ^{cr}, Λ^n [inde a 6], Λ^i [usque ad 4]

1 ὑπεσημήναται M $\overline{\text{χε}}$ HX$\Lambda^i\Phi$ κύριε MBV 2 τὰ αὐτὰ HX 3 ἡμετέρου HV ἀγαθὴν καὶ MBVΦ om. HXΛ^i 6 ἐπισκόπου HX 7 ῥώμης HXΦ τῆς ῥωμαίων ἁγίας ἐκκλησίας MBV 8 θεοφιλεστάτῳ καὶ ὁσιωτάτῳ HX 9 ἐν κυρίῳ om. BV 10 περινοστίζει [ει in η corr. H] τῶν [τὸν X] HX πλήξει BV πνήξει HX 11 τίνας ταράξῃ Φ σπαράξει HXBV καταπίει HX καὶ^1 om. HX εἰς προσευχὰς] ταῖς προσευχαῖς HX καὶ^3 om. HX 12/13 ἀκολουθεῖν — μετατιθέναι MBV ἐπακολουθηναι HX 13 αἰώνια ἃ Λ^n 15 αὐτῷ X ἁρπάσαι MBV 16 ἑτοίμως om. X ἔχω X 18 μνήματα] συγγράμματα X 20 ὄντες HX δέ εἰσιν MBVΦ 21 πρῶτα] προβατα M μὲν εἶναι] μένειν X 22 οὐκ — γὰρ om. HX, εἰ superscr. H μεμενίκησαν H μεμενήκασιν X 23 ἀπομέσωσι V ἀπομέωσιν HX ἀπομαιῶσιν X^{corr} τὸν om. HX, corr. H κρυπτόμενον HXΛ^n om. MBVΦ 25 ὠθουσῶν V 26 αὐτῶν HX 27 οὓς δεῖ] οὔσασ ἡ X οὔσ sequitur rasura H 30 τις HXΦ om. MBV τὰ νῦν ἀναπέφανται MBV 31 ὃσ BVΛ^n ὡς Φ ὃς [ὡσ HX] μὲν MHX αὐτῷ X

ζόμενος, τὴν δὲ τῶν τιη ἁγίων πατέρων περὶ τῆς πίστεως γεγενημένην ἔκθεσιν καὶ τὴν τοῦ τῆς ὁσίας μνήμης Κυρίλλου πρός τε Νεστόριον γραφεῖσαν ἐπιστολὴν καὶ τὴν πρὸς τοὺς τῆς Ἀνατολῆς τοῦ αὐτοῦ ὁμοίως, αἷς πάντες συνέθεντο, πειρώμενος ἀνατρέπειν, τὴν πάλαι τοῦ δυσσεβοῦς Οὐαλεντίνου καὶ Ἀπολιναρίου κακοδοξίαν ἀνανεούμενος (καὶ οὐκ ἐφοβήθη τὸ διάταγμα τοῦ ἀληθινοῦ βασιλέως λέγοντος ὃς ἐὰν σκανδαλίσηι ἕνα τῶν Mt. 18, 6
μικρῶν τούτων τῶν ἐλαχίστων, συμφέρει αὐτῶι ἵνα κρεμασθῆι μύλος ὀνικὸς 6
περὶ τὸν τράχηλον αὐτοῦ καὶ καταποντισθῆι εἰς τὸ πέλαγος τῆς θαλάσσης), αἰδῶ πᾶσαν ἀποβαλὼν καὶ ἣν περιέκειτο τῆς πλάνης δορὰν ἀποτιναξάμενος διαρρήδην ἐπὶ τῆς ἁγίας συνόδου ἡμῶν διισχυρίζετο λέγων τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν μὴ δεῖν ὁμολογεῖσθαι ἐκ δύο φύσεων μετὰ τὴν ἐνανθρώπησιν ἐν μιᾶι ὑποστάσει 10
καὶ ἐν ἑνὶ προσώπωι παρ' ἡμῶν γνωριζόμενον μήτε μὴν τὴν σάρκα τοῦ κυρίου ὁμοούσιον ἡμῖν ὑπάρχειν οἷα δὴ ἐξ ἡμῶν προσληφθεῖσαν καὶ ἑνωθεῖσαν τῶι θεῶι λόγωι καθ' ὑπόστασιν, ἀλλ' ἔφασκεν τὴν μὲν τεκοῦσαν αὐτὸν παρθένον κατὰ σάρκα ὁμοούσιον ἡμῖν εἶναι, αὐτὸν δὲ τὸν κύριον μὴ εἰληφέναι ἐξ αὐτῆς σάρκα ἡμῖν ὁμοούσιον, ἀλλὰ τὸ τοῦ κυρίου σῶμα μὴ εἶναι μὲν σῶμα ἀνθρώπου, ἀνθρώπινον δὲ σῶμα τὸ ἐκ τῆς παρθένου, πάσαις 15
ταῖς ἐκθέσεσι τῶν ἁγίων πατέρων ἐναντιούμενος. ἀλλ' ἵνα μὴ πάντα καταλέγων μῆκος ἐμποιήσω τῶι γράμματι, πάλαι τὴν ἐπ' αὐτῶι γεγενημένην πρᾶξιν ἀπεστείλαμεν τῆι σῆι ὁσιότητι, ἐν ᾗι καὶ τῆς ἱερωσύνης αὐτὸν ὡς ἐπὶ τοιούτοις ἁλόντα ἐγυμνώσαμεν καὶ τοῦ προστατεῖν μοναστηρίου καὶ τῆς ἡμετέρας κοινωνίας, ὥστε καὶ τὴν σὴν ὁσιότητα γνοῦσαν τὰ κατ' αὐτὸν πᾶσι τοῖς ὑπὸ τὴν σὴν θεοσέβειαν τελοῦσι θεοφιλεστάτοις ἐπισκό- 20
ποις δήλην ποιῆσαι τὴν αὐτοῦ δυσσέβειαν, ἵνα μὴ ἀγνοίαι πολλάκις τῶν παρ' αὐτοῦ φρονηθέντων ἐφ' οἷς τε ἑάλω σαφῶς, ὡς πρὸς ὁμόδοξον ἢ διὰ γραμμάτων ἢ καὶ ἑτέρως τὰς πρὸς αὐτὸν ὁμιλίας εὑρεθῶσι ποιούμενοι.

Πᾶσαν τὴν σὺν τῆι ὑμετέραι θεοφιλείαι ἐν Χριστῶι ἀδελφότητα ἐγώ τε καὶ οἱ σὺν ἐμοὶ πλεῖστα προσαγορεύομεν. 25

Ἐρρωμένος ἐν κυρίωι καὶ ὑπερευχόμενος ἡμῶν χαρισθείης ἡμῖν, θεοφιλέστατε πάτερ.

4 Τῶι ἀγαπητῶι υἱῶι Φαύστωι πρεσβυτέρωι Λέων ἐπίσκοπος. Κεχαρισμένον ἐστὶν ἀεὶ ἐμοὶ τὸ τὴν σὴν ἀγάπην προσφθέγγεσθαι καὶ πρὸς τὴν προσηγορίαν ὡς ἥδιστα ἔχω, ἐπειδὴ οὐκ ἀγνοῶ δόκιμόν σε τῆς ὑγιοῦς πίστεως εἶναι φύλακα μὴ περιφερόμενον παντὶ ἀνέμωι τῆς διδασκαλίας, ἀλλ' ἐν τῶι θεμελίωι τῶν προφητῶν καὶ ἀποστόλων, 30
ὅς ἐστι Χριστός, βέβαιον διαμένειν, ἵνα ὁπότε ἔλθηι ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν θεότητι αὐτοῦ

---

4 = Epist. coll. B 6. Latinum exemplar extat in Leonis epist. 4 [= Epistul. ante Gesta Coll. 6]

HXMBVΦ^{cr}Λ^{n}

1 τριακοσίων δεκαοκτὼ MBV γενομένην MBV 1/2 τὴν τοῦ τῆσ HX τοῦ τῆσ MB τῶ τῆσ V 2 ὁσίασ HXΦ^{cr}Λ^{n} θείασ MBV τε] τὴν HX 3 πειρόμενοι V 4 παλαιὰν BV ἀνανεούμενοι V 5 ἂν H 7 ἐπὶ HX 7/8 ἐν τῶ τῆς θαλάσσης πελάγει V 8 αἰδῶ HXΛ^{n} ἀναιδῶσ MBVΦ 9 ὑμῶν Φ om. Λ^{n} 10 τὸν om. HBV ὁμολογεῖσθαι HXΛ^{n} om. MBVΦ 12 καὶ om. BV 15 εἶναι] γίνεται HX 17 πάλαι τὴν HXMBVΛ^{n} τὴν πάλαι Φ 17/18 τῆ ὁσιότητι τῆ σῆ HX 18 τούτοισ XV 20 ἀγνοοῦσαν BV γνώσαντεσ X 22 ὀρθόδοξον Λ^{n} ἢ διὰ] αὐτοῦ X καὶ om. V ἑτέρων X 23 ὁμολογίας Φ 24—26 om. Λ^{n} 24 ἡμετέρα H θεοφιλείαι] ὁσιότητι HX χῶ MBVΦ^{r} κω HX 26 praem. *Et alia manu* Φ^{c} ἐρρώμενοι X καὶ om. BV

HXMBVΦ^{cr}

inscr. ἐπιστολὴ τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου ῥώμησ λέοντοσ πρὸσ φαῦστον πρεσβύτερον καὶ ἀρχιμανδρίτην MBV 27 φαύστω υἱῶ πρεσβύτεροσ HX Λέων] ἡμῶν HX ἐπίσκοποσ ῥώμησ HX 28 τὸ] τῶ V προσφοιτέσθαι HX τὴν σὴν HX ὡσ HX τὰ MBV 29 ἐπειδὴ] ἐπεὶ δὲ M δεδοκιμασμένον MBV 31 τῆ θεότητι HX

πρὸς καθαρισμὸν παντὸς τοῦ κόσμου, ἐν ἐπιλογῇ εὑρεθείης τοῦ σίτου τῆς αἰδιότητος τοῖς ὁρίοις θησαυρίζεσθαι ἄξιος. ἀποδοθέντων τοιγαροῦν τῶν γραμμάτων διὰ τοῦ υἱοῦ τοῦ ἐμοῦ Παρθενίου, τὴν ἀμοιβαίαν προσηγορίαν πληρῶ προτρεπόμενος τὴν σὴν ὁσιότητα, υἱὲ ἀγαπητέ, ἵνα μὴ ἐπαισχυνθῇς τὸ εὐαγγέλιον τῆς γενέσεως τοῦ δεσπότου
1 Ioh. 5, 4. 5 Χριστοῦ τοῦ υἱοῦ Δαυὶδ υἱοῦ Ἀβραὰμ κατὰ σάρκα, ἐπειδὴ αὕτη ἡ πίστις ἐνίκησεν τὸν κόσμον, εἴ τις πιστεύει ὅτι Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ θεοῦ. εἰ δέ τινες τῆς πίστεως παρευρέσεις εὑρίσκοιντο, ὑπομιμνήσκομεν ἵνα περὶ τούτων ἅτινα πρὸς κοινὴν σωτηρίαν συντείνουσιν, γράφῃς ἡμῖν πλατύτερον, ἡδέως ἔχουσι πρὸς τοὺς ταῦτα διακομίζοντας.

Ἑτέρα ἐπιστολὴ Φλαβιανοῦ ἐπισκόπου Κωνσταντινουπόλεως γραφεῖσα πρὸς τὸν αὐτὸν ἀρχιεπίσκοπον Λέοντα τῆς πρεσβυτέρας Ῥώμης

5 Τῶι ἁγιωτάτωι καὶ μακαριωτάτωι πατρὶ καὶ συλλειτουργῶι Λέοντι Φλαβιανὸς ἐν κυρίωι χαίρειν. Εὐσεβείας καὶ τοῦ ὀρθοτομεῖσθαι τὸν λόγον τῆς ἀληθείας οὐδὲν τιμιώτερον ἱερεῦσιν θεοῦ, ὡς ἐπίστασαι, θεοφιλέστατε. πᾶσα γὰρ ἡμῶν ἐλπὶς καὶ σωτηρία καὶ ἀνταπόδοσις τῶν ἐπηγγελμένων ἀγαθῶν ἐντεῦθεν ἐξήρτηται. διά τοι τοῦτο πάντα ποιητέον ἡμῖν καὶ πονητέον ὑπὲρ τῆς ἀληθοῦς πίστεως καὶ τῶν ἐκτεθέντων καὶ δογματισθέντων ὑπὸ τῶν ἁγίων πατέρων, ἐφ' ὧι τε διὰ παντὸς καὶ ἐν παντοίαις περιστάσεσιν πραγμάτων ἀκέραια καὶ ἄτρωτα ταῦτα διασώιζεσθαι καὶ διαφυλάττεσθαι. ἀναγκαῖον οὖν ἦν καὶ νῦν ὁρῶντας ἡμᾶς βλαπτομένην τὴν ὀρθόδοξον πίστιν καὶ ἀνανευομένην τὴν Ἀπολιναρίου καὶ Οὐαλεντίνου αἵρεσιν παρὰ Εὐτυχοῦς τοῦ μοναχοῦ μὴ παριδεῖν, ἀλλ' εἰς τὸ φανερὸν ταύτην ἐκκαλύψαι πρὸς ἀσφάλειαν τῶν λαῶν. οὗτος γὰρ οὗτος ὁ Εὐτυχὴς κεκρυμμένην ἐν ἑαυτῶι νόσον κακοδοξίας κατέχων τῆς ἡμετέρας ἐπιεικείας καταδραμὼν ἀπηρυθριασμένως καὶ ἀναισχύντως εἰς πολλοὺς ἐξενεγκεῖν τὴν οἰκείαν ἀσέβειαν κατετόλμησεν φάσκων πρὸ μὲν τῆς ἐνανθρωπήσεως τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ δύο φύσεις εἶναι θεότητος καὶ ἀνθρωπότητος, μετὰ δὲ τὴν ἕνωσιν μίαν φύσιν
1 Tim. 1, 7 γεγονέναι, οὐκ εἰδὼς ὃ λέγει οὐδὲ περὶ τίνων διαβεβαιοῦται. οὐδὲ γὰρ ἡ ἕνωσις τῶν συνελθουσῶν ἐπὶ Χριστοῦ δύο φύσεων, ὡς καὶ ἡ ὑμετέρα ἐπίσταται θεοσέβεια, τὰς ἰδιότητας αὐτῶν ἐν τῆι ἑνώσει συνέχεεν, ἀλλὰ μένουσι καὶ ἐν τῆι ἑνώσει ἀκέραιοι τῶν φύσεων αἱ ἰδιότητες. προσετίθει δὲ καὶ ἑτέραν δυσσέβειαν φάσκων τὸ ἐκ Μαρίας σῶμα

5 Primus edidit J. B. Cotelier in Eccl. gr. mon. 1, 50. Latinae uersiones extant duae, altera in Epist. ante Gesta Coll. 8 [Φ^{cr}], altera in Collectione Nouariensi de re Eutychis 4 [Λ^{n}]

HXMBVΦ^{cr}

2 ὁρίοις M ὅροις IIX οὐρανοῖς BV διὰ τῶν γραμμάτων τοῦ X 3 ἀμοιβὰν HX ὁμοίαν MBV 4 ὁσιότητα HX τελειότητα MBV γεννήσεως HX 6 εἴ] ἢ HX τι V εἰ] οἱ V 7 εὑρίσκοντο V 7/8 περὶ — συντείνουσιν om. MBV 7 πρὸς κοινὴν] προσκυνεῖν HX 7/8 συντείνουσιν] συντεινωσ [in συντείνει corr.] ἵνα H σύντονοσ ἵνα X 8 ἔχοντεσ MB ταῦτα HXΛ ταύτασ MB τὰ τοιαῦτα V

IIXpVU, K [= d (inde a 23 ἀσέβειαν), Iu]

9—10 ἑτέρα — τῆς [τὸν τῆς H] — ῥώμησ HX ἐπιστολὴ φλαβιανοῦ ἀρχιεπισκόπου [ἐπισκόπου VK^{l}] κωνσταντινουπόλεωσ πρὸσ λέοντα ἀρχιεπίσκοπον [τὸν ἁγιώτατον πάπαν U] ῥώμησ [ῥώμησ κατ ευτοιχοὺσ προ τῆσ ἐν χαλκηδονι συνοδου K^{u}]VUK^{Iu} τοῦ μακαρίου φλαβιανοῦ ἀρχιεπισκόπου κωνσταντινουπόλεωσ ἐπιστολὴ πρὸσ λέοντα τὸν ἁγιώτατον τῆσ ῥώμησ πάπαν p 11/12 Τῶι — χαίρειν om. pVUK^{Iu} 13 προτιμότερον p θῦ pVUΛ^{n} θῶ K^{Iu} om. HXΦ ἐπίστασθε θεοφιλέστατοι VK^{Iu} ἐλπὶσ ἡμῶν V 15 ποιητέον — ποιητέον U πονητέον — ποιητέον pK^{Iu} 16 καὶ δογματισθέντων om. VU 17 τε καὶ² p φυλάττεσθαι HX 18 καὶ νῦν ἦν V ἦν καὶ HX ἦν II^{corr} καὶ νῦν p *fuit nunc etiam* Φ^{cr} 19 εὕρεσιν X τοῦ om. VU μοναχοῦ pVU$K^{Iu}\Phi$ δυσσεβοῦσ X om. HΛ^{n} ἐγκαλύψαι H 20/21 οὗτοσ — ὁ HXpΦ^{r} *hic etenim* Λ^{n} *iste enim* Φ^{c} αὐτὸσ γὰρ VUK^{Iu} 21 νόσον κακοδοξίασ κατέχων ἐν ἑαυτῶ U νόσον] δόξαν p 22/23 κατετόλμησε τὴν — ἀσέβειαν U 23 Ἰησοῦ om. HXp 24 ται καὶ K^{u} καὶ ἀνθρωπότητος om. HX 25 ἡ om. K^{Iu} οἱ p 26 χ̄ω̄ HXK^{d} 27 ἓν¹ om. pK^{d} συνέχεεν — ἑνώσει om. H 28 φύσεων Hp$K^{d}\Phi\Lambda^{n}$ δύο φύσεων XVUK^{Iu} οἱ HX προσθεῖναι X προσθῆναι H

γενόμενον τοῦ κυρίου μὴ εἶναι τῆς ἡμετέρας οὐσίας μηδὲ τοῦ ἀνθρωπείου φυράματος, ἀλλ' ἀνθρώπινον μὲν αὐτὸ ἀπεκάλει, οὐ μὴν ἡμῖν ὁμοούσιον οὐδὲ τῇι τεκούσηι αὐτὸν κατὰ σάρκα, καὶ ταῦτα τῶν ἐν Ἐφέσωι πεπραγμένων παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου ἐπὶ τῇι γραφείσηι ἐπιστολῆι πρὸς τὸν δυσσεβῆ καὶ καθηιρημένον Νεστόριον ἐχόντων ῥητῶς οὕτως ὡς διάφοροι μὲν αἱ πρὸς ἑνότητα τὴν ἀληθινὴν συνενεχθεῖσαι φύσεις, εἷς δὲ ἐξ ἀμφοῖν Χριστὸς καὶ υἱός, οὐχ ὡς τῆς τῶν φύσεων διαφορᾶς ἀνηιρημένης διὰ τὴν ἕνωσιν, ἀποτελεσασῶν δὲ μᾶλλον ἡμῖν τὸν ἕνα κύριον Ἰησοῦν Χριστὸν θεότητός τε καὶ ἀνθρωπότητος διὰ τῆς ἀφράστου καὶ ἀπερινοήτου πρὸς ἑνότητα συνδρομῆς. καὶ τοῦτο οὐ λέληθε τὴν σὴν ὁσιότητα ἐντυχοῦσαν πάντως τοῖς ἐν Ἐφέσωι πεπραγμένοις ὑπομνήμασιν. ἄτινα παρ' οὐδὲν θέμενος ὁ αὐτὸς Εὐτυχὴς οἴεται μὴ δώσειν δίκην τὴν ὁρισθεῖσαν παρὰ τῆς ἁγίας ἐκείνης καὶ οἰκουμενικῆς συνόδου. διά τοι ταῦτα πολλῶν τῶν ἀκεραιοτέρων ἐκ τῆς ὑπ' αὐτοῦ γενομένης διαλέξεως παραβλαπτομένων εἰς τὸν τῆς πίστεως λόγον, κατηγορηθέντα αὐτὸν παρὰ τοῦ εὐλαβεστάτου ἐπισκόπου Εὐσεβίου καὶ ἀπαντήσαντα εἰς τὴν ἁγίαν σύνοδον καὶ οἰκείαι φωνῆι τὸ ἴδιον φρόνημα ἐκκαλύψαντα ἀλλότριον ὑπάρχον τῆς ὀρθῆς πίστεως καθείλομεν, ὡς διδάξει τὴν ὑμετέραν ὁσιότητα πάντα τὰ ἐπ' αὐτῶι πεπραγμένα ὑπομνήματα, ἃ καὶ ἀπεστείλαμεν μετὰ τούτων ἡμῶν τῶν γραμμάτων. δίκαιον δὲ καὶ τοῦτο, ὡς ἡγοῦμαι, διδαχθῆναι ὑμᾶς ὡς ὅτιπερ ὁ αὐτὸς Εὐτυχὴς ὑποστὰς δικαίαν καὶ κανονικὴν καθαίρεσιν καὶ ὀφείλων κἂν τοῖς δευτέροις ἰάσασθαι τὰ πρότερα καὶ διὰ μετανοίας ἀκριβοῦς καὶ δακρύων πολλῶν τὸν θεὸν ἐξιλεώσασθαι καὶ τὴν ἡμετέραν καρδίαν σφοδρῶς λελυπημένην ἐπὶ τῇι αὐτοῦ πτώσει διὰ μεταμελείας ἀληθοῦς θεραπεῦσαι, οὐ μόνον τοῦτο οὐ πεποίηκεν, ἀλλὰ γὰρ καὶ διὰ πάντων διαταράξαι τὴν παρ' ἡμῖν ἁγιωτάτην ἐκκλησίαν ἐσπούδασε, προθέματα προτιθεὶς δημοσίαι ὕβρεων καὶ λοιδορίας ἀνάμεστα, πρὸς ἐπὶ τούτοις καὶ δεήσεις ἐπιδοὺς τῶι εὐσεβεστάτωι καὶ φιλοχρίστωι ἡμῶν βασιλεῖ καὶ αὐτὰς πεπληρωμένας ἀλαζονείας καὶ προπηλακισμῶν, διὰ πάντων τοὺς θείους καταπατῆσαι κανόνας πειρώμενος. ἀλλὰ τούτων οὕτω παρακολουθησάντων, γράμματα ἡμῖν ἀπεδόθη τῆς ὑμετέρας ὁσιότητος διὰ τοῦ θαυμασιωτάτου κόμητος Πανσοφίου, δι' ὧν ἐδιδάχθημεν ὡς ὁ αὐτὸς Εὐτυχὴς λιβέλλους ἐξαπέστειλεν ὑμῖν πεπληρωμένους πάσης ἀπάτης καὶ πανουργίας φήσας ἐν τῶι καιρῶι τῆς κρίσεως λιβέλλους ἐπιδεδωκέναι ἐκκλήτου ἡμῖν τε καὶ τῇι ἐνδημούσηι ἁγίαι συνόδωι καὶ ἐπικαλέσασθαι τὴν ὑμετέραν ὁσιότητα, ὅπερ οὐδαμῶς παρ' αὐτοῦ γέγονεν, ἀλλὰ καὶ κατὰ τοῦτο τὸ μέρος διεψεύσατο, οἷα πατὴρ ὢν τοῦ ψεύδους, συναρπάσαι τὰς ὑμετέρας ἀκοὰς οἰόμενος. συγκινηθεὶς οὖν, ὁσιώτατε πάτερ, διὰ πάντα τὰ παρ'

4 t. I 1, 1 p. 27, 1—5 10 15 20 25 Leon. ep. 3 30

HXpVU, K [= dlu], ΦcrΛn

1 γεννώμενον p ἀνθρωπίνου VUK^{l} 2 ἡμῖν om. V τῆσ τεκούσησ VUK^{lu}Φc 4 καὶ om. pK^{d} 5 συνεχθεῖσαι p 6 ὁ υἱὸσ V τῆς] τὴν p 7 δὲ διὰ U μᾶλλον om. VUK^{lu} ἵν HXpK^{d}ΦΛn om. VUK^{lu} 8 συνδρομῆσ πρὸσ ἑνότητα V 9 οὐκ ἔλαθε HX ἐντυχοῦσα K^{l} 10 δώσεισ K^{d} δώσει H 11 ἐκείνησ om. VΛn τοι ταῦτα] τα τοιαῦτα K^{lu} πολλοὶ X 12 ὑπ' om. pK^{d} 14 ἴδιον] οἰκεῖον V φρόνημα αὐτοῖσ HX 15 ὑπάρχειν VK^{l} ὑπάρχοντα HXpK^{d} (*alienum*)*que existentem* Φ om. Λn ὀρθῆς] ὀρθοδόξου ἡμῶν VUK^{lu} καθήλαμεν ὡς H καθειλάμενοσ X ἡμετέραν X 16 τὰ om. X ὑπ' U 17 πραγμάτων X καὶ — ἡγοῦμαι HXΦΛn καὶ τοῦτο ἡγοῦμαι pK^{d} ἡγοῦμαι καὶ τοῦτο VUK^{lu} 18 εὐτύχιοσ V δικαίαν — καθαίρεσιν ὑποστάς pK^{d} ἐπιστὰσ K^{u} τὴν καθαίρεσιν V 19 τὸν θεὸν om. VUK^{lu} 20 ὑμετέραν K^{u} σφόδρα pVUK τὴν — πτῶσιν HX 21 μετανοίασ VUK^{lu} 22 ταράξαι VUK^{lu} ἐκκλησίαν om. V προθέματα om. VUK^{lu} προθεὶσ pK^{d} 23 ἀνάμεστα ῥήματα VU τούτω VUK^{lu} 23/24 εὐλαβεστάτω U 24 καὶ φιλοχρίστω om. V ἡμῖν K^{l} 25 διὰ — πειρώμενος HXpK^{d}ΦΛn διὰ — κανόνασ κατα πάσησ ἀληθείασ ἐπαιρόμενοσ K^{lu} καταπατῶν τοὺσ θείουσ κανόνασ καὶ πάσησ ἀληθείασ κατεπαιρόμενοσ VU 26 ἐπεδόθη U 27 ὁ om. pUK^{d} λιβέλλου X 28 ἀπέστειλεν U ἡμῖν K^{u} κακουργίασ U 29 ἐγκλήτου p ἐκκλήτουσ HX ἐγκλήτουσ K^{u} τε] δὲ K^{l} 31 οἷα δὴ VUK^{lu} πατὴρ ὢν] *per fallaciam* [ΔΙΑΠΑΤΗΝ pro δὴ πατήρ] Φ ὢν] ἦν K^{u} om. VU

αὐτοῦ τολμηθέντα καὶ διὰ τὰ εἰς ἡμᾶς καὶ τὴν ἁγιωτάτην ἐκκλησίαν γενόμενά τε καὶ γινόμενα παρρησίασαι συνήθως κατὰ τὸ πρέπον τῇι ἱερωσύνηι καὶ οἰκειωσάμενος τὸ κοινὸν πρᾶγμα καὶ τὴν τῶν ἁγίων ἐκκλησιῶν κατάστασιν συμψηφίσασθαι μὲν τῇι γενομένηι κατ' αὐτοῦ κανονικῶς καθαιρέσει δι' οἰκείων γραμμάτων καταξίωσον, στηρίξαι δὲ καὶ τὴν τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου ἡμῶν βασιλέως πίστιν. μόνης γὰρ τὸ πρᾶγμα δεῖται τῆς παρ' ὑμῶν ῥοπῆς καὶ ἀντιλήψεως ὀφειλούσης διὰ τῆς οἰκείας συναινέσεως εἰς γαλήνην καὶ εἰρήνην πάντα μετασκευάσαι. οὕτως γὰρ καὶ ἡ ἐπαναστᾶσα αἵρεσις καὶ ἡ δι' αὐτὴν ταραχὴ εὐμαρῶς καταργηθήσεται τοῦ θεοῦ συνεργοῦντος διὰ τῶν ὑμετέρων ἱερῶν γραμμάτων, κωλυθήσεται δὲ καὶ ἡ θρυλουμένη γίνεσθαι σύνοδος, ὥστε μὴ τὰς ἁπανταχόσε ἁγιωτάτας ἐκκλησίας διαταραχθῆναι.

Πᾶσαν τὴν σὺν σοὶ ἀδελφότητα ἐγώ τε καὶ οἱ σὺν ἐμοὶ προσαγορεύομεν.

Ἐρρωμένος ἐν κυρίωι καὶ ὑπερευχόμενος ἡμῶν χαρισθείης ἡμῖν, θεοφιλέστατε καὶ ἁγιώτατε πάτερ.

Ἐπιστολὴ Λέοντος ἀρχιεπισκόπου Ῥώμης πρὸς Ἰουλιανὸν ἐπίσκοπον τῆς Κῶ πόλεως

6 Τῶι ἀγαπητῶι ἀδελφῶι Ἰουλιανῶι Λέων ἐπίσκοπος. Εἰ καὶ διὰ τῶν ἡμετέρων γε ὧν ἐκ τῆς πόλεως ἐπὶ τοῦ πράγματος τῆς πίστεως ἀπεστάλκαμεν, πληρέστατα πρὸς τὸν ἀδελφὸν ἡμῶν Φλαβιανὸν διεπεμψάμεθα γράμματα κατὰ τῆς πλάνης τῆς πολλῆς ἀσεβείας, ὅμως ἐπειδὴ διὰ τοῦ τέκνου ἡμῶν Βασιλείου τοῦ διακόνου τὰ γράμματα τῆς σῆς ἀγάπης ἐδεξάμεθα, ἅπερ ἡμῖν ἤρεσεν πάνυ τῶι ζήλωι τοῦ καθολικοῦ φρονήματος ζέοντα, καὶ τόδε τὸ γράμμα, ὅπερ οὐκ ἀπάιδει τῶν γραμμάτων ἐκείνων, καὶ νῦν προσεθήκαμεν, ὥστε ὑπὲρ τῆς ἀληθείας τῆς ἐνανθρωπήσεως τοῦ Χριστοῦ ὁμοψύχως καὶ σταθερῶς τούτοις ὑμᾶς ἀντιβαίνειν, οἵτινες τὸ τοῦ δεσπότου εὐαγγέλιον διαφθείρειν ἐπιθυμοῦσιν, ἐπείπερ ἡ τοῦ ἁγίου πνεύματος ἐν πάσηι τῆι καθολικῆι ἐκκλησία μία ἐστὶ μάθησις καὶ ἡ αὐτὴ διδασκαλία, ἣν εἴ τις μὴ δέχεται, οὐκ ἔστι μέλος τοῦ σώματος τοῦ Χριστοῦ οὔτε δύναται ταύτηι δοξάζεσθαι τῆι κεφαλῆι ἐν ᾗ τὴν οἰκείαν φύσιν διαβεβαιοῦται μὴ περιέχεσθαι. τί δὲ ὄφελος τῶι ἀμαθεῖ γέροντι ὀνόματι τῆς τῶν Νεστοριανῶν αἱρέσεως ἐκείνων διαβάλλειν τὴν δόξαν ὧν τὴν εὐσεβεστάτην πίστιν καταλῦσαι μὴ δύναται; ὁπότε ὅσον Νεστόριος ἀπὸ τῆς ἀληθείας ἀπέστη τὴν θεότητα τοῦ λόγου χωρίζων ἀπὸ τῆς οὐσίας τοῦ προσληφθέντος ἀνθρώπου καὶ ἀπ' αὐτῆς τῆς συλλήψεως τῆς παρθένου, τοσοῦτον ἀπὸ τῆς ὀρθῆς ὁδοῦ οὗτος ἀφηνιᾶι ὃς τὸν μονογενῆ τοῦ θεοῦ οὕτως ἀπὸ τῆς γαστρὸς τῆς μακαρίας παρθένου νομίζει τεχθέντα, ὥστε ἀνθρωπίνου μὲν σώματος εἰκόνα ἔχειν αὐτόν, ἀνθρωπίνης δὲ σαρκὸς μὴ ἀνειληφέναι ἀλήθειαν. περὶ οὗ

---

6 = Epist. coll. B 7. Latinum exemplar extat in Leonis ep. 5 [= Epist. ante Gesta coll. 9]

---

11 [inde a 9 pauca abscissa], XpVU,K [= dlu], $\Phi^{cr}\Lambda^{n}$

1 διὰ om. K^{d} 1/2 γενόμενα — γινόμενα HXp$K^{d}\Phi\Lambda^{n}$ γινόμενά τε καὶ λεγόμενα VUK^{lu} 2 παρρησιάσαι HXΦ παρρησιάσασθαι pVUK καὶ κατὰ p 3 πρᾶγμα om. VUK^{lu} 4 κατ' αὐτοῦ γενομένη [γεναμένη K^{u}] VUK^{lu} κανονικῆ VK^{u} 5 εὐσεβάστου p 6 ἡμῶν K^{du} 7 συνέσεως HX πάντα] παρ' αὐτὰ HX 9 γίνεσθαι HX$\Lambda^{n}\Phi$ γενέσθαι pVUK 10 σύνοδον V ἁπανταχοῦ pVUK διαταραχθῆναι ἁγιωτάτασ ἐκκλησίασ V ἐμοὶ πλεῖστα pK^{d} 11—13 om. Λ^{n} 12 ἡμῶν om. VUK^{lu} χαριτωθεὶσ HX 12/13 καὶ ἀξιώτατε HX om. VUK^{lu}

H [usque ad 15 et inde a 24—28 nonnulla abscissa], XMBVΦ^{cr}

14 τοῦ αὐτοῦ ἁγιωτάτου καὶ [ἁγιωτάτου καὶ om. V] ὁσιωτάτου ἀρχιεπισκόπου ῥώμησ λέοντοσ MBV τῆς — πόλεως] κωνσταντινουπόλεωσ X deficit H τῆσ V 16 γε ὧν ἀπεστάλκαμεν ἐκ — πίστεωσ MBV οὖσ ἐκ — πίστεωσ ἀπεστάλκαμεν HX πλήριστα τὰ HX 18 τοῦ διακόνου HXΛ om. MBV 20 ζέοντασ V ἁπαδοῦ HX 20/21 προσηκάμεθα V 21 ὁλοψύχωσ BV 21/22 σταθηρῶσ BV 22 ἡμᾶσ HXV ἀντιβαίνειν HX ἀντιθεῖναι MBV 24 διδασκαλία ἣν] διδασκαλικὴν HX 25 βεβαιοῦται V 27 ἀσεβεστάτην V 28 νεστόριοσ ὅσον MBV ἐπέστη X deficit H 30 οὗτος ἀφηνιᾶι] οὔτε σαφηνία H οὔτι σαφήνεια X 31 τῆς^{1} om. V μὲν HXΛ om. MBV

τερατώδους ψεύδους τίς οὐκ ἂν ἴδοι ποῖα βλασφημιῶν ἀτοπήματα τίκτεται; ὁ γὰρ ἀρνούμενος τὸν ἀληθινὸν ἄνθρωπον τοῦ κυρίου Ἰησοῦ Χριστοῦ ἀναγκαίως πλείστων ὅσων ἐμπαιγμάτων πληροῦται τοῦ διαβόλου καὶ τοῦτον ὡς οἰκεῖον Ἀπολινάριος ἔχει ἢ Βαλεντῖνος ἑαυτῷ προσκυροῖ ἢ Μανιχαῖος κρατεῖ, ὧν οὐδὲ εἷς ἐν τῷι σωτῆρι ἡμῶν τῆς ἀνθρωπίνης σαρκὸς ἐπίστευσε τὴν ἀλήθειαν. ἦστινος δηλαδὴ μὴ ἀληθῶς ἀναληφθείσης οὐ μόνον εἰς ἄρνησιν πίπτει τὸ ὅτι κατὰ σάρκα καὶ ψυχὴν λογικὴν ὃς ἦν ἐν μορφῆι θεοῦ ὁ αὐτὸς μένων ἐν μορφῆι δούλου, ἄνθρωπος ἐγεννήθη, ἀλλὰ γὰρ καὶ ὅτι σταυρωθεὶς καὶ ἀποθανὼν καὶ ταφεὶς τῆι τρίτηι ἡμέραι ἀνέστη καὶ ὅτι ἐκ δεξιῶν τοῦ πατρὸς ἐπὶ τῶι κρίνειν ζῶντας καὶ νεκροὺς ἐν τούτωι τῶι σώματί ἐστιν ἐλευσόμενος, ἐν ὤιπερ ἦν καταδικασθείς, οὐδαμῶς ὁμολογεῖται. ταῦτα γὰρ ἅπαντα τὰ τῆς ἡμετέρας λυτρώσεως μυστήρια ματαιοῦται, εἴ γε ὁ τοῦ θεοῦ υἱὸς τὴν ἀληθῆ τοῦ ἀληθοῦς ἀνθρώπου καὶ τὴν ὅλην φύσιν ἀνειληφὼς οὐ πιστεύεται καὶ ἐπειδήπερ ἀληθῆ τὰ θεῖα σημεῖα γεγένηται, ψευδῆ τὰ διὰ τοῦ σώματος ἀποδεικνύμενα λέγεται, ὥστε τὰς μαρτυρίας ἑκατέρας τῆς φύσεως ἔχειν μὲν ὅπως ὁ πατὴρ νοεῖσθαι δυνηθῆι, μὴ ἔχειν δὲ ἀφ' ὧν μέλλει καὶ ἡ μήτηρ γενησομένη σωθῆναι. ὃ τοίνυν ἐστὶ θεότητος, ἡ σὰρξ οὐκ ἐμείωσεν· ὃ δέ ἐστι σαρκός, ἡ θεότης οὐκ ἔφθειρεν. ὁ γὰρ αὐτός ἐστι καὶ προαιώνιος ἐκ πατρὸς καὶ κατὰ χρόνους ἀπὸ μητρός, καὶ ἐπὶ μὲν τῆς οἰκείας δυνάμεως ἄφθαρτος, ἐπὶ δὲ τῆς ἀσθενείας τῆς ἡμῶν παθητός, καὶ ἐν μὲν τῆι τριάδι τῆς θεότητος μετὰ τοῦ πατρὸς καὶ τοῦ ἁγίου πνεύματος μιᾶς καὶ τῆς αὐτῆς φύσεως, ἐν δὲ τῶι μυστηρίωι τοῦ ἀναληφθέντος ἀνθρώπου ἑνὸς προσώπου καὶ τοῦ αὐτοῦ. οὔτε γὰρ ὁ λόγος ἢ εἰς σῶμα ἢ εἰς ψυχὴν κατά τι μέρος οἰκεῖον ἐτράπη, ὁπότε ἁπλῆ καὶ ἀναλλοίωτος ἡ τῆς θεότητος φύσις ὅλη ἐν τῆι οἰκείαι ἀεὶ ὑπάρχει οὐσίαι, οὐδεμίαν ἑαυτῆς μείωσιν δεχομένη οὔτε προσθήκην καὶ πάλιν οὕτως τὴν προσληφθεῖσαν μακαρίαν ἀποτελέσασα φύσιν, ἵνα ἡ δοξασθεῖσα ἐν τῆι δοξασάσηι μεμενηκυῖα τυγχάνηι. οὔτε οὖν ὁ λόγος εἰς σῶμα, ὡς εἴπομεν, οὔτε εἰς λόγον τὸ σῶμα ἠλλοίωται, ἀλλὰ τὸ ἑκάτερον ἐν ἑνὶ καὶ ἐν ἀμφοτέρωι ὁ εἷς, οὐ διαφορᾶι διηρημένος, οὐ τῶι μεμῖχθαι συγκεχυμένος οὔτε ἕτερος μὲν ἐκ πατρός, ἕτερος δὲ ἐκ μητρός, ἀλλ' ὁ αὐτὸς ἄλλο μὲν ἐκ πατρὸς πρὸ πάσης ἀρχῆς, ἄλλο δὲ ἐκ μητρὸς ἐπ' ἐσχάτου τῶν ἡμερῶν, ἵνα γένηται μεσίτης θεοῦ καὶ ἀνθρώπων ἄνθρωπος Ἰησοῦς Χριστός, ἐν ὧι πᾶν 1 Tim. 2, 5
τὸ πλήρωμα τῆς θεότητος σωματικῶς κατοικεῖ, ἐπειδήπερ τοῦ προσληφθέντος, Col. 2, 9
οὐ τοῦ προσλαβόντος ἐστὶν ἡ προκοπὴ ὅτι, καθάπερ ὁ ἀπόστολος λέγει, ὁ θεὸς αὐτὸν Phil. 2, 9—11
ὑπερύψωσεν καὶ ἐχαρίσατο αὐτῶι ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ἵνα ἐν 31
τῶι ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψηι ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται ὅτι κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν θεοῦ πατρός. τοιγαροῦν ἡ τοῦ δεσπότου κατὰ σάρκα γέννησις, εἰ καὶ τὰ μάλιστα ἔχοι τινὰς ἰδιότητας, δι' ὧν τὰ τῆς ἀνθρωπίνης παρόδου 35

HXMBV

1 ἴδη X 2 ἀληθῆ HX κυρίου om. HX 3 τοῦ διαβόλου πληροῦται HX 4 οὐδεἰσ HX 6 καὶ λογικὴν ψυχὴν B λογικὴν καὶ ψυχὴν V ὃσ HXΛ ὁ θσ MBV ἦν om. BV τοῦ θυ MBV 7 ἐγενήθη B καὶ ὅτι] ὅτι καὶ V 9 τῶ] τὸ HX 10 ὁμολογεῖται HXΛ ὁμολογεῖ MBV τὰ τῆσ — λυτρώσεωσ BV τῆσ — λυτρώσεωσ HXM τῆσ — λυτρώσεωσ τὰ Mcorr 11 γε] γὰρ V τοῦ θυ υἱὸσ θῦ HX τὴν ἀληθῆ HXΛ ὢν ἀληθὴσ MBV ἀληθῶσ B 11/12 καὶ τὴν ὅλην HXΛ τὴν [ἣν M] ἐμὴν MBV 12 καὶ] *ac pro an* 14 πῆρ̄ HX σῆρ̄ MBV νοῆσαι BV 15 ἐστὶ HX ἔνεστι MBV 16 αἰωνίου HX 17 ἐπι¹] ἐπεὶ HX, corr. H 20 ἢ¹ HXΛ om. MBV τι om. V 21 ὅλην HX, del. H ἀεὶ] δὲ HX 23 μαρίαν H ἀποτελέσασαν HXM δοξάση X 24 τυγχάνει MX εἶπαμεν H 25 ἀλλὰ τὸ HX ἀλλ' MBV ἀμφοτέρω θεἰσ HX ἀμφοτέραισ [ἀμφοτέροισ V] ὁ εἷσ MBV διηρημένωσ MBV, corr. B 26 οὐ τῶ HMB οὔτε XV συγκεχυμένωσ MBV, corr. B οὔτε HXΛ ὥστε MBV 27 ἄλλο] ἀλλ' ὡσ HX ἀλλ' ὡσ HX 28 χ̄σ̄ ἰσ MBV 31 αὐτῶι om. BV 32 ἰ̄ῡ χ̄ῡ MBV κάμψει HXV, corr. X 33 ἐξομολογήσεται HXMV 34 π̄ρ̄σ̄ ἀμήν HX κατὰ σάρκα τοῦ δεσπότου MBV 35 ἔχει HXBV

τῆς εἰς τὸν βίον ὑπερβαίνει προοίμια, εἴτε καθ' ὃ μόνος ἐξ ἁγίου πνεύματος ἀπὸ ἀφθάρτου παρθένου χωρὶς ἐπιθυμίας συλληφθείς ἐστι καὶ τεχθείς, εἴτε καθ' ὃ οὕτως ἐκ τῆς γαστρὸς τῆς μητρὸς ἀπεκυήθη, ὥστε καὶ τὴν εὐγονίαν τεκεῖν καὶ μεῖναι τὴν παρθενίαν, ὅμως οὐχ ἑτέρας ἦν φύσεως ἡ τούτου σὰρξ ἥπερ ἐστὶν ἡ τῆς ἡμῶν, οὐδὲ καθ' ἑτέραν ἀρχὴν ἐνεπνεύσθη τούτωι ἡ ψυχὴ παρὰ τοὺς ἄλλους ἀνθρώπους, ἥτις ὑπερεῖχεν οὐ κατὰ τὸ τοῦ γένους διάφορον, ἀλλὰ κατὰ τὸ τῶν δυνάμεων ὑπερβάλλον. καὶ γὰρ οὐδὲν εἶχεν ἐναντιούμενον ἐξ ἐπιθυμίας σαρκός, ἐπείπερ ἤκμαζον ἀεὶ αἱ αἰσθήσεις τοῦ σώματος δίχα νόμου τινὸς ἁμαρτήματος, καὶ ἡ ἀλήθεια τῶν κινήσεων ὑπὸ τῶι τῆς θεότητος καὶ τῶι τῆς διανοίας οἴακι οὔτε ἐπηρεάζετο διὰ τῶν δελεασμάτων οὔτε παρεχώρει τοῖς πάθεσιν. ὥστε ὁ ἀληθὴς θεὸς ἀληθὴς ἄνθρωπος ἐγεννήθη καὶ οὔτε κατὰ προυπάρχουσαν ψυχὴν ἐξ οὐρανοῦ καταχθεὶς οὔτε κατὰ σάρκα ἐκ στοιχείου τινὸς προσληφθεὶς ἢ τεχθεὶς ἐκ τοῦ μηδενός, ἀλλὰ τὸ αὐτὸ ἡμῖν ἔχων ἐν θεότητι καὶ ἀνθρωπότητι πρόσωπον καὶ τὴν κοινὴν ἡμῖν κρατῶν φύσιν ἐν σώματι καὶ ψυχῆι. οὐ γὰρ ἂν ἦν θεοῦ καὶ ἀνθρώπων μεσίτης, εἰ μὴ ὁ αὐτὸς θεὸς καὶ ὁ αὐτὸς ἄνθρωπος ἐν τῶι αὐτῶι καὶ εἷς ὑπῆρχεν καὶ ἀληθής. καὶ κινεῖ μὲν ἡμᾶς, ἀδελφὲ τιμιώτατε, πρὸς διαλέξεως πλάτος τὸ τῆς ὑποθέσεως μέγεθος, ἀλλὰ πρὸς τὴν ἀγάπην τὴν σὴν οὐ διὰ πλειόνων ἔστι καμεῖν, ὁπότε μάλιστα καίπερ ἤδη διὰ τῶν ἡμετέρων, ὡς προείρηται, πρὸς τὸν ἀδελφὸν ἡμῶν Φλαβιανὸν τὰ ἀρκοῦντα ἀπεστάλκαμεν γράμματα πρὸς τὸ μὴ μόνον τοὺς τῶν ἱερέων βεβαιοτέρους ἐργάσασθαι λογισμούς, ἀλλὰ γὰρ καὶ τοὺς τῶν λαικῶν. παράσχοι δέ, ὥσπερ πιστεύομεν, ὁ ἔλεος τοῦ θεοῦ ὥστε δίχα τοῦ γενέσθαι ζημίαν ψυχῆς τινος δυνηθῆναι κατὰ τῶν τοῦ διαβόλου βελῶν καὶ τὰ ὑγιῆ φυλαχθῆναι καὶ τὰ τραυματισθέντα θεραπευθῆναι.

'Ο θεὸς ὑγιαίνοντά σε φυλάξοι, ἀδελφὲ τιμώτατε.

'Επιστολὴ Λέοντος ἀρχιεπισκόπου 'Ρώμης πρὸς τοὺς ἀρχιμανδρίτας Κωνσταντινουπόλεως

7 'Αγαπητοῖς τέκνοις Φαύστωι καὶ Μαρτίνωι καὶ λοιποῖς ἀρχιμανδρίταις Λέων ἐπίσκοπος. 'Επειδὴ διὰ τὴν αἰτίαν τῆς πίστεως, ἣν Εὐτυχὴς διαθορυβῆσαι ἐπεχείρησεν, ἐντεῦθεν ἐπέμπομεν τοὺς συστησομένους τῆι ἀληθείαι, ἀκόλουθον ἐνόμισα καὶ πρὸς τὴν ὑμετέραν ἀγάπην γράμματα διαπέμψασθαι, οὓς οἶδα σαφῶς οὕτως σπουδάζειν τῆι εὐσεβείαι, ὥστε τὰς βλασφήμους καὶ ἀσεβεῖς φωνὰς μηδ' ὅσον ταῖς ἀκοαῖς προσδέχεσθαι δύνασθαι,
Gal. 1, 9 μενούσης ἐν ταῖς καρδίαις ὑμῶν τῆς ἀποστολικῆς παραδόσεως, ἐν ἧι λέγεται εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. τὴν δὲ γνώμην τοῦ προλεχθέντος, ὅστις, ὡς ἐκ τῆς ἀναγνώσεως τῶν ὑπομνημάτων ἔγνωμεν, ἀξίως ἀπεχειροτονήθη, καὶ ἡμεῖς ἐκβλητέαν ἐκρίναμεν καὶ ἐὰν μὲν ὁ ἄφρων συνήγορος τῆι ἰδίαι σκαιότητι

7 = Epist. coll. B 8. Latinum exemplar in Leonis ep. 10 extat [= Epist. ante Gesta Coll. 10]

HXMBV

1 μόνος] μὲν ὃσ [ἰσ̄ X] χ̄σ̄ HX 4 εἴπερ HX 5 εἴ τισ H 6 τὸ] τε HX 7 ἤκμαζον — αἰσθήσεισ [ἐσθήσισ H] HX ἐκ μαζῶν αἴσθησισ MBV 8 ἁμαρτίασ B ἡ om. HX τὸ X τῶν M τὸ HX 9 οἴακι οὔτε] οἷα οἰκειοῦτε [οἰκειοῦται X] HX 10 ἀληθὴς² om. MBV 11 οὔτε τὸ HX προσληφθείσησ HX τέχνησ HX 12 αὐτὸν HX 13 ἡμῶν MBV ἂν om. MB 14 καὶ³ om. MBV 14/15 καὶ κινεῖ] κεκίνηκε X κεκείνηκε H 15 μὲν HXΛ om. MBV 16 καίπερ] καθάπερ HX 17 διὰ τῶν ἡμετέρων HXΛ διὰ τῶν MB δι' αὐτῶν V τὸν φλαβιανὸν X 18 τῶ M ἱερέων ὡσ HX 19 ὥσπερ καὶ HX ὁ] τὸ HX 21 διαφυλαχθῆναι MV τραύματα BV 22 ὁ θεὸς om. HX φυλάξει HMB διαφυλάξοι V om. X 23 ἐπιστολὴ — ἀρχιμανδρίτας HX τοῦ αὐτοῦ λέοντοσ ἀρχιεπισκόπου τῆσ πρεσβυτέρασ ῥώμησ πρὸσ φαῦστον [φλαβιανὸν V] καὶ μαρκελλῖνον καὶ τοὺσ λοιποὺσ ἀρχιμανδρίτασ MBV 25 τοῖσ ἁγαπητοῖσ V μαρτίνω HX μαρκελλίνω MBV καὶ λοιποῖς ἀρχιμανδρίταις om. HX 27 ἀληθείαι] ἀκολουθία HX 29 δύναται HX 31 εὐαγγελίζεται] εὐαγγελίσηται παρὰ τοῦτο HX 32 ὡς om. V 33 ἐκβλητέον M

ἐπιμεῖναι βουληθείη, ἐχέτω μετὰ τούτων μοῖραν ὧν ἠκολούθησε τῆι πλάνηι. δικαιότατα γὰρ γένοιτο ἂν ἔξω τῆς τοῦ θεοῦ ἐκκλησίας ὅστις ἐν τῶι Χριστῶι τὴν ἀνθρωπίνην, τουτέστι τὴν ἡμετέραν ἀρνεῖται εἶναι φύσιν. ἐὰν δὲ ὁ αὐτὸς ἐλέει τοῦ πνεύματος τοῦ θεοῦ διορθωθεὶς τὴν ἀσέβειαν τῆς ἑαυτοῦ πλάνης ἐπιγνοίη καὶ ἅπερ οἱ [ὅροι] τῆς καθολικῆς ἐκκλησίας ἀναθεματίζουσιν, ἐξ ὅλης ψυχῆς ἀναθεματίσαι βουληθείη, τοῦτον ἐλέου τυχεῖν βουλόμεθα, ὥστε τὴν ἐκκλησίαν τοῦ δεσπότου μηδεμίαν αἰσθάνεσθαι ζημίαν, ἐπειδὴ καὶ μετανοῶν δύναται δέχεσθαι καὶ μόνη ἡ πλάνη ὀφείλει συγχωρεῖσθαι. περὶ δὲ τῆς ἁγιότητος τῆς μεγάλης πίστεως ἐν ἧι ἡμῶν διὰ τῆς ἐνσωματώσεως τοῦ λόγου τοῦ θεοῦ ἡ δικαίωσις καὶ ἡ ἐξαγορασία ἐστίν, τί φρονοῦμεν ἐκ τῆς τῶν πατέρων παραδόσεως, ἐν τοῖς γράμμασιν ἃ πρὸς τὸν ἀδελφὸν τὸν ἐμὸν Φλαβιανὸν τὸν ἐπίσκοπον νῦν ἔπεμψα, ἱκανῶς, καθ' ὅσον οἶμαι, εἴρηται, ὥστε ὑμᾶς ἐμφανίζοντος τοῦ ἰδίου προέδρου μαθεῖν τί κατὰ τὸ εὐαγγέλιον τοῦ ἡμετέρου δεσπότου λεχθὲν ταῖς πάντων τῶν πιστῶν ψυχαῖς βέβαιον μένειν ἐπιθυμοῦμεν.

Ὁ θεὸς ὑμᾶς φυλάττοι, τέκνα ἀγαπητά.

Ἴσον ἐπιστολῆς γραφείσης παρὰ Λέοντος ἀρχιεπισκόπου Ῥώμης κατὰ Εὐτυχοῦς πρὸς τὴν ἐν Ἐφέσωι δευτέραν σύνοδον, ἥτις ὑπεβλήθη μέν, ἀπεκρύβη δὲ διὰ τὸ μὴ συγχωρῆσαι δημοσιευθῆναι ταύτην τοῖς ἐπισκόποις Διόσκορον

8 Λέων ἐπίσκοπος τῆι ἁγίαι συνόδωι τῆι ἐν Εφέσωι συνελθούσηι ἀγαπητοῖς ἀδελφοῖς ἐν κυρίωι χαίρειν. Ἡ τοῦ ἡμερωτάτου βασιλέως εὐαγεστάτη πίστις εἰδυῖα μάλιστα τοῦτο τῆι δόξηι τῆι αὐτῶν διαφέρειν, εἴ γε κατὰ τὴν καθολικὴν ἐκκλησίαν μηδεμιᾶς πλάνης βλαστὸς ἀναφύοιτο, τοῦτο τοῖς θείοις διδάγμασι τὸ σέβας ἀπένειμεν, ὥστε πρὸς ἀποτέλεσμα τῆς θείας διατυπώσεως τῆς ἀποστολικῆς καθέδρας ἐπιθεῖναι τὸ κῦρος, ὡς ἂν ἀπ' αὐτοῦ τοῦ μακαρίου Πέτρου βουλομένη γενέσθαι κατάδηλον τὸ ἐν τῆι τούτου ὁμολογίαι ὑμνούμενον, ὅτε λέγοντι τῶι κυρίωι τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου; διαφόρους μέν τινων ἔφασαν οἱ μαθηταὶ εἶναι τὰς δόξας, ὁπηνίκα δὲ ἐπύθετο παρ' αὐτῶν αὐτοὶ τί πιστεύοιεν, ὁ τῶν ἀποστόλων ἀρχηγὸς τὸ πλῆρες τῆς πίστεως βραχεῖ λόγωι περιλαβὼν σὺ εἶ, φησίν, ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, τουτέστι σύ, ὅστις εἶ ἀληθῶς υἱὸς τοῦ ἀνθρώπου, ὁ αὐτὸς ἀληθῶς εἶ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος· σὺ ἀληθὴς ἐν θεότητι καὶ ἀληθὴς ἐν σαρκὶ καὶ σωιζομένης τῆς ἐν τῆι διττῆι φύσει τυγχανούσης ἰδιότητος εἷς ὑπάρχων ἑκάτερον, ὡς εἴ γε Εὐτυχὴς νοητῶς καὶ ἐκτενῶς πεπιστεύκει, οὐδαμῶς ἂν ἀπὸ τῆς εὐθείας τῆς πίστεως τοιαύτης

Mt. 16, 13. 16—18

---

8 = Epist. coll. B 11. Latinum exemplar extat in Leonis ep. 12 [= Epist. ante Gesta Coll. 13]

HXMBV

1 ἐπιμείνη, η in ειν corr. H ὑπομείνη X μοῖρα X 2 γὰρ om. MBV τῶι om. BV 3 εἶναι om. MBV 4 διορθωθῆ εἰσ X διορθεὶσ V τὴν ἀσέβειαν om. MBV τὴν — πλάνην BV ἅπερ] ὃν HX αἱ H ὅροι HX om. MBVΛ 5 βουληθῆ MBV τοῦτο ἐλέουσ X 6 βουλόμεθα om. HX τῆι ἐκκλησία MBV αἰσθάνεσθαι HXΛ ἔσεσθαι MBV ἐπεὶ δὲ M ἐπειδὴ δὲ V 7 συγχωρεῖσθαι] conicio χωρίζεσθαι δὲ om. HX, corr. H 10 τὸν ἐμὸν] ἡμῶν BV om. X Φλαβιανὸν om. X 11 οἶομαι HX ἡμᾶσ HX ἐμφανίζοντος — προέδρου om. HX 12 λεχθὲν δεσπότου BV πάντων om. HX τῶν om. V 14 φυλάττει V 15 Ισον — ῥώμησ HX ἐπιστολὴ τοῦ αὐτοῦ MBV κατὰ Εὐτυχοῦσ om. MBV 16 ἥσ τινοσ ὑποβληθείσησ HX ἀποκρυβείσησ HX 16/17 συγχωρηθῆναι MBV 17 ταύτην om. MBV διόσκορον HX ὑπὸ τοῦ δυσσεβοῦσ διοσκόρου τοῦ ἀλεξανδρείασ ἐπισκόπου MBV 20 τῆι² om. MBV γε] τε HX 21 ἀναφύη H ἀναφύει X δόγμασιν MBV 22 θείας] ἁγίασ HX 23 ἀπὸ τοῦ V τὸ] τὸν V 25 ἔφησαν HX 26 οὗ τηνίκα HX ὅσ τηνίκα H^{corr} δὲ ἐπύθετο] διεπύθετο V τί om. X ἀρχηγὸς] χορὸσ BV 27 πλήρησ HX βραχὺ HV 28 σὺ HX σὺ εἶ MBV ὁ υἱόσ X ὁ om. HX 29 σὺ HX σὺ εἶ MBV 31 εὐθείας] θείασ V τῆς πίστεως scripsi secundum Λ πίστεωσ τῆσ HXMBV

ἀπέκλινεν, δι' ἣν ἀπόκρισις αὐτῶι τῶι ἀποστόλωι παρ' αὐτοῦ γίνεται τοῦ δεσπότου· μακάριος εἶ, Σίμων βὰρ Ἰωνᾶ, ὅτι σάρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέν σοι, ἀλλ' ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς. κἀγὼ δέ σοι λέγω ὅτι σὺ εἶ Πέτρος καὶ ἐπὶ ταύτηι τῆι πέτραι οἰκοδομήσω μου τὴν ἐκκλησίαν καὶ πύλαι ἅιδου οὐ κατισχύσουσιν αὐτῆς. σφόδρα οὖν τῆς ἁρμονίας τῆς τοιαύτης οἰκοδομῆς ἐστιν ἀλλότριος ὅστις καὶ τὴν τοῦ μακαρίου Πέτρου ὁμολογίαν οὐ δέχεται καὶ τῶι εὐαγγελίωι τοῦ Χριστοῦ ἀντιλέγει, δεικνὺς ἑαυτὸν μηδεμίαν πώποτε σπουδὴν ἐσχηκέναι πρὸς τὸ γνῶναι τὸ ἀληθὲς μάτην τε τιμῆς ἄξιον ὤφθαι ὅστις οὐδενὶ τῆς καρδίας ἀκμαίωι τὴν τοῦ γήρως ἐκόσμησεν πολιάν. ἀλλ' ἐπειδήπερ, ἀδελφοὶ τιμιώτατοι, καὶ τῆς τῶν τοιούτων θεραπείας οὐκ ἔστι παραμελεῖν, καὶ ὁ εὐσεβὴς δὲ καὶ φιλόχριστος βασιλεὺς εὐσεβῶς ἅμα καὶ εὐλαβῶς ἔχων τὴν τῶν ἐπισκόπων ἀθροισθῆναι σύνοδον ἠβουλήθη, ὥστε κρίσει τελειοτέραι δυνηθῆναι πᾶσαν ἀπαλείφεσθαι πλάνην, τοὺς ἀδελφοὺς ἡμῶν Ἰούλιον τὸν ἐπίσκοπον καὶ Ῥενάτον τὸν πρεσβύτερον καὶ τὸ τέκνον μου Ἴλαρον τὸν διάκονον καὶ μετὰ τούτων Δουλκίτιον τὸν ἐμὸν νοτάριον δοκιμασθείσης ἡμῖν τῆς αὐτοῦ πίστεως ἀπεστείλαμεν, οἵτινες εἰς τάξιν ἐμὴν τῆι ἁγίαι τῆς ὑμῶν ἀδελφότητος συνόδωι παρέσονται καὶ τὰ τῆι κοινῆι μεθ' ὑμῶν γνώμηι κατὰ θεὸν ἀρέσκοντα ψηφιοῦνται, τουτέστιν ὥστε ἐν πρώτοις τῆς φθοροποιοῦ πλάνης αὐτοῦ καταδικασθείσης εἶθ' οὕτως περὶ τῆς αὐτοῦ τοῦ ἀμαθῶς πλανηθέντος ἀποκαταστάσεως σκοπηθῆναι, εἴ γε ὅμως τὴν τῆς ἀληθείας διδασκαλίαν δεχόμενος τὸ αἱρετικὸν φρόνημα ὥιπερ ἡ κακοδοξία αὐτοῦ πέφηνεν ἐμπλακεῖσα, εἰς πλήρης καὶ σαφῶς οἰκείαι φωνῆι καὶ ὑπογραφῆι κατα-
δικάζειν ἀνέχοιτο, ὅπερ καὶ ἐν τῶι λιβέλλωι ὧι πρὸς ἡμᾶς ἀπέστειλε, ποιεῖν ἣν ὑποσχόμενος, διὰ πάντων ἐπαγγελλόμενος ταῖς ἡμετέραις ἀκολουθεῖν ἀποφάσεσιν. δεξάμενος δὲ τὰ γράμματα τοῦ συνεπισκόπου καὶ ἀδελφοῦ ἡμῶν Φλαβιανοῦ τελεώτερον πρὸς αὐτὸν περὶ τούτων ἅπερ ἔδοξεν ἐφ' ἡμᾶς ἀναφέρειν, ἀντεγράψαμεν, ἵνα τῆς πλάνης ἀπαλειφομένης τῆς νῦν ἀναφυείσης εἰς ὕμνον καὶ δόξαν τοῦ θεοῦ μία πίστις εἴη κατὰ τὸν
Phil. 2, 10. 11 πάντα κόσμον καὶ μία καὶ ἡ αὐτὴ ὁμολογία καὶ ἵνα ἐν τῶι ὀνόματι Ἰησοῦ Χριστοῦ πᾶν γόνυ κάμψηι ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται ὅτι κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν θεοῦ πατρός. ἀμήν.

9 Ἐπιστολὴ Λέοντος ἀρχιεπισκόπου Ῥώμης πρὸς Θεοδόσιον τὸν βασιλέα μεμφομένη τὴν ἐν Ἐφέσωι γενομένην σύνοδον κατὰ Φλαβιανοῦ καὶ ἑτέραν ἐξαιτοῦντος γενέσθαι = Epist. coll. M 12 [p. 25—27]

HXMBV

1 ἀπέκλινεν — ἣν] ἀπόκλεινεν δι ἣν H ἀποκλεῖν ἐνδοίην X αὐτῶι — παρ' om. X τῶι ἀποστόλωι om. H 2 ἀποκάλυψέ X 3 δέ om. HX 7 εὐαγγελίου V 8 ἄξιον ὤφθαι HX ἄξιοσ ὤφθη MBV 9 τῶ ἀκμαίω MBV 11 ἅμα] μιᾶ HX 12 τελειωτέρα V 13 ῥεννάτον BV ῥινάτον HX 14 ἱλαρίωνα X ἱλαρίων H διάκονα X δούλκιτον HX 15 αὐτῶν MBV ἡμῶν V 16 τὰ om. BV ἡμῶν BV τὰ κατὰ MBV 17 πρώταισ HX 18 εἶθ'] ἵν' HX ἑαυτοῦ M τοῦ — πλανηθέντοσ HXΛ ἀμαθοῦσ πλάνησ MBV ἀποκαταστήσεωσ HX 19 ὅμωσ M ὅλωσ BV ὅπωσ HX διδασκαλίαν] πίστιν BV ὅπερ M ὥσπερ HX 20 ἀπέφηνεν V εἰσ πλήρησ καὶ HXM om. BV 21 ὧ H ὡσ X ὅνπερ MBV ἣν om. X 22 ἀκολουθεῖσαι H ἀκολουθίαισ X 23 ἐπισκόπου καὶ συναδελφοῦ HXM τελειότερον HX 24 περὶ — ἅπερ] ἃ περὶ τούτων BV ἀντέγραψεν HX 25/26 τὸν πάντα MBV πάντα τὸν HX 26 μία] ἅμα H αἷμα X αὐτῶν HX ἵνα om. B 28 ἐξομολογήσεται HXM

Ἐπιστολὴ Λέοντος ἀρχιεπισκόπου Ῥώμης πρὸς Θεοδόσιον τὸν βασιλέα

10 Τῶι ἐνδοξοτάτωι καὶ φιλανθρωποτάτωι Θεοδοσίωι αὐγούστωι Λέων ἐπίσκοπος. Ὅσωι τῶν ἀνθρωπίνων πραγμάτων κατὰ δύναμιν προνοεῖν καταξιοῖ τῆς ὑμετέρας φιλανθρωπίας ἡ φροντὶς πνεύματι θεοῦ κινηθεῖσα, εὖ ἂν ἔχοι μὴ βουλομένη περὶ τὴν καθολικὴν ἐκκλησίαν διαφορὰν ἀλλ' εἰρήνην τυγχάνειν, καίπερ ἡ πίστις μία οὖσα ἑαυτῆς οὐκ ὀφείλει ὑπάρχειν ἀνομοία. ὅθεν εἰ καὶ Εὐτυχής, ὡς αἱ τῶν ἐπισκοπικῶν ὑπομνημάτων τάξεις ἐφανέρωσαν, ἀπείρως καὶ ἀσυνέτως πλανᾶσθαι ἀποδέδεικται καὶ ὤφειλεν ἀπὸ τῆς ἰδίας συνειδήσεως τῆς ἀξίως ἀποδοκιμαζομένης ἀναλαβεῖν, ὅμως ἐπείπερ ἡ ὑμετέρα εὐσέβεια, ἣ εἰς τιμὴν τοῦ θεοῦ τὴν εὐλαβεστάτην καθολικὴν ἀλήθειαν ἀγαπᾶι, τετύπωκεν συνοδικὸν κριτήριον, ὥστε τῶι ἀπείρωι γέροντι τὴν ἀλήθειαν, περὶ ἣν μάλιστα διασφάλλεται, φανεροποιηθῆναι, τοὺς ἀδελφοὺς τοὺς ἡμετέρους Ἰούλιον τὸν ἐπίσκοπον καὶ Ῥενάτον τὸν πρεσβύτερον καὶ τὸν ἐμὸν υἱὸν τὸν διάκονον Ἴλαρον πέπομφα τοὺς εἰς τόπον ἐμὸν κατὰ τὴν τοῦ πράγματος ποιότητα δυναμένους ἀρκεῖν καὶ ἰσχύοντας αὐτὸν εἰς τὴν τοῦ δικαίου καὶ ἀγαθοῦ μεταγαγεῖν διάθεσιν, ἵν' ὅτιπερ ἀμφιβάλλεσθαι οὐ δύναται ποιόν τι τυγχάνει τῆς τῶν Χριστιανῶν ὁμολογίας τὸ ἀκέραιον, καὶ πάσης τῆς πλάνης τὸ φαῦλον καταδικασθείη καί, εἰ ἀνανήψειεν ὃς πεπλάνηται, ὑπὲρ συγγνώμης παρακαλέσων, τὴν τῶν ἐπισκόπων αὐτῶι βοήθειαν ἐπικουρῆσαι, ἐπείπερ ἐν τῶι ἑαυτοῦ λιβέλλωι τῶι πρὸς ἡμᾶς ἀποσταλέντι καὶ τοῦτο ἑαυτῶι πρὸς τὸ ἀξιωθῆναι συγγνώμης ἐφύλαξεν, ἐπαγγελλόμενος ἑαυτὸν διορθοῦν, εἴ τι δᾶν ἡ ἡμετέρα γνώμη περὶ τούτων περὶ ὧν κακῶς ἤισθετο, ἀποδοκιμάσειεν. τί δὲ ἡ καθολικὴ ἐκκλησία καθόλου περὶ τοῦ θείου μυστηρίου τῆς δεσποτικῆς σαρκώσεως πιστεύει καὶ διδάσκει, τῶι ἀδελφῶι ἡμῶν καὶ συνεπισκόπωι Φλαβιανῶι σαφέστερον τὰ ἀπεσταλμένα γράμματα περιέχει.

11 Τῆι ἐνδοξοτάτηι καὶ φιλανθρωποτάτηι θυγατρὶ Πουλχερίαι αὐγούσταις Λέων ἐπίσκοπος. Ὅσην πεποίθησιν περὶ τῆς πίστεως τῆς ὑμετέρας φιλανθρωπίας ἡ τοῦ θεοῦ ἐκκλησία ὀφείλει ἐπαγγέλλεσθαι, πολλαῖς πολλάκις διδασκαλίαις ἐπεδείξαμεν. τοῦτο τοῦ ἁγίου πνεύματος διδάσκοντος μεμαθήκατε, τούτωι τὴν ὑμετέραν ἐξουσίαν ὑπετάξατε, διὰ ταύτης τῆς δωρεᾶς καὶ τῆς ἐκδικίας βασιλεύοντες. ὅθεν ἐπείπερ κατὰ τῆς ἀκεραίου πίστεως τῶν Χριστιανῶν διχόνοιάν τινα ἐν τῆι ἐκκλησίαι τῆι κατὰ Κωνσταντι-

---

10 = Epist. coll. B 9. Latinum exemplar extat in Leonis ep. 7 [= Epist. ante Gesta Coll. 11]

11 = Epist. coll. B 10. est Leonis epistula [11] decurtata et interpolata, quae Latine extat in Leonis ep. 8 [= Epist. ante Gesta Coll. 12]

HXMBV

1 λέοντοσ — βασιλέα ἐν ἐφέσω ἀποσταλεῖσα HX τοῦ αὐτοῦ ἁγιωτάτου ἀρχιεπισκόπου ῥώμησ λέοντοσ πρὸσ τὸν εὐσεβέστατον βασιλέα θεοδόσιον MBV 3 ὅσων X ἄξιοι HX 4 πνεύματι HXΛ νεύματι MBV 5 τυγχάνει HX αὐτῆσ HX 6 ὑπάρχειν ἀνομοία [ἀνομία V] οὐκ ὀφείλει BV ὑπάρχειν] τυγχάνειν HX 6/7 ἐπισκόπων ὑπομνηματικαί HX 7 ἐφανερώθησαν HXV πεπλανῆσθαι MBV 8 ἀξίασ HX ἀναλαβεῖν] coniecerim ἀναχωρεῖν 9 τοῦ θεοῦ om. HX ἁγαπᾶ M ἁγάπη HX ἁγαπῶσα BV 11 σφάλλεται V διέσφαλται M 12 ῥεννάτον BV ῥινάτον X τὸν' om. HX ἴλαρον τὸν διάκονον BV ἱλαρίον H ἱλαρίωνα X 13 ἰσχύοντα X 14 μεταγαγεῖν διάθεσιν] μετάγειν διάθεσιν H μετάθεσιν X ἵν' ὅτιπερ] ὃ δήπερ HX 15 τι om. B 16 εἰ om. HX ὃσ HX ὡσ MBV συγγνώμην HX 17 αὐτοῦ HX 18 τῶι] τὰ X κἂν H ἑαυτῶι] αὐτὸ HX 22 ἐπισκόπω HX περιέχει τὰ ἀπεσταλμένα γράμματα BV

inscr. ἐπιστολὴ τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου ῥώμησ λέοντοσ πρὸσ τὴν εὐσεβεστάτην πουλχερίαν MBV 23 αὐγούσταισ HX om. MBV 24 πόσην HX 25 ὑπεδείξαμεν X τοῦτο] τούτοισ ἡ [ἣν H] διὰ HX 26 διδάσκοντεσ X

νούπολιν Εὐτυχοῦς αὐθεντοῦντος γεγενῆσθαι τοῦ ἀδελφοῦ μου καὶ συνεπισκόπου Φλαβιανοῦ διὰ τῆς ἀναφορᾶς ἔγνων, καθὼς καὶ πάσης τῆς ὑποθέσεως τὸ εἶδος τῶν πεπραγμένων ἐν τῇι συνόδωι δείκνυσιν, ἄξιόν ἐστι τῆς ὑμετέρας δόξης τὴν πλάνην τὴν διὰ ἀπειρίαν μᾶλλον ἢ διὰ κακοθέλειαν εἰσδυομένην ἀφελέσθαι πρίν τινα δύναμιν ἐκ τῆς συνέσεως τῶν ἀπείρων τὸ ἐπίμονον τῆς φαυλότητος προσπορίσοιτο. καὶ ὅσωι Νεστόριος ἀπὸ τῆς ἀληθοῦς ἐξέπεσε πίστεως τὸν δεσπότην Ἰησοῦν Χριστὸν ἐκ παρθένου μητρὸς ἄνθρωπον μόνον φάσκων γεγεννῆσθαι, τοσούτωι καὶ οὗτος ἀπὸ τῆς καθολικῆς ὁδοῦ ἀπεπλανήθη, ὃς τὸν ἀπὸ τῆς αὐτῆς παρθένου γεννηθέντα οὐ τῆς ἡμετέρας εἶναι πεπίστευκε φύσεως, ὥστε τὸν τὴν μορφὴν τοῦ δούλου φορέσαντα καὶ ἡμῖν ὅμοιον γενόμενον καὶ τῆς αὐτῆς ὄντα μορφῆς τινὰ τυγχάνειν τοῦ ἡμετέρου σώματος εἰκόνα καὶ μὴ ἀλήθειαν. οὐδὲν δὲ ὠφελεῖ τὸν ἡμέτερον δεσπότην τὸν τῆς μακαρίας παρθένου υἱὸν ἄνθρωπον λέγειν, εἰ μὴ τοῦ γένους αὐτῆς καὶ τῆς ῥίζης ἄνθρωπος εἶναι πιστεύεται, περὶ οὗ ἐν αὐτῶι τῶι προοιμίωι τοῦ εὐαγγελίου προλέγεται. ὅθεν πάνυ πονῶ καὶ στυγνάζω ὅτιπερ οὗτος ὃς πρὸ τούτου περὶ τῆς προθέσεως τῆς ταπεινότητος ἐπηνεῖτο, κατὰ τῆς ἐλπίδος τοῦ μονογενοῦς ἡμῶν καὶ τῶν ἡμετέρων πατέρων μάταια καὶ πάνυ διεστραμμένα τολμᾶι λέγειν. ὁρῶν γὰρ ἑαυτοῦ τῆς ἀφροσύνης τὴν αἴσθησιν ταῖς καθολικαῖς ἀκοαῖς ἀπαρέσκουσαν, ὤφειλεν ἑαυτὸν ἀπὸ τῆς οἰκείας ὑπονοίας ἀνακαλέσασθαι καὶ μήτε τοὺς ταῖς ἐκκλησίαις παραμένοντας κινῆσαι, τῆς καταδίκης τὴν ἀπόφασιν ἀναμένοντα. δῆλον γὰρ ὡς εἰ ἐν τῇι αὐτῆι αἰσθήσει παραμένειν θελήσοι, οὐδεὶς αὐτὸν ἀπολῦσαι δυνήσεται. καὶ γὰρ τοῦ θρόνου τοῦ ἀποστολικοῦ τὸ σύμμετρον ταύτην φυλάττει τὴν ἐγκράτειαν ὥστε καὶ σκληρότερον πράττειν κατὰ τῶν ἐπιμενόντων καὶ συγγνώμης ἀξιοῦν τοὺς τὴν διόρθωσιν ἐπιγινώσκοντας. ἐπειδὴ τοίνυν πολλή μοι πεποίθησίς ἐστιν περὶ τῆς εὐσεβείας τῆς καθαρωτάτης πίστεως, παρακαλῶ τὴν ὑμετέραν φιλανθρωπίαν, ἐπιφανεστάτη καὶ εὐσεβεστάτη θύγατερ, ἵν' ὥσπερ ἐκ σπουδῆς θείας σῆς τὸ καθολικὸν τῆς ἐκκλησίας ἀξίωμα διὰ παντὸς βεβοήθηται, καὶ νῦν ὁμοίως αὐτῶι τῶι ἀξιώματι τῆς ἐλευθερίας συνδράμοις. οὐδὲ γὰρ μέρος τι τῆς πίστεως τῆς ἡμετέρας μὴ ὂν σαφὲς μεθοδεύεται, ἀλλ' ὅπερ ἡ ἄπειρος ἀντίστασις τολμᾶι διαθορυβεῖν, τοῦτο πειράζεται ὅπερ ὁ ἡμέτερος δεσπότης ἐν τῇι ἰδίαι ἐκκλησίαι οὐδαμῶς ἀγνοεῖσθαι ἠθέλησεν. καὶ διὰ τοῦτο κατὰ τὴν συνήθειαν τῆς ὑμετέρας εὐσεβείας καμεῖν καταξιώσατε τοῦτο ὅπερ κατὰ τῆς μονογενοῦς θρησκείας τῆς ἀνθρωπίνης σωτηρίας βλασφήμωι τινὶ ἀφροσύνηι προήνεγκεν, ἀπὸ τῆς διανοίας πάντων ἀποκινηθείη καὶ ἵνα αὐτὸς ὁ εἰς τοῦτον τὸν πειρασμὸν ἐμπεσὼν ἀνανήψειεν, οὕτω μέντοι ὥστε τοῦτο ὅπερ κακῶς ἐνόησε, τῇι ἰδίαι φωνῆι καὶ ὑπογραφῆι τὸ κοινὸν καταδικάσει καὶ τῆι οἰκείαι τάξει ἑαυτὸν ἀποκαταστήσει. ὅπερ

HXMBV

1 γεγενῆσθαι om. HX 1/2 διὰ — ἔγνων τοῦ ἀδελφοῦ — φλαβιανοῦ BV 1 τοῦ ἐπισκόπου καὶ συναδελφοῦ μου HX 2/3 τῶν πεπραγμένων] *gestorum textus* Λ 4 διὰ om. MBV εἰσδυομένην MBV γενομένην HX συνέσεωσ] συναινέσεως coni. edd. Romani 5 προσπορίσηται HX ὅσω BV ὡσ ὁ HX ὅσα M νεστόριοσ ὁσ MBV 6 παρθένου μρσ HX τῆσ παρθένου μαρίασ MBV 7 γεγενῆσθαι HMBV οὕτωσ HX ἐκ BV 8 παρθένου om. V εἶναι om. HX 9 ὥστε] τὲ εἰ HX εἰ in εἰσ corr. X φορέσαντα] μορφηντα H μορφοῦντα X 11 μακαρίας] μαρίασ HX υἱὸν] ιν HX 12 πιστεύηται HX 13 προλέγεται ὅθεν] ὅθεν προλέγεται HX οὕτωσ H 14 ὃς] οὐ HX κατὰ] καὶ V τοῦ] postulatur τῆς 17 ταῖς om. X 19 εἰ om. X παραμένειν θελήσοι om. HX ἑαυτὸν BV 20 εὐκράτειαν M 21/22 ἀξιοῦντοσ τὴν διορθώσεωσ ἐπιγινώσκοντεσ HX 22 ἐπειδὴ] διὸ HX μοι HXΛ om. MBV 23 τῆς²] postulatur σῆς κσθαρωτάτησ HXΛ μακαριωτάτησ MBV 24 ἐπιφανεστάτην καὶ εὐσεβεστάτην θυγατέραν HX σῆσ HXΛ εἰσ M om. BV τῶ καθολικῶ MBV 25 ἀξίωμα — αὐτῶι τῶι om. MBV 26 συνδράμησ BV σαφῶσ X 27 ὅπερ¹ et πειράζεται superflua ἄπειροσ] ἀποέροσ [ἀπὸ ἔρωσ X] HX ἀνθίστασισ B θορυβεῖν V 29 κάμνειν HX 30 τῆσ HX τῆσ τοῦ MBV ὁμογενοῦσ V 30/31 προσήνεγκεν HX 31 ὁ om. HX 32 ἐμπέσασ HX ἐνενόησε HX ἐννόησε V 32 οἰκεία HX 33 καταδικάση B ἀποκαταστήση B

καὶ τῶι ἐμῶι ἀδελφῶι καὶ συνεπισκόπωι Φλαβιανῶι γεγραφηκέναι με γινωσκέτω καὶ τούτοις οἷς ἐπέμψαμεν ἐντετάλθαι πρὸς τὸ συγγνώμης ἀξιωθῆναι, εἰ τὰ τῆς πλάνης διορθωθείη. ἵνα δὲ μὴ τοῦ εὐσεβεστάτου βασιλέως τῆι διατυπώσει τῆι τὴν σύνοδον τῶν ἐπισκόπων συνελθεῖν θελησάσηι δόξειεν τὸ τῆς ἡμετέρας παρουσίας ἀπολιμπάνεσθαι, τοὺς ἀδελφοὺς τοὺς ἐμοὺς Ἰούλιον τὸν ἐπίσκοπον καὶ Ῥενάτον τὸν πρεσβύτερον καὶ τὸν ἐμὸν υἱὸν Ἴλαρον τὸν διάκονον πέπομφα τοὺς εἰς τάξιν τῆς ἐμῆς παρουσίας ἀρκοῦντας. ἀλλὰ τούτωι μᾶλλον τῶι πλανηθέντι κρεῖττόν ἐστιν συνελθεῖν, εἰ περὶ ἐκεῖνο περὶ ὃ παρεφρόνησεν, ἀνανήψειεν καὶ ἔνθα τὴν καταδίκην ὑπέμεινεν, αὐτόθι καὶ συγγνώμης φιλοτιμίας ἀξιωθήσεται.

12 Τῆι ἐνδοξοτάτηι καὶ φιλανθρωποτάτηι θυγατρὶ Πουλχερίαι ἀεὶ αὐγούσται Λέων ἐπίσκοπος καὶ ἡ ἁγία σύνοδος ἡ ἐν Ῥώμηι συναχθεῖσα. Εἰ αἱ ἐπιστολαὶ αἱ περὶ τῆς πίστεως πρὸς τὴν ὑμετέραν εὐσέβειαν διὰ τῶν κληρικῶν ἀποσταλεῖσαι ἦσαν ἀποδοθεῖσαι, δῆλον ἦν βοήθειαν καὶ θεραπείαν ὑμᾶς τούτοις τοῖς πράγμασι τοῖς κατὰ τῆς πίστεως γενομένοις συμπνέοντος ὑμῖν τοῦ θεοῦ δύνασθαι παρασχεῖν. πότε γὰρ τοῖς ἱερεῦσιν ἢ πότε τῆς τῶν Χριστιανῶν θρησκείας ἢ τῆς πίστεως κατόπιν ἐγένεσθε; ἀλλ' ἐπείπερ πρὸς τὴν ὑμετέραν φιλανθρωπίαν οὐκ ἠδυνήθησαν παραγενέσθαι οἱ ἀποσταλέντες, ὡς μόλις πρὸς ἡμᾶς ἕνα τούτων διάκονον ὀνόματι Ἴλαρον φεύγοντα ὑποστρέψαι, ἐπαναλαμβάνειν ἐπιστεύσαμεν τὰ γράμματα καὶ ὥστε τὰς ἡμετέρας δεήσεις τυγχάνειν ἰσχυράς, αὐτῶν τῶν γεγραμμένων πρὸς τὴν ὑμετέραν φιλανθρωπίαν ὑπετάξαμεν τὰ ἀντίγραφα, μείζοσιν ὑμᾶς διαμαρτυρίαις παρακαλοῦντες ἵν' ὅσωι χαλεπώτερα γέγονεν οἷς ὑπὲρ τῆς Ῥωμαικῆς πίστεως προσῆκόν ἐστιν ἀντιμαχήσασθαι, τοσούτωι μείζονι δόξηι καθυπερέχητε φροντίσαντες τῆς θρησκείας πρὸς τὸ τῆς καθολικῆς πίστεως τὸ ἀκέραιον μὴ ἀπό τινος ἀφορμῆς καὶ φιλονεικίας ἀνθρωπίνης παρατιτρώσκεσθαι. ἡ γὰρ ἐν Ἐφέσωι συνελθοῦσα σύνοδος πιστευομένη τῆι τῆς εἰρήνης θεραπείαι καταπραύνεσθαι, οὐ μόνον αὕτη εἰς μείζονα τῆς εἰρήνης ζημίαν, ἀλλ', ὅπερ ἐστὶ λύπης καὶ ἀγανακτήσεως ἄξιον, καὶ αὐτῆς τῆς πίστεως πρὸς ὄλεθρον καὶ ἀνατροπὴν τοῖς Χριστιανοῖς προεχώρησε. καὶ οὗτοι μὲν οἱ ἀποσταλέντες, ὧν εἷς τὴν βίαν τοῦ ἐπισκόπου τῆς Ἀλεξανδρέων ἑαυτῶι πάντα ἐκδικοῦντος ἐκφυγὼν τῶν πεπραγμένων πραγμάτων ἡμῖν τὴν τάξιν μετὰ πίστεως ἀπήγγειλεν, ἀντέστησαν ἐν τῆι συνόδωι, καθὼς ἐχρῆν, ἑνὸς ἀνθρώπου οὐ τῆι κρίσει μᾶλλον, ἀλλὰ τῆι μανίαι, διαμαρτυράμενοι ἅπερ κατὰ βίαν καὶ φόβον ἐπράττετο, τοῖς τῆς ἐκκλησίας δικαίοις καὶ αὐτῶι τῶι συμβόλωι τῶι ⟨παρὰ⟩ τῶν ἀποστόλων εἰσηγηθέντι πρόκριμα φέρειν οὐ μὴ δύνασθαι καὶ οὔτε ἑαυτοὺς ἀπὸ

12 primus edidit I. B. Cotelier in Eccl. gr. monum. 1, 54. Latinum exemplar extat in Leon. ep. 23 [= Epist. ante Gesta Coll. 16]

HXMBV

1 ἐπισκόπω HX γεγραφέναι BV *clementia uestra . . cognoscat* Λ 2 οὖσ HX ἐντετάλθαι] ἐντεῦθεν HX ἀξίωσ HX εἰ τὰ] μετὰ HX 3 διατυπώσει τῆ HX διανοία τυπώση MBV 4 δείξειε HX ὑμετέρασ V 5 ῥεννάτον BV ῥινάτον X τὸν om. HX 6 τὸν διάκονον Ἴλαρίον [Ἰλαρίωνα X] HX 7 τοῦτο HX συνεισελθεῖν MBV εἰ περὶ XΛ εἴπερ H ἐπείπερ MBV περὶ] παρ' HX 8 ἀνανῆψαι ἦν MBV ἔνθα] ἐνταῦθα X ὑπέμενεν X 9 καὶ φιλοτιμίασ HX

HX

11 εἰ H om. X 13 ἡμᾶσ HX πράγμασι Cotelier γράμμασι HX 14 γενομένησ H 15 τῆς¹ Cotelier τοῖσ HX κατόπειν [ει in ι corr.] ἐγένεσθαι H κατοπεῖναι γενέσθαι X 17 Ἴλαρίον H Ἰλαρίων X 19/20 τὰ ἀντίγραφα scripsi τάδε τῆ ἀντιγραφῆ HX 20 διὰ μαρτυρίασ HX 21 οἷς] ἧσ HX τοσοῦτω H τοσοῦτον X 22 φροντίσαντες scripsi φροντίσατε X φροντήσατε H 25 αὕτη H ταύτην X, male transfertur *haec* 26 conicio τῆς Χριστιανῶν 27 τῆς om. X 29 ἀντέστησεν X, ἀντέσ, cetera incerta H καθὼς scripsi καὶ ὡσ HX 30 διαμαρτυρόμενοι X 31 παρὰ addidi 32 οὔτε Cotelier ὅτε HX

ταύτης τῆς πίστεως ἣν πλήρης ἐκτεθεῖσαν καὶ διατυπωθεῖσαν ἐκ τοῦ θρόνου τοῦ μακαριωτάτου ἀποστόλου Πέτρου εἰς τὴν ἁγίαν σύνοδον εἰρηκότας, ἀφίστασθαι κατὰ ἀδικίαν τινά, ἧς πίστεως ἡ ἀνάγνωσις παρακαλούντων τῶν ἐπισκόπων οὐ προσεδέχθη, ὥστε τῆς αὐτῆς ἀποκινηθείσης πίστεως ἥτις τοὺς πατριάρχας καὶ ἀποστόλους καὶ μάρτυρας ἐστεφάνωσε, τὴν γέννησιν τοῦ δεσπότου ἡμῶν Ἰησοῦ Χριστοῦ κατὰ σάρκα καὶ τὸν ἀληθῆ θάνατον καὶ τῆς ἀναγεννήσεως αὐτοῦ τὴν ὁμολογίαν, ὅπερ φρικτόν ἐστι καὶ λέγειν, διαλυθῆναι, ἐπιφανεστάτη καὶ φιλανθρωποτάτη δέσποινα θυγάτηρ αὐγούστα. ἐγράψαμεν περὶ τούτου τοῦ πράγματος ὡσεὶ δυνηθείημεν, πρὸς τὸν ἐνδοξότατον βασιλέα καὶ ὅπερ ἐστὶ ⟨μέγιστον⟩, Χριστιανόν, ἧς ἐπιστολῆς τὸ ἀντίτυπον ὑπετάξαμεν, ὥστε τὴν πίστιν, δι' ἧς ἀναγεννηθεὶς διὰ τῆς τοῦ θεοῦ χάριτος βασιλεύει, μηδαμῶς συγχωρῆσαι καινισμῶι τινι διαφθείρεσθαι, ἐπείπερ Φλαβιανὸς ὁ ἐπίσκοπος ἐν τῆι ἡμετέραι πάντων κοινωνίαι μεμένηκεν, καὶ τοῦτο ὅπερ γέγονεν ἄνευ δικαίου καὶ παρὰ τὴν ἐπιστήμην πάντων τῶν κανόνων, μηδενὶ λόγωι βέβαιον εἶναι ἐπιτραπῆι καὶ ἐπειδὴ τῆς διχονοίας τὸ σκάνδαλον οὐκ ἀφείλατο ἡ τῆς Ἐφέσου σύνοδος, ἀλλὰ μᾶλλον ηὔξησεν, συνόδου γινομένης ἐν Ἰταλίαι καὶ ὁ τόπος καὶ ὁ χρόνος ὁρισθήσεται, πασῶν τῶν μέμψεων καὶ τῶν προκριμάτων ἑκατέρου μέρους ἀναρτηθέντων, ἵνα ἐπιμελέστερον πάντα ⟨τὰ⟩ ποιήσαντα τὴν πρόσκρουσιν ἀναψηλαφηθείη καὶ χωρὶς τοῦ τραύματος καὶ ὕβρεως τῆς θρησκείας εἰς εἰρήνην τοῦ θεοῦ ἐπανέλθοιεν οἱ διὰ τὴν δυναστείαν ὑπογράψαι καταναγκασθέντες ἱερεῖς καὶ ἡ πλάνη μόνον ἀφαιρεθείη. ὅπερ ἵνα κρατήσειεν, τῆς δεδοκιμασμένης ἡμῖν πίστεως ἡ ⟨σὴ⟩ εὐσέβεια ἡ τοῖς καμάτοις ἀεὶ τῆς ἐκκλησίας συνελθοῦσα τὴν ἡμετέραν ἱκετείαν τῶι φιλανθρωποτάτωι βασιλεῖ, ἰδικῶς [ὡς] ἀπὸ τοῦ μακαριωτάτου Πέτρου τοῦ ἀποστόλου τῆς πρεσβείας ἐπιτραπείσης, καταξιωσάτω διασαφῆσαι, ὥστε πρὶν τὸν πολιτικὸν τοῦτον καὶ ὀλέθριον πόλεμον εἰς τὴν ἐκκλησίαν κρατῆσαι, τοῦ ἀνανεῶσαι τὴν ἀφθονίαν τῆς ἑνότητος, τοῦ θεοῦ βοηθοῦντος, συγχωρήσηι, γινώσκων δυνάμεσιν τῆς αὐτοῦ βασιλείας συνοίσειν τὸ τῆι καθολικῆι ἐλευθερίαι διὰ τῆς αὐτοῦ φιλαγάθου διατυπώσεως συνεισφερόμενον.

13 Τῆι φιλανθρωποτάτηι καὶ εὐσεβεστάτηι Πουλχερίαι αὐγούσται Ἴλαρος διάκονος. Σπουδήν μοι γεγενῆσθαι μετὰ τὴν σύνοδον παραγενέσθαι κατὰ τὴν Κωνσταντινούπολιν λέγειν οὐκ ὀφείλω, ἐπειδήπερ φανερὰ ἦν ἀνάγκη ἥτις τὰ γράμματα τοῦ μακαριωτάτου πάπα πρὸς τὴν ὑμετέραν φιλανθρωπίαν ἀποσταλέντα δοῦναί με τὸν διακομίζοντα ἠνάγκαζεν, ἵν' ἅμα καὶ τῆς ὑμετέρας εὐσεβείας καὶ τοῦ ἀηττήτου Χριστιανικωτάτου βασιλέως τὸ καθῆκον, ὅπερ ὤφειλον, τὸ κατὰ τὴν θρησκείαν ἐναργῶς ἀποτίσω. ἀλλὰ τῆι προθέσει τῆι ἐμῆι τῆι οὕτως ἱερᾶι προσέμποδον ἐγένετο ἐκεῖνο τὸ πάντων τῶν ἀγαθῶν ἐχθρὸν καὶ ὃ τῶν Χριστιανῶν ἡ διάθεσις ἀποδύρεται, ὁ Ἀλεξανδρείας ἐπίσκοπος ὁ ἐπὶ τῆι καταδίκηι τῶν ἀνευθύνων δυνατός. μετὰ γὰρ τὸ ἐμὲ τῆι ἀδίκωι αὐτοῦ γνώμηι

13 primus edidit I. B. Cotelier in Eccl. gr. monum. 1, 54. Latinum exemplar extat in Leonis ep. 26 [= Epist. ante Gesta coll. 17]

HX

1 ἣν Cotelier τὴν HX 2 εἰρηκότασ HX, coniecerim εἶεν ἐνηνοχότες 3 τινὸσ HX ἧς Cotelier τῆσ HX ἡ ἀνάγνωσις Cotelier ἡ ἀναγνωσθεὶη HX 4 εἴ τισ H 5 γέννησιν H γεννηθὲν X 6 postulatur ἀναστάσεως 8 ἐγράψαμεν Cotelier ἔγραψε HX 9 μέγιστον Χριστιανόν Cotelier χριστιανῶ HX 10 ὡσ X 13 βέβαιον εἶναι λόγω X ἐπειδὴ scripsi ἐνειδη H ἐν εἴδει X 15 γενομένησ X πασῶν] πλοῶν HX 16 τὰ addidi 18 ἐπανέλθειεν HX 20 σὴ Λ om. HX 21 ὡς deleui 23 πολυτικὸν H πολεμικὸν X πολέμιον X 24 συγχωρήσει X συγχωρίσει H 25 συνοίσει X

27 ιλαροσ H ιλάριοσ H^{corr} ἱλαρίων X 29 φανερῶσ H εἴ τισ H 30 τὸν διακομίζοντα scripsi τῶ διακομίζοντι HX 32 ἐνεργῶσ H ἀποτίσαι HX 34 ἐχθρῶν X ἐχθρῶ H καὶ — Χριστιανῶν om. X ὃ] ὃν H

καὶ ἀποφάσει κοινωνεῖν μὴ δύνασθαι συνήλασεν εἰς ἄλλην σύνοδον ἀπειλαῖς καὶ ἐπιβουλαῖς προσκαλούμενος πρὸς τό με, ὅπερ ἀπέστω, ἢ ἐξ ἀπάτης συναινέσαι εἰς τὸ καταδικάσαι τὸν ἁγιώτατον Φλαβιανὸν τὸν ἐπίσκοπον ἢ ἀνθιστάμενον κατέχειν, ἵνα μοι μὴ γένοιτο ⟨ἐξουσία⟩ μήτε τοῦ ἐκδραμεῖν πρὸς τὴν εὐσέβειαν τὴν ὑμετέραν κατὰ τὴν Κωνσταντινούπολιν ἢ ἀναδραμεῖν εἰς τὴν Ῥώμης ἐκκλησίαν παρασχεθείη ἄδεια. ὅμως τεθάρρηκα βοηθοῦντος τοῦ Χριστοῦ τοῦ ἡμετέρου θεοῦ ἀπὸ τῆς καταδίκης τοῦ εὐλαβεστάτου καὶ ὁσίου ἀνδρὸς ἀθῶον καὶ ἀκέραιον ⟨ἑαυτὸν⟩ φυλάξαι, εἰ καὶ ὅτι οὐδεμία μάστιξ οὐδὲ βάσανος ἠδύνατό με τῇι ἀδίκωι αὐτῶν ἀποφάσει ποιεῖν συναινέσαι, ἀλλὰ πάντων καταλειφθέντων ἐκεῖθεν ἀνεχώρουν διὰ ἀγνώστων καὶ ἀνοδεύτων τόπων εἰς τὴν Ῥώμην ἀπελθὼν τῶι εὐλαβεστάτωι πάπαι πάντων τῶν ἐν' Εφέσωι πεπραγμένων ἱκανὸς μηνυτής. ὃν ἡ ὑμετέρα προσκυνητὴ φιλανθρωπία μανθανέτω μετὰ πάσης τῆς Δυτικῆς συνόδου ἀποδοκιμάσαι πάντα τὰ ἐν Ἐφέσωι κατὰ τῶν κανόνων διὰ θορύβου καὶ μίσους βιωτικοῦ ἀπὸ Διοσκόρου τοῦ ἐπισκόπου γενόμενα καὶ μηδενὶ λόγωι ταῦτα ὑποδεχθῆναι δύνασθαι ἐπὶ τῶν μερῶν τούτων, ἅπερ κατὰ δυναστείαν τοῦ προειρημένου οὐκ ἄνευ βλάβης τῆς πίστεως εἰς πρόκριμα τοῦ ἁγίου ἀνδρὸς καὶ ἀθώου ἐπλημμέλησε. καὶ ἅπερ [ἡ] σταθηρᾶι καὶ ἰσχυρᾶι αὐθεντίαι ὑπὲρ τῆς πίστεως σχεδὸν ἀπ' ἐμοῦ μεμήνυται, περιττὸν ἡγοῦμαι λέγειν· καὶ γὰρ ἀπὸ τῶν γραμμάτων τοῦ εὐλαβεστάτου πάπα μαθήσεσθε. ὅθεν, δέσποινα ἐπιφανεστάτη καὶ φιλανθρωποτάτη αὐγούστα, ἡ προσκυνητή σου εὐσέβεια, ἥτις καὶ ⟨τὰ⟩ τὴν ἀρχὴν λαβόντα καταλιμπάνειν οὐκ ὀφείλει, τοῦ εὐλαβοῦς τῆς ἀκεραίου πίστεως ζήλωι μονίμωι διανοίαι συνταξάτω.

14 Γάλλα Πλακιδία ἡ εὐσεβεστάτη καὶ ἐπιφανεστάτη ἀεὶ αὐγούστα Αἰλίαι Πουλχερίαι τῆι εὐσεβεστάτηι ἀεὶ αὐγούσται θυγατρί. Ὅτι τὴν Ῥώμην συνεχέσιν ἐκδρομαῖς ὁμοίως ἐπιποθοῦμεν ὁρᾶν, τῆς θρησκείας ἐστὶν ἐξαίρετον ἡ ὑπόθεσις, ὥστε τοῖς ὅροις τῶν ἁγίων τὴν ἡμετέραν ἀποδίδοσθαι παρουσίαν, οὓς ἀληθές ἐστιν ἐν τοῖς οὐρανίοις κατὰ τὴν αὐτῶν ἀρετὴν κατασταθέντας οὐδὲ τῶν κατωτέρω καταφρονεῖν. ἡμεῖς τοίνυν ἱεροσυλίας γένος εἶναι νομίζομεν, εἰ ἀρνησόμεθα τῶν εἰωθότων τὴν τάξιν. ἐπεὶ οὖν τῶι μακαριωτάτωι ἀποστόλωι Πέτρωι τὴν ἡμετέραν παρουσίαν ἀποδεδώκαμεν, κἀκεῖσε τῶι πλήθει τῶν ἱερέων ὁ εὐλαβέστατος περιλαμβανόμενος πάπας Λέων κατὰ τὴν ἀξίαν τοῦ ἰδίου τόπου πρῶτος ⟨ἡμῖν⟩ ἐπέβαλεν καὶ διὰ τὴν παρεντιθεμένην τοῦ στεναγμοῦ λύπην τὴν ἑαυτοῦ ἐπιθυμίαν σχεδὸν διὰ ῥημάτων δηλοῦν οὐκ ἠδύνατο, νενίκηκεν ὅμως τὸ σταθηρὸν τοῦ φρονήματος τοῦ ἱερέως ⟨ὡς⟩ ἐπισχεῖν ὀλίγον τὰ δάκρυα καὶ τὴν ὑπόθεσιν τῆς παρατρωθείσης πίστεως ὡς ταύτης ἔκδικος σαφεῖ τῶι λόγωι προήνεγκεν. ἐν ὧι λόγωι διέγνωμεν ἐν τοῖς ἡμετέροις καιροῖς τὴν καθολικὴν πίστιν τεταράχθαι, ἣν ἐκ τοῦ θείου πατρὸς ἡμῶν Κωνσταντίνου μέχρι τῆς σήμερον οἱ τοῦ ἡμετέρου γένους ἐφύλαξαν πρόγονοι. κατὰ γνώμην τινὸς ὁτιοῦν φαῦλον κατὰ τοῦ ἱερέως Κωνσταντινουπόλεως

---

14 primus edidit I. B. Cotelier in Monumentis eccl. gr. 1, 62. Latinum exemplar extat in Epist. ante Gesta Coll. 18

ἱστέον ὅτι ἡ μὲν Γάλλα ἀδελφὴ γνησία ἦν Γρατιανοῦ, γυνὴ δὲ τοῦ Θεοδοσίου τοῦ μεγάλου, ἡ δὲ Πλακιδία θυγάτηρ Γρατιανοῦ καὶ αὕτη γνησία, ἡ μέντοι Πουλχερία ἀδελφὴ ἦν Θεοδοσίου τοῦ μικροῦ H in mg. HX

2 με scripsi μὴ HX 3/4 ἐξουσία addidi 7 ἑαυτὸν addidi 9 ἀπῆλθον HX 10 ἱκανὸς μηνυτής, ὃν Cotelier ἱκανῶσ μηνοιται [τ in σ corr.] ἐν ἢ H ἱκανῶσ μεμήνυται ἐν ἢ X 11 συνόδου H om. X 13 ἐπὶ scripsi ἀπὸ HX 15 ἡ HX deleui σταθερᾶ H 16 αὐθεντῆ H 18 εἴτισ H τὰ addidi 19 postulatur ταῦτ' εὐλαβεῖ 22 συνσχέειν HX 23 ἐξαίρετον corruptum 24 ἀποδιδώσθαι HX ἀληθήσ HX 25 οὐρανοῖσ H 26 νομιζόμεθα HX 27 οὐσίαν HX 28 περιλαβόμενοσ HX 29 ἡμῖν ἐπέβαλεν scripsi ὑπέβαλεν HX 31 σταθερὸν H ὡς addidi 33 ἦν] τὴν HX 35 ὁτιοῦν scripsi ὅσιον X ὁσίων H

ἐκγεγυμνάσθαι λέγεται. ἡμεῖς οὖν ἐν τῇ κατὰ τὴν Ἔφεσον συνόδωι τῇ μηδεμίαν τάξιν ἱερωσύνης φυλαξάσηι μηδὲ συμμετρίαν ἄνευ τῆς προσοχῆς τῆς θειότητος πάντα πεπρᾶχθαι μεμαθήκαμεν, ὥστε τὴν πρόληψιν καὶ τὴν ἀδικίαν καὶ εἰς τινῶν καταδίκην λέγεσθαι κρατεῖν, ἃ τοῖς ἡμετέροις καιροῖς φρικτὰ εἶναι δοκεῖ. ὀφείλει τοίνυν ἡ πίστις ἰδικῶς κρατεῖν, δέσποινα ἁγιωτάτη καὶ προσκυνητὴ θύγατερ αὐγούστα. τοιγαροῦν ἡ σὴ φιλανθρωπία κατὰ τὴν καθολικὴν πίστιν, ὅπερ ἀεὶ μεθ' ἡμῶν πεποίηκεν, καὶ νῦν ὁμοίως συμπνεῦσαι καταξιωσάτω, ὥστε πᾶν ὃ ἐν ἐκείνηι τῇι τεταραγμένηι καὶ ἀθλίαι συνόδωι τετύπωται, πάσης ἀποκινηθείη δυνάμεως καὶ πάντων ἀκεραίων μενόντων εἰς τὸν ἀποστολικὸν θρόνον, ἐν ὧι πρῶτος ὁ μακαριώτατος τῶν ἀποστόλων Πέτρος τὰ κλεῖθρα τῶν οὐρανῶν ὑποδεξάμενος τὴν ἀρχιερωσύνην ἐκόσμησεν, τοῦ ἐπισκόπου ἡ ὑπόθεσις παραπεμφθείη. ὀφείλομεν γὰρ τῇι ἀθανάτωι πολιτείαι ἀπονεῖμαι ἐν πᾶσιν τὰ πρωτεῖα τῇι διὰ τῆς ἰδίας ἀρετῆς τοῦ κόσμου πληρωσαμένηι τὴν δεσποτείαν καὶ τῇι ἡμετέραι βασιλείαι τὸν κύκλον καὶ διοικητέον καὶ φυλακτέον ἐπιτρεψάσηι.

15 Λέων ἐπίσκοπος καὶ ἡ ἁγία σύνοδος ἡ ἐν τῇι πόλει Ῥωμαίων συναχθεῖσα κλήρωι ἀξιωματικοῖς καὶ παντὶ τῶι λαῶι τοῖς οἰκοῦσιν ἐν Κωνσταντινουπόλει ἀγαπητοῖς υἱοῖς ἐν κυρίωι χαίρειν. Εἰς γνῶσιν ἡμῖν ἐλθόντων ἅπερ ἐν τῇι Ἐφέσωι παρὰ τὴν προσδοκίαν πάντων πέπρακται, μεγάληι λύπηι τὴν ψυχὴν ἡμῶν ὁμολογοῦμεν συγχυθῆναι οὐδὲ τοσοῦτον ἐξεῖναι τῇι ἀνομίαι εὐχερῶς ἠδυνήθημεν πιστεῦσαι, εἰ μὴ ὁ υἱὸς ἡμῶν Ἴλαρος ὁ διάκονος, ὅστις εἰς τόπον τὸν ἡμέτερον μετὰ ἄλλων, ἵνα παραγένηται ἐν τῇι συνόδωι, ⟨ἦν⟩ ἀποσταλείς, φεύγων ὑπέστρεψεν ἐκκλίνων τῆς ἀδικίας κοινωνὸς γενέσθαι, εἰ καὶ τὰ μάλιστα φωνὴ ἀντιλογίας ἐκεῖσε ἀπὸ τῶν ἡμετέρων προβέβληται, ἥντινα ὁ τῆς Ἀλεξανδρείας ἐπίσκοπος, ὅστις ἑαυτῶι διὰ τῆς ἀμέτρου δυναστείας τὸ πᾶν ἐξεδίκει, ἀκοῦσαι κατέπτυσεν, εἰς κοινωνίαν τῆς αὐτοῦ προαιρέσεως ἄκοντας ἕλκων τοὺς ἐπισκόπους, ἵνα διὰ τῆς βίας ἀναγκασθῶσιν ὑπογράψαι, οἵτινες οὐδεμίαν καθαιρέσεως ἀφορμὴν ἱκανὴν εὑρεῖν ἠδυνήθησαν. ἀλλὰ ταύτην τὴν τόλμην τῶι εὐσεβεῖ καὶ Χριστιανῶι βασιλεῖ πιστεύομεν οὐδαμῶς ἀρέσαι δύνασθαι· νῦν μέντοι ἐπειδὴ τὴν ἐκκλησίαν ὑμῶν ταύτηι τῇι πράξει ἔγνωμεν διασκορπισθεῖσαν, παραμυθητέους καὶ προτρεπτέους ὑμᾶς εἶναι πιστεύομεν διὰ τῶν ἡμετέρων ἐπιστολῶν, ἵνα ὑπὲρ τῆς καθολικῆς πίστεως τῆς ἐκδικίας τῆι τῶν ἀπίστων ἀνομίαι ἐναντιώσησθε. οὐ γὰρ βουλόμεθα τὴν ἀγάπην ὑμῶν ταύτηι τῇι λύπηι καταφορτίζεσθαι, ὅταν μείζων δόξα τῇι ὑμετέραι παραμονῆι ἐπακολουθῆι, ἐὰν ἀπὸ τοῦ δεδοκιμασμένου ἐπισκόπου ὑμῶν οὐδεμία ὑμᾶς ἀπειλὴ οὐδὲ εἰς φόβος ἀποσπάσαι δυνήσηται. εἴ τις γὰρ ὑγιαίνοντος καὶ ζῶντος Φλαβιανοῦ τοῦ ἐπισκόπου ⟨τοῦ ὑμετέρου⟩ τὴν ἀρχιερωσύνην αὐτοῦ τολμήσει ὑπεισελθεῖν, οὐδέποτε εἰς κοινωνίαν ἡμετέραν γενήσεται οὐδὲ μεταξὺ τῶν ἐπισκόπων δυνήσεται ἀριθμηθῆναι. ἡμεῖς γὰρ καθάπερ Νεστόριον ἐν τῇι αὐτοῦ διαστροφῆι ἀναθεματίσαμεν, οὕτως καὶ ἐκείνους οἵτινες τὴν ἀλήθειαν τῆς σαρκὸς ἡμῶν ἐν τῶι κυρίωι Ἰησοῦ Χριστῶι ἀρνοῦνται, ὁμοίαι ἀφοσιώσει καταδικάζομεν. στήκετε τοίνυν ἐν τῶι πνεύματι τῆς ἀληθείας καὶ

15 primus edidit I. B. Cotelier in Monum. eccl. gr. 1, 57. Latinum exemplar extat in Leon. ep. 19 [= Epist. ante Gesta Coll. 25]

HX

1 ἐκγυμνᾶσαι HX ἡμεῖς — ἐν Cotelier μίσουσ μὲν HX 2 ἄνευ] ἀνοῦ HX 7 ἐν] ἐὰν HX τεσπαραγμένη X 10 ἐπισκόπου ἡ] ἐπίσκη H ἐπι spatium X 11 πολιτείαι scripsi πόλει HX 12 πληρωσαμένηι scripsi κληρώσαμένη H κληρῶσαι μέν ἡ X 19 ὑμῶν H Ἰλάροσ H Ἰλάριοσ Hcorr Ἰλαρίων X ὅστις Cotelier τῆσ 11 στῆσ X 20 ἦν addidi 21 προβέβληται scripsi προβέβληκεν HX 22 τὸ πᾶν Cotelier τόπον HX 24 τὴν βίαν X ἀναγκασθῶσιν Cotelier ἀναγκάσωσιν HX 25 τόλμαν Hcorr 29 ἐναντιώσασθαι HX 30 μείζω HX 31 ἐὰν Λ ἵνα HX 32 δυνήσεται HX 33 τοῦ ὑμετέρου Λ om. HX

τὴν ἀποστολικὴν προτροπὴν τῇι διακονίαι τοῦ ἡμετέρου στόματος δέξασθε, ἐπειδὴ ὑμῖν κεχάρισται ὑπὲρ τοῦ Χριστοῦ οὐ μόνον ἵνα εἰς αὐτὸν πιστεύητε, ἀλλὰ καὶ ὑπὲρ Phil 1, 29
αὐτοῦ πάσχειν. μὴ θέλητε ὑπολαμβάνειν, ἀγαπητοί, ὅτι τῆς ἁγίας αὐτοῦ ἐκκλησίας ἀπολειφθήσεται ἢ ὑστερήσει ποτὲ ἡ θεία ἐκδικία· ἐκλάμπει γὰρ τῆς πίστεως τὸ καθαρόν, ὅταν ἀπ' αὐτῆς ὁ ῥύπος τῆς πλάνης χωρισθῆι. ὅθεν πάλιν καὶ πάλιν ὑμᾶς ἐνώπιον τοῦ κυρίου διαμαρτυρόμεθα ὁμοῦ καὶ ὑπομιμνήσκομεν ἵνα ἀπὸ τῆς πίστεως ἐν ἧι τεθεμελιωμένοι ἐστὲ καὶ ἐν ἧι τὸν Χριστιανικώτατον βασιλέα οἴδαμεν παραμένειν, μήτε ἐνέδραις μήτε τισὶν ἁπάταις μετακινηθείητε, ἀλλ' εἰς τὸ πρόσωπον τοῦ ἐπισκόπου ὑμῶν ἐκεῖνον τοῖς ὀφθαλμοῖς κατέχετε, ὑπὲρ οὗ αὐτὸς πάντα παθεῖν ἅπερ ἐπηνέχθη, οὐκ ἐφοβήθη. οὕτινος ἐν πᾶσιν μιμητὰς ὑμᾶς γενέσθαι ἐπιθυμοῦμεν, ἵνα κοινὸν μετ' αὐτοῦ τὸν στέφανον τῆς πίστεως λαμβάνειν δυνηθείητε.

Ἐπιστολὴ Λέοντος ἀρχιεπισκόπου Ῥώμης πρὸς τοὺς ἀρχιμανδρίτας Κωνσταντινουπόλεως

16 Λέων ἐπίσκοπος καὶ ἡ ἁγία σύνοδος ἡ ἐν τῇι πόλει Ῥωμαίων συναχθεῖσα Φαύστωι Μαρτίνωι Πέτρωι Μανουηλίωι πρεσβυτέροις καὶ ἀρχιμανδρίταις μοναστηρίων Κωνσταντινουπόλεως. Εἰ καὶ τὰ μάλιστα ἐκεῖνα ἃ τῇι τῶν Κωνσταντινουπολιτῶν ἐκκλησίαι γεγραφήκαμεν, τὴν φροντίδα τῆς ὑμετέρας ἀγάπης λαθεῖν οὐκ ἠδυνήθη, ὅμως καὶ ἰδικοῖς γράμμασιν τὴν ἀγάπην ὑμῶν προτρέψασθαι ἀκόλουθα εἶναι ἡγησάμεθα, ἵνα μεμνημένοι τῆς ἁγίας ⟨ὑμῶν ἐπαγγελίας,⟩ ἥτις ἰδικῶς ἐν πίστει καὶ ἀγάπηι συνίσταται, πάντα τὰ σκάνδαλα τὰ κατέναντι τῆς ἐκκλησίας διεγερθέντα ἀπὸ τῆς ὑμετέρας καρδίας ἀποβάλησθε, τοῦ μακαρίου ἀποστόλου τὰς ἀποφάσεις εὐσεβεῖ γνώμηι διακατέχοντες· εἴ τις ὑμᾶς Gal. 1, 9
εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω, καὶ φυλάττοντες ὁμοψυχίαν μετὰ τοῦ ἀδελφοῦ ἡμῶν Φλαβιανοῦ τοῦ ἐπισκόπου, ὄντινα πρὸς καιρὸν ὁ κύριος συνεχώρησεν τῶν ἀσεβῶν ταῖς ἐπισκευαῖς πειραθῆναι, ἵνα δόκιμον ἑαυτῶι τὸν ἴδιον ἀρχιερέα διὰ τῆς ὑπομονῆς ποιήσηι λαμπρότερον. αὗται γὰρ αἱ ταραχαὶ ἀναγκαίως βοηθούσης τῆς τοῦ θεοῦ χάριτος τάχιον διαλυθήσονται καὶ πᾶν τὸ ἀποδοκιμασθὲν ἀπὸ τῆς καθαρότητος τῆς ἐκκλησίας, ἥτις οὔτε σπίλον οὔτε ῥυτίδα ἐπιδέχεται, ἀποριφήσεται, Eph. 5, 27
μάλιστα ὅτι ἀπὸ τῆς μανιώδους ἀπειρίας εἰς τοσοῦτον ἔφθασαν, ἵνα κατέναντι τοῦ μυστηρίου τῆς σωτηρίας τῶν ἀνθρώπων ἡ τῆς ἐνσαρκώσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀλήθεια ἀρνηθήσηται καὶ ὁ τῆς ἀρχαίας πίστεως κῆρυξ καὶ ἔκδικος, ἐπειδὴ οὐ συνέθετο ταῖς βλασφημίαις ἄστινας πρὸ πολλοῦ οἱ ἅγιοι πατέρες ἡμῶν εἰς πολλοὺς αἱρετικοὺς καθεῖλαν, ὑποβληθείη ὕβρεσιν, ἐν ὧι δηλαδὴ πάντων τῶν τοῦ κυρίου ἱερέων ἡ αἰδὼς τύπτεται καὶ ὅλα τὰ μέλη τοῦ σώματος τοῦ Χριστοῦ *. ἀλλ' ἐπειδὴ ἔνδοξον ἡμῖν ἐστιν, εἴ τι ἂν ἡμᾶς παθεῖν ὁ θεὸς βουληθείη, ὑπὲρ τῆς ἀληθείας ὑπενέγκαι, εἰς κοινωνίαν ὑμᾶς τῆς ὑπομονῆς πατρικαῖς προτροπαῖς παρακαλούμεθα, ἵνα διὰ τῆς ἀγάπης ὑμῶν πᾶσιν τοῖς τῶι θεῶι δουλεύουσιν ἅπερ ἐγράψαμεν, φανερωθείη, ἵνα τοῖς ἐχθροῖς τοῦ εὐαγγελίου ἀνθεστηκότες μήτε τοῦ ποιμένος τὴν ἀγάπην μήτε τὴν μονάδα τῆς κα-

16 primus edidit I. B. Cotelier in Monum. eccl. gr. 1, 64. Latinum exemplar extat in Leon. ep. 24 [= Epist. ante Gesta Coll. 26]

HX

1 στόματοσ H σώματοσ X 4 ἀποληφθήσεται HX ἐκδικία Cotelier ἐκκλησία HX 9 κατέχητε HX 10 οὔτινος H οἵτινεσ X

14 φαυστίνω HX 15 πρεσβυτέρω HX, corr. H 18 εἶναι H ἦν X 19 ὑμῶν ἐπαγγελίας addidi secundum Λ 20 τὰ] τῆ HX ἀποβαλεῖσθαι HX, ἀποβάλεισθε Hcorr 28 ἀπειρίας scripsi αἰτίασ HX 30 ἀρνήσηται X ἀρνήσεται H 33 excidit *pulsantur* 35 ἡμᾶσ HX προκαλούμεθα H 36 δουλεύωσιν X ἅπερ ἐγράψαμεν] ἀπεγράψαμεν H ὑπεγράψαμεν X 37 ἀντιστηκότεσ H ἀντεστικότοσ X

θολικῆς πίστεως καταλείψητε, ἐπειδὴ ἐκεῖνα τὰ ἐν Ἐφέσωι ἐπὶ τοῦ παρόντος κατέναντι τῆς ἀληθείας καὶ τῶν κανόνων τῆς ἐπιστήμης δι' ἑνὸς ἀνθρώπου ἄμετρον δυναστείαν πεπραγμένα οὐδεμία τῆς καθολικῆς πίστεως ἀκολουθία δεκτέα εἶναι συγχωρεῖ.

Ἀρχὴ συνόδου τῆς ἐν Χαλκηδόνι

17 Ἴσον σάκρας ἀποσταλείσης παρὰ τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου βασιλέως Μαρκιανοῦ πρὸς τοὺς ἁπανταχοῦ θεοφιλεστάτους ἐπισκόπους περὶ τοῦ συνελθεῖν πάντας εἰς τὴν Νικαέων = Epist. coll. M 13

18 Ἴσον βασιλικοῦ γράμματος ἀποσταλέντος παρὰ τῆς εὐσεβεστάτης καὶ φιλοχρίστου βασιλίδος καὶ αὐγούστης Πουλχερίας πρὸς τὸν κονσουλάριον Βιθυνίας Στρατήγιον περὶ τοῦ φροντίσαι τῆς κατὰ τὴν σύνοδον εὐταξίας πρὸ τοῦ δόξαι ἀπὸ τῆς Νικαέων εἰς τὴν Χαλκηδονέων μεταστῆναι τὴν σύνοδον = Epist. coll. M 15

19 Ὁμοίως ἴσον βασιλικοῦ γράμματος δευτέρου πεμφθέντος τῆι ἁγίαι συνόδωι τῆι ἐν Νικαίαι συνδραμούσηι περὶ τοῦ δεῖν μετελθεῖν εἰς τὴν Χαλκηδονέων = Epist. coll. M 14

20 Ὁμοίως ἴσον βασιλικοῦ γράμματος τρίτου καταπεμφθέντος ἐν Νικαίαι τῆι ἁγίαι συνόδωι, ἔτι τοῦ εὐσεβεστάτου βασιλέως κατὰ τὴν Θράικην ἐπεχομένου, περὶ τοῦ δεῖν ἀνυπερθέτως μετελθεῖν ἐν τῆι Χαλκηδονέων = Epist. coll. M 16

21 Ἴσον ἐπιστολῆς τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου ἀρχιεπισκόπου τῆς Ῥωμαίων Λέοντος γραφείσης πρὸς τὴν ἁγίαν καὶ οἰκουμενικὴν σύνοδον, ἥτις κομισθεῖσα διὰ τῶν θεοφιλεστάτων ἐπισκόπων Πασκασίνου καὶ Λουκηνσίου καὶ Βονιφατίου πρεσβυτέρου Ῥώμης ἀνεγνώσθη ἐπὶ τῆς ἁγίας συνόδου = Epist. coll. M 17

HX

4 συνό(δ) τῆ HX 6 ἁπανταχῆ H 10 δόξαι] διῶξαι X 15 ἐπερχομένου X 18 εἴτισ H 19 πρεσβυτέρων H

GESTA ACTIONIS PRIMAE

M = Codex Venetus 555 s. XI
B = Codex Vindobonensis hist. gr. 27 s. XII
P = Codex Parisinus 415 s. XII [P^1 in epistulis Cyrilli ad calcem codicis positis]
p = Codex Venetus 165 s. XV ex P descriptus
S = Codex Sinaiticus 1690 s. XIII
H = Codex Musei Britannici Arundelianus 529 s. XII
X = Codex Parisinus 1115 s. XII
U = Codex Vaticanus 712 s. XIIII
Λ^n = Collectio Nouariensis de re Eutychis [uol. II 1]
Φ = Gestorum Chalcedonensium uersio Latina [uol. III]
Φ^a = uersio antiqua
Φ^c = uersio antiqua correcta
Φ^r = uersionis antiquae correctae editio Rustici

Ἀρχὴ τῆς συνόδου Χαλκηδόνος

1 Ὑπατείαι τοῦ δεσπότου ἡμῶν Μαρκιανοῦ τοῦ αἰωνίου αὐγούστου καὶ τοῦ δηλω- L IIII 77
θησομένου τῇι πρὸ ὀκτὼ Εἰδῶν Ὀκτωβρίων ἐν Χαλκηδόνι M VI 564
d. 8. m. Oct.
κατὰ κέλευσιν τοῦ θειοτάτου καὶ εὐσεβεστάτου δεσπότου ἡμῶν Μαρκιανοῦ τοῦ a. 451
αἰωνίου αὐγούστου συνελθόντων ἐν τῇι ἁγιωτάτηι ἐκκλησίαι τῆς ἁγίας μάρτυρος Εὐφη-
μίας τῶν ἐνδοξοτάτων ἀρχόντων, τουτέστιν

2 1 τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου στρατηλάτου καὶ ἀπὸ ὑπάτων καὶ πατρι-
κίου Ἀνατολίου
2 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἐπάρχου τῶν ἱερῶν πραιτωρίων
Παλλαδίου
3 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἐπάρχου πόλεως Τατιανοῦ
4 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου μαγίστρου τῶν θείων ὀφφικίων Βινκο-
μάλου
5 καὶ τοῦ μεγαλοπρεπεστάτου μαγίστρου Μαρτιαλίου
6 καὶ τοῦ μεγαλοπρεπεστάτου κόμητος τῶν καθωσιωμένων δομεστίκων Σποράκιου
7 καὶ τοῦ μεγαλοπρεπεστάτου κόμητος τῶν θείων πριουάτων Γενεθλίου

προσέτι δὲ καὶ τῆς ἐνδόξου συγκλήτου, τουτέστιν

8 τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἀπὸ ἐπάρχων καὶ ὑπάτων καὶ πατρικίου
Φλωρεντίου
9 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἀπὸ ὑπάτων καὶ πατρικίου Σενάτορος
10 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἀπὸ μαγίστρων καὶ ὑπάτων καὶ
πατρικίου Νόμου
11 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἀπὸ ἐπάρχων καὶ ὑπάτων καὶ πατρι-
κίου Πρωτογένους
12 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἀπὸ ἐπάρχων Ζωίλου
13 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἀπὸ ἐπάρχων πόλεως Θεοδώρου M VI 565
14 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἀπὸ ἐπάρχων Ἀπολλωνίου
15 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἀπὸ πραιποσίτων Ῥωμανοῦ
16 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἀπὸ ἐπάρχων Ἰλλυρικοῦ Θεοδώρου
17 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἀπὸ ἐπάρχων πραιτωρίων Κωνσταν-
τίνου
18 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἀπὸ πραιποσίτων Ἀρτάξου

MBPSΦ

1 ἀρχὴ — χαλκηδόνοσ MPS πρᾶξισ πρώτη B 2 ὑπατεία B ὑπατείασ MPS 3 ἰδῶν M 5 ἁγιωτάτησ MPS 7 στρατηγοῦ B καὶ om. B καὶ om. MPS 10 πολλαδίου M 12/13 βινκομάλλου M βιγκομάλλου PS βιγκομάλου B 14 om. MPS 15 μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου MPS σπαρακίου M σφωρακίου B 17 ἐνδοξοτάτησ B 18 ἐπάρχου P 20 πατρικίων MPS σεννάτοροσ M^{corr}B 22 πατρικίων MPS μόνου M νόννου BPS 23 ὑπάτων καὶ ἐπάρχων B ἐπάρχων S 23/24 πατρικίων MPS 25 ὑπάρχων M ἐπάρχου S 29 om. MPS

19 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἀπὸ ἐπάρχων Ἰλλυρικοῦ Εὐλογίου,
3 συνελθούσης δὲ καὶ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τῆς κατὰ θεῖον θέσπισμα ἐν τῇι Χαλκηδονέων πόλει συναθροισθείσης, τουτέστιν

L IIII 80 1—5 Πασκασίνου καὶ Λουκινσίου τῶν εὐλαβεστάτων ἐπισκόπων καὶ Βονιφατίου τοῦ εὐλαβεστάτου πρεσβυτέρου ἐπεχόντων τὸν τόπον τοῦ ὁσιωτάτου καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου τῆς πρεσβυτέρας Ῥώμης Λέοντος καὶ Ἀνατολίου τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου τῆς μεγαλωνύμου πόλεως Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ Διοσκόρου τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου τῆς μεγαλοπόλεως Ἀλεξανδρείας καὶ τῶν λοιπῶν ὁσιωτάτων καὶ εὐλαβεστάτων ἐπισκόπων, τουτέστιν

6 Μαξίμου Ἀντιοχείας Συρίας
7 Ἰουβεναλίου Ἱεροσολύμων
8 Κυντίλλου Ἡρακλείας Μακεδονίας ἐπέχοντος τὸν τόπον Ἀναστασίου ἐπισκόπου Θεσσαλονίκης
9 Θαλασσίου Καισαρείας Καππαδοκίας
10 Στεφάνου Ἐφέσου
11 Λουκιανοῦ Βύζης ἐπέχοντος τὸν τόπον Κυριακοῦ ἐπισκόπου Ἡρακλείας Θράικης
12 Εὐσεβίου Ἀγκύρας Γαλατίας
13 Διογένους Κυζίκου
14 Πέτρου Κορίνθου
15 Φλωρεντίου Σάρδεων
16 Εὐνομίου Νικομηδείας
17 Εὐσεβίου καὶ Κωνσταντίνου πρεσβυτέρων ἐπεχόντων τὸν τόπον Ἀναστασίου ἐπισκόπου Νικαίας
18 Ἐλευθερίου Χαλκηδόνος
19 Ἰουλιανοῦ τῆς Κώιων πόλεως ἐπέχοντος καὶ αὐτοῦ τὸν τόπον τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης Λέοντος
20 Βασιλείου Σελευκείας Ἰσαυρίας
21 Μελετίου Λαρίσσης ἐπέχοντος τὸν τόπον Δόμνου ἐπισκόπου Ἀπαμείας Συρίας
22 Ἀμφιλοχίου Σίδης
23 Θεοδώρου Ταρσοῦ
24 Κύρου Ἀναζάρβου
25 Κωνσταντίνου Βόστρων
26 Φωτίου Τύρου
M VI 568 27 Θεοδώρου Δαμασκοῦ
28 Στεφάνου Ἱερᾶς πόλεως
29 Νόννου Ἐδέσσης
30 Συμεώνου Ἀμίδης
31 Ἐπιφανίου ἐπισκόπου ἐπέχοντος τὸν τόπου Ὀλυμπίου ἐπισκόπου Κωνσταντίας
32 Ἰωάννου Σεβαστείας
33 Σελεύκου Ἀμασείας
34 Κωνσταντίνου Μελιτηνῆς
35 Πατρικίου Τυάνων

MBPSΦ

1 ἀπὸ om. B ἐπάρχου B 4 πασχασίνου P πασκασίου B πασχασίου S 5 ὁσιωτάτου] ἁγιωτάτου B 6 τοῦ ἀρχιεπισκόπου M 7 πόλεως om. MPS 8 τῆς om. B 10 Συρίας om. BΦ^{a} 12 ἐπισκόπου om. B 24 καλχηδόνοσ MPS 26 πρεσβύτιδοσ MPS Λέοντος om. B 27 ἰσαυρίασ σελευκείασ MPS 28 λαρίσησ MP, corr. M 31 Κύρου] τύρου MPS 32 κωνσταντίου B 35 ἱεραπόλεωσ S 37 συμεωνίου B 38 ἐπισκόπου^{1} om. B 41 κωνσταντίου B

36 Πέτρου Γαγγρῶν
37 'Απραγμονίου ἐπέχοντος τὸν τόπον Καλογήρου ἐπισκόπου Κλαυδιουπόλεως
38 'Αταρβίου Τραπεζοῦντος ἐπέχοντος τὸν τόπον Δωροθέου ἐπισκόπου Νεοκαισαρείας
39 Φωτεινοῦ ἀρχιδιακόνου ἐπέχοντος τὸν τόπον Θεοκτίστου ἐπισκόπου Πεσσινοῦντος
40 'Ρωμανοῦ Μύρων L IIII 81
41 Κριτωνιανοῦ 'Αφροδισιάδος Καρίας
42 Νουνεχίου Λαοδικείας Φρυγίας
43 Μαρινιανοῦ Συννάδων
44 'Ονησιφόρου 'Ικονίου
45 Περγαμίου 'Αντιοχείας Πισιδίας
46 'Επιφανίου Πέργης
47 'Αττικοῦ Νικοπόλεως 'Ηπείρου
48 Μαρτυρίου Γορτύνης
49 Λουκᾶ Δυρραχίου
50 Κωνσταντίνου Δημητριάδος ἐπέχοντος τὸν τόπον Βιγιλαντίου ἐπισκόπου Λαρίσσης Θεσσαλίας
51 Φραγκίωνος Φιλιππουπόλεως
52 Σεβαστιανοῦ Βεροίας
53 Βασιλείου Τραιανουπόλεως
54 Τρύφωνος Χίου ἐπέχοντος τὸν τόπον 'Ιωάννου ἐπισκόπου 'Ρόδου
55 Θεοκτίστου Βεροίας Συρίας
56 Γεροντίου Σελευκείας Συρίας
57 Εὐσεβίου πρεσβυτέρου ἐπέχοντος τὸν τόπον Μακαρίου ἐπισκόπου Λαοδικείας Συρίας
58 Εὐσεβίου Δορυλαίου
59 Σάβα Πάλτου
60 Πέτρου Γαβούλα
61 Σωφρονίου Κωνσταντίνης
62 Πατρικίου Νεοκαισαρείας
63 Μάρα 'Ανασάρθας
64 'Ρωμύλου Χαλκίδος
65 Εὐσταθίου Βηρυτοῦ
66 Λεοντίου 'Ασκάλωνος
67 'Αννιανοῦ Καπετωλιάδος
68 Ζεβέννου Πέλλης
69 'Ιωάννου Τιβεριάδος
70 'Αντιόχου "Αρκης
71 Βηρύλλου 'Αιλᾶ
72 'Αρέτα 'Ελούσης
73 Μουσωνίου Σηγῶρ

MBPSΦ

3 ἐπισκόπου om. B 5 ἐπισκόπου om. B πισσινοῦντος B πισινοῦντος P συνοῦντος S 7 κριτωιανοῦ B κρητωνιανοῦ MPSΦ, corr. M 9 μαριανοῦ P συνάδων BP 11 περγάμου B τῆσ πισιδίασ B 15 δυρρακίου MPS 16 κωνσταντίου B βιγιλλαντίου B 18 φιλιππο-πόλεωσ MPS, corr. M 19 βερροίασ MB 22 βερροίασ B 24 μαρκιανοῦ B 26 δο-ρυλλαίου BPS 28 γαμβούλα M 32 ἀνασάρθησ PS 34. 32. 33 coll. B 35 ἀνιανοῦ B 36 ζεβίνου B 38 ἄλκησ B 39 ἀειλᾶ MPS

M VI 569
74 Ῥουφίνου Βίβλου
75 Παγκρατίου Λιβιάδος
76 Ζωσίμου Μινωίδος
77 Πολυχρονίου Ἀντιπατρίδος
78 Ἰωάννου Γαδάρων
79 Παύλου Ἀνθηδόνος
80 Φωτεινοῦ Λύδδης
81 Ἡρακλείου Ἀζώτου
82 Μαρκιανοῦ Γεράρων
83 Στεφάνου Ἰαμνίας
84 Ἐπικτήτου Διοκλητιανουπόλεως
85 Ῥωμανοῦ Εὐδοξιουπόλεως
86 Θεοδώρου Κλαυδιουπόλεως Ἰσαυρίας
87 Ἰουλίου Κελενδέρεως
88 Τυράννου Γερμανικουπόλεως
89 Ἰωάννου Διοκαισαρείας
L 84 90 Ἀκακίου Ἀντιοχείας,
91 Ἐπιφανίου Κέστρων
92 Αἰλιανοῦ Σελινοῦντος
93 Γαίου Συέδρων
94 Ἀμμωνίου Ἰωτάπης
95 Ματάλου Φιλαδελφείας
96 Μάρκου Ἀρεθούσης
97 Τιμοθέου Βαλανέων
98 Εὐσεβίου Σελευκοβήλου
99 Εὐτυχιανοῦ Ἐπιφανείας
100 Παύλου Μαριάμμης
101 Λαμπαδίου Ῥαφανέων
102 Ἀλεξάνδρου Σεβαστῆς
103 Φιλίππου Ἀδάνης
104 Ὑπατίου Ζεφυρίου
105 Θεοδώρου Αὐγούστης
106 Χρυσίππου Μαλλοῦ
107 Ἰουλιανοῦ Ῥωσοῦ
108 Πολυχρονίου Ἐπιφανείας
109 Ἰωάννου Φλαβιάδος
110 Ἰνδάμου Εἰρηνουπόλεως
111 Σωφρονίου χωρεπισκόπου ἐπέχοντος τὸν τόπον Βασσιανοῦ ἐπισκόπου Μοψουεστίας
112 Πρόκλου Ἀδράων
113 Εὐλογίου Φιλαδελφείας
114 Θεοδοσίου Κανώθας
115 Ὁρμίσδου Φιλιππουπόλεως
116 Δαμιανοῦ Σιδῶνος

MBPSΦ
1 βύβλου PS 2 λιβυάδοσ MPS 3 μηνοίδοσ MPS μηνοίδησ B 7 λύδησ S 8 ἀδώτου PS 9 γεράνων PS 10 ἰαμνείασ PS 15 γερμανικοπόλεωσ B 19 ιλιανοῦ M Ιουλιανοῦ PS σελινοῦντοσ BΦ^{a} σεληνοῦντοσ MPSΦ^{cr} 22 ματάλλου B *Megalo* Φ 37 εὐδήμου B *Indimo* Φ 38 βασιανοῦ PS βασιλείου B 41 θεοδοσίου BΦ θεοδότου MPS

117 Θεοδώρου Τριπόλεως
118 'Ολυμπίου Πανεάδος
119 Παύλου Πτολεμαίδος
120 Παύλου 'Αράδου
121 Θωμᾶ Πορφυρεῶνος
122 Πορφυρίου Βοτρύων
123 Φωσφόρου 'Ορθωσιάδος
124 Πορφυρίου ἀρχιδιακόνου **ἐπέχοντος τὸν τόπον Οὐρανίου ἐπισκόπου** 'Εμίσης
125 'Ιωσὴφ 'Ηλιουπόλεως
126 'Ιορδάνου 'Αβίλης
127 Βαλερίου Λαοδικείας
128 Θωμᾶ Εὐαρίας
129 'Ρουφίνου Σαμοσάτων
130 'Ιωάννου Γερμανικείας
131 Τιμοθέου Δολίχης
132 Εὐολκίου Ζεύγματος
133 'Αθανασίου Πέρρης
134 Ζεβέννου Μαρτυροπόλεως
135 Καιουμᾶ Μαρκουπόλεως
136 'Ιωάννου Καρρῶν
137 'Αβραμίου Κιρκησίου
138 'Ιωάννου Σαρακηνῶν
139 Νώου Χηφᾶ
140 'Ιέρακος 'Αφναίου
141 Σαβίνου δουλου
142 'Απολλωνίου Τάνεως
143 "Ηρωνος Θεννήσου
144 'Αθανασίου Βουσίρεως
145 Πασμηίου Παράλου
146 'Ισιδώρου Σεθροίτου
147 Θεοφίλου Κλεοπατρίδος
148 Θεοδούλου * Πενταπόλεως
149 'Ιανουαρίου Λεόντων
150 'Ιωάννου Ψινχάου
151 Αὐσονίου Σεβεννύτου
152 'Ισαὰκ Ταύα
153 Εὐλογίου 'Αθρίβεως
154 'Ησαίου 'Ερμουπόλεως
155 Στεφάνου Γέρως
156 Νεστορίου Φραγόνεως

M VI 572

L IIII 85

MBPSΦ

8 τὸν om. S ἐμέσησ BPS 11 λαβερίου B 12 εὐαρείασ M 16 εὐολκίου BΦ εὐορκίου MPS 17 πέργησ PSΦ^{ac} 18 ζεβένου B 19 post 21 coll. B μαρκοπόλεωσ MPS 20 καρῶν B 21 κιρκισίου MPS 23 νόου PS πώου B χιφα PS 24—26 om. Φ^{a} 25 δούλου MΦ^{cr} δούλυ P om. S βοτοῦ B κοπτιτῶν 4, 25 [*doctitorum* Φ^{r}] 27 θεννησίου B 32 *Theodoro* Φ^{a} et nota Rustici lacunam posui πενταπόλεωσ BΦ^{a} ἐλούσησ MPS nota Rustici *pentapoleos tesila* Φ^{cr} 33 Ιαννουαρίου BS λεόντων MPSΦ^{r} λεοντῶ BΦ^{ac} 34 ψίνχουσ B 40 φραγονέοσ M φλεγονέωσ B

M VI 576 235 Νικολάου 'Ακαρασσέων **ἐπέχοντος καὶ τὸν τόπον Στεφάνου Λιμύρων**
236 Ζηνοδότου Τελμισσοῦ
237 Φρόντωνος Φασηλιτῶν
238 Φιλίππου Βαλβουρέων
L IIII 89 239 Θεοδώρου 'Αντιφέλλου
240 Λεοντίου 'Αράξων
241 'Αντιπάτρου Καύνου
242 'Ανδρέου Τλωέων
243 'Ρωμανοῦ Βουβονέων
244 Νικίου Μεγάρων
245 'Αθανασίου 'Οποῦντος
246 Δομνίνου Πλαταιῶν
247 'Ονησίμου Ἄργους
248 Μάρκου Εὐροίας
249 Περεγρίνου Φοινίκης
250 Εὐτυχίου 'Αδριανουπόλεως
251 Κλαυδίου 'Ανχιάσμου
252 Σωτηρίχου Κερκύρας
253 Διονυσίου 'Αντιοχείας
254 'Ιωάννου 'Αλίνδων
255 Φλακίλλου 'Ιασσοῦ
256 Παπίου 'Ερίζων
257 Διονυσίου 'Ηρακλείας Λάτμου
258 Μενάνδρου 'Ηρακλείας Σαλβάκης
259 Εὐπειθίου Στρατονικείας
260 'Ιωάννου 'Αμαζόνος
261 Τυγχανίου 'Απολλωνιάδος
262 Θεοδωρήτου 'Αλαβάνδων
263 'Ιωάννου Κνίδου
264 'Ιουλιανοῦ πρεσβυτέρου **ἐπέχοντος τὸν τόπον Καλανδίωνος 'Αλικαρνασοῦ**
265 Δανιήλου Κάδων
266 Μοδέστου Σεβαστῆς
267 Παύλου 'Αριστίου
268 Εὐλαλίου Σιβλίας
269 Χάρητος Διονυσιουπόλεως
270 'Ιωάννου Τραπεζουπόλεως
271 Γενναδίου 'Ακμονέων
272 Θωμᾶ Θεοδοσιουπόλεως
273 Γενναδίου Μοσσύνων

MBPSΦ

1 ἀκαρασέων B καρασσέων S τὸν τόπον καὶ P τὸν τόπον B λιβύρων B 2 ζηνοδώρου B τελμίσου S τερμίσσου B 4 βαλβουρέων PSΦ^{cr} βαρβουρέων MBΦ^{a} 5 ἀντιφέλων B 8 τλοαίων M τλοέων PS τρωέων B γλωέων Φ 12 πλατεῶν MBP πλατιέων S 14 εὐροίασ B ἐθροίασ M αἰθροίασ P ὀρθροίασ S 16 ἀνδριανουπόλεωσ S 17 κλαδέου MΦ^{r} ανχιασμου M ἀγχιασμοῦ PS ἀγχιέσμου B 20 ἀλύδων B 21 φαρκίλου B ἰάσου B 22 ὁρίζων B 23 λάγμου BPSΦ 24 ἡρακλείου σαρβάκησ B cf. Φ^{r} 25 εὐπιθίου MB 26 ἀμαζῶνοσ M 28 θεοδωρίτου MB^{corr}P λαβανδῶν S 31—p. 64, 3 post p. 64, 23 coll. S 31 κάλων B 32 δομέστου B 33 πάλλου B 34 σιρβίασ B 35 χάριτοσ PS 36 τραπεζοπόλεωσ MPS, corr. M 37 ἀκμωνέων M^{corr}

274 Εὐάνδρου Διοκλείας
275 Γεροντίου Βασιλινουπόλεως
276 Ἀλφειοῦ Μύνδου
277 Θεοκτίστου πρεσβυτέρου ἐπέχοντος τὸν τόπον **Διογένους Ὀρθωσιαίων**
278 Φιλοθέου πρεσβυτέρου ἐπέχοντος τὸν τόπον **Ζωτικοῦ Ἀριασσοῦ** 5
279 Μείρου Εὐλάνδρων
280 Λουκιανοῦ Ἴψοῦ
281 Φιλίππου Λυσιάδος
282 Ἐπιφανίου Μιδαείου
283 Ἀβερκίου Ἱεραπόλεως 10
284 Κυριακοῦ Εὐκαρπίας
285 Εὐστοχίου Δοκιμίου
286 Ἀκύλου Αὐρόκρων
287 Βασιλείου Νακωλείας
288 Στρατηγίου Πολυβώτου M VI 577
289 Νεοπτολέμου Κόρνων 16
290 Παύλου Δέρβης
291 Πλουτάρχου Λύστρων
292 Εὐγενίου Κάνων
293 Ῥούφου Ὕδης 20
294 Τυράννου Οὐμανάδων
295 Ἀχολίου Λαράνδων L IIII 92
296 Εὐτροπίου Ἀδάδων
297 Παύλου Φιλομηλίου
298 Παυλίνου Ἀπαμείας 25
299 Θεοτέκνου Τυραείου
300 Ἑορτικίου Μητροπόλεως
301 Κύρου Σινιάνδου
302 Λιβανίου Παρλάου
303 Ἀλεξάνδρου Σελευκείας 30
304 Ὀλυμπίου Σωζοπόλεως
305 Φοντηιανοῦ Σαγαλασσοῦ
306 Ἀδήλου χωρεπισκόπου ἐπέχοντος τὸν τόπον **Μεσσαλίνου ἐπισκόπου Λαοδικείας**
307 Βασσωνᾶ Νέας πόλεως
308 Φλωρεντίου Ἀδριανουπόλεως 35
309 Μωιανοῦ Λιμένου
310 Εὐελπίστου χωρεπισκόπου ἐπέχοντος τὸν τόπον Φλωρεντίου ἐπισκόπου Τενέδου

MBPS Φ

1 εὐανδρίου B 2 βασιλειδουπόλεωσ B 4 ὀρθωσιέων P' ὀρθοσιαίων M ὀρθοσιέων B ὀρθασιέων S 5 ἐλιασσοῦ B 6—8 om. PS 6 μέρου B εὐλάδρων M 7 εἰψοῦ M 9 μιδαῖου MPS μηδαϊου B 10 ἱεροπόλεωσ M 13 εὐρόκλων B 14 νακολίασ M νακολείασ PS 15 πολυβάτου MPS, corr. M πολυβήτου B 17 βέρβησ B 20 οἴδησ MPS 21 οὐμανάδων MP εὐμανάδων S μανάδων M^{corr} οὐμάδων B 22 ἀσχολίου B λαδάρων B 24 φιλομιλίου MPS 25 παυλίνου B 3, 1^{260}. 4, 1^{260}. 6, 1^{278} μυλίνου MPS Φ 26 τυραίου M τυρέου PS ταυρέου B 28 ἐνιάνδρου B 29 λιβάνου MPS παρλάου MB παρπαζλάου P παρπαλάου S 32 om. PS φροντινιανοῦ B *frontisiano* Φ σαγαλάσου B 33 *adilo* Φ αδήτου MPS ἀδόλου B μεσσαλίου M μεσαλίου PS μεσαλίνου B 34 βασωνᾶ M βασσών PS νεαπόλεωσ B 35 ἀνδριανουπόλεωσ S 36 μωιανοῦ MPS Φ^{a} μουιανοῦ B *maiano* Φ^{cr}

311 Σωτηρᾶ Θεοδοσιανῆς ἐπέχοντος τὸν τόπον καὶ Ἡλίου ἐπισκόπου Ἀμαθοῦντος καὶ Προεχίου ἐπισκόπου Ἀρσινόης
312 Ἐπαφροδίτου Ταμάσσου ἐπέχοντος τὸν τόπον καὶ Διδύμου ἐπισκόπου Λαπύθου
313 Διονυσίου διακόνου ἐπέχοντος τὸν τόπον Φωτεινοῦ ἐπισκόπου Κύθρων
314 Ἰωάννου Μεσσήνης
315 Ὠφελίμου Τεγέας
316 Εἰρηναίου Ναυπάκτου
317 Κυρίλλου Σούβριτος
318 Γενναδίου Κνωσσοῦ
319 Εὐσεβίου Ἀπολλωνίας
320 Δημητρίου Λάππης
321 Εὐφράτου Ἐλευθέρνης ἐπέχοντος τὸν τόπον καὶ Παύλου ἐπισκόπου Καντάνου
322 Σώιζοντος Φιλίππων
323 Εὐσεβίου Δουβήρων
324 Μαξιμίνου Σερρῶν
325 Νικολάου Στοβῶν
326 Δαρδανίου Βαργάλων
327 Ἰωάννου Παρθικουπόλεως
328 Ὀνωράτου Θάσου
329 Θεοφίλου Ἀριεσσοῦ
330 Νέωνος Σιλλύου
331 Διοδότου Λυσινέων
332 Μάρα Κοδραύλων
333 Παύλου Πούγλων
334 Μαρκελλίνου Ἰσίνδων
335 Μακεδόνος Μαγύδου
336 Εὐδοξίου Ἐτέννων
337 Εὐγενίου Κοτέννων
338 Μαρκελλίνου Κοραλλίας
339 Ὀβρίμου Κορακησίου
340 Πέτρου Ἐχιναίου
341 Αὐρηλίου Ἄφρου
342 Εὐσταθίου ἔθνους Σαρακηνῶν
M VI 580 343 Ῥεστιτιανοῦ Ἄφρου
Πάντες οἱ συναχθέντες ἐπίσκοποι ἐν Χαλκηδόνι *

L IIII 93 4 καὶ καθεσθέντων τῶν μεγαλοπρεπεστάτων καὶ ἐνδοξοτάτων ἀρχόντων καὶ τῆς ὑπερφυοῦς συγκλήτου ἐν τῶι μέσωι πρὸ τῶν καγκέλλων τοῦ ἁγιωτάτου

MBPS Φ
1 ἡλιάδου B 2 προσεχίου B προερχίου S ἐπισκόπου om. B 3 ταμάσου BPS λαπίθου B 4 φωτίνου M φωτίου B 5 μεσήνης BPS 8 σούβρητοσ P 9 κνώσου MP, corr. M κνοσοῦ S 11 Λάππης Φ^{r} πάλπης MPS λάμπης BΦ^{ac} 12 ἐλευθερίνης B κατάνης PS 14 δουμήρων S δεβήρων B 17 γαρβάλων B 18 παρθικοπόλεωσ B 19 θάσσου MPS θαλοῦ B 20 ἀριέσου B 21 σιλύου B 23 κοδρύλων B *cf.* Φ 24 ποέλων B *pollis* Φ^{ac} *pollorum* Φ^{r} 25 ἰσίνων B Ισσηδόνοσ PS 26 μαρτύρων B 27 post 25 coll. Φ^{ac} ἐτεπῶν B 28 κοτένων B 29 μαρκελλίνου BΦ μαρκιανοῦ MPS κεραλίασ B 30 ὁμβρίμου B cf. notam Rustici 31 ἐχηναίου P ἐχηναίων S 34 *Restitiano* Φ ῥεστιγιανοῦ MPS cf. notam Rustici ἀρεστιανοῦ B 35 om. B χαλκηδόνι P καλχηδόνι M χαλκηδόνι χλ S, qua lectione demonstratur uerum numerum propter ficticium [cf. Timotheum Aelurum apud Lebon, le monophysisme séuérien p. 104] eiectum esse, *CCCLIII* Φ 37 ὑπερφυεστάτης MPS συνκλήτου S

θυσιαστηρίου, καὶ ἐκ μὲν τοῦ εὐωνύμου αὐτῶν μέρους καθεσθέντων τῶν ὁσιωτάτων τοποτηρητῶν τοῦ θεοφιλεστάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς πρεσβυτέρας Ῥώμης Λέοντος καὶ Ἀνατολίου τοῦ θεοσεβεστάτου ἀρχιεπισκόπου τῆς βασιλευούσης Κωνσταντινουπόλεως καὶ Μαξίμου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀντιοχείας καὶ Θαλασσίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Καισαρείας καὶ Στεφάνου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἐφέσου καὶ τῶν λοιπῶν εὐλαβεστάτων ἐπισκόπων τῆς τε Ἀνατολικῆς καὶ Ποντικῆς καὶ Ἀσιανῆς καὶ Θραικικῆς τῶν διοικήσεων ἄνευ τῶν Παλαιστηνῶν, ἐκ δὲ τοῦ δεξιοῦ αὐτῶν μέρους ὁμοίως καθεσθέντων Διοσκόρου τοῦ εὐλαβεστάτου ἀρχιεπισκόπου Ἀλεξανδρείας καὶ Ἰουβεναλίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἱεροσολύμων καὶ Κυντίλλου τοῦ εὐλαβεστάτου ἐπισκόπου τοποτηροῦντος Ἀναστασίῳ τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ Θεσσαλονίκης καὶ Πέτρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Κορίνθου καὶ τῶν λοιπῶν τῶν τε τῆς Αἰγυπτιακῆς διοικήσεως καὶ τοῦ Ἰλλυρικοῦ, ἔτι μὴν καὶ τῶν Παλαιστηνῶν εὐλαβεστάτων ἐπισκόπων, προκειμένου ἐν τῷ μέσῳ τοῦ ἁγιωτάτου καὶ ἀχράντου εὐαγγελίου,

* * * τούτων τοίνυν Ἑλληνιστὶ ἑρμηνευθέντων διὰ Βερονικιανοῦ τοῦ καθωσιωμένου σηκρηταρίου τοῦ θείου κονσιστωρίου

5 Πασκασῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος καὶ φύλαξ τοῦ ἀποστολικοῦ θρόνου, ὡς ἔστη ἐν μέσῳ μετὰ καὶ τῶν συνελθόντων αὐτῷ, ἔφη· Τοῦ μακαριωτάτου καὶ ἀποστολικοῦ ἐπισκόπου τῆς Ῥωμαίων πόλεως κεφαλῆς ὑπάρχοντος πασῶν τῶν ἐκκλησιῶν προστάξεις ἔχομεν ἐν αἷς κατηξίωσεν διαλαλῆσαι ὅπως Διόσκορος μὴ συγκαθεσθῇ τῷ συνεδρίῳ, εἰ δὲ ἐπιχειρήσοι τοῦτο τολμῆσαι, ἐκβληθείη. τοῦτο ἀναγκαῖον ἡμᾶς παραφυλάξαι. εἰ παρίσταται τοίνυν τῇ ὑμετέραι μεγαλειότητι, ἢ ἐκεῖνος ἐξέλθῃ ἢ ἡμεῖς ἔξιμεν. M VI 581

6 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ περιφανέστατοι συγκλητικοὶ εἶπον· Ποία γὰρ ἰδικὴ μέμψις ἐπάγεται Διοσκόρῳ τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ;

7 Πασκασῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος καὶ φύλαξ τοῦ ἀποστολικοῦ θρόνου εἶπεν· Αὐτοῦ εἰσελθόντος ἀναγκαῖόν ἐστιν ἐκείνῳ ἀντιτεθῆναι.

8 Οἱ λαμπρότατοι ἄρχοντες καὶ περιφανέστατοι συγκλητικοὶ εἶπον· Κατὰ τὰ ἤδη διαλαληθέντα ἰδικῶς ἡ αἰτία φανερούσθω ἐν ᾗ ὑπόκειται. L IIII 96

9 Λουκίνσιος ὁ εὐλαβέστατος ἐπίσκοπος ἐπέχων τὸν τόπον τῆς ἀποστολικῆς καθέδρας εἶπεν· Τῆς ἰδίας κρίσεως λόγον ἀποδότω. πρόσωπον γὰρ ἥρπασεν τοῦ κρίνειν, ὅπερ οὐκ ἐκέκτητο· σύνοδον ἐτόλμησεν ποιῆσαι ἐπιτροπῆς δίχα τοῦ ἀποστολικοῦ θρόνου, ὅπερ οὐδέποτε γέγονεν οὐδὲ ἐξὸν γενέσθαι.

10 Πασκασῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος ἐπέχων τὸν ἀποστολικὸν θρόνον εἶπεν· Ἡμεῖς ὑπεναντίον τῶν προσταγμάτων τοῦ μακαριωτάτου καὶ ἀποστολικοῦ ἐπισκόπου

30—32 ipsa Latina uerba praebet Rusticus in nota

MBPSΦ

1 μέρουσ αὐτῶν B 3 θεοσεβεστάτου MPΦ θεοφιλεστάτου BS 4 βασιλίδοσ B 5 ἀρχιεπισκόπου B 6 ἐπισκόπου om. M ἐφέσων PS 7 ἀνατολῆσ S 10 ἐπισκόπου² om. B 11 Ἀναστασίωι om. B 12 λοιπῶν] λοιπῶν εὐσεβεστάτων ἐπισκόπων B τῶν τε τῆσ MPS τῆσ τε B 14 ἀχράντου καὶ ἁγιωτάτου S 15/16 τούτων — κονσιστωρίου om. M 15 τούτων τοίνυν PS οἱ ῥωμαῖοι ἀναστάντες διελάλησαν τῶν οὖν διαλαληθέντων B; asteriscos posui loco interlocutionis Latinae, cuius interpretationem postea intrusam esse proditur constructione inter 16 κωνσιστωρίου et 23 οἱ ἐνδοξότατοι interrupta βερινικιανοῦ S 17 πασκάσιοσ B πασχασῖνοσ PS καὶ om. MPS ὡς om. PS 18 τῶ μέσω B 21 ἐπιχειρήσει S ὑμᾶσ B 22 ἢ om. B ἐξέλθοι M 23 ἰδικὴ] ἢ δίκη ἢ B 25 πασκάσιοσ B πασχασῖνοσ PS 26 ἐκείνω ἀντιτεθῆναι MPS ἡμᾶσ ἐξελθεῖν B 27 καὶ οἱ B κατὰ om. MPS, corr. M 31 οὐ κέκτητο S σύνοδον B nota Rustici καὶ σύνοδον MPSΦ τοῦ] τῆσ S 32 οὐδὲ — γενέσθαι om. B 33 πασκάσιοσ B πασχασῖνοσ PS

καὶ χειρίζοντος τὸν ἀποστολικὸν θρόνον ἐλθεῖν οὐ δυνάμεθα οὔτε μὴν ὑπεναντίον τῶν ἐκκλησιαστικῶν κανόνων ἢ πατρικῶν πραραδόσεων.

11 Οἱ λαμπρότατοι ἄρχοντες καὶ περιφανέστατοι συγκλητικοὶ εἶπον· Ἁρμόζει ὑμᾶς ἰδικῶς τί ἔπταισεν, σαφηνίσαι.

12 Λουκίνσιος ὁ εὐλαβέστατος ἐπίσκοπος καὶ τὸν ἀποστολικὸν θρόνον ἐπέχων ἔφη· Οὐχ ὑπομένομεν τοσαύτην ὕβριν γενέσθαι ὑμῖν τε καὶ ἡμῖν, ὥστε καθεσθῆναι τοῦτον τὸν ἐπὶ κρίσει παραγενόμενον.

13 Οἱ λαμπρότατοι ἄρχοντες καὶ περιφανέστατοι συγκλητικοὶ εἶπον· Εἰ δικαστοῦ ἐπέχεις πρόσωπον, ὡς δικαζόμενος οὐκ ὀφείλεις δικαιολογεῖσθαι.

14 Καὶ Διοσκόρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀλεξανδρείας κατὰ κέλευσιν τῶν ἐνδοξοτάτων ἀρχόντων καὶ τῆς ἱερᾶς συγκλήτου καθεσθέντος ἐν τῶι μέσωι καὶ καθεσθέν-
M VI 584 των τῶν Ῥωμαίων εὐλαβεστάτων ἐπισκόπων ἐν τοῖς ἰδίοις τόποις καὶ ἡσυχασάντων, Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Δορυλαέων πόλεως παρελθὼν ἐν τῶι μέσωι εἶπεν· Τὴν σωτηρίαν ὑμῖν τῶν δεσποτῶν τῆς οἰκουμένης, κελεύσατε τὰς δεήσεις τὰς ἐμὰς ἀναγνωσθῆναι, καθὼς παρέστη τῶι εὐσεβεστάτωι βασιλεῖ. ἠδίκημαι παρὰ Διοσκόρου· ἠδίκηται ἡ πίστις· ἐφονεύθη Φλαβιανὸς ὁ ἐπίσκοπος· ἅμα ἐμοὶ καθηιρέθη ἀδίκως παρ' αὐτοῦ. κελεύσατε τὰς δεήσεις μου ἀναγνωσθῆναι.

15 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Ἀναγινωσκέσθωσαν αἱ δεήσεις.

Καὶ καθεσθέντος ἐν τῶι μέσωι Εὐσεβίου τοῦ εὐλαβεστάτου ἐπισκόπου κατὰ κέλευσιν πάντων Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου λαβὼν παρ' αὐτοῦ τὰς δεήσεις ἀνέγνω

16 Τοῖς φιλοχρίστοις καὶ εὐσεβεστάτοις βασιλεῦσιν ἡμῶν Φλαβίοις Βαλεντινιανῶι καὶ Μαρκιανῶι τοῖς αἰωνίοις αὐγούστοις παρὰ Εὐσεβίου τοῦ ἐλαχίστου ἐπισκόπου Δορυλαίου ποιουμένου τὸν λόγον ὑπέρ τε ἑαυτοῦ καὶ τῆς ὀρθοδόξου πίστεως καὶ ὑπὲρ τοῦ ἐν ὁσίοις Φλαβιανοῦ τοῦ γενομένου ἐπισκόπου Κωνσταντινουπόλεως. Σκοπὸς τῶι ὑμετέρωι κράτει ἁπάντων μὲν τῶν ὑπηκόων προνοεῖν καὶ χεῖρα ὀρέγειν ἅπασιν τοῖς ἀδικουμένοις, μάλιστα δὲ τῶν εἰς ἱερωσύνην τελούντων, καὶ ἐν τούτωι τὸ θεῖον θεραπεύοντες, παρ' οὗ τὸ βασιλεύειν ὑμῖν καὶ κρατεῖν τῶν ὑφ' ἡλίωι δεδώρηται. ἐπεὶ οὖν πολλὰ καὶ δεινὰ καὶ παρὰ πᾶσαν ἀκολουθίαν ἡ εἰς Χριστὸν πίστις καὶ ἡμεῖς πεπόνθαμεν παρὰ
L III 97 Διοσκόρου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀλεξανδρέων μεγαλοπόλεως, πρόσιμεν τῆι ὑμετέραι εὐσεβείαι τῶν δικαίων ἀξιοῦντες τυχεῖν. τὰ δὲ τοῦ πράγματος ἐν τούτοις. ἐπὶ τῆς ἔναγχος γενομένης συνόδου ἐν τῆι Ἐφεσίων μητροπόλει, ἣν ὄφελόν γε ἦν μὴ γενέσθαι, ἵνα μὴ κακῶν καὶ ταραχῆς τὴν οἰκουμένην ἐμπλήσηι, ὁ χρηστὸς Διόσκορος παρ' οὐδὲν θέμενος τὸν τοῦ δικαίου λόγον καὶ τὸν τοῦ θεοῦ φόβον, ὁμόδοξος ὢν καὶ ὁμόφρων Εὐτυχοῦς τοῦ ματαιόφρονος καὶ αἱρετικοῦ, λανθάνων δὲ τοὺς πολλούς, ὡς

14—17 pleniorem interlocutionis formam praebet Rusticus in notis

MBPSΦ

2 καὶ B 4 τί — σαφηνίσαι] τὴν αὐτοῦ πλάνην ἐκθέσθαι B 5 λουκήνσιοσ M ἐπέχων θρόνον S 6 ὑμῖν — ἡμῖν BΦ ἡμῖν — ὑμῖν MPS 8 εἰ] εἰ φυλάττεισ τὸ πρόσωπον τοῦ ἄρχοντοσ οὐκ ὀφείλεισ ὡσ κριτὴσ ἀποφαίνεσθαι εἰ B 10 καὶ MSΦ^{cr} τούτων [pertinet ad interlocutiones legatorum Romanorum] τοίνυν ἑρμηνευθέντων διὰ βερονικιανοῦ τοῦ καθωσιωμένου μαγιστριανοῦ καὶ σηκρηταρίου τοῦ θείου συνεδρίου καὶ B cf. Φ^{a} 13 δορυλλαίων B 15 παρέστην M^{corr} 16 ὁ om. M καθήρηται B 18 ὑπερφυεστάτη B εἶπεν MPS 22 ἀνέγνω λαβὼν — δεήσεισ B 23 ἔγκλησισ κατὰ διοσκόρου S in mg. φλαυβίοισ MPS οὐαλεντινιανῶ B 25 δορυλλαίου MBPS, corr. M αὐτοῦ B 27 πᾶσι B 28 τούτω γὰρ B 28/29 θεραπεύεται B 29 τὸ] τῶ S 30 καὶ^{2} om. B 33 ἐπὶ] ἐπεὶ M ὤφελόν S γε BP τε MS 36 ἕωσ B

ὕστερον ἑαυτὸν ἐφανέρωσεν, εὑρὼν καιρὸν τὴν γεγενημένην παρ' ἐμοῦ κατὰ Εὐτυχοῦς τοῦ ὁμοδόξου αὐτοῦ κατηγορίαν καὶ τὴν ἐπ' αὐτῶι ἐξενεχθεῖσαν ψῆφον παρὰ τοῦ τῆς ὁσίας μνήμης Φλαβιανοῦ τοῦ ἐπισκόπου, πλῆθος ἀτάκτων ὄχλων συναγαγὼν καὶ δυνα- M VI 585
στείαν ἑαυτῶι διὰ χρημάτων πορισάμενος, τήν τε εὐσεβῆ θρησκείαν τῶν ὀρθοδόξων τό γε ἧκον εἰς αὐτὸν ἐλυμήνατο καὶ τὴν κακοδοξίαν Εὐτυχοῦς τοῦ μονάζοντος, ἥτις ἄνωθεν καὶ ἐξ ἀρχῆς παρὰ τῶν ἁγίων πατέρων ἀπεκηρύχθη, ἐβεβαίωσεν. ἐπεὶ οὖν οὐ μικρὰ τὰ τετολμημένα αὐτῶι κατά τε τῆς εἰς Χριστὸν πίστεως καὶ καθ' ἡμῶν, δεόμεθα καὶ προσπίπτομεν τῶι ὑμετέρωι κράτει θεσπίσαι τὸν εὐλαβέστατον ἐπίσκοπον Διόσκορον ἀπολογήσασθαι τοῖς παρ' ἡμῶν αὐτῶι ἐπαγομένοις, δηλαδὴ τῶν παρ' αὐτοῦ καθ' ἡμῶν πεπραγμένων ὑπομνημάτων ἀναγινωσκομένων ἐπὶ τῆς ἁγίας συνόδου, δι' ὧν δυνάμεθα ἀποδεῖξαι αὐτὸν καὶ ἀλλότριον ὄντα τῆς ὀρθοδόξου πίστεως καὶ αἵρεσιν ἀσεβείας πεπληρωμένην κρατύναντα καὶ ἀδίκως ἡμᾶς καθελόντα καὶ τὰ δεινὰ ἡμᾶς κατεργασάμενον, θείων καὶ προσκυνουμένων ὑμῶν μανδάτων καταπεμπομένων τῆι ἁγίαι καὶ οἰκουμενικῆι συνόδωι τῶν θεοφιλεστάτων ἐπισκόπων, ἐφ' ὧι τε ἡμῶν καὶ τοῦ προειρημένου Διοσκόρου διακοῦσαι καὶ ἀνενεγκεῖν εἰς γνῶσιν τῆς ὑμετέρας εὐσεβείας πάντα τὰ πραττόμενα πρὸς τὸ παριστάμενον τῆι ἀθανάτωι ὑμῶν κορυφῆι. καὶ τούτου τυχόντες ἀδιαλείπτους εὐχὰς ἀναπέμψομεν ὑπὲρ τοῦ αἰωνίου ὑμῶν κράτους, θειότατοι βασιλεῖς.

17 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Διαλυέσθω τὰ ἐπαγόμενα.

18 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἐκέλευσεν ὁ εὐσεβέστατος βασιλεὺς σύνοδον συγκροτηθῆναι, καὶ δὴ συγκεκρότηται κατὰ θεῖον νεῦμα τοῦ εὐσεβεστάτου βασιλέως ἡμῶν. περὶ δὲ τῶν πεπραγμένων διὰ τὸν γενόμενον ἐπίσκοπον τῆς Κωνσταντινουπόλεως ἁγίας ἐκκλησίας Φλαβιανὸν ὑπομνήματά εἰσι πεπραγμένα ἐν τῆι ἁγίαι συνόδωι καὶ παρακαλῶ ταῦτα ἀναγνωσθῆναι.

19 Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπεν· Τὰ αὐτὰ καὶ ἡμεῖς ἐξαιτούμεν.

20 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Πάντα τὰ ἐν τῆι ὑποθέσει ταύτηι παρακολουθήσαντα κατὰ τάξιν ἀναγινωσκέσθω.

21 Καὶ πρὸ τῆς ἀναγνώσεως Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Παρακαλῶ τὴν ὑμετέραν μεγαλοπρέπειαν ἐν πρώτοις τὰ τῆς πίστεως γυμνασθῆναι.

22 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Τέως πρὸς τὴν κατηγορίαν ἀποκρίνασθαί σε προσήκει· ὅθεν περίμεινον τὴν τῶν πεπραγμένων γενέσθαι ἀνάγνωσιν, ὅπερ καὶ αὐτὸς γενέσθαι ἐξήιτησας.

23 Κωνσταντῖνος ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου εἶπεν· Ἔστι τὰ θεῖα γράμματα τὰ διαφόρως ἀποσταλέντα περὶ τῆς συνόδου τῆς πρώην γενομένης μετὰ χεῖρας καὶ ἀναγνώσομαι.

Καὶ ἀπὸ κώδικος ἀνέγνω

MBPSΦ

3/4 πορισάμενοσ ἑαυτῶ δυναστείαν διὰ χρημάτων B 7 αὐτῶι om. B 7/8 προσπίπτωμεν MS 9 ἐπιφερομένοισ B καθ' ἡμῶν παρ' αὐτοῦ B 11 δεῖξαι B καὶ om. B ὄντα om. B 12 εἰσ ἡμᾶσ PS ἡμῖν B 14 τε ἡμῶν MPS ἡμῶν τε B 14/15 προηρημένου M 17 ἀναπέμψωμεν M 18 εἶπεν MPS 20 ἀπόκρισισ διοσκόρου S in mg. ἀρχιεπίσκοποσ B 21 συγκεκρότηται BΦ συγκροτεῖται MPS 23 τῆς om. B 25 δορυλλαίου BPS 27 εἶπεν MPS 28 ἀναγινωσκέσθωσαν B 29 Ἀλεξανδρείας om. S 30 εὐπρέπειαν B 31 ὑπερφυεστάτη B εἶπεν MPS 32 γενέσθαι om. B 33 ἐξήτησασ γενέσθαι B 34 μαγιστριανὸσ καὶ σηκρητάριοσ B κονσεισιτορίου M κονσισταρίου S εἶπεν: περὶ τῆσ ἐν ἐφέσω δευτέρασ λέγει συνόδου M 35 πσρὰ PS 36 ἐπὶ PS ἀναγνωσόμεθα B

L VI 100 M VI 588 'Ο τῆς θείας λήξεως Θεοδόσιος Διοσκόρωι τῶι εὐλαβεστάτωι ἐπισκόπωι 'Αλεξανδρείας

24 Αὐτοκράτορες Καίσαρες Θεοδόσιος καὶ Οὐαλεντινιανὸς νικηταὶ τροπαιοῦχοι μέγιστοι ἀεισέβαστοι αὔγουστοι Διοσκόρωι. Ἅπασι δῆλον καθέστηκεν ὅτιπερ ἡ τῆς ἡμετέρας πολιτείας κατάστασις καὶ πάντα τὰ ἀνθρώπινα τῆι περὶ τὸ θεῖον εὐσεβείαι συνέχεταί τε καὶ κρατύνεται καὶ τοῦ κρείττονος εὐμενοῦς τυγχάνοντος δεξιῶς καὶ κατὰ γνώμην προβαίνειν πέφυκεν καὶ διοικεῖσθαι τὰ πράγματα. βασιλεύειν τοίνυν παρὰ τῆς θείας λαχόντες προνοίας, τῆς τῶν ὑπηκόων εὐσεβείας τε καὶ εὐπραγίας ἀναγκαίως πλείστην ὅσην φροντίδα ποιούμεθα, ὥστε καὶ τὴν ἀληθῆ θρησκείαν καὶ τὴν καθ' ἡμᾶς πολιτείαν τῆι περὶ τὸ κρεῖττον εἰλικρινεῖ θεραπείαι τε καὶ εὐσεβείαι συγκροτουμένας ἐκλάμπειν. ἐπὶ τοῦ παρόντος τοίνυν ἀνακυψάσης ἐξαίφνης ἀμφιβολίας τινὸς εἰς τὴν τοῦ καθολικοῦ καὶ ἀποστολικοῦ δόγματος τῆς ἡμετέρας ὀρθοδόξου πίστεως παραφυλακήν, ἥτις, ὡς εἰκός, διαφόροις ἐννοίαις ἀνθέλκουσα διαταράττει καὶ συγχεῖ τὰς τῶν ἀνθρώπων αἰσθήσεις τε καὶ ψυχάς, οὐκ ἀνεκτὸν νομίσαντες τὸ τοιοῦτον ἀτόπημα παριδεῖν, ὡς ἂν μὴ τοῦτο παροφθὲν εἰς ὕβριν αὐτοῦ τοῦ κρείττονος ἀνατρέχειν δόξειεν, ἐθεσπίσαμεν κατὰ ταυτὸν συνελθόντων ὁσιωτάτων καὶ θεοφιλεστάτων ἀνδρῶν, οἷς πλεῖστος εὐσεβείας τε καὶ τῆς ὀρθοδόξου καὶ ἀληθινῆς πίστεως λόγος καθέστηκεν, πᾶσαν μὲν τοιαύτην ἀκριβοῦς ζητήσεως προτεθείσης διαλυθῆναι ματαίαν ἀμφισβήτησιν, τὴν δὲ ἀληθινὴν καὶ τῶι θεῶι φίλην, τουτέστι τὴν ὀρθόδοξον κρατυνθῆναι πίστιν. καὶ ἡ σὴ τοιγαροῦν ὁσιότης προσλαβοῦσα σὺν ἑαυτῆι δέκα μὲν εὐλαβεστάτους ἐπισκόπους τῶν ὑπὸ τὴν αὐτὴν διοίκησιν μητροπολίτας, ἑτέρους δὲ δέκα ὁσιωτάτους ἐπισκόπους λόγωι τε καὶ βίωι κεκοσμημένους, ὀρθότητι καὶ τῆς ἁπλανοῦς καὶ ἀληθινῆς πίστεως εἰδήσει τε καὶ διδασκαλίαι παρὰ πᾶσιν ἐκλάμποντας, ταῖς πλησίον Καλάνδαις Αὐγούσταις τὴν 'Εφεσίων μητρόπολιν τῆς 'Ασίας καταλαβεῖν ἀνυπερθέτως σπουδάσει, μηδενὸς ἑτέρου δηλαδὴ παρὰ τοὺς προειρημένους τῆι ἁγιωτάτηι συνόδωι παρενοχλήσοντος, ὡς ἂν πάντων ὁμοῦ τῶν ὁσιωτάτων καὶ θεοφιλεστάτων ἐπισκόπων, οὓς συνελθεῖν διὰ θείων ἡμῶν συλλαβῶν ἐθεσπίσαμεν, κατὰ τὴν προγεγραμμένην συνδραμόντων πόλιν καὶ ἀκριβεστάτην προθέντων ἔρευνάν τε καὶ ζήτησιν πᾶσα μὲν ἐκποδὼν σκαιὰ γένηται πλάνη, κρατυνθείη δὲ καὶ συνήθως ἐκλάμψοι τὸ τῆς ὀρθοδόξου καὶ ἀληθινῆς καὶ προσφιλεστάτης τῶι σωτῆρι ἡμῶν Χριστῶι πίστεως δόγμα, ὅπερ ἅπαντες εἰς τὸν ἔπειτα χρόνον ἀρραγὲς καὶ ἀσάλευτον παραφυλάξουσιν εὐμενοῦς ὄντος τοῦ κρείττονος. εἰ δέ τις τὴν οὕτως ἀναγκαίαν καὶ τῶι θεῶι φίλην παριδεῖν ἕλοιτο σύνοδον καὶ μὴ πάσηι δυνάμει κατὰ τὸν προειρημένον καιρὸν τὸν ἀφορισθέντα καταλάβοι τόπον, οὐδεμίαν μὲν ἕξει πρὸς τὸ κρεῖττον ἢ πρὸς τὴν ἡμετέραν εὐσέβειαν ἀπολογίαν, ἱερατικὴν δὲ παραιτούμενος συλλογὴν οὐκ ἀγαθῶι συνειδότι

d. 1. m. Aug. a. 449

M VI 589

Sacrae praeter Φ extant tres uersiones ex ipsis concilii Ephesini gestis desumptae, una Latina in Collectione Nouariensi de re Eutychiana 10, 1 [Λ^n] et duae Syriacae, altera [Σ] in Gestis concilii illius [Abhdlg. d. Gött. Ges. d. Wiss. N. F. XVI p. 2. 4], altera apud Timotheum Aelurum in codice Mus. Brit. add. 12156 f. 52a

---

MB, P [usque ad 20 δέκα], p [inde a 20 ὁσιωτάτους], SΦΛ^nΣ

1 ἐπιστολὴ θεοδοσίου καὶ οὐαλεντινιανοῦ πρὸς διοσκόρον ἐπίσκοπον ἀλεξανδρείασ S^{mg} ὁ — ἀλεξανδρείασ MPSΦ om. BΛ^{n}Σ Tim. 2 Καίσαρες om. BΛ^n 5 τε om. B 7 εὐσεβείας] εἰρήνης Σ 9 εἰλικρινεῖ om. B συγκροτουμένην B 10 καὶ ἐπὶ BΣ ἐξαίφνης om. B 12 τε καὶ M συνέχει MPS, corr. M 14 δόξοιεν S δόξη B 16 καὶ ἀληθινῆς om. B 17 προτεθείσησ ζητήσεωσ B τῶι om. B 18 τὴν om. B 19 προλαβοῦσα S μὲν] μόνους Λ^n 20 βίου Σ 21 καὶ^1 om. B Tim. ἀληθοῦσ B ἔτι τε εἰδήσει B καὶ διδασκαλίαι om. B 22 πάντας ΣΦ^r 23 σπουδάσει ἀνυπερθέτωσ B 24 παρενοχλήσαντοσ S 26 πόλιν] πίστιν B 27 τε om. B 28 ἐκλάμψει S ἐκλάμψη B 29 μετέπειτα B 30 τῶι om. B 31 ὑπεριδεῖν B τὸν καιρὸν τὸν προειρημένον B 32 καταλάβη B καταλάβοιτο M καταλάβοι τὸν M^{corr}

τὴν ψυχὴν ἀναγκαίως πληγήσεται. Θεοδώρητον μέντοι τὸν ἐπίσκοπον Κύρου τῆς πόλεως, ὃν ἤδη ἐκελεύσαμεν τῇ ἰδίαι αὐτοῦ μόνῃ ἐκκλησίαι σχολάζειν, θεσπίζομεν μὴ L IIII 101 πρότερον ἐλθεῖν εἰς τὴν ἁγίαν συνόδον, ἐὰν μὴ πάσῃ τῇ ἁγίαι συνόδῳ συνελθούσῃ δόξῃ καὶ αὐτὸν παραγενέσθαι καὶ κοινωνὸν γενέσθαι τῆς αὐτῆς ἁγίας συνόδου· εἰ δὲ περὶ αὐτοῦ διχόνοιά τις ἀνακύψοι, χωρὶς αὐτοῦ τὴν ἁγίαν σύνοδον συνελθεῖν καὶ τυπῶσαι τὰ κελευσθέντα προστάττομεν.

Ἐδόθη τῇ πρὸ τριῶν Καλανδῶν Ἀπριλίων ἐν Κωνσταντινουπόλει μετὰ τὴν ὑπατείαν Ζήνωνος καὶ Ποστουμιανοῦ τῶν λαμπροτάτων d. 30. m. Mart. a. 449

25 Κωνσταντῖνος ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου εἶπεν· Τῶι αὐτῶι τύπωι ἐγράφη καὶ τοῖς ἄλλοις εὐλαβεστάτοις ἐπισκόποις ὥστε παραγενέσθαι εἰς τὴν σύνοδον.

26 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Εἰσίτω καὶ ὁ εὐλαβέστατος Θεοδώρητος κοινωνήσων τῇ συνόδῳ, ἐπειδὴ καὶ ἀποκατέστησεν αὐτῶι τὴν ἐπισκοπὴν ὁ ἁγιώτατος ἀρχιεπίσκοπος Λέων, καὶ ὁ θειότατος δὲ καὶ εὐσεβέστατος βασιλεὺς παρεῖναι αὐτὸν τῇ ἁγίαι συνόδῳ ἐθέσπισεν.

27 Καὶ εἰσελθόντος Θεοδωρήτου τοῦ εὐλαβεστάτου ἐπισκόπου οἱ Αἰγύπτιοι καὶ οἱ Ἰλλυρικιανοὶ καὶ Παλαιστηνοὶ εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Ἐλεήσατε, ἡ πίστις ἀπόλλυται. οἱ κανόνες τοῦτον ἐκβάλλουσιν. τοῦτον ἔξω βάλε. τὸν διδάσκαλον Νεστορίου ἔξω βάλε.

28 Οἱ Ἀνατολικοὶ καὶ Ποντικοὶ καὶ Ἀσιανοὶ καὶ Θρᾶικες εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Εἰς ἄγραφα ὑπεγράψαμεν. ἐτυπτήθημεν καὶ ὑπεγράψαμεν. τοὺς Μανιχαίους ἔξω βάλε. τοὺς ἐχθροὺς Φλαβιανοῦ ἔξω βάλε. τοὺς ἐχθροὺς τῆς πίστεως ἔξω βάλε.

29 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Κύριλλος διὰ τί ἐκβάλλεται ὁ παρὰ τούτου ἀναθεματισθείς;

30 Οἱ Ἀνατολικοὶ καὶ Ποντικοὶ καὶ Ἀσιανοὶ καὶ Θρᾶικες εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Διόσκορον τὸν φονέα ἔξω βάλε. Διοσκόρου τὰς πράξεις τίς οὐκ οἶδεν;

31 Οἱ Αἰγύπτιοι καὶ οἱ Ἰλλυρικιανοὶ καὶ Παλαιστηνοὶ εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Πολλὰ τὰ ἔτη τῆς αὐγούστας.

32 Οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Τοὺς φονέας ἔξω βάλε.

33 Οἱ Αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Ἡ αὐγούστα Νεστόριον ἐξέβαλεν, πολλὰ τὰ ἔτη τῆς ὀρθοδόξου. ἡ σύνοδος Θεοδώρητον οὐ δέχεται.

34 Θεοδώρητος ὁ εὐλαβέστατος ἐπίσκοπος παρελθὼν ἐν τῶι μέσωι εἶπεν· Δεήσεις M VI 592 ἐπιδέδωκα τοῖς θειοτάτοις καὶ εὐσεβεστάτοις καὶ φιλοχρίστοις δεσπόταις τῆς οἰκουμένης καὶ ἠιτιασάμην τὰς εἰς ἐμὲ γενομένας σφαγὰς καὶ ἀξιῶ ταύτας ἐξετασθῆναι.

---

1 ὅτι Θεοδώρητον προσέταξεν ὁ βασιλεὺς Θεοδόσιος ἐν τῇ συνόδῳ Ἐφέσου μὴ συνελθεῖν M^{mg} 12—15. 34—36 adfert Facundus 5, 3 p. 713

MBpSΦ, $Λ^{n}$ [usque ad 6], Σ Tim. [usque ad 8]

1 πληχθήσεται M θεοδώριτον MBp 2 μόνη αὐτοῦ B 4 ἁγίας om. Σ 5 ἀνακύψοι B ἀνακύψει pS ἀνακύψη M 7 τῇ om. B ἀπριλλίων BpS 10 καὶ τοῖς ἄλλοις ἐπισκόποις ἐγράφη B εὐλαβεστάτοις om. S 11 σύνοδον ἐν ἐφέσω B 12 μεγαλοφυὴς B εἶπεν MS εἰσιέτω MB, corr. M 13 θεοδώριτος Bp ut solent ἀπεκατέστησεν S 14 δὲ B om. MpS 15 ἐθέσπισε τῇ συνόδω B 17 ἰλλυρικοὶ B παλαιστινοὶ M, corr. M ἐλεήσατε ἐλεήσατε B 19 βάλετε B ut solet βάλλε M^{corr} ut solet 20 θράκης MpS 21 καθυπεγράψαμεν B 22 τοὺς ἐχθροὺς^{1} — βάλε om. B 26 καὶ θράκες καὶ ἀσιανοὶ S 28 οἱ^{2} om. B ἰλλυρικοὶ B παλαιστινοὶ M, corr. M 29 αὐγούστης BpS 30—32 Τοὺς — ἐξεβόησαν om. p 30 ἠτησάμην pS

35 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Θεοδώρητος ὁ εὐλαβέστατος ἐπίσκοπος τὸν οἰκεῖον ἀπολαβὼν τόπον παρὰ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς μεγαλωνύμου πόλεως Ῥώμης εἰσῆλθεν νῦν κατηγόρου τάξιν ἐπέχων, ὅθεν ἀνάσχεσθε ὑπὲρ τοῦ μὴ σύγχυσιν γενέσθαι τῇι ἀκροάσει τὰ ἀρχὴν λαβόντα περαιωθῆναι. πρόκριμα γὰρ ἀπὸ τοῦ παρεῖναι τὸν εὐλαβέστατον Θεοδώρητον οὐδενὶ γενήσεται, φυλαττομένου δηλονότι μετὰ ταῦτα παντὸς λόγου καὶ ὑμῖν καὶ ἐκείνωι, εἴ τινα ἀμοιβαίως ἐγγυμνάζειν βουληθείητε, εἰ καὶ τὰ μάλιστα ἐν τοῖς ἀγράφοις φαίνεται ὀρθοδοξίαν αὐτῶι μαρτυρῶν ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Ἀντιοχέων μεγαλοπόλεως.

36 Καὶ μετὰ τὸ καθεσθῆναι ἐν τῶι μέσωι Θεοδώρητον τὸν εὐλαβέστατον ἐπίσκοπον οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Ἄξιος ἄξιος.

L III 104 37 Οἱ Αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Μὴ λέγετε αὐτὸν ἐπίσκοπον, οὐκ ἐστιν ἐπίσκοπος. οὐκ ἐστιν ἐπίσκοπος. τὸν θεομάχον ἔξω βάλε. τὸν Ἰουδαῖον ἔξω βάλε.

38 Οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Τὸν ὀρθόδοξον τῆι συνόδωι. τοὺς ἀνασειστὰς ἔξω βάλε. τοὺς φονέας ἔξω βάλε.

39 Οἱ Αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Τὸν θεομάχον ἔξω βάλε. τὸν ὑβρίσαντα τὸν Χριστὸν ἔξω βάλε. πολλὰ τὰ ἔτη τῆς αὐγούστας. πολλὰ τὰ ἔτη τοῦ βασιλέως. τοῦ ὀρθοδόξου βασιλέως πολλὰ τὰ ἔτη. Κύριλλον οὗτος ἀνεθεμάτισεν.

40 Οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Τὸν φονέα Διόσκορον ἔξω βάλε.

41 Οἱ Αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς ἐπίσκοποι ἐξεβόησαν· Πολλὰ τὰ ἔτη τῆς συγκλήτου. φωνὴν οὐκ ἔχει. ἐπὶ πάσης τῆς συνόδου καθήιρηται.

42 Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος Τραιανουπόλεως Ῥοδόπης ἀναστὰς εἶπεν· Καὶ παρ' ἡμῶν Θεοδώρητος καθήιρηται.

43 Οἱ Αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Καὶ Κυρίλλου Θεοδώρητος κατηγόρησεν. Κύριλλον ἐκβάλλομεν, ἐὰν Θεοδώρητον λάβωμεν. οἱ κανόνες τοῦτον ἐξέβαλον. τοῦτον ὁ θεὸς ἀπεστράφη.

44 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Αἱ ἐκβοήσεις αἱ δημοτικαὶ οὔτε ἐπισκόποις πρέπουσιν οὔτε τὰ μέρη ὠφελήσουσιν. ἀνάσχεσθε τοίνυν πάντων τὴν ἀνάγνωσιν γενέσθαι.

45 Οἱ Αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Τὸν ἕνα ἐκβάλετε, καὶ πάντες ἀκούομεν. δι' εὐσέβειαν κράζομεν. διὰ τὴν ὀρθόδοξον πίστιν ταῦτα λέγομεν.

46 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Μᾶλλον ἀνάσχεσθε κατὰ θεὸν τὴν ἀκρόασιν γενέσθαι καὶ συγχωρήσατε πάντα κατὰ τάξιν ἀναγνωσθῆναι.

M VI 593 Καὶ ἡσυχασάντων πάντων Κωνσταντῖνος ὁ καθωσιωμένος μαγιστριανὸς καὶ σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀνέγνω ἀπὸ τοῦ αὐτοῦ κώδικος

MBpSΦ

1 εἶπεν MpS 2 θρόνον BS 3 πόλεωσ B om. MpS 7 ἐκγυμνάζειν pS 9 εὐλαβέστατον om. S 10 ἐβόησαν S 11 ἐβόησαν MpS 12 οὐκ ἐστιν ἐπίσκοπος om. BΦ 14 εὐλαβέστατοι om. B 15 βάλε B bis sicut ceteri 17 βάλε om. B βάλε om. B 17/18 αὐγούστησ BpS 20—22 τὸν φονέα — ἐξεβόησαν om. B 24 εἶπεν ἀναστὰσ B 25 θεοδώριτοσ Bp 26 Καὶ om. B 27 θεοδώριτοσ BS ἐκβάλομεν S θεοδώριτον BpS 29 ἡ om. S ὑπερφυεστάτη B εἶπεν MpS 30 ὠφελοῦσιν B 33 ἐκβάλλετε Mcorr 35 εἶπεν MpS 37 πάντων om. Bp 38 συγκρητάριοσ S

Θεῖον γράμμα γραφὲν Διοσκόρωι τῶι εὐλαβεστάτωι ἐπισκόπωι Ἀλεξανδρείας

47 Ἦλθεν εἰς ἀκοὰς τῆς ἡμετέρας γαληνότητος ὅτι πολλοὶ τῶν εὐλαβεστάτων κατὰ τὴν Ἑώιαν ἀρχιμανδριτῶν ἅμα τοῖς ὀρθοδόξοις λαοῖς πρὸς τινὰς λεγομένους νοσεῖν τὴν Νεστορίου δυσσέβειαν ἐπισκόπους ἐν τισὶν τῶν Ἀνατολικῶν πόλεων δυσχεραίνουσί τε καὶ ἀγωνίζονται ὑπὲρ τῆς ὀρθοδόξου πίστεως. τούτου τοίνυν ἕνεκα ἔδοξεν τῆι ἡμετέραι θειότητι τὸν θεοσεβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Βαρσουμᾶν ἐπὶ καθαρότητι βίου καὶ ὀρθοδόξωι πίστει εὐδοκιμοῦντα παραγενέσθαι εἰς τὴν Ἐφεσίων πόλιν καὶ τὸν τόπον ἐπέχοντα πάντων τῶν ἐν τῆι Ἀνατολῆι θεοσεβεστάτων ἀρχιμανδριτῶν συνεδρεῦσαι τῆι τε σῆι ὁσιότητι καὶ πᾶσι τοῖς ἐκεῖσε συνερχομένοις ἁγιωτάτοις πατράσιν οὕτω τε τὰ τῶι θεῶι ἀρέσκοντα περὶ πάντων τυπωθῆναι. καταξιωσάτω τοίνυν ἡ σὴ θεοσέβεια συνορῶσα ὡς πᾶσα ἡμῖν φροντὶς περὶ τῆς ὀρθοδόξου πίστεως καθέστηκεν, εὐμενῶς τε τὸν προειρημένον εὐλαβέστατον ἀρχιμανδρίτην ὑποδέξασθαι καὶ παρασκευάσαι αὐτὸν τῆς ὑμετέρας ἁγίας συνόδου κοινωνῆσαι.

Ἐδόθη Εἰδοῖς Μαίαις ἐν Θηράλλωι ὑπατείας Πρωτογένους τοῦ λαμπροτάτου καὶ τοῦ δηλωθησομένου d. 15. m. Mai. a. 449

Τῶι αὐτῶι τύπωι Ἰουβεναλίωι τῶι εὐλαβεστάτωι ἐπισκόπωι ἐκκλησίας Ἱεροσολύμων L III 105

Ὁ αὐτὸς ἀπὸ τοῦ αὐτοῦ κώδικος ἀνέγνω

Θεῖον γράμμα καταπεμφθὲν Βαρσουμᾶι τῶι εὐλαβεστάτωι ἀρχιμανδρίτηι

48 Οὐκ ἔλαθεν τὴν ἡμετέραν εὐσέβειαν ἐν οἵωι καθεστήκασιν ἀγῶνι οἱ ἐν τοῖς μέρεσιν τῆς Ἑώιας θεοσεβέστατοι καὶ ἁγιώτατοι ἀρχιμανδρῖται τῆς ὀρθοδόξου πίστεως ὑπερμαχοῦντες καὶ τινὰς τῶν ἐν ταῖς Ἀνατολικαῖς πόλεσιν ἐπισκόπους τὴν Νεστορίου δυσσέβειαν νοσοῦντας ἀποστρεφόμενοι, τῶν ὀρθοδόξων λαῶν συναγωνιζομένων τοῖς αὐτοῖς θεοσεβεστάτοις ἀρχιμανδρίταις. ἐπειδὴ τοίνυν καὶ ἡ σὴ ἁγιωσύνη διὰ τὴν ὀρθόδοξον πίστιν τοσοῦτον ὑπομεμένηκεν κάματον καὶ πρὸς τὴν ἡμετέραν εὐσέβειαν παρεγένετο, δίκαιον εἶναι νομίζομεν τὴν σὴν ὁσιότητα ἐπὶ καθαρότητι βίου καὶ ὀρθοδόξωι πίστει εὐδοκιμοῦσαν τὴν Ἐφεσίων καταλαβεῖν πόλιν καὶ τὸν τόπον ἐπέχουσαν πάντων τῶν ἐν τῆι Ἑώιαι θεοσεβεστάτων ἀρχιμανδριτῶν συνεδρεῦσαι τῆι ἐκεῖσε τυπωθείσηι συνελθεῖν ἁγίαι συνόδωι καὶ μετὰ τῶν ἄλλων ἁγίων πατέρων καὶ ἐπισκόπων τὰ τῶι θεῶι ἀρέσκοντα τυπῶσαι.

Ἐδόθη τῆι πρὸ μιᾶς Εἰδῶν Μαίων ἐν Ἀλεξανδριαναῖς d. 14. m. Mai. a. 449

---

47 extat uersio Latina [Λ^n] ex ipsis gestis Ephesenis desumpta in Collectione Nouariensi de re Eutychis 10, 10; praeterea adfertur a Timotheo Aeluro f. 52^b

---

MBpS, Tim. Λ^n [2—15]

1 ἐπιστολὴ παρὰ βασιλέως θεοδωσίου πρὸς διόσκορον S in mg. γραφὲν παρα τοῦ αὐτοῦ τῆσ θείας λήξεως θεοδοσίου τῶ — ἀλεξανδρείασ διοσκόρω περι τοῦ παραλαβεῖν βαρσουμᾶν τὸν εὐλαβέστατον ἀρχιμανδρίτην ἐν τῆ συνόδω τῆ ἐν ἐφέσω B τωῖ εὐλαβεστάτωι om. S 2 ὡσ B 2/3 κατὰ τὴν ἑώαν εὐλαβεστάτων B 4 ἐπισκόπους om. BΛ^n 9 τε om. B καὶ — πατράσιν om. pS 10 τῶι om. B 11 ἅπασα B 12 τὸν] τόν τε M^{corr}pS τότε M εὐλαβέστατον om. B 13 ἡμετέρασ BS 14 εἰδοῖσ [ιδοῖσ M] μαίαισ MpSΦ πρὸ ἑνδεκα καλανδῶν μαίων B PRID ID MAI Λ^n *d. 2. m. Mai.* Tim. ὑπατεία B τοῦ λαμπροτάτου om. B 16 τύπω MpSΦ τύπω ἐγράφη M^{corr} τύπω ἐγράφη καὶ B οὐβεναλίω p 18 ἀνέγνω ἀπὸ τοῦ αὐτοῦ κώδικοσ B 21 τοῖσ p 22 τοὺσ B ἐπισκόπων M 26 δίκαιον — νομίζομεν] δοκιμάζομεν B καὶ τὴν B θεοσέβειαν B 28 τυπωθῆναι B 31 τῆι om. B ἀλεξανδρίναισ B ἀλεξανδρεία pSΦ

M VI 596 Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀπὸ τοῦ αὐτοῦ κώδικος ἀνέγνω

Θεῖον ὑπομνηστικὸν δοθὲν Ἐλπιδίωι τῶι περιβλέπτωι κόμητι τοῦ θείου συνεδρίου

49 Τῆς μὲν ἤδη γενομένης πρότερον ἐν Ἐφέσωι ἁγίας συνόδου ἡ Νεστορίου τοῦ δυσσεβοῦς πρὸς τὸν θεὸν βλασφημία γέγονεν αἰτία καὶ διὰ τοῦτο τὴν ἀξίαν παρὰ τῶν συνελθόντων ἐκεῖσε ἁγίων πατέρων ἐδέξατο ψῆφον· ἐπειδὴ δὲ καὶ νῦν ἑτέρα πάλιν ἀμφισβήτησις κατὰ τῆς θείας ἐγήγερται πίστεως, τὴν δευτέραν ταύτην ἐν Ἐφέσωι γενέσθαι σύνοδον ἐθεσπίσαμεν, πάντηι τοῦ κακοῦ τὴν ῥίζαν ἀποτμηθῆναι σπουδάζοντες, ἵνα πανταχόθεν τὴν ταραχὴν ἐκβαλόντες τοῦ δόγματος καθαρὸν τῆς εὐχῆς φυλάττωμεν ἐπὶ τῶν λογισμῶν τὸ δίκαιον καὶ γένηται τοῦτο τῆς πολιτείας ἀσφάλεια καὶ τῶν ἀνθρώπινων καλῶν. διὰ τοῦτο τοίνυν τήν τε σὴν θαυμασιότητα καὶ Εὐλόγιον τὸν περίβλεπτον τριβοῦνον καὶ νοτάριον πραιτωριανὸν πρὸς τὴν τῆς πίστεως διακονίαν ἐπελεξάμεθα ὡς ὑπειλημμένους τά τε ἄλλα ὀρθῶς καὶ καθαρῶς τὰ κατὰ τὸ κρεῖττον θρησκεύοντας καὶ δυναμένους αὐτούς τε τοῖς ἡμετέροις κελεύσμασιν γνησίως διακονήσασθαι περὶ τῶν ἐν Ἐφέσωι παρὰ τῆς ἁγίας συνόδου πραττομένων καὶ μηδένα θόρυβον μηδαμόθεν συγχωρῆσαι γενέσθαι, ἀλλὰ καὶ εἴ τινα συνίδοιτε ταραχαῖς καὶ θορύβοις χρώμενον ἐπὶ βλάβηι τῆς ἁγιωτάτης πίστεως, τοῦτον ἐν ἀσφαλεῖ ποιήσασθαι καὶ γνωρίσαι ἡμῖν, καὶ ἐν τάξει μὲν προβῆναι τὰ τῆς ὑποθέσεως, παρεῖναι δὲ τῆι κρίσει καὶ παρασκευάσαι ταχεῖαν καὶ ἐπεσκεμμένην τὴν παρὰ τῆς ἁγίας συνόδου δοκιμασίαν γενέσθαι τε καὶ γνωρισθῆναι ἡμῖν, τῶν πρὶν δικασάντων Εὐτυχεῖ τῶι εὐλαβεστάτωι ἀρχιμανδρίτηι παρόντων μὲν καὶ ἡσυχαζόντων, τάξιν δὲ δικαστῶν μὴ ἐπεχόντων, ἀλλὰ τὴν κοινὴν πάντων τῶν
L IIII 108 ἄλλων ἁγίων πατέρων περιμενόντων ψῆφον, ἐπειδὴ τὰ παρ' αὐτῶν κεκριμένα νῦν δοκιμάζεται, μὴ ἐξεῖναι δὲ μηδὲν ἕτερον κινεῖν χρηματικὸν κεφάλαιον, πρὶν ἂν περαιωθῆναι τὰ τῆς ὀρθοδόξου πίστεως. διὰ τοῦτο γὰρ καὶ τὴν πολιτικὴν διὰ τῶν πρὸς τὸν περίβλεπτον ἀνθύπατον γραφέντων καὶ τὴν ἐν τοῖς τόποις ὑμῖν στρατιωτικὴν ἀπενείμαμεν βοήθειαν, ὥστε ὑμᾶς πρὸς ταῖς οἰκείαις σπουδαῖς καὶ ταύταις ὀχυρωθέντας ταῖς ἐπικουρίαις ἀρκέσαι δυνηθῆναι πρὸς τὴν τῶν προσταχθέντων πλήρωσιν τῶν ἄλλων ἁπάντων καλῶν ἀμείνω τυγχάνουσαν, ὅσωι τὰ θεῖα τῶν ἀνθρωπίνων, καὶ γνώριμα ἡμῖν καταστῆσαι τὰ ἐπὶ ταύτηι τῆι αἰτίαι πραττόμενα.

Τῶι αὐτῶι τύπωι Εὐλογίωι τῶι περιβλέπτωι τριβούνωι καὶ νοταρίωι

---

49 Commonitorii praeter Φ extat uersio Latina [Λ^n] in Collectione Nouariensi de re Eutychis 10, 14; praeterea adfert Timotheus Aelurus f. 53a

---

MBpSΦ, Λ^n [inde a 5, praeter 31], Tim. [3—30]

1 ὁ] ὁ αὐτὸσ B 5 ἐν ἐφέσω πρότερον B 6 τὸν om. B 7 ἁγιωτάτων BΛ^n 10 φυλάττοιμεν B 13 πραιτωριανὸν pSΛ^n πραιτοριανὸν M τῶν πραιτωρίων B Tim. om. Φ 15 τε om. B γνησίως om. B 17 συγχωρήσατε MpS, corr. M τινασ M 18 ἁγίασ B ἐπισφαλεῖ S γνωρίσαι] δηλῶσαι B 20 ἐπισκεμμένην S 21 εὐλαβεστάτωι] ἁγιωτάτω S 23 κεκριμμένα pS 24 χρηματικὸν κινεῖν B 26 τόποισ BΛ^n Tim. λοιποῖσ MpSΦ 26/27 ἀπενείμομεν M 27 ταύτησ S 30 subscriptio extat in Λ^n *data Idus Maias in Alexandrianis consulatu Protogenis clarissimi et qui fuerit nuntiatus* et apud Tim. ἐδόθη ἐν μηνὶ Μαίωι ἐν Ἀλεξανδρείαι

Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀπὸ τοῦ αὐτοῦ κώδικος ἀνέγνω

50 Θεῖα γράμματα Πρόκλωι τῶι περιβλέπτωι ἀνθυπάτωι Ἀσίας

Τῆς μὲν ἤδη γενομένης πρότερον ἐν Ἐφέσωι ἁγίας συνόδου ἡ Νεστορίου τοῦ M VI 597
δυσσεβοῦς πρὸς τὸν θεὸν βλασφημία γέγονεν αἰτία καὶ διὰ τοῦτο τὴν ἀξίαν παρὰ τῶν
συνελθόντων ἐκεῖσε ἁγίων πατέρων ἐδέξατο ψῆφον· ἐπειδὴ δὲ καὶ νῦν ἑτέρα πάλιν ἀμ-
φισβήτησις κατὰ τῆς θείας ἐγήγερται πίστεως, τὴν δευτέραν ταύτην ἐν Ἐφέσωι γενέσθαι
σύνοδον ἐθεσπίσαμεν, πάντηι τοῦ κακοῦ τὴν ῥίζαν ἀποτμηθῆναι σπουδάζοντες, ἵνα
πανταχόθεν τὴν ταραχὴν ἐκβαλόντες τοῦ δόγματος καθαρὸν τῆς εὐχῆς φυλάττωμεν
ἐπὶ τῶν λογισμῶν τὸ δίκαιον καὶ γένηται τοῦτο τῆς πολιτείας ἀσφάλεια καὶ τῶν ἀν-
θρωπίνων καλῶν. διὰ τοῦτο καὶ Ἐλπίδιον τὸν περίβλεπτον κόμητα τοῦ θείου ἡμῶν
συνεδρίου καὶ Εὐλόγιον τὸν περίβλεπτον τριβοῦνον καὶ νοτάριον πρὸς τὴν ὑπόθεσιν
ἐπελεξάμεθα ὡς πρέποντας τῆι εὐσεβείαι διακονήσασθαι, ἱκανῶς ἐπὶ ταύτηι μαρτυρη-
θέντας. οἷς βουλόμεθα πρὸς τὴν χρείαν παρὰ σοῦ συνεισενεχθῆναι βοήθειαν, ταραχὴν
μὲν ἐξελάσαι τῶν πραττομένων ἐπιτραπεῖσιν, μηδένα δὲ μηδαμόθεν συγχωρῆσαι γενέσθαι
θόρυβον κελευσθεῖσιν παρὰ τῆς ἡμετέρας γαληνότητος, παρ' ὧν εἰ καταμάθοιμεν ἡμελη-
κέναι σε τῶν θεσπισθέντων καὶ μὴ πρὸς ἃ βούλονται, διακονήσασθαι, σὴν βλάβην τὴν
σὴν ῥαθυμίαν γενέσθαι προστάξομεν.

Ὁ αὐτὸς καθωσιωμένος Βερονικιανὸς σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀπὸ τοῦ αὐτοῦ κώδικος ἀνέγνω

51 Τῆι ἁγιωτάτηι συνόδωι τῆι ἐν Ἐφέσωι. Ἐβουλόμεθα μὲν ἔξω πάσης ταραχῆς
τὰς ἁγίας τοῦ θεοῦ ἐκκλησίας καθεστάναι καὶ ὑμᾶς ταῖς ὑμετέραις ἁγιωτάταις ἐκκλησίαις
προσκαρτεροῦντας συνήθως τὰ πρὸς τὴν τοῦ κρείττονος θεραπείαν ἱερουργεῖν καὶ μὴ
τοσοῦτον ὑμῖν προσγενέσθαι πόνον τε καὶ συντριβήν· ἐπειδὴ δὲ ὁ θεοφιλέστατος ἐπίσκοπος
Φλαβιανὸς τινὰ περὶ τῆς ἁγίας πίστεως ἀνακινεῖν ἐβούλετο πρὸς τὸν εὐλαβέστατον
ἀρχιμανδρίτην Εὐτυχῆ καὶ κριτήριον συναγαγὼν τινὰ πράττειν ἤρξατο, ἡμεῖς μὲν πολ- L III 104
λάκις ἀποστείλαντες πρὸς τὸν αὐτὸν θεοφιλέστατον ἐπίσκοπον ἠβουλήθημεν ἀναστεῖλαι
τὴν κινουμένην ταραχήν, πεπεισμένοι ἀρκεῖν ἡμῖν τὴν παραδοθεῖσαν παρὰ τῶν ἁγίων
πατέρων τῶν ἐν Νικαίαι ὀρθόδοξον πίστιν, ἣν καὶ ἡ ἁγία σύνοδος ἡ ἐν Ἐφέσωι ἐβεβαίωσεν·
ἐπειδὴ δὲ πολλάκις ἡμῶν δυσωπούντων τὸν αὐτὸν θεοσεβέστατον ἐπίσκοπον ἀποστῆναι
τῆς τοιαύτης ζητήσεως, ὥστε μὴ τοῦτο αἴτιον γενέσθαι θορύβου πάσηι τῆι οἰκουμένηι,
οὐκ ἠνέσχετο, ἐννοήσαντες ὅτι περ οὔκ ἐστιν ἀσφαλὲς παρεκτὸς τῆς ἁγίας ὑμῶν συνόδου
καὶ τῶν πανταχοῦ πρωτεύοντων τῶν ἁγίων ἐκκλησιῶν τοιαύτην ζήτησιν περὶ πίστεως M VI 600

50 [inde a 11 διὰ τοῦτο]. 51 altera uersio Latina [Λ^n] extat in Coll. Nouariensi de re Eutychis 10, 15. 18 51 adfert Timotheus Aelurus f. 53b

MBpSΦ, Λ^n [praeter 1—11 καλῶν. 19. 20]

1 Βερονικιανὸς — κονσιστωρίου] ὁ αὐτὸσ καθωσιωμένοσ βερονικιανὸσ σηκρητάριοσ B 3 Θεῖα — Ἀσίας] θεῖον γράμμα καταπεμφθὲν πρὸσ πρόκλον ἀνθύπατον ἀσίασ περὶ τοῦ αὐτοῦ B ἀνθυπάτωι om. pS 5 πρὸσ θῦ B εἰσ τὸν θῦ MpS 6 ἁγιωτάτων B καὶ νῦν BΦ^{ac} νῦν καὶ MpS 9 ἐκβαλλόντεσ p φυλάττομεν MpS φυλάττοιμεν B 11/12 συνεδρίου ἡμῶν B 13 ἐξελεξάμεθα B 13/14 μαρτυρηθέντεσ S τὴν χρείαν τὴν S 16 μεγαλειότητοσ B καταμάθωμεν B 18 προστάξωμεν M 19/20 τοῦ — κονσιστωρίου om. B 19 κωνσισταρίου S 21 ἁγία B 22 κατεστῆναι S 23 τὰ om. B 25 ἁγίασ om. B 26 εὐτυχῆν Mp, corr. M 27 ἐβουλήθημεν pS 28/29 τῶν ἐν νικαίᾳ ἁγίων πατέρων B 29 καὶ ὀρθοδόξων Tim. 30 θεοφιλέστατον B ἐπίσκοπον om. S 31 τοῦτο] *ipse* Λ^n γενέσθαι αἴτιον B πάσησ τῆσ οἰκουμένησ BΛ^n Tim. 32 ἀσφαλῶσ S 33 ἁπανταχοῦ B τῆσ ἁγίασ ἐκκλησίασ B περὶ πίστεωσ om. Λ^n

ἀνακινεῖσθαι, ἀναγκαῖον ἐνομίσαμεν συνελθεῖν τὴν ὑμετέραν ἁγιωσύνην, ὥστε ὑμᾶς τὰ πεπραγμένα ἐνταῦθα καταμαθόντας καὶ τὴν κινηθεῖσαν ζήτησιν, πᾶσαν μὲν διαβολικὴν ἐκκόψαι ῥίζαν καὶ τοὺς τὴν τοῦ ἀσεβοῦς Νεστορίου βλασφημίαν ζηλοῦντας ἢ συγκροτοῦντας ἐκ τῶν ἁγίων ἐκκλησιῶν ἐκβαλεῖν, τὴν δὲ ὀρθόδοξον πίστιν βεβαίαν καὶ ἀσάλευτον τυπῶσαι παραφυλαχθῆναι, ἐπειδήπερ πᾶσα ἡ ἡμετέρα ἐλπὶς καὶ ἡ τῆς ἡμετέρας βασιλείας ἰσχὺς τῆς εἰς τὸν θεὸν ὀρθοδόξου πίστεως ἤρτηται καὶ τῶν ὑμετέρων ἁγίων προσευχῶν.

Ὁ αὐτὸς καθωσιωμένος Βερονικιανὸς σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀπὸ τοῦ αὐτοῦ κώδικος ἀνέγνω

52 Διοσκόρωι τῶι εὐλαβεστάτωι ἐπισκόπωι Ἀλεξανδρείας. Πρώην μὲν Θεοδώρητον τὸν ἐπίσκοπον Κύρου τῆς πόλεως ἐθεσπίσαμεν εἰς τὴν ἁγιωτάτην μὴ ἀπαντῆσαι σύνοδον, μέχρις ἂν τὰ δοκοῦντα ἐπ' αὐτῶι ἡ ἁγία τυπώσηι σύνοδος, ἀποστραφέντες αὐτὸν ὡς ἐπιχειρήσαντα ἐναντία ἐκθέσθαι οἷς συνέγραψεν περὶ τῆς πίστεως ὁ τῆς ἁγίας μνήμης Κύριλλος ὁ τῆς μεγαλοπόλεως Ἀλεξανδρέων γενόμενος ἐπίσκοπος· ἐπειδὴ δὲ ἐνδέχεται τινὰς τῶν τὰ Νεστορίου φρονούντων ἐπιχειρῆσαι σπουδὴν αὐτῶι συνεισενεγκεῖν εἰς τὸ ἐκ παντὸς τρόπου εἰς τὴν ἁγίαν παραγενέσθαι συνόδον, τούτου ἕνεκα ἀναγκαῖον ἡγησάμεθα τοῖσδε τοῖς θείοις γράμμασιν χρήσασθαι πρὸς τὴν σὴν θεοσέβειαν, δι' ὧν δῆλον ποιοῦμεν τῆι τε σῆι θεοσεβείαι καὶ πάσηι τῆι ἁγίαι συνόδωι ὅτιπερ ἡμεῖς ἑπόμενοι τοῖς κανόσι τῶν ἁγίων πατέρων οὐ μόνον ἕνεκα Θεοδωρήτου, ἀλλὰ καὶ τῶν ἄλλων πάντων τῶν ἀνηκόντων τῆι νῦν συναθροιζομένηι ἁγίαι συνόδωι τὴν αὐθεντίαν καὶ τὰ πρωτεῖα τῆι σῆι θεοσεβείαι παρέχομεν, ἐπιστάμενοι ἀκριβῶς ὡς καὶ ὁ θεοσεβέστατος ἀρχιεπίσκοπος Ἱεροσολύμων Ἰουβενάλιος καὶ ὁ θεοσεβέστατος ἀρχιεπίσκοπος Θαλάσσιος καὶ πᾶς τοιοῦτος θερμὸς τῆς ὀρθοδοξίας ἐραστὴς καὶ ζηλωτὴς ὁμογνώμονες ἔσονται τῆι σῆι ἁγιωσύνηι ἐκλαμπούσηι διὰ τὴν τοῦ θεοῦ χάριν ἐπί τε τῆι τοῦ βίου σεμνότητι καὶ τῆι ὀρθοτάτηι πίστει. τοὺς γὰρ κατά τι προσθήκην τινὰ ἢ μείωσιν τῶν ἐκτεθέντων περὶ τῆς πίστεως παρὰ τῶν ἁγίων ἐν Νικαίαι πατέρων καὶ μετὰ ταῦτα ἐν Ἐφέσωι ἐπιχειρήσαντας εἰπεῖν οὐδεμίαν παντελῶς παρρησίαν ἐν τῆι ἁγίαι συνόδωι ἔχειν ἀνεχόμεθα, ἀλλὰ
L IIII 112 καὶ ὑπὸ τὴν ὑμετέραν εἶναι κρίσιν βουλόμεθα, ἐπειδὴ καὶ τούτου ἕνεκα καὶ νῦν τὴν ἁγίαν σύνοδον συγκροτηθῆναι διετυπώσαμεν.

M VI 601 Τῶι αὐτῶι τύπωι [ἐγράφη] καὶ Ἰουβεναλίωι τῶι εὐλαβεστάτωι ἐπισκόπωι Ἱεροσολύμων

---

52 Sacrae extat uersio Syriaca [Σ] in gestis Ephesenis [Abhdlg. d. Gött. Ges. d. Wiss. XVI p. 4], quae quoniam testatur sacram datam esse d. 6. m. Aug., apparet eam in prima sessione quae habita est d. 8. eiusdem mensis, non lectam esse, neque extat in eis gestis quae insunt Collectioni Nouariensi de re Eutychis

---

MB, p [usque ad 20 ἀρχιεπίσκοπος], P [inde a 21 Ἱεροσολύμων], SΦ, Λ^{n} [usque ad 6], Σ [inde a 9]

4 ἁγιωτάτων B τὴν δὲ BΦΛ^{n} Tim. καὶ τὴν MpS 6 ἁγίων om. B in fine add. ἐδόθη ἐν τῶι μηνὶ Ἰουνίωι ἐν Κωνσταντινουπόλει ὑπατείαι Πρωτογένους Tim. 7 καὶ σηκρητάριος MpS κωνσινταρίου S 9 τῶ εὐλαβεστάτω ἐπισκόπω διοσκόρω ἐκκλησίασ ἀλεξανδρείασ B θεοδώριτον BpS 10 τῆς om. S 11 σύνοδοσ τυπώση S 12 ἔγραψε B τῆς om. BS ὁ om. S 13 μεγαλοπόλεως om. S ἀλεξανδρείασ B 15/16 ἐλογισάμεθα B 18 θεοδωρίτου BpS 20 ἐπίσκοποσ pSΦ^{ac}, corr. p 21 ἐπίσκοποσ S 22 τῆσ ὀρθοδοξίασ θερμόσ B 24 τινὰ om. BΦ^{ac} 25 τῆς om. B πατέρων τῶν ἐν νικαίᾳ B 27 κρίσιν εἶναι B ἐπειδὴ δὲ S 29 τύπω BΦ τύπω ἐγράφη MPS 29/30 Ἱεροσολύμων ἐγράφη B

53 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Ἀλεξανδρέων εἶπεν· Ἐπήκουσεν ἡ ὑμετέρα φιλανθρωπία ὡς οὐκ ἐμοὶ μόνωι ὁ θειότατος ἡμῶν βασιλεὺς ἐπέτρεψεν τὴν κρίσιν, ἀλλὰ καὶ τῶι θεοσεβεστάτωι ἐπισκόπωι Ἰουβεναλίωι καὶ τῶι ὁσιωτάτωι ἐπισκόπωι Θαλασσίωι τὴν αὐθεντίαν τῆς συνόδου δέδωκεν. ἡμεῖς τοίνυν ἐκρίναμεν τὰ κεκριμένα, συνήινεσεν ἡμῖν πᾶσα ἡ σύνοδος· διὰ τί εἰς ἐμὲ μόνον ἀποτείνονται οὗτοι; ὅτι ἡ αὐθεντία ἐπίσης ἐδόθη τοῖς τρισὶν καὶ τοῖς κεκριμένοις παρ' ἡμῶν συνήινεσεν, ὡς εἶπον, πᾶσα ἡ σύνοδος καὶ κατέθετο οἰκείαις φωναῖς καὶ ὑπέγραψεν καὶ ἀνηνέχθη τῶι εὐσεβεστάτωι βασιλεῖ τῶι τῆς θείας λήξεως Θεοδοσίωι καὶ ἐβεβαίωσεν πάντα τὰ κεκριμένα παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου νόμωι γενικῶι.

54 Οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Οὐδεὶς συνήινεσεν, βία ἐγένετο, βία μετὰ πληγῶν. εἰς ἄγραφον χάρτην ὑπεγράψαμεν. καθαίρεσις ἡμῖν ἠπειλήθη. ἐξορία ἡμῖν ἠπειλήθη. στρατιῶται μετὰ βάκλων καὶ ξιφῶν ἐπέστησαν καὶ τὰ βάκλα καὶ τὰ ξίφη ἐφοβήθημεν. φοβούμενοι ὑπεγράψαμεν. ὅπου ξίφη καὶ βάκλα, ποία σύνοδος; στρατιώτας διὰ τοῦτο ἔλαβεν. τὸν φονέα ἔξω βάλε. Φλαβιανὸν στρατιῶται καθεῖλον.

55 Οἱ Αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Αὐτοὶ πρῶτοι ὑπέγραψαν, κληρικοὶ νῦν διὰ τί κράζουσιν; ἡ σύνοδος ἐπισκόπων ἐστίν, οὐχὶ κληρικῶν. τοὺς περισσοὺς ἔξω βάλε. οἱ ὑπογράψαντες εἰς μέσον ἔλθωσιν· μεθ' ὑμᾶς ἡμεῖς ὑπεγράψαμεν.

56 Στέφανος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἐφέσου εἶπεν· Ὅτι βίαι καὶ ἀνάγκηι γέγονεν τὰ γεγονότα, θεὸς μαρτυρεῖ καὶ ὅτι μὴ θέλοντες εἰς τὴν καθαίρεσιν τοῦ μακαρίου Φλαβιανοῦ ὑπεγράψαμεν, θεὸς μαρτυρεῖ. καὶ γὰρ πάντας τοὺς κληρικοὺς αὐτοῦ ἐν τῆι Ἐφεσίων μητροπόλει παραγενομένους ἐπίσκοπος ὢν ἐδεξάμην καὶ ἐκοινώνησα αὐτοῖς καὶ πᾶσαν εὔνοιαν εἰς αὐτοὺς ἐπεδειξάμην.

57 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Τίς ὑμᾶς ἐβιάσατο;

58 Στέφανος ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Ἐφεσίων εἶπεν· Ὡς ἔτι ἐδεξάμην εἰς κοινωνίαν Ἐλπίδιον τὸν πρεσβύτερον καὶ τοὺς ἄλλους διακόνους καὶ τὸν ἐπίσκοπον Εὐσέβιον (οἶδεν δὲ καὶ αὐτὸς ὁ ἐπίσκοπος Εὐσέβιος ὅτι ἐδεξάμην αὐτούς), ἐπῆλθόν μοι εἰς τὸ ἐπισκοπεῖον Ἐλπίδιος καὶ Εὐλόγιος καὶ στρατιῶται καὶ οἱ μονάζοντες Εὐτυχέος, M VI 604
ὀνόματα ὡς τριακόσια, καὶ ἔμελλόν με φονεύειν λέγοντες ὅτι τοὺς ἐχθροὺς τοῦ βασιλέως ἐδέξω, ἐχθρὸς εἶ τοῦ βασιλέως. λέγω· ἐγὼ ξενοδόχος εἰμί, οὐδὲν ἐπικοινωνῶ τῶι πράγματι· ἐγὼ οὐκ ἠδυνάμην ἀκοινωνήτους ποιῆσαι τοὺς κοινωνικοὺς ἐλθόντας. καὶ οὕτω βίαι καὶ ἀνάγκηι γέγονεν πάντα.

59 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Διόσκορος ὁ εὐλαβέστατος βίαν σοι ἐποίησεν;

60 Στέφανος ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Ἐφεσίων πόλεως εἶπεν· Πάντες οἱ αὐτοῦ καὶ οἱ κόμητες· οὐ συνεχωρήθην ἐξελθεῖν ἀπὸ τῆς ἐκκλησίας τοῦ σηκρήτου, ἕως ὅτου L IIII 113

---

1 ἐν χαλκηδόνι M^{mg} ante Διόσκορος PS

MBPSΦ

1 τῆς Ἀλεξανδρέων] ἀλεξανδρείασ B 2 ἡμῶν om. B 3 θεοφιλεστάτω B ἐπισκόπωι om. B, cf. Φ^{cr} 4 κεκριμμένα PS 5 ἅμα πᾶσα B οὗτοι] αὐτοί MPS, corr. M 6 κεκριμμένοισ PS ὡς εἶπον] ἡμῖν PS 7 θεοσεβεστάτω S 8 μακαρίασ B πάντα om. B κεκριμμένα PS 8/9 τῆ ἁγία καὶ οἰκουμενικῆ συνόδω B 13 φοβούμενοι ὑπεγράψαμεν om. MPSΦ 14. 18 βάλλε M^{corr} 14 διά — στρατιώτασ S 16 εὐλαβέστατοι om. B 17 διὰ τί νῦν S 21 ὁ θσ S 23 ἑαυτοῖσ PS 25 οἱ ἐνδοξότατοι — ὑπερφυὴς] ἡ B εἶπεν MBPS 29 καὶ οἱ μονάζοντες — καὶ στρατιῶται B 30 ὡσεὶ τ S λέγω] λέγω αὐτοῖς B ἔφην S 33 τὰ πάντα B 34 οἱ — ὑπερφυὴς] ἡ B εἶπεν MBPS 34/35 Διόσκορος — ἐποίησεν] καὶ διὰ τί ὑπέγραψασ S om. P 34/35 εὐλαβέστατοσ ἐπίσκοποσ B μητροπόλεωσ B 37 οὐ συνεχωρήθην MΦ οὐ συνεχώρησάν με B ἴσασιν ὡσ οὐ συνεχωρήθην PS τοῦ τῆσ ἐκκλησίασ σεκρέτου B ὅτου om. B

ὑπέγραψα γνώμηι Διοσκόρου καὶ Ἰουβεναλίου καὶ τοῦ κύρου Θαλασσίου καὶ τῶν ἄλλων ἐπισκόπων οἷς ἐγράφη.

61 Θαλάσσιος ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Καισαρέων πόλεως εἶπεν· Εἰς τὴν σάκραν ἐτέθην μὲν ἐγώ, οὐκ ἤιδειν δὲ πῶς ἐτέθην. ὅμως ἐν τῶι γίνεσθαι τινὰ ἐγὼ [καὶ] ἐκώλυσα καὶ ἠθέλησα ὑπερθέσθαι καὶ ἐσπούδασα, καὶ εἰσὶν μάρτυρες.

62 Θεόδωρος ὁ εὐλαβέστατος ἐπίσκοπος Κλαυδιουπόλεως Ἰσαυρίας εἶπεν· Διόσκορος καὶ Ἰουβενάλιος καὶ ὅσοι πρῶτοι ὑπέγραψαν, οἷς ἐπέτρεψεν ὁ δεσπότης τῆς οἰκουμένης ὡς ὀρθοδόξοις διακρίνειν τὰ τῆς πίστεως, διασκευασάμενοι πονηροὺς παρ' ἑαυτοῖς λογισμοὺς ἡμᾶς τοὺς ἐπ' ἀκεραίωι καθημένους εἰσήγαγον ὥσπερ κριτάς, ἀνθρώπους ἠγνοηκότας τὸ πρᾶγμα. καὶ ἀνεγινώσκετο μὲν τὰ ὑπομνήματα καὶ εὐφημεῖτο ὁ τῆς μακαρίας μνήμης Φλαβιανός, μεταξὺ δὲ τῶν εὐφημιῶν ἡμεῖς ἐσιωπῶμεν ὡς καλῶς πεπραγμένων τῶν πραχθέντων. μετὰ δὲ ταῦτα, ἵνα ἡμᾶς πτοήσωσιν, ἀνεβόησαν τὴν παραπλησίαν Νεστορίου αἵρεσιν ἐπιφημίσαντες ἡμῖν· εἰς δύο ποιήσατε τοὺς λέγοντας δύο φύσεις· τοὺς τὰς δύο λέγοντας διχάσατε ἀνέλετε ἐκβάλετε, ἵνα τῶι φόβωι τῆς Νεστοριανῆς κακοδοξίας μὴ ὡς ὀρθόδοξοι κριθῶμεν, ἀλλ' ὡς αἱρετικοὶ κατακριθῶμεν. καὶ ἕκαστος ἐδεδοίκει μὴ ἐκβληθεὶς ὡς αἱρετικὸς ἀπολέσοι οὓς ἐβάπτισεν, καὶ οὐκ ἦν αὐτῶι ὁ κίνδυνος, ἀλλ' ἢ τῶν βαπτισθέντων ἦν τῶν πιστευσάντων τῶι Χριστῶι. καὶ οὐκ ἔδει μὲν ἡμᾶς σιωπῆσαι τότε, ἔπειτα καὶ ἄλλο ἐποίησαν. ἐκελεύσθη παρὰ τοῦ δεσπότου τῆς οἰκουμένης ἡ σύνοδος πρῶτον τὰ περὶ Φλαβιανοῦ κρῖναι. οὗτοι πολλὰς ἐν ταὐτῶι συνόδους ποιήσαντες καὶ οὐχ ὑπογράψαντες οὐδὲ προγράψαντες τὰ δεδογμένα οὐδὲ ἀναγνόντες τινὶ οὐδὲ εἰδότων τινῶν προσήνεγκαν ἡμῖν ἀγράφους χάρτας Διόσκορος καὶ Ἰουβενάλιος,
M VI 605 πλῆθος ἔχοντες ἀτάκτων ἀνθρώπων, βοώντων πολλῶν καὶ θορυβούντων καὶ κατασειόντων τὴν σύνοδον. ἑκατὸν τριάκοντα πέντε ἦμεν οἱ πάντες, τεσσαρακονταδύο ἐκελεύσθησαν σιωπῆσαι, οἱ λοιποὶ ἦσαν Διόσκορος καὶ Ἰουβενάλιος καὶ πλῆθος ἀτάκτων, ἦμεν λοιπὸν δεκαπέντε ἄνθρωποι. τί εἴχομεν ποιῆσαι; εἰς τὸ αἷμα ἡμῶν ἔπαιξαν οὗτοι· αἱρετικοὶ ὄντες μίαν φωνὴν ἔλεγον πάντες· κατεπτόησαν ἡμᾶς· αἱρετικοὺς ἡμᾶς εἶπον καὶ ἐξεβλήθημεν ὡς αἱρετικοί.

63 Οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Ταῦτα πάντες λέγομεν, ταῦτα οὕτως ἔχει.

64 Οἱ Αἰγύπτιοι καὶ οἱ μετ' αὐτῶν εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Χριστιανὸς οὐδένα φοβεῖται. ὀρθόδοξος οὐδένα φοβεῖται. πῦρ τεθῆι, καὶ μανθάνομεν. εἰ ἀνθρώπους ἐφοβοῦντο, μάρτυρες οὐκ ἦσαν.

65 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἐπειδὴ λέγουσιν μὴ ἀκηκόεναι τῶν κεκριμένων καὶ τετυπωμένων, ἀλλ' ἁπλῶς εἰς χάρτην ὑπογράψαι καθαρὸν ἐπιδεδομένον αὐτοῖς, μάλιστα μὲν οὐκ ἐχρῆν αὐτοὺς ὑπογράψαι μὴ πεπληροφορημένους ἐφ' οἷς εἴρηκεν ἡ σύνοδος, ἐπειδὴ περὶ πίστεως ἦν ὁ λόγος· ἐπειδὴ δὲ αἰτιῶνται

MBPSΦ

1 Ἰουβενιαλίου S τοῦ κύρου om. BS 2 ἄλλων] ὅλων S 3 μητροπόλεως B 4 ἐτέθην μὲν M μὲν ἐτέθην PS ἐτέθην B δὲ] μέντοι B καὶ MPSΦ^{ac} om. BΦ^{cr} 6 τῆς Ἰσαυρίας B 8 διακρίναι B παρ' ἑαυτοῖς πονηροὺς B 9 ἐπ' — καθημένους] ἐπακεραίους S ἤγαγον M εἰσήνεγκαν B ὡς B 10 ηὐφημεῖτο MPS, corr. M 12 ἀνεβόησαν τινὲς B 14 τὰ BS ἐκβάλλετε M^{corr} 16 ἐκβληθείη S ἀπολέσει PS ἀπολέση B κίνδυνος μόνω B 17 ἀλλ' ἢ B ἀλλὰ MPS μὲν om. B 18 ἄλλο ὃ MPS, corr. M 19 τὸ I συνόδους ἐν ταυτῶ B 20 οὐδὲ προγραψάντες] οὐδ' ὑπογράψαντες S 21 ἰδόντων I 22 ἀτάκτων BΦ ἀγνώστων MPS 23 ρλε S οἱ μβ S 24 ἦν MPS, corr. M ἀτάκτων BΦ ἄτακτον MPS 25 ιε S 26 φωνὴν] φύσιν B ἡμᾶς κατέπτηξαν B 27 εἶπον BΦ ἐποίησαν MPS 30 σὺν αὐτοῖς B 31 κἂν πῦρ B ἐτέθη P οὐκ ἐτέθη S μανθάνομεν ἀπὸ τῶν μαρτύρων B εἰ] οἱ S 34 κεκριμμένων PS 35 ἐπιδιδομένον S δεδομένον B αὐτοῖσ P

ὡς χάρτου καθαροῦ δεδομένου αὐτοῖς εἰς ὑπογραφήν, τίς καὶ τὰς διαλαλιὰς αὐτῶν ἐτύπωσεν, αὐτοὺς εἰπεῖν ἀξιῶ προστάξαι τὴν ὑμετέραν μεγαλοπρέπειαν. L IIII 116

66 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Τὰ πεπραγμένα ἀναγινωσκέσθω.

Κωνσταντῖνος ὁ καθωσιωμένος μαγιστριανὸς καὶ βοηθὸς τῶν θείων σηκρήτων ἀπὸ σχεδαρίου ἐπιδοθέντος παρὰ Ἀετίου ἀρχιδιακόνου τῆς κατὰ τὴν βασιλεύουσαν Κωνσταντινούπολιν ἁγιωτάτης ἐκκλησίας ἀνέγνω

67 Θεῖον γράμμα καταπεμφθὲν πρὸς Διόσκορον τὸν εὐλαβέστατον ἐπίσκοπον περὶ τοῦ παραγενέσθαι ἐν τῇ κατ' Ἔφεσον συνόδῳ, ὅπερ ἀνωτέρω ἐντέτακται 'ἀπὸ κώδικος ἀνέγνω' p. 67. 37

Ὁ αὐτὸς ἀπὸ τοῦ αὐτοῦ σχεδαρίου ἀνέγνω

68 Τοῖς μετὰ τὴν ὑπατείαν Ζήνωνος καὶ Ποστουμιανοῦ τῶν λαμπροτάτων τῇ πρὸ ἐξ Εἰδῶν Αὐγούστων, ἥτις ἐστὶν κατ' Αἰγυπτίους Μεσορὶ ιε̄, ἰνδικτιῶνι τρίτῃ d. 8. m. Aug. a. 449

συνόδου συγκροτηθείσης ἐν τῇ Ἐφεσίων μητροπόλει ἐκ θεσπίσματος τῶν θεοφιλεστάτων καὶ φιλοχρίστων βασιλέων καὶ καθεσθέντων ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίαι τῇ καλουμένῃ Μαρίαι τῶν θεοφιλεστάτων καὶ ὁσιωτάτων ἐπισκόπων

Διοσκόρου Ἀλεξανδρείας M VI 608

καὶ Ἰουλίου ἐπισκόπου ἐπέχοντος τὸν τόπον τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου τῆς Ῥωμαίων ἐκκλησίας Λέοντος

69 Καὶ ἐν τῷι ἀναγινώσκεσθαι οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Ἐξεβλήθη, οὐδεὶς κατεδέξατο τὸ ὄνομα Λέοντος.

Κωνσταντῖνος ὁ καθωσιωμένος σηκρητάριος ἐκ τοῦ αὐτοῦ σχεδαρίου ἀνέγνω τὰ ἑξῆς

70 καὶ Ἰουβεναλίου Ἱεροσολύμων
καὶ Δόμνου Ἀντιοχείας
καὶ Φλαβιανοῦ Κωνσταντινουπόλεως

71 Καὶ ἐν τῷι ἀναγινώσκεσθαι οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Φλαβιανὸς ὡς κατάκριτος εἰσῆλθεν. αὕτη ὁμολογουμένη συκοφαντία. Φλαβιανὸς ἐν τῷι ἰδίωι τόπωι διὰ τί οὐκ ἐκαθέσθη; τὸν Κωνσταντινουπόλεως ἐπίσκοπον διὰ τί πέμπτον ἔταξαν;

12—16 ἐπισκόπων adfert Timotheus Aelurus in cod. Mus. Brit. 12156 f. 51b 24 sq. alter catalogus qui pertinet ad actionem d. 22. m. Aug. 449, extat in gestorum uersione Syriaca p. 6. 8 [Σ] 7 ἀπὸ τῆς ἐν Ἐφέσωι δευτέρας M in mg.

MBPSΦ

3 εἶπεν MPS 3/4 ἀναγινωσκέσθωσαν B 5 μαγιστριανὸς — σηκρήτων] σηκρητάριοσ τοῦ θείου κονσιστορίου B 6 σχιδαρίου MPS, corr. M 7 ἐκκλησίασ ἁγιωτάτησ B 8 ἀποσταλέν B 9/10 ἐντέτακται — ἀνέγνω] ἀπὸ κώδικοσ ἀνεγνώσθη B 11 σχιδαρίου MPS, corr. M 12 πουστουμιανοῦ MPS Tim. 13 ἰδῶν M μεσορη PS μεσωρι B πεντεκαιδεκάτη B ἰνδικτιῶνι γ̄ S ἰνδικτιῶνοσ τρίτησ B 16 καὶ ὁσιωτάτων om. S 18 καὶ om. MPSΦac ἰουβενουαλίου S ἐπισκόπου om. BS 18/19 ὁσιωτάτου τῆσ συνετῆσ ῥωμαίων — ἐπισκόπου λέοντοσ B 19 τῆς — ἐκκλησίας] ῥώμησ S 21 ἐβόησαν MPS ἐξεβλήθη] διατί ἐξεβλήθη λέων τότε B 21 κατέθετο B 22 σχιδαρίου MPS, corr. M 27 ἀναγινώσκειν B 30 διατί ἐν τῷ οἰκείῳ τόπῳ B

72 Πασκασῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ἴδε ἡμεῖς θεοῦ θέλοντος τὸν κύριν Ἀνατόλιον πρῶτον ἔχομεν· οὗτοι πέμπτον ἔταξαν τὸν μακάριον Φλαβιανόν.

73 Διογένης ὁ εὐλαβέστατος ἐπίσκοπος ἐκκλησίας Κυζίκου εἶπεν· Ἐπειδὴ ὑμεῖς τοὺς κανόνας οἴδατε.

74 Οἱ Αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Δεόμεθα, τοὺς περισσοὺς ἔξω βάλε. ὁ βασιλεὺς ἐπισκόπους ἐκάλεσεν. ἡ σύνοδος ἐπισκόπων ἐστίν. περισσοὶ διὰ τί κράζουσιν;

75 Θεόδωρος ἐπίσκοπος Κλαυδιουπόλεως Ἰσαυρίας εἶπεν· Οἱ νοτάριοι Διοσκόρου κράζουσιν.

76 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Δύο νοταρίους ἔχω μόνον· οἱ δύο θόρυβον πῶς ποιοῦσιν;

77 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Τὰ ἑξῆς ἀναγινωσκέσθω.

Κωνσταντῖνος ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀπὸ τοῦ αὐτοῦ σχεδαρίου ἀνέγνω τὰ ἑξῆς

78 6 καὶ Στεφάνου τῆς Ἐφεσίων
7 καὶ Θαλασσίου Καισαρείας Καππαδοκίας πρώτης
8 καὶ Εὐσεβίου Ἀγκύρας Γαλατίας πρώτης
9 καὶ Ἰωάννου Σεβαστείας Ἀρμενίας πρώτης
10 καὶ Κύρου Ἀφροδισιάδος τῆς Καρίας
11 καὶ Ἐρασιστράτου Κορίνθου τῆς Ἑλλάδος
L IIII 117 12. 13 καὶ Κυντίλλου Ἡρακλείας ἐπέχοντος καὶ τὸν τόπον Ἀναστασίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Θεσσαλονικέων
14. 15 καὶ Μελιτίου Λαρίσσης ἐπέχοντος καὶ τὸν τόπον Δόμνου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀπαμέων
16. 17 καὶ Κυριακοῦ ἐπισκόπου Τροκνάδων ἐπέχοντος τὸν τόπον Θεοκτίστου τοῦ εὐλαβεστάτου ἐπισκόπου Πισινοῦντος Γαλατίας δευτέρας
18 καὶ Διογένους Κυζίκου
19 καὶ Βασιλείου Σελευκείας τῆς Ἰσαυρίας
20 καὶ Ἰωάννου Ῥόδου
21 καὶ Θεοδώρου Ταρσοῦ
22 καὶ Ῥωμανοῦ Μύρων τῆς Λυκίας
23 καὶ Φωτίου Τύρου
24 καὶ Θεοδώρου Δαμασκοῦ
25 καὶ Ἰουλιανοῦ Ταβίας
26 καὶ Φλωρεντίου Λυδῶν

1—2 ὅτι οἱ Ῥωμαῖοι τὸν Κωνσταντινουπόλεως πρῶτον ἔταξαν [ἔσχον PS] ἐν Χαλκηδόνι [τῇ συνόδῳ τῇ ἐν χαλκηδόνι PS] M in mg., in textu post εἶπεν PS

MBPSΦ

1 πασχασῖνος PS πασκάσιος B ἴδε] ἤδη PS κῦ MPS 3 ἐπίσκοπος om. S 6 βάλε B βάλετε M βάλλετε M^{corr}PS 11 μόνους BPS 12 εἶπεν MPS 13 τοῦ — κονσιστωρίου om. B 14 σχιδαρίου PS 15—19 καὶ om. B 15. 16 καὶ θαλασσίου τῆσ καισαρέων καὶ [καὶ om. S] στεφάνου τῆς [τῆσ om. S] ἐφεσίων PS 15 τῆς om. B ἐφέσου B 16 πρώτης om. B 17—34 καὶ om. S 18 πρώτης om. PS 20 καὶ Ἐρασιστράτου om. B 21 κυιντίλου B Ἡρακλείας om. B καὶ om. B Ἀναστασίου om. B 21/22 τοῦ — τῆς om. S 22 τῆς om. B θεσσαλονίκησ B 23 μελετίου S καὶ om. B 23/24 τόπον τοῦ — ἀπαμέων δόμνου B τοῦ — τῆς om. S 25 ἐπισκόπου MP om. BS τρωκνάδων PS πρακνάδων B καὶ τὸν S 25/26 Θεοκτίστου — ἐπισκόπου om. B τοῦ — ἐπισκόπου om. S 26 πεσινοῦντοσ M δευτέρας om. B 28 τῆς om. B 31 τῆς Λυκίας om. B 35 φλορεντίου M λύδδων MB τύβων PS

27 καὶ Μαρινιανοῦ Συννάδων
28 καὶ Μουσωνίου Νύσης
29 καὶ Κωνσταντίου Βόστρας
30 καὶ Ἰωάννου Νικοπόλεως Ἀρμενίας πρώτης
31. 32 καὶ Ἀκακίου Ἀριαραθείας δευτέρας Ἀρμενίας ἐπέχοντος τὸν τόπον Κωνσταντίου M VI 609
τοῦ εὐλαβεστάτου ἐπισκόπου Μελιτηνῆς 6
33 καὶ Στεφάνου Ἱερᾶς πόλεως
34 καὶ Ἀττικοῦ Νικοπόλεως Ἠπείρου παλαιᾶς
35 καὶ Εὐσταθίου Βηρυτοῦ
36 καὶ Νουνεχίου Λαοδικείας Τριμιταρίας 10
37 καὶ Ὀλυμπίου Κωνσταντίας τῆς Κύπρου
38 καὶ Κανδιδιανοῦ Ἀντιοχείας τῆς Πισιδίας
39 καὶ Στεφάνου Ἀναζάρβων
40 καὶ Γεροντίου Σελευκείας Συρίας
41 καὶ Ῥουφίνου Σαμοσάτων 15
42 καὶ Ἰνδίμου Εἰρηνουπόλεως
43 καὶ Τιμοθέου Βαλανέων
44 καὶ Θεοδοσίου Κανώθας
45 καὶ Εὐτυχίου Ἀδριανουπόλεως Ἠπείρου παλαιᾶς
46 καὶ Κλαυδίου Ἀγχιεσμοῦ Ἠπείρου παλαιᾶς 20
47 καὶ Συμεῶνος Ἀμίδης Μεσοποταμίας
48 καὶ Ἡλία Ἀδριανουπόλεως
49 καὶ Σελεύκου Ἀμασείας
50 καὶ Πέτρου Γαγγρῶν
51 καὶ Λουκᾶ Δυρραχίου 25
52 καὶ Ἀντωνίου Λυχνίδου
53 καὶ Μάρκου Εὐροίας
54 καὶ Βιγιλαντίου Λαρίσσης
55 καὶ Βασιλείου Τραιανουπόλεως ἐπαρχίας Ῥοδόπης
56 καὶ Δοκιμασίου Μαρωνείας ἐπαρχίας Ῥοδόπης 30
57 καὶ Κωνσταντίνου Δημητριάδος
58 καὶ Ἀλεξάνδρου Σεβαστῆς τῆς Ταρσοῦ
59 καὶ Σώιζοντος Φιλίππων
60 καὶ Εὐσεβίου Δοβήρου Μακεδονίας πρώτης
61 καὶ Μαξιμιανοῦ Σερρέων Μακεδονίας πρώτης 35
62 καὶ Ἑρμογένους Κασανδρείας Μακεδονίας πρώτης

MBPSΦ

1 μαριανοῦ PS συνάδων BPS 2 νύσσης B 3 inde a 3 καὶ semper om. S 3 κωνσταντίνου MPS et infra 1067[22] βόστρων B 4 πρώτης om. B 5/6 Ἀκακίου — ἐπισκόπου] δευτέρου πόντου B 5 Ἀριαραθείας] ἀραβίας S καὶ τὸν S κωνσταντίνου S 6 τοῦ — ἐπισκόπου om. S μελιτινῆς MP μελητινῆς S 7 ἱεραπόλεως PS 8 παλαιᾶς om. B 11. 10 coll. B 11 τῆς Κύπρου om. B τῆς om. S 12 τῆς om. B πισσιδίας S 13 ἀναζάρβου BΦ 14 ἰσαυρίας B 16 Ἰλοδήμου B εἰρηνοπόλεως PS 17 λαβενέων B 18 κανωθᾶ B καναθᾶς P 19 ἀνδριανουπόλεως S παλαιᾶς om. B 20 ἀνχιέσμου P ἀνχιέσμων S ἀγχιασμοῦ BΦ[ac] Ἠπείρου παλαιᾶς om. S 22 ἡλιοῦ MPS ἀνδριανουπόλεως S 23 σελεύκου ἐπισκόπου MP 25 δυρρακίου M δουρακίου P 26 λυχνιδίου B 27 εὐοίας S 28 αἰγιλάνου B 29 ἐπαρχίας Ῥοδόπης om. B ἐπάρχου PS 30 om. BS ἐπάρχου P 32 *Sebastiae* 1067[51] τῆς om. B 34 δοβήτου M πρώτης om. B 35 μαξιμίνου B cf. infra 884.50 σερρῶν B Μακεδονίας πρώτης om. B 36 Μακεδονίας πρώτης om. B

63 καὶ Λουκᾶ Βεροίας Μακεδονίας πρώτης
64 καὶ Διογενιανοῦ Ῥεμεσιανῆς τῆς Δακίας
65 καὶ Ἰωάννου τῆς Μεσσήνης τῆς Ἀχαίας
66 καὶ Οὐρανίου Ἱμερίας ἐπαρχίας Ὀσδροηνῆς
67 καὶ Ἀθανασίου Ὀποῦντος τῆς Ἀχαίας
68 καὶ Θεοδώρου Κλαυδιουπόλεως τῆς Ἰσαυρίας
69 καὶ Λεοντίου Ἀσκάλωνος
70 καὶ Φωτεινοῦ Λύδδης
71 καὶ Ἀναστασίου Ἀρεοπόλεως
72 καὶ Θεοδοσίου Ἀμαθοῦντος
73 καὶ Παύλου Μαιουμᾶ
74 καὶ Ζωσίμου Μινωΐδος
75 καὶ Ἐπιφανίου Πέργης
76 καὶ Βαρουχίου Σωιζούσης Παλαιστίνης
77 καὶ Ἡρακλείου Ἀζώτου
78 καὶ Ἰωάννου Τιβεριάδος
79 καὶ Μουσωνίου Ζοόρων
80 καὶ Διονυσίου Συκαμαζόνος
81 καὶ Καιούμου Φαεινοῦς
82 καὶ Αἰθερίχου Σμύρνης
83 καὶ Κωνσταντίου Σεβαστῆς
84 καὶ Ζεβένου Πέλλης
85 καὶ Ἀλυπίου Βακάθων
86 καὶ Πολυχρονίου Ἀντιπατρίδος
87 καὶ Παγκρατίου Λιβιάδος
88 καὶ Αὐξιλάου Σαρακηνῶν τῶν ὑποσπόνδων
89 καὶ Δομνίνου Πλαταιῶν τῆς Ἑλλάδος
90 καὶ Θεοδοσίου Μασταύρων
91 καὶ Κυριακοῦ Αἰγάης
92 καὶ Φλαβιανοῦ Ἀτραμυττίου
93 καὶ Κυριακοῦ Λεβέδου
94 καὶ Λεοντίου Μαγνησίας Μαιάνδρου
95 καὶ Εὐτροπίου Περγάμου τῆς Ἀσίας
96 καὶ Γενναδίου Τηίων
97 καὶ Ὀλυμπίου Εὐάζων
98 καὶ Μαξίμου Τράλλεων
99 καὶ Ἰουλιανοῦ Ὑπαίπων

MBPSΦ

1 om. PS βερροιασ B Μακεδονίας πρώτης om. B 2/3 Ῥεμεσιανῆς — τῆς om. S 2 τῆς Δακίας om. B 3 τῆς om. B μεσήνησ BPS μεσίνησ M μεσσίνησ M^{corr} τῆς Ἀχαίας om. B 4 ἐπάρχου ἐσδρόησ S om. B ὀρωηνῆσ P 5 τῆς Ἀχαίας om. B 6 κλαυδιοπόλεωσ M τῆς Ἰσαυρίας om. B 9 ἀρεοπολίτου B 10 ἀμαθουσῶν B 12 νινωΐδοσ M μηνωΐδοσ PS μενοΐδοσ B 14 Παλαιστίνης om. B 17 ζωορῶν PS 18 καμαζόνοσ B 19 φαεινοῦσ PS φαινοῦσ MB *Phainus* 106775 20 ἐτερίχου M 21 κωνσταντίνου MPSΦc cf. 1067^{8} 22 ζαβένου B 23 βακάθων BΣ βάκτρων MPSΦr *cabathenorum* 106777 25 πατρικίου S 26 αὐξολάου B, Φ 1067^{80} 27 πλατεῶν MP πλαταιέων B πλατανέων S τῆς Ἑλλάδος om. B 28 μαυσταύρων S 29 αἰγέησ B αἴγλησ MPSΦ et Φcr 1067^{83} 30 ἀτραμυττίου M ἀδραμυττίου PS ἀδραμύτου B 33 περμάθου B τῆς om. S 34 Τηίων Σ, cf. Φ, γηίνων MPS cf. 1067^{88} τῆσ σιών B 36 τραυλέων B 37/p. 81, 2 Ὑπαίπων — Πολυκάρπου om. PS 37 ὑπέπων MB

καὶ Χρυσανθίου δαγη
καὶ Πολυκάρπου Γαβάλων
καὶ Παύλου Τριπόλεως Λυδίας
καὶ Μελιφθόγγου Ἰουλιουπόλεως
καὶ Ὀνησιφόρου Ἰκονίου L IIII 120 M VI 612
καὶ Δοκιμασίου Μαρωνείας 6
καὶ Λογγίνου Χερσονήσου
καὶ Εὐδοξίου Βοσπόρων
καὶ Τιμοθέου Πριμουπόλεως τῆς Παμφυλίας
καὶ Θεοπέμπτου Καβάσων 10
καὶ Καλοσιρίου Ἀρσινοίτου
καὶ Ἰωάννου Ἡφαίστου
καὶ Ἡρακλείδου Ἡρακλέως
καὶ Ἰσαὰκ Ἐλεαρχίας
καὶ Γεμελλίνου Ἐρυθροῦ 15
καὶ Ἀπολλωνίου Τάνεως
καὶ Γενναδίου Ἑρμουπόλεως μεγάλης
καὶ Κύρου Βαβυλῶνος
καὶ Ἀθανασίου Βουσίριδος
καὶ Θεοφίλου Κλεοπατρίδος 20
καὶ Πασμηίου Παράλου
καὶ Φωτεινοῦ Τευχείρων
καὶ Σωσίου Σωιζούσης
καὶ Θεοδούλου Τησιλσ
καὶ Θεοδώρου Βάρκης 25
καὶ Ῥούφου Κυρήνης
καὶ Ζήνωνος Ῥινοκορούρων
καὶ Λουκίου Ζύγρων
καὶ Αὐσονίου Σεβεννύτου
καὶ Ἰσαὰκ Ταύα 30
καὶ Φιλοκάλου Ζαγυλέων
καὶ Ἡσαίου Ἑρμουπόλεως μικρᾶς
καὶ Βαρσουμᾶ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου
καὶ Λογγίνου πρεσβυτέρου ἐπέχοντος τὸν τόπον Δωροθέου ἐπισκόπου Νεοκαισαρείας 35
καὶ Ἀνθίμου πρεσβυτέρου ἐπέχοντος τὸν τόπον Πατρικίου ἐπισκόπου Τυάνων Καππαδοκίας δευτέρας

MBPSΦ

1 δαγη MΦ δαγῆσ B Βάγης Σ *Balgenies* 1067[91] 2 βάλων PS 3 Λυδίας om. BΦ[a] 4 ἡλιουπόλεωσ B 6 repetitum ex p. 79, 30; uitium redit in Φ Δοκιμασίου] τιμοθέου B 9 τριμουπόλεωσ S πρόμου B τῆς om. S 10 καμάσων MPS 11 ἀρσενοίτου S 13 ἡρακλείου BΣ ἡρακλέοσ PS ἡρακλέοντοσ B 15 γεμιλίνου B 19 βησιρίδοσ B 20 om. P 21 πασινίου B παράλλου PS 22 τευχίρων M 23 σοσίου B σωσίμου MPS 24 Θεοδώρου B τισιλα Σ *tisilae* Φ[a] τῆσ ἰηλᾶ B *tisale* Φ[r] τῆσ ἄδα MP ἀιδὰ S 25 Βάρκης Φ[cr]Σ δάρκησ MBPSΦ[a] Rusticus in nota cf. infra 884[104]. 1067[122] 27 ῥινοκουρούρων B ῥινοκουρίων S 29 αὐξονίου BΦ[r] σεβενύτου MPS 31 φυλοκάλου M ζαγυλέωσ B 33/34 καὶ ἀρχιμανδρίτου — πρεσβυτέρου om. M 34 κατέχοντοσ B 34—36 Δωροθέου — τόπον om. S 34/35 καισαρείασ B

134 καὶ Ἀρίστωνος πρεσβυτέρου ἐπέχοντος τὸν τόπον Εὐνομίου ἐπισκόπου Νικομηδείας

135 καὶ Ὀλυμπίου πρεσβυτέρου ἐπέχοντος τὸν τόπον Καλογήρου ἐπισκόπου Κλαυδιουπόλεως τῆς Ποντικῆς

καὶ Ἰλάρου διακόνου Ῥώμης

καὶ Δουλκιτίου νοταρίου Ῥώμης

79 Ἰωάννης πρεσβύτερος Ἀλεξανδρείας καὶ πρῶτος νοταρίων εἶπεν· Ἔδοξεν καὶ νῦν τοῖς εὐσεβέσιν καὶ φιλοχρίστοις ἡμῶν βασιλεῦσιν θεσπίσαι τὴν ἁγίαν ὑμῶν καὶ μεγάλην σύνοδον ἐνταῦθα συνδραμεῖν ἐφ' ὧι τε τὰ ἀναφυέντα ἀρτίως περὶ τῆς ὀρθῆς ἡμῶν καὶ ὁμωμήτου πίστεως ζητῆσαι καὶ ταῦτα ῥιζόθεν ἀνασπάσαι, ὡς ἂν μὴ ἕλκοντα καὶ ἀνθέλκοντα τῶν ἀκεραιοτάτων ἔσθ' ὅτε τινὰς τοῖς τῆς κακοπιστίας καὶ πλάνης ἐμβάλῃ βόθροις. τοσοῦτον αὐτοῖς εὐσεβείας μέλει καὶ τοῦ χρῆναι τηρεῖσθαι διηνεκῶς ἀρραγῆ καὶ ἀσάλευτα τὰ ἐκτεθέντα περὶ τῆς ὀρθοδόξου θρησκείας ἡμῶν πρώην μὲν παρὰ τῶν ἐν Νικαίαι συνελθόντων μακαριωτάτων πατέρων, βεβαιωθέντα δὲ ἔναγχος παρὰ τῶν ἐν ταύτηι τῆι πόλει συναγηγερμένων, οἳ τοσοῦτον ἑαυτοῖς ὡμολόγησάν τε καὶ συνηνέχθησαν, ὡς μηδὲν παντελῶς φρονῆσαι ἢ ὁρίσαι τὸ διάφορον. μετὰ χεῖρας ἡμῖν αἱ εὐαγεῖς συλλαβαὶ καὶ αὐτὸ τοῦτο ὑποβάλλομεν πρὸς τὸ παριστάμενον τῆι ὑμετέραι ἁγιότητι.

M VI 613 **80** Διόσκορος [ὁ εὐλαβέστατος] ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἀναγινωσκέσθω τὸ εὐσεβὲς καὶ θεοφιλὲς τῶν φιλοχρίστων βασιλέων γράμμα τὸ ἀποδοθὲν πρὸς ἕκαστον τῶν μητροπολιτῶν καὶ προλαμπέτω τῶν πραχθησομένων ὑπομνημάτων.

81 Ἰωάννης πρεσβύτερος καὶ πρῶτος νοταρίων ἀνέγνω

L IIII 121 p. 68, 2—5 Αὐτοκράτορες Καίσαρες Θεοδόσιος καὶ Οὐαλεντινιανὸς νικηταὶ τροπαιοῦχοι μέγιστοι ἀεισέβαστοι αὔγουστοι Διοσκόρωι. Ἅπασι δῆλον καθέστηκεν ὅτιπερ ἡ τῆς ἡμετέρας πολιτείας κατάστασις καὶ πάντα τὰ ἀνθρώπινα τῆι περὶ τὸ θεῖον εὐσεβείαι συνέχεται καὶ κρατύνεται καὶ τὰ λοιπὰ ἃ προτέτακται

82 Ἰούλιος ἐπίσκοπος ἐπέχων τὸν τόπον τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς Ῥωμαίων ἐκκλησίας Λέοντος ἑρμηνεύοντος αὐτὸν Φλωρεντίου ἐπισκόπου Λυδῶν εἶπεν· Τῶι ὁμοίωι τύπωι παρὰ τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων βασιλέων ὁ ἁγιώτατος ἡμῶν πάπας ὁ τῆς Ῥωμαίων ἐκκλησίας Λέων ἡγούμενος ἐκλήθη.

79—86 praeter Φ extat uersio Latina in Coll. Nouariensi de re Eutychis 10,2—9 [Λ^n] 7—22. 27 adfert Timotheus Aelurus f. 51b. 52

7 τὰ πραχθέντα ἐν Ἐφέσωι ἐπὶ Διοσκόρου [ἐπὶ διοσκόρου ἐν ἐφέσω B] ἀναγινώσκεται ἐν Χαλκηδόνι $M^{mg}B^{mg}P^{mg}$

MBPSΦΛ^n

1 ἐπισκόπου om. S 3 ἐπισκόπου om. S 5 *Hilaro* Φ ἰλαρίου MBPS 6 καὶ δουλκιντίου S 7 inscr. τὰ πραχθέντα ἐν ἐφέσω ἐπὶ διοσκόρου S ἀλεξανδρείασ BΛ^n om. MPSΦ 8 εὐσεβεστάτοισ B καὶ om. S 9 *huc concurrere* ΦΛ^n συνδραμεῖν ἐνταῦθα B Tim. ἐνταῦθα συνεδρεύειν MPS 11 ἐμβάλει S 15 τε om. B 16 τὸ BPS τι M 17 εὐσεβεῖς B τὸν S 19 ὁ εὐλαβέστατοσ BΦ om. MPSΛ^n Tim. ἀναγνωσθήτω B 22 ἀνέγνω θεῖον γράμμα B εἶπεν PS 23/24 Αὐτοκράτορες — Διοσκόρωι om. B 25/26 καὶ πάντα — προτέτακται] καὶ τὰ λοιπὰ τὰ προγεγραμμένα B 26 συνέχεταί τε PS 27 ἰουλιανὸσ MPS ἁγιωτάτου om. B ἀρχιεπισκόπου BΦ *papae* Λ^n ἐπισκόπου MPS Tim. τῆς om. S 28 αὐτῶ B λύδδων B *lybdaei lybdae liddae* Φ 29 φιλοχρίστων] θεοφυλάκτων S 30 πάπας — Λέων] ἀρχιεπίσκοποσ λέων ὁ — ἐκκλησίασ B

83 Ἵλαρος διάκονος Ῥώμης ἑρμηνεύοντος αὐτὸν Φλωρεντίου ἐπισκόπου Λυδῶν εἶπεν· Ὁ ἐνδοξότατος καὶ Χριστιανικώτατος [ἡμῶν] βασιλεὺς σχέσει τῇι περὶ τὴν ὀρθοδοξίαν καὶ διαθέσει τὸν μακαριώτατον ἐπίσκοπον ἡμῶν Λέοντα τὸν τῆς ἀποστολικῆς καθέδρας, ἵνα τούτωι τῶι προσκυνητῶι καὶ ἁγίωι συλλόγωι παρῆι, πέμψας προσκυνητὰ γράμματα παρακέκληκεν. οὗτινος τῆι εὐσεβείαι ἀρέσαι ἠδύνατο, εἰ τούτου τοῦ πράγματος ἡγεῖτό τι ὑπόδειγμα. εἰ γὰρ καὶ κρεῖσσον τοῦτο, ἀλλὰ κατανοεῖ ἡ ὑμετέρα ἁγιωσύνη ὡς οὔτε ἐν τῆι Νικαέων οὔτε ἐν τῆι Ἐφεσίων ἁγίαι συνόδωι οὔτε ἐν ἄλλωι τοιούτωι ἁγίωι συλλόγωι ὁ πάπας τοῦ ἁγιωτάτου θρόνου ἐπέστη, ὅθεν οὗτινος τύπου τῆι συνηθείαι ἐξακολουθήσας ἡμᾶς ἐξαπέστειλεν, ὅστις ἁγιώτατος ἑαυτὸν οὐκ ἀμφέβαλεν ἐν ἡμῖν διατρίβειν ἐνταῦθα, οὓς μάλιστα ἐπίσταται πάντα ὅσα πρὸς τὴν τῆς πίστεως τῆς καθολικῆς ἀκεραιότητα καὶ ὅσα ἀνήκει πρὸς τὴν εἰς τὸν ἁγιώτατον ἀπόστολον Πέτρον M VI 616
εὐλάβειαν, πάντα πράττειν. οὗτος τοίνυν δι' ἡμῶν πρὸς τὴν ὑμετέραν μακαριότητα ἁρμόζοντα τῆι συνόδωι τῶν ἁγίων πατέρων ἀπέστειλε γράμματα, ἅπερ ὑποδεχθέντα ἀναγνωσθῆναι προστάξατε.

84 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ὑποδεχθήτω τὰ γραφέντα πρὸς τὴν ἁγίαν ταύτην καὶ οἰκουμενικὴν σύνοδον παρὰ τοῦ ὁσιωτάτου ἀδελφοῦ ἡμῶν καὶ συνεπισκόπου Λέοντος.

85 Καὶ ὑποδεχθέντων αὐτῶν Ἰωάννης πρεσβύτερος καὶ πρῶτος νοταρίων εἶπεν· Ἕτερον εὐσεβὲς θέσπισμα ἀπεδόθη τῶι ἁγιωτάτωι καὶ θεοφιλεστάτωι ἀρχιεπισκόπωι ἡμῶν Διοσκόρωι, ὃ καὶ αὐτὸ μετὰ χεῖρας ἡμῖν ἐστι πρὸς τὸ παριστάμενον τῆι ὑμετέραι ἁγιότητι.

86 Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Ἀναγινωσκέσθω καὶ ἐμφερέσθω τῆι πίστει τῶν ὑπομνημάτων.

87 Καὶ ἐν τῶι ἀναγινώσκεσθαι Ἀέτιος ἀρχιδιάκονος Κωνσταντινουπόλεως εἶπεν· Οὔτε ὑπεδέχθη ἡ ἐπιστολὴ τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Λέοντος οὔτε ἀνεγνώσθη.

88 Οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Οὐκ ἀνεγνώσθη ἡμῖν ἡ ἐπιστολή. εἰ ἀνεγνώσθη, πάντως καὶ ἐμφέρεται.

89 Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπεν· Οὐκ ἀνεγνώσθη, ἀλλὰ παρακατέσχεν τὴν ἐπιστολὴν τὴν συνοδικήν.

90 Ἀέτιος ἀρχιδιάκονος Κωνσταντινουπόλεως εἶπεν· Οὔτε ὑπεδέχθη ἡ ἐπιστολὴ οὔτε ἀνεγνώσθη. καὶ ἑπτάκις ὤμοσεν ἐπὶ πάντων ποιεῖν ταύτην ἀναγνωσθῆναι καὶ οὐκ ἀνεγνώσθη καὶ ἐπιώρκησεν ὅ τι ὤμοσεν. L IIII 124

---

15 σημ ὅτι ἐνταῦθα ἐπέτρεψεν μὲν Διόσκορος τὴν ἐπιστολὴν ἀναγνωσθῆναι Λέοντος, οὐκ ἀνεγνώσθη δέ Mmg 24 ἐν Χαλκηδόνι Mmg

---

MBPSΦ, Λn [usque ad 23]

1 *Hilarus* ΦΛn ἱλάριοσ MBPS αὐτὸν om. B λύδδων B λυδδῶν Mcorr cf. p. 82, 28 2 ἡμῶν MPS cf. Φ om. BΛn 3 ἐπίσκοπον — καθέδρας] ἡμῶν τῆσ ἀποστολικῆσ καθέδρασ πάπαν λέοντα, B cf. Φc 5 τῆ εὐσεβεία PSΦΛn ἡ εὐσέβεια MB ἀρκέσαι B 6 εἰ γὰρ καὶ MBPS εἰ καὶ καὶ M in ras. *nam* Φ *sicut etiam* Λn; uerba Latina mutauit translator τοῦτο ἀλλὰ McorrB τούτου οὐδὲν [οὐδένα PS]MPS om. ΦΛn 7 ὡς] ἀλλ' PS om. Λn τῆι' om. S 7/8 ἁγίω τοιούτω MPS 8 συνόδω PS ὅθεν et οὗτινος τύπου dittographia 9 ἀμφίβαλλεν S ἡμφίβαλλεν P 10 ἡμῖν ΦΛn ὑμῖν MBPS 11 ἀνῆκε B τὴν εἰς om. B 12 εὐλαβεία B πάντα om. B 13 τὰ ἁρμόζοντα BS ἐπέστειλε MP ὑποδειχθέντα M 15 ὁ εὐλαβέστατος ἐπίσκοποσ BΦ om. S ὑποδεχθήτω BPΦΛn ὑποδειχθήτω MS τὰ γράμματα τὰ γραφέντα B 16 ἁγιωτάτου BS ἡμῶν ἀδελφοῦ B 18 ὑποδεχθέντων BΛn ἀποδοθέντων MPSΦ 19 θέσπισμα MPSΛn γράμμα BΦ 19/20 ἡμῶν ἀρχιεπισκόπω B ἀρχιεπισκόπω PS 25 ὑπεδείχθη McorrS ἁγιωτάτου B ἀρχιεπισκόπου] πάπα S 27 ἡ ἐπιστολὴ ἡμῖν B 28 δορυλλαίου MPS, corr. M, om. B 31 ἀναγινώσκεσθαι PS 32 ἀνέγνω B

91 Θέοδωρος ὁ εὐλαβέστατος ἐπίσκοπος Κλαυδιουπόλεως Ἰσαυρίας εἶπεν· Ὅτι ὤμοσεν, πάντες οἴδαμεν· ὅτι δὲ οὐκ ἀνεγνώσθη, ὁμολογοῦμεν.

92 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Οἱ εὐλαβέστατοι ἐπίσκοποι οἷς ἡ αὐθεντία τότε τῶν πραττομένων παρὰ τῆς βασιλικῆς ἐδέδοτο κορυφῆς, λεγέτωσαν διὰ τί ἡ ἐπιστολὴ τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Λέοντος οὐκ ἀνεγνώσθη, μάλιστα καὶ διαλαλιᾶς προχωρησάσης τῆς παρακελευομένης αὐτὴν ἀναγωσθῆναι.

93 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Τὰ πεπραγμένα δηλοῖ ὅτι δεύτερον προσεφώνησα ἀναγνωσθῆναι τὸ γράμμα τοῦ εὐλαβεστάτου ἐπισκόπου Ῥώμης.

94 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Τίνος οὖν αἰτίαι μετὰ τὴν διαλαλιὰν τὴν σὴν ἡ ἀνάγνωσις τῆς ἐπιστολῆς οὐκ ἐγένετο;

95 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἐρωτηθῶσιν καὶ οἱ
M VI 617 ἄλλοι ἐπίσκοποι οἷς ἐπετέτραπτο τὸ πρᾶγμα, τίνος χάριν οὐκ ἀνεγνώσθη.

96 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Τίνας μάλιστα βούλῃ ἐρωτηθῆναι; σαφῶς εἰπέ.

97 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Τὸν θεοσεβέστατον ἐπίσκοπον Ἰουβενάλιον καὶ τὸν θεοσεβέστατον ἐπίσκοπον Θαλάσσιον.

98 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Ἐν πρώτῃ τάξει ἀπόκριναι αὐτὸς δι' ἣν αἰτίαν ἡ ἀνάγνωσις οὐκ ἐγένετο· ἀκολούθως γὰρ καὶ αὐτοὶ ἐρωτηθήσονται.

99 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἅπαξ εἶπον ὅτι δεύτερον διελάλησα ἀναγνωσθῆναι αὐτήν.

100 Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπεν· Ψεύδεται.

101 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Λεγέτω ὁ θεοφιλέστατος ἐπίσκοπος Ἰουβενάλιος πῶς διαλαλήσαντος τοῦ θεοφιλεστάτου ἐπισκόπου Διοσκόρου ἀναγνωσθῆναι τὴν ἐπιστολὴν τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Ῥώμης ἡ ἀνάγνωσις αὐτῆς οὐκ ἐγένετο.

102 Ἰουβενάλιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Εὐθέως ἀπεκρίνατο ὁ πρεσβύτερος καὶ πριμικήριος τῶν νοταρίων Ἰωάννης ἔχειν μετὰ χεῖρας εὐσεβῆ γράμματα τῶν θεοφιλεστάτων καὶ εὐσεβεστάτων βασιλέων καὶ ἀπεκρινάμην ἀναγνωσθῆναι τὰ βασιλικὰ γράμματα.

103 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Μετὰ οὖν τὴν ἀνάγνωσιν τοῦ θείου γράμματος καὶ ἡ τοῦ εὐλαβεστάτου ἀρχιεπισκόπου Λέοντος ἐπιστολὴ ἀνεγνώσθη;

104 Ἰουβενάλιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Οὐκέτι οὔτε ὁ πριμικήριος τῶν νοταρίων οὔτε ἄλλος τις εἶπεν ἔχειν μετὰ χεῖρας τοῦ εὐλαβεστάτου ἐπισκόπου Ῥώμης τὰ γράμματα.

105 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Νῦν καὶ ὁ εὐλαβέστατος ἐπίσκοπος Θαλάσσιος λεγέτω τὴν αἰτίαν δι' ἣν μὴ ἀνεγνώσθη ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Λέοντος.

MBPSΦ

2 ὤμοσεν μὲν PS ὁμολογοῦμεν BΦ πάντεσ ὁμολογοῦμεν MPS 3 ὑπερφυεστάτη B εἶπεν MPS 6 μάλιστα om. S τῆς om. B 7—12 τὰ πεπραγμένα — εἶπεν om. M 7 ἀρχιεπίσκοποσ B 9 τῆς ῥωμαίων P 10 ὑπερφυεστάτη B εἶπε PS αἰτία B καὶ τίνα PS 14 ὑπερφυστάτη B εἶπεν MPS τίνασ BΦ τίνα MPS βούλει BPS 18 εἶπεν MP 22 ταύτην B 23 δορυλλαίου MPS, corr. M, δορυλλαίων B 24 μεγαλοπρεπέστατοι B εἶπεν MPS καὶ ὁ B 26 Ῥώμης] λέοντοσ B 27 αὐτῆς om. PSΦ^{ac} 29/30 εὐσεβὲσ γράμμα MPS 32 εἶπεν MP 38 εἶπεν MP 39 μὴ MP οὐκ BS ἁγιωτάτου om. B 40 ῥώμησ λέοντοσ B

106 Θαλάσσιος ὁ εὐλαβέστατος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· Ἓν οἶδα ἐγὼ ὅτι οὔτε ἐκώλυσα οὔτε δὲ τοσαύτην αὐθεντίαν εἶχον, ὥστε ἐμὲ μόνον τυπῶσαι γενέσθαι τὴν ἀνάγνωσιν.

107 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Τὰ ἑξῆς τῶν πεπραγμένων ἀναγινωσκέσθω.

Κωνσταντῖνος ὁ καθωσιωμένος σηκρητάριος ἀπὸ τοῦ αὐτοῦ σχεδαρίου ἀνέγνω

Ἰωάννης πρεσβύτερος καὶ πρῶτος νοταρίων ἀνέγνω I. IIII 125

108 Θεῖον γράμμα γραφὲν τῶι εὐλαβεστάτωι Διοσκόρωι περὶ τοῦ παραγενέσθαι Βαρσουμᾶν, ὅπερ ἀνωτέρω ἐντέτακται ἀπὸ κώδικος ἀναγνωσθέν. p. 71, 2—15

109 Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Ταὐτὰ καὶ ἐμοὶ ἐγράφη περὶ τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Βαρσουμᾶ παρὰ τῶν εὐσεβεστάτων βασιλέων, ὅθεν εὐλόγως παρέστω τῆι ἁγίαι συνόδωι.

110 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Εἴ τι διδάσκειν ἔχουσιν περὶ τῆς ἐν M VI 620 χερσὶν ὑποθέσεως οἱ περίβλεπτοι Ἐλπίδιος ὁ κόμης καὶ Εὐλόγιος ὁ τριβοῦνος καὶ νοτάριος, λεγέτωσαν.

111 Ἐλπίδιος ὁ περίβλεπτος κόμης εἶπεν· Οὔτε τῶι ἀρχεκάκωι δαίμονι ῥαθυμητέον ποτὲ τοῦ πρὸς τὰς ἁγίας ἐκκλησίας πολέμου καὶ ὁ εὐσεβέστατος ἀεὶ βασιλεὺς ἀντιπαρατάττεται τῶι μὴ δικαίως μαχομένωι, ὀρθῶς ἄρα διανοηθεὶς ὡς ἕξει τὸν ὑπερμαχοῦντα τῆς αὐτοῦ βασιλείας, εἰ πρὸς τοὺς ἀγῶνας τοὺς ὑπὲρ τῆς εὐσεβείας αὐτὸς ἐξοπλίζοιτο. καὶ οὐκ ἐμέμψατο τὴν γνώμην οὕτω φρονῶν· ἄνωθεν γὰρ αὐτῶι τὰ πολλὰ μᾶλλον ἢ τοῖς ὅπλοις κατώρθωται. διὰ τοῦτο καὶ Νεστορίου τῆς ἀπονοίας μεθ' ὑμῶν κατεψήφισται, ὅτι πρὸς τὴν θεραπείαν τοῦ κρείττονος τεταγμένος ἀσεβῶν διδαγμάτων πατὴρ ἐγένετο καὶ διδάσκαλος, καθάπερ ὑπὲρ τῶν δαιμόνων, ἀλλ' οὐχὶ τῆς εὐσεβείας τὴν ἱερωσύνην λαβών. ἀλλ' ἐκεῖνος μὲν τῶι πρέποντι χώρωι τέως καταδεδίκασται πρὸς τὴν ἀπαραίτητον ἐν τῶι μέλλοντι βίωι τηρούμενος κόλασιν, ὅτι πρὸς τοσαύτην ἀσέβειαν αὐτός τε ἐξεχύθη καὶ πολλοὺς μεταπείσας παρέσυρεν· τὴν δὲ γενομένην νῦν ἀμφισβήτησιν ὁ θειότατος βασιλεὺς ἐφ' ὑμᾶς ὡς πατέρας καὶ κριτὰς ἄγει καὶ παρ' ὑμῶν εὕρασθαι βούλεται τοῦ κινουμένου τὴν λύσιν, κοινὴν αὐτῶι τε καὶ τοῖς ὑπηκόοις ἐσομένην ἀσφάλειαν. τίνα δέ ἐστιν ἅπερ ὁ θειότατος βασιλεὺς ἡμῖν τε ἐντέταλται καὶ πρὸς ὑμᾶς ἔγραψεν, νῦν αὐτίκα ὑμῖν φανερὰ ποιήσω, τοσοῦτον ὑπειπὼν οἷα δὴ εἷς ὢν τῶν ὑφ' ὑμῖν τὴν εὐσέβειαν ὀρθῶς τελουμένων. σήμερον ὑμῖν ὁ τῶν ὅλων δεσπότης καὶ θεὸς λόγος σωτὴρ εἰς κρίσιν ἑαυτὸν παραδίδωσιν καὶ δικαζόντων ἀνέχεται καὶ τιμᾶι ταῖς ἐξουσίαις τῶν ψήφων ὑμᾶς, ἵνα εὑρὼν ὑμᾶς ἐπ' αὐτῶι τὰ δίκαια κρίναντας καὶ ἐνταῦθα

---

7 post ἀνέγνω: ἐπὶ διοσκόρου M

109—111. 113. 114 praeter Φ extat altera uersio Latina in Collectione Nonariensi 10. 11—13. 15—17 [Λ^n]; praeterea adfert Timotheus Aelurus f. 52b. 53

MBPSΦ, Λ^n [praeter 1—6]

1 εἶπεν MP' 6 σχιδαρίου MPS, corr. M ἀνέγνω: ἐπὶ διοσκόρου: M 9 ἀναγνωσθὲν ἀπὸ κώδικοσ B 10 ἐπίσκοπος om. BΛ^n, cf. notam Rustici τὰ αὐτὰ κἀμοὶ B 12 παρέστω MPΛ^n, nota Rustici, Tim. παρέστη BΦ παρέστην S 14 καὶ² om. MPS 18 δίκαια B 19 αὐτὸς om. B ὁπλίζοιτο B 21/22 κατεψηφίσατο B 23 ὑπὲρ MPSΛ^n Tim. ὑπὸ BΦ οὐχ ὑπὸ BΦ 24 χορῶι Λ^n τέως om. B 26 παρέσειρε S 27 εὐσεβέστατοσ B 28 εὑρέσθαι B τῶν κινουμένων B 29 τί οὖν ἐστιν ὅπερ B ἡμῖν τε MPS ἡμῶν ἡμῖν B 30 ὑπέγραψε B φανερὸν ὑμῖν B τοσούτων P 31 ὑμῶν BΦ ὑμῖν PSΦ Tim. ἡμῖν MBΛ^n 33 τὴν ψῆφον S

τιμήσηι καὶ ἐπὶ τοῦ πατρὸς πάλιν ὁμολογήσηι, ὡς εἴ γέ τινας εὕροι τὸ γνήσιον τῆς εὐσεβείας ἐκβάλλοντας τῆς διανοίας καὶ τὰ πιστευόμενα τέχνηι ῥημάτων εἰς ἀμφισβήτησιν ἄγοντας παρὰ τὴν ἔκθεσιν τῶν ἁγίων πατέρων, φεῦ τῆς ἐπ' αὐτοῖς ἑκατέρας ψήφου
Mt. 26, 24 θεοῦ τε καὶ βασιλέως. καλὸν ἦν αὐτοῖς, εἰ μὴ ἐγεννήθησαν, ὅτι μετὰ λιστὴν καὶ τελώνην καὶ πόρνην καὶ Χαναναίαν οὐχ ὁμολογοῦσιν καθαρῶς ἐπὶ τῆς δόξης τὸν ἐπὶ τῆς δι' ἡμᾶς αὐτοῦ ταπεινώσεως πιστευθέντα. ἀναγνώσομαι δὲ τὰ πρὸς ἡμᾶς ἐνταλθέντα παρὰ τοῦ θειοτάτου αὐτοκράτορος ἡμῶν βασιλέως.

112 M VI 621 p. 72, 5—73, 18 Ἐλπίδιος ὁ περίβλεπτος κόμης ἀνέγνω θεῖον ὑπομνηστικὸν τὸ δοθὲν αὐτῶι καὶ Εὐλογίωι περιβλέπτωι τριβούνωι καὶ νοταρίωι, ὅπερ ἀνωτέρω ἐντέτακται ἀπὸ κώδικος ἀναγνωσθέν.

113 L IIII 128 Ἐλπίδιος ὁ περίβλεπτος κόμης εἶπεν· Νῦν κελεύσατε δεχθῆναι καὶ ἀναγνωσθῆναι καὶ τὰ πρὸς ὑμᾶς γραφέντα παρὰ τῆς θείας κορυφῆς.

114 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ὑποδεχθὲν τὸ εὐαγὲς γράμμα τῶν φιλοχρίστων βασιλέων τὸ γραφὲν πρὸς τὴν ἁγίαν σύνοδον ἀναγινωσκέσθω.

Ἰωάννης πρεσβύτερος καὶ πρῶτος νοταρίων ἀνέγνω

115 p. 73, 21—74, 6 Θεῖον γράμμα γραφὲν πρὸς τὴν ἐν Ἐφέσωι σύνοδον περὶ τοῦ ἐπισκόπου Φλαβιανοῦ ὡς ἀνακινοῦντός τινα περὶ τῆς πίστεως πρὸς Εὐτυχῆ, ὅπερ ἀνωτέρω ἐντέτακται ἀπὸ κώδικος ἀναγνωσθέν.

116 Θαλάσσιος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· Ὁ εὐσεβέστατος καὶ φιλόχριστος βασιλεὺς βουλόμενος τὴν πίστιν τὴν οὖσαν ἄχρι τοῦ παρόντος ἀσάλευτον μεῖναι, ἐκέλευσεν μηδὲν ἕτερον μήτε λεχθῆναι μήτε πραχθῆναι ἐν τῆι ἁγίαι συνόδωι, εἰ μὴ πρότερον τὰ τῆς πίστεως στῆι. ὅθεν πάντα ἀργείτω, τὰ μέντοι τῆς πίστεως προβαινέτω.

117 Ἰούλιος ἐπίσκοπος ἐπέχων τὸν τόπον τοῦ ἁγιωτάτου ἐπισκόπου τῆς Ῥωμαίων ἐκκλησίας Λέοντος ἑρμηνεύοντος αὐτὸν Φλωρεντίου ἐπισκόπου Λυδῶν εἶπεν· Οὔτε γὰρ ἄλλο προστέτακται.

118 Ἐλπίδιος ὁ περίβλεπτος κόμης εἶπεν· Ἐπειδὴ τοίνυν θεμέλιος τῆς πίστεως ἡ πίστις αὕτη, ἧς ἕνεκα καὶ συνεληλύθατε, καταξιώσατε συμψηφιζομένου ὑμῖν τοῦ θεοῦ τὰ περὶ τῆς πίστεως ἀποφήνασθαι, ὥστε δεύτερον κατὰ τὴν τάξιν καιρὸν γενέσθαι τὴν ἀνάγνωσιν τῶν πεπραγμένων κατὰ τὴν βασιλεύουσαν ἐπὶ Εὐτυχεῖ τῶι εὐλαβεστάτωι ἀρχιμανδρίτηι.

119 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Δῆλα γέγονεν ἡμῖν τὰ εὐσεβῆ γράμματα τῶν θεοφιλεστάτων βασιλέων καὶ ὅτι κεκινημένων τινῶν ἐν τῆι Κωνσταντινουπόλει τὴν σύνοδον προσέταξαν γενέσθαι. εἴ τι τοίνυν κεκίνηται, πρῶτον δηλούσθω, εἶθ' οὕτως ἐπιφερέσθω τὰ τῶν ἄνωθεν γενομένων ἁγίων συνόδων δίκαια. φανερὰ ὥρισαν οἱ κανόνες· φανερὰ ἐτύπωσαν αἱ σύνοδοι· ἐκβῆναι τούτων οὐκ ὀφείλομεν. ὁ εὐσεβέστατος καὶ φιλόχριστος ἡμῶν βασιλεὺς ἀναφυέντων τινῶν ἐκέλευσεν ταύτην τὴν ἁγίαν συγκροτηθῆναι

116—120 = Collectio Nouariensis de re Eutychis 10, 19—23 [Λ^n]
119. 120 adfert Timotheus Aelurus f. 55^b

MBPSΦ, Λ^n [praeter 16—18]

7 ἡμῶν αὐτοκράτοροσ B 8 Ἐλπίδιος — κόμης] καὶ B τὸ θεῖον B τὸ om. MPS, corr. M αὐτῶ τὲ B 9 εὐλογίω τῶ B καὶ om. MPS νωταρίων MP 16 ἐπισκόπου B τῆσ ὁσίασ μνήμησ MPSΦ 17 εὐτυχῆν MPS 19 ὁ εὐλαβέστατοσ ἐπίσκοποσ B 21 ἐν om. S 22 πάντασ S μέντοι] δέ γε S 24 τῆς om. MP 25 αὐτῶ BSΦ^c λύδδων B λυδδῶν M^{corr} *lvbdaei* Φ^a *lyddae* Φ^{cr} 25/26 οὐδὲν γὰρ ἄλλο τι B 27 ὁ περίβλεπτος om. S ἐπειδὴ τοίνυν BΦΛ^n ἐπειδήπερ ὁ MPS 29 πίστεωσ ἡμῶν B ὡσ S 30 καὶ κατὰ εὐτυχὴ S 32 τῆι om. S τὴν ἁγίαν B 33 προσέταξεν Φ$^{ac}\Lambda^n$ 36 συγκροτηθῆναι ‹ S

σύνοδον, οὐχ ἵνα τὴν πίστιν ἑαυτῶν ἐκθώμεθα, ἣν ἐξέθεντο οἱ πατέρες ἡμῶν ἤδη, ἀλλ' M VI 624
ἵνα ζητήσωμεν τὰ ἀναφυέντα, εἰ συμβαίνουσιν τοῖς ὁρισθεῖσιν παρὰ τῶν ἁγίων ἡμῶν πατέρων. χρὴ τοίνυν ἐκεῖνα τὰ ἀναφυέντα πρότερον ζητηθῆναι καὶ ἡμᾶς δοκιμάσαι εἰ συνωιδὰ τυγχάνουσιν τοῖς ὁρισθεῖσιν παρὰ τῶν ἁγίων πατέρων. ἢ βούλεσθε τὴν πίστιν τῶν ἁγίων πατέρων ἀνασκευάσαι;

120 Ἡ ἁγία σύνοδος εἶπεν· Εἴ τις ἀνασκευάζει, ἀνάθεμα ἔστω. εἴ τις ἐπεξεργάζεται, ἀνάθεμα ἔστω. τὴν πίστιν τῶν πατέρων φυλάξωμεν.

121 Καὶ ἐν τῷι ἀναγινώσκεσθαι οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Ταῦτα οὐκ εἴπομεν. ταῦτα τίς εἶπεν;

122 Θεόδωρος ὁ εὐλαβέστατος ἐπίσκοπος Κλαυδιουπόλεως εἶπεν· Ἀγάγηι τοὺς νοταρίους αὐτοῦ. ἐκβαλὼν γὰρ τοὺς πάντων νοταρίους τοὺς ἑαυτοῦ ἐποίησεν γράφειν. ἔλθωσιν οἱ νοτάριοι καὶ εἴπωσιν εἰ ἐγράφη ταῦτα ἢ εἰ παρόντων ἡμῶν ἀνεγνώσθη ἤ τις ἐπέγνω καὶ ὑπέγραψεν.

123 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Τὰ ὑπομνήματα τίνος χειρὶ γέγραπται;

124 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Ἀλεξανδρέων εἶπεν· Ἕκαστος διὰ τῶν L IIII 129
ἑαυτοῦ νοταρίων ἔγραψεν, οἱ ἐμοὶ τὰ ἐμά, οἱ τοῦ θεοσεβεστάτου ἐπισκόπου Ἰουβεναλίου τὰ αὐτοῦ, οἱ τοῦ θεοσεβεστάτου ἐπισκόπου Θαλασσίου τὰ αὐτοῦ· ἦσαν δὲ καὶ ἄλλων εὐλαβεστάτων ἐπισκόπων πολλοὶ νοτάριοι ἐκλαμβανόντες. οὕτως οὐκ ἔστιν τῶν ἐμῶν νοταρίων τὸ γράμμα· ἕκαστος ἔχει τὸ ἴδιον.

125 Ἰουβενάλιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Ἦν νοτάριός μου εἷς ἐκλαμβάνων μετὰ τῶν ἄλλων νοταρίων.

126 Θαλάσσιος ὁ εὐλαβέστατος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· Καὶ ἐμὸς εἷς ἦν ἐκλαμβάνων.

127 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἰδοὺ καὶ ὁ νοτάριος τοῦ ἐπισκόπου Ἰουβεναλίου ἐξέλαβεν καὶ ὁ νοτάριος τοῦ ἐπισκόπου Θαλασσίου καὶ ὁ τῆς Κορίνθου ἐξέλαβεν· μὴ οἱ ἐμοὶ μόνοι;

128 Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπεν· Ἀξιῶ τὸν θεοφιλέστατον ἐπίσκοπον Στέφανον τῆς Ἐφεσίων ἐρωτηθῆναι εἰ μὴ ἐξειλήφασιν τὰ ὑπομνήματα τῆς ἁγίας συνόδου οἱ νοτάριοι αὐτοῦ καὶ τίνα πεπόνθασιν παρὰ τῶν νοταρίων τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς Ἀλεξανδρέων Διοσκόρου.

129 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Τί λέγει πρὸς ταῦτα ὁ εὐλαβέστατος ἐπίσκοπος Στέφανος;

130 Στέφανος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἐφέσου εἶπεν· Ἐξελάμβανον οἱ νοτάριοί μου, Ἰουλιανὸς ὁ νῦν εὐλαβέστατος ἐπίσκοπος Λεβέδου καὶ Κρισπῖνος διάκονος καὶ ἦλθον οἱ νοτάριοι τοῦ εὐλαβεστάτου ἐπισκόπου Διοσκόρου καὶ ἀπήλειψαν αὐτῶν τὰς

---

8 ἐν Χαλκηδόνι B^{mg} in textu post φυλάξωμεν MPS

MBPSΦ, $Λ^n$

2 *quae nuper obortа sunt* $Λ^n$ 4 πατέρων] ἡμῶν βασιλέων B 6 ἀνασκευάσει PS ἐξεπεργάζεται PS 7 ἔστω om. B φυλάξομεν M 9 εἴπαμεν MS, corr. M ταῦτα τίς εἶπεν om. P 10 κλαυδιουπόλεωσ ἐπίσκοποσ εἶπεν M εἶπε κλαυδιουπόλεωσ ἐπίσκοποσ P 11 ἑαυτοῦ B ἁπάντων B γράφειν μόνουσ B 12 ἐγράφη] ἐλέχθη B 14 εἶπε P 17 θεοφιλεστάτου B ἐπισκόπου om. B θαλασσίου B 18 θεοφιλεστάτου Ἰουβεναλίου B 23 ὁ εὐλαβέστατος om. P ἐμοὶ S 25 οἱ νοτάριοι S νοτάριοσ B 26 ἐξέλαβε — ἐπισκόπου] καὶ BS 27 ἐξέλαβον S 28 δορυλλαίου PS δορυλλαίων B εὐλαβέστατον B 29 στέφανον τῆσ ἐφέσου MP τῶν ἐφεσίων στέφανον B εἰ μὴ ἐξειλήφασιν εἰ μὴ S 30/31 εὐλαβεστάτου B 31 ἐπισκόπου om. BS ἀλεξανδρείασ S 32 εἶπεν MP 34 τῆσ ἐφεσίων B 35 μου om. PS κρισπιανὸσ B

δέλτους καὶ τοὺς δακτύλους αὐτῶν παρά τι ἔκλασαν θέλοντες λαβεῖν καὶ τὰ καλαμάρια
M VI 625 αὐτῶν. καὶ οὔτε ἀντίγραφα ἔλαβον τῶν ὑπομνημάτων οὔτε οἶδα ἐκ τότε τί ἐγένετο, ἀλλὰ καὶ ἐν αὐτῇ τῇ ἡμέραι ἐν ᾗ ἡ ἐξέτασις ἐγένετο, ὑπεγράψαμεν εἰς χάρτην καὶ οἱ ἐπίσκοποι οἱ μὴ ὑπογράψαντες ἐμοῦ ἐγγυησαμένου τῇ ἑξῆς ὑπέγραψαν.

131 Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπεν· Ἀξιῶ τὸν θεοφιλέστατον ἐπίσκοπον Ἐφέσου Στέφανον εἰπεῖν εἰς ποῖον χάρτην ὑπέγραψαν.

132 Στέφανος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἐφέσου εἶπεν· Εἰς ἄγραφον χάρτην. ἐν αὐτῇ γὰρ τῇ ὥραι ἐν ᾗ ἡ καθαίρεσις γέγονεν, εὐθὺς καὶ ἡ ὑπογραφὴ ἐγένετο.

133 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἀναγνωσθῆι ἡ κατάθεσις τοῦ εὐλαβεστάτου ἐπισκόπου Στεφάνου· ἆρα ἐγὼ αὐτὸν ἠνάγκασα καταθέσθαι;

134 Ἀκάκιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀριαραθείας εἶπεν· Ἀγράφωι χάρτηι ὑπεγράψαμεν ἀναγκασθέντες καὶ βιασθέντες καὶ μυρία κακὰ παθόντες. μὴ βουλόμενοι, ἀλλὰ τυραννούμεννοι ὑπεσημηνάμεθα· ἕως γὰρ ἑσπέρας κατέσχον ἡμᾶς ἀποκλείσαντες εἰς τὴν ἐκκλησίαν καὶ ἀνωμαλοῦντας ἡμᾶς οὐ συνεχώρησαν οὔτε ἀναπνεῦσαι οὔτε ἀναχωρῆσαι καὶ ἑαυτῶν γενέσθαι, ἀλλὰ στρατιώτας ἡμῖν ἐπήγαγον μετὰ βάκλων καὶ ξιφῶν καὶ μονάζοντας καὶ οὕτως ἐποίησαν ἡμᾶς ὑποσημήνασθαι.

135 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Ἀναγινωσκέσθω τὰ λοιπά.

Κωνσταντῖνος ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἐκ τοῦ αὐτοῦ σχεδαρίου ἀνέγνω

136 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἐγὼ πρὸς πληροφορίαν ἁπάντων καὶ βεβαίωσιν τῆς πίστεως καὶ πρὸς ἀνατροπὴν τῶν ἀναφυέντων τὰ τῶν πατέρων ἐρευνῶ, καὶ τῶν ἐν Νικαίαι καὶ τῶν ἐν Εφέσωι.

137 Ἡ ἁγία σύνοδος εἶπεν· Τοῦτο τὴν οἰκουμένην σώιζει. τοῦτο τὴν πίστιν στηρίζει.

138 Καὶ ἐν τῶν ἀναγινώσκεσθαι Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπεν·
I. III 132 Ἰδοὺ ἐρευνῶ εἶπεν· κἀγὼ τοῦτο πεποίηκα.

139 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἐρευνῶ εἶπον, οὐ
Ioh. 5, 39 καινοτομῶ· καὶ γὰρ ὁ σωτὴρ προσέταξεν ἡμῖν λέγων· ἐρευνᾶτε τὰς γραφάς. ὁ δὲ ἐρευνῶν τὴν γραφὴν οὐ καινοτομεῖ.

140 Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπεν· Ὁ σωτὴρ εἶπεν· Ζητεῖτε,
Mt. 7, 7 καὶ εὑρήσετε.

Κωνσταντῖνος ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀπὸ τοῦ αὐτοῦ σχεδαρίου ἀνέγνω

---

136. 137 = Collectio Nouariensis 10, 24. 25 [Λ^n]; adfert Timotheus Aelurus f. 55^b

21 ἐπὶ Διοσκόρου om. B] ἐν Ἐφέσωι [om. P^{mg}] $M^{mg}B^{mg}P^{mg}$

25 ἐν Χαλκηδόνι $M^{mg}B^{mg}P^{mg}$

MBPSΦ, Λ^n [21—24]

2 οὔτε] οὐδὲ MPS ἔκτοτε τῶν B 3 ἡ om. MPS, corr. M 5 δορυλλαίου PS δορυλλαίων B εὐλαβέστατον B *religiosissimum* Φ^r 6 τῆσ ἐφέσου MP Στέφανον om. B ὁποῖον B ὑπέγραψε S 7 τῆσ ἐφεσίων B 9 ἀνεγνώσθη PS 10 ἐπισκόπου om. B ἠνάγκασα αὐτὸν S 11 ἀριαράθησ B 12 μὴ MPS οὐ B 12/13 ἀλλά — ὑπεσημηνάμεθα] ὑπεγράψαμεν ἀλλὰ τυραννούμενοι B 14 ἀνωμαλοῦντεσ B 15 οὔτε^2 B ἡ MPS 17 εἶπεν MP 19 κονσιστωρίου MP συνεδρίου B 20 σχιδαρίου MPS, corr. M 24 στηρίζει PSΛ^n στήσει M σώζει BΦ 25 ἀναγνωσθῆναι B ὁ εὐλαβέστατος om. B δορυλλαίου MPS, corr. M δορυλλαίων B 28 καινοτομῶν PS 28/29 ὁ — καινοτομεῖ] καὶ ἐρευνῶ τὴν γραφὴν οὐ καινοτομῶ B 30 δορυλλαίου MP, corr. M δερυλλαίων B 31 εὑρήσετε PΛ^nΦ δοθήσεται ὑμῖν ἡμῖν M] MPS 32 τοῦ κονσιστωρίου om. BS 33 σχιδαρίου MPS, corr. M

141 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Εἰ καὶ δύο λέγονται σύνοδοι, ἀλλ' εἰς μίαν συντείνουσιν πίστιν.

142 Ἡ ἁγία σύνοδος εἶπεν· Ἀπαραλείπτως πάντα ὥρισαν οἱ πατέρες· ὁ παραβαίνων ταῦτα ἀνάθεμα. οὐδεὶς προστίθησιν, οὐδεὶς ἀφαιρεῖ.

143 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἐπειδὴ τὰς φωνὰς ὑμῶν καὶ θεὸς ἀποδέχεται καὶ αὐτοὶ τὰς ἑαυτῶν καταδέχεσθε βεβαίας εἶναι καὶ ἀρεσκούσας θεῷ, εἴ τις παρὰ τὰ πεπραγμένα ἢ παρὰ τὰ δεδογμένα τοῖς πατράσιν τοῖς τε ἐν Νικαίαι συνελθοῦσιν M VI 628 καὶ τοῖς ἐνταῦθα συνειλεγμένοις ἢ ζητεῖ ἢ πολυπραγμονεῖ ἢ ἀνασκευάζει, ἀνάθεμα ἔστω.

144 Ἡ ἁγία σύνοδος εἶπεν· Τῶι μεγάλωι φύλακι τῆς πίστεως Διοσκόρωι τῶι ἀρχιεπισκόπωι.

145 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Καὶ τὸ ἕτερον λέγω, ὅπερ ἐστὶν φοβερὸν καὶ φρικτόν· ἐάν, φησίν, ἁμαρτάνων ἁμάρτηι ἀνὴρ εἰς ἄνδρα, καὶ προσεύξονται ὑπὲρ αὐτοῦ πρὸς κύριον· ἐὰν δὲ εἰς κύριον ἁμάρτηι, τίς προσεύξεται περὶ αὐτοῦ; εἰ τοίνυν τὸ πνεῦμα τὸ ἅγιον συνήδρευσεν μετὰ τῶν πατέρων, ὥσπερ οὖν καὶ συνήδρευσεν, καὶ ἐτύπωσεν τὰ τετυπωμένα, ὁ ἀνασκευάζων αὐτὰ τὴν τοῦ πνεύματος ἀθετεῖ χάριν. 1 Reg. 2, 2

146 Ἡ ἁγία σύνοδος εἶπεν· Πάντες τὰ αὐτὰ λέγομεν· ἀνάθεμα ἔστω ὁ ἀνασκευάζων. ἐκβαλλέσθω ὁ ἀνασκευάζων.

147 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Οὐδεὶς τυποῖ τὰ τετυπωμένα.

148 Ἡ ἁγία σύνοδος εἶπεν· Αὗται αἱ φωναὶ πνεύματος ἁγίου. τῶι φύλακι τῶν κανόνων. διὰ σοῦ ζῶσιν οἱ πατέρες. τῶι φύλακι τῆς πίστεως.

149 Καὶ ἐν τῶι ἀναγινώσκεσθαι Θεόδωρος ὁ εὐλαβέστατος ἐπίσκοπος Κλαυδιουπόλεως εἶπεν· Οὐδεὶς εἶπεν ταῦτα.

150 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἐκ τῶν ὁμολογουμένων πάντα ἀρνεῖσθαι θέλουσιν· εἴπωσιν καὶ τοῦτο ὅτι οὐδὲ παρῆμεν.

Κωνσταντῖνος ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἐκ τοῦ αὐτοῦ σχεδαρίου ἀνέγνω

151 Ἐλπίδιος ὁ περίβλεπτος κόμης εἶπεν· Φανερῶν ὄντων τῶν δεδογμένων ὑμῖν ἐπὶ τῆι ἁγίαι πίστει καὶ τῆς κοινῆς ἁπάντων φωνῆς συνθεμένης τε καὶ εὐφημησάσης τὴν ὑμῶν τῶν προεδρευόντων ψῆφον, κελεύσατε τὸν εὐλαβέστατον ἀρχιμανδρίτην Εὐτυχῆ [εἰσελθεῖν], ἐφ' ᾧι κέκριται τὰ κεκριμένα καὶ ὃς ἐστιν ὑπόθεσις πάσης τῆς πράξεως καὶ οὗ ἕνεκα γέγραπται ὑμῖν τὸ πολὺ μέρος τοῦ θείου γράμματος, παρεῖναι καὶ τὰ δοκοῦντα αὐτῶι διδάξαι τὴν ὑμετέραν θεοσέβειαν.

141—148 adiert Timotheus Aelurus f. 55b

: ἐπὶ διοσκόρου $M^{mg}P^{mg}$ ἐν ἐφέσω B^{mg} 22 ἐν χαλκηδόνι $M^{mg}B^{mg}$ 28 ἐπὶ διοσκόρου M^{mg} post εἶπεν PS ἐν ἐφέσω B^{mg}

MBPSΦ, $Λ^{n}$ [1. 21. 28—33]

1 ὁ εὐλαβέστατοσ ἐπίσκοποσ $BΦ^{ac}$ 6 ἀποδέχεσθε B 7 ἢ $M^{corr}BΦΛ^{n}$ Tim. om. MPS τε om. B 9 τῶι¹ om. MPS, corr. M 9/10 ἀρχιεπισκόπωι πολλὰ τὰ ἔτη Tim. 12 ἁμαρτὼν B 12/13 προσεύξωνται P 13 περὶ B 13/14 προσεύξηται καὶ [om. $M^{corr}S$]MPS 14 ὑπὲρ S 15 ἐτύπωσαν Tim. 17 ταῦτα $Λ^{n}$ Tim. ἔστω om. B 18 ἐκβαλέσθω MPSB, corr. M 21 σὲ B πίστεως Διοσκόρωι ἀρχιεπισκόπωι Tim. 22 ἀναγνωσθῆναι B 24 ὁ εὐλαβέστατος om. B 26 ὁ καθωσιωμένος om. S τοῦ — κονσιστωρίου om. BS αὐτοῦ BΦ om. MPS 27 σχιδαρίου MPS, corr. M 30 τὸν εὐλαβέστατον B *religiosissimum* Φ *virum venerabilem* $Λ^{n}$ om. MPS εὐτυχῆν MPS, corr. M 31 εἰσελθεῖν $M^{mg}B$ om. MPSΦ$Λ^{n}$ κέχρηται τὰ κεκτημένα PS ὃς B ὡς MPS ἡ ὑπόθεσισ M^{corr} τῆς om. B 33 ὑμῶν B

152 Ἡ ἁγία σύνοδος εἶπεν· Ἀκολούθως.

153 Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Εὔλογον παρεῖναι τὸν θεοσεβέστατον ἀρχιμανδρίτην Εὐτυχῆ καὶ τοῖς αὐτοῦ δικαιώμασιν χρήσασθαι.

154 Καὶ εἰσελθόντος αὐτοῦ Θαλάσσιος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· Τὰς προσούσας αὐτῶι δικαιολογίας ὁ εὐλαβέστατος ἀρχιμανδρίτης Εὐτυχὴς σαφηνιζέτω τῆι ἁγίαι ταύτηι καὶ μεγάληι συνόδωι.

155 Εὐτυχὴς ἀρχιμανδρίτης εἶπεν· Ἐγὼ παρεθέμην ἐμαυτὸν τῶι πατρὶ καὶ τῶι υἱῶι
L IIII 133 καὶ τῶι ἁγίωι πνεύματι καὶ τῶι λόγωι τῆς ἀληθείας τῆς ὑμῶν δικαιοσύνης καὶ μάρτυρας ὑμᾶς ἔχω τῆς ἐμαυτοῦ πίστεως, περὶ ἧς καὶ ἠγωνισάμην μεθ' ὑμῶν μετὰ τῆς ἁγίας συνόδου τῆς πρὸ ὑμῶν ἐνταῦθα συναχθείσης, ὡς καὶ ἡ ὑμετέρα ὁσιότης μαρτυρεῖ. ἔχω
M VI 629 δὲ μετὰ χεῖρας καὶ τὸν λίβελλον τὸν περὶ τῆς πίστεώς μου· κελεύσατε αὐτὸν ἀναγνωσθῆναι, καὶ τὴν ὁμολογίαν δὲ τῆς πίστεως τὴν ἐγκειμένην ἐν αὐτῶι.

156 Στέφανος ἐπίσκοπος Ἐφέσου εἶπεν· Δίκαιόν ἐστιν τὴν ὁμολογίαν καὶ τοὺς λιβέλλους τοῦ εὐλαβεστάτου ἀρχιμανδρίτου Εὐτυχοῦς ὑποδεχθέντας ἐνταγῆναι τῆι πράξει τῶν ὑπομνημάτων.

Καὶ ἐπιδοθέντων αὐτῶν Ἰωάννης πρεσβύτερος καὶ πρῶτος νοταρίων ἀνέγνω

157 Τῆι ἁγιωτάτηι καὶ θεοφιλεστάτηι συνόδωι οἰκουμενικῆι συνελθούσηι ἐν τῆι Ἐφεσίων μητροπόλει παρὰ Εὐτυχοῦς ἀρχιμανδρίτου. Εὐχαριστῶν τῶι παναγίωι θεῶι τῆς παρούσης ἡμέρας καθ' ἣν ἡ εὐσέβεια δι' ὑμᾶς τὴν παρρησίαν ἀπείληφεν, ἀναδιδάσκω τὴν ὑμετέραν ἁγίαν σύνοδον τὰ ἐπ' ἐμοί, μᾶλλον δὲ κατὰ τῆς ὀρθῆς πίστεως παρακολουθήσαντα, προθυμηθεὶς μὲν ἐκ νέας κομιδῆι ἡλικίας ἐν ἡσυχίαι ἀπραγμόνως μέχρι γήρως διατελεῖν καὶ πάσης ἔξω ταραχῆς καθεστάναι, οὐ συγχωρηθεὶς δὲ τῆς τοιαύτης ἐν ἀπολαύσει γενέσθαι προθέσεως, ἀλλὰ καὶ τοῖς ἐσχάτοις ἐξ ἐπιβουλῆς περιβληθεὶς κινδύνοις διὰ τὸ κατὰ τὸν ὅρον τῆς ἐνταῦθα προτέρας ὑμῶν ἁγίας συνόδου μὴ προσδέξασθαι παρὰ τὴν ἐν Νικαίαι ὑπὸ τῶν ἁγίων πατέρων ἐκτεθεῖσαν πίστιν φρονεῖν. ἀναγκαῖον δὲ πρὸ τῆς διδασκαλίας τῶν γενομένων εἰς πληροφορίαν τῆς ὑμετέρας ὁσιότητος, ἣν ἔχω περὶ τοῦ ἁγίου δόγματος ὁμολογίαν, φανερὰν αὖθις ποιῆσαι, μαρτυροῦντος μέν μοι τοῦ θεοῦ, μαρτυρούσης δὲ καὶ τῆς ὑμετέρας ἁγιωσύνης, μεθ' ἧς καὶ αὐτὸς ἀεὶ κατὰ δύναμιν ὑπὲρ τῆς ὀρθοδόξου πίστεως κατὰ τῶν αἱρετικῶν ἐσπούδασα.

Πιστεύω εἰς ἕνα θεὸν πατέρα παντοκράτορα, πάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητήν· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ, γεννηθέντα ἐκ τοῦ πατρὸς μονογενῆ, τουτέστιν ἐκ τῆς οὐσίας τοῦ πατρός, θεὸν ἐκ θεοῦ, φῶς ἐκ φωτός, θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῶι πατρί, δι' οὗ τὰ πάντα ἐγένετο τά τε ἐν τῶι οὐρανῶι καὶ τὰ ἐν τῆι γῆι, τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα σαρκωθέντα ἐνανθρωπήσαντα παθόντα καὶ ἀναστάντα τῆι τρίτηι ἡμέραι, ἀνελθόντα εἰς τοὺς οὐρανούς, ἐρχόμενον κρῖναι ζῶντας καὶ

---

157 adfert Timotheus Aelurus f. 54ª

16 σημ̄ ὅτι τοῦτον ἐπιδοὺς τὸν λίβελλον εὐτυχὴς ἐδέχθη παρὰ τῆς συνόδου καὶ παρὰ διοσκόρου M^{mg}

30 ἔκθεσις πίστεως εὐτυχοῦς $M^{mg}B^{mg}$ ὁμολογία πίστεως καὶ δόγματος εὐτυχοῦς τοῦ ἀρχιμανδρίτου S^{mg}

MBPSΦΛ^{n}

2 εὐλαβέστατον B 3 εὐτυχέα MPS 4 ὁ ἐπίσκοποσ P 7 ὁ ἀρχιμανδρίτησ S 11 τὸν] τὸ S τὸν] τοῦ S κελεύσατε MPSΛ^{n} καὶ κελεύσατε BΦ 12 δὲ om. B τῆς om. B τὴν ἐγκειμένην ἐν BΛ^{n} τῆσ ἐγκειμένησ MPS 21 μὲν γὰρ B 22 γήρουσ MS τῆς om. B 23 βληθεὶσ PS 24/25 μὴ τροσδέξασθαι M μρ̄σ δέξασθαι PS *recipere uel sentire* Λ^{n} 25 ὑπὸ] παρὰ B ἁγίων om. B 26 δὴ Φ^{ac} 27 ἐγὼ ἔχω S μέν μοι BΦΛ^{n} Tim. μέντοι MPS 31 τὸν γεννηθέντα B 34 τῶι om. B 35 καὶ om. B 36 τοὺς om. B

νεκρούς· καὶ εἰς τὸ ἅγιον πνεῦμα. τοὺς δὲ λέγοντας ἦν ποτε ὅτε οὐκ ἦν καὶ πρὶν γεννηθῆναι οὐκ ἦν καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο, ἢ ἐξ ἑτέρας ὑποστάσεως ἢ οὐσίας φάσκοντας εἶναι ἢ τρεπτὸν ἢ ἀλλοιωτὸν τὸν υἱὸν τοῦ θεοῦ, ἀναθεματίζει ἡ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία. M VI 632

Οὕτως ἄνωθεν ἐκ προγόνων παραλαβὼν ἐπίστευσα καὶ πιστεύω. ἐν αὐτῇ γὰρ καὶ ἐτέχθην καὶ εὐθὺς ἀφιερώθην θεῶι καὶ προσεδέξατό με ἡ αὐτοῦ φιλανθρωπία καὶ ἐν τῇι πίστει ταύτηι βαπτισθεὶς ἐσφράγισμαι καὶ μέχρι τῆς σήμερον ἔζησα εὐχόμενος ἐν αὐτῇ καὶ τελειωθῆναι. ταύτην τὴν πίστιν καὶ ἡ μνημονευθεῖσα ἐνταῦθα προτέρα ἁγία καὶ οἰκουμενικὴ σύνοδος ἐβεβαίωσεν, ἧς καθηγήσατο ὁ τῆς μακαρίας καὶ ὁσίας μνήμης πατὴρ ἡμῶν καὶ ἐπίσκοπος Κύριλλος καὶ ὅρον ἐξήνεγκεν τὸν παρὰ ταύτην προστιθέντα τι ἢ ἐπινοοῦντα ἢ διδάσκοντα ἐπιτιμίοις τοῖς τότε ἐγγραφεῖσιν ὑποκεῖσθαι, ὧν τὰ ἴσα ἐν βίβλωι ἀπέστειλέν μοι ὁ μνημονευθεὶς ἐν ἁγίοις πατὴρ ἡμῶν καὶ ἐπίσκοπος Κύριλλος, ἣν καὶ μετὰ χεῖρας ἔχω. ὑποτάξας τοίνυν ἐμαυτὸν τῆι ἁγίαι συνόδωι καὶ τὸν ὅρον ταύτης ἄχρι τοῦ παρόντος ἐφύλαξα L IIII 136

158 Καὶ ἐν τῶι ἀναγινώσκεσθαι Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπεν· Ἐψεύσατο· οὐκ ἔστιν ὅρος τοιοῦτος, οὐκ ἔστιν κανὼν τοῦτο διαγορεύων.

159 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Τέσσαρά ἐστιν βιβλία περιέχοντα τοῦτον τὸν ὅρον. ὃν ὥρισαν οἱ ἐπίσκοποι, οὐκ ἐστιν ὅρος; μὴ γὰρ ἔχει ὅτι κανών ἐστιν; οὐκ ἐστιν κανών· ἄλλο ἐστὶν κανών, ἄλλο ὅρος. κατηγόρησον πέντε συνοδικῶν βιβλίων· κἀγὼ ἔχω καὶ ὁ δεῖνα καὶ ὁ δεῖνα ἔχει, ἐνέγκωσιν πάντες τὰ βίβλια.

160 Διογένης ὁ εὐλαβέστατος ἐπίσκοπος Κυζίκου εἶπεν· Δολερῶς προέταξεν τὴν ἐν Νικαίαι τῶν ἁγίων πατέρων σύνοδον, ἐδέξατο δὲ προσθήκας παρὰ τῶν ἁγίων πατέρων διὰ τὴν ἔννοιαν τὴν κακὴν Ἀπολιναρίου καὶ Οὐαλεντίνου καὶ Μακεδονίου καὶ τῶν ὁμοίων ἐκείνοις καὶ προστέθειται τῶι συμβόλωι τῶν ἁγίων πατέρων τὸ κατελθόντα καὶ σαρκωθέντα ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου. τοῦτο γὰρ παρέλιπεν Εὐτυχὴς ὡς Ἀπολιναριστής· καὶ Ἀπολινάριος γὰρ δέχεται τὴν ἐν Νικαίαι ἁγίαν σύνοδον, κατὰ τὴν οἰκείαν παρανομίαν ἐκλαμβάνων τὸ ῥητόν, καὶ φεύγει τὸ ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου, ἵνα πανταχοῦ μὴ τὴν ἕνωσιν τῆς σαρκὸς ὁμολογήσηι. οἱ γὰρ ἅγιοι πατέρες οἱ μετὰ ταῦτα τὸ ἐσαρκώθη, ὃ εἶπον οἱ ἅγιοι ἐν Νικαίαι πατέρες, ἐσαφήνισαν εἰπόντες ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου.

161 Οἱ Αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Οὐδεὶς δέχεται προσθήκην, οὐδεὶς μείωσιν. τὰ τῶν ἐν Νικαίαι κρατείτω· ὁ ὀρθόδοξος βασιλεὺς τοῦτο ἐκέλευσεν. M VI 633

162 Οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Ταῦτα Εὐτυχὴς εἶπεν.

163 Οἱ Αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι εἶπον· Προσθήκην οὐδείς

---

15 ἐν χαλκηδόνι $M^{mg}B^{mg}$ post 15 εἶπεν PS

MBPSΦ, $Λ^{n}$ [1—14]

1 τὸ $\overline{πνα}$ τὸ ἅγιον B 2 οὐκ ἐξ οὐκ S 2/3 φάσκοντεσ P 3 τὸν — θεοῦ] τὸν θν̄ B 3/4 ἀποστολικὴ καὶ καθολικὴ MPS 6 με ἡ om. PS αὐτοῦ $M^{corr}BΦΛ^{n}$ Tim. τοῦ M δεσπότου PS 7 ἐν om. MPS βαπτισθεὶς $M^{corr}B$ χθὲσ πεισθεισ [χρισθεισ S] PS S πρότερον B *ιuper* $Λ^{n}$ 10 καὶ^{1} om. S ταύτην MPS$Λ^{n}$ Tim. ταῦτα BΦ 11 γραφεῖσιν unus codex $Φ^{c}$ et $Φ^{r}$ 12 βίβλωι P βιβλίω MBS 13 ἣν MBPS *quem* $Λ^{n}$ *quae* Φ καὶ^{2} om. B 15 δορυλαίου M^{corr} δορυλλαίου MPS δορυλλαίων B 17 βιβλία εἰσὶ B 18 ἔχη M 19 οὐκ — κανών^{2} om. B ὄλλο^{2} MPBΦ^{a} καὶ ἄλλο S$Φ^{cr}$ 20 καὶ ὁ δεῖνα om. B 21/22 τῶν ἐν νικαίᾳ B 22 γὰρ $B^{corr}Φ$ 23 βαλεντίνου B 24 τὸ B τὸν MPS 26 ἀπολιναριαστήσ B καὶ om. unus codex $Φ^{c}$ et $Φ^{r}$ ἁγίαν om. BS 27 τὰ ῥήματα BΦ 29 εἶπαν MS, corr. M $\overline{πρσ}$ οἱ ἐν νικαίᾳ B 32 ὁ om. B 34—p. 92, 2 οἱ — ἐκέλευσεν om. B

δέχεται. κρατείτω τὰ τῶν πατέρων. τὰ τῶν ἐν Νικαίαι κρατείτω. τὰ ἐκ πνεύματος ἁγίου κρατείτω. ὁ ὀρθόδοξος βασιλεὺς τοῦτο ἐκέλευσεν.

Κωνσταντῖνος ὁ καθωσιωμένος μαγιστριανὸς καὶ σηκρητάριος τοῦ θείου κονσιστωρίου ἐκ τοῦ αὐτοῦ σχεδαρίου ἀνέγνω

164 καὶ πάντας δὲ τοὺς ἁγίους πατέρας, ὡς καὶ ἡ ὑμετέρα θεοσέβεια, ὀρθοδόξους ἔσχον καὶ πιστοὺς καὶ διδασκάλους ἐμαυτῷ ἐθέμην, ἀναθεματίζων Μάνην Βαλεντῖνον Ἀπολινάριον καὶ Νεστόριον καὶ πάντας τοὺς αἱρετικοὺς ἕως Σίμωνος τοῦ μάγου καὶ τοὺς λέγοντας τὴν σάρκα τοῦ κυρίου καὶ θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ ἐξ οὐρανοῦ κατεληλυθέναι

165 Καὶ ἐν τῷι ἀναγινώσκεσθαι Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπεν·
L III 137 Ἔφυγεν μὲν τὸ ἐξ οὐρανοῦ, οὐ προσέθηκεν δὲ πόθεν.

166 Διογένης ὁ εὐλαβέστατος ἐπίσκοπος Κυζίκου εἶπεν· Πόθεν οὖν εἶπεν; μὰ τὴν ἐξουσίαν ὑμῶν, παρεκαλέσαμεν αὐτὸν λέγοντες· κύρι Εὐτυχῆ, πόθεν οὖν; εἰπέ· καὶ οὐ συνεχώρησεν.

167 Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος Σελευκείας εἶπεν· Παρεκαλέσαμεν τότε, ὡς μέμνηται καὶ ὁ κύριος Εὐσέβιος καὶ Σώιζων ὁ Φιλίππων, ὥστε εἰπεῖν αὐτὸν τὸν τρόπον τῆς σαρκώσεως καὶ τῆς ἐνανθρωπήσεως, εἰ κατὰ πρόσληψιν σαρκὸς οἶδεν τὸν θεὸν λόγον γενόμενον ἄνθρωπον. καὶ ἐκέλευσαν ἀπερίεργον ἐᾶσαι τοῦτο καὶ οὐ προσεδέξαντο τὴν δικαιολογίαν ἡμῶν.

168 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ὁ θεοσεβέστατος ἐπίσκοπος Βασίλειος ἐπελάβετο ἐν ὑπομνήμασιν τῆς ἑαυτοῦ φωνῆς λέγων ὅτι οὕτως οὐκ εἶπον, ἀλλὰ ἐπλαστογραφήθη. εἰ δὲ Εὐτυχὴς παρὰ τὰ δόγματα τῆς ἐκκλησίας φρονεῖ, οὐ μόνον τιμωρίας ἄξιός ἐστιν, ἀλλὰ καὶ πυρός· ἐγὼ γὰρ τῆς πίστεως τῆς καθολικῆς καὶ ἀποστολικῆς φροντίδα τίθεμαι, οὐκ ἀνθρώπου τινός. περὶ γὰρ αὐτὸ
M VI 636 τὸ θεῖον τὸν νοῦν τεταμένον ἔχω καὶ εἰς πρόσωπον οὐκ ἀφορῶ οὔτε μὴν φροντίζω τινὸς ἢ τῆς ἐμαυτοῦ ψυχῆς καὶ τῆς ὀρθῆς καὶ εἰλικρινοῦς πίστεως.

169 Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος Σελευκείας Ἰσαυρίας εἶπεν· Ἀναγινωσκομένων τῶν ὑπομνημάτων τῶν ἐπὶ Εὐτυχεῖ πραχθέντων, ἡ διαλαλιὰ ἡ ἐμὴ ἀνεγνώσθη καὶ εἰς μέσον ἦχθη, ἣν ἐποιησάμην ἀκολουθῶν τοῖς ἐν Ἐφέσωι πατράσιν τὸ πρότερον συνεδρεύσασιν, ἀποδεξάμενος τὴν ἐπιστολὴν τοῦ μακαριωτάτου Κυρίλλου τῆς συνόδου τῆς μακαρίας ἐκείνης ἡγησαμένου, δι' ἧς τὸν φρενοβλαβῆ Νεστόριον ἤλεγχεν παρερμηνεύοντα τὴν τῶν τριακοσίων δέκα καὶ ὀκτὼ πατέρων πίστιν. εἶχεν δὲ ἡ διαλαλιά μου, ὡς καὶ μέχρι νῦν ἔχει, ὅτι προσκυνῶ τὸν ἕνα κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ

---

164 adfert Timotheus Aelurus f. 54b
168 cf. 546. 548. 856
169 cf. 301
5 ἐπὶ διοσκόρου Mmg ἐν ἐφέσω Bmg
9 ἐν χαλκηδόνι Bmg post ἀναγινώσκεσθαι MPS

MBPSΦ

3 μαγιστριανὸς καὶ om. BΦac θείου om. S 4 σχιδαρίου MP, corr. M 5 καὶ2 om. S εὐσέβεια B 6 ἐμαυτοῦ B 7 καὶ1 om. BS 8 θῦ καὶ σρσ̄ S 9 ἀναγνωσθῆναι B δορυλλαίου MPS, corr. M δορυλλαίων B 10 οὐρανῶν MPS προστέθεικε P 11 εἶπεν M εἶπε BPS εἰπὲ Φ 12 οὖν ἐσαρκώθη B 13 Σελευκείας Ἰσαυρίας Φ καὶ ὡσ S 14 καὶ om. S 15 τῆσ ἐνανθρωπήσεωσ καὶ τῆσ σαρκώσεωσ B 16/17 ἐκέλευσαν [scil. Dioscorus et synodus Ephesena, ἐκέλευσεν S] — ἡμῶν MPSΦ καὶ οὐ προσεδέξατο τὴν δικαιολογίαν ὑμῶν, ἀλλ' ἐκέλευσεν ἀπερίεργον ἐᾶσαι τοῦτο B 20 εἶπεν S 21/22 τῆσ καθολικῆσ πίστεωσ S 22 καὶ οὐκ BΦ 23 τεταγμένον B 25 ὁ εὐλαβέστατος om. B 26 πεπραγμένων B 27 ἀκολούθωσ B 28 ἀποδεχόμενοσ B μακαρίου B 28/29 τῆσ μακαρίασ συνόδου S 30 τῶν τιῆ πρῶν̄ τὴν S δεκαοκτὼ B δὲ καὶ S 31 ἔχω S ἔχων P ἕνα om. Φ

τὸν μονογενῆ, τὸν θεὸν λόγον μετὰ τὴν σάρκωσιν καὶ τὴν ἐνανθρώπησιν ἐν δύο φύσεσιν γνωριζόμενον.

170 Οἱ Αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Τὸν ἀμέριστον μηδεὶς χωριζέτω. τὸν ἕνα υἱὸν οὐδεὶς λέγει δύο.

171 Οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Ἀνάθεμα τῶι μερίζοντι. ἀνάθεμα τῶι διαιροῦντι.

172 Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος Σελευκείας Ἰσαυρίας εἶπεν· Ἀνάθεμα τῶι μερίζοντι, ἀνάθεμα τῶι διαιροῦντι τὰς δύο φύσεις μετὰ τὴν ἕνωσιν· ἀνάθεμα δὲ καὶ τῶι μὴ γνωρίζοντι τὸ ἰδιάζον τῶν φύσεων.

173 Οἱ Αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Ὡς ἐγεννήθη, οὕτως ἔπαθεν. τὰς φωνὰς τῶι βασιλεῖ. εἷς κύριος, μία πίστις. τὸν ἕνα κύριον δύο οὐδεὶς λέγει. ταῦτα Νεστόριος ἐφρόνει. ταῦτα Νεστόριος ἐβόα.

174 Οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Ἀνάθεμα Νεστορίωι καὶ Εὐτυχεῖ.

175 Οἱ Αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Τὸν κύριον τῆς δόξης μὴ μερίζετε. τὸν ἀμέριστον μὴ μερίζετε.

176 Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος Σελευκείας Ἰσαυρίας εἶπεν· Ὃ ἔλεγον· ἐν δύο φύσεσιν γνωριζόμενον μετὰ τὴν ἕνωσιν, θεότητι τελείαι καὶ ἀνθρωπότητι τελείαι. τὴν μὲν γὰρ εἶχεν ἐκ πατρὸς προαιώνιον, τὴν δ' ἐκ τῆς κατὰ σάρκα μητρὸς λαβὼν ὁ αὐτὸς ἥνωσεν ἑαυτῶι καθ' ὑπόστασιν καὶ κεχρημάτικεν ὁ υἱὸς τοῦ θεοῦ υἱὸς ἀνθρώπου. L IIII 140 ταύτης ἀναγνωσθείσης τῆς διαλαλιᾶς εἷς μέν τις, οὐκ οἶδα δὲ ὅστις (ἡ γὰρ ἀχλὺς τῶν πραγμάτων καὶ τὸ τῆς ψυχῆς ὄμμα συνέχεεν καὶ τὸ τοῦ σώματος), ἔρριψεν ἑαυτὸν εἰς τὸ μέσον καὶ ἤρξατο λέγειν ὅτι αὕτη ἡ φωνὴ τὴν ἐκκλησίαν ἐτάραξεν. ἐπανέστησαν λοιπὸν πάντες οἱ Αἰγύπτιοι καὶ οἱ μονάζοντες οἱ ἀκολουθοῦντες Βαρσουμᾶι καὶ πᾶς ὁ ὄχλος καὶ ἤρξαντο λέγειν· τὸν λέγοντα δύο φύσεις εἰς δύο τέμε. ὁ λέγων δύο φύσεις Νεστοριανός ἐστιν. μετὰ ταῦτα ἀνεγνώσθη πάλιν ἡ ἐμὴ φωνὴ μετὰ τὴν ἀσεβῆ καὶ ἀλλόκοτον Εὐτυχοῦς φωνήν. ἐρωτώμενος γὰρ παρὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου Εὐσεβίου εἰ λέγει δύο φύσεις ἐν τῶι Χριστῶι, εἶπεν ἐκ δύο μὲν φύσεων εἰδέναι τὸν Χριστὸν πρὸ τῆς ἑνώσεως, μετὰ δὲ τὴν ἕνωσιν μίαν· ἐγὼ δὲ τότε, ὡς νῦν ἐντυχὼν τοῖς ὑπομνήμασιν ἀνεμνήσθην, εἶπον· ἐὰν μὴ μετὰ τὴν ἕνωσιν ἀχωρίστους καὶ ἀσυγχύτους εἴπῃς δύο φύσεις, σύγχυσιν λέγεις καὶ σύγκρασιν. ἀναγνωσθείσης τῆς φωνῆς τοσοῦτος ἐγένετο κρότος παρ' αὐτῶν, ὥστε πάντων ἡμῶν τιναχθῆναι τὴν ψυχὴν καὶ μάλιστα ἡμῶν τῶν κρινομένων καὶ κελευσθέντων ἀναμένειν τὴν ψῆφον τῆς συνόδου. ἀχλύος πληρωθεὶς εἶπον ὅτι ἐγὼ οὐ μέμνημαι αὐταῖς λέξεσιν ταῦτα εἰρηκώς, οἶδα μέντοι εἰρηκὼς ὅτι ἐὰν μίαν φύσιν εἴπῃς ἀπολελυμένως μετὰ τὴν ἕνωσιν, σύγχυσιν λέγεις καὶ σύγκρασιν· ἐὰν μέντοιγε προσθῆις σεσαρκωμένην καὶ ἐνανθρωπήσασαν καὶ νοήσῃς παραπλησίως τῶι μακαριωτάτωι Κυρίλλωι τὴν σάρκωσιν καὶ τὴν ἐνανθρώπησιν, τὰ αὐτὰ λέγεις ἡμῖν. δῆλον γὰρ ὅτι ἄλλο μέν τί ἐστιν ἡ θεότης αὐτοῦ ἡ ἐκ τοῦ πατρός, ἄλλο δὲ ἡ ἀνθρωπότης ἡ ἐκ τῆς μητρός. καὶ οἱ κατεγνωκότες πρότερον ὕστερον ἀπεδέξαντό με ταῦτα εἰρηκότα. M VI 637

176 cf. 301. 542. 545. 549

MBPSΦ

4 λέγω δύο S δύο λέγει B 12 οὐδεὶσ δύο λέγει B οὐδεὶσ λέγει δύο S ταῦτα² om. S φρονεῖ — βοᾶ unus codex Φ^{c} et Φ^{r} 17 ὁ om. B 19 πρὸ αἰώνων B 20 ἑαυτὸ S 21 μέν — δὲ] τίσ δὲ οὐκ οἶδα B 23 ὅτι om. B 24 πάντεσ om. B 25 καὶ om. PS ἤρξατο S τέμετε BΦ 26 νεστοριανόσ BΦ νεστόριόσ MPS ἡ — φωνὴ om. S ἡ B om. MP 28 μὲν om. B 30 εἶπον B καὶ εἶπον MPSΦ μὴ om. PS 30/31 εἴπῃσ μετὰ — ἀσυγχύτουσ δύο B 30 ἀσυγχύτουσ καὶ ἀχωρίστουσ S 32 παρ' αὐτῶν BΦ om. MPS 33 ἀχλύοσ MPS ἀχλύοσ οὖν B 36 προσθεῖσ S νοήσεισ S 36/37 μακαρίω B 38 μέν τί] μέντοι S τί B 39 με] μετὰ PS

177 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Καὶ οὕτως ὀρθοδόξως διδάξας διὰ τί τῆι καθαιρέσει Φλαβιανοῦ τοῦ τῆς ὁσίας μνήμης ὑπέγραψας;

178 Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος Σελευκείας Ἰσαυρίας εἶπεν· Ἐπειδὴ εἰς κρίσιν ἑκατὸν εἴκοσι ἢ τριάκοντα παραδοθεὶς ἐπισκόπων ἀνάγκην εἶχον πείθεσθαι τοῖς ὑπ' ἐκείνων τυπουμένοις.

179 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Νῦν πεπλήρωται τὸ
Mt. 12, 37 γεγραμμένον ἐκ τοῦ στόματός σου δικαιωθήσηι καὶ ἐκ τοῦ στόματός σου κατακριθήσηι. αἰδούμενος ἀνθρώπους παρέβης τὸ εὔλογον καὶ τὴν πίστιν ἠθέτησας;
Sir. 4, 22 οὐκ ἤκουσας καὶ μὴ ἐντραπῆις εἰς πτῶσίν σου;

180 Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος Σελευκείας Ἰσαυρίας εἶπεν· Εἰ πρὸς ἄρχοντας εἶχον, ἐμαρτύρουν· καὶ γὰρ ἐν Κωνσταντινουπόλει ἐπεδειξάμην παρρησίαν· παρὰ πατρὸς
cf. Leu. 20, 9 δὲ ὁ κρινόμενος δικαίοις οὐ κέχρηται. παῖς γὰρ πατρὶ δίκαια λέγων τεθνάτω.

181 Οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Πάντες ἡμάρτομεν, πάντες συγγνώμην αἰτοῦμεν.

182 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Καὶ μὴν ὑμεῖς πρότερον ἐδιδάξατε ὡς κατὰ βίαν καὶ ἀνάγκην ἀγράφωι χάρτηι ὑπογράψαι κατηναγκάσθητε εἰς τὴν καθαίρεσιν τοῦ τῆς ὁσίας μνήμης Φλαβιανοῦ.

183 Οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Πάντες
M VI 640
L IIII 141 ἡμάρτομεν, πάντες συγγνώμην αἰτοῦμεν.

184 Θαλάσσιος καὶ Εὐστάθιος καὶ Εὐσέβιος οἱ εὐλαβέστατοι ἐπίσκοποι εἶπον· Πάντες ἡμάρτομεν, πάντες συγγνώμην αἰτοῦμεν.

Βερονικιανὸς ὁ καθωσιωμένος μαγιστριανὸς καὶ σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀνέγνω ἀπὸ τοῦ αὐτοῦ σχεδαρίου

185 ἀλλὰ κατὰ ταύτην τὴν πίστιν καὶ ζῶν καὶ προσκαρτερῶν ταῖς εὐχαῖς κατηγορίαν ἐξ ἐπιβουλῆς ὑπομεμένηκα παρὰ Εὐσεβίου τοῦ ἐπισκόπου Δορυλαίου λιβέλλους ἐπιδόντος κατ' ἐμοῦ τῶι εὐλαβεστάτωι ἐπισκόπωι Φλαβιανῶι καὶ τοῖς ἐκ διαφόρων ἰδίων ἕνεκα αἰτιῶν ἐνδημοῦσιν τότε τῆι βασιλευούσηι, αἱρετικὸν μὲν ἐμὲ ὑβριστικῶς ἐν αὐτοῖς ἀποκαλοῦντος, οὐδὲν δὲ εἶδος αἱρέσεως τοῖς λιβέλλοις ἐνθέντος, ὅπως ἀθρόον ἐν τοῖς ἀγῶσιν τῆς ἐξετάσεως τοῖς τῆς γλώττης, οἷα εἰκός, ἐκ τῶν θορύβων ὀλίσθοις εἰς ἁμάρτημα περιπέσοιμι καινοφωνούμενος. ἐμὲ μὲν οὖν ἐκ τῶν τῆς κατηγορίας λιβέλλων ὁ μνημονευθεὶς εὐλαβέστατος ἐπίσκοπος ἀπαντῆσαι πρὸς τὴν ἀπολογίαν τοῦ κατηγορηκότος παρεκελεύετο, τὰ μὲν πολλὰ τῶι κατηγόρωι συνὼν καὶ σχεδὸν ἀχώριστος ὑπάρχων αὐτῶι, οἰόμενος δὲ ὡς εἰθισμένον ἀεὶ τῶι μοναστηρίωι προσκαρτερεῖν μὴ παραγενήσεσθαι καὶ διὰ τοῦτο καθαιρήσειν ὡς οὐκ ἀπαντήσαντα. ἀφ' ὧν μετὰ τὸ παραγενέσθαι με κατὰ τὴν βασιλεύουσαν ἐκ τῆς μονῆς μεμαθηκὼς παρὰ τοῦ θαυμασιωτάτου σιλεντιαρίου

---

185 adfert Timotheus Aelurus f. 54^{b}

24 ἐπὶ διοσκόρου M^{mg} εὐτυχὴς ἐν ἐφέσωι B^{mg}

MBPSΦ, Λ^{n} [24—34 παραγενέσθαι]

1 εἶπεν MP 2 τοῦ τῆσ — μνήμησ φλαβιανοῦ S 4 ἢ] ἢ καὶ ἑκατόν B 6 ὁ εὐλαβέστατος om. B 8 παρέβη MP, corr. P 9 ἐντραπῆ S 14 ἡμάρταμεν M 15 εἶπεν MP 18 ἐξεβόησαν] εἶπον M 19 ἡμάρταμεν M 20/21 Θαλάσσιος — αἰτοῦμεν om. PS 20 θαλάσσιοσ εὐσέβιοσ καὶ εὐστάθιοσ BΦ Εὐσέβιος scil. Ancyranus 22 μαγιστριανὸς καὶ om. BΦ^{ac} 22/23 συνεδρίου B 23 ἀνεγνώσθη M σχιδαρίου P 25 ὑποβολῆσ B τοῦ om. S δορυλλαίου MPS, corr. M δορυλλαίων B λιβέλλου ἐπιδοθέντοσ B 26 ἐπισκόπωι om. M 27/28 ἀποκαλοῦντεσ S 28 ἐκθέντοσ S 29 γλώσσησ B 30 καινοφωνούμενος Λ^{n} Φ Tim. κενοφωνούμενος MBPS 31 κατηγορίαν καὶ ἀπολογίαν S 31/32 παρεκελεύσατο B 32 ὑπάρχων αὐτῶ MPSΛ^{n} αὐτοῦ ὑπάρχων B 33 παραγενῆσθαι S παραγενέσθαι B 34 ἀπαντήσαντα PS ἀπαντήσοντα MB

Μάγνου, ὃν ὁ εὐσεβέστατος καὶ πιστότατος ἡμῶν βασιλεὺς ἀπένειμεν πρὸς τὸ μὴ συγχωρῆσαί μοι τὸν ἀπειλούμενον ἐπὶ τῇι σωτηρίαι κίνδυνον, περιττὴν εἶναι λοιπὸν τὴν παρουσίαν μου ἀπεκρίνατο ὡς καὶ ἤδη πρὸ τῆς ἐξετάσεως καθηιρημένου, ὡς καὶ ἡ γενομένη 838
παρὰ τοῦ αὐτοῦ θαυμασιωτάτου σιλεντιαρίου μετὰ ταῦτα κατάθεσις δηλοῖ. ἀλλ' ἐπειδὴ καὶ οὕτως τὸ κριτήριον ἐπὶ ταῖς ἀπολογίαις κατέλαβον, τὴν μὲν ὑπὲρ τῆς θείας ὁμολογίας παρ' ἐμοῦ γενομένην τε καὶ ὑπογραφεῖσαν διδασκαλίαν κατὰ τὴν ἐκτεθεῖσαν παρὰ τῶν ἁγίων πατέρων ἐν Νικαίαι πίστιν καὶ κατὰ τήνδε τὴν Ἐφεσίων βεβαιωθεῖσαν παρὰ τῆς προτέρας ἁγίας συνόδου οὔτε δέχεσθαι ἠξίου οὔτε ἐπέτρεπεν ἀναγινώσκεσθαι, θορύβου δὲ τὸ κριτήριον καὶ ταραχῆς ἐπληροῦτο, πλείστων ἐπιχυθέντων ἀτάκτως καὶ πανταχόθεν με σὺν κραυγῆι διαθορυβούντων, ὡς αἱ ἐγγράφως μετὰ ταῦτα ἐξενεχθεῖσαι παρὰ τῶν κρινάντων διαλαλιαὶ περὶ τῆς ταραχῆς δηλοῦσιν. κελευσθέντος δέ μου δι' ἑαυτοῦ λέγειν τὰ ἐπὶ τῇι ὁμολογίαι τῆς πίστεως καὶ εἰπόντος φρονεῖν ὡς οἱ τριακόσιοι δέκα καὶ ὀκτὼ ἅγιοι πατέρες οἱ ἐν Νικαίαι ἐθέσπισαν καὶ ἡ ἐν Ἐφέσωι ἁγία σύνοδος ἐβεβαίωσεν, ἀπήιτει με ἕτερά τινα παρὰ τὰ ἐκτεθέντα ἔν τε τῇι Νικαέων καὶ ἐν Εφέσωι πρότερον εἰπεῖν. ἐγὼ δὲ φοβηθεὶς παραβῆναι τόν τε ἐξενεχθέντα ὅρον ὑπὸ τῆς ἁγίας συνόδου τῆς ἐνταῦθα συνειλεγμένης πρώην κατὰ βούλησιν θεοῦ τά τε ὁρισθέντα ἐπὶ τῇι πίστει παρὰ τῶν ἐν τῇι Νικαέων συναχθέντων ἁγίων πατέρων παρεκάλουν γνωρισθῆναι τῇι ὑμετέραι ἁγίαι συνόδωι ὡς τοῖς παρ' ὑμῶν δοκιμαζομένοις ἕτοιμος ὑπάρχων ἐμμένειν. καὶ ταῦτα λέγοντος ἀθρόον ἡ κατ' ἐμοῦ πρὸ πολλοῦ συγγραφεῖσα, ὡς ἐδόκει αὐτῶι, M VI 641
καθαίρεσις ἀνεγινώσκετο καὶ κατ' ἰδίαν λοιπὸν μετὰ ταῦτα τινὲς αὐτῶν τε φωναὶ καὶ ἐμοῦ καὶ ἄλλαι καταθέσεις καὶ μάλιστα ἔνθα ἐγὼ κατὰ τοὺς ἐν Νικαίαι ἁγίους πατέρας L IIII 144
καὶ τοὺς μετὰ ταῦτα ἐν Ἐφέσωι συνελθόντας ὡμολόγουν φρονεῖν, ἐπὶ τῶν πεπραγμένων ὑπομνημάτων μετεπλάττοντο, ὡς τὰ ἐγγράφως μετὰ ταῦτα πραχθέντα κατὰ παράκλησιν ἐμὴν καὶ κέλυσιν τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου ἡμῶν βασιλέως ἔδειξεν, οὐδένα λόγον τοῦ εὐλαβεστάτου ἐπισκόπου Φλαβιανοῦ ποιησαμένου τῆς ἐμῆς εἰς τὴν ὑμετέραν ὁσιότητα ἐπικλήσεως οὔτε τὰς ἐμὰς πολιὰς αἰδεσθέντος ἐν τοῖς κατὰ τῶν αἱρετικῶν πολέμοις καὶ τῇι τῆς εὐσεβείας ὁμολογίαι καταγηράσαντος, ἀλλ' ὡς ἐξουσίαν ἔχων πάντα κατὰ μόνας περὶ τῆς πίστεως πράττειν καὶ μηδὲν τῇι ὑμετέραι ἁγιότητι τῶν τῆς τοσαύτης κρίσεως ἐπιτρέπειν δικαίων, καταπεφήνατό μου καὶ τῆς ἐκκλησίας ἀπέτεμεν, ὡς ἐνόμιζεν, καὶ τῆς ἱερωσύνης ἀφεῖλεν, ὡς ὤιετο, καὶ τῆς τῶν θείων μυστηρίων κοινωνίας ἀπεῖρξεν καὶ τοῦ προίστασθαι μοναστηρίου παρὰ τὴν ἀκολουθίαν ἀπεκώλυσεν καὶ παρέδωκεν τῶι εἰς τοῦτο συντεταγμένωι πλήθει κατὰ τὸ ἐπισκοπεῖον καὶ ἐπὶ τῆς ἀγορᾶς ὡς αἱρετικὸν καὶ βλάσφημον καὶ Μανιχαῖον διαχειρίσασθαι, εἰ μὴ ἡ τοῦ θεοῦ πρόνοια διασώσασά με κατὰ τὴν παροῦσαν ἡμέραν τῇι ὑμετέραι ἐτήρησεν ἁγιότητι. ἀλλὰ καὶ ἐν διαφόροις εὐκτηρίοις οἴκοις ἔν ⟨τε⟩ ταῖς τῶν ἁγίων μνήμαις μετὰ τὴν ἔκκλητον τήν τε ἐπ' ἐμοὶ ψῆφον ἀναγινώσκεσθαι παρεσκεύαζεν καὶ ἀνεθεμάτιζέν με, καὶ τοὺς ἐντυγχάνοντάς μοι καὶ προσδιαλεγομένους ἀλλοτρίους τῆς θείας κοινωνίας ποιῶν, μὴ περιμείνας τῆς ὑμετέρας ἁγιωσύνης τὴν κρίσιν, καὶ καθυπογράφειν τῇι γενομένηι κατ' ἐμοῦ ψήφωι κατηνάγκασεν μοναστήρια, οὐδέποτε, ὡς καὶ ἡ ὑμετέρα οἶδεν θεο-

---

MBPSΦ

1 ὁ om. P ἡμῶν om. B τῶ M 2 τῆι om. B 3 καὶ om. B καθηρουμένου S
5 ἐπειδὴ καὶ] ἐπειδήπερ B 7 πρῶν τῶν P τὴνδε τὴν ἐφεσίων MPS τὴν ἐφεσίων δὲ B
8 ἐπέτρεψεν B 10 με] μὲν PS 13 δεκαοκτὼ B 14 τε om. B 16 τά τε] καὶ τὰ B 17 ἐν νικαίᾳ B 18 ἡμῶν MPS ἐμμένειν MmgBΦ om. M, PS spatio rel. 19 συγγραφεῖσα πρὸ πολλοῦ B 22 ὡμολόγησα B 23/24 κατὰ παράκλησιν ἐμοῦ μετὰ ταῦτα πραχθέντα B
27 πίστεως B 29 τῶν om. B τοσαύτης BΦ τοιαύτης MPS Tim. κατεπεφήνατό S
32 ἀπεκώλυεν MPS, corr. M τούτω MS 33 καὶ¹ om. P 34 ὑμῶν B 35 τε addidi ex Φ
36 παρεκέλευσε B 36/37 ἀνεθεμάτισεν ἐμὲ B 37 συντυγχάνοντάς B ἀλλοτρίους] ἔξω B
θείας om. B 39 οὐδέποτε] οὐκ οὔσης B 39/96, 1 θεοφίλεια οἶδε B

φίλεια, τοιαύτης συνηθείας οὐδὲ κατὰ αἱρετικῶν κρατησάσης. καὶ εἰς τὴν Ἀνατολὴν δὲ ἐξέπεμψεν τοὺς χάρτας καὶ πολλαχοῦ ἐπὶ τῶι καὶ παρὰ ἄλλων θεοσεβεστάτων ἐπισκόπων τε καὶ μοναζόντων καὶ ταῦτα μὴ κρινάντων καθυπογράφεσθαι, καίτοι μᾶλλον ὀφείλων πρὸ πάντων τοῖς ἀρχιερεῦσιν ἐπιστεῖλαι, οὓς καὶ ἐπεκαλεσάμην. τότε μὲν οὖν μόλις σωθεὶς διὰ λιβέλλων δῆλα πεποίηκα τὰ παρακολουθήσαντα πρὸς τὴν ὑμετέραν θεοσέβειαν καὶ τοῦ εὐσεβεστάτου καὶ πιστοτάτου βασιλέως ἐδεήθην ὑμᾶς τοὺς ὁσίους καὶ θεοφιλεῖς καὶ πᾶσαν ἀδικίαν καὶ συσκευὴν βδελυττομένους γενέσθαι δικαστὰς τῶν κεκριμένων· δέομαι δὲ νῦν τῆς ὑμετέρας ἁγιωσύνης λογίσασθαι τὴν κατασκευασθεῖσάν μοι συκοφαντίαν καὶ ἐπιβουλὴν καὶ τὴν ἐκ ταύτης τῆς αἰτίας γενομένην ταῖς ἁπανταχοῦ
M VI 644 ἁγιωτάταις ἐκκλησίαις ταραχὴν καὶ τὸ ἐκ τούτου πολλοῖς ἀναφυὲν σκάνδαλον καὶ διὰ τῆς προσούσης ὑμῖν φιλοχρίστου σοφίας τοὺς μὲν τούτων αἰτίους τοῖς ἐκκλησιαστικοῖς ὑποβαλεῖν θεσμοῖς, πᾶσαν δὲ βλασφημίας καὶ ἀσεβείας ῥίζαν ἐκκόψαι. ἐγὼ γὰρ τὴν τῆς ὑμετέρας μακαριότητος κρίσιν ἐξ ἀρχῆς ἐπεβοησάμην, καὶ πάλιν δὲ διαμαρτύρομαι
Tim. 6, 13 ἐνώπιον Ἰησοῦ Χριστοῦ τοῦ μαρτυρήσαντος ἐπὶ Ποντίου Πιλάτου τὴν καλὴν ὁμολογίαν ὅτι οὕτως φρονῶ καὶ ἐνθυμοῦμαι καὶ ἐννοῶ καθὼς παρέδοσαν ἡμῖν πίστιν οἱ ἅγιοι πατέρες οἱ ἐπὶ τῆς Νικαέων συνελθόντες, ἣν καὶ οἱ ἐν Ἐφέσωι ἐν τῆι δευτέραι συνόδωι ἅγιοι πατέρες ἐβεβαίωσαν, καὶ εἴ τις παρὰ ταύτην τὴν πίστιν δοξάζει, τοῦτον ἀναθεματίζω κατὰ τὸν ὅρον αὐτῶν.

Εὐτυχὴς ἀρχιμανδρίτης οὕτω πιστεύω ὡς προγέγραπται, καὶ ὑπέγραψα χειρὶ ἐμῆι καὶ ἐπέδωκα τοὺς λιβέλλους.

186 Φλαβιανὸς ἐπίσκοπος Κωνσταντινουπόλεως εἶπεν· Οὗτος κατήγορον ἔσχεν
L IIII 145 Εὐσέβιον· κελεύσατε αὐτὸν παρεῖναι.

187 Καὶ ἐν τῶι ἀναγινώσκεσθαι Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπεν· Ὁ κατηγορηθεὶς παρ' ἐμοῦ Εὐτυχὴς δοὺς λιβέλλους ἐν τῆι ἁγίαι συνόδωι ἐμνημόνευσεν ὅτι κατήγορος αὐτοῦ εἰμί. ποίωι δὲ τρόπωι τοῦ δικάσαντος Φλαβιανοῦ τοῦ τῆς ὁσίας μνήμης ἀξιώσαντος τὸν κατήγορον ἐμὲ εἰσελθεῖν καὶ τῆς ἀκολουθίας καὶ τῶν κανόνων τοῦτο βουλομένων, ἐκωλύθην εἰσελθεῖν, ἀξιῶ [τοῦτο] ζητηθῆναι.

188 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Αἰτήσαντος Φλαβιανοῦ τοῦ τῆς ὁσίας μνήμης ὥστε Εὐσέβιον τὸν κατήγορον Εὐτυχοῦς εἰσελθεῖν, διὰ τί κατὰ τοὺς κανόνας ὑμεῖς, οἷς ἡ ἐξουσία τοῦ δικάζειν ἐδέδοτο, τοῦτο γενέσθαι οὐ προσετάξατε;

189 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἀξιῶ ἀναγνωσθῆναι τὴν κατάθεσιν Ἐλπιδίου. οὐκ εἶχον γὰρ κωλῦσαι, εἰ μὴ κομμονιτώριον ἤνεγκεν Ἐλπίδιος διαβεβαιούμενος ὅτι ὁ βασιλεὺς ἐκέλευσεν αὐτὸν μὴ εἰσελθεῖν.

190 Ἰουβενάλιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Ὁ περίβλεπτος κόμης Ἐλπίδιος οὐκ ἐπέτρεψεν εἰσελθεῖν αὐτόν.

---

23 ἐν χαλκηδόνι $M^{mg}P^{mg}$

MBPSΦ, $Λ^{n}$ [21. 22]

1 κρατησάσης] κρατήσασ δὲ S 2 δὲ PS om. MB τοὺς om. B πανταχοῦ B παρ' ἀλλήλων καὶ παρ' ἄλλων S θεοφιλεστάτων BS 3 τε om. S ταύτη B καθυπογράψαι B 4 καὶ om. $BΦ^{a}$ 6 ὁσιότητα B εὐσεβοῦσ B 7 θεοπρεπεῖς Φ 8 δὲ νῦν] τοίνυν B 9/10 αἰτίασ ταραχὴν M, ταῖσ — ἐκκλησίαισ γενομένην post ταραχὴν add. M^{mg} πανταχοῦ PS ἁγιωτάταισ PSΦ Tim. om. MB 10 τοῖσ πολλοῖς S σκάνδαλον διαλῦσαι PS 11 οὔσησ B 12 ὑποβάλλειν S καθυποβαλεῖν B βλασφημίαν BS 13 δὲ om. S 15 καθ' ἣν P καθὰ S πίστιν MPΦ Tim. πιστεύειν M^{corr} om. BS 16 τῆσ κατὰ νίκαιαν B τὴν S πρώτη B προτέραι Tim. om. $Φ^{ac}$ 19 πιστεύων B καὶ om. B 20 ὑπέδωκα S 23 δορυλλαίου MBPS, corr. M 27 τούτου MS, corr. MS^{mg} τοῦτο $M^{corr}B$ om. MPSΦ 28 εἶπεν MP 29 ὁσίας] εὐσεβοῦσ B τὸν εὐσέβιον P τὸν om. S 30 δέδοται τοῦ δικάζειν B ἐδίδοτο PS 32 κομμονιτόριον B 33 αὐτὸν ἐκέλευσε B

191 Θαλάσσιος ὁ εὐλαβέστατος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· Ἐγὼ οὐκ ἤμην αὐθέντης.

192 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Πίστεως κρινομένης αὕτη οὐκ ἔστιν ἀπολογία.

193 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἐπειδὴ νῦν αἰτιᾶσθέ με ὡς παραβεβηκότα τοὺς κανόνας καὶ ἀκούσαντα Ἐλπιδίου, νῦν ποῖοι σώιζονται κανόνες, ὅτι εἰσῆλθεν Θεοδώρητος;

194 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Θεοδώρητος ὁ ἐπίσκοπος κατηγορήσων εἰσελήλυθεν, ὡς τῆς αὐτοῦ φωνῆς ἀκηκόατε. 34

195 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Καὶ τί ἐν τάξει ἐπισκόπου καθέζεται;

196 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Καὶ ὁ ἐπίσκοπος Εὐσέβιος καὶ ὁ ἐπίσκοπος Θεοδώρητος ἐν τάξει κατηγόρων καθέζονται, ὡς καὶ ὑμεῖς ἐν τάξει κατηγορουμένων καθέζεσθε. ὅθεν τὰ λοιπὰ ἀναγινωσκέσθω. M VI 645

Κωνσταντῖνος ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀπὸ τοῦ αὐτοῦ σχεδαρίου ἀνέγνω

197 Ἐλπίδιος ὁ περίβλεπτος κόμης εἶπεν· Ὁ θειότατος βασιλεὺς πληρῶν πρῶτον αὐτὸς τὴν τάξιν τῶν νόμων, ἧς ἐστιν καὶ εὑρετὴς καὶ φύλαξ, παρεκελεύσατο τοὺς κρίναντας ἤδη ἐν τάξει κρινομένων ὑπάρχειν καὶ διδασκαλίας μήπω καιρὸν ἔχειν, μη⟨δὲ⟩ ταύτης τὴν παρρησίαν δόντων ὑμῶν. πρὸς δὲ τὰ νῦν εἰρημένα παρὰ τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου Φλαβιανοῦ ἐκεῖνο διδάσκω· ὁ μὲν κατήγορος τὴν ἑαυτοῦ κατηγορίαν ἐπλήρωσεν καὶ νενίκηκεν, ὡς οἴεται, καὶ μετήνεγκεν λοιπὸν τοῦ κατηγορήσαντος τὴν κρίσιν εἰς ἑαυτὸν ὁ δικαστής, ὡς καὶ παρὰ τοῖς ἔξω θεσμοῖς φυλάττεται. νῦν τοίνυν ὑμεῖς συνεληλύθατε, ὥστε τοῖς κρίνασιν κρῖναι, οὐ μὴν ἄνωθεν κατηγόρου δέξασθαι πρόσωπον καὶ θορύβου πάλιν ἀρχὴν ἑτέραν γενέσθαι. κελεύσατε τοίνυν, εἰ δοκεῖ, κατὰ τάξιν πάντα τὰ λοιπὰ τὰ ἐπὶ τῇι ὑποθέσει πεπραγμένα ἀναγνωσθῆναι κατὰ τὸ ὑμῖν δοκοῦν.

198 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἀκολούθως ἐδίδαξεν ὁ περίβλεπτος κόμης Ἐλπίδιος. ὅθεν ἐπιδοθέντος τοῦ λιβέλλου καὶ ἀναγνωσθέντος ἀναγινωσκέσθω καὶ τὰ ἐν τῇι βασιλευούσηι πόλει περὶ ταύτης τῆς κινουμένης ὑποθέσεως πεπραγμένα. λεγέτωσαν δὲ καὶ οἱ παρόντες θεοσεβέστατοι ἐπίσκοποι εἰ τοῦτο αὐτοῖς δοκεῖ. L IIII 148

199 Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Ἀκόλουθός ἐστιν ἡ ἀπόφασις τῆς σῆς ἁγιωσύνης, ὅθεν εὔλογον ἀναγινώσκεσθαι τὰ πεπραγμένα.

200 Στέφανος ἐπίσκοπος Ἐφέσου εἶπεν· Δικαίας οὔσης τῆς διαλαλιᾶς τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Διοσκόρου τοῦτο γινέσθω.

201 Κῦρος ἐπίσκοπος Ἀφροδισιάδος εἶπεν· Δικαία καὶ ἀκόλουθος ἡ διαλαλιὰ τοῦ

---

7 Διόσκοροσ περὶ Θεοδωρίτου $M^{mg}P^{mg}$

17 ἐν Ἐφέσωι $M^{mg}B^{mg}$ ἐπὶ Διοσκόρου M^{mg} post εἶπε PS

MBPSΦ, $Λ^{n}$ [17—98, 8]

3 ὑπερφυεστάτη B 3. 8. 12 εἶπεν MP 6 τοὺς om. B ἐλπίδιον PS σώζωνται S 7. 8. 13 θεοδώριτοσ BPS 8 ὑπερφυεστάτη B 8,9 ὁ εὐλαβέστατοσ ἐπίσκοποσ B ὁ ἐπίσκοποσ κύρου P 9 εἰσῆλθεν B οὐκ ἀκηκόατε S 15 τοῦ — κονσιστωρίου om. B θείου om. S 15/16 τῶν αὐτῶν B τοῦ MP 16 σχιδαρίου P om. B 17 κόμησ om. B πρῶτον BΦ$Λ^{n}$ πρῶτοσ MPS 18 ἧσ MPBSΦ$^{ac}Λ^{n}$ ὧν $Φ^{r}$ 19 μηδὲ Φ$Λ^{n}$ μὴ MBPS 20 διδόντων B θεοφιλεστάτου om. Φ 23 τοίνυν] οὖν B 28 Διόσκορος — εἶπεν om. PS 29 κόμησ ex κόμεσ corr. B adnotando in mg. Ἰστέον ὅτι ὁ κόμησ παρὰ τοῖσ ἰταλοῖσ κόμεσ λέγεται ἀναγινωσκέσθωσαν B 31 θεοφιλέστατοι B 35 θεοσεβεστάτου B 36 ἀφροδισίασ PS

θεοφιλεστάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου Διοσκόρου πρὸς τὸ ἀναγνωσθῆναι τὰ ἐπὶ τῆι ὑποθέσει πεπραγμένα ἐν τῆι βασιλευούσηι πόλει.

202 Θαλάσσιος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· Ἀκόλουθον τοῖς διαλαληθεῖσιν παρὰ τῆς ὑμετέρας θεοφιλείας τὸ ἱκανὸν γενέσθαι. ὅθεν προκομιζέσθωσαν οἱ χάρται οἱ ὀφείλοντες ἀναγνωσθῆναι ἐπὶ τῆς ἁγίας ταύτης σύνοδου.

203 Εὐσέβιος ἐπίσκοπος Ἀγκύρας εἶπεν· Καὶ ἐμοὶ δοκεῖ τὰ παραπλήσια ὥστε κατὰ
M VI 648 τὴν ἀπόφασιν τῶν ὁσίων πατέρων γενέσθαι τὴν τῶν πεπραγμένων ἀνάγνωσιν.

204 Διογένης ἐπίσκοπος Κυζίκου εἶπεν· Κἀγὼ τὰ αὐτὰ συντίθεμαι ὥστε κατὰ τὴν ἀπόφασιν τῆς ἁγίας καὶ μεγάλης συνόδου ἀναγνωσθῆναι τὰ πεπραγμένα ἐν τῆι βασιλευούσηι.

205 Φλωρέντιος ἐπίσκοπος Λυδῶν εἶπεν· Σύμψηφός εἰμι τῆς γνώμης τῶν καλῶς ἐπιζητηθέντων ὑπομνημάτων.

206 Θεόδωρος ἐπίσκοπος Ταρσοῦ εἶπεν· Κατὰ τὸ παραστὰν τοῖς ἁγιωτάτοις ἀρχιεπισκόποις δίκαιόν ἐστιν ἀναγνωσθῆναι τὰ πεπραγμένα ἐν τῆι βασιλευούσηι.

207 Ἰωάννης ἐπίσκοπος Σεβαστείας εἶπεν· Κατὰ τὴν ψῆφον τῶν ἁγιωτάτων καὶ θεοφιλεστάτων ἐπισκόπων ἀναγκαία ἐστὶν ἡ τῶν πραχθέντων ἐν τῆι βασιλευούσηι πόλει ὑπομνημάτων ἀνάγνωσις.

208 Ῥωμανὸς ἐπίσκοπος Μύρων εἶπεν· Δίκαιον οἶμαι ἀναγνωσθῆναι τὰ ὑπομνήματα τὰ ἐν τῆι βασιλευούσηι πεπραγμένα, καθάπερ διελάλησαν καὶ οἱ ἁγιώτατοι πατέρες.

209 Νουνέχιος ἐπίσκοπος Λαοδικείας Τριμιταρίας εἶπεν· Κατὰ τὴν διαλαλιὰν τῶν θεοφιλεστάτων πατέρων ἀκόλουθον δοκεῖ καὶ ἐμοὶ τὸ γενέσθαι τὴν τῶν πεπραγμένων ἀνάγνωσιν.

210 Μαριανὸς ἐπίσκοπος Συνάδων εἶπεν· Καθὰ διελάλησαν οἱ ὁσιώτατοι πατέρες, ἀναγινωσκέσθω ἡ πρᾶξις τῶν ὑπομνημάτων ἡ γενομένη ἕνεκα Εὐτυχοῦς ἐν τῆι πανευδαίμονι πόλει.

211 Εὐστάθιος ἐπίσκοπος Βηρυτοῦ εἶπεν· Ἀναγκαία ἐστὶν ἡ ἀνάγνωσις τῶν ὑπομνημάτων πρὸς εἴδησιν τῶν μὴ παρόντων τῆι ὑποθέσει.

212 Κύντιλλος ἐπίσκοπος Ἡρακλείας ἐπέχων καὶ τὸν τόπον τοῦ θεοσεβεστάτου ἐπισκόπου τῆς Θεσσαλονικέων πόλεως Ἀναστασίου εἶπεν· Ἀκόλουθόν ἐστιν ἀναγνωσθῆναι τὰ πεπραγμένα ἐν τῆι μεγαλωνύμωι Κωνσταντινουπόλει τῆι ἁγίαι συνόδωι πρὸς ἐντελεστέραν εἴδησιν τῆς ὑποθέσεως.

213 Αττικὸς ἐπίσκοπος Νικοπόλεως Παλαιᾶς Ἠπείρου εἶπεν· Ἀκολούθου οὔσης τῆς διαλαλιᾶς τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου ἡμῶν Διοσκόρου τὸ ἱκανὸν γινέσθω καὶ τὰ ὑπομνήματα ὑπαναγινωσκέσθω πάσηι τῆι ἁγιωτάτηι συνόδωι πρὸς ἀκριβεστέραν εἴδησιν τῶν ζητουμένων.

214 Σώιζων ἐπίσκοπος Φιλίππων Μακεδονίας εἶπεν· Ἀναγκαία ἡ τῶν πεπραγμένων
L IIII 149 ἐν Κωνσταντινουπόλει περὶ τῆς ὑποθέσεως ταύτης ἀνάγνωσις· οὕτω γὰρ ἔσται μαθεῖν ἀκριβῶς τὰ ἐκεῖ κεκινημένα.

215 Οὐράνιος ἐπίσκοπος Ἰμερίας ἐπαρχίας Ὀσροηνῆς ἑρμηνεύοντος αὐτὸν Εὐλογίου

MBPSΦ, Λ^{n} [1—8]

2 ἐν S 3/4 τοῖσ διαλαληθεῖσιν ἀκόλουθον S 4 προσκομιζέσθωσαν MPS, corr. M 5 αἱ χάρται S ταύτης om. BΛ^{n} 6 ἀγκύρασ MPSΦ^{ac}Λ^{n} ἀγκύρασ γαλατίασ BΦ^{r} 7 ἁγίων B 8 συντίθημι B 11 λύδδων M^{corr}B unus codex Φ^{c}, Φ^{r} 16 ἐπισκόπων] πρῶν B 18/19 Δίκαιον — πατέρες] κατὰ τὴν διαλαλιὰν [20] — ἀνάγνωσιν [22] PS 19 καὶ om. S 20/22 Κατὰ τὴν — ἀνάγνωσιν] δίκαιον [18] — πρὲσ [19] PS 23 συννάδων MP ὅσιοι B 28 κύντιλοσ B κυντίλλιοσ MP, corr. M κεντήλλιοσ S θεοφιλεστάτου B 29 τῆς — πόλεως] τῆσ θεσσαλονίκησ B 30 μεγαλωνύμωι] μεγαλοπόλει B 33 ἡμῶν om. MPSΦ^{a} 34 ἁγιωτάτηι om. B 36 *primae Macedoniae* Φ 37 ἐστι B 39 ἐπαρχίασ ὁσροηνῆσ M^{corr}PΦ^{cr} ἐπαρχίασ ὁσδροηνῆσ MΦ^{a} ἐπαρχίασ ῥοδόπησ B om. S 39/99. 1 εἶπεν ἑρμηνεύοντοσ — ἐδεσηνοῦ B 39 αὐτῶ B

πρεσβυτέρου Ἐδεσσηνοῦ εἶπεν· Ἀκολούθως ἀπεφήνατο ὁ ἁγιώτατος καὶ θεοσεβέστατος ἀρχιεπίσκοπος Διόσκορος ὥστε ἀναγνωσθῆναι πρότερον τὰ πεπραγμένα ἐν τῇ παν-
ευδαίμονι Κωνσταντινουπόλει περὶ τῆς προκειμένης ὑποθέσεως.

216 Ἡ ἁγία σύνοδος εἶπεν· Πάντες θέλομεν ἀναγνωσθῆναι τὰ πεπραγμένα. ἀνα- M VI 649
γινωσκέσθω τὰ πεπραγμένα.

217 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Λεγέτω καὶ ὁ θεοσεβέστατος ἐπίσκοπος Ἰούλιος ὁ ἐπέχων τὸν τόπον τοῦ ἁγιωτάτου ἐπισκόπου τῆς Ῥωμαίων ἐκκλησίας Λέοντος εἰ σύμψηφος γίνεται τῇ ἁγίαι ταύτῃ συνόδωι καὶ βούλεται καὶ αὐτὸς ἀναγνωσθῆναι τὰ πεπραγμένα ἐν Κωνσταντινουπόλει ἐπὶ τῇ ὑποθέσει ταύτῃ.

218 Ἰούλιος ἐπίσκοπος ἐπέχων τὸν τόπον τοῦ ἁγιωτάτου ἐπισκόπου τῆς Ῥωμαίων ἐκκλησίας Λέοντος ἑρμηνεύοντος αὐτὸν Φλωρεντίου ἐπισκόπου Λυδῶν εἶπεν· Τούτωι τῶι λόγωι βουλόμεθα τὴν πρᾶξιν ἀναγνωσθῆναι, εἰ πρῶτον ἀναγνωσθῇ τὰ παρὰ τοῦ πάπα ἐπισταλέντα.

219 Ἴλαρος διάκονος τῆς Ῥωμαίων ἐκκλησίας ἑρμηνεύοντος αὐτὸν Φλωρεντίου ἐπισκόπου Λυδῶν εἶπεν· Ἐπειδὴ καὶ ὁ ἁγιώτατος ἐπίσκοπος Ῥώμης ἀναγνωσθέντων αὐτῶι τούτων τῶν ὑπομνημάτων ὧν νῦν ζητεῖτε τὴν ἀνάγνωσιν, ἐπέστειλεν [ἃ ἐπέστειλεν]

220 Εὐτυχὴς ἀρχιμανδρίτης εἶπεν· Οἱ ἀποσταλέντες θεοσεβέστατοι ἄνδρες ὑπὸ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου Λέοντος τῆς Ῥωμαίων εἰς τὴν ἁγίαν ὑμῶν σύνοδον ὕποπτοί μοι γεγόνασιν. κατήχθησαν γὰρ πρὸς Φλαβιανὸν τὸν θεοφιλέστατον ἐπίσκοπον καὶ ἠρίστησαν παρ' αὐτῶι καὶ συνεκροτήθησαν καὶ πάσης θεραπείας παρ' αὐτοῦ ἠξιώθησαν. ἀξιῶ οὖν τὴν ὑμετέραν ἁγιότητα, εἴ τι παρὰ τὸ δίκαιον γίνοιτο παρ' αὐτῶν κατ' ἐμοῦ, τοῦτο πρόκριμά μοι μὴ φέρειν.

221 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἀκόλουθόν ἐστιν καὶ εὔλογον πρῶτον ἀναγνωσθῆναι τὰ ἐπὶ τῇ ὑποθέσει πεπραγμένα, εἶθ' οὕτως τὰ γράμματα τοῦ θεοφιλεστάτου ἐπισκόπου Ῥώμης. ὅθεν κατὰ τὰ δόξαντα τῇ ἁγίαι ταύτῃ συνόδωι ἀνα-
γινωσκέσθω τὰ πεπραγμένα.

222 Ἰωάννης πρεσβύτερος καὶ πρῶτος νοταρίων εἶπεν· Προσέταξεν ἡ ἁγία ὑμῶν καὶ μεγάλη σύνοδος ἀναγνωσθῆναι τὰ πεπραγμένα ἐν τῇ βασιλευούσηι Κωνσταντινουπόλει ἐπὶ τῇ ἐν χερσὶν ὑποθέσει. ἐπειδὴ τοίνυν προσήνεγκεν ταῦτα ὁ θεοσεβέστατος ἐπίσκοπος τῆς Κωνσταντινουπόλεως ἐκκλησίας Φλαβιανός, ἐπιδέδωκεν δὲ τὰ ἴσα καὶ ὁ θεοσεβέστατος ἀρχιμανδρίτης Εὐτυχής, ἀναγνώσομαι, ὡς προσετάξατε.

---

221. 222 adfert Timotheus Aelurus f. 56a

12 σημ̄ ὅτι ἐκ δευτέρου πάλιν ἐπεζητήθη ἀναγνωσθῆναι ἡ ἐπιστολὴ λέοντος καὶ οὐκ ἀνεγνώσθη Mmg Pmg Smg

---

MBPSΦ, Λn [4—100, 3]

1 καὶ θεοσεβέστατος om. B 2 ἐπίσκοποσ B πρότερον om. Φac 6 θεοφιλέστατοσ B 8 ταύτῃ om. B 9 ταύτῃ om. B 10 ἁγιωτάτου καὶ θεοφιλεστάτου B 11 αὐτῶ B 11. 15 λύδδων Mcorr B 12 βούλομαι B 14 *Hilarus* Φcr Λn ἱλάριοσ MBPSΦa αὐτῶ B 15 εἶπεν om. M 16 ἐπέστειλεν ἃ ἐπέστειλεν [ἀπέστειλεν PS] MBPS *direxit* [*transmisit* Φac] *quo dicente* Φac Λn *transmisit epistulam eam legi iubete quo dicente* Φr; seruant Φac Λn Hilari sermonem ab Eutyche interruptnm; qui cum non plenus esset, uario modo in Graecis et in Rustici exemplari suppletus est 17 ὁ ἀρχιμανδρίτησ S θεοφιλέστατοι B παρὰ B 18 λέοντοσ τῆσ ρωμαίων MSΛn λέοντοσ τῆσ ρωμαίων ἐκκλησίασ ΓΦ τῆσ ρωμαίων ἐκκλησίασ λέοντοσ B 21 οὖν om. BPS ἡμετέραν S 22 κατ' ἐμοῦ παρ' αὐτῶν B 25 ταύτῃ om. B Tim. 27 ὑμῶν om. B 28/29 τὰ ἐν τῇ — πόλει κωνσταντινουπόλει πεπραγμένα ἐπὶ τῇ — ὑποθέσει ἀναγνωσθῆναι B 29 προσήνεγκε BΦ Tim. προήνεγκεν MPSΛn θεοφιλέστατοσ B 30 δὲ om. S καὶ om. Λn 31 θεοσεβέστατος om. BS ἀναγνωσθήσονται B προσετάξατο PS

Τὰ πραχθέντα ἐκ Κωνσταντινουπόλει ἐπὶ Φλαβιανοῦ, ἀναγνωσθέντα δὲ ἐν Ἐφέσωι ἐπὶ Διοσκόρου ἀναγινώσκεται ἐν Χαλκηδόνι

223 Ὑπατείας Φλαυίων Ζήνωνος καὶ Ποστουμιανοῦ τῶν λαμπροτάτων τῆι πρὸ ἓξ Εἰδῶν
L IIII 152 M VI 652 Νοεμβρίων, ἐν τῆι φιλοχρίστωι καὶ βασιλευούσηι Κωνσταντινουπόλει Ῥώμηι, συν-
d. 8. m. Nou. a. 448 αχθείσης τῆς ἁγίας καὶ μεγάλης συνόδου τῆς ἐνδημούσης ἐν τῆι προειρημένηι μεγαλοπόλει ἐν τῶι σηκρήτωι τοῦ ἐπισκοπείου, προκαθεζομένου τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου Φλαβιανοῦ, καὶ ἀναγινωσκομένης ἀναφορᾶς σταλείσης παρὰ Φλωρεντίου τοῦ θεοσεβεστάτου ἐπισκόπου τῆς Σάρδεων μητροπόλεως τῆς ἐπαρχίας Λυδῶν καὶ τῶν ὑπ' αὐτὸν τελούντων θεοσεβεστάτων ἐπισκόπων Ἰωάννου καὶ Κοσσινίου, παρόντων καὶ τῶν τὰς ἀναφορὰς κομισάντων κληρικῶν, τύπου τε δοθέντος φανεροῦ ἐπὶ τοῖς ἀναγνωσθεῖσιν, ἀναστὰς Εὐσέβιος ὁ θεοφιλέστατος ἐπίσκοπος Δορυλαίου, εἷς ὢν τῶν συνεδρευόντων, λιβέλλους ἐπιδέδωκεν τῆι ἁγίαι συνόδωι ἐνορκῶν ἀναγνωσθῆναι αὐτοὺς καὶ ἐμφέρεσθαι τῆι πράξει τῶν ὑπομνημάτων.

224 Ἐνισταμένου δὲ αὐτοῦ ὁ ἁγιώτατος ἀρχιεπίσκοπος Φλαβιανὸς εἶπεν· Ὑποδεχθεὶς ὁ λίβελλος ἀναγινωσκέσθω πρὸς τὸ γνῶναι ἡμᾶς τὴν ἐγκειμένην αἰτίαν.

Καὶ ὑποδεξάμενος Ἀστέριος πρεσβύτερος καὶ νοτάριος ἀνέγνω

Ἀντίγραφον λιβέλλου Εὐσεβίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Δορυλαίου

225 Τῶι ἁγιωτάτωι καὶ θεοφιλεστάτωι ἀρχιεπισκόπωι Φλαβιανῶι καὶ τῆι ἐνδημούσηι ἁγίαι καὶ μεγάλη συνόδωι τῶν θεοφιλεστάτων ἐπισκόπων παρὰ Εὐσεβίου ἐπισκόπου Δορυλαίου. Ἠχόμην μὲν μὴ οὕτω παραπληξίαι ἁλῶναι καὶ μέθηι λογισμοῦ καὶ ἐκστάσει φρενῶν Εὐτυχῆ τὸν πρεσβύτερον καὶ ἀρχιμανδρίτην, ὥστε ἐπιλαθέσθαι μὲν τοῦ φόβου τοῦ θεοῦ, καταφρονῆσαι δὲ τοῦ φοβεροῦ βήματος τοῦ πάντων ἡμῶν σωτῆρος
Act. 17, 31 Χριστοῦ καὶ τῆς δικαίας αὐτοῦ κρίσεως καὶ ἀνταποδόσεως, ὃς ἥξει κρῖναι τὴν οἰκουμένην
Apoc. 22, 12 ἐν δικαιοσύνηι καὶ ἀποδοῦναι ἑκάστωι κατὰ τὰ ἔργα αὐτοῦ, ὥστε τολμῆσαι κατ' αὐτοῦ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ βλάσφημον κινῆσαι γλῶτταν καὶ τοὺς πατέρας τοὺς ἐν ἁγίοις ἀριθμουμένους αἱρετικοὺς ἀποκαλεῖν καὶ ἡμᾶς τοὺς τὴν ἐκείνων ἐζηλωκότας πίστιν. ἐπειδὴ δὲ οὐ παύεται, ἀπύλωτον ἔχων στόμα καὶ ἀχαλίνωτον γλῶτταν, ἀρνούμενος [τε] τὰ εὐσεβῆ τῆς ὀρθοδοξίας δόγματα, διασύρων δὲ καὶ τοὺς ἁγίους πατέρας κἀμὲ τὸν μηδέποτε αἱρετικὸν ὑπονοηθέντα, αἱρετικοὺς δὲ πάντοτε πολεμήσαντα καὶ τὴν ὀρθόδοξον

---

1 πρᾶξις ᾱ Mmg

1–4 cf. infra 615

225. 230 = Epistularum Coll. H 2. extant in Coll. Nouariensi 1

MB, P [usque ad 16 ἀνέγνω], p [inde a 17], S, HX [inde a 17]. Φ, Λn [17—101, 5]

1/2 πρᾶξις πρώτη τῶν ἐν τῆ κατὰ κωνσταντινούπολιν συνόδω ἐπὶ φλαβιανοῦ πεπραγμένων κατὰ εὐτυχοῦσ τοῦ δυσσεβοῦσ B 3 φλαυίων BΦar φλαβίου MPSΦc πουστουμιανοῦ PS τῆι om. MPS ιδῶν M 4 καὶ om. P πόλει S ῥώμη MBPΦΛn νέα ῥώμη S 6 σικρήτω M σεκρέτω BPS ἐπισκόπου MPS, corr. M 7 φλαβιανοῦ ἀρχεπισκόπου B ἀποσταλείσησ B 8 θεοφιλεστάτου B Rusticus σάρδεων BΦ σαρδιανῶν MPS 8/9 λύδδων BΦr 9 καὶ MBPS κατὰ Φ αὐτὸν B αὐτῶ MPS κοσίνου MPS κοσινίου Mcorr 11 ὁ om. P δορυλλαίου MBPS, corr. M 14 ἐπίσκοποσ B 16 ἀρχινοτάριοσ B post ἀνέγνω collocant p. 102, 1—29 MPpS; eundem ordinem inuenit Rusticus *in Graeco* 17 ἀντίγραφον HX ἀντίγραφον τοῦ MpSmg ἴσον B Εὐσεβίου - Δερυλαίου om. MpSmg τοῦ εὐλαβεστάτου om. HX δορυλλαίου B 18 φιλοχρίστω X φλαβιανῶ ἀρχιεπισκόπωι pS 20 δορυλλαίου MBpS, corr. M om. HX ηὔχομεν μὴ HX, corr. H μὴ om. pS παραπληξίασ HX λογισμῶν B 21 ἐκστάσει] σκαιώσει B εὐτυχῆν MpS, corr. M 22 τὸν φόβον X πάντων σρσ ἡμῶν HX 23 ιῦ χῦ H 24 τὸ ἔργον BH τολμήσασ HX αὐτοῦ3 om. BS 27 ἐπεὶ B 28 τε MPSHX om. BΦΛn ῥήματα S καὶ om. HX 29 οὐδέποτε X 29/101, 1 αἱρετικοὺς — ἐκδικήσαντα om. HX

πίστιν κατὰ δύναμιν ἐκδικήσαντα ἐμμένοντά τε τῇι πίστει τῶν ἁγίων πατέρων τῶν τριακοσίων δέκα καὶ ὀκτὼ τῶν ἐν Νικαίαι συναγηγερμένων καὶ πᾶσι τοῖς πραχθεῖσιν ἐν τῇι Ἐφεσίων μητροπόλει παρὰ τῆς ἁγίας καὶ μεγάλης συνόδου καὶ τοῖς φρονηθεῖσιν καὶ ἐκτεθεῖσιν παρὰ τοῦ μακαρίου Κυρίλλου τοῦ τῆς Ἀλεξανδρέων μεγαλοπόλεως γεγονότος ἐπισκόπου

226 Καὶ ἐπιφωνήσασα ἡ ἁγία σύνοδος εἶπεν· Ἀεὶ μνεία Κυρίλλου. Διόσκορος καὶ Κύριλλος μίαν πίστιν ἔχουσιν. οὕτω φρονεῖ πᾶσα ἡ σύνοδος. Κυρίλλου αἰωνία ἡ μνήμη. εἴ τις ἀνασκευάζει, ἀνάθεμα. εἴ τις ἐπεξεργάζεται, ἀνάθεμα. ἐπικατάρατος ὁ προστιθείς· ἐπικατάρατος ὁ ἀφαιρῶν· ἐπικατάρατος ὁ καινίζων. τὰς φωνὰς τῶι βασιλεῖ. M VI 653

227 Ἰούλιος ἐπίσκοπος ἐπέχων τὸν τόπον τοῦ ἁγιωτάτου ἐπισκόπου τῆς Ῥωμαίων ἐκκλησίας Λέοντος ἑρμηνεύοντος αὐτὸν Φλωρεντίου ἐπισκόπου Λυδῶν εἶπεν· Ἡ ἀποστολικὴ καθέδρα οὕτω φρονεῖ. L III 153

228 Ἡ ἁγία σύνοδος εἶπεν· Καὶ ἡ τῆς οἰκουμένης σύνοδος οὕτως φρονεῖ.

229 Καὶ μετὰ τὰς φωνὰς τὰ λοιπὰ τῆς πράξεως ἀνεγνώσθη οὕτως ἐφεξῆς

230 καὶ Ἀθανασίου καὶ τοῦ μεγάλου Γρηγορίου καὶ Γρηγορίου καὶ Γρηγορίου καὶ Ἀττικοῦ καὶ Πρόκλου τῶν ἁγίων ἐπισκόπων, δέομαι καὶ παρακαλῶ τὴν ὑμετέραν ὁσιότητα μὴ παριδεῖν τήνδε μου τὴν ἱκετηρίαν, ἀλλὰ κελεῦσαι Εὐτυχῆ τὸν πρεσβύτερον καὶ ἀρχιμανδρίτην ἀπαντῆσαι εἰς τὸ ἅγιον ὑμῶν συνέδριον καὶ ἀπολογήσασθαι τοῖς παρ' ἐμοῦ αὐτῶι ἐπαγομένοις. ἕτοιμος γάρ εἰμι διελέγχειν αὐτὸν ἐπίπλαστον ἔχοντα τῆς ὀρθοδοξίας τὸ ὄνομα, ἀλλότριον δὲ πάντηι τῆς ὀρθοδόξου πίστεως. καὶ ἐνεύχομαι ὑμῖν τὴν ἁγίαν καὶ ὁμοούσιον τριάδα τὴν σώιζουσαν τοὺς φιλοχρίστους ἡμῶν βασιλέας καὶ τὴν σωτηρίαν καὶ διαμονὴν τῶν εὐσεβεστάτων ἡμῶν βασιλέων Θεοδοσίου καὶ Οὐαλεντινιανοῦ τῶν αἰωνίων αὐγούστων τὸν προειρημένον Εὐτυχῆ κελεῦσαι ἀπαντῆσαι εἰς τὴν ἁγίαν ὑμῶν σύνοδον καὶ ἀπολογήσασθαι τοῖς ἐπαγομένοις αὐτῶι παρ' ἐμοῦ, ὅπως τούτου διελεγχθέντος παρ' ἐμοῦ οἵ τε βλαβέντες παρ' αὐτοῦ διορθωθεῖεν καὶ ἡ ὀρθόδοξος πίστις νικῶσα καὶ νῦν ὀφθείη ἡ πάντα διαλαβοῦσα τῆς οἰκουμένης τὰ πέρατα. καὶ τούτου τυχὼν χάριτας ὁμολογήσω τῆι ὑμετέραι ἁγίαι συνόδωι διὰ παντός.

Εὐσέβιος ἐπίσκοπος τῆς κατὰ Δορύλαιον ἁγίας τοῦ θεοῦ ἐκκλησίας ἐπιδοὺς τούσδε μου τοὺς λιβέλλους ὑπέγραψα χειρὶ ἐμῆι.

226—230 [usque ad 17 ἐπισκόπων] extant in Coll. Nouariensi 10, 58--60, 62

6 ἐπὶ διοσκόρου M^{mg} τῆσ ἐν ἐφέσω συνόδου B^{mg}

16 τὰ ἐπὶ φλαβιανοῦ M^{mg} τῆσ ἐν κωνσταντινουπόλει συνόδου E^{mg}

MBpS, HX [1—5. 16—30], Φ, $Λ^{n}$ [6—17 ἐπισκόπων (= Coll. Nouar. 10, 58—62). 16—30 (= Coll. Nou. 1)]

1 ἐμμένοντα δὲ HX καὶ ἐμμένοντα B 2 δεκαοκτὼ BHX 3 μεγάλης] οἰκουμενικῆσ HX 4/5 γενομένου ἐπισκόπου B ἐπισκόπου p om. S 6 ἡ ἐν ἐφέσω B$Λ^{n}$ 8 ἡ om. M 11/12 τοποτηρῶν τῶ ἁγιωτάτω ἐπισκόπω — λέοντιB 12 λύδδων BΦ^{r} 14 τῆσ οἰκουμενικῆσ p 15 τῆς πράξεωσ om. B οὕτωσ ἐφεξῆσ om. B 16 ἀθανασίου τοῦ μεγάλου καὶ γρηγορίου καὶ γρηγορίου καὶ γρηγορίου $MpΦ^{r}$ ἀθανασίου καὶ βασιλείου γρηγορίου γρηγορίου καὶ γρηγορίου S ἀθανασίου τοῦ μεγάλου καὶ γρηγορίου καὶ γρηγορίου καὶ βασιλείου B ἀθανασίου τοῦ μεγάλου καὶ γρηγορίου HX *magnus athanasius et gregorius et gregorius et basilius* Φ^{ac} *Graeci codices non Basilium* Rusticus *athanasi maioris gregorii et gregorii* $Λ^{n}$ [Coll. Nou. 10, 62] *athanasii et maioris gregorii et gregorii et gregori* [Coll. Nou. 1] καὶ om. S 17 τῶν — ἐπισκόπων] καὶ τῶν ἄλλων ὀρθοδόξων B 18 εὐτυχῆ MpS, corr. M εὐτυχεῖν H ἐντυχεῖν X 20 αὐτοῦ H 20/21 ἐπίπλαστον — πίστεως om. HX 20 ἔχειν S 22 βασιλεῖσ BSHX 24 εὐτυχῆν MpS, corr. M κελεύσατε B 25 ἀπαγομένοισ S ἐπιλεγομένοισ X ὅπωσ ἂν HX 27 ὀφθείη ἡ] ὀφθῆ B 28 ἁγία σύνοδω B$Λ^{n}$ ἁγιωσύνη MpSHXΦ 29 δορύλλαιον MBp, corr. M

231 Καὶ μετὰ τὸ ἀναγνωσθῆναι ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ἐκπλήττει μὲν ἡμᾶς τὰ ἀναγνωσθέντα τοιαύτην ἐπάγοντα μέμψιν τῶι εὐλαβεστάτωι πρεσβυτέρωι καὶ
M VI 656 ἀρχιμανδρίτηι Εὐτυχεῖ, ὅμως καταξιώσηι ἡ εὐλάβειά σου συντυχίαν ποιήσασθαι πρὸς αὐτὸν καὶ διαλεχθῆναι αὐτῶι περὶ τῆς ὀρθῆς πίστεως, καὶ εἰ εὑρεθείη κατὰ ἀλήθειαν οὐκ ὀρθὰ φρονῶν, τὸ τηνικαῦτα κληθήσεται παρὰ τῆς ἁγίας συνόδου καὶ συστήσεται ἑαυτῶι.

232 Εὐσέβιος ἐπίσκοπος εἶπεν· Ἐγὼ φίλος μὲν αὐτοῦ ἦμην τὸ πρότερον, οὐχ ἅπαξ δὲ οὐδὲ δεύτερον, ἀλλὰ καὶ πλειστάκις συνέτυχον αὐτῶι διὰ τὴν αἰτίαν ταύτην, ἀφ' οὗ ἐβλάβη, καὶ διελέχθην αὐτῶι καὶ εὑρὼν αὐτὸν οὐκ ὀρθὰ φρονοῦντα παρήινεσα καὶ ἐδίδαξα, καὶ ἐνίστατο λέγων ἐκεῖνα ἅπερ ἀλλότρια ἦν τῆς ὀρθῆς ἡμῶν πίστεως. καὶ τοῦτο δύναμαι δεῖξαι διὰ πολλῶν μαρτύρων παρόντων καὶ ἀκηκοότων. ἐνορκίζω οὖν ὑμᾶς καὶ πάλιν τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν ὥστε μεταστείλασθαι αὐτὸν ἐπὶ τῶι ἀπολογήσασθαι καὶ μετὰ τὸ ἐλεγχθῆναι αὐτὸν παρ' ἐμοῦ παύσασθαι τῆς διεστραμμένης αὐτοῦ διδασκαλίας, ἐπειδὴ πολλοί εἰσιν οἱ παρ' αὐτοῦ βλαβέντες.

233 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ἀνάσχηται ἡμῶν ἡ σὴ εὐλάβεια καὶ αὖθις σκυλῆι ἕως τοῦ μοναστηρίου καὶ ὁμιλήσηι αὐτῶι τὰ πρέποντα καὶ πρὸς εἰρήνην βλέποντα, ὥστε μή τινα πάλιν ταραχὴν καὶ θόρυβον ἐγγενέσθαι ταῖς ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις.

234 Εὐσέβιος ἐπίσκοπος εἶπεν· Ἀδύνατόν ἐστιν ἐμὲ λοιπὸν ἀπελθόντα πολλάκις καὶ
L IIII 156 μὴ πείσαντα πάλιν πρὸς αὐτὸν ἀπελθεῖν καὶ βλασφήμων ἀκούειν ῥημάτων, ἀλλὰ καταξιώσηι ἡ ὑμῶν ἁγιωσύνη μεταστείλασθαι αὐτὸν ἐπὶ τῶι ἀπαντῆσαι. οὐδὲ γὰρ συγχωρῶ ἀνεξέταστον τὴν τοιαύτην ὑπόθεσιν καταλιπεῖν.

235 Ἡ ἁγία σύνοδος εἶπεν· Ἔδει μέν σου τὴν εὐλάβειαν πεισθῆναι ταῖς παραινέσεσιν τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου ἡμῶν, ἐπειδὴ δὲ ἐπιμένοντά σε ὁρῶμεν, γενήσεται ὅπερ ἐζήτησας. τοιγαροῦν οἱ μὲν παρὰ σοῦ ἐπιδοθέντες λίβελλοι ἐνταττέσθωσαν τοῖς ὑπομνήμασιν πρὸς ἀκριβῆ τῶν πραττομένων ἐξέτασιν, Ἰωάννης δὲ ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος ἅμα τῶι εὐλαβεστάτωι διακόνωι Ἀνδρέαι παραγενόμενοι πρὸς τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ τόν τε λίβελλον τὸν ἐπιδοθέντα κατ' αὐτοῦ ἀναγνώσονται αὐτῶι καὶ ὑπομνήσουσιν ἀπαντῆσαι πρὸς τὴν ἁγίαν ταύτην σύνοδον καὶ ἑαυτῶι συναγωνίσασθαι οὐκ ἐπὶ τῶι τυχόντι ἐγκαλουμένωι.

236 Καὶ ἐν τῶι ἀναγινώσκεσθαι οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Ἡνίκα Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος ἐν Κωνσταντινουπόλει Εὐτυχοῦς κατηγόρει, ὁρᾶτε ὅτιπερ αὐτὸς ἠξίωσεν παρόντα Εὐτυχῆ εὐθυνθῆναι. πῶς τοίνυν τὸ αὐτὸ ὑπόδειγμα καὶ ἐν Ἐφέσωι οὐκ ἐφυλάχθη οὔτε εἰσεδέχθη Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος;

---

30 ἐν χαλκηδόνι M^{mg} p^{mg} S^{mg} τῆσ ἐν χαλκηδόνι συνόδου B^{mg}

MB, P [1 καὶ μετὰ — 3 πρὸσ], p [inde a 4 αὐτὸν καὶ διαλεχθῆναι], SΦ

1 καὶ μετὰ τὴν ἀνάγνωσιν B om. $Φ^{r}$ ἀρχιεπίσκοποσ φλαβιανὸσ B 3 καταξιώσει MBPS 5 ὀρθὰ BΦ^{cr} ὀρθῶσ MpSΦ^{a} 6 ἐπίσκοποσ δορυλλαίου B μὲν φίλοσ B τὸ om. S 8 ἐβλάβην M^{corr}S διειλέχθην M^{corr}B εὗρον Mp ὀρθῶσ pS 9 ἐνίστατο M^{corr}Φ ἐνίσταται MBpS 10 ἀλλότρια τῆσ ἡμῶν πίστεώσ ἐστι B *quae aliena sunt a recta nostra fide* Φ οὖν BΦ δὲ MpS 11 τὸν^{2} om. BS τὸ MpS 14 ἐπίσκοποσ φλαβιανὸσ B 15 σκυλεῖ MpS ὁμιλήσει MpS ὁμιλήσεισ B 16 τινα πάλιν om. BΦ^{ac} τινα om. $Φ^{r}$ ἐκγενέσθαι p θῦ Bp χῦ MSΦ 18 ἐπίσκοποσ δορυλλαίου B ἐστί με B 19 ἀκοῦσαι B 19/20 καταξιώσει MBpS 20 τὸ pS 25 δὲ om. S 27 εὐτυχῆν Mp, corr. M 28 ὑπομνήσωσιν pS 29 ταύτην om. B 31 εἶπεν Mp 32 συνορᾶτε B αὐτὸν κατηξίωσε S εὐτυχῆν MpS, corr. M 33 εἰσεδέχθη B εἰσενέχθη M εἰσηνέχθη pS

237 Καὶ σιωπώντων ἁπάντων οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Διέξιθι τὰ λοιπά.

Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀπὸ τοῦ αὐτοῦ σχεδαρίου ἀνέγνω M VI 657 4

238 Ὑπατείας Φλαυίων Ζήνωνος καὶ Ποστουμιανοῦ τῶν λαμπροτάτων τῇ πρὸ μιᾶς Εἰδῶν Νοεμβρίων, ἐν τῇ φιλοχρίστωι καὶ βασιλευούσηι Κωνσταντινουπόλει Ῥώμηι, συναχθείσης τῆς ἁγίας καὶ μεγάλης συνόδου τῆς ἐνδημούσης τῇι προειρημένηι μεγαλοπόλει, προκαθεζομένου τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου Φλαβιανοῦ, ἐν τῶι σηκρήτωι τοῦ ἐπισκοπείου, Εὐσέβιος ἐπίσκοπος Δορυλαίου εἶπεν· Προσελθὼν τῇι ὑμετέραι ἁγιωσύνηι λιβέλλους ἐπιδέδωκα πρώην αἰτιώμενος Εὐτυχῆ τὸν πρεσβύτερον καὶ ἀρχιμανδρίτην ταυτησὶ τῆς πόλεως ὡς τὰ ὀρθόδοξα δόγματα τῆς ἐκκλησίας διαφθείροντα, τοῦτο μὲν ἐν διαλέξεσιν, τοῦτο δὲ καὶ ἐν κατηχήσεσιν τῶν ἐκεῖ παρατυγχανόντων, δι' ὧν δυνατόν ἐστιν, ἐπὰν ἐκεῖνος παραγένηται, τὰς ἀποδείξεις με ἐπὶ τῶν ἀγώνων παρασχεῖν, ἐκ πολλῶν ἐλέγχων φανερουμένων τῶν κατ' αὐτόν. ἐπεὶ οὖν ἑτοίμως ἔχω τοῦτον ἐλέγχειν ὄντα τοιοῦτον, ἠξίωσα δὲ τὴν ὑμετέραν ὁσιότητα ὥστε αὐτὸν κανονικῶς ὑπομνησθέντα καταλαβεῖν τὴν ἁγίαν ὑμῶν σύνοδον, καὶ τοῦτο ἐπετρέψατε γενέσθαι διά τινων εὐλαβεστάτων κληρικῶν, ἀναδιδάσκω πρὸς ἐντελῆ διδασκαλίαν τῆς ὑμετέρας ἁγιωσύνης ὅτιπερ ὁ τῆς ὁσίας καὶ μακαρίας μνήμης γενόμενος ἐπίσκοπος Κύριλλος τῆς κατὰ τὴν μεγαλόπολιν Ἀλεξάνδρειαν ἁγιωτάτης ἐκκλησίας Νεστορίου τὰ διεστραμμένα δόγματα εἰσάγοντος καὶ κηρύττοντος ἐπ' ἐκκλησίας, θεοφιλὴς ὢν καὶ ζηλωτὴς ὑπάρχων τῆς πίστεως, γνοὺς τὰ περὶ αὐτοῦ, γράμμα παραινετικὸν ἀπέστειλεν πρὸς αὐτὸν ἔχον τὴν ἔκθεσιν τῶν ἁγίων πατέρων τῶν ἐν τῇι Νικαέων συναχθέντων καὶ ὅπως δεῖ ἐκείνην τὴν πνευματικὴν ἔκθεσιν καὶ νοεῖν καὶ φρονεῖν. ταύτην δεξάμενος Νεστόριος τὴν ἐπιστολὴν ἀντέγραψεν πρὸς αὐτὴν τῶι τῆς μακαρίας μνήμης Κυρίλλωι τὰ διεστραμμένα αὐτοῦ καὶ βέβηλα δόγματα δῆλα ποιῶν. ἐπὶ τούτοις κατὰ θέσπισμα τῶν φιλοχρίστων ἡμῶν βασιλέων σύνοδος συνεκροτήθη εἰς τὴν Ἐφεσίων μητρόπολιν καὶ ἐν πρώτηι τάξει ἠξίωσεν ὁ τῆς μακαρίας μνήμης Κύριλλος ἀναγινώσκεσθαι τὸ ἐπιστολιμαῖον γράμμα τὸ ἐπισταλὲν Νεστορίωι τῇι ἁγίαι καὶ μεγάληι συνόδωι, δοκιμάζεσθαι δὲ αὐτὸ παρ' αὐτῆς πότερον συμβαῖνόν ἐστιν τῇι ἐκθέσει τῶν ἁγίων πατέρων ἢ ἕτερος ἔχει. διαλαλησάσης οὖν τῆς ἁγίας ἐκείνης καὶ μεγάλης καὶ οἰκουμενικῆς συνόδου ἀνεγνώσθη ἡ ἐπιστολὴ καὶ πάντες οἱ συνεδρεύοντες ἐν τῇι μεγάληι ἐκείνηι καὶ οἰκουμενικῆι συνόδωι ἀπεφήναντο αὐτὴν σύμφωνον εἶναι τῇι ἐκθέσει τῶν ἁγίων πατέρων καὶ ταῖς θείαις γραφαῖς καὶ οὐδὲν ἀπάιδειν αὐτῶν, συνθέσθαι δὲ αὐτοὺς τοῖς ἐκτεθεῖσιν ἐν τῇι αὐτῇι ἐπιστολῇι. ταύτην καὶ νῦν παρακαλῶ τὴν ὁσιότητα ὑμῶν κελεῦσαι ἀναγνωσθῆναι ἐπὶ τῶι γενέσθαι d. 12. m. Nou a. 448 L IIII 157

3 πρᾶξισ β τῆσ ἐν κωνσταντινουπόλει M^{mg} πρᾶξισ δευτέρα τῆσ ἐν κωνσταντινουπόλει συνόδου B^{mg}
4 ἐπὶ φλαβιανοῦ MS^{mg} post ἀνέγνω p

MBpSΦ

1 πάντων B 2 εἶπεν Mp 3 τοῦ — κονσιστωρίου om. B 4 σχιδαρίου pS 5 φλαυίων BΛ^{n} φλαβίου MpS πουστουμιανοῦ p 6 ιδῶν M Κωνσταντινουπόλει]νέα S 7 ἐν τῇ B 8 καθεζομένου B 9 σεκρέτω BpS δορυλλαίου MBpS, corr. M 10 εὐτυχῆν Mp, corr. M 11 ταύτησ BpS ὀρθὰ B 12 μὲν BΦ μὲν καὶ MpS 13 ἐὰν B 17 ἀναδιδάσκων MpS, corr. M πρὸσ B πρὸσ τὴν MpS 18 γενόμενος om. B ἀρχιεπίσκοποσ B 18/19 τῆς — ἐκκλησίας om. BS 20 ὑπάρχων om. B 21 γράμματα MBpS παραινετικά B ἔχοντα B 22 τῆι om. S δεῖ M^{corr}B δι' MpS 23 νεστόριοσ δεξάμενοσ p 23/24 τὴν ἐπιστολὴν νεστόριοσ B 25 καὶ — ποιῶν BΦ^{r} καὶ — δόγματα Φ^{ac} κατάδηλα ποιῶν δόγματα MpS τούτων pS 27 πρώτη τῇ MpS ἀναγνωσθῆναι B 28 δὲ] τε B 29 αὐτοῖσ B πρότερον εἰ B ἄλλωσ B 30 ἐκείνησ om. B καὶ^{2} om. B 31 καὶ οἰκουμενικῆι om. B 33 συντίθεσθαί τε B 34 τὴν — ὑμῶν BΦ om. MpS κελεύσατε B τῶ B τὸ MpS

κατάδηλον πᾶσιν ὅτιπερ κατὰ τὴν ἐν αὐτῇ τῇ ἐπιστολῇ ἐγκειμένην ἔκθεσιν οὕτω φρονοῦμεν καὶ οὕτω πεπιστεύκαμεν. ἔστι δὲ καὶ δευτέρα ἐπιστολὴ τοῦ τῆς ὁσίας μνήμης Κυρίλλου γραφεῖσα πρὸς τὴν ἁγίαν τὴν ἐν τῇ Ἀνατολῇ σύνοδον, ἡνίκα καὶ σύμβασις ἐγένετο μεταξὺ αὐτῶν, ὅπως ἔχουσιν περὶ τῆς ἐνανθρωπήσεως τοῦ σωτῆρος ἡμῶν Χριστοῦ καὶ ὅπως δεῖ τὰς πανταχοῦ ἁγίας τοῦ θεοῦ ἐκκλησίας καὶ φρονεῖν καὶ κηρύττειν. καὶ ταύτας ἀξιῶ ἐπὶ τῆς πίστεως τῶν ὑπομνημάτων ἀναγνωσθείσας ἐντάττεσθαι, ὥστε εὔδηλα εἶναι πᾶσιν τὰ τῆς ἐκκλησίας δόγματα.

239 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος Φλαβιανὸς εἶπεν· Εἰ καὶ γνώριμα ταῦτα πᾶσι καθέστηκεν τοῖς πιστοῖς καὶ τοῖς ἐντρεφομένοις καὶ ἐμμελετῶσι ταῖς βίβλοις τῶν ἁγίων πατέρων διὰ τὴν ἐξ αὐτῶν καθ' ἑκάστην ἀνάγνωσιν τικτομένην ὠφέλειαν καὶ βεβαίωσιν τῆς ἐνιδρυμένης ἡμῖν πίστεως, οὐδὲν κωλύει καὶ νῦν ἀναγινώσκεσθαι κατὰ τὰς παρὰ σοῦ γενομένας ἐξαιτήσεις, ἐνταττομένων ἁπάντων τῶν πραττομένων τῇ πίστει τῶν ὑπομνημάτων.

d. 26. m. Ian. — 24. m. Febr. 430

Ἀντίγραφον ἐπιστολῆς γραφείσης παρὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου Ἀλεξανδρείας Κυρίλλου πρὸς Νεστόριον, μηνὶ Μεχὶρ ἰνδικτιῶνος ιγ

240 Καταφλυαροῦσι μέν, ὡς μανθάνω, τινὲς τῆς ἐμῆς ὑπολήψεως ἐπὶ τῆς σῆς θεοσεβείας, καὶ τοῦτο συχνῶς, τὰς τῶν ἐν τέλει συνόδους καιροφυλακοῦντες μάλιστα καὶ τάχα που καὶ τέρπειν οἰόμενοι τὴν σὴν ἀκοὴν καὶ ἀβουλήτους πέμπουσιν φωνάς, ἠδικημένοι μὲν οὐδέν, ἐλεγχθέντες δέ, καὶ τοῦτο χρηστῶς, ὃ μὲν ὅτι τυφλοὺς ἠδίκει καὶ πένητας, ὃ δὲ ὡς μητρὶ ξίφος ἐπανατείνας, ὃ δὲ θεραπαίνῃ συγκεκλοφὼς χρυσίον ἀλλότριον καὶ τοιαύτην
I. III 160 ἐσχηκὼς ἀεὶ τὴν ὑπόληψιν ἣν οὐκ ἂν εὔξαιτό τις συμβῆναί τισιν καὶ τῶν λίαν ἐχθρῶν. πλὴν οὐ πολὺς τῶν τοιούτων ὁ λόγος ἐμοί, ἵνα μήτε ὑπὲρ τὸν δεσπότην καὶ διδάσκαλον μήτε μὴν ὑπὲρ τοὺς πατέρας τὸ τῆς ἐνούσης ἐμοὶ βραχύτητος ἐκτείνοιμι μέτρον. οὐ γὰρ ἐνδέχεται τὰς τῶν φαύλων διαδρᾶναι σκαιότητας, ὡς ἂν ἕλοιτό τις διαβιοῦν. ἀλλ'
Rom. 3, 14 M VI 661 ἐκεῖνοι μὲν ἀρᾶς καὶ πικρίας μεστὸν ἔχοντες τὸ στόμα τῶι πάντων ἀπολογήσονται κριτῆι, τετράψομαι δὲ πάλιν ἐγὼ πρὸς τὸ ὅτι μάλιστα πρέπον ἐμαυτῶι καὶ ὑπομνήσω καὶ νῦν ὡς ἀδελφὸν ἐν Χριστῶι τῆς διδασκαλίας τὸν λόγον καὶ τὸ ἐπὶ τῆι πίστει φρόνημα μετὰ πάσης ἀσφαλείας ποιεῖσθαι πρὸς τοὺς λαοὺς ἐννοεῖν τε ὅτι τὸ σκανδαλίσαι καὶ μόνον
Mt. 18. 6 ἕνα τῶν μικρῶν τῶν πιστεύοντων εἰς Χριστὸν ἀφόρητον ἔχει τὴν ἀγανάκτησιν· εἰ δὲ

---

240 = t. I 1 1 p. 25—28; ibi ceteras uersiones Latinas enumeraui. uariam illius exemplaris lectionem hic non repeto. epistula iterum lecta est in actione tertia; plenam eam hic exhibet M, initium tantum illic, B uice uersa, hoc loco post inscriptionem et initium [καταφλυαροῦσι — εὐλαβείας] pergendo καὶ τὰ λοιπὰ τῆσ ἐπιστολῆσ ἣν εὑρίσκων ἀνάγνωθι ἐν τῇ τρίτη πράξει μετὰ φύλλα ἑπτὰ τῆσ ἀρχῆσ κειμένην ἐνταῦθα δὲ μετὰ τὴν ἀνάγνωσιν τῆσ ἐπιστολῆσ ἔρχου πάλιν καὶ εὑρήσεισ τὴν ἀκολουθίαν οὕτωσ· κύριλλοσ ἐπίσκοποσ κτλ. [p. 106, 30]. ad actionem tertiam pertinent, sicut inscriptio docet, quam illic exhibebo, P_1 et U

MBpS, P_1U [inde a 15], Φ

1 τῇ om. MpS, corr. M οὕτω BΦ οὕτω καὶ MpS 2 ἑτέρα B 3 ἐπὶ γραφεῖσα S om. B τῇ om. B συνόδω M καὶ om. B 3/4 σύμβασισ ἐγένετο BΦ συμβάσεισ ἐγίνοντο (ἐγένοντο M^{corr}) MpS 4 ιυ χῡ $B\Phi^{ac}$ 5 δεῖ B ἀεὶ MpS πανταχοῦ — θεοῦ Φ πανταχοῦ MpS ἁγίασ τοῦ θῡ B κηρύσσειν B 6 ἀξιῶ BM^{corr} ἀξι M ἄξει p ἄξειν S τῆσ πιστε duae litt. erasae ωσ M τουσ πιστουσ ωσ p τουσ πιτουσ αὐτῶν ὡσ S καταγνωσθεῖσα συντάττεσθαι MpS, corr. M 8 ἐπίσκοποσ B 11 ἡμῖν BΦ ἡμῶν MpS 11/12 γινομένασ p 13/14 γραφείσησ — ιȳ] ἀποσταλείσησ παρὰ κυρίλλου πρὸσ νεστόριον S ἀλεξανδρείασ ἐπισκόπου B 14 νεστόριον ἐπίσκοπον B μαχεὶρ p τρισκαιδεκάτησ B *quarta decima* Λ_n [10, 65] 15 μέν om. pS τινεσ ὡσ μανθάνω [μανθάνων p] pS εὐλαβείασ B (loco priore) 16 τούτω pS 17 θέρπειν P_1 18 δ'] ἡ P_1 ὡσ om. MpS 19 θεραπαίνησ P_1 20 ηὔξατό MpS αἰσχρῶν P_1 21 ὁ om. U 23 ἕωσ pS διὰ βίου pS 24 ἔχουσι μεστὸν S 24/25 κριτῆ θῶ U 25 πρὸσ τὸ om. S ὅτε P_1 27 ἐννοεῖν $BP_1U\Phi$ μὴ ἀγνοεῖν MpS ὅτι καὶ MpS 28 τῶν²] τούτων τῶν B τὸν χν U

δὴ πληθὺς εἴη τοσαύτη τῶν λελυπημένων, πῶς οὐχ ἁπάσης εὐτεχνίας ἐν χρείαι καθεστήκαμεν πρός γε τὸ δεῖν ἐμφρόνως περιελεῖν τὰ σκάνδαλα καὶ τὸν ὑγιῆ τῆς πίστεως κατευρῦναι λόγον τοῖς ζητοῦσιν τὸ ἀληθές; ἔσται δὲ τοῦτο, καὶ μάλα ὀρθῶς, εἰ τοῖς τῶν ἁγίων πατέρων περιτυγχάνοντες λόγοις περὶ πολλοῦ τε αὐτοὺς ποιεῖσθαι σπουδάζοιμεν καὶ δοκιμάζοντες ἑαυτοὺς εἰ ἐσμὲν ἐν τῇι πίστει, κατὰ τὸ γεγραμμένον, ταῖς ἐκείνων ὀρθαῖς καὶ 2 Cor. 13, 5
ἀνεπιλήπτοις δόξαις τὰς ἐν ἡμῖν ἐννοίας εὖ μάλα συμπλάττοιμεν. 6

Ἔφη τοίνυν ἡ ἁγία καὶ μεγάλη σύνοδος αὐτὸν τὸν ἐκ θεοῦ πατρὸς κατὰ φύσιν γεννηθέντα υἱὸν μονογενῆ, τὸν ἐκ θεοῦ ἀληθινοῦ θεὸν ἀληθινόν, τὸ φῶς τὸ ἐκ τοῦ φωτός, τὸν δι' οὗ τὰ πάντα πεποίηκεν ὁ πατήρ, κατελθεῖν σαρκωθῆναι ἐνανθρωπῆσαι παθεῖν ἀναστῆναι τῇι τρίτηι ἡμέραι καὶ ἀνελθεῖν εἰς τοὺς οὐρανούς. τούτοις καὶ ἡμᾶς ἕπεσθαι 10
δεῖ καὶ τοῖς λόγοις καὶ τοῖς δόγμασιν, ἐννοοῦντας τί τὸ σαρκωθῆναι καὶ ἐνανθρωπῆσαι δηλοῖ τὸν ἐκ θεοῦ λόγον. οὐ γὰρ φαμὲν ὅτι ἡ τοῦ λόγου φύσις μεταποιηθεῖσα γέγονεν σάρξ, ἀλλ' οὐδὲ ὅτι εἰς ὅλον ἄνθρωπον μετεβλήθη τὸν ἐκ ψυχῆς καὶ σώματος, ἐκεῖνο δὲ μᾶλλον ὅτι σάρκα ἐψυχωμένην ψυχῆι λογικῆι ἑνώσας ὁ λόγος ἑαυτῶι καθ' ὑπόστασιν ἀφράστως τε καὶ ἀπερινοήτως γέγονεν ἄνθρωπος καὶ κεχρημάτικεν υἱὸς ἀνθρώπου, οὐ 15
κατὰ θέλησιν μόνην ἢ εὐδοκίαν, ἀλλ' οὐδὲ ὡς ἐν προσλήψει προσώπου μόνου, καὶ ὅτι διάφοροι μὲν αἱ πρὸς ἑνότητα τὴν ἀληθινὴν συνενεχθεῖσαι φύσεις, εἷς δὲ ἐξ ἀμφοῖν Χριστὸς καὶ υἱός, οὐχ ὡς τῆς τῶν φύσεων διαφορᾶς ἀνηιρημένης διὰ τὴν ἕνωσιν, ἀποτελεσασῶν δὲ μᾶλλον ἡμῖν τὸν ἕνα κύριον καὶ Χριστὸν καὶ υἱὸν θεότητός τε καὶ ἀνθρωπότητος διὰ τῆς ἀφράστου καὶ ἀπορρήτου πρὸς ἑνότητα συνδρομῆς οὕτω τε λέγεται, καίτοι πρὸ 20
αἰώνων ἔχων τὴν ὕπαρξιν καὶ γεννηθεὶς ἐκ πατρός, γεννηθῆναι καὶ κατὰ σάρκα ἐκ γυναικός, οὐχ ὡς τῆς θείας αὐτοῦ φύσεως ἀρχὴν τοῦ εἶναι λαβούσης ἐν τῇι ἁγίαι παρθένωι οὔτε μὴν δεηθείσης ἀναγκαίως δι' ἑαυτὴν δευτέρας γεννήσεως μετὰ τὴν ἐκ πατρός (ἐστὶν γὰρ τοῦτο εἰκαιόν τε ὁμοῦ καὶ ἀμαθὲς τὸν ὑπάρχοντα πρὸ παντὸς αἰῶνος καὶ συναίδιον τῶι πατρὶ δεῖσθαι λέγειν ἀρχῆς τῆς εἰς τὸ εἶναι δευτέρας), ἐπειδὴ δὲ δι' ἡμᾶς καὶ διὰ τὴν L IIII 161
ἡμετέραν σωτηρίαν ἑνώσας ἑαυτῶι καθ' ὑπόστασιν τὸ ἀνθρώπινον προῆλθεν ἐκ γυναικός, 26
ταύτηι τοι λέγεται γεννηθῆναι σαρκικῶς. οὐ γὰρ πρῶτον ἄνθρωπος ἐγεννήθη κοινὸς ἐκ τῆς ἁγίας παρθένου, εἶθ' οὕτως καταπεφοίτηκεν ἐπ' αὐτὸν ὁ λόγος, ἀλλ' ἐξ αὐτῆς τῆς μήτρας ἑνωθεὶς ὑπομεῖναι λέγεται γέννησιν σαρκικήν, ὡς τῆς ἰδίας σαρκὸς τὴν γέννησιν οἰκειούμενος. οὕτω φαμὲν αὐτὸν καὶ παθεῖν καὶ ἀναστῆναι, οὐχ ὡς τοῦ θεοῦ λόγου M VI 664
παθόντος εἰς ἰδίαν φύσιν ἢ πληγὰς ἢ διατρήσεις ἥλων ἢ γοῦν τὰ ἕτερα τῶν τραυμάτων 31
(ἀπαθὲς γὰρ τὸ θεῖον, ὅτι καὶ ἀσώματον), ἐπειδὴ δὲ τὸ γεγονὸς αὐτοῦ ἴδιον σῶμα πέπονθεν ταῦτα, πάλιν αὐτὸς λέγεται παθεῖν ὑπὲρ ἡμῶν. ἦν γὰρ ὁ ἀπαθὴς ἐν τῶι πάσχοντι σώματι. κατὰ τὸν ἴσον δὲ τρόπον καὶ ἐπὶ τοῦ τεθνάναι νοοῦμεν. ἀθάνατος μὲν γὰρ κατὰ φύσιν καὶ ἄφθαρτος καὶ ζωὴ καὶ ζωοποιός ἐστιν ὁ τοῦ θεοῦ λόγος· ἐπειδὴ δὲ πάλιν τὸ 35

MBpSP$_1$UΦ

1 δὴ om. BP$_1$U 2 πρόσ γε τὸ BP$_1$U προσίετο MS προσείετο p πρόσ τε τὸ M^{corr} ὑγιᾶ BP$_1$U 2/3 κατευθῦναι BU 4 πολλούσ S ἑαυτούσ MpS σπουδάζομεν P$_1$ 5 ἥμεν MpS, corr. M 6 ἀνεπιπλάστοισ MpS, corr. M ἀνεπιπλήκτοισ P$_1$ ταῖσ — ἐννοίαισ MpS, corr. M εὖ] οὐ MpS, corr. M συμπλάττομεν MpSU 7 καὶ μεγάλη om. S θεοῦ καὶ πατρὸς Φ^r(I) 7/8 κατὰ φύσιν γεννηθέντα MpSUΦ^r (I) γεννηθέντα κατὰ φύσιν BP$_1$Φ^{ac} (I) Φ (II) 10 τοὺς om. BP$_1$U 12 οὐ — φαμὲν om. pS 13 ὅτι om. U 14 ἐμψυχωμένην SU 15 ἐχρημάτισεν U οὐ om. P$_1$ οὐδὲ U 16 μόνον MpSΦ 18 ὁ υἱὸσ P$_1$ ἀποτελέσασα pS 19 υἱὸν καὶ χν̄ P$_1$ 20 ἀρρήτου U τὲ BP$_1$UΦ^{ac}(I) Φ (II) τοίνυν MpS om. Φ^r (I) 20/21 προαιώνιον MpS 21 ἔχον S τοῦ πρσ̄ B 23 ἀναγκαίασ P$_1$ 24 τοῦτο om. BP$_1$U ἀμαθέστατον B καὶ om. P$_1$ 26 ἑαυτῶι ὁ λόγοσ BP$_1$U τὸ BP$_1$UΦ σῶμα MS σῶμα καὶ p 28 τῆς^2 om. BP$_1$ 29 οἰκείασ P$_1$ 30 λόγου om. B. 31 ἡ πληγὰς om. MpS ἢ^2] καὶ U διάτρησισ MpS, corr. M τῶν ἥλων pS γοῦν om. B θαυμάτων P$_1$ 33 ταῦτα BP$_1$U ταύτη M ταύτη τοι pS ὁ αὐτὸσ MpS 34 μὲν om. P$_1$ 35 ἄφραστοσ MpS ἐπεὶ MpS

Hebr. 2, 9 ἴδιον αὐτοῦ σῶμα χάριτι θεοῦ, καθά φησιν ὁ Παῦλος, ὑπὲρ παντὸς ἐγεύσατο θανάτου, λέγεται παθεῖν αὐτὸς τὸν ὑπὲρ ἡμῶν θάνατον, οὐχ ὡς εἰς πεῖραν ἐλθὼν τοῦ θανάτου τό γε ἧκον εἰς τὴν αὐτοῦ φύσιν (ἀποπληξία γὰρ τοῦτο λέγειν ἢ φρονεῖν), ἀλλ' ὅτι, καθάπερ ἔφην ἀρτίως, ἡ σὰρξ αὐτοῦ ἐγεύσατο θανάτου. οὕτω καὶ ἐγηγερμένης αὐτοῦ τῆς σαρκὸς πάλιν ἡ ἀνάστασις αὐτοῦ λέγεται, οὐχ ὡς πεσόντος εἰς φθοράν, μὴ γένοιτο, ἀλλ' ὅτι τὸ αὐτοῦ πάλιν ἐγήγερται σῶμα. οὕτω Χριστὸν ἕνα καὶ κύριον ὁμολογήσομεν, οὐχ ὡς ἄνθρωπον συμπροσκυνοῦντες τῶι λόγωι, ἵνα μὴ τομῆς φαντασία παρεισκρίνηται διὰ τοῦ λέγειν τὸ σύν, ἀλλ' ὡς ἕνα καὶ τὸν αὐτὸν προσκυνοῦντες, ὅτι μὴ ἀλλότριον τοῦ λόγου τὸ σῶμα αὐτοῦ, μεθ' οὗ καὶ αὐτὸς συνεδρεύει τῶι πατρί, οὐχ ὡς δύο πάλιν συνεδρευόντων υἱῶν, ἀλλ' ὡς ἑνὸς καθ' ἕνωσιν μετὰ τῆς σαρκός. ἐὰν δὲ τὴν καθ' ὑπόστασιν ἕνωσιν ἢ ὡς ἀνέφικτον ἢ ὡς ἀκαλλῆ παραιτώμεθα, ἐμπίπτομεν εἰς τὸ λέγειν δύο υἱούς· ἀνάγκη γὰρ πᾶσα διορίσαι καὶ εἰπεῖν τὸν μὲν ἄνθρωπον ἰδικῶς τῆι τοῦ υἱοῦ κλήσει τετιμημένον, ἰδικῶς δὲ πάλιν τὸν ἐκ θεοῦ λόγον υἱότητος ὄνομά τε καὶ χρῆμα ἔχοντα φυσικῶς. οὐ διαιρετέον τοιγαροῦν εἰς υἱοὺς δύο τὸν ἕνα κύριον Ἰησοῦν Χριστόν. ὀνήσει δὲ κατ' οὐδένα τρόπον τὸν ὀρθὸν τῆς πίστεως λόγον εἰς τὸ οὕτως ἔχειν, κἂν εἰ προσώπων ἕνωσιν ἐπιφημίζωσί τινες. οὐ γὰρ εἴρηκεν ἡ γραφὴ ὅτι ὁ λόγος ἀνθρώπου
Ioh. 1, 14 πρόσωπον ἥνωσεν ἑαυτῶι, ἀλλ' ὅτι γέγονεν σάρξ. τὸ δὲ σάρκα γενέσθαι τὸν λόγον
Hebr. 2, 14 οὐδὲν ἕτερόν ἐστιν εἰ μὴ ὅτι παραπλησίως ἡμῖν μετέσχεν αἵματος καὶ σαρκὸς ἴδιόν τε σῶμα τὸ ἡμῶν ἐποιήσατο καὶ προῆλθεν ἄνθρωπος ἐκ γυναικός, οὐκ ἀποβεβληκὼς τὸ εἶναι θεὸς καὶ τὸ ἐκ θεοῦ γεννηθῆναι πατρός, ἀλλὰ καὶ ἐν προσλήψει σαρκὸς μεμενηκὼς ὅπερ ἦν. τοῦτο πρεσβεύει πανταχοῦ τῆς ἀκριβοῦς πίστεως ὁ λόγος· οὕτως εὑρήσομεν τοὺς ἁγίους πεφρονηκότας πατέρας· οὕτω τεθαρρήκασιν θεοτόκον εἰπεῖν τὴν ἁγίαν παρθένον, οὐχ ὡς τῆς τοῦ λόγου φύσεως ἤτοι τῆς θεότητος αὐτοῦ ἀρχὴν τοῦ εἶναι λαβούσης ἐκ τῆς ἁγίας παρθένου, ἀλλ' ὡς γεννηθέντος ἐξ αὐτῆς τοῦ ἁγίου σώματος ψυχωθέντος λογικῶς,
L IIII 164 ὧι καὶ καθ' ὑπόστασιν ἑνωθεὶς ὁ λόγος γεννηθῆναι λέγεται κατὰ σάρκα. ταῦτα καὶ νῦν ἐξ ἀγάπης τῆς ἐν Χριστῶι γράφω, παρακαλῶν ὡς ἀδελφὸν καὶ διαμαρτυρόμενος ἐνώπιον τοῦ Χριστοῦ καὶ τῶν ἐκλεκτῶν ἀγγέλων ταῦτα μεθ' ἡμῶν καὶ φρονεῖν καὶ διδάσκειν, ἵνα σώιζηται τῶν ἐκκλησιῶν ἡ εἰρήνη καὶ τῆς ὁμονοίας καὶ ἀγάπης ὁ σύνδεσμος ἀρραγὴς διαμένηι τοῖς ἱερεῦσιν τοῦ θεοῦ.

241 Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἤκουσεν ἡ ἁγία καὶ μεγάλη σύνοδος
M VI 665 αὕτη ὧν ἐπέστειλα τῶι εὐλαβεστάτωι Νεστορίωι συναγορεύων τῆι ὀρθῆι πίστει. διάκειμαι δὲ ὅτι κατ' οὐδένα τρόπον ἐκβεβηκὼς ἁλίσκομαι τὸν ὀρθὸν τῆς πίστεως λόγον ἢ γοῦν παραβεβηκὼς τὸ ἐκτεθὲν παρὰ τῆς ἁγίας καὶ μεγάλης συνόδου τῆς κατὰ καιροὺς ἐν τῆι Νικάεων συνειλεγμένης σύμβολον, καὶ παρακαλῶ τὴν ὑμετέραν ὁσιότητα εἰπεῖν πό-

---

241—244 = t. I 1, 2 p. 13, 19—14, 12

30 τῆσ ἐν ἐφέσω ᾱ [πρώτησ Bmg] συνόδου MmgBmg post εἶπεν inscr. τὰ **ἐν ἐφέσω πραχθέντα** ἐπὶ κυρίλλου ἀναγινώσκεται ἐν κωνσταντινουπόλει ἐπὶ φλαβιανοῦ MPS

MB, p [— 22 πεφρονηκότας], P [inde a 22 πατέρας], S, P_1U [—29], Φ

2 αὐτὸς — θάνατον] αὐτὸν ὑπὲρ ἡμῶν pS ἐλθόντα pS 4 ἡ σὰρξ ἡ MpS 6/7 ὁμολογήσωμεν MSP_1U 7 τὸν λόγον MpS **τομῆσ φαντασία** BP_1U τοῦτο εἰσ **φάντασμα** MpS 8 **τὸ** U τοῦτο p 9 αὐτὸσ MpSBP_1 unus codex Φ^c (I) **τὸ σῶμα αὐτὸσ** U αὐτῶι Φ^r om. Φ^a et unus codex Φ^c (I) Φ^{ac}(II) 11 παραιτούμεθα MP_1. corr. M 11/12 δύο λέγειν P_1U 14 δύο υἱοὺσ P_1 15 εἰ] εἰσ P_1U 16 γραφὴ φασὶν U 18 **τε** BP_1UΦ^r (II) δὲ MpSΦ (I) om. Φ^{ac} (II) 20 γεγεννῆσθαι P_1 21 εὑρήσωμεν M 24 **γεννηθέντα** P_1 26 εἰσ $\overline{χν}$ PS **γράφων** παρακαλῶ BP_1U διαμαρτύρομαι BP_1 29 **τοῦ** om. U 30 ἐπῆκουσεν B 31 **ἀπέστειλα** S 34 παρακαλῶν PS

τερον ὀρθῶς καὶ ἀνεπιλήπτως καὶ συμφώνως τῇι ἁγίαι ἐκείνηι συνόδωι τὰ τοιαῦτα γεγράφηκα ἢ μή.

242 Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Ἀναγνωσθείσης τῆς ἐκτεθείσης ἁγίας πίστεως τῆς ἐν Νικαίαι καὶ τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου Κυρίλλου, καὶ τὰ παρὰ τῆς ἁγίας συνόδου ἐκτεθέντα σύμφωνα εὑρηνται καὶ τούτοις τοῖς εὐσεβέσιν δόγμασιν συντίθεμαι καὶ συναινῶ.

243 Φίρμος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· Τὰ συντόμως καὶ ἐν κεφαλαίωι εἰρημένα παρὰ τῆς ἁγιωτάτης συνόδου τῆς ἐν Νικαίαι ἐξηγησαμένη ἡ σὴ θεοσέβεια λεπτῶς καὶ περὶ πόδα σαφεστέραν ἡμῖν καὶ ἐναργεστέραν τὴν ἀποκάλυψιν τῆς ἐκτεθείσης πίστεως ἐποιήσατο, ὥστε μηδὲν εἶναι ἐν τοῖς λεγομένοις ἀμφίβολον πάντων ἀλλήλοις συμφωνούντων καὶ τῆς πίστεως βεβαιουμένης. τούτων οὖν ἀκριβῶς ἐχόντων καὶ ἀπαρατρέπτως καὶ οὐδένα νεωτερισμὸν ἐπιφερομένων κἀγὼ συντίθεμαι, τὴν αὐτὴν δόξαν παρὰ τῶν ἁγίων ἐπισκόπων τῶν ἐμῶν πατέρων δεξάμενος.

244 Μέμνων ἐπίσκοπος Ἐφεσίων μητροπόλεως εἶπεν· Τῇι πίστει τῇι ἐκτεθείσηι παρὰ τῶν ἁγίων πατέρων τῶν τριακοσίων δεκαοκτὼ τῶν ἐν Νικαίαι συνελθόντων σύμφωνα καὶ ἡ ἐπιστολὴ ἡ ἀναγνωσθεῖσα τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς καὶ ἐπισκόπου Κυρίλλου περιέχει· οἷς καὶ συντιθέμεθα καὶ συναινοῦμεν μηδὲν ἐλλιπὲς εὑρίσκοντες μηδὲ διαφωνοῦν.

245 Διελάλησεν δὲ τὰ αὐτὰ καὶ πᾶσα ἡ ἁγία καὶ μεγάλη σύνοδος.

Ἐπιστολὴ γραφεῖσα τῶι θεοφιλεστάτωι ἐπισκόπωι Ἀντιοχείας Ἰωάννηι παρὰ τοῦ ὁσιωτάτου ἐπισκόπου Ἀλεξανδρείας Κυρίλλου περὶ τῆς εἰρήνης

246 Εὐφραινέσθωσαν οἱ οὐρανοὶ καὶ ἀγαλλιάσθω ἡ γῆ· λέλυται γὰρ τὸ μεσότοιχον τοῦ φραγμοῦ καὶ πέπαυται τὸ λυποῦν καὶ διχονοίας ἁπάσης ἀνήιρηται τρόπος, τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ ταῖς ἑαυτοῦ ἐκκλησίαις τὴν εἰρήνην βραβεύοντος, κεκληκότων δὲ πρὸς τοῦτο ἡμᾶς καὶ τῶν εὐσεβεστάτων καὶ θεοφιλεστάτων βασιλέων, οἳ προγονικῆς εὐσεβείας ἄριστοι ζηλωταὶ γεγονότες ἀσφαλῆ μὲν καὶ ἀκατάσειστον ἐν ἰδίαις ψυχαῖς τὴν ὀρθὴν φυλάττουσιν πίστιν, ἐξαίρετον δὲ ποιοῦνται φροντίδα τὴν ὑπὲρ τῶν ἁγίων ἐκκλησιῶν, ἵνα διαβόητον ἔχωσιν εἰς αἰῶνα τὴν δόξαν καὶ εὐκλεεστάτην ἀποφήνωσιν τὴν ἑαυτῶν βασιλείαν, οἷς καὶ αὐτὸς ὁ τῶν δυνάμεων κύριος πλουσίαι χειρὶ διανέμει τὰ ἀγαθὰ καὶ δίδωσιν μὲν κατακρατεῖν τῶν ἀνθεστηκότων, Ps. 95, 11 Eph. 2, 14 M VI 668 L IIII 165

246 = t. I 1, 4 p. 15, 23—20, 13, ubi ceteras uersiones enumeraui. uariam illius exemplaris lectionem hic non repeto. epistula iterum lecta est in actione tertia; plenam eam hic exhibet M, initium tantum illic, B uice uersa, hoc loco post inscriptionem et initium [usque ad 23 τὸ λυποῦν] pergendo καὶ αὕτη μὲν ἡ ἀρχὴ τῆσ ἐπιστολῆσ τὰ δὲ λοιπὰ ἀνάγνωθι ἐν τῇ τρίτη εὑρίσκων κείμενα πράξει μετὰ τετράδιον ἐν τῆσ ἀρχῆσ τῆσ πράξεωσ μετὰ δὲ τὸ ἀναγνωσθῆναι αὐτὴν πρόσχεσ αὖθισ τῇ ἐνταῦθα ἀκολουθίᾳ· καὶ ἐν τῶ ἀναγνωσθῆναι [p. 111, 9]. ad actionem tertiam pertinent P_1U

MBP, S, P_1U [inde a 22], Φ

1 ἐκείνηι om. S 1/2 γεγράφαμεν B 2 ἢ μὴ MΦ ὑμῖν BPS 3 ἐκτεθείσης om. B 5 καὶ¹] ταῦτα καὶ B ηὕρηται MPS 9 περὶ πόδα MPS παρὰ πόδασ $M^{corr}B$ ἐνεργεστέραν Φ ἀποκάλυψιν MPSΦ κατάληψιν B [= Gesta Eph.] 10 ἐποιήσατο B [= Gesta Eph.] ἐποίησεν M ἐποιήσαμεν PS 12 μηδένα B 14 τῆσ ἐφεσίων B 15 ἁγιωτάτων B τῶν² — δεκαοκτὼ om. MPS 16 ἡ² om. PS θεοσεβεστάτου B 16, 17 κυρίλλου τοῦ ἐπισκόπου B [= Gesta Eph.] 19 διελάλησεν — σύνοδος] θεόδοτοσ ἐπίσκοποσ ἀγκύρασ φλαυιανὸσ ἐπίσκοποσ φιλίππων καὶ οἱ λοιποὶ πάντεσ οἱ τῆσ αὐτῆσ ἁγίασ συνόδου συνήνεσαν καὶ κατέθεντο B 20 θεοσεβεστάτω B 21 κυρίλλου ἀρχιεπισκόπου ἀλεξανδρείασ B περὶ — εἰρήνης om. B τῆς om. PS 22 praem. κυρίω μου ἁγαπητῶ ἀδελφῶ καὶ συλλειτουργῶ ἰωάννη κύριλλοσ ἐν κῶ χαίρειν B utroque loco. P $U\Phi^a$ (I) Φ (II) 25 κεκληκότεσ P_1 καὶ θεοφιλεστάτων om. S 27 τὴν ὀρθὴν ἐν ἰδίαισ ψυχαῖς MPS ὀρθὴν] αὐτῶν P_1 28 ἁγίων om. S ἵνα καὶ BP_1U 29 αὐτῶν U χ̄σ̄ κ̄σ̄ MPS

1 Reg. 2, 30 χαρίζεται δὲ τὸ νικᾶν. οὐ γὰρ ἂν διαψεύσαιτο λέγων ζῶ ἐγώ, λέγει κύριος, ὅτι τοὺς δοξάζοντάς με δοξάσω. ἀφικομένου τοίνυν εἰς τὴν Ἀλεξάνδρειαν τοῦ κυρίου μου τοῦ θεοφιλεστάτου ⟨καὶ⟩ συλλειτουργοῦ ἀδελφοῦ Παύλου, θυμηδίας ἐμπεπλήσμεθα, καὶ σφόδρα εἰκότως ὡς ἀνδρὸς τοιούτου μεσιτεύοντος καὶ τοῖς ὑπὲρ δύναμιν πόνοις ἑλομένου προσομιλεῖν, ἵνα τὸν τοῦ διαβόλου νικήσηι φθόνον καὶ συνάψηι τὰ διηιρημένα καὶ τὰ μεταξὺ διερριμμένα σκάνδαλα περιελὼν ὁμονοίαι καὶ εἰρήνηι στεφανώσηι τάς τε παρ' ἡμῖν καὶ παρ' ὑμῖν ἐκκλησίας. τίνα μὲν γὰρ διήιρηνται τρόπον, περιττὸν εἰπεῖν· χρῆναι δὲ μᾶλλον ὑπολαμβάνω τὰ τῶι τῆς εἰρήνης πρέποντα καιρῶι καὶ φρονεῖν καὶ λαλεῖν. ἥσθημεν τοίνυν ἐπὶ τῆι συντυχίαι τοῦ μνημονευθέντος θεοσεβεστάτου ἀνδρός, ὃς τάχα που καὶ ἀγῶνας ἔξειν οὐ μικροὺς ὑπενόησεν ἀναπείθων ἡμᾶς ὅτι χρὴ συνάψαι πρὸς εἰρήνην τὰς ἐκκλησίας καὶ τὸν τῶν ἑτεροδόξων ἀφανίσαι γέλωτα ἀπαμβλῦναί τε πρὸς τούτωι τῆς τοῦ διαβόλου δυστροπίας τὸ κέντρον, ἑτοίμως δὲ οὕτως ἔχοντας εἰς τοῦτο κατέλαβεν, ὡς μηδένα πόνον ὑποστῆναι παντελῶς. μεμνήμεθα γὰρ τοῦ σωτῆρος
Ioh. 14, 27 λέγοντος εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν,
Ioh. 26, 12 δεδιδάγμεθα δὲ καὶ λέγειν ἐν προσευχαῖς κύριε ὁ θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν, πάντα γὰρ ἀπέδωκας ἡμῖν, ὥστε εἴ τις ἐν μεθέξει γένοιτο τῆς παρὰ θεοῦ χορηγουμένης εἰρήνης, ἀνενδεὴς ἔσται παντὸς ἀγαθοῦ. ὅτι δὲ περιττὴ παντελῶς καὶ οὐκ εὐάφορμος τῶν ἐκκλησιῶν ἡ διχοστασία γέγονεν, νυνὶ μάλιστα πεπληροφορήμεθα, τοῦ κυρίου μου τοῦ θεοφιλεστάτου Παύλου τοῦ ἐπισκόπου χάρτην προκομίσαντος ἀδιάβλητον ἔχοντα τῆς πίστεως τὴν ὁμολογίαν καὶ ταύτην συντετάχθαι διαβεβαιουμένου παρά τε τῆς σῆς ὁσιότητος καὶ τῶν αὐτόθι θεοφιλεστάτων ἐπισκόπων. ἔχει δὲ οὕτως ἡ συγγραφὴ καὶ αὐταῖς λέξεσιν ἐντέθειται τῆιδε ἡμῶν τῆι ἐπιστολῆι

Περὶ δὲ τῆς θεοτόκου παρθένου ὅπως καὶ φρονοῦμεν καὶ λέγομεν, τοῦ τε τρόπου τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ, ἀναγκαίως οὐκ ἐν προσθήκης μέρει, ἀλλ' ἐν πληροφορίας εἴδει, ὡς ἄνωθεν ἔκ τε τῶν θείων γραφῶν ἔκ τε τῆς παραδόσεως τῶν ἁγίων πατέρων παρειληφότες ἐσχήκαμεν, διὰ βραχέων ἐροῦμεν, οὐδὲν τὸ σύνολον προστιθέντες τῆι τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι ἐκτεθείσηι πίστει. ὡς γὰρ ἔφθημεν εἰρηκότες, πρὸς πᾶσαν ἐξαρκεῖ καὶ εὐσεβείας γνῶσιν καὶ πάσης αἱρετικῆς κακοδοξίας ἀποκήρυξιν. ἐροῦμεν δὲ οὐ κατατολμῶντες τῶν ἀνεφίκτων, ἀλλὰ τῆι ὁμολογίαι τῆς οἰκείας ἀσθενείας ἀποκλείοντες τοῖς ἐπιφύεσθαι βουλομένοις ἐν οἷς τὰ ὑπὲρ ἄνθρωπον
L III 168 M VI 669 διασκεπτόμεθα. ὁμολογοῦμεν τοιγαροῦν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τὸν υἱὸν τοῦ θεοῦ τὸν μονογενῆ, θεὸν τέλειον καὶ ἄνθρωπον τέλειον ἐκ ψυχῆς λογικῆς καὶ σώματος, πρὸ αἰώνων μὲν ἐκ τοῦ πατρὸς γεννηθέντα κατὰ τὴν θεότητα, ἐπ' ἐσχάτου δὲ τῶν ἡμερῶν τὸν αὐτὸν δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Μαρίας τῆς παρθένου

31—109, 5 leguntur infra 476

31 ὁμολογία τῶν τῆσ ἀνατολῆσ ἐπισκόπων Mmg

MBPSP$_1$UΦ

1 ἂν om. U διαψεύσαιτο scripsi cf. Gesta Eph. διαψεύσηται MPS διεψεύσατο BP$_1$U λέγων ὅτι MPS 2 δοξάσαντάσ MPS 3 τοῦ θεοσεβεστάτου P$_1$ om. S καὶ συλλειτουργοῦ ἀδελφοῦ Φ^r (I) συλλειτουργοῦ ἀδελφοῦ MP συλλειτουργοῦ καὶ ἀδελφοῦ Φ^{ac}, Φ^r (II) ἀδελφοῦ καὶ συλλειτουργοῦ BSP$_1$U 5 τὰ^2 om. U 7 ἡμῶν MPS καὶ τὰσ BP$_1$ ἐκκλησίασ καὶ παρ' ὑμῖν U τίνι — τρόπω S μὲν om. PS διήρηντο BP$_1$U 8 μᾶλλον om. MPS ὑπολαμβάνειν P$_1$ τῆς om. P$_1$ 9 ἐπὶ om. MPS θεοσεβεστάτου om. S 10 ὡσ MPSBP$_1$, corr. M οὐ μικροὺς] μακροὺσ BU 11 τῶν om. PS ἀπαμβλῦναί τε] ἀπαμβλύνεται MS, corr. M 12 τοῦτο MS ἐπὶ MPS 13 μηδὲ BP$_1$U 15 δεδικαιώμεθα MPS διδασκόμεθα M^{corr} καὶ om. S κσ̄ B 16 θεοῦ] χῡ P$_1$U 18 εὔφορμοσ P$_1$ ἡ τῶν ἐκκλησιῶν MPS 19 μου om. U τοῦ εὐσεβεστάτου MP om. S προσκομίσαντοσ PS προκομίσαντα P$_1$ 22 τῆ ἡμῶν U 26 προειληφότεσ P$_1$ 27 τῶν^1] τῆ BP$_1$U 29 καὶ τῆσ U 33 ἐσχάτου MPS ἐσχάτων M^{corr}BP$_1$U 34 διὰ om. P$_1$ ἀειπαρθένου S

κατὰ τὴν ἀνθρωπότητα, ὁμοούσιον τῶι πατρὶ τὸν αὐτὸν κατὰ τὴν θεότητα καὶ ὁμοούσιον ἡμῖν κατὰ τὴν ἀνθρωπότητα. δύο γὰρ φύσεων ἕνωσις γέγονεν· δι' ὃ ἕνα Χριστόν, ἕνα υἱόν, ἕνα κύριον ὁμολογοῦμεν. κατὰ ταύτην τὴν τῆς ἀσυγχύτου ἑνώσεως ἔννοιαν ὁμολογοῦμεν τὴν ἁγίαν παρθένον θεοτόκον διὰ τὸ τὸν θεὸν λόγον σαρκωθῆναι καὶ ἐνανθρωπῆσαι καὶ ἐξ αὐτῆς τῆς συλλήψεως ἑνῶσαι ἑαυτῶι τὸν ἐξ αὐτῆς ληφθέντα ναόν. τὰς δὲ εὐαγγελικὰς καὶ ἀποστολικὰς περὶ τοῦ κυρίου φωνὰς ἴσμεν τοὺς θεολόγους ἄνδρας τὰς μὲν κοινοποιοῦντας ὡς ἐφ' ἑνὸς προσώπου, τὰς δὲ διαιροῦντας ὡς ἐπὶ δύο φύσεων καὶ τὰς μὲν θεοπρεπεῖς κατὰ τὴν θεότητα τοῦ Χριστοῦ, τὰς δὲ ταπεινὰς κατὰ τὴν ἀνθρωπότητα αὐτοῦ παραδιδόντας.

Ταύταις ὑμῶν ἐντυχόντες ταῖς ἱεραῖς φωναῖς οὕτω τε καὶ ἑαυτοὺς φρονοῦντας εὑρίσκοντες (εἷς γὰρ κύριος, μία πίστις, ἓν βάπτισμα) ἐδοξάσαμεν τὸν τῶν ὅλων Eph. 4, 5
σωτῆρα θεόν, ἀλλήλοις συγχαίροντες ὅτι ταῖς θεοπνεύστοις γραφαῖς καὶ τῆι παραδόσει τῶν ἁγίων ἡμῶν πατέρων συμβαίνουσαν ἔχουσιν πίστιν αἵ τε παρ' ἡμῖν καὶ παρ' ὑμῖν ἐκκλησίαι. ἐπειδὴ δὲ ἐπυθόμην τῶν φιλοψογεῖν εἰωθότων τινὰς σφηκῶν ἀγρίων δίκην περιβομβεῖν καὶ μοχθηροὺς ἐρεύγεσθαι κατ' ἐμοῦ λόγους ὡς ἐξ οὐρανοῦ κατακομισθὲν καὶ οὐκ ἐκ τῆς ἁγίας παρθένου λέγοντος τὸ ἅγιον σῶμα Χριστοῦ, δεῖν ὠιήθην ὀλίγα περὶ τούτου πρὸς αὐτοὺς εἰπεῖν. ὦ ἀνόητοι καὶ μόνον εἰδότες τὸ συκοφαντεῖν, πῶς εἰς τοῦτο παρηνέχθητε γνώμης καὶ τοσαύτην νενοσήκατε τὴν μωρίαν; ἔδει γὰρ ἔδει σαφῶς ἐννοεῖν ὅτι σχεδὸν ἅπας ἡμῖν ὁ ὑπὲρ τῆς πίστεως ἀγὼν συγκεκρότηται διαβεβαιουμένοις ὅτι θεοτόκος ἐστὶν ἡ ἁγία παρθένος. ἀλλ' εἴπερ ἐξ οὐρανοῦ καὶ οὐκ ἐξ αὐτῆς τὸ ἅγιον σῶμα γεγεννῆσθαι φαμὲν τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ, πῶς ἂν ἔτι νοοῖτο θεοτόκος; τίνα γὰρ ὅλως τέτοκεν, εἰ μή ἐστιν ἀληθὲς ὅτι γεγέννηκεν κατὰ σάρκα τὸν Ἐμμανουήλ; γελάσθωσαν τοίνυν οἱ ταῦτα περὶ ἐμοῦ πεφλυαρηκότες. οὐ γὰρ ψεύδεται λέγων ὁ μακάριος προφήτης Ἡσαίας ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ Ies. 7, 14
ἕξει καὶ τέξεται υἱὸν καὶ καλέσουσιν τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ, ὅ ἐστιν μεθερμηνευόμενον μεθ' ἡμῶν ὁ θεός. ἀληθεύει δὲ πάντως καὶ ὁ ἅγιος Γαβριὴλ πρὸς τὴν μακαρίαν παρθένον εἰπών· μὴ φοβοῦ, Μαριάμ· εὗρες γὰρ χάριν παρὰ Lc. 1, 30. 31
τῶι θεῶι, καὶ ἰδοὺ συλλήψηι ἐν γαστρὶ καὶ τέξηι υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. ὅταν δὲ λέγωμεν ἐξ οὐρανοῦ καὶ ἄνωθεν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, οὐχ ὡς ἄνωθεν καὶ ἐξ οὐρανοῦ κατενεχθείσης τῆς ἁγίας αὐτοῦ σαρκὸς τὰ τοιαῦτα φαμέν, ἑπόμενοι δὲ μᾶλλον τῶι θεσπεσίωι Παύλωι διακεκραγότι σαφῶς ὁ πρῶτος ἄν- 1 Cor. 15, 47
θρωπος ἐκ γῆς χοικός, ὁ δεύτερος ἄνθρωπος ὁ κύριος ἐξ οὐρανοῦ. με- L IIII 169
μνήμεθα δὲ καὶ αὐτοῦ τοῦ σωτῆρος λέγοντος οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν M VI 672
εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ υἱὸς τοῦ ἀνθρώπου, καίτοι γεγέννηται Ioh. 3, 13
κατὰ σάρκα, καθάπερ ἔφην ἀρτίως, ἐκ τῆς ἁγίας παρθένου. ἐπειδὴ δὲ ὁ ἄνωθεν καὶ 36

MBPSP$_1$UΦ

1 τῶι] τε MP τε τῶ S τὸν αὐτὸν τῶ $\overline{\text{πρι}}$ U τὸν αὐτὸν om. PSΦ 2 ἡμῖν τὸν αὐτὸν P$_1$Φ^r (II) γὰρ om. MPS, corr. M ἑνώσεισ γεγόνασι U 3 κατ' αὐτὴν P$_1$ 5 συλληφθέντα U 6 παρὰ P$_1$ ἴσμεν] ἴστησι PS 10 τε om. U 13 ἡμῶν om. S 13/14 καὶ — ὑμῖν om. MPS, corr. M^{mg} 14 ἐπεὶ U φιλοψεγεῖν B 15 κατ' ἐμοῦ ἐρεύγεσθαι B 16 λέγοντασ PSP$_1$ 17 πρὸσ αὐτοὺσ περὶ τούτου P$_1$ 18 παρήχθητε U τὴν μωρίαν M^{corr}BU τιμωρίαν MP$_1$ μωρίαν PSP$_1$^{corr} 19 περὶ MPS 20 ἐπείπερ BU 21 σῶμα αὐτοῦ B φαμὲν γεγεννῆσθαι P$_1$ γεγενῆσθαι φαμὲν BUPΦ cl. notam Rustici *ita* $\overline{GR}$ *natum, hoc est* ΓΕΓΕΝΝΗΣΘΑΙ *et non* ΓΕΓΕΝΗΣΘΑΙ $\overline{\text{ιυ}}$ $\overline{\text{χυ}}$ U 24 φάσκων ἡσαίασ ὁ προφήτησ S 26 ἅγιοσ om. S 27 μακαρίαν om. SU μαρία P 29 γὰρ om. M 30 αὐτοῦ BS 31 οὐχ om. PS τεχθείσησ S 32 θεσπεσίωι om. S 34 αὐτοῦ om. S οὐδεὶσ BP$_1$UΦ^{ac} Φ^r (II) καὶ οὐδεὶσ MPSΦ^r (I), cf. adnotationem Rustici $\overline{GR}$ *istud et in multis non est* 36 ἁγίας om. S ὁ om. MPS

Phil. 2, 7 ἐξ οὐρανοῦ καταφοιτήσας θεὸς λόγος κεκένωκεν ἑαυτὸν μορφὴν δούλου λαβὼν καὶ κεχρημάτικεν υἱὸς ἀνθρώπου μετὰ τοῦ μεῖναι ὃ ἦν, τουτέστιν θεός (ἄτρεπτος γὰρ καὶ ἀναλλοίωτος κατὰ φύσιν ἐστίν), ὡς εἰς ἤδη νοούμενος μετὰ τῆς ἰδίας σαρκὸς ἐξ οὐρανοῦ λέγεται κατελθεῖν, ὠνόμασται δὲ καὶ ἄνθρωπος ἐξ οὐρανοῦ, τέλειος ὢν ἐν θεότητι καὶ τέλειος ὁ αὐτὸς ἐν ἀνθρωπότητι καὶ ὡς ἐν ἑνὶ προσώπωι νοούμενος. εἷς γὰρ κύριος Ἰησοῦς Χριστός, κἂν ἡ τῶν φύσεων μὴ ἀγνοῆται διαφορά, ἐξ ὧν τὴν ἀπόρρητον ἕνωσιν πεπρᾶχθαι φαμέν. τοὺς δὲ λέγοντας ὅτι κρᾶσις ἢ σύγχυσις ἢ φυρμὸς ἐγένετο τοῦ θεοῦ λόγου πρὸς τὴν σάρκα, καταξιωσάτω ἡ σὴ ὁσιότης ἐπιστομίζειν. εἰκὸς γὰρ τινὰς καὶ ταῦτα περὶ ἐμοῦ θρυλεῖν ὡς ἢ πεφρονηκότος ἢ εἰρηκότος, ἐγὼ δὲ τοσοῦτον ἀφέστηκα τοῦ φρο-
Iac. 1, 17 νῆσαί τι τοιοῦτον, ὥστε καὶ μαίνεσθαι νομίζω τοὺς οἰηθέντας ὅλως ὅτι τροπῆς ἀποσκίασμα περὶ τὴν τοῦ θεοῦ λόγου φύσιν συμβῆναι δύναται. μένει γὰρ ὅ ἐστιν, ἀεὶ καὶ οὐκ ἠλλοίωται, ἀλλ' οὐδ' ἂν ἀλλοιωθείη πώποτε καὶ μεταβολῆς ἔσται δεκτική. ἀπαθῆ δὲ πρὸς τούτωι τὸν τοῦ θεοῦ λόγον ὑπάρχειν ὁμολογοῦμεν ἅπαντες, κἂν εἰ πανσόφως αὐτὸς οἰκονομῶν τὸ μυστήριον ἑαυτῶι προσνέμων ὁρῶιτο τὰ τῆι ἰδίαι σαρκὶ συμβεβηκότα
1 Petr. 4, 1 πάθη. ταύτηι τοι καὶ ὁ πάνσοφος Πέτρος Χριστοῦ φησιν παθόντος ὑπὲρ ἡμῶν σαρκί, καὶ οὐχὶ τῆι φύσει τῆς ἀρρήτου θεότητος. ἵνα γὰρ αὐτὸς τῶν ὅλων σωτὴρ εἶναι πιστεύηται, κατ' οἰκείωσιν οἰκονομικὴν εἰς ἑαυτόν, ὡς ἔφην, τὰ τῆς ἰδίας σαρκὸς ἀναφέρει πάθη ὁποῖόν ἐστιν τὸ διὰ τῆς τοῦ προφήτου φωνῆς προαναφωνούμενον ὡς
Ies. 50, 6 ἐξ αὐτοῦ τὸν νῶτόν μου δέδωκα εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα, τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων. ὅτι δὲ ταῖς τῶν ἁγίων πατέρων δόξαις ἑπόμεθα πανταχοῦ, μάλιστα δὲ ταῖς τοῦ μακαρίου καὶ πανευφήμου πατρὸς ἡμῶν Ἀθανασίου, τὸ κατά τι γοῦν ὅλως ἔξω φέρεσθαι παραιτούμενοι, πεπείσθω μὲν ἡ σὴ ὁσιότης, ἐνδοιαζέτω δὲ τῶν ἄλλων μηδείς. παρέθηκα δ' ἂν καὶ χρήσεις αὐτῶν πολλάς, τοὺς ἐμαυτοῦ λόγους ἐξ αὐτῶν πιστούμενος, εἰ μὴ τὸ μῆκος ἐδεδίειν τοῦ γράμματος, μὴ ἄρα πως γένηται διὰ τοῦτο προσκορές. κατ' οὐδένα δὲ τρόπον σαλεύεσθαι παρά τινων ἀνεχόμεθα τὴν ὁρισθεῖσαν πίστιν ἤτοι τὸ τῆς πίστεως σύμβολον παρὰ τῶν ἁγίων ἡμῶν πατέρων τῶν ἐν Νικαίαι συνελθόντων κατὰ καιροὺς οὔτε μὴν ἐπιτρέπομεν ἑαυτοῖς ἢ ἑτέροις ἢ λέξιν ἀμεῖψαι τῶν ἐγκειμένων ἐκεῖσε ἢ
Prou. 22, 28 μίαν γοῦν παραβῆναι συλλαβήν, μεμνημένοι τοῦ λέγοντος μὴ μέταιρε ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες σου. οὐ γὰρ ἦσαν αὐτοὶ οἱ λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα τοῦ θεοῦ καὶ πατρός, ὃ ἐκπορεύεται μὲν ἐξ αὐτοῦ, ἔστιν δὲ οὐκ ἀλλότριον τοῦ υἱοῦ κατὰ τὸν τῆς οὐσίας λόγον. καὶ πρός γε τοῦτο ἡμᾶς οἱ τῶν ἁγίων μυσταγωγῶν πιστοῦνται λόγοι. ἐν μὲν γὰρ ταῖς Πράξεσιν τῶν ἀποστόλων γέγραπται ἐλθόντες δὲ κατὰ
Act. 16, 7 τὴν Μυσίαν ἐπείραζον εἰς τὴν Βιθυνίαν πορευθῆναι, καὶ οὐκ εἴασεν
L IIII 172 αὐτοὺς τὸ πνεῦμα Ἰησοῦ. ἐπιστέλλει δὲ καὶ ὁ θεσπέσιος Παῦλος οἱ δὲ ἐν σαρ-
M VI 673 κὶ ὄντες θεῶι ἀρέσαι οὐ δύνανται· ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί, ἀλλ' ἐν
Rom. 8, 8. 9 πνεύματι, εἴπερ πνεῦμα θεοῦ οἰκεῖ ἐν ὑμῖν. εἰ δέ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. ὅταν δὲ τινὲς τῶν τὰ ὀρθὰ διαστρέφειν εἰωθότων τὰς ἐμὰς παρατρέπωσιν φωνὰς εἰς τὸ αὐτοῖς δοκοῦν, μὴ θαυμαζέτω τοῦτο ἡ σὴ ὁσιότης,

---

MBPSP$_1$UΦ

1 ὁ θ̄ς̄ S 2 ἀνθρώπου om. B 3 καὶ κατὰ MPS κατὰ τὴν U ὡς om. BP$_1$ ἤδη] δη M, corr. M δὲ PSΦ 5 ἐν ἀνθρωπότητι ὁ [καὶ U] αὐτὸσ BU 6 μὴ ἀγνοεῖται M μία νοῆται [νοεῖται S]PS 9 θρυλλεῖν MBPSP$_1$, corr. M πεφλυαρηκότος Φ^{r} (I) 11 τοῦ θ̄ῡ MPSΦ θεῖαν τοῦ BP$_1$U οὐ δύναται P$_1$ 12 ἀλλοιωθῆναι MPS 13 ὁμολογοῦμεν ὑπάρχειν P$_1$ ἅπαντα P$_1$ 14 τῆι om. MPS 15 πάνσοφος] ἀπόστολοσ S χυ οὖν BP$_1$UΦ^{r} (II) 16 ἀπορρήτου U αὐτοῦ S ὁ τῶν BP$_1$U 20 ἀπεστράφη S 20/21 ἐπαιγμάτων S 22 πανευφήμου καὶ μακαρίου U 26 παρὰ in πρὸς corr. M τινοσ B ἀνεχόμεθα om. MPS, corr. M 27 νικαία καὶ τῶν 28 ἐκείνοισ P$_1$ 29 μετάβαινε SΦ 30 ἀλλ' αὐτὸ τὸ MPS 32 τούτω P$_1$ 35 Ἰησοῦ] τοῦ θ̄ῡ μακάριοσ BP$_1$U 38 στρέφειν U εἰδότων B εἰωθότων δόγματα P 39 τοῦτο om.

εἰδυῖα ὅτι καὶ οἱ ἀπὸ πάσης αἱρέσεως ἐκ τῆς θεοπνεύστου γραφῆς τὰς τῆς ἑαυτῶν πλάνης συλλέγουσιν ἀφορμάς, τὰ διὰ τοῦ ἁγίου πνεύματος ὀρθῶς εἰρημένα ταῖς ἑαυτῶν κακονοίαις παραφθείροντες καὶ ταῖς ἰδίαις ἑαυτῶν κεφαλαῖς τὴν ἄσβεστον ἐπαντλοῦντες φλόγα. ἐπειδὴ δὲ μεμαθήκαμεν ὅτι καὶ τὴν πρὸς τὸν μακάριον Ἐπίκτητον ἐπιστολὴν τοῦ πανευφήμου πατρὸς ἡμῶν Ἀθανασίου ὀρθοδόξως ἔχουσαν παραφθείραντές τινες ἐκδεδώκασιν, ὡς ἐντεῦθεν ἀδικεῖσθαι πολλούς, διὰ τοῦτο χρήσιμόν τι καὶ ἀναγκαῖον ἐπινοοῦντες τοῖς ἀδελφοῖς ἐξ ἀντιγράφων ἀρχαίων τῶν παρ' ἡμῖν καὶ ἁπλανῶς ἐχόντων ἀπεστείλαμεν τὰ ἴσα τῇ σῇ ὁσιότητι.

247 Καὶ ἐν τῷι ἀναγινώσκεσθαι οἱ εὐλαβέστατοι ἐπίσκοποι οἱ Ἰλλυρικιανοὶ ἐβόησαν· Οὕτως πιστεύομεν ὡς Κύριλλος. Κυρίλλου αἰωνία ἡ μνήμη.

248 Θεοδώρητος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ἀνάθεμα τῷι λέγοντι δύο υἱούς· ἕνα γὰρ υἱὸν προσκυνοῦμεν, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν μονογενῆ.

249 Πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Ἡμεῖς ὡς Κύριλλος πιστεύομεν. οὕτως ἐπιστεύσαμεν, οὕτως πιστεύομεν. ἀνάθεμα τῷι μὴ οὕτως πιστεύοντι.

250 Οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Φλαβιανὸς οὕτως ἐπίστευεν· Φλαβιανὸς ταῦτα ἐξεδίκει· διὰ ταῦτα Φλαβιανὸς καθηιρέθη. Εὐσέβιος Νεστόριον καθεῖλεν. τὴν πίστιν Διόσκορος παρέτρωσεν.

251 Οἱ Αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Ὁ θεὸς Νεστόριον καθεῖλεν.

252 Οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Λέων οὕτως φρονεῖ. Λέων οὕτως πιστεύει. Ἀνατόλιος οὕτως φρονεῖ.

253 Οἱ Αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Πάντες οὕτως ⟨πιστεύομεν. πάντες οὕτως⟩ φρονοῦμεν. ὁ σατανᾶς τόπον μὴ σχῆι. ὁ σατανᾶς χώραν μὴ σχῆι.

254 Οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Καὶ ὁ βασιλεὺς καὶ ἡ σύγκλητος καὶ πάντες οὕτως φρονοῦσιν.

255 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος καὶ πᾶσα ἡ ἁγία σύνοδος τῶν εὐλαβεστάτων ἐπισκόπων ἐβόησαν· Ὁ βασιλεὺς οὕτως φρονεῖ· ἡ αὐγούστα οὕτως φρονεῖ· πάντες οὕτως φρονοῦμεν.

256 Οἱ Αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Οὕτω φρονεῖ ὅλος ὁ κόσμος. τὰ τῶν πατέρων καλῶς ἔχει.

257 Οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Τὸν φονέα Φλαβιανοῦ ἔξω βάλε. τὸν πατραλοίαν ἔξω βάλε. M VI 676

258 Οἱ Αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Πάντες οὕτω πιστεύομεν. πολλὰ τὰ ἔτη τῆς συγκλήτου· πολλὰ τὰ ἔτη τῶν βασιλέων· πολλὰ τὰ ἔτη

9 ἐν χαλκηδόνι M^{mg} τῆσ ἐν χαλκηδόνι συνόδου B^{mg}

MBPS, P_1 [usque ad 6 χρήσιμον], U [usque ad 8], Φ

2 διὰ in ras. M ἅμα PS 3 αὐτῶν S om. BP_1U ἀπαντλοῦντεσ P_1 4 ἐπεὶ BP_1U 4/5 πανευφήμου om. S 7 καὶ om. $B\Phi^{ac}$, Φ^r (II) ἁπλῶσ MU, corr. M in fine add. ἐρρωμένον σε καὶ ὑπερευχόμενον ἡμῶν ὁ κσ διαφυλάξει τιμιώτατε ἀδελφέ $BU\Phi^r$ (II), cf. notam Rustici: $\overline{GR}$ *non habent, unus habet adiectum*

9 ἀναγνωσθῆναι B οἱ τοῦ ἰλλυρικοῦ ἐπίσκοποι S οἱ om. B Ἰλλυριοὶ B ἀνεβόησαν S 10 ὁ κύριλλοσ S ἡ om. M 11 θεοδώριτοσ BP^{corr} S 13 ἐξεβόησαν B 15 ἐξεβόησαν B 16 ἐπίστευσε B 20 ἐξεβόησαν B 21 φρονεῖ²] πιστεύει S 22 ἐξεβόησαν B 23 πιστεύομεν — φρονοῦμεν Φ φρονοῦμεν MPS πιστεύομεν B 23/24 ὁ σατανᾶς χώραν — σχῆι om. B 26 καὶ πάντες om. S φρονοῦμεν B 27 ἁγία om. B 33 βάλλε M^{corr} βάλετε B βάλλε M^{corr} βάλετε B 34 ἐβόησαν S

τῶν ὀρθοδόξων. πάντες οὕτως πιστεύομεν. δι' ὑμῶν εἰρήνη γένηται. πάντες ὀρθῶς δοξάζομεν.

259 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Καὶ ποίωι λόγωι
L IIII 173 Εὐτυχῆ μὲν τὸν ἐναντία τούτοις λέγοντα ἐδέξασθε εἰς κοινωνίαν, Φλαβιανὸν δὲ τὸν τῆς ἁγίας μνήμης καὶ Εὐσέβιον τὸν εὐλαβέστατον ἐπίσκοπον τούτοις κεχρημένους καθείλετε;

260 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Τὰ ὑπομνήματα αὐτὰ διδάξει τὴν ἀλήθειαν.

Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀπὸ τοῦ αὐτοῦ σχεδαρίου ἀνέγνω

261 Εὐστάθιος ἐπίσκοπος Βηρυτοῦ εἶπεν· Μετὰ τὸ ἀναγνωσθῆναι τὰς [προγεγραμμένας] ἐπιστολὰς ἀναγκαῖόν ἐστιν δῆλον ποιῆσαι τῆι ὑμετέραι ἁγιότητι ὅτι δὴ παρέσχεν ὁ θεὸς τῶι μακαριωτάτωι καὶ ὁσιωτάτωι τὴν μνήμην πατρὶ ἡμῶν καὶ ἀρχιεπισκόπωι τῆς Ἀλεξανδρέων Κυρίλλωι τὸ ἀμφιβληθῆναι τινὰ τῶν παρ' αὐτοῦ συνγγραφέντων ἐν τῆι αὐτοῦ ζωῆι παρὰ τῶν οὐκ ὀρθῶς τὰ καλῶς εἰρημένα νενοηκότων, ὥστε αὐτὸν διὰ τῆς πανσόφου καὶ διδασκαλικῆς αὐτοῦ γλώττης σαφῆ ποιῆσαι [τὰ] τοῖς βουλομένοις διαστρέφειν τὰ καλῶς συνταγέντα συγγράμματα καὶ ἀκολουθεῖν αὐτοῦ τῶι εὐσεβεῖ ἅπαντας ἔπεισεν φρονήματι. ἀλλ' ἑτέρων τινῶν ἀπὸ τούτων τῶν ἐπὶ τοῦ παρόντος ἀναγνωσθεισῶν ἐπιστολῶν ἀμφιβάλλεσθαι παρασκευαζόντων τοῦ μακαριωτάτου καὶ ὁσιωτάτου ἀνδρὸς τὸ φρόνημα, αὖθις ἀνάγκην ἔσχεν, μᾶλλον δὲ προθυμίαν (ἅπαντα γὰρ αὐτοῦ τὸν χρόνον εἰς τοῦτον κατανάλωσεν τῆς εὐσεβείας τὸν πόνον) ἑαυτὸν ἑρμηνεῦσαι καὶ τὸν ἴδιον σκοπὸν δεῖξαι καὶ σαφῶς ἅπασιν παραστῆσαι δι' ὧν ἐπέστειλεν πρὸς τοὺς τῆς μακαρίας καὶ ὁσίας μνήμης ἐπισκόπους γεγονότας, Ἀκάκιον τὸν Μελιτηνῆς καὶ Οὐαλεριανὸν τὸν τοῦ Ἰκονίου καὶ Σούκεσσον τὸν Διοκαισαρείας τῆς Ἰσαύρων ἐπαρχίας, ὅπως προσήκει νοεῖν καὶ τὰς ἀρτίως ἀναγνωσθείσας ἐπιστολὰς καὶ τῆς τοῦ σωτῆρος ἡμῶν ἐπιδημίας τὸ σέβας. πρόσκειται γὰρ καὶ τοῦτο τοῖς ἄλλοις ἐν ταῖς πρὸς τοὺς μακαρίους ἐκείνους ἐπιστολαῖς· οὐ δεῖ τοιγαροῦν νοεῖν δύο φύσεις, ἀλλὰ μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην, καὶ ταύτην αὐτοῦ τὴν φωνὴν τῆι τοῦ μακαριωτάτου Ἀθανασίου ἐβεβαίωσεν μαρτυρίαι.

262 Οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Ταῦτα Εὐτυχὴς λέγει. ταῦτα Διόσκορος λέγει.

263 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Οὔτε σύγχυσιν λέγομεν οὔτε τομὴν οὔτε τροπήν. ἀνάθεμα τῶι λέγοντι ἢ σύγχυσιν ἢ τροπὴν ἢ ἀνάκρασιν.

---

261 extat in Coll. Nouar. 10, 65

26—28 testimonium Athanasii personati extat in or. ad dominas 10 [t. 1 1, 5 p. 65. 27]

9 ἐπὶ διοσκόρου $M^{mg}B^{mg}$ 26 σημ ποῦ λέγει εὐστάθιοσ μὴ νοεῖν κύριλλον δύο φύσεισ M^{mg} 29 ἐν χαλκηδόνι M^{mg} B^{mg}

MB, P [usque ad 15 ποιῆσαι], p [inde a 15 τὰ τοῖς βουλομένοις], SΦ, $Λ^{n}$ [10—28]

1 γένηται $BΦ^{r}$ γίνεται P γενήσεται S γεγένηται M 3 εἶπεν MP 4 εὐτυχῆν MP, corr. M τὰ ἐναντία τούτων B 5 ὁσίασ B 8/9 om. B σχιδαρίου MP, corr. M 10/11 εἶπεν μετὰ — ἐπιστολὰσ MPSΦ$Λ^{n}$ μετὰ — ἐπιστολὰσ εἶπεν $M^{corr}B$ προγεγραμμένασ B$Λ^{n}$ προτεταγμένασ MPS om. Φ 11 ὁσιότητι PS 12 τῆ μνήμη B 13 τὸ B om. MPS 15 γλώσσησ B τὰ τοῖσ MBpS 16 τὰ om. B γράμματα B 17 τῶν om. MpS, corr. M 19 ἔσχει M, corr. M ἔχει pS 20 βίον B εἰσ τόπον [in τοῦτον corr. M] κατανάλωσεν MpS κατηνάλωσεν εἰσ τοῦτον B 21 κόπον MpS δεῖξαι] στῆσαι B πᾶσι B ἀπέστειλε S 22 μακαρίας καὶ ὁσίας] ἁγίασ B καὶ ὁσίας om. $Φ^{ac}$ γεγονότασ ἐπισκόπουσ B μελιτινῆσ MpS 23 οὐαλεριανὸν B οὐαλέριον MpS οὐαλλέριον M^{corr} τὸν τοῦ om. B σούκενσον $M^{corr}B$ 24 καὶ^{1} om. B 25 καὶ B$Φ Λ^{n}$ om. MpS 31 Ἀλεξανδρείας om. MpS 32 ἢ^{1} BΦ om. MpS τροπὴν] τομὴν B

264 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Λεγέτω ἡ ἁγία σύ- M VI 677
νοδος εἰ ταῖς κανονικαῖς ἐπιστολαῖς τοῦ τῆς ὁσίας μνήμης Κυρίλλου ταῖς καὶ ἐν τῇι συνόδωι δημοσιευθείσαις καὶ νῦν ἀναγνωσθείσαις συμφωνεῖ ἡ διαλαλιὰ Εὐσταθίου τοῦ εὐλαβεστάτου ἐπισκόπου.

265 Καὶ πρὶν ἀποκριθῆναι τὴν ἁγίαν σύνοδον Εὐστάθιος ὁ εὐλαβέστατος ἐπίσκοπος Βηρυτοῦ παρελθὼν εἰς τὸ μέσον καὶ ῥίψας βιβλίον εἶπεν· Εἰ κακῶς εἶπον, ἴδε τὸ βιβλίον Κυρίλλου· ἀναθεματισθῆι καὶ ἀναθεματισθῶ.

266 Οἱ Αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Εὐστάθιος ὁ ἐπίσκοπος καλῶς εἶπεν. ὁ ὀρθόδοξος καλῶς εἶπεν. τῶι εὐδοκίμωι τῶι εὐλαβεῖ. Κυρίλλου αἰωνία μνήμη.

267 Εὐστάθιος ὁ εὐλαβέστατος ἐπίσκοπος Βηρυτοῦ εἶπεν· Ἡ ἐπιστολὴ τοῦ τῆς ὁσίας μνήμης Κυρίλλου οὕτως ἔχει. καὶ ἀπεστήθισε τὴν ἐπιστολὴν τὴν μεταξὺ τῶν λοιπῶν ἔχουσαν οὕτως· οὐ δεῖ τοιγαροῦν νοεῖν δύο φύσεις, ἀλλὰ μίαν φύσιν τοῦ λόγου L IIII 176
σεσαρκωμένην. καὶ μετὰ τὸ ἀπαγγεῖλαι τὴν προλεχθεῖσαν ἐπιστολὴν ὁ αὐτὸς Εὐστάθιος ὁ εὐλαβέστατος ἐπίσκοπος Βηρυτοῦ εἶπεν· Καὶ ὁ λέγων μίαν φύσιν ἐπὶ ἀναιρέσει τῆς σαρκὸς τοῦ Χριστοῦ τῆς ὁμοουσίας ἡμῖν ἀνάθεμα ἔστω καὶ ὁ λέγων δύο φύσεις ἐπὶ διαιρέσει τοῦ υἱοῦ τοῦ θεοῦ ἀνάθεμα ἔστω. καὶ ὑπὲρ τοῦ μακαρίου δὲ Φλαβιανοῦ εἰπεῖν θέλω. αὐτὰ ξηρὰ ἔλαβεν ὁ μακάριος Φλαβιανὸς καὶ ἐπέδωκεν τῶι εὐσεβεστάτωι βασιλεῖ. καὶ κελεύσατε ἀναγνωσθῆναι τὸ ἰδιόχειρον αὐτοῦ, ἵνα πᾶσα ἡ σύνοδος εἴπηι ὅτι δικαίως ἐδέχθη.

268 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Διὰ τί τοίνυν Φλαβιανὸν τὸν τῆς εὐλαβοῦς μνήμης καθεῖλες;

269 Εὐστάθιος ὁ εὐλαβέστατος ἐπίσκοπος Βηρυτοῦ εἶπεν· Ἐσφάλην.

Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀπὸ τοῦ αὐτοῦ σχεδαρίου ἀνέγνω

270 Καὶ μετὰ τὸ ἀναγνωσθῆναι Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπεν· Ταῦτα ἐμαυτὸν φρονοῦντα πεπεισμένως ἔχων καὶ ἀπὸ τούτων τοῖς παραχαράττειν βουλομένοις τὸ τῆς ὀρθοδοξίας δόγμα εἰς ἀντιπάλου τάξιν ἀντικαθεστὼς κατέλαβον ὑμῶν τὴν ἁγίαν σύνοδον καὶ ἀξιῶ καὶ τὴν ὑμετέραν ἁγιωσύνην σύμψηφον γενέσθαι τοῖς ἀναγνωσθεῖσιν, ὥστε πάντας εἰδέναι ὡς ὁ ταύτας τὰς ἐκθέσεις παραλύων ἐχθρός ἐστιν τῆς ὀρθοδόξου ἐκκλησίας καὶ τοῦ ἱερατικοῦ συλλόγου ἀλλότριος.

271 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος Φλαβιανὸς εἶπεν· Ἀναγκαῖον καὶ εὐσεβὲς συνθέσθαι ἡμᾶς τοῖς ὀρθῶς δεδογμένοις. τίς γὰρ ἁγίου πνεύματος λόγοις ἀντιτεῖναι δυνήσεται; αἱ γὰρ ἀναγνωσθεῖσαι ἐπιστολαὶ τοῦ τῆς μακαρίας μνήμης καὶ ἐν ἁγίοις πατρὸς ἡμῶν

---

13 ποῦ λέγει εὐστάθιοσ κύριλλον μὴ νοεῖν δύο φύσεισ M^{mg}
26 ἐπὶ φλαβιανοῦ M^{mg} τῆσ ἐν κωνσταντινουπόλει συνόδου B^{mg}

MBpSΦ

1 εἶπεν Mp 2 τῆι om. S 3 καὶ — ἀναγνωσθείσαις om. pS 5 πρὶν ἢ ἀποκρίνηται ἡ ἁγία σύνοδοσ MpS 6 Βηρυτοῦ om. BΦ^{a} ἐν τῶ μέσω BΦ^{a} βιβλίον κυρίλλου B εἰδὲ pS 7 ἀναθεματίσθη M ἀνεθεματίσθη pS ἀναθεματιζέσθω M^{corr}B 8 εἶπον B 9 ὁ^{1} om. S καλῶς^{1} om. S 10 κυρίλλου M κυρίλλω BpS ἡ μνήμη BpS 12 ἀπεστήθισε BΦ ἀπήγγειλε MpS 13 οὕτως om. MpS, corr. M 14/15 ὁ — Βηρυτοῦ BΦ om. MpS 15 καὶ om. BS 16 ὁμοουσίου S ἔστω om. B 17 τοῦ θεοῦ om. B ἔστω om. B 18 ξηρὰ MpSΦ^{r} ξηρὰ ἃ BΦ^{ac} εὐσεβεῖ B εὐλαβεστάτω p 19 ἀναγνωσθῆναι BΦ ἀναγνῶναι MpS 21 εἶπεν Mp νῦν p 24 τοῦ — κονσιστωρίου om. B 25 σχιδαρίου p 26 ὁ εὐλαβέστατος om. MpS δορυλλαίου B om. MpS 27 πεπεισμένοσ B ἔχων Φ ἔχω MBpS 29 καὶ^{2} om. S ὑμῶν S 31 ἱεροῦ καταλόγου B 32 ἐπίσκοποσ S Φλαβιανὸς om. MpS, corr. M^{mg} 33 λόγοσ M, corr. M ἀντιστῆναι pS 34 ὁσίασ S καὶ ἐν ἁγίοισ μνήμησ B

M VI 680 Κυρίλλου τοῦ γενομένου ἐπισκόπου τῆς κατὰ Ἀλεξάνδρειαν ἁγιωτάτης ἐκκλησίας ἀκριβῆ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι κατὰ καιροὺς συνελθόντων τὴν διάνοιαν ἡρμήνευσαν διδάξασαι ἡμᾶς, ἅπερ καὶ ἡμεῖς ἐφρονήσαμεν ἀεὶ καὶ φρονοῦμεν, ὡς ὅτιπερ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ ὁ μονογενής, θεὸς τέλειος καὶ ἄνθρωπος τέλειος ἐκ ψυχῆς λογικῆς καὶ σώματος, πρὸ αἰώνων μὲν ἐκ τοῦ πατρὸς ἀνάρχως γεννηθεὶς κατὰ τὴν θεότητα, ἐπὶ τέλει δὲ καὶ ἐν ὑστέροις καιροῖς ὁ αὐτὸς δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Μαρίας τῆς παρθένου γεννηθεὶς κατὰ τὴν ἀνθρωπότητα, ὁμοούσιος τῶι πατρὶ κατὰ τὴν θεότητα καὶ ὁμοούσιος τῆι μητρὶ κατὰ τὴν ἀνθρωπότητα. καὶ γὰρ ἐκ δύο φύσεων ὁμολογοῦμεν τὸν Χριστὸν εἶναι μετὰ τὴν ἐνανθρώπησιν, ἐν μιᾶι ὑποστάσει καὶ ἑνὶ προσώπωι ἕνα Χριστόν, ἕνα υἱόν, ἕνα κύριον ὁμολογοῦντες. τοὺς δὲ παρὰ ταῦτα φρονεῖν αἱρουμένους ἀποκηρύττομεν τῆς ἁγίας συνόδου τῶν ἱερέων καὶ τοῦ πληρώματος τῆς ἐκκλησίας. καὶ ἕκαστος δὲ τῶν παρόντων θεοφιλεστάτων ἐπισκόπων τὴν ἑαυτοῦ γνώμην καὶ τὴν πίστιν αὐτοῦ κατατιθέσθω ἐπὶ τῆς πράξεως τῶν ὑπομνημάτων.

272 Καὶ ἐν τῶι ἀναγινώσκεσθαι οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Τί λέγουσιν οἱ εὐλαβέστατοι ἐπίσκοποι τῆς παρούσης ἁγίας συνόδου; οὕτως ἐκθέμενος τὴν πίστιν ὁ τῆς ὁσίας μνήμης Φλαβιανὸς ἔσωσεν τὴν ὀρθόδοξον καὶ καθολικὴν θρησκείαν ἢ τι περὶ αὐτὴν ἐσφάλη;

273 Ἥστινος φωνῆς Ἑλληνιστὶ ἑρμηνευθείσης διὰ Κωνσταντίνου τοῦ καθωσιωμένου σηκρηταρίου τοῦ θείου κονσιστωρίου

Πασκασῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος ἐπέχων τὸν ἀποστολικὸν θρόνον ἔφη·

L IIII 177 Ἀγνῶς καὶ ὁλοκλήρως τὴν πίστιν ἐξέθετο ὁ τῆς μακαρίας μνήμης Φλαβιανός, ἥτις πίστις καὶ ἔκθεσις συμφωνεῖ τῆι ἐπιστολῆι τοῦ μακαριωτάτου καὶ ἀποστολικοῦ ἀνδρὸς ἐπισκόπου Ῥώμης.

274 Ἀνατόλιος ὁ εὐλαβέστατος ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως εἶπεν· Ὁ μακάριος Φλαβιανὸς καλῶς καὶ ὀρθοδόξως τὴν τῶν ἁγίων πατέρων ἡμῶν πίστιν ἐξέέθετο.

Ἥστινος φωνῆς Ἑλληνιστὶ ἑρμηνευθείσης διὰ Κωνσταντίνου τοῦ καθωσιωμένου σηκρηταρίου τοῦ θείου κονσιστωρίου

275 Λουκίνσιος ὁ εὐλαβέστατος ἐπίσκοπος ἐπέχων τὸν τόπον τῆς ἀποστολικῆς καθέδρας ἔφη· Ἐπειδὴ τοῦ τῆς μακαρίας μνήμης Φλαβιανοῦ ἡ πίστις συμφωνεῖ μετὰ τοῦ ἀπο-

---

7 ταύτης ἕνεκα τῆς διαλαλιᾶς ὁ μὲν Φλαβιανὸς καθηιρέθη παρὰ Διοσκόρου ὡς δογματίσας παρὰ τὰ ὡρισμένα ἐν τῆι πρώτηι κατ' Ἔφεσον συνόδωι, Ἰουβενάλιος δὲ καὶ Θαλάσσιος καὶ Εὐστάθιος ἐπερωτηθέντες ἐν Χαλκηδόνι καλῶς ἔχειν ἐπήινεσαν. Διόσκορος δὲ ὡς μὴ συνθέμενος ταύτηι παρὰ τῶν τοποτηρητῶν τοῦ Ῥώμης ἐπισκόπου ἄξιος ἐκρίθη καθαιρέσεως, παρὰ δὲ [δὲ om. Smg] τῶν ἀρχόντων οὐ μόνον [μόνος Smg] αὐτὸς ὁ [ὁ om. Mmg] Διόσκορος, ἀλλὰ καὶ οἱ περὶ Ἰουβενάλιον καὶ Εὐστάθιον καὶ Θαλάσσιον [add. καὶ τοῖσ σὺν αὐτοῖσ Smg] MmgSmg

15 inscr. ἐν χαλκηδόνι M τῆσ ἐν χαλκηδόνι συνόδου Bmg

MBpSΦ

2 συνελθόντων κατὰ καιρούσ pS 3 διδάξασ S 5/6 γεννηθεισ ἀνάρχωσ B 8 καὶ¹ BΦ om. MpS 9 τὸν χν̄ ὁμολογοῦμεν B 10 ὁμολογοῦμεν M 11 παρὰ BΦ μὴ MpS ἱερῶν B 15 καὶ om. B καὶ ἐν τῶι ἀναγινώσκεσθαι om. pS 16 εἶπεν Mp ἁγίασ BΦ ἁγιωτάτησ Mp 18 αὐτῆσ S 19/20 ἥστινοσ — κονσιστωρίου pS om. MB; praecesserat Latina interlocutio 21 πασχασῖνοσ pS 23 ἀνδρὸσ καὶ S 24 ῥώμησ λέοντοσ B, tum pergunt ἥστινοσ φωνῆσ ἑλληνιστὶ ἑρμηνευθείσησ διὰ κωνσταντίνου τοῦ καθωσιωμένου σηκρηταρίου τοῦ θείου κονσιστορίου BΦ 28/29 ἥστινοσ — κονσιστωρίου pS om. MB post p. 115, 2 habet Φ; cf. quae 19/20 adnotaui 31 εἶπεν B μετὰ om. S

στολικοῦ θρόνου καὶ τῶν πατρικῶν παραδόσεων, δίκαιον τὴν ἁγιωτάτην συνόδον τὴν καταδίκην τὴν εἰς αὐτὸν ἀπὸ τῶν αἱρετικῶν ἐπενεχθεῖσαν εἰς αὐτοὺς ἀντιστρέψαι.

276 Μάξιμος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀντιοχείας Συρίας εἶπεν· Ὀρθοδόξως ὁ τῆς ὁσίας μνήμης ἀρχιεπίσκοπος Φλαβιανὸς καὶ συμφώνως τῶι θεοφιλεστάτωι καὶ ὁσιωτάτωι ἀρχιεπισκόπωι Λέοντι τὴν πίστιν ἐξέθετο καὶ πάντες αὐτὴν προθύμως δεχόμεθα.

277 Θαλάσσιος ὁ εὐλαβέστατος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· Ὁ τῆς μακαρίας μνήμης Φλαβιανὸς συνωιδὰ διελάλησεν τῶι τῆς μακαρίας μνήμης Κυρίλλωι.

278 Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀγκύρας Γαλατίας εἶπεν· Συντιθέμεθα καὶ ἀποδεχόμεθα τὴν τοῦ ὁσιωτάτου Φλαβιανοῦ ἐπὶ τῆι θρησκείαι διαλαλιάν. M VI 681

279 Εὐστάθιος ὁ εὐλαβέστατος ἐπίσκοπος Βηρυτοῦ εἶπεν· Ἠκολούθησεν ὁ θεοφιλέστατος τὴν μνήμην ἀρχιεπίσκοπος τῆς βασιλευούσης γεγονὼς Φλαβιανὸς τοῖς διδάγμασι τοῦ μακαριωτάτου καὶ ἁγιωτάτου πατρὸς ἡμῶν καὶ ἐπισκόπου τῆς Ἀλεξανδρέων γενομένου Κυρίλλου.

280 Οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Ὁ μάρτυς Φλαβιανὸς τὴν πίστιν καλῶς ἐξέθετο. ὁ ἀρχιεπίσκοπος Φλαβιανὸς τὴν πίστιν καλῶς ἐξέθετο.

281 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἀναγνωσθήτω τὰ λοιπὰ αὐτοῦ ῥήματα, καὶ οὕτως ἀποκρίνομαι· ἐν γὰρ τοῖς ἔξῆς εὑρίσκεται διαμαχόμενος ἑαυτῶι καὶ λέγων μετὰ τὴν ἕνωσιν δύο φύσεις.

282 Ἰουβενάλιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Σύμφωνα τοῖς εἰρημένοις τῶι μακαρίωι τὴν μνήμην Κυρίλλωι καὶ ὁ ἁγιώτατος ἐπίσκοπος Φλαβιανὸς εἶπεν, παρακαλοῦμεν δὲ ἀναγνωσθῆναι τὰ ἑξῆς, ἵνα σαφεστέρα ἡ διάνοια γένηται.

283 Οἱ ἀπὸ Παλαιστίνης εὐλαβέστατοι ἐπίσκοποι εἶπον· Τὰ αὐτὰ λέγομεν τῶι ὁσιωτάτωι ἀρχιεπισκόπωι Ἰουβεναλίωι.

284 Καὶ ἀναστὰς ὁ εὐλαβέστατος ἐπίσκοπος Ἰουβενάλιος ἅμα αὐτοῖς μετῆλθεν εἰς τὸ ἄλλο μέρος.

285 Καὶ ἀνεβόησαν οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι· Ὁ θεὸς καλῶς ἤνεγκέν σε, ὀρθόδοξε· καλῶς ἦλθες.

286 Πέτρος ὁ εὐλαβέστατος ἐπίσκοπος Κορίνθου εἶπεν· Ἐγὼ μὲν τὸ τηνικαῦτα οὐ παρήμην τῆι συνόδωι τῆι κατὰ Ἔφεσον (οὐδέπω γὰρ ἤμην [χάριτι Χριστοῦ] χειροτονηθεὶς ἐπίσκοπος), ἐκ δὲ τῶν ἀναγινωσκομένων εὑρὼν τὰ εἰρημένα παρὰ τοῦ τῆς μακαρίας μνήμης Φλαβιανοῦ ζῆλον ἔχοντα πρὸς τὰ ἐκτεθέντα παρὰ τοῦ τῆς ἁγίας μνήμης Κυρίλλου ὀκνῶ ἐπιλαβέσθαι, τὰ δὲ ὑπόλοιπα ἀναγινωσκόμενα τελεώτερόν με διδάξει.

287 Καὶ ἀναστὰς καὶ αὐτὸς μετῆλθεν εἰς τὸ ἄλλο μέρος.

288 Καὶ ἀνεβόησαν οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι· Ὁ Πέτρος τὰ Πέτρου φρονεῖ. ὀρθόδοξε, καλῶς ἦλθες. L IIII 180

289 Εἰρηναῖος ὁ εὐλαβέστατος ἐπίσκοπος Ναυπάκτου Ἑλλάδος εἶπεν· Κἀγὼ οὐ παρήμην

---

18 καίτοιγε ἐν τοῖς ἑξῆς ἐναντία οὐ φαίνεται ἑαυτῶι εἰρηκὼς Φλαβιανὸς ἢ μνημονεύσας δύ φύσεων μετὰ τὴν ἕνωσιν, καὶ δείκνυσιν ἡ ἐφεξῆς ταῦτα ἀνάγνωσις Mmg Smg

---

MBpSΦ

1/2 τὴν εἰσ αὐτὸν καταδίκην ἀπὸ S 3 Συρίας om. S 4 ὁσίας om. p 9 διαλαλιᾶ S 11 τῆ μνήμη B δόγμασι S 12 ὁσιωτάτου B 14 ἐξεβόησαν Bp 18 ἑξῆσ αὐτοῦ pS 21 μακαριωτάτω B τὴν μνήμην om. BS 23/24 θεοφιλεστάτω B 24 ἐπισκόπω B 29 τὸ om. B 30 χάριτι χῦ BΦ om. MpS et codex Acoemitanus Rustici χειροτονηθεὶς om. B 31 ὁσίασ B 32 ἐκφωνηθέντα B ὁσίασ B 33 ἐπιλαβέσθαι αὐτῶν B λοιπὰ B με om. B 36 τὰ τοῦ p ὁ ὀρθόδοξοσ S ἦλθεν S 37 Ναυπάκτου Ἑλλάδος Φ ναυπάκτου B ἑλλάδοσ pS ἑλάδοσ M 37/152, 1 κἀγὼ — μὲν Mp κἀγὼ μὲν οὐ παρήμην S κάγὼ οὐ παρήμην B

μὲν ἐν τῇι ἁγίαι συνόδωι τῇι κατὰ Ἔφεσον ὑπόγυον γενομένηι, ἀπὸ δὲ τῶν ἀρτίως ὑπαναγνωσθέντων ἡμῖν τοῦ τῆς ὁσίας μνήμης Φλαβιανοῦ διηγημάτων ὀκνῶ ἐπιλαβέσθαι αὐτοῦ, τὰ δὲ ὑπόλοιπα ἀξιοῦμεν ἀναγνωσθῆναι.

290 Οἱ ὑπόλοιποι εὐλαβέστατοι ἐπίσκοποι Ἑλλάδος εἶπον· Τὰ αὐτὰ περὶ τῶν ἀναγνωσθέντων καὶ ἡμεῖς διδάσκομεν. καὶ πάντες εἰς τὸ ἄλλο μετῆλθον μέρος.

291 Κύντιλλος καὶ Σώιζων καὶ οἱ λοιποὶ εὐλαβέστατοι ἐπίσκοποι Μακεδονίας καὶ Κρήτης εἶπον· Ἐν τῇι ἀναγνωσθείσηι διαλαλιᾶι τοῦ τῆς ὁσίας μνήμης Φλαβιανοῦ οὐδὲν ἀνακόλουθον εὑρίσκομεν, ἀξιοῦμεν δὲ τὰ ὑπόλοιπα ἀναγνωσθῆναι.

292 Νικόλαος ὁ εὐλαβέστατος ἐπίσκοπος Στοβῶν Μακεδονίας εἶπεν· Ἐπὶ μὲν τῆς προγεγραμμένης συνόδου οὐ παρήμην, ἀπὸ δὲ τῶν ἀναγνωσθέντων εὑρίσκω οὐδὲν ἐναντίον τῶν τυπωθέντων παρὰ τῶν μακαριωτάτων πατέρων καὶ τοῦ μακαριωτάτου Κυρίλλου εἰρηκότα τὸν τῆς μακαρίας μνήμης Φλαβιανόν.

293 Ἀθανάσιος ὁ εὐλαβέστατος ἐπίσκοπος Βουσίρεως Τριπόλεως τῆς κατὰ Αἴγυπτον
M VI 684 εἶπεν· Ἠκολούθησεν ταῖς ἐπιστολαῖς Κυρίλλου τοῦ ὁσιωτάτου καὶ ὁ ἁγιώτατος ἐπίσκοπος Φλαβιανός· καὶ γὰρ καλῶς ἐξέθετο τὴν πίστιν.

294 Αὐσόνιος ὁ εὐλαβέστατος ἐπίσκοπος Σεβεννύτου εἶπεν· Σύμφωνα τοῖς ἐκτεθεῖσιν παρὰ τοῦ τῆς ὁσίας μνήμης Κυρίλλου διελάλησεν καὶ ἐφρόνησεν ὁ ἁγιώτατος καὶ εὐλαβέστατος ἐπίσκοπος Φλαβιανός, καθὼς καὶ αἱ ἀναγνωσθεῖσαι ἐπιστολαὶ τοῦ ὁσιωτάτου Κυρίλλου περιέχουσιν.

295 Νεστόριος ὁ εὐλαβέστατος ἐπίσκοπος Φλαγωνέως εἶπεν· Ἀκολούθως τοῖς ἀναγνωσθεῖσιν τῇι πίστει τῶν ὑπομνημάτων καὶ τῇι ἐκθέσει ἣι ἐξέθετο ὁ τῆς μακαρίας μνήμης Κύριλλος, καὶ ὁ τῆς μακαρίας μνήμης Φλαβιανὸς ἐξέθετο.

296 Μακάριος ὁ εὐλαβέστατος ἐπίσκοπος Καβάσων εἶπεν· Κἀγὼ τὰ αὐτὰ λέγω· καλῶς γὰρ ἐξέθετο ὁ ὁσιώτατος ἐπίσκοπος Φλαβιανὸς τῇι πίστει τοῦ ἁγίου Κυρίλλου ἐξακολουθήσας.

297 Κωνσταντῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος Δημητριάδος Θεσσαλίας εἶπεν· Ὁ μὲν μητροπολίτης μου νόσωι κατεχόμενος ἔτι ἐστὶν κατὰ τὴν Ἑλενούπολιν, ἐγὼ δὲ κατὰ τὸ φρόνημα τῶν τριακοσίων δέκα καὶ ὀκτὼ φρονῶ καὶ συναινῶ τοῖς ἀναγνωσθεῖσιν ἀρτίως τοῦ μακαρίου Κυρίλλου καὶ εἰ φρονῶ ἑτέρως ἢ ποτε ἑτέρως ἐφρόνησα, ἀνάθεμά μοι. καὶ συναινῶ αὐτοῖς, ὡς συνήινεσεν τοῖς τοῦ μακαρίου Κυρίλλου καὶ Φλαβιανὸς ὁ τῆς μακαρίας μνήμης.

298 Εὐτύχιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀδριανουπόλεως παλαιᾶς Ἠπείρου, [καὶ] Κλάδεος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀγχιασμοῦ, Μάρκος ὁ εὐλαβέστατος ἐπίσκοπος Εὐροίας, Πελεγρῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος Φοινίκης καὶ Σωτήριχος ὁ εὐλαβέστατος ἐπίσκοπος Κερκύρας εἶπον· Ὁ μὲν ἁγιώτατος πατὴρ ἡμῶν Ἀττικὸς ὁ τῆς μητροπόλεως

MBpSΦ

1 ἁγίαι om. BS ὑπόγυον om. S 1/2 ἀναγνωσθέντων B 3 ἀναγνωσθῆναι BΦ ἀναγνωσθῆναι ἡμῖν MpS 4 τῆσ ἑλλάδοσ B 5 πάντες] αὐτοι B μέροσ μετῆλθον B 8 εὑρήκαμεν B 9 τωβέων pS 10/11 οὐδὲν — παρὰ] ἐναντίον οὐδὲν φρονήσαντα παρὰ τὰ ὑπὸ B 11 μακαρίων B μακαρίου SΦ^{ac} et duo codices Φ^{r} 12 εἰρημένα B 13 τῆσ B om. MpS 14/15 τὰ τοῦ ἁγιωτάτου ἐπισκόπου φλαβιανοῦ B 16 αὐξόνιοσ B 17 ἐλάλησε S 17/18 ἁγιώτατος — ἐπίσκοπος] θεοφιλέστατοσ B 18 καὶ om. B 19 ἐπέχουσιν S 20 φλαγωνέωσ MpSΦ^{r} φραγόνεωσ BΦ^{ac} 21 ἐκθέσει MΦ^{r} ἐκτεθείση p ἐκτεθείση πίστει S πίστει B 22 ἐξέθετο φλαβιανόσ p 23 μακάριοσ MpSΦ^{r} μάρκελλοσ BΦ^{ac} 24 ἁγιώτατοσ B ἁγιωτάτου B 27 Ἑλενούπολιν] ὁδὸν B δὲ om. S κατὰ om. pS 28 δεκαοκτὼ B 29 τοῦ μακαρίου] παρὰ S εἰ — ἐφρόνησα Φ εἰ φρονῶ ἑτέρωσ ἢ ἐφρόνησα MpS cf. Φ^{c}, εἰ ποτε ἑτέρωσ ἐφρόνησα B 30 ὡσ MpSΦ οἷσ M^{corr}B συνήνεσεν M^{corr}B σύνεισι pS καὶ om. S 32 εὐτύχιοσ MpSΦ εὐστόχιοσ M^{corr}B ἀνδριανουπόλεωσ S καὶ MB om. pSΦ 33 *Claudius* Φ ἀγχιεσμοῦ MpS 34 καὶ πελαγρίνοσ B *Peregrinus* Φ 35 Κερκύρασ] φοινίκησ p λυβίησ S ὁ — μητροπόλεως om. MpS

ἐπίσκοπος Νικοπόλεως πρὸ ὀλίγου ἀνεχώρησεν ἀρρωστήσας ἰσχυρῶς· ἡμεῖς δὲ τοσοῦτον κατατιθέμεθα ὅτι ταῖς ἀναγνωσθείσαις ἐπιστολαῖς ταῖς τοῦ μακαριωτάτου καὶ ἐν ἁγίοις πατρὸς ἡμῶν Κυρίλλου σύμφωνα καὶ ὁ μακάριος Φλαβιανὸς διελάλησεν, καὶ ἀξιοῦμεν τὰ ἑξῆς πάντων τῶν πεπραγμένων ἀναγνωσθῆναι. καὶ πάντες εἰς τὸ ἄλλο μέρος μετῆλθον.

299 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Φανερῶς διὰ τοῦτο L IIII 181
καθήρηται Φλαβιανός, ὅτι μετὰ τὴν ἕνωσιν δύο φύσεις εἶπεν. ἐγὼ δὲ χρήσεις ἔχω 6
τῶν ἁγίων πατέρων Ἀθανασίου Γρηγορίου Κυρίλλου ἐν πολλοῖς τόποις ὅτι οὐ δεῖ λέγειν μετὰ τὴν ἕνωσιν δύο φύσεις, ἀλλὰ μίαν σεσαρκωμένην τοῦ λόγου φύσιν. ἐγὼ μετὰ τῶν πατέρων ἐκβάλλομαι· ἐγὼ συνίσταμαι τοῖς τῶν πατέρων δόγμασιν. οὐ παραβαίνω ἕν τινι. καὶ τούτων τὰς χρήσεις οὐχ ἁπλῶς οὐδὲ ὡς ἔτυχεν, ἀλλ' ἐν βι- 10
βλίοις ἔχω. καθὼς δὲ πάντες ἤτησαν, κἀγὼ ἠξίωσα τὰ ὑπόλοιπα ἀναγνωσθῆναι.

300 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Τὰ ἑξῆς ἀναγινωσκέσθω.

Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀπὸ τοῦ αὐτοῦ σχεδαρίου ἀνέγνω

301 Ὁ θεοφιλέστατος ἐπίσκοπος Βασίλειος τῆς μητροπόλεως Σελευκείας εἶπεν· Τίς M VI 685
δύναται ταῖς τοῦ μακαρίου πατρὸς ἡμῶν Κυρίλλου μέμψασθαι φωναῖς; ὃς τὴν ἀσέβειαν 16
Νεστορίου μέλλουσαν ἐπικλύζειν τὴν οἰκουμένην ἐπέσχεν διὰ οἰκείας συνέσεως κἀκείνου διαιροῦντος εἰς δύο πρόσωπα καὶ δύο υἱοὺς τὸν ἕνα κύριον ἡμῶν καὶ θεὸν καὶ σωτῆρα Χριστὸν αὐτὸς ἔδειξεν ἐπὶ ἑνὸς προσώπου καὶ υἱοῦ καὶ κυρίου καὶ δεσπότου τῆς κτίσεως θεότητά τε γνωριζομένην τελείαν καὶ ἀνθρωπότητα τελείαν. ἀποδεχόμεθα τοίνυν 20
πάντα τὰ παρ' αὐτοῦ γεγραμμένα καὶ ἐπεσταλμένα ὡς ἀληθῆ καὶ τῆς εὐσεβείας ἐχόμενα καὶ προσκυνοῦμεν τὸν ἕνα κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν δύο φύσεσι γνωριζόμενον. τὴν μὲν γὰρ εἶχεν ἐν ἑαυτῷ προαιώνιον ὡς ὢν ἀπαύγασμα τῆς τοῦ πατρὸς δόξης, Hebr. 1. 3
τὴν δὲ ὡς ἐκ μητρὸς δι' ἡμᾶς γεννηθεὶς λαβὼν ἐξ αὐτῆς ἥνωσεν ἑαυτῷ καθ' ὑπόστασιν καὶ κεχρημάτικεν ὁ τέλειος θεὸς καὶ υἱὸς τοῦ θεοῦ καὶ τέλειος ἄνθρωπος καὶ υἱὸς ἀνθρώπου, 25
πάντας ἡμᾶς σῶσαι βουληθεὶς ἐν τῷι γενέσθαι κατὰ πάντα ἡμῖν παραπλήσιος πλὴν ἁμαρτίας. τοὺς δὲ ἐναντιουμένους τοῖς τοιούτοις δόγμασιν ἐχθροὺς τῆς ἐκκλησίας εἶναι φαμέν.

302 Ὁ θεοφιλέστατος ἐπίσκοπος Σέλευκος τῆς μητροπόλεως Ἀμασείας εἶπεν· Ἐπλή- 30
ρωσεν τὰς καρδίας ἡμῶν εὐφροσύνης τὰ ἀρτίως ἀναγνωσθέντα δόγματα τοῦ ἁγίου πατρὸς καὶ ἐπισκόπου γεγονότος Κυρίλλου καὶ ἡ σύνεσις τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου [ἡμῶν] Φλαβιανοῦ καὶ ἡ νῦν συγκατάθεσις τοῦ ἁγιωτάτου ἐπισκόπου Βασιλείου. ὅθεν ἀποστολικῶν καὶ ὀρθῶν καὶ εὐσεβῶν ὄντων τῶν τοιούτων δογμάτων, καὶ αὐτὸς συντίθεμαι καὶ συναινῶ καὶ τὸν μὴ φρονοῦντα οὕτως ἀναθεματίζω καὶ ἀλλότριον ἐγκρίνω τῆς ἐκκλησιαστικῆς καὶ ὀρθοδόξου συναφείας. πιστεύομεν γὰρ καὶ ἡμεῖς εἰς τὸν ἕνα 35

---

301 cf. 169. 176. 850

302 cf. 864

15—28. 35 — p. 118, 5 adfert Timotheus Aelurus f. 56

15 τῆσ ἐν κωνσταντινουπόλει [add. συνόδου B^{mg}]$M^{mg}B^{inc}$ post εἶπεν] ἐπὶ φλαβιανοῦ MpS

MBpSΦ

1 τῆσ νικοπόλεωσ Mp 2 μακαρίου B 3 καὶ om. S 4 πάντεσ οἱ ῥηθέντεσ S 7 ἁγιωτάτων B γρηγορίου καὶ S τοῖσ πολλοῖσ S 10 παραβαίνων τινὰ B χρήσεισ λέγομεν pS 11 ἤτησα B 12 εἶπεν Mp ἀναγνωσθήτω B 13 αὐτοῦ om. Mp 14 σχιδαρίου p 18 καὶ θῦ BΦ Tim. θῦ MpS 23 αὐτῶ pS ὢν om. B δόξησ τοῦ πρσ̄ B 26 ἡμᾶς om. pS 29 ἐπίσκοποσ om. B 30 εὐφροσύνησ τὰσ καρδίασ ἡμῶν B ὑπαναγνωσθέντα B 31 συναίνεσισ S 32 ἡμῶν Mp γεγονότοσ B om. Φ κατάθεσισ B ὁσιωτάτου B 33 εὐσεβῶν καὶ ὀρθῶν B 33/34 συντίθεμαι καὶ αὐτὸσ B 34 οὕτω φρονοῦντα S κρίνω B 35 εἰς om. B

κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ἐκ θεοῦ λόγον, τὸν ἐκ τοῦ φωτὸς φῶς, τὸν ἐκ τῆς ζωῆς ζωήν, ἐν δύο φύσεσιν μετὰ τὴν ἐνανθρώπησιν καὶ τὴν τῆς σαρκὸς τῆς ἐκ τῆς ἁγίας Μαρίας πρόσληψιν δογματίζεσθαι καὶ τὸν παρὰ ταῦτα φρονοῦντα ὡς ἀλλότριον τῆς ἐκκλησίας ἀποκηρύττομεν.

303 Ἡ ἁγία σύνοδος εἶπεν· Οὐδεὶς δύο λέγει τὸν κύριον μετὰ τὴν ἕνωσιν. οὐκ ἦν Ἀμασείας ἐπίσκοπος. τὸν ἀμέριστον μὴ μέριζε. ταῦτα Νεστόριος ἐφρόνησεν. οὕτω Νεστόριος ἐφρόνησεν. οὐκ ἦν Ἀμασείας ἐπίσκοπος. οὐκ ἦν Ἀμασείας, Σινώπης ἐστίν.

304 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Σιωπήσατε ὀλίγον· ἀκούσωμεν ἄλλων
L III 184 δυσφημιῶν. τί μεμφόμεθα Νεστορίῳ μόνῳ; πολλοὶ Νεστόριοί εἰσιν.

305 Ἰωάννης πρεσβύτερος καὶ πρῶτος νοταρίων εἶπεν· Ἐκ τῶν ἀναγινωσκομένων ἐκεῖνο ἐπισημαινώμεθα ὅτι πίστιν ἑτέραν παρὰ τὴν ἐκτεθεῖσαν ἐν τῇ Νικαέων καὶ
M VI 688 βεβαιωθεῖσαν ἐνταῦθα τὸ πρότερον ἐξέθεντο οἱ ταῦτα εἰπόντες.

306 Ὀλύμπιος ἐπίσκοπος Εὐάζων εἶπεν· Εἰ ἀρχὴν ἡ πίστις ἔχει ἐκ τῶν ὑπομνημάτων, οἱ δεδωκότες τὴν ἀρχὴν ἔστωσαν ἀνάθεμα.

307 Ὁ θεοφιλέστατος ἐπίσκοπος Σατορνῖνος τῆς Μαρκιανουπολιτῶν μητροπόλεως εἶπεν· Εἴ τις ἑτέρως φρονεῖ παρὰ τὰ ἀρτίως ἀναγνωσθέντα ἐπὶ τῆς ἁγίας ταύτης συνόδου, οὗτος κατὰ τοὺς τύπους τῶν αὐτῶν ἁγίων πατέρων ἀλλότριος ἤτω καὶ ἀκοινώνητος ἡμῖν ὡς μὴ ἐμμένων τοῖς καλῶς θεσπισθεῖσιν παρὰ τῶν ἁγίων πατέρων.

308 Ὁ θεοφιλέστατος ἐπίσκοπος Αἰθέριχος τῆς Σμυρναίων πόλεως εἶπεν· Καθὼς οἱ πατέρες οἱ παρόντες συνέθεντο, κἀγὼ συναινῶ καὶ συντίθεμαι καὶ πρὸ τούτου καὶ νῦν καὶ μετὰ ταῦτα καὶ εἰς τὸν μέλλοντα αἰῶνα.

309 Αἰθέριχος ἐπίσκοπος Σμύρνης εἶπεν· Ἐγὼ ταῦτα οὐκ εἶπον.

310 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Τί λέγει;

311 Ἰωάννης πρεσβύτερος καὶ πρῶτος νοταρίων εἶπεν· Πλαστοῦ ἐπιλαμβάνεται.

312 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Διδασκέτω ὁ εὐλαβέστατος ἐπίσκοπος Αἰθέριχος ἃ βούλεται.

313 Αἰθέριχος ἐπίσκοπος Σμύρνης εἶπεν· Αἰφνιδίως ἐπεισῆλθον ἐν Κωνσταντινουπόλει, προσέσχον δὲ τοῖς ἀκροαταῖς, εἶτα τοῦτον αὐτὸν τὸν μονάζοντα μετ' αὐτῶν, λέγει· κύρι, ὑπόγραψον. λέγω κἀγώ· τέως κἂν ἄφες ἴδωμεν· ἐπηκούσαμεν αὐτοῦ φανερά τινα. μετὰ ταῦτα λέγει· ἔκθου. ἐγὼ λέγω· ἐκθέσθαι οὐ δύναμαι. ἀληθῶς

303—306. 309—322 extant in Coll. Nouar. 10, 68—71. 74—87

305. 306. 303. 304 adfert Timotheus Aelurus f. 56b

5 ἐν ἐφέσῳ B^{mg} post εἶπεν] ἐπὶ διοσκόρου M

5 ἀνατροπὴ τοῦ ἐν δύο λέγεσθαι M^{mg}

16 ἐπὶ φλαβιανοῦ B^{mg} post 17 εἶπεν MpS 23 ἐπὶ διοσκόρου M^{mg} ἐπὶ διοσκόρου τῆσ ἐν χαλκηδόνι συνόδου B^{mg}

MB, p [usque ad 22], P [inde a 23], SΦ, Λ^{n} [5—15. 23—119, 14]

3 postulatur δογματιζόμενον, δογματιζομένην Tim. 5 μετὰ τὴν ἕνωσιν τὸν κν B ἕνωσιν] ἐνανθρώπησιν Tim. 7 οὕτω — ἐφρόνησεν om. B ἐφρόνει S οὐκ — ἐπίσκοπος om. Λ^{n} 8 Σινώπης ἐστίν i. e. Cynicus est 10 μόνῳ om. B 11 ἀναγνωσθέντων B 12 ἐπισημαινώμεθα Λ^{n}Φ^{r} ἐπισημαινόμεθα MpSB *adnotauimus* Φ^{ac} 13 τὸ om. B 14 ἔχει ἡ πίστισ B 16 σατορνίλοσ M 19 ὁρισθεῖσι B 20/21 οἱ παρόντεσ πρεσ S 25 πρεσβύτερος] ἐπίσκοποσ PS 29 τοῦτον — μονάζοντα] sc. Eutychen λέγει [sc. Flauianus] MPSΦΛ^{n} καὶ λέγει M^{corr}B 31 ἐγὼ δὲ B

μὲν οἶδα, ἀλλ' οὐ δύναμαι εἰπεῖν, πλὴν λέγω· εἴ τις οὐ πιστεύει καθὼς οἱ τριακόσιοι δέκα καὶ ὀκτὼ καὶ οἱ ἐν Ἐφέσωι, ἀνάθεμα ἔστω καὶ ὧδε καὶ εἰς [ἐκεῖνον] τὸν μέλλοντα αἰῶνα.

314 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ταῦτα οὖν τὰ ἀναγνωσθέντα πλαστά εἰσιν;

315 Αἰθέριχος ἐπίσκοπος Σμύρνης εἶπεν· Οὐκ οἶδα ἐγώ.

316 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Περαιτέρω τούτων οὐκ εἴρηκας;

317 Αἰθέριχος ἐπίσκοπος Σμύρνης εἶπεν· Οὔ.

318 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἐπήκουσας δὲ τῶν δῆθεν παρὰ σοῦ εἰρημένων;

319 Αἰθέριχος ἐπίσκοπος Σμύρνης εἶπεν· Ἐπήκουσα.

320 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Καὶ οὐκ εἴρηκας αὐτά;

321 Αἰθέριχος ἐπίσκοπος Σμύρνης εἶπεν· Οὔ.

322 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Δῆλα τὰ κατατεθέντα παρὰ τοῦ παρόντος· ὅθεν ἀναγινωσκέσθω τὰ ἑξῆς.

323 Καὶ ἐν τῶι ἀναγινώσκεσθαι Αἰθέριχος ὁ εὐλαβέστατος ἐπίσκοπος Σμύρνης ἀναστὰς εἶπεν· Τὰ πρῶτα συνεθέμην καὶ ὑπέγραψα μόνον. ἀπῆλθον· εὐθέως ἐκολλήθη μοι Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος καὶ λέγει· διὰ τί ὑπέγραψας κατὰ Εὐτυχοῦς; λέγω· ἐγὼ ὑπέγραψα ὡς πάντες οἱ πατέρες ἡμῶν· εἰ δέ ἐστίν τί ποτε ἄλλο, εἰπατέ μοι. λέγει· τί ὑπέγραψας; λέγω· ὡς προσήνεγκάν μοι, ὑπέγραψα. ἀνάθεμα, εἴ τις οὐ πιστεύει τοῖς τριακοσίοις δεκαοκτὼ καὶ ὡς ⟨οἱ⟩ ἐν Ἐφέσωι· οὗτος ἀνάθεμα ἔστω. ὕστερον τί ἔγραψαν, οὐκ οἶδα· ἐπὶ πάντων εἶπα. M VI 689

324 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἐνέγκηι δύο μάρτυρας.

325 Αἰθέριχος ὁ εὐλαβέστατος ἐπίσκοπος Σμύρνης εἶπεν· Ὡς Κύριλλος φρονῶ. L IIII 185

326 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Τίνος παρόντος ταῦτά σοι εἶπεν Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος;

327 Αἰθέριχος ὁ εὐλαβέστατος ἐπίσκοπος Σμύρνης εἶπεν· Ἐπὶ πάντων.

328 Θαλάσσιος ὁ εὐλαβέστατος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· Ταῦτα ἃ γέγραπται, εἶπες ἐκτὸς ἀνάγκης· τί θέλεις ἄρτι καταστρέφειν;

329 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Συκοφαντήσας οὐδὲν πάσχει; εἰ ἤμην καταγνωσθείς, οὐκ ἔπασχον;

Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀπὸ τοῦ αὐτοῦ σχεδαρίου ἀνέγνω

330 Τῶν Ῥωμαικῶν τούτων ἡ ἑρμηνεία Ἑλληνιστί ἐστι τὰ ἐπαγόμενα

Ὁ εὐλαβέστατος ἐπίσκοπος Οὐαλεριανὸς εἶπεν· Ἐγὼ ὁμολογῶ δύο γεννήσεις, ἐκ θείας καὶ ἐκ σαρκός, θείας μὲν ἐκ πατρός, σαρκὸς δὲ ἐκ μητρός· ἕνα καὶ τὸν αὐτὸν υἱόν

---

15 ἐν χαλκηδόνι $M^{mg}B^{mg}$

31 τῆσ ἐν κωνσταντινουπόλει B^{mg}

MBPSΦ

1/2 δεκαοκτὼ B 2 ἐκεῖνον MPΦ om. BSΛ^{n} 3 οὖν om. B 5 σμυρναίων B 6 περαιτέρω $M^{corr}B$ περετέρων M παρ' ἑτέρων PS τούτων om. P 8 δὲ om. B δῆθεν om. S 11 καὶ om. B 13 ἐκτεθέντα B 15 σμυρναίων B ἀναστὰς om. B 16 ὑπογράψας B μόνον καὶ PS om. B *abii Ephesiae* Φ^{r} 18 ἡμῶν] μου B 19 ὡς — ὑπέγραψα BΦ ὑπέγραψα ὡσ — μοι MPS 20 δέκα καὶ ὀκτὼ P ὡς οἱ Φ ὡσ MPB τοῖσ S οὗτος — ἔστω om. S ἐν ὑστέρω PS 21 ἔγραψαν BΦ ὑπέγραψαν MPS 23 Σμύρνης om. B 24 εἶπεν MP 26 Σμύρνης om. B 28 εἶπασ BS εἶπον P 29 Ἀλεξανδρείας om. B 32 σχιδαρίου P 33 τῶν — ἐπαγόμενα B τῶν — ἑρμηνεία ἐστὶ τὰ ἐπαγόμενα ἑλληνιστί PS om. M 34 οὐαλλεριανὸσ BΦ οὐαλέριοσ P οὐαλλέριοσ MS

θεοῦ, καθὼς πάντες ὥρισαν οἱ πατέρες· δύο γεννήσεις ἐν ἑνὶ προσώπωι. οὕτως ὁμολογῶ καθὼς οἱ πατέρες οἱ τριακόσιοι δεκαοκτὼ οἱ συναχθέντες ἐν τῆι Νικαέων καὶ ὡς ἡ ἁγία σύνοδος ἡ ἐν Ἐφέσωι ἐψηφίσατο καὶ ὁ τῆς μακαρίας μνήμης Κύριλλος ὁ τῆς Ἀλεξανδρέων μεγαλοπόλεως ἐπίσκοπος ὥρισεν, οὕτως πιστεύω καὶ ὁμολογῶ.

331 Ὁ θεοφιλέστατος ἐπίσκοπος Λογγῖνος τῆς Χερσονησιτῶν πόλεως εἶπεν· Τῆι ἁγίαι καὶ μεγάληι συνόδωι τῆι τῶν τριακοσίων δεκαοκτὼ τῆι συναχθείσηι ἐν τῆι Νικαέων ἐπακολουθῶν καὶ ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Κύριλλος ὁ ἐπίσκοπος τὸ δόγμα ἐν τῆι ἐπιστολῆι ἐξέθετο μετὰ πάσης ἀκριβείας. ὅθεν κἀγὼ τῆι τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου Φλαβιανοῦ συναινέσει καὶ τῶν θεοφιλεστάτων ἐπισκόπων συντίθεμαι, εἰδὼς μετὰ τὴν ἐνανθρώπησιν τὴν ἐκ δύο φύσεων προσκυνεῖσθαι θεότητα τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. τοὺς δὲ ἐναντιουμένους τῆι τοιαύτηι πίστει ἀλλοτρίους ἡγούμεθα τῆς εὐσεβοῦς πίστεως τῆς ἁγιωτάτης ἐκκλησίας.

332 Καὶ ἐν τῶι ἀναγινώσκεσθαι Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας
M VI 692 εἶπεν· Τὸ ἐκ δύο δέχομαι· τὸ δύο οὐ δέχομαι. ἀναγκάζομαι καὶ ἀναισχυντεῖν· περὶ ψυχῆς μοί ἐστιν ὁ λόγος.

333 Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπεν· Αὐτός με ἤδη ἐφόνευσας.

334 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἀπολογοῦμαι τῶι θεῶι καὶ ὧδε καὶ ἐκεῖ.

335 Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπεν· Καὶ τοῖς νόμοις, ὡς λέγεις οὖν; διὰ τί προσῆλθον; πάντως ἵνα δίκας σε ἀπαιτήσω· μὴ γὰρ προσαγορεύσων εἰσῆλθες ὧδε;

336 Τῶν Ῥωμαικῶν ἡ ἑρμηνεία Ἑλληνιστί ἐστι τὰ ἐπαγόμενα

Πασκασῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ἐπετρέπετο Φλαβιανῶι τῶι ἐπισκόπωι τούτου ἀκούοντος τοιαῦτα λαλεῖν οἷα καὶ οὗτος φθέγγεται;

337 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Ἀλλὰ ἐπὶ τοῦ παρόντος ἡ σύνοδος μετὰ δικαιοσύνης ἐπιτελεῖται.

338 Λουκίνσιος ὁ εὐλαβέστατος ἐπίσκοπος ἐπέχων τὸν ἀποστολικὸν θρόνον εἶπεν· Δικαία ἐστὶν ἡ σύνοδος· δοθήτω τούτωι κἀκείνωι δικαία ἀπόφασις.

Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀπὸ τοῦ αὐτοῦ σχεδαρίου ἀνέγνω

339 Ὁ θεοφιλέστατος ἐπίσκοπος Μελίφθογγος τῆς Ἰουλιοπολιτῶν εἶπεν· Κατὰ τὸν θεῖον
L IIII 188 ἀπόστολον κἂν ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ἡμῖν ἕτερόν τι παρὰ τὰ ἀρτίως
Gal. 1, 8 ἀνεγνωσμένα τῶν τε ἁγίων τῆς κατὰ Νίκαιαν συνόδου καὶ Ἔφεσον πατέρων, ἀνάθεμα

---

5 post εἶπεν [119, 34 apponi debebat] ἐπὶ φλαβιανοῦ $M^{mg}P$ 13 ἐν [τῆσ ἐν B^{mg}] χαλκηδόνι $M^{mg}PS^{mg}B^{mg}$ 31 [post εἶπεν MP] ἐπὶ φλαβιανοῦ MPS^{mg} ἐν κωνσταντινουπόλει B^{mg}

MBPSΦ

1 πάντες om. S *sic ergo* Φ 2 δέκα καὶ ὀκτὼ P οἱ καὶ B 3 καὶ ὡσ S 5 χερσονησητῶν MP, corr. M χερσονησιωτῶν B χερσονήσου S *chersonae* $Φ^{ac}$ *chersonensium ciuitatis* $Φ^{r}$ 6 τῆι^{r} om. B 7 ἐπακολουθῶ καὶ ὡσ S κύριλλοσ ὁ ἐπίσκοποσ BΦ^{cr} ἐπίσκοποσ κύριλλοσ MPΦ^{1} τὸ om. B 9 συναινέσει καὶ MPSΦ συναινῶ διαλαλιᾶ καὶ ταῖσ B 10/11 υἱοῦ τοῦ] αὐτοῦ P 13 ἀναγνωσθῆναι B 14 τὸ ἐν δύο^{2} [δυσὶν P]PS λέγω περὶ B 15 ἡμῖν B 16 δορυλλαίου MPSB, corr. M 17. 19 ὁ εὐλαβέστατος om. B 19 δορυλλαίου MPB, corr. M καὶ] *sed et* $Φ^{r}$ 21 post ὧδε habet 29. 30 βερονικιανόσ — ἀνέγνω et notam marginalem ἐν κωνσταντινουπόλει B 22 τῶν — ἐπαγόμενα cum nota marginali ἐν χαλκηδόνι B om. MPS 23 πασχασῖνοσ PS 25 καὶ — σύγκλητος om. B εἶπεν MP 26 ἐπιτέλλεται PS 28 ἐστὶν om. B ἡ ἀπόφασισ B 29. 30 hic om. B 30 σχιδαρίου P 31 ἡλιουπόλεωσ B 32 ὑμῖν P 33 τῆσ τῶν ἁγίων πρῶν τῶν κατὰ νίκαιαν ἁγίασ συνόδου καὶ τῶν κατ' ἔφεσον B 33 ἐφέσου MPS πατέρων om. S

ἔστω. καὶ οἱ μὴ ὁμολογοῦντες τὰς πρὸς ἑνότητα τὴν ἀληθινὴν συνενεχθείσας δύο φύσεις εἰς ἕνα καὶ τὸν αὐτὸν υἱὸν τοῦ θεοῦ, θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ, Χριστὸν Ἰησοῦν ἀνάθεμα ἔστωσαν· οἱ δὲ καινουργοῦντές τι παρὰ τὰς τῶν ἁγίων ἀποστόλων καὶ πατέρων ἐκθέσεις καὶ ταράσσοντες τὴν τοῦ θεοῦ ἐκκλησίαν βαστάσουσι τὸ κρίμα, οἵτινες ἂν ὦσιν. Gal. 5, 10

340 Ὁ θεοφιλέστατος ἐπίσκοπος Ἰουλιανὸς τῆς Κῶ εἶπεν· Οὐδεὶς τῶν εὖ φρονούντων ἐναντιωθῆναι δύναται τῇ ἐκτεθείσῃ πίστει παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι καὶ πάλιν παρὰ τῆς ἁγίας καὶ μεγάλης σύνοδου τῆς συγκροτηθείσης ἐν τῇ Ἐφεσίων μητροπόλει. ὁμολογοῦμεν τοίνυν τὰς δύο φύσεις ἐν ἑνὶ προσώπωι, δι' ὃ ἕνα υἱόν, ἕνα κύριον Ἰησοῦν Χριστόν. καὶ εἴ τις σατανικῇ μανίαι φερόμενος καὶ τῶι ἰδίωι λογισμῶι, ὥς γε νομίζει, ἐξακολουθῶν ἄλλο τι φρονεῖ παρ' ὃ παρὰ τῶν προηγησαμένων ἁγίων πατέρων παρειλήφαμεν, ἔστω τῆς ἐκκλησίας ἀλλότριος.

341 Καὶ ἐν τῶι ἀναγινώσκεσθαι Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἰδοὺ τούτου ἐπιλαμβάνομαι· μετὰ γὰρ τὴν ἕνωσιν δύο φύσεις οὐκ εἰσίν.

Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος ⟨τοῦ θείου κονσιστωρίου⟩ ἀπὸ τοῦ αὐτοῦ σχεδαρίου ἀνέγνω M VI 693

342 Ὁ θεοφιλέστατος ἐπίσκοπος Σάβας πόλεως Παλτοῦ εἶπεν· Ἐμάθομεν ἀκολουθεῖν τοῖς πατράσιν. καὶ γὰρ οἱ πατέρες ἡμῶν οἱ κατὰ Νίκαιαν οὐκ ἀφ' ἑαυτῶν ἐλάλησαν ⟨ἃ ἐλάλησαν⟩, ἀλλ' ὃ τὸ πνεῦμα τὸ ἅγιον ὑπηγόρευσεν. ὁμοίως καὶ ὁ θεοφιλέστατος καὶ ὁσιώτατος μακάριος Κύριλλος ἐκ πνεύματος ἁγίου ἐλάλησεν τὰ τῶν πατέρων καὶ ἐφθέγξατο. ἠκολούθησεν δὲ αὐτῶι καὶ ὁ ἀρχηγὸς τῆς Ἀνατολῆς ὁ θεοφιλέστατος Ἰωάννης ὁ ἐπίσκοπος τῆς Ἀντιοχείας· τούτωι δὲ ἠκολούθησεν καὶ ⟨ὁ⟩ πρῶτος διαλαλήσας, ὁ θεοφιλέστατος ἐπίσκοπος Βασίλειος. τοῦτο κἀγὼ φρονῶ καὶ ὁμολογῶ καὶ εἴ τις ἐν πάσηι τῆι οἰκουμένηι ταύτην τὴν πίστιν μὴ φρονεῖ, οὐ μόνον ἐμοὶ ἀλλότριος, ἀλλὰ καὶ πᾶσιν τοῖς ὀρθῶς πιστεύουσιν. παρακαλῶ δὲ τὴν ὑμετέραν ὁσιότητα τοῦτον τὸν τόμον καὶ εἰς τὴν Ἀνατολὴν πέμψαι καὶ ἀπαλλάξαι ἡμᾶς βλασφημίας, καὶ εἴ τις οὐχ ὑπογράφει εἰς τὸν τόμον, γένηται ἀλλότριος ἡμῶν.

343 Ὁ θεοφιλέστατος ἐπίσκοπος Θωμᾶς Οὐαλεντινιανουπόλεως εἶπεν· Ψυχωφελῶν ὄντων τῶν τῆς εὐσεβείας δογμάτων τῶν ἐκτεθέντων παρὰ τῆς ἁγίας συνόδου τῆς κατὰ τὴν Νικαέων συναθροισθείσης καὶ κατὰ τὴν Ἐφεσίων μητρόπολιν, οὕτως καὶ πεπιστεύκαμεν καὶ τοὺς ὑφ' ἡμᾶς διδάσκομεν λαοὺς καὶ τὸν μὴ οὕτως φρονοῦντα ἀλλότριον εἶναι συμψηφιζόμεθα τῆς ὀρθοδόξου ἐκκλησίας.

344 Ὁ θεοφιλέστατος ἐπίσκοπος Τρύφων πόλεως Χίου τῶν Νήσων εἶπεν· Κατὰ τὴν ἔκθεσιν τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι καὶ τοῦ μακαρίου καὶ ἐν ἁγίοις ἀρχιεπισκόπου Κυρίλλου οὕτως καὶ ἐπιστεύσαμεν καὶ πιστεύομεν καὶ τοὺς μὴ πιστεύοντας τοῖς δόγμασιν

340 adfert Timotheus Aelurus f. 56a

13 ἐν χαλκηδόνι $M^{mg}B^{mg}$, [post ἀναγινώσκεσθαι] PS

17 ἐπὶ φλαβιανοῦ $M^{mg}S^{mg}$, post ἀνέγνω P ἐν κωνσταντινουπόλει B^{mg}

M BPSΦ

1 ἀληθινὴν $M^{corr}B$ ἀλήθειαν MPS δύο om. B 2 θεὸν om. B ιν χν S 4 ἐὰν B 6 τῆς Κῶ om. PS 8 πάλιν om. S 9 δι' ὃ om. S 9/10 υἱόν, ἕνα om. B 11 νομίζω B παρὰ τὰ τῶν B 12 πατέρων ἃ B 15 τοῦ — κονσιστωρίου Φ om. MBPS 16 σχιδαρίου P 17 σάββασ B 18 κατὰ τὴν B 19 ἃ ἐλάλησαν $Φ^r$ om. MBPS$Φ^{ac}$ ἀλλ' ὃ Φ ἀλλὰ MBPS 20 καὶ μακαριώτατοσ B τῶν ἁγίων B 22 *quondam episcopus* Φ ἀντιοχέων B ὁ² Φ om. MBPS πρῶτος] *superius* Φ 23 τούτοισ S 24 ταύτη τῇ πίστει S 25 ὑμῶν S 26 πεμφθῆναι καὶ — ἀνατολὴν MPS 27 οὐκ ἀπογράφει PS ἡμῖν ἀλλότριος B 28 οὐαλεντινιανουπολιτῶν B 30 τὴν om. P 31 τὸν — λαὸν MPS 33 νήσων εἶπεν om. PS νησίων B 34 καὶ² BΦ τοῦ MPS 35 καὶ πιστεύομεν BΦ om. MPS

τῶν πατέρων ἀναθεματίζομεν καὶ ἀλλοτρίους τῆς ἁγιωτάτης ἐκκλησίας αὐτοὺς κρίνομεν.

345 Ὁ θεοφιλέστατος ἐπίσκοπος Τιμόθεος πόλεως Πριμοπόλεως εἶπεν· Τοῖς εὐσεβῶς
L IIII 189 καὶ ὀρθοδόξως θεσπισθεῖσιν παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν τῇ Νικαέων [τούτοις] καὶ ὁ τῆς μακαρίας μνήμης πατὴρ ἡμῶν Κύριλλος γενόμενος ἐπίσκοπος τῆς Ἀλεξ- 5
ανδρέων ἐξακολουθήσας δόγματα θεοφιλῆ παρέδωκεν ἡμῖν. τούτοις καὶ συντιθέμεθα καὶ συναινοῦμεν. ὅθεν ὁ τούτοις μὴ ἐξακολουθῶν ἔστω ἀλλότριος τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας.

346 Ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐδόξιος Βοσπόρου εἶπεν· Ὁ τρισμακάριος πατὴρ ἡμῶν Κύριλλος ἐξακολουθῶν τῇ ἐν Νικαίαι ἁγίαι καὶ μεγάλῃ συνόδῳ εὔδηλον 10
M VI 696 ἡμῖν ἐποίησεν περὶ τῆς τοῦ Χριστοῦ καὶ σωτῆρος ἡμῶν παρουσίας ὅτιπερ ὁ πρὸ τῶν
Col. 2, 14 αἰώνων θεὸς ὁ υἱὸς τοῦ πατρὸς ἐνηνθρώπησεν ἐπ' ἐσχάτων, ἵνα σχίσῃ τὸ καθ' ἡμῶν χειρόγραφον, καὶ ἄνθρωπον τέλειον ἀνέλαβεν διὰ τὴν ἡμετέραν σωτηρίαν. πᾶς οὖν ὁ μὴ συναινῶν τοῖς ἐκτεθεῖσιν παρὰ τῶν ἁγίων πατέρων ἑαυτὸν ἀλλοτριοῖ πάσης ἱερατικῆς κοινωνίας καὶ τῆς τοῦ Χριστοῦ παρουσίας. 15

347 Καὶ ἐν τῷι ἀναγινώσκεσθαι Εὐστάθιος ὁ εὐλαβέστατος ἐπίσκοπος Βηρυτοῦ εἶπεν· Ἄνθρωπον οὐκ ἀνέλαβεν, ἀλλ' ἄνθρωπος ἐγένετο· σάρκα δὲ ἀνέλαβεν.

Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀπὸ τοῦ αὐτοῦ σχεδαρίου ἀνέγνω

348 Ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐστόχιος πόλεως Δοκιμίου εἶπεν· Τὴν γενομένην 20
παρὰ τῆς ἁγίας συνόδου τῆς ἐν Νικαίαι τῶν ἁγίων πατέρων ἔκθεσιν καὶ τὰς ὑπαναγνωσθείσας ἡμῖν ἐπιστολὰς τοῦ ὁσιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου Κυρίλλου καὶ τοὺς ἐκτεθέντας κανόνας καὶ πίστιν παρὰ τῆς ἁγίας καὶ μεγάλης συνόδου τῆς ἐν Ἐφέσωι συμφωνοῦντα πάντα ἀλλήλοις εὕρομεν. τοιγαροῦν οὕτως καὶ πιστεύω καὶ ὁμολογῶ καὶ τὸν παρὰ ταῦτα φρονοῦντα ἀλλότριον κρίνω τῆς ἁγίας καθολικῆς ἐκκλησίας καὶ τῆς 25
τῶν ὀρθοδόξων πίστεως.

349 Ὁ θεοφιλέστατος ἐπίσκοπος Ἰουλιανὸς πόλεως Μωστήνης εἶπεν· Δήλων ὄντων καὶ ψυχωφελῶν τῶν ἀναγνωσθέντων ἡμῖν κανονικῶν γραμμάτων τῶν ἐκτεθέντων παρὰ τοῦ μακαριωτάτου καὶ ἐν ἁγίοις Κυρίλλου καὶ τῶν ἐν Νικαίαι καὶ ἐν Εφέσωι ἁγιωτάτων συνόδων, οὕτω κἀγὼ φρονῶ καὶ πιστεύω καὶ εἴ τις παρὰ ταῦτα φρονεῖ, ἀλλότριος ἔστω 30
τῆς ἁγιωτάτης ἐκκλησίας καὶ τῆς ὀρθῆς πίστεως.

350 Ὁ θεοφιλέστατος ἐπίσκοπος Κοσσίνιος πόλεως Ἱεροκαισαρείας εἶπεν· Ἐπακούσας τῶν ἀναγνωσθεισῶν ἐπιστολῶν τῶν ὁσίων πατέρων ἡμῶν καὶ τῶν πραχθέντων

9—13 adfert Timotheus Aelurus f. 56a

16 ἐν χαλκηδόνι [post εἶπεν] M, [post ἀναγινώσκεσθαι] PS τῆσ ἐν χαλκηδόνι Bmg 20 ἐπὶ φλαβιανοῦ Mmg ἐν κωνσταντινουπόλει Bmg

---

M BPSΦ

1 ἁγίασ B 3 πόλεως om. B τριμοπόλεωσ S εὐσεβέσι PS 3/4 ὀρθοδόξωσ — εὐσεβῶσ B 4 πιστευθεῖσι B κριθεῖσι S τούτοισ MBPS om. Φ 5 κύριλλοσ γενόμενοσ BΦ γενόμενοσ κύριλλοσ ὁ MP 7 μὴ τούτοισ MPS ἔσται B 8 θῦ BΦ χῦ MPS 9 εὐδόξιοσ ἐπίσκοποσ B 11 τὸ περὶ B σρσ ἡμῶν καὶ χῦ B 13 ἡμῶν S 14/15 κοινωνίασ ἱερατικῆσ B 18 ὁ om. M 19 σχιδαρίου P 24 ηὔρομεν MPS, corr. M 25 ἁγίασ BΦ ἁγίασ καὶ MP 27 μωστήνησ M μωστίνησ P μοστήνησ S μοτρώνησ B 28 τῶν²] καὶ S 29 τῶν BS τῆσ MP ἐν² om. S ἁγιωτάτων] ἁγίων ἡμῶν B 30 φρονῶ MSBΦ καὶ φρονῶ McorrP 31 ἁγιωτάτησ] τοῦ θῦ S ὀρθοδόξου B 32 σιγνοπόλεωσ PS σισίννιοσ πόλεωσ McorrB *cossinius* Φer *cossignius* Φr *cossegrius* Φa 33 ἁγίων B

ἐν τῇ Ἐφεσίων μητροπόλει κατὰ τοὺς ἁγίους κανόνας τοὺς ἐκτεθέντας ἐν τῇ Νικαέων πόλει, οὕτως φρονοῦμεν καὶ πιστεύομεν καὶ διδάσκομεν τὸν ὑφ' ἡμᾶς λαὸν καὶ εἴ τις ἕτερον φρονεῖ, ἀλλότριος ἔστω τῆς ἁγίας καθολικῆς ἐκκλησίας [τοῦ θεοῦ].

351 Ὁ θεοφιλέστατος ἐπίσκοπος Ἰωάννης πόλεως Οὐρκανῶν εἶπεν· Τοῖς ἀρτίως ἀναγνωσθεῖσιν καὶ πάλαι παρὰ τῶν ἐν Νικαίαι ἁγίων πατέρων ἐκτεθεῖσιν καὶ ὑπὸ τῶν ὁσίων ἐπισκόπων κηρυχθεῖσιν ὀρθοδόξως συντίθεμαι καὶ στοιχῶ, τὸν δὲ ἑτέρως φρονοῦντα ὡς παραφρονοῦντα καὶ ἀποστρέφομαι καὶ ἀλλότριον κρίνω τῆς ὀρθοδόξου πίστεως, χάριτι Χριστοῦ μετὰ πάντων τῶν ἁγίων πατέρων ἐρηρεισμένος.

352 Ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπεν· Ἐπειδὴ τινὲς τῶν θεοφιλεστάτων ἐπισκόπων τῶν ἐνδημούντων ταύτῃ τῇ βασιλευούσῃ πόλει ἢ δι' ἀσθένειαν ἢ ἀγνοήσαντες τὴν κλῆσιν τῆς ἁγίας συνόδου οὐ συνῆλθον, ἀξιῶ τοὺς ἀπολειφθέντας διὰ τοῦ M VI 697
εὐλαβεστάτου πρεσβυτέρου καὶ νοταρίου Ἀστερίου καὶ διὰ τῶν εὐλαβεστάτων διακόνων L IIII 192
καὶ νοταρίων ὑπομνησθῆναι ὥστε καὶ αὐτοὺς γνόντας τὰ πραχθέντα τὴν ἑαυτῶν γνώμην φανερὰν ποιῆσαι.

353 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Οἱ εὐλαβέστατοι νοτάριοι τοὺς ἀπολειφθέντας τῶν θεοφιλεστάτων ἐπισκόπων ὑπομνήσουσιν ὑπαναγινώσκοντες αὐτοῖς τὰ πραχθέντα ἐφ' ᾧι τε ἕκαστον καταθέσθαι τὴν οἰκείαν γνώμην.

354 ΤΡΙΤΗ ΠΡΑΞΙΣ. Προκαθεζομένου τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου ἡμῶν Φλαβιανοῦ καὶ συνεδρευούσης αὐτῶι τῆς ἁγίας σύνοδου αὖθις ἐν τῶι σηκρήτωι τοῦ ἐπισκοπείου, ἡμέραι δευτέραι, μηνὸς Νοεμβρίου πεντεκαιδεκάτηι ἐν ὑπατείαι τῇ προγεγραμμένηι

355 ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπεν· Τετάρτη σήμερον παρελήλυθεν ἡμέρα ἀφ' οὗ προσῆλθον τῇι ὑμετέραι ἁγιωσύνηι ἐξαιτῶν Εὐτυχῆ τὸν πρεσβύτερον 234. 238
καὶ ἀρχιμανδρίτην ἀπαντῆσαι εἰς τὴν ἁγίαν ὑμῶν σύνοδον ὀφείλοντα διελεγχθῆναι παρ' ἐμοῦ ὅτιπερ τὰ τῆς ὀρθοδοξίας δόγματα διέφθειρεν καὶ ἑτέρως φρονεῖ ἢ καθὼς πιστεύει ἡ καθολικὴ ἐκκλησία, καὶ ἀξιῶ τοὺς ἀποσταλέντας ἐξ ἐκείνου παρὰ τῆς ὑμετέρας ἁγιωσύνης ἐρωτηθέντας εἰπεῖν ποίας τετυχήκασιν παρ' αὐτοῦ ἀποκρίσεως.

356 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Λεγέτωσαν οἱ νοτάριοι τίνες εἰσὶν οἱ ἤδη ἀποσταλέντες.

357 Οἱ νοτάριοι εἶπον· Πρώην ἐκέλευσεν ἡ ὑμετέρα ἁγιωσύνη τὸν θεοσεβέστατον πρεσβύτερον καὶ ἔκδικον Ἰωάννην καὶ τὸν εὐλαβέστατον διάκονον Ἀνδρέαν παραγενέσθαι πρὸς τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ, καὶ πάρεισιν ἀμφότεροι.

358 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Στήτωσαν ἐπὶ τῆς ἁγίας συνόδου καὶ λεγέτω

---

18 Γ πρᾶξις [om. PS] ἐν κωνσταντινουπόλει ἐπὶ φλαβιανοῦ M^{mg}, [post 21 προγεγραμμένηι] PS

MBPSΦ

2 καὶ φρονοῦμεν καὶ B ἕτερον BΦ ἑτερόν τι MPS 3 ἁγίασ BΦ ἁγίασ καὶ MP ἐκκλησίας Φ ἐκκλησίασ τοῦ θῦ MP τοῦ θῦ ἐκκλησίασ B 4 οὐρκανῶν MPS *yrcanorum* $Φ^a$ *hyrcanorum* $Φ^{cr}$ πυρκάνων B 5 ὁσίων] ἁγίων B 6 κηρυχθεῖσιν] δεχθεῖσιν B ὀρθοδόξοισ P 8 πατέρων om. S 10 ἐν ταύτη B βασιλίδι B 10/11 ἀγνοοῦντεσ B 12 διὰ om. S 13 πεπραγμένα B αὐτῶν B 15 ἐπίσκοποσ φλαβιανὸσ BΦ 16 ὑπομνήσωσιν PS 17 ἰδίαν B 18 Τρίτη πρᾶξισ MS πρᾶξισ γ̄ τῶν ἐν κωνσταντινουπόλει συναχθέντων ἁγίων πρων B om. P 18/19 ἀρχιεπισκόπου ἡμῶν φλαβιανοῦ MPΦ$Λ^n$ ἀρχιεπισκόπου φλαβιανοῦ S φλαβιανοῦ ἐπισκόπου B 19 σεκρέτω PSB 20 ἐπισκόπου PS *die tertia* Coll. Nou. 10, 91 μηνὶ νοεμβρίω B ἐν om. B 22 ἐπίσκοποσ δορυλλαίου BΦ ἀναστὰσ ἐν μέσω εἶπεν B 23 εὐτυχῆν MPS, corr. M 24 ἡμῶν PS, corr. P ὡσ ὀφείλοντα B 25/26 ἡ — ἐκκλησία πιστεύει S 26 ἐξ ἐκείνου om. B ἵν' ἐκείνου S 28 ἀρχιεπίσκοποσ φλαβιανὸσ BΦ 28/29 δη ἀποσταλέντοσ M, corr. M διαποσταλέντεσ P ἀποσταλέντεσ S 30 θεοφιλέστατον B 32 εὐτυχῆν MP, corr. M 34 ἐπίσκοποσ MP 34/124, 1 καὶ — πρότερον om. S

πρότερον ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος Ἰωάννης εἰ ἀπῆλθεν ἐπὶ τῇι κλήσει τοῦ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς καὶ εἰ συντετύχηκεν αὐτῶι καὶ τί ἤκουσεν παρ' αὐτοῦ.

359 Ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος Ἰωάννης εἶπεν· Πρώην τοῦ θεοφιλεστάτου ἐπισκόπου Εὐσεβίου προσελθόντος ἐν συνεδρίωι τῇι ὑμετέραι ἁγιωσύνηι καὶ αἰτιασαμένου
225 τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ καὶ βιβλίον ἔγγραφον ἐπιδεδωκότος τὸ καταδηλοῦν νοσεῖν αὐτὸν τὰ τῶν αἱρετικῶν πάθη καὶ ἐξαιτήσαντος προσκληθέντα αὐτὸν ἐπὶ τῆς ὑμετέρας ἁγιωσύνης ἀπολογήσασθαι ἐπὶ τοῖς ἐπαγομένοις
M VI 700 αὐτῶι παρ' αὐτοῦ, πρόνοιαν ποιουμένη ἡ ὑμετέρα ἀπαραλόγιστος σοφία προσέταξεν διαβῆναι ἐμέ τε καὶ τὸν εὐλαβέστατον διάκονον Ἀνδρέαν πρὸς αὐτὸν ἐν τῇι μονῇι αὐτοῦ καὶ καλέσαι αὐτὸν ἀπολογησόμενον. τούτου δὲ γενομένου καὶ παραγενομένων ἡμῶν πρὸς αὐτὸν ἐν τῇι μονῇι αὐτοῦ τούς τε λιβέλλους αὐτῶι ὑπανέγνωμεν καὶ τὰ ἴσα αὐτῶι δεδώκαμεν καὶ τὸν αἰτιασάμενον κατεδηλώσαμεν καὶ κατεμηνύσαμεν αὐτῶι τὴν κλῆσιν καὶ τὴν ἀπολογίαν τὴν ἐπὶ τῆς ὑμετέρας ἁγιωσύνης. ὁ δὲ τὸ μὲν ἀπαντῆσαι καὶ ἀπολογήσασθαι παντελῶς ἀπηρνήσατο, εἰρηκὼς τοῦτο προωρίσθαι αὐτῶι καὶ ὅρωι τινὶ κεκρατηκέναι ἀπ' ἀρχῆς τὸ μηδαμῶς ἀλλαχόσε ἀποβαίνειν αὐτὸν τῆς ἑαυτοῦ
L IIII 193 συνοδίας, τρόπωι δέ τινι ὡς ἐν τάφωι διατρίβειν ἐν τῇι μονῇι· γνωσθῆναι δὲ τῇι ὑμετέραι ἁγιωσύνηι δι' ἡμῶν ἐξήιτησεν ὅτιπερ ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος ἐχθρὸς αὐτῶι πάλαι τυγχάνων λοιδορίας καὶ ὕβρεως χάριν ταύτην τὴν κατηγορίαν κατ' αὐτοῦ ἐποιήσατο. ἕτοιμον γὰρ ἑαυτὸν εἶναι ἔφασκεν ταῖς ἐκθέσεσιν τῶν ἁγίων πατέρων τῶν τε ἐν Νικαίαι καὶ ἐν Ἐφέσωι τὴν σύνοδον ποιησαμένων συντίθεσθαι καὶ ὑπογράφειν ταῖς ἑρμηνείαις αὐτῶν ὡμολόγει, εἰ δέ που τύχοι τι παρ' αὐτῶν ἔν τισιν λέξεσιν ἢ διασφαλθὲν ἢ διαπλανηθέν, τοῦτο μήτε διαβάλλειν μήτε καταδέχεσθαι, μόνας δὲ τὰς γραφὰς ἐρευνᾶν ὡς βεβαιοτέρας οὔσας τῆς τῶν πατέρων ἐκθέσεως. μετὰ δὲ τὴν ἐνανθρώπησιν τοῦ θεοῦ λόγου, τουτέστιν μετὰ τὴν γέννησιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μίαν φύσιν προσκυνεῖν καὶ ταύτην θεοῦ σαρκωθέντος καὶ ἐνανθρωπήσαντος. καὶ βιβλίον τι τοιοῦτον προκομίσας ὑπανεγίνωσκεν, προσετίθει δὲ ὅτι λοιδορίας τινός, ὡς ἔφη, λεχθείσης κατ' αὐτοῦ ὡς αὐτοῦ εἰρηκότος ὅτι γε δὴ ἐξ οὐρανοῦ τὴν σάρκα ὁ θεὸς λόγος κατενήνοχεν, αὐτὸς ἀνεύθυνος τυγχάνει τῆς τοιαύτης λοιδορίας. τὸ δὲ ἐκ δύο φύσεων ἑνωθεισῶν καθ' ὑπόστασιν γεγενῆσθαι τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν μήτε μεμαθηκέναι ἐν ταῖς ἐκθέσεσιν τῶν ἁγίων πατέρων μήτε καταδέχεσθαι, εἰ τύχοι τι αὐτῶι τοιοῦτο παρά τινος ὑπαναγινώσκεσθαι, διὰ τὸ τὰς θείας γραφάς, ὡς ἔλεγεν, ἀμείνονας εἶναι τῆς τῶν πατέρων διδασκαλίας. καὶ ταῦτα λέγων ὡμολόγει τέλειον θεὸν εἶναι καὶ τέλειον ἄνθρωπον τὸν γεννηθέντα ἐκ τῆς παρθένου Μαρίας μὴ ἔχοντα σάρκα ὁμοούσιον ἡμῖν. τοῦτο δὲ ἐμοὶ διαλεγόμενος εἶπεν.

360 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ταῦτα αὐτὸς μόνος ἐπήκουσας ἢ καὶ ὁ ἅμα
M VI 701 σοι ἀποσταλεὶς διάκονος Ἀνδρέας;

361 Ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος Ἰωάννης εἶπεν· Ἐν ὧι ταῦτά μοι ἐνε-

---

33. 34 adfert Timotheus Aelurus f. 56b

359—361 iterum lecta sunt infra 620. 643, cf. etiam 648

22—24 cf. infra 620. 362. 363 iterum lecta sunt infra 665

MBPSΦΛn

1 πρῶτος B 2 συνέτυχεν B 5 ἐπισκόπου om. B συνελθόντος S 6 εὐτυχῆν MPS, corr. M 7 τὸ om. B 11 ἀπολογησάμενον S 12 ὑπανέγνωμεν αὐτῶ B 12 13 δεδώκαμεν αὐτῶ B 13 αἰτησάμενον P 18 αὐτοῦ B 21 τε om. B 22 ὁμολογῶν PS 23 μηδὲ — μηδὲ MPS δέχεσθαι PS 27 προσκομίσας MPS τινὰς PS ὡς ἔφην PS om. Φ 27/28 λεχθείσας PSΦ 29 ὡς αὐτὸς MPS ἀναίτιος τυγχάνοι B 30 γεγεννῆσθαι Pcorr Φmg 31 τι αὐτῶι] τινὶ αὐτῶν B 33 ὁμολογεῖ PS θῦ τέλειον B 36 ἤκουσας S

τέλλετο εἰς τὸ ἀναγαγεῖν τῇ ὑμετέραι ὁσιότητι, παρῆν καὶ ὁ εὐλαβέστατος διάκονος Ἀνδρέας.

362 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Λεγέτω καὶ ὁ εὐλαβέστατος διάκονος Ἀνδρέας εἰ ταῦτα ἐπήκουσεν παρὰ τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς λεγόμενα.

363 Ὁ εὐλαβέστατος διάκονος Ἀνδρέας εἶπεν· Κατὰ τὴν κέλευσιν τῆς ὑμετέρας ἁγιωσύνης ἀπήλθομεν πρὸς τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ καὶ διαλεχθέντες αὐτῶι ταῦτα παρ' αὐτοῦ ἠκούσαμεν ἃ καὶ ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος Ἰωάννης ἤδη κατέθετο.

364 Ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος Ἰωάννης εἶπεν· Ἐν αὐτῶι τῶι καιρῶι τῆς διαλέξεως τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς, ὅτε ταῦτα ἡμῖν ἐνετέλλετο ἀναγαγεῖν τῇ ὑμετέραι ἁγιωσύνηι, καὶ ὁ εὐλαβέστατος διάκονος τοῦ θεοφιλεστάτου ἐπισκόπου Βασιλείου ἐκεῖσε παρὼν ἐτύγχανεν καὶ ἐπήκουσεν τῶν λεγομένων, δι' ὃ ἀξιῶ κληθέντα αὐτὸν ἐρωτᾶσθαι ὅ τι γε δὴ τούτων ἐπήκουσεν.

365 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Λεγέτωσαν οἱ εὐλαβέστατοι νοτάριοι εἰ ὁ διάκονος ὁ συνὼν τῶι θεοφιλεστάτωι ἐπισκόπωι Βασιλείωι ὁ καὶ μνημονευθεὶς παρὰ τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἐκδίκου Ἰωάννου πάρεστιν ἐνταῦθα.

366 Οἱ νοτάριοι εἶπον· Πάρεστιν ἐνταῦθα ὁ συνὼν τῶι θεοφιλεστάτωι ἐπισκόπωι Βασιλείωι τῶι καὶ συνεδρεύοντι τῇ ὑμετέραι ὁσιότητι.

367 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Στήτω ἐν μέσωι.

368 Καὶ μετὰ τὸ στῆναι ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Τίς λέγηι; L IIII 196

369 Καὶ εἶπεν· Ἀθανάσιος.

370 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ποίου βαθμοῦ τυγχάνεις ἐκκλησιαστικοῦ;

371 Ἀθανάσιος εἶπεν· Διάκονός εἰμι.

372 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ποίας πόλεως;

373 Ἀθανάσιος διάκονος εἶπεν· Σελευκείας τῆς ὑπὸ τὸν ἁγιώτατον ἐπίσκοπον Βασίλειον.

374 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Λέγε τί ἀκήκοας παρόντων τῶν εὐλαβεστάτων Ἰωάννου τοῦ πρεσβυτέρου καὶ ἐκδίκου καὶ Ἀνδρέου τοῦ διακόνου παρὰ τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς περὶ τῆς πίστεως.

375 Ἀθανάσιος διάκονος εἶπεν· Ταῦτα ἤκουσα ἅπερ καὶ ὁ θεοφιλέστατος πρεσβύτερος καὶ ἔκδικος Ἰωάννης κατέθετο καὶ ὁ εὐλαβέστατος διάκονος Ἀνδρέας.

376 Ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπεν· Ἐξαρκεῖ μὲν τὰ διηγορευμένα παρὰ τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἐκδίκου Ἰωάννου καὶ τοῦ εὐλαβεστάτου διακόνου Ἀνδρέου καὶ ἡ γεγενημένη κατάθεσις παρὰ Ἀθανασίου τοῦ εὐλαβεστάτου διακόνου τῆς κατὰ Σελεύκειαν ἁγίας ἐκκλησίας δηλῶσαι ὅπερ ἔχει ἀσεβὲς φρόνημα καὶ ὑπεναντίον ταῖς ἐκθέσεσιν τῶν ἁγίων πατέρων, πλὴν δέομαι τῆς ὑμετέρας ἁγιωσύνης καὶ πάλιν δεύτερον αὐτὸν κληθῆναι· ἑτοίμως γὰρ ἔχω διελέγχειν αὐτὸν διὰ πολλῶν μαρτύρων M VI 704 κακῶς φρονήσαντα καὶ φρονοῦντα καὶ διδάσκοντα.

377 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Γένοιτο αὐτὸν παραγενόμενον καὶ ἐπιγνόντα

---

365 denuo incipit [cf. supra 225. 230] antiquissima uersio Latina [Λ^n] ex ipsis Gestis Synodi Constantinopolitanae desumpta, quae extat in Collectione Nouariensi 2 [uol. II 1 p. 3 sq.]

MBPSΦ, Λ^n [inde a 15]

1 ὑμῶν S 5 λεγόμενα om. S 7 εὐτυχῆν MPS, corr. M 10 Ὁ — εἶπεν om. PS 13/14 τῶν λεγομένων ἐπήκουσε S ἤκουσε τῶν λεγομένων B 16 εὐλαβεστάτω B ὁ καὶ] καὶ ὁ P 18 εὐλαβεστάτω B 20 εἰσ μέσον B 22 καὶ BΦΛ^n ὁ δὲ MPS 26 διάκονοσ BΦΛ^n om. MPS 28 τοῦ¹ om. B 29 τῆς om. P 30 ὁ διάκονοσ MS, corr. M, ὁ εὐλαβέστατοσ διάκονοσ P καὶ] κατέθετο B 31 καί²] δὲ καὶ B 34 γενομένη B διακόνου om. P 35 ἁγίασ BΦ ἁγιωτάτησ MP ἔχει εὐτυχὴσ ὁ πρεσβύτεροσ B 38 φρονήσαντα καὶ om. SΛ^n

τὸ ἑαυτοῦ πταῖσμα εἰς μετάνοιαν ἐλθεῖν, ἐπείπερ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς χαίρει
cf. Mt. 18, 12 ἐπὶ τῇι σωτηρίαι τῶν ἀπολλυμένων καὶ περινοστῶν αὐτὸς πρῶτος ἐπιζητεῖ τὸ πλανώμενον πρόβατον. δι' ὃ καὶ αὖθις ἀποσταλέντες Μάμας καὶ Θεόφιλος οἱ εὐλαβέστατοι πρεσβύτεροι ὑπομνήσουσιν αὐτὸν ἀποδιδόντες αὐτῶι τὸ παρ' ἡμῶν ἀποσταλὲν αὐτῶι τῆς κλήσεως γράμμα ἐφ' ὧι τε καταλαβεῖν τὴν ἁγίαν σύνοδον σκανδαλισθεῖσαν οὐ μόνον ἐκ τῶν ἐπιδοθέντων κατ' αὐτοῦ κατηγορικῶν λιβέλλων παρὰ Εὐσεβίου τοῦ θεοφιλεστάτου ἐπισκόπου, ἀλλὰ γὰρ καὶ ἐκ τῆς γενομένης καταθέσεως ὡς κακῶς φρονοῦντος αὐτοῦ καὶ ἐμμένοντος παρὰ Ἰωάννου τοῦ θεοσεβεστάτου πρεσβυτέρου καὶ ἐκδίκου καὶ Ἀνδρέου καὶ Ἀθανασίου τῶν εὐλαβεστάτων διακόνων, εἴ πως ἐλθὼν καὶ ἐξεμέσας τὴν προτέραν αὐτοῦ δυσσέβειαν καὶ ἐπιγνοὺς τὴν ὀρθὴν πίστιν καὶ τὴν ἔκθεσιν τῶν ἁγίων πατέρων ἡμῶν συγγνώμης ἀξιωθείη τῆς πρεπούσης παρ' ἡμῶν δίδοσθαι τοῖς εἰς μετάνοιαν ὁρῶσιν.

378 Ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπεν· Καταξιώσηι ἡ ὑμετέρα ἁγιωσύνη κελεῦσαι ἀναγνωσθῆναι πρότερον καὶ τὸ ὑπαγορευθὲν παρὰ τῆς ἁγίας συνόδου τῆς κλήσεως γράμμα, ὥστε καὶ αὐτὸ ἐμφέρεσθαι τοῖς ὑπομνήμασιν.

379 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ἀναγινωσκέσθω καὶ ἐνταττέσθω τῆι πίστει τῶν ὑπομνημάτων.

380 Ἡ ἁγία καὶ μεγάλη σύνοδος ἡ κατὰ θεοῦ χάριν ἐνδημοῦσα ἐν τῆι φιλοχρίστωι καὶ
L IIII 197 βασιλευούσηι Κωνσταντινουπόλει Ῥώμηι τῶι εὐλαβεστάτωι πρεσβυτέρωι καὶ ἀρχιμανδρίτηι Εὐτυχεῖ. Καὶ νῦν δευτέραι σε κλήσει ταύτηι καλοῦμεν διὰ Μάμα καὶ Θεοφίλου τῶν εὐλαβεστάτων πρεσβυτέρων ἐπὶ τῶι ἀπαντῆσαι ἀνυπερθέτως ἀπολογησόμενον τῆι ἁγίαι συνόδωι ἐγκαλούμενον παρὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου Εὐσεβίου ὡς ἀλλότρια τῆς πίστεως φρονήσαντα καὶ φρονοῦντα καὶ προσδιαλεγόμενον πρός τινας. ἦκε τοίνυν εἰς τὸ συνέδριον μηδὲν ἀναβαλλόμενος, ἵνα μὴ ὡς ἀποφεύγων τὸν κατὰ πρό-
M VI 705 σωπον ἔλεγχον ὑποπέσηις τοῖς ἐκ τῶν θείων κανόνων ἐπιτιμίοις. οὐ γὰρ εὐπρόσωπός ἐστιν ἀπολογία λέγειν σε κεκρικέναι μὴ προιέναι τοῦ μοναστηρίου τὸν περὶ τηλικούτων κατηγορούμενον.

381 Ἔτι καθεζομένης τῆς ἁγίας συνόδου καὶ ἐκδεχομένης Μάμαν καὶ Θεόφιλον τοὺς εὐλαβεστάτους πρεσβυτέρους τοὺς ἀποσταλέντας καλέσαι Εὐτυχῆ τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην ἀναγινωσκομένων τε αὐτοῖς τῶν ἐκθέσεων περὶ τῆς πίστεως τῶν ἁγίων πατέρων, ἐξαναστὰς ἐν μέσωι ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπεν· Οὐδὲν ἀτόλμητον τῶι εἰς θεὸν δυσσεβήσαντι καὶ ἀλλότρια τῆς ὀρθῆς πίστεως φρονήσαντι προπετῶς πάντα ποιεῖν. ἔγνων γὰρ ὡς ὅτι Εὐτυχὴς ὁ πρεσβύτερος καὶ ἀρχιμανδρίτης τόμον ἀπέστειλεν εἰς τὰ μοναστήρια καὶ εἰς στάσιν διεγείρει μοναχούς. καὶ ἐπειδὴ τοῦτο αὐτὸ πρὸς ἀσφάλειαν τῆς ἐκκλησίας καὶ τῆς ἁγίας συνόδου συμβάλλεται τὸ περιεργασθῆναι τὸ τοιοῦτο καὶ γνωσθῆναι ὁποῖα ἤδη τυρεύει καὶ κατασκευάζει ἐπισύστασιν ποιούμενος, ἀξιῶ ἐνταῦθα ὄντα τὸν πρεσβύτερον τὸν ἐν τῶι μαρτυρίωι τοῦ Ἑβδόμου εἰπεῖν εἴ γε ἀπέστειλε τόμον καὶ ἐποίησεν ὑπογραφὰς γενέσθαι.

---

19 [4 B^{mg}] κλῆσισ δευτέρα εὐτυχοῦσ M^{mg}B^{mg}

MBPSΦΛ^{n}

1 ἦκειν B 2 τῆι om. B ἐπιζητεῖ PSΦΛ^{n} ἐπεζήτει MB 4/5 τὰ — ἀποσταλθέντα — γράμματα S 6 κατηγορητικῶν B 8 θεοφιλεστάτου B 11 ἡμῶν om. SΛ^{n} 12 καταξιώσηι ΦΛ^{n} καταξιώσει MBPS 15 ἀναγνωσθήτω B 17 χάριν θῦ B καὶ om. B 18 Ῥώμηι om. S 19 σε om. S ταύτηι om. B 20 τὸ P ἀπολογησάμενον PS 21 εὐσεβίου τοῦ ἐπισκόπου B 22 πρόσ τινασ MPSΦ τισὶν B 24 ὑποπέσοισ MPSB, corr. M ἀπρόσωποσ S 25 τῶ μοναστηρίω PS 27 μάμαντα B 28 εὐτυχῆν MPS, corr. M εὐλαβέστατον om. B 29/30 τῶν περὶ πίστεωσ ἐκθέσεων B 30 ἐν μέσω BΦ^{r}Λ^{n} ἐκ μέσου MPSΦ^{ac} 31 ἀσεβήσαντι B ὀρθοδόξου B 35 περιεργάζεσθαι PS τὸ^{2} — γνωσθῆναι om. B τὸ τοιοῦτον P τῶ τοιούτω S 36/37 τῶ ἑβδόμω B 37 εἴ γε] εἴ τε P εἶπ' S

382 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ἐνταῦθα πάρεστι περὶ οὗ ταῦτα κατέθου;
383 Οἱ νοτάριοι εἶπον· Πάρεστιν.
384 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Στήτω ἐν μέσωι.
385 Καὶ στάντος αὐτοῦ ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Τίς λέγηι;
386 ὃ δὲ εἶπεν· Ἀβράμιος.
387 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ποίωι βαθμῶι τετίμησαι;
388 Ἀβράμιος εἶπεν· Πρεσβύτερός εἰμι ἐν τῶι Ἑβδόμωι ὑπὸ τὴν σὴν ὁσιότητα.
389 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ἐπήκουσας ὧν κατέθετο ὁ θεοσεβέστατος ἐπίσκοπος Εὐσέβιος;
390 Ἀβράμιος εἶπεν· Ναί, τῶν ποδῶν σου.
391 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Εἰπὲ ποῖα ταῦτα;
392 Ἀβράμιος πρεσβύτερος εἶπεν· Μανουήλιος ὁ πρεσβύτερος καὶ ἀρχιμανδρίτης ἀπέστειλέν με πρὸς τὸν πρεσβύτερον Ἀστέριον ἀναγγεῖλαι αὐτῶι ταῦτα ὅτι Εὐτυχὴς ὁ πρεσβύτερος καὶ ἀρχιμανδρίτης ἔπεμψεν αὐτῶι τόμον περὶ τῆς πίστεως καὶ ἔπειθεν αὐτὸν ὑπογράψαι εἰς αὐτόν. καὶ ταῦτα ἐδήλωσεν, ἵνα τῆι ὑμετέραι ὁσιότητι ἀπαγγείληι ὁ πρεσβύτερος Ἀστέριος.
393 Ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπεν· Ἐπειδὴ οὐκ ἄχρι τοῦ μοναστηρίου Μανουηλίου τοῦ πρεσβυτέρου τοῦτο ἂν ἐτόλμησεν ποιῆσαι, ἀξιῶ πεμφθῆναι εἰς τὰ ἄλλα μοναστήρια καὶ μαθεῖν πότερον κἀκεῖ ἀπέστειλεν τόμον εἰς τὸ ὑπογράψαι ὡς ἀθετουμένης τῆς πίστεως ἢ οὔ. L IIII 200 M VI 708
394 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Κατὰ τὰς αἰτήσεις τοῦ θεοφιλεστάτου ἐπισκόπου Εὐσεβίου διαβήσονται εἰς τὰ μοναστήρια, εἰς μὲν τὰ ἐν τῆι πόλει Πέτρος ὁ εὐλαβέστατος πρεσβύτερος καὶ Πατρίκιος ὁ εὐλαβέστατος διάκονος, εἰς δὲ τὰ πέραν ἐν Συκαῖς Ῥητόριος πρεσβύτερος καὶ Εὐτρόπιος διάκονος, εἰς δὲ τὰ ἐν Χαλκηδόνι Παῦλος καὶ Ἰωάννης οἱ πρεσβύτεροι ἐπὶ τῶι γνῶναι παρ' αὐτῶν εἰ ἀπεστάλη αὐτοῖς τόμος παρὰ τοῦ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς πείθοντος αὐτοὺς ἢ ὑποτιθεμένου καθυπογράψαι.
395 Καὶ τούτων λεγομένων παρὰ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου, Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Οἱ ἀπεσταλμένοι τήμερον παρὰ τῆς ὑμετέρας ἁγιωσύνης εὐλαβέστατοι πρεσβύτεροι Μάμας καὶ Θεόφιλος πρὸς τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ παραγεγόνασιν.
396 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Λεγέτωσαν οἱ εὐλαβέστατοι πρεσβύτεροι οἱ διακονησάμενοι τοῖς δόξασιν τῆι ἁγίαι συνόδωι τί ἀκηκόασιν παρὰ τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς καὶ εἴπερ ἑτοίμως ἔχει παραγενέσθαι εἰς τὸ συνέδριον τῆς ἁγίας ταύτης συνόδου.
397 Ὁ εὐλαβέστατος πρεσβύτερος Μάμας εἶπεν· Καταλαβόντες τὸ μοναστήριον τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς εὕρομεν μονάζοντας ἑστῶτας πρὸ τοῦ πυλῶνος καὶ εἰσήλθομεν μετ' αὐτῶν ἔσω ἐν τῶι μοναστηρίωι. λέγομεν αὐτοῖς ὅτι μηνύσατε· συντυχεῖν γὰρ ἔχομεν τῶι ἀρχιμανδρίτηι, ἀποσταλέντες παρὰ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου καὶ τῆς παρούσης ἁγίας συνόδου. καὶ ἔλεγον ἡμῖν ὅτι

MBPSΦΛⁿ

1—4 ὁ — εἶπεν (3) στήτω — στάντος — εἶπεν (1) ἐνταῦθα — κατέθου οἱ νοτάριοι — πάρεστιν ὁ — εἶπεν (4) τίς λέγη MPS 4 λέγει S 5. 10. 12 ἀβράμιος BS ἀβραάμιος MP 7 ἀβραάμιος M 6—8 Ποίω — εἶπεν om. PS 9 ἐπίσκοπος om. B 11/12 Εἰπὲ — εἶπεν om. PS 12 ὁ om. S 13 με] μὲν S 14 ὁ πρεσβύτεροσ εὐτυχὴσ B 15 τελειότητι B 15/16 ἀναγγείλη B 18 ἂν ἐτόλμησεν] ἀπετόλμησε PS πεποιηκέναι B 19 πότερον BΦΛⁿ πρότερον εἰ MPS 22 Εὐσεβίου om. B ἀναβήσονται S 24 ὁ πρεσβύτεροσ B ὁ διάκονοσ B καλχηδόνι M καὶ om. P 25 τὸ S πρὸσ αὐτοὺσ B 26/27 καθυπογράφειν B 31 εὐτυχῆν MPS, corr. M 35 ἁγίασ ταύτησ PSΦ ἁγιωτάτησ M ἁγίασ BΛⁿ 37 ηὕρομεν MP 38 καὶ λέγομεν PS

ὁ κύριο ὁ ἀρχιμανδρίτης ἀρρωστεῖ καὶ θεάσασθαι ὑμᾶς οὐ δύναται. τί οὖν δοκεῖ ὑμῖν ἢ τί ἀπεστάλητε, εἴπατε ἡμῖν. ἡμεῖς δὲ οὐκ ἠνεσχόμεθα, εἰπόντες αὐτοῖς ὅτι ἡμεῖς πρὸς ἐκεῖνον αὐτὸν ἀπεστάλημεν καὶ ἔγγραφον ἀποστολὴν πληροῦμεν καὶ ἔχομεν μετὰ χεῖρας τὸ γραφὲν παρὰ τῆς ἁγίας συνόδου πρὸς αὐτόν. οἱ δὲ εἰσελθόντες πάλιν ἐξῆλθον καὶ ἤγαγον μεθ' ἑαυτῶν Ἐλευσινιόν τινα μονάζοντα, λέγοντες ὅτι ἐπειδὴ ὁ ἀρχιμανδρίτης ἡμῶν ἀρρωστεῖ, αὐτὸν ἀπέστειλεν εἰς τὸν τόπον αὐτοῦ, ἵνα αὐτῶι τὰ δηλωθέντα εἴπητε. ἡμεῖς δὲ οὐδ' οὕτως εἰλόμεθα εἰπεῖν αὐτῶι, ἀλλ' ἔφημεν ὅτι εἰ δέχεται ἡμᾶς ἀποσταλέντας παρὰ τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου καὶ τῆς ἁγίας καὶ μεγάλης συνόδου, εἴπατε ἡμῖν. εἶτα θεασάμενοι αὐτοὺς θορυβουμένους καὶ πρὸς ἀλλήλους ψιθυρίζοντας καὶ λέγοντάς τινα, [καὶ] ὡς οὐκ ἐλαμβάνομεν ἀπόκρισιν θορυ-
M VI 709 βουμένων αὐτῶν διὰ τὸ ἔγγραφον εἶναι τὴν ἀποστολήν, εἴπομεν αὐτοῖς ὅτι τί θορυβεῖσθε; οὐδέν ἐστιν ἐπαχθές. τὰ γεγραμμένα οὐκ ἔστιν κρυπτά, ἀλλὰ λέγομεν καὶ ἡμεῖς τὴν δύναμιν τῶν γραφέντων· ὑπέμνησεν αὐτὸν ἡ ἁγία σύνοδος δεύτερον ἤδη τοῦτο ὥστε ἀπαντῆσαι αὐτὸν καὶ ἐφ' οἷς κατηιτιάθη παρὰ τοῦ θεοφιλεστάτου Εὐσεβίου τοῦ ἐπισκόπου, συστῆναι καὶ ἀπολογήσασθαι ἐγκαλούμενον. τότε εἰσελθόντες ἐμήνυσαν καὶ ἐδέξατο ἡμᾶς ὁ προειρημένος εὐλαβέστατος πρεσβύτερος καὶ ἀρχιμανδρίτης Εὐτυχής. εἰσελθόντες ἐπεδώκαμεν τὸν ἀποσταλέντα χάρτην. ἐποίησεν ἀναγνωσθῆναι ἐφ' ἡμῶν. μετὰ [δὲ] τὴν ἀνάγνωσιν λέγει ὅτι ἐγὼ ὅρον ἐθέμην ὥστε τοῦ μοναστηρίου
L IIII 201 μὴ ἐξελθεῖν ἄνευ θανατικῆς ἀνάγκης. συνορᾶι δὲ καὶ ἡ ἁγία σύνοδος καὶ ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος ὅτι καὶ γέρων εἰμὶ καὶ σαθρός. εἴπομεν ἡμεῖς ὅτι καταξίωσον ἐλθεῖν καὶ ἐφ' οἷς ἠιτιάθης, ἀπολογήσασθαι ἐπὶ τῆς ἁγίας συνόδου. καὶ εἶπεν ὅτι ἐγὼ οὐκ ἐξέρχομαι τοῦ μοναστηρίου μου τῶι κρίσιν ταύτην ἐσχηκέναι με. εἰ δὲ βούλεται ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος καὶ ἡ ἁγία σύνοδος πρᾶξαί τι, ὃ δοκεῖ αὐτοῖς, πράξουσιν. ἓν δὲ παρακαλῶ, μὴ σκυλῆναί τινα εἰς ἄλλην ἀγωγήν· κέκριται γάρ μοι μὴ ἐξελθεῖν. ἵνα οὖν μὴ μέλλωσιν καὶ πάλιν πέμπειν, ὃ θέλουσιν, καὶ πρὸ τοῦ καλέσαι με τὸ τρίτον πράξουσιν· ἐμοὶ γὰρ ὡς κεκληκότες εἰσίν. παρεκάλεσεν δὲ ἡμᾶς εἰπεῖν τῆι ἁγιωσύνηι τοῦ κύρου ταῦτα. ἠνάγκαζεν δὲ ἡμᾶς καὶ χάρτην τινὰ γεγραμμένον ἐπικομίσασθαι, καὶ οὐχ εἰλόμεθα καταδέξασθαι, εἰπόντες ὅτι εἴ τι βούλει, παραγενόμενος δίδαξον. εἶτα ἡμῶν ταῦτα πρὸς αὐτὸν λεγόντων ἠνέχθη ὁ χάρτης καὶ ἠθέλησεν ποιῆσαι ἡμῖν ὑπαναγνωσθῆναι. καὶ οὐδὲ οὕτως κατεδεξάμεθα ἀκοῦσαι, ἀλλὰ λαβὼν ὑπέγραφεν αὐτῶι καὶ ἡμεῖς συνταξάμενοι ἐξήλθομεν, εἰπόντος αὐτοῦ ὅτι ἀποστελῶ τῆι ἁγίαι συνόδωι τὸν χάρτην τοῦτον μετὰ καὶ τῆς ἐμῆς ὑπογραφῆς.

398 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Λεγέτω καὶ ὁ εὐλαβέστατος πρεσβύτερος Θεόφιλος τίνα ἐπήκουσεν παραγενόμενος πρὸς τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ ἅμα τῶι εὐλαβεστάτωι πρεσβυτέρωι Μάμαι.

399 Ὁ εὐλαβέστατος πρεσβύτερος Θεόφιλος εἶπεν· Παραγενόμενος ἅμα τῶι εὐλαβεστά-

---

MBPSΦΛ^{n}

1 κῦρισ BΦΛ^{n} κ̄σ MPS 4 ἐξῆλθον] ἐξήγαγον PS 6 ἑαυτοῦ B τὰ δηλωθέντα αὐτῶ B 7 ἡμεῖς δὲ om. B 9 10 θορυβουμένους — ψιθυρίζοντας] *ad invicem se intuentes et perturbatos et murmurantes* Λ^{n} 10 καὶ MPS om. BΛ^{n} 12 καὶ ἡμεῖσ MPSΦ καὶ ὑμῖν B *nobis* Λ^{n} 13 τοῦτο δεύτερον ἤδη B 14 καὶ om. S 14/15 ἐπισκόπου εὐσεβίου B 16 εὐλαβέστατος om. B 17 εισελθόντεσ ΜΦ καὶ εἰσελθόντεσ BPSΛ^{n} τὸν MPSΛ^{n} αὐτῶ τὸν BΦ ἐποίησεν ΜΛ^{n} ὃν καὶ [καὶ om. S] ἐποίησεν PS ἐποίησε δὲ αὐτὸν B 18 μετὰ δὲ MPS καὶ μετὰ BΦ μετὰ Λ^{n} ὅριον B 20 καὶ^{1}] ἐγὼ B 21 καὶ — ἠιτιάθης] καὶ εὐθὺσ ἠτιάθησ PS ἐπὶ τοῖσ αἰτιαθεῖσιν B ὅτι om. B 22 μου om. BΛ^{n} τὸ S 24 τινα BΛ^{n}Φ τινασ MPS 25 ὃ θέλουσιν] ἐθέλουσι PS τὸ om. B 26 πράξωσιν MPS 26/27 ἁγιωσύνηι — κύρου] ἁγία σύνοδω S 26 ἁγιότητι B 27 κύρου scripsi *domini* Φ κυ MPBΛ^{n} γεγραμμένην S 28 ειλάμεθα MS, corr. M παραγενάμενοσ M 29 ποιῆσαι om. SΦΛ^{n} 30 ὑπέγραψεν B 31 ἀποστελῶ BSΛ^{n} ἀποστέλλω MPΦ 32 καὶ om. B 35 εὐτυχῆν MP, corr. M μάμαντι B 36 παραγενομένου μου S

τωι πρεσβυτέρωι Μάμαι ἔνθα ἐστὶν τὸ μοναστήριον Εὐτυχοῦς τοῦ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου, ταῦτα ἐπήκουσα λέγοντος αὐτοῦ ὅτι εἰ μήτι γε θάνατος, οὐδέν με ἐκβάληι ἐκ τοῦ μοναστηρίου, ἐπεὶ κέκριταί μοι καὶ ἀδύνατόν με ἐξελθεῖν. καὶ τὰ ἄλλα δὲ πάντα ὅσα ἐλέχθη παρὰ τοῦ εὐλαβεστάτου πρεσβυτέρου Εὐτυχοῦς, κατέθετο ὁ εὐλαβέστατος πρεσβύτερος Μάμας, ἅπερ κἀγὼ ἐπήκουσα.

400 Ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπεν· Σκῆψίς ἐστιν ἀεὶ καὶ πρόφασις τῶν ὑπευθύνων ὥστε τὰς ὑπερθέσεις ἐμποιεῖν. οὐδὲ γὰρ ἐν τοῖς ἐναγομένοις ἐστὶν τὸ παραιτεῖσθαι ἢ τόπωι ἑαυτοὺς περιγράφειν. ἀλλὰ παρακαλῶ, ἡ δυναστεία τῶν ἁγίων κανόνων καὶ νῦν ἐπαγρυπνήσηι ἐπὶ τῶι καταιτιαθέντι καὶ κελεύσατε αὐτὸν καὶ ἄκοντα ἐνταῦθα ἐλθεῖν. M VI 712

401 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ἐπακούσασα ἡ ἁγία σύνοδος τῶν δηλωθέντων παρὰ τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς διὰ τῶν ἀπεσταλμένων εὐλαβεστάτων πρεσβυτέρων τὸ παριστάμενον ἀποφηνάσθω.

402 Ἡ ἁγία σύνοδος εἶπεν· Εὔλογόν ἐστιν καὶ τρίτον ὑπομνησθῆναι παρὰ τῆς ἁγίας ταύτης καὶ μεγάλης συνόδου τὸν εὐλαβέστατον πρεσβύτερον καὶ μονάζοντα Εὐτυχῆ ὥστε ἀπαντῆσαι ἐν τῆι ἁγίαι ταύτηι συνόδωι, ὡς εἴ γε τοῦτο μὴ ποιήσει, μέμψεται ἑαυτῶι.

403 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Οἱ εὐλαβέστατοι πρεσβύτεροι Μέμνων ὁ σκευοφύλαξ καὶ Ἐπιφάνιος καὶ Γερμανὸς ὁ διάκονος παραγενόμενοι πρὸς τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ τὸ τρίτον τῆς κλήσεως γράμμα τὸ διαπεμφθὲν παρὰ τῆς ἁγίας συνόδου διακομίσωσιν πρὸς αὐτὸν ὥστε αὐτὸν παραγενέσθαι καὶ ἀπολογήσασθαι τοῖς ἐπαγομένοις.

Καὶ εἶχεν τὸ παραναγνωστικὸν τὸ ἀποσταλὲν δι' αὐτῶν οὕτως

404 Ἡ ἁγία καὶ μεγάλη σύνοδος ἡ κατὰ θεοῦ χάριν ἐνδημοῦσα ἐν τῆι φιλοχρίστωι καὶ βασιλευούσηι Κωνσταντινουπόλει Ῥώμηι τῶι εὐλαβεστάτωι πρεσβυτέρωι καὶ ἀρχιμανδρίτηι Εὐτυχεῖ. Οὐκ ἀγνοεῖς ἴσως τὰ τοῖς θείοις κανόσιν διηγορευμένα κατὰ τῶν ἀπειθούντων καὶ μὴ ἀνεχομένων ἀπαντῆσαι εἰς ἀπολογίαν, ὅταν καὶ τρίτη κλῆσις πρὸς αὐτοὺς γένηται. ἵνα τοίνυν μὴ σαυτὸν περιπείρηις τοῖς ὑπ' αὐτῶν εὐσεβῶς διηγορευμένοις, νῦν γοῦν τὸ τρίτον παρ' ἡμῶν καλούμενος διὰ τῶν εὐλαβεστάτων πρεσβυτέρων Μέμνονος τοῦ σκευοφύλακος καὶ Ἐπιφανίου καὶ τοῦ εὐλαβεστάτου διακόνου Γερμανοῦ θέλησον παραγενέσθαι εἰς τὴν ἐπιοῦσαν ἕωθεν, τουτέστιν τῆι τετάρτηι ἡμέραι, τῆι ἑπτακαιδεκάτηι τοῦ Νοεμβρίου μηνός. L IIII 204

405 Καὶ τῆι ἕξῆς ἡμέραι, ἥτις ἐστὶν ἑξκαιδεκάτη τοῦ Νοεμβρίου μηνός, ἡμέραι τρίτηι, προκαθεζομένου τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου καὶ τῆς ἁγίας συνόδου καὶ διαλεγο-

---

24 τρίτη κλῆσις εὐτυχοῦς B^{mg} 33 πρᾶξις δ̄ ἐν κωνσταντινουπόλει M^{mg} πρᾶξις τετάρτη τῶν ἐν κωνσταντινουπόλει συνελθόντων ἁγίων πατέρων B in textu

---

MBPSΦΛ^{n}

1 μάμαντι BPS ἡ μονῆ S 2 εἰ — ἐκβάλη BΛ^{n} μήτι [εἰ μήτι M^{corr}Φ^{r}] με θάνατος ἐκβάλη [ἐκβάλει S] MPSΦ 3 ἐκ om. B τῆς μονῆς S με] μοι SΦ om. Λ^{n} 4 ἐλέγχθη M πρεσβυτέρου MPSΦΛ^{n} πρεσβυτέρου καὶ ἀρχιμανδρίτου B 4/5 μάμας ὁ εὐλαβέστατος πρεσβύτερος B 6 σκέψις PSΦ^{r}, cf. notam Rustici 7 ποιεῖν B 9 ἐπαγρυπνήσει BPS καὶ] om. S 11/12 δηλωθέντων om. S 12 εὐτυχοῦς δηλώσει αὐτῶ B 13 ἀποσταλμένων PS ἀποφήνασθαι B 15 μονάζοντα BΦ^{ac}Λ^{n} ἀρχιμανδρίτην MPSΦ^{r} εὐτυχῆν MPS, corr. M 16 ὡς om. BS γε] δὲ B μὴ ποιήσει τοῦτο S ποιήση MP μέμψηται PS 17 ἑαυτόν B 20 εὐτυχῆν MPS, corr. M τὸ^{2} om. B 21 διακομίσουσι B εἰσ S 23 καὶ εἶχεν MPSΛ^{n} εἶχε δὲ BΦ 24 ἐν om. B 25 *Romae nouae* Λ^{n} καὶ] τῶ S 26 εὐτυχῆ MS, corr. M ἴσωσ B ὡσ MPS 28 εἰσ B ἑαυτὸν B 29 παρ' ἡμῶν om. B 31/32 τῆ ῑ̄ζ̄ S τῆσ ἑπτακαιδεκάτησ B 33 *āl septima decima* Φ^{c} in uno codice ἡμέραι τρίτηι om. BS

μένου περὶ θείων δογμάτων τοῦ αὐτοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Ἀσκληπιάδης διά-
M VI 713 κονος καὶ νοτάριος ἐμήνυσεν λέγων· Μονάζοντές τινες ἀπὸ τῶν τοῦ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς καὶ Ἀβράμιος ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἀρχιμανδρίτης ἔξω εἰσὶν καὶ παρακαλοῦσιν εἰσελθεῖν.

406 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Εἰσίτωσαν.

407 Καὶ εἰσελθόντος Ἀβραμίου τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου καὶ Ἐλευσινίου καὶ Κωνσταντίνου καὶ Κωνσταντίου τῶν διακόνων τῆς μονῆς τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς, ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Τί ἐσκύλη πρὸς ἡμᾶς ἡ εὐλάβεια ὑμῶν;

408 Ἀβράμιος ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἀρχιμανδρίτης εἶπεν· Ἀπεστάλημεν.

409 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Τίς ὑμᾶς ἀπέστειλεν;

410 Ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἀρχιμανδρίτης Ἀβράμιος εἶπεν· Ὁ ἀρχιμανδρίτης.

411 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ποῖος ἀρχιμανδρίτης;

412 Ἀβράμιος ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἀρχιμανδρίτης εἶπεν· Εὐτυχής.

413 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Τί μάλιστα;

414 Ἀβράμιος ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἀρχιμανδρίτης εἶπεν· Ἀπέστειλέ με ἀρρωστῶν. μὰ τὰς εὐχάς σου, ὅλην τὴν νύκτα οὐκ ἐκοιμήθη μύζων, οὔτε δὲ ἐγὼ ἐκοιμήθην μύζοντος αὐτοῦ. μετεστείλατο γάρ με ἀφ' ἑσπέρας διὰ τοῦτο, εἶπεν δέ μοι καὶ τινὰ εἰπεῖν τῷι κύρωι.

415 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Καὶ ἐνδιδόαμεν, οὐκ ἐπιτιθέμεθα. θεοῦ γάρ ἐστιν τὸ δοῦναι ὑγείαν, ἡμῶν δὲ τὸ περιμεῖναι τὴν ῥῶσιν αὐτοῦ. οὐ γὰρ εἰς
Sap. Sal. 1, 13 τομὴν ὁρῶμεν, ἀλλ' εἰς αὔξησιν. οὔτε γὰρ τέρπεται ὁ θεὸς ἐπ' ἀπωλείαι ζώντων
2 Cor. 8, 9 οὔτε ἐσμὲν ἀπανθρωπίας τέκνα, ἀλλὰ φιλανθρωπίας θεοῦ. εἰ γὰρ δι' ἡμᾶς ὁ πλού-
L IIII 205 σιος ἐπτώχευσεν, καὶ ἡμεῖς ἔπεσθαι τῇι ὑψηλῇι αὐτοῦ πτωχείαι ὀφείλομεν· εἰς γὰρ φιλανθρωπίας ἔργα ὑπὸ θεοῦ κατεσκευάσθημεν.

416 Ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἀρχιμανδρίτης Ἀβράμιος εἶπεν· Ἐμοί, τῶν ποδῶν σου, καὶ ἐνετείλατο ἄλλα τινά, ἃ ἐὰν ἐρωτηθῶ, λέγω.

417 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Πῶς δυνατόν, παρακαλῶ σε, ἄλλου κατηγορουμένου ἄλλον εἰπεῖν ὑπὲρ αὐτοῦ; ἀλλὰ μᾶλλον ἐνδιδόαμεν, οὐκ ἐπιτιθέμεθα. καὶ ἔλθηι ἐνταῦθα· πρὸς πατέρας ἔρχεται καὶ πρὸς ἀδελφούς, πρὸς οὐκ ἀγνοοῦντας αὐτόν, πρὸς ἔτι καὶ νῦν ἐπιμένοντας τῇι φιλίαι. πολλοὶ ἤκουσαν καὶ ἐσκανδαλίσθησαν· ὁ γὰρ κατήγορος αὐτοῦ ἐνίσταται, καὶ ὀφείλει ἀπολογήσασθαι. εἰ γὰρ τότε Νεστορίου ἐναντιουμένου τῇι ἀληθείαι ὑπὲρ ἀληθείας εἰσῆλθεν, πόσωι μᾶλλον ὀφείλει νῦν ὑπὲρ τῆς ἀληθείας καὶ ὑπὲρ ἑαυτοῦ εἰσελθεῖν; ἄνθρωποι ἐσμὲν καὶ πολλοὶ τῶν μεγάλων ἐσκανδαλίσθησαν καὶ ἐσφάλησαν ὑπὸ ἀνοίας καὶ ὑπὸ ἀπειρίας νομίζοντες ὀρθῶς φρονεῖν. αἰσχύνην οὐ φέρει μεταμέλεια, ἀλλὰ τὸ ἐπιμένειν τῇι ἁμαρτίαι ὄνειδος. ὥσπερ γὰρ
M VI 716 σκώληξ ἀναλίσκει τὸ ξύλον ἐξ οὗπέρ ἐστιν, οὕτως καὶ ἡ ἁμαρτία μένουσα ἐν τῶι ποιοῦντι

MBPSΦΛ^{n}

2 τῶν om. B 3 ἀβραάμιοσ MP 5 εἰσιέτωσαν MB, corr. M 6 εἰσελθόντων S ἀβρααμίου MP 7 ἐλευσῖνου SΦ^{ac} καὶ^{2} om. S καὶ Κωνσταντίου om. BΦ^{c}Λ^{n} 10 ἀβραάμιοσ MP 11 ὁ ἁγιώτατος — 18 εὐχάς σου] παρ' εὐτυχοῦσ τοῦ ἀρχιμανδρίτου ἀρρωστοῦντοσ αὐτοῦ S 12 καὶ ἀρχιμανδρίτης om. B 12. 15 ἀβραάμιοσ P 15 εὐλαβέστατος om. B 17 ἀβραάμιοσ M^{corr}P 18 με BΦΛ^{n} ἡμᾶσ MPS μὰ γὰρ BΦ ὅλην γὰρ S οἰμώζων B 19 οἰμώζοντοσ B 21 ἐνδίδομεν B 22 τὴν ὑγείαν B 23 οὐ B ὁ om. B 24 οὐδὲ B 25 πτωχεία αὐτοῦ B 27 ἀβραάμιοσ MP 28 καὶ om. B τινὰ ἃ MPSΦ τινὰ ἵνα Λ^{n} ἅττινα B ἐρῶ S 29 σε om. S 30 καὶ BΛ^{n} κἂν MS καὶ ἂν P om. Φ 31 καὶ MPSΦ om BΛ^{n} οὐκ ἀγνοοῦντας] εἰδότασ S 37 ἡ μεταμέλεια B 38 ὁ σκώληξ PS

αὐτήν. ἀλλὰ ἔλθηι ἐνταῦθα καὶ ὁμολογοῦντος αὐτοῦ τὸ πταῖσμα καὶ ἀναθεματίζοντος διδόαμεν ὑπὲρ τῶν προλαβόντων συγγνώμην. καὶ ὑπὲρ τῶν μελλόντων ἡμᾶς ἀσφαλίζηται καὶ τὴν ἁγίαν σύνοδον ὅτιπερ ὁμοίως φρονεῖ ταῖς ἐκθέσεσιν τῶν ἁγίων πατέρων ἡμῶν καὶ παρὰ ταύτας τοῦ λοιποῦ οὔτε διδάσκει τινὰς οὔτε ἐπί τινων διαλέγεται. οὕτω χρή, παρακαλῶ σε. καὶ γὰρ πρὸ τοῦ εἰδέναι σε αὐτὸν οἶδα αὐτὸν καὶ πρὸ τοῦ σε γνῶναι ἐκεῖνος οἶδεν ἐμέ.

418 Ἀβράμιος ὁ πρεσβύτερος καὶ ἀρχιμανδρίτης εἶπεν· Οὕτως ἔχει, τῶν ποδῶν σου.

419 Καὶ μετὰ τὸ ἀναστῆναι ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Οἴδατε τὸν ζῆλον τοῦ κατηγοροῦντος ὅτι καὶ αὐτὸ τὸ πῦρ ψυχρὸν αὐτῶι φαίνεται διὰ τὸν ζῆλον τὸν ὑπὲρ τῆς εὐσεβείας. καὶ θεὸς οἶδεν, καὶ παρήινεσα καὶ παρεκάλεσα ὅτι μή· παρακαλῶ σε, ἔνδος. ὡς δὲ ἐπετίθει, τί εἶχον ποιῆσαι; ἄρτι ἐγὼ βούλομαι τὸν σκορπισμὸν ὑμῶν; μὴ γένοιτο· οὐχὶ μᾶλλον καὶ συναγαγεῖν ὑμᾶς; ἐχθρῶν ἐστιν τὸ σκορπίζειν, πατέρων δὲ τὸ συγκροτεῖν.

420 Τῆι ἕξῆς ἡμέραι, ἥτις ἐστὶν ἑπτακαιδεκάτη τοῦ Νοεμβρίου μηνός, αὖθις συνεδρευούσης τῆς ἁγίας συνόδου ἐν τῶι σηκρήτωι τοῦ ἐπισκοπείου, Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Οἱ ἀποσταλέντες τῆι χθὲς ἡμέραι, ἥτις ἦν ἑξκαιδεκάτη τοῦ Νοεμβρίου μηνός, οἱ εὐλαβέστατοι πρεσβύτεροι Μέμνων σκευοφύλαξ καὶ Ἐπιφάνιος καὶ Γερμανὸς διάκονος ἐπὶ τῆι τρίτηι κλήσει πρὸς τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ πάρεισιν ἀπαγγεῖλαι βουλόμενοι ἅπερ παρὰ τοῦ μνημονευθέντος ἀκηκόασιν διακονησάμενοι τοῖς ὑμετέροις γράμμασιν.

421 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Λεγέτω ἐν πρώτηι τάξει Μέμνων ὁ εὐλαβέστατος πρεσβύτερος ποίας τετύχηκεν ἀποκρίσεως παρὰ τοῦ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς ἐφ' οἷς ἀπέσταλται παρὰ τῆς ἁγίας συνόδου. L IIII 208

422 Ὁ εὐλαβέστατος πρεσβύτερος καὶ σκευοφύλαξ Μέμνων εἶπεν· Κατὰ τὴν κέλευσιν τῆς ὑμετέρας ἁγιωσύνης καὶ τῆς ἁγίας ὑμῶν συνόδου διαβάντες πρὸς τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ ἐπιδεδώκαμεν αὐτῶι τὸ παρὰ τῆς ἁγίας ὑμῶν συνόδου γράμμα ἀπεσταλμένον αὐτῶι, λαβὼν δὲ καὶ ἀναγνοὺς εἶπεν ἡμῖν ὅτι ἀπέστειλα τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Ἀβράμιον πρὸς τὸν ἁγιώτατον καὶ ὁσιώτατον ἀρχιεπίσκοπον ἡμῶν καὶ τὴν ἁγίαν σύνοδον, ὥστε συνθέσθαι αὐτὸν εἰς M VI 717
πρόσωπον ἐμὸν πᾶσιν τοῖς ἐκφωνηθεῖσιν παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι καὶ τῶν ἐν Ἐφέσωι καὶ τοῖς κατὰ τὸν μακάριον Κύριλλον πᾶσιν

423 Καὶ ἔτι τούτου λέγοντος ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπεν· Νῦν ἦλθεν συνθέσθαι; ἐγὼ οὐ περὶ [τῶν] μελλόντων κατηγόρησα, ἀλλα περὶ τῶν φθασάντων.

---

14 πρᾶξισ ε̄ ἐν κωνσταντινουπόλει M^{mg} πρᾶξισ πέμπτη τῶν ἐν κωνσταντινουπόλει B in textu 15 συνέλευσισ ἄλλη M^{mg}, post ἐπισκοπείου in textu PS

MBPSΦΛ^{n}

3 ἀσφαλίζηται ΦΛ^{n} ἀσφαλίζεται MBPS *sapiet* Φ 4 ταύτησ S οὔτε^{2}] οὐδὲ MP ἐπί τινων BΦ *ad aliquos* Λ^{n} τινι MPS 5 σε om. S 6 ἐγνωκέναι σε B ἐκεῖνοσ BΦΛ^{n} ἐκεῖνον MPS 7 ἀβραάμιοσ M^{corr}P ὁ om. B 8 ἀναγνωσθῆναι B 9 αὐτὸ BPS αὐτῶ M ψυχρότερον B 9/10 διὰ τὸν ὑπὲρ εὐσεβείασ λόγον S 10 ὁ θ̄σ̄ B καὶ^{2} MPSΦ om. B *quod* Λ^{n} 11 σε om. SΦ ἐπετίθει B ἐπετέθη MPS 13 τὸ om. MP, corr. M 14 ἦ MPS ἕ̄ S 15 σεκρέτω PS ἐπισκόπου P 16 ἦν BΦ ἐστὶν MPSΛ^{n} 17 οἱ om. B ὁ σκευοφύλαξ B 17/18 γερμανὸσ διάκονοσ PSΛ^{n}Φ^{r} ὁ διάκονοσ γερμανὸσ B γερμανὸσ M 19 εὐτυχῆν MP, corr. M πάρησαν S ἀναγγεῖλαι B 19/20 διακονησαμένοισ S 23 ἀπεστάλη B 26 εὐτυχῆν MP^{s} corr. M τὰ S 27 σταλμένα γράμματα S ἀποσταλὲν B αὐτῶι om. SΦ^{ac} δ' αὐτὰ : 28 ἀβραάμιον MP 29 ἡμῶν ἀρχιεπίσκοπον B πρὸσ τὴν SΦ^{a} 31 πᾶσιν MPΦΛ^{n} om. B 33 τῶν om. B ἐκατηγόρησα S

θεὸν τὸν ἀρχιεπίσκοπον ἔχομεν. καὶ ὁ κύρις Ἰὼβ λέγει· τόμον μὲν οὐκ ἀπέστειλεν πρὸς ἡμᾶς, φάσιν δὲ ὅτι ἐν ταῖς ἡμέραις ταύταις τόμον ἔχει σοι ἀποστεῖλαι ὁ ἀρχιεπίσκοπος ὥστε ὑπογράψαι, καὶ μὴ πεισθῆι αὐτῶι. ἀπήλθομεν δὲ καὶ πρὸς Μανουήλιον καὶ ἔφησεν μὴ ἀπεστάλθαι πρὸς αὐτόν. ὁμοίως δὲ καὶ πρὸς Ἀβράμιον, κἀκεῖνος ἔλεγεν μὴ πεπέμφθαι πρὸς αὐτὸν μήτε φάσιν μήτε τόμον.

441 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Λεγέτω καὶ Πατρίκιος ὁ διάκονος τί ἀκήκοεν παρὰ τῶν εὐλαβεστάτων πρεσβυτέρων καὶ ἀρχιμανδριτῶν.

442 Ὁ εὐλαβέστατος διάκονος Πατρίκιος εἶπεν· Ἀπεστάλην παρὰ τῆς ὑμετέρας ἁγιωσύνης καὶ τῆς ἁγίας ὑμῶν συνόδου μετὰ τοῦ εὐλαβεστάτου πρεσβυτέρου Πέτρου κἀκεῖνα ἤκουσα ἅπερ κατέθετο ὁ μνημονευθεὶς εὐλαβέστατος πρεσβύτερος.

443 Ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπεν· Ὁρᾶι ἡ ὑμετέρα ἁγιωσύνη τὰ πεπλημμελημένα Εὐτυχεῖ τῶι ἀρχιμανδρίτηι καὶ ὅτιπερ ἀλλότρια τῆς πίστεως ἐφρόνησεν. ταῦτα
M VI 724 γὰρ καὶ ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος Ἰωάννης κατέθετο καὶ ὁ σὺν αὐτῶι ἀπεσταλμένος εὐλαβέστατος διάκονος Ἀνδρέας καὶ ὁ εὐλαβέστατος διάκονος Ἀθανάσιος ὁ τοῦ θεοφιλεστάτου ἐπισκόπου Βασιλείου, οἷα δὲ καὶ νῦν οἱ εὐλαβέστατοι ἀρχιμανδρῖται διὰ τῶν ἀποσταλέντων πρὸς αὐτοὺς εὐλαβεστάτων κληρικῶν ἐγνώρισαν τῆι ὑμετέραι ἁγιωσύνηι. τίς οὖν ἔτι λείπεται ἐκείνωι τόπος ἀπολογίας; δι' ὃ ἀξιῶ τὰ δοκοῦντα τοῖς ἁγίοις κανόσιν ἐντεῦθεν ἤδη καὶ ἐπ' αὐτῶι γενέσθαι. ὁ γὰρ ταραχὰς ἐμβάλλων καὶ ἀλλότρια φρονῶν τῆς πίστεως πῶς οὗτος ἐν ἱερεῦσιν θεοῦ ἢ ἐν ἀρχιμανδρίταις δίκαιός ἐστιν ἀριθμεῖσθαι; συνορᾶτε δὲ ὅτι καὶ ἐπιορκῶν ἐλήλεγκται. ὁ γὰρ εἰπὼν ὅτι κέκριταί μοι μὴ ἐξελθεῖν καὶ τάφος μοί ἐστιν τὸ μοναστήριον, οὗτος ἐπαγγέλλεται ἐλθεῖν πρὸς ὑπέρθεσιν ὁρῶν καὶ ἕτερά τινα τυρεύων ὥστε φυγεῖν τοὺς ἐλέγχους καὶ μὴ ὑπομεῖναι τιμωρίαν.

444 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ἐξαρκεῖ μὲν πάντα τὰ κατατεθέντα κατὰ Εὐτυχοῦς τοῦ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου δεῖξαι ἡμῖν ὅτι ἕτερα παρὰ τὴν ὀρθὴν πίστιν φρονεῖ καὶ τὴν ἐκκλησίαν διαταράξαι ἐσπούδασεν, ὥστε αὐτὸν ἐντεῦθεν ἤδη ὑποπεσεῖν τοῖς τῶν κανόνων ἐπιτιμίοις καὶ ἀλλοτριωθῆναι καὶ τῆς περικειμένης αὐτῶι ἀξίας ἱερατικῆς καὶ τοῦ προίστασθαι μοναστηρίου· ὑπὲρ δὲ πλείονος ἀκριβείας καὶ τὴν ἐξαιτηθεῖσαν παρ' αὐτοῦ διορίαν παρέχομεν αὐτῶι. οὕτως γὰρ ἀπαντήσας καὶ κατὰ πρόσωπον ἐλεγχθήσεται. εἰ δέ γε κατὰ τὴν ἰδίαν ἐπαγγελίαν μὴ ἀπαντήσει ὁ πρεσβύτερος καὶ ἀρχιμανδρίτης Εὐτυχὴς τῆι προσιούσηι δευτέραι, τουτέστιν τῆι εἰκάδι δευτέραι τοῦ ἐνεστῶτος μηνὸς Νοεμβρίου, ἀπαλλοτριωθήσεται εἰς τὸ παντελὲς καὶ τῆς ἀξίας τοῦ πρεσβυτέρου καὶ ξένος γενήσεται τοῦ προίστασθαι μοναστηρίου.

MBPSΦΛ^{n}

2 φάσιν M φασὶ BPSΦΛ^{n} 2/3 ἀρχιεπίσκοποσ MSΛ^{n} *eps* Φ ἀρχιμανδρίτησ B 3 πεισθεὶσ S δὲ om. PS 4 ἀπεστάλθαι τί B ἀβραάμιον M^{corr}P 5 πεπομφέναι B 7 τῶν — ἀρχιμανδριτῶν] *Eutychen* Λ^{n} 8 ὁ — διάκονος om. B ὑμῶν S 9 ἁγιότητοσ MPS καὶ παρὰ S τῆς om. P συνόδου ὑμῶν B 10 πέτροσ ὁ πρεσβύτεροσ B cf. Λ^{n} 11 ὑμῶν S τά τε PS 12 ἐφρόνησεν om. PS 13 καὶ^{1} BΦΛ^{n} om. MPS 14 ὁ — διάκονος om. B 15 ὁ om. B 17 ἔτι λείπεται] ἐπιλείπεται B 18 αὐτὸν S ἐμβαλὼν MPS, corr. M 19 ἢ MBP καὶ SΦΛ^{n} δίκαιόν MPS 25 ὑμῖν Λ^{n} ὅτιπερ B 26 αὐτὸν om. B 27 ἀλλοτριωναι M, corr. M ἀλλοτριῶσαι PS καὶ om. BΦ^{ac} 28 τοῦ μοναστηρίου PS 29 καὶ PSΦ om. MBΛ^{n} 30 γε] μὴ P om. S ἀπαντήσοι MP 31 προσειοῦσι S 31/32 εἰκάδι καὶ δευτέρη S δευτέρα καὶ εἰκάδι B 32 νοεμβρίου μηνὸσ B 33 *presbyterii* ΦΛ^{n} καὶ τοῦ B τοῦ μοναστηρίου S

Ἑτέρα πρᾶξις L IIII 213

445 Ἡμέραι σαββάτωι, ἥτις ἐστὶν εἰκὰς τοῦ Νοεμβρίου μηνός, συνεδρευούσης τῆς ἁγίας καὶ μεγάλης συνόδου ἐν τῶι σηκρήτωι τοῦ ἐπισκοπείου,

ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπεν· Ἐφ' οἷς ἐγγράφως ἠτιασάμην Εὐτυχῆ τὸν πρεσβύτερον καὶ ἀρχιμανδρίτην, παρακαλῶ τὴν ὑμετέραν ἁγιωσύνην ἀναγκαίους μοι ὄντας εἰς τὴν κινουμένην παρ' ἐμοῦ κατ' αὐτοῦ ὑπόθεσιν κελεῦσαι εἰς τὴν ἁγίαν ὑμῶν σύνοδον παραγενέσθαι τῆι προσιούσηι δευτέραι, εἰς ἣν κἀκεῖνος ἐπηγγείλατο παραγενέσθαι (εἰσὶν δὲ οἱ ἐπιζητούμενοι παρ' ἐμοῦ Ναρσῆς ὁ πρεσβύτερος καὶ σύγκελλος αὐτοῦ, Μάξιμος ἀρχιμανδρίτης ὁ φίλος αὐτοῦ, [καὶ] Κωνσταντῖνος διάκονος καὶ ἀποκρισιάριος τοῦ αὐτοῦ Εὐτυχοῦς, Ἐλευσίνιος διάκονος τῆς αὐτῆς μονῆς), ἐφ' ὧι τε παρόντων αὐτῶν γινομένης τῆς διαγνώσεως τὸ ἀληθὲς κατάδηλον γενέσθαι.

446 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Οἱ ἐπιζητηθέντες παρὰ τοῦ εὐλαβεστάτου M VI 725
ἐπισκόπου Εὐσεβίου κληθήτωσαν εἰς τὸ ἀπαντῆσαι τῆι ὡρισμένηι ἡμέραι.

447 Ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπεν· Περιηχήθην παρὰ τινῶν ὡς τῆς δευτέρας κλήσεως γενομένης παρὰ τῆς ἁγίας ὑμῶν συνόδου οἱ ἀποσταλέντες παρ' ὑμῶν εὐλαβέστατοι πρεσβύτεροι Μάμας καὶ Θεόφιλος ἐπήκουσαν τινὰ παρὰ Εὐτυχοῦς τοῦ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου, ἅπερ ἐπὶ τῆς πράξεως τῶν ὑπομνημάτων οὐ κατέθεντο. καὶ ταῦτα δὲ εἰ φανείη, ἀπόδειξίς ἐστιν ἐναργὴς τοῦ φρονήματος αὐτοῦ. ἀξιῶ τοίνυν κληθέντας Μάμαν καὶ Θεόφιλον τοὺς πρεσβυτέρους προκειμένων τῶν ἁγίων εὐαγγελίων εἰπεῖν ἅπερ ἀκηκόασιν παρὰ Εὐτυχοῦς τοῦ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου.

448 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Λεγέτωσαν οἱ νοτάριοι εἰ οἱ προρηθέντες εὐλαβέστατοι πρεσβύτεροι ἐνταῦθά εἰσιν.

449 Οἱ νοτάριοι εἶπον· Ὁ μὲν εὐλαβέστατος Θεόφιλος ὁ πρεσβύτερος πάρεστιν, ὁ δὲ εὐλαβέστατος πρεσβύτερος Μάμας οὐκ ἐστιν ἐνταῦθα.

450 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ἐπήκουσας τῶν λεχθέντων παρὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου Εὐσεβίου· δι' ὃ πρὸ ὀφθαλμῶν ἔχων τὸν φόβον τοῦ θεοῦ κατάθου σύμπαντα μετὰ ἀληθείας ἅπερ ἀκήκοας λέγοντος τοῦ πρεσβυτέρου Εὐτυχοῦς, ἡνίκα ἀπεστάλης πρὸς τὸ καλέσαι αὐτὸν παρά τε ἡμῶν καὶ τῆς ἁγίας συνόδου.

451 Ὁ εὐλαβέστατος πρεσβύτερος Θεόφιλος εἶπεν· Κατὰ κέλευσιν τῆς ὑμετέρας ἁγιωσύνης ἐγώ τε καὶ ὁ θεοσεβέστατος πρεσβύτερος Μάμας κατελάβομεν τὸ μοναστήριον τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς καὶ ἐπιδεδώκαμεν αὐτῶι τὸ ὑπομνηστικὸν τῆς κλήσεως αὐτοῦ τὸ παρὰ τῆς ἁγίας συνόδου ἀποσταλὲν αὐτῶι. καὶ ἤρξατο θέλειν συζητεῖν ἡμῖν, τοῦ δὲ εὐλαβεστάτου πρεσβυτέρου Μάμα λέγοντος αὐτῶι ὅτιπερ οὐ διὰ τοῦτο ἤλθομεν τοῦ συζητῆσαι τῆι σῆι εὐλαβείαι, ἀλλὰ καλέσαι σε ἀπαντῆσαι εἰς τὴν ἁγίαν σύνοδον, ἤρξατο λέγειν ὁ αὐτὸς εὐλαβέστατος πρεσβύτερος καὶ ἀρχιμανδρίτης

---

1 πρᾶξισ $\overline{\varsigma}$ τῶν ἐν κωνσταντινουπόλει M^{mg}
451 cf. infra 698

MBPSΦΛ^{n}

1 ἑτέρα πρᾶξισ MSΦ πρᾶξισ ἕκτη τῶν ἐν κωνσταντινουπόλει συνελθόντων ἁγίων $\overline{πρῶν}$ B om. PΛ^{n} 2 ἡμέραι — μηνός om. S $\overline{κβ}$ νοεμβρίου μηνὸσ ἡμέρα $\overline{ζ}$ S^{mg} σαββάττω M 3 σεκρέτω BPS 4 εὐτυχῆν MP, corr. M 7/8 παραγίνεσθαι MP 9 μάξιμοσ ὁ B καὶ MPSΦ om. BΛ^{n} κωνσταντῖνοσ ὁ B *Constantius* Λ^{n} 10 ἐλευσῖνοσ S, cf. Φ 13 κληθήσονται PS 14 ἐπίσκοποσ om. B 15 ἡμῶν PS om. B ἡμῶν BS 16/17 παρὰ — ἀρχιμανδρίτου ἐπήκουσαν τινὰ B 18 δὲ om. PSΦ 19 μάμαντα MP 23 πρεσβύτεροσ θεόφιλοσ B 24 ἐνταῦθα om. S 25 λεγχθέντων M 29 ὁ — θεόφιλοσ BΦ θεόφιλοσ πρεσβύτεροσ MPS κατὰ τὴν PS 30 θεοφιλέστατοσ B τὴν μονὴν S 32 τὸ om. MP 33 θέλειν om. S πρεσβυτέρου om. B μάμαντοσ PS 34 ἦλθαμεν S τοῦ om. PS θεοσεβεία B σε om. B ὑπαντῆσαι MP om. S 35 ὁ — ἀρχιμανδρίτησ] εὐτυχῆσ S εὐλαβέστατοσ om. B ἀρχιμανδρίτησ εὐτυχὴσ BΛ^{n}

παρόντος τοῦ πρεσβυτέρου Ναρσοῦ καὶ τοῦ ἀρχιμανδρίτου Μαξίμου καὶ ἑτέρων τινῶν μοναχῶν ὅτι ἐν ποίαι γραφῇι κεῖται δύο φύσεις; ἔπειτα δὲ τίς τῶν ἁγίων πατέρων ἐξέθετο
L IIII 216 δύο φύσεις τὸν θεὸν λόγον ἔχειν; ἡμῶν δὲ πρὸς ταῦτα ἀποκριναμένων αὐτῶι· καὶ αὐτὸς δεῖξον ἡμῖν ποῦ κεῖται τὸ ὁμοούσιον ἢ ποία γραφὴ λέγει τοῦτο, ἀπεκρίθη ὁ αὐτὸς εὐλαβέστατος Εὐτυχής· οὐ κεῖται παρὰ τῆι γραφῆι, εἰς τὴν ἔκθεσιν δὲ τῶν πατέρων κεῖται. πρὸς τοῦτο ὁ εὐλαβέστατος πρεσβύτερος Μάμας ἀποκρινάμενος εἶπεν· ὃν τρόπον τὸ ὁμοούσιον οὐ κεῖται παρὰ τῆι γραφῆι, ἀλλὰ παρὰ τῶν πατέρων ἐξετέθη, οὕτω καὶ περὶ δύο φύσεων οἱ αὐτοὶ ἅγιοι πατέρες ἐξέθεντο. εἶπον κἀγὼ πρὸς ταῦτα· τέλειός ἐστιν ὁ θεὸς λόγος ἢ οὔ; λέγει ὁ αὐτὸς πρεσβύτερος· τέλειος. λέγω ἐγώ·
M VI 728 τέλειος ἄνθρωπος ὁ σαρκωθεὶς ἢ οὔ; λέγει ὁ αὐτὸς πρεσβύτερος· τέλειος. λέγω· εἰ τοίνυν θεὸς τέλειος καὶ ἄνθρωπος τέλειος, τί κωλύει λέγειν ἡμᾶς ἐκ δύο φύσεων ἕνα υἱόν; δύο τέλεια ἕνα ἀποτελοῦσιν υἱόν. πρὸς ταῦτα ἀπεκρίνατο ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἀρχιμανδρίτης Εὐτυχής· μὴ γένοιτο ἐμὲ εἰπεῖν ἐκ δύο φύσεων τὸν Χριστὸν ἢ φυσιολογεῖν τὸν θεόν μου. εἴτε οὖν βούλονται καθελεῖν με εἴτε θέλουσι ποιεῖν τι κατ' ἐμοῦ, κατὰ συγχώρησιν θεοῦ ποιείτωσαν· ἐγὼ γὰρ ἐν τῆι πίστει ἣι παρέλαβον, ἐν αὐτῆι ἕστηκα καὶ τελειωθῆναι βούλομαι. ἅπερ ἀκήκοα παρ' αὐτοῦ, ταῦτά ἐστιν.

452 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Εἰπὲ ἡμῖν τίνος ἕνεκεν τοιαῦτα περὶ τῆς πίστεως ἀκηκοὼς παρὰ τοῦ εὐλαβεστάτου Εὐτυχοῦς παραγενόμενος τῆι προτεραίαι ταῦτα παρεσιώπησας;

453 Ὁ εὐλαβέστατος Θεόφιλος πρεσβύτερος εἶπεν· Οἶδεν καὶ ἡ ὑμετέρα θεοφίλεια ὡς οὐ διὰ ταύτην ἀπεστάλημεν τὴν αἰτίαν, ἀλλὰ μόνον τοῦ καλέσαι τὸν πρεσβύτερον Εὐτυχῆ. δι' ὃ μὴ ἐρωτηθέντες περιττὸν ἡγησάμεθα ταῦτα εἰπεῖν περὶ ὧν οὐκ ἐνετάλθημεν.

454 Οἱ νοτάριοι εἶπον· Παρεγένετο καὶ Μάμας ὁ πρεσβύτερος, οὗ ἐμνημόνευσεν ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος.

455 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ἀναγινωσκέσθω τῶι εὐλαβεστάτωι πρεσβυτέρωι Μάμαι τὰ κατατεθέντα παρὰ Θεοφίλου τοῦ εὐλαβεστάτου πρεσβυτέρου.

456 Καὶ μετὰ τὸ ἀναγνωσθῆναι ὁ θεοφιλέστατος πρεσβύτερος Μάμας εἶπεν· Εἰ περὶ ἀνθρώπου ἦν τὸ ζητούμενον, ὄνομα κληρικοῦ ἔχων οὐκ ἂν ἐψευσάμην· περὶ δὲ πίστεως λεγομένων, οὐκ ἂν ἀρνήσομαι οὐδὲ ψεύσομαι· μὴ γένοιτο. ἐπειδὴ ἀποστελλόμενοι οὐδὲν ἕτερον ἐνετάλθημεν παρὰ τῆς ἁγίας συνόδου ἢ μόνον τὸ ὑπομνηστικὸν δοῦναι καὶ ἀπόκρισιν λαβεῖν εἴτε ἔρχεται εἴτε μή, διὰ τοῦτο ἐν τῆι πρώτηι καταθέσει ἅπερ ἠθέλησεν ἐκεῖνος λαλῆσαι, περιττὰ ἐνόμισα εἶναι καταθέσθαι. ἀλλ' ἐπειδήπερ ἠρώτησεν ὁ θεοσεβέστατος ἐπίσκοπος Εὐσέβιος καὶ τὰ λαληθέντα καταθέσθαι, τὰ αὐτὰ κἀγὼ κατατίθεμαι ἅπερ καὶ ὁ εὐλαβέστατος πρεσβύτερος Θεόφιλος κατέθετο. καὶ γὰρ ἡμῶν ἡσυχαζόντων καὶ μὴ βουλομένων αὐτῶι περὶ μηδενὸς λαλῆσαι αὐτὸς ἐφιλονείκει λέγων περὶ τοῦ δόγματος ὡς ἐφρόνει. καὶ ἠρέμα κατέγνωμεν αὐτοῦ· ἔλεγεν γὰρ ὅτι ὁ θεὸς λόγος

13—14 adfert Timotheus Aelurus f. 56b

MBPSΦΛn

2 ὅτι om. B 3 τὸν θν̄ λόγον ἔχειν δύο φύσεισ B ἀποκρινομένων P 6 ἀποκρινόμενοσ PS 8 τῶν δύο B 9 πρεσβύτεροσ εὐτυχὴσ B λέγω ἐγὼ BΦΛn εἶπον κἀγὼ MPS 10 λέγω MPΦΛn λέγω ἐγὼ BS 12 ὑποτελοῦσιν S 13 ἐκ δύο φύσεων εἰπεῖν BS εἰπεῖν γεγενῆσθαι B 16 ταύτη B ἅπερ οὖν S 17 εἰπὲ ἡμῖν] καὶ S τῆς om. S 18 ἀκούσασ B 19 κατεσιώπησασ S 20 πρεσβύτεροσ θεόφιλοσ B καὶ om. BS θεοφιλία S 21/22 εὐτυχῆν MP corr. M 24/25 θεοσεβέστατοσ B 27 μάμαντι BPS 30 λεγομένησ B ἀρνήσωμαι BP ψεύσωμαι BPcorr 33 εἶναι] ὑμῖν S 33—34 ἀλλ' — καταθέσθαι om. PS 33 ἐπειδὴ ἐπηρώτησεν B 34 θεοφιλέστατοσ B ταῦτα B ἐγὼ S 34/35 κατατίθημι MPS 35 καὶ om. B εἶπε καὶ κατέθετο B 35/36 ἡσυχασάντων B

σαρκωθεὶς τὴν ἀνθρωπείαν φύσιν τὴν πεσοῦσαν ἦλθεν ἐγεῖραι. εὐθέως ἐπιλαβόμενος εἶπον· ποίαν; πάλιν λέγει αὐτὸς ὅτι τὴν ἀνθρωπείαν φύσιν. ἔλεγον ἐγώ· σημείωσαί μοι τὴν ἀνθρωπείαν φύσιν, καὶ παρὰ ποίας φύσεως αὕτη ἀνηγέρθη. ἔλεγεν ὅτι ἐγὼ παρὰ τῆς γραφῆς οὐκ ἐδιδάχθην περὶ δύο φύσεων. εἶπον ἐγὼ ὅτι οὔτε περὶ τοῦ ὁμοουσίου παρὰ τῆς γραφῆς ἐδιδάχθημεν, ἀλλὰ παρὰ τῶν ἁγίων πατέρων τῶν τὰς γραφὰς καὶ νοησάντων εὐσεβῶς καὶ ἐκθεμένων πιστῶς. οὕτως οὖν παρελάβομεν καὶ περὶ τοῦ ὁμοουσίου καὶ περὶ τοῦ ἐκ δύο φύσεων εἶναι τὸν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ. ἔφησεν πρὸς ταῦτα ὅτι ἐγὼ θεότητα οὐ φυσιολογῶ οὔτε λέγω δύο φύσεις, μὴ γένοιτο. καὶ εἰμὶ ἐνταῦθα, κἂν καθαιρεθῶ, τάφος μοι ἔστω τὸ μοναστήριον, καὶ ἐὰν συγχωρῇ θεὸς παθεῖν μέ τι, ἤδιστα πάσχω· ἐγὼ γὰρ δύο φύσεις οὐχ ὁμολογῶ. διὰ δὲ τὴν αἰτίαν ἣν προεῖπον, ἐπειδὴ οὔτε συζητῆσαι ἀπήλθομεν, ἀλλὰ μόνον ἀπόκρισιν δοῦναι καὶ λαβεῖν, διὰ τοῦτο ταῦτα ἐν τῇ προτεραίαι οὐ κατεθέμεθα. M VI 729 L IIII 217 6 10

457 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Δῆλά ἐστιν τὰ παρὰ ἀμφοτέρων τῶν εὐλαβεστάτων πρεσβυτέρων κατατεθέντα· ὅθεν καὶ αὐτὰ ἀναλαμβανέσθω τῇ πίστει τῶν ὑπομνημάτων. 15

458 Συναχθείσης αὖθις τῆς ἁγίας καὶ μεγάλης συνόδου, προκειμένων τῶν ἁγίων καὶ φρικτῶν εὐαγγελίων καὶ προεδρεύοντος τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου ἡμῶν Φλαβιανοῦ ἐν τῷι σηκρήτωι τοῦ ἐπισκοπείου, τῇι ὁρισθείσηι προθεσμίαι, ἡμέραι δευτέραι, ἥτις ἐστὶν δευτέρα καὶ εἰκὰς τοῦ Νοεμβρίου μηνός,

Ἀστέριος πρεσβύτερος καὶ νοτάριος εἶπεν· Ἀπήντησεν ἡ κυρία ἡμέρα καὶ ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος πρὸ τῶν θυρῶν ἕστηκεν ζητῶν εἰσελθεῖν. 20

459 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Εἰσίτω.

460 Καὶ μετὰ τὸ εἰσελθεῖν ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ἀπελθόντες Φιλάδελφος καὶ Βήρυλλος οἱ διάκονοι ἐπιζητήσουσι τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ περὶ τὸ ἐπισκοπεῖον, εἴ γε κατὰ τὰς ἰδίας ὑποσχέσεις ἀπήντησεν, καὶ καλέσουσιν αὐτὸν εἰς τὸ συνέδριον. M VI 732 26

461 Καὶ ἐν τῷι μεταξὺ ἐπανελθόντες οἱ προειρημένοι ἔφησαν ἐζητηκέναι μὲν αὐτὸν ἀνὰ πᾶσαν τὴν ἐκκλησίαν, μὴ εὑρηκέναι δὲ μήτε αὐτὸν μήτε τινὰ τῶν αὐτοῦ.

462 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Καὶ αὖθις Κρισπῖνος καὶ Ἰοβιανὸς οἱ διάκονοι ἀπελθόντες ζητήσουσιν αὐτὸν περὶ τὴν ἐκκλησίαν καὶ ὅπουπερ ἂν μάθωσιν εἶναι, καλέσουσιν αὐτόν. 30

463 Οἱ δὲ ἀπελθόντες μετὰ τὸ ὑποστρέψαι εἶπον αὐτὸν μὲν μὴ εὑρηκέναι, μεμαθηκέναι

16—19 = infra 720

16 πρᾶξισ ξ̄ ἐν κ̄ω̄ M^{mg} inscr. ἑβδόμη πρᾶξισ τῶν ἐν κωνσταντινουπόλει συνελθόντων B

MBPSΦ, Λ^{n} [16—20 εἶπεν etiam in Coll. Nouar. 10, 95]

1 ἀνεγεῖραι MPS, corr. M 2 πάλιν om. S ὁ αὐτὸσ B ὅτι om. BS φύσιν om. S 2/3 σημείωσαί — φύσιν om. SΦ^{ac} σημείωσαί μοι BΛ^{n} *fige in memoriam* Φ^{r} σημειωσάμενοσ MP 3 ἀνηγέρθη BΦ^{ac}Λ^{n} ἀνηρέθη MPSΦ^{r} ὅτι om. S 4 τῆσ θείασ B λέγω S οὐδὲ B 5 τοῦ om. B 6 καὶ^{1} om. B 8 ὅτι om. S 9 καὶ — ἐνταῦθα om. S ἐστὶ B 9/10 με ὁ θσ̄ παθεῖν τί B 12 ἐν om. B 13/14 τῶν — πρεσβυτέρων om. PS εὐλαβεστάτων om. B cf. Φ^{c} 17 φρικτῶν] σεπτῶν B 18 σεκρέτω BPS 19 εἰκὰσ δευτέρα MP μηνὸσ νοεμβρίου S 20/21 εὐλαβέστατοσ B 22 εἰσιέτω B 24 *Cyrillus* Φ^{ac}Λ^{n} οἱ om. S ἐπιζητήσωσιν S 25 εὐτυχῆν MPS corr. M 27 ἐζητηκέναι μὲν] ἐζητήκαμεν S 29 Ἰοβιανὸσ PS Ἰωβιανὸσ M Ἰουβιανὸσ B *iouinianus* Φ^{r} *diogenianus* Φ^{ac}Λ^{n} 30 τε τὴν B εἶναι MPΦ αὐτὸν εἶναι B εἶναι αὐτὸν S *eum esse* Λ^{n} 30/31 καλέσουσιν BSΦ^{ac}Λ^{n} καὶ καλέσουσιν MPΦ^{cr} 31 αὐτὸν [om. S] εἰσ τὸ συνέδριον PS 32 οἱ δὲ — εἶπον] καὶ ἐν τῷ μεταξὺ ἐπανελθόντεσ οἱ προειρημένοι ἔφησαν P οἱ δὲ ἐπανελθόντεσ ἔφησαν S

δὲ μετὰ πολλῆς βοηθείας στρατιωτῶν καὶ μοναχῶν καὶ ἐπαρχικῶν μέλλειν αὐτὸν παραγενέσθαι.

464 Καὶ τούτων λεγομένων καὶ ἐκδεχομένης τῆς ἁγίας συνόδου ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος Ἰωάννης εἶπεν· Ἀπήντησεν ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἀρχιμανδρίτης Εὐτυχὴς μετὰ πολλοῦ πλήθους στρατιωτῶν καὶ μοναχῶν καὶ ταξεωτῶν τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἐπάρχου τῶν πραιτωρίων καὶ οὐχ ἑτέρως αὐτὸν βούλονται ἀπολῦσαι ἵνα εἰσέλθηι εἰς τὴν ἁγίαν ὑμῶν συνόδον, εἰ μὴ ἀντιφωνήσομεν ἀποκαθιστᾶν αὐτοῦ τὸ πρόσωπον· ἔστι δὲ καὶ Μάγνος ὁ θαυμασιώτατος σιλεντιάριος καὶ αὐτὸς ἅμα αὐτῶι πρὸ τῶν θυρῶν βουλόμενος εἰσελθεῖν ὡς ἀποσταλεὶς παρὰ τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου ἡμῶν βασιλέως.

465 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Εἰσίτωσαν.

466 Καὶ μετὰ τὸ εἰσελθεῖν ὁ θαυμασιώτατος σιλεντιάριος Μάγνος εἶπεν· Τῶν ποδῶν
L IIII 220 τῆς ἁγιωσύνης ὑμῶν, εἰ κελεύετε, δέξασθε τὴν ἀπόκρισιν τοῦ δεσπότου. φανερὰ γὰρ ὑμῖν ἐγγράφως ἐδήλωσεν, καὶ εἰ παρίσταται, ἀναγινωσκέσθω.

467 Ἡ ἁγία συνόδος εἶπεν· Ἀνάγνωθι τὰ παρὰ τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως προσταχθέντα, τέκνον.

Καὶ ἀνέγνω ὁ θαυμασιώτατος σιλεντιάριος Μάγνος οὕτως

468 Ἡμεῖς τῆς εἰρήνης φροντίζομεν καὶ τῶν ἁγίων ἐκκλησιῶν καὶ τῆς ὀρθοδόξου πίστεως καὶ φυλάττεσθαι θέλομεν τὴν ὀρθῶς καὶ θεοπνεύστως ἐκφωνηθεῖσαν πίστιν παρὰ τῶν πατέρων ἡμῶν τῶν ἐν Νικαίαι συναχθέντων τῶν τριακοσίων δέκα καὶ ὀκτὼ καὶ τῶν ἐν
M VI 733 Ἐφέσωι τῶν ἐπὶ τῆι καθαιρέσει Νεστορίου. τοῦτο οὖν θέλομεν μὴ σκάνδαλον εἰς τὴν προειρημένην ὀρθοδοξίαν βληθῆναι· ἐπειδὴ δὲ οἴδαμεν τὸν μεγαλοπρεπέστατον πατρίκιον Φλωρέντιον ὄντα πιστὸν καὶ μεμαρτυρημένον ἐπὶ τῆι ὀρθότητι, θέλομεν συνεῖναι αὐτὸν τῆι ἀκροάσει τῆς συνόδου, ἐπειδὴ λόγος περὶ πίστεώς ἐστιν.

469 Ἔτι τούτων ἀναγινωσκομένων ἡ ἁγία σύνοδος εἶπεν · Πολλὰ τὰ ἔτη τοῦ βασιλέως. μεγάλη ἡ πίστις τῶν βασιλέων. τῶν φυλάκων τῆς πίστεως πολλὰ τὰ ἔτη. τῶν ὀρθοδόξων βασιλέων πολλὰ τὰ ἔτη. τῶν εὐσεβεῖ τῶι ὀρθοδόξωι. τῶι εὐσεβεῖ βασιλεῖ. τῶι ἀρχιερεῖ βασιλεῖ. ἀκούετε ἅγιοι πατέρες. εὐχαριστοῦμεν τοῖς ὀρθοδόξοις βασιλεῦσιν.

470 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Τὸν κύριν Φλωρέντιον πιστὸν πάντες ἴσμεν καὶ μεμαρτυρημένον ἐπὶ ὀρθοδοξίαι καὶ βουλόμεθα αὐτὸν παρεῖναι· μάθωμεν δὲ καὶ παρὰ Εὐτυχοῦς τοῦ πρεσβυτέρου εἰ βούλεται αὐτὸν παρεῖναι.

471 Εὐτυχὴς πρεσβύτερος καὶ ἀρχιμανδρίτης εἶπεν· Ὃ δ' ἂν βούληται ὁ θεὸς καὶ ἡ ἁγιωσύνη ὑμῶν, ποιήσατε· ἐγὼ ἐμαυτὸν ὑμῖν παρατίθεμαι.

472 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ἐλθηι καὶ ὁ μεγαλοπρεπέστατος πατρίκιος Φλωρέντιος. καταξίωσον οὖν, τέκνον ὁ σιλεντιάριος, σκῦλαι αὐτόν.

MBPSΦ, Λ^n [praeter 25 ἡ ἁγία — 29; 469 = Coll. Nouar. 10, 96]. uersione Φ^a in 18—24 utitur Liberatus 11 p. 64 Garn.

1 βίασ S μοναζόντων B 1/2 παραγίνεσθαι B 3 λεγομένην S λελεγμένων B 5 καὶ²] καὶ ἐπαρχικῶν καὶ B 7 ἀντιφωνήσωμεν MP 7/8 ἀποκαθιστάναι S 8 σελεντιάριοσ S 9 καὶ αὐτὸς om. S βουλόμενοσ πρὸ τῶν θυρῶν S 11 εἰσιέτωσαν B 13 δέξασθαι MPΦΛ^n, corr. M ὑμῖν om. ΦΛ^n 14 *mandarunt* Λ^n 15 ἀναγινωσκέσθω B εὐσεβοῦσ B 16 τέκνον ὑπὸ τῆς σῆσ θαυμασιότητοσ B 17 οὕτωσ SΛ^n ὅτι MBP *ita quoniam* Φ 18 καὶ¹ om. $\Lambda^n\Phi^{ac}$ *dei ecclesiis* Φ^r 20 τῶν² om. BPS δεκαοκτὼ B 23 ἐν S 24 τῆσ πίστεωσ PS 26 φυλάκων] *oboedientium* Λ^n 26—28 πολλὰ — βασιλεῖ¹] τῶν ὀρθοδόξων αὐγούστων S 27 τῶι εὐσεβεῖ² om. B 30 κύριον MP 31 τῇ ὀρθοδοξία B 33 βούλεται MS

473 Ὁ θαυμασιώτατος σιλεντιάριος Μάγνος εἶπεν· Καὶ κελεύσατέ τινα μετ' ἐμοῦ πεμφθῆναι κληρικόν, μή πως ἀμφιβάλῃ περὶ τούτου ὅτι ἡ ἁγιωσύνη ὑμῶν [οὐκ] ἀπέστειλεν.

474 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Εἰ ἐκέλευσεν ὁ εὐσεβέστατος ἡμῶν βασιλεὺς ἡμᾶς πέμψαι, ἐπέμψαμεν ἄν· ἐπειδὴ δὲ οὐκ ἐκέλευσεν, αὐτὸς μόνος διάβηθι πρὸς τὴν αὐτοῦ μεγαλοπρέπειαν.

475 Καὶ μετὰ τὸ ἐλθεῖν τὸν μεγαλοπρεπέστατον καὶ ἐνδοξότατον ἀπὸ ἐπάρχων καὶ ὑπάτων καὶ πατρίκιον Φλωρέντιον ἡ ἁγία σύνοδος εἶπεν· Στήτωσαν εἰς μέσον ὅ τε κατηγορῶν καὶ ὁ κατηγορούμενος καὶ ἀναγινωσκέσθω ἄνωθεν ἡ γενομένη πρᾶξις ἐπὶ τῇ κατὰ τὸν θεοφιλέστατον ἐπίσκοπον Εὐσέβιον καὶ τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ ὑποθέσει, ἐφ' ᾧι τε ὁδηγηθέντας ἡμᾶς ἐκ τῶν προτέρων πέρας δοῦναι τοῖς ἤδη κινηθεῖσιν τῶι τε δικαίωι καὶ τοῖς ἁγίοις κανόσιν συμβαῖνον.

476 Καὶ παρελθὼν εἰς μέσον Ἀέτιος διάκονος καὶ νοτάριος ἀνεγίνωσκεν τὴν γεγενημένην πρᾶξιν τῶν ὑπομνημάτων. καὶ ἐν τῶι ἀναγινώσκειν φθάσαντος αὐτοῦ εἰς τὸ μέρος τῆς δευτέρας ἐπιστολῆς τοῦ τῆς θείας μνήμης Κυρίλλου τῆς γραφείσης πρὸς τοὺς θεοφιλεστάτους τῆς Ἀνατολῆς ἐπισκόπους, ἐν ἧι περιείχετο τὰ ῥήματα ταῦτα· ὁμολογοῦμεν τοιγαροῦν τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ τὸν μονογενῆ, θεὸν τέλειον καὶ ἄνθρωπον τέλειον ἐκ ψυχῆς λογικῆς καὶ σώματος, πρὸ αἰώνων μὲν ἐκ τοῦ πατρὸς γεννηθέντα κατὰ τὴν θεότητα, ἐπ' ἐσχάτου δὲ τῶν ἡμερῶν τὸν αὐτὸν δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Μαρίας τῆς παρθένου κατὰ τὴν ἀνθρωπότητα, ὁμοούσιον τῶι πατρὶ κατὰ τὴν θεότητα καὶ ὁμοούσιον ἡμῖν κατὰ τὴν ἀνθρωπότητα. δύο γὰρ φύσεων ἕνωσις γέγονεν, δι' ὃ ἕνα Χριστόν, ἕνα κύριον ὁμολογοῦμεν. κατὰ ταύτην τὴν τῆς ἀσυγχύτου ἑνώσεως ἔννοιαν ὁμολογοῦμεν τὴν ἁγίαν παρθένον θεοτόκον διὰ τὸ τὸν θεὸν λόγον σαρκωθῆναι καὶ ἐνανθρωπῆσαι καὶ ἐξ αὐτῆς τῆς συλλήψεως ἑνῶσαι ἑαυτῶι τὸν ἐξ αὐτῆς ληφθέντα ναόν. M VI 736 p. 108, 31—109, 5 L IIII 221

477 Ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπεν· Οὗτος, τῶν ποδῶν ὑμῶν, τοῦτο οὐχ ὁμολογεῖ οὐδὲ συνέθετό ποτε τούτοις, ἀλλ' ἐναντία τούτων ἐφρόνησεν καὶ ἐλάλησεν πρὸς ἕκαστον τῶν συντυγχανόντων αὐτῶι καὶ κατήχει.

478 Ὁ μεγαλοπρεπέστατος καὶ ἐνδοξότατος ἀπὸ ἐπάρχων καὶ ὑπάτων καὶ πατρίκιος Φλωρέντιος εἶπεν· Εἰ παρίσταται τῆι ὑμετέραι ὁσιότητι, ἐρωτάσθω ὁ πάπας Εὐτυχὴς εἴ γε συντίθεται τούτοις.

479 Ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπεν· Ἔνδοτε, ἀναγνωσθῆι πᾶσα ἡ πρᾶξις τῶν ὑπομνημάτων. ἀρκεῖ γάρ μοι ἡ πρᾶξις εἰς ἔλεγχον· καὶ γὰρ ἐμοὶ ἐληλεγμένος ἐστίν. οὐδὲ γὰρ ἄρτι ἐὰν σύνθηται λαβών ποθεν ἔκθεσιν, ἐγὼ πρόκριμα ὀφείλω ὑπομεῖναι. ἐγὼ ἀπέδειξα αὐτὸν καὶ διὰ τῶν καταθέσεων τῶν πρὸς αὐτὸν ἀποσταλέντων παρὰ τῆς ἁγίας συνόδου καὶ διὰ μαρτύρων ὁσιωτάτων ἐπισκόπων δύναμαι πάλιν τὰ αὐτὰ ἀποδεῖξαι, εἴ γε ἀρνήσοιτο. ἔστιν γὰρ ὁ κύρις Μελίφθογγος καὶ ὁ κύρις Ἰοβιανὸς καὶ ὁ κύρις Ἰουλιανός, εἰδότες ἀκριβῶς.

480 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Οὐδεὶς οὔτε σοὶ συγχωρεῖ, ἐπίσκοπε Εὐσέβιε,

---

MBPSΦΛⁿ

1 καὶ om. BS 1/2 πεμφθῆναι μετ' ἐμοῦ B 2/3 ὅτι — ἀπέστειλεν om. S 2 οὐκ M^{corr}B om. MPΦΛⁿ 4 ἡμῶν om. B 5 ἡμᾶς om. Φ 7 εἰσελθεῖν BPS 8 πατρικίων MP ἐν τῶ μέσω B 9 γινομένη S 11 εὐτυχῆν PS ὑπόθεσισ P 12 ἐπὶ τοῖσ P τῶι — συμβαῖνον MPBSΛⁿ om. Φ 13/14 γενομένην S 15 μέρος] μέσον B θείασ MP ὁσίασ B 16 περιεῖχεν MP 17 ιν χν S 19 ἐσχάτων BS 24 τῆς om. B 25 συλληφθέντα B ναὸν BΦΛⁿ ἄνθρωπον MPS 28 καὶ κατήχησεν B διδάσκων S 29 πατρικίων MP 30 ἁγιωσύνη B ἐρωτάσθω om. S 31 γε] τε PΦ om. S 32 ἀναγνωσθῆναι PS 33 καὶ] ἤδη BΛⁿ 34 συντεθῆται S 35 καὶ om. B αὐτῶν M 36 ὁσίων S 37 Ἰοβιανὸς] *Iouinus* Λⁿ et Rusticus in adnotatione *Iohannes* Φ

μὴ ἐλέγξαι αὐτὸν οὔτε τὸν πρεσβύτερον Εὐτυχῆ ἐκ τοῦ παραχρῆμα δέχεταί τις συντιθέμενον, ἐὰν μὴ ἐλεγχθῆι τί πρότερον ἐφρόνει.

481 Ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπεν· Δέδοικα αὐτοῦ τὴν περιδρομήν.
M VI 737 ἐγὼ πένης εἰμί, ἀκτήμων· ἐξορίαν μοι ἀπειλεῖ, χρήματα ἔχει· ἀναζωγραφεῖ μοι ἤδη τὴν Ὄασιν.

482 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Κἂν μυριάκις ταῦτα λέγηις ἐπιμένων, ἡμεῖς τῆς ἀληθείας οὐδὲν προτιμῶμεν.

483 Εὐσέβιος ἐπίσκοπος εἶπεν· Ἐὰν ἁλῶ ἐγὼ συκοφάντης, ἀφαιρεθῶ τῆς ἀξίας.

484 Ὁ μεγαλοπρεπέστατος καὶ ἐνδοξότατος ἀπὸ ἐπάρχων καὶ ὑπάτων καὶ πατρίκιος Φλωρέντιος εἶπεν· Πεῦσις προσενεχθῆι τῶι πρεσβυτέρωι Εὐτυχεῖ πῶς πιστεύει καὶ τί λέγει, καὶ τότε πάλιν ἐρωτάσθω διὰ τί νῦν ταῦτα λέγων πρότερον ἄλλως ἐφρόνει.

485 Εὐσέβιος ἐπίσκοπος εἶπεν· Καθὼς προεῖπον, προκρίματός μοι μὴ γινομένου ἀπὸ τῆς νῦν αὐτοῦ καταθέσεως ἐρωτάσθω. ἐγὼ γὰρ ἀπὸ τῶν ἤδη πραχθέντων ὑπομνημάτων ἤλεγξα αὐτὸν οὐκ ὀρθῶς φρονοῦντα.

486 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Οὐκ ἔσται σοι πρόκριμα ἀπὸ τοῦ νῦν αὐτὸν κατατίθεσθαι· ἡ γὰρ ἤδη γεγενημένη πρᾶξις τὴν ἰδίαν ἰσχὺν ἔχει.

487 Εὐσέβιος ἐπίσκοπος εἶπεν· Συντίθεται τοῖς τοῖς ἀναγνωσθεῖσιν ἄρτι τοῖς τοῦ μακαρίου Κυρίλλου καὶ ὁμολογεῖ δύο φύσεων ἕνωσιν γεγενῆσθαι ἐν ἑνὶ προσώπωι καὶ μιᾶι ὑποστάσει ἢ οὔ;

488 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ἤκουσας, πρεσβύτερε Εὐτυχῆ, τί ὁ κατή-
L IIII 224 γορός σου λέγει· λέγε τοίνυν εἰ ἐκ δύο φύσεων ἕνωσιν ὁμολογεῖς.

489 Εὐτυχὴς πρεσβύτερος εἶπεν· Ναὶ ἐκ δύο φύσεων.

490 Εὐσέβιος ἐπίσκοπος εἶπεν· Ὁμολογεῖς δύο φύσεις, κύρι ὁ ἀρχιμανδρίτης, μετὰ τὴν ἐνανθρώπησιν καὶ ὁμοούσιον ἡμῖν εἶναι τὸν Χριστὸν λέγεις κατὰ σάρκα ἢ οὔ;

491 Ἡ ἁγία σύνοδος εἶπεν· Ἄρον καῦσον Εὐσέβιον. οὗτος ζῶν καῆι. οὗτος εἰς δύο γένηται. ὡς ἐμέρισεν, μερισθῆι.

492 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἀνεκτὸς ὑμῖν ἐστιν οὗτος ὁ λόγος μετὰ τὴν ἐνανθρώπησιν δύο φύσεις εἰπεῖν;

493 Ἡ ἁγία σύνοδος εἶπεν· Ἀνάθεμα τῶι λέγοντι.

494 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἐπειδὴ καὶ τῶν φωνῶν ὑμῶν χρείαν
M VI 740 ἔχω καὶ τῶν χειρῶν, εἴ τις οὐ δύναται βοῆσαι, τὴν χεῖρα ἐκτεινάτω.

495 Ἡ ἁγία σύνοδος εἶπεν· Εἴ τις λέγει δύο, ἀνάθεμα.

496 Καὶ ἐν τῶι ἀναγινώσκεσθαι οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Ταῦτα οὐδεὶς εἶπεν. ταῦτα Διόσκορος εἶπεν. ταῦτα οἱ Αἰγύπτιοι εἶπον.

10—11 cf. infra 721 12—13 cf. infra 727 17—32 adfert Timotheus Aelurus f. 57ª 25 ἡ ἐπι διοσκόρου M^{mg} τῆσ ἐν ἐφέσω δευτέρασ ἐπὶ διοσκόρου B^{mg} 26 post μερισθῆ in textu ἡ ἐπὶ διοσκόρου P 33 οἱ [om. B^{mg}] ἐν χαλκηδόνι [καλχηδόνι MPS] $M^{mg}B^{mg}$ post ἀναγινώσκεσθαι PS

MBPSΦ, $Λ^{n}$ [praeter 33 — p. 141, 4; 491—495 — Coll. Nou. 10, 100—104]

1 εὐτυχῆν MPS, corr. M 2 ὅτι B 4 ἤδη om. S 5 Ὄασιν] νόησιν PS 6 λέγεισ M 9 ἐπάρχων καὶ om. MP καὶ 3 om. B 10 προσηνέχθη PS εὐτυχῆ S 10/11 καὶ τί λέγει om. $Λ^{n}$ 11 νῦν] τοίνυν BS ἄλλα B ἐφρόνεισ S *asserebat* $Λ^{n}$ 12 μὴ om. S γενομένου B 13 αὐτοῦ om. M 15—17 Οὐκ — εἶπεν om. PS 15 ἔσται $MΦ^{r}Λ^{n}$ ἔστι $BΦ^{ac}$ 17 τούτοις om. S ἄρτι ἀναγνωσθεῖσι S τοῖς om. S 20 ὁ — ἤκουσας] ἤκουσασ οὖν S ὁ — ἀρχιεπίσκοπος] Φλωρέντιος Tim. 21 λέγε — ὁμολογεῖς om. S Tim. λέγε τοίνυν] λεγέτω νῦν $Λ^{n}$ 23 κῦρι ἀρχιμανδρῖτα B 24 κατὰ σάρκα λέγεισ B λέγεισ S 28 καὶ μετὰ $Λ^{n}$ 31 εἴ] ἢ M 32 δύο λέγει S 34 οὐδεὶσ εἶπε ταῦτα B

497 Οἱ εὐλαβέστατοι ἐπίσκοποι Αἰγύπτιοι εἶπον· Ταῦτα καὶ τότε εἴπομεν καὶ νῦν λέγομεν.

Κωνσταντῖνος ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀπὸ τοῦ αὐτοῦ σχεδαρίου ἀνέγνω

498 Εὐτυχὴς πρεσβύτερος εἶπεν· Ἐγὼ οὐκ ἦλθον διαλεχθῆναι, ἀλλὰ ἦλθον πεῖσαι τὴν ὁσιότητα ὑμῶν ὅπως φρονῶ. γέγραπται γὰρ ἐν τῶι χάρτηι τούτωι τὸ ὅπως φρονῶ, καὶ κελεύσατε αὐτὸν ἀναγνωσθῆναι.

499 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Αὐτὸς ἀνάγνωθι.

500 Εὐτυχὴς πρεσβύτερος εἶπεν· Οὐ δύναμαι.

501 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Διὰ τί; σὺ οὐκ ἐξέθου ἢ ἄλλου ἐστὶν ἡ ἔκθεσις; εἰ σή ἐστιν, ἀνάγνωθι αὐτός.

502 Εὐτυχὴς πρεσβύτερος εἶπεν· Ἐμὴ μέν ἐστιν ἡ ὑπαγορία, ἡ δὲ ὑπαγορία ἴση ἐστὶν τῶν ἁγίων πατέρων.

503 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ποίων πατέρων; εἰπὲ δι' ἑαυτοῦ· τί χρείαν ἔχεις χάρτου;

504 Καὶ ἐν τῶι ἀναγινώσκεσθαι Ἰωάννης ἐπίσκοπος Ἡφαίστου εἶπεν· Ὅτε μὲν ἀπῆν καὶ οὐκ ἠλπίζετο εἰς τὸ συνέδριον παραγενέσθαι, πᾶσα αὐτῶι φιλανθρωπία κατεπηγγέλλετο τῶι δοκεῖν· ἐπειδὴ δὲ παραγέγονεν, τότε πάσης ἀπανθρωπίας εἰς πεῖραν ἄγεται.

505 Εὐτυχὴς πρεσβύτερος εἶπεν· Οὕτω πιστεύω· προσκυνῶ τὸν πατέρα μετὰ τοῦ υἱοῦ καὶ τὸν υἱὸν μετὰ τοῦ πατρὸς καὶ τὸ ἅγιον πνεῦμα μετὰ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ. ὁμολογῶ δὲ τὴν ἔνσαρκον αὐτοῦ παρουσίαν γεγενῆσθαι ἐκ τῆς σαρκὸς τῆς ἁγίας παρθένου καὶ ἐνανθρωπῆσαι αὐτὸν τελείως διὰ τὴν σωτηρίαν ἡμῶν. οὕτως ὁμολογῶ ἐπὶ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος καὶ τῆς ὑμετέρας ἁγιωσύνης.

506 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Καταδεχόμεθα ταύτην τὴν φωνήν.

507 Ἡ ἁγία σύνοδος εἶπεν· Αὕτη ἡ πίστις τῶν πατέρων.

508 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἐπειδὴ λέγει ἡ θεοσέβεια ὑμῶν αὕτη ἡ πίστις τῶν πατέρων, ποία πίστις; ἣν ἐξέθετο τίς;

509 Ἡ ἁγία σύνοδος εἶπεν· Εὐτυχής· ὁ γὰρ Εὐσέβιος ἀσεβής ἐστιν.

510 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἠκούσατε τῆς πίστεως Εὐτυχοῦς τοῦ ἀρχιμανδρίτου, ἰδοὺ πᾶσιν ὑμῖν ὁ σκοπὸς αὐτοῦ εὐσύνοπτος ἐγένετο.

---

5 τῆσ ἐν κωνσταντινουπόλει B^{mg} 16 ἐπι διοσκόρου M^{mg} τῆσ ἐν ἐφέσω δευτέρασ συνόδου B^{mg} 20 ἐπι φλαβιανοῦ M^{mg} ἐν κωνσταντινουπόλει B^{mg} ἔκθεσισ πίστεωσ εὐτυχοῦσ B^{mg} σημ ὅτι ἐπὶ ταύτηι τῆι ἐκθέσει τῆσ ὁμολογίασ ἐδέξατο διόσκοροσ εὐτυχῆ ἅμα πάσηι τῆ συνόδω M^{mg} 25 ἐπὶ διοσκόρου M^{mg} ἐν τῆ ληστρικῆ συνόδω B^{mg}

5—15. 20—24 = infra 736

MBPSΦ, Λ^{n} [praeter 1—4; 14—31 = Coll. Nou. 10, 106—111]

1 αἰγύπτου B καὶ^{1} om. B 3 τοῦ — κονσιστωρίου om. B 4 σχιδαρίου P^{1} 5 ὁ εὐτυχὴσ P 6 ὑμῶν ὁσιότητα S σὴν ὁσιότητα P ὁσιότητα ὑμῶν P^{mg} χάρτηι τούτωι] αὐτῶ χάρτη S 6/7 τὸ — φρονῶ om. S 6 τὸ om. B 7 αὐτὸ S 10 σὺ οὐκ SΦΛ^{n} σὺ οὖν P^{1} αὐτὸσ M^{corr}B 11 αὐτό S 12 μέν om. B ἡ ὑπαγορία — ὑπαγορία P et infra 736 ἡ ὑπαγορία ἡ ὑπαγορία ΦΛ^{n} ἡ ὑπαγορία ἡ S ἡ ἔκθεσισ ἡ δὲ ὑπαγορία M^{corr}B ἴση MBPSΦΛ^{n} αὕτη infra 736 13 τῶν MPS τῆ τῶν B 14 πατέρων om. S διὰ σεαυτοῦ infra 736 16 καὶ — ἀναγινώσκεσθαι om. MPS 17/18 τῶ δοκεῖν κατεπηγγέλλετο S ἐπηγγέλλετο B 18 *quia putabatur non adesse* Λ^{n} τὸ M ἐπεὶ S παρεγένετο B τότε om. PS 20 προσκυνῶν MPΦ 31 ἡμῖν B

511 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ὁμολογεῖς ὁμοούσιον τῶι πατρὶ κατὰ τὴν
L IIII 225 M VI 741 θεότητα καὶ ὁμοούσιον τῆι μητρὶ κατὰ τὴν ἀνθρωπότητα τὸν αὐτὸν ἕνα υἱὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν;

512 Εὐτυχὴς πρεσβύτερος εἶπεν· Ἐγὼ ἐπειδὴ παρεθέμην ἐμαυτὸν τῆι ἁγιωσύνηι ὑμῶν, εἶπον ὅπως φρονῶ περὶ αὐτοῦ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· τί ποτε ἄλλο, μηκέτι με ἐξετάζετε.

513 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Νῦν ὁμολογεῖς ἐκ δύο φύσεων;

514 Εὐτυχὴς πρεσβύτερος εἶπεν· Ἐπειδὴ ὁμολογῶ θεόν μου καὶ κύριόν μου κύριον οὐρανοῦ καὶ γῆς, ἕως σήμερον φυσιολογεῖν ἐμαυτῶι οὐκ ἐπέτρεπον, ὁμοούσιον δὲ ἡμῖν ἕως νῦν οὐκ εἶπον πρὸ τούτου, ὁμολογῶ.

515 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Οὐ λέγεις ὁμοούσιον τῶι πατρὶ κατὰ τὴν θεότητα καὶ ὁμοούσιον ἡμῖν τὸν αὐτὸν κατὰ τὴν ἀνθρωπότητα;

516 Εὐτυχὴς πρεσβύτερος εἶπεν· Ἕως σήμερον οὐκ εἶπον τὸ σῶμα τοῦ κυρίου καὶ θεοῦ ἡμῶν ὁμοούσιον ἡμῖν, τὴν δὲ ἁγίαν παρθένον ὁμολογῶ εἶναι ἡμῖν ὁμοούσιον καὶ ὅτι ἐξ αὐτῆς ἐσαρκώθη ὁ θεὸς ἡμῶν.

517 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ὁμοούσιος οὖν ἡμῖν ἐστιν ἡ παρθένος, ἐξ ἧς ἐσαρκώθη ὁ δεσπότης Χριστός;

518 Εὐτυχὴς πρεσβύτερος εἶπεν· Εἶπον ὅτι ἡ παρθένος ὁμοούσιος ἡμῖν ἐστιν.

519 Ὁ θεοφιλέστατος ἐπίσκοπος Βασίλειος εἶπεν· Εἰ ἡ μήτηρ ἐστὶν ἡμῖν ὁμοούσιος, καὶ αὐτός· υἱὸς γὰρ ἀνθρώπου ἐκλήθη. εἰ οὖν ἡ μήτηρ αὐτοῦ ὁμοούσιος ἡμῖν ἐστιν, καὶ αὐτὸς κατὰ σάρκα ὁμοούσιος ἡμῖν ἐστιν.

520 Εὐτυχὴς πρεσβύτερος εἶπεν· Ἐπειδὴ νῦν λέγετε, πᾶσιν στοιχῶ.

521 Ὁ μεγαλοπρεπέστατος καὶ ἐνδοξότατος ἀπὸ ἐπάρχων καὶ ὑπάτων καὶ πατρίκιος Φλωρέντιος εἶπεν· Τῆς μητρὸς ὁμοουσίου ἡμῖν οὔσης πάντως καὶ ὁ υἱὸς ὁμοούσιος ἡμῖν ἐστιν.

522 Εὐτυχὴς πρεσβύτερος εἶπεν· Ἕως σήμερον οὐκ εἶπον· ἐπειδὴ γὰρ σῶμα θεοῦ αὐτὸ ὁμολογῶ (προσέσχες;), οὐκ εἶπον σῶμα ἀνθρώπου τὸ τοῦ θεοῦ σῶμα, ἀνθρώπινον δὲ τὸ σῶμα καὶ ὅτι ἐκ τῆς παρθένου ἐσαρκώθη ὁ κύριος. εἰ δὲ δεῖ εἰπεῖν ἐκ τῆς παρθένου καὶ ὁμοούσιον ἡμῖν, καὶ τοῦτο λέγω, κύρι, πλὴν τὸν υἱὸν τοῦ θεοῦ μονογενῆ, κύριον οὐρανοῦ καὶ γῆς, συνδεσπόζοντα καὶ συμβασιλεύοντα τῶι πατρί, μεθ' οὗ καὶ συγκαθέζεται καὶ συνυμνεῖται. οὔτε γὰρ λέγω τὸ ὁμοούσιον ἀρνούμενος τοῦ εἶναι αὐτὸν υἱὸν τοῦ θεοῦ. πρότερον μὲν οὐκ ἔλεγον, λέγω δέ σοι ὅ τι, νομίζω, ἐν ταῖς ἀρχαῖς οὐκ ἔλεγον, νῦν δὲ ἐπειδὴ ἡ ὁσιότης ὑμῶν εἶπεν τοῦτο, λέγω.

523 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Οὐκοῦν κατὰ ἀνάγκην, οὐ κατὰ γνώμην τὴν ἀληθῆ πίστιν ὁμολογεῖς;

---

1 ἐπὶ φλαβιανοῦ M^{mg} ἐν κωνσταντινουπόλει B^{mg}

1—3 cf. infra 756

26 ἐπειδὴ — 32 θεοῦ. p.143, 7—13 adfert Timotheus Aelurus f. 56^{b}

MB, P [usque ad 13 σήμερον], p [inde a 13 οὐκ], SΦΛ^{n}

2 θεότητα τὸν υἱὸν B 6 με om. PS ἐξετάζετε BΦΛ^{n} ἐξέταζε MPS 8 καὶ κυρίόν μου om. Λ^{n} κν μου καὶ B κύριον^{2} BΦΛ^{n} om. MPS καὶ κύριον M^{mg} 9 ἐμαυτὸν S ἐπέτρεπον PSΛ^{n} ἐπιτρέπω MBΦ 13/14 καὶ θεοῦ om. pS 14 ἡμῶν om. B εἶναι om. S ὁμοούσιον ἡμῖν pS 16—18 om. Λ^{n} 16 καὶ ἐξ αὐτῆσ B 19 ὁμοούσιοσ ἡμῖν ἐστὶ B ἐστὶν ὁμοούσιοσ M 20 αὐτός] αὐτὸσ ὁ υἱόσ S αὐτοῦ pSΦΛ^{n} om. MB 21 ἐστιν om. S 22 πᾶσιν] κἀγὼ S 23 ἀπὸ ὑπάτων p πατρικίων Mp 24 εἶπεν ἐπεὶ S 27 πρόσεχε MpS, corr. M 29 καὶ^{1} om. Λ^{n} ὁμοούσιοσ pS κύριοι B om. S 31 οὐδὲ B τὸ om. MpS, corr. M 32 οὖν οὐκ B ὅ τι νομίζω] νομίζω ὅτι S *quia sic aestimo quia* Φ^{r} 33 οὐκ om. Λ^{n}

524 Εὐτυχὴς πρεσβύτερος εἶπεν· Ἄρτι, κύρι, οὕτως ἔχε· ἕως τῆς ὥρας ταύτης ἐφο- M VI 744
βούμην εἰπεῖν, ἐπειδὴ οἶδα τὸν κύριον θεὸν ἡμῶν, καὶ φυσιολογεῖν ἐμαυτῷ οὐκ ἐπέτρεπον· ἐπειδὴ δὲ ἡ ὁσιότης ὑμῶν ἐπιτρέπει καὶ διδάσκει, λέγω.

525 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Οὐχ ἡμεῖς καινοτομοῦμεν, ἀλλ' οἱ πατέρες ἐξέθεντο καὶ καθὼς ἡ ἐκτεθεῖσα πίστις παρ' αὐτῶν ἔχει, οὕτως πιστεύοντες τούτοις ἐμμεῖναι ἅπαντας βουλόμεθα καὶ μηδένα καινοτομεῖν.

526 Ὁ μεγαλοπρεπέστατος καὶ ἐνδοξότατος πατρίκιος Φλωρέντιος εἶπεν· Ὁμοούσιον καὶ ἐκ δύο φύσεων μετὰ τὴν ἐνανθρώπησιν τὸν κύριον ἡμῶν τὸν ἐκ τῆς παρθένου λέγεις ἢ οὔ;

527 Εὐτυχὴς πρεσβύτερος εἶπεν· Ὁμολογῶ ἐκ δύο φύσεων γεγενῆσθαι τὸν κύριον ἡμῶν πρὸ τῆς ἑνώσεως, μετὰ δὲ τὴν ἕνωσιν μίαν φύσιν ὁμολογῶ.

528 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Συντιθέμεθα τούτοις καὶ ἡμεῖς πάντες. L IIII 228

529 Ἡ ἁγία σύνοδος εἶπεν· Συντιθέμεθα.

530 Καὶ ἐν τῷ ἀναγινώσκεσθαι οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Ταῦτα οὐδεὶς εἶπεν. ἀνάθεμα τῷ εἰπόντι. ὁ φονεὺς ταῦτα εἶπεν. ταῦτα οἱ Αἰγύπτιοι εἶπον. ταῦτα τοῦ Φαραώ εἰσιν. ἀνάθεμα τοῖς εἰποῦσιν. ταῦτα Διοσκόρου εἰσίν. ταῦτα τοῦ φονέως εἰσίν. μετὰ ταῦτα τί ζητοῦμεν; τὰς φωνὰς τῷ βασιλεῖ. πολλὰ τὰ ἔτη τοῦ βασιλέως. πολλὰ τὰ ἔτη τῆς αὐγούστας. πολλὰ τὰ ἔτη τῆς συγκλήτου.

531 Εὐστάθιος ὁ εὐλαβέστατος ἐπίσκοπος Βηρυτοῦ εἶπεν· Καὶ ὁ σκοπὸς τοῦ εὐσεβεστάτου βασιλέως καὶ ὁ σκοπὸς τῆς εὐσεβεστάτης αὐγούστης καὶ ὁ σκοπὸς ὁ ὑμέτερος ἑνῶσαι βούλεται τὰς ἐκκλησίας. ἵνα τοίνυν μὴ μετὰ τὸ ἐξελθεῖν ἐντεῦθεν ἡμᾶς ἄρξωνται τινὲς λέγειν ὅτι ἐδογματίσθη δύο φύσεις λέγειν μετὰ τὴν ἕνωσιν μεμερισμένας

532 Καὶ ὡς ἔλεγεν, Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος Σελευκείας Ἰσαυρίας εἶπεν· Γνωρίζομεν τὰς δύο φύσεις, οὐ διαιροῦμεν. οὔτε διηρημένας οὔτε συγκεχυμένας λέγομεν.

533 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Διέξιθι τὰ λοιπά.
Κωνσταντῖνος ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀπὸ τοῦ αὐτοῦ σχεδαρίου ἀνέγνω

534 Ἡ ἁγία σύνοδος εἶπεν· Δεῖ σε σαφῶς ὁμολογῆσαι καὶ ἀναθεματίσαι πᾶν τὸ ὑπεναντίον τῶν νῦν ἀναγνωσθέντων δογμάτων.

535 Εὐτυχὴς πρεσβύτερος εἶπεν· Εἶπον τῇ ὁσιότητι ὑμῶν ὅτι πρὸ τούτου οὐκ ἔλεγον, M VI 745
νῦν δὲ ἐπειδὴ τοῦτο διδάσκει ἡ ὁσιότης ὑμῶν, λέγω καὶ ἀκολουθῶ τοῖς πατράσιν. οὔτε

---

10 σημ̄ ὅτι καὶ ἐπὶ ταύτῃ τῇ ὁμολογίᾳ δέχεται διόσκορος εὐτυχέα καὶ ἐπαινεῖ [ἐπαινοι M] ἅμα πάσῃ τῇ συνόδῳ M^{mg} 12 ἐπὶ Διοσκόρου M^{mg} ἐν ἐφέσῳ δηλονότι B^{mg} 24 οἱ ἐν χαλκηδόνι [καλχιδόνι M] M^{mg} ἐν τῇ χαλκηδόνων συνόδῳ B^{mg} 30 ἐν κωνσταντινουπόλει B^{mg} inscr. ἐπὶ φλαβιανοῦ MpS

MBpSΦ, Λ^{n} [praeter 14—29]

1 κύρι om. S ἔχε Φ^{ar} ἔχω M^{corr}BΦ^{c} ἔσχεν p εἶχεν S ἔχει Λ^{n} 2 ἐπειδὴ δὲ M^{corr} κ̄ν̄ τὸν θν S ἐν αὐτῷ p 4 ἀλλ' ὡσ B 5 παρ' αὐτῶν πίστισ S 5/6 ἐμμένειν B 8 τὸν^{2} om. S 12 ὑμεῖσ B 14 ἀναγνωσθῆναι B 15 ἐβόησαν BΦ εἶπον MpS 16/17 ἀνάθεμα — φονέως εἰσίν] ταῦτα τοῦ φονέωσ εἰσὶ ταῦτα διοσκόρου εἰσὶν ἀνάθεμα τοῖσ εἰποῦσι ταῦτα B 18 αὐγούστησ BpS 21 ὁ σκοπὸς om. SΦ^{ac} ὁ σκοπὸς om. S ἡμέτεροσ B 22 μὴ om. p ἐντεῦθεν om. B 23 λέγειν om. pS 24 Ἰσαυρίας om. MpS 25 γνωρίζομεν τὰς om. B 27 εἶπεν Mp 28 τοῦ — κονσιστωρίου om. B 29 σχιδαρίου p 31 δόγμα Λ^{n} 33 καὶ οὐκ B

δὲ ἐν ταῖς γραφαῖς εὗρον σαφῶς τοῦτο οὔτε οἱ πατέρες εἶπον πάντες. ἐὰν δὲ ἀναθεματίσω, οὐαί μοί ἐστιν, ὅτι τοὺς πατέρας μου ἀναθεματίζω.

536 Καὶ ἀναστᾶσα ἡ ἁγία σύνοδος ἐπεβόα λέγουσα· Ἀνάθεμα αὐτῷ.

537 Καὶ μετὰ ταῦτα ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Λεγέτω ἡ ἁγία σύνοδος τίνος ἐστὶν ἄξιος ὁ παρὼν μήτε ὁμολογῶν σαφῶς τὴν ὀρθὴν πίστιν μήτε συνθέσθαι τῷι φρονήματι τῆς παρούσης ἁγίας συνόδου βουλόμενος, ἀλλ' ἐπιμένων τῆι διεστραμμένηι καὶ πονηρᾶι αὐτοῦ κακονοίαι.

538 Ὁ θεοφιλέστατος ἐπίσκοπος Ἀμασείας Σέλευκος εἶπεν· Ἄξιος μέν ἐστιν οὗτος καθαιρέσεως, ἐν δὲ τῆι φιλανθρωπίαι μόνον τῆς ὑμετέρας κεῖται ἁγιωσύνης.

539 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Εἰ μὲν ὁμολογήσας τὸ οἰκεῖον πταῖσμα ἐπείσθη ἀναθεματίσαι τὸ ἴδιον δόγμα καὶ συνθέσθαι ἡμῖν ἑπομένοις ταῖς ἐκθέσεσιν τῶν ἁγίων πατέρων, εἰκότως ἠξιοῦτο συγγνώμης· ἐπειδὴ δὲ ἐπιμένει τῆι ἑαυτοῦ παρανομίαι, ὑποπεσεῖται τοῖς τῶν κανόνων ἐπιτιμίοις.

540 Εὐτυχὴς πρεσβύτερος εἶπεν· Λέγω μὲν ταῦτα, ἐπειδὴ καὶ ὑμεῖς νῦν ἐκελεύσατε, οὐκ ἀναθεματίζω δέ. ὃ γὰρ λέγω, μετὰ ἀληθείας λέγω.

541 Ὁ μεγαλοπρεπέστατος καὶ ἐνδοξότατος ἀπὸ ἐπάρχων καὶ ὑπάτων καὶ πατρίκιος Φλωρέντιος εἶπεν· Δύο φύσεις λέγεις καὶ ὁμοούσιον ἡμῖν; εἰπέ.

542 Εὐτυχὴς πρεσβύτερος εἶπεν· Ἐγὼ ἀνέγνων τοῦ μακαρίου Κυρίλλου καὶ τῶν ἁγίων πατέρων καὶ τοῦ ἁγίου Ἀθανασίου ὅτι ἐκ δύο μὲν φύσεων εἶπον πρὸ τῆς ἑνώσεως, μετὰ δὲ τὴν ἕνωσιν καὶ τὴν σάρκωσιν οὐκέτι δύο φύσεις εἶπον, ἀλλὰ μίαν.

543 Ὁ μεγαλοπρεπέστατος καὶ ἐνδοξότατος ἀπὸ ἐπάρχων καὶ ὑπάτων καὶ πατρίκιος Φλωρέντιος εἶπεν· Ὁμολογεῖς δύο φύσεις μετὰ τὴν ἕνωσιν; εἰπέ. ἐὰν μὴ εἴπηις, καθαιρῆι.

544 Εὐτυχὴς πρεσβύτερος εἶπεν· Ἀναγνωσθῆναι κελεύσατε τὰ τοῦ ἁγίου Ἀθανασίου, ἵνα γνῶτε ὅτι οὐδὲν τοιοῦτον λέγει.
L IIII 229

545 Ὁ θεοφιλέστατος ἐπίσκοπος Βασίλειος εἶπεν· Ἐὰν μὴ δύο φύσεις μετὰ τὴν ἕνωσιν εἴπηις, σύγκρασιν λέγεις καὶ σύγχυσιν.

546 Καὶ ἀναστὰς ὁ αὐτὸς Βασίλειος ἐπίσκοπος Σελευκείας Ἰσαυρίας εἶπεν· Ταύτην ἣν λέγουσίν με εἰρηκέναι φωνὴν ἐγὼ οὐκ εἶπον αὐταῖς λέξεσιν. οὐκ οἶδα ταῦτα εἰρη-
M VI 748 κώς, εἰρηκότος δὲ τοῦ μονάζοντος ἐκ δύο φύσεων λέγω τὸν κύριον Ἰησοῦν Χριστόν, μετὰ δὲ τὴν ἕνωσιν μίαν φύσιν καὶ μὴ προσθέντος σεσαρκωμένην καὶ ἐνανθρωπήσασαν [ταῦτα] οἶδα εἰρηκὼς ὅτι ἐὰν εἴπηις ἐκ δύο φύσεων, μετὰ δὲ τὴν ἕνωσιν εἴπηις μίαν καὶ ἐὰν μὴ προσθῆις σεσαρκωμένην καὶ ἐνανθρωπήσασαν, ὑπονοῆι σύγχυσιν λέγειν καὶ σύγκρασιν· ἐὰν δὲ προσθῆις σεσαρκωμένην καὶ ἐνανθρωπήσασαν, τὰ αὐτὰ τοῖς πατράσιν ἡμῶν

---

26 ἐπὶ διοσκόρου B^{mg} [falso] 28 ἐπὶ διοσκόρου M^{mg} ἐν χαλκηδόνι B^{mg} [falso]
4—17. 18—23 = infra 771. 775
24—27 = infra 777. 545. 546 cf. 168. 176. 788. 791. 850
26—30 εἰρηκώς adfert Timotheus Aelurus f. 56^{b}. 57^{a}

MBpSΦ, Λ^{n} [545—548 = Coll. Nou. 10, 119—122]

3 αὐτῶ μετὰ ἀνάγκησ οὐκ ἔνι πίστισ B 4 καὶ μετὰ ταῦτα om. BS 9 τῆ φιλάνια δὲ B κεῖται τῆσ ὑμετέρασ B 10 ἴδιον B 11 ἑπόμενοσ B 14 λέγω μὲν] λέγομεν p 16 πατρικίων Mp 17 Φλωρέντιος om. B εἰπέ] εἶναι Λ^{n} 19 ἁγιωτάτου B 21 πατρικίων Mp 24 μακαρίου B 26 ἐπίσκοποσ σελευκείασ B τὴν om. p 28 ὁ αὐτὸς om. B Σελευκείας om. MpΛ^{n} 29 οἶδα] *intellego* Λ^{n} 29/30 εἰρηκώς om. Φ 30 χν πρὸ τῆσ ἑνώσεωσ B 31 ταῦτα MpS om. BΦΛ^{n} 32 φύσεων πρὸ τῆσ ἑνώσεωσ B εἴπηις om. B ἐὰν om. B 33/34 ὑπονοῆι — ἐνανθρωπήσασαν om. S 33 καὶ²] ἢ B

λέγεις, δῆλον γὰρ ὅτι κατὰ τὴν ἔκθεσιν τῶν πατέρων [ὅτι] ἄλλο μέν τί ἐστιν ἡ θεότης αὐτοῦ, τουτέστιν τοῦ ἑνὸς κυρίου Ἰησοῦ Χριστοῦ, καὶ ἄλλο τι ἡ σὰρξ αὐτοῦ ἡ ἐκ μητρός.

547 Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Αὕτη οὖν ἡ φωνὴ παραπεποίηται;

548 Βασίλειος ἐπίσκοπος Ἰσαυρίας εἶπεν· Οὐ μέμνημαι οὐδὲ οἶδα εἰρηκώς.

549 Ὁ μεγαλοπρεπέστατος καὶ ἐνδοξότατος Φλωρέντιος εἶπεν· Ὁ μὴ λέγων ἐκ δύο φύσεων καὶ δύο φύσεις οὐ πιστεύει ὀρθῶς.

550 Καὶ ἀναστᾶσα ἡ ἁγία σύνοδος [ἅπασα] ἐπεβόα· Μετὰ ἀνάγκης οὐκ ἔστιν πίστις. πολλὰ τὰ ἔτη τῶν βασιλέων. τῶν ὀρθοδόξων βασιλέων πολλὰ τὰ ἔτη. ἡ πίστις ὑμῶν ἀεὶ νικᾶι. οὐ συντίθεται, τί αὐτὸν πείθεις;

551 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Διὰ πάντων πεφώραται Εὐτυχὴς ὁ πάλαι πρεσβύτερος καὶ ἀρχιμανδρίτης ἔκ τε τῶν ἤδη πεπραγμένων καὶ τῶν οἰκείων αὐτοῦ νῦν καταθέσεων τὴν Οὐαλεντίνου καὶ Ἀπολιναρίου κακοδοξίαν νοσῶν καὶ ταῖς ἐκείνων δυσφημίαις ἀμεταθέτως ἀκολουθῶν, ὅς γε οὐδὲ τὴν ἡμετέραν αἰδεσθεὶς παραίνεσίν τε καὶ διδασκαλίαν συνθέσθαι τοῖς ὀρθοῖς δόγμασιν κατεδέξατο· ὅθεν ἐπιδακρύσαντες καὶ στενάξαντες ἐπὶ τῆι παντελεῖ ἀπωλείαι αὐτοῦ ὡρίσαμεν διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ὑπ' αὐτοῦ βλασφημηθέντος ἀλλότριον αὐτὸν εἶναι παντὸς ἱερατικοῦ τάγματος καὶ τῆς πρὸς ἡμᾶς κοινωνίας καὶ τοῦ προεστάναι μοναστηρίου, εἰδότων ἐκείνων πάντων τῶν μετὰ ταῦτα διαλεγομένων αὐτῶι ἢ συντυγχανόντων ὡς ὑπεύθυνοι ἔσονται καὶ αὐτοὶ τῶι τῆς ἀκοινωνησίας ἐπιτιμίωι ὡς μὴ ἀποστάντες τῆς πρὸς αὐτὸν ὁμιλίας.

552
1 Φλαβιανὸς ἐπίσκοπος Κωνσταντινουπόλεως [νέας] Ῥώμης ὁρίσας ὑπέγραψα
2 Σατορνῖνος ἐπίσκοπος Μαρκιανουπόλεως ὁρίσας ὑπέγραψα M VI 749
3 Βασίλειος ἐπίσκοπος Σελευκείας Ἰσαυρίας ὁρίσας ὑπέγραψα
4 Σέλευκος χάριτι Χριστοῦ ἐπίσκοπος Ἀμασείας τοῦ Ἑλενοπόντου ὁρίσας ὑπέγραψα
5 Εὐλάλιος ἐπίσκοπος Χαλκηδόνος ὁρίσας ὑπέγραψα
6 Τιμόθεος ἐπίσκοπος ὁρίσας ὑπέγραψα
7 Δωρόθεος ἐπίσκοπος ἐλέει θεοῦ Νεοκαισαρείας ἀναγνοὺς καὶ συναινέσας ὑπέγραψα
8 Αἰθέριχος ἐπίσκοπος Σμύρνης ὥρισα· εἴ τις ἄλλο φρονεῖ ἕνεκεν τῆς πίστεως ἔξωθεν τῶν ὁρισθέντων παρὰ πάσης τῆς ἁγίας σύνοδου τῆς κατὰ Νίκαιαν, ἀνάθεμα ἔστω
9 Καλλίνικος ἐπίσκοπος Ἀπαμείας τῆς Βιθυνίας ὁρίσας ὑπέγραψα L IIII 231
10 Κεκρόπιος ἐλέει θεοῦ ἐπίσκοπος Σεβαστοπόλεως ὁρίσας ὑπέγραψα
11 Μελίφθογγος ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ ἡλιούπολιν ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὁρίσας ὑπέγραψα

---

5 ἐπὶ φλαβιανοῦ M^{mg} ἐν κωνσταντινουπόλει B^{mg} 10 εὐτυχοῦσ καθαίρεσισ inscr. M καθαίρεσισ εὐτυχοῦσ $M^{mg}B^{mg}$ 14 σημ̄ τὰ τῆσ καθαιρέσεωσ ῥήματα p^{mg}

5—6 = infra 777 7—9 = infra 783 10—20 = infra 825

3—4. 10—19 adfert Timotheus Aelurus f. 57a

MBpSΦ$Λ^n$

1 γὰρ MpS δὲ B om. Φ$Λ^n$ ὅτι¹ erasit M ὅτι² om. B$Λ^n$Φ^a 2 καὶ ἄλλο] ἄλλο δέ B αὐτοῦ om. B τῆσ μητρὸσ ἢ ἐσάρκωσεν ἑαυτόν καὶ ἐφθάρη ἐν τῶ χάρτη μέροσ B cf. infra 791 3 οὖν om. S 5 πατρίκιοσ φλωρέντιοσ B 7 ἅπασα MBPSΦ$Λ^n$, cf. Rusticum 783 adnotantem: hic Graeci codices male habent *omnis sancta synodus;* nam in praecedentibus, ubi ipsa actio prius inserta est, non habet ipsum *omnis* ἐστιν] ἔνι B 8 τῶν ὀρθοδόξων βασιλέων om. MS πολλὰ τὰ ἔτη om. S 9 ὑμῶν MΦ$Λ^n$ ἡμῶν BpS cf. infra 783 11 οἰκείων B et 825 ἰδίων MpS 14 ὀρθοδόξοισ B 17 ἐκείνων] *hoc* Φ 20 Ῥώμησ Φ νέασ ῥώμησ MpS om. B$Λ^n$ ἐπίσκοποσ om. inde a 21 S, inde a 22 B 23 χάριτι χριστοῦ om. BS τοῦ om. S inde a 23 ὁρίσας ὑπέγραψα et cetera omnia praeter ipsa episcoporum ciuitatumque nomina om. B 24 om. $Λ^n$ καλχηδόνοσ MpS 25. 26 post 28 coll. $Λ^n$ 26. 30. 31 etc. ἐλέει θῦ om. S 30 σεβαστουπόλεωσ Mcurr 31/32 μελίφθογγοσ τῆσ κατὰ ἡλιούπολιν B om. Φ^a 31 postulatur Ἰουλιόπολιν

12 Λογγῖνος ἐλέει θεοῦ ἐπίσκοπος Χερσονήσου ὁρίσας ὑπέγραψα
13 Τρύφων ἐπίσκοπος τῆς Χίου πόλεως τῶν Νήσων τοῦ θεοῦ ἐκκλησίας ὁρίσας ὑπέγραψα χειρὶ ἐμῇι
14 Παῦλος ἐπίσκοπος τῆς Ἀπολλωνιατῶν πόλεως ἁγίας ἐκκλησίας ὁρίσας ὑπέγραψα. ὁ ἑαυτὸν δείρας, οὐδεὶς αὐτοῦ φείδεται
15 Σάβας ἐπίσκοπος Πάλτου ὁρίσας ὑπέγραψα χειρὶ ἐμῇι
16 Ἰοβιανὸς ἐπίσκοπος Διβέλτου ὁρίσας ὑπέγραψα
17 Ἰουλιανὸς ἐλάχιστος ἐπίσκοπος τῆς Κῶ ὁρίσας ὑπέγραψα
18 Σαβινιανὸς ἐπίσκοπος τῆς κατὰ Τερμισσὸν καὶ Εὐδοκιάδα καὶ Ἰοβίαν ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὁρίσας ὑπέγραψα
19 Εὐστόχιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας Δοκιμίου ὁρίσας ὑπέγραψα
20 Πιόνιος ἐλάχιστος ἐπίσκοπος τῆς κατὰ Τρωάδα ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὁρίσας ὑπέγραψα
21 Κοσσίνιος ὁ ἐλάχιστος ἐπίσκοπος πόλεως Ἱεροκαισαρείας ὁρίσας ὑπέγραψα
22 Ἰωάννης ὁ ἐλάχιστος ἐπίσκοπος πόλεως Ὑρκανῶν ὁρίσας ὑπέγραψα
M VI 752 23 Διαφερόντιος ἐπίσκοπος πόλεως Ὄλβης ὁρίσας ὑπέγραψα
24 Ἰουλιανὸς ἐπίσκοπος πόλεως Μουστίνης ὁρίσας ὑπέγραψα
25 Ῥωμανὸς ἐπίσκοπος Εὐδοξιουπόλεως ὁρίσας ὑπέγραψα
26 Εὐδόξιος ⟨ἐπίσκοπος πόλεως⟩ Βοσπόρου ⟨ὑπέγραψα⟩ ὁρίσας διὰ τοῦ πρεσβυτέρου Βασιλίσκου
27 Θωμᾶς ὁ ἐλάχιστος ἐπίσκοπος Βαλεντινιανουπόλεως ὁρίσας ὑπέγραψα
28 Αὐρήλιος ἐπίσκοπος τῆς ὀππιτανῶν ὑπέγραψα
29 Τιμόθεος ἐπίσκοπος ἀριμουπόλεως ὁρίσας ὑπέγραψα
30 Γενέθλιος ἐπίσκοπος Ἀργείων ὑπέγραψα
31 Ἀνδρέας πρεσβύτερος καὶ ἀρχιμανδρίτης ὑπέγραψα τῆι καθαιρέσει Εὐτυχοῦς διὰ τοῦ πρεσβυτέρου Τιμοθέου
32 Φαῦστος πρεσβύτερος καὶ ἀρχιμανδρίτης ὑπέγραψα τῆι καθαιρέσει Εὐτυχοῦς τοῦ πάλαι πρεσβυτέρου καὶ ἀρχιμανδρίτου
33 Μαρτῖνος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Δίου ὑπέγραψα τῆι καθαιρέσει Εὐτυχοῦς τοῦ πάλαι πρεσβυτέρου καὶ ἀρχιμανδρίτου διὰ τοῦ ἀδελφοῦ Φιλίππου
34 Μανουήλιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης ὑπέγραψα τῆι καθαιρέσει Εὐτυχοῦς
35 Πέτρος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Θαλασσίου ὑπέγραψα
L IIII 232 τῆι καθαιρέσει Εὐτυχοῦς τοῦ πάλαι πρεσβυτέρου καὶ ἀρχιμανδρίτου διὰ Θεοδώρου μοναχοῦ

MBpSΦΛⁿ

1 χερσονήσσου MΦᵃ 2/3 τρύφων χίου πόλεωσ τῶν νησίων B 4 παῦλοσ ἀπολλωνιέων B ἐκκλησίασ ὧν p 5 ὁ γὰρ S 6 σάββασ B 7 ἰοβιανὸσ λιβέλτου B ἰοβινὸσ MpΦΛⁿ τοβιβιανὸσ S διβέλτου p δυβέλτου S δηβελτοῦ M 8 ἰουλιανὸσ τῆσ κῶ B 9/10 σαβινιανὸσ τῆσ κατὰ τέρμισον καὶ εὐδοκιάδα B 9 σαβιανὸσ pS ἰοβίαν καὶ εὐδοκιάδα S 11 εὐστόχιοσ [= Λⁿ] δοκιμίου B εὐτύχιοσ MpSΦ 12/13 πιόνιοσ B 14 εὐσίγνιοσ ἱεροκαισαρείασ B κοσσίνιοσ p κοσσίγνιοσ MSΦʳ 15 ἰωάννησ λυκαόνων B πόλεωσ om. pS 16 διαφερόντιοσ [= Λⁿ] ὀλόησ B διαφερέντιοσ MpSΦ 17 ἰουλιανὸσ παλαιστίνησ B μουστίνησ M μωστίνησ p μοστίνησ S 18 ῥωμανὸσ εὐδοξιουπόλεωσ B 19/20 om. S εὐδόξιοσ βοσπόρου B Εὐδόξιος — ὑπέγραψα om. Mp suppleui ex ΦΛⁿ ὁρίσας om. p 21—p. 147, 31 om. B 21 βαλεντιανουπόλεωσ pS 22 *Popitanae* Λⁿ ὁρίσασ ὑπέγραψα S *his gestis subscripsi* Φʳ post 22 habet *Secundinus episcopus Nouensis his gestis subscripsi Ianuarius episcopus ciuitatis Macrianae subscripsi* Λⁿ 23 om. pS ἀριμουπόλεωσ MΦ *priscopoleos* Λⁿ, *latet* Πριμουπόλεωσ 24 ἄργουσ pS 25, 26 om. Λⁿ 27 *archimandrites monasterii beati Dionysii* Λⁿ 29—31 om. Λⁿ 32/33 ὑπέγραψα — ἀρχιμανδρίτης om. p 33—35 ante 32 coll. Λⁿ

36 Ἰὼβ πρεσβύτερος καὶ ἀρχιμανδρίτης ὑπέγραψα τῇι καθαιρέσει Εὐτυχοῦς διὰ τοῦ διακόνου μου Ἀνδρέου
37 Ἀντίοχος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Θεοτέκνου ὑπέγραψα τῇι καθαιρέσει Εὐτυχοῦς
38 Ἀβράμιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης ὑπέγραψα τῇι καθαιρέσει Εὐτυχοῦς
39 Θεόδωρος μονάζων καὶ ἀρχιμανδρίτης ὑπέγραψα τῇι καθαιρέσει Εὐτυχοῦς
40 Θεόδωρος πρεσβύτερος καὶ ἀρχιμανδρίτης τῶν Αἰγυπτίων ὑπέγραψα τῇι καθαιρέσει Εὐτυχοῦς
41 Πιέντιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης τοῦ μαρτυρίου τῶν νηπίων ὑπέγραψα τῇι καθαιρέσει Εὐτυχοῦς
42 Φλαβιανὸς ἀρχιμανδρίτης μονῆς τοῦ ἁγίου Ἑρμάου ὑπέγραψα τῇι καθαιρέσει Εὐτυχοῦς M VI 753
43 Εὐσέβιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Ἡλία ὑπέγραψα τῇι καθαιρέσει Εὐτυχοῦς
44 Εὐσέβιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ ἁγίου Εὐλογίου ὑπέγραψα διὰ Θεοδούλου διακόνου μου τῇι καθαιρέσει Εὐτυχοῦς
46 Τρύφων ἀρχιμανδρίτης ὑπέγραψα τῇι καθαιρέσει Εὐτυχοῦς
46 Ἰάκωβος διάκονος καὶ ἀρχιμανδρίτης τῶν Σύρων ὑπέγραψα διὰ Ζωτικοῦ μονάζοντός μου τῇι καθαιρέσει Εὐτυχοῦς
47 Ἐλπίδιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης ὑπέγραψα τῇι καθαιρέσει Εὐτυχοῦς
48 Παῦλος πρεσβύτερος καὶ ἀρχιμανδρίτης τοῦ αἰθρίου ὑπέγραψα τῇι καθαιρέσει Εὐτυχοῦς
49 Κάρωσος πρεσβύτερος καὶ ἀρχιμανδρίτης ὑπέγραψα τῇι καθαιρέσει Εὐτυχοῦς
50 Ἀστέριος πρεσβύτερος καὶ ἀρχιμανδρίτης τῆς μονῆς τοῦ μακαρίου Λαυρεντίου ὑπέγραψα τῇι καθαιρέσει Εὐτυχοῦς
51 Καλλίνικος μονάζων καὶ ἀρχιμανδρίτης μονῆς τῶν Θεοδότου ὑπέγραψα τῇι καθαιρέσει Εὐτυχοῦς
52 Γερμανὸς πρεσβύτερος καὶ ἀρχιμανδρίτης ὑπέγραψα τῇι καθαιρέσει Εὐτυχοῦς διὰ Γλυκερίου διακόνου
53 Μάρκελλος ὁ ἐλάχιστος πρεσβύτερος καὶ ἀρχιμανδρίτης ὑπέγραψα τῇι καθαιρέσει Εὐτυχοῦς χειρὶ ἐμῇι

Ὅλοι ϝγ ὑπέγραψαν

553 Εὐτυχὴς ἀρχιμανδρίτης εἶπεν· Τινὰ τῶν ὑπομνημάτων τῶν ἀναγνωσθέντων παρεποιήθη καὶ ἔστιν τὰ ἐπὶ τούτοις πεπραγμένα καὶ ἀξιῶ ταῦτα ἀναγνωσθῆναι.

554 Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Ὑποδεχθέντα ἀναγινωσκέσθω καὶ ἐμφερέσθω τοῖς πραττομένοις ὑπομνήμασιν.

Ἰωάννης πρεσβύτερος καὶ πρῶτος νοταρίων ἀνέγνω

---

32 post εἶπεν inscr. ἐπὶ διοσκόρου MpS ἐν ἐφέσω Bmg

MBpS, Λ^n [usque ad 26 = Coll. Nouar. 2, 161; inde a 32 = Coll. Nouar. 10, 124 sq.]

2 μου om. S 5 ἀβραάμιοσ p 11 *Claudius archimandrita subscripsi* Λ^n ἑρμάου M ἑρμείου p *Hermylli* Φ 14/15 om. Λ^n post 16 coll. S 17 καὶ om. M τῶν om. S 20 αἰθρίου pΦ^{cr} ἑθρίου M^{corr} *aetherii* Φ^a 26—31 om. Λ^n, sed cf. Coll. Nouar. 10, 123 31 om. S πεντήκοντα τρεῖσ p 32 ὁ ἀρχιμανδρίτησ p πρεσβύτεροσ καὶ ἀρχιμανδρίτησ BΛ^n ὑπομνημάτων] ἀναγνωσμάτων S 32/33 παραπεποίηται B 34 ἀναγνωσθῶσι B

555 Ἀντίγραφον ὑπομνημάτων γενομένων Εἰδοῖς Ἀπριλλίαις ἐν Κωνσταντινουπόλει
L IIII 234 Φλαυίου Πρωτογένους καὶ τοῦ δηλωθησομένου ὑπάτου, θείαι κελεύσει, καθεζομένων
d. 13. m. Apr. 449 ἐν τῇι μειζοτέραι στοᾶι τῆς ἁγιωτάτης ἐκκλησίας

1 Φλαβιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου ταύτης τῆς ἐνδόξου πόλεως
M VI 756 2 Φλωρεντίου τοῦ μεγαλοπρεπεστάτου ἀπὸ ἐπάρχων πόλεως καὶ ἀπὸ ἐπάρχων πραιτωρίων τὸ ἕκτον καὶ ἀπὸ ὑπάτων καὶ πατρικίου
3 Θαλασσίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Καισαρέων πόλεως ἐπαρχίας Καππαδοκίας
4 Εὐσεβίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀγκυρανῶν πόλεως
5 Σελεύκου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀμασέων πόλεως
6 Βασιλείου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Σελευκέων πόλεως ἐπαρχίας Ἰσαυρίας
7 Ἀλεξάνδρου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Τομέων πόλεως ἐπαρχίας Σκυθίας
8 Μαρινιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Συναδέων πόλεως
9 Μελιφθόγγου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἰουλιουπολιτῶν πόλεως
10 Ἀκακίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀριαραθηνῶν πόλεως
11 Πρόκλου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀδραηνῶν πόλεως
12 Δανιηλίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Καδοηνῶν πόλεως
13 Σάβα τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Παλτηνῶν πόλεως
14 Λογγίνου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Χερσονησιτῶν πόλεως
15 Ἰωάννου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Βυρκαληνῶν πόλεως ἐπαρχίας Καρίας
16 Παυλίνου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Θεοδοσιουπολιτῶν πόλεως ἐπαρχίας Ἀσίας
17 Θωμᾶ τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Θεοδοσιουπολιτῶν πόλεως ἐπαρχίας Φρυγίας Πακατιανῆς
18 Τιμοθέου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀρκηνῶν πόλεως ἐπαρχίας Παλαιστίνης
19 Εὐσεβίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Δορυλαέων πόλεως ἐπαρχίας Φρυγίας Σαλουταρίας
20 Παύλου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀπολλωνιατῶν πόλεως ἐπαρχίας Βιθυνίας
21 Εὐδοξίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Βοσπορηνῶν πόλεως
22 Εὐστοχίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Δοκιμηνῶν πόλεως

---

1 τὰ πραχθέντα μετὰ τὴν καθαίρεσιν εὐτυχοῦσ ἐν κωνσταντινουπόλει, ἀναγνωσθέντα δὲ ἐν ἐφέσω ἐπὶ διοσκόρου M^{mg}

MBpSΦΛ^{n}

1 ἰδοῖσ M ἀπριλίαισ M 2 φλαυβίου Mp, corr. M 4 εὐλαβεστάτου MpSΦ^{act}Λ^{n} ἁγιωτάτου BΦ^{r} 6 καὶ^{2} om. Λ^{n} πατρικίων Mp 9 sq. hinc inde semper om. τοῦ εὐλαβεστάτου B 10 πόλεως om. B 11 τῆς — ἐπαρχίας] σελευκείασ B 12 ταμέων S ἐπαρχίας om. B 13 μαρινιανοῦ MpΦ μαριανοῦ BS *marino* Λ^{n} τῆς — πόλεως] συνάδων B 14 τῆς — πόλεως] ἡλιουπόλεωσ B ἰουλιουπολιτῶν M^{corr} ἰουλιοπολιτῶν MS ἰλιοπολιτῶν p 15 τοῦ — πόλεως] ἀριαραθίασ B ἀριαραθηνῶν p ἀριαθηνῶν S ἀριαθητῶν M ἀριαθιτῶν M^{corr} 16—p. 149, 18 om. Λ^{n} 16 τῆς — πόλεως] ἀδριανουπόλεωσ B cf. Φ Ἀδραηνῶν scripsi ἀδριανῶν p ἀνδριανῶν S ὁσροηνῶν M in ras. 17 δανιὴλ B τῆς om. B καλοηνίασ B 18 σάββα B τῆς — πόλεως] παλαιστηνοῦ B 19 τῆς — πόλεως] χερσονησιωτῶν B χερσοννησιτῶν p 20 *hyrcanopolitanus* Φ^{a} *hyrcadenupolitanus* Φ^{cr} πόλεως ἐπαρχίας om. B 21 τοῦ — πόλεως] θεοδοσιουπόλεωσ B 23 τῆς — ἐπαρχίας] θεοδοσιουπόλεωσ B 25 τοῦ — Παλαιστίνης] ἀρκηνῶν παλαιστηνοῦ B 25 ἀρκινῶν M σαρκηνῶν S σαρακηνῶν pΦ 27 τοῦ — ἐπαρχίας] δορυλλαίου B 29 τοῦ — ἐπαρχίας] ἀπολλωνιτῶν πόλεωσ B 31 τοῦ — πόλεως] βοσπόρου B 32 εὐτυχίου S τοῦ — πόλεως] δοκιμίου B

23 Τιμοθέου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Πριμουπολιτῶν πόλεως
24 Πέτρου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Θεοδοσιουπολιτῶν πόλεως ἐπαρχίας Ἀρμενίας
25 Σεκουνδίνου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Νοβηνσίων πόλεως
26 Κανδιδιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀντιοχέων πόλεως ἐπαρχίας Πισιδίας L IIII 235 M VI 757 6
27 Ἰουλιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Κῶ
28 Λογγίνου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Τυμανδηνῶν πόλεως ἐπαρχίας Πισιδίας
29 Γεροντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Βασιλινουπολιτῶν πόλεως 10
30 Περγαμίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀντιοχέων πόλεως ἐπαρχίας Πισιδίας
31 Παύλου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀνθηδονιτῶν πόλεως
32 Νατίρα τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Γαζαίων πόλεως
33 Εὐφρατᾶ τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἐλευθεροπολιτῶν πόλεως ἐπαρχίας Κρήτης 15
34 Τρύφωνος τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Χίου πόλεως
35 Αὐρηλίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀδραμυτηνῶν πόλεως

παρόντος Μάμα τοῦ περιβλέπτου κόμητος καὶ προξίμου τοῦ θείου σκρινίου τῶν λιβέλλων καὶ τῶν θείων κογνιτιόνων 20

556 Μακεδόνιος ὁ περίβλεπτος τριβοῦνος καὶ ῥεφερενδάριος εἶπεν· Τῇ πρὸ ἓξ Εἰδῶν Ἀπριλλίων ἀπὸ θείων μανδάτων ἐκελεύσθην τοὺς εὐλαβεστάτους ἐπισκόπους τὴν πίστιν τῶν πρώην γενομένων ὑπομνημάτων περὶ τῆς αἰτίας ἥτις μεταξὺ Φλαβιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου καὶ Εὐτυχοῦς τοῦ ἀρχιμανδρίτου κινεῖται, ἐκζητηθῆναι· ὅπερ ἐν τῷι παρόντι ὡσαύτως γενέσθαι ἡ βασιλικὴ ἐκέλευσεν αὐθεντία. d. 8. m. Apr. a. 449 25

557 Φλαύιος Φλωρέντιος ὁ μεγαλοπρεπέστατος ἀπὸ ἐπάρχων πόλεως καὶ ἀπὸ ἐπάρχων πραιτωρίων τὸ ἕκτον καὶ ἀπὸ ὑπάτων καὶ πατρίκιος εἶπεν· Τὰ πραχθέντα ἐπὶ τῇι καταθέσει τοῦ περιβλέπτου ῥεφερενδαρίου παρούσης τῆς ἁγίας συνόδου ἀναγινωσκέσθω.

Καὶ ὁπότε προηνέχθη τὸ σχεδάριον ἀπὸ τοῦ θείου σκρινίου τῶν λιβέλλων καὶ τῶν θείων κογνιτιόνων, παρὰ Ἰωάννου τοῦ καθωσιωμένου ἐκσκέπτορος τοῦ αὐτοῦ 30 θείου σκρινίου ἀνεγνώσθη

MB, p [usque ad 11/12 Πισιδίας], P[inde a 13 Παύλου], SΦΛ^{n}

1 τοῦ — πόλεως] πριμουπόλεωσ B cf. Φ τριμουπολιτῶν MpS 2 τοῦ — ἐπαρχίας] θεοδοσιουπόλεωσ B θεοδοσιουτῶν S 4 τοῦ — πόλεως] νικεσσίου B Νοβηνσίων scripsi cf. p. 150, 23 νοκηνσίων MpS *nocensianae* Φ^{cr} *nocissianae* Φ^{a} 5 κανδιανοῦ p 5/6 τοῦ — Πισιδίας] ἀντιοχείασ πισσιδίασ B 7 τοῦ — τῆς om. B τῆσ πόλεωσ κῶ S 8/9 τοῦ — Πισιδίας] στύμμα πισσιδίασ B 8 στυμανδηνῶν pS 10 τοῦ — πόλεως] βασιλινουπόλεωσ B βασιλοπολιτῶν S 11. 12 τοῦ — Πισιδίας] ἀντιοχείασ τριμιταρίασ B cf. Φ^{a} 13 τῆς — πόλεως] ἀνθηδόνοσ B 14 νατηράτου B νατήρου P νατίρου S τοῦ — πόλεως] γάζησ B γαζέων MP^{corr} 15 εὐφράτου BS τοῦ — πόλεως] ἐλευθεροπόλεωσ B 17 τοῦ — πόλεωσ] χίου B 18 ἀβρηλίου B τοῦ — πόλεως] ἀδραμυτηνοῦ B ἀδραμυτινῶν P ἀδραμητινῶν S 19 παρόντος om. S μάμαντοσ PS πρωξίμου BP 21 τριβοῦνος om. B τῇι om. S Ἰδῶν M 22 ἀπριλίων M, corr. M 23 γενομένων om. S 24 κεκίνηται B 26 φλάβιοσ S φλαύβιοσ P φλαβιανὸσ M ὁ μεγαλοπρεπέστατος om. B πόλεως — ἐπάρχων om. B 27 καὶ^{2} BΦ om. MPS 28 ἀναγνωσθήτω B 29 προσηνέχθη BS σχιδάριον P 30 ἐκσκέπτοροσ M^{corr} ἐσκέπτοροσ S ἑκσκέπτωροσ P ἐξκέπτοροσ M ἐξσκέπτοροσ B

558 Φλαυίου Πρωτογένους τοῦ λαμπροτάτου καὶ τοῦ δηλωθησομένου ὑπάτου πρὸ
d. 8. m. Apr. ἐξ εἰδῶν Ἀπριλλίων, ἐν Κωνσταντινουπόλει, θείαι κελεύσει, καθεζομένων ἐν τῷι ἁγίωι
a. 449 τῆς καθολικῆς ἐκκλησίας βαπτιστηρίωι

1 Θαλασσίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Καισαρέων πόλεως Καππαδοκίας
2 καὶ Εὐσεβίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀγκυρανῶν πόλεως
3 Κωνσταντίνου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Μελιτηνῶν πόλεως
M VI 760 4 Βασιλείου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Σελευκέων πόλεως ἐπαρχίας Ἰσαυρίας
5 Σατορνίνου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Μαρκιανουπόλεως
6 Μαρινιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Συναδηνῶν πόλεως
7 Πατρικίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Τυανέων πόλεως
8 Τρύφωνος τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Χίου πόλεως
9 Σελεύκου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀμασέων πόλεως
L IIII 238 10 Κανδιδιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀντιοχέων πόλεως ἐπαρχίας Πισιδίας
11 Τιμοθέου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀρκηνῶν πόλεως
12 Νατίρα τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Γαζαίων πόλεως
13 Εὐσταθίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Παρνασηνῶν πόλεως
14 Παύλου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀνθηδονέων πόλεως
15 Θωμᾶ τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Θεοδοσιουπολιτῶν πόλεως
16 Εὐστοχίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Δοκιμηνῶν πόλεως
17 Γεροντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Βασιλινουπολιτῶν πόλεως
18 Ἀκύλα τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Αὐροκλέων πόλεως
19 Σεκουνδίνου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Νοβησίων πόλεως
20 Ἀκακίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀριαραθηνῶν πόλεως
21 Ἰουλιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Κῶ
22 Πρόκλου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀδραηνῶν πόλεως
23 Εὐδοξίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Βοσπορηνῶν πόλεως
24 Σάβα τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Παλτηνῶν πόλεως
25 Τιμοθέου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Πριμοπολιτῶν πόλεως
26 Παυλίνου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Θεοδοσιουπολιτῶν πόλεως ἐπαρχίας Ἀσίας

MBPSΦΛ^{n}

1 φλαυβίου MP φλαβίου M^{corr}S 2 ἐξ MBPSΛ^{n} πέντε BΦ ιδῶν M ἀπριλίων M, corr. M ἁγιωτάτω B 3 τῆς — ἐκκλησίας om. B 4 τῆς — πόλεως] καισαρειας B 5 καὶ om. BS τοῦ — πόλεως] ἀγκύρας B 6 τοῦ — πόλεως] μελιτηνῆσ B μελιτινῶν MP μελητινῶν S 7 τοῦ — ἐπαρχίας] σελευκειασ B 8—p. 151, 2 om. $Λ^{n}$ S σατορνίλου M σατορνιλίου S τοῦ — τῆς om. B μαρκιανῶν S 9 μαριανοῦ S τοῦ — πόλεως] συνάδων B 10 τοῦ — πόλεως] τυάνων B τυάνων S 11 τοῦ — πόλεως] χίου B 12 τοῦ — πόλεως] ἀμασέων B 13 κανδιανοῦ S 13/14 τοῦ — Πισιδίας] ἀντιοχείασ πισσιδίασ B 15 τοῦ — πόλεως] ἀρκίνου B σαρακηνῶν P σαρκηνῶν S, cf. Φ 16 νατηράτου B νατήρα P νατήρου S τοῦ — πόλεως] γάζησ B γαζέων MPS, corr. P 17 τοῦ — πόλεως] παρνασοῦ B 18 τοῦ — πόλεως] ἀνθηδόνοσ B 19 τοῦ — πόλεως] θεοδοσιουπόλεωσ B θεοδοσιουτῶν S 20 εὐτυχίου S τοῦ — πόλεως] δοκιμίου B δοκημηνῶν MPS, corr. M 21 τοῦ — πόλεως] βασιλινουπόλεωσ B 22 τοῦ — πόλεως] ἀβροκλέου B 23 ἰουλιανοῦ PS τοῦ — πόλεως] νοβισσίου B νισιβίων P νισιβόων S 24 τοῦ — πόλεως] ἀριαράθου B ἀριαθηνῶν S 25 τοῦ — τῆς om. B 25 26 Κῶ — τῆς om. M κῶ πόλεωσ P 26 τοῦ — πόλεως] ἀδραμύτου B Ἀδραηνῶν scripsi *hadrainae* $Φ^{r}$ *adrianae* $Φ^{ac}$ ἀδραμυτηνῶν MP ἀδραμητινῶν S 27 τοῦ — πόλεως] βοσπόρου B βοσπορινῶν M^{corr}S 28 σάββα B τοῦ — πόλεως] παλλήνου B 29 τοῦ — πόλεως] πριμοπόλεωσ B τριμολιτῶν S 30 τοῦ — ἐπαρχίας] θεοδοσιουπόλεωσ B

27 Παύλου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀπολλωνιέων πόλεως
28 Λογγίνου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Τυμανδηνῶν πόλεως

559 Μακεδόνιος ὁ περίβλεπτος τριβοῦνος καὶ ῥεφερενδάριος εἶπεν· Εὐτυχὴς ὁ εὐλαβέστατος ἀρχιμανδρίτης προσενεχθείσης δεήσεως τῇ βασιλικῇ θειότητι ἐδίδαξεν πρώην ἑαυτὸν εὑρηκέναι, καὶ τὰ λοιπά, ἅτινα ἐν τῶι θείωι σκρινίωι ἐμφέρονται. M VI 761

560 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ἡ δέησις τοῦ εὐλαβεστάτου μοναχοῦ Εὐτυχοῦς προενεχθεῖσα ἀναγινωσκέσθω καὶ ὁ λαμπρότατος τριβοῦνος νοτάριος καὶ ῥεφερενδάριος διδάξει εἴ τινες προσεδρεύουσιν ὑπὲρ τοῦ προσώπου πράττοντες τοῦ αὐτοῦ εὐλαβεστάτου μοναχοῦ.

561 Καὶ πρὶν ἢ ἀναγνωσθῆναι, Μακεδόνιος ὁ λαμπρότατος νοτάριος καὶ ῥεφερενδάριος εἶπεν· Προσεδρεύουσιν οἵτινες ὑπὲρ τοῦ προσώπου τοῦ μοναχοῦ δύνανται λέγειν.

562 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Τί ἀρέσκει περὶ τούτου τοῖς εὐλαβεστάτοις ἐπισκόποις;

563 Εὐσέβιος ἐπίσκοπος τῆς Δορυλαέων εἶπεν· Εἰ δι' ἐντολέως λέγει, κελεύσατέ με ἀναχωρῆσαι.

564 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ὅπερ ἐκέλευσεν ἡ βασιλικὴ αὐθεντία, παντὶ τρόπωι παραφυλακτέον ἐστίν· δι' ὃ εἰ συγκατατίθενται οἱ εὐλαβέστατοι ἐπίσκοποι ἵνα εἰσδεχθῶσιν οὗτοι οἵτινες ὑπὲρ τοῦ προσώπου τοῦ εὐλαβεστάτου μοναχοῦ πράττειν ἕτοιμοί εἰσιν, εἴπωσιν.

565 Μελίφθογγος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Τοιαύτης κατηγορίας γινομένης ἀκόλουθόν ἐστιν παρεῖναι τὸν κατηγορούμενον, εἰ καὶ τὰ μάλιστα οὐκ ἀκινδύνως γίνονται αἱ τοιαῦται κατηγορίαι. οὐδὲ γὰρ ἁπλῶς οὐδὲ ὡς ἔτυχεν, περὶ τῶν τυχόντων ἐστὶν τὸ δοκιμαζόμενον. ἐπεὶ οὖν ὁ εὐσεβέστατος βασιλεὺς ἐκ παππώιας παραδόσεως συγκροτεῖν εἴωθεν τὴν ὀρθόδοξον πίστιν καὶ τοὺς κανόνας μηδ' ὅλως παρατιτρώσκεσθαι, ἀξιοῦμεν ἀνενεχθῆναι αὐτῶι, καὶ εἰ κελεύει ἐγκληματικὴν δίκην ἀγωνίσασθαι ἄλλον ὑπὲρ ἄλλου, καὶ τοῦτο προσδεχόμεθα, εἰ καὶ τὰ μάλιστα οἰκουμενικὴ ἐκελεύσθη γενέσθαι σύνοδος καὶ πεφύλακται τὰ καιριώτερα τῶν πραγμάτων ἐν ἐκείνηι τῇ συνόδωι καὶ μετεστάλησαν πολλοὶ καὶ δίκαιόν ἐστιν τὰ θεσπισθέντα παρὰ τοῦ εὐσεβεστάτου βασιλέως εἰς πέρας ἀχθῆναι. L IIII 239

566 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Τί ἑαυτῶι περὶ τούτου ὁ λαμπρότατος τριβοῦνος νοτάριος καὶ ῥεφερενδάριος ἐνταλθὲν εἶναι γινώσκει, κατάθηται.

567 Μακεδόνιος ὁ λαμπρότατος τριβοῦνος νοτάριος καὶ ῥεφερενδάριος εἶπεν· Ὁ εὐσεβέστατος δεσπότης ἡμῶν γνοὺς ὡς καθήιρηται ὁ προλεχθεὶς ἀνήρ, ἐκέλευσεν ὑπὲρ αὐτοῦ ἐκ παντὸς τρόπου τοὺς ἀποσταλέντας εἰσελθόντας ἐπιγνῶναι ἀναγινωσκομένων τῶν χαρτῶν τὰ παρ' αὐτοῦ εἰρημένα πρὸς αὐτὸν καὶ τὰ παρ' αὐτοῦ πρὸς τὸν ἁγιώτατον ἀρχιεπίσκοπον. M VI 764

MBPSΦΛⁿ

1 τοῦ — πόλεως] ἀπολλωνέωσ B 'Απολλωνιέων scripsi ἀπολλωνέων PS ἀπολλωναίων M 2 τοῦ — πόλεως] μανδ spat. ν spat. B μανδηνῶν MPS cf. Φ 4 ἀρχιμανδρίτησ MPSΦʳΛⁿ πρεσβύτεροσ καὶ ἀρχιμανδρίτησ BΦᵃᶜ προσενεχθεὶσ ἐκ δεήσεωσ PS 4/5 πρώην ἑαυτὸν] πάνταϲ τὸν ἑαυτὸν [αὐτὸν S] PS εὑρηκέναι Mᵐᵍ BΦΛⁿ ἐπιδεηθῆναι MPS τὰ — ἅτινα] τὸ ὁποῖά τινα [τινι S] PS 7 προενεχθεῖσα BΛⁿ προσενεχθεῖσα MPSΦ νοτάριοσ τριβοῦνοσ S τριβοῦνοσ B 12 τί] εἰ B περὶ τούτου om. B 13 ἐπισκόποισ εἰπάτωσαν B 14 ὁ εὐλαβέστατοσ ἐπίσκοποσ BΦᵃᶜ δορυλλαέων P δορυλλαίων B δορυλλέων S ἐνπόλεωσ PS 17 δι' ὃ εἰ] εἰ οὖν S 20 γενομένησ B 24 εἴωθεν] βούλεται B *nulnerare, sed magis custodire inuulneratos* Λⁿ 26 σύνοδοσ γενέσθαι B 27 χρὴ πεφυλάχθαι B καιριώτατα S 31 ὁ νοτάριοσ S om. B ἐνταλθέντα MPS, corr. M 32 ὁ om. P 34/35 τῶν — εἰρημένα] τῶν παρ' αὐτοῦ εἰρημένων ἐν τοῖσ χάρταισ S 35 αὐτοῦ] *episcopo* Φ 36 ἐπίσκοπον MP, corr. M

568 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ἁπλοῦν ἐστιν ὅπερ αἰτεῖται, καὶ διὰ τοῦτο ἐκεῖνοι εἰσέλθωσιν καὶ ἐπὶ τῆι αὐτῶν παρουσίαι ἡ δέησις ἀναγινωσκέσθω.

569 Καὶ ὁπότε εἰσῆλθον καὶ εἰς τὸ μέσον ἔστησαν Κωνσταντῖνος Ἐλευσίνιος καὶ Κωνστάντιος οἱ εὐλαβέστατοι μοναχοί, Μακεδόνιος ὁ λαμπρότατος τριβοῦνος νοτάριος τὸ ἅγιον εὐαγγέλιον προσφέρων εἶπεν· Χρὴ πάντα τὰ κελευσθέντα παρὰ τῆς αὐτῶν εὐσεβείας εἰπεῖν με. ἐκέλευσεν τοίνυν τοὺς τὸ τηνικαῦτα παρόντας ἁγιωτάτους ἐπισκόπους μεθ' ὅρκου εἰπεῖν εἰ ἀληθεῖς εἰσιν τῶν ὑπομνημάτων ἀναγινωσκομένων αἱ καταθέσεις αἱ παρὰ ἑκατέρου τοῦ μέρους προενεχθεῖσαι.

570 Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Σελευκέων ἐκκλησίας εἶπεν· Μέχρι νῦν ὅρκον οὐκ ἴσμεν προσενεχθέντα ἐπισκόποις, ἀλλὰ καὶ ἐντέταλται ἡμῖν παρὰ τοῦ
Mt. 5, 34—36 σωτῆρος Χριστοῦ μὴ ὀμόσαι μήτε ἐν τῶι οὐρανῶι, ὅτι θρόνος ἐστὶν τοῦ θεοῦ, μήτε ἐν τῆι γῆι, ὅτι ὑποπόδιόν ἐστιν τῶν ποδῶν αὐτοῦ, μήτε εἰς τὴν κεφαλὴν τὴν ἑαυτοῦ τινὰ ὀμόσαι, ὅτι οὐδεὶς δύναται τρίχα τῶν ὑπὸ τοῦ θεοῦ δημιουργηθεισῶν αὐτὸς ποιῆσαι. ἕκαστος δὲ ὡς θυσιαστηρίωι παρεστὼς τὸν τοῦ θεοῦ φόβον ἔχων πρὸ ὀφθαλμῶν καὶ τὸ ἑαυτοῦ συνειδὸς φυλάττων καθαρὸν τῶι θεῶι τῶν ὄντων αὐτῶι ἐν μνήμηι οὐδὲν ἔχει παραλεῖψαι.

571 Ὁ μεγαλοπρεπέστατος πατρίκιος Φλωρέντιος εἶπεν· Ὡς ἅπαξ εἴρηται, τῶν δεήσεων ἡ ἀνάγνωσις παρακολουθήσει.

Καὶ διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος ἀνεγνώσθη

572 Τοῖς εὐσεβεστάτοις καὶ πιστοτάτοις φιλοχρίστοις βασιλεῦσιν ἡμῶν Θεοδοσίωι καὶ
I. IIII 242 Οὐαλεντινιανῶι τοῖς αἰωνίοις αὐγούστοις παρὰ Εὐτυχοῦς ἀρχιμανδρίτου. Πάντων μοι μετὰ τὸν θεὸν καὶ σωτηρίας καὶ τῆς ἀληθείας φανέρωσις γέγονεν ἡ εὐσέβεια ὑμῶν ἐν οὐδενὶ πράγματι παραλείψασα τῶν τε περὶ τῆς πίστεως ἕνεκα καὶ τῶν κατ' ἐμοῦ συκοφαντιῶν τὴν ἔρευναν ποιουμένη. τὸ γὰρ ὑπόμνημα τὸ σκαιωρηθὲν παρὰ τοῦ εὐλαβεστάτου ἐπισκόπου Φλαβιανοῦ κατ' ἐμοῦ ἀνέγνων τῆι χθὲς ἡμέραι καὶ εὗρον ἐναντία τῶν πεπραγμένων κείμενα ἐν τῶι χάρτηι. οὔτε γὰρ ἃ πρὸς ἐμὲ εἴρηκεν, ἔκειτο ἐν αὐτῶι οὔτε ἃ ἐγὼ ἐλάλησα, ἔταξαν ἐν τῶι αὐτῶι ὑπομνήματι. δέομαι τοίνυν τῆς ὑμετέρας γαληνότητος συνήθως τῆς ὀρθοδόξου πίστεως ἀντεχομένης καὶ τῆς ὑπολήψεως τῆς ἐμῆς βραχύτητος καταξιῶσαι θεσπίσαι τοὺς θεοφιλεστάτους ἐπισκόπους τοὺς τὸ τηνικαῦτα
M VI 765 συνεδρεύσαντας καὶ τοὺς νοταρίους τοῦ αὐτοῦ εὐλαβεστάτου ἐπισκόπου Φλαβιανοῦ καὶ τοὺς ἀποσταλέντας πρός με παρ' αὐτοῦ τοὺς εὐλαβεστάτους κληρικοὺς καὶ καλοῦντας ἀπαντῆσαι εἰς τὸ συνέδριον καὶ τὸν εὐλαβέστατον διάκονον Ἀθανάσιον τοῦ εὐλαβεστάτου ἐπισκόπου Βασιλείου συνελθεῖν παρόντος τοῦ ἁγιωτάτου ἐπισκόπου Θαλασσίου,

---

572 adfert Timotheus Aelurus f. 53b. 54a ita inscriptam: Δέησις Εὐτυχοῦς ἀρχιμανδρίτου ἥτις ἐπεδόθη τῶι φιλοχρίστωι βασιλεῖ Θεοδοσίωι καὶ ἐκίνησεν αὐτὸν ὥστε τὴν ἁγίαν σύνοδον ἐν Ἐφέσωι συναγεῖραι

MBPSΦΛn

2 τῆσ — παρουσίασ B 3 ἐλευσῖνοσ SΦac 4 λαμπρὸσ B νοτάριος om. B 5 προφέρων Φ *proferatur* Λn 5/6 εὐσεβείασ MΦΛn ἐξουσίασ B βασιλείασ S 7 ἀληθὲσ S 8 ἑκάστου B τοῦ om. BS προενεχθεῖσαι Λn προσενεχθεῖσαι MBPSΦ 9 πόλεωσ S 10 τοῦ νῦν B οὐκ ἴσμεν ὅρκον B προενεχθέντα Λn ἐπισκόπω B 11 ὁμόσαι ὅλωσ B 12 τῶν ποδῶν αὐτοῦ BΛn *pedum dei* Φ τοῦ θῦ MPS 13 τὴν om. BS αὐτοῦ BS τρίχα om. B τοῦ om. B 13/14 δημιουργηθέντων B 14 αὐτὸς om. B ποιῆσαι τί B 19 ἐκσκέπτωροσ PS ἐξσκέπτοροσ B ¦ ἀνεγνώσθη οὕτωσ S 20 inscr. Ἴσον λιβέλλου δοθὲν τοῖσ εὐσεβεστάτοισ καὶ φιλοχρίστοισ βασιλεῦσι παρὰ εὐτυχοῦσ ἀρχιμανδρίτου B εὐλαβεστάτοισ MPS πιστοτάτοισ καὶ B ἡμῶν BΛnΦ om. MPS 22 τὸν om. S 23 τε om. B 25 ἐπισκόπου om. BΛn ἐχθὲσ M 26 ἐν om. MPS 29 βραδυτῆτοσ MPS, corr. M θεοσεβεστάτουσ P τηνικάδε B 30 εὐλαβεστάτου om. B Tim. 31 παρ' — τοὺς om. B 32 θεοφιλεστάτου B 33 συνεισελθεῖν B

ὥστε αὐτοὺς ἐρωτηθέντας εἰπεῖν μετὰ ἀληθείας ἐγγράφως ἅπερ ἴσασιν. καὶ τούτου τυχὼν συνήθως ὑμνῶν εὐχαριστήσω τῶι δεσπότηι καὶ θεῶι τῶν ὅλων Χριστῶι καὶ τῆι ὑμετέραι εὐσεβείαι διὰ παντός.

573 Ὁ αὐτὸς καθωσιωμένος ἐκσκέπτωρ εἶπεν· Ἔστιν καὶ θεία ὑποσημείωσις ἐν τῆι ἀναγνωσθείσηι δεήσει τοῦ θειοτάτου καὶ εὐσεβεστάτου ἡμῶν βασιλέως.

574 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Μετὰ προσκυνήσεως ἀναγινωσκέσθω. Καὶ διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος ἀνεγνώσθη

575 Κατατιθέσθω παρὰ τοῖς εὐλαβεστάτοις ἐπισκόποις οἵτινες πρώην συνῆλθον, οὐ μὴν ἀλλὰ καὶ παρὰ τῶι εὐλαβεστάτωι ἐπισκόπωι Θαλασσίωι, ἵνα παρὰ τούτοις παρόντων πάντων περὶ ὧν ἡ δέησις λαλεῖ, τοῦ πράγματος ἡ ἀλήθεια ἐκζητηθείη.

576 Ὁ εὐλαβέστατος ἐπίσκοπος Φλαβιανὸς εἶπεν· Οἱ εὐλαβέστατοι διάκονοι καὶ νοτάριοι Ἀστέριος καὶ Ἀέτιος, Νόννος, Ἀσκληπιάδης καὶ Προκόπιος παρέστωσαν.

577 Καὶ ὁπότε εἰς [τὸ] μέσον ἔστησαν Ἀστέριος Ἀέτιος Νόννος Ἀσκληπιάδης Προκόπιος οἱ νοτάριοι τοῦ εὐλαβεστάτου ἐπισκόπου Φλαβιανοῦ, ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Παρόντων πάντων τὰ ὑπομνήματα κατὰ τάξιν ἀναγινωσκέσθω.

578 Καὶ πρὶν ἢ προενεχθῶσιν, Ἀέτιος ὁ εὐλαβέστατος διάκονος καὶ νοτάριος εἶπεν· Οὐκ ἴσμεν, τῶν ποδῶν ὑμῶν, διὰ τί ἐκλήθημεν.

579 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Οἱ εὐλαβέστατοι διάκονοι καὶ νοτάριοι τοῦ εὐλαβεστάτου ἐπισκόπου Φλαβιανοῦ τὰ ὑπομνήματα τὰ ἐν τούτωι τῶι πράγματι τελεσθέντα προενέγκωσιν ἀναγνωσθησόμενα.

580 Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Οὔτε τὴν αἰτίαν ἴσμεν ἐφ' ἧι πάρεσμεν, οὔτε δι' ὃ ἀπαιτούμεθα ὑπομνημάτων πρᾶξιν· τούτου ἕνεκεν ἀναβαλλόμεθα καὶ ἀξιοῦμεν γνῶναι ἐφ' ὧι τε καὶ ἱστάμεθα καὶ ἀποκρίνεσθαι ὀφείλομεν.

581 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ἄτινα ἐν τῆι δίκηι Εὐτυχοῦς τοῦ μονάζοντος πραχθέντα παρηκολούθησεν, ἐπιζητοῦμεν δημοσιευθῆναι.

582 Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Αἰτίασις γὰρ τίς ποτε καθ' ἡμῶν τοιαύτη ἀνέκυψεν; L IIII 243

583 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Τὸ πρᾶγμα ἀναζητηθῆναι ἐκελεύσθη καὶ διὰ τοῦτο τῶν ὑπομνημάτων ἡ προκομιδὴ ἀναγκαία ἐστίν. διὰ τί τοίνυν ὑπερθέσει καὶ πανουργίαι κέχρησαι;

584 Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Ὁ τὴν ἀρχὴν τῆς ἐξετάσεως τῶι πράγματι παρέχων καὶ τὴν αἰτίαν δότω ἡμῖν καιρὸν τοῦ ἀπολογεῖσθαι ἢ προενέγκαι ἢ μὴ προενέγκαι. M VI 768

585 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ὑμεῖς τὰ ὑπομνήματα ἐξελάβετε· παρ' ὑμῶν τοίνυν ταῦτα προενεκτέα εἰσίν.

MBPSΦΛ^{n}

1 μετὰ ἀληθείας om. S 2 ἀνυμνῶν B καὶ^{1} om. B 4 ἐξσκέπτωρ B 5 εὐλαβεστάτου MP 7 ἐξσκέπτοροσ B ἐκσκέπτωροσ PS 8 τοῖσ εὐλαβεστάτοισ ἐπισκόποισ MPS cf. ΦΛ^{n} τῶν εὐλαβεστάτων ἐπισκόπων M^{corr}B 9 τοῦ εὐλαβεστάτου ἐπισκόπου θαλασσίου B τούτωι Λ^{n} 9/10 πάντων παρόντων B 12 καὶ^{1} om. S 12/13 καὶ^{2} — Ἀσκληπιάδης om. P 13 τὸ MS om. B καὶ προκόπιοσ B 16 προενεχθῶσιν BΛ^{n} προσενεχθῶσιν MPSΦ 19/20 τὰ ἐν — τελεσθέντα ὑπομνήματα S τὰ ὑπομνήματα ἐν — τελεσθέντα MP 20 προσενέγκαντεσ ἀναγνώσατε S προενέγκωσιν BΛ^{n} προσενέγκωσιν MPΦ 22 δι' ὃ MPS δὲ οὗ ἕνεκα B *pro quo* Φ *quare* Λ^{n} δὲ ὧ M^{corr} 23 ἀποκρίνασθαι PS 25 πραχθέντα om. S παρηκολούθησαν P 27 γέγονεν ἢ ἀνέκυψεν B 29 καὶ om. SP ἀναγκαία ἐστὶ τῶν — προκομιδή B προσκομιδή Φ 29/30 ὑπερθέσεσι MPS, corr. M 32 ἢ] καὶ B om. Λ^{n} προενέγκαι BΦ^{r}Λ^{n} προσενέγκαι MPSΦ^{ac} 33 προενέγκαι BΦ^{r}Λ^{n} προσενέγκαι MPSΦ^{ac} 35 προενεκτέα BΛ^{n} προσενεκτέα MSΦ προσενέγκαι ἃ P ἐστὶν B

586 Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Τίς ἐστιν ὁ αἰτιώμενος;

587 Σέλευκος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Δεήσεις τοῦ ἀρχιμανδρίτου Εὐτυχοῦς ἀνεγνώσθησαν ἡμῖν περιέχουσαι ὡς ἐντυχόντος τοῖς ὑπομνήμασι καὶ ἐπισημηναμένου μὴ κεῖσθαι ἐν αὐτοῖς τὰ πεπραγμένα ἐν τῇ ἁγίαι συνόδωι. δίκαιον οὖν ἡμῖν τοῦτο καταφαίνεται προκομισθῆναι ἐκεῖνα τὰ ὑπομνήματα οἵσπερ ἔφησεν ἐντετυχηκέναι, καὶ ἐξ αὐτῶν τὴν ἐξέτασιν τοῦ πράγματος γενέσθαι.

588 Ὁ μεγαλοπρεπέστατος πατρίκιος πρὸς Ἀέτιον εἶπεν· Τῶν ὑπομνημάτων τῶν αὐθεντικῶν χρεία ἐστίν, ἐν οἷς αἱ ὑπογραφαὶ τῶν ἐπισκόπων περιέχονται· δι' ὅπερ ὡς πλειστάκις διελάλησα, ταῦτα παρὰ τῶν νοταρίων προκομισθῶσιν.

589 Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Καταξιώσει ἡ ἁγία καὶ μεγάλη σύνοδος καὶ ἡ ὑμετέρα μεγαλοπρέπεια καιρὸν ἡμῖν δοῦναι περὶ ὧν βουλόμεθα, λέγειν· οὐ γάρ ἐστιν ἡμῖν ἀκίνδυνον.

590 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Τὰ ὑπομνήματα πρῶτον ἁρμόζει δημοσιευθῆναι· μετὰ ταῦτα γὰρ εἴ τι διδάξαι ἐπιζητεῖς, ἄδειά σοι παρασχεθήσεται.

591 Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Οὐδὲν ἄτοπον οὐδὲ παρὰ τὸ δίκαιον ἐπιζητοῦμεν καὶ πρὸ πάντων ἐπίσταται ἡ ὑμετέρα μεγαλοπρέπεια καί, καθὼς εἶπον, ἐπειδὴ οὐ περὶ μικρῶν ἡμῖν ἐστιν ὁ κίνδυνος, περιηχήθημεν δὲ ὡς αἰτίασις γέγονεν καθ' ἡμῶν παρά τινος πρὸς τὸν εὐσεβέστατον καὶ φιλόχριστον καὶ παρὰ τοῦ δεσπότου θεοῦ ἡμῶν φρουρούμενον βασιλέα, ἀξιοῦμεν ταύτας καὶ ἐμφανεῖς ἡμῖν γενέσθαι καὶ τὰς αἰτίας μαθεῖν καὶ τὸ πρόσωπον στῆναι καὶ φανερὰν τὴν κατηγορίαν κατὰ φανερῶν προσώπων ποιήσασθαι, καὶ οὕτως ἀπολογησόμεθα καὶ ἑαυτοῖς συστησόμεθα θαρροῦντες τῇι δικαιοσύνηι τῇι ὑμετέραι.

592 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Καθ' ὑμῶν τέως οὐδὲν κατετέθη, ἀλλὰ τὰ ὑπομνήματα ζητοῦνται, ἅτινα, καθὼς πλειστάκις ἐρρέθη, παρ' ὑμῶν προκομιστέα ἐστίν.

593 Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Ἡ τῶν ὑπομνημάτων πρᾶξις ἄγει ἡμᾶς εἰς μέσον· οὔτε γὰρ παρὰ ἄλλων γεγένηται.

594 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Μή τινι ὑπονοίαι πληγεὶς ταῦτα προενέγκαι εὐλαβῆι;

595 Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Οὐδὲν τοιοῦτο παρ' ἐμοῦ εἴρηται οὔτε γέγονεν.

596 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Τὰ ὑπομνήματα προενεχθῶσι.

M VI 769 597 Καὶ πρὶν ἢ προενεχθῶσιν, ὁ εὐλαβέστατος ἐπίσκοπος ταύτης τῆς ἐνδόξου πόλεως εἶπεν· Οἴδατε ὅτι τότε συνηγμένης τῆς ἁγίας συνόδου καὶ τὰς παρ' ἑκατέρων φωνὰς ἐξειλήφατε ὑμεῖς καὶ ἴστε ἀκριβῶς τὰ γεγραμμένα παρ' ὑμῶν. καὶ εἰ ἀληθῆ ταῦτα, εἴπατε μετὰ ἀκριβείας καὶ φόβου θεοῦ· εἰ δὲ παραπεποίηνταί τινα, ὡς ἐπὶ τοῦ βήματος
L 1111 246 τοῦ Χριστοῦ μὴ ψεύσησθε καὶ τὸν παραποιήσαντα μὴ παρασιωπήσητε.

598 Τούτων οὕτως μεταξὺ λαληθέντων παρὰ τοῦ εὐλαβεστάτου ἐπισκόπου ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Τὴν πρόθεσιν τοῦ εὐλαβεστάτου ἐπισκόπου ἐπαινοῦμεν

MBPSΦΛ^{n}

2 εὐτυχοῦσ ἀρχιμανδρίτου B 4 συνόδω καὶ ἐπιλαμβάνεται ἐν αὐτοῖσ τῶν πεπραγμένων ἐν τῇ ἁγία συνόδω B 5 ἔφη B 8 διόπερ ὡσ BΦ^{r}Λ^{n} διόπερ Φ^{ac} διὸ ἅπερ MPS 9 προσκομισθῶσιν S 10 μεγάλη καὶ ἁγία B 11 εὐλάβεια S 11/12 οὐ — ἀκίνδυνον om. S 14 καὶ μετὰ S γὰρ om. S 16 καὶ^{2} om. S 17 ἐστιν ἡμῖν B περιηχήθημεν δὲ om. Λ^{n} δὲ] γὰρ S om. Φ^{ac} 18 ἡμῶν om. B 20 κατηγορίαν] αἰτίαν B 21 καὶ^{3} — συστησόμεθα om. B 23 κατετέθη BΦ ἐτέθη MPS *propositum est* Λ^{n} 24 προσκομιστέα Φ 26 ἡμᾶσ ἄγει B 27 οὐδὲ B 28/29 προσενέγκαι PS 30 τοιοῦτον BPS *a me* Λ^{n}Φ ἐμοὶ MBPS οὐδὲ B 31 προσενεχθῶσιν MPSΦ^{ac} 32 προσενεχθῶσιν PSΦ πόλεωσ BΦ πόλεωσ φλαβιανὸσ MPS 33 φωνὰσ BΦΛ^{n} φωνὰσ ὅτι καὶ MPS 34 ἐγγεγραμμένα SΦ^{a} γενόμενα B 35 ἀκριβείας καὶ om. B παραπεποίηνται BS 37 μεταξὺ om. B 38 ἐπισκόπου ἐπαινοῦμεν BΦ^{ac}Λ^{n} ἐπιστάμεθα ἐπισκόπου MP ἐπισκόπου ἐπιστάμεθα S *episcopi nomimus* Φ^{r}

ὅτι τῇ ἰδίαι συνειδήσει θαρρῶν ἀπεφήνατο τοὺς εὐλαβεστάτους νοταρίους τὰ ὑπομνήματα προενεγκεῖν καὶ τὴν ἀλήθειαν περὶ πάντων διδάξαι. δι' ὃ τὰ ὑπομνήματα, ὡς πλειστάκις εἴρηται, προενεχθῶσιν.

599 Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Ἡ παραίνεσις τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου ἡμῶν ἀρχιεπισκόπου τῇ γνώμῃ ἀποδέδωκεν τῇ ἡμετέραι ὥστε τὸ ἀληθὲς ἐπὶ τῇ πράξει τῶν ὑπομνημάτων εἰπεῖν. εἰ τοίνυν λεγόντων ἡμῶν πίστεως ἐσόμεθα ἄξιοι, καὶ κατατιθέμεθα καὶ προκομίσομεν καὶ λέξομεν τὴν ἀλήθειαν.

600 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Τῶν ὑπομνημάτων ἡ ἀνάγνωσις γινέσθω.

601 Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Ἀξιῶ καὶ τὴν ἁγίαν σύνοδον τὴν τότε παροῦσαν ἐπιτρέψαι ἡμῖν προκομίσαι τὴν τῶν ὑπομνημάτων πρᾶξιν.

602 Ὁ εὐλαβέστατος ἐπίσκοπος Σέλευκος εἶπεν· Ἅπαξ τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου ἡμῶν κελεύσαντος προκομισθῆναι τὴν πρᾶξιν τῶν ὑπομνημάτων, οὐδεμίαν δεῖ ἀναβολὴν περὶ τὴν προκομιδὴν γενέσθαι.

603 Καὶ ὁπότε παρὰ πάντων τῶν εὐλαβεστάτων ἐπισκόπων ἐρρέθη· Πάντες ταὐτὰ λέγομεν, ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ἐν ὅσοι ἕκαστα κεφάλαια ἀναγινώσκεται, τί ἐν τούτοις καταψεκτέον τὸ μέρος τοῦ εὐλαβεστάτου μοναχοῦ δοκιμάζει, κατάθηται καὶ τὰ ἀντίγραφα ἅτινα παρ' ἑαυτοῖς ἔχει τὸ μέρος τοῦ αὐτοῦ εὐλαβεστάτου μοναχοῦ, προενεχθέντα τῇ ἀναγνώσει τῶν αὐθεντικῶν ὑπομνημάτων συγκριθήτωσαν.

604 Καὶ ὁπότε τὸ ἑκάτερον μέρος τὰ ὑπομνήματα προήνεγκεν, Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Εἰ κελεύει ἡ μεγαλοπρέπεια ὑμῶν, ἔχομέν τι εἰπεῖν. ἐμάθομεν ὡς διὰ τῶν δεήσεων ἀνεδίδαξεν ὁ εὐλαβέστατος Εὐτυχὴς πράξει ὑπομνημάτων ἐντετυχηκέναι κἀκεῖθεν τὰς αἰτίας τῶν αὐτῶι προσουσῶν δικαιολογιῶν εὑρηκέναι· ταύτην τὴν M VI 772
πρᾶξιν ἀξιοῦμεν

605 Οὗ λέγοντος ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Διὰ τοῦτο συγκρίνεσθαι τοῖς αὐθεντικοῖς ὑπομνήμασιν τὰ ἀντίγραφα εἴπομεν.

606 Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Ἀξιοῦμεν γνῶναι πότερον αὐθεντικά ἐστιν ἢ ἀντίγραφα ἢ τί τοιοῦτο παρὰ τινὸς αὐτῶι παρεσχέθη.

607 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ὁ εὐλαβέστατος Κωνσταντῖνος εἰ ἃ προφέρει ἀντίγραφα, ἴσα εἰσὶν ἢ αὐθεντικά, διδάξει.

608 Κωνσταντῖνος διάκονος καὶ μονάζων εἶπεν· Ἴσα ἐστίν.

609 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Νῦν ἡ ἀνάγνωσις παρακολουθήσει.

610 Καὶ πρὶν ἢ ἀναγνωσθῆναι Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Ἀξιοῦμεν ἐντυχεῖν τῇ πράξει τῶν ὑπομνημάτων τῇ παρ' αὐτῶν προκομισθείσηι, ἵνα γνωρίσωμεν τίνος χείρ ἐστιν καὶ παρὰ τίνος δέδοται, εἰ ἐκδέδοται παρὰ νοταρίου. δέξασθε τὰς ἡμετέρας αἰτήσεις οὐκ ἀτόπους οὔσας.

611 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Εἰ τοῖς αὐθεντικοῖς ὑπομνήμασιν τὰ ἀντίγραφα οὐ συμφωνοῦσιν, τοῦτο τότε ἀξίως ἐπιζητηθείη.

MBSΦΛⁿ

1 τοῖσ νοταρίοισ S 2 προσενεγκεῖν MPS 3 προσενεχθῶσιν MPSΦ 4 ἁγιωτάτου καὶ ὁσιωτάτου B 5 ὑμετέρα PS 7 προκομίσωμεν M προσκομίσωμεν S 10 προσκομίσαι S τάξιν S 11 εὐλαβεστάτου B ἐπισκόπου SΛⁿ 12 προσκομισθῆναι S 13 ἐπὶ τῇ προκομιδῇ B 14 ὁπότε] *quasi si* Φ^ac *quasi* Φ^r ταῦτα B τὰ αὐτὰ MPS *ea* Λⁿ *haec* Φ^ac *haec eadem* Φ^r 16 εἴ τί S 17 αὐτοῦ BPΦΛⁿ om. MS 18 προσενεχθέντα BPSΦ συγκριθήτωσαν om. S 19 τὸ om. BS ἕκαστον BP προσήνεγκεν BΦ 20 κελεύει — ὑμῶν] κελεύει τε ὑμῖν S ἔχωμέν M 21 ἐδίδαξεν B πράξεισ PS 22 αὐτῶν MPS, corr. M προσόντων MPS ταύτην ἀναγνωσθῆναι B 26 γνῶναι πότερον MΛⁿΦ^r πρότερον γνῶναι εἰ B γνῶναι πρότερον PSΦ^ac 27 τοιοῦτον PS καὶ παρὰ τίνοσ B αὐτῶν S αὐτὰ B 29 προσφέρει S ἀντίγραφα om. BΦ αὐθεντικὰ εἰσὶν ἢ ἴσα B εἰσὶν ἢ αὐθεντικὰ PS 33 προσκομισθείση SΦ 34 καὶ] ἢ B ἐκδέδοται B ἢ PSΛⁿ ἢ εἰ Φ 35 δεήσεισ B 37 ἐπιζητηθῆ B

612 Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Οὐδὲν κωλύει· ἀεὶ ἐδικάσατε καὶ δικάζοντες διελάμψατε.

613 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Τῶν περιττῶν ἐαθέντων ἡ ἀνάγνωσις γινέσθω.

614 Καὶ διὰ Ἀστερίου τοῦ καθωσιωμένου ἐκσκέπτορος τὸ αὐθεντικὸν σχεδάριον τὸ
L IIII 247 ἀπὸ τῶν νοταρίων προενεχθὲν ἄλλου τὰ ἀντίγραφα ἅτινα ἐκ τοῦ μέρους Εὐτυχοῦς τοῦ εὐλαβεστάτου ἀρχιμανδρίτου, προενεχθέντα συγκρίνοντος ἀνεγνώσθησαν. καὶ ἀνεγνώσθη ἐξ ἀρχῆς ἡ πρώτη καὶ ἡ δευτέρα πρᾶξις, ἥτις καὶ ἐν τοῖς ὑπομνήμασιν ἐμφέρεται, οὕτως

615 Ὑπατείας Φλαυίου Ζήνωνος καὶ Ποστουμιανοῦ τῶν λαμπροτάτων τῇ πρὸ ἕξ
d. 8. m Nou. a. 448 Εἰδῶν Νοεμβρίων, ἐν τῇ φιλοχρίστωι καὶ βασιλευούσηι Κωνσταντινουπόλει Ῥώμηι καὶ τὰ λοιπά

616 Καὶ μετὰ τὸ ἀναγνωσθῆναι τὴν πρώτην καὶ τὴν δευτέραν πρᾶξιν καὶ πληρωθῆναι τὰς καταθέσεις τῶν εὐλαβεστάτων ἐπισκόπων Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Ἀξιοῦμεν τὴν ἁγίαν καὶ μεγάλην σύνοδον ἐρωτηθῆναι ἐπακούσασαν τῶν ἰδίων φωνῶν καὶ τῆς πράξεως τῶν ὑπομνημάτων μή τι παραπεποίηται ἢ παρεφθάρη.

617 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ἐν ὅσωι σιωπῶσιν, συγκατατίθεσθαι φαίνονται· ὅθεν καὶ δὴ τὰ λοιπὰ ἀναγινωσκέσθω.

618 Καὶ διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος ἀνεγνώσθη ἡ τρίτη πρᾶξις, ἣ καὶ ἐμφέρεται ἐν τοῖς ὑπομνήμασιν.

619 Καὶ ἀναγινωσκομένης τῆς καταθέσεως τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἐκ-
M VI 773 δίκου Ἰωάννου Κωνσταντῖνος διάκονος καὶ μοναχὸς εἶπεν· Οὕτως οὐκ ἐλέχθη, τῶν ποδῶν ὑμῶν, ὡς ἔχει.

Ὁ αὐτὸς καθωσιωμένος ἐκσκέπτωρ ἐπαναληφθείσης τῆς ἀναγνώσεως ἀνέγνω

620 Εἰ δέ που τύχοι τι παρ' αὐτῶν ἔν τισιν λέξεσιν ἢ διασφαλθὲν ἢ διαπλανηθέν, τοῦτο μήτε διαβάλλειν μήτε καταδέχεσθαι, μόνας δὲ τὰς γραφὰς ἐρευνᾶν ὡς βεβαιοτέρας οὔσας τῆς τῶν πατέρων ἐκθέσεως

621 Καὶ ὁπότε ἀνεγνώσθη, Κωνσταντῖνος ὁ εὐλαβέστατος διάκονος καὶ μοναχὸς εἶπεν ὅτι διαφόρως μὲν ἐλάλησαν οἱ ἅγιοι πατέρες καὶ πάντα δέχομαι , εἰς κανόνα δὲ πίστεως οὐ δέχομαι.

622 Καὶ ὁπότε γογγυσμὸς καὶ θόρυβος ἀνεφύη, Κωνσταντῖνος ὁ εὐλαβέστατος διάκονος καὶ μονάζων εἶπεν· Τοῦτο παρακαλῶ ὥστε τοὺς ἐξελθόντας καὶ ἀκούσαντας παρὰ τοῦ ἀρχιμανδρίτου μετὰ τοῦ συνειδότος ὡς ἐπὶ τοῦ κυρίου ἃ ἤκουσαν, μετὰ ἀληθείας

10—12 = supra 223
25—27 = supra 359 p. 124, 22—24

MBPSΦΛ^{n}

2 διελάμψετε M 3 περισσῶν B 5 αὐξονίου B ἐκσκέπτωροσ PS ἐξσκέπτοροσ M σχιδάριον P 6 προενεχθὲν MPΛ^{n} προανεχθὲν S προσενεχθὲν M^{corr}BΦ ἀλλ' οὐ PSΦ^{ac} 7 ἀρχιμανδρίτου om. B προσενεχθέντα BPS 7/8 ἀνεγνώσθησαν καὶ ἀνεγνώσθη MP ἀνεγνώσθη B ἀνεγνώσθησαν S 10 φλαυβίου M φλαβίου M^{corr} φλαβιανοῦ PS *Flauiorum* Λ^{n}Φ^{r} πουστουμ:ανοῦ P 11 ἰδῶν M ἐν — Ῥώμηι om. B 13 πληρωθῆναι B 13/14 ἀναγνωσθῆναι B 15 ἐπακούσασαν ἐρωτηθῆναι S 16 ἢ παραπεποίηται B παρεφθάρη B παραπέφθαρται MPS παρέφθαρται M^{corr} 18 φέρονται MPS δὴ om. B 19 αὐτοῦ om. P ἐξσκέπτοροσ B ἐκσκέπτωροσ PS ἢ BΦΛ^{n} om. MPS 24 ἐξσκέπτωρ B 25 τι om. PS διασφαλὲν S 32 μοναχὸσ BS

εἴπωσιν προκρίματος μὴ γινομένου τῶι ἀρχιμανδρίτηι ἐκ τῆς ἐμῆς καταθέσεως. ἀξιῶ τοὺς παραγενομένους εὐλαβεστάτους κληρικοὺς καταθέσθαι ἅπερ ἤκουσαν παρ' αὐτοῦ, καὶ τὸν εὐλαβέστατον διάκονον Ἀθανάσιον.

623 Σέλευκος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Πρὸ τῆς καταθέσεως τοῦ ἀδελφοῦ Κωνσταντίνου οἱ εἰς πρόσωπον ἀποσταλέντες τοῦ τὰς δεήσεις προσανατείναντος ὑπέσχοντο πάντα ἃ ἂν αὐτοὶ εἴπωσιν, στοιχεῖν τὸν ἀρχιμανδρίτην αὐτῶν, καὶ ἀξιοῦμεν τὴν ἐπὶ τῶι προκρίματι φωνὴν πρόκριμα τῆι πράξει τῶν ὑπομνημάτων μὴ ποιεῖν.

624 Κωνσταντῖνος διάκονος καὶ μονάζων εἶπεν· Ἀξιῶ ἐκεῖνο περιαιρεθῆναι τὸ εἰς τὸν κανόνα τῆς πίστεως, ὅτι ἐν θορύβωι μὴ εἰδὼς ἐλάλησα.

625 Σέλευκος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ὅτι ἡσυχίας οὔσης πρὸ τοῦ θορύβου ταύτην τὴν φωνὴν ὁ ἀδελφὸς Κωνσταντῖνος κατέθετο, μαρτυροῦσιν καὶ οἱ ἁγιώτατοι ἐπίσκοποι καὶ ἡ αὐτῶν ἐξουσία.

626 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Περὶ τῆς αἰτιάσεως ἑκατέρου μέρους τί σκεπτέον δοκιμάζουσιν, οἱ εὐλαβέστατοι ἐπίσκοποι Θαλάσσιος καὶ Εὐσέβιος καταξιώσουσιν εἰπεῖν.

627 Ὁ εὐλαβέστατος ἐπίσκοπος Θαλάσσιος εἶπεν· Οὐ δύναται ὁ ἀποσταλεὶς παρὰ τοῦ εὐλαβεστάτου μοναχοῦ τινὰ μὲν ὧν κατατίθεται αὐτὸς τῆι ἰδίαι φωνῆι, κατα- L IIII 250
δέχεσθαι, τινὰ δὲ μὴ καταδέχεσθαι.

628 Ὁ εὐλαβέστατος ἐπίσκοπος Εὐσέβιος τῆς Ἀγκυρανῶν πόλεως εἶπεν· Καὶ ἐμοὶ τὰ σύμφωνα δοκεῖ ὥστε τὸν τὸ πρόσωπον ἀναδεξάμενον τοῦ εὐλαβεστάτου ἀρχιμανδρίτου Εὐτυχοῦς πάντα κύρια ἡγεῖσθαι τὰ παρὰ τῆς ἑαυτοῦ φωνῆς εἰρημένα καὶ μὴ μέρος μὲν βούλεσθαι κρατεῖν, μέρος δὲ τῶν εἰρημένων ἀνατρέπεσθαι.

629 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Οἱ εὐλαβέστατοι Ἰωάννης ὁ πρεσβύτερος καὶ Ἀνδρέας ἅτινα γινώσκουσιν ἑαυτοὺς παρὰ Εὐτυχοῦς τοῦ εὐλαβεστάτου M VI 776
μοναχοῦ ἀκηκοέναι, μεμνημένοι τῆς ἰδίας ὑπολήψεως κατάθωνται.

630 Καὶ ὁπότε εἰς μέσον ἔστησαν Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος τῆς ἁγίας ἐκκλησίας ταύτης τῆς ἐνδόξου πόλεως καὶ Ἀνδρέας ὁ εὐλαβέστατος διάκονος, Κωνσταντῖνος διάκονος εἶπεν· Οὐκ εἴπομεν ὅτι στοιχεῖ πάντα τῶι ἀρχιμανδρίτηι ὅσα λέγω.

631 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Αἱ φωναί σου ἐν τοῖς ὑπομνήμασιν περιέχονται.

632 Σέλευκος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Φθάσας ὁ μεγαλοπρεπέστατος ῥεφερενδάριος ὡς ἀπὸ τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου βασιλέως ἡμῶν κατέθετο εἰς πρόσωπον τοῦ ἀρχιμανδρίτου Εὐτυχοῦς ἀπεστάλθαι Κωνσταντῖνον καὶ τοὺς σὺν αὐτῶι ὀφείλοντας ἀναδέξασθαι τὰ εἰς αὐτὸν ἀναφερόμενα. 567

633 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Τὰ ῥήματα ὡσαύτως τὰ σὰ τοῖς ὑπομνήμασιν περιέχονται. καὶ προσέθηκεν· Ὁ εὐλαβέστατος πρεσβύτερος Ἰωάννης τίνα παρὰ Εὐτυχοῦς τοῦ μοναχοῦ ἤκουσεν, ἔκθηται.

634 Καὶ πρὶν ἢ καταθέσθαι, Μελίφθογγος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ἐκ προ- 565

MBPSΦΛⁿ

6 τούτοισ στοιχεῖν B 7 μὴ om. S 8 μοναχὸσ BS 9 τὸν om. B 10 ὁ om. M 17 κατέθετο B ὁ αὐτὸσ S 17/18 μὴ καταδέχεσθαι B καταδέχεσθαι — δὲ om. Λⁿ 18 μὴ om. B 19 τῆσ ἀγκυρανῶν πόλεωσ εὐσέβιοσ B 20/21 ἀρχιμανδρίτου om. B 21 Εὐτυχοῦς om. Φ αὐτοῦ B 22 βουλεύεσθαι MPS δὲ BΦΛⁿ δὲ θέλειν MPS εἰρημένων παρ' αὐτοῦ B 23 οἱ εὐλαβέστατοι Φ^acΛⁿ ὁ εὐλαβέστατοσ MBPΦ^cr 24 ἀνδρέασ MPSΦ^rΛⁿ ἀνδρέασ ὁ εὐλαβέστατοσ διάκονοσ B *andreas diaconus* Φ^ac ἅτινα — ἑαυτούς] εἰ ἴσασι τί ἑαυτοῖσ B ἑαυτούς om. S 28 διάκονοσ καὶ μοναχὸσ B εἴπαμεν S 32 *uir clarissimus* Φ^ac 33 εὐσεβεστάτου καὶ om. B 34 Εὐτυχοῦς om. B 35 εἰς αὐτὸν] *similia his* [ἴσα αὐτῶν] Λⁿ 37 ἰωάννησ ὁ πρεσβύτεροσ BΦ^ac ἅτινα B 38 τοῦ εὐλαβεστάτου μοναχοῦ BΦ 39 κατάθηται B om. S

565 μηθείας τινὸς παρὰ τὰς ἀρχὰς εὐθὺς τῆς κατηγορίας ἐνισταμένης ἐμνημόνευσα καὶ εἶπον ὅτι οὐ περὶ τῶν τυχόντων ἡ κατηγορία γίνεται οὔτε δι' ἐντολέως τὸ τοιοῦτον ἐπικίνδυνον πρᾶγμα δοκιμάζεται ἢ ὀφείλει γενέσθαι, ἀλλὰ χρήιζομεν τῆς παρουσίας τοῦ κατηγορουμένου, τοῦτο καὶ τῶν νόμων βουλομένων. εἰ δὲ ἄρα παρίσταται τῶι εὐσεβεστάτωι βασιλεῖ δι' ἐντολέως ἐγκληματικὴν γυμνάζεσθαι δίκην καὶ κατηγορεῖν ἀκινδύνως καὶ παρασταίη, τοῦτο γνωρισθῆι αὐτῶι καὶ ἀνάγκη ἡμᾶς εἶξαι φιλοχρίστωι βασιλεῖ πάντα κελεύοντι.

635 Ὁ εὐλαβέστατος ἐπίσκοπος Σέλευκος εἶπεν· Βεβαίων ὄντων τῶν πραχθέντων καὶ τήμερον ἐκ τῆς καταθέσεως τοῦ μεγαλοπρεπεστάτου ῥεφερενδαρίου καὶ τῆς συναινέσεως τῶν ἁγιωτάτων ἐπισκόπων καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐκδοξοτάτου ἀπὸ ὑπάτων καὶ πατρικίου Φλωρεντίου, κατατιθέσθωσαν καὶ οἱ εὐλαβέστατοι ὁ πρεσβύτερος Ἰωάννης καὶ ὁ διάκονος Ἀνδρέας ἅπερ ἴσασιν.

636 Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος εἶπεν· Τὰ μὲν κατατεθέντα παρ' ἐμοῦ καὶ ὑπαναγνωσθέντα τῆι ἁγίαι ταύτηι καὶ θεοφιλεστάτηι συνόδωι παρόντος καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ τὰ πάντα ἐνδοξοτάτου ἀπὸ ὑπάτων καὶ πατρικίου Φλωρεντίου ὅτι γε δὴ ἀληθείας ὑπῆρχεν ἐντός, τοῦτο καὶ ὁ εὐλαβέστατος διάκονος

637 Οὗ λέγοντος Κωνσταντῖνος διάκονος εἶπεν· Ὅλα οὐκ ἀνεγνώσθη.

638 Ὁ αὐτὸς Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος εἶπεν· Ναὶ ἴδε,
M VI 777 αὐτὸ λέγω.

639 Κωνσταντῖνος ὁ εὐλαβέστατος διάκονος καὶ μοναχὸς εἶπεν· Ἐγὼ εἶπον ἕνα λόγον ἐν θορύβωι καὶ ἐγράφη

640 Οὗ λέγοντος ὁ εὐλαβέστατος ἐπίσκοπος Θαλάσσιος εἶπεν· Ἤρκει μὲν καὶ ἡ ὑπόλ
L IIII 251 ηψις Ἰωάννου τοῦ πρεσβυτέρου, ἐπειδὴ δὲ τὸ εὐαγγέλιον πᾶσιν προετέθη ἡμῖν, εὔλογόν ἐστιν καὶ αὐτὸν ἐφ' οἷς λέγει, ἐπὶ τοῦ εὐαγγελίου πιστώσασθαι.

641 Ὁ αὐτὸς Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος ὑποζεύξας εἶπεν· Ὅτι γε δὴ ἀληθείας ἐντὸς ὑπάρχει, πρὸς οἷς ἔδοξεν ἐπαμφιβάλλειν, πλείονι δεσμῶι ἀληθείας κατέδησεν. καὶ τοῦτο ἡ θεοφιλὴς καὶ ἁγία σύνοδος ἔγνω ἀφ' ὧν τελευταῖον πρὸς ἀνατροπὴν εἶδεν τῶν οἰκείων λόγων· ἐπειδὴ δὲ δεῖ τελείαν ὑπανάγνωσιν γενέσθαι καὶ πεισθῆναί με ἀπὸ τῶν ἑπομένων ὥστε γνωρίσαι με τὰ κατατεθέντα παρὰ τοῦ εὐλαβεστάτου ἀρχιμανδρίτου Εὐτυχοῦς καὶ εἰ συμβαίνοντα εἶπεν τοῖς κατατεθεῖσιν τὸ τηνικαῦτα παρ' ἐμοῦ, ἢ ἀπαρνήσασθαι, εἴ γε ἄρα τύχοι μὴ ἐπιγνωσθὲν παρ' ἐμοῦ, ἀξιῶ τὴν ὑμετέραν θεοφίλειαν ὑπαναγνωσθῆναι κσὶ πληρεστάτην γενέσθαι τὴν ἀνάγνωσιν, ὥστε σκοπῆσαί με διὰ πάντων διὰ τὸ σέβας τῶν ἁγίων εὐαγγελίων τὸ προτεθὲν παρὰ τῆς ὑμετέρας θεοφιλείας καὶ ἀκολουθῆσαι τῶι λόγωι τῆς ἀληθείας.

642 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Αὖθις Ἰωάννου τοῦ πρεσβυτέρου αἱ

MBPSΦ, Λ^{n} [usque ad 27 ἔγνω, ceteris usque ad p. 161, 21 omissis]

1 εὐθὺ MPS ἐνιστάμενοσ MPS 2 ἐμπολέωσ S τοιοῦτο M 3 χρήζωμεν M 4 τούτων MPS, corr. M τοῦ νόμου MPS, corr. M 5 ἐμπολέωσ S δίκην γυμνάζεσθαι B κατηγορίαν B 6 παρασταίη MPS εἰ παρίσταται B *constituerit* Φ^{cr} *constiterit* Φ^{a} *conprobari* Λ^{n}, unde nescio an emendandum sit παραστῆναι τούτω B γνωρισθείη PS γνώρισον B 8 Σέλευκος] βασίλειοσ σελευκείασ MPS 9 *magnifici* Φ 10 καὶ ἐνδοξοτάτου om. B 11 ὁ πρεσβύτεροσ BS πρεσβύτεροι MP 14 ἁγία ταύτη $B\Lambda^{n}$ ἁγιωτάτη MPSΦ 15 ἐνδοξοτάτου τοῦ MP 17 διάκονοσ καὶ μονάζων B cf. Φ^{ac} ℱ 18/20 Ναὶ — μοναχὸς εἶπεν om. MPS 22 καὶ οὗ M ἡ om. P 22/23 ὑπόλημψισ M, corr. M 23 προετέθη πᾶσιν B πᾶσι προσετέθη S 24 ἐστιν om. S πιστώσασθαι ἐπὶ τοῦ εὐαγγελίου B 25 εἶπεν ὑποζεύξασ B 28 ἐπεὶ S δεῖ om. S ἀνάγνωσιν B 29 με om. S 30 εὐτυχοῦσ τοῦ ἀρχιμανδρίτου B 31 ἄρα om. B 32 ὑπανάγνωσιν B 33 τὸ¹ om. M προταθὲν M^{corr}

φωναὶ ἐκ τῶν ὑπομνημάτων ἐπαναληφθῶσιν ὅπου ἑαυτὸν τινὰ παρὰ Εὐτυχοῦς ἀκηκοέναι κατέθετο.

Καὶ διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος πάλιν αἱ φωναὶ τοῦ αὐτοῦ εὐλαβεστάτου πρεσβυτέρου Ἰωάννου ἀνεγνώσθησαν

643 Ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος Ἰωάννης εἶπεν· Πρώην τοῦ θεοφιλεστάτου ἐπισκόπου Εὐσεβίου προσελθόντος ἐν συνεδρίωι τῆι ὑμετέραι ἁγιωσύνηι καὶ αἰτιασαμένου τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ καὶ βιβλίον ἔγγραφον ἐπιδεδωκότος τὸ καταδηλοῦν νοσεῖν αὐτὸν τὰ τῶν αἱρετικῶν πάθη καὶ ἐξαιτήσαντος προσκληθέντα αὐτὸν ἐπὶ τῆς ὑμετέρας ἁγιωσύνης ἀπολογήσασθαι ἐπὶ τοῖς ἐπαγομένοις αὐτῶι παρ' αὐτοῦ, πρόνοιαν ποιουμένη ἡ ὑμετέρα ἀπαραλόγιστος σοφία προσέταξεν διαβῆναι ἐμέ τε καὶ τὸν εὐλαβέστατον διάκονον Ἀνδρέαν πρὸς αὐτὸν ἐν τῆι μονῆι αὐτοῦ καὶ καλέσαι αὐτὸν ἀπολογησόμενον. τούτου δὲ γενομένου καὶ παραγενομένων ἡμῶν πρὸς αὐτὸν ἐν τῆι αὐτοῦ μονῆι τούς τε λιβέλλους αὐτῶι ὑπανέγνωμεν καὶ τὰ ἴσα τούτων δεδώκαμεν καὶ τὸν αἰτιασάμενον κατεδηλώσαμεν καὶ κατεμηνύσαμεν αὐτῶι τὴν κλῆσιν καὶ τὴν ἀπολογίαν τὴν ἐπὶ τῆς ὑμετέρας ἁγιωσύνης. ὁ δὲ τὸ μὲν ὑπαντῆσαι καὶ ἀπολογήσασθαι παντελῶς ἀπηρνήσατο, εἰρηκὼς τοῦτο προωρίσθαι αὐτῶι καὶ ὅρωι τινὶ κεκρατηκέναι ἀπ' ἀρχῆς τὸ μηδαμῶς ἀλλαχόσε ἀποβαίνειν αὐτὸν τῆς ἑαυτοῦ συνοδίας, τρόπωι δέ τινι ὡς ἐν τάφωι διατρίβειν ἐν τῆι μονῆι. γνωσθῆναι δὲ τῆι ὑμετέραι ἁγιωσύνηι δι' ἡμῶν ἐξήιτησεν ὅτιπερ ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος ἐχθρὸς αὐτῶι πάλαι τυγχάνων λοιδορίας καὶ ὕβρεως χάριν ταύτην τὴν κατηγορίαν κατ' αὐτοῦ ἐποιήσατο. ἕτοιμον γὰρ αὐτὸν εἶναι ἔφασκεν ταῖς ἐκθέσεσιν τῶν ἁγίων πατέρων τῶν τε ἐν Νικαίαι καὶ ἐν Ἐφέσωι τὴν σύνοδον ποιησαμένων συντίθεσθαι καὶ ὑπογράφειν ταῖς ἑρμηνείαις αὐτῶν ὡμολόγει· εἰ δέ που τύχοι τι παρ' αὐτῶν ἔν τισιν λέξεσιν ἢ διασφαλθὲν ἢ διαπλανηθέν, τοῦτο μήτε διαβάλλειν μήτε καταδέχεσθαι, μόνας δὲ τὰς γραφὰς ἐρευνᾶν ὡς βεβαιοτέρας οὔσας τῆς τῶν πατέρων ἐκθέσεως. μετὰ δὲ τὴν ἐνανθρώπησιν τοῦ θεοῦ λόγου, τουτέστιν μετὰ τὴν γέννησιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μίαν φύσιν προσκυνεῖν καὶ ταύτην θεοῦ σαρκωθέντος καὶ ἐνανθρωπήσαντος. καὶ βιβλίον τι τοιοῦτον προκομίσας ὑπανεγίνωσκεν, προσετίθει δὲ ὅτι λοιδορίας τινός, ὡς ἔφη, λεχθείσης κατ' αὐτοῦ ὡς αὐτοῦ εἰρηκότος ὅτι γε δὴ ἐξ οὐρανοῦ τὴν σάρκα ὁ θεὸς λόγος κατενήνοχεν, αὐτὸς ἀνεύθυνος τυγχάνει τῆς τοιαύτης λοιδορίας. τὸ δὲ ἐκ δύο φύσεων ἑνωθεισῶν καθ' ὑπόστασιν γεγενῆσθαι τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν μήτε μεμαθηκέναι ἐν ταῖς ἐκθέσεσιν τῶν ἁγίων πατέρων μήτε καταδέχεσθαι, εἰ τύχοι τι αὐτῶι τοιοῦτο παρά τινος ὑπαναγινώσκεσθαι, διὰ τὸ τὰς θείας γραφάς, ὡς ἔλεγεν, ἀμείνονας εἶναι τῆς τῶν πατέρων διδασκαλίας. καὶ ταῦτα λέγων ὡμολόγει τέλειον θεὸν εἶναι καὶ τέλειον ἄνθρωπον τὸν γεννηθέντα ἐκ τῆς παρθένου Μαρίας μὴ ἔχοντα σάρκα ὁμοούσιον ἡμῖν· τοῦτο δὲ ἐμοὶ διαλεγόμενος εἶπεν.

Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ταῦτα αὐτὸς μόνος ἐπήκουσας ἢ καὶ ὁ ἅμα σοι ἀποσταλεὶς διάκονος Ἀνδρέας;

---

643 = supra 359—361

MB, PS [usque ad 2 κατέθετο], Φ

1 ἀναληφθῶσιν S 3 ἐξσκέπτοροσ B αἱ om. M 6 εὐσεβίου τοῦ ἐπισκόπου B 7 ἀρχιμανδρίτου M εὐτυχῆν M, corr. M 11 διάκονον om. B 13 τε om. B 14 καὶ τὴν B 17 ἐξ B ἑαυτὸν B 18 ἐν² om. B 21 ἑαυτὸν B τε om. B 22 καὶ τῶν B 24 μήτε²] μὴ δὲ M μόνον B 27 τι τοιοῦτον p. 124, 27 τοιοῦτο M τι B 28 ὡσ ὅτι B ἔφη p. 124, 27 ἔφην MB λεχθείσησ B κατατεθείσησ M 29 γε B τε M 30 τοιαύτησ B τοσαύτησ M 31 τὸν χν̄ B ἐν om. B 35 τῆσ ἁγίασ B

Ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος Ἰωάννης εἶπεν· Ἐν ᾧι ταῦτά μοι ἐνετέλλετο εἰς τὸ ἀναγαγεῖν τῆι ὑμετέραι ὁσιότητι, παρῆν καὶ ὁ εὐλαβέστατος Ἀνδρέας ὁ διάκονος.

644 Καὶ μετὰ τὸ ἀναγνωσθῆναι Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος εἶπεν· Οἶδε καὶ ἡ ὑμετέρα μεγαλοπρέπεια καὶ ἡ θεοφιλεστάτη καὶ ἁγία σύνοδος ὅτι ἐπ' αὐτῶν τῶν λέξεων τινα ἔρχεσθαι ἀποστελλόμενον μήνυσιν κομίσαι πρός τινας οὐχ οἷόν τέ ἐστιν. οὔτε γὰρ τῶν πάνυ εὐδοκιμωτάτων ῥητόρων ἄν τις ποιήσειε τοῦτο τὸ τὰς ἀλλοτρίας λέξεις ποτὲ διαπορθμεύειν καὶ διακομίζειν τισί. τότε δὲ ἡνίκα ταῦτα ἐπυνθανόμην παρὰ τοῦ εὐλαβεστάτου ἀρχιμανδρίτου Εὐτυχοῦς, παρῆν καὶ ὁ εὐλαβέστατος
M VI 781 διάκονος Ἀνδρέας, ἔτι γε μὴν καὶ ὁ εὐλαβέστατος διάκονος Ἀθανάσιος, κἀγὼ δὲ κατ' ἐκεῖνο καιροῦ ὑπομνηστικὸν ποιήσας παρ' ἐμαυτῶι, ὡς ὠιόμην, τῶν παρ' ἐκείνου ῥηθέντων φυλάττω καὶ ἔχω παρ' ἐμαυτῶι. ἔδει δὲ καὶ αὐτὸν τὸν εὐλαβέστατον ἀρχιμανδρίτην Εὐτυχῆ παρεῖναι τοῖς πραττομένοις τήμερον τῆς καταθέσεως ἕνεκεν τῆς ἐμῆς. τοῦτο γὰρ δὴ καὶ παρὰ τῆι ὑμετέραι ἀπαραλογίστωι σοφίαι δοκιμάζεσθαι νενόμικα ὥστε αὐτὸν τὸν εἰρηκότα μοι παρόντα ἐνταῦθα πυνθάνεσθαι τῶν λεγομένων παρ' ἐμοῦ καὶ ἀντειπεῖν πρὸς τὰ παρ' ἐμοῦ λεγόμενα ἢ συντίθεσθαι αὐτοῖς. οὔτε γὰρ οἶμαι εὐλαβείας αὐτὸν ἐντὸς ὄντα τῶν εὐαγγελίων προκειμένων ἀναιρεῖν μου τοὺς λόγους τοὺς παρ' αὐτοῦ τηνικαῦτα ῥηθέντας, μάλιστα ἐπειδήπερ καὶ ὁ παρὼν εὐλαβέστατος διάκονος Κωνσταντῖνος πῆι μὲν συντίθεται τοῖς λεγομένοις παρ' ἐμοῦ, πῆι δέ, ὡς ὑπονοεῖ, ἄντικρυς βαίνει τῶν ῥηθέντων παρ' ἐμοῦ. καὶ ἀξιῶ μὴ πάνυ τῶν λέξεων αὐτῶν σαφῶς ἀπαιτουμένων παρ' ἐμοῦ τῶν ῥηθεισῶν παρ' ἐκείνου· οὐδὲ γὰρ ἂν ποίησαιτό τις τοῦτο τὸ αὐτολεξεὶ διαπορθμεῦσαι ῥήματά τινος, τὰ δὲ γραφέντα τότε ἐν τῶι ὑπομνηστικῶι κελεύσατε ἀναγνωσθῆναι.

645 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Τὸ ὑπομνηστικόν, ὅπερ ἐξαιτεῖς, ἀναγινωσκέσθω καὶ συγκριθῆι τῆι καταθέσει ἥτις ἐν τοῖς ὑπομνήμασι περιέχεται, ἵν' εἴ τι περὶ τὸν νοῦν ἢ περὶ τὰ ῥήματα διαφωνηθῆι, γνωσθῆι.

646 Καὶ πρὶν ἢ ἀναγνωσθῆναι Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος εἶπεν·
L IIII 255 Ἀξιῶ πρότερον τὸν εὐλαβέστατον Ἀνδρέαν καὶ τὸν εὐλαβέστατον διάκονον Ἀθανάσιον παρόντας λέγειν εἴ γε συνάιδουσι τοῖς ὑπαναγνωσθεῖσιν ἤδη καὶ τηνικαῦτα παρ' ἐμοῦ κατατεθεῖσιν.

647 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Τέως ἡ ἀνάγνωσις παρακολουθήσει. Καὶ ὁπότε προήνεγκε τὸ ὑπομνηστικὸν Ἰωάννης πρεσβύτερος καὶ ἔκδικος, διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος ἀνεγνώσθη

648 Πρώην τοῦ θεοφιλεστάτου Εὐσεβίου ἐν συνεδρίωι προσελθόντος τῆι ὑμετέραι ἁγιωσύνηι καὶ κατηγορήσαντος Εὐτυχοῦς τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου καὶ βιβλίον ἐπιδόντος κατ' αὐτοῦ τὸ καταδηλοῦν νοσεῖν αὐτὸν τὰ τῶν αἱρετικῶν πάθη καὶ ἐξαιτήσαντος τὸν μνημονευθέντα εὐλαβέστατον ἀρχιμανδρίτην μετακληθέντα ἀπολογήσασθαι τοῖς ἐπαγομένοις αὐτῶι παρ' αὐτοῦ, πρόνοιαν ποιουμένη τῆς ὀρθοδόξου πίστεως ἡ ἀπαραλόγιστος ὑμῶν σοφία διαβῆναι προσέταξεν ἐμέ τε καὶ τὸν εὐλαβέστατον διάκονον Ἀνδρέαν πρὸς αὐτὸν καὶ καλέσαι αὐτὸν ἀπολογησόμενον. τούτου δὲ γενομένου καὶ παραγενομένων ἡμῶν πρὸς αὐτὸν ἐν τῆι αὐτοῦ μονῆι καὶ ὑπαναγνόντων αὐτῶι τὴν
M VI 784 ἔγγραφον κατηγορίαν καὶ τὰ ἴσα δεδωκότων καὶ κατασημανάντων αὐτῶι τὸν αἰτιασάμενον, τὴν κλῆσιν καὶ τὴν ἀπολογίαν τὴν ἐπὶ τῆς θεοφιλοῦς ὑμῶν καὶ ἁγίας συνόδου, ὁ

MBΦ

15/6 *interrogatus contradicere* Φr 22 δὲ om. B 24 ἐξαιτεῖ Φ 25 ἐν om. 33 ἐξσκέπτοροσ B 38 πρόνοιαν δὲ M, corr. M 40 δὴ M

μνημονευθεὶς Εὐτυχὴς τὸ μὲν ἐνταῦθα ἀπαντῆσαι καὶ ἀπολογήσασθαι τοῖς ἐπαγομένοις αὐτῶι παντελῶς ὑπερέθετο, εἰρηκὼς προωρίσθαι αὐτῶι τοῦτο καὶ ὅρωι τινὶ κεκρατηκέναι ἀπ' ἀρχῆς τὸ μηδαμῶς ἀλλαχόσε ἀποβαίνειν τῆς ἑαυτοῦ συνοδίας διὰ τὸ ὥσπερ ἐν τάφωι τινὶ διατρίβειν ἐν τῆι μονῆι, γνωρισθῆναι δὲ τῆι ὑμετέραι ὁσιότητι δι' ἡμῶν ἐξήιτει ὡς ἐχθρὸς ὢν αὐτῶι πάλαι ὁ θεοσεβέστατος ἐπίσκοπος Εὐσέβιος ὕβρεως χάριν καὶ λοιδορίας ταύτην κατ' αὐτοῦ τὴν κατηγορίαν ἐνεστήσατο. αὐτὸς γὰρ ἔπεσθαι ταῖς ἐκθέσεσι τῶν ἁγίων καὶ μακαρίων πατέρων τῶν ἐν Νικαίαι καὶ ἐν Ἐφέσωι σύνοδον ποιησαμένων καὶ καθυπογράφειν αὐτοῖς ἑτοίμως ἔχειν ἐπηγγείλατο. εἰ δέ που τύχοι, ὡς ἔφησε, περί τινας λέξεις ἢ διεσφάλησαν οἱ πατέρες ἡμῶν ἢ διεπλανήθησαν, ταῦτα τό γε ἐπ' αὐτῶι μήτε διαβάλλειν μήτε προσδέχεσθαι, ἐρευνᾶν δὲ μόνον τὰς θείας γραφὰς περὶ τῶν τοιούτων ὡς βεβαιοτέρας. ἔφη δὲ ὁ αὐτὸς λοιδορίας παρά τινων λεχθείσας, ὡς ὁ θεὸς λόγος ἐξ οὐρανῶν τὴν σάρκα κατενήνοχεν· ἀλλότριος ὑπάρχοι τῆς τοιαύτης λοιδορίας. μετὰ τὴν ἐνανθρώπησιν δὲ τοῦ θεοῦ λόγου, τουτέστι μετὰ τὴν γέννησιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μίαν φύσιν προσκυνεῖν καὶ ταύτην θεοῦ σαρκωθέντος καὶ ἐνανθρωπήσαντος. καὶ περὶ τούτου βιβλίον προκομίσας ὑπανέγινωσκεν. τὸ γὰρ ἐκ δύο φύσεων μετὰ τὴν ἕνωσιν φυσιολογεῖν χρῆναι τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν οὔτε μεμαθηκέναι τοῖς ἐκθέσεσι τῶν ἁγίων πατέρων ἔφησεν οὔτε μὴν δέχεσθαι, εἴπερ καὶ τύχοι τοιοῦτον αὐτῶι τι παραναγινωσκόμενον, διὰ τὸ τὰς θείας γραφάς, καθὼς ἔφη, μηδεμίαν μνήμην πεποιῆσθαι περὶ φύσεων καὶ κρείττονας εἶναι τῶν διδασκαλικῶν ἐκθέσεων. καὶ ταῦτα λέγων προσετίθει θεὸν τέλειον καὶ ἄνθρωπον τέλειον ἐκ τῆς παρθένου γεγεννῆσθαι.

649 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν πρὸς Κωνσταντῖνον μοναχόν· Κατὰ τὴν ὑφὴν τοῦ ὑπομνηστικοῦ ἢ κατὰ τὴν ὑφὴν τῶν ὑπομνημάτων εἰρηκέναι τὸν εὐλαβέστατον μοναχὸν Εὐτυχῆ τοῖς κληρικοῖς φάσκεις; L IIII 258

650 Κωνσταντῖνος ὁ εὐλαβέστατος διάκονος καὶ μονάζων εἶπεν· Ὃ δ' ἂν κατάθωνται οἱ ἀκούσαντες, τοῦτο καταδέχεται ὁ ἀρχιμανδρίτης μετὰ τῆς ἀληθείας.

651 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ἀνδρέας τίνα παρὰ τοῦ μοναχοῦ ἤκουσεν, εἴπηι, πρῶτον τῶν φωνῶν αὐτοῦ ἐκ τῶν ὑπομνημάτων ἀναγινωσκομένων. M VI 785

652 Καὶ πρὶν ἢ ἀναγνωσθῆναι Ἐλευσίνιος ὁ εὐλαβέστατος διάκονος καὶ μονάζων εἶπεν· Τὸ 'μὴ ἔχοντα σάρκα ὁμοούσιον ἡμῖν· τοῦτο δὲ ἐμοὶ διαλεγόμενος εἶπεν' ἐν τῶι προκομισθέντι παρ' αὐτοῦ ὑπομνηστικῶι οὐ κεῖται. p. 159, 35 31

653 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Τί πρὸς ταῦτα λέγει ὁ εὐλαβέστατος Ἰωάννης;

654 Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος εἶπεν· Τὰς ἁγίας γραφὰς προέθηκεν ἡμῖν τοῖς ταπεινοῖς καὶ ἡ ὑμετέρα θεοφίλεια καὶ ἡ ὑμετέρα μεγαλοπρέπεια. καὶ ἃ ἔχει τὸ ὑπόμνημα, καὶ ἡ κατάθεσις αὕτη ἡ ἐν τῶι ὑπομνηστικῶι· εἰ καὶ συνέβη διαφωνεῖν εἰς τὰς λέξεις αὐτάς, οὐκ εἰμί

655 Οὗ λέγοντος ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ἀλλ' οὐκ ἐστιν ὀλίγον ὅπερ ἐνηλλάχθαι λέγεται.

656 Ἰωάννης πρεσβύτερος καὶ ἔκδικος εἶπεν· Καὶ τίς δύναται τὰς ἀλλοτρίας λέξεις αὐτὰς διακονεῖν τινι; τὴν δὲ διάνοιαν αὐτὴν ἣν εἶπεν

657 Οὗ λέγοντος ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· **Τί τοίνυν τοῦτον** ἐν τούτωι τῶι μέρει εἰρηκέναι διαβεβαιοῦσαι;

MBΦ, Λ^{n} [inde a 22]

9 ἔφησ B 11/12 λεχθείσασ MΦ λεχθείσησ B 18 εἴπερ M εἰ B εἰ γὰρ Φ 19 ποιεῖσθαι B 21 γεγενῆσθαι MB 29 *Eleusinus* $\Phi^{ac}\Lambda^{n}$ 31 οὐ κεῖται] οὐκ εἶπε Λ^{n} 41 ἣν om. Λ^{n}

658 Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος εἶπεν· Τί γάρ ἐστι τὸ ἀμφιβαλλόμενον; περὶ τοῦ ὁμοουσίου εἶπεν ὅτι τῇι μητρί ἐστιν ὁμοούσιος, οὐκ εἶπεν ἡμῖν τοῖς ἀνθρώποις. καὶ ὅπου θέλετε, ὀμνύω ὅτι εἶπεν· ὁμοούσιος τῇι μητρί ἐστιν καὶ οὐκ ἔχει ἡμῖν ὁμοούσιον τὴν σάρκα.

659 Ὁ μεγαλοπρέστατος πατρίκιος εἶπεν· Αὔθις τὸ μέρος τοῦτο πῆι μὲν ἐκ τοῦ ὑπομνηστικοῦ, πῆι δὲ ἐκ τῶν ὑπομνημάτων ἀναγινωσκέσθω, ἵνα ὁ εὐλαβέστατος Ἰωάννης ἰδικῶς κατάθηται τί ἐν τούτωι παρ' αὐτοῦ ἤκουσεν.

660 Οὗ γενομένου Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος εἶπεν· Τοῦτο μόνωι μοι διαλεγόμενος εἶπεν ὅτι ἡμῖν ὁμοούσιον οὐκ ἔχει τὴν σάρκα, ἀλλὰ τῇι μητρί.

661 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ἐπελάθου ὅπερ ἤκουσας, καὶ διὰ τοῦτο οὐκ ἔχει τοῦτο ἐν τῶι ὑπομνηστικῶι οὗ ἐνέταξας;

662 Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος εἶπεν· Ἐπειδὴ οἱ παρόντες μετ' ἐμοῦ εὐλαβέστατοι διάκονοι οὐκ ἤκουσαν τὰ ἐμοὶ ἰδίαι ῥηθέντα, διὰ τοῦτο οὐκ ἐνέθηκα ταῦτα τῶι ὑπομνηστικῶι.

663 Κωνσταντῖνος διάκονος καὶ μοναχὸς εἶπεν· Καὶ τοῦτο παρακαλοῦμεν ὥστε τοὺς εὐλαβεστάτους διακόνους ἐλθεῖν καὶ καταθέσθαι μετὰ ἀληθείας ἃ ἤκουσαν παρὰ τοῦ ἀρχιμανδρίτου καὶ εἰ ἰδίαι αὐτῶι ἐλάλησεν.

664 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Καθάπερ ἀνωτέρω διελάλησα, παρόντος Ἀνδρέου αἱ φωναὶ αὐτοῦ δημοσιευθῶσι.

M VI 788 Καὶ διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος ἐξ αὐτῶν τῶν ὑπομνημάτων ἀνεγνώσθησαν

665 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Λεγέτω καὶ ὁ εὐλαβέστατος διάκονος Ἀν-
L IIII 259 δρέας εἰ ταῦτα ἤκουσε παρὰ τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς λεγόμενα.

Ὁ εὐλαβέστατος διάκονος Ἀνδρέας εἶπεν· Κατὰ τὴν κέλευσιν τῆς ὑμετέρας ἁγιωσύνης ἀπήλθομεν πρὸς τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ καὶ διαλεχθέντες αὐτῶι ταῦτα παρ' αὐτοῦ ἠκούσαμεν ἃ καὶ ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος Ἰωάννης ἤδη κατέθετο.

666 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ἀνδρέας ὁ εὐλαβέστατος διάκονος τί παρὰ Εὐτυχοῦς ἤκουσε, κατάθηται.

667 Ἀνδρέας ὁ εὐλαβέστατος διάκονος εἶπεν· Ἐπειδὴ ὁ θεὸς συγκαθέζεται ὑμῖν καὶ φόβος καὶ τρόμος ἔχει μου τὴν ψυχήν, τῆς ἀληθείας ἐκστῆναι οὐ δύναμαι. πρώην γὰρ ἀποσταλεὶς παρὰ τοῦ δεσπότου μου τοῦ τὰ πάντα ἁγιωτάτου ἀρχιεπισκόπου Φλαβιανοῦ καὶ τῆς σὺν αὐτῶι ἁγίας συνόδου πρὸς τὸν εὐλαβέστατον ἀρχιμανδρίτην Εὐτυχῆ περὶ μὲν τῆς κλήσεως ὅσα κατέθετο ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος Ἰωάννης, ταῦτα καὶ συγκατεθέμην καὶ σύνοιδα, περὶ δὲ τοῦ ὁμοουσίου πεῦσιν προσαγαγόντος τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἐκδίκου Ἰωάννου τῶι εὐλαβεστάτωι πρεσβυτέρωι καὶ ἀρχιμανδρίτηι Εὐτυχεῖ πότερον λέγει ὁμοούσιον τῶι πατρὶ τὸν θεὸν λόγον κατὰ τὴν θεότητα καὶ ὁμοούσιον ἡμῖν κατὰ τὴν ἀνθρωπότητα, ἔφη ὁ ἀρχιμανδρίτης Εὐτυχὴς λέγων· τὸ μάθημα πῶς ἔχει; ἔφη ὁ κύριος Ἰωάννης ὅτιπερ τὸ μάθημα ἔχει ὁμοούσιον τῶι πατρὶ μόνον. ἀντιτίθησιν ὁ ἀρχιμανδρίτης Εὐτυχὴς λέγων· οὕτως οὖν ἔχε καὶ αὐτός, ἐπειδὴ κἀγὼ οὕτως ἔχω. ἕτερόν τι οὐκ ἐπίσταμαι ἐν τῇι ὑποθέσει.

---

665 = supra 362. 363

MBΦΛ^{n}

14 ταῦτα BΦ om. MΛ^{n} 20 ἐξσκέπτοροσ B 33 τὰ πάντα] πάπα Λ^{n}

668 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ἰδιαζόντως ὅμως Ἰωάννης μετὰ Εὐτυχοῦς τοῦ μοναχοῦ τί ποτε σοῦ ἀπόντος ἐλάλησεν;

669 Ἀνδρέας ὁ εὐλαβέστατος διάκονος εἶπεν· Τινὰ ἐλάλησε, τῶν ποδῶν ὑμῶν, ἃ ἐγὼ οὐκ ἤκουσα.

670 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Νῦν Ἀθανάσιος ὁ εὐλαβέστατος ἔλθητι.

671 Καὶ ὁπότε εἰς μέσον ἔστη Ἀθανάσιος ὁ διάκονος, ὁ μεγαλοπρεπέστατος πατρίκιος πρὸς αὐτὸν εἶπε· Τὸ σὸν ἐπιτήδευμα σκοπῶν μετὰ ἀληθείας λέγε τί τὸν μοναχὸν Εὐτυχῆ Ἰωάννηι τῶι εὐλαβεστάτωι ἢ Ἀνδρέαι εἰρηκέναι γινώσκεις.

672 Ἀθανάσιος ὁ εὐλαβέστατος διάκονος εἶπεν· Ἐπειδὴ περὶ ψυχῆς ἐστιν ὁ λόγος καὶ οὐκ ἀκίνδυνόν ἐστι τῶι μὴ λέγοντι τὴν ἀλήθειαν, ἅπερ ἤκουσα, ταῦτα καὶ λέγω. ἐγὼ M VI 789
οὐκ ἀπεστάλην διὰ ταύτην τὴν αἰτίαν μετὰ τοῦ θεοφιλεστάτου Ἰωάννου ἢ τοῦ εὐλα- 11
βεστάτου διακόνου Ἀνδρέου, προσκληθεὶς δὲ παρὰ τοῦ θεοφιλεστάτου πρεσβυτέρου καὶ ἐκδίκου Ἰωάννου ὡς ἐκεῖ μου παρόντος καὶ ἀκούσαντος τὰ παρ' ἐκείνου εἰρημένα καὶ ἐρωτηθεὶς παρὰ τῶν ὁσιωτάτων ἐπισκόπων κατεθέμην ὅτι ταῦτα κἀγὼ παρὼν ἐκεῖ ἤκου- 375
σα ὅσαπερ καὶ αὐτὸς κατέθετο. καὶ νῦν δὲ τοῦ ὑπομνηστικοῦ τούτου ἀναγνωσθέντος, 16
ὅπερ κατεῖχεν ὁ προειρημένος θεοφιλέστατος ἀνήρ, ἐπέγνων τὰς ἄλλας λέξεις, τὸ μέντοι περὶ τοῦ ὁμοουσίου οὐκ ἐπέγνων. ἀλλὰ τότε αὐτοῦ τοῦ πρεσβυτέρου ἐρωτήσαντος τὸν ἀρχιμανδρίτην Εὐτυχῆ καὶ εἰρηκότος· ὁμολογεῖς τὸν κύριον ὁμοούσιον τῶι πατρὶ κατὰ τὴν θεότητα, ὁμοούσιον δὲ τὸν αὐτὸν ἡμῖν κατὰ τὴν ἀνθρωπότητα; ἔφησεν ὁ αὐτὸς ἀρχιμανδρίτης λέγων· τὸ μάθημα πῶς ἔχει; εἶτα ἀποκριθεὶς ὁ πρεσβύτερος λέγει· ὁμοού- L IIII 262
σιον τῶι πατρί. λέγει ὁ αὐτός· οὕτως ἔχε, ὅτι κἀγὼ οὕτως ἔχω. 21

673 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ὁμιλίας ὅμως μεταξὺ αὐτῶν ἰδιαζόντως ὁ εὐλαβέστατος Εὐτυχὴς ὁ μονάζων ἢ Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος ἔσχον;

674 Ἀθανάσιος ὁ εὐλαβέστατος διάκονος εἶπεν· Οὐ προσέσχον, τῶν ποδῶν ὑμῶν.

675 Ἐλευσίνιος ὁ εὐλαβέστατος μονάζων εἶπεν· Ἀξιοῦμεν τὸν εὐλαβέστατον διά- 25
κονον Ἀθανάσιον ἐρωτηθέντα καταθέσθαι περὶ ὧν ἐν τῆι δευτέραι ἐξετάσει ἐπελάβετο τοῦ εὐλαβεστάτου πρεσβυτέρου Ἰωάννου. ἔδειξε γὰρ ὅτι μετὰ τὴν προτέραν κατάθεσιν ἑτέρα πάλιν ἀνεγινώσκετο καὶ ἐπελάβετο οὕτως οὐκ ἐγράφη ταῦτα ἃ κατέθετο πρότερον ὅτε ἦλθεν ἀπὸ τοῦ μοναστηρίου, εἴτε ταῦτα εἴτε ἄλλα. μετὰ ταῦτα συνεδρίου γενομένου καὶ κελεύσαντος τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τὴν πρᾶξιν τῶν ὑπο- 30
μνημάτων φέρεσθαι ἔνθα κατέθετο ὁ θεοφιλέστατος πρεσβύτερος Ἰωάννης, ἀναγινωσκομένων ἐκείνων ἐπελάβετο ὁ διάκονος Ἀθανάσιος ὅτι ταῦτα οὐκ ἤκουσα.

676 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ἰωάννου αἱ φωναὶ ἐκ τῶν ὑπομνημάτων ἀναγνωσθῶσιν καὶ τί πλέον περὶ τούτων ἕτοιμός ἐστιν Ἀθανάσιος διδάξαι, κατάθηται.

677 Καὶ ὁπότε πάλιν ἀνεγνώσθησαν, ὁ αὐτὸς Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος 35
εἶπεν· Προλαβὼν ὁ εὐλαβέστατος διάκονος Ἀνδρέας, ἔτι γε μὴν καὶ ὁ εὐλαβέστατος διάκονος Ἀθανάσιος πᾶσι τοῖς παρ' ἐμοῦ ῥηθεῖσιν ἐν τῶι ὑπομνηστικῶι συνέθεντο δίχα τοῦ ὁμοουσίου, ὡς ἔφησαν, καὶ αὐτὸ καταθέμενοι πῶς ἐλαλήθη παρὰ τοῦ εὐλαβεστάτου M VI 792
ἀρχιμανδρίτου. καὶ δύναται συνιέναι καὶ ἡ εὐλαβεστάτη καὶ ἁγία σύνοδος καὶ ἡ ὑμετέρα μεγαλοπρέπεια ὅτι αὐτὸ τοῦτο τὸ εἰπεῖν ἐμὲ ὅτι οἶδας ὁμοούσιον τῶι πατρὶ 40
κατὰ τὴν θεότητα καὶ ὁμοούσιον ἡμῖν κατὰ τὴν ἀνθρωπότητα, ὅτι τὸ ἀντεπερωτῆσαι αὐτὸν ἀμφιβολίας ἦν τεκμήριον. καὶ ἀξιῶ τὴν φωνὴν τῶν εὐλαβεστάτων διακόνων

MBΦΛⁿ

13 ἐκεῖ μου] ἐκείνου Φ^ca ἐκείνωι μου Φ^r 23 ἢ MB *et* ΦΛⁿ 26 ἐν τῆι δευτέραι ἐξετάσει] *ad ea quae d. 8. m. Apr. a. 449 gesta erant [cf. 556—559. 877], referenda esse uidentur* 28 οὕτωσ MB *stans* ΦΛⁿ, *conicio* ἑνιστάμενος ὅτι cf. p. 168, 6 ἃ om. Λⁿ 29 ἦλθον Φ μετὰ ταῦτα MBΦ^ac *sed postea* Φ^r *et postea* Λⁿ 40 *dominum consubstantialem* Φ^r

τὴν βεβαιώσασάν μου ταύτην τὴν κατάθεσιν ⟨τὴν⟩ ἐν τῷι ὑπομνήματι μηκέτι χρῆναι ἀνατρέπεσθαι.

678 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ἀθανάσιος ὅπερ ἐζητήθη, εἶπηι.

679 Ἀθανάσιος ὁ εὐλαβέστατος διάκονος εἶπεν· Ἐν τῆι τρίτηι ἐξετάσει αὕτη ἡ κατάθεσις ἡ κατατεθεῖσα παρὰ τοῦ πρεσβυτέρου ἀνεγινώσκετο εἰς τὸ σέκρετον καὶ ἐξενο-
p. 159, 35. 36 φωνήθην περὶ τὴν λέξιν τὴν ἐπὶ τέλει κειμένην ταύτην ὅπου λέγει 'μὴ ἔχοντα σάρκα ὁμοούσιον ἡμῖν' καὶ ὑπέκρουσα. εἶπε γὰρ καὶ αὐτὸς ὁ πρεσβύτερος ὅτι τοῦτο ἐμοὶ μόνωι διελέχθη.

680 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ἀπόντος σου ὅμως ἰδιαζόντως τί ποτε μετ' αὐτοῦ [οὐκ] ἐλαλήθη;

681 Ἀθανάσιος ὁ εὐλαβέστατος διάκονος εἶπεν· Οὐκ εἶδον.

682 Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος εἶπεν· Ὅτι μὲν πάντα τὰ παρ' ἐμοῦ ῥηθέντα καὶ δεύτερον καὶ τρίτον ἐρωτηθέντες οἱ εὐλαβέστατοι διάκονοι ἐβεβαίωσαν ταῖς οἰκείαις φωναῖς, τοῦτο καὶ ἡ ὑμετέρα θεοφίλεια καὶ ἡ ἁγία σύνοδος καὶ ἡ ὑμετέρα μεγαλοπρέπεια καὶ ἀκήκοεν καὶ ἐπίσταται· περὶ δὲ τοῦ ὁμοουσίου, ἐπειδὴ ὁ εὐλαβέστατος διάκονος Ἀθανάσιος ἔφησε ξενοφωνηθεὶς τότε θόρυβόν τινα ἐμπεποιηκέναι, κἀγὼ συν-
L IIII 263 ομολογῶ. ἰδίαι γὰρ μοι τοῦτο ἔφην εἰρηκέναι αὐτόν, ὅπερ οὖν καὶ εἴρηκεν. ὅτι δὲ καὶ αὐτοὶ μερικῶς ἤκουσαν ἐμοῦ λέγοντος αὐτῶι ὅτι οἶδας αὐτὸν τῶι πατρὶ ὁμοούσιον κατὰ τὴν θεότητα καὶ ὁμοούσιον ἡμῖν κατὰ τὴν ἀνθρωπότητα, καὶ αὐτοὶ ταῖς οἰκείαις φωναῖς κατέθεντο καὶ πληρωθέντος τοῦ πρώτου ὑπομνήματος Μαρῖνος ἀναγνώστης καὶ νοτάριος τῆς Καισαρέων ἐκκλησίας Καππαδοκίας πρώτης ἀνέγνω.

683 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Τὸ μέρος τῶν ὑπομνημάτων λοιπὸν ἀναγνωσθήτω.

Καὶ διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος ἀνεγνώσθη

684 Ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος Ἰωάννης εἶπεν· Ἐν αὐτῶι τῶι καιρῶι
p. 125, 10. 11 τῆς διαλέξεως καὶ τὰ λοιπὰ τῆς τρίτης πράξεως

685 Καὶ ὁπότε ἀνεγνώσθη, Κωνσταντῖνος διάκονος καὶ μονάζων εἶπεν· Τοῦτο οὐκ
M VI 793 p 133, 19—20 εἶπον ὅτι εἰ μὴ συμπνεύσετέ μοι καὶ ταπεινώσει με ὁ ἐπίσκοπος, τελευταῖον καὶ ὑμῖν ἐπιθήσεται· τοῦτο οὐκ εἶπον, τῶν ποδῶν ὑμῶν.

686 Κωνσταντῖνος ὁ εὐλαβέστατος διάκονος εἶπεν· Ἐπειδὴ οὔτε οἱ ἀποσταλέντες ἐνταῦθά εἰσιν οὔτε ὁ πρεσβύτερος καὶ ἀρχιμανδρίτης Μαρτῖνος ἐνταῦθά ἐστιν, εἰ κελεύετε, παρέλθηι τοῦτο.

687 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Πατρίκιος, ὅστις ἅμα Πέτρωι πρὸς τὸν μονάζοντα ἀπῆλθεν, ἐνταῦθα εἶναι λέγεται. τί τοίνυν βούλεσθε; τοῦτον ἐρωτηθῆναι ἢ τὸν εὐλαβέστατον Μαρτῖνον;

688 Ἐλευσίνιος ὁ εὐλαβέστατος μονάζων καὶ διάκονος εἶπεν· Τοῦ ἀναγκαίου γένεσθε, τῶν ποδῶν ὑμῶν.

ΜΒΦΛⁿ

1 τὴν³ Φ^rΛⁿ om. MB 5/6 ἐξενοφωνήθην ΦΛⁿ ἐξεφωνήθη M διειλέχθη B 9 παρόντος Λⁿ 10 οὐκ MB om. ΦΛⁿ 13 ἐρωτητέντεσ M 20 καὶ M^corr om. MB 20/21 καὶ — ἀνέγνω om. Λⁿ, pertinere uidentur ad ea quae d. 8. m. Apr. a. 449 Thalassio episcopo Caesareae praesidente gesta sunt, cf. p. 152, 33. 163, 26 24 ἐξσκέπτοροσ B 26 τῆς τρίτης πράξεως] actiones tertia usque ad sextam pro una numerantur, cf. p. 166, 35. 174, 39 28 εἶπεν BΦ συμπνεύσητέ M καὶ¹ om. Λⁿ 29 εἶπεν Φ 30 *et iterum idem Constantinus dixit* Λⁿ; malim scribere Κωνστάντιος cf. p. 152, 3/4 31 μαρτῖνοσ MBΛⁿ om. Φ 33 Πατρίκιος om. Φ^aΛⁿ 35 ἢ om. Φ^ac 36 γένεσθε B γενέσθαι M

689 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Μὴ ἄλλως τὰ ὑπομνήματα περιέχει ἤπερ ἡ ἀλήθεια ἔχει περὶ τούτου τοῦ μέρους; οὐ λέγετε;

690 Κωνσταντῖνος διάκονος καὶ μονάζων εἶπεν· Οὐχί, τῶν ποδῶν ὑμῶν, εἰς τὸ μέρος τοῦτο.

691 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Τὰ ἀκόλουθα ἀναγινωσκέσθω.
Καὶ διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος ἐκ τοῦ αὐτοῦ σχεδαρίου ἀνεγνώσθη

692 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Τί δὲ περιέχειν ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἀρχιμανδρίτης Μαρτῖνος τὸν τόμον ἔλεγεν; καὶ τὰ λοιπά p. 133, 23—24

693 Καὶ μετὰ τὸ ἀναγνωσθῆνσι Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Δεόμεθα τῆς παρούσης ἁγίας συνόδου καὶ τῆς ὑμετέρας μεγαλοπρεπείας καταξιῶσαι κελεῦσαι πεῦσιν προσενεχθῆναι τοῖς εὐλαβεστάτοις κληρικοῖς ὧν μνήμην πεποίηται ἡ παροῦσα τῶν ὑπομνημάτων ἀνάγνωσις, καὶ καταθέσθαι μή τι ἀμφιβάλλουσιν ἐπὶ τοῖς ἀνεγνωσμένοις καὶ τηνικαῦτα παρ' αὐτῶν κατατεθεῖσιν, τουτέστι Μάμαν τὸν εὐλαβέστατον πρεσβύτερον, Θεόφιλον Μέμνονα Ἰωάννην, Ἀνδρέαν καὶ Ἀθανάσιον τοὺς διακόνους.

694 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Μὴ ἀμφιβαλλόντων ἐκείνων ἡ παροῦσα ζήτησις πρόκειται; ἀλλὰ τῶι εὐλαβεστάτωι ἀνδρὶ μοναχῶι, οὗ καὶ οἱ ἄνθρωποι ἐν τῶι παρόντι ἵστανται. καὶ προσέθηκεν· Τὰ λοιπὰ ἀναγινωσκέσθω.
Καὶ διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος ἀνεγνώσθησαν

695 Ἡμέραι σαββάτου, ἥτις ἐστὶν εἰκὰς τοῦ Νοεμβρίου μηνός, καὶ τὰ λοιπά p. 135, 2

696 Καὶ ὅτε ἀνεγνώσθησαν, Κωνσταντῖνος ὁ διάκονος εἶπεν· Παρακαλοῦμεν ὥστε ἐρωτηθῆναι αὐτοὺς εἰ ταῦτα ἤκουσαν.

697 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Καὶ Θεόφιλος τῶν καταθέσεων αὐτοῦ δημοσιευθεισῶν εἰ ταύτας αὐτὸν ἀκηκοέναι ἢ εἰρηκέναι ἔγνω, εἴπηι.

698 Καὶ ὁπότε εἰς μέσον ἔστη Θεόφιλος ὁ εὐλαβέστατος πρεσβύτερος, εἶπεν· Ἀποσταλεὶς ἐγὼ καὶ ὁ πρεσβύτερος Μάμας παρὰ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου καὶ τῆς ἁγίας συνόδου κατελάβομεν τὸ μοναστήριον τοῦ ἀρχιμανδρίτου Εὐτυχοῦς. καὶ πρῶτον μὲν τὰ ἀναγνωσθέντα ἀρτίως ἤρξατο λέγειν, ἔπειτα δὲ οὐκ ἐβουλόμεθα αὐτῶι συζητῆσαι, ὡς ἐπὶ τοῦ Χριστοῦ, ἠνάγκασεν ἡμᾶς καὶ οἰκείαι φωνῆι εἶπεν ὅτι ἀμήχανον τὸν Χριστὸν ἐμὲ εἰπεῖν ἐκ δύο φύσεων· οὔτε γὰρ φυσιολογῶ τὸν κύριόν μου. ταῦτα οὖν αὐτὰ τὰ ἀναγνωσθέντα ἐκ τοῦ στόματος τοῦ εὐλαβεστάτου ἀνδρὸς ἀκούσαντες κατεθέμεθα καὶ οὔτε προσθήκην τινὰ ἐποιησάμεθα οὔτε ὑφαίρεσιν. M VI 796 L IIII 266

699 Κωνσταντῖνος μοναχὸς εἶπεν· Ἄλλο οὐδὲν ἤκουσεν;

700 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ἐκτὸς τούτων ὧν κατέθου, οὐδὲν ἄλλο ἤκουσας;

701 Θεόφιλος ὁ εὐλαβέστατος πρεσβύτερος εἶπεν· Ἔλεγεν ὅτι καὶ τῆι ἐκθέσει τῶν πατέρων ἀκολουθῶ. ταῦτα ἔλεγεν.

702 Ὁ μεγαλοπρεπέστατος πστρίκιος εἶπεν πρὸς τοὺς μοναχούς· Τί πλέον ἐπιζητεῖτε;

703 Κωνσταντῖνος διάκονος καὶ μοναχὸς εἶπεν· Ἀξιοῦμεν καὶ τὸν κύριν Μάμαν εἰπεῖν.

---

698 cf. supra 451

MBΦΛⁿ

2 οὐ λέγετε Φ λέγετε Λⁿ οὖ λέγοντοσ MB 6 ἐξσκέπτοροσ MB, corr. M 8 τὸν τόμον ἔλεγεν ὁ εὐλαβέστατοσ — μαρτῖνοσ B 14 Ἰωάννην τὸν πρεσβύτερον καὶ ἔκδικον ΦΛⁿ 18 ἐξσκέπτοροσ MB, corr. M 22 Καὶ om. ΦΛⁿ 27 ἔπειτα MBΦΛⁿ, uitium est antiquissimum pro ἐπειδή 28 ἠνάγκασεν] *coegit autem* Λⁿ εἶπεν] *dicens* Λⁿ 32 διάκονοσ καὶ μοναχὸσ B

704 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ὁ εὐλαβέστατος ὡσαύτως Μάμας ἅτινα ἔγνω, κατάθηται.

705 Καὶ πρὶν ἢ κατάθηται, Ἐλευσίνιος διάκονος καὶ μονάζων εἶπεν· Αὐτὸς καθωμολόγησεν ὅτι ἔλεγε καὶ ταῖς ἐκθέσεσι τῶν πατέρων ἀκολουθεῖν, καὶ οὐκ ἔγκειται ἐν τοῖς ὑπομνήμασιν.

706 Ὁ μεγαλοπρεπέστατος πατρίκιος πρὸς Θεόφιλον εἶπεν· Διὰ τί ἐν τοῖς ὑπομνήμασιν οὐδαμῶς περιέχεται ὅπερ ὡς ἐρρέθη παρὰ Εὐτυχοῦς, ἐν τῇι σῇι καταθέσει μετὰ ταῦτα προσέθηκας;

707 Θεόφιλος ὁ εὐλαβέστατος πρεσβύτερος εἶπεν· Καὶ ἄλλα εἶπε, τῶν ποδῶν ὑμῶν, ἃ ἐπὶ μνήμης οὐ φέρω· ἃ δὲ φέρω ἐπὶ μνήμης, κατεθέμην.

708 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Διὰ τί τοῦτο τοῖς ὑπομνήμασιν τῶι τότε καιρῶι οὐδαμῶς ἐνέταξας;

709 Ἐλευσίνιος μονάζων εἶπεν· Καὶ μὴν ἐν τοῖς ἀνωτέρω εἶπεν ὅτι οὔτε προσθήκην ὧν εἶπεν, οὔτε ὑφαίρεσιν ἐποιήσαμεν.

710 Θεόφιλος πρεσβύτερος εἶπεν· Ἃ ἤκουσα ἐκ τοῦ στόματος αὐτοῦ τοῦ ἀρχιμανδρίτου, ταῦτα εἶπον· εἰ δὲ θέλουσιν ἵνα πλείονα εἴπω ⟨ἃ⟩ οὐκ ἤκουσα

711 Οὗ λέγοντος ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Μάμας ὁ πρεσβύτερος, καθὰ εἴρηται, κατάθηται.

712 Μάμας ὁ εὐλαβέστατος πρεσβύτερος εἶπεν· Ἀναγνωσθῆι, τῶν ποδῶν ὑμῶν, ἡ κατάθεσις ἡ τότε γενομένη, ἐπειδὴ ἐπελαθόμην.

713 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Αἱ φωναὶ αὐτοῦ ἐκ τῶν ὑπομνημάτων ἀναγνωσθῶσιν, ἵνα τούτων ἐπιγνωσθεισῶν ἅτινα αὐτὸν ἀκηκοέναι ἔγνω, εἴπηι.

M VI 797 Καὶ διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος ἀνεγνώσθησαν ἐκ τῶν ὑπομνημάτων αἱ φωναὶ αὐτοῦ

714 p. 136, 17 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Εἶπέ ἡμῖν τίνος ἕνεκεν, καὶ τὰ λοιπά

715 Καὶ μετὰ τὸ ἀναγνωσθῆναι Μάμας ὁ εὐλαβέστατος πρεσβύτερος εἶπεν· Οὕτως ἐστί, τῶν ποδῶν ὑμῶν· ταῦτα κατεθέμην ἃ ἀνέγνω, καὶ οὐδὲν πλέον κατεθέμην.

716 Κωνσταντῖνος διάκονος καὶ μονάζων εἶπεν· Λογίζομαι ὅτι ἐναντία ἐστὶν ἀλλήλων ἃ εἶπεν ὁ κύριος ὁ πρεσβύτερος ὡς ἀπὸ τῶν ἀναγνωσθέντων τῆς καταθέσεως Θεοφίλου καὶ Μάμα.

717 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Μὴ τὰ ὑπομνήματα ἄλλως περιέχουσιν;

718 L IIII 267 Ἐλευσίνιος μονάζων εἶπεν· Οὐχί, τῶν ποδῶν ὑμῶν.

719 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Εἴ τι ἄλλο ἐστίν, ἀναγνωσθήτω.
Καὶ διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος ἀνεγνώσθη

Τετάρτη πρᾶξις

720 p. 137, 16—19 Συναχθείσης αὖθις τῆς ἁγίας καὶ μεγάλης συνόδου, προκειμένων τῶν ἁγίων καὶ φρικτῶν εὐαγγελίων καὶ προεδρεύοντος τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου ἡμῶν Φλαβιανοῦ ἐν τῶι σεκρέτωι τοῦ ἐπισκοπείου, τῇι ὁρισθείσηι προθεσμίαι, ἡμέραι δευτέραι, ἥτις ἐστὶν δευτέρα καὶ εἰκὰς τοῦ Νοεμβρίου μηνός, καὶ τὰ λοιπά

MBΦΛⁿ

3 *Eleusinus* Φ 4 ἀκολουθεῖ $Φ^{cr}Λ^{n}$ 13 *Eleusinus* ΦΛⁿ διάκονοσ καὶ μονάζων B 16 οὐκ ἤκουσα MB *quae non audiui ab eo* Φ *quam audiui* Λⁿ 17 οὗ λέγοντος ΦΛⁿ οὐ λέγω MB 23 ἐξσκέπτοροσ MB, corr. M 32 *Eleusinus* Φ 34 ἐξσκέπτοροσ MB, corr. M 35 τετάρτη πρᾶξισ MB$Φ^{a}$Λⁿ et codex Acoemitanus quam adfert Rusticus, de numeratione cf. p. 164. 26, *ultima actio* $Φ^{cr}$ 37 *uenerabilibus* Φ, cf. B 136, 17

721 Καὶ μετὰ τὸ ἀναγνωσθῆναι ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Διαλαλιὰ p. 140, 10. 11
τέτακταί μου περιέχουσα πεῦσιν προσενεχθῆναι τῶι πρεσβυτέρωι Εὐτυχεῖ πῶς πιστεύει καὶ τί λέγει. ἕως τούτου εἶπον, προσέθηκαν δὲ ὃ μὴ εἴρηται, ὅ ἐστι καὶ ἀδιανόητον

Καὶ τότε πάλιν ἐρωτάσθω διὰ τί νῦν ταῦτα λέγων πρότερον ἄλλως ἐφρόνει

Καὶ προσέθηκεν· Πῶς τοῦτο ἐδυνάμην εἰπεῖν μηδὲν εἰρηκότος μηδέπω τοῦ εὐλα- 5
βεστάτου ἀρχιμανδρίτου Εὐτυχοῦς;

722 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος ταύτης τῆς ἐνδόξου πόλεως πρὸς τοὺς νοταρίους εἶπεν· Πῶς ἃ μὴ διελαλήθη παρὰ τοῦ μεγαλοπρεπεστάτου ἀνδρός, ἔγκειται τοῖς ὑπομνήμασιν;

723 Ἀέτιος ὁ εὐλαβέστατος διάκονος καὶ νοτάριος εἶπεν· Ἔχομέν τι περὶ τούτων εἰπεῖν. 10

724 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Τίς ὑμῖν ταῦτα ὑπηγόρευσεν; ἐγὼ εἶπον ὑμῖν προσθεῖναι ἢ ἀφ' ἑαυτῶν ἢ παρ' ἑτέρων ἀκούσαντες ταῦτα ἐποιήσατε;

725 Ἀέτιος διάκονος εἶπεν· Ἤδη γὰρ ὡς πεπεισμένη ἡ ἁγιωσύνη ὑμῶν ὅτι προσθήκη γέγονε, ταῦτα ἐρωτᾶι;

726 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ἀναγνωσθήτω τὰ ἐξῆς. 15
Ὡσαύτως διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος ἀνεγνώσθη

727 Εὐσέβιος ἐπίσκοπος εἶπεν· Καθὼς προεῖπον, προκρίματός μοι μὴ γινομένου ἀπὸ p. 140, 12. 13
τῆς νῦν αὐτοῦ καταθέσεως, καὶ τὰ λοιπά

728 Καὶ μετὰ τὸ ἀναγνωσθῆναι Ἐλευσίνιος διάκονος εἶπεν· Κατὰ τάξιν οὐ κεῖται. M VI 800
πρότερον ἐπεδίδου τὸν λίβελλον ἔνθα ἡ πίστις τῶν τιη περιείχετο, καθὼς καὶ ἐν Ἐφέσωι 20
ἡ ἁγία σύνοδος ἐβεβαίωσεν, καὶ τοῦτον προκομίζων τὸν λίβελλον, οὐκ ἐδέξατο ὁ θεοφιλέστατος ἐπίσκοπος, καὶ τῆς μεγαλοπρεπείας ὑμῶν λεγούσης ὅτι ὀφείλει δεχθῆναι, οὐδὲ οὕτως ἐδέχθη.

729 Ὁ εὐλαβέστατος ἐπίσκοπος ταύτης τῆς ἐνδόξου πόλεως εἶπεν· Καὶ πόθεν τοῦτο δῆλον ὅτι τῶν τιη τὴν ἔκθεσιν ἐκεῖνος εἶχεν ὁ χάρτης; 25

730 Ἐλευσίνιος ὁ εὐλαβέστατος διάκονος εἶπεν· Ἔδει οὖν δεχθῆναι αὐτόν.

731 Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Δορυλαίων πόλεως εἶπεν· Ἐνεύχομαι τὴν ἁγίαν καὶ ὁμοούσιον τριάδα τῆι μελλούσηι ἔσεσθαι οἰκουμενικῆι συνόδωι κατὰ θέσπισμα τῶν φιλοχρίστων ἡμῶν βασιλέων φυλαχθῆναι τὴν ὑπόθεσιν ταύτην, ὥστε ἐκεῖ μετὰ πάσης ἀκριβείας δειχθῆναι Εὐτυχῆ τὸν ἤδη καθηιρημένον ὡς αἱρετικόν, ὅτι 30
καὶ τὰ αἱρετικῶν ἐφρόνει καὶ φρονῶν οὐ παύεται.

732 Ἀέτιος ὁ εὐλαβέστατος διάκονος καὶ νοτάριος εἶπεν· Δεόμεθα τῆς ὑμετέρας μεγαλοπρεπείας καὶ τῆς παρούσης ἁγίας συνόδου

733 Οὗ λέγοντος ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Οὐδὲ ὁ θεοφιλέστατος καὶ ἁγιώτατος ἀρχιεπίσκοπος Φλαβιανὸς τοῦτο ἀμφιβάλλει ὅτι προκομίζοντος λίβελλον L IIII 230ᵃ
τοῦ ἀρχιμανδρίτου Εὐτυχοῦς δέξασθαι οὐκ ἐβουλήθη, ἀλλὰ δι' ἑαυτοῦ ἀποκρίνασθαι 36
αὐτὸν διελάλησεν.

734 Ὁ εὐλαβέστατος ἐπίσκοπος Σέλευκος εἶπεν· Προλαβὼν ὁ εὐλαβέστατος διάκονος

MBΦΛⁿ

5 ἠδυνάμην B 16 ἐξσκέπτοροσ MB, corr. M 19 μοναχὸσ καὶ διάκονοσ B 20 τριακοσίων δεκαοκτὼ B καὶ om. B 21 προκομίζων] *offerente* Λⁿ 25 τριακοσίων δεκαοκτὼ B 26 λεχθῆναι M 27 δορυλλαίων MB, corr. M 31 τὰ τῶν B ἐφρόνει scripsi *et sapiebat* Φ φρονεῖ MB 35 ἀμφιβαλεῖ Φᵃᶜ προσκομίζοντος ΦΛⁿ 36 ἠβουλήθη B ἀποκρίνεσθαι B 37 τοῦτον B 38 *et praeueniens* Λⁿ

Ἐλευσίνιος εἶπεν λίβελλον προσενηνοχέναι τῇ ἁγίαι συνόδωι τὸν εὐλαβέστατον ἀρχιμανδρίτην Εὐτυχῆ, ἐν ὧι ἔφασκε τὸ δόγμα τῆς πίστεως περιέχειν. ἐπειδὴ δὲ πρὸ ὀλίγων ἡμερῶν γράμματα τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου τῆς Ῥωμαίων Λέοντος ἐνεφανίσθη ἡμῖν περιέχοντα ὡς ἠτιάσατο ὁ εὐλαβέστατος ἀρχιμανδρίτης Εὐτυχὴς καὶ ἐπεκαλέσατο ἐν τῶι καιρῶι τῆς ζητήσεως τὴν ἡμετέραν ἀκρόασιν διὰ τῆς τοῦ λιβέλλου δόσεως, πῶς νῦν ἐνιστάμενος καὶ λέγων περὶ τὴν πίστιν εἶναι τὸν λίβελλον ἐπὶ τοῦ Ῥώ-
M VI 801 μης ἁγιωτάτου ἐπισκόπου ἔκκλητον αὐτὸν ἀπεκάλεσεν; καὶ ἐντεῦθεν διδάχθητε ὅτι οὐ τοῖς αὐτοῖς ἐπιμένει ὁ εὐλαβέστατος ἀρχιμανδρίτης. καὶ ἀξιῶ τὴν ἐπιστολὴν προκομισθεῖσαν ἀναγινώσκεσθαι.

735 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Μετὰ τὸ τὴν σύνοδον παύσασθαι τῶν εὐλαβεστάτων ἐπισκόπων ἐπιδέδωκέ μοι ὁ εὐλαβέστατος Εὐτυχὴς ἴσον λιβέλλου ὃ ἔλεγε προσκεκομικέναι τῇ ἁγίαι συνόδωι.

Καὶ ἐν τῶι ἀναγινώσκειν ὁ καθωσιωμένος ἐκσκέπτωρ ὑπέζευξεν

736 Εὐτυχὴς πρεσβύτερος εἶπεν· Ἐγὼ οὐκ ἦλθον διαλεχθῆναι, ἀλλ' ἦλθον πεῖσαι τὴν ὁσιότητα ὑμῶν ὅπως φρονῶ. γέγραπται γὰρ ἐν τῶι χάρτηι τούτωι ὅπως φρονῶ, καὶ κελεύσατε αὐτὸν ἀναγνωσθῆναι.

Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Αὐτὸς ἀνάγνωθι.

Εὐτυχὴς πρεσβύτερος εἶπεν· Οὐ δύναμαι.

Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Διὰ τί; σὺ οὐκ ἐξέθου ἢ ἄλλου ἐστὶν ἡ ἔκθεσις; εἰ σή ἐστιν, ἀνάγνωθι αὐτός.

Εὐτυχὴς πρεσβύτερος εἶπεν· Ἐμὴ μέν ἐστιν ἡ ὑπαγορία, ἡ δὲ ὑπαγορία αὕτη ἐστὶ τῶν ἁγίων πατέρων.

Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ποίων πατέρων; εἰπὲ διὰ σεαυτοῦ· τί χρείαν ἔχεις χάρτου;

Εὐτυχὴς πρεσβύτερος εἶπεν· Οὕτως πιστεύω· προσκυνῶ τὸν πατέρα μετὰ τοῦ υἱοῦ καὶ τὸν υἱὸν μετὰ τοῦ πατρὸς καὶ τὸ ἅγιον πνεῦμα μετὰ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ. ὁμολογῶ δὲ καὶ τὴν ἔνσαρκον αὐτοῦ παρουσίαν γεγενῆσθαι ἐκ τῆς ⟨σαρκὸς τῆς⟩ ἁγίας παρθένου καὶ ἐνανθρωπῆσαι αὐτὸν τελείως διὰ τὴν σωτηρίαν ἡμῶν. οὕτως ὁμολογῶ ἐπὶ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος καὶ τῆς ὑμετέρας ἁγιωσύνης.

737 Καὶ μετὰ τὸ ἀναγνωσθῆναι Ἐλευσίνιος διάκονος εἶπεν· Ὡς ἀπητήθη δι' ἑαυτοῦ τὴν πίστιν ὁμολογῆσαι, λέγει ὅτι ἑστὼς ἐνώπιον τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, ὃν προσεκύνησα καὶ προσκυνῶ ⟨καὶ προσκυνήσω⟩, ὅτι οὕτω φρονῶ ὡς οἱ πατέρες οἱ τιη οἱ ἐν Νικαίαι ἐθέσπισαν καὶ ἡ ἐν Ἐφέσωι ἐβεβαίωσεν ἁγία σύνοδος· καὶ ταῦτα ἐν τοῖς ὑπομνήμασιν οὐ κεῖται.

738 Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Ἀξιῶ τὴν ὑμετέραν ἁγιωσύνην καὶ τὴν ὑμετέραν μεγαλοπρέπειαν πεῦσιν προσενεχθῆναι τοῖς τότε παροῦσιν ἁγιωτάτοις ἐπισκόποις τοῖς καὶ διαλαλήσασιν ἅπερ προήγαγεν αὐτῶν ἡ γλῶσσα, καὶ ταῦτα τῇ οἰκείαι

---

7 ἔκκλητον] τὴν ἐπὶ σύνοδον παραίτησιν $M^{mg}B^{mg}$

2—5 est Leonis ep. 3

14—29 = supra 498—503. 505

MBΦΛ^n

5 ἡμετέραν Λ^n ὑμετέραν MBΦ 7 διδάχθητε MBΦ^{ac} *doceri debetis* Φ^r οὐ om. cod. Acoemitanus Rustici 12 προκεκομικέναι B 13 ὁ αὐτός Φ$^r\Lambda^n$ ἐξσκέπτωρ MB 19 Διὰ — ἔκθεσις om. B 21 ὑπαγορία supra 502 ἐπαγορία M ἐπαγορεία B ὑπαγορεία B αὕτη MBΦ ἴση supra 502 23 δι' ἑαυτοῦ supra 503 27 σαρκὸς τῆς Φ et supra 505 om. MB 30 διάκονος καὶ μοναχὸς B 31 ὅτι om. Λ^n 32 καὶ προσκυνήσω ΦΛ^n om. MB 33 τριακόσιοι δεκαοκτὼ B

χειρὶ βεβαιώσασιν, εἴ γε ταῦτα νῦν παρ' αὐτῶν εἰρημένα τότε παρὰ τοῦ εὐλαβεστάτου Εὐτυχοῦς εἴρηνται καὶ εἴ γέ τι παρακεχάρακται τῶν ἐν τοῖς ὑπομνήμασιν ἐγκειμένων.

739 Βασίλειος ἐπίσκοπος εἶπεν· Ὡς ἐπ' ἀληθείας, ἐγὼ μνήμην τούτων ἀκριβῶς οὐ φέρω. L IIII 231*

740 Σέλευκος ἐπίσκοπος εἶπεν· Ἀναγνωσθήτωσάν μοι αἱ φωναὶ αἷς διηκονήσατο ὁ εὐλαβέστατος διάκονος Ἐλευσίνιος.

741 Καὶ ὁπότε ἀπὸ δέλτων αἱ φωναὶ Ἐλευσινίου τούτωι ἀνεγνώσθησαν, Σέλευκος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Οὔτε ἐγὼ ἐπιμέμνημαι τῶν τοιούτων ῥηθέντων παρὰ τοῦ εὐλαβεστάτου ἀρχιμανδρίτου Εὐτυχοῦς. M VI 804

742 Τρυφωνιανὸς ἐπίσκοπος εἶπεν· Ὡς ἐπ' ἀληθείας τοῦ θεοῦ, ὡς κεῖται εἰς τὰ ὑπομνήματα, οὕτως ἐλάλησεν ἐκεῖνος ὧδε.

743 Λογγῖνος ἐπίσκοπος εἶπεν· Ὡς τὰ ὑπομνήματα ἀνεγνώσθη καὶ περιέχει, οὕτω μέμνημαι κἀγὼ ὅτι ἐρρέθη παρὰ Εὐτυχοῦς τοῦ ἀρχιμανδρίτου. τὸ δὲ λέγειν ἄρτι τὸν εὐλαβέστατον Ἐλευσίνιον ὅτι εἶπεν 'ὡς οἱ τῆι ἅγιοι πατέρες οἱ ἐν Νικαίαι καὶ οἱ ἐν Εφέσωι ἐβεβαίωσαν, οὕτως ἔχω', δείκνυται καὶ ἐκ τῶν τελευταίων ὅπου οὐκ ἠθέλησεν ὁμολογῆσαι τὸν κύριον ἡμῶν τὸν Χριστὸν ὁμοούσιον ἡμῖν κατὰ τὴν σάρκα γεγενῆσθαι. καὶ ὡς ἐπὶ τοῦ θεοῦ ταῦτα λέγω.

744 Μελίφθογγος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ὡς ἐπὶ θεοῦ λέγω ὅτι οὐδὲν ἑτέρως εὗρον τῶν τότε πραχθέντων καὶ νῦν ἀναγνωσθέντων· περὶ δὲ τοῦ λέγειν τὸν διάκονον Ἐλευσίνιον ὅτι τοιάσδε ἔρρηξε φωνὰς ἐκεῖνος, οἶδεν ὁ τὰς καρδίας ἐμβατεύων, οὐκ ἤκουσα οὐδὲ μέμνημαι.

745 Ἰουλιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Καὶ πρὸ τῶν ἐμῶν λόγων ἐλέγχει τὴν ἀπιστίαν Εὐτυχοῦς τῶν ὑπομνημάτων ἡ πρᾶξις. ἡμεῖς γὰρ ταῦτα τὰ νῦν κατατεθέντα παρὰ Ἐλευσινίου τοῦ διακόνου ἀγνοοῦμεν· οὐδὲ γὰρ εἴρηταί τι τοιοῦτον παρὰ Εὐτυχοῦς.

746 Παῦλος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ἐπ' ἀληθείας λέγω ὅτι ξενοφωνοῦμαι νῦν παρὰ Ἐλευσινίου ταῦτα ἀκούων. οἶδα δὲ τὰ ἐμφερόμενα ἐν τοῖς ὑπομνήμασιν ἀληθῆ εἶναι πάντα, καὶ οὔτε προσθήκη συλλαβῆς οὔτε ὑφαίρεσίς ἐστιν.

747 Εὐδόξιος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ὡς ἐπὶ θεοῦ λέγω, ξενοφωνεῖ με τὰ παρὰ τοῦ εὐλαβεστάτου Ἐλευσινίου τοῦ διακόνου ἀρτίως ῥηθέντα. τότε γὰρ οὐκ ἐλαλήθη παρὰ τοῦ εὐλαβεστάτου ἀρχιμανδρίτου Εὐτυχοῦς, ἀλλὰ τὰ ἐγκείμενα ἐν τοῖς ὑπομνήμασιν.

748 Εὐστόχιος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ὡς ἐπὶ θεοῦ, ἃ εἶπον οἱ πρὸ ἐμοῦ, ταῦτα κἀγὼ λέγω * * τὰ ἐν τοῖς ὑπομνήμασιν ἐγκείμενα.

749 Τιμόθεος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ὅτι ἤκουσα λέγοντος αὐτοῦ ὅτι οὕτως φρονῶ ὡς οἱ πατέρες ἡμῶν, οἶδεν δὲ καὶ ἡ μεγαλοπρέπεια αὐτῶν, εἴτε ἄνω εἴτε κάτω, ὅτι ἤκουσα αὐτοῦ λέγοντος ὅτι οὕτω φρονῶ ὡς οἱ πατέρες ἡμῶν.

750 Οὐαλεριανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Οὐδὲν ὧν εἶπεν ὁ διάκονος Ἐλευσίνιος, ἀκήκοα παρὰ Εὐτυχοῦς· ὁ θεὸς μάρτυς.

751 Σάβας ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Μάρτυς ἐστὶν ὁ θεός, ὧι διδοῦμεν αὐτῶι ἐν ἡμέραι τῆς κρίσεως ἀπολογίαν, ὅτι τὰ κείμενα ἐν τοῖς ὑπομνήμασιν, ταῦτα ἐλάλησεν ὁ ἀρχιμανδρίτης. ἔκαμον δὲ ἐγὼ παρακαλῶν αὐτὸν καταθέσθαι ὁμοούσιον ἡμῖν καὶ οὐκ ἐδυνήθην πεῖσαι αὐτόν. M VI 805

MBΦ, Λ^{n} [usque ad 18]

6 ἐλευσίνιοσ ὁ μοναχόσ B 10 Τρυφωνιανός] alibi Τρύφων appellatur 14 τριακόσιοι δεκαοκτὼ B 22 ἐλέγξει Φ^{r} 34 lacunam signaui, *haec et ego dico quoniam illa tantum scio quae gestis inserta sunt* Φ 38 οὐαλλεριανόσ MB; non extat in catalogo 555 38/39 Οὐδὲν — μάρτυς] *haec et ego dico* Φ; adnotat Rusticus *alii non haec* 40 σάββασ B 42 ἔκαμα B 43 ἠδυνήθην B

752 Σεκουνδῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ἐκτὸς ἐκείνων τῶν ἐν τοῖς ὑπομνήμασι γεγραμμένων οὐδὲν ἤκουσα οὐδὲ ἐρρέθη.

753 Αὐρήλιος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Κατὰ ταῦτα τὰ ἀναγνωσθέντα ἡμῖν πρώην ταῦτα ἐν τῶι καιρῶι παρὰ τοῦ ἀρχιμανδρίτου μεμνήμεθα εἰρῆσθαι.

754 Κωνσταντῖνος διάκονος εἶπεν· Παρακαλῶ τὴν ἁγίαν ὑμῶν σύνοδον τὸν κύριον
L IIII 234* τὸν ἐπίσκοπον [Βασίλειον] ἐρωτηθῆναι τί ἐστιν ὃ εἶπεν, ὅτε ὁ κύριος Εὐσέβιος ὁ ἐπίσκοπος κατεστασίασεν αὐτοῦ, καὶ ἐπετίμησεν. ὡς ἐπὶ κυρίου, τί ἐστιν ὃ εἶπεν; ἀνέστη λέγων ὅτι λιβέλλους κατ' αὐτοῦ ἔχω δοῦναι, καὶ ἐπετίμησεν αὐτῶι.

755 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Τέως ἀνέχου γενέσθαι τὴν ἀνάγνωσιν καὶ εἰ κατωτέρω ταῦτα ⟨μὴ⟩ περιέχονται, τότε ταῖς δικαιολογίαις χρῆσαι.

Καὶ διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος ἀνεγνώσθη

756 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ὁμολογεῖς ὁμοούσιον τῶι πατρὶ κατὰ τὴν
p. 142, 1. 2 θεότητα καὶ ὁμοούσιον τῆι μητρὶ κατὰ τὴν ἀνθρωπότητα τὸν αὐτὸν ἕνα υἱόν; καὶ τὰ λοιπά

757 Καὶ μετὰ τὸ ἀναγνωσθῆναι Κωνσταντῖνος διάκονος εἶπεν· Ὅτε εἶπεν ὁ ἀρχιμαν-
p. 143, 11 δρίτης ὅτι μίαν φύσιν, ὁ κύριος ὁ ἐπίσκοπος οὕτως εἶπεν

758 Οὗ λέγοντος Ἐλευσίνιος διάκονος εἶπεν· Ὡς ἐπὶ τοῦ θεοῦ, ἀνεθεματίσθη τότε
cf. p. 144, 3 παρὰ τῆς θεοσεβείας ὑμῶν, ὅτι λέγει· ἀναστᾶσα ἡ ἁγία σύνοδος ἀνεθεμάτισεν αὐτόν;

759 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Τοιοῦτον τότε οὐδὲν ἐρρέθη.

760 Σέλευκος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ἐγὼ οὐκ ἤκουσα.

761 Τιμόθεος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Οὐκ ἤκουσα.

762 Ἰουλιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ἀληθῶς τοῦτο οὐδὲ ἐγὼ ἤκουσα.

763 Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ὄντως, ἑταῖρε, τῆς γλώττης μου τοιοῦτόν τι οὐκ ἐξῆλθεν.

764 Μελίφθογγος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ἐγὼ ὑβρίσθην κατὰ τὴν ὥραν παρά τινων ὡς ἀνάξιος ὢν τῆς συνόδου, ἐπειδὴ ἐπεβόησα ὑπέρθεσιν, καὶ οὐκ οἶδα.

765 Σάβας ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ἐπὶ ἀρχόντων ὅταν εἰσέλθηι μάρτυς εἰς μαρτυρίαν καὶ μὴ δυνηθῆι λαλῆσαι, νεύει εἰς τὴν κεφαλὴν αὐτοῦ καὶ ἔχει στέφανον τῶν μαρτύρων. πάντες οὖν ἡμεῖς ὑπεγράψαμεν διὰ χειρὸς καὶ ὡμολογήσαμεν ἐγγράφως· πῶς δυνάμεθα ἀρνήσασθαι;

766 Τρύφων ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ὡς ἅπαξ αὐτοῦ ἀσεβῆ λαλήσαντος ῥήματα καὶ παρὰ τὴν ἔκθεσιν τῶν ἁγίων πατέρων τῶν τιη̄ καὶ τῆς ἐν Ἐφέσωι ἁγίας
M VI 808 συνόδου πάντες ἀνεθεμάτισαν αὐτὸν οἱ παρόντες κληρικοί.

767 Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Ἐν τοῖς τοιούτοις ἁγιωτάτοις συνεδρίοις συμβαίνει πολλάκις ἕνα τῶν παρόντων θεοφιλεστάτων ἐπισκόπων εἰπεῖν τι καὶ τὸ παρὰ τοῦ ἑνὸς λεγόμενον ὡς παρὰ πάντων ὁμοῦ ἐκφωνούμενον καὶ γράφεται καὶ νοεῖται. τοῦτο ἐξ ἀρχῆς παρηκολούθησεν· ἀμέλει ἑνὸς λέγοντος γράφομεν ἡ ἁγία σύνοδος εἶπεν. εἰ τοίνυν εὑρεθείη νῦν εἷς ἢ δεύτερος εἰπών, ὡς καὶ κατέθεντο οἱ θεοφιλέστατοι καὶ συνεφώνησαν καὶ ἐπεβόησεν τότε ὁ ἁγιώτατος κλῆρος, ἀξιοῦμεν μηδ' ὅλως τὴν φωνὴν ταύτην

MBΦ, Λ^n [inde a 5]

3 αὐρίλιοσ M *Aurelianus* Φ^{ac} 6 ἐπίσκοπον MBΦ$^{r}\Lambda^n$ ἐπίσκοπον Βασίλειον Φ^{ac} [quod ad rem attinet, recte, cf. infra 798] 8 *contra eos* Φ^a καὶ] *et ita* Φ 10 μὴ ΦΛ^n om. MB 11 ἐξσκέπτοροσ MB, corr. M 13 τῆι μητρὶ] ἡμῖν Φ 17 quid dixerit Flauianus, Constantinus non deposuit utpote ab Eleusinio interruptus ὁ διάκονοσ M 18 λέγει sc. τὰ ὑπομνήματα ἀνεθεμάτισαν M 20/21 Ἐγὼ — εἶπεν om. B 22 ἤκουσα om. Λ^n 27 σάββασ B 29 μαρτύρων B Φ$^{cr}\Lambda^n$ μαρτυριῶν M *testimonii* Φ^a 32 τριακοσίων δεκαοκτὼ B

ἐκβληθῆναι ἢ παρατρωθῆναι τῶν ὑπομνημάτων, ἐπειδήπερ φαίνονται πάντες οἱ ἁγιώτατοι ἐπίσκοποι ὑπογράψαντες καί

768 Οὗ λέγοντος ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ἅτινα ἕκαστοι κατέθεντο, βέβαιά ἐστιν· ἃ ἡ ἀλήθεια περιέχει, οὐδαμῶς ἀμφιβάλλονται.

769 Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Ἀξιοῦμεν τὴν περὶ τούτου κατάθεσιν νῦν τοῦ θεοφιλεστάτου ἐπισκόπου Σάβα καὶ τοῦ θεοφιλεστάτου ἐπισκόπου Τρύφωνος φανερὰς γενέσθαι ἐπὶ τῆς ὑμετέρας ἁγιωσύνης καὶ Παύλου τοῦ θεοφιλεστάτου.

770 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ἐγνωσμέναι εἰσὶν καὶ τοῖς ὑπομνήμασι περιέχονται, δι' ὅπερ τὰ λοιπὰ ἀναγινωσκέσθω. L IIII 235*

Ὡσαύτως τὰ λοιπὰ διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος ἀνεγνώσθη

771 Καὶ μετὰ ταῦτα ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Λεγέτω ἡ ἁγία σύνοδος τίνος ἐστὶν ἄξιος ὁ παρὼν μήτε ὁμολογῶν σαφῶς τὴν ὀρθὴν πίστιν μήτε συνθέσθαι τῶι φρονήματι τῆς παρούσης ἁγίας συνόδου βουλόμενος, ἀλλ' ἐπιμένων τῆι διεστραμμένηι καὶ πονηρᾶι αὐτοῦ κακονοίαι. p. 144, 4—17

Ὁ θεοφιλέστατος ἐπίσκοπος Σέλευκος εἶπεν· Ἄξιος μέν ἐστιν οὗτος καθαιρέσεως, ἐν δὲ τῆι φιλανθρωπίαι μόνον κεῖται τῆς ὑμετέρας ἁγιωσύνης.

Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Εἰ μὲν ὁμολογήσας τὸ οἰκεῖον πταῖσμα ἐπείσθη ἀναθεματίσαι τὸ ἴδιον δόγμα καὶ συνθέσθαι ἡμῖν ἑπομένοις ταῖς ἐκθέσεσι τῶν ἁγίων πατέρων, εἰκότως ἠξιοῦτο συγγνώμης· ἐπειδὴ δὲ ἐπιμένει τῆι ἑαυτοῦ παρανομίαι, ὑποπεσεῖται τοῖς τῶν κανόνων ἐπιτιμίοις.

Εὐτυχὴς πρεσβύτερος εἶπεν· Λέγω μὲν ταῦτα, ἐπειδὴ καὶ ὑμεῖς νῦν ἐκελεύσατε, οὐκ ἀναθεματίζω δέ. ὃ γὰρ λέγω, μετὰ ἀληθείας λέγω.

Ὁ μεγαλοπρεπέστατος ἀπὸ ἐπάρχων καὶ ὑπάτων καὶ πατρίκιος Φλωρέντιος εἶπεν· Δύο φύσεις λέγεις καὶ ὁμοούσιον ἡμῖν; εἰπέ

772 Καὶ μετὰ τὸ ἀναγνωσθῆναι ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Τὸ εἰπέ οὐχ ὡς διαλαλῶν εἶπον, ἀλλὰ προτρέπων αὐτὸν τοῖς λεγομένοις παρὰ τῆς συνόδου συνθέσθαι.

773 Κωνσταντῖνος διάκονος εἶπεν· Ἐπὶ τίσι καθηιρέθη ὁ ἀρχιμανδρίτης; οὐχὶ ἐπειδὴ ὁ θεοφιλέστατος καὶ ἁγιώτατος ἡμῶν ἀρχιεπίσκοπος ἠρώτα αὐτόν· λέγεις δύο φύσεις μετὰ τὴν ἕνωσιν καὶ ἀναθεματίζεις τοὺς μὴ λέγοντας, καὶ ἐπειδὴ οὐ κατεδέξατο ἀναθεματίσαι, ἐπὶ τούτωι καθηιρέθη; καὶ αἱ φωναὶ αὗται οὐ κεῖνται ἐν τοῖς ὑπομνήμασιν.

774 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Τὰ ὑπόλοιπα ἀναγινωσκέσθω, ἵνα εἰ μηδαμῶς ἐν τοῖς ὑπομνήμασιν περιέχονται ἅτινα Κωνσταντῖνος διεβεβαιώσατο, γνῶμεν. M VI 809

Ὡσαύτως διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος ἀνεγνώσθη

775 Εὐτυχὴς πρεσβύτερος εἶπεν· Ἐγὼ ἀνέγνων τοῦ μακαρίου Κυρίλλου καὶ τῶν ἁγίων πατέρων καὶ τοῦ ἁγίου Ἀθανασίου ὅτι ἐκ δύο μὲν φύσεων εἶπον πρὸ τῆς ἑνώσεως, μετὰ δὲ τὴν ἕνωσιν καὶ τὴν σάρκωσιν οὐκέτι δύο φύσεις εἶπον, ἀλλὰ μίαν. p. 144, 18—23

Ὁ μεγαλοπρεπέστατος ἀπὸ ἐπάρχων καὶ ὑπάτων καὶ πατρίκιος Φλωρέντιος εἶπεν· Ὁμολογεῖς δύο φύσεις μετὰ τὴν ἕνωσιν; εἰπέ. ἐὰν μὴ εἴπηις, καθαιρῆι

11—24 = supra 537—541

35—39 = supra 542. 543

MBΦΛⁿ

1 ἐπειδήπερ] *quoniam autem* Λⁿ 2 καί om. ΛⁿΦ 6 σάββα B 10 ἐξσκέπτοροσ MB, corr. M 28 *religiosissimus archimandritis* Λⁿ 29 θεοσεβέστατος legit Rusticus 31 αὗται MB αὐταί Λⁿ αὐτοῦ Φʳ om. Φᵃᶜ 34 ἐξσκέπτοροσ MB

776 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Τὸ εἰπέ, ἐὰν μὴ εἴπῃς, καθαιρῆι οὐχ ὡς διαλαλῶν εἶπον, ἀλλ' ἐπειδὴ ἑώρων ἐπικειμένους αὐτῶι πάντας, προέτρεπον αὐτὸν συνθέσθαι.

Ὡ σαύτως διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος ἀνεγνώσθη

777 Εὐτυχὴς πρεσβύτερος εἶπεν· Ἀναγνωσθῆναι κελεύσατε τὰ τοῦ ἁγίου Ἀθανασίου, ἵνα γνῶτε ὅτι οὐδεν τοιοῦτον λέγει. 5
p. 144, 24–27
p. 145, 5. 6

Ὁ θεσφιλέστατος ἐπίσκοπος Βασίλειος εἶπεν· Ἐὰν μὴ δύο φύσεις καὶ μετὰ τὴν ἕνωσιν εἴπῃς, σύγκρασιν λέγεις καὶ σύγχυσιν.

Ὁ μεγαλοπρεπέστατος καὶ ἐνδοξότατος πατρίκιος Φλωρέντιος εἶπεν· Ὁ μὴ λέγων ἐκ δύο φύσεων καὶ δύο φύσεις οὐ πιστεύει ὀρθῶς 10

778 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ταύτην τὴν διαλαλιὰν οὐκ εἶπον· οὐδὲ γὰρ ἐγὼ οἷός τε ἦμην δογματίζειν.
L IIII 238*

779 Ὁ θεοσεβέστατος ἐπίσκοπος ταύτης τῆς ἐνδόξου πόλεως εἶπεν· Ἃ λέγεται μὴ λελέχθαι, ἔγκειται δὲ τοῖς ὑπομνήμασι, σημειώσασθε ὑμεῖς οἱ νοτάριοι· πρὸς γὰρ ὑμᾶς ἐστιν ὁ ἀγὼν περὶ τούτου καὶ εὐκαίρως ζητηθήσεται μετὰ ἀκριβείας ταῦτα. 15

780 Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Νῦν ἐστι καιρὸς καὶ τοῦ ἐλεγχθῆναι καὶ τοῦ μὴ ἐλεγχθῆναι· ἐνταῦθα γάρ εἰσιν οἱ παρόντες ἁγιώτατοι ἐπίσκοποι οἱ καὶ ἀκηκόοτες καὶ τὸ αὐτῶν μέγεθος πολλάκις ἐπήκουσε τῶν ὑπομνημάτων καὶ τῶν ἐν ἀξιώμασι κορυφαίων, παρόντων πολλῶν καὶ ἁγιωτάτων ἐπισκόπων, καὶ οὐδέποτε ἡ αὐτῶν μεγαλοπρέπεια οὔτε ἐμέμψατο ⟨οὔτε⟩ 20

781 Οὗ λέγοντος ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Πότε γὰρ ἀνεγνώσθη μοι τὰ ὑπομνήματα, ἵνα καὶ μέμψωμαι; ἀμέλει ζητήσαντί μοι αὐτὰ ἀναγνωσθῆναι οὐκ ἔδοσαν.

782 Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Οὐδεὶς ἡμῖν εἶπεν.

Ὡσαύτως διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος ἀνεγνώσθη

783 Καὶ ἀναστᾶσα ἡ σύνοδος πᾶσα ἐπεβόα· Μετὰ ἀνάγκης οὐκ ἔνι πίστις. πολλὰ τὰ ἔτη τῶν βασιλέων . τῶν ὀρθοδόξων βασιλέων πολλὰ τὰ ἔτη. ἡ πίστις ὑμῶν ἀεὶ νικᾶι. οὐ συντίθεται· τί αὐτὸν πείθεις; 25
M VI 812
p. 145, 7–9

784 Καὶ μετὰ τὸ ἀναγνωσθῆναι Κωνσταντῖνος ὁ εὐλαβέστατος διάκονος εἶπεν· Ταῦτα ἡ σύνοδος εἶπεν;

785 Ἀέτιος ὁ εὐλαβέστατος διάκονος εἶπεν· Ἐρωτηθῆι ἡ ἁγία σύνοδος. 30

786 Σάβας ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ἐπὶ ὅλων τῶν ἐκκλησιαστικῶν ἀνεθεματίσθη, καὶ εἰς μίαν γωνίαν οὐκ ἔσχεν ἀνάθεμα;

787 Τρύφων ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Κἀγὼ ταῦτα λέγω.

788 Κωνσταντῖνος ὁ εὐλαβέστατος διάκονος εἶπεν· Δι' ὃ καθηιρέθη ὁ ἀρχιμανδρίτης, οὐ κεῖται ἡ φωνή. ὁ γὰρ κύριος ὁ ἀρχιεπίσκοπος ἡμῶν ἀπήιτησεν αὐτὸν λέγων ὅτι εἰπὲ δύο φύσεις μετὰ τὴν ἕνωσιν καὶ ἀναθεμάτισον τοὺς μὴ λέγοντας. καὶ ἐπειδὴ 35

5—10 = supra 544. 545. 549

25—27 = supra 550

MBΦΛⁿ

1 εἰπέ] εἰπεῖν B 4 ἐξσκέπτοροσ MB, corr. M 7 καὶ om. BΦᵃ, supra 545 13 λέγετε M, corr. M 15 *oportune postea* Λⁿ 18/19 τῶν — κορυφαίων pendet a τὸ μέγεθος 20 οὔτε¹ Φ²Λⁿ om. MBΦᵃᶜ 24 ἐξσκέπτοροσ MB, corr. M 25 πᾶσα om. ΦΛⁿ, cf. notam Rustici quam ad 550 attuli μετὰ om. Λⁿ 26 ὑμῶν Φ ἡμῶν MB, cf. p. 145, 9 31 σάββασ B ἐκκλησιαστικῶν MB ἐκκλησιῶν ΦΛⁿ 34 διάκονοσ καὶ μοναχὸσ B

οὐκ ἠθέλησεν ἀναθεματίσαι λέγων ὅτι οὐαί μοί ἐστιν, ἐὰν ἀναθεματίσω τοὺς ἁγίους πατέρας, καὶ τότε ἐποίησεν τὴν καθαίρεσιν αὐτοῦ. καὶ αὕτη ἡ φωνὴ οὐ κεῖται, καὶ τότε ἀνεγνώσθη. καὶ ὁ κύριος Βασίλειος ὁ ἐπίσκοπος, ὅτε ἠρωτήθη ὁ ἀρχιμανδρίτης ὅτι λέγεις p. 144, 24. 25
δύο φύσεις; καὶ εἶπεν ὅτι ὁμολογῶ μίαν φύσιν, ἐπήγαγεν εὐθὺς ὁ κύριος Βασίλειος ὁ ἐπίσκοπος λέγων ὅτι καὶ τοῦ ἁγίου Ἀθανασίου φέρεται μίαν φύσιν τοῦ λόγου σεσαρκωμένου· καὶ οὔτε τοῦτο κεῖται. καὶ ἄλλο· ὁ κύριος ὁ ἐπίσκοπος Σέλευκος διελάλησεν ὅτι ἀναγνωσθῆι ἡμῶν ἡ κατάθεσις καὶ εἰ συντίθεται ταύταις ὁ ἀρχιμανδρίτης [ταῖς καταθέσεσιν ἡμῶν], καὶ κελεύσαντος τοῦ κυρίου τοῦ ἀρχιεπισκόπου ἡμῶν ἀναγνωσθῆναι ἀνέστη ἀμέσως ὁ θεοσεβέστατος πρεσβύτερος Ἀστέριος καὶ τὴν καθαίρεσιν ἀνέγνω· καὶ τοῦτο οὐ κεῖται.

789 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Πλησίον μου καθεζόμενος ὁ θεοφιλέστατος Σέλευκος εἶπεν· κελεύσηι ἡ ἁγιότης ὑμῶν τὰς καταθέσεις πάντων ἡμῶν τὰς γενομένας περὶ τῆς πίστεως ἀναγνωσθῆναι καὶ εἰπεῖν τὸν εὐλαβέστατον Εὐτυχῆ εἰ συντίθεται ταύταις. τούτων ῥηθέντων εἶπον τῶι ἁγιωτάτωι ἀρχιεπισκόπωι Φλαβιανῶι κελεῦσαι γενέσθαι τὴν ἀνάγνωσιν, καὶ διελάλησεν ἀναγνωσθῆναι τὰς καταθέσεις. καὶ τούτων οὐδὲν L IIII 239*
γέγονεν, ἀλλὰ ἀμέσως ἡ καθαίρεσις ἀνεγνώσθη. ἴσασι δὲ τοῦτο καὶ οἱ θεοφιλέστατοι ἐπίσκοποι Σέλευκος καὶ Βασίλειος.

790 Σέλευκος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Μέμνημαι διαλαλήσας.

791 Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ὡς ἐπ' ἀληθείας λέγω ὡς ἐπὶ λέξεως μὲν τῶν ὑπ' ἐμοῦ διαλαληθέντων μεμνῆσθαι οὐ δύναμαι, καὶ γὰρ καὶ πολὺς χρόνος παρῆλθε· M VI 813
τοῦ δὲ κυρίου καὶ τῆς συνόδου λεγούσης· λέγεις γνωρίζεσθαι δύο φύσεις ἐν τῶι κυρίωι, θεότητα καὶ ἀνθρωπότητα; τοῦ δὲ ἀρχιμανδρίτου λέγοντος· ἐκ δύο μὲν φύσεων λέγω τὸν κύριον Ἰησοῦν Χριστὸν πρὸ τῆς ἑνώσεως, μετὰ δὲ τὴν ἕνωσιν μίαν λέγω φύσιν, οἶδα ἐγὼ τοιαύτην τινὰ διάνοιαν ἐπαγαγών· ἐὰν ἐκ δύο φύσεων εἴπηις πρὸ τῆς ἑνώσεως, μετὰ δὲ τὴν ἕνωσιν μίαν εἴπηις ἀπολελυμένως, σύγχυσιν ὑποπτεύηι λέγων καὶ σύγκρασιν. μετὰ δὲ ταῦτα οἶδα ἀποστραφεὶς καὶ εἰπὼν καὶ τὴν διάνοιάν μου οἵαν οἶδεν ὁ Χριστός. καὶ γὰρ καὶ τὸν κύριον τὸν ἀρχιεπίσκοπον ἐκμειλισσόμενος καὶ αὐτὸν τὸν ἀρχιμανδρίτην ἕλκων ἡρέμα εἰς τὸ συνθέσθαι ἡμῖν λέγω· ἐὰν δὲ εἴπηις τοῦ θεοῦ λόγου μίαν φύσιν σεσαρκωμένην καὶ ἐνανθρωπήσασαν, τὰ αὐτὰ λέγεις καὶ ἡμῖν καὶ τοῖς πατράσι. δῆλον γὰρ ὅτι ἄλλο μέν τί ἐστιν ἡ θεότης ἡ ἐκ τοῦ πατρός, ἄλλο δέ τι ἡ σὰρξ ἡ ἐκ τῆς μητρός, ἣι ἐσάρκωσεν ἑαυτόν.

792 Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Πολλὰ πολλάκις ὡς ἐν διαλέξει κοινῆι καὶ ἐν συμβουλῆς μέρει ἐν σύνοδωι παρὰ τῶν παρόντων ἁγιωτάτων ἐπισκόπων λέγεται, ἃ οὐκ ἐπιτρέπουσι γράφεσθαι.

793 Λογγῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Καὶ ἐρρέθη καὶ κεῖται καὶ ἀνεγνώσθη καὶ πάλιν ἀναγνωσθῆι.

794 Κωνσταντῖνος ὁ εὐλαβέστατος διάκονος εἶπεν· Ὅτι ἡ καθαίρεσις ἡ ἀναγνωσθεῖσα οὐκ αὐτῆι τῆι ὥραι ὑπηγορεύθη, ἀλλὰ πρὸ τοῦ ἐλθεῖν τὸν ἀρχιμανδρίτην εἰς τὸ ἐπισκοπεῖον ὑπηγορεύθη,

---

3—6 cf. supra 546
22—31 cf. supra 542. 545. 546

MBΦΛⁿ

2 καὶ¹ MBΦᵃΛⁿ om. Φᶜʳ 2/3 ἀνεγνώσθη sc. ἡ καθαίρεσις 3 ὅτε MBΦᵃΛⁿ *nouit quando* Φᶜʳ 4 ἐπήγαγεν] *et subiunxit* Φᶜʳ κύριοσ M 5 τοῦ — ἀθανασίου MΛⁿ τῶ ἁγίω ἀθανασίω B 5/6 *incarnatam* Λⁿ 7 *relegantur confessiones* Φ *legantur interlocutiones* Λⁿ ταύταις om. Λⁿ 8 ταῖσ καταθέσεσιν ἡμῶν MB om. ΦΛⁿ 12 κελεύσει MB 20 καὶ³ om. B 23 μίαν — φύσιν] *non dico duas naturas* Λⁿ 25 εἴπησ MΦ φύσιν B 26 οἵαν om. Λⁿ 35/36 καὶ πάλιν ἀναγνωσθῆ MᶜᵒʳʳΛⁿ καὶ πάλιν ἀνεγνώσθη MB om. Φ

795 Ἀέτιος διάκονος εἶπεν· Ἀξιοῦμεν καταθέσθαι αὐτὸν πόθεν ταῦτα μεμάθηκεν, καὶ δεῖξαι εἰ ἀληθῆ ταῦτα τυγχάνει.

796 Σέλευκος ἐπίσκοπος εἶπεν· Εἰ μὲν ἔμελλε κανονικῶν νῦν ἐξέτασις γίνεσθαι, ἤρμοζε τῶι εὐλαβεστάτωι διακόνωι Κωνσταντίνωι αἰτιᾶσθαι τὴν ἀπόφασιν καὶ ἡμᾶς καὶ τοὺς νοταρίους καὶ περὶ ταύτης ἡμᾶς συνίστασθαι· ἐπειδὴ δὲ νῦν περὶ τοῦ παραπεποιῆσθαι τὰ ὑπομνήματα ἐκέλευσεν ὁ εὐσεβέστατος ἡμῶν βασιλεὺς τὴν ἐξέτασιν γενέσθαι, νομίζω νῦν μὴ ἁρμόζειν τὸν περὶ τούτου λόγον.

797 Κωνσταντῖνος διάκονος εἶπεν· Ταῦτα ἐν τοῖς ὑπομνήμασιν οὐκ ἔγκειται.

798 Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ἐπειδὴ ἀνέμνησέ με ὁ εὐλαβέστατος Κωνσταντῖνος τῆς φωνῆς, ἵνα μὴ ἀρνούμενος βλάψω τὴν ἐμὴν ψυχήν, διὰ τοῦτο εἶπον ταῦτα, εἶπον δὲ ταῦτα διαλεγόμενος τότε, οὐκ ἀποφαινόμενος. ἀμέλει ὁ εὐλαβέστατος ἐπίσκοπος Εὐσέβιος ὑπονοήσας ὅτι τῶι ἀρχιμανδρίτηι ὑποβάλλω, ἔδοξε τραχύνεσθαι εἰς ἐμέ.

799 Ἀέτιος ὁ εὐλαβέστατος διάκονος καὶ νοτάριος εἶπεν· Ἀξιοῦμεν καὶ τὸν ἁγιώτατον
M VI 816 ἐπίσκοπον Σέλευκον εἰπεῖν εἴ γε ἃ γέ φησι τότε διαλελαλημένα τοῦ ὅτι δεῖν ἀναγνωσθῆναι ἐκθέσεις, ταῦτα ἐπὶ τῶι ἐγκεῖσθαι τοῖς ὑπομνήμασιν ἐρρέθη.

800 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ἔλεγε γὰρ ὁ θεοφιλέστατος ἐπίσκοπος
L IIII 242* Σέλευκος ἢ ἄλλος τις ποῖα μὲν ἔδει γράφεσθαι, ποῖα δὲ μή;

801 Ἀέτιος ὁ εὐλαβέστατος διάκονος καὶ νοτάριος εἶπεν· Ἐπειδὴ ἀκηκόαμεν παρ' αὐτοῦ εἰρῆσθαι, καταξιώσατε

802 Οὗ λέγοντος Κωνσταντῖνος ὁ εὐλαβέστατος διάκονος εἶπεν· Ὁ ἀρχιμανδρίτης ἤκουσεν καὶ ὑμεῖς οὐκ ἠκούσατε;

803 Σέλευκος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Μέμνημαι εἰρηκὼς τοιαύτας φωνάς, συνέβη δὲ τοῦ ταράχου μεγαλυνθέντος μὴ γραφῆναί μου πάντως τὴν φωνήν.

804 Κωνσταντῖνος ὁ εὐλαβέστατος διάκονος εἶπεν· Καὶ ἤδη εἶπον ὅτι ὁ κύριος ὁ ἀρχιεπίσκοπος ἡμῶν ἠρώτησε τὸν ἀρχιμανδρίτην· λέγεις δύο φύσεις μετὰ τὴν ἕνωσιν καὶ ἀναθεματίζεις τοὺς μὴ λέγοντας δύο φύσεις; καὶ αὕτη ἡ λέξις οὐ κεῖται ἐν τοῖς ὑπομνήμασιν. ἐπὶ τούτοις γὰρ καθηιρέθη διὰ τὸ μὴ ἀναθεματίσαι αὐτόν.

805 Ὁ εὐλαβέστατος ἐπίσκοπος Θαλάσσιος εἶπεν· Ἐπήκουσεν ἡ ἁγία συνόδος τῶν εἰρημένων παρὰ Κωνσταντίνου τοῦ εὐλαβεστάτου διακόνου· καταξιώσει οὖν ἡ ἁγία συνόδος, εἴπερ ἐπίσταται ταῦτα εἰρηκέναι τὸν θεοφιλέστατον καὶ ἁγιώτατον Φλαβιανόν, φανερὰ ποιῆσαι τῆι ἁγίαι συνόδωι.

806 Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ὅτι Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος καὶ ἅπαξ καὶ δεύτερον ἠιτιάσατο αὐτὸν μὴ λέγειν δύο φύσεις μετὰ τὴν ἕνωσιν, μεμνήμεθα. καὶ ὅτι αὐτὸς εἶπεν· ἀκούεις τί σοι λέγει καὶ τί σοι προτείνει; τί λέγεις πρὸς ταῦτα; μεμνήμεθα.

807 Κωνσταντῖνος διάκονος εἶπεν· Αὐτὰς οὖν τὰς λέξεις παρὰ τοῦ δεσπότου ἡμῶν τοῦ ἀρχιεπισκόπου οὐκ ἤκουσας;

808 Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ἐν τοῖς προοιμίοις τῆς τετάρτης ἐξετάσεως καὶ ὁ εὐλαβέστατος ἐπίσκοπος Εὐσέβιος εἶπε πρὸς τὸν μονάζοντα· λέγεις δύο φύσεις ⟨μετὰ τὴν ἕνωσιν⟩ καὶ ὁμοούσιον ἡμῖν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸ κατὰ σάρκα; καὶ ⟨εἶπεν·⟩ ἀναθεματίζεις τοὺς μὴ οὕτω φρονοῦντας; καὶ ὁ κύριος ὁ

39—175, 1/2 cf. supra 490. 488

MBΦΛ^{n}

3 κανονικῶν M *scripturarum canonicarum* Λ^{n} κανονικῶσ BΦ 7 μὴ om. B τούτων B 11 ταῦτα om. Λ^{n} ταῦτα om. Φ τότε om. Λ^{n} 18 γραφῆναι B 32 ἁγίαι] *praesenti* Λ^{n} 41 μετὰ τὴν ἕνωσιν ΦΛ^{n} om. MB 42 καὶ εἶπεν ΦΛ^{n} καὶ B om. M

ἀρχιεπίσκοπος προσήγαγεν αὐτῶι πεῦσιν εἰ λέγει ταῦτα ἅπερ προτείνει αὐτῶι ὁ κατήγορος. πρὸς δὲ τοῖς τελευταίοις θορύβου πολλοῦ γενομένου ὄντως οὐ διαμέμνημαι εἰ τοιαύτην ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος ἐποιήσατο πρότασιν.

809 Κωνσταντῖνος ὁ εὐλαβέστατος διάκονος εἶπεν· Τοῦτο, παρακαλῶ τὴν ἁγίαν σύνοδον ὑμῶν, ἠκούσατε παρὰ τοῦ δεσπότου μου τοῦ ἀρχιεπισκόπου λέγοντος ὅτι λέγεις δύο φύσεις

810 Οὗ λέγοντος Σέλευκος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ὅτι μὲν ἐρρέθη ἐν τῆι ἐξετάσει, εἴτε παρὰ τοῦ θεοφιλεστάτου Εὐσεβίου εἴτε παρὰ τοῦ ἁγιωτάτου καὶ θεο- M VI 817
φιλεστάτου ἀρχιεπισκόπου ἡμῶν Φλαβιανοῦ ἐρρέθη, κατὰ ποῖον δὲ καιρὸν ἐρρέθη τὸ τῶν φύσεων, οὐκ ἐπιμέμνημαι.

811 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Μέμνημαι κἀγὼ τότε ῥηθέντος τούτου παρὰ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου ὅτι ὁμολογεῖς δύο φύσεις καὶ μετὰ τὴν ἕνωσιν; καὶ ἀπεκρίνατο ἐκεῖνος λέγων· ἐπειδὴ βιβλίον ἐστὶ τοῦ ἁγίου Ἀθανασίου καὶ ἄλλων ἐπισκόπων μὴ ἔχον οὕτως, ὀκνῶ εἰπεῖν.

812 Ἀέτιος ὁ εὐλαβέστατος διάκονος καὶ νοτάριος εἶπεν· Ἡ τοιαύτη πεῦσις παρὰ τοῦ θεοφιλεστάτου Εὐσεβίου τῆς πράξεως γενομένης κατατέθειται.

813 Τιμόθεος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Οὕτως ἤκουσα, ὡς καὶ ὁ θεοφιλέστατος ἐπίσκοπος Βασίλειος εἶπεν.

814 Ἰουλιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Θορύβου ὄντος οὐ μέμνημαι παρὰ τίνος ἐλέχθη. L IIII 243*

815 Εὐδόξιος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Μέμνημαι τὸν μὲν εὐλαβέστατον ἐπίσκοπον Εὐσέβιον εἰρηκότα, τὸν δὲ ἁγιώτατον ἀρχιεπίσκοπον συναινοῦντα καὶ ἀναγκάζοντα τὸν ἀρχιμανδρίτην συνθέσθαι τοῖς λεγομένοις παρὰ Εὐσεβίου.

816 Λογγῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ὡς ἐπὶ θεοῦ λέγω ὅτι τούτων οὐ δύναμαι μνημονεύειν, ἐπειδὴ σύγχυσις λοιπὸν ἐγένετο καὶ τὰ πραττόμενα ἔμπροσθεν ἡμεῖς οἱ ὀπίσω ὄντες οὐκ ἐγινώσκομεν.

817 Σάβας ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Μέμνημαι ἐγὼ ὅτι εἶπον πρὸς αὐτὸν τὸν ἀρχιμανδρίτην· εἰ μὴ ὁμολογήσεις ἐκ δύο φύσεων ἕνα μονογενῆ, ἢ τὴν οἰκονομίαν ἀρνῆι ἢ τὴν θεότητα.

818 Κωνσταντῖνος ὁ εὐλαβέστατος διάκονος εἶπεν· Ἀναγινωσκομένης τῆς καθαιρέσεως ἐπεκαλέσατο τὴν ἁγίαν σύνοδον τοῦ ἁγιωτάτου ἐπισκόπου Ῥώμης καὶ Ἀλεξανδρείας καὶ Ἱεροσολύμων καὶ Θεσσαλονίκης· καὶ ταῦτα οὐ κεῖται ἐν τοῖς ὑπομνήμασιν.

819 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Θορύβου γενομένου καὶ διαλυθείσης τῆς συνόδου εἶπεν πράως ἐμοὶ ἐπικαλούμενος τὴν Ῥώμης καὶ τὴν Αἰγύπτου καὶ τὴν Ἱεροσολύμων σύνοδον. κἀγὼ νομίσας ἄτοπον εἶναι διαλαθεῖν τοῦτο τὸν ἁγιώτατον καὶ θεοφιλέστατον Φλαβιανόν, ἀπελθὼν εἶπον αὐτῶι.

820 Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ὡς ἐπ' ἀληθείας λέγω ὅτι τοῦ συνεδρίου συγκροτουμένου καὶ προτεινομένου τούτου παρὰ τῆς συνόδου τοῦ εἰπεῖν αὐτὸν ἀχωρίστους καὶ ἀσυγχύτους τὰς δύο φύσεις ἐπὶ τοῦ ἑνὸς κυρίου καὶ μετὰ τὴν ἕνωσιν οἶδα ὅτι M VI 820
εἶπεν ὁ εὐλαβέστατος ἀρχιμανδρίτης Εὐτυχὴς ὅτι ἐὰν κελεύσωσί μοι οἱ πατέρες ὅ τε Ῥώμης καὶ ὁ Ἀλεξανδρείας, λέγω τοῦτο αὐτό. τοῦτο δὲ οὐκ ἐκκαλούμενος εἶπεν, ἀλλὰ λέγων· οὐ τολμῶ εἰπεῖν διὰ τοὺς πατέρας.

11—14 cf. supra 542—544
15—16 cf. supra 490

BMΦ, Λ[n] [usque ad 1/2 ὁ κατήγορος]
1 λέγη M 14 ἔχων M 21 μὲν BΦ om. M 27 σάββασ B 28 ὁμολογεῖσ B
35 λαθεῖν M 36 ἀνελθὼν Φ 40 κελεύωσί M

821 Ὁ ἁγιώτατος ἐπίσκοπος ταύτης τῆς ἐνδόξου πόλεως εἶπεν· Ἐγὼ οὐκ ἤκουσα παρ' ἐκείνου, ἀλλὰ παρὰ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἀπὸ ὑπάτων καὶ πατρικίου, ἀπελθόντος μου εἰς τὸ ἀνώγεων ὀσπίτιν μετὰ τὸ λυθῆναι τὴν σύνοδον.

822 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Εἰ ἔγνωσαν ἐκκαλούμενον τὸν εὐλαβέστατον ἄνδρα τὸν μοναχὸν οἱ λοιποὶ ἁγιώτατοι ἐπίσκοποι, εἴπωσιν.

823 Ἰουλιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ὡς ἐπὶ θεοῦ, τοιοῦτόν τι παρὰ Εὐτυχοῦς τοῦ μοναχοῦ οὐκ ἤκουσα ἐν τῷι συνεδρίωι.

824 Σέλευκος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Τοῦ συνεδρίου ὄντος καὶ τῆς ἐξετάσεως γινομένης οὐδὲν τοιοῦτον ἔγνωμεν λελέχθαι παρὰ τοῦ ἀρχιμανδρίτου Εὐτυχοῦς περὶ ἐκκλήτου· παρὰ τῶν εὐλαβεστάτων ἐπισκόπων ἐρρέθη καὶ ἡμεῖς τὰ αὐτὰ κατατιθέμεθα.

Ὡσαύτως διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος ἀνεγνώσθη

825 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Διὰ πάντων πεφώραται Εὐτυχὴς ὁ πάλαι πρεσβύτερος καὶ ἀρχιμανδρίτης ἔκ τε τῶν ἤδη πεπραγμένων καὶ τῶν οἰκείων αὐτοῦ νῦν καταθέσεων τὴν Βαλεντίνου καὶ Ἀπολιναρίου κακοδοξίαν νοσῶν καὶ ταῖς ἐκείνων δυσφημίαις ἀμεταθέτως ἀκολουθῶν, ὅς γε οὐδὲ τὴν ἡμετέραν αἰδεσθεὶς παραίνεσίν τε καὶ διδασκαλίαν συνθέσθαι τοῖς ὀρθοῖς δόγμασιν κατεδέξατο· ὅθεν ἐπιδακρύσαντες καὶ στενάξαντες
L IIII 246* ἐπὶ τῆι παντελεῖ ἀπωλείαι αὐτοῦ ὡρίσαμεν διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ὑπ' αὐτοῦ βλασφημηθέντος ἀλλότριον αὐτὸν εἶναι παντὸς ἱερατικοῦ τάγματος καὶ τῆς πρὸς ἡμᾶς κοινωνίας καὶ τοῦ προίστασθαι μοναστηρίου, εἰδότων ἐκείνων τῶν μετὰ ταῦτα διαλεγομένων ἢ συντυγχανόντων αὐτῶι ὡς ὑπεύθυνοι ἔσονται καὶ αὐτοὶ τῶι τῆς ἀκοινωνησίας ἐπιτιμίωι ὡς μὴ ἀποστάντες τῆς πρὸς αὐτὸν ὁμιλίας.

ὑπογραφαί

Φλαβιανὸς ἐπίσκοπος Κωνσταντινουπόλεως Ῥώμης ὁρίσας ὑπέγραψα
καὶ οἱ λοιποὶ ἐπίσκοποι ὑπέγραψαν καὶ ἀρχιμανδρῖται

826 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Σύμπαντα ἀνενεχθῶσιν εἰς γνῶσιν τῆς βασιλικῆς φιλανθρωπίας.

827 Ἀέτιος ὁ εὐλαβέστατος διάκονος καὶ νοτάριος εἶπεν· Μέχρι τοῦ παρόντος συν-
M VI 821 έστημεν ἑαυτοῖς ἐφ' οἷς ἐδυνάμεθα, καὶ ὅτι ἀναγνώσεως πολλάκις γινομένης οὐδεὶς ἡμῖν ἐμέμψατο· ἐπεὶ δὴ δὲ πρὸ πολλοῦ χρόνου τῶν χαρτῶν πρότερον παρ' ἡμῖν ὄντων Ἀστέριος ὁ σὺν ἡμῖν πρεσβύτερος καὶ νοτάριος συνὼν ἡμῖν καὶ συμπράττων κατελθὼν τοὺς χάρτας ἡμῶν ἅπαντας ἀφείλετο τά τε σχεδάρια τά τε αὐθεντικὰ καί ἐστι διμηνιαῖος ἢ καὶ τριμηνιαῖος χρόνος καὶ οὐδὲν τοῦτων ἔχομεν, τοῦ λοιποῦ εἰ κινεῖταί τι ἢ πράττεται ἢ λέγεται περὶ τῆς παρούσης ὑποθέσεως, ἡμᾶς ἐλευθερωθῆναι

828 Φλαύιος Φλωρέντιος ὁ μεγαλοπρεπέστατος καὶ ἐνδοξότατος ἀπὸ ἐπάρχων πόλεως καὶ ἀπὸ ἐπάρχων πραιτωρίων τὸ ἕκτον καὶ ἀπὸ ὑπάτων καὶ πατρίκιος εἶπεν· Καὶ τοῦτο τοῖς ὑπομνήμασιν τοῖς παροῦσιν ἐγκείσθω, ἵνα εἰς γνῶσιν τῆς βασιλικῆς αὐθεντίας ἔλθηι.

13—23 = supra 551. 552

MBΦ

3 πατρικίου φλωρεντίου B ἀνελθόντος Φ ἀνώγαιον ὀσπίτιν M ἀνώγεων οἴκημα *superiora domus* Φ^{ac} *hospitium superiora domus* Φ^{r}) γενομένης M 11 ἐξσκέπτοροσ MB, corr.) 19 προίστασθαι ὅλωσ B ἐκείνων MB *illud* Φ 28 γενομένησ B

829 Ὑπατείας Φλαυίου Πρωτογένους τοῦ λαμπροτάτου καὶ τοῦ δηλωθησομένου [ὑπάτου] πρὸ πέντε Καλανδῶν Μαίων, ἐν Κωνσταντινουπόλει, θείαι κελεύσει διαγινώσκοντος Μαρτιαλίου τοῦ μεγαλοπρεπεστάτου κόμητος καὶ μαγίστρου τῶν θείων ὀφφικίων, παρόντος Καρτερίου τοῦ περιβλέπτου κόμητος καὶ προξίμου τοῦ θείου σκρινίου τῶν λιβέλλων καὶ τῶν θείων κογνιτιόνων, εἰσελθόντων Μακεδονίου τοῦ περιβλέπτου τριβούνου νοταρίου καὶ ῥεφερενδαρίου καὶ Μάγνου τοῦ καθωσιωμένου σιλεντιαρίου μετὰ Κωνσταντίνου τοῦ εὐλαβεστάτου μοναχοῦ καὶ διακόνου, d. 27. m. Apr. a. 449

830 Κωνσταντῖνος ὁ εὐλαβέστατος εἶπεν· Δεήσεις ἐπιδέδωκεν Εὐτυχὴς ὁ εὐλαβέστατος ἀρχιμανδρίτης τῶι εὐσεβεστάτωι ἡμῶν δεσπότηι φανερὰ περιεχούσας καὶ ταύταις ἡ εὐσέβεια αὐτῶν ὑπεσημήνατο, ὑπεδέξατο δὲ αὐτὰς ὁ περίβλεπτος τριβοῦνος καὶ ῥεφερενδάριος. ἀξιῶ ὥστε ταῦτα αὐτὰ καταθέσθαι αὐτὸν καὶ τὰς δεήσεις ἀναγνῶναι καὶ τὰ δόξαντα τῆι εὐσεβείαι αὐτῶν δῆλα γενέσθαι.

831 Φλαύιος Ἀρεοβίνδας Μαρτιάλιος ὁ μεγαλοπρεπέστατος κόμες καὶ μάγιστρος τῶν θείων ὀφφικίων εἶπεν· Ἅτινα ὥρισεν ἡ φιλανθρωπία ἡ βασιλική, διὰ τοῦ περιβλέπτου τριβούνου καὶ νοταρίου ταῖς ἡμετέραις διανοίαις γνωρισθῶσιν.

832 Μακεδόνιος τριβοῦνος νοτάριος καὶ ῥεφερενδάριος εἶπεν· Εὐτυχὴς ὁ εὐλαβέστατος ἀρχιμανδρίτης προσενεχθεισῶν δεήσεων τῆι βασιλικῆι θειότητι φανερά τινα ἐδίδαξε καὶ κελεῦσαι κατηξίωσεν ἡ γαληνότης αὐτῶν ἐν τῶι δικαστηρίωι τῆς ὑμετέρας μεγαλοπρεπείας τῶν δεήσεων ἀναγνωσθεισῶν Μάγνον τὸν καθωσιωμένον σιλεντιάριον καταθέσθαι τὰ ἃ ἐν τῆι αὐτῆι δίκηι παρακολουθήσαντα γινώσκει. M VI 824 L IIII 255*

833 Ὁ μεγαλοπρεπέστατος κόμης καὶ μάγιστρος τῶν θείων ὀφφικίων εἶπεν· Αἱ δεήσεις καὶ δὴ αἱ προσενεχθεῖσαι τοῖς ἀηττήτοις βασιλεῦσι παρὰ Εὐτυχοῦς τοῦ εὐλαβεστάτου πρεσβυτέρου ὑποδεχθεῖσαι ἀναγινωσκέσθωσαν.

Καὶ διὰ Εὐηθίου τοῦ καθωσιωμένου ἐκσκέπτορος τοῦ θείου σκρινίου τῶν λιβέλλων καὶ τῶν θείων κογνιτιόνων ἀνεγνώσθησαν

834 Τοῖς εὐσεβέσι καὶ πιστοτάτοις καὶ φιλοχρίστοις βασιλεῦσιν ἡμῶν Φλαυίοι Θεοδοσίωι καὶ Οὐαλεντινιανῶι τοῖς αἰωνίοις αὐγούστοις παρὰ Εὐτυχοῦς ἀρχιμανδρίτου. Ἡ ὑμετέρα εὐσέβεια ἄνωθεν καὶ ἐξ ἀρχῆς οὐκ ἀγνοήσασα τὴν περὶ τὴν ὀρθοδοξίαν καθαράν μου καὶ ἀνεπίληπτον πίστιν, συκοφαντίας μοι πλακείσης παρὰ Εὐσεβίου ἐπισκόπου Δορυλαίων ὡς μὴ φρονοῦντι ὀρθὰ καὶ ἐπιβουλῆς μελετωμένης, κατηξίωσε θεσπίσαι εἰσιόντος μου εἰς τὸ συνέδριον τὸν θαυμασιώτατον ὑμῶν σιλεντιάριον Μάγνον συνεῖναί μοι ἀσφαλείας ἕνεκα, ὃς ἀπελθὼν εἰς τὸ ἐπισκοπεῖον καὶ μηνύσας τὴν παρουσίαν μου φανερὰ ἀκήκοε παρὰ τοῦ θεοσεβεστάτου ἐπισκόπου Φλαβιανοῦ περὶ τῆς καθαιρέσεώς μου καὶ εἶδεν. δέομαι τοίνυν τῆς ὑμετέρας γαληνότητος καταξιῶσαι θεσπίσαι ἐφ' οὗ ἂν παραστηι τῆι ὑμετέραι εὐσεβείαι, τὸν αὐτὸν θαυμασιώτατον σιλεντιάριον Μάγνον καταθέσθαι ἐγγράφως μετὰ τῆς ἀληθείας ἅπερ ἀκήκοεν, ὡς προέφην, καὶ εἶδεν. καὶ τούτου

829—849 in concilio Epheseno lecta sunt non hoc loco, sed post Basilii Seleucique paenitentias Eutyche postulante cf. 865

13 κόμες] κατὰ Ῥωμαίαν διάλεκτον οὕτως λέγεται M^{mg}

MBΦ

1 ὑπατείας om. M, corr. M^{mg} 1/2 ὑπάτου MB om. Φ 4 πρωξίμου B 6 σελεντιαρίου B 8 εὐλαβέστατοσ MΦ εὐλαβέστατοσ μοναχὸσ καὶ διάκονοσ B 13 *Ariouindas* Φ ἀρεόβινδοσ MB cf. p. 179, 7 15 *tribunum notarium et referendarium* Φ ἡμετέραισ Φ ὑμετέραισ MB 16 *Macedonius uir spectabilis* Φ 20 τὰ om. B 22 αἱ om. M 23 πρεσβυτέρου MΦ ἀρχιμανδρίτου B 24 ἐξσκέπτοροσ MB, corr. M 26 δέησισ εὐτυχοῦσ inscr. M, in textu B 27 οὐαλλεντινιανῶ M 30 δορυλλαίων MB, corr. M

τυχὼν τὰς συνήθεις εὐχὰς ἀναπέμψω τῶι θεῶι ὑπὲρ τῆς ὑμετέρας σωτηρίας διὰ παντός, εὐσεβέστατοι καὶ φιλόχριστοι βασιλεῖς.

835 Ὁ μεγαλοπρεπέστατος κόμης καὶ μάγιστρος τῶν θείων ὀφφικίων εἶπεν· Ἡ θεία καὶ δὴ ὑποσημείωσις ἀναγινωσκέσθω.

Καὶ διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος ἀνεγνώσθη

836 Κατάθηται ὁ καθωσιωμένος Μάγνος σιλεντιάριος παρὰ τῶι μεγαλοπρεπεστάτωι μαγίστρωι τῶν [θείων] ὀφφικίων πάντα ἃ ἐν τούτωι τῶι πράγματι παρακολουθήσαντα ἔγνω.

837 Ὁ μεγαλοπρεπέστατος κόμες καὶ μάγιστρος τῶν θείων ὀφφικίων εἶπεν· Ἐπάναγκές
M VI 825 ἐστιν ἅτινα προσέταξεν ἡ φιλανθρωπία ἡ βασιλική, πέρατι [νῦν] παραδοθῆναι· ὅθεν ὁ καθωσιωμένος σιλεντιάριος Μάγνος ἅτινα ἔγνω, κατὰ τὴν θείαν κέλευσιν κατάθηται.

838 Μάγνος ὁ καθωσιωμένος σιλεντιάριος εἶπεν· Πολλάκις ἐπέμφθην παρὰ τοῦ θειοτάτου καὶ εὐσεβεστάτου ἡμῶν δεσπότου πρὸς τὸν ἀρχιεπίσκοπον Φλαβιανὸν περὶ τοῦ παραγενέσθαι τὸν μεγαλοπρεπέστατον καὶ ἐνδοξότατον ἀπὸ ἐπάρχων καὶ ὑπάτων καὶ πατρίκιον Φλωρέντιον ἐν τῆι μελλούσηι γενέσθαι συνόδωι ἐν τῶι ἐπισκοπείωι τῆσδε τῆς βασιλευούσης πόλεως καὶ ἀνεβάλετο ὁ ἀρχιεπίσκοπος λέγων· οὐ χρεία σκυλῆναι ἐνταῦθα τὸν αὐτὸν μεγαλοπρεπέστατον ἀπὸ ἐπάρχων καὶ ὑπάτων καὶ πατρίκιον Φλωρέντιον· καὶ γὰρ ἤδη τύπος ἐδόθη περὶ τούτου καὶ καθηιρέθη Εὐτυχὴς ὁ μονάζων, ἐπειδὴ δεύτερον ἐκλήθη καὶ οὐχ ὑπήκουσεν. τέλος οὖν προσήνεγκάν μοι χάρτην τινὰ περιέχοντα τὴν καθαίρεσιν αὐτοῦ.

839 Ὁ μεγαλοπρεπέστατος κόμης καὶ μάγιστρος τῶν θείων ὀφφικίων εἶπεν· Μάγνου
L IIII 250* τοῦ καθωσιωμένου σιλεντιαρίου ἡ κατάθεσις ἐγκείσθω τοῖς δημοσίοις ὑπομνήμασιν.

840 Κωνσταντῖνος μονάζων καὶ διάκονος εἶπεν· Ἀξιῶ καὶ τοῦτο ὥστε καταθέσθαι τὸν κύριν τὸν σιλεντιάριον Μάγνον ὅτι πρὸ τῆς σύνοδου ἡ καθαίρεσις γεγένηται.

841 Ὁ μεγαλοπρεπέστατος κόμης καὶ μάγιστρος τῶν θείων ὀφφικίων εἶπεν· Ἅτινα ἐπίσταται, κατάθηται.

842 Μάγνος ὁ καθωσιωμένος σιλεντιάριος εἶπεν· Καὶ ἤδη εἶπον ὅτι πρὸ τῆς συνόδου ὑπέδειξέ μοι τὴν καθαίρεσιν Εὐτυχοῦς.

843 Ὁ μεγαλοπρεπέστατος κόμες καὶ μάγιστρος τῶν θείων ὀφφικίων εἶπεν· Καὶ αὕτη ἡ κατάθεσις τοῖς ὑπομνήμασιν ἐμφερέσθω.

844 Κωνσταντῖνος μονάζων καὶ διάκονος εἶπεν· Ἀξιῶ καὶ τοῦτο ὥστε τὸν περίβλεπτον τριβοῦνον καὶ ῥεφερενδάριον καταθέσθαι ἅπερ ἤκουσεν παρὰ τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ νοταρίου Ἀστερίου.

845 Ὁ μεγαλοπρεπέστατος κόμης καὶ μάγιστρος τῶν θείων ὀφφικίων εἶπεν· Εἰ καὶ τὰ μάλιστα οὐ περιέχεται ταῖς δεήσεσι τοῦτο τὸ μέρος τῆς αἰτήσεως, ὅμως ἰδίαι προαιρέσει, εἰ βουληθείη, ὁ περίβλεπτος τριβοῦνος καὶ ῥεφερενδάριος κατάθηται ὅπερ ἔγνω.

846 Μακεδόνιος ὁ περίβλεπτος τριβοῦνος νοτάριος καὶ ῥεφερενδάριος εἶπεν· Πρώην ὁ θειότατος καὶ εὐσεβέστατος ἡμῶν βασιλεὺς ἐκέλευσε συναχθῆναι τούς τε ἐπισκόπους καὶ τὸν τὰ πάντα μεγαλοπρεπέστατον καὶ ἐνδοξότατον ἀπὸ ἐπάρχων καὶ ὑπάτων καὶ πατρίκιον Φλωρέντιον, δεήσεις ἐπιδεδωκότος τοῦ εὐλαβεστάτου ἀρχιμανδρίτου Εὐτυχοῦς καὶ αἰτιωμένου τὴν γεγενημένην πρᾶξιν ἅτε δὴ ἐναλλαγεῖσαν παρὰ τῶν νοταρίων κατὰ

MBΦ

5 ἐξσκέπτοροσ MB 7 θείων om. Φ 9 κόμησ B 10 νῦν om. BΦ 17 αὐτὸν om. B
28 *ostenderint* Φ 29 κόμησ B 38 νοταρίων M 41 εὐλαβεστάτου καὶ M

κακουργίαν καὶ φανερὰ παρηκολούθησεν ἐν τῇ γενομένῃ συνόδῳ. ἀναχωροῦντι δέ μοι ἀπηντᾶτο Ἀστέριος ὁ πρεσβύτερος καὶ νοτάριος ἐνορκῶν με ἀκοῦσαι παρ' αὐτοῦ ἅπερ ἤθελε λέγειν. ἠτιάσατο δὲ τὸν εὐλαβέστατον Ἀβράμιον καὶ τοὺς νοταρίους ὡς ἐναλλάξαντας ἐν τοῖς ὑπομνήμασι κεφάλαια φανερὰ καὶ ὅτι αὐτὸς ἀνάγκην ἔχει ὑφο- M VI 828
ρώμενος τὴν τοιαύτην κακουργίαν ἐκείνους μὲν διδάξαι τὰ τοιαῦτα τετολμηκότας, παρὰ γνώμην δὲ αὐτοῦ.

847 Φλαύιος Ἀρεοβίνδας Μαρτιάλιος ὁ μεγαλοπρεπέστατος κόμης καὶ μάγιστρος τῶν θείων ὀφφικίων εἶπεν· Αὕτη ὁμοίως ἡ κατάθεσις τοῖς ὑπομνήμασιν ἐμφερέσθω. ἐκδοθήτω.

848 Φλαύιος Καρτέριος ὁ λαμπρὸς κόμης καὶ πρόξιμος τοῦ θείου σκρινίου τῶν λιβέλλων καὶ τῶν θείων κογνιτιόνων τὰ ὑπομνήματα ἐκδοθῆναι ἐκέλευσα.

849 Φλαύιος Εὐήθιος ὁ καθωσιωμένος ἐκσκέπτωρ τοῦ θείου σκρινίου τῶν λιβέλλων καὶ τῶν θείων κογνιτιόνων τὰ ὑπομνήματα ἐξέδωκα.

850 [Καὶ ἀναγνωσθέντων τῶν ὑπομνημάτων] Βασίλειος ἐπίσκοπος Σελευκείας Ἰσαυρίας εἶπεν· Συμφέρομαι τῇ πίστει τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι καὶ τῶν ἐν Ἐφέσωι ἐκείνην πάλιν βεβαιωσάντων καὶ τοὺς τἀναντία φρονοῦντας κατά τι ἢ τοῖς ἐν Νικαίαι ἢ ἐν Ἐφέσωι τετυπωμένοις ἀποστρέφομαι, ἀναθεματίζων τοὺς διαιροῦντας μετὰ τὴν L IIII 251*
ἕνωσιν εἰς δύο φύσεις ἢ ὑποστάσεις ἢ πρόσωπα τὸν ἕνα κύριον ἡμῶν Ἰησοῦν Χριστόν, μεμφόμενος καὶ ἐπιλαμβανόμενος τῆς φωνῆς τῆς ἑμαυτοῦ, ἣν περὶ τῶν δύο φύσεων 545
κατεθέμην ἐν τοῖς πραχθεῖσιν ὑπομνήμασιν ἐν τῇ βασιλευούσῃ πόλει, καὶ προσκυνῶ τὴν μίαν φύσιν τῆς θεότητος τοῦ μονογενοῦς ἐνανθρωπήσαντος καὶ σεσαρκωμένου.

851 Καὶ ἐν τῶι ἀναγινώσκεσθαι ταῦτα Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος Σελευκείας Ἰσαυρίας εἶπεν· Οὐ κέχρημαι ἄλλοις μάρτυσι, διὰ τοῦ μακαρίου Ἰωάννου τοῦ ἐπισκόπου παρεκάλεσα διορθώσασθαι τὴν διαλαλιάν μου, δεδοικὼς σὲ τὸν εὐλαβέστατον Διόσκορον καὶ φοβούμενος. πολλὴν γὰρ ἐπέστησας ἡμῖν τότε ἀνάγκην, τὴν μὲν ἔξωθεν [, τὴν δὲ ἔνδοθεν], τὴν δὲ ἀπὸ τῆς γλώσσης σου. εἰσέτρεχον γὰρ εἰς τὴν ἐκκλησίαν στρατιῶται μετὰ ὅπλων καὶ εἱστήκεισαν οἱ μονάζοντες οἱ μετὰ Βαρσουμᾶ καὶ οἱ παραβαλανεῖς καὶ πλῆθος ἄλλο πολύ. ὁρκωθῶσι πάντες, ὁρκωθῆι Αὐξόνιος ὁ ἐπίσκοπος ὁ Αἰγύπτιος, ὁρκωθῆι Ἀθανάσιος, εἰ μὴ ἔλεγον 'μή, κύρι, μὴ καθέλῃς τὴν ὑπόληψιν πάσης τῆς οἰκουμένης'.

852 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἐγώ σε ἠνάγκασα;

853 Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος Σελευκείας Ἰσαυρίας εἶπεν· Εἰς τοιαύτην M VI 829
μιαιφονίαν σὺ ἡμᾶς ἠνάγκασας ταῖς ἀπειλαῖς τοῦ πολλοῦ πλήθους μετὰ τὴν καθαίρεσιν τοῦ μακαρίου Φλαβιανοῦ. στοχάσασθε ποίαν ἐπήγαγε βίαν τότε τὴν ἐξουσίαν πάντων εἰληφὼς τῶν πραγμάτων καὶ τῆς κρίσεως, ὁπότε νῦν πᾶσαν τὴν σύνοδον θορυβεῖ. ἐξ αὐτῶν εἰσι περιλελειμμένοι, καὶ θορυβεῖ πάντας ἡμᾶς.

854 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Καὶ ὁ ἐμὸς νοτάριος

---

12 ἕως ὧδε τὰ ἐν κωνσταντινουπόλει ἐπὶ φλαβιανοῦ $M^{mg}B^{mg}$
14 ἐν ἐφέσω ἐπὶ διοσκόρου M^{mg} in textu B
22 ἐν χαλκηδόνι $M^{mg}B^{mg}$
850 adfert Timotheus Aelurus f. 57ª

MBΦ
3 ἀβραάμιον M 5 ἐκείνου M 7 ἀρεοβίνδασ M ἀρεόβινδοσ B cf. p. 177, 13
10 *Carterius* Φ καρτερίσιοσ MB πρώξιμοσ B 11 *praecepi* Φ ἐκέλευσεν MB 12 ἐξσκέπτωρ MB
14 Καὶ — ὑπομνημάτων om. Φ 16 ἐκείνην MBΦª *eadem* Φcr ἐναντία B ἢ om. B
26 τὴν δὲ ἔνδοθεν $M^{mg}B$ om. MΦ 28 *ausonius* Φª 29 μὴ καθέλησ MB *laesisti* Φª *soluisti* Φcr

Δημητριανὸς ἕτοιμός ἐστιν ἀποδεῖξαι ὅτι παρεκλήθη παρὰ σοῦ λάθρα ὥστε μεταποιήσασθαι τὴν φωνήν.

855 Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος Σελευκείας Ἰσαυρίας εἶπεν· Ἀξιῶ τὴν μεγαλοπρέπειαν ὑμῶν, ἕκαστον τῶν μητροπολιτῶν ἐπισκόπων, καὶ τὸν Λυκαονίας καὶ Φρυγίας καὶ Πέργης καὶ τοὺς ἄλλους, ἐλθεῖν ὧδε καὶ ἐπὶ τῶν εὐαγγελίων εἰπεῖν εἰ μὴ μετὰ τὴν καθαίρεσιν τοῦ μακαρίου Φλαβιανοῦ πάντων ἡμῶν κατηφῶν γενομένων καὶ τῶν μὲν ὀκνούντων ῥῆξαι φωνήν, τῶν δὲ φευγόντων ἀναστὰς αὐτὸς καὶ στὰς ἐφ' ὑψηλοῦ ἐπεσημήνατο καὶ ἔλεγε· βλέπετε εἴ τις οὐ θέλει ὑπογράψαι, πρὸς ἐμὲ ἔχει. ὁρκωθῆι ὁ κύρις Εὐσέβιος, εἰ μὴ ἐκινδύνευε καθαιρεθῆναι πρὸς ὀλίγον ἀναβαλλόμενος τὴν φωνήν.

856 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Οὕπω τῶν κατὰ
546 Φλαβιανὸν ἐξεταζομένων ἐπελάβετο τῆς φωνῆς αὐτοῦ καὶ ἠξίωσε περιαιρεθῆναι ταύτην.

857 Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος Σελευκείας Ἰσαυρίας εἶπεν· Εἴ τι κατέθετο κατ' ἐμοῦ, κελεύσατε γενέσθαι μοι φανερόν, ὥστε με πρὸς αὐτὸν τὰς ἀποκρίσεις ποιήσασθαι.

858 Ὀνησιφόρος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἰκονίου εἶπεν· Μετὰ τὸ ἀναγνωσθῆναι ταῦτα πάντα τὰ νῦν ἀναγνωσθέντα κανὼν ἀνεγινώσκετο, ἐν ὧι περιείχετο μηκέτι περὶ πίστεως τινα μηδένα ζητεῖν μήτε ἐπίσκοπον μήτε κληρικόν, ἐπεὶ εἶναι αὐτὸν καθηιρημένον, ἐὰν δὲ λακός ἐστιν, ἀκοινώνητον αὐτὸν τυγχάνειν. λέγω τοῖς πλησίον
t. I 1, 7 p. 105, 20
L IIII 254* μου καθεζομένοις ἐπισκόποις· οὗτος ὁ κανὼν δι' οὐδὲν ἕτερον ἀναγινώσκεται ἢ ἵνα ὁ ἐπίσκοπος Φλαβιανὸς καθαιρεθῆι. ἦν δὲ μετ' ἐμοῦ ὁ ἐπίσκοπος Συνάδων Μαρινιανὸς ὁ εὐλαβέστατος καὶ ὁ Πέργης ὁ κύρις Ἐπιφάνιος. λέγει μοι ὁ Πέργης· μὴ γένοιτο, ἀλλ' εἰ ἄρα ἀγανάκτησις ἔχει γενέσθαι, γίνεται κατὰ Εὐσεβίου. κατὰ γὰρ Φλαβιανοῦ οὐδεὶς ἔχει μανῆναι καὶ τοιοῦτό τι ποιῆσαι ἀμέσως. μετὰ τὸ ἀναγνωσθῆναι τὸν κανόνα τοῦτον εὐθέως λέγει· δὸς ὧδε τοὺς νοταρίους, καὶ ἠνέχθη καὶ ἀνεγινώσκετο τὸ καθαιρε-
M VI 832 τικὸν τοῦ μακαρίου Φλαβιανοῦ. λαβὼν ἐγὼ ἄλλους ἐπισκόπους ἀνέστην καὶ κατέσχον τὰ γόνατα αὐτοῦ λέγων· μή, τῶν ποδῶν τῆς θεοσεβείας σου· οὐδὲν ἄξιον καθαιρέσεως ἔπραξεν. εἰ δὲ καταγνώσεώς ἐστιν ἄξιος, καταγνωσθῆι. καὶ ἀναστὰς ἀπὸ τοῦ θρόνου καὶ στὰς εἰς τὸ ὑποπόδιον αὐτοῦ λέγει· στάσιν μοι κινεῖτε; δὸς τοὺς κόμητας. καὶ οὕτω φοβηθέντες ὑπεγράψαμεν.

859 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ψεύδεται, εὐθύνας ὑπόσχηι· δὸς τοὺς λέγοντας.

860 Καὶ ἀναστάντος Μαρινιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Συνάδων Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν πρὸς αὐτόν· Εἶπον ἀπειλήσας 'φέρε τοὺς κόμητας ὧδε';

861 Μαρινιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος Συνάδων εἶπεν· 'Ὡς ἔμελλεν ἀποφαίνεσθαι, ἀνέστην ἐγὼ καὶ ὁ κύρις Ὀνησιφόρος καὶ ὁ κύρις Νουνέχιος ὁ Λαοδικείας καὶ ἄλλοι καὶ κατέσχομεν αὐτοῦ τοὺς πόδας λέγοντες ὅτι καὶ σὺ πρεσβυτέρους ἔχεις, καὶ οὐκ ὀφείλει διὰ πρεσβύτερον καθαιρεθῆναι ὁ κύριος ὁ ἐπίσκοπος. εἶτα αὐτὸς λέγει· ἐὰν γλωσσοτομῶμαι, ἄλλην φωνὴν οὐκ ἀφίημι. οὕτως συνέρρευσεν πλῆθος καὶ ἐπεμένομεν κρατοῦντες αὐτοῦ τὰ γόνατα καὶ παρακαλοῦντες αὐτόν. καὶ ἀφῆκε τὴν φωνὴν ταύτην· 'ποῦ εἰσιν οἱ κόμητες'; φίλη ἡ ἀλήθεια. εἰσῆλθον οἱ κόμητες καὶ εἰσήγαγον τὸν ἀνθύπατον μετὰ κλοιῶν καὶ μετὰ πλήθους πολλοῦ καὶ λοιπὸν ἕκαστος ἡμῶν ὑπέγραψεν.

862 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Οὐκ ἦσαν δέκα ἢ εἴκοσι ἢ τριάκοντα ἢ ἑκατὸν μόνοι· ἐξ αὐτῶν ἐγὼ φέρω μάρτυρας ὅτι οὐδὲν ὧν εἴρηκεν, ἀληθές ἐστιν. ἐπει-

---

15 δῆλον ὅτι ἐν ἐφέσωι in textu post ἀναγνωσθέντα M, in mg. B

MBΦ

1 παρὰ σοῦ] *ab ipso* Φ 4 τὸν Φ τῶν MB 9 ἐκινδύνευσε B 13 γίνεσθαι B 17/18 *episcopis sub silentio* Φ^{cr} 20 κύριος M 22 τοιοῦτόν B 26 δὲ καὶ Φ^{cr} 34 κύριος M κύριος M 36/37 γλωσσοτομοῦμαι M 42 αὐτῶν BΦ αὐτῶν δὲ M

δὴ δὲ ἔκαμεν ἡ μεγαλοπρέπεια ὑμῶν, εἰ δοκεῖ ὑπερτεθῆναι, καὶ πάλιν ὃ δ' ἂν σκοπηθείη, ποιοῦμεν.

863 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Ἀναγινωσκέσθω τὰ λοιπά.

Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀπὸ τοῦ αὐτοῦ σχεδαρίου ἀνέγνω

864 Σέλευκος ἐπίσκοπος εἶπεν· Συμφέρομαι καὶ συντίθεμαι τοῖς ἐν Νικαίαι ἐκτεθεῖσι παρὰ τῶν ἁγίων πατέρων, καὶ τοῖς ἐν Ἐφέσωι δὲ βεβαιωθεῖσι, καὶ μέμφομαι τῆι φωνῆι μου ἣν εἶπον ἐν τῆι λαμπρᾶι Κωνσταντινουπόλει, ἐχούσηι δεῖν ἐν δύο φύσεσι τὸν κύριον 302
ἡμῶν δογματίζεσθαι μετὰ τὴν ἕνωσιν, ἀναθεματίζων τοὺς εἰς δύο φύσεις ἢ δύο ὑποστάσεις
ἢ δύο πρόσωπα μετὰ τὴν ἕνωσιν διαιροῦντας τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν καὶ ἀλλότριον ἡγοῦμαι τῆς ἐκκλησιαστικῆς συναφείας.

865 Εὐτυχὴς ἀρχιμανδρίτης εἶπεν· Συνεῖδεν ἡ ὑμετέρα θεοσέβεια ὅτι τῶν ἀναγνωσθέντων ἡ πρᾶξις ἔδειξε παραπεποιημένα τὰ πρώην ὑπομνήματα, ἔχομεν δὲ καὶ νῦν τὴν κατάθεσιν τοῦ θαυμασιωτάτου σιλεντιαρίου Μάγνου τὴν γενομένην ἐπὶ τοῦ μεγαλοπρεπεστάτου μαγίστρου καὶ ἀξιοῦμεν ταύτην ἀναγνωσθῆναι. L IIII 255 M VI 833

866 Φλαβιανὸς ἐπίσκοπος Κωνσταντινουπόλεως εἶπεν· Ψευδής ἐστιν.

867 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Εἴ τι ἔγνωκεν ὁ θεοφιλέστατος ἐπίσκοπος Φλαβιανὸς συμβαλλόμενον αὐτοῦ τῆι ὑπολήψει, λεγέτω ἐγγράφως.

868 Φλαβιανὸς ἐπίσκοπος Κωνσταντινουπόλεως εἶπεν· Ἀπέκλεισάς μου πᾶσαν δικαιολογίαν.

869 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Οἶδεν ἡ παροῦσα ἁγία σύνοδος εἰ ἀπέκλεισά σού τι· εἴ τι οὖν οἶδας συμβαλλόμενόν σοι, εἰπέ.

870 Φλαβιανὸς ἐπίσκοπος Κωνσταντινουπόλεως εἶπεν· Οὐ συνεχωρήθη μοι λαλῆσαι.

871 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Οὐδείς σε ἐκώλυσεν, οἶδεν ἡ ἁγία σύνοδος.

872 Φλαβιανὸς ἐπίσκοπος Κωνσταντινουπόλεως εἶπεν· Ἡ δευτέρα πρᾶξις οὐδὲν ἔχει πλαστόν, οἶδεν καὶ ὁ κύρις Θαλάσσιος, οἶδε καὶ ὁ κύρις Εὐσέβιος.

873 Θαλάσσιος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· Οὐδεὶς ἐκώλυσε τοῦ λαλῆσαι τὴν ὁσιότητά σου· εἴ τι τοίνυν ἔχεις συμβαλλόμενον, εἰπέ.

874 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Κύρι Εὐσέβιε, εἰπέ· ἐκώλυσα αὐτὸν λαλῆσαι;

875 Εὐσέβιος ἐπίσκοπος Ἀγκύρας Γαλατίας εἶπεν· Ὡς οἶδεν ὁ θεός, εὐχόμεθά σε λαλῆσαι.

876 Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Ἔτι καὶ νῦν, εἴ τι θέλεις, εἰπέ.

877 Φλαβιανὸς ἐπίσκοπος Κωνσταντινουπόλεως εἶπεν· Ἐπὶ τοῦ κύρου Θαλασσίου καὶ τοῦ κύρου Εὐσεβίου, παρόντος καὶ τοῦ σιλεντιαρίου Μάγνου, ἐγένετο ἡ πρᾶξις καὶ ἐξητάσθη καὶ οὐδὲν τοιοῦτον ἀπεδείχθη· ἕκαστος τῶν τότε παρόντων ἐπισκόπων ὡς ἐπὶ θεοῦ ἃ ἤκουσεν, εἶπεν καὶ ἀψευδῶς ἐρρέθη.

---

7 ἐν ἐφέσω ἐπὶ διοσκόρου $M^{mg}B^{mg}$
17 hoc loco lecta sunt 829—849
864 adfert Timotheus Aelurus f. 57a

MBΦ

3 ἡ om. M 8 τὴν φωνὴν M 11 τὸν² om. B 12 ἀλλότριον MB *alienos* Φ Tim. 24 οὐ BΦ om. M 25 οἶδεν om. B 28 οἶδεν] οἶδε δὲ B κύριος M κύριος M 39 ἃ ἤκουσεν] ἤκουσεν ἃ B

878 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Κύρι Στέφανε ἐπίσκοπε, εἰπὲ εἰ ἐκώλυσα αὐτόν.

879 Στέφανος ἐπίσκοπος Ἐφέσου εἶπεν· Ἰδοὺ ποῦ ἐστιν; ἐὰν ἐκώλυσας αὐτόν, εἰπηι.

880 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Εἴπατε πάντες εἰ ἐκώλυσα αὐτόν.

881 Ἡ ἁγία σύνοδος εἶπεν· Οὐκ ἐκωλύσαμεν αὐτόν.

882 Φλαβιανὸς ἐπίσκοπος Κωνσταντινουπόλεως εἶπεν· Ἐμοῦ τῶν πεπραγμένων οὐδὲν ἅπτεται διὰ τὸν θεόν· οὐδὲ γὰρ ἑτέρως ἐδόξασα ἢ ἐφρόνησά ποτε ἢ φρονήσω.

883 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Δήλων ὄντων τῶν πραχθέντων λεγέτω ἕκαστος τῶν παρόντων ἁγίων ἐπισκόπων οἵως οἶδε πιστεύοντα τὸν ἀρχιμανδρίτην Εὐτυχῆ καὶ τί περὶ αὐτοῦ τυποῖ.

884 1 Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Ἐν τῶι αὐτὸν συνεχῶς κατατίθεσθαι
M VI 836 ὡς ἀκολουθεῖ τῆι ἐκθέσει τῆς πίστεως τῆς ἐν Νικαίαι συνόδου καὶ τοῖς ἐν Ἐφέσωι πραχθεῖσι τῆι προτέραι μεγάλη καὶ ἁγίαι συνόδωι ὀρθοδοξότατον ἐν οἷς ἀπεφθέγξατο, κατείληφα. κἀγὼ δὲ ψηφίζομαι καὶ βούλομαι τελεῖν αὐτὸν καὶ ἐν τῶι μοναστηρίωι καὶ ἐν τῶι οἰκείωι βαθμῶι.

Ἡ ἁγία σύνοδος εἶπεν· Αὕτη δικαία κρίσις.

2 Δόμνος ἐπίσκοπος Ἀντιοχείας εἶπεν· Ἐπειδὴ πρώην ἐκ τῶν ἐπισταλέντων παρὰ τῆς ἐν τῆι βασιλευούσηι πόλει συγκροτηθείσης ἁγίας συνόδου περὶ τοῦ εὐλαβεστάτου ἀρχιμανδρίτου Εὐτυχοῦς ὑπέγραψα τῆι καθαιρέσει αὐτοῦ, ἐκ δὲ τῶν ἀρτίως ἐπιδοθέν-
L IIII 258* των λιβέλλων παρ' αὐτοῦ τῆι ἁγίαι συνόδωι ἐπὶ τῆσδε τῆς Ἐφεσίων μητροπόλεως συγκροτηθείσηι ὡμολόγησε στοιχεῖν τῆι πίστει τῶν ἁγίων πατέρων τῶν τιη τῶν ἐν Νικαίαι συνελθόντων καὶ τῆι πρότερον ἐν τῆιδε τῆι Ἐφεσίων μητροπόλει συγκροτηθείσηι ὁμοίως συνόδωι, συνεδοκίμασα καὶ αὐτὸς μετὰ τῆς ὑμετέρας ὁσιότητος ἀπολαβεῖν αὐτὸν καὶ τὴν τοῦ πρεσβυτερίου ἀξίαν καὶ τὴν ἡγεμονίαν τῶν ὑπ' αὐτὸν τεταγμένων εὐλαβεστάτων ἀδελφῶν.

3 Στέφανος ἐπίσκοπος τῆς Ἐφεσίων εἶπεν· Ἀπὸ τῶν ἀναγνωσθέντων καὶ ἐπιδοθέντων λιβέλλων παρὰ τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς δέδεικται ὅτι καὶ ὀρθῶς δοξάζει καὶ τὴν ὀρθόδοξον ἔχει πίστιν· ὅθεν καὶ ἐγὼ ἑξακολουθῶν τοῖς ἀποφανθεῖσι παρὰ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου Ἰουβεναλίου συντίθεμαι καὶ συναινῶ εἶναι αὐτὸν πρεσβύτερον καὶ ἀρχιμανδρίτην.

4 Θαλάσσιος ἐπίσκοπος Καισαρείας Καππαδοκίας πρώτης εἶπεν· Ἐπαινῶ καὶ ἀποδέχομαι τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ μηδὲν ἔξω τῆς ἐν Νικαίαι συνόδου φρονήσαντα, μήτε δὲ τῆς ἐκτεθείσης παρὰ τῆς ἁγίας συνόδου παρατρώσαντά τι, ἀλλὰ γὰρ ἀποδεξάμενος βούλομαι ἔχεσθαι αὐτὸν τοῦ βαθμοῦ τοῦ πρεσβυτερίου.

5 Εὐσέβιος ἐπίσκοπος Ἀγκύρας Γαλατίας εἶπεν· Καὶ τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ καὶ πάντα ἄνθρωπον σύμφωνα φρονοῦντα τῆι ἁγιωτάτηι συνόδωι τῆι ἐν Ἐφέσωι, ἥτις καὶ ἐβεβαίωσε τὰ ἐν Νικαίαι θεσπίσματα, ὀρθόδοξον ἡγοῦμαι καὶ τῆς καθολικῆς ἐκκλησίας οὐκ ἀλλότριον· εὔλογον δὲ ὑπολαμβάνω τὸν ἀκατάγνωστον τῶι φρονήματι, τουτέστι τὸν προειρημένον εὐλαβέστατον πρε-

---

11 ἡ αἰτία δι' [δι' om. M] ἣν δέχονται τὸν Εὐτυχῆ ἐπὶ Διοσκόρου $M^{mg}B^{mg}$

883—884² adfert Timotheus Aelurus f. 57ᵇ

MBΦ, $Λ^{n}$ [inde a 6 usque ad 25]

1 ἐκώλυσας $Φ^{ac}$ 3 ἐκώλυσασ MΦ^{r} ἐκώλυσα B$Φ^{ac}$, cf. notam Rustici *aliqui ... dicum Stephani non prohibuisse hic dicunt* 4 ἐκωλύσατε Φ 14/15 καὶ — μοναστηρίωι om. $Λ^{n}$ 15 καὶ om 21 *sanctae fidei* $Λ^{n}$ τριακοσίων δεκαοκτὼ B 24 αὐτὸν] αὐτῶν M 25 εὐλαβεστάτ MΦ om. B, cf. notam Rustici: *Acumitanus non habet* 35 πρεσβυτέρου M 37/38 ἁγία ταύτη

σβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ μὴ ἀποστερεῖσθαι τοῦ ἱερατικοῦ ἀξιώματος καὶ τῆς ἡγεμονίας τῶν μοναζόντων.

6 Κῦρος ἐπίσκοπος Ἀφροδισιάδος τῆς Καρίας εἶπεν· Ἀπὸ τῶν ἐπιδοθέντων λιβέλλων παρὰ τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς καὶ ἀναγνωσθέντων δέδεικται τὴν πίστιν τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι καὶ ἐνταῦθα συναχθέντων συνηνεκέναι· ὅθεν κἀγὼ σύμψηφος τῇι τῶν ἁγίων πατέρων ψήφωι γίνομαι, ὥστε καὶ τῆς τοῦ πρεσβυτερίου ἔχεσθαι αὐτὸν ἀξίας καὶ τοῦ ἡγεῖσθαι τοῦ μοναστηρίου. M VI 837

7 Ἐρασίστρατος ἐπίσκοπος Κορίνθου τῆς Ἑλλάδος

8 Κυίντιλλος ἐπίσκοπος Ἡρακλείας, ἐπέχων καὶ τὸν τόπον Ἀναστασίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Θεσσαλονίκης

9 Μελίτιος ἐπίσκοπος Λαρίσσης, ἐπέχων τὸν τόπον Δόμνου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀπαμέων L IIII 259*

10 Κυριακὸς ἐπίσκοπος Τροκνάδων, ἐπέχων τὸν τόπον Θεοκτίστου τοῦ εὐλαβεστάτου ἐπισκόπου Πισινοῦντος τῆς δευτέρας Γαλατίας τὰ ὅμοια εἶπεν.

11 Διογένης ὁ εὐλαβέστατος ἐπίσκοπος Κυζίκου εἶπεν· Ἀπὸ τῶν νῦν κατατεθέντων ἀπὸ τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς ἔγνωμεν ὡς καὶ αὐτὸς συντίθεται τῇι ἐκτεθείσηι πίστει τῶν πατέρων τῶν ἐν Νικαίαι καὶ τῇι παρὰ τῶν ἁγίων πατέρων συνειλεγμένων ἐν ταύτηι τῇι μεγαλωνύμωι Ἐφέσωι, καὶ ἐγκρίνω αὐτὸν οὕτω φρονοῦντα καὶ τοῦ ἱερατικοῦ ἀπολαύειν ἀξιώματος καὶ τοῦ μοναστηρίου φροντίζειν κατὰ τὴν προλαβοῦσαν συνήθειαν.

12 Ἰωάννης ἐπίσκοπος Σεβαστείας Ἀρμενίας πρώτης εἶπεν παραπλήσια τοῖς ἀνωτέρω.

13 Βασίλειος ἐπίσκοπος Σελευκείας Ἰσαυρίας M VI 839

14 Θεόδωρος ἐπίσκοπος Ταρσοῦ L IIII 260*

15 Ῥωμανὸς ἐπίσκοπος Μύρων τῆς Λυκίας

16 Φώτιος ἐπίσκοπος Τύρου

17 Θεόδωρος ἐπίσκοπος Δαμασκοῦ

18 Ἰουλιανὸς ἐπίσκοπος Ταβίας M VI 840

19 Φλωρέντιος ἐπίσκοπος Λυδῶν

20 Μαρινιανὸς ἐπίσκοπος Συνάδων L IIII 261*

21 Μουσώνιος ἐπίσκοπος Νύσης M VI 841

22 Κωνσταντῖνος ἐπίσκοπος Βόστρων

23 Ἰωάννης ἐπίσκοπος Νικοπόλεως Ἀρμενίας πρώτης

24 Ἀκάκιος ἐπίσκοπος Ἀριαραθείας Ἀρμενίας δευτέρας, ἐπέχων καὶ τὸν τόπον Κωνσταντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Μελιτηνῆς

25 Στέφανος ἐπίσκοπος Ἱερᾶς πόλεως

26 Ἀττικὸς ἐπίσκοπος Νικοπόλεως Ἠπείρου παλαιᾶς L IIII 262* M VI 842

27 Εὐστάθιος ἐπίσκοπος Βηρυτοῦ

28 Νουνέχιος ἐπίσκοπος Λαοδικείας Τριμιταρίας

29 Ὀλύμπιος ἐπίσκοπος Κωνσταντίας τῆς Κύπρου M VI 843

30 Κανδιδιανὸς ἐπίσκοπος Ἀντιοχείας τῆς Πισιδίας

3 ζήτει τὰς διαλαλιὰς ἑκάστου τῶν ἐπισκόπων Mmg

MBΦ

1 βαθμοῦ καὶ ἀξιώματος B συνηνεγκέναι MB 7 πρεσβυτερίου Φ πρεσβυτέρου MB 9 sq. plenae extant sententiae in Φ *Erasistratus* Φ ἐρεσίστρατος MB 10 κυίντιλος B 12 λαρίσης M, corr. M 14 Τροκνάδων Φ προκνάδων MB θεοκτίστου Φ θεοφίλου MB 15 πισσινοῦντος B 29 λύδδων MB *Lyddae* Φ 31 νύσσης B 34 ἁριαραθίας MB, corr. M 36 ιεραπόλεως M; sententia extat apud Timotheum f. 57b 41 πισσιδίας B

31 Στέφανος ἐπίσκοπος Ἀναζάρβου
L IIII 263* 32 Γερόντιος ἐπίσκοπος Σελευκείας Συρίας
33 Ῥουφῖνος ἐπίσκοπος Σαμοσάτων
34 Ἴνδιμος ἐπίσκοπος Εἰρηνουπόλεως
M VI 844 35 Τιμόθεος ἐπίσκοπος Βαλανέων
36 Θεοδόσιος ἐπίσκοπος Κανώθα
37 Εὐτύχιος ἐπίσκοπος Ἀδριανουπόλεως Ἠπείρου παλαιᾶς
L IIII 264* 38 Συμεὼν ἐπίσκοπος Ἀμίδης Μεσοποταμίας
39 Σέλευκος ἐπίσκοπος Ἀμασείας
40 Πέτρος ἐπίσκοπος Γαγγρῶν
41 Λουκᾶς ἐπίσκοπος Δυρραχίου
42 Ἀντώνιος ἐπίσκοπος Λυχνιδίου
M VI 846 43 Μάρκος ἐπίσκοπος Εὐροίας
44 Βιγιλάντιος ἐπίσκοπος Λαρίσσης
L IIII 265* 45 Βασίλειος ἐπίσκοπος Τραιανουπόλεως ἐπαρχίας Ῥοδόπης
46 Κωνσταντῖνος ἐπίσκοπος Δημητριάδος
47 Ἀλέξανδρος ἐπίσκοπος Σεβαστῆς τῆς Ταρσοῦ
M VI 847 48 Σώιζων ἐπίσκοπος Φιλίππων
49 Εὐσέβιος ἐπίσκοπος ⟨Δο⟩βήρου Μακεδονίας πρώτης
50 Μαξιμῖνος ἐπίσκοπος Σερρέων Μακεδονίας πρώτης
51 Ἑρμογένης ἐπίσκοπος Κασανδρείας Μακεδονίας πρώτης
52 Λουκᾶς ἐπίσκοπος Βεροίας Μακεδονίας πρώτης
L IIII 266* 53 Ἰωάννης ἐπίσκοπος Μεσσήνης τῆς Ἀχαίας
M VI 848 54 Οὐράνιος ἐπίσκοπος Ἰμερίας ἐπαρχίας Ὀσροηνῶν, ἑρμηνεύοντος αὐτὸν Εὐλογίου πρεσβυτέρου Ἐδέσσης
55 Ἀθανάσιος ἐπίσκοπος Ὀποῦντος τῆς Ἀχαίας
56 Θεόδωρος ἐπίσκοπος Κλαυδιουπόλεως τῆς Ἰσαυρίας
57 Λεόντιος ἐπίσκοπος Ἀσκάλωνος
M VI 849 58 Φωτεινὸς ἐπίσκοπος Λύδδης
L IIII 267* 59 Παῦλος ἐπίσκοπος Μαιουμᾶ
60 Ζώσιμος ἐπίσκοπος Μινωίδος
61 Ἐπιφάνιος ἐπίσκοπος Πέργης
62 Βαρούχιος ἐπίσκοπος Σωιζούσης Παλαιστίνης
M VI 850 63 Ἡρακλείδης ἐπίσκοπος Ἀζώτου
64 Ἰωάννης ἐπίσκοπος Τιβεριάδος.
65 Μουσωνιανὸς ἐπίσκοπος Ζοόρων
66 Διονύσιος ἐπίσκοπος Συκαμαζόνος
L IIII 268* 67 Καίουμος ἐπίσκοπος Φαινοῦς
M VI 851 68 Αἰθέριχος ἐπίσκοπος Σμύρνης
69 Ζεῦνος ἐπίσκοπος Πέλλης

MBΦ

post 8 habet *cladeus* [sic Φ^{r} *cladeos cladios claudius* ceteri] *episcopus anchiasmi* [sic Φ^{r} *anchiasmitanae ciuitatis* Φ^{ac}] *ueteris Epiri* Φ 12 *Antoninus* Φ^{cr} 14 βιγιλλάντιοσ M 15 ἐπαρχίας om. B 19 Δοβήρου Φ βήρου MB 20 μαξιμῖνοσ MB *Maximus* Φ 22 βερροίασ B 23 μεσσήνησ M^{corr} μεσήνησ B μεσίνησ M; sententia extat apud Timotheum f. 57^{b} 24 ἐσροίνων M ἐσδροίνων B ὀσροίνων M^{corr} 25 αἰδέσησ M 31 μηνοείδησ M μηνοίδησ B *Minoidenae ciuitatis* Φ 34 *Heraclius* Φ 36 *Musonius* Φ ζοώρων M 38 *caiumas* Φ^{cr} *gaiumas* Φ^{a} φένουσ MBΦ 40 ζεῦνοσ MB *zennus* Φ^{ac} *zaennus* Φ^{r}

70 Παγκράτιος ἐπίσκοπος Λιβιάδος
71 Αὐξίλαος ἐπίσκοπος Σαρακηνῶν ὑποσπόνδων
72 Ἀλύπιος ἐπίσκοπος Βακάθων M VI 852
73 Πολυχρόνιος ἐπίσκοπος Ἀντιπατρίδος
74 Δομνῖνος ἐπίσκοπος Πλαταιέων τῆς Ἑλλάδος L IIII 269
75 Θεοδόσιος ἐπίσκοπος Μασταύρων 6
76 Κυριακὸς ἐπίσκοπος Αἰγέας M VI 853
77 Φλάβιος ἐπίσκοπος Ἀδραμύτου
78 Λεόντιος ἐπίσκοπος Μαγνησίας Μαιάνδρου
79 Εὐτρόπιος ἐπίσκοπος Περγάμου τῆς Ἀσίας 10
80 Μάξιμος ἐπίσκοπος Τράλλεων M VI 854
81 Ὀνησιφόρος ἐπίσκοπος Ἰκονίου L IIII 270
82 Ἰωάννης ἐπίσκοπος Ῥόδου
83 Διογενιανὸς ἐπίσκοπος [Ἄφρων] πόλεως Ῥεμεσιάνων
84 Θεοδόσιος ἐπίσκοπος Ἀμαθούντων 15
85 Κυριακὸς ἐπίσκοπος Λεβέδου
86 Γεννάδιος ἐπίσκοπος Τηίων M VI 855
87 Ὀλύμπιος ἐπίσκοπος Εὐάζων
88 Ἰουλιανὸς ἐπίσκοπος Ὑπαίπων L IIII 271
89 Θεόπεμπτος ἐπίσκοπος Καβάσων M VI 856
90 Καλοσίριος ἐπίσκοπος Ἀρσινοίτου ἑρμηνεύοντος αὐτὸν Ἰουλίου διακόνου αὐτοῦ 21
91 Ἰωάννης ἐπίσκοπος Ἡφαίστου
92 Ἡρακλείδης ἐπίσκοπος Ἡρακλεοῦς M VI 857
93 Ἰσαὰκ ἐπίσκοπος Ἐλεαρχίας L IIII 272
94 Γεμελλῖνος ἐπίσκοπος Ἐρυθροῦ 25
95 Ἀπολλώνιος ἐπίσκοπος Τάνεως
96 Γεννάδιος ἐπίσκοπος Ἑρμουπόλεως μεγάλης M VI 858
97 Κῦρος ἐπίσκοπος Βαβυλῶνος
98 Ἀθανάσιος ἐπίσκοπος Βουσίρεως
99 Φωτεινὸς ἐπίσκοπος Τευχείρων 30
100 Θεόφιλος ἐπίσκοπος Κλεοπατρίδος L IIII 273
101 Πασμήιος ἐπίσκοπος Παράλου M VI 859
102 Σωσίας ἐπίσκοπος Σωιζούσης
103 Θεόδουλος ἐπίσκοπος Τισιλα
104 Θεόδωρος ἐπίσκοπος Βάρκης 35
105 Ῥοῦφος ἐπίσκοπος Κυρήνης
106 Ζήνων ἐπίσκοπος Ῥινοκορούρων M VI 860
107 Λούκιος ἐπίσκοπος Ζύγρων M IIII 274
108 Αὐξόνιος ἐπίσκοπος Σεβεννύτου
109 Ἰσαὰκ ἐπίσκοπος Ταύα 40

MBΦ

2 *Auxilaus* Φ αὐξόλαοσ MB 3 *Alypius* Φ ὀλύμπιοσ MB cf. Φr Βακάθων Φ βακάνθων MB 5 πλαταιέων B πλατεῶν M *Plataeae* Φ 7 αἰγαίασ B *elensis* Φa *eglensis* Φcr 8 *Flauianus* Φ ἀτραμύτου Mcorr 11 τραυλέων MB, corr. M 14 ἄφρων B ἄφροσ M om. Φ 17 τηίνων MB cf. Φ 19 ὑπέπων MB 20 καβάσσων MB uaria lectio in Φr 21 Ἰουλίου MB Ἡλίου Φ 32 παράλλου B βαράλου M 34 *theodorus* Φ *tisilae* Φr *tisilicinae* Φac πισιλᾶ MB 36 *rufinus* Φcr 37 ῥινοκουρούρων B 39 *Ausonius* Φa

M VI 861 110 Φιλόκαλος ἐπίσκοπος Ζαγύλων

111 Ἡσαίας ἐπίσκοπος Ἑρμουπόλεως μικρᾶς

οἱ πάντες ὅμοια καὶ παραπλήσια διελάλησαν καὶ κατέθεντο.

L IIII 275 112 Βαρσουμᾶς πρεσβύτερος καὶ ἀρχιμανδρίτης δι' ἑρμηνέως Εὐσεβίου μοναχοῦ εἶπεν· Κἀγὼ ὡς τέκνον ἐξακολουθῶν τοῖς ἰδίοις πατράσιν καὶ μαρτυρῶν τῇ ὀρθοδόξῳ πίστει τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἀρχιμανδρίτου Εὐτυχοῦς συντίθεμαι καὶ συναινῶ καὶ χαίρω ὅτιπερ ἀποδεδώκατε αὐτῷ τὸν τῆς ἱερωσύνης βαθμὸν καὶ τὸ ἄρχειν τοῦ ἁγιωτάτου αὐτοῦ μοναστηρίου.

113 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Τὰς πάσας τῆς ἁγίας ταύτης καὶ οἰκουμενικῆς συνόδου ψήφους ἐπὶ τῷι εὐλαβεστάτῳι ἀρχιμανδρίτῃι Εὐτυχεῖ βεβαιῶν καὶ τὴν ἐμαυτοῦ συνεισάγω γνώμην ὥστε τοῦτον τελεῖν ἐν τῇι τοῦ πρεσβυτερίου τάξει, ἡγεῖσθαι δὲ καὶ τοῦ οἰκείου μοναστηρίου καθὰ καὶ πάλαι.

885 Ἰωάννης πρεσβύτερος καὶ πρῶτος νοταρίων εἶπεν· Οἱ κληρικοὶ καὶ μονάζοντες τοῦ μοναστηρίου τοῦ ὑπὸ τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ λίβελλον προσεκόμισαν τῇι ἁγίαι ταύτηι συνόδωι, ὄντινα ἀναγνωσόμεθα, εἰ προστάξει ἡ ὑμῶν ὁσιότης.

886 Εὐσέβιος ἐπίσκοπος Ἀγκύρας Γαλατίας εἶπεν· Ὑποδεχθεὶς ὁ λίβελλος ἀναγνωσθήτω.

Ἰωάννης πρεσβύτερος καὶ πρῶτος νοταρίων ἀνέγνω

887 Τῇι ἁγίαι καὶ θεοφιλεῖ συνόδωι οἰκουμενικῇι συνελθούσηι ἐν τῇι Ἐφεσίων μητροπόλει παρὰ Ναρσοῦ πρεσβυτέρου καὶ Τιμοθέου καὶ Εὐσεβίου καὶ Κωνσταντίνου καὶ λοιπῶν διακόνων καὶ ὑποδιακόνων καὶ πάντων τῶν μοναζόντων τῶν τελούντων ὑπὸ τὸν θεοσεβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ. Τὰς ἐπηγγελμένας παρὰ τοῦ φιλανθρώπου θεοῦ τοῖς εἰς αὐτὸν πεπιστευκόσι δωρεὰς ἐκ τῶν θείων λογίων καταM VI 864 μαθόντες καὶ συγγενείας τε καὶ χρημάτων καὶ οἷς ἕκαστος ἐκοσμεῖτο ἀξιώμασί τε καὶ διαφόροις στρατείαις, καὶ πάντων ἅπαξ τῶν δοκούντων ἀνθρωπίνων εἶναι καλῶν ὑπεριδόντες, ὧν τε ἦμεν ἐν ἀπολαύσει καὶ ὧν ἔτι προσεδοκῶμεν, ἐπὶ μίαν ἅπαντες τὴν τῶν μοναχῶν πολιτείαν τε καὶ καρτερίαν ἀπηντήσαμεν, τὸν τῶν τριακοσίων ἀριθμὸν ἤδη πληροῦντες χάριτι τοῦ δεσπότου Χριστοῦ καὶ ὑφ' ἡγεμόνι τῷι εὐλαβεστάτῳι ἀρχιμανδρίτῃι Εὐτυχεῖ τοῖς τῆς εὐσεβείας καὶ δικαιοσύνης διδάγμασι πειθαρχοῦντες καὶ τριακοστὸν ἐνιαυτὸν μικρῷι πρὸς οἱ πολλοὶ κατὰ ταύτην τὴν καρτερίαν διατελέσαντες. ἀλλ' ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς βασιλίδος Κωνσταντινουπόλεως Φλαβιανός, δέον τὰ μὲν παρόντα ἐπαινεῖν, ἐπὶ δὲ τὰ βελτίω προτρέπειν καὶ πάσαις προνοίαις τοὺς ἀπὸ τῶν ἀνθρωπίνων τῷι θεῷι προσδραμόντας συνέχειν, τουναντίον ἢπερ ἔπρεπεν, εἴργασται, τὸν μὲν ἡμέτερον ποιμένα συκοφαντίαις τε καὶ βλασφημίαις περιβαλὼν καὶ πρόφασιν οὐκ ἀληθῆ τῆς αὐτοῦ καθαιρέσεως τὴν εὐσέβειαν ὑποκρινάμενος, ὅτι μὴ βλασφημεῖ μετ' αὐτοῦ παρὰ τὸν ὅρον τῆς πίστεως ὃν ἐξέθετο μὲν ἡ ἐν Νικαίαι ἁγία σύνοδος,

L IIII 278 ἐβεβαίωσε δὲ ἡ πάλαι κατὰ τήνδε τὴν Ἐφεσίων, ἡμῖν δὲ παρεκελεύετο διὰ τοῦ ἀποσταλέντος παρ' αὐτοῦ Θεοδοσίου τοῦ πρεσβυτέρου, συμπαρόντων αὐτῷι καὶ ἑτέρων κληρικῶν, ἀφίστασθαι τοῦ ποιμένος καὶ μηδὲ προσφθέγγεσθαι αὐτῷι ἔτι καὶ τὰ τοῦ

9—12 adfert Timotheus Aelurus f. 57b

MBΦ, Λn [inde a 9 usque ad 23]

1 *Zagilonensis* Φcr *zaginolensis* Φa ζαγύλων MB 5 ἐξακολουθῶ Φ τῆσ M 7 τὸ BΦ τοῦ M 9 πάσας Φ πάσησ MB 10 βεβαιῶν ΦΛn Tim. βεβαιῶ MB 11 πρεσβυτερίου ΦΛn πρεσβυτέρου MB 22 καὶ ὑποδιακόνων om. ΦrΛn 25 *unusquisque nostrum* Φr 30 διδάγμασι MΦ δόγμασι B 31 κατὰ om. M 34 εἶπερ M 36/37 βλασφημεῖν M 37 ἁγία om. B 39 θεοδοσίου MB *Theodotum* Φ

[1]) Extant omnes in uersione Latina, duo priores in excerptis Syriacis, neque dubitari potest quin a Theodoreto ipso scripti sint. quomodo factum sit nt in apographo codicis Vindobonensis et sine dubio in hoc ipso quoque omitterentur, dici non poterit nisi tota Theodoreti epistularum collectio quae extat in codice Vindobonensi, diligenti examine discussa fuerit.

a magno Theodosio Constantinopolim conuocati uoluerit infringere. uel Iulianus Coensis qui illo tempore Leonis quasi apocrisiarius in aula Constantinopolitana erat, papae consilium dabat ne imperatoris uoluntati decretoque synodi assensum denegaret [Leon. ep. 57].

Laudi illi quam papae tributam esse modo dixi, non sine acerbitate Marcianus [p. 257, 20] adiungit illum ab aliis comperturum, qualia et quanta commissa sint propter eius tomum; quibus obsistere se nolle nisi papa confirmasset fidem Chalcedone proclamatam uere catholicam atque orthodoxam esse. uerba facit imperator de seditione monachorum Palaestinensium; eodem tempore quo ad papam scripsit, per Iulianum [cf. ἐξ ἑτέρων p. 257, 21] Coensem ad eum destinauit [cf. uol. 4 p. 67, 34. 68, 22] edictum *quo imperita quorundam monachorum insania quid mereretur, ostendit* et responsionem Pulcheriae *qua monasteriorum praesules increpauit*; utraque scriptio extat Gestis in codicibus MB adnexa [26 et 27]. iam apparet quali conexu epistulae 15—21 cum ultima cohaereant, quae Leonis est ad Iuuenalem Constantinopoli quo fugerat, Hierosolymam post seditionem profligatam reuersum. quae ibi scripta sunt [uol. 4 p. 92, 7] inexcusabiliorem esse omnibus imperitis quemlibet Hierosolymis habitantem Christianum qui ipsorum locorum testimoniis eruditus duas Christi naturas non agnosceret, Graece uersa credideris, ut monachi seditiosi synodumque Chalcedonensem conuiciantes et anathematizantes impugnarentur.

Denique redeo ad Theodoreti epistulam qua se orthodoxum esse Cyrillique olim amicum Dioscoro exponit, qui a Domno rogauerat ut illum castigaret. in prima [cf. 1, 27—46] et nona actione concilii Chalcedonensis magnificentissimi iudices inconcussa aequanimitate ipsorum mentibus sane non debita, sed Marciani magisque etiam Pulcheriae uoluntati obtemperantes contra episcoporum odia clamorosa id egerunt ut Theodoretus synodum intraret et Nestorio anathematizato episcopatum a Dioscoro synodoque Ephesena demptum recuperaret. ipse uero Theodoretus qua erat occasionum perspicacia consiliaque temporibus accommodandi facultate, eis quos concilio praecepturos esse nouerat quam fidem reciperet, Marciano et Pulcheriae gratum se praestitit, dum in tertia actione [24—26] episcopis haesitantibus inter tomum Leonis Cyrillique doctrinam nullum esse discrimen persuadet. res igitur augusti augustaeque agebatur ab illo qui Theodoreti apologiam epistularem Collectioni epistularum B praeposuit neque scio an non sine acumine quodam initio memoriam uiri de orthodoxia Chalcedonensi optime meriti coluerit, in fine uero castigatione Leonis collocata labem non paruam intulerit Iuuenali olim in concilio Epheseno strenuo Dioscori sodali.

Non facilis est accessus ad monumenta historica temporum illorum, quando mos erat non aperte de rebus quae gesta erant, iudicare, sed mentes hominum dirigere publicando et colligendo quae constituta et scripta erant ab illis qui res publicas atque ecclesiasticas gubernarunt. talia interpretanti periculum imminet erroris neque fieri potuisse nego ut non omnia recte diuinarem. si qua tamen ex iis quae disserui, non prorsus a uero aberrauerint, hoc manifestum est Collectionem B non aliter quam Collectionem M paucis annis post concilium ipsum esse compositam ab homine non procul ab aula Marciani Pulcheriaeque uersante.

Monachii m. Iulio a. h. s. XXXIII

E. Schwartz

CORRIGENDA

p. 236, 21 pro Διοκαισαρέων l. Νεοκαισαρέων; *inserenda sunt* ***apparatui*** 21 **Νεοκαισαρέων Φ διοκαι-**σαρέων MB

p. 246, 24 nota *numerum lineae* 25 *ponas ante* τὸ *et legas* τὸ²

p. 264 ***deleas priorem mentionem codicis Barberini 578, quae sub littera F posita est***

p. 269, 14 *del.* Ἱεράκους, *in apparatu add.* cf. 1, 3. 139. 140

p. 304, 38 *pro* Συρίας *l.* Λυδίας *et in nota add.* συρίασ MBΦ

CONCILII CHALCEDONENSIS ACTIO II

EPISTVLARVM COLLECTIO B

ACTIONES III—VII

M = Codex Venetus 555 s. XI
B = Codex Vindobonensis hist. gr. 27 s. XII
Φ^a = uersio antiqua
Φ^c = uersio antiqua correcta
Φ^r = uersionis antiquae correctae editio Rustici

Δευτέρα πρᾶξις τῆς ἐν Χαλκηδόνι ἁγίας συνόδου

1 Ὑπατείαι τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου ἡμῶν βασιλέως Μαρκιανοῦ τὸ πρῶτον L IIII 372
καὶ τοῦ δηλωθησομένου τῇι πρὸ τριῶν Εἰδῶν Ὀκτωβρίων ἐν Χαλκηδόνι τῇι πόλει M VI 976
τῆς Βιθυνῶν ἐπαρχίας d. 13. m. Oct.
a. 451

2 κατὰ χάριν θεοῦ καὶ ἐκ θεσπίσματος τῶν εὐσεβεστάτων βασιλέων συνόδου οἰκου-
μενικῆς συγκροτηθείσης καὶ συνεδρευσάντων ἐν τῶι μαρτυρίωι τῆς ἁγίας καὶ καλλινίκου
1—5 μάρτυρος Εὐφημίας πάντων τῶν ὁσιωτάτων καὶ θεοφιλεστάτων ἐπισκόπων μετὰ Πασκα- M VI 977
σίνου καὶ Λουκινσίου ἐπισκόπων καὶ Βονιφατίου πρεσβυτέρου τῶν ἐπεχόντων τὸν
τόπον τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου τοῦ ἀποστολικοῦ θρόνου Λέοντος
καὶ Ἀνατολίου Κωνσταντινουπόλεως καὶ Μαξίμου Ἀντιοχείας

6 Στεφάνου Ἐφέσου
7 Κυριακοῦ Ἡρακλείας
8 Λουκιανοῦ Βύζης
9 Διογένους Κυζίκου
10 Ἰουλιανοῦ Κῶ
11 Οὐαλεριανοῦ Βασσιανῆς
12 Εὐνομίου Νικομηδείας
13 Πέτρου Κορίνθου
14 Ἐλευθερίου Χαλκηδόνος
15 Θεοδώρου Ταρσοῦ
16 Ῥωμανοῦ Μύρων
17 Κύρου Ἀναζάρβου
18 Κωνσταντίου Βόστρων
19 Σελεύκου Ἀμασείας
20 Ἰωάννου Σεβαστείας
21 Κωνσταντίου Μελιτηνῆς
22 Καλογήρου Κλαυδιουπόλεως
23 Πατρικίου Τυάνων
24 Ἀμφιλοχίου Σίδης
25 Ἐπιφανίου Πέργης L IIII 374
26 Θεοδώρου Δαμασκοῦ

Huius actionis breuis narratio extat in Collectione Vaticana rerum Chalcedonensium 6
1 ἀνάγνωθι πρότερον ταύτην καὶ οὕτως τὴν γ̄ M^{mg}

MB, Φ [usque ad 7 ἐπισκόπων]

primam sequitur haec actio in BΦ^{a}, tertiam quae uulgo numeratur secunda, in M, sed cf. scholia et id quod supra exhibetur, et quod ei quae in M praecedit actioni, adscriptum est, atque Facundum 5, 3 p. 714 *in actione tertia . . . quae . . . primae coniuncta in codicibus inuenitur.* tertia actio est in Φ^{cr}

1 πρᾶξισ δευτέρα B 2 τὸ πρῶτον om. Φ^{ac} 7 ἐπισκόπων om. M 7/8 μετὰ πασ-
κασίνου [B^{corr} πασκασίου B] καὶ B πασχασίου μετὰ M 8 τῶν ἐπισκόπων B βονηφατίου M
15 κῶν MB 16 οὐαλλεριανοῦ MB βασιανῆσ MB, corr. M 26 μελιτινῆσ M

27 Ἀττικοῦ Νικοπόλεως Παλαιᾶς
28 Βασιλείου Τραιανουπόλεως
29 Φλωρεντίου Σάρδεων
30 Φραγκίωνος Φιλιππουπόλεως
31 Ἰωάννου Ῥόδου
32 Πέτρου Γαγγρῶν
33 Φωτίου Τύρου
34 Νουνεχίου Λαοδικείας
35 Ὀνησιφόρου Ἰκονίου
36 Στεφάνου Ἱερᾶς πόλεως
37 Μαρινιανοῦ Συνάδων
38 Περγαμίου Ἀντιοχείας Πισιδίας
39 Νόννου Ἐδέσσης
40 Ὀλυμπίου μητροπολίτου Κωνσταντίας Κύπρου
41 Θεοκτίστου Πισινοῦντος
42 Δόμνου Ἀπαμείας Συρίας
43 Κριτωνιανοῦ Ἀφροδισιάδος
44 Συμεῶνος Ἀμίδης
45 Σεβαστιανοῦ Βερόης
46 Κεκροπίου Σεβαστοπόλεως
47 Ἰωάννου Γερμανικείας
48 Ἀταρβίου Τραπεζοῦντος
49 Ἰωσὴφ Ἡλιουπόλεως
50 Ἀντιόχου Σινώπης
51 Ἀκακίου Ἀριαραθείας
52 Ἀττικοῦ Ζήλων
53 Εὐσταθίου Ἁλικαρνασοῦ
54 Ἀπραγμονίου Τίου
M VI 980 55 Ἰωάννου Νικοπόλεως
56 Γρατιανοῦ Κερασοῦντος
57 Θαλασσίου Παρίου
58 Φιλίππου Ἀδάνων
59 Ἐπικτήτου Διοκλητιανουπόλεως
60 Δανιήλου Κάδων
61 Θεοδοσίου Ναζιανζοῦ
62 Θεοδώρου Κλαυδιουπόλεως Ἰσαυρίας
63 Θεοδώρου Τριπόλεως
64 Θωμᾶ Θεοδοσιουπόλεως
65 Θεοδώρου Νεοκαισαρείας
66 Ἰωάννου Πολεμωνίου
67 Ἀθανασίου μεσήνης
68 Πατρικίου Νεοκαισαρείας Αὐγούστου
69 Ἀλεξάνδρου Σελευκείας [Ἰσαυρίας]

MB
4 φραγγίωνος M 12 πισσιδίας B 13 ἐδέσης B αἰδεσης M 15 πισσινοῦντος B 17 κρητωνιανοῦ M 24 ἀντιλόχου MB 25 ἀριαραθίας MB, corr. M 27 corrupta 32 ἀδράνων MB ἀδριανῶν M^{corr} 34 δανιὴλ συκάλων MB 35 ναζιαζοῦ M 39 postulatur Δωροθέου 41 μεσήνης B μεσσήνης M postulatur Μοσύνων 43 Ἰσαυρίας falsum

70 Οὐαλερίου Λαοδικείας Φοινίκης
71 Κυρίνου Πατάρων
72 Θεοφίλου Ὀριεσσοῦ
73 Αἰθερίχου Σμύρνης
74 Τρύφωνος Χίου
75 Μελιτίου Λαρίσσης
76 Νέωνος Σιλλύου
77 Εὐδοξίου Ἐτένων
78 Μαρκιανοῦ Κοτένων
79 Διοδότου Λυσανίας
80 Ἰωάννου Φλαβιάδος Κιλικίας
81 Παύλου Πτολεμαίδος
82 Διονυσίου Ἡρακλείας
83 Ἰωάννου Ἀλίνδης
84 Εὐπειθίου Στρατονικείας
85 Ἰωάννου Ἀμαζόνος
86 Παπία Ἐρίζων L IIII 375
87 Διονυσίου Ἀντιοχείας
88 Τυγχανίου Ἀπολλωνιάδος
89 Θεοδωρήτου Ἀλαβάνδων
90 Μενάνδρου Ἡρακλείας
91 Φλακίλλου Ἰασσοῦ
92 Ἰωάννου Κνίδου
93 Καλανδίωνος Ἀλικαρνασοῦ
94 Καλλινίκου Ἀπαμείας Ἑξαπόλεως
95 Θεοτέκνου Τυραείου
96 Ἑορτικίου Νικοπόλεως
97 Κύρου Σινιάνδου
98 Φλωρεντίου Τενέδου
99 Ζηνοδότου Τερμισσοῦ
100 Σάβα Πάλτου
101 Θεοκτίστου Βεροίας
102 Θωμᾶ Πορφυρεῶνος
103 Μακαρίου Αἴνου
104 Κυριακοῦ Αἰγέης
105 Γενεθλίου Κρατείας
106 Φιλίππου Θεοδοσιουπόλεως
107 Βασιλικοῦ [Θεοδοσιουπολιτῶν]
108 Παυλίνου Ἀπαμείας Πισιδίας
109 Βασιλείου Νακωλείας
110 Ἡρακλείου Κομάνων
111 Ῥουφίνου Σαμοσάτων
112 Μενεκράτους Κιρασσέων

MB
1 οὐαλερίου M οὐαλλερίου M^{corr} οὐαλλεριανοῦ B 3 ὁριόσου B ὁρισσου M ὁρκισσου M^{corr} 7 σιλίου MB 9 κοτέων MB 14 ἀλύδησ MB 15 εὐπιθίου M 20 θεοδωρίτου B 22 φλακίλου B Ἰασοῦ B 26 τυραίου MB τυραοῦ M^{corr} 31 σάββα B 32 βερροίας B 36 κρατίασ M 38 Θεοδοσιουπολιτῶν repetitum ex 19, postulatur Παλαιᾶς πόλεως 39 πισσιδίασ B 43 κιρασέων B

113 Κοσσινίου Ἱεροκαισαρείας
114 Πατρικίου Ἀκμάσου
115 Διονυσίου Ἀτταλείας Λυδίας
116 Παύλου Τριπόλεως
117 Γεμέλλου Στρατονικείας
118 Μαιονίου Νύσης
M VI 981 119 Ἡσαίου Ἐλαιτῶν
120 Ἑσπέρου Πιτάνης
121 Κοίντου Φωκαίας
122 Εὐστοχίου Δοκιμίου
123 Μουσωνίου Νύσης
124 Ἀριστομάχου Κολωνείας
125 Ῥήνου Ἰουνοπόλεως
126 Παύλου Μαριάμμης
127 Εὐσταθίου Σαρακηνῶν
128 Ἀθανασίου Πέρρης
129 Οὐρανίου Ἐμίσης
130 Δαμιανοῦ Σιδῶνος
131 Νῶε Κηφᾶ καστέλλου
132 Οὐρανίου Ἰβώρων
133 Πολυχρονίου Ἐπιφανείας
134 Θεοδώρου Ἀντιφέλλου
135 Λουκιανοῦ Ἰψοῦ
136 Νεοπτολέμου Κόρνων
137 Ἀχολίου Λαράνδων
138 Ἰουλιανοῦ Ὑπαίπων
139 Λεοντίου Μαγνησίας
140 Εὐδοξίου Χώματος
141 Φρόντωνος Φασήλιδος
142 Στεφάνου Λιμυρέων
143 Λεοντίου Ἀράξων
144 Ἀντιπάτρου κάμων
145 Φιλίππου λιβουρέων
146 Κρατιανοῦ Πανόρμου
147 Ἀνδρέου Τλωέων
148 Νικολάου Ἀκρασσοῦ
149 Ῥωμανοῦ Βουβονέων
L IIII 378 150 Παύλου Φιλομηλίου
151 Φλωρεντίου Ἀδριανουπόλεως
152 Μεσσαλίου Λαοδικείας Πισιδίας
153 Ἐλπιδίου μονῆς Θέρμων

MB

3 ἀτταλίασ M λυκίασ MB 6 νύσσησ B 9 φωκείασ M 11 νύσσησ B 13 ἰθυνοπόλεωσ MB ἰθυντοπόλεωσ M^{corr} 14 μαριάμνησ M μαριάμησ B 16 πέργησ MB 19 κιφᾶ M 20 ἰβόρων M 21 ἐπιφανίασ M 22 ἀντιφέλου B 25 ἀσχολίου B 26 ὑπέπων MB 29 φασιλίδοσ B 30 μυρέων MB 31 ἀράζων MB 32 postulatur Καύνου 33 λιβουρέων MB postulatur Βαλβουρέων 35 τονέων MB 36 ἀκρασοῦ B 37 βουβωναίων B 38 φιλομιλίου M 40 πισσιδίασ B

154 Ῥωμανοῦ Εὐδοξιουπόλεως
155 Λογγίνου Ὀρκιστοῦ
156 Μυστηρίου Ἀμορίου
157 Πέτρου Δαρδάνου
158 Ἰοβιανοῦ Διβέλτου
159 Φοντηιανοῦ Σαγαλασσοῦ
160 Ἰνδίμου Εἰρηνουπόλεως
161 Ἀκύλα Εὐδοξιάδος
162 Εὐτροπίου αραδου
163 Μάρκου Ἀρεθούσης
164 Προτερίου Μυρίνης
165 Μαρκελλίνου Μητροπολίτου
166 Εὐσεβίου Κλαζομενῶν
167 Ὀλυμπίου Θεοδοσιουπόλεως
168 Μάμα Ἀνινήτου
169 Ἀντωνιανοῦ Ἀμισοῦ
170 Παραλίου Ἀνδράπων
171 Δόμνου Κουκουσσοῦ
172 Γεροντίου Σελευκείας Συρίας
173 Ἰουλιανοῦ Ῥωσοῦ
174 Ὑπατίου Ζεφυρίου
175 Πέτρου Γαβούλα
176 Ῥουφίνου Βριούλων
177 Ὀλυμπίου Σωζοπόλεως
178 Εὐφρατᾶ Ἐλευθέρνης
179 Καιουμᾶ Μαρκουπόλεως
180 Ἰωάννου Καρρῶν
181 Ἀβραμίου Κάστρων M VI 984
182 Δημητρίου λαπετων
183 Βεθεσλασις Νέας πόλεως
184 Μουσωνιανοῦ βριμήνων
185 Γενναδίου Ἀκμονέων
186 Εὐλαλίου Πιονίων
187 Ἀμαχίου Σεττῶν
188 Θεοδοσίου Κανώθας
189 Εὐσεβίου Σελευκοβήλου
190 Ἑρμείου Ἀβύδου
191 Πατρικίου Ἀδριανοῦ θηρῶν
192 Ἐλευθερίου Ἀπόλλωνος
193 Ἡλία Βλανδοῦ
194 Ἀλκιμίδου Σιλάνδου

MB

3 ἀμμωρίου B 5 λιβέλλου MB 6 φροντιανοῦ MB 9 ἀράδου MB postulatur Ἀδάδων 11 μυρρίνησ M^{corr}B 12 μαρκελίνου B 15 ἀνηνίτου B 16 ἀμισσοῦ MB 17 ἀδράπων MB 18 κουκουσοῦ B 22 γαβουλᾶ B γαμβουλᾶ M 23 ἀριούλων MB, corr. M 25 ἐλευθερίνησ MB 28 ἀβρααμίου M 29 λαπέτων MB postulatur Λαππαίων 30 Βεθεσλασισ Νέας scripsi βεθὲσ λασιννέασ [λασινέασ B] MB 31 βριμήνων MB postulatur Λιμένων 40 λάνδου MB 41 ἀλκιμίδουσ M

195 Πρόκλου Ἀδραέων
196 Θεοδοσίου Ἰλιέων
197 Πιονίου Τρωάδος
198 Στεφάνου Ποιμανηνοῦ
199 Μάρκου Εὐροίας
200 Κλαδέου Ἁγχιασμοῦ
201 Περεγρίνου Φοινίκης
202 Κύρου Κυβίστρων
203 Θεοδώρου Ἡρακλείας
204 Τιμοθέου Δολίχης

3 Ἀέτιος ἀρχιδιάκονος τῆς βασιλευούσης Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ
1, 16 πριμικήριος νοταρίων εἶπεν· Μέμνηται ἡ ἁγιότης ὑμῶν ὅτιπερ πρώην ἀναγνωσθεισῶν
τῶν ἐπιδοθεισῶν δεήσεων τοῖς εὐσεβεστάτοις καὶ φιλοχρίστοις βασιλεῦσιν ἡμῶν παρὰ
L IIII 379 τοῦ θεοφιλεστάτου Εὐσεβίου ἐπισκόπου τῆς Δορυλαιτῶν κατὰ τοῦ θεοφιλεστάτου ἐπι-
σκόπου τῆς Ἀλεξανδρέων Διοσκόρου φανερὰ παρηκολούθησε πρᾶξις ὑπομνημάτων
παρόντων τῶι ἁγιωτάτωι τούτωι συνεδρίωι τῶν τε ἐνδοξοτάτων καὶ μεγαλοπρεπεστάτων
ἀρχόντων καὶ τῆς ἱερᾶς καὶ ἐνδόξου συγκλήτου, ἐξεταζομένου τοῦ μεταξὺ αὐτῶν πράγ-
ματος μέχρι βαθυτάτης ἑσπέρας. ἐπεὶ τοίνυν ὁ αὐτὸς θεοφιλέστατος Εὐσέβιος ἐπί-
σκοπος ἑτέρους λιβέλλους καὶ νῦν ἐπιδέδωκε τῆι ὑμετέραι ὁσιότητι κατὰ τοῦ μνημονευ-
θέντος ὁσιωτάτου ἐπισκόπου Διοσκόρου, μετὰ χεῖρας ἔχοντες τούτους ὑποβάλλομεν πρὸς
τὸ παριστάμενον.

4 Πασκασῖνος ἐπίσκοπος Λιλυβαίου ἐπαρχίας Σικελίας ἐπέχων τὸν τόπον τοῦ ἁγιω-
τάτου ἀρχιεπισκόπου τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης Λέοντος εἶπεν
Ῥωμαιστί

Καὶ ἡρμηνεύθησαν εἰς Ἑλληνικὸν οὕτως· Ἔγνωσται πάντως τῆι θεοφιλεῖ ταύτηι
συνόδωι καὶ πρὸς τὸν μακάριον καὶ ἀποστολικὸν πάπαν Λέοντα θεῖα γράμματα ἀπεστάλ-
M VI 985 θαι ὥστε αὐτὸν τῆι ἁγίαι συνόδωι παρεῖναι καταξιῶσαι, ἀλλ' ἐπειδήπερ οὔτε τὸ τῆς
ἀρχαιότητος ἔθος ἔσχηκεν τοῦτο οὔτε τοῦ γενικοῦ καιροῦ ἡ ἀνάγκη ἐπιτρέπειν ἐδόκει,
τὴν ἡμετέραν βραχύτητα ἀνθ' ἑαυτοῦ ταύτης τῆς ἁγίας συνόδου ⟨προεδρεύειν⟩ ἐπέτρεψεν
καὶ διὰ τοῦτο ἀναγκαῖόν ἐστι ταῦτα ἅπερ ἂν εἰς μέσον ἀχθῆι, δι' ἡμετέρας διαλαλιᾶς
σκοπηθῆναι. διά τοι τοῦτο ὁ λίβελλος ὁ νῦν προκομισθεὶς παρὰ τοῦ θεοφιλεστάτου
ἀδελφοῦ ἡμῶν καὶ συνεπισκόπου Εὐσεβίου ὑποδεχθεὶς παρὰ τοῦ θεοφιλεστάτου ἀρχι-
διακόνου καὶ πριμικηρίου [Ἀετίου] ἀναγινωσκέσθω.

Καὶ λαβὼν Αέτιος ἀρχιδιάκονος καὶ πριμικήριος νοταρίων ἀνέγνω

5 Τῆι ἁγίαι καὶ οἰκουμενικῆι συνόδωι τῆι ἐκ θεσπίσματος τῶν εὐσεβεστάτων ἡμῶν
βασιλέων συνελθούσηι ἐν τῆι Χαλκηδονέων πόλει τῆς Βιθυνίας παρὰ Εὐσεβίου ἐπισκόπου
τῆς Δορυλαιτῶν ποιουμένου τὸν λόγον ὑπέρ τε ἑαυτοῦ καὶ ὑπὲρ τοῦ ἐν ἁγίοις Φλαβιανοῦ
τοῦ γενομένου ἐπισκόπου Κωνσταντινουπόλεως καὶ τῆς ὀρθοδόξου πίστεως. Τὸ
φιλόθεον καὶ μισοπόνηρον ἦθος καὶ τὸ περὶ τοὺς ἠδικημένους συμπαθὲς τῆς ὑμετέρας
ἁγιωσύνης ἐπιστάμενοι, πολλὰ καὶ δεινὰ καὶ παρὰ πᾶσαν ἀκολουθίαν ὑπομείναντες

MB, Φ [inde a 11]

1 ἀδαέων MB 2 postulatur Θεοσεβίου 4 ποιμανηνῶν B ποιμανίνου M 13 ἡμῶν βασιλεῦσι B 14 δορυλλαϊτῶν MB 22 πασχασῖνος M 23 τοῦ ἀποστολικοῦ θρόνου om. Φ 26 καὶ ἀποστολικὸν] *et catholicum* Φ^{ac}, *et apostolicum et catholicum* Φ^{r} θεῖα om. B 29 ταύτης — συνόδου scripsi τὰ τῆς τῆσ ἁγίασ συνόδου M ταύτη τῇ ἁγία συνόδω B προεδρεύειν Φ om. MB 33 *primicerio notariorum* Φ Ἀετίου om. Φ 34 διάκονοσ B cf. notam Rustici πριμικήριοσ νοτάριοσ M πριμικήριοσ B *primicerius notariorum* Φ 35 κη M^{mg} ἁγία ταύτη B 37 δορυλλαϊτῶν MB τε om. B

παρὰ τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀλεξανδρέων Διοσκόρου πρόσιμεν τῇι ὑμετέραι θεοφιλείαι τῶν δικαίων τυχεῖν ἀξιοῦντες· τὰ δὲ τοῦ πράγματος ἐν τούτοις. πρώην συνελθοῦσα ὑμῶν ἡ ἁγία σύνοδος ἅμα τοῖς ὑπερλάμπροις καὶ ἐξοχωτάτοις ἄρχουσι καὶ τῇι ὑπερφυεῖ συγκλήτωι ἐν ταύτηι τῇι ἁγίαι καὶ μεγάληι ἐκκλησίαι ἐπήκουσε τῶν δεήσεων ἡμῶν τῶν ἐπιδοθεισῶν τοῖς εὐσεβεστάτοις ἡμῶν βασιλεῦσι κατὰ Διοσκόρου 1, 16
τοῦ εὐλαβεστάτου ἐπισκόπου καὶ προθεῖσα ὑμῖν τὸν ἀγῶνα διέγνω τὰ μεταξὺ ἡμῶν 6
καὶ ἐπέστη τοῖς τετολμημένοις Διοσκόρωι κατ' ἐμοῦ καὶ τοῦ ἐν ἁγίοις Φλαβιανοῦ καὶ τῆς ὀρθοδόξου πίστεως. ἠτιασάμεθα γὰρ τὸν προειρημένον Διόσκορον ὡς ὁμόδοξον ὄντα Εὐτυχεῖ τῶι αἱρετικῶι καὶ καθηιρημένωι καὶ ἀνατεθεματισμένωι καὶ ὅτι βουλόμενος τὴν ἐκείνου κακοδοξίαν βεβαιῶσαι ἐν τῇι ἔναγχος γενομένηι συνόδωι ἐν τῇι Ἐφεσίων L IIII 382
μητροπόλει πλῆθος ἀτάκτων ὄχλων συναγαγὼν καὶ δυναστείαν αὐτῶι πορισάμενος 11
διὰ τῆς προσούσης αὐτῶι εὐπορίας τήν τε ὀρθὴν πίστιν, τό γε ἧκον εἰς αὐτόν, ἐλυμήνατο καὶ ζύμην αἱρέσεως ἀήθους εἰσήνεγκεν εἰς τὴν καθολικὴν ἐκκλησίαν καὶ ἡμᾶς τῆς ἀξίας τῆς ἱερωσύνης ἀφείλετο. ἐπεὶ οὖν τῆς διαγνώσεως γενομένης, ὡς ἐπίσταται ὑμῶν ἡ θεοφίλεια, ἀπεδείχθη παρ' ἡμῶν ὁ προειρημένος Διόσκορος ἀλλότρια φρονῶν τῆς ὀρ- M VI 988
θῆς πίστεως καὶ ἐμὲ μὴ συγχωρήσας συνελθεῖν ἐν τῶι συνεδρίωι τῶι γενομένωι ἐν τῇι 16
Ἐφεσίων μητροπόλει καὶ συστῆναι ταῖς ἰδίαις δικαιολογίαις, ἔτι δὲ καὶ τὸν ἐν ἁγίοις Φλαβιανὸν τὸν γενόμενον ἐπίσκοπον Κωνσταντινουπόλεως, ὑπὲρ οὗ καὶ τὸν λόγον ἐποιησάμην, κατὰ καιρὸν ταῖς οἰκείαις δικαιολογίαις χρήσασθαι, πρὸς τούτοις δὲ καὶ φωνὰς τὰς μὴ ῥηθείσας παρὰ τῆς τότε συνόδου ἐνθεὶς τοῖς ὑπομνήμασιν καὶ εἰς ἀγράφους 20
χάρτας παρασκευάσας αὐτοὺς ὑπογράψαι καὶ πᾶσαν ἀδικίαν κατεργασάμενος εἴς τε τὴν εὐσέβειαν καὶ εἰς τοὺς θείους κανόνας καὶ εἰς τὴν τῶν νόμων ἀκολουθίαν, δέομαι καὶ προσπίπτω τῇι ὑμετέραι ἁγιωσύνηι, οἰκτειρήσατε ἡμᾶς, ἁγιώτατοι πατέρες, καὶ ὡς ἔτι ἔχετε ἐν μνήμηι τὰ πρώην πεπραγμένα μεταξὺ ἡμῶν καὶ τοῦ προειρημένου Διοσκόρου, ψηφίσασθε πάντα τὰ πραχθέντα καθ' ἡμῶν σχολάζειν καὶ μηδὲν ἡμᾶς ἀπὸ τῶν γεγενημένων 25
καθ' ἡμῶν ἀδίκως ὑπομνημάτων παραβλάπτεσθαι, ἔχειν δὲ ἡμᾶς τὴν ἀξίαν τῆς ἱερωσύνης, ἀναθεματίσαι δὲ τὸ μιαρὸν αὐτοῦ δόγμα, κρατῦναι δὲ τὸν εὐσεβείας λόγον, κἀκεῖνον δὲ δίκας ἀποτεῖσαι τῶν τετολμημένων, ὥστε ὑπόδειγμα αὐτὸν γενόμενον τῶι λοιπῶι βίωι πάντας σωφρονίσαι τοὺς τὰ ὅμοια αὐτωι πράττειν ἐπιχειροῦντας. τούτου γὰρ τυχόντες ἀδιαλείπτως εὐχαριστήσομεν τῇι ὑμετέραι ὁσιότητι. 30

Εὐσέβιος ἐπίσκοπος Δορυλαίου ἐπαρχίας Φρυγίας Σαλουταρίας ἐπέδωκα τούσδε τοὺς λιβέλλους ὑπογράψας χειρὶ ἐμῆι.

6 Καὶ μετὰ τὸ ἀναγνωσθῆναι Εὐσέβιος ἐπίσκοπος εἶπεν· Ἀξιῶ τὸν ἀντίδικόν μου κατὰ πρόσωπόν μου κληθῆναι.

7 Ἀέτιος ἀρχιδιάκονος καὶ πρῶτος νοταρίων εἶπεν· Ἤδη, καθὰ ἐκελεύσατε, ὡς 35
πρὸς τοὺς ἄλλους ὁσιωτάτους ἐπισκόπους διαβάντων Δομνίνου καὶ Κυριακοῦ τῶν διακόνων πρὸς Διόσκορον τὸν εὐλαβέστατον ἐπίσκοπον ἔνθεν πρὸ τοῦ συνεδριάσαι καὶ προτρεπομένων αὐτὸν ἐπὶ τὸ συνελθεῖν καὶ αὐτὸν ἐνταῦθα, ἐδήλωσεν ἐθέλειν μὲν παραγενέσθαι, μὴ συγχωρεῖσθαι δὲ ὑπὸ τῶν φυλαττόντων αὐτόν, ὡς ἔφασκεν.

8 Πασκασῖνος ὁ ἐπίσκοπος εἶπεν· Ἐπειδήπερ οὐχ ὁρῶμεν παρόντα Διόσκορον τὸν 40
Ἀλεξανδρείας ἁγιώτατον ἐπίσκοπον, ἐξελθόντες εὐλαβέστατοι κληρικοὶ ἐπιζητησάτωσαν αὐτὸν εἰ πρὸ τοῦ συνεδρίου τυγχάνει.

MBΦ

1 τῆς Ἀλεξανδρέων μεγαλοπόλεως Φ 2 θεοφιλία M 6 τῆς Ἀλεξανδρέων μεγαλοπόλεως ἐπισκόπου Φ 9 ἀναθεματισμένων M 10 ἐκείνου om. Φ 12 εἰσ αὐτὸν ἦκον B 17 ταῖς] τῆσ M οἰκείαισ B 26 ἀδίκωσ καθ' ἡμῶν M 27 τὲ B κρατῦναι δὲ MΦ καὶ κρατῦναι B τὸν τῆσ B 28 ἀποτεῖσαι Φ ἀπαιτῆσαι MB 30 εὐχαριστήσωμεν MΦ 31 δορυλλαίου MB 34 κατὰ — μου om. Φ κατὰ om. M, corr. M προσώπου M 35 διάκονοσ B 40 πασχασῖνοσ M ut solet 41 Ἀλεξανδρείας om. Φ

9 Ἀέτιος ἀρχιδιάκονος καὶ πριμικήριος νοταρίων εἶπεν· Καθάπερ ἐκελεύσατε, Ἐπιφάνιος καὶ Ἐλπίδιος οἱ πρεσβύτεροι περιελθόντες τὸ ἅγιον τοῦτο μαρτύριον ἐζήτησαν
M VI 989 τὸν θεοφιλέστατον ἐπίσκοπον τῆς Ἀλεξανδρέων Διόσκορον καὶ εἰ παρίσταται, παραγενόμενοι ἐρωτάσθωσαν.

10 Ἀνατόλιος ἐπίσκοπος Κωνσταντινουπόλεως νέας Ρώμης εἶπεν· Λεγέτωσαν οἱ εὐλαβέστατοι Ἐπιφάνιος καὶ Ἐλπίδιος οἱ πρεσβύτεροι εἴ γε ἐπεζήτησαν τὸν θεοφιλέστατον
L IIII 383 ἐπίσκοπον Διόσκορον.

11 Ἐπιφάνιος καὶ Ἐλπίδιος πρεσβύτεροι εἶπον· Περιελθόντες τοὺς περιβόλους τοῦ ἁγίου τόπου τούτου ἐζητήσαμεν καὶ οὐχ εὕρομεν αὐτόν.

12 Ἀνατόλιος ἐπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης εἶπεν· Εἰ παρίσταται τῇ ὑμετέραι ἁγιωσύνῃ ἀποσταλῆναι πρὸς αὐτὸν τινὰς τῶν θεοφιλεστάτων ἀδελφῶν ἡμῶν καὶ συνεπισκόπων εἰς τὸ καταγώγιον ἔνθα μένει, καὶ ὑπομνησθῆναι αὐτὸν ἐπὶ τῶι παραγενέσθαι ἐν τῇ ἁγίαι ταύτῃ συνόδωι.

13 Μάξιμος ἐπίσκοπος τῆς μεγαλοπόλεως Ἀντιοχείας εἶπεν· Καλῶς ἔδοξεν τῶι ἁγιωτάτωι ἀρχιεπισκόπωι Ἀνατολίωι ὥστε πεμφθῆναι θεοφιλεστάτους ἐπισκόπους ἐπὶ τῶι μετακαλέσασθαι τὸν θεοφιλέστατον ἐπίσκοπον τῆς μεγαλοπόλεως Ἀλεξανδρείας καὶ δήλην αὐτῶι ποιῆσαι τὴν κατ' αὐτοῦ γεγενημένην αἰτίαν.

14 Ἡ ἁγία σύνοδος εἶπεν· Ἀκόλουθόν ἐστι δηλωθῆναι τῶι θεοφιλεστάτωι ἐπισκόπωι τῆς μεγαλοπόλεως Ἀλεξανδρείας Διοσκόρωι· ὅθεν ὁ θεοφιλέστατος ἐπίσκοπος Κωνσταντῖνος ὁ μητροπολίτης Βόστρων καὶ Ἀκάκιος Ἀριαραθείας καὶ Ἀττικὸς Ζήλων διαβάντες ὑπομνησάτωσαν τὸν θεοφιλέστατον ἐπίσκοπον Διόσκορον παραγενέσθαι εἰς τὸ ἅγιον τοῦτο συνέδριον.

15 Καὶ ἀπελθόντων τῶν εὐλαβεστάτων ἐπισκόπων Κωνσταντίνου Ἀκακίου καὶ Ἀττικοῦ μετὰ Ἱμερίου ἀναγνώστου καὶ νοταρίου, εἶτα ἐπανελθόντων Ἀέτιος ἀρχιδιάκονος καὶ πριμικήριος νοταρίων εἶπεν· Οἱ πρὸ βραχέος ἀποσταλέντες ὁσιώτατοι ἐπίσκοποι Κωνσταντῖνος ὁ τῆς μητροπόλεως Βόστρων καὶ Ἀκάκιος Ἀριαραθείας καὶ Ἀττικὸς Ζήλων πρὸς τὸν θεοφιλέστατον ἐπίσκοπον τῆς Ἀλεξανδρέων Διόσκορον παρὰ τῆς ὑμετέρας ἁγιωσύνης παραγεγόνασιν καὶ τοῦτο αὐτὸ ὑποβάλλομεν πρὸς γνῶσιν τῆς ὑμετέρας ἁγιωσύνης.

16 Ἀνατόλιος ἐπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης εἶπεν· Καταξιώσουσιν οἱ θεοφιλέστατοι ἐπίσκοποι διδάξαι τὴν ἁγίαν ταύτην σύνοδον οἵαν ἀπόκρισιν ἐδέξαντο παρὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου Διοσκόρου.

17 Κωνσταντῖνος ἐπίσκοπος Βόστρων εἶπεν· Κατὰ τὸ προσταχθὲν παρὰ τῆς ὑμετέρας ἁγιωσύνης ἀπελθόντες πρὸς τὸν θεοφιλέστατον ἐπίσκοπον Διόσκορον τῆς Ἀλεξανδρέων ἐγγράφως τὰ ἐνταλθέντα ἡμῖν εἴπομεν αὐτῶι καὶ ἀξιοῦμεν τὸν συνόντα ἡμῖν Ἱμέριον
M VI 992 τὸν ἀναγνώστην καὶ νοτάριον ἐξειληφότα εἰπεῖν τίνα ἐστὶν καὶ τὰ παρ' ἡμῶν λεχθέντα καὶ ποίαν ἀπόκρισιν ἡμῖν δέδωκεν.

18 Πασκασῖνος ἐπίσκοπος δι' ἑρμηνέως εἶπεν· Ὁ παρὼν νοτάριος Ἱμέριος κατὰ τὴν κατάθεσιν τοῦ θεοφιλεστάτου ἀδελφοῦ ἡμῶν καὶ συνεπισκόπου ταῦτα ἅπερ ἀπεκρίνατο Διόσκορος ὁ ἐπίσκοπος, ἀναγινωσκέτω, ἵνα δυνηθῆι ἡ μακαρία αὕτη σύνοδος κοινοποιησαμένη τὴν συμβουλὴν ἐμμελῶς διαγνῶναι τί ὀφείλει πραχθῆναι.

Ἱμέριος ἀναγνώστης καὶ νοτάριος ἀνέγνω οὕτως

MBΦ

9 εὕραμεν M 12 τὸ M 15 τὸ M 16 *Dioscorum episcopum* Φ 19 τῆσ — ἀλεξανδρείασ M τῆσ ἀλεξανδρείασ B *Alexandriae ciuitatis* Φ 19/20 *Constantius* Φ^{a} et duo codd. Φ^{c} 20 ἀριαραθίασ MB, corr. M 21 *episcopum Alexandriae* Φ^{c} 23 *Constantius* Φ^{a} et duo codd. Φ^{c} 26 *Constantius* Φ^{a} et duo codd. Φ^{c} ἀριαραθίασ MB, corr. M 33 *Constantius* Φ^{a} 34/35 τῆσ ἀλεξανδρέων διόσκορον B 38 πασχασῖνοσ M

19 Κωνσταντῖνος ἐπίσκοπος τῆς μητροπόλεως Βόστρων πρὸς τὸν ἐπίσκοπον Διόσκορον εἶπεν· ἡ ἁγία σύνοδος παρακαλεῖ σου τὴν ἁγιότητα ἀπαντῆσαι ἕως αὐτῆς συνηθροισμένη ἐν τῶι μαρτυρίωι τῆς ἁγίας καὶ καλλινίκου μάρτυρος Εὐφημίας. Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· φυλάττομαι ἐγώ· εἰ δὲ συγχωροῦμαι κατελθεῖν, εἰπάτωσαν. Ἀκάκιος ἐπίσκοπος Ἀριαραθείας εἶπεν· ἡμεῖς πρὸς τοὺς καθωσιωμένους μαγιστριανοὺς οὐκ ἀπεστάλημεν, ἀλλὰ πρὸς τὴν σὴν ὁσιότητα ὥστε σε καταξιῶσαι σκυλῆναι καὶ καταλαβεῖν τὴν ἁγίαν σύνοδον συνηθροισμένην ἐν τῶι μαρτυρίωι τῆς ἁγίας μάρτυρος Εὐφημίας. Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· ἑτοιμός εἰμι παραγενέσθαι εἰς τὴν ἁγίαν καὶ οἰκουμενικὴν σύνοδον, ἀλλὰ κωλύομαι. Ἀττικὸς ἐπίσκοπος Ζήλων εἶπεν· λίβελλοι ἐπεδόθησαν καὶ νῦν παρὰ Εὐσεβίου τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆι ἁγίαι καὶ οἰκουμενικῆι συνόδωι κατὰ τῆς σῆς ὁσιότητος καὶ δι' ἡμῶν ἡ ἁγία καὶ μεγάλη σύνοδος ἐδήλωσεν τῆι σῆι ἁγιωσύνηι ὥστε σε παραγενέσθαι καὶ ἀπολογήσασθαι ἐφ' οἷς ἐγκαλῆι. Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· ἅπαξ εἶπον ὅτι προθέσεως κἀγὼ εἰμὶ τοῦ ἐλθεῖν εἰς τὴν ἁγίαν καὶ οἰκουμενικὴν σύνοδον, ἀλλ', ὡς ὁρᾶι ἡ ὑμετέρα θεοφίλεια, κωλύομαι ὑπὸ τῶν καθωσιωμένων μαγιστριανῶν καὶ σχολαρίων. L IIII 386

20 Καὶ μετὰ τὸ ἀναγνωσθῆναι ταῦτα Ἱμέριος ἀναγνώστης εἶπεν· Ἐπειδὴ μετὰ τὸ κατελθεῖν με ἅμα τοῖς θεοφιλεστάτοις ἐπισκόποις ἀπήντησεν Ἐλευσίνιος ὁ θαυμασιώτατος βοηθὸς τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου μαγίστρου τῶν θείων ὀφφικίων καὶ ὑπέστρεψαν οἱ θεοφιλέστατοι ἐπίσκοποι πάλιν πρὸς τὸν αὐτὸν θεοφιλέστατον ἐπίσκοπον Διόσκορον καὶ ἀνελθόντες πάλιν ὑπέμνησαν αὐτὸν καὶ φανερὰ διειλέχθησαν, ἅτινα ἐν ἐκλήψει ἔχω, [καὶ] εἰ παρίσταται τῆι ὑμετέραι ἁγιωσύνηι, ταῦτα ἀναγνώσομαι. M VI 993

21 Ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος εἶπεν· Ἀναγίνωσκε.
Ἱμέριος ἀναγνώστης ἀνέγνω οὕτως

22 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· συναγαγὼν ἐμαυτὸν καὶ γνοὺς τὸ συμφέρον τάδε ἀποκρίνομαι· ἐπειδὴ ἐν τῆι πρὸ ταύτης σύνοδωι καθεζόμενοι οἱ μεγαλοπρεπέστατοι ἄρχοντες ὥρισαν φανερὰ μετὰ πολλὴν ἑκάστου διαλαλιάν, νῦν δὲ δευτέρα με καλεῖ σύνοδος εἰς τὴν τῶν προειρημένων ἀνασκευήν, παρακαλῶ τοὺς καὶ πρώην ἐν τῆι συνόδωι παραγενομένους μεγάλους ἄρχοντας καὶ τὴν ἱερὰν σύγκλητον καὶ νῦν παρεῖναι, ἵνα πάλιν ἐπ' αὐτῶν τὰ αὐτὰ γυμνασθῆι. Ἀκάκιος ἐπίσκοπος Ἀριαραθείας εἶπεν· οὐχ οὕτως ἐκάλεσεν ἡ ἁγία καὶ μεγάλη σύνοδος τὴν σὴν ἁγιωσύνην, ὥστε ἀνασκευάσασθαι τὰ ἐπὶ τῶν μεγάλων καὶ ἐνδόξων ἀρχόντων καὶ ἐπὶ τῆς ἱερᾶς συγκλήτου πραχθέντα, ἀλλὰ δηλώσασα ἀπέστειλεν ὥστε καταλαβεῖν τὸ συνέδριον καὶ μὴ ἀπολειφθῆναι αὐτοῦ τὴν σὴν ὁσιότητα. Διόσκορος ἐπίσκοπος εἶπεν· εἰρήκατέ μοι νῦν ὅτι λιβέλλους ἐπιδέδωκεν Εὐσέβιος κατὰ τῆς σῆς θεοσεβείας· παρακαλῶ πάλιν παρόντων τῶν ἀρχόντων καὶ τῆς ἱερᾶς συγκλήτου δοκιμασθῆναι τὰ κατ' αὐτόν. Ἀττικὸς ἐπίσκοπος Ζήλων εἶπεν· ἡμεῖς ἀπεστάλημεν πρὸς τὴν σὴν ὁσιότητα ἐπὶ τῶι προτρέψασθαι, καὶ ἐνέκοψεν αὐτὸν Διόσκορος ὁ ἐπίσκοπος εἰπών· ἀπεκρινάμην ἤδη ὅτι ἐπὶ παρουσίαι τῶν μεγάλων ἀρχόντων καὶ τῆς ὑπερφυοῦς συγκλήτου πάλιν τὰ κατ' ἐμὲ ἐξετασθῆναι βούλομαι. Κωνσταντῖνος ἐπίσκοπος μητροπόλεως Βόστρων εἶπεν· εὐθὺς ἐλθοῦσιν ἡμῖν ἀπεκρίνατο ἡ σὴ ὁσιότης ὅτι ἐὰν συγχωρηθῶ ὑπὸ τῶν φυλαττόντων με, καταλαμβάνω τὴν ἁγίαν σύνοδον· ἐπεὶ τοίνυν παραγενομένου τοῦ μεγαλοπρεπεστάτου βοηθοῦ τοῦ ἐνδοξοτάτου μαγίστρου M VI 996

MBΦ

1 *Constantius* Φ[a] et duo codd. Φ[c] 5 ἐπίσκοποσ post Ἀ. coll. M ἀριαραθίας MB, corr. M 13 ὅτι om. Φ 16 *lector et notarius* Φ[ac] *lector notariorum* Φ[r] 20 *locutus est* Φ[ac] 21 καὶ MBΦ[ac] om. Φ[r] *et haec* Φ 23 *lector et notarius* Φ 29 ἀριαραθίασ MB, corr. M 38/39 *Constantius* Φ[a] et unus codex Φ[c] 41 μεγαλοπρεπεστάτου] *uiro clarissimo* Φ *magistri officiorum* Φ

L IIII 395 [389] ἐπετράπης, εἰ βούλει, ἐλθεῖν εἰς τὴν ἁγίαν σύνοδον, περὶ τούτου, εἰ δοκεῖ, ἀπόκρισιν ἡμῖν δός. Διόσκορος ἐπίσκοπος εἶπεν· νῦν μεμάθηκα ὅτι οὐ πάρεισιν οἱ μεγαλοπρεπέστατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος, καὶ διὰ τοῦτο νῦν οὕτως ἀπεκρινάμην.

23 Καὶ μετὰ τὸ ἀναγνωσθῆναι Εὐσέβιος ἐπίσκοπος Δορυλαίου εἶπεν· Δέομαι τῆς ὑμετέρας ἁγιωσύνης, τὰ ἀναγνωσθέντα ἄρτι παρὰ τοῦ νοταρίου τοῦ ἀποσταλέντος μετὰ τῶν εὐλαβεστάτων ἐπισκόπων πρὸς τὸν εὐλαβέστατον ἐπίσκοπον Διόσκορον κελεύσατε ἐμφέρεσθαι τῇ πράξει τῶν ὑπομνημάτων.

24 Μάξιμος ἐπίσκοπος Ἀντιοχείας εἶπεν· Τὰ μὲν νῦν ἀναγνωσθέντα παρὰ Ἰμερίου τοῦ ἀναγνώστου ἐμφερέσθω τῇ πράξει τῶν ὑπομνημάτων· ἀκόλουθον δὲ κατὰ τοὺς κανόνας τῶν ἁγίων πατέρων καὶ αὖθις ἀποσταλῆναι πρὸς τὸν θεοφιλέστατον ἐπίσκοπον Διόσκορον τοὺς καλοῦντας αὐτὸν ἐκ δευτέρου ἐπὶ τῶι παραγενέσθαι ἐν τῇ ἁγίαι καὶ οἰκουμενικῇ συνόδωι.

25 Εὐσέβιος ἐπίσκοπος Δορυλαίου εἶπεν· Ὁ θεοφιλέστατος ἐπίσκοπος Διόσκορος σκήψεις καὶ προφάσεις προβάλλεται τοῦ μὴ καταλαβεῖν τὴν ἁγίαν ταύτην σύνοδον. φανερὰ γὰρ κεφάλαια ἤδη διηλέγχθη καὶ ἐπὶ τῆς ὑμετέρας ἁγιωσύνης καὶ ἐπὶ τῆς λαμπρᾶς καὶ ἐνδόξου συγκλήτου καὶ ἔστιν ἕτερα κεφάλαια τὰ ὀφείλοντα ἐπὶ τῆς ὑμετέρας ἁγιωσυνης γυμνασθῆναι καὶ ἀποδειχθῆναι. καὶ κελεύσατε αὐτὸν παρεῖναι· οὐδὲ γὰρ ἀνασκευάζομέν τι τῶν ἤδη πεπραγμένων.

26 Ἀέτιος ἀρχιδιάκονος καὶ πριμικήριος νοταρίων εἶπεν· Τί δοκεῖ τῇ ὑμετέραι ἁγιωσύνηι περὶ τῆς διαλαληθείσης δευτέρας κλήσεως;

27 Ἡ ἁγία σύνοδος εἶπεν· Ἀκόλουθόν ἐστι καὶ κανονικὸν καὶ δεύτερον αὐτὸν κληθῆναι. ἀπίτωσαν τοίνυν πρὸς Διόσκορον τὸν θεοφιλέστατον ἐπίσκοπον οἱ θεοφιλέστατοι ἐπίσκοποι Περγάμιος Κεκρόπιος καὶ Ῥουφῖνος προτρεπόμενοι αὐτὸν ὥστε παραγενέσθαι πρὸς ἡμᾶς.

28 Ἀέτιος ἀρχιδιάκονος καὶ πριμικήριος νοταρίων εἶπεν· Παρίσταται οὖν τῇ ἁγιωσύνηι ὑμῶν ἐπισταλῆναι πρὸς αὐτὸν ἐκ προσώπου τῆς ἁγίας συνόδου;

29 Ἀμφιλόχιος ἐπίσκοπος Σίδης εἶπεν· Ὑπερτεθῆι μίαν ἢ δύο ἡμέρας τὸ πρᾶγμα.

30 Μενεκράτης ἐπίσκοπος Κεράσσων ἐπαρχίας Λυδίας εἶπεν· Εἷς ἄνθρωπος **τὴν**
M VI 997 οἰκουμένην ἠρήμωσεν, καὶ παρακαθήμεθα αὐτῶι τρεῖς μῆνας;

Καὶ ἀπεστάλη τὸ δεύτερον οὕτως

31 Ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος τῶι θεοφιλεστάτωι ἐπισκόπωι τῆς Ἀλεξανδρέων Διοσκόρωι. Πρώην ἔδοξε τοῖς κρατοῦσι τῶν ὅλων ἐπί τε τῶν μεγαλοπρεπεστάτων καὶ ἐνδοξοτάτων ἀρχόντων καὶ τῆς ἱερᾶς καὶ ἐνδόξου συγκλήτου τὰ μεταξὺ τῆς σῆς θεοσεβείας καὶ τοῦ εὐλαβεστάτου ἐπισκόπου Εὐσεβίου καὶ ἐφ' ἡμῶν γυμνάζεσθαι καὶ νῦν ἔδοξεν ὥστε τὴν ἁγίαν ταύτην συνεδρεύσασαν μεγάλην σύνοδον
L IIII 390 ἔχουσαν τὴν ἀποστολικὴν αὐθεντίαν μὴ ἀνασκευαζομένων τῶν πρότερον ἐπὶ σοὶ πεπραγμένων ἐν ἐκείνωι τῶι θείωι συνεδρίωι, περὶ ἑτέρων τινῶν ὧν ἐπάγει τὰ νῦν ὁ αὐτὸς θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος διὰ λιβέλλων αἰτιασάμενος, τὴν ἐξέτασιν ποιήσασθαι. ἀπροφασίστως τοίνυν ἡ σὴ θεοσέβεια παραγενέσθω πρὸς ἡμᾶς ἀπολογησομένη, καθὰ ἡ τῶν κανόνων ἀπαιτεῖ τάξις. ἰδοὺ γὰρ καὶ δευτέραν κανονικὴν κλῆσιν πρὸς τὴν

MBΦ

1 βούλη M 4 δορυλλαίου MB 8 *magnae Antiochenae ciuitatis* Φ 9 ἀναγνώστου] *notario* Φ 11 τὸ M 13 δορυλλαίου MB 15 διηλέγχθη scripsi *conuictus est* Φ ἐλέχθη MB 15/16 λαμπρᾶς — συγκλήτου] *magnificentissimorum iudicum et sacri senatus* Φ 23 κερκόπιος M ut solet 26 *totius sancti concilii* Φ 28 Κεράσσων scripsi *Cerassensis* Φ^{r} κερασοῦντος MB 30 ἀπεστάλη BΦ ἐπεστάλη MB^{corr} 36 κανονικὴν Φ ἐπὶ σοὶ om. Φ^{ac} et codex Acoemitanus, cf. **notam** Rustici

σὴν θεοσέβειαν πεποιήμεθα ἀποστείλαντες Περγάμιον Κεκρόπιον καὶ Ῥουφῖνον τοὺς θεοφιλεστάτους ἀδελφοὺς καὶ συνεπισκόπους ἡμῶν ὀφείλοντας ὑπομνῆσαι τὴν σὴν θεοσέβειαν ὥστε ἀνενδοιάστως πρὸς ἡμᾶς παραγενέσθαι καὶ ἀπολογήσασθαι τοῖς ἐπαγομένοις.

32 Καὶ ἐπανελθόντων αὐτῶν Ἀέτιος ἀρχιδιάκονος καὶ πριμικήριος νοταρίων εἶπεν· Οἱ τῇι δευτέραι κλήσει διακονησάμενοι ἐπίσκοποι Περγάμιος Κεκρόπιος καὶ Ῥουφῖνος παραγεγόνασιν καὶ τοῦτο αὐτὸ ἀναφέρομεν.

33 Στέφανος ἐπίσκοπος Ἐφέσου εἶπεν· Λεγέτωσαν οἱ θεοφιλέστατοι ἐπίσκοποι εἴ τι δ' ἂν ἐπήκουσαν παρὰ Διοσκόρου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀλεξανδρέων, καὶ ἀναγγειλάτωσαν τῇι ἁγίαι συνόδωι ἅπερ ἤκουσαν, μετὰ ἀληθείας.

34 Περγάμιος ἐπίσκοπος Ἀντιοχείας Πισιδίας εἶπεν· Ἀκολούθως τοῖς προσταχθεῖσι παρὰ τῆς ὑμετέρας ἁγιωσύνης τὴν ἐπὶ τῇι δευτέραι κανονικῇι κλήσει ὑπόμνησιν πεποιήμεθα πρὸς τὸν θεοφιλέστατον ἐπίσκοπον τῆς Ἀλεξανδρέων Διόσκορον καὶ ἐπὶ τοῖς δηλωθεῖσιν αὐτῶι ἐγγράφως ἀπόκρισιν φανερὰν πεποίηται, ἥτις εἰ παρίσταται τῇι ὑμετέραι ὁσιότητι, ὑπαναγνωσθήσεται παρὰ τοῦ ἐξειληφότος καὶ σὺν ἡμῖν παραγενομένου ἀναγνώστου καὶ νοταρίου Ὑπατίου. M VI 1000

35 Διογένης ἐπίσκοπος Κυζίκου εἶπεν· Ὁ ἀναγνώστης Ὑπάτιος ἀναγινωσκέτω ἅπερ ἐξείληφεν παρὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου Διοσκόρου, ταύτηι τῇι μεγάληι καὶ ἁγίαι καὶ οἰκουμενικῇι συνόδωι.

Ὑπάτιος ἀναγνώστης καὶ νοτάριος ἀνέγνω οὕτως

36 Περγάμιος ἐπίσκοπος Ἀντιοχείας Πισιδίας εἶπεν· ἡ συνειλεγμένη ἐν τῶι μαρτυρίωι τῆς ἁγίας μάρτυρος Εὐφημίας οἰκουμενικὴ ἁγία καὶ καθολικὴ σύνοδος δευτέραν κλῆσιν ποιουμένη πρὸς τὴν σὴν ὁσιότητα ἐξαπέστειλε τὴν ἡμετέραν βραχύτητα τὴν ὑπόμνησιν ποιουμένη ἐγγράφως μηνύσασα ἅπερ νῦν τῇι σῇι ὁσιότητι ὑπαναγνωσόμεθα. καὶ μετὰ τὸ ἀναγνωσθῆναι τῶι ἐπισκόπωι Διοσκόρωι τὰ παρὰ τῆς ἁγίας ὑμῶν καὶ οἰκουμενικῆς συνόδου δηλωθέντα αὐτῶι διὰ τῶν θεοφιλεστάτων ἐπισκόπων Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· ἤδη φθάσας δεδήλωκα τῇι ὑμετέραι θεοφιλείαι ὡς ὅτι καὶ ἀρρωστίαι συνέχομαι καὶ ἐξαιτῶ ὥστε τοὺς μεγαλοπρεπεστάτους ἄρχοντας καὶ τὴν ἱερὰν σύγκλητον καὶ νῦν παρεῖναι τῇι τῶν ἐξεταζομένων ἀκροάσει. ἐπειδὴ δέ μοι τὰ τῆς ἀρρωστίας ἐπετάθη, τούτου χάριν τὴν ὑπέρθεσιν πεποίημαι. Κεκρόπιος ἐπίσκοπος Σεβαστοπόλεως εἶπεν· πρὸ βραχέος ἡ σὴ ὁσιότης οὐκ ἐνέφηνεν ἀρρωστίαν, ἀλλ' ἐπεζήτησε παρεῖναι τὴν ἱερὰν σύγκλητον καὶ τοὺς μεγαλοπρεπεστάτους ἄρχοντας, νῦν δὲ τοῦ .ɔ προσέθηκε. καταξίωσον οὖν πρέπον σεαυτῶι πρᾶγμα ποιῶν καὶ τοῖς κανόσι τὸ εἰκὸς πληρῶν ὑπακοῦσαι τῇι ἁγίαι καὶ καθολικῇι συνόδωι, ὥστε τὰ τοῦ πράγματος ἀκολούθως καὶ κατὰ κανόνας προβῆναι. Διόσκορος ἐπίσκοπος εἶπεν· ἅπαξ εἶπον ὅτι ἐξήιτησα τοὺς μεγαλοπρεπεστάτους καὶ ἐνδοξοτάτους ἄρχοντας καὶ τὴν ἱερὰν σύγκλητον παρεῖναι τοῖς ὀφείλουσι καὶ νῦν ἐξετάζεσθαι. Ῥουφῖνος ἐπίσκοπος Σαμοσάτων εἶπεν· κανονικά ἐστι τὰ νῦν κινούμενα· [καὶ] δύναται καὶ νῦν ἡ σὴ ὁσιότης παραγενομένη ἃ βούλεται, ἐξαιτῆσαι παρὰ τῆς ἁγίας συνόδου. Διόσκορος ἐπίσκοπος εἶπεν· παρεγένοντο οἱ θεοφιλέστατοι ἐπίσκοποι ἐν τῆι συνόδωι Ἰουβενάλιος Θαλάσσιος Εὐσέβιος L IIII 391

MB

7 ἀναφέρωμεν M 9 *Alexandrinae magnae ciuitatis* Φ 11 *episcopus metropolitanus* Φ πισσιδίας B 17. 21 *episcopus metropolitanus* Φ 21 πισσιδίας B 23/24 *facientem commonitionem in scriptis denuntiat* Φ^{cr} *in scriptis commonefacere denuntians* Φ^{a} 27 Ἀλεξανδρείας om. Φ 28 ὥστε καὶ Φ 29 με M 34 ἁγίαι om. M 36 καὶ ἐνδοξοτάτους om. B 38 καὶ MBΦ^{ac} om. Φ^{r} 39 ἐξαιτῆσαι Φ ἐξετάσαι MB 40 *ad sanctum concilium* Φ

Βασίλειος καὶ Εὐστάθιος; Περγάμιος ἐπίσκοπος εἶπεν· περὶ τῆς ἐρωτήσεως τῆς γενομένης παρὰ τῆς σῆς ἁγιωσύνης ἀποκρίνασθαι ἡμᾶς τὰ νῦν οὐ προσέταξεν ἡ ἁγία
M VI 1001 καὶ οἰκουμενικὴ σύνοδος, ὥστε δὲ τὸ ἱκανὸν τῇι κανονικῇι δευτέραι κλήσει γενέσθαι, αὐτάρκως τὴν ὑπόμνησιν πεποιήμεθα. τῆς σῆς τοίνυν ἐστὶν ὁσιότητος καὶ τὴν ἁγιωτάτην καὶ καθολικὴν σύνοδον προσηκόντως τιμῆσαι τῇι εὐπειθείαι καὶ τοὺς ἐγνωσμένους τύπους κανονικοὺς τῇι σῇι θεοσεβείαι ὡσαύτως ἐν τιμῇι ποιήσασθαι τῶι ἀκολούθως αὐτοῖς εἶξαι. Διόσκορος ἐπίσκοπος εἶπεν· καὶ νῦν τὰ αὐτὰ λέγω· παρεκάλεσα τὸν εὐσεβέστατον καὶ φιλόχριστον ἡμῶν βασιλέα ὥστε καὶ νῦν τοὺς πρώην ὄντας ἐν τῇι ἁγίαι συνόδωι μεγαλοπρεπεστάτους ἄρχοντας καὶ τὴν ἱερὰν σύγκλητον παρεῖναι τοῖς ἐξεταζομένοις συμπαρόντων καὶ τῶν θεοσεβεστάτων ἐπισκόπων τῶν μετ' ἐμοῦ ἅμα ἐμοὶ ἐμφερομένων εἰς τὴν ἐναγωγὴν ἣν ἐπιφέρει ἡμῖν Εὐσέβιος. Κεκρόπιος ἐπίσκοπος εἶπεν· τῆς σῆς μόνης θεοσεβείας ὁ ἐπίσκοπος Εὐσέβιος κατηγορεῖ καὶ τῆς κοινωνίας ταύτης χρεία οὐκ ἔστιν, ἀλλὰ ἀκολούθως καὶ κανονικῶς τὴν ὑπακοὴν πληρωθῆναι καὶ τὰ κανονικὰ ἐξετασθῆναι. κανονικῶν γὰρ ἐξεταζομένων οὔτε ἄρχοντας οὔτε ἑτέρους τινὰς λαικοὺς παρεῖναι χρὴ εἰ μὴ μόνον τὴν σὴν ὁσιότητα τὴν εἰς πρόσωπον κατηγορουμένην οἰκεῖον. οὔτε οὖν χρεία τῆς μελλήσεως ἢ τῆς ὑπερθέσεως ταύτης, εἴπερ βούλει καὶ τῶι θεῶι καὶ τοῖς κανόσι γενέσθαι εὐπειθὴς καὶ μὴ βεβαιῶσαι τὰ παρὰ τοῦ κατηγόρου λεγόμενα διὰ τῆς ὑπερθέσεως. Διόσκορος ἐπίσκοπος εἶπεν· ἅπαξ ἐδεήθην τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου βασιλέως ὥστε καὶ τοὺς ἄλλους ἐπισκόπους ἅμα ἐμοὶ παρεῖναι· οὐδὲ γὰρ ἰδικῶς ἴδιον πρᾶγμα πρὸς ἐμὲ ἔχει Εὐσέβιος, ἀλλ' ἢ ἄρα κοινῆι περὶ ὧν πάντες ἐπράξαμεν. Περγάμιος ἐπίσκοπος εἶπεν· καθὰ ὁ θεοφιλέστατος συνεπίσκοπος Κεκρόπιος ὑπόμνησιν προσήγαγεν τῆι σῆι θεοφιλείαι, ἡ κατηγορία ἡ παρὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου Εὐσεβίου οἷα κατὰ τῆς σῆς γενομένη θεοσεβείας τὸ σὸν ἐπιζητεῖ πρόσωπον, δι' ὃ καὶ τὴν σὴν θεοσέβειαν ἀκολούθως καὶ κανονικῶς ἐκάλεσε τότε καὶ καλεῖ ἡ ἁγία καὶ καθολικὴ σύνοδος. Διόσκορος ἐπίσκοπος εἶπεν· ἅπαξ εἶπον ἃ εἶπον, καὶ περαιτέρω τούτων εἰπεῖν οὐκ ἔχω συντόμως.

37 Καὶ μετὰ τὸ ἀναγνωσθῆναι τὰ εἰρημένα Εὐσέβιος ἐπίσκοπος Δορυλαίου εἶπεν· ⟨Καὶ⟩ διὰ τῶν δεήσεων τῶν ἐπιδοθεισῶν τοῖς καλλινίκοις καὶ τροπαιούχοις ἡμῶν δεσπόταις τὴν κατηγορίαν κατὰ μόνου τοῦ θεοφιλεστάτου Διοσκόρου συνεστησάμην ὡς παρ' αὐτοῦ ἀδικηθεὶς ἅμα τῶι ἐν ἁγίοις πατρὶ ἡμῶν Φλαβιανῶι καὶ νῦν κατατίθημι ἐπὶ τῆς πίστεως τῶν ὑπομνημάτων ὅτι κατ' οὐδενὸς ἑτέρου ποιοῦμαι τὸν λόγον τῆς
M VI 1004 ἐναγωγῆς εἰ μὴ κατὰ μόνου Διοσκόρου τοῦ τῆς Ἀλεξανδρέων μεγαλοπόλεως. μὴ προφασιζέσθω τοίνυν Διόσκορος μηδὲ ἀνάγκην μοι ἐπαγέτω ἄλλων κατηγορεῖν ὧν
L IIII 349 οὐ βούλομαι. εἰ γὰρ καὶ ἤμην ἠδικημένος παρὰ ἄλλων, ἐξῆν μοι καθ' ἑνὸς οὗπερ
[394] βούλομαι, τὴν ἐναγωγὴν ποιήσασθαι· ὁπότε δὲ οὐχ ὁμολογῶ οὐδὲ ἠδίκημαί τι παρὰ ἄλλου, ἀξιῶ τὴν ὑμετέραν ἁγιωσύνην καὶ τρίτηι κλήσει αὐτὸν καλέσαι εἰς τὸ ἅγιον ὑμῶν συνέδριον ἐπὶ τῶι παραγενέσθαι καὶ δέξασθαι τὰς παρ' ἐμοῦ εἰς αὐτὸν γενομένας ἐναγωγάς.

38 Καὶ ὡς ἔλεγεν, Ἀέτιος ἀρχιδιάκονος καὶ πριμικήριος νοταρίων εἶπεν· Πρώην τινὲς λέγοντες ἑαυτοὺς κληρικοὺς μετὰ καὶ ἑτέρων λαικῶν ἀπὸ τῆς Ἀλεξανδρέων ὁρμώμενοι λιβέλλους ἐπιδεδώκασι κατὰ τοῦ ὁσιωτάτου Διοσκόρου· οὗτοι πρὸ τοῦ ἁγίου τούτου συνεδρίου τυγχάνουσι καὶ ἐκβοήσει κέχρηνται καὶ ἀξιοῦσιν ἐνορκίζοντες ὑμᾶς εἰς τὴν ἁγίαν καὶ ὁμοούσιον τριάδα καὶ σωτηρίαν καὶ νίκην τῶν φιλοχρίστων ἡμῶν βασιλέων εἰσόδου τυχεῖν, καὶ τοῦτο αὐτὸ ὑποβάλλομεν πρὸς τὸ παριστάμενον.

MBΦ

6 τὸ M 14 *quaedam regularia* Φr *quaedam* Φac 16 μελήσεωσ B βούλη M, corr. M 22 θεοφιλία M 24 ἁγία MBΦac ἁγιωτάτη Φr 27 δορυλλαίου MB 28 καὶ Φ om. MB 32 μεγαλοπόλεωσ ἐπισκόπου Φ 37 τὸ M 41 ὑμᾶς Φ ἡμᾶσ. MB 42 νίκην MΦ μνήμην B

39 Ἡ ἁγία σύνοδος εἶπεν· Εἰσίτωσαν οἱ τοὺς λιβέλλους ἐπιδεδωκότες.

40 Καὶ μετὰ τὸ εἰσελθεῖν Ἀθανάσιος λέγων ἑαυτὸν εἶναι πρεσβύτερον τῆς Ἀλεξανδρέων μεγαλοπόλεως εἶπεν· Πολλὰ καὶ δεινὰ καὶ παγχάλεπα καὶ πάσης ἀσεβείας ἀνάμεστα καὶ πλεονεξίας ὑπομεμενηκὼς παρὰ τοῦ εὐλαβεστάτου καὶ θεοσεβεστάτου ἐπισκόπου Διοσκόρου δεήσεις ἐπιδέδωκα τοῖς εὐσεβεστάτοις καὶ φιλοχρίστοις ἡμῶν δεσπόταις διδάσκων τὰ κατ' ἐμαυτὸν καὶ ἃς ὑπομεμένηκα συσκευὰς καὶ ἐπιβουλὰς παρ' αὐτοῦ ἐπί τε τῇ ἁγίαι ταύτῃ καὶ οἰκουμενικῇ συνόδῳ τὰς αὐτὰς δεήσεις ἐπιδέδωκα καὶ δέομαι τῶν ἁγίων καὶ θεοφιλεστάτων ἐπισκόπων καὶ πατέρων ἡμῶν ὥστε κἀμὲ κατελεῆσαι καὶ δέξασθαι μετ' εὐμενείας διδάσκοντα τὰ κατ' ἐμαυτόν.

41 Καὶ μετ' αὐτὸν Ἰσχυρίων λέγων ἑαυτὸν εἶναι διάκονον τῆς Ἀλεξανδρέων μεγαλοπόλεως εἶπεν· Ὥστε μὴ νομίζειν τὸν εὐλαβέστατον ἐπίσκοπον Διόσκορον μόνον τὸν θεοσεβέστατον ἐπίσκοπον Εὐσέβιον κατηγορίαν ἐνστήσασθαι κατ' αὐτοῦ, ἀλλὰ γνῶναι καὶ τοὺς ἄλλους καὶ τίνες εἰσὶν οἱ κατηγοροῦντες αὐτοῦ καὶ τίνα τὰ ἐπαγόμενα αὐτῷ, παρακαλοῦμεν ἀναγνωσθῆναι τοὺς λιβέλλους.

42 Λουκίνσιος ἐπίσκοπος εἶπεν· Οἱ λίβελλοι οἱ κατὰ τοῦ ὁσιωτάτου ἐπισκόπου Διοσκόρου παρὰ διαφόρων ἡμῖν προκομισθέντες ⟨ὑποδεχθέντες⟩ παρὰ τοῦ ἀρχιδιακόνου καὶ πριμικηρίου Ἀετίου ἀναγινωσκέσθωσαν, ὥστε πᾶσαν ταύτην τὴν ἁγίαν σύνοδον γνῶναι τί περιέχουσιν.

43 Καὶ λαβὼν Ἀέτιος ἀρχιδιάκονος καὶ πριμικήριος νοταρίων ἀνέγνω λίβελλον Θεοδώρου. M VI 1005

44 Καὶ μετὰ τὸ ἀναγνωσθῆναι Πασκασῖνος ἐπίσκοπος εἶπεν· Τί πρὸς ταῦτα λέγει ὁ παρὼν κατήγορος Θεόδωρος; εἰ θαρρεῖ ἀποδεικνύναι τὰ ἐπαγόμενα παρ' αὐτοῦ τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ Διοσκόρῳ, διὰ τοῦ οἰκείου στόματος ὁμολογείτω, εἴ γε μὴ βούλεται καθ' ἑαυτοῦ στρέφεσθαι τὴν τῶν κανόνων ἀπόφασιν.

45 Θεόδωρος εἶπεν· Ἀξιῶ τὸν ἐπιδοθέντα λίβελλον ἐμφέρεσθαι τοῖς ὑπομνήμασιν· ἕτοιμος γάρ εἰμι συστῆναι ἐμαυτῷ.

46 Πασκασῖνος ἐπίσκοπος εἶπεν· Ὁ ἀναγνωσθεὶς λίβελλος τοῖς ἐκκλησιαστικοῖς ὑπομνήμασιν ἐνταττέσθω· τὰ δὲ λοιπὰ λεγέτω Θεόδωρος παραγενομένου τοῦ ἀντιδίκου αὐτοῦ τὰ αὐτῷ προσαρμόζοντα.

Λίβελλος Θεοδώρου διακόνου Ἀλεξανδρείας ἐπιδοθεὶς κατὰ Διοσκόρου L IIII 395

47 Τῷ ἁγιωτάτῳ καὶ θεοφιλεστάτῳ οἰκουμενικῷ ἀρχιεπισκόπῳ καὶ πατριάρχῃ τῆς μεγάλης Ῥώμης Λέοντι καὶ τῇ ἁγίαι καὶ οἰκουμενικῇ συνόδῳ τῇ ἐν Χαλκηδόνι κατὰ βούλησιν θεοῦ καὶ θέσπισμα θεῖον συναθροισθείσῃ παρὰ Θεοδώρου διακόνου Ἀλεξανδρείας. Τὰ παρὰ τοῦ εὐλαβεστάτου Διοσκόρου τοῦ γενομένου ἐπισκόπου τῆς Ἀλεξανδρέων μεγαλοπόλεως τολμηθέντα γλώττης μὲν δέονται ἀρχαίας τῆς δυναμένης διδάξαι ἕκαστον τῶν παρ' αὐτοῦ τολμηθέντων εἴς τε τὸ θεῖον καὶ τοὺς ἁγίους τῶν πατέρων κανόνας, οὐ μὴν ἀλλὰ καὶ εἰς διαφόρους καὶ πλείστους ἐκείνης τῆς χώρας. τὰ γὰρ εἰς αὐτὴν τὴν καθοσίωσιν παρ' αὐτοῦ κατασκευασθέντα τὰ πεπραγμένα ἐπὶ διαφόρων M VI 1008 ἀρχόντων διδάξει τὴν ὑμετέραν ὁσιότητα· ὅμως ἵνα πάντα συνελὼν εἴπω τὰ παρ' αὐτοῦ εἰς τὴν ἡμετέραν μικρότητα γεγενημένα, πρόσειμι δέομενος τῆς ὑμετέρας ἁγιωσύνης. ἐπὶ δύο καὶ εἴκοσι ἔτη πλέον ἢ ἔλαττον ἐστρατευσάμην ἐν τῇ τῶν καθωσιωμένων μαγιστριανῶν σχολῇ οὐδεμίαν κατ' ἐμαυτοῦ βλάβην ἢ μέμψιν δεδωκώς, προσδοκήσας τῶν πριμιγιλίων τῆς μεγάλης ἐκείνης σχολῆς ἀξιοῦσθαι. ἀλλ' ὁ τῆς ὁσίας καὶ ἁγίας μνήμης

MB

1 εἰσιέτωσαν MB 6 τὰ — καὶ¹ om. Φ 16 ὑποδεχθέντες Φ om. MB 17 *primicerii notariorum* Φ 21. 27 πασχασῖνος M 24 βούληται M 31 κθ M in mg. 32 καὶ² om. M 36 *in alio Graeco in sanctorum et diuinorum patrum regulis* Rustici nota 40 σμικρότητα B 43 πριμηγιλίων M

Κύριλλος ὁ τῆς περιωνύμου Ἀλεξανδρείας γεγονὼς ἀρχιεπίσκοπος ὁ τῆς ὀρθῆς καὶ ἀμωμήτου πίστεως συνήγορος δηπουτάτον με ἔσχεν, καὶ μάλιστα ἐν τῶι καιρῶι τῆς κατὰ τὴν Ἔφεσον γενομένης ἐπ' αὐτοῦ συνόδου. καὶ δὴ καὶ ἀμέμπτως ἐξυπηρετησάμην τῆι ὁσίαι ἐκείνηι καὶ παρὰ θεοῦ γεγενημένηι συνόδωι οὕτως ὡς διὰ τὸ γνήσιον καὶ σπουδαῖον ἠξίωσέ με τοῦ κλήρου τῆς μεγαλοπόλεως Ἀλεξανδρείας. ὡς δὲ ἐδόκουν τῶν κατὰ τῆς πολυχρονίου στρατείας ἀποστερεῖσθαι, μείζονα ἡγησάμενος [τὴν] τιμὴν τὴν τῶν θείων καὶ σεπτῶν μυστηρίων ὑπηρεσίαν παρέμεινα τῶι αὐτῶι κλήρωι ἐπὶ δέκα καὶ πέντε ἔτη, ἐλπίσας καὶ μείζονος ἀξιοῦσθαι τιμῆς. ἀλλ' ἐν τοσούτωι τοῦ τῆς ὁσίας καὶ ἁγίας μνήμης Κυρίλλου τὸν ἀνθρώπινον ὑπεξελθόντος βίον διαδεξαμένου τε αὐτόν, ὡς εἴθε μήποτε, τοῦ εὐλαβεστάτου ἐπισκόπου Διοσκόρου, οὐδεμιᾶς κατ' ἐμοῦ αἰτιάσεως ἐγγράφου ἢ ἀγράφου γεγενημένης, ἀλλ' οὐδὲ ψιλῆς μέμψεως, ἐκτός με τοῦ κλήρου πεποίηκεν ἐν προοιμίοις τῆς οὐκ οἶδ' ὅπως ἔλαχεν ἐπισκοπῆς, ἀπειλήσας καὶ τῆς μεγάλης ἐκείνης διώκειν πόλεως δι' οὐδὲν ἕτερον εἰ μὴ διὰ τὸ τῆς οἰκειότητος καὶ εὐμενείας τοῦ τῆς ὁσίας μνήμης Κυρίλλου ἠξιῶσθαί με. σκοπὸς γὰρ αὐτῶι οὐ μόνον τοὺς ἀπὸ γένους αὐτοῦ ἐλάσαι ἐκείνης τῆς πόλεως ἢ γοῦν περιελεῖν τοῦ ζῆν, ἀλλὰ γὰρ καὶ τοὺς προσοικειωθέντας αὐτῶι, ἀπεχθανομένωι πρὸς τὴν ὀρθὴν ἐκείνου πίστιν. αἱρετικὸς γὰρ ὑπάρχει καὶ ἀεὶ τὰ Ὠριγένους φρονῶν, καὶ ταῦτα ἄνθρωπος οὐ δυσφημιῶν τῶν περὶ τὴν ἁγίαν
L IIII 398 τριάδα φεισάμενος, οὐ φόνων ἀμοιρήσας, οὐ δενδροκοπιῶν, οὐ πυρκαιῶν, οὐ καθαιρέσεως οἰκιῶν, ἀλλὰ γὰρ καὶ αἰσχρῶς ἀεὶ ζήσας, ὅπερ ἑτοίμως ἔχω δεῖξαι. ἐπεὶ τοίνυν συνορᾶι ἡ ὑμετέρα θεοφίλεια ὡς οὐ τὴν τυχοῦσαν ἀδικίαν ὑπομεμένηκα, στρατείας τοσούτου χρόνου καταφρονήσας μείζονα τὴν τῆς ἱερωσύνης τάξιν ἡγησάμενος, παρακαλῶ ἐπιτραπῆναί με ἐν τῆι ἁγίαι ὑμῶν συνόδωι γενέσθαι καὶ τοῖς προσοῦσί μοι χρήσασθαι δικαίοις,
M VI 1009 ὥστε με μὴ κατὰ δύο τρόπους ἐκπεσεῖν τὸν ἐν τῆι στρατείαι, ὡς ἔφην, ἀμέμπτως διάξαντα καὶ ἐν τῶι εὐαγεστάτωι κλήρωι τὸ ὅσον ἐπ' ἐμοὶ μετ' ἐπιεικείας ἐν τῶι μνημονευθέντι χρόνωι ἐξυπηρετησάμενον. δείξω γὰρ αὐτὸν πάντα τὰ εἰρημένα πλημμελήσαντα, οὐ μὴν ἀλλὰ καὶ τὸ κατὰ τὴν μητρόπολιν Νίκαιαν παρ' αὐτοῦ τολμηθέν. οὗτος γὰρ ὁ ἀγιώτατος, μᾶλλον δὲ ἀγριώτατος περὶ πάντα, ἐν ἕξει γενόμενος τοῦ παρανομεῖν, οὐδὲν ἡγησάμενος τὸ παρ' αὐτοῦ κατὰ τοῦ τῆς ὁσίας καὶ ἁγίας μνήμης Φλαβιανοῦ τολμηθὲν ἐπὶ μεῖζον κακὸν τρέπεται, ἀκοινωνησίαν ** κατὰ τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ⟨ἐπισκόπου τοῦ⟩ ἀποστολικοῦ θρόνου τῆς μεγάλης Ῥώμης παρασκευάζει τοὺς ἅμα αὐτῶι ἐξελθόντας ἐξ Αἰγύπτου ἁγιωτάτους ἐπισκόπους τὸν ἀριθμὸν πλέον ἢ ἔλαττον δέκα (οὐδὲ γὰρ πλείους τετολμήκασιν ἐξελθεῖν ἅμα αὐτῶι διὰ τὰ παρ' αὐτοῦ κατὰ τὴν Ἐφεσίων παρανομηθέντα) καθυπογράψαι ταύτηι, πῆι μὲν ἀπειλῶν, πῆι δὲ ἀπατῶν οὐ βουλομένους. ἀμέλει δακρύοντες καὶ στένοντες ὑπέγραψαν τῶι ἀθεμίτωι ἐκείνωι χάρτηι. συνορᾶτε τοιγαροῦν, θεοσεβέστατοι πατέρες, ὡς οὔτε θεῶι θεμιτὰ τὰ παρ' αὐτοῦ τολμηθέντα οὔτε ἀνθρώποις φορητά. καὶ παρακαλῶ τὴν ὑμετέραν ὁσιότητα κελεῦσαι, εἴ γε παρίσταται, τοὺς ὑποτεταγμένους ἐν ἀσφαλεῖ γενέσθαι, ὥστε δειχθῆναι τὰ τῆς ἀληθείας· εἰσὶ δὲ Ἀγόραστος Δωρόθεος Εὐσέβιος Ἰωάννης νοτάριος. καιροῦ γὰρ καλοῦντος ἐκδώσω τῶι ὑμῶν ἀγγελικῶι χορῶι ἁγίους ἄνδρας ἐπὶ ὀρθότητι καὶ εὐσεβείαι κεκοσμημένους τοὺς ἐφ' ἑκάστωι κεφαλαίωι μαρτυρεῖν δυναμένους.

Θεόδωρος διάκονος τῆς ἁγίας καθολικῆς ἐκκλησίας τῆς μεγαλοπόλεως Ἀλεξανδρείας ὁ προκείμενος ἐπιδέδωκα τοὺς λιβέλλους τῆι ἁγίαι καὶ οἰκουμενικῆι συνόδωι.

MBΦ

1 *XXX et duos annos fuit* Φ 2 με om. M 4 οὕτωσ MΦ οὗτοσ M^{corr}B γνήσιν B 6 ἀπεστερεῖσθαι M τὴν *deleui* 9 καὶ ἁγίας om. B δὲ B 10 μήποτε Φ μὴ τότε MB τοῦ μνημονευθέντος Φ 12 τῆσ M ἧσ B 19 ἅπερ Φ 23 ἔν τε τῆι $Φ^{ac}$ 23/24 διατάξαντα M 26 νίκαιαν μητρόπολιν M 29 μείζονα M lacunam indicaui, *namque faciens* Φ 30 ἐπισκόπου τοῦ Φ om. MB μεγάλησ πόλεωσ B παρασκευάζει τὲ B 31 ἢ om. M 34 καὶ στένοντες om. M 39 ἄνδρας καὶ $Φ^{cr}$

48 Καὶ μετὰ τὸ ἀναγνωσθῆναι τὸν λίβελλον ὁ αὐτὸς Θεόδωρος εἶπεν· Ἕτοιμός εἰμι M VI 1012
παραστάντος τοῦ εὐλαβεστάτου ἐπισκόπου Διοσκόρου εἰς τὴν ἁγίαν ὑμῶν σύνοδον
συστῆναι τοῖς παρ' ἐμοῦ κατηγορηθεῖσιν.

49 Βονιφάτιος πρεσβύτερος τῆς ἐκκλησίας Ῥώμης εἶπεν· Καὶ τοῦ καταβοῶντος Ἰσχυ-
ρίωνος τοῦ παρόντος τοὺς λιβέλλους ὑπαναγνωσθῆναι δίκαιον.

50 Ῥωμανὸς ἐπίσκοπος Μύρων εἶπεν· Κατὰ τὰ διαλαληθέντα παρὰ τοῦ θεοφιλεστάτου
πρεσβυτέρου Βονιφατίου οἱ προδοθέντες παρὰ Ἰσχυρίωνος λίβελλοι ἀναγινωσκέσθωσαν.
Καὶ λαβὼν Ἀσκληπιάδης διάκονος καὶ νοτάριος ἀνέγνω

Λίβελλος Ἰσχυρίωνος διακόνου Ἀλεξανδρείας ἐπιδοθεὶς κατὰ Διοσκόρου τῇ ἁγίαι L IIII 399
καὶ οἰκουμενικῇ συνόδωι

51 Τῶι ἁγιωτάτωι καὶ μακαριωτάτωι οἰκουμενικῶι ἀρχιεπισκόπωι καὶ πατριάρχηι
τῆς μεγάλης Ῥώμης Λέοντι καὶ τῇ ἁγίαι καὶ οἰκουμενικῇ συνόδωι τῇι ἐν Χαλκηδόνι
βουλήσει θεοῦ καὶ θείωι θεσπίσματι συναθροισθείσηι παρὰ Ἰσχυρίωνος διακόνου τῆς
μεγαλοπόλεως Ἀλεξανδρείας. Νῦν ὅτε φωνῆς ἐλευθέρας τετύχηκεν ἕκαστος τῶν
πεπονθότων κακῶς καὶ προστάται δίκαιοι τοῦ ἀνθρωπείου γένους ἐπιστατοῦσι καὶ
οἴχεται λοιπὸν πᾶσα συσκευὴ καὶ πλεονεξία καὶ τὰ ὡς ἐν τυραννίδι δεινά, τότε κἀγὼ
τεθάρρηκα τόδε τὸ βιβλίον προσάξαι τῇι ὑμετέραι ὁσιότητι καὶ διδάξαι οἷα κατ' ἐμοῦ
καὶ καθ' ἑτέρων τινῶν τετόλμηται, εἴ γέ μοι γλῶττα ἦν δυναμένη καὶ ὑπὲρ ἐκείνων λέγειν,
παρὰ τοῦ εὐλαβεστάτου τῆς μεγαλοπόλεως Ἀλεξανδρείας ἐπισκόπου Διοσκόρου. οὐδὲ
γὰρ ἠμοίρησεν τῆς ἐκείνου τις ὠμότητος καὶ ἀπανθρωπίας. τινῶν μὲν γὰρ ἐξεκό-
πησαν χωρία δενδροκοπίας κατ' αὐτῶν τολμηθείσης, ἑτέρων δὲ καὶ οἰκήματα κατηνέχθη-
σαν, ἄλλοι καὶ περιωρίσθησαν, ἕτεροι δὲ καὶ προστίμοις ὑπεβλήθησαν, τινὲς δὲ καὶ τῆς
μεγαλοπόλεως Ἀλεξανδρείας ὡσανεὶ ἰδίου κτήματος αὐτοῦ οὔσης ἀπηλάθησαν. ὅτι M VI 1013
γὰρ καὶ εἰς αὐτὴν τὴν καθοσίωσιν ἁμαρτῆσαι τὰ μέγιστα οὐ παρητήσατο, τοῦτο με-
γάλοι τε καὶ περιφανεῖς ἄνδρες ἴσασιν, οὐ μὴν δὲ ἀλλὰ καὶ πᾶσα ἐκείνη ἡ μεγάλη πόλις
Ἀλεξάνδρεια, ὡς καὶ τὰ πεπραγμένα ἐπὶ διαφόρων ἀρχόντων δείκνυσιν. τὰ γὰρ
εἰς τὴν ἁγίαν καὶ ὁμοούσιον τριάδα παρ' αὐτοῦ πολλάκις ἐνπαροινηθέντα ἅπας μὲν ὁ
τῆς περιωνύμου πόλεως ἐκείνης λαός, οὐ μὴν δὲ ἀλλὰ καὶ ὁ εὐλαβὴς κλῆρος καὶ οἱ εὐλα-
βέστατοι μονάζοντες ἐπίστανται· τοσοῦτον δὲ πρὸς πάντας, ὡς οὐκ ἔπρεπεν ἐπισκόπωι
καὶ μάλιστα τηλικαύτης πόλεως καὶ τοῦ εὐαγγελικοῦ ἐκείνου θρόνου τυγχάνοντι, τετόλ-
μηκεν, ὥστε καὶ τὸν παρεχόμενον παρὰ τῶν εὐσεβεστάτων ἡμῶν βασιλέων σῖτον ταῖς
ἐκκλησίαις τῆς Λιβύης διὰ τὸ τὴν χώραν ξηροτάτην εἶναι καὶ μηδὲ ὅλως σῖτον ἐν αὐτῇι
γεωργεῖσθαι πρὸς τὸ ἐν πρώτοις μὲν τὴν ἀναίμακτον θυσίαν ἐπιτελεῖσθαι, οὐ μὴν δὲ ἀλλὰ
καὶ τοὺς παρεπιδημοῦντας, ἔτι δὲ καὶ ἐντοπίους πένητας παραμυθεῖσθαι, μὴ συγχωρεῖν
δέχεσθαι τοὺς ἁγίους ἐπισκόπους ἐκείνης τῆς χώρας, ἀλλ' ἐξαργυρίζειν τὸν μνημονευ-
θέντα σῖτον δαψιλέσι χρήμασιν, αὐτὸν δὲ τοῦτον ἐν καιρῶι σιτοδείας διαπιπράσκειν
βαρυτάτοις τιμήμασιν, ὡς ἀπὸ τούτου μήτε τὴν φρικτὴν καὶ ἀναίμακτον θυσίαν ἐπι-
τελεῖσθαι μήτε μήν, ὡς ἔφην, τοὺς ξένους ἢ καὶ τοὺς ἐντοπίους ταύτης ἀπολαύειν τῆς παρα-
μυθίας. τὸ γὰρ κατὰ τὴν τῆς λαμπρᾶς μνήμης Περιστερίαν πρᾶγμα οὐδεὶς ἠγνόησε L IIII 402
καὶ μάλιστα τῶν ἐνοικούντων ταύτην τὴν βασιλίδα νέαν Ῥώμην. ἐκείνης γὰρ ὑπὲρ

9 praecedit in Φ interlocutio Petri episcopi Corinthi de Ischyrionis libello gestis inserendo; cf. praeterea notam Rustici

MBΦ

1 τὸ — λίβελλον] *hoc* Φ 4 βονηφάτιοσ M *ecclesiae Romanae uicarius et ipse beatissimi papae Leonis* Φ 6 *episcopus metropolitanus Myrensis prouinciae Lyciae* Φ 7 βονηφατίου M 16 ὡς om. B 17 *ausus sum* Φ τεθαρρηκὼσ MB 21 χωρία MΦ χεῖρεσ B καὶ om. B 28 οἱ om. M 36 διαπιπράσκων MB 37 βαρυτάτοις] *amarissimis* Φ

τῆς ἑαυτῆς ψυχῆς ἐν τῶι διατίθεσθαι παρακελευσαμένης πλείστην ποσότητα χρυσίου παρασχεθῆναι τοῖς μοναστηρίοις, οὐ μὴν ἀλλὰ καὶ τοῖς ξενεῶσι καὶ πτωχείοις καὶ ἑτέροις πένησι τῆς Αἰγυπτιακῆς χώρας ἀχθεσθεὶς ὁ εὐλαβέστατος ἀνὴρ ἐφ' οἷς οὐκ εἰς πρόσωπον αὐτῶι κατέλειψεν, παρασκευάζει ἐκεῖνα τὰ χρήματα παρασχεθῆναι ἀντὶ ἐλεημοσύνης θυμελικαῖς καὶ θεατρικοῖς ἑτέροις προσώποις, ὥστε μηδὲ τὴν εὐωδίαν τὴν ἀπὸ τῆς θυσίας τῆς λαμπρᾶς τὴν μνήμην Περιστερίας ἀνενεχθῆναι πρὸς τὸν θεὸν τὸ ὅσον ἐπ' αὐτῶι. ἀλλὰ φανερὰ ἡ πρόθεσις ἐκείνης ἀπεδείχθη, ὁ δὲ κύβος τοῦ προ-
M VI 1016 λεχθέντος εὐλαβοῦς ἀνδρὸς καὶ ἡ ἀκολασία πάσηι ἐκείνηι τῆι χώραι οὐκ ἠγνόηται ἀπὸ τοῦ φανερῶς ἀσέμνους γυναῖκας συνεχῶς ἐντρυφᾶν τῶι ἐπισκοπείωι καὶ τῶι λουτρῶι τούτου καὶ μάλιστα ἡ περιβόητος Πανσοφία ἡ καλουμένη Ὀρεινή, περὶ ἧς καὶ ὁ πολυάνθρωπος τῆς Ἀλεξανδρέων δῆμος ἀφῆκε φωνὴν αὐτῆς τε καὶ τοῦ ἐραστοῦ μεμνημένος, φανερωθήσεται δὲ τῶι ὑμετέρωι ἀγγελικῶι χορῶι. οὐ μόνον δὲ ταῦτα, ἀλλὰ καὶ φόνοι παρὰ τὴν αἰτίαν τοῦ θαυμαστοῦ ὑποφήτου γεγένηνται. ἐπειδὴ δὲ καὶ τὰ εἰς ἐμὲ τὸν ἐλεεινὸν παρ' αὐτοῦ τολμηθέντα ἀφόρητα τυγχάνει, πρόσειμι καὶ δέομαι τῆς ὑμετέρας ὁσιότητος κατελεῆσαί με ἄνθρωπον ἐν πολλοῖς χρόνοις κεκμηκότα τῆι ἁγίαι ἐκκλησίαι ἐκείνης τῆς μεγίστης πόλεως καὶ διὰ ταύτην τὴν αἰτίαν τοῦ κλήρου αὐτῆς ἀξιωθέντα, [καὶ] πολλάκις στειλάμενον ἀποδημίας [καὶ] ἐπὶ τοῦ τῆς ὁσίας μνήμης [καὶ ἁγιωτάτης] Κυρίλλου τοῦ τὸν εὐαγγελικὸν θρόνον διακοσμήσαντος καὶ μάλιστα ἐπὶ τῆς βασιλευούσης νέας Ῥώμης, ποτὲ μὲν ἐν ὥραι χειμῶνος διὰ ζώιων ἅπασαν τὴν ὁδὸν διανύσαντα, ποτὲ δὲ καὶ διὰ τὰς ἐγχειρισθείσας μοι παρὰ τοῦ τῆς ὁσίας μνήμης Κυρίλλου ἀναγκαίας χρείας διὰ θαλάσσης τὸν πάντα πλοῦν διαπορθμεύσαντα, ἄλλοτε διὰ Λυκίας, ἑτέρωθι διὰ Παμφυλίας, ὥστε ἐπισινῆ με τὸ σῶμα ἀπὸ τῶν ὑπερβαλλόντων καμάτων γενέσθαι, ὡς καὶ αὐταῖς ὄψεσιν ὁρᾶι ἡ ὑμετέρα μακαριότης. ἐτύγχανον γὰρ ἀξιωθεὶς καὶ τῆς οἰκειότητος καὶ εὐμενείας τοῦ ἐν ἁγίοις τῆι μνήμηι ἀρχιεπισκόπου Κυρίλλου, ὅπερ τὸν εὐλαβέστατον Διόσκορον ἐλύπει. ἀμέλει γοῦν παραυτὰ τοῦ μεταφοιτῆσαι ἐν
M VI 1017 οὐρανοῖς τὸν τῆς ἁγίας καὶ ὁσίας μνήμης Κύριλλον αὐτόν τε κατασταθῆναι, ὡς εἴθε μήποτε, κωλύει με τὴν τῶν εὐαγεστάτων καὶ σεπτῶν μυστηρίων ὑπηρεσίαν ποιήσασθαι, οὐδὲν δὲ ἧττον ἐκπέμπει κατὰ τῶν ἡμετέρων εὐτελῶν κτημάτων μονάζοντάς τε καὶ ἑτέρους τινὰς καὶ ἐμπρησμῶι ταῦτα καθυποβάλλει, ὡς τὰ ἐν αὐτοῖς τοῖς κτηματίοις οἰκοδομήματα ἀφ' ὧν τὰς διατροφὰς εἶχον πένης τυγχάνων καὶ συμπεπαρμένος τὸ σῶμα, ἄρδην πυρὶ
M VI 1017 καταναλωθῆναι, ἐκκοπῆναι δὲ καὶ πάντα τὰ ἐν αὐτοῖς διάφορα καρποφόρα δένδρα, διακοπῆναι δὲ καὶ αὐτὴν τὴν γῆν καὶ ἀνόνητά μοι ταῦτα γενέσθαι, ὡς λοιπὸν ἐρανίζεσθαι καὶ μηδὲ τὰς ἀναγκαίας ἔχειν τροφάς. ἀλλὰ μηδὲ τούτοις ἀρκεσθεὶς ἐπιπέμπει κατ' ἐμοῦ
L IIII 403 τοῦ ἐλεεινοῦ φάλαγγα ἐκκλησιαστικήν, ἀληθὲς δὲ εἰπεῖν ληιστρικὴν ἅμα Πέτρωι διακόνωι καὶ Ἀρποκρατίωνι καὶ Μηνᾶι πρεσβυτέρωι, ὥστε με τῶν ἀνθρωπίνων ⟨πραγμάτων⟩ ἐκτὸς ποιήσασθαι, ἐντειλάμενος τὸ σῶμά μου νεκρὸν αὐτῶι ἀπενεχθῆναι, ὅπερ εἰ μὴ ἐκ φιλανθρωπίας τοῦ θεοῦ πρὸ βραχείας ὥρας μοι ἐγνώσθη καὶ ἔφυγον, πάλαι ἄν, ὡς ἔφην, καὶ τῶν ἀνθρωπίνων πραγμάτων ἐκτὸς γενόμενος ἐτύγχανον. ὡς δὲ διασωθῆναι τῆι φιλανθρωπίαι τοῦ θεοῦ δεδύνημαι, ἐξ ἀναισθησίας δὲ οὐ πέφευγα τὴν μεγίστην Ἀλεξάνδρειαν διά τε τὴν ἀσθένειαν τοῦ ἡμετέρου σώματος καὶ διὰ τὸ πλείστης θεραπείας παρὰ τῶν ἰδίων δέεσθαι ἄλλως τε τὸ ἐξ αὐτῆς εἶναι ἐμέ τε καὶ τοὺς ἡμετέρους προγόνους καὶ τὸ ἐφέστιον ἐν αὐτῆι ἔχειν, ὀργισθεὶς ἐπὶ τούτοις, ὡς οὐδενὸς γεγονότος, ἐν αὐταῖς ταῖς

MBΦ

2 ξενῶσι B 5 θυμελικαῖς scripsi θυμέλαισ MB *scortis* Φ 17 καὶ MB om. Φ καὶ MB om. Φ 17/18 καὶ ἁγιωτάτης MB om. Φ 18 αὐτὸν τὸν Φ^{r} 23 πένεσθαι M 29 ὡσ τὰ B ὥστε M *ut et ipsa* Φ 30 τυγχάνων om. B 34 ληιστρικὴν M *Petro et Arpocratione diaconibus* Φ 35 πραγμάτων Φ om. MB 41 τῶ M τε om. B

πασχαλίαις ἡμέραις πάλιν με κελεύει ἐξανάρπαστον γενέσθαι δι' Ἀρποκρατίωνος· ἀεὶ γὰρ αὐτοῦ τῆι μανίαι ὑπηρέτησεν ἅμα Πέτρωι τῶι προλεχθέντι διακόνωι, ὡς καὶ τὰ ἐν Ἐφέσωι κατὰ τοῦ τῆς ὁσίας μνήμης Φλαβιανοῦ τοῦ γενομένου ἐπισκόπου Κωνσταντινουπόλεως ἀπέδειξαν καὶ ἑτέρων πολλῶν ἔτι τε καὶ τοῦ εὐλαβεστάτου νῦν μὲν ἐπισκόπου, τὸ τηνικαῦτα δὲ πρεσβυτέρου καὶ οἰκονόμου τυγχάνοντος τῆς ἐκκλησίας τῆς μεγαλοπόλεως Ἀλεξανδρείας Νεστορίου. καὶ ἐγκλείομαι ἐν ἐνὶ ξενεῶνι τῶν λελωβημένων κατ' οὐδένα τρόπον ὑπεύθυνός τινι τυγχάνων, ἀλλ' οὐδέ, ὡς ἐδίδαξα, αἰτιάσεώς ποτε κατ' ἐμοῦ γεγενημένης. ἐπιπέμπει δὲ καὶ ἐν αὐτῶι τῶι ξενεῶνι τινὰς πάλιν ὥστε με ἀποκτεῖναι, ὡς καὶ τοῖς ἐν αὐτῶι τῶι ξενεῶνι πᾶσι πεφανέρωται· ἀμέλει γοῦν ἐκ μισοπονηρίας βοηθῆσαί μοι κατενύγησαν, δι' ὃ καὶ ζῶ μέχρι νῦν. καὶ οὐ πρότερον ἀφῆκεν ἐκείνων τῶν παρανόμων δεσμῶν, εἰ μὴ καὶ τῆς μεγίστης Ἀλεξανδρείας συνεθέμην ἐν τοιαύτηι καταστάσει σώματος ἐκτὸς γενέσθαι καὶ ἕτερά τινα καταθύμια αὐτῶι πράττειν. ἐπεὶ οὖν M VI 1020
συνορᾶτε, ἁγιώτατοι καὶ ὁσιώτατοι πατέρες, ὡς πάντα τὰ παρ' αὐτοῦ γεγενημένα οὔτε θεῶι θεμιτὰ οὔτε νόμοις ἀνεκτά, ἀλλ' οὐδὲ παντὶ ἀνθρώπωι, δέομαι τῆς ὑμετέρας ἀγγελικῆς στρατηγίας κατελεῆσαί με καὶ κελεῦσαι εἰσελθόντα ἐν τῆι ἁγιωτάτηι καὶ οἰκουμενικῆι συνόδωι συστῆναι πᾶσι τούτοις, ὥστε μοι καὶ τὸ ἀβλαβὲς ἐφ' οἷς ἠδίκημαι, γενέσθαι καὶ τὸν βαθμόν, εἴ γε ὑμῶν τῆι ὁσιότητι παρασταίη, ἀποκατασταθῆναι, ἀνθρώπωι ἐν πολλῶι χρόνωι γνησίως ἐξυπηρετησαμένωι τῶι τῆς ἁγίας μνήμης καὶ τῆς ὀρθοδόξου πίστεως συνηγόρωι Κυρίλλωι ἐπισινεῖ γενομένωι καὶ οὐκ ἔχοντι ἀλλαχόθεν τὰς ἀναγκαίας τοῦ ζῆν τροφάς, ἐφ' ὧι τέ με τούτων τῶν δικαίων τυχόντα τὰς συνήθεις εὐχὰς καὶ εὐχαριστίας ἀναπέμψαι τῶι πάντων ἡμῶν σωτῆρι Χριστῶι ὑπὲρ τοῦ ὑμετέρου ἀγγελικοῦ χοροῦ. καὶ παρακαλῶ πρὸς ἀπόδειξιν τῶν παρ' ἐμοῦ εἰρημένων ἐν ἀσφαλεῖ γενέσθαι Ἀγόραστον Δωρόθεον Εὐσέβιον Διδίωνα Ἀρποκρατίωνα Πέτρον Γαιανὸν ⟨καὶ τὸν⟩ περιχύτην τοῦ ἐπισκοπικοῦ λουτροῦ, συνεκδημήσαντα αὐτῶι ἰδιώτην ὄντα καὶ δυνάμενον πάντα ἀκριβῶς εἰπεῖν. ἑτοίμως γὰρ ἔχω καιρῶι τῆς διακρίσεως καὶ ἁγιωτάτους ἄνδρας βίωι τε καὶ πίστει μαρτυρουμένους παραγαγεῖν ἐκ κελεύσεως τῆς ὑμετέρας ὁσιότητος τοὺς δυναμένους πᾶσι τούτοις ἐπιμαρτυρεῖν.

Ἰσχυρίων διάκονος ἐπιδέδωκα τούσδε τοὺς λιβέλλους γενομένους κατὰ βούλησιν ἐμὴν καὶ ὑπαγορεύσας καὶ ὑπογράψας χειρὶ ἐμῆι.

51a Καὶ μετὰ τὸ ἀναγνωσθῆναι αὐτὸν Πασκασῖνος ἐπίσκοπος εἶπεν· Καὶ ὁ λίβελλος L IIII 406
τοῦ παρόντος Ἀθανασίου ὁ προκομισθεὶς ἡμῖν ἀναγινωσκέσθω.

Καὶ λαβὼν Προκόπιος διάκονος καὶ νοτάριος ἀνέγνω.

52 Καὶ μετὰ τὸ ἀναγνωσθῆναι αὐτὸν Λουκίνσιος ἐπίσκοπος εἶπεν· Ἅπερ ἐν τῶι λιβέλλωι διδάσκεις κατὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου Διοσκόρου, ταῦτα σκόπει καὶ εἰ θαρρεῖς, γνώρισον αὐτῶι καὶ τῶι οἰκείωι δήλωσον στόματι.

53 Ἀθανάσιος εἶπεν· Ἕτοιμός εἰμι καὶ θαρρῶ ἐμαυτῶι παραγενόμενον αὐτὸν ἐπὶ τῆς ἁγιωτάτης ὑμῶν συνόδου διελέγξαι εἰς πάντα ἅπερ αὐτοῦ κατηγόρησα. M VI 1021

MBΦ

1 ἁρποκρατίωνοσ MBΦ[a] et duo codd. Φ[c] *Arpocrationem diaconum* Φ[r] et unus codex Φ[c] 3/4 Κωνσταντινουπόλεως] *huius nouae Romae* 4 πολλῶν MB *eius* Φ lectione quamuis obscura et nescio an decurtata, tamen sine dubio antiquiore 6 Νεστορίου [i. e. episcopo Phragonensi] Φ προτερίου MB insulsa coniectura 7/8 γεγενημένησ κατ' ἐμοῦ M 8 δὲ om. Φ τινὰς Φ τινὰ MB 10/11 τῶν παρανόμων ἐκείνων B 14 δέομαι MB *peto et deprecor uestigia* Φ 18 τῶι om. M τῆς[2] om. M 19 γινομένω M 20 με M[corr] μετὰ MB 23 γαιανὸν MBΦ[r] Γάιον Φ[ac] καὶ τὸν addidi *et mediastrinum* Φ 24 νῦν συνεκδημήσαντα Φ[cr] 27 μαρτυρεῖν B 29 ὑπογράψας — ἐμῆι scripsi secundum Φ ὑπερχειρισάμενοσ MB 30 πασχασῖνοσ M 32 διάκονοσ MB et codex Acoemitanus Rustici *lector* Φ 35 γνώρισον αὐτῶ MB *et per te notum ei* [Φ[ac] *tibi* Φ[r]] *facito* Φ οἰκείω BΦ οἰκείω σου M

54 Καὶ μετ' αὐτὸν Ἰσχυρίων εἶπεν· Εἰ παραχθῆι ἐν ταύτηι τῆι ἁγιωτάτηι καὶ οἰκουμενικῆι συνόδωι Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας, ἑτοίμως ἔχω κἀγὼ δι' ἐναργῶν ἀποδείξεων * * ταῦτα πάντα ἅπερ ἐδίδαξα τὸν ὑμέτερον ἄγγελον, οὐδὲν δὲ ἧττον καὶ τῶν ἐκδοθέντων παρ' ἐμοῦ μαρτύρων συγκέλλων αὐτοῦ ὄντων καὶ μετ' αὐτοῦ μέχρι καὶ νῦν ὄντων καὶ παραφερομένων, ὥστε καὶ ἐκ τῶν οἰκείων αὐτοῦ ταῦτα δεῖξαι ἀληθῆ, μὰ τὰς εὐχὰς ὑμῶν. τινὲς δὲ τιμῆς ἠξιώθησαν, ἐπειδὴ ὑπούργησαν τοῖς φόνοις ἐκείνοις τοῖς ἐν Ἐφέσωι γενομένοις, καὶ ἐνταῦθά εἰσιν.

55 Καὶ μετὰ τὸ ἀναγνωσθῆναι Μαρινιανὸς ἐπίσκοπος Συνάδων εἶπεν· Ὁ ἐπιδοθεὶς λίβελλος κατὰ Διοσκόρου τοῦ θεοφιλεστάτου ἐπισκόπου παρὰ Ἀθανασίου τοῦ εὐλαβεστάτου ἐμφερέσθω τῆι πίστει τῶν ὑπομνημάτων ⟨μετὰ τῶν ἄλλων⟩.

56 Περγάμιος ἐπίσκοπος Ἀντιοχείας Πισιδίας εἶπεν· Τὸν ὑπανεγνωσμένον λίβελλον ὃν ἐπιδέδωκεν Ἀθανάσιος ὁ εὐλαβέστατος, ἐν ὧι κατηιτιάσατο Διόσκορον τὸν ⟨Ἀλεξανδρείας⟩ ἐπίσκοπον, ἁρμόδιον τοῖς νῦν πραττομένοις ἐντάττεσθαι ὑπομνήμασιν· λεγέτω δὲ ὁ αὐτὸς Ἀθανάσιος τῆι οἰκείαι αὐτοῦ φωνῆι εἴ γε ταῖς κατηγορίαις ἑαυτοῦ συνίσταται.

Λίβελλος Ἀθανασίου πρεσβυτέρου Ἀλεξανδρείας προκομισθεὶς κατὰ Διοσκόρου τῆι ἁγίαι συνόδωι

57 Τῶι ἁγιωτάτωι καὶ μακαριωτάτωι οἰκουμενικῶι πατριάρχηι τῆς μεγάλης Ῥώμης Λέοντι καὶ τῆι ἁγίαι καὶ οἰκουμενικῆι συνόδωι κατὰ βούλησιν θεοῦ καὶ θεῖον νεῦμα συναχθείσηι ἐν τῆι Χαλκηδονέων πόλει παρὰ τοῦ ἐλεεινοῦ Ἀθανασίου γενομένου πρεσβυτέρου τῆς μεγάλης Ἀλεξανδρείας υἱοῦ ἀδελφῆς τοῦ τῆς ὁσίας μνήμης ἀρχιεπισκόπου Κυρίλλου. Ὁ τῆς ἁγίας καὶ μακαρίας μνήμης Κύριλλος ὁ τῆς μεγάλης Ἀλεξανδρείας γεγονὼς ἀρχιεπίσκοπος ἐπὶ τριάκοντα δύο ἔτη ἀμέμπτως μετὰ τῆς ὀρθῆς πίστεως ζήσας ἐμοῦ μὲν τοῦ Ἀθανασίου γεγένηται θεῖος πρὸς μητρὸς καὶ τοῦ τῆς λαμπρᾶς μνήμης ἀδελφοῦ μου Παύλου, ἐμοῦ δὲ τῆς ⟨μητρὸς⟩ Ἰσιδώρας ἀδελφός. οὗτος μέλλων τελευτᾶν διαθήκας θέμενος ἐτίμησε τὸν μετ' αὐτὸν γενόμενον ἐπίσκοπον, ὅστις ἐὰν ἦι, πλείστοις καὶ μεγάλοις
M VI 1024 λεγάτοις ἐκ τῆς ἰδίας ἑαυτοῦ ὑποστάσεως, ὁρκώσας τοῦτον ἐγγράφως κατὰ τῶν σεπτῶν καὶ φρικτῶν μυστηρίων ὥστε θάλψαι τὸ αὐτοῦ γένος καὶ ἐν μηδενὶ κάματον αὐτῶι παρα-
L IIII 407 σχεῖν. ἀλλ' ὁ εὐλαβέστατος ἐπίσκοπος Διόσκορος ⟨ὁ⟩ ἐπὶ κακῶι οὐ μόνον ἡμῶν, ἀλλὰ καὶ πάσης ἐκείνης τῆς διοικήσεως διαδεξάμενος τὸν θρόνον, ἀπεχθανόμενος πρὸς τὴν ὀρθὴν ἐκείνου πίστιν αἱρετικὸς τυγχάνων, οὐ μόνον οὐ θάλπει, ἀλλὰ καὶ παρ' οὐδὲν θέμενος τοὺς φρικτοὺς ἐκείνους ὅρκους τὰ ἐναντία εἰς ἡμᾶς διεπράξατο, πᾶσαν ἐπινοῶν καθ' ἡμῶν ἐπιβουλήν. καὶ διώκει μὲν ἐν προοιμίοις τῆς οὐκ οἶδ' ὅπως ἔλαχεν ἐπισκοπῆς, ἀπειλῶν θάνατον, ἐμέ τε καὶ τὸν ἡμέτερον ἀδελφὸν ἔτι περιόντα τῆς περιωνύμου Ἀλεξανδρείας σκοπῶι τινι ὥστε ἡμᾶς διωκομένους καταλαβεῖν τὴν πανευδαίμονα Κωνσταντινούπολιν ἐλπίσαντας βοηθείας ἀξιοῦσθαι. ὁ δὲ σκοπὸς τοῦ προλεχθέντος εὐλαβοῦς ἀνδρὸς οὗτος ἦν ὥστε ἡμᾶς ἀπολῃφθῆναι ἐνταῦθα καὶ προπεμφθῆναι τῶι τῆς ἀνοσίας μνήμης Χρυσαφίωι, οὐ μὴν ἀλλὰ καὶ τῶι μεγαλοπρεπεστάτωι καὶ ἐνδοξοτάτωι Νόμωι τότε τὰ τῆς οἰκουμένης ἐν χερσὶν ἔχοντι πράγματα· τοῦτο γὰρ ἦν διὰ γραμμάτων μηνύσας ὡς μέγα τι προξενῶν τοῖς μνημονευθεῖσι τὸ ἡμᾶς μὲν παρ' αὐτῶν ἀναλωθῆναι, αὐτῶι δὲ χάριν τῆς θήρας ὁμολο-

---

MBΦ

1 πραχθῆ M 3 lacunam indicaui, *demonstrare haec omnia* Φ ἄγγελον MB *angelicum chorum* Φ 6 μὰ γὰρ τὰς — τινὲς τιμῆς Φ 7 *hic cum ipso* Φ 8 *episcopus metropolitanus* Φ 9 εὐλαβεστάτου B 10 μετὰ — ἄλλων Φ om. MB 11 *episcopus metropolitanus* Φ 12/13 Ἀλεξανδρείας om. MB *Alexandriae ciuitatis* Φ 13 πραττομένοις Φ ταττομένοισ MB 17 κᾱ M in mg. 20 ὁσίας καὶ ἁγίας Φ 24 μητρὸς om. MB *mihi uero* Φ^{a} *meae uero matris* Φ^{cr} 28 ὁ addidi *qui* Φ 29 καὶ om. M ὀρθὴν om. B 31 ἐκείνους om. M *eius* Φ 33 ἔτι περιόντα om. B 34/35 ἐλπίσαντεσ M 36 *teneremur* Φ ἀπολειφθῆναι MB 37 νόννω B 38 τοῦτο BΦ τούτω M

γῆσαι. ἀμέλει γοῦν παραυτὰ τοῦ γενέσθαι ἡμᾶς ἐπὶ τῆς βασιλευούσης πόλεως ἐλπίσαντες βοηθείας ἀξιοῦσθαι ἐν ἀσφαλεῖ γινόμεθα καὶ αἰκισμοῖς διαφόροις ὑποβαλλόμεθα, ἄχρις ἂν πάντα ἃ εἴχομεν ἐν κινητοῖς, παράσχωμεν, ἔτι δὲ οὐκ ἀρκουμένους πρὸς τὴν μεθοδείαν τῶν βασάνων ἐκείνων ἀναγκασθῆναι ἡμᾶς καὶ δανεισταῖς πλείστοις ἐπὶ βαρυτάτοις τόκοις κοινωνῆσαι, ὡς τὸν μὲν ἡμέτερον ἀδελφὸν τὸν τῆς λαμπρᾶς μνήμης Παῦλον οὐκ ἐνεγκόντα τὰς αἰκίας καὶ τὰς ὕβρεις τὸν ἀνθρώπινον ὑπεξελθεῖν βίον, ἐμὲ δὲ τὸν Ἀθανάσιον καὶ τὰς ἡμετέρας θείας καὶ τὴν γαμετὴν καὶ τὰ παιδία τοῦ ἡμετέρου ἀδελφοῦ τῶι κακῶι ἡμῶν ἐν τοῖς ἀνθρωπίνοις εἶναι πράγμασιν, οὐδὲν ἕτερον ἔχοντας ἢ μόνον δανειστὰς ἐπὶ βαρυτάτοις ἡμῖν, ὡς ἔφημεν, τόκοις ἐκδανείσαντας καὶ λοιπὸν μηδὲ τοῦ προεληλυθέναι ἐξουσίαν ἔχειν, διαφόρων ἐντυχιῶν παρ' αὐτῶν τῶν δανεισάντων καθ' ἡμῶν γινομένων καὶ οὐκ ἐχόντων πόθεν τὸ εὔγνωμον αὐτοῖς ποιησόμεθα. ἄπειρα γὰρ καὶ ὑπερβαίνοντα οὐ μόνον τὴν ἡμετέραν δύναμιν, ἀλλὰ γὰρ καὶ τῶν ἐν εὐπορίαι ἐπισήμων ἀπηιτήμεθα. πρὸς δὲ τούτοις ὥστε ἡμᾶς μηδὲ τὴν οἴκησιν ἔχειν, παρα- M VI 1025
σκευάζει [καὶ] τὰς ἡμῶν οἰκίας ἐκκλησίας γενέσθαι, τῆς ἐμῆς τοῦ Ἀθανασίου τετάρτηι στέγηι ἐπικειμένης καὶ τῆς θέσεως οὐκ ἐπιδεχομένης εἶναι ἐκκλησίας, καὶ συμπεριλαμβάνει ταῖς προλεχθείσαις οἰκίαις καὶ τὰ προσπαρακείμενα ἕτερα οἰκοδομήματα καὶ προσόδια. ἀλλ' οὐδὲ τούτοις ἀρκεσθεὶς καθαιρεῖ με τοῦ πρεσβυτερίου καὶ ἐκτὸς τοῦ ἐκκλησιαστικοῦ καταλόγου ποιεῖται, μηδεμιᾶς κατ' ἐμοῦ αἰτιάσεως γεγενημένης. καὶ λοιπὸν ἑπταετῆ χρόνον διατελοῦμεν περιαλώμενοι ἀπὸ τόπου εἰς τόπον, πῆι μέν, ὡς ἔφημεν, παρὰ δανειστῶν διωκόμενοι, πῆι δὲ καὶ παρ' αὐτοῦ μηδὲ ἐν ἐκκλησίαις ἢ μοναστηρίοις οἰκεῖν συγχωρούμενοι. οὕτως οὖν καταλαβομένου ἐμοῦ τοῦ Ἀθανασίου τὴν Μετάνοιαν (προάστειον δὲ τοῦτο τῆς μεγίστης Ἀλεξανδρείας ὅ ποτε Κάνωπος καλούμενος, ὅπερ προάστειον ἄνωθεν καὶ ἐκ παλαιᾶς συνηθείας ἐτύγχανε πρὸς ἀνάπαυσιν τῶν καταφύγων· ὅλον γὰρ δοκεῖ ὑπὸ τὴν φυλακὴν τοῦ εὐαγοῦς μοναστηρίου τῶν Ταβεννησιωτῶν, οὐ μὴν δὲ ἀλλὰ καὶ ὑπὸ τοὺς περιβόλους τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας, ὃ καὶ δημόσιον ἔχει λουτρόν) L IIII 410
πρὸς τὸ θεραπείας τυχεῖν τὸ ἡμέτερον ἄθλιον σῶμα καὶ τὸ ἀσφαλὲς ἔχειν ἀπὸ τῶν ἐπιβουλευόντων, τοσοῦτον πρὸς ἀσέβειαν ὁ μνημονευθεὶς εὐλαβέστατος ἐπίσκοπος ὁρᾶι, ὡς ἐλεεινοτέρους πάσης ἐλεεινότητος ἡμᾶς γενομένους μὴ οἰκτειρῆσαι μηδὲ μήν τι συνιέναι τῶν ἐντολῶν τοῦ Χριστοῦ, ἀλλὰ γὰρ κελεῦσαι μήτε τὸ δημόσιον λουτρὸν λούειν μήτε ἄρτον πέμπεσθαι ἢ ἕτερόν τι ὄψον ἐκεῖσε διαπιπράσκεσθαι, πρὸς ἓν ὁρῶν ὥστε ἡμᾶς ἀπὸ τῆς στενοχωρίας καὶ τοῦ λιμοῦ ἀπολέσθαι. καὶ γοῦν ὑπὸ τῆς πολλῆς στενώσεως καὶ ἐνδείας μικροῦ καὶ τῶν ἀνθρωπίνων ⟨πραγμάτων⟩ ἐκτὸς γεγένημαι, ὅπερ μὲν εὐξάμην πρὸς ἀπαλλαγὴν τῶν κακῶν, οὐ συνέβη δέ μοι διὰ τὴν τοῦ θεοῦ φιλανθρωπίαν. τὰ μὲν οὖν χρήματα ἅπερ ἀπηιτήθημεν, τὰ μὲν ἐξ ἰδίας ὑποστάσεως, τὰ δὲ δανεισάμενοι βαρυτάτοις, ὡς ἔφημεν, τόκοις συντείνουσιν εἰς χρυσίου λίτρας χιλίας τετρακοσίας πλέον ἔλαττον, ἅσπερ ἐκομίσατο παρ' ἡμῶν ὁ μεγαλοπρεπέστατος καὶ ἐν- M VI 1028
δοξότατος Νόμος διὰ τοῦ καθωσιωμένου μαγιστριανοῦ Σευήρου τοῦ γενομένου σουβαδιούβα τῆς σχολῆς καθωσιωμένων μαγιστριανῶν· οὐδὲ γὰρ τὸ πρόσωπον τοῦ βαρβάρου Χρυσαφίου ἐθεασάμεθα. τὰς δὲ τοιαύτας ἡμῶν καὶ τηλικαύτας συμφορὰς οὐδὲν ἡγησάμενος ἐν κατοχῆι καὶ τῶν ὑπολειφθέντων μοι τῶι Ἀθανασίωι πραγμάτων γίνεται, ὥστε πανταχόθεν μοι τὰ τῆς ἀναγκαίας τροφῆς ἐπιλεῖψαι καὶ λοιπὸν ἐρανίζεσθαι παρὰ

MBΦ

2 γινώμεθα M 2/3 ὑποβαλλώμεθα M 5/6 ἀδελφὸν παῦλον τὸν — μνήμης B 7 *nostra matertera* Φ 8 malim ἐπὶ τῶι 10 εὐτυχιῶν M 11 ποιησώμεθα M 13 ἀπηιτήμεθα] add. *ita ut nihil nobis relinqueretur* Φ 14 καὶ om. Φ 16 παρακείμενα B ἕτερα Φ στερρὰ MB 18 αἰτίασ M 19 περιαλώμενοι BΦ περιβαλλόμενοι M πλανώ M^{mg} 25 δαιμόσιον M 31 *angustia non lauandi* Φ 32 *humanis rebus* Φ ἀνθρωπίνων MB 33 μὲν εὐξάμην MΦ εὐξάμην μὲν B 37 νόννοσ B

τῶν εὐσεβεῖν εἰωθότων τὰ πρὸς διατροφὰς ἐμοῦ καὶ τῶν ὑπολιπέντων μοι δύο ἢ τριῶν ἀνδραπόδων. μεθοδεύει δὲ μετὰ ταῦτα πάντα τὰ χρήματα τὰς ἡμετέρας θείας, ἀδελφὰς δὲ τοῦ τῆς ὁσίας καὶ μακαρίας μνήμης Κυρίλλου, στενοχωρήσας εἰς αὐτὴν τὴν ψυχὴν καὶ πολιορκήσας, ἀπειλήσας καὶ τὸν κατ' αὐτῶν θάνατον, χρυσίου λίτρας ὀγδοήκοντα πέντε, οὐδὲν ἧττον καὶ τὰ παιδία τοῦ τῆς λαμπρᾶς μνήμης μου ἀδελφοῦ καὶ τὴν τούτου γαμετήν, τὰ μὲν ὀρφανίαν δυστυχήσαντα, τὴν δὲ ἀπορίαν ἀνδρὸς ὀδυρομένην, χρυσοῦ λίτρας τεσσαράκοντα. συνορᾶτε τοίνυν, τὰ πάντα θεοφιλέστατοι, ὡς οὐδὲ βάρβαροί ποτε τοιαῦτα τετολμήκασι κατὰ τῶν ὑπηκόων οἷα ὁ θαυμάσιος ὑποφήτης ὁ τοῖς λαοῖς μὲν ὀφείλων κηρύττειν ἀμνησικακίαν, τοιαῦτα δὲ αὐτὸς οὐ μόνον καθ' ἡμῶν, ἀλλὰ καὶ καθ' ἑτέρων πολλῶν τολμῶν. καὶ δεόμεθα τῆς ὑμετέρας ὁσιότητος ὥστε ἡμᾶς νῦν γοῦν βοηθείας ἀξιωθῆναι καὶ διάκρισιν ἡμῖν προθεῖναι ἐφ' ὧι τε ἡμᾶς καὶ ἅπερ κακῶς ἀπηιτήθημεν παρὰ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου Νόμου, ἀπολαβεῖν καὶ ἐπὶ τοὺς δανειστὰς καταβαλεῖν. ἑτοίμως γὰρ ἔχομεν δεῖξαι αὐτὸν τὸν μεγαλοπρεπέστατον ἄνδρα ταύτην τὴν ποσότητα τοῦ χρυσοῦ ἀπαιτήσαντα ἡμᾶς καὶ τὸν εὐλαβέστατον ἐπίσκοπον Διόσκορον τετολμηκότα καὶ εἰς αὐτὸν τὸν Χριστὸν ἐνπαροινῆσαι καὶ ἕτερα πολλὰ πλημμελήσαντα ἃ μὴ τοῖς νόμοις μόνοις ἀπηγόρευται, ἀλλὰ καὶ τοῖς ἀγριωτάτοις καὶ ὠμοτάτοις τῶν βαρβάρων. τὰ γὰρ τούτου πλημμελήματα ἐκείνων τὴν ὠμότητα καὶ τὴν εἰς θεὸν ἀσέβειαν ὑπερηκόντισαν. καὶ δεόμεθα τυχεῖν, ὡς καὶ
L IIII 411 προπαρακεκλήκαμεν, τῆς ὑμῶν βοηθείας, ὥστε ἡμᾶς εὐχαριστοῦντας τῶι θεῶι καὶ τῆι ὑμῶν θεοσεβείαι τὰς συνήθεις εὐχαριστίας ἀναπέμψομεν ὑπὲρ τῆς ὑμῶν ἁγιωσύνης τῶι πάντων ἡμῶν σωτῆρι Χριστῶι. παρακαλοῦμεν δὲ μηδὲ μάρτυρας ἀπολιμπάνεσθαι τοὺς δυναμένους καιρῶι διακρίσεως ἐπὶ πᾶσι τοῖς παρ' ἡμῶν εἰρημένοις μαρτυρῆσαι.
M VI 1029 Ὁ ἐλεεινὸς Ἀθανάσιος πρεσβύτερος τῆς περιωνύμου πόλεως Ἀλεξανδρείας τούσδε τοὺς λιβέλλους ἐπιδέδωκα τῶι ἁγιωτάτωι καὶ οἰκουμενικῶι πατριάρχηι καὶ ἀρχιεπισκόπωι τῆς πρεσβυτέρας Ῥώμης Λέοντι καὶ τῆι ἁγιωτάτηι καὶ οἰκουμενικῆι συνόδωι τῶν ἁγίων ἐπισκόπων καὶ πατέρων.

58 Καὶ μετὰ ταῦτα Ἀθανάσιος εἶπεν· Συνίσταμαι τῆι ἐμαυτοῦ ὑπολήψει καὶ δι' ἐναργῶν ἀποδείξεων ἀποδείκνυμι πάντα τὰ κατ' ἐμοῦ δραματουργήσαντα Διόσκορον τὸν εὐλαβέστατον ἐπίσκοπον ἐν ⟨ὅλοις⟩ ὀκτὼ ἔτεσι σήμερον συσκευαζόμενόν με καὶ ἐπιβουλεύοντά μοι καὶ εἰς αὐτὴν τὴν σωτηρίαν καὶ παντὶ τῶι ἡμετέρωι γένει καὶ ταῖς ἐμαῖς θείαις καὶ τῶι τρισμακαριωτάτωι μου ἀδελφῶι καὶ τῆι γαμετῆι αὐτοῦ καὶ τοῖς ὀρφανοῖς παιδίοις.

59 Ἰωάννης ἐπίσκοπος τῆς μητροπόλεως Σεβαστείας εἶπεν· Τί καὶ ὁ ἑστὼς βούλεται, σαφῶς διδασκέτω.

60 Σωφρόνιος εἶπεν· Ἀδικηθεὶς πλεῖστα κἀγὼ παρὰ Διοσκόρου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀλεξανδρέων κατέλαβον τὴν ἁγιωτάτην ταύτην σύνοδον καὶ προσελθὼν πρώην ἐπιδέδωκα λιβέλλους, καὶ κελεύσατε αὐτοὺς ἀναγνωσθῆναι.

61 Ἰωάννης ἐπίσκοπος Σεβαστείας εἶπεν· Καὶ οἱ τοῦ ἑστῶτος Σωφρονίου λίβελλοι ἀναγινωσκέσθωσαν.

Καὶ λαβὼν Ἀσκληπιάδης διάκονος καὶ νοτάριος ἀνέγνω.

ΜΒΦ

1 ἐμοὶ M ὑπολειπέντων M ὑπολειφθέντων B 2 ἀδελφῆσ M^{corr} 5/6 τῆ — γαμετῆ M 11 *proposita* Φ προσθεῖναι MB 12 νόννου B 15 ἐμπαροινῆσαι B ἐνπαροίνησαν M ἐνπαροινήσαντα M^{corr} 20 ἀναπέμψωμεν M; postulatur ἀναπέμψαι 21 μηδὲ M μὴ καὶ B 27 ὑπολήψει MBΦ^{ac} *uoci et opinioni* Φ^{r} 29 *totis octo* Φ ὀκτὼ MB με MΦ^{r} om. BΦ^{ac} 31 ὀρφανικοῖσ B 33 *Sebastiae primae Armeniae* Φ

62 Καὶ μετὰ τὸ ἀναγνωσθῆναι Σωφρόνιος εἶπεν· Ἀξιῶ τοὺς ἐμοὺς λιβέλλους ἐνταγῆναι τοῖς ὑπομνήμασιν.

63 Πατρίκιος ἐπίσκοπος Τυάνων εἶπεν· Ἐμφερέσθωσαν καὶ οἱ ἀναγνωσθέντες λίβελλοι τῇ πράξει τῶν ὑπομνημάτων κατὰ τὴν αἴτησιν Σωφρονίου.

Λίβελλος Σωφρονίου δοθεὶς κατὰ Διοσκόρου τῇ ἁγίαι καὶ οἰκουμενικῇ συνόδωι τῇ ἐν Χαλκηδόνι

64 Τῶι ἁγιωτάτωι καὶ μακαριωτάτωι οἰκουμενικῶι ἀρχιεπισκόπωι καὶ πατριάρχηι τῆς μεγάλης Ῥώμης Λέοντι καὶ τῇ ἁγίαι συνόδωι τῇ κατὰ βούλησιν θεοῦ καὶ θεῖα μανδάτα ἐπὶ τῆς Χαλκηδονέων πόλεως συναθροισθείσηι παρὰ Σωφρονίου Χριστιανοῦ. Εὐχῆς ἔργον μοι γεγένηται, οὐκ ἐμοὶ δὲ μόνωι τῶι ἐλαχίστωι, ἀλλὰ γὰρ καὶ πᾶσι τοῖς ἠδικημένοις παρὰ Διοσκόρου τοῦ ἐπισκόπου τῆς Ἀλεξανδρέων μεγαλοπόλεως τὸ κατὰ βούλησιν θεοῦ καὶ θέσπισμα τῶν δεσποτῶν τῆς οἰκουμένης τὴν ἁγιωτάτην ὑμῶν καὶ ἀγγελικὴν ἀθροισθῆναι σύνοδον, ἐφ' ὧι τε προσελθόντα με διδάξαι ὅσην τυραννίδα καὶ βίαν ὑπέμεινα παρὰ τοῦ μνημονευθέντος εὐλαβεστάτου ἐπισκόπου. δέομαι τοίνυν M VI 1032
τῆς ἁγιωτάτης ὑμῶν συνόδου παρασχεῖν μοι τὰς ἀκοάς, ὥστε διδάξαι, καθό μοι δύναμίς ἐστιν, εἰ καὶ μεγάλα καὶ λόγου πλείστου δεόμενα, τὰ κατ' ἐμοῦ τολμηθέντα. ἀδικηθεὶς γὰρ τὰ μέγιστα κἀγὼ καὶ εἰς πενίαν ἐληλακὼς ἐκ διαφόρων κατασκευῶν τοῦ εὐλαβεστάτου ἐπισκόπου Διοσκόρου τῆς μεγάλης Ἀλεξανδρείας ἀφ' ὧν διαφόρως κατ' ἐμοῦ τοῦ πένητος L IIII 414
κατεσκεύασεν, πρόσειμι διδάσκων διαφόρους ἐσχηκὼς ὑπευθύνους, οὐ μὴν ἀλλὰ γὰρ καὶ ἀδικηθεὶς παρὰ Μακαρίου τοῦ πολιτευομένου τῆς μεγάλης Ἀλεξανδρείας. οὗτος γὰρ τὴν ἡμετέραν γαμετὴν Θεοδότην, ἀφ' ἧς καὶ παῖδας πεποίηκα, οὐ διαιρέσεως παρακολουθησάσης, οὐ λυπηροῦ τινος γενομένου, ἀλλὰ γὰρ τὸ συνοικέσιον ἅμα ἡμῶν ἐχόντων, ἐν ἐπιθυμίαι ἀδίκωι γενόμενος ἁρπάσας ἔσχεν. πρὸς τοῦτο ἀχθεσθεὶς [δι'] ὅπερ οὔτε βάρβαροι τετολμήκασι ῥαιδίως πώποτε, ⟨μόλις ποτὲ⟩ καταλαβὼν τοὺς δεσπότας τῆς οἰκουμένης καὶ τοὺς μεγάλους καὶ ἐξοχωτάτους ἐπάρχους ἠιτιασάμην τὸν μνημονευθέντα Μακάριον καὶ φανερὰ ἐπὶ τούτωι πέπρακται ἠξίωσά τε τὸν οὕτω παρανομῆσαι τολμήσαντα μετὰ καὶ τῆς ἡμετέρας γαμετῆς Θεοδότης ἄγεσθαι πρὸς τὸ νομίμωι ἐξετάσει τὰ τῆς ὑποθέσεως προβῆναι, μνημονεύσας καὶ ἑτέρων μοι γενομένων ὑπευθύνων κατ' ἐγγράφους καὶ ἀγράφους ἀποδείξεις. ἐσχηκὼς τοίνυν τοὺς θείους τύπους ἔτι τε καὶ τὰς μεγίστας ἀποφάσεις τῶν μεγάλων καὶ ἐξοχωτάτων ἐπάρχων, εἰκότως δὲ καὶ τὸν ταῦτα συνεκβιβάζοντα, φημὶ δὴ τὸν αἰδέσιμον Θεόδωρον τὸν ἐκ τῆς μεγίστης τάξεως, κατέλαβον τὴν μεγάλην Ἀλεξάνδρειαν, ὥστε ἐκβιβασμῶι ταῦτα παραδοθῆναι. ἀλλ' ὁ εὐλαβέστατος ἐπίσκοπος Διόσκορος πάντα ἀκαθοσιώτως πράττων νομίζων τε ἀνωτέρω πάντων εἶναι οὔτε τοὺς θείους τύπους οὔτε τὰς μεγίστας ἀποφάσεις συνεχώρησεν ἐκβιβασθῆναι, ἑαυτοῦ τὴν χώραν μᾶλλον ἢ τῶν κρατούντων εἶναι λέγων. ἀμέλει γοῦν καταπέμπει κατ' ἐμοῦ Ἰσίδωρον, ὄνομα μὲν ἔχοντα διακόνου, ὑπηρέτην δὲ τῆς αὐτοῦ μανίας ἀεὶ γενόμενον, μετὰ φάλαγγος ληιστρικῆς χωρικῶν τε καὶ ἑτέρων τινῶν, ὥστε με τῶν ἀνθρωπίνων ἐκτὸς ποιῆσαι πραγμάτων, τὸν δὲ ἐκ τῆς μεγίστης τάξεως ἀπονεμηθέντα μοι ἐκβιβαστὴν ἄπρακτον ἐκδιῶξαι, ὃ δὴ καὶ γεγένηται. ὅστις διάκονος κατὰ πρόσταξιν τοῦ εὐλαβεστάτου ἐπισκόπου Διοσκόρου οὐκ ἀρκεσθεὶς τούτοις καὶ πάντα τὰ προσόντα M VI 1033
μοι ἀφείλετο ἔν τε βάρεσι καὶ ἑτέροις πράγμασιν, ἀφ' ὧν τὰς διατροφὰς εἶχον μετὰ καὶ 41

MBΦ

1 *et meos* Φ 3 *episcopus metropolitanus* Φ 12 *sacratissimorum dominorum* Φ 13 *euangelicum* Φ praeter unum codicem Φ^{c} 17 κἀγὼ MΦ ἐγὼ B 19 *frequenter diuersos* [= διαφόρως διαφόρους] Φ^{ac} 23 τοῦτο Φ τούτοισ MB δι' MB om. Φ 24 μόλις — καταλαβὼν scripsi *uix tandem perueniens* Φ καταλαβὼν MB 26 τοῦτο M ἠξίωσά MB *praecepit* Φ 33 ἐπίσκοποσ B om. M 34 θείουσ MB *imperialia* Φ^{ac} *inmortalia* Φ^{r} 41 *nauibus* Φ φάρεσι MB

τῶν ἡμετέρων παίδων. ἐκ γὰρ παραδόξου τοῦτο γνοὺς τινός μοι τὴν μανίαν τοῦ μνημονευθέντος μηνύσαντος ἐκφυγὼν διεσώθην. ἐπεὶ οὖν τὰ τολμηθέντα παρὰ τοῦ εὐλαβεστάτου Διοσκόρου οὐδὲ βάρβαροί ποτε τετολμήκασι, πρόσειμι καὶ δέομαι τῆς ὑμετέρας ἀγγελικῆς στρατιᾶς κατελεῆσαί με καὶ κελεῦσαι ἐνταῦθα ἐκ θείας προνοίας καταληφθέντα τὸν τύραννον τὰς ἀποκρίσεις ποιήσασθαί μοι. ἑτοίμως γὰρ ἔχω δεῖξαι τὸν εὐλαβέστατον ἐπίσκοπον Διόσκορον καὶ κατὰ τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος πολλάκις δυσφήμους ἀφέντα φωνάς, οὐ μὴν ἀλλὰ καὶ μοιχείας τολμήσαντα καὶ εἰς αὐτὴν τὴν καθοσίωσιν ἡμαρτηκότα. τῶν γὰρ θείων λαυράτων ἐπ' εὐτυχίαι οἰκουμενικῆι εἰσερχομένων καὶ ἐν τῆι μεγαλοπόλει Ἀλεξανδρείαι οὐ παρητήσατο ἔρανα διανεῖμαι πλείστοις δι' Ἀγοράστου καὶ Τιμοθέου καὶ ἑτέρων τινῶν καὶ ταῦτα παρασκευάσαι
L IIII 415 διωχθῆναι· ἐπαχθῶς γὰρ ἔφερεν ἐφ' οἷς ὅλως τοιοῦτος δεσπότης τῆς οἰκουμένης διηγορεύετο· ἑαυτὸν γὰρ μᾶλλον βασιλεύειν ἤθελεν τῆς Αἰγυπτιακῆς διοικήσεως, ⟨ὡς⟩ καὶ τὰ πραχθέντα παρὰ διαφόροις ἄρχουσι δείκνυσιν, οὐ μὴν ἀλλὰ καὶ ὁ περίβλεπτος τριβοῦνος Ἰωάννης μαρτυρεῖ. καὶ εἰ μὴ ὅτι ἐκ θείας προνοίας ἔτυχεν ὁ μεγαλοπρεπέστατος καὶ ἐνδοξότατοις Θεόδωρος τὰ τῆς Αἰγυπτιακῆς διοικήσεως ἰθύνων πράγματα ὁ γενναῖος τῶν νόμων προστάτης, πάλαι ἂν ἀπολέληπτο ἡ μεγάλη Ἀλεξάνδρεια παρὰ τοῦ προλεχθέντος τυράννου. ὅτι γὰρ οὐκ ἐγὼ μόνος, ἀλλὰ καὶ πλεῖστοι ἕτεροί εἰσιν οἱ πεπειραμένοι τῆς μανίας τοῦ προλεχθέντος εὐλαβεστάτου Διοσκόρου, ὡμολόγηται ⟨, εἰ⟩ καὶ οἱ πεπονθότες εἴτε διὰ πενίαν εἴτε [καὶ] διὰ τὸν φόβον τῆς ἐκείνου τυραννίδος οὐ τετολμήκασι καταλαβεῖν τὴν ὑμετέραν ὁσιότητα καὶ τοῦτον αἰτιάσασθαι. καὶ παρακαλῶ καὶ δέομαι τοῦ ὑμετέρου ἀγγελικοῦ χοροῦ Ἀγόραστον ἐνταῦθα καταλαμβανόμενον ἕνα τῶν συνεργησάντων αὐτοῦ τῆι μανίαι, σύγκελλον αὐτοῦ ὄντα, παρενεχθῆναι καὶ κελεῦσαί με ἐπὶ τῆς ἁγιωτάτης ὑμῶν καὶ οἰκουμενικῆς συνόδου εἰσελθόντα συστῆναι πᾶσιν οἷς ἐδίδαξα· ἑτοίμως γὰρ ἔχω, εἰ ἀξιωθείην τῶν ὑμετέρων ὁσίων ἀκοῶν, δεῖξαι τὸν εὐλαβέστατον ἐπίσκοπον Διόσκορον ταῦτα ⟨πάντα⟩ πεπλημμεληκότα.

Σωφρόνιος Χριστιανὸς ὁ προκείμενος ἐπιδέδωκα τῆι ἁγιωτάτηι καὶ οἰκουμενικῆι συνόδωι τούσδε τοὺς λιβέλλους, ὡς πρόκειται.

65 Καὶ μετὰ τὴν ἀνάγνωσιν ἡ ἁγία συνόδος εἶπεν· Οἱ μὲν λίβελλοι πάντες ἐμφερέσθωσαν
M VI 1036 τοῖς πραττομένοις, εὔδηλον δὲ ὡς αὖθις ἀναγνωσθῆναι δεῖ τούτους παραγινομένου τοῦ τὰς μέμψεις ὑπέχοντος ὁσιωτάτου ἐπισκόπου Διοσκόρου.

66 Φλωρέντιος ἐπίσκοπος Σάρδεων εἶπεν· Δήλων ὄντων τῶν ἀνεγνωσμένων, καὶ τρίτον κληθῆι ὁ θεοσεβέστατος ἐπίσκοπος Διόσκορος, ἐπειδὴ τοῦτο βούλεται ἡ τῆς ἐκκλησιαστικῆς εὐταξίας ἀκολουθία, ὅπως εἰ καὶ μετὰ ταύτην παραιτήσοιτο, ὁ κανὼν τὴν ἑαυτοῦ βαδίσηι ὁδόν.

67 Πασκασῖνος ὁ θεοσεβέστατος ἐπίσκοπος εἶπεν· Προσφόρως ὁ θεοσεβέστατος ἐπίσκοπος Φλωρέντιος δι' ὧν εἶπεν, κατέθετο ὥστε τρίτον ὑπομνησθέντα διὰ τῶν ἁγιωτάτων ἀδελφῶν ἡμῶν ἐλθεῖν αὐτὸν καὶ μὴ ὑπερθέσθαι ἐπὶ τῶι ταῖς τῶν οἰκείων κατηγοριῶν ἀγωγαῖς ἀποκρίνασθαι. καὶ διὰ τοῦτο, εἰ ἀρέσκει τῆι ἁγιωτάτηι καὶ οἰκουμενικῆι συνόδωι, καὶ τρίτον κληθήτω ὁ θεοσεβέστατος ἐπίσκοπος Διόσκορος.

68 Ἀέτιος διάκονος καὶ πριμικήριος νοταρίων εἶπεν· Ἐπειδὴ τρίτην κλῆσιν παρὰ τῆς ἁγιωτάτης καὶ οἰκουμενικῆς συνόδου πρὸς τὸν θεοσεβέστατον ἐπίσκοπον Διόσκορον

MBΦ

1 γὰρ MΦ om. B 7 ἀφιέντα B 8 οἰκουμενικῆς M 10 πλεῖστα Φ 12 ὡς Φ om. MB 13/14 *tribunus et notarius* Φ 16 ἀπολέληπτο MB ἀπολέλειπτο M^{corr} *fuisset deleta* Φ 18 *licet* Φ καὶ MB 19 καὶ M om. BΦ τὸν om. B 25 πάντα Φ om. MB 30 ὑπέχοντοσ Rusticus in nota Graece perscripta ἐπέχοντοσ M ἔχοντοσ B 31 *episcopus metropolitanus* Φ 34 βαδίσει M 35 πασχασῖνοσ M 37 ἡμῶν ἀδελφῶν B 40 *archidiaconus* Φ praeter unum codicem Φ^{c}

γενέσθαι ἐδικαιώσατε, κελεύσατε τινὰς τῶν ἁγιωτάτων ἐπισκόπων ἀπελθόντας ὑπομνῆσαι αὐτὸν ἀπαντῆσαι νῦν γοῦν εἰς τὸ ἱερὸν τῆς ὑμετέρας ἁγιωσύνης συνέδριον.

69 Ἡ ἁγία σύνοδος εἶπεν· Οἱ θεοσεβέστατοι ἐπίσκοποι Φραγκίων Λουκιανὸς καὶ Ἰωάννης διαβάντες πρὸς τὸν ἐπίσκοπον Διόσκορον ἐμφανῆ τὴν τρίτην ταύτην κλῆσιν καταστήσουσιν αὐτῶι ἀδελφικῶς παραινοῦντες.

Τρίτη κλῆσις L IIII 418

70 Ἡ ἁγιωτάτη καὶ οἰκουμενικὴ μεγάλη σύνοδος τῶι ὁσιωτάτωι ἐπισκόπωι Διοσκόρωι. Τὰ παρὰ τῆς σῆς θεοσεβείας δηλούμενα πολλὴν καὶ διάφορον ἔχει τὴν ποικιλίαν, ποτὲ μὲν ἐπέχεσθαι παρὰ τῶν καθωσιωμένων μαγιστριανῶν καὶ σχολαρίων γνωρίζοντα, εἶτα μετὰ τὴν ἐκεῖθεν ἐπιτροπὴν δεῖν παρεῖναι τοὺς μεγαλοπρεπεστάτους καὶ ἐνδοξοτάτους ἄρχοντας τοῖς πραττομένοις, αὖθις ἀρρωστίαν προισχόμενα καὶ πάλιν ἀναμένειν τὴν τῶν μεγαλοπρεπεστάτων καὶ ἐνδοξοτάτων ἀρχόντων συνεδρείαν εἰρωνευόμενα, προσέτι δὲ καὶ ἐξηιτηκέναι ἤδη παρὰ τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου ἡμῶν βασιλέως τοὺς θεοφιλεστάτους ἐπισκόπους Ἰουβενάλιον Θαλάσσιον Εὐσέβιον Βασίλειον καὶ Εὐστάθιον συμπαρεῖναί σοι ἐπὶ τοῖς κατὰ σοῦ ῥηθεῖσι σημαίνοντα, ὧν ἕκαστον κατ' οὐδένα τρόπον ἐπάγεται τὴν ἀλήθειαν ἑκάστου τῶν παρὰ σοῦ λεγομένων ἀπο- M VI 1037
θουμένου τὸ ἀληθές. ἐπεὶ τοίνυν οὐδὲ ὁ εὐσεβέστατος βασιλεὺς οἵαπερ ἔφης, ἐθέσπισεν, ἀλλ' ἐπέτρεψεν τῆι ἁγιωτάτηι καὶ οἰκουμενικῆι ταύτηι συνόδωι τὴν ἀκρόασιν οὔτε τι ἕτερον ἀπείργει ἡμᾶς τῆς παρούσης κανονικῆς ἐξετάσεως, πᾶσαν ἀποσεισάμενος πρόφασιν καταξίωσον καταλαβεῖν τὸ ἱερὸν τοῦτο συνέδριον αὐτῶι τε τῶι θεοφιλεστάτωι Εὐσεβίωι τῶι ἐπισκόπωι καὶ τοῖς νῦν ἐπαγομένοις ἀποκρινόμενος καὶ τοῖς ἐπὶ τοῦ παρόντος ἀποδεδωκόσι κατὰ σοῦ τοὺς κατηγορικοὺς λιβέλλους οὐκ ὀλίγοις οὖσι καὶ ἐκ τῆς Ἀλεξανδρέων ὁρμωμένοις κληρικοῖς τε καὶ λαικοῖς, ὧν αἱ προσηγορίαι Ἀθανάσιος Ἰσχυρίων Θεόδωρος καὶ Σωφρόνιος, ἀπολογησόμενος, εἰδὼς ὡς εἰ μετὰ τὴν τρίτην ταύτην κανονικὴν κλῆσιν πανταχοῦ τὸ ἀνύποπτον ἔχουσαν ὑπέρθοιο πρὸς τὴν ἄφιξιν, ἡ παροῦσα ἁγία καὶ μεγάλη οἰκουμενικὴ σύνοδος ἐπ' ἐκεῖνον ἐπελεύσεται τὸν τρόπον ὅστις κατὰ τῶν ἀπειθούντων καὶ καταφρονούντων τῆς συνοδικῆς κλήσεως οἶδε κινεῖν τὴν ἐκ τῶν κανόνων ἔνθεσμον ἐπιτίμησιν. ἀπεστείλαμεν δὲ καὶ νῦν τῆς τρίτης κλήσεως [πρὸς σὲ] χάριν τοὺς θεοφιλεστάτους συνεπισκόπους ἡμῶν Φραγκίωνα Φιλιππουπόλεως καὶ Λουκιανὸν Βύζης καὶ Ἰωάννην Γερμανικείας τῆς Ἀνατολῆς.

71 Ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος Ἀνατόλιος εἶπεν· Καταξιωσάτωσαν Φραγκίων καὶ Λουκιανὸς καὶ Ἰωάννης οἱ θεοφιλέστατοι ἐπίσκοποι, ὡς συνέδοξεν, παραγενόμενοι πρὸς τὸν θεοσεβέστατον ἐπίσκοπον Διόσκορον παρακελεῦσαι αὐτὸν ⟨νῦν⟩ γοῦν παραγενέσθαι εἰς τὴν ἁγίαν σύνοδον.

72 Φραγκίων ἐπίσκοπος Φιλιππουπόλεως εἶπεν· Ἕνα τῶν ἐξειλημμένων νοταρίων κελεύσατε συνελθεῖν ἡμῖν ἐπὶ τῶι ἀναγνωσθῆναι τὰ παρὰ τῆς ἁγίας ὑμῶν συνόδου δηλωθέντα τῶι θεοφιλεστάτωι ἐπισκόπωι Διοσκόρωι.

73 Ἡ ἁγία σύνοδος εἶπεν· Ἀπελθέτω Παλλάδιος διάκονος καὶ νοτάριος τοῦ θεοφιλεστάτου ἐπισκόπου Πατρικίου καὶ τὰ ὑπαγορευθέντα αὐτῶι παρ' ἡμῶν ἀπὸ τῆς ἐκλήψεως ὑπαναγνώτω τῶι θεοφιλεστάτωι ἐπισκόπωι Διοσκόρωι παρόντων τῶν εὐλαβεστάτων ἐπισκόπων τῶν ἀπεσταλμένων.

MBΦ

1 *si placet, iubete* Φ 4 *sanctissimum episcopum* Φ 12 συνεδρίαν M 14 καὶ τούς Φ 22 τοὺσ MB *alios* Φ κατηγορητικοὺσ B 28 πρὸσ σὲ hic collocat M, post νῦν B, post δὲ Φ^{ac} om. Φ^{a} 29 *Francionem metropolitanum* Φ 33 *uel nunc* Φ γοῦν MB 36 τὸ M 40 ὑπαναγνῶ M

74 Ἐπανελθόντων αὖθις αὐτῶν τῶν θεοφιλεστάτων ἐπισκόπων Ἀέτιος ἀρχιδιάκονος
L IIII 419 καὶ πριμικήριος νοταρίων εἶπεν· Οἱ ἁγιώτατοι ἐπίσκοποι οἱ ἀποσταλέντες πρὸς τὸν θεοφιλέστατον ἐπίσκοπον Διόσκορον ἐπὶ τῶι τρίτην κλῆσιν κατὰ τοὺς θείους κανόνας ποιήσασθαι πάρεισιν καὶ τοῦτο αὐτὸ γνωρίζομεν.

75 Ἀνατόλιος ἐπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης εἶπεν· Καταξιώσατε
M VI 1040 ἀπαγγεῖλαι ἡμῖν ποίας καὶ αὐτοὶ νῦν ἐπὶ τῆι τρίτηι κλήσει ἀποκρίσεως τετυχήκατε παρὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου Διοσκόρου.

76 Φραγκίων ἐπίσκοπος Φιλιππουπόλεως εἶπεν· Καθὼς κατηξίωσεν ἡ ὑμετέρα ὁσιότης προστάξαι ὥστε ἡμᾶς διαβῆναι πρὸς τὸν θεοφιλέστατον ἐπίσκοπον Διόσκορον, ἀπελθόντες [καὶ] τὰ ἐνταλθέντα διὰ ῥημάτων ἀπηγγείλαμεν καὶ τὴν τρίτην κλῆσιν ἐγγράφως ἀποσταλεῖσαν ἀναγνωσθῆναι πεποιήκαμεν. καὶ ἀξιοῦμεν τῆι ἁγίαι συνόδωι καὶ τὰ παρ' ἡμῶν πρὸς αὐτὸν εἰρημένα καὶ τὰ παρ' ἐκείνου πρὸς ἀπόκρισιν εἰρημένα παραναγνωσθῆναι.

77 Μάξιμος ἐπίσκοπος Ἀντιοχείας εἶπεν· Ἀναγινωσκέσθω τὰ παρὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου Διοσκόρου ἐπὶ τῆι τρίτηι κλήσει δηλωθέντα.

Παλλάδιος διάκονος καὶ νοτάριος τοῦ θεοφιλεστάτου ἐπισκόπου Πατρικίου ἀνέγνω οὕτως

78 Φραγκίων ἐπίσκοπος Φιλιππουπόλεως πρὸς Διόσκορον ἐπίσκοπον Ἀλεξανδρείας εἶπεν· ἡ ἁγιωτάτη καὶ οἰκουμενικὴ σύνοδος ἡ συνεδρεύσασα ἐν τῶι ἁγίωι μαρτυρίωι τῆς ἁγίας Εὐφημίας ἀπέστειλεν πρὸς τὴν σὴν θεοσέβειαν τὴν ἡμετέραν εὐτέλειαν τρίτην ἤδη κλῆσιν ταύτην ποιουμένη κατὰ τὴν ἀκολουθίαν τῶν ἁγίων κανόνων. καὶ αὐτὴν τὴν ἔγγραφον κλῆσιν ἣν πεποίηται, κελεύσει ἡ σὴ θεοσέβεια ὑπαναγνωσθῆναι, ἵνα καταξιώσηις παραγενέσθαι εἰς τὸ θεοφιλὲς αὐτῶν συνέδριον καὶ ἀποκρίνασθαι πρὸς τὰ ἐπαγόμενα. Διόσκορος ἐπίσκοπος εἶπεν· αὐτάρκως ἀνεδίδαξα τὴν ὑμετέραν θεοσέβειαν, οἷς προσθεῖναί τι οὐ δύναμαι· ἀρκοῦμαι γὰρ ἐκείνοις. Λουκιανὸς ἐπίσκοπος Βύζης εἶπεν· πρέπει τῆι σῆι ὁσιότητι ὑπακοῦσαι τῆι ἁγιωτάτηι καὶ μεγάληι συνόδωι καὶ θαρροῦσαν τῶι ἑαυτῆς συνειδότι παραγενέσθαι ἀπολογησομένην πρὸς τὰ ἐπαγόμενα, ἵνα μὴ ἐπὶ πλεῖον ἀντιλέγουσα ὑποβληθῆι τῶι κανονικῶι ἐπιτιμίωι τῶι μάλιστα τρίτην ἤδη ταύτην γεγονέναι πρὸς σὲ παρὰ τῆς ἁγιωτάτης καὶ μεγάλης συνόδου κλῆσιν. Διόσκορος ἐπίσκοπος εἶπεν· ἃ εἶπον, εἶπον, οἷς προσθεῖναι οὐ δύναμαι. Ἰωάννης ἐπίσκοπος
1, 1068 Γερμανικείας εἶπεν· πρὸ τριῶν ἡμερῶν κατὰ θέσπισμα τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου βασιλέως ἡμῶν οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ἱερὰ σύγκλητος μετὰ τῆς ἁγίας συνόδου τὴν ἐξέτασιν τῶν ἐπαγομένων τῆι θεοσεβείαι σου ἁμαρτημάτων
M VI 1041 παρὰ τοῦ θεοσεβεστάτου ἐπισκόπου Εὐσεβίου ἐποιήσαντο καὶ καταψηφισάμενοι τῆς θεοσεβείας σου ὑπὸ ἀπόφασίν σε πεποιήκασιν, εἰ τοῦτο παρασταίη τοῖς ταύτην ἐπάγειν παρὰ τοῦ δεσπότου θεοῦ πεπιστευμένοις ἁγιωτάτοις ἐπισκόποις. ἀλλὰ τὸ πρέπον ἑαυτῆι ἡ ἁγιωτάτη καὶ μεγάλη σύνοδος εἰς νοῦν λαβοῦσα ἄχρι τοῦ παρόντος τῆι θεοσεβείαι σου ἐνδέδωκεν. καταξίωσον τοίνυν, εἴπερ συνειδότι κέχρησαι καθαρῶι,
L IIII 422 παραγενέσθαι καὶ τῆι ἁγίαι καὶ μεγάληι ἀποκρίνασθαι συνόδωι. Διόσκορος ἐπίσκοπος εἶπεν· καὶ τρίτον ἐγὼ ταῦτα λέγω ὅτι προσθεῖναι τοῖς ἤδη ῥηθεῖσιν οὐκ ἔχω. Φραγκίων ἐπίσκοπος εἶπεν· ἀλλ' ἀναγκαῖον ἡγούμεθα παρεῖναι τῆι ἁγίαι συνόδωι τὴν σὴν θεοσέβειαν καὶ ἀποκρίνασθαι, ὥστε τὰ τῶι θεῶι δοκοῦντα τυπωθῆναι.

MBΦ

8 Φιλιππουπόλεως om. B 10 καὶ — ῥημάτων M διὰ ῥημάτων τὰ ἐνταλθέντα B 11 τῆ ἁγία συνόδω MBΦ τὴν ἁγίαν σύνοδον M^{corr} 12 ἀπόκρισιν M ἀνάγνωσιν B 14 *magnae ciuitatis Antiochiae* Φ 16 *episcopi Tyanensis* Φ 19 συνεδρεύουσα B 23 ἀποκρίνεσθαι MB, corr. M 31 τριῶν generaliter dictum 34 καὶ om. B 38 τῆσ M 40 *addere aliquid* Φ^{r}

Διόσκορος ἐπίσκοπος εἶπεν· πάλιν τὰ αὐτὰ ἐρῶ καὶ οὐδὲν πλέον προσθεῖναι τοῖς εἰρημένοις ἔχω. Λουκιανὸς ἐπίσκοπος εἶπεν· οὐ μικρὰ οὐδὲ τὰ τυχόντα ἐμφέρεται τοῖς λιβέλλοις τοῖς ἐπιδοθεῖσι κατὰ τῆς σῆς θεοσεβείας τῇι ἁγιωτάτηι καὶ οἰκουμενικῇι συνόδωι· εἰ τοίνυν σαυτῶι θαρρεῖς ⟨ὡς⟩ δυνάμενος συστῆναι πρὸς τὰ ἐπαγόμενα, ἐξαιτοῦμεν παρεῖναί σε δεικνύντα πανταχοῦ ὅτιπερ ἀλλότριος καὶ ἀθῶος τῶν κατὰ σοῦ μέμψεων τυγχάνεις. Διόσκορος ἐπίσκοπος εἶπεν· τί με ἀναγκάζετε ἄλλα εἰπεῖν; τὰ αὐτὰ τοῖς προλαβοῦσιν ἐρῶ. Ἰωάννης ἐπίσκοπος εἶπεν· οὐκ ἐστιν ἀνάγκη τὸ πρᾶγμα; μεγάλη ἐστὶ καὶ οἰκουμενικὴ ἁγία σύνοδος καὶ πιστεύομεν ὅτι ὡς ὑπὸ μάρτυρι τῶι θεῶι οὕτω δικάζει. εἰ τοίνυν οἶδέν σου ἡ ὁσιότης δύνασθαι ἀποσκευάσασθαι τὰς ἐπαγομένας σοι μέμψεις παρά τε τοῦ θεοφιλεστάτου Εὐσεβίου καὶ τῶν σήμερον προσελθόντων καὶ λιβέλλους ἐπιδεδωκότων, παραγενοῦ καὶ ἀπάλλαξον σπίλου τὴν ἁγίαν τοῦ θεοῦ ἐκκλησίαν. Διόσκορος ἐπίσκοπος εἶπεν· σπῖλον οὐκ ἔχει ἡ καθολικὴ ἐκκλησία, μὴ γένοιτο· ἐγὼ γὰρ οἶδα πῶς προσῆλθον ταῖς ἀποκρίσεσιν. Ἰωάννης ἐπίσκοπος εἶπεν· τὰ ἁμαρτήματα τῶν ἱερέων κοινὸν αἶσχός ἐστιν· εἰ τοίνυν οἶδέν σου ἡ ἁγιωσύνη συκοφαντίαν παρά τινων ὑπομένουσα, οὐκ ἐστι πόρρωθεν ἡ ἁγία σύνοδος. σκύλθητι καὶ διέλεγξον τὸ ψεῦδος. Διόσκορος ἐπίσκοπος εἶπεν· ἃ εἶπον, εἶπον καὶ ἀρκοῦμαι τούτοις.

79 Καὶ μετὰ τὸ ἀναγνωσθῆναι Πασκασῖνος ἐπίσκοπος εἶπεν· Ἔγνω ἡ θεοφιλεστάτη καὶ μακαριωτάτη ἁγία σύνοδος ὅτι τρίτον κληθεὶς διὰ τῶν θεοφιλεστάτων ἐπισκόπων Φραγκίωνος καὶ Λουκιανοῦ καὶ Ἰωάννου Διόσκορος ὁ ἐπίσκοπος ἐπὶ τῶι τοῖς οἰκείοις κατηγόροις ἀποκρίνασθαι τῶι συνειδέναι ἔνοχον τυγχάνειν ἑαυτὸν ἐλθεῖν κατεφρόνησεν. τίνος τοίνυν ἄξιός ἐστιν ὁ οὕτω καταφρονήσας; ἡ ὑμετέρα ἁγιότης τῶι οἰκείωι στόματι δῆλον ποιησάτω.

80 Ἡ ἁγία σύνοδος εἶπεν· Τῆς ἐκ τῶν κανόνων κατὰ τῶν ἀπειθούντων ἀγανακτήσεως. M VI 1044

81 Στέφανος ἐπίσκοπος Ἐφέσου εἶπεν· Τοῦτό ἐστι τὸ ἀκόλουθον τὸν κληθέντα κατὰ τοὺς ἁγίους κανόνας καὶ καταφρονήσαντα τῶι τῶν κανόνων ἐπιτιμίωι ὑποβληθῆναι.

82 Πασκασῖνος ἐπίσκοπος εἶπεν· Πάλιν ἀξιοῦμεν τὴν μακαριότητα ὑμῶν· ὁ ἤδη τρίτον παρὰ τῶν ἀδελφῶν ἡμῶν καὶ συνεπισκόπων κληθεὶς καὶ καταφρονήσας καὶ μὴ ἐλθὼν τίνος ἐστὶν ἄξιος; τί δοκεῖ τῇι ἁγιωσύνηι ὑμῶν, μαθεῖν θέλομεν.

83 Ἡ ἁγία σύνοδος εἶπεν· Τὰ δοκοῦντα τοῖς κανόσιν.

84 Λουκιανὸς ἐπίσκοπος εἶπεν· Παρὰ τοῦ μακαριωτάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κυρίλλου ἐπράχθη τινὰ κατὰ Νεστορίου ἐν τῇι ἁγίαι συνόδωι τῇι κατ' Ἔφεσον· ἐκείνοις ἐγκύψαντες τύπον δότε τὸν παριστάμενον.

85 Πασκασῖνος ἐπίσκοπος εἶπεν· Κελεύει ἡ θεοσέβεια ὑμῶν τοῖς ἐπιτιμίοις τοῖς ἐκκλησιαστικοῖς χρησόμεθα κατ' αὐτοῦ; συναινεῖτε;

86 Ἡ ἁγία σύνοδος εἶπεν· Πάντες συναινοῦμεν εἰς τὰ δοκοῦντα.

87 Πασκασῖνος ἐπίσκοπος εἶπεν· Κελεύει ἡ θεοσέβεια ὑμῶν τοῖς ἐπιτιμίοις τοῖς ἐκκλησιαστικοῖς χρησόμεθα κατ' αὐτοῦ, καθὰ διελάλησα; L IIII 423

88 Ἡ ἁγία σύνοδος εἶπεν· Ναί, συναινοῦμεν.

89 Κόιντος ἐπίσκοπος Φωκαίας εἶπεν· Ὅτε τὸν ἁγιώτατον ἄνδρα Φλαβιανὸν τὸν τῆς ὀρθοδοξίας φύλακα ἐφόνευσεν, οὔτε κανόνας προήγαγεν οὔτε ἀνεγνώσθησαν οὔτε ἐκκλησιαστικῇι τινι εὐταξίαι ἐχρήσατο, ἀλλὰ αὐθεντίαι ἰδίαι χρώμενος καθεῖλεν· νῦν δὲ πάντα κανονικῶς ἔδοξεν καὶ οὐκ ὀφείλει πάλιν πρὸς ὑπερθέσεις χωρεῖν.

MBΦ

4 ὡς Φ om. MB 7 ἀνάγκη MB *uiolentiae* Φ 8 καὶ ἁγία Φ 10 *episcopo Eusebio* Φ 12 καθολικὴ om. Φ 17. 26. 33. 36 πασχασῖνος M 19 τὸ M 25 πατήσαντα Φ 30 πατρὸς ἡμῶν om. B 30/31 συνεπισκόπου Φ^{ar} 36 *quae regulis* [*sanctis regulis* Φ^{ac}] *sunt placita, in eo* [*eum* Φ^{a}] *fieri* Φ 37 καθὰ διελάλησα om. Φ 39 φωκίασ M φωκείασ M^{corr} 40 *protulit* Φ προσήγαγεν MB 42 πάλιν om. B εἰσ ὑπέρθεσιν M

90 Προτέριος ἐπίσκοπος σμύρνης εἶπεν· Ὅτε ἐφονεύετο ὁ ἁγιώτατος Φλαβιανός, οὐδὲν ἀκόλουθον ἐπράχθη ἐπ' αὐτῶι· νῦν δὲ τοσοῦτοι ἅγιοι πατέρες, καὶ νῦν πάλιν ὑπερθέσεις πειρᾶται ἐφευρίσκειν πάντων εὐσεβῶς τῶν ἐν τῆι ἁγίαι συνόδωι συνειλεγμένων;

91 Ἰουλιανὸς ἐπίσκοπος Ὑπαίπων εἶπεν· Ἅγιοι πατέρες, ἀκούσατε· ὅτε τὸ κῦρος εἶχε Διόσκορος κατὰ τὴν Ἐφεσίων πόλιν τοῦ κρίνειν [καὶ] μεταξὺ [μὲν] * * τὸν ἁγιώτατον Φλαβιανὸν καὶ τὸν θεοσεβέστατον ἐπίσκοπον Εὐσέβιον καθεῖλεν ἄδικον ψῆφον ἐξαγαγὼν καὶ αὐτὸς πρῶτος κατέθετο τὴν ἄδικον κρίσιν καὶ πάντες ἐπηκολούθησαν μετὰ ἀνάγκης· νῦν ἡ ὑμετέρα ἁγιότης τὸ κῦρος ἔχει τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Λέοντος καὶ πᾶσα ἡ ἁγία σύνοδος ἡ συναχθεῖσα κατὰ θεοῦ χάριν καὶ θέσπισμα τῶν εὐσεβεστάτων ἡμῶν βασιλέων καὶ ἔγνω ἕκαστα ἅπερ γέγονεν ἐν Ἐφέσωι ἄδικα, καὶ ἅπαντα τὰ πραχθέντα ἐκεῖ ἐν γνώσει γέγονε τῆι ὑμετέραι ἁγιωσύνηι καὶ πρῶτον καὶ δεύτερον καὶ τρίτον ἐκάλεσε Διόσκορον καὶ οὐδαμῶς ἐβουλήθη ὑπακοῦσαι. παρακαλοῦμεν οὖν τὴν ὑμετέραν
M VI 1045 ἁγιωσύνην τὸν ἐπέχοντα, μᾶλλον δὲ τοὺς ἐπέχοντας τὸν τόπον τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Λέοντος ἀποφήνασθαι κατ' αὐτοῦ καὶ τὰ ἐπιτίμια τὰ τοῖς κανόσιν ἐγκείμενα κατ' αὐτοῦ ὁρίσαι. πάντες γὰρ καὶ πᾶσα ἡ οἰκουμενικὴ σύνοδος σύμψηφος γίνεται τῆι ὑμετέραι ἁγιωσύνηι.

92 Πασκασῖνος ἐπίσκοπος εἶπεν· Πάλιν λέγω· τί ἀρέσκει τῆι μακαριότητι ὑμῶν;

93 Μάξιμος ἐπίσκοπος τῆς μεγαλοπόλεως Ἀντιοχείας εἶπεν· Ὃ δοκεῖ τῆι ὁσιότητι ὑμῶν, καὶ ἡμεῖς σύμψηφοι γινόμεθα.

94 Πασκασῖνος ἐπίσκοπος Λιλυβαίου τῆς Σικελίας καὶ μετ' αὐτοῦ Λουκίνσιος ἐπίσκοπος ἑρκουλάνων καὶ Βονιφάτιος πρεσβύτερος ἐκκλησίας τῆς μεγάλης Ῥώμης ἐπέχοντες τὸν τόπον τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου πατριάρχου τῆς μεγάλης Ῥώμης καὶ ἀρχιεπισκόπου Λέοντος ἀπεφήναντο· Δῆλα γεγένηται τὰ τετολμημένα Διοσκόρωι τῶι γενομένωι τῆς Ἀλεξανδρέων μεγάλης ἐκκλησίας ἐπισκόπωι κατὰ τῆς τῶν κανόνων τάξεως καὶ τῆς ἐκκλησιαστικῆς καταστάσεως ἔκ τε τῶν ἤδη ἐξετασθέντων ἐν τῶι πρώτωι συνεδρίωι καὶ ἀπὸ τῶν σήμερον πεπραγμένων. οὗτος γάρ, ἵνα τὰ πολλὰ παραλείψωμεν, Εὐτυχῆ τὸν ὁμόδοξον αὐτῶι κανονικῶς καθαιρεθέντα παρὰ τοῦ ἰδίου ἐπισκόπου τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Φλαβιανοῦ αὐθεντήσας ἀκανονίστως εἰς κοινωνίαν ἐδέξατο πρὶν συνεδρεῦσαι ἐν τῆι Ἐφεσίων μετὰ τῶν θεοφιλεστάτων ἐπισκόπων. ἀλλ' ἐκείνοις μὲν ὁ ἀποστολικὸς θρόνος συγγνώμην ἀπένειμεν ἐπὶ τοῖς ἐκεῖσε μὴ κατὰ γνώμην ὑπ' αὐτῶν πεπραγμένοις, οἳ καὶ διετέλεσαν μέχρι τοῦ παρόντος ἑπόμενοι τῶι τε ἁγιωτάτωι
L IIII 426 ἀρχιεπισκόπωι Λέοντι καὶ πάσηι τῆι ἁγιωτάτηι καὶ οἰκουμενικῆι ἁγίαι συνόδωι, οὗ δὴ χάριν καὶ ἐν τῆι ἑαυτοῦ κοινωνίαι ὁμοπίστους ἐδέξατο· οὗτος δὲ μέχρι τοῦ παρόντος ἐνέμεινε σεμνυνόμενος ἐπ' ἐκείνοις ἐφ' οἷς ἔδει στένειν καὶ εἰς γῆν κεκυφέναι. πρὸς τούτοις δὲ οὐδὲ τὴν ἐπιστολὴν ἀναγνωσθῆναι συνεχώρησε τοῦ μακαριωτάτου πάπα Λέοντος

---

24 καθαίρεσισ διοσκόρου $M^{mg}B^{mg}$

94 sententiae Latine prolatae exemplar [Λ] quod legati ad Leonem rettulerunt, extat Leonis ep. 112 adnexum in codicibus Collectionis Corbeiensis, edidi in Leonis epistulis uol. IIII p. 155. 156

MBΦ

1 σμύρνησ MB *myrensis* Φ, postulatur Μυρίνης 3 *temptatis* Φ 5 ὑπέπων MB ὅτε Φ τότε MB 6 καὶ MB om. Φ μὲν MB om. Φ lacunam indicaui 6/7 *inter sanctum Flauianum et religiosissimum Eusebium episcopum interque Eutychem* Φ 7 καθεῖλεν om. Φ 9 Λέοντος] *Leonis et cognouit* [*nouit* $Φ^{ac}$] *et uestra sanctitas* Φ 11 *cognouit* Φ ἔγνω τε MB 13 ἠβουλήθη B οὖν om. Φ 18. 21 πασχασῖνοσ M 19 ὧ B 22 ἑρκουλάνων MB *Herculanensis* $Φ^{a}$ *Herclanensis* $Φ^{c}$ *Arculanensis* siue *Harculanensis* $Φ^{r}$ latet notationis primariae *Asculanus* corruptela antiquissima βονηφάτιος M 23 πατριάρχου — Ῥώμης] *archiepiscopi apostolicae sedis magnae et senioris Romae* Φ 24 λγ̄ M^{mg} 25 ἐκκλησίας] *ciuitatis* Φ 29 πρσ̄ ἡμῶν B ἡμῶν πρσ M *patre nostro et* [om. $Φ^{a}$] *archiepiscopo quondam* Φ 31 ὑπ' om. B 34 δὲ MBΦ^{ac} δὲ καὶ $Φ^{r}$

τὴν γραφεῖσαν παρ' αὐτοῦ πρὸς τὸν ἐν ἁγίοις τῆι μνήμηι Φλαβιανόν, καὶ ταῦτα πολλάκις παρακληθεὶς ἀναγνῶναι ταύτην ὑπὸ τῶν κεκομικότων καὶ μεθ' ὅρκων ποιήσασθαι τὴν ἀνάγνωσιν ὑποσχόμενος, ἧς μὴ ἀναγνωσθείσης σκανδάλου καὶ βλάβης αἱ ἀνὰ τὴν οἰκουμένην ἐπειράθησαν ἁγιώταται ἐκκλησίαι. ἀλλ' ὅμως τοιούτων παρ' αὐτοῦ τολμηθέντων ἐσκοποῦμεν ἐκ τῆς προτέρας πράξεως φιλανθρωπίας αὐτὸν ἀξιῶσαι ὡς καὶ M VI 1048
τοὺς λοιποὺς θεοφιλεστάτους ἐπισκόπους, καίτοι μηδὲ αὐθεντίαν παραπλησίως αὐτῶι τῆς 6
κρίσεως ἐσχηκότας. ἐπειδὴ δὲ τοῖς δευτέροις τὴν προτέραν παρανομίαν ὑπερηκόντισεν, ἐτόλμησε δὲ καὶ ἀκοινωνησίαν ὑπαγορεῦσαι κατὰ τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου τῆς μεγάλης Ῥώμης Λέοντος, πρὸς δὲ τούτοις καὶ λιβέλλων πολλῶν παρανομιῶν μεστῶν κατ' αὐτοῦ προσενεχθέντων τῆι ἁγίαι καὶ μεγάληι συνόδωι καὶ ἅπαξ καὶ 10
δὶς καὶ τρὶς διὰ θεοφιλεστάτων ἐπισκόπων κανονικῶς κληθεὶς οὐχ ὑπήκουσεν, ὑπὸ τοῦ συνειδότος δηλονότι κεντούμενος, καὶ τοὺς παρὰ συνόδων διαφόρων ἐνθέσμως καθαιρεθέντας παρανόμως ἐδέξατο, αὐτὸς καθ' ἑαυτοῦ τὴν ψῆφον ἐξήνεγκεν διαφόρως τοὺς ἐκκλησιαστικοὺς πατήσας θεσμούς· ὅθεν ὁ ἁγιώτατος καὶ μακαριώτατος ἀρχιεπίσκοπος τῆς μεγάλης καὶ πρεσβυτέρας Ῥώμης Λέων δι' ἡμῶν καὶ τῆς παρούσης ἁγιωτάτης συνόδου 15
μετὰ τοῦ τρισμακαριωτάτου καὶ πανευφήμου Πέτρου τοῦ ἀποστόλου, ὅς ἐστι πέτρα καὶ κρηπὶς τῆς καθολικῆς ἐκκλησίας καὶ τῆς ὀρθοδόξου πίστεως ὁ θεμέλιος, ἐγύμνωσεν αὐτὸν τῆς τοῦ ἐπισκόπου καὶ πάσης ἱερατικῆς ἠλλοτρίωσεν ἀξίας. τοιγαροῦν ἡ ἁγιωτάτη αὕτη καὶ μεγάλη σύνοδος τὰ δόξαντα τοῖς κανόσιν ἐπὶ τῶι μνημονευθέντι Διοσκόρωι ψηφίσεται. 20

95 Ἀνατόλιος ἐπίσκοπος τῆς βασιλευούσης Κωνσταντινουπόλεως νέας Ῥώμης εἶπεν· Τὰ αὐτὰ τῶι ἀποστολικῶι θρόνωι διὰ πάντων φρονῶν σύμψηφος κἀγὼ γίνομαι ἐπὶ τῆι καθαιρέσει Διοσκόρου τοῦ γενομένου ἐπισκόπου τῆς Ἀλεξανδρέων μεγαλοπόλεως ἑαυτὸν πάσης ἱερατικῆς λειτουργίας ἀλλότριον ἀποδείξαντος διὰ τὸ ἐν ἅπασιν ἀπειθῆσαι τοῖς τῶν ἁγίων πατέρων κανόσι καὶ τρίτον κανονικῶς κληθέντα καὶ μὴ ὑπακοῦσαι θελήσαντα. 25

96
5 Μάξιμος ἐπίσκοπος Ἀντιοχείας
6 Στέφανος ἐπίσκοπος Ἐφέσου
7 Λουκιανὸς ἐπίσκοπος Βύζης — L IIII 427 M VI 1049
8 Διογένης ἐπίσκοπος Κυζίκου 30
9 Ἰουλιανὸς ἐπίσκοπος τῆς Κῶ
10 Εὐνόμιος ἐπίσκοπος Νικομηδείας
11 Πέτρος Κορίνθου
12 Ἐλευθέριος Χαλκηδόνος — M VI 1050
13 Θεόδωρος Ταρσοῦ 35
14 Ῥωμανὸς Μύρων — L IIII 428
15 Κῦρος Ἀναζάρβου
16 Κωνστάντιος Μελιτηνῆς — M VI 1051
17 Σέλευκος Ἀμασείας 39
18 Ἰωάννης Σεβαστείας — L IIII 429
19 Κωνστάντιος Βόστρων — M VI 1052

---

inde a 27 sententiae plenae extant in Φ

MBΦ

2 *recitari* Φ ἐκκεκομικότων B 3 ὑποσχομένου M 5 *aliqua certe clementia* Φ 6 καίτοι MB καὶ τοὺς Φ *auctoritatem* Φ αἰτίαν MB *fiduciam* Λ 7 ἐσχηκότας Φ ἐσχηκότεσ MB 8 *dictare* Φ ἐπαγορεῦσαι MB 9/10 παρανομίασ B 12 *propria conscientia* Φ 17 ἐγύμνωσεν αὐτὸν om. B 19 ἐπὶ τοῖσ M 38 *Constantinus* Φ μελιτινῆσ M 41 *Constantinus* Φ

20 Καλόγηρος Κλαυδιουπόλεως
21 Πατρίκιος Τυάνων
22 'Αμφιλόχιος Σίδης
M VI 1053 23 'Επιφάνιος Πέργης
L IIII 430 24 Θεόδωρος Δαμασκοῦ
25 'Αττικὸς Νικοπόλεως Παλαιᾶς
26 'Ονησιφόρος 'Ικονίου
27 Βασίλειος Τραιανουπόλεως
28 Φλωρέντιος Σάρδεων
M VI 1054 29 Φραγκίων Φιλιππουπόλεως
30 'Ιωάννης 'Ρόδου
31 Πέτρος Γαγγρῶν
L IIII 431 32 Φώτιος Τύρου
M VI 1055 33 Νουνέχιος Λαοδικείας
34 Περγάμιος 'Αντιοχείας Πισιδίας
35 Μελέτιος Λαρίσσης
36 Κριτωνιανὸς 'Αφροδισιάδος
M VI 1056 37 Συμεώνιος 'Αμίδης
L IIII 432 38 Θεόκτιστος Πισινοῦντος
39 Φοντηιανὸς Σαγαλασσοῦ
40 Νεοπτόλεμος Κόρνων
41 'Αχόλιος Λαράνδων
42 'Ιουλιανὸς 'Υπαίπων
M VI 1057 43 Λεόντιος Μαγνησίας
44 Εὐδόξιος Χώματος
45 Στέφανος Λιμυρέων
46 Φρόντων Φασήλιδος
L IIII 433 47 Θεόδωρος 'Αντιφέλλου
48 Λεόντιος 'Αράξου
M VI 1058 49 'Αντίπατρος κάμου
50 Φίλιππος λιβουρέων
51 Κρατῖνος Παν̣όρμου
52 'Ανδρέας Τλωέων
53 Νικόλαος 'Ακρασσοῦ
54 'Ρωμανὸς Βουβονέων
55 'Αττικὸς Ζήλων
L IIII 434 M VI 1059 56 Παῦλος Φιλομηλίου
57 Φλωρέντιος 'Αδριανουπόλεως
58 Μεσσαλῖνος Λαοδικείας
59 'Ελπίδιος μονῆς Θέρμων
60 Λογγῖνος 'Ορχιστοῦ
M VI 1060 61 Μυστήριος 'Αμορίου

MB

1 καλόγηρωσ B 17 κρινονιανὸσ M 19 πισσινοῦντοσ B 20 *Fonteianus* Φ^{cr} *Pontianus* Φ^{a} φροντινιανὸσ MB σαγαλασοῦ B 22 *Larendenae* Φ 23 ὑπέπων MB 27 *Phasilidae* Φ^{ac} *Phasilidenae* Φ^{r} βασιλίδοσ MB 30 postulatur Καύνου 31 λιβουρέων MB postulatur Βαλβουρέων 33 *Tloeonensis* Φ^{r} τοέων M στοέων B 35 βουβωναίων B 37 φιλομιλίου MB 41 ὀρχιστοῦ M^{corr}Φ ὀγχιστοῦ MB 42 ἀμμωρίου B

62 Πέτρος Δαρδάνου
63 'Ιοβῖνος Διβέλτου
64 Ἴνδιμος Εἰρηνουπόλεως
65 'Ακύλας Εὐδοξιάδος L IIII 435
66 Εὐτρόπιος αράδου M VI 1061
67 Μάρκος 'Αρεθούσης 6
68 Προτέριος Μυρίνης
69 Μάρκελλος Μητροπόλεως
70 Εὐσέβιος Κλαζομενῶν
71 'Ολύμπιος Θεοδοσιουπόλεως 10
72 Μάμας 'Ανινήτου
73 Γερόντιος Σελευκείας
74 'Ιουλιανὸς 'Ρωσοῦ M VI 1062
75 'Υπάτιος Ζεφυρίου
76 'Αλέξανδρος Σεβαστῆς 15
77 Θεόδωρος Αὐγούστης
78 Χρύσιππος Μαλλοῦ
79 Κυριακὸς Τροκνάδων L IIII 436
80 Δανιὴλ Κάδων
81 Θωμᾶς Θεοδοσιουπόλεως 20
82 'Ιωάννης Τραπεζοῦντος
83 'Αθανάσιος Μοσύνων M VI 1063
84 Πατρίκιος Νεοκαισαρείας
85 'Επίκτητος Διοκλητιανουπόλεως
86 'Αλέξανδρος Σελευκείας Πισιδίας 25
87 Οὐαλεριανὸς Λαοδικείας Φοινίκης
88 Κυρῖνος Πατάρων L IIII 437
89 Θεόφιλος 'Οριοσσοῦ
90 Νέων Σιλλύου M VI 1064
91 Εὐδόξιος 'Ετένων 30
92 Μαρκιανὸς Κοτένων
93 Διόδοτος Λυσανίας
94 'Ιωάννης Φλαβιάδος
95 Τρύφων Χίου
96 Παῦλος Πτολεμαίδος 35
97 Διονύσιος 'Ηρακλείας
98 'Ιωάννης 'Αλίνδου M VI 1065
99 Εὐτρόπιος Στρατονικείας L IIII 438
100 'Ιωάννης 'Αμυζονέων
101 Παπίας 'Ερίζων 40

MBΦ

2 Διβέλτου scripsi *Debeltenae ciuitatis prouinciae Aemimonti* Φ^{a} *Debeltensis* Φ^{r} λιβέλλου MB 5 *adaroenae ciuitatis* Φ^{a} *adardensis* Φ^{cr} ἀράδου MB postulatur 'Αδάδων 7 μυρρίνης M^{corr}B 8 *Marcellinus* Φ 11 ἀνηνίτου B 18 cf. Φ 17 μάλχου MB 18 τρωκνάδων B 19 Κάδων Φ ολέασ [ex 20 (Θεοδοσιουπ)όλεως repetitum] M ἐλαίασ B 21 postulatur Τραπεζουπόλεως 24 διοκλητινουπόλεωσ M post 25 habet *Netiras* [*nitiras* Φ^{a} *natiras* Φ^{c}] *ēps dixit* Φ 26 οὐαλλεριανὸσ M^{corr}B 28 ὁριόσου B *Oriessu* Φ^{r} 29 σιλίου MB 32 *Lysaniae* Φ λυτανίασ MB 37 *Alindu* Φ^{cr} ἀλύδδου M ἀλύδου B 38 *Eustathius* Φ postulatur Εὐπείθιος 39 ἀμαζονέων M^{corr} *Amazonum* Φ^{ac}

102 Διονύσιος Ἀντιοχείας Καρίας
103 Τυγχάνιος Ἀπολλωνιάδος
104 Θεοδώρητος Ἀλαβάνδων
M VI 1066 105 Μένανδρος Ἡρακλείας
106 Φλάκιλλος Ἰασσοῦ
107 Ἰωάννης Κνίδου
108 Καλανδίων Ἁλικαρνασοῦ
L IIII 439 109 Θεότεκνος Τυραίου
110 Ἑορτίκιος Νικοπόλεως
111 Κῦρος Σινιάνδου
M VI 1067 112 Αἰθέριχος Σμύρνης
113 Φλωρέντιος Τενέδου
114 Ζηνόδοτος Τερμισσοῦ
115 Σάβας Πάλτου
M VI 1068 116 Θεόκτιστος Βεροίας
L IIII 440 117 Μακάριος Αἴνου
118 Κυριακὸς Αἰγέης
119 Γενέθλιος Κρατείας
120 Φίλιππος Θεοδοσιουπόλεως
121 Βασίλειος Παλαιᾶς πόλεως
122 Παυλῖνος Ἀπαμείας Πισιδίας
M VI 1069 123 Βασίλειος Νακωλείας
124 Ἰωάννης Γερμανικείας
125 Κεκρόπιος Σεβαστοπόλεως
126 Ἀκάκιος Ἀριαραθείας
L IIII 441 127 Ἰωάννης Νικοπόλεως
128 Ῥουφῖνος Σαμοσάτων
M VI 1070 129 Σεβαστιανὸς Βεροίας
130 Μενεκράτης Κερασσέων
131 Κοσσίνιος Ἱεροκαισαρείας
132 Πατρίκιος Ἀκμασσοῦ
133 Διονύσιος Ἀτταλείας
134 Παῦλος Τριπόλεως
L IIII 442 M VI 1071 135 Γέμελλος Στρατονικείας
136 Μαιόνιος Νύσης
137 Ἡσαίας Ἐλαιτῶν
138 Ἕσπερος Πιτάνης
139 Κόιντος Φωκέων
140 Εὐστόχιος Δοκιμέων
M VI 1072 141 Μουσώνιος Νύσης
142 Ῥῆνος Ἰουνοπόλεως

MBΦ

1 *prouinciae Cariae* Φ καισαρείας MB 5 ἰάσου B 8 τυρέου MB 13 τερμισοῦ B *Telmissu* Φ[a] *Telmissidis* Φ[c] *Telmissi* Φ[r] 14 σάμβασ B 15 βερροίασ B 18 κρατίασ M 19 *Theodosiupolis siue Nouae aulae* Φ 24 κερκόπιοσ M 25 ἀριαραθίας MB, corr. M post 27 habet *Lucianus episcopus Byzensis* [*ciuitatis bizesis* Φ[a]] *dixit* Φ 28 βερροίασ B 31 ἀκμάσου B 32 ἀτταλίασ M 35 μεόνιοσ M νύσσησ B 36 σελαιτῶν MB 37 ἕσπεροσ MBΦ[a] *Hesperius* Φ[cr] 40 νύσσησ B 41 ρῖνοσ M ἰωνοπόλεωσ BΦ

143 Παῦλος Μαριάμμης
144 Εὐστάθιος Σαρακηνῶν
145 Θαλάσσιος Παρίου L IIII 443
146 Ἀθανάσιος Πέρρης
147 Οὐράνιος Ἐμίσης 5
148 Δαμιανὸς Σιδῶνος
149 Νῶε Κηφᾶς M VI 1073
150 Οὐράνιος Ἰβώρων
151 Πολυχρόνιος Ἐπιφανείας
152 Θεόδωρος Τριπόλεως Φοινίκης 10
153 Λουκιανὸς Ἰψοῦ M VI 1074
154 Πρόκλος Ἀδράων L IIII 444
155 Ἀμάχιος Σεττῶν
156 ἀλκμαίδιος Σιλάνδων
157 Πολύκαρπος [σιλάνδου πολύκαρπος] Γαβάλων 15
158 Ἐλευσίνιος Ἀπόλλωνος M VI 1075
159 Πατρίκιος Ἀδριανοῦ θηρῶν
160 Ἡλίας Βλανδοῦ
161 Εὐσέβιος Σελευκοβήλου
162 Θεοδόσιος Κανωθᾶ 20
163 Ἑρμείας Ἀβύδου L IIII 445
164 Γεννάδιος Ἀκμονέων
165 Εὐλάλιος Πιονίου M VI 1076
166 Θεοσέβιος Ἰλιέων
167 Πιόνιος Τρωάδος 25
168 Στέφανος Ποιμανηνοῦ
169 Καλλίνικος Ἀπαμείας
170 Ῥωμανὸς Εὐδοξιουπόλεως
171 Ἀνδρέας Σατάλων M VI 1077
172 Σωφρόνιος Κωνσταντίνης 30
173 Ὁρμίσδας Φιλιππουπόλεως L IIII 446
174 Παῦλος Ἀράδου
175 Τιμόθεος Βαλανέων
176 Θεοδόσιος Ναζιανζοῦ M VI 1078
177 Ἀριστόμαχος Κολωνείας 35
178 Πέτρας Γαββούλα
179 Ῥουφῖνος Βριούλου
180 Ὀλύμπιος Σωζοπόλεως
181 Εὐφράτης Ἐλευθέρνης
182 Καίουμος Μαρκουπόλεως L IIII 447
183 Ἰωάννης Καρρῶν 41

MBΦ

1 *Mariammes* Φcr μαριάμνησ MB 8 *Iboritanae ciuitatis* Φcr Ιβηρίων MB 9 ἐπιφανίασ MB post 11 *habet Cyrus episcopus ciuitatis Siniandae* [*Syniandenae ciuitatis* Φac] Φ 13 σέπτων M *Septenae* [*eptonae* Φa *eptenae* Φr] *ciuitatis* Φ 14 Ἀλκιμίδης Φac Ἀλκιμήδης Φcr 15 σιλάνδου πολύκαρποσ MB om. Φ 16 *ciuitatis fani Apollinis prouinciae Lydiae* Φr *sacri Apollonis ciuitatis* Φa 26 ποιμανίνου M ποιμανίνων B 31 φιλιππόλεωσ M 36 γαβουλᾶ B 39 εὐφράτιοσ B *Eleuthernae* Φr ἐλευθερίνησ MBΦac

M VI 1079 184 Ἀβράμιος Κάστρου
185 Δημήτριος λαπέτου
186 Βεθεσλάσης Νέας πόλεως
187 Μουσώνιος βριμήνου
188 Ἀντίοχος Σινώπης
189 Παράλιος Ἀνδράπων
190 Δόμνος Κουκουσοῦ
M VI 1080 191 Ἀντωνιανὸς Ἀμίσης
192 Θεόδωρος Κλαυδιουπόλεως
L IIII 448 οἱ πάντες εἰρμῶι τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς βασιλευούσης Κωνσταντινουπόλεως Ἀνατολίου διελάλησαν.

Καὶ μετὰ τὸ διαλαλῆσαι πάντας τοὺς ὁσιωτάτους ἐπισκόπους καὶ ὑπέγραψαν οὕτως

Ὑπογραφαί

97 1 Πασκασῖνος ἐπίσκοπος Λιλυβαίων τῆς Σικελῶν ἐπαρχίας ἐπέχων τὸν τόπον τοῦ ἀρχιεπισκόπου τῆς μεγάλης Ῥώμης Λέοντος ὥρισα ἅμα τῆι ἁγιωτάτηι συνόδωι ἐπὶ τῆι καθαιρέσει Διοσκόρου ὁμοῦ καὶ ὑπέγραψα [Ā]
M VI 1081 2 Λουκίνσιος ἐπίσκοπος ἐρκουλάνων καὶ αὐτὸς ἐπέχων τὸν τόπον τοῦ ἀποστολικοῦ θρόνου τῆς μεγάλης Ῥώμης Λέοντος ἅμα τῆι ἁγιωτάτηι συνόδωι ὁρίσας ἐπὶ τῆι καθαιρέσει Διοσκόρου ὑπέγραψα [B̄]
3 Βονιφάτιος πρεσβύτερος καὶ πρεσβευτὴς τῆς ἐκκλησίας τῆς πρεσβυτέρας καὶ μεγάλης Ῥώμης καὶ αὐτὸς ὁμοίως ἐπέχων τὸν τόπον τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Λέοντος τῆι τιμίαι καὶ μακαριωτάτηι ἅμα καὶ ἀποστολικῆι ἐκκλησίαι τοῦ πάπα Λέοντος ἐπὶ τῆι καθαιρέσει Διοσκόρου ὁρίσας ὑπέγραψα [Γ̄]
4 Ἀνατόλιος ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως ὁρίσας ἅμα τῆι ἁγίαι συνόδωι ἐπὶ τῆι καθαιρέσει Διοσκόρου ὑπέγραψα [Δ̄]
L IIII 449 5 Μάξιμος ἐπίσκοπος τῆς μεγαλοπόλεως Ἀντιοχείας ὁρίσας ἅμα τῆι ἁγίαι συνόδωι ἐπὶ τῆι καθαιρέσει Διοσκόρου ὑπέγραψα [Ē]
6 Κύντιλλος ἐπίσκοπος Ἡρακλείας ἐπέχων τὸν τόπον τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς Θεσσαλονικέων Ἀναστασίου ὁρίσας ἅμα τῆι ἁγίαι συνόδωι ἐπὶ τῆι καθαιρέσει Διοσκόρου ὑπέγραψα [H̄]
M VI 1082 Καὶ οἱ λοιποὶ πάντες τῆι αὐτῆι τάξει καὶ εἰρμῶι ὁρίσαντες ὑπέγραψαν
7 Στέφανος Ἐφέσου [Θ̄]
8 Διογένης Κυζίκου [ΙĀ]
9 Ἰουλιανὸς τῆς Κῶ ἐλάχιστος ἐπίσκοπος καὶ πρεσβευτὴς τοῦ ἀποστολικοῦ θρόνου καὶ τὰ ἑξῆς [ΙΓ̄]
10 Πέτρος Κορίνθου [ΙΔ̄]
11 Ἰωάννης Σεβαστείας [Ī]
12 Σέλευκος Ἀμασείας [ΙĒ]
13 Κωνσταντῖνος Μελιτηνῆς [Ις̄]

---

97 subscriptiones plenae extant in Φ, sed inde a 6 ordine longe diuerso; ab utroque discrepat codicis Acoemitani Graeci ordo a Rustico per numeros quos uncis inclusos addidi, significatus

---

MBΦ

1 ἁβραάμιοσ M 2 λαπέτου MBΦ^{cr}, postulatur Λάππης 3 *Betheslas* Φ^{cr} *Bethesalas* Φ^{a} βοθεσλάσησ B βοθεσλασισ M 4 βριμίνου B, postulatur Λιμένων 5 *Antiochus* Φ ἀντίλοχοσ MB 6 ἀδράπων MB, corr. M 14 πασχασῖνοσ M 15 ὁρίσασ B 17 ἐρκουλάνων MB *Asculanae ecclesiae* Φ^{r} 20 βονηφάτιοσ M 28 ἐπισκόπου B 37 11 = 41 cf. Φ 39 μελιτινῆσ M

14 Πατρίκιος Τυάνων [ΙΖ]
15 Θεόδωρος Ταρσοῦ [ΙΗ]
16 Θεόδωρος Δαμασκοῦ [ΙΘ]
17 Πέτρος Γαγγρῶν [ΚΑ]
18 Βασίλειος Τραιανουπόλεως [ΚΒ]
19 Ἐλευθέριος Χαλκηδόνος [ΚΘ]
[20 Βασίλειος Σελευκείας Ἰσαυρίας]
21 Ἀμφιλόχιος Σίδης [ΚΗ]
22 Κῦρος Ἀναζάρβου [Λ] L IIII 450 M VI 1083
23 Καλόγηρος Κλαυδιουπόλεως [ΛΑ]
24 Εὐνόμιος Νικομηδείας [ΛΒ]
25 Ῥωμανὸς Μύρων [ΙΓ]
26 Κωνσταντῖνος Βόστρων [ΛΔ]
27 Φραγκίων Φιλιππουπόλεως [ΛΕ]
28 Μελέτιος Λαρίσσης [ΛϚ]
29 Δόμνος Ἀπαμείας [ΛΖ]
30 Στέφανος Ἱερᾶς πόλεως [ΛΗ]
31 Φλωρέντιος Σάρδεων [ΛΘ et ΟΗ]
32 Περγάμιος Ἀντιοχείας Πισιδίας [ΚϚ]
33 Νουνέχιος Λαοδικείας [Μ]
34 Ὀνησιφόρος Ἰκονίου [ΜΑ]
35 Λουκᾶς Δυρραχίου [ΜΒ]
36 Ἐπιφάνιος Πέργης [ΜΓ]
37 Μαρινιανὸς Συνάδων [ΜΔ]
38 Φώτιος Τύρου [ΜΖ]
39 Νόννος Ἐδέσσης [ΜΕ]
40 Σεβαστιανὸς Βερόης [Ν]
41 Ἰωάννης πρώτης Ἀρμενίας [ΝΒ]
42 Ἀριστόμαχος Κολωνείας [ΝΓ]
43 Ἰωάννης Γερμανικείας [ΜΗ]
44 Κεκρόπιος Σεβαστοπόλεως [Ξ]
45 Ἀκάκιος Ἀριαραθείας [ΝΕ]
46 Ἡρακλᾶς Κομάνων [ΝϚ] L IIII 451
47 Συμεώνης Ἀμίδης [ΟΓ] M VI 1084
48 Γρατιανὸς Κερασοῦντος [ϘΓ]
49 Ἀτάρβιος Τραπεζοῦντος [ΡΛΒ]
50 Θαλάσσιος Παρίου [ΝΔ]
51 Ἀττικὸς Νικοπόλεως
52 Φίλιππος Ἀδάνης [ΞΒ]
53 Θεόκτιστος Βεροίας [ΞϚ]

26 Facund. 5, 3 p. 714 *in . . tertia actione quinquagesimo et quinto loco Nonno suscribente atque dicente Nonnus episcopus ciuitatis Edessenae subscripsi, etiam ipse Ibas centesimo septuagesimo septimo loco, sicut inuenimus, damnationi eius ita subscribit: Ibas episcopus Edessenae ciuitatis subscripsi* [cf. catalogum Φ nr. 180 = ΡΟΒ]. ut Ibas in catalogo Graeco desideraretur, consulto factum est

MB (Φ)

7 18 = 17a Φa, deleui 10 καλόγηρωσ B 15 μελίτιοσ M 26 αἰδέσησ M 27 βερρόησ B περόησ M 28 41 = 11 31 κερκόπιοσ M dubito de numero 32 ἀριαραθίασ MB, corr. M numerus corruptus, cf. 26 35 γρατιανὸσ MBΦac *Gratidianus* Φr 40 βερροίασ B

54 Γερόντιος Σελευκείας [ϡΕ]
55 Τιμόθεος Βαλανέων [ΟΒ]
56 Σωφρόνιος Κωνσταντίνης [ϥϛ]
57 Ἀλέξανδρος Σεβαστῆς [ΡΜΕ]
58 Μελίτιος Λαρίσσης [ΝΖ]
59 Μάρκος Ἀρεθούσης [ΝΗ]
60 Θεοδόσιος Ναζιανζοῦ [ϡΑ]
61 Ὑπάτιος Ζεφυρίου [ΠΒ]
62 Θεόδωρος Κλαυδιουπόλεως [ϡΘ]
63 Οὐράνιος Ἐμίσης [Ο]
64 Λουκιανὸς Ἰψοῦ [ΠΕ]
65 Ἰουλιανὸς Ῥωσοῦ [ΡΚΑ]
66 Εὐστόχιος Δοκιμίου [ΠΖ]
67 Θεόδωρος Αὐγούστης [ϥΗ]
68 Ἐπίκτητος Διοκλητιανουπόλεως [ΟΑ]
69 Πολυχρόνιος Ἐπιφανείας [ϡΔ]
70 Εὐόλκιος Ζεύγματος [ϡΓ]
71 Παῦλος Πτολεμαΐδος [ΝΑ]
L IIII 452 72 Τρύφων Χίου [Κ et ΜΕ]
73 Ἰωάννης Ῥόδου
74 Βασίλειος Νακωλείας [Πϛ]
75 Παῦλος Μαριάμμης [ΡΒ]
76 Ἀντίοχος Σινώπης [ΠΔ]
77 Ἀπραγμόνιος Τίου [ΠΘ]
78 Ζηνόδοτος Τελμισσέων [ϡΖ]
79 Ῥῆνος Ἰουνοπόλεως [ϥΔ]
80 Κριτωνιανὸς Ἀφροδισιάδος [ΚΖ]
81 Χρύσιππος Μαλλοῦ
82 Καλλίνικος Ἀπαμείας [ΝΘ]
83 Ἴνδιμος καρινου [ΠΑ]
84 ρινος Εὐλάνδρων [ΡΔ]
85 Καίουμος Μαρκουπόλεως [ΡΙϛ]
86 Ἰωάννης Καρρῶν [ΡΙΖ]
87 Ἀβράμιος Κιρκηνσίου [ΡΙΔ]
88 Εὐσέβιος Κλαζομενῶν [ΡΓ]
89 Κυριακὸς Εὐκαρπέων [Ρ]
90 Μάμας Ἀνινήτου [ΡΘ]
91 Αἰθέριχος Σμύρνης [ΠΓ]
92 Λεόντιος Μαγνησίας [ΡΗ]
93 Δοκιμάσιος Μαρωνείας [ΡΝΔ]
94 Προτέριος Μυρίνης [ΡΙ]
95 Μαιόνιος Νύσης [ΡΙΕ]

MB (Φ)

5 58 = 28 16 ἐπιφανίασ MB 22 μαριάμνησ MB 23 ἀντίλοχοσ MB 24 τύρου MB
25 τελμισέων B 26 ῥῖνοσ M Ἰωνοπόλεωσ B 27 κρινονιανὸσ M 28 μάλχου MB
30 καρίνου MB Εἰρηνουπόλεωσ Φ 31 ῥῖνοσ M ῥῆνοσ B *Myrus* Φ[r] *Myron* Φ[ac]
33 καρῶν B 34 ἀβραάμιοσ M κιρκισίου M 35 repetitur 123[a] 37 ἀνηνίτου B
39 Μαγνησίας *om.* Φ (116) 41 μυρρίνησ M[corr]B 42 νύσσησ B

96 Μαρκελλῖνος Μητροπόλεως [ρια]
97 Ἡσαΐας Ἐλαιτῶν [ριβ]
98 Κόιντος Φωκαίας [ριθ]
99 Ἕσπερος Πιτάνης [ριγ]
100 Θεότεκνος Τυραείου [οδ]
101 Βασσονᾶς Νέας πόλεως [οζ]
102 Παῦλος Φιλομηλίου [οε]
103 Παῦλος Τριπόλεως [ρε]
104 Κῦρος Σινιανδοῦ [οθ]
105 Ὀλύμπιος Θεοδοσιουπόλεως [ρνα]
106 Φροντινιανὸς Σαγαλασσοῦ [πη]
107 Κοσσίνιος Ἱεροκαισαρείας [ρμη]
108 Παυλῖνος Ἀπαμείας [οϛ]
109 Σάβας Πάλτου [ζ]
110 Εὐδόξιος Χώματος [ρλϛ]
111 Φίλιππος Βαλβουρέων [ρλθ]
112 Φρόντων Φασηλιτῶν [ρλη]
113 Πατρίκιος Νεοκαισαρείας [ϙε]
114 Τιμόθεος Δολίχης [ϙβ]
115 Κυριακὸς Πατάρων [ϙθ]
116 Στέφανος Λιβουρέων [ρλζ]
117 Θεόδωρος Ἀντιφέλλου [ριη]
118 Λογγῖνος Ἀράξων [ρμβ]
119 Ἀντίπατρος Καύνου [ρμ]
120 Ἀνδρέας τρωγλέων [ρμγ]
121 Κρατιανὸς Πανόρμου [ζη]
122 Νικόλαος Ἀκρασσοῦ [ρμα]
123 Ῥωμανὸς Βουβωνέων [ρμδ]
[123a Εὐσέβιος Κλαζομενῶν]
124 Εὐλόγιος Φιλαδελφείας [κγ et cνη]
125 Ὀλύμπιος Σωζοπόλεως [ρζ]
126 Θεοσέβιος Ἰλίου [ϲ]
127 Ἀβέρκιος Ἱεραπόλεως [ρα]
128 Ἑορτίκιος Νικοπόλεως Πισιδίας [ϙ]
129 Δομνῖνος Πλαταιέων [ρλε]
130 Εἰρηναῖος Ναυπάκτου [ρλγ]
131 Ἀθανάσιος Ὀποῦντος [ρλ]
132 Ἑρμείας Ἀβύδου [ρμζ]
133 Εὐτρόπιος αραδου [ρϛ]
133a Φλωρέντιος Ἀδριανουπόλεως
134 Πρόκλος Ἀδράων [κδ et cνθ]

MB (Φ)

3 φωκίασ M φωκείασ M^{corr} 4 repetitur 137a 5 τυραΐου MB 7 φιλομιλίου MB 11 Φοντηιανός Φ 12 κονσίνιοσ M 14 σάββασ B 20 *Cyrinus episcopus Gadaron subscripsi* Φ (108) 23 Λεόντιος Φ (152) 24 repetitur 169a 25 τρωγλέων MB postulatur Τλωέων 27 ἀκρασοῦ B 28 βουβονέων M βουβωναίων B 29 κλαζονων M, repetitum ex 88 32 repetitur 144a 33 ἱεροπόλεωσ M 35 πλατέων M 39 ἀράδου MB *Adadon* Φ (114)

L IIII 453
M VI 1086
L IIII 454
M VI 1087

135 Δαμιανὸς Σιδῶνος [ρνβ]
136 Θεοδόσιος Κανωθᾶ [ρνγ]
137 Ἀλέξανδρος Σελευκείας Πισιδίας [ϙα]
[137a Ἕσπερος Πιτάνης]
138 Ῥουφῖνος Σαμοσάτων [ρις]
139 Πατρίκιος Ἀκρασσοῦ [ρο]
140 Ὁρμίσδας Φιλιππουπόλεως [ρκ]
141 Θεόδωρος Τριπόλεως [ρμγ]
142 Νεοπτόλεμος Κόρνων [ρπζ]
143 Εὐσέβιος Σελευκοβήλου
144 Πέτρος Δαρδάνου
[144a Θεοσέβιος Ἰλίου]
145 Ἰωάννης Πολεμωνίου [ρϛζ]
146 Μαρτύριος Γορτύνης [ροη]
L IIII 455 147 Νικόλαος Στοβῶν [ροθ]
148 Κῦρος Κυβίστρων
149 Γεννάδιος Ἀκμονέων [ρπε et ρκϛζ]
150 Δημήτριος Ἰαπετων [ρπϛ]
151 Εὐφρατᾶς Ἐλευθέρνης [ρπδ]
152 Κωνσταντῖνος Δημητριάδος
M VI 1088 153 Παῦλος Δέρβης [ρπη]
154 Πλούταρχος Λύστρων [ρπθ]
155 Εὐγένιος Κάνων [ρϙ]
156 Ροῦφος Ὕδης [ρϙα]
157 Τύραννος Οὐμανάσδων [ρϙβ]
158 Ἀχόλιος Λαράνδων [ρϙγ]
159 Διονύσιος Ἀτταλείας [ρκζ]
160 Φίλιππος Λυσιάδος [ρκγ]
161 Στρατήγιος Πολυβότων [ρν]
162 Κυριακὸς Τροκνάδων [ρμζ]
163 Διόδοτος Λυσινέων [ρμζ]
164 Διονύσιος Ἀντιόχου [ργ]
165 Ἰωάννης Ἀλίνδων [ρδ]
166 Τυγχάνιος Ἀπολλωνιάδος [ρβ]
167 Μένανδρος Ἡρακλείας [ρθ]
168 Ἰωάννης Ἀμαζόνος [ρη]
169 Θεόδωρος Ἀλαβάνδων [ρζ]
[169a Ἀντίπατρος κάμου]
170 Εὐπείθιος Στρατονικείας [ρε]
L IIII 456 171 Ῥωμανὸς Εὐδοξιουπόλεως [ριγ]
172 Ἰωάννης Κνίδου
173 Καλανδίων Ἀλικαρνασσοῦ [ρνζ ⟨ρν⟩ζ]

MB (Φ)

1 ὀγδόνοσ MB 4 repetitum ex 99 6 ἄκρασοῦ B 9 bis ponitur in Φ: 70 [ρπζ] et 196 [ρπζ] 12 repetitum ex 126 18 λαπέτων MB *Lappenae* Φr *Lampenae* Φac 19 ἐλευθερίνησ MBΦac *Eleuthernae* Φr 22 λύρων M 23 κανωνι M *Canon* Φac *Cannon* Φr 26 ἀράνδων MB 27 ἀτταλίασ M 29 πολυβόων MB, corr. M 30 προκνάδων B 37 *Theodotus* Φ (213), postulatur Θεοδώρητος 38 repetitum ex 119 42 ἁλικαρνασοῦ MB, corr. M

174 Θεόκτιστος Πισινοῦντος [ϹΝΓ]
175 Μυστήριος Ἀμορίου [ϹΝ]
176 Κυριακὸς Αἰγέης [ϹΝΔ]
177 Ἰουλιανὸς Ὑπαίπων [ϹΙΔ]
178 Λογγῖνος Ὁρκιστοῦ [ϹΝΑ]
179 Δαυὶδ Ἀδριανουπόλεως [ϹΝΒ]
180 Ἀλκιμίδης Σιλανδοῦ [ϷΚΔ]
181 Πολύκαρπος Γαβάλων
182 Ἀμάχιος Σεττῶν [ϷΚΕ]
183 Ἡλίας Βλανδοῦ
184 Μενεκράτης Κεράσσων
185 Λεύκιος Ἀπόλλωνος ἱεροῦ [ϷΚΗ]
186 Γέμελλος Στρατονικείας [ϷΚϹ]
187 Στέφανος Ποιμανηνοῦ [ϷΜϛ]
188 Θωμᾶς Θεοδοσιουπόλεως
189 Ἀκύλας Αὐροκλῶν
190 Ῥουφῖνος Βριούλων [ϹΙΗ]
191 Θωμᾶς Πορφυρεῶνος [ϷΝΕ]
192 Οὐαλεριανὸς Λαοδικείας Φοινίκης [ϷΚΒ]
193 Πιόνιος Τρωάδος [ϹΙΘ]
194 Παῦλος Πόγλων
195 Θεόδωρος Ἡρακλείας Πόντου [ϹΙΕ]
196 Ἰωάννης Φλαβιάδος [ϥϹ]
197 Γεννάδιος Μοσσόνης [ϹΚΕ]
198 Ἰωάννης Τραπεζοῦντος [ϹΚΗ]
199 Εὐλάλιος Πιονίων Τρωάδος [ϹΛΕ]
200 Νέων Σιλυάδων [ϹΜΘ]
201 Θεόφιλος Ἀριασσοῦ [ϷΟϹ]
202 Μακεδὼν Μαδύτου [ϹΜΗ]
203 Παῦλος Ἀριστίου [ϹΜΔ]
204 Σέρηνος Μαξιμιανουπόλεως [ϷϞΓ]
205 Φίλιππος τῆς Νέας αὐλῆς [ϷΛΑ]
206 Παυλῖνος Θεοδοσιουπόλεως [ϹΚϹ]
207 Ἰουλιανὸς Κελενδέρεως [ϹΚΑ]
208 Τύραννος Γερμανικουπόλεως [ϹΚΒ]
209 Ἐπιφάνιος Κέστρων [ϷΝϛ]
210 Ἀκάκιος Ἀντιοχείας τῆς Λαμωτίδος [ϹΚΓ]
211 Ἀμμώνιος Ἰωτάπης [ϹΚΔ]
212 Μάταλος Φιλαδελφείας [ϷΝϹ]
213 Αἰλιανὸς Σελινοῦντος [ϷΝΗ]
214 Πέτρος Γαβουλᾶ [ϷϥΔ]

5 M VI 1089 10 15 L IIII 457 25 30 M VI 1090 35 40

MB (Φ)

2 ἀμμωρίου B 4 ὑπέπων MB 6 *Adrianae* Φ (265) 9 σέλλων MBΦ 11 κερασῶν B 12 Ἐλευσίνιος Φ (135) 14 ποιμανινοῦ M ποιμανηνῶν B 19 οὐαλλεριανὸσ M^{corr}B 25 τραπεζοῦντοσ MBΦ^{ac} (240) *Trapezopolitanae* Φ^{r} 27 σιλυάνδων B 28 ἀριόσσου B 29 μαδύτου M^{corr}B ματυδου M 31 *Serenus* Φ (174) εἰρηνοσ M εἰρηναῖοσ B 35 γερμανικοπόλεωσ B 39 *Magalus* Φ (168) 41 γαμβουλᾶ M

215 Νῶε Κηφᾶ [P̄q̄Ē]
216 Μάρας Ἀνασάρθα [P̄q̄ς̄]
217 Ῥωμύλος Χαλκίδος
218 Ὀλύμπιος Προυσιάδος
219 Θεόφιλος Ἀδριανουπόλεως
220 Γεννάδιος Κρατείας

L IIII 458
M VI 1091 Οὗτοι πάντες παραπλησίως ὑπέγραψαν τῇι ὑπογραφῇι ταύτηι ἣ ἐστιν· ὁρίσας ἐπὶ τῇι καθαιρέσει Διοσκόρου ὑπέγραψα.

221 Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων πεισθεὶς τῇι ὑπολήψει τῶν καθελόντων ἁγιωτάτων καὶ ὁσιωτάτων ἐπισκόπων Διόσκορον συνθέμενος ὑπέγραψα κἀγὼ τῇι καθαιρέσει αὐτοῦ [C̄Ž̄]
222 Θαλάσσιος ἐπίσκοπος Καισαρείας Καππαδοκίας ἀκολουθήσας τῶι τύπωι τῶν ἁγίων πατέρων ὑπέγραψα τῇι καθαιρέσει Διοσκόρου [C̄Ž̄Ā]
L IIII 459 223 Φλωρέντιος ἐπίσκοπος Τενέδου Λέσβου Ποροσελήνης καὶ τῶν Αἰγιαλῶν ὁρίσας ἐπὶ τῇι καθαιρέσει Διοσκόρου ὑπέγραψα δι' Εὐλογίου τοῦ χωρεπισκόπου διὰ τὸ ἐμὲ ὑπότρομον ἔχειν ὑπὸ ἀρρωστίας τὴν χεῖρα [C̄K̄Θ̄]
224 Σωτηρᾶς ἐπίσκοπος Θεοδοσιανῆς ὁρίσας ἐπὶ τῇι καθαιρέσει Διοσκόρου ὑπέγραψα [P̄Ž̄Z̄]
225 Ἐπαφρόδιτος ἐπίσκοπος τῆς κατὰ Δάμασον ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὁρίσας ἐπὶ τῇι καθαιρέσει Διοσκόρου ὑπέγραψα [P̄Ž̄H̄]
226 Δωρόθεος ἐπίσκοπος τῆς Διοκαισαρέων μητροπόλεως ὁρίσας ἐπὶ τῇι καθαιρέσει Διοσκόρου ὑπέγραψα [C̄Λ̄]
227 Ἐλπίδιος μονῆς Θέρμων ὁρίσας ὑπέγραψα τῇι καθαιρέσει Διοσκόρου [C̄Λ̄Ā]
228 Ἀκύλας ἐπίσκοπος τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας τῆς κατὰ Εὐδοξιάδα ὁρίσας ὑπέγραψα τῇι καθαιρέσει Διοσκόρου [C̄Ī B̄]
229 Ἀττικὸς ἐλέει θεοῦ ἐπίσκοπος Ζήλων πόλεως ὁρίσας ἐπὶ τῇι καθαιρέσει Διοσκόρου ὑπέγραψα [C̄Λ̄B̄]
230 Ἰωάννης ἐπίσκοπος Διοκαισαρείας τῆς Ἰσαυρίας ὁρίσας ἐπὶ τῇι καθαιρέσει Διοσκόρου ὑπέγραψα διὰ τοῦ ἀναγνώστου μου Νείλου [C̄Λ̄Δ̄]
M VI 1092 231 Εὐλάλιος ἐπίσκοπος τῆς ἐν Σιβλιανῶι ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὁρίσας ἐπὶ τῇι καθαιρέσει Διοσκόρου ὑπέγραψα [P̄q̄H̄]
232 Εὐστάθιος ἐπίσκοπος τῆς Βηρυτῶν πόλεως πεισθεὶς τῇι ὑπολήψει τῶν θεοφιλεστάτων καὶ ἁγιωτάτων ἐπισκόπων τῶν καθελόντων Διόσκορον συνεθέμην τῇι καθαιρέσει ὑπογράψας χειρὶ ἐμῇι [M̄ς̄]
233 Εὐσέβιος ἐπίσκοπος Ἀγκύρας Γαλατίας πεισθεὶς τῇι ὑπολήψει τῶν καθελόντων
L IIII 460 ἁγιωτάτων καὶ ὁσιωτάτων ἐπισκόπων συνθέμενος ὑπέγραψα τῇι καθαιρέσει Διοσκόρου [C̄Ž̄Δ̄]
234 Ἰουλιανὸς ἐλέωι θεοῦ ἐπίσκοπος Ταβίας κατὰ τὸν αὐτὸν τρόπον τῶι ἁγιωτάτωι τῆς μητροπόλεως ἡμῶν ἐπισκόπωι συναινέσας ὑπέγραψα τῇι καθαιρέσει Διοσκόρου [C̄Ž̄Ē]
235 Μελίφθογγος ἐλέωι θεοῦ ἐπίσκοπος τῆς κατὰ Ἰλιούπολιν ἁγίας τοῦ θεοῦ ἐκκλη-
Mt. 20, 9 σίας, εἰ καὶ περὶ τὴν ἑνδεκάτην κατὰ τὸ γεγραμμένον συνέφθασα τὴν καθαίρεσιν

MB (Φ)

1 χηφᾶ M 4 cf. 250 5 cf. 251 6 cf. 249 κρατίασ M 7 ἐπιγραφῇ M 10/11 καὶ συνθέμενοσ κἀγὼ τῇ καθαιρέσει αὐτοῦ ὑπέγραψα B 14 προσελήνησ M 19 *Tamasi* Φ^{ac} *Tamiasi* Φ^{r} 24. 25 post 27 coll. B 24 τῆς^{1} om. M 26 ζήλων πόλεωσ M νικοπόλεωσ B 38 ταβίασ M^{corr} ταγίασ MB 41 Ἰλιούπολιν MB ἡλιούπολιν M^{corr}, postulatur **Ἰουλιούπολιν**

Διοσκόρου, σύμψηφος τοῖς πατράσι γινόμενος συναινῶι τῆι κατ' αὐτοῦ ἐξενεχθείσηι ψήφωι παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου καὶ ὑπέγραψα [ϹϞϛ].

236 Ἀκάκιος ἐπίσκοπος πόλεως Κίννης συναινῶ τῆι μεγάληι καὶ οἰκουμενικῆι συνόδωι ἐπὶ τῆι καθαιρέσει Διοσκόρου καὶ ὑπέγραψα [ϹϞΖ].

237 Λευκάδιος ἐπίσκοπος Μνίζου συναινῶν τῆι μεγάληι καὶ οἰκουμενικῆι συνόδωι ἐπὶ τῆι καθαιρέσει Διοσκόρου ὑπέγραψα χειρὶ ἐμῆι [ϹϞΗ].

238 Εὐφράσιος ἐπίσκοπος Λαγανίας συναινῶ τῆι μεγάληι καὶ οἰκουμενικῆι συνόδωι καὶ ὑπέγραψα ἐπὶ τῆι καθαιρέσει Διοσκόρου [ϹϞΘ].

239 Δανιὴλ ἐπίσκοπος Λαμψάκου ὁρίσας ἐπὶ τῆι καθαιρέσει Διοσκόρου ὑπέγραψα [ϹΛϛ].

240 Ἀντίοχος Ἀλκηνῶν ὁρίσας ἐπὶ τῆι καθαιρέσει Διοσκόρου ὑπέγραψα [ϹΛΖ]. M VI 1093

241 Ῥουφῖνος ἐπίσκοπος Βίβλου ὁρίσας ἐπι τῆι καθαιρέσει Διοσκόρου ὑπέγραψα [ϹΛΗ]. 11

242 Ἀλέξανδρος ἐπίσκοπος Ἀνταράδου ὁρίσας ἐπὶ τῆι καθαιρέσει Διοσκόρου ὑπέγραψα [ϹΛΘ].

243 Λεόντιος ἐπίσκοπος Ἀσκάλωνος ὁρίσας ἐπὶ τῆι καθαιρέσει Διοσκόρου ὑπέγραψα [ϷϞΘ]. 15

244 Φωτεινὸς ἐπίσκοπος Λύδδης ὁρίσας ἐπὶ τῆι καθαιρέσει Διοσκόρου ὑπέγραψα [ϷΟΕ].

245 Ἀνιανὸς ἐπίσκοπος Καπιτωλιάδος ὁρίσας ἐπὶ τῆι καθαιρέσει Διοσκόρου ὑπέγραψα [ϷΟϛ]. L IIII 459

246 Ἰωάννης ἐπίσκοπος Κνίδου ὁρίσας ἐπὶ τῆι καθαιρέσει Διοσκόρου ὑπέγραψα [ϹΙΑ]. 20

247 Δοκιμάσιος ἐπίσκοπος Μαρωνείας ὁρίσας ἐπὶ τῆι καθαιρέσει Διοσκόρου ὑπέγραψα [ϷΝΔ].

248 Σώιζων ἐπίσκοπος Φιλίππων γνοὺς τὴν ἐξέτασιν τῶν ἁγίων πατέρων καὶ τῆι τούτων κρίσει ἐξακολουθεῖν ὀφείλων ὑπέγραψα ἐπὶ τῆι καθαιρέσει Διοσκόρου [ϹΜΕ]. 25

249 Εὐλόγιος πρεσβύτερος Κρατείας τόπον ἐπέχων Γενεθλίου ἐπισκόπου ὁρίσας ἐπὶ τῆι καθαιρέσει Διοσκόρου ὑπέγραψα [ϷϞ].

250 Μόδεστος πρεσβύτερος τόπον ἐπέχων Ὀλυμπίου ἐπισκόπου Προυσιάδος ὁρίσας ἐπὶ τῆι καθαιρέσει Διοσκόρου ὑπέγραψα [ϷϞΒ].

251 Πελάγιος πρεσβύτερος τόπον ἐπέχων Θεοφίλου ἐπισκόπου Ἀδριανουπόλεως ὁρίσας ἐπὶ τῆι καθαιρέσει Διοσκόρου ὑπέγραψα [ϷϞΑ]. M VI 1094 31

252 Πέρσης ὑπέγραψα Περσιστί.

Καθαίρεσις πεμφθεῖσα παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου Διοσκόρωι M VI 1095

99 Ἡ ἁγία καὶ μεγάλη καὶ οἰκουμενικὴ σύνοδος ἡ χάριτι θεοῦ κατὰ θέσπισμα τῶν εὐσεβεστάτων καὶ θεοφιλεστάτων βασιλέων ἡμῶν συναχθεῖσα ἐν τῆι Χαλκηδονέων πόλει τῆς Βιθυνίας ἐν τῶι μαρτυρίωι τῆς ἁγιωτάτης καὶ καλλινίκου μάρτυρος Εὐφημίας Διοσκόρωι. Γίνωσκε σαυτὸν διὰ τὴν κατὰ τῶν θείων κανόνων ὑπεροψίαν καὶ διὰ τὴν ἀπείθειάν σου τὴν περὶ τὴν ἁγίαν ταύτην καὶ οἰκουμενικὴν σύνοδον, ὑπὲρ ὧν πρὸς τοῖς ἄλλοις σου πλημμελήμασιν οἷς ἐάλως, καὶ τρίτον κληθεὶς παρὰ τῆς ἁγίας ταύτης καὶ μεγάλης συνόδου κατὰ τοὺς θείους κανόνας ἐπὶ τῶι ἀποκρίνασθαι τοῖς ἐπαγομένοις σοι M VI 1096 40

MB (Φ)

5 κνίζου B 17 καπετωλιάδοσ B 21/22 = 93 21 ῥωμανίασ MB 24 ἐπὶ om. M 26/27 cf. 220 26 ἐπίσκοποσ B κρατίασ M 28/29 cf. 218 30/31 cf. 219

MBΦr

34 λᾱ M in mg. καὶ² MΦ om. B 37 κατὰ om. B 40 τὸ M

οὐκ ἀπήντησας, Ὀκτωβρίου μηνὸς τοῦ ἐνεστῶτος τρισκαιδεκάτῃ παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου καθαιρεῖσθαι τῆς ἐπισκοπῆς καὶ παντὸς ἐκκλησιαστικοῦ θεσμοῦ ὑπάρχειν ἀλλότριον.

L IIII 461 Τοῖς κληρικοῖς Ἀλεξανδρείας τοῖς τυχοῦσιν ἐν Χαλκηδόνι περὶ τῆς καθαιρέσεως Διοσκόρου

100 Ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος ἡ χάριτι θεοῦ κατὰ θέσπισμα τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων συναχθεῖσα ἐν τῇ Χαλκηδονέων πόλει τῆς Βιθυνίας ἐν τῷ μαρτυρίῳ τῆς ἁγίας καὶ καλλινίκου μάρτυρος Εὐφημίας Χαρμοσύνῳ πρεσβυτέρῳ καὶ οἰκονόμῳ καὶ Εὐθαλίῳ ἀρχιδιακόνῳ τοῖς εὐλαβεστάτοις καὶ λοιποῖς κληρικοῖς τοῖς οὖσιν ἐνταῦθα. Γινωσκέτω ὑμῶν ἡ εὐλάβεια Διόσκορον τὸν γενόμενον ὑμῶν ἐπίσκοπον πολλοῖς τρόποις ἁλόντα ἐπὶ βλάβῃ τῶν θείων κανόνων καὶ τῆς ἐκκλησιαστικῆς τάξεως, προσέτι γε μὴν καὶ ἐνυβρίσαντα τὴν ἁγίαν ταύτην καὶ οἰκουμενικὴν σύνοδον ἀπὸ τοῦ κεκλῆσθαι τρίτον κατὰ τοὺς θείους κανόνας καὶ καταφρονήσαντα μὴ ἀπαντῆσαι κατὰ τὴν χθὲς ἡμέραν, ἥτις ἐστὶ τοῦ ἐνεστῶτος μηνὸς Ὀκτωβρίου τρισκαιδεκάτη ἡμέραι σαββάτου, παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου κατὰ τὸ δοκοῦν τῇ ἐκκλησιαστικῇ καταστάσει καθαιρεῖσθαι τῆς ἐπισκοπῆς καὶ παντὸς ἐκκλησιαστικοῦ βαθμοῦ γενέσθαι ἀλλότριον. φυλάξατε τοίνυν τὰ ἐκκλησιαστικὰ σύμπαντα ὡς μέλλοντες καὶ λόγον ἀποδοῦναι τῷ κατὰ βούλησιν θεοῦ καὶ νεύματι τῶν εὐσεβεστάτων καὶ θεοφιλεστάτων ἡμῶν βασιλέων χειροτονηθησομένῳ τῆς Ἀλεξανδρέων μεγαλοπόλεως ἐκκλησίας ἐπισκόπῳ.

M VI 1097 Πρόθεμα κατὰ Διοσκόρου

101 Ἡ ἁγία καὶ μεγάλη καὶ οἰκουμενικὴ σύνοδος ἡ χάριτι θεοῦ κατὰ θέσπισμα τῶν εὐσεβεστάτων καὶ θεοφιλεστάτων βασιλέων ἡμῶν συναχθεῖσα ἐν τῇ Χαλκηδονέων πόλει τῆς Βιθυνῶν ἐπαρχίας ἐν τῷ μαρτυρίῳ τῆς ἁγιωτάτης καὶ καλλινίκου μάρτυρος Εὐφημίας παντὶ τῷ φιλοχρίστῳ λαῷ Κωνσταντινουπόλεως καὶ Χαλκηδόνος. Ἦλθεν εἰς τὴν ἁγίαν καὶ μεγάλην σύνοδον ὡς μετὰ τὴν ἐκ τῶν θείων κανόνων τῆς ἱερωσύνης ἀφαίρεσιν Διόσκορος ὁ γενόμενος τῆς Ἀλεξανδρέων μεγαλοπόλεως ἐπίσκοπος ἐπιχειρήσας διαθρυλεῖν αὖθις ἁπολαβεῖν τὴν ἱερωσύνην, ἣν πρότερον ἔχων οὐκ εἰς θεραπείαν τοῦ δεδωκότος Χριστοῦ, ἀλλ' εἰς ἀδικίαν καὶ λύμην τῶν θείων κανόνων καὶ τῆς ἐκκλησιαστικῆς τάξεως ταύτῃ ἀπεχρήσατο. ἵνα τοίνυν ἅπαντες οἱ τῆς εὐαγοῦς πίστεως τρόφιμοι ἀναμφίβολον ἔχητε τὴν ἔνδικον ἐπ' αὐτῷ παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τῆς καθαιρέσεως ψῆφον, τόδε τὸ γράμμα ἐδικαιώσαμεν προτεθῆναι διασημαίνοντες ὡς ὁ παρὰ τοῦ δεσπότου θεοῦ καὶ παρὰ τοσαύτης πληθύος ἐπισκόπων δι' ὧν ἀσύγγνωστα δέδρακεν, τῆς κατὰ τὴν ἱερωσύνην χάριτος ἀφαιρεθεὶς οὐδεμίαν τὸ σύνολον ἔχει ἀποκαταστάσεως ἐλπίδα ὡς μετὰ τῆς αὐτοῦ ἀποβολῆς παυσαμένων καὶ τῶν σκανδάλων.

Πεπλήρωται ἡ β̄ πρᾶξις τῶν ἐν Χαλκηδόνι συνελθόντων ἁγίων καὶ μακαρίων πατέρων

Τέλος τῶν πρακτικῶν τοῦ πρώτου βιβλίου

MBΦ^{r}

1 ὀκτωβρίῳ μηνὶ M 12 καὶ om. M 13 μηνὸς om. M 14 σαββάτῳ B ἁγίας BΦ^{r} ἁγίας μεγάλης M 18/19 ἐπισκόπῳ om. M 23 βιθυνῶν ἐπαρχίας BΦ^{r} βιθυνίας M 26 ἐπιχειρεῖ Φ 27 διαθρυλλεῖν B 35/36 om. Φ 35 πεπλήρωται ἡ β̄ [τρίτη M, corr. M] πρᾶξις M τέλος τῆς δευτέρας πράξεως B 36 om. B

EPISTVLARVM COLLECTIO B

M = Codex Venetus 555 s. XI
B = Codex Vindobonensis hist. gr. 27 s. XII
V = Codex Vaticanus 1455 s. XV
F = Codex Vaticanus 720 s. XI
Z = Codex Vaticanus 630 s. XVI/XVII

Ἀντίγραφον τῆς ἰδιοχείρου πίστεως Φλαβιανοῦ ἐπισκόπου Κωνσταντινουπόλεως ἐπιδοθείσης παρ' αὐτοῦ αἰτήσαντι τῶι βασιλεῖ

1 Φλαβιανὸς ἐπίσκοπος Κωνσταντινουπόλεως τῶι εὐσεβεστάτωι καὶ φιλοχρίστωι ἡμῶν βασιλεῖ Θεοδοσίωι χαίρειν. Οὐδὲν οὕτω κτλ. = Epist. Coll. H 1

Β̄ Ἐπιστολὴ τοῦ ἀρχιεπισκόπου Ῥώμης Λέοντος ἀντιγραφεῖσα πρὸς Εὐτυχῆ

2 Τῶι ποθεινοτάτωι υἱῶι Εὐτυχεῖ πρεσβυτέρωι Λέων ἐπίσκοπος. Εἰς γνῶσιν ἡμετέραν διὰ τῶν τῆς σῆς ἀγάπης ἐπιστολῶν ἀνήνεγκας ὅτι ἡ Νεστοριανὴ αἵρεσις τινῶν πάλιν ταῖς σπουδαῖς ἀνθεῖ. τὸν ζῆλον τὸν σὸν ἐκ τούτου τοῦ μέρους ἡμῖν ἀρέσαντα ἀντιγράφομεν, ἐπειδὴ μηνυτὴς τοῦ σοῦ λογισμοῦ ἐστιν ὁ λόγος ὃν ἐδεξάμεθα. δι' ὃ μὴ ἀμφιβάλῃς τὸν ἀρχηγὸν τῆς καθολικῆς πίστεως τὸν δεσπότην ἐν πᾶσί σοι παρεσόμενον· ἡμεῖς δὲ ὅτε πληρέστερον ὢν τῆι ἀναιδείαι τοῦτο γίνεται, δυνηθῶμεν γνῶναι, ἐπάναγκές ἐστι τοῦ δεσπότου βοηθοῦντος προνοῆσαι ἄχρις οὗ ὁ ἀθέμιτος ἰὸς ὁ πάλαι κατακριθεὶς ῥιζόθεν δυνηθῆι σβεσθῆναι.

Ὁ θεὸς ὑγιῆ σε διαφυλάξει, υἱὲ ποθεινότατε.

Γ̄ Ἐπιστολὴ Πέτρου ἐπισκόπου Ῥαβέννης ἀντιγραφεῖσα πρὸς Εὐτυχῆ τὸν ἀρχιμανδρίτην

3 Τῶι ἀγαπητῶι καὶ ἀξιοτιμήτωι υἱῶι Εὐτυχεῖ Πέτρος ἐπίσκοπος Ῥαβέννης. Στυγνῶς ἀνέγνων τὰς στυγνάς σου ἐπιστολὰς καὶ τὰ γράμματά σου τὰ στυγνὰ τῆι προσηκούσηι λύπηι διέδραμον, ἐπειδὴ ὥσπερ ἡμᾶς ἡ εἰρήνη τῶν ἐκκλησιῶν, ἡ ὁμόνοια τῶν ἱερέων, ἡ γαλήνη τοῦ δήμου χαίρειν ποιεῖ οὐρανίωι χαρᾶι, οὕτως ἡμᾶς καταπονεῖ καὶ καταβάλλει ἡ ἀδελφικὴ διχόνοια, καὶ μάλιστα ὅταν ἐκ τοιούτων ἀναφύηται αἰτιῶν. τριάκοντα ἔτεσιν οἱ ἀνθρώπινοι νόμοι τὰς ἀνθρωπίνας ἀνατρέπουσι ζητήσεις· ἡ τοῦ Χριστοῦ γέννησις, ἥτις τῶι θείωι νόμωι ἀνεκδιήγητος γέγραπται, μετὰ τοσούτους αἰῶνας Ies. 53, 8
διαλογισμῶι ἀπονενοημένωι ἐρευνᾶται. τί Ὠριγένης ὁ τῶν παλαιῶν ἐρευνητὴς ὑπέμεινεν, ποίωι τρόπωι Νεστόριος ὠλίσθησεν διαλογιζόμενος περὶ φύσεων, οὐ λανθάνει τὴν σὴν σύνεσιν. οἱ μάγοι τὸν Χριστὸν ἐν σπαργάνοις θεὸν μυστικοῖς δώροις ὡμολόγουν, καὶ οἱ ἱερεῖς τίς ἐστιν ὁ τῶι παρθενικῶι τοκετῶι ἐκ πνεύματος ἁγίου τεχθείς, ἐπιπόνωι ἐρευνήσει ἐκζητοῦσιν. ὅτε βοὴν ἐδίδου Χριστὸς ἐν τοῖς σπαργάνοις βρεφικήν, δόξα ἐν ὑψίστοις θεῶι οὐράνιος ἀνεβόα στρατός, καὶ νῦν ὅτε ἐν ὀνόματι Ἰησοῦ Lc. 2, 14
Χριστοῦ πᾶν γόνυ κάμπτει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, Phil. 2, 10

1 Haec collectio in MB sequitur actionem alteram quae est de damnatione Dioscori, in V per se stat
2 exemplar Latinum extat in Leonis ep. 1 [= Epist. ante Gesta Coll. 2]
3 exemplar Latinum extat in Epist. ante Gesta coll. 3

MBV
1 λ̄ζ̄ M^{mg} 5 Β̄ B λη̄ M^{mg} 9 μηνυτὴσ M^{corr} δὲ μηνυτὴσ M διαμηνυτὴσ BV
10 ἀμφιβάλλησ V σοι om. V 11 πληρέστατον V 14 φυλάξει B διαφυλάξαι V
15 Γ̄ MB 16 λθ̄ M^{mg} 22 ἀνεκδιηγήτωσ MBV 24 ὑπομένει V 27 ἐκζητήσουσιν V
ὅτι V σπαργάνοισ βρεφικὴν spatio relicto om. MB

τῆς ἀρχαιογονίας αὐτοῦ ζήτησις κινεῖται. ἡμεῖς δέ, ἀδελφέ, μετὰ τοῦ ἀποστόλου
2 Cor. 5, 16 λέγομεν καὶ εἰ ἐγνώκαμεν Χριστὸν κατὰ σάρκα, ἀλλὰ λοιπὸν νῦν οὐ γινώσκομεν οὔτε δυνάμεθα ἐφύβριστα ἐρευνᾶν, οἵτινες κελευόμεθα τιμὴν διδόναι, φόβον ἀποδιδόναι καὶ ἐκδέχεσθαι, οὐκ ἐρευνᾶν τὸν κριτὴν ὁμολογοῦμεν.

Ταῦτα διὰ βραχέων ἀπεκρινάμην, ἀδελφέ, τοῖς σοῖς γράμμασιν, πλείονα μέλλων γράφειν, εἰ πρὸς ἐμὲ ὁ ἀδελφὸς καὶ συνεπίσκοπος ἡμέτερος Φλαβιανὸς τινὰ περὶ τούτου τοῦ πράγματος γράμματα ἔπεμψεν. εἰ γάρ σοι ἀπαρέσκει, ὅτιπερ γράφεις, αὐτῶι ἠιρῆσθαι τὴν ἀκρόασιν, ἡμεῖς ποίωι τρόπωι περὶ τούτων δικάσαι δυνάμεθα, οὓς μήτε ὁρῶμεν διὰ τὴν ἀπουσίαν καὶ τί ἐνόησαν, τῆι σιωπῆι αὐτῶν ἀγνοοῦμεν; δίκαιος μεσίτης οὔκ ἐστιν ὃς ἑνὸς μέρους οὕτως ἀκούει, ὡς ἑτέρωι μέρει μηδὲν φυλάξαι. ἐπὶ πᾶσιν δὲ προτρεπόμεθά σε, ἀδελφὲ τιμιώτατε, ὥστε τοῖς παρὰ τοῦ μακαριωτάτου πάπα τῆς πόλεως Ῥώμης γραφομένοις πειθαρχούντως προσέχειν, ἐπειδὴ ὁ μακάριος Πέτρος, ὃς ἐν τῆι ἰδίαι καθέδραι καὶ ζῆι καὶ προκάθηται, δίδωσι τοῖς ζητοῦσι τῆς πίστεως τὴν ἀλήθειαν. ἡμεῖς γὰρ σπουδῆι τῆς εἰρήνης καὶ τῆς πίστεως ἐκτὸς συναινέσεως τοῦ Ῥώμης ἐπισκόπου πίστεως αἰτίας διαγνῶναι οὐ δυνάμεθα.

Ὑγιαίνουσαν τὴν ἀγάτην τὴν σὴν ὁ δεσπότης χρόνωι μακροτάτωι διαφυλάξαι καταξιώσει, ποθεινότατε καὶ ἀξιοτίμητε υἱέ.

Δ Ἐπιστολὴ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Ῥώμης Λέοντος πρὸς Φλαβιανὸν ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως

4 Ὁπότε ὁ Χριστιανικώτατος καὶ φιλανθρωπότατος βασιλεὺς ἁγίαι καὶ ἐπαινετῆι πίστει ὑπὲρ τῆς εἰρήνης τῆς καθολικῆς ἐκκλησίας μεριμνῶν πρὸς ἡμᾶς γράμματα διεπέμψατο περὶ τούτων ἅτινα παρ' ὑμῖν ταραχῆς κτύπον ἐνεποίησαν, θαυμάζομεν τὴν σὴν ἀδελφότητα, τί αὐτόθι σκάνδαλον γεγένηται ὅπερ πρὸς ἡμᾶς ἡσυχάσαι δεδύνησαι καὶ μὴ μᾶλλον φροντίσαι ὥστε πρὸ πάντων διδασκαλίαι σῆς ἀναφορᾶς ἡμᾶς διδάξαι, ἐφ' ὧι τε ἡμᾶς περὶ τῆς πίστεως τῶν πραχθέντων μὴ δύνασθαι ἀμφιβάλλειν. ἐδεξάμεθα γὰρ λίβελλον Εὐτυχοῦς τοῦ πρεσβυτέρου, ὅστις μέμφεται κατηγοροῦντος Εὐσεβίου ἐπισκόπου ἀναξίως ἑαυτὸν τῆς κοινωνίας ἐστερῆσθαι, καὶ μάλιστα, ὡς ἐμαρτύρατο, ὅτι κληθεὶς παρεγένετο καὶ τὴν ἰδίαν παρουσίαν οὐκ ἠρνήσατο, ἐπὶ τοσοῦτον ὥστε ἐν αὐτῶι τῶι δικαστηρίωι λίβελλον ἐκκλήτου ἐπιδεδωκέναι αὐτόν· ὅθεν ἠναγκάσθη διαμαρτυρίας λιβέλλους ἐν τῆι Κωνσταντινουπόλει προθεῖναι. ὧν πραγμάτων γεγενημένων οὔπω ἐπιγινώσκομεν ποίαι δικαιοσύνηι ἀπὸ τῆς κοινωνίας τῆς ἐκκλησίας ἐγένετο κεχωρισμένος. ἀλλὰ προσέχοντες τῆι αἰτίαι θέλομεν τοῦ σοῦ φάκτου τὸν λογισμὸν μαθεῖν καὶ πάντα ὑπερτεθῆναι ἄχρι τῆς ἡμετέρας γνώσεως, ἐπειδὴ ἡμεῖς οἱ βουλόμενοι τῶν ἱερέων τοῦ δεσπότου δικαίας εἶναι τὰς κρίσεις οὐδὲν δυνάμεθα μὴ διαγνωσθέντων τῶν πραγμάτων εἴς τινος μέρους πρόκριμα ἀποφήνασθαι πρὶν ἢ τὰ πραχθέντα μετὰ ἀληθείας ἀκούσωμεν. καὶ διὰ τοῦτο ἡ σὴ ἀδελφότης δι' ἐπιτηδείου μάλιστα καὶ ἁρμοδίου πληρεστάτηι ἀναφορᾶι γνωρίσει ἡμῖν τίς κατὰ τῆς ἀρχαίας πίστεως καινότης ἀνέκυψεν, ὅπερ αὐστηρᾶι ἀποφάσει ἄξιον ἐγένετο τοῦ ἐκδικηθῆναι. καὶ γὰρ ἡ ἐκκλησιαστικὴ διοίκησις καὶ τοῦ θεοφιλεστάτου βασιλέως ἡ πίστις πολλὴν ἡμῖν φροντίδα περὶ τῆς τῶν Χριστιανῶν εἰρήνης ἐνέβαλεν, ἵνα περιαιρεθεισῶν τῶν διχονοιῶν ἡ καθολικὴ πίστις ἀμόλυντος δια-

4 Exemplar Latinum extat in Leonis ep. 3 [= Epist. ante Gesta Coll. 4]

MBV

1 ζήτησιν V 5 μέλλων] μᾶλλον, ο in ω corr. V 6 τινὰ om. V 7 αὐτῶ V σαυτῶ MB 9 ἐνενόησαν V 12 πέτροσ ὁ μακάριοσ BV 14 συναίσεωσ V 18 Δ̄ M 21 ὑπὸ V τῆς εἰρήνης om. V 22 ἐποίησαν BV 29 post αὐτόν om. *nec tamen fuisse susceptum* translator 30 · ὧν scripsi τῶν MBV 33 ὑπερτιθέναι V 35 ἀκούσομεν MB 39 εὐσεβεστάτου V *piissimi* Φcr 40 ἀμώμητοσ BV

φυλαχθείη καὶ τούτων οἵτινες τὰ φαῦλα ἐκδικοῦσιν, ἀπὸ τῆς πλάνης ἀνακληθέντες τῇ ἡμετέραι αὐθεντίαι ὧν ἂν δοκιμασθῇ ἡ πίστις, ὀχυρωθῶσι. καὶ μηδεμία δυσχέρεια ἐκ τούτου τοῦ μέρους προσαχθῇ, ὁπότε ὁ μνημονευθεὶς πρεσβύτερος ἐν τῶι ἰδίωι λιβέλλωι ὡμολόγησεν ἕτοιμον ἑαυτὸν εἶναι πρὸς διόρθωσιν, εἴ τι εἰς αὐτὸν εὑρεθείη ὅπερ ἐστὶν ἄξιον ἐπιλήψεως. πρέπει γὰρ ἐπὶ τῶν τοιούτων αἰτιῶν τούτου μάλιστα φροντίζειν ὥστε ἐκτὸς θορύβου καὶ φιλονεικίας καὶ τὴν ἀγάπην φυλάττεσθαι καὶ τὴν ἀλήθειαν ἐκδικεῖσθαι, ἀδελφὲ τιμιώτατε. καὶ διὰ τοῦτο, ἐπειδὴ ἡ σὴ ἀγάπη περὶ τῆς τοσαύτης αἰτίας συνορᾶι ἡμᾶς ἀναγκαίως εἶναι ἐμφρόντιδας, πληρέστατα καὶ τηλαυγέστατα σύμπαντα ἡμῖν, ὅπερ ἤδη ποιῆσαι ὤφειλε, δηλῶσαι σπουδάσει, ἵνα μὴ μεταξὺ τῆς διδασκαλίας τῶν μερῶν ἀμφιβολίαι τινὶ ἀπατηθῶμεν καὶ διχόνοια τραφῆι, ἥτις ἐν ταῖς ἰδίαις ἀρχαῖς ἐξαπτέα ἐστίν. ἔστι γὰρ ἡμῖν καταθύμιον καὶ παραφυλακτέον τοῦ θεοῦ ἐμπνέοντος, ἵνα μὴ αἱ διατυπώσεις τῶν προσκυνητῶν πατέρων αἱ θεόθεν τὴν ἰσχὺν ἔχουσαι καὶ εἰς τὴν τελειότητα τῆς πίστεως ἀνήκουσαι φαύληι τινὸς ἑρμηνείαι μολυνθῶσιν.

Ὁ θεὸς ὑγιῆ σε διαφυλάξει, ἀδελφὲ τιμιώτατε.

Ε Ἐπιστολὴ Φλαβιανοῦ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως πρὸς Λέοντα ἀρχιεπίσκοπον τῆς Ῥωμαίων ἁγίας ἐκκλησίας

5 Τῶι ὁσιωτάτωι καὶ θεοφιλεστάτωι πατρὶ καὶ συλλειτουργῶι Λέοντι Φλαβιανὸς ἐν κυρίωι χαίρειν. Οὐδὲν ἴστησιν κτλ. = Epist. Coll. H 3

Ϛ Ἐπιστολὴ τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου Ῥώμης Λέοντος πρὸς Φαῦστον πρεσβύτερον καὶ ἀρχιμανδρίτην

6 Τῶι ἀγαπητῶι υἱῶι Φαύστωι πρεσβυτέρωι Λέων ἐπίσκοπος. Κεχαρισμένον ἐστίν κτλ. = Epist. Coll. H 4

Ζ Ἐπιστολὴ τοῦ αὐτοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου Ῥώμης Λέοντος πρὸς Ἰουλιανὸν ἐπίσκοπον τῆς Κῶ πόλεως

7 Τῶι ἀγαπητῶι ἀδελφῶι Ἰουλιανῶι Λέων ἐπίσκοπος. Εἰ καὶ κτλ. = Epist. Coll. H 6

Η Τοῦ αὐτοῦ Λέοντος ἀρχιεπισκόπου τῆς πρεσβυτέρας Ῥώμης πρὸς Φαῦστον καὶ Μαρκελλῖνον καὶ τοὺς λοιποὺς ἀρχιμανδρίτας Κωνσταντινουπόλεως

8 Ἀγαπητοῖς τέκνοις Φαύστωι καὶ Μαρκελλίνωι καὶ λοιποῖς ἀρχιμανδρίταις Λέων ἐπίσκοπος. Ἐπειδὴ διὰ τὴν αἰτίαν κτλ. = Epist. Coll. H 7

Θ Ἐπιστολὴ τοῦ αὐτοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Ῥώμης Λέοντος πρὸς τὸν εὐσεβέστατον βασιλέα Θεοδόσιον

9 Τῶι ἐνδοξοτάτωι καὶ φιλανθρωποτάτωι Θεοδοσίωι αὐγούστωι Λέων ἐπίσκοπος. Ὅσωι τῶν ἀνθρωπίνων κτλ. = Epist. Coll. H 10

Ι Ἐπιστολὴ τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου Ῥώμης Λέοντος πρὸς τὴν εὐσεβεστάτην Πουλχερίαν

10 Τῆι ἐνδοξοτάτηι καὶ φιλανθρωποτάτηι θυγατρὶ Πουλχερίαι Λέων ἐπίσκοπος. Ὅσην πεποίθησιν κτλ. = Epist. Coll. H 11

MBV

2 μία V 4 ἑαυτὸν ἕτοιμον BV 5 ἐπιλήψεως edd. Romani ὑπολήψεως MBV 10 ἐξαπτέα MBV ἐξαλειπτέα edd. Romani ἐξαρτέα coniecerim 14 διαφυλάξαι V φυλάξοι B 15 Ε M 17 μα̅ M^{mg} 18 ἐν κυρίωι om. BV 19 ϛ̅ M 21 μβ̅ M^{mg} 23 Ζ̅ M ἁγιωτάτου καὶ om. V 24 Κῶ πόλεως om. V 25 μγ̅ M 27 Η̅ M φλαβιανὸν V 29 μδ̅ M τοῖσ ἁγατηποῖσ V 31 Θ̅ M 35 Ι̅ M

ΙΑ Ἐπιστολὴ τοῦ αὐτοῦ πρὸς τὴν ἐν Ἐφέσωι δευτέραν σύνοδον, ἥτις ὑπεβλήθη μέν, ἀπεκρύβη δὲ διὰ τὸ μὴ συγχωρηθῆναι δημοσιευθῆναι τοῖς ἐπισκόποις ὑπὸ τοῦ δυσσεβοῦς Διοσκόρου τοῦ Ἀλεξανδρείας ἐπισκόπου

11 Λέων ἐπίσκοπος τῆι ἁγίαι συνόδωι τῆι ἐν Ἐφέσωι συνελθούσηι ἀγαπητοῖς ἀδελφοῖς ἐν κυρίωι χαίρειν. Ἡ τοῦ ἡμερωτάτου κτλ. = Epist. Coll. H 8

Ἐπιστολὴ τοῦ αὐτοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Ῥώμης Λέοντος πρὸς Θεοδόσιον τὸν βασιλέα, δι' ἧς ἠιτησεν ἰδικὴν σύνοδον ἐν τοῖς τῆς Ἰταλίας μέρεσι γενέσθαι καὶ ἐν μηδενὶ ἑτέρωι τόπωι διὰ τὸ ὑπεναντίαν εἶναι τῶν κανόνων τὴν ἐν Ἐφέσωι δευτέραν σύνοδον

12 Τῶι γαληνοτάτωι καὶ ἐνδοξοτάτωι Θεοδοσίωι βασιλεῖ Λέων ἐπίσκοπος. Ἄνωθεν καὶ ἐξ ἀρχῆς κτλ. = Epist. Coll. M 1

ΙΓ Τοῦ αὐτοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Ῥώμης Λέοντος ἐπιστολὴ πρὸς τὸν αὐτὸν βασιλέα Θεοδόσιον τὴν σύνοδον ἐξαιτοῦντος εἰς τὰ μέρη τῆς Ἰταλίας γενέσθαι ὡς μεμφομένου τὴν ἐν Ἐφέσωι γενομένην δευτέραν σύνοδον

13 Τῶι φιλανθρωποτάτωι καὶ γαληνοτάτωι Θεοδοσίωι αὐγούστωι Λέων ἐπίσκοπος καὶ ἡ ἁγία σύνοδος ἡ ἐν τῆι Ῥωμαίων πόλει συναχθεῖσα. Τοῖς γράμμασι κτλ. = Epist. Coll. M 12

Theod. ep. 83 Θεοδωρήτου ἐπισκόπου πόλεως Κύρου πρὸς Διόσκορον ἀρχιεπίσκοπον Ἀλεξανδρείας

14 1 Τῶι εὐλαβεστάτωι καὶ θεοφιλεστάτωι Διοσκόρωι Θεοδώρητος χαίρειν. Μεγίστην φέρει τοῖς συκοφαντουμένοις παραψυχὴν τὰ τῆς θείας γραφῆς διηγήματα. ὅταν γάρ τις ὑπὸ γλώττης ἀχαλινώτου ψευδηγορίαις βληθεὶς τὰς ὀξείας δέξηται τῆς ἀθυμίας ἀκίδας, ἀναμιμνήσκεται τῆς κατὰ τὸν ἀξιάγαστον Ἰωσὴφ ἱστορίας καὶ ὁρῶν τῆς σωφροσύνης τὸ ἄγαλμα καὶ τῆς παντοδαπῆς ἀρετῆς τὸν διδάσκαλον συκοφαντίας γραφὴν ὑπομείναντα καὶ ὡς γάμον ἀλλότριον διορύξαντα καθειρχθέντα καὶ πεδηθέντα καὶ πλεῖστον ὅσον ἐν εἱρκτῆι διατρίψαντα χρόνον τῶι τοῦ διηγήματος φαρμάκωι θεραπεύει τὴν ἀλγηδόνα. οὕτω πάλιν εὑρίσκων τὸν πραότατον Δαυὶδ ὡς τύραννον ὑπὸ τοῦ Σαοὺλ ἐλαυνόμενον δὶς τὸν πολέμιον καὶ θηρεύσαντα καὶ ἀλώβητον ἀπολύσαντα ἀλεξιφάρμακον πάλιν ἐντεῦθεν τῆς ἀθυμίας λαμβάνει. ὅταν δὲ καὶ αὐτὸν ἴδηι τὸν δεσπότην Χριστόν, τῶν αἰώνων τὸν ποιητήν, τὸν τῶν ἁπάντων δημιουργόν, τὸν ἀληθινὸν θεὸν καὶ τοῦ
Mt. 27, 63 ἀληθινοῦ θεοῦ υἱὸν πλάνον ὑπὸ τῶν ἀλιτηρίων Ἰουδαίων ὠνομασμένον, οὐκέτι μόνον ψυχαγωγίαν, ἀλλὰ καὶ εὐθυμίαν καρποῦται μεγίστην ἅτε δὴ τῆς δεσποτικῆς ἀξιούμενος κοινωνίας.

---

20. 21. 29 — p. 49, 6 excerpta sunt in Codice syriaco Mus. Brit. Add. 12156 f. 67 [Σ]

M [usque ad 5], BV, Z [inde a 18], Λ [t. I 5 p. 315 sq. inde a 18]

1 ΙΑ MB 12 ΙΓ B 18. 19 θεοδωρήτου [θεοδωρίτου B] — ἀλεξανδρείας BV Διοσκόρωι ἐπισκόπωι ἀλεξανδρείας πγ' Z *incipit epistula sanctissimi Theoduriti epi Cyrri ad Dioscorum Alexandrinum post primam, ante secundam Ephesenam* Λ 20 Τῶι — χαίρειν BV *Domino meo uere deoamantissimo archiepiscopo Dioscoro Theodoritus in domino gaudere* Λ om. Z θεοδώριτοσ B 23 ἀναμιμνήσκηται B τε τῆσ BV ὁρῶν τῆς ZΛ ἀρετῆσ BV 24 παντοδαποῦσ V 25 καὶ¹ Z τὲ καὶ BV 26 διατρίψαντα ZΛ σχολάσαντα BV θεραπεύει ZΛ βαστάζει BV 26/27 ἀλγηδόνα ZΛ ἀχθηδόνα BV 27 οὕτω ZΛ ὅταν BV εὑρίσκων ZΛ εὑρίσκη BV 28 δὶσ ZΛ τὸν δὲ BV καὶ¹ ZΛ om. BV 30 τῶν — ποιητὴν ZΛ τὸν ποιητὴν τῶν αἰώνων BV θεὸν om. V καὶ om. Z 30/31 τοῦ ἀληθινοῦ] *uerum* Λ 31 πλάνον ZΛΣ πάλιν BV ἀλλοτρίων V ὠνομασμένον ZΛΣ φάγον καὶ οἰνοπότην ὀνομαζόμενον BV 32 δὴ] δὲ V

Ταῦτα δὲ γράψαι νῦν ἠναγκάσθην ἐντυχὼν τοῖς παρὰ τῆς σῆς ὁσιότητος γραφεῖσι τῶι δεσπότηι μου τῶι θεοφιλεστάτωι καὶ ἁγιωτάτωι ἀρχιεπισκόπωι Δόμνωι. προσέκειτο γὰρ αὐτοῖς καὶ τόδε ὡς τινὲς τὴν μεγίστην πόλιν τὴν ὑπὸ τῆς σῆς ἁγιότητος ἰθυνομένην κατειληφότες ἐγράψαντο ἡμᾶς ὡς εἰς δύο υἱοὺς μερίζοντας τὸν ἕνα κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ ταῦτα ἐν Ἀντιοχείαι διαλεγομένους, ἔνθα πολλαὶ μυριάδες τῶν ἀκροατῶν πληροῦσι τὸν σύλλογον. καὶ ἐκείνους μὲν ἐθρήνησα ὡς προφανῆ συκοφαντίαν ὑφᾶναι τετολμηκότας, ἤλγησα δέ (καί μοι σύγγωθι, δέσποτα, ὑπ' ὀδύνης λέγειν βιαζομένωι) ὅτι μοι θατέραν τῶν ἀκοῶν ἡ κατὰ θεόν σου τελειότης οὐκ ἐφύλαξεν ἀκεραίαν, ἀλλὰ τοῖς ψευδῶς παρ' ἐκείνων εἰρημένοις ἐπίστευσεν. καίτοι ἐκεῖνοι μὲν τρεῖς εἰσιν ἢ τέσσαρες ἢ πέντε καὶ δέκα, ἐγὼ δὲ πολλὰς ἔχω μυριάδας ἀνθρώπων τῆι τῆς διδασκαλίας ὀρθότητι μαρτυρούσας. ἐξ μὲν γὰρ ἔτη διετέλεσα διδάσκων ἐπὶ τοῦ τῆς μακαρίας καὶ ὁσίας μνήμης Θεοδότου τοῦ τῆς Ἀντιοχέων ἐπισκόπου, ὃς καὶ βίωι λαμπρῶι καὶ τῆι τῶν θείων δογμάτων ἐκεκόσμητο γνώσει, τρία καὶ δέκα δὲ πάλιν ἕτερα ἐπὶ τοῦ μακαρίου Ἰωάννου, ὃς τοσοῦτον ἐγάννυτο διαλεγομένων ἡμῶν, ὡς ἄμφω τὼ χεῖρε κινεῖν καὶ διανίστασθαι πολλάκις. ὅτι δὲ παιδόθεν τοῖς λογίοις τοῖς θείοις ἐντεθραμμένος ἀκριβῆ λίαν εἶχεν τῶν θείων δογμάτων τὴν εἴδησιν, ἐμαρτύρησεν ἐν τοῖς γράμμασιν ἡ ἁγιότης ἡ σή. πρὸς δὲ τούτοις ἕβδομόν ἐστιν ἔτος τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου [τοῦ κυρίου] Δόμνου καὶ μέχρι τῆς σήμερον ἡμέρας τοσούτου διεληλυθότος χρόνου οὐδεὶς οὔτε τῶν θεοφιλεστάτων ἐπισκόπων οὔτε τῶν εὐλαβεστάτων κληρικῶν τοῖς παρ' ἡμῶν εἰρημένοις ἐμέμψατο πώποτε. μεθ' ὅσης δὲ θυμηδίας καὶ οἱ φιλόχριστοι λαοὶ τῶν ἡμετέρων ἐπακούουσι λόγων, ῥάιδιόν σου τῆι κατὰ θεὸν τελειότητι παρὰ τῶν ἐκεῖθεν αὐτόσε παραγινομένων καὶ μέντοι καὶ παρὰ τῶν ἐντεῦθεν ἐκεῖσε ἀφικνουμένων μαθεῖν. καὶ ταῦτα λέγω οὐ σεμνυνόμενος, ἀλλ' ἀπολογεῖσθαι βιαζόμενος οὔτε μὴν λαμπρότητα, ἀλλὰ ὀρθότητα μόνον τοῖς ἐμαυτοῦ λόγοις προσμαρτυρῶν. καὶ ὁ μέγας δὲ τῆς οἰκουμένης διδάσκαλος ὁ θεσπέσιος Παῦλος ἔσχατον ἑαυτὸν τῶν ἁγίων καὶ πρῶτον τῶν ἁμαρτωλῶν ὀνομάζων ἀεὶ ἠναγκάσθη τῶν ψευδηγόρων ἐμφράττων τὰ στόματα τὸν τῶν οἰκείων πόνων ἐνθεῖναι κατάλογον καὶ δεικνὺς ὡς τῆς ἀνάγκης ἦν, ἀλλ' οὐ τῆς γνώμης ἡ τῶν παθημάτων διήγησις, ἐπήγαγεν· ἄφρων ἐγενόμην καυχώμενος· ὑμεῖς με ἠναγκάσατε. ἐγὼ δὲ ἄθλιον ἐμαυτὸν καὶ τρισάθλιον οἶδα (πολλοῖς γὰρ ὑπόκειμαι πλημμελήμασι), διὰ μόνην δὲ πίστιν ἐν τῆι τῆς θείας ἐπιφανείας ἡμέραι φειδοῦς τινος ἀπολαύσεσθαι προσδοκῶ. τοῖς γὰρ τῶν ἁγίων πατέρων ἀκολουθεῖν ἴχνεσιν καὶ προθυμοῦμαι καὶ προσεύχομαι καὶ τὴν εὐαγγελικὴν διδασκαλίαν ἣν ἐν κεφαλαίοις παρέδοσαν ἡμῖν οἱ ἐν Νικαίαι τῆς Βιθυνίας συνεληλυθότες ἁγιώτατοι πατέρες, ἣν καὶ ἡ ἐν Ἐφέσωι ἁγία

2 Cor. 12, 11

2 haec Dioscori ad Domnum epistula inserta est Actis synodi Ephesenae alterius [*Abhandlg. d. Gött. Ges. d. Wiss. N. F. 15*]; cf. p. 132, 36—134, 2. 134, 18—21. 136, 3. 4

29—p. 50, 17 excerpta in Σ

BVZΛ

1 ὁσιότητοσ BVΣ ἁγιότητοσ Z 2 δεσπότη μου τῶ BVΛΣ om. Z τῶ κυρίω δόμνω Z 2/3 προέκειτο Λ 3 ἁγιότητοσ BVΣ ὁσιότητοσ Z 4 ἔγραψαν V 5 τοῦτο BV 6 ὡς BVΛ om. Z 9 ἐπίστευσεν ZΛ ἐφύλαξε BV καίτοι ἐκεῖνοι Z κἀκεῖνοι BV 10 ἀνθρώπων ZΛ ἀκροατῶν BV 13 δὲ ZΛ om. BV 14 μακαρίου ἰωάννου ZΛ τῆσ ὁσίασ καὶ μακαρίασ μνήμησ ἰωάννου τοῦ ἐπισκόπου BV ἐγάννυτο διαλεγομένων BVΛ ἰαίνετο ὑποδιαλεγομένων Z 15 ἐκ παιδόθεν BV τοῖσ θείοισ λογίοισ [λόγοισ V] BV 16/17 ἡ σὴ ὁσιότησ BV 17 θεοφιλεστάτου ZΛ θεοφιλεστάτου καὶ ὁσιωτάτου BV 18 τοῦ κυρίου Z κυρίου BV om. Λ παρελθόντοσ BV 21 ἐπαίουσι BV τὴν — τελειότητα BV 22 αὐτόσε Z ἐνταῦθα BV παραγενομένων BV μέντοι καὶ om. BV ἀφικομένων BV 23 καὶ om. V βιαζόμενοσ ZΛ βουλόμενοσ BV 24 μόνον BVΛ μόνην Z μαρτυρῶν BV 25 ὁ — παῦλοσ ZΛ om. BV 27 ἐκθεῖναι VΛ ἦν — γνώμησ ZΛ ἡ ἀλοὺσ ἦν BV 28 με] δέ με V 29 ἐμ' αὐτῶ V 30 δὲ μόνησ πίστεωσ BV 31 μὲν γὰρ BV 33 συνεληλυθότεσ Z [= cod. Vindob. suppl. 23 teste I. L. Schulze] συναχθέντεσ BV 33/p. 50, 1 ἦν — διηγόρευσε BVΛΣ om. Z

σύνοδος κρατεῖν διηγόρευσεν, σπουδάζω φυλάττειν ἀκήρατον. καὶ ὥσπερ ἕνα πιστεύω εἶναι θεὸν πατέρα καὶ ἓν πνεῦμα ἅγιον ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, οὕτως ἕνα κύριον Ἰησοῦν Χριστὸν, υἱὸν τοῦ θεοῦ μονογενῆ πρὸ τῶν αἰώνων ἐκ τοῦ πατρὸς γεγεννημένον,
Hebr. 1, 3 ἀπαύγασμα τῆς δόξης καὶ χαρακτῆρα τῆς τοῦ πατρὸς ὑποστάσεως, διὰ τὴν τῶν ἀνθρώπων σωτηρίαν σαρκωθέντα καὶ ἐνανθρωπήσαντα καὶ κατὰ σάρκα ἐκ Μαρίας τῆς παρ-
Rom. 9, 5 θένου τεχθέντα. οὕτω γὰρ ἡμᾶς καὶ ὁ πάνσοφος ἐδίδαξε Παῦλος· ὧν οἱ πατέρες, φησί, καὶ ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα ὁ ὢν ἐπὶ πάντων θεὸς εὐλογητὸς
Rom. 1, 3. 4 εἰς τοὺς αἰῶνας ἀμήν, καὶ πάλιν περὶ τοῦ υἱοῦ αὐτοῦ τοῦ γενομένου ἐκ σπέρματος Δαυὶδ κατὰ σάρκα τοῦ ὁρισθέντος υἱοῦ θεοῦ ἐν δυνάμει κατὰ πνεῦμα ἁγιωσύνης. διὰ γάρ τοι τοῦτο καὶ θεοτόκον ἀποκαλοῦμεν τὴν ἁγίαν παρθένον καὶ τοὺς τὴν προσηγορίαν ταύτην παραιτουμένους ἀλλοτρίους τῆς εὐσεβείας ἡγούμεθα, ὡσαύτως δὲ καὶ τοὺς εἰς δύο πρόσωπα ἢ εἰς δύο υἱοὺς ἢ δύο κυρίους μερίζοντας τὸν ἕνα κύριον ἡμῶν Ἰησοῦν Χριστὸν κιβδήλους ὀνομάζομεν καὶ τῆς τῶν φιλο-
Eph. 4, 5 χρίστων ἀποκρίνομεν μοίρας. ἠκούσαμεν γὰρ τοῦ θειοτάτου Παύλου λέγοντος εἷς
1 Cor. 8, 6 κύριος, μία πίστις, ἓν βάπτισμα καὶ πάλιν εἷς κύριος Ἰησοῦς Χριστός, δι'
Hebr. 13, 8 οὗ τὰ πάντα καὶ αὖθις Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς
Eph. 4, 10 τοὺς αἰῶνας καὶ ἑτέρωθι ὁ καταβὰς αὐτός ἐστιν καὶ ὁ ἀναβὰς ὑπεράνω πάντων τῶν οὐρανῶν. καὶ μυρίας δὲ τοιαύτας ἑτέρας ἔστιν εὑρεῖν παρ' αὐτῶι
Ioh. 1, 14 φωνὰς τὸν ἕνα κύριον κηρυττούσας. οὕτω καὶ ὁ θεῖος εὐαγγελιστὴς βοᾶι καὶ ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρός, πλήρης χάριτος καὶ ἀληθείας. καὶ
Ioh. 1, 30 ὁ τούτου δὲ ὁμώνυμος, ὁ βαπτιστὴς φημί, βοᾶι λέγων· ὀπίσω μου ἔρχεται ἀνὴρ ὃς ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν. καὶ τὸ ἓν πρόσωπον δείξας ἀμφότερα τέθεικεν καὶ τὰ θεῖα καὶ τὰ ἀνθρώπεια. ἀνθρώπειον μὲν γὰρ καὶ τὸ ἀνήρ καὶ τὸ ἔρχεται, θεῖον δὲ τὸ ὅτι πρῶτός μου ἦν· ἀλλ' ὅμως οὐκ ἄλλον οἶδεν τὸν ὀπίσω ἐρχόμενον καὶ ἄλλον τὸν πρὸ αὐτοῦ ὄντα, ἀλλὰ τὸν αὐτὸν οἶδεν προαιώνιον μὲν ὡς θεόν, ἄνθρωπον δὲ μετ' αὐτὸν ἐκ τῆς παρθένου τεχθέντα. οὕτω καὶ ὁ τρισμα-
Ioh. 20, 28 κάριος Θωμᾶς τῆι τοῦ κυρίου σαρκὶ τὴν χεῖρα προσενεγκὼν κύριον ὠνόμασεν καὶ θεόν, διὰ τῆς ὁρωμένης φύσεως καταμαθὼν τὴν ἀόρατον. οὕτω καὶ ἡμεῖς τῆς μὲν αὐτοῦ σαρκὸς καὶ τῆς θεότητος τὴν διαφορὰν ἐπιστάμεθα, ἕνα δὲ ἴσμεν υἱὸν τὸν ἐνανθρωπήσαντα θεὸν λόγον.

Ταῦτα γὰρ καὶ παρὰ τῆς θείας γραφῆς ἐδιδάχθημεν καὶ παρὰ τῶν ταύτην ἡρμηνευκότων πατέρων Ἀλεξάνδρου καὶ Ἀθανασίου τῶν μεγαλοφώνων κηρύκων τῆς ἀληθείας, οἳ τὸν ἀποστολικὸν ὑμῶν διεκόσμησαν θρόνον, καὶ Βασιλείου καὶ Γρηγορίου καὶ τῶν ἄλλων τῆς οἰκουμένης φωστήρων· ὅτι δὲ καὶ τοῖς τῶν μακαριωτάτων Θεοφίλου καὶ

---

27. 28 cf. Dioscori epistulam l. c. p. 134, 20. 21

19—27. 32—p. 51, 2 excerpta in Σ

BVZΛ

2 οὕτωσ ZΛΣ οὕτωσ καὶ BV 3 τοῦ om. BV μονογεννῆ V τῶν BVΛΣ πάντων τῶν Z 4 τοῦ πρσ̄ ZΛΣ om. BV 6 ἐδίδαξε ZΛΣ διδάσκει BV 8 αἰῶνασ BVΛΣ αἰῶνασ τῶν αἰώνων Z 12 εἰσ² BΛ om. VZ ἢ² ZΛ ἢ εἰσ BV 15 καὶ πάλιν ZΛ om. BV 17 ἐστιν om. V 18 τῶν οὐρανῶν πάντων V τῶν οὐρανῶν Λ ἑτέρας om. VΛ εὑρεῖν ZΛ ἰδεῖν BV 22 δὲ VΛΣ γε BZ ὁ — φημί ZΣ om. BV βοᾶ ZΛΣ ἐβόα BV 24 ἀνθρώπινα ἀνθρώπινον BV τὸ cod. Vind. suppl. 23 teste I. L. Schulze Σ om. ZBV 25 ὅτι om. Σ ἄλλο V 26 ἀλλὰ τὸν ZΛΣ ἀλλ' BV τὸν πρὸ αἰώνων BV 28 θν̄ ZΛ θῦ εἰπὼν ὁ κσ̄ μου καὶ ὁ θσ̄ μου BV 29 τὴν] τὸν V 30 τῆς om. Z 32 γὰρ ZΛΣ om. BV θείασ ZΛΣ ἁγίασ BV 33 πατέρων ZΛΣ ἁγίων πατέρων BV 34 κατεκόσμησαν BV 35 ὅτι δὲ ZΣ ὅτι Λ om. BV μακαριωτάτων BVΛ μακαρίων Z

Κυρίλλου συγγράμμασιν κεχρημένοι τοὺς ἀντιλέγειν τολμῶντας καὶ διὰ τούτων ἐπιστομίζομεν, αὐτὰ μαρτυρεῖ τὰ πράγματα. τοὺς γὰρ τῆς δεσποτικῆς σαρκὸς καὶ τῆς θεότητος τὴν διαφορὰν ἀρνουμένους καὶ ποτὲ μὲν τὴν θείαν φύσιν εἰς σάρκα τετράφθαι λέγοντας, ποτὲ δὲ τὴν σάρκα εἰς θεότητος μεταβεβλῆσθαι φύσιν τοῖς τῶν θαυμασίων τούτων ἀνδρῶν φαρμάκοις θεραπεύειν σπουδάζομεν. σαφῶς γὰρ καὶ τῶν δύο φύσεων ἡμᾶς τὴν διαφορὰν ἐκπαιδεύουσι καὶ τὸ ἄτρεπτον τῆς θείας κηρύττουσι φύσεως καὶ τὴν δεσποτικὴν σάρκα θείαν μὲν ἀποκαλοῦσιν ὡς τοῦ θεοῦ λόγου σάρκα γεγενημένην, τὸ δὲ εἰς θεότητος αὐτὴν μεταβεβλῆσθαι φύσιν ὡς ἀσεβὲς ἀποκηρύττουσιν.

Ὅτι δὲ καὶ ὁ τῆς μακαρίας καὶ ὁσίας μνήμης Κύριλλος πολλάκις ἡμῖν ἐπέστειλεν, οἶμαι καὶ τὴν σὴν εἰδέναι σαφῶς ἁγιότητα. καὶ ἡνίκα δὲ τὰ κατὰ Ἰουλιανοῦ συγγράμματα εἰς τὴν Ἀντιόχειαν πέπομφεν, ὡσαύτως δὲ καὶ τὰ εἰς τὸν ἀποπομπαῖον γραφέντα, τὸν μακάριον ἤτησεν Ἰωάννην τὸν τῆς Ἀντιοχέων ἐπίσκοπον ἐπιδεῖξαι αὐτὰ τοῖς κατὰ τὴν Ἑώιαν διαπρέπουσι διδασκάλοις καὶ δὴ τοῖς γράμμασιν εἴξας ὁ μακάριος Ἰωάννης πέπομφεν ἡμῖν τὰς βίβλους καὶ ἀναγνόντες ἐθαυμάσαμεν καὶ ἐπεστείλαμεν τῶι τῆς μακαρίας μνήμης Κυρίλλωι. καὶ ἀντέγραψεν πάλιν ἡμῖν καὶ ἀκρίβειαν ἡμῖν καὶ διάθεσιν μαρτυρῶν καὶ σώιζεται παρ' ἡμῖν ταῦτα τὰ γράμματα.

Ὅτι δὲ καὶ τοῖς περὶ Νεστορίου ὑπαγορευθεῖσι τόμοις ὑπὸ τοῦ τῆς μακαρίας μνήμης Ἰωάννου δὶς ὑπεγράψαμεν, μαρτυροῦσιν ἡμῶν αἱ χεῖρες. ἀλλ' οὗτοι ταῦτα περὶ ἡμῶν θρυλοῦσι τὴν οἰκείαν νόσον τῆι καθ' ἡμῶν συκοφαντίαι συσκιάζειν πειρώμενοι. ἀποστραφήτω τοίνυν ἡ ὁσιότης σου τοὺς λαλοῦντας τὸ ψεῦδος καὶ τῆς ἐκκλησιαστικῆς φροντισάτω γαλήνης καὶ τοὺς διαφθείρειν τολμῶντας τῆς ἀληθείας τὰ δόγματα ἢ τοῖς ἀλεξικάκοις θεραπευέτω φαρμάκοις ἢ τὴν θεραπείαν μὴ δεχομένους ὡς ἀνηκέστως διακειμένους τῶν ποιμνίων ἐξελασάτω, ἵνα μὴ τῆς ἐκείνων λώβης μεταλάχηι τὰ πρόβατα· ἡμᾶς δὲ τῆς συνήθους ἀξιούτω προσρήσεως. ὅτι γὰρ ἃ φρονοῦμεν, γεγράφαμεν, μαρτυρεῖ καὶ τὰ παρ' ἡμῶν συγγραφέντα εἴς τε τὰς θείας γραφὰς καὶ κατὰ τῶν τὰ Ἀρείου καὶ Εὐνομίου φρονούντων. πρὸς δὲ τούτοις καὶ σύντομον ἀκροτελεύτιον τίθημι

εἴ τις οὐ λέγει τὴν ἁγίαν παρθένον θεοτόκον ἢ ψιλὸν ἄνθρωπον ἀποκαλεῖ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἢ εἰς δύο υἱοὺς μερίζει τὸν ἕνα μονογενῆ καὶ πρωτότοκον Col. 1, 15
πάσης κτίσεως, ἐκπέσοι τῆς εἰς Χριστὸν ἐλπίδος καὶ ἐρεῖ πᾶς ὁ λαός· γένοιτο γένοιτο. cf. Num. 5, 22

Τούτων δὲ παρ' ἡμῶν οὕτως εἰρημένων τὰς ἱερᾶς σου εὐχὰς παρασχεῖν μοι, δέσποτα, καταξίωσον καὶ ἀντιγράφοις εὐφρᾶναι δηλοῦσιν ὡς ἀπεστράφη σου ἡ ἁγιωσύνη τοὺς συκοφάντας.

---

1 σημ̄ πῶς γράφει μακαριώτατον τὸν Κύριλλον ὁ Θεοδώρητος V^{mg}
3 σημ̄ περὶ τῆς σαρκὸς τοῦ Χριστοῦ ὅτι θεία καὶ οὐ τραπεῖσα εἰς φύσιν θεότητος V^{mg}
9—15. 17—18. 24—29 excerpta in Σ

BVZΛ

1 συγγράμμασιν ZΛΣ γράμμασι BV 1/2 καὶ [om. Λ] — ἐπιστομίζομεν ZΛΣ ἐπιστομίζομεν καὶ διὰ τούτων ὡσ BV 2 πράγματα BVΛΣ γράμματα Z 3 τετρέφθαι Z 4 μεταβληθεῖσαν BV 4/5 θαυμασίων τούτων ZΛ θαυμασιωτάτων BV 6 τὴν διαφορὰν ἡμᾶσ V 7 λόγου om. VΛ 8 ἀποκηρύττουσιν BVΛ ἀπεκήρυξαν Z 9 καὶ ὁσίασ BVΛΣ om. Z ἀπέστειλεν Z 10 σαφῶσ εἰδέναι BV ἁγιότητα ZΣ τελειότητα BV *beatitudinem* [i. e. ὁσιότητα] Λ 11 ἐκπέπομφεν BV 12 ἀντιοχέων BVΛ ἀντιοχείασ Z ταῦτα BV 14 ἀπεστείλαμεν V 15 ἀντέγραψεν ZΛ ἔγραψε BV 16 ταῦτα τὰ γράμματα παρ' ἡμῖν BV 17—19 Ὅτι — πειρώμενοι om. Z 18 Ἰωάννου om. Σ δὶς om. Λ 19 θρυλλοῦσι BV 20 ἀπογραφήτω V ἡ σὴ ὁσιότησ BV τοὺσ ZΛ αὐτοὺσ BV 21 τολμῶντασ ZΛ ἐπιχειροῦντασ BV 22 θεραπευέτω ZΛ ἐκείνων θεραπεῦσαι BV 23 *a sacris ouilibus* Λ μεταλάβη BV 24 γεγράφαμεν ZΛΣ γράφομεν BV 25 τε om. V τὰ BΣ τοῦ V om. Z 27 οὐ λέγει ZΣ οὐχ ὁμολογεῖ BVΛ καλεῖ Z 28 υἱοὺς om. ΛΣ 29 πάσησ τῆσ BV εἰπάτω BV 30—p. 52, 2 om. Z

Πᾶσαν τὴν σὺν τῆι σῆι θεοσεβείαι ἐν Χριστῶι ἀδελφότητα ἐγώ τε καὶ οἱ σὺν ἐμοὶ προσαγορεύομεν.

Ἐπιστολὴ Ἀνατολίου ἐπισκόπου Κωνσταντινουπόλεως πρὸς Λέοντα ἀρχιεπίσκοπον Ῥώμης

15 Τῶι ἁγιωτάτωι καὶ μακαριωτάτωι πατρὶ καὶ συλλειτουργῶι ἀρχιεπισκόπωι τῆς πρεσβυτέρας Ῥώμης Λέοντι Ἀνατόλιος ἐν κυρίωι χαίρειν. Τῆς μὲν ὑμετέρας ἁγιωσύνης ὁ περὶ τὴν εὐσέβειαν ζῆλος καὶ ἡ περὶ τῆς ὀρθῆς πίστεως τῶι πάντων σωτῆρι θεῶι φίλη τε καὶ ἀρέσκουσα φροντὶς ἀξία παντὸς γέγονε θαύματος. ἔθος γὰρ ὑμῖν τοῖς οὕτω μεγάλοις εὐδοκιμεῖν καὶ θεμέλιον τῶν Χριστοῦ ἐκκλησιῶν τὰς ἑαυτῶν ποιεῖσθαι σπουδάς· ὅθεν οὐ περιεῖδεν ἡ ὑμῶν ὁσιότης τὴν ἀληθῆ πίστιν βεβήλοις ὑπορυττομένην ὁρμαῖς, ἀλλὰ βδελυξαμένη τοὺς κακοὺς ἐργάτας τῶι ὅπλωι τῆς μισοπονηρίας ἐντόνως τούτους κατέτρωσεν. ἐπεὶ τοίνυν καὶ οἱ εὐσεβέστατοι καὶ φιλόχριστοι ἡμῶν βασιλεῖς, ἄριστοι τῆς εὐσεβείας ὑπάρχοντες ζηλωταί, πᾶσαν ῥίζαν πικρίας ἀναφύουσαν φροντίσαντες ἐκτεμεῖν, ἵνα μὴ δι' αὐτῆς μιανθῶσι, διὰ τοῦτο πλέον εἰς βασιλείαν προαχθέντες ὅπως τυραννουμένηι τῆι πίστει τῶν πατέρων ἀμύνωσιν, ἐκ πάσης σχεδὸν τῆς ὑφ' ἡλίωι τοὺς θεοῦ ἱερουργοὺς ἐθέσπισαν συναχθῆναι, ἵνα οὗτοι κοινῆι κρίσει βεβαιώσαντες τὴν τῶν μακαρίων καὶ ἀοιδίμων πατέρων πίστιν καὶ τὴν σύμφωνον ταύτηι τῆς σῆς ἁγιότητος ἐπιστολὴν πᾶσαν καινοτομίαν τῶν ἐπεισάκτων σοφισμάτων τῆς εὐσεβείας τὸ φρόνημα παραβλάπτουσαν ἀποσκεδάσωσι, καὶ ἔδει ἅπαντα εἰς γνῶσιν τῆς σῆς ἁγιότητος ἀνενεχθῆναι τὰ παρακολουθήσαντα, ἀναγκαίως ἀποστέλλοντες αὐτόθι κατ' ἐπιλογὴν τὸν θεοφιλέστατον ἀδελφὸν καὶ συνεπίσκοπον ἡμῶν Λουκιανὸν τόν τε εὐλαβέστατον διάκονον Βασίλειον, γράφομεν καὶ αὖθις ταῦτα δηλοῦντες ὡς ἤδη μὲν ὁ θεοφιλέστατος ἀδελφὸς καὶ συνεπίσκοπος ἡμῶν Λουκίνσιος ἅμα τῶι θεοσεβεστάτωι συμπρεσβυτέρωι ἡμῶν Βονιφατίωι σὺν Μαρκιανῶι τῶι εὐλαβεστάτωι διακόνωι φανεροὺς χάρτας περιέχοντας τὰ ἐν τῆι ἁγίαι καὶ οἰκουμενικῆι συνόδωι πεπραγμένα λαβὼν ταύτης τῆς βασιλευούσης ἐξεδήμησε πόλεως, ἐπειδὴ δὲ μετ' ἐκείνους πρέπον ἦν τοὺς ὑπολελειμμένους καὶ εἰς γνῶσιν ὑμῶν ἀναγκαίως ἐλθεῖν ὀφείλοντας χάρτας καὶ δι' ἡμετέρων ἀνδρῶν ἀποσταλῆναι διὰ τὸ ἰδικῶς ἡμῖν πεπρᾶχθαι τινά, τούτου χάριν ἐπιλεξάμενοι ἄνδρα εὐλαβείαι τε καὶ συνέσει καὶ τῆι περὶ τὴν πίστιν ἀκεραιότητι πλουτοῦντα, τὸν μνημονευθέντα θεοσεβέστατον ἐπίσκοπον ἅμα τῶι προειρημένωι διακόνωι εἰς τὴν ὑμετέραν μεγίστην Ῥώμην ἐξαπεστείλαμεν, ἵνα τὰ μὲν διὰ τῶν χαρτῶν, τὰ δὲ δι' ἑαυτῶν σαφῆ ποιήσαντες ⟨τυχόντες⟩ ἀποκρίσεως προσφόρου τε καὶ ὑμῖν πρεπούσης χαίροντες πρὸς ἡμᾶς ἐπανέλθωσιν, ἀνυμνοῦντες μετὰ πάντων τὴν ἀγάπην καὶ τὴν φιλοφροσύνην τὴν συνήθη περὶ τὸν τῆς βασιλευούσης ταύτης πόλεως θρόνον τῆι πατρικῆι κηδεμονίαι τῆς ὑμετέρας μακαριότητος. ὅπως μὲν γὰρ ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος ἐρευνήσασα τὴν γεγενημένην ζάλην κατὰ τῆς κοινῆς εἰρήνης εὗρέ τε τὸν αἴτιον, Διόσκορον φημὶ τὸν τῆς Ἀλεξανδρέων γεγονότα πρώην ἐπίσκοπον, καὶ ἀπέτεμε τῆς ἱερωσύνης, τὰ παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου λεπτομερέστερον γραφέντα δηλοῖ (ἔδει γὰρ ἔδει ἐξαρθῆναι τὸν πονηρὸν ἐκ μέσου τὸν καὶ πᾶσαν τὴν οἰκουμένην χειμῶνος καὶ ζάλης ἐμπλήσαντα), ἀλλ' ἐπὶ μὲν τούτοις τοῖς καλῶς δόξασι καὶ τὴν ὑμετέραν ἁγιότητα πεπείσμεθα τίθεσθαι διὰ τὴν ἔμφυτον μισο-

1. 2 excerpta sunt in Σ

BV

1 σὺν τῆι om. V 7 τῶν V 9 θεμέλιον B δοκίμιον V τοῦ χῦ V 11 εὐτόνως V 16 τοὺς θῶ V τοῦ θῦ B 19 καταβλάπτουσαν V 23 Λουκίνσιος Balterini λουκιανὸσ BV πρεσβυτέρω V 27 ἡμῶν V 28 εὐσεβεία V 31 τυχόντες addidi 36 τε om. V 39 τοῖς om. V

πονηρίαν ὑμῶν, ἐπειδὴ δὲ μετὰ τὸν ἐπ' ἐκείνωι τύπον ἐχρῆν, δι' ὃ μάλιστα σπουδαίως ὁ εὐσεβὴς βασιλεὺς τὴν ἁγίαν σύνοδον ἤθροισεν, ἐπὶ τὸν τῆς ὀρθῆς ἡμῶν πίστεως λόγον πάντων συνελθεῖν τὴν διάνοιαν, μετὰ προσευχῆς καὶ δακρύων, συμπαρούσης ἡμῖν τῶι πνεύματι καὶ συμπραττούσης καὶ διὰ τῶν αὐτόθεν ἀποσταλέντων θεοφιλεστάτων ἀνδρῶν τῆς σῆς ὁσιότητος, ἔχοντες ὑπερασπίζουσαν τὴν ἁγιωτάτην καὶ καλλίνικον Εὐφημίαν τὴν μάρτυρα, τῶι σωτηρίωι τούτωι ἑαυτοὺς ἅπαντες μετὰ πάσης σχολῆς δεδώκαμεν πράγματι καὶ ἀπαιτοῦντος τοῦ καιροῦ πάντας τοὺς συνειλεγμένους ἁγιωτάτους ἐπισκόπους σύμφωνον ὅρον ἐξενεγκεῖν πρὸς σαφήνειαν καὶ τρανοτάτην κατάληψιν τῆς εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ὁμολογίας, ὁ δεσπότης θεὸς εὑρισκόμενος καὶ τοῖς μὴ ζητοῦσιν, ἐμφανιζόμενος δὲ καὶ τοῖς μὴ ἐπερωτῶσιν αὐτόν, εἰ καὶ τινὲς τὴν ἀρχὴν διαφιλονεικεῖν ἐπεχείρησαν, ἀνέδειξεν ὅμως τὴν ἑαυτοῦ ἀλήθειαν καὶ ὠικονόμησε σύμφωνον καὶ ἀναντίλεκτον ἐκφωνηθῆναι παρὰ πάντων ἔγγραφον ⟨ὅρον⟩, στηρίζοντα μὲν τῶν βεβαίων τὰς ψυχάς, προσκαλούμενον δὲ πάντας εἰς τὴν ὁδὸν τῆς ἀληθείας τοὺς ἀπὸ τῆς ἀληθείας ἐκκλίνοντας. καὶ δὴ ὑποσημηνάμενοι συμφώνως τῶι τοιούτωι χάρτηι, παραγενομένων εἰς τὸ συνέδριον τῆς οἰκουμενικῆς ἡμῶν συνόδου ἐν τῶι μαρτυρίωι τῆς αὐτῆς ἁγιωτάτης καὶ καλλινίκου μάρτυρος Εὐφημίας τοῦ τε εὐσεβεστάτου καὶ φιλοχρίστου βασιλέως ἡμῶν Μαρκιανοῦ καὶ τῆς εὐσεβεστάτης καὶ τὰ πάντα πιστοτάτης βασιλίδος καὶ αὐγούστης τῆς θυγατρὸς ἡμῶν Πουλχερίας, μετὰ προσευχῆς χαρᾶς τε καὶ εὐφροσύνης τὸν ἐπὶ τῆι βεβαιώσει τῆς τῶν πατέρων ἡμῶν πίστεως ἔγγραφον ὅρον κατὰ τὴν ὑμετέραν ἐκείνην ἱερὰν ἐπιστολὴν ἐπιτεθεικότες τῶι ἁγίωι θυσιαστηρίωι προσδεδώκαμεν τῆι αὐτῶν εὐσεβείαι, οὕτως αὐτὸν δέξασθαι τούτων ἁπαιτησάντων. οἵπερ δεξάμενοι ἐδόξασαν σὺν ἡμῖν τὸν δεσπότην Χριστὸν τὸν ἀπελάσαντα μὲν πάντα ζόφον κακοδοξίας, τρανώσαντα δὲ ὁμογνωμόνως τὸν λόγον τῆς ἀληθείας.

Καὶ τὸ μὲν περὶ τῆς ἐκκλησιαστικῆς εἰρήνης καὶ τῆς περὶ τὴν εὐαγῆ πίστιν ὁμονοίας τῶν ἱερέων τῆι χάριτι τοῦ σωτῆρος οὕτω συνέδραμεν· ἐπειδὴ δὲ καὶ περὶ ἑτέρων ὑποθέσεων ἐχρῆν ἡμᾶς διασκοπῆσαι, ἵνα ἡ τοσαύτη σύνοδος πάντα δόξηι πράττειν ἀπαραλείπτως τὰ δεόμενα διορθώσεώς τε καὶ βεβαιώσεως ἔν τε κανονικοῖς καὶ ἐν ἑτέροις ἐκκλησιαστικοῖς κεφαλαίοις, ἐγένετο φροντὶς τοῖς τε κρατοῦσι τῶν ὅλων καὶ τοῖς μεγαλοπρεπεστάτοις καὶ ἐνδοξοτάτοις ἄρχουσι τῆι τε λαμπρᾶι καὶ ἐνδόξωι συγκλήτωι τῶι τε κλήρωι παντὶ καὶ τῶι λαῶι αἴσθησιν λαβεῖν προσθήκης τινὸς εἰς τιμὴν τὸν κατὰ τὴν βασιλεύουσαν ταύτην Κωνσταντινούπολιν ἁγιώτατον θρόνον διὰ τῆς συναινέσεως τῆς ἁγίας ταύτης συνόδου τῆς περὶ τὸν κανόνα τῶν ἑκατὸν πεντήκοντα ἁγίων πατέρων, οἵπερ ἐτύγχανον can. Const. 3
συνειλεγμένοι ἐπὶ τοῦ τῆς εὐσεβοῦς μνήμης μεγάλου Θεοδοσίου τοῦ γενομένου βασιλέως ἐν Κωνσταντινουπόλει, ἡγουμένων τότε Νεκταρίου μὲν Κωνσταντινουπόλεως ἐπισκόπου, Τιμοθέου δὲ Ἀλεξανδρείας καὶ Μελετίου Ἀντιοχείας, Ἑλλαδίου Καισαρείας Καππαδοκίας, Κυρίλλου Ἱεροσολύμων καὶ τῶν λοιπῶν. καὶ πρὸς τὴν τοιαύτην πρᾶξιν ὡρμήσαμεν θαρροῦντες εἰκότως τῆι ὑμετέραι μακαριότητι ὡς οἰκειώσεται τὴν τιμὴν τοῦ Κωνσταντινουπόλεως θρόνου οἷα δὴ ἄνωθεν τοῦ ἀποστολικοῦ ὑμῶν θρόνου ἔχοντος τὴν περὶ αὐτὸν κηδεμονίαν καὶ ὁμόνοιαν κατὰ πάντα τε τῆς οἰκείας ἐφ' οἷς ἐδεῖτο ροπῆς αὐτῶι μεταδεδωκότος ἀφθόνως. καὶ γὰρ ἀμφιβολίας οὐκ οὔσης ὡς ἥδεται πάντως ἡ ὑμετέρα μακαριότης ἐφ' οἷς ἡ συγκροτουμένη παρ' αὐτῶν ἐκκλησία ἐπιδοξοτέραν ἔσχηκε τὴν τιμήν, προθύμωι γνώμηι ἦλθεν εἰς τὸ βεβαιῶσαι μὲν τὸν αὐτὸν κανόνα τῶν ἑκατὸν πεντήκοντα ἁγίων πατέρων τὸν διατυποῦντα τὸν Κωνσταντινουπόλεως ἐπί-

---

BV

3 πάντωσ V καὶ om. B 5 καλλίστην V 10 ἐμφανιζόμενοσ ἐμφανιζόμενοσ V 12 ἀντίλεκτον V ὅρον addidi 15 παραγενόμενοι V 17 καὶ τὰ B κατὰ V 24 τὸν V 30 τῶι om. V 31 κωνσταντινουπόλεωσ V 34 ἐπισκόπου om. V 35 ἑλαδίου V 39 ἥσ V 42 ἦλθεν scil. synodus Chalcedonensis

σκοπον ἔχειν τὴν τιμὴν καὶ τὰ πρεσβεῖα μετὰ τὸν Ῥώμης ἁγιώτατον θρόνον διὰ τὸ καὶ Κωνσταντινούπολιν νέαν εἶναι Ῥώμην ὥρισέ τε καὶ τὰς χειροτονίας τῶν μητροπολιτῶν ποιεῖσθαι τῆς Ποντικῆς καὶ τῆς Ἀσιανῆς καὶ τῆς Θραικικῆς διοικήσεως, τῶν ὑπ' αὐτοὺς τελούντων ὑπὸ τῶν ἰδίων μητροπολιτῶν χειροτονουμένων, ὡς ἐν τούτωι ἀφαιρεῖσθαι μᾶλλον τοῦ θρόνου Κωνσταντινουπόλεως χειροτονίας πλείστων ἐπισκόπων, ἅσπερ ἀπὸ ἑξήκοντα καὶ ἑβδομήκοντα ἐνιαυτῶν ἐτύγχανεν ἐπιτελῶν. οὕτω τε πάντων καλῶς προβάντων καὶ εἰς εὐφροσύνην ληξάντων, οἱ θεοφιλέστατοι αὐτόθεν ἐπίσκοποι Πασκασῖνος καὶ Λουκίνσιος καὶ ὁ εὐλαβέστατος πρεσβύτερος Βονιφάτιος πολλάκις μὲν περὶ τούτου αὐτοῦ παρ' ἡμῶν διδαχθέντες, ἀγνοοῦντες δὲ τὸν σκοπὸν τῆς ὑμετέρας ἁγιωσύνης ὃν ἔχετε περὶ τὴν Κωνσταντινουπόλεως ἁγιωτάτην ἐκκλησίαν, μετὰ τὸ τυπῶσαι τὴν ἁγίαν σύνοδον καὶ δι' ὑπογραφῆς βεβαιῶσαι τὸν τοιοῦτον ὅρον ἀνασοβοῦσι μὲν τὴν σύνοδον, ταράττουσι δὲ καὶ συγχύσεως πληροῦσι τὸ συνέδριον, τὸν θρόνον τοῦτον ἐξουθενοῦντες καὶ πάντα ποιοῦντες ὅσα ὕβρεως αἴτια ἐμοί τε καὶ τῆι Κωνσταντινουπόλεως ἁγιωτάτηι ἐκκλησίαι καθίστατο, καὶ ταῦτα νεύματι τῶν εὐσεβεστάτων ἡμῶν βασιλέων παραγενομένων καὶ τῶν μεγαλοπρεπεστάτων καὶ ἐνδοξοτάτων ἀρχόντων τῶι συνεδρίωι καὶ ἀποφηναμένων τὸν παρὰ τῆς ἁγίας συνόδου ὅρον βέβαιον εἶναι καὶ προσφιλοτιμησαμένων καὶ αὐτῶν τὰ εἰς τιμήν, καθάπερ εἰρήκαμεν, τοῦ θρόνου συντείνοντα. ἅπερ ἐκ πολλῶν ὀλίγα ὑμῖν ἐγνωρίσαμεν, ἵνα μὴ δόξωμεν αὐτοὺς μὲν βαρεῖν, ταῖς δὲ ἀκοαῖς ταῖς ὑμετέραις παρενοχλεῖν· ἡμεῖς γὰρ ὅτι καὶ πρὸ τῆς αὐτῶν παρουσίας τὰ εἰς δόξαν ὑμετέραν καὶ τιμὴν τὴν ὀφειλομένην ἐν πᾶσι διεπραξάμεθα καὶ μετὰ τὴν αὐτῶν παρουσίαν, θεός τε μάρτυς καὶ αὐτὰ τὰ πεπραγμένα δηλοῖ ὅπως τε καὶ αὐτοὺς τιμῆς τε καὶ δορυφορίας ἠξιώσαμεν αἰδοῖ καὶ τιμῆι τῆι περὶ ὑμᾶς. καὶ τὸν τοιοῦτον τύπον ἐπὶ τὴν ὑμετέραν ὁσιότητα ἡ ἁγία σύνοδος ἀνήνεγκε καὶ ἡμεῖς ἐφ' ὧι τε τῆς παρ' ὑμῶν τυχεῖν συναινέσεως καὶ βεβαιότητος παρακαλοῦμέν τε τοῦτο παρ' ὑμῶν γενέσθαι, ἁγιώτατοι (ὁ γὰρ θρόνος Κωνσταντινουπόλεως ἔχει πατέρα τὸν ἀποστολικὸν θρόνον ὑμῶν κατ' ἐξαίρετον ἑαυτὸν συνάψας ὑμῖν), ἵνα καὶ διὰ τῆς ὑμῶν περὶ αὐτὸν φροντίδος ἅπαντες μὲν πεισθεῖεν ὅτι γνησίως ἄνωθεν προνοησάμενοι καὶ νῦν τὴν αὐτὴν ἔχοντες διαμένετε περὶ αὐτὸν φροντίδα, καὶ ὡς λυσιτελοῦντα δὲ τῆι ἐκκλησιαστικῆι καταστάσει καταξιώσατε ἅπαντα κυρῶσαι τὰ παρακολουθήσαντα ἐγγράφως ἐν τῆι ἁγίαι ταύτηι καὶ οἰκουμενικῆι συνόδωι. καὶ αὐτὸν δὲ τὸν προειρημένον περὶ τοῦ θρόνου τῆς Κωνσταντινουπόλεως ὅρον ἐσπουδάσαμεν ἀποστεῖλαι πρὸς τὴν ὑμετέραν ἁγιωσύνην, ἵν' ἔχητε εἰδέναι ὡς εὐχαῖς ταῖς ὑμετέραις θεοσόφως ἅπαντα ὠικονόμηται, καὶ παρακαλοῦμεν πρόσφορον ἀπόκρισιν δέξασθαι ἑκάστην ὑπόθεσιν, διδάσκοντος ὑμᾶς ἅπαντα τοῦ θεοφιλεστάτου ἐπισκόπου Λουκιανοῦ, ὃς καὶ αὐτὸς παρὼν τῆι ἁγίαι συνόδωι καὶ ἐμφρόνως τὰ δυνατὰ εἰσενεγκὼν τῶι περὶ τῆς πίστεως ἡμῶν ἀγῶνι ἐπελέγη παρ' ἡμῶν ὑπηρετήσασθαι τῆι πρὸς ὑμᾶς ἐπ' ἀγαθοῖς διακονίαι, ἀνὴρ τέλειος ὑπάρχων τοῖς τε εὐσεβεστάτοις καὶ φιλοχρίστοις ἡμῶν βασιλεῦσιν ἄνωθεν φίλος. ὅνπερ ἀπολαύσαντα τῆς ὑμετέρας ἀγαθότητος χαίροντα πρὸς ἡμᾶς ἐκπέμψαι καταξιώσατε.

Πᾶσαν τὴν σὺν τῆι ὑμετέραι μακαριότητι ἐν Χριστῶι ἀδελφότητα ἐγώ τε καὶ οἱ σὺν ἐμοὶ πλεῖστα προσαγορεύομεν. ἐρρωμένος ἐν κυρίωι καὶ ὑπερευχόμενος ἡμῶν χαρισθείης ἡμῖν, θεοφιλέστατε καὶ μακαριώτατε πάτερ.

BV

2 τὴν κωνσταντινούπολιν V 7 θεοσεβέστατοι V 21 τε] γε BV 23 τῆς om. V 24 τε] τε καὶ V 26 ἡμῖν V 29 ἁγία ταύτη B ἁγιωτάτη V

Ἐπιστολὴ τοῦ εὐσεβεστάτου βασιλέως Μαρκιανοῦ πρὸς τὸν μακαριώτατον ἀρχιεπίσκοπον Ῥώμης Λέοντα

16 Νικηταὶ Οὐαλεντινιανὸς καὶ Μαρκιανὸς ἔνδοξοι τροπαιοῦχοι αὔγουστοι τῶι ἁγιωτάτωι καὶ ἀληθῶς σεπτῶι πατριάρχηι ἐπισκόπωι Λέοντι. Αἱ θεῖαι καὶ ἀνθρώπινοι γραφαὶ συμφωνοῦσι τὸ θεῖον ἐν πρώτοις εἶναι προσκυνητὸν κἀκεῖ τὸν παντοκράτορα θεὸν εἶνα. ἵλεω, ὅπου θρησκεύεται ὀρθῶς ἡ πίστις. τοῦτο τοίνυν ὅπερ ἐζητοῦμεν, εὕρομεν καὶ ἐπετύχομεν ὑμετέραις εὐχαῖς· εὗρε γὰρ τῆς θρησκείας τὴν πίστιν ἡ πιστὴ διάθεσις καὶ οὐδὲν ἀμφίβολόν ἐστι συνεργίαι τοῦ θεοῦ τετυπῶσθαι ὅπερ περὶ τῆς αὐτοῦ δυνάμεως ἐζητεῖτο. ἐκβεβλημένης τοίνυν πάσης φιλονεικίας καὶ διχονοίας ἥντινα ὁ βάσκανος δαίμων τῆι πίστει ἐμβεβλήκει, τὸν θεὸν πάντες διανοίαι ⟨μιᾶι⟩ γινώσκουσι. λοιπὸν οὐ κατηγοροῦμεν τῶν ἀπίστων, ἀλλὰ καὶ χάριν ὁμολογοῦμεν τοῖς τῆς θρησκείας ἐχθροῖς· παρέσχον γὰρ ἡμῖν ὅπως τὸν θεὸν σπουδαιότατα ζητήσωμεν φανερῶς τε γνῶμεν. μεῖζον γὰρ φῶς εἶναι δοκεῖ τὸ μετὰ τὴν σκοτίαν φαῖνον· γλυκύς ἐστι τοῖς διψῶσιν ὁ πότος, τοῖς κεκμηκόσιν ἡ ἀργία. χαιρέτω τοίνυν ἡ σὴ ἁγιωσύνη ἐπὶ τῆι νίκηι τῆς πίστεως, οὗτινος ὁ στέφανος τῶι παντοκράτορι Χριστῶι ἀναθετέος· οὗτος γὰρ δέδωκε κατὰ τῶν ἀπίστων νίκην καὶ διὰ τοῦτο ἡμεῖς αὐτοὶ παραγενέσθαι τῆι ἁγίαι συνόδωι ἠπείχθημεν, εἰ καὶ ὅτι ἡμᾶς ἐν ἄλλοις τόποις ἐκστρατεῖαί τε καὶ δημόσιαι χρεῖαι κατεῖχον. τοιγαροῦν ἅπαντα κατ' εὐχὰς τῆς σῆς ἁγιωσύνης, αἵτινες τῆι πίστει συμφωνοῦσι, τετύπωται· παντὸς τοῦ κόσμου τοῦ ὄντος ὑπὸ τὴν ἡμετέραν βασιλείαν τῶν εὐλαβεστάτων ἐπισκόπων ἐν τῆι Χαλκηδονέων συγκληθέντων καὶ σκέμματος γενομένου, μετὰ πολλὰς φιλονεικίας ἡ ἀληθὴς πίστις κατέσχε καὶ κατὰ τὰ γράμματα τῆς σῆς ἁγιωσύνης πάντες συνήινεσαν τῆι ἐκθέσει καθὼς ἡ ἀλήθεια ἀπήιτησε. καὶ οὐδὲ ἀμφιβάλλομεν τούτου τοῦ πράγματος τὴν χάριν ἡμῖν καὶ τῆι σῆι ἁγιωσύνηι κοινὴν εἶναι καὶ ἐπίσης χαίρειν οὕστινας φανερόν ἐστιν ὁμοίως ἡιρῆσθαι τὴν ἀλήθειαν. λείπει ὅπως πάντων κατὰ τὴν καθολικὴν πίστιν καὶ τὴν ἀλήθειαν συντεθέντων καὶ εἰρήνης ταῖς ἐκκλησίαις ἀποδοθείσης συμπάσαις εὐχαῖς εἰς ἀπώλειαν τῶν πολεμίων ἡ σὴ ἁγιωσύνη τὴν θείαν προκαλέσηται δύναμιν, ὅπερ σε καὶ πρὸ τῶν ἡμετέρων ⟨γραμμάτων⟩ ποιεῖν ὡμολόγηται.

Ἐπειδὴ δὲ καὶ τοῦτο τετύπωται ὥστε τὰ παρὰ τῶν ἑκατὸν πεντήκοντα ἐπισκόπων ἐπὶ τοῦ τῆς θείας λήξεως τοῦ ἀνωτέρω Θεοδοσίου τῆς τιμῆς ἕνεκα τῆς σεπτῆς ἐκκλησίας τῆς Κωνσταντινουπολιτῶν τυπωθέντα καὶ ἄτινα νῦν ὑπὸ τῆς ἁγίας συνόδου περὶ τοῦ αὐτοῦ πράγματος τετύπωται, βέβαια φυλαχθῆναι, δηλαδὴ ἵνα μετὰ τὸν ἀποστολικὸν θρόνον ὁ τῆς Κωνσταντινουπολιτῶν εὐθέως ἐπίσκοπος δεύτερον ἔχοι τόπον, ἐπειδήπερ καὶ ἡ αὐτὴ περιφανεστάτη πόλις νεωτέρα Ῥώμη προσαγορεύεται, καταξιώσει ἡ σὴ ἁγιωσύνη καὶ τούτωι τῶι μέρει συναινέσαι, εἰ καὶ οἱ εὐλαβέστατοι ἐπίσκοποι ⟨οἱ⟩ εἰς τόπον τῆς σῆς θεοφιλείας ἐν τῆι ἁγίαι συνόδωι συνελθόντες ἀντεῖπον. σφοδρότατα γὰρ ἐκώλυον περὶ τῆς αὐτῆς σεπτῆς ἐκκλησίας τυπωθῆναί τι ἐν τῆι συνόδωι, ἐλπίζομεν δὲ ὡς συμφωνούντων τῶν τοῦ παντὸς κόσμου ἱερέων τὰ τοῖς Ῥωμαικοῖς πράγμασι λυσιτελοῦντα ἡ θεία πρόνοια παρασχεῖν καταξιώσει. διὸ δὴ διὰ Λουκιανοῦ τοῦ θεοφιλεστάτου ἐπισκόπου καὶ Βασιλείου τοῦ διακόνου πάντα ὑμῖν γνωρισθῆναι ἐθεσπίσαμεν καὶ

---

16 Latinum exemplar edidi in appendice uol. IIII p. 167

BV

3 excidit ἀεὶ uel αἰώνιοι 6 τούτου V ζητοῦμεν V 7 ἐπιτύχομεν V *uota nostra* Λ 10 μιᾶι add. Ballerini 12 γνῶμεν] ἔγνωμεν B ἐπέγνωμεν V 15 οὗτινος male translatum ex *huius* 17 ὑπήχθειμεν V ὑπείχθημεν V^{corr} 18 αἵτινες falso translatum 20 χαλκηδονίων V 24 εἰρῆσθαι V 26 σὺν πάσαισ B 27 προσκαλέσηται V γραμμάτων suppl. Ballerini 28 ῥῦ V 29 ἀνωτέρου V τῆς4] τῶν V 32/33 -περ — αὐτῆ om. V 34 τοῦτο V οἱ addidi

αἰτοῦμεν τὰ παρὰ τῆς ἁγίας συνόδου τυπωθέντα ἵνα καὶ ἡ σὴ θεοσέβεια εἰς τὸ διηνεκὲς παραφυλαχθῆναι προστάξῃ.

Ἡ θεία πρόνοιά σε φυλάττοι πολλοῖς χρόνοις, ἁγιώτατε καὶ θεοφιλέστατε πάτερ.

d. 18 m. Dec. a. 451 Ἐδόθη πρὸ δεκαπέντε Καλανδῶν Ἰαννουαρίων ἐν Κωνσταντινουπόλει ὑπατείας τοῦ δεσπότου ἡμῶν Μαρκιανοῦ τοῦ αἰωνίου αὐγούστου καὶ τοῦ δηλωθησομένου.

Ἐπιστολὴ Λέοντος ἀρχιεπισκόπου Ῥώμης πρὸς Ἀνατόλιον ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως νέας Ῥώμης

17 Τῶι ἀγαπητῶι ἀδελφῶι Ἀνατολίωι ἀρχιεπισκόπωι Κωνσταντινουπόλεως Λέων ἀρχιεπίσκοπος Ῥώμης. Φανερωθέντος, ὡς ηὐχόμεθα, διὰ τῆς χάριτος τοῦ θεοῦ τοῦ φωτὸς [καὶ] τῆς εὐαγγελικῆς ἀληθείας καὶ ἀπὸ τῆς καθολικῆς ἐκκλησίας τοῦ σκότους τῆς ὀλεθριωτάτης πλάνης ἐκδιωχθέντος ἀφράστως χαίρομεν ἐν τῶι δεσπότηι ὅτι τῆς πιστευθείσης ἡμῖν διοικήσεως ὁ κάματος εἰς τὸ πεποθημένον ἔργον ἐξέβη, καθὼς καὶ τῆς σῆς ἐπιστολῆς
1 Cor. 1, 10 ὁ τύπος σημαίνει, ὥστε κατὰ τὴν ἀποστολικὴν διδασκαλίαν τὸ αὐτὸ λεχθῆναι παρὰ πάντων καὶ μὴ εἶη ἐν ὑμῖν σχίσματα, εἴημεν δὲ τέλειοι ἐν τῶι αὐτῶι νῶι καὶ ἐν τῆι αὐτῆι εἰδήσει. οὕτινος κατορθώματος χαίρομεν τὴν σὴν ἀγάπην εἶναι συνεργόν, ὥστε καὶ τοῖς ὀφείλουσι διορθωθῆναι τὴν σὴν λυσιτελῆσαι σπουδὴν καὶ ἀπὸ πάσης τῶν πλανωμένων κοινωνίας καθαρισθῆναί σε. τοῦ γὰρ προηγησαμένου σε τοῦ τῆς μακαρίας μνήμης Φλαβιανοῦ διὰ τὴν ἐκδίκησιν τῆς καθολικῆς πίστεως ἐκβληθέντος οὐκ ἀδίκως ἐπιστεύετο ὅτιπερ οἱ χειροτονήσαντές σε παρὰ τοὺς κανόνας τοὺς ἁγίους ὡς ἑαυτῶν ὅμοιον ἐφαίνοντό σε χειροτονήσαντες, ἀλλ' ἔφθασεν ἡ τοῦ θεοῦ ἐλεημοσύνη εἰς τοῦτό σε φέρουσα καὶ βεβαιοῦσα ὡς ἂν ταῖς μὲν κακαῖς ἀρχαῖς καλῶς σε χρήσασθαι καὶ μὴ ἀνθρώπων κρίσει, ἀλλὰ θεοῦ ἀγαθότητι χειροτονηθῆναι ὀφθείης. ὅπερ ἀληθῶς οὕτως ἐστὶ δεκτέον, εἰ ταύτην τῆς θείας δωρεᾶς τὴν χάριν ἑτέραι μὴ ἀπολέσειας προσκρούσει. τὸν γὰρ καθολικὸν ἄνδρα καὶ μάλιστα τὸν τοῦ δεσπότου ἱερέα ὥσπερ οὐδεμιᾶι πλάνηι προσπλέκεσθαι, οὕτως οὔτε τινὶ ἐπιθυμίαι διαφθείρεσθαι χρή. βοώσης τῆς θείας γραφῆς·
Sir. 18, 30 τὰς ἐπιθυμίας τὰς σὰς ἀπὸ τῆς σῆς προαιρέσεως κώλυε, τοῖς πολλοῖς τούτου τοῦ κόσμου δελεάσμασι καὶ τῆι πολλῆι ματαιότητι ἀντιβῆναι χρή, ὥστε τῆς ἀληθοῦς ἐγκρατείας τὴν καθαρότητα κατασχεθῆναι. ἦστινος πρῶτός ἐστιν ὄλεθρος ἡ ὑπεροψία, ἀρχὴ τῆς μεταβάσεως καὶ ἀρχαιογονία τῶν ἁμαρτημάτων· ἐπειδὴ δὲ ⟨διάνοια⟩ ἐπιθυμητικὴ τῆς δυναστείας τυγχάνουσα οὔτε ἀποσχέσθαι ἔγνω τῶν κεκωλυμένων οὔτε χαίρει τοῖς συγκεχωρημένοις, τῆι ἀνακολούθωι καὶ φαύληι προκοπῆι τῶν ἀτιμωρήτων παραβάσεων αὔξονται αἱ ὁδοὶ καὶ συχνάζουσιν αἱ ἁμαρτίαι, αἵτινες ἐβαστάχθησαν ἔρωτι τοῦ ἀνανεωθῆναι τὴν πίστιν καὶ τὴν ὁμόνοιαν. μετ' ἐκεῖνα τοίνυν τὰ ἐπὶ τῆι σῆι χειροτονίαι ἡμαρτημένα προοίμια, μετὰ τὴν χειροτονίαν τοῦ Ἀντιοχείας ἐπισκόπου, ἥντινα ἑαυτῶι παρὰ τοὺς κανονικοὺς θεσμοὺς ἐξεδίκησας, πάσχω καὶ εἰς τοῦτο τὴν σὴν ἀγάπην ἐξολισθῆσαι ὥστε τὰς θείας διατυπώσεις τῶν ἐν Νικαίαι κανόνων ἐπιχειρεῖν σε παραλύειν, καθάπερ ἐπιτηδείου σοι προσενεχθέντος καιροῦ ὅπως τῆς δευτέρας τιμῆς τὸ προνόμιον ὁ Ἀλεξανδρέων θρόνος καὶ ἡ Ἀντιοχέων ἐκκλησία τὴν κυριότητα τῆς τρίτης ἀπολέσοι ἀξίας, ὥστε τούτων τῶν τόπων τῶι σῶι δικαίωι ὑπαχθέντων πάντας τοὺς μητροπολίτας ἐπισκόπους τῆς ἰδίας τιμῆς στερηθῆναι. ἅτινα μήτε ἀκουσθέντα μήτε ἐπιχειρηθέντα ποτὲ οὕτω προ-

17 Latinum exemplar extat in Leonis epist. 56

BV

9 τοῦ θῦ χάριτος V 10 καὶ del. Ballerini 14 postulatur ἡμῖν cf. Λ 19 ἑαυτὸν V 21 φέρουσα V φανεροῦσα B σε om. V 25 φθείρεσθαι V 28 ἡ om. V 29 διάνοια addidi 31 ἀκολούθω V προτροπῆ B 32 στυγνάζουσιν V 37 προοίμιον V 38 ἀπωλέσει V 40/p. 57, 1 προσέλαβεσ BV

ἔλαβες τῇι παραβάσει, ὥστε τὴν ἁγίαν σύνοδον τὴν εἰς τὸ ἀποσβέσαι μόνον τὴν αἵρεσιν καὶ βεβαιῶσαι τὴν καθολικὴν πίστιν σπουδῆι τοῦ Χριστιανικωτάτου βασιλέως συναθροισθεῖσαν εἰς ἀφορμὴν ἀμβιτίονος ἐλκυσθῆναι παρὰ σοῦ καὶ εἰς τὸ συνδυάσαι σοι ἀναγκασθῆναι, καθάπερ οὐ δυναμένου ἀνατραπῆναι τοῦ παρανόμως δόξαντος πολλοῖς, ἀλλὰ κἀκείνη ἡ τῶν ἐν Νικαίαι κανονισθέντων κανόνων διὰ τοῦ ἁγίου ἀληθῶς πνεύματος διατύπωσις ἔν τινι μέρει τισὶν εἴη ἀναλυτέα. μηδαμῶς ἑαυτὸ ἐκ τοῦ συνηγμένου πλήθους τὸ συνοδικὸν συνέδριον ἀπατήσηι μήτε ⟨τῶι⟩ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἐπισκόπων ὁσοσδήποτε ἀριθμὸς ἱερέων ἢ συγκρῖναι ἑαυτὸν τολμήσοι ἢ προκρῖναι, ὁπότε τοσαύτηι τοῦ θεοῦ χάριτι ἡ ἐν Νικαίαι σύνοδος συνηθροίσθη, ὥστε εἴτε δι' ἐλασσόνων εἴτε διὰ πλειόνων ἐκκλησιαστικὰ συγκροτηθείη δικαστήρια, πάσης στερεῖσθαι αὐθεντίας πᾶν ὅ τι ἂν τυπωθείη τῆι ἐκείνων διατυπώσει ἐναντιούμενον. ἄγαν τοίνυν ἀναιδῆ, ἄγαν φαῦλα τυγχάνει τὰ τοῖς θείοις κανόσιν ἐναντιούμενα· εἰς τάραχον πάσης ἐκκλησίας ἡ παροῦσα τείνει ὑπεροψία, ἥτις οὕτως ἀποχρήσασθαι ἠθέλησε τῆι συνόδωι, ὥστε τοὺς ἀδελφοὺς τοὺς τῆς πίστεως ἕνεκα μόνης συγκληθέντας πληρώσαντάς τε ἅπερ τούτου ἕνεκα τοῦ μέρους φροντισθῆναι ὤφειλεν, εἰς τὸ συναινέσαι ἑαυτῆι ἢ ἀπάτηι ὑπάγειν ἢ φόβωι συνελάσαι. ἐντεῦθεν γὰρ οἱ ἀδελφοὶ οἱ ἡμέτεροι παρὰ τοῦ ἀποστολικοῦ θρόνου ἀποσταλέντες, οἵτινες ἐν τῆι συνόδωι ἐτοποτήρουν ἐμοί, εὐδοκίμως καὶ γενναίως τοῖς παρανόμοις τολμήμασιν ἀντέστησαν φανερῶς βοῶντες μή τις κατὰ τῶν ἐν Νικαίαι κανόνων ἐπιχείρησις ἀναιδὴς ἐξαναστάιη. ἀλλ' οὐδὲ ἀμφιβάλλεται ἀντιβῆναι αὐτούς, οἵστισι καὶ αὐτὸς ἐν τοῖς ἑαυτοῦ γράμμασι μέμφηι ὅτι δὴ ταῖς σαῖς ἐπιχειρήσεσιν ἠθέλησαν ἀντιβῆναι. καὶ ἐμοὶ μὲν οὖν πάνυ αὐτοὺς ταῦτα γράφων παρατίθηι, σαυτοῦ δὲ ὅτιπερ αὐτοῖς πειθαρχῆσαι οὐκ ἠνέσχου παράνομα ἐπιχειρῶν, κατηγορεῖς, περιττῶς τὰ ἀσυγχώρητα ἁρπάζων ἀθέσμως ⟨τε⟩ ἐπιθυμῶν ἐκείνων ἅτινα οὐδεμίαν ποτὲ δυνήσονται ἡμετέραν ἔχειν συναίνεσιν. ἀπέστω γὰρ τῆς ἡμετέρας συνειδήσεως ὥστε τὴν οὕτως φαύλην ἐπιθυμίαν ἐμαῖς σπουδαῖς βοηθηθῆναι καὶ οὐχὶ μᾶλλον καὶ ἐμῆι καὶ πάντων τῶν μὴ μεγάλα φρονούντων ἀλλὰ ταπεινὰ σπουδῆι καταχωσθῆναι. οἱ ἅγιοι ἐκεῖνοι καὶ σεπτοὶ πατέρες οἵτινες ἐν τῆι Νικαέων πόλει τοῦ ἱεροσύλου Ἀρείου μετὰ τῆς ἰδίας δυσσεβείας κατακριθέντος νόμους διαιωνίζοντας τῶν ἐκκλησιαστικῶν ἔθεντο κανόνων, καὶ παρ' ἡμῖν καὶ ἐν παντὶ τῶι κόσμωι ταῖς ἰδίαις διατάξεσι ζῶσι καὶ εἴ τί ποτε ἄλλως ἥπερ αὐτοὶ ἐτύπωσαν, ἐπιχειρηθείη, ἄνευ ἀμφιβολίας καταργεῖται καὶ ὅπως μηδεμιᾶι ἐναλλαγῆι παραβαθείη τὰ εἰς διηνεκῆ χρησιμότητα γενικῶς τυπωθέντα μήτε εἰς ἰδικὸν ἑλκυσθείη δίκαιον ἅτινα εἰς κοινὴν λυσιτέλειαν τετύπωται, μενόντων τε τῶν ὅρων οὓς ἐπήξαντο οἱ πατέρες, μηδεὶς κατὰ δικαίου ἀλλοτρίου ἔλθοι, ἀλλ' ἐντὸς τῶν οἰκείων καὶ νομίμων ὅρων, καθὼς ἂν ἕκαστος ἰσχύσηι, εἰς πλάτος ἀγάπης ἑαυτὸν ἐκγυμνάσοι. ἤστινος εὐθαλεῖς καρποὺς ὁ Κωνσταντινουπόλεως ἐπίσκοπος δύναται πορίσασθαι, εἰ μᾶλλον τῆι τῆς ταπεινοφροσύνης ἀρετῆι σπουδάσει ἥπερ τῶι τῆς ἀμβιτίονος πνεύματι φυσηθείη. μὴ βούλου, ἀδελφέ, ὑπέρογκα φρονεῖν, ἀλλ' εὐλαβοῦ καὶ τὰς τῶν Χριστιανῶν βασιλέων εὐσεβεῖς ἀκοὰς ἀναιδέσιν αἰτήσεσιν παρενοχλεῖν ἀπόσχου, οἵστισιν ὡμολογημένως ἐπίσταμαι ἐπιεικείαι σε μᾶλλον ἢ ὑπεροψίαι ἀρέσοντα. τῆι γὰρ γνώμηι τῆι σῆι κατ' οὐδὲν συμβάλλεται ἡ παρά τινων ἐπισκόπων πρὸ ἑξήκοντα, ὡς φής, ἐνιαυτῶν γενομένη συγγραφὴ καὶ οὐδέποτε παρὰ τῶν προηγησαμένων σε εἰς γνῶσιν τοῦ ἀποστολικοῦ θρόνου πεμφθεῖσα, ἥτινι τὴν ἀρχὴν ἀνυποστάτωι καὶ ὀλισθηρᾶι τυγχανούσηι

Rom. 12, 16

Rom. 11, 20

BV

6 τισιν del. V ἑαυτὸ Ballerini ἑαυτῶ BV 7 τῶι addidi δεκαοκτὼ V 8/9 τοσαύτη θῦ χάριτι V 14 πληρώσαντέσ V 15 ἑαυτῆι ἢ scripsi secundum Λ ἑαυτῆσ τῆ BV 21 παρατίθησ αὐτοῦ V 23 τε addidi οὐδεμίαν ποτὲ scripsi secundum Λ οὐδὲ μιᾶ ἀπάτη BV 24 σύνεσιν V 26 μὴ om. V 30 καὶ otiosum 31 χρησιμότατα V 33 ἐντὸσ B ἓν V 36 τῆι om. V 36/37 φυσσηθείη BV 37 βούλου δὲ V

βραδέως νῦν καὶ ἀχρήστως ὑποβαλεῖν ἠβουλήθης στηρίγματα * παρὰ τῶν ἐμῶν ἀδελφῶν σχῆμα συναινέσεως, ἤντινά σοι εἰς σὴν ὕβριν τὴν σκυλεῖσαν αἰδῶ παρεσχηκέναι γινώσκει. Mt. 18, 6 μνήσθητι τί ὁ δεσπότης τῶι ἕνα τῶν μικρῶν τούτων σκανδαλίζοντι ἀπειλεῖ, καὶ συνετῶς νόησον ὁποῖον εἴη τοῦ θεοῦ δικαστήριον ὑπεισελευσόμενος ὁ τοσαύταις ἐκκλησίαις, τοσούτοις ἱερεῦσι σκάνδαλον ἐμβαλεῖν μὴ φοβηθείς. ὁμολογῶ γὰρ ἐμαυτὸν οὕτως τῆι ἀγάπηι πάσης τῆς ἀδελφότητος συνέχεσθαι, ὥστε μηδενὶ πάντηι αὐτῶν ἐν τούτοις ἅπερ καθ' ἑαυτῶν αἰτοῦσι, συντίθεσθαι, δυνήσηι δὲ σαφέστατα γνῶναι ἐμὲ τῆι σῆι ἀγάπηι καλοθελεῖ ψυχῆι ἀντιβαίνειν, ὅπως ἂν ὑγιεῖ λογισμῶι ἀπὸ πάσης τῆς ἐκκλησιαστικῆς ταραχῆς σαυτὸν ἐπίσχηις. μὴ παρασπασθείη τῶν ἐπαρχεωτῶν τὰ δίκαια μήτε τῶν ἀρχῆθεν τετυπωμένων προνομίων οἱ μητροπολῖται ἀποστερηθεῖεν ἐπίσκοποι. μηδὲν τοῦ Ἀλεξανδρέων θρόνου τῆς τιμῆς ἥστινος διὰ τοῦ ἁγίου Μάρκου τοῦ εὐαγγελιστοῦ τοῦ μαθητοῦ τοῦ ἁγίου Πέτρου ἠξιώθη, παραπόληται μήτε διὰ Διόσκορον διὰ τὴν ἰταμότητα τῆς ἰδίας δυσσεβείας πεσόντα τὸ φῶς τῆς τοσαύτης ἐκκλησίας σκότωι ἀλλοτρίωι ἀμαυρωθείη. καὶ ἡ Ἀντιοχέων ὁμοίως ἐκκλησία, ἐν ᾗι τὸ πρῶτον διδάσκοντος τοῦ μακαριωτάτου ἀποστόλου Πέτρου τὸ τοῦ Χριστοῦ ὄνομα ἤρξατο, ἐν τῆι τῶν πατέρων διατυπώσει παραμενέτω καὶ ἐν τῶι τρίτωι βαθμῶι ἱδρυνθεῖσα μήποτε ἑαυτῆς γένηται ἐλάσσων. ἄλλο γάρ ἐστι θρόνος καὶ ἄλλο προκαθεδρία, καὶ μεγάλη ἑκάστου τιμὴ ἐστιν ἡ ἰδία καθαρότης. ἥτις ὁπότε ἐν οἱοισδήποτε τόποις τὸν ἴδιον τόπον οὐκ ἀπόλλυσι, πόσωι μᾶλλον ἐν τῆι Κωνσταντινουπολιτῶν πόλει ἐπίδοξος δύναται εἶναι ἡ μεγαλειότης, εἰ διὰ τῆς σῆς παραφυλακῆς καὶ ἐκδικήσεως οἵ τε πατρικοὶ κανόνες καὶ πολλοὶ ἱερεῖς ὑπόδειγμα ἔχοιεν ἀγαθότητος;

Ταῦτά σοι γράφων, ἀδελφέ, ἐν τῶι δεσπότηι ἡμῶν προτρέπομαι καὶ ὑπομιμνήσκω ὅπως ἀφέμενος τῆς ἐπιθυμίας τῆς ἀμβιτίονος πνεύματι μᾶλλον ζέοις διαθέσεως καὶ ταῖς 1 Cor. 13, 4. 5 ἀρεταῖς ταύτης κατὰ τὴν διδασκαλίαν τὴν ἀποστολικὴν λυσιτελῶς κοσμηθείης. ἔστιν ἀνεξίκακος καὶ καλοθελὴς καὶ οὐκ ἐριστική, οὐδὲν πράττει μάτην οὐδὲ ὀγκοῦται οὐδὲ ἀμβιτιονεύει οὐδὲ ζητεῖ ἅπερ ἑαυτῆς ἴδιά ἐστιν. ὅθεν εἰ ἡ ἀγάπη οὐ ζητεῖ τὰ ἴδια, πόσον ἁμαρτάνει ὁ ἐπιθυμῶν τῶν ἀλλοτρίων; ὧν θέλω πάντηι ἵνα ἀπόσχηι καὶ ἔχοις Apoc. 3, 11 κατὰ νοῦν ταύτην τὴν γνώμην ἥτις προαγορεύει· κάτεχε ὅπερ ἔχεις, μὴ ἄλλος δέξηται τὸν σὸν στέφανον. καὶ γὰρ εἰ τὰ μὴ συγκεχωρημένα ζητήσειας, αὐτὸς σαυτὸν τῶι σῶι ἔργωι καὶ τῆι σῆι κρίσει τῆς εἰρήνης πάσης τῆς ἐκκλησίας ἀποστερήσειας.

Ὁ ἀδελφὸς καὶ συνεπίσκοπος ἡμῶν Λουκιανὸς καὶ ὁ ἐμὸς υἱὸς ὁ διάκονος Βασίλειος ὅσον τὸ κατ' αὐτούς, σπουδαιότατα τὰ ἐγχειρισθέντα διήνυσαν, ἀλλὰ τῆι πράξει αὐτῶν τὸ ἔργον τὸ δίκαιον ἠρνήσατο.

d. 22. m. Mai. a. 452 Ἐδόθη πρὸ ἑνδεκα Καλανδῶν Ἰουνίων ὑπατείας Ἐρκουλάνου τοῦ λαμπροτάτου

Ἐπιστολὴ Λέοντος ἀρχιεπισκόπου Ῥώμης πρὸς τὸν εὐσεβέστατον βασιλέα Μαρκιανόν

18 Τῶι πανενδόξωι καὶ φιλανθρωποτάτωι υἱῶι Μαρκιανῶι Λέων ἀρχιεπίσκοπος Ῥώμης. Μεγάλη χάριτι ἐλεημοσύνης θεοῦ πάσης τῆς καθολικῆς ἐκκλησίας ἐπολυπλασιάσθη χαρά, ὁπότε ἅγιαι καὶ ἐνδόξωι τῆς σῆς φιλανθρωπίας σπουδῆι ὁλεθριωτάτη πλάνη ἀπεσβέσθη, ὥστε τὸν ἡμέτερον κάματον τάχιστα εἰς ἔργον ἐκβῆναι, ὡιτινι τῶι

18 Latinum exemplar extat in Leonis epist. 54

BV

1 excidit *eliciendo* 2 σκυλθεῖσαν V coniecerim γίνωσκε, uidetur translator legisse *uerecundiam fatigatam praebere* 7 δυνήσει V σαφέστερα V 10 μὴ δὲ V 16 ἑαυτοῖσ V 18 τόπον] postulatur κόσμον 20 εἰ] ἡ BV 21 ἔχομεν V 23 ἀμφιβιτίονοσ V 25 οὐδὲν B οὐδὲ V 26 ἀμφιβιτιονεύει V εἰ om. BV corr. B 29 μὴ τὰ V 30 τῆσ² V τὰσ B 36 πανενδοξοτάτω V 37 ἐλεημοσύνη V

θεῶι δουλεύων τῆι βασιλικῆι καὶ πίστει καὶ ἐξουσίαι ἐβοήθησας. εἰ γὰρ καὶ ἐν τῆι ἀρετῆι τοῦ ἁγίου πνεύματος μεταξὺ τῶν διχονοιῶν διὰ τοῦ ἀποστολικοῦ θρόνου ἡ τοῦ εὐαγγελίου ἐκδικητέα ἦν ἐλευθερία, τηλαυγεστέρα ὅμως ὤφθη ἡ χάρις τοῦ θεοῦ ** καὶ τῆι ἐκκλησίαι ἡ ἰδία ἀποκατέστη καθαρότης. ὁ πόλεμος τοίνυν ὅνπερ ὁ τῆς ἡμετέρας εἰρήνης ἐχθρὸς διήγειρεν, ἐπὶ τοσοῦτον εὐτυχῶς τῆς δεσποτικῆς δεξιᾶς μαχομένης κατώρθωται, ὥστε θριαμβεύοντος τοῦ Χριστοῦ μίαν πάντων τῶν ἱερέων εἶναι τὴν νίκην καὶ τοῦ φωτὸς ἐκλάμποντος τῆς ἀληθείας μόνας τὰς τῆς σκοτίας πλάνας μετὰ τῶν ἰδίων διδασκάλων ἐκβληθῆναι. ⟨ὡς γὰρ ἐν⟩ τῆι ἀναστάσει εἰς βεβαίωσιν τῶν ἀρχῶν τῆς πίστεως πολλὴ ἀμεριμνία ἐπῆλθε (καὶ γὰρ τινῶν ἀποστόλων περὶ τῆς σωματικῆς τοῦ δεσπότου Χριστοῦ ἀληθείας ἀμφιβαλλόντων καὶ ὄψει καὶ τῆι ἁφῆι τοὺς τύπους τῶν ἥλων καὶ τῆς λόγχης τὸ τραῦμα διερευνησαμένων ἡ ἀμφιβολία ἅπασιν, ἐν ὧι ἀμφέβαλλον, ἀφηιρέθη), οὕτως καὶ νῦν ὁμοίως ἐν τῶι τὴν ἀπιστίαν τινῶν ἐλέγχεσθαι πάντων τῶν ἀμφιβαλλόντων αἱ καρδίαι ἐθεμελιώθησαν καὶ ἐχρησιμεύθη ἅπασιν εἰς φωτισμὸν ὅπερ τισὶν ἐπήνεγκε τύφλωσιν. ἐν ὧι ἔργωι ἀξίως καὶ δικαίως μεγαλαυχεῖ ἡ ὑμετέρα μεγαλειότης, ἥτις πιστῶς καὶ κυρίως προενόησεν ὅπως τὰς Ἀνατολικὰς ἐκκλησίας ἡ τοῦ διαβόλου ἐπιβουλὴ μὴ βλάψηι, ἀλλ' εἰς τὸ ἐξιλεώσασθαι τὸν θεὸν δεκτὰ πανταχοῦ προσενεχθεῖεν ὁλοκαυτώματα, ὁπότε διὰ τοῦ μεσίτου θεοῦ καὶ ἀνθρώπων Ἰησοῦ Χριστοῦ ἡ αὐτὴ ἐξομολόγησις τῶν δήμων, ἡ αὐτὴ τῶν ἱερέων, ἡ αὐτὴ τῶν βασιλέων, γαληνότατε υἱὲ καὶ αὐτοκράτορ αὔγουστε. τούτων δὲ δι' ἃ ἡ τοσαύτη γεγένηται τῶν ἱερέων σύνοδος, καλῶς καὶ εὐκταίωι τέλει συντεθέντων, θαυμάζω καὶ πάσχω ὅτιπερ τὴν εἰρήνην τῆς καθολικῆς ἐκκλησίας τὴν θεόθεν τεθεμελιωμένην ἀμβιτίονος πάλιν ἐπιχείρησις ταράττει. εἰ καὶ τὰ μάλιστα γὰρ χρησίμως ἑαυτοῦ ὁ ἀδελφὸς ὁ ἐμὸς Ἀνατόλιος προνενοηκέναι φαίνεται, ὥστε τῶν αὐτὸν χειροτονησάντων τὴν πλάνην παραλιμπάνων εἰς τὴν συναίνεσιν τῆς καθολικῆς ἐκκλησίας σωτηριώδει διορθώσει παρῆλθεν, φυλάξαι ὅμως ὤφειλεν ἵνα ἐκεῖνο οὗπερ ἡμετέραι χάριτι φαίνεται ἐπιτυχών, μηδεμιᾶς ἐπιθυμίας φαυλότητι ταράξοι. ἡμεῖς γὰρ τῆς ὑμετέρας πίστεως καὶ τῆς μεσιτείας ἔχοντες τὴν προσοχήν, ὁπότε κατὰ τοὺς αὐθέντας τῆς ἰδίας χειροτονίας αἱ ἀρχαὶ αὐτοῦ ἔσκαζον, ἀγαθοὶ [τε] περὶ αὐτὸν ἅπερ δίκαιοι εἶναι ἠβουλήθημεν, ὅπως τὰς ταραχὰς ἁπάσας αἵτινες ἐργαζομένου τοῦ διαβόλου ἐξηγέρθησαν, προσληφθεισῶν θεραπειῶν καταπραύνωμεν, ἅτινα αὐτὸν ἐπιεικῆ μᾶλλον ἢπερ ἄμετρον ποιῆσαι ὤφειλεν, ὅστις εἰ καὶ ἐξαιρέτοις τισὶ πράξεσι καὶ καλλίστηι κρίσει νομίμως ἦν καὶ εἰωθότως χειροτονηθείς, κατὰ τῶν κανόνων ὅμως τῶν πατρικῶν, κατὰ τῶν τύπων τοῦ ἁγίου πνεύματος, κατὰ τῶν τῆς ἀρχαιότητος ὑποδειγμάτων οὐδαμῶς ὤφειλε βοηθεῖσθαι. παρὰ Χριστιανῶι καὶ ἀληθῶς εὐλαβεῖ καὶ ὀρθοδόξωι βασιλεῖ φθέγγομαι· πολὺ Ἀνατόλιος ὁ ἀρχιεπίσκοπος τῆς ἰδίας ἀφαιρεῖται ἀξίας, εἰ παρανόμωι αὔξεσθαι προκοπῆι εὔχεται. ἐχέτω, καθὼς εὐχόμεθα, Κωνσταντινούπολις τὴν ἰδίαν δόξαν καὶ σκεπούσης τῆς τοῦ θεοῦ δεξιᾶς πολυχρονίου τῆς ὑμετέρας ἀπολαύσει βασιλείας· ἄλλος γὰρ λόγος τῶν κοσμικῶν ἐστι πραγμάτων καὶ ἄλλος τῶν θείων, καὶ μὴ παρ' ἐκείνην τὴν πέτραν ἥντινα ὁ δεσπότης ἐν τῶι θεμελίωι τέθεικεν, ἔστω Mt. 16, 18 ἰσχυρὸν οἱονδήποτε κατασκεύασμα. τὰ ἴδια ἀπόλλυσιν ὁ τῶν μὴ κεχρεωστημένων ἐπιθυμῶν. ἀρκέσει τῶι προλεχθέντι ὅτι βοηθείαι τῆς σῆς εὐσεβείας καὶ σπουδῆι τῆς ἐμῆς συναινέσεως τῆς τοσαύτης πόλεως τὴν ἐπισκοπὴν κατέσχε· μὴ ἀπαξιώσηι ἔχειν

BV

3 exciderunt *quae praestitit mundo ut in uictoria ueritatis auctores tantum uiolatae fidei deperirent* 8 ὡς γὰρ ἐν ex Λ suppl. Ballerini, malim ὡς — ἐν αὐτῆι τοῦ κυρίου 10 τῆ ὄψει V 15 κυρίως] *proprie* uaria lectio in Λ pro *pie* 17 ἀνθρώπων] *hominum hominem* Λ 19 αὐτοκράτωρ V δι' ἃ Ballerini ἡ εὐωδία BV 23 αὐτῶν V 23/24 σύνεσιν V 24 δὲ ὅμως V 25 ἡμετέρα BV *uestro* Λ 27 κατὰ Λ] καὶ BV τε deleui 29 ἅτινα] *quae* male translatum 31 τῶν om. V 33 χριστιανῶν BV 38 τέθηκεν V

βασιλίδα πόλιν, ἥντινα ἀποστολικὸν θρόνον ποιῆσαι οὐ δύναται, ἀλλ' οὐδέ τινι τρόπωι ἐλπίσει ὅτιπερ διὰ τοῦ προσκροῦσαι ἑτέροις δύναται αὐξηθῆναι. τὰ γὰρ προνόμια τῶν ἁγίων ἐκκλησιῶν τοῖς τῶν πατέρων κανόσι καὶ τῆς σεπτῆς συνόδου τῆς ἐν Νικαίαι τοῖς δόγμασι τετυπωμένα ἐξ οὐδεμιᾶς δύναται ἀναιδείας παρασπασθῆναι οὔτε μὴν οὐδεμιᾶι καινότητι ἐναλλάττεσθαι. ἐν ὥιπερ ἔργωι ἐπαμύνοντος τοῦ Χριστοῦ πιστῶς ἐκβιβασθησομένωι ἀναγκαῖόν ἐστιν ἐπίμονον παρασχεῖν με σπουδήν, ἐπειδήπερ διοίκησίς μοι ἐγκεχείρισται καὶ εἰς ἐμὴν τείνει κατηγορίαν, εἰ τῶν πατρικῶν δογμάτων οἱ κανόνες οἵτινες ἐν τῆι συνόδωι τῆι ἐν Νικαίαι εἰς διοίκησιν πάσης τῆς ἐκκλησίας πνεύματος θεοῦ διδάσκοντος τετύπωνται, ἐμοῦ, ὅπερ ἀπείη, συνδυάζοντος παρασαλευθεῖεν καὶ μείζων εἴη παρ' ἐμοὶ ἑνὸς ἀδελφοῦ γνώμη ἥπερ ἁπάσης τῆς οἰκίας τοῦ δεσπότου ἡ κοινὴ λυσιτέλεια. καὶ διὰ τοῦτο γινώσκων τὴν ἔνδοξόν σου γαληνότητα τῆι ἐκκλησιαστικῆι σπουδάζειν ὁμονοίαι καὶ τοῖς τῆι εἰρηνοποιῶι ἑνώσει ἁρμόζουσιν εὐσεβῆ παρασχεῖν συναίνεσιν, δέομαι καὶ σπουδαιοτάτηι αἰτήσει ὑμᾶς παρακαλῶ ὅπως τὰς ἐπιχειρήσεις τὰς ἀναιδεῖς τὰς ἐναντίας τῆι ἑνώσει καὶ τῆι εἰρήνηι τῶν Χριστιανῶν ἀπὸ πάσης συναινέσεως τῆς ὑμετέρας εὐσεβείας ἀποκηρύξητε καὶ τοῦ ἐμοῦ ἀδελφοῦ Ἀνατολίου τὴν ἐπιβλαβῆ ἑαυτῶι, εἰ ἐπιμένοι, ἐπιθυμίαν σωτηριωδῶς ἐπίσχητε, ἵνα μὴ τούτων ἅπερ τῆι ὑμετέραι δόξηι καὶ τοῖς χρόνοις ἐχθρὰ τυγχάνει, ἐπιθυμῶν μείζων θελήσοι εἶναι τῶν ἤδη ὄντων πρώτων καὶ ἐπ' ἀδείας ἐκείνωι εἴη ὅσαις ἂν ἐθέλοι ἐκλάμπειν ἀρεταῖς, ὧν οὐχ ἑτέρως κοινωνός ἐστιν εἰ μὴ διαθέσει μᾶλλον ἐθέλοι κοσμεῖσθαι ἥπερ ἀμβιτίονι ἐκτείνεσθαι. ταύτην δὲ τῆν ἀναιδῆ ἐπιθυμίαν οὐδέποτε μὲν ὤφειλεν ἐν τῆι αὐτοῦ ἔχειν ψυχῆι, ἀλλ' ὁπηνίκα αὐτῶι οἱ ἀδελφοὶ καὶ συνεπίσκοποι ἐμοὶ οἱ ὑπὲρ ἐμοῦ πράττοντες ἀντέβησαν, ἀπὸ τῆς παρανόμου τόλμης κἂν ἐκ τῆς αὐτῶν ὤφειλεν ἀργῆσαι ἀντιλογίας. καὶ γὰρ καὶ τῆς ὑμετέρας εὐσεβείας αἱ συλλαβαὶ καὶ τὰ αὐτοῦ γράμματα σημαίνει τοὺς πρεσβευτὰς τῆς ἀποστολικῆς καθέδρας, καθὼς ἐχρῆν, δικαιοτάτηι ἀντιρρήσει ἀντιβεβηκέναι, ὥστε μὴ παραίτησιν ἔχειν τὴν ἐπιχείρησιν, ἥτις ἑαυτὴν οὐδὲ ἐκτυπωθεῖσα ἐπέσχεν. ὅθεν ἐπειδὴ ἁρμόζει τῆι ὑμετέραι πίστει καὶ δόξηι ἵνα καθ' ὃν τρόπον αἱ αἱρέσεις τοῦ θεοῦ δι' ὑμῶν πράττοντος, οὕτω καὶ πᾶσα ἀμβιτίων ἐκκοπείη, ⟨πράττετε⟩ ὅπερ καὶ τῆς Χριστιανῶν ἐστιν εὐδοκιμήσεως καὶ τῆς βασιλικῆς, καὶ ὁ προλεχθεὶς ἐπίσκοπος φειδέσθω τῶν πατέρων, προνοήσει τῆς εἰρήνης καὶ μὴ ἐξεῖναι ἑαυτῶι πάντα ὑπολαμβανέτω, ἐπείπερ τῆι Ἀντιοχέων ἐκκλησίαι ἄνευ τινὸς ὑποδείγματος παρὰ τοὺς κανόνας ἐπίσκοπον χειροτονῆσαι ἐτόλμησεν, ὅπερ ἡμεῖς ἔρωτι τοῦ ἀνανεωθῆναι τὴν πίστιν καὶ σπουδῆι τῆς εἰρήνης ἀναψηλαφῆσαι ἠργήσαμεν. ἀποσχέσθω τοίνυν ἀπὸ τῆς τῶν ἐκκλησιαστικῶν κανόνων ὕβρεως καὶ τὰς παρανόμους ἐκκλινάτω παρεκβάσεις, ἵνα μὴ ἑαυτὸν ἀπὸ τῆς καθολικῆς ἐκκλησίας, ἕως οὗ ἐχθρὰ τῆι εἰρήνηι ἐπιχειρεῖ, ἀποσχίσηι. ὄντινα εὔχομαι μᾶλλον ἀδιαβλήτως πράττοντα φιλεῖν ἥπερ ταύτηι προσκαρτερεῖν τῆι τόλμηι, ἥτις αὐτὸν δύναται ἀπὸ πάντων χωρίσαι.

Ὁ ἀδελφὸς δὲ ὁ ἐμὸς καὶ συνεπίσκοπος Λουκιανός, ὃς μετὰ τοῦ ἐμοῦ τέκνου Βασιλείου τοῦ διακόνου τῆς ὑμετέρας γαληνότητος γράμματα πρὸς ἐμὲ ἐβάστασε, πάσηι καθοσιώσει τὴν ἐνταλθεῖσαν αὐτοῖς πρεσβείαν ἐπλήρωσεν, ὃς οὐκ ἂν λογισθείη ἀπολελεῖφθαι τοῦ πράγματος, ὄντινα μᾶλλον ἡ ὑπόθεσις ἀπολέλοιπεν.

d. 22. m. Mai. a. 452 Ἐδόθη πρὸ ἑνδεκα Καλανδῶν Ἰουνίων ὑπατείας Ἐρκουλάνου τοῦ λαμπροτάτου

BV

2 ὅτιπερ] ὅπερ BV τοῦ B τὸ V προοίμια V 6 διοικήσεωσ V 9 τετύπωται V 13 σύναισιν V 15 τοῦ ἀνατολίου V 17 θελήσησ V 25 postulatur ἐπιτιμηθεῖσα 26 ἡμετέρα V 26/27 δι' ὑμῶν τοῦ θῦ V 27 πράττετε addidi τῆς] τοῖσ V 29 τῶν πατέρων] τέρων V μὴ V μὴ δὲ B ἀπολαμβανέτω V 32 ἀναψηλαφῆσαι V ἀναψηλαφηθῆναι B ἠργήσαμεν Ballerini ἠρτήσαμεν BV 35 τόλμα BV 38 πάσηι τῆι V 39 ἐπλήρωσαν V

ιθ̄ Ἐπιστολὴ τοῦ εὐσεβεστάτου βασιλέως Μαρκιανοῦ πρὸς Λέοντα ἀρχιεπίσκοπον Ῥώμης

19 Νικηταὶ Οὐαλεντινιανὸς καὶ Μαρκιανὸς ἔνδοξοι τροπαιοῦχοι ἀεὶ αὔγουστοι τῶι ἁγιωτάτωι πατρὶ καὶ ἀληθινῶς σεπτῶι Λέοντι ἀρχιεπισκόπωι. Τὴν μακαριότητα τὴν σὴν ταῖς συλλαβαῖς τῆς ἡμετέρας γαληνότητος σπουδαιότατα ὑγιαίνειν εὐχόμεθα ἐξαιτοῦντες ὅπως ἂν τὴν σπουδὴν τοῦ παντοκράτορος θεοῦ τῆι τῶν σῶν εὐχῶν ἡμῖν παράσχοις μεσιτείαι, ὥστε τὴν ἵλεω καὶ εἰρηνοποιὸν αὐτοῦ μεγαλειότητα πάντα τὰ αἴσια καὶ εὐκτὰ τῆι ἡμετέραι βασιλείαι παρασχεῖν καταξιώσει. θαυμάζομεν τὰ μάλιστα ὅτιπερ μετὰ τὴν ἐν Χαλκηδόνι σύνοδον καὶ τὰ γράμματα τῶν σεβασμίων ἐπισκόπων τὰ πρὸς τὴν σὴν θεοφίλειαν σταλέντα, δι' ὧν ἅπαντα τὰ ἐν τῆι αὐτῆι συνόδωι γενόμενα ἐμήνυσαν, οὐδαμῶς πάντηι παρὰ τῆς σῆς ἁγιωσύνης τὰ τοιαῦτα γράμματα ἐξαπέσταλται, ἅτινα δηλονότι ἐν ταῖς ἁγιωτάταις ἐκκλησίαις ἀναγνωσθέντα εἰς τὴν τῶν πάντων ὤφειλε γνῶσιν ἐλθεῖν. ὅπερ τινῶν ταῖς ψυχαῖς, οἵτινες Εὐτυχοῦς ἔτι καὶ νῦν τὴν κακοδοξίαν καὶ τὴν διαστροφὴν μεταδιώκουσιν, ἀμφιβολίαν πολλὴν ἐνέβαλε πότερον ἡ σὴ μακαριότης τὰ ἐν τῆι ἁγίαι συνόδωι τυπωθέντα ἐβεβαίωσε, καὶ διὰ τοῦτο ἡ σὴ εὐλάβεια γράμματα ἐκπέμψαι καταξιώσει δι' ὧν πάσαις ταῖς ἐκκλησίαις καὶ τοῖς δήμοις φανερὰ γενήσεται τὰ ἐν τῆι ἁγίαι συνόδωι πεπραγμένα παρὰ τῆς σῆς μακαριότητος βεβεβαιῶσθαι. ἐκεῖνο δηλαδὴ ὡς ἔπρεπεν ἐπίσκοπον ἀποστολικοῦ θρόνου, ἐξόχως ἡ σὴ ἁγιωσύνη ἐποίησεν ὅτι τοὺς ἐκκλησιαστικοὺς κανόνας φυλάττουσα οὐδὲν ἀπὸ τοῦ παλαιοῦ ἔθους καὶ τῆς τάξεως τῆς ποτε διατετυπωμένης καὶ ἀσαλεύτου μέχρι καὶ σήμερον διαμεινάσης ἠνέσχετο καινοτομηθῆναι· διὰ τὰ γράμματα δὲ τῆς σῆς ὁσιότητος οἷα καὶ ὁπόσα παρά τινων πέπρακται, δυνήσεται ἐξ ἑτέρων ἡ σὴ ἁγιωσύνη σαφέστατα καταμαθεῖν, οἷς ἀντιβῆναι οὐκ ἂν ἐβουλόμεθα ⟨μὴ⟩ διαβεβαιουμένης τῆς σῆς θεοφιλείας τῆι καθολικῆι πίστει καὶ ἀληθῶς ὀρθοδόξωι τὴν ἐν Χαλκηδόνι σύνοδον πάντων συναινούντων τῶν ἐπισκόπων ἠκολουθηκέναι. διά τοι τοῦτο ἡ σεβασμιότης ἡ σὴ ἴδια γράμματα τάχιστα ἐκπέμψει δι' ὧν βεβαιοῦν αὐτὴν τὴν ἐν Χαλκηδόνι σύνοδον φανερώτατα ἐπιδείκνυσιν, ἵνα μὴ οἱ ἐπιθυμοῦντες ἀνοδιῶν δυνηθεῖεν τινὰ ἔχειν ὑπόνοιαν περὶ τῆς κρίσεως τῆς σῆς ἁγιωσύνης.

Ἐδόθη πρὸ δεκαπέντε Καλανδῶν Μαρτίων ἐν Κωνσταντινουπόλει d. 15. m. Febr. ⟨a. 453⟩

Ἐπιστολὴ Λέοντος ἀρχιεπισκόπου Ῥώμης πρὸς τὴν ἐν Χαλκηδόνι ἁγίαν σύνοδον

20 Λέων ἀρχιεπίσκοπος Ῥώμης τῆι ἐν Χαλκηδόνι ἁγίαι συνόδωι. Πᾶσαν μὲν τὴν ἀδελφότητα ὑμῶν εἰδέναι οὐκ ἀμφιβάλλω τοὺς ὅρους τῆς ἁγίας συνόδου ἥτις διὰ τὸ βεβαιωθῆναι τὴν πίστιν ἐν τῆι Χαλκηδονέων πόλει γεγένηται, ὅληι ψυχῆι με περιπλέκεσθαι, ἐπειδὴ οὐδὲ εἷς λόγος συνεχώρει ἵν' ἐγώ, ὅστις τὴν ἕνωσιν τῆς καθολικῆς πίστεως παρὰ τῶν αἱρετικῶν τεταραγμένην ἔπασχον, μὴ εἰς τὸ ὑγιὲς ἀποκαταστῆναι χαρείην· τοῦτο δὲ οὐ μόνον ἐξ αὐτοῦ τοῦ ἔργου τῆς μακαρίας συναινέσεως, ἀλλὰ γὰρ καὶ ἐκ τῶν ἐπιστολῶν τῶν ἐμῶν ἃς μετὰ τὴν ἐπάνοδον τῶν διαφερόντων μοι πρὸς τὸν τῆς Κωνσταντινουπολιτῶν ἐπίσκοπον διεπεμψάμην, ἐδύνασθε καταμαθεῖν, εἴπερ τοῦ ἀποστολικοῦ θρόνου τὴν ἀπόκρισιν φανερῶσαι ἠβουλήθη. ἵνα τοίνυν μὴ διὰ τῶν κακοθελῶν ἑρμηνευτῶν ἀμφίβολον δόξηι πότερον συνόδωι τῆι ἐν Χαλκηδόνι διὰ τῆς ὁμοφωνίας ὑμῶν περὶ τῆς

20 Latinum exemplar extat in Leonis epist. 64

BV

1 ιθ̄ B 7 ὑμετέρα V 9 γενόμενα om. V 11 ἁπάντων V 13 ἐνέβαλλε V 16 βεβαιῶσθαι BV 22 μὴ addidi 23 πάντων τῶν V 24 ἡ¹] καὶ ἡ V ἴδια γράμματα B διαγράμματα V 26 ἀνοδιῶν] coniecerim ἀνωμαλιῶν 32 χαλκηδονίων V 33 ἐπειδὴ δὲ V 34 τούτου V 35 τοῦ om. V 37 ἐδύνασθε scripsi δύνασθε B δύνασθαι V 38 ἠβουλήθην BV 39 postulatur πότερον ἃ ἡμῶν BV

πίστεως τετύπωται *, ταῦτα πρὸς πάντας τοὺς ἀδελφοὺς ἡμῶν καὶ συνεπισκόπους οἵτινες ἐν τῇι προλεχθείσηι συνόδωι γεγόνασι, γράμματα ἐξαπέσταλκα, ἅτινα ὁ ἐπίδοξος καὶ φιλανθρωπότατος βασιλεύς, καθὼς ἤιτησα, εἰς γνῶσιν ὑμετέραν πέμψαι κατὰ τὸν ἔρωτα τῆς καθολικῆς πίστεως καταξιώσει, ὡς ἂν καὶ πάντες οἱ ἀδελφοὶ καὶ πάντων τῶν ἀπίστων αἱ ψυχαὶ μάθοιεν ἐμὲ μὴ μόνον διὰ τῶν διακόνων μου οἵτινες ἐτοποτήρησαν, ἀλλὰ γὰρ καὶ διὰ τῆς συναινέσεως τῶν συνοδικῶν ὑπομνημάτων τὴν ἰδίαν μου ὑμῖν ἑνῶσαι γνώμην, ἐν μόνηι δηλαδὴ τῆι τῆς πίστεως αἰτίαι, ὅπερ πολλάκις λεκτέον ἐστί, δι' ἣν τὸ γενικὸν συνέδριον καὶ ἀπὸ προστάγματος Χριστιανῶν βασιλέων καὶ ἀπὸ συναινέσεως τοῦ ἀποστολικοῦ θρόνου ἤρεσε συναθροισθῆναι, ὡς ἂν κατακριθέντων τῶν αἱρετικῶν οἵτινες διορθωθῆναι οὐκ ἠνέσχοντο, μηδεμία περιλιμπάνηται ἀμφιβολία περὶ τῆς ἀληθοῦς τοῦ δεσπότου ἡμῶν Ἰησοῦ Χριστοῦ σαρκώσεως. ὅθεν εἴ τίς ποτε τολμήσοι τὴν Νεστορίου ἀπιστίαν ἀσφαλίζεσθαι ἢ Εὐτυχοῦς ἢ Διοσκόρου τὸ ἀσεβὲς δόγμα ἐκδικεῖν, ἀπὸ τῆς τῶν καθολικῶν κοινωνίας ἀποκοπείη μήτε ἐχέτω τούτου τοῦ σώματος κοινωνίαν, οὗτινος ἤρνηται τὴν ἀλήθειαν, ἀδελφοὶ τιμιώτατοι. περὶ τοῦ φυλαχθῆναι ὁμοίως τῶν ἁγίων πατέρων τοὺς κανόνας οἵτινες ἐν τῇι τῆς Νικαέων συνόδωι ἀτρέπτοις δόγμασι συντέθεινται, τὴν παρατήρησιν τῆς ὑμετέρας ἁγιωσύνης ὑπομιμνήσκω ὅπως τὰ δίκαια τῶν ἐκκλησιῶν, καθὼς παρ' ἐκείνων τῶν τριακοσίων δέκα καὶ ὀκτὼ πατέρων θεόθεν ἐμπνευσθέντων τετύπωται, διαμένοιεν. μηδὲν δὲ ἡ ἀναιδὴς ἀμβιτίων ἐπιθυμήσοι μήτε δι' ἐλαττώσεως ἑτέρου αὔξησίν τις ἑαυτῶι περιποιῆσαι ἐθελήσοι. ἐφ' ὅσον γὰρ δήποτε ἀποσπασθεισῶν συναινέσεων ἑαυτὴν τῆς ματαιότητος ὑπεροψία ὠχύρωσε καὶ τὰς ἰδίας ἐγχειρήσεις τῶι τῶν συνεδρίων ὀνόματι οἴεται βεβαιωτέας, ἀνίσχυρον καὶ ἀβέβαιον ἔσται πᾶν ὁτιοῦν ἀπάιδει τῶν κανόνων τῶν προλεχθέντων * * ὁ ἀποστολικὸς θρόνος σεπτῶς κέχρηται, τῶν ἐμῶν γραμμάτων δι' ὧν τῶι Κωνσταντινουπόλεως ἐπισκόπωι τὰς ἐπιχειρήσεις παρωσάμην, δυνήσεται ἡ ὑμετέρα ἁγιωσύνη διὰ τῆς ἀναγνώσεως μαθεῖν ἐμὲ βοηθείαι τοῦ θεοῦ ἡμῶν καὶ τῆς πατρικῆς πίστεως καὶ τῶν καθολικῶν κανόνων εἶναι φύλακα.

Ἐπιστολὴ Λέοντος ἀρχιεπισκόπου Ῥώμης πρὸς τὸν εὐσεβέστατον βασιλέα Μαρκιανόν

21 Τῶι ἐπιδόξωι καὶ φιλανθρωποτάτωι υἱῶι Μαρκιανῶι αὐγούστωι Λέων ἀρχιεπίσκοπος Ῥώμης. Πολλή μοι αἰτία χαρᾶς γίνεται ἐν πᾶσι τοῖς γράμμασι τῆς σῆς ἡμερότητος. καὶ γὰρ ἐκ μεγίστης φιλανθρωπίας τῆς θείας προνοίας τοῖς πραγμασί σε τοῖς ἀνθρωπίνοις παρεσχημένον εὑρίσκω, ὅτιπερ τῆι ἐκκλησιαστικῆι εἰρήνηι καὶ ἑνώσει κατὰ τὸ εὐαγγελικὸν κήρυγμα φυλάττεσθαι * εὐσεβεῖ σπουδῆι βοηθεῖν καταξιοῖς, ὡς ἂν τῆς ὑμετέρας πίστεως ἡ δόξα μὴ μόνον ἐπὶ τῆι τῶν δημοσίων διοικήσει, ἀλλὰ καὶ ἐπὶ ταῖς ἐκκλησιαστικαῖς πράξεσιν αὐξηθείη, ἐνδοξότατε καὶ φιλανθρωπότατε υἱὲ καὶ αὐτοκράτορ αὔγουστε. ὅθεν ἀφράστους τῶι θεῶι χάριτας ὁμολογῶ, ὅστις ἐν τούτωι τῶι καιρῶι ἐν ὧι τῶν αἱρετικῶν τὰ σκάνδαλα ἐγείρεσθαι προεγίνωσκεν, ὑμᾶς ἐν τῇι βασιλείαι καθίδρυσεν, ἐν οἷς εἰς σωτηρίαν τοῦ παντὸς κόσμου καὶ ἡ βασιλικὴ δύναμις καὶ ἡ ἱερατικὴ ἀνθεῖ σπουδή. καὶ γὰρ ὁπότε ἐξαιρέτωι ὑμῶν ἔργωι γεγένηται ὥστε ἐκ συνόδου κατακεκριμένων τῶν ἐκδικούντων τὸ δυσσεβὲς δόγμα πάσας τὰς δυνάμεις ἡ ἱερόσυλος πλάνη ἀπολέσει, εἰς νίκην τῆς αὐτῆς ἀνῆκε προθέσεως, εἰ τὸ κακὸν ὅπερ ἐν τοῖς ἰδίοις

21 Latinum exemplar extat in Leonis epist. 61

BV

1 excidit *approbem* 5 ἀπίστων] *fidelium* Λ 7 τῆι om. V 18 διαμείνοιεν BV 19 τι V τινα V^{corr} θελήσοιε V 20 τῆι τῆσ V 21 βεβαιωτέρασ V 23 lacunam statui cf. Λ τῶν — γραμμάτων BΛ ταῖσ ἐμαῖσ γραφαῖσ V 23/24 postulatur τοῦ — ἐπισκόπου 28 ἐπιδόξω B ἐνδοξοτάτω V 32 lacunam statui, e. g. supplendo ὀφειλούσηι; Latina liberrime translata sunt 33 ἡμετέρασ V 34 αὐξηνθείη V

ἡγεμόσιν εὑρίσκεται, καὶ παρ' οἱοισδήποτε ἑτέροις ἐξαλειφθείη. ὅπερ εὐχερέστερον ἡ σὴ γαληνότης ὑπολαμβάνει πληροῦν, εἰ ἀνὰ πάσας τὰς ἐκκλησίας τοὺς τύπους τῆς ἁγίας συνόδου τῆς ἐν Χαλκηδόνι τῶι ἀποστολικῶι θρόνωι ἀρέσαι διδαχθείη. περὶ οὗ οὐδὲ ὑπόνοια ἐγένετο ἀμφιβολίας, ὁπότε τῆι πίστει ταύτηι πάντων ὑπογραψάντων ἡ συναίνεσις προστέθειται, ἥτις παρ' ἐμοῦ κατὰ τὸν τύπον τῆς ἀποστολικῆς διδασκαλίας καὶ τῆς πατρικῆς παραδόσεως ἐξεπέμφθη, καὶ διὰ τοῦ ἐμοῦ ἀδελφοῦ Λουκιανοῦ τοῦ ἐπισκόπου τοιαῦτα καὶ πρὸς τὴν σὴν ἐνδοξότητα καὶ πρὸς τὸν Κωνσταντινουπόλεως ep. 19. 18 ἐπίσκοπον ἐξαπέσταλται γράμματα δι' ὧν ἐναργέστατα δείκνυται ἐμὲ τῶν περὶ τῆς καθολικῆς πίστεως ἐν τῆι προλεχθείσηι συνόδωι τυπωθέντων ἔχεσθαι. ἀλλ' ἐπείπερ ἐν τοῖς αὐτοῖς γράμμασι τὰ διὰ τὴν τῆς συνόδου ἀφορμὴν κακῶς ἐπιχειρηθέντα διαβεβλήκειν, μᾶλλον ἠθέλησεν ὁ προλεχθεὶς ἐπίσκοπος τὴν ἐμὴν εὐχαριστίαν σιωπῆσαι ἢπερ τὴν ἰδίαν ἀμβιτίονα δημοσιεῦσαι. ἐμοὶ δὲ πολλὴ παρρησία τοῦ θεοῦ δι' ὑμῶν παρέχοντος συνεισηνέχθη, ὅτιπερ ἀποδέξασθαι ὑμᾶς τὴν ἐμὴν ἀσφάλειαν ἣν τοῖς πατρικοῖς κανόσι φυλάττω, τῆς ὑμετέρας εὐσεβείας τοῖς γράμμασιν ἐμηνύσατε, καὶ δικαίως διπλασιάζεταί μοι ἡ χαρά, ὁπότε ὑμῖν, ὦ ἐνδοξότατε βασιλεῦ, ἀρέσκειν γινώσκω ὡς ἂν καὶ ἡ ἐν Νικαίαι πίστις τὴν ἰδίαν κατάσχοι πίστιν καὶ τὰ προνόμια τῶν ἐκκλησιῶν ἀσάλευτα διαμένοιεν. εἰ καὶ τὰ μάλιστα δὲ περὶ τοῦ λαμπροῦ ἔργου τῆς ὑμετέρας πίστεως οὐδέν μοι ἡ σὴ εὐσέβεια ἐμήνυσεν, ὅμως ἐμοὶ διὰ τοῦ σέβοντος ὑμᾶς ἰδικῶς μετ' ἐμοῦ, τοῦ ἐμοῦ ἀδελφοῦ καὶ συνεπισκόπου Ἰουλιανοῦ δεδηλῶσθαι σημαίνω ὡς εὐσεβεῖ κατηξιώσατε ἀποκρίσει τῶν ἀπείρων μοναχῶν τὰς ψυχὰς καὶ ἐπισχεῖν ὁμοῦ καὶ διδάξαι, ὥστε εἰ μὴ πάντηι αὐτοὺς ἡ θεία φιλανθρωπία καταλέλοιπεν, αἰσθάνεσθαι καὶ δεδιδάχθαι αὐτοὺς ὅπερ πιστεύουσι, καὶ εἰδέναι ὅπερ εὐλαβεῖσθαι ὀφείλουσιν. ἐπειδὴ δὲ παντὶ σθένει πείθεσθαι δεῖ τῆι τῆς σῆς εὐσεβείας εὐλαβεστάτηι προαιρέσει, τοῖς τύποις τῆς συνόδου οἵτινές μοι περὶ τῆς βεβαιώσεως τῆς καθολικῆς πίστεως καὶ περὶ τῆς τῶν αἱρετικῶν κατακρίσεως ἤρεσαν, ἡδέως τὴν ἐμαυτοῦ προστέθεικα γνώμην, ἥτις ὡς ἂν εἰς γνῶσιν πάντων τῶν ἱερέων καὶ τῶν ἐκκλησιῶν ἔλθοι, τῆς σῆς ἡμερότητος προστάξει τυπῶσαι καταξιώσει. χάριν θεοῦ ἔσεσθαι ἐλπίζω καὶ πιστεύω, ἥτις τὴν οὕτως ὁσίαν τοῦ τοσούτου βασιλέως φροντίδα τῆς ἰδίας ἐπιθυμίας τοῦ καρποῦ παρασκευάσει ἐπιτυχεῖν πρὸς τὸ πάσης διχονοίας ἀποτμηθείσης τῆς ἀποστολικῆς πανταχοῦ διδασκαλίας εἰρήνη καὶ ἀλήθεια κρατήσοι. τῶι ἀδελφῶι τῶι ἐμῶι Ἰουλιανῶι τῶι ἐπισκόπωι γινώσκέτω με ἡ σὴ γαληνότης τοῦτο ἰδικῶς προστεταχέναι ἵνα εἰτιδηποτοῦν αὐτόθι εἰς παραφυλακὴν τῆς πίστεως ἀνήκειν δοκιμάσοι, ἐμῶι ὀνόματι τῆι ὑμετέραι εὐσεβείαι θαρρῶν ὑποβάλληι, ἐπειδὴ ὁμολογουμένως ἐπίσταμαι εἰς πάντων τούτων διόρθωσιν καὶ ἐκδίκησιν τοῦ θεοῦ ἐπιτρέποντος ὑμᾶς ἐπαρκεῖν.

Ἑρμηνεία ἐπιστολῆς γραφείσης πρὸς Ἰουβενάλιον ἀρχιεπίσκοπον Ἱεροσολύμων παρὰ τοῦ ἀρχιεπισκόπου Ῥώμης Λέοντος

22 Τῶι ἀγαπητῶι ἀδελφῶι Ἰουβεναλίωι Λέων ἀρχιεπίσκοπος Ῥώμης. Δεξάμενος τὰ τῆς σῆς διαθέσεως γράμματα, ἅπερ τὰ τέκνα ἡμῶν Ἀνδρέας ὁ πρεσβύτερος καὶ ὁ

22 Latinum exemplar extat in Leon. epist. 82

BV

1 ἑτέροις] legit *reliquis* pro *reliquiis* 5 προτέθειται V 7 τὸν τῆσ V 10/11 διαβεβλήκει BV 12 ἰδίαν scripsi secundum Λ ἐμὴν BV ἡμῶν BV 13 συνεισυνέχθη V 16 πίστιν] postulatur βεβαιότητα 17 διαμείνοιεν BV 19 καὶ συνεπισκόπου καὶ ἀδελφοῦ V 20 κατηξιώσατο V 21 εἰ om. V 25 προτέθεικα BV 26 προστάξει] pro *praeceptio* uidetur legisse *praecepto* 30 κρατήσει V 32 δοκιμάσει V ἡμετέρα V 33 ὑποβάλλει V

BVF

35 ἑρμηνεία ἐπιστολῆσ BV ἀντίγραφον ἐπιστολῆσ F ἐπίσκοπον F 37 Τῶι — Ῥώμης om. F 38 τὰ¹ om. V ὁ¹ om. F

διάκονος Πέτρος ἐκόμισαν, ἤσθην μὲν ὅτιπερ ἐπὶ τὸν θρόνον τῆς σῆς ἐπισκοπῆς ἐξόν σοι γέγονεν ὑποστρέψαι, τῶν δὲ περιστάσεων τῶν σῶν ἁπασῶν συρρεουσῶν εἰς τὴν ἀνάμνησιν τὴν ἐμήν, αἵτινές σε κατά τινας παρεξόδους καμεῖν πεποιήκασιν, ἤλγουν ὡς ἂν σοῦ σαυτῷ γεγονότος τῶν τοσούτων ἀστοχημάτων αἰτίου καὶ τὴν ἔνστασιν τὴν περὶ τὸ ἀνθίστασθαι τοῖς αἱρετικοῖς ἀπολέσαντος τοῖς νομίζουσιν οὐκέτι σε μετὰ παρρησίας τολμᾶν ἐλέγχειν αὐτοὺς οὓς ὡμολόγησας ἐπὶ τῆς πλάνης αὐτῶν τῆς ἰδίας ἀρέσκειν σοι. τὸ κατακρῖναι γὰρ τὸν τῆς ὁσίας μνήμης Φλαβιανὸν καὶ τὸ δέξασθαι τὸν δυσσεβέστατον Εὐτυχῆ τί ἦν εἰ μὴ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἡ κατὰ σάρκα ἀπάρνησις; ἣν αὐτὸς διὰ τῶν μεγάλων αὐτοῦ οἰκτιρμῶν ἀναλυθῆναι πεποίηκεν, ὁπότε τὴν ἀπευκτέαν ἐκείνην κρίσιν τῆς ἐν Ἐφέσωι συνόδου οὕτως διὰ τῆς αὐθεντίας τῆς ἁγίας ἐν Χαλκηδόνι συνόδου κατέλυσεν, ὥστε μηδένα τῶν πρὸς τὸ φαυλότερον ἐκτραπέντων ἀπεῖρξαι τῆς κατὰ τὴν ἴασιν διορθώσεως. ὅθεν ἐπειδὴ κατὰ τὸν καιρὸν τῆς συγχωρήσεως τὸ ἀνανῆψαι μᾶλλον ὑπὲρ τὸ ἐμμένειν ἠγάπησας, ἥδομαι τὴν ἄνωθεν ἰατρείαν αἰτοῦντός σου, ἵνα τὴν πίστιν τὴν ὑπὸ τῶν αἱρετικῶν πολεμουμένην ὀψὲ γοῦν δυνηθῆις φανῆναι διεκδικῶν. εἰ καὶ τὰ μάλιστα γὰρ οὐδενὶ τῶν ἐπισκόπων ἐξόν ἐστιν ἀγνοεῖν ὃ κηρύσσει, πολλῶι μᾶλλον ἐκεῖνος οὐκ ἔχει παραίτησιν ὑπὲρ πάντας τοὺς ἀμαθεῖς ὁ οἱοσδήποτε τυγχάνων Χριστιανὸς καὶ Ἱεροσόλυμα κατοικῶν, ὅστις πρὸς τὸ γινώσκειν τὴν δύναμιν τὴν τῶν εὐαγγελίων οὐ μόνον ἐκ τῶν ἐγγεγραμμένων αὐτοῖς λογίων, ἀλλὰ καὶ διὰ τῆς τῶν τόπων ἐκπαιδεύεται μαρτυρίας. καὶ ὅπερ ⟨οὐκ⟩ ἔστιν ἀλλαχοῦ μὴ πιστεύειν, ἐκεῖ οὐ δύναται μὴ ὁρᾶσθαι. τί κάμνει γὰρ ἡ διάνοια, ὅπου πάρεστιν ἡ θέα διδάσκαλος; καὶ τί τὰ ἐκ τῆς ἀναγνώσεως ἢ τῆς ἀκοῆς ἀμφιβάλλεται, ὅπου καὶ ὄψει καὶ τῆι ἁφῆι ὅλα τὰ τῆς σωτηρίας τῆς τῶν ἀνθρώπων ἐναργῶς ἑαυτὰ παρίστησι τὰ μυστήρια; ὡσανεὶ πρὸς ἅπαντας τοὺς ἐνδοιάζοντας ἔτι τοῦ κυρίου τῆι κατὰ σάρκα κεχρημένου φωνῆι καὶ λέ-
Lc. 24, 38. 39 γοντος· τί τεταραγμένοι ἐστὲ καὶ διὰ τί διαλογισμοὶ ἀναβαίνουσιν εἰς τὰς καρδίας ὑμῶν; θεωρήσατε τὰς χεῖράς μου καὶ τοὺς πόδας μου ὅτι αὐτὸς ἐγώ εἰμι· ψηλαφήσατέ με καὶ ἴδετε ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα. τοῖς ἀηττήτοις τοίνυν, προσφιλέστατε, κέχρησο τῆς καθολικῆς ἐκκλησίας διδάγμασι καὶ τὸ κήρυγμα τὸ τῶν εὐαγγελιστῶν τῆι μαρτυρίαι τῶν τόπων ἐν οἷς διάγεις, ἐκδίκησον. παρὰ σοί ἔστιν ἡ Βηθλεέμ, ἐν ἧι τῆς παρθένου τῆς Δαυιτικῆς ὁ σωτήριος τόκος ἐπέφανεν, ὃν ἐλισσόμενον ἐν σπαργάνοις ἐπὶ τῆς τοῦ καταγωγίου στενότητος ὑπεδέξατο φάτνη· παρὰ σοὶ ἐσημάνθη μὲν ὑπὸ ἀγγέλου, προσεκυνήθη δὲ ὑπὸ μάγων καὶ διὰ τοῦ θανάτου τῶν πλείστων βρεφῶν παρ' Ἡρώιδου ἡ τοῦ σωτῆρος ἡμῶν ἐπεζήτηται νηπιότης· παρὰ σοὶ καθέστηκεν ἔνθα τὰ παιδικὰ αὐτοῦ ηὔξηται, ἔνθα ἥκμασεν ἡ νεότης καὶ κατὰ πρόβασιν σώματος εἰς ἄνδρα τέλειον ἡ ἀληθῶς ἀνθρώπου φύσις προέκοψεν, οὐ δίχα τροφῆς τῆς ἐκ πείνης, οὐ δίχα ὕπνου τῆς ἀναπαύσεως, οὐ δίχα τοῦ κατὰ τὸν ἔλεον θρήνου, ἀλλ' οὐδὲ δίχα δέους τοῦ κατὰ τὴν ἀγωνίαν. ὁ αὐτὸς γάρ ἐστι καὶ εἷς ὃς καὶ ἐν μορφῆι θεοῦ [ὑπάρχει καὶ] τὰ μεγάλα θαύματα εἴργασται τῆς δυνάμεως καὶ ἐν τῆι μορφῆι τῆι τοῦ δούλου τὸ χαλεπὸν τῶν

BVF

1 ἤσθην μὲν] ἤσθημεν V 2 ἐπιστρέψαι V 3 σε om. F ἂν om. F 4 ἑαυτῷ F 5 σε om. BV 6 τολμᾶσ V 9 μεγίστων F ἀπευκταίαν BF ἀπεύκται V 13 ἥδομαι] εἴδω μου F 14 δυνηθεισ VF 15 κηρύττει F 16 ἅπανταϲ F ὁ om. F 18 αὐτοῖς om. F 19 οὐκ addidi 20 θεία F 21 ἡ F καὶ BV καὶ¹ F om. BV 22 ὡσ ἂν εἰσ F 23 φωνῆ κεχρημένου BV 24 ἀνέρχονται F 26 ἐγὼ αὐτὸσ BV 27 προσφιλῶσ BV 28 κέχριοτο F, corr. F 29 παρ ὧ ἔνεστιν F 30/31 ἐπὶ τῆσ — στενότητοσ F διὰ τὴν — στενότητα BV 31 σεσήμαται F 32/33 καὶ ἡ διὰ — ἡρώδου τοῦ σῦ BV 33 ἐπεζήτειται F ἐπιζητουμένη BV 34 ηὔξηνται V πρόβασιν σώματοσ B σώματοσ προσβασιν F πρόφασιν σώματοσ V 35 ἄνου F αὐτοῦ BV 36 οὔτε F 37 ἄγνοιαν F ὁ εἰσ BV ὑπάρχει καὶ BV om. F 38 τῆσ δυνάμεωσ εἴργασται F τῆι² om. BV

παθημάτων ὑπέμενε. τοῦτο ἀπαύστως αὐτὸς ὁ σταυρός σοι λαλεῖ· τοῦτο ὁ λίθος ὁ τοῦ μνήματος κέκραγεν, ἐν ὧι ὁ κύριος τὸ κατὰ ἄνθρωπον ἔκειτο καὶ ὅθεν κατὰ τὴν θείαν δύναμιν ἐξανέστη. καὶ ὅτε εἰς τὸ ὄρος ἀνέρχηι τῶν ἐλαιῶν προσκυνεῖν μέλλων τὸν τόπον τῆς ἀναβάσεως, ἆρ' οὐκ ἐκείνη σοι δοκεῖ τῶν ἀγγέλων ἐνηχεῖν ἡ φωνὴ ταῖς σαῖς ἀκοαῖς ἡ λέγουσα πρὸς τοὺς θαυμάζοντας τοῦ κυρίου τὴν ὕψωσιν· ἄνδρες Γαλι- Act. 1, 11
λαῖοι, τί ἑστήκατε ὁρῶντες εἰς τὸν οὐρανόν; οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν 6
οὕτως ἥξει καθάπερ αὐτὸν ἐθεωρήσατε ἀνιόντα εἰς τὸν οὐρανόν. τὴν γέννησιν τοιγαροῦν τὴν ἀληθῆ τοῦ Χριστοῦ ὁ ἀληθὴς σταυρὸς βεβαιοῖ, ἐπειδὴ ὁ αὐτὸς ἐν τῶι ἡμετέρωι τίκτεται σώματι ὁ ἐν τῆι σαρκὶ τῆι ἡμετέραι σταυρούμενος, ἥτις κατ' οὐδένα τρόπον ἁμαρτήματος ὑπάρχοντος ἐν αὐτῆι, εἰ μὴ ὅτι ἐκ τοῦ γένους ἦν τοῦ ἡμῶν, οὐκ ἂν θνητὴ 10
τυγχάνειν ἠδύνατο. ἵνα δὲ καὶ τὴν ἁπάντων καινίσηι ζωήν, τὸ κοινὸν ἁπάντων ἐδέξατο πρᾶγμα καὶ τὴν δύναμιν τοῦ παλαιοῦ χειρογράφου, ὅπερ μόνος ἐν ἅπασιν οὐκ Col. 2, 14
ἐπώφλησεν, ὑπὲρ ἁπάντων ἐκτίσας ματαίαν ἀπειργάσατο, ἵνα καθάπερ δι' ἑνὸς ὑπευ- Rom. 5, 18
θύνου γεγονότος ἁμαρτωλοὶ πάντες ἐγένοντο, οὕτω διὰ τοῦ ἑνὸς ἀνευθύνου τυγχάνοντος πάντες ἀνεύθυνοι γένωνται, ἐκεῖ φοιτησάσης τῆς περὶ τοὺς ἀνθρώπους δικαιοσύνης, 15
ἔνθα τὰ τῆς ἀνθρωπίνης φύσεως ἀνεδέχθη. οὐδενὶ γὰρ λόγωι ἐκτός ἐστιν οὗτος τῆς τοῦ ἡμετέρου σώματος ἀληθείας, περὶ οὗ ὁ εὐαγγελιστὴς ἀρχόμενος τοῦ κηρύγματος εἶπε· Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ υἱοῦ Δαυὶδ υἱοῦ Ἀβραάμ, συναι- Mt. 1, 1
δούσης τῆς τοῦ μακαρίου Παύλου τοῦ ἀποστόλου διδασκαλίας τοῦ λέγοντος· ὧν οἱ Rom. 9, 5
πατέρες καὶ ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὅς ἐστιν ἐπὶ πάντων θεὸς 20
εὐλογημένος εἰς αἰῶνας, ὡσαύτως δὲ καὶ πρὸς Τιμόθεον μέμνησο, φησίν, Ἰησοῦν 2 Tim. 2, 8
Χριστὸν ἐγηγερμένον ἐκ νεκρῶν ἐκ σπέρματος Δαυίδ. αὕτη δὲ ἡ ἀλήθεια πόσαις τῆς τε παλαιᾶς καὶ τῆς καινῆς διαθήκης αὐθεντίαις διασημαίνεται, κατὰ τὸ πρόσ-
φορον τῆι τῆς σῆς ἐπισκοπῆς ἀρχαιότητι σαφῶς ἐπιγινώσκεις, ὁπότε ἡ πίστις ἡ τῶν πατέρων καὶ τὰ γράμματα τὰ ἐμὰ τὰ πρὸς τὸν τῆς ὁσίας μνήμης Φλαβιανόν, ὧν αὐτὸς 25
ἐμνημόνευσας, εἰς τὴν τῆς οἰκουμενικῆς συνόδου προστεθέντα βεβαίωσιν ἐξαρκεῖ. ὅθεν προνοεῖσθαι τὴν σὴν διάθεσιν χρὴ ὥστε μηδένα κατὰ τοῦ ἀρρήτου μυστηρίου τῆς ἡμετέρας λυτρώσεως καὶ ἐλπίδος ὑπογογγύζειν, ἀλλ' εἴ τινές εἰσιν οἱ ἔτι τὴν τῆς ἀγνοίας ἀχλὺν ὑφιστάμενοι ἢ διχονοοῦντες διὰ φαυλότητα, διδαχθῶσιν ἐκ τῆς εἰσηγήσεως τῶν ἐν ταῖς ἐκκλησίαις τοῦ θεοῦ τὴν ἀποστολικὴν καὶ σαφῆ ποιουμένων διδασκαλίαν πρὸς 30
τὸ γινώσκειν αὐτοὺς ὡς περὶ τῆς σαρκώσεως τοῦ θεοῦ λόγου τοῦτο πιστεύομεν ὃ ἐκεῖνοι ἐπίστευσαν, καὶ μὴ διὰ τὴν σκληρότητα τὴν οἰκείαν ἐκτὸς ἑαυτοὺς ποιήσωσι τοῦ σώματος τοῦ Χριστοῦ, ὥιτινι καὶ συναπεθάνομεν καὶ συνανέστημεν, ἐπειδὴ οὔτε ἡ εὐσέβεια ἡ τῆς πίστεως οὔτε ὁ τοῦ μυστηρίου λόγος ἀνέχεται ἢ ἐν τῆι ἰδίαι οὐσίαι εἶναι τὴν θεότητα παθητὴν ἢ διεψεῦσθαι ἐν τῆι ληφθείσηι φύσει τῆι ἡμῶν τὴν ἀλήθειαν. 35

BVF

1 ὑπέμεινε VF^{corr} 3 ὅτι V 6 βλέποντεσ V 7 οὕτοσ BV ἥξει F ἐλεύσεται πάλιν BV 8 ἐπειδὴ ὁ αὐτὸσ BV ὅτι F 9 οὐ κατ' οὐδένα V 10 ὑπάρχον F 11 καινίση F κινήση B κινήσει V 12 πρᾶγμα F τραῦμα BV 13 μάταιον F 16 ἀνθρωπίνης — λόγωι om. F ἀνεδέχθη Ballerini ἀνεδείχθη BV 18 γεννέσεωσ V 19 τῆσ διδασκαλίασ V 21 εὐλογητὸσ εἰσ τοὺσ αἰῶνασ BV 22 δέ ἐστιν F 23 πάσαισ F 24 ἡ^2 om. F 25 τὰ^3 om. F ὧν] ὃν F 26 ἐξαρκεῖ ὅθεν BV ἐξάρκεσθὲν F 28 ὑπογογγύζ spat. rel. V εἰσὶν F εἶεν BV 29 ἢ BV καὶ F τῆσ σῆσ F 31/32 ὃ — ἐπίστευσαν om. F 33 καὶ^1 om. V 34 ἡ^2 om. F subscr. τέλοσ τῆσ δευτέρασ πράξεωσ V

GESTA ACTIONVM III—VII

M = Codex Venetus 555 s. XI
B^a = Codex Vindobonensis hist. gr. 27 s. XII
B^b = Codex Vaticanus 831 s. XV
H = Codex musei Britannici Arundelianus 529 s. XII
X = Codex Parisinus 1115 s. XII
K = Codices canonum syllogae XIIII titulorum
a = Codex Palatinus 376
b = Codex Parisinus 1334
c = Codex Vaticanus 2060
d = Codex Vaticanus 2184
e = Codex Parisinus suppl. 614
f = Codex Parisinus suppl. 1085
h = Codex Coislinianus 211
l = Codex Oxoniensis Laudianus 39
p = Codex Patmensis 172
q = Codex Patmensis 173
r = Codex Vallicellianus F 10
t = Codex Vaticanus 827
u = Codex Vaticanus 1980
y = Codex Oxoniensis Baroccianus 26
z = Codex Venetus III 17
P = Codex Parisinus 415
R = Codex Vaticanus 1431 s. XII
F = Florilegium Cyrillianum
p = Codex Parisinus 415 s. XII
s = Codex Sinaiticus 1690 s. XII
b = Codex Barberinus 578 s. XI
O = Collectio Hierosolymitana
a = Codex Monacensis 186 s. XV
e = Codex Parisinus 418 s. XVI
r = Codex Vaticanus 1179 s. XV
v = Codex Vatopedianus 620 s. XIIII
b = Codex Barberinus 578 s. XI
c = Codex Parisinus Coislinianus 34 s. XIII
v = Codex Vallicellianus F 22 s. XV
Φ^a = uersio antiqua Gestorum Chalcedonensium
Φ^c = uersio antiqua correcta
Φ^r = uersionis antiquae correctae editio Rustici

Τρίτη πρᾶξις τῶν ἐν Χαλκηδόνι

1 Ὑπατείαι τοῦ δεσπότου ἡμῶν Μαρκιανοῦ τοῦ αἰωνίου αὐγούστου καὶ τοῦ δηλωθησομένου τῇι πρὸ ἓξ Εἰδῶν Ὀκτωβρίων ἐν Χαλκηδόνι L IIII 326 M VI 937 d. 10. m. Oct.

κατὰ κέλευσιν τοῦ θειοτάτου καὶ εὐσεβεστάτου δεσπότου ἡμῶν Μαρκιανοῦ τοῦ αἰωνίου αὐγούστου συνελθόντων ἐν τῇι ἁγίαι ἐκκλησίαι τῆς ἁγίας μάρτυρος Εὐφημίας τῶν ἐνδοξοτάτων ἀρχόντων, τουτέστι a. 451

1 τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου στρατηλάτου ἀπὸ [ἐπάρχων καὶ] ὑπάτων καὶ πατρικίου Ἀνατολίου

2 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἐπάρχου τῶν ἱερῶν πραιτωρίων Παλλαδίου

3 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἐπάρχου πόλεως Τατιανοῦ

4 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου μαγίστρου τῶν θείων ὀφφικίων Βιγκομάλου M VI 940

5 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου μαγίστρου Μαρτιαλίου

6 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου κόμητος τῶν καθωσιωμένων δομεστίκων Σποράκιου

7 καὶ τοῦ μεγαλοπρεπεστάτου κόμητος τῶν θείων πριβάτων Γενεθλίου,

προσέτι δὲ καὶ τῆς ἐνδόξου συγκλήτου, τουτέστι

8 τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἀπὸ ἐπάρχων καὶ ὑπάτων καὶ πατρικίου Φλωρεντίου

9 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἀπὸ ὑπάτων καὶ πατρικίου Σενάτορος

10 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἀπὸ μαγίστρων καὶ ὑπάτων καὶ πατρικίου Νόμου

11 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἀπὸ ἐπάρχων καὶ ὑπάτων καὶ πατρικίου Πρωτογένους

12 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἀπὸ ἐπάρχων Ζωίλου

13 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἀπὸ ἐπάρχων πόλεως Θεοδώρου

14 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἀπὸ ἐπάρχων Ἀπολλωνίου

ἴσθι ὁ ἀναγινώσκων ὡς κατὰ σφάλμα προτέθειται ἡ γ̄ πρᾶξις τῆς β̄ καὶ δεῖ πρότερον ἐκείνην ἀναγινώσκειν μετὰ ταύτην γραφεῖσαν, ἔνθα τὸ σημεῖον [sequitur signum ipsum] M in mg. Facundus 5. 3 p. 714 *in secunda actione quae in codicibus quidem post tertiam scribitur, fuit autem VI Idus Octobris*

M, B [= ab], Φ

sequitur haec actio eam quae est de Dioscoro, et Collectionem epistularum B in B, primam in MΦ$^{\sigma}$; cf. quae supra p. 199 adnotata sunt 1 τρίτη — χαλκηδόνι M πρᾶξισ τρίτη τῶν ἐν χαλκηδόνι συνελθόντων ἁγίων πατέρων B 2 ὑπατείασ B 4 δεσπότου ἡμῶν MΦ ἡμῶν βασιλέωσ B 5 ἁγίαι MΦ om. B μάρτυρασ M 7 στρατηλάτου om. M ἐπάρχων καὶ M om. BΦ 11 ἐπάρχου om. B^{b} 13 βιγκομάλλου M 16 σφωρακίου B 22 σεννάτοροσ M^{corr} 23 μαγίστρου M καὶ ἀπὸ B^{b} 24 καὶ om. B νόννου B 29 ἐπάρχων BΦ ἐπάρχων πόλεωσ M

15 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἀπὸ πραιποσίτων Ῥωμανοῦ
16 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἀπὸ ἐπάρχων Ἰλλυρικοῦ Θεοδώρου
17 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἀπὸ ἐπάρχων πραιτωρίων Κωνσταντίνου
18 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἀπὸ πραιποσίτων Ἀρτάξου,
συνελθούσης δὲ καὶ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τῆς κατὰ θεῖον θέσπισμα ἐν τῇι Χαλκηδονέων πόλει συναθροισθείσης, τουτέστι
1—4 Πασκασίνου καὶ Λουκινσίου τῶν εὐλαβεστάτων ἐπισκόπων καὶ Βονιφατίου τοῦ εὐλαβεστάτου πρεσβυτέρου ἐπεχόντων τὸν τόπον τοῦ ὁσιωτάτου καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου τῆς πρεσβυτέρας Ῥώμης Λέοντος καὶ Ἀνατολίου τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου τῆς μεγαλωνύμου Κωνσταντινουπόλεως νέας Ῥώμης
καὶ τῶν λοιπῶν ὁσιωτάτων καὶ εὐλαβεστάτων ἐπισκόπων, τουτέστι
5 Μαξίμου Ἀντιοχείας
L IIII 327 6 Κυιντίλλου Ἡρακλείας ἐπέχοντος τὸν τόπον Ἀναστασίου ἐπισκόπου Θεσσαλονίκης
7 Στεφάνου Ἐφέσου
8 Λουκιανοῦ Βύζης ἐπέχοντος τὸν τόπον Κυριακοῦ ἐπισκόπου Ἡρακλείας Θράικης
9 Διογένους Κυζίκου
10 Πέτρου Κορίνθου
M VI 941 11 Φλωρεντίου Σάρδεων
12 Εὐνομίου Νικομηδείας
13 Εὐσεβίου καὶ Κωνσταντίνου πρεσβυτέρων ἐπεχόντων τὸν τόπον Ἀναστασίου ἐπισκόπου Νικαίας
14 Ἐλευθερίου Χαλκηδόνος
15 Μελετίου Λαρίσσης ἐπέχοντος τὸν τόπον Δόμνου ἐπισκόπου Ἀπαμείας Συρίας δευτέρας
16 Ἀμφιλοχίου Σίδης
17 Ἰουλιανοῦ τῆς Κώων πόλεως ἐπέχοντος καὶ αὐτοῦ τὸν τόπον τοῦ ἀποστολικοῦ θρόνου Ῥώμης
18 Θεοδώρου Ταρσοῦ
19 Κύρου Ἀναζάρβου
20 Κωνσταντίνου Βόστρων
21 Φωτίου Τύρου
22 Θεοδώρου Δαμασκοῦ
23 Νόννου Ἐδέσσης
24 Συμεῶνος Ἀμίδης
25 Ἰωάννου Σεβαστείας
26 Σελεύκου Ἀμασείας

M, B [=ab], Φ [usque ad 13]

2 ἐπάρχου τοῦ B 4 ἐπάρχου B 6 καὶ ἐνδοξοτάτου BΦ om. M ἀρταξίου B^b 9 πασχασίου M τῶν εὐλαβεστάτων BΦ om. M βονηφατίου M 10 τοῦ εὐλαβεστάτου BΦ om. M 10/11 ὁσιωτάτου καὶ θεοφιλεστάτου BΦ θεοφιλεστάτου καὶ ὁσιωτάτου M 14 εὐλαβῶν B 16 κυντίλου B ἐπισκόπου om. M 19 ἐπέχοντος τὸν τόπον om. M κυρίλλου B ἐπισκόπου om. M 20 om. M 24 κωνσταντίου M 25 ἐπισκόπου om. M 27 μελιτίου M ἐπισκόπου om. M Συρίας om. M 30 κῶ M 31 Ῥώμης om. M 34 κωνσταντίου M 35 κύρου B 37 αἰδέσης M 38 συμεωνίου M

27 Κωνσταντίνου Μελιτηνῆς
28 Πατρικίου Τυάνων
29 Πέτρου Γαγγρῶν
30 Φωτεινοῦ ἀρχιδιακόνου ἐπέχοντος τὸν τόπον Δωροθέου Νεοκαισαρείας
31 Ῥωμανοῦ Μύρων
32 Κριτωνιανοῦ Ἀφροδισιάδος Καρίας
33 Νουνεχίου Λαοδικείας
34 Μαρινιανοῦ Συνάδων
35 Ὀνησιφόρου Ἰκονίου
36 Περγαμίου Ἀντιοχείας Πισιδίας
37 Ἐπιφανίου Πέργης
38 Ἀττικοῦ Νικοπόλεως
39 Μαρτυρίου Γορτύνης
40 Λουκᾶ Δυρραχίου
41 Κωνσταντίνου Δημητριάδος ἐπέχοντος τὸν τόπον Βιγιλαντίου Λαρίσσης Θεσσαλίας
42 Φραγκίωνος Φιλιππουπόλεως
43 Βασιλείου Τραιανουπόλεως
44 Σεβαστιανοῦ Βεροίας Μακεδονίας
45 Θεοκτίστου Βεροίας Συρίας
46 Γεροντίου Σελευκείας
47 Εὐσεβίου πρεσβυτέρου ἐπέχοντος τὸν τόπον Μακαρίου Λαοδικείας Συρίας
48 Εὐσεβίου Δορυλαίου
49 Σάβα Πάλτου
50 Σωφρονίου Κωνσταντίνης
51 Πατρικίου Νεοκαισαρείας
52 Μάρα Ἀνασάρθας
53 Ῥωμύλου Χαλκίδος
54 Λεοντίου Ἀσκάλωνος
55 Ἀνιανοῦ Καπετωλιάδος
56 Ζεβέννου Πέλλης
57 Ἰωάννου Τιβεριάδος
58 Βηρύλλου Ἀιλᾶ
59 Ἀρέτα Ἐλούσης
60 Μουσωνίου Σηγῶρ
61 Παγκρατίου Λιβιάδος
62 Ζωσίμου Μινωίδος
63 Πολυχρονίου Ἀντιπατρίδος
64 Ἰωάννου Γαδάρων
65 Παύλου Ἀνθηδόνος
66 Φωτεινοῦ Λύδδης
67 Ἡρακλείου Ἀζώτου
68 Μαρκιανοῦ Γεράρων

M VI 942
L III1 330

M, B [= ab]

1 κωνσταντίου M 4 confusa, cf. I 3 38. 39 6 κρητιανοῦ M Καρίας om. M 7 post 4 coll. B 8 μαριανοῦ B 15 κωνσταντίου M τὸν om. M βιγιλλατίου M 17 φραγγίωνος B φαγικίονος M 19. 20 βερροίασ B 22 τὸν om. M 24 σάββα B 27 ἀναζάρβου M 28 ρωμανοῦ M 31 ζεβένου B 34 εὐλούσησ B 35 σιγώρ M 37 μηνοίδοσ MB 41 φωτίου M

69 Στεφάνου 'Ιαμνίας
70 'Επικτήτου Διοκλητιανουπόλεως
71 'Ρωμανοῦ Εὐδοξιουπόλεως
72 Θεοδώρου Κλαυδιουπόλεως 'Ισαυρίας
73 'Ιουλίου Κελενδέρεως
74 'Επιφανίου Κέστρων
75 Αἰλιανοῦ Σελινοῦντος
76 Γαίου Συέδρων
77 'Αμμωνίου 'Ιωτάπης
78 Ματάλου Φιλαδελφείας
79 Μάρκου 'Αρεθούσης
80 Τιμοθέου Βαλανέων
81 Εὐσεβίου Σελευκοβήλου
82 Εὐτυχιανοῦ 'Επιφανείας
83 Παύλου Μαριάμμης
84 Λαμπαδίου 'Ραφανέων
85 'Αλεξάνδρου Σεβαστῆς
86 Φιλίππου 'Αδάνης
87 'Υπατίου Ζεφυρίου
88 Θεοδώρου Αὐγούστης
89 'Ιουλιανοῦ 'Ρωσοῦ
90 Πολυχρονίου 'Επιφανείας
91 'Ιωάννου Φλαβιάδος
92 'Ινδίμου Εἰρηνουπόλεως
93 Σωφρονίου χωρεπισκόπου ἐπέχοντος τὸν τόπον Βασσιανοῦ Μοψουεστίας
94 Πρόκλου 'Αδράων
95 Εὐλογίου Φιλαδελφείας
96 Θεοδοσίου Κανώθας
97 'Ορμίσδου Φιλιππουπόλεως
98 Δαμιανοῦ Σιδῶνος
99 Θεοδώρου Τριπόλεως
100 Ολυμπίου Πανεάδος
101 Παύλου Πτολεμαίδος
102 Παύλου 'Αράδου
103 Θωμᾶ Πορφυρεῶνος
104 Πορφυρίου Βοτρύων
105 Φωσφόρου 'Ορθωσιάδος
106 Πορφυρίου ἀρχιδιακόνου ἐπέχοντος τὸν τόπον Οὐρανίου ἐπισκόπου 'Εμίσης
107 'Ιωσὴφ 'Ηλιουπόλεως
108 'Ιορδάνου 'Αβίλης
109 Οὐαλερίου Λαοδικείας
110 Θωμᾶ Εὐαρίας

M, B [= ab]

3/4 Εὐδ. — Κλαυδ. om. B^b 5 Ιουλιανοῦ M 10 μετάλου B 12 βαλαναίων B 13 λευκοβήλου B^a 15 μαριάμμησ B^a μαριάμνησ B^a corr. μαριάμμνησ B^b μεριάμνησ M 16 βασσιμίου M 25 ραφαναίων B 29 ὁρμίσδα B 30 δομνίνου M 33 om. B 34 om. M 38 ἐπισκόπου om. M 40 ἀβίλλησ MB 41 ούαλλερίου $M^{corr}B$

111 Θεοδωρήτου Κύρρου
112 'Ρουφίνου Σαμοσάτων
113 'Ιωάννου Γερμανικείας
114 Τιμοθέου Δολίχης
115 Εὐολκίου Ζεύγματος
116 'Αθανασίου Πέρρης
117 Ζεβέννου Μαρτυροπόλεως
118 Καλλινίκου 'Απαμείας
119 Καιουμᾶ Μαρκουπόλεως
120 'Ιωάννου Καρρῶν
121 'Αβραμίου Κιρκησίου M VI 945
122 Λευκαδίου Μνίζου
123 'Ιωάννου ἔθνους Σαρακηνῶν L IIII 331
124 Νώου Χηφᾶ 'Ιεράκους
125 'Ιωάννου Πολεμωνίου
126 Γρατιανοῦ Κερασοῦντος
127 'Ιουλιανοῦ Ταβείας
128 Μελιφθόγγου 'Ιουλιουπόλεως
129 'Υπερεχίου 'Ασπώνων
130 'Ακακίου Κίννης
131 Εὐφρασίου Λαγανίας
132 Κεκροπίου Σεβαστοπόλεως
133 'Ιωάννου Νικοπόλεως
134 'Αττικοῦ Ζήλων
135 'Αντιόχου Σινώπης
136 Εὐχαρίου διακόνου ἐπέχοντος τὸν τόπον Παραλίου 'Ανδράπων
137 Παύλου πρεσβυτέρου ἐπέχοντος τὸν τόπον Οὐρανίου 'Ιβώρων
138 'Ακακίου 'Αριαραθείας
139 'Ηρακλείου Κομάνων
140 'Αδελφίου χωρεπισκόπου ἐπέχοντος τὸν τόπον 'Αδολίου 'Αραβισσοῦ
141 Εὐφρονίου πρεσβυτέρου ἐπέχοντος τὸν τόπον Δόμνου Κουκουσοῦ
142 'Οτρηίου πρεσβυτέρου ἐπέχοντος τὸν τόπον 'Ιωάννου Ἄρκης
143 Θεοδοσίου Ναζιανζοῦ
144 'Αριστομάχου Κολωνείας
145 'Ρήνου 'Ιουνοπόλεως
146 'Επιφανίου πρεσβυτέρου ἐπέχοντος τὸν τόπον Αἰθερίου Πομπηιουπόλεως
147 Φιλοτίμου πρεσβυτέρου ἐπέχοντος τὸν τόπον Θεμιστίου 'Αμάστριδος

1 Facund. 5, 3 p. 714 *in secunda actione, quae in codicibus quidem post tertiam scribitur, fuit autem eodem consulatu VI Id. Octobr., in qua de statutis fidei tractatus incipit, centesimus et undecimus Theodoretus scribitur*

M, B [= ab]

1 θεοδωρίτου B κύρου B 6 πέργης M 7 ζεβένου B 8 ἀπαμείασ B^a ἰαμνείασ ἀπαμείασ B^b ἰαμνίασ M 10 καρῶν B 11 ἀβρααμίου M κερκισίων M 12 μείζου M 14 νόου B κηφᾶσ ἱεραλκύοσ B χηφᾶ M 18 ἱλιουπόλεωσ M 19 ἀσπόνων B ἀσπανων M 21 λαγανείασ B 22 κερκοπίου M σεβαστουπόλεωσ B 23 post 24 coll. B^a 25 ἀντιλόχου M 26 τὸν om. M ἀδράπου M 27 ιβήρων M 28 ἀραραθείασ B 32 ὀτρίου M 35 ἰωνοπόλεωσ MB, corr. M 36 αἰθερίχου M

148 Θεοδώρου Ἡρακλείας
149 Εὐλογίου πρεσβυτέρου ἐπέχοντος τὸν τόπον Γενεθλίου Κρατείας
150 Θεοφίλου Ἀδριανουπόλεως
151 Ἐλπιδίου τῶν Θέρμων
152 Ἀκύλα Εὐδοξιάδος
153 Μυστηρίου Ἀμορίου
154 Λογγίνου Ὀρκιστοῦ
155 Δοκιμασίου Μαρωνείας
15 Φώτιος ὁ εὐλαβέστατος ἐπίσκοπος Τύρου εἶπεν· Τῆς ἐκτεθείσης πίστεως παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι τιη τὴν συμφωνίαν εὑρίσκομεν παρά τε τοῖς ρν ἁγίοις πατράσι τοῖς συνελθοῦσιν ἐν τῇι Κωνσταντινουπόλει καὶ τοῖς μετὰ ταῦτα συναχθεῖσιν ἐν τῇι Ἐφεσίων ἐπὶ τοῦ μακαριωτάτου Κυρίλλου καὶ τῇι ἐπιστολῇι τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου πατρὸς ἡμῶν ἀρχιεπισκόπου τῆς Ῥωμαίων Λέοντος, καὶ ὑπέγραψα χειρὶ ἐμῇι. L IIII 476

16 Συμεώνης ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀμίδης Μεσοποταμίας εἶπεν· Συμφωνεῖ ἡ ἐπιστολὴ τοῦ ἀρχιεπισκόπου Λέοντος τῆς Ῥωμαίων τῇι τε ἐν Νικαίαι ἐκτεθείσηι πίστει καὶ τῇι τῶν ρν καὶ τῇι ἐν Ἐφέσωι ἐπὶ τοῦ τῆς μακαρίας μνήμης Κυρίλλου, καὶ ὑπεσημηνάμην αὐτῇι.

17 Περγάμιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀντιοχείας Πισιδίας εἶπεν· Συνάιδουσαν καὶ συμφωνοῦσαν τὴν ἐπιστολὴν γνωρίζω τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Λέοντος τῆς Ῥωμαίων τῇι καθολικῇι πίστει τῶν τιη καὶ τῶν ρν ἁγίων πατέρων, ἔτι μὴν καὶ τῶν μετὰ ταῦτα συνελθόντων ἐπὶ τοῦ μακαριωτάτου Κυρίλλου ἐν τῇι Ἐφεσίων πόλει, καὶ ὑπεσημηνάμην αὐτῇι.

18 Θεόδωρος ὁ εὐλαβέστατος ἐπίσκοπος Ταρσοῦ εἶπεν· Συμβαίνουσαν γνωρίζομεν τῇι ἐκθέσει τῆς πίστεως τῶν ἐν Νικαίαι τιη ἁγιωτάτων ἐπισκόπων καὶ τῇι τῶν ρν ὁμοίως ἁγίων πατέρων τῶν συνελθόντων ἐν Κωνσταντινουπόλει καὶ τῇι τῶν ἐν Ἐφέσωι μετὰ ταῦτα ἐπὶ τοῦ μακαριωτάτου Κυρίλλου τὴν ἐπιστολὴν τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου τῆς Ῥωμαίων Λέοντος, καὶ ὑπέγραψα ἐν αὐτῇι.

19 Φραγκίων ὁ εὐλαβέστατος ἐπίσκοπος Φιλιππουπόλεως τῆς Θράικης εἶπεν· Συνάιδει ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Λέοντος τῇι ἐν Νικαίαι ἐκτεθείσηι πίστει ὑπὸ τῶν τιη ἁγίων πατέρων καὶ τῇι ἐν τῇι βασιλευούσηι Κωνσταντινουπόλει γενομένηι συνόδωι τῶν ρν καὶ τῇι ἐν Ἐφέσωι συνόδωι, ἧς ἡγεῖτο ὁ μακάριος Κύριλλος, καὶ ὑπέγραψα ἐν αὐτῇι.

20 Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπεν· Σύμφωνον ἔκρινα εἶναι τὴν ἐπιστολὴν τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Λέοντος τῆς πρεσβυτέρας Ῥώμης τῇι ἐκ-

---

M, B [= ab], (Φ)

5 συμφώνωσ M 7 δὲ καὶ τοῖς — συνάδουσαν B^b τε τριακοσίοις B^a corr., τετρακοσίοις B 8 ἀρχιεπισκόπου ἡμῶν B 11 ὑπέγραψα αὐτῇ M 15 ἐν M^{corr} om. MB 19/20 συνελθοῦσιν B 21 ἡμῶν καὶ M 23 συμεὼν B εὐλαβὴσ B^a 24 τῆσ ῥωμαίων λέοντοσ B τε om. B^a 27 εὐλαβὴσ B 28/29 τῆσ ῥωμαίων λέοντοσ B 37 φραγγίων B^a 39 τῇι¹ om. M 43 τῆσ πρεσβυτέρασ ῥώμησ λέοντοσ B

θέσει τῶν ἐν Νικαίαι συναχθέντων πατέρων τῶν τιη καὶ τῇι συνόδωι τῶν ρν τῶν συναχθέντων ἐν τῇι μεγαλοπόλει Κωνσταντινουπόλει καὶ τῇι συνόδωι τῇι γενομένηι ἐν Ἐφέσωι ἐπὶ τοῦ μακαρίου Κυρίλλου, καὶ ὑπέγραψα ἐν αὐτῇι.

21 Φλωρέντιος ὁ εὐλαβέστατος ἐπίσκοπος Σάρδεων Λυδίας εἶπεν· Ἡ ἐπιστολὴ
M VII 16 τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου πάπα Λέοντος συναίδει τῇι πίστει τῆς τε ἐν Νικαίαι ἁγίας συνόδου συναχθείσης καὶ τῆς ἐν Κωνσταντινουπόλει τῶν ρν συναγηγερμένης καὶ τῆς ἐν Εφέσωι κατὰ Νεστορίου βουλήσει θεοῦ συνελθούσης, ἧς ἡγεῖτο ὁ μακάριος Κύριλλος, καὶ ὑπέγραψα ἐν αὐτῇι.

22 Ἀμφιλόχιος ὁ εὐλαβέστατος ἐπίσκοπος Σίδης Παμφυλίας εἶπεν· Τῆς εἰλικρινοῦς καὶ ἀληθοῦς πίστεως ἐκτεθείσης παρὰ τῶν ἐν Νικαίαι συλλεγέντων ἁγίων πατέρων συμβαίνοντα καὶ οἱ κατὰ τὴν μεγάλην Κωνσταντινούπολιν νέαν Ρώμην ρν ἅγιοι πατέρες συνέγραψαν καὶ οἱ τῆς κατὰ Ἔφεσον ἐπὶ τοῦ τῆς μακαρίας μνήμης Κυρίλλου ἁγίας συνόδου, ἧς ἐστι καὶ ὁ νοῦς ὁ κατ' εὐσέβειαν ὑπαγορευθεὶς τῆς ἐπιστολῆς τοῦ πάντα εὐκλεεστάτου τῆς Ῥωμαίων ἀρχιεπισκόπου Λέοντος, καὶ ὑπεσημηνάμην.

L IIII 477 23 Μαριανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος Συνάδων εἶπεν· Συναίδειν ἔγνων τὴν ἐπιστολὴν τοῦ πάντα ὁσιωτάτου ἀρχιεπισκόπου τῆς Ῥωμαίων Λέοντος τῇι μόνηι καὶ μακαρίαι καὶ θεοφιλεῖ ἐκθέσει τῶν τιη καὶ τῶν ρν τῶν ἐν τῇι βασιλίδι Κωνσταντινουπόλει συναχθέντων, οὐ μόνον δὲ τούτων, ἀλλὰ καὶ τῇι συνόδωι τῇι γενομένηι κατὰ Νεστορίου ἐν Ἐφέσωι ἐπὶ τοῦ τῆς μακαρίας μνήμης Κυρίλλου, δι' ὃ καὶ ὑπέγραψα ἐν αὐτῇι.

24 Επιφάνιος ὁ εὐλαβέστατος ἐπίσκοπος Πέργης εἶπεν· Ὡς συνιδεῖν ἠδυνήθην ἐκ τῆς ἀναγνώσεως τῆς ἐπιστολῆς τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου τῆς Ῥωμαίων Λέοντος, συμφωνεῖ κατὰ διάνοιαν τῇι ἐκθέσει τῶν ἁγίων πατέρων τῶν τιη τῶν ἐν Νικαίαι καὶ τῶν μετ' αὐτὴν κατὰ τὴν βασιλεύουσαν πόλιν συναθροισθέντων ρν, καὶ τῇι ἐν Ἐφέσωι δὲ κατὰ Νεστορίου τοῦ ἀσεβοῦς γενομένηι, ἧς ἡγεῖτο ὁ μακαριώτατος Κύριλλος, καὶ ταύτην ἔχων τὴν γνώμην ὑπέγραψα τῇι αὐτῇι ἐπιστολῇι.

25 Ὀνησιφόρος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἰκονίου εἶπεν· Κατ' οὐδὲν ἀπάιδουσαν συνιδὼν τὴν ἐπιστολὴν τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου τῆς Ῥωμαίων Λέοντος τῆς ἐκτεθείσης πίστεως παρὰ τῶν τιη ἁγίων πατέρων τῶν ἐν Νικαίαι συναχθέντων καὶ τῶν ρν τῶν ἐν τῇι μεγαλωνύμωι Κωνσταντινουπόλει συνελθόντων καὶ τῶν ἐν Ἐφέσωι πραχθέντων ἐπὶ τῇι καθαιρέσει τοῦ δυσσεβοῦς Νεστορίου παρὰ τοῦ τῆς μακαρίας καὶ ὁσίας μνήμης πατρὸς ἡμῶν Κυρίλλου, ὑπέγραψα τῇι αὐτῇι ἐπιστολῇι τοῦ πάπα Λέοντος.

26 Πέτρος ὁ εὐλαβέστατος ἐπίσκοπος Γαγγρῶν εἶπεν· Ἣν ἐκράτυναν ἐφ' ἡμῖν πίστιν οἱ ἅγιοι πατέρες οἱ τιη οἱ ἐν Νικαίαι καὶ οἱ ρν οἱ ἐν τῇι βασιλευούσηι Κωνσταντινουπόλει συναχθέντες, μετὰ δὲ ταῦτα καὶ οἱ ἐν Ἐφέσωι προηγουμένου τοῦ μακαρίου Κυρίλλου τῆς ἁγίας ἐκείνης συνόδου, σύμφωνον οὖσαν καὶ τὴν ἐπιστολὴν τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Λέοντος καὶ τὸν αὐτὸν ἔχουσαν σκοπὸν κατεδεξάμεθα καὶ ὑπέγραψα ἐν αὐτῇι.

27 Θεοδόσιος ὁ εὐλαβέστατος ἐπίσκοπος Κανώθας εἶπεν· Ἀσάλευτος ἡ πίστις τῶν τιη· ἐάν τις ἐπιχειρήσηι σαλεῦσαι τὰ ἀσάλευτα, σαλεύεται καὶ μὴ σαλεύων τὰ ἀσάλευτα. ταύτηι γοῦν ἀκολουθοῦμεν καὶ πιστεύομεν καὶ τῇι ἐκθέσει τῇι ἐκτεθείσηι παρὰ τῶν ρν ἁγίων πατέρων τῶν συνελθόντων ἐν Κωνσταντινουπόλει καὶ τῇι ἐν Ἐφέσωι κατὰ τοῦ δυσσεβοῦς Νεστορίου γενομένηι ἐπὶ τοῦ τῆς μακαρίας μνήμης Κυρίλλου, καὶ συνάιδει

M, B [= ab], (Φ)

p. 95. 43/1 ἐκτεθείση B^b 3 ἐν αὐτῇι om. M 7 μακαριώτατοσ M 14 ἐκτελεστάτου B 15 *Marinus* $Φ^{ac}$ *Marinianus* $Φ^r$ 16 ῥωμαίων πόλεωσ M 17 καὶ[1] om. MB^b τῶν[2] om. M τῇι om. B^b 22 τῶν τριακοσίων δεκαοκτὼ ἁγίων πρῶν τῶν B 28 τιη om. B 38 *Theodorus* $Φ^r$ et duo codd. $Φ^c$ 39 σαλεύσεται B^b καὶ — ἀσάλευτα om. B 41 τῇι om. M τοῦ om. B^b

ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου καὶ πατρὸς ἡμῶν Λέοντος, καὶ ὑπέγραψα M VII 17
ἐν αὐτῇ.

28 Σάβας ὁ εὐλαβέστατος ἐπίσκοπος Πάλτου Συρίας εἶπεν· Οἱ τιη ἅγιοι πατέρες συναχθέντες κατὰ γνώμην θεοῦ εἰς Νίκαιαν καὶ διδαχθέντες ἀπὸ πνεύματος ἁγίου τὴν ὀρθὴν πίστιν ἡμῶν ἐξέθεντο. ταύτῃ ἠκολούθησαν οἱ ὀρθόδοξοι ἅγιοι πατέρες καὶ οἱ ρν συναχθέντες ἐν Κωνσταντινουπόλει ταύτῃ ἠκολούθησαν, ὁμοίως δὲ σύμφωνα ταύτῃ καὶ ὁ μακάριος Κύριλλος ἐν Ἐφέσῳ ἐδίδασκεν. σύμφωνα δὲ καὶ ὁ ὁσιώτατος ἀρχιεπίσκοπος τῆς Ῥωμαίων Λέων διὰ τῆς ἰδίας ἐπιστολῆς ἐδίδαξεν καὶ πᾶσα ἡ οἰκουμένη οὕτω κατηχήθη καὶ ἐδιδάχθη καὶ ἡμεῖς ταύτην κατέχομεν καὶ διδάσκομεν, καὶ ὑπέγραψα ἐν αὐτῇ καὶ ἀναθεματίζω τοὺς ἢ προστιθέντας τι ἢ ὑφαιροῦντας.

29 Ἐπιφάνιος ὁ εὐλαβέστατος πρεσβύτερος ἐπέχων τὸν τόπον τοῦ θεοφιλεστάτου L IIII 482
ἐπισκόπου Αἰθερίου Πομπηιουπόλεως ἐπαρχίας Παφλαγονίας εἶπεν· Ἐλέει τοῦ δεσπότου [sic]
Χριστοῦ ἐβεβαιώθην εἰς τὴν πίστιν τῶν τιη ἁγίων πατέρων τῶν ἐν Νικαίαι, ἣν μετὰ ταῦτα ἐβεβαίωσαν οἱ ρν οἱ συναχθέντες ἐν τῇ κατὰ Κωνσταντινούπολιν ἁγίαι συνόδωι καὶ μετὰ ταύτην οἱ ἐν Ἐφέσωι ὁμοίως συναχθέντες ἡγουμένου τοῦ τῆς ὁσίας μνήμης Κυρίλλου. πληροφορηθεὶς δὲ καὶ ἐπὶ τῇι ἐπιστολῇι τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου τῆς Ῥωμαίων Λέοντος ὡς συμφωνούσηι ταῖς προειρημέναις ἐκθέσεσιν, ὑπογράψαντος καὶ τοῦ αὐτοῦ εὐλαβεστάτου Αἰθερίου τοῦ ἐπισκόπου τῇι αὐτῇι ἐπιστολῇι, ἀκολουθῶ τῇι προλεχθείσηι ἁγίαι πίστει.

30 Φιλότιμος ὁ εὐλαβέστατος πρεσβύτερος ἐπέχων τὸν τόπον τοῦ θεοφιλεστάτου ἐπισκόπου Θεμιστίου Ἀμάστριδος ἐπαρχίας Παφλαγονίας εἶπεν· Συνάιδω τοῖς αὐτοῖς.

31 Ἀβράμιος ὁ εὐλαβέστατος ἐπίσκοπος Κάστρου Κιρκησίου Ὀσροηνῆς εἶπεν· Ἐπακούσας τῆς καταθέσεως τῶν προδηλουμένων εὐλαβεστάτων ἐπισκόπων κατὰ τὰ αὐτὰ κατατίθημι καὶ ὑπέγραψα τῇι ἐπιστολῇι τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς Ῥωμαίων πόλεως Λέοντος.

32 Εὐδόξιος ὁ εὐλαβέστατως ἐπίσκοπος Ἐτέννων Παμφυλίας εἶπεν· Ἡ πίστις τεθεμελίωται ἥνπερ οἱ τιη ἐν τῇι Νικαίαι ἐστήριξαν ἅγιοι πατέρες καὶ οἱ ρν συναχθέντες ἐν Κωνσταντινουπόλει καὶ ἡ ἐν Ἐφέσωι γενομένη ἁγία σύνοδος ἡγουμένου τοῦ ὁσιωτάτου ἐπισκόπου Κυρίλλου, ἥιπερ συνάιδει καὶ ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς Ῥωμαίων Λέοντος, ἐν ἧι καὶ ὑπέγραψα.

33 Εὐγένιος ὁ εὐλαβέστατος ἐπίσκοπος Κοτέννων Παμφυλίας εἶπεν· Κἀγὼ τοῖς αὐτοῖς συντίθημι καὶ ὑπέγραψα τῇι ἐπιστολῇι τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς Ῥωμαίων Λέοντος.

34 Ὄβριμος ὁ εὐλαβέστατος ἐπίσκοπος Κορακησίου εἶπεν· Κἀγὼ τοῖς αὐτοῖς συντίθημι καὶ ὑπέγραψα τῇι ἐπιστολῇι τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς Ῥωμαίων Λέοντος.

35 Νέων ὁ εὐλαβέστατος ἐπίσκοπος πόλεως Σιλλύου Παμφυλίας εἶπεν· Ἡ γραφεῖσα ἐπιστολὴ παρὰ τοῦ θεοφιλεστάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς Ῥωμαίων Λέοντος συνάιδει ὅσον κατὰ διάνοιαν τῇι ἐκτεθείσηι πίστει παρὰ τῶν ἁγίων πατέρων τῶν τιη τῶν ἐν Νικαίαι καὶ τῶν ρν τῶν ἐν τῇι βασιλευούσηι Κωνσταντινουπόλει καὶ M VII 20
τῶν ἐν Ἐφέσωι συνδραμόντων Νεστορίου τοῦ ἀσεβοῦς ἕνεκεν, ἧς ἡγεῖτο ὁ τῆς μακαρίας 41
μνήμης Κύριλλος, καὶ ταύτην ἔχων τὴν γνώμην ἤδη πάλαι ὑπέγραψα τῇι αὐτῇι ἐπιστολῇι.

36 Θεόφιλος ὁ εὐλαβέστατος ἐπίσκοπος πόλεως Ἀριασσοῦ Παμφυλίας εἶπεν· Ὡς καταλαβεῖν ἠδυνήθην, συμφωνεῖ ὅσον κατὰ ἔννοιαν ἡ ἐπιστολὴ ἡ γραφεῖσα παρὰ

M, B [= ab], (Φ)

3 σάββασ B 5 ταύτηι — πατέρες om. B^b 6/7 καὶ ὁ — κύριλλοσ σύμφωνα ταύτη B^a 7 ἐδίδαξε B 12 *Aetherici* $Φ^r$ deficit $Φ^{ac}$ 14 ἐβεβαιώθησαν B^b κατὰ om. B^b 18 ἐπισκόπου αἰθερίου B καὶ ἀκολουθῶ M 22 ἀβραάμιοσ M κινκησίου M 37 σιλιάνδου MB *lilyi* Φ 43 εὐσεβέστατοσ B^a ἀρκισσοῦ B

τοῦ θεοφιλεστάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς πρεσβυτέρας Ῥώμης Λέοντος τῇι ἐκτεθείσηι πίστει παρά τε τῶν τιη ἁγίων πατέρων τῶν ἐν Νικαίαι συναχθέντων καὶ τῶν μετὰ ταῦτα ἐν Κωνσταντινουπόλει ρν καὶ τῶν Νεστορίου τοῦ ἀσεβοῦς χάριν
L IIII 481 συνελθόντων ἐν τῇι Ἐφεσίων, ἧς τὸ κεφάλαιον ὑπῆρχεν ὁ μακάριος Κύριλλος. καὶ ταύτην ἔχων τὴν γνώμην φαίνομαι τῇι ἐπιστολῇι τοῦ αὐτοῦ πάπα καθυπογράψας.

37 Βῆρος ὁ εὐλαβέστατος πρεσβύτερος ἐπέχων τὸν τόπον Μάρα τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς Κοδραλέων Παμφυλίας εἶπεν· Κατατίθημι ὑπὲρ τοῦ μνημονευθέντος εὐλαβεστάτου ἀνδρός, ἐπείπερ δι' ἀρρωστίαν ἀπὸ τῆς Νικαέων πόλεως οὐ παραγέγονεν, ὡς ἡ ἐπιστολὴ ἡ γραφεῖσα παρὰ τοῦ θεοφιλεστάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου ἡμῶν τῆς Ῥωμαίων Λέοντος οὐκ ἀπάιδει ὅσον πρὸς ἔννοιαν, τῇι ἐκτεθείσηι πίστει παρά τε τῶν τιη ἁγίων πατέρων τῶν ἐν Νικαίαι συνελθόντων καὶ παρὰ τῶν ρν τῶν ἐν Κωνσταντινουπόλει συνδραμόντων, ἔτι μὴν καὶ τῶν ἐν Ἐφέσωι.

38 Σεβαστιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος Βεροίας εἶπεν· Κατὰ πάντα συνάιδει ἡ ἐπιστολὴ τοῦ κυρίου Λέοντος τοῦ ἀρχιεπισκόπου τῇι ἐκθέσει τῶν τιη καὶ τῶν ρν ἁγίων πατέρων καὶ τοῖς πραχθεῖσιν ἐν Ἐφέσωι τὸ πρότερον παρὰ τοῦ τῆς ὁσίας μνήμης Κυρίλλου, καὶ ἀρεσθεὶς ταύτηι ὑπέγραψα.

39 Ἀριστόμαχος ὁ εὐλαβέστατος ἐπίσκοπος Κολωνείας δευτέρας Καππαδοκίας εἶπεν· Συνάιδει ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Λέοντος κατὰ πάντα τῇι ἐκθέσει τῶν τιη τῶν ἐν Νικαίαι καὶ τῶν ρν τῶν ἐν Κωνσταντινουπόλει ἁγίων πατέρων καὶ τοῖς παρὰ τοῦ ἁγιωτάτου Κυρίλλου ἐν Ἐφέσωι ἐν τῇι προτέραι συνόδωι πραχθεῖσιν, καὶ ἤδη ὑπέγραψα.

40 Ἰουλιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Κῶ εἶπεν· Ἀστράπτει τῇι συμφωνίαι τῶν τιη ἁγίων πατέρων καὶ τῶν ρν τῶν ἐν Κωνσταντινουπόλει ἐπὶ τοῦ τῆς θείας λήξεως Θεοδοσίου συναχθέντων καὶ τοῖς πραχθεῖσιν ἐν Ἐφέσωι παρὰ τοῦ μακαριωτάτου Κυρίλλου τοῦ ἐπισκόπου τῆς Ἀλεξανδρέων ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου ἡμῶν Λέοντος, καὶ τούτοις ἐμμένων ὑπέγραψα.

41 Θεοδώρητος ὁ εὐλαβέστατος ἐπίσκοπος Κύρρου εἶπεν· Συνάιδει ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τοῦ κυρίου Λέοντος τῇι ἐν Νικαίαι ἐκτεθείσηι πίστει παρὰ τῶν ἁγίων καὶ μακαρίων πατέρων καὶ τῶι ἐν Κωνσταντινουπόλει ὑπαγορευθέντι παρὰ τῶν ρν συμβόλωι τῆς πίστεως καὶ ταῖς ἐπιστολαῖς τοῦ μακαρίου Κυρίλλου, καὶ ἀποδεξάμενος τὴν προρρηθεῖσαν ἐπιστολὴν ὑπέγραψα.

42 Κεκρόπιος ὁ εὐλαβέστατος ἐπίσκοπος Σεβαστοπόλεως Ἀρμενίας εἶπεν· Συνάι-
M VII 21 δει ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς Ῥωμαίων Λέοντος τῇι ἐκθέσει τῶν τιη καὶ τῇι ἐκθέσει τῶν ρν ἁγίων πατέρων καὶ τῇι συναινέσει τοῦ ἁγίου καὶ τρισμακαρίου Κυρίλλου τῇι ἐκτεθείσηι ἐν Ἐφέσωι τὸ πρότερον καὶ βεβαιωθείσηι παρὰ τῆς ἁγίας συνόδου καὶ τούτοις συνηινέσαμεν καὶ ὑπεγράψαμεν.

43 Ἀκάκιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀριαραθείας εἶπεν· Σύμφωνός ἐστιν ἡ ἐπιστολὴ τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Λέοντος τῆς Ῥωμαίων τῇι ἐκθέσει τῶν τιη τῶν ἐν Νικαίαι καὶ τῶν ρν τῶν ἐν Κωνσταντινουπόλει συναχθέντων καὶ τοῖς ἐπὶ τοῦ

27 Facund. 5, 3 p. 714 *quarto consessu . . . Theodoretum . . . super memorata epistula sancti Leonis trigesimo et octauo loco interlocutum fuisse reperimus, ubi scriptum est: Theodoretus reuerentissimus episcopus Cyrri dixit: Concinit epistula sanctissimi archiepiscopi domini Leonis fidei a sanctis et beatissimis patribus in Nicaea expositae et symbolo fidei in Constantinopoli dictato a centum et quinquaginta et epistulis beati Cyrilli*

M, B [= ab], (Φ)

2 συνελθόντων B 7 κοδραλαίων MB *Codrilleorum* Φ^{a} *Codryllorum* Φ^{cr} 13 βερροίασ B 14. 19 ἐκτεθείσῃ B^{b} 22 κώων B 27 θεοδώριτοσ MB κύρου B 28 ἁγιωτάτου B Fac. ἁγιωτάτου καὶ ὁσιωτάτου M 33 ἐκτεθείσῃ MB^{b} παρὰ τῶν B^{b} 34 συνέσει B 35/36 τῇι — ὑπεγράψαμεν M καὶ ἀποδεξάμενος τὴν προρρηθεῖσαν ἐπιστολὴν ὑπέγραψα B 38 τῆσ ρωμαίων λέοντοσ B

ἁγιωτάτου Κυρίλλου πραχθεῖσιν ἐν Ἐφέσωι τὸ πρότερον καὶ βεβαιωθεῖσι, καὶ συνεθέμην καὶ ὑπέγραψα.

44 Ἀττικὸς ὁ εὐλαβέστατος ἐπίσκοπος Ζήλων ἐπαρχίας Ἑλενοπόντου εἶπεν· Συνάιδει ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου πάπα Λέοντος τῆι ἐκθέσει τῶν τιη ἁγίων πατέρων τῶν ἐν Νικαίαι καὶ τῶν ρν τῶν ἐν Κωνσταντινουπόλει συναχθέντων καὶ τῆι ἐπιστολῆι τοῦ ἁγιωτάτου πάπα Κυρίλλου τῆι ἐν Ἐφέσωι πάλαι πραχθείσηι καὶ βεβαιωθείσηι, καὶ τούτοις συνηινέσαμεν καὶ ὑπεγράψαμεν. L IIII 484

45 Ἡράκλειος ὁ εὐλαβέστατος ἐπίσκοπος Κομάνων ἐπαρχίας δευτέρας Ἀρμενίας εἶπεν· Τοῦτο φαμὲν ὅτιπερ συνάιδει ἐν ἅπασι τοῖς ἁγίοις πατράσιν ἡμῶν, λέγω δὴ τοῖς τιη καὶ τοῖς ρν καὶ τοῖς τοῦ μακαριωτάτου Κυρίλλου τοῖς ἐν Ἐφέσωι τὸ πρότερον πραχθεῖσι καὶ βεβαιωθεῖσιν ἡ τοῦ ἁγιωτάτου πάπα Λέοντος ἐπιστολή, καὶ συνεθέμην τῶι τόμωι καὶ ὑπέγραψα.

46 Μελέτιος ὁ εὐλαβέστατος ἐπίσκοπος Λαρίσσης ἐπαρχίας Συρίας δευτέρας τοποτηρῶν τῶι ὁσιωτάτωι ἐπισκόπωι Ἀπαμείας Δόμνωι εἶπεν· Συνάιδει ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Λέοντος τοῦ τῆς Ῥωμαίων ἐκκλησίας τοῖς τε τιη καὶ τοῖς ρν ἁγίοις πατράσιν, ἔτι μὴν καὶ τοῖς τοῦ μακαριωτάτου Κυρίλλου τοῖς ἐν Ἐφέσωι ἐν τῆι προτέραι συνόδωι πραχθεῖσι καὶ βεβαιωθεῖσι, καὶ συνθέμενος ὑπέγραψα τῆι αὐτῆι ἐπιστολῆι.

47 Ὀλύμπιος ὁ εὐλαβέστατος ἐπίσκοπος Πανεάδος ἐπαρχίας πρώτης Φοινίκης εἶπεν· Συνωιδὰ ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου καὶ θεοσεβεστάτου ἀρχιεπισκόπου Λέοντος περιέχει τῆι ἐκθέσει τῶν τιη καὶ τῶν ρν ἁγίων πατέρων, ἔτι δὲ καὶ τοῖς ἐπὶ τοῦ τῆς μακαρίας μνήμης Κυρίλλου ἐν Ἐφέσωι τὸ πρότερον πραχθεῖσιν, καὶ συνθέμενος ὑπέγραψα τῆι αὐτῆι ἐπιστολῆι.

48 Τιμόθεος ὁ εὐλαβέστατος ἐπίσκοπος Βαλανέων Συρίας δευτέρας εἶπεν· Τῆι ἐννοίαι τῆς πίστεως τῆι ἐκτεθείσηι ὑπὸ τῶν τιη ἁγίων πατέρων τῶν ἐν Νικαίαι συνελθόντων καὶ τῆι τῶν ρν ἐκτεθείσηι ὑπὸ τῶν ἐν Κωνσταντινουπόλει τὸ τηνικαῦτα συνελθόντων ὁμόλογός ἐστιν ἡ ἐπιστολὴ ἡ γραφεῖσα πρὸς τὸν τῆς μακαρίας μνήμης Φλαβιανὸν παρὰ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου καὶ πατρὸς ἡμῶν Λέοντος, συμφωνοῦσα καὶ τοῖς παρὰ τοῦ μακαρίου Κυρίλλου ἐν Ἐφέσωι τὸ πρότερον πραχθεῖσι καὶ βεβαιωθεῖσι, καὶ συνθέμενος ὑπέγραψα τῶι τόμωι.

49 Ἰουλιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος Ῥωσοῦ Κιλικίας δευτέρας εἶπεν· Συνάιδει ἡ ἐπιστολὴ τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Λέοντος τῆι ἐκθέσει τῆς πίστεως τῶν ἁγίων πατέρων τῶν τε τιη καὶ τῶν ρν καὶ τοῖς ἐπὶ τοῦ μακαριωτάτου Κυρίλλου ἐν Ἐφέσωι πραχθεῖσι καὶ βεβαιωθεῖσιν ἐν τῆι προτέραι συνόδωι, καὶ συνθέμενος ὑπέγραψα τῶι τόμωι. M VII 24

50 Παῦλος ὁ εὐλαβέστατος ἐπίσκοπος Μαριάμμης Συρίας δευτέρας εἶπεν· Τῆι ἐκτεθείσηι παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι πίστει καὶ τῶν μετὰ ταῦτα ἐν Κωνσταντινουπόλει ρν καὶ τοῖς ὑπὸ τοῦ μακαρίου Κυρίλλου γραφεῖσιν ἐν Ἐφέσωι τὸ πρότερον σύμφωνός ἐστιν ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου τῆς Ῥωμαίων Λέοντος, καὶ ταύτηι συνεθέμην καὶ ὑπέγραψα.

51 Ἀτάρβιος ὁ εὐλαβέστατος ἐπίσκοπος πόλεως Τραπεζοῦντος Πόντου Πολεμωνιακοῦ εἶπεν· Τῆι πίστει τῆι περὶ τὴν ὁμοούσιον τριάδα καὶ τῆι θεόθεν ὑμῖν ἐπιχορηγηθείσηι σοφίαι συνορᾶι καὶ ἡ ὑμετέρα ἐνδοξότης σύμφωνον εἶναι τῆι ἐκθέσει τῆς πίστεως τῶν ἐν Νικαίαι ἁγιωτάτων πατέρων τιη καὶ τῶν ρν τῶν ἐν τῆι βασιλευούσηι συναχθέντων L IIII 485

M, B [= ab], (Φ)

6 πάπα om. B^a καὶ βεβαιωθείσηι om. B 10 μακαρίου B^a 11 πάπα om. B 13 μελίτιος MΦ^a δευτέρας συρίας B 15/16 καὶ τοῖς ρν om. B 24 βαλαναίων MB 25 ἁγιωτάτων M 36 μαριάμνης B^a corr. 41 ἀρτάβιος MB 43 σύμφωνος B^b

μετὰ τὴν προρρηθεῖσαν καὶ τοῖς ἐν Ἐφέσωι ἐπὶ τοῦ τῆς ὁσίας μνήμης Κυρίλλου τὸ πρότερον πραχθεῖσιν καὶ βεβαιωθεῖσιν τὴν ἐπιστολὴν τοῦ ὁσιωτάτου Λέοντος. καὶ διὰ τοῦτο ἡμεῖς τε καὶ ὁ θεοφιλέστατος Δωρόθεος ὁ τῆς μητροπόλεως ἡμῶν Νεοκαισαρείας ἐπίσκοπος καθυπεσημηνάμεθα οὕτως φρονοῦντες.

52 Φωτεινὸς διάκονος τοποτηρῶν τῶι εὐλαβεστάτωι ἐπισκόπωι Δωροθέωι Νεοκαισαρείας Πόντου Πολεμωνιακοῦ εἶπεν· Κἀγὼ ταῦτα κατατίθημι.

53 Ἰωάννης ὁ εὐλαβέστατος ἐπίσκοπος πόλεως Πολεμωνίου Πόντου Πολεμωνιακοῦ εἶπεν· Ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου πάπα Λέοντος σύμφωνός ἐστι τῆι ἐκθέσει τῶν τιη ἁγίων πατέρων τῶν ἐν Νικαίαι καὶ τῶν ρν τῶν ἐν Κωνσταντινουπόλει συνελθόντων καὶ τῆι συνόδωι τῆι ἐν Ἐφέσωι τὸ πρότερον τῆι ἐπὶ τοῦ μακαριωτάτου Κυρίλλου, καὶ ὑπεσημηνάμην αὐτῆι.

54 Γρατιδιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος Κερασοῦντος Πόντου Πολεμωνιακοῦ εἶπεν· Τῆι ἐπιστολῆι τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου πάπα Λέοντος συμφωνούσηι τῆι ἐκθέσει τῶν ἁγίων πατέρων τῶν τιη τῶν ἐν Νικαίαι καὶ τῶν ρν τῶν ἐν Κωνσταντινουπόλει καὶ τοῖς ἐν Ἐφέσωι ἐπὶ τοῦ τῆς ὁσίας μνήμης Κυρίλλου πραχθεῖσι καὶ βεβαιωθεῖσιν ὑπεσημηνάμην.

55 Ἰωάννης ὁ εὐλαβέστατος ἐπίσκοπος πόλεως Καρρῶν Ὀσροηνῆς εἶπεν· Σύμφωνός ἐστιν ἡ ἐπιστολὴ τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Λέοντος τῆι ἐκθέσει τῶν τιη τῶν ἐν Νικαίαι καὶ τῶν ρν τῶν ἐν Κωνσταντινουπόλει καὶ τοῖς ἐν Ἐφέσωι ἐπὶ τοῦ τῆς ὁσίας μνήμης Κυρίλλου πραχθεῖσι καὶ βεβαιωθεῖσι, καὶ ὑπεσημηνάμην.

56 Ῥῆνος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἰουνοπόλεως Παφλαγονίας εἶπεν· Τῆι ἐπιστολῆι τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Λέοντος συναιδούσηι τῆι ἐκτεθείσηι πίστει παρὰ τῶν τιη καὶ τῶν ρν ἁγίων πατέρων καὶ τοῖς τοῦ ὁσιωτάτου Κυρίλλου ἐν Ἐφέσωι τὸ πρότερον βεβαιωθεῖσιν ὑπεσημηνάμην.

57 Καίουμος ὁ εὐλαβέστατος ἐπίσκοπος Μαρκουπόλεως ἐπαρχίας Ὀσροηνῆς εἶπεν· Συνάιδει ἡ ἐπιστολὴ τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Λέοντος τοῖς ἐκτεθεῖσι παρὰ τῶν ἁγίων πατέρων τῶν τιη καὶ τῶν ρν καὶ τοῖς τοῦ μακαρίου Κυρίλλου ἐν Ἐφέσωι τὸ πρότερον βεβαιωθεῖσι, καὶ ὑπέγραψα αὐτῆι.

58 Ἀθανάσιος ὁ εὐλαβέστατος ἐπίσκοπος Πέρρης Εὐφρατησίας εἶπεν· Συμφωνεῖ ἡ
M VII 25 ἐπιστολὴ τοῦ μακαριωτάτου ἀρχιεπισκόπου Λέοντος τῆς Ῥωμαίων τῆι ἐκτεθείσηι πίστει παρὰ τῶν τιη καὶ τῶν ρν τῶν ἐν Κωνσταντινουπόλει καὶ τοῖς τυπωθεῖσιν ἐν τῆι Ἐφεσίων πρώτηι συνόδωι ἐπὶ τοῦ μακαριωτάτου Κυρίλλου, καὶ ὑπέγραψα τῆι αὐτῆι ἐπιστολῆι.

59 Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος Τραιανουπόλεως ἐπαρχίας Ῥοδόπης εἶπεν· Τοῖς πάλαι παρὰ τῶν ἁγίων πατέρων τῶν τιη ἐν τῆι Νικαέων τυπωθεῖσι καὶ μετὰ ταῦτα παρὰ τῶν ρν ἁγίων πατέρων τῶν ἐν Κωνσταντινουπόλει συνελθόντων
L IIII 488 βεβαιωθεῖσιν, ἔτι γε μὴν καὶ τοῖς ἐν Ἐφέσωι κατὰ τὴν προτέραν σύνοδον συμφώνως ἐκείνοις πεπραγμένοις ἐπὶ τοῦ τῆς ὁσίας μνήμης Κυρίλλου στοιχῶν καὶ τὴν τοῦ τὰ πάντα ὁσιωτάτου τῆς Ῥωμαίων ἀρχιεπισκόπου Λέοντος ἐπιστολὴν τὴν γραφεῖσαν πρὸς τὸν τῆς ὁσίας μνήμης Φλαβιανὸν προσίεμαι πρὸς τὸν αὐτὸν βλέπουσαν σκοπόν, καὶ αὐτὸς ὑπεσημηνάμην.

60 Δοκιμάσιος ὁ εὐλαβέστατος ἐπίσκοπος Μαρωνείας Ῥοδόπης εἶπεν· Τῆι ἐκθέσει τῶν τιη ἁγίων πατέρων τῶν ἐν Νικαίαι καὶ τῶν ρν τῶν ἐν Κωνσταντινουπόλει, ἔτι μὴν καὶ τοῖς ἐπὶ τοῦ μακαρίου Κυρίλλου ἐν Ἐφέσωι τὸ πρότερον πραχθεῖσι καὶ βεβαιωθεῖσιν

M, B [= ab], (Φ)

3 ὁ¹ om. B^{b} 5 *Theodori* Φ 12 γρατιλιανὸσ MB *Gratidianus* et *Gratianus* Φ 14 ρν τῶν om. B^{a} 16 καὶ ὑπεσημηνάμην B ὑπεσημηνάμεθα M 17—20 Ἰωάννης — ὑπεσημηνάμην om. B 21 ῥίνοσ B ἰωαννουπόλεωσ B 22 λέοντοσ τῆ B^{b} 28 ἐν αὐτῆ B^{b} 31 τυπεῖσιν M 34 τῶν² om. M 37 τὰ om. B^{a} 39 αὐτοῦ MB, corr. M 42 ἔτι γε B^{b}

συμβαίνουσαν ὁρῶν καὶ τὴν ἐπιστολὴν τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Λέοντος μετὰ πάντων καὶ αὐτὸς ὑπεσημηνάμην αὐτῇ.

61 Σερῆνος ὁ εὐλαβέστατος ἐπίσκοπος Μαξιμιανουπόλεως Ῥοδόπης εἶπεν· Τῇ ἐκτεθείσῃ παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι πάλαι συνελθόντων τιη καὶ τῶν μετὰ ταῦτα ἐν Κωνσταντινουπόλει ρν καὶ τοῖς ἐπὶ τοῦ ἁγιωτάτου Κυρίλλου ἐν τῇ Ἐφεσίων πρώτῃ συνόδῳ πραχθεῖσιν συνάιδουσαν εὑρὼν τὴν ἐπιστολὴν τοῦ θειοτάτου ἀρχιεπισκόπου Λέοντος μετὰ πάντων καὶ αὐτὸς ὑπέγραψα αὐτῇ.

62 Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Σελευκοβήλου Συρίας δευτέρας εἶπεν· Τοῖς ἐκτεθεῖσι παρὰ τῶν ἁγίων πατέρων τῶν τιη καὶ τῶν ρν, ἔτι μὴν καὶ τοῖς τοῦ μακαρίου Κυρίλλου τοῖς ἐν Ἐφέσῳ κατὰ τὴν προτέραν σύνοδον πραχθεῖσι καὶ βεβαιωθεῖσι σύμφωνον εὑρὼν τὴν ἐπιστολὴν τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Λέοντος ὑπέγραψα αὐτῇ.

63 Εὐσέβιος καὶ Κωνστάντιος οἱ εὐλαβέστατοι πρεσβύτεροι τῆς Νικαέων πόλεως τοποτηροῦντες τῶι ὁσιωτάτωι ἐπισκόπωι τῆς αὐτῆς πόλεως Ἀναστασίωι εἶπον· Κατατιθέμεθα ὅτι ἤδη καὶ ἀναγνοὺς τὸν τόμον τοῦ ἁγιωτάτου Λέοντος ὁ ὁσιώτατος ἡμῶν ἐπίσκοπος Ἀναστάσιος καὶ εὑρὼν αὐτὸν σύμφωνον τοῖς ἐκτεθεῖσι παρὰ τῶν ἁγίων πατέρων τῶν τιη τῶν ἐν τῇ ἡμετέραι πόλει συναχθέντων καὶ τῶν ρν τῶν ἐν τῇ βασιλευούσηι πόλει συνελθόντων καὶ τοῖς ἐπὶ τοῦ μακαρίου Κυρίλλου ἐν τῇ προτέραι συνόδωι τῇ κατ' Ἔφεσον πραχθεῖσι καὶ βεβαιωθεῖσι καθυπέγραψεν αὐτῇ.

64 Πορφύριος ἀρχιδιάκονος τοποτηρῶν Οὐρανίωι τῶι εὐλαβεστάτωι ἐπισκόπωι Ἐμίσης ἐπαρχίας Φοινίκης εἶπεν· Ὁ εὐλαβέστατος ἐπίσκοπος ἡμῶν Οὐράνιος ὁ εἰς τόπον αὐτοῦ ἀποστείλας με εὑρὼν τὴν ἐπιστολὴν τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Λέοντος τῆς πρεσβυτέρας Ῥώμης συμφωνοῦσαν τῇ ἐκθέσει τῶν τιη ἁγίων πατέρων τῶν ἐν Νικαίαι καὶ τῶν ρν τῶν ἐν Κωνσταντινουπόλει καὶ τοῖς τοῦ μακαριωτάτου Κυρίλλου ἐν Ἐφέσωι τὸ πρότερον πραχθεῖσι πᾶσι καὶ βεβαιωθεῖσιν ὑπέγραψεν αὐτῇ. M VII 28

65 Θεόδωρος ὁ εὐλαβέστατος ἐπίσκοπος Κλαυδιουπόλεως ἐπαρχίας Ἰσαυρίας εἶπεν· Τῇ πίστει τῶν τιη καὶ τῶν ρν σύμφωνός ἐστιν ἡ ἑρμηνεία ἡ ἐκτεθεῖσα παρὰ τοῦ μακαριωτάτου Κυρίλλου καὶ βεβαιωθεῖσα ἐν τῇ κατ' Ἔφεσον προτέραι ἁγίαι συνόδωι, σύμφωνος δέ ἐστιν καὶ ἡ ἑρμηνεία τῆς ἐπιστολῆς τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου Λέοντος καὶ ὑπέγραψα αὐτῇ.

66 Ἰωάννης ὁ εὐλαβέστατος ἐπίσκοπος Γερμανικείας Αὐγουστοευφρατησίας εἶπεν· Ἐπὶ τῇ πίστει τῶν τιη τῶν ἐν Νικαίαι καὶ τῶν ρν τῶν ἐν Κωνσταντινουπόλει ἐν τοῖς ἔμπροσθεν χρόνοις ἀθροισθέντων καὶ ἐβαπτίσθημεν καὶ βαπτίζομεν καὶ ταύτηι σύμφωνα εὑρόντες τὰ ἐκτεθέντα παρὰ τοῦ μακαριωτάτου Κυρίλλου ἐν τῇ προτέραι κατ' Ἔφεσον συνόδωι καὶ βεβαιωθέντα, ἔτι μὴν καὶ τὴν ἐπιστολὴν τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Λέοντος ὑπεγράψαμεν αὐτῇ. L IIII 489 91

67 Εὐόλκιος ὁ εὐλαβέστατος ἐπίσκοπος τοῦ Ζεύγματος Αὐγουστοευφρατησίας εἶπεν· Συνάιδει ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Λέοντος τῇι ἐκθέσει τῶν τιη καὶ τῶν ρν ἁγίων πατέρων καὶ τοῖς τοῦ ἁγιωτάτου Κυρίλλου ἐν Ἐφέσωι τὸ πρότερον πραχθεῖσιν καὶ βεβαιωθεῖσι, καὶ ὑπέγραψα αὐτῇ.

Ὁμοίως 68 Κύντιλλος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἡρακλείας ἐπέχων τὸν τόπον τοῦ ἁγιωτάτου ἐπισκόπου τῆς Θεσσαλονικέων Ἀναστασίου καὶ 69 Πέτρος ὁ εὐλαβέστατος ἐπίσκοπος Κορίνθου μητροπόλεως Ἑλλάδος καὶ 70 Αττικὸς ὁ εὐλαβέστατος ἐπίσκοπος Νικοπόλεως μητροπόλεως παλαιᾶς Ἠπείρου καὶ 71 Λουκᾶς ὁ εὐλαβέστατος ἐπίσκοπος Δυρραχίου μητροπόλεως νέας Ἠπείρου καὶ 72 Μαρτύριος ὁ εὐλαβέστατος

M, B [= ab], Φ [fere plene inde a 40]

1 Λέοντος om. B^b 3 σιρῖνοσ B 7. 29 ἐν αὐτῇ B^b 11 ἁγιωτάτου B 12 *Constantinus* Φ 16/17 τῶν ρν — καὶ om. B 24 πᾶσι om. B 25 εὐλαβέστατος om. B *Claudianopolis* $Φ^r$ 36 *Euolcius* Φ εὐλόγιοσ MB 40 κύντιλοσ B 72^a post 73^a coll. B

ἐπίσκοπος Γορτύνης μητροπόλεως Κρήτης καὶ 73 Κωνσταντῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος Δημητριάδος Θεσσαλίας ἐπέχων τὸν τόπον Βιγιλαντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Λαρίσσης μητροπόλεως ἐπαρχίας τῆς αὐτῆς καὶ οἱ Μακεδονίας πρώτης εὐλαβέστατοι ἐπίσκοποι, τουτέστιν 74 Σώιζων ὁ εὐλαβέστατος ἐπίσκοπος Φιλίππων καὶ 75 Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δοβήρου καὶ 76 Μάξιμος ὁ εὐλαβέστατος ἐπίσκοπος Σερρῶν καὶ 77 Νικόλαος ὁ εὐλαβέστατος ἐπίσκοπος Στοβῶν καὶ 78 Ἰωάννης ὁ εὐλαβέστατος ἐπίσκοπος Παρθικουπόλεως καὶ 79 Δαρδάνιος ὁ εὐλαβέστατος ἐπίσκοπος Βαργάλων καὶ 80 Ὀνωράτος ὁ εὐλαβέστατος ἐπίσκοπος Θάσου, καὶ οἱ τῆς Ἑλλάδος,
M VII 29 τουτέστιν 81 Νικέας ὁ εὐλαβέστατος ἐπίσκοπος Μεγάρων καὶ 82 Ἰωάννης ὁ εὐλαβέστατος ἐπίσκοπος Μεσσήνης καὶ 83 Ὠφέλιμος ὁ εὐλαβέστατος ἐπίσκοπος Τεγέας καὶ 84 Ἀθανάσιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ὀποῦντος καὶ 85 Εἰρηναῖος ὁ εὐλαβέστατος ἐπίσκοπος Ναυπάκτου καὶ 86 Δομνῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος Πλαταιῶν καὶ 87 Ὀνήσιμος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἄργους, καὶ οἱ παλαιᾶς Ἠπείρου, τουτέστι 88 Μάρκος ὁ
L IIII 492 εὐλαβέστατος ἐπίσκοπος Εὐροίας καὶ 89 Περεγρῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος Φοινίκης καὶ 90 Εὐτύχιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀδριανουπόλεως καὶ 91 Κλάδεος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀνχιεσμοῦ καὶ 92 Σωτήριχος ὁ εὐλαβέστατος ἐπίσκοπος Κερκύρας, καὶ οἱ νέας Ἠπείρου, τουτέστιν 93 Πέτρος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἐχινέου καὶ 94 Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀπολλωνίας, καὶ οἱ τῆς Κρήτης, τουτέστιν 95 Κύριλλος ὁ εὐλαβέστατος ἐπίσκοπος Σούβριτος καὶ 96 Γεννάδιος ὁ εὐλαβέστατος ἐπίσκοπος Κνωσσοῦ καὶ 97 Δημήτριος ὁ εὐλαβέστατος ἐπίσκοπος Λάμπης καὶ 98 Εὐφράτας ὁ εὐλαβέστατος ἐπίσκοπος Ἐλευθέρνης ἐπέχων τὸν τόπον καὶ Παύλου τοῦ εὐλαβεστάτου ἐπισκόπου Καντάνων ἀπὸ χάρτου διὰ σημείων ὑπηγόρευσαν διὰ Σώιζοντος ἐπισκόπου Φιλίππων· Τὴν τῶν ἁγίων πατέρων τῶν τιη πίστιν σωτηρίαν ἡμετέραν οὖσαν καὶ φυλάττομεν καὶ μετὰ ταύτης ἐξελθεῖν τὸν βίον εὐχόμεθα, ἀλλὰ καὶ ἡ τῶν ρν κατ' οὐδένα τρόπον τῆς προειρημένης πίστεως ἀσύμφωνός ἐστι. φυλάττοντες δὲ διατελοῦμεν καὶ πάντα τὰ πεπραγμένα καὶ ὡρισμένα ἐπὶ τῆς πρώτης Ἐφεσιακῆς συνόδου, ἧς καθηγηταὶ γεγόνασιν ὁ μακαριώτατος Κελεστῖνος ὁ τῆς ἀποστολικῆς καθέδρας πρόεδρος καὶ ὁ μακαριώτατος Κύριλλος ὁ τῆς μεγαλοπόλεως Ἀλεξανδρείας, καὶ ὀρθοδοξότατον εἶναι τὸν ἁγιώτατον πατέρα καὶ ἀρχιεπίσκοπον Λέοντα πεπληροφορήμεθα. γεγένηται δὲ ἡμῖν περὶ τῆς ἐπεσταλμένης παρὰ τῆς αὐτοῦ μακαριότητος ἐπιστολῆς τὸ ἀναμφίβολον τῶν ἁγιωτάτων ἐπισκόπων Πασκασίνου καὶ Λουκινσίου τῶν τὸν τόπον ἐπεχόντων τῆς ἀποστολικῆς καθέδρας σαφηνισάντων ἡμῖν ἃ ἡ φράσις διιστᾶν ἠνίττετο. ὅτε γὰρ κατὰ τὸν τύπον τῆς ὑμετέρας ἐξουσίας παρὰ τῶι ἁγιωτάτωι ἀρχιεπισκόπωι τῆς μεγάλης Κωνσταντινουπόλεως Ἀνατολίωι καὶ τῆι συνεδρευούσηι αὐτῶι ἁγιωτάτηι συνόδωι παρεγενόμεθα ὀφείλοντες περὶ ὧν ἀμφεβάλλομεν ὀλίγων πληροφορηθῆναι, ηὕρομεν αὐτῶν τὴν ἁγιότητα ἑτοιμότατα τὴν ἀμφιβολίαν ἐκβάλλουσαν. πάντα γὰρ ἄνθρωπον ἀνεθεμάτισαν διιστῶντα τῆς θεότητος τὴν σάρκα τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἣν ἥνωσεν ἑαυτῶι ἀπὸ τῆς ἁγίας παρθένου Μαρίας τῆς θεοτόκου, καὶ μὴ τὰ θεοπρεπῆ καὶ τὰ ἀνθρωποπρεπῆ αὐτοῦ εἶναι λέγοντα ἀσυγχύτως καὶ ἀτρέπτως καὶ ἀδιαιρέτως. διά τοι τοῦτο πληροφορηθέντες καὶ συμφωνεῖν ἡγούμενοι κατὰ πάντα τοῖς προγεγραμμένοις ἁγίοις πατράσι τὴν ἐπιστολὴν συνηνέσαμεν ταύτηι καὶ ὑπεγράψαμεν.

23— 29 adfert Vigilius t. IIII 2 p. 155

M, B [= ab], Φ

4 ἐπίσκοπος om. M 6 ἔρρων M 7/8 βαργάδων MB 9 νικαίασ MB 10 ὀφέλιοσ B 12 πλαταιέων B 14 εὐβοίασ MB 15 κλαδαῖοσ B 16 ἀνχιεσμοῦ MB^{b} ἀγχιασμοῦ B^{a}, utrumque Φ 17 ἐπίσκοπος om. M 20 κνωσοῦ B^{a} 21 ἐλευθερίνησ M^{corr}, cf. Φ 22 *Cantinon* Φ 24 ἀλλὰ καὶ B *nec non et* Φ^{r} καὶ MΦ^{ac} 25 εἰρημένησ B 29 ἀρχιεπίσκοπον MΦ ἀρχιερέα B 31 λουκηνσίου M 35 ὀλίγον Φ εὕρομεν B 39 τὰ MΦ^{r} om. B ἀδιαιρέτως καὶ ἀτρέπτως Φ

Πάντες οἱ προλεχθέντες εὐλαβέστατοι ἐπίσκοποι εἶπον· Πάντες οἱ τοῦ Ἰλλυρικοῦ τὴν αὐτὴν φωνὴν ἐδώκαμεν, ἤτινι πάντες συντιθέμεθα.

99 Λεόντιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀσκάλωνος Παλαιστίνης πρώτης καὶ L IIII 493
100 Φωτεινὸς ὁ εὐλαβέστατος ἐπίσκοπος Λύδδης καὶ 101 Παῦλος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀνθηδόνος καὶ 102 Ἡράκλειος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀζώτου καὶ 103 Στέφανος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἰαμνείας καὶ 104 Πολυχρόνιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀντιπατρίδος καὶ 105 Παγκράτιος ὁ εὐλαβέστατος ἐπίσκοπος Λιβιάδος καὶ 106 Ζώσιμος ὁ εὐλαβέστατος ἐπίσκοπος Μινωίδος καὶ 107 Ἀνανίας ὁ εὐλαβέστατος ἐπίσκοπος Καπετωλιάδος Παλαιστίνης β̄ καὶ 108 Ζέβεννος ὁ εὐλαβέστατος ἐπίσκοπος Πέλλης καὶ 109 Ἰωάννης ὁ εὐλαβέστατος ἐπίσκοπος Τιβεριάδος καὶ 110 Ἰωάννης ὁ εὐλαβέστατος ἐπίσκοπος Γαδάρων καὶ 111 Βήρυλλος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀιλᾶ Παλαιστίνης τρίτης καὶ 112 Ἀρέτας ὁ εὐλαβέστατος ἐπίσκοπος Ἐλούσης καὶ 113 Μουσώνιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ζωόρων καὶ 114 Μαρκιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος Ἰωτάνης ἀπὸ χάρτου M VII 33
ὑπαγορεύσαντες διὰ Ἀνανίου ἐπισκόπου εἶπον· Ἡμεῖς πάντες τῶν ἁγίων πατέρων τῶν τιη̄ τῶν ἐν Νικαίαι συναχθέντων τὴν πίστιν ἐφυλάξαμεν ἀεὶ καὶ φυλάττομεν καὶ μετὰ ταύτης τὸν βίον ἐξελθεῖν εὐχόμεθα, ἀκολουθοῦμεν δὲ καὶ τῇ τῶν ρν̄ πατέρων κατ' οὐδὲν διαφωνούσῃ. συντιθέμεθα δὲ καὶ τοῖς παρὰ τοῦ μακαριωτάτου καὶ ὁσιωτάτου τὴν μνήμην γενομένου τῆς Ἀλεξανδρέων ἐπισκόπου Κυρίλλου πεπραγμένοις καὶ ὡρισμένοις κατὰ τὴν Ἐφεσίων ἐν τῇ πρώτῃ συνόδῳ, ἀλλὰ καὶ ἀναγνωσθείσης ἡμῖν τῆς ἐπιστολῆς τοῦ μακαριωτάτου καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου τῆς Ῥωμαίων Λέοντος τοῖς πλείοσιν ὀρθῶς ἔχουσι προσετέθημεν καὶ τοῖς εἰρημένοις συνάιδουσι. τινὲς δὲ ἡμῖν ἐξ αὐτῆς προσέστησαν λέξεις ὡς μερισμόν τινα καὶ χωρισμὸν τοῖς οὕτω φρονεῖν ἐθέλουσιν ἐμφαίνουσαι, περὶ ὧν καὶ ἐπὶ τῆς ὑμετέρας ἐξ ἀρχῆς ἀμφεβάλλομεν φιλανθρωπίας καὶ ἐξελθεῖν ἀπὸ τῆς ὑμετέρας κελευσθέντες μεγαλοπρεπείας ἠκούσαμεν παρὰ τῶν ἁγιωτάτων πατέρων ἐπισκόπων τε καὶ πρεσβυτέρων τῶν ἐπεχόντων τὸν τόπον τοῦ θεοφιλεστάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου Λέοντος ὡς οὐδένα λέγουσι μερισμὸν ἐπὶ τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν κύριον τὸν υἱὸν τοῦ θεοῦ. δι' ὃ συνεθέμεθα καὶ τῶι τόμωι καθυπεγράψαμεν, οἰόμεθα δὲ αὐτοὺς καὶ νῦν, εἰ ἐπιτραπεῖεν παρὰ τοῦ ὑμετέρου μεγέθους, τὰ αὐτὰ κατατίθεσθαι ὑπὲρ ὠφελείας τοῦ κόσμου παντός.

Πάντες οἱ προλεχθέντες εὐλαβέστατοι ἐπίσκοποι εἶπον· Τὰ αὐτὰ πάντες εἴπομεν καὶ τούτοις συντιθέμεθα.

115 Νουνέχιος ὁ εὐλαβέστατος ἐπίσκοπος Λαοδικείας Φρυγίας Πακατιανῆς εἶπεν· L IIII 496
Ἡ ἐπιστολὴ τοῦ μακαριωτάτου Λέοντος ἐν ᾗ καὶ ὑπέγραψα, σύμφωνός ἐστι τῇ ἐκθέσει τῆς πίστεως τῶν ἐν Νικαίαι ἁγίων πατέρων καὶ τῶν ρν̄ τῶν συνελθόντων ἐν Κωνσταντινουπόλει καὶ τῇ συνόδῳ τῇ κατ' Ἔφεσον, ἧς ἡγεῖτο ὁ μακάριος πατὴρ ἡμῶν Κύριλλος.

116 Νόννος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἐδέσσης Ὀσροηνῆς εἶπεν· Ἡ ἐπιστολὴ τοῦ μακαριωτάτου Λέοντος σύμφωνός ἐστι τῇ συνόδῳ τῇ κατὰ Νίκαιαν γενομένῃ τῶν τιη̄ καὶ τῶν ἐν Κωνσταντινουπόλει ρν̄ ἐπὶ τοῦ τῆς θείας λήξεως Θεοδοσίου καὶ τῇ ἐπιστολῇ τοῦ τῆς μακαρίας μνήμης Κυρίλλου ἐν τῇ Ἐφεσίων μητροπόλει βεβαιωθείσῃ· ᾗ καὶ ὑπεσημηνάμην.

M, B [= ab], Φ [inde a 37 usque ad p. 109, 6 nomina tantum episcoporum et ciuitatum habet adiecto *similiter*]

4 λύδησ BΦ[a] *lydiae* Φ[c] 6 ιαμνίασ B 8 μηνοίδοσ MB *Annianus* uel *Anianus* Φ[cr] 9 δευτέρασ B ζέβενοσ B 11 βήρυλοσ B[a] 13 ζοόρων M ζοωρῶν B[b] Ἰωτάνης scripsi ιωτάπησ MB *Iliota* [= *il jutta* Thomsen Loca sancta 1, 72. ἰετταν Euseb. onom. p. 108, 8] Φ; 1, 1 8[a]. 3, 1 68. 4, 1 69 Μαρκιανοῦ Γεράρων cf. Eus. onom. p. 60, 7 Hierocl. 721, 11. Georg. Cypr. 1057 [ubi legendum est Σάλτων Γεραριτικῶν] 14 *Anianum* Φ[r] πάντες om. Φ 18 Ἀλεξανδρέων μεγαλοπόλεως Φ 21 ἐχούση M 31 εἶπον om. Φ πάντες om. Φ 33 καπατιανῆσ B

M VII 36 117 Πολυχρόνιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἐπιφανείας Κιλικίας εἶπεν· Ὁ κοινὸς
1 Cor. 4, 15 τῶν πιστῶν πατὴρ ὁ μακάριος Παῦλος ὁ ἀπόστολος ὁ διὰ τοῦ εὐαγγελίου πάντας
Rom. 1, 8 ἡμᾶς γεννήσας μαρτυρεῖ τῇι πίστει Ῥωμαίων ὡς ἐν ὅλωι τῶι κόσμωι καταγγελλομένηι, ἣν πίστιν ἄνωθεν ἐφύλαξεν ἡ ἁγία ἐκκλησία ἐκείνη, ἣν ἐξεφώνησε νῦν καὶ ἀεὶ ὁ ἁγιώτατος ἀρχιεπίσκοπος Λέων συμφωνοῦσαν τῇι τῶν ἐν Νικαίαι ἁγίων πατέρων καὶ πάντων τῶν ὀρθοδόξων. ταύτην ἄνωθεν ἐκρατήσαμεν τὴν πίστιν καὶ κρατοῦμεν, ἐν ἧι καὶ ἐβαπτίσθημεν καὶ βαπτίζομεν.

118 Εὐνόμιος ὁ εὐλαβέστατος ἐπίσκοπος Νικομηδείας εἶπεν· Τῇι ἐκθέσει τῆς πίστεως τῶν ἁγίων πατέρων τῶν τιη τῶν ἐν Νικαίαι ὀρθῶς καὶ εὐσεβῶς ἐχούσηι ἠκολούθησεν ὁ θεοσεβέστατος ἐπίσκοπος τῆς Ἀλεξανδρέων Κύριλλος, ἔτι μὴν καὶ ἡ ἐν τῇι μεγαλωνύμωι Κωνσταντινουπόλει τῶν ρν ἐπισκόπων ἐπὶ τοῦ τῆς θείας λήξεως Θεοδοσίου ἀθροισθεῖσα σύνοδος τὴν αὐτὴν γνώμην ἐκύρωσεν, καὶ ὁ θεοφιλέστατος δὲ τῆς Ῥωμαίων ἀρχιεπίσκοπος Λέων σαφῶς ἐξακολουθήσας δείκνυται ταύτηι. μηδὲν οὖν καινισθέντες ἐφ' ἧι ἔχομεν ἐκ πατέρων πίστει, ταύτην ἐφυλάξαμεν τῇι τοῦ θεοῦ χάριτι καὶ φυλάττομεν καὶ φυλάξομεν.

119 Ἀλέξανδρος ὁ εὐσεβέστατος ἐπίσκοπος Σεβαστῆς πρώτης Κιλικίας εἶπεν· Ἡ ἐπιστολὴ τοῦ μακαριωτάτου καὶ ὁσιωτάτου Λέοντος τοῦ ἀρχιεπισκόπου Ῥώμης σύμφωνός ἐστι τῇι ἐκθέσει τῶν τιη τῇι γενομένηι ἐν Νικαίαι καὶ τῇι τῶν ρν τῶν συναχθέντων ἐν τῇι πανευδαίμονι Κωνσταντινουπόλει ἐπὶ τοῦ τῆς θείας λήξεως Θεοδοσίου καὶ τῇι ἐπιστολῆι τοῦ μακαριωτάτου καὶ ἁγιωτάτου Κυρίλλου τῇι ἐν Ἐφέσωι βεβαιωθείσηι.

120 Καλλίνικος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀπαμείας Βιθυνίας εἶπεν· Ἡ σύνοδος ἡ ἐν τῇι Νικαέων συγκροτηθεῖσα παρὰ τῶν τιη ἁγίων πατέρων καὶ τῶν ρν τῶν ἐν τῇι μεγαλωνύμωι Κωνσταντινουπόλει ἐπὶ τῇι χειροτονίαι τοῦ μακαριωτάτου Νεκταρίου τοῦ ἐπισκόπου καὶ ἡ ἐν Ἐφέσωι κατὰ Νεστορίου συγκροτηθεῖσα ἣν ἔχει τὸ φρόνημα, τριάδα προσκυνοῦσα καὶ τριάδα κηρύττουσα καὶ τριάδα τῶι κόσμωι παραδιδοῦσα. καὶ αὐτὸς οὖν ταύταις ταῖς ἁγίαις συνόδοις στοιχῶ, εἰς ἃς καὶ ἐπίστευσα καὶ ὑπέγραψα. εἰς ταύτας καὶ ὁμολογῶ καὶ συντίθεμαι καὶ τὰ ἴσα τούτοις γέγραφεν ὁ ὁσιώτατος τῆς Ῥώμης πατὴρ ἡμῶν Λέων.

L III 497 121 Θεόδωρος ὁ εὐλαβέστατος ἐπίσκοπος Τριπόλεως Φοινίκης παραλίας πρώτης εἶπεν· Τῇι ὀρθῇι καὶ ἀποστολικῇι πίστει τῇι ἐκτεθείσηι ὑπὸ τῶν μακαριωτάτων καὶ ἁγιωτάτων πατέρων τῶν ἐν Νικαίαι συνελθόντων, ἔτι μὴν καὶ τῶν ρν τῶν ἐπὶ τῆς βασιλευούσης νέας Ῥώμης Κωνσταντινουπόλεως συνδραμόντων καὶ τῇι ἐπιστολῆι τοῦ μακαριωτάτου Κυρίλλου τοῦ τῆς Ἀλεξανδρέων γενομένου ἐπισκόπου ἐν Ἐφέσωι ἐμφανισθείσηι συνάιδει ἡ τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου Λέοντος ἐπιστολή.

122 Ἀπραγμόνιος ὁ εὐλαβέστατος ἐπίσκοπος Τίου εἶπεν· Οὐδεμίαν διαφορὰν ἐν τοῖς ἐκτεθεῖσι παρά τε τῶν ἁγιωτάτων πατέρων τῶν τιη τῶν ἐν Νικαίαι συνελθόντων οὔτε μὴν παρὰ τῶν ρν συνορῶ, ἀλλὰ γὰρ καὶ ταύταις συνάιδειν τὰς ἐπιστολὰς τοῦ
M VII 37 μακαριωτάτου Κυρίλλου καὶ τοῦ ὁσιωτάτου καὶ θεοφιλεστάτου πάπα Ῥώμης Λέοντος ἐπίσταμαι.

123 Κοσσίνιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἱεροκαισαρείας Λυδίας εἶπεν· Σύμφωνός ἐστιν ἡ ἐπιστολὴ τοῦ πατρὸς ἡμῶν καὶ πάπα Λέοντος τοῖς τιη πατράσιν ἡμῶν τοῖς ἐν Νικαίαι καὶ ἡ πρᾶξις ἡ πρώην τοῦ μακαρίου πατρὸς ἡμῶν Κυρίλλου ἐν Ἐφέσωι

M, B [= ab], (Φ)

6 τῶν om. M 14 πίστει ἐκ πατέρων B 16 *Sebasteae* Φ^{a} *Sebastiae* Φ$^{\alpha}$ 18/19 τῇι συναχθείσηι M 25 τὸ om. B 28 τῆς Ῥώμης om. B^{b} 30 πρώτης παραλίας B 33 συνελθόντων B 37 ἁγίων B^{a} 39 μακαρίου B^{b} 43 μακαριωτάτου B^{a}

γενομένη κατὰ Νεστορίου καὶ ἡ τῶν ρν τῶν συναχθέντων ἐν τῇι πανευδαίμονι Κωνσταντινουπόλει νέαι Ῥώμηι, καὶ ταύταις πιστεύομεν καὶ διδάσκομεν.

124 Εὐλόγιος ὁ εὐλαβέστατος ἐπίσκοπος Φιλαδελφείας Ἀραβίας εἶπεν· Ἐγὼ οὕτως πιστεύω καθὼς ἐξέθεντο οἱ τιη ἅγιοι πατέρες συνελθόντες ἐν τῇι Νικαέων πόλει καὶ καθὼς οἱ ρν συνελθόντες ἐν τῇι βασιλευούσηι πόλει καὶ καθὼς περιέχει ἡ ἐπιστολὴ τοῦ ἁγίου πατρὸς ἡμῶν Κυρίλλου καὶ ἡ ἐπιστολὴ περιέχει τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου Λέοντος· συνάιδουσι γὰρ τοῖς τιη. καὶ ὑπέγραψα ἐν αὐτῇι.

125 Ἐπιφάνιος ὁ εὐλαβέστατος ἐπίσκοπος Κέστρων Ἰσαυρίας εἶπεν· Οὐδὲν ἧττον περιέχει ἡ ἐπιστολὴ τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου καὶ πατρὸς ἡμῶν Λέοντος τῆς ἐκθέσεως τῆς γενομένης παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι τιη καὶ τῆς ἐπιστολῆς τῆς γραφείσης παρὰ τοῦ τῆς μακαρίας μνήμης Κυρίλλου τῆς ἐν Ἐφέσωι καὶ τῶν ρν πατέρων τῶν συναχθέντων ἐν τῇι πανευδαίμονι Κωνσταντινουπόλει νέαι Ῥώμηι, καὶ ὑπέγραψα ἐν αὐτῇι.

126 Ἀνδρέας ὁ εὐλαβέστατος ἐπίσκοπος Σατάλων Λυδίας εἶπεν· Οὐδεμίαν ἐναλλαγὴν εὑρίσκω τῇι ἐκτεθείσηι πίστει τῶν τιη πατέρων περιέχουσαν τὴν ἐπιστολὴν τοῦ πατρὸς ἡμῶν πάπα Λέοντος καὶ τῇι ἐπιστολῇι τοῦ μακαρίου πατρὸς ἡμῶν Κυρίλλου καὶ τῇι πράξει τῇι γενομένηι ἐν τῇι πανευφήμωι νέαι Ῥώμηι Κωνσταντινουπόλει παρὰ τῶν ρν πατέρων, καὶ ταύτηι πιστεύομεν καὶ διδάσκομεν. καὶ ὑπέγραψα ἐν αὐτῇι.

127 Ἰούλιος ὁ εὐλαβέστατος ἐπίσκοπος Κελενδέρεως ἐπαρχίας Ἰσαυρίας εἶπεν· Πιστεύομεν κατὰ τὴν πίστιν τὴν δοθεῖσαν ἡμῖν παρὰ τῶν τιη πατέρων ἡμῶν τῶν ἐν Νικαίαι καὶ τῶν ρν καὶ ταῖς ἐπιστολαῖς τοῦ ἁγιωτάτου τῆς Ἀλεξανδρέων πόλεως Κυρίλλου καὶ τοῦ ὁσιωτάτου καὶ θεοφιλεστάτου πάπα Λέοντος Ῥώμης. καὶ ὑπέγραψα ἐν αὐτῇι.

128 Πατρίκιος ὁ εὐλαβέστατος ἐπίσκοπος πόλεως Ἀκρασσοῦ ἐπαρχίας Λυδίας L IIII 500
εἶπεν· Καθὼς ἐδιδάχθημεν τῇι ἐκθέσει τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι συναχθέντων τιη καὶ τῶν ρν συναχθέντων ἐν τῇι βασιλευούσηι Κωνσταντινουπόλει καὶ τῇι ἐπιστολῇι τοῦ ὁσιωτάτου καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου Λέοντος, ἐν ἧι καὶ ὑπέγραψα, ἐχούσαις συνωιδὰ πιστεύω.

129 Διονύσιος ὁ εὐλαβέστατος ἐπίσκοπος πόλεως Ἀτταλείας ἐπαρχίας Λυδίας εἶπεν· Κατα τὴν εὐαγγελικὴν φωνὴν ἐξέθεντο τὴν πίστιν βεβαίαν καὶ ἀσάλευτον οἱ τιη οἱ ἐν Νικαίαι συναχθέντες καὶ οἱ ρν οἱ ἐν τῇι βασιλευούσηι Κωνσταντινουπόλει, καὶ ἡ ἐπιστολὴ δὲ τοῦ μακαριωτάτου Κυρίλλου καὶ ἡ ἐπιστολὴ τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς μεγάλης Ῥώμης Λέοντος, ἐν ἧι καὶ ὑπέγραψα, συνάιδουσι M VII
πᾶσιν.

130 Ἠλίας ὁ εὐλαβέστατος ἐπίσκοπος πόλεως Βλανδοῦ Λυδίας εἶπεν· Τῇι ἐκθέσει τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι τιη καὶ τῇι παρὰ τῶν ρν καὶ τῇι ἐπιστολῇι τοῦ μακαριωτάτου Κυρίλλου συνάιδει ἡ ἐπιστολὴ τοῦ ὁσιωτάτου καὶ θεοφιλεστάτου πάπα Λέοντος Ῥώμης, ἐν ἧι καὶ ὑπέγραψα διὰ τοῦ κυρίου Κωνσταντίνου.

131 Ῥωμανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος Μύρων Λυκίας εἶπεν· Ὅτι αἱ δύο ἐπιστολαί, τουτέστι τοῦ τῆς ὁσίας μνήμης Κυρίλλου καὶ τοῦ εὐλαβεστάτου ἀρχιεπισκόπου Λέοντος συνωιδὰ λέγουσι, συντίθημι, ἡ δὲ ἐν Νικαίαι ἁγία καὶ οἰκουμενικὴ σύνοδος περὶ τοιούτων οὐκ ἔσχεν διάλεξιν. πᾶσι δὲ τοῖς παρ' αὐτῆς ἐκτεθεῖσι καὶ ἐμμένομεν καὶ στοιχοῦμεν καὶ οὔτε ὑφελεῖν οὔτε προσθεῖναι δυνάμεθα.

M, B [= ab], (Φ)

4 συνελθόντες — πόλει om. B^a 4/5 ἐν τῇ — συνελθόντες om. B^b 5 καθὼς om. B^a ρν om. B^a 8 Κέστρων om. B^b Ἰσαυρίας scripsi τῆσ [om. B^b] συρίασ MB 10 νικαία τῶν B^a 11 τοῦ om. M 11/12. 20 ἁγίων πατέρων B^b 14 Σατάλων Φ σαγάλων M σαγάρων B 19 Ἰούλιος Φ Ιουλιανὸσ MB 23 ἀκρασοῦ B_aΦ Λυδίας scripsi δευτέρασ B β M 28 ἀτταλίασ M 29 καὶ βεβαίαν καὶ M 34 βαανδοῦ MB^b 38 Μύρων Φ ῥώμησ MB 39 τουτέστι om. B

132 Νεοπτόλεμος ὁ εὐλαβέστατος ἐπίσκοπος Κόρνων ἐπαρχίας Λυκαονίας εἶπεν· Ἄνωθεν καὶ ἐξ ἀρχῆς ἡ ἡμετέρα πατρὶς πάσης αἱρετικῆς καθαρεύουσα νόσου περὶ τὰς τοιαύτας συζητήσεις καὶ φιλονεικίας ἀγυμνάστως ἔσχεν καὶ ἡμεῖς ἁπλούστερον ἐπιστεύσαμεν ἀκολουθοῦντες τῇ πίστει τῶν πατέρων τῇ ἐκτεθείσῃ ἐν τῇ Νικαέων πόλει, ἣν ὕστερον ἡρμήνευσεν ὁ τῆς μακαρίας μνήμης Κύριλλος καὶ πάλιν ἐσαφήνισεν ὁ ἁγιώτατος καὶ θεοφιλέστατος ἀρχιεπίσκοπος Λέων τῆς Ῥωμαίων πόλεως, καὶ πάλιν ἡμεῖς ταῖς ἐκθέσεσι ταύταις οὐκ ἐναντιούμεθα. εἰ δέ τις οἴεται ἔχειν τινὰ ἀφορμὴν ἀντιλογίας κατὰ τῆς ἐκθέσεως τοῦ μακαριωτάτου Λέοντος ἐπισκόπου, αὐτὸς συζητείτω καὶ φιλονεικείτω, ἡμῶν ἐν μηδενὶ ἀντιλεγόντων ἢ ἀπομαχομένων τῇ ἐκθέσει τῶν τιη καὶ τῶν μετὰ ταῦτα ρν ἁγίων πατέρων πίστει.

133 Φλωρέντιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀδριανουπόλεως Πισιδίας εἶπεν· Πρὸ τῶν ἑρμηνειῶν τοῦ θεοφιλεστάτου καὶ μακαριωτάτου πατρὸς ἡμῶν Κυρίλλου καὶ τοῦ μακαριωτάτου ἀρχιεπισκόπου Λέοντος τῇ ἐκθέσει τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι πειθόμενοι οὕτως ἐπιστεύσαμεν καὶ πιστεύομεν, οὐ μὴν ἀλλὰ καὶ τῶν ρν συναινοῦμεν τῇ πίστει τῇ σαφῶς διαγορευούσῃ ὡς ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ἐσαρκώθη. ταύτῃ τῇ πίστει τῇ τῶν ἁγίων πατέρων οὕτως πιστεύομεν ὥσπερ ἡρμήνευσαν, καὶ οὐδὲν διαμφιβάλλομεν.

L IIII 501 134 Εὐτρόπιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀδάδων Πισιδίας εἶπεν· Ἐν οὐδενὶ ἀπάιδει τῆς ἐκτεθείσης πίστεως παρὰ τῶν ἁγίων τῶν ἐν Νικαίαι πατέρων καὶ τῶν ρν τῶν ἐν Κωνσταντινουπόλει μετὰ ταῦτα συνελθόντων καὶ τῆς ἐπιστολῆς Κυρίλλου τοῦ τῆς ὁσίας μνήμης ἡ ἐπιστολὴ τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Λέοντος, ἀλλ' ἐν πᾶσι συμφωνεῖ, καὶ ἀναγκαίως κἀγὼ συναινῶ καὶ ταύτῃ ὑπέγραψα.

135 Φοντηιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος Σαγαλασσοῦ εἶπεν· Ἐκ πολλῶν ὅσων ἐμαυτὸν πληροφορήσας συνάιδειν τὰ ἐπισταλέντα παρὰ τοῦ μακαριωτάτου ἡμῶν πατρὸς Λέοντος τῶι συμβόλωι τῶι ἐκτεθέντι παρὰ τῶν ἁγιωτάτων πατέρων τῶν ἐν Νικαίαι καὶ τῶν ρν τῶν ἐν τῇ πανευδαίμονι πόλει τὴν αὐτὴν ἐκθεμένων πίστιν καὶ τῇ

M VII 41 ἐπιστολῇ τῇ παρὰ τοῦ τῆς ὁσίας μνήμης ἁγιωτάτου ἐπισκόπου Κυρίλλου γενομένου τῆς Ἀλεξανδρέων μεγαλοπόλεως καὶ συναινέσας ὑπέγραψα.

136 Παῦλος ὁ εὐλαβέστατος ἐπίσκοπος Δέρβης Λυκαονίας εἶπεν· Ἡμεῖς ἐξ ἀρχῆς καὶ ἡ ἡμετέρα πόλις τὴν ζήτησιν ταύτην ἠγνόησεν, πιστεύομεν δὲ τῶι φιλανθρώπωι θεῶι ὅτι οὔτε τοῦ λοιποῦ ζήτησις γενήσεται· διὰ γὰρ τὴν ἀγαθότητα αὐτοῦ πάσης καθαρεύομεν νόσου αἱρετικῆς. ἐδιδάχθημεν γὰρ καὶ παρελάβομεν πιστεύειν τῇ ἐκθέσει τῶν τιη τῶν ἐν Νικαίαι ἁγίων πατέρων καὶ τῶν μετὰ ταῦτα ἐν Κωνσταντινουπόλει ρν καὶ τῇ ἐπιστολῇ τοῦ μακαριωτάτου ἀρχιεπισκόπου Λέοντος συναιδούσῃ τῇ πίστει τῶν πατέρων καὶ τῇ ἑρμηνείαι τοῦ τῆς ὁσίας μνήμης Κυρίλλου καὶ οὕτως πιστεύομεν.

137 Ἀχόλιος ὁ εὐλαβέστατος ἐπίσκοπος Λαράνδων Λυκαονίας εἶπεν· Εἰς οὐδὲν ἐδοκιμάσαμεν διαφέρειν τὴν ἐπιστολὴν τοῦ ἁγιωτάτου πάπα Λέοντος πρὸς τὴν ἔκθεσιν τῶν τιη καὶ τῶν ρν καὶ τὴν ἔκθεσιν τοῦ μακαριωτάτου Κυρίλλου· ἤτινι καὶ ὑπέγραψα.

138 Μεῖρος ὁ εὐλαβέστατος ἐπίσκοπος Εὐλάνδρων Φρυγίας εἶπεν· Κατὰ τοὺς κανόνας τῶν ὁσίων πατέρων τῶν ἐν Νικαίαι καὶ τῶν ἐν τῇ βασιλευούσῃ ρν καὶ τὴν ἔκθεσιν τοῦ μακαριωτάτου Κυρίλλου τῇ νῦν γραφείσῃ ἐπιστολῇ παρὰ τοῦ ἀρχιεπισκόπου Λέοντος συναινῶ εἰς πάντα συμφωνούσῃ καὶ ὑπέγραψα.

139 Λουκιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος Ἰψοῦ Φρυγίας εἶπεν· Τῇ ἐπιστολῇ

M, B [= ab], (Φ)

3 ζητήσεισ B^b 6/7 ταύταισ ταῖσ ἐκθέσεσιν M 10 πίστει om. B^a 16 ὁ^3 om. B^b τῇ^2 om. B^a 17 ἡρμηνεύσαμεν B 23 φροντηιανὸσ B φροντηιαννὸσ M *Frontianus* $Φ^{ac}$ *Frontinianus* $Φ^r$ σαγαλασοῦ B 28 πόλεωσ ἐκτεθείσῃ B 35 ἁγίων τῶν B^b 39 μειροσ M μόϊροσ B *Mirus* Φ 40 ἁγίων B^b 42 συναινούσῃ B

τοῦ μακαριωτάτου καὶ ὁσιωτάτου Λέοντος συμβαινούσηι τῆι ἐπιστολῆι τοῦ ἁγιωτάτου Κυρίλλου καὶ τῆι ἐκθέσει τῶν ρν̄ τῶν ἐν τῆι βασιλευούσηι πόλει ἁγίων πατέρων συναινῶ καὶ ὑπέγραψα.

140 Φίλιππος ὁ εὐλαβέστατος ἐπίσκοπος Λυσιάδος Φρυγίας εἶπεν· Ἐγὼ ἐπακούσας τῆς ἐπιστολῆς τοῦ ἀρχιεπισκόπου Λέοντος ὅτι σύμφωνα καὶ τῆι ἐπιστολῆι τοῦ μακαριωτάτου Κυρίλλου καὶ τῶν ρν̄ τῶν συναχθέντων ἐν τῆι βασιλευούσηι πόλει καὶ τῶν τιη̄ ἁγίων πατέρων ἡρμήνευσε, πληροφορηθεὶς καὶ συναινέσας ὑπέγραψα.

141 Εὐστόχιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δοκιμίου Φρυγίας εἶπεν· Ἡ ὑπαναγνωσθεῖσα ἡμῖν ἐπιστολὴ πρώην τοῦ μακαριωτάτου ἀρχιεπισκόπου Λέοντος συνωιδὰ ἔχει τῆς ἁγίας συνόδου τῆς ἐν Νικαίαι τῶν τιη̄ καὶ τῶν ρν̄ τῶν ἐν τῆι βασιλευούσηι Κων- L IIII 504
σταντινουπόλει καὶ τῆι ἐπιστολῆι τοῦ μακαριωτάτου Κυρίλλου, ὅθεν κἀγὼ συναινῶ καὶ 11
ὑπέγραψα αὐτῆι.

142 Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος Νακωλείας Φρυγίας εἶπεν· Τῆς ἐπιστολῆς τῆς γραφείσης παρὰ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Λέοντος ἀναγνωσθείσης ἡμῖν καὶ τῆς τοῦ μακαριωτάτου Κυρίλλου καὶ τῆς τῶν τιη̄ ἁγίων πατέρων ἐκθέσεως καὶ τῆς τῶν 15
ρν̄ τὴν πίστιν εὗρον συνάιδουσαν καὶ πληροφορηθεὶς συνήινεσα εἰς πάντα καὶ ὑπέγραψα.

143 Κυριακὸς ὁ εὐλαβέστατος ἐπίσκοπος Εὐκαρπίας εἶπεν· Κατὰ τὴν πίστιν τῶν ἁγίων πατέρων τῶν τιη̄ τῶν ἐν Νικαίαι συναχθέντων καὶ τῶν μετὰ ταῦτα ἐν τῆι βασιλευούσηι πόλει συναθροισθέντων καὶ τὴν ἐπιστολὴν τοῦ μακαριωτάτου ἀρχιεπισκόπου M VII 44
Κυρίλλου εὗρον συνάιδουσαν καὶ τὴν ἐπιστολὴν τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Λέοντος 20
καὶ συναινῶν εἰς πάντα ὑπέγραψα.

144 Ἀβέρκιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἱεραπόλεως Φρυγίας εἶπεν· Τῆι ἐκθέσει τῶν τιη̄ ἁγίων πατέρων τῶν ἐν Νικαίαι συναχθέντων καὶ τῶν ρν̄ τῶν ἐν τῆι βασιλευούσηι πόλει συναθροισθέντων καὶ τῆι ἐπιστολῆι τῆι γραφείσηι παρὰ τοῦ τῆς ὁσίας μνήμης Κυρίλλου εὗρον συνάιδουσαν τὴν ἐπιστολὴν τὴν γραφεῖσαν παρὰ τοῦ ἀρχιεπισκόπου 25
Λέοντος καὶ οὕτως πιστεύω καὶ πρὸς πάντα πληροφορηθεὶς συνήινεσα καὶ ὑπέγραψα.

145 Στρατήγιος ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Πολυβοτέων πόλεως εἶπεν· Τὴν ἐπιστολὴν τοῦ μακαριωτάτου ἀρχιεπισκόπου Λέοντος εὑρὼν οὐκ ἀπάιδουσαν τῆι ἐκθέσει τῶν τιη̄ ἁγίων πατέρων τῶν ἐν Νικαίαι συναχθέντων καὶ τῶν ρ̄ πεντήκοντα τῶν ἐν τῆι βασιλευούσηι πόλει συνελθόντων καὶ τῆι ἐπιστολῆι τοῦ τῆς ὁσίας μνήμης 30
Κυρίλλου καὶ τῆι ἐκθέσει τῶν τιη̄ καὶ τῶν μετὰ ταῦτα ἑκατὸν ρν̄ ἁγίων πατέρων κἀγὼ συναινῶ καὶ οὕτω πιστεύων ὑπέγραψα.

146 Κριτωνιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀφροδισιάδος Καρίας εἶπεν· Κατὰ τὴν ἔκθεσιν τῶν τιη̄ ἁγίων πατέρων τῶν ἐν Νικαίαι, ἥντινα καὶ ἐβεβαίωσαν οἱ ρν̄ οἱ ἐν τῆι βασιλευούσηι πόλει μετὰ ταῦτα συναθροισθέντες, ἣν καὶ Κύριλλος ὁ τῆς ὁσίας 35
μνήμης ἐν Ἐφέσωι συμφώνως ἡρμήνευσεν, κατὰ ταύτην εὑρὼν καὶ τὴν ἐπιστολὴν τοῦ πάπα Λέοντος συνάιδειν συναινῶν εἰς πάντα ὑπεσημηνάμην.

147 Παπίας ὁ εὐλαβέστατος ἐπίσκοπος Ἐρίζης εἶπεν· Κατὰ τὴν ἔκθεσιν τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι συναχθέντων τιη̄ καὶ τῶν μετὰ ταῦτα ρν̄ ἐν τῆι βασιλευούσηι πόλει καὶ τὴν ἐπιστολὴν τοῦ τῆς ὁσίας μνήμης Κυρίλλου εὗρον καὶ τὴν ἐπιστο- 40

M, B [= ab], (Φ)

1 συμφωνούση B ὁσιωτάτου B^b 8 εὐλαβήσ B 10/11 τῶν ἐν τῆι — Κωνσταντινουπόλει ἑκατὸν πεντήκοντα B 11 καὶ συναινῶ καὶ M 16 εὑρὼν B 17 εὐκάρπου B^b 22 ἐπίσκοπος om. M 23/24 τῆ — πόλει M κωνσταντινουπόλει B 27 εὐλαβὴσ B 28 εὑρὼν M^{corr} ηὗρον M εὗρον B 31 τῆι ἐκθέσει — πατέρων inepte repetita 32 post Strategium habet *Epiphanius episcopus Midaiu* [*Midai* $Φ^a$] *similiter* Φ 33 κρητονιανὸσ M 35 μετὰ ταῦτα om. B 37 post Critonianum habet *Iohannes episcopus Amazonis similiter. Dionysius episcopus Antiochiae similiter* Φ 40 ηὗρον M

λὴν τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Λέοντος συνάιδουσαν καὶ ταύτηι ἀκολουθῶν συναινῶ.

148 Εὐπείθιος ὁ εὐλαβέστατος ἐπίσκοπος Στρατονικείας εἶπεν· Κἀγὼ κατὰ τὴν ἔκθεσιν τῶν τιη πατέρων τῶν συνελθόντων ἐν τῆι Νικαέων πόλει καὶ τῶν μετὰ ταῦτα
L IIII 505 ρν τῶν ἐν τῆι βασιλευούσηι πόλει συναθροισθέντων καὶ τὴν ἐπιστολὴν τοῦ τῆς ὁσίας μνήμης Κυρίλλου εὗρον συνωιδὰ λέγουσαν καὶ τὴν ἐπιστολὴν τοῦ μακαριωτάτου ἀρχιεπισκόπου Λέοντος καὶ συναινῶ εἰς πάντα καὶ ὑπέγραψα.

140 Θεοδώρητος ὁ εὐσεβέστατος ἐπίσκοπος Ἀλαβάνδων Καρίας εἶπεν· Κἀγὼ συναινῶ τῆι ἐπιστολῆι τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Λέοντος συναιδούσηι τῆι ἐκθέσει τῶν τιη πατέρων καὶ τῶν μετὰ ταῦτα ἐν Κωνσταντινουπόλει ρν καὶ τῆι ἐπιστολῆι τοῦ τῆς ὁσίας μνήμης Κυρίλλου καὶ ὑπέγραψα.

150 Μένανδρος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἡρακλείας Σαλβάκης Καρίας εἶπεν· Κατὰ τὴν ἔκθεσιν τῶν τιη τῶν ἐν Νικαίαι καὶ τῶν ρν τῶν ἐν Κωνσταντινουπόλει καὶ κατὰ
M VII 45 τὴν ἐπιστολὴν τοῦ ὁσίου τὴν μνήμην Κυρίλλου εὗρον καὶ τὴν ἐπιστολὴν τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Λέοντος συνάιδουσαν καὶ ταύτηι συναινῶν ὑπέγραψα.

151 Ἰωάννης ὁ εὐλαβέστατος ἐπίσκοπος Κνίδου εἶπεν· Πιστεύω καθὼς ἐξέθεντο οἱ ἅγιοι πατέρες οἱ τιη καὶ οἱ ρν οἱ ἐν Κωνσταντινουπόλει καὶ καθὼς ὁ μακάριος Κύριλλος ἐπίστευσεν, καὶ καταδέχομαι τὴν ἐπιστολὴν τοῦ μακαριωτάτου πάπα Λέοντος συνάιδουσαν τούτοις, καὶ ταύτηι συναινῶν ὑπέγραψα.

152 Τυγχάνιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀπολλωνιάδος εἶπεν· Κατὰ τὴν ἔκθεσιν τῶν τιη καὶ τῶν ρν τῶν ἐν τῆι βασιλευούσηι νέαι Ῥώμηι συναχθέντων ἁγίων πατέρων καὶ κατὰ τὴν ἐπιστολὴν τοῦ μακαρίου Κυρίλλου εὗρον καὶ τὴν ἐπιστολὴν τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Λέοντος συνάιδουσαν καὶ οὕτως φρονῶν ὑπέγραψα.

153 Διονύσιος ὁ εὐλαβέστατος ἐπίσκοπος ⟨Ἡρακλείας⟩ Λάτμου Καρίας εἶπεν· Κατὰ τὴν ἔκθεσιν τῶν τιη ἁγίων πατέρων τῶν ἐν τῆι Νικαέων συναχθέντων καὶ κατὰ τὴν βεβαίωσιν τῶν ρν τῶν ἐν τῆι μεγαλωνύμωι Κωνσταντινουπόλει συναχθέντων ἁγίων πατέρων καὶ κατὰ τὴν διδαχὴν τοῦ μακαριωτάτου Κυρίλλου καὶ κατὰ τὴν ἐπιστολὴν τὴν ὑπαναγνωσθεῖσαν τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Λέοντος οὐκ ἀπάιδουσαν τῆς αὐτῶν πίστεως κἀγὼ πιστεύω καὶ ὑπέγραψα.

154 Γέμελλος ὁ εὐλαβέστατος ἐπίσκοπος Στρατονικείας εἶπεν· Κατὰ τὴν ἔκθεσιν τῶν τιη ἁγίων πατέρων καὶ τῶν ρν τῶν ἐν τῆι βασιλευούσηι πόλει συναθροισθέντων καὶ τὴν ἐπιστολὴν τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου Λέοντος συνάιδουσαν εὗρον καὶ οὕτως πιστεύων ὑπέγραψα.

155 Λεύκιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀπόλλωνος ἱεροῦ ἐπαρχίας Λυδίας εἶπεν· Τὴν ἔκθεσιν τῶν τιη ἁγίων πατέρων καὶ τῶν ρν καὶ τὴν ἐπιστολὴν τοῦ τῆς ὁσίας μνήμης Κυρίλλου καὶ τὴν νῦν ὑπαναγνωσθεῖσαν τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Λέοντος εὗρον συνάιδουσαν καὶ οὕτως πιστεύων ὑπέγραψα τῆι ἐπιστολῆι.

L IIII 508 156 Πολύκαρπος ὁ εὐλαβέστατος ἐπίσκοπος Γαβάλων ἐπαρχίας Συρίας εἶπεν· Κατὰ τὴν ἔκθεσιν τῶν ἁγίων πατέρων τῶν συναχθέντων ἐν τῆι Νικαέων τιη καὶ τῶν ρν τῶν ἐν τῆι μεγαλωνύμωι Κωνσταντινουπόλει καὶ κατὰ τὴν ἐπιστολὴν τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Λέοντος ἑρμηνευθεῖσαν οὕτως πιστεύων καὶ συναινῶν ὑπέγραψα.

157 Ἰωάννης ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλίνδων ἐπαρχίας Καρίας εἶπεν· Ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου πάπα Λέοντος συνάιδει τῆι πίστει τῶν τιη ἁγίων πατέρων

M, B [= ab], (Φ)

3 εὐπίθιοσ MB, corr. B^a 4. 10 ἁγίων πρων B^b 6. 14 ηὗρον M 17 καθὼσ καὶ B^b 21 νέαι Ῥώμηι]πόλει B^b 22 μακαριωτάτου B^a 24 *Heraclias* Φ λάτμου M λάγμου B 31 ἁγίων om. M ἐν κωνσταντινουπόλει B^b 32 μακαριωτάτου καὶ ὁσιωτάτου B 39 τῶν^{1} τῆι B^b τῆι om. B^b 40 κατὰ om. B 40/41 ὁσιωτάτου B^b 41 καὶ οὕτωσ B 42 καισαρείασ B

καὶ τῶν ρν̄ τῶν ἐν τῇι μεγαλωνύμωι Κωνσταντινουπόλει συναχθέντων καὶ τῇι ἐπιστολῇι τοῦ τῆς μακαρίας μνήμης Κυρίλλου καὶ οὕτως πιστεύων ὑπέγραψα.

158 Ἰουλιανὸς ὁ εὐλαβέστατος πρεσβύτερος Ἁλικαρνασοῦ ἐπέχων τὸν τόπον Καλανδίωνος τοῦ ἐπισκόπου τῆς αὐτῆς πόλεως εἶπεν· Κατὰ τὴν ἔκθεσιν τῶν τιη̄ καὶ τῶν ρν̄ καὶ κατὰ τὴν ἐπιστολὴν τοῦ τῆς ὁσίας μνήμης Κυρίλλου εὗρον καὶ τὴν ἐπιστολὴν τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Λέοντος γραφεῖσαν καὶ ταύτηι συναινῶν ὑπέγραψα.

10 Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Εἰ καὶ οἱ λοιποὶ πάντες οἱ μὴ ἰδικῶς καταθέμενοι εὐλαβέστατοι ἐπίσκοποι συντίθενται τοῖς εἰρημένοις παρὰ τῶν καταθεμένων ὁσιωτάτων πατέρων, οἰκείαι φωνῆι διδασκέτωσαν. M VII 48

11 Πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Πάντες συντιθέμεθα. πάντες συναινοῦμεν. πάντες ὁμοίως πιστεύομεν. πάντες τὰ αὐτὰ φρονοῦμεν. οὕτως φρονοῦμεν. οὕτως πιστεύομεν. τοὺς πατέρας τῆι συνόδωι. τοὺς ὁμοδόξους τῆι συνόδωι. τοὺς ὑπογράψαντας τῆι συνόδωι. πολλὰ τὰ ἔτη τῶν βασιλέων. πολλὰ τὰ ἔτη τῆς αὐγούστης. τοὺς πατέρας τῆι συνόδωι. τοὺς ὁμοπίστους τῆι συνόδωι. πολλὰ τὰ ἔτη τοῦ βασιλέως. τοὺς ὁμόφρονας τῆι συνόδωι. πολλὰ τὰ ἔτη τοῦ βασιλέως. καὶ οἱ πέντε τῆι πίστει ὑπέγραψαν. ὡς Λέων, οὕτω φρονοῦσιν. πολλὰ τὰ ἔτη τοῦ βασιλέως.

12 Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· Ἀνηνέγκαμεν τῶι θειοτάτωι καὶ εὐσεβεστάτωι ἡμῶν δεσπότηι περὶ αὐτῶν καὶ ἀναμένομεν τὴν ἀπόκρισιν τῆς αὐτοῦ εὐσεβείας. ἡ δὲ εὐλάβεια ἡ ὑμετέρα καὶ περὶ Διοσκόρου τοῦ παρ' ὑμῶν καθαιρεθέντος ἀγνοούσης καὶ τῆς θειοτάτης κορυφῆς καὶ ἡμῶν καὶ περὶ αὐτῶν τῶν πέντε, ὑπὲρ ὧν τὴν παράκλησιν ποιεῖσθε, καὶ πάντων τῶν πεπραγμένων ἐν τῇι ἁγίαι συνόδωι δώσει λόγον τῶι θεῶι. Ῥω ἀνέγνων ἀνέγνωμεν ἀνέγνω.

13 Πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Διόσκορον ὁ θεὸς καθεῖλεν. Διόσκορος δικαίως καθηιρέθη. Διόσκορον ὁ Χριστὸς καθεῖλεν.

14 Καὶ ὀλίγων ὡρῶν διαγενομένων ἐν τῶι περιμένειν τὴν παρὰ τοῦ θειοτάτου καὶ εὐσεβεστάτου ἡμῶν δεσπότου ἀπόκρισιν οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· Ὁ εὐσεβέστατος ἡμῶν βασιλεὺς μαθὼν τὰς ὑμῶν αἰτήσεις τῆι ὑμετέραι γνώμηι δέδωκε βουλεύσασθαι περὶ Ἰουβεναλίου καὶ Θαλασσίου καὶ Εὐσεβίου καὶ Βασιλείου καὶ Εὐσταθίου τῶν εὐλαβεστάτων ἐπισκόπων τὰ ὑμῖν παριστάμενα. τῆς θεοσεβείας ἐστὶ τοίνυν τῆς ὑμετέρας γινωσκούσης ὅτι τῶι θεῶι τῶν γινομένων δώσει λόγον, τὸ πρακτέον περὶ αὐτῶν διαλογίσασθαι. L IIII 509

15 Ἀνατόλιος ὁ εὐλαβέστατος ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως εἶπεν· Δεόμεθα αὐτοὺς εἰσελθεῖν.

16 Πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Παρακαλοῦμεν αὐτοὺς εἰσελθεῖν. τοὺς ὁμοδόξους τῆι συνόδωι. τοὺς ὁμόφρονας τῆι συνόδωι. τοὺς ὑπογράψαντας τῆι ἐπιστολῆι Λέοντος τῆι συνόδωι.

17 Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Εἰσίτωσαν. Ῥω ἀνέγνων ἀνέγνωμεν ἀνέγνω. M VII 49

11—12 πιστεύομεν adferuntur in Concilii quinti collatione quinta

---

M, B [= ab], Φ [plene inde a 7]

2 πιστεύων M συναινῶν B 8 εἶπεν M 14 βασιλέων] βασιλέων τοὺσ ὁμόφρονασ τῆ συνόδω πολλὰ τὰ ἔτη τῶν βασιλέων B^a 16/17 τοὺς ὁμόφρονας — βασιλέως om. B^a 18 πολλὰ — βασιλέως om. Φ 19 *iudices et amplissimus senatus* Φ 21 εὐλάβεια Φ εὐσέβεια MB 22 περὶ] πρὸσ M 24 Ῥω — ἀνέγνω om. Φ 28 *iudices et amplissimus senatus* Φ 32 τοίνυν ἐστὶ B 33 διαλογίσασθε Φ 37 τοὺς ὁμόφρονας τῆι συνόδωι om. $BΦ^{ac}$ 39 εἶπεν M 40 Ῥω — ἀνέγνω om. Φ

18 Καὶ εἰσελθόντων τῶν προγεγραμμένων εὐλαβεστάτων ἐπισκόπων καὶ καθεσθέντων πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Εἷς ὁ θεὸς ὁ τοῦτο ποιήσας. πολλὰ τὰ ἔτη τῶν βασιλέων. τῶν μεγάλων βασιλέων πολλὰ τὰ ἔτη. πολλὰ τὰ ἔτη τῆς συγκλήτου, πολλὰ τὰ ἔτη τῶν ἀρχόντων. τῶν ὀρθοδόξων πολλὰ τὰ ἔτη. αὕτη τελεία ἕνωσις, αὕτη ἡ εἰρήνη τῶν ἐκκλησιῶν.

19 Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· Τῇ προτεραίᾳ φανεροὶ ἐπίσκοποι τῆς Αἰγυπτιακῆς διοικήσεως δεήσεις ἐπιδεδωκότες τῷ θειοτάτῳ καὶ εὐσεβεστάτῳ ἡμῶν δεσπότῃ τὴν οἰκείαν πίστιν ἐξέθεντο καὶ παρέστη τῇ αὐτῶν εὐσεβείᾳ ταύτας ἐπὶ τῆς ἁγίας ὑμῶν ἀναγνωσθῆναι συνόδου. εἴκοντες τοίνυν τοῖς προσταχθεῖσι παρὰ τῆς θείας καὶ καλλινίκου κορυφῆς εἰσελθεῖν τε αὐτοὺς ἐπιτρέπομεν καὶ τὰς δεήσεις παρόντων αὐτῶν ἀναγνωσθῆναι καὶ τὸ παριστάμενον περὶ αὐτῶν τὴν ὑμετέραν εὐλάβειαν διδάξαι. Ῥω

20 Καὶ εἰσελθόντων Ἱερακίου Σαβίνου Ἀπολλωνίου Πασμηία Ἰανουαρίου Εὐλογίου Ἰωάννου Ἰσαὰκ Ἥρωνος Στεφάνου Θεοφίλου ἑτέρου Θεοφίλου Ἰσιδώρου τῶν εὐλαβεστάτων Αἰγυπτίων ἐπισκόπων καὶ κατὰ κέλευσιν πάντων καθεσθέντων οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Ὑμεῖς δεήσεις ἐπιδεδώκατε; Ῥω

21 Οἱ εὐλαβέστατοι ἐπίσκοποι τῆς Αἰγυπτίων εἶπον· Ναὶ τῶν ποδῶν ὑμῶν.

22 Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Καὶ ταύταις καθυπεγράψατε; Ῥω

23 Καὶ ἐπιδόντες οἱ εὐλαβέστατοι ἐπίσκοποι τὰς ἐπιγραφὰς τῆς δεήσεως εἶπον· Ναὶ τῶν ποδῶν ὑμῶν, γνωρίζομεν τὰς ὑπογραφάς· ἡμεῖς ὑπεγράψαμεν· ἡμέτερά ἐστι τὰ γράμματα.

24 Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Ἀναγινωσκέσθωσαν αἱ δεήσεις. Ῥω ἀνέγνων ἀνέγνωμεν ἀνέγνω.

Κωνσταντῖνος ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀνέγνω

25 Τοῖς εὐσεβεστάτοις καὶ φιλοχρίστοις ἡμῶν βασιλεῦσιν Φλαυουίῳ Οὐαλεντινιανῷ καὶ Φλαυουίῳ Μαρκιανῷ νικηταῖς τροπαιούχοις ἀεὶ αὐγούστοις παρὰ πάντων τῶν τῆς ὑμετέρας Αἰγυπτιακῆς διοικήσεως ἐπισκόπων. Τὴν ἐξ ἀρχῆς παραδοθεῖσαν ἡμῖν ἐκ τῶν ἁγίων καὶ πνευματοφόρων ἡμῶν πατέρων ὀρθόδοξον πίστιν ἀπό τε τοῦ εὐαγ-
M VII 52 γελιστοῦ τοῦ ἁγίου Μάρκου καὶ τοῦ ἀοιδίμου ἐπισκόπου καὶ μάρτυρος Πέτρου καὶ τῶν ἁγίων ἡμῶν πατέρων Ἀθανασίου Θεοφίλου καὶ τοῦ ἐν ἁγίοις Κυρίλλου καὶ ἡμεῖς φυλάτ-
L IIII 512 τοντες καὶ τῆς ἐκείνων ὁμολογίας ὑπάρχοντες μαθηταὶ ταύτην πρεσβεύομεν καὶ κατὰ ταύτην φρονοῦμεν, καθὼς καὶ οἱ ἐν Νικαίᾳ τῇ ἐξέθεντο καὶ ὁ μακαριώτατος Ἀθανάσιος καὶ ὁ ἐν ἁγίοις Κύριλλος, ἀναθεματίζοντες πᾶσαν αἵρεσιν τήν τε Ἀρείου καὶ Εὐνομίου καὶ Μανιχαίου καὶ Νεστορίου καὶ τῶν λεγόντων ἐξ οὐρανοῦ τὴν σάρκα τοῦ κυρίου ἡμῶν ὑπάρχειν καὶ μὴ ἐκ τῆς ἁγίας καὶ θεοτόκου Μαρίας τῆς παρθένου καθ' ὁμοιότητα πάντων ἡμῶν χωρὶς ἁμαρτίας, πρὸς δὲ τούτοις καὶ πᾶσαν αἵρεσιν ἐκτὸς τῆς καθολικῆς ἐκκλησίας φρονοῦσάν τε ἢ διδάσκουσαν.

καὶ αἱ ὑπογραφαί

Ἱέρακις ἐπίσκοπος Ἀφναιτῶν ἐπιδέδωκα

MBΦ

1 εὐλαβεστάτων om. B^{a} 2 ὁ^{1} om. B 3 μεγαλωνύμων B^{b} 3/4 πολλὰ^{a} — ἀρχόντων om. M 6 *iudices et amplissimus senatus* Φ 7 δεδωκότεσ B 12 Ῥω om. Φ 13 Ἰαννουαρίου M^{corr}B 14 ἑτέρου om. Φ 16 εἶπεν M 17 Ῥω om. Φ 19 εἶπεν M 20 Ῥω om. Φ 25 εἶπεν M 27 εὐλαβεστάτοισ B^{b} 34 *beatus* Φ^{r} 36 *Mani* Φ^{ac} *Manitis* Φ^{r} καὶ^{a} om. B^{b} 39 *et sapiunt et* Φ^{ac} *sapiunt et* Φ^{r} 41 Ἱέρακυσ B^{a} *Hieracus* Φ^{r} *Hieracis* Φ^{ac} ἱέραξ M^{corr}

Σαβῖνος ἐπίσκοπος Κοπτιτῶν ἐπιδέδωκα
Ἀπολλώνιος ἐπίσκοπος Τάνεως ἐπιδέδωκα
Πασμήιος ἐπίσκοπος Παραλεωτῶν ἐπιδέδωκα
Ἰανουάριος ἐπίσκοπος Λεόντων ἐπιδέδωκα
Εὐλόγιος ἐπίσκοπος Ἀθλιβιτῶν ἐπιδέδωκα
Ἰωάννης ἐπίσκοπος Ψιγχάους ἐπιδέδωκα
Ἰσαὰκ ἐπίσκοπος Ταυεωτῶν ἐπιδέδωκα
Ἥρων ἐπίσκοπος Θεννήσου ἐπιδέδωκα
Στέφανος ἐπίσκοπος Γεριτῶν ἐπιδέδωκα
Θεόφιλος ἐπίσκοπος Ἐρυθροῦ ἐπιδέδωκα
Θεόφιλος ἐπίσκοπος Κλεοπατρίδος ἐπιδέδωκα
Ἰσίδωρος ἐπίσκοπος Σηθροιτῶν ἐπιδέδωκα

26 Πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Τὸ δόγμα Εὐτυχέος διὰ τί οὐκ ἀνεθεμάτισαν; μετὰ ἐπιθέσεως τὰς δεήσεις ἐπιδεδώκασι. τῆι ἐπιστολῆι Λέοντος ὑπογράφωσιν ἀναθεματίζοντες Εὐτυχέα καὶ τὸ δόγμα αὐτοῦ. σύνθωνται τῆι ἐπιστολῆι Λέοντος. χλευάσαι ἡμᾶς θέλουσι καὶ ἀπελθεῖν.

27 Διογένης ὁ εὐλαβέστατος ἐπίσκοπος Κυζίκου εἶπεν· Ἡ σύνοδος διὰ Εὐτυχέα ἐγένετο, μὴ γὰρ δι' ἄλλο τί ποτε; ὁ Ῥώμης ἀρχιεπίσκοπος δι' αὐτὸν ἔγραψεν. συνηινέσαμεν πάντες τῆι ἐπιστολῆι ἀκολουθούσηι τῆι ἐκθέσει τῶν ἁγίων πατέρων· σύνθωνται καὶ αὐτοὶ τῆι ἐπιστολῆι τοῦ ὁσιωτάτου Λέοντος.

28 Πασκασῖνος καὶ Λουκίνσιος οἱ εὐλαβέστατοι ἐπίσκοποι καὶ Βονιφάτιος ὁ εὐλαβέστατος πρεσβύτερος τοποτηρηταὶ τοῦ ἀποστολικοῦ θρόνου διὰ Πασκασίνου τοῦ ἐπισκόπου εἶπον· Εἰπάτωσαν εἰ συντίθενται τῆι ἐπιστολῆι τοῦ ἀποστολικοῦ θρόνου καὶ εἰ ἀναθεματίζουσιν Εὐτυχέα. M VII 53

29 Ἀκάκιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀριαραθείας εἶπεν· Ἀξιοῦμεν αὐτοὺς ἀναθεματίσαι φανερῶς Εὐτυχέα τὸν εἰπόντα πρὸ τῆς ἐνανθρωπήσεως δύο φύσεις τοῦ σωτῆρος ἡμῶν καὶ μετὰ τὴν ἐνανθρώπησιν μίαν.

30 Κεκρόπιος ὁ εὐλαβέστατος ἐπίσκοπος Σεβαστοπόλεως εἶπεν· Ὑπογράψωσι τῆι ἐπιστολῆι τοῦ ὁσιωτάτου πάπα Λέοντος καὶ Εὐτυχέα ἀναθεματίσωσιν καὶ τὸ δόγμα αὐτοῦ.

31 Ἱέρακις ὁ εὐλαβέστατος ἐπίσκοπος Αἰγύπτου εἶπεν καὶ οἱ λοιποὶ ἐπίσκοποι οἱ Αἰγύπτιοι διὰ τοῦ αὐτοῦ Ἱέρακι· Εἴ τις παρὰ ταῦτα τὰ παρ' ἡμῶν ἐν ταῖς δεήσεσιν ἐπιδοθέντα φρονεῖ εἴτε Εὐτυχὴς εἴτε ἕτερός τις, ἀνάθεμα ἔστω· περὶ δὲ τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου Λέοντος, ἴσασι πάντες οἱ ἁγιώτατοι ἡμῶν πατέρες ὅτι ἐν ἅπασιν ἀναμένομεν τὴν γνώμην τοῦ παρ' ἡμῖν ὁσιωτάτου ἀρχιεπισκόπου, καὶ παρακαλοῦμεν τὴν ὑμετέραν φιλανθρωπίαν ἀναμεῖναι τὴν τοῦ ἡμετέρου προέδρου γνώμην· αὐτῶι γὰρ ἐν ἅπασιν ἀκολουθήσομεν. τοῦτο γὰρ καὶ οἱ ἐπὶ τῆς Νικαέων ἅγιοι πατέρες συναγηγερμένοι ἐκανόνισαν τιη ὥστε ἀκολουθεῖν πᾶσαν τὴν Αἰγυπτιακὴν διοίκησιν τῶι ἀρχιεπισκόπωι τῆς μεγαλοπόλεως Ἀλεξανδρείας καὶ μηδὲν δίχα αὐτοῦ πράττεσθαι παρά τινος τῶν ὑπ' αὐτὸν ἐπισκόπων. L IIII 513 Can. Nic. 6

32 Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπεν· Ψεύδονται.

MBΦ

1 κοπτιτῶν MB *doctitorum* Φr om. Φac, cf. 1, 1 141 3 *Pasmeius* Φ πασμηίνοσ MB παρλεώτων Ba 4 post 1 coll. Φac ιαννουάριοσ MB 5 *Athribitorum* Φr 6 ψίγχνουσ MB 7 ταναιώτων MB *gadeotum* [pro ΤΑΑΕΩΤΩΝ] Φ 13 εὐτυχέωσ M τοῦ εὐτυχέοσ Bb 14/15 *suscribant* Φ ὑπογράφουσιν MB 21 λουκήνσιοσ M 23 τοῦ — θρόνου om. Ba spatio rel. 25 Ἀριαραθείας Φ σεβαστοπόλεωσ MB 26 φανερῶσ MBaΦa post αὐτούς coll. Bb om. Φcr 30 Ἱέρακυς Ba ἱέραξ Mcorr 31 *per eundem* Φ δι' αὐτοῦ τοῦ MB Ἱέρακυ Ba ἱέρακοσ Mcorr 40 ἐπίσκοπος om. M

33 Φλωρέντιος ὁ εὐλαβέστατος ἐπίσκοπος Σάρδεων εἶπεν· Δείξωσιν ὃ λέγουσιν.

34 Πάντες ἐβόησαν· Φανερῶς ἀναθεματίσατε τὸ δόγμα Εὐτυχέος. ὁ μὴ ὑπογράφων τῇ ἐπιστολῇ ἣι συνήινεσεν ἡ ἁγία σύνοδος, αἱρετικός ἐστιν. ἀνάθεμα Διοσκόρωι καὶ τοῖς φιλοῦσιν αὐτόν. ἐὰν μὴ ὀρθοδόξως φρονῶσι, πῶς ἔχουσι ψηφίσασθαι ἐπίσκοπον;

35 Οἱ Αἰγύπτιοι ἐπίσκοποι ἐβόησαν· Περὶ πίστεώς ἐστιν ὁ ἀγών.

36 Κεκρόπιος ὁ εὐλαβέστατος ἐπίσκοπος Σεβαστοπόλεως εἶπεν· Οὐκ ἴσασιν οὗτοι πῶς πιστεύουσι, καὶ νῦν μαθεῖν βούλονται;

37 Φώτιος ὁ εὐλαβέστατος ἐπίσκοπος Τύρου εἶπεν· Συντίθεσθε τῇ ἐπιστολῇ τοῦ μακαριωτάτου ἀρχιεπισκόπου Ῥώμης Λέοντος, καθὼς καὶ ἡ οἰκουμενικὴ σύνοδος συνέθετο καὶ ὑπέγραψεν, ἢ οὔ;

38 Πασκασῖνος καὶ Λουκίνσιος καὶ Βονιφάτιος οἱ εὐλαβέστατοι τοποτηρηταὶ τοῦ ἀποστολικοῦ θρόνου διὰ Πασκασίνου εἶπον· Τοσούτων ἐτῶν ἐπίσκοποι ἐν ταῖς ἐκκλη-
M VII 56 σίαις γηράσαντες ἕως τοῦ καιροῦ τούτου τὴν πίστιν τὴν ὀρθόδοξον καὶ καθολικὴν ἀγνοοῦντες ἔτι ἐκδέχονται ἀλλοτρίας γνώμης ἠρτῆσθαι;

39 Καὶ ἑρμηνευθείσης Ἑλληνιστὶ τῆς προγεγραμμένης καταθέσεως πάντες οἱ ἐπίσκοποι ἐβόησαν· Ὁ μὴ συντιθέμενος τῇ ἐπιστολῇ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Λέοντος αἱρετικός ἐστιν.

40 Διογένης ὁ εὐλαβέστατος ἐπίσκοπος Κυζίκου εἶπεν· Ὁ ἀκμὴν μὴ εἰδὼς τί πιστεύει, οὗτος ἔχει χειροτονῆσαι ἐπίσκοπον;

41 Οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Ὁ μὴ ἀναθεματίζων Εὐτυχέα αἱρετικός ἐστιν.

42 Οἱ εὐλαβέστατοι ἐπίσκοποι Αἰγύπτου ἐβόησαν· Ἀνάθεμα Εὐτυχεῖ καὶ τοῖς πιστεύουσιν αὐτῷ.

43 Οἱ εὐλαβέστατοι ἐπίσκοποι εἶπον· Ὑπογράψωσι τῇ ἐπιστολῇ Λέοντος· ὁ μὴ ὑπογράφων αὐτῇ αἱρετικός ἐστιν.

44 Οἱ τῆς Αἰγυπτίων εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Παρὰ γνώμην ἀρχιεπισκόπου οὐ δυνάμεθα ὑπογράψαι.

45 Ἀκάκιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀριαραθείας εἶπεν· Ἄτοπόν ἐστι τὴν οἰκουμενικὴν ὑπεριδεῖν σύνοδον καὶ εἰς ἓν πρόσωπον βλέπειν τὸ μέλλον τὴν ἐπισκοπὴν διανύειν τῆς Ἀλεξανδρέων πόλεως. ὁ σκοπὸς γὰρ αὐτοῖς ἐστιν, ὥσπερ ἐν Ἐφέσωι συνέχεαν τὰ πάντα καὶ σκανδάλων ἐπλήρωσαν τὴν οἰκουμένην, καὶ νῦν ταράξαι τὴν ἁγίαν ταύτην καὶ μεγάλην σύνοδον. δεόμεθα οὖν μὴ προχωρῆσαι αὐτοῖς, ἀλλ' ἢ συνθέσθαι αὐτοὺς τῇ ἐπιστολῇ ἢ δέξασθαι τὰ ἐκ τῶν κανόνων ἐπιτίμια καὶ εἰδέναι ὅτι ἀκοινώνητοί εἰσιν.

46 Φώτιος ὁ εὐλαβέστατος ἐπίσκοπος Τύρου εἶπεν· Πῶς τὴν χειροτονίαν ἐπιχειροῦσι ποιῆσαι ἕτερα φρονοῦντες τῇ οἰκουμενικῇ ταύτῃ συνόδωι; εἰ τοίνυν φρονοῦσιν ὀρθῶς, δειξάτωσαν τὸν ἑαυτῶν σκοπὸν τὸν περὶ τὴν πίστιν καὶ δεξάσθωσαν τὴν ἐπιστολὴν τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Λέοντος· εἰ δὲ μὴ βούλονται, ἀκοινώνητοί εἰσιν.

47 Οἱ εὐλαβέστατωι ἐπίσκοποι ἐβόησαν· Τοῦτο πάντες λέγομεν. πάντες οὕτως φρονοῦμεν.

48 Οἱ εὐλαβέστατοι ἐπίσκοποι τῆς Αἰγύπτου εἶπον· Ἤδη διὰ δεήσεων τὴν ἑαυτῶν
L IIII 516 πίστιν φανερὰν ἐπεδείξαμεν καὶ οὐκ ἔξω τῆς καθολικῆς πίστεως ὤφθημεν πιστεύοντες· ἐπειδὴ δὲ οἱ τῆς διοικήσεως ἡμῶν θεοσεβέστατοι ἐπίσκοποι πάμπολλοι τυγχάνουσιν, οὐχ οἷοί τε δὲ ἡμεῖς ἐσμὲν εὐαρίθμητοι ὄντες τὸ ἐκείνων ἀναδέχεσθαι πρόσωπον, ἀξιοῦμεν τὴν ὑμετέραν ὑπεροχὴν καὶ τὴν ἁγίαν καὶ μεγάλην ταύτην σύνοδον ὥστε κατελεῆσαι

MBΦ

1 *ostendant* Φ δείξουσιν MB 2 πάντεσ MBΦ^{ac} *omnes reuerentissimi episcopi* Φ^{r} εὐτυχέωσ M 4 φρονοῦσιν M 11 λουκήνσιοσ M 20 οἱ MB *omnes* Φ 21/22 *concredentibus* Φ 23 ὑπογράψουσι MB 24 τῇ ἐπιστολῇ B^{b} 25 τῆσ αἰγύπτου B^{b} 29/30 τὰ πάντα συνέχεον B 30 ἁγιωτάτου om. B 41 τυγχάνουσι πάμπολλοι B

ἡμᾶς καὶ ἀναμεῖναι τὸν ἡμέτερον ἀρχιεπίσκοπον, ἵνα κατὰ τὰ ἀρχαῖα ἔθη τῇ γνώμῃ ἐκείνου ἐξακολουθήσωμεν. ἐὰν γὰρ παρὰ τὴν τοῦ ἡγεμονεύοντος γνώμην ποιήσωμέν τι, ὡς ἀκανονίστοις ἐπέρχονται ἡμῖν οἱ ἀπὸ πάσης τῆς Αἰγυπτιακῆς διοικήσεως καὶ M VII 57
ὡς ἀθετήσασι καὶ μὴ φυλάξασι τὰ ἀρχαῖα ἔθη κατὰ τοὺς κανόνας. ἐλεήσατε τὸ γῆρας ἡμῶν, ἐλεήσατε καὶ μὴ παρασκευάσητε ἡμᾶς ἐν ἀλλοδαπῇ τὸν βίον ἡμῶν καταλῦσαι.

49 Καὶ ἔρριψαν ἑαυτοὺς εἰς τὸ ἔδαφος οἱ αὐτοὶ εὐλαβέστατοι ἐπίσκοποι καὶ εἶπον· Ἐλεήσατε ἡμᾶς, φιλάνθρωποι ἐστέ.

50 Κεκρόπιος ὁ εὐλαβέστατος ἐπίσκοπος Σεβαστοπόλεως εἶπεν· Ἡ οἰκουμενικὴ σύνοδος τῆς Αἰγυπτιακῆς μείζων ἐστὶ καὶ ἀξιοπιστοτέρα, καὶ οὐκ ἐστι δίκαιον δέκα αἱρετικοὺς ἀκουσθῆναι καὶ παροφθῆναι χιλίους διακοσίους ἐπισκόπους. οὔτε γὰρ νῦν ἀπαιτοῦμεν αὐτοὺς ὑπὲρ ἑτέρων τὴν ἑαυτῶν πίστιν φανερῶσαι, ἀλλ' εἰς οἰκεῖον πρόσωπον λέγομεν αὐτοὺς συνθέσθαι τῇ ὀρθοδοξίαι.

51 Οἱ εὐλαβέστατοι ἐπίσκοποι τῶν Αἰγυπτίων ἐβόησαν· Οὐκέτι δυνάμεθα οἰκῆσαι τὴν ἐπαρχίαν· ἐλεήσατε ἡμᾶς.

52 Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπεν· Ἐντολεῖς εἰσιν οὗτοι πάντων τῶν Αἰγυπτίων καὶ ὀφείλουσι τῇ οἰκουμενικῇ συνόδῳ συνθέσθαι.

53 Λουκίνσιος ὁ εὐλαβέστατος ἐπίσκοπος ἐπέχων τὸν τόπον τοῦ ἀποστολικοῦ θρόνου εἶπεν· Εἰ πλανῶνται, παρὰ τῆς ὑμετέρας μεγαλοπρεπείας μανθανέτωσαν ὅτι οὐ δύνανται δέκα ἄνθρωποι πρόκριμα ποιεῖν τῇ συνόδῳ τῶν χ̄ ἐπισκόπων καὶ τῇ καθολικῇ πίστει.

54 Οἱ εὐλαβέστατοι τῶν Αἰγυπτίων ἐπίσκοποι ἐβόησαν· Φονευόμεθα· ἐλεήσατε ἡμᾶς.

55 Πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Ὁρᾶτε πῶς μαρτυροῦσι τοῖς ἑαυτῶν ἐπισκόποις; λέγουσιν ὅτι φονευόμεθα.

56 Οἱ Αἰγύπιοι εὐλαβέστατοι ἐπίσκοποι εἶπον· Ἀποθνήισκομεν, τῶν ποδῶν ὑμῶν· M VII 60
ἐλεήσατε ἡμᾶς. ἀποθάνωμεν ἀφ' ὑμῶν καὶ μὴ ἐκεῖ· γένηται ὧδε ἀρχιεπίσκοπος, καὶ ὑπογράφομεν καὶ συντιθέμεθα. τὰς πολιὰς ταύτας ἐλεήσατε· δοθήτω ὧδε ἀρχιεπίσκοπος. οἶδεν ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος Ἀνατόλιος ὅτιπερ τοιοῦτον ἔθος κεκράτηκεν ἐν τῇ Αἰγυπτιακῇ διοικήσει ὥστε πάντας τοὺς ἐπισκόπους ὑπακούειν τῶι Ἀλεξανδρείας ἀρχιεπισκόπωι. οὐκ ἀπειθοῦμεν τῇ συνόδῳ, ἀλλὰ φονευόμεθα ἐν τῇ πατρίδι· ἐλεήσατε ἡμᾶς. ἐξουσίαν ἔχετε· ὑποκείμεθα, οὐκ ἀπειθοῦμεν. αἱρετώτερον ἡμᾶς παρὰ τοῦ δεσπότου τῆς οἰκουμένης καὶ παρὰ τῆς ὑμῶν ὑπεροχῆς καὶ παρὰ τῆς ἁγίας συνόδου ἀποθανεῖν ἢ ἐκεῖ. διὰ τὸν θεὸν ταύτας τὰς πολιὰς ἐλεήσατε· δέκα ἀνθρώπων φείσασθε.

57 Πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Οὗτοι αἱρετικοί εἰσιν.

58 Οἱ εὐλαβέστατοι ἐπίσκοποι Αἰγύπτιοι εἶπον· Τῶν ψυχῶν ἡμῶν ἐξουσίαν ἔχετε· δέκα ἀνθρώπων φείσασθε. ἀποθνήισκομεν ἐκεῖ· βέλτιον ἐνταῦθα ἀποθανεῖν. ἐλεήμονές εἰσιν οἱ δεσπόται. οἶδεν τὰ ἔθη ὁ ἀρχιεπίσκοπος Ἀνατόλιος. ὧδε ἐσμὲν L IIII 517
ἕως οὗ γένηται ἀρχιεπίσκοπος. τοὺς θρόνους θέλουσιν· λάβωσιν, οὐ θέλομεν εἶναι ἐπίσκοποι· μὴ ἀποθάνωμεν μόνον. φέρετε ἀρχιεπίσκοπον, καὶ ἐὰν ἀντείπωμεν, τιμωρήσασθε ἡμᾶς. πειθόμεθα οἷς ὁρίζει ἡ ἐξουσία ὑμῶν, οὐκ ἀπειθοῦμεν· ἀλλ' ἐκλέξασθε ἀρχιεπίσκοπον. ὧδε ἐκδεχόμεθα ἕως οὗ χειροτονεῖται.

59 Πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Ὑπογράψωσι τῇ καθαιρέσει Διοσκόρου.

M, B [= ab], Φ

4 αὐθεντήσασι M 5 παρασκευάσητε MΦ παρεάσητε B 10 χιλίουσ διακοσίουσ BΦ χ̄ M in ras. 17 λουκήνσιοσ M 19 ἄνθρωποι MΦ ἄνδρεσ B ἑξακοσίων B 24 Αἰγύπτιοι om. Φac 40 ἐκκλησία Bb

τίου Νεμεσίνου Θεοφίλου Θωμᾶ Λεοντίου Ὕψη Καλλινίκου Παύλου Γαυδεντίου Εὐγνωμονίου τῶν ἐλαχίστων ἀρχιμανδριτῶν καὶ πάσης αὐτῶν τῆς συνοδίας τῆς ἐν Χριστῶι καὶ λοιπῶν κληρικῶν καὶ μοναζόντων καὶ λαικῶν. Ἀεὶ τὸ Ῥωμαίων βασίλειον καὶ μάλιστα ἀπὸ Θεοδοσίου τοῦ μεγάλου καὶ μάκαρος τὴν οἰκουμένην γαλήνης πεπλήρωκεν ἀγωνισάμενον ὑπὲρ τῆς ὀρθοδόξου πίστεως, ἀλλὰ διὰ τὸ ἕκαστον τὸ ἑαυτοῦ ζητεῖν καὶ
1 Cor. 10, 24 μηκέτι τὸ τοῦ ἑτέρου, καθὼς νομοθετεῖ ἡ θεία γραφή, ἅπαντα λέλυται, τῶν ἀποστόλων ἡ πίστις τετάρακται καὶ τὰ μὲν τῶν ἐχθρῶν, Ἰουδαίων φαμὲν καὶ Ἑλλήνων, ἐν εἰρήνηι εἰ καὶ καθέστηκεν κακίστηι, τὰ δὲ ἡμέτερα ἐν πολέμωι ἀσπόνδωι τυγχάνει. αὕτη δὲ ἡ διόρθωσις ἐτηρεῖτο τῆι φιλοχρίστωι ὑμῶν βασιλείαι πρὸς τὸ μὴ σχίσμα γενέσθαι ἐν τῆι ὀρθοδοξίαι, ἀλλὰ τὴν πίστιν στηριχθῆναι ὑπὸ τῆς θειότητος ὑμῶν. πᾶν γὰρ δίκαιον παντὶ μὲν ἄρχοντι πρέπει, βασιλεῖ δὲ καὶ μάλιστα εὐσεβεῖ κατ' ἐξαίρετον, ὅθεν αὐτὸ πέφυκε νομοτεθεῖσθαι τὸ δίκαιον. δεόμεθα οὖν τῆς ὑμετέρας εὐσεβείας πρὸς τῶι κελεῦσαι οἰκουμενικὴν γενέσθαι σύνοδον, ἣν ἤδη καὶ ἡ ὑμετέρα εὐσέβεια προνοουμένη τῆς πάντων σωτηρίας θεσπίσαι κατηξίωσεν, ἀργῆσαι [δὲ] τὰς στάσεις καὶ τὰς κατὰ βίαν ὑπογραφὰς γινομένας καὶ τοὺς διωγμοὺς τοὺς καθ' ἑκάστην παρὰ τῶν κληρικῶν καθ' ἡμῶν μελετωμένους, οὓς ἐπιχειροῦσι λανθάνοντες τὴν ὑμετέραν εὐσέβειαν. καὶ παρακαλοῦμεν τὴν ὑμετέραν θειότητα μηδένα βάλλεσθαι μήτε ἀπὸ μοναστηρίου μήτε ἀπὸ ἐκκλησίας μήτε ἀπὸ μαρτυρίου ἕως τῆς δικαιοκρισίας τῆς ἁγίας συνόδου πρὸς τὸ
M VII 68 μὴ καὶ νομίσαι τινὰς ἄλλων ἀτακτούντων ἐπιγράφειν ταῦτα τῆι ὑμετέραι εὐσεβείαι (καὶ γὰρ φιλεῖν ὑμᾶς τὴν εἰρήνην καὶ ταύτης φροντίζειν πρὸ πάντων πεπείσμεθα), ἵνα τῆς ἁγίας πίστεως στηριχθείσης καὶ πάλιν διὰ τῶν ἁγίων πατέρων δυνηθῶμεν τὸν ἐπίλοιπον χρόνον τῆς ζωῆς ἡμῶν σωφρόνως καὶ δικαίως ἐν εἰρήνηι * τὰς συνήθεις καὶ ἀδιαλείπτους εὐχὰς ἀναπέμψαι τῶι δεσπότηι Χριστῶι ὑπὲρ τῆς διαμονῆς τοῦ αἰωνίου ὑμῶν κράτους τῶι καὶ ἀοράτως τῆι ἰδίαι εὐδοκίαι δωρησαμένωι ὑμῖν τὸ βασίλειον, θειότατοι αὔγουστοι.

77 Διογένης ὁ εὐλαβέστατος ἐπίσκοπος Κυζίκου εἶπεν· Βαρσουμᾶς ὁ μεταξὺ αὐτῶν εἰσελθὼν ἔσφαξεν τὸν μακάριον Φλαβιανόν. αὐτὸς ἔστηκε καὶ ἔλεγεν· σφάξον. καὶ μὴ ἐγκείμενος ταῖς δεήσεσι διὰ τί εἰσῆλθεν;

78 Πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Πᾶσαν Συρίαν Βαρσουμᾶς ἠφάνισεν· ἐπήγαγεν ἡμῖν χιλίους μονάζοντας.

79 Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες πρὸς τοὺς μονάζοντας εἶπον·
L IIII 526 Κατὰ τὴν ὑμετέραν διὰ τῶν δεήσεων παράκλησιν ὁ θειότατος καὶ εὐσεβέστατος ἡμῶν δεσπότης καὶ τὴν ἁγίαν σύνοδον συγκροτηθῆναι καὶ νῦν ὑμᾶς εἰσόδου τυχεῖν παρεκελεύσατο. εἰσελθόντες τοίνυν ἀνάσχεσθε μαθεῖν τὰ παρὰ τῆς αὐτῆς ἁγιωτάτης συνόδου περὶ τῆς πίστεως τυπούμενα. Ῥω ἀνέγνων ἀνέγνωμεν ἀνέγνω.

80 Κάρωσος καὶ Δωρόθεος οἱ εὐλαβέστατοι ἀρχιμανδρῖται καὶ οἱ λοιποὶ μονάζοντες εἶπον· Ἀξιοῦμεν ἀναγνωσθῆναι τὸν παρ' ἡμῶν προσφερόμενον λίβελλον.

81 Οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Τὸν φονέα Βαρσουμᾶν ἔξω βάλε. τὸν φονέα τῶι σταδίωι. ἀνάθεμα τῶι Βαρσουμᾶι. Βαρσουμᾶν τῆι ἐξορίαι.

82 Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Ὁ παρὰ τῶν εὐλαβεστάτων μοναχῶν ἐπιδεδομένος λίβελλος ἀναγινωσκέσθω.

M, B [= ab], Φ

1 νεμεσηνοῦ B^a *Nemesio* $Φ^a$ γαβδεντίου B 3 ῥωμαῖον B^b 13 τῶι scripsi τὸ MBΦ 14 δὲ deleui 16 καὶ om. B^b 17 *neminem iactari* Φ μηδὲν ἀναβάλλεσθαι [ἀναβαλέσθαι M^{corr}] MB 19 καὶ νομίσαι] καινοτομῆσαι M^{corr} 20 ταύτης B *pro ipsa* Φ πάντων M πρὸ BΦ^r περὶ M 21 πατέρων MΦ om. B 22 lacunam statui e. g. supplendo διαβιοῦντες *uiuere in pace consuetasque* $Φ^r$ *uiuamus et in pace* $Φ^{ac}$ 27 *instabat* $Φ^r$ et unus codex $Φ^c$ 31 *iudices et amplissimus senatus* Φ 33 νῦν om. Φ 33/34 παρεκέλευσαν B^b 35 τυποῦμεν B^b ῥω — ἀνέγνω om. Φ 37 *qui — offertur* Φ προφερόμενον MB 38 πάντες οἱ Φ βάλλε B 41 εἶπεν M

Κωνσταντῖνος ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κωνσιστωρίου ὑποδεξάμενος ἀνέγνω

83 Τῇι ἁγίαι συνόδωι τῇι ἐνταῦθα ἐνδημούσηι νῦν παρὰ τῶν ἀρχιμανδριτῶν καὶ M VII 69
ἁπάσης τῆς ἐν Χριστῶι ἀδελφότητος. Κατὰ τὴν πρώτην κλῆσιν εὐθὺς ἐλθεῖν εἴχομεν πρὸς τὴν ὑμετέραν ἁγιωσύνην, ἀλλ' ἐπειδὴ ὁ εὐσεβὴς ἡμῶν δεσπότης ἐδήλωσεν τῶι ὁσιωτάτωι ἀρχιμανδρίτηι καὶ πρεσβυτέρωι Καρώσωι μὴ παραγενέσθαι αὐτόν, εἰ μὴ καὶ ἡ αὐτοῦ εὐσέβεια παρῆι, ἡμεῖς δὲ ἐκτὸς αὐτοῦ εἰσελθεῖν περιττὸν ἡγησάμεθα, ἐπειδή ἐστιν ἡμῶν πατήρ, ὡς καὶ τῇι ὑμετέραι ἁγιωσύνηι διὰ τῶν πεμφθέντων παρ' ὑμῶν πρὸς ἡμᾶς ἀντεδηλώθη αὕτη ἡ αἰτία, τούτου ἕνεκεν οὐ παρεγενόμεθα. νῦν δὲ παραγενόμενοι δεόμεθα τῆς ἁγιωσύνης ὑμῶν πάντα ἀκολούθως προβῆναι καὶ παρεῖναι κατὰ τὸ συνέδριον τοῦτο τὸν ἁγιώτατον ἀρχιεπίσκοπον Διόσκορον καὶ τοὺς σὺν αὐτῶι ἁγιωτάτους ἐπισκόπους.

84 Καὶ ἐν τῶι ἀναγινώσκεσθαι πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Ἀνάθεμα Διοσκόρωι. Διόσκορον ὁ Χριστὸς καθεῖλεν. τούτους ἔξω βάλε. ἄρον ὕβριν τῆς συνόδου. * * ἄρον βίαν τῆς συνόδου. ἄρον αἶσχος τῆς συνόδου.

85 Φαῦστος ὁ εὐλαβέστατος καὶ οἱ ἅμα αὐτῶι εὐλαβέστατοι ἀρχιμανδρῖται εἶπον· Ἄρον ὕβριν τῶν μοναστηρίων.

86 Οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Τῶν δεήσεων τούτων οὐκ ἔστι τῆς συνόδου ἀκοῦσαι. τὸν καθαιρεθέντα παρὰ πάσης ὁμοῦ τῆς συνόδου ἐπίσκοπον ἐτόλμησαν ὀνομάσαι. οἱ κανόνες διὰ τί πατοῦνται;

87 Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· Ἄνευ προκρίματος ἀναγινωσκέσθω ὁ λίβελλος. Ῥω

Κωνσταντῖνος ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀνέγνω τὰ ἑξῆς τοῦ λιβέλλου

88 καὶ γὰρ ὁ εὐσεβέστατος ἡμῶν βασιλεύς, ἀφ' οὗ πρόεθετο τὴν σύνοδον ταύτην γενέσθαι, ἐπηγγείλατο ἡμῖν τὰ τῆς πίστεως τῆς ἐκτεθείσης παρὰ τῶν τιη ἁγίων πατέρων L IIII 527
ἐπισφραγίζεσθαι μόνον καὶ μηδὲν ἕτερον πρὸ τούτου κινεῖσθαι ἢ γίγνεσθαι. τούτου δὲ δόξαντος πάντως οὐκ εὔλογος ἡ καθαίρεσις ἡ γενομένη κατὰ Διοσκόρου τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου, ἐπειδὴ οὔτε ἐκτὸς αὐτοῦ ἢ τῶν σὺν αὐτῶι ὄντων ἁγιωτάτων ἐπισκόπων δυνάμεθά τι λέγειν ἢ ποιεῖν περὶ πίστεως. κελεύσατε τοίνυν παραγενέσθαι τὸν αὐτὸν M VII 72
ἀρχιεπίσκοπον Διόσκορον καὶ πάντας τοὺς σὺν αὐτῶι ἐπισκόπους, ὥστε τὰ σκάνδαλα τὰ γενόμενα περὶ τὴν πίστιν ἐκκοπῆναι καὶ τοὺς ὀρθοδόξους λαοὺς μὴ ἔχειν σχίσματα ἐν ἑαυτοῖς, ἐπειδὴ ἡ περὶ τοῦτο τὸ μέρος σπουδὴ πάντων ὑμῖν τῶν ἐν τῶι βίωι τούτωι προτιμοτέρα ὀφείλει εἶναι. εἰ δὲ εἰς τὰ οὕτως ἀκολούθως παρ' ἡμῶν ζητούμενα ἡ ὁσιότης ὑμῶν ἀντιτείνει καὶ θέλει αὐθεντίαι χρήσασθαι ἐναντίαι οὔσηι τοῖς συμφέρουσι, μαρτυράμενοι τὸν δεσπότην Χριστὸν καὶ τὸν εὐσεβέστατον βασιλέα καὶ τοὺς μεγαλοπρεπεστάτους ἄρχοντας καὶ τὴν ἱερὰν σύγκλητον, καὶ τὸ ὑμέτερον δὲ συνειδὸς καὶ ἀποτιναξάμενοι τὰ ἱμάτια τῆς κοινωνίας τῆς πρὸς ὑμᾶς ἐκτὸς ποιήσομεν ἑαυτούς. οὐ γὰρ ἀνεχόμεθα τοῦ συμβόλου τῆς πίστεως τῶν τιη ἀθετουμένου κοινωνοὶ γενέσθαι τοῖς τοῦτο ἀθετοῦσιν. εἰς δὲ τελειοτέραν ἀπόδειξιν τοῦ μηδὲν ἡμᾶς ὑπεναντίον τοῦ συμβόλου τῆς πίστεως φρονεῖν μήτε χώραν ἔχειν τινὰ συκοφαντίαν καθ' ἡμῶν γινομένην

M, B [= ab], Φ

4 πάσης B 14 βάλλε B^a 15 post συνόδου habent *voces imperatori* Φ 16 σὺν B^b 18 πάντες οἱ Φ 21 *iudices et amplissimus senatus* Φ 30 τὸν αὐτὸν MBΦ^{ac} *eundem sanctissimum* Φ^r 31 *ut et* Φ^{cr} 34 προτιμότερον B^b ἀκόλουθον B^b ἡμῖν B^b 41 γενομένην B^bΦ

ὑπετάξαμεν καὶ αὐτὸ τὸ σύμβολον καὶ τὸν ὅρον τὸν ἐπισφραγίζοντα τοῦτο καὶ ἐξενεχθέντα παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τῆς καθελούσης Νεστόριον.

89 Ἀέτιος ἀρχιδιάκονος τῆς κατὰ Κωνσταντινούπολιν ἁγίας καὶ καθολικῆς ἐκκλησίας εἶπεν· Κανών ἐστιν οὗτος ὃς μετὰ τῶν ἄλλων τέθειται παρὰ τῶν ἁγίων πατέρων, οὓς φυλάττοντες οἱ ἅγιοι πατέρες οἱ ἐπίσκοποι ἐκδιδάσκουσι κληρικοὺς καὶ μοναχοὺς καὶ πάντας τοὺς Χριστιανίζοντας, εἰ εὕροιεν ἢ ἀφηνιῶντας ἢ μὴ βουλομένους πείθεσθαι, κεχρῆσθαι τῷ κανόνι τούτῳ.

Καὶ ἀπὸ βιβλίου ἀνέγνω ταῦτα

90 Περὶ τῶν ἑαυτοὺς ἀφοριζόντων κληρικῶν ἢ μοναζόντων

Can. Ant. 5 Εἴ τις πρεσβύτερος ἢ διάκονος καταφρονήσας τοῦ ἰδίου ἐπισκόπου ἀφώρισεν ἑαυτὸν τῆς ἐκκλησίας καὶ ἰδίαι συνήγαγεν καὶ θυσιαστήριον ἔστησεν καὶ τοῦ ἐπισκόπου προσκαλουμένου ἀπειθοίη καὶ μὴ βούλοιτο αὐτῷ πείθεσθαι μηδὲ ὑπακούειν καὶ πρῶτον καὶ δεύτερον καλοῦντι, τοῦτον καθαιρεῖσθαι παντελῶς καὶ μηκέτι θεραπείας τυγχάνειν μηδὲ ἀπολαμβάνειν αὐτὸν δύνασθαι τὴν τιμήν· εἰ δὲ ἐπιμένει θορυβῶν καὶ ἀναστατῶν τὴν ἐκκλησίαν, διὰ τῆς ἔξωθεν ἐξουσίας ὡς στασιώδη αὐτὸν ἐπιστρέφεσθαι.

91 Πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Οὗτος δίκαιος κανών· οὗτος ὁ
M VII 73 κανὼν τῶν ἁγίων πατέρων.

92 Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Κατὰ τὴν ὑμετέραν αἴτησιν καὶ ἀντιλεγόντων τῶν εὐλαβεστάτων ἐπισκόπων οἱ ἐπιδοθέντες παρ' ὑμῶν λίβελλοι ἀνεγνώσθησαν. εἴπατε τοίνυν εἰ βούλεσθε τοῖς δόγμασι
L IIII 530 πάσης τῆς ἁγιωτάτης συνόδου συναινέσαι. Ῥω.

93 Κάρωσος ὁ εὐλαβέστατος ἀρχιμανδρίτης εἶπεν· Τὴν τῶν τιη τῶν ἐν Νικαίαι γενομένων πατέρων πίστιν, ἐν ᾗ καὶ ἐβαπτίσθην, οἶδα, ἐπεὶ ἐγὼ ἄλλην πίστιν οὐκ οἶδα. ἐπίσκοποί εἰσιν· ἐξουσίαν ἔχουσι καὶ ἀφορίσαι καὶ καθαιρῆσαι καὶ εἴ τι θέλουσιν, ἐξουσίαν ἔχουσιν. πλείω ταύτης ἐγὼ ἄλλην οὐκ οἶδα. ἐμὲ ὁ ἅγιος Θεότιμος ἐν Τόμοις ὅτε ἐβάπτισεν, ἐκέλευσέ μοι ἄλλο τί ποτε μὴ φρονῆσαι.

94 Δωρόθεος ὁ εὐλαβέστατος ἀρχιμανδρίτης εἶπεν· Τῇ πίστει τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι τιη, ἐν ᾗ καὶ ἐβαπτίσθην, καὶ τῷ ὅρῳ τῶν ἐν Ἐφέσῳ καθελόντων Νεστόριον ἐμμένω καὶ οὕτως πιστεύω καὶ παρὰ ταύτην ἄλλην πίστιν οὐκ οἶδα.

95 Βαρσουμᾶς ὁ εὐλαβέστατος μοναχὸς διὰ ἰδίου ἀνθρώπου ἑρμηνεύοντος αὐτὸν Συριστὶ λαλοῦντα εἶπεν· Οὕτως πιστεύω ὡς οἱ τιη καὶ οὕτως ἐβαπτίσθην εἰς τὸ ὄνομα
Mt. 28, 19 τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος ὡς αὐτοὺς ἐδίδαξεν ὁ κύριος τοὺς ἀποστόλους.

96 Ἐλπίδιος μοναχὸς εἶπεν· Ἐγὼ πιστεύω ὡς οἱ τιη πατέρες οἱ ἐν Νικαίαι καὶ οἱ ἐν Ἐφέσῳ οἱ Νεστόριον καθελόντες καὶ ἐμμένω τῷ ὅρῳ ᾧ ἐξέθεντο οἱ ἅγιοι πατέρες.

97 Οἱ [λοιποὶ] ἄλλοι μονάζοντες εἶπον· Καὶ ἡμεῖς τὰ αὐτὰ λέγομεν.

98 Ἀέτιος ἀρχιδιάκονος τῆς κατὰ Κωνσταντινούπολιν ἁγιωτάτης ἐκκλησίας ἀπελθὼν πρὸς αὐτὸν εἶπεν· Ἡ ἁγία αὕτη καὶ μεγάλη σύνοδος οὕτως πιστεύει ὡς οἱ τιη ἅγιοι πατέρες οἱ ἐν Νικαίαι τὸ τηνικαῦτα συνειλεγμένοι ἐξέθεντο καὶ τοῦτο τὸ σύμβολον

M, B [= ab], Φ

5 *et clericos* Φ 13 καὶ μηκέτι MB *nec umquam hunc* Φ 15 ἀποστρέφεσθαι M 18 εἶπεν M 21 Ῥω om. Φ 24 ἐξουσίαν MΦ καὶ ἐξουσίαν B 25 θεότιμος MBΦ^{ac} *Timotheus* Φ^{r} melius, cf. t. I 1, 2 p. 62 17^{2}. 7 p. 116 17^{3} *Tomis* Φ τῷ μηνὶ MB ὅτε om. Φ 32 αὐτοῦ B αὐτὸ M om. Φ 35 καὶ οἱ νεστόριον B ὡς Φ οἱ — πατέρες om. Φ 36 λοιποὶ ἄλλοι MB *alii qui cum ipsis* Φ 38 *ad eos dixit eis* Φ

αὐτοί τε φυλάττουσι καὶ πάντας τοὺς προσιόντας ἐκδιδάσκουσιν· ἐπειδὴ δὲ ἐν τῷι μεταξὺ διχόνοιαι παρὰ τινῶν ἀνεφύησαν καὶ πρὸς ταύτας ἀντιπαραταττόμενοι οἱ ἅγιοι πατέρες Κύριλλος καὶ Κελεστῖνος καὶ νῦν ὁ ἁγιώτατος καὶ μακαριώτατος πάπας Λέων ἐπιστολὰς ἑρμηνευούσας τὸ σύμβολον, οὐ πίστιν ἢ δόγμα ἐκτιθέμενοι, ἐκδεδώκασιν, ἃς ἀσμενίζει πᾶσα ἡ οἰκουμενικὴ σύνοδος καὶ συναινεῖ καὶ τὴν ἐκ τούτων ἑρμηνείαν παραδίδωσι τοῖς ἐπιθυμοῦσι μανθάνειν, καὶ ἡ ὑμετέρα ἀγάπη ταύτηι τῆι γνώμηι πάσης τῆς ἁγίας συνόδου πείθεται καὶ ἀναθεματίζει Νεστόριον καὶ Εὐτυχέα ὡς καινοφωνήσαντας ἢ οὔ;

99 Κάρωσος ὁ εὐλαβέστατος μοναχὸς εἶπεν· Ἐγὼ τί ἔχω ἀναθεματίσαι Νεστόριον, ὅστις καὶ ἅπαξ καὶ δεύτερον καὶ τρίτον καὶ πολλάκις ἀνεθεμάτισα αὐτὸν καὶ καθήιρησα;

100 Ἀέτιος ὁ εὐλαβέστατος ἀρχιδιάκονος τῆς κατὰ Κωνσταντινούπολιν ἐκκλησίας εἶπεν· Καὶ Εὐτυχέα τοίνυν ἀναθεματίζεις ὡς ἡ ἁγία σύνοδος ἢ οὔ; M VII 76

101 Κάρωσος ὁ εὐλαβέστατος μοναχὸς εἶπεν· Οὐ γέγραπταί σοι μὴ κρίνηις, ἵνα μὴ Mt. 7, 1 κριθῆις; ἐπίσκοποι καθέζονται, καὶ σὺ διὰ τί λαλεῖς;

102 Ἀέτιος ὁ εὐλαβέστατος ἀρχιδιάκονος εἶπεν· Πρὸς ἃ ἠρωτήθης δι' ἐμοῦ παρὰ τῆς ἁγίας συνόδου, εἰπέ· πείθηι τῆι ἁγίαι συνόδωι τῆι οἰκουμενικῆι ἢ οὔ;

103 Κάρωσος ὁ εὐλαβέστατος μοναχὸς εἶπεν· Ἐγὼ κατὰ τὴν ἔκθεσιν τῶν τιη̄, ὡς εἶπα, οὕτως πιστεύω, ὡς καὶ ἐβαπτίσθην. ἄλλο τί μοι λέγετε, οὐκ οἶδα. ἐξουσίαν ἔχετε, ἐπίσκοποι ἐστέ· θέλετε ἐξορίσαι; θέλετε καθαιρῆσαι; εἴ τι θέλετε, δέχομαι παρ' L IIII 531 ὑμῶν. ὁ ἅγιος ἀπόστολος λέγει· ἐὰν ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίσηται Gal. 1, 8. 9 ὑμῖν παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. τί ἔχω ποιῆσαι; ἐὰν μὴ πιστεύηι Εὐτυχὴς ὡς πιστεύει ἡ ἐκκλησία ἡ καθολική, ἀνάθεμα ἔστω.

104 Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Ἀναγινωσκέσθωσαν αἱ δεήσεις αἱ παρὰ Φαύστου τοῦ εὐλαβεστάτου καὶ τῶν ἄλλων εὐλαβεστάτων ἀρχιμανδριτῶν ἐπιδοθεῖσαι. Ῥω.

Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀνέγνω

105 Τῶι ὑπὸ τῆς ἀχράντου τριάδος σκεπομένωι εὐσεβεστάτωι καὶ φιλοχρίστωι δεσπότηι καὶ βασιλεῖ Μαρκιανῶι αἰωνίωι αὐγούστωι δέησις καὶ ἱκεσία παρὰ Φαύστου Μαρτίνου Πέτρου Μανουήλου Ἀβραμίου Ἰὼβ Ἀντιόχου Δωροθέου Παύλου Ἰακώβου Εὐσεβίου Τρύφωνος Μαρκέλλου Τιμοθέου Γερμανοῦ Πέτρου Ἀστερίου Ἰωάννου πρεσβυτέρων καὶ ἀρχιμανδριτῶν. Ἡ φιλόχριστος ὑμῶν καὶ εὐσεβὴς βασιλεία τὴν εὐαγῆ τῶν ὀρθοδόξων θρησκείαν αὔξειν τε καὶ συγκροτεῖν μεμελετηκυῖα τὸν τῶν ἁγιωτάτων ἐκκλησιῶν ἐξήλασε θόρυβον. Εὐτυχέα γὰρ τὸν τὰς μιαρὰς καὶ βεβήλους κατὰ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ ἐρευξάμενον φωνὰς καὶ ἐπισπεῖραι πολλὰ τῆι τοῦ θεοῦ ἐκκλησίαι ζιζάνια μηχανησάμενον ἐξέωσε τὸ φιλόχριστον ὑμῶν κράτος. οἱ δὲ ἐκείνωι μαθητευθέντες οὐ βούλονται τῆι ὀρθοδόξωι καὶ εὐσεβεῖ πίστει καθυποσημήνασθαι καὶ ἑξακολουθῆσαι τοῖς τῶν ἁγίων πατέρων εὐσεβέσι δόγμασιν, ἀλλὰ σκληροτράχηλοι μεμενήκασιν ἀνανεύοντες καὶ ἐναντιούμενοι τῆι ὀρθῆι τῶν πατέρων ὁμολογίαι, καίτοι πολλῆς αὐτοῖς παραινέσεως προσαχθείσης παρὰ τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου Ἀνατολίου καὶ M VII 77 τῶν ἅμα αὐτῶι θεοφιλεστάτων ἐπισκόπων καὶ πρεσβυτέρων καὶ τῶν ἱερῶν αὐτοῖς δογμάτων παραναγνωσθέντων, καθὼς οἱ παρ' ἡμῶν ἀποσταλέντες τοῦτο δῆλον ὑμῖν κατέστησαν. τούτου ἕνεκεν ἀξιοῦμεν τὸ ὑμέτερον κράτος ὥστε θεσπίσαι μὴ ἐπὶ πλεῖον

M, B [= ab], Φ

1 φυλάσσουσι B 2 ἐνεφύησαν B 7 καινοφωνήσαντασ MΦ κενοφωνήσαντασ B 9 *qui* Φ ὅτι MB 10 ὁ εὐλαβέστατος om. Φ *sanctissimae ecclesiae* Φ 11 ἀναθεματίζετε B^b 14 *archidiaconus Constantinopolitanae sanctae ecclesiae* Φ 16/17 ὡς εἶπα om. Φ 17 *dicis* $Φ^r$ 22 εἶπεν $MΦ^r$ 23 ἄλλων om. B 24 εὐλαβεστάτων $MBΦ^{ac}$ om. $Φ^r$ Ῥω om. Φ 28 *Theodoro* Φ 30 εὐσεβὴσ MΦ εὐαγὴσ B εὐαγῆ MΦ εὐσεβῆ B 40 ὑμῶν $Φ^{ac}$ ὑμῖν $Φ^{cr}$ ἡμῖν $MBΦ^a$

προκόψαι αὐτοῖς τὰ τῆς ἀσεβείας, ἐπιτραπῆναι δὲ ἡμῖν τοῖς πνευματικοῖς τῶν μοναχῶν ὅροις ὑποβαλεῖν τοὺς οὕτως ἀναισχύντως τῆς ὀρθῆς ἡμῶν ἀποστατήσαντας πίστεως, ἵν' εἴπερ διορθωθεῖεν, ὅπερ εὐχόμεθα, μετὰ τῶν σωιζομένων κἀκείνους τὴν μερίδα σχεῖν· εἰ δὲ ἐπὶ πλεῖον ἐπιμένουσι τῇι ἑαυτῶν κακοπιστίαι, πρέπουσαν δέξασθαι τὴν ἐπιτίμησιν αὐτούς. καὶ περὶ τοῦ σπηλαίου δὲ ἔνθα οἱ θηριώδεις κατοικοῦσι καὶ καθ' ἑκάστην τὸν τῶν ὅλων βλασφημοῦσι σωτῆρα Χριστόν, τύπον δοθῆναι παρ' ἡμῶν ἐπιτρέψηι ἡ φιλόχριστος ὑμῶν βασιλεία θείας ὑμῶν ἐπισημειώσεως καταπεμπομένης εἰς πρόσωπον ἡμέτερον.

106 Δωρόθεος ὁ εὐλαβέστατος μοναχὸς εἶπεν· Ἐπειδὴ Εὐτυχῆ λέγουσιν ὅτι πρὸ τῆς
L IIII 534 ἑνώσεως δύο φύσεις εἶπεν καὶ μετὰ τὴν ἕνωσιν μίαν φύσιν, καὶ ἀναθεματίζουσιν αὐτὸν ὡς αἱρετικόν, πάντηι πανταχοῦ προθέματα ἔθηκεν Εὐτυχὴς καὶ ἡ ὑμετέρα μεγαλοπρέπεια ἤκουσε τὰ προθέματα αὐτοῦ ὅτι ὀρθόδοξος ἐστιν ὁ ἄνθρωπος καὶ συκοφαντοῦσιν αὐτόν.

107 Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Εὐτυχὴς εἶπεν ὅτι τὸ σῶμα τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ οὐκ ἦν τῆς ἡμῶν οὐσίας· σὺ περὶ τούτου πῶς δοξάζεις; Ῥω.

108 Δωρόθεος ὁ εὐλαβέστατος μοναχὸς εἶπεν· Εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος ἐβαπτίσθημεν ὁμολογοῦντες τὸν σωτῆρα ἡμῶν Χριστὸν τὸν κατελθόντα καὶ σαρκωθέντα ἐκ τῆς ἁγίας παρθένου καὶ ἐνανθρωπήσαντα σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου (μακροθυμήσατε δὲ καὶ ἐὰν παρέρχηταί με, διορθώσασθε)· τοῦτον ἐκ τῆς τριάδος εἶναι ὁμολογοῦμεν. καὶ γὰρ αὐτὸς ὁ δεσπότης ἡμῶν ὁ ἐμπτυσθεὶς καὶ λογχευθεὶς καὶ ῥαπισθεὶς ἡνίκα ἀνέστη ἐκ νεκρῶν, λέγει τοῖς ἁγίοις μαθηταῖς
Mt. 28, 19 αὐτοῦ· πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ὁμολο-
M VII 80 γοῦμεν οὖν τὸν παθόντα ἐκ τῆς τριάδος εἶναι καὶ ἄλλην πίστιν οὐκ οἶδα.

109 Πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι εἶπον· Ὑπογράφεις τῆι ἐπιστολῆι ἢ οὔ;

110 Δωρόθεος ὁ εὐλαβέστατος μοναχὸς εἶπεν· Ἐγὼ εἰς τὸ βάπτισμα πιστεύω, ἐπιστολῆι δὲ οὐχ ὑπογράφω.

111 Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Ἡνίκα ὁ θειότατος ἡμῶν βασιλεὺς τοὺς μεγαλοπρεπεστάτους ἄρχοντας καὶ τοὺς συγκλητικοὺς ἔπεμψεν τοὺς ἐνδοξοτάτους πρὸς ὑμᾶς, ὑπέσχεσθε πείθεσθαι τοῖς τυπουμένοις παρὰ τῆς ἁγίας συνόδου· ἀνθ' ὅτου τοίνυν ἐπὶ τοῦ παρόντος οὐ συντίθεσθε τοῖς ὅροις τῆς ἁγίας σύνοδου; Ῥω ἀνέγνων ἀνέγνωμεν ἀνέγνω.

112 Δωρόθεος ὁ εὐλαβέστατος μοναχὸς εἶπεν· Ἡμεῖς τότε ἐλαλήσαμεν τοῖς ἄρχουσι καὶ τῆι συγκλήτωι καὶ παρεκαλέσαμεν τὸν βασιλέα εἰσελθόντες ἔσω ἵνα ἡ σύνοδος ἡ παροῦσα βεβαιώσηι τὴν πίστιν τῶν τιη ἁγίων πατέρων, ἐν ἧι καὶ ἐβαπτίσθημεν, μετὰ τοῦ ὅρου τοῦ ὁρισθέντος παρὰ τῶν αὐτῶν πατέρων.

113 Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Ἐπειδὴ ὁ θειότατος ἡμῶν δεσπότης εὐσεβής ἐστι καὶ ἡμεῖς τῶι αὐτοῦ σκοπῶι ἀκολουθοῦμεν, εἰ βούλεσθε ὑμῖν ἐνδοθῆναι δύο ἢ τρεῖς ἡμέρας πρὸς ἐπίσκεψιν, ἐξαιτοῦμεν τοῦτο παρὰ τῆς ἁγίας συνόδου ὑμῖν ὑπάρξαι, ἵνα ἐπισκεψάμενοι ἀκολουθήσητε τῆι παρὰ τῶν ἁγίων πατέρων δοξαζομένηι πίστει.

114 Κάρωσος ὁ εὐλαβέστατος ἀρχιμανδρίτης εἶπεν· Ὧδε εἰμί· τί χρείαν ἔχετε δύο ἢ τρεῖς ἡμέρας ἐκδέξασθαι; ἰδὲ ἄρτι ἐξουσίαν ἔχετε ὅτι θέλετε, ποιῆσαι.

M, B [= ab], Φ

3 ἵν' MB *aut* Φ 4 ἐπιμένωσιν M 13 εἶπεν M 16. 26. 33 ἀρχιεπίσκοποσ Bᵇ 17 *tincti baptizati sumus* Φ *Iesum Christum* Φ 18 ἁγίασ MΦ om. B 19 παρέρχεταί M *transit* Φʳ παρέχητέ B 24 οἶδαμεν BᵇΦ 28. 37 εἶπεν M 29/30 *amplissimum senatum* Φ 36 αὐτοῦ Bᵇ 43 ἴδε MᶜᵒʳʳΦ εἰ δὲ MB

115 Δωρόθεος ὁ εὐλαβέστατος μοναχὸς εἶπεν· Τῇι πίστει τῶν ἁγίων πατέρων τῶν τιη ἐμμένω, ἐν ᾗι καὶ ἐβαπτίσθην, καὶ τῶι ὅρωι τῶν ἐν Ἐφέσωι καὶ ἄλλο τί ποτε οὐ λέγω.

116 Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Παρὰ τῆς ἁγίας συνόδου τύπος δοθήσεται. Ῥω ἀνέγνων ἀνέγνωμεν ἀνέγνω.

Πρᾶξις ε̄

1 Ὑπατείας τοῦ δεσπότου ἡμῶν Μαρκιανοῦ τοῦ αἰωνίου αὐγούστου καὶ τοῦ δηλωθησομένου τῇι πρὸ δεκαμιᾶς Καλανδῶν Νοεμβρίων ἐν Χαλκηδόνι L IIII 554 M VII 98 d. 22. m. Oct a. 451

κατὰ κέλευσιν τοῦ θειοτάτου καὶ εὐσεβεστάτου ἡμῶν δεσπότου Μαρκιανοῦ τοῦ αἰωνίου αὐγούστου συνελθόντων ἐν τῇι ἁγιωτάτηι ἐκκλησίαι τῆς ἁγίας μάρτυρος Εὐφημίας τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου στρατηλάτου ἀπὸ ὑπάτων καὶ πατρικίου Ἀνατολίου καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἐπάρχου τῶν πραιτωρίων Παλλαδίου καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου μαγίστρου τῶν θείων ὀφφικίων Βιγκομάλου,

1—3 συνελθόντων δὲ καὶ Πασκασίνου καὶ Λουκινσίου τῶν εὐλαβεστάτων ἐπισκόπων καὶ Βονιφατίου τοῦ εὐλαβεστάτου πρεσβυτέρου ἐπέχοντος τὸν τόπον τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς πρεσβυτέρας Ῥώμης Λέοντος

4 καὶ Ἀνατολίου τοῦ εὐλαβεστάτου ἀρχιεπισκόπου τῆς μεγαλωνύμου Κωνσταντινουπόλεως

5 καὶ Μαξίμου τοῦ εὐλαβεστάτου ἀρχιεπισκόπου Ἀντιοχείας Συρίας

6 καὶ Ἰουβεναλίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἱεροσολύμων

7 καὶ Κυντίλλου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἡρακλείας Μακεδονίας ἐπέχοντος τὸν τόπον τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Θεσσαλονικέων Ἀναστασίου

8 καὶ Θαλασσίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Καισαρείας Καππαδοκίας

9 καὶ Στεφάνου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἐφέσου

10 καὶ Λουκιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Βύζης ἐπέχοντος τὸν τόπον τοῦ θεοφιλεστάτου ἐπισκόπου Ἡρακλείας Θράικης Κυριακοῦ

11 καὶ Εὐσεβίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀγκύρας Γαλατίας

12 καὶ Διογένους τοῦ εὐλαβεστάτου ἐπισκόπου Κυζίκου

13 καὶ Πέτρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Κορίνθου

14 καὶ Φλωρεντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σάρδεων

15 καὶ Εὐνομίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Νικομηδείας

16 καὶ Ἀναστασίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Νικαίας

17 καὶ Ἰουλιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Κώων πόλεως ἐπέχοντος καὶ αὐτοῦ τὸν τόπον τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης

18 καὶ Ἐλευθερίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Χαλκηδονέων

19 καὶ Βασιλείου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σελευκείας Ἰσαυρίας

20 καὶ Μελετίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Λαρίσσης ἐπέχοντος τὸν τόπον τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀπαμείας Συρίας Δόμνου

Facund. 5, 3 p. 714[b] *de quinta uero actione quae fuit eodem consulatu undecimo Kal. Nou. . . . denominatis ibi legatis Romanis et aliis quinquaginta duobus episcopis dicitur 'considentibus illis et reliqua sancta et uniuersali synodo', tacetur autem de nominibus ceterorum*

M, B [= ab; usque ad 21], Φ

4 εἶπεν MB[b] 5 ῥωμαῖον B[a] 6 πέμπτη B 8 μιᾶσ καὶ δέκα B[b] 12 *sacrorum praetoriorum* Φ[r] om. Φ[ac] 15 λουκηνσίου M 20 ἐπισκόπου Φ[r] 21 ἀρχιεπισκόπου Φ[a] 22—p. 123, 1 om. B 25 καὶ om. M 28 om. Φ[ac] 36 καρχηδονέων M

καὶ Ἀμφιλοχίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σίδης
καὶ Θεοδώρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ταρσοῦ
καὶ Κύρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀναζάρβου
καὶ Κωνσταντίνου τοῦ εὐλαβεστάτου ἐπισκόπου Βόστρων
καὶ Φωτίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Τύρου
καὶ Θεοδώρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Δαμασκοῦ
καὶ Στεφάνου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἱερᾶς πόλεως
καὶ Νόννου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἐδέσσης
καὶ Συμεῶνος τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀμίδης
καὶ Ἐπιφανίου τοῦ εὐλαβεστάτου ἐπισκόπου [Πέργης] ἐπέχοντος τὸν τόπον τοῦ εὐλαβεστάτου ἐπισκόπου Κωνσταντίας Ὀλυμπίου
καὶ Ἰωάννου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σεβαστείας
καὶ Σελεύκου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀμασείας
καὶ Κωνσταντίνου τοῦ εὐλαβεστάτου ἐπισκόπου Μελιτηνῆς
καὶ Πατρικίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Τυάνων
καὶ Πέτρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Γαγγρῶν
καὶ Εὐσταθίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Βηρυτοῦ
καὶ Ἀπραγμονίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Τίου ἐπέχοντος τὸν τόπον τοῦ εὐλαβεστάτου ἐπισκόπου * *
* * Νεοκαισαρείας Δωροθέου
καὶ Φωτεινοῦ ἀρχιδιακόνου ἐπέχοντος τὸν τόπον Θεοκτίστου τοῦ εὐλαβεστάτου ἐπισκόπου Πισινοῦντος
καὶ Ῥωμανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Μύρων
καὶ Κριτωνιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀφροδισιάδος Καρίας
καὶ Νουνεχίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Λαοδικείας Φρυγίας
καὶ Μαρινιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Συννάδων
καὶ Ὀνησιφόρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἰκονίου
καὶ Περγαμίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀντιοχείας Πισιδίας
καὶ Ἐπιφανίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Πέργης
καὶ Ἀττικοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Νικοπόλεως Ἠπείρου
καὶ Μαρτυρίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Γορτύνης
καὶ Λουκᾶ τοῦ εὐλαβεστάτου ἐπισκόπου Δυρραχίου
καὶ Βιγιλαντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Λαρίσσης Θεσσαλίας
καὶ Φραγκίωνος τοῦ εὐλαβεστάτου ἐπισκόπου Φιλιππουπόλεως
καὶ Σεβαστιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Βεροίας
καὶ Βασιλείου τοῦ εὐλαβεστάτου ἐπισκόπου Τραιανουπόλεως
καὶ Τρύφωνος τοῦ εὐλαβεστάτου ἐπισκόπου Χίου ἐπέχοντος τὸν τόπον Ἰωάννου ἐπισκόπου Ῥόδου
καὶ Θεοκτίστου τοῦ εὐλαβεστάτου ἐπισκόπου Βεροίας
καὶ Γεροντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σελευκείας Συρίας
καὶ Εὐσεβίου πρεσβυτέρου ἐπέχοντος τὸν τόπον Μακαρίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Λαοδικείας Συρίας

ΜΦ

3 κυρίλλου M 4 *Constantio* et *Constantino* Φ 8 ἐδέσης M 10 Πέργης om. Φ 14 μελιτινῆς M 18 Τίου om. Φ 19/20 lacunam signaui, exciderunt secundum Φ Καλογήρου Κλαυδιουπόλεως καὶ Ἀταρβίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Τραπεζοῦντος ἐπέχοντος τὸν τόπον τοῦ εὐλαβεστάτου ἐπισκόπου 24 κρητωνιανοῦ M 26 *Mariniano* Φ μαριανοῦ M 33 βιγιλατίου M 34 *Philipporum* Φ 35 εὐσεβεστάτου M 37/38 ἐπέχοντος — Ῥόδου om. Φ

58 καὶ Εὐσεβίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Δορυλαίου
καὶ τῆς λοιπῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τῆς κατὰ θέσπισμα τοῦ θειοτάτου L IIII 555
καὶ εὐσεβεστάτου ἡμῶν δεσπότου Μαρκιανοῦ ἐν τῇ Χαλκηδονέων πόλει συναθροισθείσης
2 καὶ καθεσθέντων πάντων πρὸ τῶν καγκέλλων τοῦ ἁγίου θυσιαστηρίου οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· Τὰ τυπωθέντα περὶ τῆς πίστεως δῆλα ἡμῖν καταστῆσαι καταξιώσατε. Ῥῳ ἀνέγνων ἀνέγνωμεν ἀνέγνω.
3 Ἀσκληπιάδης διάκονος τῆς μεγάλης ἐκκλησίας Κωνσταντινουπόλεως ἀνέγνω ὅρον, ὃν ἔδοξε μὴ ἐνταγῆναι τοῖσδε τοῖς ὑπομνήμασι.
4 Μετὰ δὲ τὴν ἀνάγνωσιν ἀμφιβαλλόντων τινῶν Ἰωάννης ὁ εὐλαβέστατος ἐπίσκοπος Γερμανικείας εἶπεν· Οὐκ ἔχει καλῶς ὁ ὅρος καὶ ὀφείλει ἀκριβῶς γενέσθαι.
5 Ἀνατόλιος ὁ εὐλαβέστατος ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως πρὸς τὴν ἁγίαν M VII 101
σύνοδον εἶπεν· Ἀρέσκει ὑμῖν ὁ ὅρος;
6 Πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐκτὸς τῶν Ῥωμαίων καὶ τινῶν Ἀνατολικῶν ἐβόησαν· Ὁ ὅρος πᾶσιν ἀρέσκει. αὕτη ἡ πίστις τῶν πατέρων. ὁ παρὰ ταῦτα φρονῶν αἱρετικός ἐστιν. εἴ τις ἄλλως φρονεῖ, ἀνάθεμα ἔστω. τοὺς Νεστοριανοὺς ἔξω βάλε. οὗτος ὁ ὅρος πᾶσιν ἀρέσκει. ὁ μὴ ἀναθεματίζων Νεστόριον ἐξέλθοι τῆς συνόδου.
7 Ἀνατόλιος ὁ θεοφιλέστατος ἐπίσκοπος Κωνσταντινουπόλεως εἶπεν· Ἤρεσε χθὲς πᾶσιν ὁ ὅρος τῆς πίστεως;
8 Οἱ εὐλαβέστατοι ἐπίσκοποι εἶπον· Ὁ ὅρος πᾶσιν ἤρεσεν. ἄλλως οὐ πιστεύομεν. ἀνάθεμα τῷ ἄλλως πιστεύοντι. αὕτη ἡ πίστις τῶν πατέρων. ὁ ὅρος τῷ θεῷ ἤρεσεν. αὕτη ἡ πίστις τῶν ὀρθοδόξων. ἡ πίστις δόλον μὴ πάθοι. ἡ ἁγία Μαρία θεοτόκος γραφῇ, ἐν τῷ συμβόλῳ οὕτως προστεθῇ.
9 Τῶν Ῥωμαικῶν τούτων ἡ ἑρμηνεία Ἑλληνιστί ἐστι τὰ ἐπαγόμενα. Πασκασῖνος καὶ Λουκίνσιος οἱ εὐλαβέστατοι ἐπίσκοποι καὶ Βονιφάτιος ὁ εὐλαβέστατος πρεσβύτερος τοποτηρηταὶ τοῦ ἀποστολικοῦ θρόνου Ῥώμης εἶπον· Εἰ μὴ συναινοῦσι τῇ ἐπιστολῇ τοῦ ἀποστολικοῦ καὶ μακαριωτάτου ἀνδρὸς ἀρχιεπισκόπου Λέοντος, κελεύσατε ἡμῖν ἀντίγραφα δοθῆναι, ἵνα ὑποστρέψωμεν, κἀκεῖ ἡ σύνοδος ἐπιτελεῖται.
10 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Εἰ δοκεῖ, ἀπὸ τῶν Ἀνατολικῶν εὐλαβεστάτων ἐπισκόπων ἓξ καὶ ἀπὸ τῶν τῆς Ἀσιανῆς διοικήσεως τρεῖς καὶ ἀπὸ τῆς Ποντικῆς τρεῖς καὶ ἀπὸ τοῦ Ἰλλυρικοῦ τρεῖς καὶ ἀπὸ τῆς Θράικης τρεῖς συμπαρόντων τοῦ τε ἁγιωτάτου ἀρχιεπισκόπου Ἀνατολίου καὶ τῶν εὐλαβεστάτων τῶν ἀπὸ Ῥώμης συνέλθωμεν ἔνδον ἐν τῷ εὐκτηρίῳ τοῦ ἁγίου μαρτυρίου καὶ πάντων ἀκολούθως παρ' αὐτῶν ἐξετασθέντων τὰ ἀρέσκοντα περὶ τῆς ἁγίας πίστεως φανερὰ ὑμῖν γενήσεται. L IIII 558
11 Οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Ὁ ὅρος πᾶσιν ἤρεσεν. τὰς φωνὰς τῷ βασιλεῖ. οὗτος ὁ ὅρος τῶν ὀρθοδόξων.
12 Καὶ πάλιν Ἰωάννου τοῦ εὐλαβεστάτου ἐπισκόπου Γερμανικείας ἐλθόντος πρὸς τοὺς ἐνδοξοτάτους ἄρχοντας οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Τοὺς Νεστοριανοὺς ἔξω βάλε. τοὺς θεομάχους ἔξω βάλε. τίνες εἰσίν, μόλις ἐδείχθησαν. ἡ οἰκουμένη

M, B [= ab, inde a 2], Φ

3 Μαρκιανοῦ om. Φ 7 μεγάλησ MBΦ^{ac} *magni nominis sanctissimae* Φ^{r} 9/10 γερμανικείασ ἐπίσκοποσ M 10 *transiens in medio dixit* Φ ἀκριβῶς scripsi *integre* Φ καλῶσ MB 11 *nominatissimae Constantinopolis* Φ 16 βάλλει B^{a} 17 τῆς συνόδου om. Φ 20 *praedicti reuerentissimi* Φ *clamauerunt* Φ 24 in exemplari praecedebat textus Latinus interlocutionis legatorum, cf. notam Rustici *et haec Latine iacet in ambobus Graecis codicibus* 25 λουκήνσιοσ M ἐπίσκοποι ἐβόησαν B^{b} 26 Ῥώμησ om. Φ 27 ἐπισκόπου B^{b} 28 ἡ om. B 29 εὐλαβεστάτων ἀνατολικῶν B 30/31 ἀπὸ τῆσ ποντικῆσ — Ἰλλυρικοῦ τρεῖσ BΦ^{r} ἀπὸ τοῦ Ἰλλυρικοῦ τρεῖσ καὶ ἀπὸ τῆς Ποντικῆς τρεῖς Φ^{ac} καὶ ἀπὸ τῆσ ποντικῆσ τρεῖσ M 31 καὶ ἀπὸ τῆς — τρεῖς om. M 32 τῶν^{2} om. M 33 *isdem* Φ 39 βάλλε B βάλλε B

ὀρθόδοξός ἐστι. χθὲς ὁ ὅρος πᾶσιν ἤρεσεν. ὁ βασιλεὺς ὀρθόδοξός ἐστιν. ἡ αὐγούστα ὀρθόδοξός ἐστιν. ἡ αὐγούστα Νεστόριον ἐδίωξεν. οἱ ἄρχοντες ὀρ-
M VII 104 θόδοξοί εἰσιν. πολλὰ τὰ ἔτη τῆς αὐγούστης. πολλὰ τὰ ἔτη τοῦ βασιλέως. χθὲς ὁ ὅρος πᾶσιν ἤρεσεν. πολλὰ τὰ ἔτη τῶν ἀρχόντων. ὁ ὅρος δεόμεθα ὑπογραφῆι ἐπὶ τῶν εὐαγγελίων. πᾶσιν ἤρεσεν. κελεύσατε ὑπογραφῆναι τὸν ὅρον. κατὰ τῆς πίστεως δόλος μὴ γένηται. ὁ μὴ ὑπογράφων τῶι ὅρωι αἱρετικός ἐστιν. ἡ ἁγία Μαρία θεοτόκος ἐστίν. ὁ μὴ φρονῶν οὕτως αἱρετικός ἐστιν. ὀρθόδοξοι ἄρχοντες, τὴν πίστιν φυλάξατε. ὀρθοδόξων βασιλέων ὀρθόδοξοι ἄρχοντες. τοῦ ὅρου οὐδεὶς ἐξίσταται. τὸ ἅγιον πνεῦμα τὸν ὅρον ὑπηγόρευσεν. ὁ ὅρος ὀρθόδοξός ἐστιν. ὁ ὅρος ἄρτι ὑπογραφῆι. ὁ μὴ ὑπογράφων αἱρετικός ἐστι. τοὺς αἱρετικοὺς ἔξω βάλε. θεοτόκος ἡ παρθένος Μαρία. τὸν αἱρετικὸν ἔξω βάλε. ἡ θεοτόκος Μαρία τῶι ὅρωι προστεθῆι. τοὺς Νεστοριανοὺς ἔξω βάλε. ὁ Χριστὸς θεός ἐστιν.

13 Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· Διόσκορος ἔλεγεν ὅτι διὰ τοῦτο καθεῖλον Φλαβιανόν, ἐπειδὴ δύο φύσεις εἶπεν εἶναι· ὁ δὲ ὅρος ἐκ δύο φύσεων ἔχει.

14 Ἀνατόλιος ὁ εὐλαβέστατος ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως εἶπεν· Διὰ πίστιν οὐ καθηιρέθη Διόσκορος, ἀλλ' ἐπειδὴ ἀκοινωνησίαν ἐποίησεν τῶι κυρίωι Λέοντι τῶι ἀρχιεπισκόπωι καὶ τρίτον ἐκλήθη καὶ οὐκ ἦλθεν, διὰ τοῦτο καθηιρέθη.

15 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Τὴν ἐπιστολὴν τοῦ ἀρχιεπισκόπου Λέοντος καταδέχεσθε; Ῥω ἀνέγνων ἀνέγνωμεν ἀνέγνω.

16 Οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Ναὶ ἐδεξάμεθα καὶ ὑπεγράψαμεν.

17 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Οὐκοῦν τὰ ἐν αὐτῆι ἐμφερόμενα ἐντεθῆι τῶι ὅρωι.

18 Οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Ἄλλος ὅρος οὐ γίνεται. οὐδὲν λείπει τῶι ὅρωι.

19 Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπεν· Ἄλλος ὅρος οὐ γίνεται.

20 Οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Τὴν ἐπιστολὴν ὁ ὅρος ἐβεβαίωσεν. ὁ ἀρχιεπίσκοπος Λέων ὡς πιστεύομεν, οὕτως πιστεύει. ὁ ὅρος ὑπογραφέσθω. ὁ ὅρος πάντα ἔχει. ὁ ὅρος τὴν πίστιν ἔχει. Λέων εἶπεν τὰ Κυρίλλου, Κελεστῖνος
Eph. 4, 5 τὰ Κυρίλλου ἐβεβαίωσεν, Ξύστος τὰ Κυρίλλου ἐβεβαίωσεν. ἓν βάπτισμα, εἷς κύριος, μία πίστις. ἄρον δόλον τοῦ ὅρου.

21 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Ἀνενεχθήσεται τῶι θειοτάτωι καὶ εὐσεβεστάτωι ἡμῶν δεσπότηι τὰ ἐκβοώμενα.

Καὶ ἀπελθὼν κατὰ κέλευσιν τῶν ἐνδοξοτάτων ἀρχόντων εἰς τὸ θεῖον παλάτιον Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κωνσιστωρίου καὶ μετὰ μικρὸν ἐπανελθὼν προσεφώνησε τῆι ἁγίαι συνόδωι ταῦτα

L IIII 559 Προσφώνησις

22 Ἐκέλευσεν ὁ θειότατος καὶ εὐσεβέστατος ἡμῶν δεσπότης ἢ κατὰ τὰ δόξαντα τοῖς
M VII 105 μεγαλοπρεπεστάτοις καὶ ἐνδοξοτάτοις ἄρχουσιν ἐξ ἀπὸ τῶν τῆς Ἀνατολικῆς διοικήσεως εὐλαβεστάτων ἐπισκόπων καὶ τρεῖς ἀπὸ τῶν τῆς Ποντικῆς καὶ τρεῖς ἀπὸ τῶν τῆς Ἀσιανῆς καὶ τρεῖς ἀπὸ τῶν τῆς Θράικης καὶ τρεῖς ἀπὸ τῶν τοῦ Ἰλλυρικοῦ συμπαρόντων τοῦ

M, B [= ab], Φ

2 ἡ αὐγούστα Νεστόριον ἐδίωξεν om. Φ 7 οἱ ὀρθόδοξοι B^b 8 φυλάττουσιν B^b 11 βάλλε B ἡ θκοσ ἡ B^b 11. 12 βάλλε B 12 προστεθῆ MBΦ^a προσετέθη $Φ^{cr}$ 20 *magnificentissimi et gloriosissimi* Φ *sanctissimi* [*beatissimi* $Φ^{ac}$] *Leonis* Φ 22. 24. 27 *praedicti reuerentissimi* Φ 22 ὑπεδεξάμεθα B^b 23. 32 *magnificentissimi et gloriosissimi* Φ 27 ὁ^s om. B^b 41 τῶν^{pl} om. B

ἁγιωτάτου ἀρχιεπισκόπου Ἀνατολίου καὶ τῶν εὐλαβεστάτων τῶν ἀπὸ Ῥώμης συνελθεῖν ἐν τῷ εὐκτηρίῳ τοῦ ἁγιωτάτου μαρτυρίου καὶ τὰ περὶ τῆς πίστεως ὀρθῶς καὶ ἀνεπιλήπτως τυπῶσαι ἐπὶ τῶι πάντας συναινέσαι καὶ μηδὲ ἓν ἀμφίβολον καταλειφθῆναι ἢ, εἰ μὴ τοῦτο δοκεῖ, ἕκαστον τὴν πίστιν διὰ τοῦ μητροπολίτου δήλην καταστῆσαι, ὥστε μηδεμίαν ἀμφιβολίαν ἢ διχόνοιαν ὁμοίως καταλειφθῆναι· εἰ δὲ μὴ τοῦτο βουληθείη ἡ ὑμετέρα ἁγιότης, εἰδέναι ὑμᾶς ὅτιπερ ἐν τοῖς Δυτικοῖς μέρεσιν ἔχει γενέσθαι ἡ σύνοδος ὡς τῆς ὑμετέρας θεοσεβείας ἐνταῦθα τὰ περὶ τῆς ἀληθοῦς καὶ ὀρθοδόξου πίστεως ἀναμφιβόλως τυπῶσαι μὴ βουλομένης.

23 Οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Πολλὰ τὰ ἔτη τοῦ βασιλέως. ἢ ὁ ὅρος κρατείτω ἢ ἀπερχόμεθα. πολλὰ τὰ ἔτη τῶν βασιλέων.

24 Κεκρόπιος ὁ εὐλαβέστατος ἐπίσκοπος Σεβαστοπόλεως εἶπεν· Ἀξιοῦμεν ἀναγνωσθῆναι τὸν ὅρον καὶ τοὺς ἀντιλέγοντας καὶ μὴ ὑπογράφοντας ἐκείνους ἀπελθεῖν· ἡμεῖς γὰρ συναινοῦμεν ἐπὶ τοῖς καλῶς τυπωθεῖσι καὶ οὐδὲν ἀντιλέγομεν.

25 Οἱ εὐλαβέστατοι ἐπίσκοποι τοῦ Ἰλλυρικοῦ εἶπον· Οἱ ἀντιλέγοντες φανεροὶ γένωνται. οἱ ἀντιλέγοντες Νεστοριανοί εἰσιν. οἱ ἀντιλέγοντες εἰς Ῥώμην ἀπέλθωσιν.

26 Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· Διόσκορος ἔλεγεν· τὸ ἐκ δύο φύσεων δέχομαι, τὸ δὲ δύο οὐ δέχομαι· ὁ δὲ ἁγιώτατος ἀρχιεπίσκοπος Λέων δύο φύσεις λέγει εἶναι ἐν τῷ Χριστῷ ἡνωμένας ἀσυγχύτως καὶ ἀτρέπτως καὶ ἀδιαιρέτως ἐν τῷ ἑνὶ μονογενεῖ υἱῷ τῷ σωτῆρι ἡμῶν. τίνι τοίνυν ἀκολουθεῖτε; τῷ ἁγιωτάτῳ Λέοντι ἢ Διοσκόρῳ; Ῥω

27 Οἱ εὐλαβέστατος ἐπίσκοποι ἐβόησαν· Ὡς Λέων, οὕτως πιστεύομεν. οἱ ἀντιλέγοντες Εὐτυχιανισταί εἰσιν. Λέων ὀρθοδόξως ἐξέθετο.

28 Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· Πρόσθετε οὖν τῷ ὅρῳ κατὰ τὴν ψῆφον τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν Λέοντος δύο φύσεις εἶναι ἡνωμένας ἀτρέπτως καὶ ἀμερίστως καὶ ἀσυγχύτως ἐν τῷ Χριστῷ. Ρω

29 Καὶ κατὰ παράκλησιν πάντων οἱ ἐνδοξότατοι ἄρχοντες εἰσῆλθον ἐν τῷ εὐκτηρίῳ τῆς ἁγιωτάτης μάρτυρος Εὐφημίας ἅμα Ἀνατολίωι τῷ εὐλαβεστάτῳ ἀρχιεπισκόπῳ Κωνσταντινουπόλεως καὶ Πασκασίνῳ καὶ Λουκινσίῳ τοῖς εὐλαβεστάτοις ἐπισκόποις καὶ Βονιφατίῳ πρεσβυτέρῳ καὶ Ἰουλιανῷ τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ τῆς Κώων πόλεως τοῖς τοποτηρηταῖς τοῦ ἀποστολικοῦ θρόνου τῆς Ῥωμαίων μεγαλοπόλεως, M VII 108
ἔτι μὴν καὶ Μαξίμῳ τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ Ἀντιοχείας Συρίας καὶ Ἰουβεναλίῳ τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ Ἱεροσολύμων καὶ Θαλασσίῳ τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ Καισαρείας Καππαδοκίας καὶ Εὐσεβίῳ τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ Ἀγκύρας Γαλατίας καὶ Κυντίλλῳ καὶ Ἀττικῷ καὶ Σώζοντι τοῖς εὐλαβεστάτοις ἐπισκόποις τοῖς L IIII 562
ἀπὸ τοῦ Ἰλλυρικοῦ καὶ Διογένει τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ Κυζίκου καὶ Λεοντίῳ τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ Μαγνησίας καὶ Φλωρεντίῳ τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ Σάρδεων καὶ Εὐσεβίῳ τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ Δορυλαίου καὶ Θεοδώρῳ τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ Ταρσοῦ καὶ Κύρῳ τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ Ἀναζάρβου καὶ Κωνσταντίῳ τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ Βόστρων καὶ Θεοδώρῳ τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ Κλαυδιουπόλεως Ἰσαυρίας καὶ Φραγκίωνι καὶ Σεβαστιανῷ καὶ Βασι-

---

M, B [= ab], Φ

1 ἁγιωτάτου om. Φ τῶν² om. MB^b 2 *sanctae martyris* Φ 3 τὸ MB^b 4 ἕκαστος B 9/10 ἢ ὁ — ἀπερχόμεθα om. Φ^{ac} 17 τὸ δὲ — δέχομαι om. Φ 21 εὐσεβέστατοι M οὕτως καὶ B^b 24 πατρὸς om. B^b 28 εὐσεβεστάτοις M ἐπισκόποις om. B^b 29 τῆς om. B 32/33 Ἱεροσολύμων καὶ Θαλασσίῳ — ἐπισκόπῳ¹ om. B 34 κυντίλῳ B 39 *Constantino* Φ

λείωι τοῖς εὐλαβεστάτοις ἐπισκόποις τοῖς ἀπὸ τῆς Θράικης. καὶ τρακταισάντων περὶ τῆς ἁγίας πίστεως καὶ ἐξελθόντων καὶ καθεσθέντων πάντων οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· Καταξιωσάτω ἡ ἁγία σύνοδος τὴν πίστιν συγκροτοῦσα μετὰ ἡσυχίας ἀκοῦσαι τῶν ὁρισθέντων ἐπὶ παρουσίαι ἡμετέραι παρὰ τῶν συνελθόντων ἁγίων πατέρων καὶ τὸν ὅρον τῆς πίστεως ἑρμηνευσάντων. Ῥῳ ἀνέγνων ἀνέγνωμεν ἀνέγνω.

Ἀέτιος ἀρχιδιάκονος τῆς ἁγιωτάτης ἐκκλησίας Κωνσταντινουπόλεως ἀνέγνω

30 Ἡ ἁγία καὶ μεγάλη καὶ οἰκουμενικὴ σύνοδος ἡ κατὰ θεοῦ χάριν καὶ θέσπισμα τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων Οὐαλεντινιανοῦ καὶ Μαρκιανοῦ αὐγούστων συναχθεῖσα ἐν τῆι Χαλκηδονέων μητροπόλει τῆς Βιθυνῶν ἐπαρχίας ἐν τῶι μαρτυρίωι τῆς ἁγίας καὶ καλλινίκου μάρτυρος Εὐφημίας ὥρισεν τὰ ὑποτεταγμένα

31 Ὁ κύριος ἡμῶν καὶ σωτὴρ ὁ Χριστὸς τῆς πίστεως τὴν γνῶσιν τοῖς μαθηταῖς βε-
Ioh. 14, 27 βαιῶν ἔφη· εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν, ὥστε μηδένα πρὸς τὸν πλησίον διαφωνεῖν ἐν τοῖς δόγμασι τῆς εὐσεβείας, ἀλλ' ἐπίσης τὸ τῆς ἀληθείας ἐπιδείκνυσθαι κήρυγμα. ἐπειδὴ δὲ οὐ παύεται διὰ τῶν ἑαυτοῦ ζιζανίων ὁ πονηρὸς τοῖς τῆς εὐσεβείας ἐπιφυόμενος σπέρμασι καί τι καινὸν κατὰ τῆς ἀληθείας ἐφευρίσκων ἀεί, διὰ τοῦτο συνήθως ὁ δεσπότης προνοούμενος τοῦ ἀνθρωπίνου γένους τὸν εὐσεβῆ τοῦτον καὶ πιστότατον πρὸς ζῆλον ἀνέστησε βασιλέα καὶ τοὺς ἅπαντα-
χῆι τῆς ἱερωσύνης πρὸς ἑαυτὸν ἀρχηγοὺς συνεκάλεσεν, ὥστε τῆς χάριτος τοῦ πάντων
M VII 109 ἡμῶν δεσπότου Χριστοῦ ἐνεργούσης πᾶσαν μὲν τοῦ ψεύδους τῶν τοῦ Χριστοῦ προβάτων ἀποσείσασθαι λύμην, τοῖς δὲ τῆς ἀληθείας αὐτὴν καταπιαίνειν βλαστήμασιν. ὃ δὴ καὶ πεποιήκαμεν κοινῆι ψήφωι τὰ τῆς πλάνης ἀπελάσαντες δόγματα, τὴν δὲ ἁπλανῆ τῶν πατέρων ἀνανεωσάμενοι πίστιν, τὸ τῶν τιη σύμβολον τοῖς πᾶσι κυρύξαντες καὶ ὡς οἰκείους τοὺς τοῦτο τῆς εὐσεβείας τὸ σύνθεμα δεξαμένους πατέρας ἐπιγραψάμενοι, οἵπερ εἰσὶν οἱ μετὰ ταῦτα ἐν τῆι μεγάληι Κωνσταντινουπόλει συνελθόντες ρν καὶ αὐτοὶ τὴν αὐτὴν

---

8 sq. Definitionis fidei uersiones praeter antiquas et a Rustico correctas quae in Actionibus et hac [Φ] et sexta [Φ^6] habentur, extant hae 1.2) in Gestorum Chalcedonensium Collectione Vaticana [cf. uol. II 2] 4 [Λ^v] et 5 [Λ^{bq}]; 3) in Collectionibus codicis Vaticani et Hispana [Λ^l], qua usus est translator Gestorum Concilii quinti [cf. uol. II 2]; 4. in Collectionibus Dionysiana aucta et Hadriana [Λ^h cf. uol. II 2]; 5. in Collectione codicis Veronensis LX [Λ^θ cf. uol. II 2]. uersio Syriaca extat in epitoma operis Timothei Aeluri contra synodum Chalcedonensem [Patrol. Orient. 13, 218—231]

M, B [= ab], Φ, inde a 8 R, F [= ps], OK^w [Vind. b. gr. 7] K^{z}bcv Φ^6, Λ^v [inde a 12], $\Lambda^{bq}\Lambda^l\Lambda^h\Lambda^\theta$ Tim.
140 ΡΛΘ̄ Λευκάδιος ἐπίσκοπος Μνίζου ὁρίσας ὑπέγραψα: — 35
141 ΡΜ̄ Νώης ἐπίσκοπος Κηφᾶς ὁρίσας ὑπέγραψα: —
142 ΡΜᾹ Ἀτάρβιος ἐπίσκοπος πόλεως Τραπεζοῦντος ὁρίσας ὑπέγραψα: —
143 ΡΜΒ̄ Ἰωάννης ἐπίσκοπος Πολεμωνίου ὁρίσας ὑπέγραψα: —

---

24 Facund. 5, 3 *in actione sexta VIII Kal. Nou. . . . inuenitur . . . sed et Theodoretus . . . subscripsisse centesimus et tricesimus tertius in eisdem uerbis: Theodoretus Cyrri definiens subscripsi*

M, B [= ab], Φ

2 Ἴνδημοσ M 7 *Petrus* Φ^{cr} σαδράων MB^{b} 11 *Pentapolitanus* Coll. Prisca 145 16 βοτρύωνοσ MB 17 Τιμοθέου] Σάλα *sive* Σέλα Σ *seloseum* Coll. Dionys. aucta 78 21 βίλησ MB^{b} 22 βαλλέριοσ B *Valens* Coll. Prisca 149 23 εὐαρείασ BΦ εὐαρίασ φοινίκησ M 24 θεοδώριτοσ B Κύρου om. M 29 *gauinianus* Coll. Dionys. aucta 98 Σαβινιανός Σ πέρηησ M 30 ζέβενοσ B ζενθέννοσ M μαροπόλεωσ B^{b} μαρκοπόλεωσ B^{a} 32 μαρκοπόλεωσ B 33 καρῶν B 34 ἀβραάμιοσ M 35 om. MΦ^{c} λουκάδιοσ B^{b} 36 νόησ B 37 τραπεζούντων M

144 ΡΜΓ Γρατιδιανὸς ἐπίσκοπος πόλεως Κερασοῦντος ὁρίσας ὑπέγραψα: —
145 ΡΜΔ Ἰουλιανὸς ἐπίσκοπος Ταβείας ὁρίσας ὑπέγραψα: —
146 ΡΜΕ Μελίφθογγος ἐπίσκοπος Ἰουλιουπόλεως ὁρίσας ὑπέγραψα: —
147 ΡΜϛ Ὑπερέχιος ἐπίσκοπος Ἀσπώνων ὁρίσας ὑπέγραψα: —
148 ΡΜΖ Ακάκιος ἐπίσκοπος πόλεως Κίννης ὁρίσας ὑπέγραψα: —
149 ΡΜΗ Εὐφράσιος ἐπίσκοπος Λαγανίας ὁρίσας ὑπέγραψα: —
150 ΡΜΘ Κεκρόπιος ἐπίσκοπος Σεβαστουπόλεως ὁρίσας ὑπέγραψα: —
151 ΡΝ Ἰωάννης ἐπίσκοπος Νικοπόλεως ὁρίσας ὑπέγραψα: —
152 ΡΝΑ Ἀνατόλιος ἐπίσκοπος πόλεως Σατάλων ὁρίσας ὑπέγραψα διὰ Δωροθέου πρεσβυτέρου: —
153 ΡΝΒ Ἀττικὸς ἐπίσκοπος πόλεως Ζήλων ὁρίσας ὑπέγραψα: —
154 ΡΝΓ Ἀντίοχος ἐπίσκοπος Σινώπης ὁρίσας ὑπέγραψα: —
155 ΡΝΔ Παράλιος ἐπίσκοπος πόλεως Ἀνδράπων ὁρίσας ὑπέγραψα διὰ Εὐχαρίου διακόνου: —
156 ΡΝΕ Οὐράνιος ἐπίσκοπος Ἰβώρων ὁρίσας ὑπέγραψα διὰ Παύλου πρεσβυτέρου μου: —
157 ΡΝϛ Ἀκάκιος ἐπίσκοπος πόλεως Ἀριαραθείας ὁρίσας ὑπέγραψα: —
158 ΡΝΖ Ἡράκλειος ἐπίσκοπος πόλεως Κομάνων ὁρίσας ὑπέγραψα: —
159 ΡΝΗ Ἀδόλιος ἐπίσκοπος πόλεως Ἀραβισσοῦ ὁρίσας ὑπέγραψα δι' Αδελφίου χωρεπισκόπου: —
M VII 149 160 ΡΝΘ Δόμνος ἐπίσκοπος Κουκουσοῦ ὁρίσας ὑπέγραψα διὰ Εὐφρονίου πρεσβυτέρου:
L IIII 591 161 ΡΞ Ἰωάννης ἐπίσκοπος Ἄρκης ὁρίσας ὑπέγραψα χειρὶ πρεσβυτέρου Ὀτρηίου: —
162 ΡΞΑ Θεοδόσιος ἐπίσκοπος πόλεως Ναν̣ζιαζοῦ ὁρίσας ὑπέγραψα: —
163 ΡΞΒ Ἀριστόμαχος ἐπίσκοπος Κολωνείας ὁρίσας ὑπέγραψα: —
164 ΡΞΓ Ἀπραγμόνιος ἐπίσκοπος πόλεως Τίου ὁρίσας ὑπέγραψα: —
165 ΡΞΔ Ῥῆνος ἐπίσκοπος Ἰουνοπόλεως ὁρίσας ὑπέγραψα: —
166 ΡΞΕ Αἰθέριος ἐπίσκοπος Πομπηιουπόλεως ὁρίσας ὑπέγραψα δι' Ἐπιφανίου πρεσβυτέρου
167 ΡΞϛ Θεμίστιος ἐπίσκοπος Ἀμάστριδος ὁρίσας ὑπέγραψα διὰ Φιλοτίμου πρεσβυτέρου: —
168 ΡΞΖ Θεόδωρος ἐπίσκοπος Ἡρακλείας Πόντου ὁρίσας ὑπέγραψα: —
169 ΡΞΗ Γενέθλιος ἐπίσκοπος Κρατείας ὁρίσας ὑπέγραψα διὰ Εὐλογίου πρεσβυτέρου:—
170 ΡΞΘ Θεόφιλος ἐπίσκοπος Ἀδριανουπόλεως ὁρίσας ὑπέγραψα διὰ πρεσβυτέρου μου Πελαγίου: —
171 ΡΟ Ἐλπίδιος ἐπίσκοπος πόλεως τῶν Θέρμων ὁρίσας ὑπέγραψα: —
172 ΡΟΑ Ἀκύλας ἐπίσκοπος πόλεως Εὐδοξιάδος ὁρίσας ὑπέγραψα: —
173 ΡΟΒ Μυστήριος ἐπίσκοπος πόλεως Ἀμορίου ὁρίσας ὑπέγραψα: —
174 ΡΟΓ Κυριακὸς ἐπίσκοπος Τροκνάδων ὁρίσας ὑπέγραψα διὰ Χρυσίππου πρεσβυτέρου: —
175 ΡΟΔ Λογγῖνος ἐπίσκοπος πόλεως Ὀρκιστοῦ ὁρίσας ὑπέγραψα: —

M, B [= ab], Φ

1 *Gratidianus* Φ^{ar} et unus cod. Φ^{c} *Gratianus* duo codd. Φ^{c} κρατιδιανὸσ MB 2 ταβίασ M 3 ἡλιουπόλεωσ B 4 ἀσπόνων B 12 Ἀντίοχος Coll. Dionys. aucta 191 Σ Coll. Prisca 43 ἀντίλοχοσ MBΦ 13 ἀδράπων B Ἐλπιδίου Coll. Dionys. aucta 188 Σ 17 ἀραραθείασ B 21 κουκκουσοῦ M 22 ὀτρείου M ὀτρίου B Ὀτρηίου Φ^{ar} Ὀτρίου Φ^{c} Εὐφρονίου Coll. Dionys. aucta 151 Σ 23 ναζιανζοῦ B 24 πόλεωσ κολωνείασ M 26 ἰωνοπόλεωσ B 27/28 δι' — πρεσβυτέρου om. B^{b} 29/30 διὰ — πρεσβυτέρου ὁρίσασ ὑπέγραψα B 32 κρατίασ M διὰ — πρεσβυτέρου om. B^{b} 35 Μυρικηνῶν Θέρμων Coll. Dionys. aucta 162 Σ 37 ἀμμωρίου B 38 διὰ MΦ διὰ χειρὸσ B

176 ϘΟΕ Σερῆνος ἐπίσκοπος Μαξιμιανουπόλεως ὁρίσας ὑπέγραψα: —
177 ϘΟϚ Πέτρος ἐπίσκοπος τῆς μητροπόλεως Γαγγρῶν ὁρίσας ὑπέγραψα ὑπὲρ Πολυχρονίου ἐπισκόπου Δαδύβρων καὶ Θεοδώρου ἐπισκόπου Σούρων: —
178 ϘΟΖ Αἰθέριχος ἐπίσκοπος Σμύρνης ὁρίσας ὑπέγραψα διὰ Παύλου διακόνου: —
179 ϘΟΗ Εὐσέβιος ἐπίσκοπος πόλεως Κλαζομενῶν ὁρίσας ὑπέγραψα: — 5
180 ϘΟΘ Κυριακὸς ἐπίσκοπος πόλεως Αἰγάης ὁρίσας ὑπέγραψα: —
181 ϘΠ Μάμας ἐπίσκοπος πόλεως Ἀνινήτου ὁρίσας ὑπέγραψα: —
182 ϘΠΑ Λεόντιος ἐπίσκοπος Μαγνησίας Μαιάνδρου ὁρίσας ὑπέγραψα: —
183 ϘΠΒ Κόιντος ἐπίσκοπος πόλεως Φωκαίας ὁρίσας ὑπέγραψα: —
184 ϘΠΓ Πρόκλος ἐπίσκοπος πόλεως Ἀργίζων ὁρίσας ὑπέγραψα: — M VII 152
185 ϘΠΔ Θωμᾶς ἐπίσκοπος Αὐλίου κώμης ὁρίσας ὑπέγραψα: — 11
186 ϘΠΕ Ὀλύμπιος ἐπίσκοπος Θεοδοσιουπόλεως ὁρίσας ὑπέγραψα: —
187 ϘΠϚ Φίλιππος ἐπίσκοπος Νέας αὐλῆς ὁρίσας ὑπέγραψα: —
188 ϘΠΖ Ῥουφῖνος ἐπίσκοπος πόλεως Βριούλων ὁρίσας ὑπέγραψα: —
189 ϘΠΗ Μαρκελλῖνος ἐπίσκοπος πόλεως Μητροπόλεως ὁρίσας ὑπέγραψα: — 15
190 ϘΠΘ Ἡσαίας ἐπίσκοπος Ἐλαιτῶν ὁρίσας ὑπέγραψα: —
191 ϘϚ Παυλῖνος ἐπίσκοπος Θεοδοσιουπόλεως ὁρίσας ὑπέγραψα: — L IIII 594
192 ϘϚΑ Ἰουλιανὸς ἐπίσκοπος πόλεως Ὑπαίπων ὁρίσας ὑπέγραψα: —
193 ϘϚΒ Ἑσπέριος ἐπίσκοπος πόλεως Πιτάνης ὁρίσας ὑπέγραψα: —
194 ϘϚΓ Προτέριος ἐπίσκοπος Μυρίνης ὁρίσας ὑπέγραψα: — 20
195 ϘϚΔ Βασιλικὸς ἐπίσκοπος Παλαιᾶς πόλεως ὁρίσας ὑπέγραψα: —
196 ϘϚΕ Πέτρος ἐπίσκοπος πόλεως Δαρδάνου ὁρίσας ὑπέγραψα: —
197 ϘϚϚ Θαλάσσιος ἐπίσκοπος πόλεως Παρίου ὁρίσας ὑπέγραψα: —
198 ϘϚΖ Δαυὶδ ἐπίσκοπος Ἀδριανῶν ὁρίσας ὑπέγραψα: —
199 ϘϚΗ Εὐλάλιος ἐπίσκοπος πόλεως Πιονίων ὁρίσας ὑπέγραψα: — 25
200 ϘϚΘ Πιόνιος ἐπίσκοπος πόλεως Τρωάδος ὁρίσας ὑπέγραψα: —
201 ϘC Μαιόνιος ἐπίσκοπος πόλεως Νύσσης ὁρίσας ὑπέγραψα: —
202 ϘCΑ Στέφανος ἐπίσκοπος Ποιμανηνοῦ ὁρίσας ὑπέγραψα: —
203 ϘCΒ Θεοσέβιος ἐπίσκοπος Ἰλίου ὁρίσας ὑπέγραψα: —
204 ϘCΓ Ἑρμῆς ἐπίσκοπος πόλεως Ἀβύδου ὁρίσας ὑπέγραψα: — 30
205 ϘCΔ Δανιὴλ ἐπίσκοπος πόλεως Λαμψάκου ὁρίσας ὑπέγραψα: —
206 ϘCΕ Πατρίκιος ἐπίσκοπος Ἀδριανοῦ θηρῶν ὁρίσας ὑπέγραψα: —
207 ϘCϚ Μενεκράτης ἐπίσκοπος πόλεως Κερασέων ὁρίσας ὑπέγραψα: —
208 ϘCΖ Κοσσίνιος ἐπίσκοπος πόλεως Ἱεροκαισαρείας ὁρίσας ὑπέγραψα: —
209 ϘCΗ Ἀνδρέας ἐπίσκοπος Σατάλων ὁρίσας ὑπέγραψα διὰ Κοσσινίου ἐπισκόπου: — 35
210 ϘCΘ Ἡλίας ἐπίσκοπος πόλεως Βλανδοῦ ὁρίσας ὑπέγραψα: —
211 ϘCΙ Πολύκαρπος ἐπίσκοπος πόλεως Ταβάλων ὁρίσας ὑπέγραψα: —
212 ϘCΙΑ Πατρίκιος ἐπίσκοπος πόλεως Ἀκρασσοῦ ὁρίσας ὑπέγραψα: —
213 ϘCΙΒ Παῦλος ἐπίσκοπος Τριπόλεως ὁρίσας ὑπέγραψα: —
214 ϘCΙΓ Ἀμάχιος ἐπίσκοπος Σεττῶν ὁρίσας ὑπέγραψα: — 40

M, B [= ab], Φ

1 σερῖνοσ B 3 θεόδωροσ ἐπίσκοποσ B^b 7 ἀνηρίτου B 9 φωκείασ MB 10 *Algizenus* Coll. Dionys. aucta 222 Σ 11 Οὐαλεντινιανουπόλεως Σ *Auliocomenus et Valentinianupolitanus* Coll. Dionys. aucta 216 12 *Euazotanus* Coll. Dionys. aucta 226 Σ 17 *Paulus* $Φ^{cr}$ *Perperenotanus* Coll. Dionys. aucta 231 Σ 18 ὑπέπων M 19 *Esperos* Coll. Dionys. aucta 228 Σ 20 μυρρίνησ $M^{corr}B^b$ 21 *Basilius* $Φ^{ac}$ 27 post 10 coll. Φ *Musonius* Coll. Prisca 80 28 ποιμανινοῦ M ποιμανηροῦ B^b 29 *Theosebius* $Φ^a$ Coll. Dionys. aucta 210 Σ θεοδόσιοσ MB et unus cod. $Φ^c$ *Theodulus* $Φ^r$ et duo codd. $Φ^c$ 33 κερασαίων MB 35 Σατάλων $Φ^{cr}$ ἀγαλῶν MB [uaria lectio in $Φ^r$] *sagalorum* $Φ^a$ 37 πόλεως om. M ταβάλων $MB^bΦ^aΣ$ γαβάλων $B^aΦ^{cr}$ Coll. Dionys. aucta 237

215 ϹΙΔ Λεύκιος ἐπίσκοπος Ἀπόλλωνος ἱεροῦ ὁρίσας ὑπέγραψα: —
216 ϹΙΕ Γέμελλος ἐπίσκοπος πόλεως Στρατονικείας ὁρίσας ὑπέγραψα: —
217 ϹΙϛ Ἀλκιμήδης ἐπίσκοπος Σιλάνδου Λυδίας ὁρίσας ὑπέγραψα: —
218 ϹΙΖ Διονύσιος ἐπίσκοπος Λυδὸς Ἀτταλεώτης ὁρίσας ὑπέγραψα: —
219 ϹΙΗ Στέφανος ἐπίσκοπος Λιμύρων ὁρίσας ὑπέγραψα διὰ Νικολάου ἐπισκόπου τῆς Ἀκαρασσέων πόλεως διὰ τὸ ἀρρωστεῖν με: —
220 ϹΙΘ Ζηνόδοτος ἐπίσκοπος τῆς Τελμισσέων μητροπόλεως καὶ Μακρᾶς τῆς νήσου ὁρίσας ὑπέγραψα: —
221 ϹΚ Φρόντων ἐπίσκοπος τῆς Φασηλιτῶν πόλεως ὁρίσας ὑπέγραψα: —
L IIII 595 222 ϹΚΑ Φίλιππος ἐπίσκοπος πόλεως Βαλβουρέων ὁρίσας ὑπέγραψα: —
223 ϹΚΒ Θεόδωρος ἐπίσκοπος πόλεως Ἀντιφέλλου ὁρίσας ὑπέγραψα: —
224 ϹΚΓ Λεόντιος ἐπίσκοπος πόλεως Ἀράξων ὁρίσας ὑπέγραψα: —
225 ϹΚΔ Ἀντίπατρος ἐπίσκοπος καρασσαιων ὁρίσας ὑπέγραψα: —
226 ϹΚΕ Ἀνδρέας ἐπίσκοπος τῆς Τλωέων πόλεως ὁρίσας ὑπέγραψα: —
227 ϹΚϛ Νικόλαος ἐπίσκοπος πόλεως Ἀκρασσοῦ ὁρίσας ὑπέγραψα: —
228 ϹΚΖ Ῥωμανὸς ἐπίσκοπος τῆς Βουβωνέων πόλεως ὁρίσας ὑπέγραψα: —
229 ϹΚΗ Δοκιμάσιος ἐπίσκοπος πόλεως Μαρωνείας ὁρίσας ὑπέγραψα: —
230 ϹΚΘ Νικίας ἐπίσκοπος πόλεως Μεγάρων ὁρίσας ὑπέγραψα: —
231 ϹΛ Ἀθανάσιος ἐπίσκοπος Ὀποῦντος ὁρίσας ὑπέγραψα: —
232 ϹΛΑ Δομνῖνος ἐπίσκοπος Πλαταιέων ὁρίσας ὑπέγραψα: —
233 ϹΛΒ Ὀνήσιμος ἐπίσκοπος Ἄργους ὁρίσας ὑπέγραψα: —
234 ϹΛΓ Μαρκιανὸς ἐπίσκοπος πόλεως Εὐροίας ὁρίσας ὑπέγραψα: —
M VII 156 235 ϹΛΔ Περεγρῖνος ἐπίσκοπος πόλεως Φοινίκης ὁρίσας ὑπέγραψα: —
236 ϹΛΕ Εὐτύχιος ἐπίσκοπος Ἀδριανουπόλεως ὁρίσας ὑπέγραψα: —
237 ϹΛϛ Κλάδεος ἐπίσκοπος Ἀγχιεσμοῦ ὁρίσας ὑπέγραψα: —
238 ϹΛΖ Σωτήριχος ἐπίσκοπος πόλεως Κερκύρας ὁρίσας ὑπέγραψα: —
239 ϹΛΗ Διονύσιος ἐπίσκοπος πόλεως Ἀντιοχείας ὁρίσας ὑπέγραψα: —
240 ϹΛΘ Ἰωάννης ἐπίσκοπος Ἀλίνδων πόλεως ὁρίσας ὑπέγραψα: —
241 ϹΜ Φλάγκιλλος ἐπίσκοπος Ἰασσοῦ ὁρίσας ὑπέγραψα: —
242 ϹΜΑ Παπίας ἐπίσκοπος πόλεως Ἐριζης ὁρίσας ὑπέγραψα: —
243 ϹΜΒ Διονύσιος ἐπίσκοπος πόλεως Ἡρακλείας Λάτμου ὁρίσας ὑπέγραψα: —
244 ϹΜΓ Μένανδρος ἐπίσκοπος πόλεως Ἡρακλείας Σαλβάκης ὁρίσας ὑπέγραψα: —
245 ϹΜΔ Εὐπείθιος ἐπίσκοπος πόλεως Στρατονικείας ὁρίσας ὑπέγραψα: —
246 ϹΜΕ Ἰωάννης ἐπίσκοπος πόλεως Ἀμαζόνος ὁρίσας ὑπέγραψα: —
247 ϹΜϛ Τυγχάνιος ἐπίσκοπος πόλεως Ἀπολλωνιάδος ὁρίσας ὑπέγραψα: —
248 ϹΜΖ Θεοδώρητος ἐπίσκοπος πόλεως Ἀλαβάνδων ὁρίσας ὑπέγραψα: —
249 ϹΜΗ Ἰωάννης ἐπίσκοπος Κνίδου ὁρίσας ὑπέγραψα: —
250 ϹΜΘ Καλανδίων ἐπίσκοπος πόλεως Ἁλικαρνασσοῦ ὁρίσας ὑπέγραψα διὰ Ἰουλιανοῦ πρεσβυτέρου: —
251 ϹΝ Δανιὴλ ἐπίσκοπος πόλεως Κάδων ὁρίσας ὑπέγραψα: —

M, B [= ab], Φ

1 σελεύκιοσ B 3 ἁλκιμίδησ B σιλάνδρου B 6 ἀκαρασαίων B 7 τελμισσαίων M τελμισαίων B^a τελμησαίων B^b μακρᾶσ MBΦ^c μικρᾶσ Φ^{ar} 10 βαλβουραίων MB 13 καρασσαίων M καρασαίων B *caeraseon* Φ^a *acrassorum* Φ^{cr}, corruptela ex Ἀράξων transportato exorta; postulatur Καύνου cf. Coll. Dionys. aucta 272 *caumenos* 14 τλωαίων MB 15 ἀκρασοῦ B *Acarasi* Φ^a 16 βουβωναίων MB 19 πόλεωσ ὁποῦντοσ B^b 20 πλαταιῶν M 22 *Marcus* Φ Coll. Dionys. aucta 133 Σ εὐβοίασ M^{corr} 25 κλαδαῖοσ B ἀγχιασμοῦ B^a 29 φλαγκίλιοσ B 31 δονύσιοσ M αλάτμου B ἀτάλμου B^b 34 *Amyzonensis* Coll. Dionys. aucta 309 Σ 36 θεοδώριτοσ B 38/39 διὰ — πρεσβυτέρου om. B^b

252 ϹΝΑ Μόδεστος ἐπίσκοπος πόλεως Σεβαστῆς ὁρίσας ὑπέγραψα: —
253 * *
254 ϹΝΒ Εὐλάλιος ἐπίσκοπος πόλεως Σιβλίας ὁρίσας ὑπέγραψα: — L IIII 598
255 ϹΝΓ Χάρης ἐπίσκοπος Διονυσιουπόλεως ὁρίσας ὑπέγραψα: —
256 ϹΝΔ Ἰωάννης ἐπίσκοπος Τραπεζοπόλεως ὁρίσας ὑπέγραψα: — 5
257 ϹΝΕ Γεννάδιος ἐπίσκοπος Ἀκμονέων ὁρίσας ὑπέγραψα: —
258 ϹΝϛ Θωμᾶς ἐπίσκοπος Θεοδοσιουπόλεως ὁρίσας ὑπέγραψα: —
259 ϹΝΖ Γεννάδιος ἐπίσκοπος πόλεως Μοσύνων ὁρίσας ὑπέγραψα: —
260 ϹΝΗ Εὔανδρος ἐπίσκοπος πόλεως Διοκλείας ὁρίσας ὑπέγραψα: — M VII 157
261 ϹΝΘ Γερόντιος ἐπίσκοπος πόλεως Βασιλινουπόλεως ὁρίσας ὑπέγραψα: — 10
262 ϹΞ Ἀλφειὸς ἐπίσκοπος πόλεως Μύνδου ὁρίσας ὑπέγραψα: —
263 ϹΞΑ Διογένης ἐπίσκοπος πόλεως Ὀρθωσιαίων ὁρίσας ὑπέγραψα διὰ Θεοκτίστου πρεσβυτέρου: —
264 ϹΞΒ Ζωτικὸς ἐπίσκοπος πόλεως Ἁρπάσων ὑπέγραψα διὰ Φιλοθέου πρεσβυτέρου: — 15
265 ϹΞΓ Μεῖρος ἐπίσκοπος Εὐλάδρων ὁρίσας ὑπέγραψα: —
266 ϹΞΔ Λουκιανὸς ἐπίσκοπος πόλεως Ἰψοῦ ὁρίσας ὑπέγραψα: —
267 ϹΞΕ Φίλιππος ἐπίσκοπος πόλεως Λυσιάδος ὁρίσας ὑπέγραψα: —
268 ϹΞϛ Ἐπιφάνιος ἐπίσκοπος πόλεως Μιδαείου ὁρίσας ὑπέγραψα: —
269 ϹΞΖ Ἀβέρκιος ἐπίσκοπος Ἱερᾶς πόλεως ὁρίσας ὑπέγραψα: — 20
270 ϹΞΗ Κυριακὸς ἐπίσκοπος πόλεως Εὐκαρπίας ὁρίσας ὑπέγραψα: —
271 ϹΞΘ Εὐστόχιος ἐπίσκοπος πόλεως Δοκιμίου ὁρίσας ὑπέγραψα: —
272 ϹΟ Ἀκύλας ἐπίσκοπος Αὐρόκρων ὁρίσας ὑπέγραψα: —
273 ϹΟΑ Βασίλειος ἐπίσκοπος Νακωλείας ὁρίσας ὑπέγραψα: —
274 ϹΟΒ Στρατήγιος ἐπίσκοπος Πολυβότου ὁρίσας ὑπέγραψα: — 25
275 ϹΟΓ Νεοπτόλεμος ἐπίσκοπος πόλεως Κόρνων ὁρίσας ὑπέγραψα: —
276 ϹΟΔ Παῦλος ἐπίσκοπος πόλεως Δέρβης ὁρίσας ὑπέγραψα: —
277 ϹΟΕ Πλούταρχος ἐπίσκοπος πόλεως Λύστρων ὁρίσας ὑπέγραψα: —
278 ϹΟϛ Εὐγένιος ἐπίσκοπος πόλεως Κάνων ὁρίσας ὑπέγραψα: —
279 ϹΟΖ Ῥουφῖνος ἐπίσκοπος πόλεως Ὕδης ὁρίσας ὑπέγραψα: — 30
280 ϹΟΗ Τύραννος ἐπίσκοπος πόλεως Οὐμανάδων ὁρίσας ὑπέγραψα: —
281 ϹΟΘ Ἀχόλιος ἐπίσκοπος πόλεως Λαράνδων ὁρίσας ὑπέγραψα: —
282 ϹΠ Εὐτρόπιος ἐπίσκοπος Ἀδάδων ὁρίσας ὑπέγραψα: —
283 ϹΠΑ Παῦλος ἐπίσκοπος Φιλομηλίου ὁρίσας ὑπέγραψα: —
284 ϹΠΒ Παυλῖνος ἐπίσκοπος Ἀπαμείας ὁρίσας ὑπέγραψα: — 35
285 ϹΠΓ Θεότεκνος ἐπίσκοπος Τυραείου ὁρίσας ὑπέγραψα: — L IIII 559*
286 ϹΠΔ Ἑορτίκιος ἐπίσκοπος Μητροπόλεως ὁρίσας ὑπέγραψα: —
287 ϹΠΕ Κῦρος ἐπίσκοπος Σινιάνδου ὁρίσας ὑπέγραψα: —
288 ϹΠϛ Λιβάνιος ἐπίσκοπος πόλεως Παρλαέων ὁρίσας ὑπέγραψα: —
289 ϹΠΖ Ἀλέξανδρος ἐπίσκοπος Σελευκείας ὁρίσας ὑπέγραψα: — 40

M, B [= ab], Φ

2 excidit *Paulus episcopus Aristii similiter* Φ cf. Coll. Dionys. aucta 331 Σ 3 σιβλειασ B 4 *Dionysupolis* Coll. Dionys. aucta 332 Σ 5 τραπεζουπόλεωσ M^{corr} 6 ἀκμοναίων MB, corr. M 12 ὀρθοσιαίων M 12/13 διὰ — πρεσβυτέρου om. B^b 12 θεκτίστου M 16 μίροσ B *Myro* $Φ^{cr}$ εὐλάδρων $MΦ^a$ εὐλάνδρων $BΦ^{cr}$ 17 *Mocimus* Coll. Dionys. aucta 317 Σ 19 μιδαῖου M μηδαίου B 21 εὐκαρπείασ B^a 22 *Eustathius* Φ 25 πολυβωτοῦ M 32 λαράνδρων M δ erasa, ἁλαρανδῶν B et uaria lectio in $Φ^a$ 33 ἁλαδῶν MB^a ἁλανδῶν B^b 36 *Theoctistus* Φ Coll. Dionys. aucta 289 τυραῖου M τυρασίου B 38 *Cyrus* Φ Coll. Dionys. aucta 291 Σ κύριλλοσ MB 39 παραλέων MBΦ

290 ϹΠΗ Ὀλύμπιος ἐπίσκοπος Σωιζοπόλεως ὁρίσας ὑπέγραψα: —
291 ϹΠΘ Φοντηιανὸς ἐπίσκοπος Σαγαλασσοῦ ὁρίσας ὑπέγραψα: —
292 Ϲϛ Μεσσαλῖνος ἐπίσκοπος Λαοδικείας ὁρίσας ὑπέγραψα διὰ Ἀδήλου χωρεπισκόπου: —
293 ϹϛΑ Βασσωνᾶς ἐπίσκοπος Νέας πόλεως ὁρίσας ὑπέγραψα: —
294 ϹϛΒ Φλωρέντιος ἐπίσκοπος Ἀδριανουπόλεως ὁρίσας ὑπέγραψα: —
295 ϹϛΓ Μουιανὸς ἐπίσκοπος Λιμένων ὁρίσας ὑπέγραψα: —
296 ϹϛΔ Μανασσῆς ἐπίσκοπος Θεοδοσιουπόλεως ὁρίσας ὑπέγραψα: —
297 ϹϛΕ Ἰωάννης ἐπίσκοπος Βαργυλίου ὁρίσας ὑπέγραψα: —
298 ϹϛϚ Φλωρέντιος ἐπίσκοπος Λέσβου Τενέδου ὁρίσας ὑπέγραψα διὰ Εὐελπίστου χωρεπισκόπου: —
299 ϹϛΖ Τρύφων ἐπίσκοπος Χίου τῆς νήσου ὁρίσας ὑπέγραψα: —
300 ϹϛΗ Ἐπαφρόδιτος ἐπίσκοπος πόλεως Ταμάσου ὁρίσας ὑπέγραψα: —
301 ϹϛΘ Σωτηρᾶς ἐπίσκοπος πόλεως Θεοδοσιανῆς ὁρίσας ὑπέγραψα: —
302 Τ Ἡλιόδωρος ἐπίσκοπος Ἀμαθοῦντος ὁρίσας ὑπέγραψα: —
303 ΤΑ Δίδυμος ἐπίσκοπος Λαπίθου ὁρίσας ὑπέγραψα: —
304 ΤΒ Προέχιος ἐπίσκοπος Ἀρσινόης ὁρίσας ὑπέγραψα διὰ Σωτηρᾶ ἐπισκόπου: —
305 ΤΓ Ἐπιφάνιος ἐπίσκοπος Σόλων ὁρίσας ὑπέγραψα διὰ Σωτηρᾶ ἐπισκόπου: —
306 ΤΔ Φωτεινὸς ἐπίσκοπος Κύθρων ὁρίσας ὑπέγραψα διὰ Διονυσίου διακόνου: —
307 ΤΕ Ἰωάννης ἐπίσκοπος πόλεως Μεσσήνης ὁρίσας ὑπέγραψα: —
308 Τϛ Ὠφέλιμος ἐπίσκοπος Τεγέας ὁρίσας ὑπέγραψα: —
M VII 161 309 ΤΖ Εἰρηναῖος ἐπίσκοπος πόλεως Ναυπάκτου ὁρίσας ὑπέγραψα: —
310 ΤΗ Κύριλλος ἐπίσκοπος πόλεως Σούβριτος ὁρίσας ὑπέγραψα: —
311 ΤΘ Γεννάδιος ἐπίσκοπος πόλεως Κνωσσοῦ ὁρίσας ὑπέγραψα: —
312 ΤΙ Εὐσέβιος ἐπίσκοπος πόλεως Ἀπολλωνιάδος συνήινεσα καὶ ὑπέγραψα: —
313 ΤΙΑ Δημήτριος ἐπίσκοπος Λάμπης ὁρίσας ὑπέγραψα: —
314 ΤΙΒ Εὔφρατος ἐπίσκοπος Ἐλευθέρνης ὁρίσας ὑπέγραψα: —
315 ΤΙΓ Παῦλος ἐπίσκοπος Καντάνου ὁρίσας ὑπέγραψα διὰ Χρυσογόνου πρεσβυτέρου: —
L IIII 602 316 ΤΙΔ Σώιζων ἐπίσκοπος πόλεως Φιλίππων ὁρίσας ὑπέγραψα: —
317 ΤΙΕ Εὐσέβιος ἐπίσκοπος Δοβήρου ὁρίσας ὑπέγραψα: —
318 ΤΙϛ Μαξιμῖνος ἐπίσκοπος Σερρῶν ὁρίσας ὑπέγραψα: —
319 ΤΙΖ Νικόλαος ἐπίσκοπος Στοβῶν ὁρίσας ὑπέγραψα: —
320 ΤΙΗ Δαρδάνιος ἐπίσκοπος παρλάων ὁρίσας ὑπέγραψα: —
321 ΤΙΘ Ἰωάννης ἐπίσκοπος Παρθικοπόλεως ὑπέγραψα διὰ Κυρίλλου πρεσβυτέρου: —
322 ΤΚ Ὀνωράτος ἐπίσκοπος πόλεως Θάσου ὁρίσας ὑπέγραψα: —
323 ΤΚΑ Θεόφιλος ἐπίσκοπος Ἀριασσοῦ ὁρίσας ὑπέγραψα: —
324 ΤΚΒ Νέων ἐπίσκοπος πόλεως Σιλλύου ὁρίσας ὑπέγραψα: —
325 ΤΚΓ Διόδοτος ἐπίσκοπος πόλεως Λυσινέων ὁρίσας ὑπέγραψα: —

M, B [= ab], Φ

2 *Fonteianus* Coll. Prisca 55 φοντιϊανὸσ M *Fontianus* Φ^{a} Coll. Prisca 104 *Fotianus* Coll. Dionys. aucta 295 φροντηϊανὸσ B *Frontianus* Φ^{cr} ἀγαλάσσου B^{b} 3 μεσαλῖνοσ B δαδήτου MΦ^{r} δαδίτου BΦ^{a} 7 μουσιανὸσ MBΦ *Musonius* Coll. Dionys. aucta 299 Σ 8 ὁρίσας om. M 10 Τενέδου om. Φ *Mytilinensis* Coll. Dionys. aucta 340 Σ 12 *Eufrontius* Coll. Dionys. aucta 341 Σ 15 add. *per Soterem episcopum* Φ 16 add. *per Epaphroditum episcopum* Φ 17 *Proechius* Φ προσέχιοσ MB διὰ — ἐπισκόπου om. B^{b} 20 μεσήνησ B 21 πόλεωσ τεγέασ B^{b} 26 Λάπτης Φ^{a} 27 *Eufratas* Φ 34 παρλάων B^{a} παρλαοῦ M παρλαᾶ B^{b} *barlaae* Φ^{a} *farula* Φ^{cr}; postulatur Βαργάλων 35 Παρθικοπόλεως om. Φ *Cyriacum* Φ 39 λυσιναίων MB

326 ΤΚΔ Μάρας ἐπίσκοπος πόλεως Κοδρούλων ὁρίσας ὑπέγραψα διὰ Μαρκελλίνου ἐπισκόπου: —

327 ΤΚΕ Παῦλος ἐπίσκοπος πόλεως Πόγλων ὁρίσας ὑπέγραψα: —

328 ΤΚϛ Μαρκελλῖνος ἐπίσκοπος πόλεως Ἰσίνδων συναινέσας ὑπέγραψα: —

329 ΤΚΖ Μακεδὼν ἐπίσκοπος πόλεως Μαγύδου ὁρίσας ὑπέγραψα: —

330 ΤΚΗ Εὐδόξιος ἐπίσκοπος πόλεως Ἐτέννων ὁρίσας ὑπέγραψα: —

331 ΤΚΘ Αὐρήλιος ἐπίσκοπος Ἀδραμετηνὸς συνήινεσα καὶ ὑπέγραψα: —

332 ΤΛ Μαρκιανὸς ἐπίσκοπος πόλεως Κοραλλίας ὁρίσας ὑπέγραψα: —

333 ΤΛΑ Εὐγένιος ἐπίσκοπος πόλεως Κοτέννων ὁρίσας ὑπέγραψα: — M VII 164

334 ΤΛΒ Ὄβριμος ἐπίσκοπος πόλεως Κορακησίου ὁρίσας ὑπέγραψα: —

335 ΤΛΓ Πέτρος ἐπίσκοπος πόλεως Ἐχινέων ὁρίσας ὑπέγραψα διὰ χειρὸς Σωφρονίου συνεπισκόπου μου: —

336 ΤΛΔ Εὐστάθιος ἐπίσκοπος ἔθνους Σαρακηνῶν ὁρίσας ὑπέγραψα: —

337 ΤΛΕ Κωνσταντῖνος ἐπίσκοπος πόλεως Δημητριάδος ὁρίσας ὑπέγραψα: —

338 ΤΛϛ Ῥεστιτιανὸς ἐπίσκοπος Ἀφρικῆς συνήινεσα καὶ ὑπέγραψα: —

339 ΤΛΖ Σαβινιανὸς ἐπίσκοπος Πέρρης ὁρίσας ὑπέγραψα: —

340 ΤΛΗ Εὐδόξιος ἐπίσκοπος Χώματος ὁρίσας ὑπέγραψα: —

341 ΤΛΘ Παλλάδιος ἐπίσκοπος Κορυδάλλων ὁρίσας ὑπέγραψα διὰ Εὐδοξίου ἐπισκόπου Χώματος: —

ΤΜ Διογένης ἐπίσκοπος μητροπόλεως Κυζίκου καὶ ὑπὲρ τῶν ἀπόντων ἐπισκόπων τῶν ὑπ' ἐμέ, τουτέστιν

342 Ἀλεξάνδρου πόλεως Ὤκης

343 Γεμέλλου Μελιτουπόλεως

344 Εὐστοργίου Σκηψίου

345 Εὐτυχιανοῦ Βάρης

346 Ἀκακίου Προκοννήσου

347 καὶ Τιμοθέου Γέρμης

συναινῶν ὑπέγραψα: —

ΤΜΑ Θεόδωρος ἐπίσκοπος Ταρσοῦ τῆς μητροπόλεως καὶ ὑπὲρ τῶν ἀπόντων ἐπισκόπων τῶν ὑπ' ἐμὲ

348 Σαλουστίου Κωρύκου

349 καὶ Ματρωνιανοῦ Πομπηιουπόλεως

συναινῶν ὑπέγραψα: —

ΤΜΒ Μαριανὸς ἐπίσκοπος Συνάδων τῆς μητροπόλεως καὶ ὑπὲρ τῶν ἀπόντων εὐλαβεστάτων ἐπισκόπων τῶν ὑπ' ἐμὲ L IIII 603

350 Ἑλλαδίου πόλεως ⟨Σ⟩τεκτορίου

351 Παύλου πόλεως Ἀμαδάσσης

352 Αὐξάνοντος πόλεως Προμισσοῦ

353 Ὀτρέως πόλεως Κινναβορίου

354 Αὐξάνοντος πόλεως Βρύζου

355 Ἰακώβου πόλεως Πρυμνιάσσης

M, B [= ab], Φ

3 πόλεως om. B πώγλων M 5 μαυδοῦ B 6 ἐτενῶν B^b 7 ἀδραμυτηνὸσ, υτη in ras. M συνήινεσα καὶ] ὁρίσασ B^b 8 *Marcellinus* $Φ^{cr}$ 15 om. $Φ^a$ ῥεστιανὸσ B *Restitutianus* $Φ^{cr}$ 16 πέτρασ M 18 κορυδάλων B 19 Χώματος] μου B^b om. $B^aΦ^a$ 21 ὑπὲρ B^b 22 ὄκησ B 26 προικονήσου B 29 *Dorotheus* $Φ^{cr}$ 30 ὑπ' M εἰσ B 31 κορύκου M add. *per Philippum Adanensem* Coll. Dionysiana aucta 49 Σ 34 *Marinianus* Φ τῆσ μητροπόλεωσ συνάδων B 36 τεκτορίου MΦ τετοκτορίου B 39 κιναβορίου B κινναμορίου M

356 καὶ Βασιλείου πόλεως Ὄτρου
συναινῶν ὑπέγραψα: —
ΤΜΓ Κῦρος ἐπίσκοπος Ἀναζάρβου τῆς μητροπόλεως καὶ ὑπὲρ τῶν ἀπόντων ἐπισκόπων τῶν ὑπ' ἐμὲ
357 Παρηγορίου Κασταβάλης
358 Ἰουλιανοῦ Ἀλεξανδρείας
359 Εὐσταθίου Αἰγῶν
συναινῶν ὑπέγραψα: —
M VII 165 ΤΜΔ Ὀνησιφόρος ἐπίσκοπος Ἰκονίου μητροπόλεως ὁρίσας ὑπέγραψα καὶ ὑπὲρ τῶν ἀπόντων ἐπισκόπων τῶν ὑπ' ἐμὲ
360 Εὐγενίου πόλεως Βαράτων
361 Διομήδους πόλεως Ἀμβλάδων
362 Ἀετίου Ἰσαυροπόλεως
363 Εὐσταθίου πόλεως Σαυάτρων
364 Ἡγεμονίου πόλεως Γδαμαύτου
365 Κόνωνος πόλεως Πέρτων
366 Ἁρματίου πόλεως Μισθίας
367 Ὀνησίμου πόλεως Ἰλίστρων
368 Ὀλυμπίου πόλεως Οὐσάδων
συναινῶν ὑπέγραψα: —
ΤΜΕ Βασίλειος ἐπίσκοπος Σελευκείας μητροπόλεως Ἰσαυρίας ὁρίσας ὑπέγραψα καὶ ὑπὲρ τῶν ἀπόντων ὑπ' ἐμὲ ἐπισκόπων
369 Ἀντωνίου Νεφελίδος
370 Ἰακώβου Ἀνεμωρίου
371 Νουνεχίου Χαράδρων
372 Διαφεροντίου Ὄλβης
373 Ἀντωνίου Δομετιουπόλεως
374 Στεφάνου Δαλισάνδου
375 Παύλου Ἱεραπόλεως
376 Μηνοδώρου Εἰρηνουπόλεως
377 Κόνωνος Σβίδης: —
ΤΜϚ Νουνέχιος ἐπίσκοπος Λαοδικείας τῆς μητροπόλεως ὁρίσας ὑπέγραψα καὶ ὑπὲρ τῶν ἀπόντων ὑπ' ἐμὲ ἐπισκόπων
378 Συμμαχίου πόλεως Ἀττούδων
379 Φιλητοῦ πόλεως Χαιρατάπων
380 Ἐπιφανίου πόλεως Κολασσῶν
381 Εὐαγόρα πόλεως Ἰλούζων
382 Ζωσίμου πόλεως θεμισσοῦ
383 Ἀντιόχου πόλεως Σανάων
384 Φιλαδέλφου πόλεως Ἀτανασσοῦ
385 Ἀραβίου πόλεως Συννάου

M, B [= ab], Φ

3 *Cyrus* Φ κύριλλοσ MB *Anazarborum* Φ^a 5 καστάβησ MB 6 ἀλεξάνδρου B^b 7 *Aegeorum* Φ^a 10 ἐπισκόπων om. B^a 11 Βαράτων Φ^{ar} βαράγων $M\Phi^c$ βαράγγων B 15 γδαμαυτοῦ $M\Phi^a$ γδμαυτοῦ B ὑδμαυτοῦ B^b *Gedammao* Φ^{cr} 16 περσῶν B 21 ἰσαυρίασ μητροπόλεωσ B^b ὁρίσας om. M 23 νεφελιάδοσ B^a 31 Σβίδης scripsi βίδησ B βήδησ M *bidis* Φ^a *isbidae* Φ^c *isidae* Φ^r 33 ἐπισκόπων om. M 35 Χαρατάπων MB, corr. M 37 ελλούζων M 38 *Themisonii* Φ^{cr} *Themissonii* Φ^a 39 συναῶν M *sanao* Φ^a 40 *Filadelfo* Φ^a *Philadelphio* Φ^{cr} 41 ἁραμίου B

386 Ἡρακλείου πόλεως Κυδισσοῦ
387 Γαίου πόλεως Ἀλίων
388 Ματθία πόλεως Τεμενουθύρων
389 Φιλίππου πόλεως Πελτῶν
390 Τατιανοῦ πόλεως Φιλιππουπόλεως: —

ΤΜΖ Ὀλύμπιος ἐπίσκοπος τῆς μητροπόλεως Κύπρου ὁρίσας ὑπέγραψα διὰ Ἐπαφροδίτου ἐπισκόπου πόλεως Ταμάσου καὶ ὑπὲρ τῶν ἀπόντων

391 Ἑρμολάου πόλεως
392 Καρτερίου πόλεως
393 Ἀριστοκλέους
394 Τιβεριανοῦ πόλεως
395 Νικοπολίωνος πόλεως: —

ΤΜΗ Συμεώνης ἐπίσκοπος Ἀμίδης τῆς μητροπόλεως ὑπέγραψα καὶ ὑπὲρ τῶν ὑπ' ἐμὲ

396 Εὐσεβίου Μαρωνουπόλεως
397 Καιουμᾶ Οὐαλαρσεκουπόλεως M VII 168
398 Σηρικίου πόλεως

διὰ Πέτρου πρεσβυτέρου: —

ΤΜΘ Περγάμιος ἐπίσκοπος Ἀντιοχείας τῆς Πισιδῶν μητροπόλεως ὑπέγραψα καὶ ὑπὲρ τῶν ἀπόντων θεοφιλεστάτων ἐπισκόπων τῆς προειρημένης ἐπαρχίας

399 Ἀπελλίου πόλεως
400 Πρωτογένους πόλεως
401 Μαρκελλίνου πόλεως
402 Μαξιμίνου πόλεως
403 Τιμοθέου πόλεως
404 Εὐτροπίου πόλεως
405 Ἀρμενίου πόλεως
406 Μουσωνίου πόλεως

ΤΝ Στέφανος ἐπίσκοπος Ἐφέσου τῆς μητροπόλεως καὶ ὑπὲρ τῶν ὑπ' ἐμὲ ἀπόντων L IIII 606 θεοσεβεστάτων ἐπισκόπων, τουτέστιν

407 Εὐτροπίου πόλεως Περγάμου
408 Φλαβιανοῦ πόλεως Ἀδραμυττίου
409 Μαξίμου πόλεως Ἀσσοῦ
410 Ἀρετιανοῦ πόλεως Ἀντάνδρων
411 Χρυσογόνου πόλεως Μύκης
412 Ἀλεξάνδρου πόλεως Μαγνησίας
413 Εὐσταθίου πόλεως Τεμένου
414 Δρακοντίου πόλεως Ἐρυθρῶν
415 Γενναδίου πόλεως Τέων
416 Ἰουλιανοῦ πόλεως Λεβέδου
417 Ἀλεξάνδρου πόλεως Κολοφῶνος

M, B [= ab], Φ

1 κηδισσοῦ M^{corr} 3 τεμένου θηρῶν M^{corr} 4 et huc et ad p. 152, 41 pertinet Coll. Dionys. aucta 335 Σ *Philippus Ancyras sideras* 5 *Tatiano* Φ τατίνου MB 11 τιβεριανουπόλεωσ M τιβεριουπόλεωσ B *Tiberio* Φ; neque Καρτεριόπολις neque Τιβεριούπολις neque Νικόπολις unquam inter Cypri sedes episcopales uel omnino ciuitates commemorantur 12 νικοπολίωνοσ MB$Φ^a$ *nicopolis* $Φ^{cr}$ 15 μαρονουπόλεωσ B Σοφανηνῆς Coll. Dionys. aucta 114 Ἰγγίλης Σ 16 Ἰγγίλης Coll. Dionys. aucta 113 Σοφανηνῆς Σ 19 πισσιδῶν B 20 καὶ om. B^b 21 *Apellino* Φ 24 *Maximo* $Φ^{cr}$ 34 ἀττάνδρων MB 35 Κύμης Φ, cf. Hierocl. 661, 3 37 *timeni* [i. e. Τημένου] $Φ^a$

418 Ζωτικοῦ πόλεως Ἀναΐας
419 Ἰσιδώρου πόλεως Πριήνης
420 Μαξίμου πόλεως Τράλλεων
421 Σαββατίου πόλεως Μασταύρων
422 Εὐστοργίου πόλεως Διὸς ἱεροῦ
423 Γεροντίου πόλεως Ἀρκαδιουπόλεως
424 Θωμᾶ πόλεως Αὐλίου κώμης
425 Ῥουφίνου πόλεως
426 Ἰωάννου πόλεως Βαρέττων
425 Βασιλείου πόλεως Σέων
426 Ἀλεξάνδρου πόλεως Μοναύλης
συναινέσας ὑπέγραψα διὰ Ἑσπερίου ἐπισκόπου Πιτάνης: —

ΤΝΑ Κωνστάντιος ἐπίσκοπος τῆς μητροπόλεως Βόστρων καὶ ὑπὲρ τῶν ὑπ' ἐμὲ θεοφιλεστάτων ἐπισκόπων
427 Πλάκκου πόλεως Γεράσων
428 Ζώσυος πόλεως Ἐσβούντων
429 Μάλχου πόλεως Αἴνου
430 Γαΰτου πόλεως Νεέλων
431 Νόννου πόλεως Ζεραμένης
432 Χίλωνος πόλεως Νέας πόλεως
433 Ἰωάννου πόλεως Ἔρρης
434 Ἰοβίου πόλεως Νέβης
435 Γαιανοῦ πόλεως Μηδάβων
436 Σευήρου Μαξιμιανουπόλεως
437 Ἀναστασίου πόλεως Εὐτιμίας
438 Σολέμου πόλεως Κωνσταντιανῆς
439 Μάρα πόλεως Διονυσιάδος
συναινέσας ὑπέγραψα: —

M VII 169 ΤΝΒ Θεόδωρος ἐπίσκοπος τῆς μητροπόλεως Δαμασκοῦ καὶ ὑπὲρ τῶν ὑπ' ἐμὲ θεοφιλεστάτων ἐπισκόπων
440 Ἰωάννου πόλεως Παλμύρας
441 Δάδα πόλεως Χοναχάρων
442 Εὐσεβίου πόλεως Ἰαβρούδων
443 Θεοδώρου πόλεως Δανάβων
444 Ἀβραμίου πόλεως Ἀρλάνων
445 Πέτρου πόλεως Κοραδέων
συναινέσας ὑπέγραψα

ΤΝΓ Στέφανος ἐπίσκοπος τῆς μητροπόλεως Ἱεραπόλεως καὶ ὑπὲρ τῶν ὑπ' ἐμὲ θεοφιλεστάτων ἐπισκόπων
446 Οὐρανίου πόλεως Σούρων
447 Μάρα πόλεως Ὠρίμων
448 Δαυὶδ πόλεως Εὐρωποῦ
449 Κοσμᾶ πόλεως

M, B [= ab], Φ

2 *Prienae* Φ πριαίνησ M τριαίνησ B 3/4 Τράλλεων — πόλεως om. B 7 = supra 185 8. 9 om. B^b 10 σέων [i. e. Σιών] M ἀσαίων B *teorum* $Φ^{cr}$ *reorum* $Φ^a$ 11 μεναύλησ B 13 *Constantinus* $Φ^{cr}$ 15 πλάκου B 19 ξεραβένησ $B^bΦ$ 20 χειλωνοσ B 26 *Constantinae* et *Constantianae* Φ 27 βάρα B 34 δάβων B^a δάβρων B^b 35 ἀβρααμίου M ἀρχάων B^b 36 κοραδαίων MB

450 Μαριανοῦ πόλεως Ῥοσαφᾶ
συναινέσας ὑπέγραψα: —
451 ΤΝΔ Γρηγόριος ἐπίσκοπος Ἀδριανουπόλεως ὁρίσας ὑπέγραψα: —
452 ΤΝΕ Ἰουβενάλιος ἐπίσκοπος Διβέλλου ὁρίσας ὑπέγραψα: —

10 Ὁ θειότατος καὶ εὐσεβέστατος ἡμῶν δεσπότης πρὸς τὴν ἁγίαν σύνοδον εἶπεν· Λεγέτω ἡ ἁγία σύνοδος εἰ κατὰ συναίνεσιν πάντων τῶν ὁσιωτάτων ἐπισκόπων ὁ νῦν ἀναγνωσθεὶς ὅρος ἐξεφωνήθη.

Ῥω ἀνέγνων ἀνέγνωμεν ἀνέγνω.

11 Πάντες ἐβόησαν· Πάντες οὕτως πιστεύομεν. μία πίστις μία γνώμη. πάντες τὸ αὐτὸ φρονοῦμεν. πάντες συναινέσαντες ὑπεγράψαμεν. πάντες ὀρθόδοξοι ἐσμέν. αὕτη ἡ πίστις τῶν πατέρων. αὕτη ἡ πίστις τῶν ἀποστόλων. αὕτη ἡ πίστις τῶν ὀρθοδόξων. αὕτη ἡ πίστις τὴν οἰκουμένην ἔσωσεν. Μαρκιανῶι νέωι Κωνσταντίνωι νέωι Παύλωι νέωι Δαυίδ. τὰ ἔτη τοῦ Δαυὶδ τῶι βασιλεῖ. εὐσεβῆ, κύριε, ζωὴν αὐτῶι, νέωι Κωνσταντίνωι, νέωι Μαρκιανῶι. ὑμεῖς ἡ εἰρήνη τῆς οἰκουμένης. εὐσεβῆ, κύριε, ζωὴν αὐτῶι. φυλάξει ὑμᾶς ἡ πίστις ὑμῶν. τὸν Χριστὸν τιμᾶις, αὐτός σε φυλάξει. τὴν ὀρθοδοξίαν σὺ ἐβεβαίωσας. ὡς οἱ ἀπόστολοι, οὕτω πιστεύετε. τῆς αὐγούστης πολλὰ τὰ ἔτη. ὑμεῖς φωστῆρες τῆς ὀρθοδοξίας. διὰ ταῦτα πανταχοῦ εἰρήνη, τοὺς φωστῆρας τῆς εἰρήνης κύριε φύλαξον. τοὺς φωστῆρας τῆς οἰκουμένης κύριε φύλαξον. αἰωνία μνήμη νέωι Κωνσταντίνωι. τὴν ἀπὸ γένους ὀρθόδοξον ὁ θεὸς φυλάξει. τὴν φύλακα τῆς πίστεως ὁ θεὸς φυλάξει. τὴν ἀεὶ εὐσεβῆ ὁ θεὸς φυλάξει. τὴν εὐσεβῆ τὴν ὀρθόδοξον τὴν κατὰ τῶν αἱρετικῶν ὁ θεὸς φυλάξει. ὅλους τοὺς αἱρετικοὺς σὺ ἐδίωξας. Νεστόριον καὶ Εὐτυχέα σὺ ἐδίωξας. ἀπείη φθόνος τῆς ὑμῶν βασιλείας. ἄξιοι τῆς πίστεως, ἄξιοι τοῦ Χριστοῦ, ἀπείη φθόνος τῆς ὑμῶν βασιλείας. οἱ πιστοὶ βασιλεῖς οὕτω τιμῶνται. ὁ θεὸς φυλάξει τὸ κράτος ὑμῶν. ὁ θεὸς εἰρηνεύσει τὴν βασιλείαν ὑμῶν. Μαρκιανὸς νέος Κωνσταντῖνος. Πουλχερία νέα Ἑλένη. τῆς Ἑλένης τὴν πίστιν σὺ ἐπεδείξω. τῆς Ἑλένης τὸν ζῆλον σὺ ἐπεδείξω. ἡ ὑμετέρα ζωὴ πάντων ἀσφάλεια. ἡ ὑμετέρα πίστις δόξα τῶν ἐκκλησιῶν. L IIII 607

12 Ὁ θειότατος καὶ εὐσεβέστατος ἡμῶν δεσπότης πρὸς τὴν ἁγίαν σύνοδον εἶπεν· Εἰ καὶ κάματον τῆι ὑμετέραι εὐλαβείαι καὶ σκυλμὸν ἐποιήσαμεν, χάριν μεγίστην ὁμολογοῦ-

14—p. 158, 5 praeter Φ extat altera uersio in Collectione Hispana [Λ^{s}] et Gestorum Chalcedonensium Collectione Vaticana 4 [Λ^{v}, uol. II 2], praeterea cf. eiusdem Collectionis 6 [Λ^{o}]

M, B [= ab], bcv [inde a 5], Φ, Λ^{s} [5—14 αὐτῶι, inde a 29 usque ad p. 156, 7] Λ^{v} [inde a 5], Λ^{o}

1 ῥωσαφᾶ M 2 συναινῶν B 3. 4 om. Φ 4 Ἰοβιανός Coll. Dionys. aucta 16 Σ 5 ἡμῶν δεσπότης] βασιλεὺσ bcv 6 σύναισιν B^{bb} 8 Ῥω — ἀνέγνω om. bcvΦΛ Πάντες ἐβόησαν] ἡ ἁγία σύνοδος ἐξεβόησε v 10 τὸ om. B^{b} 13/14 *pio* Φ^{r} *pie* Φ^{a}Λ^{v} *piissime* Λ^{s} om. Φ^{c} 14 νέωι^{1} — 28 om. Λ^{s} 14 νέωι^{2} om. bv νέω παύλω c 15 *pie* ΦΛ^{v} ἡμῶν v 16 *Christum quem* Φ^{cr} φυλάξοι v 16/17 ὡς οἱ — πιστεύετε] νεστόριον καὶ εὐτυχέα σὺ ἐδίωξασ bcv 17 τῆς — ἔτη om. bv 18 διὰ — εἰρήνη om. bcv 19 τοὺς — φύλαξον] *in solo Acumitano codice inueni* adnotat Rusticus ἡ μνήμη B κωνσταντίνω μαρκιανῶ· πουλχερία νέα ἑλένη· τῆσ ἑλένησ τὸν ζῆλον· σὺ ἐπεδείξω· διὰ [om. b] ταῦτα πανταχοῦ εἰρήνη bcv 20 ὁ — φυλάξει] κύριε φύλαξον bcvΛ^{v} τὴν φύλακα — φυλάξει om. B^{bc} ὁ — φυλάξει] κύριε φύλαξον bv 21 τὴν^{1} — φυλάξει om. bcv 22/23 Νεστόριον — ἐδίωξας om. bcv 23 βασιλείας] *fide* Λ^{v} βασιλείασ ὑμῶν bcv 23—28 ἄξιοι τῆς — ἐκκλησιῶν om. cv 23/24 ἄξιοι τῆς — τιμῶνται om. b 24 ὑμῶν] φιλοχρίστου Φ^{a}Λ^{v} οὕτε B^{b} 25—27 Μαρκιανὸς — ἀσφάλεια om. b 26 τῆς Ἑλένης om. B 26/27 τὴν — Ἑλένης om. Φ^{cr} 27 post ἐπεδείξω habet *crucem Christi tu defendis. inuenit Helena, saluauit Pulcheria* Λ^{v} 29 εὐλαβέστατοσ MB^{a} 29—p. 156, 13 ποιμένων hic om. bcv, cf. ad p. 156, 14 30 praemittit τῆς — φανερωθείσης [p. 156, 15—17] Λ^{s} εὐλαβείαι om. c

μεν τῶι πάντων σωτῆρι θεῶι ὅτι πολλῶν πλανωμένων περὶ τὴν πίστιν ἀναιρεθείσης τῆς διχονοίας εἰς μίαν καὶ τὴν αὐτὴν ὁμογνωμόνως θρησκείαν ἅπαντες συνήλθομεν, ἐλπίζοντες τὴν ταχίστην πρὸς τὸ κρεῖττον ταῖς ὑμετέραις πρεσβείαις καὶ τὴν ἐπὶ πᾶσιν εἰρήνην ἡμῖν παρὰ τοῦ θεοῦ δωρηθήσεσθαι.

13 Πάντες ἐβόησαν· Ταῦτα ἄξια τῆς ὑμῶν βασιλείας. ταῦτα ἴδια τῆς ὑμῶν βασιλείας. τοῦτο κατόρθωμα τῆς σῆς βασιλείας, ἄξιε τῆς πίστεως, ἄξιε τοῦ Χριστοῦ, ἄξιε καὶ τῆς βασιλείας καὶ τῆς θρησκείας. διὰ ταῦτα εἰρηνεύει ἡ οἰκουμένη. ταῦτα ἄξια τῆς ὑμῶν βασιλείας. διὰ σοῦ ἡ ὀρθοδοξία ἐβεβαιώθη, διὰ σὲ οὐκ ἔνι αἵρεσις.
M VII 173 οὐράνιε βασιλεῦ, τὸν ἐπίγειον φύλαξον· διὰ σοῦ βεβαία ἡ πίστις. οὐράνιε βασιλεῦ, τὴν αὐγούσταν φύλαξον· διὰ σοῦ βεβαία ἡ πίστις. εἷς θεὸς ὁ τοῦτο ποιήσας. οὐράνιε βασιλεῦ, τὴν αὐγούσταν φύλαξον. ἄξιοι τῆς εἰρήνης. τοὺς αἱρετικοὺς σὺ ἐδίωξας. Νεστορίωι καὶ Εὐτυχεῖ ἀνάθεμα, ἀνάθεμα καὶ Διοσκόρωι. δι' ὑμᾶς ἡ πίστις, δι' ὑμᾶς ἡ εἰρήνη. αὕτη εὐχὴ τῶν ἐκκλησιῶν, αὕτη εὐχὴ τῶν ποιμένων. Νεστορίωι καὶ Εὐτυχεῖ καὶ Διοσκόρωι ἀνάθεμα.

14 Ὁ θειότατος καὶ εὐσεβέστατος ἡμῶν δεσπότης πρὸς τὴν ἁγίαν σύνοδον εἶπεν· Τῆς εὐσεβοῦς καὶ καθολικῆς πίστεως παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου κατὰ τὴν τῶν πατέρων ἔκθεσιν φανερωθείσης δίκαιον ὁμοῦ καὶ συμφέρον εἶναι ἡ ἡμετέρα γαληνότης ἐδοκίμασεν πᾶσαν τοῦ λοιποῦ φιλονεικίας ἀφορμὴν περὶ τῆς εὐαγοῦς θρησκείας ἀναιρεθῆναι. εἴ τις τοίνυν ἰδιώτης ἢ στρατείαι προσομιλήσας ἢ εἰς κλῆρον τελῶν δημοσίαι περὶ τῆς πίστεως ὀχλαγώγιον συναγαγὼν ἐν προσχήματι διαλέξεως θόρυβον ἐμποιεῖ, ἵστω ὡς ὁ μὲν ἰδιώτου τύχην ἐπιγραφόμενος τῆς βασιλίδος ἐξελαθήσεται πόλεως, ὁ δὲ στρατευόμενος περὶ τῆς ἑαυτοῦ στρατείας καὶ ὁ κληρικὸς περὶ τοῦ ἰδίου βαθμοῦ κινδυνεύσουσι καὶ ἑτέραις ὑποβληθήσονται τιμωρίαις.

15 Πάντες ἐβόησαν· Πολλὰ τὰ ἔτη τοῦ βασιλέως. τοῦ φιλοχρίστου βασιλέως πολλὰ τὰ ἔτη. τῶι εὐσεβεῖ, τῶι Χριστιανῶι. τὰς ἐκκλησίας σὺ ὤρθωσας, τὴν ὀρθο-
L IIII 610 δοξίαν σὺ ἐστήριξας. τῆς αὐγούστης πολλὰ τὰ ἔτη τῆι εὐσεβεῖ καὶ φιλοχρίστωι. τὴν ὑμετέραν βασιλείαν ὁ θεὸς φυλάξει. τοὺς αἱρετικοὺς ὑμεῖς ἐξεβάλετε. Νεστορίωι καὶ Εὐτυχεῖ καὶ Διοσκόρωι ἀνάθεμα. ἡ τριὰς τοὺς τρεῖς καθεῖλεν. ἡ τριὰς τοὺς τρεῖς ἐξέβαλεν. δι' αἰῶνος ἡ ὑμῶν βασιλεία.

16 Ὁ θειότατος καὶ εὐσεβέστατος ἡμῶν δεσπότης πρὸς τὴν ἁγίαν σύνοδον εἶπεν· Τινά ἐστι κεφάλαια ἅττινα πρὸς τιμὴν τῆς ὑμετέρας εὐλαβείας ὑμῖν ἐφυλάξαμεν, πρέπον ἡγησάμενοι παρ' ὑμῶν ταῦτα κανονικῶς κατὰ σύνοδον τυπωθῆναι ἢ νόμοις θεσπισθῆναι ἡμετέροις.

Καὶ κατὰ κέλευσιν τοῦ θειοτάτου καὶ εὐσεβεστάτου ἡμῶν δεσπότου Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κωνσιστωρίου τὰ κεφάλαια ἀνέγνω οὕτως

---

30 σημειωτέον τὴν τοῦ βασιλέως εὐσέβειαν ὅπως τὴν σύνοδον προτετίμηκεν ἢ ἑαυτὸν ἐν τῆι τῶν κεφαλαίων ἐκθέσει M^{mg}

30—33 adfert Pelagius papa II t. IIII 2 p. 127

M, B [= ab], bcv [13. 14. 1—4] Φ, Λ^{s} [1—7 οἰκουμένη. 15—23], Λ^{v} [1—33], (Λ^{o})

1 σωτῆρι om. c θεῶι bcvΦΛ^{o}Λ^{s} χῶ MBΛ^{v} 2/3 *nunc . . conuenimus* Φ^{cr}Λ^{s} *etiam modo conuenimus* Λ^{v} 4 δωρήσεσθαι bv 5 ὑμῶν^{1}] ἡμῶν M 7 *digne imperio, digne fide et religione* Φ^{cr} 7 ταῦτα^{2} — 14 om. Λ^{s} 10 *augustum* Φ^{a} διὰ — πίστις om. Φ^{a} εἷς] *bonus* Λ^{v} 11 *augustum* Φ^{a} ἄξιοι MBΛ^{v} ἄξιε Φ 13 αὕτη^{1} ἡ B^{b} 14 ἀνάθεμα ἡ τριὰσ τοὺς τρεῖσ καθεῖλεν [huc usque b] ὁ θ̄σ̄ φυλάξει τὸ κράτοσ ὑμῶν· ὁ θ̄σ̄ εἰρηνεύσει τὴν βασιλείαν ὑμῶν· ἡ ὑμετέρα πίστισ δόξα τῶν ἐκκλησιῶν bcv, tum secuntur in bcv p. 155, 29—p. 156, 4 16 καθολικῆσ ἡμῶν B 22 κινδυνεύσει B 23 ὑποβληθήσεται B 24 πολλὰ — τοῦ βασιλέως om. Φ^{a} 24/25 τοῦ φιλοχρίστου — ἔτη] *multos annos augustae* Φ^{cr} 25 τῶ — Χριστιανῶ MBΦ^{cr}Λ^{v} *imperatori multi anni piissimo et Christianissimo* Φ^{a} 26 τῆι — φιλοχρίστωι] *multi anni piissime amanti* χ̄ρ̄ῑ Φ^{a} 28/29 ἡ τριὰς^{2} — ἐξέβαλεν om. Λ^{v} 34—p. 157, 27 om. Λ^{v}

17 Τοὺς ἀληθῶς καὶ εἰλικρινῶς τὸν μονήρη μετιόντας βίον τῆς ὀφειλομένης αὐτοῖς ἀξιοῦμεν τιμῆς· ἐπειδὴ δὲ τινὲς τῶι μοναχικῶι κεχρημένοι προσχήματι καὶ τὰς ἐκκλησίας M VII 176 καὶ τὰ κοινὰ διαταράττουσι πράγματα, ἔδοξε μηδένα μὲν οἰκοδομεῖν μοναστήριον παρὰ γνώμην τοῦ τῆς πόλεως ἐπισκόπου, μήτε δὲ ἐν κτήματι παρὰ γνώμην τοῦ δεσπότου τοῦ κτήματος. τοὺς δὲ καθ' ἑκάστην πόλιν καὶ χώραν μονάζοντας ὑποτετάχθαι τῶι ἐπισκόπωι καὶ τὴν ἡσυχίαν ἀσπάζεσθαι καὶ προσέχειν μόνηι τῆι νηστείαι καὶ τῆι προσευχῆι, μήτε δὲ ἐκκλησιαστικοῖς ἢ δημοσίοις παρενοχλεῖν πράγμασιν, εἰ μή ποτε ἄρα ἐπιτραπεῖεν διὰ χρείαν ἀναγκαίαν ὑπὸ τοῦ τῆς πόλεως ἐπισκόπου. μήτε μὴν ἐξουσίαν ἔχειν τοὺς μονάζοντας δέχεσθαι ἐν τοῖς ἑαυτῶν μοναστηρίοις δούλους ἢ ἐναπογράφους παρὰ γνώμην τῶν δεσποτῶν.

18 Ἐπειδὴ δὲ τινὲς τῶν ἐν τῶι κλήρωι κατειλεγμένων καὶ τῶν μοναζόντων τὴν φιλοχρηματίαν νοσοῦντες εἰς φροντίδας βιωτικῶν πραγμάτων ἑαυτοὺς ἐμβάλλουσι μισθωταὶ κτημάτων ἢ ἐπίτροποι καθιστάμενοι ἢ οἰκίαις προσεδρεύοντες ὡς διοικοῦντες, ἔδοξε τῆι ἁγίαι ταύτηι καὶ μεγάληι συνόδωι μηδένα κληρικὸν μισθοῦσθαι κτήματα ἢ ἐπιτροπὴν ἀναδέχεσθαι, εἰ μή ποτε ἄρα παρὰ τοῦ ἰδίου ἐπισκόπου ἐπιτραπεῖεν τῶν ἐκκλησιαστικῶν κτημάτων ποιεῖσθαι φροντίδα. εἰ δέ τις μετὰ τὸν ὅρον τοῦτον ἢ αὐτὸς τολμήσοι μισθώσασθαι ἢ δι' ἄλλου τινὸς τοιαύτην ἀναδέξασθαι φροντίδα, τῶι ἐκκλησιαστικῶι τοῦτον ὑποβάλλεσθαι ἐπιτιμίωι· εἰ δὲ ἐπιμένει φιλονεικῶν, γυμνοῦσθαι αὐτὸν τοῦ ἀξιώματος.

19 Κληρικοὺς εἰς ἐκκλησίαν τελοῦντας μὴ ἐξεῖναι εἰς ἄλλης πόλεως τάττεσθαι ἐκκλησίαν, ἀλλὰ στέργειν ἐκείνην ἐν ἧι λειτουργεῖν ἐξ ἀρχῆς ἠξιώθησαν, ἔξω ἐκείνων οἵτινες ἀπολέσαντες τὰς οἰκείας πατρίδας ἀπὸ ἀνάγκης εἰς ἄλλην ἐκκλησίαν μετῆλθον. εἰ δέ τις μετὰ τὸν ὅρον τοῦτον τὸν ἄλλωι ἐπισκόπωι προσήκοντα δέξαιτο κληρικόν, ἔδοξεν ἀκοινώνητον γενέσθαι καὶ τὸν δεχθέντα καὶ τὸν δεξάμενον, ἕως ἂν ὁ ἀποστὰς κληρικὸς εἰς τὴν ἰδίαν ἐπανέλθηι ἐκκλησίαν.

20 Καὶ μετὰ τὴν ἀνάγνωσιν ἐπιδοθέντων τῶν κεφαλαίων παρὰ τοῦ θειοτάτου καὶ L IIII 611 εὐσεβεστάτου ἡμῶν δεσπότου τῶι θεοφιλεστάτωι ἀρχιεπισκόπωι τῆς βαοιλίδος Κωνσταν- 26 τινουπόλεως νέας Ῥώμης Ἀνατολίωι πάντες οἱ θεοφιλέστατοι ἐπίσκοποι ἐβόησαν· Πολλὰ τὰ ἔτη τῶν βασιλέων. τῶι εὐσεβεῖ, τῶι Χριστιανῶι. ὁ Χριστὸς ὃν σέβηι, M VII 177 αὐτός σε φυλάξει. ταῦτα τῆς πίστεως ἄξια. τῶι ἱερεῖ, τῶι βασιλεῖ. τὰς ἐκκλησίας σὺ ὤρθωσας, νικητὰ πολεμίων, διδάσκαλε πίστεως. πολλὰ τὰ ἔτη τῆς αὐγούστης. 30 τῆι εὐσεβεῖ, τῆι φιλοχρίστωι. τῆς ὀρθοδόξου πολλὰ τὰ ἔτη. τὴν ὑμετέραν βασιλείαν ὁ θεὸς φυλάξει. τοὺς αἱρετικοὺς ὑμεῖς καθείλετε. τὴν πίστιν ὑμεῖς ἐφυλάξατε. ἄφθονα τῆς ὑμῶν βασιλείας. δι' αἰῶνος ἡ ὑμῶν βασιλεία.

21 Ὁ θειότατος καὶ εὐσεβέστατος ἡμῶν δεσπότης πρὸς τὴν ἁγίαν σύνοδον εἶπεν· Εἰς τιμὴν τῆς τε ἁγίας μάρτυρος Εὐφημίας καὶ τῆς ὑμετέρας ὁσιότητος τὴν Χαλκηδονέων 35 πόλιν, ἐν ἧι τὰ τῆς ἁγίας πίστεως κατὰ σύνοδον διεκροτήθη, μητροπόλεως ἔχειν πρεσβεῖα ἐθεσπίσαμεν, ὀνόματι μόνωι ταύτην τιμήσαντες, σωιζομένου δηλαδὴ τῆι Νικομηδέων μητροπόλει τοῦ οἰκείου ἀξιώματος. Ῥω

22 Πάντες ἐβόησαν· Δικαία ἡ κρίσις τοῦ βασιλέως. ἄξιε τῆς ἁγίας [τριάδος]. ἐν πάσχα τῆι οἰκουμένηι. τὰς περιστάσεις τῶν ἐπισκόπων ὑμεῖς κωλύσατε. ἡ ἁγία 40 [τριὰς] φυλάξει σε. δεόμεθα, ἀπόλυσον ἡμᾶς. εὐσεβὴς εἶ, βασιλεῦ, ἀπόλυσον ἡμᾶς.

41—p. 158, 4 adfert Pelagius papa II t. IIII 2 p. 127

M, B [= ab], Φ, Λ^{v} [inde a 27], (Λ^{o})

12 πραγμάτων B^{a}Φ^{cr} ἀνθρώπων MB^{b}Φ^{a} γρ ἀνθρώπων B^{a} in mg 19 ἀλλὰ κληρικοὺσ M^{corr} 21 ἰδίασ B 26 *episcopo* Φ 27 νέας Ῥώμης om. Φ οἱ — ἐπίσκοποι om. Φ θεοφιλέστατοι καὶ εὐσεβέστατοι M 28 τῶν βασιλέων] *imperatori* Φ *principem* Λ^{v} 30 πολέμων ΦΛ^{v} 31 τῆι^{1}] τῶ M 36 τὰ om. B^{b} 39 τριάδοσ MBΦ^{a} *martyre* Φ^{cr}Λ^{v}, cf. 35 40 τὰς — κωλύσατε om. Λ^{v} *circumuentiones* Φ^{cr} *uiolentias* Φ^{a} παραστάσεισ MB 41 τριὰσ MBΦ^{a} om. Φ^{cr}Λ^{v} εὐσεβὴς — ἡμᾶς om. B^{b}Λ^{v}

23 Ὁ θειότατος καὶ εὐσεβέστατος ἡμῶν δεσπότης πρὸς τὴν ἁγίαν σύνοδον εἶπεν· Κεκμήκατε τῶι καλῶι διαστήματι σκυλμὸν ὑπομείναντες· ἀναμείνατε δὲ τρεῖς ἡμέρας ἢ τέσσαρας ἔτι καὶ παρόντων τῶν μεγαλοπρεπεστάτων ἡμῶν ἀρχόντων ἕκαστα ὧν βούλεσθε, κινήσατε, τῆς προσηκούσης βοηθείας ἀξιωθησόμενοι. μηδεὶς δὲ ὑμῶν πρὸ τοῦ τελείους τύπους πάντων δοθῆναι τῆς ἁγίας ἀναχωρήσηι συνόδου. Ῥω

L IIII 755 M VII 357 Ὅροι ἐκκλησιαστικοὶ ἐκφωνηθέντες παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τῆς ἐν Χαλκηδόνι συναχθείσης

Πρᾶξις γ̄

1 Τοὺς παρὰ τῶν ἁγίων πατέρων καθ' ἑκάστην σύνοδον ἄχρι τοῦ νῦν ἐκτεθέντας κανόνας κρατεῖν ἐδικαιώσαμεν.

2 Εἴ τις ἐπίσκοπος ἐπὶ χρήμασι χειροτονίαν ποιήσαιτο καὶ εἰς πρᾶσιν καταγάγοι τὴν ἄπρατον χάριν καὶ χειροτονήσοι ἐπὶ χρήμασιν ἐπίσκοπον ἢ χωρεπίσκοπον ἢ πρεσβύτερον ἢ διάκονον ἢ ἕτερόν τινα τῶν ἐν τῶι κλήρωι καταριθμουμένων ἢ προβάλοιτο ἐπὶ χρήμασιν [ἢ] οἰκονόμον ἢ ἔκδικον ἢ παραμονάριον ἢ ὅλως τινὰ τοῦ κανόνος δι' αἰσχρο-
M VII 360 κέρδειαν οἰκείαν, ὁ τοῦτο ἐπιχειρήσας ἐλεγχθεὶς κινδυνευέτω περὶ τὸν οἰκεῖον βαθμὸν καὶ ὁ χειροτονούμενος μηδὲν ἐκ τῆς κατ' ἐμπορίαν ὠφελείσθω χειροτονίας ἢ προβολῆς, ἀλλ' ἔστω ἀλλότριος τῆς ἀξίας ἢ τοῦ φροντίσματος οὗπερ ἐπὶ χρήμασιν ἔτυχεν. εἰ δέ τις καὶ μεσιτεύων φανείη τοῖς οὕτως αἰσχροῖς καὶ ἀθεμίτοις λήμμασιν, καὶ οὗτος εἰ μὲν κληρικὸς εἴη, τοῦ οἰκείου ἐκπιπτέτω βαθμοῦ· εἰ δὲ λαικὸς ἢ μονάζων, ἀναθεματιζέσθω.

3 Ἦλθεν εἰς τὴν ἁγίαν σύνοδον ὅτι τῶν ἐν τῶι κλήρωι κατειλεγμένων τινὲς δι' αἰσχροκέρδειαν οἰκείαν ἀλλοτρίων κτημάτων γίνονται μισθωταὶ καὶ πράγματα κοσμικὰ ἐργολα-

---

Canonum uersiones Latinae praeter Φ sunt 1) Prisca quae dicitur [Λ^{p}]; 2) Dionysii [Λ^{d}], quam transscripsit Φ^{a}, hic illic ex Γ correxerunt Φ^{c}Φ^{r}; 3) Isidori quae dicitur [Λ^{i}]; 4) quae extat in Collectione quae dicitur Theodosii diaconi [Λ$^{\theta}$]; 5) quae extat in codice Meermano-Wetstreeniano 9 [Λ^{w}]. uersio Syriaca [Σ] exhibetur in Collectione canonum quam edidit Schulthess in *Abhndlg. d. Gött. Ges. d. Wiss. N. F.* X 2 p. 121 sq. praeter MB Graece extant in Canonum sylloga XIIII titulorum

---

M, B [= ab], ΦΛ^{v}(Λ^{o}), Λ$^{\theta}$ [1—5]

1 *dominus noster Marcianus perpetuus augustus* Φ *noster imperator perpetuus augustus* Λ$^{\theta}$ 2 πολλῶ MΦ^{a} 4 ἀξιωθησόμενοι MBΦΛ$^{\theta}$ ἀξιωθησόμενα Λ^{v}Λ^{o} δὲ om. B^{b} ἡμῶν B^{b} πρὸσ τοὺσ B^{b}

M, B [= ab], K [= abcdefhlpqruyz], Λ^{p}Λ^{d}Λ^{i}Λ$^{\theta}$Λ^{w}Σ

Canones hoc loco et pro septima actione exhibent MBΦ^{a}, cf. Fac. 5, 3 p. 715 *canones qui utiliter ibi sunt post definitionem fidei constituti* et Euagr. 2, 18 p. 92, 9 Bid., post actionem de Athanasio Perrensi, quae apud Graecos est quinta decima, collocant Liberatus 13 p. 93 et Φ^{c}Φ^{r}; cf. quae exposui in *Abhndlg. d. Bayer. Akad. d. Wiss.* XXXII 2 p. 18

6—8 MBΛ$^{\theta}$, cf. Λ^{d}, κανόνεσ τῶν χλ̄ ἁγίων [ἁγίων καὶ μακαρίων y] πατέρων τῶν ἐν χαλκηδόνι [καλχηδόνι h] συνελθόντων ὑπατείασ [ἐπὶ ὑπατείασ c ὑπατία d] μαρκιανοῦ τοῦ αἰωνίου αὐγούστου καὶ τοῦ δηλωθησομένου τῇ πρὸ ὀκτὼ καλανδῶν νοεμβρίων [νοεμβρίου h σεπτεμβρίων u] abcdefhpquyz κανόνεσ τῶν χλ̄ ἁγίων καὶ μακαρίων πατέρων τῶν ἐν χαλκηδόνι συνελθόντων ἐπὶ μαρκιανοῦ τοῦ εὐσεβεστάτου βασιλέωσ lr 7 τῇ χαλκηδόνι B 9 sq. numeros Graecos adscr. K, Latinos Λ 11 ποιήσοιτο l ποιήσειται u πρᾶσιν] πράγμα d καταγάγη MB 12 χειροτονήσει MB^{a}d χειροτονήση B^{b}u ἐπίσκοπον ἐπὶ χρήμασιν r ἐπίσκοπον — ἢ^{2} om. Λ^{w} ἢ χωρεπίσκοπον om. Λ^{d} 12/13 πρεσβυτέρουσ ἢ διακόνουσ K 13 τινα om. y τῶι om. u κατηριθμημένων de κατηριθμημένον h προβάλλοιτο dlpqruy 14 ἢ^{1} MB om. K, Λ ut uidetur, omnes ἢ παραμονάριον KΣ ἢ προσμονάριον MB om. Λ^{d}Λ^{w} τινὰ om. u τῶν κανόνων d 15 ὁ om. lr τούτω B περὶ τὸν οἰκεῖον κινδυνευέτω B 16 χειροτονίασ ὠφελείσθω z ὠφελεῖσθαι c 17 φρονήματοσ d 19 ἀναθεματιζέσθωσαν h ἀνάθεμα ἔστω y 20/21 οἰκείαν αἰσχροκέρδειαν B αἰσχροκέρδειαν KΛ^{pdiw} 21/p. 159, 1 ἐργολαμβάνονται lr

βοῦσι, τῆς μὲν τοῦ θεοῦ λειτουργίας καταραθυμοῦντες, τοὺς δὲ τῶν κοσμικῶν ὑποτρέχοντες οἴκους καὶ οὐσιῶν χειρισμοὺς ἀναδεχόμενοι διὰ φιλαργυρίαν. ὥρισεν τοίνυν ἡ ἁγία καὶ μεγάλη σύνοδος μηδένα τοῦ λοιποῦ μὴ ἐπίσκοπον μὴ κληρικὸν μὴ μονάζοντα ἢ μισθοῦσθαι κτήματα ἢ πραγμάτων ἐπεισάγειν ἑαυτὸν κοσμικαῖς διοικήσεσι πλὴν εἰ μή που ἐκ νόμων καλοῖτο εἰς ἀφηλίκων ἀπαραίτητον ἐπιτροπὴν ἢ ὁ τῆς πόλεως ἐπίσκοπος ἐκκλησιαστικῶν ἐπιτρέψοι φροντίζειν πραγμάτων ἢ ὀρφανῶν καὶ χηρῶν ἀπρονοήτων L IIII 758 καὶ τῶν προσώπων τῶν μάλιστα τῆς ἐκκλησιαστικῆς δεομένων βοηθείας διὰ τὸν φόβον τοῦ κυρίου. εἰ δέ τις παραβαίνειν τὰ ὡρισμένα τοῦ λοιποῦ ἐπιχειρήσοι, ὁ τοιοῦτος ἐκκλησιαστικοῖς ὑποκείσθω ἐπιτιμίοις.

4 Οἱ ἀληθῶς καὶ εἰλικρινῶς τὸν μονήρη μετιόντες βίον τῆς προσηκούσης ἀξιούσθωσαν τιμῆς· ἐπειδὴ δὲ τινὲς τῶι μοναχικῶι κεχρημένοι προσχήματι τάς τε ἐκκλησίας καὶ τὰ πολιτικὰ διαταράττουσι πράγματα περιιόντες ἀδιαφόρως ἐν ταῖς πόλεσιν, οὐ μὴν ἀλλὰ καὶ μοναστήρια ἑαυτοῖς συνιστᾶν ἐπιτηδεύοντες, ἔδοξεν μηδένα μὲν μηδαμοῦ οἰκοδομεῖν μηδὲ συνιστᾶν μοναστήριον ἢ εὐκτήριον οἶκον παρὰ γνώμην τοῦ τῆς πόλεως ἐπισκόπου, τοὺς δὲ καθ' ἑκάστην πόλιν καὶ χώραν μονάζοντας ὑποτετάχθαι τῶι ἐπισκόπωι καὶ τὴν ἡσυχίαν ἀσπάζεσθαι καὶ προσέχειν μόνηι τῆι νηστείαι καὶ τῆι προσευχῆι, ἐν οἷς τόποις ἀπετάξαντο, προσκαρτεροῦντας, μήτε δὲ ἐκκλησιαστικοῖς μήτε βιωτικοῖς παρενοχλεῖν πράγμασιν ἢ ἐπικοινωνεῖν καταλιμπάνοντας τὰ ἴδια μοναστήρια, εἰ μή ποτε ἄρα ἐπιτραπεῖεν διὰ χρείαν ἀναγκαίαν ὑπὸ τοῦ τῆς πόλεως ἐπισκόπου. μηδένα δὲ προσδέχεσθαι ἐν τοῖς μοναστηρίοις δοῦλον ἐπὶ τῶι μονάσαι παρὰ γνώμην τοῦ ἰδίου δεσπότου. τὸν δὲ παραβαίνοντα τοῦτον ἡμῶν τὸν ὅρον ὡρίσαμεν ἀκοινώνητον εἶναι, ἵνα μὴ τὸ ὄνομα τοῦ θεοῦ βλασφημῆται, τὸν μέντοι ἐπίσκοπον τῆς πόλεως χρὴ τὴν δέουσαν πρόνοιαν ποιεῖσθαι τῶν μοναστηρίων.

5 Περὶ δὲ τῶν μεταβαινόντων ἀπὸ πόλεως εἰς πόλιν ἐπισκόπων ἢ κληρικῶν ἔδοξε M VII 361 τοὺς περὶ τούτων τεθέντας κανόνας παρὰ τῶν ἁγίων πατέρων ἔχειν τὴν ἰδίαν ἰσχύν.

6 Μηδένα δὲ ἀπολελυμένως χειροτονεῖσθαι μήτε πρεσβύτερον μήτε διάκονον μήτε ὅλως τινὰ τῶν ἐν τῶι ἐκκλησιαστικῶι τάγματι, εἰ μὴ ἰδικῶς ἐν ἐκκλησίαι πόλεως ἢ κώμης ἢ μαρτυρίωι ἢ μοναστηρίωι ὁ χειροτονούμενος ἐπικηρύττοιτο. τοὺς δὲ ἀπολύτως χειροτονουμένους ὥρισεν ἡ ἁγία σύνοδος ἄκυρον ἔχειν τὴν τοιαύτην χειροθεσίαν καὶ μηδαμοῦ δύνασθαι ἐνεργεῖν ἐφ' ὕβρει τοῦ χειροτονήσαντος.

7 Τοὺς ἅπαξ ἐν κλήρωι τεταγμένους ἢ καὶ μονάσαντας ὡρίσαμεν μήτε ἐπὶ στρατείαν L IIII 759 μήτε ἐπὶ ἀξίαν κοσμικὴν ἔρχεσθαι, ἢ τοῦτο τολμῶντας καὶ μὴ μεταμελομένους ὥστε ἐπιστρέψαι ἐπὶ τοῦτο ὃ διὰ θεὸν πρότερον εἵλοντο, ἀναθεματίζεσθαι.

8 Οἱ κληρικοὶ τῶν πτωχείων καὶ μοναστηρίων καὶ μαρτυρίων ὑπὸ τῶν ἐν ἑκάστηι πόλει ἐπισκόπων τὴν ἐξουσίαν κατὰ τὴν τῶν ἁγίων πατέρων παράδοσιν διαμενέτωσαν

M, B [= ab], K [= abcdefhlpqr, t [inde a 8], uyz], ΛPΛ^{d}ΛiΛ$^{\theta}$Λ^{w}Σ

1 καταραθυμοῦσι u καταριθμοῦντεσ h 2 διὰ om. l 3 ἁγία καὶ om. Σ καὶ μεγάλη om. MBc 5 που om. u μόνων y ἀνηλίκων r ἀφήλικον καὶ y ἀφηλίκων παίδων l 6 ἐπιτρέψει h 7/8 διὰ — κυρίου om. Λ$^{\theta}$ 8 δέ om. y παραβαίνων pq ἐπιχειρίσει u 10 ἀληθινὸσ u 11 ἐπειδὴ] εἰ u σχήματι rt τε om. y 12 διαταράσσουσι abcdefu ἐκταράττουσι rt ἐκταράσσουσι h περιόντες elpq διαφόρωσ cdehtu om. Λ$^{\theta}$ 13 μοναστηρίοισ d μὲν ΚΛ^{d}Λ^{w} om. MB 14 μηδὲ] μὴ y 16 μόνον ly 17 προσκαρτεροῦντασ Σ προσκαρτεροῦντεσ MBK 19 δὲ om. u 20 τὸ abefrtuy 20/21 τοὺσ — παραβαίνοντασ — ἀκοινωνήτουσ lrt 24 δὲ om. K, Λ omnes, Σ 25 τεθέντασ K, Λ omnes, Σ om. MB ἰδίαν om. deh 26 δὲ om. K, Λ omnes, Σ 27 τοῖσ h τῶ K om. MB ἐκκλησιαστικῶι τάγματι] κλήρω l ἰδικῶς ὢν lt 28 ἢ^{1}] ἐν lt ὁ om. lrty χειροτονουμένουσ lt 28/29 ἐπικηρύττοιτο — χειροτονουμένουσ om. ab 31 τεταγμένουσ K *deputati* Λ^{dw} *taxati* Λ^{i} *ordinati* Λ$^{\theta}$ κατειλεγμένουσ MB ἢ om. deh μοναστὰσ K 32 τοιοῦτο y μεταμελουμένουσ deltruy 33 τὸν θῦ t εἵλοντο πρότερον d εἵλαντο abcfltuy 34 καὶ μαρτυρίων om. MBc 34/35 τὴν ἐξουσίαν τῶν — ἐπισκόπων K 35 τὰσ — παραδόσεισ lrtyΛ^{d}Λ^{w} πατέρων om. t κανόνων Σ

καὶ μὴ κατὰ αὐθάδειαν ἀφηνιάτωσαν τοῦ ἰδίου ἐπισκόπου. οἱ δὲ τολμῶντες ἀνατρέπειν τὴν τοιαύτην διατύπωσιν καθ' οἷον δήποτε τρόπον καὶ μὴ ὑποταττόμενοι τῷι ἰδίωι ἐπισκόπωι εἰ μὲν εἶεν κληρικοί, τοῖς τῶν κανόνων ὑποκείσθωσαν ἐπιτιμίοις· εἰ δὲ μονάζοντες ἢ λαικοί, ἔστωσαν ἀκοινώνητοι.

9 Εἴ τις κληρικὸς πρὸς κληρικὸν πρᾶγμα ἔχοι, μὴ καταλιμπανέτω τὸν οἰκεῖον ἐπίσκοπον καὶ ἐπὶ κοσμικὰ δικαστήρια κατατρεχέτω, ἀλλὰ πρότερον τὴν ὑπόθεσιν γυμναζέτω παρὰ τῶι ἰδίωι ἐπισκόπωι ἢ γοῦν γνώμηι αὐτοῦ τοῦ ἐπισκόπου παρ' οἷς ἂν τὰ ἀμφότερα μέρη βούληται, τὰ τῆς δίκης συγκροτείσθω. εἰ δέ τις παρὰ ταῦτα ποιήσοι, κανονικοῖς ἐπιτιμίοις ὑποκείσθω. εἰ δὲ καὶ κληρικὸς ἔχοι πρᾶγμα πρὸς τὸν ἴδιον ἢ καὶ πρὸς ἕτερον ἐπίσκοπον, παρὰ τῆι συνόδωι τῆς ἐπαρχίας δικαζέσθω. εἰ δὲ πρὸς τὸν τῆς αὐτῆς ἐπαρχίας μητροπολίτην ἐπίσκοπος ἢ κληρικὸς ἀμφισβητοίη, καταλαμβανέτω ἢ τὸν ἔξαρχον τῆς διοικήσεως ἢ τὸν τῆς βασιλευούσης Κωνσταντινουπόλεως θρόνον καὶ ἐπ' αὐτῶι δικαζέσθω.

10 Μὴ ἐξεῖναι κληρικὸν ἐν δύο πόλεων κατὰ τὸ αὐτὸ καταλέγεσθαι ἐκκλησίαις, ἐν ἧι τε τὴν ἀρχὴν ἐχειροτονήθη καὶ ἐν ἧι προσέφυγεν ὡς μείζονι δῆθεν διὰ δόξης κενῆς ἐπιθυμίαν· τοὺς δέ γε τοῦτο ποιοῦντας ἀποκαθίστασθαι τῆι ἰδίαι ἐκκλησίαι, ἐν ἧι ἐξ ἀρχῆς ἐχειροτονήθησαν, καὶ ἐκεῖ μόνον λειτουργεῖν. εἰ μέντοι ἤδη τις μετετέθη ἐξ ἄλλης
M VII 364 εἰς ἄλλην ἐκκλησίαν, μηδὲν τοῖς τῆς προτέρας ἐκκλησίας ἤτοι τῶν ὑπ' αὐτὴν μαρτυρίων
L IIII 762 ἢ πτωχείων ἢ ξενοδοχείων ἐπικοινωνεῖν πράγμασι. τοὺς δέ γε τολμῶντας μετὰ τὸν ὅρον τῆς μεγάλης καὶ οἰκουμενικῆς ταύτης συνόδου πράττειν τι τῶν νῦν ἀπηγορευμένων ὥρισεν ἡ ἁγία σύνοδος ἐκπίπτειν τοῦ οἰκείου βαθμοῦ.

11 Πάντας τοὺς πένητας καὶ δεομένους ἐπικουρίας μετὰ δοκιμασίας ἐπιστολίοις εἶτ' οὖν εἰρηνικοῖς ἐκκλησιαστικοῖς μόνοις ὁδεύειν ὡρίσαμεν καὶ μὴ συστατικοῖς διὰ τὸ τὰς συστατικὰς ἐπιστολὰς προσήκειν τοῖς οὕσιν ἐν ὑπολήψει μόνοις παρέχεσθαι προσώποις.

12 Ἦλθεν εἰς ἡμᾶς ὡς τινὲς παρὰ τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς προσδραμόντες δυνατείαις διὰ πραγματικῶν τὴν μίαν ἐπαρχίαν εἰς δύο κατέτεμον, ὡς ἐκ τούτου δύο μητροπολίτας εἶναι ἐν τῆι αὐτῆι ἐπαρχίαι. ὥρισε τοίνυν ἡ ἁγία σύνοδος τοῦ λοιποῦ μηδὲν τοιοῦτο τολμᾶσθαι παρὰ ἐπισκόπου, ἐπεὶ τὸν τοῦτο ἐπιχειροῦντα ἐκπίπτειν τοῦ οἰκείου βαθμοῦ. ὅσαι δὲ ἤδη πόλεις διὰ γραμμάτων βασιλικῶν τῶι τῆς μητροπόλεως ἐτιμήθησαν ὀνόματι, μόνης ἀπολαυέτωσαν τῆς τιμῆς καὶ ὁ τὴν ἐκκλησίαν αὐτῆς διοικῶν ἐπίσκοπος, δηλονότι σωιζομένων τῆι κατὰ ἀλήθειαν μητροπόλει τῶν οἰκείων δικαίων.

13 Ξένους κληρικοὺς καὶ ἀναγνώστας ἐν ἑτέραι πόλει δίχα συστατικῶν γραμμάτων τοῦ ἰδίου ἐπισκόπου μηδ' ὅλως μηδαμοῦ λειτουργεῖν.

M, B [= ab], K [= abcdefhlpqrtuyz], $\Lambda^{d}\Lambda^{i}\Lambda^{\theta}\Lambda^{w}\Sigma$

1 κατὰ — ἀφηνιάτωσαν [ἀφιδιάτωσαν u ἀφηνιαζέτωσαν h] K et Λ omnes καταυθαδιάζεσθαι ἢ ἀφηνιᾶν MB τοὺσ ἰδίουσ ἐπισκόπουσ lrt$\Lambda^{w}\Sigma$ δεσπότου B^{a} 2 παράδοσιν u ὑποτεταγμένοι l 5 ἐγκαταλιμπανέτω K ἴδιον d 6 κοσμικὰ] κώμη y τρεχέτω u 7/8 ἀμφότερα τὰ pq 8 βούληται B^{a} βούλεται MB^{b} βούλωνται K συγκροτεῖσθω B et Λ omnes συγκροτεῖσθαι MK ποιήσει MBu 9 ὑποκείσθω ἐπιτιμίοισ Bt καὶ om. cpqu ἔχοι πρᾶγμα MBpq πρᾶγμα ἔχοι [ἔχει r] abcdefhlrtuyz 9/10 ἐπίσκοπον ἢ πρὸσ ἕτερον B ἐπίσκοπον l 10 δοκιμαζέσθω ab 11 αὐτῆς om. c 12 ἐπέχοντα θρόνον u 13 δικαζέσθωσαν r 14 κληρικῶ MB πόλεσι lt κατὰ ταυτὸν καταλέγεσθαι [λέγεσθαι d κατατάττεσθαι rt] ἐκκλησίαισ K καταλέγεσθαι ἐκκλησίαισ κατὰ τὸ αὐτὸ MB 15 ἀρχὴν om. d 16 ἐν ἀρχῆ t 17 ἐχειροτονήθη d 18 μηδὲν] μὴ δεῖν u αὐτῆ hz 19 ἐπικοινωνείτω lrt πράγματα d γε om. y 21 ἰδίου K 22 ια M 22/23 ἢτ οὖν εἰρηνικοῖσ ἐπιστολίοισ z ἤγουν c 23 νόμοισ r ὡρίσαμεν ὁδεύειν MB 24 ἐπιστολὰς om. t μόνοισ [μόνον M] ἐν ὑπολήψει MB παρέρχεσθαι d 25 τοὺς om. c βαθμοὺσ dlty 26 προσταγματικῶν c πραγμάτων lrt πραγματικῶν βασιλικῶν B εἰς] ὡσ d κατέτεμνον u ὡσ ἂν M 28 τοιοῦτον B^{b}dltuyz ἐπισκόπων y$\Lambda^{p}\Lambda^{d}\Lambda^{w}$ ἐπισκόπω B^{b} τούτω B ἰδίου K 29 πόλεις] πάλιν lrt γραμμάτων] πραγματικῶν $M\Lambda^{i}$ 32 ῑγ̄ M ἀγνῶτασ t

14 Ἐπειδὴ ἔν τισιν ἐπαρχίαις συγκεχώρηται τοῖς ἀναγνώσταις καὶ ψάλταις γαμεῖν, ὥρισεν ἡ ἁγία σύνοδος μὴ ἐξεῖναι τινὰ αὐτῶν ἑτερόδοξον γυναῖκα λαμβάνειν· τοὺς δὲ ἤδη ἐκ τοιούτων γάμων παιδοποιήσαντας, εἰ μὲν ἔφθασαν βαπτίσαι τὰ ἐξ αὐτῶν τεχθέντα παρὰ τοῖς αἱρετικοῖς, προσάγειν αὐτὰ τῇ κοινωνίαι τῆς καθολικῆς ἐκκλησίας· μὴ βαπτισθέντα δὲ μὴ δύνασθαι ἔτι βαπτίζειν αὐτὰ παρὰ τοῖς αἱρετικοῖς μήτε μὴν συνάπτειν πρὸς γάμον αἱρετικῶι ἢ Ἰουδαίωι ἢ Ἕλληνι, εἰ μὴ ἄρα ἐπαγγέλλοιτο μετατίθεσθαι εἰς τὴν ὀρθόδοξον πίστιν τὸ συναπτόμενον πρόσωπον τῶι ὀρθοδόξωι. εἰ δέ τις τοῦτον τὸν ὅρον παραβαίη τῆς ἁγίας συνόδου, κανονικῶι ὑποκείσθω ἐπιτιμίωι.

15 Διάκονον μὴ χειροτονεῖσθαι γυναῖκα πρὸ ἐτῶν τεσσαράκοντα καὶ ταύτην μετὰ L IIII 763
ἀκριβοῦς δοκιμασίας. εἰ δέ γε δεξαμένη τὴν χειροθεσίαν καὶ χρόνον τινὰ παραμείνασα τῇι λειτουργίαι ἑαυτὴν ἐπιδῶι γάμωι ὑβρίσασα τὴν τοῦ θεοῦ χάριν, ἡ τοιαύτη ἀναθεματιζέσθω μετὰ τοῦ αὐτῇι συναφθέντος.

16 Παρθένον ἑαυτὴν ἀναθεῖσαν τῶι δεσπότηι θεῶι, ὡσαύτως δὲ καὶ μονάζοντα μὴ M VII 365
ἐξεῖναι γάμωι προσομιλεῖν· εἰ δέ γε εὑρεθεῖεν τοῦτο ποιοῦντες, ἔστωσαν ἀκοινώνητοι. ὡρίσαμεν δὲ ἔχειν τὴν αὐθεντίαν τῆς ἐπ' αὐτοῖς φιλανθρωπίας τὸν κατὰ τὸν τόπον ἐπίσκοπον.

17 Τὰς καθ' ἑκάστην ἐκκλησίαν ἀγροικικὰς παροικίας ἢ ἐγχωρίους μένειν ἀπαρασαλεύτους παρὰ τοῖς κατέχουσιν αὐτὰς ἐπισκόποις καὶ μάλιστα εἰ τριακονταετῆ χρόνον ταύτας ἀβιάστως διακατέχοντες ᾠκονόμησαν. εἰ δὲ ἐντὸς τῶν τριάκοντα ἐτῶν γεγένηταί τις ἢ γένοιτο περὶ αὐτῶν ἀμφισβήτησις, ἐξεῖναι τοῖς λέγουσιν ἠδικῆσθαι περὶ τούτων κινεῖν παρὰ τῇι συνόδωι τῆς ἐπαρχίας. εἰ δέ τις ἀδικοῖτο παρὰ τοῦ ἰδίου μητροπολίτου, παρὰ τῶι ἐξάρχωι τῆς διοικήσεως ἢ τῶι Κωνσταντινουπόλεως θρόνωι δικαζέσθω, καθὰ προείρηται. εἰ δέ τις ἐκ βασιλικῆς ἐξουσίας ἐκαινίσθη πόλις ἢ αὖθις καινισθείη, τοῖς πολιτικοῖς καὶ δημοσίοις τύποις καὶ τῶν ἐκκλησιαστικῶν παροικιῶν ἡ τάξις ἀκολουθείτω.

18 Τὸ τῆς συνωμοσίας ἢ φρατρίας ἔγκλημα καὶ παρὰ τῶν ἔξω νόμων πάντηι κεκώλυται· πολλῶι δὴ μᾶλλον ἐν τῇι τοῦ θεοῦ ἐκκλησίαι τοῦτο γίνεσθαι ἀπαγορεύειν προσήκει. εἴ τινες τοίνυν [ἢ] κληρικοὶ ἢ μονάζοντες εὑρεθεῖεν συνομνύμενοι ἢ φρατριάζοντες ἢ κατασκευὰς τυρεύοντες ἐπισκόποις ἢ συγκληρικοῖς, ἐκπιπτέτωσαν πάντηι τοῦ οἰκείου βαθμοῦ.

19 Ἦλθεν εἰς ἡμετέρας ἀκοὰς ὡς ἐν ταῖς ἐπαρχίαις αἱ κεκανονισμέναι σύνοδοι τῶν ἐπισκόπων οὐ γίνονται καὶ ἐκ τούτου πολλὰ παραμελεῖται τῶν διορθώσεως δεομένων ἐκκλησιαστικῶν πραγμάτων. ὥρισεν τοίνυν ἡ ἁγία σύνοδος κατὰ τοὺς τῶν ἁγίων πατέρων κανόνας δὶς τοῦ ἐνιαυτοῦ ἐπὶ τὸ αὐτὸ συντρέχειν καθ' ἑκάστην ἐπαρχίαν τοὺς L IIII 766
ἐπισκόπους ἔνθα ἂν ὁ τῆς μητροπόλεως ἐπίσκοπος δοκιμάσηι, καὶ διορθοῦν ἕκαστα τὰ

M, B [= ab], K [= abcdefhlpqrtuyz], ΛPΛ^{d}ΛiΛ$^{\theta}$Λ^{w}Σ

B = archetypus codicum
a = Vindobonensis hist. gr. s. XII
b = Vaticani 831 s. XV
o = Ottoboniani 29 s. XVI
W = Codex Vindobonensis hist. gr. 40 s. XII

Φ^a = Versio Latina antiqua
Φ^c = Versio antiqua correcta
Φ^r = Versionis antiquae correctae editio Rustici

K = Sylloge canonum quae dicitur XIIII titulorum
a = Codex Palatinus 376
b = Codex Parisinus 1334
c = Codex Vaticanus 2060
d = Codex Vaticanus 2184
e = Codex Parisinus suppl. 614
f = Codex Parisinus suppl. 1085
h = Codex Coislinianus 211
l = Codex Oxoniensis Laudianus 39
p = Codex Patmensis 172
q = Codex Patmensis 173
r = Codex Vallicellianus F 10
t = Codex Vaticanus 827
u = Codex Vaticanus 1080
y = Codex Oxoniensis Baroccianus 26
z = Codex Venetus III 17
P = Codicis Parisini 415 s. XII pars canonica

Πρᾶξις η̄

1 Ὑπατείας τοῦ δεσπότου ἡμῶν Μαρκιανοῦ τοῦ αἰωνίου αὐγούστου τῇι πρὸ ἑπτὰ Καλανδῶν Νοεμβρίων ἐν Χαλκηδόνι L IIII 611 M VII 177 d. 26. m. Oct. a. 451

κατὰ κέλευσιν τοῦ θειοτάτου καὶ εὐσεβεστάτου ἡμῶν δεσπότου συνελθόντων ἐν τῇι ἁγιωτάτηι ἐκκλησίαι τῆς ἁγίας μάρτυρος Εὐφημίας τῶν ἐνδοξοτάτων ἀρχόντων, τουτέστι M VII 180

1 τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου πατρικίου Ἀνατολίου

2 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἐπάρχου τῶν ἱερῶν πραιτωρίων Παλλαδίου

3 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου μαγίστρου τῶν θείων ὀφφικίων Βιγκομάλου,

συνελθόντων δὲ καὶ

2 1—3 Πασκασίνου καὶ Λουκινσίου τῶν εὐλαβεστάτων ἐπισκόπων καὶ Βονιφατίου τοῦ εὐλαβεστάτου πρεσβυτέρου ἐπεχόντων τὸν τόπον τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς πρεσβύτιδος Ῥώμης Λέοντος

4 καὶ Ἀνατολίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς μεγαλωνύμου Κωνσταντινουπόλεως νέας Ῥώμης

5 καὶ Μαξίμου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀντιοχείας Συρίας

6 καὶ Ἰουβεναλίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἱεροσολύμων L IIII 614

7 καὶ Κυντίλλου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἡρακλείας Μακεδονίας ἐπέχοντος τὸν τόπον τοῦ ἁγιωτάτου ἐπισκόπου τῆς Θεσσαλονικέων Ἀναστασίου

8 καὶ Θαλασσίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Καισαρείας Καππαδοκίας

9 καὶ Στεφάνου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἐφέσου

10 καὶ Λουκιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Βύζης ἐπέχοντος τὸν τόπον τοῦ θεοφιλεστάτου ἐπισκόπου Ἡρακλείας Θράικης Κυριακοῦ

11 καὶ Εὐσεβίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀγκύρας Γαλατίας

12 καὶ Διογένους τοῦ εὐλαβεστάτου ἐπισκόπου Κυζίκου

13 καὶ Πέτρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Κορίνθου

14 καὶ Φλωρεντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σάρδεων

15 καὶ Εὐνομίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Νικομηδείας

16 καὶ Ἀναστασίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Νικαίας

17 καὶ Ἰουλιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Κῶ ἐπέχοντος καὶ αὐτοῦ τὸν τόπον τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβύτιδος Ῥώμης

Actionis VIII [VII in Φ^{cr}] extat praeter Φ^{a} et Φ^{cr}, quae inter se plus solito discrepant, tertia uersio in Rerum Chalced. coll. Vaticana 6, 3 [Λ^{u}]. de tota actione cf. quae exposui in *Abhandlg. d. Bayer. Akad. d. Wiss.* XXXII 2

M, B [= abo], $\Phi\Lambda^{u}$

1 ὀγδόη B 6—p. 5, 4 omnia nomina om. Φ^{cr} 6 *magistro militum ⟨ex⟩ consule ordinario et patricio* Λ^{u} 11 λουκηνσίου M, ut solet 13 πρεσβυτέρασ B^{bo} 14 ἀρχιεπισκόπου B^{o} 15 νέας Ῥώμης om. $\Phi^{a}\Lambda^{u}$ 16/17 Ἀντιοχείας — ἐπισκόπου om. B^{o} 16 Συρίας om. Φ^{a} 18—p. 5, 4 om. Λ^{u} 18 κυντίλου B 18/19 Ἡρακλείας — ἐπισκόπου om. B^{o} 20 Καππαδοκίας om. B 21—p. 5, 4 om., pro eis habent καὶ λοιπῶν [τῶν λοιπῶν B^{o}] τῶν προειρημένων εὐλαβεστάτων ἐπισκόπων B 23 Κυριακοῦ Φ^{a} κυρίλλου M 14. 13 coll. M 30 κῶν M

καὶ Ἐλευθερίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Χαλκηδονέων
καὶ Βασιλείου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σελευκείας Ἰσαυρίας
καὶ Μελιτίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Λαρίσσης ἐπέχοντος **τὸν τόπον τοῦ** εὐλαβεστάτου ἐπισκόπου Ἀπαμείας Συρίας Δόμνου
καὶ Ἀμφιλοχίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σίδης
καὶ Θεοδώρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ταρσοῦ
καὶ Κύρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀναζαρβοῦ
καὶ Κωνσταντίνου τοῦ εὐλαβεστάτου ἐπισκόπου Βόστρων
καὶ Φωτίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Τύρου
καὶ Θεοδώρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Δαμασκοῦ
καὶ Στεφάνου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἱερᾶς πόλεως
καὶ Νόννου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἐδέσσης
καὶ Συμεώνου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀμίδης
καὶ Ἐπιφανίου τοῦ εὐλαβεστάτου ἐπισκόπου ⟨ἐπέχοντος **τὸν τόπον τοῦ εὐλαβεστάτου** ἐπισκόπου⟩ Κωνσταντείας Ὀλυμπίου
καὶ Ἰωάννου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σεβαστείας
καὶ Σελεύκου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀμασείας
καὶ Κωνσταντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Μελιτηνῆς
καὶ Πατρικίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Τυάνων
καὶ Πέτρου τοῦ εὐλαβεστάτου ἐπισκόπου ⟨Γαγγρῶν
καὶ Ἀπραγμονίου τοῦ εὐλαβεστάτου ἐπισκόπου⟩ ἐπέχοντος τὸν τόπον τοῦ εὐλαβεστάτου ἐπισκόπου Κλαυδιουπόλεως Καλογήρου
καὶ Ἀταρβίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Τραπεζοῦντος ἐπέχοντος τὸν τόπον τοῦ εὐλαβεστάτου ἐπισκόπου Νεοκαισαρείας Δωροθέου
καὶ Φωτεινοῦ ἀρχιδιακόνου ἐπέχοντος τὸν τόπον Θεοκτίστου τοῦ εὐλαβεστάτου ἐπισκόπου Πισινοῦντος
καὶ Ῥωμανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Μύρων τῆς Λυκίας
καὶ Κριτωνιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀφροδισιάδος Καρίας
καὶ Νουνεχίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Λαοδικείας Φρυγίας
καὶ Μαριανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Συνάδων
καὶ Ὀνησιφόρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἰκονίου
καὶ Περγαμίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀντιοχείας Πισιδίας
καὶ Ἐπιφανίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Πέργης
καὶ Ἀττικοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Νικοπόλεως Ἠπείρου
καὶ Μαρτυρίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Γορτύνης
καὶ Λουκᾶ τοῦ εὐλαβεστάτου ἐπισκόπου Δυρραχίου
καὶ Βιγιλαντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Λαρίσσης Θεσσαλίας
καὶ Φραγκίωνος τοῦ εὐλαβεστάτου ἐπισκόπου Φιλιππουπόλεως
καὶ Σεβαστιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Βερόης
καὶ Βασιλείου τοῦ εὐλαβεστάτου ἐπισκόπου Τραιανουπόλεως
καὶ Τρύφωνος τοῦ εὐλαβεστάτου ἐπισκόπου Χίου ἐπέχοντος **τὸν τόπον Ἰωάννου** ἐπισκόπου Ῥόδου
καὶ Θεοκτίστου τοῦ εὐλαβεστάτου ἐπισκόπου Βεροίας

ΜΦ[a]

2 Ἰσαυρίας Φ[a] συρίας M 14/15 ἐπέχοντος — ἐπισκόπου Φ[a] om. M 17 ἀμασίας M 18 μελιτινῆσ M 20/21 Γαγγρῶν — ἐπισκόπου Φ[a] om. M, post 21 ἐπισκόπου excidit Τίου in archetypo ΜΦ[a] 24 Δωροθέου Φ[a] θεοδώρου M 27 τῆς Λυκίας om. Φ[a] 32 πεισιδίασ M 41/42 ἐπέχοντος — Ῥόδου om. Φ[a]

55 καὶ Γεροντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σελευκείας Συρίας
56 καὶ Εὐσεβίου πρεσβυτέρου ἐπέχοντος τὸν τόπον Μακαρίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Λαοδικείας Συρίας
57 καὶ Εὐσεβίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Δορυλαίου

καὶ τῆς λοιπῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τῆς κατὰ θέσπισμα τοῦ θειοτάτου καὶ εὐσεβεστάτου ἡμῶν δεσπότου ἐν τῇ Χαλκηδονέων πόλει συναθροισθείσης καὶ καθεσθέντων πάντων πρὸ τῶν καγκέλλων τοῦ ἁγιωτάτου θυσιαστηρίου

3 οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· Ὁ θειότατος καὶ εὐσεβέστατος ἡμῶν δεσπότης παρακληθεὶς παρὰ Μαξίμου καὶ Ἰουβεναλίου τῶν ὁσιωτάτων ἐπισκόπων παρεκελεύσατο ἡμᾶς διαλαβεῖν μεταξὺ αὐτῶν περὶ τῶν κινουμένων κεφαλαίων. καὶ συνελθόντες οἱ μνημονευθέντες ὁσιώτατοι ἄνδρες φανερὰ πρὸς ἀλλήλους ἐν τοῖς ἀγράφοις ἐτύπωσαν, ἃ καὶ ἡμῖν δῆλα κατέστησαν δοκοῦντα κατὰ συναίνεσιν δικαίως τετυπῶσθαι. ταῦτα τοίνυν ἀναγκαῖον ἡγησάμεθα καὶ ἐπὶ τῆς ἁγίας συνόδου ἑκάτερον αὐτῶν διδάξαι, ὥστε καὶ ἐξ ἡμετέρας ἀποφάσεως καὶ ἐξ ὑμετέρας ψήφου τὰ ἀρέσκοντα βεβαιωθῆναι. Ῥω

4 Μάξιμος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀντιοχείας Συρίας εἶπεν· Ἤρεσέν μοι καὶ τῶι εὐλαβεστάτωι ἐπισκόπωι Ἰουβεναλίωι μετὰ πολλὴν φιλονεικίαν κατὰ σύμβασιν ὥστε τὸν μὲν θρόνον τῆς Ἀντιοχέων μεγαλοπόλεως τὸν τοῦ ἁγίου Πέτρου ἔχειν δύο Φοινίκας καὶ Ἀραβίαν, τὸν δὲ θρόνον τῆς Ἱεροσολυμιτῶν ἔχειν τὰς τρεῖς Παλαιστίνας. καὶ ἀξιοῦμεν ἐξ ἀποφάσεως τῆς ὑμετέρας μεγαλοπρεπείας καὶ τῆς ἁγίας συνόδου ἐγγράφως βεβαιωθῆναι ταῦτα.

5 Ἰουβενάλιος ὁ ὁσιώτατος ἐπίσκοπος τῆς Ἱεροσολυμιτῶν πόλεως εἶπεν· Τὰ αὐτὰ κἀμοὶ συνήρεσεν, ὥστε τὴν μὲν ἁγίαν τοῦ Χριστοῦ Ἀνάστασιν τὰς τρεῖς Παλαιστίνας ἔχειν, τὸν δὲ θρόνον τῆς Ἀντιοχέων δύο Φοινίκας καὶ Ἀραβίαν. καὶ ἀξιῶ ὥστε ἐξ ἀποφάσεως τῆς ὑμετέρας μεγαλοπρεπείας καὶ τῆς ἁγίας συνόδου βεβαιωθῆναι ταῦτα.

6 Ἥστινος διαλαλιᾶς Ἑλληνιστὶ ἑρμηνευθείσης διὰ Βερονικιανοῦ τοῦ καθωσιωμένου μαγιστριανοῦ καὶ σηκρηταρίου τοῦ θείου κονσιστορίου τὰ ἐπαγόμενα

7 Πασκασῖνος καὶ Λουκίνσιος οἱ εὐλαβέστατοι ἐπίσκοποι καὶ Βονιφάτιος πρεσβύτερος ἐπέχοντες τὸν τόπον τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης εἶπον· Ταῦτα ἅτινα συμφωνούντων τῶν ἀδελφῶν ἡμῶν Μαξίμωι τῶι εὐλαβεστάτωι ἐπισκόπωι τῆς Ἀντιοχέων ἐκκλησίας καὶ τῶι εὐλαβεστάτωι καὶ ἁγιωτάτωι ἐπισκόπωι Ἰουβεναλίωι Ἱεροσολύμων ὑπὲρ ἀγαθῆς εἰρήνης εἰρῆσθαι γινώσκομεν, τουτέστιν ἵνα ὁ τῆς Ἀντιοχέων ἐκκλησίας τὰς δύο Φοινίκας καὶ τὴν Ἀραβίαν ἔχηι, ὁ δὲ Ἱεροσολύμων τὰς τρεῖς Παλαιστίνας ἔχηι, ἔτι [τε] καὶ τῆς ἡμετέρας ταπεινώσεως τῆι διαλαλιᾶι βεβαιωθῶσιν, ἵνα μηδεμία μετέπειτα περὶ τούτου τοῦ πράγματος ταῖς προλεχθείσαις ἐκκλησίαις φιλονεικία καταλειφθείη.

8 Ἀνατόλιος ἐπίσκοπος τῆς ἐνδόξου Κωνσταντινουπόλεως νέας Ῥώμης εἶπεν· Τὰ συναρέσαντα μεταξὺ τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς Ἀντιοχέων Μαξίμου καὶ τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς Ἱεροσολυμιτῶν Ἰουβεναλίου καὶ ἐξ ἐμῆς διαλαλιᾶς βέβαια I, IIII 615

M, inde a 5 M, B [= abo], ΦΛ^{u}

1 Συρίας om. Φ^{a} 10 παρεκαλέσατο B^{b} 12 ἀντιγράφοισ B^{ao} ἃ om. B 14 ἑκάτερον αὐτῶν MΦ^{cr} ἑκάτερον B^{ab} ἑκατέρου B^{o} *singula eorum* Φ^{a} *singula* Λ^{u} ὑμετέρας — ἡμετέρας ΦΛ^{u} 15 ῥω MB^{ab} ῥωμαῖον B^{o} *legimus* Φ^{a} om. Φ^{cr}Λ^{u} 17 κατὰ σύμβασιν μετὰ πολλὴν φιλονεικίαν B 18 μὲν om. B^{o} 22 ὁ om. M 26/27 MBΦ^{a} om. Φ^{cr} post 36 coll. Λ^{u}; ἥστινος refertur ad textum Latinum interlocutionis legatorum, qui in Gestis primariis praecedebat, sequebatur [i. e. τὰ ἐπαγόμενα] interpretatio Graeca 28 ὁ εὐλαβέστατοσ πρεσβύτεροσ B^{o} 29 τῆς πρεσβυτέρας Ῥώμης om. Φ^{cr} εἶπον MB *per Paschasinum reuerentissimum episcopum dixerunt* ΦΛ^{u} 29/30 ταῦτα ἅτινα MBΦ^{a}Λ^{u} ταῦτα Φ^{cr} 30/31 τῆσ — ἐκκλησίασ M ἀντιοχείας B 31 καὶ τῶι — ἐπισκόπωι om. B 32 γινώσκομεν M νομίζομεν B 34 ἔχοι M τὲ MB om. Λ^{u} 35 μη, μία B^{b}

μενέτω, ἵνα ἡ μὲν ἁγιωτάτη ἐκκλησία τῆς Ἀντιοχέων μεγαλοπόλεως Φοινίκας δύο καὶ Ἀραβίαν ἔχῃ, ἡ δὲ ἁγιωτάτη ἐκκλησία τῆς Ἱεροσολυμιτῶν τὰς τρεῖς Παλαιστίνας ἔχῃ, ὥστε τοῦ λοιποῦ ἑκατέραν ἐκκλησίαν πρὸς τὴν ἑτέραν ταύτης ἕνεκα τῆς ὑποθέσεως μηδεμίαν ἀμφισβητήσεως ἔχειν ἀφορμήν.

9 Θαλάσσιος ὁ εὐλαβέστατος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· Τοῖς κατὰ συναίνεσιν τυπωθεῖσι μεταξὺ τῶν θεοφιλεστάτων καὶ ἁγιωτάτων ἐπισκόπων Μαξίμου καὶ Ἰουβεναλίου καὶ ἡμεῖς συναινοῦμεν.

10 Στέφανος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἐφέσου εἶπεν· Καθὼς ἔδοξε τῶι θεοφιλεστάτωι καὶ εὐλαβεστάτωι ἐπισκόπωι τῆς Ἀντιοχέων πόλεως Μαξίμωι καὶ τῶι θεοφιλεστάτωι ἐπισκόπωι τῆς Ἱεροσολυμιτῶν Ἰουβεναλίωι, ὥστε τὴν μὲν ἁγιωτάτην ἐκκλησίαν τῆς Ἀντιοχέων πόλεως ἔχειν τὰς δύο Φοινίκας καὶ τὴν Ἀραβίαν, τὴν δὲ ἁγιωτάτην ἐκκλησίαν Ἱεροσολύμων τὰς τρεῖς Παλαιστίνας ἔχειν, κἀγὼ βεβαιῶ τὰ μεταξὺ αὐτῶν δόξαντα, ὥστε ἑκατέραν ἐκκλησίαν τοῦ λοιποῦ μηδεμίαν ἀφορμὴν ἔχειν φιλονεικίας.

11 Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀγκύρας Γαλατίας εἶπεν· Χάριν γινώσκομεν τῶι δεσπότηι θεῶι ἐφ' οἷς δύο πατέρων ἀμφισβήτησις συμβάσει φιλικῆι πεπεράτωται. κρατεῖν τοίνυν τὰ ἑκατέροις τοῖς μέρεσι δεδογμένα βουλόμεθα.

12 Πέτρος ὁ εὐλαβέστατος ἐπίσκοπος Κορίνθου εἶπεν· Ἐπὶ τῆι εἰρήνηι καὶ ὁμονοίαι τῶν ἀμφοτέρων πατέρων ἡσθέντες συναινοῦμεν τοῖς δόξασιν.

13 Ἰουλιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Κώιων εἶπεν· Καθὼς συνήρεσεν ἑκα-
M VII 184 τέροις τοῖς μέρεσιν, τουτέστι τῶι εὐλαβεστάτωι Μαξίμωι ἐπισκόπωι τῆς Ἀντιοχέων καὶ Ἰουβεναλίωι τῶι εὐλαβεστάτωι ἐπισκόπωι τῆς Ἱεροσολυμιτῶν, ὥστε τὴν μὲν ἁγιωτάτην ἐκκλησίαν τῆς Ἀντιοχέων μεγαλοπόλεως ἔχειν τὰς δύο Φοινίκας καὶ τὴν Ἀραβίαν, τὴν δὲ ἁγιωτάτην ἐκκλησίαν τῆς Ἱεροσολυμιτῶν τὰς τρεῖς Παλαιστίνας ἔχειν, κἀγὼ ὁρίζω βέβαια εἶναι τὰ μεταξὺ αὐτῶν δόξαντα μεσιτευούσης τῆς τοῦ Χριστοῦ ἀγάπης ἑκατέροις εἰς ἕνωσιν.

14 Διογένης ὁ εὐλαβέστατος ἐπίσκοπος Κυζίκου εἶπεν· Συναινῶ τοῖς παρὰ τῶν ἁγίων πατέρων γεγενημένοις.

15 Ἀμφιλόχιος ὁ εὐλαβέστατος ἐπίσκοπος Σίδης εἶπεν· Τῆς θείας ἐναργῶς οἰκονομίας εἰς φιλικὴν σύμβασιν τὰ τῆς ἀμφισβητήσεως τῶν θεοφιλεστάτων ἐπισκόπων Μαξίμου καὶ Ἰουβεναλίου ἐλθεῖν κελευσάσης εὐχαριστῶν κἀγὼ τῶι σωτῆρι Χριστῶι περὶ τῆς αὐτῶν εἰρήνης συναινῶ τοῖς καλῶς τετυπωμένοις.

16 Πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Καὶ ἡμεῖς τὰ αὐτὰ λέγομεν καὶ συναινοῦμεν τοῖς παρὰ τῶν πατέρων εἰρημένοις.

17 Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· Ἔργον καὶ τοῦτο γεγένη-
L IIII 618 ται τῆς ἁγίας τριάδος καὶ τῆς τοῦ θειοτάτου καὶ εὐσεβεστάτου ἡμῶν βασιλέως προθέσεως, ὥστε τὰ ἀμφισβητούμενα παρ' αὐτῶν τῶν φιλονεικεῖν δοκούντων ὁμογνώμονι τέμνεσθαι προθέσει. ἡ κατὰ σύμβασιν τοίνυν Μαξίμου τοῦ ἁγιωτάτου ἐπισκόπου τῆς Ἀντιοχέων καὶ Ἰουβεναλίου τοῦ ὁσιωτάτου ἐπισκόπου τῆς Ἱεροσολυμιτῶν γενομένη συναίνεσις, καθὼς ἡ ἑκατέρου κατάθεσις ἐδήλωσεν, βεβαία καὶ ἐξ ἡμετέρας ἀποφάσεως καὶ ἀπὸ τῆς ψήφου τῆς ἁγίας συνόδου εἰς τὸν ἅπαντα χρόνον διαμενεῖ, τουτέστιν ὥστε Μάξιμόν τε τὸν ὁσιώτατον ἐπίσκοπον εἶτ' οὖν τὴν ἁγιωτάτην Ἀντιοχέων ἐκκλησίαν τὰς δύο Φοινίκας

M, B [= abo], ΦΛ^{u}

5—31 om. Λ^{u} 6 συναίνεσι M καὶ ἁγιωτάτων om. BΦ^{cr} 15 ἀμφισβήτησιν B^{o} 20 τῆς om. B^{o} 21 Ιεροσολύμων B^{bo} 23 τῆς] τῶν B 28 ὁ εὐλαβέστατος om. B^{o} 30 ἐκέλευσας B^{b} εὐχαριστῶ Φ^{cr} 31 συναινῶν Φ^{cr} καλῶς om. B 33 τῶν [τῶν θείων B^{o}] πατέρων MB *utrisque* [= ἑκατέρων] Φ^{a} 35 καὶ εὐσεβεστάτου om. B 37 συμβίβασιν B^{o} 38 σύναισισ B^{o} 39 καθὼς] ἣν B ἡ om. B^{b} 40 διαμενεῖν B^{b} 41 τῶν ἀντιοχέων B

καὶ τὴν Ἀραβίαν ἔχειν ὑπὸ τὴν ἰδίαν ἐξουσίαν, Ἰουβενάλιον δὲ τὸν ὁσιώτατον ἐπίσκοπον τῆς Ἱεροσολυμιτῶν εἴτ' οὖν τὴν ὑπ' αὐτὸν ἁγιωτάτην ἐκκλησίαν τὰς τρεῖς Παλαιστίνας ὑπὸ τὴν ἰδίαν ἐξουσίαν ἔχειν, ἀργούντων κατὰ τὴν κέλευσιν τοῦ θειοτάτου καὶ εὐσεβεστάτου ἡμῶν δεσπότου πάντων τῶν πραγματικῶν καὶ τῶν ἄλλως πορισθέντων τοῖς μέρεσι θείων γραμμάτων καὶ τῶν περιεχομένων αὐτοῖς προστίμων ταύτης ἕνεκεν τῆς ὑποθέσεως.
ῥω

Πρᾶξις θ

1 Ὑπατείας τοῦ δεσπότου ἡμῶν Μαρκιανοῦ τοῦ αἰωνίου αὐγούστου καὶ τοῦ δηλωθησομένου τῇι πρὸ ἑπτὰ Καλανδῶν Νοεμβρίων ἐν Χαλκηδόνι M VII 185 d. 26. m. Oct. a. 451

κατὰ κέλευσιν τοῦ θειοτάτου καὶ εὐσεβεστάτου ἡμῶν δεσπότου συνελθόντων ἐν τῇι ἁγιωτάτηι ἐκκλησίαι τῆς ἁγίας μάρτυρος Εὐφημίας

1 τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου στρατηλάτου ἀπὸ ὑπάτων καὶ πατρικίου Ἀνατολίου

2 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἐπάρχου τῶν ἱερῶν πραιτωρίων Παλλαδίου

3 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου μαγίστρου τῶν θείων ὀφφικίων Βιγκομάλου,

συνελθόντων δὲ καὶ

2 1—3 Πασκασίνου καὶ Λουκινσίου τῶν εὐλαβεστάτων ἐπισκόπων καὶ Βονιφατίου τοῦ εὐλαβεστάτου πρεσβυτέρου ἐπεχόντων τὸν τόπον τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς πρεσβύτιδος Ῥώμης Λέοντος

4 καὶ Ἀνατολίου τοῦ εὐλαβεστάτου ἀρχιεπισκόπου τῆς μεγαλωνύμου Κωνσταντινουπόλεως νέας Ῥώμης

5 καὶ Μαξίμου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀντιοχείας Συρίας

6 καὶ Ἰουβεναλίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἱεροσολύμων

7 καὶ Κυντίλλου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἡρακλείας Μακεδονίας ἐπέχοντος τὸν τόπον τοῦ ἁγιωτάτου ἐπισκόπου τῆς Θεσσαλονικέων Ἀναστασίου

8 καὶ Θαλασσίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Καισαρείας Καππαδοκίας

9 καὶ Στεφάνου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἐφέσου

10 καὶ Λουκιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Βύζης ἐπέχοντος τὸν τόπον τοῦ θεοφιλεστάτου ἐπισκόπου Ἡρακλείας Θράικης Κυριακοῦ

11 καὶ Εὐσεβίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀγκύρας Γαλατίας

12 καὶ Διογένους τοῦ εὐλαβεστάτου ἐπισκόπου Κυζίκου

13 καὶ Πέτρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Κορίνθου

14 καὶ Φλωρεντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σάρδεων

15 καὶ Εὐνομίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Νικομηδείας

16 καὶ Ἀναστασίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Νικαίας

17 καὶ Ἰουλιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Κῶ ἐπέχοντος καὶ αὐτοῦ τὸν τόπον τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης Λέοντος

18 καὶ Ἐλευθερίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Χαλκηδονέων

19 καὶ Βασιλείου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σελευκείας Ἰσαυρίας

M, B [= abo usque ad 29], Φ

3 τὴν[2] om. B 4 πρακτικῶν B[o] 6 ῥ[ω] M *legimus* Φ[a] om. BΦ[α]Λ[u] in fine add. *Et alia manu: Edantur* Λ[u] 7 ἐνάτη B[a] ἐννάτη B[o] 18 καὶ om. B[o] 19 λουκησίου M 20 ἐπισκόπου B 21 πρεσβυτέρασ B[o] 24 Συρίας om. Φ 26 κυντίλου B[ao] 30—p. 8, 43 καὶ Λουκιανοῦ — Δορυλαίου] καὶ τῶν καθεξῆς προειρημένων εὐλαβεστάτων ἐπισκόπων B

καὶ Μελιτίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Λαρίσσης ἐπέχοντος τὸν τόπον τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀπαμείας Συρίας Δόμνου
καὶ Ἀμφιλοχίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σίδης
καὶ Θεοδώρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ταρσοῦ
καὶ Κύρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀναζαρβοῦ
καὶ Κωνσταντίνου τοῦ εὐλαβεστάτου ἐπισκόπου Βόστρων
καὶ Φωτίου τοῦ εὐλαβεστάτου ἐπικόπου Τύρου
καὶ Θεοδώρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Δαμασκοῦ
καὶ Στεφάνου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἱερᾶς πόλεως
καὶ Νουνεχίου τοῦ εὐλαβεστάτου ἐπισκόπου ἐπέχοντος τὸν τόπον τοῦ εὐλαβεστάτου ἐπισκόπου Κωνσταντείας Ὀλυμπίου
καὶ Ἰωάννου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σεβαστείας
καὶ Σελεύκου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀμασείας
καὶ Κωνσταντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Μελιτηνῆς
καὶ Πατρικίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Τυάνων
καὶ Πέτρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Γαγγρῶν
καὶ Ἀπραγμονίου τοῦ εὐλαβεστάτου ἐπισκόπου ἐπέχοντος τὸν τόπον τοῦ εὐλαβεστάτου ἐπισκόπου Κλαυδιουπόλεως Καλογήρου
καὶ Ἀταρβίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Τραπεζοῦντος ἐπέχοντος τὸν τόπον τοῦ εὐλαβεστάτου ἐπισκόπου Νεοκαισαρείας Δωροθέου
καὶ Φωτεινοῦ ἀρχιδιακόνου ἐπέχοντος τὸν τόπον Θεοκτίστου τοῦ εὐλαβεστάτου ἐπισκόπου Πισινοῦντος
καὶ Ῥωμανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Μύρων
καὶ Κριτωνιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀφροδισιάδος Καρίας
καὶ Νουνεχίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Λαοδικείας Φρυγίας
καὶ Μαριανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Συνάδων
καὶ Ὀνησιφόρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἰκονίου
καὶ Περγαμίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀντιοχείας Πισιδίας
καὶ Ἐπιφανίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Πέργης
καὶ Ἀττικοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Νικοπόλεως Ἠπείρου
καὶ Μαρτυρίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Γορτύνης
καὶ Λουκᾶ τοῦ εὐλαβεστάτου ἐπισκόπου Δυρραχίου
καὶ Βιγιλαντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Λαρίσσης Θεσσαλίας
καὶ Φραγκίωνος τοῦ εὐλαβεστάτου ἐπισκόπου Φιλιππουπόλεως
καὶ Σεβαστιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Βερόης
καὶ Βασιλείου τοῦ εὐλαβεστάτου ἐπισκόπου Τραιανουπόλεως
καὶ Τρύφωνος τοῦ εὐλαβεστάτου ἐπισκόπου Χίου ἐπέχοντος τὸν τόπον Ἰωάννου ἐπισκόπου Ῥόδου
καὶ Θεοκτίστου τοῦ εὐλαβεστάτου ἐπισκόπου Βεροίας
καὶ Γεροντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σελευκείας Συρίας
καὶ Εὐσεβίου πρεσβυτέρου ἐπέχοντος τὸν τόπον Μακαρίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Λαοδικείας Συρίας
καὶ Εὐσεβίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Δορυλαίου
L IIII 619 καὶ τῆς λοιπῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τῆς κατὰ θέσπισμα τοῦ θειοτάτου

M, B [= abo inde a 44], Φ

10 νουνεχίου MΦ expectatur Ἐπιφανίου 11 κωνσταντίασ M 14 μελιτινῆσ M 17 ἐπισκόπου MΦ fuit ἐπισκόπου ⟨Τίου⟩ 20 Δωροθέου Φ θεοδώρου M 24 κρητωνιανοῦ M 26 *Mariniano* Φ 37/38 ἐπέχοντος — Ῥόδου om. Φ

καὶ εὐσεβεστάτου ἡμῶν δεσπότου ἐν τῇ Χαλκηδονέων πόλει συναθροισθείσης καὶ M VII 186
καθεσθέντων πάντων πρὸ τῶν καγκέλλων τοῦ ἁγιωτάτου θυσιαστηρίου

4 οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Θεοδώρητος ἄρτι ἀναθεματίσῃ.

5 Θεοδώρητος ὁ εὐλαβέστατος ἐπίσκοπος παρελθὼν ἐν τῷι μέσωι εἶπεν· Καὶ δεήσεις ἐπιδέδωκα τῶι θειοτάτωι καὶ εὐσεβεστάτωι βασιλεῖ καὶ λιβέλλους ἐπιδέδωκα τοῖς εὐλα- 5
βεστάτοις ἐπισκόποις τοῖς διέπουσι τὸν τόπον τοῦ εὐλαβεστάτου ἀρχιεπισκόπου Λέοντος, καὶ εἰ δοκεῖ ὑμῖν, ἀναγινώσκωνται ἐφ' ὑμῶν, καὶ μανθάνετε ὅπως φρονῶ.

6 Οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Ἀναγνωσθῆναι οὐδὲν θέλομεν· Νεστόριον ἄρτι ἀναθεμάτισον.

7 Θεοδώρητος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ἐγὼ διὰ τὴν τοῦ θεοῦ χάριν καὶ 10
παρ' ὀρθοδόξοις ἐτράφην καὶ ὀρθοδόξως ἐδιδάχθην καὶ ὀρθοδόξως ἐκήρυξα, καὶ οὐ L IIII 622
μόνον Νεστόριον καὶ Εὐτυχῆ, ἀλλὰ καὶ πάντα ἄνθρωπον μὴ φρονοῦντα ὀρθῶς ἀποστρέφομαι καὶ ἀλλότριον ἡγοῦμαι

8 Καὶ ἐν τῷι λέγειν αὐτὸν οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Φανερῶς εἰπὲ ἀνάθεμα Νεστορίωι καὶ τοῖς δόγμασιν αὐτοῦ· ἀνάθεμα Νεστορίωι καὶ τοῖς φιλοῦσιν αὐτόν. 15

9 Θεοδώρητος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ἐπ' ἀληθείας οὐ λέγω εἰ μὴ ὡς M VII 189
οἶδα ἀρέσκειν τῷι θεῷι. πρῶτον πείσω ὑμᾶς ὅτι οὔτε πόλεως φροντίζω οὔτε τιμῆς χρήιζω οὔτε διὰ τοῦτο παρεγενόμην, ἀλλ' ἐπειδὴ ἐσυκοφαντήθην, ἦλθον πληροφορῆσαι ὅτι ὀρθόδοξός εἰμι καὶ ὅτι Νεστόριον καὶ Εὐτυχῆ καὶ πάντα ἄνθρωπον δύο υἱοὺς λέγοντα ἀναθεματίζω 20

10 Καὶ ἐν τῷι λέγειν αὐτὸν οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Εἰπὲ φανερῶς ἀνάθεμα Νεστορίωι καὶ τοῖς φρονοῦσι τὰ αὐτοῦ.

11 Θεοδώρητος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ἐγὼ ἐὰν μὴ ἔκθωμαι ὅπως πιστεύω, οὐ λέγω, πιστεύω δέ

12 Καὶ ἐν τῷι λέγειν αὐτὸν οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Οὗτος αἱρετικός ἐστιν. 25
οὗτος Νεστοριανός ἐστι. τὸν αἱρετικὸν ἔξω βάλλε.

13 Θεοδώρητος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ἀνάθεμα Νεστορίωι καὶ τῷι μὴ λέγοντι θεοτόκον τὴν ἁγίαν παρθένον Μαρίαν καὶ τῷι εἰς δύο υἱοὺς μερίζοντι τὸν ἕνα υἱὸν τὸν μονογενῆ. ἐγὼ δὲ καὶ τῷι ὅρωι τῆς πίστεως ὑπέγραψα καὶ τῇ ἐπιστολῇι τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Λέοντος καὶ οὕτω φρονῶ. καὶ μετὰ ταῦτα πάντα 30
σώιζεσθε.

14 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Ἡ πᾶσα λοιπὸν περὶ Θεοδωρήτου τοῦ θεοφιλεστάτου ἀμφιβολία λέλυται. καὶ γὰρ Νεστόριον ἐπὶ ἡμῶν ἀνεθεμάτισεν καὶ παρὰ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου τῆς πρεσβύτιδος Ῥώμης Λέοντος προσεδέχθη καὶ τὸν ὅρον τῆς πίστεως τὸν παρὰ τῆς ὑμετέρας θεοσεβείας δοθέντα ἐδέξατο 35
ἀσμένως, καὶ τούτωι, ἔτι μὴν καὶ τῇ ἐπιστολῇι τοῦ μνημονευθέντος ὁσιωτάτου ἀρχιεπισκόπου Λέοντος καθυπέγραψεν. λείπεται τοίνυν ψῆφον ἐξενεχθῆναι παρὰ τῆς θεοφιλείας τῆς ὑμετέρας ὥστε καὶ τὴν ἐκκλησίαν αὐτὸν ἀπολαβεῖν, καθὼς καὶ ὁ ὁσιώτατος ἀρχιεπίσκοπος Λέων ἐδικαίωσεν.

M, B [= abo], Φ

3 θεοδώριτοσ B ut solet ἀναθεματίση MΦ^{a} ἀναθεματίσει B *anathematizet Nestorium* Φ^{cr} 4 Καὶ om. B^{o} Φ 6 εὐλαβεστάτου om. Φ 7 *legantur* Φ ἀναγινώσκονται MB 9 ἄρα τι M 11 ὀρθοδόξωσ [ὀρθοδόξοισ B] ἐδιδάχθην MBΦ^{ac} *orthodoxe docui et orthodoxe sum edoctus* Φ^{r} 12 εὐτυχεῖ B^{b} 14/15 ἀνάθεμα Νεστορίωι om. B^{o} 20 *dicentem uel opinantem* Φ 22 αὐτοῦ MB^{o} αὐτά B^{ab} 26 βάλε MB^{b} 28 τὴν — μαρίαν θεοτόκον B^{b} 30 *archiepiscopi domni* Φ^{r} *domni* Φ^{ac} 31 σώζεσθαι MB^{b} 32 *gloriosissimi* Φ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι B^{o} εὐλαβέστατοι MB^{ab} 32/33 θεοφιλεστάτου MB^{ab} εὐλαβεστάτου ἐπισκόπου B^{o} cf. Φ 34 θεοφιλεστάτου καὶ ἁγιωτάτου B πρεσβυτέρασ B^{o} 36 τούτωι M τοῦτο B^{bo} *hoc* Φ τοῦτον B^{a} 39 ἐδοκίμασε B^{o}

15 Πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Θεοδώρητος ἄξιος τοῦ θρόνου. τῇι ἐκκλησίαι τὸν ὀρθόδοξον. ἡ ἐκκλησία τὸν ποιμένα ἀπολάβηι. τὸν ὀρθόδοξον διδάσκαλον ἡ ἐκκλησία ἀπολάβηι. Θεοδώρητος ἄξιος τοῦ θρόνου. τοῦ ἀρχιεπισκόπου Λέοντος πολλὰ τὰ ἔτη. μετὰ τοῦ θεοῦ Λέων ἐδίκασεν. ὁ λαὸς τὸν ὀρθόδοξον ἀπολάβηι. ἄξιε τοῦ θρόνου. Θεοδωρήτωι τῶι ἐπισκόπωι ἡ ἐκκλησία ἀποδοθῆι.

16 Πασκασῖνος καὶ Λουκίνσιος οἱ εὐλαβέστατοι ἐπίσκοποι καὶ Βονιφάτιος ὁ εὐλαβέστατος πρεσβύτερος, ἔτι δὲ καὶ Ἰουλιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Κώιων πόλεως ἐπέχοντες τὸν τόπον τοῦ ἀποστολικοῦ θρόνου εἶπον· Τὸν ἁγιώτατον καὶ σεβάσμιον ἐπίσκοπον Θεοδώρητον καὶ ὁ ἁγιώτατος καὶ μακαριώτατος πάσης ἐκκλησίας ἐπίσκοπος
M VII 192 πόλεως Ῥώμης Λέων πάλαι εἰς κοινωνίαν ἐδέξατο οὕτως καθὼς τὰ γράμματα τὰ παρ' αὐτοῦ ἀποσταλέντα πρὸς τὴν ἡμετέραν ταπείνωσιν μαρτυροῦσιν. εἰ τοίνυν τὴν καθολικὴν πίστιν καθὼς ὑπισχνεῖται, καὶ κατὰ τὸν προλεχθέντα μακάριον ἐπίσκοπον τὴν ὑπογραφὴν ἐν τῶι ἰδίωι λιβέλλωι ἀπέστειλεν καὶ τῇι ἡμετέραι ἔτι ταπεινώσει ἑτέρου
L IIII 623 δοθέντος λιβέλλου ἔδειξεν, ἐπειδὴ καὶ Νεστόριον καὶ Εὐτυχῆ οὐ μόνον ἐγγράφως, ἀλλ' ἔτι καὶ ἐπὶ παρουσίαι παντὸς τοῦ συνεδρίου οἰκείωι στόματι ἀνεθεμάτισεν, ταύτηι τῇι κρίσει ἡ ἁγιωτάτη καὶ σεβασμία σύνοδος ἔτι τε καὶ ἡ ἡμετέρα ταπεινότης ἀποδοθῆναι αὐτῶι τὴν ἰδίαν ἐκκλησίαν ὥρισεν.

17 Ἀνατόλιος ὁ εὐλαβέστατος ἐπίσκοπος Κωνσταντινουπόλεως εἶπεν· Ὁ εὐλαβέστατος ἐπίσκοπος Θεοδώρητος διὰ πάντων μὲν ὀρθόδοξος ἀπεδείχθη, καὶ δι' αὐτοῦ δὲ τοῦ ἀναθεματίσαι Νεστόριον καὶ Εὐτυχῆ. δικαίως τοίνυν καὶ τὴν ἑαυτοῦ ἀπολήψεται ἐκκλησίαν.

18 Μάξιμος ὁ εὐλαβέστατος Ἀντιοχείας εἶπεν· Πάλαι μὲν καὶ ἐξ ἀρχῆς τὸν θεοφιλέστατον ἐπίσκοπον Θεοδώρητον ὀρθόδοξον ἤιδειν ἐπακούων αὐτοῦ ἐπὶ τῆς ἁγιωτάτης ἐκκλησίας τῶν διδασκαλιῶν, πολλῶι δὲ πλέον νῦν ἀπεδεξάμην τὴν αὐτοῦ ὁσιότητα ἀναθεματίσασαν νῦν Νεστόριον καὶ Εὐτυχέα καὶ φρονοῦσαν κατὰ τὸν ὅρον τὸν ἐκτεθέντα παρὰ τῆς ἁγίας ταύτης συνόδου. ὅθεν ψηφίζομαι καὶ ἐγὼ τῆς πόλεως Κύρου συνήθως αὐτὸν εἶναι ἐπίσκοπον.

19 Ἰουβενάλιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Κἀγὼ τοῖς αὐτοῖς συντίθεμαι οἵσπερ ἐψηφίσατο ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Ἀνατόλιος.

20 Θαλάσσιος ὁ εὐλαβέστατος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· Κἀγὼ σύμψηφος γίνομαι τοῖς τύποις τῶν ἁγίων πατέρων ἐπὶ τῶι θεοφιλεστάτωι ἐπισκόπωι Θεοδωρήτωι.

21 Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀγκύρας Γαλατίας εἶπεν· Κἀγὼ παραπλήσια τοῖς ἀποφηναμένοις ἁγίοις πατράσι ψηφίζομαι περὶ Θεοδωρήτου τοῦ εὐλαβεστάτου ἐπισκόπου.

22 Φώτιος ὁ εὐλαβέστατος ἐπίσκοπος Τύρου εἶπεν· Τοῖς τυπωθεῖσι παρὰ τῶν ἁγίων πατέρων ἡμῶν καὶ ἀρχιεπισκόπων συνωιδὰ κατατίθεμαι περὶ τοῦ εὐλαβεστάτου ἐπισκόπου Θεοδωρήτου.

M, B [= abo], Φ

2/3 τὸν ὀρθόδοξον — ἀπολάβηι om. B^o 3 τοῦ θρόνου θεοδώριτοσ ἄξιοσ B 4 *post deum* Φ 5 τῶ ἐπισκόπω quod sapit interpolationem concilii quinti gratia MB *catholico doctori* Φ 6 ἐπίσκοποι om. B^b 9 πάσησ τῆσ B^o 10 πάλιν B^{ab} 13 ἐν om. B^b 14 ἐδέξατο B^b 14/15 ἀλλ' ἔτι M ἀλλὰ B 16 τε] δὲ $Φ^r$ 18 -21 om. B^o 20 *Nestorii* $Φ^a$ et uaria lectio in $Φ^{rc}$ *Eutychis* [*eutychen* uaria lectio in $Φ^c$] *male placiti* [$Φ^{cr}$ *praui sensus* $Φ^a$] *haeresim* Φ 24 πλεῖον B νῦν MB^{ab} Φ om. B^o 25 ἀναθεματίσασ B^b νῦν om B^a 26 Κύρου om. B^o 29 ἐπίσκοποσ B^o Φ Κωνοταν τινουπόλεωσ om. B 31 καπιταδοκίασ καισαρείασ M 32—34 σύμψηφος Κἀγὼ om. B 34—37 Κἀγὼ — εἶπεν om. Φ 38 κατατίθεμαι συνωδὰ B^b

23 Κωνσταντῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος Βόστρων Ἀραβίας εἶπεν· Συναινῶ κἀγὼ τοῖς περὶ τοῦ ὁσιωτάτου ἐπισκόπου Θεοδωρήτου ὀρθῶς καὶ δικαίως ὁρισθεῖσιν.

24 Πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Αὕτη δικαία κρίσις. αὕτη δικαία ψῆφος. αὕτη Χριστοῦ κρίσις. τούτοις καὶ ἡμεῖς συναινοῦμεν. ταῦτα πάντες λέγομεν.

25 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Κατὰ τὴν κρίσιν τῆς ἁγίας συνόδου Θεοδώρητος ὁ ὁσιώτατος ἐπίσκοπος τὴν ἐκκλησίαν Κύρου τῆς πόλεως ἀπολήψεται. Ῥω

26 Οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Ἀναθεματίσῃ καὶ Σωφρόνιος.

27 Σωφρόνιος ἐπίσκοπος Κωνσταντίνης εἶπεν· Ἀνάθεμα Νεστορίῳ καὶ Εὐτυχεῖ καὶ πᾶσι τοῖς μὴ ὀρθῶς φρονοῦσιν. M VII 193

28 Οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Καὶ Ἰωάννης ἄρτι ἀναθεματίσῃ.

29 Ἰωάννης ὁ εὐλαβέστατος ἐπίσκοπος Γερμανικείας εἶπεν· Ἀνάθεμα Νεστορίῳ καὶ Εὐτυχεῖ καὶ πᾶσι τοῖς φαῦλα φρονοῦσιν.

30 Οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Ἀμφιλόχιος Εὐτυχέα ἄρτι ἀναθεματίσῃ.

31 Ἀμφιλόχιος ἐπίσκοπος Σίδης εἶπεν· Ἀνάθεμα τῷι ἐπαράτωι Εὐτυχεῖ καὶ τοῖς τὰ αὐτοῦ φρονοῦσιν.

32 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Διὰ πάντων θεραπευθείσης τῆς ἁγίας συνόδου καιρὸς τὴν ὁμόνοιαν πάντας φυλάττειν.

Πρᾶξις ῑ

1 Ὑπατείας τοῦ δεσπότου ἡμῶν Μαρκιανοῦ τοῦ αἰωνίου αὐγούστου καὶ τοῦ δηλωθησομένου τῇι πρὸ ἑπτὰ Καλανδῶν Νοεμβρίων ἐν Χαλκηδόνι L IIII 626 d. 26 m. Oct. a. 451

κατὰ κέλευσιν τοῦ θειοτάτου καὶ εὐσεβεστάτου ἡμῶν δεσπότου Μαρκιανοῦ τοῦ αἰωνίου αὐγούστου συνελθόντων ἐν τῇι ἁγιωτάτηι ἐκκλησίαι τῆς ἁγίας μάρτυρος Εὐφημίας

2 1 τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου στρατηλάτου ἀπὸ ὑπάτων καὶ πατρικίου Ἀνατολίου

2 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἐπάρχου τῶν ἱερῶν πραιτωρίων Παλλαδίου

3 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου μαγίστρου τῶν θείων ὀφφικίων Βιγκομάλου,

συνελθόντων δὲ καὶ

3 1—3 Πασκασίνου καὶ Λουκινσίου τῶν εὐλαβεστάτων ἐπισκόπων καὶ Βονιφατίου τοῦ εὐλαβεστάτου πρεσβυτέρου ἐπεχόντων τὸν τόπον τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς πρεσβύτιδος Ῥώμης Λέοντος

4 καὶ Ἀνατολίου τοῦ εὐλαβεστάτου ἀρχιεπισκόπου τῆς μεγαλωνύμου Κωνσταντινουπόλεως νέας Ῥώμης

5 καὶ Μαξίμου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀντιοχείας Συρίας

19 Fac. 5, 3 p. 713 *eius* (Ibas) *causa in septima et octaua sessione discussa est*

M, B [= abo usque ad p. 12, 4], Φ [usque ad 24]

1 *constantius* uaria lectio in Φ^{c} καγὼ συναινῶ B^{o} 4/5 ταῦτα — λέγομεν om. B^{o} 7 πόλεωσ M ἀπολήψεωσ B ῥωμαῖον B^{o} 8 ἀναθεματίσει MB^{ab} ἀναθεματισθει B^{o} 9 κωνσταντιανῆσ B 11 ἀναθεματίσει B 14 Εὐτυχέα om. Φ^{r} ἄρτι om. B^{o} ἀναθεματίσει MB 16 αὐτῶν B^{o} 17 ἐνδοξότατοι καὶ μεγαλοπρεπέστατοι B^{o} 19 δεκάτη B^{ao} 20/21 καὶ — δηλωθησομένου om. Φ 21 τῇι om. B^{o} ἑπτὰ Φ^{ar} ἓξ MBΦ^{c} 22/23 Μαρκιανοῦ — αὐγούστου om. Φ 25—p. 13, 19 omnia nomina om. Φ 25—27 στρατηλάτου — ἐνδοξοτάτου om. B^{o} 27 ἐπάρχου] στρατηλάτου ἀπὸ ὑπάτων καὶ ἐπάρχου B^{b} 35 τῆς om. M post 37 deest Iuuenalis, cf. p. 42, 36

καὶ Κυντίλλου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἡρακλείας Μακεδονίας ἐπέχοντος τὸν τόπον τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Θεσσαλονικέων Ἀναστασίου
καὶ Θαλασσίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Καισαρείας Καππαδοκίας
καὶ Στεφάνου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἐφέσου
καὶ Λουκιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Βύζης ἐπέχοντος τὸν τόπον τοῦ θεοφιλεστάτου ἐπισκόπου Ἡρακλείας Θράικης Κυριακοῦ
καὶ Εὐσεβίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀγκύρας Γαλατίας
καὶ Διογένους τοῦ εὐλαβεστάτου ἐπισκόπου Κυζίκου
καὶ Πέτρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Κορίνθου
καὶ Φλωρεντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σάρδεων
καὶ Εὐνομίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Νικομηδείας
καὶ Ἀναστασίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Νικαίας
καὶ Ἰουλιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Κῶ ἐπέχοντος καὶ αὐτοῦ τὸν τόπον τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβύτιδος Ῥώμης
καὶ Ἐλευθερίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Χαλκηδονέων
καὶ Βασιλείου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σελευκείας Ἰσαυρίας
καὶ Μελιτίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Λαρίσσης ἐπίχοντος τὸν τόπον τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀπαμείας Δόμνου
καὶ Ἀμφιλοχίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σίδης
καὶ Θεοδώρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ταρσοῦ
καὶ Κύρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀναζαρβοῦ
καὶ Κωνσταντίνου τοῦ εὐλαβεστάτου ἐπισκόπου Βόστρων
καὶ Φωτίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Τύρου
καὶ Θεοδώρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Δαμασκοῦ
καὶ Στεφάνου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἱερᾶς πόλεως
καὶ Νόννου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἐδέσσης
καὶ Συμεώνου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀμίδης
καὶ Ἐπιφανίου τοῦ εὐλαβεστάτου ἐπισκόπου [Πέργης] ἐπέχοντος τὸν τόπον τοῦ εὐλαβεστάτου ἐπισκόπου Κωνσταντείας Ὀλυμπίου
καὶ Ἰωάννου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σεβαστείας
καὶ Σελεύκου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀμασείας
καὶ Κωνσταντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Μελιτηνῆς
καὶ Πατρικίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Τυάνων
καὶ Πέτρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Γαγγρῶν
καὶ Εὐσταθίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Βηρυτοῦ
καὶ Ἀπραγμονίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Τίου ἐπέχοντος τὸν τόπον τοῦ εὐλαβεστάτου ἐπισκόπου Κλαυδιουπόλεως Καλογήρου
καὶ Ἀταρβίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Τραπεζοῦντος ἐπέχοντος τὸν τόπον τοῦ εὐλαβεστάτου ἐπισκόπου Νεοκαισαρείας Δωροθέου
καὶ Φωτεινοῦ [τοῦ εὐλαβεστάτου ἐπισκόπου] ἐπέχοντος τὸν τόπον Θεοκτίστου τοῦ εὐλαβεστάτου ἐπισκόπου Πισινοῦντος
καὶ Ῥωμανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Μύρων
καὶ Κριτωνιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀφροδισιάδος Καρίας
καὶ Νουνεχίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Λαοδικείας Φρυγίας

M, B [= abo usque ad 4]

1 κυντίλου B^{ao} 2 τῆς om. B^{ab} 5—p. 13, 19 om. B 21 κυριλλου M 26 ἐδέσης M 28 Πέργης deleni 32 μελιτινῆσ M 40 τοῦ — ἐπισκόπου] postulatur ἀρχιδιακόνου 43 κρητωνιανοῦ M

καὶ Μαριανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Συννάδων
καὶ Ὀνησιφόρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἰκονίου
καὶ Περγαμίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀντιοχείας Πισιδίας
καὶ Ἐπιφανίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Πέργης
καὶ Ἀττικοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Νικοπόλεως Ἠπείρου
καὶ Μαρτυρίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Γορτύνης
καὶ Λουκᾶ τοῦ εὐλαβεστάτου ἐπισκόπου Δυρραχίου
καὶ Βιγιλαντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Λαρίσσης Θεσσαλίας
καὶ Φραγκίωνος τοῦ εὐλαβεστάτου ἐπισκόπου Φιλιππουπόλεως
καὶ Σεβαστιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Βερόης
καὶ Βασιλείου τοῦ εὐλαβεστάτου ἐπισκόπου Τραιανουπόλεως
καὶ Τρύφωνος τοῦ εὐλαβεστάτου ἐπισκόπου Χίου ἐπέχοντος **τὸν τόπον Ἰωάννου** ἐπισκόπου Ῥόδου
καὶ Θεοκτίστου τοῦ εὐλαβεστάτου ἐπισκόπου Βεροίας
καὶ Γεροντίου ἐπισκόπου Σελευκείας Συρίας
καὶ Εὐσεβίου πρεσβυτέρου ἐπέχοντος τὸν τόπον Μακαρίου **τοῦ εὐλαβεστάτου ἐπι**σκόπου Λαοδικείας Συρίας
καὶ Εὐσεβίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Δορυλαίου
καὶ Κεκροπίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σεβαστοπόλεως

καὶ τῆς λοιπῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τῆς κατὰ θέσπισμα τοῦ θειο- M VII 196
τάτου καὶ εὐσεβεστάτου ἡμῶν δεσπότου Μαρκιανοῦ ἐν τῇι Χαλκηδονέων πόλει συν-
αθροισθείσης καὶ καθεσθέντων πάντων πρὸ τῶν καγκέλλων τοῦ ἁγιωτάτου θυσια-
στηρίου

4 εἰσελθὼν Ἴβας ὁ εὐλαβέστατος ὁ γενόμενος ἐπίσκοπος τῆς Ἐδεσσηνῶν πόλεως εἶπεν· Ἀδικηθεὶς παρὰ Εὐτυχοῦς καὶ συσκευὴν ὑπομείνας ἀπὼν ἀπὸ τεσσαράκοντα μονῶν καὶ καθαιρεθεὶς ἦλθον ἐνταῦθα φιλανθρωπίας τυχεῖν καὶ προσῆλθον τῇι θείαι καὶ ἀθανάτωι κορυφῇι καὶ ἐκέλευσε τὴν ὑμετέραν μεγαλοπρέπειαν ἅμα τῇι ἁγίαι ταύτηι καὶ οἰκουμενικῇι συνόδωι ἐξετάσαι τὰ κατ' ἐμέ. δέομαι τοίνυν ὑμῶν ἵνα μάθητε ὅτι συσκευὴν ὑπέμεινα συκοφαντηθεὶς παρά τινων κληρικῶν. κελεύσατε τὰ ἐπικριθέντα παρὰ Φωτίου καὶ Εὐσταθίου τῶν εὐλαβεστάτων ἐπισκόπων ἀναγνωσθῆναι. Οὐράνιος γὰρ ὁ ἐπίσκοπος τῆς Ἰμερίων εἰς χάριν Εὐτυχοῦς πάντα πράττων παρεσκεύασέν τινας κληρικοὺς αἰτιάσασθαί με καὶ τὴν δίκην ἑαυτῶι τε καὶ τοῖς προλεχθεῖσι παραπεμφθῆναι. καὶ ηὑρέθην ἀθῶιος ἀπὸ τῶν βλασφημιῶν τῶν ἐπενεχθεισῶν μοι καὶ ἐπίκρισις ἐξηνέχθη παρὰ τῶν προλεχθέντων εὐλαβεστάτων ἐπισκόπων, τὰς μὲν κατηγορίας τὰς κατὰ συκοφαντίαν κατ' ἐμοῦ γενομένας ἐλέγχουσα, προσμαρτυροῦσα δὲ τῇι ἐμῇι ὀρθοδοξίαι. κελεύσατε οὖν πάντα τὰ κατὰ ἀπουσίαν ἐμὴν πεπραγμένα ἐν Ἐφέσωι ἀργεῖν καὶ τὰ δί- L IIII 627
καιά μοι φυλαχθῆναι τῶι ἐν μηδενὶ καταγνωσθέντι καὶ ἀποδοθῆναί μοι τὴν ἐπισκοπὴν καὶ τὴν ἐκκλησίαν. καὶ γὰρ ἅπαντες οἱ κληρικοὶ Ἐδέσσης δι' ὧν ἔγραψαν τοῖς προλεχθεῖσιν ἐπισκόποις, ἐμαρτύρησάν μοι ὅτιπερ ὀρθόδοξος τυγχάνω καὶ ἀλλότριός εἰμι τῆς ἐπενεχθείσης μοι ἀθεμίτου βλασφημίας.

23—39 adfert Vigilius t. IIII 2 p. 142

M, B [= abo inde a 20], Φ [inde a 20]
21 δεσπότου ἡμῶν B^o Μαρκιανοῦ om. Φ 22 πάντων om. B^o 24 ὁ γενόμενος om. $Φ^{ac}$ ἐδεσηνῶν B ἐδεσινῶν M 25—26 συσκευὴν — τυχεῖν καὶ om. B^o 26 συσκευὴν scripsi σκευὴν MB^{ab} 27 ἁγίαι ταύτηι] ἁγιωτάτη B^o 28 ἐξέτασον B^b 31 πάντα om. B^o 31/32 κληρικοὺς τινὰς M 33 εὑρέθην B 35 γινομένας B^o 36 οὖν om. Φ τὰ — πεπραγμένα MB Vig. uaria lectio in $Φ^c$ *quae — sub Dioscoro gesta sunt* $Φ^r$ *quae — gesta sunt sub Dioscoro* $Φ^{ac}$ ἐμὴν om. B 38 ἐδέσης MB^{ab} 40 ἐπαχθείσης M

5 Οἱ μεγαλοπρεπέστατοι ἄρχοντες εἶπον· Τῆς διδασκαλίας Ἴβα τοῦ εὐλαβεστάτου δήλης γενομένης τί παρίσταται τῇι ἁγίαι συνόδωι; Ῥω

6 Πασκασῖνος καὶ Λουκίνσιος καὶ Ἰουλιανὸς οἱ εὐλαβέστατοι ἐπίσκοποι καὶ Βονιφάτιος πρεσβύτερος εἶπον· Τὰ πεπραγμένα ὧν τὴν μνήμην ἐποιήσατο ὁ εὐλαβέστατος Ἴβας καὶ ἑαυτὸν καθαρὸν ἀπὸ πάσης κατηγορίας ἐν τῶι τῶν ἐπισκόπων κριτηρίωι κατεσήμανεν, προκομισθῶσιν εἰς τὸ μέσον, ἵνα ἐκ τῆς τούτων ἀναγνώσεως ἢ ⟨ἦι⟩ δικάσιμον ἢ εἴ τι ὁρίσαι χρή, ἐπιγνῶμεν.

Καὶ ἐπιδοθείσης τῆς ἐπικρίσεως παρὰ Ἴβα τοῦ εὐλαβεστάτου Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀνέγνω

7 Μετὰ τὴν ὑπατείαν Φλαυίου Ζήνωνος καὶ Ποστουμιανοῦ τῶν λαμπροτάτων
M VII 197 πρὸ πέντε Καλανδῶν Μαρτίων ἐν κολωνίαι Τύρωι λαμπροτάτηι μητροπόλει ὑπατικῆι
d. 25. m. Febr. ἔτους τετάρτου ἑβδομηκοστοῦ πεντακοσιοστοῦ μηνὸς Περιτίου δεκάτηι, κατὰ Ῥωμαίους
a. 449 Φεβρουαρίου πέμπτηι καὶ εἰκάδι ἰνδικτιῶνος ᾱ, Φώτιος ἐπίσκοπος τῆς Τυρίων μητροπόλεως καὶ Εὐστάθιος ἐπίσκοπος τῆς Βηρυτίων καλλιπόλεως διελαλήσαμεν τὰ ὑποτεταγμένα

Ὁ μεγαλοπρεπέστατος καὶ εὐδοκιμώτατος τριβοῦνος καὶ νοτάριος Δαμάσκιος ἐπιδημήσας τῆι Φοινίκων ἐπαρχίαι εὐσεβῆ γράμματα ἡμῖν ἐπιδέδωκεν τοῦ πάντα εὐσεβεστάτου καὶ φιλοχρίστου βασιλέως ἡμῶν παρακελευόμενα ὥστε ἀκροατὰς ἡμᾶς γενέσθαι ἅμα τῶι θεοσεβεστάτωι ἐπισκόπωι τῆς Ἰμερίων πόλεως Οὐρανίωι τῶν κινουμένων κεφαλαίων πρὸς τὸν θεοσεβέστατον ἐπίσκοπον τῆς Ἐδεσσηνῶν πόλεως Ἴβαν παρὰ Σαμουήλου καὶ Κύρου καὶ Μάρα καὶ Εὐλογίου τῶν εὐλαβεστάτων καὶ τύπον τὸν ἡμῖν φανησόμενον δικαιότατον παρασχεῖν. τοῖς οὖν εὐσεβῶς θεσπισθεῖσιν τὸ ἱκανὸν ποιοῦντες προτεθείκαμεν τὴν ἀκρόασιν καὶ τῶν μερῶν προσαχθέντων ἡμῖν διὰ τοῦ προειρημένου εὐδοκιμωτάτου καὶ περιβλέπτου τριβούνου καὶ νοταρίου Δαμασκίου καὶ καταθέσεως γεγενημένης παρὰ τοῦ αὐτοῦ εὐδοκιμωτάτου ἀνδρὸς δῆλον ποιούσης τοῦ πανευσεβοῦς βασιλέως ἡμῶν τὸ θέσπισμα ἀναγκαίως ἐπετρέποντο οἱ τῶν κατηγόρων τὸ πρόσωπον ἔχοντες διδάσκειν ἅπερ ἔχουσιν. ἐπιδεδωκότων δὲ αὐτῶν κεφάλαιά τινα καὶ ἀξιωσάντων τούτων ἀκριβῆ γενέσθαι τὴν ἐξέτασιν ἐντυχόντες ἡμεῖς τοῖς κεφαλαίοις καὶ ἐν τούτοις εὑρόντες διαβολήν τινα τοῦ θεοφιλεστάτου ἐπισκόπου Ἴβα ὡς οὐκ ὀρθῶς φρονοῦντος, ἀλλ' ἕτερα παρὰ τὸν τῆς εὐσεβείας λόγον διδάσκοντος, ἀναγκαίως ⟨ἐκ⟩ τούτου πρῶτον τὴν ἐξέτασιν μετὰ πολλῆς τῆς ἐπιμελείας ποιήσασθαι κατηπείχθημεν. ἐπετρέψαμεν τοι-
L IIII 630 γαροῦν τοῖς κατηγόροις εἰπεῖν τίνα ἐστὶν ἃ τῶι θεοσεβεστάτωι ἐπισκόπωι Ἴβαι εἴρηται
M VII 198 τῆς εὐσεβείας, ὡς ἔφασκον, ἀλλότρια δογμάτων. εἰπόντων δὲ αὐτῶν φανερά τινα καὶ πολλῶν κινηθέντων, ἅπερ ἐμφέρεται τοῖς ὑπομνήμασιν, ἡμεῖς τὴν τῶν ἀκροατῶν τάξιν

13 indictio 1 decurrit inde a d. 1. m. Sept. a. 447 usque ad d. 31. m. Aug. a. 448 26—33 ὑπομνήμασιν adfert Vigilius t. IIII 2 p. 144

33 ἡμεῖς — p. 15, 14 ὁμόνοια adfert Facundus 7, 5 p. 737

M, B [= abo], Φ

2 ρωμαῖον Bo 3/4 καὶ3 — πρεσβύτεροσ εἶπον MBao ἐβόησαν σὺν βονιφατίω πρεσβυτέρω Bb *et Bonifatius pbr̄ uicarii* [*om.* Φa] *sedis apostolicae per Pascasinum dixerunt* Φ 6 ἐν τῶ μέσω Bb 7 *aut iudicandum sit* Φ ἢ δικάσιμον MB 9 σηκρητάριος om. M τοῦ — κονσιστωρίου BoΦ om. MBab 10 *Postumiani* Φac et uaria lectio in Φr πουστουμιανοῦ Bo ποστουμινιανοῦ [ποστουμηνιανοῦ M] MBabΦr 11 κολωνεία Bab 13 φευρουαρίου MBb πρώτησ B ὁ εὐλαβέστατος ἐπίσκοποσ Bb 13/14 Τυρίων — τῆς om. Bb 14 ἐπίσκοποσ MBaoΦa om. Φcr βιρυτίων Bb βηριτῶν Bo 16 δέδωκε Bb 18/19 κεφαλαίων om. B 19 ἐδεσηνῶν MBab 22 *proposuimus* Φ προστεθείκαμεν MB προσταχθέντων M 23 καὶr MBboΦ ἀνδρὸσ τοῦ Ba 24 γινομένησ Bo 25 ἡμῶν βασιλέωσ Ba βασιλέωσ Bo 26/27 ἀξιωτάτων Bo 29 ἀλλ' — διδάσκοντος om. Bo ἐκ Φ om. MB πρώτου B 31 θεοφιλεστάτω Bb 32 *dogmatibus* Φcr *dogmatis* Φa δόγματα MB εἶπον Φ δὲ om. Φac

πρὸς μικρὸν καταλιπόντες εἰς τὸ κοινωφελὲς τῶν ἁγίων ἐκκλησιῶν ἀπιδόντες ἀντὶ δικαστῶν εἰρήνης μεσίτας τοῖς μέρεσιν ἑαυτοὺς κατεστήσαμεν καὶ πολλαῖς χρησάμενοι ταῖς συμβουλαῖς τῆς εὐσεβείας πανταχοῦ προτιμωμένης καὶ ἐξεταζομένης παρεσκευάσαμεν τὸν θεοφιλέστατον ἐπίσκοπον Ἴβαν καὶ αὐτὸν τοῦτο ἁρπάσαντα εἰς πληροφορίαν τῶν λεγόντων βεβλάφθαι ἐγγράφως ἐπιδοῦναι ὅπως ἔχει τε καὶ φρονεῖ περὶ τῆς εὐσεβοῦς ἡμῶν πίστεως, ὅπερ καὶ πεποίηκεν. ἐκ περιουσίας δὲ ὁ προειρημένος θεοφιλέστατος ἀνὴρ ὑπέσχετο καὶ ἐν τῇ ἑαυτοῦ πόλει διαλέγεσθαι πρὸς τὴν ἐκκλησίαν καὶ φανερῶς ἀναθεματίζειν τὸν τῆς πονηρᾶς δυσσεβείας ἔξαρχον Νεστόριον καὶ τοὺς τὰ αὐτὰ αὐτῶι φρονοῦντας καὶ τοὺς ἢ λόγοις ἢ βίβλοις αὐτοῦ κεχρημένους, ὁμολογεῖν δὲ οὕτως πιστεύειν ὡς τὰ γράμματα περιέχει τὰ τῆς συμβάσεως τῆς γεγενημένης μεταξὺ τῶν θεοφιλεστάτων καὶ ὁσιωτάτων τὴν μνήμην Ἰωάννου τοῦ τῆς μεγίστης Ἀντιοχέων πόλεως ἐπισκόπου καὶ Κυρίλλου τοῦ τῆς Ἀλεξανδρέων μεγίστης πόλεως ἐπισκόπου, οἷς διηκονήσατο ὁ τῆς μακαρίας μνήμης ἐπίσκοπος τῆς Ἐμεσηνῶν πόλεως Παῦλος, ἐξ ὧν ἡ οἰκουμενικὴ συνεκροτήθη ὁμόνοια, στοιχεῖν δὲ καὶ πᾶσιν τοῖς πραχθεῖσιν ἔναγχος παρὰ τῆς συνελθούσης ἁγίας συνόδου ἐν τῇι βασιλευούσηι καὶ φιλοχρίστωι Κωνσταντινουπόλει, ἔχειν δὲ τὰ δεδογμένα ἐν τῇι Ἐφεσίων μητροπόλει ἅπαντα ὡς παρὰ συνόδου ὑπὸ ἁγίου πνεύματος κινηθείσης ἴσην τε αὐτὴν ἡγεῖσθαι τῇι ἐν Νικαίαι συγκροτηθείσηι καὶ μηδεμίαν διαφορὰν νομίζειν αὐτῆς πρὸς ταύτην. καὶ σφόδρα αὐτοῦ τὴν θεοσέβειαν ἐπηινέσαμεν προθύμως ἁρπάσασαν τὸ θεραπεῦσαι τοὺς ἐξ ὑπονοίας ἢ ἄλλως πως βεβλαμμένους περὶ τὴν ὑπόληψιν τῆς αὐτοῦ διδασκαλίας. τούτων ⟨οὖν⟩ δοξάντων καὶ ἐπαγγελθέντων καὶ τοῦ μεσοτοίχου τῆς ἔχθρας σὺν θεῶι καταλυθέντος ἐπάναγκες ἦν συναγαγεῖν ἡμᾶς καὶ συνάψαι πρὸς εἰρήνην καὶ ὁμόνοιαν καὶ ἀγάπην τῇι κεφαλῇι τὰ διεστῶτα μέλη. M VII 201
διαλεχθέντες τοιγαροῦν ὅσαπερ ἔδει, πεπείκαμεν τὸν θεοφιλέστατον ἐπίσκοπον Ἴβαν ἔχειν τοὺς προειρημένους ὡς ἴδια τέκνα καὶ θάλπειν καὶ συγκροτεῖν ἁπάσης ἀμνηστίας παρεχομένης τοῦ θεοῦ τὸ κριτήριον αὐτῶι προθέντες. πεπείκαμεν δὲ καὶ αὐτοὺς τοὺς προειρημένους συνελθεῖν. ὡς πατρὶ τῶι αὐτῶι θεοφιλεστάτωι ἐπισκόπωι Ἴβαι καὶ πᾶσαν ἐπαγγείλασθαι εὔνοιαν καὶ διάθεσιν ὡς τῶν λυπηρῶν ἁπάντων σὺν θεῶι πεπαυμένων. πρὸς τούτωι ἀπηιτήσαμεν ἡμεῖς λόγον τὸν θεοσεβέστατον ἐπίσκοπον Ἴβαν ὡς πᾶσι τοῖς ἐν τῶι παρόντι πράγματι λυπήσασιν αὐτὸν ἢ δόξασιν ἀντιπράττειν ἀμνηστίαν δωρεῖσθαι, καὶ οὐδένα λυπήσει οὔτε μὴν ἀποστερήσει βαθμοῦ οὐδὲ τοὺς ἐλάττονας προτιμήσει τῶν προβεβηκότων διὰ τὴν γεγενημένην λύπην, ἀλλὰ πάντας, εἴτε κληρικοί εἶεν εἴτε μονάζοντες ἢ λαικοί, ὡς ἴδια ἔξει τέκνα οὐδεμίαν διαφορὰν ἑκάστου πρὸς τὸν ἄλλον ποιούμενος, ἀλλὰ πᾶσι τὸ δίκαιον φυλάττων ἔν τε ταῖς τιμαῖς καὶ ταῖς θεραπείαις καὶ τοῖς βαθμοῖς. περὶ δὲ τῆς ἐκκλησιαστικῆς προσόδου καὶ τῶν ἐξ οἱασδήποτε αἰτίας προ- L IIII 631
σποριζομένων τῇι ἁγιωτάτηι ἐκκλησίαι κινηθέντων τινῶν ἔδοξε τῶι αὐτῶι θεοφιλεστάτωι ἐπισκόπωι Ἴβαι ἐξ οἰκείας γνώμης ἐπαγγείλασθαι ὅτι δὴ τοῦ λοιποῦ κατὰ τὸν τύπον

2—20 adfert Vigilius t. IIII 2 p. 144; 16—20 Coll. Auell. 83, 274

M, B [abo], Φ

3 παρεκελεύσαμεν B^b 4 ἐπίσκοπον om. B^o τοῦτο] τὸν B 4/5 λεγομένων Φ 6 γρ καὶ ὁ προκείμενος B^a in mg. 7 ἐκκλησία M 8/9 τὰ αὐτὰ — καὶ τοὺς om. B 9 ὁμολογεῖν MB et codex Acoemitanus Rustici ὁμολογῶν $Φ^{cr}$ ὡμολόγει $Φ^a$ Fac. 10 τὰ 2 om. B^o 12 καὶ — ἐπισκόπου om. B^o διηκονίσατο M 13 ὧν καὶ B^o 14 προλεχθεῖσιν B^b 16 δεδεγμένα B^{ab} 19 ἁρπάσασαν προθύμως B πως om. B 20 *his ergo* Φ τούτων MB 21 τοῦ om. B *inimicitiarum* $Φ^r$ συνεισαγαγεῖν B^a συνεισαγεῖν B^b 22 συνάξαι B^{ao} 23 διαλεχθέντες — πεπείκαμεν om. B^o 24 ἀμνηστείασ M 28 *super haec* Φ πρὸσ τοῦτο MB λόγον MB interpolate, ni fallor, ne episcopus iurare cogi uideatur *sacramentum* Φ θεοφιλέστατον B 29 ἀμνηστείαν M 31 ὑποβεβηκότων B εἴτε τὲ M 32 ἢ] εἴτε M 33 τιμωρίαισ B^b καὶ[1] om. B^b 35 κινητῶν B^o 36 ἐπισκόπω MBΦ^{ac} om. $Φ^r$ τὸν om. B

τὸν ἐν τῇι μεγίστηι Ἀντιοχέων ἐκκλησίαι διοικεῖται τὰ πράγματα διὰ οἰκονόμων ἐκ τοῦ κλήρου προβαλλομένων ὑπὸ τῆς αὐτοῦ θεοσεβείας. ἔδοξεν δὲ ὡς εἴ ποτε δόξας δικαίως λυπεῖσθαι ὁ θεοσεβέστατος ἐπίσκοπος Ἴβας βουληθείη ἐπιτιμῆσαι τινὶ τῶν προειρημένων εὐλαβεστάτων Σαμουήλωι Κύρωι Μάραι Εὐλογίωι, μὴ ἐξ αὐθεντίας ἰδίας ἐπιτιμᾶν αὐτοῖς, ἀλλὰ τοῦτο ποιεῖν γνώμηι τοῦ θεοφιλεστάτου καὶ ἁγιωτάτου πατρὸς καὶ ἀρχιεπισκόπου Δόμνου διὰ τὴν φθάσασαν εἰς αὐτοὺς γενέσθαι μικροψυχίαν. ἐγυμνάσθη δὲ καὶ ἕτερά τινα κεφάλαια ἀγράφως, ἅτινα καὶ ἐτυπώθη, καὶ ἔστερξεν ἀμφότερα τὰ μέρη τὰ παρ' ἡμῶν δοκιμασθέντα.

Καὶ αἱ ὑπογραφαί

Φώτιος ἐπίσκοπος τῆς Τυρίων πόλεως ἐπέκρινα

Εὐστάθιος ἐπίσκοπος τῆς Βηρυτίων καλλιπόλεως **ἐπέκρινα**

M VII 204 Σαμουῆλος πρεσβύτερος στέργω τὰ ἐπικριθέντα

Εὐλόγιος πρεσβύτερος στέργω τὰ ἐπικριθέντα

Κῦρος πρεσβύτερος στέργω τὰ ἐπικριθέντα

Μάρας πρεσβύτερος στέργω τὰ ἐπικριθέντα.

8 Οἱ μεγαλοπρεπέστατοι ἄρχοντες εἶπον· Ἤκουσεν τῶν ἀναγνωσθέντων ἡ ἁγία σύνοδος· τὸ τοίνυν παριστάμενον αὐτῇ λεγέτω.

9 Πασκασῖνος καὶ οἱ λοιποὶ εὐλαβέστατοι διὰ τοῦ πρεσβυτέρου τοῦ ἀποστολικοῦ θρόνου εἶπον· Οἱ ἁγιώτατοι ἐπίσκοποι οἵτινες ἰδίαι ψήφωι ἀναίτιον καὶ πάσης κατηγορίας ἐλεύθερον Ἴβαν τὸν εὐλαβέστατον ἐδήλωσαν, τὴν ἰδίαν ἐπίκρισιν εἰ ἐπιγινώσκουσιν, εἰπάτωσαν.

10 Φώτιος ὁ εὐλαβέστατος ἐπίσκοπος Τύρου εἶπεν· Ναὶ ἡμετέρα ἐστὶν ἡ ἐπίκρισις.

11 Εὐστάθιος ὁ εὐλαβέστατος ἐπίσκοπος Βηρυτοῦ εἶπεν· Ἐμή ἐστιν ἡ ὑπαγορία.

12 Πασκασῖνος καὶ οἱ λοιποὶ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Ἤκουσεν ἡ ὑμετέρα μακαριότης τί περιέχει καὶ ἡ τῶν ἁγιωτάτων ἐπισκόπων ἐπίκρισις· ὁμοίως καὶ τῇι ὑμετέραι ἁγιότητι περὶ τῆς στάσεως Ἴβα τί φαίνεται, ἀποφήνασθαι καταξιώσατε.

13 Καὶ σιωπώντων πάντων τῶν εὐλαβεστάτων ἐπισκόπων οἱ μεγαλοπρεπέστατοι ἄρχοντες εἶπον· Τῇι ἑξῆς τὴν ἑαυτῆς γνώμην ἡ ἁγία σύνοδος φανερὰν καταστήσει. Ῥω ἀνέγνων ἀνέγνωμεν ἀνέγνω.

Πρᾶξις ια

1 Ὁμοίως τῇι πρὸ ἓξ Καλανδῶν Νοεμβρίων ὑπατείαι τῇι αὐτῇι ἐν τῇι αὐτῇι ἁγιωτάτηι ἐκκλησίαι τῆς ἁγίας μάρτυρος Εὐφημίας προκαθεζομένων τῶν αὐτῶν μεγαλοπρεπεστάτων καὶ ἐνδοξοτάτων ἀρχόντων καὶ τῆς αὐτῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου κατὰ κέλευσιν τοῦ θειοτάτου καὶ εὐσεβεστάτου ἡμῶν δεσπότου Μαρκιανοῦ τοῦ αἰωνίου αὐγούστου εἰσελθὼν ὁ προλεχθεὶς Ἴβας ὁ εὐλαβέστατος εἶπεν· Δέομαι τῆς μεγαλο-

L IIII 634 d. 27. m. Oct. a. 451

18—23 adfert Vigilius t. IIII 2 p. 146

35—p. 17, 3 adfert Vigilius t. IIII 2 p. 142; 10—26 ibidem p. 147

M, B [= abo], Φ

1 τῶν ἀντιοχέων B^{ab} ἐκ τοῦ] αὐτοῦ B^{o} 2 αὐτοῦ om. M 3 ἐπίσκοπος om. B^{o} 7 ἐγγράφωσ B^{b} μέρη τὰ om. B 9 αἱ om. B 11 βηριτῶν B^{o} 13—15 om. B 15. 13. 14 siue 13. 15. 14 coll. Φ^{r} 15 om. Φ^{ac} 13 *presbyter* Φ ἐπίσκοποσ M 17 αὐτῇι Φ^{r} αὐτη MB om. Φ^{ac} 18 οἱ λοιποί MBΦ^{ar} *Lucensius* Φ^{c} *reuerentissimi* [om. Φ^{ac}] *episcopi* Φ τοῦ πρεσβυτέρου MBΦ^{a} *Bonifatium presbyterum* Φ^{cr} τοῦ^{2} om. M 20 εἰ] ἡ B^{o} 22 ναὶ] καὶ B^{b} 23 ὑπαγορεία B^{ab} 24 *dixerunt* Φ ἡμετέρα B^{b} 26 ἀποφήνασ B^{b} 28 τὴν] τῆσ B^{b} φανερὰ M 28/29 Ῥω — ἀνέγνω om. Φ 28 ῥωμαῖον MB^{o} 30 ἐνδεκάτη B^{ao} 31 ἓξ Φ πέντε MB et unus codex Φ^{a} αὐτῇι^{2} om. B 33 αὐτῆς om. B^{o} 35 ἴβασ ὁ εὐλαβέστατοσ $B^{a}\Phi$ εὐλαβέστατοσ [εὐλαβέστατοι B^{b}] ἴβασ MB^{b} singulus codex Φ^{c} et Φ^{r} ἴβασ B^{o}

πρεπείας ὑμῶν καὶ τῆς ἁγίας ταύτης οἰκουμενικῆς συνόδου· Εὐτυχής με διὰ τὴν πίστιν συνεσκευάσατο. οὐ συνεχώρησέν μοι εἰσελθεῖν εἰς τὴν σύνοδον· ἀπὸ τεσσαράκοντα μονῶν δι' ἀμοιβαίων τῶν τάξεων παρέπεμψέ με· εἴκοσι ἢ καὶ πλείους φυλακὰς ἤμειψα, M VII 205 ὡς εἰ μὴ ἦν φυλακὴ ἐν Ἀντιοχείαι ὑπὸ τὴν κομιτιανὴν τάξιν· λέγουσίν μοι ὅτι καθηρέθης. εἰ παρίσταται τῇ μεγαλοπρεπείαι ὑμῶν καὶ τῇ ἁγίαι ὑμῶν συνόδωι τὰ ἀκρίτως ἐπ' ἐμοὶ ἀπόντι γενόμενα ἀνατραπῆναι, τῆς ὑμετέρας ἔστω ἐξουσίας. περὶ γὰρ τούτου, ὡς ἤδη ὑμᾶς ἐδίδαξα, προσῆλθα τῇι θείαι καὶ ἀθανάτωι κορυφῇι καὶ ἐκέλευσεν τὴν ὑμετέραν μεγαλοπρέπειαν καὶ τὴν ἁγίαν σύνοδον ἀκοῦσαι τῶν κατ' ἐμέ, καὶ ἔγνωτε ἀπὸ τῆς ἐπικρίσεως ὅτι ἐν οὐδενὶ αἴτιος ηὑρέθην.

2 Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· Τῇι προτεραίαι ὑπερθέσεως γενομένης εἰς τὸ τὴν ἁγιωτάτην σύνοδον τὰ δοκοῦντα αὐτῇι εἰπεῖν περὶ Ἴβα τοῦ εὐλαβεστάτου, τὰ δόξαντα αὐτῇι φανερὰ καθιστάτω.

3 Οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Ἀπόντα οὐδεὶς κατακρίνει.

4 Ἴβας ὁ εὐλαβέστατος εἶπεν· Δέομαι ὑμῶν· ἀπὼν κατεκρίθην, οὐ παρήμην, οὐκ ἔτυχον ἀπολογίας, οὐκ ἠξιώθην λόγου.

5 Οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Κακῶς ἐποίησαν οἱ παρὰ τοὺς κανόνας κατακρίναντες αὐτόν. τὰ κατὰ ἀπόντος γενόμενα ἀργείτω. ταῦτα πάντες λέγομεν· οὐδεὶς ἀπόντα κατακρίνει.

6 Πατρίκιος ὁ εὐλαβέστατος ἐπίσκοπος Τυάνων εἶπεν· Πρώην ἀνεγνώσθη ὅρος τῶν τότε διαιτητῶν τυπωθέντων, φημὶ δὴ Φωτίου καὶ Εὐσταθίου τῶν εὐλαβεστάτων ἐπισκόπων, καὶ ἔκριναν αὐτὸν ἱερέα εἶναι. πάντες οὖν συναινοῦμεν τῶι ὅρωι ἐκείνωι καὶ βουλόμεθα αὐτὸν εἶναι ἱερέα.

7 Οἱ Ἀνατολικοὶ ἐπίσκοποι ἐβόησαν· Αὕτη δικαία κρίσις.

8 Τινὲς τῶν ἐπισκόπων ἐβόησαν· Ἀντιλέγεται· εἰσὶν ** οἱ κατηγορεῖν θέλοντες Ἴβα τοῦ εὐλαβεστάτου ἐπισκόπου.

9 Καὶ εἰσελθόντων Θεοφίλου διακόνου καὶ Εὐφρασίου καὶ Ἀντιόχου καὶ Ἀβραμίου Θεόφιλος διάκονος εἶπεν· Ἀξιοῦμεν τὰ ἐπὶ Ἴβαι πεπραγμένα ἐν Βηρυτῶι ἀναγνωσθῆναι, ἵνα μάθητε ὅτι δικαίως καθηρέθη.

10 Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· Κατηγορήσων Ἴβα τοῦ εὐλαβεστάτου εἰσελήλυθας ἢ ὡς ὑπὲρ τῆς πίστεως ἀγωνιζόμενος τὰ πεπραγμένα ζητεῖς ἀναγνωσθῆναι;

12 Θεόφιλος διάκονος εἶπεν· Οἱ κατήγοροι δῆλοί εἰσι καὶ οὔκ εἰσιν ἐνταῦθα. ἐγὼ L IIII 635 διάκονος εἰμὶ καὶ οἶδα τὴν βίαν τῆς πόλεως· καὶ εἰ κατηγορῶ, οὐ πάρεισι μάρτυρες καὶ ἀρνεῖται.

13 Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· Ἐγγράφους ἀποδείξεις περί τινος δύνασθε παρασχεῖν;

14 Θεόφιλος διάκονος εἶπεν· Ἔχω τὰ ὑπομνήματα τὰ ἐπ' αὐτῶι πεπραγμένα ἐν Βηρυτῶι καὶ τὰ ἐν Ἐφέσωι. ἰδοὺ καὶ ὁ κύριος ὁ θεοσεβέστατος ἐπίσκοπος Θαλάσσιος

1—3. 13. 16—18 adfert Facundus 6, 1 p. 721
32—34. 37—38 adfert Vigilius t. IIII 2 p. 148

M, B [= abo], Φ

1 ταύτης καὶ B^b 2 ἀπὸ MB et unus codex Φ *per* Φ 4 *tamquam non esset carcer* Φ ὡς εἰμὶ ἐν MB κομητικὴν B 6 ὑπεμοί M 7 προσῆλθον B 8 ἔγνωται B^b 9 εὑρέθην B 13 εὐλαβέστατοι καὶ θεοφιλέστατοι B^o 21 ἐκείνων Φ 24 ἀντιλέγετε B lacunam significaui; *sunt accusatores eius foris et iubeantur ingredi. Magnificentissimi et gloriosissimi iudices dixerunt: Ingrediantur qui* etc. Φ 26 εὐφορασίου MB^{ao} ἀβραμίου M 28 καθηρέσθαι B^b 30 εὐλαβεστάτου ἐπισκόπου B περὶ B^o 35 ἐγγράφως B^{ab} 36 δύνασθαι MB^o 37 ὑπ' B^{ao} αὐτοῦ B 38 κῶ M θεοφιλέστατοσ B

M VII 208 οἶδεν αὐτὸς δεξάμενος τὰς ἀναφοράς· πάρεστιν, [αὐτὸς] ἐρωτηθῆι αὐτὸς καὶ τὴν καθαίρεσιν αὐτοῦ ἐποίησεν διὰ ποῖον πρᾶγμα. καὶ ὁ κύρις Εὐσέβιος πάρεστι καὶ οἶδεν.

15 Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀγκύρας Γαλατίας εἶπεν· Ἐγὼ ἀναφορὰν οὐκ ἐδεξάμην, ἤκουσα δὲ ἀναγινωσκομένης αὐτῆς ἐν Ἐφέσωι· καί ἐστι πολυεπὴς ὁ χάρτης καὶ πολλῶν ἀνθρώπων καταθέσεις ἔχων. εἰ δὲ ἔχει ὑπομνήματα ὡς ἐν δεήσει πεπραγμένα, αὐτοῦ ἐστι δεῖξαι· ἐγὼ γὰρ μετὰ τοῦ πλήθους ἀκροατὴς ἦμην.

16 Θαλάσσιος ὁ εὐλαβέστατος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· Μετὰ πάντων ἠκροασάμεθα.

17 Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· Παρῆν τὸ τηνικαῦτα Ἴβας ὁ εὐλαβέστατος τῆι ὑμετέραι ἀκροάσει;

18 Θαλάσσιος καὶ Εὐσέβιος οἱ εὐλαβέστατοι ἐπίσκοποι εἶπον· Οὐ παρῆν.

19 Οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Ἀπόντα οὐδεὶς κατακρίνει.

20 Θεόφιλος διάκονος εἶπεν· Ἡ ἀλήθεια δειχθῆι ἐπὶ τῆς ἁγίας συνόδου. καὶ ὁ κύρις Εὐστάθιος λέγει ὅτι εἰσήνεγκαν τρεῖς καὶ ἓξ καὶ δώδεκα μάρτυρας διὰ τὴν λέξιν ἣν εἶπεν τὴν οὐ φθονῶ τῶι Χριστῶι γενομένωι θεῶι. ἐνταῦθά ἐστι Φώτιος ὁ ἐπίσκοπος· προτεθῆι αὐτῶι τὸ εὐαγγέλιον.

21 Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· Πεπειραμένος ὁ εὐλα-
act. 19 βέστατος ἐπίσκοπος Φώτιος τῆς κρίσεως τῆς συνόδου τὴν δικαιοσύνην ἣν ἐπὶ τοῦ ἰδίου πράγματος ηὗρεν, φυλάξαι καὶ νῦν σπουδασάτω διηγούμενος ἡμῖν ὡς ἔσχεν τὸ κατὰ Ἴβαν τὸν εὐλαβέστατον πρᾶγμα. Ῥω

22 Φώτιος ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Τυρίων πόλεως εἶπεν· Τὸ ἀληθὲς λέγω· οὔτε γὰρ πρέπει ἐν οἱωιδήποτε πράγματι ψεύσασθαι, πολλῶι δὲ μᾶλλον ἐπὶ τοιούτωι καὶ τοσούτωι καὶ ζητουμένωι παρὰ τῆς ὑμετέρας ἐξουσίας καὶ παρὰ τῆς οἰκουμενικῆς συνόδου. φανερὰ ἐπὶ αὐτοῦ ἐλθόντες ἀπὸ Μεσοποταμίας πρεσβύτεροι καὶ μονάζοντες ἔλεγον πρὸς αὐτὸν περὶ αὐτοῦ, εἶτα οὗτος ἠρνεῖτο. ἡμεῖς ὡς ἐμεσαζόμεθα καὶ ἀπὸ τοῦ ὄγκου τῶν δυσφημιῶν καὶ ἀπὸ τῆς ὀχλήσεως τῶν μοναζόντων καὶ πρεσβυτέρων, προσέπεσα ἐξελθεῖν αὐτοὺς ἀπὸ Τύρου. ἐσκανδαλίζετο γὰρ ἡ πόλις, μηδέποτε τοιοῦτό τι μήτε νοσήσασα μήτε ἀκούσασα. μετὰ ταῦτα αὐτοῦ ὀμνύοντος μηδὲν εἰρῆσθαι παρ' αὐτοῦ, ἐδεξάμεθα ἡμεῖς ἀφορμὰς ὥστε εἰρηνεῦσαι τοὺς ἀμφοτέρους καὶ κοινωνῆσαι αὐτοῖς· παρῆν δέ, νομίζω, καὶ ὁ κύρις ὁ διάκονος Εὐλόγιος ἀπὸ Κωνσταν-
30 τινουπόλεως. ἡμεῖς φίλους αὐτοὺς ἐποιήσαμεν.

23 Οἱ μεγαλοπρεπέστατοι ἄρχοντες εἶπον· Ἠλέγχθη τοίνυν Ἴβας ὁ εὐλαβέστατος
M VII 209 παρὰ τῶν κατηγορησάντων αὐτοῦ;

24 Φώτιος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Οὔ, ἔλεγον δὲ ἐλθόντες τινὲς συνόντες αὐτοῖς τοῖς κληρικοῖς τρεῖς ὑβρίζουσι καὶ ἀτιμάζουσι καὶ μαχομένοις πρὸς αὐτὸν μαρ-
35 τυρεῖν. ἡμεῖς εἴπαμεν ὅτι οὐκ ἔστι τοὺς συνόντας τοῖς ἐχθροῖς δεκτοὺς εἶναι εἰς μαρτυ-
L IIII 638 ρίαν. ἐποιήσαμεν οὖν αὐτοὺς φίλους· τα ἅγια δῶρα ἄνω ἐν τῶι ἐπισκοπείωι ἐκοινώνησαν μετ' ἀλλήλων αὐτὸς καὶ οἱ πρεσβύτεροι.

3—11. 31—33 cf. Vigilius t. IIII 2 p. 148

1. 3—5 cf. acta concilii Epheseni alterius [Abhndlg. d. Gött. Ges. d. Wiss. N. F. XVI] p. 14—48

M, B [= abo], Φ

1 αὐτὸς² om. Φ 2 ικσ M 5 ἐνδεήσεισ Bº 6 πεπραγμένα om. B 12 *Orientales et Pontici reuerentissimi* [om. Φ^ac] *episcopi* Φ 14 ὁ κύρισ ὁ εὐλαβέστατοσ Bº δέκα Bº 15 ἐστι om. Bº 16 προστεθῆ Bº 19 εὗρε B 20 τὸν εὐλαβέστατον om. Φ ῥωμαῖον Bº 22 πρέπον B^a ψεύδεσθαι Bº 23 παρὰ² M om. B^b 24 φανεᾶ M φανερῶσ B *quaedam* Φ^cr *quidam* Φ^a 25 πρὸς αὐτὸν om. B^b 27 προσέπεσα MB^bo προσεπέσομεν B^a *iussimus* Φ τοιοῦτόν B 28 νοήσασα B^acorr., Bº Φ 29 ὥστε] ὡσ τὸ B^b καὶ om. B^b 30 *sibi* Φ αὐτοὺσ MB ικσ M 33 κατηγορούντων Bº 34 ἔλεγον MΦ ἔλεγε B *uenisse quosdam* Φ^ac *uenerunt quidam* Φ^r Graeca non intellegendo 35/36 μαρτυρεῖν om. Φ 36 εἴπομεν B 37/38 ἐκοινωνήσαμεν Bº 38 αὐτοὺσ Bº

25 Θεόφιλος διάκονος εἶπεν· Τὴν σωτηρίαν τῶν βασιλέων καὶ τὴν νίκην αὐτῶν, ἀναγνωσθῆι τὰ ἐπ' αὐτῶι πεπραγμένα.

26 Οἱ μεγαλοπρεπέστατοι ἄρχοντες εἶπον· Ἀναγινωσκέσθω τὰ ἐπὶ Ἴβαι τῶι εὐλαβεστάτωι ἐν τῆι Τυρίων λεγόμενα πεπρᾶχθαι. Ῥ$^{\omega}$ ἀνέγνων ἀνέγνωμεν ἀνέγνω.

Καὶ ἐπιδοθέντων αὐτῶν Κωνσταντῖνος ὁ καθωσιωμένος μαγιστριανὸς ἀνέγνω

Ὑπομνηστικὸν Δαμασκίωι τῶι περιβλέπτωι τριβούνωι καὶ νοταρίωι πραιτωριανῶι

Εἰδότες τὴν πρόθεσιν τῆς σῆς θαυμασιότητος καὶ ἐπιστάμενοι ὁπόσην ἔχεις σπου-
27 δὴν εἰς τὸ παραθέσθαι ἑαυτὸν τῶι θεῶι καὶ τῆι ἡμετέραι εὐσεβείαι, ἐδοκιμάσαμεν ὥστε σε ἀπελθεῖν ἅμα Οὐρανίωι τῶι εὐλαβεστάτωι ἐπισκόπωι τῆς Ἱμερίων πόλεως εἰς τὰ μέρη τῆς Ἀνατολῆς καὶ συνεπισχυόντων τῶν κατὰ τόπον ἀρχόντων παρασκευάσαι Ἴβαν τὸν εὐλαβέστατον ἐπίσκοπον τῆς Ἐδεσσηνῶν πόλεως καὶ Δανιῆλον τὸν εὐλαβέστατον ἐπίσκοπον ⟨τῆς Καρρηνῶν πόλεως καὶ Ἰωάννην τὸν εὐλαβέστατον ἐπίσκοπον⟩ Θεοδοσιουπόλεως εἰς τὴν Φοινίκων ἀπελθεῖν ἐπαρχίαν κἀκεῖσε ζητηθῆναι τὰ κινούμενα παρὰ τῶν εὐλαβεστάτων κληρικῶν τῶν προειρημένων πόλεων ἐπί τε τοῦ προειρημένου θεοσεβεστάτου Οὐρανίου καὶ Φωτίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Τυρίων πόλεως καὶ Εὐσταθίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Βηρυτίων πόλεως κατὰ τῶν μνημονευθέντων θεοσεβεστάτων ἐπισκόπων. σπούδασον τοίνυν κατὰ τὰ παραστάντα τῆι ἡμετέραι θειότητι ἀπελθεῖν εἰς τὰ μέρη τῆς Ἀνατολῆς καὶ παρασκευάσαι τοὺς προειρημένους εὐλαβεστάτους ἐπισκόπους εἰς τὴν Φοινίκων παραγενέσθαι κἀκεῖσε πάντα τὰ κινούμενα κεφάλαια παρὰ τῶν εὐλαβεστάτων κληρικῶν τῆς Ἐδεσσηνῶν πόλεως καὶ Καρρηνῶν καὶ Θεοδοσιουπόλεως ἀκριβῶς ζητηθῆναι ἐπὶ τῶν μνημονευθέντων θεοσεβεστάτων ἐπισκόπων καὶ τὰ ὁριζόμενα παρ' αὐτῶν πέρατι παραδοθῆναι.

Ἐδόθη τῆι πρὸ ἑπτὰ Καλανδῶν Νοεμβρίων ἐν Κωνσταντινουπόλει d. 26. m. Oct a. 448

28 Μετὰ τὴν ὑπατείαν Φλαυίου Ζήνωνος καὶ Ποστουμιανοῦ τῶν λαμπροτάτων Καλάνδαις Σεπτεμβρίαις ἰνδικτιῶνος δευτέρας ἐν κολωνίαι φιλοχρίστωι Βηρυτῶι συνεδρευόντων Φωτίου Εὐσταθίου Οὐρανίου τῶν θεοσεβεστάτων ἐπισκόπων ἐν τῶι νέωι ἐπισκοπείωι τῆς ἐν Βηρυτῶι ἁγιωτάτης νέας ἐκκλησίας, παρόντος καὶ Δαμασκίου τοῦ περιβλέπτου τριβούνου καὶ νοταρίου τοῦ θείου παλατίου καὶ Εὐλογίου τοῦ θεοφιλεστάτου διακόνου τῆς κατὰ τὴν φιλόχριστον Κωνσταντινούπολιν ἁγιωτάτης ἐκκλησίας, παρόντων τῶν θεοσεβεστάτων ἐπισκόπων Ἴβα Ἰωάννου Δανιήλου, ἑστώτων δὲ Σαμουήλου Κύρου Εὐλογίου Μάρα Ἀβλαβίου Ἰωάννου Ἀνατολίου Καιούμου καὶ Ἀμβίβου ὁ περί-
29 βλεπτος Δαμάσκιος εἶπεν· Τῶν παρόντων εὐλαβεστάτων κληρικῶν προσελθόντων τῶι M VII 212 a. 449 L IIII 639

4 cf. Iustinianum PG 86 p. 1083 τὰ ἐν Τύρωι πεπραγμένα. p. 1085 τῆι Ἴβα καταθέσει τῆι ἐν Τύρωι γενομένηι

26 indictio II decurrit inde a d. 1. m. Sept. 448 usque ad d. 31. m. Aug. 449

M, B [= ab], Φ

4 ῥωμαΐου B^{o} 5 αὐτῷ B^{o} corr. *magistrianus et adiutor sacri consistorii* Φ 6 ὑπομνηματικὸν B^{o} 6/7 *praetorianorum* Φ 9 ὑμετέρα B^{o} ἐδοκιμάσεν M ὡσ τὸ B^{b} 10 σε om. B τῶ εὐλαβεστάτω ἐπισκόπω οὐρανίω B^{o} 12 ἐδεσηνῶν MB^{ab} sicut solent 13 τῆς — ἐπίσκοπον suppleui ex Φ 16 *metropolis* Φ 17 βηρυτῶν B^{o} κατὰ] καὶ B^{o} 19 ὑμετέρα B^{o} 20 εἰς τὴν Φοινίκων] *Phoeniciae* Φ^{a} *Phoenicae* Φ^{cr} 21 κεφάλαια [κεφάλαβα B^{b}] MBΦ^{a} om. Φ^{cr} 21/22 καὶ Καρρηνῶν καὶ Θεοδοσιουπόλεως om. B 23 ὁρισμένα B^{o} 24 VI Φ 25 *Postumiani* Φ πουστουμιανοῦ B^{o} ποστουμινιανοῦ B^{ab} ποστουμηνιανοῦ M 26 Καλάνδαις Σεπτεμβρίαις [σεπτεβρίαισ B^{bo}] falsata, cf. *Sitzungsber. d. Bayer. Akad. d. Wiss.* 1929, 5 p. 63 κολωνεία B^{ab} 27 θεοφιλεστάτων MB^{b} 32 ἀφλαβίου B^{o} ἀβίβου B 33 προελθόντων M

εὐσεβεστάτῳ καὶ θειοτάτῳ ἡμῶν δεσπότῃ καὶ αἰτιασαμένων τὸν εὐλαβέστατον ἐπίσκοπον Ἴβαν καὶ τὸν εὐλαβέστατον ἐπίσκοπον Ἰωάννην καὶ τὸν εὐλαβέστατον ἐπίσκοπον Δανιῆλον ἐθέσπισεν ἡ αὐτοῦ εὐσέβεια, ὡς περιέχουσι καὶ αἱ πρὸς τὴν ὑμετέραν θεοσέβειαν εὐσεβεῖς καὶ θεῖαι συλλαβαί, τοὺς αἰτιαθέντας ἀπὸ τῆς Ὀσροηνῶν τὴν Φοινίκων καταλαβεῖν καὶ πρὸς τὰ ἐπαγόμενα αὐτοῖς ἐπὶ τῆς ὑμετέρας θεοσεβείας ἀπολογήσασθαι. καὶ προσετάχθην αὐτοὺς προσαγαγεῖν καὶ τὰ ὁριζόμενα παρ' ὑμῶν ἐκβιβασμῶι παραδοῦναι. πάρεστιν ἀμφότερα τὰ μέρη εἰς τὸ παριστάμενον.

30 Οἱ θεοφιλέστατοι ἐπίσκοποι Φώτιος καὶ Εὐστάθιος καὶ Οὐράνιος εἶπον· Τὸ εὐσεβὲς κομμονιτώριον καταξιώσηι ἡ σὴ μεγαλοπρέπεια ἐπιδεῖξαι, ἵνα τῶι σκοπῶι τοῦ φιλοχρίστου ἡμῶν βασιλέως διὰ πάντων ἀκολουθήσωμεν· προλάμπειν γὰρ ὀφείλει τῆσδε τῆς πράξεως.

31 Τούτου γενομένου Εὐλόγιος διάκονος εἶπεν· Προσελθόντων τῶν εὐλαβεστάτων κληρικῶν Σαμουήλου Κύρου Εὐλογίου Μάρα Ἀβλαβίου Ἰωάννου Ἀνατολίου Καιούμου καὶ Ἀββίβου τῶι θεοφιλεστάτωι καὶ ὁσιωτάτωι ἀρχιεπισκόπωι ἡμῶν Φλαβιανῶι τῆς κατὰ τὴν βασιλεύουσαν Κωνσταντινούπολιν Ῥώμην ἁγιωτάτης ἐκκλησίας καὶ αἰτιασαμένων Ἴβαν καὶ Ἰωάννην καὶ Δανιῆλον τοὺς θεοσεβεστάτους ἐπισκόπους, ἐδοκίμασεν ἡ αὐτοῦ ἁγιότης τὴν ὑμετέραν θεοσέβειαν ἀκοῦσαι τῆς ὑποθέσεως καὶ παρὰ τούτου
M VII 213 γράμματα ἐκόμισα καὶ ἀποδέδωκα τῆι ὑμετέραι ἁγιωσύνηι. καὶ πάρεστι τὰ μέρη πρὸς τὸ παριστάμενον.

32 Οἱ θεοφιλέστατοι ἐπίσκοποι εἶπον· Ἐπειδὴ ἀποροῦμεν ὅπως προσαγάγωμεν τὰς πεύσεις καὶ τὰς ἀποκρίσεις τοῖς τὸ πρόσωπον τῶν κατηγόρων ἐπέχουσι, διδασκέτω ἡμᾶς ὁ θεοφιλέστατος Ἴβας ἐπίσκοπος εἴ τι κατ' αὐτῶν πέπρακται ἐπὶ τῆς ἁγίας καὶ μεγάλης συνόδου τῆς κατὰ τὴν μεγαλόπολιν Ἀντιόχειαν πρώην συγκροτηθείσης.

33 Σαμουῆλος εἶπεν· Παρακαλοῦμεν τὰ λεγόμενα Συριστὶ λεχθῆναι διὰ τὸν ὁσιώτατον ἐπίσκοπον Οὐράνιον, ἐπειδὴ ἀκριβῶς οἶδε τίνα ἐστὶ τὰ γραφέντα τῶι θεοφιλεστάτωι καὶ ἁγιωτάτωι ἀρχιεπισκόπωι Φλαβιανῶι παρὰ τοῦ θεοφιλεστάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου Δόμνου περὶ ἡμῶν· παρῆν γὰρ ἐν Κωνσταντινουπόλει.

34. 35 Οἱ θεοφιλέστατοι ἐπίσκοποι εἶπον· Παρίτω τῶν δυναμένων ἑρμηνεύειν εἰς τῶι θεοφιλεστάτωι ἐπισκόπωι Οὐρανίωι **

36 Οἱ θεοφιλέστατοι ἐπίσκοποι εἶπον· Καὶ ἤδη πεῦσιν προσηγάγομέν σοι τῶι θεοφιλεστάτωι ἐπισκόπωι Ἴβαι ὥστε διδάξαι ἡμᾶς εἴ τι περὶ τῶν ἐστώτων ἐπράχθη ἐν τῆι ἁγίαι καὶ μεγάληι συνόδωι τῆι πρώην συναχθείσηι κατὰ τὴν φιλόχριστον Ἀντιόχειαν, ὥστε ἁρμοδίως προσαγαγεῖν ἡμᾶς αὐτοῖς τὰς πεύσεις καὶ τὰς ἀποκρίσεις.

37 Ὁ θεοσεβέστατος ἐπίσκοπος Ἴβας εἶπεν· Οὗτοι οἱ τέσσαρες οἱ ἑστῶτες λιβέλλους ἐπιδεδώκασι τῶι θεοσεβεστάτωι ἐπισκόπωι κυρίωι Δόμνωι καὶ κατηξίωσεν ἡ αὐτοῦ ἁγιωσύνη δηλῶσαι ἡμῖν ἁπαντῆσαι. καὶ ἐπειδὴ τεσσαρακοστὴ ἦν, ἐκέλευσεν μετὰ τὴν ἡμέραν ἁπαντῆσαι ἡμᾶς γράψας ἐμοὶ ὥστε ἀπολυθῆναι αὐτοὺς τῆς ἀκοινωνησίας·
L IIII 642 ἦσαν γὰρ μοι ἀκοινώνητοι. ἐγὼ τὸ πᾶν ἐπέτρεψα τῆι γνώμηι τοῦ ἀρχιεπισκόπου. ὁ ἀρχιεπίσκοπος διὰ τὴν ἑορτὴν ἀπέλυσεν αὐτοὺς τῆς ἀκοινωνησίας ἐπὶ τῶι ὅρωι τούτωι ἐπὶ τῶι μὴ ἐξελθεῖν Ἀντιόχειαν, ἕως ἂν τύπον λάβηι τὰ κατὰ τὸ πρᾶγμα· ἐὰν δὲ ἐξέλ-

M, B [= abo], Φ

1 θειοτάτω καὶ εὐσεβεστάτω B^o 4 οἰροηνῶν B^o 5 ἐπαρμένα M 6 προσαγεῖν B^b παρ' ὑμῶν ὁριζόμενα B^b ἐκ βιβασμῶν B^o 9 καταξιώση $B^o\Phi$ καταξιώσει MB^{ab} 14 ἀβίβου B *episcopum* Φ^{cr} 15 νέαν ῥώμην B^o 17/18 θεοσέβειαν — ὑμετέραι om. B^o 17 *eos* Φ περὶ MB^{ab} 18 ἁγιωσύνην B^o 20 προσαγάγομεν M προσάγομεν B 22 ὁ ἐπίσκοποσ B *eos* Φ αὐτὸν MB 28 ἐβόησαν B παρίτω] παρὰ τῶν B^o 29 exciderunt *Notarii dixerunt: Adest Maras qui possit interpretari deo amicissimo* [*reuerentissimo* Φ^{ac}] *episcopo Vranio* Φ 30 οἱ αὐτοὶ B ἐβόησαν B 33 ὡσ ἁρμοδίω B^o ἡμᾶσ προσαγαγεῖν M τὰς² om. B 34 Ἴβασ ὁ ἐπίσκοποσ B 35 δόμνῳ τῷ κυρίῳ B^o 37 ἡμῖν B^b 38/39 ἦσαν γὰρ — ἀκοινωνησίας om. B^o 40 λάβοι B

θωσιν πρὶν τύπον δέξηται τὸ πρᾶγμα, ὑποκεῖσθαι αὐτοὺς μείζονι ἐπιτιμίωι τῆς καθαιρέσεως. Σαμουῆλος καὶ Κῦρος πρὸ τοῦ ἡμᾶς ἐπιστῆναι τῆι πόλει καταλιπόντες ἀνεχώρησαν εἰς τὸ κομιτάτον, ἔμεινεν δὲ Μάρας καὶ Εὐλόγιος. εἶτα ὡς συνεκροτήθη ἡ ἁγία σύνοδος (ἦσαν γὰρ οὐκ ὀλίγοι ἐπίσκοποι ἐκεῖ), ἐκέλευσεν ἀναγνωσθῆναι τοὺς λιβέλλους. ἀνεγνώσθησαν οἱ λίβελλοι· ἐνεφέρετο ὀνόματα τεσσάρων κατηγόρων, ἐστήκεισαν δὲ οἱ δύο. ἤρετο αὐτούς· ποῦ εἰσιν οἱ ἑταῖροι ὑμῶν οἱ τοὺς λιβέλλους ἐπιδεδωκότες ἅμα ὑμῖν; οἱ δὲ εἶπον· οὐκ οἴδαμεν· ὡς δὲ ἠκούσαμεν, ἐν Κωνσταντινουπόλει ἀπῆλθον.

38 Οἱ θεοφιλέστατοι ἐπίσκοποι εἶπον· Ἡ σὴ θεοσέβεια παροῦσα τότε τὸν σκοπὸν ὀφείλει εἰδέναι τῆς ἁγίας ἐκείνης καὶ μεγάλης συνόδου, εἴτε τελείως καθεῖλεν εἴτε ἐπ' ἀμφιβόλωι τοῦτον τὸν ὅρον ἐξεφώνησεν. δῆλον γάρ ἐστιν ὡς οὐκ ἂν ἔλοιτο ἡ M VII 216 σὴ ὁσιότης τὰ μὴ παρὰ τῆς ἁγίας ἐκείνης συνόδου πραχθέντα ὡς πεπραγμένα εἰπεῖν, ἐπεὶ καὶ ῥάιδιον καταλαβεῖν τὴν ἀλήθειαν.

39 Ὁ θεοσεβέστατος ἐπίσκοπος Ἴβας εἶπεν· Τὰ κρυπτὰ εἰδέναι οὐ δύναμαι· ἐγὼ νομίζω ὅτι τελείαν καθαίρεσιν αὐτῶν ἐποιήσατο. εἰ δὲ φαίνεται ὑμῖν ἀπὸ τῆς ἀποφάσεως αὐτῶν τὴν καθαίρεσιν αὐτῶν μὴ πεποιηκέναι, ὕστερον ἔστι κρῖναι.

40. 41. 42 Οἱ θεοφιλέστατοι ἐπίσκοποι εἶπον· ** Λαβόντες οἱ νοτάριοι ἐκεῖνο τὸ μέρος τὸ περὶ τῶν ἀπολειφθέντων διέλθωσιν, ἵνα γνῶμεν τὰ περὶ αὐτῶν πεπραγμένα.

43 Σαμουῆλος εἶπεν· Πᾶσαν δικαιολογίαν ἡμῖν ἁρμόζουσαν κατὰ τῆς καταθέσεως τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἴβα καὶ κατὰ τῶν κελευσθέντων ἀναγνωσθῆναι φυλαχθῆναι τῶι ἡμετέρωι μέρει παρακαλοῦμεν δικαιῶσαι τὴν ὑμετέραν εὐλάβειαν.

44 Οἱ θεοφιλέστατοι ἐπίσκοποι εἶπον· Εἰς πρόκριμα σὸν οὐ νῦν εἴπομεν τὴν ἀνάγνωσιν γενέσθαι.

45 Σαμουῆλος εἶπεν· Ἐπειδὴ τὰ πραττόμενα ἀκολούθως πράττεται καὶ πολλάκις ἐπείγει ὑμᾶς ἕτερα κινεῖν καὶ οὐ ταῦτα, ἠξιώσαμεν δὲ φυλαχθῆναι ἡμῖν δικαιολογίαν, καὶ περὶ τούτου ἀγωνιζόμεθα καὶ δεικνύομεν ὅτι οὐκ ἐσμὲν ὑπεύθυνοι τῆι καθαιρέσει οὐδὲ τῆι ἀκοινωνησίαι, ἀλλὰ τὸ γενόμενον μετὰ ἀταξίας γέγονεν καὶ παρὰ τοὺς κανόνας παρὰ τοῦ ἐπισκόπου ἡμῶν Ἴβα.

46 Οἱ θεοφιλέστατοι ἐπίσκοποι εἶπον· Ἀναγινωσκέσθω τὸ μέρος τῶν ὑπομνημάτων τὸ περὶ τῶν ἀπολειφθέντων ἐν τῆι ἀκροάσει τῆι κατὰ τὴν μεγίστην Ἀντιόχειαν πρώην γεγενημένηι.

47 Ἡ ἁγία σύνοδος εἶπεν· Ποῦ εἰσιν οἱ ἅμα ὑμῖν ἐπιδεδωκότες τοὺς λιβέλλους;

48 Μάρας καὶ Εὐλόγιος πρεσβύτεροι εἶπον· Τὰς συσκευὰς αὐτοῦ μαθόντες, ὡς καὶ ἡμεῖς ἐμάθομεν, οὐκ οἴδαμεν πῶς ἐκεῖνοι ἀνεχώρησαν.

49 Ἡ ἁγία σύνοδος εἶπεν· Ποῦ δέ εἰσι νῦν;

M, B [= abo], Φ

1 δέξεται B 4 γὰρ om. B^o 6 ἐστήκασαν M δὲ om. B^o *interrogauit autem* $Φ^{rr}$ ἑταῖροι Φ ἕτεροι MB 6/7 οἱ τοὺς — ὑμῖν om. B^b 7 ἡμῖν B^o δὲ om. B^o 9 κόπον B^o 10 καὶ μεγάλης om. B^o 11 ἐν B^o 12 τὰ om. B^o 13 καταβαλεῖν B 14 δυνάμεθα B^o 16 μὴ om. B^o ὕστερον ἔστι scripsi cf. *potest postea* Φ ὑμέτερον ἐστι MB 17 εἶπαν M lacunam indicaui; exciderunt *Ea quae gesta sunt in sancto illo conuentu, tua sanctitas prae manibus habet? Religiosissimus* [*reuerentissimus* $Φ^{ac}$] *episcopus Ibas dixit: Habeo, et adiacent. Religiosissimi* [*reuerentissimi* $Φ^{ac}$] *episcopi dixerunt* Φ 18 περὶ αὐτῶν om. B 19 εἶπεν om. B^o τὰ κατὰ B^o 20 ἐπισκόπου om. B^o 21 δικαιώσατε B^o 22 οὐ νῦν scripsi cf. *non diximus nunc* Φ οὖν MB 24 πολλάκισ MB *forte* Φ 25 ἐπάγει B^o ὑμᾶς Φ ἡμᾶσ MB κοινωνεῖν B^o δὲ] οὖν B^o 26 καὶ^{1} om. $Φ^{ac}$ 27 γινόμενον B 28 καὶ παρὰ B^o 30 πρώην om. B 32 ἐμοὶ B^o 33 οἱ πρεσβύτεροι B^o 34 *uos didicistis* $Φ^{ac}$ 35 νῦν εἰσί B

50 Μάρας πρεσβύτερος εἶπεν· Οὐκ οἴδαμεν ἀκριβῶς· ὡς δὲ ἀκούομεν, εἰς Κωνσταντινούπολιν ὥδευσαν. οὔτε δὲ γράμματα αὐτῶν ἐδεξάμεθα οὔτε οἴδαμεν ἀκριβῶς.

51 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος Δόμνος εἶπεν· Ποίας ὑφωρῶντο συσκευάς; καὶ μὴν
L IIII 643 ἐμοῦ γράψαντος τῶι θεοφιλεστάτωι ἐπισκόπωι Ἴβαι περὶ τούτου ἀντέγραψεν ἡμῖν
M VII 217 διδοὺς τὸ πᾶν καὶ ἐλύθησαν ἅμα ὑμῖν τοῦ ἐπιτιμίου τῆς ἀκοινωνησίας ἐπὶ ὅρωι τοιούτωι ἐπὶ τῶι ἔχειν μὲν ὑμᾶς τὴν κοινωνίαν, ἐὰν δέ τις ὑμῶν ἀπολειφθείη πρὸ πέρατος τῆς ὑποθέσεως, ἐκκλησιαστικῶι ὑποβληθήσεται ἐπιτιμίωι. δῆλοι τοίνυν εἰσὶν οἱ ἀπολειφθέντες καὶ τῆς ἀκοινωνησίας καὶ τοῦ ἀποστολικοῦ τούτου θρόνου καταφρονήσαντες καὶ ἑαυτοὺς ὑποβαλόντες καὶ τῶι μείζονι τῆς καθαιρέσεως ἐπιτιμίωι.

52 Σαμουῆλος εἶπεν· Ἀξιῶ τὰς ὑπογραφὰς τῶν εὑρεθέντων ἐκεῖ ἐπισκόπων καὶ ὑπογραψάντων ἀναγνωσθῆναι καὶ ἐνταγῆναι τοῖς πραττομένοις.

53 Οἱ θεοφιλέστατοι ἐπίσκοποι εἶπον· Ἀναγινωσκέσθωσαν αἱ ὑπογραφαὶ τῶν θεοφιλεστάτων καὶ ἁγιωτάτων ἐπισκόπων τῶν ἐγκειμένων τῶιδε τῶι ὑπομνήματι καὶ ἐνταττέσθωσαν.

Ὑπογραφαί

54 Δόμνος ἐπίσκοπος Ἀντιοχείας διελάλησα
Συμεώνης ἐπίσκοπος Ἀμίδης τὰ αὐτὰ διελάλησα
Στέφανος ἐπίσκοπος Ἱεραπόλεως τὰ αὐτὰ διελάλησα
Κωνσταντῖνος ἐπίσκοπος Βόστρης τὰ αὐτὰ διελάλησα
Θεόκτιστος ἐπίσκοπος Βεροίας τὰ αὐτὰ διελάλησα
Θωμᾶς ἐπίσκοπος Μοψουεστίας τὰ αὐτὰ διελάλησα
Πλάκκος ἐπίσκοπος τῆς κατὰ Γέρασσαν ἁγίας ἐκκλησίας τὰ αὐτὰ ἐψηφισάμην
Εὐόρκιος ἐπίσκοπος τοῦ Ζεύγματος τὰ αὐτὰ διελάλησα
Δανιῆλος ἐπίσκοπος πόλεως Βίρθων τὰ αὐτὰ διελάλησα
Δάδας ἐπίσκοπος Βάτνων τὰ αὐτὰ διελάλησα

55 Οἱ θεοφιλέστατοι ἐπίσκοποι εἶπον· Δήλη ἐστὶν ἡ διαλαλιὰ τοῦ θεοφιλεστάτου καὶ ἁγιωτάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Δόμνου. τοιγαροῦν οἱ λίβελλοι ἐπιδοθέντες χθὲς ἀναγινωσκέσθωσαν καὶ ἐνταττέσθωσαν τοῖς πραττομένοις.

M VII 220 Οἱ λίβελλοι

56 Τοῖς ἁγιωτάτοις καὶ πάντα ὁσιωτάτοις καὶ θεοφιλεστάτοις ἐπισκόποις Φωτίωι Εὐσταθίωι καὶ Οὐρανίωι ἱκεσία παρὰ Σαμουήλου Κύρου Εὐλογίου Μάρα πρεσβυτέρων τῆς κατὰ Ἔδεσσαν ἁγιωτάτης ἐκκλησίας. Ἡμεῖς μὲν ηὐξάμεθα τὸν ἀπράγμονα τῆς ζωῆς ἅπαντα βιῶναι χρόνον· ἐπειδὴ δὲ τὰ τολμηθέντα κατὰ τῆς ἡμετέρας ἐκκλησίας καὶ τῆς εὐαγοῦς τῶν πατέρων ἡμῶν πίστεως παρὰ τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἴβα ἐπέκεινα ὄντα τῆς ἀδικίας συνήλασεν ἡμᾶς ἐπὶ τήνδε τὴν κατηγορίαν ἐλθεῖν αὐτοῦ τε καὶ τοῦ

32—35 ἐλθεῖν adfert Vigilius t. IIII 2 p. 143

M, B [= abo], Φ

1/2 ὥδευσαν εἰσ κωνσταντινόπολιν B^o ἐν κωνσταντινουπόλει B^b 4 ἀνέγραψεν M 7 δῆλον B^b οἱ om. B^b 13 καὶ ἁγιωτάτων om. B^o καὶ²] *pariter et* Φ 15 αἱ ὑπογραφαί B 18 Στέφανος — διελάλησα om. B^{bo} 19 διελάλησα B^aΦ ἐψηφισάμην M διεψηφισάμην B^{bo} 20 βερροίασ B 24 Βίρθων scripsi cf. catalogum subscriptionum in canonum Chalcedonensium uersione Syriaca [Abhndlg. d. Gött. Ges. d. Wiss. N. F. X 2] p. 134[112] βερόων M *beroensium* Φ βερροίων B 26 δῆλον B^o 32 ἁγιωτάτοισ B^b 33/34 τῆσ εὐαγοῦσ MBΦ^a *sanctorum* Φ^{cr} 34 τῶν — ἡμῶν εὐαγοῦσ B^o

ἀδελφιδοῦ αὐτοῦ Δανιήλου καὶ αὐτοῦ ἐπισκόπου τῆς Καρρηνῶν πόλεως ἀκολούθως καὶ κατὰ κανόνας ταῖς συνόδοις προσελθόντες τοῦτο μὲν τῇι Ἀνατολικῇι, τοῦτο δὲ τῇι Δυτικῇι, L IIII 646 ἐδέησεν ἡμᾶς καὶ τῶι εὐσεβεῖ καὶ φιλοχρίστωι ἡμῶν βασιλεῖ περὶ τούτων προσελθεῖν. καὶ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου ἡμῶν Φλαβιανοῦ συμψηφισαμένου τῶι εὐσεβεστάτωι καὶ φιλοχρίστωι ἡμῶν βασιλεῖ καὶ τυπώσαντος ἐπὶ τῆς ὑμετέρας ἁγιότητος τὰ καθ' ἡμᾶς γυμνασθῆναι παρεγενόμεθα ἑτοίμως ἔχοντες ἑαυτοῖς συστῆναι. πρόσιμεν τοίνυν διὰ τῶνδε ἡμῶν τῶν λιβέλλων δεόμενοι ἐπιτραπῆναι παρὰ τῆς ὑμετέρας ἁγιότητος ἄρξασθαι τῆς ὑποθέσεως.

Σαμουῆλος πρεσβύτερος ἐπιδέδωκα τούσδε τοὺς λιβέλλους ἅμα ἑταίροις
Κῦρος πρεσβύτερος ἐπιδέδωκα τούσδε τοὺς λιβέλλους ἅμα ἑταίροις
Εὐλόγιος πρεσβύτερος ἐπιδέδωκα τούσδε τοὺς λιβέλλους ἅμα ἑταίροις
Μάρας πρεσβύτερος ἐπιδέδωκα τούσδε τοὺς λιβέλλους ἅμα ἑταίροις.

57 Σαμουῆλος πρεσβύτερος εἶπεν· Παρακαλοῦμεν καὶ τοῦτο ὑπάρξαι ἡμῖν παρὰ τῆς ὑμετέρας δικαιοσύνης ὥστε αὐτὰ ταῦτα Συριστὶ ῥηθῆναι τῶι θεοφιλεστάτωι καὶ ἁγιωτάτωι ἐπισκόπωι Οὐρανίωι, ἐπειδὴ παρῆν ἐν Κωνσταντινουπόλει, ἡνίκα τὰ γράμματα περὶ τούτου γραφέντα παρὰ τοῦ ἀρχιεπισκόπου Δόμνου πρὸς τὸν ἀρχιεπίσκοπον Φλαβιανὸν ἀνεγνώσθη. καὶ πάλιν παρῆν ἐν Ἀντιοχείαι, ὅτε περὶ τούτου ἐμέλλομεν κινεῖν λόγον· καὶ περὶ τούτου οἷα αὐτῶι διελέχθη καὶ τί αὐτῶι εἶπεν, παρακαλοῦμεν αὐτὸν εἰπεῖν.

58 Οἱ θεοφιλέστατοι ἐπίσκοποι Φώτιος καὶ Εὐστάθιος εἶπον· Ἅπαντα ἅπερ ἐζήτησας, M VII 221 ὁ παρεστὼς τῶι θεοσεβεστάτωι ἐπισκόπωι Οὐρανίωι διὰ τῆς οἰκείας ἑρμηνεύσει γλώττης. 21

Καὶ ἡρμηνεύθη.

59 ⟨Οἱ θεοφιλέστατοι ἐπίσκοποι Φώτιος καὶ Εὐστάθιος εἶπον⟩· Διδάξηι λοιπὸν ἡμᾶς ὁ εὐλαβέστατος Μάρας ἅπερ ὁ θεοσεβέστατος ἐπίσκοπος Οὐράνιος τῆι οἰκείαι διελέχθη φωνῆι.

60 Μάρας εἶπεν· Ταῦτα εἶπεν· ἀνεγνώσθη τὰ γράμματα ἐπὶ τῶν πατρικίων ὅτι ἐπειδὴ συνέχεον τὸ συνέδριον, ἐποιήσαμεν αὐτοὺς ἀκοινωνήτους. ὅμως δὲ ἐγὼ κριτὴς ἐδόθην καὶ οὐ δύναμαι μαρτυρεῖν.

61 Ὁ θεοσεβέστατος ἐπίσκοπος Ἴβας εἶπεν· Ἐκείνων ὁ κύριος Δόμνος οὐκ ἐμνημόνευσεν ἐν τῆι ἐπιστολῆι γράφων πρὸς τὸν ἁγιώτατον ἀρχιεπίσκοπον Φλαβιανὸν ἅπαξ καθηιρημένων.

62 Οἱ θεοφιλέστατοι ἐπίσκοποι εἶπον· Εἰρήκαμεν· δήλη ἐστὶν ἡ διαλαλιὰ τοῦ θεοφιλεστάτου καὶ ἁγιωτάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Δόμνου. ἀναγινωσκέσθωσαν τοιγαροῦν αὖθις οἱ λίβελλοι.

Καὶ ἀνεγνώσθησαν.

63 Οἱ θεοφιλέστατοι ἐπίσκοποι εἶπον· Οἱ ἐπιδοθέντες παρ' ὑμῶν λίβελλοι γενικήν τινα περιέχουσι κατηγορίαν· ἐγγράφως τοιγαροῦν ἕκαστος κατατιθέσθω τί τε κατηγορεῖν ἔχει καὶ οἷοις ἐνστῆναι κεφαλαίοις βεβούλευται.

---

3 cf. Acta Conc. Ephes. alterius p. 40, 13

M, B [= abo], Φ

1 ἀδελφιδοῦ Φ^{r} ἀδελφοῦ MBΦ^{ac} οὕτωσ ἀκολούθωσ B^{o} 3 εὐσεβεστάτω B^{o} 3—5 περὶ — βασιλεῖ om. B^{o} 4 καὶ] *ex hoc ergo et* Φ 5 ἐπὶ] ὑπὸ Φ 6 ἡμᾶς Φ ὑμᾶσ MB 9. 10. 11. 12 ἑταίροις Φ ἑτέροισ MB 10 Κῦρος — ἑταίροις om. B^{bo} 13 καὶ om. Φ 15/16 γραφέντα — γράμματα [γράμματοσ B^{b}] B 17 πάλιν om. B^{o} 18 διελέχθην Φ^{ac} εἶπον Φ^{a} 19 αὐτὸν om. B^{o} 22 ἡρμηνεύθην B^{b} 23 Οἱ — εἶπον om. MB suppleui ex Φ διδάξει MB καὶ ἡμᾶσ B^{b} 24 θεοφιλέστατοσ B^{o} 24/25 τῆσ οἰκείασ — φωνῆσ B^{o} 24 διειλέχθη M 26 εἶπεν^{2} om. B^{o} καὶ ὅτι Φ 27 ὁ ἐποιήσαμεν B^{o} 28 μαρτυρῆσαι B^{o} 29 ἴβασ εἶπεν ὁ ἐπίσκοποσ B^{o} 36 εἶπον Φ ἐβόησαν MB 37 κατηγορίαν] δύναμιν B^{o} 38 ἐωστῆναι M

64 Σαμουῆλος εἶπεν· Κατὰ τάξιν τὰ κεφάλαια διὰ στόματος προφέρομεν ἐπὶ τῆς ὑμετέρας ὁσιότητος, ἀρχόμεθα δὲ ἀπὸ τούτου τοῦ κεφαλαίου

65 Οἱ θεοφιλέστατοι ἐπίσκοποι εἶπον· Ἕκαστος οἰκείαι φωνῆι κατατιθέσθω εἰ ἐνίσταται τὴν κατηγορίαν περὶ τῶν ἐπιδεδομένων κεφαλαίων.

66 Σαμουῆλος εἶπεν· Ἐνίσταμαι.

67 Μάρας εἶπεν· Ἐνίσταμαι.

68 Εὐλόγιος εἶπεν· Ἐνίσταμαι.

69 Κῦρος εἶπεν· Ἐνίσταμαι.

70 Οἱ θεοφιλέστατοι ἐπίσκοποι εἶπον· Ἀναγινωσκέσθω πάντα τὰ κεφάλαια καὶ οὕτως ἑκάστου ποιούμεθα τὴν ἐξέτασιν.

71 Σαμουῆλος εἶπεν· Καὶ αὐτὰ ἐνταγῆναι τοῖς πραττομένοις παρακαλοῦμεν.

72 Οἱ θεοφιλέστατοι ἐπίσκοποι εἶπον· Ἐνταττέσθωσαν.

Τὰ κεφάλαια

73 ᾱ Τῆς πόλεως συνεισενεγκούσης εἰς λύτρωσιν αἰχμαλώτων ἕως νομισμάτων ᾱφ
L IIII 647 καὶ ὄντων παρὰ τῶι κειμηλιοφύλακι ἕως νομισμάτων ἑξακισχιλίων μικρῶι πρός, ἐκτὸς προσόδων ὧν ὑποδέχεται ὁ αὐτοῦ ἀδελφὸς ἔχων σκεύη ἀργύρου ἡγιασμένου ἕως λιτρῶν σ̄, ταῦτα πέπρακεν καὶ εἰ μὴ χίλια νομίσματα μόνον, ὡς ἔγνωμεν, οὐκ ἔπεμψεν, τὰ ὑπόλοιπα εἰς ἑαυτὸν ἀπενεγκάμενος.

β Ὅτι τὸ ποτήριον διάλιθον πολλοῦ ἄξιον προσενεχθὲν τῆι ἡμετέραι ἐκκλησίαι παρὰ ἁγίου ἀνδρὸς ἀπὸ ἐτῶν ἑνδεκα ἐν τοῖς κειμηλίοις τῆς ἐκκλησίας οὐκ ἀπέθετο καὶ οὐκ οἴδαμεν τί γέγονεν ἀπ' αὐτοῦ.

M VII 224 γ̄ Ἔτι καὶ ἀπὸ χειροτονιῶν λαμβάνει.

δ̄ Ἀβράμιός τις ἦν διάκονος τοῦ ἡμετέρου κλήρου. οὗτος Ἰωάννου τινὸς γόητος φωραθέντος, οὗ ἦν φίλος καὶ συμμύστης, ἐπὶ τοῦ εὐλαβεστάτου ἡμῶν ἐπισκόπου καὶ παντὸς τοῦ κλήρου τοῦ συγκληθέντος ἐπὶ τῆι ἀκροάσει Ἀβραμίου τοῦ διακόνου ἀνεδείχθη αὐτοῦ ὁμολογήσαντος συνειδέναι, ὡς καὶ κόλασιν ὑπομεῖναι τῆς ἀκοινωνησίας καὶ παρὰ πάντων μισηθῆναι καὶ διωχθῆναι καὶ ἐπὶ πολλῶι τῶι χρόνωι. μετὰ ταῦτα οὐκ οἴδαμεν πῶς ὑποπεισθεὶς ἀπολογίας παρ' αὐτοῦ οὐδαμοῦ προχωρησάσης ἐπεχείρησεν αὐτὸν ἐπίσκοπον χειροτονῆσαι τῆς Βατνηνῶν πόλεως. καὶ κωλυθεὶς παρὰ τοῦ τὸ τηνικαῦτα ἀρχιδιακόνου αὐτοῦ ἠγανάκτησεν καὶ τὸν μὲν ὑπεύθυνον θανάτωι καθ' ἑαυτὸν ἐψηφίσατο εἶναι ἐπίσκοπον, τὸν δὲ μηνύσαντα τὸν θρύλον τῆς πόλεως καὶ εἰπόντα ὡς οὐ δίκαιον τοῦτο γενέσθαι, ἀπεκίνησεν τοῦ τόπου ποιήσας ἀκοινώνητον, διώξας καὶ τῆς ἐκκλησίας. καὶ ἐπειδὴ οὐ προέβη αὐτῶι τὰ τοῦ σκοποῦ, ἠπείχθη αὐτὸν ποιῆσαι ξενοδόχον. καὶ ἐστι παρακατασχὼν τὸν χάρτην τῶν γοητευτικῶν ἐπικλήσεων ὁ εὐλαβέστατος ἡμῶν ἐπίσκοπος, ὀφείλων τῶι ἄρχοντι τῆς ἐπαρχίας τὸν ἀπηγορευμένον προσενεγκεῖν κατὰ τὴν ἀκολουθίαν τῶν νόμων.

ε̄ Βαλέντιόν τινα ἐπίρρητον ἄνδρα, οὗ πάντες οἱ συγκωμῆται κατεβόησαν ἐγγράφως καὶ ἀγράφως μοιχείαν καὶ ἀρσενοκοιτίαν, ἐχειροτόνησεν πρεσβύτερον καὶ

M, B[= abo], Φ

4 καὶ τὴν B^o 6 Μάρας — ἐνίσταμαι om. B^o 9 ἀναγινωσκέσθωσαν τὰ κεφάλαια ἅπαντα B^b 12 θεοσεβέστατοι B^o 12/13 ἐνταττέσθωσαν τὰ κεφάλαια B 14 χιλίων πεντακοσίων B^{ao} 16 διακοσίων B 19 προσενεχθέντι τῆι B^o 20 ἐτῶν] τῶν B^b 23 ἀβραάμιος M 24 ἦν BΦ ὂν M δεσπότου ἐπισκόπου B^b 25 ἐν B^o ἀβραμίου M 25 τοῦ αὐτοῦ $Φ^r$ 26 καὶ om. $Φ^r$ 27 καὶ3 om. $Φ^{cr}$ 30 τὸ om. B 31 θρύλλον B 32 τοῦτο om. B^b τὸν τόπον B^o 32/33 ποιήσας — σκοποῦ om. B^o 32 ποιήσασ καὶ M 33 σκοποῦ] ἐπισκόπου B^b 34 ἔστι M ἔχει B 35 τὸν Φ τὸ MB 37 βαλλέντιον M *Balleum* $Φ^r$ *immissorem* $Φ^{ac}$

περιοδευτήν, φυλακίσας καὶ τῶι ἄρχοντι παραδοὺς τοὺς καταβοήσαντας, καὶ ταῦτα ἐμφανισάντων αὐτῶι γράμματα τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου Δόμνου.

ζ̄ Ὅτι ἐχειροτόνησεν Δανιῆλον τὸν αὐτοῦ ἀδελφιδοῦν ἐπίσκοπον τῆς Ἑλλήνων πόλεως, ὁπότε ἔδει πατέρα ἅγιον γενέσθαι, οὗ ἠδύνατο τὰ ἔργα καταιδέσαι καὶ ὑποπεῖσαι νῦν γοῦν εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν αὐτούς, ἄτακτον ὄντα καὶ ἀσελγέστατον καὶ νεώτερον. οὐδὲ γὰρ ἠξίωσεν οὐδὲ ἠνέσχετό ποτε λαθεῖν, ἀλλὰ δι' ὅλου σχεδὸν τῆι ἡμετέραι πόλει παραβάλλων διὰ Χαλλώαν τινὰ ὕπανδρον, ἐκτοπίζων ταύτην καὶ περι- M VII 225
νοστῶν τόπον ἐκ τόπου καὶ εἰς τρυφὴν ἑαυτὸν μετὰ ταύτης ἐκδιδούς.

η̄ Ὅτι πάντα τὰ ἐκκλησιαστικὰ προσόδια πολλὰ ὄντα καὶ εἰς ἄπειρον ποσότητα συντείνοντα καταβάλλεται ἐπὶ τὸν ἑαυτοῦ ἀδελφὸν καὶ τοὺς αὐτοῦ ἀδελφιδοῦς, καὶ ἀξιοῦμεν λόγον αὐτὸν δοῦναι ἐπὶ τῆς ὑμετέρας ὁσιότητος.

θ̄ Ὅτι τὰς κληρονομίας καὶ τὰς καρποφορίας καὶ τὰ ὅθεν δήποτε συνεισφερόμενα καὶ ἀνατιθέμενα σταυρία χρυσᾶ καὶ ἀργυρᾶ συναγόμενα καταβάλλεται ἐπὶ τὸν αὐτοῦ ἀδελφὸν καὶ τοὺς αὐτοῦ ἀδελφιδοῦς. L IIII 650

ῑ Ὅτι καὶ ἐκ τοῦ ἀφωρισμένου μέτρου εἰς ἀνάλωμα τῶν φυλακῶν εἰς τὰς οἰκίας τῶν αὐτοῦ συγγενῶν ἀναλίσκει.

ῑα̅ Ὅτι μνείας οὔσης τῶν ἁγίων μαρτύρων οὐκ ἐδόθη οἶνος προσενεχθῆναι τῶι ἁγίωι θυσιαστηρίωι καὶ ἁγιασθῆναι καὶ τῶι λαῶι διαδοθῆναι εἰ μὴ ὀλίγος πάνυ καὶ οὗτος φαῦλος καὶ πηλώδης καὶ ἐν αὐτῶι τῶι καιρῶι τρυγηθείς, ὡς ἀναγκασθῆναι τοὺς ἀφορισθέντας ὑπηρετῆσαι ἀπὸ καπηλείου φαῦλον πάνυ ἀγοράσαι ἓξ ξέστας τοὺς μηδὲ ἐπαρκέσαντας, [ια̅]ὥστε τοῖς τὸ ἅγιον σῶμα διανέμουσιν ἔνευσαν εἰσελθεῖν αὐτοὺς ὡς τοῦ αἵματος μὴ εὑρισκομένου, αὐτῶν πινόντων καὶ ἐσχηκότων καὶ ἀεὶ ἐχόντων διάφορον καὶ θαυμαστὸν οἶνον. καὶ ταῦτα ἐπράχθη τοῦ ἔχοντος τὴν ἐξουσίαν τῆς ὑπηρεσίας ἰδόντος καὶ διδαχθέντος ἐπὶ τῶι καὶ αὐτὸν διδάξαι τὸν ἐπίσκοπον μετὰ παρρησίας καὶ μηδὲν αὐτοῦ ποιήσαντος κατ' ἐκεῖνο καιροῦ, ὡς ἀναγκασθῆναι ἡμᾶς καὶ αὐτὸν τὸν εὐλαβέστατον ἐπίσκοπον ἀναδιδάξαι, μαθόντα δὲ μὴ κινηθῆναι, ἀλλὰ καταφρονῆσαι, ὡς σκανδαλισθῆναι ἐντεῦθεν πολλοὺς τῶν τῆς ἡμετέρας πόλεως.

ῑβ̄ Ὅτι Νεστοριανός ἐστιν καὶ τὸν μακάριον Κύριλλον τὸν ἐπίσκοπον αἱρετικὸν ἀποκαλεῖ.

ῑγ̄ Ὅτι ὁ ἐπίσκοπος Δανιῆλος τινὰς τῶν μάλιστα τῆς ἀσελγείας αὐτοῦ ἐχειροτόνησε κληρικούς.

ῑδ̄ Πιρώζου τοῦ πρεσβυτέρου καλῶς διαθεμένου καὶ τὰ κατ' αὐτὸν τυπώσαντος καὶ καταλείψαντος ἅπερ εἶχεν πράγματα ταῖς πρόσοδον μὴ ἐχούσαις ἐκκλησίαις ἀχθεσθεὶς ὁ ἡμέτερος ἐπίσκοπος Ἴβας εἶπεν γραμματεῖον αὐτοῦ ἔχειν νομισμάτων τρισχιλίων διακοσίων καὶ τοῦτο ἐδήλωσεν αὐτῶι θέλων ἀνατρέψαι αὐτοῦ τὴν βούλησιν καὶ αὐτὸν ἀπο- M VII 228
λέσθαι ἀπὸ λύπης. Δανιήλου δὲ τοῦ ἐπισκόπου διαθεμένου καὶ καταλείψαντος ἅπερ ἔσχεν πλούσια πράγματα καὶ κτήματα ἐκ τῶν ἐκκλησιαστικῶν τοῖς ἐγγόνοις τῆς αὐτοῦ φίλης καὶ αὐτῆι Χαλλώαι οὔτε ἠγανάκτησεν οὔτε ἐνεκάλεσεν.

28. 29 adferunt Facundus 5, 4 p. 719. 6, 6 p. 738 et Vigilius t. IIII 2 p. 143

M, B [= abo], Φ

3 τὸν — ἀδελφιδοῦν δανιὴλ Bᵒ *episcopum qui erat ex* Φᵃᶜ 4 ὧ πότε B πατέρα Φ πνᾶ MB 5 αὐτοὺς MΦ αὐτὸν B 10 τὸν — ἀδελφὸν om. B καὶ om. Bᵃᵒ ἑαυτοῦ B 11 αὐτούς M 14 αὐτοῦ¹] ἑαυτοῦ B ἑαυτοῦ Bᵇ 15 μέρου Bᵇ μέρουσ Bᵒ οἰκείασ M 20 μηδὲ μὴ Bᵇ 21 ια̅ B *in tantum ut* Φ ὅτι MB quasi nouum capitulum incipiat ἔνευσαν MΦ ἔνευσεν B αὐτὸν Bᵒ 25/26 διδάξει Bᵒ 27 ὑμετέρασ Bᵒ 28 τὸν ἐπίσκοπον MBᵃᵇΦᵃᶜ Fac. om. BᵒΦʳ 32 πειρώζου B 34/35 τρισχιλίων διακοσίων MB *trium milium* Φᵃ *mille ducentorum* Φᶜʳ 35/36 *deperire* Φ ἀπολέσαι MB 37 εἶχε Bᵒ ἐκγόνοισ M 37/38 τῆσ αὐτοῦ [ἑαυτοῦ B] φίλησ [φίλοσ M] καὶ αὐτῆ MBΦʳ καὶ τῆι αὐτοῦ φίληι Φᵃᶜ

ιε Ὅτι Χαλλώα ἡ φίλη Δανιήλου τοῦ ἐπισκόπου τὸ πρότερον μηδὲν ἔχουσα ἀποκεχρημένη τοῖς ἐκκλησιαστικοῖς παρ' αὐτῇ οὖσι πολλοῖς πράγμασι δανείζει ἀπὸ νομισμάτων τριακοσίων καὶ διακοσίων, ὡς δῆλον ἐντεῦθεν γενέσθαι πόθεν ἡ συναγωγὴ τῶν πραγμάτων.

ις Ἀβράμιός τις ἦν διάκονος· οὗτος ἀπαντητὴς ἐτύγχανεν τῆς ἡμετέρας ἐκκλησίας. διαφόρως πραγματευσάμενος ὢν πρότερον πένης καὶ μηδὲν σχεδὸν εἰπεῖν ἔχων ⟨ἐκ⟩ τῆς ἡμετέρας ἐκκλησίας πολλὰ καὶ ἀμύθητα πράγματα ἔσχεν, ἅτινα κατὰ ἀλήθειαν ἦν τῆς ἡμετέρας ἐκκλησίας. ὑποπείθει τοῦτον Δανιῆλος ὁ ἐπίσκοπος εἰς αὐτὸν παραπέμψαι τὸν κλῆρον κατ' ἐγγράφους διαθήκας, ὁμόσας αὐτῶι τοῖς πτωχοῖς αὐτὰ διδόναι μετὰ τὴν ἐκείνου ἀποβίωσιν· τοῦτο γὰρ καὶ αἱ διαθῆκαι περιέχουσι. τούτων ἐν καθέξει γενόμενος ὁ Δανιῆλος οὐ μόνον, ὡς ἐχρῆν καὶ ὤμοσεν, οὐκ ἐδιοίκησεν, ἀλλὰ γὰρ τῆι τῆι ἀσελγείαι αὐτοῦ δουλευούσηι Χαλλώαι τῆι γυναικὶ δέδωκεν αὐτά.

L IIII 65[1] ιζ Ὅτι παρὰ τῶν ἐμπιπτόντων Ἑλλήνων ἁμαρτήματι θυσίας λαμβάνων Δανιῆλος ὁ ἐπίσκοπος σπόρτουλα ἀφίησι τοῦ ἐγκλήματος, πραγματευόμενος ἑαυτῶι κἀντεῦθεν κέρδος.

ιη Ὅτι τῆς ἐκκλησίας Ἐδέσσης τοῦ κτήματος Λαφαργαρίθας ὕλας τεμόντες ἀπήνεγκαν εἰς τὰ κτήματα Χαλλώας τῆς φίλης Δανιήλου τοῦ ἐπισκόπου καὶ ἔκτισαν ἃ ἠβουλήθησαν.

74 Οἱ θεοφιλέστατοι ἐπίσκοποι εἶπον· Ὅταν ἔλεγχος ἐπὶ κεφαλαίωι παρακολουθήσηι ψυχῆι κίνδυνον φέρων, περιττὴν ἡγούμεθα τῶν λοιπῶν τὴν ἐξέτασιν. τὰ τοίνυν ὡμολογημένως ἀπηγορευμένα καὶ τοῖς κανόσι καὶ τοῖς νόμοις καὶ προδήλως μισητὰ τοῖς τὸν θεὸν φοβουμένοις ταῦτα ἐκλέξασθε πρότερον καὶ τούτοις ἔνστητε. δοκεῖ δὲ ἡμῖν ταῦτα εἶναι τὰ καίρια, πρῶτον μὲν τὸ ὀρθῆς εἶναι χρῆναι πίστεως τὸν ἱερατεύειν ταχθέντα, εἶτα τὸ καθεστάναι πάσης ἀσελγείας ἐλεύθερον, ἀλλὰ μὴν καὶ τὸ μὴ προδιδόναι τὴν εὐσέβειαν μάλιστα χρημάτων ἕνεκεν. ὧν εἴ τινος ἀποδεῖξαι δύνασθε τὴν παράβασιν, οἰκείωι κατάθεσθε στόματι.

75 Σαμουῆλος εἶπεν· Ὡς ἠξιώσαμεν ἤδη, παρακαλοῦμεν ἑκάστου κεφαλαίου κατὰ
M VII [229] τάξιν τὴν ἐξέτασιν γενέσθαι, καὶ εἰ μὲν τὸ πρῶτον κεφάλαιον ἐπιτίμιον τοιοῦτον ἔχει, ὥστε αὐτῶι ἀρκεσθῆναι μόνωι καὶ μήτε ἕτερα κινηθῆναι, καλῶς καὶ ἐδικαίωσεν ἡ ὑμετέρα ὁσιότης καὶ ἡμεῖς τούτωι δουλεύσομεν.

76 Οἱ θεοφιλέστατοι ἐπίσκοποι εἶπον· Ἐκ τῶν ἐπιδοθέντων παρ' ὑμῶν κεφαλαίων τρία μάλιστά ἐστι τὰ πάνδεινα καὶ τῶν ἄλλων εὐκολώτερον ἐξελέγχεσθαι πεφυκότα. τούτοις τοίνυν εἰ συστῆναι δύνασθε, καθάπερ εἰρήκαμεν, οἰκείαι γλώττηι κατάθεσθε.

77 Μάρας εἶπεν· Τὰ περὶ τῆς πίστεως κινοῦμεν πρῶτον καὶ τὰ ἄλλα κεφάλαια * κινοῦμεν.

78 Οἱ θεοσεβέστατοι ἐπίσκοποι εἶπον· Προθέντες ὑμῖν τὸ ποιήσασθαι τούτων τῶν τριῶν κεφαλαίων τὴν ἔνστασιν οὐκ ἤδη ἠρνησάμεθα τῶν λοιπῶν τὴν ἐξέτασιν.

19—24 ἐλεύθερον adfert Vigilius t. IIII 2 p. 143

34—p. 27, 1 adfert Facundus 5, 4 p. 719

M, B [= abo], Φ

3 διακοσίων καὶ τριακοσίων $B^{o}Φ$ 5 ἀβραάμιόσ M ἀπαντητῆσ MΦ ἀπ' [ἐπ' B^{o}] αὐτῆσ B 7 ἐκ Φ om. MB ὑμετέρασ B^{o} 8 ὁ om. B^{o} 11 οὐ διώκησεν B γὰρ om. B 12 τῆ δουλευούση τῆ ἀσελγεία αὐτοῦ B 14 ὁ om. B 16 ἐδέσησ MB^{ab} 19 εὐλαβέστατοι B^{b} 21 ὁμολογουμένωσ B^{b} καὶ² om. B^{o} 23 εἶναι om. B^{o} πίστεωσ χρῆναι B 24 πάσαισ ἀσελγείαισ B^{b} 25 *ex quibus* Φ ὡσ MB 27 τοῦ κεφαλαίου B^{o} 28 καὶ om. B^{o} 29 καὶ² om. B^{o} 30 τούτω MB^{a} τοῦτο B^{bo} *his* $Φ^{cr}$ *quid* $Φ^{a}$ δουλεύσωμεν B^{b} δουλεύομεν M 32 καὶ om. Φ πεφυκότων Φ 34 τῆς om. M 34/35 *post mouemus* [*mouebimus* $Φ^{a}$] Φ Fac. κινοῦμεν MB 36 θεοπρεπέστατοι B^{b} προσθέντεσ B^{o}

79 Μάρας εἶπεν· Τὸ περὶ τῆς πίστεως κινοῦμεν πρῶτον.

80 Οἱ θεοφιλέστατοι ἐπίσκοποι εἶπον· Τί κινεῖν ἔχεις περὶ πίστεως;

81 Μάρας εἶπεν· Προσομιλῶν εἶπεν· οὐ φθονῶ τῶι Χριστῶι γενομένωι θεῶι· ἐφ' ὅσον γὰρ αὐτὸς ἐγένετο, κἀγὼ ἐγενόμην.

82 Οἱ θεοφιλέστατοι ἐπίσκοποι εἶπον· Ὁμολογήσηι πρῶτον ὁ θεοσεβέστατος ἐπίσκοπος Ἴβας εἰ αὐτῶι ταῦτα εἴρηται.

83 Ὁ θεοσεβέστατος ἐπίσκοπος Ἴβας εἶπεν· Ἀνάθεμα τῶι εἰπόντι καὶ τῶι συκοφαντήσαντι· ἐγὼ γὰρ οὐκ εἶπον, μὴ γένοιτο.

84 Σαμουῆλος εἶπεν· Μάρτυρες ἡμῖν εἰσιν τούτων, ἐξ ὧν ἐνταῦθα πάρεισι· παρακαλοῦμεν τούτους καλουμένους παρ' ὑμῶν δεχθῆναι καὶ οἰκείαι φωνῆι καταθέσθαι εἰ μὴ ἤκουσαν αὐτοῦ εἰρηκότος τοῦτο.

85 Ὁ θεοσεβέστατος ἐπίσκοπος Ἴβας εἶπεν· Μυριάκις ἐγὼ ἀποτμηθῆναι καταδέχομαι ἢ εἰπεῖν τὸ ῥῆμα τοῦτο καὶ μὴ γένοιτο μηδὲ ἐννοηθῆναί με τοῦτο. ἀλλ' οἶδα ἐγὼ ὅτι ἕκαστος ἀπὸ τῆς ὁμολογίας σώιζεται.

86 Οἱ θεοφιλέστατοι ἐπίσκοποι εἶπον· Ἐπ' ἐκκλησίας φὴς ταῦτα εἰρῆσθαι τῶι θεοφιλεστάτωι ἐπισκόπωι Ἴβαι;

87 Σαμουῆλος εἶπεν· Ἔθος ἐστὶν ἐν τῆι ἁγίαι ἡμέραι τοῦ πάσχα ἢ πρὸ τῆς ἡμέρας διδόναι αὐτὸν ἐκ χειρὸς τοῖς κληρικοῖς φανερά τινα ἑορτικά. ταῦτα μέλλων διδόναι ὁμιλεῖ πρότερον καὶ οὕτως δίδωσιν. ὡμίλησεν δὲ τοῦτο καὶ εἶπεν ἐπὶ πάντων τῶν κληρικῶν παρόντων διὰ τὸ λαβεῖν τὰ ἑορτικὰ ταῦτα. καὶ ἐλέγχεται τινῶν ἐξ αὐτῶν L IIII 654
ἐνταῦθα κληρικῶν παρόντων τῶν ἀκουσάντων τοῦτου εἰρημένου παρ' αὐτοῦ.

88 Οἱ θεοφιλέστατοι ἐπίσκοποι εἶπον· Πρὸ πόσου χρόνου ταῦτα εἰρῆσθαι λέγεις τῶι θεοσεβεστάτωι ἐπισκόπωι Ἴβαι;

89 Σαμουῆλος εἶπεν· Ἔστι τρία ἔτη μικρῶι πρός. εἴρηται δὲ καὶ ἕτερα, τέως δὲ ταῦτα, εἰ παρίσταται, ἀποδεικνύομεν. εἰ δὲ καὶ τὰ ἄλλα συνάψαι ἡμᾶς κελεύετε, M VII 232
καὶ τὰ ἄλλα κατατιθέμεθα.

90 Οἱ θεοφιλέστατοι ἐπίσκοποι εἶπον· Τίνες εἰσὶν τέως οἱ τοῦτο μαρτυρεῖν δυνάμενοι;

91 Σαμουῆλος εἶπεν· Εἰσὶ μὲν πολλοί (ἐπὶ παντὸς γὰρ τοῦ κλήρου εἶπεν), ἐκ τούτων δέ εἰσιν ἐνταῦθα τρεῖς, καὶ οἱ τρεῖς δεκτοὶ καὶ τοῖς κανόσι καὶ τοῖς νόμοις. εἰ δὲ πλειόνων χρεία καὶ παρίσταται, καὶ ἄλλων ἐκδίδομεν ὀνόματα καὶ παραγίνονται κατὰ κέλευσιν ὑμετέραν.

92 Ὁ θεοσεβέστατος ἐπίσκοπος Ἴβας εἶπεν· Ἔστιν ὁ κλῆρος ἡμῶν μικρῶι πρὸς διακοσίων ὀνομάτων ἢ καὶ πλειόνων· οὐδὲ γὰρ σώιζω τὸν ἀριθμόν. πάντες οἱ κληρικοὶ ἐμαρτύρησαν εἴτε αἱρετικός εἰμι εἴτε ὀρθόδοξός εἰμι, καὶ δι' ἐγγράφων ὁμολογιῶν ἀποσταλεισῶν τῶι ἁγιωτάτωι ἀρχιεπισκόπωι Δόμνωι· ἔγραψαν δὲ καὶ πρὸς τὴν ὑμετέραν θεοσέβειαν. εἰ συνάιδει ἡ μαρτυρία τῶν τοσούτων κληρικῶν τῆι, ὡς λέγει, τριῶν μαρτύρων τῶν συνελθόντων αὐτοῖς εἰς κατηγορίαν ἐν Κωνσταντινουπόλει, καὶ νῦν δὲ αὐτοῖς ἅμα οὖσιν, ὑμέτερόν ἐστι δοκιμάσαι.

93 Σαμουῆλος εἶπεν· Ἡμέτερόν ἐστὶ τῶν προτεινόντων τὸ κεφάλαιον ἢ κατηγορούντων ἀποδείξεις δοῦναι ὧν εἴπομεν, οὐ τοῦ θεοσεβεστάτου ἐπισκόπου Ἴβα μαρτυ-

1—24 adfert Facundus 5, 2 p. 712
3. 4. 17 sq. cf. Acta Concilii Epheseni alterius p. 40, 17 sq.
28—38 adfert Vigilius t. IIII 2 p. 163. 164

M, B [= abo], Φ

5 εὐσεβέστατοι Bo ὁμολογήσει MB πρότερον Bo 6 αὐτῶ MB Φa Fac. *ita* Φcr 15 θεοσεβέστατοι Bo ἐκκλησίαισ Bb 17 ἁγία MΦ Fac. ἁγία ἐκκλησία B 18 ἑορταστικά B 19 τῶν om. Bb 20 ἑορταστικὰ B 24 ἔστι om. Bo ἔτη τρία Bo τέως om. Φr 29 δέ1 om. Φ 32/33 διακοσίων ὀνομάτων μικρῶ πρόσ Bb 36 τοιούτων Bo τῆι] τῆσ Bo 37 εἰσελθόντων Bb 40 *episcopi nostri* Φ

ρῆσαι ἑαυτῶι ἢ δι' ἄλλων· ἀρνήσεως γὰρ λόγον οὐδεὶς ἀπαιτεῖται. εἶπον ὅτι γέγονεν· ἐμόν ἐστιν ἀποδεῖξαι.

94 Οἱ θεοφιλέστατοι ἐπίσκοποι εἶπον· Εἰπὲ τοὺς παραγομένους ὑπὸ σοῦ μάρτυρας ὀνομαστὶ ὡς ἀκηκοότας τοῦ θεοσεβεστάτου ἐπισκόπου Ἴβα ταῦτα εἰρηκότος.

95 Σαμουῆλος εἶπεν· Ἔστιν Δαυὶδ διάκονος ἀπὸ κειμηλιοφυλάκων καὶ Μάρας διάκονος καὶ Σάβας διάκονος ὁ τὰ συντάγματα κατὰ τόπον τοῦ μακαρίου Ἐφρὲμ λέγων, ἀνὴρ ἐν τοῖς Σύροις σοφώτατος.

96 Ὁ θεοφιλέστατος ἐπίσκοπος Ἴβας εἶπεν· Καὶ Μάρας ἐνέτυχεν ἐν Ἀντιοχείαι μετ' αὐτῶν καὶ λιβέλλους ἐπιδέδωκεν μετ' αὐτῶν καὶ ἀνῆλθεν ἐν Κωνσταντινουπόλει ἅμα αὐτοῖς. Μάρας δὲ κατὰ τὸ ἀληθὲς ἀκοινώνητός ἐστι τῶι ἰδίωι ἀρχιδιακόνωι (οὐδὲ γὰρ ἐμοί ἐστιν ἀκοινώνητος), ἐπειδὴ ὕβρισεν πρεσβύτερον· διὰ τοῦτο ἀκοινώνητον αὐτὸν ἐποίησεν. εἶτα ηὗρον αὐτὸν λυπούμενον καὶ προσεδέξαντο αὐτὸν εἰς κατηγορίαν. ἐκείνους τοὺς ἀνελθόντας κατ' ἐμοῦ καὶ προσελθόντας τῶι βασιλεῖ κατ' ἐμοῦ πῶς δύνανται αὐτοὶ παράγειν εἰς μαρτυρίαν; σὺ ὅτε εἶπες 'ἡ ζωὴ ἀπέθανεν', οὐκ εὐθὺς εἶπόν σοι ,ἑταῖρε, εἰ μὲν τοῦτο λέγεις ὅτι ἡ σὰρξ τοῦ κυρίου ζωοποιός ἐστι καὶ ὁ Χριστὸς ἡμῶν ζωή ἐστιν, κἀγὼ ὁμολογῶ· εἰ δὲ ἠνίξω τὴν θεότητα, οὐ δέχομαι' καὶ ἐξ ἐκείνου ἐκοινώνησάς μοι δέκα ἔτη;

97 M VII 233 Σαμουῆλος εἶπεν· Εἰ ἐκάλεσέ με ἰδίαι ἢ ἐνεκάλεσεν ἢ περὶ τούτου μοι διελέχθη, ὑπεύθυνός εἰμι οἷς λέγει; εἰ μὴ ὅτι ἐξ ἐκείνου οὐκ ἐπέτρεψέν μοι ὁμιλῆσαι.

98 L IIII 655 Οἱ θεοφιλέστατοι ἐπίσκοποι εἶπον· Ὁ θεοσεβέστατος ἐπίσκοπος Ἴβας ἐδίδαξεν ὡς προσεκαλέσατό σε καὶ τινὰ παρήινεσεν· αὐτὸς ἀρνῆι. ἐπὶ μαρτύρων δὲ οὐδεὶς ἐκ παντὸς ἢ διδάσκει ἢ παραινεῖ. τοῦτο τοιγαροῦν ὡς περιττὸν καταλιπόντες ἐπὶ τὸ προκείμενον ἔλθατε.

99 Σαμουῆλος εἶπεν· Ἀρκεῖ μοι ὅτι ὡμολόγησεν ἐπὶ τῆς ὑμετέρας ὁσιότητος ὅτι ἐνεκάλεσέν μοι περὶ τούτου, ⟨ὁ θεοσεβέστατος ἐπίσκοπος Ἴβας⟩.

100 Ὁ θεοσεβέστατος ἐπίσκοπος Ἴβας εἶπεν· Οὐδὲ ἐνεκάλεσα, ἀλλὰ ἐπυθόμην· ἑταῖρε, πῶς εἶπες τὴν ζωὴν τεθνάναι; τὴν θεότητα λέγεις ἢ τὴν σάρκα τοῦ θεοῦ ζωοποιὸν λέγεις; καὶ γὰρ καὶ ζωή ἐστι καὶ ζωοποιός. καὶ οὕτω καὶ πιστεύω καὶ ὁμολογῶ τῶι στό-
Rom. 10, 10 ματί μου ὡς ἐκέλευσεν ὁ θεὸς αὐτὸς ὅτι τῶι στόματι ὁμολογεῖτε εἰς σωτηρίαν.

101 Οἱ θεοφιλέστατοι ἐπίσκοποι εἶπον· Ἐπυνθανόμεθα ὑμῶν εἰ ἐπὶ ἐκκλησίας ὁ θεοσεβέστατος ἐπίσκοπος Ἴβας τοῦτο τὸ παρ' ὑμῶν εἰρημένον ἐδίδαξεν, καὶ εἴπατε ὅτι ἐν τῶι τρικλίνωι τοῦ ἐπισκοπείου παντὸς τοῦ κλήρου παρόντος τοῦτο ἐδογμάτισεν. ἐπεὶ τοίνυν ⟨καὶ⟩ οἱ κανόνες καὶ οἱ νόμοι διὰ τὸ ἄπορον προσέταξαν ῥητὸν ἀριθμὸν μαρτύρων ἐκ παντὸς παράγεσθαι, ἐν δὲ τῶι παρόντι πράγματι ἀπορία οὐκ ἐστιν, ἀλλ' εὐπορία μαρτύρων, ὡς αὐτοὶ κατέθεσθε, ἐπάναγκές ἐστι μὴ μόνον τοὺς ὑφ' ὑμῶν νῦν παραγομένους, ἐπείπερ ὁ θεοσεβέστατος ἐπίσκοπος Ἴβας ὡς συγκατηγόρους ὑμῶν αὐτοὺς διέ-

9. 35 cf. Gesta Synodi Ephesenae alterius p. 40, 32 sq.

M, B [= abo], Φ

3 θεοσεβέστατοι B^b παραγομένους Φ παραγενομένουσ MB 4 ταῦτα MB $Φ^a$ τοῦτο $Φ^{cr}$ 6 καὶ Σάβας διάκονος om. B τὸν τόπον B^b ἐφραὶμ B^{ab} 10 μαρα M δὲ] μὲν B^o 12 εὗρον B προσεδέξατο εἰσ κατηγορίαν αὐτὸν B^o 13 ἐλθόντασ B^o καὶ—ἐμοῦ om. B^b 14 εἶπασ B 16 ἐκείνου om. B^o 16/17 ἐκοινώνησάν M 18 μοι MB $Φ^a$ *si mihi* $Φ^{cr}$ 19 οἷς] οἷοσ B^b 20 εἶπον Φ ἐβόησαν MB 21 ἐπὶ MB $Φ^r$ ἐπεὶ $Φ^{ac}$ 22 ἢ[1] MB^{ao} $Φ^r$ εἰ $Φ^{ac}$ om. B^b τοῦτο om. B^b 23 ἔλθετε B 24 μοι] μὲν B^o 25 ὁ — Ἴβας Φ om. MB 27 εἶπασ B 28 καὶ[2] om. B^o 29 ἐκάλεσεν B^b ὁμολογεῖται B^b Φ 30 εἶπαν M ὑμῖν B 32 τρικλίνω B Φ κρίνω M κλήρου] τρικλίνου B^b 33 καὶ[1] Φ om. MB καὶ[2] om. B ἄπειρον B^b ῥητῶν M 34 παράγεσθαι Φ παραγενέσθαι MB 35 κατατίθεσθαι B^o ἡμῶν MB νῦν om. Φ 35/36 παραγομένους Φ παραγενομένουσ MB 36 ἐπίσκοπος om. $Φ^r$ et unus codex $Φ^c$

βαλεν, πιστευθῆναι, ἀλλὰ γὰρ καὶ σχεδὸν πάντας ἐρωτηθῆναι τοὺς κατ' ἐκεῖνον τὸν καιρὸν τὰς εὐλογίας παρ' αὐτοῦ δεξαμένους, ὡς ἐδιδάξατε.

102 Μάρας εἶπεν· Πολλάκις εἰσί τινες μηδὲ εἰδότες ἀκοῦσαι, ⟨ἀλλ' οἱ ἀκριβῶς εἰδότες⟩ τὰ τοιαῦτα φανεροί εἰσιν, καὶ τούτους ἐκδιδόαμεν.

103 Οἱ θεοφιλέστατοι ἐπίσκοποι εἶπον· Πόσοι παρῆσαν τὸ τηνικαῦτα ἐκεῖσε πρεσβύτεροι;

104 Μάρας εἶπεν· Οὐκ οἴδαμεν.

105 Οἱ θεοφιλέστατοι ἐπίσκοποι εἶπον· Εὐλογιῶν παρεχομένων εἰκὸς ἦν ἅπαν τὸ σύστημα τῶν εὐλαβεστάτων κληρικῶν παρεῖναι.

106 Εὐλόγιος εἶπεν· Μάλιστα μέν, καὶ εἰ ἠβούλοντο τινὲς ἐλθεῖν καὶ εἰπεῖν, τὰς συσκευὰς αὐτοῦ φοβούμενοι οὐκ ἀνῆλθον. πολλοὶ γὰρ αἱροῦνται μὴ προσκροῦσαι αὐτῷ, ἵνα μὴ ἀποθάνωσιν. τινὰ γὰρ μὴ βουληθέντα τῶν πρεσβυτέρων καθυπογράψαι τοῖς αὐτοῦ ἐπαίνοις, ἡνίκα τὴν κατηγορίαν ἐν Ἀντιοχείαι κατ' αὐτοῦ ἐνεστησάμεθα, μετὰ τὸ κατελθεῖν αὐτὸν ἐκεῖθεν συνεσκευάσατο, καὶ ἄνδρα ἀπὸ πεντήκοντα ἐτῶν ὀρθόδοξον ὄντα, μηδέποτε μηδὲ λουσάμενον ἐξ οὗ τῷ βίῳ τούτῳ ἀπετάξατο, ᾧ πᾶσα ἡ πόλις μαρτυρεῖ, κατηγορίαν ἐνστησάμενος κατ' αὐτοῦ διὰ τῶν ἰδίων οἰκονόμων, ἣν οὐδὲ ἠδυνήθη ἐπεξελθεῖν, ὡς τὸν ἄρχοντα προσχαριζόμενον αὐτῷ [μὴ βουληθῆναι, ἔτι] ἐκείνου ἐνισταμένου καὶ λέγοντος· δειχθείη ἡ κατ' ἐμοῦ συσκευή, ἀπολῦσαι αὐτόν, καὶ πᾶσαν τὴν πόλιν δέξασθαι αὐτὸν ἀπὸ φυλακῆς μετὰ κηρῶν καὶ λύχνων. καὶ διὰ τοῦτο πάντες οἱ κληρικοὶ εὐλαβούμενοι οὐχ αἱροῦνται καταμαρτυρῆσαι αὐτοῦ. M VII 236

107 Οἱ θεοφιλέστατοι ἐπίσκοποι εἶπον· Οὐχ ἡγούμεθα τὸν φόβον [τοῦ] θεοῦ πρὸ ὀφθαλμῶν ἐχόντων καὶ τῆς πίστεως προκειμένης αἱρεῖσθαί ⟨τινα⟩ πρὸς χάριν ἀνθρώπων τῆς ἰδίας καταφρονεῖν σωτηρίας. ὅθεν ἐπειδήπερ αὐτὸς ἐδίδαξας ὡς τὸ πλῆθος συνήθροιστο τῶν εὐλαβεστάτων κληρικῶν, ὅτε ταῦτα ὁ θεοσεβέστατος ἐπίσκοπος Ἴβας ἐδίδασκεν, οὐ δεχόμεθα τὴν τῶν παραγομένων παρ' ὑμῶν τριῶν τούτων μαρτύρων φωνὴν καὶ μάλιστα ὑπόπτων ὑπαρχόντων αὐτῷ τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ [Ἴβαι,] καθάπερ κατέθετο. L III 658

108 Σαμουῆλος εἶπεν· Πῶς οἷόν τέ ἐστιν ὅλον τὸν κλῆρον ἐνεχθῆναι εἰς μαρτυρίαν;

109 Εὐλόγιος εἶπεν· Ὅτε ἦμεν ἐν Ἀντιοχείαι, ἐποίησαν ὑπηγορίαν ἐπαίνων· περιέφερον αὐτὴν τοῖς κληρικοῖς, ἵνα ὑπογράψωσιν. τινὲς τῶν κληρικῶν ἢ δεκαπέντε ἢ δεκαοκτὼ οὐκ ἠβουλήθησαν ὑπογράψαι λέγοντες ὅτι πολλάκις ἐρωτώμεθα τί ποτε, καὶ οὐκ οἴδαμεν τί εἰπεῖν καὶ οὐ δυνάμεθα ψεύσασθαι. τούτους ἀγαγὼν βιαίως εἰς τὴν ἐκκλησίαν ἐποίησεν κατακραγῆναι ὡς ὀφείλοντας βληθῆναι ἔξω, ἐπειδὴ μὴ ὑπέγραψαν, καὶ ἐποίησεν αὐτοὺς ἀκοινωνήτους ἐπὶ ὅλης τῆς ἐκκλησίας καὶ ἔβαλεν αὐτοὺς ἔξω. καὶ διὰ τοῦτο ἦλθον ἐν Ἀντιοχείαι· ἐξ οὗ δὲ εἶδον ὅτι κατεπονήθημεν καὶ οὐκ ἐδέχθη ἡμῶν τὰ δίκαια καὶ ὅτι κατῆλθεν ὁ ἄνθρωπος ὡς περιγενόμενος ἡμῶν, ἐφοβήθησαν κατελθεῖν εἰς τὴν πόλιν, καὶ ἀνάγκην ἔσχομεν ἕως τῆς σήμερον τρέφειν αὐτοὺς διὰ τὴν μαρτυρίαν.

110 Ὁ θεοσεβέστατος ἐπίσκοπος Ἴβας εἶπεν· Ὁ ἁγιώτατος καὶ ὁσιώτατος ἡμῶν

M, B [= abo], Φ

3 *sed qui integre nouerunt* Φ ἀλλ' οἱ ἀκριβῶς εἰδότες sine codicum auctoritate editores Romani om. MB 4 φανερά M 5 θεοσεβέστατοι Bᵒ 13 ἐν Ἀντιοχείαι om. Bᵇ κατ'] καὶ Bᵒ 14 μετ' αὐτὸ Bᵒ αὐτὸν om. Bᵒ 16 πᾶσι M 17 ὑπεξελθεῖν ἠδυνήθη Bᵇ malim ⟨καίτοι⟩ προσχαριζόμενον cf. *quamuis in eius gratia ageret* Φ 17/18 μὴ βουληθῆναι MB et unus codex Φʳ om. Φ 18 ἔτι MBᵃᵒ ὅτι Bᵇ om. Φ ἡ om. M συσκευὴ ἢ Φ 19 ἀπὸ φυλακῆς om. Φ 20 οὐκ ἐροῦνται M 21 οὐ M τῶν φόβων B, corr. Bᵒ τοῦ om. M 22 ἐχόντων M *habentes* Φ ὄντων B τῆς om. M τινα addidi ex Φ 24 ἐπίσκοπος om. Φʳ et unus codex Φᵉ 25 οὐ om. Bᵒ παραγομένων Φ παραγενομένων MB τούτων om. BᵇΦ 26 ὑπόπτων BΦ ὑποπτον φωνὴν καὶ μάλιστα ὑποπτον M αὐτῷ MΦ αὐτῶν B Ἴβαι om. Φ 31 ἐρωτώμενοι M 33/34 μὴ—ὅλης om. M 33 ὑπέγραψε Bᵇ 35 ἦλθεν Bᵇ ἐδείχθη Bᵇ 37 ἔχομεν Bᵇᵒ τρέφειν αὐτοὺσ ἕωσ τῆσ σήμερον Bᵃᵘ τρέφειν αὐτοὺσ Bᵇ

ἀρχιεπίσκοπος παρεγένετο εἰς Ἱεράπολιν εἰς τὸν ἐνθρονισμὸν τοῦ κύρου Στεφάνου τοῦ θεοσεβεστάτου ἐπισκόπου. ἠβουλήθημεν πληρῶσαι τὰ νενομισμένα καὶ ἀπελθεῖν ἀσπάσασθαι αὐτοὺς εἰς τὴν Ἱεράπολιν. ὡς ἔτι ἐξερχόμεθα, ἀκούομεν ὅτι Σαμουῆλος καὶ Κῦρος [ὧδε νῦν] ἐπὶ τῶι κατηγορῆσαι ἡμῶν ἀπῆλθον ὑπογραφάς τινων κληρικῶν λα-
M VII 237 βόντες. ὁμολογῶ τοῦτο· συνεκάλεσα τὸν κλῆρον καὶ εἶπον ὡς ἤκουσα ὅτι Σαμουῆλος καὶ Κῦρος ἀπῆλθον ἐπὶ τῶι κατηγορῆσαι ἡμῶν. ἀλλὰ καὶ ὑμῖν λέγω, εἴ τις ἐγγράφως αὐτοῖς ἐκοινώνησεν εἰς τοὺς λιβέλλους, ἕως ἂν εἰδῆι ποῖον πέρας λαμβάνει τὸ πρᾶγμα, μὴ κοινωνήσηι. ἀφώρισαν ἑαυτοὺς οἱ λοιποὶ τιτρωσκόμενοι ὑπὸ τοῦ συνειδότος

111 Οἱ θεοφιλέστατοι ἐπίσκοποι εἶπον· Πόσοι ἦσαν οἱ ἀφορίσαντες ἑαυτούς;

112 Ὁ θεοφιλέστατος ἐπίσκοπος Ἴβας εἶπεν· Εἰσὶν ὡς δεκαπέντε μικρῶι πρὸς οἱ ἀφορίσαντες ἑαυτούς, καὶ ἐγὼ οὐκ ἀφώρισα αὐτούς.

113 Μάρας εἶπεν· Εἰ ἀφώρισέν τις ἑαυτὸν εἰ μὴ ἐγὼ μόνος καὶ ὁ πρεσβύτερος Σαμουῆλος. ἐπειδὴ ἡμεῖς ἦμεν λιβέλλους ποιήσαντες κατ' αὐτοῦ οἱ τέσσαρες, ἐγὼ καὶ Κῦρος καὶ Σαμουῆλος καὶ Εὐλόγιος, ἔλαβον οἱ δύο τοὺς λιβέλλους καὶ ἀπῆλθον εἰς Ἱεράπολιν ἐπὶ τῶι μεῖναι τὸν ἀρχιεπίσκοπον, ὁ κύρις δὲ Σαμουῆλος ἐκακοῦτο. λοιπὸν συνεκάλεσεν πάντας ἐν τῶι σηκρήτωι καὶ εἶπεν 'ἐπειδὴ ἤκουσα ὅτι Κῦρος καὶ Εὐλόγιος ἀπῆλθον κατ' ἐμοῦ κατηγορῆσαι, τούτους ἀφώρισα, ἵνα γνῶτε ὅτι ἀκοινώνητοί εἰσιν. εἰ δέ τις συνέπραξεν αὐτοῖς ἐν τοῖς λιβέλλοις ἢ σύνοιδεν, ἐπειδὴ ἀκούω ὅτι τριάκοντά εἰσιν οἱ κληρικοὶ οἱ συνθέμενοι αὐτοῖς, δίδωμι τῆι γνώμηι αὐτῶν.' οὐδεὶς οὐκ ἐξέβη εἰ μὴ ἐγὼ μόνος καὶ αὐτός, ἐπειδὴ οὐκ ἦσαν συνθέμενοι ἡμῖν, ἀλλ' ἔμειναν κοινωνοῦντες αὐτῶι.

114 Οἱ θεοφιλέστατοι ἐπίσκοποι εἶπον· Λεγέτω ὁ θεοσεβέστατος ἐπίσκοπος Ἴβας εἰ ἀληθῶς λέλεκται αὐτῶι ἅπερ οὗτοι εἰρήκασιν.

115 Ὁ θεοσεβέστατος ἐπίσκοπος Ἴβας εἶπεν· Ἐγὼ οὔτε εἶπον καὶ ἀναθεματίζω τὸν εἰπόντα. ἐγὼ γὰρ οὔτε παρὰ δαίμονος ἤκουσα τὸ ῥῆμα τοῦτο.

116 Μάρας εἶπεν· Εἰσὶν μάρτυρες οἱ μαρτυροῦντες ἡμῖν ἐνταῦθα τρεῖς, ὧν τὰ ὀνόματα ἐκδίδομεν· εἰσὶ δὲ ἡμῖν καὶ ἕτεροι ἐν Ἐδέσσηι.

117 Οἱ θεοφιλέστατοι ἐπίσκοποι εἶπον· Ἐπάναγκές ἐστιν καὶ τούτων προσθεῖναι τὰς
L IIII 659 προσηγορίας, ἐπειδὴ οὐ περὶ μικρῶν ἐστιν ἡ ζήτησις.

118 Εὐλόγιος εἶπεν· Ἐκδίδομεν.

119 Μάρας εἶπεν· Τὸν μακάριον Κύριλλον οὐκ ἐκάλεσας αἱρετικόν;

120 Ὁ θεοσεβέστατος ἐπίσκοπος Ἴβας εἶπεν· Ἐπ' ἀληθείας λέγω, οὐ μέμνημαι. εἰ δὲ καὶ ἐκάλεσα αὐτόν, ὅτε ἡ Ἀνατολικὴ σύνοδος ὡς αἱρετικὸν ἀνεθεμάτισεν, ἐξηκολούθησα τῶι ἐξάρχωι μου.

121 Μάρας εἶπεν· Οὐκ εἶπες ὅτι εἰ μὴ ἀνεθεμάτισε τὰ κεφάλαια αὐτοῦ, οὐκ ἐδεξάμεθα αὐτόν;

122 Ὁ θεοσεβέστατος ἐπίσκοπος Ἴβας εἶπεν· Εἶπον ὅτι εἰ μὴ αὐτὸς ἑαυτὸν ἡρμήνευσεν καὶ ἐδέξατο αὐτὸν ἡ Ἀνατολικὴ σύνοδος, κἀγὼ μετὰ τοῦ ἐξάρχου μου καὶ τῆς Ἀνατολικῆς συνόδου ἀπηρνούμην αὐτόν.

123 Μάρας εἶπεν· Πέρυσιν εἶπες, ὅτε ἡ κίνησις ἐγένετο ἐν τῶι σηκρήτωι, τὸν μακάριον

39—p. 30,5 adfert Facundus 5, 2 p. 711

M, B [= abo], Φ

1 ἐνθρονιασμὸν Bo κῦ M 2 θεοσεβεστάτου om. Bo 3 καὶ ἀσπάσασθαι BΦ τὴν om. Bb *audio* Φ 4 ὧδε νῦν om. Φ τὸ MBb ἀπῆλθον scripsi ἦλθον MB *profecti erant* [*fuerant* Φa et partim Φc] Φ 5 συνεκαλέσατε Bo ἤκουσα ὅτι om. Φ 6 ἀπῆλθον scripsi ἦλθον B om. M *ierunt* Φ τὸ M 7 αὐτοὺσ M 8 ἀφώρισεν Bb 9 ἐβόησαν Bb 10 θεοσεβέστατοσ BoΦ ὡσεὶ Bo 11 ἑαυτοὺσ M 12 εἰ MB [ex ueteris testamenti formula] *nullus* Φ εἰ μή] εἰμὶ Bo 13 οἱ τέσσαρες om. Bo 15 ἐπίσκοπον Bo κύριοσ M 16 σεκρέτω B ὁ κῦροσ Bo 19 οὐκ om. B 21 θεοφιλέστατοσ B 28 προσηγορίας Φ κατηγορίας MB 32 ἐξηκολούθησεν Bb 34 εἶπασ B ἀναθεμάτισα Bb 36 εἶπον om. Bo 39 εἶπασ B ὅτι MBo σεκρέτω B

Κύριλλον ὡς αἱρετικὸν εἶχον καὶ ἕως οὗ ἀνεθεμάτισε τὰ κεφάλαια, οὐκ ἐδεξάμην M VII 240
αὐτόν.

124 Ὁ θεοσεβέστατος ἐπίσκοπος Ἴβας εἶπεν· Οὕτως οὐ μέμνημαι· εἰ δὲ καὶ εἶπον, εἶπον ὅτι ἀληθῶς εἰ μὴ ἡ Ἀνατολικὴ σύνοδος ἐδέξατο αὐτὸν ἑρμηνεύσαντα τὰ ἐκεῖ κεφάλαια αὐτοῦ, αἱρετικὸν εἶχον αὐτόν.

125 Οἱ θεοφιλέστατοι ἐπίσκοποι εἶπον· Εἰ δύνασθε ἀποδεῖξαι ὅτι μετὰ τὴν ἕνωσιν τῶν ἐκκλησιῶν τὴν γενομένην πρὸς τὸν μακαριώτατον καὶ ὁσιώτατον τὴν μνήμην πατέρα ἡμῶν καὶ ἐπίσκοπον Ἰωάννην καὶ τὸν θεοσεβέστατον καὶ ἁγιώτατον τὴν μνήμην ἐπίσκοπον Κύριλλον αἱρετικὸν ὠνόμασεν αὐτὸν ὁ θεοσεβέστατος ἐπίσκοπος Ἴβας, ὁμολογήσατε.

126 Μάρας εἶπεν· Τοῦτο εἶπεν ὅτι εἴχομεν αὐτὸν αἱρετικὸν ἕως οὗ ἀνεθεμάτισεν τὰ κεφάλαια.

127 Ὁ θεοσεβέστατος ἐπίσκοπος Ἴβας εἶπεν· Ἐγὼ τοσοῦτον ἀπέχω τοῦ μετὰ τὸ ἑρμηνευθῆναι αὐτοῦ τὰ κεφάλαια ἀναθεματίσαι τὸν ἄνδρα, ὅτι καὶ γράμματα παρ' αὐτοῦ ἐδεξάμην καὶ γράμματα αὐτῶι ἔπεμψα καὶ κοινωνικόν με ἔσχεν καὶ κοινωνικὸν αὐτὸν ἔσχον.

128 Οἱ θεοφιλέστατοι ἐπίσκοποι εἶπον· Μετὰ τὸ γενέσθαι ὑμᾶς κοινωνικοὺς τί ποτε εἶπας;

129 Μάρας εἶπεν· Πέρυσιν εἶπεν ὅτι αἱρετικὸς ἦν, ἕως ὅτε ἀνεθεμάτισεν.

130 Ὁ θεοσεβέστατος ἐπίσκοπος Ἴβας εἶπεν· Ἕως ὅτε ἡρμήνευσεν ἑαυτόν, ἐπειδὴ ἡ Ἀνατολικὴ σύνοδος αἱρετικὸν αὐτὸν ἐκάλει καὶ ὡς αἱρετικὸν καθεῖλεν, αἱρετικὸν αὐτὸν κἀγὼ ἐνόμιζον· μετὰ δὲ τὸ ἑνωθῆναι τὰς ἐκκλησίας καὶ τὸν μακάριον Παῦλον ἀπελθεῖν εἰς Ἀλεξάνδρειαν καὶ ἀπενεγκεῖν τὴν πίστιν τῶν Ἀνατολικῶν καὶ δέξασθαι παρ' αὐτοῦ τὴν ἑρμηνείαν τῶν κεφαλαίων, πάντες κοινωνικὸν αὐτὸν ἔσχομεν καὶ ὀρθόδοξον καὶ οὐδεὶς καλεῖ αὐτὸν αἱρετικόν.

131 Οἱ θεοφιλέστατοι ἐπίσκοποι εἶπον· Μάλιστα μὲν ἀρκεῖ ἡ ἄρνησις τῆς αἱρέσεως πρὸς εὐσέβειαν· πλὴν ὁ θεοσεβέστατος ἐπίσκοπος Ἴβας ἐδίδαξεν τὴν αἰτίαν δι' ἣν αἱρετικὸν ἐνόμισεν μετὰ πάσης τῆς κατὰ τὴν Ἀνατολὴν ἁγίας συνόδου τὸν ὁσιώτατον τὴν μνήμην Κύριλλον. ὑμεῖς δὲ φατὲ ὅτι πέρυσιν αἱρετικὸν αὐτὸν ὠνόμασεν· τοῦτο ἐπάναγκές ἐστιν ὑμᾶς δεῖξαι.

132 Μάρας εἶπεν· Πέρυσιν εἶπεν ὅτι αἱρετικὸν αὐτὸν εἶχον ἕως οὗ ἀναθεμάτισε τὰ κεφάλαια.

133 Ὁ θεοσεβέστατος ἐπίσκοπος Ἴβας εἶπεν· Ἕως οὗ ἐψιθύρισεν πρὸς τὸ οὖς τῶι μακαριωτάτωι Ἰωάννηι καὶ ἐδέξατο παρ' αὐτοῦ τὴν ἔγγραφον ὁμολογίαν περὶ πίστεως, L IIII 662
ἣν ἔπεμψεν διὰ τοῦ μακαριωτάτου Παύλου, πάντες αἱρετικὸν αὐτὸν εἴχομεν, μετὰ δὲ M VII 241
τὸ δέξασθαι αὐτὸν κοινωνικοὶ ἦμεν καὶ ἐκοινώνει ἡμῖν καὶ ἡμεῖς αὐτῶι.

134 Σαμουῆλος εἶπεν· Ταῦτα νῦν λέγει ὁ εὐλαβέστατος ἐπίσκοπος θέλων διορθώσασθαι αὐτοῦ τὸ σφάλμα, ἡμέτερον δέ ἐστιν ἀποδεῖξαι ὅτι Κύριλλον εἶπεν αἱρετικὸν καὶ διορθούμενος ἑαυτὸν μετὰ ταῦτα εἶπεν ὅτι ἕως οὗ ἀνεθεμάτισεν τὰ κεφάλαια αὐτοῦ, αἱρετικὸς ἦν.

135 Ὁ θεοσεβέστατος ἐπίσκοπος Ἴβας εἶπεν· Ἐγὼ ἀναθεματισμοῦ οὐκ ἐμνημόνευσα·

11—16 adfert Facundus 5,2 p. 711

M, B [= abo], Φ

4 εἰ] ὅτι εἰ Bo ἡ om. Bo *interpretantem* Φa *retractantem* Φcr Fac. ἐκεῖ om. Φ 6 θεοσεβέστατοι Bo εἰ om. Φ 9 ἐπίσκοπος om. Bb 9/10 ὁμολογήσατε MB *sua confessione* Φ 11 εἴχαμεν M οὗ om. Bo ἀνεθεμάτισα Bb *retractasset* Φa 14 τὰ γράμματα Bb 15 καὶ—ἔπεμψα om. Bo 17 κοινωνοὺσ Bo 19 ὅτι Bo 24 ἔχομεν Bo 31 οὗ om. Bo 35 εἴχαμεν M μετὰ δὲ] καὶ μετὰ Bb 36 κοινωνικόν Bb 37 ἐπίσκοποσ ἴβασ Bao 38 τὸ σφάλματα M τὰ σφάλματα B *initium* Φ ἡμέτερον δεῖξαι ἐστὶν Bb 39 οὗ om. Bo

ἐγὼ ἐξηκολούθησα τῇι Ἀνατολικῇι συνόδωι. θέλετε τὰ ἔγγραφα; προσενέγκατε τὰ ἔγγραφα. θέλετε τὰ ἄγραφα; προσενέγκατε τὰ ἄγραφα.

136 Οἱ θεοφιλέστατοι ἐπίσκοποι εἶπον· Εἰ φαίνεται μετὰ τὸν θάνατον τοῦ μακαριωτάτου καὶ ἁγιωτάτου Κυρίλλου ὁ θεοσεβέστατος ἐπίσκοπος Ἴβας αἱρετικὸν αὐτὸν ὀνομάζων καὶ αἱρετικὸν αὐτὸν ἔχων, ἀποδείξατε.

137 Μάρας εἶπεν· Ἀποδεικνύομεν.

Ὁ αὐτὸς καθωσιωμένος σηκρητάριος ὁμοίως ἀνέγνω. Ῥω ἀνέγνων ἀνέγνωμεν ἀνέγνω

Ἑρμηνεία ἐπιστολῆς γραφείσης παρὰ τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἴβα τῆς Ἐδεσσηνῶν πόλεως Μάρηι Πέρσηι

138 Μετὰ τὰ προοίμια· Ἐν συντόμωι δὲ τῆι συνέσει σου τῆι φωτεινῆι τῆι δι' ὀλίγων τὰ πολλὰ ἐπιγινωσκούσηι, οἷα πρὸ τούτου καὶ νῦν ἐνταῦθα ἐγένετο, γνωρίσαι σοι ἐσπουδάσαμεν, εἰδότες ὡς ταῦτα τῆι σῆι θεοσεβείαι γράφοντες πᾶσιν διὰ τῆς σῆς σπουδῆς τοῖς ἐκεῖσε γνώριμα γίνεται τὰ παρ' ἡμῶν ὡς οὐδεμίαν ἐναλλαγὴν αἱ παρὰ τοῦ θεοῦ δοθεῖσαι γραφαὶ ἔλαβον. ποιοῦμαι δὲ τὴν ἀρχὴν τῆς ὑποθέσεως ἐκ τῶν λόγων ὧν καὶ αὐτὸς ἐπίστασαι. ἐγένετο φιλονεικία ἐξ οὗπερ ἡ σὴ θεοσέβεια ἐνταῦθα ἦν, τοῖς δύο ἀνθρώποις τούτοις, Νεστορίωι καὶ Κυρίλλωι, καὶ σύνεγραψαν κατ' ἀλλήλων λόγους βλαβερούς, οἵτινες σκάνδαλον ἦσαν τοῖς ἀκούουσι. Νεστόριος γὰρ εἴρηκεν ἐν τοῖς αὐτοῦ λόγοις, καθὼς καὶ ἡ σὴ θεοσέβεια ἐπίσταται, ὅτι ἡ μακαρία Μαρία θεοτόκος οὐκ ἔστιν, ὡς νομισθῆναι τοῖς πολλοῖς ἐκ τῆς αἱρέσεως Παύλου τοῦ Σαμοσατέως αὐτὸν
M VII 244 εἶναι τοῦ φάσκοντος ἄνθρωπον ψιλὸν εἶναι τὸν Χριστόν. Κύριλλος δὲ θέλων τοὺς λόγους Νεστορίου ἀνατρέψαι ὤλισθεν καὶ εὑρέθη ἐμπίπτων εἰς τὸ δόγμα Ἀπολιναρίου· συνέγραψε γὰρ καὶ αὐτὸς ὁμοίως ἐκείνωι ὅτι αὐτὸς ὁ θεὸς ὁ λόγος γέγονεν ἄνθρωπος, ὡς μὴ εἶναι διαφορὰν μεταξὺ τοῦ ναοῦ καὶ τοῦ ἐνοικοῦντος ἐν αὐτῶι. συνέγραψε γὰρ τὰ δώδεκα κεφάλαια, ἅπερ νομίζω καὶ τὴν σὴν θεοσέβειαν ἐγνωκέναι, ὅτι μία φύσις ἐστὶ τῆς τε θεότητος καὶ τῆς ἀνθρωπότητος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ὡς οὐ χρή, φησί, διαιρεῖν τὰς φωνὰς τὰς εἰρημένας, ἃς ἢ αὐτὸς ὁ κύριος περὶ ἑαυτοῦ εἴρηκεν ἢ οἱ εὐαγγελισταὶ περὶ αὐτοῦ. πόσης δὲ ἀσεβείας πεπλήρωται ταῦτα, καὶ πρὸ τοῦ ἡμᾶς εἰπεῖν [ὡς καὶ] ἡ σὴ ἁγιωσύνη ἐπίσταται. πῶς γὰρ δυνατὸν ληφθῆναι τὸν
Ps. 8, 6 ἐν ἀρχῇι λόγον ἐπὶ τοῦ ναοῦ τοῦ γεννηθέντος ἐκ Μαρίας ἢ ἐκεῖνο τὸ ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους περὶ τῆς θεότητος τοῦ μονογενοῦς ῥηθῆναι; ἡ γὰρ ἐκκλησία οὕτως λέγει, ὡς καὶ ἡ σὴ θεοσέβεια ἐπίσταται καὶ ἐξ ἀρχῆς ἐδιδάχθη καὶ ἐστηρίχθη

3—5 adfert Vigilius t. IIII 2 p. 151. 21—22 adfert Pelagius papa II t. IIII 2 p. 126

11 sq. praeter Φ et Facundum 6, 3 extat altera uersio Latina in Gestis Concilii quinti L V 509 = M VIIII 298 [K]; uersio Syriaca habetur in Gestis Concilii Epheseni alterius [Abhndlg. d. Gött. Ges. d. Wiss. N. F.] XV 1 p. 48 [Σ]

M, B [= abo], Φ

2 θέλετε—τὰ ἄγραφα² om. Bᵒ post 6 aliquanta omissa sunt 7/8 Ῥω—ἀνέγνω] ῥωμαῖον Bᵒ om. Φ ut solet; sunt falso loco posita, quoniam pertinent ad interlocutionem iudicum, quae per fraudem quandam periit 9 ἑρμηνεία ἐπιστολῆς om. B, spatio relicto Bᵃ ἀπὸ ἐπιστολῆσ Bᵒ corr. 9/10 ἐδεσηνῶν MBᵃ 11 ἐν] ἐν τῆ Bᵒ 14 ὑμῶν Bᵇ ὡσ MBKΣ καὶ ὡς Φ 18 σκάνδαλοι M *scandala* K 23 ὁ² om. B 25 ἐγνωκέναι MBᵇᵒ KΣ Fac. ἀνεγνωκέναι Bᵃ 26 τε om. Bᵒ 27 αὐτὸς om. B 28 τοὺσ εὐαγγελιστὰσ MBᵇᵒ ἑαυτοῦ Bᵒ πόσησ Σ πάσησ MBΦK Fac. πρὸ τοῦ] πρῶτον Bᵒ 29 ὡσ καὶ MBK ὡσ Φ Fac. om. Σ 32 ἐπίσταται καὶ om. Σ et unus codex Φʳ ἐδιδάχθη καὶ ἐστηρίχθη ΦKΣ Fac. ἐδιδάχθην καὶ ἐστηρίχθην M B

τῇ θείαι διδασκαλίαι ἐκ τῶν λόγων τῶν μακαρίων πατέρων, δύο φύσεις, μία δύναμις, ἓν L IIII 663
πρόσωπον, ὅπερ ἐστὶν εἷς υἱὸς κύριος Ἰησοῦς Χριστός. διὰ ταύτην τὴν φιλονεικίαν οἱ
νικηταὶ καὶ εὐσεβεῖς βασιλεῖς ἐκέλευσαν τοὺς ἐξάρχους τῶν ἐπισκόπων εἰς τὴν Ἐφεσίων
πόλιν συναχθῆναι καὶ ἐπὶ πάντων τοὺς λόγους Νεστορίου καὶ Κυρίλλου κριθῆναι. πρὸ
τοῦ δὲ πάντας τοὺς ἐπισκόπους τοὺς κελευσθέντας συναχθῆναι ἐλθεῖν εἰς τὴν Ἔφεσον προλα- 5
βὼν ὁ αὐτὸς Κύριλλος τὰς ⟨ἁπάντων⟩ ἀκοὰς τῶι φαρμάκωι τῶι πηροῦντι τοὺς ὀφθαλ-
μοὺς τῶν σοφῶν προκατέσχεν· εὗρεν δὲ αἰτίαν ἐκ τοῦ μίσους τοῦ πρὸς Νεστόριον. καὶ
πρὸ τοῦ εἰς τὴν σύνοδον παραγενέσθαι τὸν ἁγιώτατον καὶ θεοφιλέστατον ἀρχιεπίσκοπον
Ἰωάννην ἐκ τῆς ἐπισκοπῆς τὸν Νεστόριον καθεῖλον κρίσεως καὶ ζητήσεως μὴ γενομένης.
μετὰ δὲ δύο ἡμέρας τῆς τούτου καθαιρέσεως ἤλθομεν εἰς Ἔφεσον καὶ μαθόντων ἡμῶν 10
ὅτι ἐν τῇι καθαιρέσει Νεστορίου τῇι γενομένηι παρ' αὐτῶν τὰ δώδεκα κεφάλαια τὰ συγ-
γραφέντα παρὰ Κυρίλλου ἐναντία ὄντα τῇι πίστει τῇι ἀληθινῇι ἀνέθηκαν καὶ ἐβεβαίωσαν
καὶ συνέθεντο αὐτοῖς ὡς τῇι ἀληθινῇι πίστει συμφωνοῦσι, πάντες οἱ τῆς Ἀνατολῆς M VII 245
ἐπίσκοποι αὐτὸν Κύριλλον καθεῖλον καὶ κατὰ τῶν ἄλλων ἐπισκόπων τῶν συνθεμένων
τοῖς κεφαλαίοις ἀκοινωνησίαν ὥρισαν. καὶ μετὰ ταύτην τὴν ἀταξίαν ἕκαστος εἰς τὴν 15
πόλιν τὴν ἑαυτοῦ ὑπέστρεψε· Νεστόριος δὲ ἐπειδὴ ἐμισεῖτο παρὰ τῆς πόλεως καὶ τῶν
μεγάλων τῶν ὄντων ἐν αὐτῇι, ἐκεῖ ὑποστρέψαι οὐκ ἠδυνήθη. καὶ ἔμεινεν ἡ σύνοδος
ἡ Ἀνατολικὴ μὴ κοινωνοῦσα τοῖς ἐπισκόποις τοῖς κοινωνήσασι Κυρίλλωι. καὶ διὰ
ταῦτα λύπη πολλὴ μεταξὺ αὐτῶν ἐγένετο καὶ ἐν φιλονεικίαι ἐπίσκοποι πρὸς ἐπισκόπους
ἐγένοντο καὶ λαοὶ πρὸς λαοὺς καὶ τὰ γεγραμμένα ἔργωι ἐπληρώθη ὅτι ἔστωσαν ἐχθροὶ Mt. 10, 36
⟨τοῦ ἀνθρώπου⟩ οἱ οἰκειακοὶ αὐτοῦ. καὶ ἐκ τούτου λοιδορίαι πολλαὶ καθ' ἡμῶν 21
ἐγένοντο Ἑλλήνων τε καὶ αἱρετικῶν. οὐ γὰρ ἐτόλμα τις ἀπὸ πόλεως εἰς πόλιν ἢ ἀπὸ
χώρας εἰς χώραν ἀπέρχεσθαι, ἀλλ' ἕκαστος τὸν πλησίον ὡς ἐχθρὸν ἐδίωκεν. πολλοὶ
δὲ μὴ ἔχοντες φόβον θεοῦ πρὸ ὀφθαλμῶν [ἢ] προφάσει ζήλου τοῦ ὑπὲρ τῶν ἐκκλησιῶν
ἣν εἶχον ἔχθραν κεκρυμμένην ἐν τῇι καρδίαι αὐτῶν, εἰς ἔργον ἀγαγεῖν ἐσπούδασαν. ὧν 25
εἷς ἐξ αὐτῶν τυγχάνει ὁ τῆς ἡμετέρας πόλεως τύραννος, ὃν καὶ αὐτὸς οὐκ ἀγνοεῖς, ὅστις
προφάσει τῆς πίστεως οὐ μόνον τοὺς ζῶντας ἀμύνεται, ἀλλὰ καὶ τοὺς πάλαι πρὸς τὸν
κύριον ἀπεληλυθότας. ὧν εἷς ἐξ αὐτῶν ἐστιν ὁ μακάριος Θεόδωρος ὁ κῆρυξ τῆς ἀλη-
θείας καὶ διδάσκαλος τῆς ἐκκλησίας, ὃς οὐ μόνον ἐν τῇι ζωῇι αὐτοῦ τοὺς αἱρετικοὺς ἐκολάφι-
σεν εἰς τὴν ἀληθινὴν αὐτοῦ πίστιν, ἀλλὰ καὶ μετὰ θάνατον ὅπλον πνευματικὸν ἐν τοῖς 30
συντάγμασιν αὐτοῦ τοῖς τέκνοις τῆς ἐκκλησίας κατέλειψεν, ὡς καὶ ἡ σὴ θεοσέβεια αὐτῶι
συντυχοῦσα ἔγνω καὶ ἀπὸ τῶν συγγραφέντων παρ' αὐτοῦ ἐπείσθη. τοῦτον ἐτόλ-
μησεν ὁ πάντα τολμῶν ἐπ' ἐκκλησίας φανερῶς ἀναθεματίσαι τὸν διὰ ζῆλον θεοῦ οὐ μόνον
τὴν ἰδίαν πόλιν ἐκ τῆς πλάνης εἰς τὴν ἀλήθειαν ἐπιστρέψαντα, ἀλλὰ καὶ τὰς μακρὰν οὔσας
ἐκκλησίας παιδεύσαντα τῇι αὐτοῦ διδασκαλίαι. καὶ περὶ τῶν βίβλων αὐτοῦ πολλὴ 35
ἔρευνα πανταχοῦ ἐγένετο οὐ διὰ τὸ τῇι πίστει τῇι ἀληθινῇι ἀλλοτρίας αὐτὰς εἶναι (ἰδοὺ L IIII 666
γὰρ ζῶντος αὐτοῦ συνεχῶς αὐτὸν ἐπῄνει καὶ εἰς τὰ βιβλία αὐτοῦ ἀνεγίνωσκεν), ἀλλὰ M VII 248

5—7. 9. 11—13. 16. 17. 26—33. p. 34. 13. 21—23. 24. 25 abbreuiando et uariando adfert Iustinianus in epistula PG 86, 1073. 1075

8—9. 16—17 adfert Pelagius papa 11 t. IIII 2 p. 126

M, B [= abo], Φ

1 ἐκ] καὶ Bᵒ 4/5 πρὸς δὲ τοὺς Bᵒ 6 *aures omnium* ΦΣΚ τὰς ἀκοὰς πάντων τῶν ἐπισκόπων τῶν ἐν τῇι κατ' Ἔφεσον συνόδωι συνελθόντων Iust. τὰσ ἀκοὰσ MB πληροῦντι Bᵃᵒ 8 εἴσοδον Bᵇ 9 καθεῖλαν M 13 συμφωνουντα M 14 αὐτὸν [αὐτὸν τὸν Bᵒ] MBK *eundem* Φ καθεῖλαν M θεμένων Bᵒ 15 ὥρμησαν Bᵒ 19 ἐγένετο αὐτῶν Bᵒ ἐπισκόποισ Bᵇ 20 *inimici hominis* ΦΣΚ ἐχθροὶ MB 24 ἢ MB om. ΦΣΚ προφάσεισ Bᵃᵇ 26 μητροπόλεως Σ 27 ζῶντασ BΣ νῦν ζῶντας Φᵃ συζῶντας MΦᵉᵈΚ Iust. 28 κῦ ΦΣΚ Iust. θῦ MB ἐπεληλυθότασ Bᵇ ἐξ αὐτῶν MK om. B 34 τῆς om. Bᵒ νοσούσας K 36 ἐναντίας B ἰδοὺ Σ *uidi* ΦΚ ὁρᾶι MB 37 ἐπαίνει M *laudantem* ΦK αὐτοῦ om. Bᵇ

διὰ τὴν ἔχθραν τὴν κεκρυμμένην ἣν εἶχεν πρὸς αὐτόν, ἐπειδὴ ἤλεγξεν αὐτὸν φανερῶς ἐν τῇ συνόδωι. τούτων δὲ τῶν κακῶν μεταξὺ [αὐτῶν] γινομένων καὶ ἑκάστου ὡς
Ioel 2, 7 ἐβούλετο κατὰ τὸ γεγραμμένον ἀπιόντος ὁ θεὸς ἡμῶν ὁ προσκυνητὸς ὁ πάντοτε τῇ φιλανθρωπίαι αὐτοῦ φροντίζων τῆς ἐκκλησίας διήγειρεν τοῦ πιστοτάτου καὶ νικητοῦ βασιλέως τὴν καρδίαν πέμψαι ἄνδρα μέγαν καὶ γνώριμον ἀπὸ τοῦ ἰδίου παλατίου ἀναγκάζοντα τὸν ἁγιώτατον ἀρχιεπίσκοπον τῆς Ἀνατολῆς τὸν κύριν Ἰωάννην διαλλαγῆναι Κυρίλλωι· ὑπ' αὐτοῦ γὰρ τῆς ἐπισκοπῆς καθήιρητο. καὶ μετὰ τὸ δέξασθαι τὰ γράμματα τοῦ βασιλέως ἀπέστειλεν τὸν ἁγιώτατον καὶ θεοφιλέστατον Παῦλον τὸν ἐπίσκοπον Ἐμίσης γράψας δι' αὐτοῦ τὴν ἀληθινὴν πίστιν καὶ παραγγείλας αὐτῶι ὅτι εἰ ταύτηι τῇι πίστει σύνθηται Κύριλλος καὶ ἀναθεματίσει τοὺς λέγοντας ὅτι ἡ θεότης ἔπαθεν, καὶ τοὺς λέγοντας ὅτι μία φύσις ἐστὶ θεότητος καὶ ἀνθρωπότητος, ἵνα αὐτῶι κοινωνήσηι. ἐβουλήθη δὲ ὁ κύριος ὁ πάντοτε φροντίζων τῆς ἰδίας αὐτοῦ ἐκκλησίας τῆς τῶι ἰδίωι αὐτοῦ αἵματι λυτρωθείσης καὶ τὴν καρδίαν τοῦ Αἰγυπτίου μαλάξαι καὶ ἐκτὸς σκύλσεως τῇι πίστει συνθέσθαι καὶ ταύτην δέξασθαι καὶ πάντας τοὺς ἐκτὸς ταύτης πιστεύοντας ἀναθεματίσαι. καὶ κοινωνησάντων ἀλλήλοις ἡ φιλονεικία ἐκ μέσου ἤρθη καὶ εἰρήνη ἐν τῇι ἐκκλησίαι γέγονεν καὶ οὐκέτι λοιπὸν ἐν αὐτῇι σχίσμα, ἀλλὰ εἰρήνη ὡς τὸ πρότερον ἐστί. τίνα δέ ἐστι τὰ ῥήματα τὰ παρὰ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου Ἰωάννου γραφέντα καὶ ποῖα ἀντίγραφα ἐδέξατο παρὰ Κυρίλλου, αὐτὰς τὰς ἐπιστολὰς ταύτηι τῇι πρὸς τὴν σὴν θεοσέβειαν συζεύξας ἀπέστειλα τῇι σῇι ὁσιότητι, ἵνα ἀναγνοὺς γνῶις καὶ πάντας τοὺς ἀδελφοὺς ἡμῶν τοὺς τὴν εἰρήνην φιλοῦντας εὐαγγελίσηι ὅτι ἡ φιλονεικία λοιπὸν πέπαυται καὶ τὸ μεσότοιχον ἦρθη τῆς ἔχθρας καὶ οἱ ἀτάκτως κατὰ ζώντων καὶ νεκρῶν ἐπελθόντες ἐν αἰσχύνηι εἰσίν, ἀπολογούμενοι ὑπὲρ τῶν ἰδίων πταισμάτων καὶ ἐναντία τῇι πρώτηι αὐτῶν διδαχῆι διδάσκοντες. οὐ γὰρ τολμᾶι τις εἰπεῖν ὅτι μία
M VII 249 ἐστὶ φύσις θεότητος καὶ ἀνθρωπότητος, ἀλλὰ ὁμολογοῦσιν εἰς τὸν ναὸν καὶ εἰς τὸν ἐν αὐτῶι ἐνοικοῦντα ὄντα ἕνα υἱὸν Ἰησοῦν Χριστόν. ταῦτα δὲ ἔγραψα τῇι σῇι θεοσεβείαι ἐκ πολλῆς διαθέσεως ἧς ἔχω πρὸς σέ, πεπεισμένος ὡς ἡ σὴ ἁγιωσύνη νυκτὸς καὶ ἡμέρας ἐν τῇι διδασκαλίαι τοῦ θεοῦ σαυτὸν γυμνάζεις, ἵνα πολλοὺς ὠφελήσηις.

139 Ἴβας ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Κελεύσηι ἡ ὑμετέρα φιλανθρωπία ἀναγνωσθῆναι τὰ γράμματα τῶν κληρικῶν Ἐδέσσης, ἵνα μάθητε ὅτι καὶ τῶν ἐπαχθέντων μοι ἀλλότριός εἰμι καὶ βίαν ἔπαθον.

140 Οἱ μεγαλοπρεπέστατοι ἄρχοντες εἶπον· Ἀναγινωσκέσθω τὰ γραφέντα παρὰ τῶν εὐλαβεστάτων κληρικῶν Ἐδέσσης.

Καὶ ἐπιδοθέντων Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστορίου ἀνέγνω

28—30 adferunt Facundus 5, 2 p. 712 et Vigilius t. IIII 2 p. 151

M, B [= abc], Φ

2 αὐτῶν Φ^{cr}ΣΚ om. MB Φ^{a}Fac. γενομένων MB^{o} 4 τῆς ἐκκλησίασ MB^{ab}K τῶν ἐκκλησιῶν $B^{o}\Phi\Sigma$ 5 τὴν καρδίαν Φ^{ar}ΣΚ τὸν νοῦν MBΦ^{c} ἀπὸ MB Φ^{a}ΣΚ ἐπὶ Φ^{cr}Fac. τοῦ παλατίου τοῦ ἰδίου B^{b} 5/6 τοῦ — ἀρχιεπίσκοπον om. B^{o} 6 τὸν [τὸν καὶ M] ἁγιώτατον MB^{ab} om. B^{o} τὸν θεοσεβέστατον καὶ ἁγιώτατον ΦΚ τὸν ἁγιώτατον καὶ θεοφιλέστατον Σ κύριον M 7 ἐπ' αὐτῶ M ἐπισκοπῆς ΦΣΚ ἐπιστολῆσ MB 9 ἐμέσησ B^{a} 10/11 ἡ θεότης—ὅτι om. B 12 ἠβουλήθη B $\overline{κσ}$ MΦΣΚ θ$\overline{σ}$ B αὐτοῦ om. B 12/13 τῆς τῶι—λυτρωθείσης om. B^{b} αἵματι αὐτοῦ B^{o} 13 μαλάξαι MB^{ab} B^{o}corr., Φ^{a} ΣΚ Iust. *subigeret* Φ^{cr} σπαράξαι B^{o}corr. μαράξαι B^{o} 16 καὶ ὡσ B^{b} 18 τὸ παρὰ B^{b} 19 τῆι πρὸς om. B^{o} 20 πάντασ—φιλοῦντασ MΦ^{a}ΣΚ πάντας τοὺς τὴν εἰρήνην φιλοῦντας Φ^{r} et duo codd. Φ^{c} πᾶσιν B 23 τολμᾶν B^{o} 24 φύσισ ἐστὶ B^{a} 25 οἰκοῦντα B^{o} 27 σαυτὸν γυμνάζεισ MBKFac. ἑαυτὸν [ἑαυτὴν Σ] γυμνάζει ΦΣ 28 κελεύσει MB 29 καὶ τὰ Φ^{r} ὑπαχθέντων B^{o} 31 τὰ γράμματα τὰ γραφέντα B^{b} 32 ἐδέσησ MB^{ao} 33 καὶ om. M

141 Διδασκαλία καὶ παράκλησις τοῖς θεοφιλεστάτοις καὶ ὁσιωτάτοις ἐπισκόποις Φωτίωι καὶ Εὐσταθίωι παρὰ παντὸς τοῦ κλήρου τῆς Ἐδεσσηνῶν μητροπόλεως L IIII 667

Παρὰ πολλῶν καὶ διαφόρων τῶν ἀπὸ τῆς Φοινίκης παραγενομένων πρὸς ἡμᾶς μαθόντες ἦμεν τὰ παρὰ τῶν ἐπαναστάντων τῶι θεοφιλεστάτωι καὶ ὁσιωτάτωι ἐπισκόπωι Ἴβαι φρίξαντες ἐπὶ τῶι ῥηθέντι (ὑπερβαίνει γὰρ καὶ [τὴν] τῶν πάνυ ἀθέων καὶ ἀπίστων καὶ αἱρετικῶν καὶ Ἰουδαίων καὶ Ἑλλήνων [ἀκοὴν] τὰ ῥηθέντα ἡμῖν) ὅτιπερ ἐπὶ πάντων ἡμῶν εἶπεν ὁ αὐτὸς θεοφιλέστατος καὶ ὅσιος ἡμῶν ἐπίσκοπος ὅτι οὐ φθονῶ τῶι Χριστῶι γεγονότι θεῶι, ἐπειδὴ κἀγώ, εἰ βούλομαι, γίνομαι κατ' αὐτόν, καὶ πάντες ἡμεῖς οὓς λέγουσιν ἀκηκοέναι τῶν ῥηθέντων, κατάδηλον ποιοῦμεν τῆι ὑμετέραι θεοφιλίαι ὅτι ὡς ἐπὶ θεοῦ τοῦ φιλανθρώπου οὔτε παρ' αὐτοῦ οὔτε παρ' ἄλλου οὐδενὸς ἀκηκόαμεν τοιοῦτόν ποτε εἰρῆσθαι οὐδὲ εἰσῆλθεν εἰς τὰ ὦτα τὰ ἡμέτερα οὐδὲν τοιοῦτον οὐδέποτε, ἀναθεματίζοντες ἑαυτοὺς καὶ τῆι φρικτῆι γεέννηι ἑαυτοὺς ὑπευθύνους ποιοῦντες, εἴ οἱδαμέν τι τοιοῦτον εἰρῆσθαι παρ' αὐτοῦ ἢ ἕτερόν τι ἐναντιούμενον τῆι ὀρθοδόξωι πίστει. εἰ γὰρ τοιούτου τινὸς ῥηθέντος ἠνεσχόμεθα ἢ κοινωνῆσαι τῶι εἰπόντι ἢ συλλειτουργῆσαι αὐτῶι, τῆι ἐσχάτηι ὑπεύθυνοι ἦμεν τιμωρίαι ὡς κοινωνήσαντες τοιούτωι μύσει. παρακαλοῦμεν δὲ καὶ δεόμεθα τῆς ὑμετέρας σοφίας ὥστε μετὰ τάχους συμπεῖσαι τὸν αὐτὸν θεοφιλέστατον ἡμῶν ἐπίσκοπον καταλαβεῖν τὴν αὐτοῦ ποίμνην κινδυνεύουσαν διασπασθῆναι παρὰ πάντων, μηδενὸς ὄντος τοῦ ταύτης προστῆναι δυναμένου καὶ μάλιστα τῆς σωτηρίου ἑορτῆς τοῦ ἁγίου πάσχα προσελαυνούσης, ἐν ᾗ καὶ διὰ τὰς κατηχήσεις καὶ διὰ τοὺς ἀξιουμένους τοῦ ἁγίου βαπτίσματος χρεία τῆς αὐτοῦ παρουσίας, καὶ ἀξιοῦμεν ταύτην ἡμῶν τὴν διδασκαλίαν ἐνταγῆναι τοῖς πραττομένοις ἐπὶ τῆς ὑμετέρας σοφίας, ὥστε μηδένα ταύτην διαλαθεῖν. M VII 252 d. 27. m. Mart. a. 449

Καὶ αἱ ὑπογραφαί

1 Φεκίδας πρεσβύτερος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις
2 Οὐρσικῖνος πρεσβύτερος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις
3 Εὐλόγιος πρεσβύτερος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις. καὶ ὑπογραφὴ Συριακή
4 Λιβάνιος πρεσβύτερος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις
5 Ῥόδων πρεσβύτερος πεποίημαι τὴν διδασκαλίαν ταύλην ἅμα ἑταίροις. καὶ ὑπογραφὴ Συριακή
6 Λεόντιος πρεσβύτερος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις
7 Μίκκαλος πρεσβύτερος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις
8 Εὐσέβιος πρεσβύτερος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις
9 Βασίλειος πρεσβύτερος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις. καὶ ὑπογραφὴ Συριακή
10 Ἀβράμιος πρεσβύτερος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις

M, B [= abo], Φ
2 ἐδεσηνῶν MB^{a} 3 τῶν om. B^{o} τῆς om. B 3/4 μαθόντεσ γὰρ M καὶ B^{o} 4 παρὰ MΦ περὶ B 4/5 τῶν—Ἴβαι] τὸν ἴβαν B^{o} 5 φρίξαντεσ MΦ καὶ φρίξαντεσ B 5/6 τὴν et ἀκοὴν deleui, om. Φ 6 καὶ^{1} MΦ om. B et uaria lectio in Φ^{c} 6 ὑμῖν B^{o} 7 ὁσιώτατοσ B^{o} 8 *omnes nos quos* Φ πάντασ ἡμᾶσ [ὑμᾶσ B^{b}] ὡσ MB 9 ποιοῦμαι B^{o} θεοφιλεία B^{a} φιλεία B^{b} 10 οὐδενὸσ] τινὸσ B^{o} 11 οὐδὲ] ὦ δὲ B^{o} 12 ἑαυτοὺσ MΦ om. B 13 παρ' αὐτοῦ εἰρῆσθαι B^{o} 15 μίσει B^{o} 18 παρὰ — προστῆναι om. B^{o} 19 διὰ^{2} MΦ om. B 20 ἁγίου om. B^{a} καὶ om. B 21 τοῖς] αὐτοῖσ B^{o} 23 καὶ om. B^{o} 24—26. 28 ἑταίροις Φ ἑτέροισ MB atque ita continuo 26/27 καὶ—Συριακή om. B^{o} 27 ἡ ὑπογραφὴ B^{b} 28—30 om. B^{o} 28 πρεσβύτεροσ MB^{ab} Φ^{c} *archipresbyter* Φ^{a} *primus presbyter* Φ^{r} 29 Ῥόδων—ἑταίροις om. B 32 μίκαλλοσ B^{ab} μιακάλιοσ B^{o} 33 om. B^{o} εὐσέβιοσ MB^{b} Φ βασίλειοσ B^{a} 34/35 καὶ—Συριακή om. B^{o} 36 ἀβραάμιοσ M

L IIII 670 11 Πατρωῖνος πρεσβύτερος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις
12 Ἀρσένιος πρεσβύτερος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις
13 Βάσσος πρεσβύτερος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις. καὶ ὑπογραφὴ Συριακή
14 Στρατήγιος πρεσβύτερος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις. καὶ ὑπογραφὴ Συριακή
15 Σαββάτιος διάκονος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις
16 Νικίας διάκονος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις
17 Μαρτύριος διάκονος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις
18 Εὐλόγιος διάκονος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις
19 Σάβας διάκονος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις
M VII 253 20 Ἰάκωβος διάκονος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις
21 Κῦρος Λεοντίου διάκονος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις
22 Ἀφρήμιος διάκονος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις
23 Πατρίκιος διάκονος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις
24 Ἀκάκιος διάκονος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις
25 Ἰσαάκιος διάκονος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις
26 Σάβας διάκονος λεγόμενος ἰατρὸς πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις. καὶ ὑπογραφὴ Συριακή
27 Εὐσέβιος διάκονος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις
28 Κύριλλος διάκονος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις
29 Ἀβράμιος διάκονος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις
30 Λουκιανὸς διάκονος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις
31 Ἀβραάμιος διάκονος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις
32 Ἀνύσιος διάκονος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις. καὶ ὑπογραφὴ Συριακή
33 Ἄβιβος διάκονος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις. καὶ ὑπογραφὴ Συριακή
34 Ἀνδρέας διάκονος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις
35 Ἄρβιος διάκονος ἀξιωθεὶς ἔγραψα ὑπὲρ τοῦ εὐλαβεστάτου διακόνου Ὑπατίου ὁμολογοῦντος πεποιηκέναι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις
36 Δαδόης διάκονος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις
37 Ἄβιβος διάκονος ἀξιωθεὶς ἔγραψα ὑπὲρ τοῦ εὐλαβεστάτου διακόνου Βαλεντίνου διὰ τὸ μὴ δύνασθαι αὐτόν. καὶ ὑπογραφὴ Συριακή
38 Εὐσέβιος διάκονος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις. καὶ ὑπογραφὴ Συριακή
39 Εὐλόγιος διάκονος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις, ἐνιστάμενος ὑπὲρ αὐτῆς ἄχρι θανάτου
40 Ἀβράμιος διάκονος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις

M, B [= abo], Φ

1 om. Φac 2 Ἀρσένιος — ἑταίροις om. Bbo 3/4 καὶ — Συριακή om. BΦ post 6 habet *Leontius presbyter similiter* Φcr om. Φa 7 σαμβάτιοσ M 11 σάββασ B 13 Κῦρος — ἑταίροις om. Bb κῦριο λεόντιοσ Bo 14 ἐφρήμιοσ Bo 16 om. Bo 17 ἰσαάκησ M 18 σάββασ B διάκονοσ MB et unus codex Φa *episcopus* Φ 19 καὶ—Συριακή om. Bb 20—24 om. Bo 21 *Cyrus* Φ 22 ἀβραάμιοσ M in fine add. καὶ ὑπογραφὴ συριακὴ Bb 23/24 λουκιανὸσ—ἑτέροισ ἀβραάμιοσ—ἑτέροισ bis habet M om. Bb 24 Ἀβραάμιος—ἑταίροις om. Ba 25/26 καὶ—Συριακή om. Bb 27. 28 om. Bo καὶ—Συριακή om. Φ 29 ante 25 coll. Bo 30 ἔγραψε Bb 31 διαλαλιὰν Bo 32 δαδώησ M 33 ἔγραψε Bb βαλεντίου Bo 35. 36 om. Bo Φac καὶ—Συριακή om. Φr 37 ἐπιστολὴν Bo ἑτέροισ ἅμα Bb 39 ἀβραάμιοσ M

41 Ῥωμανὸς διάκονος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις L IIII 671
42 Παῦλος διάκονος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις
43 Παῦλος διάκονος ἀξιωθεὶς ἔγραψα ὑπὲρ Μάρα διακόνου τήνδε πεποιηκότος τὴν διδασκαλίαν ἅμα ἑταίροις
44 Κύριλλος διάκονος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις M VII 256
45 Καισάριος διάκονος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις 6
46 Ἀπένεος διάκονος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις
47 Μαρώνης διάκονος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις
48 Φεκίδας διάκονος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις. καὶ ὑπογραφὴ Συριακή 10
49 Ἰωάννης διάκονος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις
50 Γερόντιος διάκονος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις
51 Ἀγάπιος διάκονος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις
52 Ἀδέλφιος ὑποδιάκονος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις
53 Σάβας ὑποδιάκονος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις 15
54 Βάσσος ὑποδιάκονος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις. καὶ ὑπογραφὴ Συριακή
55 Ῥεστιτοῦτος ὑποδιάκονος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις ἐνιστάμενος ὑπὲρ αὐτῆς ἕως θανάτου
56 Κῦρος ὑποδιάκονος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις 20
57 Ῥεστιτοῦτος ὑποδιάκονος ἀξιωθεὶς ἔγραψα ὑπὲρ Ἀβίβου ὑποδιακόνου πεποιηκότος τήνδε τὴν διδασκαλίαν ἅμα ἑταίροις
58 Θωμᾶς ὑποδιάκονος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις. καὶ ὑπογραφὴ Συριακή
59 Βάσσος ὑποδιάκονος ἀξιωθεὶς ἔγραψα ὑπὲρ Ἀβίβου ἀναγνώστου ὁμολογοῦντος 25 πεποιηκέναι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις
60 Ἀδέλφιος ὑποδιάκονος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις
61 Εὐφράσιος ὑποδιάκονος πεποίημαι τήν διδασκαλίαν ταύτην ἅμα ἑταίροις. καὶ ὑπογραφὴ Συριακή
62 Ῥωμύλος ὑποδιάκονος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις. καὶ 30 ὑπογραφὴ Συριακή
63 Εὐσέβιος ὑποδιάκονος πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις. καὶ ὑπογραφὴ Συριακή
64 Ποιμένιος ὑποδιάκονος πεποίμαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις. καὶ ὑπογραφὴ Συριακή 35
65 Θεόφιλος ἀναγνώστης πεποίημαι τὴν διδασκαλίαν ταύτην ἅμα ἑταίροις. καὶ ὑπογραφὴ Συριακή

142 Θεόφιλος διάκονος εἶπεν· Δέομαι ὑμῶν, ὁ ἐνέγκας ταύτην αὐτήν (οὐκ οἶδα πῶς L IIII 674
λέγεται ὁ διάκονος ὁ ἐνεγκὼν αὐτήν) μετὰ τὸ ἐκβληθῆναι αὐτὸν ἐκεῖθεν εἰ μὴ ὡμολόγησεν
ἐπὶ ὅλων τῶν κληρικῶν ὅτι ἐγὼ ἤλλαξα τὴν λέξιν ἐκείνην, ἵνα ἀρέσω τῶι ἐπισκόπωι, καὶ M VII 257
μετὰ ταῦτα ἐγένετο ἡ ἀναφορὰ ἀπὸ πάσης τῆς πόλεως καὶ κεῖται ἐκείνη ἡ λέξις εἰς τὴν 41

M, B [= abo], Φ
2 om. Bᵒ 3 *suscripsi* Φ *Marea* Φ praeter unum codicem Φᶜ 5 om. Bᵒ *Cyrus* Φ ταύτην om. Bᵇ 6 ταύτην om. M 7 ταύτην om. M 8 om. Bᵒ *Maronius* Φ 9/10 καὶ — Συριακή om. Bᵒ 14 *diaconus* Φ 15 σάββασ B διάκονοσ Bᵇ 16 Βάσσος — ἑταίροις om. Bᵇ 19 ἄχρι Bᵒ 21 ὑπέγραψα BΦ 25 *suscripsi* Φ 27 in fine add. *et subscriptio Syra* Φᵃʳ 28. 29 om. Φᶜ 40 *placeret* Φᵃᶜ 41 ἐκείνη om. BᵒΦ

ἀναφοράν, κελεύσατε ζητηθῆναι εἰ μὴ ὡμολόγησεν ὁ διάκονος ὅτι ἐγὼ ἤλλαξα τὴν λέξιν· ἔπεμψεν αὐτὸν ἀπὸ Βηρυτοῦ.

143 Οἱ μεγαλοπρεπέστατοι ἄρχοντες εἶπον· Τὰ μὲν ἀναγνωσθέντα φανερά· ἵνα δὲ μηδὲν ἐλλείψῃ τοῖς δικαίως κριθῆναι ὀφείλουσιν, ἀναγινωσκέσθω τὰ ἐν Ἐφέσῳ ἐν τελευταίοις περὶ Ἶβα τοῦ εὐλαβεστάτου πραχθέντα. Ῥω ἀνέγνων ἀνέγνωμεν ἀνέγνω

144 Πασκασῖνος καὶ Λουκίνσιος καὶ Ἰουλιανὸς οἱ εὐλαβέστατοι ἐπίσκοποι καὶ Βονιφάτιος πρεσβύτερος τοῦ ἀποστολικοῦ θρόνου διὰ Πασκασίνου εἶπον· Σύνοδος οὐ δύναται ἐμφέρεσθαι ἐν ᾗ τὰ ἀθέμιτα πταίσματα ἐκεῖνα ἀνεγνώσθησαν, καὶ διὰ τοῦτο περιττὰ φαίνεται πρὸς ἀνάγνωσιν τὰ ἐκεῖ πεπραγμένα. εἰ μὲν οὖν καὶ ἀπὸ τοῦ μακαριωτάτου καὶ ἀποστολικοῦ ἐπισκόπου τῆς πόλεως Ῥώμης πάντα τὰ ἐκεῖ πεπραγμένα μάταιά ἐστιν, δῆλόν ἐστιν ὡς καὶ ὁ ἁγιώτατος ἐπίσκοπος τῆς Ἀντιοχέων ἐκκλησίας ἔξω τούτων ἐστίν, ὄντινα μετὰ ταῦτα ὁ μακαριώτατος ἐπίσκοπος ἐν τῇ ἰδίαι κοινωνίαι ὑπεδέξατο. καὶ γὰρ ἀναγκαῖόν ἐστιν ἵνα ἔτι αὐτοῦ τοῦ γαληνοτάτου καὶ Χριστιανικωτάτου βασιλέως ἐπιτύχωμεν, ὥστε ἐκείνην τὴν σύνοδον ἱερῷ ἰδίωι νόμωι μήτε ὀνομάζεσθαι προστάξαι.

145 Ἀνατόλιος ὁ εὐλαβέστατος ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως [νέας] Ῥώμης εἶπεν· Αὐτόθεν τὴν ἀνατροπὴν ἔσχεν τὰ κατὰ Ἔφεσον πρώην πεπραγμένα, ἀφ' οὗ μάλιστα μετὰ ταῦτα καλλίστην καὶ τῶι θεῶι φίλην ἔσχηκεν τὴν διόρθωσιν. τοιγαροῦν καταψηφίζομαι μηδὲν τῶν ἐν ἐκείνηι τῇι λεγομένηι συνόδωι πεπραγμένων κρατεῖν πλὴν τοῦ κατὰ τὴν μεγίστην Ἀντιόχειαν ὁσιωτάτου ἐπισκόπου Μαξίμου, ἐπειδήπερ καὶ ὁ ἁγιώτατος ἐπίσκοπος Ῥώμης Λέων εἰς κοινωνίαν αὐτὸν δεξάμενος ἄρχειν τῆς Ἀντιοχέων ἐκκλησίας ἐδικαίωσεν. ὥιτινι τύπωι ἀκολουθῶν αὐτός τε συνήινεσα καὶ πᾶσα ἡ παροῦσα ἁγία σύνοδος, δεόμεθα δὲ τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου ἡμῶν βασιλέως ὥστε καὶ εὐσεβεῖ νόμωι θεσπίσαι μήτε σύνοδον ἐκείνην τὴν μετὰ τὴν πρώτην γενομένην ἐν Ἐφέσῳ ὀνομάζεσθαι μήτε τι τῶν ἐν αὐτῇι πεπραγμένων κρατεῖν.

146 M VII 260 Ἰουβενάλιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Ὃ παρίσταται περὶ τούτου τῶι εὐσεβεστάτωι ἡμῶν βασιλεῖ, θεσπισάτω τὸ θεοφιλὲς αὐτοῦ κράτος.

147 Θαλάσσιος ὁ εὐλαβέστατος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· Τὰ αὐτὰ κἀγὼ φρονῶ τῶι θεοφιλεστάτωι καὶ ὁσιωτάτωι ἐπισκόπωι Ἰουβεναλίωι.

148 Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀγκύρας Γαλατίας εἶπεν· Σύμφωνα κἀγὼ τῶι ὁσιωτάτωι ἐπισκόπωι Ἰουβεναλίωι περὶ ταύτης τῆς ὑποθέσεως καὶ φρονῶ καὶ λέγω.

149 L IIII 675 Στέφανος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἐφέσου εἶπεν· Κἀγὼ δοκιμάζω τὰ παρὰ κανόνας γενόμενα ἐν τῇ Ἐφεσίων μητροπόλει ἀνατραπῆναι ἐκτὸς τῶν πραχθέντων κατὰ Δόμνου τοῦ τῆς Ἀντιοχέων ἐπισκόπου διὰ τὸ δεχθῆναι τὴν χειροτονίαν τοῦ γενομένου κανονικῶς θεοφιλεστάτου ἐπισκόπου Μαξίμου ἀντ' αὐτοῦ ἐν τῇ Ἀντιοχέων μητροπόλει παρά τε τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Λέοντος καὶ τῆς παρούσης ἁγίας καὶ οἰκουμενικῆς συνόδου.

150 Πέτρος ὁ εὐλαβέστατος ἐπίσκοπος Κορίνθου εἶπεν· Οὔτε ἀφειλόμην αὐτὸν τῆς ἱερωσύνης, ἐπειδὴ μήτε ἐκοινώνησα τῇι συνόδωι τῇι κατ' Ἔφεσον, καὶ ἕπομαι τῇι καταθέσει τῶν ἐπεχόντων τὸν τόπον τῆς ἀποστολικῆς καθέδρας καὶ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Ἀνατολίου.

M, B [= abo], Φ

4 ἐλλείψει B^{bo} 5 ῥωμαῖον B^{o} 9 τὰ om. B^{b} καὶ om. B^{o} 12/13 ὄντινα—ἐστιν om. B 13 ἔτι MΦ ἐπὶ B^{ab} ἐπὶ τοῦ B^{o} 14 προστάξοι B^{ao} προστάξει B^{b} 15 καὶ ἀνατόλιοσ M νέασ $MB\Phi^{c}$ om. Φ^{ar} 16 ἔσχον B μετὰ om. Φ 17 τῶι om. B^{ao} καταφίξομαι M κατασοφίζομαι B 21 τόπωι B^{b} 22 δὲ om. Φ 23 πρώτην $B^{a}\Phi$ πρώην MB^{bo} 24 τι om. B^{o} 26 εὐσεβεῖ B 29 Γαλατίας om. B^{o} συμφωνῶ B^{b} 39 ἔσομαι M 40 ὁσιωτάτου B^{o}

151 Διογένης ὁ εὐλαβέστατος ἐπίσκοπος Κυζίκου εἶπεν· Συναινῶ κἀγὼ τοῖς ὁσιωτάτοις ἀρχιεπισκόποις.

152 Ἰωάννης ὁ εὐλαβέστατος ἐπίσκοπος Σεβαστείας εἶπεν· Ὁμογνωμόνως τῶι θεοφιλεστάτωι καὶ ἁγιωτάτωι ἐπισκόπωι Ἰουβεναλίωι ψηφίζομαι κἀγὼ τῆι αὐθεντίαι τὸ πᾶν ἀποδοὺς τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου βασιλέως.

153 Κωνσταντῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος Βόστρων εἶπεν· Κἀγὼ συντίθεμαι τοῖς παρὰ τῶν πατέρων λαληθεῖσιν.

154 Θεόδωρος ὁ εὐλαβέστατος ἐπίσκοπος Δαμασκοῦ εἶπεν· Κἀγὼ συναινῶ πᾶσι τοῖς παρὰ τῶν πατέρων δικαίως καὶ ὁσίως τυπωθεῖσιν.

155 Κριτωνιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος ⟨Ἀφροδισιάδος εἶπεν· Κἀγὼ συντίθεμαι τοῖς παρὰ τῶν ἁγίων πατέρων τυπωθεῖσι.

156 Ῥωμανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος⟩ Μύρων Λυκίας εἶπεν· Πάντα τὰ παρὰ τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων τυπούμενα περὶ τῆς λεγομένης συνόδου, οὐκ οὔσης δέ, καὶ ἡμεῖς προθύμως δεχόμεθα.

157 Εὐνόμιος ὁ εὐλαβέστατος ἐπίσκοπος Νικομηδείας εἶπεν· Ὅπερ δόξει τῆι ἁγίαι M VII 261
συνόδωι περὶ τῶν πραχθέντων ἐν Ἐφέσωι, τοῦτο κἀμοὶ ἀρέσκει.

158 Κεκρόπιος ὁ εὐλαβέστατος ἐπίσκοπος Σεβαστοπόλεως εἶπεν· Σύνοδον ἐκείνην οὐκ ὀφείλομεν λέγειν.

159 Πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Πάντες τὰ αὐτὰ λέγομεν.

160 Μηκέτι τοίνυν ἀναγνωσθέντων τῶν ἐν Ἐφέσωι πραχθέντων τὸ πρότερον οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· Τὸ παριστάμενον αὐτῆι περὶ Ἴβα τοῦ εὐλαβεστάτου ἡ ἁγία σύνοδος διδαξάτω. Ῥω ἀνέγνων ἀνέγνωμεν ἀνέγνω

161 Πασκασῖνος καὶ Λουκίνσιος οἱ εὐλαβέστατοι ἐπίσκοποι καὶ Βονιφάτιος πρεσβύτερος ἐπέχοντες τὸν τόπον τοῦ ἀποστολικοῦ θρόνου διὰ Πασκασίνου εἶπον· Ἀναγνωσθέντων τῶν χαρτῶν ἔγνωμεν ἀπὸ μὲν ἀποφάσεως τῶν εὐλαβεστάτων ἐπισκόπων Ἴβαν τὸν εὐλαβεστάτον ἀνεύθυνον ἀποδεδεῖχθαι· ἀναγνωσθείσης γὰρ τῆς ἐπιστολῆς αὐτοῦ ἐπέγνωμεν αὐτὸν ὑπάρχειν ὀρθόδοξον. καὶ διὰ τοῦτο δογματίζομεν καὶ τὴν τιμὴν τῆς ἐπισκοπῆς καὶ τὴν ἐκκλησίαν, ἀφ' ἧς ἀδίκως καὶ ἀπὼν ἐξεβλήθη, ἀνανεωθῆναι. περὶ τοῦ ἁγιωτάτου τοίνυν ἐπισκόπου ⟨Νόννου⟩ τοῦ πρὸ βραχέος ἀντ' αὐτοῦ γεγονότος τῆς δοκιμασίας ἐστὶ τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀντιοχέων ἐκκλησίας τί περὶ τούτου χρὴ τυπῶσαι.

162 Ἀνατόλιος ὁ εὐλαβέστατος ἐπίσκοπος Κωνσταντινουπόλεως [νέας] Ῥώμης εἶπεν· L IIII 678
Ἡ τῶν δικασάντων θεοφιλεστάτων ἐπισκόπων πίστις καὶ ἀνάγνωσις πάντων τῶν

---

23 — p. 43, 24 adfert Vigilius Coll. Auell. 83, 238—254. 24—26. 33—p. 40, 2 t. IIII 2 p. 158

25—28 ipsa legatorum uerba uidetur afferre Facundus 5, 1 p. 709 cf. 2 p. 712: *cognouimus ex sententia reuerentissimorum episcoporum Ibam reuerentissimum episcopum innoxium demonstratum. lecta enim eius epistula cognouimus eum esse orthodoxum et ob hoc decernimus et honorem ei episcopatus et ecclesiam de qua iniuste et absens expulsus est, instaurari*

M, B [= abo], Φ

2 ἀρχιεπίσκοποσ Bo 3 ὁ εὐλαβέστατοσ om. Bo 5 ἀποδοὺσ MΦ ἐπιδοὺσ Bab διδοὺσ Bo βασιλέωσ MΦ βασιλέωσ ἡμῶν Bao ἡμῶν βασιλέωσ Bb 6 συναινῶ πᾶσι Ba 7 δικαίωσ καὶ ὁσίωσ τυπωθεῖσιν Ba 8 συντίθεμαι Ba πᾶσι om. Ba 9 δικαίωσ—τυπωθεῖσιν] λαληθεῖσιν Ba 10 κρητωνιανὸσ M 10—12 Ἀφροδισιάδοσ—ἐπίσκοποσ editores Romani et Φ om. MB 11 ἁγίων om. Φac 12 τῆσ λυκίασ Bb 13 εὐλαβεστάτων Bo 17 σεβαστουπόλεωσ Bb 20 τὸ πρότερον πραχθέντων B πραχθέντων Φ 21 αὐτῆι MΦr om. BΦac 22 εὐλαβεστάτου ἐπίσκοπον Bo ῥωμαῖον Bo 21/28 *honore* [*honorem* siue *honorem ei* singuli codd.] *episcopatus* Φ τὴν τιμὴν τοῦ ἐπισκόπου MB 28 *ecclesiae* Φr *ecclesia* Φac *ecclesiam* unus codex *renouandum* Φ ἀναγνωσθῆναι Bo 29 Νόννου Φ om. MB βραχέωσ MBo 31 τετυπῶσθαι Bo 32 ἀρχιεπίσκοποσ Bo νέας om. Φ praeter unum codicem 33 πάντων om. Φac

παρακολουθησάντων ἀνεύθυνον δείκνυσιν Ἴβαν τὸν εὐλαβέστατον τῶν ἐπενεχθέντων αὐτῶι κατηγορημάτων. ὅθεν πᾶσαν ἐπὶ τοῦ παρόντος ἀποδύομαι περὶ αὐτοῦ ὑπόνοιαν, ἐπειδὴ συντίθεται καὶ ὑπογράφει τῶι τε νῦν δοθέντι περὶ τῆς πίστεως ὅρωι παρὰ τῆς ἁγίας συνόδου καὶ τῆι ἐπιστολῆι τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου τῆς Ῥωμαίων Λέοντος, καὶ ἄξιον αὐτὸν κρίνω τῆς ἐπισκοπῆς καὶ ἔχεσθαι τῆς φροντίδος τῆς ἐν ἧι πρότερον ἐτύγχα-
M VII 264 νεν ἐκκλησίας. περὶ δὲ Νόννου τοῦ εὐλαβεστάτου ἐπισκόπου τύπον δώσει ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Ἀντιοχέων Μάξιμος.

163 Μάξιμος ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Ἀντιοχέων πόλεως εἶπεν· Ἀπὸ τῶν ἀρτίως ἀναγνωσθέντων δῆλον κατέστη ὡς ὁ εὐλαβέστατος Ἴβας ἀθῶιός ἐστι πάντων τῶν ἐπενεχθέντων αὐτῶι, καὶ ἐκ τοῦ ἀναγνωσθέντος δὲ ἀντιγράφου τῆς ἐπιστολῆς τοῦ προκομισθέντος παρὰ τοῦ ἀντιδίκου αὐτοῦ ὀρθόδοξος ὤφθη αὐτοῦ ἡ ὑπαγορία. ὅθεν κἀγὼ ψηφίζομαι ἀπολαβεῖν αὐτὸν τήν τε ἀξίαν τῆς ἐπισκοπῆς καὶ τὴν οἰκείαν πόλιν, καθὼς καὶ τοῖς ἁγιωτάτοις ἀρχιεπισκόποις συνέδοξεν τοῖς τε ἐπέχουσι τὸν τόπον τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Λέοντος καὶ τῶι τῆς βασιλευούσης ὁσιωτάτωι ἀρχιεπισκόπωι Ἀνατολίωι, δηλαδὴ τοῦ θεοφιλεστάτου ἐπισκόπου Νόννου τοῦ ἀντ' αὐτοῦ γενομένου μένοντος ἐν τῆι αὐτῆι ἀξίαι τῆς ἐπισκοπῆς ἐπὶ τῶι περὶ αὐτοῦ δοκιμάσαι με μετὰ τῶν τῆς διοικήσεως θεοφιλεστάτων ἐπισκόπων.

164 Ἰουβενάλιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Τοὺς ἐπιστρέφοντας ἡ θεία γραφὴ κελεύει δεχθῆναι, δι' ὃ καὶ τοὺς ἀπὸ αἱρετικῶν δεχόμεθα. ὅθεν συνορῶ τὸν εὐλαβέστατον Ἴβαν φιλανθρωπίας τυχεῖν τῶι καὶ γέροντα εἶναι ἐπὶ τῶι ἔχεσθαι αὐτὸν τοῦ ἐπισκοπικοῦ ἀξιώματος ὀρθόδοξον ὄντα.

165 Θαλάσσιος ὁ εὐλαβέστατος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· Τῶν θεοφιλεστάτων ἐπισκόπων Φωτίου καὶ Εὐσταθίου δοκιμασάντων τὰ κατὰ τὸν εὐλαβέστατον Ἴβαν καὶ μὴ κατακρινάντων αὐτὸν τῆι αὐτῶν ὑπολήψει τιθέμενος κἀγὼ βούλομαι αὐτὸν ἔχεσθαι τῆς ἱερωσύνης κατὰ τὸ δόξαν τοῖς ἁγιωτάτοις προέδροις διὰ τὸ μάλιστα ἐν τοῖς ὑπομνήμασιν ὑποσχέσθαι αὐτὸν ἀναθεματίσαι ἐκεῖνα ἅπερ οἱ κατήγοροι κατ' αὐτοῦ ἐγγράφως κατέθεντο.

166 Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀγκύρας Γαλατίας εἶπεν· Ἡ ἀνάγνωσις τοῦ ὅρου τοῦ ἐκφωνηθέντος ἐν Τύρωι παρὰ τῶν ἁγιωτάτων ἐπισκόπων Φωτίου καὶ Εὐσταθίου ἐδίδαξεν ὡς ὁ εὐλαβέστατος Ἴβας ἐν ἐκείνωι τῶι κριτηρίωι ἀνεθεμάτισε Νεστόριον καὶ τὰ
M VII 265 ἀσεβῆ αὐτοῦ δόγματα καὶ τοῖς ὀρθοῖς συνέθετο δόγμασι. δι' ὃ καὶ οἱ προρρηθέντες εὐλαβέστατοι ἐπίσκοποι τὴν πληροφορίαν ταύτην δεξάμενοι τὸ δεῖν αὐτὸν ἔχειν τὴν ἐπισκοπὴν ἐδοκίμασαν. καὶ ἐπὶ τοῦ παρόντος τοίνυν τὸν αὐτὸν θεοσεβέστατον Ἴβαν ἀναθεματίζοντα Νεστόριον καὶ τὰ ἀσεβῆ αὐτοῦ δόγματα ἔχεσθαι βούλομαι τῆς ἀρχιερωσύνης.

167 Στέφανος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἐφέσου εἶπεν· Τὸν εὐλαβέστατον Ἴβαν
L IIII 679 ἀναθεματίζοντα Νεστόριον καὶ Εὐτυχέα καὶ τὰ ἀσεβῆ αὐτῶν δόγματα κἀγὼ ψηφίζομαι καθὼς καὶ οἱ ἅγιοι πατέρες, εἶναι ἐν τῆι τάξει τῆς ἐπισκοπῆς.

---

162 Fac. 5, 3 p. 713 *sententia . . . Anatolii . . . quam super . . . Ibae causa in octaua sessione protulit*, secuntur p. 39, 33—7. 8—10. 13—16. 23—27 adfert Vigilius t. IIII 2 p. 158. 159. 160

M, B [= abo], Φ

3 τε MBΦ^{a} om. Φ^{cr} τεθέντι B^{o} 6 ἐκκλησία B^{b} Fac. 7 ἐπίσκοπος om. B^{o} 8 ἐπίσκοπος om. B^{o} 9 εὐλαβέστατος ἐπίσκοποσ B ἀπὸ πάντων B^{o} 10 ἐπαχθέντων B^{ab} 13 τε ΦM om. B 14 ὁσιωτάτου M τε [om. B^{bo}] ἁγιωτάτου B 16 τῆι αὐτῆι MBΦ^{r} *propria* Φ^{ac} αὐτοῦ MB *eius ordinatione* Φ 19 κελεύσει B^{ab} δοθῆναι B^{o} 21 τοῦ om. B^{o} 24 συντιθέμενοσ B^{o} 25 τὰ δόξαντα B^{o} 26 ἀναθεματίζειν M 28 Γαλατίας om. Φ 32 ἔχειν αὐτὸν B 34 ἀναθεματίζοντεσ B^{b} 37 ἀναθεματίζοντεσ B^{b} καὶ τὰ αὐτοῦ ἀσεβῆ δόγματα καὶ εὐτυχέα B^{o} 38 ὡσ B^{o}

168 Διογένης ὁ εὐλαβέστατος ἐπίσκοπος Κυζίκου εἶπεν· Τὸν ὅρον τὸν ἐκφωνηθέντα παρὰ τῶν θεοφιλεστάτων ἐπισκόπων Φωτίου καὶ Εὐσταθίου περὶ τοῦ θεοφιλεστάτου Ἴβα κρατεῖν ἐδικαίωσα τῶι μάλιστα καὶ τοὺς κατηγόρους τοὺς ἐγκειμένους συναινέσαι διὰ τῆς οἰκείας ὑπογραφῆς τῶι αὐτῶι ἐκτεθέντι ὅρωι καὶ νῦν ἀναγνωσθέντι ἐπὶ τῆς ἁγίας ταύτης καὶ οἰκουμενικῆς συνόδου.

169 Κωνσταντῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος Βόστρων εἶπεν· Συντίθεμαι κἀγὼ τοῖς καλῶς δόξασι τῆι ἁγίαι συνόδωι περὶ Ἴβα τοῦ θεοφιλεστάτου ἐπισκόπου.

170 Θεόδωρος ὁ εὐλαβέστατος ἐπίσκοπος Δαμασκοῦ εἶπεν· Τοῖς ἀκολούθως καὶ κανονικῶς παρὰ τῶν ἁγίων πατέρων ὁρισθεῖσιν ἐπὶ τοῦ προσώπου τοῦ θεοφιλεστάτου Ἴβα κἀγὼ συντίθεμαι.

171 Μελέτιος ὁ εὐλαβέστατος ἐπίσκοπος Λαρίσσης ἐπέχων τὸν τόπον Δόμνου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀπαμείας Συρίας εἶπεν· Συντίθεμαι κἀγὼ τοῖς ὁρισθεῖσι καλῶς παρὰ τῶν ἁγίων καὶ ὁσίων πατέρων περὶ τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἴβα.

172 Ῥωμανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος Μύρων τῆς Λυκίας εἶπεν· Ὡς ἡ τῶν ἀναγνωσθέντων ἔπεισεν ἡμᾶς πίστις, ἐγκρίνω κἀγὼ τὸν εὐλαβέστατον ἐπίσκοπον Ἴβαν ἔχεσθαι τῆς ἱερωσύνης, καθὼς καὶ οἱ ἁγιώτατοι ἀρχιεπίσκοποι ἐψηφίσαντο, δηλονότι ἀναθεματίζοντα Νεστόριον καὶ Εὐτυχέα καὶ τὰ ἀσεβῆ αὐτῶν φρονήματα.

173. 174 Εὐνόμιος ὁ εὐλαβέστατος ἐπίσκοπος Νικομηδείας καὶ Ἰωάννης ὁ εὐλαβέστατος ἐπίσκοπος Σεβαστείας καὶ Σέλευκος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀμασείας καὶ Κωνσταντῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος Μελιτηνῆς καὶ Πατρίκιος ὁ εὐλαβέστατος ἐπίσκοπος Τυάνων καὶ Πέτρος ὁ εὐλαβέστατος ἐπίσκοπος Γαγγρῶν καὶ Ἀτάρβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Τραπεζοῦντος ἐπέχων καὶ τὸν τόπον τοῦ εὐλαβεστάτου Δωροθέου ἐπισκόπου Νεοκαισαρείας εἶπον· Ὁ ὅρος τῶν εὐλαβεστάτων ἐπισκόπων Φωτίου καὶ Εὐσταθίου ἀνεύθυνον ἔδειξεν τὸν εὐλαβέστατον Ἴβαν, ὁμοίως δὲ καὶ ἡ αὐτοῦ ἄρνησις προθυμοτέρους ἡμᾶς περὶ τὸ δέξασθαι αὐτὸν κατέστησεν· φίλον γὰρ ἀεὶ τῶι δεσπότηι Χριστῶι τὸ φιλάνθρωπον. ὅθεν κατὰ τὴν κρίσιν τῶν ἁγιωτάτων προέδρων καὶ πάσης τῆς ἁγίας συνόδου δίκαιον κρίνομεν αὐτὸν καὶ ἡμεῖς ἀπολαβεῖν τὸν βαθμὸν τῆς ἐπισκοπῆς, ἀναθεματίζοντα αὐτὸν δηλονότι Νεστόριον καὶ Εὐτυχέα καὶ τὰ ἀσεβῆ αὐτῶν δόγματα καὶ συντιθέμενον κατὰ πάντα τῆι ἁγίαι ταύτηι συνόδωι. M VII 268

175 Φραγκίων ὁ εὐλαβέστατος ἐπίσκοπος Φιλιππουπόλεως καὶ Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος Τραιανουπόλεως εἶπον· Τὸν ἐν τῆι κρίσει μὴ παρόντα, ἀλλὰ μήτε

M, B [= abo], Φ

3 *episcopo Iba* Φcr 6 κωνσταντῖνοσ BΦ κωνστάντιοσ M 7 δίξασι M 9 ὡσ ῥιθεῖσι Bb 11 μελίτιοσ M 12 Συρίας om. Φ 13 καὶ ὁσίων Bo 16 ἔχειν τὴν ἱερωσύνην Bb 18 Eunomii interlocutionem post concilium quintum consulto omissam esse in MB demonstraui *Abhndlg. d. Bayer. Akad. d. Wiss. XXXII 2 p.* 11; habet Φ *Iam quidem ex his quae relecta sunt, innoxius approbatus est reuerentissimus* [*uenerabilis* Φac] *Ibas. in quibus etenim dicendo male culpare uisus est beatissimum Cyrillum, in postremis recte confessus illa in quibus* [*in quibus* Φcr *quae* Φa] *culpauerat, refutauit. unde et ego anathematizantem cum Nestorium et Eutychen et impia eorum dogmata et consentientem his quae a sanctissimo archiepiscopo Leone scripta sunt, et huic* [Φcr, cf. conc. quintum, *et hac* siue *et hanc* siue *ad hanc et* Φac] *uniuersali synodo dignum esse episcopatu decerno.* ex Φa adfert Vigilius Coll. Auell. 83, 248. 270. 273. t. IIII 2 p. 160, 17—22, ex aliis uersionibus Facundus 5, 1 p. 710. 6, 1 p. 722. 5 p. 738 [usque ad *refutauit*] et concilium quintum I. V 516 = M VIIII 307; denique cf. Iustinianum PG 86, 1085 λέγεται περιέχειν τὴν αὐτὴν [Eunomii] διαλαλιὰν ὅτι ἐν τοῖς ἀνωτέροις τῆς ἐπιστολῆς ὑβρίσας Ἴβας τὸν ἐν ἁγίοις Κύριλλον ἐν τοῖς τελευταίοις ἑαυτὸν ἐπανωρθώσατο 19 ἐπίσκοποσ² om. Bb ἀμασίασ M 19/20 κωνστάντιοσ M 20 μελιτινῆσ M 22 θεοδώρου ἐπισκόπου Bb ἐπισκόπου θεοδώρου Bo 23 εὐσεβίου Bo 24 εὐλαβέστατον ἐπίσκοπον Bb 27/29 ἀναθεματίζοντα — συνόδῳ MB om. Φ, sunt reliquiae interlocutionis Eunomii 29 ταύτηι om. Bb 31 τραιανουπόλεωσ Bo

προσκληθέντα κατὰ μηδένα τρόπον βλάπτεσθαι ὑπὸ τῆς ἐξενεχθείσης κατ' αὐτοῦ ψήφου δοκιμάζομεν.

176 Νουνέχιος ὁ εὐλαβέστατος ἐπίσκοπος Λαοδικείας Φρυγίας εἶπεν· Συναινῶ τοῖς
L IIII 682 ὁρισθεῖσι παρὰ τῶν ἁγίων πατέρων ἐπὶ Ἴβαι τῶι εὐλαβεστάτωι ἐπισκόπωι.

177 Φλωρέντιος ὁ εὐλαβέστατος ἐπίσκοπος Σάρδεων Λυδίας εἶπεν· Σύμφημι κἀγὼ τὰ ἴσα τοῖς προλεχθεῖσιν ἐπὶ Ἴβαι τῶι εὐλαβεστάτωι ἐπισκόπωι.

178 Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπεν· Τοσούτων ὁσίων πατέρων ἀποδεδωκότων Ἴβαι τῶι εὐλαβεστάτωι τὴν ἐπισκοπὴν κἀγὼ συναινῶ.

179 Πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Πάντες τὰ αὐτὰ λέγομεν· Νεστόριον καὶ Εὐτυχέα ἄρτι ἀναθεματίσηι.

180 Ἴβας ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Καὶ ἤδη ἐγγράφως ἀνεθεμάτισα Νεστόριον καὶ τὸ δόγμα αὐτοῦ καὶ νῦν ἀναθεματίζω αὐτὸν μυριάκις. τὸ γὰρ ἅπαξ μετὰ πληρο-
M VII 269 φορίας γενόμενον κἂν μυριάκις γένηται, οὐ λυπεῖ. καὶ ἀνάθεμα καὶ αὐτῶι [Νεστορίωι] καὶ Εὐτυχεῖ καὶ τῶι λέγοντι μίαν φύσιν. καὶ πάντα δὲ τὸν μὴ φρονοῦντα ὡς φρονεῖ ἡ ἁγία σύνοδος αὕτη, ἀναθεματίζω.

181 Οἱ μεγαλοπρεπέστατοι ἄρχοντες εἶπον· Τὰ δικαιώματα παρὰ τῆς ἁγίας συνόδου περὶ Ἴβα τοῦ εὐλαβεστάτου ἐπισκόπου τὴν ἰδίαν ἰσχὺν ἕξει. Ῥω ἀνέγνων ἀνέγνωμεν ἀνέγνω.

Πρᾶξις ιβ

L IIII 683
M VII 272
1 Ὑπατείας τοῦ δεσπότου ἡμῶν Μαρκιανοῦ τοῦ αἰωνίου αὐγούστου καὶ τοῦ δη-
d. 29. m. Oct. λωθησομένου τῆι πρὸ τεσσάρων Καλανδῶν Νοεμβρίων ἐν Χαλκηδόνι
a. 451 κατὰ κέλευσιν τοῦ θειοτάτου ἡμῶν καὶ εὐσεβεστάτου δεσπότου συνελθόντων ἐν τῆι ἁγιωτάτηι ἐκκλησίαι τῆς ἁγίας μάρτυρος Εὐφημίας

τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου στρατηλάτου ἀπὸ ὑπάτων καὶ πατρικίου Ἀνατολίου

καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἐπάρχου τῶν ἱερῶν πραιτωρίων Παλλαδίου

καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου μαγίστρου τῶν θείων ὀφφικίων Βιγκομάλου

2 συνελθόντων δὲ καὶ

1-3 Πασκασίνου καὶ Λουκινσίου τῶν εὐλαβεστάτων ἐπισκόπων καὶ Βονιφατίου τοῦ εὐλαβεστάτου πρεσβυτέρου ἐπεχόντων τὸν τόπον τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου τῆς πρεσβύτιδος Ῥώμης Λέοντος

4 καὶ Ἀνατολίου τοῦ εὐλαβεστάτου ἀρχιεπισκόπου τῆς μεγαλωνύμου Κωνσταντινουπόλεως νέας Ῥώμης

5 καὶ Μαξίμου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀντιοχείας Συρίας

6 καὶ Κυντίλλου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἡρακλείας Μακεδονίας ἐπέχοντος τὸν τόπον τοῦ ἁγιωτάτου ἐπισκόπου τῆς Θεσσαλονικέων Ἀναστασίου

M, B [= abo], Φ [usque ad 29]

1 παρ' B^o 3 λαοδικίασ MB^b συναινῶ MB *peruidimus* [= συνείδομεν] $Φ^{ac}$ *condefinimus* $Φ^r$ 4 ἐπισκόπωι om. Φ 9/10 *Nestorium modo anathematizet, Eutychen et eius dogma* [*dogmata* $Φ^c$] *modo anathematizet* Φ 10 ἀναθεματίσει B 11 ἐπίσκοπος om. $Φ^{ac}$ 12 τὰ δόγματα $Φ^{ac}$ αὐτοῦ B^o 13/14 καὶ αὐτῶ [αὐτῶ καὶ B^b] νεστορίω MB *ei Nestorio* $Φ^r$ [praetermissum est nomen explicationis causa additum delere] *Nestorio* $Φ^{ac}$ 15 φρονεῖ om. $Φ^r$ 16 ἁγίασ $BΦ^r$ ἁγίασ καὶ ὁσιωτάτησ M *sco et uenerando* $Φ^{ac}$ 17 ῥωμαῖον B^{ao} 19 δωδεκάτη B^{ao} 24—29 *magnificentissimis iudicibus* Φ 26 ὑπάρχου B^o 29 μιγκομάλου M καὶ βιγγομάλου B^b 30—p. 44, 16 om. Φ 30 καὶ om. B^b 32 ὁσιωτάτου καὶ ἁγιωτάτου B^o 36/37 Ἀντιοχείας — ἐπισκόπου om. B^o post 36 omissus est Iuuenalis ep. Hierosolimorum 37 κυντίλου B^a

7 καὶ Θαλασσίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Καισαρείας Καππαδοκίας
8 καὶ Στεφάνου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἐφέσου
9 καὶ Λουκιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Βύζης ἐπέχοντος τὸν τόπον τοῦ θεοφιλεστάτου ἐπισκόπου Ἡρακλείας Θράικης Κυριακοῦ
10 καὶ Εὐσεβίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀγκύρας Γαλατίας
11 καὶ Διογένους τοῦ εὐλαβεστάτου ἐπισκόπου πόλεως Κυζίκου
12 καὶ Πέτρου τοῦ εὐλαβεστάτου ἐπισκόπου πόλεως Κορίνθου
13 καὶ Φλωρεντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σάρδεων
14 καὶ Εὐνομίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Νικομηδείας
15 καὶ Ἀναστασίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Νικαίας
16 καὶ Ἰουλιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Κῶ ἐπέχοντος καὶ αὐτοῦ τὸν τόπον τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβύτιδος Ῥώμης Λέοντος
17 καὶ Ἐλευθερίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Χαλκηδονέων
18 καὶ Βασιλείου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σελευκείας Ἰσαυρίας
19 καὶ Μελιτίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Λαρίσσης ἐπέχοντος τὸν τόπον τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀπαμείας Συρίας Δόμνου
20 καὶ Ἀμφιλοχίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σίδης
21 καὶ Θεοδώρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ταρσοῦ
22 καὶ Κύρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀναζαρβοῦ
23 καὶ Κωνσταντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Βόστρων
24 καὶ Φωτίου τοῦ εὐλαβεστάτου ἐπισκόπου πόλεως Τύρου
25 καὶ Θεοδώρου τοῦ εὐλαβεστάτου ἐπισκόπου πόλεως Δαμασκοῦ
26 καὶ Στεφάνου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἱερᾶς πόλεως
27 καὶ Νόννου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἐδέσσης
28 καὶ Συμεώνου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀμίδης
29 καὶ Ἐπιφανίου τοῦ εὐλαβεστάτου ἐπισκόπου ἐπέχοντος τὸν τόπον τοῦ εὐλαβεστάτου ἐπισκόπου Κωνσταντίας Ὀλυμπίου
30 καὶ Ἰωάννου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σεβαστείας
31 καὶ Σελεύκου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀμασείας
32 καὶ Κωνσταντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Μελιτηνῆς
33 καὶ Πατρικίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Τυάνων
34 καὶ Πέτρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Γαγγρῶν
35 καὶ Εὐσταθίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Βηρυτοῦ
36 καὶ Ἀπραγμονίου τοῦ εὐλαβεστάτου ἐπισκόπου ἐπέχοντος τὸν τόπον τοῦ εὐλαβεστάτου ἐπισκόπου Κλαυδιουπόλεως Καλογήρου
37 καὶ Ἀταρβίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Τραπεζοῦντος ἐπέχοντος τὸν τόπον τοῦ εὐλαβεστάτου ἐπισκόπου Νεοκαισαρείας Δωροθέου
38 καὶ Φωτεινοῦ ἀρχιδιακόνου ἐπέχοντος τὸν τόπον Θεοκτίστου τοῦ εὐλαβεστάτου ἐπισκόπου Πισινοῦντος
39 καὶ Ῥωμανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Μύρων τῆς Λυκίας
40 καὶ Κριτωνιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀφροδισιάδος Καρίας
41 καὶ Νουνεχίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Λαοδικείας Φρυγίας
42 καὶ Μαριανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Συννάδων
43 καὶ Ὀνησιφόρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἰκονίου

M, B [= abo, usque ad 2]
3—p. 44. 16 om. B 14 Ισαυρίασ σελευκείασ M 19 κυρίλλου M 24 ἐδέσησ M
29 ἀμασίασ M 30 μελιτινῆσ M 34 post ἐπισκόπου excidit Τίου 41 κρητωνιανοῦ M

καὶ Περγαμίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀντιοχείας Πισιδίας
καὶ Ἐπιφανίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Πέργης
καὶ Ἀττικοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Νικοπόλεως Ἠπείρου
καὶ Μαρτυρίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Γορτύνης
καὶ Λουκᾶ τοῦ εὐλαβεστάτου ἐπισκόπου Δυρραχίου
καὶ Βιγιλαντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Λαρίσσης Θεσσαλίας
καὶ Φραγκίωνος τοῦ εὐλαβεστάτου ἐπισκόπου Φιλιππουπόλεως
καὶ Σεβαστιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Βερόης
καὶ Βασιλείου τοῦ εὐλαβεστάτου ἐπισκόπου Τραιανουπόλεως
καὶ Τρύφωνος τοῦ εὐλαβεστάτου ἐπισκόπου Χίου ἐπέχοντος τὸν τόπον τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἰωάννου Ῥόδου
καὶ Θεοκτίστου τοῦ εὐλαβεστάτου ἐπισκόπου Βεροίας
καὶ Γεροντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σελευκείας Συρίας
καὶ Εὐσεβίου τοῦ εὐλαβεστάτου πρεσβυτέρου ἐπέχοντος τὸν τόπον [τοῦ] Μακαρίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Λαοδικείας Συρίας
καὶ Εὐσεβίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Δορυλαίου
καὶ τῆς λοιπῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τῆς κατὰ θέσπισμα τοῦ θειοτάτου καὶ εὐσεβεστάτου ἡμῶν δεσπότου ἐν τῇ Χαλκηδονέων πόλει συναθροισθείσης
καὶ καθεσθέντων πάντων πρὸ τῶν καγκέλλων τοῦ ἁγίου θυσιαστηρίου

3 εἰσελθὼν Βασσιανὸς ὁ εὐλαβέστατος ὁ πρώην γενόμενος ἐπίσκοπος τῆς Ἐφεσίων μητροπόλεως συνόντος αὐτῷ καὶ Κασσιανοῦ τοῦ εὐλαβεστάτου πρεσβυτέρου εἶπεν· Βίαν παθὼν προσῆλθον τῷ εὐσεβεστάτῳ ἡμῶν βασιλεῖ καὶ ἐδεήθην αὐτοῦ καὶ κατέπεμψεν θεῖον γράμμα πρὸς τὴν ἁγιωτάτην καὶ οἰκουμενικὴν μεγάλην σύνοδον ὥστε
M VII 273 ἀκουσθῆναί με. καὶ ἐπειδὴ πάντα τὰ κινούμενα ἐν τῇ ἁγίαι συνόδωι ἐκέλευσεν ἡ θεία κορυφὴ παρούσης τῆς ὑμετέρας μεγαλοπρεπείας ἐξετασθῆναι, παρακαλῶ τὴν ὑμετέραν ἐξουσίαν καὶ τὴν ἁγίαν σύνοδον ὥστε τὸ θεῖον γράμμα ἀναγνωσθῆναι καὶ ἀκουσθῆναί με καὶ τὰ δίκαιά μοι φυλαχθῆναι.

4 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Ἀναγινωσκέσθω τὸ θεῖον γράμμα.

Καὶ ἐπιδοθέντος αὐτοῦ Βερονικιανὸς ὁ καθωσιωμένος μαγιστριανὸς καὶ σηκρητάριος τοῦ θείου κονσιστορίου ἀνέγνω

5 Αὐτοκράτορες Καίσαρες Οὐαλεντινιανὸς καὶ Μαρκιανὸς νικηταὶ τροπαιοῦχοι μέγιστοι ἀεὶ σεβαστοὶ τῇ ἁγίαι συνόδωι τῇ κατὰ θεῖον ἡμῶν θέσπισμα ἐν Χαλκηδόνι συναθροισθείσηι. Βασσιανὸς ὁ εὐλαβέστατος πολλὰ ἄτοπα ὑπομεμενηκὼς ἄτινα ταῖς αὐτοῦ δεήσεσι ταῖς τῶιδε τῶι θείωι ἡμῶν γράμματι ὑποτεταγμέναις περιέχεται, ἠξίωσεν παρὰ τῇ ὑμετέραι ἁγιωσύνηι ταῦτα γυμνασθῆναι. θεληςάτω τοίνυν ἡ ὑμετέρα εὐλάβεια δεξαμένη ταῦτα ἡμῶν τὰ θεῖα γράμματα ζητῆσαι τὰ τοῦ πράγματος καὶ τύπον δοῦναι τὸν ὑμῖν παριστάμενον.

6
L IIII 686 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Καὶ αἱ ὑποτεταγμέναι δεήσεις ἀναγινωσκέσθωσαν.

Ὁ αὐτὸς ἀνέγνω

M, B [= abo, inde a 17], Φ [inde a 17]

13 ἰσαυρίας M 14 τοῦ deleni 15 λαοδικίας M 17 λοιπῆς om. Φ 17/18 κατὰ — δεσπότου] *ex diuali decreto* Φ 18 χαλκηδέων M χαλκιδονίων Bᵒ 19 πάντων om. Bᵒ καγκέλων MBᵃ καγγέλων Bᵒ 21 συνόντων Bᵇᵒ *Cassiano* Φ βασσιανοῦ MBᵇ *diuerunt* Φʳ 22 εὐλαβεστάτῳ Bᵇ 23 οἰκουμενικὴν μεγάλην MBᵃᵒ μεγάλην καὶ οἰκουμενικὴν Bᵇ οἰκουμενικην Φ 24 τὰ om. M κινούμενα MΦ γινόμενα B 26/27 καὶ — με om. Φ 28 μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι Bᵒ 32 μέγιστοι — σεβαστοὶ om. B 33 συναθροισθείσησ Bᵇ 38 αἱ om. Bᵇ

Τοῖς γῆς καὶ θαλάσσης καὶ παντὸς ἀνθρώπων ἔθνους καὶ γένους δεσπόταις Φλαουίοις Οὐαλεντινιανῶι καὶ Μαρκιανῶι τοῖς αἰωνίοις αὐγούστοις δέησις καὶ ἱκεσία παρὰ Βασσιανοῦ ταπεινοῦ καὶ ἐλαχίστου ἐπισκόπου. Πᾶσα ἡ σωτηρία τῶν βιαζομένων μετὰ τὸν θεὸν ἡ ὑμετέρα γαληνότης ὑπάρχει, ἐξαιρέτως δὲ τῶν ἱερέων τοῦ Χριστοῦ. δι' ὃ κἀγὼ ἐπὶ τάσδε τὰς ἱκεσίας ἐλήλυθα προκυλινδούμενος τοῖς ὑμετέροις ἴχνεσιν ἐν τούτοις με κατελεηθῆναι. τὰ γὰρ εἰς ἐμὲ τολμηθέντα δακρύων καὶ στεναγμῶν ἀνάμεστα ὑπάρχει καὶ ἀδιήγητα· ἀλλ' ἵνα διὰ συντομίας ἀναδιδάξω τὴν ὑμετέραν εὐσέβειαν, τινὲς τῶν ἐν τῶι τάγματι τῆς ἱερατείας καὶ ἄλλων τινῶν τυγχανόντων δεινὰ καὶ ἀπηγορευμένα τοῖς νόμοις εἰς ἐμέ, ὡς εἴρηται, τετολμήκασι ⟨καὶ⟩ τοιαῦτα οἷα οὔτε ὑπὸ βαρβάρων τετόλμηταί ποτε. περιφρονήσαντες γὰρ τὸν φόβον τοῦ θεοῦ καὶ τὴν τῶν ἀχράντων μυστηρίων δύναμιν, ἥντινα ἐκ τῶν ἐλέωι θεοῦ ταπεινῶν χειρῶν μου ἐδέξαντο, μετὰ τὸ τὴν τῶν ἀχράντων μυστηρίων τελέσαι ἡμᾶς λειτουργίαν παρ' αὐτὰ χειρωσάμενοί με ἁρπάσαντες ἀπὸ τῆς ἁγίας ἐκκλησίας πληγαῖς ἠικίζοντό με ἄγοντες καὶ φέροντες ἐν τῆι ἀγορᾶι· ποτὲ δὲ καὶ ἐγκατάκλειστον ποιοῦντες ξίφει με κατέβαλλον. ἐν τούτοις M VII 276
τοίνυν εἰς αὐτὸ τὸ ζῆν κινδυνεύοντός μου μανιῶντες ἐνθρονίζουσιν ἁρπάσαντες τὸ περιβόλαιον τῆς ἐμῆς ἱερωσύνης ἕνα τινὰ καὶ αὐτὸν ἐξ αὐτῶν τῶν τολμησάντων τὰ εἰς ἐμὲ γεγενημένα ἀτοπήματα εἰς τὸν τόπον τὸν ἐμόν. καὶ λοιπὸν καὶ ὅσαπερ ὑπῆρχέν μοι πράγματα ἔν τε κινητοῖς καὶ ἀκινήτοις, ἀφείλοντο καὶ ὡς ἠβουλήθησαν, εἰς ἑαυτοὺς κατεμερίσαντο, πολλοὺς δὲ καὶ τῶν διαφερόντων μοι ἀνθρώπων θανάτωι [καὶ] πληγαῖς διαφόροις κατέβαλον, ὥστε καὶ τὰ λείψανα πρὸ τῶν θυρῶν τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας τινὲς ἀπέθεντο. ἐπεὶ οὖν ἐν οὐδενί, τοῦ θεοῦ μοι μαρτυροῦντος, καὶ ἀνθρώπων δὲ δυνατῶν καὶ εὐλαβῶν, παραίτιος ἐγενόμην ἐπὶ τούτοις τοῖς εἰρημένοις καὶ τολμηθεῖσι παρ' αὐτῶν εἰς ἐμέ, δέομαι τῆς ὑμετέρας εὐσεβείας καὶ προκυλινδοῦμαι τῶν θείων ὑμῶν καὶ ἀχράντων ἰχνῶν ὅπως θεσπίσαι καταξιώσηι τὸ ὑμῶν οὐράνιον κράτος διὰ θείας ὑμῶν ὑποσημειώσεως καταπεμπομένης πρὸς τὴν ἁγίαν σύνοδον διάγνωσιν συγκροτηθῆναι μεταξὺ ἐμοῦ τε τοῦ ἐλεεινοῦ καὶ αὐτῶν τῶν ταῦτα εἰς ἐμὲ διαπραξαμένων καὶ λεγόντων ἔχειν τι πρὸς ἐμέ. θεσπίσαι δὲ καὶ τοῦτο ἱκετεύω τὴν ὑμετέραν θειότητα ὥστε μὴ ἐξεῖναί τινι ἐπαγαγεῖν μοι μεθοδείαν, ἄχρις ἂν πέρατος ἀξιωθῆι τὰ μεταξὺ ἐμοῦ τε καὶ τῶν ἐμῶν διαδίκων πραττόμενα, ἐπειδὴ ἔθος αὐτοῖς ἐστι ποιεῖν τοῦτο πρὸς τὸ μὴ περιγενέσθαι με αὐτῶν, καὶ τὰ παρ' αὐτῶν ἐπιφερόμενά μοι καὶ παρ' ἐμοῦ λεγόμενα ἐπὶ τῶν ἀρχιερέων ἐν τῆι ἁγίαι συνόδωι ἐπὶ τὰς θείας ὑμῶν ἀκοὰς ἀναγαγεῖν, δοθῆναι δὲ ἡμῖν τὸν ὀφείλοντα τὰ παρ' αὐτῶν ἐπικριθέντα εἰς πέρας ἀγαγεῖν. καὶ τούτου τυχὼν τὰς συνήθεις εὐχὰς τῶι θεῶι ἀναπέμψω ὑπὲρ τοῦ αἰωνίου ὑμῶν κράτους διὰ παντός.

8 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Λεγέτω Βασσιανὸς ὁ εὐλαβέστατος τὰς προ- L IIII 687
σηγορίας τῶν παρ' αὐτοῦ αἰτιαθέντων.

9 Βασσιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Πολλοί μέν εἰσιν, ὁ δὲ ἀρχηγὸς τῶν γεγενημένων αὐτός ἐστιν ὁ ἄρτι ἐπίσκοπος Στέφανος· οὗτος γὰρ καὶ τὸν θρόνον μου

M, B [= abo], Φ

1 τῆσ Bb 1/2 *Flauiis* Φ φλαυούιοσ M φλαυουίω Bab φλαβίω Ba corr., Bo 2 ουαλεντιανῶ Bbo 3 τῶν βιαζομένων MΦ om. B 4 ἡ μετὰ θν ἡ Bo 5 ἐπὶ τάσδε BΦ ἐπιστὰσ τάσδε M δεήσεισ Bb ἡμετέροισ Bb 5/6 ἐν τούτοις om. Φ 6 γὰρ MB *uero* Φ 9 ὡσ εἴρηται MBΦac om. Φr καὶ Φ om. MB 10 καταφρονήσαντεσ M γὰρ om. Φac τῶν φόβων M τοῦ φόβου Bo 11 χειρῶν om. Bo 12 *postquam enim* Φac τὸ om. Bo 13 με²] μοι Bb 14 ἐγκατακλείειν Bo κατέβαλον Bb 17 καὶ ὅσαπερ] ὅσα καὶ Bo 18 ἠκολούθησαν Bb 19 καὶ² om. Φ 23. 24. 25 ἡμῶν Bo 26 ἐμοῦ M αὐτοῦ B διαπραξαμένων εἰς ἐμὲ Bb 28 ἐπάγειν Bo μεθοδίαν MBb ἀξιωθῆναι B 29 ἐμῶν om. Φr διακόνων Ba ἐπειδὴ Bb *quoniam* Φac ἐπειδὴ γὰρ MBao *quoniam uero* Φr 30 με] μετ' M ἐπὶ] ἀπὸ Bb 33 αἰωνίου om. Φ 34 ὁ βασιανὸσ ὁ Bo 35 ἐπίσκοπος om. Φ

κατέχει καὶ τὰ πράγματα. καὶ παρακαλῶ πάντα δοκιμασθῆναι. ἀναγκαιοτέρα ἐστὶν ἡ ἱερωσύνη τῶν κτημάτων. ζητηθῆι ἐάν τί ποτε ἡμάρτηκα· δοκιμάσουσιν οἱ πατέρες ἡμῶν καὶ ὡς θέλουσιν, ὁρίσουσιν.

10 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Ἀποκρινάσθω πρὸς ταῦτα Στέφανος ὁ εὐλαβέστατος ἐπίσκοπος.

11 Στέφανος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Εἰσὶν ἐνταῦθα οἱ ἐπίσκοποι τῆς Ἀσιανῆς διοικήσεως, καὶ ἔλθωσιν καὶ συνιστάμεθα ἑαυτοῖς· ἔστιν ὁ ἐπίσκοπος Μαγνησίας
M VII 277 Λεόντιος, Μαιόνιος ἐπίσκοπος Νύσσης, Προτέριος ἐπίσκοπος Μυρίνης καὶ λοιποὶ οἱ ὄντες ἐνταῦθα.

12 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Τέως ἀπόκριναι αὐτός.

13 Στέφανος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἐφέσου εἶπεν· Οὗτος οὔτε ἐχειροτονήθη ἐν τῆι Ἐφέσωι, ἀλλὰ σχολαζούσης τῆς ἁγίας ἐκκλησίας συναγαγὼν ὄχλον ἄτακτον μετὰ ξιφῶν καὶ ἄλλων τινῶν ἐραναρίων ἐπεισῆλθεν καὶ ἐκαθέσθη ἑαυτῶι. εἰ τοῦτον ἐγκρίνει ἡ ὑμετέρα μεγαλοπρέπεια εἶναι ἐπίσκοπον, ἄλλος λόγος ἐστίν. τούτου ἐξεωθέντος κατὰ κανόνας καὶ ῥιφέντος ἀξίως ἐμὲ τεσσαράκοντα ἐπισκόπων τῆς Ἀσίας ψήφωι καὶ τῶν λαμπροτάτων καὶ τῶν λογάδων καὶ τοῦ εὐλαβεστάτου παντὸς κλήρου καὶ τῆς πόλεως πάσης ἐχειροτόνησαν. σήμερον γὰρ πεντήκοντα ἔτη ἔχω ἐν τῶι κλήρωι Ἐφέσου.

14 Βασσιανὸς ὁ εὐλαβέστατος εἶπεν· Μὴ περίτρεχέ με· ἐγὼ καὶ κανονικῶς ἐγενόμην καὶ δεικνύω τοῦτο. παρά τινος οὐ καθηιρέθην οὔτε κατηγορήθην παρά τινος οὔτε κατεγνώσθην παρά τινος, ἀλλ' ἐγὼ ἐκ νέας ἡλικίας ἔζων τοῖς πτωχοῖς καὶ πτωχεῖον ἐποίησα καὶ ἔθηκα εἰς αὐτὸ ἑβδομήκοντα κραββάτια καὶ πάντας τοὺς νοσοῦντας καὶ τετραυματισμένους ἐξένιζον. Μέμνων δὲ ὁ γενόμενος ἐπίσκοπος Ἐφέσου φθονήσας τούτοις, ἐπειδὴ ἠγαπώμην παρὰ πάντων, πάντα ἐποίησεν ἐπὶ τῶι ἐκβληθῆναί με τῆς πόλεως καὶ ἐπέβαλεν τὰς χεῖρας αὐτοῦ ἐπὶ τῶι χειροτονῆσαί με ἐπίσκοπον Εὐάζων καὶ τοῦτο ἐποίησεν, ἐγὼ δὲ οὐ κατεδεχόμην. ἀλλὰ ἀπὸ ὥρας τρίτης ἕως ἕκτης ἐπὶ τοῦ θυσιαστηρίου πληγαῖς με ἀνήλισκεν καὶ τὸ ἅγιον εὐαγγέλιον ἐγεμίσθη αἱμάτων καὶ τὸ θυσιαστήριον. τούτου δὲ οὕτως γεγονότος ἐγὼ ἔμεινα οὕτως, μήτε εἰς τὴν πόλιν ἀπελθὼν μήτε ὅλως ἐπικοινωνήσας τῆι ἐκκλησίαι ἐκείνηι εἰς ἣν ὠνομάσθην, μήτε ὅλως αὐτὴν τὴν πόλιν εἰδώς· ἔμεινα δὲ οὕτως. καὶ συνέβη τὸν αὐτὸν Μέμνονα τέλει τοῦ βίου χρήσασθαι. μετὰ ταῦτα ἐχειροτονήθη Βασίλειος· οὗτος δὲ μετακαλεσάμενος τὴν σύνοδον τῆς ἐπαρχίας καὶ μαθὼν παρ' αὐτῶν τὴν βίαν ἣν ἔπαθον ὅτι σκευὴ ἦν, ἐχειροτόνησεν ἐν τῆι πόλει ἐκείνηι ἄλλον ἐπίσκοπον, ἐμοὶ δὲ ἀπέδωκεν τὴν κοινωνίαν καὶ τὸν τόπον τῆς ἐπισκοπῆς. συνέβη δὲ τοῦτον πάλιν τέλει τοῦ βίου χρήσασθαι, ἐμὲ δὲ μετὰ πολλῆς ἀνάγκης καὶ βίας ἐνθρονίζουσιν εἰς τὴν αὐτὴν πόλιν Ἔφεσον ὁ λαὸς καὶ ὁ κλῆρος καὶ οἱ ἐπίσκοποι, ὧν ὁ εἷς Ὀλύμπιος ὁ ἐπίσκοπος ἐνταῦθά ἐστιν. γνοὺς δὲ ταῦτα ὁ εὐσεβέστατος ἡμῶν
M VII 280 βασιλεὺς εὐθὺς τοῦτο αὐτὸ ἐβεβαίωσεν καὶ εὐθέως διὰ ὑπομνηστικοῦ ἐδήλωσεν ἐν φανερῶι
L IIII 690 βεβαιῶν τὴν ἐπισκοπήν. μετὰ ταῦτα ἀπέστειλεν σάκραν πάλιν διὰ Εὐσταθίου τοῦ σελεντιαρίου βεβαιοῦσαν τὴν ἐπισκοπήν. ἦλθα δὲ ἐν τῆι βασιλευούσηι Κωνσταν-

---

M, B [= abo], Φ

1 δοκιμασθῆναι πάντα B^b 6 ὁ εὐλαβέστατος om. B^o ἀπεκρίνατο B 7 καὶ¹ om. B^o 8 λέοντος M μυρίνης B^o μυρρίνης B^{ab} σμύρνης MΦ 10 ἀπόκρινε B^b 14 κρίνει B^o ἑαυτῶ M *sibi* Φ ἐν αὐτῆ B cf. Euseb. KG 3 p. 172 15 ἐπισκόπων Φ ἐπίσκοποι MB 16 τοῦ om. M 17 τῆσ πόλεωσ MB^{ao}Φ τῶν λοιπῶν πάντων τῆσ πόλεωσ B^b 19 ὁ εὐλαβέστατοσ ἐπίσκοποσ B^a Φ κανονικὸσ MB 20 παρά — τινος² om. B 21 ἐγὼ MΦ om. B *μιχι* Φ ζῶν MB τοῖσ πολλοῖσ καὶ πτωχοῖσ B^o 22 κραββάττια M 25 τὸ M με om. B^o 27 πληγαῖς om. B ἐγομώθη M 28 εἰς τὴν — μήτε³ om. B^o 28/29 ὅλως — ὅλως om. B 30 ἔμεινε B^o 32 καὶ μαθὼν καὶ B^b συσκευὴ edd. Romani in mg. 35 εἰς τὴν om. M 36 ἡμῶν om. B^o 37 αὐτὸσ B^o 38 πάλιν om. $Φ^{ac}$ ante βεβαιοῦσαν coll. $Φ^r$ 39 σελεριαντίου B^o ἦλθον B

τινουπόλει καὶ λαβόμενος ἡμᾶς ὁ αὐτὸς δεσπότης ἐμέ τε καὶ τὸν γενόμενον τῆς αὐτῆς βασιλευούσης πόλεως ἐπίσκοπον Πρόκλον φίλους ἡμᾶς ἐποίησεν καὶ ἐκοινώνησα μετ' αὐτοῦ καὶ μετὰ πάντων τῶν κατὰ καιρὸν εὑρεθέντων ἐπισκόπων. καὶ συνοδικὰ ποιήσας ὁ αὐτὸς ὁσιώτατος Πρόκλος ἀπέστειλεν καὶ τῇι πόλει καὶ τοῖς ἐπισκόποις καὶ τοῖς κληρικοῖς. ἔμεινα δὲ οὕτως ἐγὼ τετραετῆ χρόνον, ὡς καὶ δέκα ἐπισκόπους με χειροτονῆσαι καὶ πολλοὺς κληρικούς. καὶ ἐν εἰρήνηι ἡμῶν διαγόντων, ἅπερ καὶ δι' ἀναφορῶν ἐγνώρισαν οἱ αὐτοὶ ὁσιώτατοι ἐπίσκοποι καὶ ὁ εὐλαβέστατος κλῆρος τῶι εὐσεβεστάτωι ἡμῶν βασιλεῖ καὶ τῇι αἰωνίαι αὐγούσται, εὐμενῶς δεξαμένη ἡ αὐτῶν εὐσέβεια εὐθὺς ἀντέγραψεν ἐμοί τε καὶ αὐτοῖς τοῖς ὁσιωτάτοις ἐπισκόποις καὶ τοῖς κληρικοῖς καὶ ἀπέστειλαν διὰ σελεντιαρίου. ἀναγνωσθεισῶν δὲ τῶν θείων συλλαβῶν πάντες ἐδοξάσαμεν τὸν θεὸν ὅτι οὕτως φροντίζει ἡ αὐτῶν εὐσέβεια περὶ τῆς εἰρήνης τῶν ἐκκλησιῶν. τῇι δὲ αὔριον ἡμέραι λειτουργήσαντες πάντες ὁμοῦ ἀπὸ τῆς λειτουργίας αὐτόχειρες γενόμενοι κατάκλειστόν με ἐποίησαν καὶ μετὰ βίας ἥρπασάν μου τὸ περιβόλαιον τῆς ἱερωσύνης καὶ πάντα τὰ ὑπάρχοντά μου καὶ λαβόντες ἕνα ἐξ αὐτῶν τοῦτον τὸν Στέφανον ἐποίησαν αὐτὸν ἐπίσκοπον.

15 Στέφανος ὁ εὐλαβέστατος εἶπεν· Κελεύσει ἡ ὑμετέρα ἐξουσία· ἐνταῦθά εἰσιν οἱ ἐπίσκοποι· ἔλθωσιν ἐπὶ τῶι φανῆναι τὴν ἀλήθειαν ἐπὶ τῆς μεγαλοπρεπείας τῆς ὑμετέρας.

16 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Ἐπὶ τίνι καλεῖς τοὺς εὐλαβεστάτους ἐπισκόπους;

17 Στέφανος ὁ εὐλαβέστατος εἶπεν· Ἐπὶ τῶι καταθέσθαι αὐτοὺς τὰ γεγονότα πάντα. ἐπειδὴ αὐτὸς ἐπεισῆλθεν τῇι ἁγιωτάτηι ἐκκλησίαι μετὰ ξιφῶν καὶ ἐραναρίων καὶ ἄλλων τινῶν καὶ ἐκαθέσθη εἰς τὸν θρόνον, ἐξεώθη παρὰ τοῦτο παρὰ τῶν ἁγίων πατέρων παρά τε τοῦ ὁσιωτάτου τῆς βασιλευούσης Ῥώμης Λέοντος καὶ τοῦ μακαριωτάτου Φλαβιανοῦ τοῦ ἐν ὁσίοις τῆς βασιλευούσης Κωνσταντινουπόλεως καὶ παρὰ τοῦ ἐν Ἀλεξανδρείαι καὶ παρὰ τοῦ ἐν Ἀντιοχείαι. παρὰ τούτων ἐξεωθεὶς κρίσει ἐκκλησιαστικῆι, κατέστη ἡ ἐμὴ βραχύτης. ἔμαθον πάντες, συνήινεσαν καὶ ὁ ἐν ἁγίοις βασιλεὺς Θεοδόσιος καὶ ἡ σύνοδος πᾶσα. ἐπὶ τούτοις ἔπεμψεν ὁ ἐν ἁγίοις βασιλεὺς Θεοδόσιος Εὐστάθιον τὸν πριμικήριον τῶν σιλεντιαρίων διαγνῶναι μεταξὺ αὐτοῦ καὶ τοῦ κλήρου M VII 281
καὶ τῶν πτωχῶν τῶν ἠδικημένων παρ' αὐτοῦ. ἦλθεν ἐν τῇι Ἐφεσίων ὁ μακάριος Εὐστάθιος, τρεῖς μῆνας ἐποίησεν διαγινώσκων, διέγνω φανερὰ [ὥρισε φανερὰ κατέστησεν] καὶ τὸν ὅρον ὅνπερ ὥρισεν ὁ μακάριος Εὐστάθιος, κατεδέξατο καὶ ὁμολογίας ἐξέθετο καὶ τῶι κλήρωι καὶ τοῖς πτωχοῖς καὶ τῇι ἐκκλησίαι φανερὰ ταῦτά ἐστιν. εἰσὶν ἐνταῦθα οἱ ἐπίσκοποι· εἰσέλθωσιν ⟨ἐνταῦθα καὶ ὁμολογήσωσιν⟩ ἐὰν ἄλλως ἐρῶ. κελεύσει ἡ μεγαλοπρέπεια ὑμῶν ἐλθεῖν αὐτούς. μὴ σὺν αὐτοῖς ἐχειροτονήθη [ἐκεῖ]; ἐπεισῆλθεν ἐκεῖ ** σήμερον ἀπὸ τεσσάρων ἐτῶν καὶ ὁ Ῥώμης αὐτὸν καθεῖλεν καὶ ὁ Ἀλεξανδρείας αὐτὸν καθεῖλεν. ἴδηι τὴν ἐπιστολὴν τὴν γραφεῖσαν παρὰ τοῦ μακαριωτάτου πάπα Λέοντος τὸ ὑμέτερον μέγεθος.

M, B [= abo], Φ

3 αὐτῶν B^b 4 εὐσεβέστατοσ B^o 8 αὐγούστη B^b δὲ δεξαμένη M 9 ἀντέγραψεν BΦ ἀντέγραψαν M 10 σελεντερίου B^b 12 ἐπαύριον B^o 13 ἁρπάσαντέσ B^b 14 μοι B 15 τὸν om. M 16. 19 ὁ εὐλαβέστατοσ ἐπίσκοποσ B^o 17 τῆσ ὑμετέρασ μεγαλοπρεπείασ B^o 19 καθέσθαι B^b 20 εἰσῆλθε B^o ἄλλων Φ δάδων MB 21 εἰσ MB^a ἐπὶ B^b ἐξεώθη M ἐξώσθη B παρὰ B κατὰ M 22 τε om. M 23 ἐν om. B^b καὶ παρὰ² B^o 24 ἐξεωθεὶσ M ἐξώσθη B ἐκκλησιαστικῆ MΦ βασιλικῆ B 25 κατέστη MΦ κατέστη δὲ B 26 καὶ ἡ — θεοδόσιοσ om. B^o 27 σελεντιαρίων B 29 διαγινώσκων MΦ διαγινώσκων ἃ B *quaedam* [*et quaedam* $Φ^{ac}$] Φ φανερὰ [φανερὰ ὥρισε φανερὰ M] κατέστησεν MB 31 τοῖσ πτωχοῖσ καὶ MΦ om. B 32 ἐνταῦθα καὶ ὁμολογήσωσιν addidi *hic et fateantur* Φ om. MB 33 ὑμῶν μεγαλοπρέπεια B^o ἐκεῖ om. Φ Lacunam signaui 34/35 καὶ — καθεῖλεν om. B^o 35 ἴδη καὶ B^o 36 καὶ τὸ B^o

18 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Ὁμολογεῖς Βασσιανὸν τὸν εὐλαβέστατον τέσ-
L IIII 691 σαρα ἔτη κατεσχηκέναι τὴν ἁγιωτάτην τῆς Ἐφεσίων πόλεως ἐκκλησίαν ὡς ἐπίσκοπον;

19 Στέφανος ὁ εὐλαβέστατος εἶπεν· Τυραννήσας, οὐχ ὡς ἐπίσκοπος. πῶς γὰρ εἶχεν κρατῆσαι ὁ μὴ χειροτονηθείς, ἀλλὰ μετὰ ξιφῶν εἰσελθὼν καὶ καθεσθεὶς ἑαυτῷ; κελεύσει ἡ μεγαλοπρέπεια ὑμῶν ἐλθεῖν τοὺς ἐπισκόπους.

20 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Δεικνύτω Βασσιανὸς ὁ εὐλαβέστατος εἴ γε ἀπὸ συνόδου εὐλαβεστάτων ἐπισκόπων καὶ κατὰ τὸν εἰωθότα θεσμὸν εἰς χειροτονίαν ἐπίσκοπος κατέστη τῆς Ἐφεσίων μητροπόλεως. Ῥω ἀνέγνων ἀνέγνωμεν ἀνέγνω.

21 Βασσιανὸς ὁ εὐλαβέστατος εἶπεν· Εὐάζων ποτὲ ἐγὼ οὔτε ἐγενόμην οὔτε ἀπῆλθον, ἀλλὰ βιασθεὶς ὠνομάσθην ἐπίσκοπος. οἱ κανόνες φανερὰ ἔχουσιν. εἶπωσιν οἱ πατέρες ἐὰν πρόκριμά ἐστι τὸ χειροτονηθῆναι καὶ μὴ ἀπελθεῖν. αὐτοὶ εἴπωσιν· οἶδαν τοὺς κανόνας. παρακαλῶ, ἀκούσατέ μου· τέως φανερωθῆι ἡ τόλμα ὅτι ηὐθέντησαν καὶ λαβόντες ἐνέκλεισάν με, καὶ τότε περὶ τῆς ἱερωσύνης ζητοῦμεν. ἡ βία ζητηθῆι.

22 Στέφανος ὁ εὐλαβέστατος εἶπεν· Ἀξιῶ τοὺς κανόνας ἀναγνωσθῆναι τοὺς λέγοντας ὥστε ἐν ἑτέραι πόλει τὸν χειροτονηθέντα μὴ δύνασθαι ἐν ἑτέραι καθίστασθαι.

23 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Ἀναγινωσκέσθωσαν οἱ κανόνες.

Λεόντιος ὁ εὐλαβέστατος ἐπίσκοπος Μαγνησίας ἀνέγνω

24 Κανὼν κε. Εἴ τις ἐπίσκοπος σχολάζων ἐπὶ σχολάζουσαν ἐκκλησίαν ἑαυτὸν
can. Ant. 16 ἐπιρρίψας ὑφαρπάζοι τὸν θρόνον δίχα συνόδου τελείας, τοῦτον ἀπόβλητον εἶναι, κἂν εἰ πᾶς ὁ λαὸς ὃν ὑφήρπασεν, ἕλοιτο αὐτόν. τελείαν δὲ εἶναι σύνοδον ἐκείνην ἧι συμπάρεστι καὶ ὁ τῆς μητροπόλεως.

Ὁ αὐτὸς εὐλαβέστατος Λεόντιος ἐπίσκοπος ἀπὸ τοῦ αὐτοῦ βιβλίου ἀνέγνω

25 Κανὼν κϛ̄. Εἴ τις ἐπίσκοπος χειροτονίαν λάβοι ἐπισκόπου καὶ ὁρισθεὶς
can. Ant. 17 M VII 284 προεστάναι λαοῦ μὴ καταδέξοιτο τὴν χειροτονίαν μηδὲ πείθοιτο ἁπιέναι εἰς τὴν ἐγχειρισθεῖσαν αὐτῷ ἐκκλησίαν, τοῦτον εἶναι ἀκοινώνητον, ἕως ἂν ἀναγκασθεὶς καταδέξηται ἢ ὁρίσηι τι περὶ αὐτοῦ ἡ τελεία σύνοδος τῶν κατὰ τὴν ἐπαρχίαν ἐπισκόπων.

26 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Δειξάτω Βασσιανὸς ὁ εὐλαβέστατος τίς αὐτὸν κατέστησεν ἐπίσκοπον.

27 Βασσιανὸς ὁ εὐλαβέστατος εἶπεν· Εἷς ἐκ τῶν ἐνθρονισάντων με οὗτός ἐστιν Ὀλυμπιος. οὐκ οἶδα ἄλλους· τοῦτον μνημονεύω.

28 Λουκιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος Βύζης εἶπεν· Ὁ ἔχων τὸ κῦρος ἐδέξατο αὐτὸν ὁ μακαρίτης Πρόκλος καὶ ἐδέξατο αὐτὸν καὶ ὁ μακάριος Θεοδόσιος ὁ εὐσεβέστατος βασιλεὺς καὶ καλέσας αὐτοὺς φίλους αὐτοὺς ἐποίησεν. ἀλλ' ὅμως διὰ τί ἐξεβλήθη;

29 Στέφανος ὁ εὐλαβέστατος εἶπεν· Ὁ μακάριος ἐν ἁγίοις Φλαβιανὸς ἐξεώσατο αὐτόν.

30 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Ἐπειδὴ μνήμη γεγένηται Ὀλυμπίου τοῦ εὐλα-

---

M, B [= abo], Φ

1/2 τέσσαρα B^{o}Φ τεσσαράκοντα MB^{ab} 2 ἐπίσκοποσ M 4 κρατήσασ B^{o} ὁ om. B^{o} 7 τὸν] τὰ B^{o} 8 ῥωμαῖον B^{o} 12 οἶδασι B 13/14 *uiolentia primo quaeratur* Φ 19 ἐνενηκοστὸσ πέμπτοσ $B^{a\,o}$ 21 ὑφ' ἁρπάζει B^{o} ὑφήρπαζεν M 23 ἐπίσκοπος om. B^{o} ἀνέγνω ἀπὸ τοῦ αὐτοῦ βιβλίου B^{b} 24 ἐνενηκοστὸσ ἕκτοσ $B^{a\,o}$ χειροθεσίαν coll. XIIII titulorum *metropolitanus episcopus* $\Phi^{c\,r}$ 25 καταδέξηται M λειτουργίαν coll. XIIII tit. *ministerium* uersiones Latinae 26 ἂν om. B^{o} 27 ὁρίσει B^{b} 32 ἐπίσκοπος Βύζης om. B^{o} 33 καὶ om. B καὶ om. B^{b} Φ μακαρίτης B^{b}

βεστάτου ἐπισκόπου ὡς ἐνθρονίσαντος Βασσιανὸν τὸν εὐλαβέστατον, ὁ προλεχθεὶς εὐλαβέστατος Ὀλύμπιος εἰ ταῦτα οὕτως ἔχει, διδασκέτω.

31 Ὀλύμπιος ὁ εὐλαβέστατος ἐπίσκοπος Θεοδοσιουπόλεως εἶπεν· Μετὰ τὸν θάνατον τοῦ κατὰ καιρὸν ἐπισκόπου γενομένου [Βασιλείου] ἐν τῇ πόλει ἐν ᾗ κεχειροτόνημαι ἐπίσκοπος Θεοδοσιουπόλεως, ἐν αὐτῇ διῆγον· δηλοῦσί μοι οἱ κληρικοὶ αὐτῆς τῆς πόλεως Ἐφέσου λέγοντες· παραγενοῦ ἐνταῦθα, ἵνα κανονικῶς χειροτονίαν δέξηται ἡ πόλις, ἐπειδὴ ἐκοιμήθη ὁ τῆς ὁσίας μνήμης Βασίλειος ὁ γενόμενος ἐπίσκοπος. ἐγὼ δεξάμενος L IIII 694 τὰ τοιαῦτα γράμματα παρεγενόμην ὑπολαβὼν ὅτι καὶ ἄλλοι εὐλαβέστατοι ἐπίσκοποι ἐκλήθησαν. πρὸ τριῶν δὲ ἡμερῶν τοῦ μέλλειν εἰσιέναι εἰς τὴν ἐκκλησίαν καὶ τοῦτον ἐνθρονίζεσθαι καταχθεὶς ἔν τινι ὁσπιτίωι περιέμενον καὶ τοὺς ἑτέρους εὐλαβεστάτους ἐπισκόπους, ὥστε γενέσθαι κανονικὴν τὴν χειροτονίαν κατὰ τὸ ἔθος. ὡς δὲ καὶ μίαν καὶ δευτέραν καὶ τρίτην ἡμέραν ἔμεινα ἐν τῶι ὁσπιτίωι καὶ ἄλλος οὐχ ηὑρέθη θεοφιλέστατος ἐπίσκοπος, τελευταῖον ἐλθόντες τινὲς τῶν εὐλαβεστάτων κληρικῶν λέγουσί μοι· ἄλλοι ἐπίσκοποι οὔκ εἰσιν ἐνταῦθα, τί δέοι γενέσθαι; εἶπον ἐγώ· εἰ μὴ πάρεισιν καὶ ἕτεροι θεοφιλέστατοι ἐπίσκοποι, μόνος ἐγὼ τί δύναμαι ποιῆσαι; ἐπειδὴ ἔξω τῆς ἀκριβείας τῶν κανόνων ἐστὶ μόνον ἐπίσκοπον διοικεῖν ἐκκλησίαν καὶ μάλιστα τοιαύτης περιφανοῦς μητροπόλεως. ὡς δὲ ταῦτα ἐλάλουν μετ' ἐμοῦ, περιεκύκλωσαν τὸ οἴκημα ἔνθα ἤμην, M VII 285 πλῆθος ἄπειρον, καὶ (οἶδα ποῦ στήκω καὶ ἐπὶ τοσαύτης ἐξουσίας καὶ ἐπὶ τοῦ θυσιαστηρίου) τίς ποτε γυμνώσας παραμήριον Ὀλοσίρικος, τοῦτο ὄνομα αὐτῶι, κομιτιανὸς τάχα ὢν ἦλθεν καὶ αὐτὸς καὶ τὸ πλῆθος ἅπαν καὶ βαστάσαντές με ἀπήγαγον εἰς τὴν ἐκκλησίαν. καὶ οὕτως μετὰ διακοσίων ἢ τριακοσίων ἀνθρώπων καὶ ἐμὲ καὶ αὐτὸν ἀνήγαγον εἰς τὸν θρόνον καὶ ἐγένετο ὁ ἐνθρονισμός. μέχρι τούτου τὸ ὅπως γέγονεν, οἶδα.

32 Βασσιανὸς ὁ εὐλαβέστατος εἶπεν· Ἐψεύσατο.

33 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Εἰ Πρόκλος ὁ τῆς ὁσίας μνήμης ὁ γεγονὼς ἀρχιεπίσκοπος τῆς βασιλίδος Κωνσταντινουπόλεως ἐδέξατο [αὐτὸν] Βασσιανὸν τὸν εὐλαβέστατον ἐπίσκοπον καὶ ἐκοινώνησεν αὐτῶι ὡς ἐπισκόπωι τῆς Ἐφεσίων μητροπόλεως, ὁ εὐλαβέστατος κλῆρος τῆς ἁγίας κατὰ Κωνσταντινούπολιν ἐκκλησίας διδασκέτωσαν. Ῥω ἀνέγνων ἀνέγνωμεν ἀνέγνω.

34 Θεόφιλος ὁ εὐλαβέστατος πρεσβύτερος τῆς κατὰ Κωνσταντινούπολιν ἁγιωτάτης ἐκκλησίας εἶπεν· Ὡς ἐπὶ θεοῦ, καὶ ἐδέξατο αὐτὸν ὁ ἐν ἁγίοις Πρόκλος κοινωνικὸν καὶ συνοδικοῖς γράμμασιν τιμήσας αὐτὸν ἀπέλυσεν ἐπὶ τὴν Ἔφεσον καὶ ἐν τοῖς διπτύχοις ἔταξεν αὐτοῦ τὸ ὄνομα καὶ ἐλέγετο ἕως πρὸ ὀλίγου καιροῦ.

35 Πάντες οἱ εὐλαβέστατοι κληρικοὶ τῆς Κωνσταντινουπολιτῶν ἁγιωτάτης μεγάλης ἐκκλησίας εἶπον· Καὶ ἡμεῖς τὰ αὐτὰ λέγομεν· ἐδέξατο γὰρ αὐτὸν καὶ ἐκοινώνησεν αὐτῶι ὁ μακάριος Πρόκλος καὶ ἐποίησεν συνοδικὰ γράμματα καὶ εἰς τὰ δίπτυχα αὐτὸν ἔταξεν.

36 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Νῦν Στέφανος ὁ εὐλαβέστατος ἐπίσκοπος λεγέτω ὅπως ἐπίσταται Βασσιανὸν τὸν εὐλαβέστατον ἀποκινηθέντα τῆς ἐπισκοπῆς καὶ εἰ αὐτὸς παρὰ τῆς συνόδου ἐχειροτονήθη.

M, B [= abo], Φ

1 ἐνθρονήσαντος M ἐνθρονιάσαντος B^a 1/2 ὁ προλεχθεὶς εὐλαβέστατος om. Φ 2 ἐπίσκοποσ ὁ ὀλύμπιοσ B^o om. $Φ^{ac}$ 4 γενομένου MΦ om. B Βασιλείου om. Φ 5 ἐπίσκοπον B^b 7 δὲ δεξάμενοσ B^o 8 τὰ γράμματα ταῦτα B^b εὐσεβέστατοι B^b 9 *ut is inthronizaretur* Φ τοῦτον [τούτων B^b] καὶ MB 10. 12 ὁσπητίω B^{ao} ἑτέρους om. Φ 12 εὑρέθη B 13/14 τελευταῖον — γενέσθαι om. Φ 14/15 ἐγὼ — ἐπίσκοποι om. Φ εἰ — ἐγὼ om. B 16 περιφανοῦς om. Φ 18 οὐκ οἶδα B^o corr. καί^1 om. Φ 19 κομητιανὸσ B 20 ἀπήγαγον MB *profecti sunt* Φ 22 ἤγαγον B^o ἐνθρονιασμὸσ B^o 26 τῆσ βασιλίδοσ MΦ om. B αὐτὸ αὐτὸν M αὐτὸν B^{ab} om. B^o Φ 28 κατὰ κωνσταντινούπολιν M κωνσταντινουπόλεωσ B 29 ῥωμαῖον B^o 30/31 ἁγιωτάτην ἐκκλησίαν B^b 31 καὶ^1 om. B^o 34 μεγάλης om. $B^bΦ$ 38 ἀποκηρυχθέντα B^o

37 Στέφανος ὁ εὐλαβέστατος εἶπεν· Ἀνηνέχθη παρὰ τοῦ ἐπισκόπου τῆς Ἀλεξανδρέων πόλεως τοῦ ἐν ἁγίοις Θεοδοσίου τοῦ βασιλέως γράψαντος ἐκεῖ· ἠνέχθη δὲ γράμματα καὶ παρὰ τοῦ μακαριωτάτου πάπα τοῦ ἐν Ῥώμῃ ἁγιωτάτου ἐπισκόπου ὥστε τοῦτον μὴ δεῖν εἶναι ἐπίσκοπον, καὶ φανερά ἐστι τὰ γράμματα. κελεύσατε ἐλθεῖν τοὺς νοταρίους ἐπὶ τῶι φανερωθῆναι ποίωι τρόπωι ἀπεκινήθη καὶ ποίωι τρόπωι ἐξεβλήθη καὶ ποίωι τρόπωι ἐγὼ κατέστην. ἡμεῖς διὰ τὴν πίστιν ἤλθομεν· μὴ οὖν ἤιδειν
L III 695 ὅτι τοῦτο εἶχεν ἀνακύψαι; ἅπαξ πέρας ἔλαβεν τὸ πρᾶγμα. ἦλθεν ὁ σιλεντιάριος ἐκεῖ, τρεῖς μῆνας ἐποίησεν διαγινώσκων μεταξὺ αὐτοῦ καὶ τῶν κληρικῶν· φανερά ἐστι τὰ ὁρισθέντα.

38 Βασσιανὸς ὁ εὐλαβέστατος εἶπεν· Στέφανος πρεσβύτερός μου ἦν, ὃ ἔτη μετ' ἐμοῦ ἐλειτούργει, μετ' ἐμοῦ ἐκοινώνει καὶ ἐκοινώνει παρ' ἐμοῦ ὡς παρὰ ἐπισκόπου καὶ αὐτῆι
M VII 288 τῆι ἡμέραι ἦι ἐνέκλεισάν με ** καὶ ταῦτα ἔπαθα. μὰ τὰς δυνάμεις τοῦ θεοῦ, νηρὸν ἐζήτησα καὶ οὐκ ἔδωκάν μοι. ἐπὶ τρίμηνον εἶχόν με ἐγκατάκλειστον, οἱ δὲ παρ' ἐμοῦ ἐπίσκοποι χειροτονηθέντες αὐτοὶ καὶ τοῦτον ἐχειροτόνησαν ἐπίσκοπον ὄντος μου ἐγκατακλείστου. ἐὰν μὴ εἰμὶ ἐγὼ ἐπίσκοπος, οὐδὲ οἱ παρ' ἐμοῦ χειροτονηθέντες ὀφείλουσιν εἶναι ἐπίσκοποι οὐδὲ οἱ κληρικοί.

39 Κασσιανὸς πρεσβύτερος συνὼν Βασσιανῶι τῶι εὐλαβεστάτωι εἶπεν· Τῆι μέσηι ἑβδομάδι κατηνάγκασεν ἡμᾶς καὶ εἰσήνεγκεν ἐν τῶι βαπτιστηρίωι Στέφανος ὁ εὐλαβέστατος ἐπίσκοπος καὶ Μαιόνιος καὶ ἐπιδέδωκάν μοι τὸ εὐαγγέλιον καὶ ὤρκωσάν με καὶ λέγουσί μοι· δεῦρο, ὄμοσον μὴ ἀναχωρῆσαι ἐξ αὐτοῦ, ἀλλὰ ζῆν μετ' αὐτοῦ καὶ ἀποθανεῖν μετ' αὐτοῦ καὶ μὴ προδοῦναι αὐτόν. λέγω· σήμερον κε ἔτη εἰμὶ κοινωνὸς εἰς Κωνσταντινούπολιν πραγματευόμενος καί, θεός ἐστιν ὁ εἰδώς, οὐδέποτε ὤμοσά τινι· καὶ νῦν πρεσβυτέρου μου ὄντος καταναγκάζετέ με ὀμόσαι; λαβόντες τὸ εὐαγγέλιον ἔδωκάν μοι καὶ ὤμοσα αὐτοῖς. καὶ τῆι πέμπτηι τοῦ ἁγίου πάσχα λαβόντες καὶ αὐτὸν ἐνέκλεισαν καὶ ἐμὲ ἐφόνευσαν καὶ ἐπισινῆ με ἐποίησαν διὰ λακτισμάτων καὶ ἤνεγκαν τρεῖς ὑποδιακόνους καὶ ὀψὲ ἦραν καὶ ἀπήνεγκάν με ἐν τῶι οἴκωι μου καὶ ἔθηκαν ἡμιθανῆ καὶ ἐφλεβοτόμησάν με. ἵνα οὖν μὴ ἐπιορκήσω, σήμερον τέσσαρα ἔτη πλαζόμενος ἐπαιτῶ ἐν Κωνσταντινουπόλει, ἵνα μὴ ἐπιορκήσω τὸ ὄνομα τοῦ υἱοῦ τοῦ θεοῦ.

40 Λουκιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος Βύζης παρελθὼν ἐν τῶι μέσωι εἶπεν· Ἐκρι-
μάτισαν ἡμᾶς οἱ λοιποὶ ἐπίσκοποι οἱ μεθ' ἡμῶν καθεζόμενοι ὥστε ἕκαστον ὃ οἶδεν ἀληθὲς καὶ πρὸς εὐσέβειαν συντεῖνον, εἰπεῖν. καὶ εἰ καὶ ἐξ αὐτῶν καλὸν ἦν τοῦτο ἡμᾶς ποιῆσαι, πλὴν λέγομεν ὅτι τετραετίαν ἐνήργησεν ἐν τῶι θρόνωι ἀμάχως δίχα ἀντιρρήσεως καὶ ἐχειροτόνησεν ῑ ἐπισκόπους καὶ κληρικοὺς πολλοὺς καὶ ἐκοινώνει αὐτῶι αὐτὸς ὁ νῦν ἐπίσκοπος Στέφανος πρεσβύτερος αὐτοῦ ὢν καὶ πάντες οἱ λοιποὶ κληρικοί. καὶ πῶς οἷόν τέ ἐστι νῦν Βασσιανὸν ἐξεοῦσθαι παρὰ τὴν τῶν κανόνων ἀκολουθίαν τῶι καὶ μάλιστα τὸν μακαριώτατον Πρόκλον τὸν τῆς βασιλευούσης ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως κοινωνῆσαι αὐτῶι καὶ διὰ συνοδικῶν γραμμάτων βεβαιῶσαι τὴν τούτου ἐπισκοπήν;

41 Μελίφθογγος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἰουλιουπόλεως παρελθὼν εἰς τὸ μέσον εἶπεν· Ἐχρῆν τὸν τετραετῆ χρόνον κατεσχηκότα τὴν ἐπισκοπὴν ἀμάχως ἢ μεμφθῆναι

M, B [= abo], Φ

1 ὁ εὐλαβέστατοσ ἐπίσκοποσ B^o παρὰ τοῦ ἐπισκόπου MB *episcopo* Φ^{ac} *ad episcopum* Φ^r 3 καὶ om. Φ^r 5 τό M 5/6 καὶ — ἐξεβλήθη om. Φ 7 σελεντιάριοσ B 9 τὰ] τὸ M 10 τέσσαρα B 12 ἐν ᾗ B^o exciderunt *simul communicauimus et abripuit me et inclausit me* Φ ἔπαθον B νηρὸν M ὕδωρ B 17 τῶ εὐλαβεστάτῳ βασιανῷ B^o 20 δεῦ M *iura mihi* Φ 21 μὴ om. Φ^{ac} εἰκοσιπέντε B^{ao} κοινωνηκόσ B^o 23 τὸ] τὸ ἅγιον B^b 24 μοι om. Φ καὶ 3 om. B^o 25 ἐπισηνῆ M με om. Φ^r 27 τεσσαράκοντα MB, corr. B^a 29/30 ἐκράτησαν B^b 30 εἶδεν B^{bo} 31 καὶ[1] om. Φ καὶ[2] om. B^b ἡμᾶσ τοῦτο B^b 33 δέκα B 35 νῦν om. $B^o\Phi^{ac}$ ἐξεῶσθαι B^o 38 ἰουλιουπόλεωσ M ἰλιουπόλεωσ B^{ab} ἡλιουπόλεωσ B^o *Iulianopolis* Φ 39 πεμφθῆναι B^o ἢ] *aut non* Φ^{ac}

ἢ οὕτως ἀκρίτως μὴ ῥιφῆναι. καὶ ἐπειδὴ κατεκριματίσθην παρὰ τῶν ἐγγὺς καθεζομένων ἐπισκόπων κἀγὼ ὥστε με παρελθόντα εἰπεῖν τὰ κινοῦντα πρὸς πάντας, στόμα γενόμενος τῶν λοιπῶν ἐγγύς μου ἐπισκόπων ὄντων ἐκ προσώπου πάντων ταῦτα ἀνα- M VII 289
φέρω τῇ τε ἁγίαι συνόδωι καὶ τῇι ὑμετέραι ἐξουσίαι ἅπερ Λουκιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν.

42 Στέφανος ὁ εὐλαβέστατος εἶπεν· Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος Λέων ὁ Ῥώμης L III 698
τοῦτον καθεῖλεν, ἐπειδὴ παρὰ κανόνας ἐγένετο.

43 Κεκρόπιος ὁ εὐλαβέστατος ἐπίσκοπος Σεβαστοπόλεως εἶπεν· Κύρι Στέφανε, μάθε πόσα δύναται Φλαβιανὸς ὁ ἐπίσκοπος καὶ μετὰ θάνατον.

44 Πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι καὶ οἱ [λοιποὶ] κληρικοὶ Κωνσταντινουπόλεως ἐβόησαν· Ἡ ἀλήθεια οὕτως ἔχει· πάντες τὰ αὐτὰ λέγομεν. Φλαβιανοῦ αἰωνία μνήμη. τοῦ ὀρθοδόξου αἰωνία μνήμη. ἴδε ἐκδίκησις, ἴδε ἀλήθεια. Φλαβιανὸς μετὰ θάνατον ζῇι. ὁ μάρτυς ὑπὲρ ἡμῶν εὔξεται. Φλαβιανὸς μετὰ θάνατον τὴν πίστιν ἐξέθετο. Φλαβιανὸς ὧδέ ἐστιν· ὁ ὀρθόδοξος ὧδέ ἐστιν. πολλὰ τὰ ἔτη τοῦ βασιλέως. Φλαβιανὸς ἡμῖν συνδικάζει.

45 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Πάντων ἐξετασθέντων τῶν ἐπὶ Βασσιανῶι καὶ Στεφάνωι τοῖς εὐλαβεστάτοις πεπραγμένων, ἀναγνωσθέντων δὲ καὶ τῶν κανόνων, λεγέτω ἡ ἁγία σύνοδος αὕτη περὶ τῆς κατ' Ἔφεσον ἐπισκοπῆς, τί αὐτῇι παρίσταται. Ῥω ἀνέγνων ἀνέγνωμεν ἀνέγνω.

46 Οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Τὸ δίκαιον Βασσιανὸν καλεῖ. οἱ κανόνες κρατείτωσαν.

47 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Ἡμῖν μὲν φαίνεται οὔτε Βασσιανὸς ὁ εὐλαβέστατος ἄξιος ὢν ἐπίσκοπος εἶναι τῆς Ἐφεσίων πόλεως, ἐπειδήπερ ἐξ ἐφόδου βιαίας ἑαυτῶι ταύτην ἐξεδίκησεν, οὔτε Στέφανος ὁ εὐλαβέστατος ἐκ συνωμοσιῶν καὶ τοιαύτης περινοίας τὴν ἐπισκοπὴν ἑαυτῶι περιποιήσας· δίκαιον δὲ εἶναι ἐπιλεχθῆναι ἕτερον τήν τε πίστιν ἀκριβῶς ἐπιστάμενον καὶ βίωι κεκοσμημένον τὸν ἐπίσκοπον εἶναι ὀφείλοντα. τὸ πᾶν δὲ τῇι ἁγιωτάτηι συνόδωι καταλιμπάνομεν ὥστε δοῦναι τὸν παριστάμενον αὐτῇι τύπον ἐπὶ τῶι πράγματι.

48 Ἡ ἁγία σύνοδος ἐβόησεν· Αὕτη δικαία κρίσις. αὕτη θεοῦ κρίσις. ὁ Χριστὸς ἐδίκασε τῇι ὑποθέσει. ὁ θεὸς δι' ὑμῶν δικάζει. αὕτη ἡ ἀπόφασις τοῦ θεοῦ ἐστιν. τοὺς κανόνας καὶ τοὺς νόμους ὑμεῖς φυλάττετε. πολλὰ τὰ ἔτη τῶν βασιλέων. πολλὰ τὰ ἔτη τῶν ἀρχόντων. πολλὰ τὰ ἔτη τῆς συνόδου.

49 Πασκασῖνος καὶ Λουκίνσιος οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐπέχοντες τὸν τόπον τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης εἶπον· Δῆλα τὰ παρὰ πάσης τῆς συνόδου λεχθέντα. τί περὶ τούτου τοῦ πράγματος ἢ τῶν προσώπων δοκεῖ, καὶ ἡμῶν καὶ τούτων ἔστιν τὴν ἀπόφασιν βεβαιῶσαι.

50 Ἀνατόλιος ὁ εὐλαβέστατος ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης

M, B [..abo], Φ

1 ῥιφὴν M περὶ B^b 2 κἀγὼ ἐπισκόπων B^b πρὸς om. Φ πάντα B^b 3 ἐγγύσ μου λοιπῶν ὄντων ἐπισκόπων B^b ἐγγύς μου om. Φ ταῦτα πάντα B^o 4 τε om. B^o ἅπερ BΦ ἅπερ καὶ M 6 ὁ3 om. B^o 8 σεβαστουπόλεωσ B^o μάθε MΦ om. B 9 δύνανται B ὁ ἐπίσκοποσ M^{corr} ὁ βασιλεὺσ M καὶ ὁ βασιλεὺσ B *beatae memoriae* Φ 10 λοιποὶ om. Φ τῆσ κωνσταντινουπόλεωσ B^o 11 ἐβόησαν MΦ εἶπον B 12 ἡ μνήμη B^{bo} τοῦ — μνήμη om. Φ ἡ μνήμη B^o 13 ἐμοῦ B^o 15 ἡμῖν B^{bo}Φ ὑμῖν MB^a 16 ὀρθοδοξότατοι B 17 εὐσεβεστάτοισ B^{ao} 18 τῶν — ἐπισκόπων B 19 ῥωμαῖον B^o 24 ἐξεδίκασεν B^b 26 δὲ πᾶν B^o 27 τὸ B^b 30 ἐδικαίωσεν M θεοῦ MB *Christi* Φ 31 πολλὰ — βασιλέων om Φ 33/34 *Pascasinus reuerentissimus episcopus optimens locum apostoticae sedis dixit* Φ 35/36 καὶ ἡμῶν — βεβαιῶσαι uersio obscura sententiae Latine prolatae; nihil iuuat Φ *et nostram* [*nostra* $Φ^{ac}$] *et horum est confirmare sententiam* [*sententia* $Φ^{ac}$] τοῦτο B^o 37 νέας Ῥώμης om. Φ

εἶπεν· Τοὺς ἀθέσμως ἑαυτοὺς ἁρμόσαντας τῆι τοῦ Χριστοῦ νύμφηι, τῆι κατὰ Ἔφεσον
M VII 292 φημὶ ἁγιωτάτηι ἐκκλησίαι, τούτους εἰκότως ἐννόμως ἑαυτῆς ἀπέβαλεν. τοιγαροῦν ὅ τε ἐπιπηδήσας τῶι θρόνωι Βασσιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος καὶ ὁ μετ' ἐκεῖνον ἑαυτὸν ἐπιβαλὼν ἀτάκτως Στέφανος ὁ εὐλαβέστατος ἐπίσκοπος τὴν ἡσυχίαν ἀγέτωσαν πεπαυμένοι τῆς κατ' ἐκείνην τὴν ἐκκλησίαν ἐνεργείας, δοθήσεται δὲ τῆι Ἐφεσίων μητροπόλει ἐπίσκοπος ὁ παρὰ θεοῦ ἀναδεδειγμένος καὶ παρὰ πάντων τῶν μελλόντων ποιμαίνεσθαι ψηφιζόμενος εἰς τὴν τῆς ἐκκλησίας τῆς ἐκεῖ χειροτονίαν ὀρθοτομῶν τὸν λόγον τῆς ἀληθείας, τῶν μνημονευθέντων δηλονότι ἐχόντων μόνον τὴν ἀξίαν τῆς ἐπισκοπῆς καὶ τὴν κοινωνίαν καὶ παραμυθίας τῆς προσηκούσης ἀπὸ τῆς αὐτῆς ἁγιωτάτης ἐκκλησίας ἀξιουμένων.

L IIII 699 51 Ἡ ἁγία σύνοδος εἶπεν· Αὕτη δικαία ψῆφος. αὕτη δικαία κρίσις.

52 Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπεν· Ἡ ἔφοδος τοῦ εὐλαβεστάτου Βασσιανοῦ ἀνατροπὴν ἔχει τῶν κανόνων καὶ ἡ ἀτάκτως γενομένη ἐπὶ Στεφάνωι χειροτονία· ὅθεν, εἰ δοκεῖ, ἀμφοτέρους μὲν σχολάζειν τῆς ἐπισκοπῆς τῆς Ἐφεσίων μητροπόλεως, χειροτονηθῆναι δὲ κανονικὸν ἐπίσκοπον τῆι προειρημένηι μητροπόλει βίωι καὶ πίστει κεκοσμημένον.

53 Οἱ τῆς Ἀσίας εὐλαβέστατοι ἐπίσκοποι προσπεσόντες τῆι ἁγιωτάτηι συνόδωι τῶν πατέρων εἶπον· Ἐλεήσατε ἡμᾶς· ἡμεῖς παρακαλοῦμην τὴν ἁγίαν σύνοδον ὥστε κατελεῆσαι τὰ παιδία ἡμῶν, μὴ δι' ἡμᾶς καὶ τὰς ἁμαρτίας ἡμῶν ἀποθάνηι, ὥστε φιλανθρωπίαν δοθῆναι τούτοις καὶ δοθῆναι ἡμῖν κἂν Βασσιανὸν εἰς κακῶν αἵρεσιν, ἐπεὶ εἴ τις ὧδε χειροτονηθείη, καὶ τὰ παιδία ἡμῶν ἀποθνήισκει καὶ ἡ πόλις ἀπόλλυται.

54 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Ἐπειδὴ κατὰ τὰς φωνὰς τῆς ἁγίας συνόδου οὔτε Βασσιανὸς οὔτε Στέφανος οἱ εὐλαβέστατοι ἄξιοί εἰσιν ἐπίσκοποι εἶναι τῆς Ἐφεσίων πόλεως, οἱ δὲ τῆς Ἀσιανῆς ἐπίσκοποι οἱ ἐνταῦθα εὑρεθέντες φασίν, εἰ ἐνταῦθα χειροτονηθείη ἕτερος ἐπίσκοπος, ἐν θορύβωι γίνεσθαι τὴν Ἐφεσίων πόλιν, λεγέτω ἡ ἁγία σύνοδος ποῦ βούλονται οἱ κανόνες τὸν τῆς κατ' Ἔφεσον ἁγιωτάτης ἐκκλησίας χειρο-
M VII 293 τονεῖσθαι ἐπίσκοπον.

55 Οἱ εὐλαβέστατοι ἐπίσκοποι εἶπον· Ἐν τῆι ἐπαρχίαι.

56 Διογένης ὁ εὐλαβέστατος ἐπίσκοπος Κυζίκου εἶπεν· Τὸ ἔθος ὧδε ἔχει. εἰ ἐγίνετο ἀπὸ Κωνσταντινουπόλεως ἐπίσκοπος, οὐκ εἶχεν ταῦτα γίνεσθαι. ἐκεῖ σαλ- γαμαρίους χειροτονοῦσι καὶ διὰ τοῦτο ἀνατροπὴ γίνεται.

57 Λεόντιος ὁ εὐλαβέστατος ἐπίσκοπος Μαγνησίας εἶπεν· Ἀπὸ τοῦ ἁγίου Τιμοθέου μέχρι νῦν κζ ἐπίσκοποι ἐγένοντο. πάντες ἐν Ἐφέσωι ἐχειροτονήθησαν· μόνος Βασίλειος κατὰ βίαν ὧδε ἐγένετο καὶ σφαγαὶ ἐγένοντο.

58 Φίλιππος ὁ εὐλαβέστατος πρεσβύτερος τῆς κατὰ Κωνσταντινούπολιν ἁγίας μεγάλης ἐκκλησίας εἶπεν· Ὁ ἐν ἁγίοις Ἰωάννης ὁ ἐπίσκοπος Κωνσταντινουπόλεως δεκαπέντε ἐπισκόπους καθεῖλεν ἀπελθὼν ἐν Ἀσίαι καὶ ἐχειροτόνησεν ἄλλους ἀντ' αὐτῶν. καὶ Μέμνων ὧδε ἐβεβαιώθη.

59 Ἀέτιος ἀρχιδιάκονος Κωνσταντινουπόλεως εἶπεν· Καὶ Καστῖνος ὧδε ἐχειροτονήθη. Ἡρακλείδης καὶ ἄλλοι μετὰ γνώμης τοῦ ὧδε ἀρχιεπισκόπου ἐχειροτονήθησαν. καὶ

M, B [= abo], Φ

2 ἁγιωτάτηι om. Φ *legibus* Φr *lex* Φac ἐν νόμῳ Bo 7 τῆς ἐκεῖ om. Φ 8 μόνον om. Φ 9 τῆς αὐτῆς scripsi τῆσ ταύτησ M ταύτησ Bbo τῆσ τοιαύτησ Ba om. Φ ἁγίασ Bo 13 γινομένη Bo 14 τῆσ² τῶν Bo 17/18 τῆι — πατέρων om. Φ 18 ἡμεῖς] ἡμᾶσ Bb 19 *ne forte* Φcr τὰσ ἁμαρτίασ ἡμῶν MB *nostri filii* Φ 20 τούτοις καὶ δεθῆναι om. Φ *uel Bassianum* Φa *uel si Bassiano* Φcr κἂν] καὶ Bo κακῶν αἵρεσιν MΦ κακοῦ ἀναίρεσιν B ἐπεὶ [ἐπειδὴ Bo] εἴ MBΦa *suadeat* [= πείσει] Φcr 24/25 χειροτονηθῆναι B 30 ἐγένετο Bbo 33 εἰκοσιεπτά B 36 μεγάλης om. Φ ὁ² om. B 37 τῆ ἁσίᾳ Bo 39 τῆσ κωνσταντινουπόλεωσ B 40 οἱ ἄλλοι M ὧδε om. Bo

Βασίλειον ὁμοίως ὁ μακάριος Πρόκλος ἐχειροτόνησεν καὶ ὁ μακάριος Θεοδόσιος ὁ βασιλεὺς συνήργησεν τῇι τοιαύτηι χειροτονίαι καὶ ὁ μακάριος Κύριλλος ὁ ἐπίσκοπος Ἀλεξανδρείας.

60 Οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Οἱ κανόνες κρατείτωσαν. τὰς φωνὰς τῶι βασιλεῖ.

61 Οἱ κληρικοὶ Κωνσταντινουπόλεως ἐβόησαν· Τὰ τῶν ἁγίων πατέρων τῶν ρν κρατείτω. τὰ προνόμια Κωνσταντινουπόλεως μὴ ἀπόληται. ἡ χειροτονία κατὰ τὸ ἔθος ὑπὸ τοῦ ὧδε ἀρχιεπισκόπου γένηται.

62 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Συνορῶμεν ὅτι ἐπισκέψεως δεῖται ἡ ἁγία σύνοδος περὶ τῆς χειροτονίας τῆς κατ' Ἔφεσον ἐπισκοπῆς· ὅθεν, εἰ δοκεῖ, τῆι ἑξῆς τοῦτο τελείως τυπωθήσεται. Ῥω ἀνέγνων ἀνέγνωμεν ἀνέγνω.

Πρᾶξις ιγ

L III 772 [702] d. 30. m. Oct a. 451

1 Ὁμοίως τῆι πρὸ τριῶν Καλανδῶν Νοεμβρίων ὑπατείαι τῆι αὐτῆι ἐν τῆι αὐτῆι ἁγιωτάτηι ἐκκλησίαι προκαθεζομένων τῶν προγεγραμμένων μεγαλοπρεπεστάτων καὶ ἐνδοξοτάτων ἀρχόντων καὶ τῆς αὐτῆς ἁγιωτάτης καὶ οἰκουμενικῆς συνόδου

2 οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Ἡ τῶν δημοσίων φροντὶς ἀναγκαία τυγχάνουσα τῆι πολιτείαι ῥαθυμεῖται ἡμῶν διὰ τὴν πίστιν τῆι ἁγίαι συνόδωι συνεχῶς οὕτω παραβάλλειν ὑπὸ τῆς θείας κορυφῆς προσταχθέντων· ἐπὶ πολὺ δὲ ἐπείπερ τῶν ἀναγκαίων τῆι πολιτείαι πραγμάτων ἀφέλκεσθαι ἡμᾶς οὐ δυνατόν, ταχεῖαν ταῖς ζητήσεσι λύσιν ἐπιτεθῆναι σπουδάζοντες ἐν πρώτηι τάξει λέγειν τὴν ἁγίαν σύνοδον ἐξαιτοῦμεν εἴ τι πλέον ἐβουλεύσατο περὶ τῆς κατὰ Ἔφεσον ἁγιωτάτης ἐκκλησίας πότερον χρὴ ἕτερον χειροτονηθῆναι αὐτῆι ἐπίσκοπον ἢ Βασσιανὸν τὸν εὐλαβέστατον ἀναλαβεῖν τὴν ἐπισκοπὴν ἢ Στέφανον τὸν εὐλαβέστατον ἐπίσκοπον εἶναι. πάντα γὰρ τὰ κατ' αὐτούς, ὡς ἐπίσταται ἡ αὐτὴ ἁγία σύνοδος, τῆι χθὲς ἡμέραι ἱκανῶς ἐξητάσθη. M VII 296

3 Ἀνατόλιος ὁ εὐλαβέστατος ἐπίσκοπος Κωνσταντινουπόλεως εἶπεν· Ἐμοὶ ἀρέσκει, εἰ καὶ τῆι ἁγίαι συνόδωι παρίσταται, μηδέτερον αὐτῶν τῆς πόλεως ἐκείνης εἶναι ἐπίσκοπον, ἀλλ' ἕτερον χειροτονηθῆναι διὰ τὸ τούτους παρὰ κανόνας ἑαυτοῖς τὴν ἐπισκοπὴν ἁρπάσαι, ἐχόντων αὐτῶν δηλονότι τὴν τοῦ ἐπισκόπου ἀξίαν καὶ ἀπὸ τῆς ἐκκλησίας ἀποτρεφομένων.

4 Πασκασῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος ἐπέχων τὸν τόπον τῆς ἀποστολικῆς καθέδρας εἶπεν· Βασσιανὸς ἢ Στέφανος ἐπίσκοποι, καθὼς ἡ διάγνωσις ἐφανέρωσεν, οὐκ ἀγαθῆι τάξει ἀμφότεροι τὴν Ἐφεσίων κεκρατηκέναι γινώσκονται ἐκκλησίαν. τούτου οὖν χάριν, εἰ πᾶσα ἁγιωτάτη σύνοδος συναινεῖ, τούτων ἀποκινηθέντων ἄλλος κατὰ τοὺς κανόνας ψηφισθῆι.

5 Λουκίνσιος ὁ εὐλαβέστατος ἐπίσκοπος ἐπέχων τὸν τόπον τοῦ ἀποστολικοῦ θρόνου εἶπεν· Κανονικόν ἐστιν ἀμφοτέρους κρατεῖν.

6 Ἰουλιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Κῶ τοποτηρῶν καὶ αὐτὸς ἅμα τοῖς Ῥωμαίοις τῶι ἀποστολικῶι θρόνωι εἶπεν· Οὐκ ὀφείλουσιν οἱ δύο ῥιφῆναι.

7 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Ἐπειδὴ πολλάκις ἡμῶν διαλαλησάντων καὶ ἐξαιτησάντων ψῆφον ἐξενεχθῆναι περὶ τῆς ἐπισκοπῆς τῆς κατ' Ἔφεσον ἁγιωτάτης

M, B [= abo], Φ

2 συνηγόρισε B^{bo} 3 κρατήτωσαν M 3/4 τὰς — βασιλεῖ om. Φ 5 ἁγίων om. B^{b} ἑκατὸν πεντήκοντα B^{a} 6 ἀπόλυται B^{bo} 10 ῥωμαῖον B^{ao} 11 τρισκαιδεκάτη B^{a} 12 τῆι αὐτῆι¹ om. B ἐν om. B^{b} 18 ἐπὶ ταῖσ B^{b} δόσιν M 19 τῆ πρώτη B^{o} 20/21 χειροτονηθῆναι ἕτερον B 21 ἢ γοῦν Φ 21/22 ἀναλαβεῖν — εὐλαβέστατον om. B^{o} 23 αὐτὴ om. Φ 24 ἀρχιεπίσκοπος Φ 25 αὐτὸν M 30 οἱ ἐπίσκοποι B^{ao} ἀνάγνωσισ B^{b} 32 *si omnis* Φ εἰ πᾶσα M ἡ πᾶσα B^{ab} πᾶσα ἡ B^{o} ἄλλοσ M^{corr} Φ ἄλλουσ MB 33 τοὺς om. B^{b} *ordinetur* Φ ψηφισθῆναι MB 35 *non est canonicum* Φ κρατεῖν MB *esse* Φ, nescio an locus ita sanetur, ut 35 scribatur ῥιφῆναι, 37 κρατεῖν 36 τοποτηρητῶν B^{o} 39 αἰτησάντων M

ἐκκλησίας τελεία ἀπόκρισις παρὰ πάντων οὐκ ἐδόθη, τὸ σεπτὸν καὶ ἄχραντον εὐαγγέλιον μέσον κομιζέσθω.

8 Καὶ ἐνεχθέντος τοῦ ἁγίου εὐαγγελίου οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Τὴν ὁμοίαν αἴτησιν προσάγομεν τῇ ἁγίαι συνόδωι προκειμένων τῶν σεβασμίων εὐαγγελίων προ-
L IIII 773 [703] τρέποντες αὐτὴν μήτε τῶν δύο τινὰ βλάψαι, εἴ γε ἄξιός ἐστί τις αὐτῶν τῆς ἐπισκοπῆς ἀντέχεσθαι, μήτε τὴν μνημονευθεῖσαν ἐκκλησίαν, εἴ γε ἑκάτερος ἀνάξιός ἐστιν, ἀλλὰ κατὰ θεὸν καὶ κατὰ τὸ ἄξιον καὶ πρέπον καὶ συμφέρον τῇι ἁγιωτάτηι ἐκκλησίαι τὰ δοκοῦντα ψηφίσασθαι. Ῥω ἀνέγνων ἀνέγνωμεν ἀνέγνω.

9 Ἀνατόλιος ὁ εὐλαβέστατος ἐπίσκοπος Κωνσταντινουπόλεως εἶπεν· Καὶ ἤδη
M VII 297 εἶπον· ἐμοὶ παρίσταται, εἰ καὶ τῇι ἁγίαι συνόδωι δοκεῖ, ὥστε μηδένα αὐτῶν τῆς Ἐφεσίων πόλεως εἶναι ἐπίσκοπον, ἀλλὰ ἕτερον ἐξ ἐπιλογῆς πάντων τῶν μελλόντων ποιμαίνεσθαι ψηφιζόμενον διοικεῖν τὴν ἐπισκοπὴν διὰ τὸ τοὺς δύο παρὰ κανόνας ἑαυτοῖς τὴν ἐπισκοπὴν ἁρπάσαι· ἔχειν δὲ αὐτοὺς καὶ τὴν ἀξίαν τοῦ ἐπισκόπου καὶ τὴν κοινωνίαν καὶ ἀποτρέφεσθαι ἀπὸ τῆς αὐτῆς ἁγιωτάτης ἐκκλησίας.

10 Πασκασῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος ἐπέχων τὸν τόπον τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης εἶπεν· Τὰ αὐτὰ ἅπερ ἅπαξ κατεθέμην, καὶ ἐπὶ τοῦ παρόντος τυπῶ. τῶν μνημονευθέντων ἑκάτερος τὴν Ἐφεσίων ἀτάκτως ἐκκλησίαν κατείληφεν καὶ διὰ τοῦτο, εἰ πᾶσα σύνοδος συναινεῖ, ὀφείλει τούτων ἀποκινηθέντων ἄλλος κατὰ τοὺς κανόνας ψηφισθῆναι.

11 Μάξιμος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀντιοχείας Συρίας εἶπεν· Παρὰ κανόνας ἀμφότεροι ἀπὸ τῶν χθὲς διαγνωσθέντων τὴν ἐπισκοπὴν κατέσχον· τίς δὲ αὐτῶν ἄξιός ἐστιν εἶναι ἐν τῇι πόλει κατὰ φιλανθρωπίαν, τῶν τῆς ἐπαρχίας ἐστὶ θεοφιλεστάτων ἐπισκόπων εἰπεῖν.

12 Ἰουβενάλιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Εἰ συνορᾶι ἡ ἁγία συνόδος, τρέφεσθαι αὐτοὺς ἀπὸ τῆς ἐκκλησίας τῆς Ἐφεσίων, ἕτερον δὲ χειροτονηθῆναι κανονικῶς.

13 Θαλάσσιος ὁ εὐλαβέστατος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· Συντίθημι τοῖς διαλαληθεῖσι παρὰ τῶν ἁγιωτάτων [θεοφιλεστάτων] πατέρων.

14 Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀγκύρας Γαλατίας εἶπεν· Τοῖς ἀποφηναμένοις πατράσι συναινῶ.

15 Ἰουλιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Κῶ καὶ τοποτηρητὴς τοῦ ἀποστολικοῦ θρόνου εἶπεν· Κατὰ μὲν κανόνας οὐδὲ εἷς ὤφειλεν εἶναι, κατὰ δὲ φιλανθρωπίαν ἡ σύνοδος ἡ Ἀσιανὴ ἐπιλέξηται τίς ὀφείλει εἶναι.

16 Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπεν· Πίστευσον, παρὰ κανόνας οἱ δύο ἐγένοντο.

17 Διογένης ὁ εὐλαβέστατος ἐπίσκοπος Κυζίκου εἶπεν· Τὰ κατ' αὐτοὺς πλέον ἴσασιν οἱ τῆς ἐπαρχίας θεοφιλέστατοι ἐπίσκοποι, ὥστε λεγέτωσαν ἐκεῖνοι κατὰ τὴν προσοῦσαν αὐτοῖς εὐλάβειαν εἰς τὸν φόβον τοῦ θεοῦ τίνα προσῆκε κρατεῖν τὴν Ἐφεσίων διὰ τὸ μὴ στασιασθῆναι τὴν πόλιν.

M, B [= abo], Φ

1 παρὰ πάντων om. Φ ἄχραντον] ἅγιον B^o 4 τῇ ἁγία συνόδω MB *rursus* Φ 5 αὐτὴν MB *uos* Φ 5,6 τις — ἐστιν om. B^o ἐπισκοπῆς — ἐκκλησίαν] *ut in memorata sanctissima ecclesia episcopatum debeat optinere* Φ 6 εἴτε Φ *dignus* $Φ^a$ ἀλλὰ] *unde* Φ 7 τὸ om. B^b τὰ δοκοῦντα] *quae sunt iusta* Φ 8 ῥωμαῖον B^o 10 καὶ ἐν B^b 12 ἑαυτοὺς M 16 κατεθέμον M *disposui* Φ 17 περὶ τῶν μνημονευθέντων ὧν Φ ἀτάκτως om. Φ 18 εἰ πᾶσα MΦ ἡ πᾶσα B^{ao} πᾶσα ἡ B^b συναινεῖ MΦ συναινεῖν B ἄλλος MΦ ἄλλον B 20 Συρίας om. Φ 21 χθὲς om. Φ ἀναγνωσθέντων Φ 22 ἐστὶν εἶναι Φ ἐστὶ μεῖναι MB 24 εἰ om. Φ 28 θεοφιλεστάτων B^a καὶ θεοφιλεστάτων MB^{bo} om. Φ 29 Γαλατίας om. B 31,32 καὶ — θρόνου om. Φ 33 ἐπιλέξεται B 38 προσήκει κεκρατεῖν τῆσ B^o τὴν Ἐφεσίων om. Φ

18 Ῥωμανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος Μύρων Λυκίας εἶπεν· Συντίθεμαι τοῖς παρὰ τῶν ἁγίων πατέρων τυπωθεῖσιν.

19 Εὐνόμιος ὁ εὐλαβέστατος ἐπίσκοπος Νικομηδείας εἶπεν· Κἀγὼ συναινῶ τοῖς τυπωθεῖσι παρὰ τῶν πρὸ ἐμοῦ ἁγιωτάτων ἐπισκόπων.

20 Μαριανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος Συνάδων εἶπεν· Κανονικῶς οὐδὲ εἷς αὐτῶν ὀφείλει εἶναι. L IIII 706 M VII 300

21 Ἐλευθέριος ὁ εὐλαβέστατος ἐπίσκοπος Χαλκηδόνος εἶπεν· Ἐδίδαξεν ἡμᾶς ἡ διάγνωσις ἡ κατὰ τοὺς ἐπισκόπους ὅτιπερ οὐδὲ εἷς αὐτῶν κανονικῶς κατέσχεν τὴν ἐπισκοπὴν τῆς κατ' Ἔφεσον ἁγιωτάτης ἐκκλησίας.

22 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Ἀρέσκει τῇ ἁγίαι συνόδωι ἡ διαλαλιὰ τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου Ἀνατολίου καὶ τοῦ θεοφιλεστάτου ἐπισκόπου Πασκασίνου ἐπέχοντος τὸν τόπον τοῦ τῆς Ῥώμης ἀποστολικοῦ θρόνου ἡ λέγουσα τοὺς μὲν δύο ὀφείλειν ἀποκινηθῆναι ὡς παρὰ κανόνας γενομένους, ἕτερον δὲ χειροτονηθῆναι, τοὺς δὲ προειρημένους ἔχοντας τὴν τοῦ ἐπισκόπου ἀξίαν ἀπὸ τῆς κατ' Ἔφεσον ἁγιωτάτης ἐκκλησίας ἀποτρέφεσθαι;

23 Ἡ ἁγία σύνοδος ἐβόησεν· Αὕτη εὐσεβὴς διαλαλιά· αὕτη κατὰ κανόνας ἐστίν.

24 Διογένης ὁ εὐλαβέστατος ἐπίσκοπος Κυζίκου εἶπεν· Τῶν ἄλλων αὕτη βελτίων ἐστίν.

25 Πάντες ἐβόησαν· Αὕτη δικαία κρίσις· αὕτη πᾶσιν ἀρέσκει. οἱ δύο παρὰ κανόνας ἐγένοντο· τὰ τῶν κανόνων ἐπ' αὐτοῖς κρατείτω. τὰ διαλαληθέντα παρὰ τῶν ἀρχιεπισκόπων κρατείτω.

26 Οἱ ἐνδοξότοτοι ἄρχοντες εἶπον· Ἐπειδὴ πᾶσιν ἀρέσκει ἡ διαλαλιὰ τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου τῆς βασιλευούσης Κωνσταντινουπόλεως Ἀνατολίου καὶ τοῦ εὐλαβεστάτου ἐπισκόπου Πασκασίνου ἐπέχοντος τὸν τόπον Λέοντος τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου τῆς πρεσβυτέρας Ῥώμης παρακελευομένη διὰ τὸ ἀμφοτέρους ἀκανονίστως γεγονέναι μηδέτερον αὐτῶν χρηματίσαι μήτε μὴν ἡγεῖσθαι τῆς κατ' Ἔφεσον ἁγιωτάτης ἐκκλησίας, καὶ πᾶσα δὲ ἡ ἁγία σύνοδος ἀκανονίστως τούτους κεχειροτονῆοθαι ἐδίδαξεν καὶ ταῖς διαλαλιαῖς τῶν εὐλαβεστάτων ἐπισκόπων συνήινεσεν, ἀποκινηθήσονται μὲν τῆς ἁγίας κατ' Ἔφεσον ἐκκλησίας Βασσιανὸς καὶ Στέφανος οἱ εὐλαβέστατοι, ἐχέτωσαν δὲ τὴν ἀξίαν τοῦ ἐπισκόπου καὶ ἀπὸ τῶν προσόδων τῆς μνημονευθείσης ἁγιωτάτης ἐκκλησίας τροφῆς ἕνεκα καὶ παραμυθίας καθ' ἕκαστον ἐνιαυτὸν ἀνὰ σ̄ χρυσίνους λαμβανέτωσαν· ἕτερος δὲ χειροτονηθήσεται κατὰ τοὺς κανόνας τῇ αὐτῇ ἁγιωτάτηι ἐκκλησίαι ἐπίσκοπος.

27 Πᾶσα ἡ ἁγία σύνοδος ἐβόησεν· Αὕτη δικαία κρίσις. οὗτος εὐσεβὴς τύπος. ταῦτα καλῶς ἔχει.

28 Βασσιανὸς ὁ εὐλαβέστατος εἶπεν· Τὰ ἁφαρπασθέντα μοι ἀποκατασταθῆναι κελεύσατε.

29 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Εἴ τι Βασσιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος ἐκ τῶν αὐτῶι διαφερόντων ἀφηιρέθη εἴτε παρὰ Στεφάνου τοῦ εὐλαβεστάτου ἐπισκόπου εἴτε παρὰ ἑτέρων οἱωνδήποτε προσώπων, τοῦτο αὐτῶι μετὰ τοὺς ἐνδικαστηρίους

M, B [= abo], Φ

3/4 post 6 coll. B^{o} 3 ἐπίσκοπος om. B^{b} 4 ἐπισκόπων MB πατέρων Φ 5 μαριανὸσ MB inter *Marianus* et *Marinianus* uariant Φ^{ac} *Marinianus* Φ^{r} 8 ἡ B^{bo} Φ om. MB^{a} 9 ἁγιωτάτης om. Φ 11 *episcopi* Φ 12 τοῦ τῆσ B^{a} τοῦ MB^{b} τῆσ in τοῦ corr. B^{o} 14 ἁγιωτάτη B^{o} 16 διδασκαλία B^{o} 17/18 Διογένης — ἐστί om. B^{o} 17 βελτίαν M 20 αὐτοὺσ M 20/21 τὰ — κρατείτω om. B 23/24 ἀρχιεπισκόπου — εὐλαβεστάτου om. B^{o} 27—29 καὶ πᾶσα δὲ — ἐκκλησίας om. B^{b} 29 κατ' ἔφεσον ἁγίασ B^{o} 30 ἐπισκόπων Φ 31 διακοσίουσ B 34 εὐσεβὴσ MB *iusta* Φ 38 εἴτι B ἔτι M 40 οἱονδήποτε B^{b} ἐν δικαστηρίοισ B^{ao}

ἐλέγχους παρὰ τῶν ἀφελομένων ἢ αἰτίων τῆς βλάβης γενομένων **ἀποκατασταθήσεται.**
Ῥω ἀνέγνων ἀνέγνωμεν ἀνέγνω.

L IIII 707
M VII 301

Πρᾶξις ιδ

1 Ὑπατείας τοῦ δεσπότου ἡμῶν Μαρκιανοῦ τοῦ αἰωνίου αὐγούστου καὶ τοῦ δηλωθησομένου τῆι πρὸ τριῶν Καλανδῶν Νοεμβρίων ἐν Χαλκηδόνι

d. 30. m. Oct. a. 451 κατὰ κέλευσιν τοῦ θειοτάτου καὶ εὐσεβεστάτου ἡμῶν δεσπότου συνελθόντων ἐν τῆι ἁγιωτάτηι ἐκκλησίαι τῆς ἁγίας μάρτυρος Εὐφημίας

τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου στρατηλάτου ἀπὸ ὑπάτων καὶ πατρικίου Ἀνατολίου

καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἐπάρχου τῶν ἱερῶν πραιτωρίων Παλλαδίου

καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου μαγίστρου τῶν θείων ὀφφικίων Βιγκομάλου

2 συνελθόντων δὲ καὶ

1—3 Πασκασίνου καὶ Λουκινσίου τῶν εὐλαβεστάτων ἐπισκόπων καὶ Βονιφατίου τοῦ εὐλαβεστάτου πρεσβυτέρου ἐπεχόντων τὸν τόπον τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς πρεσβύτιδος Ῥώμης Λέοντος

4 καὶ Ἀνατολίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς μεγαλωνύμου Κωνσταντινουπόλεως

5 καὶ Μαξίμου τοῦ εὐλαβεστάτου ἀρχιεπισκόπου Ἀντιοχείας Συρίας

6 καὶ Ἰουβεναλίου τοῦ εὐλαβεστάτου ἀρχιεπισκόπου Ἱεροσολύμων

7 καὶ Κυντίλλου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἡρακλείας Μακεδονίας ἐπέχοντος τὸν τόπον τοῦ ἁγιωτάτου ἐπισκόπου τῆς Θεσσαλονικέων Ἀναστασίου

8 καὶ Θαλασσίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Καισαρείας Καππαδοκίας

9 καὶ Στεφάνου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἐφέσου

10 καὶ Λουκιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Βύζης ἐπέχοντος τὸν τόπον τοῦ θεοφιλεστάτου ἐπισκόπου Ἡρακλείας Θράικης Κυριακοῦ

11 καὶ Εὐσεβίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀγκύρας Γαλατίας

12 καὶ Διογένους τοῦ εὐλαβεστάτου ἐπισκόπου Κυζίκου

13 καὶ Πέτρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Κορίνθου

14 καὶ Φλωρεντίου τοῦ εὐλαβεστάτου ἀρχιεπισκόπου Σάρδεων

15 καὶ Εὐνομίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Νικομηδείας

16 καὶ Ἀναστασίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Νικαίας

17 καὶ Ἰουλιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Κῶ ἐπέχοντος καὶ αὐτοῦ τὸν τόπον τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβύτιδος Ῥώμης Λέοντος

18 καὶ Ἐλευθερίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Χαλκηδονέων

19 καὶ Βασιλείου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σελευκείας Ἰσαυρίας

20 καὶ Μελιτίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Λαρίσσης ἐπέχοντος τὸν τόπον τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀπαμείας Συρίας Δόμνου

21 καὶ Ἀμφιλοχίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σίδης

22 καὶ Θεοδώρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ταρσοῦ

23 καὶ Κύρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀναζαρβοῦ

24 καὶ Κωνσταντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Βόστρων

M, B [= abo, usque ad 21], Φ [usque ad 7]

1 γεγενημένων Bo 2 ρωμαῖον Bao 3 τεσσαρεσκαιδεκάτη Bao 7 μεγαλομάρτυρος Bo 7 — p. 57, 39 *magnificentissimis gloriosissimisque iudicibus* Φ 8—10 στρατηλάτου — ἐνδοξοτάτου om. Bo 16 πρεσβυτέρας Bo 20 ἐπισκόπου Bo 22 — p. 57, 39 om. B

καὶ Φωτίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Τύρου
καὶ Θεοδώρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Δαμασκοῦ
καὶ Στεφάνου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἱερᾶς πόλεως
καὶ Νόννου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἐδέσσης
καὶ Συμεῶνος τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀμίδης
καὶ Ἐπιφανίου τοῦ εὐλαβεστάτου ἐπισκόπου ἐπέχοντος τὸν τόπον τοῦ εὐλαβεστάτου ἐπισκόπου Κωνσταντίας Ὀλυμπίου
καὶ Ἰωάννου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σεβαστείας
καὶ Σελεύκου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀμασείας
καὶ Κωνσταντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Μελιτηνῆς
καὶ Πατρικίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Τυάνων
καὶ Πέτρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Γαγγρῶν
καὶ Ἀπραγμονίου τοῦ εὐλαβεστάτου ἐπισκόπου ἐπέχοντος τὸν τόπον τοῦ εὐλαβεστάτου ἐπισκόπου Κλαυδιουπόλεως Καλογήρου
καὶ Ἀταρβίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Τραπεζοῦντος ἐπέχοντος τὸν τόπον τοῦ εὐλαβεστάτου ἐπισκόπου Νεοκαισαρείας Δωροθέου
καὶ Φωτεινοῦ του εὐλαβεστάτου ἀρχιδιακόνου ἐπέχοντος τὸν τόπον ⟨Θεοκτίστου⟩ τοῦ εὐλαβεστάτου ἐπισκόπου Πισινοῦντος
καὶ Ῥωμανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Μύρων
καὶ Κριτωνιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀφροδισιάδος
καὶ Νουνεχίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Λαοδικείας Φρυγίας
καὶ Μαρινιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Συννάδων
καὶ Ὀνησιφόρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἰκονίου
καὶ Περγαμίου τοῦ εὐλαβεστάτου Ἀντιοχείας Πισιδίας
καὶ Ἐπιφανίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Πέργης
καὶ Ἀττικοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Νικοπόλεως Ἠπείρου
καὶ Μαρτυρίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Γορτύνης
καὶ Λουκᾶ τοῦ εὐλαβεστάτου ἐπισκόπου Δυρραχίου
καὶ Βιγιλαντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Λαρίσσης Θεσσαλίας
καὶ Φραγκίωνος τοῦ εὐλαβεστάτου ἐπισκόπου Φιλιππουπόλεως
καὶ Σεβαστιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Βερόης
καὶ Βασιλείου τοῦ εὐλαβεστάτου ἐπισκόπου Τραιανουπόλεως
καὶ Τρύφωνος τοῦ εὐλαβεστάτου ἐπισκόπου Χίου ἐπέχοντος τὸν τόπον Ἰωάννου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ῥόδου
καὶ Θεοκτίστου τοῦ εὐλαβεστάτου ἐπισκόπου Βεροίας
καὶ Γεροντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σελευκείας Συρίας
καὶ Εὐσεβίου πρεσβυτέρου ἐπέχοντος τὸν τόπον Μακαρίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Λαοδικείας Συρίας
καὶ Εὐσεβίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Δορυλαίου
καὶ τῆς λοιπῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τῆς κατὰ θέσπισμα τοῦ θειοτάτου καὶ εὐσεβεστάτου ἡμῶν δεσπότου ἐν τῇ Χαλκηδονέων πόλει συναθροισθείσης καὶ καθεσθέντων πάντων πρὸ τῶν καγκέλλων τοῦ ἁγίου θυσιαστηρίου

3 Εὐνόμιος ὁ εὐλαβέστατος ἐπίσκοπος Νικομηδείας εἶπεν· Δεήσεις ἐπιδέδωκα τῷ εὐσεβεστάτῳ δεσπότῃ τῆς οἰκουμένης παρακαλῶν τὰ κανονικὰ τῶς μητροπόλεως

M, B [= abo, inde a 40], Φ [inde a 40]
4 ἐδέσησ M 10 μελιτινῆσ M 13 post ἐπισκόπου excidit Τίου 17 Θεοκτίστου addidi
22 μαριανοῦ M, corr. M 40 λοιπῆς om. Φ 41 χαλκηδονίων Bo 42 καὶ om. Φ

Νικομηδείας κατὰ τοὺς κρατήσαντας ἀρχῆθεν κανόνας καὶ ἔθη φυλαχθῆναι καὶ ἐκέλευσεν τὴν ὑμετέραν μεγαλοπρέπειαν ἅμα τῇ ἁγίαι συνόδωι ἀκοῦσαι καὶ τύπον δοῦναι τῶι πράγματι. παρακαλῶ τοίνυν ἀναγνωσθῆναι τὰς δεήσεις μου καὶ τὸ πρᾶγμα ἀκουσθῆναι καὶ τὰ δίκαιά μοι φυλαχθῆναι.

4 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Ἀναγινωσκέσθωσαν αἱ δεήσεις.

Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστορίου ἀνέγνω

5 Τοῖς γῆς καὶ θαλάσσης καὶ παντὸς ἀνθρώπων ἔθνους καὶ γένους δεσπόταις Φλαουίοις Οὐαλεντινιανῶι καὶ Μαρκιανῶι τοῖς αἰωνίοις αὐγούστοις δέησις καὶ ἱκεσία παρὰ Εὐνομίου ἐπισκόπου καὶ παντὸς τοῦ κλήρου τῆς κατὰ Νικομήδειαν μητρόπολιν ἁγίας τοῦ θεοῦ καθολικῆς ἐκκλησίας. Θεὸς τὸ βασιλεύειν ὑμῖν καὶ κρατεῖν τῶν ὅλων ἐπὶ σωτηρίαι τῆς οἰκουμένης καὶ εἰρήνηι τῶν ἁγίων ἐκκλησιῶν δικαίως δεδώρηται· δι' ὃ δὴ πρὸ
M VII 304 πάντων τε καὶ μετὰ πάντων, εὐσεβέστατοι καὶ φιλόχριστοι βασιλεῖς, τῶν τῆς ὀρθοδόξου πίστεως καὶ ὑγιοῦς δογμάτων φροντίζετε, τὰ μὲν τῶν αἱρέσεων φρυάγματα σβέσαντες, τὰ δὲ τῶν εὐσεβῶν δογμάτων εἰς φῶς ἀγαγόντες δίκαια. προσπίπτομεν τοίνυν τοῖς ἴχνεσι τοῦ ὑμετέρου κράτους κελεῦσαι κωλυθῆναι τὴν καθ' ἡμῶν παρὰ τοῦ εὐλαβεστάτου τῆς Νικαέων ἐπισκόπου Ἀναστασίου τολμηθεῖσαν ἀδικίαν, ὡς δυνηθῆναι ἡμᾶς τῆς πρεπούσης Χριστιανοῖς εἰρήνης ἀπολαύοντας ἀπερισπάστως τὰς τοῦ θεοῦ λειτουργίας
L IIII 710 ἐκτελεῖν. ὁ γὰρ μνημονευθεὶς εὐλαβέστατος Ἀναστάσιος μήτε τὸν τοῦ θεοῦ λαμβάνων πρὸ ὀφθαλμῶν φόβον μήτε τοὺς τῆς εὐσεβείας ὑμῶν ἐντρεπόμενος νόμους συγχέειν καὶ ταράσσειν ἐν τῆι Βιθυνῶν ἐπαρχίαι πειρᾶται τοὺς κρατήσαντας ἐν ταῖς ἐκκλησίαις βασιλικούς τε καὶ κανονικοὺς τύπους, ἁρπάζων τὰ ἡμῖν παρὰ τῶν νόμων τῆς εὐσεβείας ὑμῶν καὶ παρὰ τῶν ἐκκλησιαστικῶν θεσμῶν ὑπάρξαντα δίκαια, ἅπερ οὐδεὶς ποτε τῶν πρὸ αὐτοῦ ἐπισκόπων παρασαλεύειν ἢ κινεῖν ἐπεχείρησεν, μόνος δὲ οὗτος πλεονεκτεῖν ἡμᾶς καὶ ταράσσειν ἤρξατο τὸ ἐπὶ κακοῖς ἰσχύειν δόξαν λογιζόμενος, ὡς ταύτης ἕνεκα τῆς αἰτίας καὶ τῆι ἁγίαι καὶ οἰκουμενικῆι συνόδωι λιβέλλους ἐπιδοῦναι ἡμᾶς. ἀλλ' ἐπειδὴ τὰ τῆς ἀκροάσεως εἰς ὑπέρθεσιν χωρεῖ καὶ δεδοίκαμεν μή πως λυθείσης τῆς συνόδου ἀργήσηι τὰ ἡμέτερα δίκαια, δεόμεθα νεύματι τοῦ ὑμετέρου κράτους ἀνυπερθέτως γενέσθαι τὴν ἀκρόασιν. τυχόντες γὰρ ὧν ἐδεήθημεν, τὰς συνήθεις εὐχὰς ὑπὲρ τοῦ αἰωνίου ὑμῶν κράτους τῶι δεσπότηι θεῶι ἀναπέμψομεν.

6 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Τί πρὸς ταῦτα ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀναστάσιος δικαιολογεῖται;

7 Ἀναστάσιος ἐπίσκοπος τῆς Νικαέων πόλεως εἶπεν· Ἠτιασατό με ὅτι ἐγὼ ἐκαινοτόμησα ἐν τῶι μεταξὺ ἢ ἐβιασάμην. ἓν δείξηι ὧν λέγει· ἐγὼ δὲ τὸ ἐναντίον ἔχω δεῖξαι ὅτι καὶ ἥρπασέν μου παροικίας καὶ πολλὰ ἃ οὐκ ἔστιν ἔθος ποιεῖν τὸν Νικομηδείας, ἐποίησεν ἐπὶ ἐμοῦ καὶ ἠνεσχόμην πανταχοῦ ἐντυγχάνων τῶι ἀρχιεπισκόπωι καὶ ἀξιῶν τὰ δίκαιά μου γυμνασθῆναι κατὰ τὴν ἀρχαιότητα καὶ τοὺς κανόνας· οὐδὲ γὰρ ἐγὼ πλέον τι ζητῶ.

M, B [= abo], Φ

1 ἐξαρχῆθεν M 3 *ut cognoscatis* Φ 3/4 τὰς — ἀκουσθῆναι om. B^o 6 *magistrianus et secretarius* Φ 7 φλαουίοισ M φλαυουίοισ B^{ab} φλαβίοισ B^o *Flauio* Φ 10 τῶν περὶ M 14 *pie* $Φ^{ac}$ δόγματα B^o 16 ἐπισκόπου τῆσ νικαέων B 17 πρεπούσησ MB^{ao} πρυντούσησ B^{b} 19 ἡμῶν B^b 19/20 *confundit et conturbat absque consuetudine* Φ 20 ταράττειν B^o καταράσειν B^b τοὺς om. B^b 21 τὸν νόμον B^b τῶν [in τοῦ corr.] νόμου B^o 22 τὰ παρὰ B^o ἡμῶν θεσμῶν B^o 23 ἐπισκόπων om. $Φ^r$ et partim $Φ^c$ παρασαλεύειν MB *iubere* [= παρακελεύειν] Φ 24 τὸ *om.* $Φ^{ac}$ 29 θω̄ MΦ χω̄ B ἀναπέμψωμεν MB^o 30 ἐπίσκοπος om. Φ 33 δείξει B 35 ἐντυγχάνω — ἀξιῶ Φ 36 τὰσ M

8 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Ἰδικῶς λεγέτω ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐνόμιος κατὰ τί ἠδίκηται παρὰ Ἀναστασίου τοῦ εὐλαβεστάτου ἐπισκόπου.

9 Εὐνόμιος ὁ εὐλαβέστατος ἐπίσκοπος Νικομηδείας εἶπεν· Κατὰ τὸ κρατῆσαν ἔθος ἐπὶ τῶν πρὸ ἐμοῦ καὶ ἐπὶ τῶν πρὸ αὐτοῦ ὑποτεταγμένας ἔχω τὰς ἐν τῇ Βιθυνῶν ἐπαρ- M VII 305
χίαι ἐκκλησίας, ὁ δὲ εὐλαβέστατος ἐπίσκοπος Ἀναστάσιος κληρικοὺς ἐκκλησίας τῆς ἐν Βασιλινουπόλει τῆς ὑποτελοῦς ἐμοὶ ἀκοινωνήτους ἐποίησεν, ὅπερ τοῖς κανόσιν ἀπείρηται.

10 Ἀναστάσιος ὁ εὐλαβέστατος ἐπίσκοπος Νικαίας εἶπεν· Πρῶτον δείξηι ὅτι καὶ Βασιλινούπολις ὑπ' αὐτόν ἐστι καὶ ὅτι ἐγὼ κληρικοὺς τῆς ἐκκλησίας ἀκοινωνήτους ἐποίησα. τὰ δύο δείξηι· ἐγὼ δὲ δείκνυμι Βασιλινούπολιν ἀεὶ ὑπὸ Νίκαιαν γενομένην. καὶ γὰρ ῥεγεὼν ἦν αὐτῆς (ταῦτα τὰ βουλευτήρια οἶδεν), καὶ εἶποι ὑπὸ τίνα ἦν Βασιλινούπολις, εἰ μὴ ῥεγεὼν ἦν Νικαίας.

11 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Κατὰ ποῖον τρόπον ἀποδνεικνύναι ἐπαγγέλληι τὴν κατὰ Βασιλινούπολιν ἁγιωτάτην ἐκκλησίαν ὑπὸ Νίκαιαν εἶναι, πότερον κατὰ τοὺς κανόνας ἢ ἐκ συνηθείας τινός;

12 Ἀναστάσιος ὁ εὐλαβέστατος ἐπίσκοπος Νικαίας εἶπεν· Ὥσπερ Ταττάιος καὶ Δωρὶς ῥεγεῶνές εἰσιν ὑπὸ Νίκαιαν, οὕτως ἦν πρὸ τούτου καὶ Βασιλινούπολις ὑπὸ τὴν Νίκαιαν. βασιλεύς τις Ἰουλιανὸς ἢ οὐκ οἶδα τίς πρὸ αὐτοῦ, ἐποίησεν αὐτὴν πόλιν καὶ λαβὼν ἀπὸ Νικαίας πολιτευομένους κατέστησεν ἐκεῖ καὶ τὸ ἔθος ἀπὸ τότε ἕως νῦν τοῦτο κρατεῖ· ἐὰν λείψηι ἐν Βασιλινουπόλει πολιτευόμενος, ἀπὸ Νικαίας πέμπεται ἐκεῖ καὶ πάλιν ἀπὸ Βασιλινουπόλεως μεθίσταται ἐν Νικαίαι καὶ ἡ πρότερον οὖσα ῥεγεὼν L IIII 711
πάλιν μετὰ ταῦτα ἐγένετο πόλις. ἐξ ἐκείνου φαίνεται ὁ Νικαίας ἐπίσκοπον ἐκεῖ χειροτονήσας καὶ ἅπαξ καὶ δεύτερον· καί εἰσιν ἐπιστολαὶ τοῦ μακαρίου Ἰωάννου τοῦ ἐπισκόπου Κωνσταντινουπόλεως πρὸς τὸν Νικαίας ἐπίσκοπον ὥστε ἀπελθεῖν καὶ διορθώσασθαι τὴν ἐκκλησίαν ὡς αὐτῶι προσήκουσαν. ἔχω γράμματα πρὸς τὸν μακάριον Πρόκλον. δείκνυμι· ἐγὼ πόσοι ἀπὸ Νικαίας ἐχειροτονήθησαν· καὶ δείξηι οὗτος πόσοι ἀπὸ Νικομηδείας ἐχειροτονήθησαν.

13 Εὐνόμιος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Οὔτε μὲν δύναται δεῖξαι χειροτονίας πεποιηκώς· εἰ δὲ καὶ ἐποίησεν καθ' ὑφαρπαγὴν ἅπαξ, ἐμοὶ οὐδὲν κατὰ τοὺς κανόνας προκρίνειν δύναται.

14 Ἀναστάσιος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Οὐκ ἐγώ, ἀλλ' ὁ πρὸ ἐμοῦ ἐποίησεν.

15 Εὐνόμιος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ἅπαξ ἐποίησεν, ὡς λέγεις, ἢ πολλάκις; εἰ ἅπαξ ἐποίησεν καθ' ὑφαρπαγήν τινα ἢ συμβαίνει ὅτι οὐκ εἶχεν τὸ τηνικαῦτα ἐπίσκοπον ἡ μητρόπολις Νικομήδεια καὶ ἐδέησεν παρὰ τοῦ Νικαέως γενέσθαι, οὐδὲν πρόκριμα ἐμοὶ κατὰ τοὺς κανόνας. δύναμαι γὰρ ἐγὼ δεῖξαι πολλοὺς μὲν ἀπὸ Νικομηδείας χειροτονηθέντας, σὺ δὲ οὐκ οἶδα εἰ δυνήσηι κἂν ἕνα δεῖξαι.

16 Ἀναστάσιος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ὅτε πόλις ἐγένετο Βασιλινούπολις, τίς πρῶτος ἐχειροτόνησεν;

M, B [= abo], Φ

1 ἐπίσκοποσ νικομηδείασ Bb 3 ὁ — ἐπίσκοποσ om. Bb 6 τῆς om. Bo *subiectos* Φ 8 δείξει MBab δεῖξαι Bo 9 ἐπ' Bb ἐγὼ om. Bo τῆς ἐκκλησίας om. B 10 δείξει MB ἀεὶ MB *ex olim* Φr om. Φac 11 *dicat curia* Φ 12 ἢ εἰ Φ 13 καταγγείλη Bo 16 ὁ — ἐπίσκοπος om. Bb 17 ὑπὸ τὴν Bb corr. 17/18 οὕτως — Νίκαιαν om. Bb 17 καὶ om. Φcr 19 πραγματευομένουσ B κατέστησαν Bo 20 πραγματεύόμενοσ Bb 22 ἐπίσκοπος Φ 22/23 χειροτονήσασ ἐκεῖ B 26 δείξει MB οὗτοσ MBao καὶ οὗτοσ Bb αὐτὸσ Φ 27 Νικομηδείας] νικαίασ Bb 28 ἐπίσκοποσ νικομηδείασ Bb οὔτε μὲν MΦr οὐ B 29 εἰ om. Bo 34 ἢ om. Φ ἐπίσκοποσ Bb 38 ἐπίσκοπος om. Bb ὅτι Bo

17 Εὐνόμιος ὁ εὐλαβέστατος εἶπεν· Ὅτι ἀφώρισεν κληρικοὺς Βασιλινουπόλεως ἐμοὶ
M VII 308 ὑποκειμένους, δύναμαι δεῖξαι. μάρτυρα καλῶ τὸν ἁγιώτατον ἀρχιεπίσκοπον τῆς μεγαλοπόλεως ὅστις ἐδέξατο αὐτοὺς καὶ ἀπέδωκεν αὐτοῖς τὴν κοινωνίαν.

18 Ἀναστάσιος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Οὐ λέγεις ἀληθές.

19 Εὐνόμιος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Δὸς τὴν ἐπιστολὴν τοῦ κύρου τοῦ ἀρχιεπισκόπου ὅπου ἀπέδωκεν αὐτοῖς τὴν κοινωνίαν καὶ ὅπου ἔγραψέν σοι ὡς παρὰ κανόνας πεποιηκότι. δεικνύω ψηφίσματα Βασιλινουπολιτῶν ὅπου παρεκάλεσαν περὶ ἐπισκόπου· σὺ δεῖξον ποῦ παρεκάλεσαν Νικαέα ὥστε δοῦναι αὐτοῖς ἐπίσκοπον.

20 Ἀναστάσιος ὁ εὐλαβέστατος [ἐπίσκοπος] εἶπεν· Κελεύσατέ με διδάξαι μικρόν. ἐπέδωκα λιβέλλους τῶι ἀρχιεπισκόπωι γενομένωι ἀξιῶν αὐτὸν καλέσαι τὸν κύριν Εὐνόμιον τὸν ἐπίσκοπον καὶ διακοῦσαι μεταξὺ τῶν δικαίων ἡμῶν. δίδωσι γράμματα καὶ πρὸς ἐμὲ καὶ πρὸς αὐτὸν γράψας ἀμφοτέροις ὅτι μηδεὶς ὑμῶν μηδὲν καινοτομείτω, ἀλλὰ στοιχεῖτε τοῖς ἀρχαίοις· οἶδα γὰρ ἐγὼ πῶς ὀφείλω τὰς μητροπόλεις τιμᾶν. καὶ ἔχω τοιαῦτω γράμματα καὶ ἐγὼ καὶ αὐτός. λαμβάνω, ὡς εἶπον, τοιαῦτα γράμματα. ἴσασι καὶ οἱ νοτάριοι· εἴπωσιν καὶ ἄλλοι. ἔρχονται οἱ Βασιλινουπόλεως κληρικοὶ ἐντυχεῖν μοι κατὰ τοῦ ἐπισκόπου αὐτῶν. φυλάττων ἐγὼ τὰς παραγγελίας τοῦ ἀρχιεπισκόπου λέγω· οὐ δέχομαι ὑμᾶς, ἀλλὰ ἀπέλθατε πρὸς τὸν ἀρχιεπίσκοπον καὶ ἐὰν κελεύσηι μοι, ἀκούω. καὶ ἐάσαντες ἐκεῖνοι καὶ ἐμὲ καὶ αὐτὸν ἔρχονται πρὸς τὴν ἁγιωσύνην τοῦ κύρου Εὐνομίου· διδόασιν αὐτῶι λιβέλλους κατὰ τοῦ ἐπισκόπου τοῦ ἰδίου. πέμπει αὐτὸς εὐθὺς παριστῶν τὸν ἐπίσκοπον Βασιλινουπόλεως· προσφεύγει ὁ ἐπίσκοπος Βασιλινουπόλεως πρὸς ἐμέ.

21 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Ἀναγινωκέσθωσαν οἱ κανόνες.

Βερονικιανὸς σηκρητάριος ἀπὸ βιβλίου ἐπιδοθέντος παρὰ Εὐνομίου τοῦ εὐλαβεστάτου ἀνέγνω

22 Κεφάλαιον ϛ. Ἐπίσκοπον προσήκει μάλιστα μὲν ὑπὸ πάντων τῶν ἐν τῆι
Can. Nic. 4 L IIII 714 ἐπαρχίαι ἐπισκόπων καθίστασθαι· εἰ δὲ δυσχερὲς εἴη τὸ τοιοῦτον ἢ διὰ κατεπείγουσαν ἀνάγκην ἢ διὰ μῆκος ὁδοῦ, ἐξ ἅπαντος τρεῖς ἐπὶ τὸ αὐτὸ συναγομένους συμψήφων γινομένων καὶ τῶν ἀπόντων [καὶ] συντιθεμένων διὰ γραμμάτων ποιεῖσθαι τὴν χειροτονίαν. τὸ δὲ κῦρος τῶν γινομένων διοίσει καθ' ἑκάστην ἐπαρχίαν τῶι μητροπολίτηι ἐπισκόπωι.

23 Ἀναστάσιος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Στοιχῶ τῶι κανόνι· εἰ μὴ εἰμὶ
M VII 309 μητροπολίτης, οὐκ ἔχω μέρος οὐδὲ ἐγὼ ἐκεῖ.

24 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Ἐπίδειξον κατὰ ποῖον τρόπον τὰ τοῦ μητροπολίτου δίκαια ἔχεις.

25 Ἀναστάσιος ὁ εὐλαβέστατος εἶπεν· Ἀξιῶ ἀναγνωσθῆναι τὸν νόμον.

26 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Ἀναγινωσκέσθω.

Καὶ ἐπιδοθέντος αὐτοῦ παρὰ Ἀναστασίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Κωνσταντῖνος ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστορίου καὶ μαγιστριανὸς ἀνέγνω

M, B [= abo], Φ

1 ὁ εὐλαβέστατοσ ἐπίσκοπος Bo 5 κυ M τοῦ² om. Bo 7 ψήφισμα Bo 7/8 περὶ — παρεκάλεσαν om. Bb 8 σὺ] καὶ Bo Νικαέα Φ νικαεῖσ MB 9 ἐπίσκοπος om. MBa 10 κελεῦσαι Φ κῦ M 11 καὶ¹ om. Φ 14 τὰ τοιαῦτα Bb 17 *episcopi* Φ λέγων Bo ἀπέλθετε Bab 18 κελεύσει Bb 20/21 προσφεύγει — Βασιλινουπόλεως om. Φ 23 *uir deuotus magistrianus et secretarius* Φ ὁ καθωσιωμένος σηκρητάριοσ Bo 25 ἔκτον Bao μὲν οὖν M 26 δι' ἐπείγουσαν M 27/28 γενομένων M 28 καὶ² B om. MΦ 29 ἐπισκόπω MΦ om. B 30 ἐπίσκοποσ MΦ ἐπίσκοποσ νικαίασ B 32—35 ἐπίδειξον — εἶπον om. Bo 36 αὐτῶι Bo

Ἑρμηνεία νόμου

27 Αὐτοκράτορες Καίσαρες Φλαυούιοι Οὐαλεντινιανὸς καὶ Οὐάλης εὐτυχεῖς εὐσεβεῖς σεβαστοὶ αἰώνιοι νικηταὶ λέγουσι Νικαεῦσιν. Εἰ καὶ ἡ σπουδὴ ἡ ἡμετέρα δήλη πᾶσι καὶ περίβλεπτος γέγονεν ἐξ οὗ τῆς βασιλείας τὸ ὑπεραναβεβηκὸς καὶ τῶν δημοσίων τοὺς οἴακας βουλήσει τοῦ κρείττονος ὑπεδεξάμεθα, ὅμως πρὸς τούτοις ἀποσώσομεν καὶ εἰς τὴν ἀρχὴν αὐτῆς τῆς εὐτυχίας ὅτι γε ἡ ὑμετέρα πόλις προαναπλησθεῖσα καὶ γαυριωθεῖσα ἐπὶ τῇι ἡμετέραι εὐτυχίαι χαρᾶς καὶ εὐφροσύνης παντὶ δήμωι αἰτία γέγονεν. δι' ὃ δὴ ἐπειδὴ μητρόπολις πάλαι ὠνομάσθη καὶ τοῦτο νόμοι παλαιοὶ περιέχουσι, [τὰ αὐτὰ ἅπερ Νικομηδεῦσι] νομοθετούντων ἡμῶν [ὑπῆρξεν] οὐδεμίαν ἀμφιβολίαν ἔχειν δύναται τῶι ἀσάλευτα καὶ ἰσχυρὰ μένειν καὶ εἰς τὰ ἔπειτα αὐξηθησόμενα. καὶ εἰς τὸ ἐξῆς αὐτὸν στέψαντες ἐν τῇι ὑμετέραι πόλει προιέναι ἐθεσπίσαμεν. διαμενέτω τοίνυν εἰς τὸ διηνεκὲς ἡ συνήθεια αὕτη καὶ ἡ πόλις ὑμῶν μητρόπολις ἔστω, τῆς συνηθείας τῆς ἐπὶ τῇι προόδωι τοῦ Βιθυνιάρχου διαμενούσης. οὐδεὶς γὰρ ἀφαιρεῖταί τι τῶν ἄλλων. βουλήσει τοῦ κρείττονος αὐξηθείη τῆς ὑμετέρας πόλεως τὸ ἀξίωμα. χαίροντες τοίνυν τὰς εὐχὰς διπλασιάζετε καὶ ἥδεσθε ἐφ' οἷς αὕτη ἡ τιμὴ ὑμῖν παρέσχηται πάσης ἀμφιβολίας εἰς τὸ ἐξῆς σχολαζούσης, συνορῶντες ὅπως αἰωνίου πραότητος καὶ προνοίας ἐκ τῶν ἡμετέρων θεσπισμάτων τετυχήκατε.

28 Εὐνόμιος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ἀξιῶ τὴν ὑμετέραν μεγαλοπρέπειαν κελεῦσαι ἀναγνωσθῆναι τὸν νόμον τὸν παρασχεθέντα Νικομηδεῦσι μετὰ ταῦτα.

29 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Ἀναγινωσκέσθω.

Καὶ ἐπιδοθέντος αὐτοῦ παρὰ Εὐνομίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστορίου ἀνέγνω

30 Οὐαλεντινιανὸς εὐσεβὴς εὐτυχὴς αὔγουστος Νικομηδεῦσι χαίρειν. Ἡ περὶ τὰ πριμιλίγια τῆς πόλεως τῆς ὑμετέρας πάλαι ὑπάρξασα ἀρχαία συνήθεια φυλαχθήσεται. οὔτε γὰρ ἡ προσθήκη τῆς τιμῆς τῆς Νικαέων πόλεως τὸ δίκαιον τὸ ὑμέτερον δύναται βλάψαι, ὁπότε ἐπαύξεται τὸ ἀξίωμα τῆς Νικομηδέων πόλεως, εἴπερ ἐκείνη ἡ ἐν δευτέρωι τόπωι οὖσα μητροπόλεως ὀνόματι καλεῖται. L IIII 715 M VII 312

31 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Οὐδὲ ἓν μὲν θεῖον γράμμα περὶ ἐπισκοπῆς διαλέγεται, ἑκάτερον δὲ τὴν τιμὴν ταῖς μητροπόλεσι παρέχει. τὸ δὲ θεῖον γράμμα τῶν θείας λήξεως Οὐαλεντινιανοῦ καὶ Οὐάλεντος τηνικαῦτα τῇι Νικαέων παρασχὸν τὸ μητροπολιτικὸν δίκαιον ἰδικῶς παρακελεύεται τῶν ἄλλων μηδὲν ὑφαιρεῖσθαι πόλεων καὶ ὁ κανὼν τῶν ἁγίων πατέρων περὶ ἑνὸς μητροπολίτου καθ' ἑκάστην τῶν ἐπαρχιῶν διαγορεύει. τί τοίνυν τῇι ἁγίαι συνόδωι παρίσταται περὶ τούτου;

32 Ἡ ἁγία συνόδος ἐβόησεν· Οἱ κανόνες κρατείτωσαν. τοῖς κανόσι τὸ ἱκανὸν γινέσθω.

M, B [= abo], Φ

2 φλαύιοι B^{ab} φλάβιοι B^{o} *Flauius* Φ 3 ἡμετέρα Φ ὑμετέρα MB 4 ὑπεραναβεβηκὼσ B^{b} 5 ὑποδεξάμεθα MB^{o} ἀποσώσομεν M *adicimus* Φ 6 αὐτῆσ MB *huius* Φ 7 τὴν ἡμετέραν εὐτυχίαν M 8/9 τὰ αὐτὰ [τῶ αὐτῶ M] — Νικομηδεῦσι om. Φ 9 ὑπῆρξεν MB^{bo} ὑπῆρχεν B^{a} om. Φ 10 τῶ MΦ τὸ B τὰ M τὸ B αὐξησόμενα B^{o} ante καὶ 3 nonnulla in legendo omissa αὐτὸν B 11 αὐτῶν M *haec* Φ στέψαντεσ MB *exornantes* $Φ^{a}$ *exordinantes* $Φ^{c}$ *proficiscentes* $Φ^{r}$ ὑμετέρα MB ἡμετέραι Φ προιέναι om. Φ 12 εἰς τὸ om. B^{o} 13 τῆ B τῆσ M προόδω $MB^{bo}Φ$ προσόδω B^{a} 15 διαπλασιάζετε B^{b} αὐτη Φ αὐτὴ MB 23 Ἡ om. M 24 πριμιλέγια B ἡ ὑπάρξασα M ὑπάρξαντα Φ 26 πόλεως om. B εἴπερ MB *secundum quod* [= ἥπερ] Φ 28 ἐπισκοπῆσ MΦ ἐπισκόπου B 29 τῶν MB^{a} τῆσ B^{bo} 30 παρασχὼν MB^{bo} 31 μηδὲν] μὲν B^{ao}

33 Ἀττικὸς ὁ εὐλαβέστατος ἐπίσκοπος Νικοπόλεως παλαιᾶς Ἠπείρου εἶπεν· Ὁ κανὼν οὕτως διαγορεύει ὥστε ἐν μιᾶι ἑκάστηι τῶν ἐπαρχιῶν τὸ κῦρος ἔχειν τὸν τῆς μητροπόλεως καὶ αὐτὸν καθιστᾶν πάντας τοὺς ὑπὸ τὴν αὐτὴν ἐπαρχίαν ὄντας ἐπισκόπους, καὶ αὕτη ἐστὶν ἡ διάνοια τοῦ κανόνος. τῶι δὲ τῆς Νικομηδείας, ἐπειδὴ ἐξ ἀρχαίου αὕτη μητρόπολίς ἐστι, κεχρεώστηται πάντας τοὺς ὑπὸ τὴν ἐπαρχίαν αὐτοῦ ὄντας ἐπισκόπους χειροτονεῖν.

34 Ἡ ἁγία σύνοδος εἶπεν· Ταῦτα πάντες βουλόμεθα. ταῦτα πάντες δεόμεθα. ταῦτα πανταχοῦ κρατείτω. ταῦτα πᾶσιν ἀρέσκει.

35 Ἰωάννης Κωνσταντῖνος Πατρίκιος ⟨Πέτρος⟩ καὶ οἱ λοιποὶ εὐλαβέστατοι ἐπίσκοποι τῆς Ποντικῆς διοικήσεως ** εἶπον· Οἱ κανόνες ἕνα ἴσασι μητροπολίτην τὸν ἀρχαιότερον καὶ δῆλον ὡς τῶι θεοσεβεστάτωι ἐπισκόπωι Νικομηδείας διαφέρουσιν αἱ χειροτονίαι, ἐπειδὴ καὶ αἱ νομοθεσίαι, ὡς συνεῖδεν καὶ ἡ ὑμετέρα μεγαλοπρέπεια, ὀνόματι μητροπόλεως μόνωι ἐτίμησαν τὴν Νικαέων, προτιμᾶται δὲ τῶν λοιπῶν ἐπισκοπῶν τῆς ἐπαρχίας τῆι τιμῆι μόνηι.

36 Ἡ ἁγία σύνοδος εἶπεν· Κανονικῶς ἐδίδαξαν. καλῶς ἐδίδαξαν. πάντες τὰ αὐτὰ λέγομεν.

37 Ἀέτιος ἀρχιδιάκονος τῆς μεγαλωνύμου Κωνσταντινουπόλεως εἶπεν· Ὑποβάλ-
M VII 313 λομεν τῆι ὑμετέραι μεγαλοπρεπείαι παρακαλοῦντες ὥστε μηδὲν πρόκριμα τῶι Κωνσταντινουπόλεως ἁγιωτάτωι θρόνωι ἐνέγκαι τὰ νῦν διαλαλούμενα παρὰ τῶν ὁσιωτάτων ἐπισκόπων ἢ γοῦν τὰ κινούμενα μεταξὺ τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς Νικομηδέων Εὐνομίου καὶ τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς Νικαέων Ἀναστασίου ἢ τὰ ἐπ' αὐτοῖς τυπούμενα. ὁ γὰρ ἁγιώτατος Κωνσταντινουπόλεως θρόνος ἢ τὴν χειροτονίαν αὐτὸς ἐνεργεῖ ἐν τῆι Βασιλινουπόλει μετὰ τῶν λοιπῶν ἢ ἐπιτρέπει γενέσθαι, καθὼς τὰ φοιτῶντα γράμματα ἢ φοιτήσαντα πολλάκις δεῖξαι δυνήσεται. καὶ ἀξιοῦμεν τὰς ἐπιστολὰς προβληθῆναι.

38 Ἡ ἁγία σύνοδος εἶπεν· Οἱ κανόνες κρατείτωσαν. τοῖς κανόσι τὸ ἱκανὸν γινέσθω.

39 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Τὴν μὲν αὐθεντίαν τοῦ μητροπολίτου ἐν ταῖς κατὰ Βιθυνίαν ἐκκλησίαις ὁ Νικομηδείας εὐλαβέστατος ἐπίσκοπος ἕξει, τοῦ Νικαίας τὴν
L IIII 718 τιμὴν μόνην τοῦ μητροπολίτου ἔχοντος, ὑποκειμένου δὲ κατὰ μίμησιν τῶν ἄλλων ἐπισκόπων τῆς ἐπαρχίας τῶι τῆς Νικομηδείας· τοῦτο γὰρ καὶ τῆι ἁγίαι παρέστη συνόδωι. ὅσα δὲ τῶι θρόνωι τῆς κατὰ τὴν μεγαλώνυμον Κωνσταντινούπολιν ἁγιωτάτης ἐκκλησίας περὶ τοῦ χειροτονεῖν ἐν ταῖς ἐπαρχίαις ἁρμόττει, ταῦτα κατὰ τάξιν οἰκείαν ἐπὶ τῆς ἁγίας γυμνασθήσεται συνόδου.

40 Εὐνόμιος ὁ εὐλαβέστατος ἐπίσκοπος Νικομηδείας εἶπεν· Εὐχαριστῶ τῆι δικαιοκρισίαι τῆς μεγαλοπρεπείας ὑμῶν καὶ ἀγαπῶ τὸν ἀρχιεπίσκοπον τῆς μεγαλωνύμου Κωνσταντινουπόλεως κρατούντων τῶν κανόνων.

41 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Ἃ εἴρηκας, γέγραπται. Ῥω ἀνέγνων ἀνέγνωμεν ἀνέγνω.

M, B [= abo], Φ

2 οὗτος Bo 4 αὕτη MBΦac αὐτὴ Φr 5 αὕτη MBΦa et partim Φc om. partim Φc et Φr 8 ταῦτα² — ἀρέσκει om. Φ 9 Κωνστάντιος Φ Πέτρος Φ om. MB 10 exciderunt *per unum ipsorum* [*suorum* Φa et partim Φc] *Iohannem* Φ ἴσασιν ἕνα Bb ἕνα om. Φac εἴσασι M 12 καὶ ἐπειδὴ καὶ Bb 13 τὴν MBΦac τὸν Φr ἐπισκοπῶν Ba ἐπισκόπων MBboΦ 20 ἀρχιεπισκόπων Φ ἢ γοῦν — ἐπισκόπου om. B νικομηδέων πόλεως B 23 ἐπιτρέψει Bo καθὼς καὶ Bo 26 τοῖς — γινέσθω om. Φ 29 μόνου Bao τοῦ μητροπολίτου om. Φac 30 τῆς² om. Bo καὶ om. Φ 36 *obtinentibus utique* [= δηλονότι] Φ 37 ῥωμαῖον Bo

Πρᾶξις ιε

1 Ὑπατείας τοῦ δεσπότου ἡμῶν Μαρκιανοῦ τοῦ αἰωνίου αὐγούστου καὶ τοῦ δηλωθησομένου τῇ πρὸ μιᾶς Καλανδῶν Νοεμβρίων ἐν Χαλκηδόνι d. 31. m. Oct. a. 451

κατὰ κέλευσιν τοῦ θειοτάτου καὶ εὐσεβεστάτου ἡμῶν δεσπότου Μαρκιανοῦ τοῦ αἰωνίου αὐγούστου συνελθόντων ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίαι τῆς ἁγίας μάρτυρος Εὐφημίας

1 τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου στρατηλάτου ἀπὸ ὑπάτων καὶ πατρικίου Ἀνατολίου

2 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἐπάρχου τῶν ἱερῶν πραιτωρίων Παλλαδίου

3 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου μαγίστρου τῶν θείων ὀφφικίων Βιγκομάλου,

2 συνελθόντων δὲ καὶ

1-3 Πασκασίνου καὶ Λουκινσίου τῶν εὐλαβεστάτων ἐπισκόπων καὶ Βονιφατίου τοῦ εὐλαβεστάτου πρεσβυτέρου ἐπεχόντων τὸν τόπον τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς πρεσβυτέρας Ῥώμης Λέοντος

4 καὶ Ἀνατολίου τοῦ εὐλαβεστάτου ἀρχιεπισκόπου τῆς μεγαλωνύμου Κωνσταντινουπόλεως

5 καὶ Μαξίμου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀντιοχείας Συρίας

6 καὶ Ἰουβεναλίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἱεροσολύμων M VII 316

7 καὶ Κυντίλλου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἡρακλείας Μακεδονίας ἐπέχοντος τὸν τόπον τοῦ ἁγιωτάτου ἐπισκόπου τῆς Θεσσαλονικέων Ἀναστασίου

8 καὶ Θαλασσίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Καισαρείας Καππαδοκίας

9 καὶ Στεφάνου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἐφέσου

10 καὶ Λουκιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Βύζης ἐπέχοντος τὸν τόπον τοῦ θεοφιλεστάτου ⟨ἐπισκόπου⟩ Ἡρακλείας Θράικης Κυριακοῦ

11 καὶ Εὐσεβίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀγκύρας Γαλατίας

12 καὶ Διογένους τοῦ εὐλαβεστάτου ἐπισκόπου Κυζίκου

13 καὶ Πέτρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Κορίνθου

14 καὶ Φλωρεντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σάρδεων

15 καὶ Εὐνομίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Νικομηδείας

16 καὶ Ἀναστασίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Νικαίας

17 καὶ Ἰουλιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Κῶ ἐπέχοντος καὶ αὐτοῦ τὸν τόπον τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβύτιδος Ῥώμης Λέοντος

18 καὶ Ἐλευθερίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Χαλκηδονέων

19 καὶ Βασιλείου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σελευκείας

20 καὶ Μελιτίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Λαρίσσης ἐπέχοντος τὸν τόπον τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀπαμείας Συρίας Δόμνου

21 καὶ Ἀμφιλοχίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σίδης

22 καὶ Θεοδώρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ταρσοῦ

23 καὶ Κύρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀναζαρβοῦ

24 καὶ Κωνσταντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Βόστρων

25 καὶ Φωτίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Τύρου

M, B [= abo, usque ad 24], Φ [usque ad 12]

1 πεντεκαιδεκάτῃ B^a 3 τῇ om. M 4 καὶ εὐσεβεστάτου om. B^o 7—12 *magnificentissimis et gloriosissimis iudicibus et* Φ 7 στρατηλάτου om. B^o 14 — p. 64, 27 om. Φ 14/15 πρεσβυτέρου τοῦ εὐλαβεστάτου MB^b 15 ἁγιωτάτου om. B 21 κυντίλου B^{bo} 25—p. 64, 27 om. B 26 ἐπισκόπου addidi 41 κυριακοῦ M

καὶ Θεοδώρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Δαμασκοῦ
καὶ Στεφάνου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἱερᾶς πόλεως
καὶ Νόννου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἐδέσσης
καὶ Συμεώνου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀμίδης
καὶ Ἐπιφανίου τοῦ εὐλαβεστάτου ⟨ἐπισκόπου⟩ ἐπέχοντος τὸν τόπον τοῦ εὐλαβεστάτου ἐπισκόπου Κωνσταντίας Ὀλυμπίου
καὶ Ἰωάννου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σεβαστείας
καὶ Σελεύκου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀμασείας
καὶ Κωνσταντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Μελιτηνῆς
καὶ Πατρικίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Τυάνων
καὶ Πέτρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Γαγγρῶν
καὶ Ἀπραγμονίου τοῦ εὐλαβεστάτου ⟨ἐπισκόπου⟩ ἐπέχοντος τὸν τόπον τοῦ εὐλαβεστάτου ἐπισκόπου Κλαυδιουπόλεως Καλογήρου
καὶ Ἀταρβίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Τραπεζοῦντος ἐπέχοντος τὸν τόπον τοῦ εὐλαβεστάτου ἐπισκόπου Νεοκαισαρείας Δωροθέου
καὶ Φωτεινοῦ ἀρχιδιακόνου ἐπέχοντος τὸν τόπον Θεοκτίστου τοῦ εὐλαβεστάτου ἐπισκόπου Πισινοῦντος
καὶ Ῥωμανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Μύρων
καὶ Κριτωνιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀφροδισιάδος Καρίας
καὶ Νουνεχίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Λαοδικείας Φρυγίας
καὶ Μαρινιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Συνάδων
καὶ Ὀνησιφόρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἰκονίου
καὶ Θεοκτίστου τοῦ εὐλαβεστάτου ἐπισκόπου Βεροίας
καὶ Γεροντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σελευκείας Συρίας
καὶ Εὐσεβίου πρεσβυτέρου ἐπέχοντος τὸν τόπον Μακαρίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Λαοδικείας Συρίας
καὶ Εὐσεβίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Δορυλαίου

καὶ τῆς λοιπῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τῆς κατὰ θέσπισμα τοῦ θειοτάτου καὶ εὐσεβεστάτου ἡμῶν δεσπότου ἐν τῇ Χαλκηδονέων πόλει συναθροισθείσης

καὶ καθεσθέντων πάντων πρὸ τῶν καγκέλλων τοῦ ἁγίου θυσταστηρίου

3 Σαβινιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ἀφαιρεθεὶς ἀδίκως τοῦ θρόνου τῆς ἐπισκοπῆς δεήσεις ἐπιδέδωκα τῇ θείαι καὶ ἀθανάτωι κορυφῇ καὶ ἐκέλευσε τὴν ὑμετέραν μεγαλοπρέπειαν ἅμα τῇ ἁγίαι ταύτηι καὶ οἰκουμενικῇ συνόδωι τὸ κατ' ἐμὲ πρᾶγμα ζητῆσαι. ἔχω δὲ καὶ διδασκαλικὸν πρὸς τὴν ἁγίαν ταύτην σύνοδον καὶ παρακαλῶ τὴν ὑμετέραν μεγαλοπρέπειαν κελεῦσαι καὶ τὸ διδασκαλικὸν ἀναγνωσθῆναι καὶ τὰς δεήσεις καὶ τὰ δίκαιά μοι φυλαχθῆναι.

4 Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· Ἀναγινωσκέσθωσαν αἱ δεήσεις καὶ τὸ προσκομιζόμενον διδασκαλικὸν παρὰ Σαβινιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου.

Κωνσταντῖνος ὁ κεθωσιωμένος βοηθὸς τοῦ θείου κονσιστορίου ἀνέγνω

5 Τοῖς εὐσεβεστάτοις καὶ φιλοχρίστοις καὶ ἀξίως παρὰ τοῦ θεοῦ τῶν ὅλων τετιμημένοις αὐγούστοις Οὐαλεντινιανῶι καὶ Μαρκιανῶι δέησις καὶ ἱκεσία παρὰ Σαβινιανοῦ

L IIII 719

M, B [= abo, inde a 28], Φ [inde a 28]

3 ἐδέσης M 5 ἐπισκόπου addidi 8 ἀμασίας M 9 μελιτινῆς M 12 ἐπισκόπου addidi, praeterea excidit sicut in ceteris catalogis Τίου post 22 omissi sunt X metropolitae, qui in ceteris catalogis apparent 28 λοιπῆς om. Φ 28/29 τοῦ — δεσπότου MB *diuali* Φ 29 χαλκηδονίων Bᵒ 30 καὶ om. Φᵃᶜ καγγέλων Bᵒ 33 ἁγίαι ταύτηι] ἁγιωτάτη Bᵒ ταύτηι om. Φ 38 προκομιζόμενον B σαβίνου Bᵒ 38 ἐπισκόπου om. Φ 40 εὐλαβεστάτοις Bᵇ παρὰ om. Φᵃ et partim Φᶜ 41 σαβίνου Bᵒ

ἐπισκόπου. Ὁ τῶν ὅλων κύριος ἰδὼν τὴν ἀποστολικὴν ὀρθόδοξον πίστιν ὑπὸ τῶν ῥαθύμων τέως χειμαζομένην καὶ πάντα τὸν κόσμον ἐν ἀταξίαι κλυδωνιζόμενον ἤγειρεν τὴν ὑμετέραν εὐσέβειαν ἰθῦναι καὶ κυβερνῆσαι τὴν οἰκουμένην καὶ τὰς ὑπὸ τῶν μοχθηρῶν ἐπιφυείσας τῆι διδασκαλίαι τῶν ἁγίων ταραχὰς καταστεῖλαι καὶ τὸ λαμπρὸν καὶ βέβαιον τῆς ὀρθοδοξίας κυρῶσαι. καὶ εἰκότως ἐπὶ τῆς ὑμετέρας γαληνότητος εἶποι καὶ ὑμῖν ὁ θεός· ὕψωσα ἐκλεκτὸν ἐκ τοῦ λαοῦ μου· ηὗρον Δαυὶδ τὸν δοῦλόν μου, ἐν ἐλαίωι ἁγίωι μου ἔχρισα αὐτόν· ἡ γὰρ χείρ μου συναντιλήψεται αὐτῶι καὶ ὁ βραχίων μου κατισχύσει αὐτόν. πιστεύων οὖν νεύματι θείωι εἰς τὴν τῶν ὅλων ἀρχὴν καὶ δεσποτείαν ἐπιστῆναι ὑμῶν τὴν θειότητα, πρόσειμι λιπαρῶν καὶ καθικετεύων ὑμῶν τὴν εὐσέβειαν κελεῦσαι πρόνοιάν μου γενέσθαι καὶ ζητηθῆναι τὰ κατὰ τὴν ἐμὴν ὑπόθεσιν. ἐγὼ γὰρ ἤμην παιδόθεν ἀσκητήριον οἰκονομῶν, πολύανδρον μοναστήριον, οὐδὲν περὶ ἐπισκοπῆς ἐνθυμούμενος, μή τι γε προσελθών τινι τούτου τοῦ ἀξιώματος ἕνεκεν. ἐν τῆι οὖν ἐπιμελείαι τῶν μοναχῶν ὄντος μου ἐφίσταταί μοι αἰφνίδιον ὁ κατ' ἐκεῖνο καιροῦ τῆς μητροπόλεως ἐπίσκοπος μετὰ τῶν τῆς ἐπαρχίας ἐπισκόπων καὶ χειροτονεῖ με ἐπίσκοπον Πέρρης, ἐξ ἧς καθηιρέθη Ἀθανάσιος ἐγγράφως ἐπὶ βαρυτάτοις κεφαλαίοις κατηγορηθεὶς καὶ μὴ δυνηθεὶς ποτε ἀπολογήσασθαι πρὸς τὰ ἐπαγόμενα αὐτῶι ἐγκλήματα, ἀλλὰ ποτὲ μὲν παραιτούμενος τὴν ἐπισκοπήν, ποτὲ δὲ διαφόρως περικόπτων τὰς κλήσεις τῶν καλουσῶν αὐτὸν εἰς κρίσιν συνόδων διετέλει. οὗτος ἐν τῆι κατ' Ἔφεσον συνόδωι ἐξ ἐπιτάγματος τοῦ τῆς Ἀλεξανδρέων προέδρου τῆι ἐμῆι ἐπεισῆλθεν ἐκκλησίαι, ἐγὼ δὲ παρὰ γνώμην χειροτονηθεὶς ἐκβέβλημαι, καὶ ταῦτα τῶν οἰκούντων ἐκείνην τὴν πόλιν ὀδυρμοῖς καὶ θρήνοις χρησαμένων ἐπὶ τῆι ἐμῆι ἐξόδωι. ἱκετεύω τοίνυν τὸ ὑμέτερον κράτος κελεῦσαι καὶ τὴν κατ' ἐμὲ ὑπόθεσιν παρούσης ὑμῶν τῆς εὐσεβείας ἐξετασθῆναι καὶ τὸ παριστάμενον πέρας λαβεῖν, ἵνα κἀγὼ μετὰ τῶν ἄλλων ἁπάντων τὰς συνήθεις εὐχὰς ὑπὲρ τοῦ αἰωνίου ὑμῶν κράτους ποιῶμαι διὰ παντός, εὐσεβέστατοι καὶ καλλίνικοι βασιλεῖς. Ps. 88, 20–22 M VII 317

Σαβινιανὸς ἐπίσκοπος ὑπηγόρευσα καὶ ὑπογράψας ἐπιδίδωμι τῆι ὑμετέραι εὐσεβείαι.
Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τὴν διδασκαλίαν ἀνέγνω

6 Τοῖς κατὰ πάντα θεοφιλεστάτοις καὶ ἁγιωτάτοις πατράσι [καὶ] ἀρχιεπισκόποις Λέοντι Ἀνατολίωι Μαξίμωι καὶ πάσηι τῆι λοιπῆι ἁγίαι συνόδωι δέησις καὶ ἱκεσία παρὰ Σαβινιανοῦ ἐπισκόπου. Πολλαὶ μὲν καὶ διάφοροι αἱ περὶ τὸ γένος τῶν ἀνθρώπων τοῦ δεσπότου Χριστοῦ εὐεργεσίαι, ἡ δὲ ἐν τῶι παρόντι καιρῶι περὶ τὰς αὐτοῦ ἁγίας ἐκκλησίας γενομένη κηδεμονία ἰδική τις τυγχάνει καὶ ἐξαίρετος, καθὼς τὰ πράγματα βοᾶι. συνήθροισε γὰρ τὴν ὑμετέραν ἀγγελικὴν σύνοδον διὰ τῶν ὡς ἀληθῶς εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων ἐπὶ τῶι τὴν πλάνην ἰδεῖν καὶ τὴν μὲν πρὸ τούτων ἐνιαυτῶν δύο μικρῶι πρὸς ἐν Ἐφέσωι γενομένην σύγχυσίν τε καὶ ἀκαταστασίαν καταργῆσαι, τὴν δὲ ἀλήθειαν καὶ δικαιοσύνην φωτίσαι. ὅθεν κἀγὼ τῆς ζάλης ἐκείνης καὶ τῶν κλυδώνων πειραθεὶς ἐπὶ τὸν ὑμέτερον κατέφυγον εὔδιον λιμένα διδάσκων ὡς Διόσκορος ὁ τῆς Ἀλεξανδρέων αὐθεντίαι, ἔτι δὲ καὶ τυραννίδι ἐμὲ μὲν τῆς ἐγχειρισθείσης μοι κατὰ κανόνας τῶν Περρηνῶν ἐκκλησίας διὰ τοῦ ἁγιωτάτου ἐπισκόπου καὶ μητροπολίτου ἡμῶν Στεφάνου ἐξέωσεν, ἀντεισήγαγεν δὲ Ἀθανάσιον, ἄνδρα καθαιρεθέντα ἐν τῆι Ἀντιοχέων μεγαλοπόλει ὑπὸ πλείστων θεοφιλεστάτων ἐπισκόπων. οἷα τοίνυν M VII 320

M, B [= abo], Φ

1 ἀπό B^b 2 τέως om. $Φ^{ac}$ 6 ὑμῶν Φ ἡμῖν B^o 7 μου² MΦ om. B 8 *susceptit* $Φ^r$ *confortauit* $Φ^{cr}$ πιστεύω B^{bo} 9 γοῦν B^o εἰσ MB^{ao} *super* Φ om. B^b 10 μοι B^o 12 οἰκοδομῶν B ἐπισκοπῆς Φ ἐπισκόπου MB 13 ἕνεκα B^o 15 τῆς om. M 18 αὐτῶν B^b 20 τῆι] τὸ M δὲ om. $Φ^{ac}$ *et* $Φ^r$ 22 καὶ om. B^o 26 ἐπίσκοπος om. B^o 27 τὴν διδασκαλίαν om. Φ 28 κατὰ MB^{ao} τὰ B^b ἁγιωτάτοις MΦ ἁγίοις B καὶ om. $B^oΦ$ 30 παρὰ B^o 32 ἐξαιρέτως B^b 33 ἡμετέραν B^o εὐαγγελικήν $Φ^a$ *et partim* $Φ^c$ 35 τούτων τῶν B^o 39 τῆς M

καὶ τοῖς μετὰ τούτους γέγονεν καὶ ὅπως πᾶσα ἡ πόλις μετὰ πικρῶν δακρύων καὶ ὀδυρμῶν περιχεθεῖσα δυσαποσπάστως εἶχε περὶ ἐμὲ καὶ τὴν ἐμὴν ἐπένθει βιαίαν ἐκβολήν, τάχα περιττὸν ἐμὲ λέγειν. δι' ὃ παρακαλῶ καὶ καθικετεύω τὴν ὑμετέραν φιλοθείαν μὴ περιιδεῖν τὴν κατ' ἐμοῦ γενομένην ἀδικίαν, ἀλλὰ κελεῦσαι τῶν δικαίων με τυχεῖν, ὅπως καὶ ἐν τούτωι ἀνυμνῆται ὁ φιλάνθρωπος θεὸς διὰ τῆς ὑμετέρας ἀγγελικῆς καὶ θεοτιμήτου συνόδου καταργήσας μὲν τὴν πλάνην, φωτίσας δὲ τὴν ἀλήθειαν.

Σαβινιανὸς ἐπίσκοπος ἐπιδέδωκα ὑπαγορεύσας καὶ ὑπογράψας τήνδε τὴν δέησιν.

7 Οἱ μεγαλοπρεπέστατοι ἄρχοντες εἶπον· Ἀποκρινάσθω Ἀθανάσιος ὁ εὐλαβέστατος ἐπίσκοπος Πέρρης.

8 Ἀθανάσιος ὁ εὐλαβέστατος εἶπεν· Τὸ ἐμὸν πρᾶγμα ἀπὸ μακροῦ χρόνου κατῆρκται καὶ τούτου ἤκουσαν οἱ τῆς μακαρίας μνήμης Κύριλλός τε καὶ Πρόκλος καὶ φανεροὺς τύπους ἔγραψαν τῶι Ἀντιοχείας γενομένωι ἐπισκόπωι Δόμνωι. συνέθετο ἐκεῖνος πληροῦν ταῦτα· αἰσθόμενος τοῦ θανάτου τοῦ μακαρίου Κυρίλλου ἀνεπήδησεν καὶ ἐκάλει με εἰς κρίσιν. ἐγὼ ἀντέγραψα ὡς εἰ μὲν βούλοιτο ἐμμεῖναι τοῖς τύποις τοῖς δοθεῖσι παρὰ τῶν ἀρχιεπισκόπων, ἕτοιμός εἰμι· εἰ δὲ ἕτερόν τι βούλεται, οὐκ ἐπακούω τῆι κλήσει. ἅπαξ γὰρ οἱ προλαβόντες ἅγιοι ἐπίσκοποι φανερὰ ἐτύπωσαν. ἠτιασάμην δὲ καὶ αὐτοὺς τοὺς συσκευασαμένους με καὶ ἐκέλευσαν μὴ παρεῖναι τῆι κρίσει αὐτοὺς τοὺς αἰτιαθέντας παρ' ἐμοῦ. ἀξιῶ, εἰ παρίσταται τῆι ὑμετέραι ἐξουσίαι, τὰ γράμματα τῶν ἀρχιεπισκόπων ἀναγνωσθῆναι.

9 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Τὰ γράμματα Πρόκλου καὶ Κυρίλλου τῶν τῆς εὐλαβοῦς μνήμης ἀναγινωσκέσθωσαν.

Καὶ ἐπιδοθέντος σχεδαρίου παρὰ Ἀθανασίου τοῦ ἐπισκόπου Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος ἀνέγνω

L IIII 723 Ἀντίγραφον συνοδικοῦ γράμματος

10 Κυρίωι μου ἀγαπητῶι ἀδελφῶι καὶ συλλειτουργῶι Δόμνωι Κύριλλος ἐν κυρίωι χαίρειν. Συναλγεῖν ἡμᾶς ἀδελφοῖς ἀναγκαῖον [καὶ] εἴ τινες τῶν συλλειτουργῶν πεπονθέναι τινὰ διισχυρίζονται, καὶ τοῦτο παρὰ κληρικῶν ἰδίων, οὓς ἦν ἀναγκαῖον ὑπέχειν ἅτε πατρὶ τὸν αὐχένα καὶ ὑποτάττεσθαι κατὰ τὸ δοκοῦν τῶι θεῶι καὶ τοῖς τῆς ἐκκλησίας κανόσι διηγορευμένον. τοῦτο πῶς οὐ τῶν αἰσχίστων ἐστὶ τολμώμενον; τοιαῦτα πεπονθέναι φησὶν ἑαυτὸν ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος ⟨ὥστε⟩ ἔδωκεν καὶ τὸ τῆς συναχθείσης κατὰ τὴν βασιλεύουσαν Κωνσταντινούπολιν συνόδου κατενεχθῆναι
M VII 321 δάκρυον. φησὶ γὰρ τινὰς τῶν ὑπ' αὐτὸν ὄντων κληρικῶν καταυθεντῆσαι τοσοῦτον ὡς τό γε ἧκον εἰς ἐγχειρημάτων δύναμιν καὶ ἐξεῶσαι τῆς ἱερωσύνης αὐτὸν καὶ καθαιρέσεως ψῆφον ἐπ' αὐτὸν ἐξενεγκεῖν. βούλονται γὰρ τοὺς μὲν οἰκονόμους τῆς ἐκκλησίας

M, B [= abo], Φ

1 τοῖς μετὰ τούτους [τούτοισ Bbo] MB corrupta *post haec* Φ 2 τὰ περὶ M 4 καὶ κελεῦσαι Φ 5 καὶ¹ om. Φcr εὐαγγελικῆς Φ 6 συνόδου] σπουδῆσ Bo καταργησάσης — φωτισάσης Φ 8 ἀποκρινέσθω Bo 9 τῆσ πέρρησ Bo om. Φcr 10 ὁ εὐλαβέστατος ἐπίσκοπος Πέρρης Φ ὁ εὐλαβέστατοσ ἐπίσκοποσ Bo χρόνου om. Bo 12 τῶι] ὡσ Bo ἐκεῖ Bo 13 προσπληροῦν M ἀνεκάλει Bo 14 με MΦ om. B δὲ ἀντέστρεψα Bb 15 βούλεται BΦ βουλεύεται M 16 ἅπαξ] ἅπαντεσ Bo ἅγιοι om. Φ 17 καὶ¹ om. Bo μὴ] μοι Bo 19 τῶν om. Bo 22 σχιδαρίου M 23 *secretarius diuini consistorii* Φ praeter unum codicem Φv 25 ἀγαπητῶι om. Φ Κύριλλος om. Bo 26 ἀναγκαίωσ M καὶ om. Φ 27 τί Bb ἐπέχειν Bo 29 διηγορευμένοισ M τοῦτο BΦ τότε M πωσ Φ οὐ B οὖν Φ om. M ἐστὶ BΦ ἐπὶ τό M 30 φησὶ πεπονθέναι B ὥστε om. MB *ut* Φ τῶ Bb 32 ὑπ' αὐτὸν MBac ἀπ' αὐτῶν Bb καὶ καταυθεντίσαι M 33 ἐξῶσαι Bo 34 ἐξενεγκαντεσ M γὰρ om Φ

ἤτοι τοὺς τῶν ἐκκλησιαστικῶν πραγμάτων χειριστὰς ἐκβαλεῖν, στῆσαι δὲ αὐτοὶ τοὺς κατὰ γνώμην ἰδίαν καὶ πρὸς τούτοις ἔτι καὶ ἐκ τῶν ἱερῶν διπτύχων περιελεῖν αὐτοῦ τὸ ὄνομα ἕτερά τέ τινα ἀπηχῆ καὶ ἀνοσιότητος γέμοντα δρᾶσαι, ἃ καὶ ἡ τῶν συνεζευγμένων λιβέλλων περιέχει δύναμις. ἐπειδὴ δέ ἐστι τῶν ἀτόπων τοιαῦτα τολμᾶσθαι παρὰ κληρικῶν κατὰ τῶν ἰδίων ἐπισκόπων καὶ περιιδεῖν ἀμήχανον αὐτά, καταξιωσάτω ἡ σὴ ὁσιότης, εἰ τῆς Ἀντιοχέων ἐστὶ μακρὰν ἡ πόλις ἣν διοικεῖν ἔλαχεν ὁ μνημονευθεὶς θεοσεβέστατος ἐπίσκοπος Ἀθανάσιος, τισὶ δι' οἰκείων γραμμάτων ἐπιτρέψαι τὴν ἀκρόασιν, ὥστε κληθέντας τοὺς τὴν αἰτίασιν ὑπομένοντας ἀπολογήσασθαι καὶ εἰ εὑρεθεῖεν ἔνοχοι τοῖς αἰτιάμασιν, ἀπολισθῆσαι τῆς ἱερᾶς λειτουργίας. ὃ γὰρ αὐτοὶ τετολμήκασι κατὰ πατρὸς ἰδίου, τοῦτο πάθοιεν ἂν δικαίως πάσης ἀλογήσαντες ἀκολουθίας καὶ πάντα θεσμὸν ὑπερβάντες καὶ παρ' οὐδὲν ποιησάμενοι τὸ ἀτιμάσαι γῆρας πατρός. λέγονται δὲ καὶ οὐ νῦν πρῶτον ἄρξασθαι τοῦ εἶναι τοιοῦτοι, ἀλλ' ἤδη κατεγνῶσθαι καὶ ἐπὶ πολλοῖς ἔτι χείροσι καὶ θρασέσιν ἐγχειρήμασι. φάσκει δὲ ὕποπτον ἔχειν τὸν λαχόντα νῦν εἰς τὸ μητροπολιτικὸν δίκαιον τῆς ἐνορίας ἐξ ἧς ἐστιν, καὶ ὡς ἔφην ἤδη, τὸ λυποῦν οὐδὲν ἐξεῖναι τοὺς ἐν ὑποψίαι μὴ δικάζειν αὐτῶι.

Πρόσειπε τὴν παρὰ σοὶ ἀδελφότητα· σὲ ἡ σὺν ἡμῖν ἐν κυρίωι προσαγορεύει.

Ἀντίγραφον συνοδικοῦ γράμματος

11 Τῶι ὁσιωτάτωι καὶ θεοφιλεστάτωι ἀδελφῶι καὶ συλλειτουργῶι Δόμνωι Πρόκλος ἐν κυρίωι χαίρειν. Τὸ φιλάλληλον, θεοφιλέστατε, μέγιστον ἐν τούτωι τυγχάνει δῶρον· συνδεσμῶν γὰρ εἰς ὁμογνωμοσύνην ὁ ἀριστοτέχνης θεὸς ἣν ἐδημιούργησε φύσιν, τῆι διαθέσει τοῦ λόγου διοικουμένου συνέσφιγξεν, ἵν' οἰκειούμενοι τὰ ἀλλήλων πάθη τε καὶ ἤθη καὶ ἕκαστος ἐφ' ἑαυτοῦ τὸ τοῦ ἑτέρου μετρῶν εἰς ἄλυτον συμπαθείας ὁμοφροσύνην συμπλέκοιτο τῶι ὁμοφυεῖ. τὰ μὲν γὰρ ἀφεστῶτα κατὰ σχέσιν πρὸς τὴν ἀλλήλων ἀναγκαίως ἐπείγεται φθοράν, τὰ δὲ ἡνωμένα κατὰ γνώμην οὐ ῥαιδίως ἀπολισθαίνει τοῦ οἰκείου ἀσφαλοῦς. δι' ὃ καὶ ὁ μακάριος Παῦλος τὸ πλῆθος τῶν πιστῶν καὶ τὸ συγκρότημα τῆς ἐκκλησίας σώματι ἀπείκασεν, λέγων ὑμεῖς ἐστὲ σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέλους, πάντως διαγορεύων τὴν τοῦ πλήθους σύμπνοιαν καὶ ἀπαγορεύων νοσεῖν τὴν φιλοπόλεμον ἀντίστασιν ἐκ τῆς τῶν μελῶν συμφωνίας. πρὸς τί δὲ ταῦτα γράφω, θεοφιλέστατε, μικρὸν ἀνάσχου μαθεῖν. ὁ θεοφιλέστατος τῆς Περρηνῶν ἐκκλησίας ἐπίσκοπος Ἀθανάσιος ἄπιστόν ⟨τε⟩ ὁμοῦ καὶ πλήττουσαν οὐ μετρίως τοὺς ἀκούοντας ἀπεθρήνησεν τραγωιδίαν φήσας τοὺς αὐτοῦ κληρικοὺς ὥσπερ ἀποδυσαμένους τὸν λογισμὸν τῆς ὑποχειριότητος καὶ νομίσαντας ἀρκεῖν αὐτοῖς ἐκ τοῦ βούλεσθαι καὶ εἶναι ἱεροτυράννοις ἀπώσασθαι μὲν αὐτὸν τῆς ἐκκλησίας σὺν οὐδενὶ δικαίωι λόγωι καὶ τό γε ἐπ' αὐτοῖς καὶ ὅσον ἦκεν εἰς μανίας ὑπερβολήν, καθελεῖν καὶ τοῖς ἔργοις πεῖσαι ὅτι ἐν τῆι γνώμηι τῶν προπετευομένων, ἀλλὰ μὴ ἐν τῆι ψήφωι τῶν κανόνων ἡ τῶν ἱερῶν κρατύνεται τάξις, οἰκονόμους τε καὶ φροντιστὰς κατ' οἰκείαν ἀρέσκειαν ἐπιστῆσαι τῆι ἐκκλησίαι καὶ τῶν ἱερῶν δέλτων περιελεῖν τὸ ὄνομα τοῦ ἐπισκοπεύοντος καὶ συντόμως εἰπεῖν ἀναφανδὸν

L IIII 726

M VII 324
1 Cor. 12, 27

M, B [= abo], Φ

1 ἐκβάλλειν M 3 ἀπηχῆ B προαπήχθη M πρᾶξαι B° 6 εἰ τῆς om. B° 8 αἰτίαν B$^{a°}$ 10 τοῦ ἰδίου πρσ B^{b} 11 γῆρας πρσ MΦ πρα B 12 πρότερον B τοῦ ἄρξασθαι B^{b} ἄρξασθαι B° 13 εἶν' ἔχειν B^{b} 18 ἀδελφῶ MΦ om. B καὶ^{2} om. B° 19 φιλάδελφον B^{a} φιλάληθον B° τυγχάνειν B° 21 τοῦ λόγου MΦ τοὺσ λόγω B *disponente* Φ διοικουμένουσ MB; sensus est *ratione per amorem administrata* 21/22 τε καὶ ἤθη MΦ om. B 22 ἑκάστωι Φ ἑαυτὸν B^{b} μετρῶν B μέτρον MΦ 23 *eiusdem naturae existenti* Φ τὰ ὁμοφυῆ MB 24 ἀπολισθαίνουσι B° 27 μέλους Φ μέρουσ MB 28 γράφω ταῦτα B° 29 *patere me* Φ^{a} 29/30 ἐπίσκοποσ τῆσ — ἐκκλησίασ B 30 *et incredibilem* Φ^{r} τε om. MBΦ^{ac} 31 αὐτοὺσ B° ὥστε B° 34 καὶ καθελεῖν καὶ M 35 προτευομένων B^{bo} ἀλλ' ἂν M 36 τε MB δὲ Φ ἀρέσκειαν M αὐθεντίαν B *uoluntatem* Φ ἐπιστῆναι B^{b}

ἐξορχήσασθαι τὴν ἐκκλησιαστικὴν εὐταξίαν, προσθεὶς ὡς ἔθρεψεν αὐτῶν τὴν περὶ τὰ τοιαῦτα τόλμαν ἡ τῶν πάλαι παρ' αὐτῶν ἀνοσιουργηθέντων οὐκ εὔλογος συγγνώμη. τοῖς γὰρ πρὸ αὐτοῦ τὰ ὅμοια πεποιηκότες ὁδῶι τὴν ὁρμὴν ἐπὶ τὸ χεῖρον ἐκορύφωσαν ἐφ' οἷς μὴ πάλαι ἀξίαν δεδώκασι δίκην, τοῦ μηδὲ αὖθις σωφρονῆσαι ἐσχηκότες ἐφόδιον. ἀλλ' αὐτός, θεοφιλέστατε, καταξίωσον παρ' ἡμῶν δυσωπούμενος (δύνασαι γάρ) οἰκειώσασθαι τοῦ συνιερέως τὰς ἀσθενείας μάλιστα πειθόμενος τῶι μακαρίωι Παύλωι βοῶντι
1 Cor. 12, 26 εἰ πάσχει ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη, ὡς εἰ μακρὰν τῆς Ἀντιοχέων μεγαλοπόλεως ἡ πόλις ἐν ἧι ταῦτα ἐδραματουργήθη, ἀπῴκισται, τινὰς τῶν ἀστυγειτόνων καὶ ἀπροσωπολήπτων θεοφιλεστάτων ἐπισκόπων ἀκοῦσαι τῆς ὑποθέσεως (ὑφορᾶται γὰρ τὸν θεοφιλέστατον ἐπίσκοπον τῆς μητροπόλεως ὡς τῆι τῆς μανίας τῶν ἀντιπάλων φλογὶ τὴν ἐκ δυσμενείας κατ' αὐτοῦ παρασχόντα δύναμίν τε καὶ ὕλην) καὶ εἰ ἐλεγχθεῖεν ἐφ' οἷς ἠτιάθησαν οἱ παρ' αὐτοῦ καταβοώμενοι ὡς εἰς ἀπόνοιαν τὸν Ἀβεσσαλὼμ ἐκεῖνον μιμησάμενοι, ἐπίσης ἐκείνωι δέξασθαι καὶ τὴν ἐκ τοῦ παραδείγματος τιμωρίαν. οὕτω γὰρ μισεῖ ὁ θεὸς τοὺς κατὰ πατέρων ὁπλιζομένους, ὡς ἐν πάσηι τῆι κτίσει στηλιτεύειν τοὺς πατραλοίας. οἶδα δέ, θεοφιλέστατε, ὡς πάντας περιπτυσσόμενος ἐν σπλάγχνοις Χριστοῦ καὶ γέμων συμπαθείας οἰκειώσηι τὸν πρεσβύτην καὶ ἀπο-
L IIII 727 μάξεις αὐτοῦ τὸ τῆς θλίψεως δάκρυον καὶ χαριῆι αὐτῶι τὸ μισοπόνηρον καὶ τοὺς τῆς ἱερωσύνης ἐπιβούλους μετὰ τοὺς ἐλέγχους ὀργῆι δικαίαι χρησάμενος καὶ ἀμύνηι τὸ πρέπον ἐχούσηι παρασκευάσεις ἐκποδὼν γενέσθαι, πονηρὰν νομὴν τὸ κοινὸν τῆς ἱερωσύνης καταβλάπτουσαν ἐπιστημόνως ἐκτέμνων. εἰ γὰρ δοίη τις τοὺς τολμῶντας ἃ μὴ δεῖ, καὶ εἰς τοσοῦτο φθάνοντας θράσους, ὡς καὶ τοιούτων κατατολμᾶν δι' ὧν ἱερωσύνην καθυβρίζουσιν, οἰκτείρειν ἀκρίτως ἀφ' ὧν τὸν ἔλεον περὶ ἀνομίας θηρῶνται [καὶ] παρακλήσεσι, λείπεται οὐδὲν ἢ πάντας τοὺς τῶν ἐκκλησιῶν προεστῶτας παίγνιον εἶναι καὶ τῶν διαβολικῶν ὀργάνων. ἀλλ' ὁ θεὸς ἐπὶ τούτωι καὶ τὴν σὴν θεοσέβειαν προεχειρίσατο ἐπὶ τῶι καὶ παύειν ἀδικίας καὶ τόλμας ἀναστέλλειν καὶ ἱερωσύνηι καμνούσηι
M VII 325 βοηθεῖν καὶ ταῖς εἰκαίαις λοιδορίαις χώραν μὴ παρέχειν, ἀλλὰ μετὰ διάγνωσιν τῶι μὲν συκοφαντουμένωι, εἴ γε σεσυκοφάντηται, βοηθεῖν, τὸν δὲ συκοφαντοῦντα, εἴ γε ἀληθῶς συκοφαντεῖ, ἐκτέμνειν. μὴ τοίνυν νομίσηι σου ἡ θεοσέβεια ὡς ἐφ' ὕβρει τοῦ θρόνου τῆς μεγίστης Ἀντιοχέων πόλεως κατέλαβε τὰ τῆιδε ὁ μνημονευθεὶς θεοφιλέστατος ἐπίσκοπος, ἀλλ' ὑφορώμενος τινάς, ὡς φησι, τοὺς ταραχαῖς χαίροντας καὶ οἰκείωι πάθει στρατευομένους δέδωκε πρὸς καιρὸν τόπον τῆι ὀργῆι, ἐπεὶ τό τε ἀνεξίκακον καὶ ἥμερον καὶ φιλοδίκαιον τῆς σῆς θεοσεβείας κηρύττων οὐ παύεται καὶ ἄλλως οὐκ αἰτιώμενος· μὴ γένοιτο· ἀλλὰ δυσωπῶν αἰδεσιμωτέραν γενέσθαι τὴν ἐπ' αὐτῶι μεσιτείαν. δι' ὃ καὶ τοῖς παροῦσιν αὐτὸν ἐφοδιάσαντες γράμμασι θαρρεῖν εἴπομεν ἐγώ τε καὶ ὁ ὁσιώτατος ἐπίσκοπος καὶ συλλειτουργὸς ἡμῶν Κύριλλος ὡς διὰ τὴν κρατοῦσαν ἐν ἡμῖν ἀγάπην αἰδεσθεὶς τοὺς ἐπιστείλαντας βοηθήσεις πάντως τῶι κομίσαντι.

Πᾶσαν τὴν σὺν σοὶ ἀδελφότητα πλεῖστα προσαγορεύω.

12 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Μετὰ τὰς ἐπιστολὰς τί ἐπράχθη;

M, B [= abo], Φ

1 αὐτόν Bb 2 συγγνώμην Bb 4 τοῦ B τὸ M 7 ὡς scripsi *ut* Φ καὶ MB τῆσ MBac τῶν Bb 8 τινὰσ MB et unus codex Φc τινὰ Φ 11 τὴν] τῆσ Bo 12 ὡς scripsi *tamquam* Φ καὶ MB 13 ἐφίσησ M 15 πατρολοίασ MBab πάντα Bo 16 χῶ Bo 16/17 συμπαθείας — αὐτοῦ om. Bo 18 καὶ μετὰ Bo 21 τοσοῦτον Ba τοιοῦτον Bb 21/22 ὡς — καθυβρίζουσιν] *ut et deo per pontifices contumeliam inferre audeant* Φ 22 τὸν] τὸ Bb καὶ om. BbΦ 22/23 παρακλήσεσι MΦ παρακαλεῖν B 26 εἰκαίαισ MBb οἰκείαισ Bao *multis* Φ 27 συκοφάντηται Bbo βοηθεῖν] ἀδικεῖν Bo 28 συκοφαντεῖ om. M 29 τὰ B κατὰ M 34 εἴπωμεν M

13 Σαβινιανὸς ὁ εὐλαβέστατος εἶπεν· Ἀξιῶ τὰ ὑπομνήματα ἀναγνωσθῆναι καὶ ταῦτα διδάσκει ὑμᾶς.

14 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Αἱ διαλαλιαὶ τῶν προκομιζομένων ὑπομνημάτων ἀναγινωσκέσθωσαν.

Κωνσταντῖνος ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστορίου ἀπὸ σχιδαρίου ἐπιδοθέντος αὐτῶι παρὰ Σαβινιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου, οὗ ἡ ἀρχὴ ἔφθαρται, τὰ ἑξῆς ἀνέγνω

15 Ἐν τῆι Ἀντιοχέων ἁγιωτάτηι ἐκκλησίαι ἐν τῶι στοιδίωι τοῦ θερινοῦ σηκρήτου συνόδου γενομένης καὶ καθεσθέντων τῶν ἁγιωτάτων ἐπισκόπων

1 Δόμνου τῆς αὐτῆς Ἀντιοχείας
2 Θεοδώρου Δαμασκοῦ
3 Βαλερίου Ἀναζαρβοῦ
4 Πομπηιανοῦ Ἐμίσης
5 Πολυχρονίου Ἐπιφανείας **τῆς δευτέρας Κιλικίας**
6 Δαμιανοῦ Σιδῶνος
7 Ἰαμβλίχου Χαλκίδος
8 Θεοκτίστου Βεροίας
9 Γεροντίου Σελευκείας
10 Ἰωσὴφ Ἡλιουπόλεως
11 Τιμοθέου Δολίχης
12 Βενετίου Βίβλου
13 Ἐπιφανίου Ἡρακλείας
14 Παύλου Πτολεμαίδος
15 Στεφάνου Ἐπιφανείας **δευτέρας Συρίας**
16 Φωσφόρου Ὀρθωσιάδος
17 Θωμᾶ Μοψουεστίας
18 Ἰορδάνου Ἀβίλης
19 Παύλου Ἀνταράδου
20 Βαράνου Ἀλεξανδρείας
21 Μάρα Οὐρίμων
22 Σάβα Πάλτου
23 Μάρα Ὀνοσάρθας
24 Ἰωάννου Θεοδοσιουπόλεως
25 Δανιήλου Καρρῶν
26 Σωφρονίου Κωνσταντίνης
27 Οὐρανίου Οὔρας
28 Μαριανοῦ Ῥοσαφᾶς

16 Τατιανὸς διάκονος καὶ νοτάριος εἶπεν· Οἱ ἀπὸ Πέρρης ὁρμώμενοι κληρικοὶ λιβέλλους καὶ νῦν πάλιν ἐπιδεδώκασι τῆι ὑμετέραι ἁγιότητι κατὰ τοῦ εὐλαβεστάτου ἐπισκόπου L IIII 730

M, B [= abo], Φ

1 σαβιανὸσ B^{o} ὁ εὐλαβέστατοσ ἐπίσκοποσ B^{bo} 2 αὐτά Φ 3 *interlocutiones* Φ διδασκαλίαι MB 6 οὗ — ἔφθαρται] periit temporis notatio 8/9 *in aestiuali porticu secretarii* Φ 9 καὶ om. B^{b} 12 βαλλερίου B 13 πομπιανοῦ M ἐμέσης B^{o} 14 ἐπιφανίασ MB^{ao} 17 βερρολασ B 19 ἰλιουπόλεωσ B^{b} 21 βίβλου $B^{o}Φ$ βίλου MB^{ab} 22 ἠρακλείασ MB *Arcae* Φ, cf. p. 71, 31 24 ἐπιφανίασ MB^{ao} 31 σάββα B^{ab} 32 μάρα ὀνοσαρθᾶσ $B^{o}Φ$ μαράονοσ σαρθᾶσ MB^{b} μάρα ἀνασάρθασ B^{a} 34 καρῶν $BΦ^{ac}$ 35 *Constantiae* $Φ^{cr}$ 36 *Suorum* $Φ^{r}$ *syrorum* $Φ^{ac}$ p. 78, 26 37 *Mariniano* Φ

M VII 328 Ἀθανασίου. ἐπειδὴ τοίνυν πάρεστιν ἡ ἁγία σύνοδος, ἔχω μετὰ χεῖρας τοὺς λιβέλλους καὶ εἰ κελεύσειεν ἡ σὴ ὁσιότης, τούτους ἀναγνώσομαι.

17 Δόμνος ἐπίσκοπος εἶπεν· Ποῦ εἰσιν οἱ τοὺς λιβέλλους ἐπιδεδωκότες;

18 Τατιανὸς διάκονος εἶπεν· Ἔξω εἰσίν.

19 Δόμνος ἐπίσκοπος εἶπεν· Εἰσίτωσαν.

20 Τατιανὸς διάκονος εἶπεν· Ἔστηκεν Ἰσαάκιος ὁ τοὺς λιβέλλους ἐπιδεδωκώς.

21 Δόμνος ἐπίσκοπος εἶπεν· Μόνος Ἰσαάκιος ἐπιδέδωκεν τοὺς λιβέλλους ἢ καὶ ἕτεροι σὺν αὐτῷ;

22 Τατιανὸς διάκονος εἶπεν· Μόνος Ἰσαάκιος ἐπιδέδωκεν τοὺς λιβέλλους.

23 Δόμνος ἐπίσκοπος εἶπεν· Λεγέτω Ἰσαάκιος εἰ αὐτὸς ἐπιδέδωκεν τοὺς λιβέλλους.

24 Ἰσαάκιος ἀρχιαναγνώστης εἶπεν· Ναί, δέομαι τῆς ἁγιωσύνης σου.

25 Δόμνος ἐπίσκοπος εἶπεν· Ἀνάγνωθι τούτους.

Καὶ ἀνεγνώσθησαν.

26 Δόμνος ἐπίσκοπος εἶπεν· Ἐπειδὴ ἐμνημόνευσε καὶ Ἰωάννου ὑποδιακόνου, εἰσίτω καὶ οὗτος.

27 Τατιανὸς διάκονος εἶπεν· Πάρεστι καὶ Ἰωάννης ὁ ὑποδιάκονος.

28 Δόμνος ἐπίσκοπος εἶπεν· Παρόντων αὐτῶν ἀνάγνωθι τοὺς συνεζευγμένους λιβέλλους.

Καὶ ἀνεγνώσθησαν.

29 Δόμνος ἐπίσκοπος εἶπεν· Ποῦ εἰσιν οὗτοι οἱ λίβελλοι;

30 Τατιανὸς διάκονος εἶπεν· Ἔχω τούτους μετὰ χεῖρας.

31 Δόμνος ἐπίσκοπος εἶπεν· Ἀνάγνωθι καὶ τούτους.

Καὶ ἀνεγνώσθησαν.

32 Δόμνος ἐπίσκοπος εἶπεν· Ἡνίκα παρεπέμψαμεν τὴν δίκην τῶι μακαριωτάτωι Πανολβίωι τῶι τηνικαῦτα μητροπολίτηι τῆς ἐπαρχίας ὥστε διακοῦσαι τῆς ὑποθέσεως, τίνα παρηκολούθησεν;

33 Τατιανὸς διάκονος εἶπεν· Ἔχω τοῦ αὐτοῦ μακαριωτάτου Πανολβίου ἐπιστολὴν δι' ἧς ἐδίδαξεν τὰ παρακολουθήσαντα.

34 Δόμνος ἐπίσκοπος εἶπεν· Ἀνάγνωθι καὶ ταύτην.

Καὶ ἀνεγνώσθη.

35 Δόμνος ἐπίσκοπος εἶπεν· Ἔχεις τὰ ἀντίγραφα τῶν παραιτήσεων τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀθανασίου;

36 Τατιανὸς διάκονος εἶπεν· Ἔχω μετὰ χεῖρας καὶ τὰ ἀντίγραφα καὶ τὰ αὐθεντικὰ λαβὼν παρὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου Ἰωάννου τοῦ τῆς Ἱεραπολιτῶν μητροπόλεως.

37 Δόμνος ἐπίσκοπος εἶπεν· Ἀναγινωσκέσθω τὰ αὐθεντικὰ κατὰ τάξιν.

Καὶ ἀνεγνώσθη.

38 Θεόδωρος ἐπίσκοπος Δαμασκοῦ εἶπεν· Ὅτι εὐνοικῶς διέκειτο περὶ τὸν εὐλαβέστατον ἐπίσκοπον Ἀθανάσιον ὁ μακαρίτης Πανόλβιος ὁ τῆς Ἱεραπολιτῶν τὸ τηνικαῦτα ἐπίσκοπος, διὰ τῶν οἰκείων παραιτήσεων ἐδίδαξεν ὁ αὐτὸς εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος. δῆλος τοίνυν ἐστὶ φυγὼν τὴν δίκην καὶ μηδὲ τῶι φίλωι ἑαυτοῦ τὴν κατ' αὐτὸν ἐμπιστεύσας ἀκρόασιν.

M, B [= abo], Φ

7 ἐπίσκοπος om. B^b *et solus* $Φ^{ac}$ 7 δέδωκε B^b ἄλλοι B^b 11 δέομαι — σου MBΦ^r *Domne* $Φ^{ac}$ 12/13 Δόμνος — ἀνεγνώσθησαν om. Φ 12 ἐπίσκοπος om. B^b 15 οὗτως M 20 οὗτοι MB αὐτοί Φ 21 τούτους MΦ om. B 22 ἐπίσκοπος om. B^b 23 ἀνεγνώσθη B^{3b} 25 τῆς^1 om. B^b 26 παρηκολούθησαν B^b 29 ἐπίσκοπος om. B^b ἀνέγνω B^o 34 Ἰωάννου om. B τοῦ om. B^{bo} 36 ἀναγινωσκέσθωσαν B^o κατὰ τάξιν om. $Φ^{ac}$ 39 ἐπίσκοπον om. B τῶν B^b 40 αὐτὸς om. Φ

39 Βαλέριος ἐπίσκοπος Ἀναζαρβοῦ εἶπεν· Δῆλός ἐστιν ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος συνειδὼς ἑαυτῷ τινά, ἅπερ καὶ κατηγόρηται, τῷι μὴ βουληθῆναι παρὰ τῷι αὐτοῦ φίλωι τῷι μακαριωτάτωι Πανολβίωι δικάσασθαι κατὰ τὰς παρ' αὐτοῦ γραφείσας παραιτητικὰς ἐπιστολάς.

40 Πομπηιανὸς ἐπίσκοπος Ἐμίσης εἶπεν· Φίλου τυγχάνοντος αὐτῷι τοῦ μακαρίου Πανολβίου τοῦ ἐπισκόπου ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος δῆλός ἐστιν ὡς ὑπὸ κακοῦ συνειδότος τοῦτο πεποίηκεν. M VII 329 6

41 Πολυχρόνιος ἐπίσκοπος Ἐπιφανείας εἶπεν· Ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος οὐδὲ τῷι ἑαυτοῦ φίλωι θαρρήσας τὴν κατ' αὐτὸν κατηγορίαν δῆλός ἐστι φαύλωι συνειδότι φυγὼν τὴν δίκην.

42 Ἰάμβλιχος ἐπίσκοπος Χαλκίδος εἶπεν· Εἰ ἑαυτῷι ἐθάρρει ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος, οὐκ ἂν τὴν ἀκρόασιν Πανολβίου τοῦ φίλου αὐτοῦ παρητήσατο, ὡς αὐτὸς ἐν τοῖς παραιτητικοῖς γράμμασι τοῖς πρὸς αὐτὸν ὡμολόγησεν· ἀλλ' ἴσως ὑπὸ τοῦ συνειδότος ἐλαυνόμενος ἔφυγεν τὴν κλῆσιν τὴν ἐπὶ τοῦ προειρημένου μακαρίου Πανολβίου. L IIII 731

43 Δαμιανὸς ἐπίσκοπος Σιδῶνος εἶπεν· Μεγάλα ἑαυτὸν ἠδίκησεν καὶ ὑπεύθυνον κατέστησεν τοῖς ἁγίοις κανόσιν ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος τρίτον κληθεὶς παρὰ τοῦ τῆς εὐλαβοῦς μνήμης Πανολβίου τοῦ τὸ τηνικαῦτα τῆς Ἱεραπολιτῶν μητροπόλεως ἐπισκόπου τυγχάνοντος καὶ τρίτον παραιτησάμενος καὶ μὴ ἀπαντήσας.

44 Γερόντιος ἐπίσκοπος Σελευκείας εἶπεν· Τὰ μέγιστα ἑαυτὸν ἠδίκησεν ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος μήτε τοῦ φίλου αὐτοῦ τοῦ μακαρίου Πανολβίου ἀνασχόμενος, καὶ ταῦτα κληθεὶς δικάσασθαι φυγὼν τὴν ἀκρόασιν, ὡς καὶ αἱ παρ' αὐτοῦ τρεῖς παρατητικαὶ ἐπιστολαὶ διεγνώρισαν.

45 Βενέτιος ὁ εὐλαβέστατος ἐπίσκοπος Βύβλου εἶπεν· Ἡ τῶν παραιτητικῶν γραμμάτων τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀθανασίου ἀνάγνωσις ἐδίδαξεν ἡμᾶς ὡς γνήσιος ἐτύγχανεν ὁ τότε μητροπολίτης αὐτῷι ὁ μακάριος Πανόλβιος, παρ' ὧι τὰς ἀποκρίσεις ἔδει ποιήσασθαι. ὅθεν οὐκ ἐχρῆν τὴν κλῆσιν φυγεῖν, εἰ μή πού γε τὸ συνειδὸς αὐτῷι ἐνεπόδιζεν.

46 Θεόκτιστος ἐπίσκοπος Βεροίας εἶπεν· Εἰ εἶχεν καθαρὸν τὸ συνειδὸς ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος, οὐκ ἂν παρητήσατο τοῦ μακαρίου Πανολβίου τὴν κρίσιν φίλου αὐτοῦ τυγχάνοντος.

47 Ἐπιφάνιος ἐπίσκοπος Ἄρκης εἶπεν· Ἔδειξεν ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος ὡς ἑαυτὸν τῆς Περρηνῶν ἐκκλησίας ἀπηλλοτρίωσεν τὴν ἐπισκοπὴν παραιτούμενος τρὶς ἐπέστειλεν, καὶ ταῦτα φίλον ἔχων τὸν μακάριον Πανόλβιον τὸν γενόμενον τῆς Ἱεραπολιτῶν ἐπίσκοπον, δυνάμενον, εἰ μὴ ἑαυτῷι συνήιδει, τὰ κατ' αὐτὸν δεόντως τυπῶσαι.

48 Μάρας ἐπίσκοπος Οὐρίμων εἶπεν· Τῷι φεύγειν τὸν εὐλαβέστατον ἐπίσκοπον Ἀθανάσιον τὴν κρίσιν τοῦ μακαρίου Πανολβίου τοῦ τὸ τηνικαῦτα τῆς Ἱεραπολιτῶν ἐπισκόπου δῆλός ἐστιν ἐλεγχόμενος ὑπὸ τοῦ συνειδότος.

M, B [= abo], Φ

1 βαλλέριοσ B 2 τινά et καὶ om. Φ 3 τῷι μακαριωτάτωι om. Φr κατὰ MBbo Φ καὶ Ba 4 παραιτικὰσ Bb 5 πομπιανὸσ M 6—8 δῆλός — Ἀθανάσιος om. Bo 8 ἐπιφανίασ M, Ba corr. 9 κατ' αὐτοῦ Bb 11 Χαλκίδος om. B ἑαυτῷ MB *de re* Φa om. Φcr ἐπίσκοπος om. Bo Φ 13 παραιτικοῖσ Bb παραινετικοῖσ Bo 14 μακαρίου om. Bo 16 τρίτον om. Φcr 17 τὸ om. Bo 21 καὶ² om. Φcr παρατοῦ M 23 βίβλου Bbo βίλου Ba 23/24 ἡ — γραμμάτων — ἀνάγνωσισ MΦ τὰ παραιτητικὰ γράμματα τοῦ — ἀθανασίου B 25 *ei* [om. unus codex Φr] *qui tunc metropolitis erat, hoc est beato Panolbio* Φ 26 μὴ om. M αὐτὸ M 28 βερροίασ B 29 κρίσιν M κλῆσιν B *audientiam* Φ 32/33 τὴν — παραιτούμενοσ [παραιτησάμενοσ Bb] — ἐπέστειλεν [ἀπέστειλε Bo] MB corrupte, deleterium ἐπέστειλεν *semel ipsum ab episcopatu Perrenorum ecclesiae fecit extraneum repudium tertio mittens* Φ 34 ἐπίσκοποσ Bb 35 *Orimorum* Φcr 37 ἐπισκοπῆσ Bo

49 Βαράνης ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Τὰ μέγιστα ἑαυτὸν ἠδίκησεν ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος μὴ ὑπακούσας τῶι τηνικαῦτα μητροπολίτηι τῶι μακαρίωι
M VII 332 Πανολβίωι, καὶ ταῦτα φίλωι αὐτοῦ τυγχάνοντι. ὅθεν δῆλός ἐστιν ὡς οὐκ ὀρθῶι συνειδότι συζήσας ἀπέφυγε τὴν τοιαύτην κρίσιν καὶ ἐπὶ τὰς παραιτήσεις ἦλθεν.

50 Στέφανος ἐπίσκοπος Ἐπιφανείας εἶπεν· Περιττὸν εἶναι νομίζω πρᾶγμα μετὰ τρεῖς παραιτήσεις καὶ ταύτας ὅρκον ἐχούσας ἐξετάσει παραδοθῆναι τὸ πρᾶγμα τὸ κατὰ τὸν εὐλαβέστατον ἐπίσκοπον Ἀθανάσιον. πῶς γὰρ ἂν ἔλοιτο παρὰ τῆι ἁγίαι ταύτηι συνόδωι δικάσασθαι, ὁπότε ἐπὶ τοῦ οἰκείου αὐτοῦ φίλου τοῦ μακαρίου Πανολβίου, ὡς αὐτὸς ἐν τοῖς παραιτητικοῖς ἐσήμανεν, τὴν κρίσιν φαίνεται ἀποφυγών;

51 Φωσφόρος ἐπίσκοπος Ὀρθωσιάδος εἶπεν· Τὰ παρὰ τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀθανασίου γραφέντα πρὸς τὸν μακάριον Πανόλβιον τὸ τηνικαῦτα ἐπίσκοπον ὄντα τῆς Ἱεραπολιτῶν δηλοῖ ὡς τὴν κρίσιν φεύγων τῆς Περρηνῶν ἀνεχώρησεν ἐπισκοπῆς.

52 Ἰωάννης ἐπίσκοπος Θεοδοσιουπόλεως εἶπεν· Τοῖς δόξασιν ὑμῶν τῆι ἁγίαι συνόδωι καὶ αὐτὸς συναινῶ.

53 Δανιῆλος ἐπίσκοπος Καρρῶν εἶπεν· Ἐδήλωσε τὰ πεμφθέντα παραιτητικὰ γράμ-
I. IIII 734 ματα παρὰ τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀθανασίου πρὸς τὸν μακάριον ἐπίσκοπον Πανόλβιον ὡς παραιτησάμενος τὴν κρίσιν ἀλλότριον ἑαυτὸν τῆς ἐπισκοπῆς κατέστησεν.

54 Σωφρόνιος ἐπίσκοπος Κωνσταντίνης εἶπεν· Ἐκ τῶν ἀναγνωσθέντων παραιτητικῶν γραμμάτων δῆλός ἐστιν ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος εἰς κρίσιν ἐλθεῖν μὴ θέλων καὶ τὴν ἐπισκοπὴν παραιτησάμενος.

55 Ἰωσὴφ ἐπίσκοπος Ἡλιουπόλεως εἶπεν· Τρίτον παραιτησάμενος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος καὶ μὴ βουληθεὶς ἐπὶ τοῦ φίλου αὐτοῦ τοῦ μακαρίου Πανολβίου τοῦ τὸ τηνικαῦτα τῆς μητροπόλεως ἐπισκόπου ἀπαντῆσαι καὶ δικάσασθαι καὶ ἑαυτὸν ἐλευθερῶσαι τῶν ἐπαγομένων αὐτῶι ἐγκλημάτων δῆλός ἐστιν κακῶι συνειδότι χρησάμενος.

56 Τιμόθεος ἐπίσκοπος Δολίχης εἶπεν· Ἔδει μὲν τὸν εὐλαβέστατον ἐπίσκοπον Ἀθανάσιον παρὰ τὴν ἀρχὴν τρίτον κληθέντα παρὰ τοῦ τῆς μακαρίας μνήμης Πανολβίου τοῦ τὸ τηνικαῦτα τῆς μητροπόλεως ἐπισκόπου ἀπαντῆσαι καὶ ταῖς προσούσαις αὐτῶι χρήσασθαι δικαιολογίαις, ὁπότε ἀπὸ τῶν νυνὶ ἀνεγνωσμένων καὶ φίλον αὐτὸν ἑαυτοῦ ὡρίσατο. ἐπειδὴ τοίνυν πολλάκις κληθεὶς παρητήσατο, ὑπεύθυνον ἑαυτὸν κατέστησεν τοῖς ἐπαγομένοις αὐτῶι.

57 Παῦλος ἐπίσκοπος Πτολεμαίδος εἶπεν· Τοῖς καλῶς καὶ ἐνθέσμως παρὰ τῶν προ-
M VII 333 λαβόντων ἁγίων πατέρων ἀποφανθεῖσι κατ' αὐτοῦ τὰ ὅμοια κατατίθεμαι.

58 Παῦλος ἐπίσκοπος Ἀράδου εἶπεν· Τρίτον εἰς ἀκρόασιν κληθεὶς ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος ὑπὸ τοῦ μακαρίου Πανολβίου τοῦ τῆς μητροπόλεως ἐπισκόπου, καὶ ταῦτα φίλου αὐτοῦ τυγχάνοντος, ὡς ἀπὸ τῶν ἀνεγνωσμένων ἐμάθομεν, καὶ τρίτον παραιτησάμενος τὴν ἐπισκοπὴν τῆς Περρηνῶν ἐκκλησίας δῆλος ἐστιν ὡς οὐ καλῶι συνειδότι πληττόμενος ἔφυγεν τὸ κριτήριον.

M. B [= abo]. Φ

3 ὀρθῶσ B^b 4 ἀκρόασιν Φ 5 ἐπιφανίασ MB^{ao} νομίζω om. B^b πρᾶγμα MΦ om. B 6 ταῦτα B om. Φ ὅρκον MB ὅρον Φ 7 *reuerentissimum* Φ εὐσεβέστατον MB 7/8 ἁγίαι ταύτηι] ἁγιωτάτη B^o 8 αὐτοῦ [om. B^b] φίλου MBΦ^r *metropolitae* $Φ^{ac}$ 9 παραιτικοῖσ αὐτοῦ B^b 11 μακαριώτατον B^o 13/14 post 15/17 coll. Φ 13 ὑμῶν om. $Φ^{ac}$ 15 καρῶν B^b τῆσ καρῶν B^o 16 παρὰ om. B^o ἐπίσκοπον MB *qui tunc metropolitis erat* Φ 17 ὡς om. M 19 μὴ θέλων ἐλθεῖν B 20 παρητήσατο B^o 21 Ἰλιουπόλεωσ B^b *Iuliopolis* Φ praeter unum codicem $Φ^c$ 23 τῆσ Ἱεραπολιτῶν μητροπόλεωσ B^o 24 ἑαυτῶ B^o αὐτοῦ M 27 τῆσ Ἱεραπολιτῶν μητροπόλεωσ B^o 28 ἀναγνωμένων B^b 31/32 post 37 coll. B^b om. Φ 32 κατατίθημι B^b 33 ἀράδου MB *Ptolemaidis* Φ 34 ἐπίσκοπος om. Φ τοῦ τῆσ Ἱεραπολιτῶν μητροπόλεωσ B^o 36 ἐκκλησίας om. M 37 χρησάμενοσ B^o

59 Σάβας ἐπίσκοπος Πάλτου εἶπεν· Τρίτον παραιτησάμενος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος καὶ ὁρκώσας ἕτερον ἀντ' αὐτοῦ χειροτονηθῆναι, ποῖον λόγον ἔχει λοιπὸν περὶ ἐπισκοπῆς κινεῖν τῆς Περρηνῶν ἁγίας τοῦ θεοῦ ἐκκλησίας καὶ μάλιστα ἐπὶ τοῦ φίλου αὐτοῦ τοῦ μακαρίου Πανολβίου τοῦ τηνικαῦτα τῆς μητροπόλεως ἐπισκόπου μὴ δικασάμενος;

60 Μάρας ἐπίσκοπος Ὀνοσάρθας εἶπεν· Γνησίως φιλούμενον ἑαυτὸν ἔδειξεν ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος ὑπὸ τοῦ μακαριωτάτου Πανολβίου τοῦ τῆς μητροπόλεως ἐπισκόπου διὰ τῶν πρὸς αὐτὸν παραιτητικῶν ἐπιστολῶν. φυγὼν τοίνυν τὴν ἐπ' αὐτῶι ἀκρόασιν δῆλός ἐστι πονηρᾶι συνειδήσει τοῦτο πεποιηκώς.

61 Δόμνος ἐπίσκοπος εἶπεν· Μετὰ τὰς παραιτήσεις ταύτας ποῦ διῆγεν ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος;

62 Ἰσαάκιος ἀρχιαναγνώστης εἶπεν· Ἐξῆλθεν τὴν πόλιν καὶ ἐπὶ τῆι χώραι Σαμοσάτων διῆγεν καθ' ἑαυτὸν ἐν ἰδίωι χωρίωι καὶ πάλιν κατῆλθεν ἐν Σαμοσάτοις τῆι πόλει. ἐπειδὴ δ' ἐνταῦθά εἰσι κληρικοί, παρακαλῶ τὴν ἁγίαν ὑμῶν σύνοδον εἰσελθεῖν αὐτοὺς καὶ εἰπεῖν ἅπερ καὶ αὐτοὶ οἴδασιν. L IIII 735

63 Δόμνος ἐπίσκοπος εἶπεν· Εἰσίτωσαν.

64 Καὶ εἰσελθόντων αὐτῶν Τατιανὸς διάκονος εἶπεν· Ἑστήκασιν οἱ εὐλαβέστατοι κληρικοί.

65 Δόμνος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Στήτωσαν κατὰ τάξιν οἱ εὐλαβέστατοι πρεσβύτεροι καὶ οἱ εὐλαβέστατοι διάκονοι.

66 Θεόδωρος ἐπίσκοπος εἶπεν· Ποῦ διῆγεν μετὰ τὰς παραιτήσεις ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος;

67 Δόμνος ἐπίσκοπος εἶπεν· Τί λέγουσι καὶ οἱ λοιποὶ κληρικοί;

68 Θεόδωρος ἐπίσκοπος εἶπεν· Ἐξ ἐκείνου ἐπανῆλθεν εἰς τὴν Πέρρην;

69 Δόμνος ἐπίσκοπος εἶπεν· Πόσους ἐχειροτόνησεν;

70 Θεόδωρος ἐπίσκοπος εἶπεν· Ταύτας τὰς χειροτονίας μετὰ τὰς τρεῖς παραιτήσεις λέγεις γεγενῆσθαι παρ' αὐτοῦ;

71 Δόμνος ἐπίσκοπος εἶπεν· Εἰπάτωσαν καὶ οἱ λοιποὶ κληρικοὶ ἅπερ ἴσασι καὶ τί μετὰ ταῦτα παρηκολούθησεν.

72 Δόμνος ἐπίσκοπος εἶπεν· Ὑμεῖς τίνος ἕνεκεν ἀπήλθατε ἐν Ἱεραπόλει;

73 Δόμνος ἐπίσκοπος εἶπεν· Οἶδα κἀγὼ ἐκδεδημηκέναι τὸν ἐπίσκοπον Ἀθανάσιον· καὶ γὰρ ἐκόμισέ μοι γράμματα τῶν θεοφιλεστάτων καὶ ἁγιωτάτων ἐπισκόπων, τοῦ κυρίου Πρόκλου φημὶ καὶ τοῦ κυρίου Κυρίλλου.

74 Θεόδωρος ἐπίσκοπος εἶπεν· Ὅσια γράμματα διὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου Ἀθανασίου κεκόμισται τῶν ἁγιωτάτων καὶ θεοφιλεστάτων ἐπισκόπων· κελευσάτω σου ἡ ἁγιότης ταῦτα ἀναγνωσθῆναι ἐπὶ τῆς ἁγίας συνόδου.

75 Δόμνος ἐπίσκοπος εἶπεν· Ἀναγινωσκέσθω.

Καὶ ἀνεγνώσθη.

M, B [= abo], Φ

1 σάββας B 2 λοιπὸν om. Φ^{ac} 3 ἐπισκοπῆς MΦ ἐπισκόπου B 4 τὸ τηνικαῦτα B^{a} τῆς ἱεραπολιτῶν μητροπόλεως B^{o} 6 ὀνοσαρθας MB$^{o}\Phi^{a}$ ὀνοσοσαρθᾶς B^{ab} *Anasarthae* Φ^{cr} αὐτὸν B^{b} 7/8 τοῦ τῆς ἱεραπολιτῶν μητροπόλεως B^{o} 8 πρὸ B^{ab} 12 *archidiaconus* Φ τὴν — χώραι] *de prouincia* Φ τὴν χώραν MB^{o} 14 καὶ αὐτοὺς B^{o} 15 εἰπεῖν MB^{ao} εἰπεῖν αὐτοὺς B^{b} 17 καὶ — αὐτῶν om. Φ 19 ὁ εὐλαβέστατος om. B^{b} 21—30 apparet omnia clericorum responsa omissa esse 25 πόσους ἐχειροτόνησεν] τί λέγουσιν καὶ οἱ λοιποὶ κληρικοί (iterum) B^{a} 26—28 ταύτας — εἶπεν om. B^{o} 26 τρεῖς MBΦ^{a} om. Φ^{cr} 28 ἐπίσκοπος om. B^{b} καὶ^{a} om. Φ praeter unum codicem Φ^{a} 28/29 τί μετὰ om. B^{b} 30 ἐπίσκοπος om. B^{b} ἀπήλθετε B^{ab} 31 Δόμνος — εἶπεν om. B^{o} ἐκδεδημηκέναι MB *formidasse* Φ 32 ἁγιωτάτων MΦ ἁγίων B et unus codex Φ^{c} 35 καὶ θεοφιλεστάτων om. Φ 37 ἀναγινωσκέσθωσαν B^{b}

76 Θεόδωρος ἐπίσκοπος εἶπεν· Φαίνεται ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος
M VII 336 μηδὲν ἀληθὲς διδάξας τοὺς ἁγιωτάτους καὶ θεοφιλεστάτους ἀρχιεπισκόπους τὸν κύριον Πρόκλον καὶ τὸν κύριον Κύριλλον, ὁπότε καὶ ἐπὶ τοῦ μακαρίου Πανολβίου τοῦ γενομένου αὐτοῦ μητροπολίτου φίλου αὐτοῦ τυγχάνοντος, καθὼς αὐτὸς ἐν ταῖς ἐπιδοθείσαις παρ' αὐτοῦ παραιτήσεσιν ἐγνώρισεν, παρήιτηται τὴν τῆς Πέρρης ἐπισκοπὴν καὶ οὐχ ὑπὸ τῶν κληρικῶν ἐξηλάθη, ὡς ἐδίδαξεν, ἀλλ' αὐτὸς τρίτον παρ' αὐτοῦ τοῦ μακαρίου Πανολβίου κληθεὶς παρητήσατο τὴν ἀκρόασιν τῶν ἐπαγομένων αὐτῷ ἐγκλημάτων καὶ τὴν πόλιν ἀπέλιπεν, προσθεὶς καὶ τοῦτο ἐν τοῖς παραιτητικοῖς αὐτοῦ συγγράμμασιν ὅτι δύο ἢ τριῶν ἐνιαυτῶν τοῦτο παρ' αὐτῷ κέκριτο τοῦ ἀποστῆναι τῆς ἐπισκοπῆς.

77 Βαλέριος ἐπίσκοπος εἶπεν· Συνεῖδον κἀγὼ ὅτι ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος ψευδῆ ἐδίδαξε τοὺς θεοφιλεστάτους καὶ ἁγιωτάτους ἀρχιεπισκόπους Πρόκλον καὶ Κύριλλον. καὶ γὰρ καὶ οἰκείαι γνώμηι τὴν ἐπισκοπὴν παρητήσατο ἐγγράφως καὶ τρίτον παρὰ τοῦ Πανολβίου τοῦ μακαρίου κληθεὶς ἔφυγεν τὴν κρίσιν τρισὶ χρησάμενος παραιτήσεσιν καὶ οἰκείαι γνώμηι τὴν πόλιν ἀπολιπὼν καὶ οὐχ ὑπὸ τῶν ἰδίων κληρικῶν ἐξελαθείς.

78 Πολυχρόνιος ἐπίσκοπος εἶπεν· Πρόδηλος τοῦ θεοφιλεστάτου ἐπισκόπου Ἀθανασίου ἡ περὶ τὸ πρᾶγμα αὐτοῦ ἀδολεσχία συκοφαντήσαντος τοὺς τῆς ἐκκλησίας αὐτοῦ εὐλαβεστάτους κληρικούς. ἑαυτῶι γὰρ ἀναχωρήσας τῆς ἐκκλησιαστικῆς λειτουργίας καὶ πρὸ πλείστων χρόνων εἰς ἀποδημίαν μακρὰν ἀπεληλυθὼς ἐκείνοις τὴν αἰτίαν ἐπέγραψε.

79 Πομπηιανὸς ἐπίσκοπος εἶπεν· Τὰ αὐτὰ καὶ ἡμεῖς συνείδομεν ὡς ἐψεύσατο ὁ εὐλα-
I. IIII 738 βέστατος ἐπίσκοπος Ἀθανάσιος καὶ ἕτερα ἀνθ' ἑτέρων ἐδίδαξεν τοὺς θεοφιλεστάτους καὶ ἁγιωτάτους ἀρχιεπισκόπους Πρόκλον καὶ Κύριλλον.

80 Ἰάμβλιχος ἐπίσκοπος εἶπεν· Οἱ ἐπιδοθέντες λίβελλοι τῶν παραιτήσεων παρὰ τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀθανασίου τῶι μακαρίωι Πανολβίωι τῶι τηνικαῦτα ἐπισκόπωι τῆς μητροπόλεως τυγχάνοντι καὶ φίλωι αὐτοῦ ὄντι, ὡς καὶ αὐτὸς ἐδίδαξεν, διδάσκουσιν ἡμᾶς ὡς μάτην ἐσυκοφάντησεν παρὰ τοῖς ἁγιωτάτοις ἀρχιεπισκόποις Πρόκλωι καὶ Κυρίλλωι τοὺς εὐλαβεστάτους κληρικοὺς αὐτοῦ, αὐτὸς ἀφ' ἑαυτοῦ ἀπολιπὼν τὴν Περρηνῶν ἐπισκοπὴν καὶ ὁρκώσας ἕτερον ἀντ' αὐτοῦ χειροτονηθῆναι ἐπίσκοπον.

81 Τιμόθεος ἐπίσκοπος εἶπεν· Τὰ αὐτὰ συνεῖδον κἀγὼ τοῖς θεοφιλεστάτοις ἐπισκόποις.
M VII 337

82 Δαμιανὸς ἐπίσκοπος εἶπεν· Ἐθαύμασα πῶς ἠνέσχετο ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος κληθεὶς παρὰ τοῦ τῆς μητροπόλεως ἐπισκόπου τοῦ μακαρίου Πανολβίου ἀπολογήσασθαι καὶ παραιτησάμενος τρὶς τὴν ἐπισκοπὴν ἠνώχλησεν τοῖς θεοφιλεστάτοις ἀρχιεπισκόποις Πρόκλωι καὶ Κυρίλλωι μηδὲν ἀληθὲς διδάξας.

83 Γερόντιος ἐπίσκοπος εἶπεν· Τὰ αὐτὰ συνεῖδον κἀγὼ ὡς οὐδὲν ἀληθὲς ἐδίδαξεν τοὺς ἁγιωτάτους καὶ θεοφιλεστάτους ἐπισκόπους, Πρόκλον φημὶ καὶ Κύριλλον ὁ εὐλα-
βέστατος ἐπίσκοπος Ἀθανάσιος.

M, B [= abo], Φ

4 αὐτὸσ MΦ om. B 5 παρήιτηται om. Φ καὶ om. Φac 6 ἀλλ'] καὶ Bo μακαρίου om. Φ 8 ἀπέλειπεν M 9 ὅτι καὶ Φ 10 βαρέτιοσ B ὅτι M ὡσ B 11 καὶ ἁγιωτάτους om. Φac ἐπισκόπουσ Bb 13 τοῦ μακαρίου πανολβίου B *audientiam* Φ τρισὶ MBao τισὶ Bb *etiam* Φ 14 ἀπολειπὼν M καταλιπὼν Bo ἰδίων om. Φr 17 *calumniam facientis* [*faciens* Φac] *quasi de uiolentia sua* Φ 19 καὶ om. Φcr ἔγραψεν M ὑπέγραψε Bo 20/21 τὰ — ἐδίδαξεν *certus* [*certum* Φc] *est Athanasius alia pro aliis docuisse* Φ, sed adnotat Rusticus GR *haec eadem et nos cognouimus quia mentitus est reuerentissimus episcopus Athanasius et alia pro aliis edocuit* 20 συνείδαμεν M 22 καὶ ἁγιωτάτους om. Ba ἀρχιεπισκόπουσ MBoΦac Rusticus in nota ἐπισκόπουσ Bab om. Φcr καὶ[3] om. M 25 μητροπόλεωσ αὐτοῦ Bo ὄντι] ὅτι M 28 πέρρην ὡσ Bo 30 *Danihel* Φ εὐλαβέστατος om. B 31 τοῦ[2] αὐτοῦ τοῦ Bo 32 τρεῖσ M ἐνόχλησεν M 33 *episcopis* Φar et unus codex Φc 33/34 διδάξας — ἀληθὲς om. Bb

84 Θεόκτιστος ἐπίσκοπος εἶπεν· Τὰ αὐτὰ συνεῖδον κἀγὼ ὡς ψευδῆ ἐδίδαξεν τοὺς ἁγιωτάτους καὶ ὁσιωτάτους ἀρχιεπισκόπους, Πρόκλον φημὶ καὶ Κύριλλον ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος.

85 Στέφανος ἐπίσκοπος εἶπεν· Κἀγὼ οὕτως συνεῖδον μᾶλλον ἐψεῦσθαι ἐπὶ τῶν ἁγιωτάτων καὶ θεοφιλεστάτων ἀρχιεπισκόπων Πρόκλου καὶ Κυρίλλου τὸν εὐλαβέστατον ἐπίσκοπον Ἀθανάσιον. οὔτε γὰρ παρὰ τῶν κληρικῶν φαίνεται ἀπελαθείς, ἀλλὰ μᾶλλον οἰκείαι γνώμηι τὰς παραιτήσεις ποιησάμενος.

86 Βαλέριος ἐπίσκοπος Λαοδικείας εἶπεν· Τὰ αὐτὰ κἀγὼ συνεῖδον τῆι ἁγίαι συνόδωι.

87 *

88 Βαράνης ἐπίσκοπος εἶπεν· Κἀγὼ συναινῶ τῆι ἁγίαι συνόδωι τῶν θεοφιλεστάτων ἐπισκόπων κἀκεῖνα σύμφημι εἶναι ἃ καὶ αὐτοὶ καλῶς ἔχειν ἐδοκίμασαν.

89 Ἰωσὴφ ἐπίσκοπος εἶπεν· Τὰ αὐτὰ συνεῖδον κἀγὼ τοῖς θεοφιλεστάτοις καὶ ἁγιωτάτοις ἐπισκόποις.

90 Παῦλος ἐπίσκοπος εἶπεν· Τὰ αὐτὰ κἀγὼ συνεῖδον τοῖς προλαβοῦσιν ἁγίοις πατράσι σύμψηφος ὢν αὐτοῖς.

91 Μάρας ἐπίσκοπος εἶπεν· Ἐλήλεγκται ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος ὡς ψευδῆ ἐδίδαξεν τοὺς θεοφιλεστάτους ἐπισκόπους.

92 Σάβας ἐπίσκοπος εἶπεν· Εἰ τὴν ἡσυχίαν ἠγάπα ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος, οὐκ ἔδει αὐτὸν μετὰ παραίτησιν καὶ ὅρκους ἐνοχλῆσαι τοῖς ἁγιωτάτοις πατράσι καὶ ἀρχιεπισκόποις Πρόκλωι καὶ Κυρίλλωι.

93 Ἰωάννης ἐπίσκοπος εἶπεν· Τὰ αὐτὰ κἀγὼ συνεῖδον. L IIII 739

94 Δανιῆλος ἐπίσκοπος εἶπεν· Ὁμοίως κἀγὼ συνεῖδον.

95 Σωφρόνιος ἐπίσκοπος εἶπεν· Κἀγὼ τοῖς πρὸ ἐμοῦ θεοφιλεστάτοις ἐπισκόποις συναινῶ. M VII 340

96 Δόμνος ἐπίσκοπος εἶπεν· Ἡνίκα ἐδεξάμην τὰ γράμματα τῶν θεοφιλεστάτων ἐπισκόπων Πρόκλου καὶ Κυρίλλου, μέμνημαι καὶ αὐτὸν ἐνταῦθα συγκαλέσας καὶ τοὺς θεοφιλεστάτους ἐπισκόπους τῆς ἐπαρχίας ὥστε ἐξετάσαι τὰ κατὰ τὴν ὑπόθεσιν ταύτην. ἀναγινώσκεσθε τοίνυν ἀμφοτέρας τὰς ἐπιστολάς.

97 Δόμνος ἐπίσκοπος εἶπεν· Τί ἀντέγραψεν πρὸς ταῦτα ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος;

98 Δόμνος ἐπίσκοπος εἶπεν· Ἀνάγνωθι καὶ ἣν ἔγραψεν ἐπιστολὴν ὁ θεοφιλέστατος ἐπίσκοπος Ἰωάννης ὁ τῆς Ἱεραπολιτῶν μητροπόλεως.

99 Δόμνος ἐπίσκοπος εἶπεν· Οἶδα ἡνίκα ἐδεξάμην τὴν παρὰ τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀθανασίου ἐπιστολήν, εὐθὺς συγκαλέσαι με τὴν παροῦσαν ἁγίαν σύνοδον κατὰ τὰς αὐτοῦ παρακλήσεις ἐπιστείλας τε καὶ πρὸς αὐτὸν ὥστε παραγενέσθαι τῆς ἁγίας συνόδου συγκεκροτημένης. ἀνάγνωθι τοίνυν τὴν παρ' ἐμοῦ πρὸς αὐτὸν γραφεῖσαν ἐπιστολήν.

M, B [= abo], Φ

4 ἐψεύσασθαι καὶ Bb 5/6 τοῦ εὐλαβεστάτου ἐπισκόπου ἀθανασίου Bo 7 μᾶλλον om. Φr 8 βαλλέριοσ B *Laodiciae Syriae* Φ 9 post haec exciderunt in MBΦc quae seruata sunt in Φar EPIPHANIVS ĒPS D: *haec ipsa et ego cognosco* [*et ego ipsa perspexi* Φa] *quae sanctum concilium* 9 βαράνοσ Bb 10 εἶναι MBΦa om. Φcr 11/12 post 13/14 coll. B 11/12 *et sanctissimi* Φcr om. Φa καὶ ἁγίοισ Bo 14 αὐτοῖς ὢν B 15—17 Ἐλήλεγκται — εἶπεν om. Φ 17 σάββασ Bab 18 ἁγίοισ Bb 20/21 τὰ αὐτὰ — εἶπεν om. M 27 *relegite* Φ ἀναγινωσκέσθω M ἀναγινωσκέσθωσαν B ἀμφοτέρασ τὰσ ἐπιστολὰσ MΦ ἀμφότεραι αἱ ἐπιστολαί B 28 Δόμνος — εἶπεν om. Bo ἀντίγραψαι Bo *scripsit* unus codex Φc et Φr 30 Δόμνος] ὁ αὐτὸσ Bo θεοσεβέστατοσ M 32 δόμνοσ ἐπίσκοποσ MBa ὁ αὐτὸσ Bbo τὴν om. M 33 παροῦσαν om. Bb 35 συγκεκροτημένουσ Bb

100 Δόμνος ἐπίσκοπος εἶπεν· Τί πρὸς ταῦτα ἀντέγραψεν ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος;

101 Δόμνος ἐπίσκοπος εἶπεν· Ἀνάγνωθι καὶ τὸ συνοδικὸν γράμμα τὸ πρὸς αὐτὸν γενόμενον.

102 Δόμνος ἐπίσκοπος εἶπεν· Τίς ταύτην αὐτῶι ἀπεκόμισε τὴν ἐπιστολήν;

103 Δόμνος ἐπίσκοπος εἶπεν· Τίνα ἐστὶ τὰ ἀγράφως ῥηθέντα ἔτι παρὰ τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀθανασίου;

104 Δόμνος ἐπίσκοπος εἶπεν· Ἀνάγνωθι καὶ τὴν παρ' αὐτοῦ γραφεῖσαν ἐπιστολὴν πρὸς τὴν ἁγίαν σύνοδον.

105 Τατιανὸς διάκονος εἶπεν· Ἔχω καὶ ἐπιστολὰς τῶν θεοσεβεστάτων ἐπισκόπων τοῦ κύρου Ἴβα καὶ τοῦ κύρου Ἀνδρέου, ἃς ἀπέστειλαν κληθέντες ὑπὸ τῆς σῆς ὁσιότητος καὶ μὴ δυνηθέντες ἀπαντῆσαι.

106 Δόμνος ἐπίσκοπος εἶπεν· Ἀνάγνωθι καὶ ταύτας κατὰ τάξιν.

107 Τατιανὸς διάκονος εἶπεν· Ἑτέρους λιβέλλους ἐπιδέδωκεν τῆι ἁγίαι συνόδωι ὁ εὐλαβέστατος ὑποδιάκονος Φίλιππος τῆς κατὰ Πέρρην ἁγίας τοῦ θεοῦ ἐκκλησίας καὶ εἰ κελεύσειεν ἡ ὑμετέρα ὁσιότης, τούτους ἀναγνώσομαι.

108 Δόμνος ἐπίσκοπος εἶπεν· Ἀνάγνωθι.

109 Θεόδωρος ἐπίσκοπος εἶπεν· Τὰ ἐγκείμενα τοῖς λιβέλλοις μόνος οἶδας ἢ καὶ ἄλλοι συνίσασι;

110 Φίλιππος ὑποδιάκονος εἶπεν· Οἶδεν ταῦτα καὶ ὁ εὐλαβέστατος πρεσβύτερος ἀπὸ οἰκονόμων Φρόντων.

111 Δόμνος ἐπίσκοπος εἶπεν· Λεγέτω ὁ εὐλαβέστατος πρεσβύτερος Φρόντων τί περὶ τῆς ὑποθέσεως οἶδεν ταύτης.

112 Δόμνος ἐπίσκοπος εἶπεν· Αὕτη ἡ Δομνίκα τίς ἐστιν;

113 Θεόδωρος ἐπίσκοπος εἶπεν· Τίς οἶδεν ταῦτα;

114 Φρόντων πρεσβύτερος εἶπεν· Θεόφιλος διάκονος ὁ συμμείνας τῶι εὐλαβεστάτωι
M VII 341 ἐπισκόπωι Ἀθανασίωι.

115 Θεόδωρος ἐπίσκοπος εἶπεν· Τί οἶδας ἐν τῆι ὑποθέσει τῆι κατὰ τοὺς στύλους τοὺς ἀργυροῦς, εἴπερ ἀληθῶς συνῆσθα κατ' ἐκεῖνον τὸν καιρὸν τῶι εὐλαβεστάτωι ἐπισκόπωι Ἀθανασίωι;

116 Δόμνος ἐπίσκοπος εἶπεν· Εἰπάτωσαν καὶ οὗτοι ὧν μνήμην ἐποιήσατο Φρόντων ὁ πρεσβύτερος, ἅπερ ἐπίστανται.

117 Θεόδωρος ἐπίσκοπος εἶπεν· Εἰ ἐνταῦθά εἰσιν ὧν μνήμην ἐποιήσατο ὁ εὐλαβέστατος Μάρις, καὶ αὐτοὶ οἰκείαι φωνῆι κατατιθέσθωσαν ἅπερ ἐπίστανται.

118 Τατιανὸς διάκονος εἶπεν· Ἵστανται Μάρις καὶ Θεόφιλος οἱ διάκονοι.

119 Θεόδωρος ἐπίσκοπος εἶπεν· Τί οἴδατε ἐν τῶι πράγματι;

120 Δόμνος ἐπίσκοπος εἶπεν· Ἀνάγνωθι τούτους.

M, B [= abo], Φ

1/2 om. Φ 1 Δόμνος] ὁ αὐτὸς B^o 3 δόμνοσ ἐπίσκοποσ MB^a ὁ αὐτὸς B^{bo} 3–5 ἀνάγνωθι — εἶπεν om. B^o 5 om. Φ 6 δόμνοσ ἐπίσκοποσ MB^a ὁ αὐτὸς δόμνοσ ἐπίσκοποσ B^o ὁ αὐτὸς B^b τίνα ἐστὶ om. B^b ἐγγράφωσ B^{ao} ἔτη B^b 8 ὁ αὐτὸς B^o ἐπίσκοπος om. B^{bo} 11 κυρίου M ἀνδρέα B ἀπέστειλαν $MB^oΦ$ ἐπέστειλαν B^{ab} 13 καὶ om. B^o 16 κελεύσει B^o 17 Δόμνος — ἀνάγνωθι] καὶ αὖθισ ἀνεγνώσθησαν B^o 20/21 φρόντων ὁ ἀποοικονόμοσ B 22 ἐπίσκοπος om. B^b εὐσεβέστατοσ B 24. 25. 31. 33. 37. apparet ipsa responsa omissa esse 24 δομνίκα $BΦ^{er}$ δομνήκα M *Dominica* $Φ^a$ τί B^o 25—27 om. $Φ^{ac}$ 26 πρεσβύτερος om. B^b ἐπίσκοποσ B^a ὁ om. M 28—30 Θεόδωρος — Ἀθανασίωι om. B^o 29 συνῆσθαι B^b *conscius eras* Φ 33/34 Θεόδωρος — ἐπίστανται om. B^o 33 μνείαν B^b 34 μάρησ B *Maris presbyter* $Φ^r$ *presbyter Maris* $Φ^{ac}$ ἐπίσκοποσ μάρισ M 35 μάρησ B 36/37 τί εἶπεν om. B^b

121 Θεόδωρος ἐπίσκοπος εἶπεν· Ὡς οὐκ ἀρκούντων τῶν ἤδη ῥηθέντων καὶ κατατεθέντων σκανδάλου πληρῶσαι τὰς ἁπάντων ἀκοάς.

122 Δόμνος ἐπίσκοπος εἶπεν· Τί συνορᾷ ὑμῶν ἡ ἁγία σύνοδος δεῖν γενέσθαι; L IIII 742

123 Θεόδωρος ἐπίσκοπος εἶπεν· Εἰ τῆς ὑπολήψεως τῆς ἑαυτοῦ ἐφρόντιζεν Ἀθανάσιος ὁ ἐπίσκοπος, οὐκ ἂν ἔφυγεν τὴν ἐξέτασιν τῶν ἐγκλημάτων τῶν ἐπαχθέντων αὐτῷ, καὶ τὸ δὴ μεῖζον τῆς ἀκροάσεως ἀφορισθείσης τῷ μακαρίῳ Πανολβίῳ τῷ γενομένῳ τῆς Ἱεραπολιτῶν ἐπισκόπῳ, ὃν καὶ φίλον αὐτῷ γεγενῆσθαι καὶ εὐνοικῶς περὶ αὐτὸν διακεῖσθαι ὁ αὐτὸς Ἀθανάσιος δι' οἰκείων γραμμάτων πολλαχῶς ἐσήμανεν. ὑφ' οὗ τρὶς κληθεὶς εἰς τὴν ἀκρόασιν οὐχ ὑπήκουσεν, ἀλλὰ καὶ τρίτον τὴν ἐπισκοπὴν τῆς Πέρρης παρητήσατο ἐγγράφως δι' ὧν πρὸς τὸν αὐτὸν μακαρίτην Πανόλβιον ἐπέστειλεν, ἐν οἷς ⟨καὶ⟩ παρεκάλει, διὰ τὸ καὶ ἡσυχίαν ἀσπάζεσθαι φήσας. τοῦτο δὲ οὐκ ἐποίησεν, ἀλλὰ μακρὰς ὁδοὺς σταλεὶς ἠνώχλησεν τὰς ἀκοὰς τῶν ἁγιωτάτων καὶ θεοφιλεστάτων ἀρχιεπισκόπων, τοῦ κυρίου μου φημὶ Πρόκλου καὶ τοῦ κυρίου μου Κυρίλλου, μηδὲν ἀληθὲς τοὺς μνημονευθέντας ἄνδρας διδάξας. ἀλλὰ καὶ μετὰ ταῦτα πολλάκις κληθεὶς τοῦτο μὲν παρὰ τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου κυρίου μου Δόμνου, τοῦτο δὲ καὶ παρὰ τῆς ἁγίας συνόδου ἀποδύσασθαι τὰ ἐπαγόμενα αὐτῷ ἐγκλήματα, παραγενέσθαι οὐκ ἠβουλήθη. τί οὖν τοῖς ἐκκλησιαστικοῖς δοκεῖ θεσμοῖς; τὸν ἐπί τισιν ἀτοπίαις ἐγκαλούμενον καὶ τρίτον καλούμενον καὶ μὴ παραγενόμενον ἐκπίπτειν ἧς ἔχει τιμῆς. φαίνεται δὲ ὁ μνημονευθεὶς Ἀθανάσιος οὐ τρίτον μόνον, ἀλλὰ καὶ πολλάκις κληθεὶς καὶ μὴ ὑπακούσας μηδὲ τοῖς ἐπαγομένοις ἐγκλήμασι βουληθεὶς ἀποκρίνασθαι. τούτου ἕνεκεν ἀλλότριον αὐτὸν τῆς ἱερωσύνης κατὰ τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς εἶναι κρίνω καὶ χρῆναι φημὶ τὸν θεοφιλέστατον ἐπίσκοπον τῆς Ἱεραπολιτῶν τὸν κύριν Ἰωάνην τὴν ταχίστην ἐπίσκοπον τῆς Περρηνῶν ἐνθέσμως χειροτονῆσαι, ὅπως κἂν ὀψέ ποτε ἐν εἰρηνικῇ καταστάσει ἡ αὐτὴ γένηται πόλις ἀπαλλαγεῖσα τοῦ σάλου καὶ τοῦ θορύβου τοῦ ἐν τῷ διετεῖ τούτῳ χρόνῳ ἐν αὐτῇ γενομένου. M VII 344

124 Βαλέριος ἐπίσκοπος εἶπεν· Ἐπειδὴ φαίνεται ἄνωθεν παραιτησάμενος τὴν ἐξέτασιν τῆς ὑποθέσεως ὁ προρρηθεὶς Ἀθανάσιος ἀποφυγὼν καὶ τὴν κρίσιν τοῦ μακαρίου Πανολβίου ἔτι τε καὶ τοῦ μετὰ ταῦτα γενομένου αὐτοῦ μητροπολίτου, καὶ νῦν δὲ ἐνθέσμως κληθεὶς παρά τε τοῦ κοινοῦ πατρὸς καὶ ἀρχιεπισκόπου Δόμνου καὶ τῆς συναθροισθείσης ἐνταῦθα ἁγίας συνόδου ὁμοίως τὴν ἐξέτασιν ἀπέφυγεν διαφόρως ὑπερτιθέμενος, δῆλός ἐστιν ὀφείλων καταψηφισθῆναι. τοιγαροῦν ἀλλότριον αὐτὸν κἀγὼ τῆς ἱερωσύνης ἐδοκίμασα καὶ τῆς τοῦ ἐπισκόπου ἀξίας καὶ ὀφείλει ἐκ παντὸς ἐκεῖ χειροτονηθῆναι ἕτερος ἐπίσκοπος ὡς τούτου ἅπαξ ἀλλοτριωθέντος, ὥστε παύσασθαι νῦν γοῦν τὴν ἐπιτεθεῖσαν ὀρφανίαν τῆς Περρηνῶν πόλεως.

125 Τιμόθεος ἐπίσκοπος εἶπεν· Ὀρθὴ καὶ δικαία ἐξενήνεκται ψῆφος παρὰ τῆς ἐνταῦθα ἀθροισθείσης ἁγίας συνόδου κατὰ τοῦ προειρημένου Ἀθανασίου. καὶ γὰρ κληθεὶς τοσαυτάκις ἐνθέσμως καὶ ἀκολούθως [καὶ παραιτησάμενος] ὑπό τε τοῦ μητρο-

---

M, B [= abo], Φ

1 τῶν om. M 1/2 καὶ κατατεθέντων om. B^b 3 ἐπίσκοπος om B^b δεῖν om. B^o 5 ὁ om. B^o *reuerentissimus episcopus* Φ^r ὑπαχθέντων B^b 7 αὐτὸν B^o 10 αὐτὸν om. Φ ἐπέστειλε [ἀπέστειλε B^o] πανόλβιον B 11 καὶ Φ om. MB καὶ] τὴν B^o 12 ἐνώχλησεν M 13 μου $M\Phi^{ac}$ om. $B\Phi^r$ μου $M\Phi^{ac}$ om. $B\Phi^r$ 14 *sanctissimos uiros* Φ 15 ἁγίου B^o καὶ πατρός Φ καὶ om. Φ^{ac} κυρίου μου om. Φ μου om. B^{bo} 16 ἁγίασ MB *praesenti* Φ 18 ἐγκαλούμενον MB καλούμενον Φ 19 δὲ om. B^o 19/20 κληθεὶς, ἀλλὰ καὶ πολλάκις Φ 21 ἑαυτὸν B^b 22 *decerno* Φ κρίνων MB κν̄ M 23 ἂν M 26 βαλλέριοσ B 29 μετακληθεὶσ B^o τε om. B^o 29/30 συναθροισθείσης ἐνταῦθα om. Φ 30 ὁμοίωσ καὶ B 32 ἀξίας om. B^a 33 νῦν γοῦν om. Φ^{ac} 34 τὴν ἐπιτεθεῖσαν M *quod uiolenter sustinuit* Φ^r τὴν $B\Phi^{ac}$ 35 *reuerentissimus episcopus* Φ^{ac} 37 καὶ παραιτησάμενοσ MB om. Φ

πολίτου αὐτοῦ τοῦ μακαρίου Πανολβίου ὑπό τε τοῦ θεοφιλεστάτου καὶ ἁγιωτάτου ἐπισκόπου Ἰωάννου τοῦ μητροπολίτου ἡμῶν καὶ ὑπὸ τῆς παρούσης ἐνταῦθα ἁγίας
L IIII 743 συνόδου, οὐ μὴν ἀλλὰ καὶ ὑπὸ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου ἡμῶν Δόμνου καὶ μὴ ὑπακούσας, διαφόροις δὲ ἀναβολαῖς χρησάμενος ἑαυτῶι ἐπιγραφέτω τὴν παντελῆ ἀποβολὴν τῆς ἀρχιερωσύνης. τοιγαροῦν συντίθεμαι καὶ αὐτὸς τοῖς κανονικῶς καὶ ἐνθέσμως διαγορευθεῖσιν ὑπὸ τῆς ἁγίας ὑμῶν συνόδου καὶ παρακαλῶ ὥστε ἐπίσκοπον χειροτονηθῆναι τῆι Περρηνῶν ἁγίαι ἐκκλησίαι πρὸς τὸ καὶ ἡμᾶς καὶ τὴν αὐτὴν ἁγίαν ἐκκλησίαν συντριβῆς καὶ ταλαιπωρίας ἀπαλλαγῆναι.

126 Μάρας ἐπίσκοπος εἶπεν· Τὰ αὐτὰ κἀγὼ συντίθεμαι καὶ ἀλλότριον κρίνω τῆς ἀρχιερατικῆς τιμῆς Ἀθανάσιον τὸν γενόμενον Πέρρης ἐπίσκοπον, ἐπειδὴ πολλάκις κληθεὶς οὐχ ὑπήκουσεν, καὶ παρακαλῶ ὥστε τὴν ταχίστην ἐπίσκοπον χειροτονηθῆναι ἀντ' αὐτοῦ τῆι Περρηνῶν ἐκκλησίαι.

127 Πομπηιανὸς ἐπίσκοπος εἶπεν· Τοῖς κανονικῶς καὶ ἐκκλησιαστικῶς διαγορευθεῖσιν ὑπὸ τῶν ἁγιωτάτων καὶ θεοφιλεστάτων μητροπολιτῶν Θεοδώρου καὶ Βαλερίου κἀγὼ συντίθεμαι δικαίως ὑπ' αὐτῶν κριθεῖσιν, δοκιμάσας κἀγὼ Ἀθανάσιον τὸν γενόμενον
M VII 345 Πέρρης ἐπίσκοπον ἀλλότριον εἶναι παντάπασιν καὶ τῆς ἐπισκοπῆς καὶ τῆς ἀρχιερατικῆς τιμῆς καὶ παρακαλῶ ἄλλον ἀντ' αὐτοῦ καταστῆναι ἐπίσκοπον τῆς αὐτῆς πόλεως, ἵνα κἂν νῦν ἀπαλλαγῆι ταραχῶν καὶ θορύβων ἡ αὐτὴ κατὰ Πέρρην ἁγία τοῦ θεοῦ ἐκκλησία.

128 Ἰάμβλιχος ἐπίσκοπος εἶπεν· Σύμψηφος γίνομαι κἀγὼ τοῖς ἐνθέσμως καὶ κανονικῶς τυπωθεῖσι παρὰ τῶν θεοφιλεστάτων ἐπισκόπων, φημὶ Θεοδώρου καὶ Βαλερίου τῶν μητροπολιτῶν περὶ Ἀθανασίου τοῦ ποτε ἐπισκόπου τῆς Περρηνῶν. ὅθεν κἀγὼ ἀξιῶ τὸν ἁγιώτατον ἐπίσκοπον Ἰωάννην τὸν μητροπολίτην τούτου ἀλλοτρίου γενομένου κατὰ τὴν ὑμετέραν δοκιμασίαν τῆς ἐπισκοπῆς ἄλλον πρόεδρον δοῦναι τῆι Περρηνῶν ἁγίαι ἐκκλησίαι.

129 Οὐράνιος ἐπίσκοπος εἶπεν· Ἀθανάσιον τὸν ἐπίσκοπον κληθέντα εἰς τὸ ἀπολογήσασθαι περὶ τῶν ἐπενεχθέντων αὐτῶι μεγάλων καὶ ἀθεμίτων ἐγκλημάτων καὶ μὴ ὑπακούσαντα τῆι ἐνθέσμωι κλήσει τοῦ θεοφιλεστάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου ἡμῶν Δόμνου καὶ τῆς παρούσης ἁγίας καὶ μεγάλης συνόδου ἀπὸ συνειδότος κακοῦ ἀγχόμενον, τοῦτον κἀγὼ συμψηφίζομαι ἀνάξιον καὶ ἀλλότριον πάσης ἐκκλησιαστικῆς λειτουργίας καὶ τῆς τοῦ ἐπισκόπου προσηγορίας.

130 Δαμιανὸς ἐπίσκοπος εἶπεν· Ἔδει Ἀθανάσιον τὸν γενόμενον τῆς Περρηνῶν ἐκκλησίας ἐπίσκοπον ἐπὶ φανεροῖς ἐγκλήμασιν αἰτιαθέντα καὶ κληθέντα ὑπὸ τοῦ μακαριωτάτου Πανολβίου τοῦ γενομένου μητροπολίτου αὐτοῦ καὶ φροντίζοντος αὐτοῦ ὑπακοῦσαι καὶ χρήσασθαι τοῖς ἑαυτοῦ δικαίοις· ἀλλὰ τοῦτο μὲν οὐ πεποίηκεν, ἀλλὰ μακρὰν στειλάμενος ὁδὸν καὶ ἐνοχλήσας τὰς ἀκοὰς τῶν θεοφιλεστάτων ἐπισκόπων Πρόκλου καὶ Κυρίλλου καὶ κομίσας τὰ γράμματα, ὧν ἕνεκα καὶ αὖθις ἐκλήθη παρά τε τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου ἡμῶν Δόμνου παρά τε τῆς ἁγίας συνόδου ὑπακοῦσαι οὐκ ἠβουλήθη. τοῦτο οὖν μὴ ποιήσαντα ἐδοκίμασα κἀγὼ ἀλλότριον αὐτὸν εἶναι τῆς ἀρχιερατικῆς

M, B [= abo], Φ

1 ἁγιωτάτου καὶ θεοφιλεστάτου B^b 2 τοῦ om. B^o 3 ἡμῶν ἐπισκόπου B^o ἐπισκόπου Φ 4 δὲ om. $Φ^{ac}$ 6 κανονικοῖσ B^o διαγορεύσεσιν B^o ἡμῶν B^b 7 καὶ[1] MΦ om. B 11/12 ἀντ' αὐτοῦ om. Φ 13 *episcopus Emesae* Φ 14 βαλλερίου B 18 κἂν] καὶ B^o 20 ἐν θέσμω M 21 φησὶ B^b βαλλερίου B 22 κἀγὼ MΦ om. B 23 *huius pridem metropolitam* $Φ^r$ 24 ὑμετέραν MΦ ἡμετέραν B 26 *episcopus Surorum* [*syrorum* $Φ^{ac}$] Φ 29 καὶ[1] om. B^o 30 ἀρχόμενον B^{ao} 33/34 μακαριωτάτου MΦ μακαρίου B 36 ἐπισκόπων BΦ ἀρχιεπισκόπων M 37/38 ἁγιωτάτου B^b 38 ἀρχιεπισκόπου om. B^b

ἀξίας καὶ χρῆναι τὸν θεοφιλέστατον ἐπίσκοπον Ἰωάννην τὸν τῆς Ἱεραπολιτῶν μητροπόλεως ἐπίσκοπον ἀντ' αὐτοῦ προχειρίσασθαι τῆι Περρηνῶν ἁγίαι ἐκκλησίαι πρόεδρον.

131 Πολυχρόνιος ἐπίσκοπος εἶπεν· Θρήνων καὶ ὀδυρμῶν πρόξενος ἡμῖν ἐγένετο Ἀθα- L IIII 746
νάσιος ὅ ποτε τῆς Περρηνῶν γεγονὼς ἐπίσκοπος. ἐπὶ ἐγκλήμασι γὰρ διαφόροις κατηγορηθεὶς τὴν κρίσιν ἀπέφυγεν τρίτον κληθεὶς ὑπὸ τοῦ μακαρίου Πανολβίου τοῦ τῆς Ἱεραπολιτῶν ἐπισκόπου, καὶ ταῦτα φίλου τυγχάνοντος αὐτοῦ, ὡς αὐτὸς ἐν τοῖς παραιτητικοῖς αὐτοῦ ἐδήλωσε γράμμασιν. καὶ νῦν δὲ πολλάκις κληθεὶς ὑπὸ τοῦ θεοφιλεστάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου τοῦ κύρου Δόμνου καὶ τῆς ἐνταῦθα συν- M VII 348
ελθούσης συνόδου ὑπακοῦσαι τῆι κλήσει οὐκ ἠθέλησεν, ἀλλ' ἔμεινεν ἐπὶ πολὺν χρόνον παίζων καὶ πατῶν τοὺς ἐκκλησιαστικοὺς θεσμούς. τούτων οὖν ἕνεκεν πάντων ἑαυτὸν τῆς ἱερατικῆς ἀπέτεμε λειτουργίας καὶ τῆς τοῦ ἐπισκόπου προσηγορίας καὶ ἔστω καθηρημένος καὶ τῆι ἐμῆι ψήφωι, χειροτονηθήσεται δὲ ἕτερος ἐπίσκοπος τῆι ἐν Πέρρηι ἁγίαι ἐκκλησίαι ὁ δυνάμενος αὐτῆς λῦσαι τὴν συμφορὰν τῶν κακῶν.

132 Θεόκτιστος ἐπίσκοπος εἶπεν· Συντίθεμαι τοῖς καλῶς καὶ ἐνθέσμως ὁρισθεῖσι παρὰ τῆς ἁγίας συνόδου ὥστε ἀλλότριον εἶναι τῆς ἀρχιερατικῆς τιμῆς Ἀθανάσιον τὸν γενόμενον τῆς Πέρρης ἐπίσκοπον, καὶ ψηφίζομαι ὥστε τὸν ἀντ' αὐτοῦ χειροτονηθῆναι τῆι Περρηνῶν ἁγίαι ἐκκλησίαι ἐπίσκοπον.

133 Βενέτιος ἐπίσκοπος εἶπεν· Τοῖς κανονικῶς παρὰ τῆς ἁγίας ἐξενεχθεῖσιν συνόδου συντίθεμαι καὶ αὐτὸς κρίνας Ἀθανάσιον τὸν Πέρρης γεγενημένον ἐπίσκοπον ἀλλότριον τοῦ λοιποῦ τῆς ἀρχιερωσύνης τυγχάνειν καὶ δεῖν τὸν ἀντ' αὐτοῦ πρόεδρον προβληθῆναι τῆι τοῦ θεοῦ ἐκκλησίαι.

134 Γερόντιος ἐπίσκοπος εἶπεν· Ἐπειδὴ πολλάκις κληθεὶς Ἀθανάσιος ὁ γενόμενος Πέρρης ἐπίσκοπος ὑπό τε τοῦ μητροπολίτου αὐτοῦ τοῦ μακαρίου Πανολβίου ὑπό τε τοῦ θεοφιλεστάτου Ἰωάννου τοῦ τῆς Ἱεραπολιτῶν μητροπόλεως ἐπισκόπου καὶ τοῦ παναγιωτάτου ἀρχιεπισκόπου ἡμῶν Δόμνου, οὐ μὴν ἀλλὰ καὶ τῆς παρούσης ἐνταῦθα ἁγίας συνόδου οὐ παρεγένετο, τοῦτον κἀγὼ ἀλλότριον κρίνω κατὰ τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς τῆς ἐπισκοπῆς καὶ παρακαλῶ τὴν ταχίστην χειροτονηθῆναι ἐπίσκοπον ἀντ' αὐτοῦ τῆι Περρηνῶν ἁγίαι τοῦ θεοῦ ἐκκλησίαι.

135 Στέφανος ἐπίσκοπος εἶπεν· Ἐπὶ μεγίστοις ἐγκλήμασι κατηγορηθεὶς Ἀθανάσιος ὁ γενόμενος ἐπίσκοπος τῆς Περρηνῶν πόλεως καί πολλάκις κληθεὶς καὶ οὐδὲ ἅπαξ ὑπακούσας, ἀλλὰ μακρὰν ὁδὸν ἑλόμενος στείλασθαι καὶ ὀχλῆσαι τὰς ἀκοὰς τῶν θεοφιλεστάτων ἐπισκόπων Πρόκλου καὶ Κυρίλλου καὶ διὰ τοῦτο πάλιν ὑπό τε τοῦ ἐξάρχου τῆς Ἀνατολικῆς διοικήσεως κληθεὶς καὶ τῆς ἀθροισθείσης ἁγίας συνόδου καὶ οὐδὲ οὕτως ὑπακούσας δίκαιός ἐστιν ἐξεῶσθαι τῆς ἀρχιερωσύνης ἑτέρου ἀντ' αὐτοῦ καθισταμένου προέδρου τῆι προειρημένηι ἁγίαι ἐκκλησίαι.

136 Ἰωσὴφ ἐπίσκοπος εἶπεν· Ἔδει μὲν ἀπαντήσαντα Ἀθανάσιον τὸν γενόμενον τῆς Περρηνῶν ἐκκλησίας ἐπίσκοπον ἀποδύσασθαι τὰ ἐπιφερόμενα αὐτῶι ἐγκλήματα, ἀλλ' ἐπειδὴ τοῦτο πολλάκις κληθεὶς οὐ πεποίηκεν, ἡ παροῦσα ἁγία σύνοδος κατὰ τοὺς ἐκ-

---

M, B [= abo], Φ

2 προχειρῆσαι Bo πρόεδροσ Bb 3 ἐγένετο om. Bo 4 γενώμενοσ Bb 6 φίλου om. Bb αὐτοῦ MBbΦ αὐτῶ Bao 8 τοῦ [om. Bo] κυροῦ [κυρίου M] MBΦa om. Φcr 10 ἁπατῶν Bo corr., Φ πάντων MB πάσης Φ 13 αὐτῆσ MΦac αὐτῆ B om. Φr 16 τὸν ἀνταυτοῦ χειροτονηθῆναι MΦ ἀντ' αὐτοῦ χειροτονηθῆναι ἄλλον B 17 πραρηνῶν Bo ἐπίσκοπον om. Bo 18 συνόδου ἐξενεχθεῖσι Bb ἐξενεχθείσησ συνόδου Bo 19 τὸν] τῆσ Ba γενόμενον ἐπίσκοπον Bb ἐπίσκοπον γενόμενον Bao 20 τοῦ λοιποῦ om. Φr ἀρχιερωσύνησ τυγχάνειν MΦ ἀρχιερατικῆσ τυγχάνειν τιμῆσ B τὸν MΦ ἕτερον B 23 τε om. Bb 24 τοῦ θεοφιλεστάτου om. Φr 25 παναγιωτάτου om. Φ ἡμῶν om. Bo 28 τοῦ θεοῦ MBo om. BabΦ 32 τοῦ ἐξάρχου om. Bo 36 τὸν ἀθανάσιον τὸν Bb 38 οὐκ ἐποίησεν Bo ἡ MΦ ἡ δὲ B διὰ Bo

M VII 349 κλησιαστικοὺς θεσμοὺς ψῆφον ἐξήνεγκε κατ' αὐτοῦ κἀγὼ συντίθεμαι πᾶσι τοῖς ἐνθέσμως
L IIII 747 παρ' αὐτῆς ὁρισθεῖσιν κρίνας ἀλλότριον αὐτὸν εἶναι τῆς ἀρχιερωσύνης, χρῆναι δὲ ἕτερον ἀντ' αὐτοῦ τῇι Περρηνῶν ἁγίαι τοῦ θεοῦ ἐκκλησίαι πρόεδρον καταστῆναι.

137 Φωσφόρος ἐπίσκοπος εἶπεν· Συναινῶ κἀγὼ τοῖς ἐνθέσμως ὁρισθεῖσι παρὰ τῆς ἁγίας συνόδου καὶ ἀλλότριον αὐτὸν εἶναι δοκιμάσας τῆς ἐπισκοπῆς τὸν προειρημένον 'Αθανάσιον παρακαλῶ καὶ συμψηφίζομαι ἕτερον ἀντ' αὐτοῦ προχειρισθῆναι ἐπίσκοπον τῇι Περρηνῶν ἐκκλησίαι.

138 Θωμαῖος ἐπίσκοπος εἶπεν· Τῶν κατηγόρων 'Αθανασίου πολλάκις πάλαι τε τῶι μακαρίωι Πανολβίωι τῶι τῆς μητροπόλεως ἐπισκόπωι γενομένωι καὶ τῶι ἁγιωτάτωι ἀρχιεπισκόπωι ἡμῶν κυρίωι Δόμνωι καὶ νῦν τῇι ἁγίαι συνόδωι παρενοχλησάντων κλήσεών τε πολλάκις γενομένων ὥστε τὴν τῶν κατηγοριῶν γενέσθαι ἐξέτασιν, μὴ ἀπαντήσας 'Αθανάσιος ἑαυτὸν ἔξω τῶν τῆς ἀρχιερωσύνης πεποίηκεν ἔργων καὶ μετὰ τὴν τῆς ἁγίας συνόδου ψῆφον ἀναγκαίως ἡ τῶν Περρηνῶν ἁγία τοῦ θεοῦ ἐκκλησία τοσοῦτον ἀπροστάτευτος μείνασα χρόνον λήψεται πρόεδρον χειροτονούμενον ἀκολούθως παρά τε τοῦ θεοφιλεστάτου μητροπολίτου καὶ τῶν τῆς ἐπαρχίας θεοφιλεστάτων ἐπισκόπων.

139 Παῦλος ἐπίσκοπος εἶπεν· Συντίθεμαι τοῖς ἀποφανθεῖσι παρὰ τῆς ἁγίας ταύτης συνόδου καὶ ἀλλότριον τῆς ἐπισκοπῆς κρίνω τὸν προειρημένον 'Αθανάσιον καὶ ψηφίζομαι τὸν ἀντ' αὐτοῦ συντόμως χειροτονηθῆναι τῇι Περρηνῶν ἁγίαι τοῦ θεοῦ ἐκκλησίαι.

140 Παῦλος ἐπίσκοπος ἄλλος εἶπεν· Τοῖς ἐκκλησιαστικῶς καὶ κανονικῶς ὁρισθεῖσι παρὰ τῆς ἁγίας συνόδου σύμψηφός εἰμι ἀλλότριον κρίνων τῆς ἀρχιερατικῆς τιμῆς 'Αθανάσιον τὸν γενόμενον Πέρρης ἐπίσκοπον καὶ ψηφίζομαι ἕτερον ἀντ' αὐτοῦ διὰ ταχέων προβληθῆναι τῇι αὐτῇι ἁγίαι τοῦ θεοῦ ἐκκλησίαι.

141 Μάρας ἐπίσκοπος εἶπεν· Κἀγὼ τὰ αὐτὰ συντίθεμαι καὶ ἀλλότριον κρίνω τῆς ἀρχιερατικῆς τιμῆς 'Αθανάσιον τὸν γενόμενον Πέρρης ἐπίσκοπον, ἐπειδὴ πολλάκις κληθεὶς οὐχ ὑπήκουσεν, καὶ ψηφίζομαι ἕτερον ἀντ' αὐτοῦ τῇι Περρηνῶν χειροτονηθῆναι ἁγίαι τοῦ θεοῦ ἐκκλησίαι.

142 Βαράνης ἐπίσκοπος εἶπεν· Τοῖς ἐνθέσμως ὁρισθεῖσιν ὑπὸ τῶν παρόντων θεοφιλεστάτων ἐπισκόπων συνωιδὰ κἀγὼ φημὶ ἀλλότριον κρίνας παντελῶς τῆς ἀρχιερατικῆς τιμῆς καὶ τῆς ἀξίας τοῦ ἐπισκόπου τὸν αὐτὸν 'Αθανάσιον καὶ ψηφίζομαι ἕτερον ἀντ'
M VII 352 αὐτοῦ τῇι Περρηνῶν ἁγίαι τοῦ θεοῦ ἐκκλησίαι χειροτονηθῆναι.

143 'Επιφάνιος ἐπίσκοπος εἶπεν· Τοῖς καλῶς καὶ ἐνθέσμως ἀποφανθεῖσιν ὑπὸ τῆς ἁγίας συνόδου συντίθεμαι καὶ αὐτὸς ἀλλότριον κρίνας τῆς ἀρχιερατικῆς τιμῆς 'Αθανάσιον τὸν γενόμενον Πέρρης ἐπίσκοπον, καὶ ψηφίζομαι διὰ τάχους ἕτερον προβληθῆναι τῇι αὐτῇι Περρηνῶν ἐκκλησίαι δυνάμενον διοικῆσαι αὐτὴν κατὰ τὸ τοῦ θεοῦ βούλημα.

144 'Ιορδάνης ἐπίσκοπος εἶπεν· Τοῖς κατὰ τοὺς ἐκκλησιαστικοὺς κανόνας ὑπὸ τῆς ἁγίας συνόδου καλῶς ἀποφανθεῖσι συντίθεμαι ἀλλότριον κρίνας 'Αθανάσιον τῆς ἀρχιερατικῆς τιμῆς τὸν γενόμενον Πέρρης ἐπίσκοπον καὶ ψηφίζομαι ἕτερον ἀντ' αὐτοῦ χειροτονηθῆναι τῇι Περρηνῶν ἁγίαι τοῦ θεοῦ ἐκκλησίαι.

M, B [= abo], Φ

1 συντίθεμαι κάγὼ B 2 παρ' αὐτῆσ ὁρισθεῖσιν M *quae ab eis definita sunt* Φ ὁρισθεῖσι παρὰ τῆσ ἁγίασ συνόδου B 4 ὁρισθείση B^b 5 συνόδου] συνόδου κρίνασ ἀλλότριον αὐτὸν εἶναι τῆσ ἀρχιερωσύνησ B^o 7 τῆσ — ἐκκλησίασ B^b 8 θωμᾶσ $B^o\Phi$ πάλαι om. Φ^{ac} 8/9 τῶ πανολβίω τῶ μακαρίω τῶ B^b 9 τῶι² om. B^o 10 ἡμῶν om. B^o κύρω B^b om. B^o Φ^{cr} 11 κατηγόρων Φ 12 ἀρχιερωσύνησ $B^o\Phi$ ἀρχιερατικῆσ MB^{ab} μετὴν M 13 ἀναγκαίως om. Φ^{ac} τοσοῦτο B^b τοσούτου M 16 *episcopus Ptolomaidae* Φ 18 τὸν MΦ ἕτερον B χειροτονηθῆναι συντόμωσ B^o 19/22 om. B^o 19 ἄλλος] *Aradi et Antaradi* Φ 20 κρίνω B^b 21 διὰ ταχέων *om.* Φ^{ac} 25 τῆσ περρηνῶν χειροτονηθῆναι τῆ M χειροτονηθῆναι τῆ περρηνῶν B 33 *Perrenorum* Φ^{cr} 37 *Perrenorum* Φ^{cr}

142 Ἰωάννης ἐπίσκοπος εἶπεν· Συντίθεμαι καὶ αὐτὸς ἐγὼ τοῖς κανονικῶς καὶ ἐνθέσμως L IIII 750
ψηφισθεῖσι παρὰ τῆς θείας συνόδου καὶ ἀλλότριον κρίνας τῆς ἐπισκοπῆς Ἀθανάσιον
δοκιμάζω ἕτερον πρόεδρον καταστῆναι τῇι Περρηνῶν ἐκκλησίαι.

143 Δανιῆλος ἐπίσκοπος εἶπεν· Σύμφημι πᾶσι τοῖς κανονικῶς δόξασιν τῇι ἁγίαι συνόδωι
καὶ ἀλλότριον κρίνας Ἀθανάσιον τῆς ἐπισκοπῆς δοκιμάζω ἕτερον ἀντ' αὐτοῦ χειροτο- 5
νηθῆναι τῇι Περρηνῶν πόλει.

144 Σωφρόνιος ἐπίσκοπος εἶπεν· Τοῖς κανονικῶς καὶ ἐνθέσμως ὁρισθεῖσι παρὰ τῆς
ἁγίας συνόδου καὶ αὐτὸς ἐξακολουθῶν ἀλλότριον κρίνω τῆς ἐπισκοπῆς Ἀθανάσιον
καὶ δοκιμάζω ἕτερον ἀντ' αὐτοῦ καταστῆναι τῇι Περρηνῶν ἁγίαι τοῦ θεοῦ ἐκκλησίαι.

145 Σάβας ἐπίσκοπος εἶπεν· Συντίθεμαι κἀγὼ τοῖς διαλαληθεῖσι πᾶσι καὶ σύμψηφος 10
εἰμὶ τῇι ἁγίαι συνόδωι ἀλλότριον δοκιμάσας εἶναι τῆς ἀρχιερατικῆς τιμῆς Ἀθανάσιον,
ἐπειδὴ κληθεὶς παρὰ πάσης τῆς ἐπαρχίας καὶ τῶν μητροπολιτῶν αὐτοῦ καὶ τοῦ ἁγιω-
τάτου πατρὸς ἡμῶν καὶ διδασκάλου καὶ πάσης τῆς παρούσης ἁγίας συνόδου οὐχ ὑπή-
κουσεν, καὶ δοκιμάζω ὥστε ἕτερον ἐπίσκοπον ἀντ' αὐτοῦ καταστῆναι τῇι Περρηνῶν
ἁγίαι τοῦ θεοῦ ἐκκλησίαι τὸν δυνάμενον αὐτῆς λῦσαι τὴν συμφορὰν τῶν κακῶν. 15

146 Δόμνος ἐπίσκοπος εἶπεν· Ἐμοὶ μὲν ἀπευκτὸν ἦν τοιαύτην ἐξενεχθῆναι κατὰ ἐπι-
σκόπου ψῆφον· ἐπειδὴ δὲ τῇι ἁγίαι συνόδωι συνέδοξεν ἀλλότριον Ἀθανάσιον εἶναι κατὰ
τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς τῆς ἐπισκοπῆς ἀξίως ὡς αἰτιαθέντα μὲν ἐπὶ πολλοῖς καὶ
μεγάλοις ἐγκλήμασι, φυγόντα δὲ ἀεὶ τὸ κριτήριον καὶ τὴν ἐξέτασιν τῆς ὑποθέσεως, βε-
βαιῶ ταῦτα κἀγὼ καὶ τοῖς κοινῆι πᾶσι δόξασι συμψηφίζομαι κρίνας αὐτὸν ἀλλότριον 20
εἶναι τῆς ἱερωσύνης καὶ ἐπιτρέπω τῶι θεοφιλεστάτωι ἐπισκόπωι Ἰωάννηι καὶ τοῖς τῆς
ἐπαρχίας θεοσεβεστάτοις ἐπισκόποις ἕτερον ἀντ' αὐτοῦ χειροτονῆσαι ἐπίσκοπον τῇι M VII 353
ἐν Πέρρηι ἁγίαι τοῦ θεοῦ ἐκκλησίαι.

147 Καὶ αἱ ὑπογραφαὶ τῶν προτεταγμένων ἐπισκόπων.

148 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Εἴ τινες τῶν τηνικαῦτα ἅμα Δόμνωι καθελόντων 25
τὸν εὐλαβέστατον ἐπίσκοπον Ἀθανάσιον προσεδρεύουσιν τῇι ἁγιωτάτηι συνόδωι,
παρελθάτωσαν εἰς μέσον. Ῥω ἀνέγνων ἀνέγνωμεν ἀνέγνω

149 Καὶ παρελθόντων εἰς μέσον Θεοδώρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Δαμασκοῦ,
Θεοκτίστου τοῦ εὐλαβεστάτου ἐπισκόπου Βεροίας, Γεροντίου τοῦ εὐλαβεστάτου ἐπι-
σκόπου Σελευκείας, Δαμιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Σιδῶνος, Ἰωσὴφ τοῦ εὐλα- 30
βεστάτου ἐπισκόπου Ἡλιουπόλεως, Σάβα τοῦ εὐλαβεστάτου ἐπισκόπου Πάλτου καὶ
Σωφρονίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Κωνσταντίνης οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον·
Λεγέτωσαν οἱ εὐλαβέστατοι καὶ ἁγιώτατοι ἐπίσκοποι διὰ ποίαν αἰτίαν Ἀθανάσιον τὸν
εὐλαβέστατον ἐπίσκοπον τὸ τηνικαῦτα καθεῖλον.

150 Θεόδωρος ὁ εὐλαβέστατος ἐπίσκοπος Δαμασκοῦ εἶπεν· Κληρικοὶ τῆς Περρηνῶν L IIII 751
ἐκκλησίας αἰτιάσεις δεδώκασι κατ' αὐτοῦ καὶ κληθεὶς οὐ παρεγένετο εἰπών τινας ἐχθροὺς 36

M, B [= abo], Φ

1 *episcopus Theodosiupolis* Φ 4 πᾶσι om. Φac 8 ἁγίαι BΦ om. M 9 δοκιμάζων BoΦcr 10 σάββας Bab 10—15 καὶ σύμψηφος — κακῶν] καὶ τὰ ἑξῆς Bb 13 παρούσης om. Φ 15 τὸν — κακῶν om. Φ αὐτῆ Bao 16/17 τοῦ ἐπισκόπου Bo 17 ἐπεὶ Ba δὲ MBboΦ δὲ καὶ Ba ἔδοξεν Bo 17—23 κατὰ τοὺς — ἐκκλησίαι] καὶ τὰ ἑξῆς Bb 18 ὡς om. Bo 18/19 *saepius quidem et in multis* Φ 21 αὐτοῖς τοῖς Φ 25 ἐνδοξότατοι BoΦ om. MBab 26 τῶν εὐλαβεστάτων ἐπισκόπων Bo προσεδρευούση Bo ἁγία Bo 27 παρελ-θέτωσαν B τὸ μέσον Bo μέτρον M ῥωμαῖον Bo 28 τὸ μέσον Bo 29 βερροίασ B 29—32 Γεροντίου — Κωνσταντίνης] καὶ τῶν λοιπῶν Bb 30 Ισιδῶνοσ Ba 31 Ἡλιουπόλεως — ἐπισκόπου om. M σάββα B καὶ om. Φ 33/34 ἀθανάσιον — ἐπίσκοπον λεγέτωσαν οἱ εὐλα-βέστατοι ἐπίσκοποι διὰ — αἰτίαν Bb 34 ἐπισκοπῆς Φr et unus codex Φc τὸ om. Bo

ἔχειν. καὶ δεύτερον κληθεὶς οὐ παρεγένετο· ὡς δὲ τρίτη κλῆσις ἐπὶ αὐτῷ γεγένηται καὶ παρητήσατο ἐλθεῖν, κατὰ τοὺς κανόνας ἐξηνέχθη ἀπόφασις κατ' αὐτοῦ ἡ καθαιροῦσα αὐτόν.

151 Θεόκτιστος ὁ εὐλαβέστατος ἐπίσκοπος Βεροίας εἶπεν· Κληθεὶς ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος ὑπὸ τῆς συνόδου τῆς συναχθείσης ἐν Ἀντιοχείαι τρίτον οὐ παρεγένετο καὶ κατεκρίθη ἀπὸ τοῦ μὴ παραγενέσθαι.

152 Γερόντιος ὁ εὐλαβέστατος ἐπίσκοπος Σελευκείας εἶπεν· Ἡμεῖς καθείλαμεν αὐτόν, ἐπειδὴ κανονικῶς ἐκλήθη τρίτον καὶ οὐκ ἀπήντησεν, καὶ κατὰ τοὺς κανόνας καθηιρέθη παρὰ πάντων τῶν τότε συνελθόντων. βαρέα γάρ τινα ἐνέκειντο τοῖς λιβέλλοις τοῖς κατ' αὐτοῦ καὶ ἐκλήθη κανονικῶς καὶ οὐκ ἀπήντησεν.

153 Δαμιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος Σιδῶνος εἶπεν· Κληθεὶς ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος παρὰ τῆς ἁγίας συνόδου τῆς συναθροισθείσης ἐν τῇι Ἀντιοχέων τρίτον οὐχ ὑπήκουσεν καὶ κατὰ τοὺς κανόνας καθηιρέθη παρὰ πάντων τῶν τότε συνελθόντων.

154 Ἰωσὴφ ὁ εὐλαβέστατος ἐπίσκοπος Ἡλιουπόλεως εἶπεν· Κληθεὶς ἐν τῇι ἁγίαι συνόδωι τῇι κατὰ Ἀντιόχειαν συνελθούσηι ἐν τῶι ἀκροατηρίωι καὶ ἅπαξ καὶ δεύτερον καὶ τρίτον ὁ εὐλαβέστατος Ἀθανάσιος καὶ μὴ παραγενόμενος ὑπεβλήθη τῇι καθαιρέσει.

155 Σάβας ὁ εὐλαβέστατος ἐπίσκοπος Πάλτου εἶπεν· Παρήμην εἰς τὸ δικαστήριον·
M VII 356 ἦν δὲ Ἀθανάσιος ἐνεγκὼν σάκραν μὴ καθεσθῆναι μηδὲ τὸν κύριν Θεοδώρητον εἰς τὴν δίκην μηδὲ Ἰωάννην τὸν μητροπολίτην. ἐκάθηντο οἱ δύο εἰς τὴν δίκην· ἔλεγον πρὸς αὐτοὺς ὅτι εἰ δικασταὶ ἐστέ, ἀκούσατε τοῦ πράγματος· εἰ δὲ μὴ ὑπογράφετε, ἐξέλθατε ἁπλῶς. φιλονεικία ἐγένετο καὶ οὐκ ἤθελαν τοῦ γράψαι. τέλος ἐκλήθη τρίτον καὶ οὐκ ἦλθεν καὶ διὰ τοῦτο καθείλαμεν αὐτόν.

156 Σωφρόνιος ὁ εὐλαβέστατος ἐπίσκοπος Κωνσταντίνης εἶπεν· Οὐδὲν ἐξητάσθη τῶν κατ' αὐτὸν καὶ παρουσίαι αὐτοῦ κατασυστάδην οὐδὲν ἐξητάσθη, ἀλλὰ ἐκ μιᾶς μοίρας ἠιτιάσαντο ἐκεῖνοι. ἡμεῖς δὲ οὐκ ἐπιστεύσαμεν τῇι μιᾶι μοίραι, ἐπειδὴ οἱ κατήγοροι ὅσα θέλουσι λέγουσι καὶ οὐ πάντως δεῖ πείθεσθαι τοῖς κατηγοροῦσιν. ἐκλήθη δὲ διὰ ταῦτα ἅπαξ· εἶπεν τὴν αἰτίαν δι' ἣν οὐ παρεγένετο, ἥτις ἔγκειται τοῖς ὑπομνήμασιν. πάλιν ἐκ δευτέρου ἐκλήθη· πάλιν ἐκλήθη ἐκ τρίτου. ὡς οὐχ ὑπήκουσεν ἐκ τρίτου, ἐξηνέχθη ψῆφος ἡ καθελοῦσα αὐτόν.

157 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Λεγέτω Ἀθανάσιος ὁ εὐλαβέστατος ἐπίσκοπος τίνος ἕνεκα τρίτον κληθεὶς παρὰ τῆς κατὰ Ἀντιόχειαν ἁγίας συνόδου οὐκ ἀπήντησε ταῖς

158 οἰκείαις δικαιολογίαις χρησόμενος.

I. III! 754 Ἀθανάσιος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ἐπειδὴ ἐχθρός μου ἦν αὐτὸς ὁ κρίνων ὁ Ἀντιοχείας· καὶ ἀξιῶ ταῦτα ἀναγνωσθῆναι καὶ δειχθῆναι τὴν ἀλήθειαν. ἀπῆλθον οἱ ⟨ιγ⟩ κληρικοὶ καὶ αὐτοὶ ἐψηφίσαντο μὴ θελήσαντες.

159 Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· Σαβινιανὸς μὲν ὁ εὐλαβέστατος ἐπίσκοπος ἐπειδὴ μετὰ τὴν καθαίρεσιν Ἀθανασίου τοῦ εὐλαβεστάτου ἐχειροτονήθη ὑπὸ τῆς κατὰ τὴν ἐπαρχίαν συνόδου, ἐπὶ τῆς ἐπισκοπῆς τῆς Περρηνῶν πόλεως,

M, B [= abo], Φ

1 τρίτον B^o τῶ αὐτῶ B^o 2 κατ' αὐτοῦ MΦ om. B 3 βερροίασ B 6 ὁ εὐλαβέστατος om. B^{bo} *Seleuciae Syriae [Isauriae* $Φ^a$] Φ καθείλομεν B 7 τρίτον ἐκλήθη B^o καὶ οὐκ — καθηρέθη om. B^o 8 τότε om. B^{bo} 10 ἐπίσκοπος om. B^b 11 ἀθροισθείσησ B^a τῆι om. B^o 12 τὸ τρίτον B^a 14 Ἰλιουπόλεωσ B^b 17 σάββασ B παρῆμεν B^o 18 κύριον M θεοδώριτον B^{ab} θεόδωρον B^o 20 ἐξέλθετε B 21 *simpliciter et* atque *et simpliciter* $Φ^r$ *et* $Φ^{ac}$ ἤθελον B ἤθελε B^o 22 καθείλομεν B 23 κωνσταντινουπόλεωσ B^b 23 ἐξετάσθαι B^b 24 συστάδην B^b 26 οὐ πάντωσ δὲ B^o 27 δὲ MΦ om. B 28 καὶ πάλιν ² B^o 31 ἕνεκεν B^o ἁγίας om. B 33 ἐπίσκοπος om. B 35 *tredecim* Φ οἱ MB αὐτοί = soli, sc. clerici qui Athanasium depon nolebant 37 ἐπίσκοποσ εἶπεν B^o 38 ἀπὸ M

καθὼς ἡμεῖς συνορῶμεν, μένειν ὀφείλει· οὐδὲ γὰρ ἐκ μιᾶς μοίρας ἀποκινηθεὶς δίκαιός ἐστι πρόκριμα παθεῖν, ὁπότε οὐδὲ μετεκλήθη οὐδὲ ἀντιλογία αὐτῶι ἐφυλάχθη. Ἀθανάσιος δὲ καθαιρεθεὶς ὡς μὴ ὑπακούσας ταῖς κλήσεσι, μετὰ ταῦτα δὲ ἐκ μιᾶς μοίρας παρὰ Διοσκόρου τῆς ἐπισκοπῆς ἀντέχεσθαι κελευσθεὶς τέως, καθὼς συνορῶμεν, ἡσυχάζειν ὀφείλει· τὴν δὲ περὶ τῶν ἐπαχθέντων αὐτῶι δίκην σκοπηθῆναι δικαιοῦμεν ἐπὶ τοῦ ὁσιωτάτου ἐπισκόπου τῆς Ἀντιοχέων Μαξίμου καὶ ἐπὶ τῆς μετ' αὐτοῦ συνόδου, οὕτως μέντοι ὥστε ἐντὸς ὀκτὼ μηνῶν ἀπὸ τῆς σήμερον ἡμέρας ἀριθμουμένων τὴν ἐξέτασιν γενέσθαι τῶν ἤδη κατ' αὐτοῦ τὴν κατηγορίαν ποιησαμένων ἢ καὶ ἑτέρου τινὸς τῶι πράγματι συνισταμένου. καὶ εἰ μὲν ἐλεγχθείη τετολμηκὼς πάντα τὰ ἐγκληματικῶς καὶ χρηματικῶς αὐτῶι ἐπενεχθέντα καὶ ἐμφερόμενα τοῖς ὑπομνήμασιν ἢ καὶ ἓν ἐξ αὐτῶν ἄξιον ὑπάρχον M VII 357
καθαιρέσεως, μὴ μόνον αὐτὸν ἀλλότριον εἶναι τῆς αὐτῆς ἐπισκοπῆς, ἀλλὰ καὶ τοῖς δημοσίοις ὑποπίπτειν νόμοις· εἰ δὲ ἐντὸς ταύτης τῆς προθεσμίας μὴ ἐναχθείη ἢ ἐναγόμενος μὴ ἐλεγχθείη, ὡς προείρηται, Ἀθανάσιον μὲν τὴν ἐπισκοπὴν καὶ τὴν ἐκκλησίαν τῆς αὐτῆς πόλεως ἀναλαβεῖν διὰ τοῦ ὁσιωτάτου ἐπισκόπου Μαξίμου τοῦ τῆς Ἀντιοχέων μεγαλοπόλεως, Σαβινιανὸν δὲ τὸν εὐλαβέστατον καὶ τὸ ἀξίωμα τῆς ἐπισκοπῆς ἔχειν καὶ ὑποκατάστατον εἶναι τρεφόμενον, ὡς ἂν ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Ἀντιοχέων Μάξιμος πρὸς τὴν δύναμιν τῆς κατὰ Πέρρην ἁγιωτάτης ἐκκλησίας διατυπώσηι. τούτων ἀκούσασα ἡ ἁγιωτάτη σύνοδος λεγέτω εἰ τοῖς τυπωθεῖσιν ἐπιψηφίζεται ἢ τι ἕτερον τυποῖ.

160 Μάξιμος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀντιοχείας εἶπεν· Τούτου οὐδὲν δικαιότερον.

161 Κῦρος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀναζαρβοῦ εἶπεν· Ὁ θεὸς δι' ὑμῶν ἐλάλησεν.

162 Ἡ ἁγία σύνοδος εἶπεν· Οὐδὲν δικαιότερον, οὐδὲν ἀκριβέστερον. αὕτη δικαία κρίσις, αὕτη δικαία ψῆφος. τὰ τυπωθέντα πέρατι παραδοθῆι. μετὰ τοῦ θεοῦ ὑμεῖς δικάζετε.

163 Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· Τὰ παρ' ἡμῶν μὲν δοκιμασθέντα, τυπωθέντα δὲ παρὰ τῆς ἁγίας συνόδου βέβαια μενέτω. Ῥω ἀνέγνων ἀνέγνωμεν ἀνέγνω

Πρᾶξις ις

1 Ὑπατείας τοῦ δεσπότου ἡμῶν Μαρκιανοῦ τοῦ αἰωνίου αὐγούστου καὶ τοῦ δηλωθησομένου τῆι πρὸ μιᾶς Καλανδῶν Νοεμβρίων ἐν Χαλκηδόνι d. 31 m. Oct. 451
κατὰ κέλευσιν τοῦ θειοτάτου καὶ εὐσεβεστάτου ἡμῶν δεσπότου Μαρκιανοῦ τοῦ αἰωνίου αὐγούστου συνελθόντων ἐν τῆι ἁγιωτάτηι ἐκκλησίαι τῆς ἁγίας μάρτυρος Εὐφημίας

1 τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου στρατηλάτου ἀπὸ ὑπάτων καὶ πατρικίου Ἀνατολίου

2 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἐπάρχου τῶν ἱερῶν πραιτωρίων Παλλαδίου

XVI deest Latina uersio. primi ediderunt Ballerini in Leonis epp. 2, 1491 [= PG 54, 1250]

M, B [= abo], Φ [usque ad 27]
2 οὐδὲ¹] οὐ Bb ἀντιλογία MΦ ἀπολογία B 8 καὶ om. Bo τῶ πράγματοσ Bb 11 τὸ τετολμηκὸσ Ba 10 ὑπάρχων MBb 11 αὐτῆς om. Bo 12 ἐκπίπτει νόμοισ Bo 13 καὶ τὴν ἐκκλησίαν MBabΦac τῆς ἐκκλησίας Φr καὶ τῆσ ἐκκλησίασ Bo 15 σαβιανὸν Bo τὸν εὐλαβέστατον ἐπίσκοπον Φ 16 τρεφόμενοσ Bb ἕωσ Φ 17 *eum secundum uirtutem* Φ 18 εἰ om. Bb 20 τούτων Bo 21 ἀναζαβοῦ M 22/23 δικαία — αὕτη om. Φ 23 τυπωθέντα om. M δοθῆ Bo 25 μὲν] δὲ Bb γρ μὲν Bb in mg. 26 ῥωμαῖον Bo 28 ἑξκαιδεκάτη Bac 34 ἐνδοξοτάτου καὶ μεγαλοπρεστάτου Bo

3 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου μαγίστρου τῶν θείων ὀφφικίων Βιγκομάλου,
συνελθόντων δὲ καὶ
2 1-3 Πασκασίνου καὶ Λουκινσίου τῶν εὐλαβεστάτων ἐπισκόπων καὶ Βονιφατίου τοῦ εὐλαβεστάτου πρεσβυτέρου ἐπεχόντων τὸν τόπον τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς πρεσβύτιδος Ῥώμης Λέοντος
4 καὶ Ἀνατολίου τοῦ εὐλαβεστάτου ἀρχιεπισκόπου τῆς μεγαλωνύμου Κωνσταντινουπόλεως
5 καὶ Μαξίμου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀντιοχείας Συρίας
6 καὶ Ἰουβεναλίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἱεροσολύμων
7 καὶ Κυντίλλου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἡρακλείας Μακεδονίας ἐπέχοντος τὸν τόπον τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς Θεσσαλονικέων Ἀναστασίου
8 καὶ Θαλασσίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Καισαρείας Καππαδοκίας
9 καὶ Στεφάνου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἐφέσου
10 καὶ Λουκιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Βύζης ἐπέχοντος τὸν τόπον τοῦ θεοφιλεστάτου ἐπισκόπου Ἡρακλείας Θράικης Κυριακοῦ
11 καὶ Εὐσεβίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀγκύρας Γαλατίας
12 καὶ Διογένους τοῦ εὐλαβεστάτου ἐπισκόπου Κυζίκου
13 καὶ Πέτρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Κορίνθου
14 καὶ Φλωρεντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σάρδεων
15 καὶ Εὐνομίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Νικομηδείας
16 καὶ Ἀναστασίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Νικαίας
17 καὶ Ἰουλιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Κῶ ἐπέχοντος καὶ αὐτοῦ τὸν τόπον τοῦ ἀποστολικοῦ θρόνου Ῥώμης
18 καὶ Ἐλευθερίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Χαλκηδονέων
19 καὶ Βασιλείου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σελευκείας Ἰσαυρίας
20 καὶ Μελιτίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Λαρίσσης ἐπέχοντος τὸν τόπον τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀπαμείας Συρίας Δόμνου
21 καὶ Ἀμφιλοχίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σίδης
22 καὶ Θεοδώρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ταρσοῦ
23 καὶ Κύρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀναζαρβοῦ
24 καὶ Κωνσταντίνου τοῦ εὐλαβεστάτου ἐπισκόπου Βόστρων
25 καὶ Φωτίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Τύρου
26 καὶ Θεοδώρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Δαμασκοῦ
27 καὶ Στεφάνου τοῦ εὐλαβεστάτου Ἱερᾶς πόλεως ἐπισκόπου
28 καὶ Συμεώνου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀμίδης
29 καὶ Ἐπιφανίου τοῦ εὐλαβεστάτου ἐπισκόπου ἐπέχοντος τὸν τόπον τοῦ εὐλαβεστάτου ἐπισκόπου Κωνσταντίας Ὀλυμπίου
30 καὶ Ἰωάννου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σεβαστείας
31 καὶ Σελεύκου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀμασείας
32 καὶ Κωνσταντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Μελιτηνῆς
33 καὶ Πατρικίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Τυάνων
34 καὶ Πέτρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Γαγγρῶν
35 καὶ Εὐσταθίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Βηρυτοῦ

M, B [= abo, usque ad 10]
6 πρεσβυτέρασ Bbo 11—p. 85, 27 om. B 41 μελιτινῆσ M

36 καὶ Ἀπραγμονίου τοῦ εὐλαβεστάτου ἐπισκόπου ἐπέχοντος τὸν τόπον τοῦ εὐλαβεστάτου ἐπισκόπου Κλαυδιουπόλεως Καλογήρου
37 καὶ Ἀταρβίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Τραπεζοῦντος ἐπέχοντος τὸν τόπον τοῦ εὐλαβεστάτου ἐπισκόπου Νεοκαισαρείας Δωροθέου
38 καὶ Φωτεινοῦ ἀρχιδιακόνου ἐπέχοντος τὸν τόπον Θεοκτίστου τοῦ εὐλαβεστάτου ἐπισκόπου Πισινοῦντος
39 καὶ Ῥωμανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Μύρων τῆς Λυκίας
40 καὶ Νουνεχίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀφροδισιάδος Καρίας
41 καὶ Κριτωνιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Λαοδικείας Φρυγίας
42 καὶ Μαρινιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Συννάδων
43 καὶ Ὀνησιφόρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἰκονίου
44 καὶ Περγαμίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀντιοχείας Πισιδίας
45 καὶ Ἐπιφανίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Πέργης
46 καὶ Ἀττικοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Νικοπόλεως Ἠπείρου
47 καὶ Μαρτυρίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Γορτύνης
48 καὶ Λουκᾶ τοῦ εὐλαβεστάτου ἐπισκόπου Δυρραχίου
49 καὶ Βιγιλαντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Λαρίσσης Θεσσαλίας
50 καὶ Φραγκίωνος τοῦ εὐλαβεστάτου ἐπισκόπου Φιλιππουπόλεως
51 καὶ Σεβαστιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Βερόης
52 καὶ Βασιλείου τοῦ εὐλαβεστάτου ἐπισκόπου Τραιανουπόλεως
53 καὶ Τρύφωνος τοῦ εὐλαβεστάτου ἐπισκόπου Χίου ἐπέχοντος τὸν τόπον Ἰωάννου ἐπισκόπου Ῥόδου
54 καὶ Θεοκτίστου ⟨τοῦ εὐλαβεστάτου⟩ ἐπισκόπου Βεροίας
55 καὶ Γεροντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σελευκείας Συρίας
56 καὶ Εὐσεβίου πρεσβυτέρου ἐπέχοντος τὸν τόπον Μακαρίου ἐπισκόπου Λαοδικείας Συρίας
57 καὶ Εὐσεβίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Δορυλαίου
καὶ τῆς λοιπῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τῆς κατὰ θέσπισμα τοῦ θειοτάτου καὶ εὐσεβεστάτου ἡμῶν δεσπότου ἐν τῇ Χαλκηδονέων πόλει συναθροισθείσης καὶ καθεσθέντων πάντων πρὸ τῶν καγκέλλων τοῦ ἁγίου θυσιαστηρίου

3 Βονιφάτιος πρεσβύτερος ἐπέχων τὸν τόπον τῆς ἀποστολικῆς καθέδρας τῆς πρεσβυτέρας Ῥώμης εἶπεν· Ὁ ἀποστολικὸς ἐπίσκοπος καὶ τῆς ἀποστολικῆς πόλεως Ῥώμης Λέων ὁ ἐμὸς δεσπότης ἐπιστολὴν πρὸς τὴν ἁγιωτάτην σύνοδον ἀπέστειλε· κελεύσατε αὐτὴν ἀποδεχθῆναι καὶ ἀναγνωσθῆναι.

4 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Ἀναγινωσκέσθω ἡ ἐπιστολὴ Λέοντος τοῦ εὐλαβεστάτου ἀρχιεπισκόπου Ῥώμης.

5 Καὶ ἐπιδόντος Ἰουλιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Κώων πόλεως τοποτηροῦντος καὶ αὐτοῦ τῶι ἀποστολικῶι θρόνωι τήν τε αὐθεντικὴν Ῥωμαικὴν ἐπιστολήν, ἔτι μὴν καὶ τὴν ταύτης ἑρμηνείαν, Κωνσταντῖνος ὁ καθωσιωμένος σηκρητάριος ἀνέγνω ἔχουσαν οὕτως

6 Λέων ἐπίσκοπος τῇι ἁγίαι συνόδωι τῇι ἐν Χαλκηδόνι τοῖς ἀγαπητοῖς ἀδελφοῖς ἐν κυρίωι χαίρειν. Ἐμοὶ μὲν ἦν κτλ. edita est epistula in Epist. coll. M 17.

M, B [= abo, inde a 28]
8. 9. sedium nomina inter se confusa 23 τοῦ εὐλαβεστάτου addidi 29 χαλκηδονίων Bº 30 καγγέλων Bº 32 καὶ om. Bº πόλεωσ B πίστεωσ M 34 τοίνυν αὐτὴν Bº ἀποδεχθῆναι M ἀποδοθῆναι B 37 ἐπιδοθέντοσ Bº 39 ἔτι μὴν B om. M ταύτην Bᵇ

Πρᾶξις ιγ

L IIII 791 M VII 424 1 Ὑπατείας τοῦ δεσπότου ἡμῶν Μαρκιανοῦ τοῦ αἰωνίου αὐγούστου καὶ τοῦ δηλωθησομένου πρὸ πέντε Καλανδῶν Νοεμβρίων ἐν Χαλκηδόνι

κατὰ κέλευσιν τοῦ θειοτάτου καὶ εὐσεβεστάτου ἡμῶν δεσπότου Μαρκιανοῦ τοῦ αἰωνίου αὐγούστου συνελθόντων ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίαι τῆς ἁγίας μάρτυρος Εὐφημίας

τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου στρατηλάτου ἀπὸ ὑπάτων καὶ πατρικίου Ἀνατολίου

καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἐπάρχου τῶν ἱερῶν πραιτωρίων Παλλαδίου

καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου μαγίστρου τῶν θείων ὀφφικίων Βιγκομάλου,

1-3 συνελθόντων δὲ καὶ Πασκασίνου καὶ Λουκινσίου τῶν εὐλαβεστάτων ἐπισκόπων καὶ Βονιφατίου τοῦ εὐλαβεστάτου πρεσβυτέρου ἐπεχόντων τὸν τόπον τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς πρεσβύτιδος Ῥώμης Λέοντος

4 καὶ Ἀνατολίου τοῦ εὐλαβεστάτου ἀρχιεπισκόπου τῆς μεγαλωνύμου Κωνσταντινουπόλεως

5 καὶ Μαξίμου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀντιοχείας Συρίας

6 καὶ Ἰουβεναλίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἱεροσολύμων

7 καὶ Κυντίλλου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἡρακλείας Μακεδονίας ἐπέχοντος τὸν τόπον τοῦ ἁγιωτάτου ἐπισκόπου τῆς Θεσσαλονικέων Ἀναστασίου

8 καὶ Θαλασσίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Καισαρείας Καππαδοκίας

9 καὶ Στεφάνου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἐφέσου

10 καὶ Λουκιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Βύζης ἐπέχοντος τὸν τόπον τοῦ θεοφιλεστάτου ἐπισκόπου Ἡρακλείας Κυριακοῦ

11 καὶ Εὐσεβίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀγκύρας Γαλατίας

12 καὶ Διογένους τοῦ εὐλαβεστάτου ἐπισκόπου Κυζίκου

13 καὶ Πέτρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Κορίνθου

14 καὶ Φλωρεντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σάρδεων

15 καὶ Εὐνομίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Νικομηδείας

16 καὶ Ἀναστασίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Νικαίας

17 καὶ Ἰουλιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Κῶ ἐπέχοντος καὶ αὐτοῦ τὸν τόπον τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβύτιδος Ῥώμης Λέοντος

18 καὶ Ἐλευθερίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Χαλκηδονέων

19 καὶ Βασιλείου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σελευκείας Ἰσαυρίας

20 καὶ Μελετίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Λαρίσσης ἐπέχοντος τὸν τόπον τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀπαμείας Συρίας Δόμνου

21 καὶ Ἀμφιλοχίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σίδης

22 καὶ Θεοδώρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ταρσοῦ

23 καὶ Κύρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀναζαρβοῦ

24 καὶ Κωνσταντίνου τοῦ εὐλαβεστάτου ἐπισκόπου Βόστρων

25 καὶ Φωτίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Τύρου

26 καὶ Θεοδώρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Δαμασκοῦ

---

de hac actione egi in *Sitzungsber. d. Berl. Akad. d. Wiss. 1930, 611 sq.*

M, Ь [= abo, usque ad 5], Φ

1 ἑπτακαιδεκάτη B^{ao} 3 πέντε MBΦ, pro Ē legendum esse Γ̄ exposui l. c. p. 614[1] 6—p. 87, 37 τῶν προειρημένων μεγαλοπρεπεστάτων καὶ ἐνδοξοτάτων ἀρχόντων ἔτι δὲ καὶ τῶν εὐλαβεστάτων ἐπισκόπων B 19 *Macedoniae* Φ θράκης M 35 *Meletio* $Φ^{cr}$ μελιτίου M $Φ^{a}$

27 καὶ Στεφάνου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἱερᾶς πόλεως
28 καὶ Ἴβα τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἐδέσσης
29 καὶ Συμεῶνος τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀμίδης
30 καὶ Ἐπιφανίου τοῦ εὐλαβεστάτου ἐπισκόπου ἐπέχοντος τὸν τόπον τοῦ εὐλαβεστάτου ἐπισκόπου Κωνσταντίας Ὀλυμπίου
31 καὶ Ἰωάννου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σεβαστείας
32 καὶ Σελεύκου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀμασείας
33 καὶ Κωνσταντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Μελιτηνῆς
34 καὶ Πατρικίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Τυάνων
35 καὶ Πέτρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Γαγγρῶν
36 καὶ Καλογήρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Κλαυδιουπόλεως
37 καὶ Ἀπραγμονίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Τίου
38 καὶ Ἀταρβίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Τραπεζοῦντος ἐπέχοντος τὸν τόπον τοῦ εὐλαβεστάτου ἐπισκόπου Νεοκαισαρείας Δωροθέου
39 καὶ Φωτεινοῦ τοῦ ἀρχιδιακόνου ἐπέχοντος τὸν τόπον Θεοκτίστου τοῦ εὐλαβεστάτου ἐπισκόπου Πισινοῦντος
40 καὶ Ῥωμανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Μύρων
41 καὶ Κριτωνιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀφροδισιάδος Καρίας
42 καὶ Νουνεχίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Λαοδικείας Φρυγίας
43 καὶ Μαρινιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Συνάδων
44 καὶ Ὀνησιφόρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἰκονίου
45 καὶ Περγαμίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀντιοχείας Πισιδίας
46 καὶ Ἐπιφανίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Πέργης
47 καὶ Ἀττικοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Νικοπόλεως
48 καὶ Μαρτυρίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Γορτύνης
49 καὶ Λουκᾶ τοῦ εὐλαβεστάτου ἐπισκόπου Δυρραχίου
50 καὶ Βιγιλαντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Λαρίσσης Θεσσαλίας
51 καὶ Φραγκίωνος τοῦ εὐλαβεστάτου ἐπισκόπου Φιλιππουπόλεως
52 καὶ Σεβαστιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Βερόης
53 καὶ Βασιλείου τοῦ εὐλαβεστάτου ἐπισκόπου Τραιανουπόλεως
54 καὶ Τρύφωνος τοῦ εὐλαβεστάτου ἐπισκόπου Χίου ἐπέχοντος τὸν τόπον Ἰωάννου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ῥόδου
55 καὶ Θεοκτίστου τοῦ εὐλαβεστάτου ἐπισκόπου Βεροίας
56 καὶ Γεροντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σελευκείας Συρίας
57 καὶ Εὐσεβίου πρεσβυτέρου ἐπέχοντος τὸν τόπον Μακαρίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Λαοδικείας Συρίας
58 καὶ Εὐσεβίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Δορυλαίου

καὶ τῆς λοιπῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τῆς κατὰ θέσπισμα τοῦ θειοτάτου καὶ εὐσεβεστάτου ἡμῶν δεσπότου ἐν τῇ Χαλκηδονέων πόλει συναθροισθείσης καὶ καθεσθέντων πάντων πρὸ τῶν καγκέλλων τοῦ ἁγίου θυσιαστηρίου I. III 794 M VII 425

2 Πασκασῖνος καὶ Λουκίνσιος οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐπέχοντες τὸν τόπον τοῦ ἀποστολικοῦ θρόνου εἶπον· Εἰ προστάττει ἡ ὑμετέρα μεγαλειότης, ἔχομεν διδασκαλίαν ὑποβαλεῖν.

3 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Λέγετε ὃ βούλεσθε.

4 Πασκασῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος ἐπέχων τὸν τόπον τοῦ Ῥώμης εἶπεν·

M, B [= abo, inde a 38], Φ
8 κωνσταντίου M et uaria lectio in Φa *Constantino* Φ μελιτινῆσ M 39 χαλκηδονίων Bo

L IIII 795 Οἱ δεσπόται τῆς οἰκουμένης φροντίζοντες ὑπὲρ τῆς ἁγίας καθολικῆς πίστεως, δι' ἧς τὸ βασίλειον αὐτῶν αὔξεται καὶ ἐπιδίδωσιν, ὁρίσαι τοῦτο κατηξίωσαν ἵνα μία πίστις διὰ τῆς ἀγαθῆς εἰρήνης ἐν πάσαις ταῖς ἐκκλησίαις φυλάττηται. μείζονι τοιγαροῦν φροντίδι ἔτι καὶ εἰς τὸ μετὰ ταῦτα ἡ τούτων φιλανθρωπία προνοῆσαι κατηξίωσεν, ἵνα μήτις αὖθις ἀψιμαχία μεταξὺ τῶν ἐπισκόπων τοῦ θεοῦ ἢ σχίσματα ἢ σκάνδαλα ἀναφυῆι. τῆι χθὲς [δὲ] ἡμέραι ἀναχωρησάσης τῆς ὑμετέρας ὑπεροχῆς καὶ τῆς ἡμετέρας ταπεινώσεως ὑπομνήματά τινα λέγεται πεπρᾶχθαι, ἅπερ ἡμεῖς ὑπεναντίον τῶν κανόνων καὶ τῆς ἐκκλησιαστικῆς ἐπιστήμης φάσκομεν γεγενῆσθαι. ταῦτα αἰτοῦμεν ἵνα ἡ ὑμετέρα ἐνδοξότης προστάξηι ἀναγνωσθῆναι, ἵνα πᾶσα γνῶι ἡ ἀδελφότης πότερον δίκαια ἢ ἄδικα τὰ πεπραγμένα.

5 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Εἴ τινά ἐστιν ὑπομνήματα μετὰ τὴν ἡμετέραν ἀναχώρησιν πεπραγμένα, ἀναγινωσκέσθω.

6 Καὶ πρὸ τῆς ἀναγνώσεως Ἀέτιος ἀρχιδιάκονος τῆς Κωνσταντινουπόλεως ἐκκλησίας εἶπεν· Ὡμολόγηται ὅτι τὰ περὶ τῆς πίστεως τύπον ἐδέξαντο προσήκοντα· ἔθος δὲ ἐν ταῖς συνόδοις μετὰ τὸ καιριώτατον πάντων τυπωθῆναι καὶ ἕτερά τινα ἀναγκαῖα γυμνάζεσθαι καὶ τυποῦσθαι. εἴχομεν, τουτέστιν ἡ Κωνσταντινουπολιτῶν ἁγιω-
M VII 428 τάτη ἐκκλησία φανερά τινα διαπράξασθαι. παρεκαλέσαμεν τοὺς κυρίους τοὺς ἐπισκόπους τοὺς ἀπὸ Ῥώμης κοινωνοὺς γενέσθαι τῶν πραττομένων· παρητήσαντο λέγοντες ἐντολὰς μὴ εἰληφέναι τοιαύτας. ἀνηνέγκαμεν καὶ ἐπὶ τὴν ὑμετέραν μεγαλοπρέπειαν· ἐκελεύσατε τὴν παροῦσαν ἁγίαν σύνοδον τοῦτο αὐτὸ διασκοπῆσαι. προελθούσης τῆς ὑμετέρας μεγαλοπρεπείας οἱ ἁγιώτατοι ἐπίσκοποι ὡς κοινοῦ ὄντος ἐνταῦθα τοῦ πράγματος ἀναστάντες ἐζήτησαν τὴν πρᾶξιν ταύτην γενέσθαι. καὶ πάρεισιν ἐνταῦθα οὔτε ἐν παραβύστωι πέπρακται οὔτε κλοπῆς τρόπωι, καὶ ἔστιν ἡ πρᾶξις ἀκόλουθος καὶ κανονική.

7 Οἱ μεγαλοπρεπέστατοι ἄρχοντες εἶπον· Ἡ γενομένη πρᾶξις ἀναγινωσκέσθω.

Καὶ ἐπιδοθέντος σχεδαρίου παρὰ Ἀετίου ἀρχιδιακόνου τῆς Κωνσταντινουπολιτῶν ἐκκλησίας Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀνέγνω

8 Πανταχοῦ τοῖς τῶν ἁγίων πατέρων ὅροις ἑπόμενοι καὶ τὸν ἀρτίως ἀναγνωσθέντα κανόνα τῶν ρν θεοφιλεστάτων ἐπισκόπων τῶν συναχθέντων ἐπὶ τοῦ εὐσεβοῦς τὴν μνήμην

28—p. 89, 17 extant in Canonum collectionibus post ipsam canonum qui in actione VII definiti sunt, seriem

---

M, B [= abo], K [= abcdefhlpqrtuyz, inde a 28], Φ

1—10 haud pauca in Φ non ex Graeco uersa, sed ex ipsa Latina oratione quae olim textui Graeco erat inserta, uidentur esse desumpta; adfero igitur ipsa uerba qualia extant in Φ: *Domini totius orbis pro catholica et orthodoxa fide decertantes [curam gerentes Φa], per quam et augetur eorum et lucet imperium, sancire dignati sunt quatenus unam fidem teneant omnes ecclesiae pro bono pacis. maior autem eorum tranquillitati cura est in quibus post haec prouidere dignati sunt, ne qua rursus intentio inter dei sacerdotes aut schisma aut aliquod nascatur scandalum. hesterna enim die postquam potestas uestra surrexit et humilitas nostra uestigia uestra secuta est, quaedam gesta facta dicuntur, quae nos et praeter canones ecclesiasticos et disciplinam aestimamus effecta. poscimus ergo ut uestra magnificentia relegi haec praecipiat, ut omnis fraternitas inspiciat utrum iusta an iniusta sint ea [om. Φa] quae gesta sunt* 2 αὐτοῖσ Bo κατηξίωσεν MBbo 5 σχίσμα Bo 6 δὲ om. M *enim* Φ 9 προστάξει Bb 11 praem. *qua uoce Graece interpretata per Beronicianum deuotum secretarium diuini consistorii* Φ ὑμετέραν Bo 14 *confitendum est* Φ τὸν προσήκοντα Ba 15 δὲ εἴχομεν B 16 εἴχομεν om. B 18 πεπραγμένων Bo 20 παροῦσαν om. B 20,21 προελθούσησ BoΦcr προσελθούσησ MB *conueniente* Φa 21 ἐπίσκοποι om. Bo 22/23 καὶ — πέπρακται om. Bo 22 πάρεστιν Bab 26 σχιδαρίου M 28 inscr. ψῆφοσ τῆσ αὐτῆσ ἁγίασ [ἁγίασ αὐτῆσ d αὐτῆσ y] συνόδου ἐκφωνηθεῖσα χάριν τῶν πρεσβείων τοῦ θρόνου [τοῦ ἁγιωτάτου θρόνου lt τοῦ θρόνου τοῦ ἁγιωτάτου θρόνου y] τῆσ ἁγιωτάτησ ἐκκλησίασ κωνσταντινουπόλεωσ K κη̄ in mg. abcdefityz πατέρων om. a 29 τῆσ εὐσεβοῦσ μνήμησ K

μεγάλου Θεοδοσίου τοῦ γενομένου βασιλέως ἐν τῇι βασιλίδι Κωνσταντινουπόλει νέαι Ῥώμηι γνωρίζοντες, τὰ αὐτὰ καὶ ἡμεῖς ὁρίζομέν τε καὶ ψηφιζόμεθα περὶ τῶν πρεσβείων τῆς ἁγιωτάτης ἐκκλησίας τῆς αὐτῆς Κωνσταντινουπόλεως νέας Ῥώμης. καὶ γὰρ τῶι θρόνωι τῆς πρεσβυτέρας Ῥώμης διὰ τὸ βασιλεύειν τὴν πόλιν ἐκείνην οἱ πατέρες εἰκότως ἀποδεδώκασι τὰ πρεσβεῖα καὶ τῶι αὐτῶι σκοπῶι κινούμενοι οἱ $\overline{ρν}$ θεοφιλέστατοι ἐπίσκοποι τὰ ἴσα πρεσβεῖα ἀπένειμαν τῶι τῆς νέας Ῥώμης ἁγιωτάτωι θρόνωι, εὐλόγως κρίναντες τὴν βασιλείαι καὶ συγκλήτωι τιμηθεῖσαν πόλιν καὶ τῶν ἴσων ἀπολαύουσαν πρεσβείων τῆι πρεσβυτέραι βασιλίδι Ῥώμηι καὶ ἐν τοῖς ἐκκλησιαστικοῖς ὡς ἐκείνην μεγαλύνεσθαι πράγμασιν δευτέραν μετ' ἐκείνην ὑπάρχουσαν καὶ ὥστε τοὺς τῆς Ποντικῆς L IIII 798 καὶ τῆς Ἀσιανῆς καὶ τῆς Θραικικῆς διοικήσεως μητροπολίτας μόνους, ἔτι δὲ καὶ τοὺς ἐν τοῖς βαρβαρικοῖς ἐπισκόπους τῶν προειρημένων διοικήσεων χειροτονεῖσθαι ὑπὸ τοῦ προειρημένου ἁγιωτάτου θρόνου τῆς κατὰ Κωνσταντινούπολιν ἁγιωτάτης ἐκκλησίας, δηλαδὴ ἑκάστου μητροπολίτου τῶν προειρημένων διοικήσεων μετὰ τῶν τῆς ἐπαρχίας ἐπισκόπων χειροτονοῦντος τοὺς τῆς ἐπαρχίας ἐπισκόπους, καθὼς τοῖς θείοις κανόσι διηγόρευται· χειροτονεῖσθαι δὲ καθὼς εἴρηται, τοὺς μητροπολίτας τῶν προειρημένων διοικήσεων παρὰ τοῦ Κωνσταντινουπόλεως ἀρχιεπισκόπου ψηφισμάτων συμφώνων κατὰ τὸ ἔθος γινομένων καὶ ἐπ' αὐτὸν ἀναφερομένων.

9 ὑπογραφαί

1 Ἀνατόλιος ἐπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης ὁρίσας ὑπέγραψα
2 Μάξιμος ἐπίσκοπος Ἀντιοχείας Συρίας ὁρίσας ὑπέγραψα
3 Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων ὁρίσας ὑπέγραψα
4 Κυριακὸς ἐπίσκοπος Ἡρακλείας τῆς μητροπόλεως ὁρίσας ὑπέγραψα διὰ Λουκιανοῦ ἐπισκόπου Βύζης
5 Διογένης ἐπίσκοπος τῆς μητροπόλεως Κυζίκου ὁρίσας ὑπέγραψα
6 Φλωρέντιος ἐπίσκοπος Λυδῶν μητροπόλεως ὁρίσας ὑπέγραψα
7 Ῥωμανὸς ἐπίσκοπος τῆς μητροπόλεως Μύρων ὁρίσας ὑπέγραψα
8 Βασίλειος ἐλέει θεοῦ ἐπίσκοπος Σελευκείας τῆς μητροπόλεως ὁρίσας ὑπέγραψα
9 Κῦρος ἐπίσκοπος τῆς μητροπόλεως Ἀναζαρβοῦ ὁρίσας ὑπέγραψα
10 Ἐλευθέριος ἐπίσκοπος τῆς μητροπόλεως Χαλκηδόνος ὁρίσας ὑπέγραψα
11 Θεόδωρος ἐπίσκοπος τῆς μητροπόλεως Ταρσοῦ ὁρίσας ὑπέγραψα
12 Καλόγηρος ἐπίσκοπος τῆς Κλαυδιουπολιτῶν μητροπόλεως Ὀνωριάδος ὁρίσας ὑπέγραψα διὰ Στεφάνου πρεσβυτέρου
13 Σέλευκος χάριτι θεοῦ ἐπίσκοπος τῆς μητροπόλεως Ἀμασείας ὁρίσας ὑπέγραψα
14 Πέτρος ἐπίσκοπος τῆς μητροπόλεως Γαγγρῶν ὁρίσας ὑπέγραψα
15 Φώτιος ἐπίσκοπος Τύρου τῆς μητροπόλεως ὁρίσας ὑπέγραψα
16 Θεόδωρος ἐπίσκοπος Δαμασκοῦ τῆς μητροπόλεως ὁρίσας ὑπέγραψα
17 Κωνσταντῖνος ἐπίσκοπος τῆς μητροπόλεως Βόστρων ὁρίσας ὑπέγραψα
18 Μελέτιος ἐπίσκοπος Λαρίσσης τὸν λόγον ποιούμενος ὑπέρ τε τοῦ ὁσιωτάτου ἐπισκόπου Δόμνου Ἀπαμείας Συρίας καὶ ὑπὲρ ἐμαυτοῦ ὁρίσας ὑπέγραψα

M, B [= abo], K [= abcdefhlpqrtuyz usque ad 17], Φ

1 τοῦ om. lrt ἐν — βασιλίδι om. l βασιλευούσηι B^o κωνσταντινουπόλιν c κωνσταντινουπόλεωσ d 2 ὁριζόμεθα z ψηφίζομεν rt 4 Ῥώμης om. ab 5 καὶ om. lrty αὐτῶ οὖν lrt 6 τῶι om. y 7 βασιλείαν B^o adlz, corr. al τὴν πόλιν B^o απολαύουσι M 9 τῆς om. t 10 τῆς¹ om. hlu ἀσιανικῆσ u 12 κατὰ τὴν h 13 τῶν¹ om. c 13/14 τὸν — ἐπίσκοπον l 15 χειροτονεῖσθαι — εἴρηται om. d δὲ om. y 16 ἀρχιεπισκόπου κωνσταντινουπόλεωσ B^b 18 αἱ ὑπογραφαί B^o 27 ἑλέω B^{ab} 31 καλόγηρωσ B τῆσ — ὀνωριάδοσ ἐπίσκοποσ M ὀνωριὰδ B^{ab} 33 ἀμασίασ B^b 38 μελίτιοσ M *militius* $Φ^a$ τε om. B^o

19 Στέφανος ἐπίσκοπος Ἱερᾶς πόλεως τῆς μητροπόλεως ὁρίσας ὑπέγραψα
20 Βασίλειος ἐπίσκοπος Τραιανουπόλεως ὁρίσας ὑπέγραψα
21 Φραγκίων ἐπίσκοπος τῆς μητροπόλεως Φιλίππου ὁρίσας ὑπέγραψα
22 Νουνέχιος ἐπίσκοπος τῆς μητροπόλεως Λαοδικείας ὁρίσας ὑπέγραψα
L IIII 799 23 Μαρινιανὸς ἐπίσκοπος τῆς μητροπόλεως Συνάδων ὁρίσας ὑπέγραψα
24 Ὀνησιφόρος ἐπίσκοπος τῆς μητροπόλεως Ἰκονίου ὁρίσας ὑπέγραψα
25 Περγάμιος ἐπίσκοπος Ἀντιοχείας Πισιδίας ὁρίσας ὑπέγραψα
26 Κριτωνιανὸς ἐπίσκοπος τῆς μητροπόλεως Ἀφροδισιάδος ὁρίσας ὑπέγραψα
27 Εὐτύχιος ἐπίσκοπος Ἐπιφανείας Συρίας δευτέρας ὁρίσας ὑπέγραψα διὰ Μελετίου ἐπισκόπου Λαρίσσης
M VII 432 28 Εὐσέβιος ἐπίσκοπος Δορυλαίου ὁρίσας ὑπέγραψα
29 Λουκιανὸς ἐπίσκοπος Βύζης καὶ Ἀρκαδιουπόλεως ὁρίσας ὑπέγραψα
30 Ἰωάννης ἐπίσκοπος Ῥόδου ὁρίσας ὑπέγραψα διὰ Τρύφωνος ἐπισκόπου Χίου
31 Ἴβας ἐπίσκοπος Ἐδέσσης ὁρίσας ὑπέγραψα
32 Ἀβράμιος ἐπίσκοπος Κιρκησίου ὁρίσας ὑπέγραψα
33 Θεόδωρος ἐπίσκοπος Κλαυδιουπόλεως ὁρίσας ὑπέγραψα
34 Ἀντίοχος ἐλέει θεοῦ ἐπίσκοπος Σινώπης ὁρίσας ὑπέγραψα
35 Ῥουφῖνος ἐπίσκοπος Σαμοσάτων ὁρίσας ὑπέγραψα
36 Οὐράνιος ἐπίσκοπος Ἰβώρων ὁρίσας ὑπέγραψα
37 Καλλίνικος ἐπίσκοπος Ἀπαμείας ὁρίσας ὑπέγραψα [διὰ Παύλου πρεσβυτέρου]
38 Τιμόθεος ἐπίσκοπος Βαλανέων ὁρίσας ὑπέγραψα
39 Μάρκος ἐπίσκοπος Ἀρεθούσης ὁρίσας ὑπέγραψα διὰ Τιμοθέου ἐπισκόπου Βαλανέων
40 Πρόκλος ἐπίσκοπος Ἀδράων πόλεως ὁρίσας ὑπέγραψα
41 Θεοδόσιος ἐπίσκοπος πόλεως Κανώθας ὁρίσας ὑπέγραψα
42 Ὁρμίσδας ἐπίσκοπος Φιλιππουπόλεως ὁρίσας ὑπέγραψα
43 Πατέρνιος χωρεπίσκοπος ὑπὲρ Ἰορδάνου ἐπισκόπου Ἀβίλης ὁρίσας ὑπέγραψα
44 Μελίφθογγος ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Ἰουλιούπολιν ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὁρίσας ὑπέγραψα
45 Ἰωσὴφ ἐπίσκοπος Ἡλιουπόλεως ὁρίσας ὑπέγραψα
46 Δαμιανὸς ἐπίσκοπος πόλεως Σιδῶνος ὁρίσας ὑπέγραψα
47 Ἰωάννης ἐπίσκοπος πόλεως Φλαυιάδος ὁρίσας ὑπέγραψα
48 Ἄνδιμος ἐπίσκοπος Εἰρηνουπόλεως ὁρίσας ὑπέγραψα
49 Ἰουλιανὸς ἐπίσκοπος πόλεως Ῥωσοῦ ὁρίσας ὑπέγραψα
50 Ἀρέτας ἐπίσκοπος Ἐλούσης ὁρίσας ὑπέγραψα
51 Βήρυλλος ἐπίσκοπος Ἀειλᾶ ὁρίσας ὑπέγραψα
52 Ὀλύμπιος ἐπίσκοπος πόλεως Πανεάδος ὁρίσας ὑπέγραψα
53 Οὐράνιος ἐπίσκοπος Ἐμίσης ὁρίσας ὑπέγραψα
54 Θεόδωρος ἐπίσκοπος Τριπόλεως ὁμοίως

M, B [= abo], Φ

1. 2 om. B 5 μαριανὸσ B et unus codex Φc 6 κονίου Bo 9 ἐπιφανίασ — δευτέρασ ἐπίσκοποσ Ba ἐπιφανίασ MB διὰ χειρὸσ Bo μελετίου Bbo Φ μελιτίου MBa 12 καὶ om. Bo 13 χέου Bb 14 ἐδέσησ MBab 15 ἀβραάμιοσ M 17. 18 post 25 coll. Bo 17 *Antiochus* Φr et unus codex Φc ἀντίλοχοσ MΦa et unus codex Φc ἀντιλόχιοσ Bab ἀντιόχιοσ Bo ἐλέω Bb 20 διὰ Παύλου πρεσβυτέρου transferenda sunt ad 19, cf. Φ 21 βαλαναίων MB 22 ἀρεθουσίων Bo βαλαναίων MB 23 δράων Bo 26 post 28 coll. Bo πατέριοσ ἐπίσκοποσ Bo 27 ἐλέει θεοῦ om. Bo ἐλέω Bb ἰλιούπολιν Bab ἡλιούπολιν Bo 30 πόλεως om. Bo 31 ἰωσὴφ Bo φλαυιάδιοσ M φλαβιάδοσ Bbo 32 ἴνδημοσ M 35 ἀιλᾶ Bao 36 πανεάδοσ πόλεωσ Bo ἐμίσησ Bb 37 Ἐμίσης] πανεάδοσ Bb 38 ὁμοίως] ὁρίσασ ὑπέγραψα Bo

55 Παῦλος ἐπίσκοπος Ἀράδου ὁρίσας ὑπέγραψα L IIII [782]
56 Δανιὴλ ἐπίσκοπος Λαμψάκου ὁρίσας ὑπέγραψα
57 Λεόντιος ἐπίσκοπος Ἀσκάλωνος ὁρίσας ὑπέγραψα M VII 433
58 Λουκιανὸς ἐπίσκοπος τῆς Ἰψηνῶν πόλεως ὁρίσας ὑπέγραψα
59 Ἀλέξανδρος ἐπίσκοπος Σελευκείας Πισιδίας ὁρίσας ὑπέγραψα
60 Στέφανος ἐπίσκοπος Ποιμανηνοῦ ὁρίσας ὑπέγραψα
61 Πολύκαρπος ἐπίσκοπος πόλεως Γαβάλων ὁρίσας ὑπέγραψα
62 Λεύκιος ἐπίσκοπος πόλεως Ἀπόλλωνος ἱεροῦ ὁρίσας ὑπέγραψα
63 Νατίρας ἐπίσκοπος τῆς κατὰ Γάζαν ἐκκλησίας ὁρίσας ὑπέγραψα
64 Γεννάδιος ἐπίσκοπος τῆς Μοσσυνέων πόλεως ὁρίσας ὑπέγραψα
65 Ἀλφειὸς ἐπίσκοπος πόλεως Μύνδου ὁρίσας ὑπέγραψα
66 Γεννάδιος ἐπίσκοπος τῆς Ἀκμονέων ὁρίσας ὑπέγραψα
67 Διονύσιος ἐλάχιστος ἐπίσκοπος πόλεως Ἀντιοχείας ὁρίσας ὑπέγραψα
68 Ἰωάννης ὁ ἐλάχιστος ἐπίσκοπος πόλεως Ἀλίνδων ὁρίσας ὑπέγραψα
69 Διονύσιος ὁ ἐλάχιστος ἐπίσκοπος πόλεως Ἡρακλείας Λάτμου ὁρίσας ὑπέγραψα
70 Ἰωάννης ὁ ἐλάχιστος ἐπίσκοπος πόλεως Κνίδου ὁρίσας ὑπέγραψα
71 Εὐσέβιος ἐπίσκοπος Σελευκοβήλου ὁρίσας ὑπέγραψα διὰ Παύλου ἐπισκόπου Μαριάμμης
72 Παῦλος ἐπίσκοπος πόλεως Μαριάμμης ὁρίσας ὑπέγραψα
73 Πολυχρόνιος ἐπίσκοπος πόλεως Ἐπιφανείας ὁρίσας ὑπέγραψα
74 Ῥωμανὸς ἐπίσκοπος Εὐδοξιουπόλεως ὁρίσας ὑπέγραψα
75 Αὐρήλιος ἐπίσκοπος ἐκ τῶν μερῶν τῆς Ἀφρικῆς ἐπέγνων καὶ ὑπέγραψα
76 Πατρίκιος ἐπίσκοπος Ἀκρασσοῦ ὁρίσας ὑπέγραψα
77 Βασσιανὸς ἐπίσκοπος πόλεως Μοψουεστίας ὁρίσας ὑπέγραψα διὰ Σωφρονίου χωρεπισκόπου Ἀναζαρβοῦ
78 Ῥῆνος ἐπίσκοπος Ἰωνοπόλεως ὁρίσας ὑπέγραψα
79 Ζηνόδοτος ἐπίσκοπος τῆς Τελμησσῶν πόλεως καὶ Μακρᾶς τῆς νήσου ὁρίσας ὑπέγραψα
80 Θεόδωρος ἐλέῳ θεοῦ ἐπίσκοπος τῆς Ἀντιφελλῶν πόλεως ὁρίσας ὑπέγραψα
81 Φίλιππος ἐλέῳ θεοῦ ἐπίσκοπος πόλεως Βαλβουρέων ἐπαρχίας Λυκίας ὁρίσας ὑπέγραψα
82 Ἀνδρέας ἐπίσκοπος Λυκίας πόλεως Τλωέων ὁρίσας ὑπέγραψα
83 Ῥωμανὸς ἐλέῳ θεοῦ ἐπίσκοπος τῆς Βουβωνέων πόλεως Λυκίας ἐπαρχίας ὁρίσας ὑπέγραψα
84 Θωμᾶς ἐπίσκοπος πόλεως Εὐαρίας ὁρίσας ὑπέγραψα
85 Θεόκτιστος ἐπίσκοπος τῆς Πισινουντίων πόλεως ὁρίσας ὑπέγραψα διὰ Φωτεινοῦ ἀρχιδιακόνου μου L IIII 803
86 Φλωρέντιος ἐπίσκοπος Λέσβου Τενέδου Ποροσελήνης Αἰγιαλῶν ὁρίσας ὑπέγραψα διὰ Εὐελπίστου χωρεπισκόπου μου M VII 436

M, B [= abo], Φ

4 ὑπέγραψα om. B^b 6 ποιμανινοῦ M ποιμανικοῦ B^o 7 πόλεως om. B^o 8 λούκιοσ B^o πόλεως om. B^o 9 νατήρασ B^o ἐκκλησίας om. M 10 μοσσυναίων M μοσυναίων B^{ab} μωσηνῶν B^o 11 ἀλφιὸσ M *Adelphius* Φ μίνδου B^b 12 ἀκμοναίων MB 13 ἐπίσκοπος om. B^o 14 ὁ om. B^o 15, 16 om. B^o 15 *Latmi* $Φ^a$ λάγμου MB^{ab} $Φ^{cr}$ 17 ἐλάχιστοσ ἐπίσκοποσ B^o 17/18 μαριάμνησ MB^o 19 om. B^b μαριάμνησ M, B^a corr., B^o 20 ἐπιφανίασ MB 22 ἡμερῶν B^b ἐπέγνων καὶ M ἐπιγνοὺσ B 23 ὁ ἐπίσκοποσ B^b 24 *chorepiscopum* $Φ^{ac}$ ἐπισκόπου $MBΦ^r$ 27 τελμησσῶν B^a τελμῆσ B^b τελμισῶν B^o 28 ἐλέῳ θεοῦ om. B^o 29 ἐλέει B^o βαλβουραίων MB^{ab} βαρβουραίων B^o 31 ἀλέξανδροσ B^o τλωαίων MB^{ab} τλωαίνων B^o 32 ἐλέει B^o βουβωναίων MB 34 εὐαρείασ B^{ab} 35 Θεόκτιστος — ὑπέγραψα om. B^o φωτίου B^o 37 προσελήνησ B

87 Τρύφων ἐπίσκοπος τῆς κατὰ Χῖον ἁγίας ἐκκλησίας ὁρίσας ὑπέγραψα
88 Δοκιμάσιος ἐπίσκοπος Μαρωνείας ὁρίσας ὑπέγραψα
89 Σέρηνος ἐλάχιστος ἐπίσκοπος Μαξιμιανουπόλεως ὁρίσας ὑπέγραψα
90 Εὐφράσιος ἐπίσκοπος Λαγανίας ὁρίσας ὑπέγραψα
91 Εὐστόχιος ἐπίσκοπος Δοκιμίου ὁρίσας ὑπέγραψα
92 Βασίλειος ἐπίσκοπος πόλεως Νακωλείας ὁρίσας ὑπέγραψα
93 Πιόνιος ἐπίσκοπος πόλεως Τρωάδος ὁρίσας ὑπέγραψα
94 Πέτρος ἐλάχιστος ἐπίσκοπος πόλεως Δαρδάνου ὁρίσας ὑπέγραψα
95 Θεοσέβιος ἐπίσκοπος πόλεως Ἰλίου ὁρίσας ὑπέγραψα
96 Εὐλάλιος ἐπίσκοπος Πιονίων ὁρίσας ὑπέγραψα
97 Εὐτρόπιος ἐλάχιστος ἐπίσκοπος Ἀδάδων Πισιδίας ὁρίσας ὑπέγραψα
98 Ὀλύμπιος ἐπίσκοπος Σωζοπόλεως ὁρίσας ὑπέγραψα
99 Μουσιανὸς ἐπίσκοπος Λιμένων ὁρίσας ὑπέγραψα
100 Φίλιππος ἐπίσκοπος Λυσιάδος ὁρίσας ὑπέγραψα
101 Γέμελλος ἐπίσκοπος πόλεως Στρατονικείας ὁρίσας ὑπέγραψα
102 Κυρῖνος ἐπίσκοπος πόλεως Πατάρων ὁρίσας ὑπέγραψα
103 Εὐλάλιος ἐπίσκοπος πόλεως Σιβλίας ὁρίσας ὑπέγραψα
104 Μόδεστος ἐπίσκοπος πόλεως Σεβαστῆς ὁρίσας ὑπέγραψα
105 Ἐπιφάνιος ἐπίσκοπος πόλεως Μιδαείου ὁρίσας ὑπέγραψα
106 Θωμᾶς ἐπίσκοπος Θεοδοσιουπόλεως ὁρίσας ὑπέγραψα
107 Παῦλος ἐπίσκοπος πόλεως Ἀρίστου ὁρίσας ὑπέγραψα
108 Ἰωάννης ἐπίσκοπος Τραπεζοπόλεως ὁρίσας ὑπέγραψα
108a Γεννάδιος ἐπίσκοπος τῆς μοσσυναίων πόλεως ὁρίσας ὑπέγραψα
109 Τυγχάνιος ἐπίσκοπος πόλεως Ἀπολλωνιάδος ὁρίσας ὑπέγραψα
110 Φώτιος ἐπίσκοπος Τύρου μητροπόλεως ὑπέγραψα καὶ ὑπὲρ Πέτρου ἐπισκόπου Βίβλου καὶ Ἡρακλείτου ἐπισκόπου Ἄρκης καὶ ὑπὲρ Φωσφόρου ἐπισκόπου Ὀρθωσιάδος καὶ ὑπὲρ Πορφυρίου ἐπισκόπου Βοτρύων
114 Παπίας ἐπίσκοπος πόλεως Ἐρίζων ὁρίσας ὑπέγραψα
115 Ἰωάννης ἐλάχιστος ἐπίσκοπος Ἀμαζόνος ὁρίσας ὑπέγραψα
L IIII 806 116 Θεοδώρητος ὁ ἐλάχιστος ἐπίσκοπος Ἀλαβάνδων ὁρίσας ὑπέγραψα
M VII 437 117 Καλανδίων ἐπίσκοπος πόλεως Καρίας Ἀλικαρνασσοῦ ὁρίσας ὑπέγραψα διὰ Ἰουλιανοῦ πρεσβυτέρου μου
118 Νεοπτόλεμος ἐπίσκοπος Κόρνων ἐπαρχίας Λυκαονίας ὁρίσας ὑπέγραψα
119 Παῦλος ἐπίσκοπος πόλεως Δέρβης ὁρίσας ὑπέγραψα
120 Πλούταρχος ἐπίσκοπος πόλεως Λύστρων ὁρίσας ὑπέγραψα
121 Εὐγένιος ἐπίσκοπος πόλεως Κάνων ὁρίσας ὑπέγραψα
122 Ῥοῦφος ἐπίσκοπος πόλεως Ὕδης ὁρίσας ὑπέγραψα
123 Ἀχόλιος ἐπίσκοπος Λαράνδων ὁρίσας ὑπέγραψα
124 Τύραννος ἐπίσκοπος Οὐμανάδων ὁρίσας ὑπέγραψα
125 Θωμᾶς ἐπίσκοπος Πορφυρέων ὁρίσας ὑπέγραψα

M, B [= aboì, Φ

1 χίων B^b 2 ὁρίσας om. B^a 3 σερῖνος B 5 εὐστύχιος M ὁ πόλεως om. B 8. ὁ om. B^o 9 *Ilii* Φ ἰουλίου MB^{ab} 13. 14 om. B^o 15 ἐπίσκοπος om. M 16 τατάρων B^o 17 σιβλείας B 18 μηδαΐου B^b 19 μιδαΐου MB^o μηδαΐου B^a σεβαστῆσ B^b 22 τραπεζουπόλεως B^b 23 repetita ex 64 μωσυνῶν B^o πόλεως om. B^o 26 ἡρακλείου B^o 27 βοτύρων B^b 30 θεοδώριτος B^{ab} ὁ ἐλάχιστος om. B^o 31 Καλανδίων — ὑπέγραψα post 32 μοῦ coll. B^o *Calandion* Φ κανδίων MB^{ab} κανωδίων B^o ἁλικαρνασοῦ B 34 om. Φ 37 *Rufinus* Φ 39. 3^8 coll. Φ

126 Εὔανδρος ἐπίσκοπος πόλεως Διοκλείας ὁρίσας ὑπέγραψα
127 Ἰωάννης ἐπίσκοπος πόλεως Βαργυλίου ὁρίσας ὑπέγραψα
128 Διονύσιος ἐπίσκοπος πόλεως Ἀτταλείας τῶν Λυδῶν ὁρίσας ὑπέγραψα
129 Ἀνδρέας ἐπίσκοπος πόλεως σαγάλων ὁρίσας ὑπέγραψα διὰ Διονυσίου ἐπισκόπου
130 Σάβας ἐπίσκοπος πόλεως Πάλτου ὁρίσας ὑπέγραψα διὰ Ἀχολίου ἐπισκόπου πόλεως Λαράνδων
131 Μεῖρος ἐπίσκοπος τῆς κατὰ Εὔλανδρα ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὑπέγραψα χειρὶ ἐμῇ
132 Ἀβέρκιος ὁ ἐλάχιστος ἐπίσκοπος τῆς Ἱεραπολιτῶν πόλεως Φρυγίας Σαλουταρίας ὁρίσας ὑπέγραψα
133 Κυριακὸς ἐπίσκοπος τῆς Εὐκαρπιέων ὁρίσας ὑπέγραψα
134 Ἀκύλας ὁ ἐλάχιστος ἐπίσκοπος Αὐρόκρων ὁρίσας ὑπέγραψα
135 Εὐλόγιος ἐπίσκοπος Φιλαδελφείας ὁρίσας ὑπέγραψα
136 Ἀλέξανδρος ἐπίσκοπος πόλεως Σεβαστῆς ὁρίσας ὑπέγραψα
137 Φίλιππος ἐπίσκοπος πόλεως Ἀδάνων ὁρίσας ὑπέγραψα
138 Θεόδωρος ἐπίσκοπος Αὐγούστης ὁρίσας ὑπέγραψα
139 Κυριακὸς ἐπίσκοπος πόλεως Τροκνάδων ὁρίσας ὑπέγραψα διὰ τοῦ πρεσβυτέρου μου Χρυσίππου
140 Πολυχρόνιος ἐπίσκοπος Ἀντιπατρίδος ὁρίσας ὑπέγραψα
141 Εὐδόξιος ἐπίσκοπος πόλεως Χώματος Λυκίας ὁρίσας ὑπέγραψα
142 Στέφανος ἐπίσκοπος ἐλέωι θεοῦ Λιμύρων Λυκίας ὁρίσας ὑπέγραψα
143 Πατρίκιος ἐπίσκοπος Ἀδριανοῦ θηρῶν ὁρίσας ὑπέγραψα
144 Ἑρμείας ὁ ἐλάχιστος ἐπίσκοπος πόλεως Ἀβύδου ὁρίσας ὑπέγραψα M VII 440
145 Δαυὶδ ἐπίσκοπος Ἀδριανῶν ὁρίσας ὑπέγραψα L IIII 807
146 Ἡράκλειος ἐπίσκοπος Ἀζώτου ὁρίσας ὑπέγραψα
147 Λεόντιος ἐπίσκοπος Ἀράξων ὁρίσας ὑπέγραψα
148 Σαβινιανὸς ἐπίσκοπος Πέρρης ὁρίσας ὑπέγραψα
149 Παυλῖνος ἐπίσκοπος Ἀπαμείας ὁρίσας ὑπέγραψα
150 Τύραννος ἐπίσκοπος Γερμανικουπόλεως ὁρίσας ὑπέγραψα
151 Δανιὴλ ἐπίσκοπος Κάδων ὁρίσας ὑπέγραψα
152 Ἀττικὸς ἐλέωι θεοῦ ἐπίσκοπος πόλεως Ζήλων ὁρίσας ὑπέγραψα
153 Νωὴς ἐπίσκοπος Κηφᾶς ὁρίσας ὑπέγραψα χειρὶ ἐμῇ
154 Βαλεριανὸς ἐπίσκοπος Λαοδικείας τῆς Φοινίκης ὁρίσας ὑπέγραψα
155 Κῦρος ἐπίσκοπος πόλεως Σινιάνδου ὁρίσας ὑπέγραψα
156 Βασσωνᾶς ἐπίσκοπος Νέας πόλεως ὁρίσας ὑπέγραψα
157 Εὐπείθιος ὁ ἐλάχιστος ἐπίσκοπος Στρατονικέων Καρίας ὁρίσας ὑπέγραψα
158 Ἑορτίκιος ἐπίσκοπος Μητροπόλεως Πισιδῶν ὁρίσας ὑπέγραψα
159 Θεοδώρητος ἐπίσκοπος Κύρου ὁρίσας ὑπέγραψα
160 Ἰωάννης ἐπίσκοπος Γερμανικείας ὁρίσας ὑπέγραψα
161 Τιμόθεος ἐπίσκοπος πόλεως Δολίχης ὁρίσας ὑπέγραψα
162 Θαλάσσιος ἐπίσκοπος Παρίου ὁρίσας ὑπέγραψα

M, B [= abo], Φ

2 πόλεως om. Bo 4 postulatur Σατάλων 5 σάββας Bab 7 μίροσ B εὔλανδραν Bb εὔλανδρον Bo 10 τῆσ κατὰ Bo εὐκαρπιαίων MB post 14 habet *Hypatius episcopus Zephyrii* Φ post 18 habet *Iohannes episcopus Carrorum* Φ 19 λουκίασ Bab 20 ἐλέει Bo μύρων Bo 22 ὁ om. Bo 25 *Araxorum* Φ ἀραξῶν MB 28 γερμανικοπόλεωσ Bo 29 post 26 coll. Φ ante 30 repetunt 86 Φ ἐλέωι θεοῦ om. Bo πόλεως om. B 31 νόησ B ὁρίσας om. B 32 βαλλεριανὸσ Bab *Valerius* Φ τῆς om. Bo 34 βασανὰσ Bo 35 ὁ om. B καρείασ Bb 37 post 38 coll. Bb θεοδώριτοσ B 40 παρείου MBb

163 Γερόντιος ἐπίσκοπος Σελευκείας ὁρίσας ὑπέγραψα
164 Θεόκτιστος ἐπίσκοπος Βεροίας ὑπέγραψα διὰ Γεροντίου **ἐπισκόπου Σελευκείας**
165 Πέτρος ἐπίσκοπος Γαβουλᾶ ὁρίσας ὑπέγραψα
166 Εὐόλκιος ἐπίσκοπος Ζεύγματος ὁρίσας ὑπέγραψα
166a Λεόντιος ἐπίσκοπος πόλεως ἀραζῶν ὁρίσας ὑπέγραψα
167 Φοντηιανὸς ἐπίσκοπος Σαγαλασσοῦ ὁρίσας ὑπέγραψα
168 Ῥουστίκιος ἐπίσκοπος Ἄφρος ὁρίσας ὑπέγραψα
169 Ἀνιανὸς ἐπίσκοπος Καπετωλιάδος ὁρίσας ὑπέγραψα
170 Ζέβεννος ἐπίσκοπος πόλεως Πέλλης ὁρίσας ὑπέγραψα
171 Ἰωάννης ἐπίσκοπος τῆς ἐν Τιβεριάδι ἁγίας ἐκκλησίας ὁρίσας ὑπέγραψα
172 Μενεκράτης ἐπίσκοπος πόλεως Κιρασσῶν ὁρίσας ὑπέγραψα
173 Παγκράτιος ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας Λιβιάδος ὁρίσας ὑπέγραψα
174 Κοσσίνιος ἐπίσκοπος Ἱεροκαισαρείας ὁρίσας ὑπέγραψα
M VII 441 175 Ἀλκιμίδης ἐλάχιστος ἐπίσκοπος Σιλάνδου ὁρίσας ὑπέγραψα
L IIII 810 176 Ἀμάχιος ἐπίσκοπος πόλεως Σεττῶν ὁρίσας ὑπέγραψα
177 Αἰθέριος ἐπίσκοπος χάριτι θεοῦ Πομπηιουπόλεως ὁρίσας ὑπέγραψα διὰ Ἐπιφανίου ἐλέωι θεοῦ πρεσβυτέρου
178 Θεμίστιος ἐπίσκοπος Ἀμάστριδος ὁρίσας ὑπέγραψα διὰ Φιλοτίμου πρεσβυτέρου
179 Παῦλος ὁ ἐλάχιστος ἐπίσκοπος Τριπόλεως ὁρίσας ὑπέγραψα
180 Μουσώνιος ἐπίσκοπος Ζωόρων ὁρίσας ὑπέγραψα
181 Μανασσῆς ἐπίσκοπος Θεοδοσιουπόλεως τῆς μεγάλης Ἀρμενίας ὁρίσας ὑπέγραψα χειρὶ ἐμῆι
182 Φρόντων ἐπίσκοπος τῆς Φασηλιτῶν ὁρίσας ὑπέγραψα
183 Διογένης ἐπίσκοπος Κυζίκου τῆς μητροπόλεως ὁρίσας ὑπέγραψα καὶ ὑπὲρ τῶν ἁπάντων θεοφιλεστάτων ἐπισκόπων τῶν ὑπ' ἐμὲ Τιμοθέου Γέρμης, Ἀλεξάνδρου Ὄκης, Φιλοστοργίου Σκεψίου, Γεμέλλου Μιλητουπόλεως, Εὐτυχιανοῦ Βάρεως, Ἀκακίου Προκοννήσου τῶι ὅρωι
184 Στέφανος ἐπίσκοπος Ἱερᾶς πόλεως ὑπέγραψα καὶ ὑπὲρ τῶν ἁπάντων θεοφιλεστάτων ἐπισκόπων τῶν ὑπ' ἐμὲ Οὐρανίου Μάρα Δαυὶδ Κοσμᾶ Μαριανοῦ τῶι ὅρωι
185 Νουνέχιος ἐπίσκοπος τῆς μητροπόλεως Λαοδικείας ὑπέγραψα καὶ ὑπὲρ τῶν ὑπ' ἐμὲ θεοφιλεστάτων ἐπισκόπων Συμμαχίου Ἡρακλείου Φιλίππου Φιλαδέλφου Φιλητοῦ Τατιανοῦ Ἀντιόχου Ζωσίμου Ἐπιφανίου Ἀραβίου Γαίου Εὐαγόρα τῶι ὅρωι

10 Λουκίνσιος ὁ εὐλαβέστατος ἐπίσκοπος τοποτηρητὴς τοῦ ἀποστολικοῦ θρόνου εἶπεν· Πρώην ἡ ὑμετέρα ἐνδοξότης ἐδοκίμασεν ὅσα ἐπὶ παρουσίαι τῶν ἐπισκόπων ἐπράχθη, ἵνα μή τις κατὰ ἀνάγκην ὑπογράψαι τοῖς μνημονευθεῖσι κανόσι βιασθῆι;
11 Οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Οὐδεὶς ἠναγκάσθη.
12 Λουκίνσιος ὁ εὐλαβέστατος ἐπίσκοπος καὶ τοποτηρητὴς τοῦ ἀποστολικοῦ θρόνου

10. 12. 14. 16 legatorum Romanorum interlocutiones canonemque a Pascasino lectum quales Latine proferebantur, in Φ extare, uersiones uero Graecas interpolatas esse exposui in *Sitzungsber. d. Berl. Akad. d. Wiss. 1930*, 619 sq.

M, B [abo], Φ
2 om. Φ βερροίασ B 3 *Gabbulae* Φcr ταβουλᾶ MB 5 ex 147 repetita 6 Φροντηϊανόσ Bab Φr Φροντινιανόσ Bo ἁγαλασσοῦ Bo 7 *Restitutianus* [recte] et *Rusticus* Φac *Rusticius* Φcr ἁφροῦ Bo 9 ζέβενοσ B 11 *Cerassorum* Φac κιρασσῶν MBaoΦr κρασσῶν Bb 12 τῆς om. M 14 ἁλκιμήδησ Bb σιλάνδρου Bb σιλάνδων Bo 15 σετῶν Bb σεπτῶν Bo 17 ἐλέει Bo 19 ὁ ἐλάχιστος om. B 20 om. B 26 στεψίου M κεψίου Bbo 27 προικοννήσου Bb προικονήσου Bao 29 βαρινιανοῦ M *Marino* Φ 31 ἡρακλείου συμμαχίου B φιλαδελφίου Bbo 35 ὑπογράψαι] ὑπὲρ Bo

εἶπεν· Φαίνεται προσσεσωρεῦσθαι τοῖς ὅροις τῶν τιη καὶ τοῖς μετὰ ταῦτα ρν τὰ νῦν μνημονευθέντα, μὴ ἐμφερόμενα δὲ ἐν τοῖς συνοδικοῖς κανόσιν ταῦτα φάσκουσιν ὡρίσθαι. εἰ τοίνυν τοῖς χρόνοις τούτοις τῶι βενιφικίωι ἐχρήσαντο, τί νῦν ζητοῦσιν ὧι μὴ [κανονικῶς] κατὰ κανόνας ἐχρήσαντο;

13 Ἀέτιος ἀρχιδιάκονος τῆς Κωνσταντινουπολιτῶν ἐκκλησίας εἶπεν· Εἰ περὶ τούτου M VII 444
τοῦ κεφαλαίου ἐντολὰς εἰλήφασίν τινας, προενέγκωσιν. 6

14 Βονιφάτιος ὁ εὐλαβέστατος πρεσβύτερος εἶπεν· Ὁ μακαριώτατος καὶ ἀποστολικὸς ἐπίσκοπος μετὰ πολλὰ καὶ τοῦτο ἡμῖν ἐνετείλατο καὶ ἀπὸ τοῦ χάρτου ἀνέγνω ἡμῖν τὸν ὅρον τῶν ἁγίων πατέρων μηδεμιᾶι προπετείαι ἐλαττοῦσθαι ἢ μειοῦσθαι· φυλαττέσθω τοιγαροῦν τοῦ ἡμετέρου προσώπου ἡ ἀξία πᾶσιν τρόποις ἐν ὑμῖν κἂν τινες τυχὸν 10
πεποιθότες δυνάμει τῶν ἰδίων πόλεων παρασαλεῦσαι ἐπεχείρησαν, τούτους ἐκβάλλεσθαι κατὰ τὸ τῶι δικαίωι πρέπον.

15 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Ἑκάτερον μέρος τοὺς κανόνας προβαλλέτω.
Ῥω ἀνέγνων ἀνέγνωμεν ἀνέγνω
Πασκασῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος καὶ τοποτηρητὴς ἀνέγνω 15

16 Τῶν τιη ἁγίων πατέρων κανὼν ϛ. Ἡ ἐκκλησία Ῥώμης πάντοτε ἔσχεν τὰ πρωτεῖα· I. IIII 811
ἔχει τοιγαροῦν καὶ ἡ Αἴγυπτος, ὥστε τὸν ἐπίσκοπον Ἀλεξανδρείας πάντων ἔχειν ἐξουσίαν, ἐπειδὴ καὶ τῶι Ῥώμης ἐπισκόπωι τοῦτο σύνηθές ἐστιν. ὁμοίως καὶ κατὰ τὴν Ἀντιόχειαν [εἴ τις δὲ παρὰ ταύτην τῶν μητροπολιτῶν τὴν γνώμην ἐπισκοπῶν κατασταθῆι ἐπειδὴ τοῦτο ὥρισεν ἡ ἁγία σύνοδος], καὶ ἐν ταῖς ἄλλαις ἐπαρχίαις τὰ πρωτεῖα σωιζέσθω 20
ταῖς ἐκκλησίαις. καὶ τοῦτο δὲ πρόδηλον ὡς εἴ τις χωρὶς γνώμης τοῦ μητροπολίτου γένοιτο ἐπίσκοπος, τὸν τοιοῦτον ἡ σύνοδος ἡ μεγάλη ὥρισεν μὴ δεῖν εἶναι ἐπίσκοπον. ἐὰν μέντοι ἡ ἐκείνων πάντων γνώμη εὔλογος εἴη καὶ κατὰ κανόνα ἐκκλησιαστικόν, δύο δὲ ἢ τρεῖς δι' οἰκείαν φιλονεικίαν ἀντιλέγωσιν, κρατείτω ἡ τῶν πλειόνων ψῆφος. ἐπειδὴ δὲ ἡ συνήθεια κεκράτηκεν καὶ παράδοσις ἀρχαία ἐστὶν ὥστε καὶ τὸν ἐν Αἰλίαι ἐπίσκοπον 25
τιμᾶσθαι, ἐχέτω τὴν ἀκολουθίαν τῆς τιμῆς τῆι μητροπόλει σωιζομένου τοῦ οἰκείου ἀξιώματος.

Κωνσταντῖνος σηκρητάριος ἀπὸ βιβλίου ἐπιδοθέντος παρὰ Ἀετίου ἀρχιδιακόνου ἀνέγνω

17 Τῶν τιη ἁγίων πατέρων κανὼν ϛ. Τὰ ἀρχαῖα ἔθη κρατείτω τὰ ἐν Αἰγύπτωι ὥστε 30
τὸν Ἀλεξανδρείας ἐπίσκοπον πάντων ἔχειν ἐξουσίαν, ἐπειδὴ καὶ τῶι ἐν Ῥώμηι ἐπισκόπωι τοῦτο σύνηθές ἐστιν. ὁμοίως δὲ καὶ κατὰ τὴν Ἀντιόχειαν καὶ ἐν ταῖς ἄλλαις ἐπαρχίαις τὰ πρεσβεῖα σώιζεσθαι ταῖς ἐκκλησίαις. καθόλου δὲ πρόδηλον ἐκεῖνο ὅτι εἴ τις χωρὶς γνώμης τοῦ μητροπολίτου γένοιτο ἐπίσκοπος, τοῦτον ἡ σύνοδος ἡ μεγάλη ὥρισεν μὴ δεῖν εἶναι ἐπίσκοπον. ἐὰν μέντοι τῆι κοινῆι πάντων ψήφωι εὐλόγωι οὔσηι καὶ 35
κατὰ κανόνα ἐκκλησιαστικὸν δύο ἢ τρεῖς δι' οἰκείαν φιλονεικίαν ἀντιλέγωσιν, κρατείτω M VII 445
ἡ τῶν πλειόνων ψῆφος.

M, B [= abc], Φ

1 προσεσωρεῦσθαι B 3 βενεφικὶ Bo νῦν BΦ τοίνυν M 3/4 κατὰ κανόνας B κανονικῶς κατὰ κανόνας M om. Φ 5 ἀρχιδιάκων Bo 6 προενέγκωσιν Φ προσενέγκωσιν MB 8 μετὰ τὰ τὰ Bo ἀνέγνω ἡμῖν] ἀνέγνωμεν Bb 10 τινες om. Bo 12 τὸ τῶ Bab τῶ Bo τὸ M 14 ῥωμαῖον Bo 16 κανόνα ἕκτον Bo 18 τῆς ῥώμης Bo 19/20 εἴ — σύνοδος om. Φ, cf l. c. p. 626 20 σώζεσθαι Bo 22 γένηται Bb 24 ἀντιλέγουσιν M πλεόνων M 25 ἡ om. Bo 28—37 om. Φa cf. l. c. p. 627 sq. 30. 31 post Αἰγύπτωι in textu canonis genuino καὶ Λιβύηι καὶ Πενταπόλει, post πάντων habetur τούτων; omissa sunt in MBΦcr propter canonis textum Latinum quem legit Pascasinus, cf. l. c. p. 628 31 ἐπειδὴ δὲ Bo 33 ταῖς ἐκκλησίαις] cf. quae exposui l. c. p. 633 sq. 34 γνώμη Bb 35 καὶ om. Bo 36 δὲ ἢ Bo ἐὰν ἀντιλέγωσι Bo 37 ἡ om. Bo

18 Ὁ αὐτὸς σηκρητάριος ἀνέγνω ἀπὸ τοῦ αὐτοῦ βιβλίου

Συνοδικὸν τῆς β̄ συνόδου. Τάδε ὥρισαν οἱ ἐν Κωνσταντινουπόλει χάριτι θεοῦ συνελθόντες ρν ἐπίσκοποι ἐκ διαφόρων ἐπαρχιῶν κατὰ κλῆσιν τοῦ θεοφιλεστάτου βασιλέως Θεοδοσίου ἐπὶ Νεκταρίου ἐπισκόπου Κωνσταντινουπόλεως

Μὴ ἀθετεῖσθαι τὴν πίστιν μηδὲ τοὺς κανόνας τῶν πατέρων τῶν τιη̄ τῶν ἐν Νικαίαι τῆς Βιθυνίας συνελθόντων, ἀλλὰ μένειν ἐκείνην κυρίαν καὶ ἀναθεματισθῆναι πᾶσαν αἵρεσιν καὶ ἰδικῶς τὴν τῶν Εὐνομιανῶν εἴτ' οὖν Ἀνομοίων καὶ τὴν τῶν Ἀρειανῶν εἴτ' οὖν Εὐδοξιανῶν καὶ τὴν Ἡμιαρειανῶν ἢ γοῦν πνευματομάχων καὶ τὴν τῶν Σαβελλιανῶν καὶ τὴν τῶν Μαρκιανιστῶν καὶ τὴν τῶν Φωτεινιανῶν καὶ τὴν τῶν Ἀπολιναριαστῶν. τοὺς δὲ ὑπὲρ διοίκησιν ἐπισκόπους ταῖς ὑπερορίοις ἐκκλησίαις μὴ ἐπιβαίνειν μηδὲ συγχέειν τὰς ἐκκλησίας, ἀλλὰ κατὰ τοὺς κανόνας τὸν μὲν Ἀλεξανδρείας ἐπίσκοπον τὰ ἐν Αἰγύπτωι μόνον οἰκονομεῖν, τοὺς δὲ τῆς Ἀνατολῆς ἐπισκόπους τὴν Ἀνατολὴν μόνην διοικεῖν φυλαττομένων τῶν ἐν τοῖς κανόσι τοῖς κατὰ Νικαίαν πρεσβείων τῆι Ἀντιοχέων ἐκκλησίαι καὶ τοὺς τῆς Ἀσιανῆς διοικήσεως ἐπισκόπους τὰ κατὰ τὴν Ἀσιανὴν διοίκησιν μόνον οἰκονομεῖν καὶ τοὺς τῆς Ποντικῆς τὰ τῆς Ποντικῆς μόνον καὶ τοὺς τῆς Θράικης
L IIII 814 τὰ τῆς Θράικης μόνον. ἀκλήτους δὲ ἐπισκόπους ὑπὲρ διοίκησιν μὴ ἐπιβαίνειν ἐπὶ χειροτονίαι ἢ τισιν ἄλλαις οἰκονομίαις ἐκκλησιαστικαῖς. φυλαττομένου δὲ τοῦ προγεγραμμένου περὶ τῶν διοικήσεων κανόνος εὔδηλον ὡς τὰ καθ' ἑκάστην ἐπαρχίαν ἡ τῆς ἐπαρχίας σύνοδος διοικήσει κατὰ τὰ ἐν Νικαίαι ὡρισμένα. τὰς δὲ ἐν τοῖς βαρβαρικοῖς ἔθνεσι τοῦ θεοῦ ἐκκλησίας οἰκονομεῖσθαι χρὴ κατὰ τὴν κρατήσασαν συνήθειαν ἐπὶ τῶν πατέρων. τὸν μέντοι Κωνσταντινουπόλεως ἐπίσκοπον ἔχειν τὰ πρεσβεῖα τῆς τιμῆς μετὰ τὸν Ῥώμης ἐπίσκοπον διὰ τὸ εἶναι αὐτὴν νέαν Ῥώμην.

19 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Οἱ ὑπογράψαντες τῶι ἀναγνωσθέντι τόμωι ἐκ τῶν τῆς Ἀσιανῆς διοικήσεως καὶ Ποντικῆς ὁσιώτατοι ἐπίσκοποι λεγέτωσαν εἴ γε οἰκείαι γνώμηι ἢ ἀνάγκης τινὸς αὐτοῖς ἐπενεχθείσης ὑπέγραψαν.

20 Καὶ παρελθόντων αὐτῶν ἐν τῶι μέσωι Διογένης ὁ εὐλαβέστατος ἐπίσκοπος Κυζίκου
M VII 448 εἶπεν· Ἀπὸ γνώμης ὑπέγραψα ὡς ἐνώπιον τοῦ θεοῦ.

21 Φλωρέντιος ἐπίσκοπος Σάρδεων εἶπεν· Οὐδεμία μοι ἀνάγκη ἐπήχθη, ἀλλ' ἑκουσίως ὑπέγραψα.

22 Ῥωμανὸς ἐπίσκοπος Μύρων εἶπεν· Οὐκ ἠναγκάσθην, ἐγὼ ἡδέως ἔχω ὑπὸ τὸν θρόνον Κωνσταντινουπόλεως εἶναι, ἐπειδὴ καὶ αὐτός με ἐτίμησεν καὶ αὐτός με ἐχειροτόνησεν. ἐμοὶ δίκαιον φαίνεται καὶ ἀπὸ γνώμης ὑπέγραψα.

23 Καλόγηρος ἐπίσκοπος Κλαυδιουπόλεως εἶπεν· Κατὰ γνώμην τῶν ἁγιωτάτων πατέρων τῶν ρν ἰδίαι γνώμηι ὑπέγραψα μὴ ἀναγκασθείς.

24 Σέλευκος ἐπίσκοπος Ἀμασείας εἶπεν· Πρὸ ἐμοῦ τρεῖς ἐπίσκοποι ἐχειροτονήθησαν

M, B [= abc], Φ

2 τῆς β̄ [δευτέρας Ba-o] συνόδου MB *primi concilii sub Nectario episcopo Constantinopolis episcoporum centum quinquaginta* Φ 5 ἀθετεῖν Bo τῶν τιη̄ ἁγίων πατέρων Bo 6 μένειν] μὲν ἐν Bb 7 τὴν² om. Bo 7/8 εἴτ' οὖν² — Ἡμιαρειανῶν om. B 9 μαρκιανιστῶν MBoΦa μαρκιωνιστῶν Bab *Marcianitarum* Φr *Marcionitarum* Φc ἀπολιναριανῶν MBb 10 τὴν διοίκησιν B 10/11 συγχαίρειν ταῖς ἐκκλησίαις MBab, corr. Ba συγχέειν ταῖς ἐκκλησίαις Bo 14 διοικήσεως om. Bo 15 μόνην Ba-o διοικεῖν Bo μόνον τὰ τῆς ποντικῆς Bo 17 ἄλλαις om. Bo 17/18 γεγραμμένου Bb 18 οἰκήσεων M 22 τῆς ῥώμης Ba 25 ὑπενεχθείσης Bb 26 αὐτῶν MB *Ponticis et Asianis episcopis qui subscripserunt* Φ 27 τοῦ om. Bo 28 ἐπινέχθη Bo 30 μύρωι M 31 ἐπεὶ Bo ἐτίμησε — με om. Bo 33 καλόγηρως Ba καλόγερος Bb

ὑπὸ τοῦ θρόνου τούτου καὶ εὑρὼν ταύτην τὴν ἀκολουθίαν ἠκολούθησα αὐτῇι καὶ νῦν ἑκουσίως ἐποίησα βουλόμενος εἶναι ὑπὸ τὸν θρόνον τοῦτον.

25 Ἐλευθέριος ἐπίσκοπος Χαλκηδόνος εἶπεν· Ἐπιστάμενος ὡς καὶ ἐκ τῶν κανόνων καὶ ἐκ τῆς προλαβούσης συνηθείας ἔχει τὰ δίκαια ταῦτα ὁ Κωνσταντινουπόλεως θρόνος, μεθ' ἡδονῆς ὑπέγραψα.

26 Πέτρος ἐπίσκοπος Γαγγρῶν εἶπεν· Πρὸ ἐμοῦ τρεῖς ἐχειροτονήθησαν ὑπὸ τοῦ τῆς βασιλευούσης πόλεως κἀγὼ μετ' αὐτοὺς ὁμοίως, καὶ διὰ τοῦτο συνεθέμην ὡς συνήθειαν ἔχον καὶ ἑκουσίως ὑπέγραψα.

27 Νουνέχιος ἐπισκόπως Λαοδικείας εἶπεν· Ἡ δόξα τοῦ θρόνου Κωνσταντινουπόλεως δόξα ἡμῶν ἐστιν· τῆς γὰρ ἐντεῦθεν τιμῆς καὶ ἡμεῖς μετέχομεν, ἐπειδὴ καὶ τὰς μερίμνας ἡμῶν ἀναδέχεται. καὶ ἀγαπῶμεν τὸν καθ' ἑκάστην ἐπαρχίαν μητροπολίτην ὑπὸ τοῦ θρόνου τούτου χειροτονεῖσθαι, ὅθεν καὶ ἑκὼν ὑπέγραψα.

28 Μαρινιανὸς ἐπίσκοπος Συνάδων εἶπεν· Ὡς καὶ τῶν πρὸ ἐμοῦ χειροτονηθέντων ὑπὸ τοῦ Κωνσταντινουπόλεως ἁγιωτάτου θρόνου καὶ ἐμοῦ δὲ αὐτοῦ, ἑκουσίως ὑπέγραψα, ἐπειδὴ καὶ οἱ κανόνες τὰ πρεσβεῖα παρέχουσι τῶι Κωνσταντινουπόλεως ἁγιωτάτωι θρόνωι.

29 Περγάμιος ἐπίσκοπος Ἀντιοχείας εἶπεν· Καὶ οἰκείαι γνώμηι τὴν ὑπογραφὴν πεποίημαι καὶ ἐν πᾶσι τὸν ὁσιώτατον ἀρχιεπίσκοπον τῆς βασιλευούσης νέας Ῥώμης διὰ τιμῆς καὶ θεραπείας ἅτε πατέρα ἐξαίρετον ὄντα ἔχειν ἡμᾶς προσῆκόν ἐστιν. τοσοῦτον δὲ μόνον ἀξιῶ ὥστε εἴ τινα ἢ κατὰ ἄγνοιαν τῆς αὐτῶν ὁσιότητος ἢ κατὰ συναρπαγὴν εὑρίσκεται πραττόμενα, ὑπὲρ τῆς αὐτοῦ δόξης καὶ τῆς εἰρήνης τῶν ἁγιωτάτων ἐκκλησιῶν καὶ τῆς πρὸς τὸν θεὸν αὐτοῦ παρὰ πᾶσιν εὐδοκιμήσεως ταῦτα ὡς ἐπὶ πατρὸς ἐξετασθῆναί τε καὶ φυλαχθῆναι. L IIII 815 M VII 449

30 Κριτωνιανὸς ἐπίσκοπος Ἀφροδισιάδος εἶπεν· Ἀπὸ οἰκείας γνώμης τὴν ὑπογραφὴν πεποίημαι ἀκολουθῶν τῶι σκοπῶι τῶν ἁγίων πατέρων καὶ χρεωστῶν τῶι θρόνωι τούτωι ἐφ' οἷς κἀγὼ ἐχειροτονήθην καὶ οἱ πρὸ ἐμοῦ καὶ πάσης προστασίας ἡ ἐκκλησία ἡμῶν τετύχηκεν.

31 Εὐσέβιος ἐπίσκοπος Δορυλαίου εἶπεν· Ἑκὼν ὑπέγραψα, ἐπειδὴ καὶ τὸν κανόνα τοῦτον τῶι ἁγιωτάτωι πάπαι ἐν Ῥώμηι ἐγὼ ἀνέγνων παρόντων τῶν κληρικῶν Κωνσταντινουπόλεως καὶ ἀπεδέξατο αὐτόν.

32 Ἀντίοχος ἐπίσκοπος Σινώπης εἶπεν· Ἑκὼν ὑπέγραψα ἀκολουθήσας τῶι μητροπολίτηι μου καὶ τῶι κανόνι τῶν ρν̄.

33 Οἱ λοιποὶ ἐπίσκοποι ἐβόησαν· Ἑκόντες ὑπεγράψαμεν.

34 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Ἀναγνωσθεισῶν τῶν ὑπογραφῶν καὶ τῆς ἑκάστου τῶν ὑπογραψάντων καταθέσεως φανερᾶς γενομένης ὡς οὐδεμιᾶι ἀνάγκηι, ἀλλὰ γνώμηι οἰκείαι ὑπέγραψαν, οἱ μὴ ὑπογράψαντες ὁσιώτατοι ἐπίσκοποι τί διδάσκουσιν;

35 Εὐσέβιος ἐπίσκοπος Ἀγκύρας εἶπεν· Ἐγὼ ἐμὸν λόγον ἔχω εἰπεῖν οὐδὲν πρόκριμα φέροντα τῆι κοινότητι. ὅτι παντελῶς ἀπέχω τοῦ ἐπιθυμεῖν χειροτονεῖν, ἐκ πραγμάτων ἐδήλωσα. ὁ γὰρ ἀρτίως καταθέμενος ὁσιώτατος ἐπίσκοπος Πέτρος Γαγγρῶν ἐστιν ἐπίσκοπος καὶ τὸν πρὸ τούτου ἐγὼ ἐχειροτόνησα. ἅπασα γὰρ ἡ

M, B [= abo], Φ

1 ἠκολούθησαν Bbo 1/2 καὶ νῦν — τοῦτον om. Bo 2 in fine add. *quia et* [*quae* Φa] *prouidetur mihi* Φ 8 ἔχον scripsi cf. *quae consuetudo habuit* Φ ἔχων MBab ἔχω Bo 13 μαριανὸς B singulus codex Φa et Φc 14 δὲ M δι' B 15 καὶ om. Bo ἁγιωτάτωι om. Bo 20 αὐτῶν MBΦac *eius* Φr κατὰ2 om. Bb 21 ἑαυτοῦ Bo 22 τὸν om. Bb 25 ἁγιωτάτων Bbo 26 οἷς M ὧ B 28 καὶ ἐπειδὴ Bo 31 συνώπης Bb 33 ἐπίσκοποι om. Bb ἑκὼν τινὲσ Bb 36 οἱ] εἰ Bb 38 ἐπίσκοπος om. Bo 40 τὸν — καταθέμενον ὁσιώτατον ἐπίσκοπον Bao 40/41 Πέτρος — ἐπίσκοπος om. B

πόλις ἦλθεν πρὸς ἐμὲ εἰς τὴν Ἀγκύραν καὶ ἐκόμισαν τὰ ψηφίσματα. ἀπεκρινάμην αὐτοῖς λέγων· ἐγὼ οὐκ εἰμὶ τῶν ἐπιθυμούντων χειροτονεῖν. ἀνεμίμνησκόν με τῶν πρότερον χειροτονηθέντων παρὰ τοῦ Ἀγκυρανοῦ ἐπισκόπου, ἑνὸς δευτέρου τρίτου. ἐγὼ εἶπον· ὅσα μοι ἐὰν λέγητε, ἐγὼ ἐμαυτὸν δίκηι οὐκ ἐμβάλλω. μετὰ ταῦτα ἔρχονται, παρακαλοῦσι τὸν μακάριον Πρόκλον

36 Καὶ ἐν τῶι λέγειν αὐτὸν Φίλιππος πρεσβύτερος τῆς κατὰ Κωνσταντινούπολιν ἐκκλησίας εἶπεν· Ἡ θεοσέβειά σου ἔγραψεν περὶ Καλλινίκου, μετὰ δὲ τὴν θεοσέβειάν σου Πέτρον ἐχειροτόνησεν ὁ μακάριος Πρόκλος.

37 Εὐσέβιος ἐπίσκοπος Ἀγκύρας εἶπεν· Ἐπιστέλλει ὁ μακάριος Πρόκλος πρὸς ἐμέ· ἐχειροτόνησα αὐτόν. ταῦτα πάντα οὐκ ἐστι δικαιολογία, ἀλλὰ ἀπόδειξις τῆς ἐμῆς προαιρέσεως, ἵνα μετὰ ταῦτα ἐπαγάγω τί αἰτῶ ἢ πρὸς τί ἀντιλέγω. ἀπῆλθον εἰς τὴν Γάγγραν, ἐνεθρόνισα τὸν ἐπίσκοπον. οὕτω συνέβη· ἀπέθανεν ἐντὸς ὀλίγων ἡμερῶν. πάλιν πάντες οἱ τῆς πόλεως προσελθόντες μοι παρεκάλουν ὥστε ποιῆσαι
M VII 452 ἄλλον ἐπίσκοπον. ἔλεγον· τὰ αὐτὰ ὑμῖν ἀποκρίνομαι καὶ νῦν· ἐγὼ οὐκ ἐπιθυμῶ χειροτονεῖν. θεασάμενοι τὴν ἐμὴν προαίρεσιν περὶ τοῦτο ἦλθον ἐπὶ Κωνσταντινού-
πολιν καὶ ἤγαγον τὸν κύριν Πέτρον τὸν νῦν καταθέμενον. ταῦτα μὲν οὖν ἔστω μαρτυρία τῆς ἐμῆς προαιρέσεως καὶ ὅτι τοῦ χειροτονεῖν οὐκ ἐπιθυμῶ. παρακαλῶ δὲ τὰς πόλεις διὰ χειροτονίαν μὴ λύεσθαι. ἐὰν μὴ γὰρ ἐν ταῖς πόλεσιν αὐταῖς οἱ ψηφιζόμενοι παρὰ τῆς πόλεως χειροτονῶνται παρὰ τῆς συνόδου τῆς κατὰ τὴν ἐπαρχίαν
I. III 818 δοκιμαζόμενοι, λύονται αἱ οὐσίαι. καὶ ἀπὸ πείρας εἰμί, ἐπειδὴ τοῦ πρὸ ἐμοῦ πολλὴν ὁλκὴν ἀπέδωκα.

38 Φίλιππος πρεσβύτερος εἶπεν· Ἀπὸ τοῦ κανόνος ταῦτα ἀνήιρηται. ταῦτα νόμοις καὶ κανόσιν ἀνήιρηται. καθαρεύει τὰ θυσιαστήρια.

39 Εὐσέβιος ἐπίσκοπος Ἀγκύρας εἶπεν. Διὰ τὸν θεὸν λάμπει ἡ ὑπόληψις τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Ἀνατολίου, ἀλλ' οὐδείς ἐστιν ἀθάνατος.

40 Ἀνατόλιος ἐπίσκοπος Κωνσταντινουπόλεως εἶπεν· Παρὰ τίνος ἐχειροτονήθης αὐτός;

41 Εὐσέβιος ἐπίσκοπος Ἀγκύρας εἶπεν· Τῶι κακῶι μου εὑρέθην ἐνταῦθα καὶ ἐχειροτονήθην παρὰ τοῦ μακαρίου Πρόκλου.

42 Θαλάσσιος ἐπίσκοπος Καισαρείας εἶπεν· Ἀπερχόμεθα πρὸς τὸν κύριν τὸν ἀρχιεπίσκοπον Ἀνατόλιον καὶ τυποῦμεν αὐτό.

43 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Ἐκ τῶν πεπραγμένων καὶ ἐκ τῆς ἑκάστου καταθέσεως συνορῶμεν πρὸ πάντων μὲν τὰ πρωτεῖα καὶ τὴν ἐξαίρετον τιμὴν κατὰ τοὺς κανόνας τῶι τῆς πρεσβύτιδος Ῥώμης θεοφιλεστάτωι ἀρχιεπισκόπωι φυλάττεσθαι, χρῆναι δὲ τὸν ὁσιώτατον ἀρχιεπίσκοπον τῆς βασιλίδος Κωνσταντινουπόλεως νέας Ῥώμης τῶν αὐτῶν πρεσβείων τῆς τιμῆς ἀπολαύειν καὶ αὐτὸν ἐξ αὐθεντίας ἐξουσίαν ἔχειν τοῦ χειροτονεῖν τοὺς μητροπολίτας ἔν τε τῆι Ἀσιανῆι καὶ Ποντικῆι καὶ Θραικικῆι ταῖς διοικήσεσι κατὰ τοῦτον τὸν τρόπον ὥστε ψηφίζεσθαι μὲν παρὰ τῶν ἑκάστης μητροπόλεως κληρικῶν καὶ κτητόρων καὶ λαμπροτάτων ἀνδρῶν, ἔτι μὴν καὶ παρὰ τῶν κατὰ τὴν ἐπαρχίαν εὐλαβεστάτων ἐπισκόπων πάντων ἢ τῶν πλειόνων καὶ ἐπιλέγεσθαι ὅνπερ ἂν οἱ προειρημένοι ἄξιον εἶναι τῆς κατὰ τὴν μητρόπολιν ἐκκλησίας ἐπίσκοπον δοκιμάσοιεν, ἀνα-

M, B [= abo], Φ

1 ἐκόμισαν τὰ] ἐκομίσαντο B^o 3 ἀγκυριανοῦ $BΦ^a$ 4 ἐμοὶ B^o λέγετε B^b 6 τῆς κωνσταντινουπόλεως B^o 9 ἐπίσκοπος om. B^b Πρόκλος om. B^b 10 ἀπόδειξον M 11 τί ἀντιλέγω MΦ τίνας τί [om. B^a] λέγω B 14 ἔλεγον om. B 15 ἐπὶ τούτω B^b 16 κύριον M 17 οὐκ om. B^b ἐπιθυμῶν M 18 μὴ MΦ μὲν B 21 ἀπεδώκασι B^b 24 ἐπίσκοπος om. B 26—28 παρὰ — εἶπεν om. B 30 ἀπέρχομαι B^o κύριον M τὸν om. B^o 30, 31 ἐπίσκοπον B^o 31 αὐτῶ B^o αὐτὸν M 33 καὶ] κατὰ B^o κατὰ] καὶ B^o 34 ἐπισκόπῳ B^o 41 δοκιμάσουσιν B^b

φέρεσθαι δὲ παρὰ πάντων τῶν ἐπιλεξαμένων τῶι ὁσιωτάτωι ἀρχιεπισκόπωι τῆς βασιλίδος Κωνσταντινουπόλεως ἐπὶ τῶι ἐν αὐτῶι εἶναι εἴτε βούλεται τὸν ἐπιλεχθέντα ἐνταῦθα παραγενόμενον χειροτονηθῆναι εἴτε κατ' ἐπιτροπὴν αὐτοῦ ἐν τῆι ἐπαρχίαι τῆι ψήφωι τῆς ἐπισκοπῆς τυχεῖν. τοὺς μέντοι κατὰ πόλιν ὁσιωτάτους ἐπισκόπους M VII 453
χειροτονεῖσθαι παρὰ πάντων ἢ τῶν πλειόνων τῆς ἐπαρχίας εὐλαβεστάτων ἐπισκόπων, τὸ κῦρος ἔχοντος τοῦ μητροπολίτου κατὰ τὸν κείμενον τῶν πατέρων κανόνα καὶ μηδὲν ἐπικοινωνοῦντος ταῖς ἐκείνων χειροτονίαις τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου τῆς βασιλίδος Κωνσταντινουπόλεως. ταῦτα παρ' ἡμῶν ἐσκοπήθη, τὰ δὲ παριστάμενα αὐτῆι ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος διδάξαι καταξιωσάτω.

44 Οἱ εὐλαβέστατοι ἐπίσκοποι εἶπον· Αὕτη δικαία ψῆφος. ταῦτα πάντες λέγομεν. ταῦτα πᾶσιν ἀρέσκει. αὕτη δικαία κρίσις. τὰ τυπωθέντα κρατείτω. αὕτη δικαία ψῆφος. πάντα δεόντως ἐτυπώθη. δεόμεθα, ἀπολύσατε ἡμᾶς. τὴν σωτηρίαν τῶν βασιλέων, ἀπολύσατε ἡμᾶς. πάντες τῆι ἀποφάσει ἐμμένομεν. πάντες τὰ αὐτὰ λέγομεν.

45 Λουκίνσιος ἐπίσκοπος εἶπεν· Ὁ ἀποστολικὸς θρόνος ἡμῶν παρόντων προσέταξε πάντα πράττεσθαι καὶ διὰ τοῦτο, εἴ τι δήποτε πρὸ τοῦ δικαστηρίου παρὰ κανόνας τῆι χθὲς ἡμέραι ἐπράχθη ἀπόντων ἡμῶν, τὴν ὑμετέραν ὑπεροχὴν αἰτοῦμεν ὥστε κελεῦσαι περιαιρεθῆναι, ἵνα μὴ φιλονεικία τις ἐξ ἡμῶν ἔγκειται τούτοις τοῖς ὑπομνήμασιν, ἀλλὰ γινώσκειν ἡμᾶς σαφῶς τί τῶι ἀποστολικῶι καὶ πάσης ἐκκλησίας προύχοντι ἐπισκόπωι ἀνενεγκεῖν, ἵνα αὐτὸς ἢ περὶ τῆς οἰκείας τοῦ θρόνου ὕβρεως ἢ περὶ τῆς ἀνατροπῆς τῶν κανόνων δυνηθῆι ἀποφήνασθαι.

46 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Ὅσα διελαλήσαμεν, πάντα ἡ σύνοδος ἐκύρωσεν. Ῥω ἀνέγνων ἀνέγνωμεν ἀνέγνω.

Πρᾶξις περὶ Καρώσου καὶ Δωροθέου καὶ τῶν σὺν αὐτοῖς L IIII 535

18 1 Ὑπατείας τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου βασιλέως ἡμῶν Μαρκιανοῦ αὐγούστου τὸ πρῶτον πρὸ δεκατριῶν Καλανδῶν Νοεμβρίων M VII 80 d. 20. m. Oct. a. 451
συνεδρευούσης τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τῆς κατὰ θέσπισμα τῶν εὐσεβεστάτων ἡμῶν βασιλέων συναθροισθείσης ἐπὶ τῆς Χαλκηδονέων μητροπόλεως ἐν τῶι μαρτυρίωι τῆς ἁγίας καὶ καλλινίκου μάρτυρος Εὐφημίας

2 Ἀέτιος ἀρχιδιάκονος καὶ πριμικήριος εἶπεν· Ὁ εὐλαβέστατος πρεσβύτερος καὶ περιοδευτὴς Ἀλέξανδρος ἀποσταλεὶς παρὰ τῆς ὑμετέρας ἁγιωσύνης πρὸς τὸν εὐσεβέστατον καὶ φιλόχριστον ἡμῶν βασιλέα τῶν μοναζόντων ἕνεκεν τῶν περὶ Κάρωσον καὶ Δωρόθεον καὶ τῶν κατὰ Εὐτυχῆ τὸν ποτὲ ἀρχιμανδρίτην μονάζοντα τῶν ἀποστατησάντων τῆς ὀρθοδόξου πίστεως φανερὰ παρὰ τῆς αὐτῶν εὐσεβείας κελευσθεὶς εἰπεῖν πρὸς τὴν ὑμετέραν ὁσιότητα παραγενόμενος νῦν βούλεται καταθέσθαι καὶ τοῦτο αὐτὸ ὑποβάλλομεν πρὸς τὸ παριστάμενον. M VII 81

3 Ἡ ἁγία σύνοδος εἶπεν· Λεγέτω ὁ παρὼν εὐλαβέστατος πρεσβύτερος καὶ περι-

---

45 ipsa Latina uerba Lucensii in Φ seruata esse exposui in *Sitzungsber. d. Berl. Akad. d. Wiss. 1930*, 625 18 Latina uersio non extat

---

M, B [= abc], Φ [usque ad 23]

2 εἴτι B^o ἐπιλεγέντα B 6 μητροπόλεωσ M 7 ἐπικοινοῦντοσ B 8 αὐτῆι om. Φ^{cr} 9 κατηξιώσατο B^o 10 ἐβόησαν B^b 11 post ἀρέσκει habent *haec omnes dicimus* Φ 13/14 πάντες — λέγομεν hic om. Φ 17 ἀπόντων B^{ab} Φ ἀπὸ τῶν B^o ἁπάντων M 20 ἐνεγκεῖν B 22 ante 22 exciderunt quae extant in Φ: *Iohannes reuerentissimus episcopus Sebastiae dixit: Omnes in sententia uestrae magnificentiae permanemus* 23 ῥωμαῖον B^o 24 αὐτῶ B 25 ἡμῶν βασιλέως B^b 28 χαλκηδονίων B^o 33 Θεόδωρον B^o 34 φυλαχθεὶς B^o

οδευτὴς Ἀλέξανδρος τὰ παρὰ τοῦ εὐσεβεστάτου καὶ πιστοτάτου βασιλέως ἡμῶν δηλωθέντα τῇ ἁγίαι συνόδωι.

4 Ἀλέξανδρος πρεσβύτερος καὶ περιοδευτὴς εἶπεν· Ἀποσταλεὶς παρὰ τῆς ὑμετέρας ἁγιωσύνης καὶ παρὰ τῶν μεγαλοπρεπεστάτων ἀρχόντων καὶ τῆς ἱερᾶς συγκλήτου πρὸς τὸν εὐσεβέστατον καὶ φιλόχριστον βασιλέα εἰπόντος μου αὐτῶι ὅτι Δωρόθεος καὶ οἱ περὶ Κάρωσον οἱ δεδωκότες τὰς δεήσεις ἐδήλωσαν λέγοντες ὅτι ὑπέσχετο ἡ ὑμετέρα εὐσέβεια τὰ μοναστήρια συγκαλεῖσθαι καὶ ἡμᾶς μετ' αὐτῶν καὶ κειμένου τοῦ ἁγίου εὐαγγελίου διακούειν μεταξὺ ἀμφοτέρων ἡμῶν, ἐὰν οὖν κελεύηι ἡ ὑμετέρα εὐσέβεια, τοῦτο γενέσθω, ἐπεὶ ἡμεῖς ἀπελθεῖν ἐκεῖ οὐ δυνάμεθα, ταῦτα ἀκούσας ὁ δεσπότης τῆς οἰκουμένης ἐδήλωσεν αὐτοῖς δι' ἐμοῦ καὶ τοῦ κύρου Ἰωάννου τοῦ δεκουρίωνος ὅτι εἰ ἤθελον ἐγὼ καθεσθῆναι ἀνὰ μέσον ὑμῶν καὶ τῶν ἄλλων μοναστῶν καὶ διακοῦσαι μεταξὺ ἀμφοτέρων ὑμῶν, οὐκ ἂν τὴν ἁγίαν καὶ οἰκουμενικὴν σύνοδον ἔσκυλα ἐνταῦθα· ἀλλὰ διὰ τοῦτο παραγενομένων αὐτῶν καὶ δηλωσάντων ἡμῖν περὶ ὑμῶν εἶπον παραγενέσθαι ὑμᾶς καὶ ἅπερ μὴ οἴδατε, γνῶναι καὶ ἐρωτήσαντας ἃ οὐκ οἴδατε, μαθεῖν παρ' αὐτῶν. δίκαιον οὖν ἐκρίναμεν ἀπελθεῖν ὑμᾶς εἰς τὴν σύνοδον. ἵνα γὰρ τοῦτο οἴδατε ὅτι εἴ τι δὰν τυπώσηι ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος καὶ ἐπιδῶι μοι ἐγγράφως, τούτοις στοιχῶ, τούτοις στέργω, τούτοις πιστεύω. πρὸς τοῦτο ἔχετε καὶ ἄλλην ἀπόκρισιν παρ' ἐμοῦ οὐ λαμβάνετε.

5 Ἡ ἁγία σύνοδος ἐπευφήμησεν· Πολλὰ τὰ ἔτη τοῦ βασιλέως. πολλὰ τὰ ἔτη τῆς αὐγούστας. πολλὰ τὰ ἔτη τῶν ὀρθοδόξων.

6 Καὶ μετὰ ταῦτα ἀνεγνώσθη δέησις δοθεῖσα τῶι εὐσεβεστάτωι βασιλεῖ παρὰ Καρώσου καὶ τῶν σὺν αὐτῶι.

7 Καὶ μετά τὸ ἀναγνωσθῆναι Ἀέτιος ἀρχιδιάκονος εἶπεν· Ἐπήκουσεν ἡ ἁγία ὑμῶν μεγάλη καὶ οἰκουμενικὴ σύνοδος τῶν ἐπιδοθεισῶν δεήσεων τῶι παρὰ τοῦ δεσπότου Χριστοῦ ἀναδειχθέντι εὐσεβεστάτωι καὶ φιλοχρίστωι ἡμῶν βασιλεῖ παρὰ τῶν εὐλα-
L IIII 538 βεστάτων μοναζόντων Καρώσου καὶ Δωροθέου καὶ τῶν σὺν αὐτοῖς περὶ τὴν πίστιν χωλευόντων, ὡς ῥιψοκινδύνως πράττοντες ἐτόλμησαν ἐπίσκοπον ὀνομάζειν τὸν παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου καθαιρεθέντα Διόσκορον καὶ παρακαλέσαι τοὺς εὐσεβεστάτους καὶ θεοφιλεστάτους βασιλέας παραγενέσθαι αὐτὸν εἰς τὴν ἁγίαν σύνοδον ταύτην καὶ ὡς ἀνεύθυνον μετὰ παρρησίας τῆι πίστει συνηγορεῖν. ἐπεὶ τοίνυν οὐ μόνον αὐτοὶ τοῦτο πεφώρανται κακοδοξοῦντες, ἀλλὰ γὰρ καὶ τῶν καθαιρεθέντων ὑπερασπίζοντες, φανερὰ δὲ διαγορεύουσιν οἱ θεῖοι κανόνες κατὰ τῶν τὰ τοιαῦτα σφαλλομένων κληρικῶν τε καὶ μοναχῶν, εἰ κελεύετε, τούτους ἀναγνωσόμεθα, ἐπειδήπερ μάλιστα καὶ φαίνονται ἐκ πολλοῦ χωρίσαντες ἑαυτοὺς τῆς τε ἁγιωτάτης καὶ καθολικῆς ἐκκλησίας καὶ τοῦ ἰδίου ἐπισκόπου, ὡς καὶ ἐκ τῶν παρ' αὐτῶν ἐπιδοθέντων λιβέλλων φανερὰν τὴν ἑαυτῶν γνώμην κατέστησαν.

8 Ἡ ἁγία σύνοδος εἶπεν· Οἱ θεῖοι τῶν πατέρων κανόνες ἀναγινωσκέσθωσαν καὶ ἐμφερέσθωσαν τοῖς ὑπομνήμασιν.

Καὶ λαβὼν τὴν βίβλον Ἀέτιος ἀρχιδιάκονος καὶ πριμικήριος τῆς μεγάλης ἐκκλησίας ἀνέγνω

9 (Can. Antioch. 4 M VII 84) Κανὼν πγ'. Εἴ τις ἐπίσκοπος ὑπὸ συνόδου καθαιρεθεὶς ἢ πρεσβύτερος ἢ διάκονος ἢ ὅλως τοῦ κανόνος ὑπὸ τοῦ ἰδίου ἐπισκόπου τολμήσειέν τι πρᾶξαι τῆς λειτουργίας

M, B [= abo]

5 εὐλαβέστατον MB ἡμῶν βασιλέα B 8 κελεύει Bb 9 γενέσθαι M 10 κυρίου Bo 13 παραγινομένων Ba 14 ἐρωτήσαντες M 16 τυπώσει Bb 17 τούτοις¹ — πιστεύω om. Bo 20 αὐγούστης B 28 παρακελεῦσαι Bb, corr. Bb 29 αὐτὸν editores Romani per coniecturam αὐτοὺς MB 31 τοῦτο] τοῦτοι M 34 τε om. Bo 35 ὥστε B καὶ om. Bo

εἴτε ὁ ἐπίσκοπος κατὰ τὴν προάγουσαν συνήθειαν εἴτε ὁ πρεσβύτερος εἴτε ὁ διάκονος, μηκέτι ἐξὸν εἶναι αὐτῶι μηδὲ ἐν ἑτέραι συνόδωι ἐλπίδα ἀποκαταστάσεως μηδὲ ἀπολογίας χώραν ἔχειν, ἀλλὰ καὶ τοὺς κοινωνοῦντας αὐτῶι πάντας ἀποβάλλεσθαι τῆς ἐκκλησίας καὶ μάλιστα, εἰ μαθόντες τὴν ἀπόφασιν τὴν κατὰ τῶν προειρημένων ἐξενεχθεῖσαν τολμήσειαν αὐτοῖς κοινωνεῖν.

10 Περὶ τῶν ἑαυτοὺς ἀφοριζόντων ἕτερος κανὼν πδ̄. Εἴ τις πρεσβύτερος ἢ διάκονος καταφρονήσας τοῦ ἰδίου ἐπισκόπου ἀφώρισεν ἑαυτὸν τῆς ἐκκλησίας καὶ ἰδίαι συνήγαγεν καὶ θυσιαστήριον ἔστησεν καὶ τοῦ ἐπισκόπου προσκαλουμένου αὐτὸν ἀπειθοίη καὶ μὴ βούλοιτο αὐτῶι πείθεσθαι μηδὲ ὑπακούειν καὶ πρῶτον καὶ δεύτερον καὶ τρίτον καλοῦντι, τοῦτον παντελῶς καθαιρεῖσθαι καὶ μηκέτι θεραπείας τυγχάνειν μήτε ἀπολαμβάνειν αὐτὸν δύνασθαι τὴν τιμήν. εἰ δὲ παραμένει θορυβῶν καὶ ἀναστατῶν, διὰ τῆς ἔξωθεν ἐξουσίας ὡς στασιώδη αὐτὸν ἐπιστρέφεσθαι. Can. Antioch. 5

11 Καὶ μετὰ τὴν ἀνάγνωσιν τῶν θείων καὶ ἱερῶν κανόνων ἡ ἁγία σύνοδος εἶπεν· Τὸν δεσπότην Χριστὸν εἰς φιλανθρωπίαν μιμουμένη ἡ ἁγία αὕτη καὶ οἰκουμενικὴ σύνοδος ἀπεδέξατο τοὺς μεγαλοπρεπεστάτους καὶ ἐνδοξοτάτους ἄρχοντας καὶ τὴν ἱερὰν καὶ φιλόχριστον σύγκλητον τῆς ἐπὶ τοῖς μονάζουσιν Καρώσωι Δωροθέωι καὶ Βαρσουμᾶι καὶ τοῖς σὺν αὐτοῖς συγκαταβάσεως, ὥστε παρασχεθῆναι τοῖς μνημονευθεῖσι πρὸς ἐπίσκεψιν τοῦ πεισθῆναι τῆι ἁγίαι ταύτηι καὶ οἰκουμενικῆι συνόδωι καὶ τοῖς παρ' αὐτῆς ἐπὶ τῆι ὀρθῆι πίστει τυπωθεῖσι διορίαν ἡμερῶν τριάκοντα, τουτέστιν ἀπὸ τοῦ ἐνεστῶτος μηνὸς Ὀκτωβρίου πεντεκαιδεκάτης μέχρι Νοεμβρίου πεντεκαιδεκάτης. ἀποσταλήσονται τοίνυν πρὸς αὐτοὺς κληρικοὶ τῆι ὡρισμένηι ἡμέραι ὑπομιμνήσκοντες αὐτοὺς ἵνα ἢ ὀρθοποδήσωσιν πρὸς τὴν ἀλήθειαν καὶ εἴξωσι πᾶσι τοῖς δόξασι τῆι ἁγίαι ταύτηι συνόδωι πρὸς ἀναίρεσιν πάσης αἱρετικῆς κακοδοξίας ἢ ἵστωσαν ἑαυτοὺς μετὰ τῶν σὺν αὐτοῖς κληρικῶν ἢ γοῦν μοναχῶν γεγυμνῶσθαι τοῦ τε βαθμοῦ καὶ πασῆς ἱερατικῆς ἀξίας τε καὶ κοινωνίας μετὰ τοῦ καὶ ἀποστῆναι τοῦ ἡγουμενεύειν μοναστηρίων, ὡς εἴ γε διαφυγεῖν ἐπιχειρήσειαν, κρατεῖν ἐπ' αὐτοῖς τὸ αὐτὸ ἐπιτίμιον ψηφίζεται ἡ ἁγία αὕτη καὶ οἰκουμενικὴ μεγάλη σύνοδος, δηλονότι καὶ τῆς ἔξωθεν αὐθεντίας κατὰ τοὺς θείους καὶ ἱεροὺς τῶν πατέρων κανόνας συνεπισχυούσης τῶι τύπωι κατὰ τῶν ἀπειθούντων. L IIII 539

Πρᾶξις περὶ Φωτίου ἐπισκόπου Τύρου καὶ Εὐσταθίου ἐπισκόπου Βηρυτοῦ M VII 85

191 Ὑπατείας τοῦ δεσπότου ἡμῶν Μαρκιανοῦ τοῦ αἰωνίου αὐγούστου καὶ τοῦ δηλωθησομένου τῆι πρὸ δεκατριῶν Καλανδῶν Νοεμβρίων ἐν Χαλκηδόνι d. 20. m. Oct. a. 451

κατὰ κέλευσιν τοῦ θειοτάτου καὶ εὐσεβεστάτου δεσπότου ἡμῶν συνελθόντων ἐν τῆι ἁγιωτάτηι ἐκκλησίας τῆς ἁγίας μάρτυρος Εὐφημίας

1 τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου στρατηλάτου καὶ ἀπὸ ὑπάτων καὶ πατρικίου Ἀνατολίου

2 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἐπάρχου τῶν ἱερῶν πραιτωρίων Παλλαδίου

19 Latina uersio non extat

M, B [= abo]

1 ὁ¹ om. Bbo 2 ἐξεῖναι Bo 4 ἐνεχθεῖσαν Bo 6 πδ̄ om. Bo 8 προσκαλεσαμένου Bb ἀπειθήσει B 9 ἀκούειν Bb 10 τοῦτο Bo 11 τὴν] τὸν M 12 τὴν — ἐξουσίαν Bo ἀποστρέφεσθαι B 14 καὶ ἡ Bo 19 διωρίαν MBbo 21 τῆι ὁ ὡρισμένη M ὑπομνήσκοντες M 22 καὶ M ἢ B 24 κληρικῶν ἢ γοῦν om. B ἱερατικῆς om. B 25 καὶ² om. M τοῦ² om. B ἡγεμονεύειν MBo γε B τε M 26/27 αὕτη οἰκουμενικὴ καὶ Bo 34 μεγαλεπιφανοτάτου Bb καὶ³ om. B 36—p. 102, 2 καὶ λοιπῶν τῶν προειρημένων μεγαλοπρεπεστάτων καὶ ἐνδοξοτάτων ἀρχόντων B

3 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου μαγίστρου τῶν θείων ὀφφικίων Βιγκομάλου,

2 συνελθόντων δὲ καὶ

1—3 Πασκασίνου καὶ Λουκινσίου τῶν εὐλαβεστάτων ἐπισκόπων καὶ Βονιφατίου τοῦ εὐλαβεστάτου πρεσβυτέρου ἐπεχόντων τὸν τόπον τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς πρεσβυτέρας Ῥώμης Λέοντος

4 καὶ Ἀνατολίου τοῦ εὐλαβεστάτου ἀρχιεπισκόπου τῆς μεγαλωνύμου Κωνσταντινουπόλεως νέας Ῥώμης

5 καὶ Μαξίμου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀντιοχείας Συρίας

6 καὶ Ἰουβεναλίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἱεροσολύμων

7 καὶ Κυντίλλου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἡρακλείας Μακεδονίας ἐπέχοντος τὸν τόπον τοῦ ἁγιωτάτου ἐπισκόπου τῆς Θεσσαλονικέων Ἀναστασίου

8 καὶ Θαλασσίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Καισαρείας Καππαδοκίας

9 καὶ Στεφάνου τοῦ εὐλαβεστάτου ἐπισκόπου πόλεως Ἐφέσου

10 καὶ Λουκιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Βύζης ἐπέχοντος τὸν τόπον τοῦ θεοφιλεστάτου ἐπισκόπου Ἡρακλείας Θράικης Κυριακοῦ

11 καὶ Εὐσεβίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀγκύρας Γαλατίας

12 καὶ Διογένους τοῦ εὐλαβεστάτου ἐπισκόπου Κυζίκου

13 καὶ Πέτρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Κορίνθου

14 καὶ Φλωρεντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σάρδεων

15 καὶ Εὐνομίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Νικομηδείας

16 καὶ Ἀναστασίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Νικαίας

17 καὶ Ἐλευθερίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Χαλκηδονέων

18 καὶ Ἰουλιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Κῶ ἐπέχοντος καὶ αὐτοῦ τὸν τόπον τοῦ ἀποστολικοῦ θρόνου Λέοντος

19 καὶ Βασιλείου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σελευκείας Ἰσαυρίας

20 καὶ Μελιτίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Λαρίσσης ἐπέχοντος τὸν τόπον τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀπαμείας Συρίας Δόμνου

21 καὶ Ἀμφιλοχίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σίδης

22 καὶ Θεοδώρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ταρσοῦ

23 καὶ Κύρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀναζαρβοῦ

24 καὶ Κωνσταντίνου τοῦ εὐλαβεστάτου ἐπισκόπου Βόστρων

25 καὶ Φωτίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Τύρου

26 καὶ Θεοδώρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Δαμασκοῦ

27 καὶ Στεφάνου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἱερᾶς πόλεως

28 καὶ Νόννου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἐδέσσης

29 καὶ Συμεώνου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀμίδης

30 καὶ Ἐπιφανίου τοῦ εὐλαβεστάτου ἐπισκόπου ἐπέχοντος τόν τόπον τοῦ εὐλαβεστάτου ἐπισκόπου Κωνσταντίας Ὀλυμπίου

31 καὶ Ἰωάννου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σεβαστείας

32 καὶ Σελεύκου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀμασείας

33 καὶ Κωνσταντίνου τοῦ εὐλαβεστάτου ἐπισκόπου Μελιτηνῆς

34 καὶ Πατρικίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Τυάνων

35 καὶ Πέτρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Γαγγρῶν

M, B [= abo, usque ad 3]

3 συνελθόντων M προσέτι B 4—p. 103, 28 om. B 18. 17 coll. ceteri catalogi 36 ἐδέσησ M 38/39 ἐπέχοντος — ἐπισκόπου Κωνσταντίας ceteri catalogi κωνσταντίας ἐπέχοντοσ — ἐπισκόπου M 42 μελιτινῆσ M

καὶ Εὐσταθίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Βηρυτοῦ
καὶ Ἀπραγμονίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Τίου ἐπέχοντος τὸν τόπον τοῦ εὐλαβεστάτου ἐπισκόπου Κλαυδιουπόλεως Καλογήρου
καὶ Ἀταρβίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Τραπεζοῦντος ἐπέχοντος τὸν τόπον τοῦ εὐλαβεστάτου ἐπισκόπου Νεοκαισαρείας Δωροθέου
καὶ Φωτεινοῦ ἀρχιδιακόνου ἐπέχοντος τὸν τόπον Θεοκτίστου τοῦ εὐλαβεστάτου ἐπισκόπου Πισινοῦντος
καὶ Ῥωμανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Μύρων τῆς Λυκίας
καὶ Κριτωνιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀφροδισιάδος Καρίας
καὶ Νουνεχίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Λαοδικείας Φρυγίας
καὶ Μαρινιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Συννάδων
καὶ Ὀνησιφόρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἰκονίου
καὶ Περγαμίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀντιοχείας Πισιδίας
καὶ Ἐπιφανίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Πέργης
καὶ Ἀττικοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Νικοπόλεως Ἠπείρου
καὶ Μαρτυρίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Γορτύνης
καὶ Λουκᾶ τοῦ εὐλαβεστάτου ἐπισκόπου Δυρραχίου
καὶ Βιγιλαντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Λαρίσσης Θεσσαλίας
καὶ Φραγκίωνος τοῦ εὐλαβεστάτου ἐπισκόπου Φιλιππουπόλεως
καὶ Σεβαστιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Βεροίας
καὶ Βασιλείου τοῦ εὐλαβεστάτου ἐπισκόπου Τραιανουπόλεως
καὶ Τρύφωνος τοῦ εὐλαβεστάτου ἐπισκόπου Χίου ἐπέχοντος τὸν τόπον τοῦ εὐλαβεστάτου ἐπισκόπου Ῥόδου Ἰωάννου
καὶ Θεοκτίστου τοῦ εὐλαβεστάτου ἐπισκόπου Βεροίας Συρίας
καὶ Γεροντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σελευκείας Συρίας
καὶ Εὐσεβίου πρεσβυτέρου ἐπέχοντος τὸν τόπον τοῦ εὐλαβεστάτου ἐπισκόπου Λαοδικείας Συρίας Μακαρίου
καὶ Εὐσεβίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Δορυλαίου
καὶ τῆς λοιπῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τῆς κατὰ θέσπισμα τοῦ θειοτάτου καὶ εὐσεβεστάτου ἡμῶν δεσπότου ἐν τῇ Χαλκηδονέων πόλει συναθροισθείσης καὶ καθεσθέντων πάντων πρὸ τῶν καγκέλλων τοῦ ἁγιωτάτου θυσιαστηρίου

3 Φώτιος ὁ εὐλαβέστατος ἐπίσκοπος Τύρου εἶπεν· Δεήσεις ἐπιδέδωκα τῶι θειοτάτωι καὶ φιλοχρίστωι βασιλεῖ καὶ ἐκέλευσεν τὴν ὑμετέραν μεγαλοπρέπειαν ἅμα τῇ ἁγίαι ταύτηι καὶ οἰκουμενικῆι συνόδωι ἀκοῦσαι τοῦ πράγματος καὶ τύπον αὐτῶι ἐπιθεῖναι. παρακαλῶ τοίνυν ἀναγνωσθῆναί μου τὰς δεήσεις καὶ τὰ δίκαια ὑπαρχθῆναί μοι.

4 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Ἀναγινωσκέσθωσαν αἱ δεήσεις Φωτίου τοῦ εὐλαβεστάτου ἐπισκόπου.

5 Καὶ πρὸ τῆς ἀναγνώσεως Εὐστάθιος ὁ εὐλαβέστατος ἐπίσκοπος Βηρυτοῦ εἶπεν· Καὶ ὁ εὐσεβέστατος καὶ φιλόχριστος ἡμῶν δεσπότης καὶ ἡ εὐσεβεστάτη καὶ φιλόχριστος ἡμῶν δέσποινα καὶ ὑμεῖς οἱ ἐνδοξότατοι καὶ φιλόχριστοι ἄρχοντες καὶ ἡ μεγίστη σύγκλητος καὶ ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος, ἧς ἐξάρχουσιν οἱ θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες ἡμῶν Λέων καὶ Ἀνατόλιος, τῆς πίστεως ἕνεκεν ἡμᾶς ἐνταῦθα συνήγαγον, καὶ κελεύσατε πρὸ πάντων ὑπογραφῆναι τὸν ὅρον, ὥστε πρότερον πληρωθῆναι

M, B [= abo, inde a 29]
20 σεβαστειανοῦ M 29 καὶ¹ om. B λοιπῆς] προειρημένης B 30 χαλκηδονίων Bᵒ 31 καγγέλων Bᵒ 34 αὐτῶ ἐπιθεῖναι M δοῦναι αὐτῶ B 35 ὑπαχθῆναι Bᵒ 39 Καὶ om. B εὐλαβέστατοσ Bᵇ 40 ἡ om. B

τὸ περὶ τῆς πίστεως. εἰ δὲ καὶ περὶ τοῦ ἐμοῦ πράγματος κελεύετε νῦν ζητηθῆναι, οὐχ ὑπερτίθεμαι, ἀλλ' εὐθὺς τὰς ἀποκρίσεις ποιοῦμαι.

6 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Ἐπειδὴ προσελευσθεὶς ὁ θειότατος ἡμῶν βασιλεὺς παρὰ Φωτίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Τυρίων μητροπόλεως ἐκέλευσεν καὶ τὸ κατ' αὐτόν καὶ τοὺς ἄλλους ἐπισκόπους τοὺς λέγοντας βεβλάφθαι κεφάλαιον ἐν τῇ ἁγιωτάτῃ συνόδῳ παρόντων ἡμῶν ἐξετασθῆναι, ἀναγινωσκέσθωσαν αἱ δεήσεις Φωτίου τοῦ εὐλαβεστάτου ἐπισκόπου. Ῥω

Καὶ ἐπιδοθέντων αὐτῶν Κωνσταντῖνος ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστορίου ἀνέγνω

7 Τοῖς γῆς καὶ θαλάσσης καὶ πάντων ἀνθρώπων ἔθνους καὶ γένους δεσπόταις Φλαβίοις
L IIII 542 Οὐαλεντινιανῷ καὶ Μαρκιανῷ τοῖς αἰωνίοις καὶ τροπαιούχοις αὐγούστοις δέησις καὶ ἱκεσία παρὰ Φωτίου ἐπισκόπου τῆς Τυρίων μητροπόλεως τῆς ὑμετέρας πρώτης Φοινίκης. Πάντες ὅσοι τῶν κατὰ γνώμην τυχεῖν ἐθέλουσιν, οὐκ ἄλλως δυνηθήσονται,
M VII 88 εἰ μὴ τοῖς ὑμετέροις ἴχνεσι προσπεσόντες ἐκεῖθεν τῶν ἐλπιζομένων καρπόν τινα ἀπονάσθαι ἐξισχύσουσιν, ὅταν μάλιστα τὸ δίκαιον προσῇ ταῖς αὐτῶν ἱκετηρίαις. κἀγὼ τοίνυν ἐπὶ τάσδε τὰς λιτὰς ἐλήλυθα πείσας ἐμαυτὸν ὡς οὐ διαμάρτοιμι τῆς τῶν προσδοκωμένων ἐλπίδος, συναγωνιζομένου μοι τοῦ δικαίου. τίς τοίνυν ἡ αἰτία τῶν ἐμῶν δεήσεων, βραχὺς ἀναδιδάξει λόγος. τῇ Τυρίων ἁγιωτάτῃ ἐκκλησίαι ἐξ ἀρχαίων καὶ ἀμνημονεύτων [τῶν] χρόνων ἀπὸ τῶν ἁγίων κανόνων φανερὰ ἀφώρισται δίκαια ἔν τε τῇ διοικήσει τῇ ἐκκλησιαστικῇ καὶ ἐν ταῖς χειροτονίαις. τὰ τοιαῦτα δίκαια Εὐστάθιος ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Βηρυτίων πόλεως σπουδὴν κατὰ καιρὸν τινῶν ἐσχηκὼς παραφθεῖραι ἐπεχείρησεν θείας πορισάμενος ἀντιγραφὰς ἐπὶ τοῦ τῆς θείας λήξεως Θεοδοσίου, δι' ὧν ἐβουλήθη ἐκδικῶν ἑαυτῷ φανερῶν πόλεων χειροτονίας τινὰ τῶν δικαίων τῆς προειρημένης ἐκκλησίας εἰς ἑαυτὸν μεταθεῖναι. τοσαύτῃ δὲ ὁ μνημονευθεὶς ὁσιώτατος ἐπίσκοπος εἰς τὸ περιγράψαι τὰ ἐν τῇ ἐκκλησίαι δίκαια ἐνστάσει ἐχρήσατο, ὡς καὶ συνοδικὸν πρός με παρασκευάσαι ἐκπεμφθῆναι καθαίρεσιν ἀπειλοῦν, εἰ μή γε τῷι τοιούτωι ὑποσημαίνομαι χάρτῃ. ὥιτινι οὐκ ἐκ προθέσεως, δέει δὲ τῆς ἐν αὐτῷι ἐγκειμένης ἀπειλῆς ὑποσημηνάμενος τὴν ἐπενεχθεῖσάν μοι ἀνάγκην διὰ τῆς ὑπογραφῆς ἐσήμανα. ἔγραψα γὰρ ὡς κελευσθεὶς ὑπέγραψα εἰδὼς ὡς οὐδὲν τοῦτο προκρίνει μοι τῶν θεικῶν καὶ τῶν θείων νόμων τὰ μὴ ἐκ προθέσεως, ἐξ ἀνάγκης δὲ γινόμενα μηδεμίαν ἔχειν ἰσχὺν διοριζόντων. ἐπὶ δὲ τῆς ὑμετέρας εὐσεβείας εὖ ἴσασιν πείραι παρειληφότες πάντες ἄνθρωποι ὡς οὔτε ἄλογος προστασία κρατεῖ οὔτε τις μὴ ἀρχαιότητι ἐγνωσμένον ἐκδικεῖν ἑαυτῷ τι ἐθελήσας κατὰ καινοτομίαν δυνήσεται. δέομαι οὖν προκυλινδούμενος τῶν ὑμετέρων ἰχνῶν θεσπίσαι τὸ οὐράνιον ὑμῶν κράτος πάντα τὰ ἐξ ἀρχῆς ἐκ τῶν θείων κανόνων ἀφορισθέντα τῇ προειρημένηι ἁγιωτάτῃ ἐκκλησίαι ἄπτωτα μένειν· εἴ τι δὲ ὑπεναντίον τῆς ἀρχαιότητος παρὰ τοῦ μνημονευθέντος ἢ παρ' ἑτέρου τινὸς αὐτῷι πράττοντος ἐπικεχείρηται, τοῦτο ἕωλον τυγχάνειν καὶ μηδεμίαν ἔχειν ἰσχύν, ἀλλ' ἀποδοθῆναι ἄτρωτα τὰ δίκαια τῆς ἐν Τύρωι ἁγιωτάτης ἐκκλησίας, ἀργεῖν δὲ πάντα τὰ ἐκ συναρπαγῆς τῷι μνημονευθέντι πορισθέντα τοῦτο μὲν θεῖα γράμματα, τοῦτο δὲ καὶ ἀποφάσεις οἱωνδήποτε μεγίστων δικαστηρίων. καὶ εἴ τις δὲ

M, B [= abo]

1 τῆς om. Bᵇ καὶ om. Bᵒ 4 ἐπισκόπου om. M 5 βεβλάφθαι λέγοντασ B 10 θαλάττησ Bᵃᵇ φλαυουίοισ B 11 ουαλεντιανῶ Bᵇ 12 ικετηρία B, corr. Bᵒ in mg. πόλεωσ B 13 καταγνώμη M 14 ἡμετέροισ M 14/15 ἀπώνασθαι M 15 ἐξισχύουσιν Bᵒ ταῖσ — ικετηρίαισ προσῇ B 16/17 τῆς — μοι om. B 19 τῶν deleui 20 τῆι ' om. Bᵇ 22 τινα Bᵒ θείαισ M πορισάμενος scripsi ποιησάμενοσ MB 23 ἠβουλήθη Bᵒ 25 τὰ τῆσ ἐκκλησίας M 26 παρασκευάσει Bᵇ 27 ὑποσημαίνομαι scripsi ἐπισημαίνομαι MBᵒ ἐπισημήνωμαι Bᵃᵇ 29 γὰρ om. Bᵒ 31 ὁριζόντων Bᵒ εὐσεβείας om. Bᵒ 32 ἄνοι πάντεσ B 33 οὖν om. M 37 ἐπικεχείροται M

τούτων χάριν συναίνεσις παρά τινων ἁγιωτάτων ἐπισκόπων γεγένηται ἐπ' ἀνατροπῇ τῆς ἀρχαιότητος καὶ τῶν θείων κανόνων, μηδεμίαν ἔχειν ἰσχύν, μηδενός μοι προκρίματος γινομένου ἐκ τῆς παρ' ἐμοῦ γεγενημένης ἐν τῷι συνοδικῷι καθ' ὃν εἴρηκα τρόπον ὑποσημειώσεως, θείου ὑμῶν καὶ προσκυνουμένου τύπου πραγματικοῦ περὶ τούτου κατα- L IIII 543
πεμπομένου πρός τε τοὺς μεγαλοπρεπεστάτους καὶ ἐνδοξοτάτους ἐπάρχους τῶν ἱερῶν ὑμῶν πραιτωρίων καὶ πρὸς τὸν μεγαλοπρεπέστατον καὶ ἐνδοξότατον στρατοπεδάρχην τῆς Ἕω ἑκατέρων δυνάμεων ἀπὸ ὑπάτων καὶ πατρίκιον Ζήνωνα καὶ πρὸς τὸν μεγαλοπρεπέστατον καὶ ἐνδοξότατον μάγιστρον τῶν θείων ὑμῶν ὀφφικίων, εἰδέναι δὲ ταῦτα καὶ τὴν ἁγίαν καὶ οἰκουμενικὴν σύνοδον τὴν ἐν τῇι Χαλκηδονέων χάριτι Χριστοῦ καὶ νεύματι ὑμετέρωι ἀθροισθεῖσαν, ὡς ἂν μηδὲν ὑπεναντίον τῶν παρὰ τῆς ὑμετέρας εὐσεβείας θεσπιζομένων προβῆναι δυνηθείη. [πέφυκε γὰρ τὰ τῶν ἱερῶν δίκαια μηδέποτε ἐλαττοῦσθαι ἀπὸ τῆς τῶν προεστώτων χαυνότητος] καὶ τούτου τυχὼν τὰς συνήθεις εὐχὰς ὑπὲρ τοῦ αἰωνίου ὑμῶν κράτους ποιήσομαι διὰ παντός.

8 Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· Τί πρὸς ταῦτα δικαιολογεῖται ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Βηρυτίων Εὐστάθιος;

9 Εὐστάθιος ἐπίσκοπος εἶπεν· Κελεύσατε αὐτὸν εἰπεῖν εἴτε κανονικῶς κινεῖ εἴτε κατὰ M VII 89
νόμους.

10 Φώτιος ἐπίσκοπος εἶπεν· Προσελθὼν τῶι εὐσεβεστάτωι βασιλεῖ ὥστε τυχεῖν τῶν δικαίων τὸν θρόνον τῆς Τυρίων καὶ ὅτι παλαιὸν ἔθος ἐζήτησεν ἀνατρέψαι Εὐστάθιος ὁ εὐλαβέστατος ἐπίσκοπος, ἐρωτηθῶσιν οἱ κύριοι καὶ ἁγιώτατοι ἐπίσκοποι. ἐγὼ γὰρ τῶν κανόνων οὐκ ἐξίσταμαι οὔτε τύπους τῶν πατέρων ἀνατρέψαι βούλομαι, ἀλλ' ἐκεῖνα τὰ δίκαια μὴ ἀνατραπῆναι αἰτῶ.

11 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Τῶι θειοτάτωι δεσπότηι τῆς οἰκουμένης ἤρεσεν μὴ κατὰ θεῖα γράμματα ἢ πραγματικοὺς τύπους τὰ τῶν ὁσιωτάτων ἐπισκόπων προβαίνειν, ἀλλὰ κατὰ τοὺς κανόνας τοὺς παρὰ τῶν ἁγίων πατέρων νομοθετηθέντας. πάσης τοίνυν ἀργούσης ἐκ θείων πραγματικῶν διατυπώσεως οἱ περὶ τούτου τοῦ κεφαλαίου κείμενοι κανόνες ἀναγινωσκέσθωσαν.

12 Καὶ πρὸ τῆς ἀναγνώσεως τῶν κανόνων Εὐστάθιος ἐπίσκοπος εἶπεν· Τῶν ποδῶν ὑμῶν, ἐπειδὴ διέβαλέν με ὡς κατὰ σπουδὴν ἀνύσαντα, παρακαλῶ πληροφορηθῆναι τὴν ἁγίαν ταύτην καὶ οἰκουμενικὴν σύνοδον ὅτι οὐδὲν ἐξ ἐμοῦ πέπρακται. οὔτε γὰρ οὕτω τολμηρὸς ἦμην, ὥστε κατὰ τῶν κανόνων τῶν πατέρων ἐλθεῖν.

13 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Λεγέτω ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος εἴ γε αὐτῇ ἀρέσκει κατὰ τοὺς κανόνας τῶν πατέρων ἐξετασθῆναι τὴν περὶ τούτου ζήτησιν ἢ κατὰ τὰ θεῖα πραγματικά, περὶ ὧν τὰ παραστάντα τῇι θείαι κορυφῇι ἤδη πᾶσι φανερὰ κατεστήσαμεν.

14 Ἡ ἁγία σύνοδος εἶπεν· Κατὰ τῶν κανόνων πραγματικὸν μηδὲν ἰσχύσηι. οἱ κανόνες τῶν πατέρων κρατείτωσαν.

15 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Νῦν καιρός ἐστι διδαχθῆναι ἡμᾶς παρὰ τῆς ἁγίας συνόδου εἰ ἔξεστι κατὰ θεῖον πραγματικὸν ἀλλοτρίας ἐκκλησίας δίκαια ἑτέρους ἐπισκόπους παραιρεῖσθαι.

16 Ἡ ἁγία σύνοδος ἐβόησεν· Οὐκ ἔξεστι τοῦτο· παρὰ τοὺς κανόνας ἐστί.

M, B [= abo]

3 τῶι] τῇ M 4 πραγματευτικοῦ Bº τοῦτο Bº 7 ἑκατέρων — Ζήνωνα om. B 8 ὑμῶν om. Bº εἰδέναι δὲ ταῦτα om. B 9 τὴν²] τῇ Bº τῇι om. Bᵇ χαλκηδονίων Bº 11/12 πέφυκε — χαυνότητος om. M, uidetur nota marginalis esse quae in textum irrepsit 18 εὐλαβεστάτω MBᵇº 19 τῆς τῶν Bº 25 παρὰ] κατὰ Bº 26 πραγμάτων Bº 30 ταύτην om. Bᵇ οὐδὲ Bº 31 ἦμην B ἡμῖν M 36 τοὺσ κανόνασ M 38 ὑμᾶσ Bᵇº, corr. Bº 39 κατὰ τὸ Bº 41 εἶπεν Bᵇ

17 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Φανερᾶς γενομένης τῆς ἀποκρίσεως ἣν ἔδωκεν ἡ ἁγία σύνοδος, λεγέτω ὁ εὐλαβέστατος ἐπίσκοπος Φώτιος ποίας ἐκκλησίας ὑπ' αὐτὸν μητροπολίτην τυγχάνοντα ἐπίσκοπον ἀφείλατο ὁ εὐλαβέστατος ἐπίσκοπος Εὐστάθιος ἢ τί περὶ τῶν χειροτονιῶν τῶν ὑπ' αὐτοῦ γενομένων πέπρακται.

18 Φώτιος ἐπίσκοπος Τύρου εἶπεν· Ἔλαβεν Βύβλον Βότρυν Τρίπολιν Ὀρθωσιάδα
L IIII 546 Ἄρκας Ἀντάραδον καὶ παρακαλῶ κελεῦσαι τὴν ὑμετέραν φιλανθρωπίαν ταύτας τῷι θρόνωι Τύρου ἀποκατασταθῆναι καὶ περὶ τῶν γενομένων ἑτέρων μανθάνειν τὸ ὑμέτερον μέγεθος.

19 Εὐστάθιος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Σύνοδος εὐλαβεστάτων ἐπισκόπων γέγονεν ἐν Κωνσταντινουπόλει καὶ ὅρος ἐδόθη, ὧιτινι καὶ Μάξιμος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀντιοχείας ὑπέγραψε.

20 Μάξιμος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀντιοχείας εἶπεν· Χάρτης μοι ἠνέχθη ἔχων ὑπογραφὴν τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Ἀνατολίου καὶ τούτωι ἀκολουθήσας κἀγὼ ὑπέγραψα.

21 Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· Παρῆν οὖν ἡ σὴ εὐλάβεια τῆι συνόδωι τῆι ἐπὶ τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Ἀνατολίου ταῦτα τυποῦσηι καὶ τοῖς πραττομένοις συνήινει;

22 Μάξιμος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀντιοχείας εἶπεν· Ἐν Κωνσταντινουπόλει ἤμην· συνόδου γινομένης περὶ τούτου οὐ παρήμην, ἀλλ' ἠνέχθη μοι χάρτης καὶ ὑπέγραψα.

23 Εὐστάθιος ἐπίσκοπος εἶπεν· Διδάσκω τὴν ὑμετέραν ἐξουσίαν καὶ τὴν ἁγίαν σύνοδον
M VII 92 ὡς οὐ νῦν δικαιολογοῦμαι περὶ τοῦ πάντως λαβεῖν, ἀλλὰ περὶ τοῦ πεῖσαι ὅτι ἐσυκοφάντησέν με. ἐγὼ γὰρ οὔτε δεήσεις ἐπέδωκα τῶι εὐσεβεστάτωι βασιλεῖ ἵνα μητρόπολιν Βηρυτὸν ποιήσηι (ἔθος δὲ τοῖς βασιλεῦσι ποιεῖν τὰς μητροπόλεις), καὶ τὰς πόλεις δὲ οὐκ ἐγὼ διεῖλον, ἀλλ' ἁγία σύνοδος διεῖλεν. ὥσπερ καὶ νῦν ὀλίγων συνελθόντων ἐν Κωνσταντινουπόλει ἐπέμφθη ἡ ἐπιστολὴ τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Λέοντος τοῖς ἁπανταχοῦ μητροπολίταις καὶ ὑπεγράφη, οὕτως καὶ τότε τὰ δόξαντα τοῖς παροῦσιν ὁσιωτάτοις ἐπισκόποις προσηνέχθη καὶ ὑπεγράφη.

24 Φώτιος ὁ εὐλαβέστατος ἐπίσκοπος Τύρου εἶπεν· Χειροτονία ἐγένετο παρ' ἐμοῦ τῶν τῆς ἐπαρχίας συνόντων μοι κατὰ τὴν ἀκολουθίαν τὴν παλαιάν, καὶ ἐπέμφθη μοι ἐντεῦθεν πρῶτον μὲν ἀκοινωνησία ἀπόντι καὶ ἐποίησα ἀκοινώνητος ρκβ̄ ἡμέρας. καὶ δύο πάλιν ἐχειροτόνησα ἐπισκόπους, καὶ καθεῖλεν αὐτοὺς καὶ ἐποίησεν πρεσβυτέρους.

25 Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· Τίς ἐστιν ὁ πέμψας;

26 Φώτιος ὁ εὐλαβέστατος ἐπίσκοπος Τύρου εἶπεν· Οὐκ οἶδα· ἐντεῦθεν ἐπέμφθη.

27 Ἀνατόλιος ὁ εὐλαβέστατος ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως εἶπεν· Ἀνακόλουθά τινα ἔπραξεν, καὶ ἀγανακτήσασα ἡ σύνοδος ἡ ἐνταῦθα κατὰ κανόνας κινηθεῖσα ἀκοινωνησίαν αὐτῶι ἔπεμψεν.

28 Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· Λεγέτω ἡ ἁγία σύνοδος εἰ ἐξῆν τῶι ἁγιωτάτωι ἀρχιεπισκόπωι Ἀνατολίωι ἀπόντι Φωτίωι τῶι εὐλαβεστάτωι ἐπισκόπωι καὶ ἀκοινωνησίαν καταπέμψαι καὶ προστάττειν ἀφαιρεθῆναι αὐτοῦ φανερὰς κατὰ τὴν ἐπαρχίαν ἐκκλησίας καὶ εἰ σύνοδον χρὴ καλεῖν τῶν ἐπιδημούντων τῆι βασιλίδι πόλει τὴν συνέλευσιν.

M, B [= abo]

2 ποίασ B ποιήσασ M 3 ἀφείλετο B 5 βίβλον Bbo 6 ἀντάραδων M 7 ἀποκαταστῆναι Bo γινομένων Bo 12 μου Bo 18 ὁ εὐλαβέστατος om. Bo 19 γενομένησ B 22 ἐπιδέδωκα B εὐλαβεστάτω Bb 24 ἀλλ' ἡ Bao 28 εὐλαβέστατος ἐπίσκοποσ om. Bo 30 ἀκοινωνήτουσ Bo ἑκατὸν εἰκοσιδύο [εἴκοσι καὶ δύο Bo] Bao 31 καὶ² om. M 34/35 ἀκόλουθά Bo 35 ἡ² om. B 39 καὶ¹ om. B

29 Τρύφων ὁ εὐλαβέστατος ἐπίσκοπος Χίου εἶπεν· Σύνοδος καλεῖται καὶ συνάγονται καὶ οἱ καταπονούμενοι τῶν δικαίων ἀπολαύουσι.

30 Ἀττικὸς ὁ εὐλαβέστατος ἐπίσκοπος Ζήλων εἶπεν· Ἀλλ' ἀπόντα οὐδεὶς κατακρίνει.

31 Πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Ἀπόντα οὐδεὶς κατακρίνει.

32 Ἀνατόλιος ὁ εὐλαβέστατος ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως εἶπεν· Συνήθεια ἄνωθεν κεκράτηκεν τοὺς ἐνδημοῦντας τῇ μεγαλωνύμῳ πόλει ἁγιωτάτους ἐπισκόπους ἡνίκα καιρὸς καλέσοι, περὶ ἀνακυπτόντων τινῶν ἐκκλησιαστικῶν πραγμάτων συνεῖναι καὶ διατυποῦν ἕκαστα καὶ ἀποκρίσεως ἀξιοῦν τοὺς δεομένους. οὐδὲν τοίνυν καινοτομίας παρ' ἐμοῦ ἐχόμενον γεγένηται οὐδὲ συνεδρεύσαντες κατὰ τὸ σύνηθες οἱ ἐνδημοῦντες ἁγιώτατοι ἐπίσκοποι καινὸν τύπον ἐξήνεγκαν. καὶ δείκνυσι τὴν παρουσίαν τῶν ἐπισκόπων ἡ γενομένη πρᾶξις. L. IIII 547

33 Εὐνόμιος ὁ εὐλαβέστατος ἐπίσκοπος Νικομηδείας εἶπεν· Ἡ μεγαλοπρέπεια ὑμῶν ἠρώτησεν ἡμᾶς εἰ ἔξεστι τὸν ἀπόντα καταδικάζεσθαι· πρὸς τοῦτο δίδωμι τὴν ἀπόκρισιν. Ῥωμαικὴ φωνὴ ἐν ταῖς θείαις ἔγκειται γραφαῖς οὕτως περιέχουσα [τῇ βίβλῳ τῶν Πράξεων]· οὐκ ἔστιν ἔθος Ῥωμαίοις χαρίζεσθαί τινα πρὶν ἂν ὁ κατηγορούμενος κατὰ πρόσωπον ἔχοι τοὺς κατηγόρους τύπον τε ἀπολογίας λάβοι περὶ τοῦ ἐγκλήματος. Act. 25, 16

34 Φώτιος ὁ εὐλαβέστατος ἐπίσκοπος Τύρου εἶπεν· Οὐδὲν ἕτερον ἀξιῶ καὶ δέομαι τῆς ὑμετέρας δικαιοκρισίας ἢ τοὺς κανόνας στῆσαι καὶ τοὺς παρ' ἐμοῦ μὲν χειροτονηθέντας ἐνθέσμως, ἐκβληθέντας δὲ καὶ γενομένους πρεσβυτέρους ἀποκαταστῆναι καὶ λαβεῖν με τὰς ἐκκλησίας.

35 Ἡ ἁγία σύνοδος ἐβόησεν· Αὕτη δικαία αἴτησις. οἱ κανόνες κρατείτωσαν. δικαία ἡ αἴτησις Φωτίου τοῦ εὐλαβεστάτου ἐπισκόπου.

36 Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· Ἀναγινωσκέσθωσαν οἱ κανόνες. Ἀττικὸς ὁ εὐλαβέστατος ἐπίσκοπος Νικοπόλεως Ἠπείρου ἀνέγνω

37 Τῶν τιῆ ἁγίων πατέρων τῶν ἐν Νικαίαι συνελθόντων κανὼν δ̄. Ἐπίσκοπον προσήκει μάλιστα μὲν ὑπὸ πάντων τῶν ἐν τῇ ἐπαρχίαι καθίστασθαι· εἰ δὲ δυσχερὲς εἴη τὸ τοιοῦτο ἢ διὰ κατεπείγουσαν ἀνάγκην ἢ διὰ μῆκος ὁδοῦ, ἐκ παντὸς τρεῖς ἐπὶ τὸ αὐτὸ συναγομένους συμψήφων γινομένων καὶ τῶν ἀπόντων καὶ συντιθεμένων διὰ γραμμάτων τότε τὴν χειροτονίαν ποιεῖσθαι. τὸ δὲ κῦρος τῶν γινομένων δίδοσθαι καθ' ἑκάστην ἐπαρχίαν τῷ μητροπολίτῃ. M VII 93

38 Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· Παρῆσαν τότε οἱ τῆς ἐπαρχίας ἐπίσκοποι, ὅτε ἐχειροτόνει ὁ εὐλαβέστατος ἐπίσκοπος Εὐστάθιος;

39 Εὐστάθιος ὁ εὐλαβέστατος ἐπίσκοπος Βηρυτοῦ εἶπεν· Ἀφ' οὗ μητροπολίτης ἐγενόμην, παρῆσαν σὺν ἐμοὶ οἱ δόξαντές μοι· νῦν δὲ ἔξεστι τῷ εὐσεβεστάτῳ βασιλεῖ κελεῦσαι ὃ βούλεται.

40 Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· Ἡ ἁγία σύνοδος τὸ παριστάμενον αὐτῇ διδασκέτω πότερον ἀρέσκει κατὰ τὸν κανόνα τῶν τιῆ ἁγίων πατέρων ἕνα μητροπολίτην ἐπίσκοπον εἶναι τὸν ἐν ταῖς χειροτονίαις τῶν κατὰ πόλιν ἑκάστην τῆς ἐπαρχίας εὐλαβεστάτων ἐπισκόπων τὸ κῦρος ἔχοντα ἢ δύο, ὥστε καὶ ἐξεῖναι αὐτοῖς κεχωρισμένως ἐν ταῖς πόλεσι τὰς χειροτονίας ποιεῖσθαι.

M, B [= abo]

3 ζήλων ἐπίσκοποσ B° 4 πάντεσ om. B° 5 ἐπίσκοποσ B κωνσταντινουπόλει B° 7 καλέσει Bᵇ καλέση B° 10 καινὸν editores Romani in mg. κοινὸν MB 14 ῥωμαικῆ φωνῆ MB 14/15 τῇ — Πράξεων deleui 16 ἔχειν B° 17 Τύρου om. B° 18 μὲν om. B° 22 τοῦ — ἐπισκόπου φωτίου B° 25 συνελθόντων om. B° 26 ὑπὸ — τῇ B ἀπὸ τῶν τῇ M τῶν om. B° 27 τοιοῦτον B° διὰ τὴν M 29 εἰσ M 34 εὐλαβεστάτω M 36 καὶ ἐνδοξότατοι om. B° ἄρχοντεσ B ἐπίσκοποι M τὸ om. B° 37 ἁγίων τιῆ Bᵇ 38 τὸν B τῶν M 38/39 ἑκάστην τῆσ M ἑκάστησ B 39 καὶ om. Bᵃ 40 κεχωρισμένοσ Bᵇ

41 Ἡ ἁγία σύνοδος εἶπεν· Ἕνα κατὰ τοὺς κανόνας τῶν ἁγίων πατέρων ἀξιοῦμεν
L IIII 550 εἶναι μητροπολίτην. δεόμεθα τοὺς κανόνας τῶν ἁγίων πατέρων κρατεῖν.

42 Ἀττικὸς ὁ εὐλαβέστατος ἐπίσκοπος Νικοπόλεως Ἠπείρου εἶπεν· Ὁ τῶν τιη ἁγίων πατέρων κανὼν ἕνα βούλεται μητροπολίτην καθ' ἑκάστην ἐπαρχίαν εἶναι ἐπίσκοπον καὶ ἱκετεύομεν καὶ νῦν τὴν δύναμιν τῶν κανόνων εἰς πάντα καὶ πάσας τὰς ἐπαρχίας ἰσχύειν ἀργούντων πάντων τῶν ἐκ περιδρομῆς καὶ πραγματικῶν γινομένων καὶ ἀνατρεψάντων τὰ πνευματικῶς καὶ κατὰ θεὸν θεσπισθέντα παρὰ τῶν ἁγίων πατέρων.

43 Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· Καὶ κατὰ τοὺς κανόνας τῶν τιῆ ἁγίων πατέρων καὶ κατὰ τὴν ψῆφον καὶ δικαίωσιν πάσης τῆς ἁγίας συνόδου Φώτιος ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Τυρίων μητροπόλεως τὴν πᾶσαν ἐξουσίαν τοῦ χειροτονεῖν ἐν ὅλαις ταῖς πόλεσιν τῆς πρώτης Φοινίκης ἐπαρχίας ἔξει, Εὐστάθιος δὲ ὁ εὐλαβέστατος ἐπίσκοπος ἀπὸ τοῦ θείου πραγματικοῦ τύπου μηδὲν πλέον ἑαυτῷ ἐκδικείτω τῶν λοιπῶν ἐπισκόπων τῆς αὐτῆς ἐπαρχίας. καὶ εἰ συναινεῖ τούτοις ἡ ἁγία σύνοδος, διδασκέτω.

44 Ἡ ἁγία σύνοδος ἐβόησεν· Αὕτη δικαία κρίσις. αὕτη θεοῦ κρίσις. αὕτη δικαία ψῆφος. πολλὰ τὰ ἔτη τῶν βασιλέων. πολλὰ τὰ ἔτη τῆς αὐγούστας. πολλὰ τὰ ἔτη τῶν ἀρχόντων.

45 Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· Περὶ τῶν ἐπισκόπων τῶν χειροτονηθέντων μὲν παρὰ Φωτίου τοῦ εὐλαβεστάτου ἐπισκόπου, ἀποκινηθέντων δὲ παρὰ Εὐσταθίου τοῦ εὐλαβεστάτου ἐπισκόπου καὶ μετὰ τὴν ἐπισκοπὴν πρεσβυτέρων εἶναι κελευσθέντων τί παρίσταται τῇι ἁγίαι συνόδωι;

46 Ἡ ἁγία σύνοδος εἶπεν· Ἐπισκόπους αὐτοὺς εἶναι ἀξιοῦμεν. δίκαιον αὐτούς ἐστιν ἀπολαβεῖν τὴν ἐπισκοπὴν καὶ τὰς πόλεις ὡς χειροτονηθέντας παρὰ τοῦ μητροπολίτου. ἡ χειροτονία τοῦ πατρὸς Φωτίου κρατείτω.

47 Σεβαστιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος Βεροίας Θράικης εἶπεν· Τοῦτο πάντες
M VII 96 παρακαλοῦμεν ἀποδοθῆναι αὐτοῖς καὶ τὴν ἐπιτιμίαν καὶ τὴν ἐπισκοπὴν καὶ τὸν θρόνον αὐτῶν καὶ τὴν τιμὴν ὡς χειροτονηθεῖσι παρὰ τοῦ μητροπολίτου.

48 Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· Τὰ περὶ τούτων τελείως ψηφίζεσθαι καὶ τυποῦν τῆς ἁγίας ἐστὶ συνόδου. Ῥω

Ἥστινος διαλαλιᾶς ἑρμηνευθείσης Ἑλληνιστὶ διὰ Βερονικιανοῦ τοῦ καθωσιωμένου σηκρηταρίου τοῦ θείου κωνσιστορίου

49 Πασκασῖνος καὶ Λουκίνσιος οἱ εὐλαβέστατοι ἐπίσκοποι καὶ Βονιφάτιος πρεσβύτερος τοποτηρηταὶ τῆς ἀποστολικῆς καθέδρας Ῥώμης εἶπον· Ἐπίσκοπον εἰς πρεσβυτέρου βαθμὸν φέρειν ἱεροσυλία ἐστίν. εἰ δὲ αἰτία τις δικαία ἐκείνους ἀπὸ τῆς πράξεως τῆς ἐπισκοπῆς ἀποκινεῖ, οὐδὲ πρεσβυτέρου τόπον κατέχειν ὀφείλουσιν· εἰ δὲ ἐκτός τινος ἐγκλήματος ἀπεκινήθησαν τοῦ ἀξιώματος, πρὸς τὴν ἐπισκοπικὴν ἀξίαν ἐπαναστρέψουσιν.

18—21. 31—p. 109, 6 adferuntur in sylloga XIIII titulorum post canones Chalcedonenses ita inscripta: τῆς αὐτῆς ἁγίας συνόδου ἐκ τῆς [om. h] πράξεως τῆς περὶ Φωτίου ἐπισκόπου Τύρου καὶ Εὐσταθίου ἐπισκόπου Βηρυτοῦ [βηρυττοῦ y]

M, B [= abo], K [= abcdefhlpqrtuyz] et P [18—21. 31—p. 109, 6]

6 καὶ 1 om. B 12 πρακτικοῦ B^o 14 διδασκέσθω B^o 16 αὐγούστησ B 19 μὲν om. B^b 20 τοῦ εὐλαβεστάτου om. l ἐπισκόπου — τὴν om. a 20/21 κελευσθέντων εἶναι πρεσβυτέρων e 21 ἡ ἁγία σύνοδοσ l 25 βερροίασ B 28 μεγαλοπρεπίστατοι καὶ om. B^o τούτου B 29 ῥωμαῖον B^{ao} ἐστὶ M^{corr} om. MB 30/31 praecedebat interlocutio Latina legatorum, sequebatur interpretatio Graeca 32 λουκίνσιοσ BKP λουκήνσιοσ M ut solet 33 ἀποστολικῆσ καθέδρασ MB ἐκκλησίασ KP Ῥώμης om. y πρεσβυτερίου lty 34 βαθμὸν [βαθμῶν M βαθμοῦ y] φέρειν MKP κατάγειν βαθμὸν B δὲ καὶ B ἐκ pqr 35 ἀποκινεῖν t ὀφείλουσιν ἔχειν dP δὲ καὶ B 36 τῆσ ἐπισκοπῆσ M^{corr} lpqrty P ἐπαναστρέψωσιν M

50 Ἀνατόλιος ὁ εὐλαβέστατος ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως εἶπεν· Οὗτοι οἱ λεγόμενοι ἀπὸ τῆς ἐπισκοπικῆς ἀξίας εἰς τὴν τοῦ πρεσβυτέρου τάξιν κατεληλυθέναι εἰ μὲν ἀπὸ εὐλόγων τινῶν αἰτιῶν καταδικάζονται, εἰκότως οὐδὲ τῆς τοῦ πρεσβυτέρου ἐντὸς ἄξιοι τυγχάνουσιν εἶναι τιμῆς· εἰ δὲ δίχα τινὸς αἰτίας εὐλόγου εἰς τὸν ἥττονα κατεβιβάσθησαν βαθμόν, δίκαιοι τυγχάνουσιν, εἴ γε ἀνεύθυνοι φανεῖεν, τὴν τῆς ἐπισκοπῆς ἀναλαβεῖν ἀξίαν τε καὶ ἱερωσύνην.

51 Μάξιμος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀντιοχείας εἶπεν· Κἀγὼ τὰ αὐτὰ τοῖς θεοφιλεστάτοις καὶ ὁσιωτάτοις ἀρχιεπισκόποις συντίθεμαι περὶ τῶν ἀπὸ ἐπισκόπων εἰς L IIII πρεσβυτέρους μετατιθεμένων.

52 Ἰουβενάλιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Κἀγὼ τὰ αὐτὰ λέγω περὶ τῶν τοιούτων.

53 Θαλάσσιος ὁ εὐλαβέστατος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· Συντίθεμαι τοῖς ἐγγράφως τυπωθεῖσιν παρὰ τῶν ἁγίων πατέρων τῶν τε Ῥωμαίων καὶ τοῦ τῆς μεγαλωνύμου Κωνσταντινουπόλεως Ἀνατολίου.

54 Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀγκύρας Γαλατίας εἶπεν· Ἀκολουθῶ τῇι ψήφωι τῶν ἁγίων πατέρων τῶν προδηλωθέντων τῇι τε τῆς δικαίας γνώμης αὐτῶν ἀποφάσει.

55 Ἰουλιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Κώων πόλεως τοποτηρῶν καὶ αὐτὸς τῶι ἀποστολικῶι θρόνωι τῆς Ῥωμαίων εἶπεν· Ἀνακόλουθόν ἐστι καὶ ἀσεβὲς χειροτονηθέντας κανονικῶς ἐπισκόπους καὶ προθύμως τὴν χειροτονίαν δεξαμένους πάλιν τῆς τοῦ πρεσβυτέρου παρὰ πᾶσαν τὴν τῶν κανόνων τάξιν ἀπολαύειν ἀξίας. εἰ δέ, οἷα εἰκός, κατηγοροῦνται ὡς ἁλόντες ἐπί τισιν ἐγκλήμασιν, δοκιμάσει ἡ ἁγία σύνοδος τὴν ἀκρίβειαν τοῦ πράγματος καὶ τῆς ἀληθείας φωτισθείσης ἐντὸς γενήσονται τῆς ἐπισκοπικῆς τιμῆς. οὐ γὰρ οἷόν τε τὸν ἐλάττονα βαθμὸν μείζονος ἀξίας καθεστάναι διάδοχον.

56 Εὐνόμιος ὁ εὐλαβέστατος ἐπίσκοπος Νικομηδείας εἶπεν· Ὁ μὴ ὢν ἄξιος ἐπίσκοπος εἶναι οὐδὲ πρεσβύτερος εἶναι δύναται ἄξιος.

57 Πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Δικαία ἡ κρίσις τῶν πατέρων. Πάντες τὰ αὐτὰ λέγομεν. οἱ πατέρες δικαίως ἐψήφισαν. ἡ ψῆφος τῶν ἀρχιεπισκόπων κρατείτω.

58 Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· Τὰ ἀρέσαντα τῇι ἁγίαι συνόδωι εἰς τὸν ἅπαντα χρόνον βέβαια φυλαττέσθω.

59 Κεκρόπιος ὁ εὐλαβέστατος ἐπίσκοπος Σεβαστοπόλεως εἶπεν· Ὑπὲρ τοῦ μηδὲ τὴν ὑμετέραν ἐξουσίαν αἰτίασιν παρ' ἑκάστου προσώπου δέχεσθαι καὶ κάμνειν μήτε ἡμᾶς συντρίβεσθαι δεόμεθα ὥστε ἀργῆσαι ἀναντιρρήτως τὰ ἐπὶ βλάβηι τῶν κανόνων πραγματικὰ πραχθέντα τισὶν ἐν πάσηι ἐπαρχίαι, κρατῆσαι δὲ τοὺς κανόνας διὰ πάντων M VII 97 (οὕτω γὰρ καὶ ἡ πίστις φυλάττεται καὶ ἑκάστη ἐκκλησία ἕξει τὸ ἀσφαλές) καὶ μὴ ἐξεῖναι παρὰ κανόνας χειροτονεῖν τινας.

60 Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· Εἰ πᾶσα ἡ ἁγιωτάτη σύνοδος συναινεῖ τῇι αἰτήσει Κεκροπίου τοῦ εὐλαβεστάτου ἐπισκόπου, διδασκέτω.

M, B [= abo], K [= abcdefhlpqrtuyz] et P [27—31]

1 εὐσεβέστατοσ cz ἐπίσκοποσ l 2 ἐπισκοπῆσ lpqt P πρεσβυτερίου y 3 αἰτιῶν τινῶν t αἰτιῶν ehlP τινῶν d τοῦ om. cdehP πρεσβυτερίου pqty 4 τιμῆσ ἐντὸσ — εἶναι t τιμῆσ εἶναι lry 5 εἶεν dP 6 ἀναλαβεῖν MBy ἐπαναλαβεῖν abcdeflpquz P ἀναλαβεῖν κρίναντεσ lrt 7 ἱεροσολύμων MBh 7/8 ὁσιωτάτοισ καὶ θεοφιλεστάτοισ Bo 8 καὶ εἰσ Bb 9 μεταθεμένων Bbo 10 ἁγίων — τῶν Bb om. MBao 19 τῆσ Ῥωμαίων om. Bb 21 ἀπολαβεῖν ἀξίωσ M 22 δοκιμάση M 24 οἷα ὄντεσ M 26 δύναται εἶναι Bo 27 ἅπαντεσ u εὐλαβέστατοι om. ty ἐπίσκοποι καὶ οἱ ἄρχοντεσ u 27/28 Δικαία — ἐψήφισαν om. l 28 ἐψηφίσαντο K [praeter l], P κρίσισ dP 28/29 πρῶν lrt 30 μεγαλοπρεπέστατοι καὶ om. Bo ἀρεστὰ epq 31 βέβαια om. pq αἰωνίω Bo φυλάττεσθαι z 39 συναινέσει Bo διδασκέσθω Bo

61 Ἡ ἁγία σύνοδος ἐβόησεν· Πάντες τὰ αὐτὰ λέγομεν. ὅλα τὰ πραγματικὰ ἀργήσει. οἱ κανόνες κρατείτωσαν καὶ τοῦτο παρ' ὑμῶν γένηται.

62 Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· Κατὰ τὴν ψῆφον τῆς ἁγίας συνόδου καὶ ἐν ταῖς ἄλλαις πάσαις ἐπαρχίαις τὰ τῶν κανόνων κρατείτω.

63 Ἡ ἁγία σύνοδος ἐβόησεν· Πολλὰ τὰ ἔτη τοῦ βασιλέως. πολλὰ τὰ ἔτη τῆς αὐγούστας. πολλὰ τὰ ἔτη τῶν ἀρχόντων. αὕτη δικαία κρίσις. οἱ δίκαιοι δικαίως ἔκριναν.

64 Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· Τὰ διαλαληθέντα ἔργωι παραδοθήσεται. Ῥω ἀνέγνων ἀνέγνωμεν ἀνέγνω.

20 Προσφωνητικὸς παρὰ τῆς ἁγίας συνόδου πρὸς τὸν εὐσεβέστατον καὶ φιλόχριστον
L IIII 819 βασιλέα Μαρκιανόν, ὅτι οὐ καινοτομῶν τι κατὰ τῆς ἐν Νικαίαι πίστεως νῦν ὁ ἁγιώτατος
M VII 456 ἀρχιεπίσκοπος Λέων ἐποιήσατο τὴν ἐπιστολὴν τὴν πρὸς τὸν ἐν ἁγίοις ἐπίσκοπον τῆς βασιλίδος Κωνσταντινουπόλεως Φλαβιανόν, ἀλλὰ τοῖς ἁγίοις πατράσιν ἀκολουθῶν τοῖς καὶ μετὰ τὴν μεγάλην σύνοδον τὴν ἐν Νικαίαι τὰς κατὰ καιρὸν ἀναφυείσας αἱρέσεις ὁμοιοτρόπως ἐλέγξασιν

Ἦν ἄρα καὶ τοῦτο τῆς ὑμετέρας βασιλείας ἐπάξιον τῆς τῶν ὑπηκόων ἐκ τῶν τῶι θεῶι προσηκόντων ἐπιμελείας κατάρχεσθαι καὶ πρῶτον ἐξ εὐσεβείας κατὰ τοῦ διαβόλου συγκροτῆσαι στρατόπεδον, ὅθεν ἄτρωτον ὑμῖν ἐκ πλάνης ὁ θεὸς ἐπενόησε πρόμαχον καὶ τὸν τῆς Ῥωμαίων πρὸς νίκην ηὐτρέπισε πρόεδρον, τοῖς τῆς ἀληθείας αὐτὸν παντα-
χόθεν περισφίγξας διδάγμασιν, ἵνα ὡς ὁ θερμὸς τῶι πόθωι Πέτρος μαχόμενος ἅπαν πρὸς θεὸν ἐφελκύσηται νόημα. ἀλλὰ μή τις τῆς πίστεως αὐτοῦ τὴν ὁμόνοιαν παραιτού-
M VII 457 μενος καὶ τῆς οἰκείας ἀπάτης τὸν ἔλεγχον ἐπικαλύπτειν πειρώμενος ὡς ξένην τινὰ καὶ τοῖς κανόσιν οὐ νενομισμένην τῆς ἐπιστολῆς διαβάλῃ τὴν σύνταξιν, ὡς οὐκ ἐξὸν εἶναι λέγων ἔκθεσίν τινα πίστεως παρὰ τὴν ἐν Νικαίαι τῶν πατέρων γενέσθαι. μίαν μὲν γὰρ ὡς ἐν κεφαλαίωι τὴν τῶν τιη διδασκαλίαν ὁ τῆς ἐκκλησίας εἶναι παρακελεύεται νόμος, ἣν ὡς κοινὸν ἐξ ἁγίων σύνθημα τοῖς μυουμένοις πρὸς τὴν τῆς υἱοθεσίας παρεγγυῶμεν ἀσφάλειαν· πρὸς δὲ τοὺς ἀντεροῦντας ποικίλαι τῶν ἀγώνων ἡμῖν ἀφορμαὶ παραδέδονται τοῖς ὑπ' αὐτῶν ψευδῶς ἐπαγομένοις παρὰ τῶν εὐσεβούντων προσαρμοζόμεναι. τοῖς μὲν γὰρ οἰκείοις ἀρκεῖ πρὸς ὠφέλειαν ἡ τῆς πίστεως ἀπερίεργος κατανόησις εἰς συγκατά-
θεσιν τῶν τῆς εὐσεβείας δογμάτων τοὺς εὐγνωμονοῦντας προσάγουσα, τοῖς δὲ τὴν ὀρθὴν διαστρέφειν πειρωμένοις διδασκαλίαν δεῖ πρὸς ἕκαστον ὧν αὐτοὶ κακῶς γεννῶσι,
L IIII 822 προσαπαντᾶν καὶ ταῖς αὐτῶν μηχαναῖς ἀντιτάττειν τὰ πρόσφορα. εἰ μὲν οὖν ἅπαντες τῶι τῆς πίστεως ἠρκοῦντο συνθήματι καὶ τῆς εὐσεβείας οὐκ ἐκαινοτόμουν τὴν τρίβον, ἔδει τοὺς τῆς ἐκκλησίας μηδὲν τῶι συμβόλωι προσεπινοεῖν εἰς ἀπόδειξιν· ἐπειδὴ δὲ πολλοὶ τῆς εὐθείας πρὸς τὰς τῆς πλάνης ἐξόδους ἐκτρέπονται καινήν τινα πορείαν ἑαυτοῖς ἐπι-
νοοῦντες τῶι ψεύδει, ἀνάγκη καὶ ἡμᾶς τοῖς τῆς ἀληθείας αὐτοὺς ἐπιστρέφειν εὑρέμασιν καὶ ταῖς αὐτῶν ἐπινοίαις ἀντιτάττειν τὸν ἔλεγχον, οὐχ ὡς τι λεῖπον τῆι πίστει καινουργοῦντας ἀεὶ πρὸς εὐσέβειαν, ἀλλ' ὡς τοῖς παρ' ἐκείνων καινοτομουμένοις ἐπινοοῦντας

M, B [= abo], WΦ [inde a 10]

3 μεγαλοπρεπέστατοι καὶ om. Bᵒ 6 αὐγούστης B 8 λαληθέντα Bᵒ 9 Ῥω — ἀνέγνω om. Bᵒ 10 ἁγίασ τετάρτης W εὐσεβέστατον καὶ om. W εὐλαβέστατον MBᵇ, corr. M 11 καὶ κατὰ BW πίστεως om. Bᵒ 15 ἐλέγξασαν W 18 ἡμῖν Φ praeter unum codicem ὁ θεὸς om. W ἐπενόησε BWΦ ἐποίησεν M 19 εὐτρέπισε B 20 πέτρω Bᵇ 22 τὸν ἔλεγχον MBW Φʳ *abrupta* Φᵃᶜ 24 ἔκθεσιν — γενέσθαι BW τινὰ παρὰ τὴν — γενέσθαι πίστεως ἔκθεσιν M 25 ἐν om. Bᵇ τῆσ M τριακοσίων δεκαοκτὼ B 26 *nobis praecipit* Φʳ 27 ἀγώνων Φ ἁγίων MBW ἡμῶν Bᵒ παραδίδονται Bᵒ 28 προσαρμοζόμενον Bᵇ 31 κακῶς om. BW 33 ἠρκούντων Bᵇ 33/34 οὐκ — ἐκκλησίας om. Bᵒ 35 ὁδοὺσ BW ἐντρέπονται Bᵒ κενήν W 36 καὶ om. Φ

τὰ πρόσφορα. καὶ ἵνα τῶι ὑμετέρωι κράτει γένηται κατάδηλον τὸ λεγόμενον, αὐτῶν τῶν τῆς πίστεως ῥημάτων ἀρξώμεθα, τὰς τῶν πατέρων, ὡς ἕκαστος ἔχει περὶ αὐτῶν, παρατιθέντες ἐννοίας.

Εἶπεν ἡ πίστις· πιστεύω εἰς ἕνα κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ, ὁμοούσιον τῶι πατρί. τοῦτο τέλειον τοῖς εὐγνωμονεῖν πειρωμένοις πρὸς ὁμολογίαν τὸ ῥῆμα, μίαν τοῦ υἱοῦ πρὸς πατέρα τῆς θεότητος ὑποφαῖνον τὴν φύσιν, ὥστε μὴ ἄλλης μὲν οὐσίας τὸν υἱόν, ἑτέρας δὲ τὸν πατέρα προσεπινοεῖν τῶι φρονήματι καὶ ταῖς Ἀρείου κατὰ τῆς εὐσεβείας κακοτεχνίαις συμφέρεσθαι. ἀλλ' ἐπειδὴ Φωτεινὸς καὶ Μάρκελλος ἑτέραν κατὰ τοῦ υἱοῦ βλασφημίαν ἐκαινοτόμησαν, οὐκ εἶναι τοῦτον παντελῶς ταῖς συκοφαντίαις ἀρνούμενοι, ἀλλὰ τὸν αὐτὸν πατέρα καὶ υἱὸν καὶ πνεῦμα καλεῖσθαι διαβεβαιούμενοι καὶ μέχρι μόνον φωνῆς τῶν κλήσεων τὸ διάφορον ὁριζόμενοι, τὸ τῶν τριῶν M VII 460
ὑποστάσεων οἱ πατέρες ἀντεισήγαγον δίδαγμα, οὐκ ἔξωθεν τῆς γραφῆς αὐτοῖς ἀναπλάσσοντες τὸ ἐφεύρεμα οὐδὲ τῆς πίστεως ὡς ἀτελῆ παραδραμόντες τὴν ἔννοιαν, ἀλλ' αὐτὴν ταῖς θεοπνεύστοις σαφηνίζοντες ῥήσεσι καὶ τῶι τοῦ ὁμοουσίου καλῶς ἐπαγωνιζόμενοι πράγματι καὶ δεικνύντες ὡς μίαν ἐπὶ δύο προσώπων ἡμῖν οὐσίαν ἡ πίστις ἐξέθετο, οὐκ αὐτὴν τοῦ υἱοῦ τὴν ὕπαρξιν παρεγράψατο.

Πάλιν ἔφη καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, ἀρκοῦσαν τοῖς εὐσεβέσι τῆς τοῦ πνεύματος θεολογίας παραδοῦσα τὴν ἔννοιαν. ἡ γὰρ ὁμοίως τῶι πατρὶ καὶ υἱῶι τῶι πνεύματι τῶι ἁγίωι πιστεύειν διαγορεύσασα δῆλον ὅτι ὡς εἰς θεὸν ἔχειν τὰς ἐλπίδας ἐπέταξεν, μίαν ἐν τριάδι φύσιν τοῖς παραδεχομένοις γνωρίζουσα. ἀλλ' ἐπειδήπερ ἁπλῆν ἡ πίστις τηνικαῦτα τοῦ πνεύματος τὴν διδασκαλίαν ἐξέθετο, οὐδενὸς οὕπω περὶ αὐτοῦ προσερίζοντος, οἱ τῆς Ἀρείου σπορᾶς, ἐν ἑαυτοῖς τὴν λύμην φυλάξαντες, τοῖς περὶ τοῦ υἱοῦ στενωθέντες ἐλέγχοις ἐπὶ τὸ πνεῦμα τὴν βλασφημίαν μετήνεγκαν ἀναπόδεικτον αὐτοῖς εἶναι τὴν συκοφαντίαν οἰόμενοι καὶ τὴν τοῦ κτίσματος εὐτέλειαν αὐτῶι τολμηρῶς ἐπεφήμισαν. ὅθεν οἱ μετὰ ταῦτα τῆς ἀληθείας ὑπερασπίζοντες τὴν αὐτῶν λύμην ταῖς ἀντιμηχαναῖς ἀπεσείσαντο, κύριον αὐτὸ καὶ θεὸν καὶ ἐκ πατρὸς ἔχον τὴν ἐκπόρευσιν κατὰ τὴν τῆς πίστεως διάνοιαν ἀποφαίνοντες.

Οὕτω μὲν οὖν οἱ κατὰ τῆς θεότητος τολμηταὶ εὐσεβείας προσωπείωι κατὰ τῆς L IIII 823
πίστεως τὴν πίστιν ὀρύττοντες τοῖς τῆς τριάδος συνηγόροις ἑάλωσαν· ἐπειδὴ δὲ καὶ τὰ καλῶς τῆι πίστει περὶ τῆς οἰκονομίας τεθέντα ταῖς αὐτῶν ἑτεροσκευωρίαις ἀνατρέπειν προέθεντο, πάλιν ἡ χάρις καὶ πρὸς τὴν τούτων ἔφοδον ἡμῖν ἀνέδειξε στρατηγοὺς δεικνύντας ὡς ἐντελῆ τε καὶ θεῖα καὶ τῆς τοῦ θεοῦ λόγου φιλανθρωπίας ἐπάξια τὰ περὶ τῆς ἐνανθρωπήσεως τοῦ συμβόλου τυγχάνει νοήματα. ἔφη γάρ· κατελθόντα καὶ σαρκωθέντα καὶ ἐνανθρωπήσαντα, τῶι μὲν κατελθόντα τὴν ἑκούσιον τῆς ἐξουσίας ὑπογράφοντα συγκατάβασιν, τῶι δὲ σαρκωθέντα τὴν ἀληθῆ τῆς ἡμετέρας σαρκὸς ἀνάληψιν ὑποφαίνοντα καὶ τῆς ἐκ παρθένου καθ' ἕνωσιν γεννήσεως τὴν ἀπόδειξιν ἐνδεικνύμενα, τῶι δὲ ἐνανθρωπήσαντα τὴν ἐκ ψυχῆς λογικῆς καὶ σώματος ἐν αὐτῶι τῆς ἡμετέρας φύσεως συμπλήρωσιν παρεχόμενα. ἀλλ' οὐκ οἶδ' ὅπως πολυσχιδῆ τοῖς ἀνθρώποις ἐντεῦθεν ὁ πονηρὸς τὴν ἀπώλειαν ἐπενόησεν, τῆς εἰς ἡμᾶς ὡς ἐχθρὸς τοῦ θεοῦ προνοίας τὸ κεφάλαιον ἀφαρπάζειν βουλόμενος, καὶ τοὺς μὲν ἔπεισε τὴν ἐκ παρθένου κατὰ τὸ ληφθὲν M VII 461

M, B [= abo], WΦ

2 ἀρξόμεθα MB^{o} 4 ἡμῶν om. W 5 καὶ τοῖσ B^{o} 6 τὸ om. B^{o} τὸν πρα B^{o} ἀποφαῖνον B^{o} ὑποφαίνων W 11 μόνησ W 12 δίδαγμα MW δόγμα B 12/13 ἀναπλάσσον B^{o} 13/14 ἀλλὰ τὴν B^{o} 14 τῶι] τὸ M 15 ὡς] καὶ B^{b} 18 ἡ] εἰ B^{o}Φ καὶ [καὶ τῶ B^{o}] υἱῶ καὶ B^{o} W 20 ἁπλῆ B^{o} 21 οὐδὲν B^{b} 23 στεφανωθέντεσ W 25 ἐπευφήμησαν B^{o} 26 καὶ^{1} om. BW ἔχων B^{b} 27 ὑποφαίνοντεσ W 31 προέθετο B^{o} 32 τε om. B^{o} θεοῦ om. W 33 τυγχάνειν B^{o} 36 τῆς] τὴν B^{b} 37 ἐκ om. B^{b} ὑμετέρασ B^{o} φύσεως om. B^{o} 38 ἐκπλήρωσιν B^{o} πολυσχεδῆ B^{bo}

ἀπαρνεῖσθαι γέννησιν, ὡς ἐν τιμῇ δῆθεν καὶ φειδοῖ τῆς τοῦ σωτῆρος ἀξίας τὴν θεοτόκος τοῦ γένους ὑποκλέπτων φωνήν, τοὺς δὲ κατ' αὐτῆς ἀνέδην τῆς τοῦ μονογενοῦς θεότητος ὥπλισε πρὸς ἀσέβειαν, τρεπτὴν καὶ παθητὴν αὐτὴν ὑποπείσας ἀνακηρῦξαι τοῖς ῥήμασι, μεριστὴς κακῶν ὑπηρέταις ἀξίοις διανέμων τὰ βλάσφημα, ὥστε τοὺς μὲν τῆς ληφθείσης μορφῆς ἀνελεῖν τὰ γνωρίσματα, τοὺς δὲ μέχρι σαρκὸς μόνης ὁμολογῆσαι τὴν ἕνωσιν καὶ τοὺς μὲν τῆς ψυχῆς τὴν ἰατρείαν ἀρνήσασθαι, τοὺς δὲ ταύτην δίχα νοῦ παρεῖναι λέγειν τῶι σώματι καὶ τοὺς μὲν τὸ τῆς ἑνώσεως διασπάσαι μυστήριον καὶ ψιλὸν ὡς ἐπὶ προφήτου τινὸς εἰπεῖν τὸ φαινόμενον, τοὺς δὲ τὸ τῶν φύσεων παραιτεῖσθαι διάφορον καὶ μηδὲν τῆς τοῦ σωτῆρος θεότητος καὶ ἀνθρωπότητος καταλιπεῖν ἰδίωμα, φύρειν δὲ ἅπαξ ἁπλῶς ἅπαντα τῆς οἰκονομίας τὰ πράγματα. ἀλλ' οὐκ ἔλαθεν τὸν ἀκοίμητον ὁ τῆς φύσεως ἐχθρὸς ὀφθαλμόν, ἀλλ' ὡς φωστῆρας εὐθὺς τοῖς ἐν πλάνηι τοὺς πατέρας ἀνέδειξεν τῆς πίστεως ἅπασιν ἀναπτύσσοντας τὴν διάνοιαν καὶ τῆς ἐνανθρωπήσεως ἀκριβῶς τὴν εὐεργεσίαν κηρύττοντας, πῶς ἄνωθεν ἐκ μήτρας τῆς οἰκονομίας κατήρτισται τὸ μυστήριον, πῶς καὶ θεοτόκος διὰ τὸν τὴν παρθενίαν αὐτῆι καὶ μετὰ τὴν κύησιν χαρισάμενον καὶ θεοπρεπῶς τὴν μήτραν σφραγίσαντα καὶ κατὰ ἀλήθειαν μήτηρ διὰ τὴν ἐξ αὐτῆς ἣν ἐδάνεισεν σάρκα τοῦ δεσπότου τῶν ὅλων ἡ παρθένος ὠνόμασται, πῶς ἀνέτειλεν ἐκ
Hebr. 2, 16 τῆς Ἰεσσαὶ ῥίζης ὁ κύριος, πῶς σπέρματος Ἀβραὰμ ὁ ποιητὴς ἐπελάβετο, πῶς τῆς ἡμετέρας ἐν αὐτῶι φύσεως τὴν ἀπαρχὴν ἐπεδείξατο, πῶς θεὸς τέλειος καὶ ἄνθρωπος ⟨τέλειος⟩ ὁ μονογενὴς ἀναπέφανται, πῶς ἐν αὐτῶι τῶν φύσεων μεμαρτύρηται τὸ διά-
Hebr. 13, 8 φορον, πῶς τοῦ προσώπου τὸ μοναδικὸν ἀποδέδεικται, πῶς Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας, πῶς πρόσφατος καὶ ἀίδιος, πῶς οὐρά-
L IIII 826 νιος καὶ ἐπίγειος, πῶς ὁρατὸς καὶ ἀόρατος, πῶς ὁμοούσιος τῶι πατρὶ κατὰ τὴν θεότητα καὶ ὁμοούσιος ὁ αὐτὸς τῆι μητρὶ κατὰ τὴν ἀνθρωπότητα, πῶς ὁ αὐτὸς ἀπαθὴς ὡς θεὸς καὶ παθητὸς ὡς ἄνθρωπος ἀποδέδεικται. τούτοις οἱ πατέρες τὸν πονηρὸν κατηγωνίσαντο τοῖς ῥήμασιν· ταύτην ἐπὶ τῶι συμβόλωι κατὰ τῶν συκοφαντεῖν ἐγχειρούντων τὴν συνηγορίαν πεποίηνται, οὐκ ἄλλο τῆς πίστεως ἡμῖν πρὸς ὁμολογίαν ἐπεισάγοντες σύνθημα, ἀλλὰ τὸ κακῶς παρ' ἐχθρῶν παραποιούμενον διασώιζοντες καὶ τοῖς κατὰ καιρὸν ὑφαρπάζειν ἐπιχειροῦσι παρατattόμενοι καὶ τῶν οἰκείων ἕκαστοι φύλακες πρὸς
M VII 464 σωτηρίαν γινόμενοι. οὕτως ὁ μέγας Βασίλειος ὁ τῆς χάριτος ὑπηρέτης τὴν τῶν ὑποστάσεων ὡς ἐν ἐπιστολῆι σαφήνειαν διηυκρίνησεν καὶ τὴν τοῦ ἁγίου πνεύματος ἀκριβῆ διδασκαλίαν παρέδωκεν, ταῖς ὑπογραφαῖς τῶν συνποιμένων ἀπαιτήσας τὴν συγκατάθεσιν· οὕτως Δάμασος τὸ τῆς Ῥώμης πρὸς δικαιοσύνην καλλώπισμα τοῖς πρὸς Παυλῖνον τὴν οἰκονομίαν διήρθρωσεν γράμμασι, πείσας τοῖς καλῶς κριθεῖσι τοὺς τῆς αὐτοῦ κοινωνίας μετέχειν βουλομένους ἐπιψηφίσασθαι· οὕτως οἱ μετὰ ταῦτα πανταχῆι ποικίλως ἐπὶ τοῖς τῶν αἱρετικῶν ἀθροισθέντες καινίσμασι κοινὴν ὡς σύμψυχοι τὴν ὑπὲρ τῆς πίστεως ψῆφον ἐξήνεγκαν, ἅπερ ἀδελφικῶς ἑαυτοῖς ἐδοκίμασαν, ταῦτα τρανῶς τοῖς ἀποῦσι διαπορθμεύσαντες. καὶ οἱ μὲν ἐκ Σαρδικῆς κατὰ τῶν Ἀρείου λειψάνων ἀγωνισάμενοι τοῖς ἐν Ἀνατολῆι τὴν κρίσιν ἐξέπεμπον, οἱ δὲ ἐνταῦθα τὴν Ἀπολιναρίου λύμην φωράσαντες τοῖς ἐν Δύσει τὴν ψῆφον ἐγνώριζον, καὶ τῶν μὲν Ὅσιος ἐξῆρχε τῆς γνώμης, τῶν δὲ Νεκτάριος σὺν Γρηγορίωι τὴν ἡγεμονίαν ἤρατο. οὕτως ἐν Ἐφέσωι

M, B [= abo], WΦ

1 θεοτόκον Bo 3 εὐσέβειαν Bb ὑποπτείσασ Bb 4 μεριστὴσ MWΦ μεριστὰ τοῖσ B 5 τὴν om. Bb 7 διασπάσθαι Bbo 11 ἐχθρὸν B 13 κατήργησται Bb 14 τὸ Bo 16 τῷ δεσπότῃ Bo 17 ὁ κύριος om. Φcr ποιητὴσ M *mundi conditor* Φ κσ BW 18 ἀπαρχὴν MWΦ ἀρχὴν B 18/19 *perfectus homo* Φ ἄνθρωποσ MBW 19 ἀναπέφανται W ἀναπέφαται M ἀναπέφασται B 23 δι' om. Bb 24 καὶ τὸν Bo 25 τοιαύτην Bao 27 παρὰ τῶν W 28 ἐφαρπάζειν [ἐπαρπάζειν Bo] BW 28/29 καὶ τῶν — γινόμενοι om. Bb 30 διευκρίνησε B 31 συμποιμένων BW 33 τοὺς] τὰ Bo 34/35 ποικίλωσ πανταχῆ Bo 40 *sic et* Φ

τὸ περὶ τῆς θεοτόκου κριθὲν ἐκυροῦτο τοῖς γράμμασι καὶ ταῖς περὶ τῆς θεότητος καὶ ἀνθρωπότητος τοῦ κυρίου χρήσεσι μεθ' ὑπογραφῆς ἐπεψηφίζοντο, χειρὶ καὶ γλώττῃ τὴν τῶν φύσεων ἐν ἑνὶ προσώπωι παριστῶντες ὁμολογίαν. εἰ δέ τις μέχρι τούτου στῆναι τοῖς τῆι πίστει συνηγορεῖν βουλομένοις προστάττει τὴν ἄδειαν, μάλιστα μὲν τοῖς αἱρετικοῖς τοῦτο νομοθετείτω τὸ πρόσταγμα, ⟨ὃ⟩ ἐκείνους παύσει τῆς ἀδικίας, μὴ τοὺς ποι- 5
μένας τῆς ἀντιλήψεως. πᾶς γὰρ νόμος τοῖς πονηροῖς ἀπαγορεύει τὴν ἁμαρτίαν, οὐ τοὺς κριτὰς ἀπείργει τῆς ἐξουσίας. ἄλλως τε μανθανέτωσαν ὡς καὶ νῦν ἔξεστιν ἀμφισβητήσεως φυείσης ταῖς τῶν πατέρων ἑρμηνείαις τὴν ἡμετέραν ἐπισυνάπτειν ὁμολογίαν καὶ πείθειν ὡς οὐκ ἀπᾴδον τῆς ἐκείνων διανοίας ἐπιδεικνύμεθα φρόνημα, ἀλλὰ μάρτυσιν αὐτοῖς πρὸς τὴν τῆς ἡμετέρας πίστεως βεβαίωσιν χρώμεθα. οὕτως τοῖς Ἀθανασίου 10
πρὸς Ἐπίκτητον φιλοτιμούμεθα γράμμασιν· οὕτως ὡς οἰκείαν Γρηγορίου τὴν πρὸς Κληδόνιον ἐπιστολὴν περιφέρομεν. καὶ τί δεῖ τὰ πολλὰ λέγειν; εἰ γὰρ τὸ δι' ἐπιστολῶν τὸ τῆς ἐκκλησίας σαφηνίζεσθαι φρόνημα πρὸς ἑκάστην ζήτησιν μέμψεως ἄξιον, αὐτὸν ἄν τις πρῶτον τὸν μακάριον γράψαιτο Κύριλλον, ὃς τοῖς ἑαυτοῦ γράμμασι τοῖς τῆς Ἑώιας τὸ οἰκεῖον ἐτράνωσε φρόνημα. οὐ μὴν ἀλλὰ καὶ τὸν μέγαν τῆι αὐτῆι τις ἂν 15
Πρόκλον περιβάλοι γραφῆι τὸν πρὸς Ἀρμενίους τόμον τοῖς τῆς αὐτῆς Ἀνατολῆς εἰς L IIII 827
συμφωνίας ἀπόδειξιν διαπέμψαντα. κοινωνήσει δὲ τῆς αἰτίας καὶ ὁ σοφὸς τῆς Ἀν- M VII 465
τιοχέων Ἰωάννης, ὃς τῶν αἱρετικῶν τὰς λοιδορίας ἀποσειόμενος καὶ τῆς ἀποστολικῆς διδαχῆς τὸ εὐθὲς ἐνδεικνύμενος τῆς Ἑώιας ὡς ἐκ μιᾶς γλώττης τῶι ὁσίωι Πρόκλωι καὶ τῶι τῆς οἰκουμένης τὰ σκῆπτρα διέποντι τὴν ὁμολογίαν ἐξέπεμψεν. μὴ τοίνυν ἡμῖν 20
τοῦ θαυμαστοῦ τῆς Ῥώμης προέδρου τὴν ἐπιστολὴν ὡς καινοτομίας ἔγκλημα προφερέτωσαν, ἀλλ' εἰ μὴ σύμφωνος ταῖς γραφαῖς, ἐλεγχέτωσαν, εἰ μὴ τοῖς προλαβοῦσι πατράσιν ὁμόδοξος, εἰ μὴ πρὸς δυσσεβῶν κατηγορίαν γεγένηται, εἰ μὴ τῆς ἐν Νικαίαι πίστεως τὴν συνηγορίαν ἐνδείκνυται, εἰ μὴ τῶν καινοτομεῖν ἐπιχειρούντων ἀνατρέπει τὸ μύθευμα, εἰ μὴ τὴν τῶν ματαιοφρονούντων καταγωνίζεται τερατείαν. εἰ γάρ 25
τις τῶν πατέρων παραχαράττει τὴν ἔννοιαν, οὗτος τῶν τῆς παραβάσεως εὐθυνῶν ὑπόχρεως, οὐχ ὁ τῆς παραβάσεως ἐπιφέρων τὸν ἔλεγχον. ὁ μὲν γὰρ ἐξ οἰκείας γνώμης οὐδενὸς μαχομένου τοῖς αὐτοῦ ῥήμασι φιλοτιμούμενος ἔκθεσιν, οὗτος ὡς ἁλαζὼν ἂν εἰκότως ἁλίσκοιτο, ὁ δὲ τοῖς κακῶς φρονεῖν ἐγνωκόσι μαχόμενος τῆι τῶν ἐχθρῶν ἐπινοίαι προσαρμόζει τὴν γλῶτταν, τὰ παρ' ἐκείνων κακῶς ἐπαγόμενα τοῖς τῆς ἀληθείας δια- 30
λύειν πειρώμενος. ἀλλ', ὦ φιλόχριστοι καὶ τῆς ἄνωθεν ὑμῖν κληρωθείσης βασιλείας ἐπάξιοι, τῆι πίστει τὸν εὐεργέτην ἀμείψασθε καὶ τῆι περὶ τὴν ὁμολογίαν σπουδῆι τῆς τιμῆς τὴν εὐγνωμοσύνην ἐνδείξασθε, τῶν μὲν πονηρῶν τὰς ὁρμὰς ἀνακόπτοντες, πᾶσι δὲ τῆς εὐσεβοῦς ὁμολογίας τὴν συμφωνίαν βραβεύοντες καὶ καθάπερ σφραγῖδα τῶν εὐσεβῶν διδαγμάτων τῆι παρ' ὑμῶν ἀθροισθείσηι συνόδωι τῆς Πέτρου καθέδρας βε- 35
βαιοῦντες τὸ κήρυγμα. θαρρεῖν γὰρ χρὴ τὴν ὑμετέραν εὐσέβειαν ὡς οὐδὲν τῆς πάλαι παρὰ τῶν ἁγίων πατέρων καταγγελθείσης πίστεως ὁ θεοφιλὴς τῆς Ῥώμης παρακεκίνηκε πρόεδρος. καὶ ἵνα μηδεμία τοῖς ἐκ φθόνου τὸν ἀποστολικὸν ἄνδρα δια-

17—20 cf. Vigilium Coll. Auell. 83, 212: *dum in relatione quam . . ueneranda synodus piae memoriae Marciano tunc imperatori transmisit, . . . litterae Antiocheni Iohannis cum Orientali synodo ad beatum Proclum et ad Theodosium tunc piissimae recordationis principem destinatae uenerabiliter memorentur*

M, B [= abo], WΦ

2 ἐψηφίζοντο BbW 4 διάνοιαν Bo μέντοι τοῖσ Bb 5 ὃ addidi 7 ἔξεστιν] ἔδει Bo 8 διδασκαλίαισ Bo 9 ἀπάδων Bo 11 ἐπίκτιτον M 11/12 τὴν — κληδόνιον γρηγορίου Bb 14 αὐτοῦ MW 16 *eisdem Orientalibus* Φ τῆσ ἀνατολῆσ BW αὐτῆσ ἀνατολῆσ M 18 ὃς — ἀποσειόμενος om. W λοιδορίαν M 21/22 προσφερέτωσαν Bbo 23 τῆς] τοῖσ Bb 25 τὴν om. Bb μὴ τῶν — καταγωνίζεται τὴν W 26 εὔνοιαν W 26/27 τῶν — οὐχ ὁ om. Bo 31 ἡμῖν Bo 32 ἀμείψασθε [ἀμείψασθαι Bo] MBWΦac *compensatis* Φr 33 ἐνδείξασθε MBWΦac *ostendistis* Φr 35 διδαγμάτων MΦ δογμάτων BW 37 ῥωμαίων Bo

βαλεῖν πειρωμένοις καταλείπηται πρόφασις, τὰς συμφώνους τῇι ἐπιστολῇι τῶν ἁγίων πατέρων χρήσεις πρὸς ἀκριβῆ γνῶσιν τοῦ ὑμετέρου κράτους ἐκ πολλῶν ὀλίγας παρατεθείκαμεν.

M VII 468 Ὅτι καὶ οἱ ἅγιοι πατέρες δύο φύσεις ἐν Χριστῶι εἰρήκασι καὶ τὸν **ὁμοούσιον** τῶι πατρὶ θεὸν λόγον ὁμοούσιον ἡμῖν ἐκ Μαρίας κατὰ σάρκα γενόμενον

Τοῦ ἁγίου Βασιλείου ἐκ τῶν πρὸς Εὐνόμιον

1 Ἐγὼ γὰρ καὶ τὸ ἐν μορφῇι θεοῦ ὑπάρχειν ἴσον δύνασθαι τῶι ἐν οὐσίαι θεοῦ
PG 29, 552 ὑπάρχειν φημί. ὡς γὰρ τὸ μορφὴν ἀνειληφέναι δούλου ἐν τῇι οὐσίαι τῆς ἀνθρωπότητος τὸν κύριον ἡμῶν γεγενῆσθαι σημαίνει, οὕτω λέγων ἐν μορφῇι θεοῦ ὑπάρχειν
L IIII 830 τῆς οὐσίας τῆς θεικῆς παρίστησι πάντως τὴν ἰδιότητα.

de fide 2, 78 Τοῦ μακαρίου Ἀμβροσίου ἐκ τῆς ἐπιστολῆς τῆς πρὸς τὸν βασιλέα Γρατιανόν

2 Φυλάξωμεν διαφορὰν θεότητος καὶ σαρκός. εἷς ἐν ἑκατέραι φθέγγεται υἱὸς τοῦ θεοῦ, ἐπειδὴ ἐν αὐτῶι ἑκατέρα φύσις ἐστίν.

Τοῦ μακαρίου Γρηγορίου τοῦ θεολόγου ἐκ τῆς πρὸς Κληδόνιον

3 Φύσεις μὲν γὰρ δύο, θεὸς καὶ ἄνθρωπος, ἐπεὶ καὶ ψυχὴ καὶ σῶμα· υἱοὶ δὲ οὐ δύο
ep. 101 p. 180a οὐδὲ θεοί.

Τοῦ αὐτοῦ ἐκ τοῦ περὶ υἱοῦ δευτέρου λόγου

4 Καὶ τοῦτό ἐστιν ὃ ποιεῖ τοῖς αἱρετικοῖς τὴν πλάνην, ἡ τῶν ὀνομάτων ἐπίζευξις.
or. 30 PG 36, 113 σημεῖον δὲ ὡς ἡνίκα αἱ φύσεις διίστανται ταῖς ἐπινοίαις, συνδιαιρεῖται καὶ τὰ ὀνόματα.

Τοῦ μακαρίου Ἀθανασίου ἐκ τοῦ κατὰ αἱρέσεων λόγου

5 Καὶ ὥσπερ οὐκ ἂν ἠλευθερώθημεν ἀπὸ τῆς ἁμαρτίας ⟨καὶ τῆς κατάρας⟩, εἰ μὴ
c. Arian. 2, 70 p. 296 φύσει σάρξ ἦν ἀνθρωπίνη, ἣν ἐνεδύσατο ὁ λόγος (οὐδὲν γὰρ κοινὸν ἦν ἡμῖν πρὸς τὸ
M VII 469 ἀλλότριον), οὕτως οὐκ ἂν ἐθεοποιήθη ὁ ἄνθρωπος, εἰ μὴ φύσει ἐκ τοῦ πατρὸς καὶ ἀληθινὸς καὶ ἴδιος ἦν αὐτοῦ ὁ λόγος ὁ γενόμενος σάρξ. διὰ τοῦτο γὰρ τοιαύτη γέγονεν ἡ συνάφεια, ἵνα τῶι κατὰ φύσιν τῆς θεότητος συνάψηι τὸν φύσει ἄνθρωπον.

Ἀμφιλοχίου ἐπισκόπου Ἰκονίου ἐκ τοῦ κατὰ Ἰωάννην

6 Διάκρινον λοιπὸν τὰς φύσεις, τήν τε τοῦ θεοῦ τήν τε τοῦ ἀνθρώπου. οὔτε γὰρ κατ' ἔκπτωσιν θεοῦ γέγονεν ἄνθρωπος οὔτε κατὰ προκοπὴν ἐξ ἀνθρώπου θεός. θεὸν γὰρ λέγω καὶ ἄνθρωπον· δὸς τὰ παθήματα τῇι σαρκί, δὸς τὰ θαύματα τῶι θεῶι.

---

1 extat apud Theodoretum eranist. 2, 146 et in florilegio cod. Vaticani 1431 II 32 [*Abhandlg. d. Bayer. Akad. d. Wiss.* XXXII 6 p. 38] 2 ex simili uersione extat Theodoret. eran. 2, 142, cf. exc. Ephes. XIII 3 cf. exc. Ephes. XIIII. Theodoret. eran. 2, 147. floril. cod. Vatic. II 15. Gelas. de duab. nat. 19 4 cf. Theodoret. eran. 2, 149 5 cf. Theodoret. eran. 2, 136 6 accurate consonat floril. Vatic. II 21, cf. Theodoret. eran. 1, 66 et Gelas. 27

M, B [= abo], WΦ

1 καταλίπηται $B^{ab}W$ τῇι om. M 2/3 παρατεθήκαμεν B^b 6 τοῦ B^b 7/8 δύνασθαι τῶ — ὑπάρχειν MW τῶ — ὑπάρχειν δύνασθαι B 8 τὸ BW τὴν M 9 τοῦ κῦ B^o ἡμῶν ιυ χῦ B^o 10 τῆς θείας οὐσίας Theodoret. flor. 12 *utroque* Φ 14 μακαρίου MBΦ^r ἁγίου WΦ^{ac} τοῦ θεολόγου MBW *episcopi Nazianzeni* Φ^r om. Φ^{ac} ἐκ τῆσ B *ex epistula* Φ ἐν τοῖσ MW 15 φύσισ B^b γὰρ om. B^o ἐπειδὴ B^o 17 ἐκ τοῦ — δευτέρου λόγου BΦ ἐν τῶ — δευτέρω λόγω MW 18 ἐπίζευξισ MW Theodoret. Φ ἐπίζευξισ ἐπαλλαττομένων τῶν ὀνομάτων διὰ τὴν σύγκρασιν [cf. Gregor.] B νοήματα M 20 τῶν αἱρέσεων B^o 21 καὶ — κατάρας Φ Theodoret. om. MBW 22 ἦν ἡ B^o ἦν ^{2} om. B^o 24 καὶ διὰ B^b 25 τῶι] τὸ B^o 27 διακρίνων B^o 28 *hominibus* Φ 29 λέγων B λέγει W

Ἀντιόχου ἐπισκόπου Πτολεμαίδος

7 Μὴ συγχέηις τὰς φύσεις, καὶ οὐ ναρκήσεις περὶ τὴν οἰκονομίαν.

Τοῦ μακαρίου Φλαβιανοῦ ἐπισκόπου Ἀντιοχείας εἰς τὰ θεοφάνια

8 Τίς ὡς ἀληθῶς λαλήσει τὰς δυναστείας τοῦ κυρίου, ἀκουστὰς ποιήσει Ps. 105, 2
πάσας τὰς αἰνέσεις αὐτοῦ; τίς ἂν λόγωι παραστήσειεν τῆς εἰς ἡμᾶς εὐεργεσίας 5
τὸ μέγεθος; ἀνθρωπίνη φύσις θεότητι συνάπτεται μενούσης ἐφ' ἑαυτῆς ἑκατέρας τῆς φύσεως.

Τοῦ μακαρίου Ἰωάννου τοῦ Χρυσοστόμου ἐκ τοῦ κατὰ Ἰωάννην PG 59, 80

9 Τί γὰρ ἐπάγει; καὶ ἐσκήνωσεν ἐν ἡμῖν, μόνον οὐχὶ λέγων· μηδὲν ἄτοπον Ioh. 1, 14
ὑποπτεύσηις ἀπὸ τοῦ ἐγένετο· οὐ γὰρ τροπὴν εἶπον τῆς ἀτρέπτου φύσεως ἐκείνης, 10
ἀλλὰ σκήνωσιν καὶ κατοίκησιν. τὸ δὲ σκηνοῦν οὐ ταυτὸν ἂν εἴη τῆι σκηνῆι, ἀλλὰ
ἕτερον ἐν ἑτέρωι σκηνοῖ, ἐπεὶ οὐδ' ἂν εἴη σκήνωσις· οὐδὲν γὰρ ἐν ἑαυτῶι κατοικεῖ.
ἕτερον δὲ εἶπον κατὰ τὴν οὐσίαν. τῆι γὰρ ἑνώσει καὶ τῆι συναφείαι ἕν ἐστιν ὁ θεὸς λόγος
καὶ ἡ σάρξ, οὐ συγχύσεως γενομένης οὐδὲ ἀφανισμοῦ τῶν οὐσιῶν, ἀλλ' ἑνώσεως ἀρρήτου
τινὸς καὶ ἀφράστου. 15

Τοῦ μακαρίου Ἀττικοῦ ἐκ τῆς πρὸς Εὐψύχιον ἐπιστολῆς L IIII 831
M VII 472

10 Τί τοίνυν ἐχρῆν τὸν πάνσοφον πραγματεύσασθαι; μεσιτείαι τῆς προσληφθείσης
σαρκὸς καὶ ἑνώσει τοῦ θεοῦ λόγου πρὸς τὸν ἐκ Μαρίας ἄνθρωπον ἑκάτερα γίνεται ὥστε
τὸν ἐξ ἀμφοῖν ἡνωμένον Χριστὸν θεότητι μὲν διατιθέμενον ἐπὶ τοῦ οἰκείου μεῖναι τῆς
ἀπαθοῦς φύσεως ἀξιώματος, σαρκὶ δὲ θανάτωι προσομιλήσαντα ὁμοῦ μὲν ἀποδεῖξαι 20
τῆι ὁμοφύλωι τῆς σαρκὸς φύσει τὴν κατὰ τοῦ θανάτου ὑπεροψίαν, ὁμοῦ δὲ καὶ κρατύνεσθαι
τῆι τελευτῆι τῆς καινῆς διαθήκης τὰ δίκαια.

Τοῦ μακαρίου Πρόκλου ἐξ ὁμιλίας τῆς εἰς τὸ παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς Ies. 9, 6
καὶ ἐδόθη ἡμῖν

11 Καὶ τὰς φύσεις τῶι λόγωι δίελε καὶ τὴν ἕνωσιν τοῦ μυστηρίου θεολόγησον. 25

Τοῦ μακαρίου Κυρίλλου ἐκ τῆς πρὸς Νεστόριον ἐπιστολῆς

12 Καὶ ὅτι διάφοροι μὲν αἱ πρὸς ἑνότητα τὴν ἀληθινὴν συνενεχθεῖσαι φύσεις, εἷς δὲ t. I 1, 1
ἐξ ἀμφοῖν Χριστὸς καὶ υἱός, οὐχ ὡς τῆς τῶν φύσεων διαφορᾶς ἀνηιρημένης διὰ τὴν ἕνωσιν. p. 27, 1

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Ἰωάννην ἐπιστολῆς

13 Εἷς γὰρ κύριος Ἰησοῦς Χριστός, κἂν ἡ τῶν φύσεων μὴ ἀγνοῆται διαφορά, ἐξ ὧν t. I 1, 4
τὴν ἀπόρρητον ἕνωσιν πεπρᾶχθαι φαμέν. p. 18, 26
31

Τοῦ αὐτοῦ

14 Ἐννοοῦντες τοίνυν τῆς ἐνανθρωπήσεως τὸν τρόπον, ὡς ἔφην, ὁρῶμεν ὅτι δύο t. I 1, 6
φύσεις συνῆλθον ἀλλήλαις καθ' ἕνωσιν ἀδιάσπαστον ἀσυγχύτως καὶ ἀτρέπτως. ἡ p. 153, 16

---

7 eadem adfert Theodoret. eran. 2, 162 cf. Gelas. 60 8 eadem adfert Theodoret. eran. 2, 160 9 eadem adfert Theodoret. eran. 2, 158 10 = Theodoretus 2, 167 12 = Theodoretus 2, 167 13 = Theodoretus 2, 168 14 = Theodoretus 2, 168

M, B = [abo], WΦ

1 ἐπίσκοπος B^b 2 οὐκιαρκήσεισ B^b 3 τοῦ μακαρίου om. Φ ἐπισκόπου φλαβιανοῦ BW τὰ ἅγια W 6/7 τῆς φύσεως om. $Φ^{ac}$ 8 ἁγίου $WΦ^{ac}$ ἐκ — Ἰωάννην om. B^o 10 εἶπεν $Φ^{ac}$ 12 post ἕτερον ab ipso excerptore omissum est ἕτερον γάρ ἑτέρα σκηνῆ B^o 13 κατ' οὐσίαν B τῆι BW τὸ M 14 ἀφανισμοῦ MBW Theodoret. *permixtione* Φ 16 *Altici Constantinopolitani episcopi* Φ 20 φύσεωσ MΦ Theod. θεότητοσ BW θανάτου B^o 21 καὶ MΦ om. BW Theod. 27 ὅτι om. $Φ^c$ 29 Ἰωάννην τὸν ἀντιοχείασ $WΦ^r$ *Antiochenum episcopum* $Φ^{ac}$ 30 κἂν] καὶ B^o ἀγνοεῖται B^{bo} 32 *item* [*om.* $Φ^c$] *eiusdem ex epistula ad Successum Diocaesariensis episcopum* $Φ^{ac}$

γὰρ σὰρξ σάρξ ἐστι καὶ οὐ θεότης, εἰ καὶ γέγονε θεοῦ σάρξ, ὁμοίως δὲ καὶ ὁ λόγος θεός ἐστι καὶ οὐ σάρξ, εἰ καὶ ἰδίαν ἐποιήσατο τὴν σάρκα οἰκονομικῶς.

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς τὸν μακάριον Ἰωάννην τὸν Ἀντιοχείας ἐπιστολῆς

15 Δύο γὰρ φύσεων ἕνωσις γέγονεν, δι' ὃ ἕνα Χριστόν, ἕνα υἱόν, ἕνα κύριον ὁμολο-
t. I 1, 4 p. 17, 14 γοῦμεν. κατὰ ταύτην τὴν τῆς ἀσυγχύτου ἑνώσεως ἔννοιαν ὁμολογοῦμεν τὴν ἁγίαν παρθένον θεοτόκον διὰ τὸ τὸν θεὸν λόγον σαρκωθῆναι καὶ ἐνανθρωπῆσαι καὶ ἐξ αὐτῆς συλλήψεως ἑνῶσαι ἑαυτῷ τὸν ἐξ αὐτῆς ληφθέντα ναόν.

Τοῦ ἁγίου Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως ἐκ τῆς ἑρμηνείας τοῦ κατὰ Ματθαῖον εὐαγγελίου

16 Καὶ καθάπερ τις ἐν μεταιχμίῳ στὰς δύο τινῶν ἀλλήλων διεστηκότων ἀμφοτέρας
PG 57. 26 ἁπλώσας τὰς χεῖρας ἑκατέρωθεν λαβὼν συνάψειεν, οὕτω καὶ αὐτὸς ἐποίησεν, τὴν παλαιὰν τῇ καινῇ συνάπτων, τὴν θείαν φύσιν τῇ ἀνθρωπίνῃ, τὰ αὐτοῦ τοῖς ἡμετέροις.

L IIII 834 PL 54, 952 Ἐπιστολὴ σταλεῖσα παρὰ τῆς ἁγίας συνόδου τῷ ἁγιωτάτῳ πάπαι τῆς Ῥωμαίων ἐκκλησίας Λέοντι

21 Ἡ ἁγία καὶ μεγάλη καὶ οἰκουμενικὴ σύνοδος ἡ κατὰ θεοῦ χάριν καὶ θέσπισμα τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων συναχθεῖσα ἐν τῇ Χαλκηδονέων μητροπόλει τῆς Βιθυνῶν ἐπαρχίας τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ τῆς Ῥωμαίων ἀρχιεπισκό-
Ps. 125, 2 πῳ Λέοντι. Ἐπλήσθη χαρᾶς τὸ στόμα ἡμῶν καὶ ἡ γλῶσσα ἡμῶν ἀγαλλιάσεως· ταύτην ὡς οἰκείαν ἡμῖν ἡ χάρις τὴν προφητείαν ἐφήρμοσεν, οἷς τὸ τῆς εὐσεβείας ἐβεβαιώθη κατόρθωμα. τί γὰρ πίστεως πρὸς εὐφροσύνην ἀνώτερον; τί τῆς δεσποτικῆς γνώσεως πρὸς χορείαν φαιδρότερον; ἣν αὐτὸς ἄνωθεν ἡμῖν ὁ σωτὴρ πρὸς σωτηρίαν παρ-
Mt. 28, 19. 20 έδωκε φήσας· πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν, ἣν αὐτὸς ὥσπερ χρυσῆν
Mt. 16, 16 σειρὰν τῷ προστάγματι τοῦ θεμένου καταγομένην εἰς ἡμᾶς διεφύλαξας πᾶσι τῆς τοῦ μακαρίου Πέτρου φωνῆς ἑρμηνεὺς καθιστάμενος καὶ τῆς ἐκείνου πίστεως τοῖς πᾶσι τὸν μακαρισμὸν ἐφελκόμενος. ὅθεν καὶ ἡμεῖς ὡς ἀρχηγῷ σοι τοῦ καλοῦ πρὸς ὠφέλειαν χρησάμενοι τῆς ἀληθείας τοῖς τῆς ἐκκλησίας τέκνοις τὸν κλῆρον ἐδείξαμεν, οὐ καθ' ἕνα ἕκαστος ἐν παραβύστῳ τὴν διδασκαλίαν ποιούμενοι, ἀλλὰ κοινῷ πνεύματι, μιᾶι συμπνοίαι καὶ ὁμονοίαι τῆς πίστεως τὴν ὁμολογίαν γνωρίσαντες. καὶ ἦμεν ἐν κοινῇ χορείαι, τοῖς πνευματικοῖς ὡς ἐν βασιλικοῖς δείπνοις ἐντρυφῶντες ἐδέσμασιν, ἅπερ διὰ τῶν σῶν γραμμάτων ὁ Χριστὸς τοῖς εὐωχουμένοις ηὐτρέπισε, καὶ τὸν ἐπουράνιον νυμφίον ἐν
Mt. 18, 20 ἡμῖν ὁρᾶν ἐδοκοῦμεν ἐνδιαιτώμενον. εἰ γὰρ ὅπου εἰσὶ δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ αὐτοῦ ὄνομα, ἐκεῖ ἔφη εἶναι ἐν μέσωι αὐτῶν, πόσην περὶ φκ ἱερέας τὴν οἰκείωσιν ἐπεδείκνυτο, οἳ καὶ πατρίδος καὶ πόνου τῆς εἰς αὐτὸν ὁμολογίας τὴν γνῶσιν προέθηκαν;

---

15 = Theodoretus 2, 168 16 = Theodoretus 2, 159

2 Latinae uersiones extant duae, altera in Versione antiqua et ad calcem codicis A [Φ^a], quam edidi in appendice Gestorum actionis III [uol. III 2], altera Rustici [Φ^r] in Gestis III 109 [uol. III 2]

M, B [= abo], W [usque ad 12], Φ

1 θῦ MW Φ θεὸσ B 3 ἐκ — ἐπιστολῆς om. W τὸν ἀντιοχείασ, ἀντιοχείασ ex χρυσόστομον corr. M τὸν ἀντιοχείασ πατριάρχην οὐ τὸν χρυσόστομον [οὐ — χρυσόστομον om. B^o] B om. Φ 5 ἑνώσεως om. B^o 8 ἰωάννου τοῦ χρυσοστόμου W ἀρχιεπισκόπου Κωνσταντινουπόλεως om. Φ τῆς ἑρμηνείας om. W 9 εὐαγγέλιον B^b om. W 11 αὐτὸσ MBW *Christus* Φ 12 ἡμετέροισ BWΦ Theod. ὑμετέροισ M 16 χαλκηδονίων B^o 17/18 ἀρχιεπισκόπου B^b 19 ἧσ B^o 21 ὁ σ̄ηρ̄ πρὸσ σ̄ρίαν ἡμῖν B^b 26/27 καὶ — ἐφελκόμενος om. B 32 εὐτρέπισε B^o 34 φ̄κ M πεντακοσίουσ εἴκοσιν B *quingentos viginti* Φ^a om. Φ^r 35 ὁμολογίαν M

ὧν σὺ μὲν ὡς κεφαλὴ μελῶν ἡγεμόνευες ἐν τοῖς τὴν σὴν τάξιν ἐπέχουσι τὴν εὐβουλίαν ἐπιδεικνύμενος, βασιλεῖς δὲ πιστοὶ πρὸς εὐκοσμίαν ἐξῆρχον, ὡς Ζοροβάβελ τῶι Ἰησοῦ, 1 Esra 5, 47
τῆς ἐκκλησίας καθάπερ Ἱερουσαλὴμ τὴν ἐν τοῖς δόγμασιν οἰκοδομίαν ἀνανεοῦν προθυ- 54
μούμενοι. καὶ ἦν ἂν ὁ ἀντικείμενος ὡς θὴρ ἔξω τῆς μάνδρας καθ' ἑαυτὸν ὠρυόμενος, PL 954
οὐδένα ἔχων λαβεῖν, εἰ μὴ ἑαυτὸν αὐτῶι πρὸς θήραν ὁ τῆς Ἀλεξανδρέων πάλαι γε- 5
νόμενος ἐπέρριψε πρόεδρος. ὃς πολλὰ πρότερον εἰργασμένος δεινὰ ἀπέκρυψεν τοῖς δευτέροις τὰ πρότερα· τόν τε γὰρ μακάριον ἐκεῖνον καὶ ἐν ἁγίοις τῆς Κωνσταντινουπόλεως ποιμένα Φλαβιανὸν τὴν ἀποστολικὴν προισχόμενον πίστιν καὶ τὸν θεοφιλέστατον ἐπίσκοπον Εὐσέβιον παρὰ πᾶσαν τὴν τῶν κανόνων ἀκολουθίαν καθεῖλεν καὶ τὸν ἐπὶ δυσσεβείαι κατακεκριμένον Εὐτυχῆ ταῖς τῆς τυραννίδος αὐτοῦ ψήφοις ἠθώωσεν καὶ τὴν 10
παρὰ τῆς ὑμῶν ὁσιότητος ὡς παρ' ἀναξίου τῆς χάριτος ἀφαιρεθεῖσαν ἀξίαν ἀπέδωκεν καὶ L IIII 835
ὡς μονιὸς ἅπαξ ἄγριος ἐπιπεσὼν τῆι ἀμπέλωι, ἣν μὲν ἀρίστην εὗρεν φυτείαν, ἀνέτρε- Ps. 79, 14
ψεν, ἣν δὲ ὡς ἄκαρπον ἐρριμμένην, εἰσήγαγεν, καὶ τοὺς μὲν τὰ ποιμένων φρονοῦντας ἀπέτεμε, τοὺς δὲ λύκους ἀποδεδειγμένους τοῖς προβάτοις ἐπέστησεν. καὶ πρὸς τού- 15
τοις ἅπασιν ἔτι καὶ κατ' αὐτοῦ τοῦ τῆς ἀμπέλου τὴν φυλακὴν παρὰ τοῦ σωτῆρος ἐπι-
τετραμμένου τὴν μανίαν ἐξέτεινεν, λέγομεν δὴ τῆς σῆς ὁσιότητος, καὶ ἀκοινωνησίαν κατὰ τοῦ τὸ σῶμα τῆς ἐκκλησίας ἑνοῦν σπουδάσαντος ἐμελέτησεν. καὶ δέον ἐπὶ τούτοις μετανοῆσαι, δέον δάκρυσιν αἰτῆσαι τὸν ἔλεον, ὡς ἐπὶ σεμνοῖς ἐπηγάλλετο, τὴν μὲν ἐπιστολὴν τῆς σῆς ὁσιότητος διαπτύων, πᾶσι δὲ τοῖς τῆς ἀληθείας δόγμασιν ἀνθιστάμενος. καὶ ἔδει μὲν αὐτὸν εὐθὺς ἐφ' ἧς ἑαυτὸν ἔταξε, καταλεῖψαι μερίδος· 20
ἐπειδὴ δὲ τοῦ σωτῆρος τὴν μαθητείαν ἐπαγγελλόμεθα, ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, ἔργωι ταύτην ἐπ' αὐτῶι κυρῶσαι τὴν φιλανθρω-
πίαν ἐσπεύσαμεν καὶ πρὸς κρίσιν ἀδελφικῶς ἐκαλοῦμεν, οὐχ ὡς ἀποτέμνειν πειρώμενοι, ἀλλ' ἀπολογίας αὐτῶι χώραν πρὸς ἰατρείαν παρέχοντες. καὶ ηὐχόμεθα κρείττονα φανῆναι τῶν ποικίλαις αὐτὸν γραψαμένων αἰτιάσεσιν, ἵνα φαιδροὶ φαιδρῶς τὸν σύλλογον 25
διαλύσαντες ἐν μηδενὶ πλεονεκτηθῶμεν ὑπὸ τοῦ σατανᾶ· ἀλλ' οὗτος ἔγγραφον ἐν ἑαυτῶι
τοῦ συνειδότος ἔχων τὸν ἔλεγχον τῆι παραιτήσει τῆς κρίσεως ταῖς κατηγορίαις συνέθετο καὶ τὰς ἐνθέσμους τρεῖς ἐπ' αὐτῶι γενομένας κλήσεις παρώσατο. διὰ ταῦτα τοιγαροῦν ἣν αὐτὸς καθ' ἑαυτοῦ τοῖς πλημμελήμασιν ἐξήνεγκε ψῆφον, ταύτην ὡς ἐνῆν μετρίως PL 956
ἐκυρώσαμεν, τῆς ποιμαντικῆς δορᾶς τὸν λύκον γυμνώσαντες, ἣν καὶ πάλαι σχήματι 30
περικείμενος ἀπηλέγχετο. μέχρι τούτων ἡμῖν ἵστατο τὰ στυγνά, καὶ τῶν καλῶν εὐθὺς ἡ χάρις ἐπέλαμψε καὶ ἐν ζιζάνιον ἀνασπάσαντες πᾶσαν τοῦ καθαροῦ σίτου τὴν οἰκουμένην μεθ' ἡδονῆς ἐπληρώσαμεν καὶ ὡς ἐκριζοῦν καὶ καταφυτεύειν τὴν ἐξουσίαν δεξάμενοι τὴν μὲν ἐκτομὴν μέχρις ἑνὸς ἐστενώσαμεν, τῶν δὲ καλῶν τὴν εὐκαρπίαν ἐπιμελῶς ἐρριζώσαμεν. θεὸς γὰρ ἦν ὁ ἐνεργῶν καὶ ἡ τὸν σύλλογον τῶι νυμφῶνι στεφανοῦσα 35
καλλίνικος Εὐφημία, ἣ ὥσπερ οἰκείαν ὁμολογίαν τῆς πίστεως παρ' ἡμῶν δεξαμένη τὸν ὅρον τῶι ἑαυτῆς νυμφίωι διὰ τοῦ εὐσεβεστάτου βασιλέως καὶ τῆς φιλοχρίστου βασιλίδος προσήγαγεν, πᾶσαν μὲν τῶν ἀντικειμένων ταραχὴν κατευνάσασα, τὴν δὲ τῆς ἀληθείας ὡς φίλην ὁμολογίαν κρατύνασα καὶ χειρὶ καὶ γλώττηι ταῖς πάντων ψήφοις ἐπισφραγίσασα πρὸς ἀπόδειξιν. 40

MB = [abo], Φar

1 ἡγεμονεύοντεσ B^b εὐουλίαν B^b 2 ὡς] ὁ M 3 οἰκονομίαν ἀνανεοῦντεσ B^o 4 ἑαυτὸν ἑαυτῶ B^o 6 ἀπέρριψε B^o 7 καὶ MΦ^a τὸν B^b om. B^{ao}Φ^r 11 παρὰ] περὶ B^b ὡσ παρ' M ὥσπερ B 13 εὔκαρπον B^b 14 ἀπέστησε B^b ὑπέστησε B^o 14/15 τὰ τούτοισ B^b 18 ἐπαγάλλεται B^o 19 τῆσ — ἐπιστολῆσ M 20 ἑαυτὸν ἐφ' ἧσ B^b καταλεῖξαι B^a 21 ἐπ-
αγγελλόμενοσ M θέλει ἀνθρώπουσ MB^{ao} 23 κλῆσιν M 26 διανύσαντεσ Φ^r ἔγγραφον ἐν ἑαυτῶ MΦ ἄκρατον ἐν ἑαυτῶ B^{ao} ἐν ἑαυτῶ ἄκρατον B^b 28 παρεώσατο B^o 31 τούτου B^o 32 ἡ χάρισ εὐθὺσ B ἀπέλαμψε B^a ζιζανίων Φ^r 39 ἐπιψηφισασα B

Ταῦτ' ἐστὶν ἅπερ σὺν σοὶ τῶι πνεύματι παρόντι καὶ συνευδοκεῖν ὡς ἀδελφοῖς ἐγνωκότι καὶ μόνον οὐχὶ διὰ τῆς τῶν σῶν τοποτηρητῶν ὁρωμένωι σοφίας εἰργάσμεθα· γνωρίζομεν δὲ ὡς καὶ ἑτερά τινα τῆς τῶν πραγμάτων εὐταξίας καὶ τῆς τῶν ἐκκλησιαστικῶν θεσμῶν εὐσταθείας ἕνεκα ὡρίσαμεν, πεπεισμένοι καὶ τὴν ὑμετέραν ἁγιωσύνην
L IIII 838 διδαχθεῖσαν ἀποδέχεσθαί τε ταῦτα καὶ βεβαιοῦν. τὸ γὰρ ἐκ πολλοῦ κρατῆσαν ἔθος ὅπερ ἔσχεν ἡ Κωνσταντινουπολιτῶν ἁγία τοῦ θεοῦ ἐκκλησία εἰς τὸ χειροτονεῖν μητροπολίτας τῶν διοικήσεων τῆς τε Ἀσιανῆς καὶ Ποντικῆς καὶ Θραικικῆς, καὶ νῦν κατὰ συνοδικὴν ἐκυρώσαμεν ψῆφον, οὐ τοσοῦτον τῶι θρόνωι Κωνσταντινουπόλεώς τι παρέχοντες ὅσον ταῖς μητροπόλεσι τὴν εὐταξίαν πρυτανεύοντες διὰ τὸ πολλοὺς πολλάκις τελευτώντων τῶν ἐπισκόπων ἀνακύπτειν θορύβους ἀνηγεμονεύτων ὄντων τῶν ἐν αὐταῖς κληρικῶν τε καὶ λαῶν καὶ τὴν ἐκκλησιαστικὴν τάξιν συγχεόντων. ὅπερ οὐδὲ τὴν ὑμετέραν λέληθεν ἁγιότητα, μάλιστα τῶν Ἐφεσίων ἕνεκεν πλεονάκις ὑμῶν διενοχληθέντων. ἐβεβαιώσαμεν δὲ καὶ τὸν τῶν ρν̄ ἁγίων πατέρων τῶν ἐν Κωνσταντινουπόλει συναθροισθέντων ἐπὶ τοῦ τῆς εὐσεβοῦς μνήμης τοῦ μεγάλου Θεοδοσίου κανόνα τὸν διαγορεύοντα
PL 958 μετὰ τὸν ὑμέτερον ἁγιώτατον καὶ ἀποστολικὸν θρόνον τὰ πρεσβεῖα τὸν Κωνσταντινουπόλεως ἔχειν δεύτερον τεταγμένον, πεπεισμένοι ὡς τῆς ἀποστολικῆς παρ' ὑμῖν κρατούσης ἀκτῖνος καὶ ἐπὶ τὴν Κωνσταντινουπόλεως ἐκκλησίαν συνήθως κηδόμενοι πολλάκις ταύτην ἡπλώσατε διὰ τὸ ἄφθονον ὑπάρχειν ὑμῖν τὴν τῶν οἰκείων ἀγαθῶν πρὸς τοὺς γνησίους μετάδοσιν. ἅπερ τοίνυν ὡρίσαμεν πρὸς ἀναίρεσιν μὲν πάσης συγχύσεως, βεβαίωσιν δὲ τῆς ἐκκλησιαστικῆς εὐταξίας, ταῦτα ὡς οἰκειά τε καὶ φίλα καὶ πρὸς εὐκοσμίαν ἁρμόδια περιπτύξασθαι καταξίωσον, ἁγιώτατε καὶ μακαριώτατε πάτερ. οἱ γὰρ τὸν τόπον τῆς ὑμετέρας ἁγιότητος ἐπέχοντες ὁσιώτατοι ἐπίσκοποι Πασκασῖνος καὶ Λουκίνσιος καὶ ὁ σὺν αὐτοῖς θεοφιλέστατος πρεσβύτερος Βονιφάτιος τοῖς οὕτω τυπωθεῖσιν σφοδρῶς ἀντειπεῖν ἐπειράθησαν, πάντως ἀπὸ τῆς ὑμετέρας ἄρξασθαι καὶ τοῦτο τὸ καλὸν προνοίας βουλόμενοι, ἵνα καθάπερ τῆς πίστεως, οὕτως καὶ τῆς εὐταξίας ὑμῖν λογισθῆι τὸ κατόρθωμα. ἡμεῖς γὰρ θεραπεύοντες τούς τε εὐσεβεστάτους καὶ φιλοχρίστους βασιλέας ἐπὶ τούτωι ἡδομένους τήν τε λαμπρὰν σύγκλητον καὶ πᾶσαν ὡς εἰπεῖν τὴν βασιλεύουσαν εὔκαιρον ἐνομίσαμεν εἶναι τὴν ἐπ' αὐτῆι παρὰ τῆς οἰκουμενικῆς συνόδου βεβαίωσιν τῆς τιμῆς καὶ ὡς ἐκ τῆς σῆς ὁσιότητος ταύτην ἐναρχθεῖσαν δι' ὧν ἀεὶ θάλπειν ἐσπούδακας, θαρρήσαντες ἐκυρώσαμεν, εἰδότες ὡς πᾶν τὸ παρὰ τῶν τέκνων γινόμενον εἰς τοὺς οἰκειουμένους πατέρας ἀνατρέχει κατόρθωμα. παρακαλοῦμεν τοίνυν, τίμησον καὶ ταῖς σαῖς ψήφοις τὴν κρίσιν· ὥσπερ ἡμεῖς τῆι κεφαλῆι τὴν ἐν τοῖς καλοῖς συμφωνίαν εἰσενηνόχαμεν, οὕτως καὶ ἡ κορυφὴ τοῖς παισὶν ἀναπληρώσηι τὸ πρέπον. οὕτως γὰρ καὶ βασιλεῖς εὐσεβεῖς θεραπευθήσονται οἱ τὴν τῆς σῆς ὁσιότητος ὡς νόμον βεβαιώσαντες κρίσιν καὶ ὁ Κωνσταντινουπόλεως θρόνος τὴν ἀμοιβὴν ἀποδέξεται πᾶσαν ἀεὶ σπουδὴν πρὸς τὴν τῆς εὐσεβείας ὑμῖν ἐκπληρώσας ὑπόθεσιν καὶ τῶι ζήλωι συνάψας ἑαυτὸν ὑμῖν πρὸς ὁμόνοιαν. ἵνα δὲ γνῶτε ὡς οὐδὲν πρὸς χάριν ἢ πρὸς ἀπέχθειαν πεποιήκαμεν, ἀλλ' ὡς θείωι κυβερνώμενοι νεύματι, πᾶσαν ὑμῖν τῶν πεπραγ-
PL 960 μένων τὴν δύναμιν ἐγνωρίσαμεν εἰς σύστασιν ἡμετέραν καὶ τῶν παρ' ἡμῶν πεπραγμένων βεβαίωσίν τε καὶ συγκατάθεσιν.

M, B [= abo], Φ^{ar}

4 εὐσταθίασ MB^{o} πεπειρασμένοι B^{o} 5 ἔθνοσ B^{b} 8 τῷ θρόνῳ τῷ B^{o} 10 τῶν^{2} om. M 11 λαῶν MB^{ab}Φ^{ar} λαικῶν B^{a} corr., B^{o} 12 λέληθεν M ἔλαθεν B διενοχλησάντων B^{o} 13 τὸν om. B^{o} 13/14 συναθροισθέντων κανόνα ἐπὶ — θεοδοσίου M 15 καὶ om. B^{o} θρόνον om. B^{b} τόν] τῆσ B^{o} 16 δεύτερον τεταγμένον om. B 17 ἐν κωνσταντινουπόλει B 19 μὲν om. B^{o} 23 εὐλαβέστατοσ B^{o} 27 ἡμῶν βασιλέασ B^{o} τόν M 28 τὴν^{1}] τὸν M εἶναι om. B περὶ B^{b} 30 τὸ om. B^{b} 31 γινόμενον κατόρθωμα εἰς — ἀνατρέχει [ἀνατρέχειν B^{o}] B 32 καὶ ὥσπερ B^{o}Φ 33 ποσὶν B^{o} ἀναπληρώσει MB 36 *eodem zelo* Φ^{r} 37 ἀνάψασ B^{o} δὲ] καὶ B^{o} 39 ὑμετέραν B παρ' ἡμῶν om. B 40 τε om. B^{o} secuntur subscriptiones in Φ^{a}

Διάταξις τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου βασιλέως Μαρκιανοῦ προτεθεῖσα ἐν Κωνσταντινουπόλει μετὰ τὴν σύνοδον βεβαιοῦσα τὰ παρ' αὐτῆς πεπραγμένα L IIII 842 M VII 477

22 Τὴν εὐαγῆ τῆς καθολικῆς τῶν ὀρθοδόξων πίστεως ἁγιότητα φανερὰν καὶ ἀναμφίβολον καταστῆσαι πᾶσιν ἡ ἡμετέρα γαληνότης ἐθέλουσα, ὅπως ἂν ἡ περὶ τὸ θεῖον μείζων παραδοθῇ τοῖς ἀνθρώποις εὐσέβεια, τὴν τοσαύτην καὶ τοιαύτην ἐξ ἁπάσης σχεδὸν ἐπαρχίας συνειλεγμένων ἐπισκόπων σύνοδον κατὰ τὴν Χαλκηδονέων πόλιν ἀθροισθῆναι παρεκελεύσατο κἀκεῖ διασκέψεως ἐπὶ πλείστας ἡμέρας γεγενημένης τὸ τῆς πίστεως τῶν Χριστιανῶν εὗρεν ἀληθὲς καὶ ἀνόθευτον. εὐχαῖς γὰρ καὶ λιταῖς πλείσταις τὸ θεῖον παρακεκλήκασι μὴ λαθεῖν αὐτοὺς τὴν εὐαγῆ καὶ πληρεστάτην ἀλήθειαν ἠκολούθησάν τε τοῖς τύποις τῶν ἁγίων πατέρων, ἐκείνοις δηλαδὴ τοῖς ὑπὸ τῶν τιη ἁγιωτάτων ἐπισκόπων κατὰ τὴν Νικαέων ἀποφανθεῖσιν, ὁμοίως δὲ κἀκείνοις ἅπερ οἱ ρν κατὰ τήνδε τὴν βασιλίδα πόλιν ὥρισαν συνελθόντες, καὶ ἐκείνοις δὲ τοῖς ἤδη πάλαι κατὰ τὴν Ἔφεσον ὁρισθεῖσιν ὅτε [τὰ] τῆς ἀληθείας οἱ τῆς μακαρίας μνήμης Κελεστῖνος ὁ τῆς Ῥωμαίων καὶ Κύριλλος ὁ τῆς Ἀλεξανδρέων ἐπίσκοπος ἐξῆρχον, καθ' ὃν καιρὸν ἀπεκλείσθη καὶ Νεστορίου ἡ πλάνη αὐτοῦ καταδικασθέντος τοῦ ταύτης αὐθέντου γεγονότος. ὧν ὀρθῶς καὶ προσκυνητῶς ἐν Χαλκηδόνι ζητηθέντων Εὐτυχὴς ὁ διαβεβαιούμενος ἀθέμιτα πάμπολλα μετὰ τῆς συνηγορίας τῆς ἑαυτοῦ καταβέβληται, ὅπως ἂν αὐτῶι μὴ περαιτέρω παρασχεθῇ τοῦ ἀπατᾶν τοὺς ἀνθρώπους εὐχέρεια. τούτων τοίνυν θρησκευτικῶς καὶ πιστῶς τυπωθέντων ἅπερ θεμελιοῦν τὴν τῶν ὀρθοδόξων προσκυνητὴν γινώσκεται πίστιν, οὕτως ὡς μηδεμίαν τοῦ λοιποῦ μηδὲ τοῖς συκοφαντεῖν εἰωθόσι τὸ θεῖον ἀμφιβολίαν ὑπολιμπάνεσθαι, ἱερῶι τῆς ἡμετέρας ἡμερότητος διατάγματι M VII 480 τὴν ἁγίαν βεβαιώσαντες σύνοδον ὑπεμνήσαμεν ἅπαντας ὥστε τῶν περὶ θρησκείας παύσασθαι διαλέξεων, ἐπειδήπερ οὐχ εἷς καὶ δεύτερος εὑρεῖν οἷός τε ἦν τὸ τοσοῦτον μυστήριον, ὁπότε μάλιστα σὺν μεγάλωι καμάτωι καὶ μεγίσταις εὐχαῖς τοσοῦτοι ἅγιοι ἱερεῖς, εἰ μὴ θεοῦ, καθάπερ πιστευτέον ἐστίν, ἡγουμένου, φθάσαι πρὸς τὴν τῆς ἀληθείας ἀνίχνευσιν οὐκ ἂν ἠδυνήθησαν. πλήν, ὡς ἔγνωμεν ἐναργεῖ λογισμῶι, τινὲς ἐν τῆι μανίαι τῆς αὐτῆς διαστροφῆς διαμένειν οὐ παύονται καὶ περὶ θρησκείας δημοσίαι φιλονεικεῖν συναγομένου τοῦ πλήθους, ὥστε τὰ θεῖα μυστήρια Ἰουδαίων τε καὶ Ἑλλήνων δημοσιεύειν ἐπ' ὄψεσιν καὶ ἐκπομπεύειν ἅπερ σέβειν ἄμεινον ἢ ζητεῖν. ἐχρῆν τοιγαροῦν τοὺς ἐν τῆι αὐτῆι τυγχάνοντας ἐπιμονῆι διὰ τῆς ὁρισθείσης ἤδη σωφρονισθῆναι κολάσεως, ὅπως ἂν ἡ τιμωρία διορθώσειεν οὓς τῶν προσταγμάτων τὸ σέβας ἐπανορθοῦν οὐ δεδύνηται. ἀλλὰ τῶι ἔθει τῶι ἡμῶν ἀκολουθοῦντες ἐν τούτωι καὶ πρὸ πάντων L IIII 843 γινώσκοντες ὡς τὸ θεῖον χαίρει τῶι εὐσεβεῖ, τὴν τῶν ἐνόχων ὑπερθετέαν ἡγησάμεθα τιμωρίαν, διὰ τῆσδε τῆς ἐπαναληφθείσης κελεύσεως τῆς ἡμετέρας θεσπίζοντες ὥστε εἰς τὸ ἑξῆς τῶν κεκωλυμένων πάντας ἀπέχεσθαι καὶ μὴ συνάγειν ὀχλαγωγίαν τοὺς περὶ

---

cf. Cod. encycl. 47 *monumenta ibi confecta, in quibus quoddam signaculum definitionibus memorati principis sanctio supposita est*

Latinum exemplar praeter uersionem Rustici [Φr] in Gestis Latinis III 105 extat in Collectione Gestorum Chalcedonensium Vaticana 9 [Λv]

M, B [= abo], Φr Λv

1. 2 διάταξις — πεπραγμένα MB *De eodem* [praecedit 23] *edictum secundum ciuibus nostris Constantinopolitanis. Idem augusti* Φr *incipit alia* [praecedit 23] *constitutio diuae memoriae Marciani in synodo Calchedonensi. Imperator Marcianus augustus Palladio praefecto praet̄* Λv 2 πραττόμενα Bo 5 τῶν ἐξ B 6 χαλκηδονίων Bo πόλει Bb 10 κἀκείνοισ Bo 12 πάλαι MΦr πάλιν B 13 τὰ M om. B οἱ M ὁ B 14 ἀλεξανδρείασ Bb 17 ὅπερ Bb 19 τῶν om. M 20 μηδὲ om. B τοῖς] τὴν Bo 21 ὑπολαμβάνεσθαι B διατάγματι ἡμερότητοσ Ba 23 ἐπειδήπερ om. Bo οἷσ τε M 24 καμάτω μεγάλω [μεγίστω Bb] B μεγάλαις Bb 26 οὐκ ἂν] κἂν Bo 27 ἐμμένειν Bb 29 ἐφ' M 31 πραγμάτων B 35 πάντων πάντασ Bo

θρησκείας ἐρίζοντας, ἐπειδήπερ οἱ ἐν τῇ τοιαύτῃ διαστροφῇ καὶ ματαιότητι φωραθέντες καὶ τὰς ὁρισθείσας ἤδη κολάσεις ἐκδέξονται καὶ τῇ τῶν δικαστηρίων κινήσει, καθάπερ τοῖς εὐσεβέσι καιροῖς ἁρμόζει, τιμωρηθήσονται. χρὴ γὰρ ἕπεσθαι τῇ ἐν Χαλκηδόνι συνόδῳ, ἐν ᾗ πάντων ἐπιμελῶς ζητηθέντων ταῦτα διώρισται ἃ πρότερον αἱ τρεῖς μνημονευθεῖσαι σύνοδοι αἱ τῇ τῶν ἀποστόλων ἀκολουθήσασαι πίστει τὰ πᾶσι φυλακτέα παραδεδώκασιν.

d. 13. m. Mart. a. 452 Ἐδόθη πρὸ τριῶν Εἰδῶν Μαρτίων ἐν Κωνσταντινουπόλει ὑπατείαι Σφωρακίου καὶ τοῦ δηλωθησομένου

Ἐγράφη Παλλαδίῳ ἐπάρχῳ τῶν κατὰ τὴν Ἀνατολὴν πραιτωρίων, Οὐαλεντινιανῷ ἐπάρχῳ τῶν κατὰ τὸ Ἰλλυρικὸν πραιτωρίων, Τατιανῷ ἐπάρχῳ πόλεως, Βιγκομάλῳ μαγίστρῳ τῶν θείων ὀφφικίων καὶ ὑπάτῳ δεσιγνάτῳ

L IIII 839 M VII 476 Περὶ τοῦ κεκωλύσθαι τὰς παρὰ τῶν Χριστιανῶν διαλέξεις πρόθεμα τοῖς πολίταις ἡμῶν τοῖς Κωνσταντινουπολίταις

23 Οἱ βασιλεῖς Φλάβιος Οὐαλεντινιανὸς καὶ Φλάβιος Μαρκιανὸς αἰώνιοι αὔγουστοι. Μόλις ποτὲ τὸ διὰ μεγίστης εὐχῆς ὑπάρχον ἡμῖν καὶ σπουδῆς ἀποβέβηκεν καὶ ἡ περὶ τοῦ νόμου τῶν ὀρθοδόξων Χριστιανῶν ἐκποδὼν φιλονεικία γεγένηται· μόλις εὕρηται τὰ τῆς ἐπιψόγου πλάνης ἱάματα καὶ τῶν δήμων ἡ διαφωνοῦσα διάνοια πρὸς μίαν ἐλήλυθεν σύννευσιν καὶ ὁμόνοιαν. ἐκ διαφόρων γὰρ ἐπαρχιῶν εὐλαβεῖς κατὰ τὴν Χαλκηδονέων [πόλιν] ἐπίσκοποι συνηθροίσθησαν ἐξ ἡμετέρου προστάγματος καὶ δι' ὅρου σαφῶς ἐπὶ τῇ θρησκείαι τί δέοι παραφυλάττειν, ἐδίδαξαν. ἡ βέβηλος τοίνυν ἔρις τοῦ λοιποῦ σχολαζέτω. καὶ γὰρ ἀσεβὴς καὶ ἱερόσυλος ἀληθῶς ὃς μετὰ τοσούτων ἐπισκόπων ἀπόφασιν τῇ οἰκείαι τί ποτε γνώμῃ καταλιμπάνει πρὸς ἔρευναν, ἐπείπερ ἐσχάτης δηλονότι παρανοίας ἐστὶ τὸ μεσούσης ἡμέρας φῶς σεσοφισμένον ζητεῖν. ὁ γάρ τι μετὰ τὴν εὕρεσιν τῆς ἀληθείας διερευνώμενος περαιτέρω ψεῦδος ζητεῖ. μηδεὶς οὖν κληρικὸς ἢ γοῦν στρατευόμενος ἢ γοῦν ἑτέρας αἱρέσεως οἱασδήποτε περὶ τῆς τῶν Χριστιανῶν πίστεως δημοσίαι συναγομένων ὄχλων καὶ ἀκροωμένων εἰς τὸ ἑξῆς διαλέξεις ποιεῖσθαι τολμάτω, ταραχὰς ἐκ τούτου καὶ κακοδοξίας προφάσεις ἐπινοῶν. τῇ κρίσει γὰρ ὕβριν ποιεῖ τῆς ἁγίας συνόδου ὅστις ἂν τὰ ἅπαξ κριθέντα καὶ ὀρθῶς τυπωθέντα πάλιν ἀνακυλίειν ἐκ διαλέξεως καὶ δημοσιεύειν φιλονεικοίη, ὁπότε τὰ νῦν περὶ τῆς τῶν Χριστιανῶν πίστεως ὁρισθέντα κατὰ τὰς τῶν ἀποστόλων ἐκθέσεις καὶ κατὰ τὰς τῶν ἁγίων πατέρων τῶν τι καὶ η διδασκαλίας καὶ τῶν ρν τυπωθέντα γινώσκεται. οὐδὲ γὰρ ἐλλείψει τιμωρία κατὰ τῶν τοῦδε καταφρονούντων τοῦ νόμου, ἐπειδήπερ οὐ μόνον κατὰ τῆς πίστεως τῆς εὖ διατεθείσης ἐναντίοι χωροῦσιν, ἀλλὰ γὰρ Ἰουδαίοις τε καὶ Ἕλλησιν ἔκπυστα διὰ τῆς τοιᾶσδε φιλονεικίας τὰ σεπτὰ ποιοῦσι μυστήρια. οὐκοῦν εἰ μὲν εἴη κληρικὸς ὁ περὶ θρησκείας δημοσίαι φιλονεικεῖν τολμῶν, ἀποκινηθήσεται τοῦ καταλόγου τῶν κληρικῶν· εἰ δὲ στρατείαι κοσμούμενος, τὴν ζώνην ἀφαιρεθήσεται. καὶ οἱ λοιποὶ δὲ οἱ ἔνοχοι τῷ ἐγκλήματι τούτῳ τῆς βασιλίδος αὐτῆς ἐλαθήσονται πό-

23 Latinum exemplar praeter Rustici uersionem [Φr] in Gestis Latinis III 104 extat in Collectione Gestorum Chalcedonensium Vaticana 8 [Λv]

M, B [= abo], Φr Λv

5 αἱ τρεῖσ αἱ Bab 7 ὑπατείασ M 9—11 MBΦr om. Λv 12—14 Περὶ — αὔγουστοι MBΦr *incipit constitutio ad synodum Calchedonensem. Imperator Marcianus* Λv 12 περὶ Bb 14 φλαύιοσ Bab 17/18 ἀνελήλυθασι Bo σύννευσιν Bab συνέλευσιν Bo *consensum* ΦrΛv συναίνεσιν M 18/19 χαλκηδονίων Bo 19 πόλιν om. M 21 ἀληθῶσ ἀσεβὴσ — ἱερόσυλοσ B 23 παρανοίας] παρῆν οἵασ Bb τῆσ ἡμέρασ Bo σεσοφισμένου Bb 25 γοῦν om. Bo ἢ γοῦν MB [= Φr] *et* Λv 28 τῇ ἁγία συνόδῳ Bb 30/31 ἀποστόλων — τῶν^{2} om. B 31 τριακοσίων δεκαοκτὼ Ba τιῇ Bbo γινώσκεσθαι Bo 33 γὰρ] καὶ Bo 35 φιλονεικεῖν δημοσία M ἀποκινηθεῖται Bb 36 ζωὴν MBo, corr. M 37 οἱ^{2} om. Bo βασιλίδοσ MB *sanctissima* Φr Λv

λεως κατὰ τὴν τῶν δικαστηρίων κίνησιν καὶ ταῖς ἁρμοζούσαις ὑποβληθησόμενοι τιμωρίαις. δῆλον γὰρ ἐντεῦθεν τῇ μανίαι τῇ τῶν αἱρετικῶν τὰς ἀρχὰς καὶ ἐκκαύσεις παρέχεσθαι ἐν ὅσωι τινὲς δημοσίαι διαλέγονται καὶ ἐρίζουσιν. ἅπαντες τούνυν τὰ παρὰ τῆς ἁγίας ἐν Χαλκηδόνι συνόδου ὁρισθέντα παραφυλάττειν ὀφείλουσι τοῦ λοιποῦ μηδὲν ἀμφιβάλλοντες. διὰ τούτου τοιγαροῦν ὑπομνησθέντες τοῦ τῆς γαληνότητος ἡμῶν διατάγματος τῶν δυσσεβῶν φωνῶν ἀπολήξατε καὶ τοῦ περὶ τῶν θείων περαιτέρω ζητεῖν, ὅπερ ἀθέμιτον, ἐπειδήπερ οὐ μόνον ἐκ θείας κρίσεως, καθάπερ πιστεύομεν, τὸ ἁμάρτημα τὸ τοιοῦτο τιμωρηθήσεται, ἀλλὰ γὰρ καὶ τῇ τῶν νόμων καὶ τῇ τῶν δικαζόντων αὐθεντίαι σωφρονισθήσεται. M VII 477 L IIII 842 6

Ἐδόθη πρὸ ⟦ξ⟧ Εἰδῶν Φεβρουαρίων ἐν Κωνσταντινουπόλει d. 7. m. Febr. ⟨a 452⟩

Περὶ τοῦ ἀνατραπῆναι τὰ κατὰ τοῦ τῆς ἁγίας μνήμης Φλαβιανοῦ τοῦ ἐπισκόπου τῆς βασιλευούσης Κωνσταντινουπόλεως καὶ βεβαιωθῆναι τὰ μετὰ ταῦτα ὑπὲρ αὐτοῦ παρὰ τῆς ἁγίας συνόδου τυπωθέντα L IIII 866 M VII 497 12

24 Οἱ αὐτοὶ βασιλεῖς Παλλαδίωι τῶι μεγαλοπρεπεστάτωι ἐπάρχωι τῶν πραιτωρίων, Οὐαλεντινιανῶι ἐπάρχωι τοῦ Ἰλλυρικοῦ, Τατιανῶι ἐπάρχωι πόλεως, Βιγκομάλωι μαγίστρωι τῶν θείων ὀφφικίων καὶ ὑπάτωι δεσιγνάτωι. Οὐδέποτε δόξα τῶι θανάτωι τῶν ἐνδόξων ἀπόλλυται οὐδὲ συναποθνήισκουσι τοῖς τελευτῶσιν αἱ ἀρεταί, μᾶλλον δὲ τῶν ἀγαθῶν ἡ ὑπόληψις αὔξεται τῇι τελευτῇι, ἐπειδήπερ ἅπας ὁ κατὰ τῶν τελευτώντων ἐκποδὼν γίνεται φθόνος. ἐντεῦθεν μετὰ τοσαύτης σπουδῆς καὶ ἐπαίνων τὰ τῶν προγόνων εὐφημεῖται κατορθώματα· ἐντεῦθεν τῶν ἁρίστων ἡ μνήμη μετὰ μεγίστης ἐπιτελεῖται τῆς προσκυνήσεως· ἐντεῦθεν τῶν μεγίστων ἀνδρῶν αἱ ψυχαὶ πολλάκις τὰς εὐκλεεῖς εἵλοντο τελευτάς. συνωμολόγηται γὰρ ἐκείνους μόνους εἰς τὸ διηνεκὲς ἀποθνήισκειν ὧν ἥ τε ζωὴ καὶ ὁ θάνατος σεσιώπηται. τοῦτο καὶ ἐπὶ τοῦ παρόντος οὕτως ἔχειν ἥ τε θεία καὶ ἡ τῶν ἀνθρώπων ἐπιδείκνυσι κρίσις. ὁπότε γὰρ φθόνωι ψευδεῖ ὑπὸ τῆς ἀνέδην συντεθείσης συκοφαντίας ὁ τῆς ἁγίας καὶ προσκυνητῆς μνήμης Φλαβιανὸς ὁ ταύτης τῆς ἐνδόξου πόλεως ἐπίσκοπος τῆς ἀρχιερωσύνης ἦν ἐκβληθεὶς καὶ ὁπότε κατὰ τὸ ἀληθὲς οὐκ ἦν ἑτέρως τῆς ἐπισκοπῆς τελειότερον ἔχεσθαι ἢ τῶι τὴν πίστιν ἣν παρειλήφει, φυλάττειν (οὗτος γὰρ μόνος ἠξίωται τοῦ τυγχάνειν ἐπίσκοπος), ὅμως οὕτω τὸ τούτου λείψανον ἡ βασιλικωτάτη αὕτη πόλις ἐζήτησεν καὶ ἀπέλαβεν, ὡς μακαριώτερον αὐτὸν πάντων τῶν ζώντων ὀφθῆναι, ὥστε τὴν τελευτὴν ἐκείνην τὴν χαλεπὴν νομισθεῖσαν πιστεύεσθαι δι' εὐχῆς γεγενῆσθαι, δι' ἧς ἐκείνην τὴν ἀθάνατον εὐφημίαν ἐπραγματεύσατο. καὶ δὴ τούτοις ἐπηκολούθησεν ἐκεῖνο ὅπερ τοῖς αὐτοῦ γέρασιν ὁ θεὸς ἐδωρήσατο, ὥστε προσκυνητὴν σύνοδον ἀναριθμήτων σχεδὸν ἐπισκόπων συνελθεῖν εἰς τὴν Χαλκηδονέων ἥτις ἐν ὅσωι τὰ κατὰ τὴν πίστιν ἐπιμελῶς ἐκζητεῖ διὰ τῆς αὐθεντίας τοῦ μακαριωτάτου Λέοντος τοῦ τῆς αἰωνίας τὴν δόξαν Ῥώμης ἐπισκόπου καὶ τῆς θρησκείας κυροῖ τὰ θεμέλια, Φλαβιανῶι τὸ βραβεῖον τοῦ τε παρωιχηκότος βίου καὶ τῆς ἐνδόξου παρέσχηκε τελευτῆς. ἐπειδὴ τοίνυν ὁ τῆς προσκυνητῆς μνήμης Φλαβιανὸς τῆι τοσαύτηι καὶ τοιαύτηι κεκόσμηται μαρτυρίαι, ὥστε Εὐτυχῆ τὸν τάναντία πεφρονηκότα μετὰ τῶν μυσαρῶν αὐτοῦ M VII 500 15 21 25 30 35

24 exemplar Latinum extat in Gestis Latinis III 107

M, B [= abo], Φr, Λv [usque ad 10]

2 τῆι ² om. Bb καὶ τὰσ B ἐκβάσεισ Bb 2/3 ποιεῖν παρέχεσθαι Bb 3 διαλέγονται δημοσία Bb δημόσιον διαλέγονται Bo 5 τοῦτο B 6 τὸ θεῖον Bo 7 μόνωσ Bo 8 τοιοῦτον Bbo 10 add. *Sporacio consule* Λv *Sporacio uc et qui fuerit nuntiatus consulibus* Φr 11 ὁσίασ Bo τοῦ ²] τοῦ ἐν ἁγίοις Bo 12 ἐν κωνσταντινουπόλει Bbo 13 παρὰ] ὑπὸ Bb 15/16 Οὐαλεντινιανῶι — δεσιγνάτωι om. Φr 15 Οὐαλεντινιανῶ — Ἰλλυρικοῦ om. M 20 ἡμῖν τῶν B 21 μεγίστων M [= Φr] ἁρίστων B 28 οὗτοσ — μόνοσ MΦr οὕτωσ — μόνοσ [μόνωσ Ba] B οὕτω om. B 29 *et expetiit et* Φr 31 δι' εὐχῆσ πιστεύεσθαι Bb 33 χαλκηδονίων Bo 34 τὰ om. M 36 τοῦ παρωιχηκότος] *sanctae* Φr 37 καὶ τοιαύτη MΦr om. B

ῥημάτων καταδικασθῆναι παρὰ πάντων ἑνὶ στόματι, ἀπαλειφέσθω τὰ τῆς διατάξεως ἐκείνης ἥτις καθ' ἁρπαγὴν τῶν μυσαρῶν μετὰ τὴν τελευτὴν τοῦ τῆς ὁσίας μνήμης Φλαβιανοῦ κατ' αὐτοῦ τεθεῖσα γινώσκεται, καὶ καθόλου σχολαζέτω τὰ ἐξ ἀδικίας τὴν ἀρχὴν ἐσχηκότα ἥ τε ἄδικος ἀπόφασις μηδὲν βλαπτέτω μηδὲ Εὐσέβιον μηδὲ Θεοδώρητον τοὺς θεοφιλεστάτους ἐπισκόπους, οὓς ὁ ὅρος ὁ αὐτὸς περιέχει, ἐπειδήπερ οὐ δύνανται ἐκ διατάξεως ἐπίσκοποι κατακρίνεσθαι οὓς ἐπὶ τῇι φυλακῇι τῆι τῆς πίστεως συνοδικὴ ψῆφος ἐκόσμησεν. ἐκβληθείσης τοιγαροῦν τῆς νομοθεσίας ἐκείνης κατεχέτω τοῦ βίου καὶ τῆς δόξης τῆς ἑαυτοῦ Φλαβιανός, ἥσπερ ἠξίωται, τὸν αἰώνιον ἔπαινον τῆς εὐσταθείας
L IIII 867 τῆς περὶ τὴν πίστιν αὐτοῦ τοῖς λοιποῖς ἐσομένης εἰς ὑπόδειγμα.

Ἡ ὑπέρλαμπρος τοιγαροῦν καὶ μεγαλοφυὴς αὐθεντία σου τὸν σωτηριώδη τοῦτονὶ νόμον προτεθέντων ἰδίκτων εἰς τὴν ἁπάντων ποιήσει γνῶσιν ἐλθεῖν.

d. 6. m. Iul. a. 452 Ἐδόθη πρὸ μιᾶς νονῶν Ἰουλίων ἐν Κωνσταντινουπόλει ὑπατείαι Σφωρακίου τοῦ λαμπροτάτου καὶ τοῦ δηλωθησομένου

M VII 501 Περὶ τοῦ βέβαια εἶναι ταῦτα ἅπερ παρὰ τῆς ἁγίας συνόδου τῆς ἐν Χαλκηδόνι κατὰ Εὐτυχοῦς καὶ τῶν αὐτοῦ μοναχῶν ὡρίσθη

25 Οἱ αὐτοὶ αὔγουστοι τοῖς αὐτοῖς ἄρχουσι. Μεγίστας τῶι παντοκράτορι θεῶι χρὴ ἔχειν καὶ ὁμολογεῖν τὰς χάριτας ὅτι τὰ μύση οὔτε λανθάνειν παντελῶς οὔτε διαμένειν ἀτιμώρητα συγχωρεῖ, ὧν θάτερον μὲν τοῦ βλάπτειν πλείστην ἔχει τὴν ἄδειαν, θάτερον δὲ τοῦ ἁμαρτάνειν ὑπόδειγμα δίδωσι τοῖς λοιποῖς. τοιγαροῦν ἐν φροντίδι τὰς τῶν ἀνθρώπων πράξεις ὑπάρχειν τῶι θεῶι καὶ τὸ τῆς θρησκείας μάλιστα σέβας πρώην ἐν τῶι κυροῦσθαι τὴν καθολικὴν πίστιν περιφανῶς ἀνεδείχθη, ἡνίκα τὸν τοῖς μυσαροῖς ἑπόμενον δόγμασιν Εὐτυχῆ καὶ λανθάνειν, ὡς ἐλάνθανεν, ἐπὶ πλέον οὐκ εἴασεν καὶ ἁλόντα τοῦ μύσους τὴν τιμωρίαν διαφυγεῖν οὐκ ἠνέσχετο. ὅθεν ταῖς ψήφοις οὗτος θεοῦ τε καταδικασθεὶς καὶ ἀνθρώπων ὅρον συνοδικόν, ὡς ἦν ἄξιος, ἀπηνέγκατο θεῶι τε ὑπεύθυνος ὤν, ὧι τὴν ὕβριν ἐποίει, καὶ ἀνθρώποις ἔνοχος, οὓς ἀπατᾶν ἐπεχείρει. πλεῖστοι γὰρ ἔναγχος ἐκ πάσης ὡς εἰπεῖν τῆς οἰκουμένης ὁσιώτατοι κατὰ τὴν Χαλκηδόνα ἀθροισθέντες ἐπίσκοποι τὰ τοῦ μνημονευθέντος Εὐτυχοῦς φαυλότατα πλάσματα μετὰ τῆς πλάνης τῆς ἐν Ἐφέσωι συνόδου τῆς αὐτοῦ χάριν γεγενημένης ἐξέβαλον τοῖς τῶν ἁγίων πατέρων ἀκολουθήσαντες δόγμασι τοῖς τε ἐν Νικαίαι παρὰ τῶν τιη ἐκτεθεῖσι ** καὶ τοῖς ἐν Ἐφέσωι, ἡνίκα τὴν Νεστορίου πλάνην ἐξέκλεισαν προεδρευόντων Κελεστίνου τε τοῦ τῆς Ῥωμαίων καὶ Κυρίλλου τοῦ τῆς Ἀλεξανδρέων πόλεως ἐπισκόπων. τὰ κατὰ τὴν ἀρχαιοτάτην τοίνυν διδασκαλίαν ὑπὸ τῆς προσκυνητῆς συνόδου τῆς ἐν τῆι Χαλκηδονέων ὁρισθέντα κατ' ἐκείνην τὴν πίστιν δι' ἧς τὸν θεὸν σέβομεν, φυλάττεσθαι διὰ παντὸς ἐθεσπίσαμεν καὶ θεσπίζομεν. ἀκόλουθον γὰρ σφόδρα καθέστηκε τῶν φκ ἐπισκόπων τῶν καθαρᾶι διανοίαι τὸν θεὸν θρησκευόντων τοὺς τύπους τοὺς ὑπὲρ τῆς ἁγιω-

---

25 Latinum exemplar praeter Gesta Latina III 108 [Φr] extat in Collectione Hispana et codice Albigensi [Λs]

M, B [= abo], ΦrΛs

2 καταρπαγὴν M τὴν om. Bo 4 θεοδώριτον B 5 δύναται Bo 8 ἥσπερ BΦr ὥσπερ M εὐσταθίασ MBbo 9 ἐσομένοισ Bbo εἰς om. B 11 ἐδίκτων Bab ἐκδίκων Bo post ἐλθεῖν add. *Palladio praef. praet.* Φr 12 νόννων Bao ὑπατείασ M 16 τοῖς — ἄρχουσι MB *Palladio praef. praet.* [huc usque Λs] *et eodem exemplo Valentiniano praef. Illyrici, Tatiano praef. urbis, Vincomalo magistro officiorum et consuli designato* ΦrΛs τῶι om. Bo 17 τὰς om. M τὰ μύση MBΦr *auctores* [*scelerum* addiderim] *heresisque occulta* Λs 18 συγχωρεῖν Bo ἔχειν Ba 19 ἁμαρτάνοντοσ Bo 21 ἀπεδείχθη M 22 πλεῖον Bo 25 ἁπαντᾶν Bo 29 τε om. M excidernnt *uel in hac postea alma urbe a CL sunt episcopis declarata* [*decreta* Φr] ΦrΛs 31 τε om. Bo 32 τῆι om. MBb 33 χαλκηδονίων Bo 34 φκ M [= Φr et codex Albigensis *DCXXX* Hispana] om. B

τάτης καὶ ὀρθοδόξου πίστεως πεφυκότας κατὰ τοὺς τῶν πατέρων κανόνας μετὰ μεγίστου φυλάττεσθαι τοῦ σεβάσματος. ἐπειδὴ δὲ τῆς βασιλικῆς προνοίας ἐστὶ πᾶν φαῦλον ἐν ἀρχῇ καταπαύειν καὶ τὴν ἕρπουσαν νόσον διὰ τῆς τῶν νόμων ἰατρείας ἐκτέμνειν, διὰ M VII 504
τοῦδε τοῦ νόμου θεσπίζομεν τοὺς ὑπὸ τῆς μανίας Εὐτυχοῦς ἀπατωμένους καθ' ὑπόδειγμα τῶν Ἀπολιναριστῶν, οἷς ἠκολούθησεν Εὐτυχὴς καὶ οὓς οἱ σεπτοὶ τῶν πατέρων τύποι, τουτέστιν οἱ τῆς ἐκκλησίας κανόνες καὶ αἱ θεῖαι διατάξεις τῶν πάλαι βασιλέων καταδικάζουσι, μηδένα ⟨ἐπίσκοπον, μηδένα⟩ ἔχειν πρεσβύτερον μηδέ τινας κληρικοὺς ἢ ἔχειν ἢ ὀνομάζειν καὶ αὐτὸν Εὐτυχῆ τῆς τοῦ πρεσβυτέρου προσηγορίας, ἧς ἀνάξιος ὢν ἐγυμνώθη, καθόλου στερίσκεσθαι. εἰ δέ τινες ἄντικρυς τῶν παρ' ἡμῶν ὁρισθέντων ἐπισκόπους ἢ πρεσβυτέρους ἢ καὶ λοιποὺς κληρικοὺς χειροτονῆσαι τολμήσαιεν, αὐτούς L IIII 870
τε τοὺς χειροτονουμένους καὶ τοὺς χειροτονοῦντας ἢ περιποιοῦντας ἑαυτοῖς κατὰ πρό- 11
ληψιν τὸν βαθμὸν τὸν τῶν κληρικῶν μετὰ τὸ καταδικασθῆναι τῇ τῶν ὑπαρχόντων ἀποβολῇ καὶ ἐξορίαι διηνεκεῖ συσχεθῆναι προστάττομεν τοῦ συνιέναι τε ἤτοι συνάγεσθαι ἢ μοναχοὺς συναθροίζειν ἢ οἰκοδομεῖν μοναστήριον οὐδεμίαν αὐτοὺς ἔχειν κελεύομεν ἄδειαν, καὶ αὐτοὺς δὲ τοὺς τόπους, εἰ πειραθεῖεν ἴσως ποτὲ συνιέναι, δημοσιεύ- 15
εσθαι, ὅμως εἰ τοῦ δεσπότου τοῦ τόπου ἐγνωκότος συνέλθοιεν· ὡς εἴ γε ἀγνοοῦντος, τὸν διοικητὴν εἴτ' οὖν μισθωτὴν τοῦ τόπου βασανισθέντα ῥάβδοις μετὰ δημεύσεως ἐξορίαν ὑπεισιέναι θεσπίζομεν. πρὸς τούτοις οὐδὲν αὐτοὺς ἐκ διαθήκης δέχεσθαι οὐδὲ τοῖς ἐκ τῆς αὐτῆς πλάνης ὑπάρχουσι καταλιμπάνειν, [ἀλλ'] οὐδεμίαν μετιέναι στρατείαν αὐτοὺς ἀνεχόμεθα, εἰ μή τι ἄρα τὴν τῶν κορταλίνων ἢ τῶν λιμιτανέων· εἰ δὲ καί 20
τις ἐν ἑτέραι παρὰ τὴν προειρημένην εὐρεθείη στρατείαι ἢ διὰ τὸ ἠγνοῆσθαι αὐτοῦ τὴν ἐκ τῆι θρησκείαι διαστροφὴν ἢ καὶ διὰ τὸ μετὰ τὴν ζώνην εἰς ταύτην αὐτὸν ἐληλυθέναι τὴν πλάνην, τῆς στρατείας ἀφαιρεθεὶς τοῦτον καρπὸν τῆς οἰκείας κακοδοξίας ἐχέτω τὸ καὶ τῆς τῶν ἀγαθῶν ἀνδρῶν καὶ τῆς τοῦ παλατίου στερίσκεσθαι μετουσίας καὶ μήτε ἑτέρωθι, εἰ μὴ ἐν ἧι ἐτέχθησαν κώμηι ἢ πόλει, αὐτοὺς ἀναστρέφεσθαι, ὡς εἴ γε 25
τινὲς τούτων ἐκ ταύτης ὁρμῶνται τῆς πανευδαίμονος πόλεως, ὃ πιστεύειν ἀθέμιτον, ἀπὸ ταύτης τε τῆς βασιλίδος πόλεως καὶ τοῦ θείου κομιτάτου καὶ πάσης ἐλαυνέσθωσαν μητροπόλεως. καὶ ταῦτα μὲν γενικῶς περὶ πάντων ὁρίζομεν τῶν κρατουμένων τῶι μιάσματι τοῦδε τοῦ νοσήματος ἢ μελλόντων ἐνέχεσθαι· τοὺς μέντοιγε πρὸ τούτου κληρικοὺς ὄντας τῆς ὀρθοδόξου πίστεως καὶ μοναχοὺς τοὺς τὸ αὐτὸ οἰκήσαντας Εὐτυχεῖ κατα- 30
γώγιον (οὐδὲ γὰρ λέγειν προσήκει μοναστήριον ὅπερ τοὺς τῆς εὐσεβείας ἔσχεν ἐχθρούς) τοὺς εἰς τοῦτο ἐλάσαντας μανίας, ὥστε καταλειφθείσης τῆς εὐσεβῶς προσκυνουμένης θρησκείας καὶ τῆς συνοδικῆς κρίσεως ἣν οἱ σχεδὸν ἐκ πάσης τῆς οἰκουμένης ἐν Χαλκηδόνι συναχθέντες ὥρισαν ἱερεῖς, ἀκολουθῆσαι τοῖς φαύλοις διδάγμασιν Εὐτυχοῦς, ἐπειδήπερ M VII 505
τὸ ἀληθὲς φῶς καταλείψαντες τὸν σκότον ἐπιλέξασθαι δεῖν ὠιήθησαν, πάσαις ταῖς τιμω- 35
ρίαις ταῖς καὶ τῶιδε τῶι νόμωι καὶ ταῖς προηγουμέναις κατὰ τῶν αἱρετικῶν ὡρισμέναις κατασχεθῆναι κελεύομεν, μᾶλλον μὲν οὖν ἐξ αὐτοῦ τοῦ Ῥωμαίων ἐδάφους βάλλεσθαι,

---

M, B [= abo], ΦrΛs

1 μέγιστον Bb 2 δὲ] καὶ Bo 4 τοῦδε] δὲ Bo 5 ἀπολιναριαστῶν B 7 μηδέ τινα Bo ἐπίσκοπον, μηδένα suppleui ex ΦrΛs 9 ἄντικρυ Bb 11 χειροτονημένους Bb 12 δικασθῆναι M ἐπαρχόντων Bo 13 διηνεκῆ M 13/14 συνάγεσθω M 14 οὐδὲ μύραν M ἔχειν om. Bb 16 ἐγνωκότες M 17 ἤτοῦν MBo 18 πρὸς δὲ B 19 ἀλλ' B om. M [= ΦrΛs] 20 αὐτοὺς M [= ΦrΛs] om. B κουαρταληνῶν M λιμητανέων B 21 ἐν om. M στρατείαν M 22 διαστροφὴν ΦrΛs διατροφὴν M ἀναστροφὴν B τὸ] τὰ M ζωὴν M αὐτῶι Bo 23 τοῦτο B 24 τῆσ² B τῶν M 25 πόλιν Bb 26 τῆς] τὸ M 27 τῆσ τε Bb 28 τῶν ἢ M 29 τοῦδε M τούτω B ἀνέχεσθαι Bo 30 εὐτυχῆ Bo 31 εἶχεν M 32 τοῦτο B [= ΦrΛs] τοσοῦτον M 33 οἱ om. B 33/34 συναχθέντες ἐν χαλκηδόνι B 35 τὸ σκότος Bb 35/36 spat. ρίαις Bb 36 ταῖς² B τοῖς M προηγουμέναις Bb corr. προηγουμένοις M προηγουμένως B 37 καὶ λέγομεν Bb μᾶλλον — βάλλεσθαι [malim ἐκβάλλεσθαι] M [= ΦrΛs] om. B

καθάπερ αἱ πρότερον εὐσεβεῖς διατάξεις περὶ Μανιχαίων ἐτύπωσαν, ὅπως ἂν μὴ ταῖς τούτων πεφαρμαγμέναις ἀπάταις καὶ τοῖς ἐναγεστάτοις σοφίσμασι τῶν ἀκάκων καὶ ἀσθενεστέρων οἱ λογισμοὶ δελεάζωνται. πρὸς τούτοις ἔγνωμέν τινα ψεύδεσθαι τούτους εἰς ὕβριν τῆς εὐσεβείας καὶ φθόνον τῶν ὡρισμένων παρὰ τῆς ἁγίας συνόδου καὶ συγγραφομένων βιβλίων τε καὶ τόμων ἐν χάρταις πάνυ πολλοῖς ταῦτα πλάττειν ἅπερ τὴν μανίαν αὐτῶν ὑπεναντίον τῆς ἀληθοῦς πίστεως σαφέστατα διελέγχει, καὶ διὰ τοῦτο προστάττομεν, ὅπου δ' ἂν εὑρεθῇ τὰ τοιάδε συγγράμματα πυρὶ κατακαίεσθαι, τοὺς δὲ συγγραψαμένους ἢ πρὸς ἀνάγνωσιν δεδωκότας ἑτέροις σπουδῇ τοῦ μαθεῖν ἢ διδάξαι θεσπίζομεν τῇ μετὰ δημεύσεως ἐξορίαι κολάζεσθαι. τοῦ δὲ διδάσκειν τὴν ἀσεβῆ ταύτην αἵρεσιν, καθάπερ ἤδη τοῖς ἰδίκτοις τῆς ἡμετέρας θειότητος περιέχεται, πάντων τὴν ἄδειαν περιείλομεν, ὅτι γε δὴ διὰ τῆς ἐσχάτης κολασθήσεται τιμωρίας ὁ τὰ παράL IIII 871 νομα διδάσκειν ἐπιχειρῶν, τοὺς δὲ σπουδάζοντας ἀκροᾶσθαι τῶν τῇ μυσαρᾷ διαλέξει χρωμένων δέκα λιτρῶν χρυσοῦ τιμωρίαι καταπαύομεν. οὕτω γὰρ ἡ πρόφασις ἡ τῆς πλάνης ὑφελκυσθήσεται, εἰ τῶν ἁμαρτημάτων ἐλλείψοι καὶ ἀκροατὴς καὶ διδάσκαλος.

Ἡ ὑπέρλαμπρος τοιγαροῦν καὶ μεγαλοφυὴς αὐθεντία σου προτεθέντων ἰδίκτων πᾶσιν ἃ προσετάξαμεν, γνώριμα ποιησάτω, εἰδότων τῶν ἐν ταῖς ἐπαρχίαις ἀρχόντων καὶ τῶν τάξεων τούτων καὶ τῶν ἐκδίκων τῶν πόλεων ὡς εἴγε τὰ καθαρᾶι πίστει καὶ ἁγίαι προθέσει φυλαχθῆναι παρ' ἡμῶν θεσπισθέντα ἢ ῥαθυμίας ἀξιώσουσιν ἢ συγχωρήσουσι παραβαίνεσθαι, ἕκαστος ἀνὰ ῑ λιτρῶν προστίμωι χρυσίου βαλλόμενος ὡσανεὶ προδόται τῆς εὐσεβείας καὶ τῶν νόμων καὶ περὶ αὐτὴν ἔσονται κάμνοντες τὴν ὑπόληψιν.

Καὶ ὡσαύτως ἐγράφη Οὐαλεντινιανῶι ἐπάρχωι τοῦ Ἰλλυρικοῦ καὶ Τατιανῶι ἐπάρχωι πόλεως καὶ Βιγκομάλωι μαγίστρωι καὶ ὑπάτωι δεσιγνάτωι

d. 18. m. Iul. a. 452 Ἐδόθη πρὸ ιε̄ Καλανδῶν Αὐγούστων ἐν Κωνσταντινουπόλει ὑπατείαι Σφωρακίου τοῦ λαμπροτάτου καὶ τοῦ δηλωθησομένου

L IIII 855 M VII 488 Ἀντίτυπον θείων γραμμάτων πεμφθέντων ἀρχιμανδρίταις καὶ λοιποῖς ἐν Αἰλίαι καὶ τοῖς περὶ αὐτὴν οἰκοῦσι μοναχοῖς παρὰ τοῦ θειοτάτου καὶ εὐσεβεστάτου ἡμῶν δεσπότου Μαρκιανοῦ τοῦ αἰωνίου αὐγούστου

26 Ἐντυχὸν τὸ ἡμέτερον κράτος ταῖς δεήσεσιν ἃς πρὸς τὴν εὐσεβεστάτην καὶ θειοτάτην δέσποιναν τὴν ὁμόζυγον τῆς ἐμῆς γαληνότητος ἐξεπέμψατε, τοῖς πράγμασιν ἐπείσθην ὡς οὐχ ἱκετηρίαν ἐπέμψατε, δεήσεων δὲ προσχήματι τὸν ἀσεβῆ καὶ τοῖς τοῦ θεοῦ νόμοις καὶ τῇ πολιτείαι τῶν Ῥωμαίων ἐναντίον καταστάντα σκοπὸν ὑμῶν ἀπεδείξατε. δέον γὰρ τὴν ἡσυχίαν ἄγειν καὶ τελεῖν ὑπὸ τοὺς ἱερέας καὶ τοῖς ἐξ αὐτῶν μαθήμασι προσομιλεῖν, διδασκάλων τάξιν ὑπὸ τῆς ἄγαν αὐθαδείας ἑαυτοῖς ἐπενοήσατε οἱ μηδὲ τὰ παρὰ τῶν διδασκόντων ὀρθῶς μαθεῖν ἀνασχόμενοι, πείσαντες δὲ ἑαυτοὺς ἀνοήτως ὅτι δεῖ μᾶλλον ὑμῖν πάντας ἀκολουθεῖν πρὸς τὴν τῆς πίστεως εἴδησιν ἢ ταῖς τῶν ἁγίων ἀποστόλων καὶ προφητῶν βίβλοις τοῖς τε παρὰ τῶν τῆς θείας μνήμης πατέρων παραδοθεῖσι παραγγέλμασιν. ὥσπερ δὲ τῶν προλαβόντων ἐλάττονα πλημμελοῦντες, εἰ ψευδέσι διδα-

---

26 Latine extat in Collectione Sangermanensi [uol. V] 2 [Λ]; cf. Leonis ep. 61 ad Marcianum d. 21 m. Mart. a. 453 [uol. 4 p. 67, 34]: *mihi per .... Iulianum episcopum innotuisse significo quam pio dignaris fueritis responso imperitorum monachorum animos et cohibere pariter et docere* et ep. 63 p. 69, 24

M, B [= abo, inde a 12 τοὺς δὲ σπουδάζοντας = ao] ΦrΛs [usque ad 24], Λ [inde a 25]

2 πεφαρμαγμέναισ B [= ΦrΛs] πεπραγμέναισ M 3/4 εἰσ — εὐσεβείασ τούτουσ B 4 περὶ Bb 5 πολλοῖσ ταῦτα MB *plura* ΦrΛs πράττειν Bo 7 γράμματα Bb 10 ἐδίκτοισ Bab ἐκδίκοισ Bo 11 ἴδειαν M 12 post ἐπιχειρῶν pergit γέγονε πῶσ χωρισθῆναι [p. 126, 27] Bb 14 in fine sententiae add. *Palladi parens carissime atque amantissime* Λs 15 ἐδίκτων Ba ἐκδίκων Bo 16 γνώριμον Bo 18 ἀξιώσωσιν M συγχωρήσωσι M 21/22 om. Λs 23 ἐδόθη δὲ M cf Φr δέκα πέντε BΦrΛs ε̄ M ὑπατείασ M 28 ἐντυχὼν Bo 29 *nostrae* Λ ἐπείσθην BΛ ἐπείσθη M 33 ὑπενοήσατε Bo 35 *perfectae fidei* Λ 37 τῶν om. Ba

σκαλίαις τὰ παρ' ὑμῶν τετολμημένα ἐπισκιάζειν βουληθείητε, οὐδὲν τῆς ἀληθείας ἐχόμενον ταῖς ἱκετηρίαις ἐδιδάξατε φάσκοντες μήτε τῶν ἐμπρησμῶν μήτε τῶν φόνων μήτε τῶν ἄλλων ἀτοπημάτων ὑμᾶς αἰτίους ἢ τὰ μοναστήρια καθεστάναι, τῶν δὲ τὴν πόλιν οἰκούντων καί τινων ξένων ἔργον γεγενῆσθαι τὰ μνημονευθέντα δεινά. ἔλαθεν δὲ οὐδὲν L IIII 858
τῶν τετολμημένων τὴν ἡμετέραν εὐσέβειαν καὶ πράξεσιν ὑπομνημάτων καὶ ἀναφοραῖς τῶν 5
καθ' ἕκαστον φανερωθέντων ὅπως τε ἡ τῶν Αἰλιέων παρ' ὑμῶν ὡσανεὶ πολεμίων κατελήφθη πόλις τῶν οἰκεῖν τὰ μοναστήρια καὶ τοῖς τοιούτοις προσεδρεύειν μόνον τόποις ὀφειλόντων ἥ τε τοῦ τῆς εὐλαβοῦς μνήμης διακόνου δυσσεβῶς τολμηθεῖσα σφαγὴ καὶ ὡς τὸ ἐκείνου σῶμα μετὰ τὴν ἀναίρεσιν καὶ τῆς κοινῆς χραινομένης ὁσίας ἑλκόμενον ἀναισθήτως ὑβρίζετο ὅπως τε ἐνεπρήσθησαν μὲν αἱ οἰκίαι, αἱ δὲ τῆς πόλεως ἀπεκλείσθησαν M VII 489
πύλαι ὡς ἐν αὐτονομίαι τά τε τείχη τῆς πόλεως ἐφυλάττετο καὶ τῆς εἱρκτῆς βιαίως 11
ἀνοιχθείσης τοῖς τὰ δεινὰ τετολμηκόσιν ἄφεσις τῶν τιμωριῶν καὶ φυγῆς ἐπικινδύνου παρείχετο πρόφασις. προβαίνοντος δὲ ἐπὶ χείρω τοῦ κακοῦ τοῖς ὕστερον χαλεποῖς μικρὰ τὰ προλαβόντα δεικνύντες Ἰουβενάλιον τὸν ὁσιώτατον ἐπίσκοπον καὶ ἑτέρους εὐλαβεῖς ἱερέας διὰ τοῦ πεμφθέντος ἀνελεῖν ἠβουλήθητε· ὡς δὲ τῆς ἐλπίδος ὁ σταλεὶς 15
ἐσφάλη, πάρεργον τῆς αὐτοῦ μανίας καὶ τῶν ἀποστειλάντων αὐτὸν ἐποιήσατο Σευηριανὸν τὸν τῆς ὁσίας μνήμης ἐπίσκοπον ξίφει διαχρησάμενος μηδὲ τῶν συνόντων αὐτῶι φεισάμενος. ταῦτα καὶ τούτων δεινότερα πλημμελήματα καὶ ὅπως τετόλμηται καὶ τίνων διαπραξαμένων ἢ καὶ προτρεψαμένων, γνωρίζει τὰ διαφόρως ἐν τοῖς δικαστηρίοις ἰδικῶς ἀποδειχθέντα καὶ ταῖς θείαις ἡμῶν ἀκοαῖς μηνυθέντα, ἔλεγχον ἀκριβῆ φέροντα 20
τῆς ὑμετέρας γνώμης, ἀφ' ἧς προχείρως ἐπὶ τὸ πλεῖστον πλημμελεῖν ἐτράπητε, οὐ τὴν τοῦ θεοῦ πίστιν ἐκδικεῖν ἢ γοῦν συγκροτεῖν βουλόμενοι, ἀλλ' ἑαυτοῖς τὰς προεδρίας καὶ τὰς ἱερωσύνας, ὧν ἀλλότριοι παντάπασι πεφήνατε, περιποιεῖν ἐπὶ λύμηι τῶν πόλεων ἐσπουδακότες. θαυμάζειν δὲ τῆι εὐσεβείαι τῆι ἡμετέραι πάρεστι τίνος ἕνεκεν Εὐτυχῆ μὲν ἀναθεματίζετε καλῶς γε τοῦτο ποιοῦντες, Θεοδοσίωι δὲ τῶι πάντα τολμηρῶι 25
ἑαυτοὺς ἐξεδώκατε τῶι φρονοῦντι τὰ Εὐτυχοῦς, ὃς τὴν Βαλεντίνου καὶ Ἀπολιναρίου κατὰ τῆς ὀρθοδόξου πίστεως ζηλώσας μανίαν ταῖς μὲν ἁγιωτάταις ἐκκλησίαις θορύβων, ταῖς δὲ πόλεσιν ἀνατροπῆς καὶ βλάβης ἀφορήτου γεγένηται πρόξενος, ὑμῖν δὲ κατέστη τῶν οὕτως ἀθεμίτων καὶ παρανόμων πράξεων ἀρχηγός. τῆς μὲν οὖν δυσσεβείας καὶ τῶν πλημμελημάτων πάντων ὑφέξετε δίκας ἀξίας τῶι τῶν ὅλων δεσπότηι καὶ σωτῆρι 30
Χριστῶι, ὧν τὴν αἰτίαν δεδώκατε (οὐ γὰρ ἀνέξεται ἡ θεία δύναμις ἀτιμώρητα προβῆναι τὰ εἰς τὴν εὐαγῆ πίστιν δυσφήμως καὶ εἰς τὰς ἁγίας ἐκκλησίας καὶ εἰς τοὺς ὁσίους ἄνδρας ἐλεεινῶς ἀναιρεθέντας ἀθεμίτως τετολμημένα), ἡ δὲ ἡμετέρα γαληνότης οὐδὲν τοιοῦτο κατὰ τῶν μοναχῶν προσέταξε γενέσθαι, μόνην δὲ τὴν Αἰλιέων κατασχεθῆναι πόλιν, τοῦ λοιποῦ γοῦν ἐπὶ τῆι τῶν οἰκούντων ἡσυχίαι φυλαχθησομένην. τὸ δὲ 35
ὑμέτερον θράσος ἐναντία τοῖς τῶν μοναχῶν παραγγέλμασι διαπραττόμενον πόλεμον ἤρατο κατὰ τῆς κοινῆς εὐταξίας καὶ πλῆθος ἀθροῖσαν τῶν τε ληιστευόντων καὶ ἄλλως παρανομεῖν εἰωθότων καὶ ὅπλα κατὰ τῶν εὐνομουμένων κινῆσαν σφαγῆς καὶ ἁλώσεως καὶ ἑτέρων χαλεπῶν τοῖς τὴν χώραν οἰκοῦσιν αἴτιον κατέστη, ὡς κινηθὲν τὸ ἡμέτερον 39
κράτος ἐπαγανακτῆσαι μὲν τοῖς πεπλημμελημένοις, ἐμφύτωι δὲ φιλανθρωπίαι νικηθὲν M VII 492

M, B [= ao, inde a 5 πρὸσ εὐσέβειαν καὶ πράξεσιν (cf. p. 128, 14) = abo], Λ
5 πρὸσ εὐσέβειαν B^b τῶν²] τὸν M 6/7 κατελείφθη B^b 7 μόνον om. Λ 9 ὁσίας edd. Romani οὐσίασ MB 12 ἄφεσιν M ἐπικίνδου B^o 13 χείρω ΜΛ χεῖρον B 15 ἱερεῖσ B^o 16/17 σεβηριανὸν B *Seuerinum* Λ 17 διαχειρισάμενοσ B^o 19 ἢ καὶ προτρεψαμένων ΜΛ om. B γνωρίζει τὰ ΜΛ γνωρίζεται B 19/20 -φόρως — θείαις om. B^o 19 τοῖς om. B 20 καὶ ἔλεγχον B^o 21 τὴν] τὸν M 24/25 θαυμάζειν — ποιοῦντες om. B 26 βαλλεντίνου M βαλεντίου B^o 27 θόρυβον B^o θορυβὰσ M 28 γεγένηται πρόξενοσ ἀφορήτου B^b 29 ἀφορίτων B^b 30 *dabit* [= ὑφέξεται] Λ 31 ὧι Λ 32 εἰς τὴν om. B^b εἰς² om. B^o 33 ἡ] ὁ M 34 τοιοῦτον B 37 τε om. B^o ἄλλων Λ 40 ἐπανακτῆσαι M φιλανθρωπίαι om. B^b κινηθὲν B^o

L IIII 859 τοὺς τῶν φόνων καὶ τῶν ἐμπρησμῶν εὑρισκομένους αἰτίους ⟨μόνους⟩ δίκας ὑποσχεῖν παρακελεύσασθαι, εἰ καὶ ὅτι καὶ καθ' ὑμῶν ἦν τὰ τῆς ἀγανακτήσεως προβῆναι καταλειψάντων μὲν τὰ μοναστήρια, οἷς ὑμᾶς διὰ παντὸς προσεδρεύειν τὸ ἐπάγγελμα παρακελεύεται, τολμησάντων δὲ τοιαῦτα ἃ τῶν ἐσχάτων τιμωριῶν ἄξια καθέστηκεν. ἐπειδὴ δὲ καὶ διδάσκειν ἀντὶ τοῦ μανθάνειν ἐπιχειρεῖτε οὐκ εἰδότες τὰ θεῖα λόγια φανερῶς διαMt. 10, 24 γορεύοντα ὡς οὐκ ἔστι μαθητὴς ὑπὲρ τὸν διδάσκαλον [οὐδὲ δοῦλος ὑπὲρ τὸν κύριον] αὐτοῦ, ποίαις διδασκαλίαις τοῦ σωτῆρος τῶν ἡμετέρων ψυχῶν ἢ τῶν ἁγιωτάτων ἀποστόλων καὶ πατέρων ἠκολουθήσατε; οὐ γὰρ ἂν ταῖς οἰκείαις ἑπόμενοι δυσσεβείαις λέγειν τολμήσοιτε ὡς ἐπὶ φόνοις ἢ πλημμελήμασιν ἑτέροις ἅπερ ὑμεῖς διεπράξασθε, τὰ τῶν ἁγίων προεμβαίνει διδάγματα. ἐπειδὴ δὲ δύο φύσεις ἀκούοντες θαμβεῖσθαι τὰς ὑμετέρας ψυχὰς ἐδιδάξατε ὥς τινος καινοφωνίας ταῖς ὑμετέραις ἀκοαῖς προσαγομένης, ἵστε ὡς ὑμῖν μὲν τὴν περὶ τούτων ἐξέτασιν πολυπραγμονεῖν οὐ προσήκει συνιέναι τὴν ἐπὶ τούτοις λεπτότητα μὴ δυναμένοις, ἡμεῖς δὲ τὰς τῶν πατέρων ἐκδεξάμενοι διδασκαλίας τὴν φύσιν νοοῦμεν ἀλήθειαν. τοῦτο γάρ ἐστιν ὃ φρονοῦμεν καὶ φαμὲν ὅτιπερ ὁ δεσπότης ἡμῶν καὶ σωτὴρ Ἰησοῦς Χριστὸς θεὸς ἀληθῶς καὶ ἄνθρωπος ἀληθῶς ἐστιν ὁ αὐτός, καθὼς καὶ ὁ ἁγιώτατος ἀπόστολος Παῦλος τὴν φύσιν ἀλήθειαν νοῶν
Gal. 4, 8 ἐν τῇ πρὸς Γαλάτας ἐπιστολῇ διδάσκει σαφῶς λέγων ἀλλὰ τότε μὲν οὐκ εἰδότες θεὸν ἐδουλεύσατε τοῖς φύσει μὴ οὖσι θεοῖς, τουτέστιν ἀγνοοῦντες τὸν ἀληθῶς θεὸν τοῖς μὴ κατὰ ἀλήθειαν οὖσι θεοῖς [ἐδούλευσαν]. ἐκ τούτων φανερῶς ὅτι φύσις ἐστὶν ἡ ἀλήθεια, σημαίνεται, εἰ καὶ ὅτι περὶ φύσεων ἐν τῶι τῆς πίστεως οὐ περιέχεται συμβόλωι τῶι ἐκτεθέντι παρὰ τῶν τιη ἁγίων πατέρων. οὔτε γάρ τις τότε περὶ τούτου ζήτησις ἐκινήθη, οὔτε δὲ νῦν καινοτομία τις κατὰ τῆς αὐτῆς ἐπενοήθη πίστεως, ἀλλὰ τὰ τῶν ἁγίων πατέρων τῶν ἐπὶ ὀρθοδοξίαι λαμψάντων ἐκυρώθη παραγγέλματα. ὑμεῖς δὲ οἱ μὴ χρῆναι λέγοντες φυσιολογεῖν αὐτοὶ τοῦτο ποιοῦντες ἁλίσκεσθε, διαρρήδην ἐν ταῖς παρ' ὑμῶν ἀποσταλείσαις δεήσεσι φύσεως μεμνημένοι καὶ λέγοντες· πῶς τίκτει παρθένος καὶ μένει παρθένος; καὶ πῶς γεννᾶι κατὰ φύσιν τὸν
Ioh. 1, 14 ὑπὲρ φύσιν; καὶ ἐν τοῖς ἑξῆς δέ· ὁ γὰρ λόγος σὰρξ ἐγένετο· ὃ δὲ γέγονεν, πῶς χωρισθῆναι
M VII 493 δύναται; γέγονε δὲ οὐ τραπεὶς τὴν φύσιν οὐδὲ μεταβληθεὶς τὴν θεότητα. ὁρᾶτε οὖν πῶς φύσεως πανταχοῦ μέμνησθε οἱ πρὸς αὐτὸ τὸ τῆς φύσεως ὄνομα ταραττόμενοι καὶ πανταχόθεν ἑαυτοῖς τοῦ συκοφαντεῖν τὰ παρὰ τῆς ἁγίας συνόδου ἀληθῶς ἐπὶ τῆι πίστει κυρωθέντα ἀφορμὰς περιποιεῖτε; ἁμαρτάνοντες καὶ κατὰ τοῦτο ὅτι ψευδόμενοι φατὲ ὡς ἐδογματίσθη λέγειν δύο υἱοὺς καὶ δύο Χριστούς. ὅπερ οὐχ οὕτως ἔχει· ἀπαγορεύοντες γὰρ ἀναθεματίζομεν τοὺς τοῦτο γράψαντας ἢ εἰπόντας ἢ καὶ λέγειν τολμῶντας. τὸ γὰρ ἡμέτερον κράτος τῶι συμβόλωι τῶν τιη ἁγίων πατέρων τόν τε προλαβόντα χρόνον ἠκολούθησεν καὶ εἰς τὸ ἑξῆς πείθεται πιστεῦον τὸν δεσπότην ἡμῶν καὶ σωτῆρα Ἰησοῦν Χριστὸν ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου τῆς
L IIII 862 θεοτόκου τετέχθαι. τὴν γὰρ ὀρθόδοξον πίστιν ὡς παρελάβομεν, διηνεκῶς φυλάττειν

M, B [= a, b (usque ad 27 σὰρξ ἐγένετο et inde a γέγονε, cf. p. 124, 12), o]

1 τῶν¹ om. M μόνους ex Λ addidi 3 ἡμᾶσ MBᵒ 5 δὲ Bᵒ Λ om. MBᵃᵇ ἐπιχωρεῖτε Bᵇ 6 ὡς om. Bᵒ 6/7 οὐδὲ — κύριον om. Λ 7 ὑμετέρων Bᵇ 9 τολμήσητε B 10 προεμβαίνει M *procedebat* Λ ἐμμένει Bᵃᵇ ἐμμένειν Bᵒ 10/11 τὰσ — ψυχὰσ θαμβεῖσθαι B κενοφωνίασ Bᵃᵇ 13 *suscipientes* Λ ἐκλεξάμενοι MB 14 ἀλήθειαν — φρονοῦμεν MΛ om. B *simul et* Λ 15/16 ὁ αὐτὸσ ἀληθῶσ ἐστιν Bᵒ 18/19 τουτέστιν — ἐδούλευσαν om. B 19 ἐδούλευσαν om. Λ 20 σημαίνει BᵇΛ 21 περιδέχεται Bᵇ 22 τότε MΛ om. B δὲ om. Bᵃ 23 πατέρων MΛ om. B 24 αὐτὸ Bᵇ 25 ἁλίσκεσθαι Bᵒ 26 πάλιν μένει Bᵇ 27 ἐν om. Bᵇ ἑξῆς om. Bᵒ ὃ MBᵃᵒ *quomodo* Λ 28 γέγονασ M 29 *memoriam facietis* Λ πρὸ Bᵇ 32 ἐδογματίσθην Bᵒ 33 ἀπαγορεύοντασ Bᵒ γράψαντασ] λέγοντασ ἢ γράψαντασ Bᵇ 33/34 τολμῶντασ λέγειν Bᵇ 34 *nostra tranquillitas* Λ 35 πείθεται πιστεύοντασ Bᵒ *credo atque profiteor* Λ 36 χν̄ ιν̄ Bᵒ 36/37 παρθένου θεοτόκου Bᵃᵒ παρθένου Bᵇ

σπουδάζομεν ὃν τρόπον καὶ ἡ ἁγία σύνοδος ἥτις κατὰ τὴν Χαλκηδονέων ἔναγχος συνεκροτήθη, πιστεύουσα διδάσκει βεβαιοῦσα τὸ σύμβολον καὶ σύμφωνα νοοῦσα τοῖς τε αὐτοῖς ἁγίοις πατράσι καὶ τῇι συνόδωι τῇι κατὰ Ἔφεσον ἧς Κελεστῖνος καὶ Κύριλλος οἱ τῆς εὐλαβοῦς μνήμης προεβέβληντο τὴν Νεστορίου πλάνην ἐξωθούμενοι. καὶ ἡ μὲν ἡμετέρα γαληνότης οὐδενὶ τὸ σύνολον ἀνάγκην ἐπαχθῆναι προσέταξεν ὥστε ἢ ὑπογράφειν ἢ συναινεῖν, εἰ μὴ βούλοιτο. οὐδὲ γὰρ ἀπειλαῖς ἢ βίαι τινὰς πρὸς τὴν τῆς ἀληθείας ὁδὸν ἕλκειν βουλόμεθα, τὸ δὲ ἐναντίον ὑμεῖς πρὸς τοῖς ἤδη τετολμημένοις διὰ ξιφῶν καὶ ἑτέρων χαλεπῶν, ἔτι μὴν καὶ ὕβρεων καὶ αἰκισμῶν εἰς γυναῖκας λαμπρὰς καὶ σεμνὰς γινομένων ἀνάγκην ἐπαγαγεῖν οὐκ ὠκνήσατε πολλοῖς πείθεσθαι μὲν ταῖς διεστραμμέναις ὑμῶν διδασκαλίαις, ἐκβοήσεσι δὲ καὶ ὑπογραφαῖς ἀναθεματίζειν τὴν αὐτὴν ἁγιωτάτην σύνοδον καὶ τὸν ὁσιώτατον πατριάρχην τοῦ ἀποστολικοῦ θρόνου τῆς μεγάλης Ῥώμης Λέοντα καὶ τοὺς ἄλλους ὁσίους πατέρας, ὑπὲρ ἧς τόλμης ἀναγκαίως δώσετε λόγον τῶι τῶν ὅλων δεσπότηι θεῶι, οὗπερ, εἰ θέμις εἰπεῖν, ἐφ' ὕβρει ταῦτα πράττειν ἐτολμήσατε, ἐπονείδιστοι καὶ καταγέλαστοι δικαίως τοῖς τε μυσαροῖς Ἕλλησι καὶ ταῖς αἱρέσεσι καταστάντες, οἷς ὑπόδειγμα αἰσχύνης γεγόνατε. ἐπειδὴ δὲ καὶ τοὺς Σαμαρείτας ἠτιάσασθε ὡς κατὰ τῶν ἁγιωτάτων ἐκκλησιῶν δεινὰ καὶ ἀθέμιτα τολμήσαντας καὶ φόνους ἢ ἑτερά τινα ἄτοπα πλημμελήσαντας, γινώσκετε ὡς ἐθεσπίσαμεν ζητήσεως παρακολουθησάσης ἀκριβοῦς παρὰ τοῦ περιβλέπτου κόμητος Δωροθέου τὰ μὲν ἁρπασθέντα ταῖς ἁγιωτάταις ἐκκλησίαις καὶ τοῖς ἀπολέσασιν ἀποκαταστῆναι, τοὺς δὲ M VII 496
τούτων εὑρισκομένους αἰτίους τιμωρίαν τὴν ἐκ τῶν νόμων ὑποσχεῖν τῆς ἐπὶ τούτοις ἐκδικήσεως οὐδὲν ὑμῖν προσηκούσης, οὓς χρὴ διδαχθέντας ὅπως τὸ ἡμέτερον κράτος πιστεύει, καὶ παρὰ τῆς ἡμετέρας εὐσεβείας προτραπέντας μὴ χωρίζεσθαι τῆς ἁγίας καὶ ὀρθοδόξου πίστεως, προσεδρεύειν δὲ τοῖς μοναστηρίοις καὶ ταῖς πρὸς τὸ κρεῖττον σχολάζειν εὐχαῖς σύμφωνα τῶι ἐπαγγέλματι διαπραττομένους καὶ μηδένα θόρυβον παντάπασιν ἐμποιοῦντας μήτε μὴν τοῖς ἐπὶ ἀπωλείαι τῶν ψυχῶν παρὰ τῶν φαῦλα διδασκόντων λεγομένοις ἁπλῶς πειθομένους μήτε διὰ τὰς ἐκείνων ἀσεβεῖς συμβουλὰς τῆς ὀρθοδόξου πίστεως καὶ τῶν τοῦ θεοῦ ἐκκλησιῶν χωριζομένους. παρασυνάξεις μηδὲ ὅλως ποιεῖν τολμήσητε εἰδότες τὰ πάλαι νομοθετηθέντα παρὰ τῶν τῆς θείας λήξεως ἐν τοῖς ἀνωτέρω χρόνοις γεγονότων βασιλέων, οἳ τὴν εὐαγῆ καὶ καθολικὴν συγκροτήσαντες θρησκείαν μεγίστοις ἐπιτιμίοις τοὺς παρασυνάγειν τολμῶντας ὑποβάλλεσθαι θεσπίζουσιν. μεταμελήσειν δὲ ὑμῖν τῶν προτέρων πιστεύοντες οὐδὲ τὰ τῆς φιλανθρωπίας ἠρνησάμεθα πολλαῖς παρακλήσεσι χρησαμένου τοῦ ὁσιωτάτου ἐπισκόπου Ἰουβεναλίου, δι' ὧν ἡμᾶς ἐξεδυσώπησε ταῦτα πρὸς ὑμᾶς τὰ θεῖα χαράξαι γράμματα. διδαχθέντες δὲ ταῖς ⟨διαφόρων⟩ δεήσεσιν ὡς ὑπὸ τῶν φυλάττειν κελευσθέντων στρατιωτῶν τὴν Αἰλιέων πόλιν τῶι τε τῶν ἵππων καὶ ἀνδρῶν πλήθει θορυβεῖται τὰ ὑμῶν εὐκτήρια, καὶ ἀγανακ- L IIII 863
τήσαντες πρὸς τοῦτο Δωρόθεον τὸν περίβλεπτον κόμητα ταύτης ὑμᾶς ἐλευθερῶσαι τῆς ὀχλήσεως ἐθεσπίσαμεν, εἰ καὶ ὅτι οὐδὲ πρὸ τούτου ἐνυβρισθῆναι τὰ μοναστήρια ἢ τὰς ὑμῶν ξενίας στενοχωρηθῆναι προσετάξαμεν.

M, B [= abo], Λ

1 χαλκηδονίων Bᵒ 2 καὶ σύμφωνα νοοῦσα MΛ om. B 6 μὴ M οὐ B τινὰ Bᵇ 9 γενομένων B ἐπάγειν B 12 ἄλλους om. Λ 13 ὕβριν Bᵇ 14 μιαροῖς Bᵇ 17 μελετήσαντας Λ 18/19 ἁρπαγέντα B 19 *dei ecclesiis* Λ 22 προτραπέντοσ Bᵇ 25 τῇ ἀπολεία Bᵒ 26 μήτε — συμβουλὰς om. Λ 27 τοῦ om. Bᵒ 32 *multis utique* (δηλαδὴ sine δηλονότι) Λ ἐπισκόπου om. Λ 33 ἐξεδυσωπήσαμεν M ἡμᾶσ Bᵒ 33/34 *diuersorum precibus* Λ ταῖσ δεήσεσιν MB 36 ταύτης om. spat. rel. Bᵇ ὑμᾶσ MB *ea* Λ ἐλευθερῶ Bᵇ 37 τούτου] τοῦ Bᵒ 38 ἡμῶν Bᵇ

L IIII 874 M VII 509 Ἀντίτυπον θείων γραμμάτων γραφέντων ἀρχιμανδρίταις καὶ λοιποῖς ἐν Αἰλίαι καὶ τοῖς περὶ αὐτὴν οἰκοῦσι μοναχοῖς παρὰ τῆς θειοτάτης καὶ εὐσεβεστάτης δεσποίνης ἡμῶν Πουλχερίας τῆς αἰωνίας αὐγούστας

27 Αἱ μὲν δεήσεις ἃς ἀπεστείλατε πρὸς τὴν ἡμετέραν εὐσέβειαν, ἔλεγχον τῆς ὑμετέρας φέρουσι πλάνης, ὁ δὲ θειότατος καὶ ἡμερώτατος βασιλεὺς ὁ ὁμόζυγος τῆς ἐμῆς γαληνότητος καὶ ἡ ἡμετέρα θειότης τὴν μὲν εὐσέβειαν προτιμᾶν ἐγνώκαμεν πάντων, τὴν δὲ φιλανθρωπίαν ἔμφυτον οὖσαν ἡμῖν ἀσπαζόμεθα. καὶ οἷα μὲν ἡ αὐτοῦ γαληνότης ἐντυχοῦσα ταῖς ἱκετηρίαις ἐπέστειλεν ὑμῖν, τὰ τῆς αὐτοῦ θειότητος σημαίνει γράμματα, ἃ ταῖς πολλαῖς ἱκεσίαις Ἰουβεναλίου τοῦ ὁσιωτάτου ἐπισκόπου δυσωπηθεῖσα ἡ αὐτοῦ γαληνότης πρὸς ὑμᾶς ἀντέγραψεν· τὸ δὲ ἡμέτερον κράτος μέμφεται μὲν τοῖς ἐν τῶι προλαβόντι χρόνωι κατὰ τῆς εὐαγοῦς θρησκείας καὶ τῆς κοινῆς εὐταξίας τολμηθεῖσι παρ' ὑμῶν ἐναντία διαπραττομένων τοῦ τῶν μοναχῶν ἐπαγγέλματος, παραινεῖ δὲ ταῖς θείαις
L IIII 875 συλλαβαῖς ὀψὲ γοῦν ποτε πρὸς μετάμελον ὑμᾶς τῶν γεγονότων ἀπιδόντας πᾶσαν μὲν τῶν ὑμετέρων ψυχῶν ἀπώσασθαι πλάνην, ἐπιγνῶναι δὲ τῆς πίστεως τὴν ἀλήθειαν, ἣν ἐκ προγόνων λαβοῦσα εἰς τὸν ἅπαντα χρόνον ἡ ἡμετέρα φυλάττει εὐσέβεια, ὡς μὲν ἐδίδαξαν οἱ τῆς ὁσίας μνήμης τιη ἅγιοι πατέρες, ἀναντιρρήτως πιστεύουσα, τὴν Νεστορίου δὲ δυσσέβειαν ἀπελαθεῖσαν παρὰ τῆς κατ' Ἔφεσον ἁγίας συνόδου, ἧς Κελεστῖνος καὶ Κύριλλος οἱ τῆς εὐλαβοῦς μνήμης προεβέβληντο, ὡς θεομάχον δικαίως ἀποστρεφομένη, μισήσασα δὲ ἀναγκαίως καὶ τὴν Εὐτυχοῦς κατὰ τῆς ὀρθοδοξίας ἐπανάστασιν, ὃς ταῖς Βαλεντίνου καὶ Ἀπολιναρίου κατὰ τῆς ὀρθοδόξου πίστεως διδασκαλίαις ὁδηγηθεὶς τὴν ἀληθῆ θρησκείαν διαταράττειν ἐσπούδασεν, ἑπομένη δὲ τῆι ἁγίαι συνόδωι τῆι κατὰ τὴν Χαλκηδονέων ἔναγχος συγκροτηθείσηι ἐφ' οἷς ἑρμηνείαι συμφώνωι τὸ σύμβολον τῶν τιη ἁγίων πατέρων ἐβεβαίωσεν, πιστεύει τὸν δεσπότην ἡμῶν καὶ σωτῆρα Χριστὸν ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου τῆς θεοτόκου τετέχθαι, διδαχθεῖσα νοεῖν τὴν φύσιν ἀλήθειαν εἶναι καὶ τὸν δεσπότην ἡμῶν κύριον Ἰησοῦν Χριστὸν θεὸν ἀληθῶς καὶ ἄνθρωπον ἀληθῶς τὸν αὐτόν. οὕτω γὰρ καὶ ὁ ἁγιώτατος Παῦλος
Gal. 4, 8 ὁ ἀπόστολος διδάσκει ἐν τῆι πρὸς Γαλάτας ἐπιστολῆι ῥήμασι τούτοις· ἀλλὰ τότε μὲν οὐκ εἰδότες θεὸν ἐδουλεύσατε τοῖς φύσει μὴ οὖσι θεοῖς, τουτέστιν ἀγνοοῦντες τὸν ἀληθῶς θεὸν τοῖς μὴ κατὰ ἀλήθειαν οὖσι θεοῖς [ἐδούλευσαν]. τούτοις γὰρ ἡμᾶς σαφῶς διδάσκει τοῖς ῥήμασι τὴν φύσιν ἀλήθειαν νοεῖν. μάτην δὲ τὰς ὑμετέρας
M VII 512 ἔπληξε ψυχὰς ψευδὴς ὑπόνοια οἷα δὴ τῆς ἐν Χαλκηδόνι συγκροτηθείσης ἁγιωτάτης συνόδου διδαξάσης ἢ τῆς ἡμετέρας γαληνότητος πιστευσάσης δύο υἱοὺς ἢ δύο Χριστοὺς διὰ τῶν δύο φύσεων νοεῖσθαι. ἔχει δὲ οὐχ οὕτως ἡ ἀλήθεια. ἀπαγορεύοντες γὰρ ἀναθεματίζομεν τοὺς τοῦτο γράψαντας ἢ εἰπόντας ἢ καὶ λέγειν τολμῶντας, τὸ δὲ ἡμέτερον κράτος ἕνα καὶ τὸν αὐτὸν υἱὸν Ἰησοῦν Χριστὸν θεὸν τέλειον καὶ ἄνθρωπον τέλειον τὸν αὐτὸν θεὸν ἀληθῶς καὶ ἄνθρωπον ἀληθῶς τὸν αὐτὸν οὐδενὶ τρόπωι

---

cf. Leonis ep. 62 d. 21. m. Mart. 453 ad Pulcheriam [uol. 4 p. 68, 22]: *indicante fratre meo Iuliano episcopo peruenerunt ad nos in exemplaribus praeceptionum uestrarum saluberrimae sanctiones, quibus insanam imperitiam monachorum dignati estis parcendo plectere et docendo punire* et ep. 63 p. 69, 25

27 Latina uersio extat in Collectione Sangermanensi [uol. V] 3

M, B [= abo usque ad 14 ἐπιγνῶναι δὲ, inde a τῆς = ao], Λ

2 καὶ εὐσεβεστάτης om. B 3 αὐγούστης B 4 ἐλέγχοντες Bᵒ 5 ὁ ² om Bᵇ. 6 πάντων προτιμᾶν ἐγνώκαμεν M 7 εὐτυχοῦσα Bᵇ 8 ἀπέστειλεν Bᵇ 9 τοῦ βεναλίου Bᵇ 12 διαπραττομένοις Bᵒ 13 ὑμῶν MBᵇ om. Bᵒ γενομένων Bᵃᵇ γινομένων Bᵒ ἀφιδόντας M πᾶσαν μὲν] πᾶσ spatium Bᵇ 14 πλάνην om. spat. rel. Bᵇ post δὲ pergit πρὸς εὐσέβειαν καὶ πράξεσιν [p. 125, 5] Bᵇ 19 μισήσασαι M 20 βαλλεντίνου M βαλεντίου Bᵒ 22 χαλκηδονίων Bᵒ ἧς Bᵒ συμφώνωσ Bᵒ 23 πιστεύειν Bᵒ 24 χσ M *Iesum Christum* Λ τῆς θεοτόκου om. Λ 26 ανοσ M 29 ἐδουλεύσατε BᵒΛ ἐδούλευσαν MBᵃ, deleui 30 διδάσκει σαφῶσ B 32/33 δύο χριστοὺσ ἢ δύο υἱοὺσ Bᵒ 35 Ἰησοῦν om. Bᵒ

μεριζόμενον ἢ τρεπόμενον τὸν σωτῆρα Χριστὸν ὁμολογεῖ, διὰ παντὸς ἐν ταύτῃ τῇ πίστει διαμένειν ἀσαλεύτως εὐχόμενον. διδαχθέντες τοίνυν τὸ ἁπλοῦν καὶ ἀληθὲς τῆς ἡμετέρας πίστεως, ὅπερ φυλάττειν σπουδάζομεν κατὰ τὴν τῶν ἁγίων πατέρων ἀληθεστάτην παράδοσιν, εἰδότες δὲ καὶ τὴν ὀρθόδοξον πίστιν καὶ τὸν φιλάνθρωπον σκοπὸν τοῦ γαληνοτάτου δεσπότου τῆς οἰκουμένης καὶ ὁμοζύγου τῆς ἐμῆς εὐσεβείας καὶ τοῖς πράγμασι πεισθέντες, δι' ὧν μόνῃ τῇ πρὸς τὸ κρεῖττον εὐσεβείαι τοὺς οὕτω δυσσεβῆ καὶ παράνομα τετολμηκότας δίκαις ὑποβαλεῖν ταῖς ἀξίαις ἀνεβάλετο, καὶ τῆς εἰς τὸν ἑξῆς δὲ χρόνον τιμῆς καὶ συγκροτήσεως παρ' ἡμῶν πειραθήσεσθαι προσδοκῶντες τοῦ λοιποῦ γοῦν πᾶσαν ἀμφισβήτησιν τῶν ὑμετέρων ψυχῶν ἀνέλετε τοῖς τε μοναστηρίοις προσκαρτεροῦντες καὶ τὸν μονήρη βίον εὐλαβῶς μετιόντες, τῆς ὀρθῆς πίστεως καὶ τῆς ἑνώσεως τῶν ἐκκλησιῶν μηδ' ὅλως χωριζόμενοι, ὡς ἂν μή τις ὑμῖν, ὅπερ οὐκ ἐλπίζει τὸ ἡμέτερον κράτος, αἱρέσεως ὄνομα τῇ ἀληθείαι πολεμούσης ἐπιγράψῃ. γινώσκετε δὲ ὡς ἡ αὐτοῦ γαληνότης θείοις γράμμασι πρὸς Δωρόθεον τὸν περίβλεπτον κόμητα ἐκέλευσεν ἀκριβῆ ζήτησιν προτεθῆναι περὶ τῆς τῶν πραγμάτων ἁρπαγῆς τῆς λεγομένης L IIII 878
παρὰ τῶν Σαμαρειτῶν τετολμῆσθαι. καὶ ὅσα μὲν ἂν ἐπιδειχθείη ληφθέντα, ταῦτα ταῖς τε ἁγιωτάταις ἐκκλησίαις καὶ τοῖς ἀπολέσασι παρ' αὐτῶν ἀποδοθῆναι ἐθέσπισεν, ὑποσχεῖν δὲ τοὺς εὑρισκομένους αἰτίους τὰς ἐκ τῶν νόμων εὐθύνας, τὰ δὲ μοναστήρια καὶ τὰ οἰκήματα ὑμῶν τῆς παρὰ τῶν στρατιωτῶν ὀχλήσεως φροντίδι τοῦ αὐτοῦ ἀνδρὸς ἐλεύθερα φυλαχθῆναι προσέταξεν. πιστεύει γὰρ ἅμα ἡμῖν τὸ αὐτῶν κράτος ὡς διὰ τῆς τοιαύτης προνοίας καὶ προτροπῆς τῶν τε πρότερον ὑμῖν πεπραγμένων μεταμελήσει καὶ τὰ τῆς καθολικῆς ἐκκλησίας ἑνωθήσεται συμφώνως πίστει ἐν εἰρήνῃ καὶ ὁμονοίαι τῆς ὀρθοδόξου θρησκείας φυλαττομένης.

Ἀντίτυπον θείων γραμμάτων τοῦ εὐσεβεστάτου βασιλέως Μαρκιανοῦ πεμφθέντων τοῖς ἐν Ἀλεξανδρείαι μονάζουσι L IIII 850 M VII 481

28 Τὸ μηδὲν μηδαμῶς ἁμαρτεῖν ἴδιον ὑπάρχει τοῦ τῶν ὅλων θεοῦ καὶ δεσπότου, τῶν δὲ συνετῶν ἐστιν ἀνδρῶν, ἐπείπερ ἀνθρώπους ὄντας οὐχ οἷόν τε μὴ πταίειν, τὸ ἁμαρτήσαντας αὐτίκα μεταμέλεσθαι καὶ διορθοῦσθαι τῇ μεταμελείαι τὰ σφάλματα. τὸ δὲ ἐπιμένειν τοῖς πταίσμασι καὶ τούτοις ἐπαγωνίζεσθαι καὶ σπουδάζειν κακῶι τὸ κακὸν ἐπισωρεύειν παμπονήρου τινὸς καὶ λίαν ἐξεστηκότος ἐστί. ὅπερ τινὰς τῶν τὴν Ἀλεξάνδρειαν καὶ περὶ αὐτὴν οἰκούντων εὐλαβεστάτων μοναχῶν πεπονθέναι μαθόντες καὶ νοήσαντες μὴ διὰ ἁπλότητα τρόπων τοῦτο αὐτοὺς ὑπομεμενηκέναι θείοις ἐχρησάμεθα γράμμασιν, ἃ δηλοῦσι τὴν ἡμετέραν ὀρθόδοξον πίστιν καὶ ὅτι τὸ παράπαν ἡ ἁγία καὶ καθολικὴ σύνοδος ἡ ἐν Χαλκηδόνι γενομένη περὶ τὴν ἀποστολικὴν πίστιν οὐδὲν ἐκαινοτόμησεν, διὰ πάντων δὲ τῇ Ἀθανασίου καὶ Θεοφίλου καὶ Κυρίλλου τῶν τῆς εὐλαβοῦς μνήμης γενομένων ἐπισκόπων τῆς Ἀλεξανδρέων μεγαλοπόλεως ἀκολουθήσασα διδασκαλίαι καθεῖλε μὲν τὴν Εὐτυχοῦς βλασφημίαν οὐδὲν ἕτερον ἢ τὰ Ἀπολιναρίου φρονοῦσαν

28 Latine extat in Collectione Sangermanensi [uol. V] 1 [Λ]

M, B [= ao], Λ

1 ἢ τρεπόμενον om. Λ 2 οὖν B 5/6 ὁμοζύγου — πεισθέντες om. B 6 δι' ὧν M ὡσ B 7 ὑπολαβεῖν Bº 8 δὲ om. Bº πειρασθήσεται Bº 12 ὄνομα τῇ [τῆσ Bº] B ὀνόματι M ἀληθείασ Bº 13 θεόδωρον Bº 15 ἂν om. Bª λειφθέντα Bº 17 ἐκ om. Bº 18 τῆς om. Bº 19 αὐτοῦ BΛ 20 ἡμῖν Bº 21 τῇ τῆς — ἐκκλησίας ἑνωθήσετε Λ 22 add. *Et alia manu: Deus uos custodiat multis annis, reuerentissimi* Λ 26 οἷον τέ ἐστι Bº 27 μεταμελεῖσθαι M 30 πέναι μαθότεσ Bº 31 ἁπλότητοσ Bº 32 οἳ M 36 φρονοῦσαν MΛ φρονοῦντοσ B

ἀσεβῆ διδάγματα, ἐξέκοψε δὲ καὶ τὴν Νεστορίου δυσσέβειαν, τὸ δὲ σεπτὸν σύμβολον τῶν τιη ἁγίων πατέρων ⟨τῶν ἐν Νικαίαι συνελθόντων⟩ σῶον διὰ πάντων ἐφύλαξε μήτε μειώσει μήτε προσθήκηι βλαβέν. καὶ οἴεται μὲν ἡ ἡμετέρα γαληνότης τὰ θεῖα ἡμῶν γράμματα, ἔτι γε μὴν καὶ τὰ διατάγματα τὰ ἐν τῆι Ἀλεξανδρέων ἤδη προτεθέντα μεγαλοπόλει ἀρκεῖν εἰς τὸ πεῖσαι τοὺς οὐκ οἶδ' ὅπως ἔτι καὶ νῦν ἀμφιβάλλοντας ὅτιπερ οὐδὲν κεκαινοτόμηται τῆι ἁγιωτάτηι καὶ καθολικῆι συνόδωι, καὶ μηδένα λοιπὸν ὑπολελεῖφθαι τὸν ἀμφισβητοῦντα τούτου χάριν· οὐδὲ γὰρ εὐήθη τινὰ τοσοῦτον εἶναι νομίζομεν, ὡς ἐντυχόντα τοσούτοις διδάγμασι σαφῶς οὕτως ἀπαγγέλλουσι τὴν ὀρθόδοξον πίστιν ἔτι τῆι αὐτῆι καὶ νῦν ἐπιμένειν πλάνηι. εἰ δὲ ἄρα τινὲς εἶεν, ὅπερ οὐχ ἡγούμεθα, τῶι τῆς ἐμφύτου ἡμῖν φιλανθρωπίας μὴ ἀκολουθοῦντες σκοπῶι, βουλόμεθα πάλιν αὐτοὺς διὰ τῶν αὐτῶν θείων ἡμῶν γραμμάτων πεισθῆναι ἀκριβῶς ὡς ἅπαντα τοῖς τῶν ὁσίων πατέρων ἀκολουθήσασα διδάγμασιν ἡ ἁγιωτάτη καὶ καθολικὴ σύνοδος ἐτύπωσε καὶ τὴν μὲν Εὐτυχοῦς ἀνεῖλε δυσσέβειαν, ἣι ὁ Διόσκορος εἵπετο καὶ ἕτεροί τινες οἱ μηδὲ τὰ Ἀπολιναρίου βιβλία ἀποκνήσαντες ἐγκατασπεῖραι τῶι πλήθει προσηγορίας ἁγιωτάτων ὀρθοδόξων πατέρων αὐτοῖς ἐπιγράψαντες, ὥστε εἰς τέλειον τὴν τῶν ἁπλουστέρων ἐπὶ τὸ ψεῦδος ἐξανδραποδίσαι διάνοιαν, ἐβεβαίωσε δὲ τὸ τῶν τιη ἁγίων πατέρων τῶν ἐν Νικαίαι συνελθόντων σεπτὸν σύμβολον μηδὲν μήτε ὑφελοῦσα μήτε προσθεῖσα, καθ' ὃ βαπτισθεῖσα καὶ πιστεύσασα ἡ ἡμετέρα γαληνότης ἐκ νέας ἡλικίας φρονεῖ καὶ ἐν αὐτῶι διαμένειν εὔχεται πιστεύουσα τὸν δεσπότην ἡμῶν καὶ σωτῆρα Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ τὸν μονογενῆ τὸν συναίδιον καὶ ὁμοούσιον τῶι πατρὶ δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐνηνθρωπηκέναι γεννηθέντα ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς θεοτόκου παρθένου εἶναί τε θεὸν καὶ ἄνθρωπον ἀληθῶς τὸν αὐτόν, οὐκ ἄλλον καὶ ἄλλον, μὴ γένοιτο, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν οὐδενὶ τρόπωι μεριζόμενον ἢ χωριζόμενον ἢ τρεπόμενον, τοὺς δὲ λέγοντας ἢ εἰπόντας ποτὲ δύο υἱοὺς ἢ δύο πρόσωπα καὶ ἡμεῖς ὡς θεομάχους βδελυσσόμεθα καὶ ἀναθεματίζομεν. ταῦτα τοίνυν καὶ αὐτίκα μαθόντες εἴ τινες ἄρα εἶεν ἐν ὑμῖν ἔτι τῶι ψεύδει κατεπιμένοντες, πρὸς τὴν ἀλήθειαν ἐπαναδραμεῖν σπουδάσατε τῶν ἀθεμίτων ἑαυτοὺς ἀφιστῶντες παρασυνάξεων, ὥστε μὴ πρὸς τῶι τὰς ψυχὰς ὑμῶν ἀπολέσαι καὶ τοῖς ἀπὸ τῶν νόμων ἐπιτιμίοις ὑπαχθῆναι. ἑνώσατε δὲ ἅπαντες ἑαυτοὺς τοῖς τῆς ἁγιωτάτης καὶ καθολικῆς ἐκκλησίας τῶν ὀρθοδόξων, ἥτις μία ὑπάρχει, καθ' ὃ καὶ οἱ εὐαγεῖς ὅροι τῶν ἁγίων πατέρων ἡμᾶς διδάσκουσι. τοῦτο γὰρ ποιοῦντες τῆι μὲν ἑαυτῶν ψυχῆι χαριεῖσθε σωτηρίαν, τῶι δὲ τῶν ὅλων δεσπότηι θεῶι τὰ ἀρέσκοντα πράξετε καὶ τῆι ἡμετέραι ἑαυτοὺς παρατιθέμενοι γαληνότητι τῆς παρ' αὐτῆς ἀπολαύσετε κηδεμονίας. διὰ τοῦτο καὶ Ἰωάννην τὸν λαμπρότατον δεκουρίωνα ἐκλεξάμενοι ἀπεστείλαμεν δυνάμενον ἀκριβῶς τὰ περὶ τῆς ἁγίας πίστεως παραστῆσαι. καὶ γὰρ τῆι τῶν ὁσίων ἐπισκόπων οἰκουμενικῆι καὶ καθολικῆι συνόδωι παρῆν καὶ πάντα τὰ παρακολουθήσαντα σαφῶς ἐπίσταται, ὥστε διὰ πάντων πληροφορηθέντας τοὺς ἔτι, ὅπερ οὐχ ὑπελαμβάνομεν, ἐνδοιάζοντας ὀψέ ποτε πρὸς τὴν ἀληθῆ καὶ ἀμώμητον πίστιν ἐπανελθεῖν.

3 Leon ep. 85 [data d. 11 m Mai a 455]: *Iohannem uero spectabilem uirum et in fidei sinceritate laudabilem ad Aegyptum causa fidei fuisse directum*

[M usque ad 1 δυσσέβειαν], B [ao], Λ

1 δόγματα B^{o} 1—p. 131, 7 τὸ δὲ — εἰπεῖν desunt in M propter folii defectum 2 τριακοσίων δεκαοκτὼ B^{a} τῶν^{2} — συνελθόντων addidi, cf. *patrum qui in Nicaea conuenerunt* Λ 4 γε om. B^{o} τὰ^{1} om. B^{a} 6 συνόδωι καὶ καθολικῆι B *sancto catholicoque concilio* Λ 7 εὐήθη B^{a} ἐν ἤθει B^{o} 8 δόγμασι B^{o} 11 αὐτῶν om. B^{o} 13 *Eutychis* . . . *impietatem quem* Λ μήτε B 15 ἑαυτοῖσ B^{o} 16 τριακοσίων δεκαοκτὼ B^{a} 18 καὶ πιστεύσασα om. Λ 24 ποτὲ om. B^{o} 25 αὐτοὶ καταμαθόντεσ B^{o} 28 ἑνωτίσατε B^{o} 31 δεσπότηι om. Λ 36/37 ὑπολαμβάνομεν B^{o}

'Αντίτυπον θείων γραμμάτων πεμφθέντων παρὰ τοῦ αὐτοῦ Μακαρίωι ἐπισκόπωι καὶ ἀρχιμανδρίτηι καὶ λοιποῖς τοῖς ἐν τῶι ἁγίωι ὄρει Σινᾶ εὐλαβέσι μοναχοῖς

29 Οἷα κατὰ τῆς εὐαγοῦς θρησκείας καὶ τῆς 'Ρωμαικῆς πολιτείας ἐπικινδύνως νεωτερίζων Θεοδόσιος, οὗ ταῖς πράξεσιν ἀξίαν οὐκ ἂν εὕροι τις τιμωρίαν, ἑάλω, οὐδένα μὲν λέληθε, πάντως δὲ καὶ εἰς τὴν ὑμετέραν εὐλάβειαν τὸ μέγεθος τῶν παρ' αὐτοῦ πεπλημμελημένων ἐλήλυθεν. οὗτος γὰρ προλαβών, καθὼς αἱ θεῖαι προαγορεύουσι γραφαί, τὴν τοῦ ἀντιχρίστου προσδοκωμένην παρουσίαν, τὸ δὲ ἀληθέστερον εἰπεῖν, παρ' ἐκείνου πεμφθεὶς πολεμῆσαι τῆι ἁγίαι καὶ ὀρθοδόξωι πίστει οὐδὲν ὠιήθη διαπράττεσθαι φαῦλον, εἰ τὴν Εὐτυχοῦς δυσσέβειαν μιμήσοιτο, ὃς κατὰ τῆς εὐσεβοῦς τῶν ὀρθοδόξων θρησκείας ἐπανέστη ζηλῶν μὲν Φωτεινὸν τὸν τῆς ἀληθείας ἀλλότριον, μιμητὴς δὲ εἶναι τῆς θεομάχου γνώμης 'Απολιναρίου καὶ Βαλεντίνου καὶ Νεστορίου σπουδάζων, συκοφάντης ἄντικρυς ἀποδεικνύμενος τῆς πρώην κατὰ τὴν Χαλκηδονέων πόλιν συγκροτηθείσης διὰ τὸ περὶ τὴν πίστιν θερμὸν ἡμετέρωι νεύματι ἁγιωτάτης συνόδου, ἣ τῶν τιη ἁγίων πατέρων πρὸς συγκρότησιν τῆς πίστεως τὸ σύμβολον ἐβεβαίωσεν οὐδὲν κατὰ προσθήκην ἢ μείωσιν τῆς τῶν αὐτῶν ὁσίων πατέρων διδασκαλίας ἐναλλάξασα, Εὐτυχῆ δὲ ὡς τῆι ἀληθείαι μαχόμενον καὶ τὴν πίστιν παρασαλεῦσαι βουληθέντα ἀλλότριον εἶναι τοῦ τῶν ὀρθοδόξων ὀνόματος δικαιώσασα. οὗ τῆι μοχθηρᾶι καὶ ῥιψοκινδύνωι τόλμηι Θεοδόσιος ἀκολουθῶν καταλαμβάνει μὲν τὴν Παλαιστίνων χώραν, ἀπατᾶι δὲ τοὺς οὐκ εἰδότας ἕτερα ἀνθ' ἑτέρων δεδογματίσθαι παρὰ τῆς ἁγίας συνόδου πλαττόμενος. ἔφησε γὰρ ὡς ἡ αὐτὴ ἁγιωτάτη σύνοδος δύο υἱοὺς καὶ δύο Χριστοὺς καὶ δύο πρόσωπα ⟨ὀφείλειν⟩ προσκυνεῖσθαι ἐδογμάτισεν καὶ ὡς ὑπεναντίον τοῦ συμβόλου τῶν ἁγίων πατέρων τὴν πίστιν ἡρμήνευσεν. ἐντεῦθέν τε ἑαυτῶι πλῆθος τῶν ἀπατηθέντων ἀθροίσας καὶ τὴν τῶν ἀφελῶν ὡς εἰπεῖν ἄγνοιαν κτησάμενος σύμμαχον τὴν Αἰλιέων κατατρέχει πόλιν, ἐμπρησμοὺς οἰκιῶν, φόνους εὐλαβῶν ἀνδρῶν, ἀφέσεις τῶν ἐπὶ τοῖς ἐσχάτοις ἐγκλήμασιν ἑαλωκότων τολμῶν, δι' ὧν εὐλαβοῦς τινος δόξαν θηρώμενος ἐπικινδύνως ἠὐθέντησεν, καὶ τὰς εἱρκτὰς ἀναρρηγνύς, ἵνα τῶν ὑπευθύνων τό γε ἐπ' αὐτῶι τῆς δίκης ἐλευθερωθέντων πᾶσιν ὡς εἰπεῖν τοῦ πλημμελεῖν ἀνεύθυνον παράσχηι τὴν εὐχέρειαν. καὶ εἰς αὐτὴν δὲ τὴν καθοσίωσιν καὶ τοὺς τῆς ἡμετέρας θειότητος νόμους ἐξαμαρτάνων ἀπέκλεισε μὲν τῆς πόλεως τὰς πύλας ἑαυτῶι τε τὸ τῆς ἐπισκοπῆς βεβαίως παρὰ πάντας τοὺς κανόνας ἐκδικῆσαι ἐπεχείρησεν ὄνομα 'Ιουβεναλίου τοῦ ὁσιωτάτου καὶ περιόντος καὶ ἐπισκόπου τῆς πόλεως τυγχάνοντος, ὁμοῦ τὰ θεῖα καὶ τὰ ἀνθρώπινα χραίνων τε καὶ συγχέων δίκαια. ἐντεῦθέν τε ὁδῶι βαδίζων ἐπὶ τὰ χείρονα τὰς κατὰ τὴν Παλαιστίνην πᾶσαν ἁγιωτάτας ἐκκλησίας καὶ πόλεις τοῖς μείζοσι περιβάλλει κακοῖς, τοὺς μὲν εὐλαβεστάτους ἐπισκόπους ἀναιρεῖσθαι παρασκευάζων, ἐν δὲ ταῖς ἐπισκοπαῖς χειροτονῶν οὓς ἐβούλετο. προσέταττε γὰρ μανιώδει τῶι θράσει κεχρημένος τοὺς πάλαι ψήφωι δικαίαι κατὰ τοὺς θείους κανόνας τῶν πόλεων ἐπισκόπους, ὡς αὐτῶι παρέστη, ἀλλοτρίους τῆς ἱερωσύνης καθίστασθαι καὶ τῶν θρόνων οἷς ἐκληρώθησαν, ἀπελαύνεσθαι. ἐπιστρατεύει δὲ καὶ 'Ιουβεναλίωι τῶι ὁσιωτάτωι ἐπισκόπωι πανταχόθεν διὰ τοῦ πεμφθέντος πλήθους τὴν ἀναίρεσιν αὐτοῦ πραγματευόμενος· οὕτω γὰρ ὤιετο βεβαίως μὲν καθέξειν τὴν οὐδὲν αὐτῶι προσήκουσαν ἐπισκοπήν, κατορθώσειν δὲ τελείως τὰ τῆς οἰκείας ἐπι-

M VII 484

1 Ioh. 2, 18

L IIII 851

M VII 485

29—31 Latine non extant

M [inde a 7 παρ' ἐκείνου], B [= ao]

2 τοῖς om. B^o εὐλαβεστάτοισ B^o 4 οὐκ ἂν B^a ἐὰν B^o 5 πάντωσ δὲ B^a πάντων σε B^o εἰς om. B^o 5/6 πλημμελημένων B^o πλημμάτων B^a 8 ὠήθην B^o 9 ἢ B^o 10 ζηλω M ἀληθείας om. B^o 12 τὴν] τῶν B^o χαλκηδονίων B^o 17 γνώμη καὶ τόλμη B^o 18 παλαιστηνῶν B^a 20 ἡ αὐτὴ M αὐτὴ ἡ B 20/21 ὀφείλειν addidi cf. p. 133, 17 21 προσκυνῆσαι B ὑπεναντίου B^o 22 τε om. B^o 28 δὲ] καὶ εἰσ B^o 29 τῶ MB^o 32 τὴν om. B 33 πᾶσασ B^o 34 ἐπισκοπαῖς om. M 36 δικαίω M 37 καὶ — ἀπελαύνεσθαι om. B^o 40 οὐδὲ M

χειρήσεως. Ἰουβενάλιον μὲν οὖν τὸν ὁσιώτατον ἐπίσκοπον ἥ τε ἁγία τριὰς καὶ ὡς τὸ πρᾶγμα ἔδειξεν, τὸ περὶ τὴν πίστιν θαρρεῖν διέσωσεν, Σευηριανὸς δὲ ὁ τῆς εὐλαβοῦς μνήμης ἐπίσκοπος τῆς Σκυθοπολιτῶν ἅμα ἑτέροις ἀντ' ἐκείνου δυσσεβῶς ἀναιρεθεὶς πάρεργον τῆς Θεοδοσίου κατέστη μανίας. ταῦτα καὶ τὰ τούτων δεινότερα τολμήσας Θεοδόσιος, ἐπειδὴ τῶν κατ' αὐτὸν ἁπάντων τῶι ἡμετέρωι κράτει γνωρισθέντων παντα-
L IIII 854 χόθεν ἀνιχνευθῆναι σὺν τοῖς αὐτοῦ δορυφόροις καὶ τῶν αὐτοῦ κακῶν κοινωνοῖς προσετάχθη, δραπετεύει μὲν ἐκ τῆς Παλαιστίνων, ἣν οὕτω διέθηκεν αὐτοῖς ἐπιδεικνὺς τοῖς πράγμασιν ὡς ὑπηρέτης καὶ πρόδρομος τοῦ ἀντιχρίστου γέγονεν· τόπους δὲ ἐκ τόπων ἀμείβει, τὰς μὲν ἁγιωτάτας ἐκκλησίας διαταράττων, τοὺς δὲ περὶ τὴν πίστιν ἁπλουστέρους ἕτερα παρὰ τὴν ἀλήθειαν φρονεῖν καὶ δυσσεβῶς τὸ θεῖον θρησκεύειν παρασκευάζων. οὗτος, ὡς ἐμάθομεν, τὸ τῆς εὐλαβείας οἰκητήριον καὶ τοῖς ἁγίοις ἀνδράσι βατὸν Σινᾶ κατείληφεν ὄρος, ἐν ὧι τὰ παρ' ὑμῶν φίλα μὲν τῶι κρείττονι, παρὰ δὲ ἡμῖν πάσης ἄξια τιμῆς ἵδρυται μοναστήρια. καὶ δι' ὧν ἐν αὐτῶι λανθάνων ἔτι μελετᾶι κατὰ τῆς ὀρθοδοξίας, καιρὸν ἑαυτῶι γενήσεσθαι προσδοκᾶι. ἀλλ' ἐκείνου μὲν οὐδὲ εἷς λόγος, ἐπείπερ οὐδὲ τῆς τιμωρίας τῶν πεπλημμελημένων αὐτῶι τε καὶ τοῖς αὐτοῦ δορυφόροις εὕροι τις ἂν μέτρον ἄξιον· τὸ δὲ ἡμέτερον κράτος εἰ καὶ λίαν τεθάρρηκεν ὡς οὐδενὶ τρόπωι τὸ πονηρὸν καὶ θεομάχον Θεοδοσίου φρόνημα τὴν ἀληθῶς καὶ βεβαίαν ἐν ὑμῖν στηριχθεῖσαν πίστιν παρασαλεῦσαι δυνήσεται, ὅμως ἵνα μή τι τοῦ δαίμονος ἔργον, ὧι διακονεῖται, παρὰ τὴν ὑμῶν τε καὶ τοῦ ἡμετέρου κράτους πρόθεσιν ἰσχύσαι δυνηθῆι, τοῖσδε τοῖς θείοις γράμμασιν τὴν ὑμετέραν προτρέπει εὐλάβειαν τὸν οὕτως ἀνόσιον καὶ τῆς ὀρθοδόξου πίστεως ἀλλότριον τῶν τε ἁγιωτάτων ἐκκλησιῶν πολέμιον ἅμα τοῖς αὐτῶι συνεργοῖς πανταχόθεν ἀνιχνευθέντα παραδοῦναι τῶι τὴν ἐπαρχίαν ἰθύνοντι εἰς τὸ μέγιστον τοῦ ἐνδοξοτάτου στρατηλάτου τῆς Ἕω ἀπὸ ὑπάτων καὶ πατρικίου δικαστήριον ἀχθησόμενον, οὐχ ἵνα δίκην ὑπόσχηι, τοσοῦτον, ἀλλ' ἵνα τοῦ λοιποῦ γοῦν τὰς εὐλαβεῖς καὶ περὶ τὸ θεῖον ἀφελέστερον διακειμένας ἐκ τοῦ περινοστεῖν ἐπ' ὀλέθρωι τῶν τόπων οὓς ἂν καταλάβοι, δελεάζειν παύσηται ψυχάς. ἵστω γὰρ ἡ ὑμετέρα εὐλάβεια ὡς ἡμεῖς ἐκ προγόνων τῆς ὀρθοδόξου πίστεως γεγονότες καὶ ταῖς θείαις γραφαῖς τὴν ἁγίαν τριάδα προσκυνεῖν διδαχθέντες τῶν τιη τῆς ὁσίας μνήμης πατέρων τὸ σύμβολον ἀσπαζόμεθα οὕτω βαδίζοντες καὶ κατ' αὐτὸ πιστεύοντες τήν τε Φωτεινοῦ καὶ Ἀπολιναρίου καὶ Οὐαλεντίνου καὶ Νεστορίου καὶ Εὐτυχοῦς τῶν τε ἄλλων πάντων ὅσοι τῶι συμ-
M VII 488 βόλωι ἐναντία φρονεῖν ἐγνώκασι, δυσσέβειαν ἀπωθούμενοι, πιστεύοντες δὲ τὸν δεσπότην ἡμῶν καὶ σωτῆρα Ἰησοῦν Χριστὸν ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου τῆς θεοτόκου τετέχθαι καὶ ὁμολογοῦντες ἕνα καὶ τὸν αὐτὸν υἱὸν Ἰησοῦν θεὸν τέλειον καὶ ἄνθρωπον τέλειον τὸν αὐτὸν θεὸν ἀληθῶς καὶ ἄνθρωπον ἀληθῶς τὸν αὐτὸν οὐδενὶ τρόπωι μεριζόμενον ἢ χωριζόμενον ἢ τρεπόμενον τὸν σωτῆρα Χριστὸν προσκυνοῦμεν, διὰ παντὸς ἐν ταύτηι τῆι πίστει ἀσαλεύτως διαμένειν εὐχόμενοι, ἀναθεματίζοντες φανερῶς τοὺς λέγοντας δύο υἱοὺς ἢ δύο Χριστοὺς ἢ δύο πρόσωπα ἢ εἰπόντας ἢ γράψαντας ἢ καὶ λέγειν τολμῶντας, ἥντινα προειρημένην ἁγιωτάτην πίστιν ἀληθῆ καὶ ὀρθόδοξον οὖσαν καὶ ἡ κατὰ τὴν Χαλκηδονέων ἔναγχος συγκροτηθεῖσα ἁγιωτάτη σύνοδος ἐβεβαίωσεν συμφώνωι χρησαμένη περὶ τὴν εὐαγῆ καὶ ὀρθόδοξον θρησκείαν φρονήματι καὶ τὴν Εὐτυχοῦς μόνου κακοδοξίαν ὁμογνώμονι τοῖς ἁγίοις πατράσι ψήφωι καταδικάσασα.

M, B [= abo]

1 καὶ ὡσ M ὡσ καὶ B 2 σεβηριανὸσ B 6 αὐτοῦ : om. M 7 παλαιστηνῶν B 9 ἀμείβων Bº, corr. Bº ἀμείβειν M 10 τὸν M 13/14 ἐν αὐτῶι — καιρὸν om. B 14 αὐτῶ M 15 πλημμελημένων MBº, corr. M 17 ἐν om. Bº 18 ἔργου Bª 20 ὄντωσ B 23 κριτήριον B 24 τοσούτων M 25 εὐλαβέστερον Bº 30 Οὐαλεντίνου — καὶ 3 om. Bº 31/32 δεσπότην χῦ καὶ σρᾶ ἡμῶν ῖυ Bº 32/33 τῆσ θεοτόκου τῆσ παρθένου B 34 καὶ — τέλειον om. Bº 39 χαρκηδονίων Bº 40 θρησκείαν M πίστιν B

30 Ἀντίτυπον θείων γραμμάτων τοῦ αὐτοῦ εὐσεβεστάτου βασιλέως Μαρκιανοῦ πεμφ- L IIII 878
θέντων τῇι ἐν Παλαιστίνηι ἁγίαι συνόδωι M VII 513

Τὸ περὶ τὴν πίστιν θερμὸν τῆς ἡμετέρας εὐσεβείας καὶ ὁπόσηι ὁσημέραι κεχρήμεθα σπουδῆι περὶ τὴν ἁγιωτάτην καὶ ὀρθόδοξον πίστιν, ἡγούμεθα μηδένα μὲν λανθάνειν, πρὸ δὲ πάντων ἀκριβῶς εἰδέναι τήν τε ὑμετέραν εὐλάβειαν καὶ πάντας τοὺς τῶι θεοφιλεῖ καταλόγωι τῶν ὁσιωτάτων ἱερέων περιεχομένους. ὁ δὲ τῶι γένει τῶν Χριστιανῶν ἐξ ἔργου πολεμῶν βάσκανος διάβολος οὐ παύεται μηχανήματα ἐπινοῶν κατὰ τῆς ἁγίας καὶ ὀρθοδόξου πίστεως καὶ τῶν προλαβουσῶν αἱρέσεων ἀπογνοὺς ἑτέραν ἐφεῦρε νῦν διὰ τοῦ δυσσεβοῦς Εὐτυχοῦς κακοδοξίαν τοῦ τὴν Φωτεινοῦ καὶ Ἀπολιναρίου καὶ Βαλεντίνου καὶ Νεστορίου θεομάχον ζηλώσαντος γνώμην, ἥτις ἡμῖν ἀπέτεκεν τὸν δυσσεβῆ καὶ πρόδρομον τοῦ ἀντιχρίστου, μιμητὴν δὲ καὶ τῆς Σίμωνος πλάνης Θεοδόσιον. ὃς ἀπαρεσθεὶς τῆι ἀληθείαι (πῶς γὰρ ἔμελλε ταύτηι τίθεσθαι ὁ τῆς μερίδος τοῦ ἀντιχρίστου ὑπάρχων, μᾶλλον δὲ ὅλον αὐτὸν ἐνδεδυμένος;) καὶ συνιδὼν ὡς εἰ μὴ πλάττοιτο τινὰ τῆς αὐτοῦ πανουργίας καὶ δυσσεβείας ἄξια, οὐχ ἕξει τοὺς ὑπακούοντας, ἐπινοεῖ τινὰ καὶ συντάττει γράμματα, ἅπερ ἠδύνατο πλάσασθαι μόνος ὁ διάβολος, καὶ δι' αὐτῶν τὴν ἐν Χαλκηδόνι ἁγίαν συκοφαντεῖν οὐκ ἐπαύσατο σύνοδον ὡς δογματίσασαν δύο υἱοὺς καὶ δύο Χριστοὺς καὶ δύο πρόσωπα ὀφείλειν προσκυνεῖσθαι οὕτω τε τὰς τῶν ἁπλουστέρων ἀπατήσας ψυχὰς καί τινας ἄλλους τῶι διαβόλωι ἐκδεδομένους ἔσχεν αὐτῶι συντρέχοντας, οὐ μὴν ἀλλὰ καὶ μοναχοὺς καὶ ἐρημίτας καὶ πλῆθος ἐκ τούτων συναγαγὼν ἀνατρέπει μὲν πόλεις, ἐργάζεται δὲ φόνους ἐν μέσαις αὐταῖς καὶ οὐδὲ τῶν τυχόντων, ἀλλ' ὁσίων καὶ εὐλαβῶν ἀνδρῶν, τολμᾶι δὲ ἐμπρησμοὺς καὶ στάσεις καὶ νεωτερισμοὺς κατὰ τῆς πολιτείας αὐτῆς, σύγχυσιν τῶν θείων ὁμοῦ καὶ ἀνθρωπίνων ἐργαζόμενος, ἀναρρηγνὺς εἱρκτὰς καὶ φονεῖς τοὺς τὰ παραπλήσια αὐτῶι τολμήσαντας καὶ ἑτέρους ἐπὶ ἀθεμίτοις ἐγκλήμασι φυλαττομένους πρὸς τιμωρίαν ἀφιείς, ὥσπερ ἄδειαν διδοὺς πᾶσι τοῦ πλημμελεῖν διὰ τούτων ἃ βούλοιντο. καὶ ὡς μικρῶν ὄντων τῶν προλαβόντων ἐπάγει καὶ ἕτερα τούτων βαρύτερα. τῆι γὰρ ἑαυτοῦ ἐπιτρέψας δυσσεβείαι ἐπεισπηδᾶι τῶι θρόνωι τοῦ τρισμακαρίστου ἀποστόλου Ἰακώβου ἡγησάμενος μὴ ἕξειν τοῦτον ἀσφαλῶς, εἰ μὴ τὸν κατὰ τοὺς εὐαγεῖς κανόνας ἐνι- L IIII 879
δρυθέντα πάλαι αὐτῶι ὁσιώτατον ἐπίσκοπον Ἰουβενάλιον ἀνέλοι. ἐπιπέμπει τοίνυν αὐτῶι τοὺς ἀναιρήσοντας, ἀποτυχὼν δὲ τοῦ προλεχθέντος ἀνδρὸς διὰ τὸ τῆς πίστεως αὐτοῦ ἑδραῖον καὶ τὴν τῆς ἁγίας τριάδος περὶ αὐτὸν ῥοπὴν Σευηριανὸν τὸν ὁσιώτατον τῆς Σκυθοπολιτῶν ἐπίσκοπον ἅμα τοῖς σὺν αὐτῶι ἀναιρεῖ. γίνεται δέ, ὥς γε ἐνόμιζεν, ἐν καθέξει τοῦ θρόνου, οὐκ ἀρκεσθεὶς δὲ τούτωι καὶ τοὺς ἐν ἑτέραις πόλεσιν ὄντας εὐλαβεῖς ἐπισκόπους τῶν τε ἁγίων ἐκκλησιῶν καὶ τῆς ἱερωσύνης ἀπελαύνει, ἑτέρους δὲ τοὺς κοινωνοῦντας αὐτῶι τῆς ἀσεβείας καὶ τῶν ἀθεμίτων πράξεων ἀντ' αὐτῶν καθιστᾶι. ταῦτα μὲν οὖν τὰ παρ' αὐτοῦ τετολμημένα ἴστε πάντες ἀκριβῶς, ἐπείπερ τὸ πολὺ τῶν πεπραγμένων μέρος κατὰ τῆς ὑμῶν εὐλαβείας ἐγύμνασεν, ἅπερ ἐλθόντα εἰς ἀκοὰς τῆς M VII 516
ἡμετέρας γαληνότητος ἅμα τῶι ἀκουσθῆναι δικαίωι τύπωι καὶ οὐκ ἀξίαν μὲν τῶν αὐτοῦ ἀδικημάτων ἐπάγοντι τιμωρίαν, φιλανθρωπίαι δὲ σωφρονίζοντι τὰ ἀδικήματα διελύθη. οὗπερ αἰσθόμενος δραπετεύει μὲν ἀπὸ τῆς Ἱεροσολυμιτῶν καὶ φεύγει τὴν Παλαιστίνων ἅπασαν, ἣν κακῶς διέθηκεν, ὡς αὐτοψεὶ παρείληφεν ἡ ὑμετέρα ἁγιωσύνη, ἐν δὲ τῶι

M, B [= ao]

1 εὐσεβοῦσ B^a om. B^o 10 βαλεντίου B^o θεομάχων B^a ἀπέτεμε B^o 11 τοῦ om. B^o τῆς] τὴν B^o 25 μικρὰν M 27 ἐπιστρέψασ MB^o ἐπιπηδᾶ B 28 ἑξῆν M ἑξεῖναι B ἀσφαλῶς ἔχειν B 28/29 ἐνιδρυνθέντα B 31 σεβηριανὸν B σευηρῖνον M 32 τοῖσ αὐτοῦ B^o ἐνόμιζον B^o 33/34 τοὺς — καὶ om. B 33 ὄντωσ M 36 πάντωσ MB^o 37 *exercuit* translatio recens ab editoribus Romanis ex codice quodam Vaticano petita ἐγύμνωσεν MB ἅπερ ἐλθόντα B ἃ παρελθόντα M 38 καὶ om. B 40 τὴν] τῶν M παλαιστηνῶν B^a 41 ὡς] εἰσ B^o

Σινᾶι ὄρει ἅμα τισὶ κοινωνοῦσιν αὐτῶι τῶν ἀθεμίτων βουλευμάτων ἑαυτὸν ἐγκατακρύπτει, πάντως που ἐμφωλεύων αὐτόθι κατὰ τῆς ἀληθείας καὶ βουλόμενος τὰ πάλαι ἐγχειρηθέντα αὐτῶι εἰς πέρας ἀγαγεῖν καὶ τὰς τῶν ἐκεῖσε ἁπλουστέρων ψυχὰς ταῖς ἰδίαις ψευδολογίαις ἐξανδραποδίζειν, συκοφαντῶν τὴν ἁγίαν σύνοδον καὶ λέγων τινὰ κατ' αὐτῆς, μᾶλλον δὲ τῆς ἑαυτοῦ σωτηρίας, ἃ τῆι δυσσεβεῖ ψυχῆι καὶ γλώσσηι ἐκείνου μόνου ἁρμόδια. δι' ὃ ἐπαγρυπνοῦσα τῆι περὶ τὴν ἁγιωτάτην ὀρθόδοξον πίστιν σπουδῆι ἡ ἡμετέρα εὐσέβεια (ἐκ γὰρ αὐτῆς τὴν ἡμετέραν βασιλείαν ἠρτῆσθαι τε καὶ συγκροτεῖσθαι πιστεύομεν) πρὸς Μακάριον τὸν εὐλαβέστατον ἐπίσκοπον καὶ τοὺς ἐν τῶι προλεχθέντι ὄρει ἀρχιμανδρίτας τε καὶ μοναχοὺς πάντας θεῖα κατέπεμψε γράμματα, ἐλέγχουσα μὲν τὴν μανίαν καὶ ἀσέβειαν Θεοδοσίου τοῦ μυσαροῦ, παραινοῦσα δὲ φεύγειν τὰς αὐτοῦ ψευδολογίας, τὴν δὲ ἁπλῆν καὶ ἀμώμητον πίστιν σέβειν, καθὼς παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι τιη παρειλήφαμεν, τοῦτον τε ἐκδιῶξαι ἐκ τῶν προλεχθέντων σεβασμίων τόπων, ὡς ἂν μὴ καὶ οὗτοι χρανθεῖεν ἐκ τῆς Θεοδοσίου δυσσεβείας, ἢ καὶ παραδοῦναι αὐτὸν μετὰ τῶν αὐτοῦ δορυφόρων τῶι τῆς ἐπαρχίας ἡγουμένωι διαχθησόμενον εἰς τὸ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου στρατηγοῦ τῆς Ἕω ἀπὸ ὑπάτων καὶ πατρικίου δικαστήριον. ἐπειδὴ δὲ δέος ἐστί (πολύτροπον γὰρ κακὸν ὁ διάβολος, ὃν Θεοδόσιος ἐνδέδυται) μή πως τούτους ἀποφυγὼν τοὺς τόπους, πλησιάσας δὲ πάλιν τοῖς τῆς Παλαιστίνης τὰς αὐτὰς δυσσεβείας ἐνσπείρηι τοῖς μέρεσι καὶ τὰς τῶν ἀφελεστέρων πλανήσηι ψυχάς, τάδε τὰ θεῖα ἡμῶν γράμματα πρὸς τὴν ὑμετέραν καταπέμπομεν εὐλάβειαν παραινοῦντες τῆι ὑμετέραι ὁσιότητι παραφυλάττεσθαι μὲν τὴν τοῦ μυσαροῦ παρουσίαν, προκαταλαμβάνειν δὲ τὰς τοῦ πλήθους ἀκοὰς καὶ διαθέσεις, κηρύττοντας μὲν τὴν ἀλήθειαν τῆς ὀρθοδόξου πίστεως, διδάσκοντας δὲ
L III 882 ὡς ἡμεῖς ἐκ πατέρων τῆς ἁγίας καὶ ὀρθοδόξου πίστεως ὑπάρχοντες κατὰ τὸ σύμβολον τῶν τιη ἁγίων πατέρων πιστεύομεν, μισοῦμεν δὲ καὶ βδελυσσόμεθα τὴν Φωτεινοῦ καὶ Ἀπολιναρίου καὶ Βαλεντίνου καὶ Νεστορίου δυσσέβειαν καὶ πρὸς τούτοις τὴν νεαρὰν Εὐτυχοῦς κακοδοξίαν. καὶ πιστεύομεν τὸν δεσπότην ἡμῶν καὶ σωτῆρα Ἰησοῦν Χριστὸν ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου τῆς θεοτόκου τετέχθαι ⟨καὶ⟩ ὁμολογοῦντες ἕνα καὶ τὸν αὐτὸν υἱὸν Ἰησοῦν, θεὸν τέλειον καὶ ἄνθρωπον τέλειον τὸν αὐτόν, θεὸν ἀληθῶς καὶ ἄνθρωπον ἀληθῶς τὸν αὐτόν, οὐδενὶ τρόπωι μεριζόμενον ἢ χωριζόμενον ἢ τρεπόμενον τὸν σωτῆρα Χριστὸν προσκυνοῦμεν ταύτηι τῆι πίστει ἀσαλεύτως διαμένειν εὐχόμενοι, ἀναθεματίζοντες τοὺς λέγοντας δύο υἱοὺς ἢ δύο Χριστοὺς ἢ εἰπόντας ἢ γράψαντας ἢ καὶ λέγειν τολμῶντας. ἤντινα ἁγίαν καὶ ὀρθόδοξον πίστιν καὶ ἡ ἐν
M VII 517 Χαλκηδόνι ἔναγχος οἰκουμενικὴ συγκροτηθεῖσα σύνοδος ἐβεβαίωσεν μηδεμίαν προσθήκην ἢ μείωσιν ἐν τῶι ἐκτεθέντι ἁγίωι συμβόλωι παρὰ τῶν τιη ἁγίων πατέρων ποιήσασα, τὴν δὲ Εὐτυχοῦς μόνου κακοδοξίαν συμφώνως τοῖς ἁγίοις πατράσι ψήφωι καταδικάσασα. ἐν ταύτηι γὰρ τῆι πίστει τὸ ἡμέτερον πέποιθεν κράτος καὶ ἐν ταύτηι διαμένειν σπεύδει τε καὶ εὔχεται καὶ τὴν ἡμετέραν δι' αὐτῆς φυλάττεσθαι βασιλείαν. τὴν τοίνυν ἀληθῆ καὶ σεπτὴν καὶ ὀρθόδοξον πίστιν ἡμῶν, ἥνπερ καὶ ἡ ἐν Χαλκηδόνι ἁγία σύνοδος ἐβεβαίωσεν, τῶι πλήθει παντὶ κηρύττοντες καὶ μάλιστα τοῖς εὐλαβεστάτοις ἀρχιμανδρίταις τοῖς μὴ ἀκολουθοῦσι τῆι γνώμηι τοῦ μυσαροῦ Θεοδοσίου τοῦ τὰς πόλεις καὶ τὰς ἐκκλησίας τό γε ἐπ' αὐτῶι ἀνατρέψαντος τὰς συνήθεις εὐχὰς ὑπὲρ τε ἡμῶν καὶ τῆς Ῥωμαικῆς καταστάσεως ἐκτενέστερον ποιεῖσθαι μὴ κατοκνήσητε.

M, B [= ao]

3 ἐγχειρησθέντα M ἐγχειρισθέντα B 5 δυσσεβῆ τε M γλώττῃ B 6 τῆ B τὸ M 10 δυσσέβειαν B^o 13 τῆσ τῶν B^o καὶ μὴ B^o 15 διαλεχθησόμενον B^o 18 ἐνσπείρει MB^o 19 πλανήσει B^o 24 βδελλυσσόμεθα M 25 καὶ 1 — Νεστορίου om. B^o βαλλεντίνου M 26 Ἰησοῦν om. B 27 τῆσ 2 B^a καὶ MB^o καὶ addunt cl. p. 132, 33 34 ἐκτιθεμένω B^o 35 καὶ μόνου B^o 36 ὑμέτερον M 41 τῶ M

'Αντίτυπον βασιλικοῦ γράμματος γραφέντος Βάσσηι ἡγουμένηι ἀσκητηρίου ἐν Αἰλίαι παρὰ τῆς εὐσεβεστάτης καὶ φιλοχρίστου αὐγούστης Πουλχερίας L IIII 871 M VII 505

31 Τὴν τῆς ἡμετέρας γαληνότητος περὶ τὴν εὐαγῆ καὶ ὀρθόδοξον πίστιν σπουδὴν τε καὶ προθυμίαν καὶ ὅπως αὐτὴν διὰ πάντων αὔξειν τε καὶ συγκροτεῖσθαι σπουδάζομεν, οὐδενὶ μὲν ἀμφίβολον εἶναι νομίζομεν, πλέον δὲ πάντων ἀκριβῶς ἐπίστασθαι τὴν σὴν εὐλάβειαν τεθαρρήκαμεν. ἐπειδὴ δὲ ἀνεφάνη ἐν τοῖς νῦν καιροῖς ὁ τῆς Σίμωνος πλάνης, μᾶλλον δὲ τοῦ ἀντιχρίστου πρόδρομος Θεοδόσιος, ὃς ὅπως μὲν διέθηκεν τὴν Αἰλιέων πόλιν καὶ τὰς ἐν τῆι Παλαιστίνηι ἁγιωτάτας ἐκκλησίας ἐτάραξεν μυρία δεινὰ κατά τε M VII 508 τῶν θείων καὶ τῶν ἀνθρωπίνων δικαίων διαπραξάμενος συκοφαντῶν τε τὴν ἁγίαν καὶ οἰκουμενικὴν ἐν Χαλκηδόνι συγκροτηθεῖσαν σύνοδον ὡς τὸ σύμβολον τῶν τιη ἁγίων πατέρων παρασαλεύσασαν καὶ δύο υἱοὺς καὶ δύο Χριστοὺς καὶ δύο πρόσωπα προσκυνεῖσθαι δογματίσασαν, οὐδὲ τὴν ὑμετέραν λέληθεν εὐλάβειαν, ἀναγκαῖον ἡγήσατο ἡ ἡμετέρα εὐσέβεια διὰ τῶν πρὸ τούτου καταπεμφθεισῶν θείων ἡμῶν συλλαβῶν ἐλέγξαι μὲν τὰς τοῦ μνημονευθέντος μυσαροῦ ἀνδρὸς ψευδολογίας, τὴν δὲ ἡμετέραν ἐκ προγόνων ἡμῖν παραδοθεῖσαν φανερῶσαι πίστιν καὶ ὅτι κατὰ τὸ σύμβολον τῶν τιη πιστεύομεν, ὅπερ καὶ ἡ ἐν Χαλκηδόνι ἁγία σύνοδος μηδὲν τούτωι προσθεῖσα μήτε μὴν αὐτοῦ μειώσασα ἐβεβαίωσεν. καὶ διὰ τὴν φιλανθρωπίαν τοῦ δεσπότου ἡμῶν καὶ σωτῆρος Χριστοῦ γνόντες οἱ τὴν Αἰλιέων πόλιν οἰκοῦντες τήν τε τῆς ἐμῆς γαληνότητος καὶ τοῦ εὐλαβοῦς δεσπότου τῆς οἰκουμένης καὶ ὁμοζύγου τῆς ἐμῆς θειότητος ἀληθῆ καὶ ὀρθόδοξον πίστιν ταύτηι τε προσέδραμον καὶ διαφόροις εὐφημίαις τὸν δεσπότην ἡμῶν καὶ σωτῆρα 'Ιησοῦν τὸν Χριστὸν τήν τε ἡμετέραν ἀνύμνησαν βασιλείαν καὶ συγγνώμην ἐπὶ τοῖς προλαβοῦσιν αὐτῶν ἠιτήσαντο πταίσμασι. καὶ περὶ μὲν αὐτῶν ὁ θειότατος καὶ εὐσεβέστατος δεσπότης καὶ ὁμόζυγος τῆς ἐμῆς γαληνότητος τῆι συνήθει αὐτοῦ φιλανθρωπίαι L IIII 874 κεχρημένος τύπον δέδωκεν τὸν τῆι αὐτοῦ πρέποντα εὐσεβείαι, ἡ δὲ ἡμετέρα γαληνότης λογιζομένη τὰς Θεοδοσίου τοῦ προλεχθέντος μυσαροῦ καὶ ἀνοσίου συκοφαντίας μὴ καί τινων εὐλαβεστάτων γυναικῶν τὰς ἁπλουστέρας ἠπάτησεν καὶ ταῖς αὐτοῦ μαγγανείαις τε καὶ ψευδολογίαις ἀπαγαγεῖν ταύτας τῆς ἀληθείας ἐξίσχυσεν, πανταχόθεν τε βουλομένη τὴν τοῦ μνημονευθέντος μυσαροῦ ἀπελεγχθεῖσαν ἐξαλεῖψαι δυσσέβειαν, τούτου ἕνεκα τάδε πρὸς ὑμᾶς τὰ θεῖα ἡμῶν καταπέμπομεν γράμματα, δι' ὧν τήν τε ἐκ πατέρων ἡμῶν παραδοθεῖσαν ἡμῖν φανεροῦμεν πίστιν, πάσαις δὲ ταῖς τῶι θεῶι ἀνακειμέναις γυναιξὶ δήλην ταύτην δι' ὑμῶν γενέσθαι βουλόμεθα, ὅτιπερ ἡμεῖς τὴν μὲν πίστιν κατὰ τὸ ἐκτεθὲν σύμβολον παρὰ τῶν τι καὶ η ἁγίων πατέρων φυλάττομεν, βδελυσσόμεθα δὲ τὴν Φωτεινοῦ καὶ 'Απολιναρίου καὶ Βαλεντίνου καὶ Νεστορίου δυσσέβειαν καὶ πρὸς τούτοις τὴν νεαρὰν Εὐτυχοῦς κακοδοξίαν καὶ πιστεύομεν τὸν δεσπότην ἡμῶν καὶ σωτῆρα 'Ιησοῦν Χριστὸν ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου τῆς θεοτόκου τετέχθαι ⟨καὶ⟩ ὁμολογοῦντες ἕνα καὶ τὸν αὐτὸν υἱὸν 'Ιησοῦν θεὸν τέλειον καὶ ἄνθρωπον τέλειον τὸν αὐτόν, θεὸν ἀληθῶς καὶ ἄνθρωπον ἀληθῶς τὸν αὐτόν, οὐδενὶ τρόπωι μεριζόμενον ἢ χωριζόμενον ἢ τρεπόμενον τὸν σωτῆρα Χριστὸν προσκυνοῦμεν, διὰ παντὸς ἐν ταύτηι τῆι πίστει ἀσαλεύτως διαμένειν εὐχόμενοι καὶ ἀναθεματίζοντες τοὺς λέγοντας δύο υἱοὺς ἢ δύο Χριστοὺς ἢ δύο πρόσωπα ἢ εἰπόντας ἢ γράψαντας ἢ καὶ λέγειν τολμῶντας, ἥντινα

31—24, 2 cf. Leonis epp. 72. 73 destinatas d. 9. m. Ian. a. 454 [uol. 4 p. 81, 32—82, 5. p. 82, 19—23]

M, B [= ao]

1 βάσσησ M 3 Τὴν om. B^o παρὰ B^o 11 πρων τῶν ἐν νικαία B^o δὺο χριστοὺσ καὶ δύο υἱοὺσ B 13 τῶν] τῶν τοῦ M 16 αὐτοῦ μειώσασα M ἀπομειώσασα B 20 τε om. B^o 20/21 χν ιν B^o 25 τοῦ B^o 27 ὑπαγαγεῖν B^o 28 ἕνεκεν B^o 32 τιη B^o 34 καὶ σρα ἡμῶν M 35 καὶ addidi cf. p. 132, 31 37/38 ἢ χωριζόμενον om. B^o 40 καὶ om. B

ἁγίαν καὶ ὀρθόδοξον πίστιν καὶ ἡ ἐν Χαλκηδόνι ἔναγχος οἰκουμενικὴ συγκροτηθεῖσα σύνοδος ἐβεβαίωσεν μηδεμίαν προσθήκην ἢ μείωσιν ἐν τῶι ἐκτεθέντι ἁγίωι συμβόλωι παρὰ τῶν τριακοσίων δεκαοκτὼ ἁγίων πατέρων ποιήσασα, τὴν Εὐτυχοῦς μόνου κακοδοξίαν συμφώνωι τοῖς ἁγίοις πατράσι ψήφωι καταδικάσασα. μαθοῦσα τοίνυν ἡ σὴ εὐλάβεια τὴν τῆς ἡμετέρας γαληνότητος ἀληθῆ καὶ ὀρθόδοξον πίστιν εὔχεσθαι ὑπὲρ ἡμῶν καὶ τῆς ἡμετέρας βασιλείας ἐκτενέστερον σπουδαζέτω.

M, B [= ao]

1 συγκροτηθεῖσα οἰκουμενικὴ Bo 3 τὴν δὲ Bo 6 σπουδάζεται Bo

INDEX VOCABVLORVM

Vbi additur uocabulum Latinum, Graeca ex Latino translata sunt

Pars I = 3—196 II = 199—359 III = 362—495

ἀβεβαίου incerto 3, 17
ἀβλαβοῦς inlaeso 6, 11
ἀγαθοί benigniores 255, 27. τοῦ — ἀγαθοῦ benignitatis 45, 14
ἀγαθότητι benignitate 252, 27. ἀγαθότητος probitatis 254, 21
ἀγανάκτησιν indignatio 36, 28. ἀγανάκτησις ἔχει γενέσθαι 80, 21. τῆς ἐκτῶν κανόνων ἀγανακτήσεως 223, 23
ἀγαπῶ τὸν ἀρχιεπίσκοπον τῆς Κωνσταντινουπόλεως 421, 35
τὴν ὑμετέραν ἀγγελικὴν σύνοδον 424, 33. 425, 5. 219, 13. τῶι ὑμῶν ἀγγελικῶι χορῶι 212, 39. 214, 12. 215, 21. 220, 21. τῆς ὑμετέρας ἀγγελικῆς στρατιᾶς [στρατηγίας 215, 15] 220, 4. 215, 15
τὸν ὑμέτερον ἄγγελον 216, 3
ἅγιοι uenerabiles 478, 24
ἁγιότητος sacramento 43, 8
ἀγνωσία inprudentia 19, 7
ἐν τοῖς ἀγράφοις 70, 7. 364, 12
ταῖς τῶν οἰκείων κατηγοριῶν ἀγωγαῖς 220, 38
ἠγωνίασεν contristatus est 22, 6
ἄδειαν facultatem 481, 18. 483, 11. licentiam 482, 15. ἐπ' ἀδείας liberum 256, 18
ἀδήλωι incerto 25, 23
ἀδιαβλήτως inreprehensibiliter 256, 35
ἀδιανόητον 167, 3
ἀδιαφόρως 355, 12
ἀδικουμένης laeditur 4, 7
ἀδίκως immerito 252, 18
ἀδικώτερον iniquius 11, 6
τὸ ἀδύνατον infirmitas 13, 12
ἀθέμιτος nefandum 241, 12. ἀθέμιτον nefas 480, 7. 482, 26. ἀθέμιτον nefarie 19, 2. ἀθέμιτα illicita 478, 17
ἀθλίαι miserrimo 50, 7
αἰδεσιμωτέραν 427, 33
ἅιδης inferna 22, 28
αἰδώς reuerentia 51, 33. 26, 20. 27, 14. uerecundia 254, 2
ἠιρῆσθαι optasse 251, 24
εἰς κακῶν αἵρεσιν 411, 20. αἱρέσεως condicionis 479, 25
ἤισθετο senserat 45, 20
τὰς τῶν ἀνθρώπων αἰσθήσεις τε καὶ ψυχάς 68, 13. αἴσθησιν sensum 46, 16. 19
αἰτιάσεις δεδώκασι 440, 36
αἰχμαλώτους τὰς χεῖρας ἐπέδωκαν captiuas 26, 3
ἀκαθοσιώτως 219, 33
ἀκέραιον integrum 49, 7. 50, 8. 13, 17. τὸ ἀ. integritas 45, 15. 47, 23
ἔν τε κινητοῖς καὶ ἀκινήτοις 404, 18
ἀκμαίωι maturitate 44, 9
ἀκόλουθον consequens 481, 34 *et passim*. ἀκόλουθος καὶ κανονική 447, 23
ἀκρίβειαν diligentiam 19, 5
τῆι ἀκροάσει τῆς συνόδου 138, 24. 168, 5. 373, 22. 426, 7. 429, 42. 430, 12. 21. 431, 33. ἀκροάσεως examinis 18, 24. ἀκρόασιν iudicium 242, 8
τὴν τῶν ἀκροατῶν τάξιν 373, 33. 17. cf. ἀντὶ δικαστῶν 374, 1
ἀκροτελεύτιον 247, 26
ἀκυμάντωι 247, 26
ἀληθῶς merito 251, 4
ἀλλόκοτον absurdam 18, 26
ἀμαθής inperitus 11, 4. 19, 7. 260, 16. ἀμαθεῖ inprudentissimo 40, 26. ἀμαθῶς inprudenter 44, 18
ἥμαρτεν admisit 13, 20. ἁμαρτάνειν praeuaricandi 481, 19
ἀμάχως 409, 32. 39
ἀμέλει denique 22, 5. — 172, 22. 174, 11. — ἀμέλει γοῦν 214, 25. 215, 9. 217, 1. 219, 35
ἀμεριμνία securitatis 255, 9. — 29, 2
ἀμέσως 173, 9. 16. 180, 22
ἄμετρον inmoderatum 255, 30
ἐξ ἀρχαίων καὶ ἀμνημονεύτων χρόνων 463, 19
ἀμοιβαίαν reciprocam 38, 3. — ἀμοιβαίως 70, 6
ἠμοίρησεν 213, 20
ἀμόλυντος inuiolata 242, 40
πολλὰ καὶ ἀμύθητα 385, 7
τοῦ ἀναγκαίου γένεσθε 164, 36
ἀναζωγραφεῖ 140, 4
ἀναιδείαι improbitate 241, 11. 256, 14
ἀναιδῆ improba 253, 11. 38. 256, 14. 20. 258, 18. ἀναιδής reprobae 253, 19

ἀναισθήτως ὑβρίζετο 484, 9
ἀναγκάζομαι καὶ ἀναισχυντεῖν 120, 14
ἀνακαινιστέα reparanda 13, 19
πληγαῖς ἀνήλισκεν 405, 27
ἀναλυτέα resolubilis 253, 6
ἀναξίως immerito 242, 27
ἀνεπήδησεν *metaphorice* 425, 13
ἀναρτηθέντων suspensis 48, 16
ἀνασειστάς 70, 15
ἀναψηλαφῆσαι 256, 32. 48, 17
ἀνέδην improbo 480, 25. — ἀνέδην ὤπλισε πρὸς ἀσέβειαν 471, 2 = ἀναιδῶς. *cf. Euseb. Kirchengesch.* 3 p. 161
ἀνεύθυνοι innocentes 261, 15. ἀνευθύνων inculpabilium 48, 35
οὐκ ἠνέσχοντο noluissent 258, 10
ἀνηγεμονεύτων 477, 10
ἀνθεῖ uigeret 258, 38
ἀνίχνευσιν indaginem 478, 26
ἀνοδεύτων inuia 49, 9
ἀνόθευτα infucatum 478, 8
ἄνοιαν insipientiam 11, 8
ἀνομίαι iniquitati 50, 18. nequitiae 50, 29
ἀνοσιουργηθέντων 427, 2
τάττεται καὶ τοὺς παθητὴν τοῦ μονογενοῦς λέγειν τολμῶντας τὴν θεότητα τοῦ τῶν ἱερῶν ἀπωθεῖται συλλόγου καὶ τοῖς ἐπὶ τῶν δύο φύσεων τοῦ Χριστοῦ κρᾶσιν ἢ σύγχυσιν ἐπινοοῦσιν ἀνθίσταται καὶ τοὺς οὐράνιον ἢ ἑτέρας τινὸς ὑπάρχειν οὐσίας τὴν ἐξ ἡμῶν ληφθεῖσαν αὐτῶι τοῦ δούλου μορφὴν παραπαίοντας ἐξελαύνει καὶ τοὺς δύο μὲν πρὸ τῆς ἑνώσεως φύσεις τοῦ κυρίου μυθεύοντας, μίαν δὲ μετὰ τὴν ἕνωσιν ἀναπλάττοντας ἀναθεματίζει. ἑπόμενοι τοίνυν τοῖς ἁγίοις πατράσιν ἕνα καὶ τὸν αὐτὸν ὁμολογεῖν υἱὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν συμφώνως ἅπαντες ἐκδιδάσκομεν, τέλειον τὸν αὐτὸν ἐν θεότητι καὶ τέλειον τὸν αὐτὸν ἐν ἀνθρωπότητι, θεὸν ἀληθῶς καὶ ἄνθρωπον ἀληθῶς τὸν αὐτὸν ἐκ ψυχῆς λογικῆς καὶ σώματος, ὁμοούσιον τῶι πατρί κατὰ τὴν θεότητα καὶ ὁμοούσιον ἡμῖν τὸν αὐτὸν κατὰ τὴν ἀνθρωπότητα, κατὰ πάντα ὅμοιον ἡμῖν χωρὶς ἁμαρτίας, πρὸ αἰώνων μὲν ἐκ τοῦ πατρὸς γεννηθέντα κατὰ τὴν θεότητα, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν τὸν αὐτὸν δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Μαρίας τῆς παρθένου τῆς θεοτόκου κατὰ τὴν ἀνθρωπότητα ἕνα καὶ τὸν αὐτὸν Χριστὸν Ἰησοῦν κύριον μονογενῆ, ἐν δύο φύσεσιν ἀσυγχύτως ἀτρέπτως ἀδιαιρέτως ἀχωρίστως γνωριζόμενον, οὐδαμοῦ τῆς τῶν φύσεων διαφορᾶς ἀνηιρημένης διὰ τὴν ἕνωσιν, σωιζομένης δὲ μᾶλλον τῆς ἰδιότητος ἑκατέρας φύσεως καὶ εἰς ἓν πρόσωπον καὶ μίαν ὑπόστασιν συντρεχούσης, οὐκ εἰς δύο πρόσωπα μεριζόμενον ἢ διαιρούμενον, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν υἱὸν μονογενῆ θεὸν λόγον κύριον Ἰησοῦν Χριστόν, καθάπερ ἄνωθεν οἱ προφῆται περὶ αὐτοῦ καὶ αὐτὸς ἡμᾶς Ἰησοῦς Χριστὸς ἐξεπαίδευσε καὶ τὸ τῶν πατέρων ἡμῖν παραδέδωκε σύμβολον. τούτων τοίνυν μετὰ πάσης πανταχόθεν ἀκριβείας καὶ ἐμμελείας παρ' ἡμῶν διατυπωθέντων ὥρισεν ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος ἑτέραν πίστιν μηδενὶ ἐξεῖναι προφέρειν ἢ γοῦν συγγράφειν ἢ συντιθέναι ἢ φρονεῖν ἢ διδάσκειν ἑτέρως, τοὺς δὲ τολμῶντας ἢ συντιθέναι πίστιν ἑτέραν ἢ γοῦν προκομίζειν ἢ διδάσκειν ἢ παραδιδόναι ἕτερον σύμβολον τοῖς ἐθέλουσιν ἐπιστρέφειν ἐξ Ἑλληνισμοῦ ἢ Ἰουδαισμοῦ ἢ γοῦν ἐξ αἱρέσεως οἱασδηποτοῦν, τούτους, εἰ μὲν εἶεν ἐπίσκοποι ἢ κληρικοί, ἀλλοτρίους εἶναι τοὺς ἐπισκόπους τῆς ἐπισκοπῆς καὶ τοὺς κληρικοὺς τοῦ κλήρου· εἰ δὲ μονάζοντες ἢ λαικοὶ εἶεν, ἀναθεματίζεσθαι: —

Hebr. 4, 15

I

4 Ἀντέωνος ἐπισκόπου Ἀρσενόης ἐπιστολὴ πρὸς Πέτρον ἐπίσκοπον Ἀντιοχείας ὅτι οὐ δεῖ πάθος ἐν τῶι τρισαγίωι συνάπτειν διὰ τῆς προσθήκης τῆς ὁ σταυρωθεὶς δι' ἡμᾶς ἣν οἱ αἱρετικοὶ προσέθηκαν

1 Πάνυ εἰμὶ ἐστυγνακώς, ἀδελφὲ τιμιώτατε, ὅτι ἐπηύξηται διὰ σοῦ μέγα σκάνδαλον ἀντὶ τοῦ ἐκτεμεῖν σε τὰ σκάνδαλα. καὶ γὰρ ἐπισχεῖν θέλω τὰ ἐπὶ τούτωι δάκρυα καὶ κεκώλυμαι ὑπὸ τῆς σῆς ἐν κακίαι ἐξενηνεγμένης αἱρέσεως, ὅτι παρατέτρωται παρὰ σοὶ τὰ εὐαγγέλια Πράξεις τε καὶ ἀπόστολος, ἐπείπερ παρ' αὐτοὺς ἔδοξας ἐπισοφίζεσθαι τοῦ μὴ Χριστὸν σταυρωθέντα καθαρῶς ὁμολογεῖν, ἀλλὰ τῶι τρισαγίωι τὸν σταυρὸν συνάπτειν ὡς τὰ πρῶτά σου γράμματα τὰ πρὸς Ἀκάκιον τὸν Κωνσταντινουπόλεως ποιμένα δείκνυσιν.

---

epistulae collocatae sunt VIII. VIIII. 1—VII. X. ante VIII extat inscriptio Βιβλίον πρῶτον τῶν πρακτικῶν τῆσ ἁγίασ καὶ οἰκουμενικῆς πέμπτης συνόδου I

I antiquior epistulae forma [ΓΛ[a]] edita est infra in appendice 1

O [= aerv], I [inde Λ 28]

3 ὑπάρχειν O[r] ὕπαρξιν O[aev] 10 ἡμῖν τὸν αὐτὸν O[e] τὸν αὐτὸν ἡμῖν O[r] τὸν αὐτὸν O[av] 12 παρθένου τῆς θεοτόκου O[r] παρθένου O[av] παρθένο υτεχθέντα O[e] 13 Ἰησοῦν] υἱὸν O[r] 13. 14 ἐκ δύο φύσεων O[r] 14 ἀχωρίστως] ἀσυγχύτωσ O[a] 17 μονογενῆ υἱὸν O[v] κύριον om. O[aev] 18 ὁ Κσ ισ O[r] 19 παρέδωκε O[av] 23 θέλουσιν O[e] 28 Ἀντέωνος — Ἀρσενόης] ἑτέρα 1 om. O[r] ἀρσινόησ O[av] 29/30 ἣν οἱ O[ar] 1 ἣν O[e] ἥσ O[v] 32 ἀντὶ — σκάνδαλα om. O[r] 34 τε om. O[a] 35 τὸ O[v]

ἐπειδή γε εἰς ἀσέβειαν ἐμπέπτωκας, διαφόρως διαστρέφεις τὴν ἐξενεχθεῖσαν ὑπὸ σοῦ ἀδίκως
2 νομήν, ὅπως ἐμπαράμονον καὶ ἑδραίαν αὐτὴν παρὰ πᾶσι κυρώσηις. οὔτε γὰρ τὸ
θεῖον λέγομεν παθητόν, ὡς σὺ λέγεις, οὔτε γυμνὸν λόγον φαμὲν σταυρωθέντα, ἀλλὰ
Χριστὸν Ἰησοῦν. ἐν δὲ τῶι τρισαγίωι ποῦ σώματος δήλωσις, ἵνα χώραν ἡ τοῦ σταυροῦ
3 λάβηι προσηγορία; λέγεις γὰρ 'ἅγιος ὁ θεός'. καὶ τίς οὐκ οἶδεν ὅτι πρῶτος ὁ πατὴρ 5
κατὰ τὴν τάξιν τῆς συνήθους πᾶσι δοξολογίας, εἰ καὶ μὴ καθ' ὑπεροχὴν τῆς θεικῆς ἀξίας;
ἔπειτα φάσκεις 'ἅγιος ἰσχυρός'. καὶ τίς οὐκ οἶδε κατὰ τὸν προφήτην Ἡσαίαν ὅτι τὸ
τεχθὲν ἡμῖν παιδίον Χριστὸς Ἰησοῦς, οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ καὶ Ies. 9, 6
καλεῖται καὶ ἔστι μεγάλης βουλῆς ἄγγελος θεὸς ἰσχυρός; εἰ γὰρ καὶ ἐσταυ- 2 Cor. 13, 4
ρώθη ἐξ ἀσθενείας, ἀλλὰ τὸ ἀσθενὲς ἡμῶν ἀναλαβὼν σῶμα τοῦτο πέπονθεν, ἰσχυρὸς 10
δὲ θεὸς τυγχάνων προθύμως πρὸς τὸν σταυρὸν τὸ οἰκεῖον ἐξεδίδου σῶμα, ὡς εἰπεῖν καὶ
4 τὸν προφήτην αὐτὸς τὰς ἀσθενείας ἡμῶν ἀνέλαβε. θεὸς δὲ καὶ ἄνθρωπος παρὰ Mt. 8, 17
πάντων συνωμολόγηται ὁ Χριστός· σὺ δὲ μόνον τὸ ἰσχυρὸν τῆς τοῦ Χριστοῦ θεότητος
εἰπών, παραδραμὼν δὲ καὶ τοῦτο ἦκες ἐπὶ τὸ πνεῦμα τὸ ἅγιον καὶ ὡμολόγησας, ὡς
5 ἔστιν ἀληθῶς, ἀθάνατον. τίνα οὖν ἐπιφέρεις ἐσταυρωμένον δι' ἡμᾶς μετὰ ταῦτα; τὸν 15
Χριστὸν λέγεις; οὐκοῦν δῆλος γέγονας τετράδα φρονῶν, ἕτερον παρὰ τὸν ἰσχυρὸν θεὸν
τὸν Χριστὸν ὀνομάζων. ἀλλὰ τὸ πνεῦμα τὸ ἅγιον σταυρωθῆναι φάσκεις; καὶ τί τούτου
δυσσεβέστερον γένοιτ' ἄν; ἀλλὰ φαντασίαν λέγεις τὴν τοῦ πάθους οἰκονομίαν; οὐκοῦν
6 φαντασία κατὰ τοὺς ἀσεβεῖς Μανιχαίους καὶ ἡ ἡμῶν σωτηρία. ὁρᾶις πῶς πανταχόθεν
περικρημνίζηι καὶ ἀγνοεῖς, ἢ καὶ εἰδὼς ἑκὼν κακουργεῖς; ἰδοὺ νῦν ὑπομνησθεὶς ἐντράπηθι 20
περὶ τῆς ἀπαιδευσίας σου καὶ εἶξον, ὡς παρεδέξω παρὰ τοῦ προφήτου, δοξολογεῖν τὸ
τρισάγιον· ἀσωμάτως γὰρ ὀνομαζόμενον μηδενὸς προκειμένου τῆς σαρκώσεως τοῦ μονο-
γενοῦς αἰνίγματος καθαρῶς ὀφείλει δοξολογεῖσθαι μηδεμιᾶς σταυροῦ προσθήκης ἐπαγο-
7 μένης. ὡς γὰρ ἂν σοφίσηταί τις, ἐκκρημνίζεται τῆς ὀρθοδοξίας. Χριστὸν δὲ παρα-
λαβὼν δι' ἡμᾶς σταυρωθέντα τὸν υἱὸν τοῦ θεοῦ κατὰ τὸν μακάριον Παῦλον φάσκοντα 25
ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν Ἰησοῦν καὶ τοῦτον ἐσταυρωμένον, μὴ ἀπαρνοῦ 1 Cor. 1, 23
τούτου τὸ ὄνομα καὶ τὸ πάθος· εἰ δὲ μή, προλαβὼν ἐκεῖνος ἔφη· εἴ τις ὑμᾶς εὐαγγε- Gal. 1, 9
λίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. ἐγὼ γάρ φησιν οὐκ ἔκρινά τι 1 Cor. 2, 2
8 εἰδέναι ἐν ὑμῖν εἰ μὴ Χριστὸν Ἰησοῦν καὶ τοῦτον ἐσταυρωμένον. εἰ δὲ
τοῦτον ἀπαρνεῖσθε σταυρωθέντα καὶ τῶι τρισαγίωι πάθος προσάπτετε, πῶς οὐχ ὑποίσετε 30
τὸν ἀναθεματισμόν; Παῦλός ἐστιν ὁ ἀναθεματίζων, τὸ σκεῦος τῆς ἐκλογῆς. προβαλοῦ
9 Χριστὸν καὶ σταυρὸν μὴ ἀπαρνοῦ· μὴ ἕτερον ἀνθ' ἑτέρου. πλεῖστοι γάρ εἰσιν οἱ
σταυρωθέντες, εἷς δὲ ὁ δι' ἡμᾶς. φέρε οὖν ἐν τῶι σταυρῶι τούτου τὸ ὄνομα, ἵνα μὴ
ἕτερον ὑποπτευθῆις λέγειν σταυρωθέντα, ὅτι οἶδας ὅτι πολλὰ τὰ ἔνεδρα τοῦ δολίου. διὰ
τοῦτο καὶ οἱ τιη καὶ οἱ ρν ἕνα κύριον Ἰησοῦν Χριστὸν παραδιδόασι σταυρωθέντα καὶ οὐ 35
τὸ τρισάγιον· οἱ δὲ νομομαθεστέρους κρίναντες ἑαυτοὺς εἶναι τούτων τῶν πατέρων πῶς
οὐ δεικνύουσιν ἑαυτοὺς τούτων ἀλλοτρίους;

O [= acrv], I

1 γε O^{rI} δὲ O^{aev} Λ ἐμπεπτωκὼσ O^{arv} ἐκπεπτωκὼς I cf. Γ 5 λάβοι O^{er} 8 ις χς O^{a} ἐγεννήθη O^{v} 9 ἰσχυρὸς θς O^{rI} 10 οὐκ ἐξ O^{e} τούτω I 12 ἔλαβε I 14 τοῦτο ΙΛΛ^{a}Γ τοῦτον O 16 φωνῶν O^{rI} 20 περικνημίζη I 22 προσκειμένου I 23/24 ἐπαγόμενοσ O^{v} 24/25 δι' ἡμᾶς — θεοῦ παραλαβὼν O^{rI} 26 ιν χν O^{arv}I 27 ὑμῖν I 29 ιν χν O^{arI} 31 προλαβοῦ I 34 ὅτι^{2} om. O^{r} πονηροῦ I 35 οἱ^{1} om. O^{a}I, corr. O^{a} οἱ^{2} om. O^{a}

II

Φαύστου ἐπισκόπου Ἀπολλωνιάδος πρὸς τὸν αὐτὸν Πέτρον

1 Ἐπειδήπερ ἐπιτέτραπται νύττεσθαι τοὺς πρώτους ὑπὸ τῶν ἀποκαλυφθέντων Χριστοῦ τὸ μυστήριον ἐσχάτων, ἐκείνους δὲ σιγὴν ἄγειν τῆς κακοδιδασκαλίας ὡς γεγονότας κακίστους δογματιστάς, ἤκουσα παρὰ πολλῶν συνεπισκόπων, ἀγαπητέ, ἐκνενευκέναι σε τῆς ὀρθοδοξίας καὶ τοῦτο πανταχοῦ περιήχηται, δι' ὃ ἀναγκαῖον ἡγησάμην πυθέσθαι παρὰ σοῦ εἰ ταῦτα οὕτως ἔχει. δεῖξαι γάρ μοι δέδοκται μὴ οὕτως σε φρονεῖν ὀφείλειν ὥστε τῶι τρισαγίωι σταυρὸν συνάπτειν καὶ πάθει καὶ θνήσει τὸ ἀπαθὲς ὑποβάλλειν,
2 ἀλλὰ καθαρῶς ὡς τὰ σεραφὶμ καὶ εὐσεβῶς δοξολογεῖν. πῶς γὰρ Χριστιανίσουσι τὰ ἔθνη τοῦ ὀνόματος τοῦ σωτῆρος μὴ ἐπιφερομένου τῶι Χριστῶι; πῶς δὲ καὶ αὐτοὶ οἱ Χριστιανοὶ δύνανται πιστοὶ τυγχάνειν μὴ ἀνατιθέντες τῶι σταυρῶι τὸ τοῦ Χριστοῦ ὄνομα; ἀκούοντες γὰρ οἱ ἄπιστοι θεὸν ἀθάνατον δι' ἡμᾶς σταυρωθέντα ἐροῦσι σκάνδαλον εἶναι, τὸ πιστεῦσαι Χριστῶι ἀποστρεφόμενοι καὶ λέγοντες· οἱ θεοὶ ἡμῶν οἱ παρὰ τοῖς Χριστιανοῖς κίβδηλοι ὄντες ἀθάνατοι παρ' ἡμῶν ἀναγορεύονται, καὶ πῶς ὁ αὐτῶν θεὸς ἀθάνατος ὢν ἔθανε; δῆλον ὅτι ψευδὴς ἡ ῥῆσις αὕτη· εἰ γὰρ ἀπέθανεν, οὐκέτι ἀθάνατος οὐδὲ
3 ἰσχυρός, ἀλλὰ ἀσθενὴς τῆς ἀθανασίας τραπείς. οὐχ οὗτοι δὲ μόνον, ἀλλὰ καὶ θεοσεβεῖς καὶ ἡμῖν ὁμόπιστοι λέξουσιν ἄν· οὗτοι θεοπασχῖται καὶ οὐχὶ Χριστιανοί εἰσι· Μανιχαῖοι καὶ οὐκ ὀρθοτόμοι· τετραδῖται καὶ οὐ τριαδόδοξοι· Εὐτυχιανισταὶ καὶ οὐκ ὀρθόδοξοι· Νεστο-
4 ριανοὶ καὶ οὐ φιλόχριστοι. εἰ δέ τις τὸν ἐπὶ σταυροῦ κρεμασθέντα ἀκούσει Χριστὸν Ἰησοῦν εἶναι, ὃς τὴν θνητὴν ἡμῶν σάρκα χρισθεὶς φιλανθρωπίαι Χριστὸς εἰκότως κικλήσκεται, δι' ὃ καὶ ἐσταύρωσαν αὐτόν, ὃν ἐλπίζομεν ὅτι αὐτός ἐστιν ὁ μέλλων λυτροῦσθαι τὸν Ἰσραήλ, τότε πεσὼν ἐπὶ πρόσωπον ἐρεῖ· κἀγὼ Χριστιανός εἰμι, πιστεύω εἰς ὃν καὶ
5 οὗτοι ἐπίστευσαν, καὶ πιστευθήσεται καὶ τὰ πάθη καὶ ἡ θνῆσις τοῦ σώματος αὐτοῦ. καὶ γὰρ διὰ τοῦτο πλείσταις λοιδορίαις ἐβλήθη παρὰ τῶν ἀπίστων ἡ ἐν Χαλκηδόνι τῶν χλ πατέρων ὀρθόδοξος πίστις, ὅτι εἶπον δύο φύσεις εἶναι ἐν τῶι Χριστῶι, μίαν παθητὴν θνητὴν ὁρατήν τε καὶ ἔπαφον, ἥτις ἐστὶν ἡ σὰρξ ἡμῶν, καὶ μίαν ἀπαθῆ ἀθάνατον ἀόρατον ἀψη-
6 λάφητον, ἥτις ἐστὶν ἡ τοῦ θεοῦ ἄχραντος φύσις. τὰ ἑκάτερα οὖν ἐν τῶι Χριστῶι δεῖ ἡμᾶς ὁμολογεῖν, ὧν τῆι ἑνώσει μὴ δῶις διάστασιν μηδὲ τέμηις τὸν θεὸν ἀπὸ τῆς σαρκός, καὶ οὐ φωραθήσηι Νεστοριανός. μηδὲ τὸ διάφορον ἀπαρνήσηι τῶν τοῦ Χριστοῦ φύσεων, καὶ οὐχ ὑπεπτευθήσηι Εὐτυχιανιστὴς εἶναι. καὶ μὴ συγχέηις θεὸν σαρκὸς πάθεσι, καὶ οὐ λεχθήσηι Ἀπολιναριαστὴς εἶναι. μηδὲ τὸν ἀπαθῆ καὶ ἀθάνατον τετράφθαι λέξηις θεόν, καὶ οὐ προσοχθίσεις εἶναι Μανιχαῖος. μηδὲ ἐν τῶι τρισαγίωι μετὰ θεὸν πατέρα καὶ ἰσχυρὸν αὐτοῦ υἱὸν καὶ ἀθάνατον πνεῦμα προσθῆις Χριστὸν ἐσταυρωμένον, καὶ οὐχ ἕξεις τοῦ Σαμοσατέως τὴν αἵρεσιν καὶ οὐκ ἐλεγχθήσηι τετράδα φρονῶν καὶ οὐ τρι-
7 άδα. μηδὲ τὴν τριάδα εἰς Χριστὸν ἀναπλάσηις αὐτὸν λέγων πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, καὶ οὐχ ὑποίσεις τὴν Σαβελλίου δίκην. μηδὲ κληθῆναι θέλων καθηγητὴς καὶ οὐκ ἀκόλουθος τῆς Χριστοῦ διδασκαλίας καινοτομήσηις κενοδοξίας αἱρεσιν, καὶ οὐ μωμήσηι

II antiquior epistulae forma [ΓΛ^{a}] edita est infra in appendice 5

O [= aerv], I

4 τὸ om. I δακοδιδασκαλίασ O^{v} 5 ἤκουσα O correcturam corruptelae Γ ΗΚΟΥCΜΑΙ. in qua latere ΗΚΟΥCΑΔΕ docet Λ^{a}, non ad finem perficiendo ἐπισκόπων O^{r} 8 θνήσκει I 10 σωτῆροσ OΛ σταυροῦ ΓΛ^{a} recte Χριστῶι] σταυρῶ I 15 κρίσισ O^{arv}I 17 ἄν om. I ὀρθόδοξοι O^{e}Λ 18 τριαδόδοξοι scripsi τριάδοξοι OI τρίδοξοι Γ ὀρθότομοι O^{e}Λ 20 Ἰησοῦν om. O^{r}I 20/21 κέκληται O^{e} κληθήσεται I 26 ἀόρατον om. I 29 τοῦ om. O^{r}I 30 ἐλεγχθήση I 31 ἀπολιναριστὴς O^{ar}I 32 προσοχθίσησ O^{v} προσοχθίση O^{a} προσωχθίση O^{r} 34 φωνῶν O^{r}I 35 εἰς om. I αὐτὸν] cf. quae in appendice adnotaui 36 ὑποίσησ O^{v} 37 καινοτομήσεισ O^{r} καινοδοξίασ O^{rv} μωμήσεισ O^{r}I

σὴν ψυχήν, ὅτι οἶδας τοὺς ἀποστόλους μὴ καθηγησαμένους ἐν καινοτομίαις, ἀλλ' ἰχνηλατή-
8 σαντας τὸν μόνον καθηγητὴν καὶ νομοθέτην Χριστόν. βλέπε, ἀγαπητέ, μὴ εἰς πέρας
ἄξηις τὸ διαφημιζόμενον περὶ σοῦ, μὴ γέλως γένηι ὡς θεοπασχίτης ἢ τετραδίτης. εἰ
δὲ καὶ ἐφήψω τούτων τῶν λόγων ἢ τῆς φρονήσεως ἐν παροιστρήσει, τάχος ἔκκλινον ἀπὸ Ps. 36, 27
κακοῦ καὶ ποίησον ἀγαθόν, ἵνα, ὡς εὐχόμεθα, ὀρθοτομῆις τὸν λόγον τῆς ἀληθείας 5
Χριστὸν καθομολογῶν σαρκὶ δι' ἡμᾶς παθόντα τὸν υἱὸν τοῦ θεοῦ τοῦ ζῶντος καὶ ἅπαξ τοῦ
οὕτως ὁμολογεῖν, μὴ ὑποσκελισθῆις ὑπὸ τῶν αἱρέσεων. πολλοὶ γὰρ πλάνοι ἐξ- 2 Ioh. 7
ῆλθον εἰς τὸν κόσμον οἱ μὴ ὁμολογοῦντες Χριστὸν Ἰησοῦν ἐν σαρκὶ
ἐληλυθέναι.

III 10

Παμφίλου ἐπισκόπου Ἀβύδων πρὸς τὸν αὐτὸν Πέτρον

1 Τὸ πολύθρυπτον τῶν ἐμῶν παίδων, ἀγαπητέ, διεγείρει με κελαδεῖν θρῆνον· εἰ γὰρ
ἐν οἴωι οἴκωι θνήισκει τις, ἐκεῖσε κλαυθμὸς φοιτᾶι. πῶς οὐκ ἀποδακρύσομαι καὶ ἀπ-
οδύρωμαι τὸν ἀλιτηρίως ἐκ τῶν σῶν ἀγγείων καταγγισθέντα τῶν ἐμῶν υἱῶν θάνατον,
2 οὓς ἔδει σε ὡς συναδελφὸν ἐπισπουδάσαι σὺν ἐμοὶ ἄξαι πρὸς τὸν θεόν; τοὐναντίον 15
δὲ πέπρακταί σοι, θεοφιλέστατε· ἐγένου γὰρ αὐτῶν ὀλετὴρ καὶ οὐ ζωή, πικρία καὶ οὐχ
ἡδύτης, ὄμφαξ καὶ οὐ πέπειρος βότρυς, ζιζάνιον καὶ οὐ σῖτος, καλάμη καὶ οὐ χρυσός,
3 ἄκανθα καὶ οὐκ ἄνθος, ἐκταραγμὸς καὶ οὐ γαλήνη. τί γὰρ τῶν προέδρων ἡμῶν καὶ
ἐπίσων οὐ προσχὼν τὰ σύμβολα εἶξας μὴ προσθέσθαι τῆι τριάδι τετράδα ἐν τῶι τὸ
4 τρισάγιόν σε φάσκειν ἐν προσθήκηι σταυροῦ; αὕτη γὰρ δρακοντικὴ καὶ ἰοβόλων αἱρέσεων 20
φωνὴ καὶ πύλη ἅιδου καὶ αἰώνιος πυλωρὸς θανάτου, Χριστιανῶν βρόχος, ἀκάκων θήρ-
ευμα, ὀρθοδόξων μῶμος, πιστῶν πρόπτωσις, σωφρόνων σκάμβωσις, ἀσκητῶν σκάνδαλον,
οἷς ὑπώπτευσας γλυκὺς εἶναι σὺν τῆι ἐκφωνουμένηι σου ἐκθέσει τῆι παρακοντιζούσηι
τὸν ἀποστολικὸν ὅρον καὶ τὰ εὐαγγέλια καὶ τὸ τῶν τιη σύμβολον τῶν τὴν προσθήκην
5 ἐν τῶι τρισαγίωι ἀγνοούντων τὸ νοητὸν δηλητήριον. φράσον μοι οὖν· τίς τὴν 25
θεότητα ἔφη σταυρὸν ὑπομεμενηκέναι; τί τὸν θεὸν λόγον γυμνοῖς ἀπὸ τῆς στολῆς; τί
διχάζεις τὸν ἄτμητον τῆι σῆι σκαιότητι; τί παρατιτρώσκεις τὴν ἀλήθειαν; τί Νεστορίωι
καὶ Εὐτυχεῖ τῆι τομῆι τοῦ Χριστοῦ ὑπόσπονδος γίνηι καὶ τῶι Σαμοσατεῖ μεμαθήτευσαι
ῥῆξαι Χριστοῦ τὴν θείαν οὐσίαν ἀπὸ τῆς σαρκὸς καὶ Οὐαλεντίνωι συνηρεύξω, ὡς
6 ἐκεῖνος, φάσκων τὸν ἀθάνατον σταυροῦσθαι καὶ ὑπόδουλον τιθεὶς τοῖς πάθεσι τὴν θείαν 30
φύσιν; τί ἐπίσχω ἢ τί λαλήσω; οὐ Παυλιανιστήν σε φωνήσω; ἀλλ' ἐν τοῖς συγγράμμασιν
ἔφης μετὰ τὴν τριάδα φωνεῖν Χριστὸν δι' ἡμᾶς σταυρωθέντα. οὐ Μανιχαῖόν σε
λέξω; ἀλλὰ γέγονας αὐτέλεγκτος θεὸν καὶ οὐχὶ Χριστὸν φήσας ἐσταυρωμένον. οὐ
Νεστοριανόν σε φράσω; ἀλλ' ἀπέδειξας μετὰ τὸν πατέρα μὴ ὁμολογεῖν τὸν ὑμνούμενον
ὑπὸ πιστῶν θεοῦ ἰσχυρὸν υἱὸν σαρκὶ ἐσταυρωμένον. οὐκ Ἀπολιναριαστήν σε λέξω, 35
7 ἔφυρας γὰρ ὡς αὐτὸς θεὸν συγχέας σαρκὸς παθέσι. λίαν οὖν λύπηι συσχεθεὶς τάδε

III epistulae antiquior forma [ΓΛ^{a}] edita est infra in appendice 3

O [= aerv], I

1 σὴν] τὴν O^{rI} 4 ἐψήφω I ἢ om. O^{e}Λ ἐμπαροιστρίση O^{r} 8 ἰν χν O^{arv}I 11 παμφύλου O^{v} ἀβύδου O^{rI} 12 πολύθαπτον I κελλαδεῖν O^{r} 13/14 ἀποδύρομαι O^{er} 16 αὐτῶν om. O^{r} 17 ὄμφαξ — σῖτος om. O^{rI} βότρυς] βρῶσις O^{av} *esca* Λ^{a} 18 ἐκτιναγμὸσ O^{a} καταρραγμὸσ O^{rI} προέδρων OI, cf. append. 19 ἐπίσων O^{av} ἐπισκόπων O^{er}I cf. append. τοῖσ συμβόλοισ O^{rI} εἶξαν I προθέσθαι O^{v} τετράδα ἣν O^{rI} 19/20 τὸ τρισάγιόν σε O^{e}Λ τρισαγίω σε O^{rv}I τρισαγίω O^{a} φάσκειν λέγουσιν O^{rI} 21/22 θήραμα O^{v} 23 ὑπώπτευσαι O^{er}Λ 28 εὐτυχῆ O^{v} 29 ὥστε ῥῆξαι O^{rI} 30 θεὶσ O 32 τὴν [τὴν τῆσ O^{r}] τριάδοσ φωνὴν O^{rI} Χριστὸν] τὸν I 33 αὐτέλεκτος O^{r} 34 ὑπέδειξας I 35 θῦ O^{av}I ἀπολιναριστήν O^{ar}I 36 ἔφυρεσ O σχεθεὶσ O^{r}

σοι προστίθημι σὺν τῶι εἰς τοῦτό με συμβιβάσαντι Ἀκακίωι, αὐτὸν δὲ ὁ τῆς Ῥωμαίων, τοὺς πάντας δὲ ὁ παντέπισκοπος· τί λυμαίνηι τὴν ἐκκλησίαν, τί σκορπίζεις Χριστοῦ τὴν ποίμνην; εἰ κακῶς λέγω, φράσον μοι σύ· ζητῶ γάρ σε τῆι διδασκαλίαι τῆι ὀρθοτάτηι
8 ὑπερέχειν με καὶ πλείστους. τί οὖν φράσομεν; ὡς Παῦλος, Χριστὸν ἐσταυρωμένον ἢ ὡς σύ, τὸν ἀθάνατον ἐσταυρωμένον; τί ἐροῦμεν; ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου, ὡς
9 πολλαχῶς ἔφη ὁ κύριος, παθεῖν ἢ ὡς σὺ κεκαινοτόμηκας, τὴν θεότητα παθεῖν; ἢ τὰ εὐαγγέλια καὶ αἱ Πράξεις καὶ ὁ ἀπόστολος, ὡς σὺ ἔφης, οὐ λέγουσιν ὥσπερ δεῖ, ἀλλὰ εἰσὶ παρὰ σοὶ μεμπτέα καὶ παρὰ τοῖς ἐξηκολουθηκόσι τῆι τοιᾶιδε σου παραφροσύνηι τοῦ τὸ τρισάγιον φωνεῖν ἐσταυρωμένον; ἀποδεδειγμένοι γάρ εἰσι σὺν σοὶ τετράδα παρεισφέροντες. εἰ δὲ ταῦτα οὕτως ἔχει, τί ἀναγινώσκονται αἱ θεῖαι γραφαί, εἰ αὗται
10 οὐ πιστεύονται, ἀλλὰ σύ; ἄνω γὰρ καὶ κάτω Χριστὸν παραδιδόασι δι' ἡμᾶς ἐσταυρωμένον καὶ οὐ τὸ τρισάγιον, ὡς σὺ νῦν φάσκεις. ἀλλὰ καὶ ἀποβλητέους εἶπον αἱ γραφαὶ τοὺς θεοπασχίτας. ἤδη δὲ καὶ πρὸ τούτων τῶν γραμμάτων ὡς κυρίωι μου καὶ πατρὶ ὡς ὀρθότατα φρονοῦντι δεδήλωκα ἐπανορθώσασθαι καὶ ἀναρρῆξαι τόδε τὸ παρὰ σοῦ καινισθὲν ἀσεβὲς δόγμα καὶ οὐκ εἶξας. διὰ τοῦτο τοίνυν ὡς πρὸς πρῶτον εὑρετὴν
τῶν ἀσεβῶν τούτων λόγων δεδόνημαι τοῖς κατὰ σοῦ ἐπιτιμίοις, ἴσως κἂν διὰ τούτων ἐντραπεὶς ἐπιστομιζόμενος παρ' ἥσσονος τῆι ἀξίαι θᾶττον εἴξεις ὀρθοδοξεῖν πατέρα καὶ
11 υἱὸν καὶ ἅγιον πνεῦμα ἐν τῶι μηδὲν τούτοις προστιθέναι ἢ ὑφαιρεῖν καὶ ἔχεσθαι τῆς ὑπὲρ ἡμᾶς ἀψῖδος τοῦ θρόνου. εἰ δὲ μηδὲ οὕτως ἀνάσχηι, οἴσω σοι κοινωνίας παραίτησιν·
Tit. 3, 10. 11 ἔφη γὰρ ὁ ἀπόστολος αἱρετικὸν ἄνθρωπον μετὰ πρώτην καὶ δευτέραν νουθεσίαν παραιτοῦ εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦτος καὶ ἁμαρτάνει ὢν αὐτοκατάκριτος. πλὴν θεοῦ ἐσμὲν ἐντεῦκται μὴ γενέσθαι σε αὐτοκατάκριτον, ἀλλὰ ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας.

IIII

Ἀσκληπιάδου ἐπισκόπου Τράλλεων πρὸς τὸν αὐτὸν Πέτρον

1 Ἰδού, ἀγαπητέ, πεπλήρωται ὁ κόσμος ἐκ τῆς ἐκθέσεώς σου σκανδάλου καὶ τὰ βασίλεια ἐμφρόντιστα γέγονε καὶ οἱ ποιμένες διεγείρονται ἐπαξίως ἄξαι ἐπὶ σοὶ ταλανισμόν. δὸς οὖν, παρακλήθητι, φωνὴν μίαν ὀρθοτομίας τοῦ ἐπιπρυτανεύειν τάληθὲς ἐν τῶι κοινῶι τοῦ τὸν υἱὸν τοῦ θεοῦ τῶι κόσμωι καθομολογεῖν ἐσταυρωμένον καὶ μὴ τοῦτον διαρριπτεῖσθαι διὰ σοῦ καὶ τούτου τὸ ὄνομα ἐν τῶι ἑτέρως ἐν διαστροφῆι λέγειν ἐν τῶι τρισαγίωι
2 τούτου τὸν σταυρόν. μὴ σὺ πρῶτος εἶ τῶν ἐν Νικαίαι πατέρων, ἵνα ἄρξηι ὁ ὅρος σου ὑπὲρ αὐτούς; ἀλλά, φησίν, ἐγὼ διὰ Νεστόριον προσέθηκα ἐν τῶι τρισαγίωι τὸν σταυρὸν διὰ τὸ αὐτὸν παρεξωθεῖσθαι ἐν τούτωι τὴν θεότητα ἐν τῶι σταυροῦσθαι αὐτόν.
3 καὶ τί; μή νεώτερον Νεστορίου τὸ φρόνημα; ἦρξε γὰρ τοῦτο ἀπὸ τοῦ μεταιόφρονος Φωτεινοῦ, ὃν οἱ ἅγιοι πατέρες οἱ ἐν Νικαίαι ἐν ζωῆι μὲν οὐ κατέφθασαν, τὸ δὲ δόγμα

IIII epistulae antiquior forma edita est infra in appendice 4

O [= acrv], I

1 προτίθημι O^{rI} σὺν τῶι om. O^{rI} με συμβιβάσαντι O^{arv} συμβιβάσαντί με O^{e} με συμβιβάσαντος O^{r} corr., I ἀκακίου O^{rI} 2 τοὺς om. I πάντων ἐπίσκοποσ O^{rI} 4 ὑπερένχει I μου O^{rI} πλείστων O^{rI} παῦλον I 7 ὡς — ἔφης om. I οὐ om. O^{arv} 8 σου om. O^{r} 9 φωνοῦντοσ I 9/10 ἐσταυρωμένον ἢ μετὰ τὴν τριάδα χν̄ ἐσταυρωμένον O^{aev}Λ 10 εἰ^{2} O^{rI} ἢ O^{aev}Λ 12 τὸ om. O^{av} νῦν om. O^{e}Λ καὶ om. O^{a} 13 ὡς om. O^{r} 14 *sapiens* Λ 15 οὐχ εἶξασ O^{r} 17 εἴξεις O^{rI} εἴξησ O^{e}Λ ἤξεισ O^{v} ἤξεισ O^{a} 18 προσθεῖναι O 19 ἡμῶν O^{er} μὴ O^{r} ἀνάσχει O^{r} 22 εὐτεκταὶ O^{r}

25 τράλεων O^{r} 27 ἅσαι O^{v} σὲ O^{av} 28 κοινῶ OI. Λ [*coniter* i. e. communiter cf. append. 29 τὸν χν̄ τὸν υν̄ I τὸν κόσμον O^{arv} 32 αὐτούς] τὸν ἐκείνων I *dices* Λ 34 καὶ τί O^{rI} καίτοι O^{av} τοῦ νεστορίου O^{rI} ἦρξαι O^{rv}

αὐτοῦ κατέκριναν οὐ διὰ τὸ φράσαι αὐτοὺς τὸ τρισάγιον ἐσταυρωμένον, ἐπειδὴ τοῦτο ἦν ἐν γνώσει αὐτοῖς λίαν δύσφορον, Φωτεινῶι δὲ ἐράσμιον. ὅθεν τὸ μὲν τρισάγιον ἐν μυστηρίοις μόνοις ἀπέθεντο φωνεῖσθαι καθὰ τὰ σεραφίμ, φασι, μηδεμίαν ἐν τούτωι
4 προσθήκην ἢ ὑφαίρεσιν πράξαντες. πάλιν δὲ τοῦτο τὸ ἀσεβὲς ἀνανεωθὲν ἐπὶ τοῦ Σαμοσατέως λίαν ἠδρύνθη καὶ ἐπισυναχθέντες οἱ ἁγιώτατοι τὴν μνήμην πατέρες ἐν τῆι Κωνσταντινουπόλει, εἰ καὶ αὐτὸν οὐ παρέφθασαν, ἀλλὰ τὸ δόγμα αὐτοῦ κατέκριναν τὸ μὴ φρονεῖν δύο υἱούς, δι' ὃ ἕνα καθωμολόγησαν ἐν τῶι ὅρωι αὐτῶν υἱόν. μὴ τὸ τρισάγιον ἔφησαν δι' αὐτὸν ἐσταυρωμένον, ὅτι τῶι ὅρωι τῶν πρὸ αὐτῶν πατέρων ἐξηκολούθησαν καὶ ἔπεσθαι τοῖς δόγμασιν αὐτῶν ἔκριναν τοῦ τὸ τρισάγιον ἐν τοῖς
5 μυστηρίοις μόνον ἐξακούεσθαι ἀπαθῶς ὡς τὰ σεραφὶμ καὶ μὴ ἐσταυρωμένον; πάλιν δὲ Νεστορίου ἀνακύψαντος καὶ καταρτίζοντος τὰ ἀσεβῆ πρὸ αὐτοῦ δόγματα, φαμὲν δὴ τὰ Φωτεινοῦ καὶ τὰ τοῦ Σαμοσατέως, συναθροισθέντες δι' αὐτὸν οἱ περὶ Κελεστῖνον καὶ Κύριλλον ἔπαυσαν τὰς τοιάσδε δυσσεβείας οὐκ ἀποθέντες ἐν τῶι τρισαγίωι σταυρόν. ἢ σὺ δοκεῖς πάντων τούτων σοφώτερος εἶναι ἢ ἔχεσθαι παρ' αὐτοὺς πνεύματος ἁγίου, οἷς ἦν γνῶσις; ἡ σὴ τοίνυν ἀποτεθεῖσα ἐν τῶι τρισαγίωι σταυροῦ προσθήκη δυσμενὴς
6 βλασφημία ἐστί. πλὴν καὶ μετὰ τούτους τοὺς ἁγίους πατέρας δυσφόρων καταλαβόντων τὴν Κωνσταντινούπολιν σεισμῶν μικρὸς καὶ μέγας, πλούσιος καὶ πένης, δοῦλος καὶ ἐλεύθερος ἐκ τῆσδε ἀπαναχωρήσαντες ἐν τῶι Κάμπωι ἅμα συνέδραμον κρυμοῖς καὶ χειμῶνι ἐκεῖσε μᾶλλον ὀλέσθαι καὶ μὴ συμπεπτῶσθαι τῆι αὐτῆι πόλει. οὓς φειδοῦς ὁ θεὸς ἀξιώσας φιλανθρωπευσάμενος ἀπεκάλυψε τῶι μακαρίωι Πρόκλωι τὸ τρισάγιον εἰς παῦσιν ὀργῆς λιτανεύοντας αὐτοὺς φωνεῖν καὶ τοῦτο ἐμφανῶς, οὐχ ἑνὶ ἢ δευτέρωι γνωσθέν, ἀλλὰ παντὶ τῶι κόσμωι. μὴ ἀπέθετο ὁ θεὸς ἐν αὐτῶι λέγεσθαι σταυρόν;
7 ὅτι οὐδὲν ὁρᾶι εἰς ὕβριν αὐτοῦ· ἔφη γὰρ φάσκειν »ἅγιος ὁ θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.« πῶς οὖν σὺ τετόλμηκας παραθέσθαι σταυρὸν παρὰ τὸν θεὸν ἢ καὶ παρὰ τοὺς πατέρας τὸν πατέρα συγχέων τῶι υἱῶι καὶ τῶι ἁγίωι πνεύματι ἐν τῶι τρισαγίωι φωνῶν τὸν σταυρόν, ὡς παρὰ σοὶ μὴ εἶναι πατέρα τὸν πατέρα μόνον, ἀλλὰ καὶ υἱόν, καὶ τὸν υἱὸν μὴ εἶναι υἱὸν μόνον, ἀλλὰ καὶ πατέρα, καὶ τὸ πνεῦμα τὸ ἅγιον μὴ εἶναι μόνον πνεῦμα, ἀλλὰ καὶ υἱόν;

8 διὰ τοῦτο εἴ τις ἀνατιθεῖ ἐν τῶι τρισαγίωι σταυρὸν παρὰ τὸν υἱὸν τοῦ θεοῦ, ἀνάθεμα ἔστω.

εἴ τις τετράδα παρεισφέρει ἐν τῶι τρισαγίωι παραθεὶς μετὰ τὴν τριάδα Χριστὸν ἐσταυρωμένον, ἀνάθεμα ἔστω.

εἴ τις συγχέει τὴν τριάδα αὐτὸν λέγων εἶναι πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, ἀνάθεμα ἔστω.

9 εἴ τις διίστησι τὴν μίαν οὐσίαν τῆς τριάδος εἰς δύο, ἀνάθεμα ἔστω.

εἴ τις τὸν ἕνα υἱὸν διχάζει εἰς δυάδα υἱῶν, ἀνάθεμα ἔστω.

εἴ τις τὸν θεὸν λόγον καὶ τὴν σάρκα μίαν φύσιν λέγει ἀγνοῶν τῶν φύσεων τὸ διάφορον, ἀνάθεμα ἔστω.

O [- aerv], I

1 τὸ¹] τοῦ O^{eI} 2 φωτεινῶ O^{rI}Λ φωτεινοῦ O^{aev} 5 λίαν] πάλιν O^{e} ἱδρύνθη O^{r} τῆι om. O^{c} 6 τὸ² OI cf. append. 7 μὴ om. I 8 τρισαγίω O^{v} δι' O^{arv}I δὲ $O^{eΛ}$ 9 τρισαγίω O^{v} 10 μόνοις O^{e} 11 ἀνακαλύψαντοσ O^{er} δὲ O^{aev} 12 τὰ om. I 13 τοιαύτασ O^{arv}I ἐπιθέντες I 15 οἷς ἦν] ἡ σὴ I ἐπιτεθεῖσα I τοῦ σταυροῦ O^{e} om. O^{r} δυσσεβὴσ $O^{eΛ}$ 18 ὑπαναχωρήσαντεσ I 19 συνεπτῶσθαι O^{e} συμπτωθῆναι I αὐτοῦ O^{v} 20 ἀξιώσασ καὶ O^{eI} 21/22 καὶ τοῦτο — κόσμωι om. O^{a} 22 ὑπέθετο O^{e} αὐτῶι] τῶ I 26 τὸν² om. O^{a} πνα̅ μόνον O^{av} 29 ἐν — στρὸν ἐντιθεῖ I ἀνατίθησιν O^{e} 31/32 om. O^{aev}Λ 31 Χριστὸν om. I 33/34 om. O^{a} 33 αὐτὸν OI cf. quae adnotaui ad append. 35 post 36 coll. O^{r}I εἰσ οὐσίασ δύο O^{a} om. $O^{eΛ}$

11 καὶ γὰρ πιστεύομεν ὅτι ἡ ζωὴ ζωή ἐστι καὶ οὐ μετέπεσεν εἰς θάνατον. σὺ δὲ γνώσηι καὶ ἀποκόψηι ἐφ' οἷς ἀνόμως εἴρηκας· ἔστω δὲ καὶ ἔστι τοῦ θεοῦ ἡ χάρις μετὰ τῶν ὀρθοτομούντων τὸν λόγον τῆς ἀληθείας.

V

p. 141 Ἐπιστολὴ Ἰουστικίνου ἐπισκόπου Σικελίας πρὸς τὸν αὐτὸν Πέτρον ὅτι οὐ δεῖ προσθήκην εἶναι ἐν τῶι τρισαγίωι σταυροῦ, ἵνα μὴ δύο εἰσάξηις υἱούς

1 Δεῖ τὸν στρατιώτην ὁπλίζεσθαι κατὰ τῶν πολεμίων καὶ τὸν ἀθλητὴν τοῖς ἀνθισταμένοις· ἡ δὲ πάλη ἡμῶν οὐ σαρκικὴ οὐδὲ ἐπιφανείας σώματος ἀλείμμασιν οὐδὲ σχολάζων τις τῆς πάλης τὸ στέφος ἕξει τῆς θεότητος ἐρραθυμήσας τοῖς ἐπιπλήττουσι μὴ προέσθαι
2 Tim. 2, 5 τῆς ἀληθείας τὴν πάλην. καὶ γὰρ καὶ ἀθλητὴς οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως
2 Cor. 10, 4. 5 ἀθλήσηι, καὶ τὰ ὅπλα ἡμῶν οὐ σαρκικά, ἀλλὰ δυνατὰ τῶι θεῶι πρὸς καθαίρεσιν ὀχυρωμάτων, λογισμοὺς καθαιροῦντα καὶ πᾶν ὕψωμα ἐπαι-
2 ρόμενον κατὰ τῆς γνώσεως τοῦ θεοῦ. δι' ὃ ὡς ἀδελφὸν διανίστημι ἐν ὑπομνήσει ὅτι καλὸν τὸ ὑπείκειν τοῖς πατράσι καὶ ἀπείπασθαι οἰκείας καινοτομίας· πείθου Φίλικος, ἀγαπητέ, ταῖς ὑποθέσεσιν ἐν τῶι μὴ παραθέσθαι σε ἐν τῶι τρισαγίωι δύο υἱοὺς καὶ πείθου τοῖς σεραφὶμ τὴν τριάδα ὡσαύτως δοξολογεῖν καὶ μὴ παρὰ ταῦτα νόσει κενοδοξίαν τοῦ ποιεῖσθαι κακίστην ἐπισόφισιν. σταυρὸν τῶι ὕμνωι προστιθεὶς πήρωσις
3 πολλοῖς ⟨εἰ⟩ γινόμενος. τί οὖν διορύττεις ὄμματα ἰδιωτῶν ἐπισκαλίζων ἀσεβῶν ὁρμάς, Μάνην καὶ Οὐαλεντῖνον καὶ Εὐτυχῆ ὁπλίζων τοῦ φάσκειν παθητὸν τὸ θεῖον, μᾶλλον δὲ Παῦλον τὸν Σαμοσατέα καὶ Νεστόριον, διότι ἐν τῶι τρισαγίωι προστιθεῖς τετράδα; ὅτι ὡς ἐὰν περιστραφῆις, τὸ ἀσεβὲς νόημα εὐσέβειαν οὐκ ἔχει, ἀλλὰ πλείστων
4 αἱρέσεων δείκνυσι μορφάς. Ἄρειος γὰρ ἐλαττοῖ τὸν υἱὸν καὶ Εὐτυχὴς ὁμοίως διὰ τὸ τὸ πάθος περιθέσθαι τῆι θείαι φύσει τοῦ υἱοῦ, δι' ὃ οὐδὲ ὁμοούσιον φράσειαν, ὡς Εὐνόμιος, τὸν υἱόν. εἰ γὰρ δὴ παρ' αὐτοῖς ὁ πατὴρ ἀπαθής, ὁ υἱὸς δὲ τῆι θεότητι παθητός, πῶς ὁμοούσιος; Μακεδόνιος δὲ τέμνει ἐκ τοῦ πατρὸς τὸ ἅγιον πνεῦμα καὶ Νεστόριος ὡσαύτως διχάζει εἰς δυάδα υἱῶν τὸν ἕνα υἱὸν καὶ ἡδύνεται, ὡς σὺ ἔφης, φάσκειν ἐν τῶι τρισαγίωι τετράδα, σταυρὸν μετὰ τὸ ὁμολογῆσαι τὴν τριάδα προστιθεὶς ἀσεβῶς. παῦ-
5 σαι οὖν τῆς τοιαύτης σου ἀσεβοῦς φαραγγώσεως μὴ προσθεῖναι τῶι σκανδάλωι σκάνδαλον καὶ μὴ ἔσηι αἴτιος ἀπωλείας τῶν ἁπλουστέρων ἀνθρώπων, μήπως ὁ πρόεδρος ἡμῶν Φίληξ κατὰ τοὺς κανόνας ἀποφήνηται κατὰ σοῦ καὶ οὐδὲν σε ὠφελήσει τὸ λέγειν »ἐγὼ
p. 142 εὐχρήστως τοῦτο ἀπετιθέμην τοῦ τὸν σταυρωθέντα ἐν τῶι τρισαγίωι ὁμολογεῖν.« ἆρον ἀνομίαν ἐκ τῆς οἰκουμένης, μήπως τοῦτο τάχος περιπολάσηι, ὅτι τὸ ἀσεβὲς ῥάιδιον
6 δεκτόν, τὸ δὲ ἄμεινον οὔ. δέξαι οὖν ὡς ἀδελφοῦ σου παραίνεσιν καὶ σβέσον τὸ φρύαγμα

V in collectione Latina 3. paginae hic et p. 18 sq. adnotatae sunt editionis in *Abhndg. d. Bayer. Akad. d. Wiss. N. F. 10*

O [= aerv], I, Λ^a [= vb]

2 ἔστι] ἔστη O^v

5 Ἰουστικίνου O^eI Ἰουστικηνοῦ O^{arv} *Iustini* Λ^a *Iustiniani* Λ σικελλίας O^e σικελείασ O^v 6 ἄξησ O^{arv} λέξησ I 8 πάλησ $O^e\Lambda\Lambda^a$ πλάνησ O^{arv}I 9 στίφος O^{arv}I ἕξει $O^e\Lambda^a$ ἄξει κατὰ O^rI om. O^{av} ἐραθύμησασ O^r προελέσθαι I 10 πάλην $O^e\Lambda\Lambda^a$ πλάνην O^{arv}I καὶ IΛ^a εἰ OΛ ἀθλητήσ O^{arv}IΛ^a ἀθλεῖ τίσ $O^e\Lambda$ 12 καθαιροῦντεσ O^a 14 *Felicis* Λ^a φιλικῶς OIΛ 15 ὑποθήκαις I παραθέσθαι O^{ev} παραθέ O^a παραθέσει O^r παραθέσειν O^r corr., παραθήσειν I 16 νόσει Λ^a νοσεῖν OΛ 16/17 κενοδοξίαν O^eIΛ κενοδοξίασ O^{arv} 17 σταυρῶ I προστιθῶν O^{av} πήρωσις I *caecitas* Λ^a πηρὸς OΛ 18 εἰ addidi *effectus es* Λ^a ὀρύττεισ O^r 20 προστίθησ O^e 21 τὴν τετράδα O^e περιστραφεῖσ O^v εὐσέβειαν IΛ^a εὐσεβείασ OΛ 22 τὸ alterum om. O^{arv}I 23 παραθέσθαι O 26 υἱῶν $O^v\Lambda\Lambda^a$ om. O^{arv}I ἡδύνε O^r ἡδύνετο O^r corr. 27 προστιθῶν O^{av} ἀσεβῶς om. I 31 ἐπετιθέμην I τοῦ] τὸ I 32 τοῦτο] τὸ O^{av} ἐπιπολάση O^e περιπολεύση I ῥάδιον $O^v\Lambda^a$ ῥᾶον O^{arv}I 33 δεκτὸν I δεκτικὸν OΛ

τῶν αἱρετικῶν καὶ γενοῦ ποιμὴν τῶν προβάτων καὶ οὐ λύκος. καὶ τῷι μακαρίωι Πρόκλωι ἀκόλουθος γενοῦ καὶ τῆι αὐτοῦ ἐν τῶι Κάμπωι ἀποκαλύψει φόβων ὄντων λιτῶς φάσκειν τὸ τρισάγιον εἰς παῦσιν ὀργῆς καὶ μὴ ἐγείρειν ἔτι θυμὸν ἰσχυρόν. εἰ δὲ μή, ὄψει σύ· ἡ δὲ ἀδελφότης μου ἀθῷος ἔσται κἀγὼ μετ' αὐτῶν καὶ οἱ σὺν ἐμοὶ γράψαντές σοι
7 περὶ τούτων. φρούρει σεαυτόν, ἀγαπητέ, ἀπὸ τῶν σκανδάλων. ἔμαθες ἀπὸ τοῦ 5
'Ησαίου ἅγιος ἅγιος ἅγιος λέγειν· μὴ σταυρὸν ἔφη σοι λέγειν; ἀλλά, φησί, τότε ὁ υἱὸς Ies. 6, 3
οὐκ ἐσταυρώθη καὶ διὰ τοῦτο οὐ παρέδωκε τότε τὸ ὁ σταυρωθείς. τί οὖν; νῦν τὰ σεραφὶμ ἐν τῶι τρισαγίωι προσέθηκαν τὸν σταυρόν, ὅτι σὺ λέγεις; καί φησιν 'οὐκ οἶμαι.' καὶ εἰ οὐκ οἶδας, πῶς ἀσεβεῖς; καὶ γὰρ καὶ τότε ἔφη τὰ πάθη τῆς σαρκὸς τοῦ λόγου ὁ προ-
8 φήτης καὶ ὑμνολογεῖ σεμνῶς τὸ τρισάγιον. πλὴν πῶς καὶ λέγεις δεδέχθαι τὴν ἐν Χαλκη- 10
δόνι σύνοδον, καὶ ὡς αὐτὴ παραδίδωσί σοι, οὐ δοξολογεῖς τὸ τρισάγιον, ἀλλ' ἀπειθεῖς κἀκείνηι καὶ οὐκ ἐφοβήθης λεγούσης αὐτῆς 'ὁ μὴ φρονῶν οὕτως ἀνάθεμα ἔστω;' ὑγιῶς δοξολόγει, καὶ ὑγιὴς ἔσηι· εἰ δὲ μή γε, μόνος ἀντλήσεις τὰ κακά.

VI

Φίληκος ἐπισκόπου 'Ρώμης πρὸς τὸν αὐτὸν Πέτρον καθαιροῦσα αὐτόν 15

1 'Επειδὴ δυστήνων ἐξεμαγεύθης ἐν ἀσεβείαι λόγων καὶ οὐκ ἔκρινας εἶξαι τοῖς προτεταγμένοις ἁγίοις πατράσι τοῖς κατακοσμήσασι τὸν θρόνον τοῦ τῆς μακαρίας μνήμης καὶ πολυ-
2 άθλου 'Ιγνατίου τοῦ μάρτυρος, οὗ καὶ ἀνάξιος ὢν οὐκ οἶδα ὅπως ἐμπεπήδηκας ἄρξαι, καὶ μώμοις σου βεβήλοις καὶ ἀσεβέσι δόγμασι καινοτομίαν τῆι καθολικῆι ἐκκλησίαι ἐνέκρινας τοῦ μὴ Χριστὸν σταυρωθέντα δι' ἡμᾶς δεῖν εἰπεῖν, ἀλλὰ πάθος τῶι ἀπαθεῖ θεῶι ἀνόμως ἐπεισ- 20
άξαι καὶ τῶι ἀθανάτωι πνεύματι θάνατον ἐπιθεῖναι καὶ οὐκ ἐφρικίασας ἃ οὐ παρεδέξω ἔκ τε τῶν θείων εὐαγγελίων καὶ ἀποστόλων καὶ τῶν ἀνδραγαθησάντων εὐφήμων πατέρων, κακίστως ἐπισοφισάμενος ταῦτα ἐπιστροβῆσαι καὶ οἰκείας φρονήσεως λύμην ἐμπαραθέσθαι τοῖς ἁπλουστέροις καὶ σκάνδαλον τοιαύτης αἱρέσεως, ὡς οὐδὲ ἴσα ταῖς προτέραις αἱρέσεσιν ἀνθεῖν, ὑπεράγειν δὲ μᾶλλον πολλαχῶς, καὶ οὐχ ὥρμησας τῆι ἀληθείαι καὶ τοῖς ἐπὶ δὶς 25
3 γράμμασιν ἡμῶν ἐνωτίσασθαι, νῦν ἠρξάμην ἀποφήνασθαι κατὰ σοῦ, μᾶλλον δὲ ὁ κορυφαιότατος τῶν ποιμαντικῶν θρόνων, ὁ ἐν ἁγίαις εὐφημίαις κομῶν, ὁ ἄριστος τῶν ἀποστόλων ἀληθῶς Πέτρος, οὐ μόνον δὲ κατὰ σοῦ, οὗ τὸ ὄνομα ἔπισος εἶ, ἀλλ' οὐ τῆι γνώμηι οὐδὲ τῆι πίστει, ὅτι ὑπεράγαν ἐκ τούτου ἐκκεκλικὼς εἶ τοῦ ὀρθοῦ σκοποῦ καὶ τῆς ἀμωμήτου πίστεως, ἀλλὰ μὴν καὶ κατὰ τῶν μὴ ἐρυθριασάντων τοὺς τῶν σεπτῶν εὐαγγελιστῶν χα- 30
ρακτῆρας καὶ τῶν τούτοις ἑπομένων ἀποστόλων καὶ τελείων ἀνδρῶν διδασκάλων τοὺς λόγους, ἀστάτωι γνώμηι ἐπερειδομένων τῆι ἐκ σοῦ παρανομουμένηι ἐκθέσει ὡς ἠδύτατα περιέπεσθαι ἐπὶ τὸ τῆς κακοδοξίας ὄντως πικρότατον καὶ οὐκ ἀποστραφέντων τὴν τοιάνδε

VI epistulae antiquior forma edita est infra in appendice 7

O [= aerv]. I

1 καὶ οὐ $O^{r}\Lambda^{a}$ οὐ O^{av}I μὴ O^{e} 2 γενοῦ om. $O^{e}\Lambda$ τοῦ λιτῶς Günther 4 δὲ om. O^{e}IΛ 6 ὁ om. O^{r} 7 ὁ 1 om. O 8 οἶμαι ΟΛΛ^{a} οἶδα I 9 τῆσ σαρκὸς τὰ πάθη I 10 ὑμνολογεῖν Λ^{a} σεμνῶσ O^{arv}I σαφῶσ $O^{e}\Lambda$ πλὴν om. I πῶς $O^{e}\Lambda$ πῶς δὲ O^{arv}I 11 σοι Λ^{a} σὺ OIΛ 11/12 ἀλλὰ πείθεις κἀκείνην O^{r} 13 τὰ om. O^{av} 15 ἐπιστολὴ φήληκος I 16 δυστυχῶσ O^{r}I ἐξεβακχεύθης I 17 ἀνδράσι O^{r}I 17/18 καὶ πολυάθλου om. O^{av} 19 νόμοισ $O^{e}\Lambda$ 21 πρὶ $O^{ev}\Lambda$ 23 οἰκείαν O^{aev} 24 τοὺσ ἁπλουστέρουσ O^{r} 25 ἐπὶ δὶς] πρὸσ σὲ $O^{e}\Lambda$ 26 ἐνωτίσασθαι] πεισθῆναι $O^{e}\Lambda$ ὑπακοῦσαι I 27 κοσμῶν O^{r} 28 οὗ] cf. append. τῶ ὀνόματι O^{e}IΛ ἔπισοσ εἶ $O^{er}\Lambda$ ἐπισυσσεῖ O^{av} ἴσωσ εἶ I 29 ἐκκεκλικὼσ εἶ] ἐκκεκλικόσι O^{a} ἐκκεκληκόσι O^{v} 30 μὴ om. O^{arv}I 32 ἀστάκτω O^{r} ἐπερειδομένων O^{e}IΛ ἐπερειδομένουσ O^{arv} παραμιμουμένη O^{r} 33 περιέπεσθαι ΟΛ περιέλκεσθαι I cf. append. τῆς om. O^{a} οὐκ om. O^{av} τοιαύτην O^{av}

4 δυσσέβειαν. λέξομεν οὖν σοι, ὡς καὶ κατ' ἐκείνων, ἐπειδὴ ἠγάπησας κακίαν ὑπὲρ
Ps. 51, 5-7 ⟨ἀγαθωσύνην, ἀδικίαν ὑπὲρ⟩ τὸ λαλῆσαι δικαιοσύνην, ἠγάπησας πάντα ῥήματα καταποντισμοῦ, γλῶσσαν δολίαν, διὰ τοῦτο ὁ θεὸς καθελεῖ σε εἰς τέλος οὐ μόνον ἀπὸ τῆς Ἀντιοχέων ἐκκλησίας, ἀλλὰ καὶ ἀπὸ πάσης πόλεως καί γε πεπαγιωμένως ἔστω σου ἡ καθαίρεσις αὕτη ὑπ' ἐμοῦ καὶ τῶν διεπόντων μετ' ἐμοῦ τὸν ἀποστολικὸν θρόνον καὶ Ἀκακίου τοῦ τῆς Κωνσταντινουπολιτῶν ἐκκλησίας ποιμένος καὶ τῶν αὐτῶι τιμίων ὑποκειμένων περιορίων ἐπισκόπων ὡς καὶ τῶν αὐτῶν μὴ ἀνασχο-
5 μένων ὑπομνημάτων. ὁτὲ μὲν γὰρ ἔφης τριάδα δι' ἡμᾶς σταυρωθῆναι καὶ οὐχὶ Χριστόν, ὁτὲ δὲ τὸ ἀθάνατον πνεῦμα Μανιχαίζων, ὁτὲ δὲ ἐκ τούτων φυγὼν διακατελεγχόμενος ὑπὸ τῶν ἐμῶν ὑποθηκῶν καὶ λόγων Χριστὸν μετὰ τὸ ἀθάνατον πνεῦμα ἔλεξας ὑπομεμενηκέναι
6 ὡς ὁ Σαμοσατεὺς καὶ Νεστόριος τὸ πάθος τὸν ἕνα υἱὸν διχάζοντες εἰς δυάδα υἱῶν. ὅτε δὲ καὶ ἐπὶ τούτωι εἶξας μὴ διασύρεσθαι, ἦκες ἐπὶ τὸ κάκιον τὸ τὸν χερουβικὸν ὕμνον εὐπαρέδρωι τρόμωι ἀνενδοιάστως ὡσαύτως τὴν τριάδα μὴ δοξολογεῖν, ἀλλὰ τὸν πάντα ὕμνον εἰς τὸν υἱὸν ἄγειν, ἐθέλων ἐνστήσασθαι ἣν κατὰ τῶν ἀκάκων ἐξήνεγκας νομῆς γάγγραιναν, καὶ παντοίαις ἐντεῦθεν ἀγχόναις αἱρέσεων μεγίστως περικρημνιζόμενος ἐκνεύων τῆς ἀλη-
7 θείας τοῦ τὸν Χριστὸν μὴ κηρύττειν δι' ἡμᾶς σταυρωθέντα τὸν μονογενῆ τοῦ θεοῦ υἱόν, τὸν ἐν μέσωι πατρὸς καὶ ἁγίου πνεύματος εὐσεβῶς δοξολογούμενον. τί γὰρ τούτου ἀπαγορευτικώτερον, πατρὸς παρ' ὑμῶν καὶ ἁγίου πνεύματος ἀδοξουμένου καὶ συκοφαντίαν τοῖς σεραφὶμ ὑμῶν παρεισφερόντων ὅτι οὐ τὴν τριάδα φάσκουσι δοξολογεῖν ἅγιος ἅγιος ἅγιος, ἀλλὰ μονοπροσώπως τὸν υἱόν; καὶ ποία φαραγκώδης αἱρέσεων οὕτως ἀπηναισχύντησεν
8 ὡς ὑμεῖς; πλὴν καὶ ἐν τούτωι διατρέχοντες ἔτι καινοτέρως ἐπέβητε ταῖς στραγγαλιώδεσι τῶν ὑπὸ θεοῦ ἀπειπαμένων δυσφημιῶν· τὸν υἱὸν πατέρα καὶ ἅγιον πνεῦμα λέγοντες Σαβελλιανίζοντες καὶ συναλείφειν κρίνοντες τὴν τριάδα ὁμολόγως ἀπηρνήσασθε, εἰς ἣν
9 ἐβαπτίσθημεν καὶ πιστεύομεν καὶ ὁμολογοῦμεν. τίς οὖν οὐκ ἀποδύρεται τοὺς οὕτω φάσκοντας περὶ τοῦ τρισαγίου τοῦ ἀχράντου; ὃ ἐμοὶ λίαν πρέπει ἀπείπασθαι καὶ κλαυθμὸν δοῦναι ἐπαξίως τῶν ἐπὶ τούτωι διασυλωμένων ἁπλουστέρων ψυχῶν τῶν τὸ ἀσεβὲς ὡς εὐσεβὲς δραματουργησάντων. οὓς καὶ ἀλλοτρίους ἡγούμεθα τῆς ὀρθοδόξου πίστεως καὶ τῆς καθολικῆς ἐκκλησίας καὶ τῆς κοινωνίας τοῦ ἡμῶν ἡγουμένου ἐνδόξου προέδρου Πέ-
10 τρου τοῦ τὰς κλεῖς τῆς βασιλείας παρὰ τοῦ σωτῆρος ἡμῶν εἰληφότος. οἱ δὲ τοῦ ἀποστόλου θέλοντες εἶναι κοινωνοὶ ἄγονται καὶ τῆι διδαχῆι τούτου τοῦ τὸν Χριστὸν φάσκειν καὶ πιστεύειν δι' ἡμᾶς σταυρωθέντα καὶ μὴ τοῦτον ἀπαρνήσασθαι ὡς καὶ ὁ ἀρτίως καθηρημένος Πέτρος διὰ τὸ ἀλλοκότως καὶ δυσμενῶς ἐν τῶι τρισαγίωι προσκεκαινοτομηκέναι τὸ ὁ σταυρωθεὶς δι' ἡμᾶς, εἰδότες ὅτι οὐ τριάδα παρὰ τῶν ἀποστόλων σταυρωθεῖσαν παρεδέξασθε, οὐ πατέρα, οὐ πνεῦμα ἅγιον, εἰ μὴ σαρκὶ τὸν υἱὸν τοῦ θεοῦ τὸν μονογενῆ μονώ-
11 τατον. φεύγετε τοίνυν ἀπὸ τῆς δυσμενοῦς τούτου κοινωνίας καὶ ἔσομαι ὑμῶν κοινωνὸς

O [= aervi, I

1/2 κακίαν — ἠγάπησας om. O^{arv} 2 ἀγαθωσύνην — ὑπὲρ om. O^{erv}ΙΛ τοῦ O^{r} 3 καθέλοι O^{e} 4 ἀπὸ τῆσ οὐ μόνον O^{arv} 5 πεπαγιωμένη O^{r}I σου om. O^{r} μετ' ἐμοῦ O^{erv}ΙΛ κατ' ἐμὲ O^{a} cf. append. 7 περιορίων I περιορίαν O^{r} ὑπερορία O^{av} om. O^{e}Λ cf. append. ὡς om. O^{arv} ὧν I 6/7 καὶ τῶν αὐτῶν om. I 7/8 ἀνασχομένων O^{v} corr. ἀνασχομένω O^{av} ἀνασχόμενον O^{e} ἀνασχόμενοσ O^{r}I *sustinuisti* Λ 8 ὑπομνημάτων OΛ τῶν ὑπομνημάτων I cf. append. ὁτὲ . Χριστόν om. I 9 διαφυγὼν διακατελεγχόμενοσ O^{e}Λ ποτελεγχόμενος I 10/11 cf. append. τὸ πάθοσ ante ὡσ coll. O^{e}Λ 12 δὲ om. O^{arv} τοῦτο O^{arv} 12/13 ἀπαρέδρωι O^{v} 13 cf. append. 14 λέγειν O^{e} 15 μεγίστων O^{r}I 17 εὐσεβῶς om. O 17/18 ἐκκηρυκτότερον I 20 φαραγκώδησ O^{v} φαραγγώδησ O^{aer} φάραγξ I *praecipitatio* Λ ἀπηναισχήντησεν O^{v} ἀπηναισχύντηκεν O^{r}I 21 cf. append. 22 ἀπηγορευμένων I 23 ἀπαρνήσασθαι O^{av} 26 τοῦτο O^{r}I 30 τούτων O^{r}, corr. O^{r} αὐτοῦ O^{e} 31 καὶ πιστεύειν om. I 32 διαλλοκότωσ O^{av} ἐν τρισαγίωι om. O^{a} 33 ὁ om. O^{av} 33/34 παραδέξασθε O^{r} παρεδέξαντο I 35 καὶ — κοινωνὸς om. O^{a}

καθότι καὶ ὑμεῖς ἐμοὶ τοῦ δολεροῦ φάσματος πόρρω ὑμῶν τῆς ὀρθοδοξίας ἐκπεπηδηκότος. φυλάξατε, Χριστοῦ μαθηταί, ἐμοῦ δὲ υἱοί, τὰς παραδόσεις ἃς παρελάβετε ἀπὸ τῶν θείων γραφῶν.

VII

Ἐπιστολὴ Κυντιανοῦ ἐπισκόπου Ἀρκουλιανῶν πρὸς Πέτρον ἐπίσκοπον Ἀντιοχείας

1 Πολυτρόπως καὶ πολυμερῶς ἐξένευσας, ἀγαπητέ, τῆς ἀληθείας τἀναντία πρᾶτ- Hebr. 1, 1
των τοῦ δεσποτικοῦ μυστηρίου, μὴ ἑπόμενος τοῖς εὐαγγελίοις ἢ τοῖς ἀποστόλοις ἢ τοῖς ἁγίοις πατράσι. καὶ γὰρ βαρεῖαν φέρει κατ' αὐτῶν καινοτομίαν τῆς καθολικῆς ἐκκλησίας ἡ ἔκθεσίς σου καὶ μέντοιγε οὐκ ἀπείπω ταύτης πολλῶν ἐπισκόπων ὑπομεμνηκότων σε, μάλιστα τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Φίληκος τοῦ ταύτης ἀποστραφῆναί σε καὶ εὐθῆ καὶ ὀρθοτόμον εἶναι τοῦ σωτηρίου κηρύγματος. ἀλλ' οὖν γε ἀντιποιούμενος αἱρέσεων τὸ τῆς θείας διδασκαλίας τάλαντον ἀπεκρύψω εἰς τὴν γῆν καὶ οὐ μᾶλλον τοῦτο προβαλέσθαι ἐπὶ τράπεζαν εἶξας οἷον ἐν ταῖς τῶν ἀνθρώπων καρδίαις τὴν ὑγιῆ διδασκαλίαν,
2 ἀλλὰ τοὐναντίον ζιζάνια ἔσπειρας. καὶ τίς ἔτι ἀνέξεταί σου διαστρέφοντος τὸ τοῦ Χριστοῦ εὐαγγέλιον; οὐ τὸν ἐν δύο φύσεσιν ἕνα υἱὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τοῦτον κηρύσσοντος ἐσταυρωμένον, ἀλλὰ τὸν θεὸν τὸν ἰσχυρὸν τὸν ἀθάνατον οἷον τὴν μίαν τῆς τριάδος οὐσίαν φάσκοντος ἐσταυρωμένην, καὶ οὐ μόνον, ἀλλάγε καὶ μίαν φύσιν τοῦ θεοῦ
3 λόγου καὶ τῆς σαρκὸς φής. καὶ εἰ μία φύσις τοῦ θεοῦ λόγου καὶ τῆς σαρκός, μία δὲ φύσις τοῦ θεοῦ πατρὸς καὶ τοῦ λόγου, πῶς οὐ μία καὶ ἡ αὐτὴ φύσις τοῦ πατρὸς καὶ τοῦ σώματος καὶ τοῦ λόγου; εἰ δὲ οὐ μία φύσις θεοῦ πατρὸς καὶ σαρκὸς ἀνθρωπείας καὶ τοῦ λόγου, φράσον πῶς μία φύσις τοῦ λόγου καὶ τῆς σαρκός. πῶς γὰρ κτιστὴ καὶ
4 ἄκτιστος μία φύσις; εἰ δὲ τοῦτο ἀδύνατον, πῶς ἡ κτιστὴ σὰρξ καὶ ὁ ἄκτιστος λόγος μία φύσις καὶ οὐ δύο ἐνηλλαγμέναι; εἰ δὲ φύσεως μιᾶς ἐστιν ὁ Χριστὸς καὶ οὐ δύο, τί οὐ λέγεις τὸν Χριστὸν κτιστὸν ὡς ὁ Ἄρειος ἢ ἄκτιστον ὡς ὁ Μανιχαῖος; ποῦ δὲ καὶ ἡ χρονικὴ Χριστοῦ γεννήσεως φύσις καὶ ἡ τῆς θεότητος αὐτοῦ προαιώνιος γέννησις; ποῦ τὸ σήμερον Ps. 2, 7
γεγέννηκά σε καὶ τὸ ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε καὶ τὸ Ἰησοῦς Ps. 109, 3
Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας; πῶς δὲ καὶ λέγεις πρὸ Hebr. 3, 8
τῆς ἑνώσεως τοῦ θεοῦ λόγου καὶ τῆς σαρκὸς δύο, εἰ μὴ προυπῆρχεν ἡ κατ' οὐσίαν ἐκ παρθένου ἕνωσις; καὶ γὰρ εἰ μὴ προυπάρχει ἡ τοῦ Χριστοῦ σὰρξ πρὸ Μαρίας κατὰ τὸν Οὐαλεν-
5 τίνου ἀσεβῆ λόγον, πῶς δύο προυπῆρχον φύσεις πρὸ Μαρίας; τίνος δὲ καὶ αὕτη ἡ ἔκφρασις; οὐχὶ Εὐτυχοῦς τοῦ μᾶλλον ἀτυχοῦς τὸ ἐκ δύο λέγειν φύσεων μίαν γεγενῆσθαι φύσιν; εἰ δὲ ταὐτὰ ἐκείνωι φρονεῖς, πῶς τοῦτον ἀποβάλληι ὁ τὰ αὐτοῦ παραδεχόμενος κά-

---

VII antiquior epistulae forma edita est infra in appendice 6

O [= aerv], I, W [inde a 5]

1 ὑμῶν] ἡμῶν $O^{av}\Lambda$ ἐκπεπτηδοικότεσ O^{v}

5 Ἰσον ἐπιστολῆσ W om. I κοντιανοῦ O^{r} ἐπισκόπου om. I ἀρκουλιανῶν $O^{aev}W$ ἐρκουλιανῶν O^{r} ἐρκουλίων I cf. append. 6 πολυμερῶσ καὶ πολυτρόπωσ $O^{e}\Lambda$ 6/7 πράσσων W 7 ἤτοι — ἤτοι OI 8 βαρέωσ O^{aev} 9 σου om. W ταύτην $O^{r}I$ ὑπομνησάντων O^{av} ὑπομιμνησκόντων IW 10 καὶ μάλισται I ταύτην $O^{r}I$ 11 σωτηρίου] θείου I ἀλλὰ γοῦν W ἀλλ' I ἀντιποιούμενοσ $O^{er}I\Lambda$ περιποιούμενοσ $O^{av}W$ cf. append. τῶν αἱρέσεων I 12/13 προβάλλεσθαι $O^{e}W$ προβαλλέσθαι $O^{r}I$ 13 τραπεζῶν O^{av} τῆ — καρδια [cf. append.] W 15 ἐν — υἱὸν OIΛ ἐξ ἀμφοῖν ἕνα υἱὸν ἐκ δύο φύσεων καὶ ἐν δύο W [= append.] 16 κηρύσσοντος $I\Lambda^{a}$ κηρύσσων OW τὸν θῦ τὸν θῦ O^{v} 17 φάσκοντος I φάσκων OW ἐσταυρωμένον $O^{r}I$ 17/18 τοῦ θεοῦ λόγου φύσιν μίαν $O^{r}I$ 18 καὶ εἰ — μία δὲ] εἰ μία δὲ W 19 θεοῦ om. W πῶς οὐ om. I καὶ ἡ αὐτὴ om. I 19/20 φύσις — λόγου] φύσις ἔσται τοῦ θῦ $\overline{\text{πρς}}$ καὶ τῆς σαρκός I 23 τί οὐ $O^{r}IW$ τί O^{e} *quarum* Λ om. O^{av} 24 ὁ om. O^{e} 26 ἐκ γαστρὸς — καὶ τὸ om. $O^{e}I\Lambda$ γεγέννηκα $O^{r}W$ 27 ποῦ W 28 εἰ μὴ I εἰ $O^{r}W$ ἢ $O^{aev}\Lambda$ 29 μὴ I om. OWΛ τοῦ ἀλεντίνου I 31 φύσεων λέγειν W 32 ἀποβάλη O^{ar}

κιστα καινίσματα; εἴπερ ἐπ' ἀληθείας τοῦτο πέπρακτο, τοὺς κατ' αὐτοῦ ἁγίους πατέρας
6 τοὺς ἐν Χαλκηδόνι εἴχες δεκτούς. πλὴν φράσον μοι πῶς ἡνωμένως ὁ πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα λέγεται τριάς, μόνος ὢν θεός, εἰ οὐ παραδέχῃ λέγειν ἐν ἑνὶ υἱῷ δύο φύσεις. καὶ εἰ ἡ τριὰς εἷς θεός, πῶς ὁ θεὸς καὶ τὸ ἡμῶν σῶμα αὐτῷ ἑνωθὲν οὐκ ὀφείλει λέγεσθαι εἷς υἱὸς ἐν δύο φύσεσιν; εἰ δὲ μία φύσις ὁ θεὸς λόγος καὶ ἡ σάρξ, δῆλον ὅτι τραπεὶς ὁ λόγος οὐκέτι λόγος, ἀλλὰ σάρξ, καὶ εἰ ἡ σὰρξ τραπεῖσα γέγονε λόγος, οὐκέτι εἴη σάρξ. εἰ δὲ ἐν τούτοις οὐ γέγονε τροπή, πῶς οὖκ εἰσιν ἐν Χριστῷ δύο φύσεις; ἡ γὰρ σὰρξ σάρξ ἐστιν, εἰ
7 καί ἐστι θεοῦ σάρξ, καὶ ὁ λόγος λόγος ἐστίν, εἴ γε καὶ ἀνέλαβε τὴν ἡμῶν πρόσληψιν. εἰ δὲ ἐτράπη, πῶς οὐχ ὁμοούσιος ἡ σὰρξ καὶ συναίδιος τῷ πατρὶ καθὸ καὶ ὁ λόγος; εἰ δὲ ἑτεροούσιός ἐστιν ἡ σὰρξ τῷ πατρί, καθότι αὕτη μὲν πρόσφατος, ὁ δὲ πατὴρ ἄχρονος, πῶς οὐχὶ πρόσφατος καὶ ὁ λόγος, καθὸ μίαν εἶναι φύσιν τῆς σαρκὸς καὶ τοῦ θεοῦ λόγου λέγεις καὶ τῷ πατρὶ ἑτεροούσιον αὐτὸν λέγεις; εἰ δὲ οὐχ ἡ αὐτὴ φύσις τοῦ θεοῦ λόγου καὶ τῆς σαρκός, πῶς οὐκ εἰσὶ δύο ἡ σὰρξ καὶ ὁ λόγος; εἰ δὲ πᾶσα ἡ θεότης σὰρξ γεγένηται, πῶς ἔμεινεν ὁ λόγος ὃ ἦν; πῶς δὲ καὶ ἄτρεπτος σαρκωθείς; καὶ εἰ οὐκ ἔστι Χριστὸς ἐν δύο φύσεσι,
8 πῶς σαρκωθεὶς ὁ θεὸς λόγος ἔμεινεν ὃ ἦν; καὶ εἴ ἐστιν ὁ θεὸς λόγος παθητός, ἀπαθὴς δὲ ὁ πατήρ, πῶς εἷς καὶ μόνος ἐστὶν ὁ θεός; πῶς δὲ καὶ τούτων μία ἐστὶν ἡ φύσις; εἰ δὲ καὶ ἀπαθὴς ἡ τριάς, πῶς ὁ θεὸς λόγος ἔπαθεν ὑπὲρ ἡμῶν; εἰ δὲ οὐκ ἔπαθε, πῶς ἡ ἑτέρα φύσις τῆς σαρκὸς οὐκ ἔπαθε; καὶ εἰ πᾶν τὸ πάσχον κτιστόν, πῶς ὁ θεὸς λόγος οὐ κτιστὸς πάσχων σαρκί; εἰ δὲ πάσχει σαρκὶ ὁ θεός, πῶς οὐ πάσχει θεότητι; εἰ δὲ οὐ πάσχει θεότητι, τίνι πάσχει
9 σαρκί; εἰ δὲ σαρκὶ πάσχει, πῶς οὐ πάσχει καὶ ἑαυτῷ ὁ θεός; εἰ δὲ ταὐτὸν τὸ εἰπεῖν θεοῦ παθόντος σαρκὶ τῷ εἰπεῖν Χριστοῦ παθόντος σαρκί, πῶς οὐκ ἔσται ταὐτὸν τὸ εἰπεῖν πνεῦμα θεῖον πάσχει σαρκί, ἐπειδὴ πνεῦμα ὁ θεός; εἰ δὲ οὐχ ὅμοιον τὸ εἰπεῖν θεοῦ παθόν-
10 τος σαρκὶ τῷ εἰπεῖν Χριστοῦ παθόντος σαρκί, πῶς δυνατὸν πλέον οἰκειοῦσθαι τὸν θεὸν λόγον τὰ τῆς σαρκὸς οὗ οἰκειοῦται τὰ τοῦ θεοῦ λόγου ὁ πατήρ; πῶς δὲ καὶ εἰ οἰκειώσει ὁ θεὸς λόγος πάσχει σαρκί, οὐκ ἔσται οἰκειώσει καὶ ὁ πατὴρ τῷ θεῷ λόγωι πάσχων; καὶ εἰ ἀπέθανεν ὁ θεὸς λόγος σαρκί, πῶς ἐστιν ὁμοούσιος τῷ πατρὶ τῇ ἀθανασίαι; ὁ γὰρ θανὼν ὑπὲρ ἡμῶν οὐκ ἐστιν ἀθάνατος· ἀπέθανε γὰρ κατὰ τὰς γραφάς. καὶ εἰ εἷς τῆς τριάδος ἀπέθανε, ποτὲ δυὰς ἡ τριάς· καὶ εἰ δυὰς ἡ τριὰς οὐ γέγονέ ποτε, πῶς εἷς τῆς τριάδος ἀπέθανεν, εἴγε ἡ ἑτέρα φύσις τοῦ θεοῦ λόγου οἷον ἡ τῶν ἀνθρώπων φύσις οὐκ ἔθανεν; εἰ δὲ ἡ τρισαγία φωνὴ τριὰς οὐχ ὑφίσταται, δῆλον ὅτι μιᾶς ὑποστάσεως εἶναι
11 λέγεις τὴν τριάδα, καὶ πῶς οὐ δείκνυσαι εἶναι Σαβελλιανός; εἰ δὲ ἐν τρισὶν ὑποστάσεσι μία φύσις ὑφίσταται τῆς τρισαγίας φωνῆς, πῶς οὐχὶ τὴν τριάδα σταυρωθεῖσαν λέγεις καὶ ἄθεον ἑαυτὸν ὡς οἱ Μαρκιωνισταὶ εἶναι οὐ λέγεις;

Πᾶς γοῦν ὅστις λέγει μίαν φύσιν θεοῦ λόγου καὶ σαρκὸς καὶ οὐ δύο ἡνωμένας καὶ ἀδιαιρέτους, καθαιρείσθω.

O [illegible] aerv]. lW

1 εἴπερ O^{aev}Λ ὅπερ O^{r}I εἰ δὲ μὴ W τοῦτο O^{aev}Λ σοι τοῦτο O^{r} σοι I τοῦτο σοι W πέπρακτο ἂν εἰ O^{r}I πέπρακτο ἂν O^{av} πέπρακται W 2 εἶχες ἂν O^{e}W ἡνωμένοσ O^{r} 3 τὸ ἅγιον πνα O^{r}IΛ εἰ] ἢ εἰ O^{r} ἐν ἑνὶ υἱῶ λέγειν W 4 πῶς ὁ θεός om. W 5 δυσὶ O^{r} δὲ] δὲ οὐ O^{av} θεός] θσ καὶ O^{av} 5/6 δῆλον — εἴη σάρξ om. O^{av} 6 οὐκέτι εἴη O^{r}I οὐκ ἔστι W εἰ^{1} om. O^{av} καὶ οὐκέτι O^{av} εἴη om. O^{e} εἰ δὲ] καὶ O^{a} 7/8 εἰ καί] καὶ εἰ O^{r}I 8 εἴ γε O^{aev}I εἰ O^{e}W 9 ἡ OI καὶ ἡ W 10 τοῦ πρσ W 11 καθὸ γὰρ O^{r}I φύσιν εἶναι W φύσιν I 12 λέγων W οὐχὶ αὐτῇ ἡ O^{v} 13 δύο καὶ W 14 cf. append. ἀτρέπτωσ O^{er}IΛ, corr. O^{r} ἐσαρκώθη O^{e}IΛ ὁ σαρκωθεὶσ W εἰ om. I 15 θσ ὁ λόγοσ W 16 μία τούτων W 20 ὁ om. I 20/21 τῷ — τὸ I 21 οὐκ — τὸ] οὐ ταυτὸν τῷ I τὸ om. W 21/22 πνα θεῖον εἰπεῖν πάσχειν W 22 τὸ εἰπεῖν WΛ^{a} τὸ O^{aev} om. O^{r}I 23 τῷι — σαρκὶ om. I τῷι] τὸ O^{r} 24 τὰ^{1} om. O δὲ om. O^{v}W εἰ καὶ W εἰ om. O^{av} οἰκειώσει] οἰκειοῦται W 25 πάσχων O^{a} οἰκείωσ. εἰ W καὶ^{1} om. O^{r}I πάσχει W 26 τῷι πατρὶ] ὁ πηρ W τῇ ἀθανασία τῷ υἱῷ W 28 cf. append. 30 τρισάγιοσ O^{a} εἶναι om. W 32 ὑφεῖσται O^{r} συνίσταται O^{a} τῇ τρισαγία φωνῇ I 33 μαρκιανισταὶ O^{v} 34 οὖν I γὰρ W 34/35 καὶ ἀδιαιρέτους om. O^{ev}I

καὶ εἴ τις φύρει τὰς δύο τοῦ Χριστοῦ φύσεις λέγων θεὸν παθόντα σαρκὶ καὶ οὐ παθόντα Χριστὸν σαρκὶ κατὰ τὸν ἀπόστολον, καθαιρείσθω. 1 Petr. 4, 1

12 καὶ εἴ τις τὸν ἀπαθῆ καὶ ἀθάνατον θεὸν λόγον λέγει τετράφθαι εἰς πάθος καὶ εἰς θνῆσιν καὶ οὐκ ἀποδιδῶι τῆι αὐτοῦ σαρκί, καθαιρείσθω.

καὶ εἴ τις τὴν τρισαγίαν λέγει δι' ἡμᾶς σταυρωθεῖσαν θεότητα καὶ οὐχὶ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ, καθαιρείσθω.

καὶ εἴ τις μετὰ τὴν τρισαγίαν φωνὴν Χριστὸν λέγει σταυρωθέντα καὶ οὐχὶ μᾶλλον τὸν ἕνα υἱὸν τὸν ἐν μέσωι τῆς τρισαγίας φωνῆς ἀνυμνούμενον, καθαιρείσθω.

καὶ εἴ τις ἄνθρωπον λέγει τὸν δι' ἡμᾶς σταυρωθέντα ἤτοι θεὸν χωρίζων τὰς φύσεις καὶ οὐ συνάπτων ἐν τῶι σταυροῦσθαι αὐτόν, καθαιρείσθω.

καὶ εἴ τις ψιλὸν ἄνθρωπον λέγει ὡς Παῦλος ὁ Σαμοσατεὺς ἢ ὥσπερ Φωτεινός, ἀναθεματιζέσθω.

13 καὶ εἴ τις θεανθρωπίαν λέγει καὶ οὐχὶ θεὸν καὶ ἄνθρωπον μᾶλλον λέγει, ἀναθεματιζέσθω.

καὶ εἴ τις ἑτεροούσιον λέγει τῆς ἡμετέρας σαρκὸς τὴν σάρκα τοῦ Χριστοῦ καὶ οὐχὶ δὴ μᾶλλον ἡμῖν ὁμοούσιον χωρὶς ἁμαρτίας, καθαιρείσθω.

14 καὶ εἴ τις λέγει ἄνουν καὶ ἄψυχον τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ ἀντὶ ψυχῆς ἔχειν τὴν θεότητα καὶ ὡς ἐκ τούτου πάσχειν σαρκὶ τὸν θεὸν λόγον λέγειν καὶ οὐχὶ δὴ μᾶλλον νουνεχῆ τὴν ψυχὴν τὴν λογικὴν ἀνειληφέναι τὸν θεὸν λόγον καὶ ἀπαθῆ λέγει αὐτὸν τῆι θεότητι, παθητὸν δὲ τῆι ἀνθρωπότητι, καθαιρείσθω.

15 Ταύτας τὰς δώδεκα καθαιρέσεις ἀπέστειλά σοι, ὅπως φοβηθεὶς τούτων τὰς κρίσεις διεστηκὼς ἔσηι τῆς πανδεινοτάτης σου καινοτομίας εἰδὼς ὅτι χρὴ ἐξακολουθεῖν τῆι ἀποκαλύψει τοῦ ὁσιωτάτου τῆς Κωνσταντινουπόλεως ἐκκλησίας ἐπισκόπου Πρόκλου, πῶς ἐν τῶι Κάμπωι καταδραμὼν σὺν παντὶ τῶι λαῶι κυματιζομένης ὑπὸ σεισμῶν τῆς αὐτῆς πόλεως καὶ θρήνου ὑπὸ πάντων ἀναπεμπομένου ἄφνω παῖδα εἰς τὸν ἀέρα ἁρθῆναι συνέβη ὑπό τινος δυνάμεως καὶ τούτωι ἐνθέσθαι τοῦ λιτανεύειν τὸ τρισάγιον καὶ λέγειν ἅγιος ὁ θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς, καὶ ταῦτα τοῦ ἀπαγγεῖλαι τῶι ἐπισκόπωι προσετάχθη. ὃς καὶ μετὰ τρίωρον ἔστη ἐν τῶι τριβουναλίωι παρὰ τοὺς πόδας τοῦ αὐτοῦ ἐπισκόπου καὶ ταῦτα διηγήσατο καὶ οὕτως λιτανευσάντων ἔστησαν οἱ σεισμοί.

16 οὕτως οὖν καὶ σὺ λιτάνευε καὶ παύσεται ἡ κατὰ σοῦ μελετωμένη ἐξενεχθῆναι ὀργή· εἰ δὲ μή, ἥξει ἐπὶ σὲ καθαίρεσις ὑπὸ τοῦ πάπα ἡμῶν Φίληκος. φυλάξει δὲ ὁ θεὸς τὸν κόσμον ἀπὸ τῶν σκανδάλων, ὧι ἡ δόξα νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

21 sq. ὅρα αἱρετικέ Orv in mg.

O [= aerv], IW

1 φέρει OrW 1/2 καὶ οὐ — σαρκὶ om. W 3 λέγει om. OarvI θνῆσιν φησὶ OrI 4 ἀποδίδωσι W ἀποδιδοὺς Oa ἀποδιδῶ [ἀποδιδοῖ I] τὸ πάθος OrI 5 ὁ om. OeΛ 6 θεοῦ] θεοῦ τὸν μονογενῆ W, cf. append. 7 τρισάγιον Oa δι' ἡμᾶς σταυρωθέντα W [cf. append.] 8 τὸν1 om. I 22 τρισαγίου Oa ἁγίασ τριαδικῆσ W συνυμνούμενον W 10 αὐτὸν om. W 11 σαμοσάτων [ἐκ σ. I] OarvI 13/14 post 16 coll. W [cf. append.] 13 καὶ οὐχὶ — λέγει om. W 15 κῦ W 18 καὶ1 — λέγειν om. I λέγει OarW 19 νουνεχῆ OarvW νοῦν ἔχειν OerΛ νοῦν I τὴν [om. W] ψυχὴν τὴν [καὶ W] OarvW καὶ ψυχὴν OeIΛ λέγειν Orv 20 παθητὸν — ἀνθρωπότητι om. W 22 παντοδεινοτάτησ I 23 κωνσταντινουπολιτῶν Oe ἐκκλησίας om. W πῶς] οὗ I 24 καταδραμόντος I 25 οὐρανὸν OrI συνέβη I om. OW 26 ἐκθέσθαι I 27 τοῦ om. I 28 προσετάγη W ὃς καὶ] καὶ οὕτωσ OeΛ 30—32 εἰ δὲ — ἀμήν om. W 31 πάππα Ov φυλάξοι Oa

VIII

p. 142 Ἐπιστολὴ Ἀκακίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως πρὸς Πέτρον ἀρχιεπίσκοπον Ἀντιοχείας ὅτι οὐ δεῖ ἐν τῷ τρισαγίῳ ἐντίθεσθαι τὸ ὁ σταυρωθεὶς δι' ἡμᾶς

Ps. 17, 8 Ἐξέστη ὁ οὐρανὸς καὶ ἔφριξεν ἡ γῆ, ἐσαλεύθη δὲ καὶ τὰ θεμέλια τῆς ἁγίας τοῦ θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, θρῆνος δὲ καὶ κλαυθμὸς κατείληφε τοὺς ἱερεῖς τοῦ Χριστοῦ ἐφ' οἷς ἐγώ τε καὶ ἡ κατὰ θεοῦ ἐπίνευσιν ἐνταῦθα ἀθροισθεῖσα ἁγία σύνοδος ἀκηκόαμεν πεπρᾶχθαι ὑπὸ σοῦ, ἀδελφέ. ποία γραφή σε ἐδίδαξε τὸ ἅγιον πνεῦμα λέγειν ἐσταυρῶσθαι ἢ δύο υἱοὺς δογματίζειν ἢ νοθεύειν τὴν τρισάγιον ὑμνολογίαν ἢ τετράδα ἀντὶ τριάδος δοξολογεῖν ἢ ἀγγέλων ἁγιώτερον καὶ νουνεχέστερον ἑαυτὸν ἀποφαίνειν; ἐν γὰρ τῷ λέγειν σε 'ἅγιος ἰσχυρός' καὶ πάλιν κατωτέρω ἐπάγειν 'ὁ σταυρωθεὶς δι' ἡμᾶς' δύο υἱοὺς σημαίνεις, ἕνα ἰσχυρὸν καὶ ἕνα τὸν σταυρωθέντα· ὅταν δὲ πάλιν εἴπῃς 'ἅγιος ἀθάνατος ὁ σταυρωθεὶς δι' ἡμᾶς', εὑρίσκεσαι τῷ ἁγίῳ πνεύματι τὸν σταυρὸν ἐπιφέρων· περὶ γὰρ αὐτοῦ εἴρηται τὸ 'ἅγιος ἀθάνατος'. καὶ τὰ τοιαῦτά σου φρονήματα πάσης αἱρετικῆς κακονοίας ἴδια, μᾶλλον δὲ Μανιχαικῆς μανίας ἰνδάλματα. καὶ γὰρ ἐκεῖνος, καθάπερ καὶ σύ, παντελῶς ἀπαρνησάμενος τὸν μονογενῆ τοῦ θεοῦ υἱὸν καὶ τὴν παρ-
p. 143 θενικὴν ὠδῖνα ἔφησε τὸ ἅγιον πνεῦμα τὸ ἐν εἴδει περιστερᾶς κατελθὸν ἐκ τῶν οὐρανῶν ἐν τῷ Ἰορδάνῃ ποταμῷ σεσωματῶσθαι ἐκ τῶν ὑδάτων καὶ τοῖς ἀνθρώποις συναστραφῆναι καὶ τῷ σταυρῷ προσηλῶσθαι καὶ τὸν θάνατον ὑπομεμενηκέναι τὸν ὑπὲρ ἡμῶν. πῶς δὲ καὶ ἐπιβαίνειν νῦν οὐκ ἐρυθριᾷς τῷ ἱερατικῷ θρόνῳ, ὃν ἐμόλυνας διὰ τῶν σῶν βλασφημιῶν, ἔξω τοῦ ἱερατικοῦ τάγματος καὶ ἀλλότριος γεγονὼς τοῦ ποιμνίου τοῦ Χριστοῦ; οὐ μόνον γὰρ τὸν χερουβικὸν ὕμνον ἐνόθευσας, δι' οὗ καὶ ἡ ἡμετέρα πόλις ἐστερεώθη σαλευομένη ποτὲ ὑπὸ ἀνενδότων σεισμῶν, παιδὸς νηπίου περὶ τὸν ἀέρα ἁρπαγέντος
2 Cor. 12, 2 ἐπ' ὄψεσι πάσης τῆς πόλεως ἕως τρίτου οὐρανοῦ κατὰ τὸν θεσπέσιον Παῦλον κἀκεῖ ἀκηκοότος τὴν ἄρρητον ταύτην ὑμνολογίαν καθ' ἣν ὥραν ἐν τῷ Κάμπῳ τὰ πλήθη μετὰ δακρύων ἀνεβόων τὸ κύριε ἐλέησον πρὸς τὸν θεὸν ἅμα τῷ ἐν ἁγίοις Πρόκλῳ τῷ γεγονότι πατρὶ ἡμῶν καὶ ἀρχιεπισκόπῳ ταύτης τῆς βασιλίδος καὶ φιλοχρίστου πόλεως· ἀλλὰ γὰρ πολυτρόπως πειρᾶσαι τὰ ἐναντία φρονεῖν οὐ μόνον τῶν ἁγίων συνόδων τῆς τε ἐν Νικαίαι καὶ ἐν ταύτῃ τῇ βασιλίδι πόλει καὶ τῆς ἐν Χαλκηδόνι, ἀλλὰ καὶ τῶν θείων γραφῶν, μὴ βουλόμενος κατὰ τὴν αὐτῶν παράδοσιν λέγειν Χριστὸν τὸν μονογενῆ τοῦ θεοῦ υἱὸν τὸ πάθος ὑπομεμενηκέναι σαρκὶ κατὰ τὴν παράδοσιν τοῦ κορυφαίου τῶν ἀποστόλων.
1 Petr. 3, 18. 19 γράφων γὰρ αὐτὸς οὕτω φράζει Χριστὸς ἅπαξ περὶ ἁμαρτιῶν ἀπέθανε, δίκαιος ὑπὲρ ἀδίκων, θανατωθεὶς μὲν σαρκί, ζωοποιηθεὶς δὲ πνεύματι, ἐν ᾧ καὶ τοῖς ἐν φυλακῇ πνεύμασι πορευθεὶς ἐκήρυξε, φυλακὴν τὸν ἅιδην καλῶν. κρύψας γὰρ τὸ ἄγκιστρον τῆς αὐτοῦ θεότητος ἔνδον τῆς ψυχῆς τοῦ ἁγίου αὐτοῦ σώματος, οὕτως τῷ ἅιδῃ συνεκρίθη καὶ τὴν αὐτοῦ παμφάγον γαστέρα ἀνέτεμε καὶ τοὺς ἀπ' αἰῶνος
Iob 40, 20 θανόντας ἐζωοποίησε κατὰ τὸν Ἰὼβ τὸν λέγοντα ἄξεις δράκοντα ἐν ἀγκίστρῳ. σὺ δὲ ἀπὸ τῆς ἀληθείας τὴν ἀκοὴν ἀποστρέψας ἐπὶ τοὺς μύθους ἐξετράπης κατὰ τὸν Ἄρειον καὶ Ἀπολινάριον λέγων τὸν ἕνα τῆς τριάδος παθεῖν, ὅς ἐστιν ἡ ἄρρητος σοφία τοῦ θεοῦ
Hebr. 1, 3 καὶ πατρὸς τό τε αὐτοῦ ἀπαύγασμα καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ,
Ioh. 1, 1. 3 λόγος συνάναρχος καὶ συναίδιος· ἐν ἀρχῇ ἦν ὁ λόγος καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν καὶ θεὸς ἦν ὁ λόγος. πάντα δι' αὐτοῦ ἐγένετο καὶ χωρὶς αὐτοῦ

O [· aerv], I
2 ἐπίσκοπον Or 3 τὸ om. Or1 8 τρισαγίαν Orv 9 δοξάζειν Oe 10 σε om. OeΛ 11 σημαίνει Oer 12 εὑρίσκη Oer1 13 σου om. Oav 16/17 ἐν τῷ — ποταμῷ ἐκ τῶν οὐρανῶν Or1 22 αἰθέρα Oe 23 ὡσ ἕωσ Or 25 τοῦ — πρόκλου τοῦ γεγονότοσ πρσ — ἀρχιεπισκόπου Oer1 27 γὰρ om. Oav τῆσ OaeIΛ τῶν Orv 31 οὕτω I εὐ OΛ 36 θανέντασ Or 38 ἀπολλινάριον Or ὅσ OeΛ ἦτισ Oaerv1 40 ἀρχῇ γὰρ OeΛ

ἐγένετο οὐδὲ ἕν. οὕτως δὲ φρονεῖν ἔσπευσας, ἐπειδὴ ἀπηρνήσω τὴν σωτήριον τοῦ λόγου ἐνανθρώπησιν, ἣν καὶ ὑπὲρ ἡμῶν αὐτὸς ὁ λόγος καὶ θεὸς λύτρον δέδωκε τῶι θανάτωι καὶ ἀναστὰς ἐκ νεκρῶν ἀνήγαγεν εἰς οὐρανούς. περὶ ἧς καὶ τῶι Ἀβραὰμ ἔλεγεν ὁ θεὸς ἐν τῶι σπέρματι σου εὐλογηθήσονται πάντα τὰ ἔθνη, ὃ καὶ βεβαιῶν ἔλεγεν Gen. 22, 18
ὁ ἀπόστολος τῶι Ἀβραὰμ ἐλέχθησαν αἱ ἐπαγγελίαι καὶ τῶι σπέρματι αὐτοῦ. Gal. 3, 16
οὐ λέγει 'καὶ τοῖς σπέρμασιν αὐτοῦ' ὡς ἐπὶ πολλῶν, ἀλλ' ὡς ἐφ' ἑνός 'καὶ τῶι σπέρματί' σου, ὅς ἐστιν Ἰησοῦς Χριστός. ἐσπούδασται δέ σοι τὸ οὕτως φρονεῖν καθότι οὐδὲ τὴν τοῦ δεσπότου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπωνυμίαν προσδέχηι [ἤτοι] τὴν τοῦ υἱοῦ τοῦ θεοῦ, καὶ ἄρα πάντως περὶ σοῦ ἂν εἴη τὸ γεγραμμένον 'εἴ τις οὐχ ὁμολογεῖ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθέναι, ἤτω ἀνάθεμα' καὶ τὸ ὑπὸ Ἰωάννου λεγόμενον πᾶν πνεῦμα ὃ ὁμολογεῖ Ἰησοῦν Χριστόν, ἐκ 1 Io. 4, 2. 3
τοῦ θεοῦ γεγέννηται καὶ πᾶν πνεῦμα ὃ μὴ ὁμολογεῖ Ἰησοῦν Χριστόν, ἐκ τοῦ θεοῦ οὐ γεγέννηται. οἱ οὖν ἐκ θεοῦ γεννηθέντες Χριστοῦ τοῦ υἱοῦ τοῦ θεοῦ τὸ p. 144
πάθος γεγενῆσθαι λέγουσι κατὰ τὰς προαγγελθείσας περὶ αὐτοῦ προφητείας καὶ τὰ τῶν ἀποστόλων διδάγματα. Χριστὸν γὰρ λέγων τὸν τοῦ θεοῦ τοῦ παντοκράτορος υἱὸν τὸν σταυρὸν ὑπομεμενηκέναι τὰ ἑκάτερα λέγεις ἐν τῶι ἑνί, τήν τε αὐτοῦ θεότητα καθ' ἣν θεός ἐστιν ἀπαθὴς καὶ ὁμοούσιος τοῦ θεοῦ καὶ πατρός, καὶ ⟨τὴν ἀνθρωπότητα καθ' ἣν ἐστιν⟩ ἄνθρωπος ὁ αὐτὸς θνητὸς καὶ ὁμοούσιος τῆι παρθένωι μητρί· τὸ δὲ λέγειν τὸν ἕνα τῆς τριάδος παθεῖν δείκνυσιν αὐτὸν τὸν λόγον παθητόν. ἐὰν οὖν ὁ λόγος παθητός, ὁμοίως καὶ ὁ πατήρ· εἰ δὲ ὁ πατὴρ καὶ ὁ λόγος παθητός, παθητὸν καὶ τὸ πνεῦμα τὸ ἅγιον, ἐπειδὴ μία οὐσία καὶ μία ἡ τούτων θεότης. ἐὰν δὲ εἴπηις φεύγων τὸ τῆς υἱοπατορίας ἔγκλημα παθητὸν μὲν τὸν λόγον, ἀπαθῆ δὲ τὸν πατέρα καὶ τὸ πνεῦμα, ἔλυσας τὸ ὁμοούσιον, ἐπηύξησας δὲ καὶ τὴν πολυθείαν. ἵνα οὖν μὴ ἄτριπτον καὶ ἄβατον τρίβον διοδεύων κρημνισθῆις εἰς τὴν τῶν αἱρέσεων φάραγγα, γένηι δὲ καὶ ὑπαίτιος τῆς τῶν πολλῶν ἀπωλείας καὶ τῆς τοῦ θεοῦ ἱερατείας ἀλλότριος, τῆι βασιλικῆι ὁδῶι σεαυτὸν καὶ τὴν ποίμνην σου ὁδήγησον, καθ' ἣν καὶ οἱ ἐν Χαλκηδόνι ἅγιοι πατέρες βαδίσαντες κατέλαβον τὸν οὐρανόν. ἐπεὶ ἔσο γινώσκων ὅτι ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν ἀκάρπων δένδρων Mt. 3, 10
κεῖται, καὶ ὑπ' αὐτῆς ὡς ἀγριέλαιος ἐκκοπήσηι, τοῦτ' ἐστὶ τῆι τοῦ ἁγίου πνεύματος Rom. 11, 24
δυνάμει, ἵνα ἡ εἰρήνη καὶ ὁμόνοια ἀρραγὴς διαμείνηι τοῖς ἱερεῦσι τοῦ Χριστοῦ.

VIIII

Ἐπιστολὴ Φίληκος ἐπισκόπου Ῥώμης πρὸς Πέτρον ἐπίσκοπον Ἀντιοχείας παραινοῦσα ὅτι οὐ δεῖ προστιθέναι ἐν τῶι τρισαγίωι τὸ 'ὁ σταυρωθεὶς δι' ἡμᾶς'

Τίς δώσει τῆι κεφαλῆι μου ὕδωρ καὶ τοῖς βλεφάροις μου πηγὴν Ier. 9, 1
δακρύων; ποῖον δὲ καὶ ἄξιον ὀδυρμὸν προσοίσω τῆι ἐμαυτοῦ ψυχῆι συναλγῶν τῆι τοῦ

O [= aerv], I

1 οὐδὲ ἕν Oarl οὐδὲν Ov *nihil* Λ οὐδὲ ἓν ὃ γέγονεν Oe 2 θσ̄ καὶ λόγοσ OeΛ 3 ἣν καὶ ἀναστήσασ OeΛ 4 εὐλογηθήσονται Oel ἐνευλογηθήσονται Oa εὐλογηθήσεται Orv 4/5 ὁ ἀπόστολος ἔλεγε Oe 7 ῑσ̄ Oaevλ ὁ Orl τὸ om. Or 8 Ἰησοῦ om. Oav 9 τὴν scripsi secundum Λ οὔτε τὴν Oa εἴτε τὴν Oe εἴτε Ov ἤτοι τὴν Orl 10 ἤτω OeI εἴη τὸ Oarv 11 τὸ om. Ov πᾶν] πν̄α Or ὃ ὁμολογεῖ Oarvl ὁμολογοῦν Oe 12 τοῦ om. Orl γεγένηται OeΛ 12/13 καὶ πᾶν — οὐ γεγέννηται om. Orvl 13 γεγένηται OeΛ ἐκ τοῦ θῡ οὖν Oe γενηθέντεσ Oe corr., Λ 14 προαγγελίασ περὶ τῆσ αὐτοῦ Ov 15 τοῦ² om. Oa 16 τὸν σταυρὸν OΛ τὸ πάθος I 17 τὴν ἀνθρωπότητα καθ' ἣν ἐστιν om. OI, suppleui secundum Λ 18 δὲ I γὰρ [γὰρ σὴ Ov] OΛ 20 δὲ καὶ Or καὶ τὸ — ἅγιον παθητόν Orl 21 υἱοπατερίασ Or υἱοπατρίασ Oe 23 καὶ¹ om. I ἄτριβον Orl ἄτρεπτον Ov 24 κριμνησθεὶσ Ov φάλαγγα OerΛ τῶν² om. Oe 26 σου om. OeΛ 28 τῆι om. Oarv 29 καὶ ἡ Oe 31 φήληκοσ I πάπα Oe 32 προσθεῖναι Oe τὸ om. Oerl 33 βλεφάροις Oarvl ὀφθαλμοῖσ OeΛ (LXX)

Thren. 1, 2 δεσπότου καὶ σωτῆρος ἡμῶν Χριστοῦ ἁγίαι καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίαι; κλαίουσα ἔκλαυσεν αὕτη ἐπὶ υἱοῖς καὶ θυγατράσιν αὐτῆς καὶ οὐχ ὑπάρχει ὁ παρα-
Thren. 1, 3 καλῶν αὐτὴν ἀπὸ πάντων τῶν ἀγαπώντων αὐτήν· ἅπαντες οἱ καταδιώκοντες αὐτὴν τύραννοί τε καὶ αἱρεσιάρχαι κατέλαβον αὐτὴν διὰ σοῦ, ἀδελφὲ τιμι-
Thren. 1, 5 ώτατε, καὶ οἱ ἐκθλίβοντες αὐτὴν ἐγένοντο εἰς κεφαλὴν αὐτῆς· πᾶσα ἡ εὐπρέπεια αὐτῆς τὸ ὅσον ἐπὶ σοί, ἐγένετο εἰς οὐδέν. ἰδόντες οἱ ἐχθροὶ αὐτῆς ἐχάρησαν ἐπὶ τῇ ἀπωλείαι τῶν τέκνων αὐτῆς· οὓς γὰρ ἐξέθρεψεν, οὓς ἐτιθηνήσατο, οὓς εἰς μέτρον ἡλικίας ἀνήγαγε γαλακτοτροφήσασα προφητικοῖς καὶ ἀποστολικοῖς δόγμασι, τούτους ἐν μιᾶι καιροῦ ῥοπῆι διὰ δηλητηρίου ἐφόνευσας. καθ' ὃν γὰρ τρόπον οἱ τὴν ἁλιευτικὴν μετερχόμενοι βρώματι τὸ ἄγκιστρον καλύπτουσι καὶ ἀπροόπτως τοὺς ἰχθύας ἀγρεύουσιν, οὕτως καὶ σὺ τῇι τῶν ἀγγέλων ὑμνολογίαι προσθήκην ἐπήγαγες καὶ τῇι τρισαγίαι λιτῇι ὡς ἐκ προσώπου εὐσεβείας ἀσέβειαν ἐπενόησας δεινήν. ἐκ πολλῶν γὰρ ἐπαρχιῶν τῶν κατὰ τὴν Ἀνατολὴν γράμματα ἐδεξάμεθα τὰ σημαίνοντα ἡμῖν ὡς ὅτι ἡ σὴ θεοφίλεια τὸ πάλαι σιωπηθὲν Οὐαλεντίνου δόγμα ἀνέλαβε καὶ ἀθετεῖται παρ' ὑμῶν ἡ σωτήριος ἐνανθρώπησις καὶ ὅτι εἰς τὸ Μανιχαίων δόγμα Ἀρείου τε καὶ Ἀπολιναρίου καὶ Παύλου τοῦ Σαμοσατέως περιηνέχθητε. τὸ γὰρ μὴ λέγειν τὸν μονογενῆ υἱὸν καὶ κύριον ἡμῶν
p. 145 Ἰησοῦν Χριστὸν εἶναι τέλειον ἐν θεότητι καὶ τέλειον ἐν ἀνθρωπότητι αὐτόν τε τὸ πάθος τὸ τοῦ σταυροῦ ὑπομεμενηκέναι, ἀλλὰ μίαν φύσιν τοῦ θεοῦ λόγου σεσαρκωμένην ἄψυχόν τε καὶ ἄνουν τὸ τοῦ κυρίου σῶμα τὴν Ἀπολιναρίου αἵρεσιν κρατύνει, μὴ ἐγνωκότος ἐκείνου ὅτι κατ' αὐτὴν τὴν ἔναρξιν τῆς κοσμοποιίας πρῶτον ἡ ψυχὴ τοῦ πρωτοπλάστου καὶ προπάτορος ἡμῶν ἐθανατώθη καὶ εἶθ' οὕτως τὸ σῶμα· ἐλέχθη γὰρ πρὸς αὐτὸν ὑπὸ τοῦ
Gen. 2, 17 θεοῦ ἧι δ' ἂν ἡμέραι φάγηι ἀπὸ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρόν, θανάτωι ἀποθανεῖται· κατὰ οὖν τὴν ἀπόφασιν τὴν ὑπὸ τοῦ θεοῦ κατ' αὐτοῦ ἐπενεχθεῖσαν ἐν ἧι ἡμέραι ἔφαγεν ἀπὸ τοῦ ξύλου, ἐν αὐτῆι ἐθανατώθη ψυχικῶς· ὁ γὰρ τοῦ
Gen. 5, 5 σώματος αὐτοῦ θάνατος γέγονε μετὰ ἐνακόσια καὶ τριάκοντα ἔτη. ὁ τοίνυν θεὸς οὐχ ἡμιτελὲς τὸ δῶρον αὐτοῦ ἐποίησεν, ἀλλ' ὅλον ὁμοῦ τὸν Ἀδὰμ ἐκ μήτρας παρθενικῆς ἀνέλα-
Ioh. 10, 15 βεν, ἵνα καὶ ὅλον τὸν ἀπολωλότα διασώσηι· δι' ὃ καὶ ἔλεγεν ὁ κύριος ἐγὼ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων. κρατύνειν δὲ βούλει καὶ Οὐαλεντίνου καὶ Μαρκίωνος Μανιχαίων τε καὶ Βασιλειδιανῶν, ἔτι μὴν καὶ Ἑλλήνων τὰ θρησκεύματα. εἰ γὰρ θεός ** ὁ ἀποθανὼν διαιρετῶς καὶ οὐσιωδῶς, ὡσαύτως δὲ καὶ τὸ ἅγιον πνεῦμα θεὸς καὶ αὐτὸ διαιρετῶς καὶ οὐσιωδῶς, εὑρεθήσονται ὡς κατὰ τὸν σὸν καὶ τὸν ἐκείνων λόγον τρεῖς θεοί, καὶ διὰ τούτου κρατυνθήσεται τῆς πολυθείας ἡ πλάνη, καὶ ὅσον ἐπὶ σοί, δι-
Deut. 6, 4 εσκέδασται τὸ ἄκουε Ἰσραήλ, κύριος ὁ θεός σου κύριος εἷς ἐστι καὶ ὅπερ ἔλεγεν
Baruch 3, 36 ὁ Ἱερεμίας, οὗτος ὁ θεὸς ἡμῶν· οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν, ὁμοίως
Ioh. 17, 3 δὲ καὶ ὁ κύριος ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν θεόν. καὶ τῆς θείας γραφῆς ἕνα θεὸν τὴν ἁγίαν καὶ ἀδιαίρετον τριάδα κηρυττούσης, σὺ καὶ οἱ πρὸ σοῦ αἱρεσιάρχαι τρεῖς θεοὺς ἐδογματίσατε, ἄλλον μὲν λέγοντες θεὸν τὸν πατέρα παρὰ τὸν υἱὸν καὶ ἕτερον θεὸν τὸν υἱὸν παρὰ τὸν πατέρα καὶ πάλιν ἄλλον θεὸν τὸ πνεῦμα τὸ ἅγιον παρὰ τὸν πατέρα καὶ τὸν υἱὸν καὶ τὸν μὲν θνητὸν καὶ νεογενῆ, τὸν δὲ ἄναρχον καὶ ἀθάνατον.

O [= aerv], I

6 ὅσον τὸ Oe 12 δεινὴν ἐπενόησας Oe 14 κατέλαβε Or 15 μανιχαῖον Oav μανιχαικὸν OrI 18 τὸ om. OeI 19 μὴ — ἐκείνου I ἐκεῖνος γὰρ μὴ ἐγνωκὼς OΛ 20/21 καὶ — ἡμῶν om. I 21 ἡμῶν om. Or ἐλέγχθη Ov 22/23 τοῦ — πονηρόν om. OrI, cf. 24 22 γινώσκοντος Oav 23 ἀποθανῆ I γοῦν Oe τοῦ om. Oe 24 ἢ ἂν I ξύλου τοῦ γινώσκειν [γινώσκοντος Or καλὸν καὶ πονηρὸν OrI 26/27 ἀνέλαβε παρθενικῆς Oe 27 ὅλον τὸν ἀπολωλότα Oarv I ἀπωλολότα ὅλον OeΛ 30 lacunam indicani e. gr. supplendo ὁ πατὴρ διαιρετῶς καὶ οὐσιωδῶς καὶ θεὸς καὶ1 om. Oav 31 εὑρεθήσεται Oer Λ τὸν2] τῶν Orv 32 τοῦτο Oarv 34 ὃ1 om. Oe οὗτος Oaev Λ κσ OrI καὶ οὐ Oav 35 θεόν om. Ov 36 τριάδα καὶ ἀδιαίρετον OrI 37 μὲν OΛ om. I 39 νεογεννῆ Oa ut sol. I

ἐπὶ τούτοις δὲ τοῖς βλαβεροῖς σου ῥήμασι βουλόμενος τὰ ἐναντία φρονεῖν τῶν τε ἐν Νικαίαι ἀθροισθέντων καὶ ἐν τῇι Κωνσταντινουπόλει καὶ ἐν Χαλκηδόνι ἁγίων πατέρων τῶν καὶ τὸ ὁμοούσιον κρατυνάντων καὶ μίαν τὴν θεότητα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος κεκραγότων κατὰ τὴν Ἀρείου φρενοβλάβειαν καὶ σὺ ἐπ' ἐκκλησίας ἐτόλμησας εἰπεῖν ὅτι ὁ εἷς τῆς ἀκτίστου καὶ ἀδιαιρέτου τριάδος τὸ πάθος ὑπέμεινε, καὶ διὰ τούτου ἐδοκίμασας λύειν καὶ τὸ ὁμοούσιον καὶ ἀριθμῶι ὑποβάλλειν τὸ θεῖον. εἰ γὰρ εἷς τῆς ἁγίας τριάδος τῆς ἀκτίστου καὶ συναίδιος ὁ σταυρωθεὶς θεός, τουτέστιν ὁ υἱός, δύο δὲ τῆς τριάδος ὁ πατὴρ καὶ τὸ ἅγιον πνεῦμα, λέγονται δὲ θεοὶ καὶ οὐχὶ κατὰ τὸν εὐθῆ λόγον θεός, καθὼς παραδεδώκασιν ἡμῖν οἱ αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ Lc. 1, 2
λόγου, εὑρεθήσεται [καὶ οὕτως] λυόμενον μὲν τὸ ὁμοούσιον (θνητὸν γὰρ καὶ ἀθάνατον ὁμοούσια εἶναι ἔτι οὐ δύνανται), κρατυνθήσεται δὲ καὶ οὕτως ὁ τῆς πολυθείας λόγος ἐν τῶι τρεῖς θεοὺς τὸν Χριστιανισμὸν καταγγέλλειν. ὁπότε οὖν γέγραπται ὅτι ὁ λόγος Ioh. 1, 14
σὰρξ γέγονε καὶ θεὸς ἦν ὁ λόγος, οὐχ ἕτερος θεὸς ὁ λόγος παρὰ τὸν πατέρα εὑρεθή- Ioh. 1, 1
σεται. λόγος γὰρ οὐχ ἁπλῶς, ἀλλὰ λόγος ἐνυπόστατος καὶ θεὸς ὁ υἱὸς εἴρηται, ἵνα ἐκ τῆς ἡμῶν εὐτελείας γνῶμεν τὸ ταὐτὸν τῆς οὐσίας τοῦ πατρός καὶ τοῦ λόγου καὶ τοῦ πνεύ-
ματος τοῦ ἁγίου. καὶ γὰρ ἡμεῖς οὐχ ἕτεροι παρὰ τὸν ἡμέτερον λόγον εὑρεθησόμεθα. p. 146
ἐπεὶ οὖν καθὸ λόγος, ὁ μονογενὴς τοῦ θεοῦ υἱὸς οὐκ ἠδύνατο εἰς ἰδίαν οὐσίαν παθεῖν, ἵνα μὴ καὶ εἰς τὴν τοῦ παντοκράτορος θεοῦ καὶ πατρὸς τὸ πάθος λογισθῆι (μία γὰρ θεότης πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος), πάσχει τὸ γεγονὸς ἴδιον τοῦ λόγου ἔμψυχον σῶμα, ὅπερ αὐτὸς ὁ τοῦ θεοῦ ἐνυπόστατος λόγος ἐξ αὐτῆς τῆς μήτρας τῆς ἁγίας καὶ ἀπειρογάμου
παρθένου ἑνώσας ἑαυτῶι προῆλθεν ἐκ γυναικός, περὶ ἧς προμυθούμενοι οἱ θεηγόροι ἄνδρες ἔλεγον ὁ θεὸς τῶν δυνάμεων, ἐπίστρεψον δὴ καὶ ἐπίβλεψον ἐξ οὐρανοῦ καὶ Ps. 79, 15. 16
ἴδε καὶ ἐπίσκεψαι τὴν ἄμπελον ταύτην καὶ κατάρτισαι αὐτὴν ἣν ἐφύτευ-
σεν ἡ δεξιά σου, καὶ ἐπὶ υἱὸν ἀνθρώπου ὃν ἐκραταίωσας ἑαυτῶι, ἄμπελον καὶ υἱὸν ἀνθρώπου ὃν ὁ λόγος ἐκραταίωσε συντρῖψαι τὰ τοῦ ἅιδου κλεῖθρα καὶ ζωοποιῆσαι τοὺς ἀπὸ τῶν αἰώνων θανόντας, τὴν σωτήριον τοῦ λόγου ἐνανθρώπησιν καλοῦντες· δι' ὃ καὶ [ὁ κύριος] ἔλεγε τοῖς ἑαυτοῦ μαθηταῖς ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα, Ioh. 15, 5. 1
καὶ ὁ πατήρ μου ὁ γεωργός ἐστι καὶ μέλλει ὁ υἱὸς τοῦ ἀνθρώπου παρα- Mt. 17, 22.
δίδοσθαι εἰς χεῖρας ἁμαρτωλῶν. ὁ γὰρ τοῦ πατρὸς ἐνυπόστατος καὶ θεὸς λόγος 26, 45
δι' ἀκοῆς εἰσπηδήσας τῆς ἁγίας παρθένου μυστικῶς τὴν κυοφορίαν εἰργάσατο. καθὸ τοίνυν ὁ μονογενὴς υἱός ἐστι τοῦ πατρὸς ὁμοούσιος καὶ εἷς τῆς ἀδιαιρέτου τριάδος ἄκτιστός τε καὶ ἀθέατος, μεμενήκει ἀπαθὴς καὶ ἀθάνατος. τὸ οὖν ἄκτιστον καὶ ἀθάνατον τῆι κτίσει μὴ σύναπτε καὶ τὸν τῆς πολυθείας λόγον μὴ κράτυνε διὰ τοῦ λέγειν τεθνάναι τὸν ἕνα τῆς τριάδος. καθὸ δὲ πάλιν ἐκ γυναικὸς ἐγεννήθη καὶ ἔστιν ἡμῖν ὁμογενὴς καὶ ὁμόφυλος καὶ ὁμοούσιος ἄνευ ἁμαρτίας, τὸ πάθος ὑπέμεινεν. ὅτι δὲ οὐ μόνον ὁμοούσιος ἡμῖν ὁ υἱὸς τὸ κατὰ σάρκα, ἀλλὰ καὶ συγγενής, διδάσκει αὐτὸς ὁ κύριος ἐν τῶι λέγειν ποτὲ μὲν ἐν εὐαγ-
γελίοις τοῖς εἰς αὐτὸν πιστεύσασιν ἐγὼ ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα, ποτὲ δὲ καὶ Ioh. 15, 5

O [= acrv], I

1 τοῖς — βουλόμενος] καὶ I ῥήμασι — ἐναντία om. Or φρονῶν I 3 κρατυνόντων Oacv 4 κατὰ Oarv I καὶ OeΛ φρενοβλάβειαν καταισχυνόντων OeΛ 4/5 ἐτόλμησας εἰπεῖν ἐπ' ἐκκλ. OrI 4 ἐκκλησία Oarv 5 τοῦτο Oarv 7 συναιδίου I 8 θς̄ λόγος OrI 10 καὶ οὕτως OrI δὲ [δὴ Oe] καὶ οὕτως Oacv delui ἀθάνατα Oav 11 ἔτι εἶναι Oe καὶ om. I 12 τὸν χριστιανισμὸν I χριστιανισμῶ ΟΛ ὅτι] καὶ Oa 14 γὰρ I om. ΟΛ εἴρηται Oarv I εὑρεθήσεται OeΛ 15/16 τοῦ ἁγίου πνεύματος Oe 18 καὶ I om. ΟΛ 19 πάσχει δὲ OacvΛ 21 παρθένου om. OrI προμηθούμενοι Oervl θεογόροι Ov 24 σεαυτῶ I 26 θανέντας Or καλοῦντεσ I καλῶν ΟΛ 27 ὁ κς̄ OeIΛ ὁ θς̄ Orv ὁ χς̄ Oa, delcui ἡμεῖσ Or 29 ἀνῶν ἁμαρτωλῶν Oe 31 ἄκτιστος] ἀθάνατοσ Ov 32 ἀθάνατοσ OacvI ἀθέατοσ Or 33 σύναπτε Oav σύνταττε OervI τοῦ OrI τὸ Oacv 34/35 ὁμοούσιοσ καὶ ὁμογενὴσ καὶ ὁμόφυλοσ Oe 34 ὁ μονογενὴσ I 37 πιστεύουσιν OrI

Ps. 21, 23 ἐν ψαλμοῖς ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου. πόθεν δέ σοι καὶ ἡ τοσαύτη κακίστη ἔννοια ὑπεισῆλθεν, ὥστε σεαυτὸν καὶ τῶν ἁγίων ἀγγέλων εὐσυνετώ-
Phil. 3, 19 τερον καὶ σοφώτερον λογίσασθαι; ἐν τούτοις κλαίω, ἐν τούτοις ὀδύρομαι τοὺς ἐχθροὺς τοῦ σταυροῦ τοῦ Χριστοῦ, ὧν τὸ τέλος ἀπώλεια, ὧν ὁ θεὸς ἡ κοιλία καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν. οὐκ ἐνενόησας ὅτι τὸ σκανδαλίσαι
Mt. 18, 6 καὶ μόνον ἕνα τῶν πιστευόντων εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀφόρητον ἔχει τὴν ἀγανάκτησιν, ἀλλ' οὕτως ἀπαραφυλάκτως, καθάπερ ὁ ὄφις τῇ Εὔαι, καὶ αὐτὸς τὸν ἰὸν τῆς ἀπάτης τῷ πλήθει τῶν πιστῶν ταῖς ἀκοαῖς ἐπέχεας καὶ τὸν παραδοθέντα ἡμῖν ὑπ' ἀγγέλων τρισάγιον αἶνον ἐνόθευσας ἐνθέμενος ἐν αὐτῷ ὁ σταυρωθεὶς δι' ἡμᾶς; ἆρα οὐκ ἐνενόησας ἀσεβέστερον σαυτὸν ὁριζόμενος Παύλου τοῦ Σαμοσατέως καὶ Φωτεινοῦ καὶ
10 Ἀρτεμᾶ τῶν δύο υἱοὺς τοῦ θεοῦ ὁρισαμένων, ἕνα προαιώνιον καὶ ἕνα νεογενῆ, ὅτι καὶ σὺ πλεονασμὸν τῇ τριάδι ἐνέθου δύο υἱοὺς τοῦ θεοῦ εἰπών, ἕνα ἰσχυρὸν καὶ ἕνα τὸν σταυρωθέντα; ἐπὶ τούτοις δὲ καὶ εἰς ἔννοιαν οἰέσαι ἄγειν τὸ πιστότατον Χριστοῦ ποίμνιον ὡς ὅτι κατὰ τὸν Μανῆ λόγον τὸ ἅγιον πνεῦμα ἐσταυρώθη. μετὰ γὰρ τὸ εἰπεῖν ἅγιος
15 ἀθάνατος, ὅπερ ἐστὶ τὸ πνεῦμα τὸ ἅγιον, τότε ἐπάγεις ὁ σταυρωθεὶς δι' ἡμᾶς, ἐλέησον ἡμᾶς, καὶ τετράδα, οὐ τριάδα εὑρίσκῃ τὸν λαὸν ἐκδιδάσκων. καὶ εἰ μὲν ἐξ ἀνθρωπίνης παραδόσεως ὑπῆρχεν ὁ αἶνος, καὶ οὕτως μετὰ παραφυλακῆς ἂν τὸν σταυρὸν ἐν τῷ τρισ-
p. 147 αγίῳ παρέθηκας, ἔνθα ἡ τοῦ υἱοῦ προσηγορία, ἥτις ἐν τῷ τρισαγίῳ ἰσχυρὸς εἴρηται· ὁπότε δὲ ὑπ' ἀγγέλων ὁ τρισάγιος οὗτος αἶνος ἡμῖν ἐξεδόθη, οἵτινες πρὸ μὲν τοῦ σταυροῦ
Ies. 6, 3 ἔλεγον ἅγιος ἅγιος ἅγιος, ὡς ἠξιώθη Ἡσαΐας θεάσασθαι, μετὰ δὲ τὸν σταυρὸν ὑμνολόγουν
20 ἅγιος ὁ θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ὥσπερ ὁ κομιδῇ νήπιος παῖς σειομένης τῆς Κωνσταντινουπόλεως καὶ τοῦ λαοῦ ἐν τῷ Κάμπῳ ἱκετεύοντος ἡρπάγη εἰς τὸν αἰθέρα ὡς ἐπὶ ὥραν μίαν τοῦ ὅλου πλήθους θεωροῦντος καὶ Πρόκλου τοῦ τῆς πόλεως ἐπισκόπου, κἀκεῖ μεμαθηκὼς τὸν αἶνον καὶ πάλιν κατενεχθεὶς ἀπήγγειλεν ἅπερ ἐδιδάχθη ἐν τῷ αἰθέρι, εἰπὼν ἐξ οὐρανῶν ὡς ὑπὸ πλήθους πολλοῦ φέρεσθαι εἰς τὰ ὦτα αὐτοῦ ταύτην τὴν ὑμνωι-
25 δίαν καὶ ὅτι ἐρρέθη αὐτῷ ἐξειπεῖν τῷ λαῷ τὴν τοιαύτην ὑμνολογίαν. ἧς ἐναρξάμενοι οἱ λαοὶ τὴν πόλιν κατέλαβον καὶ τὸν θεὸν διὰ τῆς τοιαύτης ὑμνωιδίας ἐξευμενισάμενοι ἐλυτρώθησαν τῆς ἐπικειμένης ὀργῆς. σὺ δὲ ἀφειδῶς κατετόλμησας, ὡς τὰς λοιπὰς θείας γραφάς, καὶ τὴν τῶν ἀγγέλων ὑμνωιδίαν διαστρέψαι. τίς οὖν οὐ μὴ θρηνήσῃ ἐν τούτοις; τίς οὐ μὴ στενάξῃ; ὁποῖον δὲ ἄλγος κατὰ τὸ ἄλγος τῆς τοῦ κυρίου καὶ σωτῆρος
30 ἡμῶν Χριστοῦ ἐκκλησίας εὑρεθήσεται; θεωρεῖ σε τὸν ταχθέντα φῶς εἶναι τῶν ἐν σκότει καὶ παιδευτὴν τῶν ἀφρόνων μᾶλλον ἀφροσύνης διδάσκαλον καὶ τὸ φῶς εἰς σκότος μεταποιοῦντα, θεωρεῖ σε τοὺς λαοὺς τοὺς ἅπαξ φωτισθέντας καὶ καλὰ γευσαμένους θεοῦ ῥητά, θεοῦ ἐντάλματα, θεοῦ προφητικὰ προρρήματα, θεοῦ ἀποστολικὰ καὶ εὐαγγελικὰ διδάγματα μᾶλλον ὑπὸ σοῦ διαστρεφομένους καὶ ἐκδιδασκομένους μὴ μόνον ἀνασταυροῦν τὸν
35 υἱὸν τοῦ θεοῦ καὶ παραδειγματίζειν, ἀλλὰ καὶ ἐναντία φρονεῖν τῶν θείων γραφῶν, ἀπαρνή-

---

O [- aerv], I

1 σοι $O^{aev}\Lambda$ σε I om. O^{r} 2 τοιαύτη I κάκιστοσ O^{av} ἐπεισῆλθεν O^{e} 2/3 συνετώτερον I 4 καὶ ὧν O^{e} ὁ om. O^{av} 5 οὐκ ἂν O^{e} 8 τοῦ πλήθουσ I ἐπέχεεσ O^{a} ἐπέχεισ O^{v} 9 ὕμνον I 10 σεαυτὸν O^{e} 13 οἰεῖ O^{e} 14 μανῆ O^{av} τοῦ μάνεντοσ O^{er}I 15 τότε om. I ἐπάγει O^{e} 17 καὶ om. I οὗτοσ O^{v}I 17/18 ἐν τῷ τρισαγίω τὸν στρὸν O^{r}I 18 ἔθηκασ O^{r}I ἰσχυρὸσ ἐν τῷ τρισαγίω O^{e} 19 αἶνοσ οὗτοσ O^{e} 21 ὁ² om. O^{aev} 22 οὐρανὸν O^{e} 23 τοῦ² om. O^{av} 23/24 ἅπερ — αἰθέρι ἀπήγγειλεν O^{a} 25 οὐρανοῦ $O^{e}\Lambda$ καὶ ὡς I ἀπὸ I 26 ἐρρήθη O^{r}I εἰπεῖν O^{e} ταύτην τήν O^{r}I 29 μὴ om. O^{e} θρηνήσει O^{e}I 30 μὴ om. O^{e} στενάξει O^{e}I 31. 33 θεωρεῖ σε $O^{aev}\Lambda$ θεωρῆσαι O^{r}I 31 τῶ σκότει O^{e} 33 καλὰ — ῥητὰ O^{av} καλὸν — ῥῆμα O^{r} καλῶν — ῥημάτων O^{e}I 34 ἐνταλμάτων O^{e}I θεοῦ² om. I προφητικῶν προρρήσεων O^{e} om. I 34/35 ἀποστολικῶν καὶ εὐαγγελικῶν διδαγμάτων O^{e}I 35 διδασκομένουσ O^{e} ἀνασταυροῦντασ O^{a} ἀνασταυροῦντα O^{v} 36 παραδειγματίζοντασ O^{a} παραδειγματίζοντα O^{v} φρονοῦντα O^{v} γραφῶν διδάσκονται O^{a} γραφῶν διδάσκοντα τὲ O^{v}

σασθαι δὲ καὶ τὰς συνθήκας ἃς συνέθεντο αὐτοὶ προσιόντες τῶι ἁγίωι βαπτίσματι. συνθέμενοι γὰρ ἐπὶ πάντων τῶν χερουβικῶν δυνάμεων καὶ τῶν προφητικῶν καὶ ἀποστολικῶν ταγμάτων ἐν τῶι τοῦ ἁγίου βαπτίσματος καιρῶι πιστεύειν εἰς ἕνα θεὸν πατέρα παντοκράτορα, νῦν εἰς θεοὺς τρεῖς πιστεύειν αὐτοὺς ἐξεπαίδευσας. πάλιν συνθεμένων πιστεύειν εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ τὸν σαρκωθέντα καὶ ἐνανθρωπήσαντα ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου, σὺ ἐκδιδάσκεις αὐτοὺς μὴ λέγειν τὸν κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ τὸν σταυρὸν ὑπομεμενηκέναι, ὃς ἐστι θεὸς κατὰ τὴν ἐκ θεοῦ πατρὸς προαιώνιον καὶ ἀπαθῆ γέννησιν καὶ ἄνθρωπος ὁ αὐτὸς κατὰ τὴν ἐπ' ἐσχάτων ἐκ γυναικὸς γέννησιν, καθ' ἣν καὶ τὸ πάθος ὑπέμεινεν, ἀλλ' ὅτι ὁ εἷς τῆς τριάδος ἀπέθανεν, ὃς ἐστιν αὐτὸς ὁ θεὸς λόγος. ὡμολόγησαν πάλιν τὸ ἅγιον πνεῦμα ζωοποιὸν καὶ ἀθάνατον, εἰπόντες πιστεύειν εἰς τὸ πνεῦμα τὸ ἅγιον τὸ κύριον καὶ ζωοποιόν· καὶ σὺ θνητὸν ὑποτίθεσαι εἶναι τὸ πνεῦμα τὸ ἅγιον διὰ τοῦ λέγειν ἅγιος ἀθάνατος ὁ σταυρωθεὶς δι' ἡμᾶς. ἀπόφυγε, παρακαλῶ, τὴν τοιαύτην πλάνην· ἔπεσες, μὴ ἐπιμείνηις τῶι πτώματι· ἥμαρτες, μηκέτι ἁμάρτανε· ἀναμένει σε ἡ ἁγία τοῦ θεοῦ ἐκκλησία περιπτύξασθαί σε μετανοοῦντα ἐπὶ τοῖς ματαίοις σου προβλήμασι καὶ σὺν αὐτῆι θεολογοῦντα τὸν Χριστὸν καὶ μὴ ἀπαρνούμενον τὴν αὐτοῦ ἔμψυχον ἐνανθρώπησιν, καθ' ἣν καὶ τὸ πάθος ὑπομεῖναι λέγεται, καὶ βοᾶι σοι δι' ἡμῶν δεῦτε πρός με πάντες οἱ κοπιῶντες κἀγὼ Mt. 11, 28
ἀναπαύσω ὑμᾶς· οὐ βούλεται ὁ θεός, ἀδελφὲ τιμιώτατε, τὸν θάνατον τοῦ ἁμαρτωλοῦ Ezech. 33, 11
ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. μνημόνευε Ἰησοῦν Χριστὸν ἐγηγερμένον ἐκ νεκρῶν κατὰ 19
τὸ εὐαγγέλιον, μνημόνευε τοῦ μακαρίου Ματθαίου γράφοντος βίβλος γενέσεως Ἰησοῦ Mt. 1, 1
Χριστοῦ υἱοῦ Δαυὶδ υἱοῦ Ἀβραάμ, μνημόνευε Παύλου ἐπιστέλλοντος ἀφωρισ- p. 148
μένος εἰς εὐαγγέλιον θεοῦ, ὃ προεπηγγείλατο αὐτὸς ὁ θεὸς ἐν γραφαῖς ἁγί- Rom. 1, 1
αις περὶ τοῦ υἱοῦ αὐτοῦ τοῦ γενομένου ἐκ σπέρματος Δαυὶδ κατὰ σάρκα,
τοῦ ὁρισθέντος υἱοῦ θεοῦ, μνημόνευε καὶ Ἰωάννου βοῶντος ἐν ἀρχῆι ἦν ὁ λόγος Ioh. 1, 1
καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν, ὡς καὶ ἔστι, καὶ θεὸς ἦν ὁ λόγος καὶ ὅτι σὰρξ 25
γέγονεν ἐνανθρωπήσας καὶ ὅτι θεὸν οὐδεὶς ἑώρακε πώποτε. ταῦτά σοι γεγρά- Ioh. 1, 14. 18
φηκα ἅμα τῆι συνούσηι μοι ἁγίαι συνόδωι, παρεγγυώμενός σε ἐνώπιον τοῦ θεοῦ καὶ τῶν ἁγίων ἀγγέλων ἵνα ταῦτα διδάσκηις καὶ ταῦτα φρονῆις μεθ' ἡμῶν, ἵνα ἀνόθευτος ἡ πίστις ἡμῶν διαμείνηι εἰς δόξαν θεοῦ.

X

Ἴσα γραμμάτων ἀποσταλέντων Ζήνωνι βασιλεῖ παρὰ Φίληκος ἐπισκόπου Ῥώμης, ἐν οἷς σημαίνει Πέτρου ἐπισκόπου Ἀντιοχείας τὴν καθαίρεσιν, διότι ἐν τῶι τρισαγίωι ἐνέθετο τὸ ὁ σταυρωθεὶς δι' ἡμᾶς

Τῶι ἐνδοξοτάτωι καὶ γαληνοτάτωι υἱῶι Ζήνωνι αὐγούστωι Φίληξ ἐπίσκοπος ἐν κυρίωι χαίρειν. Πρέπει τῆι σῆι φιλανθρωπίαι ταῦτα ἃ πρέπει τῆι τῶν πραγμάτων τάξει, ἀπαγγεῖλαι, ἅπερ καὶ ἀνῆκεν ἀπαγγεῖλαι εἰς ἀσφάλειαν τοῦ τῆς σῆς γαληνότητος κράτους. καὶ καθάπερ ἐγγὺς τυγχάνων παρακαλῶ τὴν ἐμὴν ἱκετηρίαν δέξασθαι ταῖς φιλαγάθοις ὑμῶν ἀκοαῖς ὡς Χριστιανικώτατος ὢν βασιλεύς, μηδαμῶς τε ἡ σὴ εὐσέβεια

O [= aerv], I
1 δὲ om. O^{av} συνθεμένους I 2 πασῶν O^{e}I 4 τρεῖσ θεοὺσ O^{e} 5 σταυρωθέντα O^{av} 7 τὸν^{1} — θεοῦ om. I 12 ἀποτίθεσαι O^{v} τὸ ἅγιον πνεῦμα O^{av} 13 ἔπεσασ O^{er} 15 σε om. IΛ 17/18 κἀγὼ — ὑμᾶσ O^{aev} καὶ τὰ ἑξῆσ O^{r}I 19/20 Ἰησοῦν — μνημόνευε om. I 21/22 ἀφωρισμένον O^{arv} 23 λέγων περὶ I 24 θεοῦ om. O^{e}Λ 25 καὶ ὁ λόγος — ὁ λόγος om. I 27 σοι O^{av}
31 ἴσον ἐπιστολῆσ ἀποσταλείσησ O^{e} 32 ἡ O^{ev} τοῦ ἀντιοχείασ ἐπισκόπου O^{v} 33 τὸ O^{r} om. O^{aev}I 36 ἀπαγγεῖλαι τάξει O^{r}I ὠφέλειαν O^{r}I 37 καθάπερ ὡσ O^{erv}

διανοηθείη ἕτερόν τινα μετὰ καθαρᾶς τῆς διανοίας ὑμᾶς ἀγαπᾶν πλὴν ἐκείνου τοῦ βουλομένου σε μετὰ τοῦ θεοῦ τὴν εἰρήνην ἔχειν, ἐπειδήπερ ἐκ πιστῆς ὡρμημένος τῆς διανοίας οὐκ ἀμφισβητεῖς τοῦ προσκαίρου θρόνου τὴν ἐξουσίαν καὶ τῆς αἰωνίου ζωῆς τὴν ἀντίδοσιν ἐκ τῆς ἄνωθεν ροπῆς ἠρτῆσθαι, διά τε τῆς ἡμῶν βραχύτητος δέξασθαι καταξίωσον τὴν σεπτὴν καὶ θεόφραστον ὁμολογίαν τοῦ μακαριωτάτου Πέτρου τοῦ πρωτοστάτου τῶν ἀποστόλων, ὃς καὶ τὰς τῆς βασιλείας κλεῖς ὑπὸ τοῦ σωτῆρος πιστευθεὶς προευτρεπίσει τῇι φιλοχρίστωι ὑμῶν βασιλείαι τὴν ἐν ὑψίστοις μετ' ἀγγέλων διαγωγήν. ὃς καὶ τὴν ἀπαράλλακτον καὶ ἀμώμητον πίστιν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ μονογενῆ τοῦ θεοῦ υἱὸν πρῶτος ἐκθέμενος ἐμακαρίσθη ὑπ' αὐτοῦ τοῦ σωτῆρος. εἰπόντος
Mt. 16, 16—18 γὰρ αὐτοῦ πρὸς τὸν κύριον σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, ἀκήκοε παρ' αὐτοῦ μακάριος εἶ, Σίμων βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς καὶ ἐπὶ ταύτηι τῆι ὁμολογίαι οἰκοδομήσω μου τὴν ἐκκλησίαν καὶ πύλαι ἅιδου οὐ κατισχύσουσιν αὐτῆς. τοῦ οὖν σωτῆρος φήσαντος, ὅτι πύλαι ἅιδου οὐ κατισχύσουσι τῆς αὐτοῦ ἐκκλησίας τοῦ ἐξᾶραι ἀπ' αὐτῆς τὴν αὐτοῦ ἐπωνυμίαν, ἥτις εἴρηται Χριστὸς Ἰησοῦς καὶ θεοῦ τοῦ παντοκράτορος υἱός, Πέτρος ὁ πρωτότοκος υἱὸς τοῦ διαβόλου ὁ ἀναξίως εἰσπηδήσας τῆι Ἀντιοχέων ἁγίαι τοῦ θεοῦ ἐκκλησίαι καὶ μιάνας τὸν τῆς ἀρχιερωσύνης θρόνον Ἰγνατίου τοῦ μάρτυρος, ὃς τῆι δεξιᾶι Πέτρου τὴν ἀρχιερωσύνην ἐδέξατο, καὶ Εὐσταθίου τοῦ ὁμολογητοῦ καὶ προέδρου τῶν τιη ἁγίων πατέρων τῶν ἐν Νικαίαι ἀθροισθέντων λέγειν ἐτόλμησεν ὅτι οὐ δεῖ τὸν Χριστὸν καὶ υἱὸν τοῦ θεοῦ ὀνομάζειν κατὰ τὴν θείαν τοῦ σωτῆρος νομοθεσίαν καὶ τὴν τῶν θείων γραφῶν παράδοσιν καὶ ἔκθεσιν τῶν πατέρων, ἀλλὰ τὸν
p. 140 ἕνα τῆς τριάδος τὸ πάθος τὸ ὑπὲρ ἡμῶν ὑπομεῖναι εἰς τὴν τῆς θεότητος οὐσίαν κατὰ τὴν Ἀρείου καὶ Ἀπολιναρίου καὶ Εὐνομίου παράδοσιν, βουλόμενος διὰ τῆς τοιαύτης φωνῆς ἀθετῆσαι μὲν τὴν σωτήριον ἐνανθρώπησιν καθ' ἣν ὁ Χριστὸς καὶ τὸ πάθος ὑπέμεινε,
Hebr. 2, 16 λέγεται δὲ καὶ εἷς ἐξ ἡμῶν ὡς τοῦ σπέρματος Ἀβραὰμ ἐπιλαβόμενος, ἐπαυξῆσαι δὲ καὶ τὴν πολυθείαν. ὁ γὰρ νοῦς τοῦ λόγου τρεῖς θεοὺς παρεισάγει, ἕνα τεθνεῶτα καὶ δύο ζῶντας, λύει δε καὶ τὸ ὁμοούσιον καὶ τὰς ἁγίας συνόδους ἐξωθεῖται τήν τε ἐν Νικαίαι καὶ ἐν Κωνσταντινουπόλει καὶ ἐν Χαλκηδόνι. ἀλλὰ καὶ τὴν ἁγίαν παρθένον Μαρίαν μὴ προσδεχόμενος εὑρεθήσεται. εἰ γὰρ μὴ ἐξ αὐτῆς σαρκωθεὶς ὁ λόγος ἐνηνθρώπησε, τίς χρεία τῆς παρθένου; διὰ τί δὲ καὶ ὁ Γαβριὴλ ἔλεγε πρὸς αὐτὴν τὸ γεννώμενον
Lc. 1, 35. 32 ἐκ σοῦ ἅγιον κληθήσεται υἱὸς θεοῦ καὶ δώσει αὐτῶι κύριος ὁ θεὸς τὸν θρόνον Δαυὶδ τοῦ πατρὸς αὐτοῦ; ἐπὶ πᾶσι δὲ τούτοις τοῖς ἀσεβέσι καὶ βλασφήμοις αὐτοῦ τολμήμασι καὶ τὴν τρισάγιον λιτὴν νοθεῦσαι βουληθεὶς διὰ τοῦ ἐνθέσθαι ἐν αὐτῆι ὁ σταυρωθεὶς δι' ἡμᾶς μυρία ἄτοπα εἰργάσατο καὶ πολλὰ παρ' ἡμῶν καὶ τῆς ἐν Χριστῶι ἀδελφότητος ἡμῶν τε καὶ τῶν ἐν τῆι Ἀνατολῆι καὶ τοῦ θεοσεβεστάτου ἀρχιεπισκόπου Ἀκακίου τῆς παρ' ὑμῶν βασιλευομένης καὶ φιλοχρίστου πόλεως παραινεθεὶς ἐπιστρέψαι οὐκ ἠβουλήθη. καὶ διὰ τοῦτο νῦν ἡ ἁγία τοῦ θεοῦ ἐκκλησία ταῖς μητρικαῖς σε φωναῖς ὡς [πρὸς] τὸν ἔξοχον αὐτῆς υἱὸν προσφθεγγομένη οὐ παύεται· ὦ φιλόχριστε βασιλεῦ, τῆς ἐμῆς τιμιότητος τὸν δεσμὸν ἐν ὧι περισφίγγονται τὰ πλήθη τῶν πιστῶν, μὴ συγχωρήσηις διαλυθῆναι· τὴν τοῦ δεσπότου Χριστοῦ καὶ μονογενοῦς υἱοῦ τοῦ θεοῦ ἐπωνυμίαν μὴ συγχωρήσηις παραβαθῆναι· τὴν τρισάγιον ὑμνωιδίαν, ἥτις καὶ τὴν ὑμετέραν πόλιν διέσωσε κινδυνεύουσαν, ὡς ἀγγέλων παράδοσιν ἀνόθευτον διαφύλαξον· Πέτρον τὸν τῆι

O [= aerv], I

1 ἡμᾶσ O^a corr., $O^rΛ$ 2 τοῦ om. O^eI 8 ἀπαράλλακτον $O^{er}IΛ$ ἀπαράβλητον O^a ἀπαράκλητον O^v 10 αὐτοῦ om. I 12/13 ταύτη μου O^r 15 ις χς O^{av} τοῦ om. O^a καὶ τοῦ O^v 17 εἰσ τὴν — ἁγίαν — ἐκκλησίαν O^{av} 22 τὸ^2 om. O^e 23 τοῦ ἀρείου O^rI 29 ὁ λόγοσ σαρκωθεισ O^rI 33 τρισαγίαν O^v 37 σε $O^eΛ$ σοῦ $O^{av}I$ αὐτῆσ O^rI 38 πρὸσ τὸν ἔξοχον $O^{er}IΛ$ τὸν προσέξοχον O^{av} πρὸσ deleni φθεγγομένη O^rI 41 παραβασθῆναι O^r

Ἀρειανικῆι θρησκείαι ἑπακολουθήσαντα τῆς τῶν Ἀντιοχέων ἐκκλησίας ἀπέλασον. τίνος ἕνεκεν Πέτρος τὴν ἐμὴν πίστιν ἀθετήσας ῥηγνύει τοῦ κόσμου τὴν σύνεσιν; τίνος ἕνεκεν Πέτρος ῥηγνύει τὸν χιτῶνά μου τὸν ἄνωθεν ὑφαντόν; ὁ θεὸς καὶ πατὴρ ἐνε- Ioh. 19, 23
τείλατο τῶι κορυφαίωι τί δέοι καλεῖσθαι τὸν αὐτοῦ υἱόν· ὁ μονογενὴς υἱὸς ἐν τῆι ὁμο- Mt. 16, 17. 18
λογίαι τοῦ κορυφαίου τῶν ἀποστόλων ἐθεμελίωσέ με· τὸ ἅγιον πνεῦμα ἐφ' ἑκάστης
διαμαρτύρεταί μοι λέγον, μὴ κρίνηις εἰδέναι τι εἰ μὴ Ἰησοῦν Χριστὸν καὶ τοῦτον 1 Cor. 2, 2
ἐσταυρωμένον. οἱ ἐχθροί, οἱ ἀπειθεῖς, οἱ ἐπίβουλοι, οἱ ἔξω τοῦ ἀμπελῶνος τὸν
μονογενῆ τοῦ θεοῦ υἱὸν σφαγιάσαντες καὶ λιθοβολήσαντες καὶ τῶι ξύλωι τοῦ σταυροῦ
προσπήξαντες οὐ διεῖλον τὸν αὐτοῦ χιτῶνα, καὶ Πέτρος τῆς πίστεώς μου τὸν χιτῶνα Mt. 21, 33
διαρρήσσει; αἱ τοῦ ἅιδου πύλαι οὐκ ἴσχυσαν κατ' ἐμοῦ, καὶ Πέτρος πειρᾶται τὸ τεῖχός Mt. 16, 18
μου καταβάλαι; ἐγώ, εὐσεβέστατε βασιλεῦ, ὠθισθέντα σε τῆς βασιλείας αὖθις ἐπαν- 11
ήγαγον καὶ τοὺς πονηροὺς καὶ ἀπειθεῖς τῶν ἐν ἐμοὶ θείων δογμάτων δέδωκα ἀντὶ τῆς Ies. 53, 9
ταφῆς σου δυνάμεώς τε ὁδὸν ἠνέωιξα ἔμπροσθέν σου· τοὺς σοὺς ἐχθροὺς καταβέβληκα
μετὰ τοῦ ἀθεμίτου αὐτῶν δόγματος· τὸ ἀρχαῖον κράτος ἐξητησάμην σοι παρὰ τοῦ ἐν
ὑψίστοις βασιλεύοντος θεοῦ, ἐξ οὗ καὶ τὸ βασιλεύειν εἴληφας. ἀπόβλεψον εἰς τὸν 15
προηγησάμενόν σου εὐσεβέστατον βασιλέα Μαρκιανὸν καὶ τὴν ἐκείνου πίστιν ἀσμένως
ἀσπάζου· τὴν αἱρετικὴν Πέτρου τυραννίδα διὰ τάχους ἐκρίζωσον· τὸν Οὐαλεντίνου καὶ
Εὐτυχέος μαθητὴν ἀποδίωξον τῆς ἀκροπόλεως καὶ τῆς ἐκκλησιαστικῆς διοικήσεως, ἅμα
τοῦ ἱερατικοῦ ἀξιώματος κατενεχθῆναι θεσπίσατε. θεώρησον, ὦ γνησιώτατε υἱὲ καὶ
ἀήττητε βασιλεῦ, ὁποία τῆι ἐν Χαλκηδόνι συνόδωι ἀναμφισβήτητος ἐκδίκησις γέγονε, 20
καὶ τοὺς οὓς πολεμεῖ, ἐκδίκησον καὶ τῆς αἱρετικῆς διδασκαλίας Πέτρου τοὺς δήμους ἐκ-
λύτρωσον.' ταῦτα πρεσβεύει ἡ ἁγία τοῦ θεοῦ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία,
ἵνα τὸν ὑπ' αὐτῆς καθαιρεθέντα διὰ τὰς εἰρημένας αἰτίας εἰς κοινωνίαν τοῦ λοιποῦ μὴ
προσδέξησθε, ἀλλὰ διὰ θείων ὑμῶν συλλαβῶν τῆς Ἀντιοχέων πόλεως ὑπερόριον γενέσθαι
παρασκευάσητε, ἀντ' αὐτοῦ δὲ καταστῆσαι ἄνδρα ἔργοις τὴν ἱερωσύνην κοσμοῦντα 25
φύλακά τε ἀκριβῆ τῆς ἐν Χαλκηδόνι ἁγίας συνόδου καὶ τῶν ἐν αὐτῆι βεβαιωθέντων.

Ὁ παντακράτωρ θεὸς διαφυλάξει τὸ ὑμέτερον κράτος ἐν εἰρήνηι διὰ παντός.

51 Τάδε ἔνεστιν ἐν τῆι παρούσηι βίβλωι M VIII 874

ᾱ Τὰ κατὰ Σεβήρου Ζωόρα καὶ Πέτρου καὶ Ἀνθίμου πεπραγμένα παρὰ Μηνᾶι πατριάρχηι Κωνσταντινουπόλεως ἐν οἷς φέρονται 30

β̄ Λίβελλος τῶν ἐν δευτέραι Συρίαι ἐπισκόπων πρὸς Ἰουστινιανὸν βασιλέα

γ̄ Λίβελλος τῶν μοναχῶν τῶν τε ἐνταῦθα μοναστηρίων καὶ τῶν ἐν Ἱεροσολύμοις καὶ τῆι ἐρήμωι καὶ δευτέραι Συρίαι καὶ τῶι ὄρει Σινᾶ καὶ τρισὶ Παλαιστίναις πρὸς τὸν αὐτόν

δ̄ Λίβελλος τῶν αὐτῶν πρὸς τὴν ἐνδημοῦσαν ἐνταῦθα σύνοδον 35

O [= aerv], I [usque ad 27]

2 ἕνεκα Or1 ἕνεκεν ὁ Oav 2/3 τὴν ἐμὴν — Πέτρος om. OeΛ 3 ἕνεκα Or1 ἕνεκεν ὁ Oav μου τὸν χιτῶνα I 4 δέει Oa 7 οἱ 3] καὶ I 8 καὶ λιθοβολήσαντες om. I 10 διαρρήσει I 11 καταβαλεῖν Or1 ὠθησθέντα Oa ὠηθέντα Or αὖθις Oe ταύτης Oarv1 13 ἐχθροὺς σου Oe 14 ἐξαιτησάμην O 17 τοῦ πέτρου Oe 18 εὐτυχοῦς Oe τῆς2 om. Oaev 19 coniecerim θεσπίσας 21 τοὺς οὖς πολεμεῖ I τοῖς οἷσ ἐπολέμει Oe τοῦ σοῦ πολεμίου Oarv ἐκδίκησον I ἐκδίκησις Oarv αἰσχύνη OeΛ 21/22 εὐλύτωσον Oer εὐλήτωσον I 22 ἐκκλησία ἡ καθολικὴ — ἀποστολικὴ Oe 24 ἀντιόχου Oe μεθόριον Oerv 25 καταστῆσαι Oarv1 καταστήσητε OeΛ 27 διαφυλάξοι Oa 29 ᾱ hic om. et ad 31 apponit Oe, unde factum est ut ceteri numeri unitate minuerentur τῆ Oaev σευήρου Oe ut solet καὶ ζωορᾶ Or καὶ1 om. Oe πεπραγμένη Oe 30 πατρίαρ superscripta χ Or πατριάρχου Oaev αἷσ Ov φέρονται ταῦτα Oa 31 β Or δύο Ov 33 καὶ2 τῆ Oe

M VIII 875

ε̄ Ἐπιστολαὶ Ὁρμίσδου πάπα Ῥώμης πρὸς τοὺς ἐν δευτέραι Συρίαι κληρικοὺς καὶ ἀρχιμανδρίτας καὶ λοιποὺς ὀρθοδόξους ἐν οἱωιδήποτε κλίματι τῆς Ἀνατολῆς

ϛ̄ Ἑτέρα ἐπιστολὴ τοῦ αὐτοῦ πρὸς Ἐπιφάνιον ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως

ζ̄ Δέησις κληρικῶν καὶ μοναχῶν Ἀντιοχείας πρὸς Ἰωάννην ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως καὶ τὴν ἐνδημοῦσαν ἐνταῦθα σύνοδον

η̄ Ἀναφορὰ πρὸς Ἰωάννην ἀρχιεπίσκοπον παρὰ τῆς ἐνδημούσης συνόδου

θ̄ Λίβελλος παρὰ τῶν ἀρχιμανδριτῶν Κωνσταντινουπόλεως πρὸς τὴν ἐνδημοῦσαν σύνοδον, ὥιτινι συνέζευκται καὶ πότε καὶ πῶς ἐκηρύχθησαν αἱ δ̄ ἐν τῇι ἐκκλησίαι σύνοδοι

ῑ Ἐπιστολὴ Ἰωάννου πατριάρχου πρὸς Ἰωάννην τὸν Ἱεροσολύμων

ιᾱ Ἑτέρα ἐπιστολὴ τοῦ αὐτοῦ πατριάρχου πρὸς Ἐπιφάνιον ἐπίσκοπον Τύρου

ιβ̄ Ἀντίγραφα Ἰωάννου Ἱεροσολύμων καὶ τῶν ὑπ' αὐτὸν ἐπισκόπων πρὸς Ἰωάννην τὸν Κωνσταντινουπόλεως

ιγ̄ Ἐπιστολὴ Ἐπιφανίου ἐπισκόπου Τύρου καὶ τῶν ὑπ' αὐτὸν ἐπισκόπων πρὸς τὴν ἐνδημοῦσαν ἐν Κωνσταντινουπόλει σύνοδον καὶ ἐκβοήσεις τοῦ ἐν Τύρωι πιστοῦ πλήθους καὶ ἀναθεματισμὸς Σεβήρου καὶ τοῦ φρονήματος αὐτοῦ

ιδ̄ Ἐπιστολὴ τῶν ἐν δευτέραι Συρίαι ἐπισκόπων πρὸς Ἰωάννην πατριάρχην καὶ τὴν ἐνδημοῦσαν σύνοδον

ιε̄ Πρᾶξις συστᾶσα παρὰ τῶι τῆς ἐπαρχίας ἄρχοντι κατὰ Πέτρου τοῦ Ἀπαμείας

ις̄ Ἑτέρα πρᾶξις παρὰ τῶι αὐτῶι

ιζ̄ Λίβελλοι ἐπιδοθέντες παρὰ τῶν μοναχῶν Ἀπαμείας τοῖς ἐπισκόποις δευτέρας Συρίας κατὰ Σεβήρου καὶ Πέτρου τοῦ Ἀπαμείας

ιη̄ Ψῆφος τῶν ἀπὸ τῆς Ἰταλίας ὄντων ἐνταῦθα κατὰ Σεβήρου καὶ Πέτρου

ιθ̄ Ψῆφος Ἐπιφανίου πατριάρχου Κωνσταντινουπόλεως καὶ τῆς ἐνδημούσης ἐνταῦθα συνόδου κατὰ Σεβήρου καὶ Πέτρου

κ̄ Ψῆφος Μηνᾶ πατριάρχου κατὰ Σεβήρου Πέτρου καὶ Ζωόρα

L V 269 M VIII 1158

2 Τάδε ἐνεστιν ἐν τῶι δευτέρωι βιβλίωι τῶν κατὰ Ἀνθίμου πεπραγμένων

Θεία διάταξις Ἰουστινιανοῦ βασιλέως κατὰ Ἀνθίμου Σεβήρου Πέτρου καὶ Ζωόρα πρὸς Πέτρον ἀρχιεπίσκοπον Ἱεροσολύμων

L V 272

Τὰ πεπραγμένα ἐν Ἱεροσολύμοις παρὰ Πέτρωι ἀρχιεπισκόπωι κατὰ Ἀνθίμου, ἐν οἷς ἐμπεφάνισται καὶ τὰ ἐν Κωνσταντινουπόλει παρὰ Μηνᾶι πατριάρχηι περὶ τοῦ αὐτοῦ πραχθέντα ἐν τέτρασι πραξειδίοις· ὧντινων ἐνταγέντων καὶ αὐτὸς Πέτρος ὁ Ἱεροσολύμων τὴν κατ' αὐτοῦ ψῆφον ἐποιήσατο. καὶ ἐν τούτοις δὲ τινὰ κατὰ Σεβήρου καὶ τῶν αὐτοῦ συγγραμμάτων εὑρίσκεται.

3 Ἰστέον ὅτι πρῶτα ἐπράχθη παρὰ Μηνᾶι τῶι πατριάρχηι τὰ κατὰ Ἀνθίμου, ἅπερ καὶ ἐντάξιμα γέγονε τῶν παρὰ Πέτρωι τῶι Ἱεροσολύμων πεπραγμένων. ἡ μὲν γὰρ

O [= aerv]

1 ἐπιστολὴ O^{e} τοὺς om. O^{r} β̄ O^{r} 3 τοῦ αὐτοῦ om. O^{r} 13 αὐτοῦ O^{r} 16 σύνοδον om. O^{v} 17 ἀναθεματισμοὶ O^{aev} σευήρου O^{ev} 18 β O^{r} 20 πέτρου O^{er} σευήρου O^{v} σεβήρου O^{a} 22 δύο O^{rv} 23 σευήρου O^{ev} 24 post 26 coll. O^{aev} σευήρου O^{ev} 25 Ἐπιφανίου — καὶ non bene addita 26 σευήρου O^{ev} 27 σευήρου O^{ev} καὶ πέτρου O^{a} 28 δευτέρωι om. O^{a} 29 praem. ᾱ O^{v} σευήρου O^{ev} 31 praem. ᾱ O^{a} δεύτερον O^{v} Τὰ om. O^{ev} 32 ἐπεμφάνισται O^{r} πατριάρχου O^{aev} παρὰ O^{e} τοῦ om. O^{a} 33 τέσσαρσι O^{e} πραξιδίοις O^{aev} 34 σευήρου O^{ev} 35 εὑρίσκονται O^{r} 36 τὰ om. O^{ar} 37 μὲν om. O^{r}

τελευταία πρᾶξις τῶν κατὰ Ἀνθίμου παρὰ Μηνᾶι γεγονότων, ἔνθα καὶ ἡ ψῆφος ἀνέγνωσται, φέρει τὴν κα τοῦ Μαίου μηνὸς ἰνδικτιῶνος ιδ, εἶτα ὕστερον τῆι δ τοῦ Ἰουνίου μηνὸς a. 536
τῆς αὐτῆς ιδ ἰνδικτιῶνος ἐπράχθη τὰ κατὰ Σεβήρου καὶ Πέτρου καὶ Ζωόρα παρὰ τῶι αὐτῶι Μηνᾶι καὶ διὰ τῶν προκομισθέντων ἐδείχθη ὅτι καὶ πάλαι καὶ πρόπαλαι ἀνεθε- 4
ματίσθησαν. ὁ δὲ νόμος πρὸ ὀκτὼ Εἰδῶν Αὐγούστων ἰνδικτιῶνος ιδ, τὰ δὲ ἐν Ἱεροσολύμοις ἐπ' ἐμφανείαι τῶν κατὰ Ἀνθίμου πραχθέντων συνέστη πρὸ ιγ Καλανδῶν d. 6. m. Aug. a. 536
Ὀκτωβρίων ἰνδικτιῶνος ιε. οὐκοῦν πρώτη ἐστὶν ἡ κατὰ Ἀνθίμου ψῆφος ἐν Κωνσταντινουπόλει, δευτέρα δὲ ἡ ἐν Κωνσταντινουπόλει ψῆφος κατὰ Σεβήρου καὶ Πέτρου καὶ Ζωόρα, τρίτη ἡ διάταξις, τετάρτη δὲ ἡ ἐν Ἱεροσολύμοις πρᾶξις. πάντα δὲ ταῦτα τὰ προειρημένα γέγονε καὶ συνέστη ἐν μησὶ τέτρασι. d. 19. m. Sept. a. 536 10

4 Μετὰ τὴν ὑπατείαν ΦΛ Βελισαρίου τοῦ λαμπροτάτου τῆι πρὸ μιᾶς Νόνων Ἰουνίων ἰνδικτιῶνος ιδ ἐν τῆι φιλοχρίστωι καὶ βασιλευούσηι Κωνσταντινουπόλει Ῥώμηι M VIII 975 d. 4. m. Iun. a. 536

προκαθεζομένου τοῦ δεσπότου ἡμῶν τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου οἰκουμενικοῦ ἀρχιεπισκόπου καὶ πατριάρχου Μηνᾶ ἐν τῶι μεσαύλωι τῶι δυτικῶι τοῦ σεβασμίου οἴκου τῆς ἁγίας δεσποίνης ἡμῶν ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας τοῦ ὄντος 15
πλησίον τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας

καὶ ἐκ μὲν τοῦ δεξιοῦ μέρους συνεδρευόντων αὐτῶι καὶ συνακροωμένων κατὰ εὐσεβῆ κέλευσιν τοῦ φιλοχρίστου καὶ θεοφυλάκτου ἡμῶν βασιλέως Ἰουστινιανοῦ τῶν ὁσιωτάτων καὶ θεοφιλεστάτων ἐπισκόπων

2 Σαβίνου τοῦ Κανουσίου 20
3 Ἐπιφανίου Ἐκλάνων
4 Ἀστερίου τῆς Σαλερνιτῶν
5 Λεοντίου Νολάνων
6 Ῥουστίκου τῆς Φεσουλάνων
7 Θεοφάνους διακόνου Ῥώμης 25
8 Πελαγίου διακόνου Ῥώμης

ὄντων τῶν πάντων ἐκ τῆς Ἰταλῶν χώρας, πρώην μὲν ἀπεσταλμένων ἐκ τῆς ἀποστολικῆς καθέδρας, ὕστερον δὲ συνόντων παραγενομένωι ἐνταῦθα Ἀγαπητῶι τῶι τῆς ἁγίας μνήμης γενομένωι πάπαι τῆς πρεσβυτέρας Ῥώμης

9 Πέτρου τῆς μητροπόλεως Ἰουστινιανουπόλεως τῆς δευτέρας Καππαδοκῶν 30
ἐπαρχίας
10 Ἰωάννου τῆς μητροπόλεως Βοσπόρου
11 Θαλασσίου τῆς μητροπόλεως Βηρυτοῦ

---

de legatis quos Agapetus papa Constantinopolim ad Iustinianum misit, cf. Coll. Auell. ep. 88, quae data est d. 15. m. Oct. a. 535, p. 337, 16. 338, 9

O [= aerv], I [unde a 11]

2 κα] κατὰ O^{v} 3 ιδ om. O^{e} σευήρου O^{ev} 4 αὐτῶι om. O^{r} 6 ἐπ' — πραχθέντων O^{erv} κατὰ ἀνθίμου πραχθέντα O^{a} 7/8 ἐν — σεβήρου [σευήρου O^{e}] O^{aev} κατὰ σεβήρου ψῆφοσ ἐν κωνσταντινουπόλει O^{r} 9 πάντα δὲ O^{arv} καὶ πάντα O^{e} 10 τέσσαρα O^{a} 11 inscr. Βιβλίον δεύτερον τῶν πρακτικῶν τῆσ ἁγίασ καὶ οικουμενικῆσ ε̄ συνόδου κατὰ σευήρου πέτρου ζωώρα καὶ ἀνθίμου πεπραγμένα παρὰ μηνᾶ πατριάρχου κωνσταντινουπόλεωσ I φλαβίου βελισαρίου O^{e}I φλ βελισσαρίου O^{a} φλαβιλισαρίου O^{r} νόννων O^{aev}I 12 κωνσταντινουπόλει νέα ῥώμη O^{a} ῥώμη τῆ κωνσταντινουπόλει O^{e} 13 μακαρίου O^{arv} 15 ὑπεραγίασ O^{a} ἐνδόξου om. I 22. 23 om. O^{r}I 22 σαλερτίνων O^{aev} 24 ῥουστίνου O^{r} 27 τῶν om. O^{a} 28/29 ἐνταῦθα — γενομένωι om. O^{v} 29 τῶι om. O^{r} 30 τυάνων I post 32 coll. p. 28, 2 O^{v}

12 Μεγάλου τῆς μητροπόλεως Βεροίας
13 Ἰωάννου Γαβάλων
14 Χριστοφόρου Πορφυρεῶνος ἐπαρχίας Φοινίκης παράλου
15 Δαβίθου τοῦ Κιρκενσίου
16 Αἰθερίου Μαριάμμης
17 Ἀλεξάνδρου Βαρκουσῶν
18 Δόμνου Μαξιμιανουπόλεως τῆς δευτέρας Παλαιστίνης
19 Ἀνδρέου τοῦ Πανίου
20 Ἐπιτυγχάνου Γέρμης ἐπαρχίας Ἑλλησπόντου
21 Θεοδώρου Γόρδου
22 Εὐσεβίου Καράνων ἐπαρχίας Περσαρμενίας
23 Κυριακοῦ Θεοδοσιουπόλεως ἐπαρχίας Φρυγίας Πακατιανῆς
24 Ἰωάννου Τραιανουπόλεως ἐπαρχίας Φρυγίας Σαλουταρίας
25 Κυριακοῦ Σωφανηνῆς ἐπαρχίας Ἀρμενίας πρώτης
26 Κασσισᾶ τῆς Βελαβιτηνῆς
ἐκ δὲ τοῦ εὐωνύμου μέρους
M VIII 978 27 Ὑπατίου τῆς μητροπόλεως Ἐφέσου
28 Κωνσταντίνου Ἡρακλείας τῆς Εὐρωπαίων μητροπόλεως
29 Εὐσεβίου τῆς μητροπόλεως Κυζίκου
30 Θαλασσίου τῆς μητροπόλεως Νικομηδείας
31 Θεαγένους τῆς μητροπόλεως Συνάδων
32 Βάκχου Ἀντιοχείας τῆς μητροπόλεως Πισσιδίας
33 Ἰλαριανοῦ τῆς μητροπόλεως Πέργης
34 Βοσπορίου τῆς μητροπόλεως Νεοκαισαρείας Πόντου Πολεμωνιακοῦ
35 Παύλου τῆς μητροπόλεως Τυάνων
36 Ἀκακίου τῆς μητροπόλεως Πισινοῦντος
37 Ἐπικτήτου Κλαυδιουπόλεως τῆς μητροπόλεως Ὀνωριάδος
38 Ἡδίστου τῆς μητροπόλεως Κίου
39 Ἀρχελάου Κωρύκου
40 Ἰωάννου Ζωόρων
41 Ἀναστασίου Ἰωτάβης
42 Δομετιανοῦ Ζικχίας
43 Πελαγίου Παρνασσοῦ
44 Ἀβραμίου Κρατίας
45 Ἀλεξάνδρου Κολωνείας
46 Παύλου τοῦ Στεκτορίου
47 Ἀνδρέου Πελτῶν
48 Θεοδώρου Μηροῦ
49 Ἰωάννου Καισαρείας Βιθυνίας
50 Εὐσταθίου Τιβεριουπόλεως

O [= aerv], I

1—15 Μεγάλου — Βελαβιτηνῆς] καὶ τῶν λοιπῶν Or I 1 βερροίασ Oev 3 παραλίου Oe 4 δαυίθου Oa δαίθου Oe κρικενσίου Oe 11 Καράνων scripsi καμάρων Oav κανάρων Oe ἐπάρχου Oav περσαμενίασ Oa 12 καππατιανῆσ Oav 13 Πακατιανῆς siue Καπατιανῆς ceteris locis omnibus 14 σοφανίνησ Oav σοφιανίνησ Oe 18 εὐρωπέων Oev εὐροπέων Or 20—p. 29, 1 Θαλασσίου — Ἑλενουπόλεως] καὶ τῶν λοιπῶν Or I 24/25 Νεοκαισαρείας — μητροπόλεως om. Ov 26 πισσινοῦντοσ Oae 29 κορύκων Oe 32 ζηκχίασ Oev 34 ἀβρααμίου Oe 36 στεκτωρίου Oav 40 τιβριουπόλεωσ Oe

51 καὶ Λεοντίου Ἑλενουπόλεως
συμπαρόντων δὲ αὐτῶι καὶ συνακροωμένων
52—55 Θεοφάνους καὶ Πελαγίου τῶν θεοφιλεστάτων διακόνων τῆς ἀποστολικῆς καθέδρας καὶ Μηνᾶ καὶ Πέτρου τῶν θεοσεβεστάτων νοταρίων καὶ τινῶν εὐλαβεστάτων ὑποδιακόνων καὶ ἐκδίκων καὶ λοιπῶν κληρικῶν τοῦ αὐτοῦ ἀποστολικοῦ θρόνου, οἳ καὶ συνόντες ἐτύγχανον παραγενομένωι ἐνταῦθα Ἀγαπητῶι τῶι τῆς ἁγίας μνήμης γενομένωι πάπαι τῆς πρεσβυτέρας Ῥώμης
56. 57 καὶ Μάγνου πρεσβυτέρου καὶ Ἡρακλείου διακόνου καὶ ἀποκρισιαρίων Ἐφραιμίου τοῦ ὁσιωτάτου πατριάρχου τῆς ἐν Θεουπόλει ἁγιωτάτης ἐκκλησίας
58 Σαβίνου διακόνου τῆς ἁγίας Χριστοῦ τοῦ θεοῦ ἡμῶν Ἀναστάσεως πληροῦντος τὰς ἀποκρίσεις Πέτρου τοῦ ὁσιωτάτου πατριάρχου Ἱεροσολύμων
59 Στεφάνου διακόνου καὶ ἀποκρισιαρίου Σωτηρίχου τοῦ ὁσιωτάτου ἐπισκόπου Καισαρείας τῆς μητροπόλεως Καππαδοκίας πρώτης
60 Γαιανοῦ πρεσβυτέρου καὶ ἀποκρισιαρίου Ἐλπιδίου τοῦ ὁσιωτάτου ἐπισκόπου Ἀγκύρας τῆς μητροπόλεως Γαλατίας πρώτης
61. 62 Διονυσίου καὶ Καλλινίκου διακόνων καὶ ἀποκρισιαρίων Φωτίου τοῦ ὁσιωτάτου ἐπισκόπου τῆς μητροπόλεως Κορίνθου
παρόντος καὶ τοῦ εὐλαβοῦς κλήρου τῆς βασιλευούσης πόλεως

5 Εὐφήμιος ὁ θεοσεβέστατος διάκονος καὶ πριμικήριος νοταρίων εἶπεν· Οἱ κατὰ τήνδε τὴν βασιλίδα πόλιν εὐλαβέστατοι μοναχοὶ καί τινες ἐκ τῆς Θεουπολιτῶν καὶ Ἱεροσολυμιτῶν ὁρμώμενοι δεήσεις προσδεδώκασι τῶι εὐσεβεστάτωι καὶ γαληνοτάτωι ἡμῶν βασιλεῖ καὶ λιβέλλους τῆι ὑμετέραι μακαριότητι. κατὰ κέλευσιν τοίνυν εὐσεβῆ τοῦ θεοφυλάκτου ἡμῶν βασιλέως συνελθούσης τῆς ἁγίας ὑμῶν συνόδου ἑστήκασι πρὸ τοῦ εὐαγοῦς ὑμῶν σηκρήτου ἅμα Θεοδώρωι τῶι περιβλέπτωι ῥαιφερενδαρίωι οἷα παρὰ τοῦ γαληνοτάτου ἡμῶν δεσπότου πρὸς ὑμᾶς ἐσταλμένωι ἐπικομιζόμενοι τὰς ἐπιδοθείσας παρ' αὐτῶν δεήσεις καὶ ἀξιοῦσιν εἰσόδου τυχεῖν· καὶ ὑποβάλλομεν πρὸς τὸ παριστάμενον.

6 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Εἰσίτωσαν Θεόδωρός τε ὁ περίβλεπτος ῥαιφερενδάριος τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως καὶ οἱ εὐλαβεῖς μοναχοί.

7 Καὶ εἰσήλθοσαν Θεόδωρός τε ὁ περίβλεπτος τριβοῦνος νοτάριος καὶ ῥαιφερενδάριος τοῦ θεοφυλάκτου ἡμῶν δεσπότου καὶ Μαριανὸς ὁ θεοφιλέστατος πρεσβύτερος καὶ ἡγούμενος μονῆς Δαλματίου τοῦ τῆς ὁσίας μνήμης καὶ ἔξαρχος καὶ σὺν αὐτῶι οἱ θεοσεβέστατοι πρεσβύτεροι καὶ ἀρχιμανδρῖται καὶ μοναχοὶ οἱ καὶ ὑπογράψαντες τῶι ἐπιδοθέντι παρ' αὐτῶν λιβέλλωι τῶι δεσπότηι ἡμῶν τῶι ἁγιωτάτωι καὶ μακαριωτάτωι οἰκουμενικῶι ἀρχιεπισκόπωι καὶ πατριάρχηι Μηνᾶι. M VIII 979

8 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· Λεγέτω κατὰ πρώτην τάξιν Θεόδωρος ὁ περίβλεπτος τὴν αἰτίαν ἐφ' ἧι παραγέγονε πρὸς ἡμᾶς.

9 Θεόδωρος ὁ περίβλεπτος τριβοῦνος νοτάριος καὶ ῥαιφερενδάριος τοῦ εὐσεβεστάτου ἡμῶν δεσπότου εἶπεν· Οἱ θεοφιλέστατοι ἐπίσκοποι τῆς δευτέρας Σύρων ἐπαρχίας ἀναφορᾶι ἐχρήσαντο περί τινων ἐκκλησιαστικῶν κεφαλαίων πρὸς τὸν εὐσεβέστατον καὶ θειότατον

O [= ae, r (inde a 2), v], I [inde a 2]
1 καὶ — ἑλενουπόλεωσ O^e om. O^{av} 2 δὲ om. O^e 3/4 Θεοφάνους — καὶ¹ om. I 4 θεοφιλεστάτων O^e 5 καὶ¹ om. O^e αὐτοῦ om. I 8 διακόνων O^e καὶ³ om. I 9 ἐνθέου πόλεωσ O^{rv} ἁγίασ O^rI 10 ἡμῶν om. I 15 ἀγγύρασ O^r 18 παρόντοσ δὲ O^e εὐλαβοῦσ O^eI εὐσεβοῦσ O^{aerv} 19 πριμμικήριοσ $O^{aer}I$ πριμμηκήριοσ O^v 20 βασιλεύουσαν O^{ar} 23 ἡμῶν O^{rv} ἡμῶν O^v 24 σεκρέτου O^eI ῥαιφενδαρίω O^vI 25 δεσπότου ἡμῶν O^e ἀποκομιζόμενοι O^e ἐπιδοθείσας om. O^a 27/28 ῥαιφενδάριος O^vI ut solent 28 τοῦ — βασιλέως om. I 29 εἰσήλθοσαν O^rI εἰσῆλθον O^{aev} 29/30 ῥαιφερενδάριοσ τοῦ — δεσπότου τριβοῦνοσ καὶ νοτάριοσ O^e 31 οἱ σὺν αὐτῶ O^e 33 καὶ μακαριωτάτω καὶ O^r 38 Οἱ om. O^e

ἡμῶν δεσπότην, οὐ μὴν ἀλλὰ καὶ οἱ εὐλαβέστατοι ἀρχιμανδρῖται τῶν εὐαγῶν μοναστηρίων ταύτης τῆς βασιλίδος πόλεως καὶ τινὲς τῶν ἐκ τῆς Ἀνατολικῆς διοικήσεως καὶ οἱ ὑπὸ τὰ Ἱεροσόλυμα εὐλαβέστατοι μοναχοὶ δεήσεις ἐπιδεδώκασι τῷι καλλινίκωι ἡμῶν δεσπότηι θεσπίσαι τε κατηξίωσε τὸ αὐτῶν κράτος ταύτας δι' ἐμοῦ ἀποδοθῆναι τῆι ὑμετέραι μακαριότητι καὶ τοῖς ἐκ τῆς πρεσβυτέρας Ῥώμης ὁσιωτάτοις ἀνδράσι καὶ τῆι λοιπῆι ἐνδημούσηι εὐαγεῖ συνόδωι, ἀγαγεῖν δὲ παρ' ὑμᾶς καὶ αὐτοὺς τοὺς τὰς δεήσεις ἐπιδεδωκότας εὐλαβεστάτους ἄνδρας, ἐφ' ὧι ταύταις ἐντυγχάνοντας ὑμᾶς πέρας αὐταῖς ἐπιθεῖναι.

10 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ἀναγινωσκέσθω τὰ παρὰ Θεοδώρου τοῦ περιβλέπτου προισχόμενα.

Καὶ λαβὼν Διόδωρος ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος τὰς δύο δεήσεις, τήν τε ἐκ προσώπου τῶν ἐπισκόπων καὶ τὴν ἐκ προσώπου τῶν μοναχῶν, ἀνέγνω

Λίβελλος ἐπισκόπων τῶι βασιλεῖ Ἰουστινιανῶι

11 Τῶι εὐσεβεστάτωι καὶ γαληνοτάτωι ὅλης τῆς οἰκουμένης μετὰ θεὸν δεσπότηι ΦΛ Ἰουστινιανῶι τῶι φιλοχρίστωι καὶ αἰωνίωι αὐγούστωι καὶ αὐτοκράτορι παρὰ Παύλου
Ps. 125, 3 ἐπισκόπου Ἀπαμείας καὶ τῶν λοιπῶν ἐπισκόπων τῆς δευτέρας Σύρων ἐπαρχίας. Ἐμεγάλυνε καὶ νῦν κύριος τοῦ ποιῆσαι μεθ' ἡμῶν, ἐγενήθημεν εὐφραινόμενοι, καθὼς γέγραπται, εὐσεβέστατε καὶ φιλόχριστε βασιλεῦ. δικαίως γὰρ τὰ δίκαια διώκοντες καὶ τὰ ἀληθῆ καὶ ὀρθόδοξα δόγματα τῶν ἁγίων ἡμῶν πατέρων ὁσημέραι ἀναζητοῦντες καὶ κρατύνοντες κηρύττετε ἐμφανῶς πᾶσι τοῖς ὀρθοδόξοις λαοῖς Χριστὸν τὸν θεὸν ἡμῶν βασιλέα τῶν ἁπάντων καὶ κεφαλὴν τῆς ἐκκλησίας αὐτοῦ τῆς ἁγίας, ἣν τῶι ἰδίωι αἵματι περιεποιήσατο λυτρωσάμενος ἡμᾶς ἐκ θανάτου οὗ ἐπήγαγεν ἡμῖν ὁ ἀλάστωρ διάβολος διὰ τῶν ὑποθηκῶν αὐτοῦ τῶν πονηρῶν, καὶ ἀληθῶς ἔγνωμεν ὅτι ἐμεγάλυνε κύριος τὴν ἱερὰν ὑμῶν καὶ δικαίαν βασιλείαν καὶ πάντας τοὺς ἐναντιουμένους ὑποχειρίους τοῦ κράτους ὑμῶν πεποίηκεν, ὅτι τὴν ἄμωμον καὶ ἁγίαν πίστιν ἐκδικοῦντες τὸν μὲν σῖτον τὸν καθαρόν, τοῦτ' ἐστὶ τὰ ὀρθὰ δόγματα ὡς θυμίαμα προσφέρετε τῆι αὐτοῦ ἀγαθότητι, τὸ δὲ ἄχυρον κατακαίετε πυρὶ ἀσβέστωι, φαμὲν δὴ τοὺς αἱρετικοὺς τοὺς μὴ δεχομένους τὰς ἁγίας τέσσαρας συνόδους ὡς ἕνα ὅρον πίστεως ἀληθοῦς, τήν τε τῶν τιη καὶ τὴν τῶν ρν καὶ τὴν ἐν Ἐφέσωι
M VIII 982 πρώτην καὶ τὴν ἐν Χαλκηδόνι ἁγίαν οἰκουμενικὴν σύνοδον, μεθ' ὧν καὶ τὴν τιμίαν καὶ σε-
cf. t. II 1 p. 365, 15 βασμίαν ἐπιστολὴν τοῦ ἐν ἁγίοις πάπα Λέοντος ἀσπαζόμεθα τὴν ὄντως στήλην ὀρθοδοξίας ὑπάρχουσαν. οἵτινες ἅγιοι ἡμῶν πατέρες πᾶσαν αἱρετικὴν πλάνην καὶ κακοδοξίαν καθελόντες πόρρω τῶν ἁγίων τοῦ θεοῦ ἐκκλησιῶν πεποιήκασι διδάξαντες ἡμᾶς γεγεννῆσθαι μὲν ἀχρόνως ἐκ τοῦ πατρὸς τὸν υἱὸν τοῦ θεοῦ καὶ εἶναι αὐτοῦ ὁμοούσιον κατὰ τὴν θεότητα καὶ τὸ πνεῦμα τὸ ἅγιον πατρὶ καὶ αὐτῶι τῶι υἱῶι συμπροσκυνεῖσθαι καὶ συνδοξάζεσθαι καὶ μίαν εἶναι πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος τὴν οὐσίαν καὶ τὴν θεότητα καὶ ἐν τρισὶν ὑποστάσεσιν, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν τὸν αὐτὸν προαιώνιον υἱὸν τοῦ θεοῦ καὶ θεὸν ἡμῶν σαρκωθῆναί τε καὶ ἐνανθρωπῆσαι καὶ γεννηθῆναι ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς κατὰ ἀλήθειαν θεοτόκου καὶ ἀειπαρθένου καὶ γενέσθαι ἡμῖν ὁμοούσιον καὶ εἶναι τὸν αὐτὸν τέλειον ἐν θεότητι καὶ τέλειον τὸν αὐτὸν ἐν ἀνθρωπότητι, τὰς τῶν δύο φύσεων ἰδιότητας μὴ ἀποβαλλόμενον, ἀλλ' ἐν ἑκατέραι φύσει γνωρι-

O [= acrv]. I
2 ἀνατολῆς Orv οἱ om. Oer τὰ om. OarvI 4 καὶ ταύτας I 6 τε I 7 ταύτας Or ἐπιθῆναι Ov 13 β Oa in mg. φλαβίω OeI om. Oav 15 ἐπαρχίας σύρων Oav 18 ἥρων ἡμῶν Oav 19 κηρύττεται Orv κηρύττομεν lΛ φανερῶς Oe 20 ἐν τῶ Or 21 ἐκ τοῦ I ὃν I 23/24 ὑμῶν τοῦ κράτους OrI 25 προσφέρεται Or 26 πυρὶ ἀσβέστω κατακαίετε Oe κατακαίεται Or 28 ἁγίαν καὶ I 29 ἀσπαζόμεθα om. I 30 οἵτινες οἱ I 32 γεγενῆσθαι Orv, corr. Ov αὐτῶ I 33 αὐτῶι τῶι om. Or 35 καὶ om. I 39 ἀποβαλόμενον I

ζόμενον τὸν αὐτὸν ἐν ἑνὶ προσώπωι καὶ μιᾶι ὑποστάσει ἀσυγχύτως ἀτρέπτως ἀδιαιρέτως, ὡς ἐντεῦθεν τὰ Νεστορίου καὶ Εὐτυχοῦς βδελυρὰ καὶ θεομισῆ δόγματα κατὰ κράτος ἐκβάλλεσθαι καὶ ἐκ ῥιζῶν ἀνασπᾶσθαι τὰ ζιζάνια ἃ ταῖς ὀρθοδόξοις ἐκκλησίαις ἐνέσπειραν. ὅθεν τοῦ μὲν φρενοβλαβοῦς καὶ ἀνθρωπολάτρου Νεστορίου τὴν διαίρεσιν ἀποφεύγοντες ὁμολογοῦμεν ὅπερ ἐκεῖνος ἠρνήσατο, τὴν ἁγίαν ἄχραντον καὶ ἀειπάρθενον μητέρα τοῦ κυρίου καὶ θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ θεοτόκον, Εὐτυχοῦς δὲ τοῦ λήρου καὶ παράφρονος τὸ βδελυρὸν καὶ ἀνόητον δόγμα ἀναθεματίζοντες παντελῶς καὶ ἐξοστρακίζοντες τὴν διαφορὰν τῶν φύσεων ἐπιγινώσκομεν καὶ ὁμολογοῦμεν δύο φύσεις μετὰ τὴν ἕνωσιν ἐν μιᾶι ὑποστάσει ἐν τῶι ἑνὶ Χριστῶι τῶι θεῶι ἡμῶν καὶ οὐχ ὥσπερ οἱ ἀνόητοι Εὐτυχιανισταὶ μετὰ τοῦ διδασκάλου αὐτῶν Εὐτυχοῦς καὶ Διοσκόρου τοῦ δεξαμένου αὐτὸν οὐκ ὀρθῶς πρὸ τῆς ἑνώσεως δύο λέγομεν φύσεις, μίαν δὲ μετὰ τὴν ἕνωσιν. τοῦτο γάρ ἐστιν ἀρνήσασθαι παντελῶς τὴν τοῦ θεοῦ ἡμῶν καὶ σωτῆρος οἰκονομίαν καὶ ἄτρεπτον ἐνανθρώπησιν, ἣν κατεδέξατο διὰ τὴν ἡμετέραν σωτηρίαν. οἱ γὰρ τὰ εἰρημένα βλασφημήσαντες ἀνόητοι καὶ ἀλλότριοι τῆς ὁμολογίας ἧς ὁ κορυφαῖος τῶν ἀποστόλων Πέτρος ὡμολόγησεν εἰπὼν σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος· ἡμεῖς δὲ οἱ τῆς ὑμετέρας ὑπερευχόμενοι Mt. 16, 16 εὐσεβοῦς βασιλείας, τῆς καθαρᾶς πηγῆς τῶν ναμάτων τῆς ὀρθοδοξίας μετέχοντες καὶ μεταδιδόντες τοῖς ὀρθοδόξοις λαοῖς καὶ ταύτηι τῆι πίστει τὴν ὑμετέραν γαληνότητα στεφανουμένην ὁρῶντες καὶ νικῶσαν πάντα ἐχθρὸν καὶ ὑπεναντίον τῆς εὐσεβοῦς ὑμῶν βασιλείας, παρακαλοῦμεν ἀποστραφῆναι τὸν ἐν σκαμβῆι καρδίαι καὶ μὴ ἐξ ὅλης καὶ καθαρᾶς διανοίας δεξάμενον τὰ ὀρθὰ καὶ ἀνεπίληπτα δόγματα τῶν εἰρημένων ἁγίων πατέρων, ἀλλ' ἐν ὑποκρίσει μὲν σχηματισάμενον δέξασθαι τὰς ἁγίας τέσσαρας συνόδους καὶ τὴν ἀοίδιμον ἐπιστολὴν τοῦ ἐν ἁγίοις πάπα Λέοντος διὰ τὸ ἀξιόπιστον τῶν προσώπων, ἔργοις δὲ ἀρνησάμενον καὶ μὴ ὁμολογήσαντα τὴν ἀγαθὴν αὐτῶν πίστιν καὶ ὀρθόδοξον καὶ ἰδικῶς τὰς φωνὰς ἐκείνας δι' ὧν Εὐτυχῆ τὸν παράφρονα τῆς ἐκκλησίας ἐξέτεμον, καὶ ἀπελάσαι τοῦτον τῆς ὑμετέρας εὐσεβοῦς πολιτείας, φαμὲν δὲ Ἄνθιμον. Σεβῆρον δὲ καὶ Πέτρον τοὺς ἀναθεματισθέντας καὶ νῦν ἀποστρεφόμεθα καὶ ἀναθεματίζομεν καὶ ἀλλοτρίους ἔχομεν τῆς τῶν M VIII 983 ὀρθοδόξων κοινωνίας αἱρετικοὺς ὄντας καὶ χαίροντας ἀεὶ τῆι διαιρέσει τῶν ἁγίων τοῦ θεοῦ ἐκκλησιῶν· μεθ' ὧν καὶ τὸν προειρημένον Διόσκορον οὐκ ὀρθῶς, ὡς εἴρηται, δεξάμενον Εὐτυχέα τὸν δυσώνυμον ἀποστρεφόμεθα καὶ ἀναθεματίζομεν. οὕτω γὰρ ἔχοντες καὶ οὕτω φρονοῦντες καὶ τῶι τῆς ὁσίας μνήμης πάπαι καὶ ἀρχιεπισκόπωι τῆς πρεσβυτέρας Ῥώμης Ἀγαπητῶι τῶι ἐπ' εὐεργεσίαι πασῶν τῶν ἐκκλησιῶν καὶ τῆς ὑμετέρας εὐσεβοῦς πολιτείας ἐπιστάντι καὶ ἀξιωθέντι τῶν εὐσεβῶν ὑμῶν ἰχνῶν διὰ μετρίας ἐπιστολῆς περὶ τούτων αὐτῶν ἐγνωρίσαμεν καὶ ὡς ἡγούμεθα, οὐκ ἔφθασε ταύτην ἀπολαβεῖν προσκληθεὶς ὑπὸ Χριστοῦ τοῦ θεοῦ ἡμῶν. ὃν ὁ κύριος μετέστησεν, ἵνα τὸ πλήρωμα τῆς κατορθώσεως τῆι ὑμετέραι φυλάξηι γαληνότητι. ὑμᾶς δὲ ὁ κύριος τῆς δόξης φυλάξοι τοὺς εὐσεβεῖς καὶ ζηλωτὰς καὶ φύλακας τῆς ὀρθοδόξου πίστεως, ἣν παραδεδώκασιν ἡμῖν οἱ προλεχθέντες ἅγιοι ἡμῶν πατέρες, πάσηι τῆι οἰκουμένηι καὶ ταῖς ἁγιωτάταις αὐτοῦ ἐκκλησίαις ἐν εἰρήνηι καὶ εὐφροσύνηι καὶ νίκηι τῆι κατὰ τῶν ἐναντίων προνοουμένους καὶ κυβερνῶντας τὴν ἐγχειρισθεῖσαν ὑμῖν παρὰ τῆς αὐτοῦ ἀγαθότητος βασιλείαν.

O [= aerv], I

1 ἐν om. OrI ἀτρέπτως καὶ IΛ 2 τε καὶ² Oe 6 τοῦ om. Or 7 ἐξοστρακίζοντας Ov 10 διαδεξαμένου I 11 λέγοντες I 15 ὁ om. Oav 16 ὑμεῖς Ov ἡμετέρας Or 16/17 μετέχοντες — ὀρθοδόξοις om. Ov 23 καὶ ὀρθόδοξον πίστιν αὐτῶν [αὐτῶν πίστιν Oavj Oaev 24 ἐξέτεμαν Or ἐξέτεμεν Ov 24/25 ἡμετέρας Oav 25 σευῆρον Oev τὲ Or 27 πολιτείας καὶ κοινωνίας I 30 ἀρχιεπισκόπου Or 32 ἡμῶν Ov διαμετρίσας Ov 35 φυλάξοι OaI φυλάξει Oev φυλάξαι Or 37 πρεσ ἡμῶν Oe

Ὑπογραφαί

1 Παῦλος ἐλέει θεοῦ ἐπίσκοπος τῆς ὑμετέρας Ἀπαμείας ὑπερευχόμενος τῆς εὐσεβοῦς ὑμῶν καὶ θεοφυλάκτου βασιλείας ἐδεήθην

2 Σεβηριανὸς ἐλέει θεοῦ ἐπίσκοπος τῆς ὑμετέρας Ἀρεθούσης ὑπερευχόμενος τῆς εὐσεβοῦς ὑμῶν καὶ θεοφυλάκτου βασιλείας ἐδεήθην

3 Θεόδωρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς ὑμετέρας Βαλανεωτῶν ὑπερευχόμενος τῆς εὐσεβοῦς ὑμῶν καὶ θεοφυλάκτου βασιλείας ἐδεήθην

4 Στέφανος ἐλέει θεοῦ ἐπίσκοπος τῆς ὑμετέρας Λαρίσσης ὑπερευχόμενος τῆς εὐσεβοῦς ὑμῶν καὶ θεοφυλάκτου βασιλείας ἐδεήθην

5 Νόννος ἐλέει θεοῦ ἐπίσκοπος τῆς ὑμετέρας Ῥεφανίας ὑπερευχόμενος τῆς εὐσεβοῦς ὑμῶν καὶ θεοφυλάκτου βασιλείας ἐδεήθην

6 Κυριακὸς ἐλέει θεοῦ ἐπίσκοπος τῆς ὑμετέρας Σελευκοβήλου ὑπερευχόμενος τῆς εὐσεβοῦς ὑμῶν καὶ θεοφυλάκτου βασιλείας ἐδεήθην

7 Σέργιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς ὑμετέρας Ἐπιφανείας ὑπερευχόμενος τῆς εὐσεβοῦς ὑμῶν καὶ θεοφυλάκτου βασιλείας ἐδεήθην.

Λίβελλος τῶν μοναστηρίων

12 Βασιλεῖ θεοφιλεστάτωι καὶ πανευσεβεστάτωι Ἰουστινιανῶι αὐτοκράτορι αὐγούστωι δέησις καὶ ἱκεσία παρὰ Μαριανοῦ ἐλέει θεοῦ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου μονῆς Δαλματίου τοῦ μακαριωτάτου καὶ ἐξάρχου τῶν εὐαγῶν μοναστηρίων τῆσδε τῆς πόλεως καὶ ἀρχιμανδριτῶν τῶν αὐτῶν εὐαγῶν μοναστηρίων καὶ τῶν ἐν αὐτῆι ἐνδημούντων ἀπὸ τῆς ὑπὸ τὰ Ἱεροσόλυμα ἐρήμου ἀρχιμανδριτῶν καὶ μοναχῶν καὶ τῆς δευτέρας Συρίας καὶ τοῦ
Prou. 21, 1 ἁγίου ὄρους Σινᾶ καὶ τῶν τριῶν Παλαιστινῶν. Τὴν ἐν χειρὶ θεοῦ καρδίαν τῆς ὑμετέρας
M VIII 986 εὐσεβείας οὗ δὰν θέλῃι, κλινομένην ὁρῶντες καὶ διὰ τοῦτο τῶν συνεχόντων πραγμάτων τὴν καλλίστην ὑμῶν πολιτείαν προτιμῶσαν καὶ τὴν τῶν ἁγιωτάτων ἐκκλησιῶν εἰρήνην καὶ τῶν πιστῶν λαῶν τὴν ἡσυχίαν, εἰκότως θαρροῦμεν παρενοχλεῖν τῶι θεοφυλάκτωι ὑμῶν κράτει περὶ τῶν κοινῆι πᾶσι Χριστιανοῖς συμφερόντων. διδάσκομεν τοίνυν ὡς εἰσόδου τετυχηκότες πρὸ τούτων φανερῶν ἡμερῶν παρὰ τῆι ὑμετέραι εὐσεβείαι ἐδεήθημεν τῶν εὐσεβῶν ὑμῶν ἰχνῶν τὸν ἐπιδεδομένον παρ' ἡμῶν λίβελλον τῶι ἁγιωτάτωι καὶ μακαριωτάτωι πατριάρχηι Μηνᾶι προσδεχθῆναι καὶ κανονικῶς πραχθῆναι. ἐπεὶ τοίνυν ὑπὲρ τῶν αὐτῶν δεόμεθα, θεσπισάτω ἡ ὑμετέρα φιλόθεος γαληνότης δι' εὐσεβοῦς ὑμῶν κελεύσεως καταπεμπομένης πρὸς τὸν εἰρημένον μακαριώτατον ἄνδρα τὸν εἰρημένον λίβελλον τὸν γενόμενον κατὰ τῶν λυμαινόντων τὴν ἁγίαν τοῦ θεοῦ ἐκκλησίαν, φαμὲν δὴ Σεβήρου καὶ Πέτρου τῶν δυσσεβῶν καὶ τῶν τὰ ὅμοια τούτοις φρονούντων ἀπὸ Εὐτυχοῦς καὶ Διοσκόρου καταγομένων Ἀκεφάλων αἱρετικῶν, ὧν εἷς ἐστιν καὶ ὁ μάλιστα διαταράξας τό γε ἐπ' αὐτῶι τὴν ἁγίαν τοῦ θεοῦ ἐκκλησίαν Ζωόρας τις Σύρος ἀλόγιστος πλήρης πάσης ἀνοίας καὶ μανίας καὶ μηδὲν ἕτερον παρὰ τούτων μαθὼν ἢ ἀναθεματίζειν τοὺς ἁγίους ἡμῶν πατέρας καὶ τοὺς τούτοις κοινωνοῦντας καὶ ἀπαιτεῖν τοὺς πρὸς αὐτὸν παραγινομένους

O [= aerv], I

1 αἱ ὑπογραφαὶ I^{mg} om. O^{av} 2 ἐλέω O^{ev} ἐλαίω O^{a} ελ superscripta ε O^{r} 4 σευηριανός O^{e} ἐλέω [semper] O^{e} ελ superscripta ε O^{r} 5 ὑμῶν om. O^{e} 6—15 ὑπερευχόμενος — ἐδεήθην] σὺν τοῖς λοιποῖς ἐδεήθην O^{r}I 15 καὶ θεοφυλάκτου ὑμῶν O^{av} 17 γ̄ O^{a} in mg. 18 ἐλέω O^{e}I 19/20 τῆσδε τῆς — μοναστηρίων om. O^{v} 19 καὶ^{2} τῶν I 20 εὐαγῶν om. O^{r}IΛ ἐκδημούντων O^{v} 22 τῶν I om. O παλαιστηνῶν O^{e} 23 ἂν O^{av} θέλῃι om. O^{v} 24 ἡμῶν I καὶ^{1} om. O^{e} 26 χριστιανῶν O^{v} 27 τῆ — εὐσεβεία O^{aev}I τὰ ὑμέτερα βασίλεια O^{r} 28 τὸν ἐπιδεδομένον O^{v} 29 μινᾶ O^{r} 32 τοῦ θῦ ἁγίαν O^{av} 32/33 φαμὲν — πέτρου O^{aev} ἤγουν σεβήρου καὶ πέτρου [πέτρου καὶ ζωορᾶ O^{r}] O^{r}I 32 δὲ O^{v} 34 καὶ om. O^{aev} 35 ζωώρασ I 36 μηδενὶ O^{v} 37 ἀπαιτεῖν scripsi ἀπατεῖν O^{r} ἀπατᾶν O^{aev}IΛ παραγενομένουσ O^{arv}

τοῦτο ποιεῖν καὶ παρασυνάγειν καὶ παραβαπτίζειν, ὡς ἐδεήθημεν, προσδεχθῆναι καὶ κανονικῶς τά γε ἐγκείμενα αὐτῶι πέρας δέξασθαι συνιόντων κατὰ ταὐτὸν τοῦ τε εἰρημένου πατριάρχου Μηνᾶ καὶ τῶν ὁσιωτάτων καὶ θεοφιλεστάτων Ῥωμαίων καὶ τῆς ἐνδημούσης κατὰ ταύτην τὴν βασιλίδα πόλιν ἁγίας συνόδου. τούτου γὰρ τυχόντες μειζόνως καὶ ἐπιτεταμένως τὰς ὑπὲρ τῆς ὑμετέρας εὐσεβείας ἱκεσίας ἀναπέμψομεν τῶι φιλανθρώπωι θεῶι ἐφ' ὧι τε δωρηθῆναι ἡμῖν ἐπὶ μηκίστους χρόνους τὸ ὑμέτερον εὐσεβὲς ὄνομα καὶ πρᾶγμα καὶ τὴν ὑμετέραν βασιλείαν φρουρουμένην ὑπὸ τῆς πάντα νοῦν ὑπερεχούσης τοῦ θεοῦ εἰρήνης καὶ ταύτην χορηγοῦσαν ταῖς ἁπανταχοῦ ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις καὶ ἐκποδὼν ποιουμένην τούτων πάντα τὸν μὴ κοινωνοῦντα ταύταις καὶ τῶι ἀποστολικῶι θρόνωι.

Ὑπογραφαί

1 Μαριανὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ ἐν ἁγίοις Δαλματίου καὶ ἔξαρχος τῶν εὐαγῶν μοναστηρίων ταύτης τῆς βασιλίδος πόλεως ὑπογράψας ἐδεήθην: —

2 Ἀγαπητὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Δίου δεηθεὶς ὑπέγραψα: —

3 Ἀγάπιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ τῆς θείας μνήμης Θαλασσίου ὑπογράψας ἐδεήθην: —

4 Ἀλέξανδρος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ ἐν ἁγίοις Ἀβραμίου ὑπογράψας ἐδεήθην: —

5 Θεόδωρος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Ἰὼβ ὑπογράψας ἐδεήθην: —

6 Ἐλευθέριος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος τοῦ ἁγίου μάρτυρος Κυριακοῦ ὑπογράψας ἐδεήθην: —

7 Διόσκορος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος ⟨μονῆς⟩ τῶν Ὀλυβρίου ὑπογράψας ἐδεήθην: —

8 Παῦλος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος τῶν Ῥωμαίων πλησίον τῶν Πατροΐνου ὑπογράψας ἐδεήθην: — M VIII 987

9 Κοσμᾶς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος τοῦ ἁγίου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου τοῦ ἐν τοῖς Στουδίου ὑπογράψας ἐδεήθην: —

10 IVLIANVS MISERICORDIA DEI PRESBYTER ET HEGVMENVS MONASTERII ROMANORVM SVBSCRIPSI ET SVPPLICAVI: —

11 Ἰώαννης ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου ἀποστόλου Θωμᾶ ὑπογράψας ἐδεήθην: —

12 Ἰωάννης ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος τῆς εὐαγοῦς μονῆς τοῦ ἁγίου καὶ ⟨ἐνδόξου⟩ ἀρχαγγέλου Μιχαὴλ ὑπογράψας ἐδεήθην: —

13 Κυριακὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Εὐφημίου ὑπογράψας ἐδεήθην: —

14 Δημήτριος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Φωκᾶ ὑπογράψας ἐδεήθην: —

O [= acerv], I

1 τοῦτο ποιεῖν om. $O^{e}Λ$ εἰσδεχθῆναι $O^{r}I$ 6 δοθῆναι ὑμῖν O^{av} ἡμέτερον O^{v} 10 αἱ ὑπογραφαί O^{a} om. I 11 et semper ἐλέω O^{e} 11/12 δαλμάτου O^{v} 12/13 δεηθεὶσ ὑπέγραψα O^{a} 17 et semper usque ad p. 36, 3 δεηθεὶσ ὑπέγραψα O^{a} 18—p. 38, 12 Ἀλέξανδρος - ἐπέδωκα] καὶ οἱ λοιποὶ $O^{r}I$ 24 μονῆς addidi ex p. 45, 7 ὁλυμβρίου O^{e} 26 τῶν^{2} O^{v} τοῦ O^{av} 27 προΐνου O^{e} 29 τοῦ om. O^{av} 30/31 litteris Latinis uncialibus perscripta O^{e} ὑπογραφὴ ῥωμαικὴ O^{v} om. O^{a} 31 SVBISCRIPSI O^{e} 32/33 om. O^{av} 35 ἐνδόξου suppleui cf. p. 45, 16 38 μονῆς om. O^{e}

15 Θεόδωρος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Τρύφωνος ὑπογράψας ἐδεήθην: --

16 Φωκᾶς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Ἰωνᾶ ὑπογράψας ἐδεήθην: —

17 Στέφανος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Προμώτου ὑπογράψας ἐδεήθην: —

18 Δάδας ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Καιουμᾶ ὑπογράψας ἐδεήθην: --

19 Ἀλέξανδρος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ καλαμίου ὑπογράψας ἐδεήθην: —

20 Στέφανος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Κώνστα ὑπογράψας ἐδεήθην: —

21 Γεννάδιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Κυριακοῦ ὑπογράψας ἐδεήθην: --

22 Κυριακὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Σύρων ὑπογράψας ἐδεήθην: —

23 Ἀττικὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Εὐκρατάδων ὑπογράψας ἐδεήθην: —

24 Κυρίων ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Αἰγυπτίων ὑπογράψας ἐδεήθην: —

25 Θεόδωρος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Μαρωνίου ὑπογράψας ἐδεήθην: —

26 Τιμόθεος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Ἀστερίου ὑπογράψας ἐδεήθην: —

27 Ζώσιμος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Μαξιμίνου ὑπογράψας ἐδεήθην: —

28 Μάρκος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Θεοδώρου ἀπὸ ἐκσκεπτόρων ὑπογράψας ἐδεήθην: —

29 Ἀνδρέας ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς ἁγίας ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας τῆς τῶν Βεσσῶν ὑπογράψας ἐδεήθην: --

30 Διονύσιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Μάρκου ὑπογράψας ἐδεήθην: —

31 Στρατόνικος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου μάρτυρος Δομετίου ὑπογράψας ἐδεήθην: —

32 Μάρκος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου μάρτυρος Κυρίκου ὑπογράψας ἐδεθήην: —

100 33 Ἰωάννης ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Ἰσαακίου ὑπογράψας ἐδεήθην: —

34 Ζώιλος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Θεοδότου ὑπογράψας ἐδεήθην: —

35 Κυριακὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου μάρτυρος Γεωργίου ἐν τῶι Ξηροκέρκωι ὑπογράψας ἐδεήθην: —

O [= aev]

5 τῆσ μονῆσ O^e προμότου O^e 7 μονῆς om. O^e 9 τῆσ μονῆσ O^e τοῦ O^e τῶν O^{av} καλάμου $O^eΛ$ 11 μονῆς om. O^e 17/18 ante 15/16 coll. O^v 29 μονῆς om. O^{av} 29/30 τῆς ἁγίας — Μαρίας τῆς om. $O^eΛ$ 31 διόνυσσοσ O^v 33 μάρτυρος om. O^e 34/35 Δομετίου — μάρτυρος om. O^a 35 μονῆς om. O^v μάρτυρος om. O^e 37 Ἰσαακίου] Θεοδότου O^v 39 Θεοδότου] Ἰσαακίου O^v 41 καὶ om. O^v μάρτυρος om. O^e 42 τῆ O^e ξηροκίρκω O^a

36 Μαρῖνος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Παυλίνου ὑπογράψας ἐδεήθην: –
37 Παῦλος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου Ζηνοβίου ὑπογράψας ἐδεήθην: —
38 Στέφανος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν 'Ολυμπίου ὑπογράψας ἐδεήθην: —
39 'Ιάκωβος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος τῶν 'Αββίβου ὑπογράψας ἐδεήθην: —
40 Πέτρος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς ἐπιλεγομένης 'Ιερουσαλὴμ ὑπογράψας ἐδεήθην: –
41 Παῦλος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Σαμουὴλ κατὰ τὸν Σκύθην ὑπογράψας ἐδεήθην διὰ Ζωτικοῦ διακόνου: —
42 'Ιωάννης ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Θεοδώρου ἐν τῇ πέτραι ὑπογράψας ἐδεήθην: —
43 'Ελευθέριος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Νέωνος ὑπογράψας ἐδεήθην: –
44 Μόδεστος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς ἐπίκλην τῶν Λυκαόνων ὑπογράψας ἐδεήθην διὰ χειρὸς Φλαβιανοῦ πρεσβυτέρου καὶ δευτεραρίου: —
45 Γεώργιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Κύρου ὑπογράψας ἐδεήθην: –
46 'Αντώνιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Εὐσεβίου ὑπογράψας ἐδεήθην: –
47 Τρύφων ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Μανουηλίου ὑπογράψας ἐδεήθην: —
48 Θεόκτιστος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς ἁγίας ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας ὑπογράψας ἐδεήθην: –
49 Ζήνων ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς ⟨τῆς⟩ διακειμένης ἐν Καλῶι ἀγρῶι τοῦ ἁγίου προδρόμου καὶ βαπτιστοῦ 'Ιωάννου ὑπογράψας ἐδεήθην: —
50 Παῦλος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς ἁγίας μάρτυρος 'Ερμιόνης τῆς διακειμένης πλησίον τῶν 'Ελλεβίχου ὑπογράψας ἐδεήθην διὰ χειρὸς Μαρίνου ἀναγνώστου: —
51 Σίλας ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν 'Ηλία ὑπογράψας ἐδεήθην: —
52 'Ιωάννης ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῶν Μάρα πλησίον τῆς 'Αετίου κινστέρνης ὑπογράψας ἐδεήθην: –
53 Βασίλειος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου Συμεὼν ἐπίκλην [τῶν] Κυρακωνᾶ ὑπογράψας ἐδεήθην: –
54 Θεόδωρος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς ὑπ' ἐμοῦ χάριτι Χριστοῦ συστάσης ὑπογράψας ἐδεήθην: —

O [= aev]

7 ἀβίβου O^e 11/12 Σαμουὴλ — διακόνου] θεοδώρου ἐν τῇ πέτρα ὑπεγράψασ ἐδεήθην O^v 13/14 Θεοδώρου — πέτραι] σαμουὴλ κατὰ τὸν σκύθην O^v 14 ἐδεήθην διὰ ζωτικοῦ διακόνου O^v 17 λυκώνων O^v 18 ἐδεήθην post δευτεριαρίου coll. O^v δευτεριαρίου O^{av} 21/22 post 23/24 coll. O^v 22 Εὐσεβείου O^a 23 τῶν Μανουηλίου] τῆσ ἁγίασ ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου μαρίασ O^v 25/26 τῆς — Μαρίας] τῶν μανουηλίου O^v 27 τῆς suppleui cf. p. 46, 34 30 τῶν O^e τοῦ O^{av} ἐλεβίχου O^v 34 ἀρχιμανδρίτησ O^{av} ἡγούμενοσ O^v 35 ἁετοῦ O^{av} 37 τῶν O^e τοῦ O^{av}, omittitur p. 47, 4 38 μονῆς O *mon. S. Laurentii* Λ ὑπ' ἐμοῦ om. O^{av} θῦ O^eΛ

M VIII 991

55 Βαβύλας ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ τῆς ὁσίας μνήμης Δανιὴλ τοῦ ἐν τῶι στύλωι καὶ τοῦ ἁγίου Ἰωάννου τοῦ προδρόμου καὶ βαπτιστοῦ καὶ τοῦ ἁγίου ἀποστόλου Ἀνδρέου ὑπογράψας ἐδεήθην: —

56 Πολυχρόνιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ ἁγίου ἀρχαγγέλου Μιχαὴλ τοῦ ἐν τῶι αἰθρίωι διὰ Ἀναστασίου μοναχοῦ δεηθεὶς ὑπέγραψα: —

57 Ἀναστάσιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῶν Ῥωμαίων τῆς ἐν τῶι Πετρίωι δεηθεὶς ὑπέγραψα: —

58 Ἀνδρέας ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Ῥωμαίων δεηθεὶς ὑπέγραψα: —

59 Ἐλπίδιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Βασιανοῦ δεηθεὶς ὑπέγραψα: —

60 Ζώσιμος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Λυκαόνων δεηθεὶς ὑπέγραψα: —

61 Πολυχρόνιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῶν Κρητικῶν δεηθεὶς ὑπέγραψα: —

62 Ἰωσὴφ ἡγούμενος τῆς ἁγίας ἐνδόξου καὶ ἀειπαρθένου θεοτόκου Μαρίας τῆς οὔσης ἐν τῶι λιθοστρώτωι δεηθεὶς ὑπέγραψα διὰ χειρὸς Στεφάνου πρεσβυτέρου καὶ δευτεραρίου μου: —

63 Ῥόδων ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῶν Θεοδώρου δεηθεὶς ὑπέγραψα: —

64 Ζωτικὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης τοῦ ἁγίου Ἀνδρέου πλησίον τῆς Σατορνίνου πόρτης δεηθεὶς ὑπέγραψα: —

65 Μαρτύριος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Οὐάλεντος τῆς τοῦ ἁγίου Ἰωάννου τοῦ βαπτιστοῦ δεηθεὶς ὑπέγραψα: —

66 Ἰωάννης ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῆς πλησίον τοῦ ἁγωγοῦ δεηθεὶς ὑπέγραψα: —

67 Ἡσύχιος ἐλέει θεοῦ πρεσβύτερος καὶ μοναχὸς μονῆς τοῦ μακαρίου Θεοδοσίου ποιούμενος τὸν λόγον ὑπὲρ πάσης τῆς ὑπὸ τὴν ἁγίαν πόλιν ἐρήμου δεηθεὶς ὑπέγραψα: —

68 Δομετιανὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Μαρτυρίου ποιούμενος τοὺς λόγους ὑπὲρ πάσης τῆς ὑπὸ τὴν ἁγίαν πόλιν ἐρήμου δεηθεὶς ὑπέγραψα: —

69 Κασιανὸς ἐλέει θεοῦ πρεσβύτερος λαύρας [μονῆς] τοῦ μακαρίου Σάββα ποιούμενος τὸν λόγον ὑπὲρ τῆς ὑπὸ τὴν ἁγίαν πόλιν ἐρήμου δεηθεὶς ὑπέγραψα: —

70 Κυριακὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης λαύρας τῶν πυργίων ποιούμενος τὸν λόγον ὑπὲρ πάντων τῶν ἐν τῶι Ἰορδάνηι δεηθεὶς ὑπέγραψα: —

71 Νέσταβος ἐλέει θεοῦ πρεσβύτερος καὶ μοναχὸς λαύρας τοῦ μακαρίου Φιρμίνου ποιούμενος τὸν λόγον ὑπὲρ τῆς ὑπὸ τὴν ἁγίαν πόλιν ἐρήμου δεηθεὶς ὑπέγραψα: —

72 Τερέντιος ἐλέει θεοῦ πρεσβύτερος τῆς Νέας λαύρας ποιούμενος τὸν λόγον ὑπὲρ τῆς ὑπὸ τὴν ἁγίαν πόλιν ἐρήμου δεηθεὶς ὑπέγραψα: —

73 Τραιανὸς ἐλέει θεοῦ πρεσβύτερος τῶν πυργίων τῶν ἐν τῶι Ἰορδάνηι καὶ ὑπὲρ πάντων τῶν αὐτόθι μοναχῶν δεηθεὶς ὑπέγραψα: —

O [= aev]

3 ἀνδρέα O^{v} 7 τῶι om. O^{v} 10 μονῆς om. O^{av} 16 μαρίασ τῆσ θεοτόκου O^{e} 18 δευτεριαρίου O^{av} μου om. O^{av} 22 σατουρνίνου O^{e} 27 μοναχὸς p. 50, 8 ἀρχιμανδρίτησ O 30 μονῆς om. $O^{e}Λ$ 33 κασιανόσ O^{ae} βασιανόσ O^{v} λάβρασ O^{av} μονῆς deteni σάβα O^{v} 35 λάβρασ O^{av} 36 τῶι om. O^{av} 37 μοναχὸς p. 50, 20 ἀρχιμανδρίτησ O λάβρασ O^{v} 42 πυργίων τῶν om. O^{a}

74 Λεόντιος ἐλέει θεοῦ μοναχὸς ποιούμενος τὸν λόγον ὑπὲρ τῶν κατὰ τὴν ἔρημον ἁγίων πατέρων δεηθεὶς ὑπέγραψα: —

75 Θεόδωρος ἐλέει θεοῦ διάκονος καὶ μοναχὸς τῆς Νέας λαύρας καὶ ὑπὲρ πάντων M VIII 994
τῶν ἐν τῇι ἐρήμωι Ἱεροσολύμων μοναχῶν δεηθεὶς ὑπέγραψα: —

76 Κύρικος ἐλέει θεοῦ διάκονος καὶ μοναχὸς τῆς αὐτῆς Νέας λαύρας καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι ἐρήμωι Ἱεροσολύμων μοναχῶν δεηθεὶς ὑπέγραψα: —

77 Πολύευκτος ἐλέει θεοῦ διάκονος καὶ μοναχὸς τῆς μονῆς τοῦ μακαρίου Θεοδοσίου καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι ἐρήμωι Ἱεροσολύμων μοναχῶν δεηθεὶς ὑπέγραψα: —

78 Ἀναστάσιος ἐλέει θεοῦ διάκονος καὶ μοναχὸς τῆς μονῆς τοῦ μακαρίου Μαρτυρίου καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι ἐρήμωι μοναχῶν δεηθεὶς ὑπέγραψα: —

79 Νίκων ἐλέει θεοῦ διάκονος καὶ μοναχὸς μονῆς τοῦ μακαρίου Θεοδοσίου καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι ἐρήμωι Ἱεροσολύμων μοναχῶν δεηθεὶς ὑπέγραψα: —

80 Μάμας ἐλέει θεοῦ μοναχὸς μονῆς τοῦ μακαρίου Μαρτυρίου καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι ἐρήμωι Ἱεροσολύμων μοναχῶν δεηθεὶς ὑπέγραψα: —

81 Ἰουλιανὸς ἐλέει θεοῦ μοναχὸς μονῆς τοῦ μακαρίου Θεοδοσίου καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι ἐρήμωι Ἱεροσολύμων μοναχῶν δεηθεὶς ὑπέγραψα: —

82 Ἰωάννης ἐλέει θεοῦ μοναχὸς μονῆς τοῦ μακαρίου Μαρτυρίου καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι ἐρήμωι Ἱεροσολύμων μοναχῶν δεηθεὶς ὑπέγραψα: —

83 Σαββάτιος ἐλέει θεοῦ μοναχὸς τῆς λαύρας τοῦ μακαρίου Σάββα καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι ἐρήμωι Ἱεροσολύμων μοναχῶν δεηθεὶς ὑπέγραψα: —

84 Μαρτύριος ἐλέει θεοῦ μοναχὸς τῆς Νέας λαύρας καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι ἐρήμωι Ἱεροσολύμων μοναχῶν δεηθεὶς ὑπέγραψα: —

85 Βασίλειος ἐλέει θεοῦ μοναχὸς τοῦ Ἰορδάνου καὶ ὑπὲρ πάντων τῶν ἐν τῶι Ἰορδάνηι μοναχῶν δεηθεὶς ὑπέγραψα: —

86 Θεόδωρος ἐλέει θεοῦ μοναχὸς τῆς λαύρας τοῦ μακαρίου Φιρμίνου καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι ἐρήμωι Ἱεροσολύμων μοναχῶν δεηθεὶς ὑπέγραψα: —

87 Θεωνᾶς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀποκρισιάριος τοῦ ἁγίου ὄρους Σινᾶ καὶ τῆς ἐρήμου Ῥαιθοῦ καὶ τῆς κατὰ Φαρὰν ἁγίας ἐκκλησίας ποιούμενος τοὺς λόγους ὑπὲρ πάντων τῶν ὄντων μοναχῶν ἐν τοῖς εἰρημένοις ἐρήμοις τόποις δεηθεὶς ὑπέγραψα: —

88 Ἰωάννης ἐλέει θεοῦ πρεσβύτερος καὶ μοναχὸς λαύρας τῶν ἀμμίων τῆς πεδιάδος καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι πεδιάδι μοναχῶν δεηθεὶς ὑπέγραψα: —

89 Θεόδωρος ἐλέει θεοῦ διάκονος καὶ μοναχὸς μονῆς τοῦ μακαρίου Σεργίου τῆς ἐν τῇι πεδιάδι καὶ ὑπὲρ πάντων τῶν ἐν αὐτῇι μοναχῶν δεηθεὶς ὑπέγραψα: —

90 Κοσμᾶς ἐλέει θεοῦ μοναχὸς καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι πρώτηι Παλαιστίνηι μοναχῶν δεηθεὶς ὑπέγραψα: —

91 Στρατήγιος ἐλέει θεοῦ διάκονος καὶ μοναχὸς καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι δευτέραι Παλαιστίνηι μοναχῶν δεηθεὶς ὑπέγραψα: —

92 Σαλαμίνης ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι τρίτηι Παλαιστίνηι ἀρχιμανδριτῶν καὶ μοναχῶν δεηθεὶς ὑπέγραψα: —

O [= aerv]. I

1 μοναχὸς O *monachus et prior proprii monasterii* Λ, cf. p. 50, 30 3/4 post 5/6 coll. O^a om. O^v 3 διάκονος καὶ om. O^a τῆσ — καὶ O^e ποιούμενοσ τὸν λόγον O^a 5 λάβρασ O^v 8 Ἱεροσολύμων om. $O^eΛ$ 11 μονῆς om. $O^eΛ$ 13 μονῆς om. $O^eΛ$ 19 λάβρασ O^v σάβα O^v 21 λάβρασ O^v 25 λάβρασ O^v 26 Ἱεροσολύμων om. $O^eΛ$ 31/32 post 33/34 coll. O^v 31 λάβρασ O^v ἀμμίων p. 51, 19 ἀμνίων OΛ 32 τῆι om. O^v 33 τῆς] τοῖσ O^v 34 καὶ ὑπὲρ — αὐτῆι om. O^v 35 πάντων om. O^a 37/38 om. O^v 39 σελαμίνησ O^e 40 μοναχῶν καὶ ἀρχιμανδριτῶν O^e

93 'Ηλίας ἐλέει θεοῦ διάκονος καὶ μοναχὸς καὶ ὑπὲρ πάντων τῶν ἐν Αὐγουστοπόλει μοναχῶν τῆς τρίτης Παλαιστίνης δεηθεὶς ἐπέδωκα: —

94 'Αναστάσιος ἐλέει θεοῦ διάκονος καὶ μοναχὸς καὶ ὑπὲρ πάντων τῶν ἐν Πέτραις μοναχῶν τῆς τρίτης Παλαιστίνης δεηθεὶς ἐπέδωκα: —

M VIII 995 95 Φωτεινὸς ἐλέει θεοῦ μοναχὸς τοῦ ἁγίου Στεφάνου τοῦ ἐν Μαωζᾶ 'Ιαμνίας πρώτης Παλαιστίνης καὶ ὑπὲρ πάντων τῶν ἐν αὐτῶι μοναχῶν δεηθεὶς ἐπέδωκα: —

96 'Ιωάννης ἐλέει θεοῦ πρεσβύτερος καὶ μοναχὸς καὶ ὑπὲρ πάντων τῶν ἐν τῶι 'Αιλᾶ τῆς τρίτης Παλαιστίνης μοναχῶν δεηθεὶς ἐπέδωκα: —

97 Παῦλος ἐλέει θεοῦ διάκονος καὶ ἀποκρισιάριος μονῆς τοῦ μακαρίου Μάρωνος τῆς ἐξαρχούσης τῶν ἐν τῆι δευτέραι Συρίαι εὐαγῶν μοναστηρίων ποιούμενος τοὺς λόγους τῶν ἐν τῆι αὐτῆι δευτέραι Συρίαι ἀρχιμανδριτῶν καὶ μοναχῶν δεηθεὶς ἐπέδωκα. —

13 'Ο ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Θεόδωρος μὲν ὁ περίβλεπτος ῥαιφερενδάριος ἀναχωρείτω πράξας ἐφ' ὧι παραγέγονεν, ἀναγινωσκέσθωσαν δὲ καὶ οἱ ἡμῖν ἐπιδοθέντες λίβελλοι παρὰ τῶν αὐτῶν εὐλαβῶν μοναχῶν.

Καὶ λαβὼν Διόδωρος ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος ἀνέγνω

Λίβελλος μοναχῶν πρὸς Μηνᾶν πατριάρχην

14 Τῶι δεσπότηι ἡμῶν τὰ πάντα ἁγιωτάτωι καὶ μακαριωτάτωι ἀρχιεπισκόπωι καὶ πατριάρχηι τῆς βασιλίδος Μηνᾶι καὶ τοῖς ἐνδημοῦσιν αὐτῆι ὁσιωτάτοις ἐπισκόποις τῆς 'Ιταλῶν χώρας καὶ θεοφιλεστάτοις ἀρχιδιακόνοις τοῦ ἀποστολικοῦ θρόνου καὶ τῆι ἐνδημούσηι τῆιδε τῆι φιλοχρίστωι πόλει ἁγιωτάτων ἐπισκόπων συνόδωι παρὰ Μαριανοῦ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου μονῆς Δαλματίου καὶ ἐξάρχου τῶν εὐαγῶν μοναστηρίων τῆς βασιλίδος πόλεως καὶ ἀρχιμανδριτῶν τῶν εἰρημένων εὐαγῶν μοναστηρίων καὶ τῶν ἐνδημούντων ἐν αὐτῆι ἀρχιμανδριτῶν καὶ μοναχῶν τῆς ὑπὸ τὰ 'Ιεροσόλυμα ἐρήμου καὶ ἀπὸ τῆς δευτέρας Συρίας καὶ τοῦ ἁγίου ὄρους Σινᾶ καὶ τῶν τριῶν Παλαιστινῶν. Τῆς ἐπὶ 'Ανθίμωι κρίσεως πληρωθείσης καὶ τῆς κατ' αὐτοῦ ψήφου παρ' ὑμῶν τῶν ἁγιωτάτων δικαίως ἐξενεχθείσης, ὅτι καὶ περὶ τοὺς θείους κανόνας ἡμαρτηκὼς ἑάλω καὶ τὰ τῆς καθολικῆς ἐκκλησίας ὁμολογῆσαι δόγματα μέχρι τέλους ἠπείθησεν, εὐχαριστοῦμεν τῶι θεῶι τῶι διὰ τῆς σπουδῆς τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως τὸν ἱερὸν ὑμῶν σύλλογον

Eph. 5, 27 εἰς ἓν ἀγαγόντι, ἵνα καθαρίσηι τὴν αὐτοῦ ἐκκλησίαν καὶ παραστήσηι αὐτὴν ἑαυτῶι, ὡς ἀεί, ἔνδοξον μὴ ἔχουσαν σπῖλον ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων αἱρετικῶν ζιζανίων. καὶ ἦν μὲν ἡμῖν δι' εὐχῆς τῶι ἰδίωι σχολάζοντας ἐπαγγέλματι τούτωι προσανέχειν καὶ μόνωι ὑπὸ μηδενὸς τῶν ἔξωθεν περιισταμένων διακοπτομένους· ἀλλ' ἐπειδὴ ὁ μισόκαλος δαίμων ὁ τοῖς ἀγαθοῖς τῶν ἀνθρώπων ἀεὶ ἐποφθαλμιῶν ἐπιτήδεια ὄργανα εὑρὼν Σεβῆρον καὶ Πέτρον δι' αὐτῶν ταράττων τὴν εἰρήνην τῶν ἁγίων τοῦ θεοῦ ἐκκλη-

O [ae, r inde a 13, v¹, I [inde a 13]

2 ὑπέγραψα O^{e} 4 ὑπέγραψα O^{e} 5 μαωζᾶ O^{e} ναωζᾶ O^{av} 8 ἐπιδέδωκα O^{r} 13 μὲν om. O^{e} 14 ὁ O^{r} 15 εὐλαβεστάτων O^{r}I 17 δ O^{av} in mg. 18 ἡμῶν τῶ O^{a} 19 καὶ πατριάρχηι om. O^{e} 20 τῶν Ἰταλῶν O^{a} 21 ἁγιωτάτων O^{e} ἁγία τῶν O^{arv}l μαριανοῦ O^{e} 22 πρεσβυτέρου] πέτρου O^{v} 23 τῆς — μοναστηρίων om. O^{a} καὶ ἀρχιμανδριτῶν — μοναστηρίων om. O^{r}I 23 ἀρχιμανδριτῶν p. 32, 20 ἀρχιμανδρίτου O^{ev} 25 παλαιστηνῶν O^{e} 28 ὁμολογήσασ O^{av} 29 τῶι¹ om. O^{r}l 30 τὸ ἓν O συναγαγόντι O^{e}Λ ἑαυτοῦ l 31 τοιούτων om. O^{a} 32 σχολάζουσιν O^{av} 33 καὶ μόνω προσανέχειν O^{e} διακοπτομένοισ O^{av} 35 σευῆρον O^{e} ταράττειν l

σιῶν οὐ παύεται, τούτου χάριν περὶ αὐτῶν καὶ ἐν τοῖς παρ' ἡμῶν ἐπιδεδομένοις λιβέλλοις τῶι ἐν ἁγίοις πάπαι Ἀγαπητῶι τοῖς καὶ ἀναγνωσθεῖσιν ἐπὶ τῆς ὑμετέρας μακαριότητος κατὰ τὴν προτέραν σύνοδον καὶ ἐν τῆι προσδοθείσηι τῶι εὐσεβεστάτωι ἡμῶν βασιλεῖ δεήσει τῆι καὶ καταπεμφθείσηι τῆι ὑμῶν ἁγιωσύνηι παρὰ τῆς αὐτοῦ εὐσεβείας διὰ Θεοδώρου τοῦ περιβλέπτου ῥαιφερενδαρίου, διακομίσαντος καὶ τὴν αὐτοῦ εὐσεβῆ κέλευσιν προστάττουσαν τῆι ἁγίαι ὑμῶν συνόδωι περὶ πάντων τῶν περιεχομένων ἐν τῆι δεήσει ὑμᾶς διασκοπῆσαι, διεξήλθομεν μέρος τι, οὐ γὰρ οἷόν τε πάντα τὰ παρ' αὐτῶν καὶ τῶν τὰ ὅμοια τούτοις φρονούντων ἀπὸ Εὐτυχοῦς καὶ Διοσκόρου καταγομένων Ἀκεφάλων αἱρετικῶν κατὰ τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας ἔν τε τῆι βασιλίδι ταύτηι πόλει καὶ ἐν ἑτέραις πόλεσι τολμηθέντα καὶ τολμώμενα διεξελθεῖν. οὗτοι γὰρ ὥσπερ μικρὰ λογισάμενοι τὰ ἤδη παρ' αὐτῶν τολμηθέντα, Ἀνατολὴν πᾶσαν διαταράξαντες καὶ παντοίοις ἀνθρωπίνοις αἵμασι καταμολύναντες ὁσίων καὶ ἑτέρων ἀνδρῶν, φιλονεικοῦσι πάντως καὶ τήνδε τὴν βασιλίδα πόλιν τοιούτοις περιβαλεῖν, εἴπερ ἰσχύσουσι, κακοῖς. ἅπερ βουλόμενοι συντόμωι λόγωι ἀνακεφαλαιώσασθαι οὐκ ἴσμεν τί πρῶτον ἢ τί ὕστερον διηγησόμεθα ἢ τί σιωπήσαντες ὡς βραχὺ τί ὡς μεῖζον φανερώσομεν πάντων τῶν παρ' αὐτῶν δραματουργηθέντων κατὰ σύγκρισιν ὁμοτίμων ὄντων καὶ οὐδενὸς καθ' ἑτέρου τὴν ὑπεροχὴν ἔχειν δυναμένου. τί γὰρ εἴποιμεν; τὰ τῶν δικαίων αἵματα ὧν αἱ χεῖρες αὐτῶν πλήρεις; ἀλλὰ τοὺς ἀναθεματισμοὺς οὓς κατὰ τῶν ἁγίων καὶ θεοφόρων τῆς ἐκκλησίας διδασκάλων τὰ μιαρὰ αὐτῶν ἐξενεγκεῖν ἐτόλμησαν στόματα καὶ μάλιστα κατὰ τῆς ἁγίας ἐν Χαλκηδόνι συνόδου καὶ τοῦ μακαρίου πάπα Λέοντος; ἀλλὰ τὰ σχίσματα τῶν ἁγίων ἐκκλησιῶν καὶ τῶν πιστῶν λαῶν τὰ σκάνδαλα; ἀλλὰ τοὺς συνωθισμοὺς οὓς κατὰ θεοφιλῶν ἀρχιμανδριτῶν καὶ ὁσίων ἀρχιερέων εἰργάσαντο, πλῆθος ἀνδρῶν αὐτοῖς περιστοιχίσαντες, ἵνα τοὺς κατὰ τῶν ἁγίων ἀναθεματισμοὺς ἀπαιτήσωσιν; ἀλλὰ τὰς ἐγγράφους ὁμολογίας περιεχούσας ἀναθέματα κατὰ τῶν εἰρημένων ἁγίων πατέρων; ἅπερ βίαι καὶ ἀνάγκηι καὶ πάσηι στρεβλώσει ὑποβάλλοντές τινας τῶν ὑπ' αὐτοὺς ἀρχιερέων ἐκομίσαντο παρ' αὐτῶν, ἡνίκα ὁ μὲν τὸν τῆς Θεουπολιτῶν ἐκκλησίας, ὁ δὲ τὸν τῆς Ἀπαμείας ἀθέσμως καὶ παρὰ πάντα ἱερὸν κανόνα ὑφήρπασαν καὶ κατεμόλυναν τό γε ἐπ' αὐτοῖς θρόνον, καίτοιγε οὐδὲ εἰς μοναστὰς ἢ κληρικοὺς τελέσαντες κανονικῶς τούτου τυχεῖν ἠξιώθησαν. ἀλλὰ τί εἴποιμεν τοὺς συγκλασθέντας δακτύλους τῶν ἁγίων, οἷς περιέσχον τὰ θυσιαστήρια, ὡς ἐπί τινα τόπον ἄσυλον ἐπ' αὐτὰ καταφυγόντες διὰ τὴν τῶν εἰρημένων μιαιφονίαν; ὅθεν ἐξελκόμενοι ὑπὸ ἀνδρῶν ἀνηλεῶν βιαίωι θανάτωι παρεδίδοντο ἢ καὶ ἐν αὐτοῖς τοῖς σεβασμίοις τόποις ὑπὸ τῆς τούτων μανίας διεχειρίζοντο μὴ δυναμένων τόπου διαφορὰν διακρῖναι ἁγίου τε καὶ κοινοῦ. σιωπῶμεν τὰς ἀπὸ νεκρᾶς χειρὸς ἐπιθέσεις τοῦ βδελυκτοῦ καὶ ψευδοῦς αὐτῶν ἀρχιερέως καὶ τοὺς ὑπὲρ τοῦ νεκροῦ ζῶντος ἐπὶ τοῖς χειροτονουμένοις ῥήματα ἐπικλήσεως προιεμένους, οὐκ ἐκ θείας χάριτος ἀλλ' ἐκ κοιλίας κενολογοῦντας καὶ ἀπὸ γῆς φθεγγομένους. σιωπῶμεν τὰ δεσμωτήρια καὶ τὰ δεσμὰ καὶ τὰς κατὰ τῶν εὐαγῶν μοναστηρίων νύκτωρ τε καὶ μεθ' ἡμέραν ληιστρικὰς ἐφόδους καὶ ἁρπαγὰς τῶν ἐν αὐτοῖς καὶ τῶν ἀσκουμένων τὰς βιαίας σφαγάς· σιωπῶμεν τὰς ἐν ταῖς ὁδοῖς κατὰ τῶν ἁγίων ἐνέδρας καὶ τὸ ἐκχεθὲν αὐτῶν ἀθῶον αἷμα, ὅτε ζήλωι θείωι κινηθέντες τὴν πορείαν ἐπὶ τὴν μάνδραν τοῦ ἁγίου

p. 32, 17 sq
p. 30, 1 sq.
M VIII 998

O [= aervl, I

1 περὶ — καὶ I καὶ περὶ αὐτῶν OΛ ἐπιδιδομένοις Or 3 προσδοθείσηι Oarl προσδοθεῖσι Ov 6 τῶν om. Ov 7 οἵονται Or τῶν om. I 10 διεξελθεῖν OrIΛ om. Oarv 11 καὶ ἀνατολὴν O 12 κατατολμήσαντες Or 14 πρώτερον Or 15 τί IΛ τι ἢ O παρ' αὐτοῖς Or αὐτοῖς I 16 ὄντων I om. O 17 εἴπωμεν Oe 18 τῆς ἐκκλησίας OerIΛ καὶ τῆς ἐκκλησίας Oa πρων καὶ τῆς ἐκκλησίας Ov 21 κατὰ τῶν Oel ἀνδρῶν ἀρχιμανδριτῶν Orl 22 αὐτοὺς Oe 24 ἅσπερ Oe 24/25 ὑποβάλοντες Or ὑποβαλόντες Oel 26 καὶ παρὰ] κατὰ Or 27 ἁφήρπασαν Oav τόν Oav 30 φυγόντες Oav 32 μανίας Oarvl μιαρίας OeΛ 33 ἐπιθήσεις Or 34 ὑπὸ Orl 38 βία Oav ἐκχυθὲν Orl 39 αὐτοῦ τοῦ Oe

Συμεῶνος ἐποιοῦντο κοινῆς χάριν σκέψεως τῶν κατὰ τῆς ἐκκλησίας παρὰ τούτων κινουμένων. συλλέξαντες γὰρ πλῆθος παρανόμων ληιστῶν Ἰουδαίων ἐπαφῆκαν τοῖς τιμίοις ἐκείνοις ἀνδράσιν, ἐφ' ὧι ἀποσταλέντες οἱ ἀπάνθρωποι τούτων ὑπηρέται ἐνήδρευον
M VIII 999 τοὺς εἰρημένους ὁσίους ἄνδρας κατὰ τὴν ὁδὸν καὶ παριοῦσιν αὐτοῖς ἐπαναστάντες ἐκ τοῦ λόχου καὶ αἰφνίδιον ἐπελθόντες καὶ μηδὲ τὴν πολιὰν αἰδεσθέντες, ἔργον μαχαίρας τούτους ποιησάμενοι περὶ τοὺς τριακοσίους πεντήκοντα τὸν ἀριθμὸν ὄντας διέσπειραν αὐτῶν τὰ κῶλα κατὰ τὴν λεωφόρον, μηδὲ ταφῆι παραδεδωκότες τὰ τίμια ἐκείνων λείψανα μηδὲ τῶν σκηνῶν αὐτῶν φεισάμενοι, πρὸς ἀτιμίαν τοῦ πιστοῦ λαοῦ οἱ τὸ μιαρὸν τῶν Ἰουδαίων ἔργον καὶ τότε ἐπαγόμενοι. καὶ οὐ θαυμαστὸν εἰ τοιαύτας ἐπεδίδουν τοῖς ὑπ' αὐτῶν θεραπευομένοις δαίμοσιν ἀνθρωποθυσίας καὶ μάλιστα Σεβῆρος, οὕπω καὶ τήμερον τὴν Ἑλληνικὴν ἀποθέμενος δεισιδαιμονίαν. ἐκείνων γὰρ ἦσαν μαθηταὶ περὶ ὧν καὶ ὁ
Ps. 105, 37—39 Δαυὶδ βοᾶι λέγων καὶ ἔθυσαν τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις καὶ ἐξέχεαν αἷμα ἀθῶον, αἷμα υἱῶν αὐτῶν καὶ θυγατέρων ὧν ἔθυσαν τοῖς γλυπτοῖς Χαναάν, καὶ ἐφονοκτονήθη ἡ γῆ ἐν τοῖς αἵμασι καὶ ἐμιάνθη ἐν τοῖς ἔργοις αὐτῶν, καὶ ἐπόρνευσαν ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν. τίς γὰρ οὐκ ἐπίσταται τὸν ἐκ νέας κομιδῆι ἡλικίας αἰσχρὸν καὶ μυσαρὸν αὐτῶν βίον καὶ δαίμοσι προσανακείμενον καὶ ὅτι ἐπὶ μαγγανείαις Σεβῆρος ἁλοὺς κατὰ τὴν Βηρυτίων ὁ τῶν δαιμόνων θεραπευτὴς καὶ τὴν ἐκ τούτου κατηγορίαν διαφυγεῖν βουλόμενος ἐσχηματίσατο μετατίθεσθαι τὴν δαιμονικὴν αὐτοῦ δόξαν καὶ προσιέναι, ὡς φησιν αὐτός, τῶι βαπτίσματι κατὰ τὸν ἐν Τριπόλει προσκυνητὸν οἶκον τοῦ ἁγίου καὶ καλλινίκου μάρτυρος Λεοντίου καὶ μήπω τῶν ἐπὶ τοῖς βαπτιζομένοις ἡμερῶν τελεσθεισῶν, ὡς εἶδεν ὁ τὴν ἀλήθειαν πρὸς μικρὸν ὑποκρινάμενος ὅτι πάλιν προφανῶς ἐπὶ τὸν ἀρχαῖον τῆς Ἑλληνικῆς
Prou. 26, 11 αὐτοῦ δόξης ἔμετον ὑποστρέφειν οὐ δύναται, δι' ἑτέρας ὁδοῦ εἰς τὸ σπουδαζόμενον καταντᾶι. ἀρνεῖται γὰρ εὐθὺς τὴν ἐκκλησίαν καὶ τὸν τοῦτον βαπτίσαντα προσχωρήσας τοῖς τὰ Εὐτυχοῦς φρονοῦσιν Ἀκεφάλοις αἱρετικοῖς καὶ αἱρέσεως καὶ ἀσεβείας καλῶν κατ-
Ps. 57. 4. 5 αγώγια τοὺς ἁγίους τοῦ θεοῦ οἴκους, διὰ τούτου ἀθετῶν ὅπερ φησὶν εἰληφέναι βάπτισμα, ὥστε ἐπ' αὐτῶι πληροῦσθαι τὸ προφητικὸν λόγιον ὃ φησιν ἐπὶ τοῖς τοιούτοις ἀπηλλοτριώθησαν ἀπὸ μήτρας, ἐπλανήθησαν ἀπὸ γαστρός, ἐλάλησαν ψευδῆ, θυμὸς αὐτοῖς κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως. ὅτι δὲ καὶ αὐτὴν ὑπεκρίνατο τῶν Ἀκεφάλων τὴν θρησκείαν, ἐκ τῶν ἐφεξῆς πρόδηλον ἅπασι γέγονε. προστατῶν γὰρ τοῦ κατ' αὐτὸν Ἀκεφάλου τμήματος καὶ τὸ λεγόμενον ἑνωτικὸν οὐ προσιέμενος, ἀλλὰ κενωτικὸν αὐτὸ καὶ διαιρετικὸν καλῶν καὶ ἀναθεματίζων ἐν ἰδίοις αὐτοῦ συγγράμμασιν, ἐπειδὴ καιρὸν ἔσχεν ὑφαρπάσαι τὸν τῆς Θεουπολιτῶν εὐαγῆ θρόνον, εἰρωνεύεται πάλιν ἐξ ἀντιστρόφου τοῦτο δέχεσθαι, τὸν Ἀλεξανδρείας πρόεδρον ὑποτρέχων καὶ Πέτρον, ὃν καλοῦσι Μογγόν, κατὰ τὸν καιρὸν τοῦ αὐτοῦ ἑνωτικοῦ τὸν τῆς Ἀλεξανδρέων ὑφαρπάσαντα θρόνον ἐν τοῖς ἱεροῖς τῆς Θεουπολιτῶν ἐκκλησίας τίθησι διπτύχοις, καταλιπὼν πάντας τοὺς ἀποπλανηθέντας παρ' αὐτοῦ ἐπὶ τούτωι καὶ διδαχθέντας παρ' αὐτοῦ διὰ Πέτρον ὀφείλειν ἀπορρήγνυσθαι τῆς κατὰ Ἀλεξάνδρειαν ἐκκλησίας. ἐμμένει δὲ οὐδὲ τού-
M VIII 1002 τοις καθάπαξ. γνώμη γὰρ ἦν αὐτῶι θορύβους κινεῖν καὶ μηδέποτε ἐπὶ τῶν αὐτῶν ἵστα-

---

O [= aerv], I

1 συμεὼν Or I συμεώνου Oe ἐποιήσαντο Oe χάριν Oaevl γὰρ Or ἐκκλησίασ Or I ἐκκλησίασ καὶ τῶν [τῶν τότε Oav] Oaev Λ 3 ῶ in ὃ corr. Or τούτων i. e. Seueri et Petri 7 παραδιδόντεσ I 10 σευῆροσ Oe 11 καὶ om. Oe ὁ om. I 17 μαγγανείασ Ov σευῆροσ Oe ut solet 21 ἐν Oe οἶδεν Oav 22 ὑποκρινόμενοσ Oe προφανῶσ ὡσ Or 23 ἐπιστρέφειν Or I 24 προχωρήσας Ov καὶ προσχωρεῖ Oe 25/26 καταγώγια καλῶν Oaev 26 διὰ — ἀθετῶν] διάθετῶν Or corr. Or εἴληφε I 29 αὐτὴν Or IΛ ταύτην Oaev ὑπεκρίναντο Oe ὑπεκρίνετο Or I 30 προστὰς I 32 καὶ νοτικὸν Or 33 θρῆνον Ov 35 μόγον Or καιροῦ I 36 τῆς] τοῖσ Ov 38 ἐμμένειν Or

σθαι. πῶς γὰρ οἷόν τε ἦν τὸν μὴ διὰ πίστιν Χριστιανικὴν ἀγωνιζόμενον μὴ τοῦτο μόνον πραγματεύεσθαι τὸ διαταράττειν ἐκ πάσης προφάσεως ἀεὶ τὰς ἁγίας τοῦ θεοῦ ἐκκλησίας; τοιγαροῦν καὶ τὸν Ἴβηρα Πέτρον κατὰ ταυτὸν δέχεται, κοινωνεῖ δὲ καὶ τοῖς λοιποῖς Ἀκεφάλοις, ὡς ἐνόμισεν, ἀπεσχισμένοις τῆς Ἀλεξανδρέων ἐκκλησίας, ἧς τὴν ἕνωσιν ἀσπάζεσθαι τότε προσεποιεῖτο, καθὼς ἀνωτέρω εἴρηται. πρὸς τούτοις δὲ πᾶσιν οὐδὲν ἦν αὐτῶι πρὸς τὸ τῆς συνεχοῦς παραβασίας ἐμπόδισμα. τὴν γὰρ ἐν Χαλκηδόνι ἁγίαν σύνοδον ἐφ' ἑκάστης ὡς εἰπεῖν ἀναθεματίζειν τολμῶν, ἐκοινώνει ταύτηι, πολλοὺς τῶν συνεδρευσάντων ἐν αὐτῆι τῆι κατὰ Χαλκηδόνα ἁγίαι συνόδωι τῶν ὑπ' αὐτὸν ἐπισκόπων ἐν τοῖς ἱεροῖς ἐχόντων διπτύχοις. ἀλλ' οὐδὲ ἡ ἐπὶ κακῶι δεξαμένη αὐτοὺς τῶν Ἀλεξανδρέων πόλις διέφυγε τοὺς αὐτῶν θορύβους. ἐφ' ἑαυτῆς γὰρ ἡσυχάζουσαν, ὅπως ποτὲ καὶ διέκειτο, ταύτην εὑρόντες εἰς ἀνατροπὴν τελείαν κατέστησαν, προσθέντες αὐτοῖς τμήματα καὶ κατ' ἀλλήλων τὸν ἐκεῖσε λαὸν κινήσαντες, ὥστε καὶ ἐμφυλίους γενέσθαι πολέμους καὶ πολλῶν μὲν οἴκων γενέσθαι καύσεις, πολλῶν δὲ ἀνθρώπων αἵματα χεθῆναι καὶ τούτους μόλις ποτὲ φυγῆι τὰς ἐπὶ τούτοις ποινὰς διαφυγεῖν. οὗπερ ἐκεῖνοι διαμαρτόντες ἀναθέματι γοῦν αὐτοὺς καθυπέβαλον καὶ ἑτέραις πλείοσιν ἐπ' ἐκκλησίας ἀραῖς, αἱρετικοὺς καὶ αὐτοὶ δικαίως ἀποκαλοῦντες, ὡς περιγενέσθαι αὐτοῖς ἐκ τῆς τοῦ θεοῦ κρίσεως τὸ εἰς βόθρον ἐμπεσεῖν, ὃν εἰργάσαντο, καὶ ἐπιστρέψαι τὸν πόνον αὐτῶν εἰς κεφαλὴν αὐτῶν. Ps. 7, 16. 17 πᾶσαν γὰρ ἐκκλησίαν ἀδίκως ἀναθεματίσαι τολμήσαντες ὑπὸ πάσης ἐκκλησίας αὐτοὶ L V 124 δικαίως ἀνεθεματίσθησαν. πολλὰ μὲν οὖν καὶ ἕτερα τετολμήκασιν, ἅτινα πᾶσίν ἐστιν τοῖς κατὰ τὴν Ἀνατολὴν ἐγνωσμένα, δι' ὅπερ καὶ τὸν ὄγκον τούτων φεύγοντες καὶ αἰδοῖ τοῦ τῆς ὑμετέρας μακαριότητος συλλόγου καὶ τοῦ καθ' ἡμᾶς εὐαγοῦς σχήματος τὰς αἰσχρὰς τούτων πράξεις ἀπεσιωπήσαμεν. οὕτω δὲ οἰκτρῶς, ὡς προείρηται, τήν τε Ἀνατολὴν καὶ Ἀλεξάνδρειαν διαθέντες καταλαμβάνουσι καὶ τὴν βασιλίδα ταύτην πόλιν οἱ παρὰ τούτων καὶ τῶν τούτοις ὁμοίων ἀποπλανηθέντες, πρόδρομοι ὥσπερ τῆς ἐκείνων κακίας ὑπάρχοντες καὶ προομαλίσαι αὐτοῖς τὴν τοῦ μύσους ὁδὸν ὀφείλοντες, καὶ μετ' ἐκείνους πάλιν Πέτρος, ἐφεξῆς δὲ τούτοις καὶ Σεβῆρος, καὶ τούς τε ἰδιωτικοὺς οἴκους τάς τε ἐκκλησίας τοῦ θεοῦ καὶ αὐτὴν τὴν πολιτείαν, ὅσον γε τὸ ἐπ' αὐτοῖς, λυμαινόμενοι καὶ παρασυνάξεις καὶ παραβαπτίσματα προφανῶς καὶ μετὰ πάσης ἀναιδοῦς παρρησίας δημοσίαι τε καὶ ἰδίαι τολμῶντες, παρεμβάλλοντες δὲ ἑαυτοὺς καὶ μεσιτείαι χρηματικῶν πραγμάτων φόβον καὶ πλοῦτον οὐ τὸν τυχόντα ἐκ τούτου καὶ ἐκ πολλῶν οἴκων ἑαυτοῖς περιεποιήσαντο. δι' ὧν τὰς μὲν τῶν ἀκεραιοτέρων ψυχὰς ἐξηπάτησαν, τὰς δὲ τῶν δεινοτέρων κατεκτύπησαν, τὰς δὲ τῶν πρὸς χρήματα ἢ δόξαν ἢ τρυφὴν κεχηνότων ὑπέσυραν· ἀλλὰ μὴν καὶ ἐνδύνοντες εἰς οἰκίας αἰχμαλωτίζουσι ψυχὰς ἀστηρίκτους ἀνδρῶν τε καὶ γυναικῶν, καὶ οὐ μόνον ψυχικῶς, ἀλλὰ δὴ καὶ σωματικῶς ταύτας διαφθείροντες τῶι τῆς ἀσεβείας καὶ ἀσελγείας βαράθρωι ἐγκατορύττουσι. καὶ τί δεῖ περὶ τούτων τὸν λόγον ἐπεκτείνειν πάντων τῶν ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἐπισταμένων τὰς ἀνοσίους πράξεις τῶν εἰρημένων Ἀκεφάλων M VIII 1003 αἱρετικῶν Σεβήρου καὶ Πέτρου καὶ τὰς μιαρὰς αὐτῶν καὶ ἀθέους καὶ βλασφήμους καὶ φόνοις χαιρούσας ψυχάς; ταῦτα γὰρ φανερῶς δείκνυσι τά τε ἐν τῆι πρεσβυτέραι Ῥώμηι, ἡνίκα ὁ τῆς ὁσίας μνήμης Ὁρμίσδας τὸν ἀποστολικὸν ἐκεῖνον διεῖπε θρόνον, καὶ ἐν ταύτηι τῆι βασιλίδι πόλει καὶ ἐν Θεουπόλει καὶ ἐν Ἱεροσολύμοις πραχθέντα τε καὶ συστάντα ὑπομνήματα τὸν μυσαρὸν ἐκείνων βίον ἅπασι διαγγέλλοντα καὶ τοὺς αἰωνίους καὶ ἀλύτους

O [= aerv], I

2 ἀεὶ $O^{e}\Lambda$ om. $O^{arv}I$ 3 δέχεσθαι O^{av} 5 οὐδὲ O^{v} 8 συνεδρευόντων $O^{v}I$ τῆι om. O^{a} χαλκηδόνι O^{e} 15 γοῦν om. $I\Lambda$ καθυπέβαλλον O^{r} ἐκκλησίαισ O^{v} 16 αὐτοῖσ $O^{e}I\Lambda$ αὐτοὺσ O^{arv} 17 βόθυνον O^{a} 20 καὶ¹ I εἰσ O^{arv} ἡμεῖσ O^{e} 21 ἡμετέρασ O^{v} ἱεροῦ συλλόγου O^{av} ὑμᾶσ $O^{er}\Lambda$ 25 τὴν om. $O^{r}I$ μίσουσ O^{v} 26 τοὺς] τοὺ O^{v} 27 λυμαινόμενοι οὐκ ἐπαύσαντο $O^{aev}\Lambda$ 29 αὐτοὺσ O^{v} 35 τὸν] τῶν O^{v} 36 ἀν' ἅπασαν O^{r} 37 αἱρετικῶν $I\Lambda$ αἱρετικῶν καὶ O μυσαρὰσ I

ἀναθεματισμοὺς οἷς βέβληνται οἱ εἰρημένοι διὰ τὰς ἀπηγορευμένας αὐτῶν πράξεις ἃς εἰργάσαντο. ἐφ' οἷς ἐγκαλύπτεσθαι ὀφείλοντες καὶ λέγειν τοῖς ὄρεσι πέσατε ἐφ' ἡμᾶς
Lc. 23, 30 καὶ καλύψατε ἡμᾶς ἢ ἐν τοῖς βάθεσι τῆς γῆς ἐγκατορύττεσθαι καὶ κρείττονα τῆς παρούσης ζωῆς τὸν θάνατον ἡγεῖσθαι διὰ τὸ μόνους αὐτοὺς τῶν πάντων αἱρετικῶν αἰωνίοις καὶ ἀλύτοις ἀναθέμασιν ὑποβεβλῆσθαι, τοῦτο μὲν οὐκ ἐποίησαν, ὡς ἐπὶ σεμνοῖς δὲ τοῖς αἰσχίστοις ἐγκαυχώμενοι εἰσέφρησαν, ὡς εἴρηται, τῇδε τῇ πόλει, καὶ ὁ μὲν ἡμέραν ἐξ ἡμέρας τῇ ἀσεβείαι προστίθησιν ἀδικίαν εἰς τὸ ὕψος λαλῶν καὶ τῶν ἁγίων κατεξανιστάμενος πατέρων καὶ τὰ τούτων ὀρθὰ διασύρων καὶ βλασφημῶν δόγματα, ὁ δὲ Πέτρος τὰ αὐτὰ βλασφημῶν καὶ παντὶ αἰσχρῶι καὶ μυσαρῶι ἐγχειρήματι ἑαυτὸν παρεμβάλλειν οὐ
Phil. 3, 19 παραιτούμενος, θεὸν ἔχων τὴν κοιλίαν καὶ τὴν ἐπομένην ταύτηι ἀσωτίαν καὶ τὴν δόξαν ἐν τῇ αἰσχύνηι αὐτοῦ ἐφ' ὕψους τε σοβαρῶς καθήμενος πρόεισι δημοσίαι ἐμπομπεύων πᾶσι τὴν αὐτοῦ ἀναίδειαν καὶ ὑπὸ τῶν παρεπομένων καὶ προπεμπόντων πάντας τοὺς
L V 125 παρατυγχάνοντας συνωθῶν πᾶσιν ἑαυτὸν δυνατὸν ἐπιδεικνύναι διὰ τούτου βούλεται. ὦ τίς Ἱερεμίας θρήνους πάθεσιν ἐξισοῦν δυνάμενος τὰ ἡμέτερα θρηνήσει κακά; μᾶλλον δὲ τὴν ἡμετέραν ῥαθυμίαν ὅτι τοιοῦτον ἔχοντες ὀρθόδοξον βασιλέα καὶ διαπύρωι ζήλωι τὴν ὀρθὴν περιέποντα πίστιν καὶ τὴν εἰρήνην τῶν ἁγίων τοῦ θεοῦ ἐκκλησιῶν ὡσεὶ κόρην
Ps. 16, 8 ὀφθαλμοῦ φυλάττειν προθυμούμενον παρασιωπῶμεν καὶ ἀνεχόμεθα οὕτως αἰσχρῶς καὶ ἀναιδῶς πολιτευομένους ὁρῶντες καὶ μετὰ πάσης παρρησίας τοὺς εἰρημένους ἀνοσίους Ἀκεφάλους. ἐφ' οἷς ἀλγοῦντες οὐ ξενιζόμεθα μὲν ὑπὸ τοῦ ἀποστόλου προδιδαχθέντες
2 Tim. 3, 13 ὅτι πονηροὶ ἄνθρωποι καὶ γόητες προκόψουσιν ἐπὶ τὸ χεῖρον πλανῶντες καὶ πλανώμενοι, ὁρῶντες τούτους οὕτως ἀναιδῶς παρρησιαζομένους, τῆς δὲ ἀσφαλείας τῶν πιστῶν πάντων μηδὲν ἔμπροσθεν τίθεσθαι ὑμᾶς καὶ τὸν εὐσεβέστατον ἡμῶν βασιλέα πιστεύοντες καὶ τῆς ἐπιστροφῆς τῶν ἐξαπατηθέντων παρ' αὐτῶν καὶ τοῦ στηριγμοῦ τῶν ἔτι καὶ νῦν σαλευομένων διὰ τῆς ἐκείνων ἑτεροδιδασκαλίας προνοεῖσθαι πεπεισ-
Mt. 18, 6 μένοι καὶ μάλιστα διὰ μνήμης ὑμᾶς φέρειν εἰδότες τὸ προηγορευμένον φοβερὸν κρίμα τῶι ἕνα τῶν μικρῶν σκανδαλίζοντι, καὶ ὅτι πρὸ ἡμῶν πάντως σκοπήσετε τὸ τῶι κοινῆι συμφέροντι λυσιτελοῦν, ἐπειδή, τὰ μέγιστα, ὡς οὐδέποτε ἢ ἄλλοι αἱρετικοὶ ἢ ἐν ἄλλοις καιροῖς, κατὰ πάντα ἐλυμήναντο τὴν ἁγίαν τοῦ θεοῦ ἐκκλησίαν οὗτοί τε καὶ οἱ τὰ ὅμοια τούτοις φρονοῦντες, τοῦτο παρακαλοῦμεν ὑμᾶς, μᾶλλον δὲ καὶ ἐνορκοῦμεν, εἰ καὶ τολμηρόν τι ποιοῦμεν, κατὰ τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῆς σωτηρίας καὶ νίκης τοῦ πιστοτάτου καὶ Χριστιανικωτάτου ἡμῶν βασιλέως καὶ τῶι θεῶι διὰ τὴν ὀρθὴν αὐτοῦ πίστιν πεφιλημένου ἐξακολουθοῦντας τῆι ἀποφάσει τοῦ ὁσίου καὶ ἀποστο-
M VIII 1006 λικοῦ ἀνδρὸς ἀρχιεπισκόπου τῆς πρεσβυτέρας Ῥώμης καὶ τοῖς τὸν ταύτης τῆς βασιλίδος πόλεως ἀρχιερατικὸν διακοσμήσασι θρόνον καὶ τοῖς μακαριωτάτοις πατριάρχαις Θεουπόλεως καὶ Ἱεροσολύμων καὶ τοῖς ἄλλοις ἀρχιερεῦσι πρότερον μὲν τῶι κατὰ τῶν αὐτῶν αἱρετικῶν παρὰ τῶν εἰρημένων ἁγίων ἀνδρῶν προενεχθέντι κρίματι καὶ ἀναθέματι ἀρτίως καὶ πρὸ τοῦδε, τούτωι καὶ ὑμᾶς ὑποβαλεῖν, κατ' ὄνομα πᾶσι φανερούντων καὶ ἀναθεματιζόντων ἐνώπιον θεοῦ καὶ ἀνθρώπων ἑκάστου ὑμῶν, Σεβῆρον καὶ Πέτρον καὶ τοὺς τὰ ὅμοια τούτοις φρονοῦντας καὶ μὴ μεταγνόντας ἀλλ' ἐπιμένοντας τῆι ἐκείνων πλάνηι καὶ

O | aerv|, l

2 πέσετε $O^{a}l$ 3 ἐγκατορύττεσθε O^{r}, corr. O^{r} 4 ἡγεῖσθε O^{r} 6 εἰσέφρησαν ἑαυτοὺσ I 7/8 κατεξανιστάμενοι O^{v} 11 ἐμπομπεύσων O^{e} 12 πᾶσι om. O^{r} καὶ om. O^{r} ὑπὸ O διὰ I 13 παρατυχόνταασ O^{arv} ἀποδεικνύναι O^{arv} 18 ἀνοσίους om. IΛ 21 οὖν post ὁρῶντεσ superscr. O^{a} 22 ἡμᾶσ O^{r} ἡμῶν om. I 23 περὶ τῆσ O^{r} 25 ἡμᾶσ O^{r} 25/26 τῶ-- σκανδαλίζοντι τὸ — κρίμα $O^{r}l$ 25 κριτήριον O^{e} τῶι| τὸ O^{a} 26 σμικρῶν O^{e} καὶ ὅτι IΛ καὶ O^{r} ὁ καὶ O^{aev} σκοπήσατε O^{v} κοινῶ O 31 καὶ^{1} om. O^{r}Λ καὶ^{2} τοῦ O^{arv} 32 ἐξακολουθοῦντεσ O^{arv} 32/33 ἀποστολικοῦ καὶ ὁσίου I 34 post πόλεωσ repetit τὸν O^{e} 35 Ἱεροσολύμοισ O^{r} 35/36 αὐτῶν αἱρετικῶν O αἱρετικῶν αὐτοὺσ I 37 τούτω O^{e}I τοῦτο O^{r} τούτου O^{arv} ὑποβάλλειν O^{arv} κατ' O καὶ τὸ I φοβερούντων O^{r} 38 ἀνοῦ O^{r} 39 ἐκείνου O^{arv}

τὰ ἀσεβῆ Σεβήρου δόγματα καὶ τοὺς ταῦτα δεχομένους καὶ τοὺς τούτων συμμύστας, ὥσπερ ἐπὶ Νεστορίωι καὶ Εὐτυχεῖ καὶ Διοσκόρωι καὶ τοῖς ἄλλοις αἱρετικοῖς τοῖς λαοῖς παραδιδόντες ποιεῖν εἰώθατε, διδάσκοντες τούτους διὰ τοῦ ἀναθέματος πάντηι τὸν ἐκείνων θανατηφόρον ἰὸν ἀποστρέφεσθαι, εὐθύς τε ἅμα πᾶσιν ἡμῖν πρὸς τὰ ἴχνη τοῦ εὐσεβεστάτου καὶ θεοφυλάκτου ἡμῶν βασιλέως δραμεῖν καὶ διδάξαι τὴν αὐτοῦ εὐσέβειαν πάντα μὲν τὰ παρακολουθήσαντα, δυσωπῆσαι δὲ τὴν αὐτοῦ ἡμερότητα ἐκεῖνα πρᾶξαι, ἅπερ ἡ φιλόχριστος αὐτῶν καὶ θεία ψυχὴ ἐφ' ἑκάστης ποιεῖν πέφυκεν ἐπὶ τῆι εἰρήνηι τῶν ἁγιωτάτων ἐκκλησιῶν καὶ τὴν αὐτοῦ θεοφύλακτον βασιλείαν ἀτάραχον καὶ ἀνενόχλητον διαφυλάττει, καὶ τοὺς παρ' ἡμῶν ἐξονομασθέντας καὶ τοὺς τὰ ὅμοια τούτοις φρονοῦντας ἐξελάσαι τῆσδε τῆς πόλεως καὶ παῦσαι τὰς γινομένας παρασυνάξεις καὶ παραβαπτίσματα καὶ ταραχάς. ἀλλὰ μὴν καὶ Ζωόραν τινὰ Σύρον ἀλόγιστον τοῦ αὐτῶν ἐμέτου καὶ ἰοῦ τυγχάνοντα δυσωποῦμεν ὑπαχθῆναι τούτοις, πάσης ἀνοίας καὶ ἀλαζονείας πλήρη ὄντα καὶ μηδὲν ἕτερον μαθόντα ἢ ὃ παρέλαβε παρ' ἐκείνων, τὸ κατὰ τῶν ἁγίων ἡμῶν πατέρων ἀνάθεμα καὶ τῶν τούτοις κοινωνούντων καὶ τὸ τοὺς πρὸς αὐτὸν παραγινομένους τοῦτο ποιεῖν ἀναγκάζειν καὶ παρασυνάξεις καὶ παραβαπτίσματα καινοτομεῖν καὶ θορύβους ταῖς ἁγίαις τοῦ θεοῦ κινεῖν ἐκκλησίαις, αὐτούς τε τούτους καὶ τοὺς ἄλλους ἐμφωλεύοντας ἐν διαφόροις οἴκοις καὶ προαστείοις τῆσδε τῆς πόλεως ὥσπερ τινὰ θηρία ὑπεξαγαγεῖν καὶ τῶι πρέποντι αὐτοῖς τόπωι καταδικάσαι, οἷα μὴ βουληθέντας ἐν ταῖς ὑπὸ τὴν αὐτοῦ εὐσέβειαν εὐνομουμέναις πόλεσι σωφρόνως καὶ ἡσύχως διάγειν μηδὲ ἐνταῦθα γενομένους κρείττους ἑαυτῶν γενέσθαι ἐκ τῆς περὶ αὐτοὺς ἐπιδειχθείσης ἀφάτου καὶ χρονίας μακροθυμίας καὶ θεραπείας καὶ τιμῆς, τοῦ εὐσπλάχνου ἡμῶν βασιλέως τὴν ἐκείνων σωτηρίαν πραγματευσαμένου, ἀλλὰ τῆς ὑπερβαλλούσης φιλανθρωπίας ὑπεριδόντας ἀναξίους ταύτης πεφηνέναι καὶ εἰς τοσοῦτον ἀπονοίας καὶ ἀλαζονείας ἀρθῆναι, εἰς ὅσον καὶ τετίμηνται καὶ ἀδεῶς πάντα πράττειν παρακεχώρηνται· γενικήν τε διάταξιν πανταχοῦ καταπέμψαι πρός τε τοὺς ὁσίους ἀρχιερεῖς πρός τε τοὺς δημοσίους ἄρχοντας πάντα τὰ εἰρημένα γίνεσθαι ἀπαγορεύουσαν, ἀλλὰ καὶ τοῦτο θεσπίζουσαν ὥστε τοὺς οἴκους καὶ τὰ προάστεια ἐν οἷς αἱ τοιαῦται παρασυνάξεις γίνονται, προσκυροῦσθαι ταῖς κατὰ τόπον ἁγιωτάταις ἐκκλησίαις. καὶ οἱ βασιλικοὶ γὰρ νόμοι θεσπίζουσι πάντα τόπον καὶ πρᾶγμα ἐν ὧι καὶ δι' οὗ εἴτε κατὰ πλάνην εἴτε κατὰ ἀλήθειαν ἱερόν τι ἐπετελέσθη, ταῖς ἁγίαις τοῦ θεοῦ προσήκειν ἐκκλησίαις καὶ τοῦτο ἡμῖν εἰσηγεῖται ἡ θεία γραφή, ὅτε Μωσῆς ὁ τοῦ θεοῦ θεράπων τὰ οὐχ ἱερατικὰ πυρεῖα εἰς κατασκευὴν τῶν τοῦ ναοῦ προχωρῆσαι θεόθεν διδαχθεὶς ἐνομοθέτησεν, ἐπειδὴ εἰ καὶ ἀλλότριον πῦρ, ὅμως γοῦν ἐν αὐτοῖς προσήνεγκαν καὶ ἐτέλεσαν τὴν ἀπηγορευμένην αὐτοῖς ἱερατικὴν λειτουργίαν Δαθὰν καὶ Ἀβειρὼν καὶ ἡ συναγωγὴ Κορὲ οἱ τότε τῆς ἱερωσύνης καὶ τοῦ προφήτου καὶ τοῦ θεοῦ ἀναισχύντως κατεξαναστάντες, καθάπερ νῦν οὗτοι πρὸς ἀσέβειαν ἑαυτοὺς ἐκμισθοῦντες ψευδώνυμοι ἱερεῖς καὶ ἀληθεῖς ἀντίχριστοι τοῖς οἴκοις ἐπεισῆλθον καὶ ἀλλότρια ἤγειραν θυσιαστήρια καὶ καταβαπτιστήρια ὠικοδόμησαν ἐξ ἐναντίας τοῦ ἀληθινοῦ θυσιαστηρίου καὶ τῆς ἁγίας κολυμβήθρας. θεσπίσαι δὲ καὶ τοῦτο ἱκετεύομεν

L V 128

Cod. Iust. I 5, 3. 5

M VIII 1007

Num. 16, 36 sq.

Leu. 10, 1

O [= aerv], I

1 τοῖς ἀσεβέσι I δόγματα Or δόγμασι I διδάγματα Oav συγγράμματα Oe δόγματα καὶ συγγράμματα Λ 2/3 ποιεῖν εἰώθατε τοῖσ — παραδιδόντεσ OeΛ τοῖς λαοῖς om. I 3 δι' ἀναθέματος I τῶν Or, corr. τὸν Or 5 μὲν om. I 6 τὲ I 7 αὐτοῦ Oe 8 διαφυλάττει in διαφυλάττειν corr. Or 9 τούτων Or, corr. Or 11 ζωώραν I ut solet αὐτοῦ Oav ἰοῦ OarvI υἱοῦ Oe 12 ἀγνοίασ Oaev πλήρησ Ov 13 πρῶν ἡμῶν Oav 14 παραγενομένουσ Or παραγενομένοισ Ov 16 κινεῖν Oe om. OarvI διαφόροις τόποις καὶ οἴκοις I 17 ἐξαγαγεῖν Oav 18 γενομένουσ βουληθέντασ I 20 παρ' αὐτοῦ Oe ἀφάτου Oaev Λ ἀφάτου καὶ ἀρρήτου Or I καὶ χρονίας om. I καὶ1 om. Or ἐπιθυμίασ Orv 21 ἐκείνου Or πραγματευσάμενοι Oe πραγματευσαμένων Ov 25 τε om. Oe 25/26 ἀλλὰ — θεσπίζουσαν om. Oa 28 γὰρ IΛ om. O 29 ἐτελέσθη I ἁγιωτάταισ Oav 30 εἰσήγηται Ov ὁ om. Oav πυρία Or 31 καὶ εἰ Oe 32 ἐν αὐτοῖσ Oe 33 ἀβειρὸν Ov

τὸ αὐτοῦ εὐσεβὲς κράτος πάντα τὰ κατὰ τῆς ἁγίας ἐν Χαλκηδόνι συνόδου καὶ τοῦ μακαρίου Λέοντος Σεβήρου ἀσεβῆ συγγράμματα ὁπουδήποτε εὑρισκόμενα πυρὶ παραδίδοσθαι· τοῦτο γὰρ καὶ ἐπὶ τοῖς Μάνεντος καὶ Νεστορίου ἀσεβέσι συγγράμμασι γίνεσθαι εὐσεβεῖς
Cod. Iust. 1, διαγορεύουσι διατάξεις. τὰ δὲ κανονικῶς πραχθέντα ἐπὶ τοῖς εἰρημένοις προσώποις
5, 6. 1 δυσωποῦμεν τὴν ὑμετέραν μακαριότητα καὶ τὸν ἱερὸν ὑμῶν σύλλογον ἐπιζητῆσαι παρά τε τῶν συνεδρευόντων ὑμῖν ὁσιωτάτων Ῥωμαίων καὶ τῶν προσκαρτερούντων ὑμῖν θεοσεβεστάτων νοταρίων, ἔτι γε μὴν καὶ τῶν τὰς ἀποκρίσεις ποιουμένων θεοφιλῶν ἀνδρῶν τῆς Ἀνατολικῆς διοικήσεως, ὥστε τούτων φανερῶν γινομένων ἐξακολουθῆσαι τὴν ὑμετέραν μακαριότητα καὶ τὴν συνεδρεύουσαν ὑμῖν ἁγίαν σύνοδον τοῖς ὁρισθεῖσι κατ' αὐτῶν παρὰ τῶν τοὺς εἰρημένους πατριαρχικοὺς θρόνους κατακοσμησάντων ἁγίων ἡμῶν πατέρων καὶ
L V 129 ἀναθεματίσαι τοὺς εἰρημένους Σεβῆρον καὶ Πέτρον καὶ τοὺς τούτων ἀκολούθους καὶ τοῦ αὐτῶν φρονήματος ὑπάρχοντας καὶ μάλιστα τὸν μνημονευθέντα Ζωόραν ὡς ἐπίσης τούτων ἢ καὶ πλεῖον τὴν ἐκκλησίαν τοῦ θεοῦ διαταράξαντα καὶ καθόλου πάντα ἐκκήρυκτον γενόμενον ὑπό τε τοῦ ἀποστολικοῦ θρόνου καὶ πάσης ἁγίας καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας ὡς μὴ θέλοντα τούτοις ἀκολουθῆσαί τε καὶ κοινωνῆσαι.

Ὑπογραφαί

1 Μαριανὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ ἐν ἁγίοις Δαλματίου καὶ ἔξαρχος τῶν εὐαγῶν μοναστηρίων ταύτης τῆς βασιλίδος πόλεως ὑπογράψας ἐπέδωκα: —

2 Ἀγαπητὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Δίου δεηθεὶς ὑπέγραψα: —

3 Ἀγάπιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ τῆς ὁσίας μνήμης Θαλασσίου ὑπογράψας ἐπέδωκα: —

4 Ἀλέξανδρος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ ἐν ἁγίοις Ἀβραμίου ὑπογράψας ἐπέδωκα: —

5 Θεόδωρος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Ἰωβ ὑπογράψας ἐπέδωκα: —

6 Ἐλευθέριος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου μάρτυρος Κυριακοῦ ὑπογράψας ἐπέδωκα: —

7 Στέφανος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Ὀλυμπίου ⟨ὑπογράψας⟩ ἐπέδωκα: —

8 Κυριακὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Σύρων ὑπογράψας ἐπέδωκα: —

9 Θεόδωρος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Τρύφωνος ὑπογράψας ἐπέδωκα: —

10 Στέφανος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Κώνστα ὑπογράψας διὰ χειρὸς Ἰακώβου ἐπέδωκα: —

M VIII 1010 11 Παῦλος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Ῥωμαίων ὑπογράψας ἐπέδωκα: —

O [ae, r usque ad 23, v], l [usque ad 23]

4 διατάξεισ διαγορεύουσι O^{e} κοινῶσ O^{av} ἐπὶ O^{e}IΛ ἐν O^{arv} 6/7 συνεδρευόντων ὑμῖν θεοσεβεστάτων νοταρίων καὶ τῶν προσκαρτερούντων ὑμῖν ὁσιωτάτων ῥωμαίων O^{v} 6 ὑμιν^{1} l ὑμῖν καὶ O^{aer} 7 γε om. O^{er} θεοφιλεστάτων O^{e} 8 ὥστε O^{rl} ὡσ ἂν O^{aev} φανερῶσ O^{av} 10 ἡμῶν om. O^{rl} 12/13 τούτοισ O^{v} 13 χῦ O^{av} πάντη O^{rl} 15 ὡσ l καὶ ὡσ O^{r} καὶ O^{aev}Λ 16 αἱ ὑπογραφαί O^{a} om. O^{rv}l 17 μαρινιανόσ O^{e} 17 (t semper ἐλέω O^{e} 18/19 ὑπογράφων O^{r} 20 θεοῦ om. l μονῆς om. O^{r} 22 μονῆς om. O^{r} 23 ὑπογράψασ ἐπέδωκα O^{arv} ὑπέγραψα O^{e} 24—p. 52, 4 Ἀλέξανδρος — ὑπέγραψα] σὺν τοῖσ λοιποῖσ ἅπασι O^{rl} 24 ἀρχιμανδρίτησ O^{e}Λ ἡγούμενοσ O^{av} 26 καὶ ἡγούμενος om. O^{av} 29 ὑπογράψας Λ om. O

12 IVLIANVS ELEI THEOY PRESBYTERVS CAE HEGVMENVS MONES TON ROMAEON YPOGRA⟨PSA⟩S EPEDOCA: —

13 Ἰωάννης ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου ἀποστόλου Θωμᾶ ὑπογράψας ἐπέδωκα: —

14 Κοσμᾶς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου ὑπογράψας ἐπέδωκα: —

15 Διόσκορος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Ὀλυβρίου ὑπογράψας ἐπέδωκα: —

16 Δημήτριος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Φωκᾶ ὑπογράψας ἐπέδωκα: —

17 Κυριακὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Εὐφημίου ὑπογράψας ἐπέδωκα: —

18 Ἀλέξανδρος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ καλαμίου ὑπογράψας ἐπέδωκα: —

19 Ἰωάννης ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου καὶ ἐνδόξου ἀρχαγγέλου Μιχαὴλ ὑπογράψας ἐπέδωκα: —

20 Φωκᾶς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Ἰωνᾶ ὑπογράψας ἐπέδωκα: —

21 Στέφανος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Προμώτου ὑπογράψας ἐπέδωκα: — L V 132

22 Δάδας ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Καιουμᾶ ὑπογράψας ἐπέδωκα: —

23 Γεννάδιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Κυριακοῦ ὑπογράψας ἐπέδωκα: —

24 Κυρίων ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Αἰγυπτίων ὑπογράψας ἐπέδωκα: —

25 Θεόδωρος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Μαρωνίου ὑπογράψας ἐπέδωκα: —

26 Διονύσιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Μάρκου ὑπογράψας ἐπέδωκα: —

27 Ἰωάννης ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Θεοδώρου ἐν τῇ πέτραι ὑπογράψας ἐπέδωκα: —

28 Ἐλευθέριος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Νέωνος ὑπογράψας ἐπέδωκα: —

29 Ζώιλος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Θεοδότου ὑπογράψας ἐπέδωκα: —

30 Τιμόθεος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Ἀστερίου ὑπογράψας ἐπέδωκα: —

31 Μάρκος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου Κυρίκου ὑπογράψας ἐπέδωκα: —

32 Ἀνδρέας ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς ἁγίας ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας ὑπογράψας ἐπέδωκα: —

O [= aev]

1/2 om. O^{av} 1 THEEY O^{e} IAE O^{e} HEGYMEVS MENESTO O^{e} YPOGRÁS EPEDWCA O^{e} 6 Ἰωάννου om. O^{e} 7 ὀλυμβρίου O^{ev}Λ 15 μονῆσ O^{e}Λ μονῆσ τοῦ εὐαγοῦσ O^{av} 15/16 ἁγίου καὶ ἐνδόξου om. O^{e}Λ 19 τῶν O^{e} τοῦ O^{av} προμότου O^{e} 23—25 Κυριακοῦ — μονῆς om. O^{v} 23 κυριακῆσ O^{e} 31/32 ἐν τῇι πέτραι om. O^{a} 39 μονῆς om. O^{av} κηρύκου O^{e} 41 μονῆς om. O^{av} 41/42 ἐνδόξου — μαρίασ O^{av} θεοτόκου O^{e} *dei genetricis Bessorum* Λ

33 Κυριακὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου μάρτυρος Γεωργίου ἐν τῇ Ξηροκέρκωι ὑπογράψας ἐπέδωκα: —

34 Παῦλος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος τῶν ἁγίων Πέτρου καὶ Παύλου τῶν ἀποστόλων, Σεργίου καὶ Βάκχου τῶν μαρτύρων ὑπογράψας ἐπέδωκα: —

M VIII 1011 35 Ἀττικὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Εὐκρατάδων ὑπογράψας ἐπέδωκα: —

36 Στρατόνικος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου μάρτυρος Δομετίου ὑπογράψας ἐπέδωκα: —

37 Μάρκος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Θεοδώρου ὑπογράψας ἐπέδωκα: —

38 Ζώσιμος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Μαξιμίνου ὑπογράψας ἐπέδωκα: —

39 Παῦλος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου Ζηνοβίου ὑπογράψας ἐπέδωκα: —

40 Ἰωάννης ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Ἰσαακίου ὑπογράψας ἐπέδωκα: —

41 Ἰάκωβος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Ἀββίβου ὑπογράψας ἐπέδωκα: —

42 Γεώργιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Κύρου ὑπογράψας ἐπέδωκα: —

43 Παῦλος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Σαμουὴλ κατὰ τὸν Σκύθην ὑπογράψας διὰ Ζωτικοῦ διακόνου ἐπέδωκα: —

44 Πέτρος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς ἐπίκλην Ἱερουσαλὴμ ὑπογράψας ἐπέδωκα: —

L V 133 45 Μαρῖνος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Παυλίνου ὑπογράψας ἐπέδωκα: —

46 Μόδεστος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς ἐπίκλην τῶν Λυκαόνων ὑπογράψας διὰ χειρὸς Φλαβιανοῦ πρεσβυτέρου ἐπέδωκα: —

47 Ἀντώνιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Εὐσεβίου ὑπογράψας ἐπέδωκα: —

48 Τρύφων ἐλέει θεοῦ πρεσβύτερος μονῆς τῶν Μανουηλίου ὑπογράψας ἐπέδωκα: —

49 Θεόκτιστος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς ἁγίας ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας ὑπογράψας ἐπέδωκα: —

50 Ζήνων ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς διακειμένης ἐν Καλῶι ἀγρῶι τοῦ ἁγίου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου ὑπογράψας ἐπέδωκα: —

51 Παῦλος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς ἁγίας μάρτυρος Ἑρμιόνης ἐν τοῖς Ἐλλεβίχου ὑπογράψας διὰ χειρὸς Μαρίνου ἀναγνώστου ἐπέδωκα: —

52 Σίλας ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Ἠλία ὑπογράψας ἐπέδωκα: —

O [= aev]

1 μονῆς om. O^{av} 1—3 τοῦ ἁγίου — ἡγούμενος om. O^{v} 1 μάρτυρος om. $O^{e}\Lambda$ 2 τῇ O^{e} 4 τῶν ἀποστόλων O^{av} om. O^{e} σεργίου — μαρτύρων O^{av} καὶ τῶν ἁγίων μαρτύρων σεργίου καὶ βάκχου $O^{e}\Lambda$ 5 ἀκρατάδων O^{av} 7 ἐλέω θῦ O^{e} om. O^{av} 9 *Theodori de exceptoris* Λ 17 Ἰάκωβοσ $O^{av}\Lambda$ Ἰωάννησ O^{e} ἀββίβου O^{ae} 22 διὰ ζωτικοῦ διακόνου ὑπογράψασ O^{e} 27 ἐπίκλην om. $O^{e}\Lambda$ 28 χειρὸς om. $O^{e}\Lambda$ *presbyterum et deuterarium* Λ 29/30 ἐν — ἡμῶν O^{av} ἁγίου $O^{e}\Lambda$ 31 om. O^{av} 32/33 ἁγίασ — μαρίασ O^{av} θεοτόκου O^{e} *dei genetricis Mariae virginis* Λ 37 ἐλεβίχου O^{e}

53 Ἰωάννης ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Μάρα πλησίον τῆς Ἀετίου κινστέρνης ὑπογράψας ἐπέδωκα: —

54 Βασίλειος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου Συμεῶνος ἐπίκλην Κυρακωνᾶ ὑπογράψας ἐπέδωκα: —

55 Θεόδωρος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς ὑπ' ἐμοῦ χάριτι Χριστοῦ συστάσης ὑπογράψας ἐπέδωκα: —

56 Βαβύλας ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ τῆς ὁσίας μνήμης Δανιὴλ τοῦ ἐν τῶι στύλωι καὶ τοῦ ἁγίου Ἰωάννου τοῦ προδρόμου καὶ βαπτιστοῦ M VIII 1014 καὶ τοῦ ἁγίου ἀποστόλου Ἀνδρέου ὑπογράψας ἐπέδωκα: —

57 Πολυχρόνιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης τοῦ ἁγίου ἀρχαγγέλου Μιχαὴλ τοῦ ἐν τῶι αἰθρίωι ὑπογράψας δι' Ἀναστασίου μοναχοῦ ἐπέδωκα: —

58 Ἀναστάσιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Ῥωμαίων ὑπογράψας ἐπέδωκα:

59 Ἀνδρέας ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος τῶν Ῥωμαίων ὑπογράψας ἐπέδωκα: —

60 Ῥόδων ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Θεοδώρου ὑπογράψας ἐπέδωκα: —

61 Ἐλπίδιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Βασιανοῦ ὑπογράψας ἐπέδωκα: —

62 Ζώσιμος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Λυκαόνων πλησίον τοῦ ἁγίου Λαυρεντίου ὑπογράψας ἐπέδωκα: —

63 Πολυχρόνιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῶν Κρητικῶν ὑπογράψας ἐπέδωκα: —

64 Ἰωσὴφ ἡγούμενος τῆς ἁγίας ἐνδόξου παρθένου καὶ θεοτόκου Μαρίας τῆς οὔσης ἐν τῶι λιθοστρώτωι ὑπογράψας διὰ χειρὸς Στεφάνου πρεσβυτέρου καὶ δευτεραρίου μου ἐπέδωκα: —

65 Ζωτικὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ ἁγίου Ἀνδρέου πλησίον τῆς Σατορνίνου πόρτης ὑπογράψας ἐπέδωκα: —

66 Μαρτύριος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Οὐάλεντος τοῦ ἁγίου Ἰωάννου τοῦ βαπτιστοῦ ὑπογράψας ἐπέδωκα: — L V 136

67 Ἰωάννης ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῆς πλησίον τοῦ ἁγωγοῦ ὑπογράψας ἐπέδωκα: —

68 Στέφανος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Ῥωμαίων πλησίον τοῦ ἁγίου Γεωργίου Συκῶν ὑπογράψας ἐπέδωκα: —

69 Σαββάτιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Ὑπατίου ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον τῆς Χαλκηδονίων μητροπόλεως ὑπέγραψα διὰ χειρὸς Ἰωάννου διακόνου τοῦ αὐτοῦ μοναστηρίου διὰ τὸ ἐμὲ γράμματα μὴ εἰδέναι: —

70 Ἰωάννης ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης τῆς εὐαγοῦς μεγάλης μονῆς τῶν Ἀκοιμήτων τῆς ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον τῆς Χαλκηδονίων λαμπρᾶς μητροπόλεως ὑπέγραψα: —

O [= aev]

1—3 Μάρα — μονῆς om. O^{v} 1 ἀετοῦ O^{a} 5 μονῆς om. O^{v} *monasterii s. Laurentii martyris* Λ χάριτι χῦ O^{av} θυ χάριτι $O^{e}Λ$ 14/15 om. O^{av} 18 ἐλέει θεοῦ om. O^{e} 25/26 δευτερίου O^{av} 27 ἀρχιμανδρίτησ O^{av} ἡγούμενοσ $O^{e}Λ$ 28 σατουρίνου O^{e} 31 ἡγούμενοσ, superscr. ἀρχιμανδρίτησ O^{a} 33 τῆσ μονῆσ O^{e} 36 χαλκηδονέων ut solet O^{v} χαλκηδόνων O^{e} 37 γράφειν O^{a} 40/41 τῆσ — μητροπόλεωσ O^{av} χαλκηδόνοσ $O^{e}Λ$

71 Κυπριανὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Ὁσίας ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον τῆς Χαλκηδονίων μητροπόλεως ὑπέγραψα: —

72 Ἰωάννης ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς ἐξαγώνου ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον τῆς Χαλκηδονίων μητροπόλεως ὑπέγραψα: —

73 Στέφανος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Ὀρχάδων ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον τῆς Χαλκηδονίων μητροπόλεως ὑπέγραψα: —

74 Τρύφων ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς Ἱερίου ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον τῆς Χαλκηδονίων μητροπόλεως ὑπέγραψα: —

75 Γεώργιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Κράνων ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον τῆς Χαλκηδονίων μητροπόλεως ὑπέγραψα: —

76 Πολυχρόνιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Ἀλαπέδων ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον τῆς Χαλκηδονίων μητροπόλεως ὑπέγραψα: —

M VIII 1015 77 Παῦλος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς Πηγῆς ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον τῆς Χαλκηδονίων ὑπέγραψα: —

78 Σεβηριανὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Σύρων ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον τῆς Χαλκηδονίων ὑπέγραψα: —

79 Εἰρηνικὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Ζωγραφητῶν ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον τῆς Χαλκηδονίων ὑπέγραψα: —

80 Μεγαλήμερος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Κρανίδων ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον τῆς Χαλκηδονίων ὑπέγραψα: —

81 Μαρκελλῖνος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου ἐνδόξου ἀρχαγγέλου Μιχαὴλ Ῥουφινιανῶν ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον ὑπέγραψα: —

82 Ἰωάννης ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Βαρνάβα ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον ὑπέγραψα: —

83 Θεόδωρος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Ἀπολλωνίου ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον ὑπέγραψα: —

84 Παῦλος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Γαλακρηνῶν ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον ὑπέγραψα: —

L V 137 85 Στέφανος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Ἀντιοχειανῶν ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον ὑπέγραψα: —

86 Στέφανος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν ἁγίων τεσσαράκοντα ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον ὑπέγραψα: —

87 Δωρόθεος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Πατιόρων ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον ὑπέγραψα: —

88 Ἐλπίδιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ Κριθίνου ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον τῆς Χαλκηδονίων ὑπέγραψα: —

89 Ἐλευθέριος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Ῥωμαίων πλησίον τῶν Ῥουφινιανῶν ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον τῆς Χαλκηδονίων μητρο-

---

O [= aev]

2 et semper usque ad 12 τῆσ — μητροπόλεωσ O^{aev} χαλκηδόνοσ $O^{e}\Lambda$ 3 μονῆσ om. O^{v} 7 ἑρίου O^{v} 11 ἀλλαπέδων O^{aev} 12 μητροπόλεως om. O^{v} 14. 16. 18 τῆς Χαλκηδονίω. om. O^{e} 20 τῆσ μητροπόλεωσ χαλκηδόνοσ $O^{e}\Lambda$ 21 μαρκελίνοσ O^{a} μονῆς om. O^{av} ἁγίου ἐνδόξου om. $O^{e}\Lambda$ 22 ὑπὸ — ἐπίσκοπον om. O^{e} 27 ἐπίσκοπον τῆσ χαλκηδονέων O^{v} 28 γαλακρίνων O^{aev} 29 ἐπίσκοπον τῆσ χαλκηδονέων O^{v} 30—32 Ἀντιοχειανῶν — μονῆς om. O^{v} 30 ἀντιοχιανῶν O^{a} 34/35 om. O^{aev} 37 τῆς Χαλκηδονίων om. $O^{e}\Lambda$ 39 τῶν om. O^{av} 39—p. 49, 1 τῆς Χαλκηδονίων μητροπόλεως om. $O^{e}\Lambda$

πόλεως ὑπέγραψα διὰ χειρὸς Γεωργίου ἀναγνώστου διὰ τὸ ὀλιγογράμματον εἶναί με: —

90 Ἰορδάνης ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς πέτρας ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον τῆς Χαλκηδονίων ὑπέγραψα: —

91 Μάρκελλος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ Δαλματίου ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον ὑπέγραψα: —

92 Ἰούλιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς ἁγίας μάρτυρος Βάσσης ἐν τῶι Ἰμερίωι ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον ὑπέγραψα: —

93 Ἰσίδωρος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς ἰδίας τῆς οὔσης ἐν φυτοῖς πλησίον τοῦ ἁγίου μάρτυρος Ἐπιμάχου ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον Χαλκηδονίων ὑπέγραψα: —

94 Εὐγένιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ Λευκαδίου ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον ὑπέγραψα διὰ χειρὸς Παύλου διακόνου τοῦ αὐτοῦ εὐαγοῦς μοναστηρίου διὰ τὸ ἐμὲ μὴ δεδυνῆσθαι ὑπογράψαι ἐκ τοῦ γήρους: —

95 Φωτεινὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου Πλάτωνος ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον ὑπέγραψα διὰ χειρὸς Γεωργίου διακόνου τοῦ αὐτοῦ μοναστηρίου διὰ τὸ ἐμὲ γράμματα μὴ εἰδέναι: —

96 Ἰωάννης ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου ἀποστόλου Θωμᾶ Βρόχθων ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον τῆς Χαλκηδονίων ὑπέγραψα: —

97 Στέφανος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Στεφανᾶ ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον τῆς Χαλκηδονίων ὑπέγραψα: — M VIII 1018

98 Εὐγένιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Διαπέτρων ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον τῆς Χαλκηδονίων ὑπέγραψα: —

99 Κόνων ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου Ἰουλιανοῦ Βρόχθων ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον ὑπέγραψα: —

100 Μαρῖνος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς ἀνδριάντων ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον ὑπέγραψα: —

101 Ἰωάννης ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς βρύων ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον ὑπέγραψα: —

102 Ἀρδαβούριος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου Θεοδώρου τῶν σμιλακίων ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον ὑπέγραψα: —

103 Στέφανος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου Ζαχαρίου τοῦ Στιβαραχίου ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον ὑπέγραψα: —

104 Ἰωάννης ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου Θωμᾶ ἐπὶ δρόμων τῶν ἄνω ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον τῆς Χαλκηδονίων μητροπόλεως ὑπέγραψα διὰ Κυρεῶνος πρεσβυτέρου τῆς αὐτῆς μονῆς καὶ δευτεραρίου μου διὰ τὸ ἐμὲ ἀγράμματον εἶναι: —

105 Θεόδωρος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου Στεφάνου τῶν Λύδα ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον ὑπέγραψα: — L V 140

O [= acv]

1/2 διὰ — εἶναί με om. $O^{e}\Lambda$ 3 μονῆς om. O^{av} 4 τῆς Χαλκηδονίων om. $O^{e}\Lambda$ 4. 11. 19. 22. 24. 36 χαλκηδονέων O^{v} 5 μονῆς om. O^{a} 7 μάρτυρος om. O^{e} 8 Ιμέρω $O^{e}\Lambda$ ἐπίσκοπον om. O^{v} 11 Χαλκηδονίων om. O^{e} 12 λευκάδοσ O^{v} 13/14 τοῦ αὐτοῦ — γήρουσ O^{av} τῆσ αὐτῆσ μονῆσ ὡσ μὴ δυνάμενοσ διὰ τὸ γῆρασ $O^{e}\Lambda$ 15 καὶ ἡγούμενος om. O^{e} 16/17 διὰ χειρὸσ — εἰδέναι O^{av} om. O^{e} 17 γράμματα O^{v} γράφειν O^{a} 18 μονῆς om. O^{e} 19. 22. 24 τῆς Χαλκηδονίων om. $O^{e}\Lambda$ 28. 32. 34 ἐπίσκοπον om. O^{v} 31 μονῆς om. O^{e} 36/37 τῆς — μητροπόλεωσ om. O^{e} 37/38 διὰ κυρεῶνοσ — εἶναι O^{av} om. O^{e} 37 πρεσβυτέρου] πέτρου O^{v} 37/38 δευτερίου O^{av} 40 τῶν O^{e} τοῦ O^{av}

106 Στέφανος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Κοκκίου ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον Χαλκηδονίων ὑπέγραψα: —

107 Εὐσέβιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου μάρτυρος Χριστοφόρου τῶν Ταρυλλίου ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον ὑπέγραψα: —

108 Ἰάκωβος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ καλαμίου τοῦ κάτω ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον ὑπέγραψα: —

109 Ἡσύχιος ἐλέει θεοῦ πρεσβύτερος καὶ μοναχὸς μονῆς τοῦ μακαρίου Θεοδοσίου ποιούμενος τοὺς λόγους καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ ὑπὸ τὴν ἁγίαν πόλιν ἐρήμωι μοναχῶν ὑπογράψας ἐπέδωκα: —

110 Δομετιανὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Μαρτυρίου καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ ὑπὸ τὴν ἁγίαν πόλιν ἐρήμωι μοναχῶν ὑπογράψας ἐπέδωκα: —

111 Κασσιανὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ μοναχὸς λαύρας τῶν Σάββα ποιούμενος τοὺς λόγους καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ ὑπὸ τὴν ἁγίαν πόλιν ἐρήμωι μοναχῶν ὑπογράψας ἐπέδωκα: —

112 Κυριακὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης λαύρας τῶν πυργίων ποιούμενος τὸν λόγον καὶ ὑπὲρ πάντων τῶν ἐν τῶι Ἰορδάνηι μοναχῶν ὑπογράψας ἐπέδωκα: —

113 Νέσταβος ἐλέει θεοῦ πρεσβύτερος καὶ μοναχὸς λαύρας τοῦ μακαρίου Φιρμίνου ποιούμενος τοὺς λόγους καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ ὑπὸ τὴν ἁγίαν πόλιν ἐρήμωι μοναχῶν ὑπογράψας ἐπέδωκα: —

114 Τερέντιος ἐλέει θεοῦ πρεσβύτερος καὶ μοναχὸς λαύρας Νέας ποιούμενος τοὺς
M VIII 1019 λόγους καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ ὑπὸ τὴν ἁγίαν πόλιν ἐρήμωι μοναχῶν ὑπογράψας ἐπέδωκα: —

115 Τραιανὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ μοναχὸς τῶν πυργίων τοῦ Ἰορδάνου καὶ ὑπὲρ πάντων τῶν ἐν τῶι Ἰορδάνηι μοναχῶν ὑπογράψας ἐπέδωκα: —

116 Κύρικος ἐλέει θεοῦ πρεσβύτερος καὶ μοναχὸς τῆς Νέας λαύρας καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ ὑπὸ τὴν ἁγίαν πόλιν ἐρήμωι μοναχῶν ὑπογράψας ἐπέδωκα: —

117 Λεόντιος ἡγούμενος καὶ μοναχὸς ἰδίου μοναστηρίου καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ ἐρήμωι καὶ Ἰορδάνηι ἁγίων πατέρων ὑπογράψας ἐπέδωκα: –

118 Θεόδωρος διάκονος καὶ μοναχὸς Νέας λαύρας καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ ἐρήμωι Ἱεροσολύμων μοναχῶν ὑπογράψας ἐπέδωκα: —

119 Πολύευκτος διάκονος καὶ μοναχὸς τῆς μονῆς τοῦ μακαρίου Θεοδοσίου καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ ἐρήμωι Ἱεροσολύμων μοναχῶν ὑπογράψας ἐπέδωκα: —

120 Ἀναστάσιος διάκονος καὶ μοναχὸς μονῆς τοῦ μακαρίου Μαρτυρίου καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ ἐρήμωι Ἱεροσολύμων μοναχῶν ὑπογράψας ἐπέδωκα: –

121 Νίκων μοναχὸς μονῆς τοῦ μακαρίου Θεοδοσίου καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ ἐρήμωι Ἱεροσολύμων μοναχῶν ὑπογράψας ἐπέδωκα: —

O [= acv]

2 χαλκηδονέων O^{v} om. $O^{e}\Lambda$ 3 μάρτυρος om. $O^{e}\Lambda$ 4 ἐπίσκοπον om. O^{v} 6 μονῆς om. O^{av} 8 μοναχὸς O^{av} ἡγούμενος $O^{e}\Lambda$ δεοδοσίου O^{v} 9 τῆ ἐρήμω τῆ ὑπὸ — πόλιν O^{e} 12 καὶ O^{av} ποιούμενος τοὺς λόγους καὶ $O^{e}\Lambda$ 14 κασιανὸς O^{av} μοναχὸς O^{av} ἡγούμενος $O^{e}\Lambda$ τῶν] τοῦ μακαρίου p. 36, 33 18 τοὺς λόγους O^{e} 20 μακαρίνου O^{v} 21. 24 ὑπὸ — πόλιν˙ ἁγία πόλει O^{v} 24 ἐρήμων O^{v} 27 et semper usque ad p. 51, 5 καὶ O^{av} ποιούμενος τοὺς λόγους καὶ $O^{e}\Lambda$ 28 κήρυκος O^{e} 30 et semper usque ad p. 51, 13 ἐλέει θεοῦ nominibus postponunt O^{v} μοναχὸς καὶ ἡγούμενος $O^{e}\Lambda$ 34 θεοδώρου O^{v} 36 διάκονος καὶ om. O^{av} τῆς μονῆς O^{v} 36–38 Μαρτυρίου — μακαρίου om. O^{av} 38 θεοδώρου O^{v}

106 Στέφανος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Κοκκίου ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον Χαλκηδονίων ὑπέγραψα: —

107 Εὐσέβιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου μάρτυρος Χριστοφόρου τῶν Ταρυλλίου ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον ὑπέγραψα: —

108 Ἰάκωβος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ καλαμίου τοῦ κάτω ὑπὸ Φωτεινὸν τὸν ὁσιώτατον ἐπίσκοπον ὑπέγραψα: —

109 Ἡσύχιος ἐλέει θεοῦ πρεσβύτερος καὶ μοναχὸς μονῆς τοῦ μακαρίου Θεοδοσίου ποιούμενος τοὺς λόγους καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι ὑπὸ τὴν ἁγίαν πόλιν ἐρήμωι μοναχῶν ὑπογράψας ἐπέδωκα: —

110 Δομετιανὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Μαρτυρίου καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι ὑπὸ τὴν ἁγίαν πόλιν ἐρήμωι μοναχῶν ὑπογράψας ἐπέδωκα: —

111 Κασσιανὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ μοναχὸς λαύρας τῶν Σάββα ποιούμενος τοὺς λόγους καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι ὑπὸ τὴν ἁγίαν πόλιν ἐρήμωι μοναχῶν ὑπογράψας ἐπέδωκα: —

112 Κυριακὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης λαύρας τῶν πυργίων ποιούμενος τὸν λόγον καὶ ὑπὲρ πάντων τῶν ἐν τῶι Ἰορδάνηι μοναχῶν ὑπογράψας ἐπέδωκα: —

113 Νέσταβος ἐλέει θεοῦ πρεσβύτερος καὶ μοναχὸς λαύρας τοῦ μακαρίου Φιρμίνου ποιούμενος τοὺς λόγους καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι ὑπὸ τὴν ἁγίαν πόλιν ἐρήμωι μοναχῶν ὑπογράψας ἐπέδωκα: —

114 Τερέντιος ἐλέει θεοῦ πρεσβύτερος καὶ μοναχὸς λαύρας Νέας ποιούμενος τοὺς λόγους καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι ὑπὸ τὴν ἁγίαν πόλιν ἐρήμωι μοναχῶν ὑπογράψας ἐπέδωκα: — M VIII 1019

115 Τραιανὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ μοναχὸς τῶν πυργίων τοῦ Ἰορδάνου καὶ ὑπὲρ πάντων τῶν ἐν τῶι Ἰορδάνηι μοναχῶν ὑπογράψας ἐπέδωκα: —

116 Κύρικος ἐλέει θεοῦ πρεσβύτερος καὶ μοναχὸς τῆς Νέας λαύρας καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι ὑπὸ τὴν ἁγίαν πόλιν ἐρήμωι μοναχῶν ὑπογράψας ἐπέδωκα: —

117 Λεόντιος ἡγούμενος καὶ μοναχὸς ἰδίου μοναστηρίου καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι ἐρήμωι καὶ Ἰορδάνηι ἁγίων πατέρων ὑπογράψας ἐπέδωκα: —

118 Θεόδωρος διάκονος καὶ μοναχὸς Νέας λαύρας καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι ἐρήμωι Ἱεροσολύμων μοναχῶν ὑπογράψας ἐπέδωκα: —

119 Πολύευκτος διάκονος καὶ μοναχὸς τῆς μονῆς τοῦ μακαρίου Θεοδοσίου καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι ἐρήμωι Ἱεροσολύμων μοναχῶν ὑπογράψας ἐπέδωκα: —

120 Ἀναστάσιος διάκονος καὶ μοναχὸς μονῆς τοῦ μακαρίου Μαρτυρίου καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι ἐρήμωι Ἱεροσολύμων μοναχῶν ὑπογράψας ἐπέδωκα: —

121 Νίκων μοναχὸς μονῆς τοῦ μακαρίου Θεοδοσίου καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι ἐρήμωι Ἱεροσολύμων μοναχῶν ὑπογράψας ἐπέδωκα: —

O [= acv]

2 χαλκηδονέων O^{v} om. $O^{e}\Lambda$ 3 μάρτυρος om. $O^{e}\Lambda$ 4 ἐπίσκοπον om. O^{v} 6 μονῆς om. O^{av} 8 μοναχὸς O^{av} ἡγούμενος $O^{e}\Lambda$ δεοδοσίου O^{v} 9 τῇ ἐρήμω τῇ ὑπὸ — πόλιν O^{e} 12 καὶ O^{av} ποιούμενος τοὺς λόγους καὶ $O^{e}\Lambda$ 14 κασιανὸς O^{av} μοναχὸς O^{av} ἡγούμενος $O^{e}\Lambda$ τῶν] τοῦ μακαρίου p. 36, 33 18 τοὺς λόγους O^{e} 20 μακαρίνου O^{v} 21. 24 ὑπὸ - πόλιν] ἁγία πόλει O^{v} 24 ἐρήμων O^{v} 27 et semper usque ad p. 51, 5 καὶ O^{av} ποιούμενος τοὺς λόγους καὶ $O^{e}\Lambda$ 28 κήρυκος O^{e} 30 et semper usque ad p. 51, 13 ἐλέει θεοῦ nominibus postponunt O^{av} μοναχὸς καὶ ἡγούμενος $O^{e}\Lambda$ 34 θεοδώρου O^{v} 36 διάκονος καὶ om. O^{av} τῆς μονῆς O^{v} 36–38 Μαρτυρίου μακαρίου om. O^{av} 38 θεοδώρου O^{v}

122 Μάμας μοναχὸς μονῆς τοῦ μακαρίου Μαρτυρίου καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι L V 141
ἐρήμωι Ἱεροσολύμων μοναχῶν ὑπογράψας ἐπέδωκα: —

123 Ἰουλιανὸς μοναχὸς μονῆς τοῦ μακαρίου Θεοδοσίου καὶ ὑπὲρ πάντων τῶν ἐν
τῇι ἐρήμωι Ἱεροσολύμων μοναχῶν ὑπογράψας ἐπέδωκα: —

124 Ἰωάννης μοναχὸς μονῆς τοῦ μακαρίου Μαρτυρίου καὶ ὑπὲρ πάντων τῶν ἐν
τῇι ἐρήμωι Ἱεροσολύμων μοναχῶν ὑπογράψας ἐπέδωκα: —

125 Σαββάτιος μοναχὸς λαύρας τοῦ μακαρίου Σάββα καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι
ἐρήμωι μοναχῶν ὑπογράψας ἐπέδωκα: —

126 Μαρτύριος μοναχὸς τῆς Νέας λαύρας καὶ ὑπὲρ πάντων ⟨τῶν ἐν τῇι ἐρήμωι
μοναχῶν ὑπογράψας ἐπέδωκα⟩: —

127 Βασίλειος μοναχὸς τοῦ Ἰορδάνου καὶ ὑπὲρ πάντων τῶν ἐν τῶι Ἰορδάνηι μο-
ναχῶν ὑπογράψας ἐπέδωκα: —

128 Θεόδωρος μοναχὸς λαύρας τοῦ μακαρίου Φιρμίνου καὶ ὑπὲρ πάντων τῶν ἐν
τῇι ἐρήμωι Ἱεροσολύμων μοναχῶν ὑπογράψας ⟨ἐπέδωκα⟩: —

129 Θεωνᾶς ἐλέει θεοῦ πρεσβύτερος τοῦ ἁγίου ὄρους Σινᾶ καὶ ἀποκρισιάριος τῆς
ἐρήμου Ῥαιθοῦ καὶ τῆς ἁγιωτάτης ἐκκλησίας Φαρὰν ποιούμενος τοὺς λόγους
καὶ ὑπὲρ πάντων τῶν ὄντων ἐν τοῖς εἰρημένοις τόποις μοναχῶν ὑπογράψας
ἐπέδωκα: —

130 Ἰωάννης ἐλέει θεοῦ πρεσβύτερος λαύρας τῶν ἀμμίων τῆς πεδιάδος καὶ ὑπὲρ
πάντων τῶν ἐν τῇι αὐτῇι πεδιάδι μοναχῶν ὑπογράψας ἐπέδωκα: —

131 Θεόδωρος ἐλέει θεοῦ διάκονος καὶ μοναχὸς μονῆς τοῦ μακαρίου Σεργίου τοῦ ἐν
τῇι πεδιάδι καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι αὐτῇι μονῆι μοναχῶν καὶ τῶν ἐν τῇι
πεδιάδι ὑπέγραψα: —

132 Κοσμᾶς ἐλέει θεοῦ μοναχὸς καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι πρώτηι Παλαιστίνηι
μοναχῶν ὑπογράψας ἐπέδωκα: —

133 Στρατήγιος ἐλέει θεοῦ διάκονος καὶ μοναχὸς καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι δευτέραι M VIII 1022
Παλαιστίνηι μοναχῶν ὑπογράψας ἐπέδωκα: —

134 Σαλαμάνης ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι
τρίτηι Παλαιστίνηι ἀρχιμανδριτῶν καὶ μοναχῶν ὑπογράψας ἐπέδωκα: —

135 Ἠλίας ἐλέει θεοῦ διάκονος καὶ μοναχὸς καὶ ὑπὲρ πάντων τῶν ἐν Αὐγουστο-
πόλει τῆς τρίτης Παλαιστίνης μοναχῶν ὑπογράψας ἐπέδωκα: —

136 Ἀναστάσιος ἐλέει θεοῦ διάκονος καὶ μοναχὸς καὶ ὑπὲρ πάντων τῶν ἐν Πέτραις
τῆς τρίτης Παλαιστίνης μοναχῶν ὑπογράψας ἐπέδωκα: —

137 Φωτεινὸς ἐλέει θεοῦ μοναχὸς τοῦ ἁγίου Στεφάνου τοῦ ἐν Μαωζᾶ Ἰαμνίας πρώτης
Παλαιστίνης καὶ ὑπὲρ πάντων τῶν ἐν αὐτῶι μοναχῶν ὑπογράψας ἐπέδωκα: —

138 Ἰωάννης ἐλέει θεοῦ πρεσβύτερος καὶ μοναχὸς καὶ ὑπὲρ πάντων τῶν ἐν τῶι Ἀϊλᾶ
τῆς τρίτης Παλαιστίνης μοναχῶν ὑπογράψας ἐπέδωκα: —

O [= aev]

2. 4. 6 ὑπογράψασ ἐπέδωκα $O^{e}\Lambda$ ὑπέγραψα O^{av} 7 σάβα O^{v} 7/8 τῶν — ἐπέδωκα om. O^{e} 9/10 om. O^{av} τῶν — ἐπέδωκα Λ om. O^{e} 12 ὑπογράψασ ἐπέδωκα O^{av} om. O^{e} 14 Ἱεροσολύμων — ἐπέδωκα om. O^{e} Ἱεροσολύμων μοναχῶν om. Λ ὑπογράψασ ἐπέδωκα scripsi, notam quae et ὑπογράψασ et ὑπέγραψα legi potest, in fine habent O^{av} 17 καὶ om. O^{v} τοῖς — τόποις] τῇ ἐρήμω O^{v} 17/18 ὑπογράψασ ἐπέδωκα O^{av} ὑπέγραψα $O^{e}\Lambda$ 19 *Amniorum* Λ 19. 22 καὶ O^{av} ποιούμενοσ τοὺσ λόγουσ καὶ $O^{e}\Lambda$ 21 24. 26 ἐλέει θεοῦ om. $O^{e}\Lambda$ 21 μονῆς om. $O^{e}\Lambda$ μακαρίου O^{av} ἁγίου O^{e} om. Λ σεργίου $O^{ae}\Lambda$ γεωργίου O^{v} 22 τῶν ἐν^{2} om. O^{e} 24 παλαιστήνη O^{e} ut solet 25 ὑπογράψασ ἐπέδωκα O^{av} ὑπέγραψα $O^{e}\Lambda$ 26/27 post 27 repetunt O^{av} 26 *monachus monasterii s. Iohannis* Λ καὶ^{2} om. O^{v} loco priore δευτέρα O^{av} loco altero πρώτη O^{av} loco priore *secunda Palaestina sub Scythopoli* Λ 29 μοναχῶν καὶ ἀρχιμανδριτῶν $O^{e}\Lambda$ 30. 32. 34 ἐλέει θεοῦ om. $O^{e}\Lambda$ 35 αὐτῇ O^{a} ὑπογράψασ ἐπέδωκα O^{av} ποιούμενοσ τοὺσ λόγουσ ὑπέγραψα $O^{e}\Lambda$

139 Παῦλος ἐλέει θεοῦ μοναχὸς καὶ ἀποκρισιάριος μονῆς τοῦ μακαρίου Μάρωνος τῆς ἐξαρχούσης τῶν ἐν τῆι δευτέραι Συρίαι εὐαγῶν μοναστηρίων ποιούμενος τοὺς λόγους καὶ ὑπὲρ πάντων τῶν ἐν τῆι αὐτῆι δευτέραι Συρίαι ἀρχιμανδριτῶν καὶ μοναχῶν ὑπέγραψα: —

15 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Δήλων ὄντων τῶν περιεχομένων τοῖς ἀνεγνω-
L V 144 σμένοις λιβέλλοις κατὰ πρώτην τάξιν οἱ ἐκ τῆς πρεσβυτέρας Ῥώμης συμπαρόντες ἡμῖν ὁσιώτατοι καὶ θεοφιλέστατοι ἄνδρες εἴ τι τῆς προκειμένης ἕνεκεν ὑποθέσεως ἴσασι πεπραγμένον, εἰπεῖν ἀξιούτωσαν· τοῦτο γὰρ καὶ τῶν εὐλαβεστάτων μοναχῶν ἠιτηκότων ἀκηκόασι.

Καὶ ἀνέγνω φωνὴν Μηνᾶς ὁ θεοσεβέστατος ἀναγνώστης καὶ σεκουνδοκήριος νοταρίων τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης ἔχουσαν οὕτως

16 SANCTI EPISCOPI PARTIVM ITALIAE ET VIRI VENERABILES SEDIS APOSTOLICAE DIACONI DIXERVNT: QVO IN LOCO VEL NVMERO SEVERVM ATQVE PETRVM IAMDVDVM APOSTOLICAE SEDIS HABERE DECREVERINT CONSTITVTA, IN EPISTVLAM SANCTAE RECORDATIONIS PAPAE ORMISDAE AD SECVNDAE SYRIAE MONACHOS VEL AD BEATAE MEMORIAE EPIPHANIVM HVIVS REGIAE VRBIS ARCHIEPISCOPVM DESTINATAM LEGITVR DEFINITVM. QVARVM PRAESTO HABETVR AVCTORITAS, QVAM PRAESENTIBVS ACTIS PORRIGIMVS RECENSENDAM.

Ἑρμηνεία τῆς προκειμένης διαλαλιᾶς

17 Οἱ ἁγιώτατοι ἐπίσκοποι τῶν μερῶν τῆς Ἰταλίας καὶ οἱ εὐλαβέστατοι τῆς ἀποστολικῆς καθέδρας διάκονοι εἶπον· Ἐν ποίωι τόπωι ἢ ἀριθμῶι Σεβῆρον καὶ Πέτρον ἤδη πάλαι τῆς ἀποστολικῆς καθέδρας τὰ θεσπίσματα εἶναι ἐψηφίσαντο, ἐν ταῖς ἐπιστολαῖς τοῦ τῆς ἁγίας μνήμης πάπα Ὁρμίσδα πρός τε τοὺς τῆς δευτέρας Συρίας μοναχοὺς καὶ πρὸς τὸν μακαριώτατον Ἐπιφάνιον ταύτης τῆς βασιλίδος πόλεως ἀρχιεπίσκοπον δηλοῦται ὡρίσθαι· ὧν ἔχοντες ἐν ἑτοίμωι τὴν αὐθεντίαν, ταύτην ἐν τοῖς παροῦσιν ὑπομνήμασιν ἐπιδίδομεν ἀναγνωσθησομένην.

18 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ἀναγινωσκέσθω.

19 Καὶ ἀνέγνω Μηνᾶς ὁ θεοσεβέστατος ἀναγνώστης καὶ σεκουνδοκήριος νοταρίων τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης ἐκ τῶν παρ' αὐτοῖς ἄκτων δύο Ῥωμαϊκὰς ἐπιστολὰς γραφείσας ὑπὸ Ὁρμίσδου τοῦ τῆς ὁσίας μνήμης γενομένου πάπα τῆς πρεσβυτέρας Ῥώμης· ὧν μετὰ τὴν ἀνάγνωσιν Χριστοφόρος ὁ θεοσεβέστατος διάκονος νοτάριος καὶ σηκρητάριος τὴν ἑρμηνείαν ἀνέγνω

20 Ὁρμίσδας ἐπίσκοπος πρεσβυτέροις διακόνοις καὶ ἀρχιμανδρίταις τοῖς ἐν δευτέραι
M VIII 1023 Συρίαι οὖσι καὶ λοιποῖς ὀρθοδόξοις ἐν οἱωιδήποτε Ἀνατολικῶι κλίματι διάγουσι καὶ ἐν τῆι τῆς ἀποστολικῆς καθέδρας κοινωνίαι διαμένουσιν. Ἀναγνωσθέντων τῶν γραμμάτων

---

20 Latinum exemplar extat in Coll. Auell. 140 (Λ^a)

O [= ae, r inde a 5, v], I [inde a 5]

1 ἁγίου O^v 7 ὅ τι I 7/8 εἰπεῖν ἴσασι πεπραγμένον ὑποθέσεως O^rI 8 διεξιέτωσαν I 10 ἀναγνοὺς O^{av} σεκουνδουκήριος I 12—17 O^e om. $O^{arv}I\Lambda$ 12 VRI O^e om. Λ DECREVRINT O^e 16 DEEZ INITVM O^e PRAESTA O^e PRAESENTBVS O^e 17 RECENDAM O^e 18 ἑρμηνεία — διαλαλιᾶσ O^e ἑρμηνεία — διαλαλιᾶσ ἐπεὶ ῥωμαικῶσ ἐρρέθη O^a in mg., om. $O^{rv}I\Lambda$ 19/20 διάκονοι τῆσ — καθέδρας I 21 ψηφίσματα $O^e\Lambda$ 22 ὁρμίσδου I τε om. O^e 25 ἐπιδιδόαμεν O^e 27 σεκουνδουκήριοσ O^rI 30 οὗ I Χριστόδωροσ infra νοτάριοσ διάκονοσ O^v 31 post ἀνέγνω habent ἑρμηνεία τῶν παρὰ [om. O^v] τοῦ πάπα ὁρμίσδα γραμμάτων O^{av} ἦν δὲ ἡ ἐπιστολὴ διὰ ῥωμαικῶν γραμμάτων ἡ δὲ ἑρμηνεία αὐτῆσ δι' ἑλληνικῶν γραμμάτων ἔχει οὕτωσ O^e ἐπιστολὴ ὁρμίσδου πάπα ῥώμησ πρὸσ τοὺσ ἐν δευτέρα συρία κληρικοὺσ καὶ ἀρχιμανδρίτασ καὶ λοιποὺσ ὀρθοδόξουσ ἐν οἱωδήποτε κλίματι τῆσ ἀνατολῆσ: I 32 ἔ in mg. O^a 34 καθέδρα O^a τῶν om. O^e

τῆς ὑμετέρας ἀγάπης, δι' ὧν ἡ τῶν ἐχθρῶν τοῦ θεοῦ ἀφροσύνη ἐφανερώθη, καὶ τῶν ἀπίστων ἡ ἐπίμονος μανία λυπηρῶς δήλη γέγονεν, οἵτινες ἐπειδὴ τῶι κακῶς ζῶντι πνεύματι ἐμίσησαν τὸν κύριον, τὰ μέλη ἐκείνου ἀσεβῶς διώκουσιν, ὅσον ἀπὸ τῆς ὑμετέρας βεβαιότητός ἐστι γνῶναι, ηὐλόγησα τὸν κύριον τὸν τὴν πίστιν τῶν ἑαυτοῦ στρατιωτῶν μεταξὺ τῶν ἐναντίων φυλάττοντα. καὶ πάλιν τῶν ἐκκλησιῶν τὸν σάλον καὶ τῶν δούλων τοῦ θεοῦ τὰς ἐπαχθείας καὶ τοὺς κόπους κατανοήσας, στενάζων κατὰ τὸν προφήτην ἐκέκραξα ἀνάστα, κύριε, δίκασον τὴν δίκην σου· μνήσθητι τῶν ὀνειδισμῶν Ps. 73, 22
σου τῶν ὑπὸ ἄφρονος ὅλην τὴν ἡμέραν, ἡδέως καὶ τὰ ἐφεξῆς ὁμοίως ἐπάγων μὴ ἐπιλάθηι τῆς φωνῆς τῶν ζητούντων σε, ἡ ὑπερηφανία τῶν μισούντων Ps. 73, 23
σε ἀνέβη διὰ παντὸς πρὸς σέ. καὶ γὰρ ὥσπερ χρὴ ἡμᾶς τὸ ἑδραῖον τῆς πίστεως φυλάττειν, οὕτως οὐχ ἁρμόζει περὶ τῆς δικαιοσύνης τῆς θείας κρίσεως ἀπιστεῖν. οὐκ ἔστι νέος, ἀδελφοί, τῆς ἐκκλησίας οὗτος ὁ κόπος· ὅμως ἐν αὐτῶι τῶι ταπεινοῦσθαι ὑψοῦται καὶ δι' ἐκείνων δι' ὧν πτωχεύειν δοκεῖ, πλουτίζεται. ἐν πείραι ἐστὶ τοῖς πιστοῖς τοῦ θεοῦ τὸ διὰ τοῦ θανάτου τῶν σωμάτων τὴν ζωὴν κερδαίνειν τῶν ψυχῶν· ἀποβάλλονται L V 145
μὲν τὰ ῥέοντα, ἀλλ' ἐμπορεύονται τὰ αἰώνια, καὶ ἐν τῶι τὸν διωγμὸν ὁδοποιεῖν τῆι δοκιμῆι αἰτία γίνεται τῆς ἀξίας ἡ δοκιμή. ἀνόητοι καὶ ἐν τῆι τυφλώσει μαινόμενοι ἀγνοοῦσιν ὅτι οὓς ἐκ τῆς τῶν ἀνθρώπων ἀναστροφῆς χωρίζειν δύνασθαι νομίζουσιν, τούτους εἰς τὴν βασιλείαν ἄγουσι τοῦ θεοῦ. ἐντεῦθεν ἐν αὐτοῖς τοῖς κινδύνοις αἱ εὐφροσύναι καὶ ἡ περὶ τὸ πάσχειν σπουδή· ἐκδέχεται γὰρ τοὺς ἀγῶνας τῶν ἰδίων ὁ τῶν μεγάλων δωρεῶν ἀνταποδότης. τίς γὰρ οὐκ ἂν ὀκλάσειεν ἐν τοῖς κακοῖς, εἰ μὴ διὰ τῶν ἐπάθλων παραμυθηθείη τὰ ἐναντία; ἐκείνη ἐστὶν ἡ ἐλπὶς ἡ μὴ συγχωροῦσα ἐν τῆι ἀνελπιστίαι ἡμᾶς ἀτονεῖν· ἀποκλείει τῶν θλίψεων τὸ πικρὸν ἡ γλυκεῖα γεῦσις τῶν ἀρετῶν. τίς γὰρ ἂν οἰηθείη τὰ παρόντα μεγάλα, ἐννοῶν τὰ μέλλοντα; τίς τὸν θάνατον ἀπαρνήσεται, εἰ τῶν μελλόντων τὴν ἀντίδοσιν κατανοήσειεν; ἕνστητε, ἀγαπητοί μου, καὶ ἀσάλευτον τὴν πίστιν βεβαίωι λογισμῶι φυλάττοντες, τῆς ὑπομονῆς τὸν ἔπαινον, ἐν ὧι ἐστιν ἡ σωτηρία καὶ τῶν ἀγαθῶν ἔργων τὸ βραβεῖον, καρπώσασθε· μεγάλα εἰσὶν εἰς ἃ καλούμεθα οἱ ἀνάξιοι. μὴ βραδυνάτω ἡ ἀσθένεια, ὅτι ὁ καλῶν ἀνταποδότης πιστὸς καὶ δυνατὸς βοηθός ἐστι· μὴ τῆι τῶν καταθυμίων ἐλπίδι ἀπατηθῶμεν μήτε τῶν ἡδέων, μήτε προκρίνωμεν τὰ εὐχερῆ· οὐ τρυφηλὰ ἡμῖν ὁ κύριος ἡμῶν, οὐ κολακευτικὰ ἐπηγγείλατο· ἐκεῖνος ἔπαθλα ὑπέσχετο, οὐκ ἀργίας. οὐ συμβαίνουσιν ἔπαινος καὶ ῥαθυμία· τίς τῆς ἀνταμείψεως ἔσεται τόπος, εἰ οὐδεμία ἐστὶ φροντὶς τῆς ἀρετῆς; στενὴ ἡ πύλη, ἀλλὰ πλατέα τὰ βασίλεια· ὀλίγοις ἡ εἴσοδος, ἀλλὰ τοῖς δοκίμοις. οὐχ οὗτοί εἰσιν οἱ πρῶτοι λόγοι πρὸς ἐκείνους οὓς ἐδίδαξε διώξουσι καὶ ἐν ταῖς συναγωγαῖς Mt. 10, 17 M VIII 1026
μαστιγώσουσιν ὑμᾶς; διὰ τῆς ὑπομονῆς, καθὼς γέγραπται, κτησώμεθα τὰς Lc. 21, 19
ἑαυτῶν ψυχάς, μήποτε ταύτας διὰ τῆς οὐχ ὑπομονῆς ἀλγήσωμεν ἀπολέσαντες. πρῶτος εἰς τὸν σταυρὸν ὁ κύριος ἡμῶν καὶ τῆς ὑπομονῆς ἑαυτοῦ διδάσκαλος ἀνῆλθεν, ἐν τῶι ἰδίωι τυπῶν ὑποδείγματι ἐκείνους οἷς ἔμελλε βοηθεῖν· αὐτὸς μεταξὺ τῶν ἀρετῶν καὶ τῶν κόπων τὸν ζυγὸν κατέχει, ἱστάμενος κατὰ τῶν δηλητηρίων τῶν μεμηνότων, ἵνα κατὰ τὴν ὀργὴν τοῦ διωγμοῦ αὐτὸς καὶ τῆς αἰωνίου βασιλείας τοὺς στεφάνους παράσχηι. ἀναλογίσασθε ποία τῶν Μακκαβαίων ἡ ἔξοδος (τοῖς καρτερικοῖς ἡ πάλαι ἱστορία τῶν 1 Macc. 9

O [= aerv], I

1/2 ἡ τῶν ἀπίστων O^{rI} 2 λυπηρόσ O^{v} κακῶς ζῶντι] *rediuiuo* Λ^{a} 4 τὸν²] τῶν O^{v} 8 τῶν] τὸν O^{r} ἑξῆσ O^{e} ἐπάγων $O^{rI\Lambda^{a}}$ ἐπάγω $O^{aev}\Lambda$ 11 κρίσεωσ $O^{eI\Lambda\Lambda^{a}}$ πίστεωσ O^{arv} 14 ταῖσ ψυχαῖσ O^{a} 17 δύνασθαι νομίζουσι $O^{aev}\Lambda$ δοκοῦσι δύνασθαι O^{rI} 19 πάσχον O^{v} 20 δωραιῶν O^{a} 21 παραμυθήη I 23 ἐννοῶν μεγάλα ἐννοῶν O^{r} 24 ἀπαρνήσεται O^{rI} ἀπαρνεῖται O^{aev} 26 καρπώσασθαι O^{r} καρπώσεσθε $O^{a}\Lambda$ 31 τρόποσ $O^{e}\Lambda$ 36 ἑαυτοῦ om. I 37 ὑποδείγματα O^{v} ἐκείνουσ Thiel ἐκείνοισ OI ἤμελλε O^{a} 38 κατέχειν O^{r} 40 nolui sequi Thiel et Günther translationem quae male cessit interpreti, ex Λ^{a} corrigentes οἷα O^{arv}I πάλαι I Λ^{a} πάλη OΛ

ἐπαίνων ἐφέπεται), ποίαι Ἰούδας κάκείνη τῶν πιστῶν ἀδελφῶν ἡ φάλαγξ θανάτου τιμῆι ἀναγορεύεται, ἐν ποίοις ἐστὶ στόμασιν ὁ λαὸς ὁ ἐν τῶι ὄρει ἀναλωθείς. καὶ αὗται πᾶσαι αἱ δυνάμεις ὑπὲρ τῆς τοῦ νόμου φυλακῆς, ὁμοιώματα καὶ σκιαὶ τῶν μελλόντων
1 Io. 1, 1 οὖσαι, ἠξιώθησαν παραδειγμάτων τοσούτων· ἡμεῖς ἐν τοῖς πατράσιν ἑωράκαμεν, ἐψηλαφήσαμεν, ἐδοκιμάσαμεν τίνι ἀκολουθήσομεν. τί οὐκ ἐφαρμόζει τῆι ὑποθέσει; τί ἀπάιδει τῆς ἀληθείας; τί οὐκ ὀφείλεται τῶι λυτρωτῆι; καταθυμίως κοινωνοῦμεν ἐν
Sirach 25, 9 τούτοις ὑμῖν τοῖς δόγμασι· λέγει γάρ που ὁ σοφώτατος Σολομών 'μακάριος ὁ κηρύττων λόγον εἰς ἀκοὴν ὑπακούοντος.' εὐφροσύνη μὲν οὖν ἐστι τὸ διαλέγεσθαι τοῖς ἐθέλουσιν καὶ πρὸς τὴν ὀρθὴν ὁδὸν τοὺς μὴ ἀντιπαλαίοντας προτρέπεσθαι. κατέχομεν γὰρ ἐνέχυρον τῆς πίστεως τῆς ὑμετέρας τὴν ὑπὸ τῶν γραμμάτων ὁμολογηθεῖσαν ἔνστασιν δι' ἧς ἐκ τῆς τῶν παραβατῶν λύμης χωρισθέντες εἰς τὰ τῆς ἀποστολικῆς καθέδρας δόγματα καὶ ἐντολὰς ἐπανέρχεσθε, ὀψὲ μὲν ἐπιβάντες τῆς ὁδοῦ τῆς ἀληθείας, ἀλλ' εὐλογητὸς ὁ θεὸς ὃς οὐκ εἰς τέλος ἐπιλανθάνεται, ὃς παιδεύει καὶ ἰᾶται καὶ οὐδὲ τῆς ἡνωμένης αὐτοῦ ποίμνης τὰ πρόβατα καρτερεῖ τῶν ἐπιβουλευόντων λύκων τῆι ἁρπαγῆι διασπᾶσθαι, ὃς διὰ τῆς κεκραμένης αὐστηρίας οὐδὲ τῆς ἀσφαλείας τῶν ἰδίων ὑπερορᾶι οὐδὲ τῆς σωτηρίας.
L V 148 ἀλλὰ τί θαυμαστὸν εἰ τὰ πρόβατα καταλειφθέντος ἐκείνου τοῦ ἑνὸς καὶ ἀληθινοῦ ποιμένος διασκορπισθέντα ὁ πανοῦργος ὁ αἵμασι πεφυρμένος καὶ ἅρπαξ ταῖς ἐνέδραις ἐτάραξεν; οἱ τὴν ἀσφάλειαν τὴν ἰδίαν καταλιμπάνοντες αὐτοὶ ἑαυτοὺς τοῖς κινδύνοις ὑφ' ὧν σπαράττονται, ἐμβάλλουσιν. ὥστε κἂν νῦν γοῦν στερροῖς βήμασιν ἐν τῆι ὁδῶι τῶν πατέρων πρὸς ἣν ἀνεδράμετε, ἔνστητε. δύναται γὰρ τὸ τοῦ θεοῦ ἔλεος καὶ τὴν τῶν ἄλλων ὁμοίως διόρθωσιν τῶι ὑμετέρωι μισθῶι, εἰ παρ' ὑμῶν πρὸς τὸ εὐθὲς ὁδηγηθεῖεν, λογίσασθαι. ἀλλ' ἑαυτοὺς καθόλου ἀπὸ τοῦ βορβόρου ἐν ὧι οἱ αἱρετικοὶ καταποθέντες κεκράτηνται, ἀποσπάσατε καὶ ἐκτινάξαντες τὴν ἀκαθαρσίαν τοῦ κονιορτοῦ τοῦ κολληθέντος γενικῶς ἅπαντας τοὺς ἀπὸ τῶν ἀποστολικῶν δογμάτων ἀποκλίναντας εὐσεβεῖ ἀποκηρύξει
2 Cor. 6, 14 κατακρίνατε. οὐδεμία τῶι σκότει πρὸς τὸ φῶς κοινωνία οὔτε οἱ διὰ τῶν εὐθειῶν ὁδῶν βαδίζοντες τὰ ἑαυτῶν ἴχνη μετὰ τῶν ἀποκλινόντων πλάνης συνάπτουσι. κατασχετέος ἐστὶ τῆς πίστεως ὁ σύνδεσμος καὶ παραιτητέα ἡ ἐκ τῆς ἀπίστου κοινωνίας λύμη,
1 Cor. 6, 17. ὅτι κατὰ τὸν ἀπόστολον ὃν τρόπον ὁ ἑαυτὸν προσκολλῶν τῶι κυρίωι ἓν πνεῦμά ἐστιν,
16 οὕτως ὁ κολλώμενος τῆι πόρνηι ἓν γίνεται σῶμα. ἀγαπῶσιν αἱ ἀρεταὶ τὰς ἀλλήλων κοινωνίας, καὶ τοὺς κολλωμένους αὐτῆι μεθ' ἑαυτῆς ἡ ἀσέβεια ἐν τῶι βυθῶι καταποντίζει. ἐν ὀφθαλμοῖς, ἐν τῶι στόματι, ἐν αὐταῖς ταῖς χερσίν εἰσι τῶν πατέρων τὰ δόγματα, ἃ
M VIII 1027 φυλάττειν ἐντελλόμεθα· καθ' ἑκάστην πρὸς τὴν φυλακὴν ἑαυτῶν αἱ σεβάσμιαι σύνοδοι περισφίγγουσι. μακρηγορία ἐστὶ καθ' ἕκαστον πάντα φανεροῦν· τὰ τῆς ἐν Χαλκηδόνι συνόδου ἐν ἧι πασῶν τὸ σέβας περιέχεται, ἀλλὰ καὶ τὰ παρὰ τοῦ σεβασμιωτάτου Λέοντος προενεχθέντα ἐξ αὐτῆς τῶν ἀποστόλων τῆς καρδίας ὁρίσματα καὶ γινώσκειν ἡμᾶς προσήκει καὶ τηρεῖν. ἐν τούτοις τὸ σεβάσμιον τῆς πίστεως, ἐν τούτοις οἱ προμαχῶνες τῆς ἀληθείας, ἐν τούτοις ὁ Χριστὸς γινώσκεται, ἐν τούτοις τῆς λυτρώσεως τῆς ἡμετέρας ἡ
1 Cor. 3, 12. ἐλπὶς καὶ ἡ ὑπόθεσις φυλάττεται. οὗτός ἐστιν ἐκεῖνος ὃν ἐν τῶι ἀποστόλωι ἀνέγνωμεν,
13 θεμέλιος ἐν ὧι ἑαυτόν τις παραλογίζεται, εἴ τις ξύλα χόρτον καλάμην καταναλισκόμενα

O [= aerv], I

1 πιστῶν om. O^c 4 οὖσαι O^{acv} εἶναι O^rI παράδειγμα τῶν $O^{arv}I$ 4/5 ἐψηλαφήσαμεν — ἀκολουθήσομεν om. I 5 ἐδοκιμάσαμεν ἐν O^o 6 τί O^{acv}LΛ εἰ O^r λυτρωτῆ O^eΛ λύτρω τί O^{arv}I 7 κηρύσσων O^e 8 ἐθέλουσιν OΛ ἀκούουσι I 10 ἡμετέρασ O^v ὑπὸ IΛ^a ἀπὸ OΛ 12 ἐπανέρχεσθαι O^v μὲν οὖν O 14 ὡσ O^v 16 καταληφθέντοσ O^e 20 ἀναδράμετε I 20 πλάνησ O^cΛΛ^a πλάνη O^{arv} τῆ πλάνη I 27 ὁ I om. O 28 ἀπόστολον ὃν τρόπον O^cΛΛ^a ἀποστολικὸν τρόπον [λόγον I] O^rI ἀπόστολον πέτρον O^{av} 33 φανεροῦντα O^r 34 σεβάσμιον O^a 35 προενενεχθέντα O^a τῆς om. O^r 36 τὸ σεβάσμιον O^rIΛ τοῖσ σεβασμίοισ O^{arv} *uexillum* Λ^a προμαχοῦντεσ O^{av} 38 ἡ om. O^c 39 καλάμην χόρτον O^rI

τῶι πυρὶ ἐποικοδομῆσαι πειραθῆι. ἐν ταύταις ἀνηιρέθη τὰ Εὐτυχοῦς καὶ Νεστορίου ταῖς συνόδοις δηλητήρια, οἵτινες ἐξ ἐναντίας τῆς δεσποτικῆς τοῦ σωτηριώδους μυστηρίου οἰκονομίας, ἐν ὅσωι ἐναντίωι μεταξὺ ἑαυτῶν συλλογισμῶι φιλονεικοῦσιν, ὑπό τινι τῆς ἱεροσυλίας ἰσότητι συμφωνοῦσιν, ἄνισοι ταῖς γνώμαις καὶ ὁμόψυχοι τῆι ἀσεβείαι. ὧν ὁ ἕτερος μὴ θέλων τὴν παρθένον Μαρίαν θεοῦ εἶναι γεννήτριαν, ἅπερ ἐν τῶι κυρίωι ἡμῶν εἰσιν ἡνωμένα, διαιρεῖ, ὁ δὲ ἕτερος, ἐν ὅσωι τῶν συνελθουσῶν φύσεων τὰ ἴδια καὶ τὰ ἀληθῆ συγχεῖ, τὸ μυστήριον τῆς ἡμετέρας λυτρώσεως σβέννυσιν, ἄλλος Φωτεινοῦ τὴν θρησκείαν, ἕτερος τοῦ Μάνεντος τὴν ἀφροσύνην ἀσεβεῖ συγγενείαι συνάπτων. κατὰ τούτων, ἀδελφοὶ ἀγαπητοί, προενοήθησαν ἰατρεῖαι· ἐκείνας τῆι τοῦ λογισμοῦ δυνάμει διεκδικήσατε, ἐπειδὴ εἰς ἀνατροπὴν αὐτῶν ὁρᾶτε τοὺς αἱρετικοὺς διὰ τῆς ἀσεβείας μαχομένους. μὴ ἔστω ἐν ὄκνωι τῆς διδασκαλίας ἡ ἀλήθεια· ποίαι χρὴ σπουδῆι τὴν σωτηρίαν ἀγαπᾶσθαι, ὁπότε ὁρᾶτε τὴν θανατηφόρον ἀπώλειαν οὕτω στεργομένην; αἰδεσθῶμεν νωχελῶς σαφηνίζεσθαι τῆς ἀληθείας τοὺς νόμους, ὁπόταν ἐπιμόνως διεκδικῶνται αἱ πλάναι. καὶ τοὺς ἀρχηγοὺς μὲν τῶν κακῶν ἐφευρέσεων, ἃ προείπομεν συνοδικὰ θεσπίσματα δικαίαις κατακρίσεσι μετέρχονται ἀλλ' ἡμεῖς καὶ τούτων τοὺς ἀκολούθους ὅπως ἐκκλίνητε ὁμοίως ὑπομιμνήισκομεν, οὓς ἡ ἀποστολικὴ καθέδρα καὶ κατέλαβε παρα- L V 149
πλησίους ὄντας τοῖς ἑαυτῶν διδασκάλοις καὶ τοῖς κατακριθεῖσι συνέζευξε, Διόσκορον καὶ Τιμόθεον τὸν πατραλοίαν καὶ Πέτρον τοὺς Ἀλεξανδρεῖς, Ἀκάκιον τὸν Κωνσταντινουπολίτην μετὰ τῶν ἑαυτοῦ ἀκολούθων, ὡσαύτως Πέτρον τὸν Ἀντιοχείας τῶι προλεχθέντι ὅμοιον τῆι τε πλάνηι καὶ τῶι ὀνόματι, ἀλλὰ καὶ Σεβῆρον τοῦ αὐτοῦ τόπου οὐδὲν ἧττον καὶ τοῦ ἰοῦ, Ξενέαν τὸν Ἱεραπολίτην, Κῦρον τὸν Ἐδέσσης, Πέτρον τὸν Ἀπαμείας, οὐ μόνον ὑπὲρ τῆς οἰκείας, ἀλλὰ καὶ ὑπὲρ τῆς τῶν ἄλλων ὁμοίως ἀπωλείας κατακριτέους· οἵτινες ἐν ὅσωι ἑαυτοὺς τοῖς ῥύποις τῆς ἰδίας δόξης ἀπαύστως ἐγκυλίουσιν, ἄλλους ὁμοίως ἐν τῶι διδάσκειν τοὺς κακῶς αὐτοῖς ἀκολουθήσαντας ἐμόλυναν. διὰ γενικῆς σωτηριώδους ἐντολῆς ὑμῖν παραινῶ· πᾶν ὁτιοῦν ἐξ ἐναντίας τῶν πατρικῶν κανόνων ἐξ οἱωνδήποτε ὑπομνημάτων προενεχθείη, ἀπώσασθε· μηδεὶς ὑμᾶς ἀπροσφόροις προστάγμασιν ἢ νεωτέροις ὁρίσμασι καινισάτω. εἰ μὲν γάρ εἰσι κοσμικοί, οὐ δύνανται τὰς ἐκκλησίας κατέχειν, ἐπειδὴ τούτοις ἁρμόζει τὸ διδάσκεσθαι μᾶλλον ἢ διδάσκειν· ἀθέμιτον γὰρ τοῖς σεβασμίοις θυσιαστηρίοις ξένας προσφέρειν σπονδάς, ἐπειδὴ σαφεῖς M VIII 1030
εὐσεβέσιν ἐπιστήμαις ὅρους ⟨ὁ θεὸς⟩ ἐν αὐτοῖς ὁμοίως τῆς ἰδίας τιμῆς τοῖς προοιμίοις προέγραψε. μεταξὺ Λευιτῶν καὶ τοῦ οἰκείου λαοῦ διεῖλε τὴν λειτουργίαν· ἄλλη ἐστὶν ἡ τῶν ἀνθρώπων ἐξουσία, ἄλλαι αἱ ὑπηρεσίαι τῶν ἱερέων. παρώξυνε μᾶλλον τὸν κύριον ἅπερ ἐξιλεώσατο ὃς ἀλλότριον πῦρ ἐν τοῖς θείοις ἀδύτοις τὰ ἱερὰ μολύνας ἐπεισή- Leu. 10. 1. 2
νεγκε. τίς ἐστιν ὃς ἑαυτῶι ἐν ἀλλοτρίοις θεσπίσμασι τοῦ κελεύειν τὴν αὐθεντίαν δύναται προσλαβεῖν; καὶ γὰρ οὐκ ἐστιν ἀμφίβολον προσφέροντα τιμὴν κεχρεωστημένην ὑπὲρ μόνης τῆς ἐγχειρήσεως τῆς λειτουργίας τετιμωρῆσθαι ἐν τῶι ναῶι. Ὀζίας ἐν τῆι εὐλαβείαι καὶ τῆι ὑπηρεσίαι διέμεινεν, εἰ νουθετηθεὶς τῶι ὑποδείγματι τῆς τοσαύτης 2 Paralip.
ἐπιπλήξεως ἀπὸ τῶν ἱερῶν διατάξεων ἐφοβήθη μᾶλλον ἢ κατετόλμησε τούτων, ἄμεινον 26. 16–21

O [= aerv], I

2 τὰ δηλητήρια O^r 4 εὐσεβεία O^r 5 ἡμῶν om. O^a 6 ἐν ὅσωι om. O^{arv} τὰ ἴδια τῶν — φύσεων O^e 7/8 τῆ θρησκεία I 8 τῆ ἀφροσύνη I ἀσεβῆ συγγένειαν O^{arv}I 12 ὁπόταν O^{av} 13 ὁπότε O^e διεκδικοῦνται O^{ev} 15 δικαίωσ I 16 ἐκκλίνοιτε O^{arv} καὶ om. O^rI 17 συνέζευξαι I 17 18 τιμόθεον τὸν πατραλοίαν καὶ διόσκορον O^eΛ 19 ἑαυτῶν O^{ar}, de O^v non constat 21 ἰοῦ] υἱοῦ O^v ἐδαίσσησ O^a ἐδέσησ O^{er}I 25 ὅτι νῦν I εἰ ἐξ O^r 26 ἀπώσασθαι O^rI, corr. O^r 27 καινισάτω] pro *mouear* legit interpres *nouet* οὐ IΛ^a καὶ οὐ OΛ 28—31 ἐπειδὴ — λειτουργίαν om. I 29 σαφῶσ O^{av} 30 ὁ θεὸς suppl. Guenther ex Λ^a 31 ἰδίου O^e 32 τῶν ἱερέων ὑπηρεσίαι O^e 34 αὐθεντείαν O^v 35 τι προσφέροντα O^e τιμὴν μὴ O^rIΛ 36 ἐγχειρίσεωσ O^r τετιμωρεῖσθαι O^{av} ἐν om. O^{av} ὀζείασ I 37 εἰ I εἰ IΛ^a εἰ δὲ OΛ

ἂν ἐβασίλευσεν. ἀλλ' ἐπειδὴ μηδὲ κωλυόντων τῶν ἐπιμελητῶν τοῦ ναοῦ ὁ ἐπίμονος παραβάτης ἀπέστη, ἐν αὐτοῖς βδελύγματι λέπρας πληγεὶς τοῖς θυσιαστηρίοις τὴν λειτουργίαν τῆς βασιλείας ἀπώλεσε, τὴν ὑπηρεσίαν τοῦ ἱερέως ὑπελθών. γινωσκέτωσαν τοιγαροῦν μὴ εἶναι θεῶι προσδεκτὰ ἅπερ ἐκ τῶν αὐτοῦ ἐντολῶν παρὰ τῶν τολμηρῶν ὑφαρπάζεται, ὁπότε ἕνα πρὸς ἐπίδειξιν τῆς ἀποφάσεως τῆι τῆς μεγάλης ἀκοσμίας τιμωρίαι ἐφύλαξεν, ἄλλους ταχινὴ φλὸξ κατηνάλωσε. δι' ὃ δὴ εἴπερ τινά εἰσί τινι σχήματι θρησκείας δεδεγμένα, ἰσχὺν ἔχειν οὐ δύνανται, τοσαύταις αὐθεντίαις καταπαλαιόμενα.

Gal. 1, 8 βοᾶι Παῦλος ὁ ἀπόστολος κἂν ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμᾶς παρ' ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω. οὐχ ἅπαξ εἰρηκὼς τοῦτο ἠρκέσθη, ἐπανέλαβε δὲ τὴν ὑγιαίνουσαν ἐντολήν· ὡς προείπομεν, καὶ ἄρτι πάλιν λέγω· εἴ τις

Gal. 1, 9 ὑμᾶς εὐαγγελίσεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. φυλάττοι τοιγαροῦν τὴν προενεχθεῖσαν ὑπὲρ τῆς φυλακῆς τῆς πίστεως ἀπόφασιν, εἴ τις τῆι ἀποστολικῆι ἀκολουθεῖ διδασκαλίαι. καὶ ἡμῖν μὲν οὐ φροντὶς ἐνέλειψε· καὶ γὰρ τῆι τῆς διπλῆς πρεσβείας ὑπηρεσίαι, εἴ τι ἐν ταῖς δεήσεσι ταπεινόν, εἴ τι ἐν ταῖς δικαιολογίαις εὔλογον, εἴ τι ἐν ταῖς ἐντολαῖς ὑγιές, ἐπηνέγκαμεν. ἀλλὰ μὴ διὰ τοῦτο ἀμελητέα ἐστὶν ἡ ὁδὸς τῆς δικαιοσύνης, ἐπειδὴ τὰς ἰδίας πλάνας ἀγαπᾶι μετὰ ἀπονοίας ἡ ἀπιστία; οὐκ ἔστι

L V 152 συνάπτεσθαι μετὰ τοῦ τῶν πιπτόντων ὀλισθήματος· ἄνευ τῆς ἡμετέρας λύμης ἀπολλύσθωσαν οἱ ἀπὸ τῶν οἰκείων ἀσεβειῶν μηδὲ μαστιγουμένης τῆς πλάνης ἐκκλίνοντες.

Καὶ ἑτέραι χειρὶ· ὁ θεὸς ὑμᾶς ὑγιαίνοντας διαφυλάξοι, τέκνα ἀγαπητά.

d. 10. m. Febr. a. 518 Ἐδόθη πρὸ τεσσάρων Εἰδῶν Φεβρουαρίων μετὰ τὴν ὑπατείαν Ἀγαπητοῦ τοῦ λαμπρωτάτου

Ἐπιστολὴ Ὁρμίσδου πρὸς Ἐπιφάνιον

21 Ὁρμίσδας Ἐπιφανίωι ἐπισκόπωι Κωνσταντινουπόλεως. Πολλῆς ἐπλήσθην χαρᾶς, ὅτι περὶ τὴν εἰρήνην τῆς ἐκκλησίας καὶ τοῦ ἁγιωτάτου βασιλέως καὶ τῆς σῆς ἀγάπης τοιαύτη σπουδή, οἵαν διὰ τῶν γραμμάτων ἐμήνυσας καὶ διὰ τῆς τῶν ἐμῶν πρέσβεων καταθέσεως ἔγνων. σαφὴς γὰρ ἐντεῦθεν τῆς οὐρανίου εὐσπλαχνίας ἀπόδειξις πρόεισιν, ὅταν καὶ οἱ τοῦ κόσμου βασιλεῖς τὰς ὑποθέσεις τὰς περὶ τῆς πίστεως μετὰ τῆς διοικήσεως τῆς πολιτείας συζευγνύωσι καὶ οἱ τῶν ἐκκλησιῶν ἡγούμενοι τὰ συντείνοντα εἰς τὴν ἰδίαν οἰκονομίαν μεμνημένοι τοῦ καθήκοντος ἐκτελῶσι. τοιούτων ἔχρηιζε μετὰ τὰς τῆς διχονοίας καταιγίδας ἡ Χριστιανικὴ θρησκεία ἰθυντήρων, οἵτινες κατευνασθεισῶν προνοητικωτάτηι διατυπώσει τῶν θυελλῶν τὴν ἐπὶ πολὺ ξενωθεῖσαν εἰρήνην ἐξωσθέντος

M VIII 1031 τοῦ χειμῶνος ἐπανάξουσι καὶ εἰς τοὺς μέλλοντας μετὰ ταῦτα αἰῶνας τῆς ἰδίας προθέσεως τὰ ὑποδείγματα ἐπεκτείνοντες ἑαυτοῖς ἐπιγεγράφθαι ἀναμφιβόλως ἐπιδείξουσιν, εἴ τι τῶι θεῶι ἀρέσκον οἱ μεταγενέστεροι ἀπὸ τῆς αὐτῶν μιμήσεως ποιήσουσιν. εὐλογήσωμεν

---

21 Latinum exemplar extat in Coll. Auell. 237 [d. 26. m. Mart. a. 521]

O [= aerv], I

3 ἀπώλεσε O^{r}IΛΛ^{a} ἀπολέσασ O^{aev} τῆ ὑπηρεσία O^{aev} ὑπελθὼν O^{r}I ἀπελθὼν O^{av} ἐπελθὼν O^{e}Λ γινωκέσθωσαν O^{av} 4 παρὰ — τολμηρῶν om. I 5 τῆ O^{er}I τὸ O^{av} 6 κατανάλωσε O^{av} σχήματα O^{r}I 7 δύναται O^{e} 9 εὐηγγελισάμην I 11 εὐαγγελίσηται O^{r} εὐαγγελίζεται I φυλάττοι O^{v}Λ^{a} φυλάττει O^{aer}I τοιγαροῦν O^{arv}Λ^{a} γὰρ O^{e}Λ 13 οὐ IΛΛ^{a} οὖν O ἐνέλλειψε O^{a} 14 ὑπηρεσία πρεσβείασ O^{e} 15 ὑπηνέγκαμεν O 17/18 ἀπολύσθωσαν O^{av} ἀπολλυέσθωσαν I ἀπολυέσθωσαν O^{r} 18 ἐκκλίναντεσ I 19 διαφυλάξοι I διαφυλάξαι O^{av} διαφυλάξει O^{er} 20 φευρουαρίων O^{ae}I ὑπατίαν O^{r} τοῦ om. O^{av}

23 $\bar{\varsigma}$ in mg. O^{a} ὁρμίσδασ ἐπίσκοποσ I ἐπισκόπω O^{e}Λ ἀρχιεπισκόπω O^{arv}I 24 καὶ om. O^{r}I γαληνοτάτου I 25 τοιαύτην σπουδὴν Λ^{a}, sed nolui interpretem corrigere τοιαύτη ἐστὶ I γραμμάτων IΛΛ^{a} πραγμάτων O 28 συζευγνύουσι O^{r} ζευγνύωσι O^{av} 30 τῆς om. O^{arv} 31 διατύθεσει O^{r}I 32 μέλλοντοσ O^{v} 33 ἐπιδείξωσιν O^{arv} τῶι om. O^{r}

τὸν θεόν, ἀδελφοί, ταῖς ἡμῶν τοῦτο ἡμέραις συγκεχωρημένον γεγονέναι καὶ πάσαις εὐχῶν καὶ μεριμνῶν δυνάμεσιν ἐπερεισθῶμεν ἵνα ἅπερ διὰ τῆς τοῦ θεοῦ ἡμῶν συνεργίας καλῶς ἤρχθη, αὐτοῦ βοηθοῦντος ἐν πᾶσι πληρωθῶσιν. ἐλπὶς γάρ ἐστιν ὅτιπερ εἰς τὴν ἁρμονίαν τοῦ οἰκείου σώματος καὶ τὰ λοιπὰ καὶ ἔτι νῦν διηρημένα μέλη σπουδάσουσι καὶ ἀπὸ τῶν κρεισσόνων τὰ ἧσσονα οὐ διαφωνήσουσιν. εἰς ὃ ἐπείπερ με ἡ σὴ διάθεσις τῇ σπουδῇ τῆς Χριστιανικῆς ἀγάπης προτρέπεται, ὀφείλει εἰς ὃ διεγείρει ἀκολουθῆσαι καὶ ὅπερ ἀγαπᾶσθαι συμβουλεύει, περιπτύξασθαι. ὁμοίαν γὰρ λοιπὸν τῆς πίστεως φροντίδα χειρίζοντες διὰ τῆς εὐσεβοῦς ὑπομονῆς ἴσον καὶ τὸ ἔπαθλον τοῦ ἀγαθοῦ ἔργου ἐκβάσει ἐλπίζομεν. οὔτε γὰρ ταῖς δυσχερείαις ἐστὶ παραχωρητέον· οὐ καταπονεῖται τοῖς τραχέσιν ἡ πίστις οὐδὲ εἰς τὰ τῶν οὐρανῶν ὑψώματα διὰ κατωφεροῦς τις ἐπεκτείνεται οὔτε τῆς ἀνταμείψεως ἄνευ τῆς τοῦ καμάτου γυμνασίας τις ἀξιοῦται. δι' ὃ ἵνα μὴ Gal. 6, 9
ἐκκακῶμεν τὸ ἀγαθὸν ποιοῦντες, ἰδικῶς ὑπομιμνησκόμεθα· καὶ γὰρ μακάριοι, ὡς μαρτυρεῖ
ὁ ψαλμωιδός, οἱ φυλάσσοντες κρίσιν καὶ ποιοῦντες δικαιοσύνην ἐν παντὶ Ps. 105, 3
καιρῷ, ὅτι οὐχ ἡ ἀρχὴ τοῦ καμάτου τὴν ἀντάμειψιν τοῦ ἐπάθλου εἴωθεν εὑρίσκειν, ἀλλὰ τὸ τέλος. τοιγαροῦν ἴσην σπουδὴν τῆς μερίμνης ἀναλαβόμενοι, οἷς ἐστι μία ἐν τῇ κοινωνίαι καὶ τῇ πίστει ἡ ἑταιρία, ὃν τρόπον περὶ τῆς ἑνωθείσης τῶι ἀποστολικῶι θρόνωι τῆς Κωνσταντινουπόλεως ἐκκλησίας ἐπίσης ἀγαλλιῶμεν ἐν κυρίωι, οὕτω καὶ περὶ τῆς τῶν λοιπῶν, καθὼς ἐνδιαθέτως παραινεῖς, ἀποκαταστάσεως φροντίσωμεν πρῶτον ἵνα τὴν πίστιν καὶ τὴν τελειότητα ἡμῶν ἄσπιλον ἀπὸ παντὸς μιάσματος φυλάξωμεν. καὶ γὰρ οἶσθα, ἀδελφὲ τιμιώτατε, ποῖοι τὴν ἐκκλησιαστικὴν φυλάττουσιν ὁμόνοιαν σύν- δεσμοι, τίνα ἡμᾶς ἀπὸ τῶν αἱρετικῶν διαφυλάττουσιν ἐπιβουλῶν καὶ διὰ ποίων ἡ τῶν κανόνων φυλάττεται αὐθεντία. τούτων ἐν τῇ ἰδίαι ἰσχύι πάσηι προσοχῇ φυλατ- L V 153
τομένων ἴασις τοῖς ἐλπίζουσι προσενεχθήσεται. ἔχει γὰρ τῶν ἐκκλησιαστικῶν κανό- νων ἡ τάξις καὶ αὐτῆς τῆς δικαιοσύνης ὁ τύπος, ὅπως εὔλογος θεραπεία τοῖς καλοθελῶς καὶ πιστῶς ἐλπίζουσι μὴ ἀρνηθείη, οὐδέ τίς ἐστιν οὕτως ἀπὸ τῆς φιλανθρωπίας διηιρη- μένος, ὃν οὐχὶ ἀπὸ τῆς σκληρότητος τοῦ δεσμοῦ ἐπικάμψει ἡ ἀπάνουργος ἁπλότης. ἀλλ' ἵνα ἀσφαλῶς τοῦτο καὶ χωρὶς μέμψεως ἢ τινὸς ἐφόδου πλάνης ἰσχύσειε προελθεῖν, ἀγαπητὲ ἀδελφέ, τὸ ἐμὸν πρόσωπόν σε ἐν τούτωι χρὴ ὑπελθεῖν, ἐπιστάμενον ἐν ταῖς τοιαύταις ὑποθέσεσι, καθὼς προείρηται, τί ποιητέον εἴη, τί φυλακτέον, οὕτω πάντων προνοούμενον, ὡς μὴ ἀμφιβάλλοντα λόγον ταύτης τῆς διατυπώσεως τῶι θεῶι ἀπο- δώσοντα, οὕτω μέντοι ἵνα τούτους οἵτινες ὑμῖν τῇι κοινωνίαι συναφθεῖεν καὶ δι' ὑμῶν τῶι ἀποστολικῶι θρόνωι, τὰ ὑμέτερα γράμματα ἡμῖν δηλώσωσιν· οἷς καὶ τὰ περιεχόμενα τοῖς λιβέλλοις οὓς ἂν προσενέγκοιεν, ἐμφερέσθω. οὕτω γὰρ καὶ τῆς Σεβήρου καὶ τῶν τούτωι συμπλεκομένων καὶ τῶν ὁμοίων ἀπολυθήσονται πλάνης καὶ οὐδὲ τούτων M VIII 1034
οἵτινες ἰαθῆναι δυνήσονται, τὴν ζημίαν ὑπομείνωμεν. ὅπερ διὰ τοῦτο ὑμῖν ἰδικῶς ὠιήθημεν ἐπιθεῖναι πρὸς τὴν ὑμετέραν ἐπιμέλειαν τὰ ἡμέτερα μεταφέροντες βάρη, ἐπείπερ
οὐ μικρὰς ἤδη ἀποδείξεις τοῖς αἱρετικοῖς ἀνθιστάμενοι δεδώκατε καὶ οὐ χρὴ περὶ τούτου διστάζειν, ὃν καλῶς συνέβη δόκιμον ἀποδειχθῆναι. ἅμα προσλαβέσθαι τὰς θεραπείας τῆς ἰάσεως, ἅμα ζώσασθαι τὴν αὐθεντίαν τῆς δικαιοσύνης καὶ οὕτως περὶ τοὺς ἱκέτας

O [= aerv], I

1 *frater carissime* Λ^a 2 συνεργείασ O^v 4 σπουδάσωσι O^r 5 ἥττονα O^e ἐπει- δήπερ O^rI με $O^e\Lambda$ om. $O^{arv}I$ 6 ὀφείλεισ $O^e\Lambda$ 7/8 τῆσ πίστεωσ — χειρίζοντεσ λοιπὸν O^rI 9 δυσχερίαισ O^e 12 ὑπομιμνησκώμεθα $O^{ev}I$ 14 οὐχὶ $O^{rv}I$ 17 τῆς om. I 18 φροντίσο- μεν O^e 20 ὁμόνοιαν φυλάττουσι O^eI 21 φυλάττουσιν O^e 25 οὐδὲ] εἰ δέ I οὕτοσ O^a 27 ἐφόδου $O^{arv}I$ νεφώδουσ O^e *palliatione* Λ *naevum* Λ^a 31 τούτοισ O^v ἡμῖν $O^rI\Lambda$ 32 δη- λώσωσιν $I\Lambda^a$ δηλώσουσιν O 34 ἀπολυσθήσονται O^r 35 ὑπομείνομεν O^{arv} 36 ἡμετέραν O^r 37 ἀποδείξοισ O^v ἀποδείξασ I 38 ἅμα τῶ O^{av} ἀλλὰ I 39 *simul accingere* (imperat. pass.) Λ^a ἀναζώσασθαι $O^{ev}I$ ἀναζώσασθε $O^e\Lambda$ ἀναζώσασ O^r

τῆι φιλανθρωπίαι ἀπαλύνεσθαι, ἵνα τοὺς ἐν τῶι τῶν αἱρετικῶν μιάσματι ἐπιμένοντας ἢ τούτους οἵτινες τὸ ἀνεύθυνον ὑποκρίνονται καὶ μετὰ τῶν ἡμετέρων μόνηι τῆι φωνῆι συμφωνοῦσιν, ἀπὸ τούτων ὧν ὑπὲρ τῆς ἀποκαταστάσεως τῆς ἐκκλησίας φροντὶς καὶ πρόνοια ἐστίν, ἀποκινήσηις. οὐδὲ γὰρ λυσιτελεῖ περὶ τούτους τὴν ἐκκλησιαστικὴν κεράσαι αὐστηρίαν· οὐ γὰρ ἔσται λοιπὸν τοῦ ἐλέους τὰ ἀγαθὰ διὰ τὴν τῶν προνοηθῆναι ὀφειλόντων ἀνάγκην συναχθέντα, ἐὰν ἀδιακρίτως ἔσονται κοινὰ καλοῖς καὶ κακοῖς. καὶ ἐπειδὴ τῶν Ἱεροσολυμιτῶν ὁμοίως ποιήσασθαι ὠιήθη ἐν τοῖς οἰκείοις γράμμασι μνήμην ἡ σὴ ἀγάπη, ὧν καὶ πρὸς ἡμᾶς ἠνέχθη τις ὁμολογία, ἀναγκαῖον ἡγησάμεθα καὶ ἀναγνῶναι τὰ γραφέντα καὶ ἀποκρίνασθαι τὰ πρόσφορα. οἵτινες εἰ τὰς τῶν ἁγίων πατέρων διατυπώσεις φυλάττουσιν, εἰ ἐκείνης τῆς πίστεως τοὺς θεμελίους σέβονται, [καὶ] ἀπὸ τούτων τῶν δι' αὐτῶν τοῦ ἁγίου πνεύματος κατανύσσοντος ὁρισθέντων οὐκ ἀναχωρήσουσιν. ἃ γὰρ εἰσι τέλεια, ὥσπερ εἰσί, καὶ προσθήκης οὐ δέονται, ἃ καλῶς βέβαια καὶ διὰ τοῦτο οὐκ ἀμειπτέα, ὁπότε δι' αὐτῶν πάντα τὰ τῶν αἱρετικῶν δηλητήρια κατεπιέσθη. οὐδέ τι ἡ ἐν Χαλκηδόνι σύνοδος, ὅπερ χρήσιμον οἱαδήποτε ἐπιμέλεια ἠδύνατο ἐπινοῆσαι, παρέδραμεν. ἥτις τῶν προλαβουσῶν ὁμοίως τὰ δόγματα ἢ τηλαυγέστερον ἐφανέρωσεν ἢ ἐπαναληφθεῖσηι τῆι αὐθεντίαι ἐβεβαίωσεν ἰδικόν τινα κατὰ Νεστορίου καὶ Εὐτυχοῦς ἀναδεξαμένη ἀγῶνα, τοῦ μὲν ἑτέρου τὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ θεότητα ἀπὸ τῆς σαρκὸς χωρίζοντος καὶ διὰ τοῦτο τὴν ἁγίαν Μαρίαν θεοῦ γεννήτριαν ἐξαγγέλλειν ἐκκλίνοντος, τοῦ δὲ ἑτέρου τὴν ἀλήθειαν τῆς σαρκὸς ἐν τῶι κυρίωι ἀπαναινομένου, ὁπότε ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ αὐτὸς υἱὸς θεοῦ, ὁ αὐτὸς ἄνθρωπος, ἓν πρόσωπον ἐν δύο φύσεσι καὶ θεότητος καὶ σαρκὸς οὐδὲ τῶν φύσεων ἐν τῆι ἑνώσει συγχυ-
Phil. 2, 7 θεισῶν, οὐχ ὡς τετάρτου προσώπου προστεθέντος τῆι τριάδι, ἀλλ' αὐτὸς ὁ υἱὸς τοῦ
L V 156 θεοῦ ἐκένωσεν ἑαυτὸν καὶ μορφὴν δούλου ἔλαβε· δι' ὃ καὶ μίαν καὶ οὐ διαιρετὴν ὁμολογοῦμεν οὐσίαν τῆς τριάδος καὶ τὴν ἰδίαν ὅμως ἰδιότητα ἴσμεν ἐνεῖναι τοῖς προσώποις. ἐν γὰρ τοῦ πατρὸς ὁμολογοῦμεν εἶναι πρόσωπον, ἐν τοῦ υἱοῦ τοῦ θεοῦ μετὰ τῆς προσληφθείσης σαρκός, ἐν τοῦ πνεύματος τοῦ ἁγίου, καὶ τὰ πρόσωπα ταῖς ἰδιότησι σημαίνοντες καὶ διὰ τῆς ἑνότητος τῆς οὐσίας τὸ ἀχώριστον τῆς τριάδος μυστήριον ὁμολογοῦντες. οὔτε γὰρ δυνατὸν ἀμφιβάλλεσθαι τὸν λόγον τοῦ θεοῦ ἐν τοῖς τῆς μητρὸς σπλάγχνοις διὰ τῆς σαρκὸς τὴν ἀνθρωπείαν προσειληφέναι φύσιν καὶ μὴ μετὰ τὴν παρ' αὐτοῦ γενομένην ἐν τῆι μήτραι τῶν φύσεων ἕνωσιν διηιρημένον. καθάπερ γὰρ οὐκ ἔστιν ἐν αὐτῶι ἀνθρωπότης ἄνευ θεοῦ γεννηθεῖσα, οὕτως ἐν τῶι σταυρῶι ἡ ἀπαθὴς θεότης οὐκ ἔστιν ἀπὸ τοῦ τῆς σαρκὸς πάθους διηιρημένη, ὅπερ ὁ τῆς παρθένου τόκος καὶ ἡ ἄχραντος γονιμότης καὶ ἡ ἐξαίρετος ἐκ νεκρῶν ἀνάστασις καὶ ἡ εἰς οὐρανοὺς δείκνυσιν ἄνοδος. ταῦτα
M VIII 1035 εἰ καθὼς παρὰ τῶν πατέρων ὡρίσθη, φυλάττουσι, πιστευέτωσαν καὶ μηδὲ τὰ ὡρισμένα παραβαινέτωσαν. ἀφ' ἧς τρίβου οἱ ἐκκλίνοντες αὐτοὶ ἑαυτοῖς νέφος ἀμφιβολίας περιχέ-
1 Cor. 11, 16 ουσιν, ἡμῖν δὲ ἐκεῖνο τὸ ἀποστολικὸν τοῖς φιλονείκοις ἀποκρίνασθαι ἀνάγκη ἐστίν· ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν οὐδὲ ἡ ἐκκλησία τοῦ θεοῦ. ταῦτα διὰ τοῦτο διὰ βραχέων, ἐπειδὴ οὔτε ἀμφιβάλλεσθαι προσήκει περὶ πραγμάτων τῶν περὶ τῆς πίστεως πολλάκις ὁρισθέντων καὶ παντελῶς περιττή ἐστιν ἡ δικαιολογία ἡ προσφερο-

---

O [acrv-], I

2 οἳ O^e μόνον O^rI 4 ἀποκινήσησ I *secernatis* Λ *excludas* $Λ^a$ ἀπὸ ἐκκλησίασ O ἀποκλήισηις Guenther συ̣στελεῖ O^e 6 ἀδιακρίτωσ γὰρ I 7 Ἱεροσολυμητῶν O^v 10 καὶ om. $Λ^a$ 12 ἡ^1 $O^rIΛ^a$ εἰ O^{aev} 13/14 καταπιέσθη O^v καταπιεσθῆ O^e 14/15 ἐννοῆσαι O^{av} 16 ἐπαναληφθείση $IΛ^a$ ἐπαναληφθεῖσα O 18 θεοτόκον O^e 20 ὁ αὐτὸς^2 $IΛ^a$ οὗτοσ OΛ τοῦ θεοῦ O^rI καὶ ἄνθσ O^a *hominis* $Λ^a$ 22 οὐχ ὡσ $O^{er}Λ^a$ οὐδ' ὡς IΛ οὐδὲ O^{av} 23 οὐδὲ $O^{ev}IΛ$ 24 ὁμωσ $O^eΛΛ^a$ ὁμοίωσ $O^{arv}I$ ἐνεῖναι Thiel secundum $Λ^a$ ἓν εἶναι OI ἐν τοῖς I 27 ὁμολογοῦμεν O^r 29 ἀνθρωπίαν O^r 30 τῶν φύσεων ἐν τῆι μήτραι O^rI 31 γενηθεῖσα O^e *facta* Λ 32 πάθοσ O^a 35 οἱ om. O^{av} 35/36 περιχέουσιν $O^eIΛΛ^a$ περιέχουσιν O^{arv} 38 περὶ^2 om. O^a

μένη τοῖς παρεσκευασμένοις, ὁπότε περὶ τούτου τοῦ πράγματος καὶ πρὸς τὸν ἐνδοξότατον καὶ φιλανθρωπότατον βασιλέα τὸν ἡμέτερον υἱὸν οὐκ ὀλίγα ἐσημάναμεν. καὶ ἐπειδὴ περὶ τῆς τῶν Ἱεροσολυμιτῶν ὁμολογίας ἀπεκρινάμεθα, καὶ τοῦτο ὑπελάβομεν τῆς τούτων σωτηρίας χάριν ἁρμοδίως προσθεῖναι, ἵνα ἐὰν τῆς καθολικῆς κοινωνίας ἐπιποθῶσι τὴν ἕνωσιν, τῆς ἰδίας ὁμολογίας τὸ ὕφος, ἐγγράφως μηνυθεῖσαν ἣν τοῖς ἡμετέροις πρεσβευταῖς ἐν Κωνσταντινουπόλει διάγουσι προσήνεγκαν, διὰ τῶν ἰδίων πρὸς ἡμᾶς ἀποστείλωσιν ἢ τῇ ὑμετέραι ἀδελφότητι δώσουσι, τῇ αὐτῇ μέντοι, καθὼς εἶπον, δυνάμει συγγεγραμμένην, ἥτις πρὸς ἡμᾶς πᾶσι τρόποις δι' ὑμετέρας διατυπώσεως κομισθήσεται. περὶ γὰρ τῶν Θεσσαλονικέων, ὧν πρὸς ἡμᾶς οἱ πρέσβεις διὰ τῆς τοῦ πιστοτάτου καὶ ἐνδοξοτάτου βασιλέως τοῦ ἡμετέρου υἱοῦ διατυπώσεως ἦλθον, ἵνα μή τι παραλελοιπέναι δόξωμεν, γινώσκειν ὑμᾶς βουλόμεθα κατὰ ταῦτα ἅπερ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐμπνέοντος ἤρεσαν, τὴν ὑπόθεσιν πᾶσαν τῇ ἡμετέραι διασκέψει ψηλαφητέαν καί, εἰ ὅπερ χρὴ πληρώσουσι, διατυπωτέαν. ταῦτα διὰ τοῦ ἀδελφοῦ καὶ συνεπισκόπου ἡμῶν τοῦ σεβασμιωτάτου ἀνδρὸς Ἰωάννου, ἀλλὰ καὶ διὰ τῶν υἱῶν ἡμῶν Ἡρακλειανοῦ τοῦ πρεσβυτέρου καὶ Κωνσταντίνου τοῦ διακόνου τῆς ἐκκλησιαστικῆς τιμῆς ἀξίων τὰ πρὸς τὴν ὑπόθεσιν ἀνήκοντα ἀρκεσθέντες ἀντιγράψαι, ἤσθημεν ἐν ἀνδρὶ τῆς ἡμετέρας τάξεως ἴσην ἀξίαν καὶ εὐλαβῆ πρόθεσιν ἡμᾶς εὑρηκέναι καὶ μετὰ τῶν τῆς πρεσβείας ἐντολῶν τῇ φρονήσει καὶ τοῖς τρόποις συνάιδοντα. εὐκταῖον γὰρ πρᾶγμα καὶ πλῆρες χαρᾶς, ἵνα ὥσι κεκριμένως δόκιμοι οὓς τῆς κοινωνίας καὶ τῆς τάξεως συνέβη εἶναι συγκλήρους.

Καὶ ἄλλῃ χειρί· ὁ θεός σε ὑγιῆ διαφυλάττοι, ἀδελφὲ τιμιώτατε.

22 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· Νῦν καὶ οἱ θεοσεβέστατοι νοτάριοι τῆς ἁγιωτάτης ἡμῶν ἐκκλησίας, εἴ τινές εἰσι παρ' αὐτοῖς χάρται τὴν παροῦσαν ὁρῶντες ὑπόθεσιν, δήλους ἡμῖν τούτους ποιείτωσαν.

23 Καὶ προκομισθέντων τῶν χαρτῶν διὰ Κοσμᾶ τοῦ θεοσεβεστάτου διακόνου νοταρίου καὶ χαρτοφύλακος Μακάριος ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος τὸν ἐκ προσώπου τῶν L V 157
Θεουπόλεως κληρικῶν λίβελλον καὶ τὴν ἀναφορὰν τῆς ἐνδημούσης τηνικαῦτα τῇ βασιλίδι 26
πόλει συνόδου, ἀμφότερα πρὸς τὸν ἐν ἁγίοις Ἰωάννην ἀρχιεπίσκοπον γενόμενον τῆς αὐτῆς βασιλίδος πόλεως, ἀνέγνω καὶ Καλώνυμος ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος ἀπὸ κώδικος τὴν πρὸς Ἰωάννην τὸν τῆς ὁσίας μνήμης ἀρχιεπίσκοπον γενόμενον Ἱεροσολύμων ἐπιστολὴν καὶ τὴν πρὸς Ἐπιφάνιον τὸν τῆς θεοφιλοῦς μνήμης τῆς Τυρίων γενόμενον 30
ἐπίσκοπον ἀνέγνω, ἔτι μὴν καὶ τὴν πεμφθεῖσαν ὑπό τε αὐτοῦ Ἰωάννου τοῦ τῆς Ἱεροσολυμιτῶν ἐπισκόπου καὶ τῆς ὑπ' αὐτὸν συνόδου πρὸς τὸν ἐν ἁγίοις Ἰωάννην ἐπιστολὴν ἀνέγνω· καὶ Στέφανος ὁ θεοσεβέστατος νοτάριος καὶ διάκονος τὴν σταλεῖσαν ἀναφορὰν σὺν τοῖς πεπραγμένοις παρὰ Ἐπιφανίου ἐπισκόπου γενομένου Τύρου καὶ τῆς ὑπ' αὐτὸν συνόδου ἀνέγνω, καὶ Παῦλος ὁ θεοσεβέστατος νοτάριος καὶ διάκονος τὴν σταλεῖσαν 35
ἀναφορὰν σὺν τοῖς πεπραγμένοις ὑπὸ τῶν ἐπισκόπων δευτέρας Συρίας πρὸς τὸν ἐν ἁγίοις Ἰωάννην γενόμενον ἀρχιεπίσκοπον τῆς βασιλίδος πόλεως· ἅτινα συμπάντα καὶ ἐντέτακται.

O [= aerv], I

1 παρασκευασμένοισ O^{rv} ἀντιλέγειν παρεσκευασμένοις I 1/2 καὶ πρὸς — φιλανθρωπότατον I φιλανθρωπότατον καὶ πρὸσ τὸν ἐνδοξότατον O *et ad clementissimum* $Λ^{a}$ 2 ἐσημήναμεν I 4 κοινωνίασ $O^{avr}IΛ^{a}$ ἐκκλησίασ $O^{e}Λ$ ἐπιποθοῦσι O^{r} 5 ἣν ἐγγράφωσ μηνυθεῖσαν I 7 εἶπαν O^{r} 11 ἐμπνέοντεσ O^{r} ἐμπνέοντον [sic] O^{v} 12 ἡμετέρα $IΛ^{a}$ ὑμετέρα OΛ 12/13 καὶ — διατυπωτέαν om. O^{av} πληρώσωσι O^{r} 14 ὑμῶν O^{e} 15 τοῦ om. O^{av} 16 ἀρεσθέντεσ I 17 *non inuenisse* $Λ^{a}$ 18 πλήρησ O^{r} κεκριμένοι O^{r} 20 διαφυλάττει O^{ev} 22 ἡμῶν om. $O^{r}I$ 23 τούτουσ δήλουσ ἡμῖν $O^{r}I$ 25 Μακάριος] ἀνέγνω μακάριος I 30 τύρων O^{r} 33 διάκονοσ καὶ νοτάριοσ I 34 σὺν τοῖς πεπραγμένοις I om. OΛ 36 ἀπὸ O 37 ἀρχιεπίσκοπον γενόμενον O^{r}

M VIII 1038

Δέησις κληρικῶν καὶ μοναχῶν

Ἀντιοχείας πρὸς Ἰωάννην τὸν πατριάρχην καὶ τὴν ἐνδημοῦσαν σύνοδον κατὰ Σεβήρου

24 Τῶι ὁσιωτάτωι καὶ ἁγιωτάτωι καὶ μακαριωτάτωι ἀρχιεπισκόπωι καὶ οἰκουμενικῶι πατριάρχηι Ἰωάννηι καὶ τῆι ἐνδημούσηι ἁγίαι συνόδωι ἀξίωσις παρὰ κληρικῶν καὶ μοναχῶν τοῦ ἀποστολικοῦ θρόνου τῆς Ἀντιοχέων μεγαλοπόλεως ἁγίας τοῦ θεοῦ καθολικῆς ἐκκλησίας. Νῦν εἴπερ ποτὲ καιρός, ὦ μακαριώτατοι, πάσας τῆς οἰκουμένης τὰς
Ps. 95, 11 ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὡς ἐξ ἑνὸς στόματος τὸ προφητικὸν ἐκεῖνο ἐκβοῆσαι εὐφραινέσθωσαν οἱ οὐρανοὶ καὶ ἀγαλλιάσθω ἡ γῆ καὶ πάντα τὰ ἐν αὐτῆι, ὅτι ἠλέησεν ὁ θεὸς τὸν λαὸν αὐτοῦ. τὸ γὰρ τὰ σκῆπτρα Ῥωμαίων τοὺς οὕτως εὐσεβεῖς καὶ φιλοχρίστους ἐγχειρισθῆναι βασιλέας, ἐλευθερίαν δὲ χαρισθῆναι καὶ παρρησίαν τοῖς τὴν ὀρθόδοξον πρεσβεύουσι θρησκείαν πῶς οὐχὶ ταύτην πείθει εἰκότως τοὺς πιστοὺς βοῆσαι φωνήν; ἀλλ' ἐν οὕτω κοινῆι τῆς οἰκουμένης ἑορτῆι μία ἐκ πάντων ἡ κομιδῆι σὺν ὀλίγαις ἡ τῶν Ἀντιοχέων ἐκκλησία κατηφείας πεπλήρωται καὶ θρήνων. λύκον γὰρ ἀντὶ ποιμένος οὐκ οἶδαμεν ὅπως δεξαμένη κακοπαθεῖ. ποίαν γὰρ τραγωιδίαν οὐκ ἀπέκρυψε τὰ τολμηθέντα παρὰ Σεβήρου κακά; ὃς πρῶτον μέν, ἵν' ὅπως βεβίωκε παραλίπωμεν φειδοῖ τῶν ὑμετέρων ἀκοῶν, οὐδεμιᾶι πώποτε φαίνεται κοινωνήσας ἐκκλησίαι, εἶτα συκοφαντίας βέλεσι κατατοξεύσας τε καὶ παρασκευάσας ἐξελαθῆναι τὸν ἔνθεσμον ποιμένα Φλαβιανὸν τὸν μακαριώτατον, τὸν ἐκείνου θρόνον βιαίως καὶ ἀκανονίστως ὑφήρπασε κἀντεῦθεν
Ioh. 10, 12 sq μισθωτοῦ δίκην οὐ μόνον οὐκ ἐπήμυνε τῆι ποίμνηι τοῦ Χριστοῦ οὐδὲ ἔφυγεν, ὅπερ ἦν ἀγαπητόν, ἀλλ' αὐτὸς τὰ τῶν θηρίων ἕδρα σφάττων τε καὶ διασκορπίζων τὰ πρόβατα, κενοφωνίας δὲ καὶ βλασφημίας κατὰ τοῦ θεοῦ πλαττόμενος οὐδενὸς τῶν ἁγίων ἡμῶν πατέρων ἐφείσατο, διατελεῖ δὲ πᾶσαν ἡμέραν ὡς εἰπεῖν τὰς ὑπὲρ εὐσεβείας ἀθροισθείσας ἀποκηρύττων συνόδους. ὁ γὰρ τὴν ἐν Χαλκηδόνι ἁγίαν σύνοδον ἀναθεματίσαι τε καὶ πολεμῆσαι τολμήσας τὴν μάλιστα βεβαιώσασαν τὸ σύμβολον τῶν τιη ἁγίων πατέρων,
L V 160 ἀποδεξαμένην δὲ καὶ τοὺς ρν ὁσίους καὶ ἁγίους πατέρας, ἔτι μὴν καὶ τοὺς ἐν Ἐφέσωι κατὰ Νεστορίου τοῦ δυσσεβοῦς συνελθόντας ὁμοίως ὁσίους πατέρας, εὔδηλον ὡς καὶ τὰς εἰρημένας ἀποστρέφεται καὶ μισεῖ ὡς ταύτης ἀδελφάς. καὶ ὅσους μὲν φόνους ἁγίων εἰργάσατο μοναχῶν Ἰουδαικαῖς χερσὶ τὴν τοιαύτην ἐγχειρίσας σφαγήν, οὔτε ὑμᾶς, ὁσιώτατοι, οὔτε τῶν ἄλλων ἔλαθεν οὐδένα. θέαμα γὰρ ἦσαν κείμενοι δεινὸν ἄνδρες ἀσκητικοῖς ἀγῶσι μέχρι πολιᾶς ἐναθλήσαντες γυμνοὶ καὶ ἄταφοι ἐρριμμένοι, ὑπὲρ τοὺς τριακοσίους ὄντες, ἐκ
Il. A 4. 5 τῆς δευτέρας Σύρων ἐπαρχίας ὁρμώμενοι, κυσὶ σπαράγματα καὶ οἰωνοῖς προκείμενοι. ὅμοια δὲ καὶ ὡσαύτως ἐλεεινὰ καὶ ὅσα ἐν τοῖς ξενῶσιν αὐτῶι πέπρακται· δεσμωτήρια γὰρ δομᾶται νῦν κἀκεῖσε πολλοὺς ὑπὲρ εὐσεβείας καθείργων ἐν σκότει καὶ μαστίζων ἀναιρεῖ.
M VIII 1039 οἷα δέ, ὁσιώτατοι, καὶ περὶ τὰς ἐν Δάφνηι πηγὰς πρᾶξαι τετόλμηκε μαγείαις τε χρώμενος αὐτόθι καὶ θυμιάμασι μυσαροῖς θεραπεύων τοὺς δαίμονας, καὶ τοῦτο πᾶσα ἐκείνη ἡ μεγάλη ἄιδει πόλις. οὐ μὴν οὐδὲ αὐτῶν ἐφείσατο τῶν ἁγίων θυσιαστηρίων οὐδὲ τῶν ἱερῶν σκευῶν, τὰ μὲν ξέων ὡς ἐναγῆ, τὰ δὲ χωνεύων καὶ ῥογεύων τοῖς ὁμοτρόποις. τετόλμηται δὲ αὐτῶι καὶ τοῦτο, ὦ μακαριώτατοι. τὰς γὰρ εἰς τύπον τοῦ ἁγίου πνεύματος

O [= aerv], I

1 ϛ̄ in mg. O^{a} μοναχῶν καὶ κληρικῶν I 2 ἐνδημοῦσαν OL ἐν κωνσταντινουπόλει I 3 μακαριωτάτωι καὶ ἁγιωτάτωι O^{e} καὶ3 I om. OL 4 συνόδωι ἁγίαι O^{r}I 5 μροπόλεως O^{v} 6 ἤπερ O^{e} 7 χῦ O^{r}I 8 καὶ πάντα — αὐτῆ O^{e}L om. O^{arv}I 11 τοιαύτην I τοὺς] de O^{r} propter correcturas non constat πιστῶσ O^{r} 11/12 τὴν φωνὴν O^{e} 12 ἢ O^{e}IL om. O^{arv} 13 καὶ θρήνων πεπλήρωται O^{e} 15 ἵν' om. O^{av} 16 ἡμετέρων O^{r} ἐκκλησίαν O^{v} 17 φλαυιανὸν O^{e} 19 ἐποίμανε τῆ [in τὴν corr.] ποίμνην O^{r}L ἔφαγεν O^{r} 21 ἡμῶν om. O^{r} 23 ἀναθεματίσασ O^{r}I 25 τὲ O^{r} 30 ἄτυφοι O^{v} ἐρημμένοι O^{r} 30/31 ἐκ τῆς om. O^{r}I 31 κείμενοι O^{r} 32 αὐτῶν O^{av} 33 διμᾶται O^{v} πολλοὺς I πολλοὺσ τῶν O 34 οἷα O οἴδατε I καὶ δ I χρώμενον O^{v}

χρυσᾶς τε καὶ ἀργυρᾶς περιστερὰς κρεμαμένας ὑπεράνω τῶν θείων κολυμβηθρῶν καὶ θυσιαστηρίων μετὰ τῶν ἄλλων ἐσφετερίσατο λέγων οὐ χρῆναι ἐν εἴδει περιστερᾶς ὀνομάζεσθαι τὸ ἅγιον πνεῦμα. τὰ μέντοι χρήματα καὶ οἰκήματα καὶ ὅσα ἐν τοῖς καλλίστοις χωρίοις ὑπῆρχε τῇ ἐκκλησίαι, πάντα ἐκφορήσας ἐξεδαπάνησε καὶ βαρυτάτοις δανείσμασι τὴν ἐκκλησίαν κατέχωσεν. ἀλλ' οὐχ οἷόν τε, ὦ μακαριώτατοι, πάντα διεξελθεῖν τὰ ἐκείνωι τετολμημένα, δι' ὃ τοῖς ὀλίγοις τούτοις καίπερ οὖσι τηλικούτοις ἀρκούμενοι δεόμεθα τῆς ὑμετέρας ἁγίας συνόδου ὀψὲ καὶ μόλις στῆσαι τὰ συνέχοντα κακὰ τὴν ἡμετέραν ἐκκλησίαν καὶ πᾶσαν σχεδὸν τὴν Ἀνατολικὴν διοίκησιν καὶ τοῦ τε παμπονήρου ἀνδρὸς ἡμᾶς ἐλευθερῶσαι ἀπαιτουμένου κατὰ τοὺς θείους κανόνας καὶ τοὺς πολιτικοὺς νόμους δίκας ὧν ἔπραξε, πρόνοιαν δὲ ποιῆσαι καὶ τῶν ὑπολειφθέντων πραγμάτων, εἴ γέ τι μεμένηκε, πείθοντας τὴν εὐσεβῆ καὶ καλλίνικον κορυφὴν ἀποσταλῆναί τινας ἐν τάχει ἐπ' ἀγαθοῖς μαρτυρουμένους τρόποις τινὸς τῶν ἐξ ἡμῶν συνερχομένου καὶ τοῖς πράγμασιν ἐφεστῶτος, ἐφ' ὧι συσχεθῆναι μὲν καὶ λογοθετηθῆναι τοὺς ἐξ ἀρχῆς καὶ μεχρὶ νῦν εἰς ταῦτα ὑπουργήσαντας καὶ εἰς ἑαυτοὺς τὰ πολλὰ κεκλοφότας, ἐξασφαλισθῆναι δὲ καὶ τὰ εὑρισκόμενα, ἵνα μὴ τελέως ἅπαντα ἐκφορηθῆι. οὐ γὰρ παύεται ὁ χρηστὸς ἄνθρωπος κατὰ τῆς ἐκκλησίας τοῦ θεοῦ τὰ διαφέροντα αὐτῆι διασκορπίζων· πάσης γὰρ ἐλπίδος εἰκότως ἐκπεσὼν τοῦ θεοῦ εἰς ἄνδρας πονηροὺς καὶ ἐκ τῶν τοιούτων τρεφομένους τὰς ἐλπίδας ἔχει. πρεσβεῦσαι δὲ παρακαλοῦμεν καὶ ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, εἴτε ἐπίσκοποι εἶεν εἴτε κληρικοὶ ἢ μοναχοὶ ἢ καὶ λαικοί, ὅπως ἀνακληθέντες ἀποδοθεῖεν ταῖς οἰκείαις πόλεσι καὶ τάξεσιν. ἐπὶ τούτοις πᾶσι, συγγνώμην αἰτοῦντες διὰ τὴν συνέχουσαν ἡμᾶς ὀδύνην, ἐνορκοῦμεν τὴν ὑμετέραν μακαριότητα τὴν ἁγίαν καὶ ὁμοούσιον τριάδα καὶ τὴν εὐσέβειαν καὶ νίκην καὶ διαμονὴν τῶν δεσποτῶν ὅλης τῆς οἰκουμένης Ἰουστίνου καὶ Εὐφημίας τῶν αἰωνίων αὐγούστων κινηθῆναί τε ὑμᾶς δεόντως καὶ μὴ περιιδεῖν ἡμῶν τὰς αἰτήσεις, ἀναγαγεῖν L V 161 δὲ ταῦτα πάντα ἐπὶ τοὺς εὐσεβεῖς καὶ φιλοχρίστους ἡμῶν βασιλέας καὶ πεῖσαι τὴν αὐτῶν γαληνότητα πάντα τὰ κατὰ τὴν ἁγιωτάτην ἡμῶν ἐκκλησίαν τῆς αὐτῶν τε καὶ ὑμῶν προνοίας τυχεῖν.

Ὑπογραφαί

1 Θεοδόσιος ἐλέει θεοῦ πρεσβύτερος Ἀντιοχείας ἐπέδωκα: —
2 Λογγῖνος διάκονος ὁμοίως ἐπέδωκα: —
3 Στέφανος διάκονος ὁμοίως ἐπέδωκα: —
4 Μαυρίκιος ὑποδιάκονος ὁμοίως ἐπέδωκα: —
5 Ἰουλιανὸς διάκονος ὁμοίως ἐπέδωκα: —
6 Θωμᾶς διάκονος ὁμοίως ἐπέδωκα: —
7 Ἰωάννης ἐλέει θεοῦ πρεσβύτερος ὁμοίως ἐπέδωκα: — M VIII 1042
8 Ἀνδρέας ἐπέδωκα: —
9 Ἰουλιανὸς [ὁμοίως] ἐπέδωκα: —
10 Μάρκελλος διάκονος ὁμοίως ἐπέδωκα: —

O = [aerv], I

1 θείων om. O^a 2/3 τὸ ἅγιον πνα ὀνομάζεσθαι O^e 8 τε om. O^a 9 πρᾶξαι O^r 10 εἴ γέ τι OΛ ἃ εἰς ἔτι I πείθοντας scripsi πείθοντες OI 12 τρόπους O^v τῶν om. I ὑμῶν O^aI ἐφεστῶτος] *superscr* Λ ἐφιστῶντος O^{aer}I ἐφιστῶντες O^v 13 μὲν – λογοθετηθῆναι om. I τοῦ νῦν O^e 14/15 τελείως O^r 15 ἐκφωρηθῆ O^r 16 σκορπίζων O^e ἐκπεσὼν εἰκότως O^a 17 τρεφόμενος O^eΛ 18 ἐπίσκοπον O^v 19 καὶ om. O^rΛ ἀνακληθέντες ἀποδοθεῖεν O^rI ἀνακληθέντας ἀποδοθῆναι O^{aev} 22 τῆς ὅλης O^{aev} 24 πάντα ταῦτα O^{av} ταῦτα I βασιλεῖς I 25 ἡμῶν O^{er}IΛ ὑμῶν O^{av} 27 αἱ ὑπογραφαί O^a om. O^{rv}IΛ 28 θεόδωρος O^a ἐλέω O^e ut solet 31—p. 62, 17 Μαυρίκιος — ἐπέδωκα] καὶ οἱ λοιποὶ O^rI 32. 33 ἐλέω θῡ διάκονος O^eΛ 35 ὁμοίως ἐπέδωκα O^eΛ 36 om. O^{av} ὁμοίως deleui 37 ὁμοίως om. O^v

11 Σέργιος ἐλεεινὸς ὁμοίως ἐπέδωκα: —
12 Ἰωάννης ἐλεεινὸς ὁμοίως ἐπέδωκα: —
13 Μωσῆς θεοῦ χάριτι πρεσβύτερος ὁμοίως ἐπέδωκα: —
14 Ἰωάννης ὑποβολεὺς ἐπέδωκα: —
15 Ἰωάννης μοναχὸς μονῆς τοῦ μακαρίου Μάρωνος ὁμοίως ἐπέδωκα: —
16 Ἰάκωβος μοναχὸς μονῆς τοῦ μακαρίου Βίζου ὁμοίως ἐπέδωκα: —
17 Κωνσταντῖνος μοναχὸς καὶ ἀποκρισιάριος τοῦ τῆς ὁσίας μνήμης Ἀστερίου ἐπέδωκα: —
18 Νόννος διάκονος μονῆς τοῦ μακαρίου Παύλου ἐπέδωκα: —
19 Σολομὼν μοναχὸς μονῆς τοῦ μακαρίου Οὐαλεντίνου τοῦ Καπροέλης ἐπέδωκα: —
20 Συμεὼν μοναχὸς μονῆς τοῦ μακαρίου Ἀγαπητοῦ ὁμοίως ἐπέδωκα: —
21 Σέργιος μοναχὸς μονῆς τοῦ μακαρίου Συμεῶνος ὁμοίως ἐπέδωκα: —
22 Ἄλφιος μοναχὸς μονῆς τοῦ μακαρίου Ἰακώβου ὁμοίως ἐπέδωκα: —
23 Φίληξ μοναχὸς μονῆς τοῦ μακαρίου Ἰωάννου ὁμοίως ἐπέδωκα: —
24 Συμεώνης μοναχὸς μονῆς Ἰουγάτων τοῦ μακαρίου Παύλου ἐπέδωκα: —
25 Παῦλος μοναχὸς μονῆς τοῦ μακαρίου Ἡσυχίου ὁμοίως ἐπέδωκα: —
26 Κυριακὸς μοναχὸς μονῆς τοῦ μακαρίου Δωροθέου ὁμοίως ἐπέδωκα: —

Ἀναφορὰ πρὸς Ἰωάννην πατριάρχην παρὰ τῆς ἐνδημούσης συνόδου

25 Τῶι δεσπότηι ἡμῶν τῶι ἁγιωτάτωι καὶ μακαριωτάτωι πατρὶ πατέρων ἀρχιεπισκόπωι καὶ οἰκουμενικῶι πατριάρχηι Ἰωάννηι ἡ ἐνδημοῦσα κατὰ τὴν φιλόχριστον ταύτην καὶ βασιλίδα πόλιν σύνοδος ἐν κυρίωι χαίρειν. Ἐπειδὴ ὁ θεὸς ὁ πάντων δεσπότης ἐπὶ συμφέροντι τῆς ὀρθοδοξίας καὶ συστάσει τῆς καθολικῆς ἐκκλησίας κατὰ τὴν
d. 15. et 16. m. Iul. a. 518 παρελθοῦσαν κυριακήν τε καὶ δευτέραν λειτουργίας ἐπιτελουμένης ἐν τῆι ἁγίαι τοῦ θεοῦ
L V 164 μεγάληι ἐκκλησίαι τῆς βασιλίδος ταύτης πόλεως μιᾶι φωνῆι ἐκίνησε τὸν ἀναριθμήτων μυριάδων λαόν, ὥστε ζήλωι θείωι τοῦτον ἐκκαυθέντα ἐπὶ πολὺ καὶ ἐπιμόνως αἰτῆσαι τὴν ὑμετέραν μακαριότητα ἐπὶ τοῦ ἄμβωνος ἀνελθεῖν καὶ προσφωνῆσαι ὑπὲρ τῆς ὀρθῆς πίστεως, ὑπὲρ ἧς ἀεὶ ἠγωνίσασθε καὶ ἀγωνίζεσθε, καὶ τοῦτο ποιησάντων ὑμῶν ἐκβοήσεις γεγόνασι, καθὼς εἴρηται, πλεῖσται καὶ ἐπίμονοι τοῦ λαοῦ, ὑμᾶς μὲν ἐπὶ τῆι ὀρθοδοξίαι εὐφημοῦντος, τοὺς δὲ πρὸ ὑμῶν ἐκβληθέντας πατέρας ἀνακληθῆναι ἐξαιτοῦντος, ὁ δὲ ὑμέτερος ἄγγελος τῆι ἡμετέραι δοκιμασίαι τὸ πᾶν ἀποδεδωκὼς τὰ δέοντα σκοπῆσαι προσέταξεν, ἀναγκαῖον
M VIII 1043 ἐλογισάμεθα τὰ παρακολουθήσαντα καὶ τυπωθέντα παρ' ἡμῶν δι' ἀναφορᾶς πρῶτον τῆι ὑμετέραι μακαριότητι ἀναγάγαι καὶ τότε δι' ὑμῶν καὶ τῶι εὐσεβεστάτωι καὶ κρατίστωι
d. 20. m. Iul. a. 518 ἡμῶν βασιλεῖ δῆλα καταστῆσαι· ἔστι δὲ ταῦτα. κατὰ τὴν εἰκάδα τοῦ ἐνεστῶτος Ἰουλίου μηνὸς τῆς παρούσης ἐνδεκάτης ἐπινεμήσεως, ὑπατείας Μάγνου τοῦ λαμπροτάτου, ἅπαν τὸ μοναχικὸν τάγμα τῆς φιλοχρίστου ταύτης καὶ βασιλίδος πόλεως ἐκ διαφόρων συνελθὸν μοναστηρίων, τοῦτο μὲν ἀρχιμανδριτῶν, τοῦτο δὲ καὶ τῶν λοιπῶν, λιβέλλους προσδέδωκε τῆι ἐνδημούσηι ταύτηι πάσηι ἡμῶν συνόδωι, αἰτοῦν καὶ ἀναγνωσθῆναι τούτους καὶ τὰ περιεχόμενα τοῖς λιβέλλοις κεφάλαια δοκιμασθέντα παρ' ἡμῶν πέρατι παραδοθῆναι,

---

O [= aerv], I

3 ὁμοίως om. O^e 4 ὁμοίωσ ἐπέδωκα $O^eΛ$ 5 ὁμοίως om. $O^eΛ$ 6 μονῆς om. $O^eΛ$ ἐπέδωκα ὁμοίωσ O^a 7 κωνσταντῖνοσ O^{ae} ἰω O^v 8. 9 ὁμοίωσ ἐπέδωκα $O^eΛ$ 10 τοῦ καπροέλησ O^{av} om. $O^rΛ$ 11 συμεώνησ O^e 11. 12. 13. 14. 16. 17 ὁμοίως om. $O^eΛ$ 13 ἀλφειὸσ O^e 15 ἰουγατῶν O^{ae} ἰουγάπων $O^eΛ$ 18 τὸν πριάρχην I ἐνδημούσησ O ἐν κωνσταντινουπόλει I 19 η̄ in mg. O^a 21 ὁ^1 om. O^rI 24 μεγάληι om. $O^eΛ$ ἀναριθμήτων scripsi ἀναρίθμητον $O^{ar}Λ$ ἀρίθμητον O^v ἀναρίθμητον τῶν O^eI 25 καῖ om. O^a 28 τῆσ O^r εὐφημοῦντεσ O^v 32 ἀναγαγεῖν O^{av} καὶ^2 om. $O^{aev}Λ$ 33 ἡμῶν om. O^rI 35 συνελθὼν O^v 36 μοναστηριων OΛ μοναχῶν I προδέδωκε O^r 37 συνόδω ἡμῶν O^e

μᾶλλον δὲ τύπωι συνοδικῶι ὑποβληθῆναι. ἀναγνωσθῆναι τοίνυν ποιήσαντες τοὺς λιβέλλους, οὓς καὶ ὑπετάξαμεν τῶιδε τῶι τύπωι, ταῦτα περιέχειν ἐν τούτοις ἐγνώκαμεν.

Πρώτην αἴτησιν οἱ λίβελλοι περιέχουσιν ὥστε τοὺς ἐν ὁσίαι τῆι μνήμηι Εὐφήμιον καὶ Μακεδόνιον ἐκβληθέντας καὶ ἐν ἐξορίαι τετελευτηκότας δικαίως καὶ κανονικῶς ἀνακληθῆναι καὶ ἀποδοθῆναι τῶι καταλόγωι τῶν πρὸ αὐτῶν ἐνταῦθα ἐν κυρίωι ἀναπαυσαμένων ἀρχιεπισκόπων, πάντων ἀργῶν μενόντων τῶν κατ' αὐτῶν ὁπωσοῦν γενομένων, ἐντεθῆναι δὲ καὶ τοῖς ἱεροῖς διπτύχοις τὰς τούτων προσηγορίας, καθὼς ἅπας ὁ λαὸς καὶ τὸ μοναχικὸν τάγμα ἐπιμόνως καὶ ἐπὶ πολὺ ἐξεβόησαν. ἡμεῖς δὲ τάξιν εὔτακτον τῆι αἰτήσει ἐπιθεῖναι σπουδάσαντες ἐζητήσαμεν τὰ πεπραγμένα ἐπ' αὐτοῖς καὶ γνόντες διὰ τῆς ἀναγνώσεως ὡς τὰ πλεῖστα τούτων οὔτε σὺν ἀκριβείαι προῆλθεν οὔτε πίστεως ἕνεκα δικαίως τὴν ἐκβολὴν ὑπέμειναν οἱ μνημονευθέντες πατέρες οὔτε ὡς παρασαλεύοντές τι τῶν πρότερον τῆι ὀρθοδοξίαι πεφυλαγμένων, ἀναγκαῖον ἐλογισάμεθα ταῖς αἰτήσεσι, παντὸς τοῦ λαοῦ σὺν γυναιξὶ καὶ παισὶ καὶ πάσης ἀξίας καὶ στρατείας ἀλλὰ μὴν καὶ τοῦ μοναχικοῦ τάγματος ἐπιμόνως ἐκβοησάντων, κατὰ τοὺς προσδοθέντας λιβέλλους τὸ ἱκανὸν μετὰ τῆς ἀληθείας ποιῆσαι, ἵνα καθὼς καὶ οἱ ἐν ἁγίοις τὴν μνήμην Παῦλος καὶ Ἰωάννης καὶ Φλσβιανὸς πατέρες ταύτης τῆς βασιλίδος πόλεως γενόμενοι ἀνεκλήθησαν, οὕτω καὶ αὐτοὶ τῆς αὐτῆς τιμῆς καὶ τῆς ἐν ταῖς ἱεραῖς δέλτοις μνήμης ἀξιωθῶσιν. ἃ οὖν συνεωρακότες ἐτυπώσαμεν, πρέπον ὠιήθημεν ἀναγάγαι τῆι ὑμετέραι μακαριότητι καὶ δι' αὐτῆς τωι εὐσεβεστάτωι ἡμῶν βασιλεῖ.

Δεύτερον κεφάλαιον τοῖς λιβέλλοις περιείχετο ὥστε τοὺς διὰ τὴν αἰτίαν τῶν εἰρημένων πατέρων, Εὐφημίου φαμὲν καὶ Μακεδονίου, ἐξορισθέντας καὶ φυγαδευθέντας ἐπανελθόντας ἀποδοθῆναι τοῖς ἰδίοις βαθμοῖς. ἐπεὶ οὖν εὔλογος ἡ αἴτησις καὶ ἀκόλουθος τῆι προτέραι, συνείδομεν ὥστε τοὺς εἰρημένους βοηθηθῆναι καὶ ἀνενεχθῆναι ἐπὶ τὸν εὐσεβέστατον καὶ γαληνότατον ἡμῶν βασιλέα. L V 165

Τρίτον κεφάλαιον τῆι αἰτήσει περιείχετο ὥστε τὴν ἁγίαν καὶ μεγάλην σύνοδον τῶν τιη̄ πατέρων τῶν συναχθέντων κατὰ τὴν Νικαέων τῶν καὶ τὸ ἅγιον σύμβολον τῆς πίστεως καὶ ὁρισάντων καὶ ἐκφωνησάντων, εἰς ὃ καὶ ἐβαπτίσθημεν καὶ βαπτίζομεν, καὶ τὴν ἐν Κωνσταντινουπόλει ἐπὶ Νεκταρίου τοῦ τῆς ὁσίας μνήμης συνελθοῦσαν καὶ κυρώσασαν τὸ προειρημένον ἅγιον σύμβολον τῶν αὐτῶν τιη̄ ἁγίων πατέρων καὶ τὴν ἐν Ἐφέσωι ὁμοίως βεβαιώσασαν τὸ αὐτὸ ἅγιον σύμβολον τῶν τιη̄ ἁγίων πατέρων καὶ τὴν ἐν Χαλκηδόνι ἐπισφραγίσασαν ὡσαύτως τὸ προειρημένον ἅγιον σύμβολον τῶν τιη̄ ἁγίων πατέρων ἐντεθῆναι τοῖς ἱεροῖς διπτύχοις. ἐπεὶ οὖν εὔλογος ἡ αἴτησης, ἐπὶ συμφέροντι γὰρ τῆς ἐκκλησιαστικῆς καταστάσεως τὸ γινόμενον γίνεται, ἄξιον ἐκρίναμεν κατὰ τὰς ἐκβοήσεις τοῦ λαοῦ καὶ τὰς προσφωνήσεις τῆς ὑμετέρας μακαριότητος καὶ κατὰ τὸν ἐπιδοθέντα λίβελλον παρὰ τῶν εὐσεβεστάτων ἀρχιμανδριτῶν τε καὶ μοναχῶν τὰς ἁγίας ταύτας συνόδους ἀναγορεύεσθαι τοῖς διπτύχοις. M VIII 1046

Τέταρτον κεφάλαιον τῆι αἰτήσει τῶν εὐλαβεστάτων μοναχῶν περιείχετο ὥστε τὸ ὄνομα τοῦ τῆς ὁσίας μνήμης προέδρου γενομένου τῆς Ῥωμαίων, Λέοντος φαμὲν τοῦ μακαριωτάτου, ἐν ταῖς ἱεραῖς δέλτοις ὁμοίως ἀναγορεύεσθαι, καθὼς καὶ αἱ ἐκβοήσεις τοῦ

O [= aerv], I

1 μᾶλλον — ὑποβληθῆναι om. O^{av} 3 περιέχουσιν I ἔχουσιν OΛ 5 αὐτῶν — ἀναπαυσαμένων ἐνταῦθα O^{e} ἐν O^{er}IΛ τῶ O^{av} 9 σπουδάζοντεσ O^{e} ἐξητήσαμεν I 10 προῆλθον O^{e} 11 δικαίωσ post οἱ repetunt O^{r}I 12 προτέρων O^{arv} ταῖσ αἰτήσεσι O^{e}IΛ τὰσ αἰτήσεισ O^{arv} 17 αὐτοὶ I οἱ αὐτοὶ O 18 ἀναγαγεῖν O^{av} 22/23 τῆ προτέρα ἀκόλουθοσ O^{e} 25 τῆ αἰτήσει O^{ervI}Λ τοῖσ λιβέλλοισ O^{a} 26 τῶν^{2} om. O^{arv}I 29 ἁγίων om. O^{er} 29/30 ἐν Ἐφέσωι — καὶ τὴν om. O^{av} 30 ἁγίων om. O^{aev} 31 ἁγίων om. O^{e} 32—36 ἐπεὶ — διπτύχοις om. O^{r}I 34 προφωνήσεισ O^{v} 35 εὐσεβεστάτων uitiosum, postulatur εὐλαβεστάτων, *uenerabilibus* Λ 37 εὐσεβεστάτων I om. O^{a} 38/39 λέοντοσ προέδρου γενομένου τῆσ ῥωμαίων ἐν ταῖσ I 39 ὁμοίωσ om. I αἱ om. O^{arv}

λαοῦ ἀνενδότως καὶ ἐπιμόνως γεγένηνται. ἐπεὶ οὖν ἡ ἐν Χαλκηδόνι ἁγία σύνοδος οὐ μόνον Λέοντος τοῦ ἐν ὁσίαι τῆι μνήμηι, ἀλλὰ καὶ Κυρίλλου τοῦ τῆς Ἀλεξανδρέων γενομένου θεοφιλοῦς ποιμένος μνήμην ἐπὶ τῆι ὀρθοδοξίαι πεποίηται καὶ Κυρίλλος μὲν ὁ τῆς Ἀλεξανδρέων ἐν τοῖς διπτύχοις ἀναγορεύεται, Λέων δὲ ὁ τῆς ὁσίας μνήμης οὐκ ἀναφέρεται, εὔλογον ἐκρίναμεν τὸ λεῖπον ἀναπληρωθῆναι καὶ τοὺς ἴσως παρὰ τῆς ἁγίας ταύτης συνόδου ἐπὶ συστάσει τῆς ὀρθοδοξίας τιμηθέντας ὁμοίως καὶ ἐν τοῖς ἱεροῖς διπτύχοις ἐπὶ ὠφελείαι καὶ εἰρήνηι τῆς ἐκκλησίας κηρύττεσθαι.

Πέμπτον κεφάλαιον ἐν ταῖς αὐταῖς δεήσεσιν ἐνέκειτο ὥστε τὸν τολμήσαντα κατὰ τῆς ἐν Χαλκηδόνι ἁγίας συνόδου νεανιεύσασθαι καὶ βλάσφημα ῥήματα κατ' αὐτῆς ἐκχέαι, Σεβῆρον φαμὲν τὸν ἐν Ἀντιοχείαι ἀτάκτως καὶ προπετῶς ἐνεχθέντα, ἀναθέματι ὑποβληθῆναι, καθὼς καὶ αἱ ἐπίμονοι βοαὶ παντὸς τοῦ λαοῦ ἐγένοντο. ἐπεὶ τοίνυν ἔδει καὶ περὶ τούτου τύπον τὸν ἁρμόζοντα ἐκκλησιαστικῆι καταστάσει ἐξενέγκαι, ἀναγκαῖον ἐκρίναμεν πρῶτον τοὺς βλασφήμους αὐτοῦ λόγους ἐν μέσωι τῆς πάσης ταύτης συνόδου ἀναγνωσθῆναι πρὸς ἔλεγχον τῶν παρ' αὐτοῦ τολμηθέντων. ἔχει τοιγαροῦν τὰ παρ' αὐτοῦ κατὰ τῆς ἁγίας συνόδου τολμηθέντα τε καὶ βλασφημηθέντα ἐπὶ λέξεως οὕτως· 'τὰ ἐν Χαλκηδόνι ὑπὸ τῆς κατ' ἐκεῖνο καιροῦ συνειλεγμένης συνόδου τυπωθέντα καὶ τῶν ὑπὲρ ταύτης ἀγωνιζομένων ἀναθεματίζομεν.' αὕτη τῆς μιαρᾶς αὐτοῦ φωνῆς ἡ βλασφημία, οὐ μόνον δὲ αὕτη, ἀλλὰ καὶ ἕτεραι πολλαὶ δυσφημίαι ἐν βίβλοις αὐτοῦ πομπεύονται κατὰ ταύτην τὴν βασιλίδα πόλιν, αἷς οἱ τῆς ὀρθοδοξίας ἐρασταὶ ἐντυγχάνοντες ἐπεγγελῶσι τῆι αὐτοῦ φρενοβλαβείαι ἀλλοκότως φερομένου. ἐπεὶ οὖν αὐτοκατήγορον ἔχει τὸν ἔλεγχον οὐ μόνον ἐκ τῆς εἰρημένης ταύτης φωνῆς, ἀλλ' ὡς προγέγραπται, καὶ ἐξ ἑτέρων πλείστων τῆς αἰσχίσης αὐτοῦ γλώσσης δυσφημιῶν κατὰ τῆς ἁγίας ταύτης συνόδου, τοῦτον δικαίως ἀναθέματι αἰωνίωι καὶ ἡμεῖς ὑπεβάλομεν,
L V 168 παντὸς πράγματος ὀνόματος ἀξίας ἐνεργείας Χριστιανῶι ἢ ἱερατικῶι ἁρμοζούσης ἢ ἁρμόσαι δυναμένης ἀλλοτριώσαντες καὶ γυμνὸν τῆς θείας κοινωνίας κατὰ τοὺς ἐκκλησιαστικοὺς κανόνας καταστήσαντες, ἀνθ' ὧν καὶ βλασφημῆσαι καὶ συκοφαντῆσαι τὴν ἐν Χαλκηδόνι ἁγίαν σύνοδον ἐπεχείρησεν ἰδικῶς ἐπισφραγίσασαν τὸ σύμβολον τῶν τιη ἁγίων πατέρων τῶν ἐν Νικαίαι συναχθέντων ἀσάλευτόν τε καὶ ἀπαρεγχείρητον τοῦτο ὑπάρχειν κηρύξασαν, καθὼς καὶ οἱ ἐν Κωνσταντινουπόλει καὶ οἱ ἐν Ἐφέσωι συναχθέντες
M VIII 1047 ὅσιοι πάτερες ὁμοίως ἐβεβαίωσαν, μεθ' ὧν καὶ ἡ ἐν Χαλκηδόνι ἁγία σύνοδος τὰ ὅμοια ἐκδικεῖ προλάμπειν πανταχοῦ τοῦτο κελεύσασα. ἕνεκεν τούτου οὐ μόνον ὡς βλάσφημον, ἀλλὰ καὶ ὡς συκοφάντην καὶ πάσας τὰς ἁγίας συνόδους διὰ τῆς συνόδου ταύτης ὑβρίσαντα τὸν προειρημένον Σεβῆρον ἔρημον πάσης τιμῆς καταστήσαντες ἀναθέματι ὑπεβάλομεν. ταῦτα παρ' ἡμῶν δοκιμασθέντα καὶ τυπωθέντα ἐπὶ τὸν ὅσιον ἄγγελον τῆς σῆς μακαριότητος ἐσπουδάσαμεν δυσωπήσαντες καὶ ὑπογράψαντες ἕκαστος τῆι ἰδίαι χειρὶ ἀναγαγεῖν καὶ ὑποτάξαντες τοὺς προσδοθέντας ἡμῖν λιβέλλους πρὸς ἐπίγνωσιν ἀληθείας, ὥστε διὰ τῆς ὑμετέρας μακαριότητος ταῦτα ἐλθεῖν καὶ εἰς τὸν κράτιστον καὶ γαληνότατον ἡμῶν βασιλέα καὶ τὴν εὐσεβεστάτην καὶ φιλόχριστον αὐγούσταν καὶ τὴν ἔνδοξον αὐτῶν καὶ μεγάλην σύγκλητον.

O [ac, r usque ad 13 ἐκρί(ναμεν), v], I

5 ἴσους O^{av} 6/7 τοῖσ διπτύχοισ τοῖσ ἱεροῖσ O^{av} 9 νεανιεύεσθαι I 10 ἀναχθέντα I 11 αἱ om. O^{arv} πίμονοι I 12 ἐναρμόζοντα O ἐξενεχθῆναι O^{c} 13 - p. 67, 6 (ἐκρί)ναμεν · Λεοντίου om. O^{r} propter folii defectum 13 πάσησ ταύτησ τῆσ O^{c} 15 τε om. I 17 τὸν - - ἀγωνιζόμενον O^{arv} 19 οἱ] ἡ O^{v} 27 τὸ ἅγιον I 29 ὑπάρχον O^{a} 34 ὑποβάλλομεν O^{a}I ὑποβάλομεν O^{v} 36 προδοθέντασ O^{av} 37 προελθεῖν O^{a} 38 ἡμῶν αὐγούσταν I

Ὑπογραφαί

1 Θεόφιλος ἐλέει θεοῦ ἐπίσκοπος Ἡρακλείας Εὐρώπης ὑπέγραψα τῇ ἀναφορᾶι χειρὶ ἐμῇι: —

2 Στέφανος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Νικομηδέων μητροπόλεως ὑπέγραψα τῇι ἀναφορᾶι χειρὶ ἐμῇι: —

3 Βασιλίσκος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Κυζικηνῶν μητροπόλεως ὑπέγραψα τῇι ἀναφορᾶι χειρὶ ἐμῇι: —

4 Ἀναστάσιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Νικαέων μητροπόλεως ὑπέγραψα τῇι ἀναφορᾶι χειρὶ ἐμῇι: —

5 Μαρκιανὸς κατὰ φιλανθρωπίαν θεοῦ ἐπίσκοπος τῆς Χαλκηδονίων μητροπόλεως ὑπέγραψα τῇι ἀναφορᾶι χειρὶ ἐμῇι: —

6 Θεόδοτος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Γαγγρηνῶν μητροπόλεως ὑπέγραψα τῇι ἀναφορᾶι χειρὶ ἐμῇι: —

7 Ὑπάτιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Κλαυδιουπολιτῶν μητροπόλεως τῆς Ὀνωρεατῶν ἐπαρχίας ὑπέγραψα τῇι ἀναφορᾶι : —

8 Κυριακὸς ἐλέει θεοῦ ἐπίσκοπος τῆς Τυανέων μητροπόλεως τῆς δευτέρας Καππαδοκῶν ἐπαρχίας ὑπέγραψα τῇι ἀναφορᾶι: —

9 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος τῆς Κλαυδιουπολιτῶν τῆς Ἰσαύρων χώρας ὑπέγραψα τῇι ἀναφορᾶι: —

10 Σχολαστίκιος ἐλέει θεοῦ ἐπίσκοπος Ναζιανζοῦ ὑπέγραψα τῇι ἀναφορᾶι: —

11 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος Βοσπόρου ὑπέγραψα τῇι ἀναφορᾶι: —

12 Πυθαγόρας ἐλέει θεοῦ ἐπίσκοπος τῆς Σινωπέων τῆς Ἑλενοποντίων ἐπαρχίας ὑπέγραψα τῇι ἀναφορᾶι: —

13 Ἀνδρέας χάριτι θεοῦ ἐπίσκοπος τῆς Τιανῶν τῆς Ὀνωρεατῶν ἐπαρχίας ὑπέγραψα τῇι ἀναφορᾶι χειρὶ ἐμῇι: —

14 Θεόδωρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Ἀδριανούπολιν ἁγίας τοῦ θεοῦ ἐκκλησίας τῆς Ὀνωρεατῶν ἐπαρχίας ὑπέγραψα τῇι ἀναφορᾶι: —

15 Θαλάσσιος ἐλέει θεοῦ ἐπίσκοπος Δορυλαίου ὑπέγραψα τῇι ἀναφορᾶι: —

16 Δωρόθεος ἐλάχιστος ἐπίσκοπος τῆς Κώων νήσου ὑπέγραψα τῇι ἀναφορᾶι: —

17 Ἀμμώνιος συγχωρήσει θεοῦ ἐπίσκοπος τῆς Ἀβυδηνῶν ὑπέγραψα: —

18 Εὐστάθιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Φιλαδελφέων μητροπόλεως τῆς Λυδῶν ἐπαρχίας ὑπέγραψα τῇι ἀναφορᾶι: — L V 160

19 Πλάτων ἐλέει θεοῦ ἐπίσκοπος τῆς Κρατιανῶν πόλεως ὑπέγραψα: —

20 Φωκᾶς ἐλέει θεοῦ ἐπίσκοπος Δαρδάνου ὑπέγραψα: —

---

1 sq. cf. catalogum episcoporum Coll. Auell. 234

O [= aev], l [usque ad 7]

1 **al** ὑπογραφαί O^a om. l 2 ἐλέω O^el 3. 5. 7 χειρὶ ἐμῇι om. $O^e\Lambda$ 4. 6. 8 ἐλέει θεοῦ om. $O^e\Lambda$ 4. 6 ἐλέω l 4 τῆσ — μητροπόλεωσ O^{av}l νικομηδείασ $O^e\Lambda$ 6 τῆσ — μητροπόλεωσ O^{av}l κυζίκου $O^e\Lambda$ 8—p. 66, 34 Ἀναστάσιος — χειρὶ ἐμῇι] καὶ οἱ λοιποὶ l 8 τῆσ — μητροπόλεωσ O^{av} νικαίασ $O^e\Lambda$ 10 κατὰ — θῦ O^{av} om. $O^e\Lambda$ τῆσ — μητροπόλεωσ O^{av} χαλκηδόνοσ $O^e\Lambda$ χαλκηδονέων O^v 11. 13 χειρὶ ἐμῇι om. O^e 12—22 ἐλέει θεοῦ om. $O^e\Lambda$ 14 μητροπόλεωσ om. $O^e\Lambda$ 14/15 ὀνορεατῶν O^{av} 16 τυάνων μητροπόλεωσ O^{av} τυανέων $O^e\Lambda$ 20 σχολαστικὸσ $O^e\Lambda$ 20/21 Ναζιανζοῦ — ἐπίσκοπος om. O^v 21 βοσπόρου O^e 22 σινωπέων $O^e\Lambda$ σινωπέων μητροπόλεωσ O^{av} 24 χάριτι θεοῦ om. $O^e\Lambda$ τιάνων O^e *Teorum* Λ τυάνων μ̄ρ̄οπόλεωσ O^{av} ὀνορεατῶν O^a ὀνονεατῶν O^v 25 χειρὶ ἐμῇι om. O^e 26. 28 ἐλέει θεοῦ om. $O^e\Lambda$ 26 ἁγίας τοῦ θεοῦ om. $O^e\Lambda$ 27 ὀνορεατῶν O^a ὀνονεατῶν O^v 28 δορυλέου O^e δορυλλέου O^{av} 29 νήσσου O^v τῇι ἀναφορᾶι om. O^{av} 31. 33. 34 ἐλέει θεοῦ om. $O^e\Lambda$ 31 μητροπόλεωσ suspectum, om. Λ λυδωνῶν O^v 33 μ̄ρ̄οπόλεωσ O^{av} 34 τῆσ δαρδάνου O^e

21 AMANTIVS EXIGVVS EPISCOPVS NICOPOLITANAE CIVITATIS MYSIAE SECVNDAE SVBSCRIPSI PROPRIA MANV: —

M VIII 1050

22 Κυριακὸς ἐλέει θεοῦ ἐπίσκοπος τῆς Νεοκαισαρέων τῆς Βιθυνῶν ἐπαρχίας ὑπέγραψα τῇι ἀναφορᾶι χειρὶ ἐμῇι: —

23 Παῦλος ἐλέει θεοῦ ἐπίσκοπος Καισαρείας Βιθυνίας ὑπέγραψα: —

24 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος Φαναγορέως ὑπέγραψα τῇι ἀναφορᾶι: —

25 Ἀκύλας ἐλέει θεοῦ ἐπίσκοπος τῆς Πρυμνησίων πόλεως ὑπέγραψα: —

26 Στέφανος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἀναστασιουπόλεως τῆς Φρυγῶν Πακατιανῆς ἐπαρχίας ὑπέγραψα τῇι ἀναφορᾶι: —

27 Πελάγιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Αἰζανιτῶν πόλεως ὑπέγραψα τῇι ἀναφορᾶι: —

28 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος τῆς Γαργαρέων ἐπαρχίας Ἀσίας ὑπέγραψα: —

29 Κυριακὸς ἐλέει θεοῦ ἐπίσκοπος Βασιλινουπόλεως ὑπέγραψα τῇι ἀναφορᾶι: —

30 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος τῆς ὑματῶν πόλεως τῆς Παμφύλων χώρας ὑπέγραψα: —

31 Φωτεινὸς ἐλέει θεοῦ ἐπίσκοπος τῆς Οὐαμανενδεωτῶν πόλεως τῆς Παμφύλων χώρας ὑπέγραψα: —

32 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος Μητροπόλεως τῆς Πισιδῶν χώρας ὑπέγραψα τῇι ἀναφορᾶι: —

33 Κόνων ἐλέει θεοῦ ἐπίσκοπος Ἀδριανουπόλεως ὑπέγραψα: —

34 Μάμας ὁ ἐλάχιστος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἀριστιανῶν πόλεως ἐπαρχίας Φρυγίας Πακατιανῆς ὑπέγραψα: —

35 Μακεδόνιος ἐλέει θεοῦ ἐπίσκοπος Ἐλούζων ὑπέγραψα: —

36 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ὑδητῶν πόλεως ὑπέγραψα: —

37 Μαρκιανὸς ἐλάχιστος ἐπίσκοπος τῆς κατὰ Μαρκιανὴν τὴν πόλιν ἁγιωτάτης ἐκκλησίας ὑπέγραψα τῇι ἀναφορᾶι: —

38 Ἀντίπατρος ἐλέει θεοῦ ἐπίσκοπος ὑπέγραψα τῇι ἀναφορᾶι: —

39 Γοργόνιος ἐπίσκοπος οὐραδίας ὑπέγραψα: —

40 Φώτιος ἐλάχιστος ἐπίσκοπος ἐλέει θεοῦ τῆς Εὐδοκιατῶν τῆς Λυκίων ἐπαρχίας ὑπέγραψα τῇι ἀναφορᾶι χειρὶ ἐμῇι: —

41 Ἰωάννης ἁμαρτωλὸς ἐπίσκοπος Ὀλύμπου τῆς Λυκίων ἐπαρχίας ὑπέγραψα τῇι ἀναφορᾶι χειρὶ ἐμῇι: —

42 Νικόλαος ἐλάχιστος ἐπίσκοπος τῆς Ῥοδιαπολιτῶν ἁγίας τοῦ δεσπότου θεοῦ ἐκκλησίας, ἥτις ἐστὶ μία τῆς Λυκίων ἐπαρχίας, ὑπέγραψα τῇι ἀναφορᾶι χειρὶ ἐμῇι: —

O [= aev]

1/2 om. O^{av} 1 *eps exiguus* Λ EXIGVS O^{e} 1/2 *propria manu sub.* Λ 1 CEVMBSCRIPSI O^{e} 3—19 ἐλέει θεοῦ om. $O^{e}Λ$ 4 τῇι — ἐμῇι om. $O^{e}Λ$ 7 προιμνησίων O^{e} 8/9 καπατιανῶν ἐπαρχίασ O^{av} πακατιανῆσ O^{e} 9 τῆ ἀναφορᾶ O^{e} om. $O^{av}Λ$ 10 αἰζιανιτῶν O^{av} τῇι ἀναφορᾶι om. O^{av} 12 τῇι ἀναφορᾶι om. $O^{e}Λ$ 13 ὑματῶν [*Commadorum* Λ] corruptum, Σεννέων p. 74.8 17 πισσιδῶν O^{e} 17/18 τῇι ἀναφορᾶι om. $O^{e}Λ$ 19 ἀριαδνουπόλεωσ O^{e} *Adrianae* Λ 20 ὁ — θῦ O^{a} ἐλέει θῦ ἐλάχιστοσ O^{v} om. $O^{e}Λ$ 21 καπατιανῆσ O^{av} om. $O^{e}Λ$ 22. 23 ἐλέει θεοῦ om. $O^{e}Λ$ 24 ἐλάχιστος om. $O^{e}Λ$ 25 τῇι ἀναφορᾶι om. $O^{e}Λ$ 26 om. Λ ἐλέει θεοῦ om. O^{e} 27 corruptum 28 ἐλάχιστος om. $O^{e}Λ$ ἐλέει θεοῦ om. $O^{e}Λ$ 29 τῇι — ἐμῇι om. O^{e} 30/31 post 32—34 coll. O^{a} 30 ἁμαρτωλὸς om. $O^{e}Λ$ 30/31 · 33/34 τῇι — ἐμῇι om. $O^{e}Λ$ 32 ἐλάχιστος om. $O^{e}Λ$ δεσπότου om. $O^{e}Λ$ 33 ἥτις — μία om. $O^{e}Λ$

Λίβελλος τῶν μοναχῶν πρὸς τὴν ἐνδημοῦσαν σύνοδον, ὥιτινι συνέζευκται καὶ ὅπως ἐκηρύχθησαν αἱ τέσσαρες ἐν τῆι ἐκκλησίαι σύνοδοι

26 Τοῖς θεοφιλεστάτοις καὶ ὁσιώτατοις πατράσι καὶ ἐπισκόποις Θεοφίλωι Βασιλίσκωι 'Αναστασίωι Μαρκιανῶι Θεοδότωι 'Υπατίωι Θεοδώρωι 'Ιωάννηι Πυθαγόραι καὶ τῆι λοιπῆι εὐαγεῖ συνόδωι ἐνδημούσηι κατὰ ταύτην τὴν βασιλίδα πόλιν παρὰ 'Αλεξάνδρου Κώνστα Διογένους Εὐηθίου 'Αντωνίου 'Ακακίου 'Ιωάννου Δόμνου Λεοντίου 'Ιωάννου Πολυχρονίου 'Ανατολίου Μαρτυρίου Κυριακοῦ 'Ιουλιανοῦ 'Αλεξάνδρου 'Ιακώβου Χριστίνου 'Ιωάννου Βασιλίσκου Βαβύλα 'Υπατίου Μάρκου καὶ τῶν λοιπῶν πρεσβυτέρων καὶ ἀρχιμανδριτῶν τῶν εὐαγῶν μοναστηρίων τῶν διακειμένων κατὰ τὴν φιλόχριστον καὶ L V 172
βασιλίδα πόλιν καὶ παντὸς τοῦ μοναχικοῦ τάγματος. Μέλει μὲν τῆι ὑμετέραι ἁγιω-
σύνηι τῆς πίστεως τῆς ὀρθῆς καὶ τῆς ἄλλης εὐταξίας τῶν ἁγιωτάτων ἐκκλησιῶν καὶ πρὸ M VIII 1051
τῆς ἡμετέρας αἰτήσεως· ἐπειδὴ δὲ καὶ ἡμᾶς ἔδει μέρος γενέσθαι τῶν εἰς δόξαν θεοῦ συντελούντων, δίκαιον ἡγησάμεθα πρῶτον μὲν εὐχαριστῆσαι τῶι σκοπῶι τῆς ὑμετέρας ἁγιωσύνης καὶ τῶι εὐσεβεῖ ζήλωι τῶν καλλινίκων ἡμῶν βασιλέων, εἶθ' οὕτως ἐπὶ τὴν παροῦσαν ἰδεῖν δέησιν, δι' ἧς ἀξιοῦμεν πάντες ἡμεῖς καὶ δι' ἡμῶν ὁ λοιπὸς κατάλογος
τῶν εὐλαβεστάτων μοναχῶν ὡς ἐκ μιᾶς γνώμης τὰ καλῶς καὶ συμφερόντως κινηθέντα ἐν τῆι ἁγιωτάτηι μεγάληι ἐκκλησίαι τῆς βασιλίδος ταύτης πόλεως παρὰ τοῦ πιστοτάτου λαοῦ καὶ τὰ προσφωνηθέντα πρὸς τὸν αὐτὸν φιλόχριστον λαὸν παρὰ τοῦ τὰ πάντα ὁσιωτάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου ἡμῶν καὶ οἰκουμενικοῦ πατριάρχου 'Ιωάννου, ταῦτα διὰ φωνῆς τῆς ἁγίας ὑμῶν συνόδου ἐγγράφως δέξασθαι τὸ κῦρος καὶ τοὺς οὐκ
ἴσμεν ὅπως ἐξεωθέντας ἐν ὁσίαι τῆι μνήμηι γενομένους πατέρας ἡμῶν, φαμὲν Εὐφήμιον καὶ Μακεδόνιον, τούτους ἐπὶ τοῦ παρόντος δικαίως καὶ κανονικῶς ἀνακληθῆναι καὶ ἀποδοθῆναι τῶι καταλόγωι τῶν πρὸ αὐτῶν ἐνταῦθα ἐν κυρίωι ἀναπαυσαμένων ἀρχιεπισκόπων, πάντων ἀργῶν μενόντων τῶν κατ' αὐτῶν ὁπωσοῦν γενομένων, προστεθῆναι δὲ ταῖς ἁγίαις δέλτοις σὺν αὐτοῖς καὶ τὸ θεοφιλὲς ὄνομα τοῦ τῆς 'Ρωμαίων ἀρχιεπισκόπου γενο-
μένου Λέοντος. τὸ δὲ πάντων μέγιστον καὶ πάντας διεγεῖρον πρὸς τὴν ὀρθοδοξίαν, αἰτοῦμεν ὑμᾶς, ὁσιώτατοι, ὅπως καὶ τὰς κατὰ καιρὸν ὑπὲρ εὐσεβείας συναθροισθείσας ἁγίας συνόδους ἐντεθῆναι ταῖς αὐταῖς δέλτοις, τουτέστι τήν τε ἐν Νικαίαι ἐκφωνήσασαν τὸ ἅγιον σύμβολον, ἐν ὧι ἐβαπτίσθημεν καὶ βαπτίζομεν, καὶ τὴν ἐν Κωνσταντινουπόλει τοῦτο κυρώσασαν καὶ τὴν ἐν 'Εφέσωι ὁμοίως βεβαιώσασαν καὶ τὴν ἐν Χαλκηδόνι ὡσαύτως ἐπι-
σφραγίσασαν. πρὸς τούτοις δὲ παρακαλοῦμεν προστεθῆναι καὶ τοῦτο ὥστε καὶ Σεβῆρον τὸν ἄθεσμα κατὰ τῆς ἐκκλησιαστικῆς εὐταξίας τολμήσαντα εἰπεῖν ἀναθεματισθῆναι. ὁμοίως δὲ ἐξαιτοῦμεν καὶ τοὺς διὰ τὴν αἰτίαν τῶν προειρημένων ὁσιωτάτων πατέρων ἐξελαθέντας ἐπισκόπους τε καὶ κληρικοὺς καὶ ἀρχιμανδρίτας καὶ μοναχοὺς καὶ λαικούς, τούτους διὰ πρεσβείας ὑμετέρας γινομένης πρός τε τὸν ἁγιώτατον καὶ ὁσιώτατον ἀρχι-
επίσκοπον ἡμῶν καὶ οἰκουμενικὸν πατριάρχην 'Ιωάννην καὶ τοὺς εὐσεβεστάτους καὶ καλλινίκους ἡμῶν βασιλεῖς ἐπανακληθῆναι καὶ ἀποδοθῆναι τῆι οἰκείαι τάξει. καὶ ἵνα μὴ εἰς πλῆθος λόγων ἐκτείνωμεν τὰς ἱκετείας, παρακαλοῦμεν τάς τε ἐκβοήσεις παντὸς τοῦ φιλοχρίστου λαοῦ καὶ τὰς προσφωνήσεις τὰς γενομένας ἐν τῆι εἰρημένηι ἁγιωτάτηι μεγάληι ἐκκλησίαι παρὰ τοῦ αὐτοῦ ἁγιωτάτου ἀρχιεπισκόπου καὶ οἰκουμενικοῦ πατριάρχου διὰ

O [= ae, r (inde a 7 πολυχρονίου), vj, I

1 ἐνδημοῦσαν O ἐν κωνσταντινουπόλει I 2 ἐν — ἐκκλησίαι om. I 6 ἀντωνίνου O^{e} 8 βασιλικοῦ $O^{e}\Lambda$ 10 μέλλει O^{r} 11 τῆς τε O^{e} 12 ἔπει O^{e} 12/13 συντελούντων I λυσιτελούντων O 14 τῶ O^{r}I om. O^{aev} 17 καὶ μεγάλη O^{av} om. I 18 τὰ I om. O αὐτὸν $O^{ae}\Lambda$ αὐτοῦ O^{rv}I τά om. O^{v} 20 ἁγιωτάτης $O^{e}\Lambda$ ἡμῶν O^{r} 21 ἐξεωσθέντας I φαμὲν om. I 30 'Εφέσωι — ἐν om. O^{av} 31 δὲ om. O^{av} 33 πρῶν O^{arv}I ἐπισκόπων $O^{e}\Lambda$ 35 καὶ ὁσιώτατον om. I 38 παντὸς om. I τοῦ om. O^{r} 38 προφωνήσεισ O^{r} γινομένας O^{av} 40 ἀρχιεπισκόπου om. I

ἱερᾶς ὑμῶν φωνῆς καὶ ὑποσημειώσεως καὶ εὐσεβοῦς τύπου τοῦ **καλλινίκου ἡμῶν βασιλέως** βεβαιωθῆναι. τὰς δὲ ἐκβοήσεις καὶ προσφωνήσεις ὑπετάξαμεν.

Ἴσον ὑπογραφῶν

1 Ἀλέξανδρος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ τῆς ὁσίας μνήμης Δαλματίου καὶ ἔξαρχος τῶν εὐαγῶν μοναστηρίων ὑπέγραψα χειρὶ ἐμῇ: —

L V 173
M VIII 1054

2 Κώνστας πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ τῆς ὁσίας μνήμης Δίου προτάξας τῇι ἰδίαι μου χειρὶ τὸν τίμιον σταυρὸν καὶ τὸ ὄνομά μου ὑπέγραψα τοῖσδε τοῖς λιβέλλοις διὰ χειρὸς Στρατονίκου πρεσβυτέρου καὶ δευτεραρίου μου: —

3 Διογένης πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ τῆς ὁσίας μνήμης Θαλασσίου τῶν ἐπίκλην Ἀνυποδέτων προτάξας τῇι ἰδίαι μου χειρὶ τὸν τίμιον σταυρὸν καὶ τὸ ὄνομά μου ὑπέγραψα διὰ Χρηστοῦ ἀναγνώστου διὰ τὸ ἐμὲ γήραι κρατεῖσθαι καὶ μὴ δυνάμενον τὰ ὅλα δι' ἑαυτοῦ ὑπογράψαι: —

4 Εὐήθιος διάκονος καὶ ἀρχιμανδρίτης τῆς εὐαγοῦς μονῆς τῶν Ἀκοιμήτων ὑπέγραψα χειρὶ ἐμῇ: —

5 Ἰωάννης ἐλέει θεοῦ πρεσβύτερος τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας καὶ ἡγούμενος μονῆς τοῦ ἐν ἁγίοις Εὐσεβίου ὑπέγραψα τοῖς λιβέλλοις χειρὶ ἐμῇ: —

6 Ἀντώνιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης τῆς εὐαγοῦς μονῆς τῶν Ἀβραμίου ὑπέγραψα χειρὶ ἐμῇ: —

7 Ἀκάκιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης τῆς εὐαγοῦς μονῆς τοῦ ἁγίου Κυριακοῦ ὑπέγραψα τοῖσδε τοῖς λιβέλλοις: —

8 Δόμνος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ τῆς ὁσίας μνήμης Ἰὼβ προτάξας τῇι ἰδίαι μου χειρὶ τὸν τίμιον σταυρὸν καὶ τὰ ὀνομά μου τὰ λοιπὰ ὑπέγραψα διὰ χειρὸς Γυμνασίου μοναχοῦ καὶ ἀποκρισιαρίου μου διὰ τὸ ἐμὲ γέροντα εἶναι καὶ ἀσθενῆ καὶ μὴ δυνάμενον τὰ ὅλα δι' ἑαυτοῦ ὑπογράψαι: —

9 Ἰωάννης πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ τῆς ὁσίας μνήμης Μανουηλίου προτάξας τῇι ἰδίαι μου χειρὶ τὸν τίμιον σταυρὸν καὶ τὸ ὄνομά μου τὰ λοιπὰ ὑπέγραψα τοῖσδε τοῖς λιβέλλοις διὰ χειρὸς Τρύφωνος πρεσβυτέρου μου διὰ τὸ ἐμὲ γέροντα εἶναι καὶ μὴ δύνασθαι τὰ ὅλα ὑπογράψαι: —

10 Λεόντιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ ἐν ὁσίοις Τρύφωνος ὑπέγραψα τοῖσδε τοῖς λιβέλλοις χειρὶ ἐμῇ: —

11 Ἰωάννης πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῶν ἐπίκλην Κώνστα προτάξας τῇι ἰδίαι μου χειρὶ τὸν τίμιον σταυρὸν ὑπέγραψα τοῖσδε τοῖς λιβέλλοις διὰ

O [= ac, r usque ad 14, v, l [usque ad 14]

3 ἴσον ὑπογραφῶν O^{av} ὑπογραφαί $O^{e}I$ om. O^{r} 4 ἐλέω $O^{er}I$ καὶ om. $O^{e}Λ$ 4 5 μονῆσ τοῦ τῆσ ὁσίασ μνήμησ δαλματίου [δίου O^{r}] $O^{r}I$ om. O^{aev} 7. 11 τῆσ ὁσίασ μνήμησ $O^{arv}I$ ὁσίου O^{e} 8—10 προτάξας — δευτεραρίου μου om. $O^{e}Λ$ 8 ὑπογράψασ O^{r} 9 τοῖς om. O^{r} πρεσβυτέρου om. O^{r} δευτεριαρίου O^{arv} 12 ἐπίκλην om. $O^{e}Λ$ ἀνυποδύτων O^{e} 12—14 προτάξας — ὑπογράψαι om. $O^{e}Λ$ 14 δύνασθαι $O^{r}I$ 15—p. 71, 29 ὑπέγραψα] καὶ οἱ λοιποί $O^{r}I$ 15 τῆς εὐαγοῦς om. $O^{e}Λ$ 16 χειρὶ ἐμῇ om. $O^{e}Λ$ 17 ἐλέει θεοῦ om. $O^{e}Λ$ 18 μονῆς om. $O^{e}Λ$ τοῖς — ἐμῇ om. $O^{e}Λ$ 19. 20 post 21. 22 coll. O^{a} 19 ἀντωνῖνοσ O^{e} τῆς εὐαγοῦς om. $O^{e}Λ$ 20 χειρὶ ἐμῇ om. $O^{e}Λ$ 21 ἐλέει θεοῦ om. $O^{e}Λ$ τῆς εὐαγοῦς om. $O^{e}Λ$ 22 τοῖσδε — λιβέλλοις om. $O^{e}Λ$ 23—26 προτάξας — ὑπογράψαι] ὑπέγραψα $O^{e}Λ$ 26 καὶ ἀσθενῆ om. O^{v} δύνασθαι O^{v} δι' ἑαυτοῦ om. O^{v} 27 μνήμης om. O^{a} 28—30 προτάξας — ὑπογράψαι] ὑπέγραψα $O^{e}Λ$ 29 τοῖσδε — λιβέλλοις om. O^{v} τρύφωνοσ — μου O^{a} γυμνασίου μοναχοῦ καὶ ἀποκρισιαρίου μου O^{v} 31 μονῆς om. O^{e} 32 τοῖσδε — ἐμῇ om. $O^{e}Λ$ 33 ἐπίκλην om. $O^{e}Λ$ 33—p. 69, 2 προτάξας — εἰδέναι] ὑπέγραψα $O^{e}Λ$

χειρὸς Σεργίου τοῦ ἐμοῦ διακόνου καὶ ἀποκρισιαρίου διὰ τὸ ἐμὲ γράμματα μὴ εἰδέναι: —

12 Πολυχρόνιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῆς ἐν τῶι αἰθρίωι ὑπέγραψα: —

13 Σωφρόνιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῆς ἐπίκλην ἐν τῶι καλάμωι ὑπέγραψα: —

14 Ἀνατόλιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῆς Ἀστερίου ὑπέγραψα τοῖς λιβέλλοις χειρὶ ἐμῆι: —

15 Μαρτύριος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῆς κατὰ Βασιανὸν τὸν τῆς ὁσίας μνήμης προτάξας τῆι ἰδίαι μου χειρὶ τὸν τίμιον σταυρὸν καὶ τὸ ὄνομά μου τὰ λοιπὰ ὑπέγραψα διὰ χειρὸς Ἰωσηφίου διακόνου καὶ μοναχοῦ τοῦ αὐτοῦ μοναστηρίου διὰ τὸ ἐμὲ γέροντα εἶναι καὶ μὴ δύνασθαι τὰ ὅλα ὑπογράψαι: —

16 Κυριακὸς πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῆς ἐπίκλην τῶν Σύρων ἐπιδοὺς τούσδε τοὺς λιβέλλους καὶ αἰτήσας πάντα τὰ προγεγραμμένα ὑπέγραψα χειρὶ ἐμῆι: —

17 Ἰουλιανὸς πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ ἐν ὁσίοις Φωκᾶ ὑπέγραψα τοῖς λιβέλλοις διὰ χειρὸς Δημητρίου τοῦ ἐμοῦ διακόνου προτάξας τῆι ἰδίαι μου χειρὶ τὸν τίμιον σταυρὸν διὰ τὸ ἐμὲ γράμματα μὴ εἰδέναι: —

18 Ἰάκωβος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῶν Ῥωμαίων τῆς ἐν τῶι Πετρίωι ὑπέγραψα χειρὶ ἐμῆι: —

19 Χριστῖνος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ ἐν ὁσίοις Θεοδώρου προτάξας τῆι ἰδίαι μου χειρὶ τὸν τίμιον σταυρὸν ὑπέγραψα τοῖσδε τοῖς λιβέλλοις διὰ χειρὸς Θεοδώρου μοναχοῦ διὰ τὸ ἐμὲ ἀσθενεῖς ἔχειν τὰς χεῖρας: —

20 Ἰωάννης πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ ἁγίου Ἰωάννου τῶν Στουδίου προτάξας τῆι ἰδίαι μου χειρὶ τὸν τίμιον σταυρὸν καὶ τὸ ὄνομά μου τὰ λοιπὰ ὑπέγραψα τοῖσδε τοῖς λιβέλλοις διὰ χειρὸς Θεοδώρου ἀναγνώστου καὶ μοναχοῦ διὰ τὸ ἐμὲ γέροντα εἶναι καὶ ἀσθενῆ: —

21 Βασιλίσκος πρεσβύτερος καὶ ἀρχιμανδρίτης τῆς ἁγίας Εὐφημίας τῆς ἐν τοῖς Ὀλυβρίου προτάξας τῆι ἰδίαι μου χειρὶ τὸν τίμιον σταυρὸν καὶ τὸ ὄνομά μου τὰ λοιπὰ ὑπέγραψα διὰ χειρὸς Ἀνδρονίκου πρεσβύτερου τοῖσδε τοῖς λιβέλλοις διὰ τὸ ἐμὲ γέροντα εἶναι καὶ τρέμειν: —

22 Βαβύλας πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ ἐν ἁγίοις Δανιὴλ τοῦ ἐν τῶι στύλωι ὑπέγραψα χειρὶ ἐμῆι: —

23 Ὑπάτιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Ὀλυμπίου ὑπέγραψα: —

24 Μάρκος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς ἐπίκλην Ἱερουσαλὴμ ὑπέγραψα τοῖσδε τοῖς λιβέλλοις αἰτήσας πάντα τὰ ἐν αὐτοῖς ἐμφερόμενα: —

25 Κυριακὸς πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Ἀναστασίου ἐν τῶι ἀγωγῶι προτάξας τῆι ἰδίαι μου χειρὶ τὸν τίμιον σταυρὸν ὑπέγραψα διὰ χειρὸς Σαββατίον τοῦ ἐμοῦ ἀποκρισιαρίου τοῖσδε τοῖς λιβέλλοις: —

O [= aev]

1 γράφειν O^a 3. 5 ἐλέει θεοῦ om. $O^eΛ$ 3. 4 *s. Michaelis in Ethrio* Λ 5—7 ἐπίκλην — τῆς O^e om. O^{av} 7. 8 τοῖς — ἐμῆι om. $O^eΛ$ 9. 10 τῆς¹ — μνήμης] τοῦ ὁσίου βασιανοῦ $O^eΛ$ 10—12 προτάξας — ὑπογράψαι] ὑπέγραψα $O^eΛ$ 13 τῆς O^e τὸ O^a τῶν O 13—15 ἐπιδοὺς — ἐμῆ O^{av} ὑπέγραψα $O^eΛ$ 17. 18 τοῖς — εἰδέναι om. $O^eΛ$ 20 χειρὶ ἐμῆι om. $O^eΛ$ 22/23 προτάξας — χεῖρας O^{av} ὑπέγραψα $O^eΛ$ 24 τοῦ — Ἰωάννου om. $O^eΛ$ 25—27 προτάξας — ἀσθενῆ O^{av} ὑπέγραψα $O^eΛ$ 28 βασιλικὸς O^e *Basilius* Λ τῆς² om. O^{av} 29 ὀλυμβρίου $O^eΛ$ 29—31 προτάξας — τρέμειν O^{av} ὑπέγραψα $O^eΛ$ 32 ἐν ἁγίοις O^{av} ὁσίου $O^eΛ$ τοῦ³ cf. p. 36, 2. 47, 8 τῆς O 33 χειρὶ ἐμῆι om. $O^eΛ$ 35 ἐλέει θεοῦ om. $O^eΛ$ ἐπίκλην om. $O^eΛ$ 36 τοῖσδε — ἐμφερόμενα om. $O^eΛ$ 38. 39 προτάξας — λιβέλλοις O^{av} ὑπέγραψα $O^eΛ$

26 Σωφρόνιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Θεοδώρου Αἰγυπτίου ὑπέγραψα: —

27 Ἠλίας ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ ἐν ὁσίοις Εὐφημίου ὑπέγραψα τοῖσδε τοῖς λιβέλλοις χειρὶ ἐμῇ: —

L V 176 28 Ῥαβουλᾶς πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῆς ἐπίκλην τοῦ τῆς ὁσίας μνήμης Ἠλία ὑπέγραψα διὰ χειρὸς Θωμᾶ διακόνου διὰ τὸ ἐμὲ μὴ εἰδέναι Ἑλληνιστί: —

M VIII 1055 29 Ἀνδρέας ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῆς ἐπίκλην Κυριακοῦ τοῦ τῆς ὁσίας μνήμης ὑπέγραψα: —

30 Ἄριστων πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῆς ἐπίκλην Ἰωάννου ὑπέγραψα τοῖς λιβέλλοις διὰ χειρὸς Ἀκακίου διακόνου διὰ τὸ ἐμὲ γράμματα μὴ εἰδέναι: —

31 Ζώσιμος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Μαξιμίνου αἰτήσας πάντα τὰ ἐμφερόμενα τοῖς λιβέλλοις ὑπέγραψα: —

32 Ἰωάννης ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῶν Κύρου πλησίον τοῦ ἁγίου Ῥωμανοῦ ἐν τοῖς Ἑλλεβίχου ὑπέγραψα τοῖς λιβέλλοις: —

33 Τιμόθεος πρεσβύτερος καὶ ἀρχιμανδρίτης ὑπέγραψα: —

34 Ζώιλος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Θεοδότου ὑπέγραψα τοῖς λιβέλλοις: —

35 Δωρόθεος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῶν Θεοδώρου ὑπέγραψα τοῖς λιβέλλοις προτάξας τῇι ἰδίαι μου χειρὶ τὸν τίμιον σταυρὸν διὰ χειρὸς Πέτρου διακόνου διὰ τὸ ἐμὲ ἐγκλίνιον εἶναι: —

36 Ζωτικὸς πρεσβύτερος καὶ ἀρχιμανδρίτης ὑπέγραψα τοῖς λιβέλλοις: —

37 Παντολέων πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῆς ἐπιλεγομένης Βεναντίου ἐπιδοὺς τοὺς λιβέλλους ὑπέγραψα χειρὶ ἐμῇ: —

38 Ὑπάτιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῶν Χαρισίου προτάξας τῇι ἰδίαι μου χειρὶ τὸν τίμιον σταυρὸν ὑπέγραψα τοῖσδε τοῖς λιβέλλοις διὰ χειρὸς Ἐλευθερίου διακόνου διὰ τὸ ἐμὲ γράμματα μὴ εἰδέναι: —

39 Εὐγένιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ ἁγίου Γεωργίου ἐν τῶι Ξηροκίρκωι προτάξας τῇι ἰδίαι μου χειρὶ τὸν τίμιον σταυρὸν ὑπέγραψα τοῖς λιβέλλοις διὰ χειρὸς Ἐλευθερίου διακόνου διὰ τὸ ἐμὲ γράμματα μὴ εἰδέναι: —

40 Εὐτύχιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῶν Λυκαόνων πλησίον τοῦ ἁγίου Λαυρεντίου ἐπιδοὺς τοὺς λιβέλλους ὑπέγραψα: —

41 Ἀλέξανδρος πρεσβύτερος καὶ ἀρχιμανδρίτης ὑπέγραψα τοῖς λιβέλλοις: —

42 Συμεὼν πρεσβύτερος καὶ ἀρχιμανδρίτης τῶν Καιουμᾶ ὑπέγραψα: —

43 Ἐλευθέριος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Παυλίνου ὑπέγραψα: —

44 Ἀμβρόσιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῆς ἁγίας Μαρίας τῆς ἐν τῶι λιθοστρώτωι ἐπιδοὺς τοὺς λιβέλλους ὑπέγραψα χειρὶ ἐμῇ: —

O [– aev]

1 μονῆς om. O^v 3 ἐλέει θεοῦ om. $O^eΛ$ 4 τοῖσδε — ἐμῇ om. $O^eΛ$ 6. 7 διὰ — Ἑλληνιστί om. $O^eΛ$ 8 ἐλέει θεοῦ om. $O^eΛ$ 9 τοῦ — μνήμης om. $O^eΛ$ 11 τοῖς — εἰδέναι om. $O^eΛ$ 12. 14 ἐλέει θεοῦ om. $O^eΛ$ 12 μαξίμου O^e 12—14 Μαξιμίνου — μονῆς τῶν om. Λ 12/13 αἰτήσας — λιβέλλοις om. O^e 14/15 πλησίον — Ῥωμανοῦ om. $O^eΛ$ 15 ἐλεβίχου $O^eΛ$ 15. 17/18 τοῖς λιβέλλοις om. $O^eΛ$ 19—21 τοῖς — εἶναι om. $O^eΛ$ 22 post 23. 24 coll. O^v πρεσβύτεροσ O *presbyter monasterii sancti Andreae prope portam Satur(n)inam* Λ τοῖς λιβέλλοις om. $O^eΛ$ 23 λεγομένησ $O^eΛ$ 24 ἐπιδοὺσ — ἐμῇ O^{ev} ὑπέγραψα $O^eΛ$ 25 ἐλέει θεοῦ om. $O^eΛ$ χαρσίου O^e 25—27 προτάξασ — εἰδέναι O^{ev} ὑπέγραψα $O^eΛ$ 28/29 τῇ ξηροκέρκω $O^eΛ$ 29/30 προτάξασ — εἰδέναι O^{ev} ὑπέγραψα $O^eΛ$ 32 ἐπιδοὺς — λιβέλλους om. $O^eΛ$ 33 τοῖς λιβέλλοις om. $O^eΛ$ 34 συμεώνησ $O^eΛ$ 36 ἐλέει θεοῦ om. O^e 35 ἐπιδοὺσ — ἐμῇ O^{ev} ὑπέγραψα $O^eΛ$

45 Σάβας πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ ἁγίου Θωμᾶ πλησίον τῆς κινστέρνης ὑπέγραψα τοῖς λιβέλλοις δι' Ἀουλσαβοῦ πρεσβυτέρου διὰ τὸ ἐμὲ γράμματα μὴ εἰδέναι: —

46 Παῦλος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῶν Λυκαόνων ὑπέγραψα τοῖσδε τοῖς λιβέλλοις διὰ χειρὸς Ἰουλιανοῦ ἀναγνώστου διὰ τὸ ἐμὲ ἀσθενείαι συσχεθῆναι καὶ μὴ δυνηθῆναι ὑπογράψαι: —

47 Βιβέντιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῆς ἐπίκλην τῶν Ῥωμαίων ὑπέγραψα τοῖσδε τοῖς λιβέλλοις διὰ χειρὸς Στεφάνου μοναχοῦ τοῦ αὐτοῦ μοναστηρίου διὰ τὸ ἐμὲ γράμματα μὴ εἰδέναι: —

48 Ἀλέξανδρος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῶν Κυκλωπίων ὑπέγραψα τοῖσδε τοῖς λιβέλλοις διὰ χειρὸς Φωκᾶ μοναχοῦ καὶ ἀποκρισιαρίου διὰ τὸ ἐμὲ τὰς χεῖρας ἀλγεῖν καὶ μὴ δύνασθαι ὑπογράψαι: —

49 Ἰορδάνης ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῆς ἁγίας Μαρίας πλησίον τοῦ ἁγίου Λουκᾶ ὑπέγραψα: —

50 Ζηνόβιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Μαρωνίου ἐν Συκαῖς ὑπέγραψα τοῖς λιβέλλοις: —

51 Ἀνατόλιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Φιλίππου ὑπέγραψα τοῖς λιβέλλοις χειρὶ ἐμῇι: —

52 Ἰάκωβος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῆς ἁγίας Μαρίας πλησίον τῶν Βουκολίων ἐπιδοὺς τούσδε τοὺς λιβέλλους ὑπέγραψα διὰ χειρὸς Εὐσταθίου μοναχοῦ διὰ τὸ ἐμὲ ὀλιγογράμματον εἶναι προτάξας τὸν τίμιον σταυρὸν καὶ τὸ ὄνομά μου: —

53 Ἠλίας ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Σαμουὴλ τοῦ τῆς ὁσίας μνήμης τοῦ ὄντος ἐν Συκαῖς ἐπιδοὺς τούσδε τοὺς λιβέλλους ὑπέγραψα διὰ χειρὸς Κοσμᾶ μοναχοῦ διὰ τὸ ἐμὲ γράμματα μὴ εἰδέναι προτάξας τῆι ἰδίαι μου χειρὶ τὸν τίμιον στὰυρόν: —

54 Λεόντιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ ἁγίου ἀρχαγγέλου Μιχαὴλ τοῦ ἐν τοῖς Πουσέου ἐπιδοὺς τούσδε τοὺς λιβέλλους ὑπέγραψα χειρὶ ἐμῇι: —

Ὅπως ἐκηρύχθησαν ἐν τῇι ἐκκλησίαι αἱ σύνοδοι

L V 177
M VIII 1058

27 Εἰσόδου γενομένης κατὰ τὸ σύνηθες ἐν τῇι ἁγιωτάτηι ἡμῶν μεγάληι ἐκκλησίαι ἐν ἡμέραι κυριακῇι τῇι πεντεκαιδεκάτηι τοῦ ἐνεστῶτος Ἰουλίου μηνὸς τῆς ἐνδεκάτης ἐπινεμήσεως παρὰ τοῦ δεσπότου ἡμῶν τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου καὶ οἰκουμενικοῦ πατριάρχου Ἰωάννου, ὡς οὐκ ἀγνοεῖ καὶ ἡ ὑμετέρα θεοφίλεια, ἐν τῶι γενέσθαι αὐτὸν σὺν τῶι εὐαγεῖ κλήρωι περὶ τὸν ἄμβωνα φωναὶ γεγόνασιν ἀπὸ τοῦ λαοῦ λέγουσαι· a. 518

Πολλὰ τὰ ἔτη τοῦ πατριάρχου, πολλὰ τὰ ἔτη τοῦ βασιλέως, πολλὰ τὰ ἔτη τῆς αὐγούστας, πολλὰ τὰ ἔτη τοῦ πατριάρχου· ἀκοινώνητοι διὰ τί μένομεν ἐπὶ τοσαῦτα

O [= ae, r (inde a 31), v], I [inde a 30]

1 σάββασ $O^{e}\Lambda$ 2/3 τοῖς — εἰδέναι om. $O^{e}\Lambda$ 4—6 τοῖσδε — ὑπογράψαι om. O^{e} 7 βιβέντιοσ O^{e} λιβέντιοσ O^{av} 8/9 τοῖσδε — εἰδέναι om. $O^{e}\Lambda$ 10 κυκλώπων $O^{e}\Lambda$ 11/12 τοῖσδε — ὑπογράψαι om. $O^{e}\Lambda$ 13. 15 ἐλέει θεοῦ om. $O^{e}\Lambda$ 13/14 τῆσ — λουκᾶ $O^{e}\Lambda$ πλησίον τοῦ — λουκᾶ τῆσ — μαρίασ O^{av} 16 τοῖς λιβέλλοις om. $O^{e}\Lambda$ 18/19 τοῖς — ἐμῇι om. $O^{e}\Lambda$ 20/22 ἐπιδοὺσ — μου O^{av} ὑπέγραψα $O^{e}\Lambda$ 23 ἐλέει θεοῦ om. $O^{e}\Lambda$ μονῆς om. Λ 23/24 τῆς ὁσίας — ὄντος om. $O^{e}\Lambda$ 24/26 ἐπιδοὺσ — σταυρόν O^{av} ὑπέγραψα $O^{e}\Lambda$ 27 ἐλέει θεοῦ om. $O^{e}\Lambda$ μονῆσ O^{e} om. O^{av} 28 Μιχαὴλ om. $O^{e}\Lambda$ 28/29 ἐπιδοὺσ — ἐμῇ O^{av} ὑπέγραψα $O^{e}\Lambda$ 30 om. O^{r} ἐν τῇ ἐκκλησίαι om. $O^{aav}\Lambda$ 13 Ἐσόδου O^{e} 32 τῆι om. $O^{r}I$ 34 καὶ om. I ἡμετέρα O^{v} 37 αὐγούστησ O^{ae}

ἔτη; διὰ τί οὐ κοινωνοῦμεν; ἐκ τῶν χειρῶν σου κοινωνῆσαι θέλομεν. ἐὲς ἄνελθε εἰς τὸν ἄμβωνα, ἐὲς πεῖσον τὸν λαόν σου. διὰ πολλῶν ἐτῶν κοινωνῆσαι θέλομεν. ὀρθόδοξος εἶ, τίνα φοβῆσαι; ἄξιε τῆς τριάδος· ἡ ἁγία Μαρία θεοτόκος ἐστίν. ἄξιε τοῦ θρόνου· ἡ ἁγία Μαρία θεοτόκος ἐστίν. πολλὰ τὰ ἔτη τοῦ βασιλέως, πολλὰ τὰ ἔτη τῆς αὐγούστας· Σεβῆρον τὸν Μανιχαῖον ἔξω βάλε· ὁ μὴ λαλῶν Μανιχαῖός ἐστιν. ἀνασκαφῆι τὰ ὀστέα τῶν Μανιχαίων. τὴν ἁγίαν σύνοδον ἄρτι κήρυξον. πολλὰ τὰ ἔτη τοῦ βασιλέως, πολλὰ τὰ ἔτη τοῦ πατριάρχου· ἄξιε τῆς τριάδος, ἡ ἁγία σύνοδος ἄρτι κηρυχθήτω. ἄξιε τῆς τριάδος, ἡ ἁγία Μαρία θεοτόκος ἐστίν. ἄξιε τοῦ θρόνου, ἡ ἁγία Μαρία θεοτόκος ἐστίν· ἡ ἁγία σύνοδος τοῦτο εἶπεν. ὁ μὴ λαλῶν Μανιχαῖός ἐστι. νικᾶι ἡ πίστις τῆς τριάδος, νικᾶι ἡ πίστις τῶν ὀρθοδόξων. τὴν ἁγίαν σύνοδον ἄρτι κήρυξον· ὀρθόδοξος βασιλεύει, τίνα φοβῆσαι; νικᾶι ἡ πίστις τοῦ βασιλέως, νικᾶι ἡ πίστις τῆς αὐγούστας. τοῦ νέου Κωνσταντίνου πολλὰ τὰ ἔτη, τῆς νέας Ἑλένης πολλὰ τὰ ἔτη· πολλὰ τὰ ἔτη τοῦ πατριάρχου· ἄξιε τῆς τριάδος· ἰουστῖνε αὔγουστε TVINCAS· τοῦ νέου Κωνσταντίνου πολλὰ τὰ ἔτη· ἢ ἐξέρχηι ἢ κηρύοσσεις. πολλὰ τὰ ἔτη τοῦ βασιλέως· ἰουστῖνε αὔγουστε TVINCAS· τὴν σύνοδον Χαλκηδόνος ἄρτι κήρυξον. ἰουστῖνος βασιλεύει, τίνα φοβῆσαι; Σεβῆρον τὸν Μανιχαῖον ἔξω βάλε. τὴν σύνοδον Χαλκηδόνος ἄρτι κήρυξον. ὁ μὴ ἀναθεματίζων Σεβῆρον Μανιχαῖός ἐστιν. ἀνάθεμα Σεβήρωι τῶι Μανιχαίωι· ὁ μὴ λαλῶν Μανιχαῖός ἐστι. Σεβῆρον ἔξω βάλε, τὸν νέον Ἰούδαν ἔξω βάλε, τὸν ἐπίβουλον τῆς τριάδος ἔξω βάλε. τὴν ἁγίαν σύνοδον ἄρτι κήρυξον. ἐὲς μαρτύρομαι· ἢ κηρύσσεις ἢ ἐξέρχηι. πίστις ἐστίν, οὐκ ἔνι θεωρεῖν. ἀδελφοὶ Χριστιανοὶ μία ψυχή. ἰουστῖνε αὔγουστε TVINCAS· εἰ φιλεῖς τὴν πίστιν, Σεβῆρον ἀναθεμάτισον. ἐὲς μαρτύρομαι· ἐὲς σύρω σε, ἐὲς τὰς θύρας κλείω. ὁ μὴ λαλῶν Μανιχαῖός ἐστιν. μαρτύρομαί σε· οὐδὲν παρ' ἐμέ. ὀρθόδοξος βασιλεύει, τίνα φοβῆσαι; τοῦ ὀρθοδόξου βασιλέως πολλὰ τὰ ἔτη· Σεβῆρον τὸν ἐπίβουλον τῆς τριάδος ἔξω βάλε, τὸν νέον Ἰούδαν ἔξω βάλε· ὁ μὴ λαλῶν Μανιχαῖός ἐστιν. ἐὲς σύναξιν τῆι συνόδωι, ἐὲς ἄρτι κήρυξον. μὰ τὸ εὐαγγέλιον, οὐδὲν παρ' ἐμέ, ἐὲς μαρτύρομαι. πολλὰ τὰ ἔτη τοῦ βασιλέως, τοῦ νέου Κωνσταντίνου πολλὰ τὰ ἔτη, τοῦ ὀρθοδόξου βασιλέως πολλὰ τὰ ἔτη, τῆς νέας Ἑλένης πολλὰ τὰ ἔτη· Σεβῆρον ἔξω βάλε, τὸν νέον Ἰούδαν ἔξω βάλε, τὸν ἐπίβουλον τῆς τριάδος ἔξω βάλε. πολλὰ τὰ ἔτη τοῦ βασιλέως· ἀδελφοὶ Χριστιανοὶ μία ψυχή. πίστις ἐστίν, οὐκ ἔνι ἁπλῶς. ἡ ἁγία Μαρία θεοτόκος ἐστίν· ταῦτα καὶ ἡ σύνοδος εἶπε.

L V 180
M VIII 1059

Ταῦτα αὐτῶν ἐκβοησάντων ἐδόθη αὐτοῖς ἀπόκρισις παρὰ τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου ἀρχιεπισκόπου καὶ οἰκουμενικοῦ πατριάρχου Ἰωάννου αὖτη· μακροθυμήσατε, ἀδελφοί, ἵνα πρότερον προσκυνήσωμεν τὸ ἅγιον θυσιαστήριον, καὶ μετὰ τοῦτο δίδωμι

O [= aerv], I

1 ἐὰσ I ut solet usque ad 20 3/4 ἡ ἁγία — θρόνου — θκοσ ἐστὶν Orl om. OaevΛ 4/5 αὐγούστησ Oaev 5 ἀνασκαφείη Oa 6—8 πολλὰ — θρόνου om. Orl 7/8 ἡ ἁγία σύνοδος — τριάδος om. Oav 9—11 ἡ ἁγίαι — κήρυξον om. I 12 αὐγούστησ Oae 14 TVNBICAC Oer om. OavI ἢ ἐξέρχη ἢ κηρύσσεισ OeΛ ἢ ἐξαρχὴ ἢ κηρύσσεις I ἡ ἐξαρ̃ ἣν κηρύσσεισ Or om. Oav 15 TVINCAC Or TVNBICAC Oe om. OavI 17 ἀναθεματίζων σεβῆρον [σευῆρον Oe] OerlΛ λαλῶν Oav 18 ἀνάθεμα — ἐστι om. OvΛ μανιχαίω Oae μανιχεῖ Or ἔξω βάλε σευῆρον OeΛ σεβῆρον ἔξω βάλε ἀνάθεμα σεβήρω τῶ μανιχαίω ὁ μὴ λαλῶν μανιχαῖοσ ἐστὶν Ov 20 ἢι Oerl ἃ ΛOav ἢ ἐξέρχη OeΛ ἢ ἐξαρχὴ Orl ἡ ἐξ ἀρχῆσ Oav ἔνι θεώριν Oael ἐπιθεωρεῖν Λ ἐνθεώριν Ov ἐνθεωρεῖν Or 21 TVINCAC Or TVNBICAC Oe om. OavI 25 τὸν νέον — βάλε OeΛ om. Oarvl σύναξον Oa 26 μὰ OerlΛ μετὰ Oav 27 πολλὰ — ἔτη τοῦ — κωνσταντίνου Orl 27/28 πολλὰ τὰ ἔτη τῆσ — ἑλένησ· τοῦ ὀρθοδόξου — ἔτη I 28/29 τὸν — ἰούδαν — βάλε om. I 30 ἔνι ἁπλῶσ Oael ἐναπλῶσ Orv coniecio ἔνι ⟨ἢ⟩ ἁπλῶς 32 ταῦτα — ἐκβοησάντων] ταῦτα αὐτῶν ἐκβοησάντων καὶ ἡ σύνοδοσ εἶπεν Or 33 ἰωάννου om. OavI

ὑμῖν ἀπόκρισιν. καὶ εἰσελθόντος αὐτοῦ εἰς τὸ ἅγιον θυσιαστήριον ἐπέμειναν κράζοντες· Πολλὰ τὰ ἔτη τοῦ βασιλέως, πολλὰ τὰ ἔτη τῆς αὐγούστας· ἐὲς μαρτύρομαι· οὐκ ἐξέρχηι, ἐὰν μὴ ἀναθεματίσηις Σεβῆρον. ἀνάθεμα Σεβήρωι φανερῶς εἰπέ. ἐὲς ἀπόκλεισον· ἐὲς μαρτύρομαι. πολλὰ τὰ ἔτη τοῦ βασιλέως.

Καὶ λοιπὸν ἀνελθὼν ἐπὶ τοῦ ἄμβωνος ὁ ἁγιώτατος καὶ μακαριώτατος ἡμῶν ἀρχιεπίσκοπος καὶ οἰκουμενικὸς πατριάρχης Ἰωάννης προσεφώνησε ταῦτα· Οἴδατε τοὺς ἐμοὺς ἀγῶνας, ἀγαπητοί, οὓς καὶ ἐν τῶι πρεσβυτερίωι ὢν κατεβαλόμην, καὶ νῦν ἀντεσχόμην τῆς ὀρθοδοξίας καὶ ἀντέχομαι ἕως θανάτου. οὐ χρεία τοίνυν ταραχῆς ἢ θορύβου· οὔτε γάρ τι παρεβάθη τῆς ὀρθῆς πίστεως οὔτε ἁγίαν σύνοδον τολμᾶι τις ἀναθεματίσαι, ἀλλὰ πάσας τὰς ἁγίας συνόδους τὰς βεβαιωσάσας τὸ ἅγιον σύμβολον τῶν τιη πατέρων τῶν συνελθόντων κατὰ τὴν Νικαέων ὀρθοδόξους γινώσκομεν καὶ μάλιστα τὰς ἁγίας τρεῖς συνόδους ταύτας, τουτέστι τὴν ἐν Κωνσταντινουπόλει καὶ τὴν ἐν Ἐφέσωι καὶ τὴν μεγάλην τὴν ἐν Χαλκηδόνι. ἰδικῶς γὰρ τὸ σύμβολον τῶν τιη ἁγίων πατέρων, εἰς ὃ βαπτιζόμεθα, αὗται αἱ ἅγιαι τρεῖς σύνοδοι ὁμοφρόνως ἐβεβαίωσαν.

Καὶ μετὰ τὴν προσφώνησιν ἐπιμενόντων αὐτῶν ἐπὶ πλείστας ὥρας ταῖς αὐταῖς φωναῖς καὶ προσθέντων· Οὐ κατέρχηι, ἐὰν μὴ ἀναθεματίσηις· πολλὰ τὰ ἔτη τοῦ πατριάρχου. ἄξιε τῆς τριάδος, πολλὰ τὰ ἔτη τοῦ βασιλέως, πολλὰ τὰ ἔτη τῆς αὐγούστης· τὴν σύναξιν τῆς συνόδου Χαλκηδόνος ἄρτι κήρυξον. οὐκ ἀναχωρῶ, ἐὰν μὴ κηρύξηις. ἕως ὀψὲ ὧδε ἐσμέν. τὴν σύναξιν εἰς τὴν αὔριον κήρυξον. τὴν μνήμην τῶν πατέρων αὔριον κήρυξον. τῶν ἐν Χαλκηδόνι πατέρων τὴν σύναξιν αὔριον κήρυξον. σήμερον ἐὰν κηρύξηις, αὔριον ἐπιτελεῖται. οὐκ ἀναχωρῶ, ἐὰν μὴ κηρύξηις. τοὺς ἀναθεματίσαντας Νεστόριον καὶ Εὐτυχέα εἰς τὴν αὔριον κήρυξον. ἐὰν μὴ λάβω ἀπόκρισιν, ἕως ὀψὲ ὧδε εἰμί,

[καὶ] προσεφώνησεν ὁ ἁγιώτατος καὶ μακαριώτατος ἀρχιεπίσκοπος ἡμῶν καὶ οἰκουμενικὸς πατριάρχης Ἰωάννης οὕτως· Ἐπειδὴ σύναξιν ἠιτήσατε τῶν ἁγίων πατέρων τῶν ἐν Χαλκηδόνι ἐπιτελεσθῆναι, γινώσκοντες γνώσεσθε ὅτι καὶ τοῦτο ποιήσομεν γνώμηι τοῦ εὐσεβεστάτου καὶ φιλόχριστου ἡμῶν βασιλέως.

Ἐπιμενόντων δὲ αὐτῶν καὶ τὰς αὐτὰς φωνὰς ἐκβοώντων καὶ προσθέντων· Οὐκ ἀναχωρῶ μὰ τὸ εὐαγγέλιον· τὴν σύναξιν τῶν πατέρων ἄρτι κήρυξον· τῶν ἐν Χαλκηδόνι πατέρων τὴν σύναξιν αὔριον ποίησον, ἐκηρύχθη ἡ σύναξις διὰ Σαμουὴλ διακόνου οὕτως· Γνωρίζομεν τῆι ὑμετέραι ἀγάπηι ὅτιπερ τῆι αὔριον μνήμην ἐπιτελοῦμεν τῶν ἐν ἁγίοις πατέρων ἡμῶν καὶ ἐπισκόπων γενομένων τῶν κατὰ τὴν Χαλκηδονέων μητρόπολιν συναχθέντων καὶ βεβαιωσάντων ἅμα τοῖς ἐν Κωνσταντινουπόλει καὶ ἐν Ἐφέσωι συναχθεῖσιν M VIII 1062
ἁγίοις πατράσιν τὸ σύμβολον τῶν τιη ἁγίων πατέρων τῶν συναχθέντων κατὰ τὴν Νι- L V 181
καέων. συναγόμεθα δὲ καὶ ἐνταῦθα.

Καὶ μετὰ τὴν προσφώνησιν τῆς συνάξεως πάλιν ἐπέμεινεν ὁ λαὸς καὶ μιᾶι φωνῆι ἐπὶ πολὺ ἔκραζον· Σεβῆρος ἄρτι ἀναθεματισθῆι. ὁ ἐπίβουλος τῆς τριάδος ἄρτι ἀναθεματισθῆι. ὁ κατὰ τῶν πατέρων ἄρτι ἀναθεματισθῆι. ὁ ἀναθεματίσας τὴν σύνοδον Χαλκηδόνος ἄρτι ἀναθεματισθῆι. οὐκ ἐξέρχομαι, ἐὰν μὴ ἄρτι ἀναθεματισθῆι καὶ ἀπό-

8 cf. Coll. Auell. 146 p. 591, 18

O [= aerv], I

1 εἰσελθόντες $O^{e}\Lambda$ αὐτοῦ om. $O^{e}\Lambda$ 2 αὐγούστησ O^{aev} 3 ἐξέρχει O^{v} 7/8 ἀντέσχον O 10 ἁγίων πρῶν O^{e} 14 ὁμοφώνωσ $O^{e}\Lambda$ 16 προστεθέντων O^{e} οὐ κατέρχη $O^{e}I\Lambda$ οὐκ ἀνέρχη O^{arv} 19 εἰς τὴν om. I 22 ὧδε εἰμὶ ἕωσ ὀψέ O^{av} 23 καὶ OΛ om. I 24 Ἰωάννης om. I 25 τελεσθῆναι O^{r} 27 προστεθέντων O^{e} 28 τὸ ἅγιον $O^{e}\Lambda$ 29 ἡ om. O^{av} 30 τὴν $O^{arv}I$ 31 κατὰ τὴν χαλκηδονέων μητρόπολιν OΛ ἐν χαλκηδόνι νέα μητροπόλει I 33 πατέρων om. O^{a} 34 καὶ I om. OΛ 37—38 ὁ ἀναθεματίσας — ἀναθεματισθῆι om. $O^{a}\Lambda$ 38/p. 74,1 ἄρτι — ἀπόκρισιν I ἄρτι ἀπόκρισιν $O^{ev}\Lambda$ ἀπόκρισιν ἄρτι O^{r} ἀπόκρισιν O^{a}

κρισιν λάβω. μαρτύρομαι· ὀρθόδοξος εἶ, ἄρτι ἀναθεμάτισον. ἢ ἀναθεμάτισον ἢ οὐδὲν παρ' ἐμέ.

Καὶ ἐπὶ πολὺ τοῖς αὐτοῖς ἐπιμενόντων αὐτῶν, παρόντων Θεοφίλου τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς Ἡρακλεωτῶν καὶ Θεοδότου τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς Γαγγρηνῶν καὶ Ὑπατίου τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς Κλαυδιουπολιτῶν καὶ Ἰωάννου τοῦ θεοφιλεστάτου ἐπισκόπου Βοσπόρου καὶ Πυθαγόρου τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς Σινωπέων καὶ Ἰσαακίου τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς Πενταπόλεως τῆς Ἑλλάδος καὶ Ἰωάννου τοῦ θεοφιλεστάτου ἐπισκόπου Σεννέων τῆς Παμφύλων χώρας καὶ Ἀμαντίου τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς Νικοπολιτῶν καὶ Ἀμμωνίου τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς Ἀβυδηνῶν, Πλάτωνος τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς Κρατιανῶν, Εὐσταθίου τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς Φιλαδελφέων καὶ Πελαγίου τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς Αἰζανιτῶν καὶ ἑτέρων θεοφιλεστάτων ἐπισκόπων τῶν καὶ συναινούντων τῶι ἁγιωτάτωι καὶ μακαριωτάτωι ἀρχιεπισκόπωι καὶ οἰκουμενικῶι πατριάρχηι Ἰωάννηι προσεφωνήθη ταῦτα· Ὅτι Σεβῆρος χωρίσας ἑαυτὸν τῆς ἁγίας ταύτης ἐκκλησίας ἑαυτῶι κρίματι ὑπέβαλε, πρόδηλον πᾶσιν. ἑπόμενοι τοίνυν καὶ ἡμεῖς τοῖς θείοις κανόσι καὶ τοῖς ἁγίοις πατράσιν ἀλλότριον τοῦτον ἡγούμεθα καὶ ὑπὸ τῶν θείων κανόνων ἤδη διὰ τῆς βλασφημίας αὐτοῦ κατακριθέντα ἀναθεματίζομεν καὶ ἡμεῖς.

Τούτων παρακολουθησάντων τῆι κυριακῆι, τῆι ἕξῆς, ἥτις ἐστὶν ἑξκαιδεκάτη τοῦ Ἰουλίου μηνός, ἡμέραι δευτέραι, ἐπιτελουμένης τῆς μνήμης τῶν προλεχθέντων ἁγίων πατέρων, πάλιν τῆς εἰσόδου γενομένης παρὰ τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου ἀρχιεπισκόπου καὶ οἰκουμενικοῦ πατριάρχου Ἰωάννου, εὐθέως ἅμα τῶι γενέσθαι αὐτὸν πλησίον τοῦ ἄμβωνος φωναὶ ἤλθοσαν ἀπὸ παντὸς τοῦ λαοῦ οὕτως· Πολλὰ τὰ ἔτη τοῦ πατριάρχου, πολλὰ τὰ ἔτη τοῦ βασιλέως, πολλὰ τὰ ἔτη τῆς αὐγούστης, τοῦ νέου Κωνσταντίνου πολλὰ τὰ ἔτη, τῆς νέας Ἑλένης πολλὰ τὰ ἔτη· τὸ λείψανον Μακεδονίου τῆι ἐκκλησίαι. Ἰουστῖνε αὔγουστε TVINCAS, Εὐφημία αὐγούστα TVINCAS· τοὺς ἐν ἐξορίαι διὰ τὴν πίστιν τῆι ἐκκλησίαι. ἀνασκαφῆι τὰ ὀστέα τῶν Νεστοριανῶν, ἀνασκαφῆι τὰ ὀστέα τῶν Εὐτυχιανιστῶν. τίς ἔνι Νεστόριος, ἐγὼ οὐκ οἶδα· ἀνάθεμα αὐτῶι ἀπὸ τῆς τριάδος. τίς ἔνι Νεστόριος, ἐγὼ οὐκ οἶδα· ἀνάθεμα αὐτῶι μετ' Εὐτυχέος. ἀνασκαφῆι τὰ ὀστέα τῶν Νεστοριανῶν, ἀνασκαφῆι τὰ ὀστέα τῶν Εὐτυχιανιστῶν. τοὺς Μανιχαίους ἔξω βάλε. Ἰουστῖνε αὔγουστε TVINCAS· Σεβῆρον τὸν Ἰούδαν ἔξω βάλε. τοὺς Μανιχαίους τῆς ἐκκλησίας ἔξω βάλε. τοὺς δύο Στεφάνους ἔξω βάλε. τὸ λείψανον Μακεδονίου ἄρτι φέρε. τὸ ὄνομα Μακεδονίου ἄρτι ταγῆι. δεόμεθα, τὰς ὅλας φωνὰς τῶι βασιλεῖ. τὸν νέον Τζουμᾶν ἔξω βάλε. ὁ νέος Τζουμᾶς Ἀμάντις ἐστί. τὸν λῆρον τοῦ παλατίου
M VIII 1063 ἔξω βάλε. Εὐφήμιον καὶ Μακεδόνιον τῆι ἐκκλησίαι. τὰ συνοδικὰ εἰς Ῥώμην ἄρτι ἀπέλθωσιν. πολλὰ τὰ ἔτη τοῦ πατριάρχου· τοῦ νέου Ἰωάννου πολλὰ τὰ ἔτη· ἄξιε τῆς τριάδος. Ἰουστῖνε αὔγουστε TVINCAS, πολλὰ τὰ ἔτη τῆς αὐγούστης· τὸ λείψανον Μα-

---

O [= aerv], I

6 βοοσπόρου O^{e} 7 σινοπέων O^{a} 8 σεννέων I σεμνέων O *Commacorum* Λ παμφύλου O^{a} παμφίλου O^{rv} 9 νεαπολιτῶν $O^{r}I$ 9/10 ἐπισκόπου om. O^{av} 10 ἀβυδηνοῦ O^{r} 12 ἀζανιτῶν OIΛ, cf. p. 66, 10 14 ταῦτα] ταῦτα τὴν κατὰ σεβήρου προσφώνησιν O^{v} χωρήσας O^{av} ἑαυτῶ [i. e. ipse] O^{av} ἑαυτὸν $O^{er}IΛ$ 15 θείοις om. I 16 ἤδη om. $O^{e}Λ$ 17 αὐτοῦ βλασφημίασ O^{aev} 18 κυρία O^{e} ἑνδεκάτη O^{r} 20 γινομένησ O^{ev} 21 τῶ $O^{aev}I$ τοῦ O^{r} 21/22 πλησίον τοῦ ἄμβωνος $O^{e}Λ$ ἐπὶ τοῦ ἄμβωνοσ πλησίον $O^{arv}I$ 22 ἦλθοσαν $O^{a}I$ ἤλθασιν O^{rv} ἦλθον O^{e} 25. 30. 36 TVINCAC O^{er} om. $O^{av}I$, O^{a} spatio rel. 26 ἀνασκαφεῖ O^{rv} ἀνασκαφείη O^{ae} ἀνασκαφεῖ O^{rv} ἀνασκαφείη O^{e} ἀνασφείη O^{a} 27 ἐν O^{v} ἀπὸ — τριάδοσ $O^{ev}Λ$ μετ' εὐτυχέοσ $O^{ar}I$ 28 ἓν O^{v} τίς ἔνι — οἶδα om. $O^{r}I$ μετ' εὐτυχέοσ $O^{ev}Λ$ ἀπὸ τῆσ τριάδοσ $O^{ar}I$ 28/29 ἀνασκαφῆι — Εὐτυχιανιστῶν om. $O^{r}I$ 28. 29 ἀνασκαφεῖ O^{v} ἀνασκαφείη O^{ae} [bis] 30—31 Ἰουστῖνε — ἐκκλησίασ ἔξω βάλε om. I 31 ἔξω¹ om. O^{a} 32 ἄρτι²] ἄρ O^{a} τάγει O^{rv} τάξου I 33 τζουμμᾶσ O^{r} ἀμάντησ $O^{r}I$

κεδονίου τῆι ἐκκλησίαι· ἐν τούτοις ἀεὶ νικήσεις. Εὐφημίου καὶ Μακεδονίου τὰ ὀνόματα ἄρτι L V 182
ταγῆι. τελείαν ἑορτὴν τῆι ἐκκλησίαι. τοὺς ψευδομάρτυρας Μακεδονίου ἔξω βάλε. τὰς τέσσαρας συνόδους τοῖς διπτύχοις. Λέοντα τὸν ἐπίσκοπον Ῥώμης τοῖς διπτύχοις. ἡ ἁγία Μαρία θεοτόκος ἐστί· τοῦτο ἡ σύνοδος εἶπε. τὰ δίπτυχα τῶι ἄμβωνι· ὁ μὴ λαλῶν Μανιχαῖός ἐστι. τὰ δίπτυχα τῶι ἄμβωνι ἄρτι, τὸν θεόν σοι. Ἰουστῖνε αὔγουστε, TVINCAS· κουράτωρα οὐκ ἔχεις, τὰ δίπτυχα ἄρτι φέρε. Ἰουστῖνος βασιλεύει, τὰ δίπτυχα ἄρτι φέρε. τοῦ ὀρθοδόξου βασιλέως πολλὰ τὰ ἔτη, τῆς νέας Ἑλένης πολλὰ τὰ ἔτη, τοῦ νέου Ἰωάννου πολλὰ τὰ ἔτη· οὕτως ἔχεις τὸν δεσπότην, τὰ δίπτυχα ἄρτι φέρε. οὕτως ἔχεις τὴν αὐγούσταν, τὰ δίπτυχα ἄρτι φέρε. οὕτως ἔχεις τὴν τριάδα, τὰ δίπτυχα ἄρτι φέρε. οἱ κανόνες τούτους οὐκ ἐξέβαλαν· ἐὲς τάξον, ἐὲς τάξον, ἐὲς τάξον.

Καὶ προσεφωνήθη ταῦτα· Καὶ κατὰ τὴν χθὲς ἡμέραν ἀρκούντως ἐπληροφορήσαμεν τὴν ὑμετέραν ἀγάπην, καὶ νῦν δὲ τὸν ζῆλον ὑμῶν σαφῶς ἐπιστάμενοι ἐκεῖνα ἐσπεύσαμεν καὶ σπεύδομεν ποιῆσαι ὅσα καὶ τὸν θεὸν θεραπεύει καὶ ὑμᾶς διὰ πάντων ἐν πᾶσι πληροφορεῖ. ὅτι δὲ μέλει ἡμῖν τοῦ μηδὲν παρασαλευθῆναι τῆς ὀρθῆς πίστεως, οἶμαι κατὰ διαφόρους χρόνους καὶ τρόπους πεῖραι παρειληφέναι τὴν ὑμετέραν ἀγάπην. δι' ὃ καὶ τὸν θεμέλιον τῆς πίστεως κατὰ τὴν τῶν ἁγίων πατέρων παράδοσιν ἀρραγῆ διαμένειν τῆι χάριτι τοῦ δεσπότου ἡμῶν καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ ἐσπουδάσαμεν, ἐλπίσαντες δι' αὐτῆς καὶ τὰς διεστώσας ἐκκλησίας ἑνῶσαι, πανταχοῦ τὴν τάξιν τῶν θείων κανόνων ἐνθέσμως κρατοῦντες. οὐδὲ γὰρ ἐγχωρεῖ τι παρασαλεῦσαι καὶ περὶ κενοφωνίας καὶ λεπτολογίας ἀπασχολεῖσθαι τοὺς πιστούς, ἀλλὰ προσέχειν τῶι ἁγίωι συμβόλωι, ἐν ὧι πάντες ἐβαπτίσθημεν, ὅπερ ἐξεφώνησεν ἡ ἐν Νικαίαι ἐν ἁγίωι πνεύματι σύνοδος καὶ ἐκύρωσεν ἡ ἐν Κωνσταντινουπόλει τῶν ἁγίων πατέρων συνέλευσις καὶ ἐβεβαίωσεν ἡ ἐν Ἐφέσωι ὁσία σύνοδος καὶ ἐπεσφράγισεν ὁμοίως ἡ ἐν Χαλκηδόνι ἁγία μεγάλη σύνοδος, ἣν κατ' οὐδένα λόγον ἢ τρόπον παρασαλεῦσαί τις δυνήσεται πᾶσαν ἀναιροῦσαν τοῖς κακοδόξοις πρόφασιν. ταύτην τοίνυν τὴν πίστιν ἀσάλευτον κρατοῦντες πρὸς ἀλλήλους μὴ ἀμφιβάλητε, ἀλλὰ πᾶσαν κενοφωνίαν καὶ πᾶσαν καινοτομίαν καὶ πᾶσαν λεπτολογίαν ἀπωθούμενοι ἑνὶ στόματι τὴν ἁγίαν καὶ ὁμοούσιον τριάδα δοξάσωμεν, ἥτις φυλάττοι ἐν εἰρήνηι τὴν ζωὴν τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων καὶ πάντων ἡμῶν. τῶι γὰρ πατρὶ καὶ υἱῶι καὶ ἁγίωι πνεύματι πρέπει ἡ δόξα νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ταύτης τῆς προσφωνήσεως γενομένης ἐπέμειναν κράζοντες· Ἐὰν μὴ ἄρτι, οὐδεὶς ἐκβαίνει· μαρτύρομαί σε, τὰς θύρας κλείω. ἀδελφοὶ ὀρθόδοξοι μία ψυχή· ἀδελφοὶ διὰ πίστιν μία ψυχή·· Ἰουστῖνε αὔγουστε TVINCAS· ὁ μὴ λαλῶν Μανιχαῖός ἐστιν. ἅγιος ἅγιος ἅγιος· ἡ τριὰς ἐνίκησεν. ἀπάρτι οὐ φοβῆσαι Ἀμάντιν τὸν Μανιχαῖον. Ἰουστῖνος βασιλεύει, Ἀμάντιν τί φοβῆσαι; ἄξιε τῆς τριάδος, καὶ τοῦτο τὸ καλόν σοι ἐτηρεῖτο· ὁ φιλῶν τὴν σύνοδον οὕτως τιμᾶται. πολλὰ τὰ ἔτη τοῦ βασιλέως, πολλὰ M VIII 1066
τὰ ἔτη τῆς αὐγούστης, πολλὰ τὰ ἔτη τοῦ πατριάρχου· νικᾶι ἡ πίστις τῶν ὀρθοδόξων. 36

Καὶ πάλιν ἐπιμενόντων αὐτῶν ἐπὶ πολὺ ταῖς αὐταῖς φωναῖς προσεφωνήθη αὐτοῖς ταῦτα· Ὅτι διὰ πάντων σπουδὴν ἐθέμεθα θεραπεῦσαι ὑμᾶς καὶ ἀσκανδαλίστους φυλάξαι, σαφῶς ἐπίστασθε· ἐπειδὴ δὲ δεῖ πάντα κανονικῶς καὶ μετὰ εὐταξίας γενέσθαι, συγχω-

O [= aerv], I
2 τάγει Orv ταγήτω Oa τάξον I 3 Λέοντα — διπτύχοις om. OrI 4/5 ὁ μὴ — ἄμβωνι OevΛ om. OarI 5 σου Oav 6 TVINCAS om. OavI, Oa spat. rel. 6/7 Ἰουστῖνος — φέρε om. OavI 8 τοῦ νέου — ἔτη om. OcΛ ἄρτι φέρε τὰ δίπτυχα Oc 9 οὕτως — φέρε om. Oav 9/10 οὕτως — φέρε om. OcΛ 10 ἐξέβαλον OacvI 12 ὑμῶν τὴν I 14 μέλλει Oerv 19 παραλεῦσαι Oa 21 ἐν² OrI σὺν OaevΛ 23 μεγάλη ἁγία Oaev 23/24 τρόπον ἢ λόγον OaevΛ 25 τηροῦντεσ OrI ἀμφιβάλητε Ov ἀμφιβάλετε Oa ἀμφιβάλλητε Oer ἀμφιβάλλετε I 27 φυλάττει Oarv 31/32 ἀδελφοὶ — ψυχή om. OrI 32 TVNBICAC Oe om. OavI spat. rel. Oa 33 ἀμάντην Or 34 ἀμάντην OrI τινὰ I 35 οὕτοσ Oa 36 αὐγούστασ Oav 37 αὐτῶν om. OavI

L V 185 ρήσατε ἡμῖν συναγαγεῖν τοὺς θεοφιλεστάτους ἐπισκόπους, ἐφ' ὧι τε κατὰ τοὺς θείους κανόνας πάντα προβῆναι γνώμηι καὶ κελεύσει τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως. τὰς γὰρ ἐκβοήσεις ὑμῶν πάσας ἀνοίσομεν ἐπὶ τὴν αὐτοῦ γαληνότητα.

Καὶ κλεισάντων αὐτῶν τὰς θύρας καὶ ἐπιμένοντων ταῖς αὐταῖς ἐκβοήσεσι λαβὼν τὰ δίπτυχα ὁ ἁγιώτατος καὶ μακαριώτατος ἀρχιεπίσκοπος καὶ οἰκουμενικὸς πατριάρχης 5
Ἰωάννης ἐκέλευσε ταγῆναι τὰς ἁγίας τέσσαρας συνόδους τῶν τε ἐν Νικαίαι συνελθόντων ἁγίων πατέρων καὶ τῶν ἐν Κωνσταντινουπόλει ὡσαύτως συναχθέντων ἐπὶ Νεκταρίου τοῦ τῆς ὁσίας μνήμης καὶ τῶν ἐν Ἐφέσωι ἐπὶ τῆι ἐκβολῆι Νεστορίου καὶ τῶν ἐν Χαλκηδόνι ἐπὶ τῆι ἐκβολῆι Εὐτυχοῦς καὶ τοῦ αὐτοῦ δυσσεβοῦς Νεστορίου καὶ τὰ ὀνόματα τῶν τελευτησάντων ἐν ὁσίαι τῆι μνήμηι γενομένων ἀρχιεπισκόπων ταύτης τῆς βασιλίδος 10
πόλεως Εὐφημίου καὶ Μακεδονίου καὶ μέντοι καὶ Λέοντος τοῦ γενομένου ἀρχιεπισκόπου Ῥώμης. τότε φωνῆι μεγάληι πάντες οἱ τοῦ λαοῦ ὡς ἐξ ἑνὸς στόματος ἐβόησαν
Luc. 1, 68 εὐλογητὸς κύριος ὁ θεὸς τοῦ Ἰσραήλ, ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῶι λαῶι αὐτοῦ, καὶ πάλιν δεύτερον ἔκραξαν εὐλογητὸς κύριος Ἰησοῦς ὁ βασιλεύς, ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῶι λαῶι αὐτοῦ. ἐπὶ πολλὴν δὲ 15
ὥραν ἀντιφωνούντων ἑκατέρων τῶν μερῶν καὶ ψαλλόντων τὴν ψαλμωιδίαν ταύτην, οἱ ψάλται ἐπετράπησαν ἀνελθόντες εἰπεῖν τὸ τρισάγιον καὶ αὐτῶν ἀρξαμένων πᾶς ὁ λαὸς ἐπαύσατο καὶ ὑπήκουσε τοῦ τρισαγίου. καὶ μετὰ τὴν ἀνάγνωσιν τοῦ ἁγίου εὐαγγελίου ἐξ ἔθους τῆς θείας λειτουργίας ἐπιτελουμένης καὶ τῶν θυρῶν κλεισθεισῶν καὶ τοῦ ἁγίου μαθήματος κατὰ τὸ σύνηθες λεχθέντος τῶι καιρῶι τῶν διπτύχων μετὰ πολλῆς 20
ἡσυχίας συνέδραμον ἅπαν τὸ πλῆθος κύκλωι τοῦ θυσιαστηρίου καὶ ἠκροῶντο καὶ μόνον ἐλέχθησαν αἱ προσηγορίαι τῶν εἰρημένων ἁγίων τεσσάρων συνόδων παρὰ τοῦ διακόνου καὶ τῶν ἐν ὁσίαι τῆι μνήμηι ἀρχιεπισκόπων Εὐφημίου καὶ Μακεδονίου καὶ Λέοντος, φωνῆι μεγάληι ἔκραξαν ἅπαντες· δόξα σοι κύριε. καὶ μετὰ τοῦτο μετὰ πάσης εὐταξίας ἐπληρώθη σὺν θεῶι ἡ θεία λειτουργία. 25

Ἐπιστολὴ Ἰωάννου τοῦ τῆς ὁσίας μνήμης ἀρχιεπισκόπου γενομένου τῆς βασιλευούσης ταύτης πόλεως καὶ οἰκουμενικοῦ πατριάρχου γραφεῖσα Ἰωάννηι τῶι τῆς ὁσίας μνήμης γενομένωι ἀρχιεπισκόπωι Ἱεροσολύμων καὶ πᾶσι τοῖς μὴ ἐνδημοῦσι τηνικαῦτα μητροπολίταις

28 Τοῖς συμψύχοις καὶ ὁμοδόξοις τὸν σύνδεσμον τῆς ἀγάπης ἐν εἰρήνηι Χριστὸς ὁ 30
θεὸς ἡμῶν ἄνωθεν δεδωκὼς κοινὰ καὶ τὰ παρ' αὐτῶν πραττόμενα εἶναι δικαιοῖ. ἐπεὶ τοίνυν θεία τις οὐρανόθεν γέγονε κίνησις τοῦ φιλοχρίστου λαοῦ τῆς βασιλίδος ταύτης πόλεως καὶ πάντα τὰ ἐκβοηθέντα παρ' αὐτοῦ καὶ προσφωνηθέντα παρ' ἐμοῦ δῆλα τῶι κόσμωι γεγένηται, ἀναγκαῖον ἐλογισάμην σημᾶναι τῆι σῆι θεοφιλείαι, ἵνα τῆι συνεργείαι τοῦ ἁγίου πνεύματος ταῦτα γνοῦσα ἐπισφραγίσηι τῶι λόγωι τῆς ἀληθείας, ἐπειδὴ 35
M VIII 1067 μάλιστα ἡ ἐνδημοῦσα ἁγία σύνοδος τῆι αἰτήσει παντὸς τοῦ μοναχικοῦ τάγματος ἐγγράφως τε ὥρισε καὶ ἅπερ ὥρισε τῆι σῆι ἁγιότητι διὰ τάχους ἐκπέμψαι ἐσπουδάσαμεν.

O [= aerv], I, P [inde a 26]

2 θεοφιλεστάτου I τὰσ O καὶ I 3 ἀνύσομεν O^{av} ἀνοίσωμεν I 4 αὐτῶν O^{r} 6 τὰσ ἁγίασ — συνόδουσ ταγῆναι O^{e} 14/15 καὶ πάλιν — αὐτοῦ O^{r}I om. O^{aev}Λ 17 ἐπετράπησαν O^{e}I ἐτράπησαν O^{arv} 20 λεχθέντοσ κατὰ τὸ σύνηθες O^{av} τῶ O^{er}I ἐν O^{av} πολλῆσ τῆσ O^{r} 21 συνέδραμεν O^{v}I μόνον O^{arv}I ὡσ μόνον O^{e}Λ 24 μεγάλη φωνῆ O^{e} 26 1 O^{a} in mg. Ἰωάννου OIΛ γραφεῖσα παρὰ Ἰωάννου P 27 ταύτησ om. I τὲ τῶ O^{e} 27/28 τῶι — γενομένωι om. I 28 γενομένου terminatione in ἀρχιεπισκό(π) non perscripta P τηνικαῦτα om. I 31 ἄνωθεν om. O^{r}Λ εἶναι om. P 33 τὰ om. O^{r} προσφωνηθέντα scripsi προσεκφωνηθέντα O^{av}P ἐκφωνηθέντα O^{er}I 34 συνεργία O^{ae} 35 ἐπισφραγίσει P 36 μοναδικοῦ O^{av}P

Ἄλλη ἐπιστολὴ τοῦ αὐτοῦ τῆς ἁγίας μνήμης οἰκουμενικοῦ πατριάρχου Ἰωάννου ἰδικὴ γραφεῖσα Ἐπιφανίωι τῶι τῆς θεοφιλοῦς μνήμης γενομένωι ἐπισκόπωι Τύρου 29

Ὁ πάντα πρὸς τὸ συμφέρον θεὸς ἄνωθεν οἰκονομῶν καὶ νῦν τὴν σὴν θεοσέβειαν Ps. 4, 1
ἐν θλίψει κατὰ τὸν προφήτην πλατυνθεῖσαν ἐπὶ τὴν στενὴν πύλην τῆς βασιλείας τῶν L V 188
οὐρανῶν ἀνέτως εἰσελεύσεσθαι παρεσκεύασεν. ἰδοὺ γὰρ τοῦ οὐρανίου κινήματος κατὰ Mt. 7, 13
τῶν ἀποστατῶν τῆς ἐκκλησίας πνεύματι θεοῦ γενομένου, ὅσοι μὲν ἀνάξιοι ὤφθησαν τῆς ἀχράντου ὑπηρεσίας τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, κρίματι αἰωνίωι ὑπεβλήθησαν· ὅσοι δὲ τῆς ὀρθοδόξου πίστεως ἐρασταὶ ἐφάνησαν, πολλῶι μᾶλλον διὰ τῆς τοιαύτης κινήσεως ἐλαμπρύνθησαν. τοιγαροῦν τῆς ἐνδημούσης ἁγίας συνόδου τῆι φιλοχρίστωι καὶ βασιλίδι πόλει ἐκ διαφόρων ἐπαρχιῶν δῆλα ποιησάσης τὰ πραχθέντα κατὰ τῶν ἐχθρῶν τῆς ἀληθείας πᾶσι τοῖς ὑφ' ἡμᾶς ἀναγκαῖον ἔκρινα καὶ τῆι σῆι πεμφθῆναι θεοφιλείαι, ἵνα τὰ παρ' αὐτῶν καὶ δι' αὐτῶν τυπωθέντα ἀναγνοὺς καὶ γνούς, ὁσιώτατε, σύμψηφος καὶ ὁμόψυχος ἔσηι καὶ κἂν ὀψέ ποτε τῶν κυκλωσάντων σε ἐχθρῶν λυτρωθείης. ἅπαντα τοίνυν τὰ πεπραγμένα κατὰ τῶν ἐχθρῶν τῆς ἀληθείας δῆλα ποιῆσαι τοῖς ὁμοδόξοις εὐλαβέστατοις συλλειτουργοῖς καὶ μοναχοῖς καὶ φιλοχρίστοις λαοῖς, καθὼς ἂν συνίδηις, σπούδασον, θεοφιλέστατε.

Ἀντίγραφον Ἰωάννου Ἱεροσολύμων καὶ τῶν ὑπ' αὐτὸν ἐπισκόπων πρὸς Ἰωάννην τὸν Κωνσταντινουπόλεως

Τῶι δεσπότηι μου τῶι θεοφιλεστάτωι καὶ ὁσιωτάτωι συλλειτουργῶι Ἰωάννηι 30
καὶ τῆι ἐνδημούσηι κατὰ τὴν φιλόχριστον Κωνσταντινούπολιν ἁγίαι συνόδωι Ἰωάννης 20
ἐλέει θεοῦ ἐπίσκοπος Ἱεροσολύμων καὶ ἡ κατὰ τὰς τρεῖς Παλαιστίνας τελοῦσα ὑπὸ τοὺς ἁγίους Χριστοῦ τοῦ ἐπὶ πάντων θεοῦ τόπους ἁγία σύνοδος ἐν κυρίωι χαίρειν. Ἐπειδὴ διπλῆ τίς ἐστιν ἡ τῶν δακρύων κίνησις, ἡ μὲν πρὸς ὀδύνην φέρουσα, ἡ δὲ πρὸς εὐφροσύνην (Ἰωσὴφ γὰρ ὁ πατριάρχης ἀναγνωριζόμενος τοῖς ἀδελφοῖς μεγάλα ἐξ εὐ- Gen. 45, 2
θυμίας ἐδάκρυσε καὶ Παῦλός φησι τὸ σκεῦος τῆς ἐκλογῆς ὅτι ἡ τοῦ κόσμου λύπη Act. 9, 15
θάνατον κατεργάζεται, ἡ δὲ κατὰ θεὸν σωτηρίαν), ἐντυχόντες οὐκ ἀδακρυτὶ τοῖς ἐπιστα- 2 Cor. 7, 10
λεῖσι παρὰ τῆς ὑμετέρας ἁγιωσύνης καὶ πραχθεῖσι θυμηδίας ἐπλήσθημεν, ὥστε ἂν ἡμᾶς 27
εἰπεῖν μετὰ τοῦ μεγάλου προφήτου Δαυίδ· εὐφράνθημεν ἐπὶ τοῖς εἰρηκόσιν ἡμῖν, εἰς Ps. 121, 1
οἶκον κυρίου πορευσόμεθα, καὶ αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου, Ps. 76, 11
καὶ ἐξομολογεῖθε τῶι θεῶι τῶν θεῶν τῶι ποιήσαντι θαυμάσια μεγάλα Ps. 135, 2. 5
μόνωι, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ καὶ τίς λαλήσει τὰς δυναστείας Ps. 105, 2
τοῦ κυρίου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ; ἰδοὺ γὰρ ὁ θεός φησι 1 Reg. 3, 11
διὰ τοῦ Σαμουὴλ ποιῶ τὰ ἔργα μου ἐν Ἱερουσαλήμ, ὥστε παντὸς ἀκούοντος M VIII 1070
ἠχῆσαι ἀμφότερα τὰ ὦτα αὐτοῦ. ταῦτα καὶ ἐπὶ τῶν χρόνων τῶν ἡμετέρων 34
ἔργωι προῆλθε. τὸ γὰρ βδέλυγμα τῆς ἐρημώσεως, τὸ τέρας τὸ ἀνερυθρίαστον, Σεβῆρον φαμὲν τὸν ἀδικίαν εἰς τὸ ὕψος λαλήσαντα διὰ τῶν βλασφήμων αὐτοῦ λόγων Ps. 72, 8
τῶν κατὰ τῆς ἁγίας μεγάλης καὶ οἰκουμενικῆς συνόδου τῆς ἐν Χαλκηδόνι λεχθέντων, οὐδὲ τὴν ἀρχὴν γινωσκόμενον ἡμῖν οὐδὲ ὅστις εἴη, τὸν τῆς Ἀντιοχέων ἀδίκως καὶ τυραν-

---

O [= aerv], IP

1 ιᾱ O^a in mg. Ἰωάννου om. $O^{av}P$ 2 γενομένωι om. I 3 ια′ O^v in mg. θεοφίλειαν $O^{av}P$ 11 πᾶσι — ἡμᾶς I πάσηι τῆι ἐφ' ἡμῶν OP om. Λ 13 σύμψηφος O^{el}I σύμψυχος O^{arv}P 14 λυτρωθείης — ἐχθρῶν om. I λυτρωθείης] ὰ desunt II litterae θείης O^r 16 συνίδοις O^{rv} 17 ιβ′ O^v in mg. ἀντίγραφα I 19 ιβ̄ O^a in mg. 20 φιλόχριστον om. O^rI 21 ἐλέω O^{er}I 22 τοῦ χῡ τοῦ O^r 26/27 ἀποσταλεῖσι O^rI 27 ἡμᾶς om. O^a 33 ιηλ O^eΛ 34 αὐτοῦ om. O^a χρόνων O^{aev}IPΛ ἔργων O^r 35 βδέλλυγμα O^e 37 μεγάλης] μεγάλησ ἐκκλησίασ O^r χαλκηδώνη P 38 τὸν] τῶν P

νικῶς καὶ παρὰ πάντα ἐκκλησιαστικὸν κανόνα ὑφαρπάσαντα θρόνον, τὸν κατὰ τὸν
Act. 21, 38 Αἰγύπτιον ἐκεῖνον τὸν ἐν ταῖς Πράξεσιν ἀναστατώσαντα καὶ ἐξαγαγόντα εἰς τὴν ἔρημον
τοὺς σικαρίους ἀναθέματι ὑποβέβληκε καὶ ἀλλότριον παντὸς ἱερατικοῦ συλλόγου καὶ
L V 189 ἀξίας καὶ πράγματος πεποίηκε διὰ τῆς ὑμετέρας μισοπονήρου ἁγιωσύνης. ὁ γὰρ
Ier. 1, 10 παρεσχηκὼς Ἱερεμίαι τῶι προφήτηι τὸ ἀνοικοδομεῖν καὶ κατασκάπτειν καὶ ἐκριζοῦν
Mt. 16, 19 καὶ καταφυτεύειν καὶ Πέτρωι τῶι κορυφαίωι τῶν ἀποστόλων τὸ λύειν καὶ δεσμεῖν, καὶ
τῆι κοινῆι τοῦτο ἐφιλοτιμήσατο ἱερωσύνηι. τοὺς μὲν οὖν θεοφιλεστάτους καὶ ὁσιω-
τάτους μοναχοὺς τοὺς ὑπὸ τὴν μεγάλην ἐκείνην καὶ βασιλίδα πόλιν οἰκοῦντας, οὐ μὴν
ἀλλὰ καὶ τὸν φιλόχριστον ταύτης λαὸν τοῦ κατὰ θεὸν ζήλου ἐμακαρίσαμεν καὶ ὅτι μέχρι
θανάτου διανέστησαν, ὥστε τὸν λύκον τῆς Ἀντιοχέων τῆς νομῆς ἀπελάσαι τῶν προ-
Num, 22, 6. βάτων τὸν λαθόντα ἑαυτὸν καὶ μείζοσιν ἐγχειρήσαντα ἢ κατ' αὐτὸν καὶ κατὰ τὸν Βαλὰκ
12 ἐκεῖνον ἀράσασθαι πειραθέντα ὃν οὐκ ἀρᾶται ὁ κύριος. τοιγαροῦν εἰς κεφαλὴν αὐτοῦ
τὰ τῆς ἀρᾶς πάντα ἐκβέβηκε καὶ ηὐλόγηται ὁ νοητὸς Ἰσραὴλ καὶ ἀπώλετο μὲν ὁ Βαλάκ,
τὸν ὅμοιον δὲ τρόπον καὶ Βαλαὰμ ὁ μάντις τἀπίχειρα τῶν αὐτοῦ πράξεων ἐδέξατο καὶ ἀνα-
Mt. 25, 26 τεθεμάτισται καὶ τὴν ἐκεῖσε περιμένει μετὰ τοῦ δούλου τοῦ ὀκνηροῦ καὶ πονηροῦ ποινήν.
ἀλλὰ ταῦτα μὲν ἐκεῖνοι· ἡμεῖς δὲ τοῖς πραχθεῖσι καὶ ἐπισταλεῖσι παρὰ τῆς ὑμετέρας ἁγιω-
σύνης ὁμόφρονες καὶ ὁμόψυχοι τυγχάνομεν καὶ ἀναθεματίζομεν πᾶσαν αἵρεσιν καὶ
Νεστόριον τὸν ἀνθρωπολάτρην καὶ Εὐτυχέα τὸν ματαιόφρονα καὶ τὸν Μάνην καὶ Σεβῆρον
τὸν ἀλιτήριον, οὐ μὴν ἀλλὰ καὶ τὰ τούτου συγγράμματα, ἐν ταῖς ἑαυτῶν διανοίαις ἔχοντες
καὶ ἀσπαζόμενοι τὰς τέσσαρας ἁγίας συνόδους, τήν τε τῶν τιη τῶν ἐν Νικαίαι συναχθέντων
κατὰ Ἀρείου τοῦ δυσωνύμου τῶν ἐκθεμένων τὸ ἅγιον σύμβολον, εἰς ὃ ἐβαπτίσθημεν καὶ
βαπτίζομεν, καὶ τὴν τῶν ρν̄ τῶν ἐν Κωνσταντινουπόλει κατὰ Μακεδονίου τοῦ πνευματο-
μάχου τῶν τὸ εἰρημένον ἅγιον σύμβολον βεβαιωσάντων καὶ τὴν τῶν διακοσίων τῶν
ἐν Ἐφέσωι τῶν καθελόντων Νεστόριον τὸν ἀνθρωπολάτρην, τὸ δὲ αὐτὸ ἅγιον σύμ-
βολον περιπτυξαμένων, καὶ τὴν μεγάλην καὶ οἰκουμενικὴν σύνοδον τῶν χλ̄, φαμὲν τῶν
ἐν Χαλκηδόνι συνελθόντων καὶ βεβαιωσάντων καὶ κρατυνάντων τὸ αὐτὸ ἅγιον σύμβολον,
ἐπισφραγισάντων δὲ τὰ κατὰ Νεστορίου τοῦ ἀνθρωπολάτρου καὶ ἀποβαλόντων Εὐτυχέα
τὸν ματαιόφρονα, δεχόμενοι καὶ τὰς θεοφράστους ἐπιστολὰς τοῦ τῆς ὁσίας καὶ θεοφιλοῦς
μνήμης Λέοντος τοῦ γενομένου τῆς Ῥωμαίων ἀρχιεπισκόπου καὶ πατριάρχου. συν-
ευφραινόμενοι τοίνυν ἐπὶ τούτοις τῆι ὑμετέραι ἁγιωσύνηι καὶ συναινοῦντες τοῖς παρ'
ὑμῶν ἐπισταλεῖσι καὶ πραχθεῖσι καὶ κοινωνικοὶ ὄντες ὑμῖν, τὸ προφητικὸν ἐκεῖνο λέγομεν
M VIII 1071 Naum 1, 15 λόγιον· ἑόρταζε, Ἰούδα, τὰς ἑορτάς σου, ἀπόδος τῶι κυρίωι τὰς εὐχάς
σου, διότι οὐ μὴ προσθῆις τοῦ εἶναι εἰς παλαίωσιν. καὶ ἡμῖν οὖν τὰ
αὐτὰ ταῦτα συνεύχεσθε, ἁγιώτατοι (κοινὰ γὰρ τὰ τῶν ἱερέων), καὶ τὴν ἁγίαν καὶ δε-
δοξασμένην παρθένον καὶ θεοτόκον Μαρίαν σὺν ἡμῖν ἱκετεύσατε πρεσβείαν ποιήσασθαι
ὑπὲρ τῆς εἰρήνης τῶν ἁγιωτάτων ἐκκλησιῶν καὶ νίκης καὶ διαμονῆς τοῦ εὐσεβεστάτου
καὶ γαληνοτάτου ἡμῶν βασιλέως.

O [= acrv], IP

1 πάντα I τὸν OP *ecclesiasticos canones* Λ 4 μισσοπονήρου P 5 ἐκρι O^{r} 6 τὸ] τῶ P 7 τούτω O^{r} 11 ἐγχειρίσαντα O^{r} βαλαὰκ P 13 νοητὸσ OPΛ νέος I 14/15 ἀναθεμάτισται O^{r} 16 ἡμετέρασ P 17 ὁμόψυχοι O^{arv}IP ὁμόψηφοι O^{e}Λ 18 μόρην P 20 τιῆ O^{arv}I τριακοσίων δεκαοκτῶ P τιῆ ἁγίων πρῶν O^{e}Λ συνελθόντων I 21 δυσ-σωνύμου P 22 τοῦ μακεδονίου O^{r} εὐνομίου O^{e}Λ 23—25 βεβαιωσάντων — σύμβολον om. I 26 χαλκηδώνη P καὶ κρατυνάντων om. O^{arv}P 27 ἀποβαλλόντων O^{r}I 28 καὶ θεοφιλοῦς om. O^{r} 31 κοινωνοὶ I 34 ταῦτα om. P 35 ποιήσασθε O^{rv}P 36/37 τῶν εὐσεβεστάτων καὶ γαληνοτάτων ἡμῶν βασιλέων I

Ὑπογραφαί

1 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος τῆς Καισαρέων ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

2 Θεοδόσιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Σκυθοπολιτῶν ἐρρῶσθαί με καὶ τῶι κυρίωι L V 192 εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

3 Ζηνόβιος ἐλέει θεοῦ ἐπισκόπος Ἰαμνίας ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι: —

4 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος Τιβεριάδος ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι: —

5 Πολυχρόνιος ἐλέει θεοῦ ἐπίσκοπος Ἀρεοπόλεως ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι: —

6 Προκόπιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Νεαπολιτῶν ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

7 Εὐστάθιος ἐλέει θεοῦ ἐπίσκοπος Ἀνθηδόνος ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι: —

8 Στέφανος ἐλέει θεοῦ ἐπίσκοπος τοῦ Μαιουμᾶ Ἀσκάλωνος ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

9 Πέτρος ἐλέει θεοῦ ἐπίσκοπος Ἐλούσης ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

10 Μαρκελλῖνος ἐπίσκοπος Νεοκαισαρείας ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

11 Γρηγόριος ἐπίσκοπος Ἐλευθεροπόλεως ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

12 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος Ἱεριχούντων ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

13 Ἀντώνιος ἐπίσκοπος τῆς Ἀσκάλωνος ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι: —

14 Ἰωάννης ἐπίσκοπος Μονοίδος ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

15 Παῦλος ἐλέει θεοῦ ἐπίσκοπος Πέλλης ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

16 Ἄλφιος ἐλέει θεοῦ ἐπίσκοπος Συκομαζόνος ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

17 Βάσσης ἐλέει θεοῦ ἐπίσκοπος Καπετωλιάδος ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

18 Προκόπιος ἐλέει θεοῦ ἐπίσκοπος Μαιουμᾶ Γάζης ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

19 Ἰσίδωρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ζωορηνῶν ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

O [= aerv], 1P

1 αἱ ὑπογραφαί O^a om. O^rI 2 ἐλέω O^rI inde a 4 usque ad p. 80, 29 ἐλέει θεοῦ semper om. $O^eΛ$ 4. 6 ἐλέω I inde a 4 usque ad p. 80, 29 post ἐρρῶσθαι με καὶ nihil habet nisi τὰ λοιπὰ $O^eΛ$ 5 δεσπόται I δεσπόται καὶ $O^{rv}P$ om. O^a 6 Ἰαμνίασ $O^{aev}PΛ$ Ἰαμνείασ [Ἰαμνίασ O^r] καὶ οἱ λοιποὶ [λοιποὶ ἐρρῶσθαι ἡμᾶσ καὶ τῶ κῶ εὐαρεστεῖν εὔχεσθε δεσπόται θεοφιλέστατοι I] O^rI 8—80, 30 om. O^rI 10 ἀρεωπόλεωσ O^e 12. 13 post 14. 15 coll. $O^eΛ$ 16 μαιουμᾶ O^a μαϊαμᾶ O^vP μαῖμᾶ O^e 20 Νεοκαισαρείας] uitium antiquum pro Διοκαισαρείας 26 ἀντωνῖνοσ O^{ev} 30 πέλησ O^a 32 ἀλφειὸσ O^e 34 βάσσοσ O^e 36 μαιουμᾶ O^{ae} μαϊμᾶ O^vP με om. O^a 38 τῆς om. $O^{av}P^1Λ$ ζωωρηνῶν $O^{av}P$

20 Οὐάλης ἐλέει θεοῦ ἐπίσκοπος τῶν Παρεμβολῶν ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

21 Πέτρος ἐλέει θεοῦ ἐπίσκοπος Φαινοῦς ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

22 Ἐπιφάνιος ἐλέει θεοῦ ἐπίσκοπος Ῥαφίας ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

M VIII 1074 23 Ἠλίας ἐλέει θεοῦ ἐπίσκοπος Ἰόππης ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

24 PRESTVTVS ἐPÍSCOPOS TV AGÍν ŌRVS THABÒR ERROSTHAE ME καὶ τὰ λοιπὰ διὰ Ῥωμαικῶν γραμμάτων: —

25 Προκόπιος ἐπίσκοπος Ἀμαθούντων ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

26 Σολομὼν ἐλέει θεοῦ ἐπίσκοπος Ἀβίλης ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

27 Κόνων ἐλέει θεοῦ ἐπίσκοπος Ἵππων ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

28 Λεόντιος ἐλέει θεοῦ ἐπίσκοπος Σωζούσης ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλεστατοι καὶ ὁσιώτατοι πατέρες: —

29 Ἀμβρίλλιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Γαζαίων ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

30 Στέφανος ἐλέει θεοῦ ἐπίσκοπος Ὁράων ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

31 Μέγας ἐλέει θεοῦ ἐπίσκοπος τῆς Μαξιμιανουπολιτῶν ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

32 Γρηγόριος ἐλέει θεοῦ ἐπίσκοπος Βακάθας ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

33 Βαρώχιος ἐλέει θεοῦ ἐπίσκοπος Δώρων ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

L V 193 34 Ἀπολλώνιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Διοσπολιτῶν ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

Ἐπιστολὴ Ἐπιφανίου ἐπισκόπου Τύρου καὶ τῶν ὑπ' αὐτὸν πρὸς τὴν ἐνδημοῦσαν ἐν Κωνσταντινουπόλει σύνοδον

31 Τοῖς πάντα θεοφιλεστάτοις καὶ ὁσιωτάτοις ἀδελφοῖς καὶ συλλειτουργοῖς Θεοφίλωι Βασιλίσκωι Μαρκιανῶι καὶ πάσηι τῆι ἐνδημούσηι κατὰ τὴν βασιλίδα καὶ φιλόχριστον πόλιν θεοῦ χάριτι ἁγίαι συνόδωι Ἐπιφάνιος καὶ οἱ ὑπ' αὐτὸν ἐπίσκοποι ἐν κυρίωι χαίρειν. Εὐλογητὸς ὁ θεὸς ὁ τῆς εἰρήνης κύριος, ὃς ἐπέστησεν ἡμῖν τὸ τίμιον γράμμα τῆς ὑμῶν ἁγιωσύνης οὕτω πανταχόθεν διαλάμπον περί τε τὸν πνευματικὸν ζῆλον καὶ τοὺς ὑπὲρ τῆς ἀληθείας ἀγῶνας καὶ περὶ τὸ κήρυγμα τῆς ὀρθοδόξου πίστεως, ἃ δεῖ πάντα λαβεῖν ἐν αὐτῶι συνηγμένα πρὸς θεμέλιον καὶ βάθρον ἀρραγὲς τῆς εἰρήνης τῶν ἁγιωτάτων ἐκκλησιῶν καὶ τῶν ἐν αὐταῖς ἀρχιερέων καὶ τῶν ἐν ἑκάστηι πόλει πιστῶν καὶ τὴν ὀρθὴν

O [ac, r (inde a 31), v], I [inde a 31], P

3 φενοῦσ OP 9. 10 om. $O^{av}PΛ$ 9 PRESTVTVS suspectum, sed emendatio incerta TIAIBÒR O^{e} ἐRKOSTIAE O^{e} 13 ἀβέλησ O^{e} 15. 16 post 17. 18 coll. $O^{a}Λ$ 19 κυρίλιοσ O^{e} *Cyrillus* Λ τῆς om. O^{e} 24 εὔχεσθε om. O^{v} 29 ἀπωλώνιοσ I^{p} διοπολιτῶν $O^{v}I^{p}$ 31 ἐνδημοῦσαν om. IΛ 32 σύνοδον om. $O^{av}I^{p}$ 33 ιγ O^{a} in mg., inser. O^{v} πάντα om. I^{p} 34 μαρκιανῶ βασιλίσκω $O^{av}I^{p}$ 37 διαλάμπων O^{v} 40 ἐν^{a} $O^{r}I$ om. $O^{ae}vP Λ$

ὁμολογίαν περιπτυσσομένων, ὅσην δὲ ποιεῖται καὶ τῶν θείων κανόνων ἐπιμέλειαν ἐξ ὧν τὸν κατ' οὐδένα τρόπον ἢ χρόνον ἀσπασάμενον τὴν πρὸς τὴν ἁγίαν καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν κοινωνίαν ἢ τὴν ὀρθόδοξον τιμήσαντα πίστιν, τῶι δὲ θρόνωι τῆς Ἀντιοχέων ἀποστολικῆς ἐκκλησίας ἐπιπηδήσαντα τυραννικῶς ἀναθέματι προσήλωσε γυμνὸν εἶναι ἀποφηνάμενον παντὸς πράγματος ὀνόματος ἀξίας ἐνεργείας Χριστιανῶι ἢ ἱερατικῶι ἁρμοζούσης ἢ ἁρμόσαι δυναμένης καὶ ἀλλότριον τῆς θείας κοινωνίας κατὰ τοὺς θείους κανόνας αὐτὸν καταστῆσαν. καὶ γὰρ ἦν ἀκόλουθον συνέπεσθαι τῆι τῶν ἀχράντων εὐαγγελίων θείαι διδασκαλίαι καθ' ἣν φησιν ὁ κύριος τοὺς δοκοῦντας ἐν ἑαυτοῖς ἔχειν τι καὶ τούτου πάντως ἀφαιρεῖσθαι καὶ τοῖς ἔχουσιν ἐκ δικαιοσύνης προστίθεσθαι. τῆς οὖν δικαίας ἐξ ὑμῶν κατακρίσεως ἐπάξιος ὤφθη Σεβῆρος ὁ δυσσεβὴς πρὸς βλασφημίαν ἅμα καὶ συκοφαντίαν ὀξύνας ἣν ἔχει γλῶτταν κατὰ τῆς μεγάλης καὶ οἰκουμενικῆς συνόδου τῆς ἐν Χαλκηδόνι συνελθούσης καὶ δικαιῶν ἑαυτὸν ἐξ ἀσεβοῦς φρονήματος καὶ πονηρᾶς προαιρέσεως. ἀλλ' ἡ τοῦ δεσπότου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ δύναμις τοῦ τῆς ἐκκλησίας λειμῶνος αὐτὸν ἐξήλασε δικαίαι ψήφωι τῆς ἐν ὑμῖν τοῖς θεοφιλέσι διαλαμψάσης πνευματικῆς χάριτος, πρὸς ἣν συγκατατιθέμενοι σύμψηφοι γινόμεθα τοὺς αὐτοὺς δεσμοὺς ἐπιφέροντες ἐπ' ἐκεῖνον, οὓς καὶ τὸ τίμιον γράμμα τῆς ὑμετέρας ὁσιότητος ἐπάγει κανονικῶς. τίς γὰρ ἀρκέσει λόγος εἰς ἀπαρίθμησιν ὧν ἐκεῖνος ἐξήμαρτεν εἰς ἐναντίωσιν τῶν θείων κανόνων καὶ τῆς ἐκκλησιαστικῆς εὐταξίας τὴν ὀφρὺν ἀνασπάσας εἰς ἀλαζονείαν καὶ κομπὸς ἐν τοῖς ἀναθέμασι φαινόμενος ἐν ὁμιλίαις καὶ συγγράμμασιν ἀσεβέσι κατὰ τῶν ἁγίων πατέρων, τὸ δέ γε ἀληθέστερον κατ' αὐτῆς τῆς πνευματικῆς διδασκαλίας τῶν θεσπεσίων ἀποστόλων αὐτὸς καθ' ἑαυτοῦ πρὸς ἔλεγχον καθιστάμενος ἐν ἅπασιν οἷς γέγραφε ματαίοις λόγοις. καὶ γὰρ προσήκει τοὺς ἐγκειμένους αἱρέσει δυσσεβεῖ καὶ τὸν νοῦν τεταράχθαι καὶ μηδὲ διαρκεῖν ἄχρι παντὸς συγκαλύπτειν ὅπερ ἔχουσι νόσημα κατεσθίον αὐτῶν τὴν διάνοιαν. ἀλλ' οὐκ ἦν οὕτως τολμηρός, ὥστε καὶ δεσμὸν ἐπιθεῖναι ἐξ αὐθεντίας χωρίζοντα τῆς θείας κοινωνίας κληρικοὺς ἄλλων πόλεων, μηδὲ γνώμης μηδὲ συναινέσεως μετέχων τῶν αὐτῶν ἐπισκόπων; τί δέ; οὐ τεθάρρηκε τοὺς καταδεδεμένους κανονικῶς ἀλλοτρίους κληρικοὺς ἐκ τῶν οἰκείων ἐπισκοπῶν προσρυέντας αὐτῶι καὶ τὸ ψυχοφθόρον ὑπαλειφθέντας παρ' αὐτοῦ κήρυγμα προσειληφέναι πρὸς τὴν ἑαυτοῦ κοινωνίαν καὶ δίχα τῆς παρὰ τοῦ καταδήσαντος ἀφέσεως ἐπιτρέψαι ταῖς ἐκκλησιαστικαῖς λειτουργίαις ὑπηρετεῖν; ἑκάτερον δὲ τούτων πέπραχε κατὰ τὴν Τυρίων. ἀλλ' οὐ τοὺς μετειληφότας ἀξίας πρεσβυτέρων ἀντιτιθέντας μὲν αὐτῶι τὴν ἀρχὴν κενοφωνοῦντι τὴν ἀσεβῆ διδασκαλίαν, ὕστερον δὲ συμπεσόντας αὐτῶι παρεσκεύασεν ἐν τῶι σχήματι τῆς διακονίας λειτουργεῖν, ἀθέσμως αὐτοὺς τῆς τῶν πρεσβυτέρων τιμῆς ἀφελόμενος, ἐπειδὴ μὴ τότε τὸν αὐτοὺς χειροτονήσαντα σκελίσας ἦν συγκαταθέσθαι ταῖς ἀσεβέσιν αὐτοῦ διδασκαλίαις, καὶ προφάσει τούτου τὴν ἐπιτεθεῖσαν παρ' αὐτοῦ χειροτονίαν ἐξελόμενος; ὃ δὴ γεγένηται παρ' αὐτοῦ κατὰ τὴν Ἀρκηνῶν. πρὸς δὲ τούτοις οὐκ ἦν ἐπεκτείνων τὰ τῆς αὐτοῦ θρασύτητος καὶ παραχαράττων τοὺς θείους κανόνας, ἐν ἀλλοτρίαις παροικίαις προχειριζόμενος ποτὲ μὲν χωρεπισκόπους, ἄλλοτε δὲ παραμοναρίους, πιστεύων ἱκανῶς ἔχειν ἀπομάχεσθαι καὶ διαλύειν τὰ παρὰ τῶν θείων κανόνων ὡρισμένα δίκαια τοῖς

cf. p. 64, 24—26

Mt. 13, 12. 25, 29

M VIII 1075

L V 196

O [= aervv], IP

2 χρόνον ἢ τρόπον I 5 αἱρετικῶ Oe 7 αὐτῶν OvP 8 κσ OPΛ χσ I 9 τοῦ Oarv11' τοῦτο OeΛ 10 ἐπαξίωσ Oe 11 τῆσ ἁγίασ OeΛ 12 χαλκηδώνη 1' αὐτὸν Oav1' 14 ἐξέλασε Or 15 συγκατατιθέμεθα OavP σύμψηφοι I καὶ σύμψηφοι O1'Λ 17 κοινωνικῶσ Oav1' ἀπαρίθμισιν Or ἥμαρτεν Oe 19 κόμποσ OaevPΛ [*faustus* i. e. fastus] κομψὸσ OrI 21 ἑαυτοῦ I ἑαυτὸν O1' 24/25 ἐξ αὐθεντίας ἐπιθεῖναι Oaev1' 26 μετέχων τῶν Oarv11' μετεχόντων Oe 27 ἐπισκοπῶν I ἐπισκόπων O1' 28 τὸ OarvII' πρὸσ τὸ Oe προσειληφέναι OrI προσληφθέντασ OaevΛ προσλειφθέντασ 1' 30 λειτουργίαισ om. Or πέπρακε Oa ἀλλ' οὐ Oarv11' ἀλλά καὶ OeΛ 35 καὶ om. 1Λ 38 πιστεύειν Or

ἐπισκόποις; τούτων εἰς μαρτυρίαν ἔστι λαβεῖν τὴν Τριπολιτῶν καὶ πάλιν τὴν Ἀρκηνῶν. φαίνεται δὲ τολμήσας ἐπιτρέψαι χειροτονεῖν ἐπισκόπωι κατὰ τὴν ἐνορίαν ἑτέρας πόλεως, ἧς ἔτι περιῆν ὁ ταύτης ἐπισκοπῶν· ὑπουργὸς δ' ἐγεγόνει τούτωι Στέφανος ὁ τῆς Ὀρθωσιέων ἐπίσκοπος τολμήσας χειροτονίαν ἐπιθεῖναι κατὰ τὴν ἐνορίαν τῆς Ἀνταραδέων ἔτι περιόντος Θεοδοσίου τοῦ τῆς θεοφιλοῦς μνήμης ἐπισκοπήσαντος τὴν εἰρημένην πόλιν. τί δ' ἂν φαίημεν καὶ πρὸς τὸ διαβοηθὲν καθ' ὅλον ὡς εἰπεῖν τὸν κύκλον τῆς γῆς, εἶγε ἄρα πρὸς ἀλήθειάν ἐστιν, ὅτι περιείλετο τὴν αὐτῶι δεδομένην χειροτονίαν πρεσβυτέρου παρὰ τῶν σχισματικῶν ἐξ ἑτέρων πάλιν αὐτὸς μετασχεῖν τῆς χειροτονίας; τὸ δὲ πέπραχεν ἐν
M VIII 1078 σπουδῆι κατεπειγόμενος δράξασθαι τοῦ λογικοῦ ποιμνίου τῆς Ἀντιόχου καὶ πάσης ἄλλης ἐκκλησίας ὀρθοδόξου καὶ μεταγαγεῖν ἐπ' ἀπωλείαι τῆι βδελυκτῆι καὶ μυσαρᾶι φωνῆι φερούσηι σκώληκας ἐξ ὧν αὐτὸς ἐθησαύρισε καθ' ἑαυτοῦ μηδὲν ὑγιὲς ἢ γοῦν ὀρθὸν πρὸς τὴν ὀρθόδοξον πίστιν φθεγγόμενος. ἀλλ' ἔστι τῶν ἐσπιλωμένων αὐτῶι πράξεων καὶ πρὸς τοὺς ἐρανισθέντας παρ' αὐτοῦ τὸ φιλότιμον, διπλῆς ἐντεῦθεν ἐξυφαινομένης τῆς ἁμαρτίας καὶ πρὸς τὴν χείρω κατάκρισιν αὐτὸν περιιστώσης. πρῶτον μὲν γὰρ ἡ συλλογὴ τοῦ χρυσίου τῶν ἐκκλησιαστικῶν πραγμάτων τῆς Ἀντιόχου λυμαινομένων καὶ σπαθωμένων καὶ πρὸς ἀνίατον ἐπανόρθωσιν καθισταμένων ἐγίνετο· δεύτερον ὅτι τοῖς ἐκ τῶν ἐράνων σιτιζομένοις ἐπετάττετο πᾶσαν ἐξανιστᾶν ταραχὴν καὶ πάντα θόρυβον διασκεδάζειν ἔν τε ταῖς τῶν πόλεων ἐκκλησίαις καὶ τοῖς ἐγκεκλεισμένοις ἐν μοναστηρίοις, καὶ σπέρματα σχισμάτων διερραίνετο παρ' αὐτῶν. πρὸς ὃ δὴ λαβεῖν ἔστιν ἐναργῶς ἀπομαχόμενον αὐτὸν καὶ ταῖς προσφωνητικαῖς ἐν τοῖς ἀχράντοις εὐαγγελίοις θείαις διδασκαλίαις τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ κηρύττοντος
L V 197 μὲν αὐτοῦ τὴν εἰρήνην καὶ ταύτην ἐπιζητεῖν, τὰ σκάνδαλα δὲ βδελύττεσθαι καὶ τὸν τούτων
Mt. 18, 7 αἴτιον εἰς αἵρεσιν βαλεῖν τοῦ καταδῆσαι πρὸς τῶι τραχήλωι λίθον μυλίτην καὶ βυθίσαι κατὰ τὸ γραφικὸν ἑαυτόν. ἀλλὰ ταῦτα μὲν ἐράσμια Σεβήρωι τῶι δυσσεβεῖ, τὸ δὲ τῆς εἰρήνης χρῆμα παντελῶς ἀποφεύγει. καὶ τὸ μὲν καθ' ἕκαστον εἰ διεξελθεῖν πειραθείημεν, ἀτελεύτητος ἡμῖν ὁ λόγος ἔσται· πλὴν ταῦτα καταλέξαντες καὶ τὸ πλῆθος τῶν παραλελειμμένων ἄλλοις ἀφηγεῖσθαι συγχωρήσαντες, καθάπερ εἰρήκαμεν, ὁμόφρονες ὑμῖν τοῖς θεοφιλέσι γεγόναμεν ἐφάπαξ τοῖς ἐπιτιμίοις οἷς αὐτὸν εἰκότως κατεδήσατε, ἐπιτεθείκαμεν δὲ τὸν ἴσον ὅρον καθελόντες καὶ ἀναθέματι καταδήσαντες καὶ Ἰωάννην τινὰ παραμονάριον κατὰ τὸν πάνσεπτον οἶκον τῆς ἁγίας ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας τὸν διακείμενον κατὰ τὴν Τυρίων περιφανῆ μητρόπολιν, εὑρηκότες αὐτὸν ἐν ὑποκρίσει καὶ κατὰ δόλον ἡμῖν συλλειτουργήσαντα καὶ τῆς θείας μετασχόντα κοινωνίας, ἐξ ὧν τοῦτο δὴ πράττων καὶ συλλειτουργὸς ἡμῶν τυγχάνων κατὰ τὸ λεληθὸς τοῖς σχισματικοῖς διαλεγόμενος ἀμέσως ἔδραμεν ἑκοντὶ κατὰ τὴν Ἀντιόχου καὶ Σεβήρωι τῶι δυσσεβεῖ προσρίψας ἑαυτὸν ἀπέστη μὲν τῆς ὀρθοδόξου πίστεως, ἐκείνωι δὲ συνεκοινώνησε περί τε τὸ δαιμονιῶδες αὐτοῦ φρόνημα καὶ τοὺς ἀσεβεῖς ἀναθεματισμοὺς κατὰ τῶν ἁγίων ἡμῶν πατέρων καὶ τῆς τιμίας ἐπιστολῆς τοῦ τῆς ὁσίας μνήμης Λέοντος τοῦ τῆς Ῥωμαίων γενομένου ἀρχιεπισκόπου, οἰκείαι χειρὶ ταῦτα συγγραψάμενος καὶ κατασφαλισάμενος ἐκεῖνον· πρὸς

O [= acrv], Il'

3 ταύτησ ἐπισκοπῶν Ol' ἐπίσκοπος l δὲ γέγονε O^{ae} 3.4 ὀρθοσιαίων O^{e} 4 ἐπιθῆναι O^{v} ἀνταραδαίων O^{e} 7 temptaui ὅτιπερ εἶλετο ⟨μετὰ⟩ *quod accepit* Λ περιείλατο O^{v}l' πρεσβυτέρω O^{a} 8 σχηματικῶν O^{rv}l' αὐτὸς l αὐτῆσ Ol'Λ 10 τῆ O^{e}lΛ τῆ δὲ O^{arv}l' βδελλυκτῆ O^{e} 11 φερούσησ l' καθ' ἑτοῦ O^{a} 12 μετὰ τῶν l 14 περιιστώσησ l παριστώσησ Ol' 16 σπαθιζομέιων Ol' ἐπανόρθωσιν O^{ae}vl'Λ κατάστασιν O^{r}I, scripserim ἀνιάτων πρὸσ ἐπανόρθωσιν ἐγένετο l 18 διακευάζειν O^{a}vl' 19 σχιμάτων O^{v} 22 βδελλύττεσθαι O^{e}l τὸν] τῶν l' 23 βαλεῖν τοῦ l λαβεῖν τὸ Ol' μυλικὸν O^{r}l βυθῆσαι O^{v} 24 κατὰ τὸ γραφικὸν om. l τῶ O^{v} 28 ante siue post τοῖς ἐπιτιμίοις addiderim συναινέσαντες siue tale quid οἷς om. O^{a} 31 τῶν τυρίων O^{e} 32/33 δὴ τοῦτο O^{v}l' 33 ἡμῖν O^{e}Λ σχηματικοῖσ O^{r} 34 ἔδραμον l' 35 τῶ l' 38 ἀσφαλισάμενοσ O^{a}vl'

δὲ τούτοις, ὅτι κατὰ τὴν Τυρίων ἐπανελθὼν παραδέδωκε τοῖς σχισματικοῖς τὸν εὐκτήριον οἶκον τῆς θεοτόκου καθεστῶτα τοῖς ἀπὸ τῆς πόλεως ἐκκλησίαν, ἐν αὐτῶι τολμήσας καὶ παρασυνάξεις καὶ παραφωτίσματα πληρῶσαι καὶ δοῦναι τοῦτο σπέρμα μεγάλης ταραχῆς τῶι πιστοτάτωι λαῶι τῆς πόλεως, ὁρῶντι τὸ κατὰ μηδένα χρόνον γεγονός, ἐκ δύο τόπων τῶν νεοφωτίστων φαίνεσθαι τὰς προελεύσεις ἐναντίως ἐχόντων ἀλλήλοις, καὶ πολέμους καὶ θορύβους διασκεδάζων κατά τε τῆς ἁγιωτάτης ἡμῶν ἐκκλησίας καὶ τοῦ πιστοτάτου λαοῦ τῆς πόλεως, ὧν ἔλεγχος τὰ πεπραγμένα κατὰ τὸ δικαστήριον. ἐφ' οἷς ὁ τίμιος σταυρὸς ἐλιθάσθη παρὰ τῶν ἐμφωλευόντων σὺν αὐτῶι κατὰ τὸν εὐκτήριον οἶκον τὸν προ- M VIII 1079
δηλωθέντα τῆς θεοτόκου καὶ τινὲς τοῦ πλήθους τῶν Χριστιανῶν καὶ τῶν εὐλαβεστάτων κληρικῶν πληγάδες γεγόνασι. συνέβη δὲ κἀμὲ τὸν τῆς Τυρίων ἐπίσκοπον ἄχρι θανάτου κινδυνεῦσαι δι' ὧν αὐτὸς μετά γε τῶν συνόντων αὐτῶι θανατηφόρους ἐξήρτυεν ἐπιβουλάς. ὥστε δὲ μηδὲν ἐλλεῖψαι τῶν δεόντων, καὶ τὰ πεπραγμένα παρὰ τῆς ὑμῶν ὁσιότητος διήλθομεν ἐπ' ἐκκλησίας τοῖς ἀπὸ τοῦ κλήρου καὶ τῶι πιστοτάτωι λαῶι τῆς πόλεως καὶ πνευματικὴν ἀναδησάμενοι πανήγυριν εὐχάριστον ἀφήκαμεν φωνὴν τῶι δεσπότηι θεῶι καὶ σωτῆρι τῶν ὅλων Ἰησοῦ Χριστῶι καὶ τῶι πανευσεβεῖ καὶ κρατίστωι ἡμῶν βασιλεῖ καὶ τῆι πιστοτάτηι βασιλίδι καὶ τῶι ὁσιωτάτωι πατριάρχηι τῆς βασιλευούσης καὶ τοῖς θεοφιλέσιν ὑμῖν· ὧν τὴν κοινωνίαν ἀσπαζόμενοι καὶ πρὸς ἣν ἔχετε πίστιν ὁμόφρονες καθεστῶτες ἀποστρεφόμεθα σὺν ὑμῖν ἐπιφέροντες τὸν ἔγκριτον ἀναθεματισμὸν κατὰ παντὸς μὲν αἱρετικοῦ, διαφερόντως δὲ κατὰ Νεστορίου φανέντος ἀνθρωπολάτρου, προ- L V 200
σέτι δὲ καὶ κατὰ Εὐτυχοῦς καὶ κατὰ Σεβήρου τοῦ πρὸς βλασφημίαν καὶ συκοφαντίαν ἐνόχου καταστάντος (ταῦτα γὰρ κατεπράξατο κατὰ τῆς ἁγίας μεγάλης καὶ οἰκουμενικῆς συνόδου τῆς ἀθροισθείσης ἐν Χαλκηδόνι), προσέτι δὲ καὶ κατὰ Ἰωάννου τοῦ γεγονότος παραμοναρίου τοῦ πανσέπτου οἴκου τῆς θεοτόκου τοῦ διακειμένου κατὰ τὴν Τυρίων περιφανῆ μητρόπολιν διὰ τὰς ἀφηγημένας αὐτοῦ κακίστας πράξεις, ἐξ ὧν ἀποδέδεικται τοῖς θείοις κανόσιν ἐναντίως ἐλθών, καὶ παρακαλοῦμεν τὴν ὑμετέραν ἁγιωσύνην ἐπικυρῶσαι τὸ κατ' αὐτοῦ τεθὲν κανονικῶς ἐπιτίμιον. περιπτυσσόμεθα δὲ καὶ τιμῶμεν τὴν ἐν Νικαίαι συνελθοῦσαν ἱερὰν σύνοδον τῶν τιη πρὸς ἔλεγχον καὶ καθαίρεσιν Ἀρείου καὶ τὸ παρ' αὐτῆς ἐκτεθειμένον ὀρθόδοξον σύμβολον ὁμολογοῦμεν ἐν παρρησίαι καὶ κηρύσσομεν ἐπ' ἐκκλησίας, ἐν αὐτῶι βαπτισθέντες καὶ βαπτίζοντες, καὶ τὴν τῶν ρν τῶν συνελθόντων κατὰ τὴν βασιλίδα πόλιν πρὸς καθαίρεσιν Μακεδονίου τοῦ πνευματομάχου καὶ τὴν ἐν Ἐφέσωι τῶν διακοσίων πατέρων συνδραμοῦσαν ἁγίαν σύνοδον πρὸς καθαίρεσιν Νεστορίου τοῦ δυσσεβοῦς καὶ τὴν μεγάλην ἁγίαν σύνοδον τὴν ἀθροισθεῖσαν ἐν Χαλκηδόνι τῶν χλ κυρώσασαν κατὰ τὸ προοίμιον τὸ σύμβολον τῶν τιη, καθελοῦσαν δὲ Νεστόριον τὸν ἀνθρωπολάτρην καὶ τὸν ἀσεβέστατον Εὐτυχῆ καὶ Διόσκορον τὸν τούτωι γενόμενον ὁμόφρονα καὶ πᾶσαν αἵρεσιν διελέγχουσαν, ὅθεν καὶ πάντας τοὺς ἐσπιλωμένους τοῖς αἱρετικοῖς δόγμασιν ἔστι λαβεῖν δυσμενῶς ἔχοντας πρὸς ταύτην τὴν μεγάλην καὶ ἁγίαν οἰκουμενικὴν σύνοδον. τοῦτο γὰρ ἐμπέπηγε κατὰ φύσιν τοῖς κακοδόξοις, ἐκπεπολεμῶσθαι κατὰ τῶν αὐτοὺς διελεγχόντων. σὺν αὐτῆι δὲ τῆι ἁγίαι συνόδωι δεχόμεθα καὶ πάσας τὰς ἐπιστολὰς τοῦ τῆς ὁσίας μνήμης ἀρχιεπισκόπου γενομένου τῆς πρεσβυτέρας Ῥώμης Λέοντος ὀρθῶς καὶ ἀνεπιλήπτως ἐχούσας καὶ καταγωνιζομένας πάσας ὡς εἰπεῖν τὰς αἱρέσεις,

O [O acrv], IP

1 σχηματικοῖσ Or 2 ἐκκλησίασ OvIP ἐν αὐτῶ OcrIΛ ἑαυτῶ Oabv1P 5 γίνεσθαι Or1 6 διασκεδάζων I διασκευάζων OIΛ 8/9 τὸν — οἶκον τὸν προδηλωθέντα Or1 τὸν εἰρημένον οἶκον Oacv1P 12 δὲ om. Oa ἐλλεῖψαι OIΛ μελλῆσαι I 13 ὑπὸ Ov 15 πανσεβεῖ Or 18 ἔκκριτον Ocr1, corr. Oc 20 κατὰ² om. Oab 21 καὶ Oc om. Oabv1P 22 ἔτι Oc 24 ἀφ' Oa 30 τὴν²] τὴν τῶν Ov1P 31 τῶν om. P ἁγίων πρῶν I ἁγίαν om. I 32 τῶν om. P 34 τὸν² om. Oabv1P 36 δυσμενῶσ — οἰκουμενικὴν Ocr1Λ δυσμενικὴν Oabv1P ταύτην I αὐτὴν Oar μεγάλην καὶ ἁγίαν I ἁγίαν μεγάλην OcrΛ 37 ἐμπεπολεμῶσθαι Oabv1P

ἐξαιρέτως τὴν Νεστορίου καὶ Εὐτυχοῦς τῶν δυσσεβῶν. παρακαλοῦμεν τοίνυν τὴν ὑμετέραν ὁσιότητα μαθοῦσαν τὸν ἡμέτερον σκοπὸν καὶ ὅπως ἐν πᾶσιν ἀκολουθοῦμεν τοῖς ὑμετέροις κατὰ θεὸν βουλεύμασι, τὰς ὑπὲρ ἡμῶν ποιεῖσθαι πρεσβείας πρὸς τὸν τῶν ὅλων δεσπότην καὶ θεὸν Ἰησοῦν τὸν Χριστόν, ὥστε τὴν ἐν ἡμῖν κρατοῦσαν εἰρήνην ἐπαυξῆσαι καὶ πρὸς τὴν ἠγαπημένην αὐτῶι δικαίαν ἕνωσιν συνάψαι τὰς ἁγιωτάτας ἐκκλησίας εἰς
M VIII 1082 δόξαν αὐτοῦ τοῦ δεσπότου θεοῦ καὶ καύχημα τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων καὶ κόσμον τοῦ ὁσιωτάτου τῆς βασιλίδος ἀρχιεπισκόπου καὶ πνευματικὴν ἀγαλλίασιν πάντων ἡμῶν καὶ τοῦ πρὸς ἑκάστηι πόλει πιστοτάτου καὶ ὀρθοδόξου λαοῦ. τὰς δὲ παρὰ τοῦ πλήθους τῶν Χριστιανῶν τῆς Τυρίων ἀφεθείσας ἐπὶ τῆς ἐκκλησίας φωνάς, ὅτε μεμαθήκασι τὰ πεπραγμένα παρὰ τῆς ὑμῶν ὁσιότητος, εὐφροσύνης ἐμφορηθέντες, κα- 10
θυπετάξαμεν τῶι προκειμένωι γράμματι, τὸν ἔνθεον αὐτῶν ζῆλον ἐντεῦθεν παριστῶντες τῆι ὑμετέραι θεοφιλείαι. κἀκείνωι δὲ προσεσχηκότες τὸν νοῦν καὶ τὴν διάνοιαν ὁδηγηθέντες ἐκ τῶν ἐγκειμένων κεφαλαίων ταῖς ὑμετέραις δικαίαις κρίσεσι περὶ τῆς ἀνακλήσεως τῶν σωμάτων τῶν γενομένων ἡμῶν ἁγίων πατέρων Εὐφημίου καὶ Μακεδονίου καὶ τῆς καταγραφῆς τῶν αὐτῶν προσηγοριῶν ἐν τοῖς ἱεροῖς διπτύχοις, ὅτι δὴ σύνεσιν φιλόθεον 15
ἔχοντες ψῆφον ἐξηγάγετε δοκιμάζουσαν αὐτοὺς ἀνακληθῆναι καὶ τὰς προσηγορίας ἐγ-
L V 201 γραφῆναι ταῖς ἱεραῖς δέλτοις, μηδὲν καθάπαξ τῶν ἐπ' αὐτοῖς ἀδίκως πεπραγμένων κατὰ τὸν φθάσαντα χρόνον ῥυπωσάντων τὴν ἔνθεον αὐτῶν πολιτείαν, τὴν ὁμοίαν ἐπὶ τούτοις παράκλησιν ἐπιτείνομεν ἔκ τε κρίσεως τοῦ παναγίου πατριάρχου τῆς βασιλευούσης πόλεως καὶ τῆς ὑμετέρας ὁσιότητος καὶ τῆς πρὸς τὸν εὐσεβῆ καὶ φιλόχριστον ἡμῶν βασιλέα γε- 20
νομένης ἱκετείας λαβεῖν ἐν φιλοτιμίαι καὶ τὸ σῶμα τοῦ γεγονότος ἡμῶν πατρὸς πνευματικοῦ καὶ πατριάρχου τῆς Ἀντιοχέων Φλαβιανοῦ ἀποκαταστῆναι τῶι καταλόγωι τῶν προκοιμηθέντων ἁγίων πατέρων κατ' αὐτὸν τὸν ἀποστολικὸν θρόνον, ἐνταγῆναι δὲ καὶ τὴν τιμίαν αὐτοῦ προσηγορίαν ταῖς ἱεραῖς δέλτοις. δίκαιον γὰρ τὸν ὑπὲρ Χριστοῦ τοῦ θεοῦ ἡμῶν καὶ τῆς εἰς αὐτὸν ὀρθῆς ὁμολογίας κεκμηκότα καὶ τῶν αὐτὸν συκοφαντησάντων 25
ὑπομείναντα τὴν μοχθηρὰν ψῆφον μετασχεῖν ὧν κατὰ κρίσιν τῆς ὑμετέρας θεοφιλείας μετέσχον οἱ γεγονότες αὐτῶι συλλειτουργοὶ καὶ συναγωνισταὶ πατριάρχαι τῆς βασιλευούσης πόλεως, Εὐφήμιος καὶ Μακεδόνιος φαμὲν οἱ τῆς ὁσίας μνήμης, ὥστε τὸν εὐσεβῆ καὶ γαληνὸν ἡμῶν βασιλέα καταξιῶσαι θεσπίσαι τοῦτο δὴ προελθεῖν ὡς τάχος εἰς δόξαν τῆς ἀχράντου καὶ ὁμοουσίου τριάδος φυλαττούσης τὴν εὐσεβῆ καὶ φιλόθεον αὐτῶν βασιλείαν ἐν γαλήνηι 30
καὶ πρὸς ἀναίρεσιν πάσης βαρβαρικῆς ἀπονοίας καὶ τὸν ὁσιώτατον πατριάρχην τῆς βασιλευούσης ἐν εἰρήνηι μετὰ τῆς ὑμετέρας ὁσιότητος. ἐξ ὑμῶν γὰρ καὶ τὰ πρὸς εὐχαριστίαν ἔχοντα τοῦ κρείττονος ἐρρίζωται καὶ τὰ διαβολικὰ σκάνδαλα παντελῶς ἐξελήλαται.

Ὑπογραφαί 35

Ἐπιφάνιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Τυρίων μητροπόλεως ὑπέγραψα: —
Ἀνδρέας ἐλέει θεοῦ ἐπίσκοπος τῆς Σιδονίων πόλεως ὑπέγραψα: —
Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος τῆς Πτολεμαίων ὑπέγραψα: —

O [= acrv], IP

1 ἐξαιρέτωσ δὲ O^{e} 4 ιν̄ χν̄ O^{arvP} αὐξῆσαι O^{a} 8 ἑκάστην πόλιν $O^{l}P$ 10 μεμαθήκαμεν $O^{vl}P$ 10/11 καθυπετάξαμεν $O^{arv}IP$ καθυπέταξαν ἐν $O^{e}Λ$ 13 δικαίωσ $O^{avl}P$ 17 δέλταισ I^{p} 18 ῥυπωσάντων κατὰ τὸν — χρόνον O^{rI} 20/21 γινομένης I 21 πνικοῦ πρσ̄ O^{r} 22 λόγω O^{r} 26 πονηρὰν O^{rI} 27 αὐτῶ $O^{a}I$ αὐτῶν $O^{rv}P$ αὐτοῦ $O^{e}Λ$ βασιλίδοσ. in mg. γρ' βασιλευούσησ I 28 ὁ O^{r} 30 αὐτῶν [plur. maiest.] O^{e} αὐτοῦ $O^{arv}IP$ 31 καὶ om. I 33 ἐρριζωνται $O^{aevl}P$ 35 om. I 36. 37. 38. ἐλέει θεοῦ om. $O^{e}Λ$ 36. 38 ἐλέω I 37 om. I ἐπίσκοποσ τῆσ om. I^{p} μητροπόλεωσ O^{r} 38 πολεμαίων $O^{vl}P$

Θεόδωρος ⟨ἐλέει θεοῦ⟩ ἐπίσκοπος τῆς Πορφυρεῶνος ὑπέγραψα: —
Ἠλίας ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ζηνοπολιτῶν ὑπέγραψα: —

Εἰσὶν αἱ λαληθεῖσαι φωναὶ ἐκ τοῦ Χριστιανικωτάτου πλήθους ἐν τῇ ἀρχαίαι ἁγίαι **32**
ἐκκλησίαι μετὰ τὴν ἀνάγνωσιν τοῦ ἁγίου εὐαγγελίου καὶ δύο ἐπιστολῶν, μιᾶς μὲν παρὰ M VIII 1083
Ἰωάννου τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς βασιλίδος πόλεως, τῆς δὲ ἑτέρας παρὰ τοῦ i. e. 29
ὁσιωτάτου Θεοφίλου ἐπισκόπου Ἡρακλείας πρὸς τὸν ὁσιώτατον ἐπίσκοπον Ἐπιφάνιον, 6
ὁμοίως δὲ καὶ τρίτης γεγραμμένης ἐπιστολῆς παρὰ τῶν συνελθόντων κατὰ τὴν βασιλίδα
πόλιν ὁσιωτάτων ἐπισκόπων πρὸς τὸν ἀπομνημονευθέντα τῆς Τυρίων θεοφιλέστατον
ἐπίσκοπον, ἀναγνωσθείσης δὲ οὐδὲν ἧττον παραχρῆμα καὶ ἀναφορᾶς γενομένης παρὰ i. e. 25
τῶν προειρημένων ὁσιωτάτων ἐπισκόπων τῶν κατὰ τὴν βασιλίδα πρὸς τὸν ὁσιώτατον 10
καὶ μακαριώτατον οἰκουμενικὸν πατριάρχην τῆς αὐτῆς βασιλίδος πόλεως, ἐν ᾗ ἀνε-
θεματίσθη Σεβῆρος ὁ ἐπίσκοπος τῆς Ἀντιοχέων κατὰ τὰ περιεχόμενα τῶι αὐτῶι
ἀναγνωσθέντι χάρτηι διὰ Σεργίου τοῦ εὐλαβεστάτου διακόνου, ἐν μηνὶ κατὰ Τυρίους
Λώωι εἰκάδι ὀγδόηι, ἤτοι Σεπτεβρίου ἑκκαιδεκάτηι, τοῦ τρίτου τεσσαρακοστοῦ ἑξακο- d. 16. m. Sept.
σιοστοῦ, ἰνδικτιῶνος δωδεκάτης, αὗται· (fer. 1) a. 518

Τοῦ αὐγούστου πολλὰ τὰ ἔτη· τῆς αὐγούστας πολλὰ τὰ ἔτη· τῆς συγκλήτου 16
πολλὰ τὰ ἔτη· τῶν ἐπάρχων πολλὰ τὰ ἔτη· Ἰωάννου κόμητος πολλὰ τὰ ἔτη· Ἐπι-
φανίου πατριάρχου πολλὰ τὰ ἔτη. εἷς θεὸς ὁ τοῦτο ποιήσας· ὁ μέγας θεὸς τοῦτο L V 204
παρέσχεν. εἷς θεός, ἴδε πίστις· εἷς θεός, μία πίστις. εἰς εἰρήνην τῶν ἐκκλησιῶν· εἰς
εἰρήνην τῶν ὀρθοδόξων. Ἰωάννου πατριάρχου πολλὰ τὰ ἔτη· Ἐπιφανίου ὀρθοδόξου 20
πολλὰ τὰ ἔτη. ἃ ἐποίησεν ἡ σύνοδος, καὶ σὺ ποίησον· ἃ ἐποίησεν ἡ σύνοδος, ταῦτα
ποίησον. Ἰωάννου ὀρθοδόξου πολλὰ τὰ ἔτη. εἰς αἰῶνας τὸ βασίλειον τοῦτο. νικᾶι
ἡ πίστις τοῦ αὐγούστου· ἐκ θεοῦ τὸ βασίλειον τοῦτο. νέου Κωνσταντίνου πολλὰ τὰ
ἔτη· ὀρθοδόξου πατρὸς πολλὰ τὰ ἔτη. ὁ μὴ λαλῶν οὐκ ἔνι πιστός. ἃ ἐποίησεν ἡ
σύνοδος, ἔμβα ποίησον· ἃ πέπραχεν ἡ ἁγία τοῦ θεοῦ σύνοδος, ἔμβα ποίησον. νικᾶι 25
ἡ πίστις τοῦ αὐγούστου· εἰς αἰῶνας τὸ βασίλειον τοῦτο. Βιταλιανοῦ πατρικίου πολ-
λὰ τὰ ἔτη· Βιταλιανοῦ ὀρθοδόξου πολλὰ τὰ ἔτη· Ἐπιφανίου ὀρθοδόξου πολλὰ τὰ ἔτη·
ἔμβα ἀναθεμάτισον καθὼς καὶ οἱ πατέρες· ἔμβα ἀναθεμάτισον καθὼς καὶ ἡ σύνοδος·
ἔμβα ἀναθεμάτισον Σεβῆρον καὶ τὸν μανδρίτην· ἔμβα ἀναθεμάτισον Σεβῆρον καὶ
Ἰωάννην. 30

Καὶ ἀνελθόντος τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου ἐν τῶι ἄμβωνι ἐξεβόησαν· Καλῶς
ὁ θεὸς ἤνεγκέ σε· εἷς θεός, μία πίστις. εἷς θεὸς ὁ τοῦτο ποιήσας. ἄνω βάλε τοὺς
ἐπισκόπους· ἄνω βάλε τοὺς ὀρθοδόξους.

Καὶ ἀνελθόντων τῶν θεοφιλεστάτων Ἰωάννου ἐπισκόπου τῆς Πτολεμαίδος καὶ Θεο-
δώρου ἐπισκόπου τῆς Πορφυρεῶνος καὶ Ἠλίου ἐπισκόπου τῆς Ῥαχληνῶν πάλιν ἐξεβόη- 35

---

16 ὅρα τὸν ζῆλον τοῦ λαοῦ μέχρι τέλουσ οἵος θερμός ἐστιν O^v in mg. P^{mg}

O [-- aerv], II^p

1 om. O^{aervII^p} ἐλέει θεοῦ addidi 2 Ἠλίας — ὑπέγραψα] καὶ οἱ λοιποὶ O^rI 3 λαληθεῖσαι I βληθεῖσαι OP 8 conicio ἄνω μνημονευθέντα 9 ἀρχιεπίσκοπον O^e καὶ IΛ om. OI^p 14 λαῶ O^r σεπτεβρίῳ P σεπτεμβρίου O^r ἑξκαιδεκάτῃ O^e 14/15 ἑξακοσιοστοῦ ἔτους $O^{av}P$ χρόνου I 15 δεκάτης O^a 16 αὐγούστης I 18 τοῦ πατριάρχου $O^{aev}I^p$ 19 παρέσχεν I παράσχοι O^{aer} παράσχη O^vP *impartiatur* Λ ἴδε OP ἤδε I 21/22 ἃ² — ποίησον om. $O^aΛ$ 23—26 ἐκ θεοῦ — τοῦ αὐγούστου hic om. O^a cf. ad 28 23 τοῦ νέου O^r 24 ἐν $O(^a)^v$ ἦν P 25 ἃ πέπραχεν — ποίησον om. $O(^a)^{rv}IP$ 28 post 27 ἔτη habet νέου — ἔτη ὀρθοδόξου — ἔτη ὁ μὴ — οὐκ ἔν — ἔμβα ποίησον² νικᾶ — τοῦτο (23—26) O^a 28 καὶ² om. O^rI 29 τὸν μανδρίτην — Σεβῆρον καὶ om. O^rI 34 ἐπισκόπου om. O^rI τῆσ O^{aervP} τοῦ τῆσ O^r τοῦ I

σαν· Ἐπιφανίου πατριάρχου πολλὰ τὰ ἔτη· ὡς οἱ ἅγιοι, ἐμαρτύρησες· ἐμαρτύρησες καὶ ἐνίκησες. πέμψον φέρε τοὺς ἐπισκόπους· πέμψον φέρε τοὺς ὀρθοδόξους. οὗτος μόνος διὰ πίστιν ἀπέθανεν· οὗτος μόνος ἀπέλαβε καμάτους· ἐμαρτύρησες καὶ ἐνίκησες. οὗτος μόνος διὰ πίστιν ἐνίκησεν· ἐμαρτύρησες καὶ ἡ πίστις σου ἐνίκησεν. ἔβαλεν αὐτοὺς τὸ τρισάγιον· ἔβαλεν αὐτοὺς ἡ θεοτόκοις· ἔβαλε Σεβῆρον ἡ θεοτόκος. ἐτάραξε τὰς ἐκκλησίας, ἔβαλεν αὐτοὺς τὸ μυστήριον· ἔβαλεν αὐτοὺς ὃν ἐλίθασαν· ἔβαλεν αὐτοὺς ὃν ὕβρισαν. τούτους ἔξω τῆς πόλεως· ποία πόλις τῶν Ἀποσχιστῶν; τοὺς Αἰγυπτίους ἔξω βάλε. ὁ βασιλεὺς ὀρθόδοξος ἔνι· εἰς αἰῶνας τὸ βασίλειον τοῦτο· τὸ σπήλαιον τῶν
M VIII 1086 ληιστῶν ἔξω βάλε· τὸ σπήλαιον τῶν Ἀποσχιστῶν ἄρον καῦσον. ἄνω βάλε τὸν Πριγκιπίας· ὅλους δολίους ἔξω βάλε· τὸν Ῥωμαικὸν ἔξω βάλε· ἄνω βάλε τοὺς ἡλέησες. ἔξω βάλε τὸν συνθηκάριεν . ἔξω βάλε τὸν λοίδορον. μετὰ σοῦ ἦσαν καὶ δόλιοι ἦσαν· ἔξω βάλε τὸν συνθηκάριν καὶ Μανιχαῖον. ὁ Ῥωμαικὸς δόλιος ἔνι· τὸν Ῥωμαικὸν ἔξω βάλε· τὸν Μανιχαῖον ἔξω βάλε· καθάρισον τὰς ἐκκλησίας. μετὰ σοῦ ἐστι καὶ συνθηκίζει τοὺς ἐπισκόπους. πέμψον φέρε τοὺς ἐπισκόπους· πέμψον φέρε τοὺσ ὀρθοδόξους. ἀνάθεμα Σεβήρωι καὶ τοῖς φρονοῦσι τὰ αὐτοῦ καὶ τῶι μανδρίτηι. ἀνάθεμα Σεβήρωι Εὐτυχεῖ καὶ Νεστορίωι καὶ τῶι μανδρίτηι· τὸ ἐργαστήριον ἐντολίου διὰ τί ἠνοίγη; ἔμβα ἀναθεμάτισον, ὡς ὁ Ῥώμης πατριάρχης. Ἠλίαν τὸν Βοτρυηνόν, τὸν ἀρτοκόπον ἄρτι ἀναθεμάτισον· ἐπίσκοπον ἀντὶ αὐτοῦ ἐκεῖ πέμψον· ἐπισκόπους αἱρετικοὺς ἔξω βάλε. Ἰουστῖνος βασιλεύει, οὐκ ἔνι φοβηθῆναι· ὀρθόδοξος ἔνι. τοῦ αὐγούστου πολλὰ τὰ ἔτη· εἰς αἰῶνας τὸ βασίλειον τοῦτο· νέος ἐστὶ Κωνσταντῖνος· οὐκ ἔνι φοβηθῆναι. νέας Ἑλένης πολλὰ τὰ ἔτη· Βιταλιανοῦ πατρικίου πολλὰ τὰ ἔτη· Βιταλιανιοῦ στρατηλάτου πολλὰ τὰ ἔτη· τῶν ἐπάρχων πολλὰ τὰ ἔτη· τοῦ μαγίστρου πολλὰ τὰ ἔτη· τῆς ὅλης συγκλήτου πολλὰ τὰ ἔτη· Ἠλία κουράτωρος πολλὰ τὰ ἔτη·
L V 205 Ἐπιφανίου πατριάρχου πολλὰ τὰ ἔτη. τὴν νίκην τοῦ αὐγούστου, κάθελε τὸν Βοτρυηνὸν ὡς Μανιχαῖον. Αἰγυπτίους ξυλεμπόρους οὐ θέλει ἡ πόλις. ἔξω βάλε τοὺς Ἀκεφάλους· εἰ ἐνίκησαν, ἀπεθνήισκομεν. Φλαβιανὸν πατριάρχην τοῖς διπτύχοις. ἡ τριὰς ἐνίκησε· λάβε τὴν θεοτόκον· ὁ βασιλεὺς ἐκέλευσε καὶ ὅλη ἡ σύνοδος· ὁ βασιλεὺς ἐκέλευσεν ὡς εἶπεν ἡ σύνοδος· Ἀποσχίστης οὐκ ἔνι. λάβε τὴν θεοτόκον· εἴσβα καὶ καθάρισον τὸν οἶκον τὸν ἅγιον· ὁ μὴ λαλῶν οὐκ ἔνι πιστός. εἰς τὴν θεοτόκον ἄγωμεν· κήρυξον καὶ ἄγωμεν. τοῦ αὐγούστου πολλὰ τὰ ἔτη· εἷς θεός, μία πίστις. τὸ λείψανον Φλαβιανοῦ πέμψον φέρε. εἰς τὴν ἁγίαν Μαρίαν ἄγωμεν. ἴδε δεύτερον

———

O [= aerv], lP

1 ἐμαρτύρησασ ἐμαρτύρησασ Orl ἐμαρτύρησαν ἐμαρτύρησασ OeΛ 2 ἐνίκησασ Oerl 3 ἐμαρτύρησασ καὶ ἐνίκησασ Oerl 4 ἐμαρτύρησασ Oerl σου] οὐκ Or om. I ἔβαλεν Oerl ἔλαβεν Oavlp 5 ἔβαλεν¹ Oerlλ ἔλαβεν Oavlp 8—9 ὁ βασιλεὺς — βάλε¹ om. I 8 ἔν Ovlp 9 τῶν ἀποσχιστῶν om. Or 10 πριγκηπίασ Oe πριγγιπίασ I τοὺς δολίουσ Oae 10—13 ἄνω βάλε — ἔξω βάλε¹ hic om. Orl cf. ad 13 10 τοὺς] οὖσ Oe(I) 11 συνθηκάρην Oa(r)v(I)lp συνθηκάριον Oe ἔξω βάλε — τὸν συνθηκάριν om. OeΛ 12 συνθηκάρην Oa(r)v(I)lp ἔν Oalp 13 post τὸν Μανιχαῖον ἔξω βάλε habent μετὰ σοῦ ἐστι καὶ συνθηκίζει τοὺς ἐπισκόπους [μετὰ — ἐπισκόπους om. Or] καθάρισον τὰσ ἐκκλησίασ ἄνω βάλε τοὺσ [οὺς I] ἡλέησασ ἔξω βάλε τὸν συνθηκάρην ἔξω βάλε τὸν λοίδορον μετὰ σοῦ ἦσαν καὶ δόλιοι ἦσαν τὸν ῥωμαικὸν ἔξω βάλε τὸν μανιχαῖον ἔξω βάλε Orl pergunt πέμψον¹ (14) 14 πέμψον¹ — τοὺς ἐπισκόπους om. Oavlp 14/15 πέμψον² — τοὺς ὀρθοδόξους om. OeΛ 15—17 ἀνάθεμα: — πατριάρχησ Oevlp'Λ τὸ ἐργαστήριον — ἠνοίγη ἀνάθεμα — μανδρίτη ἔμβα — πατριάρχησ Oa τὸ ἐργαστήριον — ἠνοίγη ἔμβα — πατριάρχησ ἀνάθεμα — μανδρίτη Orl 15 νεστορίω τῶ μανδρίτη lp 17 βοτρύινον Oarvlp 19 ἐν Ovlp 20 αἰῶνα Or ἐστὶ om. lp 21 τῆσ νέασ Or 21/22 πολλὰ τὰ ἔτη Βιταλιανοῦ στρατηλάτου — ἐπάρχων om. Oa 23 ἡλία — ἔτη τοῦ μαγίστρου — ἔτη τῆσ ὅλησ — ἔτη Orl 24 πατριάρχου Orl ἀρχιεπισκόπου Oaevlp'Λ 24.25 βοτρύινον Oarl βοτρύιν Ovlp 27 ὁ βασιλεὺς ἐκέλευσεν om. Λ καὶ ὅλη ἡ σύνοδοσ [ἡ σύνοδος ὅλη I] Oarvlp ὡσ εἶπεν ἡ σύνοδος OeΛ 28 ὡσ εἶπεν Oarvlp καὶ ὅλη ἡ OeΛ 29 ἐν Ovlp

ἀνέφραξαν τὰ ἔσω· τὸ σταυρὶν δὸς ἡμῖν. τὸν σταυρὸν ἐλίθασαν καὶ ἀνέφραξαν τὰ ἔσω· εἰς ποίαν πόλιν ταῦτα γίνονται; μία πίστις γέγονεν, οὐκ ἔνι ἀταξία. ὁ σταυρὸς ἐνίκησε καὶ οὐκ ἔνι ἀταξία· ἡ τριὰς ἐνίκησε καὶ οὐκ ἔνι ἀταξία. ἡ τριὰς ἐνίκησεν· ἀπῆλθεν ὁ Ἀκέφαλος· ὁ αὔγουστος ἐνίκησεν. ἄγωμεν εἰς τὴν θεοτόκον, νικᾶι Ἰουστῖνος· ἄγωμεν εἰσέλθωμεν. νικᾶι Ἰουστῖνος· ἄγωμεν ἄρτι ἔσω. νικᾶι Ἰουστῖνος, κήρυξον τὴν σύναξιν· νικᾶι Ἰουστῖνος, τὴν ἡμέραν κήρυξον. Ἰωάννου πατριάρχου πολλὰ τὰ ἔτη· Ἐπιφανίου πατριάρχου πολλὰ τὰ ἔτη· τοῦ αὐγούστου πολλὰ τὰ ἔτη· Εὐφημίας αὐγούστας πολλὰ τὰ ἔτη· Ἐπιφανίου ἀρχιεπισκόπου πολλὰ τὰ ἔτη. ὅπου ἐμαρτύρησες, κήρυξον τὴν σύναξιν. ἄγωμεν εἰσέλθωμεν ἔσω εἰς τὴν θεοτόκον. ἐνίκησεν ὁ αὔγουστος, κήρυξον τὴν σύναξιν. καστέλλιν ἐγένετο, λάβε τὴν θεοτόκον· συναγωγὴ ἐγένετο, λάβε τὴν θεοτόκον. ἄγωμεν εἰσέλθωμεν κἀκεῖ ἀναθεμάτισον· ἄγωμεν εἰσέλθωμεν, ἀπῆλθεν ὁ Ἀκέφαλος. ἄγωμεν εἰσέλθωμεν, καθηιρέθη ὁ Ἀκέφαλος. κέλευσον, καὶ ὑπάγωμεν τὸν σταυρὸν βαστάζοντες. νικᾶι ὁ αὔγουστος, ἄγωμεν εἰσέλθωμεν· νικᾶι ὁ αὔγουστος, ἔσω ἀναθεμάτισον. τίνα μένεις; ὀρθόδοξος εἶ. λιτανείαν, κἀκεῖ εἰσβῶμεν. νικᾶι Ἰουστῖνος, ἔνθεν ἔσω ἄγωμεν. μαρτύρομαί σε, οὐδὲν ἀφῆκαν ἔσω· τὰ κειμήλια ἔλαβεν ὁ τοῦ μοδαρίου. κήρυξον τὴν σύναξιν. τὴν νίκην τοῦ αὐγούστου, μίαν ἀργίαν τῆι πόλει· μίαν ἀργίαν τοῖς ὀρθοδόξοις. εἶσβα λῦσον τὸ M VIII 1087
οἰκοδόμημα· ὁ Ἀκέφαλος οὐκ ἔχει ὧδε τόπον· οὐκ ἔχει ὧδε τόπον ὁ Μανιχαῖος. Ἐπιφανίου ἀρχιεπισκόπου πολλὰ τὰ ἔτη· εἷς θεός, ὑγείαν αὐτῶι.

Καὶ προσφωνήσαντος τοῦ αὐτοῦ ἁγιωτάτου ἀρχιεπισκόπου· παρακαλῶ τὴν ὑμετέραν ἀγάπην ἀνεξικάκως ἐνεγκεῖν καὶ συγχωρῆσαι κἀμὲ καὶ τοὺς θεοφιλεστάτους ἐπισκόπους ἀναθεματίσαι τὸν Ἀκέφαλον· καὶ ἐνταῦθα γὰρ καὶ ἐν τῶι εὐκτηρίωι οἴκωι τῆς ἁγίας θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ ἐν ὅλοις τοῖς εὐκτηρίοις οἴκοις καὶ ἐν ὅλαις ταῖς ἐκκλησίαις καὶ ἐν ὅλαις ταῖς πόλεσιν καὶ ἐν ὅλωι τῶι κόσμωι ἀναθεματίζεται ἕως τοῦ αἰῶνος, πάλιν ἐξεβόησαν· ἡσυχίαν τῶι κυρῶι ἡμῶν. καὶ λοιπὸν εἶπε πρὸς τοὺς ἀπὸ τοῦ πλήθους ὁ ἁγιώτατος ἡμῶν ἀρχιεπίσκοπος Ἐπιφάνιος ταῦτα

Τὴν ὀρθὴν καὶ ἀμώμητον καὶ ἀληθινὴν πίστιν, ἣν παραδεδώκασιν ἡμῖν οἱ ἀπ' Lc. 1, 1
ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου καὶ ἐδίδαξαν ἡμᾶς οἱ θεσπέσιοι καὶ πανάγιοι ἀπόστολοι καὶ ἐξ αὐτῶν λαβόντες οἱ τρισμακάριοι ἡμῶν ἅγιοι πατέρες οἱ ἐπὶ τῆι ὀρθῆι διαλάμψαντες πίστει οἵ τε ἐν Νικαίαι τιη καὶ οἱ ἐν τῆι βασιλευούσηι Κωνσταν-
τινουπόλει ρν καὶ οἱ ἐν Ἐφέσωι σ̄ καὶ οἱ ἐν Χαλκηδόνι χλ, καὶ οἱ λοιποὶ δὲ πάντες ὅσιοι L V 208
καὶ ὁμόφρονες αὐτῶν ὀρθόδοξοι πατέρες, παραλαβόντες καὶ ἀεὶ ἐν ἑαυτοῖς ἐσχηκότες καὶ ἔχοντες καὶ ταύτην ἄτρωτον φυλάξαντες, ἣν ἀεὶ καὶ ἐκηρύξαμεν ἐπ' ἐκκλησίας καὶ κηρύσσομεν ὑμῖν, ἀγαπητοί, καὶ ἀνεθεματίσαμεν ἀεὶ καὶ ἀναθεματίζομεν πάντας μὲν τοὺς αἱρετικοὺς μετὰ τῶν δυσσεβῶν αὐτῶν φρονημάτων καὶ τῶν φρονούντων τὰ ὀλέθρια αὐτῶν διδάγματα, ἐξαιρέτως δὲ καὶ ὀνόματι ἀναθεματίζομεν Ἄρειον Εὐνόμιον Μακεδόνιον τὸν

O [= aerv], IP

1 ἔφραξαν O^e 1—2 τὰ ἔσω εἰσ ποίαν — γίνονται τὸ σταυρὶν — ἡμῖν τὸν σταυρὸν — τὰ ἔσω O^a 1 τὸ σταυρίον O^e τὸν σταυρὸν P ἐνέφραξαν $O^{av}I^2$ 2 ποίαν om. I γέγονεν $O^{er}I$ ταῦτα γέγονεν $O^{av}P$ 2/3 ὁ σταυρὸς — ἀταξία² om. P ἡ τριὰς — ἀταξία ὁ σταυρὸσ — ἀταξία O^r 3 καὶ οὐκ — ἐνίκησεν om. O^aI^2 5 ἄρτι ἔσω ἄγωμεν O^e 8 Εὐφημίας — τὰ ἔτη² om. I αὐγούστης O^e 9 ἐμαρτύρησασ $O^{er}I$ 10 καστέλλιον O^e 13 ὑπάγομεν O^v 14 λιτανείαν ποίησον P 16 μοδιαρίου $O^eΛ$ 19 ὑγίειαν $O^{av}I^2P$ αὐτῶ in αὐτῆσ corr. P 20 καὶ — ἀρχιεπισκόπου om. O^vI^2, corr. I^{mg} 24 ἀναθεματίζετε P 25 καὶ πάλιν $OI^2Λ$ ἡσυχία $O^{av}I^2$ 26 Ἐπιφάνιος om. $O^{av}I^2$ 30 οἵ τε οἱ P οἱ om. P 32 καὶ ὁμόφρονεσ — πρεσ O^{aev} P πρεο καὶ ὁμόφρονεσ αὐτῶν καὶ ὀρθόδοξοι [καὶ ὀρθόδοξοι om. O^r] O^rI 33 ἣν| ὃν O^r καὶ ἀεὶ καὶ I 33/34 κηρύσσωμεν P 34 ἀναθεματίζομεν καὶ ἀνεθεματίσαμεν ἀεὶ O^e ἀναθεματίσαμεν I μὲν om. I 36 ὀνομαστὶ $O^{ae}Λ$

πνευματομάχον Ἐβίωνα Φωτεινὸν Μάρκελλον Θεόδοτον Ἀρτεμᾶν Παῦλον τὸν Σαμοσατέα Νεστόριον τὸν ἀνθρωπολάτρην καὶ δυσσεβῆ, Οὐαλεντῖνον Σκυθιανὸν Μάνην Μαρκίωνα Βαρδισάνην Ἀπολινάριον Εὐτυχέα, μετὰ τούτων πάντων τῶν αἱρετικῶν καὶ ὁμοίως τούτων πάντων ἀναθεματίζομεν καὶ τὸν δυσσεβῆ Σεβῆρον τὸν Ἀκέφαλον καὶ Ἀποσχίστην καὶ ἀεὶ ἀλλότριον γενόμενον τοῦ δεσπότου ἡμῶν καὶ κυρίου Ἰησοῦ Χριστοῦ καὶ τῆς ἁγίας αὐτοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας καὶ τὸ δυσσεβὲς αὐτοῦ φρόνημα, ὡς ἀναθεματίσαντα τοὺς ἁγίους ἡμῶν ὀρθοδόξους πατέρας καὶ σχίσματα καὶ ταραχὰς ἐμποιήσαντα ταῖς ἁγίαις ἐκκλησίαις τῶν ὀρθοδόξων Χριστιανῶν παντὸς ὡς εἰπεῖν τοῦ κόσμου.

Καὶ διακόψαντες αὐτὸν οἱ ἀπὸ τοῦ πλήθους ἐξεβόησαν· Εἷς θεὸς ὁ τοῦτο ποιήσας· εἷς θεός, μία πίστις. εἰς εἰρήνην τῶν ἐκκλησιῶν, Ἐπιφανίου ἀρχιεπισκόπου πολλὰ τὰ ἔτη. εἰς εἰρήνην τῶν ὀρθοδόξων, εἰς εἰρήνην τοῦ βασιλέως. ἀναθεμάτισον καὶ τὸν μανδρίτην.

Πληρῶν δὲ ὁ αὐτὸς ἁγιώτατος ἡμῶν ἀρχιεπίσκοπος τά τε λοιπὰ τῆς προσφωνήσεως καὶ τοῦ ἀναθέματος ἔφη πρὸς αὐτοὺς ταῦτα· Ὡσαύτως δὲ ἀναθεματίζομεν καὶ Ἰωάννην τὸν μανδρίτην τὸν ἀποστάτην καὶ ἀρνησίθεον, ἀφ' οὗ καὶ προσέλαβε τὸ δυσσεβὲς φρόνημα παρὰ τοῦ αὐτοῦ ἀσεβεστάτου Σεβήρου. ἔστωσαν τοίνυν οἱ εἰρημένοι Σεβῆρος ὁ Ἀκέφαλος καὶ Ἰωάννης ὁ μανδρίτης καὶ τὸ δυσσεβὲς αὐτῶν φρόνημα μετὰ τῶν κοινωνούντων αὐτοῖς ἀνάθεμα καὶ κατάθεμα ἀπὸ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, ἐν τῷ αἰῶνι τούτῳ καὶ ἐν τῷ μέλλοντι. ἀμήν.

Καὶ ἐξεβόησαν οἱ ἀπὸ τοῦ πλήθους· Ἀμὴν ἀμὴν ἀμήν. εἷς θεὸς ὁ τοῦτο ποιήσας· Ἐπιφανίου ἀρχιεπισκόπου πολλὰ τὰ ἔτη· Ἰωάννου κόμητος πολλὰ τὰ ἔτη. ὅλους τοὺς αἱρετικοὺς ἀναθεμάτισον. μίαν ἀργίαν τῇ θεοτόκῳ. ἡ τριὰς ἐνίκησε, τὴν σύναξιν κήρυξον. ὁ σταυρὸς ἐνίκησε, τὴν σύναξιν κήρυξον. ἄνω βάλε τὸν Πριγκιπίας, ἄνω βάλε τοὺς μεταβάτας. ἔσω εἰς τὴν θεοτόκον, τὴν σύναξιν κήρυξον· ὁ μὴ λαλῶν οὐκ ἔνι πιστός. αὕτη ἡ ὥρα θεῷ ἀρέσκει καὶ τῷ αὐγούστῳ, αὕτη ἡ ὥρα θεῷ ἀρέσκει καὶ τοῖς πατράσιν. νικᾷ Ἰουστῖνος, τὴν σύναξιν κήρυξον. εἴσβα ἄνοιξον τὴν θεοτόκον. εἴσβα ἄνοιξον τὴν παρέλαβες. οἱ Ἰουδαῖοι χαίρονται ὅτι ἠσφάλισται τὰ ἔσω. οἱ Ἰουδαῖοι χαίρονται, τὴν θεοτόκον ἄνοιξον. εἴσβα, ἁγίασον, ἣν ἐκοίνωσαν. οὐκέτι Ἀναστάσιος· Ἰουστῖνος βασιλεύει· ὀρθόδοξος ἔνι. Ἰουστῖνος βασιλεύει· οὐκ ἔστι Μανιχαῖος· ὀρθόδοξος ἔνι· Ἰουστῖνος βασιλεύει ὁ νέος Κωνσταντῖνος. οὐκ ἔστι Μανιχαῖος ὡς Ἀναστάσιος. Ἰωάννου πατριάρχου πολλὰ τὰ ἔτη· Ἐπιφανίου ὀρθοδόξου πολλὰ τὰ ἔτη· τὸν ἀνεψιὸν τοῦ μανδρίτου ἀναθεμάτισον· τοὺς κατὰ σοῦ ἀναθεμάτισον. μίαν ἀργίαν τῇ πόλει· ἄνοιξον τὴν ἥρπασαν. εἷς θεός, μία πίστις. ἀπέθανεν Ἀμάντις ὁ ἀντάρτης
L V 209 τῆς τριάδος. εἴσβα ἔνδυσον τὴν ἐγύμνωσαν. νικᾷ Ἰουστῖνος· τὴν σύναξιν κήρυξον.

O [= aervˡ], IP

1 εὐβίωνα I φωτεινὸν τὸν ἐσκοτισμένον P Θεόδοτον om. OᵛP 2 σκυθινον Oʳ μάρην P 3 βαρδισιάνην OᵛP καρδισιάνην Oᵃ 4 πάντων τούτων OᵃᵉᵛP 10 οἱ om. I 13 καὶ om. OᵃᵉᵛP 14 ἡμῶν om. I 16 τὸν μανδρίτην post ἀρνησίθεον coll. I ἀφ' οὗ OP ὃς IΛ 19 τοῦ πρσ Oᵉ καὶ² om. I τοῦ υἱοῦ καὶ τοῦ ἁγίου OᵃᵉᵛP 21 Καὶ I om. OPΛ 21 ἐξεβόησαν — ἀμήν³ om. OᵃᵉᵛP 25 πριγκηπίασ Oᵉ πριγγιπίασ I 26 ἐν OᵃᵉᵛP 26/27 αὕτη — αὐγούστω αὕτη — πατράσι OʳᵛI αὕτη — πατράσιν αὕτη — αὐγούστω OᵉΛ αὕτη ἡ ὥρα θῷ θῷ om. Oᵃ] ἀρέσκει καὶ τῷ αὐγούστω OᵃᵉᵛP 28 ἣν OᵉʳI 29 οἱ¹ om. I χαίρουσιν (bis) I ὅτι ἠσφάλισται τὰ ἔσω OᵃʳI τὴν θεοτόκον ἄνοιξον OᵉᵛPΛ 29/30 τὴν θεοτόκον ἄνοιξον OᵃʳI ὅτι ἠσφάλισται τὰ ἔσω OᵉᵛPΛ ἐκοινώνησαν Oʳ οὐκέτι Oʳᵛ οὐκ ἔστι OᵃᵉᵛPΛ 31/32 ὀρθόδοξος¹ — βασιλεύ om. I 31 ἐν OᵛP Ἰουστῖνος βασιλεύει Oʳ om. OᵃᵉᵛPΛ 32 ἐν OᵛP ὡς ὁ I 33 τὰ om. Oᵉ 35 ἣν Oᵉ τὴν ἣν I ἀμάντης OᵃʳᵛIP 36 ἐνδὺσ OᵃᵉᵛP ἔνδον I ἣν Oᵉ τὴν ἣν I

τὸ λυχνικὸν ἔσω ποίησον· τὴν σύναξιν κήρυξον. ἁγία τριάς, τὴν ὑγείαν δὸς αὐτῶι. εἷς θεός, μία πίστις· ὅλων ὀρθοδόξων πολλὰ τὰ ἔτη. πέμψον φέρε τοὺς ἄλλους ἐπισκόπους· Ἠλίαν τὸν Βοτρυηνὸν ἀναθεμάτισον. Ἰωάννου πατριάρχου πολλὰ τὰ ἔτη· Ἐπιφανίου πατριάρχου πολλὰ τὰ ἔτη· τοῦ αὐγούστου πολλὰ τὰ ἔτη. Εὐφημίας αὐγούστας πολλὰ τὰ ἔτη. τὴν νίκην τοῦ βασιλέως, εἴσελθε ἔσω. εἰς αἰῶνας τὸ βασίλειον τοῦτο, ἀπελάτα τοῦ Ἀκεφάλου, ἀπελάτα τῶν αἱρετικῶν.

Καὶ λοιπὸν Ἰωάννης ὁ θεοφιλέστατος ἐπίσκοπος Πτολεμαίδος εἶπε πρὸς τοὺς ἀπὸ τοῦ πλήθους ταῦτα· Ἀναθεματίζομεν πάντας μὲν οὓς ἀνεθεμάτισεν ὁ ἁγιώτατος καὶ μακαριώτατος ἡμῶν ἀρχιεπίσκοπος καὶ μητροπολίτης, καὶ πάσας τὰς αἱρέσεις, ἐξαιρέτως δὲ τὸν δυσσεβῆ καὶ θεομάχον Σεβῆρον τὸν Ἀκέφαλον καὶ Μανιχαῖον καὶ Ἰωάννην τὸν δυσσεβῆ καὶ θεομάχον, τὸν μανδρίτην, καὶ ἀποστρεφόμεθα τὴν πρὸς αὐτοὺς κοινωνίαν καὶ ἀλλοτρίους αὐτοὺς καλοῦμεν καὶ αὐτοῦ τοῦ ὀνόματος τῶν Χριστιανῶν. ἔστωσαν οὖν ἀνάθεμα ἀπὸ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, ἐν τῶι οὐρανῶι καὶ ἐν τῆι γῆι, ἐν τῶι αἰῶνι τούτωι καὶ ἐν τῶι μέλλοντι, ἀμήν.

Εἶπε δὲ καὶ ὁ θεοφιλέστατος ἐπίσκοπος Θεόδωρος τῆς Πορφυρεωνιτῶν ταῦτα· Πάντας ὅσους προλαβὼν ἀνεθεμάτισεν ὁ ἁγιώτατος καὶ μακαριώτατος ἡμῶν ἀρχιεπίσκοπος καὶ μητροπολίτης, ἀναθεματίζομεν σὺν αὐτῶι· σὺν αὐτοῖς ἀναθεματίζομεν καὶ Σεβῆρον τὸν Ἀκέφαλον καὶ Ἰωάννην τὸν μανδρίτην ὡς συναινέσαντα τοῖς αἱρετικοῖς αὐτοῦ δόγμασιν. ἔστωσαν τοίνυν ἀνάθεμα ἀπὸ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, ἐν τῶι οὐρανῶι καὶ ἐν τῆι γῆι, ἐν τῶι αἰῶνι τούτωι καὶ ἐν τῶι μέλλοντι, ἀμήν.

Ἔφη δὲ καὶ Ἠλίας ὁ θεοσεβέστατος ἐπίσκοπος τῆς Ῥαχληνῶν ταῦτα· Καὶ ἡμεῖς κατ' ἴχνος βαίνοντες τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου ἡμῶν ἀρχιεπισκόπου καὶ μητροπολίτου καὶ πειθόμενοι τῆι αὐτοῦ ἀγαθῆι διδασκαλίαι καὶ εἰδότες ὡς ἄνω καὶ κάτω τὰ δίκαια καὶ τὰ ἀληθῆ ταῖς ἁγιωτάταις ἐκκλησίαις πραγματεύεται, τούτου χάριν ἀναθεματίζομεν τοὺς οὐχ ἅπαξ, οὐ δὶς ἀναθεματισθέντας, ἀλλὰ καὶ καθ' ἑκάστην ἡμέραν M VIII 1091
ἀναθεματιζομένους, τὸν Ἀκέφαλον καὶ Μανιχαῖον Σεβῆρον καὶ τὰ δυσσεβῆ αὐτοῦ φρονήματα καὶ Ἰωάννην τὸν μανδρίτην καὶ τὰ δυσσεβῆ αὐτοῦ διδάγματα μετὰ καὶ τῶν κοινωνούντων αὐτοῖς. περὶ γὰρ τῶν λοιπῶν περιττόν ἐστι καὶ λέγειν. ἔστωσαν τοίνυν ἀνάθεμα ἀπὸ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, ἐν τῶι οὐρανῶι καὶ ἐν τῆι γῆι, ἐν τῶι αἰῶνι τούτωι καὶ ἐν τῶι μέλλοντι, ἀμήν.

Καὶ ἐξεβόησαν οἱ ἀπὸ τοῦ πλήθους· Εἷς θεός, Χριστὸς βασιλεύει. τῶν ἐπισκόπων πολλὰ τὰ ἔτη· τῶν ὀρθοδόξων πολλὰ τὰ ἔτη. εὐλογητὸς κύριος Ἰησοῦς ὁ βασιλεύς, ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῶι λαῶι αὐτοῦ. Lc. 1, 68

Καὶ ἔτι ἐπιμεινάντων τῶν ἀπὸ τοῦ πλήθους καὶ ἐκβοώντων περὶ τοῦ γενέσθαι ἁγίαν σύναξιν ἐν τῶι εὐκτηρίωι οἴκωι τῆς ἁγίας ἐνδόξου καὶ θεοτόκου παρθένου Μαρίας, προσεφώνησεν αὐτοῖς ὁ ἁγιώτατος ἡμῶν ἀρχιεπίσκοπος ταῦτα· Ἐπειδὴ πολλὴ ὥρα ἐστὶ καὶ δίκαιόν ἐστιν ποιῆσαι ἡμᾶς τὴν θείαν λειτουργίαν, δι' ἧς θεραπεύεται ὁ θεὸς εἰς ὠφέλειαν τῶν ἡμετέρων ψυχῶν, ἀρκεσθῶμεν τούτοις· πολλὰ γάρ ἐστι τὰ ἔχοντα ἀναγνωσθῆναι. τῆι οὖν σὺν θεῶι ἁγίαι κυριακῆι τῆι ἐπιούσηι ἐν τῶι εἰρημένωι εὐκτηρίωι οἴκωι τῆς d. 23. m. Sept. a. 518

O [= aerv], IP

1 τὸ λυχνικὸν — κήρυξον om. I ὑγείαν O^{avP} 3 βοτρύινον O^{arvIP} 4/5 αὐγούστης O^{eI} 6 ἀπελάτου — ἀπελάτου $O^{avI'}$ 7 τῆς πτολεμαίδος OP 13 τοῦ¹ om. I τοῦ² om. I 15 καὶ om. O^{r} ὁ θεοφιλέστατος θεόδωρος ἐπίσκοπος O^{av} θεόδωρος ὁ θεοφιλέστατος ἐπίσκοπος $O^{eΛ}$ 17 αὐτοῖς δὲ $O^{eΛ}$ 18 τοῦτον τοῖς O^{e} αἱρετικοῖς καὶ ἀσεβέσιν $O^{eΛ}$ 19 ἔστω I ἀνάθεμα αὐτοῖς I 22 δὲ om. O^{a} θεοφιλέστατος O^{er} 24 εἰδότες I *credentes* Λ om. OP' 26 οὐ OP' ἢ I 29 ἔστω I 30 ἀνάθεμα αὐτοῖς I 32 βασιλεὺς O^{avP} 33 Ἰησοῦς om. O^{rI} 36 καὶ om. $O^{vI'}$

δεσποίνης ἡμῶν τῆς ἐνδόξου καὶ θεοτόκου παρθένου Μαρίας τὰ λοιπὰ ἀναγινώσκομεν καὶ πάλιν ἀναθεματίζομεν τὸν Ἀκέφαλον καὶ πάντας τοὺς μετ' αὐτοῦ.

L V 212 Καὶ λοιπὸν ἐκήρυξε τὴν τοιαύτην ἁγίαν σύναξιν Ζαχαρίας ὁ θεοσεβέστατος ἀρχιδιάκονος· Γνωρίζομεν τῇι ὑμετέραι ἀγάπηι ὅτιπερ τῇι ἐπιούσηι κυριακῇι εἰς δόξαν τοῦ δεσπότου Χριστοῦ τοῦ θεοῦ ἡμῶν καὶ τῆς ἁγίας ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ ὑπὲρ σωτηρίας νίκης καὶ διαμονῆς τοῦ φιλοχρίστου ἡμῶν βασιλέως Ἰουστίνου καὶ τῆς εὐσεβεστάτης βασιλίδος Εὐφημίας καὶ τῶν μειζόνων ἐξουσιῶν καὶ τοῦ ἁγιωτάτου πατριάρχου τῆς βασιλίδος πόλεως Ἰωάννου καὶ τῆς αὐτόθι ἐνδημούσης ἁγίας συνόδου ἐν τῶι οἴκωι τῆς ἁγίας Μαρίας τῶι ἐν Ἰαμψούφοις τὴν ἁγίαν σύναξιν ποιούμεθα. τῇι δὲ αὐτῇι ἁγίαι κυριακῇι ἕωθεν ἐνταῦθα συνερχόμεθα, ἵνα ἐντεῦθεν μετὰ ψαλμωιδιῶν καὶ κηρῶν καὶ θυμιαμάτων ἐν τῶι ἁγίωι οἴκωι καταντήσαντες τὴν λιτὴν καὶ τὴν ἁγίαν σύναξιν πληρώσωμεν· καὶ πάντες καὶ πᾶσαι μετὰ σπουδῆς συνέλθωμεν. καὶ μετ' αὐτὸν καὶ ὁ ἁγιώτατος ἡμῶν ἀρχιεπίσκοπος εἶπεν οὕτως· Γνωρίζομεν τῇι ὑμετέραι ἀγάπηι ὡς ὅτιπερ τῇι ἐπιούσηι ἁγίαι κυριακῇι ἐνταῦθα συνερχόμεθα, ἵνα ἐντεῦθεν μετὰ ψαλμωιδιῶν καὶ κηρῶν καὶ θυμιαμάτων λιτανεύοντες καταντήσωμεν ἐν τῶι εὐκτηρίωι οἴκωι τῆς ἁγίας θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, κἀκεῖσε τὴν ἁγίαν σύναξιν πληροῦμεν.

Καὶ ἐξεβόησαν οἱ ἀπὸ τοῦ πλήθους· Τὸν ἔφορον ἔξω βάλε· ὅλους τοὺς Ἀποσχίστας ἔξω βάλε. ἀνάθεμα τοῖς Ἀποσχίσταις· ἀνάθεμα τοῖς δεχομένοις ἕνα ἐκείνων. κληρικοὺς Ἀποσχίστας μηδεὶς δέξηται. τοὺς ἀποστάτας μηδεὶς δέξηται. τοὺς ἀρνησαμένους τὴν ἐκκλησίαν μηδεὶς δέξηται. τοὺς πολεμήσαντας τὸν σταυρὸν μηδεὶς δέξηται.

Καὶ λοιπὸν προσεφώνησεν αὐτοῖς ὁ ἁγιώτατος ἡμῶν ἀρχιεπίσκοπος ταῦτα· Τὸ μέντοι λυχνικὸν τῶι σαββάτωι ἑσπέρας ἐν τῶι αὐτῶι εὐκτηρίωι οἴκωι τῆς ἁγίας θεοτόκου καὶ ἀειπαρθένου Μαρίας ποιούμεθα. καὶ ἡσυχασάντων ἐπετελέσθη ἡ ἁγία σύναξις.

M VIII 1094 Ἐπιστολὴ τῶν ἐν δευτέραι Συρίαι ἐπισκόπων πρὸς Ἰωάννην πατριάρχην καὶ τὴν σύνοδον

33 Δεσπότηι ἡμῶν τὰ πάντα ἁγιωτάτωι καὶ μακαριωτάτωι πατρὶ πατέρων ἀρχιεπισκόπωι καὶ οἰκουμενικῶι πατριάρχηι Ἰωάννηι καὶ τῇι κατὰ τὴν βασιλίδα τῶν πόλεων ἐνδημούσηι ἁγίαι καὶ θεοτιμήτωι συνόδωι οἱ ἐλάχιστοι ἐπίσκοποι Συρίας δευτέρας. Ὅταν ἀποβλέψωμεν πρὸς τὴν φορὰν τῶν περιστοιχισάντων ἡμᾶς χαλεπῶν καὶ λογισώμεθα τὴν ἐπενεχθεῖσαν σύγχυσιν ἀπροσδοκήτως ταῖς ἐκκλησίαις τοῦ θεοῦ, τὸ πᾶν εἰκότως ταῖς οἰκείαις ἐπιγράφοντες ἁμαρτίαις τὴν τοῦ κυρίου μακροθυμίαν θαυμάζομεν· ὅταν δὲ πάλιν τὴν πρὸς τὸ κρεῖττον ἐνθυμηθῶμεν εὐκταίαν μεταβολήν, τὴν ἀποστολικὴν ἐκείνην
2 Cor. 9, 15 προαγόμεθα λέγειν φωνὴν χάρις τῶι θεῶι ἐπὶ τῇι ἀνεκδιηγήτωι αὐτοῦ δωρεᾶι·
Lc. 1, 68 οὐ γὰρ περιεῖδεν εἰς τέλος ἡμᾶς, ἀλλ' ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῶι λαῶι αὐτοῦ. ἵνα τοίνυν καὶ τοῖς λίαν ἀπίστοις τῆς ἀληθείας ἐπίγνωσις γένηται καὶ διὰ τῶν πραγμάτων φανῶσιν ὡς ἀληθῶς ἀψευδεῖς αἱ τοῦ κυρίου φωναὶ καὶ πρὸς ταῖς ἄλλαις

O [= aerv], I, P [usque ad 25]

1 καὶ om. P 6 καὶ² om. OᵛP, corr. Oᵛ 8 ἀρχιεπισκόπου OᵉΛ 9 τῆς ἁγίας om. Oᵃ 10 συναγόμεθα OʳI 11 τῶ αὐτῶ OᵉΛ 12 καὶ² I om. OP 13 ἀρχιεπίσκοποσ ἡμῶν OP 15 κηρίων Oʳ m. alt. in loco detrito 18 εὔφορον Oʳ τοὺσ I om. OP 20/21 τοὺς ἀποστάτας — τὸν σταυρὸν μηδεὶς δέξηται scripsi τοὺσ ἀποστάτασ — δέξηται τοὺσ πολεμήσανταϲ — δέξηται OᵉΛ τοὺσ ἀρνησαμένουσ — δέξηται τοὺσ πολεμήσανταϲ — δέξηται OᵃvI' τοὺσ ἀποστάτασ — δέξηται τοὺσ ἀρνησαμένουσ — δέξηται OʳI 22 ἀρχιεπίσκοποσ ἡμῶν OᵃʳvI' 23 ἑσπέραν OʳvP αὐτῶι; ἁγίωι OʳI 24 σὺν θῶ ποιούμεθα Oᵉ ἐπιτελέσθη I' 26 ιδ Oᵃ in mg. σύναξιν Oᵛ 27 τῶ δεσπότη Oᵉ τὰ OᵃʳvI τῶ Oᵉ 28 τὴν om. I 30 περιστοιχησάντων Oᵃᵛ χαλεπῶν] κακῶν OʳI 31 οἰκότωσ Oᵃ 36 τῆς ἀληθείας om. OʳI

ἡ διαρρήδην βοῶσα· ἰδοὺ ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν Mc. 7, 15
δέ εἰσι λύκοι ἅρπαγες, ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς, καὶ
λοιπὸν περισωθῶσι καὶ ἐγκαταλεγῶσι τῇ ἱερᾷ ποίμνῃ Χριστοῦ τοῦ θεοῦ ἡμῶν τὰ
παρ' αὐτῶν διασπασθέντα πρόβατα, δέδωκε καὶ ἐφήπλωσεν ὁ θεὸς ἐπὶ τῇ τῶν ἐκκλησιῶν
εὐκοσμίαι κατὰ πᾶσαν τὴν οἰκουμένην εἰρήνης ἄφατον δωρεάν. βασιλέως γὰρ πιστοῦ
χρηματίζοντος καὶ τὴν καρδίαν ἐλλαμπομένου προμηθείαι τοῦ κρείττονος καὶ ἀρχιερέως L V 213
ὁσίου ψήφωι θείας χάριτος ἀναφανέντος κατὰ τὴν βασιλίδα τῶν πόλεων καὶ τῶν ἀποστο-
λικῶν ὑπερμαχοῦντος δογμάτων, πῶς ἔνεστι μὴ λίαν τὸν λογισμὸν ὑπεραίρεσθαι καὶ
εὐφραίνεσθαι τῇ τῶν ἀρίστων ἀπὸ τῶν χειρόνων ταχείαι μεταβολῇ καὶ ἀπορρίπτειν
ἀσμένως, ὡς ἐνῆν μάλιστα, τοῦ φθονεροῦ διαβόλου τὰ κέντρα; καταστάντες γὰρ εἰς γνῶσιν
ἡμεῖς ὧν ἐνθέσμως καὶ κανονικῶς ἔπραξεν ἡ ἁγία σύνοδος τῶν ὁσιωτάτων ὑμῶν μηδὲ ὅλως
ὑπομείνασα τὴν ἄθεον καὶ παράνομον Σεβήρου προπέτειαν (ποία γὰρ δύναμις λόγου κἂν
πρὸς ὀλίγον ἐφικέσθαι δυνήσεται τῶν ἐκείνου κακῶν καὶ ὧν τὸ θεῖον ἐβλασφήμησε, τὸν
ἅπαντα χρόνον ἀναθεματίζων τὴν ἁγίαν μεγάλην καὶ οἰκουμενικὴν ἐν Χαλκηδόνι σύνοδον
καὶ τὴν ἐπιστολὴν τοῦ ἐν ἁγίοις Λέοντος γενομένου τῆς πρεσβυτέρας Ῥώμης ἀρχιεπι-
σκόπου, συνεργὸν καὶ παραπλήσιον ἐν ἅπασιν ἔχων Πέτρον τὸν ἀσεβῆ τὸν τῆς Ἀπα-
μέων τὴν προεδρίαν παρὰ πάντα θεσμὸν ἐκκλησιαστικὸν ὑφαρπάσαντα), ἤσθημεν εἰκό-
τως, πῶς γὰρ οὐκ ἐμέλλομεν; καὶ εὐχαρίστους ἀνεπέμψαμεν ὕμνους Χριστῶι τῶι θεῶι
ἡμῶν ἐφ' οἷς καὶ νῦν θεραπείαν εὔκαιρον καὶ λύσιν τῶν δυσχερῶν ἐδωρήσατο πᾶσιν ἡμῖν.
ἤδη μὲν οὖν εὐθὺς ἐν προοιμίοις ἐν γνώσει τῶν ἐκείνοις ἐπταισμένων γενόμενοι καὶ μὴ
φέροντες τὴν ὀλεθρίαν εἰσήγησιν τῶν πονηροτάτων κατανοεῖν, φθάσαντες ἠλευθερώσαμεν
τὰς ἑαυτῶν ψυχὰς καὶ τὰς πιστευθείσας ἡμῖν ἐκκλησίας τῆς Σεβήρου καὶ Πέτρου κακίας καὶ
ἀπεκηρύξαμεν ὡς αἱρεσιάρχας καὶ ἀναθέμασιν ὑπεβάλομεν, χωρίσαντες ἑαυτοὺς τῆς πρὸς M VIII 1095
ἐκείνους κοινωνίας. ἀλλ' ἐπειδήπερ οὐ μόνον ἡ τῶν ἐλαχίστων ἡμῶν γέγονε δικαία
κατ' ἐκείνων ἀποκήρυξις, ἀλλ' ἤδη καὶ τῶν μακαριωτάτων ὑμῶν, οἷς καὶ ἡμεῖς ἀκολουθεῖν
ἐπειγόμεθα, φέρειν οὐ δυνάμενοι τῶν τηλικούτων ἀτοπημάτων τὸ μέγεθος, στένοντες δὲ καὶ
δακρύοντες ἐπὶ τῇ τῶν ἀσεβῶν ἀναλγησίαι καὶ βουλόμενοι μένειν ἐπὶ τοῖς προτέροις συν-
εχωρήθημεν οὐδαμῶς, οἷα λιβέλλων ἡμῖν ἐπιδοθέντων ὑπὸ τοῦ θεοφιλοῦς τῆς Ἀπαμέων
κλήρου καὶ τοῦ τάγματος τῶν εὐλαβῶν μοναχῶν, δι' ὧν διεξῆλθον φόνους, παροινίας,
πράξεις τολμηράς, πολιορκίας μοναστηρίων εὐαγῶν, γυναίων ἀσέμνων ἐπεισαγωγὰς ἐν
τοῖς ἱεροῖς καὶ ἀβεβήλοις σηκοῖς, ἐπιορκίας, βλασφημίας, δόσει χρημάτων χειροτονίας
(τὰ γὰρ τούτων φρικωδέστερα καὶ μείζονα ἢ κατὰ φύσιν ἀνθρωπίνην ὡς εἰπεῖν περίεργον
ἂν εἴη διακωδωνίζειν, συγχωρεῖν δὲ διὰ τῆς τῶν ἐγγεγραμμένων λιβέλλων καταγραφῆς
γνῶσιν παραλαμβάνειν τοὺς ἐντυγχάνοντας), ἀφορμὴν δὲ καὶ δίκαια σπέρματα τῆς κατ' ἐκεί-
νων ἐνθέσμου πάλιν κατακρίσεως εὑρόντες καὶ νῦν ἀφ' ὧν ἐκεῖνοι μάλιστα καὶ πληττόμενοι
τῶι οἰκείωι συνειδότι καὶ πάντα παρὰ κανόνας πράττοντες δελεάσαντες ἐνίους τῶν τελούν-
των εἰς τοὺς ἡμετέρους κλήρους διὰ σωφρονισμὸν ἐκκλησιαστικὸν πρὸς ὀλίγον ἐκβλη-
θέντας εἰς ἑαυτοὺς εἴλκυσαν καὶ ἀπηνέγκαντο καὶ ταῖς ὑπ' αὐτῶν πορθουμέναις ἐκκλησίαις
ἀθέσμως ἀπεγράψαντο πανταχοῦ τοῖς θείοις κανόσι μαχόμενοι, τούτου χάριν ἡμεῖς παιδα-
γωγούμενοι τῇ ὁσίαι τῶν ὑμετέρων διδαγμάτων ἐπικρίσει ἀναθεματίζομεν καὶ ἐπὶ τοῦ
παρόντος Σεβῆρον καὶ Πέτρον τοὺς φρενοβλαβεῖς καὶ τῇ κρίσει τοῦ μεγάλου βήματος καὶ

O [= acrv], I

10 ὡσ IΛ καὶ ὡσ O 11 ὑμεῖσ O^{av} ὧν O^{or} IΛ ὡσ O^{av} 13 εἰσ τὸ O^{av} 16 ἔχων ἐν ἅπασι O^{r}I 18 καὶ εὐχαρίστουσ O^{arv}IΛ εὐχαρίστουσ τὲ O^{e} ἀναπέμψαμεν O^{v} ἀναπέμψαι IΛ χω O^{arv}I κω O^{e}Λ 19 ἡμῖν om. O^{v} 20 ἐκείνοις om. O^{av} 22 καταπιστευθείσασ O^{av} 23 καὶ om. O^{r} 25 ἀποκήρυξις I ἀπαγόρευσισ O 26 ἐπειγόμεθα IΛ ἐπειγόμενοι καὶ O 31 ἀβεβήλοις I ἀσύλοις O 32 ἢ O^{e}I om. O^{arv} 33 διακωνίζειν O^{v} 34 δὲ O^{r}I om. O^{aev} 37 τοὺς om. O^{a} διὰ I καὶ διὰ O

φοβεροῦ παραδίδομεν τὰς ἐκείνων ἀνοσίας ψυχάς, ἀπαλλοτριοῦντες αὐτοὺς παραπλησίως
L V 216 καθάπερ ὑμεῖς, μακαριώτατοι, παντὸς πράγματος, τιμῆς, ἀξίας, ἐνεργείας ἱερατικῆς, τῆς σεπτῆς κοινωνίας καὶ γυμνοῦντες οὐ μόνον ἱερωσύνης ἧς ἔχειν ἐφαντάζοντο μάτην, ἀλλὰ καὶ πάσης μετουσίας πρὸς τὴν τῶν ὀρθὰ φρονεῖν ἐγνωκότων διάκρισιν (δέος γὰρ μὴ τοὺς ἀκεραιοτέρους ἐπὶ πλεῖον μιμητὰς τῶν οἰκείων βλασφημιῶν καθελκύσωσι· πάντα γὰρ τολμῶσιν ὡς ἔτυχε), καὶ δεόμεθα τῶν ἁγιωτάτων ὑμῶν διὰ ταύτης ἡμῶν τῆς μετρίας ἐπιστολῆς, ἣι καὶ ἐντέτακται τὰ ἐπιδοθέντα διδασκαλικά, γνῶσιν ἀληθῆ παρειληφότας τῶν Σεβήρου καὶ Πέτρου πλημμελημάτων ἐπικυρῶσαι καὶ τὴν παρ' ἡμῶν νῦν ἡγησαμένην διοίκησιν τοῖς θείοις ἐγνωσμένην κανόσιν, εἰ καὶ μηδὲν ἔχειν αὐτοὺς ἔνθεσμον ἱερωσύνης ἐγνώκαμεν πώποτε, ἀναγαγεῖν δὲ καὶ ἐπὶ τὸν εὐσεβέστατον καὶ ὀρθόδοξον ἡμῶν βασιλέα, ἐφ' ὧι τε μανθάνοντα τὰ περιεχόμενα τοῖς λιβέλλοις καὶ τὰ παρ' ἡμῶν κριθέντα καὶ δικαίαν εἴδησιν ἔχοντα τῶν παρ' ὑμῶν ἤδη καλῶς καὶ ὁσίως ἐψηφισμένων, θεσπίσαι ταῖς ἡμῶν ἱκεσίαις πειθόμενον τέλεον ἐλευθερῶσαι τῆς ἐκείνων ψυχοφθόρου βλάβης τὰς ἁγίας τοῦ θεοῦ ἐκκλησίας. οὕτω γὰρ ἂν ὁ καθαρὸς σῖτος ἐπὶ τῆς εὐσεβοῦς αὐτῶν βασιλείας ἀδιάφθορος μένοι τῶν ζιζανίων χωρισθέντων, ὡς εἴθε πάλαι καὶ πρόπαλαι. πρὸς γὰρ εὐμάθειαν τῶν μακαριωτάτων ὑμῶν καὶ τὰ ἴσα τῶν παρὰ τοῦ μεγαλοπρεπεστάτου τῆς ἐπαρχίας ἄρχοντος γνωρισθέντων τοῖς ἐνδοξοτάτοις ἄρχουσιν ἐνετάξαμεν τῆιδε τῆι συνοδικῆι τῶν ἐλαχίστων ἡμῶν ἐπιστολῆι.

M VIII 1098 Ὑπογραφαί

Κῦρος ἐλέει θεοῦ ἐπίσκοπος Μαριάμμης ἐρρῶσθαί με ἐν κυρίωι καὶ αὐτῶι δουλεύειν ἀπερισπάστως ὑπερεύχεσθε, κύριοι τὰ πάντα ἁγιώτατοι καὶ μακαριώτατοι πατέρες: —

Ζωίλος ἐλέει θεοῦ ἐπίσκοπος Ῥεεφάνης ἐρρῶσθαί με ἐν κυρίωι καὶ αὐτῶι δουλεύειν ἀπερισπάστως ὑπερεύχεσθε, κύριοι τὰ πάντα ἁγιώτατοι καὶ μακαριώτατοι πατέρες: —

Σεβηριανὸς ἐλέει θεοῦ ἐπίσκοπος Ἀρεθούσης ἐρρῶσθαί με ἐν κυρίωι καὶ αὐτῶι δουλεύειν ἀπερισπάστως ὑπερεύχεσθε, κύριοι τὰ πάντα ἁγιώτατοι καὶ μακαριώτατοι πατέρες: —

Κοσμᾶς ἐλέει θεοῦ ἐπίσκοπος Ἐπιφανείας τῆς φιλοχρίστου ἐρρῶσθαί με ἐν κυρίωι καὶ αὐτῶ δουλεύειν ἀπερισπάστως ὑπερεύχεσθε, κύριοι τὰ πάντα ἁγιώτατοι καὶ μακαριώτατοι πατέρες: —

Εὐσέβιος ἐλέει θεοῦ ἐπίσκοπος Λαρίσσης ἐρρῶσθαί με ἐν κυρίωι καὶ αὐτῶι δουλεύειν ἀπερισπάστως ὑπερεύχεσθε, τὰ πάντα ἁγιώτατοι καὶ μακαριώτατοι πατέρες: —

34 Ἴσον πράξεως συστάσης ἐπὶ τοῦ μεγαλοπρεπεστάτου τῆς ἐπαρχίας ἄρχοντος

IDEM STEPHANVS PETRVS ET IVLIANVS DIACONI DIXERUNT: Κατὰ τὸ διελθὸν πάσχα
d. 22. m. Apr. a. 518 ἅγιον τῆι νέαι κυριακῆι ἀνελθόντος τοῦ κλήρου παντός, ὡς ἔθος ἐστίν, εἰς προση-

---

O [= aerv], I

3 ἦν I 4 δέον O^r 13 τὰσ O τῆσ I 15 ἀδιαφθόρωσ O^v εἴθε] εἴωθε O^{rI} 17 γνωσθέντων I 19 αἱ ὑπογραφαί O^r 20. 22. 24. 27. 30 ἐλέω O^e 20. 22. 24 ἐλέω I 20 μαριάμνησ O^{rv}I 21 ὑπερεύχεσθαι O^v εὔχεσθε O^{rI} κύριοι τὰ πάντα om. O^{rI} 22 ῥεεφένησ O^v ῥεφάνης I 22/23 ἐν κυρίωι — πατέρες om. $O^eΛ$ 23 μακάριοι I 24—26 post 27—29 coll. O^a 24 σευηριανὸσ O^a ἐρρῶ O^e 24—26 με — πατέρες om. $O^eΛ$ 25 καὶ μακαριώτατοι om. O^{rI} 27—31 καὶ οἱ λοιποί O^{rI} 27—29 ἐν κυρίωι — πατέρες om. $O^eΛ$ 30 ἐρρῶ O^e 30—31 με — πατέρες om. $O^eΛ$ 32 ιε O^a in mg. συστάσησ O^{arv}I συστάσησ κατὰ πέτρου τοῦ ἀπαμείασ $O^eΛ$ post ἄρχοντοσ add. alteram inscriptionem Πρᾶξισ κατὰ πέτρου τοῦ ἀπαμείασ O^{av} 33 IDEM — DIXERVNT om. sicut omnia Latina O^{av}I, spat. rel. O^a IDEM om. Λ PETROS O^{er} Κατὰ I ἐπειδήπερ κατὰ OΛ 33/34 ἅγιον πάσχα O^o

γορίαν τοῦ γενομένου ἡμῶν ἐπισκόπου Πέτρου ἀκηκόαμεν παρ' αὐτοῦ ἀγανακτήσαντος κατὰ τῶν ἀναγνωστῶν (τότε γὰρ ἀναγνῶσται ἐτυγχάνομεν) καὶ λέγοντος ἡμῖν ὅτι διὰ τί κοινοποιεῖτε κατ' ἐμοῦ, ὅτι ἐποίησα Κωνσταντῖνον ἀπὸ λαικῶν διάκονον καὶ ὑμᾶς παρεῖδον; μὰ τὸν Ἰησοῦν ὅτι ἐδοκίμασα τὴν νύκτα ταύτην ποιῆσαι ὑμᾶς ἀπὸ ἀναγνωστῶν ὑποδιακόνους, ἵνα αὐτὸς ὁ σταυρωθεὶς κατελθὼν μὴ ἐλυτρώσατο ὑμᾶς ἐκ τῶν χειρῶν μου. ταῦτα δὲ καὶ ἐπὶ παντὸς τοῦ κλήρου εἶπε. κἀγὼ δὲ Στέφανος οἶδα καὶ τὸ τῆς στολῆς γενόμενον εἰς τὸ Μαρατοζαβδάλης. ἐπειδὴ δὲ καὶ διδασκαλικὸν συνέταξαν οἱ παρόντες θεοφιλέστατοι κληρικοί, ὅπερ καὶ ἐπέτρεψαν ἡμῖν ἐπιδοῦναι, παρακαλοῦμεν L V 217
τοῦτο ἀναγνωσθῆναι καὶ ἕκαστον διασαφηνίσαι ἅπερ οἶδε κεφάλαια περιεχόμενα τῶι διδασκαλικῶι.

FL' IOHANNES PALLADIVS EVTVCHIANVS VIR CLARISSIMVS COMES ET PRAESES DIXIT:
Τὸ ἐπιδιδόμενον διδασκαλικὸν ἀναγινωσκέσθω οὕτω τε κατὰ τὴν αἴτησιν τῶν ἐπιδεδωκότων παρόντες οἱ θεοφιλέστατοι πρεσβύτεροι διάκονοι ὑποδιάκονοι ἀναγνῶσται καὶ λοιποὶ εὐλαβεῖς κληρικοὶ βουλόμενοι σαφῆ ποιείτωσαν τὴν οἰκείαν γνώμην ἐφ' οἷς καὶ ἐπίστανται, τὸν θεὸν κατὰ νοῦν λαμβάνοντες καὶ τὸ οἰκεῖον πρόσχημα, ὡς οὐδὲν πρὸς ἀπέχθειαν ἢ χάριν ποιήσονται, ἀλλὰ πάντα σὺν ἀληθείαι ἐκδιδάξουσιν.

ET CVM OBTVLISSET EX OFFICIO RECITATA EST

Τοῖς πάντα ὁσιωτάτοις πατράσι καὶ ἐπισκόποις τῆς δευτέρας Σύρων ἐπαρχίας παρὰ τοῦ κοινοῦ τῶν κληρικῶν τῆς ἐν Ἀπαμείαι τῆι μητροπόλει ἁγίας τοῦ θεοῦ ἐκκλησίας. Ἴδιον ἱερωσύνης καὶ τοῦ σεμνοῦ τῶν Χριστιανῶν ἐπαγγέλματος σωφροσύνη καὶ ἐπιείκεια καὶ πρό γε πάντων ὁ τῶν ὁσίων δογμάτων θεσμὸς καὶ ἡ θεσπεσία M VIII 1099
τῆς πίστεως παραφυλακή, ἐφ' ἧι καὶ ὁ τῶν μακαρίων πατέρων ἀοίδιμός τε καὶ σεβάσμιος χορὸς ἄνωθεν ἔκ τινος ἀνεπιλήπτου διαδοχῆς ἀκηράτοις λογισμοῖς ῥυθμὸν ἐναρμόνιον εἰσηγήσατο ταῖς ἀγαθαῖς τῶν ἀνθρώπων ψυχαῖς πρὸς ἁγιασμὸν τῆς θείας μυσταγωγίας. μεμαθήκαμεν γὰρ ἀπὸ τῶν θείων λογίων βοᾶν μὴ μέταιρε ὅρια αἰώνια ἃ ἔθεντο Prou. 22, 28
οἱ πατέρες σου. ἀλλὰ ταῦτα μὲν οἱ σεβάσμιοι πατέρες καὶ τῶν θεσπεσίων ἀποστόλων διάδοχοι κρατύνοντες καὶ φῶς ἀγαθὸν ταῖς ἐκκλησίαις πρυτανεύοντες, ὅθεν ἔμεινεν ἀδιάφθορα τὰ μέλη τῶν ἐκκλησιῶν, καὶ οἱ τούτων ὑπηρέται δουλεύοντες ἀνοθεύτως Χριστῶι τῶι θεῶι ἡμῶν καὶ τὸν τῆς θείας γραφῆς κατ' ἀξίαν μισθὸν κομιζόμενοι καὶ δεχόμενοι μὲν τὰς ἀμέμπτους ἀπαρχὰς καὶ ἀπὸ τῆς πρεσβυτέρας Ῥώμης, ἀρυόμενοι δὲ τοὺς τῆς θείας χάριτος καρποὺς ζήλωι θείωι καὶ πυρὶ πνευματικῶι, ἕως ὅτε πρὸ φανεροῦ τινος χρόνου νεώτερος κατὰ τῶν ἐκκλησιῶν καινισμὸς εἰσηνέχθη. ἀλλ' εἰ μὲν ἔστη μέχρι τῶν εἰρημένων τὰ κακά, εἰ καὶ δυσχερῶς, ὅμως φορητῶς ἂν ἠνέγκαμεν τοῦ παθήματος δυναμένου ῥαιδίως ἴασιν ἐπιδέξασθαι· ἀλλ' ὅτε καὶ Σεβῆρον ὁ τῆς Ἀντιοχέων εἰσεδέξατο δῆμος μηδὲ πώποτε τῆι καθολικῆι τῶν ὀρθοδόξων ἐκκλησίαι κοινωνήσαντα, οὐκέτι τῶν χειρόνων ἐπὶ τὸ βέλτιον μετασκευή, ἀλλ' ἤδη τῶν ἡγησαμένων χαλεπῶν τραχύτερα τὰ τῶν συμβαινόντων καὶ ὡς εἰπεῖν ἀνίατα τραύματα. δρᾶμα γέγονεν ἡ πιστὴ πόλις Ἀπά-

---

O [= aerv], I

5 τῆς χειρός I 6 καὶ om. I 7 ἐν τῶ Oe μαρατοζαβδάλλησ Oav μαράτω ζαβδάλησ Oe καὶ om. Oaev 8 ἐπέτρεψαν OeI ἐπετρέψαμεν Oarv 9 οἶδα Oav 9/10 περιεχόμενα τῶ διδασκαλικῶ IΛ τῶ περιεχομένω διδασκαλικῶ O 11 FL' — DIXIT om. OavI VR Oe IOMES ET PRAESES Oer *dum esset praesens* Λ 12 ἐπιδόμενον Or 17 om. OavI *detulissent* Λ EST OeΛ ST Or 18 ὁσιωτάτοις καὶ ἁγιωτάτοις Oe 19 τῆ μητροπόλει OerI μητροπόλεωσ Oav 21 θεσπισία Or 23 θεολήπτου διδαχῆς I 25 ἀπὸ I ὑπὸ O 26 θεσπισίων Oa θείων θεσπεσίων I 27 ἀγαθὸν OarvI καθαρὸν OeΛ ἔμειναν I 28 μέλη OarvI τεμένη OeΛ 30 μὲν om. Oa ἀμέπτους I 32 εἰσήχθη I ἐστι Oav 33 δυσχερὲσ OeΛ 34 ὑποδέξασθαι Oaev 35 μηδέποτε OrI 36 ταχύτερα OeΛ τὰ τραχύτερα Oav 36/37 τὰ [om. Oarv] τῶν συμβαινόντων OarvI τὰ συμβαίνοντα Oe 37 καὶ δρᾶμα Oe

μεια τὴν Σεβήρου τοῦ κακόφρονος προβολὴν δεξαμένη καὶ μακάριοι μᾶλλον οἱ προκοιμηθέντες καὶ μὴ θεασάμενοι Πέτρον τὸν κληθέντα τῆς ἡμετέρας πόλεως πρόεδρον. ὁσάκις γὰρ ἀνανεούμεθα τῇι μνήμηι τὰ παρ' ἐκείνου πραχθέντα, ἀναπιμπλάμεθα μὲν δικαίας ὀργῆς, ἐγκαλυπτόμεθα δὲ καὶ τοῦ λέγειν τὰ πλημμεληθέντα τὸν λογισμὸν ἀνθελκόμεθα. πλὴν ἡ ἀνάγκη βιάζεται καὶ σιγᾶν τὸν ἅπαντα χρόνον οὐκ ἐᾶι, ἵνα μὴ ἀγνοίαι τινὶ συσκιαζόμενα τὰ μεγέθη τῶν κακῶν χωρήσηι καὶ ἐπὶ τοὺς εὖ ἔχοντας, ὡς εἰκός, καὶ σειρὰν ἑλκύσηι
L V 220 γένους καὶ φρονήματος ἀθέσμου. πολλὰ οὖν κατὰ ταυτὸν συνελθόντα λέγειν ἡμῖν ἐπιτρέπει τὰ κατὰ τῆς ἁγιωτάτης ἡμῶν ἐκκλησίας τολμηθέντα, παραινεῖ δὲ προσφόρως καὶ ὁ τῆς φίλης θεῶι μετανοίας εὐσεβὴς λογισμὸς ἐπὶ ταύτην ἡμᾶς τὴν τεταγμένην καὶ λυσιτελῆ γνώμην χωρεῖν. φανεὶς γάρ, ὡς εἴθε μήποτε, τῆι Ἀπαμέων ὁ εἰρημένος Πέτρος ἐξ ὑπογύου κατὰ τὸ βῆμα τῆς ἐκκλησίας ἀναβεβηκὼς ἀναθεματίζει μὲν τοὺς ὁσίους ἡμῶν πατέρας, ἐξαλείφει δὲ τῶν ἱερῶν διπτύχων τὰς αὐτῶν προσηγορίας, ἀνδρῶν σεμνῶς βεβιωκότων καὶ ὁσίως καὶ ἱδρυσάντων σεβάσμια καὶ προσκυνητὰ τεμένη πάμπολλα καὶ φιλοτιμησαμένων ἱερὰ σκεύη ταῖς θείαις λειτουργίαις καὶ φωτισάντων τοὺς μακαριωτάτους ἡμῶν πατέρας καὶ ἡμᾶς αὐτοὺς καὶ χεῖρας ἐνθέσμως ἐπιτεθεικότων κατὰ πᾶσαν τὴν ἐπαρχίαν καὶ δίχα σκανδάλων οἰκονομησάντων τὰ δίκαια τῶν ἐκκλησιῶν. τὸ δὲ πάντων σχετλιώτερον ὅτι δὴ καὶ τὰ τοιαῦτα τῆς ἀσεβείας ἀδικήματα μικρὰ πάνυ νενομικὼς οὐ μόνον ἐξήλειψε τας εἰρημένας προσηγορίας, ἀλλὰ καὶ ἀντάλλαγμα τῶν ἀγαθῶν ἐκείνων
M VIII 1102 ψυχῶν ἀνατέθεικε τοιχικῆι γραφῆι ἐν τοῖς τοῦ ἁγίου Ἰωάννου Διόσκορον καὶ Τιμόθεον τοὺς κατακρίτους καὶ τοὺς τούτοις παραπλησίους, ὧν ἡ μνήμη παγχάλεπος, εἰ καὶ λέγειν τι κατὰ τεθνεώτων βαρύ. ταῦτα μὲν οὖν, ὅσα πρὸς τὴν καθολικὴν ἐκκλησία νπεπλημμέληται παρ' αὐτοῦ· ἃ δὲ καὶ ἰδίαι προσμείνας τῶι θρόνωι τῆς Ἀπαμέων διὰ τὰς ἡμῶν ἁμαρτίας διήμαρτε Πέτρος, εὔλογον ἡγησάμεθα διὰ βραχέων, ὡς ἔνεστι, κεφαλαιωδέστερον ἀφηγήσασθαι. τῶν γὰρ εὐλαβεστάτων ἀναγνωστῶν ἑστώτων μετὰ πρέποντος λογισμοῦ καὶ αἰτούντων βαθμοῦ μείζονος κατὰ ἀκολουθίαν τυχεῖν, ὃ μάλιστα τῆι φύσει προσπέπηγε τῶν βελτιόνων ἐρᾶν, ἐξαναστὰς μετὰ πολλῆς τῆς θρασύτητος ἀπὸ μηδενὸς λόγου τὴν ἀθέμιτον ταύτην ἀφῆκε φωνὴν ὡς 'εἰ μὴ σιωπήσητε', φησίν, 'χειροτονίαν ὑμῖν ὑποδιακόνων ἐπιθήσω, ἵνα αὐτὸς ὁ σταυρωθεὶς κατελθὼν μὴ λυτρώσηται ὑμᾶς ἐκ τῶν χειρῶν μου'. εἶτα συμβέβηκεν Ἰουλιανὸν, ὃς ἀποδέκτης γέγονε τῶν ἐκκλησιαστικῶν χρημάτων, τελευτῆσαι καὶ τὰ ἐκείνου διοικῆσαι δίκαια Ῥουφῖνον, ἐπὶ πολλοὺς καὶ ἀπείρους χρόνους οἰκονομήσαντα τὰ τῆς ἁγιωτάτης ἡμῶν ἐκκλησίας πράγματα, ὥστε μετὰ τὴν τούτου τελευτὴν πρὸς ἔκτισιν λόγων καὶ χρημάτων εὐθύνεσθαι τοὺς ἐν κατοχῆι τῶν ἐκείνου γενομένους χρημάτων καὶ πολλῶν κινηθέντων συμβιβασθῆναι τὰ μέρη καὶ πρὸς διάλυσιν ἐνεχθῆναι καὶ λόγον, εἰ τὸν ἐκείνου λόγον ἀποκαλεῖν χρή, προστεθῆναί φησιν ὡς ἀνάθεμα πᾶς ἄνθρωπος ἔστω κἂν Παῦλος ὁ ἀπόστολος ἐγκαθίσηι τῶι θρόνωι τούτωι, πρὸς ἀνατροπὴν ἢ μέμψιν ὁρῶν τῶν ἡγησαμένων διαλύσεων. καὶ ὁ ταῦτα διαρρήδην εἰπὼν φαίνεται τὴν οὕτω φρικτὴν ἀπόφασιν παριδὼν καὶ εἰσπράξας φανερὰν χρυσίου ποσότητα. πάλιν ἐροῦμεν καὶ ἕτερόν τι τὸ πᾶσιν ἐγνωσμένον. εἰπὼν γὰρ πρὸς τὸν θεοφιλέστατον οἰκονόμον Εὐστάθιον ὠνηθῆναί τινα σκαμνάλια εἰς λόγον τοῦ σηκρήτου

O [= aerv], l

4 καὶ om. l ἀνελκόμεθα O^{v} ἀνθελκόμενοι l 5 ἀγνοία O^{arv}l ἀνάγκη O^{e}Λ 10 εἴωθε O^{r} 11 ὑπογέου O^{r}Λ 12 δὲ καὶ O^{e} 13 καὶ ὁσίωσ O^{a}Λ om. O^{arv}l πάμπολλα O^{e} πολλὰ O^{arv}l 15 ἐνθέσμουσ O^{e}Λ 19 ἐν τοῖσ O^{arv}l ἐντὸσ O^{e}Λ καὶ Τιμόθεον om. O^{av} 20 τούτουσ O^{v} 21 τῶν τεθνεώτων O^{av} 24 μετὰ τοῦ l 26 ἐρᾶν in δρᾶν corr. O^{r} 27 σιωπήσετε O^{av}l 27/28 ὑποδιακόνων χειροτονίαν ὑμῖν O^{e} 28 λυτρώση O^{v} 29 ὑποδέκτης l 31 οἰκονομήσαντοσ O^{av} τὰ — πράγματα om. O^{r}l 32 εὐθύνεσθαι l ἰθύνεσθαι O^{erv}Λ ἰθύνεσθε O^{a} 33 ἐκείνουσ γενομένων O^{e} χρημάτων O^{e} πραγμάτων O^{arv}l 33 συμβαθῆναι O^{r}l 34 προστεθῆναι φησιν [προσθεῖναι φασιν l] εἰ — χρὴ O^{r}l 36/37 εἰπὼν διαρρήδην l 39 θεοσεβέστατον l σεκρέτου O^{e} σηκρηταρίου O^{a}

τοῦ ἐπισκοπείου καὶ μικρᾶς ὑπερθέσεως γενομένης, ὡσαύτως δυσφημῶν κατὰ τοῦ θείου μεγάλῃ κέκραγε φωνῇ· πάσας τὰς ἐκκλησίας καὶ τὰ θυσιαστήρια κατακαύσοι ὁ θεὸς καὶ ποιήσοι βουνὸν ἕνα, ἵνα τοῖς ἐκείνου χρησώμεθα ῥήμασι. τὸ δὲ καὶ γύναιον ἄσεμνον μὴ ἀξιωθὲν τοῦ θείου φωτίσματος παρεισαγαγεῖν καὶ στῆσαι παρὰ τὴν σεπτὴν κολυμβήθραν L V 221
τῶν θείων κατὰ τὸν εὐκτήριον τῆς θεοτόκου οἶκον ἐπιτελουμένων μυστηρίων ποῖος ἀνέξεται
λόγος ἢ ποία Χριστιανῶν ἀκοὴ τοσαύτην ὑπομείνῃ λεγομένην, μήτι γε δὴ καὶ πραττομένην ἀσέβειαν; μηδεὶς ἀπιστείτω καὶ πρὸς τὴν τῶν ἐφεξῆς λεγομένων ἀλήθειαν. ὑπαγαγὼν γὰρ Στεφάνην τὴν ἀπὸ σκηνῆς τὴν ἐπίκλην Πτεροβόλον καὶ μοναστηρίῳ, φησί, παραδεδωκώς ἰδίαι τε καὶ οὐδενὸς ἑτέρου παρόντος τὸ πολὺ μέρος ἑκάστης ἡμέρας περὶ τὴν ἐκείνης ἄτοπον κολακείαν ἀνήλισκε καί ποτε καὶ Σεβῆρος ὑποτοπήσας ταύτην κατὰ τὴν Ἀντιόχου τὰς διατριβὰς ποιεῖσθαι παρεσκεύασε. καὶ ἔδοξε μὲν ἐπὶ τούτοις ὁ Πέτρος οὐκ ἄχθεσθαι, ἐλαχίστων δὲ διαδραμουσῶν ἡμερῶν ἡ τῆς ὑπομονῆς δοκοῦσα καρτερία τοῖς τοῦ σώματος βέλεσιν ἐγυμνοῦτο πρὸς ἔλεγχον· ὅθεν μὴ φέρων αὐτῆς τὴν ἀπόλειψιν γίνεται καὶ προφάσεως χωρὶς κατὰ τὴν Ἀντιοχέων, τὴν ἐκείνης ταχεῖαν ἐπάνοδον πάντων ἔμπροσθεν ἀσχηματίστως ποιούμενος. καὶ δεινὸν μὲν ὡς ἀληθῶς καὶ ἐλεεινὸν ἀφηγεῖσθαι τοσαῦτα δράματα συμφορῶν· πεποίηκε γὰρ καὶ ἕτερόν τι τῆς αὐτοῦ προπετείας ὡς ἔοικε συγγενές. ἐνδυσάμενος γὰρ τὴν οὐδαμόθεν αὐτῷ κατὰ λόγον M VIII 1103
προσήκουσαν τῆς ἱερωσύνης στολὴν ἄσπρην ὡς ἐν τάξει τῶν θεοφόρων ἀποστόλων ὁ πάσης ἁμαρτίας ὑποβρύχιος, ἐν τῷ Μαρατοζαβδάλης καὶ Νωγέω χωρίῳ καταθέσεως ἁγίων μαρτύρων παρ' αὐτοῦ γινομένης κατατεμὼν εἰς ἄπειρα μέρη τὴν στολὴν διεδίδου
τοῖς εὐχερῶς ἀπατωμένοις ὁ ἀσεβής, ἀγνοῶν ἡλίκον ἐστὶ καὶ τοὺς μετὰ τῆς ἀληθείας πορευομένους τοιούτοις τισὶν ἐγχειρεῖν καὶ παρεκβαίνειν τὰ μέτρα τῆς ἀνθρωπίνης καταστάσεως καὶ τὰ διατάγματα τοῦ δεσπότου καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ τοῦ θεοῦ ἡμῶν. τοσοῦτον γὰρ ἀπετυφλώθη τὸ τῆς ψυχῆς ὄμμα, ὡς ἱστάμενος ἐπὶ θυσίαι ἀναιμάκτοι, ἣ τοῖς ἀξίοις πρόσφορος ἐτύγχανεν, οὐκ ἐκείνοι, καὶ τὴν πᾶσαν διάνοιαν ἀπορρίπτων εἰς τὸν
τῶν γυναίων ἀτενισμόν, πτύσμασι κατέχρωσε τοῦ σεπτοῦ θυσιαστηρίου τὴν ἅλουργίδα, οὐκ εἰδὼς ὡς καὶ ἀπὸ μόνου βλέμματος ἡ ἁμαρτία συνίσταται κατὰ τὴν θείαν γραφήν. Mt. 5, 28
ἀλλ' οὗτος ἡμῖν ὁ χρηστὸς οὐ μόνον ἑώρα, οὐκ ἐψηλάφα πικρῶς, ἀλλὰ καὶ τῶν χειρόνων καθήπτετο· περαιτέρω γὰρ τούτων λέγειν τὰ ἀσχημονέστερα λίαν εἰκότως ὠδίνομεν. τοσαύτη δέ τις ἦν ἡ ἄλογος θρασύτης τῆς ἐκείνου νεότητος, ὡς οὐκ ἐπαύετο τοὺς παρατυγχάνοντας παροινῶν ἐν τῷ ἁγίῳ καὶ φρικωδεστάτῳ καιρῷ τοῦ φωτίσματος. οὐχ ἡγούμεθά τινα διαλανθάνειν τῶν ἀξιωθέντων τῆς θείας μυσταγωγίας, ὅσος ἀγὼν ἐπικρατεῖ τοὺς φοβουμένους τὸν κύριον καθ' ὃν μέλλουσι προσιέναι καιρὸν τῷ θείῳ βαπτίσματι οἱ προκατασχεθέντες τῇ πλάνῃ, καὶ ἐπειδὴ σὺν ἀληθείαι φῶς ἐλεύθερον ἐπιλάμπει ταῖς τοιαύταις ψυχαῖς καὶ δουλείας ἐλευθεροῦνται παγχαλέπου, ἵστανται τὸ σχῆμα τοῦ ἀγῶνος
ἀποπληροῦντες, κάτω νεύοντες καὶ τὰς χεῖρας συμπλέκοντες καὶ τρέμοντες εὐκαίρως καὶ ἀντικαθιστάμενοι τῇ φθονερᾷ τοῦ διαβόλου περιεργίαι, ἅπαξ λύτρωσιν ἀληθῶς τοῦ σωτηρίου φωτίσματος ἀπεκδεχόμενοι. καὶ ὅμως τούτων οὕτως κρατούντων οὐκ ὤκνησεν ἀπώσασθαι μὲν τοὺς μελλοφωτίστους, τῷ δὲ μεγέθει τοῦ τοιούτου θείου καὶ

O [= aerv], I

1 ὑποθέσεως O^{arv} 2 κατακαύσει O^{erv} ὁ om. O^{e} 3 ποιήσει O^{erv} 4 ἁγίου βαπτίσματος I 5 οἶκον τῆς θεοτόκου $O^{rI\Lambda}$ 6 ὑπομείνει O^{rv} μήτοι O^{av} 7 καὶ om. O^{av} πρὸς om. O^{rI} τῶν ἐφεξῆς Λ ἐφεξῆς τῶν OI 8 τῆς σκηνῆς O^{rI} 9 πολὺ μέρος O^{erI} πολυμερὲς O^{av} 10 ὑποτοπάσας O^{r} ὑποσπάσας I 12 δραμουσῶν O^{av} 17 ἔοικε] ἔκε O^{a} 18 ἄσπρην om. I 19 μαρατοζαβδαλλῆς O^{av} μαράτω ζαβδάλης O^{e} καὶ νωγέω $O^{e}\Lambda$ κενόγεω I κενωγίων O^{arv} χωρίω I τοῖς χωρίοις O 20 γενομένης O^{eI} 21 ἁγνοῶν I οὐκ ἁγνοῶν ὡς OΛ 23 διδάγματα I 24 γὰρ om. $O^{av}I\Lambda$ 25 τὸν IΛ τὸν περὶ O 26 γυναικῶν O^{rI} 29 ὠδίνομεν OΛ οὐ δυνάμεθα I 31 τῷ I om. O 33 καιρὸν προσιέναι I 38 κρατούντων οὕτως O^{e}

ἀγαθοῦ χρηματισμοῦ ἀντισηκῶσαι τὴν ἐπιθυμίαν τοῦ συστάντος ὑπ' αὐτοῦ τῶν ἀσκητριῶν, φησίν, ἐργαστηρίου δεινοῦ, ὡς Στέφανος ὁ θεῖος καὶ ἱερώτατος διάκονος ἐπιμαρτυρεῖ
L V 224 ὁ καὶ τὰς προσηγορίας τῶν εἰς τὸ θεῖον βάπτισμα προσιόντων ἐγγράφειν τεταγμένος. καὶ εἰκότως κατὰ τὴν οἰκείαν δόξαν πρὸς τὸ κακὸν ἔρρεπε καὶ ἐνικᾶτο τῇι σωματικῇι τῶν ἐπιτηδευμάτων ἐπιθυμίαι. καὶ τοῦτο γὰρ ἴδιον πέφυκε Μανιχαικῆς ἀταξίας ἡγεῖσθαι τὸ κακὸν ἐνυπόστατον καὶ εἶναι διὰ τοῦτο πολλοὺς τοὺς δουλεύοντας καὶ τῇι κατ' ἐκείνους πονηρᾶι ἀρχῆι. τί δ' ἄν τις καὶ ἐπὶ πλέον διέλθοι περὶ τῶν εἰρημένων δειλαίων γυναίων; ὡς γὰρ ἐθεάσαντο τὴν δικαίαν ἐκβολὴν προελθοῦσαν κατὰ Πέτρου, οὐκέτι λοιπὸν συνέστησαν, ἀλλ' ὑπεχώρουν οἴκαδε δάκρυσι καὶ ὀδυρμοῖς ἀμέτροις θρηνοῦσαι τὴν ἀπόλειψιν καὶ τὸν χωρισμὸν τοῦ εἰρημένου Πέτρου, πρὸς δὲ τούτωι λοιπὸν καὶ τὴν ἡδυπάθειαν τοῦ ἀνδρὸς καὶ τὴν ἄπληστον ὀψοποιίαν, καὶ ὡς ἐπὶ νυμφίωι τεθνεῶτι κλαίουσαι καὶ κοπτόμεναι τὸν ἐκείνου βίον ἐπὶ πλέον κατέχραινον, δεικνῦσαι τὴν ἄσεμνον τοῦ στηλιτευθέντος, οὐ ποιμένος ἱερατικῆς ποίμνης, ἀπώλειαν. εἰ μὴ περαιτέρω τοῦ ἡμετέρου προσχήματος ἦν, καὶ ἕτερά τινα διεξήειμεν περὶ γυναίων εὐπροσώπων καὶ σχηματιζο-
M VIII 1106 μένων πρὸς ἐλευθερίαν ἀνακηρύττεσθαι, ἵνα μηδὲν τραχύτερον εἴποιμεν, τὸ ὅλον παρέχοντες τῶι κακῶι συνειδότι τῶν καὶ πληττομένων ταῖς ἡμετέραις ἐναντίαις φωναῖς, εἰ καὶ μέτρια ὅμως εἴρηταί τινα περὶ Στεφάνης τῆς λεγομένης Πτεροβόλου, πρὸς ἣν ἀδιακόπως ὡς εἰπεῖν διημέρευε καὶ ἣν ἔλεγεν ἐκείνης ἐπὶ τὸ βέλτιον μεταβολὴν ὑποσυλῶν ἐπιθυμίαι σώματος ἐπταισμένου. μάρτυρες τυγχάνουσιν ⟨οἱ⟩ ὑπειλημμένοι τῆς σεμνῆς διακονίας ὑπηρέται πεφυκότες οἳ γεγόνασιν εἰς τὸ Βένετον μέρος, προτρέποντες παρελθεῖν ἐπὶ τὴν πολιορκίαν τοῦ εὐαγοῦς μοναστηρίου τῶν Δωροθέου, ὅτε πλῆθος ἀτάκτων αὐτὸς παραλαβὼν ὥρμησε κατὰ τῶν ἀσκούντων ἐν τῶι εἰρημένωι εὐαγεῖ μοναστηρίωι, ἑταίρας καὶ ὀρχηστρίδας παρεισαγαγὼν καὶ πλῆθος ἐρανιζομένων καὶ μηδὲν εἶδος παραλελοιπὼς πρὸς καθαίρεσιν καὶ ἀναίρεσιν τῶν ἀσκούντων αὐτόθι. ὅτι δὲ καὶ τὴν γαμετὴν στρατιώτου τινὸς τοῦ ἐπίκλην Ψηφᾶ, ὥσπερ καὶ ἐπὶ μυρίαις ἄλλαις, ὑπαγαγὼν τὴν ὀλισθηρὰν φύσιν τῆς γυναικός, τὴν ἐκείνης ἐλευθερίαν ἐπολιόρκησεν, ἴσασι σχεδὸν ἅπαντες καὶ
Lc. 19, 40 κατὰ τὸ γραφικόν, κἂν ἡμεῖς σιωπήσωμεν, οἱ λίθοι κεκράξονται ἣ μὴ δυνηθεῖσα τὴν ἄτοπον ἐπιθυμίαν ὑπομεῖναι τοῦ ἀνδρὸς εἰς φυγὴν ἀπεχώρησε τραγωιδοῦσα τάς τε οἰκείας καὶ τοῦ δεδρακότος ἐπονειδίστους συμφοράς. καλὸν ἂν εἴη μηδὲ τὴν αἰτίαν τῆς κατὰ Ἰουλιανοῦ τοῦ εὐλαβεστάτου λύπης παραδραμεῖν. ἐπειδὴ γάρ τινες ἐκινήθησαν λόγοι ἐν τῶι σηκρήτωι τοῦ ἁγίου Στεφάνου δογματικοὶ καὶ ἀπεκρίνατο ὁ εἰρημένος εὐλαβὴς ἀνὴρ καλῶς καὶ ὁσίως πιστεύειν τὸν εὐσεβέστατον ἡμῶν βασιλέα, ἀχθεσθεὶς ὥσπερ καὶ κεντηθεὶς τὴν ψυχὴν ἐπὶ τῆι δικαίαι ταύτηι φωνῆι, ὑπὸ λόγον καὶ κατάκριμα, φησί, τοῦτον πεποίηκε Πέτρος ὁ τῆς ἀληθείας ἐχθρός, ὁ μηδαμόθεν ἔχων εὔλογον λόγον, ἀλλὰ μόνον κατὰ πάντα προπετὴς ἄντικρυς κάνταῦθα μαχόμενος τῶι φιλοχρίστωι καὶ ὀρθοδόξωι λογισμῶι τοῦ τῆς ὅλης μετὰ θεὸν οἰκουμένης δεσπότου. καὶ ἀρκεῖν μὲν ἡγούμεθα καὶ μίαν τῶν εἰρημένων αἰτίαν καταγωνίσασθαι τὴν ἄσεμνον Πέτρου

29—36 = p. 111, 14—26

O [= aervˇ]

2 θεῖος καὶ ἱερώτατος $O^{e}Λ$ θεοσεβέστατος $O^{arv}I$ 5 ἡγεῖσθαι ΙΛ ἡγεῖσθαι καὶ O 7 πονηρᾶ I τοὺς πονηροτάτους ΟΛ γυναικῶν O^{r} 8 λοιπὸν $O^{e}Λ$ om. $O^{arv}I$ 9 ἀμέτροις $O^{e}Λ$ om. $O^{arv}I$ 10 προειρημένου O^{e} πρὸς — λοιπὸν $O^{e}Λ$ om. $O^{arv}I$ 12 πλεῖον I 13 τῆς Ιερατικῆς I 16 ἐναντίαις $O^{e}I$ om. O^{arv} 17 ὁμοίως O^{r} περιβόλου O^{v} ἀδιακόπτως O^{e} 18 διημερεύετο O καὶ ΟΛ δι' I ἐπιθυμίαν I 19 οἱ suppleui 20 πεφυκότες — γεγόνασιν $O^{arv}I$ γεγονότες — πεφύκασιν $O^{e}Λ$ 21 τῶν] τοῦ O^{r} 22 ἑτέρας I 23 ὀρχιστρίδας O^{ar} ἐρρανιζόντων O^{a} 25 τοῦ O^{arv} τὸ O^{e} 28 ὑπομεῖναι om. O^{r} φυγὴν $O^{aevΛ}$ σφαγὴν $O^{r}I$ 29 καὶ τὰς O^{e} 30 εὐλάττου O^{a} 31 σεκρέτῳ O^{e} 33 ταύτης O^{r} 34 πεποιηκέναι I 36 ὀρθοδόξῳ καὶ φιλοχρίστῳ O^{r} τῆς] τοῖς O^{v} δεσπόταις corr. in δεσπότες O^{v}

πολιτείαν· τῶι δὲ καὶ χρήμασι χειροτονεῖν, ὃ δὴ μάλιστα φαίνεται πεποιηκὼς ἐπὶ Ἀντιόχωι
τῶι μυρεψῶι, τῆι τε ἀκολουθίαι τῶν θείων διατυπώσεων καὶ τῆι ὁμοίαι τῶν τοιούτων L V 225
ὑποθέσεων κρίσει φαίνεται μαχησάμενος, ὥστε πανταχόθεν ἔκπτωσιν ὑπομένειν ἧς ἔχειν
ἐφαντάζετο μάτην ἱερωσύνης. ἐπιμνησθῆναι καὶ τοῦ δοχείου τῆς ὅλης ἀσεβείας οὐκ
ἔξω λόγου καθέστηκε. τὸ γὰρ λεγόμενον μοναστήριον τοῦ Ῥωμανοῦ ἀντὶ προσευχῶν 5
καὶ πολιτείας ἡμέρου καὶ ἧς προσήκει τοὺς ἀνακεχωρημένους ἀσπάζεσθαι, ψαλμοὺς
ἀναθεμάτων κατὰ τῶν ὁσίων πατέρων ἡμῶν οἱ χρηματισταὶ καὶ οὐ μοναχοὶ μᾶλλον
ποιεῖν ἐδιδάχθησαν. ἔχοντες γὰρ Πέτρον τὸν ἡγεμόνα τῶν κακῶν ταύτην ἐμπορίαν
ἐποιοῦντο κατὰ τῆς ἐκκλησίας τοῦ θεοῦ, πρεσβυτέρους δῆθεν χειροτονοῦντες ἐξ αὐτῶν
καὶ παραμοναρίους καὶ ξενοδόχους ἱστῶντες καὶ πανταχόθεν ὑποσυλῶντες τῶν πτωχῶν 10
τὴν ἀναγκαίαν τροφήν. ἀλλ' εἰ καὶ τὸ ἀληθὲς οὕτως ἔχειν οὐκ ἂν ἀρνηθείη ποτε,
ἡμεῖς προσευχόμεθα πρὸς τὴν φίλην θεῶι μετάνοιαν τούτους ἰδεῖν καὶ λύσιν εὐπρόσδεκτον
καὶ Χριστιανοῖς πρέπουσαν λαβεῖν τῶν προηγησαμένων δυσκόλων. ἐπὶ τούτοις
ἅπασι τοῦ κακοῦ νεμηθέντος καὶ τοῦ θεοῦ τὴν ἐκείνων ἀποστραφέντος ῥύμην, νῦν ὅτε 14
τὴν χρηστὴν παρρησίαν δρεπόμεθα δωρηθεῖσαν ἡμῖν ὑπὸ τε τῆς αὐτοῦ φιλανθρωπίας M VIII 1107
καὶ τοῦ εὐσεβεστάτου καὶ ὀρθοδόξου ἡμῶν βασιλέως καὶ τῶν ἁγιωτάτων ἐνθέσμων πα-
τριαρχῶν καὶ τῶν μεγίστων ἐξουσιῶν, καθὰ καὶ μεγίστη πεφοίτηκε πρόσταξις καὶ γέγονεν
ἐμφανὴς κατὰ τὸ λαμπρὸν ἡγεμονικὸν δικαστήριον, πιστεύοντες καὶ κατακολουθοῦντες
τῶι εὐσεβεῖ σκοπῶι τοῦ γαληνοτάτου ἡμῶν βασιλέως καὶ τῶν ἁγιωτάτων ἐνθέσμων
πατριαρχῶν συνείδομεν τὸ καθ' ἕκαστον τούτων διασαφηνίσαι διὰ τῶνδε τῶν λιβέλλων 20
καὶ ἀναγαγεῖν ἐπὶ τὴν ὑμετέραν πατρότητα πρὸς εὐμάθειαν ἀκριβῆ καὶ γνῶσιν τῶν
παρηκολουθηκότων, εὖ εἰδότας ὡς εἰ καί τις κατὰ συγχώρησιν δοίη χειροτονίαν ἔνθεσμον
προελθεῖν ἐπὶ Πέτρωι, τοσούτων ἡγησαμένων πλημμελημάτων ἀλλότριος ἂν ἀπεφάνθη
τῆς τῶν Χριστιανῶν ἱερωσύνης, ἐφ' ὧι τε τὸ καθ' ἕκαστον τούτων ἐπισταμένους τοὺς
ὁσιωτάτους ὑμᾶς κρῖναι τὰ τοῖς θείοις κανόσι δοκοῦντα καὶ πρὸς λυσιτέλειαν ὁρῶντα 25
τῆς καθ' ἡμᾶς ἁγιωτάτης ἐκκλησίας, σύμπαντα ταῦτα γνώριμα καθιστῶντας, εἰ συνίδοιτε,
καὶ τοῖς ἁγιωτάτοις ἐνθέσμοις πατριάρχαις καὶ τῶι κρατίστωι ἡμῶν βασιλεῖ πρὸς τὸ
παριστάμενον καὶ ἀρέσκον τῆι τε αὐτῶν γαληνότητι καὶ τῆι ὁσίαι τῶν μακαριωτάτων
ἀνδρῶν ἐπικρίσει, ἵνα Χριστοῦ τοῦ θεοῦ ἡμῶν τὰ συμφέροντα βραβεύοντος πᾶσιν ἡμῖν
εἰρήνη καὶ ἀνόθευτος ἕνωσις γένηται ταῖς ἁγίαις αὐτοῦ ἐκκλησίαις καὶ ἐνιδρυνθείη τῆι 30
Ἀπαμέων μητροπόλει ὅσιος λογικὸς ἥπιος ἀνήρ, ἐπ' ἀγαθῶι χορηγῶν τῆι καθ' ἡμᾶς
ἐπαρχίαι τὰ λυσιτελοῦντα. ταύτην γὰρ ἔχοντες τὴν ἀγαθὴν ἐλπίδα καὶ ἀφορῶντες
εἰς θεὸν καὶ τὸν εὐσεβέστατον ἡμῶν βασιλέα καὶ τοὺς ἁγιωτάτους πατριάρχας, καὶ τὰς
προσηγορίας τῶν μακαρίων ἡμῶν ἐπισκόπων ἐνεγράψαμεν τοῖς ἱεροῖς διπτύχοις κατὰ
τὴν ἀρχαίαν τάξιν τῆς ἱερατικῆς καταστάσεως καὶ προσευχόμεθα Χριστῶι τῶι θεῶι 35
ἡμῶν ἄσειστα διαφυλάξαι τὰ ἀήττητα σκῆπτρα τοῦ γαληνοτάτου ἡμῶν βασιλέως τοσαύτην
πρόνοιαν φιλοτιμησαμένου ταῖς ἁπανταχοῦ ἐκκλησίαις καὶ ἡμᾶς ἐλευθερώσαντος τῆς
πικρᾶς καὶ μοχθηρᾶς προαιρέσεως Πέτρου τοῦ τὰ δίκαια τῆς ἡμετέρας ἐκκλησίας λυμη-
ναμένου κατὰ τὴν τῶν ἀφηγηθέντων δύναμιν, ἵνα τὰ πολλὰ παρέντες τοῖς ἐν τῶι τέως

O [= aerv], I

1 τῶι I τὸ O 3 μαχεσάμενοσ O^{e} 5 τοῦ $O^{arv}I$ τῶν O^{e} 6 ἧσ $O^{er}IΛ$ οὗσ O^{av} 7 ἀνάθεμα τῶν O^{av} ἡμῶν I om. OΛ οἱ] οὐ O^{r} 8 ταύτην O^{arv} ταύτην τὴν $O^{e}Λ$ μάτην I 9 ἐποιοῦντο $O^{arv}I$ ποιοῦντα $O^{e}Λ$ 16/17 καὶ τῶν — πατριαρχῶν $O^{r}I$ om. O^{aev} 17 μεγίστων $O^{r}I$ μεγάλων O^{aev} 20 συνείδομεν I συνοίδαμεν O διασαφῆσαι $O^{r}I$ τῶνδε om. O^{a} 22 ἔκθεσμον O^{av} 23 ἐλθεῖν I ἂν ἀπεφάνθη $O^{e}Λ$ ἀνεπεφάνθη O^{av} ἐναπεφάνθη $O^{r}I$ 26 καθιστῶντεσ O^{e} συνίδοιτε I συνειδῆτε O 28 ἀρέσκων O^{r} αὐτῶν [plur. maiest.] $O^{e}I$ αὐτοῦ O^{arv} τῆσ ὁσίασ O^{r} 30 γένηται καὶ I αὐτοῦ ἁγίαισ $O^{r}I$ ἐνιδρηθείη O^{v} 31/32 τὰ τῆι — ἐπαρχία λυσιτελοῦντα I 33 βασιλέαν O^{v} ἁγίουσ O^{a} 34 ἐνετάξαμεν I 36 ἀδιάσειστα φυλάξαι O^{e} 38 αἱρέσεωσ $IΛ$ 39 παρόντεσ O^{r}

L V 228 ἀφηγηθεῖσιν ἀρκεσθῶμεν. ταῦτα δὲ σύμπαντα αἰτοῦμεν καὶ ἐνορκοῦμεν γνωρισθῆναι διά τε τῆς ὑμετέρας ὁσιότητος καὶ τοῦ μεγαλοπρεπεστάτου τῆς ἐπαρχίας ἄρχοντος· δι' ὃ καὶ ἐμφανὲς τοῦτο κατεστήσαμεν.

THALLELAEVS REVERENTISSIM' PRESB' DIXIT: Παρήμην ὅτε εἶπεν ὁ γενόμενος ἡμῶν ἐπίσκοπος Πέτρος τὸ βλάσφημον ῥῆμα κατὰ τοῦ σταυρωθέντος ἀγανακτῶν τοῖς ἀναγνώσταις. οἶδα δὲ καὶ περὶ τοῦ εἰπεῖν αὐτὸν κατὰ τῶν ἐκκλησιῶν καὶ τῶν θυσιαστηρίων τὸ βλάσφημον ῥῆμα.

HESVCHIVS REVERENTISSIM' PRESB' DIXIT: Ἐκ τῶν ἀναγνωσθέντων κεφαλαίων φέρω ἐπὶ μνήμης ἀκηκοέναι τὸ παρὰ Πέτρου τοῦ γενομένου ἐπισκόπου ῥηθὲν βλάσφημον ῥῆμα κατὰ τοῦ σταυρωθέντος Χριστοῦ τοῦ ἐπὶ πάντων θεοῦ ὑπὲρ τῆς ἡμετέρας σωτηρίας, ἡνίκα ἠγανάκτησε κατὰ τῶν ἀναγνωστῶν. οἶδα δὲ τὸ τηνικαῦτα τυγχάνων ἐν τῷι εὐκτηρίωι τῆς ἁγίας θεοτόκου Μαρίας ἀκηκοέναι ὡς ὁ αὐτὸς ἐπίσκοπος λαβών τινα
M VIII 1110 μήπω τοῦ ἁγίου ἀξιωθεῖσαν φωτίσματος εἶχεν ἐν τῷι βαπτιστηρίωι πλησίον τῆς κολυμβήθρας, δι' ὃ καὶ οἱ τότε ὄντες ἐκεῖ ἔφριττον.

ROMANVS REV' PRESB' DIXIT: Εἰ μὲν ἐγὼ μόνος ἢ τεθέαμαι ἢ ἀκήκοα γενόμενον τι ἢ ῥηθὲν ιταρὰ Πέτρου τοῦ γενομένου ἡμῶν ἐπισκόπου, εἶχον ἂν παρασιωπῆσαι, μήπως ὡς κατήγορος κριθείην· ἐπειδὴ τοίνυν τὴν ἐκ θυμοῦ ῥηθεῖσαν βλάσφημον φωνὴν παρ' αὐτοῦ κατὰ τοῦ σταυρωθέντος ἐπὶ πάντων τῶν εἰς προσηγορίαν ἀνελθόντων εὐλαβεστάτων κληρικῶν εἴρηκε, τούτου χάριν κἀγὼ οἶδα ἀκηκοέναι. ὁμοίως δὲ καὶ τὸ κατὰ τὸ εὐκτήριον τῆς ἀειπαρθένου καὶ θεοτόκου Μαρίας γενόμενον, ἐπείπερ καὶ αὐτὰ γνώριμα τοῖς πλείοσι καθέστηκεν, ἐρῶ, ὡς τὴν Ἐμισηνήν, Μαρίαν φημὶ τὴν ἀπὸ σκηνῆς, κατ' ἐπιτροπὴν αὐτοῦ πολλάκις εἰσήγαγον ἐν τῷι ἁγίωι φωτιστηρίωι καὶ τῶν ἁγίων μυστηρίων ἐπιτελουμένων πρὸ τοῦ ἀξιωθῆναι αὐτὴν τοῦ ἁγίου φωτίσματος προσδιηλέχθη αὐτῆι ἰδίαι. οἶδα δὲ ἀκριβῶς καὶ ὑπουργὸς γέγονα καὶ τῆς κατὰ χώραν τομῆς καὶ διανομῆς τῆς στολῆς.

ANVSIVS REV' PRESB' DIXIT: Τότε διάκονος τυγχάνων, μετέδιδον εἰς τὸ ἅγιον φωτιστήριον τοῦ εὐκτηρίου οἴκου τῆς ἁγίας Μαρίας ἑβδομαδάριος ὤν, καὶ ἦλθεν ὁ παραμονάριος καὶ ὁ πρεσβύτερος Ῥωμανὸς λέγων· ὄντως σὺ ἔπαρον τὴν κοινωνίαν καὶ ἄπελθε μετάδος εἰς τὸ ὑποδιακονικόν, ἐπειδὴ ὁ μέγας θέλει διαλεχθῆναι ὧδε Μαρίαι τῆι Ἐμισηνῆι. οἶδα δὲ ὅτι καὶ τοῦτο εἶπεν εἰς τὰ κατὰ τοὺς κληρονόμους Ῥουφίνου ὅτι ποιήσατε τὰς διαλύσεις τοῖς κληρονόμοις Ῥουφίνου καὶ ἔνθετε τριακοσίων νομισμάτων πρόστιμον, καὶ εἴ τις ἂν θέλῃι παραβῆναι τὰς διαλύσεις ταύτας, κἂν Παῦλος ὁ ἀπόστολος ἀναστῆι καὶ καθίσῃι εἰς τὸν θρόνον τοῦτον, ἀνάθεμα ἔστω.

MEGAS REVERENTISSIM' PRESB' DIXIT: Παρήμην ἐν τῆι προσηγορίαι τῆι γενομένηι ἐν τῷι ἐπισκοπείωι, ὅτε εἶπεν ὁ ἐπίσκοπος Πέτρος τοῖς ἀναγνώσταις ὅτι εἰ ἐποίησα ὑμᾶς ὑποδιακόνους, αὐτὸς ὁ σταυρωθείς, εἰ κατέβῃ, οὐκ ἐρρύετο ὑμᾶς τῶν χειρῶν μου.

O [= aerv], I

1 πάντα I 4 etc. omnia Latina om. O^{av}I plerumque spatiis relictis *Natalis* Λ 8 HESVSNIVS O^{er} *Nesinius* Λ 11 τυγχάνον O^{r} 12 ἁγίας καὶ O^{e} 13 μήπωσ O^{r} βαπτίσματοσ I φωτιστηρίω O^{r}I 15 ἢ^{1} om. O^{r} 16 μήπω O^{e} 17 ἐπεὶ δὲ I 18 ἐλθόντων O^{arv}I 20 τὸ O^{r}I τὸν O^{aev} καὶ^{1} om. O^{e} μαρίασ οἶκον O^{e}Λ αὐτὸ γνώριμον I 21 καθέστηκε τοῖσ πλείοσιν O^{r}I ἐμεσηνὴν O^{a}I ἐμεσινὴν O^{r} τῆσ σκηνῆσ O^{r}I 23 προσδιειλέχθη O^{av} προδιηλέχθη O^{r} προδιειλέχθη I 24 τὴν χώραν O^{av} I τιμῆσ O^{av} 26 ANVSIV O^{er} *Anicetus* Λ μετεδίδων O^{e} μετεδίδουν I 27 ἑβδομάριοσ O^{rv}I 29 διαλεχθῆναι θέλει O^{e} 30 ἐμεσηνῆ O^{a}I ἐμεσινῆ O^{r} τὰ O^{r}I τὸ O^{aev} 31 ὅτι — Ῥουφίνου om. O^{v} τὰσ om. I 32 ἂν θέλῃ O^{erv} θέλει O^{a} 34—p. 99,1 Παρήμην — DIXIT om. O^{e}Λ 35 ὅτι εἰ ἐποίησα O^{av}I ὅτε ἐποίει O^{r} 36 ἐρύετο O^{rv} ἐρρύσατο I

IOHANNES REVERENTISSIM' PRESB' DIXIT: Ἐπειδὴ ὁ θεὸς πρόκειται καὶ δεῖ τὴν ἀλήθειαν ἐξειπεῖν, παρέτυχον ἐν τῶι σηκρήτωι τοῦ τιμίου ἐπισκοπείου εἰς τὸ δευτερόπασχα τῆς διελθούσης ἐνδεκάτης ἐπινεμήσεως, ὅτε κινηθεὶς κατὰ τῶν ἀναγνωστῶν ὁ προλεχθεὶς d. 22. m. April. Πέτρος ἐθυμώθη καὶ εἶπε τὴν φωνὴν ταύτην ὅτι τῆι νυκτὶ ταύτηι διενοήθην ἀπὸ ἀνα- a. 518
γνωστῶν ὑποδιακόνους ὑμᾶς ποιῆσαι καὶ εἰ ἐπέθηκά τινι ἐξ ὑμῶν τὴν χεῖρα, ὁ σταυρωθεὶς
κατελθὼν οὐκ ἂν αὐτὸν ἐξείλετο τῆς χειρός μου. ὡσαύτως δὲ καὶ πρὸ τούτου ὅτε ἐπέτρεψεν L V 229
ἀγορασθῆνα τὰ λινᾶ σκαμνάλια εἰς λόγον τοῦ σηκρήτου τοῦ ἐπισκοπείου, ἀγανακτήσας
κατὰ Εὐσταθίου τοῦ θεοφιλεστάτου οἰκονόμου εἶπεν ὅτι κάλλιόν ἐστι τὸν θεὸν κατα-
καῦσαι τὰς ἐκκλησίας καὶ ποιῆσαι βουνὸν ἕνα.

ANTONINVS REV' PRESB' DIXIT: Τελευτήσαντος Ῥουφίνου τοῦ μακαριωτάτου οἰκονόμου M VIII 1111
γεγονότος τῆς κατὰ τήνδε τὴν μητρόπολιν ἁγιωτάτης ἐκκλησίας συναγαγὼν ἅπαντα
τὸν εὐαγῆ κλῆρον Πέτρος ὁ γενόμενος ἡμῶν ἐπίσκοπος ἀπήιτει ὡς ἐπὶ μάρτυρι τῶι ἐπὶ
πάντων θεῶι ἀπαγγεῖλαι, εἴ τι κατὰ τὸν καιρὸν τῆς αὐτοῦ οἰκονομίας ἔβλαψεν ἢ παρεῖδεν
ἢ ἐσφετερίσατο ἐν τοῖς ἐκκλησιαστικοῖς, κἀμοῦ πολλὰ ἐξειπόντος κεφάλαια εἰς πολλὴν
χρυσίου ποσότητα συντείνοντα, μετὰ πολλὰ τὰ κινηθέντα ὁρίσαντος αὐτοῦ τινὰ παρασχεῖν
ἀντὶ πολλῶν τοὺς κληρονόμους τοῦ αὐτοῦ Ῥουφίνου ἔφη γενέσθαι αὐτοῖς διαλύσεις καὶ
ἐντεθῆναι τριακοσίων νομισμάτων πρόστιμον ὥστε τὰς εἰρημένας διαλύσεις κρατύνεσθαι· εἰ
δ' οὔ, ἀναθέματι ὑποβαλῶ τοὺς μετὰ τὰς τοιαύτας διαλύσεις τὶ ὑπεναντίον διαπραττομένους,
κἂν Παῦλος ὁ ἀπόστολος ἀναστὰς καθίσηι εἰς τὸν θρόνον τοῦτον. τῆι δὲ νέαι κυριακῆι
τοῦ παρελθόντος ἁγίου πάσχα εἰς προσκύνησιν ἀνελθόντος τοῦ παντὸς κλήρου, ἀκήκοα
παρ' αὐτοῦ, εἰπόντος αὐτοῦ πρὸς τοὺς εὐλαβεστάτους ἀναγνώστας τὸν περὶ τοῦ ὑπὲρ
τῆς ἡμετέρας ζωῆς σταυρωθέντος βλάσφημον λόγον κατὰ τὰ κατατεθέντα ὑπὸ Στεφάνου
καὶ Πέτρου καὶ Ἰουλιανοῦ τῶν τηνικαῦτα εὐλαβεστάτων ἀναγνωστῶν, νῦν δὲ διακόνων.
γενόμενος δὲ ἐν σαββάτωι ἐν τῆι συνάξει ἐν τῶι εὐκτηρίωι τῆς ἁγίας παρθένου καὶ θεο-
τόκου Μαρίας ἔγνων εἰσελθόντα αὐτὸν ἐν τῶι φωτιστηρίωι τῆς αὐτῆς ἁγίας θεοτόκου
Μαρίας καὶ διαλεγόμενον γυναικί τινι μήπω μετόχωι γενομένηι, οὐ λέγω τῶν ἁγίων
μυστηρίων, ἀλλ' οὐδὲ αὐτῆς τῆς ἁγίας σφραγῖδος, κακεῖθεν αὐτὸν πλειστάκις ἐδεξάμεθα
ἐξιόντα, διάκονος τὸ τηνικαῦτα τυγχάνων. οὐκ ἔστι δὲ μέσος οἶκος, εἰ μὴ τὸ τίμιον
διακονικόν.

STEPHANVS ET ALTER STEPHANVS PRESB' DIXERVNT: Ἐν τῶι φωτιστηρίωι ὄντες εἰς
κατήχησιν τῶν νεοφωτίστων ἀπὸ στιχαρίων καὶ ἀνυποδήτων ὄντων ἐφορκιζόντων
αὐτοὺς τῶν διακόνων, ἐλθὼν ὁ γενόμενος ἡμῶν ἐπίσκοπος Πέτρος ἔβαλεν ἡμᾶς ἔξω μετὰ
καὶ τῶν νεοφωτίστων καὶ εἰσήγαγε τὰς κανονικὰς καὶ ἰδίαζεν αὐταῖς ἐπὶ πολλὰς ὥρας.
ἀκηκόαμεν δὲ καὶ ἡμεῖς μετὰ τῶν ἄλλων καὶ τὸν λόγον ὃν εἶπε πρὸς τοὺς ἀναγνώστας
κατὰ τοῦ σταυρωθέντος ὑπὲρ τῆς ἡμετέρας ζωῆς.

EVTVCHIANVS REV' DIACON' DIXIT: Κατὰ τὸ ἔθος προσηγορίας γινομένης ἐν τῶι σηκρή-
τωι τοῦ τιμίου ἐπισκοπείου ἀκήκοα τὸ ῥῆμα τὸ παρ' αὐτοῦ ῥηθὲν κατὰ τοῦ σταυρωθέντος.

O [= ac, r (usque ad 29), v], I [usque ad 20]

1 ὁ om. O^e 2 σεκρέτω O^e δευτερόπασχα O^rI δεύτερον πάσχα O^e δευτερόπασχον O^{av} 4 τῆ φωνῆ ταύτη O^r 6 αὐτὸν [αὐτὸ siue αὐτὸσ O^v] ἐξείλετο $O^{ev}Λ$ αὐτοὺσ ἐξείλετο O^a ἐξείλετο ὑμᾶσ O^r ἐξείλετο I 7 λινὰ O^{aev} λιτὰ O^rI σεκρέτου O^e 11 ἁγιωτάτην ἐκκλησίαν O^v 12/13 τῶ ἐπὶ πάντων $O^eΛ$ om. $O^{arv}I$ 15 ὁρίσαντοσ αὐτοῦ O ὁρίσασ I 17 ὥστε I εἰπὼν ὡσ καὶ OΛ εἰ δ'οὔ I om. OΛ 18 ὑποβαλῶ O^r ὑποβάλλω I ὑποβαλὼν O^{aev} 19 καθίστη O^v 21 αὐτοῦ: om. $O^{av}I$ 22 τεθέντα O^v 23 εὐλαβεστάτων om. I 24 γινόμενος I δὲ om. O^a εὐκτηρίω οἴκω $O^eΛ$ 25/26 ἔγνων — Μαρίας om. $O^{rv}I$ 25 ἁγίασ καὶ O^a 26 καὶ διαλεγόμενον O διελέγετο I 27 ἐδεξάμην I 28 τοτηνικαῦτα $O^{aev}I$ τῶ τότε O^r τὸ τίμιον] τόμιον O^r 30—101, 22 πεντή-κοντα] καὶ οἱ λοιποὶ πάντεσ τοῖσ κατατεθεῖσι λιβελλικῶσ συμμαρτυροῦμεν ἅτε τούτων καὶ ἀκροαταὶ καὶ αὐτόπται γενόμενοι O^rI 30 STEPHANVS bis O^e 21 ἐπιορκιζόντων O^e 36 γενομένησ O^e 36/37 σεκρέτω O^a

L V 228 ἀφηγηθεῖσιν ἀρκεσθῶμεν. ταῦτα δὲ σύμπαντα αἰτοῦμεν καὶ ἐνορκοῦμεν γνωρισθῆναι διά τε τῆς ὑμετέρας ὁσιότητος καὶ τοῦ μεγαλοπρεπεστάτου τῆς ἐπαρχίας ἄρχοντος· δι' ὃ καὶ ἐμφανὲς τοῦτο κατεστήσαμεν.

THALLELAEVS REVERENTISSIM' PRESB' DIXIT: Παρήμην ὅτε εἶπεν ὁ γενόμενος ἡμῶν ἐπίσκοπος Πέτρος τὸ βλάσφημον ῥῆμα κατὰ τοῦ σταυρωθέντος ἀγανακτῶν τοῖς ἀναγνώσταις. οἶδα δὲ καὶ περὶ τοῦ εἰπεῖν αὐτὸν κατὰ τῶν ἐκκλησιῶν καὶ τῶν θυσιαστηρίων τὸ βλάσφημον ῥῆμα.

HESVCHIVS REVERENTISSIM' PRESB' DIXIT: Ἐκ τῶν ἀναγνωσθέντων κεφαλαίων φέρω ἐπὶ μνήμης ἀκηκοέναι τὸ παρὰ Πέτρου τοῦ γενομένου ἐπισκόπου ῥηθὲν βλάσφημον ῥῆμα κατὰ τοῦ σταυρωθέντος Χριστοῦ τοῦ ἐπὶ πάντων θεοῦ ὑπὲρ τῆς ἡμετέρας σωτηρίας, ἡνίκα ἠγανάκτησε κατὰ τῶν ἀναγνωστῶν. οἶδα δὲ τὸ τηνικαῦτα τυγχάνων ἐν τῷι εὐκτηρίωι τῆς ἁγίας θεοτόκου Μαρίας ἀκηκοέναι ὡς ὁ αὐτὸς ἐπίσκοπος λαβών τινα
M VIII 1110 μήπω τοῦ ἁγίου ἀξιωθεῖσαν φωτίσματος εἶχεν ἐν τῷι βαπτιστηρίωι πλησίον τῆς κολυμβήθρας, δι' ὃ καὶ οἱ τότε ὄντες ἐκεῖ ἔφριττον.

ROMANVS REV' PRESB' DIXIT: Εἰ μὲν ἐγὼ μόνος ἦ τεθέαμαι ἢ ἀκήκοα γενόμενον τι ἢ ῥηθὲν παρὰ Πέτρου τοῦ γενομένου ἡμῶν ἐπισκόπου, εἶχον ἂν παρασιωπῆσαι, μήπως ὡς κατήγορος κριθείην· ἐπειδὴ τοίνυν τὴν ἐκ θυμοῦ ῥηθεῖσαν βλάσφημον φωνὴν παρ' αὐτοῦ κατὰ τοῦ σταυρωθέντος ἐπὶ πάντων τῶν εἰς προσηγορίαν ἀνελθόντων εὐλαβεστάτων κληρικῶν εἴρηκε, τούτου χάριν κἀγὼ οἶδα ἀκηκοέναι. ὁμοίως δὲ καὶ τὸ κατὰ τὸ εὐκτήριον τῆς ἀειπαρθένου καὶ θεοτόκου Μαρίας γενόμενον, ἐπείπερ καὶ αὐτὰ γνώριμα τοῖς πλείοσι καθέστηκεν, ἐρῶ, ὡς τὴν Ἐμισηνήν, Μαρίαν φημὶ τὴν ἀπὸ σκηνῆς, κατ' ἐπιτροπὴν αὐτοῦ πολλάκις εἰσήγαγον ἐν τῷι ἁγίωι φωτιστηρίωι καὶ τῶν ἁγίων μυστηρίων ἐπιτελουμένων πρὸ τοῦ ἀξιωθῆναι αὐτὴν τοῦ ἁγίου φωτίσματος προσδιηλέχθη αὐτῆι ἰδίαι. οἶδα δὲ ἀκριβῶς καὶ ὑπουργὸς γέγονα καὶ τῆς κατὰ χώραν τομῆς καὶ διανομῆς τῆς στολῆς.

ANVSIVS REV' PRESB' DIXIT: Τότε διάκονος τυγχάνων, μετέδιδον εἰς τὸ ἅγιον φωτιστήριον τοῦ εὐκτηρίου οἴκου τῆς ἁγίας Μαρίας ἑβδομαδάριος ὤν, καὶ ἦλθεν ὁ παραμονάριος καὶ ὁ πρεσβύτερος Ῥωμανὸς λέγων· ὄντως σὺ ἔπαρον τὴν κοινωνίαν καὶ ἄπελθε μετάδος εἰς τὸ ὑποδιακονικόν, ἐπειδὴ ὁ μέγας θέλει διαλεχθῆναι ὧδε Μαρίαι τῆι Ἐμισηνῆι. οἶδα δὲ ὅτι καὶ τοῦτο εἶπεν εἰς τὰ κατὰ τοὺς κληρονόμους Ῥουφίνου ὅτι ποιήσατε τὰς διαλύσεις τοῖς κληρονόμοις Ῥουφίνου καὶ ἔνθετε τριακοσίων νομισμάτων πρόστιμον, καὶ εἴ τις ἂν θέλῃι παραβῆναι τὰς διαλύσεις ταύτας, κἂν Παῦλος ὁ ἀπόστολος ἀναστῆι καὶ καθίσῃι εἰς τὸν θρόνον τοῦτον, ἀνάθεμα ἔστω.

MEGAS REVERENTISSIM' PRESB' DIXIT: Παρήμην ἐν τῆι προσηγορίαι τῆι γενομένηι ἐν τῷι ἐπισκοπείωι, ὅτε εἶπεν ὁ ἐπίσκοπος Πέτρος τοῖς ἀναγνώσταις ὅτι εἰ ἐποίησα ὑμᾶς ὑποδιακόνους, αὐτὸς ὁ σταυρωθείς, εἰ κατέβη, οὐκ ἐρρύετο ὑμᾶς τῶν χειρῶν μου.

O [= aerv], I

1 πάντα I 4 etc. omnia Latina om. $O^{av}I$ plerumque spatiis relictis *Natalis* Λ 8 HESVSNIVS O^{er} *Nesinius* Λ 11 τυγχάνον O^{r} 12 ἁγίας καὶ O^{e} 13 μήπωσ O^{r} βαπτίσματοσ I φωτιστηρίω $O^{r}I$ 15 ἢ¹ om. O^{r} 16 μήπω O^{e} 17 ἐπεὶ δὲ I 18 ἐλθόντων $O^{arv}I$ 20 τὸ $O^{r}I$ τὸν O^{aev} καὶ¹ om. O^{e} μαρίασ οἶκον $O^{e}Λ$ αὐτὸ γνώριμον I 21 καθέστηκε τοῖσ πλείοσιν $O^{r}I$ ἐμεσηνὴν $O^{a}I$ ἐμεσινὴν O^{r} τῆσ σκηνῆσ $O^{r}I$ 23 προσδιειλέχθη O^{av} προδιηλέχθη O^{r} προδιειλέχθη I 24 τὴν χώραν O^{av} I τιμῆσ O^{av} 26 ANVSIV O^{er} *Anicetus* Λ μετεδίδων O^{e} μετεδίδουν I 27 ἑβδομάριοσ $O^{rv}I$ 29 διαλεχθῆναι θέλει O^{e} 30 ἐμεσηνῆ $O^{a}I$ ἐμεσινῆ O^{r} τὰ $O^{r}I$ τὸ O^{aev} 31 ὅτι — Ῥουφίνου om. O^{v} τὰσ om. I 32 ἂν θέλῃ O^{erv} θέλει O^{a} 34—p. 99,1 Παρήμην — DIXIT om. $O^{e}Λ$ 35 ὅτι εἰ ἐποίησα $O^{av}I$ ὅτε ἐποίει O^{r} 36 ἐρύετο O^{rv} ἐρρύσατο I

IOHANNES REVERENTISSIM' PRESB' DIXIT: Ἐπειδὴ ὁ θεὸς πρόκειται καὶ δεῖ τὴν ἀλήθειαν ἐξειπεῖν, παρέτυχον ἐν τῶι σηκρήτωι τοῦ τιμίου ἐπισκοπείου εἰς τὸ δευτερόπασχα τῆς διελθούσης ἑνδεκάτης ἐπινεμήσεως, ὅτε κινηθεὶς κατὰ τῶν ἀναγνωστῶν ὁ προλεχθεὶς Πέτρος ἐθυμώθη καὶ εἶπε τὴν φωνὴν ταύτην ὅτι τῆι νυκτὶ ταύτηι διενοήθην ἀπὸ ἀναγνωστῶν ὑποδιακόνους ὑμᾶς ποιῆσαι καὶ εἰ ἐπέθηκά τινι ἐξ ὑμῶν τὴν χεῖρα, ὁ σταυρωθεὶς κατελθὼν οὐκ ἂν αὐτὸν ἐξείλετο τῆς χειρός μου. ὡσαύτως δὲ καὶ πρὸ τούτου ὅτε ἐπέτρεψεν ἀγορασθῆνα τὰ λινᾶ σκαμνάλια εἰς λόγον τοῦ σηκρήτου τοῦ ἐπισκοπείου, ἀγανακτήσας κατὰ Εὐσταθίου τοῦ θεοφιλεστάτου οἰκονόμου εἶπεν ὅτι κάλλιόν ἐστι τὸν θεὸν κατακαῦσαι τὰς ἐκκλησίας καὶ ποιῆσαι βουνὸν ἕνα. d. 22. m. April. a. 518 L V 229

ANTONINVS REV' PRESB' DIXIT: Τελευτήσαντος Ῥουφίνου τοῦ μακαριωτάτου οἰκονόμου γεγονότος τῆς κατὰ τήνδε τὴν μητρόπολιν ἁγιωτάτης ἐκκλησίας συναγαγὼν ἅπαντα τὸν εὐαγῆ κλῆρον Πέτρος ὁ γενόμενος ἡμῶν ἐπίσκοπος ἀπήιτει ὡς ἐπὶ μάρτυρι τῶι ἐπὶ πάντων θεῶι ἀπαγγεῖλαι, εἴ τι κατὰ τὸν καιρὸν τῆς αὐτοῦ οἰκονομίας ἔβλαψεν ἢ παρεῖδεν ἢ ἐσφετερίσατο ἐν τοῖς ἐκκλησιαστικοῖς, κἀμοῦ πολλὰ ἐξειπόντος κεφάλαια εἰς πολλὴν χρυσίου ποσότητα συντείνοντα, μετὰ πολλὰ τὰ κινηθέντα ὁρίσαντος αὐτοῦ τινὰ παρασχεῖν ἀντὶ πολλῶν τοὺς κληρονόμους τοῦ αὐτοῦ Ῥουφίνου ἔφη γενέσθαι αὐτοῖς διαλύσεις καὶ ἐντεθῆναι τριακοσίων νομισμάτων πρόστιμον ὥστε τὰς εἰρημένας διαλύσεις κρατύνεσθαι· εἰ δ' οὔ, ἀναθέματι ὑποβαλῶ τοὺς μετὰ τὰς τοιαύτας διαλύσεις τὶ ὑπεναντίον διαπραττομένους, κἂν Παῦλος ὁ ἀπόστολος ἀναστὰς καθίσηι εἰς τὸν θρόνον τοῦτον. τῆι δὲ νέαι κυριακῆι τοῦ παρελθόντος ἁγίου πάσχα εἰς προσκύνησιν ἀνελθόντος τοῦ παντὸς κλήρου, ἀκήκοα παρ' αὐτοῦ, εἰπόντος αὐτοῦ πρὸς τοὺς εὐλαβεστάτους ἀναγνώστας τὸν περὶ τοῦ ὑπὲρ τῆς ἡμετέρας ζωῆς σταυρωθέντος βλάσφημον λόγον κατὰ τὰ κατατεθέντα ὑπὸ Στεφάνου καὶ Πέτρου καὶ Ἰουλιανοῦ τῶν τηνικαῦτα εὐλαβεστάτων ἀναγνωστῶν, νῦν δὲ διακόνων. γενόμενος δὲ ἐν σαββάτωι ἐν τῆι συνάξει ἐν τῶι εὐκτηρίωι τῆς ἁγίας παρθένου καὶ θεοτόκου Μαρίας ἔγνων εἰσελθόντα αὐτὸν ἐν τῶι φωτιστηρίωι τῆς αὐτῆς ἁγίας θεοτόκου Μαρίας καὶ διαλεγόμενον γυναικί τινι μήπω μετόχωι γενομένηι, οὐ λέγω τῶν ἁγίων μυστηρίων, ἀλλ' οὐδὲ αὐτῆς τῆς ἁγίας σφραγῖδος, κακεῖθεν αὐτὸν πλειστάκις ἐδεξάμεθα ἐξιόντα, διάκονος τὸ τηνικαῦτα τυγχάνων. οὐκ ἔστι δὲ μέσος οἶκος, εἰ μὴ τὸ τίμιον διακονικόν. M VIII 1111

STEPHANVS ET ALTER STEPHANVS PRESB' DIXERVNT: Ἐν τῶι φωτιστηρίωι ὄντες εἰς κατήχησιν τῶν νεοφωτίστων ἀπὸ στιχαρίων καὶ ἀνυποδήτων ὄντων ἐφορκιζόντων αὐτοὺς τῶν διακόνων, ἐλθὼν ὁ γενόμενος ἡμῶν ἐπίσκοπος Πέτρος ἔβαλεν ἡμᾶς ἔξω μετὰ καὶ τῶν νεοφωτίστων καὶ εἰσήγαγε τὰς κανονικὰς καὶ ἐδίαζεν αὐταῖς ἐπὶ πολλὰς ὥρας. ἀκηκόαμεν δὲ καὶ ἡμεῖς μετὰ τῶν ἄλλων καὶ τὸν λόγον ὃν εἶπε πρὸς τοὺς ἀναγνώστας κατὰ τοῦ σταυρωθέντος ὑπὲρ τῆς ἡμετέρας ζωῆς.

EVTVCHIANVS REV' DIACON' DIXIT: Κατὰ τὸ ἔθος προσηγορίας γινομένης ἐν τῶι σηκρήτωι τοῦ τιμίου ἐπισκοπείου ἀκήκοα τὸ ῥῆμα τὸ παρ' αὐτοῦ ῥηθὲν κατὰ τοῦ σταυρωθέντος.

O [= ac, r (usque ad 29), v], I [usque ad 29]

1 ὁ om. O^e 2 σεκρέτω O^e δευτερόπασχα $O^{r}I$ δεύτερον πάσχα O^e δευτερόπασχον O^{av} 4 τῆ φωνῆ ταύτη O^r 6 αὐτὸν [αὐτὸ siue αὐτὸσ O^v] ἐξείλετο $O^{ev}Λ$ αὐτοὺσ ἐξείλετο O^a ἐξείλετο ὑμᾶσ O^r ἐξείλετο I 7 λινὰ O^{aev} λιτὰ $O^{r}I$ σεκρέτου O^e 11 ἁγιωτάτην ἐκκλησίαν O^v 12/13 τῶ ἐπὶ πάντων $O^eΛ$ om. $O^{arv}I$ 15 ὁρίσαντοσ αὐτοῦ O ὁρίσασ I 17 ὥστε I εἰπὼν ὥσ καὶ OΛ εἰ δ'οὔ I om. OΛ 18 ὑποβαλῶ O^r ὑποβάλλω I ὑποβαλὼν O^{aev} 19 καθίστη O^v 21 αὐτοῦ: om. $O^{av}I$ 22 τεθέντα O^v 23 εὐλαβεστάτων om. I 24 γινόμενος I δὲ om. O^a εὐκτηρίω οἴκω $O^eΛ$ 25/26 ἔγνων — Μαρίας om. $O^{rv}I$ 25 ἁγίασ καὶ O^a 26 καὶ διαλεγόμενον O διελέγετο I 27 ἐδεξάμην I 28 τοτηνικαῦτα $O^{aev}I$ τῶ τότε O^r τὸ τίμιον] τόμιον O^r 30—101, 22 πεντήκοντα] καὶ οἱ λοιποὶ πάντεσ τοῖσ κατατεθεῖσι λιβελλικῶσ συμμαρτυροῦμεν ἅτε τούτων καὶ ἀκροαταὶ καὶ αὐτόπται γενόμενοι $O^{r}I$ 30 STEPIANVS bis O^e 21 ἐπιορκιζόντων O^e 36 γενομένησ O^e 36/37 σεκρέτω O^e

THOMAS DIACONVS DIXIT: Ὅτε εἰς προσηγορίαν ἀνήλθομεν τῇ νέαι κυριακῇ τοῦ
M VIII 1114 δευτερόπασχα, τοῦ γενομένου ἡμῶν ἐπισκόπου Πέτρου ἤκουσα τὸν βλάσφημον λόγον ὅτι εἶπε κατὰ τοῦ σταυρωθέντος. καὶ ὅτε δὲ ἐκινεῖτο τὸ κατὰ τοὺς κληρονόμους τοῦ μακαρίου Ῥουφίνου τοῦ γενομένου οἰκονόμου, ἤκουσα τοῦ αὐτοῦ ἐπισκόπου λέγοντος ὅτι ἀνάθεμα ἤτω γενομένων τῶν διαλύσεων, κἂν Παῦλος ἀναστὰς καθίσῃ εἰς τὸν τόπον τοῦτον, ὁ ἀναζητῶν καὶ ἐρευνῶν τοὺς λόγους τούτους ἢ λέγων αὐτῶι τί ποτε.

L V 232 LEONTIVS FILIVS MATRONIANI DIACON' DIXIT: Οἶδα κἀγὼ ἀκηκοέναι παρ' αὐτοῦ ἀγανακτήσαντος κατὰ τῶν ἀναγνωστῶν τῇ νέαι ἁγίαι κυριακῇ ὅτι ἐὰν κρίνω καὶ ποιήσω ὑμᾶς ὑποδιακόνους ἀπὸ ἀναγνωστῶν, ὁ σταυρωθεὶς δι' ἡμᾶς ἐὰν ἔλθῃ, οὐκ ἐπαίρει τοῦτο παρ' ὑμῶν. ἤκουσα δὲ καὶ τοῦτο παρ' αὐτοῦ εἰς τὸ σήκρητον τὸ χειμερινόν, ἀγανακτήσαντος αὐτοῦ περὶ τῶν σκαμναλίων τοῦ ἐπισκοπείου, ὅτι εἶπε· καύσει ὁ θεὸς τὰς ἐκκλησίας καὶ τὰ θυσιαστήρια καὶ ποιήσει αὐτὰ βουνὸν ἕνα. καὶ τοῦτο δὲ οἶδα ὅτι εἰσήρχετο πολλάκις ἐν τῶι μοναστηρίωι πρὸς τὴν Πτεροβόλον καὶ ἐπὶ πολλὰς ἰδίαζεν αὐτῆι ὥρας.

IVLIANVS DIACONVS DIXIT: Συνάξεως ἐπιτελουμένης τῶν φώτων εἰς τὸν ἅγιον Στέφανον συναγαγὼν τοὺς πρεσβυτέρους καὶ διακόνους καὶ ἕκαστον τῶν κληρικῶν τῶν εὑρεθέντων ἐκεῖσε ἐν τῶι σηκρήτωι ἀπῄτει με· διὰ τί μὴ ἀναθεματίζεις τὴν σύνοδον τῶν χλ'; καὶ ἐμοῦ εἰπόντος αὐτῶι ὅτι ὁ βασιλεὺς ὀρθόδοξός ἐστι καὶ οἷς πιστεύει, αὐτῶι ἐξακολουθῶ, οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ τοὺς ἀναθεματίζοντας τὴν σύνοδον ἀναθεματίζω, μανεὶς ἀνέστη καὶ ἐκώλυσέ με ἐπὶ παντὸς τοῦ κλήρου.

MEGAS PRESB' DIXIT: Παρήμην τοῖς λεχθεῖσι παρὰ τοῦ παρόντος Ἰουλιανοῦ διακόνου καὶ ἀληθείας ἔχεται τὰ παρ' αὐτοῦ εἰρημένα.

ANVSIVS PRESB' DIXIT: Παρήμην κἀγὼ τοῖς λεχθεῖσι παρὰ τοῦ παρόντος Ἰουλιανοῦ διακόνου καὶ ἀληθείας ἔχεται τὰ παρ' αὐτοῦ εἰρημένα.

EPIPHANIVS DIACONVS DIXIT: Παρήμην κἀγὼ τῇ προσηγορίαι τηι γενομένηι ἐν τῶι τιμίωι ἐπισκοπείωι, ὅτε εἶπε Πέτρος τοῖς ἀναγνώσταις ὅτι εἰ ἐποίησα ὑμᾶς ὑποδιακόνους, αὐτὸς ὁ σταυρωθεὶς εἰ κατέβη, οὐκ ἐρρύετο ὑμᾶς ἐκ τῶν χειρῶν μου.

SVMEONES DIACONVS DIXIT: Κἀγὼ ἀκήκοα παρὰ Πέτρου τοῦ γενομένου ἐπισκόπου τὸ περὶ τοῦ σταυρωθέντος κεφάλαιον καὶ τὸ περὶ τοῦ ἀναθέματος ἔνθα εἶπεν ὅτι κἂν Παῦλος ὁ ἀπόστολος καθίσῃ ἐν τῶι θρόνωι τούτωι.

M VIII 1115 IOHANNES DIACON' ET SEMIOGRAF' DIXIT: Κἀγὼ τὴν αὐτὴν φωνὴν λέγω ἥνπερ ἀκήκοα περὶ τοῦ σταυρωθέντος καὶ περὶ τοῦ ἀναθέματος τοῦ κατὰ τὸν ἅγιον Παῦλον.

LEONTIVS DIACONVS DIXIT: Κἀγὼ ἀκήκοα τὸν περὶ τοῦ σταυρωθέντος λόγον καὶ τὸ ἀνάθεμα τὸ κατὰ τὸν ἅγιον Παῦλον.

LEONTIVS DIACONVS DIXIT: Κἀγὼ ἀκήκοα τὸ περὶ τοῦ σταυρωθέντος, πάλιν δὲ καὶ περὶ τοῦ ἀναθέματος Παύλου τοῦ ἀποστόλου.

THEONAS DIACONVS DIXIT: Κἀγὼ ἀκήκοα τὸν λόγον τὸν περὶ τοῦ σταυρωθέντος καὶ ὅτι εἰσῆλθεν εἰς τὸ φωτιστήριον τῆς ἁγίας Μαρίας πλησίον τῆς κολυμβήθρας γυμνῆς οὔσης, ὅτε εἰσήνεγκε Μαρίαν πρὸ τοῦ φωτισθῆναι, μηδένα συγχωρήσας στῆναι ἔσω, τῆς θείας κοινωνίας ἐπιτελουμένης. ἐγὼ γὰρ ἀρχιεβδομάριος αὐτοῦ ἤμην καὶ ἐκ τούτου οἶδα.

O [= ^{aev}]

1 DIACONOS O^{e} 2 δευτέρου πάσχα O^{e} 3 τὸ om. O^{av} τῶν κληρονόμων O^{a} 6 λέγων: ἐνάγων? cf. 101, 10 8 ἁγίαι om. O^{av} 10 σέκρετον O^{e} τὸ: O^{e} τὸν O^{av} 11 καύσοι O^{a} 12 ποιήσοι O^{a} 13 πτεροβόλην O^{av} 15. 25. 28. 33. 35. 37 DIACONOS O^{e} 15 φόβων O^{av} 17 σεκρέτω O^{e} 23 *Amisius* Λ 26 ὅτι O^{av} 27 ἐρύετο O^{v} 28 *Simeon* Λ 31 *notarius* Λ 31/32 bis habet O^{a} 33. 34 Κἀγὼ — Παῦλον om. O^{av} 40 ἀρχιεύδομάριοσ O^{v} ἀρχιεβδομάριοσ O^{e} ἀρχιεβδομαδάριος O^{a}Λ

τοῦτο δὲ ἐποίησε καὶ ἅπαξ καὶ δὶς καὶ τρίτον. οἶδα δὲ καὶ τὰ περὶ τοῦ ἀναθέματος Παύλου τοῦ ἀποστόλου καὶ τὸ κατὰ τὴν Πτεροβόλον.

PAVLVS SVBDIACONVS DIXIT: Κἀγὼ ἀκήκοα τὸν λόγον τὸν περὶ τοῦ σταυρωθέντος. οἶδα δὲ καὶ ὅτι ἐδίωξε νεοφωτίστους καὶ εἰσήγαγε κανονικάς.

THERAPIVS DIACONVS DIXIT: Κἀγὼ ἀκήκοα τὸ περὶ τοῦ σταυρωθέντος καὶ τὸ περὶ τοῦ ἀναθέματος Παύλου τοῦ ἀποστόλου.

IOHANNES PRESBVTERVS DIXIT: Κἀγὼ ἀκήκοα τὴν παρ' αὐτοῦ λεχθεῖσαν βλασφημίαν ἕνεκεν τοῦ σταυρωθέντος καὶ πάλιν ὅτε εἶπε· κατακαύσει ὁ θεὸς τὰς ἐκκλησίας αὐτοῦ πυρὶ καὶ ποιήσει βουνὸν ἕνα. καὶ πάλιν τοῦ πράγματος τοῦ κατὰ Ῥουφῖνον ἀκουομένου ἔθηκεν ἀνάθεμα τῶι μετ' αὐτὸν ἐνάγοντι αὐτῶι, κἂν Παῦλος ἦι ὁ ἀπόστολος. L V 233

CVRINOS SVBDIACONVS DIXIT: Κἀγὼ ἀκήκοα ὅτε εἶπε περὶ τοῦ σταυρωθέντος.

IOHANNES SVBDIACONVS DIXIT: Κἀγὼ ἀκήκοα τὸν λόγον τὸν περὶ τοῦ σταυρωθέντος.

RIANVS DIACONVS DIXIT: Ἐν κυριακῆι ἀνελθὼν εἰς προσηγορίαν, τότε ὢν ὑποδιάκονος, ἤκουσα κἀγὼ τὸν περὶ τοῦ σταυρωθέντος λόγον.

ANTONINVS LECTOR DIXIT: Οἶδα κἀγὼ παρὼν ἐν τῶι σηκρήτωι ἀκηκοέναι Πέτρου τοῦ γενομένου ἡμῶν ἐπισκόπου, παρόντος τοῦ εὐαγοῦς κλήρου, εἰπόντος τὴν ἄθεσμον βλασφημίαν κατὰ τοῦ σταυρωθέντος Χριστοῦ τοῦ θεοῦ ἡμῶν καὶ τὸν λόγον τοῦ ἀναθέματος τὸν παρ' αὐτοῦ ἐπιτεθέντα ἐν τοῖς κατὰ Ῥουφῖνον, εἰπόντος ὅτι κἂν Παῦλος ὁ ἀπόστολος ἀναστὰς καθίσηι μετ' ἐμὲ εἰς τὸν θρόνον τοῦτον, ἀνάθεμα ἔστω ἀνατρέπων τὰ νῦν δόξαντα, καὶ ὅτι Ἰωάννης ὁ τοῦτον κληρονομήσας ἐπὶ πάντων ἔφη ὡς μετὰ τὸ ἀνάθεμα ἀπηιτήθη παρ' αὐτοῦ γραμματεῖον νομισμάτων πεντήκοντα. τὰ γὰρ περὶ τῆς Πτεροβόλου οὔτε ἄλλος τις τῶν οἰκούντων ταύτην τὴν μητρόπολιν, ὡς οἶμαι, ἀγνοεῖ. M VIII 1118

OMNES PRESB'B' ET DIACON'N' ET LECTOR'R' DIXERVNT: Δήλων οὐσῶν τῶν προελθουσῶν καταθέσεων αἰτοῦμεν καὶ ἐνορκοῦμεν τὴν ὑμῶν μεγαλοπρέπειαν κατὰ τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος καὶ νίκης καὶ διαμονῆς τοῦ δεσπότου ἡμῶν Φλ' Ἰουστίνου τοῦ αἰωνίου αὐγούστου καὶ τῶν μεγίστων ἐξουσιῶν γνωρίσαι ἅμα τοῖς ὁσιωτάτοις ἐπισκόποις καθὰ καὶ ἄκτα γεγόνασι παρὰ παντὸς τοῦ πλήθους, τῆι τε πρώτηι καὶ ἀνεχούσηι τῶν ἀρχῶν καὶ τῶι πανευφήμωι μαγίστρωι τῶν θείων ὀφφικίων καὶ τοῖς ἀνδρειοτάτοις στρατηγοῖς τοῦ θείου πραισέντου ἑκατέρων δυνάμεων, ὥστε διὰ τῆς αὐτῶν ὑπεροχῆς καὶ εἰς τὰς θείας ἀνενεχθῆναι ἀκοὰς τὰ παρακολουθήσαντα. ὡς γὰρ ἐπίστασθε, πολὺ καὶ ἄπειρον πλῆθος καὶ ἀδελφικὸν καὶ μοναχικὸν ἐξήιτησε καὶ ἐνώρκωσε ταῦτα γνωρίσαι τὴν ὑμῶν ἐξουσίαν. τὸ γὰρ μὴ καταθέσθαι τοὺς ἀδελφοὺς καὶ μοναχούς, τοῦτο ἔθος ἄνωθεν κρατῆσαν, ἀλλ' ἀρκεῖσθαι μόνον ταῖς αὐτῶν ἐκβοήσεσιν.

OMNES SVPRASCRIPTI V' RELIGIOS' EPISCOP' DIXERVNT: Εὐχῆς ἡμῖν ἄξιον ἦν ταῖς ἀποκληρωθείσαις ἡμῖν ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις σχολάζειν καὶ τὰς θείας πληροῦν λειτουργίας· ἐπειδὴ δὲ πίστεως καὶ εὐσεβείας πρόκειται λόγος, εὔλογον εἶναι νενομίκαμεν πειθαρχῆσαι ταῖς αἰτήσεσι τῶν θεοφιλεστάτων κληρικῶν τῆς Ἀπαμέων. ὅθεν ἀπὸ γραμμάτων

O [= ae, r (inde a 22 τὰ γὰρ), v], I (inde a 22 τὰ γὰρ)

1 καὶ¹ om. O^e 2 πτεροβόλην O^a 3 PAVLOS SVBΔIÁCONOS O^e τὸν²] τοῦ O^v 5 THERAPIOS O^e *Serapius* Λ διαCONOS O^e 6 τοῦ¹ om. O^{av} 7 PRESBVTEROS O^e 8 κατακαύσοι O^a 11. 12 SVBDIACONOS O^e 11 *Surinus* Λ 14 RIANÒS διάCONOS O^e τότε δὲ O^{av} 16 ANTONNĪNOS LÉCTONR O^e *Antonius* Λ σεκρέτω O^e 20 μετ' ἐμὲ καθίση O^{av} 23 οὔτε — οἶμαι O^{aev} οὐδεὶσ τῶν κατὰ τὴν μροπολιν οικούντων O^rI 24 ET² O^e *ac* Λ LESTOR'R' O^e AESTORR O^r 26 φλαβίου I 27 ἐξουσιῶν OI *potestatum ac prime et excelse principiantium* Λ τοῖς — ἐπισκόποις IΛ τῶν ὁσιωτάτων ἐπισκόπων O 30 πραισένδου O^rI διὰ IΛ καὶ διὰ O 32 ἐξήτησε $O^eΛ$ 33 μὴ γὰρ O^{av} 34 ἀρκεῖσθε O^r 35 SVPRASSCRIPTI $O^eΛ$ SVPRASSCRSPTI O^r V' O^e om. Λ DIXERRVNT $O^eΛ$ ΔIXEPVNT O^r 37/38 πειθαρχεῖν O^rI

ἡμῖν σταλέντων ὑπὸ τοῦ εὐαγοῦς κλήρου τῆς Ἀπαμέων ἁγίας τοῦ θεοῦ ἐκκλησίας τῶν καὶ κομισθέντων ἡμῖν δι' Ἀντωνίνου καὶ Ἰουλιανοῦ τῶν θεοσεβεστάτων, παρεγενόμεθα ἐν τῶι Ἀμβροδίκης, ἔνθα συμβέβηκε πολλοὺς τῶν εὐλαβεστάτων κληρικῶν ἐλθεῖν πρὸς
L V 236 ἡμᾶς ἐν τῶι εἰρημένωι εὐκτηρίωι καὶ αἰτῆσαι ἡμᾶς γενέσθαι εἰς τὰ εὐαγῆ μοναστήρια τοῦ τε μακαρίου Ἡσυχίου καὶ τοῦ μακαρίου Δωροθέου ἔξω τυγχάνοντα τῆς μητροπόλεως διὰ τὸ εὐχερέστερον τοὺς εὐλαβεστάτους κληρικοὺς δύνασθαι ἐξιέναι πρὸς ἡμᾶς καὶ διδάσκειν ἃ βούλονται, ὃ δὴ καὶ πεποιήκαμεν. καὶ ἐπειδὴ λιβέλλους ἐπιδεδώκασιν ἡμῖν, οὓς καὶ ἐνεφάνισαν τῆι ὑμετέραι μεγαλοπρεπείαι, καί τινας καταθέσεις ἐποιήσαντο, αἰτοῦμεν καὶ ἡμεῖς τὴν σὴν μεγαλοπρέπειαν, καθὰ καὶ αἱ ἐκβοήσεις γεγόνασιν, ὡς ἐπίστασθε, ὑπὸ τοῦ πλήθους τῶν εὐλαβεστάτων κληρικῶν, ἐντάξαι μὲν καὶ τὰ γενόμενα ἄκτα, μηνῦσαι δὲ τῶι τε πρώτωι καὶ ἀνέχοντι θρόνωι καὶ τῶι πανευφήμωι μαγίστρωι τῶν θείων
M VIII 1110 ὀφφικίων καὶ τοῖς ἀνδρειοτάτοις στρατηγοῖς τοῦ θείου πραισέντου ἑκατέρων δυνάμεων, ἐφ' ὧι τε διὰ τῆς αὐτῶν ὑπεροχῆς εἰς γνῶσιν ἐλθεῖν πάντα τὰ προελθόντα τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου ἡμῶν βασιλέως. καὶ γὰρ καὶ ἡμεῖς γνωρίζομεν τῶι τε ἁγιωτάτωι καὶ μακαριωτάτωι ἀρχιεπισκόπωι καὶ οἰκουμενικῶι πατριάρχηι τῆς βασιλίδος πόλεως καὶ τοῖς ἐνδοξοτάτοις καὶ μεγάλοις ἄρχουσι τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως.

FL' IOHANNES PALLADIVS EVTVCHIANVS V' SP' COM' ET PRAESES DIXIT: Φέρει μὲν τὰ κατατεθέντα ὑπὸ τῶν θεοφιλεστάτων κληρικῶν τῆς ἐν Ἀπαμείαι ἁγίας τοῦ θεοῦ ἐκκλησίας τῶν ὑπομνημάτων ἡ πίστις, ἅπερ καὶ διεξῆλθον παρουσίαι καὶ τοῦ δημεκδιτοῦντος τὴν Ἀπαμέων μητρόπολιν· ἐπειδὴ δὲ καὶ ἐντευκτικὰς ἐποιήσαντο διδασκαλίας οἱ τελοῦντες εἰς τὸν εἰρημένον εὐαγῆ κλῆρον, τὸν ἴσον δὲ τρόπον καὶ οἱ ὁσιώτατοι τῆς ἐπαρχίας ἐπίσκοποι ἠιτηκότες φαίνονται σύμπαντα τὰ προεληλυθότα γνώριμα καταστῆναι τῶι τε πρώτωι καὶ ἀνέχοντι θρόνωι καὶ τῶι πανευφήμωι πατρικίωι καὶ μαγίστρωι τῶν θείων ὀφφικίων καὶ τοῖς ἀνδρειοτάτοις στρατηγοῖς ἑκατέρων δυνάμεων, ἐφ' ὧι τε διὰ τῆς αὐτῶν ὑπεροχῆς καὶ εἰς τὰς θείας ἀκοὰς ἐνεχθῆναι τὸ καθ' ἕκαστον τῶν κεκινημένων, εἶκον τὸ δικαστήριον τοῖς παρ' αὐτῶν, μάλιστα καὶ διὰ τοὺς προσενεχθέντας μοι σεβασμίους ὅρκους, συζεύξει πάντα τὰ ἐπὶ τῆι ὑποθέσει πεπραγμένα καὶ γνωρίσει πρὸς τὸ παριστάμενον τῆι αὐτῶν φιλανθρωπίαι, ἐντάττον τοῖς ἐπὶ τοῦ παρόντος πεπραγμένοις καὶ τὰς προελθούσας ἐκβοήσεις ὑπὸ τοῦ πλήθους τοῦ εὐαγοῦς κλήρου τῆς εἰρημένης ἁγιωτάτης ἐκκλησίας.

Τοῦ βασιλέως πολλὰ τὰ ἔτη· τῆς αὐγούστας πολλὰ τὰ ἔτη· τῶν ἐπάρχων πολλὰ τὰ ἔτη· τοῦ μαγίστρου πολλὰ τὰ ἔτη· Πρόβου καὶ Ὑπατίου πολλὰ τὰ ἔτη· τῆς συγκλήτου πολλὰ τὰ ἔτη. τοὺς ἀντάρτας ἔξω βάλε· τοὺς φαγόντας τὰ ἐκκλησιαστικὰ ἔξω βάλε. ὅλα τὰ ἐκκλησιαστικὰ Σεβῆρος καὶ Πέτρος ἔφαγον· ὅλα εἰς ἔρανα ἔδωκαν. τὸν βλασφημήσαντα τὸν σταυρὸν ἔξω βάλε. ποῦ τὰ κτήματα τῆς ἐκκλησίας; ποῦ τὰ σκεύη τῆς ἐκκλησίας; ὅλα γυναῖκες ἔλαβον· ὅλα ἡ Πτεροβόλος ἔλαβε. τοὺς ἀξίους

O [= aerv], I

1 ὑπὸ O^{arv}I ἀπὸ O^{e} 3 εὐλαβεστάτων O^{arv}I θεοσεβεστάτων O^{e} 5 τοῦ μακαρίου^{2} om. O^{arv}I 6 εὐτυχέστερον O^{av} δύνασθαι τοὺσ — κληρικοὺσ I 8 οὓσ I om. OΛ ἐνεφάνησαν O^{av} ἡμετέρα O^{v} 9 αἱ I om. O 9/10 ὡς ἐπίστασθε om. I 10/11 ἄκτα μηνύσαι O^{arv} καταμηνύσαι O^{e}Λ 11 τε om. O^{arv}I 12 πραισένδου I 13 ὥστε O^{e} 13/14 φιλοχρίστου καὶ εὐσεβεστάτου O^{e} καὶ^{3} om. O^{av} 15 καὶ μακαριωτάτωι om. O^{r}I οἰκουμενικῶι om. I 16 καὶ — ἄρχουσι O^{av} ἄρχουσι καὶ μεγάλοισ O^{r}I καὶ μεγαλοπρεπεστάτοισ καὶ μεγάλοισ ἄρχουσι O^{e}Λ 17 om. Latina O^{arv}I *ut solent* FL' om. Λ IOHANES O^{r} PALLÁDIOS O^{e} EVTOCHIANVS O^{e} EVSEVTVCHIANNE O^{r} V' SP om. Λ PRAES O^{r} 19/20 δημεκδικοῦντοσ O^{r}I δήμου ἐκδικοῦντοσ O^{e}Λ διεκδικοῦντοσ O^{av} 20 ἐνευκτικὰσ O^{rv}I 22 γνωρίσματα O^{arv} 24 τε om. O^{a} διὰ I καὶ διὰ O 25 εἶκον O^{arv}I ἥκω εἰσ O^{e}Λ 27 συζεῦξαι O^{e} *coniungam* Λ γνωρίσαι O^{e} *notificaba* Λ 28 αὐτοῦ O^{r} ἐντάττον I ἐντάττων O προσέλθούσασ O^{v} 30 αὐγούστησ O^{e}I 31/32 τῆσ συγκλήτου — ἔτη πρόβου — ἔτη O^{e}Λ 31 ὑπάτου O^{av} 32 ἐντάρτασ I 32/33 τοὺσ^{2} — βάλε om. I 33 ἔρανον O^{e}I 34/35 ποῦ τὰ κτήματα — ἔλαβε om. I

τοῦ ἀναθέματος τῶι ἀναθέματι. ἄρον βίαν τῆς ἐκκλησίας· ὅλας τὰς ἐκκλησίας ἐπραίδευσαν· εἰς ἔρανα ὅλα ἔδωκαν. πιστοῦ βασιλέως πολλὰ τὰ ἔτη· Βιταλιανοῦ στρατηλάτου πολλὰ τὰ ἔτη. μίαν ἐρώτησιν ταῖς κανονικαῖς. νικᾶι ἡ πίστις τῶν ὀρθοδόξων· ὀρθοδόξων ἐπισκόπων πολλὰ τὰ ἔτη. Εὐτυχιανοῦ τοῦ κόμητος πολλὰ τὰ ἔτη· ἀναπαῆι τὰ ὀστέα τοῦ πατρός σου. ὅλα τὰ ἐκκλησιαστικὰ γυναῖκες ἔλαβον. ταῦτα ἄκτα τῶι βασιλεῖ. τὰ ὀστέα Δόμνου ἐπώλησαν. ἀποσχίσαντας κληρικοὺς ἔξω βάλε. τὰ L V 237
κτήματα Δόμνου ἐπώλησαν. οἱ φαγόντες τὰ ἐκκλησιαστικὰ ἀπέσχισαν. μαρτύρομαί σε, ἐγὼ αὐτοὺς καίω. ὅλα τὰ ἐκκλησιαστικὰ ἐπώλησαν. ἔλθηι ἡ Πτεροβόλος, καὶ αὐτὴ λέγει. τοὺς ἀντάρτας τοῦ βασιλέως ἔξω βαλε. τὴν σωτηρίαν τοῦ βασιλέως, γνώρισον· μάθωμεν τὰ χαμαιπάτια τίνος εἰσί. πατήτια ἐν τῶι ἐπισκοπείωι πῶς εὑρέθη; ἐμίανε τὰ θυσιαστήρια· ἐμίανε τὸ φωτιστήριον. μάθωμεν τὰ πατήτια ποῦ εἰσιν· ἠμάτωσαν τὰ θυσιαστήρια. Σεβῆρον καὶ Πέτρον τῶι πυρί. Πρόβου καὶ Ὑπατίου πολλὰ τὰ ἔτη. ἄξιος Πρόβος τοῦ βασιλέως· ἄξιος Ὑπάτιος τοῦ βασιλέως. πατρικίου τοῦ μαγίστρου πολλὰ τὰ ἔτη· τῶν ἐπάρχων πολλὰ τὰ ἔτη· πάσης M VIII 1122
τῆς συγκλήτου πολλὰ τὰ ἔτη. πολλὰ τὰ ἔτη τῆς αὐγούστας· Εὐφημίας αὐγούστας πολλὰ τὰ ἔτη. ἄξιος Βιταλιανὸς τοῦ βασιλέως. Ἰωάννου πατριάρχου πολλὰ τὰ ἔτη. ταῦτα ἄκτα τῶι θεῶι. ὅλους τοὺς φόνους Φαῦστος ἐποίησε. μυρίους φόνους ἐποίησε· τοὺς φονευθέντας ἐν τῶι ἁγίωι Ἀντωνίνωι τῶι βασιλεῖ· ὁ βασιλεὺς ὀρθόδοξός ἐστι. Πέτρον τὸν Μανιχαῖον τῶι βασιλεῖ· Σεβῆρος καὶ Πέτρος Μανιχαῖοί εἰσίν. ἡ σύγκλητος ὀρθόδοξος ἔνι. ἄρον Φαῦστον· σῶσον πόλιν. Εὐτυχιανοῦ τοῦ κόμητος πολλὰ τὰ ἔτη. δικαία ἡ ψῆφος τῶν ἐπάρχων. δεόμεθα γνώρισον· τὴν σωτηρίαν τοῦ βασιλέως, γνώρισον· τὴν σωτηρίαν τῆς αὐγούστας, γνώρισον.

35 Ἴσον ἄλλης πράξεως συστάσης ἐπὶ τοῦ αὐτοῦ μεγαλοπρεπεστάτου ἄρχοντος

ITEM ROMANVS ARCHIDIACON' DIXIT: Τοῦ θεοῦ δεδωκότος τοῖς πράγμασι καὶ ταῖς ἁγίαις αὐτοῦ ἐκκλησίαις ὀρθόδοξον καὶ εὐσεβέστατον βασιλέα, παρούσης τῆς ὑμετέρας μεγαλοπρεπείας παρενεγγύησάν μοι οἱ ὁσιώτατοι ἐπίσκοποι τῆς ἡμετέρας ἐπαρχίας τὰ παλαιὰ ἔθη τῆς ἐκκλησιαστικῆς καταστάσεως κρατεῖν, τοῦτο καὶ τοῦ εὐαγοῦς κλήρου τῆς Ἀπαμέων αἰτήσαντος· δι' ὃ ἐξαιτῶ τοὺς παρόντας θεοφιλεστάτους πρεσβυτέρους διακόνους ὑποδιακόνους ἀναγνώστας καὶ λοιποὺς κληρικοὺς τοῦ αὐτοῦ εὐαγοῦς κλήρου ἕκαστον αὐτῶν φανερῶσαι ἐπὶ τῶν ὑπομνημάτων τὴν οἰκείαν γνώμην.

FL' IOHANNES PALLADIVS EVTVCHIANVS V' SP' COM' ET PRAESES DIXIT: Παρόντες οἱ θεοφιλέστατοι πρεσβύτεροι καὶ λοιποὶ κληρικοὶ καὶ τῆς διδασκαλίας ἐπακούσαντες Ῥωμανοῦ τοῦ εὐλαβεστάτου ἀρχιδιακόνου τὴν οἰκείαν φανερούτωσαν γνώμην.

EVDOXIVS REV' PRESB' DIXIT: Ἑορτὴ παντὸς τοῦ κόσμου ἐστὶν αὕτη ἡ νῦν κρατοῦσα εὐσεβὴς κατάστασις· δι' ὃ κατὰ τὰ κατατεθέντα παρὰ τοῦ εὐλαβεστάτου ἀρχιδιακόνου ἐπιτρέπομεν πάντα καινισμὸν ἤδη προελθόντα ὑπὸ τῶν γενομένων αἱρετικῶν ἀφαιρε-

---

O [= aerv], I

1/2 ἐπραίδευσασ Or 2 ἔρανον OeI 4 ἀναπαῆ I ἀναπάει Orv ἀναπαυῆ Oa ἀναπαυθῆ Oe 5 αἱ γυναῖκεσ Oe 7/8 οἱ φαγόντες — ἐπώλησαν hic om. OrI, cf. ad 9 8 ἔλθοι Or 8/9 ὁ πτεροβόλοσ Ov 9 λέγει] λέγει οἱ φαγόντεσ τὰ ἐκκλησιαστικὰ ἀπέσχισαν μαρτύρομαί σε ἐγὼ αὐτοὺσ καίω OrI 11 τὸ θυσιαστήριον Or 13/14 ἄξιος Πρόβος — βασιλέως om. Oav 14 τῶν ἐπάρχων — ἔτη πατρικίου — ἔτη Oav 15. 22 αὐγούστησ OeI 23 ις Oa in mg 25 etc. Latina omnia om. OavI 25 ROMANOS ARCHIDIÁCONOS Oe 26 αὐτοῦ ΙΛ τοῦ θυ O ἡμετέρασ Oev 27 παρηγγύησαν OeI ὁσιότατοι Oa 30 ἀναγνώστασ I καὶ ἀναγνώστασ ΟΛ 32 PALLÁDIOS Oe PALLDIVS Or EVTVCHIANOS v' s' ro'm Oe v' sp' om. Λ PRAES Oe 33 λοιποὶ I οἱ λοιποὶ O 35 EVΔOXIOS REAS' Oe *Eudochius* Λ PRSB' Or 36 τεθέντα I 37 post γενομένων supplenerim ἐπισκόπων

θῆναι, ἐντεθῆναι δὲ τὰ ὅσια ὀνόματα τῶν μακαριωτάτων ἡμῶν πατέρων καὶ ἐπισκόπων ἀπὸ Δόμνου τοῦ μακαριωτάτου ἕως τοῦ τῆς θεοφιλοῦς μνήμης Ἰσαακίου τοῦ γενομένου ἡμῶν ἐπισκόπου, κρατεῖν δὲ καὶ ἐπὶ τοῖς ἄλλοις ἅπασι τὴν ἀρχαίαν κατάστασιν τῆς ἁγίας ἐκκλησίας.

EVSTATHIVS REV' PRESB' ET OECONOM' DIXIT: Καθὼς ἐδίδαξεν ὁ παρὼν θεοφιλέστατος ἀρχιδιάκονος πάντας τοὺς θεοφιλεστάτους πρεσβυτέρους διακόνους καὶ λοιποὺς κληρικοὺς τῆς ἁγιωτάτης ἡμῶν ἐκκλησίας αἰτῆσαι τὰ ἀρχαῖα ἔθη κρατεῖν τοῦτο, κἀγὼ κρατυνθῆναι παρακαλῶ.

L V 240
M VIII 1123 STEPHANVS REV' PRESB' DIXIT: Κἀγὼ συναινῶ τῇι καταθέσει τῇι γενομένηι παρὰ τοῦ θεοσεβεστάτου Εὐσταθίου πρεσβυτέρου καὶ οἰκονόμου τῆς παρ' ἡμῖν ἁγίας τοῦ θεοῦ ἐκκλησίας καὶ τῶν λοιπῶν θεοσεβεστάτων κληρικῶν.

THALELAEVS REV' PRESB' DIXIT: Μόλις ποτὲ ἀπὸ ζάλης ἐχαρίσατο ἡμῖν ὁ θεὸς τὸν λιμένα τοῦτον, τὸν ὀρθόδοξον λέγω βασιλέα, εἰς ὃν μετὰ θεὸν καταφυγόντες. θεασάμενος δὲ καὶ τῶν ἐμῶν συγκληρικῶν τὸν ζῆλον τὸν ὑπὲρ τῶν γενομένων ἡμῶν ὁσίων ἀρχιερέων καὶ πατέρων, παρακαλῶ τὴν μὲν γενομένην καινοτομίαν παρὰ τῶν αἱρετικῶν ἐν τῇι ἁγιωτάτηι ἡμῶν ἐκκλησίαι ἀνατραπῆναι, κρατῆσαι δὲ τὸ παλαιὸν ἔθος τῆς ἐκκλησιαστικῆς καταστάσεως καὶ ἐντεθῆναι τοῖς ἱεροῖς διπτύχοις τὰς προσηγορίας τῶν μακαριωτάτων ἡμῶν ἐπισκόπων ἀπὸ τοῦ μακαριωτάτου Δόμνου καὶ ἕως τοῦ μακαριωτάτου Ἰσαακίου τοῦ γενομένου ἡμῶν ἐπισκόπου.

HESVCHIVS REV' PRESB' DIXIT: Κἀγὼ εὐχαριστῶν τῶι θεῶι τῶι εἰρήνην καὶ ἕνωσιν ταῖς ἁγίαις ἐκκλησίαις διὰ τοῦ φιλοχρίστου ἡμῶν βασιλέως δεδωκότι συναινῶ πᾶσι τοῖς αἰτηθεῖσι παρά τε τοῦ εὐαγοῦς ἡμῶν κλήρου καὶ βεβαιωθεῖσι παρὰ τῶν ὁσιωτάτων τῆς ἐπαρχίας ἐπισκόπων, ὥστε ἀνατραπῆναι μὲν ἅπαν καινὸν ἐπεισαχθὲν τῇι ἁγιωτάτηι ἡμῶν ἐκκλησίαι, ἀνανεωθῆναι δὲ καὶ κρατυνθῆναι τὰ παλαιὰ ἔθη τὰ κρατήσαντα ἄχρι τῆς τελευτῆς τοῦ τῆς θεοφιλοῦς μνήμης Ἰσαακίου τοῦ γενομένου ἡμῶν ἀρχιεπισκόπου ἐπί τε ταῖς θείαις λειτουργίαις καὶ τοῖς λοιποῖς ἅπασιν.

MEGAS REV' PRESB' DIXIT: Πάντα τὰ καινισθέντα ὑπὸ τῶν Ἀκεφάλων βούλομαι παυθῆναι καὶ κρατεῖν τὴν ἀρχαίαν κατάστασιν καὶ ἐντεθῆναι τὰ ὀνόματα τῶν ἁγίων ἡμῶν πατέρων καὶ τῶν ὁσιωτάτων ἡμῶν ἐπισκόπων τῶν γενομένων ἐν τῇι ἡμετέραι μητροπόλει ἕως τῆς τελευτῆς τοῦ μακαρίου Ἰσαακίου.

SERGIVS REV' PRESB' DIXIT: Εὐχὴν τοιαύτην εἶχον καὶ παρεκάλουν τὸν δεσπότην ἡμῶν Ἰησοῦν Χριστὸν, ὥστε ἐπαρθῆναι τὰ ἔθη τὰ καινισθέντα παρὰ τῶν κακῶς φρονούντων, ἐντεθῆναι δὲ τὰ ὀνόματα τῶν ἁγίων ἡμῶν πατέρων, καθὼς καὶ ἐπὶ τοῦ μακαριωτάτου Ἰσαακίου τοῦ γενομένου ἡμῶν ἐπισκόπου ἐνέκειντο· καὶ συναινῶ πᾶσι τοῖς κατατεθεῖσι παρὰ τῶν θεοφιλεστάτων πρεσβυτέρων.

M VIII 1126 SABBATIVS REV' PRESB' DIXIT: Κἀγὼ συναινῶ πᾶσι τοῖς κατατεθεῖσι παρὰ τῶν θεοφιλεστάτων πρεσβυτέρων.

ROMANVS REV' PRESB' DIXIT: Κἀγὼ εὐχαριστῶν τῶι δεσπότηι θεῶι δεδωρημένωι κόσμωι παντὶ καὶ ταῖς ἁγίαις ἐκκλησίαις ὀρθόδοξον βασιλέα, συναινῶ καὶ στοιχῶ πᾶσι

O [= ae, r (usque ad 11), v], I [usque ad 11]
2 τοῦ² om. I Ἰσαακκίου Oe ut solet 5 EVSTATHVS Or EVSTÁTHIOS Oe 6 διάκονος I 8 κρατηθῆναι Or 9 STEPIANÒS Oe 12—106, 11] καὶ οἱ λοιποὶ ὁμοίως Or I 12 THALELAEOS Oe *Thelelaeus* Λ 13 καταφυγόντες Oae καταφυγὼν OeΛ, coniecerim e. g. καταφυγεῖν ἔστιν 14 κληρικῶν Oav τὸν²] τῶν Ov 17 ἐν τοῖς Oav 20 HESVCIOS Oe *Nesneius* Λ εὐχαριστῶ Oa 22 τοῦ — κλήρου Oe τῶν ὁσιωτάτων τῆσ ἐπαρχίας ἐπισκόπων Oav 22/23 παρὰ — ἐπισκόπων om. Oav 23 κενὸν Oa om. Ov 28 καὶ κρατεῖν — ἐντεθῆναι om. Ov 29 ἐπισκόπων ἡμῶν Oe 31 SERGIOS Oe 32 τὸν χῦ Oav 32/33 φρονησάντων Oav 33 καὶ om. Ov 36 SABBÁTIOS Oa 36 ὑπὸ Oav 38 ROIIMANÒS Oe εὐχαριστῶ Oa

τοῖς τε ὑπὸ τῶν θεοσεβεστάτων μου συγκληρικῶν αἰτηθεῖσι ⟨καὶ τοῖς κατατεθεῖσι⟩ παρὰ τῶν πρὸ ἐμοῦ θεοφιλεστάτων πρεσβυτέρων ἐπὶ τῶι πᾶσαν καινοτομίαν γενομένην ἀνατραπῆναι, κρατυνθῆναι δὲ τὰ παλαιὰ ἔθη τῆς ἁγιωτάτης ἐκκλησίας καὶ ἐντεθῆναι τοῖς ἱεροῖς διπτύχοις τὰς προσηγορίας τῶν γενομένων ἡμῶν ὁσιωτάτων ἐπισκόπων ἄχρι τοῦ μακαριωτάτου Ἰσαακίου τοῦ γενομένου ἡμῶν ἀρχιεπισκόπου.

IOHANNES REV' PRESB' DIXIT: Κἀγὼ συναινῶ πᾶσι τοῖς κατατεθεῖσιν.

ASTERIVS [IOHANNES] REV' PRESB' DIXIT: Γέγραπται αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν Ps. 117, 24
ὁ κύριος, δι' ὃ καὶ ἀγαλλιῶντες καὶ εὐφραινόμενοι ἐν αὐτῆι μετὰ δακρύων πα- L V 241
ρακαλῶ ἐντεθῆναι τοὺς ἁγιωτάτους ἡμῶν πατέρας ἄχρι τῆς τελευτῆς τοῦ τῆς ὁσίας μνήμης Ἰσαακίου τοῦ γενομένου ἡμῶν ἐπισκόπου καὶ κρατυνθῆναι τὸ παλαιὸν ἔθος.

IOHANNES ZACHAEVS REVV' PRESB' DIXERVNT: Καὶ ἡμεῖς συναινοῦμεν πᾶσι τοῖς δόξασιν.

CVRIACVS REV' PRESB' ET LOGOTHET' DIXIT: Κἀγὼ παρακαλῶ τὴν ὑμετέραν ἐξουσίαν ἐντεθῆναι ἐν τοῖς ἱεροῖς διπτύχοις τοὺς ὁσίους ἡμῶν καὶ μακαρίους γενομένους ἐπισκόπους τοὺς ἄχρι τοῦ μακαριωτάτου Ἰσαακίου τοὺς καὶ ἐν τοῖς θρόνοις αὐτῶν ἀποθανόντας, κρατυνθῆναι δὲ καὶ τὰ παλαιὰ ἔθη τὰ ἐκκλησιαστικά. Ὑπερεύχομαι δὲ καὶ ὑπὲρ τῆς νίκης τοῦ δεσπότου ἡμῶν τοῦ εὐσεβεστάτου Ἰουστίνου ὀρθοδόξου βασιλέως.

ANTONINVS PRESB' DIXIT: Εὐχὴ μὲν ἦν ἡμῖν τὸ ἐντεθῆναι ἐν τοῖς ἱεροῖς διπτύχοις τοὺς ὁσίους καὶ μακαρίους ἡμῶν πατέρας τοὺς γενομένους ἡμῶν ἐπισκόπους ἄχρι τοῦ τῆς μακαρίας μνήμης Ἰσαακίου καὶ αὐτοῦ γενομένου ἡμῶν ἐπισκόπου, κρατυνθῆναι δὲ καὶ τὰ ἔθη τὰ ἐκκλησιαστικὰ τὰ μέχρι τοῦ αὐτοῦ τῆς μακαρίας μνήμης Ἰσαακίου.

EVTVCHIANVS DIACONVS DIXIT: Εὐχαριστῶν τῶι τῶν ὅλων δεσπότηι θεῶι τῶι δεδωκότι ἡμῖν εὐσεβῆ καὶ φιλόχριστον βασιλέα Ἰουστῖνον ἐπὶ εἰρήνηι τῶν ἁγιωτάτων αὐτοῦ ἐκκλησιῶν, κἀγὼ αἰτῶ ἐντεθῆναι ἐν τοῖς ἱεροῖς διπτύχοις τὰς προσηγορίας τῶν γενομένων ἡμῶν ὁσίων ἐπισκόπων τῶν ἄχρι τοῦ τῆς μακαρίας μνήμης Ἰσαακίου τοῦ γενομένου ἡμῶν ἐπισκόπου, κρατεῖν δὲ καὶ τὰ παλαιὰ ἔθη τὰ ἐκκλησιαστικά.

SERGIVS ET EVSEBIVS ET IOHANNES PRESB' DIXERVNT: Καὶ ἡμεῖς συναινοῦμεν πᾶσι M VIII 1127
τοῖς πρὸ ἡμῶν κατατεθεῖσιν.

CALLIOPIVS FILIVS AFTHONII LEONTIVS FILIVS MATRONI ANASTASIVS STEPHANVS ET THEODOSIVS DIACON' DIXERVNT: Συναινοῦμεν καὶ ἡμεῖς τοῖς κατατεθεῖσι παρὰ τῶν παρόντων εὐλαβεστάτων ἀνδρῶν.

DIAS FILIVS VRANII ANASTASIVS FILIVS THEODOSIOV MACEDONIVS IOHANNES FILIVS FOTII RVFINVS LEONTIVS FILIVS ANATOLII ET NONNVS FILIVS EORTASIV DIACON" DIXERVNT: Καὶ ἡμεῖς τοῖς συνδόξασι στοιχοῦμεν.

STEPHANVS ANTHEMIVS EVLOGIVS ANTONINVS LEONTIVS HELIAS EPIPHANIVS SVMEONES AETIVS FOTINVS IVLIANVS LEONTIVS IOHANNES EPILAMPSIVS STEPHANVS REV'V' DIACON' DIXERVNT: Καὶ ἡμεῖς ἀκολουθοῦμεν τοῖς συνδόξασι παρὰ τοῦ εὐαγοῦς κλήρου.

O [= aev]

1 καὶ τοῖς κατατεθεῖσι addidi 7 ASTERIOS O^e ἰωάννες O^e, deleui 8 θῶ̄ O^{av} 11 ζαcηαῖος O^e *et Zachaeus* Λ πᾶσι om. O^a 13 CVRIACὸS O^e 14 ἡμῶν καὶ μακαρίουσ $O^eΛ$ καὶ μακαριωτάτουσ ἡμῶν O^{av} 15 τοὺς καὶ] καὶ τοὺς O^e 18 ANTONNĪNOS O^e *Antonius* Λ 19 μακαριωτάτουσ O^{av} 22 EVTVCHIANὸS διάc[ex κ corr.]ονος O^e δεσπότηι om. $O^eΛ$ 25 τοῦ¹ om. O^{av} 27 SÉRGIOS ET EVSÉBIOS O^e ET² O^e *ac* Λ 29 CALLIOPIOS FÍLOS AFTHONIS LEÓNTIOS FÍLIOS O^e et ita semper pro terminatione Latina ponitur Graeca, etiam in uocabulo *filius* *Aschonii* Λ MATRONI' [= Matroniani cf. p. 100, 7] $O^eΛ$ STEPIANὸS O^e et ita semper 31 παρόντων om. $O^eΛ$ 32 διας O^e *Dyas* Λ latet ni fallor ΗΕLIAS 33 FOTII RVFINVS scripsi FONTÍCRVFIONT O^e ***Rufini et*** Λ ANATOLII scripsi ANATOLIOS O^e ET NONNVS O^e *Epionus* Λ 35 ἀNTHONĪNOS O^e VMEONNES O^e *Simeon* Λ 36 FHOTIIINὸS O^e

PAVLVS DIOGENES THOMAS IOHANNES STEPHANVS ET ASTERIVS IOHANNES STEPHANV DIACON' DIXERVNT: Καὶ ἡμεῖς ἀκολουθοῦμεν πᾶσι τούτοις.

THEODOSIVS IOHANNES SYMEONES MARCELLVS ROMANVS IVLIANVS LEONTIVS ET ASTERIV IVLIANVS IOHANNES SYMEONES MARAS THEODOTVS THOMAS EPIPHANIVS IOHANNES LEONTIVS ET SOFRONIVS DIACON'' DIXERVNT: Καὶ ἡμεῖς συναινοῦμεν πᾶσι τοῖς συνδόξασι παρὰ τοῦ εὐαγοῦς κλήρου.

EPIPHANIVS ROMANVS GINDEVS ET AFTHONIVS DIODORVS IOHANNES ANTONINVS EVAGRIVS THOMAS IOHANNES THOMAS BACCHVS STEPHANVS ANASTASIVS STRATEGIVS EPIPHANIVS ET THEO-
L V 244 CTISTVS REV'V' ANAGNOST' DIXERVNT: Καὶ ἡμεῖς ἀκολουθοῦμεν πᾶσι τούτοις.

FL' IOHANNES PALLADIVS EVTVCHIANVS V' SP' COM' ET PRAESES DIXIT: Δῆλα τὰ πεπραγμένα. EDANTVR

Λίβελλος τῶν μοναχῶν Ἀπαμείας πρὸς τοὺς ἰδίους ἐπισκόπους

36 Ἴσον λιβέλλων ἐπιδοθέντων παρὰ τοῦ κοινοῦ τῶν μοναχῶν τῆς Ἀπαμέων

Τοῖς ὁσιωτάτοις ἐπισκόποις δεσπόταις ἡμῶν τοῖς τὰ πάντα ὁσιωτάτοις καὶ ἁγιωτάτοις πατράσιν ἐπισκόποις Συρίας δευτέρας παρὰ Ἀλεξάνδρου Ἰωάννου Συμεώνου Παλλαδίου Προκοπίου Εὐγενίου Στεφάνου καὶ λοιπῶν ἀρχιμανδριτῶν καὶ μοναχῶν τῆς
Eccles. 3, 1 Ἀπαμέων ἐνορίας. Διδάσκουσιν ἡμᾶς αἱ θεῖαι γραφαὶ ὡς μεμάθηκε καιρῶι δουλεύειν καὶ ἡ τῶν πραγμάτων ἀνάγκη. ἐσιγήσαμεν οὖν τοὺς φθάσαντας κύκλους δυναστείαι τῶν τότε κρατούντων καὶ τῆι μανίαι τῶν αἱρετικῶν βιαζόμενοι, ἀλλὰ νῦν θεοῦ βραβεύσαντος δικαίαν παρρησίαν καὶ φιλοτιμησαμένου τοῖς πράγμασιν εὐκταίαν ἐλπίδα καὶ ταῖς ἐκκλησίαις αὐτοῦ καὶ ἐπανατείλαντος πάσηι τῆι γῆι φιλόχριστον καὶ ὀρθόδοξον βασιλέα ἀνάγκη πᾶσα καὶ τοὺς ἐν ἀφωνίαι πιεζομένους βοᾶν. ἴστε γὰρ ὡς καὶ τῶν ἀδυνάτων σχεδὸν ἡ τῶν ἀπαραιτήτων πραγμάτων ἐφάπτεται βία. θεοῦ τοίνυν φιλανθρωπίαν πρυτανεύσαντος ** ἀγαθοῦ βασιλέως χρηματίζοντος, ἀποχωρησάντων τῶν σκυλεύειν ἐπιχειρούντων τὴν εὐθεῖαν τῆς ὀρθοδόξου πίστεως ὁδόν, λείπεται λέγειν ἡμᾶς, εἰ καὶ μετρίαι φωνῆι, τὸν Σεβήρου τοῦ κακοδόξου πικρότατον βίον, εἶτα καὶ Πέτρου τὸ αἰσχρὸν καὶ πάσης βδελυρίας γέμον πολίτευμα. ὅτε γὰρ ἐπορευόμεθα κατὰ τὸ Καπροκεραμέων χωρίον οὐ πόρρω τοῦ σεβασμίου τεμένους τυγχάνον τοῦ μακαρίτου καὶ ὁμολογητοῦ Συμεώνου, πρὸς εἰρήνην καὶ ἕνωσιν ἀγάπης καὶ δικαίαν εὐχὴν ἀποβλέποντες μόνον, πρόσχημα καὶ ψυχὴν περιφέροντες πρέπουσαν μοναχοῖς, οὐκ ἴσμεν ὅπως τὸν ἀσεβῆ Σεβῆρον πολέμιον ἐσχηκότες, ὃν οὐκ εἶδεν, οὐκ ἐδέξατο πώποτε τῶν Χριστιανῶν ἡ κατάστασις οὐδὲ κοινωνίας ἀληθοῦς κατά τινα τρόπον ἢ χρόνον μετέσχεν, ὅσον ἀπὸ γνώμης τοῦ ἐχθροῦ τῆς ἀληθείας ἄρδην ἅπαντες ἀπωλόμεθα, Ἰουδαίων ἢ καὶ ἄλλως κοσμικῶν τε καὶ δῆθεν μοναχῶν ἐπενεχθέντων ἡμῖν ἔκ τινων ὑψηλῶν καὶ ὑποφόρων χωρίων. τί δὲ καὶ ποιεῖν ἐνῆν ἢ πῶς ἀντικαθίστασθαι τῆι μανίαι τῶν ἐπιπεμφθέντων καὶ τοῦ δεινοῦ τῆς ἀσεβείας στρατηγοῦ; τοὺς μὲν οὖν καὶ διέφθειραν, ἑτέρους αἰχμαλώτους ἀφείλκυσαν, ἐνίους γυμνοὺς τῆς ἐσθῆτος

O [= ac, r (inde a 13), v], I [inde a 13]

1. 4 THEOMÃS O^e 2 ἅπασι O^{av} 3 THEODÓSIO O^e *Simeon* Λ 3. 7 ROMANÒS O^e 4 EPIPHÁNIOS O^e 5 *et Sophronius* Λ STENOFRONIOS O^e 7 GINDEOS O^e *Guideus* Λ corruptum *Setustonius* Λ ÁNTONNĪNOS O^e 8/9 THEÓCTIST' O^e 9 ANAGNNOST' O^e *lectores* Λ Καὶ — τούτοις om. O^a 10 FL' — DIXIT: om. O^{av} V' SP om. Λ 11 EDANTVR om. O^{av} 14 ιγ̄ O^a in mg. 19 τότε O^{er}IΛ τε O^{av} 21 αὐτοῦ I *eius* Λ τοῦ θεοῦ O 23 φιλα͞νία O^{arv} 24 lacunam posui propter Λ qui habet post *donauerit* (= πρυτανεύσαντος) haec: *et tranquillitatem terris reddiderit, qui pro sua singulari bonitate sui cultores ac in se confidentes consilio desertos numquam relinquit sed consolatur* καὶ ἀγαθοῦ O^rI χρηματίζοντες O^v ἀποχωρισάντων O^{rv}I 25 λείλεται O^r 25/26 μετρία φωνῆ O^rI μέτρια φανῆ O^{aev}Λ 27 τὸ καπροκεραμέων O^{av} τὸ κάπρον κεραμέων O^r τὸ [om. O^e] προκεραμέων O^eI 28 τυγχάνων O^v 31 οἶδεν O^{av}Λ 33 πάντες O^r ἀπολώμεθα O^{av} ἄλλων I 34 ἐπιφόρων I 35 τῆι I om. O

κατέστησαν, ἄλλους κατερρωγυίας τῆς ἐσθῆτος ὡς ἐν ἀσχήμονι βίωι κατὰ τὴν ἐκείνων δόξαν ἐπόμπευον. ἡμεῖς μὲν οὖν ἐπὶ τοῖς γεγενημένοις εἰκότως ἐσεμνυνόμεθα πάθη καὶ ὁσίας πληγὰς ὑπὲρ Χριστοῦ τοῦ θεοῦ ἡμῶν μετὰ πάσης ἀγαθῆς ἐλπίδος προφέροντες· ἀλλὰ καὶ τὰ οὕτως μεγάλα τῶν ἀδικημάτων μικρὰ νενομικότες ἐπιπέμπουσι κατὰ τὸ Νικερτων στρατιὰν ἀγροίκων μείζονα ταύτης, δευτέραν ἔφοδον κατὰ τοῦ εἰρημένου L V 245
μοναστηρίου ποιούμενοι. οἱ διορύττουσι μέρος τοῦ τειχίου καὶ ὑπεισέρχονται νύκτωρ
καὶ τινὰς μὲν κατασφάττουσι, τοὺς δὲ πολλοὺς καταπλήττουσιν, ὑφαρπάσαντες καὶ τὴν M VIII 1131
μετρίαν τοῦ μοναστηρίου περιουσίαν, ὥστε ἀντὶ μεγάλων ὀδυρμῶν τρόπαια, φησί, κατὰ τῆς εὐσεβείας ἱστᾶν. καὶ οὗτοι μὲν οὖν πολλὰ δεινὰ δεδρακότες, εἰ καὶ μόλις, ἀπεδιώχθησαν· κόρος δὲ οὐδεὶς ἦν μιαιφονίας Σεβήρωι τῶι μόνωι τῆς πάσης οἰκουμένης ἐχθρῶι ἤ, τό γε ἀληθέστερον, καὶ τῆς τῶν οὐρανίων θεωρίας. ἀλλ' ὡς μὴ ἀρκοῦντος, ὡς ἔοικε, μόνου Σεβήρου κατασπιλῶσαι τῆς ὅλης οἰκουμένης τὰ κόσμια, πάλιν καὶ Πέτρος κατὰ τῆς Ἀπαμέων ἐξανίσταται καὶ προβάλλεται, φησί, πρόεδρος, ὃν ἔδει μᾶλλον γράμμασι καὶ συλλαβαῖς παραδίδοσθαι καὶ μὴ ὀνειροπολεῖν ἱερατικῆς μυσταγωγίας θεσπίσματα. ὅθεν τὸ ἄλογον τῆς νεότητος θράσος ἐπιπέμπει πολλάκις τῶι εὐαγεῖ μοναστηρίωι τῶν Δωροθέου, παρασύρων πλῆθος, δημώδη γύναια τούτωι προσαρμόζοντα ὅσωι τὸ τῆς ἀκοσμίας ἐκώμαζεν ἐν αὐταῖς· ἑταῖραι γὰρ ἦσαν καὶ οὐδαμόθεν εὐγενεῖς. καὶ καταπλήττων τοὺς αὐτόθι θεοφιλεῖς μοναχοὺς ἕλκει κατὰ τὴν πόλιν καὶ δεσμωτηρίωι καθείργει καὶ τοῦτο πολλάκις ποιῶν οὐκ ἐπαύσατο. τίς ἂν ἐφικέσθαι δυνήσεται τῶν ἡγησαμένων ἐν τῶι μοναστηρίωι τῶν Ματρώνης κακῶν; ἔτι γὰρ καὶ νῦν ἐμπεπήγασι βέλη τῶν ἑπομένων καὶ προσκαρτερούντων αὐτῶι Ἰσαύρων βοῶντα τοῦ συμβεβηκότος δράματος τὴν ὑπερβολήν, οὕπω τῶν θυρῶν ἐκείνου τοῦ μοναστηρίου ὁ ἀφανισμὸς ἀδακρυτὶ συγχωρεῖ παριέναι τοὺς ὁρῶντας. εἰ δὲ καὶ τὴν μιαιφονίαν ἐξειπεῖν τολμήσομεν εἰς ἣν καταχρώσας πολλάκις τὰς χεῖρας καὶ ὁρῶν τὰ αἵματα τοῖς θυσιαστηρίοις ἀναπιμπλάμενα προσφέρειν ἐθάρρει, ποῖος τῶν ὀρθοδόξων Χριστιανῶν οὐκ ἀποκνήσει καὶ λέγειν καὶ σιγῆι μᾶλλον ἀγαπήσει τὰ τοιαῦτα τῶν πραγμάτων ἐπικαλύπτειν; ἀλλ' εἰ καὶ πάλιν ἐπιμνησθῶμεν τῶν προελθυθότων κατὰ τὸ Ὀράγων μοναστήριον, ποῖος ἀρκέσει χάρτης πρὸς ἀφήγησιν τῶν τοσούτων πλημμελημάτων; οὐ γὰρ ὤκνησαν ὡς ἐν πολιορκίαι καθελεῖν τὸ μοναστήριον καὶ δίκην αἰχμαλώτων λαβεῖν τοὺς αὐτόθι ψάλλοντας μοναχούς, ἐπειδὴ πρὸς μικρὸν ὀλισθήσαντες ὕστερον τὸν λόγον τῆς ἀληθείας ἠγάπησαν καὶ τὴν ἐπίγνωσιν τῆς ἡμῶν κοινωνίας ἠσπάσαντο. τὴν ἐν Λαρίσσηι συστᾶσαν μάχην καὶ τὴν ἄφατον Φαύστου μανίαν καὶ ὅσους κατέβαλε βέλεσιν ἀθέσμοις, φέρει καί τινων πεπραγμένων ἡ πίστις, ὥσπερ οὖν καὶ ἐπὶ τῆι τοῦ Νικερτων ἐφόδωι γεγένηται πρᾶξις καὶ οὐδένα τῶν οἰκούντων τὴν ἐπαρχίαν διαλέληθεν. ὅσα δὲ καὶ οἷα διαφόρως κατὰ τὸν σεβάσμιον οἶκον τοῦ καλλινίκου μάρτυρος Ἀντωνίνου τετόλμηται, ποία φύσις ἔχουσα λόγον ἀδακρυτὶ διηγήσεται; ὥσπερ

O [= aerv], I

1 ὡσ O κατέστησαν καὶ ὡς I εὐσχήμονι O^{av} βίωι om. O^{av} 2 ἐπόμπευον O^{e}IΛ πομπεύοντες O^{ar} πομβέβοντεσ O^{v} 3 προσφέροντεσ O^{r} 4 καὶ κατὰ O^{e} 4/5 τὸ Νικερτων scripsi cl. infra 33 τὸ νίκερτον O^{aev}I τὸν ἱκιρτὸν O^{r} *exertem* Λ 5 στρατείαν O ἔφοδον δευτέραν I 7 πολλοὺσ O^{er}Λ λοιποὺσ O^{av}I 8 τρόπαι O^{v} κατὰ] καὶ τὰ O^{v} 10 καιρὸς O^{e}Λ πάσης τῆς I 11 ὡσ μὴ ὡσ O^{a} 13 μᾶλλον I μᾶλλον καὶ O^{aev} καὶ μᾶλλον καὶ O^{r} 13/14 καὶ συλλαβαῖς I ἐν συλλαβαῖσ O^{er}Λ ἐνσυλλάβοισ O^{av} 15 τῶν I τῶ O^{er} τοῦ O^{av} 16 παρασύρον O^{a} τὸ O^{er} τῶ O^{av} τὰ I 17 ἐκόμαζεν O^{r} 18 αὐτόθι om. O^{r}I 20 τῶν O^{aev} τῶν τῆσ O^{r} τῆς I 22 ὁ τῶν θυρῶν — ἀφανισμὸσ O^{e}I ὁ om. O^{r} 24 χεῖρασ O^{aev}IΛ θύρασ O^{r} τὰ αἵματα τοῖσ θυσιαστηρίοισ O^{erv}IΛ τὰ θυσιαστήρια τοῖσ αἵμασιν O^{a} 24/25 ποῖος — ὀρθοδόξων ante ὁρῶν coll. Λ. conicere possis χεῖρας προσφέρειν ἐθάρρει, ποῖος τῶν ὀρθοδόξων Χριστιανῶν καθορῶν τὰ αἵματα ἁμα πιλνάμενα τοῖς θυσιαστηρίοις 26 ἀποκαλύπτειν O^{r} 27 τὸ] τὸ τῶν O^{a} 28 πολυορκία O^{rv} 31 ἐκ λαρίσσησ O^{v} 32 κατέλαβε O^{av} ἀθέσμωσ O^{e}Λ 33 τοῦ O^{arv} τῶν O^{e} νικέρτου I 34 διέλαθεν O^{r}I 35 γεγένηται I

γὰρ ἐν ἕθει γενόμενος τῆς τῶν μοναχῶν μιαιφονίας καὶ μέγα κέρδος τὸ πᾶσι τοῖς ἀνθρώποις ἀπευκτὸν λογιζόμενος, κατέσφαττε διὰ τῶν ἑπομένων αὐτῶι, ὧν οὐχ ὁσίως ἐστρατήγει, τοὺς ἐπὶ τιμῆι τῆς ἐκεῖσε ἐπιτελουμένης ἑορτῆς ἀθροιζομένους εὐλαβεῖς καὶ ὀρθοδόξους μοναχοὺς οὕτω τε χερσὶν ἡμαγμέναις τῶι θυσιαστηρίωι παρίστατο. ἀκηκόατε παρόντος τοῦ τε μεγαλοπρεπεστάτου τῆς ἐπαρχίας ἄρχοντος καὶ Ἀμελίου τοῦ ἐνδοξο- 5
L V 248 τάτου καὶ Ναρσοῦ τοῦ μεγαλοπρεπεστάτου καὶ ἑτέρων ἐν τέλει τινῶν ὅσας ἀφῆκαν φωνὰς παρόντες οἱ θεοφιλέστατοι πρεσβύτεροι καὶ διάκονοι καὶ ὑποδιάκονοι καὶ τὸ λοιπὸν πλήρωμα
M VIII 1134 τῆς ἐν Ἀπαμείαι καθολικῆς ἐκκλησίας ὡς μετὰ πορνῶν καὶ γυναικῶν ἀθέσμων τὸν βίον ἐπορεύετο καὶ δυσφήμους ἀφῆκε κατὰ τοῦ θείου φωνάς, παροινῶν τὸν σταυρωθέντα Χριστόν, γύναια παρασύρων ἐν τῆι θείαι τῶν Χριστιανῶν κολυμβήθραι μηδὲ τοῦ θεσπεσίου 10
βαπτίσματος ἀξιωθέντα καὶ εἰ θελήσομεν ἅπαντα διεξελθεῖν, ἑτέρου μᾶλλον καὶ οὐ μόνον τοῦ παρόντος δεησόμεθα καιροῦ· δι' ὃ παρέντες τὰ πολλὰ τῶν πλημμεληθέντων Σεβήρωι καὶ Πέτρωι ἀκροθιγῶς, ὡς οἷόν τε ἦν, ὑποφελλίσαντες διεξήλθομεν τὰς κατ' ἐκείνων ἀληθεῖς κατηγορίας. καλὸν ἂν εἴη μηδὲ τὴν αἰτίαν τῆς κατὰ Ἰουλιανοῦ τοῦ εὐλαβεστάτου λύπης παραδραμεῖν. ἐπειδὴ γάρ τινες ἐκινήθησαν λόγοι ἐν τῶι σηκρήτωι τοῦ ἁγίου 15
Στεφάνου ἑορτῆς ἐπιτελουμένης καὶ ἀπεκρίνατο ὁ εἰρημένος εὐλαβέστατος ἀνὴρ καλῶς καὶ ὁσίως πιστεύειν τὸν εὐσεβέστατον ἡμῶν βασιλέα, ἀχθεσθεὶς ὥσπερ καὶ κεντηθεὶς τὴν ψυχὴν ἐπὶ τῆι δικαίαι ταύτηι φωνῆι, ὑπὸ λόγον καὶ κατάκριμα, φησί, τοῦτον πεποίηκε Πέτρος ὁ τῆς ἀληθείας ἐχθρός, ὁ μηδαμόθεν ἔχων εὔλογον λόγον, ἀλλὰ μόνον κατὰ πάντα προπετὴς ἄντικρυς κἀνταῦθα μαχόμενος τῶι φιλοχρίστωι καὶ ὀρθοδόξωι λογισμῶι τοῦ τῆς ὅλης μετὰ 20
θεὸν οἰκουμένης δεσπότου. ταῦτα γὰρ ὡς ἐπιμαρτυρεῖται, παρόντος τοῦ μεγαλοπρεπεστάτου τῆς ἐπαρχίας ἄρχοντος καί τινων λαμπρῶν λογάδων τῆς μητροπόλεως πολλοὶ τῶν τελούντων εἰς τὸν εὐαγῆ κλῆρον τῆς Ἀπαμέων ἐξεδίδασκον, προστιθέντες καὶ ὅσην ἔσωιζεν ἡδυτάτην στοργὴν περὶ Στεφάνην τὴν ἀπὸ σκηνῆς, ἣν ἀναγαγὼν πειθοῖ καὶ κολακείαι πολλῆι μοναστηρίωι, φησίν, ἐμβάλλει, κατὰ πάντα καιρὸν ἰδίαι καὶ κατὰ 25
μόνας προσεδρεύων αὐτῆι καὶ τοῦτο καταγώγιον ἁπρεπὲς πάλιν ἑαυτῶι τεχνασάμενος καὶ πρόφασιν ἄσεμνον, ἣν αὐτὸς ἐκάλει διδασκαλίαν εἶναι καὶ παραίνεσιν, ἅπαντας τοὺς προεπισταμένους φενακίζειν οἰόμενος καὶ τῆς ἀληθείας παρακρούεσθαι ὧι ἐπὶ κακῶι τὴν πρὸς ἐκείνην ἠσπάζετο συνουσίαν, ἵνα πάνυ σωφρονέστερον τὸν περὶ τούτου διεξέλθωμεν λόγον. δι' ὃ ἱκετεύομεν καὶ δεόμεθα τῆς ὑμετέρας μακαριότητος ἀφορῶντας εἴς τε τὸν 30
ἀληθῆ λόγον ὧι λατρεύετε καὶ τὸν ἅπαντα χρόνον εὐσεβῶς δουλεύετε, καὶ εἰς τὸν ἀοίδιμον καὶ ὀρθόδοξον σκοπὸν τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως καὶ τῶν μεγίστων ἐξουσιῶν εἶξαι καὶ κατακολουθῆσαι ταῖς καθαραῖς πράξεσι τοῦ μακαριωτάτου πατριάρχου τῆς βασιλίδος καὶ τῆς συνεδρευσάσης αὐτῶι ἁγίας συνόδου καὶ συναινέσαι μὲν τῆι κατὰ Σεβήρου τοῦ αἱρεσιάρχου δικαίαι ἐκβολῆι, καθελεῖν δὲ καὶ Πέτρον, ὃν ἐξονομάζοντες εἰκότως ἐγκαλυ- 35
πτόμεθα, πειθόμενοι δὲ τῆι ἀνάγκηι λέγομεν καὶ δεόμεθα καθελεῖν τοῦτον καὶ ἔξω καταστῆσαι θείου χοροῦ καὶ ἱερωσύνης, ἧς αὐτὸς παντελῶς ἀλλότριος γέγονεν ἤδη καὶ νῦν, ἑαυτῶι
M VIII 1137 δὲ μόνον ἀθέσμως περιετίθει τὸ τῆς ἱερωσύνης πρόσχημα. τούτων γὰρ οὕτως ἡγουμένων καὶ ὁ θεὸς εἰσδέξεται τὴν ὑμετέραν καθαρὰν καὶ αὐτῶι φίλην προαίρεσιν καὶ βασιλεὺς

14—21 = p. 96, 29—36

O [= aerv], I

1 πᾶσιν ἀνοις I 3 τοὺς O^{arv}I τῆς O^{e} 4 τῶι — παρίστατο om. O^{a} παρίστατο IΛ παριστάμενος O ἀκηκόαμεν O^{a} ἀκήκοα O^{v} 6 ναρσοῦ O^{e}IΛ μαρσοῦ O^{arv} 10 θείου O^{e} 11 μόνου O^{r}I 12 δεηθησόμεθα O^{e} 15 σεκρέτω O^{e} 16 εἰρημένος O^{e} om. O^{arv}I 19 λόγον om. O^{r} 20/21 μετὰ θεὸν] τῆς O^{r} 21 δεσπόταισ O^{v} 25 καιρὸν om. O^{v} 26 αὐτῆ O^{r}I αὐτὸσ O^{e}Λ αὐτῆ αὐτὸσ O^{av} 27 τοὺσ I om. O 28 τὴν ἀλήθειαν O^{e}Λ ὧι scripsi ὧν OIΛ 31 ὧ O^{aev}I ὃν O^{r} καὶ τὸν — δουλεύετε om. O^{e}Λ 33 τῆς βασιλίδος om. O^{e}Λ 34 συνεδρευούσης I ἁγίασ αὐτῶ O^{av} 39 om. ὁ O^{aer}

ὁ μέγας ἐπαινέσει τὸν ὀρθὸν τῆς ὑμῶν δικαιοσύνης λογισμὸν καὶ τὰ παρενοχλήσαντα πάθη τοῖς μέλεσι τῆς ἐκκλησίας ἐκκόψετε ὡς (εἴθε πάλαι καὶ πρόπαλαι) ἴασιν καὶ θεραπείαν ἀποστολικὴν ταῖς ἐκκλησίαις χαριζόμενοι, πρὸς ὁσίαν καὶ ἐναρμόνιον τάξιν συνάγοντες L V 249
τὴν ἀμώμητον τῶν Χριστιανῶν πίστιν, ἐφ' ὧι τε δόξαν καὶ ἀδιακόπους ὕμνους ἀσιγήτοις φωναῖς ἀνακηρύττεσθαι τῶι δεσπότηι τῶν ὅλων θεῶι ὑπό τε τῶν οὐρανίων δυνάμεων καὶ πάσης ἀνθρωπίνης φύσεως, εἰς ἕνωσιν ἀγαθὴν συνιόντων τῶν δικαίων τῆς καθολικῆς ἐκκλησίας κατὰ τὴν θείαν φωνήν, ἵνα γένηται μία ποίμνη, εἷς ποιμήν, Χριστὸς ὁ Ioh. 10, 16
θεὸς ἡμῶν.

Ὑπογραφαί

1 Ἀλέξανδρος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Μάρωνος ἐπέδωκα τοὺς προκειμένους λιβέλλους ὑπογράψας χειρὶ ἐμῆι: —

2 Συμεὼν ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Ἀγαπητοῦ ἐπέδωκα τοὺς προκειμένους λιβέλλους ὑπογράψας χειρὶ ἐμῆι: —

3 Προκόπιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Θεοδοσίου ἐπέδωκα τοὺς προκειμένους λιβέλλους ὑπογράψας χειρὶ ἐμῆι: —

4 Εὐγένιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Ἡσυχίου ὁμοίως ὑπέγραψα: —

5 Παλλάδιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Οὐαλεντίνου τοῦ ἐν τῶι Καπριόλης ὁμοίως ὑπέγραψα: —

6 Στέφανος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ ὁσίου Θεοδώρου τοῦ ἐν τῶι Βασαλα ὁμοίως ὑπέγραψα: —

7 Ἰωάννης πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Βηλίου ὁμοίως ὑπέγραψα: —

8 Μάρας πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Βασιλείου ὁμοίως ὑπέγραψα:

9 Μουσίλιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Βαρσαβᾶ ὁμοίως ὑπέγραψα: —

10 Σέργιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Θαλασσίου ὁμοίως: —

11 Τιμόθεος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Γαιανοῦ ὁμοίως ὑπέγραψα: —

12 Συμεώνης διάκονος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Εὐγραφίου ὁμοίως ὑπέγραψα: —

13 Ἰουλιανὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ Παπούλης ὁμοίως ὑπέγραψα: —

14 Δωρόθεος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Κυρίλλου ὁμοίως ὑπέγραψα: —

15 Ῥωμύλος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Ἰακώβου ὁμοίως ὑπέγραψα: —

O [= aerv], I

2 ἐκκόψετε I ἐκκόψητε O^{arv} ἐκκόψαι $O^{e}\Lambda$ 4 αἴνους I 7 μία O^{arI} ποία O^{e} om. O^{v} 9 αἱ ὑπογραφαί O^{r} om. I 11 χειρὶ ἐμῆι ὑπογράφας O^{av} 12 ἑλέω O^{erI} 12/13 ἀγαπητοῦ καὶ μακαρίου O^{r} 13 ἐπέδωκα — ἐμῆι om. $O^{e}\Lambda$ 14 ἑλέω θῦ O^{rI} om. $O^{e}\Lambda$ 15 ἐπέδωκα — ἐμῆι om. $O^{e}\Lambda$ 16—110, 7 Εὐγένιος — ὑπογραφαί] καὶ οἱ λοιποί O^{rI} 16. 18. 20. 33 ἐλέει θεοῦ om. $O^{e}\Lambda$ 17. 19. 21. 22/23. 24/25. 26/27. 29/30. 31/32. 34. 35/36. 37/38. p. 110, 1/2. 3/4. 5/6 ὁμοίως ὑπέγραψα O^{a} ὁμοίως O^{v} om. $O^{e}\Lambda$ 18. 19 post 20. 21 coll. O^{av} 19 καπριόλω O^{e} *Capriolo* Λ 20 ἁγίου O^{av} 22/23 ὁμοίως ὑπέγραψα O^{a} ὁμοίως O^{v} ἐπέδωκα $O^{e}\Lambda$ 26 μουσήλιος $O^{e}\Lambda$; nescio an idem sit atque *Mocimius* Coll. Auell. p. 569, 3 βαρασυβᾶ O^{e} *Barasomae* Λ 28 ὁμοίως O^{av} om. O^{e} 31 εὐγράφου O^{e} 37 ἰακώβ O^{e} *Iohannis et Iacobi* Λ

16 Θωμᾶς πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Ἰωάννου ὁμοίως ὑπέγραψα: —

17 Καιουμᾶς διάκονος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Παύλου ὁμοίως ὑπέγραψα: —

18 Σαμουήλιος διάκονος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Ἰσαακίου ὁμοίως ὑπέγραψα: —

Εἰσὶ δὲ καὶ τῆι τῶν Σύρων γλώττηι πολλαὶ καὶ ἄπειροι μοναχῶν ὑπογραφαί.

37 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ἡ συμπαροῦσα ἡμῖν ἁγία σύνοδος ἣν ἐπὶ τοῖς πεπραγμένοις τε καὶ ἀνεγνωσμένοις ἔχει γνώμην, εἰπάτω.

Καὶ ἀνέγνω φωνὴν ὁ θεοσεβέστατος ἀναγνώστης καὶ σεκουνδοκήριος νοταρίων τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης ἔχουσαν οὕτως * * *

Χριστόδωρος ὁ θεοσεβέστατος νοτάριος καὶ διάκονος καὶ σηκρητάριος τὴν ἑρμηνείαν ἀνέγνω οὕτως

Οἱ ἁγιώτατοι ἐπίσκοποι τῶν μερῶν Ἰταλίας καὶ οἱ σεβασμιώτατοι διάκονοι τῆς ἀποστολικῆς καθέδρας εἶπον· Πάλαι ἔγνωσταί τοῖς ὅροις τοῦ ἀποστολικοῦ ἡγεμόνος Ὁρμίσδου Σεβῆρον καὶ Πέτρον ἤτοι τοὺς τούτοις συμπλεκομένους καὶ ἀκολούθους αὐτῶν ὑπὲρ τῆς σαφοῦς ἑαυτῶν πλάνης κατακεκρίσθαι. οὕστινας καὶ ἡμεῖς ἀκολουθοῦντες τοῖς τῆς
M VIII 1138 ἀποστολικῆς καθέδρας διὰ πάντων θεσπίσμασιν ἐν τῶι τόπωι ἤτοι τῶι ἀριθμῶι τῶν κατα-
L V 252 κρίτων ἔχεσθαι ὁμολογοῦμεν, ἀλλὰ καὶ τοῦ προλεχθέντος Σεβήρου τὰ ἀσεβῆ συγγράμματα ἐν οἷς τῆς ἁγίας ἐν Χαλκηδόνι συνόδου τοὺς ὅρους καὶ τοῦ τῆς μακαρίας μνήμης πάπα Λέοντος τὰς ἐπιστολὰς βλασφήμωι στόματι ἀναθεματίσαι ἐτόλμησεν, οὐ μὴν ἀλλὰ καὶ Ζωόραν καὶ πάντας τοὺς τῆι αὐτῶν κοινωνίαι ἤτοι πλάνηι ἐμμένοντας τῆς αὐτῆς ἀποφάσεως ἡ αὐστηρία ἤτοι τοῦ ἀναθέματος οἱ δεσμοὶ καθέξουσιν.

38 Ψῆφος τῆς ἐνδημούσης συνόδου κατὰ Σεβήρου καὶ Πέτρου

Ἡ ἐνδημοῦσα ἁγία σύνοδος εἶπεν· Εἰ καί τι νεώτερον ἦν τὸ παρὰ τῶν εὐλαβεστάτων ἡγουμένων τῶν εὐαγῶν μοναστηρίων αἰτηθὲν ὡς ὑπὲρ τῶν ἁγιωτάτων ἐκκλησιῶν προτεινόμενον, προσδέξασθαι πάντως ἡμᾶς ἔδει καὶ τῶι θεοφιλεῖ αὐτῶν κοινωνῆσαί τε καὶ ἐπαγωνίσασθαι ζήλωι· νῦν δὲ καὶ προεξειργασμένον ἤδη τοῦτο κατὰ λόγον ὀρθὸν ὁρῶμεν ὑπὸ τῶν μακαριωτάτων ἡμῶν πατέρων καὶ ἀδελφῶν, ὥστε καὶ ἐγκλήματος εἶναι μεγίστου τὸ μὴ τούτοις ἐξακολουθεῖν τοῖς οὐ μικροὺς ἱδρῶτας ἐσχηκόσιν ὑπὲρ τῆς κοινῆς τῶν ἁγιωτάτων ἐκκλησιῶν εἰρήνης καὶ ἐν τοῖς μεγάλοις καὶ πατριαρχικοῖς διαλάμψασι

O [= aerv], I, B [8/9 et inde a 25], D [inde a 24]

3 μαιουμᾶσ O^a 5 ἰσαακκίου O^e 8 ἀρχιεπίσκοπος] καὶ μακαριώτατοσ πατριάρχησ μηνᾶσ B 9 ἔχειν O^e 10/11 Καὶ ἀνέγνω — οὕτωσ O^{arv}I post οὕτωσ spatium nonnullarum linearum vacuum relinquunt O^{av}, ut notaretur uerba Latina esse omissa, omnia om. O^eΛ 10 σεκουνδουκήριος νοτάριος I 12/13 ἀριστόδωρος — οὕτωσ O^{av} ἣσ τὴν ἑρμηνείαν ἀνέγνω χριστόδωροσ ὁ θεοσεβέστατοσ νοτάριοσ καὶ διάκονοσ καὶ σηκρητάριοσ O^rI καὶ ἀνέγνω χριστόδωροσ ὁ θεοσεβέστατοσ νοτάριοσ καὶ διάκονοσ καὶ σηκρητάριοσ τὴν τῆσ ἀναγνωσθείσησ διὰ ῥωμαικῶν λέξεων φωνῆσ ἑρμηνείαν ἔχουσαν οὕτωσ O^eΛ 12 χριστόδωροσ (O^{er}I)] ἀριστόδωροσ O^{av} Χριστοφόρος p. 52, 30 14 ιθ̄ O^a in mg. ιη̄ O^v in mg. τῆς ἰταλίας O^e 16 ἤτοι [= *uel*] O καὶ I 17 σαφοῦσ O^{aev} σφῶν I σ. [una litt. erasa] φῶν O^r αὐτῶν I 18 ἤτοι] εἴτι O^v 19 εὔχεσθαι O^{av} ὁμολογοῦμεν I αὐτοὺσ [αὐτὰσ O^v] ὁμολογοῦμεν ΟΛ 20 τῆσ ἁγίασ I τῆσ ἁγίασ τῆσ O 21 ἐτόλμησαν O 23 τοῦ αὐτοῦ O^e 24 ιη̄ O^a in mg. ιθ̄ O^v in mg. ψῆφοσ I ψῆφοσ ἐπιφανίου πατριάρχου [πατριάρχου κωνσταντινουπόλεωσ O^{arv}D] καὶ ΟΛΙ) ἐνδημούσησ ODΛ ἐν κωνσταντινουπόλει I σεβήρου καὶ ζωόρα καὶ πέτρου O^{av}I) 25 ἐνδημοῦσα om. BΛ 27 ἡμᾶσ πάντωσ O^e 28/29 τοῦτο — ὁρῶμεν ἤδη O^e 29 τὲ καὶ O^{aev}D

θρόνοις. ἐκ πάντων τοίνυν τῶν ἀνεγνωσμένων εὕρομεν Σεβῆρον καὶ Πέτρον πάσης ἐκκλησίας καθολικῆς ἀλλὰ καὶ αὐτῆς τῆς ὀρθοδόξου πίστεως ἀποστάτας καὶ ἀποτετμημένους καὶ τῶν μὲν ἁπλουστέρων ψυχῶν ἐπιβούλους, τῶν δὲ ἀσεβῶν αἱρετικῶν συνεργοὺς οἷα ταῖς αὐτῶν ποικίλαις ὑπαγομένων πλάναις. ἀλλὰ καὶ τοὺς ἱεροὺς τῶν ἁγίων ἡμῶν πατέρων θεσμοὺς παρ' οὐδὲν ἡγήσαντο, τὰ τούτοις ἀπηγορευμένα ῥιψοκινδύνως ποιεῖν τολμήσαντες καὶ διὰ ταῦτα ταῖς ἀνεγνωσμέναις ὑποπεσόντες ἱερατικαῖς ψήφοις. δι' ὃ καὶ ἡμεῖς ἀκολουθοῦντες αὐταῖς τοὺς εἰρημένους Σεβῆρον καὶ Πέτρον μηδὲ τοῖς ὑπὸ τοσούτων ἁγίων γενομένοις κατ' αὐτῶν αἰωνίοις κατακρίμασί τε καὶ ἀναθέμασιν ὑποσταλέντας ἢ μετριωτέρους γοῦν κατά τι γενομένους, τουναντίον δὲ καὶ ἐπαυξήσαντας τὴν ἑαυτῶν θρασύτητα κατὰ πασῶν τῶν ἁγιωτάτων ἐκκλησιῶν καὶ θορύβων τὸ ἐπ' αὐτοῖς πληρώσαντας αὐτὰς καὶ τῶν ἰδίων πόνων τοὺς καρπούς, ὡς φησιν ἡ θεία γραφή, δρεψαμένους ἐν τῇ τάξει γενομένους ἔχομεν ὧν ἠγάπησαν αἱρετικῶν, καὶ ἅπερ ἐσπούδασαν ἐφ' ὕβρει μὲν τῶν ἁγιωτάτων ἡμῶν πατέρων, ἀνατροπῇ δὲ τῶν πιστῶν ἐφευρεῖν ἀναθέματα, ταῦτα ἔχοντας αὐτοὺς κατὰ τῆς ἑαυτῶν κεφαλῆς, πορευομένους, ὡς ὁ προφήτης φησί, τῷ φωτὶ τοῦ πυρὸς αὐτῶν καὶ τῇ φλογὶ ᾗ ἐξέκαυσαν, κἀν τούτῳ ἐξακολουθούντων ἡμῶν τοῖς μνημονευθεῖσιν ἁγίοις πατράσι καὶ διὰ τῆσδε ἡμῶν τῆς μετρίας κατ' αὐτῶν ἀποφάσεως ἀναθεματιζόντων τοὺς αὐτοὺς Σεβῆρον καὶ Πέτρον, ὧν ὁ μὲν τὸν τῆς Θεουπολιτῶν, ὁ δὲ τὸν τῆς Ἀπαμέων ἀθέσμως ὑφήρπασαν θρόνον, ὥστε τοὺς εἰς Χριστὸν ἠλπικότας καὶ τῆς καθολικῆς ἐκκλησίας τυγχάνοντας τοῦτο εἰδότας μὴ περιπίπτειν αὐτοῖς ἀγνοίαι τῶν κατ' αὐτῶν κανονικῶς ὁρισθέντων, ἀλλ' εἰδέναι κατὰ τὴν εὐαγγελικήν τε καὶ ἀποστολικὴν ὑφήγησιν ὅτι αἱρετικὸν ἄνδρα μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτεῖσθαι χρὴ καὶ ὅτι χαίρειν οὐ δεῖ τῷ τοιούτῳ λέγειν· ὁ γὰρ λέγων αὐτῷ χαίρειν κοινωνεῖ τοῖς ἔργοις αὐτοῦ τοῖς πονηροῖς. δῆλον δὲ ὅτι τῆς αὐτῆς εἰσι κατακρίσεως Ζωόρας τε ὁ δυσσεβέστατος καὶ πάντες οἱ τοῖς εὐσεβέσι θυσιαστηρίοις τε καὶ βαπτιστηρίοις ἀνθιστῶντες τὰς αἱρετικὰς ἑαυτῶν παρασυνάξεις καὶ παραβαπτίσματα. καὶ τὰ ἀσεβῆ συγγράμματα τοῦ εἰρημένου Σεβήρου τὸν ὅμοιον ἀναθεματίζομεν τρόπον· ἐν ἴσῳ γάρ, ὡς φησιν ἡ θεία γραφή, μισητὰ τῷ θεῷ καὶ ὁ ἀσεβῶν καὶ ἡ ἀσέβεια αὐτοῦ.

Prou. 1, 31 — Ies. 50, 11 — Tit. 3, 10 — 2 Ioh. 10. 11 — M VIII 1139 — L V 253 — Sap.Sal.11,9

Ψῆφος Μηνᾶ πατριάρχου κατὰ Σεβήρου Πέτρου καὶ Ζωόρα

39 Ὁ ἁγιώτατος καὶ μακαριώτατος οἰκουμενικὸς ἀρχιεπίσκοπος καὶ πατριάρχης Μηνᾶς εἶπεν· Ἰωάννου τοῦ θεσπεσίου ἀποστόλου καὶ μαθητοῦ τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ λέγοντος τινὰς ἁμαρτίας εἶναι μὴ πρὸς θάνατον, τινὰς δὲ καὶ πρὸς
1 θάνατον, καὶ διδάσκοντος ἡμᾶς διὰ ταύτης τῆς ἀποφάσεως τὰς εἰς θεὸν διὰ τῶν αἱρετικῶν δοξῶν ἀποφεύγειν βλασφημίας ὡς δὴ πρὸς θάνατον ἀγούσας, φαίνονται Σεβῆρος καὶ Πέτρος αὐθαιρέτως ἑλόμενοι τὰς πρὸς θάνατον ἁμαρτίας. δέον γὰρ τὴν ἀρχὴν πλανηθέντας καὶ δόξαις αἱρετικαῖς ὑπαχθέντας καὶ διὰ τοῦτο παρὰ τῆς καθολικῆς καὶ ἀποστολι-

1 Ioh. 5, 16

O [= aerv], IBD

5 πρῶν ἡμῶν $O^{av}D$ 6 ἀνεγνωσμέναις om. B ἱερατικαῖσ ὑποπεσόντεσ B 9 μετριωτέρωσ B καὶ om. B 10 ἑαυτοῖσ O^{r} αὐτῶν B αὐτῆσ O^{r} 12 ἔχομεν om. O^{av} 13 ἁγίων O^{e} 13/14 ἀξίαν ἀναθέματοσ D 15 ἑαυτῶν O^{e} τούτων O^{r} τούτοις I ἐξακολουθοῦντεσ B 16 ἡμῶν om. B ἁμετρίασ B 17 ἀναθεματίζομεν B τοὺς om. O^{a} 18 ἀθέσμως om. O^{r} ἁφήρπασαν O^{r} 24 τοῖς] τῆσ O^{rv}B τε om. O^{r} 24/25 τε καὶ βαπτιστηρίοις om. I 25 ἀνθιστῶτεσ O^{e} τὰ παραβαπτίσματα O^{e} 26 post ἀσεβῆ superscr. δὲ D 29 om. B καὶ πέτρου D 30 κ̄ O^{av} in mg. οἰκουμενικὸσ — καὶ om. B 31 Μηνᾶς om. B 32 καὶ om. B 36 αἱρετικῶν O^{r}I

κῆς ἁγίας ἐκκλησίας καὶ πάντων τῶν ἐν αὐτῇ ἀρχιερατεύειν λαχόντων τὸ κατάκριμα ἑαυτοῖς ἐπαγαγόντας σωφρόνως ἐνεγκεῖν τὴν τιμωρίαν καὶ πρόφασιν μετανοίας ἀλλὰ μὴ ἀπογνώσεως ταύτην ὑπολαβεῖν, οἳ δὲ τοιοῦτον μὲν οὐδὲν φαίνονται διαπεπραγμένοι οὐδέ τινα παρ' ὅλον τὸν χρόνον μεταγνώσεως ἔνδειξιν ποιησάμενοι, ἀλλ' ὡς πρὸς αὐτὸν τὸν θεὸν ἀπαυθαδιαζόμενοι ἐνέμειναν ταῖς οἰκείαις ἀσεβείαις, μικρὸν ἡγησάμενοι τὸ μέχρις αὐτῶν στῆσαι τὴν ἀπώλειαν, εἰ μὴ καὶ τοὺς ἄλλους ἅπαντας ὅσους ἂν γένοιντο δυνατοί, προσαπολέσαιεν, ἔργον ἐπιτηδεύσαντες μόνου τοῦ ἀρχηγοῦ τῆς κακίας καὶ εὑρετοῦ ἄξιον, ὃς τὴν οἰκείαν ἀπόπτωσιν κοινὴν ἁπάντων ἀνθρώπων ἀπώλειαν ἠβουλήθη τε καὶ μέχρι νῦν βούλεται καταστῆσαι. οὔκουν ἐπαύσαντο διδασκαλίαις ἐγγράφοις τε καὶ ἀγράφοις χρώμενοι οὐ μόνον ἐν αἷς ἐτύγχανον διατρίβοντες πόλεσιν, ἀλλὰ καὶ κατὰ τὰς πόρρω διεστώσας, καὶ τὰς τῶν ἁπλουστέρων ψυχὰς δελεάζοντες καὶ κοινωνοὺς ποιούμενοι τῆς ἰδίας ἀπωλείας, μηδὲ τὸ κρίμα τοῦ θεοῦ κατὰ νοῦν λαβόντες μηδὲ τὴν κυριακὴν ἀπόφασιν διαρρήδην βοῶσαν ὃς ἐὰν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων [τῶν ἐλαχίστων], ἔνοχος ἔσται τῇ γεέννῃ τοῦ πυρός. κατεπάτησαν δὲ πρὸς τούτοις καὶ τοὺς εὐαγεῖς κανόνας, οἳ σαφῶς διαγορεύουσι τὸν ἔν τινι συνόδῳ κατακεκριμένον μηδέ τινι τρόπῳ δύνασθαι λειτουργίας ἱερατικῆς ἀντιλαμβάνεσθαι, μέχρις ἂν ἐξέτασις ἐπ' αὐτῷ γενομένη ὑφ' ἑτέρας συνόδου ἀθῷον αὐτὸν ἀποδείξῃ· εἰ δέ τις τολμήσει ἱερατικόν τι πρᾶξαι κατὰ τὸν ἐν μέσῳ χρόνον πρὸ τῆς ἐν ἑτέραι συνόδῳ ἀποκαταστάσεως, τοῦτον μηδὲ ὕστερον ἐν ἄλλῃ συνόδῳ ἐλπίδα τινὰ ἔχειν ἀποκαταστάσεως. ἀλλὰ τούτων πάντων ὑπεριδόντες οἱ προειρημένοι Σεβῆρος τε καὶ Πέτρος καὶ οἱ τούτων κοινωνοὶ καὶ μέτοχοι, (ὧν ἐστι Ζωόρας τις μοναχὸς ἐκ τῆς Σύρων ὁρμώμενος, ἄνθρωπος οὐδὲ νοῆσαι ποτέ τι τῶν ἱερῶν οὐδὲ μὴν πρᾶξαι κατὰ λόγον δυνάμενος, οὐχ ὅτι γε καὶ ἄλλοις ἀγαθοῦ τινος μεταδοῦναι, ἀλλ' ἁπλῶς οὕτω τὴν ὑπόκρισιν ὥσπερ τι δέλεαρ ταῖς τῶν ἐντυγχανόντων ψυχαῖς προτεινόμενος, μᾶλλον δέ, ἀληθέστερον εἰπεῖν, ὑπόθεσιν πλεονεξίας ποιούμενος) καταφρονήσαντες μὲν τῆς ἐν τῇ Ῥωμαίων ἁγιωτάτῃ ἐκκλησίαι τῶν ἀποστόλων διαδοχῆς τὴν κατ' αὐτῶν ἀπόφασιν ποιησαμένης, παρ' οὐδὲν δὲ λογισάμενοι καὶ τὸν τῆσδε τῆς βασιλευούσης πατριαρχικὸν θρόνον καὶ πᾶσαν τὴν ὑπ' αὐτὸν ἁγίαν σύνοδον τήν τε αὐτοῦ τοῦ δεσπότου καὶ σωτῆρος τῶν ὅλων ἐν τοῖς ἁγίοις τόποις ἀποστολικὴν διαδοχὴν καὶ πρὸς πᾶσι τούτοις τὴν πάσης τῆς Ἀνατολικῆς διοικήσεως κατ' αὐτῶν ψῆφον γεγενημένην, τὸ δὴ λεγόμενον, ἀνίπτοις χερσὶ τὰ ἅγια μεταχειρισάμενοι καὶ καθάπερ δή τινες χοῖροι τοὺς μαργαρίτας πατήσαντες, λέγω δὴ τὰς εὐαγγελικάς τε καὶ πατρικὰς ἀποφάσεις, οὐκ ἐπαύσαντο μέχρι καὶ τήμερον παντοίως λυμαινόμενοι τῇ καταστάσει καὶ εἰρήνῃ τῶν ἁγιωτάτων ἐκκλησιῶν, αὐτοὶ μὲν λαθραίως τὰ τοῖς κανόσιν ἀπηγορευμένα διαπραττόμενοι, ἄλλους δὲ πολλοὺς τῶν πειθομένων τῇ ἀθέσμοι αὐτῶν διδασκαλίαι παρασκευάζοντες συνάξεις τε καὶ βαπτίσματα κατ' οἴκους καὶ μοναστήρια ποιεῖν ἀκανονίστως καὶ τῆς μυσαρᾶς αὐτῶν πολλοῖς τῶν ὑπ' αὐτῶν διεστραμμένων μεταδιδόναι κοινωνίας, ἀνθρώπους μηδὲ τὴν σχήματι, οὐδὲ γὰρ πράγματι φαμέν,

Mt. 18, 6 (9)

M VIII 1142

L V 256

Mt. 7, 6

15 sq. non accurate allegatur canon Antioch. 4

O [= aerv], IBD

1 ἐκκλησίασ ἁγίασ D 2 ἐπάγοντασ O^{ar} 3 τοιοῦτον OD τοιοῦτο B τούτων I 4 παρ' ὅλον] παραλόγον O^{r} 5 ἀπαυθαδιζόμενοι B 6 στῆναι O^{e}Λ μὴ καὶ O^{r}IBD καὶ μὴ O^{aev} 6/7 προσαπολέσειαν B 7 ἔργον τοίνυν D^{corr} τῆσ — εὑρετοῦ I καὶ τῆσ κακίασ εὑρετοῦ O^{arv}BD καὶ εὑρετοῦ τῆς κακίας O^{e} ἄξιον om. B ὃς] ὡσ O^{v} 8 ἀπώλειαν om. O^{r}I 9 τοῦ νῦν ID 12 οἰκείας D 13 τῶν [καὶ D] ἐλαχίστων OBD om. I 15 σαφῶς IB σοφῶσ ODΛ μηδενὶ I 16 ἀντιλαμβάνεσθαι O^{r}I ἀντιλαβέσθαι O^{a}BD ἐπιλαβέσθαι O^{e} ἀπολαβέσθαι O^{v} ἄχρισ B 17 τολμήσοι B 20 ἁπάντων O^{r}I πάντεσ D 21 ἐκ] καὶ O^{r} τῶν σύρων O^{av}D 22 τι ποτὲ I 23 ἀπόκρισιν O^{v} 27 βασιλευούσης πόλεως B 31 δή om. BD 32 τε om. D πρ͞ιαρχικᾶσ O^{r}I σήμερον D 33 μὲν om. O^{r} λάθρα O^{r}I 35/36 μοναστρίασ O^{a} 36 ποιοῦντεσ O^{e}Λ 37 ἀνθρώποισ O^{r}ID γὰρ om. I

παρ' αὐτῶν διδομένην τοῖς ὁμοίως αὐτοῖς διεστραμμένοις χειροτονίαν ἐσχηκότας, ὥστε διὰ ταῦτα μὴ μόνον τὸ ἀρχῆθεν παρὰ τῶν πατέρων ἡμῶν ἐπιτεθὲν οἷον ἐρριζωθῆναι ἀνάθεμα, ἀλλὰ καὶ ἐξ ἡμετέρας ἀποφάσεως, μᾶλλον δὲ τῆς τῶν κανόνων αὐθεντίας τὴν ἐλπίδα τῆς ἀποκαταστάσεως αὐτοῖς ἀναιρεθῆναι καὶ τοῦτο μανθάνοντας τοὺς τῆς καθολικῆς καὶ ἁγίας ἐκκλησίας τροφίμους ἀποφεύγειν τὴν ἐκείνων πλάνην τε καὶ κακοδοξίαν. διὰ ταῦτα τοιγαροῦν ταῖς τῶν ἁγίων ἡμῶν πατέρων ἑπόμενοι ψήφοις καὶ τοῖς εὐαγγελικοῖς τε καὶ πατρικοῖς ἀκολουθοῦντες θεσμοῖς, ἀποδεχόμενοι δὲ καὶ τοὺς ὁσιωτάτους ἀδελφοὺς καὶ συλλειτουργούς, τῆς παρ' αὐτῶν ἐξενεχθείσης ἀποφάσεως κατὰ τῶν εἰρημένων Σεβήρου καὶ Πέτρου καὶ Ζωόρα καὶ τῶν ἄλλων ὅσοι κοινωνοῦσιν αὐτοῖς τῆς ἀσεβείας, καὶ τῶν συμπλεκομένων ταῖς ἐκείνων ἀνοσιουργίαις καὶ ἡμεῖς διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν, ὥσπερ τινὰς λύκους βαρεῖς ἐπερχομένους τῇ ποίμνῃ τοῦ Χριστοῦ ἀπελαύνοντες, σύμψηφοι γινόμεθα τοῖς ὁσιωτάτοις ἡμῶν ἀδελφοῖς καὶ συλλειτουργοῖς καὶ τοὺς πολλάκις πρότερον ὀνομασθέντας Σεβῆρον καὶ Πέτρον τῷ ὁμοίῳ τιτρώσκομεν ἀναθέματι, οὐκ αὐτοὺς δὲ μόνον, ἀλλὰ καὶ Ζωόραν καὶ τοὺς ἄλλους τοὺς παρασυνάξεις καὶ παραβαπτίσματα ποιοῦντας καὶ πάντα τὰ παρ' αὐτῶν συγγεγραμμένα, οἷα τοῦ ἀρχεκάκου δράκοντος ἰὸν ἐν ἑαυτοῖς διασώιζοντα καὶ τοῦτον ταῖς τῶν ἁπλουστέρων ψυχαῖς ἐνιέντα. Act. 20, 29

α 1 Μηνᾶς ἐλέει θεοῦ ἐπίσκοπος Κωνσταντινουπόλεως Ῥώμης ὁρίσας ὑπεσημηνάμην:

β 2 EGO SABINVS EPISCOP(VS) SANCTAE ECCLESIAE CANVSINAE HVIC SYNODO SEQVENS DEFINITIONEM SANCTAE RECORDATIONIS PAPAE ORMISDAE ANATHEMATIZANS ATQVE CONDEMNANS SEVERVM ET EIVS IMPIA SCRIPTA ET PETRVM QVONDAM APAMENVM SED ET CONPLICES EORVM ATQVE SEQVACES NEC NON ET ZOARAM VEL COMMVNICATORES EORVM ET IN EODEM ERRORE PERMANENTES SVBSCRIPSI: —

γ 3 EGO EPIPHANIVS EPISCOPVS SANCTAE ECCLESIAE ECLANAE καὶ τὰ λοιπὰ ὁμοίως διὰ Ῥωμαίων γραμμάτων: —

δ 4 EGO ASTERIVS EPISCP' SANCTAE ECCLESIAE SALERNITANAE καὶ τὰ λοιπὰ ὁμοίως διὰ Ῥωμαίων γραμμάτων: —

ε 5 IN NOMINE DOM' IHESV CHRISTI LEO EPISCOP' ECCLESIAE NOLANAE καὶ τὰ ἐξῆς τῆς ὑπογραφῆς ὁμοίως διὰ Ῥωμαικῶν γραμμάτων: — M VIII 1143

ϛ 6 EGO RVSTICVS EPISCOP' SANCTAE ECCLESIAE FAESVLANAE καὶ τὰ λοιπὰ ὁμοίως δι' ἴσων γραμμάτων: — L V 257

ζ 7 THEOPHANES DIACON' SANCTAE ECCLESIAE ROMANAE καὶ τὰ λοιπὰ ὡσαύτως διὰ τῶν αὐτῶν γραμμάτων: —

η 8 PELAGIVS DIACON' SANCTAE ECCLESIAE ROMANAE καὶ τὰ λοιπὰ ὁμοίως: —

O [= aerv], I, BD [usque ad 17]

1 αὐτῶν $O^{arv}D$ ἐσχηκόσιν $O^{r}ID$ 2 οἷον] αὐτοῖς D ἐκριζωθῆναι D 6 ταῖς τε $O^{e}B$ 8 καὶ τῆσ B 9 καὶ¹ om. I 10 ἀνουσιουργίασ O^{v} 12 Χριστοῦ] κῦ B ἁγιωτάτοις D 13 συναδελφοῖς D 14 καὶ οὐκ $O^{arv}D$ δὲ om. D 15 τοὺσ τὰσ B 16 τὸν τοῦ $O^{e}B$ αὐτοῖσ B 17 τούτων O^{r} τῶν om. O^{v} ἐνιόντα O^{v} 18 inscr. ὑπογραφαί $O^{e}Λ$ numeri Graeci ex O^{e} ἑλέω $O^{er}I$ ἀρχιεπίσκοποσ $O^{r}I$ νέασ ῥώμησ O^{a} ὑπέγραψα O^{av} 19—34 $O^{e}Λ$ καὶ ὑπέγραψαν καὶ ἕτεροι ἑπτὰ ἐπίσκοποι Ἰταλοὶ ὑπογραφαῖσ [ὑπογραφῇ O^{v}] γραμμάτων Ἰταλικῶν [ἑλληνικῶν O^{a}] ὧν τὰ ὀνόματα ταῦτα· σαβῖνοσ· ἐπιφάνιοσ· ἀστέριοσ· ἐνόμινε δόμινε· πουστίκουσ· καὶ διάκονοι δύο· γιεοπιάνεσ καὶ πελάγιοσ· καὶ μετὰ ταῦτα ὑπέγραψαν οἱ λοιποὶ ὡσ ὑποτέτακται O^{av} om. $O^{r}I$ 19. 24. 26. 30 EGON O^{e} 19 SANCTI O^{e} CANOVSINAE O^{e} HVIS O^{e} *in* Λ 20 ATQV O^{e} 20/21 CONDEMANS O^{e} 21 SEVERVM O^{e} QVONDM O^{e} *Apamearum episcopum* Λ 22 SEQVASES O^{e} ZORAM O^{e} COMVNICATORES O^{e} 23 RERMANENTES O^{e} 24 ἐπιφάνιος ἐπίσκοπος O^{e} ESLANE O^{e} *Esculanae* Λ 26 ἀστέριος O^{e} 28 DOMINE SVCHRISTI LEONN O^{e} 30 PVSTICVS O^{e} πουστίκουσ O^{av} [cf. notam 19—34] SANCTAECLESIAE O^{e} 32 Θεοφάνους p. 34. 5 γιεοπιάνεσ O^{av} [cf. notam 19—34] THEODONIANOS O^{e} SANCTA O^{e} RIOHMANAE O^{e} 34 PELAGIOS O^{e} SANCTAECCLEIAE O^{e} ROHMANAE O^{e}

θ̄ 9 Ὑπάτιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἐφεσίων μητροπόλεως τῆς Ἀσιανῶν ἐπαρχίας ὁρίσας ὑπεσημηνάμην: —

ι 10 Κωνσταντῖνος ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Ἡράκλειαν τὴν φιλόχριστον μητρόπολιν τῆς Εὐρωπαίων ἐπαρχίας ἁγίας τοῦ θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας ὁρίσας ὑπεσημηνάμην: —

ιᾱ 11 Εὐσέβιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Κύζικον τὴν μητρόπολιν ἁγιωτάτης ἐκκλησίας τῆς Ἑλλησποντίων ἐπαρχίας ὁρίσας ὑπεσημηνάμην: —

ιβ̄ 12 Θαλάσσιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Νικομηδέων μητροπόλεως τῆς Βιθυνῶν ἐπαρχίας ὁρίσας ὑπεσημηνάμην: —

ιγ̄ 13 Ἀναστάσιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Νικαέων μητροπόλεως τῆς Βιθυνῶν ἐπαρχίας διὰ τῆς ἀναγνώστεως τοῖς πεπραγμένοις ἐπιστὰς καὶ ἀναθεματίζων Σεβῆρον καὶ τὰ αὐτοῦ ἀσεβῆ συγγράμματα καὶ Πέτρον τὸν ποτὲ Ἀπαμείας καὶ Ζωόραν καὶ τοὺς κοινωνικοὺς αὐτῶν καὶ τοὺς ἐν τῇι αὐτῶν πλάνηι ἐπιμένοντας ὁρίσας ὑπεσημηνάμην: —

ιδ̄ 14 Φωτεινὸς κατὰ φιλανθρωπίαν θεοῦ ἐπίσκοπος τῆς Χαλκηδονίων λαμπρᾶς μητροπόλεως ὁρίσας ὑπεσημηνάμην: —

ιε̄ 15 Αὐξέντιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Σεβαστιανῶν μητροπόλεως τῆς πρώτης Ἀρμενίων ἐπαρχίας διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ὁρισθεῖσιν ὑπεσημηνάμην: —

ις̄ 16 Θεόδουλος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἰκονιέων μητροπόλεως διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ὁρισθεῖσιν ὑπεσημηνάμην: —

ιζ̄ 17 Θεαγένης ἐλέει θεοῦ ἐπίσκοπος τῆς Συναδέων μητροπόλεως ὁρίσας ὑπεσημηνάμην: —

ιη̄ 18 Βάκχος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἀντιοχέων λαμπρᾶς μητροπόλεως τῆς Πισιδῶν ἐπαρχίας ὁρίσας ὑπεσημηνάμην: —

ιθ̄ 19 Μάμας ἐλέει θεοῦ ἐπίσκοπος τῆς Μελιτηνῶν ἁγιωτάτης ἐκκλησίαις ἀναγνοὺς ἅπαντα τὰ πεπραγμένα καὶ σύμψηφος γενόμενος ἐπὶ πᾶσιν ὑπέγραψα: —

κ̄ 20 Ἱλαριανὸς ἐλέει θεοῦ ἐπίσκοπος τῆς Περγαίων μητροπόλεως ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὁρίσας ὑπεσημηνάμην: —

κᾱ 21 Βοσπόριος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Νεοκαισαρέων μητροπόλεως ὁρίσας ὑπεσημηνάμην: —

κβ̄ 22 Παῦλος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Τυανέων μητροπόλεως ὁρίσας ὑπεσημηνάμην: —

κγ̄ 23 Ἀκάκιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Πισιν⟨ουντ⟩ίων ἢ γοῦν Ἰουστινιανουπολιτῶν μητροπόλεως ὁρίσας ὑπεσημηνάμην: —

O [= ae, r (usque ad 5), v], I [usque ad 5]

1. 2 post 3—5 coll. Or I 1 ἐλέει θεοῦ om. OeΛ ἐλέω I τῆς ἐφεσίων — ἐπαρχίας Oarv I ἐφέσου OeΛ 3 ἐλέω θῡ̄ OrI om. OeΛ 3—5 κατὰ — ὁρίσας Oarv κατ' εὐρώπην ἡρακλείας OeΛ 4 εὐρωπίων Oarv 6—p. 119, 25 om. Or καὶ οἱ λοιποί I 6 sq. ἐλέει θεοῦ semper om. OeΛ 6/7 τῆς κατὰ κύζικον — ἐπαρχίας Oav κυζίκου OeΛ 7 τῆς om. Ov 8/9 τῆς νικομηδέων — ἐπαρχίας Oav νικομηδείας OeΛ 10 τῆς Βιθυνῶν ἐπαρχίας om. OeΛ 15 κατὰ — θεοῦ om. OeΛ 15/16 τῆς — μητροπόλεως Oav χαλκηδόνος OeΛ 15 χαλκηδονέων Ov 16 ὑπέγραψα Oav 17—19 τῆς σεβαστιανῶν — ἐπιστὰς Oav σεβαστείας OeΛ 19 γενόμενος ἐν πᾶσι Oav ὧν OeΛ ὑπέγραψα Oe 20 τῆς — μητροπόλεως Oav ἰκονίου OeΛ 20/21 διὰ — ὁρισθεῖσιν Oav σύμψηφος ὢν καὶ αὐτὸς OeΛ 23 τῆς [τοῖς Ov] συναδαίων μητροπόλεως Oav συνάδων OeΛ 25/26 τῆς ἀντιοχέων — ἐπαρχίας Oav τῆς ἐν πισσιδίᾳ ἀντιοχείας OeΛ 27/28 τῆς μελιτηνῶν [μελιτινῶν Oa] — σύμψηφος γενόμενος Oav μελιτηνῆς σύμψηφος ὢν OeΛ 29/30 τῆς περγαίων — ἐκκλησίας Oav πέργης OeΛ 31 τῆς — μητροπόλεως Oav νεοκαισαρείας OeΛ 33 τῆς — μητροπόλεως Oav τυάνων OeΛ 34/35 τῆς πισινιῶν — μητροπόλεως Oav πισσινοῦντος OeΛ

κδ 24 Κόνων ἐλέει θεοῦ ἐπίσκοπος τῆς Σιδητῶν μητροπόλεως διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς ὁρίσας ὑπεσημηνάμην: —

κε 25 Ἐπίκτητος ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Κλαυδιούπολιν τὴν μητρόπολιν ἁγιωτάτης ἐκκλησίας ὁρίσας ὑπεσημηνάμην: —

κϛ 26 Προκόπιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Γαγγρηνῶν μητροπόλεως διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ὁρισθεῖσιν ὑπεσημηνάμην: —

κζ 27 Πέτρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἰουστινιανιτῶν μητροπόλεως τῆς δευτέρας Καππαδοκῶν ἐπαρχίας ὁρίσας ὑπεσημηνάμην: —

κη 28 Μάρκος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἀπαμέων πόλεως τῆς Βιθυνῶν ἐπαρχίας ὁρίσας ὑπεσημηνάμην: —

κθ 29 Ἥδιστος ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Κίον τὴν μητρόπολιν ἁγιωτάτης ἐκκλησίας ὁρίσας ὑπεσημηνάμην: —

λ 30 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος Βοσπόρου ὁρίσας ὑπεσημηνάμην: —

λα 31 Θεόδωρος ἐλέει θεοῦ ἐπίσκοπος Γορτύνης, ἣ μητρόπολίς ἐστι τῆς Κρητῶν ἐπαρχίας, διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς καὶ ἀναθεματίζων Σεβῆρον καὶ τὰ αὐτοῦ ἀσεβῆ συγγράμματα καὶ Πέτρον τὸν ποτὲ Ἀπαμείας καὶ Ζωόραν καὶ M VIII 1146
τοὺς κοινωνικοὺς αὐτῶν καὶ τοὺς ἐν τῇι πλάνηι αὐτῶν ἐπιμένοντας ὁρίσας ὑπεσημηνάμην: —

λβ 32 Ὑάκινθος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Μιλησίων μητροπόλεως διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ὁρισθεῖσιν ὑπεσημηνάμην: —

λγ 33 Θαλάσσιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Βηρυτίων φιλοχρίστου μητροπόλεως ἀναθεματίσας Σεβῆρον καὶ τὰ αὐτοῦ ἀσεβῆ συγγράμματα, Πέτρον τὸν ποτὲ Ἀπαμείας καὶ Ζωόραν καὶ τοὺς κοινωνοὺς αὐτῶν καὶ τοὺς ἐν τῇι αὐτῶν πλάνηι ἐπιμένοντας L V 260
ὑπεσημηνάμην: —

λδ 34 Μέγας ἐλέει θεοῦ ἐπίσκοπος τῆς Βεροιαίων φιλοχρίστου πόλεως τῆς πρώτης Σύρων ἐπαρχίας ὁρίσας ὑπεσημηνάμην: —

λε 35 Αἰθέριος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Μαριαμμιτῶν φιλοχρίστου πόλεως τῆς δευτέρας Σύρων ἐπαρχίας ὁρίσας ὑπεσημηνάμην: —

λϛ 36 Δομετιανὸς ἐλέει θεοῦ ἐπίσκοπος τοῦ ἔθνους τῶν Ζικχῶν ὁρίσας ὑπεσημηνάμην: —

λζ 37 Καλλόας ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Σμύρναν ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὁρίσας ὑπεσημηνάμην: —

O [= aev]

1 τῆσ — μητροπόλεωσ O^{av} σίδησ $O^{e}Λ$ 1/2 διὰ — ὑπεσημηνάμην O^{av} σύμψηφοσ ὢν καὶ αὐτὸσ ὑπέγραψα $O^{e}Λ$ 3/4 τῆσ — ἁγιωτάτησ ἐκκλησίασ [ἁγιωτάτην ἐκκλησίαν O^{v}] O^{av} κλαυδιουπόλεωσ O^{e} *Claudiupolitanus Honoriadis* Λ 4 ὑπέγραψα O^{e} 5 τῆσ — μητροπόλεωσ O^{av} γάγγρασ $O^{e}Λ$ 5—7 διὰ — ὑπεσημηνάμην O^{av} σύμψηφοσ ὢν ὑπέγραψα $O^{e}Λ$ 8 τῆσ — μητροπόλεωσ O^{av} ἰουστινιανουπόλεωσ $O^{e}Λ$ 10 τῆσ ἀπαμέων — ἐπαρχίασ O^{av} ἀπαμείασ $O^{e}Λ$ 12/13 τῆσ — ἐκκλησίασ O^{av} κίου $O^{e}Λ$ 14 ὑπέγραψα O^{ev} 15 γορτύνου O^{v} ἣ — ἐστὶ O^{e} μροπόλεωσ ἐστι O^{v} μητροπόλεωσ O^{a} 18/19 ὑπέγραψα O^{e} 20 ὑάκυνθοσ O^{a} μελισίων O^{v} πόλεωσ $O^{e}Λ$ 20—22 διὰ — ὑπεσημηνάμην O^{av} ὁρίσασ ὑπέγραψα $O^{e}Λ$ 23 τῆσ — μητροπόλεωσ O^{av} βηρυτοῦ $O^{e}Λ$ 23/24 ἀναθεματίσασ O^{av} σύμψηφοσ ὢν καὶ αὐτὸσ ἐν πᾶσι τοῖσ ἐνταῦθα ὁρισθεῖσι καὶ τοὺσ αὐτοὺσ ἀναθεματίζων ἤγουν $O^{e}Λ$ 25 καὶ τοὺσ O^{av} τούσ τε O^{e} κοινωνικοὺσ O^{e} πλάνῃ αὐτῶν O^{e} 26 ὑπέγραψα $O^{ev}Λ$ 27. 28 post 29. 30 coll. O^{av} 27 τῆσ — πόλεωσ O^{av} βερροίασ $O^{e}Λ$ βερροιαίων O^{v} 28 ὑπέγραψα O^{ev} 29 τῆσ — πόλεωσ O^{av} μαριάμμησ O^{e} *Mariamniae* Λ 30 ὁρίσας om. O^{v} ὑπέγραψα O^{ev} 31 τοῦ — ζικχῶν O^{av} ζηκχίασ O^{e} *Zichiae* Λ ὑπέγραψα O^{ev} 32 καλλόασ O^{e} καλλωνᾶσ O^{av} τῆσ — ἐκκλησίασ O^{av} σμύρνησ $O^{e}Λ$ 33 ὑπέγραψα O^{v}

λη 38 Ἀρχέλαος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Κωρυκεωτῶν πόλεως ὁρίσας ὑπεσημηνάμην: —
λθ 39 Χριστοφόρος ἐλέει θεοῦ ἐπίσκοπος Πορφυρεῶνος ἐπαρχίας Φοινίκης παράλου ἀναθεματίζων Σεβῆρον καὶ τὰ αὐτοῦ ἀσεβῆ συγγράμματα, Πέτρον τὸν ποτὲ Ἀπαμείας καὶ Ζωόραν καὶ τοὺς κοινωνοὺς αὐτῶν καὶ τοὺς ἐν τῆι αὐτῶν πλάνηι ἐπιμένοντας ὁρίσας ὑπεσημηνάμην: —
μ μα 40. 41 ἔχει καὶ δύο Σύρων ὑπογραφάς: —
μβ 42 Ἀλέξανδρος ἐλέει θεοῦ ἐπίσκοπος Βαρκουσῶν ἤτοι Ἰουστινιανουπόλεως ἀναθεματίζων Σεβῆρον καὶ τὰ αὐτοῦ ἀσεβῆ συγγράμματα, Πέτρον τὸν ποτὲ Ἀπαμείας καὶ Ζωόραν καὶ τοὺς κοινωνοὺς αὐτῶν καὶ τοὺς ἐν τῆι αὐτῶν πλάνηι ἐπιμένοντας ὁρίσας ὑπεσημηνάμην: —
μγ 43 Εὐστάθιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Τιβεριουπολιτῶν πόλεως ὁρίσας ὑπεσημηνάμην: —
μδ 44 Ἀναστάσιος ἐλέει θεοῦ ἐπίσκοπος νήσου Ἰωτάβης ὁρίσας ὑποσημηνάμην: —
με 45 Δόμνος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Μαξιμιανουπολιτῶν πόλεως ὁρίσας ὑπεσημηνάμην: —
μς 46 Πελάγιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Παρνασέων πόλεως ὁρίσας ὑπεσημηνάμην: —
μζ 47 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος ⟨Ζωόρων⟩ τῆς τρίτης Παλαιστίνης ἐπαρχίας ὁρίσας ὑπέγραψα: —
μη 48 Ἐπιφάνιος ἐλέει θεοῦ ἐπίσκοπος Ἡρακλείας ὁρίσας ὑπέγραψα: —
μθ 49 Ἀβράμιος ἐλέει θεοῦ ἐπίσκοπος Κρατίας ὁρίσας ὑπέγραψα: —
ν 50 Ἀλέξανδρος ⟨ἐλέει θεοῦ⟩ ἐπίσκοπος τῆς Κολωνέων πόλεως ὁρίσας ὑπέγραψα: —
να 51 Εὐγένιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Τίον ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὁρίσας ὑπέγραψα: —
νβ 52 Ἐπιτύγχανος ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Γέρμην ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὁρίσας ὑπέγραψα: —
νγ 53 Ἀνδρέας ἐλέει θεοῦ ἐπίσκοπος τῆς Πανιτῶν ἤτοι Θεοδοσιουπολιτῶν ἐκκλησίας ὁρίσας ὑπέγραψα: —
νδ 54 Εὐσέβιος ἐλέει θεοῦ ἐπίσκοπος Παλαιᾶς πόλεως ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὁρίσας ὑπέγραψα: —
νε 55 Ἀστέριος ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Ἄμαστριν ἁγιωτάτης ἐκκλησίας ὁρίσας ὑπέγραψα: —
νς 56 Θεόδωρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Γορδηνῶν πόλεως ὁρίσας ὑπέγραψα: —
M VIII 1147 νζ 57 Ματθίας ἐλέει θεοῦ ἐπίσκοπος τῆς ἐν Κύμηι ἁγίας τοῦ θεοῦ ἐκκλησίας ἀναθεματίζων Σεβῆρον καὶ τὰ αὐτοῦ ἀσεβῆ συγγράμματα, Πέτρον τὸν ποτὲ Ἀπαμείας καὶ Ζωόραν καὶ τοὺς κοινωνικοὺς αὐτῶν καὶ τοὺς ἐν τῆι αὐτῶν πλάνηι ἐπιμένοντας ὁρίσας ὑπέγραψα: —

O [= ^{acv}]

1 κορυκεωτῶν O^{c} ὑπέγραψα O^{ev} 2 παραλίου O^{e}Λ 3 τὰ — συγγράμματα καὶ O^{e}Λ 3/4 τὸν ποτὲ Ἀπαμείας om. O^{e}Λ 4 κοινωνικοὺς O^{e} ἐν — πλάνη O^{av} τῆ πλάνη αὐτῶν O^{e} 5 ὑπέγραψα O^{v} 6 ἔχει καὶ O^{e}Λ καὶ ἔχει O^{av} 7 βαρκουκουσῶν O^{av} Ἰουστιανουπόλεως O^{e} *Iustinianae ciuitatis* Λ 9 κοινωνικοὺς O^{e} ἐν — πλάνη O^{av} τῆ πλάνη αὐτῶν O^{e} 10 ὑπέγραψα O^{ev} 11 τῆς — πόλεως O^{av} τιβεριουπόλεως O^{e}Λ 11/12 ὑπέγραψα O^{ev} 13 ὑπέγραψα O^{ev} 14 τῆς — πόλεως O^{av} μαξιμιανουπόλεως O^{e}Λ 14/15 ὑπέγραψα O^{ev} 16 τῆς — πόλεως O^{av} παρνασοῦ O^{e}Λ ὑπέγραψα O^{ev} 17 *Zoaranus* Λ Ζωόρων p. 28, 30 om. O 20/21 Κρατίας — ἐπίσκοπος om. O^{av} 21 ἐλέει θεοῦ addidi τῆς [om. O^{v}] — πόλεως O^{av} κολωνείας O^{e}Λ 22 τῆς — ἐκκλησίας O^{av} τίου O^{e}Λ 24 τῆς — ἐκκλησίας O^{av} γέρμης O^{e}Λ 26 τῆς — ἐκκλησίας O^{av} θεοδοσιουπόλεως O^{e}Λ 28 ἁγίας — ἐκκλησίας om. O^{e}Λ 30 τῆς — ἐκκλησίας O^{av} ἀμάστριδος O^{e}Λ 33 τῆς — ἐκκλησίας O^{av} κύμης O^{e}Λ 33—35 ἀναθεματίζων — ἐπιμένοντας om. O^{e}Λ 35 κοινωνοὺς O^{a}

νη 58 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Ποδάλειαν τὴν πόλιν ἁγίας τοῦ θεοῦ ἐκκλησίας διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς ὁρίσας ὑπέγραψα:

νθ 59 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Μιδάειον ἁγιωτάτης ἐκκλησίας ἀναθεματίζων Σεβῆρον καὶ τὰ αὐτοῦ ἀσεβῆ συγγράμματα, Πέτρον τὸν ποτὲ Ἀπαμείας καὶ Ζωόραν καὶ τοὺς κοινωνικοὺς αὐτῶν καὶ τοὺς ἐν τῇι αὐτῶν πλάνηι ἐπιμένοντας ὁρίσας ὑπέγραψα: —

ξ 60 Παῦλος ἐλέει θεοῦ ἐπίσκοπος πόλεως Στεκτορίου ὁρίσας ὑπέγραψα: —

ξα 61 Ἀνδρέας ἐλέει θεοῦ ἐπίσκοπος τῆς Πελτηνῶν πόλεως ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὁρίσας ὑπέγραψα: —

ξβ 62 Θεόδωρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Μηρινῶν ὁρίσας ὑπέγραψα: —

ξγ 63 ἔχει καὶ ἄλλην ὑπογραφὴν μίαν Σύραν: —

ξδ 64 Λεόντιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἑλενοπολιτῶν ὁρίσας ὑπέγραψα: —

ξε 65 Μηνᾶς ἐλέει θεοῦ ἐπίσκοπος Εὐδοξιάδος διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ὁρισθεῖσιν ὑπέγραψα: —

ξς 66 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος τῆς Καισαρέων ὁρίσας ὑπέγραψα: —

ξζ 67 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος τῆς Τραιανουπόλεως Φρυγίας Πακατιανῆς ὁρίσας ὑπέγραψα: — L V 261

ξη 68 Στρατόνικος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Συέδρων πόλεως διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ῥηθεῖσιν ὑπέγραψα: —

ξθ 69 Κυριακὸς ἐλάχιστος ἐπίσκοπος τῆς Θεοδοσιουπολιτῶν πόλεως ὁρίσας ὑπέγραψα: —

ο 70 Φλαβιανὸς ἐλέει θεοῦ ἐπίσκοπος τῆς ἐν Κοτένοις ἁγιωτάτης τοῦ θεοῦ ἐκκλησίας ὁρίσας ὑπέγραψα: —

οα 71 Πέτρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἀμβλαδέων πόλεως διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ῥηθεῖσιν ὑπέγραψα: —

οβ 72 Εὐστάθιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Τλωέων πόλεως διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ῥηθεῖσιν ὑπέγραψα: —

ογ 73 Θεόδωρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Κασατῶν πόλεως διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ῥηθεῖσιν ὑπέγραψα: —

οδ 74 Ἑλλάδιος χάριτι Χριστοῦ ἐπίσκοπος τῆς κατὰ Πανέμου τεῖχος ἁγίας τοῦ θεοῦ ἐκκλησίας διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ῥηθεῖσιν ὑπέγραψα: —

οε 75 Θεόδοτος ἐλέει θεοῦ ἐπίσκοπος Εὐροιέων πόλεως τῆς Παλαιᾶς τῶν Ἠπείρων ἐπαρχίας ὁρίσας ὑπέγραψα: —

ος 76 Μακεδόνιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Βρουζηνῶν πόλεως ὁρίσας ὑπέγραψα: —

οζ 77 Ζώσιμος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἀντανδρέων πόλεως τῆς Ἀσιανῶν ἐπαρχίας

O [= aev]

1/2 τῆς — ἐκκλησίας O^{av} ποδαλείας $O^{e}\Lambda$ 2 διὰ — ἐπιστὰς om. $O^{e}\Lambda$ 3—6 τῆς κατὰ μηδάειου — ἐπιμένοντας O^{av} μηδαείου $O^{e}\Lambda$ 7 post 9 coll. O^{v} πόλεως O^{e} om. O^{av} 8 τῆς — ἐκκλησίας O^{av} πέλτης $O^{e}\Lambda$ 11 καὶ ἔχει O^{v} σύρου O^{e} 12 τῆς om. O^{e} ἑλενουπόλεως $O^{e}\Lambda$ 13/14 διὰ — ὁρισθεῖσιν O^{av} ὁρίσας $O^{e}\Lambda$ 15 τῆς καισαρέων O^{av} καισαρείας $O^{e}\Lambda$ 16 τῆς om. O^{e} καπατιανῆς O^{av} 18/19 διὰ — ῥηθεῖσιν O^{av} ὁρίσας $O^{e}\Lambda$ τῶν πεπραγμένων O^{av} 20 τῆς — πόλεως O^{av} θεοδοσιουπόλεως O^{e} 21 φαβιανὸς O^{v} τῆς [τοῖς O^{v}] — κοτέννοις — ἐκκλησίας O^{av} κοτένων $O^{e}\Lambda$ ἁγιωτάτοις O^{v} 23/24 διὰ — ῥηθεῖσιν O^{av} ὁρίσας $O^{e}\Lambda$ 25. 26 om. Λ 25 πλοέων O^{av} 25/26 διὰ — ῥηθεῖσιν O^{av} ὁρίσας O^{e} 27. 28 om. O^{v} 27 κασσατῶν O^{e} *Carissorum* Λ 27/28 διὰ — ῥηθεῖσιν O^{a} ὁρίσας $O^{e}\Lambda$ 29 ἑλλάδιος O^{ev} παλλάδιος O^{a} χάριτι χῦ O^{av} om. $O^{e}\Lambda$ ἁγίας τοῦ θεοῦ om. $O^{e}\Lambda$ 30/31 διὰ — ῥηθεῖσιν O^{av} ὁρίσας $O^{e}\Lambda$ 35 τῆς ἀττανδρέων πόλεως O^{av} ἀττάνδρου O^{e} *Antandrus* Λ ἀσινῶν O^{v}

διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ὁρισθεῖσιν ὑπέγραψα: —

οη 78 Θεοδώριτος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἀλινδέων πόλεως ὁρίσας ὑπέγραψα: —

οθ 79 Λυκῖνος ἐλάχιστος ἐπίσκοπος τῆς κατὰ Πάταρα ἁγίας τοῦ θεοῦ ἐκκλησίας τῆς Λυκίων ἐπαρχίας διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς καὶ ἀναθεματίζων Σεβῆρον καὶ τὰ ἀσεβῆ αὐτοῦ συγγράμματα καὶ Πέτρον τὸν ποτὲ Ἀπαμείας καὶ Ζωόραν καὶ τοὺς κοινωνικοὺς αὐτῶν καὶ τοὺς ἐν τῆι αὐτῶν πλάνηι ἐπιμένοντας ὑπέγραψα: —

$\overline{\pi}$ 80 Παῦλος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Οἰνοανδέων πόλεως ἁγιωτάτης ἐκκλησίας τῆς Λυκίων ἐπαρχίας διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς καὶ ἀναθεματίζων Σεβῆρον καὶ τὰ ἀσεβῆ αὐτου συγγράμματα καὶ Πέτρον τὸν ποτὲ Ἀπαμείας καὶ Ζωόραν καὶ τοὺς κοινωνικοὺς αὐτῶν καὶ τοὺς ἐν τῆι αὐτῶν πλάνηι ἐπιμένοντας ὑπέγραψα: —

$\overline{\pi\alpha}$ 81 Παντολέων ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἰουλιουπολιτῶν πόλεως τῆς Γαλατῶν ἐπαρχίας διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ὁρισθεῖσιν ὑπέγραψα: —

$\overline{\pi\beta}$ 82 Κυριακὸς ἐλέει θεοῦ ἐπίσκοπος τῆς Σοφηνῆς ἐπαρχίας ὁρίσας ὑπέγραψα: —

$\overline{\pi\gamma}$ 83 Μαρτύριος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Βαρατέων πόλεως τῆς Λυκαόνων ἐπαρχίας διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ὁρισθεῖσιν ὑπέγραψα: —

$\overline{\pi\delta}$ 84 Διονύσιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Εὐκαρπέων πόλεως ἁγιωτάτης ἐκκλησίας διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς καὶ ἀναθεματίζων Σεβῆρον καὶ τὰ αὐτοῦ συγγράμματα καὶ Πέτρον τὸν ποτὲ Ἀπαμείας καὶ τοὺς συμπλεκομένους αὐτοῖς καὶ τοὺς ἀκολουθοῦντας αὐτοῖς, οὐ μὴν ἀλλὰ καὶ Ζωόραν καὶ τοὺς κοινωνικοὺς αὐτῶν καὶ τοὺς ἐν τῆι αὐτῆι πλάνηι ἐπιμένοντας ὑπέγραψα: —

$\overline{\pi\varepsilon}$ 85 Ἐπιφάνιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς ἐν Πιτάνηι ἁγίας τοῦ θεοῦ ἐκκλησίας διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς καὶ ἀναθεματίζων Σεβῆρον καὶ τὰ αὐτοῦ ἀσεβῆ συγγράμματα καὶ Πέτρον τὸν ποτὲ Ἀπαμείας καὶ Ζωόραν καὶ τοὺς κοινωνοὺς αὐτῶν καὶ τοὺς ἐν τῆι αὐτῶν πλάνηι ἐπιμένοντας ὑπέγραψα: —

$\overline{\pi\varsigma}$ 86 Μάρκελλος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἀνεατῶν πόλεως ἐπαρχίας τῆς Ἀσίας διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς καὶ ἀναθεματίζων Σεβῆρον καὶ τὰ αὐτοῦ ἀσεβῆ συγγράμματα καὶ Πέτρον τὸν ποτὲ Ἀπαμείας καὶ Ζωόραν καὶ τοὺς κοινωνοὺς αὐτῶν καὶ τοὺς ἐν τῆι αὐτῶν πλάνηι ἐπιμένοντας ὑπέγραψα: —

M VIII 1150 $\overline{\pi\zeta}$ 87 Τρύφων χάριτι τοῦ δεσπότου θεοῦ ἐπίσκοπος τῆς Κολβασέων πόλεως, ἣ μία τῆς Παμφύλων ἐπαρχίας ἐστί, διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ὁρισθεῖσιν ὑπέγραψα: —

O [= aev]

1/2 διὰ — ὁρισθεῖσιν O^{av} ὁρίσας O^{e} 4 ἐλάχιστος om. $O^{e}\Lambda$ πατάραν O^{av} τοῦ θεοῦ om. $O^{e}\Lambda$ 4–7 τῆς λυκίων — ἐπιμένοντας O^{av} ὁρίσας $O^{e}\Lambda$ 9—13 om. Λ 9 οἰνοανδρέων O^{a} 9—12 ἁγιωτάτης — ἐπιμένοντας O^{av} ὁρίσας O^{e} 14 *Iuliopolitanus* Λ λουλιουπολιτῶν O^{e} λουλιοπολιτῶν O^{av} πόλεως om. $O^{e}\Lambda$ 15/16 διὰ — ὁρισθεῖσιν O^{av} ὁρίσας $O^{e}\Lambda$ 17 σοφινῆς O^{av} σοφίνης O^{e} *Sophenae Armeniae primae* Λ 18 τῆς Βαρατέων — ἐπαρχίας O *in Pitana* Λ 19/20 διὰ — ὁρισθεῖσιν O^{av} ὁρίσας $O^{e}\Lambda$ 21 ἀκαρπέων O^{av} ἁγιωτάτης ἐκκλησίας om. $O^{e}\Lambda$ 21—25 διὰ — ἐπιμένοντας O^{av} ὁρίσας $O^{e}\Lambda$ 26 τῆς — ἐκκλησίας] *Baratthaeus Lycaoniae prouinciae* Λ τοῦ θεοῦ om. O^{e} 26—29 διὰ — ὑπέγραψα O^{a} ὑπέγραψα ὁμοίως O^{v} ὁρίσας ὑπέγραψα $O^{e}\Lambda$ 30 τῆς ἀνεατῶν — ἀσίας O^{av} ἀναίων O^{e} 30—34 διὰ — ὑπέγραψα O^{a} ὑπέγραψα ὁμοίως O^{v} σύμψηφος ὢν καὶ αὐτὸς [καὶ αὐτὸς om. Λ] ὑπεσημηνάμην $O^{e}\Lambda$ 34 χάριτι . . θῦ O^{av} om. $O^{e}\Lambda$ 34/35 ἣ — ἐστὶ O^{av} τῆς παμφύλ(ων) ἐπαρχίας $O^{e}\Lambda$ 35/36 διὰ — ὁρισθεῖσιν O^{av} om. $O^{e}\Lambda$

πη 88 Μάγνος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀποκρισιάριος τοῦ ἀποστολικοῦ τῆς Θεουπολιτῶν θρόνου καὶ τοῦ ἁγιωτάτου πατριάρχου Ἐφραιμίου ἀκολουθῶν τοῖς πάλαι καὶ νῦν ἐψηφισμένοις παρὰ τῶν ἁγίων ἡμῶν πατέρων καὶ ἀρχιερέων ἀναθεματίζων Σεβῆρον καὶ τὰ αἱρετικὰ αὐτοῦ συγγράμματα καὶ Πέτρον τὸν καὶ Ἐκδίκιον καὶ πρός γε Ζωόραν τὸν τῆς τούτων ἀσεβείας ἀκόλουθον καὶ τοὺς τῆι πλάνηι τούτων ἐνισταμένους ὑπέγραψα: —

πθ 89 Ἡράκλειος ἐλέει θεοῦ διάκονος καὶ ἀποκρισιάριος τοῦ ἀποστολικοῦ τῆς Θεουπολιτῶν θρόνου καὶ τοῦ τὰ πάντα ἁγιωτάτου καὶ μακαριωτάτου πατριάρχου Ἐφραιμίου ἀκολουθῶν τοῖς πάλαι καὶ νῦν ἐψηφισμένοις παρὰ τῶν ἁγίων ἡμῶν πατέρων καὶ ἀρχιερέων ἀναθεματίζων Σεβῆρον καὶ τὰ αἱρετικὰ αὐτοῦ συγγράμματα καὶ Πέτρον τὸν καὶ Ἐκδίκιον καὶ πρός γε Ζωόραν τὸν τῆς τούτων ἀσεβείας ἀκόλουθον καὶ τοὺς τῆι πλάνηι τούτων ἐνισταμένους ὑπέγραψα: —

ϙ 90 Σαβῖνος ἐλέει θεοῦ διάκονος τῆς ἁγίας Χριστοῦ τοῦ θεοῦ ἡμῶν Ἀναστάσεως πληρῶν τὰς ἀποκρίσεις Πέτρου τοῦ ἁγιωτάτου πατριάρχου Ἱεροσολύμων ἀκολουθῶν τοῖς πάλαι καὶ νῦν ἐψηφισμένοις παρὰ τῶν ἁγίων ἡμῶν πατέρων καὶ ἀρχιερέων ἀναθεματίζων Σεβῆρον καὶ τὰ αὐτοῦ αἱρετικὰ συγγράμματα καὶ Πέτρον τὸν καὶ Ἐκδίκιον καὶ πρός γε Ζωόραν τὸν τῆς τούτων ἀσεβείας ἀκόλουθον καὶ τοὺς τῆι πλάνηι τούτων ἐνισταμένους ὑπέγραψα: —

ϙα 91 Παῦλος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ναξίων πόλεως διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ὁρισθεῖσιν ὑπέγραψα: —

ϙβ 92 Μηνᾶς ἐλέει θεοῦ ἐπίσκοπος τῆς Καρπαθίων νήσου διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ὁρισθεῖσιν ὑπέγραψα: —

ϙγ 93 Θεόδωρος ἐλέει θεοῦ ἐπίσκοπος Παρίων Σιφνίων καὶ Ἀμουλγιτῶν πόλεων διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ὁρισθεῖσιν ὑπέγραψα: — L V 264

Ἡ διάταξις Ἰουστινιανοῦ βασιλέως κατὰ Ἀνθίμου Σεβήρου Πέτρου καὶ Ζωόρα

41 Ἐν ὀνόματι τοῦ δεσπότου Ἰησοῦ Χριστοῦ τοῦ θεοῦ ἡμῶν αὐτοκράτωρ Καῖσαρ Φλ' Ἰουστινιανὸς Ἀλαμανικὸς Γοτθικὸς Φραγγικὸς Γερμανικὸς Ἀντικὸς Ἀλανικὸς Οὐανδαλικὸς Ἀφρικὸς εὐσεβὴς εὐτυχὴς ἔνδοξος νικητὴς τροπαιοῦχος ἀεισέβαστος αὔγουστος Μηνᾶι πατριάρχηι. Πρᾶγμα οὐκ ἄηθες βασιλείαι καὶ ἡμεῖς πράττοντες ἐπὶ

41 extat in Nouellarum 168 corpore sub numero 42 [N]. uariam lectionem, quam non totam adfero, desumpsi ex editione Schoelliana [N^m = cod. Marc. 179, N^l = cod. Laurent. LXXX 4, N^a = uersio Latina quod uocatur Authenticum]

O [= ae, r (inde a 26) v], ID [inde a 26]
2 εὐφραιμίου $O^{av}\Lambda$ 3 ἀναθεματίζω $O^e\Lambda$ 5/6 αὐτῶν ἐπισταμένους O^{av} 6 καὶ ὑπέγραψα $O^e\Lambda$ 8 τὰ πάντα — μακαριωτάτου O^{av} ἁγιωτάτου $O^e\Lambda$ 8/9 εὐφραιμίου $O^{ev}\Lambda$ 9—12 ἀκολουθῶν — ἐνισταμένους O^{av} ἀκολούθωσ τῶ συναποκρισιαρίω μου μάγνω $O^e\Lambda$ 15—18 τοῖς πάλαι — ἐνισταμένους] μάγνω καὶ ἡρακλείω $O^e\Lambda$ 16 καὶ ἀναθεματίζων O^v 19/20 διὰ — ἐπιστὰς om. $O^e\Lambda$ 20 γενόμενοσ O^{av} γενόμενοσ καὶ αὐτὸσ $O^e\Lambda$ 21/22 διὰ — ἐπιστὰς om. $O^e\Lambda$ 22 γενόμενοσ O^{av} ὢν καὶ αὐτὸσ $O^e\Lambda$ 23 Ἀμουλγιτῶν scripsi ἀμουλγήτων O^v ἀβουλγήτων O^a ἀμουλγίων τῶν $O^e\Lambda$ 23/24 διὰ — ἐπιστὰς om. O^e 24 γενόμενοσ O^{av} ὢν καὶ αὐτὸσ $O^e\Lambda$ 26 inscr. Βιβλίον τρίτον τῶν πρακτικῶν τῆσ ἁγίασ καὶ οἰκουμενικῆσ ε̄ ἐν κωνσταντινουπόλει συνόδου I Περὶ τῆς καθαιρέσεως Ἀνθίμου καὶ Σεβήρου καὶ Πέτρου καὶ Ζωόρα καὶ τῶν λοιπῶν N Ἡ om. I in fine add. πρὸς μηνᾶν πατριάρχην I 27—30 πατριάρχηι] ὁ αὐτὸς βασιλεὺς Μηνᾶι τῶι ἁγιωτάτωι καὶ μακαριωτάτωι ἀρχιεπισκόπωι καὶ οἰκουμενικῶι πατριάρχηι N 28 φλάβιοσ $O^eI\Lambda$ αὔγουστοσ D φραγκικὸς I 28/29 Γερμανικὸς — Οὐανδαλικὸς om. O^{arv}ID 28 ἀττικὸς $O^e\Lambda$ 29 Ἀφρικὸς om. O^{av} 30 τῆι βασιλείαι N

τὸν παρόντα ἐληλύθαμεν νόμον. ὁσάκις γὰρ ἡ τῶν ἱερέων ψῆφος τινὰς τῶν οὐκ ἀξίων τῆς ἱερωσύνης τῶν ἱερατικῶν κατεβίβασε θρόνων, ὁποῖον δὴ Νεστόριόν τε καὶ Εὐτυχῆ Ἀρειόν τε καὶ Μακεδόνιον καὶ Εὐνόμιον καὶ ἄλλους δή τινας εἰς κακίαν οὐκ ἐλάττους ἐκείνων, τοσαυτάκις ἡ βασιλεία σύμψηφος γέγονε τῇ τῶν ἱερέων αὐθεντίαι, ὥστε τὰ θειότερά τε καὶ ἀνθρώπινα συνδραμόντα μίαν συμφωνίαν ταῖς ὀρθαῖς ποιήσασθαι ψήφοις. ὁποῖον δή τι καὶ ἔναγχος γενόμενον περὶ Ἄνθιμον ἴσμεν ἀπελαθέντα μὲν τοῦ τῆς βασιλίδος ταύτης πόλεως θρόνου παρὰ Ἀγαπητοῦ τοῦ τῆς ὁσίας καὶ ἀοιδίμου μνήμης προέδρου γεγονότος τῆς κατὰ τὴν πρεσβυτέραν Ῥώμην ἁγιωτάτης ἐκκλησίας οἷα τῶι κατὰ μη-
M VIII 1151 δένα τρόπον αὐτῶι προσήκοντι παρὰ πάντας τοὺς εὐαγεῖς κανόνας ἐπεισπηδήσαντα θρόνωι, κοινῆι δὲ ψήφωι τοῦ τε αὐτοῦ τῆς ἁγίας μνήμης ἀνδρὸς πρότερον καὶ μὴν καὶ τῆς ἐνταῦθα γενομένης ἱερᾶς συνόδου καταδεδικασμένον τε καὶ καθηιρημένον, διότι τῶν ὀρθῶν ἀπεφοίτα δογμάτων καὶ οἷς πρότερον πολλαχόθεν ἐφαίνετο στέργων, ταῦτα ὕστερον διαφόροις ἀπέφευγε περινοίαις, προσποιούμενος μὲν ταῖς τέσσαρσιν ἁγίαις συνόδοις ἀκολουθεῖν, τῆι τε τῶν τριακοσίων δέκα καὶ ὀκτὼ πατέρων τῶν ἐν Νικαίαι τῆι τε τῶν πεντήκοντα καὶ ἑκατὸν τῶν ἐν ταύτηι τῆι εὐδαίμονι πόλει τῆι τε τῶν ἐν Ἐφέσωι τὸ πρῶτον συναχθέντων διακοσίων τῆι τε τῶν θεοφιλῶν πατέρων τῶν ἐν Χαλκηδόνι χλ, οὐ μὴν τοῖς τούτων δόγμασι κατακολουθῶν οὔτε τὴν ἡμετέραν φιλανθρωπίαν καὶ τὴν συγκατάβασιν ἣν διὰ τὴν αὐτοῦ σωτηρίαν ἔσχομεν, προσδέξασθαι βουληθεὶς οὐδὲ ἀποκηρῦξαι καὶ αὐτὸς τοὺς τῶν ἀσεβῶν δογμάτων ἀρχηγοὺς τοὺς ὑπὸ τῶν προτέρων ἁγίων ἐκβεβλημένους συνόδων, ἀλλ' οἰόμενος χρῆναι κατὰ ταὐτὸν καὶ ἐν ἴσωι τοὺς καταδεδικασμένους τούς τε καταδικάσαντας ἄγειν. ἅπαξ γὰρ ταῖς ἀλλοτρίαις τῆς ἁγιωτάτης ἐκκλησίας ἐννοίαις κατανδραποδισθεὶς καὶ τῶν ὀρθῶν ἠλλοτριωμένος δογμάτων εἰκότως ἐπανελθεῖν εἰς τὴν αὐτῶν οὐκ ἴσχυσεν ὀρθότητα, καὶ ταῦτα παρ' ἡμῶν καὶ προτραπεὶς καὶ ὁδηγηθεὶς πάσηι χρησαμένων σπουδῆι πρὸς τὴν σωτηρίαν τὴν αὐτοῦ.

Διὰ ταῦτα τοίνυν ἅπαντα τὴν γενομένην ἐπ' αὐτῶι τῆς καθαιρέσεως ψῆφον παρὰ τῆς ἁγίας συνόδου προφάσει τῆς τε οὐ θεμιτῆς οὐδὲ ὑπὸ τῶν ἁγίων κανόνων μαρτυρου-
L V 265 μένης τῶν τῆς βασιλίδος ταύτης ἱερατικῶν θρόνων ἁρπαγῆς καὶ τῆς ἀπὸ τῶν ὀρθῶν τε καὶ ἀληθῶν δογμάτων ἐκτροπῆς κυρίαν ἡ ἡμετέρα τίθεται βασιλεία καὶ ἐπὶ τούτοις τὸν παρόντα γράφει νόμον. ἀπαγορεύομεν δὲ αὐτῶι καὶ τῆς κατὰ τὴν εὐδαίμονα ταύτην πόλιν καὶ τῆς περιοικίδος αὐτῆς διατριβῆς καὶ πάσης ἑτέρας τῶν ἐπισήμων πόλεων, θεσπίζοντες ἐφ' ἡσυχίας εἶναι καὶ τούτοις στέργειν οἷς ἑαυτὸν ἀξίως ὑπέθηκε, καὶ μήτε τισὶν ἐπικοινωνεῖν μήτε ἐμβιβάζειν αὐτοὺς εἰς τὴν τῶν ἀπηγορευμένων δογμάτων ἀπώλειαν. οὐ μὴν οὐδὲ τὴν δικαίως ἐξενεχθεῖσαν κατὰ Σεβήρου ψῆφον τὴν ἐκ πάντων ὡς εἰπεῖν τῶν ἀρχιερατικῶν τε καὶ πατριαρχικῶν μετὰ της μοναχικῆς συναινέσεως προ-
ελθοῦσαν θρόνων τὴν τὸν ἀναθεματισμὸν ἐπάγουσαν αὐτῶι βασιλικῆς ἔξω καταλιμπάνομεν ἐπικυρώσεως. ὃς πρότερον παρὰ τοὺς ἱεροὺς θεσμοὺς καταλαβὼν τὸν θρόνον

O [= aerv], ID, N [= mla]

1 ἱερῶν $O^{arv}ID$ 2 τε om. O^{v} 3 τινὰς τοὺς O^{r} 4 τοσαυτάκις καὶ N 5 τε om. O^{a} ποιήσασθαι $O^{e}N$ ποιεῖσθαι $O^{arv}ID$ 7 καὶ ἀοιδίμου om. O^{v} 8 γενομένου D ἁγιωτάτην ἐκκλησίαν O^{v} 9 ἐπεισπηδήσαντι O^{av} 13 περινοίασ O^{v} τέτρασιν $O^{arv}N$ 14 συνόδοις om. O^{v} τριακοσίων δέκα ὀκτὼ $O^{r}D$ τῖη $O^{e}I$ 16 θεοφιλεστάτων N 20 χρῆναι καὶ O κατ' αὐτὸν O^{v} τοὺς] τούσ τε N^{l} deficit N^{m} 22—p. 124, 15 ἐννοίαις — τῶ τὰ hic om. O^{r}, sed habet inter ἐκείνων et συνάρσεως p. 131, 30 22 ἐννοίαισ OND δόξαις ἐνισχημένος καὶ διὰ τῆς ἐκείνων πλάνης I ἀλλοτριωμένοσ $O^{r}I$ 23 εἰσ τὴν αὐτῶν οὐκ ἴσχυσεν ἐπανελθεῖν ὀρθότητα O^{e} 24 25 τὴν αὐτοῦ σρ̄ιαν D 28 τῶν τε O^{r} ταύτησ OIDN^{a} ταύτησ πόλεωσ N^{ml} 30 31 τῆσ - - πόλιν ON τὴν κατὰ — πόλιν D τὴν ἐπὶ τῆσ εὐδαίμονος ταύτης πόλεως I 31 τὴν περιοικίδα ταύτησ D διατριβὴν ID πᾶσαν ἑτέραν D 32 ἐφ' ἡσυχίασ εἶναι OIDΛ ἐφησυχάσαι N ἐπέθηκε O^{r} 33 εἰς om. $O^{e}Λ$ 35 συνέσεωσ O^{r} N^{l}

τῆς Θεουπολιτῶν ἁγιωτάτης ἐκκλησίας οὕτω συνετάραξεν ἅπαντα, οὕτω μεστὰ πεποίηκε ταραχῆς, ὡς κοινόν τινα καὶ ἀκήρυκτον ταῖς ἁγιωτάταις ἐκκλησίαις ἐμβαλεῖν πρὸς ἀλλήλας πόλεμον καὶ τοῦτο καὶ τοῖς πρὸ ἡμῶν σκήπτροις πρὸς αὐτὸν γεγράφθαι ποικίλαις μὲν δογμάτων καὶ ἀπηλλοτριωμέναις τῆς ὀρθότητος περινοίαις τε καὶ βλασφημίαις χρησάμενον, ἅπαντα δὲ συνταράξαντα καὶ μόνον τῶν τῆς ἑκατέρου τῶν αἱρεσιαρχῶν πλάνης βδελυρῶν τε καὶ ἀνοσίων δογμάτων ἀντεχόμενον, Νεστορίου τε φαμὲν καὶ Εὐτυχοῦς καὶ τῶν ἑκατέρου τούτων καθηγεμόνων ἐξ ἐναντίας μέν πως εἶναι δοκούντων ἀλλήλοις, πρὸς ἓν δὲ τέλος τῆς ἀσεβείας ἐπειγομένων, καὶ τοὺς ἐκείνων χαρακτηριστικοὺς ἐντυπωσάμενον λόγους. δύο γὰρ ὄντων ἐναντίων ἀλλήλοις δογμάτων, ὧν ἑκάτερον ὁμοίως εἰς ψυχικὴν ἀπώλειαν ἄγει, τοῦ τε Νεστορίου τοῦ τε Εὐτυχοῦς, καθάπερ εἰπόντες ἔφθημεν, ἅπερ ἐκ τῶν Ἀρειανικῶν καὶ Ἀπολιναρίου συνέστη μιασμάτων, αὐτός τι παράδοξον παθὼν ὁμοίως εἰς ἑκάτερον ἐμπέπτωκε καὶ πῇ μὲν τοῦτο, πῇ δὲ ἐκεῖνο πρεσβεύων κοινὸν ἔδοξε δοχεῖον ἑαυτόν τε καὶ τοὺς ἑαυτοῦ λόγους τῶν τηλικούτων πλημμελημάτων καταστῆσαι. ἔστω τοίνυν καὶ αὐτὸς ὑπὸ τὸν εἰρημένον ἀναθεματισμόν, ὃν ἅπαν τὸ πατριαρχικόν τε καὶ ἱερατικὸν καὶ μοναχικὸν τῆς ἡμετέρας πολιτείας ὡς εἰπεῖν σχῆμα δικαίως ἐπήγαγεν αὐτῷ, τῆς μὲν Θεουπολιτῶν ἐκβεβλημένος, διότιπερ αὐτὸν ὁ κατ' ἐκείνην ἀπεσείσατο θρόνος οἷα μηδὲ τὴν ἀρχὴν ὀρθῶς αὐτῆς ἐπειλημμένον, ἀλλ' ἔτι ζῶντός τε καὶ ἐν ταῖς ἁγιωτάταις ἐκκλησίαις ἀνακηρυττομένου τοῦ πρὸ αὐτοῦ τὴν ἱερωσύνην ἐσχηκότος, παρὰ δὲ τοῦ μετ' αὐτὸν τῆς ἱερωσύνης ἐκπεπτωκότος, οὐ στάντα δὲ μέχρι τούτου μόνον, ἀλλ' ἤδη καὶ ὑπὸ κοινὸν ἀναθεματισμὸν τῆς ὀρθοδόξου καὶ καθολικῆς ἐκκλησίας γενόμενον καὶ πολλῶν ἡμῖν βιβλίων βλασφήμων τε καὶ ἀπηγορευμένων ἐμπλήσαντα τὸ πολίτευμα. ὥστε καὶ ἀπαγορεύομεν ἅπασι τῶν αὐτοῦ τι κεκτῆσθαι βιβλίων καὶ ὥσπερ οὐκ ἔξεστι τὰ Νεστορίου γράφειν ἢ κεκτῆσθαι βιβλία, διότι τοῖς πρὸ ἡμῶν αὐτοκράτορσιν ἐν ταῖς ἑαυτῶν διατάξεσιν ἔδοξε τοῖς παρὰ Πορφυρίου κατὰ Χριστιανῶν εἰρημένοις ὁμοία καθεστάναι, t. I 1, 4 p. 66 οὕτω μήτε τὰ Σεβήρωι ῥηθέντα τε καὶ γραφέντα μενέτω παρά τινι Χριστιανῶι, ἀλλ' ἔστω βέβηλα καὶ ἀλλότρια τῆς καθολικῆς ἐκκλησίας πυρί τε φλεγέσθω παρὰ τῶν κεκτημένων, εἰ μὴ βούλονται κινδυνεύειν οἱ ταῦτα ἔχοντες, γραφέσθω τε παρὰ μηδενὸς τὸ λοιπὸν μηδὲ τῶν εἰς κάλλος μηδὲ τῶν εἰς τάχος γραφόντων μηδὲ ἄλλου τινὸς τῶν πάντων, εἰδότος ὡς ἀποκοπὴ χειρὸς ἔσται τοῖς τὰ ἐκείνου γράφουσιν ἡ ποινή. οὐδὲ γὰρ βουλόμεθα καὶ τῶι λειπομένωι χρόνωι τὴν ἐξ ἐκείνων ἐπισύρεσθαι βλασφημίαν. ὁμοίως δὲ δὴ καὶ τοῦτον L V 268 παντοίως ἀπαγορεύομεν τῆς βασιλίδος ἐπιβαίνειν πόλεως ἢ τῆς περιοικίδος αὐτῆς ἄλλης τε τῶν ἐπισημοτέρων τινός, ἀλλ' ἐν ἐρημίαι τινὶ καὶ ἡσυχίαι καθῆσθαι καὶ μὴ διαφθείρειν ἑτέρους μηδὲ εἰς βλασφημίαν αὐτοὺς προάγειν μηδὲ ἀεί τι καινὸν ἐξευρίσκειν κατὰ τῶν ἀληθῶν δογμάτων, δι' οὗ πάλιν ἡμῖν συνταράξαι τὰς ἁγιωτάτας ἐκκλησίας σπεύσειεν.

Οὐ μὴν οὐδὲ Πέτρον τὸν Ἀπαμείας γενόμενον ἐπίσκοπον καὶ ἅμα μὲν καθηιρημένον, ἅμα δὲ ἐπὶ τοῖς αὐτοῖς ἐφ' οἷς Σεβῆρος ὑπὸ τὸ εἰρημένον ἀνάθεμα γενόμενον ἡ βασιλεία προσίεται, ἀλλ' ἔστω κύρια καὶ τὰ κατ' αὐτοῦ ψηφισθέντα καὶ ὑπὸ τὸν κοινὸν ἀχθεὶς ἀναθεματισμὸν ὑπ' αὐτὸν τετάχθω, τῆς τῶν ἁγιωτάτων ἀρχιερέων προελθούσης ἐπ' αὐτοῖς

O [= aervv], ID, N [= mla]

1/2 μεστὰ πεποίηκε $O^{aeb}DN^{a}$ μεταπεποίηκεν $O^{rv}IN^{ml}$ 3 γέγραπται D 5 μόνων IN^{m} τὸν $O^{r}N^{l}$ ἑκατέρας D τῶν om. D 6 βδελλυρῶν O^{e} ut solet, D φαμὲν om. O^{e} 7 εἶναί πως N δοκούντων εἶναι I 9 ἐνετυπώσαμεν O^{r} 10 ψυχὴν O^{r} ψυχῆς I εἰπόντος O^{v} ἀπόντεσ I 11 Ἀρειανικῶν καὶ] ἀρειανῶν καὶ τῶν $O^{e}\Lambda$ 12 εἰσ ἑκάτερον ODN ἑκατέροις I 14 ὑπὸ τῶν εἰρημένων O^{v} 15 καὶ²] τε καὶ O^{av} ὡσ εἰπεῖν πολιτείασ O^{e} 16 μὲν οὖν I 16/17 ἀποσείσατο O^{v} 17 αὐτοῦ D ζῶντός τε] ζῶν τότε O^{v} 19 ἐκπεπτωκότα DN^{l} 22 τι om. D 25 τε om. $O^{r}I$ 28 γραφέντων $O^{v}N^{l}$ τῶν πάντων τινὸς N 31 τῆς τε N τῆσ² ID om. ON 32 ἐν om. I 35 Οὐ μὴν om. O^{a} ἐπίσκοπον γενόμενον $O^{r}I$ 36 ἐπὶ O^{r} 37 ταχθεὶσ $O^{e}\Lambda$ 38 ἔστω $O^{e}\Lambda$ αὐτῶι N^{ml}

ψήφου κυρίας διαμενούσης. οὐκ ἐφίεμεν δὲ οὐδὲ ἐκείνωι ταύτην οἰκεῖν τὴν βασιλίδα πόλιν ἢ τὴν αὐτῆς περιοικίδα ἤ τινα τῶν σεμνοτέρων, ἀλλ' ὧν ἠκολούθησε τῆι πλάνηι, τούτων μιμείσθω καὶ τὴν δίαιταν ἀπωικισμένος ὅτι πορρωτάτω καὶ κατακρύπτων ἑαυτόν, ὡς τοῖς γε τοιούτοις τὸ κρύπτεσθαι μᾶλλον τοῦ φαίνεσθαι λυσιτελέστερον. ἀφανεῖς μὲν γὰρ ὄντες ἑαυτοὺς καταβλάψουσι μόνους, δημοσιεύοντες δὲ τὰ ἑαυτῶν δόγματα πολλοῖς τῶν ἀφελεστέρων ἀφορμὴν ἀπωλείας παρέχουσιν, ὅπερ κατ' οὐδένα γίνεσθαι τρόπον ἐν τῆι Χριστιανικῆι τοῦ θεοῦ ποίμνηι καὶ τῶι ὀρθοδόξωι λαῶι δίκαιόν ἐστιν οὐδὲ παρὰ τῆς βασιλείας συγχωρούμενον.

Ἐπειδὴ δὲ καὶ Ζωόραν ἠξίωσαν ὅλως ὑπὸ ἀναθεματισμὸν οἱ σεβασμιώτατοι καὶ τὰ δίκαια κρίνοντες ἐπίσκοποι ποιήσασθαι μικράν τινα παρενθήκην τῶν τοιούτων ὄντα κακῶν καὶ ἐν οἷς ἠτίμασται, τὸ γοῦν ὅλως τυχεῖν τινος εὐπορήσαντα μνήμης, ἔστω καὶ Ζωόρας τῆς πονηρᾶς ταύτης μερίδος, Ἀνθίμου τε καὶ Σεβήρου καὶ Πέτρου φαμέν, παρενθήκη
M VIII 1155 τις εὐτελὴς καὶ ἐν τοῖς ἀνατεθεματισμένοις καὶ αὐτὸς τετάχθω, τῆς ἱερατικῆς αὐτὸν κατενεγκούσης ψήφου, ἣν κυρίαν καὶ αὐτὴν ἐφ' ἑαυτῆς οὖσαν κυριωτέραν ἔτι μᾶλλον ἡ βασιλεία ποιεῖ, καὶ τοῦτον ἐξελαύνουσα τῆς βασιλίδος ταύτης πόλεως καὶ τῆς ταύτης περιοικίδος καὶ τὴν ἐπὶ τῶν πόλεων οἴκησιν αὐτῶι παντοίως ἀπαγορεύουσα, ὥστε μετ' ἐκείνων μόνων οἰκεῖν τε καὶ βουλεύεσθαι τῶν ἔμπροσθεν ἡμῖν εἰρημένων, ὅμοια μὲν βλασφημούντων, ὁμοίως δὲ περιωρισμένων. εἰ δὲ τι καὶ ἕτερον τῆι τῶν ἁγιωτάτων ἐπισκόπων περιέχεται ψήφωι τῆι τοὺς προειρημένους καθαιρούσηι τε καὶ ἀναθεματιζούσηι, κύριον δὴ καὶ τοῦτο τίθεμεν καὶ τοῖς βασιλικοῖς ἡμῶν αὐτὸ νόμοις ἐπικυροῦμεν, ὡς ἂν εἰ παρὰ τῆς βασιλείας αὐτῆς προελθὸν ἐτύγχανεν. εἰ δέ τις αὐτῶν ἁλοίη τὸ λοιπὸν πράττων τι παρὰ τὰ διατετυπωμένα, ἴστω καὶ τοῖς πολιτικοῖς ὑποπεσούμενος νόμοις, οἳ τοὺς τὰς ἐλάττους τῶν ποινῶν ἐκκλίνοντας εἰς μείζους ἐμβάλλουσι τὰς ἀγανακτήσεις. ἀπαγορεύομεν δὲ καὶ παντὶ τῶι τὴν καθολικὴν ἐκκλησίαν τοῦ θεοῦ διασπᾶν ἐπιχειροῦντι εἴτε κατὰ τὴν Νεστορίου τοῦ φρενοβλαβοῦς ὑφήγησιν εἴτε κατὰ τὴν ἀνόητον Εὐτυχοῦς παράδοσιν εἴτε κατὰ τὴν Σεβήρου βλασφημίαν τοῦ ταὐτὰ ἐκείνοις νοσήσαντος εἴτε τῶν ἐκείνοις ἀκολουθούντων ταῖς ἁγιωτάταις ἐκκλησίαις ταραχὰς ἐμβάλλειν καὶ φθέγγεσθαί τι περὶ πίστεως, ἀλλὰ θεσπίζομεν ἕκαστον τῶν τοιούτων τὴν ἡσυχίαν ἄγειν καὶ μηδὲ συγκαλεῖν εἰς ἑαυτόν τινας μήτε προσιόντας
L V 269 δέχεσθαι ἢ παραβαπτίζειν θαρρεῖν ἢ τὴν ἱερὰν κοινωνίαν ῥυπαίνειν καὶ ταύτης μεταδιδόναι τισὶν ἢ τὰς ἀπηγορευμένας διδασκαλίας ὑφηγεῖσθαι ἢ ἐπὶ ταύτης τῆς βασιλίδος ἡμῶν πόλεως ἢ ἐφ' ἑτέρας, ἀλλ' ὑφορᾶσθαι πάντα κίνδυνον, εἴ τι τοιοῦτον πράξαιεν. ἀπαγορεύομεν δὲ καὶ πᾶσι τούτους ὑποδέχεσθαι. ἀπελαύνειν μὲν οὖν θεσπίζομεν αὐτοὺς τῶν ὑπ' αὐτῶν ταραττομένων πόλεων, εἰδότας τὰς ποινὰς τὰς ταῖς θείαις ἡμῶν ἤδη περιεχομένας διατάξεσιν, αἵπερ καὶ τὰς οἰκίας αὐτὰς ἐν αἷς τοιοῦτόν τι πράττεται, καὶ τὰ χωρία ἐξ ὧν τὰς ἀποτροφὰς χορηγοῦνται, ταῖς ἁγιωτάταις ἐκκλησίαις προσκυροῦσι, τῶν μὲν κεκτημένων ἀφαιρούμεναι, διότι βλάβης αἴτια τοῖς ἁπλουστέροις γίνεται, ὑπὸ δὲ τὰς ἁγιωτάτας καὶ ὀρθοδόξους ἐκκλησίας ταῦτα δικαίως ἄγουσαι.

O [= aerv], ID, N [= mlα]

1 ἐφίεμαι O^{arv} 1/2 τὴν — πόλιν οἰκεῖν $O^{r}I$ 2 σεμνοτέρων πόλεων N^{ml} 4 τὸ om. D ἀναφεῖσ O^{r} 6 παρέξουσιν D 9 ἐπειδὴ $O^{v}N$ ἐπεὶ $O^{aer}ID$ 10 ἐπίσκοπον O^{r} τινὰ μικρὰν N 11 ἀπορήσαντα $O^{av}D$ 12 πέτρου καὶ σευήρου O^{r} 13 ἀναθεματισμοῖσ D 15 συνεξελαύνουσα N 16 αὐτῶι om. I μόνον I 17 συμβουλεύεσθαι $O^{av}D$ βλασφημούντων $O^{arv}IDN$ βλασφημούντων ὅμοια δὲ καὶ παθόντων $O^{e}Λ$ 18 δὲ $O^{arv}IDN$ δὲ καὶ O^{e} 19/20 τιθέμεθα O^{e} 20 θείοις καὶ βασιλικοῖς O^{e} ἡμῶν om. $O^{av}D$ εἰ om. O^{v} 21 προελθὼν O^{ev} 21/22 διατεταγμένα N 22 πλοπτωκοῖσ O^{r} βασιλικοῖσ $O^{e}Λ$ τοὺς N om. OIDΛ 23 ἐκκλίνοντας N ἐκκλίνοντεσ OIDΛ ἐμβάλουσι O^{r} 26 τοῦ N om. OID κἀκείνοισ O^{e} νοήσαντοσ $O^{e}DΛ$ ἐκείνουσ O^{v} 28 τὴν ODN om. I ἑαυτόν $OIDN^{a}$ ταυτὸ N^{ml} 30 ἡμῶν om. $O^{r}I$ 31 τοιοῦτο N 32 τούτοισ O^{v} 34 τοιοῦτό N διαπράττεται $O^{r}I$ 35 τροφὰσ N 36 αἴτιαι D γίνονται D

Ταῦτα ὑπὲρ τῆς κοινῆς εἰρήνης τῶν ἁγιωτάτων ἐκκλησιῶν νομοθετοῦμεν, ταῦτα ψηφιζόμεθα τοῖς τῶν ἁγίων πατέρων κατακολουθοῦντες δόγμασιν, ὅπως ἂν τὸ ἱερατικὸν ἅπαν ἀτάραχον ἡμῖν τοῦ λοιποῦ διαμένοι. οὗπερ ἐν εἰρήνηι φυλαττομένου καὶ τὸ λοιπὸν ἡμῖν εὐθηνήσει πολίτευμα τὴν ἄνωθεν ἔχον εἰρήνην, ἣν πᾶσιν ὁ μέγας θεὸς καὶ σωτὴρ ἡμῶν Ἰησοῦς Χριστὸς ὁ τῆς τριάδος εἷς ὁ μονογενὴς τοῦ θεοῦ λόγος κηρύττει τε καὶ χορηγεῖ τοῖς γνησίως αὐτὸν καὶ ἀληθῶς δοξάζειν τε καὶ προσκυνεῖν ἠξιωμένοις. ἡ τοίνυν σὴ μακαριότης τὰ ὀρθῶς ἡμῖν παραστάντα φυλαττέτω καταπέμπουσα ταῦτα διὰ θεοφιλῶν αὐτῆς γραμμάτων πᾶσι τοῖς ὑπ' αὐτὴν τεταγμένοις ὁσιωτάτοις μητροπολίταις, ὧν ἑκάστωι γενήσεται φροντὶς ταῖς ὑπ' αὐτοὺς τεταγμέναις ἁγιωτάταις ἐκκλησίαις ταῦτα ποιῆσαι φανερά, ὥστε μηδένα τῶν πάντων διαλαθεῖν τά τε τῆι ἀρχιερωσύνηι δόξαντα τά τε ὑπὸ τῆς βασιλείας κεκυρωμένα.

Ἡ θεία ὑπογραφή· DIVINITAS TE SERVET PER MVLTOS ANNOS SANCTE AC RELIGIOSISSIME PATER.

DATA OCTAVO IDVS AVGVSTAS CONSTANTINOPOLI POST CONSVLAT' BELISSARI VIRI CLARISSIMI d. 6. m. Aug. a. 536

42 Μετὰ τὴν ὑπατείαν Φλ' Βελισσαρίου τοῦ ἐνδοξοτάτου πρὸ δεκατριῶν Καλανδῶν Ὀκτωβρίων, [χρόνων] πεντεκαιδεκάτης ἰνδικτιῶνος, ἐν κολωνείαι Αἰλίαι μητροπόλει τῆι καὶ Ἱεροσολύμοις L V 276 M VIII 1163 d. 19. m. Sept. a. 536

προκαθημένου τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου ἀρχιεπισκόπου καὶ πατριάρχου Πέτρου ἐν τῶι σηκρήτωι τοῦ εὐαγοῦς ἐπισκοπείου τῆς αὐτῶν μακαριότητος, συνεδρευόντων δὲ τῆι αὐτῶν ἀρχιερωσύνηι καὶ τῶν ὁσιωτάτων ἐπισκόπων τῆς κατὰ Παλαιστίνας τρεῖς ὑπὸ τοὺς ἁγίους τελούσης τόπους εὐαγεστάτης συνόδου

Ἐλισσαῖος διάκονος καὶ νοτάριος τοῦ αὐτοῦ ἁγιωτάτου πατριάρχου εἰς μέσον παρελθὼν εἶπεν· Εὐσεβοῦς καταπεμφθέντος νόμου τῆι ὑμετέραι μακαριότητι πρὸς ἀσφάλειαν, σὺν θεῶι λέγειν, τυγχάνοντος τῶν ἁγιωτάτων ἐκκλησιῶν καὶ τῆς νῦν κρατούσης σὺν θεῶι καταστάσεως, ἀποδοθείσης δὲ τοῖς ἁγιωτάτοις ὑμῖν καὶ ὁσίας ἐπιστολῆς τοῦ ἁγιωτάτου πατριάρχου τῆς βασιλευούσης πόλεως Μηνᾶ τὴν αὐτὴν φερούσης ὑπόθεσιν, ὧν ἑκάτερον διεκόμισαν οἱ θεοσεβέστατοι μοναχοὶ τῆς καθ' ἡμᾶς εὐαγεστάτης ἐρήμου, οἵπερ ἐπὶ τῆς βασιλίδος γεγόνασι πόλεως τῆς ἐκκλησιαστικῆς καταστάσεως χάριν, ἐπέτρεψεν ἡ ὑμετέρα μακαριότης εἰς ταὐτόν με τὴν εὐαγῆ προσκαλέσασθαι σύνοδον, ὡς ἂν καταφανῆ καὶ τῆι αὐτῶν γένηται ὁσιότητι τὰ εὐσεβῶς νενομοθετημένα τῶι κρατίστωι καὶ θεοφυλάκτωι ἡμῶν βασιλεῖ, ἐπεσταλμένα δὲ καὶ παρὰ τοῦ μνημονευθέντος ἁγιωτάτου πατριάρχου τῆς βασιλίδος πόλεως. ἐπεὶ οὖν πάρεστι τῆι ὑμετέραι μακαριότητι ἡ εὐαγὴς σύνοδος, προσεδρεύουσι δὲ τῶι εὐαγεῖ ἐπισκοπείωι τῆς ὑμετέρας ἀρχιερωσύνης καὶ οἱ θεοφιλέστατοι ἀρχιμανδρῖται καὶ μοναχοὶ παρεῖναι ἐξαιτοῦντες τῆι τῶν εἰρημένων ἐμφανείαι, τί τῆι ὑμετέραι μακαριότητι καὶ τῆι εὐαγεῖ συνόδωι δοκεῖ;

O [– aerv], I, D (usque ad 12), N [= mila; usque ad 11]

4 ἡμῶν O^{rI} ἅπασιν N 7 ἡμῖν om. $O^{eΛ}$ φυλαττέτω OIDΛ φυλαττέτω τε καὶ εἰς ἔργον ἀγέτω N αὐτὰ N 8 αὐτὸν O^{v} 10 ἁπάντων D 12. 13 om. NI 12—15 Latina om. O^{avD} 12 SERBET O^{er} 12/13 RELIGIOSSISSIME O^{er} *religiosissime* Λ 14/15 om. I 14 διατα O^{r} OCTABO O^{er} CONSTANTINPOLI O^{e} IONSVLAT' O^{er} VRI O^{e} VVRI O^{r} 14/15 CLARISCIMI O^{r} 16 inscr. πεπραγμένα ἐν Ἱεροσολύμοις παρὰ πέτρῳ ἀρχιεπισκόπῳ κατὰ ἀνθίμου ἐν οἷς ἐμπεφάνισται καὶ τὰ ἐν κωνσταντινουπόλει παρὰ μηνᾶ πατριάρχου κατὰ τοῦ αὐτοῦ πραχθέντα ἐν τέτρασι πραξειδίοις ὧντινων ἐνταγέντων καὶ αὐτὸς πέτρος Ἱεροσολύμων τὴν καὶ αὐτοῦ ψῆφον ἐποιήσατο· καὶ ἐν τούτοις δέ τινα κατὰ σεβήρου εἰσί I φλαβίου $O^{eIΛ}$ βελισαρίου $O^{vIΛ}$ 17 χρόνων om. I 20 σεκρέτῳ O^{e} αὐτοῦ $O^{eIΛ}$ 21 αὐτοῦ $O^{eIΛ}$ 25 νῦν I εὖ O 26 τῆσ ὁσίασ O^{av} 27 πόλεως om. O^{rI} 29 ἐπέτρεπεν O 30 προκαλέσασθαι O^{r} καταφανεῖ O^{v} 33 βασιλευούσησ O^{e} 35 μοναχοὶ O^{arvI} οἱ ὁσιώτατοι μοναχοὶ O^{e} 36 εὐαγεστάτη O^{rvI} εὐαγεστάτω O^{s}

43 Ὁ ἁγιώτατος καὶ μακαριώτατος πατριάρχης καὶ ἡ εὐαγὴς σύνοδος εἶπε· Προσκα-
L V 277 λείσθωσαν οἱ θεοφιλέστατοι ἀρχιμανδρῖται καὶ μοναχοί.

44 Ἐλισσαῖος διάκονος καὶ νοτάριος ἐν μέσωι καταστὰς εἶπε· Κατὰ τὴν κέλευσιν τῆς ὑμετέρας μακαριότητος πάρεισιν οἱ θεοσεβέστατοι ἀρχιμανδρῖται καὶ μοναχοί.

45 Ὁ ἁγιώτατος καὶ μακαριώτατος πατριάρχης καὶ ἡ εὐαγὴς σύνοδος εἶπε· Κατὰ τὴν
M VIII 1166 πρώτην τάξιν ὁ πανευσεβὴς νόμος τοῦ κρατίστου καὶ θεοφυλάκτου ἡμῶν βασιλέως προσφόρως ἀναγινωσκέσθω καὶ ἠγείσθω τῶν πραττομένων.

46 Καὶ ἀνεγνώσθη ὁ αὐτὸς θεῖος νόμος διὰ Ἐλισσαίου τοῦ θεοσεβεστάτου διακόνου καὶ νοταρίου καὶ προλάμπει τῶν πραττομένων ἐπὶ λέξεως οὕτως ἔχων ὡς προγέγραπται.

47 Ὁ ἁγιώτατος καὶ μακαριώτατος πατριάρχης καὶ ἡ εὐαγὴς σύνοδος εἶπεν· Ἀναγινωσκέσθω καὶ τὰ ὅσια γράμματα τοῦ ἁγιωτάτου πατριάρχου τῆς βασιλευούσης πόλεως Μηνᾶ.

Καὶ μεταχειρισάμενος ταῦτα ὁ μνημονευθεὶς θεοσεβέστατος διάκονος καὶ νοτάριος Ἐλισσαῖος ἀνέγνω καὶ ἐγγέγραπται τοῖς πεπραγμένοις ἐπὶ λέξεως οὕτως ἔχοντα

48 Τῶι τὰ πάντα θεοφιλεστάτωι καὶ ὁσιωτάτωι ἀδελφῶι καὶ συλλειτουργῶι Πέτρωι Μηνᾶς ἐν κυρίωι χαίρειν. Τῶν καθ' ὑμᾶς θεοφιλῶν ἀνδρῶν καὶ μόνον μνημονεύοντες εὐφραινόμεθα. οἶδε γὰρ καὶ χωρὶς τῆς κατὰ πρόσωπον ἐντεύξεως ψυχὴν ἐπιτέρπειν ἡ πρὸς αὐτοὺς δι' ἐπιστολῶν ὁμιλία. κατ' αὐτὸ οὖν καὶ μόνον νῦν τὸ κινηθῆναί με πρὸς τὸ γράφειν ἐξ αὐτῆς τῆς ἐπὶ τὸ προσειπεῖν ὑμᾶς ροπῆς ἐτέρφθην ὡς ἐπὶ παντὶ πλούτωι.
Cant. 1, 3 μύρον γὰρ ἐκκενωθὲν ὄνομά σοι, ὥστε καὶ μὴ παρόντος, ἀλλὰ καὶ μήκοθεν ὄντος συναισθανόμεθα τῆς εὐωδίας. τὴν ὑπερβολὴν τῶν ὑμετέρων τρόπων κατ' αὐτὸ τῆς καρδίας μου μέσον ἐθέμην· εὐφροσύνης πληρούμεθα τῶν ὑμετέρων πλεονεκτημάτων ἀκούοντες τὰς ἀρετάς. λόγος τῆς σῆς θεοφιλείας πολὺς καθ' ἡμέραν. τὰ ἐν ὑμῖν κατορθώματα πολλοὶ μὲν διηγοῦνται, ἐξαιρέτως δὲ ὁ κοινὸς ἀδελφός, μᾶλλον δὲ εἰπεῖν, ὁ κοινὸς εὐεργέτης ὁ θεοφιλέστατος πρεσβύτερος Εὐσέβιος. ἀλήθειαν ἐρῶ καὶ οὐ ψεύδομαι. πολὺς παντοίως καὶ συνεχὴς ὁ περὶ ὑμῶν λόγος, μάλιστα παρὰ τῆς αὐτοῦ ὁσιότητος. ὃς ἡδέως διηγεῖται τὰ καθ' ὑμᾶς, ὡς πίστις ὀρθή, ἄμεμπτος βίος, πραότης πολλὴ καὶ ἁπλῶς εἰπεῖν πᾶς ὁ χορὸς τῶν ἀρετῶν ἐν ὑμῖν ἐδόθη παρὰ θεοῦ, ὥστε καὶ τὸν Ἰακώβου δέξασθαι θρόνον καὶ φύλακα γενέσθαι τῆς ὀρθοδόξου πίστεως. τοιγαροῦν καὶ Σεβῆρον ὡς βλάσφημον ὁ ὑμέτερος θρόνος κατηγωνίσατο. τῶν μετὰ ταῦτα καρπῶν ἡ σὴ παρέσχεν ἡμῖν ὁσιότης τὰ σπέρματα· γεγόναμεν ὑμῖν ἐπὶ Σεβήρωι σύμψηφοι. πέφηνε τούτωι καὶ Πέτρος παρόμοιος, ὃς εἰ καὶ παρ' ἑτέρων ἤδη καθήιρητο, τῆς αὐτῆς ἐκείνωι καὶ παρ' ἡμῶν τετύχηκε κατακρίσεως. εἰς τὴν ὁμοίαν ἐάλωσαν Ἀνθιμός τε καὶ Ζωόρας ἐμπεπτωκότες πλάνην· ἴσης καὶ τούτων ἑκάτερος ἠξίωται τῆς ποινῆς. κεκοινωνήκασιν ἡμῖν ἐφ' ἅπασι τούτοις οἵ τε ἐκ τῆς πρεσβυτέρας παραγενόμενοι Ῥώμης καὶ ὅσοι τῆς εὐαγοῦς ἡμῶν ἐνεδήμουν συνόδου. σπουδὴν ἄγρυπνον καὶ θεοφιλῆ πρόνοιαν τούτοις ἅπασι συνεισήνεγκαν καὶ οἱ εὐλαβέστατοι μοναχοὶ οἱ ἐκ τῆς ὑμετέρας φιλοχρίστου χώρας τῆι βασιλίδι ἐνδημοῦντες πόλει. αὐτὰς τοίνυν ὑμῖν

O [= acrv], I

1–3 Προσκαλείσθωσαν – εἶπε om. O^r 1/2 Προσκαλείσθωσαν] εἰσίτωσαν I 2 μοναχοί] μοναχοί· καὶ εἰσελθόντων αὐτῶν I 3 Ἐλισσαῖος ὁ θεοφιλέστατος διάκονος I ἐν – καταστὰς om. I 9 ἔχων οὕτως O^e 11 τοῦ – πατριάρχου om. I 13 θεοφιλέστατος I om. O^{av} 14 ἐγγέγραπτο O^a 15 inser. ἐπιστολὴ μηνᾶ πατριάρχου κωνσταντινουπόλεως πρὸς πέτρον ἀρχιεπίσκοπον ἱεροσολύμων I ὁσιωτάτῳ καὶ θεοφιλεστάτῳ I 16 ἡμᾶς O^v 17 γὰρ om. O^r ἐντάξεως O^v 18 νῦν – με O^{aev} τὸ κινηθῆναι με νῦν O^rI 20 σου O^{av}Λ καὶ[3] om. O^eIΛ 22 μου om. O^e τὸ I ἐθέμεθα I ἡμετέρων O^{av} 24 ἐκδιηγοῦνται I εἰπεῖν om. O^e 26 καὶ IΛ om. O 26 ὃς] ἧς O^r 28 ἐν om. I διὰ Ἰακώβου O^{arv} 29/30 θρόνος] λόγος O^a 33 ἐάλοσαν O^r πλάνη O^v 35 ῥώμης παραγενόμενοι I 36 θεοφιλεῖ O^v συνεισήνεγκας O^r 37 αὐτὸς O^rI ἡμῖν O^{av}

τὰς ἐφ' ἅπασι τούτοις συστάσας τῶν ὑπομνημάτων ἀπεστάλκαμεν πράξεις. γίνεσθε τοιγαροῦν ἐπὶ μὲν Σεβήρωι τοῖς τε παρ' ὑμῶν αὐτῶν τοῖς τε ὑφ' ἡμῶν κεκριμένοις σύμψηφοι, ἐπὶ δὲ Πέτρωι καὶ Ζωόραι καὶ Ἀνθίμωι τοῖς ὑφ' ἡμῶν τε αὖθις καὶ τῶν ἄλλων ὡς εἰπεῖν L V 280
ἁπάντων δεδοκιμασμένοις ἀκολουθῆσαι μὴ κατοκνήσητε. καὶ γὰρ ἂν εἴη διαφερόντως ὑμέτερον τοῖς μὲν ἀρχὴν αὐτόθεν παρασχέσθαι τῆς ἀπαλλαγῆς τῶν φαύλων, τοῖς δὲ κἂν M VIII 1167
εἴη δεδομένα παρ' ἑτέρων, ἀκολουθεῖν. καὶ δείξει μὲν ὑμῖν τὸ κατὰ μέρος ἡ τῶν πεπραγ- 6
μένων τάξις τε καὶ κατάστασις, πλὴν ἀλλ' ἐμφανῆ τε γενέσθαι παρ' ὑμῖν αὐτοῖς ταῦτα βουλόμεθα καὶ τὴν μὲν τούτων ἐμφάνειαν ἐφ' ἡμᾶς ἀποστείλατε τὴν ὑμετέραν τε καὶ τῶν ὑφ' ὑμᾶς θεοφιλῶν ἐπισκόπων ἐπὶ τοῖς πραχθεῖσι συναίνεσιν διὰ τῶν ὑποτεθησομένων αὐτοῖς δηλοῦντες γραμμάτων, αὐτὰ δὲ ταῦτα τὰ παρ' ἡμῶν ἀπεσταλμένα μένειν ἐάσατε 10
παρ' ὑμῖν τῆς τε ὑμῶν αὐτῶν ὁμολογίας ὀρθῆς τῆς τε τῶν πεπονθότων κακοδοξίας εἰς αἰῶνας ἐσόμενα σύμβολον. παρακαλῶ δὲ τὸ τάλαντον ὅπερ ἐπιστεύθητε, μὴ κατορύ- Mt. 25, 25
ξητε, ἀλλὰ τῆι μεταδόσει πολυπλασιάσατε. διαλέχθητε, μετάδοτε τῶν ὑμετέρων ἀληθῶν, μήποτε ἄρα φανείης ἀποδεσμεύων αὐτό· ἰδιοποιούμενοι τὰ κατ' ἐμὲ ὑπὲρ ἀδελφοῦ προσεύξασθε δέησιν καταπυκνοῦντες καὶ λέγοντες· κύριε εἰρήνην δὸς ἡμῖν· πάντα 15
γὰρ ἀπέδωκας ἡμῖν.

Πᾶσαν τὴν σὺν τῆι ὑμετέραι ὁσιότητι ἐν Χριστῶι ἀδελφότητα πλεῖστα προσαγορεύομεν. ἐρρωμένος ἐν κυρίωι ὑπερεύχου ἡμῶν, θεοφιλέστατε ἀδελφέ.

49 Ὁ ἁγιώτατος καὶ μακαριώτατος πατριάρχης καὶ ἡ εὐαγὴς σύνοδος εἶπεν· Εἰ τὰ κατὰ τὴν βασιλίδα πόλιν συνοδικῶς ἐψηφισμένα, ὧν μνήμην ποιεῖται ὁ θεῖος καὶ πανευσε- 20
βὴς νόμος καὶ ἡ τοῦ μνημονευθέντος ἁγιωτάτου πατριάρχου ἐπιστολή, Ἐλισσαῖος μεταχειρίζεται ὁ θεοσεβὴς νοτάριος, διδασκέτω.

50 Ἐλισσαῖος νοτάριος εἶπε· Διδάσκω τὴν ὑμετέραν μακαριότητα καὶ τὴν παροῦσαν εὐαγῆ σύνοδον ὡς σὺν τῆι ἀναγνωσθείσηι τιμίαι ἐπιστολῆι τοῦ ἁγιωτάτου πατριάρχου τῆς βασιλευούσης πόλεως Μηνᾶ καὶ τὰ ὑπομνήματα ἃ ἀπεστάλη παρὰ τῆς αὐτοῦ μακα- 25
ριότητος, τά τε ἐπὶ τῆι καθαιρέσει πραχθέντα Ἀνθίμου, ὃς πρώην γέγονε τῆς Τραπεζουντίων ἐπίσκοπος, καὶ τὰ ἐπὶ τῶι ἀναθεματισμῶι Σεβήρου καὶ Πέτρου καὶ Ζωόρα μετὰ χεῖράς ἐστί μοι. κατὰ τοίνυν τὸ παριστάμενον τῆι ὑμετέραι ἁγιωσύνηι καὶ τῆι ἁγίαι συνόδωι τὴν τούτων ποιοῦμαι ἐμφάνειαν.

51 Ὁ ἁγιώτατος καὶ μακαριώτατος πατριάρχης καὶ ἡ εὐαγὴς σύνοδος εἶπε· Τέως 30
τὰ ἐπὶ Ἀνθίμωι πεπραγμένα δῆλα γινέσθω διὰ τῆς ἀναγνώσεως ἐγγραφόμενα τοῖς ὑφ' ἡμῖν πραττομένοις. οὕτω γὰρ καθ' ἑτέραν εἰσόμεθα καὶ τὰ ἐπὶ τῶι ἀναθεματισμῶι παρακολουθήσαντα Σεβήρου καὶ Πέτρου καὶ Ζωόρα τῶν δυσσεβεστάτων, κἂν τὰ μάλιστα οὐκ ἄγνωστα ἡμῖν ταῦτα καθέστηκε.

Καὶ παραλαβὼν τὰ ἐπὶ Ἀνθίμωι πεπραγμένα Ἐλισσαῖος ὁ θεοσεβέστατος νοτάριος 35
καὶ διάκονος διῆλθε καὶ ἐγγέγραπται τοῖς νῦν πραττομένοις ἐπὶ λέξεως ἔχοντα οὕτως

O [= aerv], I

1 ἀπέσταλκα I γένεσθε O^c 2 ὑμῶν O^{cI} ἡμῶν $O^{arv}\Lambda$ τοῖσ τε O καὶ τοῖς I ἡμῶν O^c corr., O^{v}I ὑμῶν $O^{aer}\Lambda$ 3 ὑμῶν O^a 6 διδομένα O^v δεδογμένα I 8 μὲν om. I ἀποστεῖλαι I 9 ἡμᾶσ O^{rv} ὑποτεθεισαμένων O^r ἀποτεθησομένων O^{av} 10 δηλοῦντασ I ταῦτα I om. O ἐπεσταλμένα I 11 ἡμῶν I 12 ἐπίθητε O^v 14 ἀγαθῶν I αὐτά I 15 προσάξασθε O^v δέησιν O^{ar} τὴν δέησιν I δεήσεσιν O^{ev} 17 σὺν] σὴν O^v ἡμετέρα O^v 17/18 post προσαγορεύομεν ins. ὑπογραφή O^{arv} 20 πεπραγμένα πόλιν καὶ $O^e\Lambda$ πόλιν καὶ O^r ποιεῖτε O^a 22 διδασκέσθω O^r 23 διδάσκων O^v 26 προαχθέντα O^v 27 τῶι om. O^e 31 γενέσθω I 32 ἡμῶν O^rI τῶι om. O^e 33 σεβήρου καὶ πέτρου παρακολουθήσαντα καὶ Ζωόρα O^a δυσσεβῶν O^rI 35 ἐλισσαῖοσ $O^e\Lambda$ om. $O^{arv}I$ 36 ἐγγέγραπτο O^a

52
L V 4
M VIII 878
d. 2. m. Mai
a. 536

Μετὰ τὴν ὑπατείαν Φλ' Βελισσαρίου τοῦ λαμπροτάτου τῇι πρὸ ἓξ Νόνων Μαίων ἰνδικτιῶνος ῑδ ἐν τῇι φιλοχρίστωι καὶ βασιλευούσηι Κωνστατινουπόλει Ῥώμηι προκαθεζομένου τοῦ δεσπότου ἡμῶν τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου ἀρχιεπισκόπου καὶ πατριάρχου Μηνᾶ ἐν τῶι μεσαύλωι τῶι δυτικῶι τοῦ σεβασμίου οἴκου τῆς δεσποίνης ἡμῶν τῆς ἁγίας ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας τοῦ ὄντος πλησίον τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας

καὶ ἐκ μὲν τοῦ δεξιοῦ μέρους συνεδρευόντων αὐτῶι καὶ συνακροωμένων κατὰ εὐσεβῆ κέλευσιν τοῦ φιλοχρίστου καὶ θεοφυλάκτου ἡμῶν βασιλέως Ἰουστινιανοῦ τῶν ὁσιωτάτων καὶ θεοφιλεστάτων ἐπισκόπων

2 Σαβίνου τοῦ Κανουσίου
3 Ἐπιφανίου Ἐκλάνων
4 Ἀστερίου Σαλέρνων
5 Ῥουστίκου Φεσούλων
6 Λέοντος Νόλου

τῶν πάντων ἐκ τῆς Ἰταλῶν χώρας πρώην μὲν ἀπεσταλμένων ἐκ τῆς ἀποστολικῆς καθέδρας, ὕστερον δὲ συνόντων παραγενομένωι ἐνταῦθα Ἀγαπητῶι τῶι τῆς ἁγίας μνήμης γενομένωι πάπαι τῆς πρεσβυτέρας Ῥώμης

L V 5
7 Πέτρου τῆς Ἰουστινιανουπόλεως τῆς μητροπόλεως τῆς δευτέρας Καππαδοκῶν ἐπαρχίας
8 Ζαχαρίου τῆς Μιτυληναίων μητροπόλεως
9 Μάρκου τῆς μητροπόλεως Ἀπαμείας τῆς Βιθυνῶν ἐπαρχίας
10 Αὐξεντίου τῆς Σηλυβρηνῶν μητροπόλεως
11 Θαλασσίου τῆς μητροπόλεως Βηρυτοῦ
12 Μεγάλου τῆς μητροπόλεως Βεροίας
13 Ἰωάννου Γαβάλων
14 Ἰωάννου Βοσπόρου
15 Δομετιανοῦ τοῦ Ζηκχῶν ἔθνους
16 Χριστοφόρου Πορφυρεῶνος ἐπαρχίας Φοινίκης παράλου
17 Ἀρχελάου Κωρύκου
18 Δαυίθου Κιρκησίου
19 Αἰθερίου Μαριάμμης
20 Ἀλεξάνδρου Βαρκουσῶν
21 Δόμνου Μαξιμιανουπόλεως τῆς δευτέρας Παλαιστίνης
22 Ἀναστασίου Ἰωτάβης
23 Ἰωάννου Ζωόρων
24 Ἀνδρέου τοῦ Πανίου
25 Ἐπιτυγχάνου Γέρμης ἐπαρχίας Ἑλλησπόντου
26 Παύλου τοῦ Στεκτορίου
27 Ἀνδρέου Πελτῶν
28 Θεοδώρου Μηροῦ
29 Θεοδωρίτου Ἀλίνδων

ἐκ δὲ τοῦ εὐωνύμου μέρους

O [acrv. 1

1 inscr. πεπραγμένα ἐν Κωνσταντινουπόλει κατὰ ἀνθέμιον παρὰ μηνᾶ πατριάρχου καὶ τῆς μετ' αὐτοῦ συνόδου l 1 φλαβίου O^{e}IΛ νόννων O^{ae}rl 2 νέα ῥώμη O^{ae}Λ 10—14 om. Orl 15 πάντων om. l 16 τῶι om. Or 18—41 om. Orl 22 συληβρηνῶν O 24 βερροίας O^{e} 30 κιρκισίων O^{av} 37 ἐπιτυγχάνοντος O^{a}

30 Ὑπατίου τῆς μητροπόλεως Ἐφέσου
31 Κωνσταντίνου Ἡρακλείας τῆς μητροπόλεως Εὐρώπης
32 Θεαγένους τῆς μητροπόλεως Συνάδων
33 Βάκχου Ἀντιοχείας τῆς μητροπόλεως Πισιδίας
34 Ἰλαριανοῦ τῆς μητροπόλεως Πέργης
35 Βοσπορίου Νεοκαισαρείας τῆς μητροπόλεως Πόντου Πολεμωνιακοῦ
36 Παύλου τῆς μητροπόλεως Τυάνων
37 Ἀκακίου τῆς μητροπόλεως Πισινοῦντος
38 Ἐπικτήτου Κλαυδιουπόλεως τῆς μητροπόλεως Ὀνωριάδος
39 Τιμοθέου τῆς μητροπόλεως Βερόης
40 Ἐπιφανίου Ἡρακλείας τῆς Ὀνωρεατῶν ἐπαρχίας
41 Ἀβραμίου Κρατίας
42 Ἀλεξάνδρου Κολωνείας τῆς δευτέρας Καππαδοκῶν ἐπαρχίας
43 Ἀστερίου Ἀμάστρεως
44 Εὐγενίου Τίου
45 Ἰωάννου Καισαρείας τῆς Βιθυνῶν ἐπαρχίας
46 Κυριακοῦ Θεοδοσιουπόλεως τῆς Φρυγῶν Πακατιανῶν ἐπαρχίας
47 Ἰωάννου Τραιανουπόλεως
48 Θεοδότου Εὐροίας Παλαιᾶς Ἠπείρου M VIII 879
49 Ἀνδρέου Ἀμύζωνος
50 Φλαβιανοῦ Κοτένων
51 Ἠλίου Ἀδριανῶν τῆς Βιθυνῶν ἐπαρχίας
52 Μακεδονίου Βριάνων
53 καὶ Ἁρμονίου Καλλιπόλεως
54-57 συμπαρόντων δὲ αὐτῶι καὶ συνακροωμένων καὶ Θεοφάνους καὶ Πελαγίου τῶν θεοφιλεστάτων διακόνων τῆς ἀποστολικῆς καθέδρας καὶ Μηνᾶ καὶ Πέτρου τῶν θεοσεβεστάτων νοταρίων καί τινων εὐλαβεστάτων ὑποδιακόνων καὶ ἐκδίκων καὶ λοιπῶν κληρικῶν τοῦ αὐτοῦ ἀποστολικοῦ θρόνου, οἳ καὶ συνόντες ἔτυχον παραγενομένωι ἐνταῦθα Ἀγαπητῶι τῶι τῆς ἁγίας μνήμης γενομένωι πάπαι τῆς πρεσβυτέρας Ῥώμης
58. 59 καὶ Μάγνου πρεσβυτέρου καὶ Ἡρακλείου διακόνου καὶ ἀποκρισιαρίων Ἐφραιμίου τοῦ ὁσιωτάτου πατριάρχου τῆς ἐν Θεουπόλει ἁγιωτάτης ἐκκλησίας
60 Σαβίνου διακόνου τῆς ἁγίας Χριστοῦ τοῦ θεοῦ ἡμῶν Ἀναστάσεως πληροῦντος τὰς ἀποκρίσεις Πέτρου τοῦ ὁσιωτάτου πατριάρχου Ἱεροσολύμων
61 Στεφάνου διακόνου καὶ ἀποκρισιαρίου Σωτηρίχου τοῦ ὁσιωτάτου ἐπισκόπου Καισαρείας τῆς μητροπόλεως Καππαδοκίας πρώτης
62 Γαιανοῦ πρεσβυτέρου καὶ ἀποκρισιαρίου Ἐλπιδίου τοῦ ὁσιωτάτου ἐπισκόπου Ἀγκύρας τῆς μητροπόλεως Γαλατίας πρώτης
63. 64 Διονυσίου καὶ Καλλινίκου διακόνων καὶ ἀποκρισιαρίων Φωτίου τοῦ ὁσιωτάτου ἐπισκόπου τῆς μητροπόλεως Κορίνθου
παρόντος δὲ καὶ τοῦ εὐλαβοῦς κλήρου τῆς βασιλευούσης πόλεως

O [= aervˢ], I

1 ὑπάτου Oᵛ 4—24 Βάκχου — Καλλιπόλεως] καὶ τῶν λοιπῶν OʳI 4 πισσιδίασ Oᵉᵛ 6 νεοκαισσαρείασ Oᵛ 8 πισσινοῦντος Oᵉᵛ 17/18 τῆς Φρυγῶν — Τραιανουπόλεως om. Oᵛ 17 καππατιανῶν Oᵃ 21 κοτεννῶν Oᵃᵛ 24 καλλιουπόλεωσ Oᵃᵛ 25 αὐτῶι om. OʳI 25—31 καὶ Θεοφάνους — ἀποκρισιαρίων om. Oʳ 25—30 καὶ Θεοφάνους — Ῥώμης καὶ om. I 31 καὶ³ Oᵃᵛ τῶν Oᵉ om. I 32 ἁγιωτάτου Oᵉ Θεουπόλει] θεουπόλεωσ Oʳ 33/34 πληροῦντοσ — ἱεροσολύμων σαβίνου — ἀναστάσεωσ Oʳ 35—40 om. OʳI

53 Εὐφήμιος ὁ θεοσεβέστατος διάκονος καὶ πριμικήριος νοταρίων εἶπε· Μαριανοῦ τοῦ θεοσεβεστάτου πρεσβυτέρου καὶ ἡγουμένου μονῆς τῆς ἐπικαλουμένης Δαλματίου τοῦ τῆς θεοφιλοῦς μνήμης καὶ ἐξάρχου τῶν ἐπὶ τῆς βασιλευούσης ταύτης πόλεως διακειμένων εὐαγῶν μοναστηρίων καὶ τῶν λοιπῶν εὐαγῶν ἡγουμένων τῶν κατὰ τὴν φιλόχριστον ταύτην πόλιν καθεστώτων εὐαγῶν μοναστηρίων καὶ πρός γε τῶν ἐνδημούντων ταύτῃ τῇ βασιλίδι πόλει εὐαγῶν μοναχῶν τελούντων ὑπὸ Θεούπολιν καὶ τὰ Ἱεροσόλυμα δεήσεις
L V 8 ἀνατεινάντων τῶι εὐσεβεστάτωι καὶ θεοφυλάκτωι ἡμῶν βασιλεῖ θεσπίσαι κατηξίωσε τὸ αὐτοῦ κράτος τούς τε παρόντας ὁσιωτάτους ἐπισκόπους ἐκ τῆς Ἰταλῶν χώρας καὶ προσέτι γε τοὺς θεοφιλεστάτους ἀρχιδιακόνους τῆς ἀποστολικῆς καθέδρας καὶ τοὺς εὐλαβεστάτους νοταρίους καὶ ἐκδίκους τοῦ αὐτοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης ἐνταῦθα παραγεγονότας, οἳ καὶ συνῆσαν Ἀγαπητῶι τῶι τῆς ὁσίας μνήμης γενομένωι πάπαι τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης, καὶ τοὺς ἄλλους γε μὴν ἅπαντας τοὺς ἐνδημοῦντας θεοφιλεστάτους ἐπισκόπους παρὰ τὴν ὑμετέραν μακαριότητα συνελθεῖν, ἐφ' ᾧι δήλων ὑμῖν γινομένων τῶν ἐπιδεδομένων τῇι αὐτῶν γαληνότητι δεήσεων καὶ ὧν ἂν προσαγγεῖλαι βουληθεῖεν οἱ ταύτας ἐπιδεδωκότες, τὰ τοῖς εὐαγέσι κανόσι δοκοῦντα καὶ τῇι ἐκκλησιαστικῇι τάξει προσήκοντα πρὸς ἔργον ἀχθῆναι. ἐπεὶ τοίνυν πάρεισι μέν, ὡς βασιλεῖ τῶι μεγάλωι παρέστη, πάντες οἱ τὸν ἱερὸν ὑμῶν πληροῦντες σύλλογον, παραφυλάττουσι δὲ τὸ εὐαγὲς ὑμῶν σήκρητον οἵ τε εἰρημένοι εὐλαβέστατοι μοναχοὶ καὶ Θεόδωρος ὁ περίβλεπτος ῥαιφερενδάριος παρὰ τοῦ εὐσεβεστάτου ἡμῶν πρὸς τοῦτο ἀπεσταλμένος δεσπότου, ὑποβάλλομεν πρὸς τὸ παριστάμενον.

54 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Εἰσίτωσαν ὅ τε μνημονευθεὶς περίβλεπτος ῥαιφερενδάριος Θεόδωρος καὶ οἱ ἐξονομασθέντες εὐλαβέστατοι ἄνδρες.

55 Καὶ εἰσῆλθε Θεόδωρός τε ὁ περίβλεπτος τριβοῦνος νοτάριος καὶ ῥαιφερενδάριος τοῦ θεοφυλάκτου ἡμῶν βασιλέως καὶ Μαριανὸς ὁ θεοφιλέστατος πρεσβύτερος καὶ ἡγούμενος μονῆς Δαλματίου τοῦ τῆς ὁσίας μνήμης καὶ ἔξαρχος καὶ σὺν αὐτοῖς οἱ θεοσεβέστατοι πρεσβύτεροι καὶ ἀρχιμανδρῖται τῶν κατὰ τήνδε τὴν βασιλίδα πόλιν εὐαγῶν μοναστηρίων

1 Ἀγαπητὸς τῆς Δίου
2 Διόσκορος τῆς ἁγίας Εὐφημίας
3 Ἀγάπιος τῆς Θαλασσίου
4 Παῦλος τῶν Ῥωμαίων
5 Ἀντωνῖνος τῆς Εὐσεβίου
6 Στέφανος τῆς Ὀλυμπίου
7 Ἀναστάσιος τῶν Ῥωμαίων
8 Δημήτριος τῆς Φωκᾶ
9 Κυριακὸς τῆς Εὐφημίου
10 Ζωίλος τῆς Θεοδότου
11 Ἰουλιανὸς τῆς Εὐφημίου
12 Στέφανος τῶν Προμώτου
13 Ζήνων τῆς ἁγίας θεοτόκου ἐν τῇι πηγῇι

O [-- aerv], I

1 πριμμικήριοσ OI μαρινιανοῦ O^e 2 δαλμάτου O^{av} 4 μοναστηρίων] μοναστηρίων καὶ πρόσ γε τῶν ἐνδημούντων O^a 4/5 καὶ τῶν λοιπῶν — μοναστηρίων om. O^{rl} 5/6 τῇ βασιλίδι ταύτη I 6 εὐλαβῶν I 11 ἁγίασ O^e 14 ὑμῖν in ἡμῖν corr. O^e αὐτῶν O^{arv}I [plur. maiest.] αὐτοῦ O^e 15 προαγγεῖλαι O^e 15/16 οἱ ταύτασ — δοκοῦντα καὶ om. O^v 16 τοίνυν om. I 17 παρέστησαν O^{arv} 18 σέκρετον O^e 19 ῥαιφερενδάριοσ O^{erv}I semper ῥαιφενδάριοσ O^a 19/20 πρὸσ — δεσπότου] βασιλέωσ πρὸσ τοῦτο ἀπεσταλμένοσ O^{rl} 21 ἐπίσκοποσ O^{arv} 23 εἰσῆλθον O^eΛ τε om. I 24 μαρινιανὸσ O^e θεοσεβέστατοσ O^e 25 δαλμάτου O^{av} οἱ I om. O 27—p. 130, 29 om. O^{rl} 30 τῆσ O^{av} 34 post 30 coll. O^{av} 36. 37 om. O^eΛ 38 προμότου O^e

14 Ἀλέξανδρος τοῦ καλαμίου
15 Δάδας τῆς Καιουμᾶ
16 Ῥόδων τῆς Θεοδώρου
17 Γεννάδιος τῆς Κυριακοῦ
18 Θεόδωρος τῆς Μαρωνίου
19 Σίλας τῆς Ἠλία
20 Παῦλος τῆς Σαμουήλου
21 Ἰωάννης τῆς Θεοδώρου
22 Κυρίων τῶν Αἰγυπτίων
23 Βασίλειος τῆς Κυρακωνᾶ
24 Ἰωάννης τοῦ ἁγίου ἀποστόλου Θωμᾶ ἐν τοῖς Μοδέστου
25 Μάρκος τῆς Θεοδώρου
26 Φλαβιανὸς πρεσβύτερος καὶ δευτεράριος τῆς Μοδέστου τῶν Λυκαόνων
27 Μαρῖνος τῆς Παύλου
28 Θεόκτιστος τῆς ἁγίας θεοτόκου πλησίον τῶν Ἰώβ
29 Θεόδωρος τῆς Τρύφωνος
30 Κοσμᾶς τοῦ ἁγίου Ἰωάννου ἐν τοῖς Στουδίου
31 Πέτρος τῆς ἁγίας θεοτόκου καὶ τοῦ ἁγίου Διομήδους ἐν Ἱερουσαλήμ
32 Ἐλευθέριος τοῦ ἁγίου Κυριακοῦ
33 Ἀλέξανδρος τῆς Ἀβραμίου
34 Θεόδωρος τῆς Ἰώβ
35 Τρύφων τῆς Ἐλπιδίου
36 Στέφανος τῆς Κώνστα
37 Βαβύλας τῆς Δανιὴλ ἐν τῶι στύλωι
38 Ἰωάννης τῆς Ἀναστασίου
39 Ἀνθέμιος τῆς Νέωνος
40 Ἰωάννης τοῦ ἁγίου Μιχαὴλ τῶν Χαρσίου
41 Ἰωάννης τῆς Μάρα πλησίον τῆς Ἀετίου κινστέρνης
42 Φωκᾶς τῆς Ἰωνᾶ πλησίον τοῦ Δευτέρου
43 Ζώσιμος τῆς Εὐτυχίου τῶν Λυκαόνων
44 Τιμόθεος τῆς Ἀστερίου
45 Στρατόνικος τῆς Δομετίου
46 Πολυχρόνιος τοῦ αἰθρίου
47 Ἀνδρέας τῶν Ῥωμαίων πλησίον τῆς κινστέρνης
48 Μαρτύριος τῆς Πέτρου πλησίον τῶν Ἀποστόλων
49 Ἀνδρέας τῆς ἁγίας θεοτόκου πλησίον τοῦ ἁγίου Λουκᾶ
50 Μάρκος τοῦ ἁγίου Κυρίκου
51 Ἰάκωβος τῆς Ἀβίβου Σύρος
52 Ἀττικὸς τῶν Εὐκρατάδων
53 Ἰωσὴφ τῆς ἁγίας θεοτόκου ἐν τῶι λιθοστρώτωι
54 Παῦλος τοῦ ἁγιωτάτου ἀποστόλου Πέτρου πλησίον τοῦ παλατίου
55 Ἀναστάσιος πρεσβύτερος καὶ δευτεράριος τοῦ ἁγίου Φιλίππου ἐν τῶι βρεφο- L V 9
τροφείωι

O [acv]
7 σαμοήλου O[acv] σαμουηλίου O[e] 8 *Theodori in petra Dominicus* [i. e. Κυριακός] *Syriorum* Λ
10 τοῦ O[acv] 13 δευτεριάριοσ O[acv] 26 ἄνθιμοσ O[acv] 27 χαρισίου O[e] 28 ἀετοῦ O[acv]
32 στρατόνιοσ O[acv] *Domecii martyris* Λ 33 *sancti Michaelis in Ethrio* Λ 35 *apostolos sive*
Valentini et Dandati Λ 37 κηρύκου O[e] 41 ἁγίου O[e] 42 δευτεριάριοσ O[acv]

56 Γεώργιος τῆς Κύρου
57 Εὐσέβιος τῆς Συμεωνίου
58 Ζωτικὸς τοῦ ἁγίου Ἀνδρέου πλησίον τῆς Σατορνίνου πόρτης καὶ τῶν ὑπὸ Θεούπολιν
59 Παῦλος μοναχὸς καὶ ἀποκρισιάριος μονῆς τῆς Μάρωνος
60 Σεβηριανὸς πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Ζωόρα τῶν Θερμῶν Σύρος
61 Κασσισᾶς πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Λουκᾶ Σύρος
62 Συμεώνης διάκονος καὶ ἀποκρισιάριος τῆς Ἰακώβου
63 Ἰωάννης διάκονος καὶ ἀποκρισιάριος τῆς Θεοδώρου
64 Στέφανος πρεσβύτερος καὶ ἡγούμενος μονῆς Εὐξηρίου
65 Ἰωάννης πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ κυρίου Θωμᾶ Σύρος
66 Θωμᾶς πρεσβύτερος καὶ ἀρχιμανδρίτης τῆς μονῆς Ἀαρὼν Σύρος
67 Φωτεινός μοναχὸς καὶ ἀποκρισιάριος μονῆς τοῦ ἁγίου Στεφάνου
68 Θεόδωρος διάκονος καὶ ἀποκρισιάριος τῆς ἐκκλησίας Ἐρινδηληνῶν
69 Σέργιος πρεσβύτερος καὶ περιοδευτής
οἱ πάντες πράττοντες ὑπέρ τε ἑαυτῶν καὶ τῶν λοιπῶν,
ἔτι μὴν καὶ τῶν ὑπὸ τοὺς ἁγίους Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν τόπους
M VIII 883 70 Δομετιανὸς πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Μαρτυρίου
71 Ἡσύχιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Θεοδοσίου
72 Κασιανὸς πρεσβύτερος τῆς λαύρας τοῦ μακαρίου Σάββα
73 Κυριακὸς πρεσβύτερος καὶ ἡγούμενος τῶν πυργίων τοῦ Ἰορδάνου
74 Νέσταβος πρεσβύτερος λαύρας τοῦ μακαρίου Φιρμίνου
75 Τερέντιος πρεσβύτερος τῆς Νέας λαύρας
76 Λεόντιος μοναχὸς καὶ ἡγούμενος καὶ τοποτηρητὴς τῆς ἐρήμου πάσης
77 Τραιανὸς πρεσβύτερος τῶν πυργίων τοῦ Ἰορδάνου
78 Πολύευκτος διάκονος τῆς μονῆς τοῦ ἀββᾶ Θεοδοσίου
79 Θεόδωρος διάκονος καὶ μοναχὸς τῆς Νέας λαύρας
80 Κύρικος διάκονος καὶ μοναχὸς τῆς αὐτῆς Νέας λαύρας
81 Ἀναστάσιος διάκονος μονῆς τοῦ μακαρίου Μαρτυρίου
82 Μάμας μοναχὸς τῆς αὐτῆς μονῆς
83 Ἰωάννης μοναχὸς τῆς αὐτῆς μονῆς
84 Ἰουλιανὸς μοναχὸς μονῆς τοῦ ἀββᾶ Θεοδοσίου
οἱ πάντες πράττοντες ὑπέρ τε ἑαυτῶν καὶ τῶν οἰκείων μονοστηρίων καὶ πάντων τῶν ἐν τῇ ἐρήμῳ τῆς ἁγίας πόλεως μοναχῶν
85 Ἰωάννης πρεσβύτερος τῆς πεδιάδος καὶ ὑπὲρ πάντων τῶν ἐκεῖσε μοναχῶν
86 Θεωνᾶς πρεσβύτερος τοῦ Σινᾶ ὄρους καὶ ἀποκρισιάριος τοῦ τε ὄρους καὶ τῆς ἐκκλησίας Φαρὰν καὶ λαύρας Ῥαιθοῦ ὑπὲρ πάντων τῶν ἐκεῖσε μοναχῶν
87 Στρατήγιος διάκονος καὶ μοναχὸς μονῆς τοῦ μακαρίου Ἰωάννου ὑπὲρ πάντων τῶν ὑπὸ Σκυθόπολιν μοναχῶν.

56 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ἐν πρώτῃ τάξει διδαχθῆναι βουλόμεθα παρὰ Θεοδώρου τοῦ περιβλέπτου τὴν αἰτίαν δι' ἣν εἰς ἡμᾶς γέγονε.

57 Θεόδωρος ὁ περίβλεπτος τριβοῦνος νοτάριος καὶ ῥαιφερενδάριος τοῦ εὐσεβεστάτου δεσπότου εἶπε· Δεήσεις ἀνέτειναν οἱ παρόντες εὐλαβέστατοι μοναχοὶ τῷι θειοτάτῳι καὶ

O [= aev, r inde a 40], I [inde a 40]
6 σευκριανὸσ O^{a} 7 post 8 coll. O^{a} 10 *Euxeri Syrus* Λ 12 om. O^{av} 14 ἐρκωδηλινῶν O^{av} 18 ἁγίου καὶ μακαρίου O^{e} 19 ἀρχιμανδρίτης O^{e} ἀποκρισιάριοσ O^{av} 20, 22 λάβρασ O^{v} 28 om. O^{av} κήρυκοσ O^{e} 36 σινᾶ O^{a} ὄρους — ὄρους om. O^{a} 40 παρὰ ΙΛ καὶ παρὰ O 41 εἰσ O^{arv}I πρὸσ O^{e}Λ 43 ἡμῶν δεσπότου O^{e}Λ

καλλινίκωι ἡμῶν βασιλεῖ καὶ ταύτας θεσπίσαι κατηξίωσε τὸ αὐτῶν κράτος λαβόντα με διακομίσαι πρὸς τὴν ὑμετέραν ἁγιωσύνην, ἀγαγεῖν δὲ καὶ τοὺς εὐλαβεστάτους μοναχοὺς ἐφ' ὧι διδασκομένους ὑμᾶς τὰ παρ' αὐτῶν τὰ καλῶς ἔχειν τῆι ὑμετέραι μακαριότητι φαινόμενα κανονικῶς διατυπῶσαι. ταύτας τοίνυν ἔχων μετὰ χεῖρας ἐπιδίδωμι τῆι ὑμετέραι μακαριότητι πρὸς ἀνάγνωσιν.

58 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ἡ παρὰ τῶν εὐλαβεστάτων μοναχῶν ἐπιδοθεῖσα δέησις τῶι εὐσεβεστάτωι καὶ φιλοχρίστωι ἡμῶν δεσπότηι ὑποδεχθεῖσα δήλη γινέσθω. Καὶ λαβὼν Ἀκάκιος ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος ἀνέγνω

59 Βασιλεῖ θεοσεβεστάτωι καὶ πανευσεβεστάτωι αὐτοκράτορι αὐγούστωι Ἰουστινιανῶι δέησις καὶ ἱκεσία παρὰ Μαριανοῦ μοναχοῦ καὶ ἀρχιμανδρίτου μονῆς τοῦ μακαρίου Δαλματίου καὶ ἐξάρχου τῶν εὐαγῶν μοναστηρίων τῆς βασιλίδος καὶ τῶν ταύτης ἀρχιμανδριτῶν καὶ παρὰ τῶν ἐνδημούντων ἐν αὐτῆι Ἱεροσολυμιτῶν καὶ τοῦ ἁγίου ὄρους Σινᾶ καὶ τῆς δευτέρας Συρίας ἀρχιμανδριτῶν καὶ μοναχῶν. Ὁ θεὸς ὁ μέγας καὶ θαυμαστός, δι' οὗ βασιλεῖς βασιλεύουσι καὶ δυνάσται κρατοῦσι γῆς, προγινώσκων τά τε ὄντα τά τε ἐσόμενα, κατανοήσας τὴν θεοφιλῆ καρδίαν τῆς ὑμετέρας εὐσεβείας οἷα μόνος τὰ ἐν ταύταις ἐνθύμια διερευνᾶν δυνάμενος, καὶ ἰδὼν τόν τε προλαβόντα ὑπὲρ τῆς ὀρθῆς πίστεως ζῆλον τήν τε μέλλουσαν γίνεσθαι σπουδὴν ὑπὲρ τῆς νυνὶ κρατούσης ἐν ταῖς ἁγιωτάταις ἐκκλησίαις καταστάσεως ἀνήγαγεν ἐπὶ τὸν βασιλικὸν θρόνον τὴν ὑμετέραν γαληνότητα καὶ τὴν ἐφ' ὑμῖν ἀπροσωπόληπτον αὐτοῦ κρίσιν πᾶσιν ἐπιδεῖξαι βουλόμενος προύθηκεν εἰς φανερὸν τὴν ὑμετέραν ἀγαθὴν ἐργασίαν, ἣν νύκτωρ καὶ μεθ' ἡμέραν ὑπέρ τε τῆς ἐκκλησιαστικῆς εἰρήνης καὶ τιμῆς καὶ σεβάσματος τῆς τε ὀρθῆς πίστεως καὶ τῶν ἁγίων ποιεῖσθε πατέρων ὑπέρ τε τῆς εἰς τὸν πλησίον ἐξ ἀγάπης ἐλεημοσύνης. ἐλεημοσύναις γὰρ καὶ πίστεσιν ἀποκαθαίρεσθαι τὰς ἁμαρτίας μεμαθήκατε. τοῦτο δὴ τὸ τῆς ἀγαθῆς βουλῆς ἔργον διασκεδάσαι προθυμούμενοι Ἄνθιμος καὶ Σεβῆρος καὶ Πέτρος καὶ Ζωόρας καὶ οἱ τὰ ὅμοια τούτοις φρονοῦντες κατὰ πάντα χρόνον καὶ τρόπον θορύβους καὶ ταραχὰς ταῖς ἐκκλησίαις ἐμποιοῦντες οὐκ ἐπαύσαντο, τὴν μὲν γῆν καὶ τὰς πόλεις αἵμασιν ἁγίων καὶ ἑτέρων τινῶν καταμολύνοντες καὶ θορύβοις συσσαλεύοντες, τὸν δὲ ἀέρα καὶ τὰ τῶν ἀκουόντων ὦτα τοῖς κατὰ τῶν ἁγίων ἀναθεματισμοῖς μιάναντες, τὸ δὲ πέρας καὶ εἰς ταύτην τὴν βασιλίδα πόλιν εἰσφρήσαντες καὶ θυσιαστήρια ἐβδελυγμένα καὶ βαπτιστήρια ἀλλότρια ἐξ ἐναντίας τοῦ ἀληθινοῦ θυσιαστηρίου καὶ τῆς ἁγίας κολυμβήθρας κατὰ πολλοὺς καὶ περιφανεῖς τόπους τῆσδε τῆς πόλεως καὶ ἐν προαστείοις καὶ ἰδιωτικοῖς πηξάμενοι οἴκοις τὰ ἄθεσμα πράττοντες ἐν αὐτοῖς οὐ διαλιμπάνουσι τούς τε ἐν τοῖς οἴκοις διαφθείροντες καὶ αἰχμαλωτίζοντες κατὰ τὸν ἀπόστολον τοὺς ἐν αὐτοῖς ἁπλουστέρους πάντοτε μανθάνοντας καὶ μηδέποτε εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν δυναμένους. τὸ δὲ δὴ μεῖζον καὶ ἐγκόλπιον ἡμῶν κακὸν Ἄνθιμος ὁ ποτὲ Τραπεζούντων προχειρισθεὶς ἐπίσκοπος. οὗτος γὰρ ἐκ πολλοῦ τὴν ἰδίαν ἐκκλησίαν καταλιπὼν καὶ πεπλασμένον βίον ἐγκρατείας ἀναλαβὼν καὶ συνδιαιτηθεὶς τοῖς εἰρημένοις αἱρετικοῖς καὶ τὰ ἐκείνοις ἀρέσκοντα ποιῶν τε καὶ λέγων οἷα νοσῶν τὴν ὁμοίαν ἐκείνοις αἱρετικὴν πλάνην ἠδυνήθη διὰ τῆς ἐκείνων

L V 12 — M VIII 886 — Prou. 8, 15. 16 — 2. Tim. 3, 6. 7 — PG 37, 331

O [= aerv], I

2 πρὸσ — ἁγιωσύνην διακομίσαι O^{av} 7 ἡμῶν om. I *suscepta* Λ ὑποδειχθεῖσα OI 8 γενέσθω I 9 inser. δέησις τῶν ἐν κωνσταντινουπόλει μοναχῶν πρὸς Ἰουστινιανὸν βασιλέα I 11 δαλμάτου O^{av} 16 ἐρευνᾶν O^{e} 16/17 προσλαβόντα O^{a} 22 ἐξ om. $O^{e}Λ$ 26 τόπον $O^{e}Λ$ 27 καταμολύναντεσ O^{aev} 28 σαλεύοντεσ $O^{r}I$ 29 δὲ ΙΛ δὴ O 29/30 ἑαυτοὺς εἰσφρήσαντες I 30 ἐβδελλυγμένα O^{e} 32 οἴκοισ $O^{er}I$ οἴκουσ τόποισ O^{av} 36 κακῶν ἡμῶν I τραπεζούντων [τραπεζουντίων I] προχειρισθεὶσ $O^{arv}I$ προχειρισθεὶσ τραπεζουντίων O^{e} 37/38 πεπλασμένον - - καὶ' om. $O^{arv}I$ 39 ἠδυνήθην O^{r}

συνάρσεως τὸν τῆσδε τῆς πόλεως θρόνον ὑφαρπάσαι παρὰ πάντας τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς καὶ κανόνας. ἐπεὶ οὖν πάντες οἱ τῆς καθολικῆς ἐκκλησίας τρόφιμοι περί τε τῆς τοῦ εἰρημένου Ἀνθίμου ἀθέσμου τε καὶ βιαίας προβολῆς περί τε τῶν εἰρημένων ἀνοσίων ἀνδρῶν καὶ τῶι θεῶι καὶ ὑμῖν δι' ὄχλου γινόμενοι οὐκ ἐπαύσαντο, ὑμεῖς δέ, εὐσεβέστατοι, καίπερ δυνάμενοι τούτους ἐξωθῆσαι ὅμως γοῦν κανονικὴν κρίσιν παρὰ τοῦ ἀρχιερέως τῆς πρεσβυτέρας Ῥώμης ἐπί τε αὐτῶι Ἀνθίμωι καὶ τοῖς εἰρημένοις αἱρετικοῖς καλῶς ποιοῦντες ἀκοῦσαι ἠβουλήθητε πειθόμενοι τῶι εἰπόντι ἐπερώτησον τὸν πατέρα σου καὶ ἀναγγελεῖ σοι, τοὺς πρεσβυτέρους σου καὶ ἐροῦσί σοι καὶ τῶι ἀποστόλωι λέγοντι πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε· αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν ὡς λόγον ἀποδώσοντες, ἐξαπέστειλεν ὁ θεὸς τῆιδε τῆι πόλει Ἀγαπητὸν τὸν ὄντως ἀγαπητὸν θεῶι καὶ ἀνθρώποις ἀρχιερέα τῆς πρεσβυτέρας Ῥώμης ἐπὶ καθαιρέσει Ἀνθίμου τε καὶ τῶν εἰρημένων αἱρετικῶν ὥσπερ ποτὲ Πέτρον τὸν μέγαν τοῖς Ῥωμαίοις ἐπὶ καθαιρέσει τῆς Σίμωνος γοητείας. οὗτος οὖν ὁ τίμιος ἀνὴρ τὰ κατὰ τῆς ἐκκλησίας ἀθέσμως τολμώμενα μαθὼν διά τε πλείστων καὶ ἡμετέρων λιβέλλων καὶ ταῦτα αὐτῆι ὄψει παραλαβὼν καθάπαξ οὐδὲ εἰς θέαν τὸν κατὰ τῶν κανόνων μανέντα Ἄνθιμον παραδέξασθαι ἠβουλήθη, ἀλλὰ τοῦτον δικαίως ἐξωθήσας τοῦ τῆσδε τῆς πόλεως ἀρχιερατικοῦ θρόνου συνεπαμυνούσης καὶ συνεπισχυούσης τῆι τε καθολικῆι πίστει καὶ τοῖς θείοις κανόσι τῆς ὑμετέρας εὐσεβείας προεχειρίσατο τῆιδε τῆι ἐκκλησίαι τὸν ἐπὶ ὀρθῆι πίστει καὶ σώφρονι βίωι καὶ σεμνῆι πολιτείαι καὶ τῆι ἐγχειρισθείσηι αὐτῶι τῶν ἀσθενούντων διακονίαι μαρτυρούμενον Μηνᾶν τὸν ἁγιώτατον. ἐπὶ τούτοις πάλιν λιβέλλους περί τε Ἀνθίμου καὶ τῶν εἰρημένων αἱρετικῶν ἐπιδεδωκότες οἵ τε ἐνδημοῦντες τῆιδε τῆι πόλει Παλαιστινοὶ ἐπίσκοποι καὶ τῆς Ἀνατολικῆς διοικήσεως καὶ οἱ τῶν ἄλλων ἀρχιερέων ἀποκρισιάριοι καὶ ἡμεῖς αὐτοὶ ἐξητήσαμεν τὸν μὲν Ἄνθιμον οἷα Τραπεζούντων χρηματίζοντα ἐπίσκοπον ποιῆσαι τὸν ἐγνωσμένον τῶι ἀποστολικῶι θρόνωι λίβελλον καὶ ἐλευθερῶσαι ἑαυτὸν πάσης αἱρετικῆς πλάνης καὶ ἐξορμῆσαι ἐπὶ τὴν Τραπεζουντίων ἐκκλησίαν ἢ τοῦτο μὴ ἀνεχόμενον τελείως κατακριθῆναι καὶ πάσης ἀξίας ἱερατικῆς καὶ ἐνεργείας γυμνωθῆναι, ὥσπερ ὁ ἐν ἁγίοις Κελεστῖνος ἐπὶ Νεστορίωι τῶι δυσσεβεῖ διεπράξατο, ἑαυτὸν τῶι τοιούτωι κρίματι ὑποβαλόντα καὶ τὴν μετὰ τῶν αἱρετικῶν μερίδα ἀσπασάμενον καὶ τούτους τῆς ἰδίας ἐκκλησίας προτιμήσαντα, τοὺς δὲ εἰρημένους αἱρετικοὺς ἢ κανονικῶς προσελθεῖν τῆι ἐκκλησίαι ἢ παύσασθαι λοιπὸν τῶν κατ' αὐτῆς ἐπιβουλῶν καὶ παρασυνάξεων καὶ παραβαπτισμάτων καὶ τῆσδε τῆς πόλεως καὶ πάσης ἑτέρας ἐκδιωχθῆναι ὡς λυμεῶνας καὶ ἐπιβούλους οὐ μόνον τῶν ἁγιωτάτων ἐκκλησιῶν, ἀλλὰ καὶ αὐτῆς τῆς καλῶς ὑφ' ὑμῶν εὐνομουμένης πολιτείας, ἀξιώσαντες ταῦτα αὐτὸν εἰς γνῶσιν ἐνέγκαι τῆς ὑμετέρας εὐσεβείας, ἐφ' ὧι δι' αὐτῆς εἰς πέρας τὰ παρ' ἡμῶν αἰτηθέντα ἀχθῆναι. ταύτας δὲ τὰς δικαίας ἡμῶν αἰτήσεις προφθάνων ὁ εἰρημένος δικαιότατος ἀνήρ, ἐπειδὴ ἀφανῆ ἑαυτὸν κατέστησεν ὁ Ἄνθιμος, συγκατεδίκασε τοῖς εἰρημένοις αἱρετικοῖς πάσης ἱερατικῆς ἀξίας καὶ ἐνεργείας γυμνώσας καὶ παντὸς ἐπισκοπικοῦ καὶ ὀρθοδόξου ὀνόματος ἄχρι μετανοίας τῶν αὐτῶι ἐπταισμένων, ἐξαποστείλας τοὺς ἡμετέρους λιβέλλους τῆι ὑμετέραι εὐσεβείαι ἐφ' ὧι τε τὰ ἐν αὐτοῖς δι' ὑμῶν εἰς πέρας

Deut. 32, 7
Hebr. 13, 17
L V 13
M VIII 887

25 cf. Coll. Auell. 167 p. 619, 22sq. 223 p. 683, 26

O [= aerv], I

4 ἡμῖν O^{eA} 9 ἡμῶν O^{arv} 10 ἡμῶν O^{arv} 13 μέγα O^{r} 15 πλείστων ἑτέρων I λιβέλλων ἡμετέρων $O^{arv}I$ 18 εὐσεβείασ $O^{arv}I$ βασιλείασ O^{eA} 22 παλαιστηνοι O^{e} ut solet 24 ἡμεῖς I ἡμεῖσ τὲ O τραπεζουντίων I χρηματίσαντα O^{e} 26 τὴν τῶν O^{r} 29 ὑποβάλλοντα O^{arv} 31 προελθεῖν O^{r} 34 ἡμῶν O^{rv} 34/35 ἐνέγκαι εἰσ γνῶσιν O^{e} 35—p. 133. 16 ἐφ' ὧι — εὐσεβείας om. O^{a} 36/37 δικαιότατοσ $O^{rv}I$ ὁσιώτατοσ O^{e} 39 ἡμετέρουσ O^{eA} εἰρημένουσ O^{arv}

ἀχθῆναι. συμβὰν δὲ οὕτω παρὰ τοῦ σοφῶς τὰ καθ' ἡμᾶς οἰκονομοῦντος θεοῦ προσελήφθη οὗτος ὁ τίμιος ἀνὴρ καὶ προσετέθη τοῖς πατράσιν αὐτοῦ τὸν ἀγῶνα τὸν καλὸν ἀγωνισάμενος καὶ τὸν δρόμον τελέσας καὶ τὴν πίστιν τηρήσας. ἐνορκοῦμεν οὖν τὴν ὑμετέραν εὐσέβειαν, εἰ καὶ τολμηρόν τι ποιοῦμεν, κατὰ τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ὑπερασπίζοντος τῆς ὑμετέρας τιμίας βασιλείας καὶ πάντα ἐχθρὸν καὶ πολέμιον διὰ τὴν ὑμετέραν ὀρθὴν πίστιν ὑμῖν ὑποτάσσοντος μὴ παριδεῖν τὴν δικαίαν κρίσιν τοῦ εἰρημένου ἁγίου ἀνδρός, ἀλλὰ ταύτην ἐπεξελθεῖν τήν τε ἐκκλησίαν τοῦ θεοῦ καὶ πάντα τὸν κόσμον ἐλευθεροῦντας τῆς λύμης Ἀνθίμου τε καὶ τῶν εἰρημένων αἱρετικῶν. καὶ γὰρ καὶ τοῦ εἰρημένου ὁσίου ἀνδρὸς Ἀγαπητοῦ τῶιδε τῶι βίωι ἐνδημοῦντος μετὰ θεὸν εἰς τὴν ὑμετέραν εὐσέβειαν ἀποβλέποντες ταῦτα πέρας λαβεῖν παρ' ὑμῶν ἐξεδεχόμεθα. τὰ οὖν παρ' ἐκείνου δικαίως καὶ κανονικῶς κεκριμένα πληροῦντες καὶ διὰ γενικῆς ὑμῶν νομοθεσίας ταῦτα κυροῦντες καὶ τοιαῦτα τοῦ λοιποῦ τολμᾶσθαι ἀπαγορεύοντες τὴν μὲν ἐκείνου μακαρίαν ψυχὴν θεραπεύσετε, ἥτις ἐγγύτερον θεοῦ γενομένη, ὅσωι καὶ τοῦ δεσμοῦ τῆς γῆς τοῦ σαρκίου τούτου λέλυται καὶ παρρησίαν ἐκ τῶν οἰκείων ἀγαθῶν ἐκτήσατο ἔργων, πρεσβεύσει ὑπὲρ τῆς εἰρήνης καὶ σωτηρίας τῆς ὑμετέρας εὐσεβείας, ὑμεῖς δὲ σὺν τῶι Δαβὶδ μετὰ παρρησίας πρὸς θεὸν κεκράξετε οὐχὶ τοὺς μισοῦντάς σε, κύριε, ἐμίσησα καὶ ἐπὶ τοὺς ἐχθρούς σου ἐξετηκόμην; τέλειον μῖσος ἐμίσουν αὐτούς, εἰς ἐχθροὺς ἐγένοντό μοι. δέος γὰρ, εὐσεβέστατοι, μὴ διὰ τὴν πολλὴν ἀνοχὴν τὸ τοῦ Ἰσραηλιτικοῦ λαοῦ πάθωμεν καὶ ἡμεῖς ἐν μέσωι ἔχοντες τοὺς ὑπὸ πάσης ἀρχιερωσύνης ἀναθεματισθέντας, ὃς ἐπειδήπερ ἐν μέσωι εἶχεν Ἄχαρ καὶ Ἰωνάθαν τοὺς ἐν γνώσει καὶ ἀγνωσίαι ἑαυτοὺς τῶι ἀναθέματι ὑποβαλόντας, ἐκινδύνευσε πανστρατιᾶι ἀπολέσθαι καίπερ ἀγνοῶν ὅτιπερ ἐν μέσωι εἶχε τὸ ἀνάθεμα. μὴ οὖν ὑπομείνητε, Χριστιανικώτατοι βασιλεῖς, παριδεῖν τὸ τοιοῦτον κακόν, ἀλλὰ χρήσασθε τῶι κατ' ἐπίγνωσιν ὑπὲρ θεοῦ καὶ τῶν αὐτοῦ ζήλωι πληροῦντες τὸ γεγραμμένον λικμήτωρ ἀσεβῶν βασιλεὺς σοφός, ἵνα μετὰ Δαβὶδ καὶ Ἰωσίου καὶ Ἠλίου καὶ Φινεὲς καὶ Ἀγαπητοῦ τῶν μάλιστα ζηλωσάντων ὑπὲρ θεοῦ τὴν μερίδα ἐχόντων ὑμῶν ἐν μὲν τῶι παρόντι ὥσπερ κἀκείνοις ὑποπόδιον τῶν ποδῶν πάντας ὑμῖν τοὺς ἐχθροὺς ὑποτάξηι, ἐν δὲ τῶι μέλλοντι σὺν ἐκείνοις τὴν αἰώνιον βασιλείαν παράσχοι ὁ ἐπαγγειλάμενος καὶ ἐν τούτωι ἑκατονταπλασίονα καὶ ἐν τῶι μέλλοντι αἰῶνι τοῖς ἀγαπῶσιν αὐτὸν ζωὴν αἰώνιον ἀποδιδόναι.

2 Tim. 4, 7 — L V 16 — M VIII 890 — Ps. 138, 21. 22 — Ios. 7, 1 sq. — 1 Reg. 14, 24 sq. — Prou. 20, 20 — Ps. 109, 1 — Mt. 19, 29

Ὑπογραφαί

Μαριανὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης καὶ ἔξαρχος τῶν εὐαγῶν μοναστηρίων τῆς βασιλίδος ταύτης πόλεως σὺν ἅπασι τοῖς εὐλαβεστάτοις ἀρχιμανδρίταις σὺν ἐμοὶ δεηθεῖσι κατὰ συναίνεσιν πάντων ὑπογράψας ἐπέδωκα: —

Ἡσύχιος ἐλέει θεοῦ πρεσβύτερος καὶ μοναχὸς μονῆς τοῦ μακαρίου ἀββᾶ Θεοδοσίου τὸν τόπον ἐπέχων Σωφρονίου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου τῆς αὐτῆς μονῆς καὶ πρώτου πάσης τῆς ἐρήμου Ἱεροσολύμων σὺν πᾶσι τοῖς σὺν ἐμοὶ ἀποσταλεῖσιν ἀρχιμανδρίταις καὶ μοναχοῖς Ἱεροσολυμίταις εἰς τήνδε τὴν βασιλίδα πράττουσι καὶ ὑπὲρ

O [= aerv], I

1 σοφῶς om. O^e οἰκονομοῦντοσ τὰ καθ' ἡμᾶσ O^v 2 ὁ τίμιοσ οὗτοσ O^{rI} καὶ om. O^{rv} 4 εὐσέβειαν O βασιλείαν Λ 7 ταύτη I ὑπεξελθεῖν O^r 9 καὶ² om. I εἰρημένου om. O^e 12 τὰ τοιαῦτα I 15 πρεσβεύει O^{rI} εἰρήνης] εἰρημένησ O^r 16 κεκράξατε O^{av} 17 τοῖσ ἐχθροῖς O^e μῖσοσ τέλειον O^e 18 εὐσεβέστατε O^{erv} 19 ἰσραηλίτου O^{av} 22 πανστρατ| O^e ὅτι O^r 27 ἐκείνοισ O^{rI} 28 ὑποτάξαι O^r παράσχη O^{avI} 31 αἱ ὑπογραφαί O^{av} om. O^{rI} 32. 35 ἐλέω O^{erI} 35 μονῆς om. I ἀββᾶ om. I 38 βασιλίδα πόλιν O^{av}

πάντων τῶν τὴν αὐτὴν ἔρημον οἰκούντων καὶ τὰς τρεῖς Παλαιστίνας ἀρχιμανδριτῶν καὶ μοναχῶν σὺν ἐμοὶ δεηθεῖσιν ὑπογράψας κατὰ συναίνεσιν πάντων ἐπέδωκα: —

Θεωνᾶς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀποκρισιάριος τοῦ ἁγίου ὄρους Σινᾶ καὶ τῆς ἐρήμου Ῥαιθοῦ καὶ τῆς κατὰ Φαρὰν ἁγιωτάτης ἐκκλησίας πράττων ὑπὲρ πάντων τῶν προγεγραμμένων δεηθεὶς καὶ ὑπογράψας ἐπέδωκα: —

Παῦλος ἐλέει θεοῦ διάκονος καὶ ἀποκρισιάριος τῆς εὐαγοῦς μονῆς τοῦ μακαρίου Μάρωνος τῆς ἐξαρχούσης τῶν εὐαγῶν μοναστηρίων δευτέρας Συρίας ἀποσταλεὶς ἐνταῦθα παρὰ τοῦ κοινοῦ τῶν θεοφιλεστάτων ἀρχιμανδριτῶν καὶ μοναχῶν τῆς αὐτῆς χώρας πρὸς τὴν ὑμετέραν εὐσέβειαν μετὰ δεήσεων αὐτῶν, ἃς ἀνέτειναν κατὰ τῶν προγεγραμμένων Ἀκεφάλων, πράττων ὑπὲρ πάντων τῶν εἰρημένων ἀρχιμανδριτῶν καὶ μοναχῶν δεηθεὶς καὶ ὑπογράψας ἐπέδωκα: —

L V 17 M VIII 891 **60** Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν Ἀπίτω μὲν Θεόδωρος ὁ περίβλεπτος ῥαιφερενδάριος πράξας ἐφ' ὧι παραγέγονεν· λεγέτωσαν δὲ οἱ παρόντες εὐλαβέστατοι μοναχοί, εἴ τι πλέον διδάξαι βούλονται.

61 Οἱ εὐλαβέστατοι μοναχοὶ διὰ Μαριανοῦ τοῦ θεοσεβεστάτου ἐξάρχου ἐπέδωκαν διδασκαλικόν, ὅπερ δεξάμενος Χριστόδωρος ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος καὶ σηκρητάριος ἀνέγνω

62 Ἐπιφανίου τοῦ τῆς ὁσίας μνήμης γενομένου ἀρχιεπισκόπου τῆς βασιλίδος ταύτης πόλεως ἐν εἰρήνηι τὸν βίον τελέσαντος Ἄνθιμος ὁ Τραπεζούντων ποτὲ προχειρισθεὶς ἐπίσκοπος τὸ τῆς ἀρχιερωσύνης μέγεθος καὶ ἀξίωμα οὐ πνευματικὴν ψυχῶν ἐπιστασίαν εἶναι λογισάμενος, ἀλλ' οἷόν τινα πολιτικὴν ἀρχὴν καὶ διὰ τοῦτο τῆς μείζονος ὀρεγόμενος, ἤδη ἐκ πολλοῦ καταλιπὼν τὴν ἰδίαν ἐκκλησίαν καὶ καταλαβὼν τήνδε τὴν πόλιν ὥσπερ τις Αἰγυπτιακὴ πληγὴ καὶ τὸν πεπλασμένον βίον τῆς ἐσχηματισμένης αὐτοῦ ἐγκρατείας πᾶσιν ἐπιδεικνύμενος συνδιαιτηθείς τε τοῖς ἐμφωλεύουσιν ἐνταῦθα αἱρετικοῖς οἷα νοσῶν τὴν ὁμοίαν αὐτοῖς αἱρετικὴν μανίαν καὶ τὰ ἐκείνοις ἀρέσκοντα ποιῶν τε καὶ λέγων ἠδυνήθη μοιχικῶς τὸν τῆσδε τῆς πόλεως ἀρχιερατικὸν ὑφαρπάσαι θρόνον παρὰ πάντας τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς καὶ κανόνας. ἐπεὶ οὖν περὶ ἀμφότερα ἁμαρτάνων ἐφάνη περί τε τοὺς θείους κανόνας περί τε τὴν ὀρθὴν καὶ ἀμώμητον πίστιν, εἰκότως ἡμεῖς ἐπιστάμενοι τὴν τῶν θείων κανόνων ἐκδίκησιν ἀρχιερεῦσι μόνον ἁρμόττειν, τὴν δὲ τῆς ὀρθῆς πίστεως οὐ μόνον ἱερωμένοις, ἀλλὰ καὶ παντὶ ὀρθοδόξωι Χριστιανῶι, τὰ περὶ ταύτης μόνης τοῦτον ἐπηρωτῶμεν οὐχ ἅπαξ, οὐ δίς, ἀλλὰ καὶ πολλάκις παρακαλοῦντες αὐτὸν τὰ κατὰ Εὐτυχέος δογματισθέντα παρὰ τῶν ἁγίων πατέρων καὶ μάλιστα παρὰ τῶν ἐν τῆι ἁγίαι καὶ οἰκουμενικῆι συνόδωι τῆι ἐν Χαλκηδόνι συναχθέντων καὶ τοῦ μακαριωτάτου πάπα Λέοντος ὁμολογῆσαι, φαμὲν δὴ τὸ εἶναι ἐν δύο φύσεσι τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀσυγχύτως ἀδιαιρέτως ἀτρέπτως ἀχωρίστως, καὶ συγκαταδικάζειν καὶ ἀναθεματίζειν μετὰ Νεστορίου καὶ Εὐτυχέος καὶ Διόσκορον τὸν γενόμενον Ἀλεξανδρείας ἐπίσκοπον τὸν τῆς ἀσεβείας Εὐτυχέος προστάτην καὶ ἔκδικον τὸν πάντων τῶν κακῶν γενόμενον αἴτιον, κατακριθέντα καὶ ἀναθεματισθέντα μετὰ Νεστορίου καὶ Εὐτυχέος παρὰ τῆς εἰρημένης ἁγίας ἐν Χαλκηδόνι συνόδου. ὃ δὲ διὰ τὴν μελετη-

O [- acrv], l

1 κατὰ τὴν O^{e} καὶ — Παλαιστίνας om. l 3 ἐλέω O^{e}rl Σινᾶ om. O^{r} 6–11 Παῦλος — ἐπέδωκα] καὶ οἱ λοιποί O^{r} om. l 6 ἐλέω O^{e} 12 ἀπήτω O^{av} 12/13 ὁ — ῥαιφερενδάριος θεόδωρος O^{e} 13 ὃ O^{r} παρόντες O^{aev}lΛ πάντες O^{r} 14/15 εἴ τι — μοναχοὶ om. O^{arv}] 16 ἐπέδωκαν] ὅπερ [εἶπερ l] ἐπέδωκαν O^{r}l 16 καὶ om. O^{e}Λ 18 inscr. γράμμα διδασκαλικὸν τῶν ἐν κωνσταντινουπόλει μοναχῶν πρὸς μηνᾶν πατριάρχην καὶ τὴν μετ' αὐτοῦ σύνοδον l 19 τραπεζουντίων l 20 ἐπιμέλειαν O^{e}Λ 25 αὐτοῖς l ἐκείνοις O τε om. O^{a} 30 ἱερωμένης O^{r} 31 ἐπερωτῶμεν O^{av} οὐ OΛ οὐδὲ l 32 τὰ l καὶ τὰ O εὐτυχοῦσ O^{r} 35 ἀδιαιρέτωσ ἀτρέπτωσ ἀσυγχύτωσ O^{e}Λ 36 μετὰ] κατὰ O^{r}

θεῖσαν κατὰ τῆς ἐκκλησίας βουλὴν μύων τοὺς τῆς οἰκείας διανοίας ὀφθαλμοὺς καὶ ἕνα καὶ μόνον σκοπὸν ἔχων ἅπαξ ὑπερβὰς τὴν θύραν τῆς μάνδρας τῶν Χριστοῦ τοῦ θεοῦ ἡμῶν προβάτων τὴν ποίμνην τοῖς λύκοις παραδοῦναι παρεκρούσατο τὰς ἡμετέρας ἐπερωτήσεις καὶ παρακλήσεις καὶ ἐπελάθετο τῆς τε ἀψευδοῦς τοῦ κυρίου περὶ τῆς αὐτοῦ ἐκκλησίας ἐπαγγελίας ὅτι πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς καὶ τοῦ γραφικοῦ Mt. 16, 18 ἐκείνου ὅτι ἣν ἂν βουλὴν βουλεύσησθε, διασκεδάσει κύριος. δι' ὃ ὁ τὸ ἀκαταμά- Ies. 8, 10 χητον τῇι αὐτοῦ ἐκκλησίαι ἀεὶ κατὰ τῶν αἱρέσεων δωρησάμενος κύριος ἐξήγειρε τὸ πνεῦμα τοῦ τῆς πρεσβυτέρας Ῥώμης ἁγιωτάτου ἀρχιεπισκόπου Ἀγαπητοῦ καὶ δὴ θεοῦ βουλήσει καταλαμβάνει τήνδε τὴν πόλιν καὶ μαθὼν διά τε πλείστων καὶ ἡμετέρων λιβέλλων τὰ ἀθέσμως τολμηθέντα κατὰ τῆς τοῦ θεοῦ ἐκκλησίας οὐδὲ εἰς θέαν καθάπαξ παραδέξασθαι ἠβουλήθη τὸν κατὰ τῶν θείων κανόνων μανέντα Ἄνθιμον οὐδὲ συμμετασχεῖν αὐτῶι τῆς θείας κοινωνίας, ἀλλὰ τὴν ὕβριν ἐκδικῶν τῶν τε θείων κανόνων καὶ τῆς καθολικῆς πίστεως, L V 20 τοῦτον μὲν ἐξώθησεν οὗπερ μοιχικῶς καὶ ἀθέσμως ἐπέβη ἀρχιερατικοῦ θρόνου συνεπι- M VIII 894 σχύοντος τῆι τε καθολικῆι πίστει καὶ τῆι τῶν θείων κανόνων αὐθεντίαι τοῦ εὐσεβεστάτου καὶ πιστοτάτου ἡμῶν βασιλέως, τὴν δὲ ὑμετέραν μακαριότητα ἐπί τε ὀρθῆι πίστει ἄνωθεν καὶ ἐξ ἀρχῆς μαρτυρουμένην καὶ ἐπὶ σώφρονι βίωι καὶ σεμνῆι πολιτείαι καὶ τῆι ἐγχειρισθείσηι αὐτῆι τῶν ἀσθενούντων διακονίαι προεχειρίσατο ἀρχιερέα τῆιδε τῆι ἐκκλησίαι κατ' ἐπιλογὴν καὶ ψῆφον τῶν εὐσεβεστάτων ἡμῶν βασιλέων καὶ τοῦ εὐαγοῦς τῆσδε τῆς ἁγιωτάτης ἐκκλησίας κλήρου καὶ τῶν ἐν διαφόροις ἀξιώμασι καὶ ἀρχαῖς τελούντων φιλοχρίστων ἀνδρῶν καὶ ἡμῶν αὐτῶν καὶ πάντων ὁμοῦ τῶν ὀρθοδόξων Χριστιανῶν. ἐπεὶ οὖν ἐχρῆν τὸν ἐπὶ κακοδοξίαι φωραθέντα μηδὲ ἑτέρας ἄρχειν ἐκκλησίας ἢ διδασκάλου ὄνομα περιφέρειν τὸν μηδ' ὅλως μαθεῖν ἐθελήσαντα παρὰ τῶν ἁγίων πατέρων ἅπερ δέοι αὐτὸν τῶι λαῶι παραδιδόναι, εἰκότως καὶ περὶ τούτου λιβέλλους ἐπεδώκαμεν τῶι εἰρημένωι ἁγιωτάτωι Ἀγαπητῶι παρακαλοῦντες ἢ τὸν ἐγνωσμένον λίβελλον τῶι ἀποστολικῶι θρόνωι ἐπιδόντα τὸν εἰρημένον Ἄνθιμον ἐλευθερῶσαι ἑαυτὸν πάσης αἱρετικῆς πλάνης καὶ εἶθ' οὕτως, εἰ δοκιμάσοι ὁ εἰρημένος ὅσιος ἀνήρ, ἐπὶ τὴν Τραπεζουντίων τοῦτον ἐκπεμφθῆναι ἐκκλησίαν ἢ τοῦτο μὴ ἀνεχόμενον τοῖς αἱρετικοῖς συγκατακριθῆναι ἅπαξ τὴν μετ' ἐκείνων συνδιαγωγὴν τῆς αὐτοῦ ἐκκλησίας προτιμήσαντα καὶ ἕτερον ἀντ' αὐτοῦ τῆι εἰρημένηι ἐκκλησίαι προχειρισθῆναι ἐκ πολλοῦ χηρευούσηι ἐπισκόπου. ταύτας τὰς δικαίας ἡμῶν αἰτήσεις προσδεξάμενος ὁ εἰρημένος ὅσιος ἀνὴρ ἐν μὲν συστατικοῖς γράμμασι γενομένοις πρὸς τοὺς ἁγιωτάτους ἀρχιερεῖς ὑπὲρ τῆς ὑμετέρας ἁγιωσύνης, ἐπειδὴ ἀφανῆ ἑαυτὸν κατέστησεν ὁ εἰρημένος Ἄνθιμος, ἐγύμνωσε τοῦτον παντὸς ὀνόματος ἐπισκοπικοῦ τε καὶ καθολικοῦ, τουτέστιν ὀρθοδόξου, ἄχρις ἂν τὰ παραδεδομένα παρὰ τῶν ἁγίων πατέρων πάντα προσομολογήσηι, τοὺς δὲ ἡμετέρους λιβέλλους ἐξαπέστειλε τῶι εὐσεβεστάτωι ἡμῶν βασιλεῖ, ἐφ' ὧι τὰ ἐν αὐτοῖς αἰτηθέντα πέρατι παραδοθῆναι διὰ τῆς αὐτῶν εὐσεβείας. συμβὰν δὲ οὕτω παρὰ τοῦ σοφῶς τὰ καθ' ἡμᾶς οἰκονομοῦντος θεοῦ προσελήφθη οὗτος ὁ τίμιος ἀνὴρ καὶ προσετέθη τοῖς πατράσιν αὐτοῦ πλήρης πνευματικῶν ἡμερῶν ἀληθῶς κατὰ τῶν λύκων Gen. 25, 8

3 ἐκ τοῦ παρακρούεσθαι παρεῖχεν ὑπόνοιαν ὡς εἴη καὶ αὐτὸς ἐκείνοις συγκοινωνῶν O^e in mg. 24 cf. ad p. 132, 25 32 σῆ ἐντεῦθεν ὅτι πολὺν καιρὸν ἦν ἀρχιερατεύων ἐν Κωνσταντινουπόλει Ἄνθιμος, ὥστε οὐδὲν ἀπεικὸς καὶ ἀρχιερεῖς χειροτονῆσαι O^r in mg.

O [= aerv], I

2 καὶ om. O^e τοῦ χῦ τοῦ O^rI 3 τὰσ I τάσ τε O 6 ἂν om. I δι' ὃ ὁ] διότι O^r 7 ἀεὶ om. O^a 9 πλείστων ἑτέρων I 12 τε $O^{aerv}I$ τε ἱερῶν καὶ $O^eΛ$ 13 μὲν om. O^e 14/15 πιστοτάτου καὶ εὐσεβεστάτου $O^eΛ$ 15 δὲ] δι O^r 16 σώφρονι — πολιτείαι $O^{aerv}I$ ὀρθῆ καὶ σεμνῆ πολιτεία καὶ σώφρονι βίω $O^eΛ$ 20 τῶν om. O^{aev} 24 ἐπιδεδώκαμεν O^e 28 διαγωγὴν O^e 33 ἐπισκόπου $O^{aerv}I$ ὀρθοδόξου] πιστοῦ O^rI 34 προσομολογήσει O^v προσομολογήσοι O^{ar} 36 δοθῆναι O^rI αὐτοῦ O^e 37 ὁ τίμιοσ οὗτοσ O^e

Mt. 23, 23 προπολεμήσας τῆς τοῦ ἀρχιποιμένος Χριστοῦ τοῦ θεοῦ ἡμῶν ποίμνης καὶ πιστὸς δοῦλος
Lc. 12, 42 ἐν τῶι πιστευθέντι ταλάντωι ἀποδειχθεὶς καὶ ἀπροσωπόληπτος οἰκονόμος ἑκάστωι ἐν καιρῶι διδοὺς τὸ σιτομέτριον. ἡμεῖς οὖν μετὰ τὴν μακαρίαν ἐκείνου κοίμησιν σύντομον πέρας ἐπιτεθῆναι τοῖς κινουμένοις σπεύδοντες δεήσεις ἀνατεινάμενοι τῶι εὐσεβεστάτωι ἡμῶν βασιλεῖ καὶ τὰ ἐν τοῖς προτέροις λιβέλλοις ἀνακεφαλαιωσάμενοι παρεκαλοῦμεν καὶ ἐνωρκοῦμεν τὴν αὐτοῦ εὐσέβειαν τὴν ἐπὶ τούτοις δικαίαν κρίσιν τοῦ ἐν ἁγίοις Ἀγαπητοῦ πληρῶσαι. ἡ οὖν αὐτῶν εὐσέβεια κἀν τούτωι Χριστιανικῶς κινουμένη καὶ πάντα τὰ εἰς ἐκκλησιαστικὴν κατάστασιν τείνοντα κανονικῶς περαιοῦσθαι βουλομένη τὰς τοιαύτας δεήσεις κατέπεμψε τῆι ὑμετέραι ἁγιωσύνηι, ἐφ' ὧι τὰ δοκοῦντα τοῖς θείοις κανόσιν ἐπὶ τῶι εἰρημένωι Ἀνθίμωι ψηφίσασθαι.

Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος καὶ ἡ ἐνδημοῦσα ἁγία σύνοδος εἶπεν Οἱ παρόντες
L V 21 ὁσιώτατοι ἐπίσκοποι τῆς πρεσβυτέρας Ῥώμης καὶ οἱ θεοφιλέστατοι διάκονοι τῆς ἀποστο-
M VIII 895 λικῆς καθέδρας, ἔτι γε μὴν καὶ οἱ εὐλαβέστατοι νοτάριοι τῆς αὐτῆς ἀποστολικῆς καθέδρας ἐπακούσαντες τῶν ἀναγνωσθέντων περί τε τῶν ἐπιδεδόσθαι λεγομένων λιβέλλων καὶ τῶν συνοδικῶν ἐπιστολῶν τῶν παρὰ Ἀγαπητοῦ τοῦ τῆς ἁγίας μνήμης ὅσα περὶ τούτων ἴσασι, δῆλα ποιεῖν ἀξιούτωσαν.

64 Καὶ ἀνέγνω φωνὴν Μηνᾶς ὁ θεοσεβέστατος ἀναγνώστης τῆς ἀποστολικῆς καθέδρας τῆς πρεσβυτέρας Ῥώμης καὶ νοτάριος σεκουνδοκήριος ἔχουσαν οὕτως

65 Οἱ σεπτότατοι ἐπίσκοποι καὶ οἱ σεβασμιώτατοι τῆς ἀποστολικῆς καθέδρας διάκονοι εἶπον· Ὅ τι παρὰ τοῦ ἐν ἁγίαι τῆι μνήμηι πατρὸς ἡμῶν τοῦ πάπα Ἀγαπητοῦ μοναχοὶ διαφόρων μοναστηρίων δι' ἐπιδοθεισῶν δεήσεων γενέσθαι ἤιτησαν, καὶ εἴ τι παρὰ τοῦ αὐτοῦ πατρὸς ἡμῶν περὶ Ἀνθίμου τοῦ Τραπεζουντίων ποτὲ γενομένου ἐπισκόπου ἐν ταῖς συνοδικαῖς ἐπιστολαῖς ταῖς ὑπὲρ τῆς χειροτονίας τοῦ ἁγιωτάτου Μηνᾶ ἀρχιεπισκόπου ταύτης τῆς βασιλευούσης πόλεως ὥρισται, μετὰ χεῖρας ἔχοντες ἐπιδίδομεν πρὸς ἀνάγνωσιν.

66 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος καὶ ἡ εὐαγὴς σύνοδος εἶπε· Τὰ προισχόμενα ἀναγινωσκέσθω.

67 Καὶ λαβὼν Ἀκάκιος νοτάριος καὶ διάκονος τὰς δεήσεις τάς τε ἐκ προσώπου τῶν μοναχῶν καὶ τὰς ἐκ προσώπου τῶν ἐπισκόπων ἀνέγνω

68 Τῶι δεσπότηι ἡμῶν τῶι ἁγιωτάτωι καὶ μακαριωτάτωι ἀρχιεπισκόπωι τῆς πρεσβυτέρας Ῥώμης καὶ οἰκουμενικῶι πατριάρχηι Ἀγαπητῶι παρὰ Μαριανοῦ πρεσβυτέρου καὶ ἐξάρχου τῶν μοναστηρίων τῆς βασιλίδος καὶ λοιπῶν ἀρχιμανδριτῶν τῆς αὐτῆς καὶ παρὰ τῶν ἐνδημούντων ἐν αὐτῆι Ἱεροσολυμιτῶν καὶ Ἀνατολικῶν ἀρχιμανδριτῶν καὶ μοναχῶν. Τὰ συνέχοντα τὰς ἁγίας τοῦ θεοῦ ἐκκλησίας κατανοοῦντες καὶ τοὺς ἐχθροὺς τοῦ θεοῦ ἐναβρυνομένους κατὰ ταύτης ὁσημέραι ὁρῶντες τὸν τοῦ θείου Γρηγορίου ἐπὶ τοῖς τοιούτοις ὀδυρμὸν εὐκαίρως προοιμιαζόμεθα πρὸς τὴν ὑμετέραν μακαριότητα λέγοντες

O [= aerv], I

2 εὐπροσωπόληπτος O^a 2/3 ἐν καιρῶ ἑκάστω O^{e}IΛ 3 διαδοὺσ O^{av} 4 κεκινημένοις I 5/6 παρακαλοῦμεν O^{e}IΛ 6 ἐνορκοῦμεν O^{aer}IΛ 7 αὐτοῦ O^{e} 10 Ἱεροῖσ καὶ θείοισ O^{e}Λ ψηφίζεσθαι O^{av} 12 οἱ I om. O 13 ἔτι γε — καθέδρασ O^{a} in mg., O^{rv}I om. O^{ae}Λ οἱ I om. O 14 ἐπιδιδόσθαι O^{r} 15 παρὰ] περὶ O^{a} ὁσίασ I 18 νοταρίων O^{e}Λ σεκουνδουκήριοσ O^{r}I 20 ἁγίοισ O 21 δι' I om. O καὶ I om. O 22 τραπεζουντίου O^{v} 22.23 ταῖς ἐπιστολαῖς ταῖς συνοδικαῖς O^{r}I 24 διδόαμεν O^{e} 25 προσισχόμενα O^{rv} 27 ὁ θεοσεβέστατοσ νοτάριοσ O^{e}Λ 28 θεοφιλεστάτων ἐπισκόπων O^{e}Λ 29 inscr. δέησισ τῶν ἐν κωνσταντινουπόλει μοναχῶν πρὸσ ἀγαπητὸν πάπαν ῥώμησ I 31 τῶν λοιπῶν I 34 ἐναμβρυνομένουσ O^{a}

'ἔοικε τὴν παροῦσαν ζωὴν ἐπιλελοιπέναι καθόλου ἡ τοῦ θεοῦ κηδεμονία ἡ ἐν τοῖς ep. 202 [PG
πρὸ ἡμῶν χρόνοις τὰς ἐκκλησίας φυλάττουσα καὶ δὴ τοσοῦτον βεβάπτισται ἡ ἑκάστου 37, 329]
ψυχὴ ὑπὸ συμφορῶν, ὥστε τὰ μὲν ἴδια τῆς ζωῆς ἡμῶν ἀλγεινὰ μηδ' ἐν κακοῖς εἶναι λογίζεσθαι τοσαῦτα καὶ τοιαῦτα ὄντα, πρὸς μόνα δὲ βλέπειν τὰ κοινὰ τῶν ἐκκλησιῶν πάθη, ὧν εἰ μὴ γένοιτό τις ἐν τῶι παρόντι καιρῶι σπουδὴ πρὸς διόρθωσιν, πρὸς παντελῆ ἀνελπιστίαν κατὰ μικρὸν προελεύσεται.'

πολυτρόπως μὲν οὖν ἤδη ταῦτα ἐκδιηγησάμεθα, οὐχ ἧττον δὲ καὶ νῦν τὰς μεγάλας καὶ ἀνυποστάτους ἐπιβουλὰς τὰς κατὰ τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας ἐξαπλώσομεν. οἱ ἀπὸ τῆς μανίας Διοσκόρου καὶ Εὐτυχέος καταγόμενοι 'Αποσχίσται καὶ 'Ακέφαλοι 'οὐκ οἴδαμεν τίνος αὐτοὺς παρακινήσαντος εἰς ἀπόνοιαν, ὥσπερ τινὸς παρρησίας ἐπειλημμένοι τῆι νόσωι ἑαυτῶν ἐμπομπεύουσιν' παρασυνάγοντες καὶ παραβαπτίσματα καινοτομοῦντες, 'ὡς ἐξ ἐπιτροπῆς τοῦτο ποιοῦντες, ὡς καὶ ὄνομα ἐπισκόπων ἑαυτοῖς ἐπιφημίζοντες τοῖς καθ' ἡμᾶς τόποις φανερῶς ἐπιπολάζειν', καὶ ἀδεῶς πάντα τολμῶσιν οὐ κατ' ἐκκλησιῶν μόνων, οὐ κατὰ τῶν τῆς ἐκκλησίας τροφίμων, ἀλλ' ἤδη καὶ κατ' αὐτοῦ τοῦ εὐσεβεστάτου ἡμῶν βασι- M VIII 898
λέως καὶ τῆς ὑμετέρας τιμίας κεφαλῆς, ὡς πεφανέρωται τῆι ὑμετέραι μακαριότητι. τοσαύτη τῶν εἰρημένων ἡ μανία. εὑρόντες γὰρ κατά τινα οἶκον σχῆμα ἔχοντα εὐκτηρίου, ἐν ὧι μοναχοί τινες οἰκοῦσι τῶν τῆς ἐκείνων ἀθεμίτου συμμορίας, τὴν εἰκόνα τοῦ φιλοθέου ἡμῶν βασιλέως τῆι μανίαι τυφλώττοντες τὸ τοῦ πατρὸς αὐτῶν τοῦ διαβόλου πεπράχασιν, L V 24
ὃς μὴ δυνάμενος τῶι κτίστηι, κατὰ τοῦ πλάσματος τὴν αὐτοῦ ἐπιδείκνυται μανίαν. ὁρμήσας γὰρ εἷς ἐξ αὐτῶν ὁ περίφημος ἐν κακοῖς 'Ισαάκιος ὁ Πέρσης ὁ μαγγανείαι τινὶ χρώμενος καὶ ἐξαπατῶν τὰς καρδίας τῶν ἐθελόντων παρ' αὐτοῦ ἐξαπατᾶσθαι καὶ ἐγκλειόμενος εἰς τὰ Βηρίνης ἐπὶ πεντήκοντα ἡμέρας, ὡς οἱ τούτου συμμύσται καὶ ταῦτα ποιεῖν αὐτὸν παρασκευάζοντες πρὸς διαφθορὰν καὶ ἐξαπάτην τῶν ἁπλουστέρων διαφημίζουσιν, ἔτυπτε ῥάβδωι κατὰ τῆς κεφαλῆς τὴν εἰκόνα, ἐπιφθεγγόμενος τινὰ κατὰ τοῦ ὀρθοδόξου βασιλέως ἡμῶν, μᾶλλον δὲ κατὰ τοῦ θεοῦ, δι' ὃν καὶ τὴν εἰκόνα ἔτυπτε, τὰ μήτε ἀκοῆι χωρητὰ μήτε διανοίαι δεκτὰ καὶ κλασθείσης ἐν τῶι τύπτειν τῆς ῥάβδου, ὥσπερ ἐξαπορούμενος τί ἕτερον ἀτιμότερον πράξει εἰς τὴν τοῦ ἀνθρώπου τοῦ θεοῦ εἰκόνα, ἐπελθὼν διεσπάραξε τὴν γεγραμμένην σινδόνα καὶ τὸ παρ' αὐτοῦ διαρραγὲν ἐκ ταύτης πυρὶ παραδέδωκε. τί τοίνυν οὐκ ἂν ἔπραξε κατὰ τοῦ ὀρθοδόξου βασιλέως, εἰ τοῦτον μετ' ἐξουσίας ἐν χερσὶν ἔσχεν ὁ βίαιος οὗτος καὶ ἀλόγιστος ἀνήρ, ὅπου γε τῆς ἐν σινδόνι γραφῆς ἀψύχου οὐκ ἐφείσατο; καὶ δὴ τὸ τοῦ προφήτου πρὸς τὸν θεὸν καὶ πρὸς ὑμᾶς καὶ πρὸς τὸν εὐσεβέστατον ἡμῶν βασιλέα ἀπολεγομένους ἁρμόδιον λέγειν ἕως τίνος κεκραξόμεθα, καὶ οὐ μὴ εἰσα- Habac. 1, 2
κούσητε; βοησόμεθα πρὸς ὑμᾶς ἀδικούμενοι, καὶ οὐ σώσετε; 'εἰ γὰρ οἱ ταῦτα καὶ φρονοῦντες' καὶ ποιοῦντες ὁμοτίμως συνδιάγειν ἡμῖν κατὰ πάντα καιρὸν καὶ τόπον ἐπιτρέπονται, σκοπεῖτε, μακαριώτατοι, 'ὅτι μὴ συμβαινόντων ἡμῶν οἷς ἐκεῖνοι φρονοῦσι', μηδὲ ἀναστελλομένης τῆς τούτων παροινίας τὸ λαβεῖν αὐτοὺς ἐξουσίαν συνάξεως ἢ τὸ συγχωρηθῆναι αὐτοὺς τοιαῦτα τολμᾶν 'οὐδὲν ἕτερόν ἐστιν ἢ ἀληθεστέρους τοῦ καθ' ἡμᾶς δόγματος νομισθῆναι' καὶ ἀδικωτέρους καὶ βιαιοτέρους ἀπεργασθῆναι καθ' ἡμῶν. 'εἰ γὰρ ὡς εὐσεβοῦν-

9sq. 33 sq. signaui etiam ea quae sine nomine ex Gregorio sumpta sunt

O [= aerv], I

5 μὴ $O^{aervI}\Lambda$ μὲν O^{e} γένηται O^{rI} 7 ἐκδιηγησάμεθα I ἐκδιηγησάμενοι O καὶ om. O^{r} 8 ἀνυποστάτους O^{aervI} ἀνυποίστους O^{e} ἐξαπλώσωμεν O^{e} 12 ὡς om. O^{e} 13 καὶ IΛ om. O τολμῶσιν $O^{rI}\Lambda$ τολμῶντες O^{aev} μόνον O^{arI} 15/16 τοσαύτη γὰρ I 16 ἡ om. O^{av} οἶκον $O^{aevv}\Lambda$ τόπον I τόπον οἶκον O^{r} 19 αὐτοῦ] οἰκείαν O^{rI} 20 εἰς om. I Ἰσαάκκιος O^{e} 21 ἐγκλειόμενος scripsi ἐγκαιόμενος $O^{aevI}\Lambda$ ἐκκαιόμενος O^{r} 27 ἀτιμώτερον O^{v} om. O^{e} πράξοι O^{aer} ἐπελθὼν ἀτιμότερον O^{a} 28 σιδόνα O^{r} 29 ἐν χερσὶν om. O^{r} 30 εἶχεν O^{e} 32 βασιλέα ἡμῶν O^{e} ἀπολογουμένους O^{arI} 33 βοησόμεθα — σώσετε om. O^{av} σώσητε O^{er} οἱ] εἰ I τοιαῦτα O^{av} 34 καὶ¹ O^{rI} om. $O^{aevv}\Lambda$ τόπον I τρόπον OΛ 36/37 αὐτοὺς om. I 37 ἡμᾶς O^{a} 38/p. 138, 1 εὐσεβεῖς O^{rI}

τες ἐκεῖνοι διδάσκειν ὡς φρονοῦσι, καὶ κηρύττειν ἐν παρρησίαι τὸ καθ' ἑαυτοὺς ἐπιτρέπονται δόγμα, δῆλον ὅτι κατέγνωσται ὁ τῆς ἐκκλησίας λόγος ὡς τῆς ἀληθείας παρ' αὐτοῖς οὔσης. δύο γὰρ ἐναντίους λόγους περὶ τοῦ αὐτοῦ πράγματος ἀληθεῖς εἶναι φύσιν οὐκ ἔχει', φησὶν ὁ
p. 333 μέγας Γρηγόριος. ἐπειδὴ οὖν ἐκ ταύτης τῆς αἰτίας εἰς πολλοὺς οἴκους τῶν ἐν ὑπεροχῇ
2. Tim. 3, 6. 7 ὄντων εἰσδύνοντες ἄτοπά τινα διαπράττονται αἰχμαλωτίζοντες γυναικάριά τινα σεσωρευμένα ἁμαρτίαις ἀγόμενα ἐπιθυμίαις ποικίλαις πάντοτε μανθάνοντα καὶ μηδέποτε εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν δυνάμενα, ἀλλὰ μὴν καὶ ἐν αὐτοῖς τοῖς ἰδιωτικοῖς οἴκοις καὶ ἐν προαστείοις θυσιαστήρια καὶ βαπτιστήρια ἀντεγεί-
M VIII 899 ροντες τῶι ἀληθινῶι θυσιαστηρίωι καὶ τῇι ἁγίαι κολυμβήθραι πάντων ὁμοῦ κατεφρόνησαν διὰ τὴν ἀπονεμομένην αὐτοῖς προστασίαν παρὰ τῶν ἔν τε τῶι δεσποτικῶι οἴκωι καὶ τῶν ἄλλωι τρόπωι τινὶ δυναστευόντων, μὴ ὑπομείνητε, μακαριώτατοι, 'μὴ χρήσασθαι τῇι συνήθει παρρησίαι εἰς διόρθωσιν τοῦ τοσούτου κακοῦ', ἀλλ' ὥσπερ τὸ πρότερον ἐπὶ 'Ανθίμωι διανέστητε καὶ τὸν διὰ δορᾶς προβάτου περικαλύψαι τὸν λύκον ἐπιχειρήσαντα καὶ ὑπερβῆναι τὴν θύραν τῶν ἐκκλησιαστικῶν θεσμῶν καὶ κανόνων καὶ ληιστρικῶς ἐπιβάντα τῆς τῶν προβάτων μάνδρας ἀπογυμνώσαντες τῆς δορᾶς ἐφ' ἑαυτοῦ ἀπεδείξατε πόρρω που τῆς μάνδρας ἀπελάσαντες, οὕτω καὶ νῦν ἐπαγρυπνήσατε καὶ διδάξατε τὸν εὐσεβέστατον
L V 25 ἡμῶν βασιλέα ὅτι 'οὐδὲν κέρδος αὐτῶι', καθά φησιν ὁ θεῖος Γρηγόριος, 'τῆς λοιπῆς αὐτοῦ περὶ τὰς ἐκκλησίας σπουδῆς, εἰ τὸ τοιοῦτο κακὸν ἐπὶ καθαιρέσει τῆς ὑγιαινούσης πίστεως διὰ τῆς παρρησίας αὐτῶν κατισχύσοι' καὶ συγχωρηθεῖεν ἔτι οὗτοι πρὸς διαφθορὰν τῆς ἐκκλησίας ἐμφωλεύειν τοῖς δεσποτικοῖς οἴκοις καὶ ἰδιωτικοῖς καὶ τὰ ἄθεσμα ἐν τούτοις πράττειν. καὶ ταῦτα μὲν τέως φέρομεν καίπερ ὑπὸ τῶν δεινῶν κατακαμπτόμενοι, εἰ καὶ ἀνύποιστα, ἐλπίδας ἔχοντες εἰς τὸν φιλάνθρωπον θεὸν τὸν καιρῶι εὐθέτωι τὴν ὑμετέραν παρουσίαν ἡμῖν ἀναδείξαντα, ὅτι ὥσπερ Πέτρον τὸν μέγαν τὸν τῶν ἀποστόλων κορυφαῖον τοῖς ἐν 'Ρώμηι ἐπὶ καθαιρέσει τῆς Σίμωνος γοητείας ἐξαπέστειλεν, οὕτως καὶ ὑμᾶς ἐξαποστείλας ἐπὶ καθαιρέσει καὶ ἀποδιώξει τῆς Σεβήρου καὶ Πέτρου καὶ Ζωόρα καὶ τῶν τὰ ὅμοια αὐτοῖς φρονούντων καὶ παντοίαις περιθαλπόντων τιμαῖς πρὸς ἀτιμίαν θεοῦ βλασφημίας τε καὶ ὑπερηφανίας δύναμιν ὑμῖν ἐπιχορηγήσει συνεπισχύοντος ὑμῖν καὶ τοῦ πιστοτάτου καὶ θεοφυλάκτου ἡμῶν βασιλέως τούτους ἐξελάσαι πάσης ἐκκλησίας καὶ πόλεως ὡς ἐπιβούλους καὶ λυμεῶνας οὐ μόνον τῶν ἁγιωτάτων ἐκκλησιῶν, ἀλλὰ καὶ τῆς πολιτείας αὐτῆς. πρὸς γὰρ τὴν αὐτοῦ κακίαν ἐπιτήδεια ὄργανα εὑρὼν τούτους ὁ μισόκαλος πᾶσαν ἀνάστατον πεποίηκε τὴν οἰκουμένην καὶ αἵμασιν ἁγίων τὴν γῆν κατεμόλυνε καὶ πόλεις σφαγαῖς καὶ θορύβοις συνετάραξεν. ἐξελάσετε οὖν τούτους, εὖ ἴσμεν, εἰ τὸν εὐσεβέστατον ἡμῶν βασιλέα καὶ τοὺς τούτου φιλοχρίστους ἄρχοντας διδάξετε ὡς κοινωνοῦσι
Ios. 7, 1 sq. τῶι ἀναθέματι ἐν μέσωι ἔχοντες τὸ ἀνάθεμα, ὥσπερ ὑπέδειξεν ἡμῖν ἡ παλαιὰ γραφὴ ἐπὶ
1. Reg. 14, 24 sq. Ἄχαρ καὶ Ἰωνάθαν τοὺς ἐν γνώσει καὶ ἀγνωσίαι ὑποπεσόντας τῶι ἀναθέματι καὶ ταῦτα τῶν κινδυνευσάντων συναπολέσθαι τούτοις ἀγνοούντων ὅτι ἐν μέσωι αὐτῶν ἦν τὸ ἀνάθεμα, ὑπομνήσετέ τε τὸ φιλόθεον αὐτοῦ κράτος προσαγαγεῖν τῶι θεῶι καὶ τοὺς παρ' αὐτῶν τῆς ὀρθῆς ἀπαχθέντας πίστεως ἢ τοῦτο μὴ ἀνεχομένους τοὺς κατὰ τῆς ἐκκλησίας ἐπιβούλους ἀπώσασθαι. ὡς γὰρ οὐ διέλαθε τὴν σὴν μακαριότητα, καίπερ τοῦ εὐσεβεστάτου

O [= aerv], I

2 ὁ] τὸ I λόγος om. OrI 3 ἀληθεῖσ εἶναι περὶ — πράγματοσ Oe 4 ἐν om. Oarv 5 τινα Oe om. OarvI 7 ἐλθεῖν om. Or 8 προαστείοισ εἰσ Or 8/9 ἀνεγείροντεσ Oa 10 παρά τε τῶν ἐν τῶ I 11 χρήσασθε Or 15 ἑαυτοῦ I ἑαυτὸν O 18 τοιοῦτον OeI καθαιρέσεωσ Ov 19 διὰ — διαφθορὰν] καὶ OrI οὕτωσ Oav 20 ἐμφωλεύει I οἴκοις καὶ ἰδιωτικοῖς IΛ καὶ ἰδιωτικοῖσ οἴκοις Oe καὶ ἰδιωτικοῖσ Oarv 20/21 πράττει I 22 ἐν καιρῶ Or 23 ὑμῖν Ov τὸν² om. OrI 26 τούτοισ Ov 27 χορηγήσει Oarv 28 πάσησ ἐξω Oe 31 ἐποίησε Oav 32 τὰσ πόλεισ I καὶ om. Oav 32 ἐξελάσατε OerIΛ 33 διδάξατε Or διδάξητε Oe 37 ὑπομνήσητέ Oev

ἡμῶν βασιλέως κελεύσαντος μήτε παρασυνάξαι μήτε παραβαπτίσαι, Ζωόρας ὅμως γοῦν τῆς τοιαύτης καταφρονήσας κελεύσεως κατεβάπτισεν ἐν τῇι τοῦ πάσχα ἡμέραι οὐκ ὀλίγους, d. 23. m. Mart. a. 536
ἐν οἷς ἦσαν καὶ παῖδες τῶν τῶι δεσποτικῶι παραμενόντων οἴκωι, ὡς κατέθετο ὁ ἀπ' αὐτῶν δυνηθεὶς θεοῦ χάριτι ἐκσπασθῆναι καὶ εἰς τὴν τοῦ θεοῦ ἐκκλησίαν ἐπαναδραμεῖν. καὶ
ἐν ἄλλοις δὲ τόποις καὶ οἴκοις τῶν ἐν ὑπεροχῆι ὄντων τὰ αὐτὰ τούτοις πέπρακται. ἀλλὰ M VIII 902
εἰ οὗτοι μόνοι τὴν τοῦ θεοῦ ἐκκλησίαν διετάραττον καὶ παρελύπουν, ἐστήσαμεν ἂν μέχρι 6
τούτων τὸν ὀδυρμόν, ἀλλ' ἐπειδὴ καὶ ὑπὸ τῶν δοκούντων ἐντὸς ταύτης εἶναι καὶ εἰς ἀρ-
χιερέων τάξιν τελεῖν παντοίως ἐκπορθεῖται, καιρὸς τὸ τοῦ ψαλμοῦ περὶ αὐτῶν εἰπεῖν εἰ ὁ ἐχ- Ps. 54. 13—15
θρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν, καὶ εἰ ὁ μισῶν με ἐπ' ἐμὲ ἐμεγαλορρημόνη-
σεν, ἐκρύβην ἂν ἀπ' αὐτοῦ· σὺ δέ, ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου καὶ 10
γνωστέ μου, ὃς ἐπὶ τὸ αὐτὸ ἐγλύκανάς μοι ἐδέσματα, ἐν τῶι οἴκωι τοῦ
θεοῦ ἐπορεύθημεν ἐν ὁμονοίαι. τοιοῦτοι πεφήνασιν ἔνιοι τῶν ἐνδιατριβόντων
κατὰ τὴν μεγάλην καὶ βασιλίδα καὶ πρώτην τῶν πόλεων, ὄνομα μὲν ποιμένων ἐπιφερόμενοι,
τὸ δὲ ὅλον λύκοι ἅρπαγες, ὧν μάλιστα ὑπάρχει Ἄνθιμος ὁ Τραπεζούντων καὶ ἄλλοι ἄλλων L V 28
πόλεων. οὗτος γὰρ καὶ οἱ ὅμοιοι τούτωι ἐξ αἱρετικῶν Ἀκεφάλων ὄντες πρὸς μικρὸν 15
ὑποκρινάμενοι τὴν ὀρθοδοξίαν ταῖς ἐκκλησίαις εἰσέφρησαν ὥσπερ τινὲς Αἰγυπτιακαὶ μάστι-
γες. οἵτινες μηδαμῶς ταῖς ἰδίαις ἐκκλησίαις σχολάζειν ἐθέλοντες, τοῦτο μόνον καλῶς φρο-
νοῦντες, ἵνα μὴ λυμαίνωνται τὰς κατακριθείσας αὐτοῖς ἐκκλησίας, τὸ ἕτερον κακῶς ἐφρόνη-
σαν ἐν πλήθει διάγειν τοσούτωι ἐν τῇι βασιλευούσηι, ἵνα πολλοὺς τῶι ἰδίωι βαράθρωι
συγκατασπάσωσι. ἐξασκήσας γὰρ ὁ εἰρημένος Ἄνθιμος οὐ τὴν εὐαγγελικήν, ἀλλὰ τὴν 20
πεπλασμένην ζωήν, ὡς τὸ τέλος ἔδειξεν, ἀπολιπὼν τὴν ἐμπιστευθεῖσαν αὐτῶι ἐκκλησίαν
Τραπεζούντων ἐπέβη τῆσδε τῆς πόλεως πρὸ τούτων φανερῶν ἐνιαυτῶν ἐκπομπεύων πᾶσι
τὴν ἐσχηματισμένην τῆς οἰκείας πολιτείας ἐγκράτειαν καὶ πορισμὸν ἐκ τούτου ποιούμενος 1. Tim. 6, 5
τὴν εὐσέβειαν. συναρπάσας οὖν διὰ ταύτης ἠδυνήθη καὶ τοῖς βασιλείοις εἰσδῦναι ἐκεῖθεν

---

16 ὑπεκρίνετο τὴν εὐσέβειαν καὶ ὡς ὀρθόδοξος χειροτονηθεὶς Τραπεζοῦντος ὕστερον ὡς εὐσεβὴς ἅμα καὶ ἐγκρατὴς καὶ τὴν μεγαλόπολιν προύπιεν. ὡς μὲν οὖν παρὰ κανόνας προχειρισθέντα εἰς Κωνσταντινούπολιν κατὰ μετάστασιν ἢ μετάβασιν καὶ ἄνευ ἐξετάσεώς τε καὶ κρίσεως ὁ μακάριος Ἀγαπητὸς αὐτὸν τοῦ θρόνου ἀπεσκοράκισεν, ὡς δὲ ὑπόνοιαν ἔχοντα φρονεῖν τὰ τῶν αἱρετικῶν (καὶ γὰρ ὑπομνησθεὶς κατ' αὐτῶν οὐδὲν ἐφρόνησεν ὑγιὲς εἰς εὐσέβειαν οὐδὲ κεκίνητο κατ' αὐτῶν), λιβέλλους ἀπήιτουν αὐτὸν κατὰ τῆς αἱρέσεως, ἵνα ἀποτριψάμενος τὴν ὑπόνοιαν πάλιν τὸν Τραπεζοῦντος θρόνον κληρώσηται· εἰ δὲ μή, κἀκεῖνον προσαπολέπειε καὶ ὡς αἱρετικὸς ἀναντιρρήτως λογίζοιτο. τάχα δὲ καὶ τὸ ἐξ αἱρετικῶν εἶναι καὶ Ἀκεφάλων ἐκ τοῦ μὴ εὑρεθῆναι καὶ πρώην καὶ μετὰ ταῦτα ὑπονενόηται. ἔλεγχος γὰρ αὐτοῦ φανερὸς τῆς αἱρέσεως οὐχ εὑρίσκεται. διὰ μόνην ἄρα τὴν παρὰ κανόνας ἀπὸ ταπεινοτέρου θρόνου ἐφ' ὑψηλότερον μετάστασιν καὶ ἄνευ κρίσεως τῶν τῆς Κωνσταντινουπόλεως ἀπελήλατο καὶ οὐ διὰ τὴν αἵρεσιν. εἰ γὰρ διὰ ταύτην κατεβιβάσθη, πάντως καὶ τῆς Τραπεζοῦντος αὐτὸν ἔδει ἀπελαθῆναι καὶ μὴ διὰ λιβέλλων δόσεως αὐτὴν ἐπιτρέπεσθαι, ὥσπερ καὶ εἰ μὴ ὁ τῆς μεταστάσεως κανὼν διεκώλυεν, ἔδει τὴν Κωνσταντινούπολιν ἔχειν δόντα λιβέλλους οἵους ἀπηιτεῖτο καὶ ἐπὶ τῆι τῆς Τραπεζοῦντες ἐκκλησίαι, καὶ ἀποτριψάμενον τὴν ἀσέβειαν. ὅτι δὲ οὐχ ὡς αἱρετικὸς ἁπλῶς, ἀλλ' ὡς ὑπόνοιαν ἔχων αἱρετικοῦ ἐνεκαλεῖτο, δηλοῖ μὲν καὶ τὸ ἐπιτρέπεσθαι πάλιν τὴν Τραπεζοῦντος, δηλοῖ δὲ καὶ ὁ συνοψίσας τὰς συνόδους ἁπάσας [L V 275 M VIII 1162] Μανιχαίων λέγων αὐτὸν δεδωκέναι ὑπόνοιαν, ὥστε ἐξ ὑπονοίας οὐκ ἂν οὐδὲ τοῦ τῆς Κωνσταντινουπόλεως ἐδεδίωκτο, εἰ μὴ τοῖς περὶ μεταστάσεως κανόσι προσέκρουσεν: — O^c in mg.

O [aerv], I
1 ὅμως om. O^{av} 2 οὐκ ὀλίγους ἐν τῇ τοῦ πάσχα ἡμέρα O^a 5/6 ἀλλ' ἀεὶ $O^eΛ$ ἀλλὰ καὶ εἰ O^rI 6 τὴν ἐκκλησίαν τοῦ θῦ O^r 7 τὸ ἐντὸς O^r 8 ὅτι εἰ I 11 γνῶστα O^v 12 διατριβόντων $O^{av}I$ 13 τὴν μεγάλην — πόλεων $O^eΛ$ κωνσταντινούπολιν $O^{arv}I$ 14 τραπεζοῦντος O^e τραπεζουντίων I 16 εἰσέφρησαν ἑαυτοὺς I 17 μηδαμῶς om. O^{av} ἐθέλοντες σχολάζειν O^e μὴ σχολάζειν O^a corr. μόνω O^v 18 λυμαίνωνται — ἐκκλησίας $O^{arv}I$ τὰς κατακριθείσας αὐτοῖς λυμαίνωνται $O^eΛ$ 19/20 συγκατασπάσωσι τῶ — βαράθρω O^e 20 ἐγκατασπάσωσιν I 21 ἐκκλησίαν αὐτῶ O^e 22 τῶν τραπεζοῦντων O^e τραπεζοῦντος O^rI 24 ἐκεῖθεν εἰσδύναι O^e

ὥσπερ ἐπαύξειν προσδοκῶν τὴν ὕπουλον τῆς οἰκείας ζωῆς ὑπόληψιν καὶ συνδιαιτηθεὶς ἐπὶ πολλοὺς χρόνους τοῖς ἐμφωλεύουσιν ἐνταῦθα αἱρετικοῖς καὶ τὰ ἐκείνοις κεχαρισμένα καὶ πράττων καὶ λέγων οἷα νοσῶν τὴν ὁμοίαν αὐτοῖς αἱρετικὴν μανίαν, ἐπειδὴ ἐν ἐσχάτοις διακείμενον ἐθεώρησε τὸν τῆς ὁσίας μνήμης Ἐπιφάνιον, μηχανᾶταί τι ὅπερ ἄντικρυς τὸν αὐτοῦ διεφθαρμένον ἤλεγξε σκοπόν. ὥσπερ γὰρ ἐπειγόμενος πᾶσι παραστῆσαι τῆς μακρᾶς αὐτοῦ ἐνταῦθα προσεδρίας τὸν δόλον καὶ τὸ πολλοῖς ἀπορούμενον καὶ τοῖς συνετωτέροις μόνον ὑποπτευόμενον εἰς φανερὸν καὶ ἄκων ἐνέγκαι ἐξεβιάσθη· πρὸ πολλοῦ γὰρ προὔπινε τὴν μοιχικὴν ἁρπαγὴν τῆς βασιλίδος ἐκκλησίας. τοῦτο οὖν ἠδυνήθη διὰ τῆς ἐκείνων συνάρσεως καὶ τὸν εὐαγῆ τῆσδε τῆς πόλεως θρόνον ὑφαρπάσαι καὶ εἰς τοσαύτην διοίκησιν προαχθῆναι τῆς ἰδίας ἀμελήσας ἐκκλησίας καὶ χήραν καὶ ἄνανδρον μέχρι τοῦδε ταύτην καταλιπών, ἐξ οὗ καὶ τὸν δόλον τῆς πεπλασμένης πολιτείας προφανῆ πᾶσιν ἀπέδειξεν. μικρᾶς γὰρ ἀντέχεσθαι ἐκκλησίας ὑπερηφανήσας εὐθὺς εἰς τοσοῦτον ἀσύγκριτον ἐκείνης ἐκκλησίαν ἑαυτὸν ἐπέδωκεν ὡς ἱκανὸν ὄντα ταύτης ἐπιμελεῖσθαι. ἐπειδὴ οὖν δικαίως οὗτος ἐπιτετίμηται παρ' ὑμῶν καὶ ἐκβέβληται τοῦ θρόνου τῆς βασιλίδος ταύτης πόλεως τοῦ πιστοτάτου ἡμῶν βασιλέως τὴν δικαίαν ὑμῶν ἐπὶ τούτωι ἀγανάκτησιν προσδεξαμένου καὶ συνεπαμύναντος τοῖς τε θείοις κανόσι καὶ τῆι καθολικῆι πίστει, οὐ βούλεσθε δὲ
Lc. 5. 32 τὴν παντελῆ τούτου ἀπώλειαν ὡς τὸ ἐπιστρέψαι αὐτόν (μιμεῖσθε γὰρ Χριστὸν τὸν θεὸν ἡμῶν τὸν ἐλθόντα καλέσαι οὐ δικαίους ἀλλ' ἁμαρτωλοὺς εἰς μετάνοιαν καὶ οὕτως πατρικοῖς
M VIII 903 σπλάγχνοις, εἰ ἐπιγνοὺς τὴν οἰκείαν ἁμαρτίαν ἐπιστρέψει, προσδέχεσθε), ὁρκίζομεν τὴν ὑμετέραν μακαριότητα, εἰ καὶ τολμηρόν τι ποιοῦμεν, κατὰ τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος καὶ τοῦ κορυφαίου τῶν ἀποστόλων Πέτρου καὶ τῆς σωτηρίας καὶ νίκης τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως μὴ περιιδεῖν τοὺς θείους κανόνας ὑπὸ τούτου καταπατουμένους μηδὲ περιφρονουμένην παρ' αὐτοῦ τὴν παραδοθεῖσαν αὐτῶι ἐκκλησίαν, ἀλλ' ἐξακολουθοῦσαν ἐν ἅπασι τοῖς πρὸ αὐτῆς διαλάμψασιν ἐν τῶι ἀποστολικῶι ὑμῶν θρόνωι πρᾶξαι ἐπ' αὐτῶι
L V 29 ἔτι καὶ νῦν κατὰ τῆς τῶν κανόνων αὐθεντίας νεανιευομένωι καὶ προτιμήσαντι τὴν μετὰ τῶν εἰρημένων αἱρετικῶν συνδιαγωγὴν τῆς ἰδίας ἐκκλησίας, ἅπερ ὁ ἐν ἁγίοις Κελεστῖνος ἐπὶ Νεστορίωι τῶι δυσσεβεῖ φαίνεται διαπραξάμενος. προθεσμίαν αὐτῶι παρέχοντες ὥσπερ οὖν κἀκεῖνος Νεστορίωι, ἧς ἐντὸς ἐὰν μὴ ἀπαντήσας τὸν εἰρημένον λίβελλον τῆι ἀποστολικῆι ὑμῶν καθέδραι ἐπιδῶι τῆι τε ὑμετέραι μακαριότητι καὶ τῶι ἁγιωτάτωι τῆς βασιλίδος ἀρχιεπισκόπωι καὶ τῆς αἱρετικῆς νόσου ἑαυτὸν ἀπαλλάξηι καὶ ἐπὶ τὴν ἐμπιστευθεῖσαν αὐτῶι τῆς Τραπεζουντίων ἐξορμήσηι ἐκκλησίαν, ὁρίσατε, ἁγιώτατοι, ἀλλότριον μὲν αὐτὸν εἶναι καὶ γυμνὸν πάσης ἀρχιερατικῆς ἀξίας τε καὶ ἐνεργείας τῶι κρίματι ὑποβαλόντα ἑαυτὸν τῶν εἰρημένων αἱρετικῶν καὶ τὴν μερίδα τούτων ἀσπασάμενον, ἕτερον δὲ ἀντὶ τούτου τῆι ἐκκλησίαι Τραπεζούντων προχειρισθῆναι. ἐπειδὴ δὲ οὐ μόνον οὗτος, ἀλλὰ καὶ ἕτεροι ἐπίσκοποί τε καὶ κληρικοὶ καὶ ἀρχιμανδρῖται εὐαρίθμητοι ἐπιβουλαῖς χρώμενοι κατὰ τῆς τοῦ θεοῦ ἐκκλησίας καὶ διὰ τοῦτο καὶ μόνον τῆιδε τῆι πόλει ἐνδιατρίβοντες ταραχὰς

O [= aervv], I

1 ὑπόληψιν τῆς — ζωῆς O^{r} 2 τοῖς I καὶ τοῖσ O καὶ: om. $O^{aevΛ}$ 3/4 τὸν — ἐπιφάνιον ἐν ἐσχάτοις ἐθεώρησε διακείμενον O^{e} 5 διήλεγξε διεφθαρμένον O^{e} 5—6 τῆσ μακρᾶσ — δόλον πᾶσι παραστῆσαι O^{rI} 5 μικρᾶσ O^{av} 6 ἐνταῦθα om. O^{a} αὐτοῦ ἐνταῦθα O^{rvI} ἐνταῦθα αὐτοῦ O^{e} προσεδρείας O^{e} παρεδρίασ O^{rI} προεδρίασ O^{av} καὶ τὸ om. I 7 προύτινε O^{v} προύτεινε O^{a} 9 θρόνον τῆσδε ἁρπάσαι τῆς πόλεως O^{e} 10 ταύτην om. O^{av} 11 καὶ om. I πεπλανημένησ O^{v} 12/13 ἐκκλησίαν ἐκείνης O^{e} 13 ἐκκλησίασ θρόνον O^{rI} ἑαυτῶ O^{v} ἐπεὶ O^{r} 14 ἡμῶν O^{r} 16 συνεπαμύνοντοσ O^{av} 17 ὡς] εἰσ I ἐπιστρέψαι καὶ ζῆν O^{rI} μιμεῖσθαι O^{r} 18 εἰς] εἰ O^{r} οὕτως O^{rI} πάντωσ $O^{aevΛ}$ 19 προσδέχεσθαι O^{r} τοῦτον προσδέχεσθε I 20 ὑμῶν O^{r} ὁμοουσίου καὶ ἁγίασ O^{r} 23 ἐξακολουθήσαντα O^{av} 24 αὐτοῦ O^{av} 26 αἱρετικῶν om. O^{r} 27 παρέχοντεσ αὐτῶ O^{r} αὐτῶ παρέχοντασ I 30 ἐπὶ om. I 31 τῆσ O^{rvI} τὴν O^{a} om. O^{e} τραπεζοῦντοσ O^{e} ἐκκλησίαν ἐξορμήση O^{e} 32 ὑποβάλλοντα O^{r} 34 τραπεζουντίων O^{eI} δὲ om. O^{av}

παρέχειν καὶ ταύτηι καὶ ταῖς ἁπανταχοῦ ἐκκλησίαις κατ' οὐδένα τρόπον παραιτοῦνται, δεόμεθα καὶ τοὺς τοιούτους ἅπαντας παρ' ὑμᾶς ἀχθῆναι καὶ εὐθύνας ὑποσχεῖν τὰς τοῖς κανόσι πρεπούσας, δηλονότι καὶ ἐπὶ τοῦ προειρημένου Ἀνθίμου, καὶ τούτων δὲ πάντων γρηγορούσης τῆς δικαιοκρισίας τῶν παρ' ὑμῶν καλῶς φυλαττομένων κανόνων, ἵνα μικρὸν ἀναψύξηι ἡ τοῦ θεοῦ ἐκκλησία τούτων ἐλευθερουμένη καὶ μάθωσιν οἱ τῆι ποιμαντικῆι καὶ τῶι κλήρωι προσελθεῖν τούτωι τῶι τρόπωι βουλόμενοι ὡς οὐκ εἰς τέλος παρασιωπήσεται κύριος, ἀλλ' ἐπαγρυπνήσει ἐπὶ τοὺς τοιούτους ποιμένας, ἐφ' οὓς κατὰ τὸν προφήτην καὶ Zach. 10, 3 παρωξύνθη ὁ θυμὸς αὐτοῦ. οὗτοι γὰρ οὗτοι ποιμαίνοντες οὐ τὰ πρόβατα, ἀλλ' ἑαυτοὺς καὶ βδελυσσόμενοι κρίμα καὶ πάντα τὰ ὀρθὰ διαστρέφοντες παρ' οὐδὲν ἔθεντο τὴν κατὰ τῆς ἐκκλησίας ἐπιβουλὴν καὶ τὴν κατὰ τῶν ἁγίων πατέρων βλασφημίαν. ἣν ἐκδικοῦντες, μακαριώτατοι, προσδέξασθε τὴν ἡμετέραν ἱκεσίαν καὶ τὴν παρὰ τοῦ θεοῦ δοθεῖσαν ὑμῖν ἐξουσίαν ἐπ' αὐτοῖς κινήσαντες καθαρίσατε τὴν τοῦ θεοῦ ἐκκλησίαν τῶν λύκων ἐπαφέντες αὐτοῖς οὐ τὴν ποιμαντικήν, ἀλλὰ τὴν παιδευτικὴν ὑμῶν ῥάβδον. κἂν γὰρ μετανοεῖν ἐπαγγείλωνται, ἡ προλαβοῦσα αὐτῶν ζωὴ ἄλλοτε ἄλλως τοῖς καιροῖς καὶ οὐ τῆι ἀληθείαι συμμεταβαλλομένη πιστεύεσθαι τὰ ποίμνια τούτοις οὐκ ἐπιτρέπει. τούς γε μὴν τὴν τοῦ θεοῦ ἐκκλησίαν ἀρνησαμένους καὶ ἔξω ταύτης δικαίως καταστάντας αἱρετικοὺς Σεβῆρον καὶ Πέτρον καὶ Ζωόραν καὶ τοὺς τὰ ὅμοια τούτοις φρονοῦντας, ἐφ' οἷς τὴν ὑμετέραν κρίσιν ἐξεδέχετο ὁ εὐσεβέστατος βασιλεύς, ἤδη κατακεκριμένους ὑπό τε τοῦ ἀποστολικοῦ ὑμῶν θρόνου καὶ τῶν ἄλλων πατριαρχικῶν θρόνων καὶ πάσης ἀρχιερωσύνης μὴ ἀνεχομένους κανονικῶς τῆι τοῦ θεοῦ προσελθεῖν ἐκκλησίαι ἐξελάσαι παντὸς οἴκου δημοσίου τε καὶ ἰδιωτικοῦ ἀξιώσατε συμψήφου ὑμῖν γινομένου ὑπὲρ τῆς τῶν ἐκκλησιῶν εἰρήνης καὶ τοῦ M VIII 906 εὐσεβεστάτου ἡμῶν βασιλέως, ὥι πᾶσα σπουδὴ καὶ φροντὶς νύκτωρ τε καὶ μεθ' ἡμέραν περὶ ταύτης πρὸ τῶν ἄλλων γίνεται, καὶ παῦσαι πᾶσαν ταραχὴν ἐπιγινομένην ταῖς ἐκκλησίαις παρ' αὐτῶν καὶ πᾶσαν αὐτῶν ἑτεροδιδασκαλίαν συνιδεῖν τε, μακαριώτατοι, καὶ προτρέψαι τὸν φιλόθεον ἡμῶν δεσπότην, ἐφ' ὧι νομοθετῆσαι ὥσπερ τὰ Νεστορίου τοῦ δυσσεβοῦς, οὕτω καὶ τὰ Σεβήρου τοῦ φρενοβλαβοῦς ψυχοφθόρα συγγράμματα βλασφημοῦντα εἴς τε τὴν ἐν Χαλκηδόνι ἁγίαν σύνοδον καὶ τὸν τόμον τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Λέοντος πυρὶ παραδοθῆναι. διὰ γὰρ τούτων ἀμφίβολον τὴν πίστιν ἐν L V 32 ταῖς τῶν ἁπλουστέρων ψυχαῖς ποιεῖν ἐσπούδακε καὶ μυκτηρίζεσθαι παρὰ τοῖς ἔθνεσι τὸ μέγα καὶ σεπτὸν ὄνομα τοῦ Χριστιανισμοῦ πεποίηκε. καὶ γὰρ τούτου χάριν εἴς τε τὴν Ῥωμαίων πρὸς ὑμᾶς ἐξαπεστείλαμεν, καὶ τὴν ὑμετέραν δὲ εὐκταίαν εὐαγγελισθέντες παρουσίαν ἐξεδεξάμεθα ταύτην, τοιαύτας παρὰ τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως ὑποσχέσεις δεξάμενοι ὅτι τὰ παρ' ὑμῶν ἐπ' αὐτοῖς κανονικῶς ψηφιζόμενα σπουδάσει ἡ αὐτῶν εὐσέβεια παντὶ τρόπωι πέρατι παραδοῦναι καὶ τῆς χρονίας τούτων ταραχῆς πάντα τὸν κόσμον λοιπὸν ἐλευθερῶσαι. τὰς δὲ προσηγορίας τῶν εἰρημένων ἐπισκόπων καὶ κληρικῶν καὶ μοναχῶν καιρῶι δέοντι ἐξονομάσομεν παριστῶντες πῶς οἱ μὲν τὰ Νεστορίου, οἱ δὲ τὰ Εὐτυχέος φρονοῦντες ἐφ' ἑκάτερα διασπᾶν τὴν ἐκκλησίαν ἐπιχειροῦσιν.

15 ὁ μὲν Ἄνθιμος ὑπόνοιαν αἱρετικοῦ δεδωκὼς συνεχωρεῖτο τὴν ἐκκλησίαν Τραπεζοῦντος πάλιν ἰθύνειν, εἰ λίβελλον δοίη κατὰ τῶν αἱρέσεων· οὗτοι δ' ὡς ὁμολογημένως [ὁμολογημένωσ Oe] ὄντες ἐν τῆι αἱρέσει διὰ τὸ πολλάκις τοῖς καιροῖς φωραθῆναι συναλλοιωθέντες οὐδὲ τῆς ποιμαντικῆς ἐκρίνοντο ἄξιοι: — Oe in mg.

...

O [= aerv], I

1 πανταχοῦ I 2 ὑμῶν Or 3 δοκούσασ I 6 τούτω — τρόπω προσελθεῖν I τούτω καὶ τῶ Ov 9 βδελλυσσόμενοι Oe τὴν om. I 11 ἡμῖν Ov 13 γὰρ εἰ Or 14 ἐπαγγέλλωνται I αὐτοῖσ Or 15 συμμεταβαλομένη Or τούτοισ τὰ ποίμνια Or γε μὴν Oaervl δὲ Oe 17 τούτων Oe ἡμετέραν Or 18—19 ὑπό τε — ἀνεχομένους om. Ov 21 ἀξιώσατε I om. OΛ γενομένου Ov 22 τε καὶ Orl τε om. Oa 26 φρενολήπτου OeΛ 28 παραδιδόναι I 28/29 ποιεῖν τὴν — ψυχαῖς I 32 ταύτησ Or 33 ἡμῶν OeΛ σπουδάζει O 35 καὶ¹ om. Oe τὲ καὶ I 36/37 εὐτυχοῦσ Or

Ὑπογραφαί

1 Μαριανὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης καὶ ἔξαρχος τῶν εὐαγῶν μοναστηρίων ἀξιώσας ὑπέγραψα: —

2 Ἀγαπητὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Δίου ἀξιώσας ὑπέγραψα: —

3 Διόσκορος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς ἁγίας μάρτυρος Εὐφημίας ἀξιώσας ὑπέγραψα: —

4 Ἀγάπιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Θαλασσίου ἀξιώσας ὑπέγραψα: —

5 Παῦλος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Ῥωμαίων ἀξιώσας ὑπέγραψα: —

6 Ἀντωνῖνος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου πατρὸς ἡμῶν Εὐσεβίου ἀξιώσας ὑπέγραψα: —

7 Στέφανος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Ὀλυμπίου ἀξιώσας ὑπέγραψα: —

8 Ἀναστάσιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Ῥωμαίων ἀξιώσας ὑπέγραψα: —

9 Δημήτριος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Φωκᾶ ἀξιώσας ὑπέγραψα: —

10 Κυριακὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Εὐφημίου ἀξιώσας ὑπέγραψα: —

11 Ζωίλος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Θεοδότου ἀξιώσας ὑπέγραψα: —

12 IVLIANVS MISERICORDIA DEI PRESBYTER ET HEGVMEN' MONASTERIO EVPHEMII ROGATVS SVSCRIBSI: —

13 Στέφανος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Προμώτου ἀξιώσας ὑπέγραψα: —

M VIII 907 14 Ζήνων ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς οὔσης καὶ διακειμένης πλησίον τοῦ οἴκου τῆς ἁγίας ἐνδόξου παρθένου καὶ θεοτόκου Μαρίας ἐν τῇ πηγῇ ἀξιώσας ὑπέγραψα: —

15 Ἀλέξανδρος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ καλαμίου ἀξιώσας ὑπέγραψα: —

16 Δάδας ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Καιουμᾶ ἀξιώσας ὑπέγραψα: —

17 Ῥόδων ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Θεοδώρου ἀξιώσας ὑπέγραψα: —

18 Γεννάδιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Κυριακοῦ ἀξιώσας ὑπέγραψα: —

O [- ae, r (usque ad 7), v], I [usque ad 7]

1 αἱ ὑπογραφαί O^{ar} om. I 2 μαρινιανὸς O^{e} ἐλέω O^{er}I 3 ἀξιώσας om. I 4 ἐλέω θῡ O^{r}I om. $O^{e}\Lambda$ στουδίου $O^{e}\Lambda$ o sq. ἐλέει θεοῦ om. semper $O^{e}\Lambda$ ἐλέω I 7 ἀξιώσας ὑπέγραψα om. O^{e} ἀξιώσας om. IΛ 8—p. 147, 4 Ἀγάπιος — ὑπέγραψα] καὶ οἱ λοιποὶ O^{r}I 12—14 τοῦ ἁγίου — μονῆς om. O^{v} 12/13 πατρὸς ἡμῶν om. O^{e} 24. 25 om. O^{av}, O^{a} spatio rel 24 *dei misericordia* Λ HEIIGVMEN' O^{e} *prior* Λ EVRHEMII O^{e} 25 CRIBSI O^{e} 26 προμότου O^{e} 28/29 οὔσης — μαρίας O^{av} ἁγίας θεοτόκου τῆς $O^{e}\Lambda$ 30 ἀξιώσας ὑπέγραψα om. O^{e} 31 καλάμου $O^{e}\Lambda$ 33 μονῆς om. $O^{e}\Lambda$

19 Θεόδωρος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Μαρωνίου ἐν Συκαῖς ἀξιώσας ὑπέγραψα: —

20 Σίλας ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Ἠλία ἀξιώσας ὑπέγραψα: —

21 Παῦλος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Σαμουηλίου ἀξιώσας ὑπέγραψα: —

22 Ἰωάννης ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Θεοδώρου ἀξιώσας ὑπέγραψα: L V 33

23 Κυρίων ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Αἰγυπτίων ἀξιώσας ὑπέγραψα: —

24 Βασίλειος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου Συμεώνη ἐπίκλην τῶν Κυρακωνᾶ ἀξιώσας ὑπέγραψα: —

25 Ἰωάννης ἐλέει θεοῦ πρεσβύτερος τοῦ ἁγίου ἀποστόλου Θωμᾶ ἐν τοῖς Μοδέστου ἀξιώσας ὑπέγραψα: —

26 Μάρκος ἡγούμενος μονῆς Θεοδώρου ἀπὸ ἐκσκεπτόρων ἀξιώσας ὑπέγραψα: —

27 Φλαβιανὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ δευτεράριος Μοδέστου τοῦ θεοφιλεστάτου πρεσβυτέρου καὶ ἡγουμένου τῆς εὐαγοῦς μονῆς Μοδέστου ἐπίκλην τῶν Λυκαόνων ἀξιώσας ὑπέγραψα: —

28 Μαρῖνος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Παυλίνου ἀξιώσας ὑπέγραψα: —

29 Θεόδωρος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Τρύφωνος ἀξιώσας ὑπέγραψα: —

30 Θεόκτιστος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς ἁγίας ἐνδόξου παρθένου καὶ θεοτόκου Μαρίας πλησίον τῶν Ἰὼβ ἀξιώσας ὑπέγραψα: —

31 Κοσμᾶς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου ἐν τοῖς Στουδίου ἀξιώσας ὑπέγραψα: —

32 Πέτρος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς ἁγίας ἐνδόξου παρθένου καὶ θεοτόκου Μαρίας καὶ τοῦ ἁγίου καὶ ἐνδόξου μάρτυρος Διομήδους ἐπίκλην Ἱερουσαλὴμ ἀξιώσας ὑπέγραψα: —

33 Ἐλευθέριος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου καὶ ἐνδόξου μάρτυρος Κυριακοῦ ἀξιώσας ὑπέγραψα: —

34 Ἀλέξανδρος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς κατὰ Ἀβράμιον τὸν τῆς ὁσίας μνήμης ἀξιώσας ὑπέγραψα: —

35 Θεόδωρος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Ἰὼβ ἀξιώσας ὑπέγραψα: —

36 Τρύφων ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Ἐλπιδίου ἀξιώσας ὑπέγραψα: —

37 Στέφανος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Κώνστα ἀξιώσας ὑπέγραψα διὰ χειρὸς Ἰακώβου διακόνου κατ' ἐπιτροπήν μου γράψαντος προτάξας τῇ ἰδίαι μου χειρὶ τὸν τίμιον σταυρόν: —

38 Βαβύλας ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἐν ἁγίοις Δανιὴλ τοῦ

O [= aev]

1 θεόδωροσ O *Zenobiae* Λ μαρώνησ O^{v} μάρωνοσ O^{e} 2 ἀξιώσας ὑπέγραψα om. O^{e} 5 μονῆς om. O^{v} 11/12 μονῆσ — ἐπίκλην O^{aev} μονῆς O^{e}Λ 16 δευτεριάριοσ O^{aev} 17 εὐαγοῦς om. O^{e}Λ Μοδέστου om. O^{e}Λ 23/24 ἐνδόξου — μαρίασ O^{aev} θεοτόκου O^{v} θεοτόκου Μαρίας Λ 25/26 τοῦ ἁγίου — ἐν τοῖσ O^{aev} τῶν O^{e}Λ 27/28 τῆσ ἁγίασ — διομήδουσ O^{aev} om. O^{e}Λ 29 ἱερουσαλὴλ O^{aev} 30/31 καὶ ἐνδόξου μάρτυροσ O^{aev} om. O^{e} μάρτυροσ Λ 32/33 τῆσ κατὰ — μνήμησ O^{aev} ἀβραμίου O^{e}Λ 38 χειρὶ διακόνου ἰακώβου O^{e} μου O^{aev} ἐμὴν O^{e} 40 ἁγίου O^{e}

ἐν τῶι στύλωι καὶ τοῦ ἁγίου Ἰωάννου ἐν τῶι μικρῶι βάθει καὶ τοῦ ἁγίου ἀποστόλου Ἀνδρέου πλησίον τοῦ στύλου ἀξιώσας ὑπέγραψα: —

39 Ἰωάννης ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Ἀναστασίου ἀξιώσας ὑπέγραψα: —

40 Ἀνθέμιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Νέωνος ἀξιώσας ὑπέγραψα: —

M VIII 910

41 Ἰωάννης ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου ἀρχαγγέλου Μιχαὴλ τῆς ἐπίκλην τῶν Χαρισίου ἀξιώσας ὑπέγραψα: —

42 Ἰωάννης ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Μάρα πλησίον τῆς Ἀετίου κινστέρνης ἀξιώσας ὑπέγραψα: —

43 Φωκᾶς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς ἐπίκλην τῶν Ἰωνᾶ πλησίον τοῦ Δευτέρου ὑπέγραψα: —

44 Ζώσιμος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Εὐτυχίου τῶν Λυκαόνων πλησίον τῶν Ματρώνης ἀξιώσας ὑπέγραψα: —

45 Τιμόθεος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Ἀστερίου ἀξιώσας ὑπέγραψα: —

46 Πολυχρόνιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς ἐπίκλην αἰθρίου ἀξιώσας ὑπέγραψα διὰ χειρὸς Σευηριανοῦ μωναχοῦ: —

47 Σευηριανὸς πρεσβύτερος ὑπέγραψα ὑπὲρ αὐτοῦ ἐπιτραπεὶς παρ' αὐτοῦ προτάξαντος αὐτοῦ τῆι ἰδίαι χειρὶ τὸν τίμιον σταυρόν: —

48 Στρατόνικος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου Δομετίου ἀξιώσας ὑπέγραψα: —

49 ANDREAS MISERICORDIA DEI PRESBYTER ET ARCHIMANDRITA MONASTERII ROMANORVM ADIACENTEM CISTERNA ASPAROS CONSENTIENS SVBSCRIPSI: —

50 Μαρτύριος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Πέτρου ἤτοι Οὐάλεντος καὶ Δαυδάτου πλησίον τῶν ἁγίων Ἀποστόλων ἀξιώσας ὑπέγραψα: —

L V 36

51 Ἀνδρέας ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς διακειμένης ἐν τῶι σεβασμίωι οἴκωι τῆς ἁγίας ἐνδόξου παρθένου καὶ θεοτόκου Μαρίας πλησίον τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Λουκᾶ ἀξιώσας ὑπέγραψα: —

52 Μάρκος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου μάρτυρος Κυρίκου ἀξιώσας ὑπέγραψα διὰ χειρὸς Αὐξάνοντος διακόνου: —

53 Ἰάκωβος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Ἀββίβου Σύρος Συριστὶ ὑπέγραψα: —

54 Ἀττικὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Εὐκρατάδων πλησίον τῆς ἁγίας Μαύρας ἀξιώσας ὑπέγραψα: —

55 Ἰωσὴφ ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς ἁγίας θεοτόκου καὶ ἀειπαρθένου Μαρίας ἐν τῶι λιθοστρώτωι ἀξιώσας ὑπέγραψα διὰ χειρὸς Ἰωάννου διακόνου: —

56 Παῦλος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος ἀξιώσας ὑπέγραψα: —

O [= aev]

2 ἀποστόλου ἀνδρέου O^{ev} ἀνδρέου τοῦ ἀποστόλου O^{a} 3/4 *Anastasii prope agogum* Λ 7/8 τοῦ — Μιχαὴλ om. O^{e}Λ 7 ἁγίου om. O^{v} 9 ἀετοῦ O^{av} *aeream* Λ 10 ἀξιώσας om. O^{e} 17 τῆσ ἐπίκλην O^{av} τοῦ O^{e}Λ 18 διὰ — μοναχοῦ om. O^{e}Λ 19/20 om. O^{a} προτάξαντοσ — σταυρόν O^{v} om. O^{e}Λ 23/24 om. O^{av} 23 *dei miserationc* Λ ET om. Λ 24 ADIACENTEM — ASPAROS om. Λ MADICENTEM O^{e} 25/26 Οὐάλεντος καὶ om. O^{a} 28 ἐνδόξου — μαρίασ O^{av} θεοτόκου O^{e}Λ 29 ἀποστόλου καὶ εὐαγγελιστοῦ om. O^{e}Λ 30 κηρύκου O^{ev} 31 διὰ — διακόνου om. O^{e} 32 ἀββίβου O^{e}Λ 34 ἀκρατάδων O^{av} 34/35 πλησίον — Μαύρας om. O^{e}Λ 36/37 καὶ - Μαρίας om. O^{e}Λ 37 ἀξιώσας om. O^{e}Λ 37/38 διὰ — διακόνου om. O^{e}Λ 39 post 31 coll. O^{a}

57 Ἀναστάσιος ἐλέει θεοῦ πρεσβύτερος καὶ δευτεράριος μονῆς τοῦ ἁγίου καὶ ἐνδόξου ἀποστόλου Φιλίππου τοῦ ἐν τῶι βρεφοτροφείωι ἀξιώσας ὑπέγραψα διὰ τὸ μὴ παρεῖναι τὸν ἡγούμενον ἐνταῦθα: —

58 Γεώργιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῶν Κύρου ἀξιώσας ὑπέγραψα: —

59 Κυριακὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ ἁγίου Ἰωάννου ἐπίκλην τῶν Σύρων ἀξιώσας ὑπέγραψα: —

60 Ἐλπίδιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῶν Βασιανοῦ ἀξιώσας ὑπέγραψα: —

61 Ζώσιμος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῶν Μαξιμίνου ἀξιώσας ὑπέγραψα: —

62 Πολυχρόνιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῶν Κρητικῶν ἀξιώσας ὑπέγραψα: —

63 Παῦλος πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς ἁγίας Ἑρμιόνης ἀξιώσας ὑπέγραψα: —

64 Εὐσέβιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς ἐπίκλην Συμεὼν ἀξιώσας ὑπέγραψα: —

65 Ζωτικὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου ἀποστόλου Ἀνδρέου τοῦ ὄντος ἐν τῆι Σατορνίνου πόρτηι ἀξιώσας ὑπέγραψα διὰ χειρὸς Μάρκου πρεσβυτέρου καὶ δευτεραρίου, ἐμοῦ προτάξαντος τὸν τίμιον σταυρόν: —

66 Θεόδωρος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς χάριτι θεοῦ ὑπ' ἐμοῦ συστάσης πλησίον τοῦ ἁγίου μάρτυρος Λαυρεντίου ἀξιώσας ὑπέγραψα: —

67 Δομετιανὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Μαρτυρίου καὶ ὑπὲρ πάντων τῶν ἐν τῆι ἐρήμωι τῆς ἁγίας πόλεως μοναχῶν ὑπέγραψα: —

68 Ἡσύχιος ἐλέει θεοῦ πρεσβύτερος μονῆς τοῦ μακαρίου Θεοδοσίου καὶ ὑπὲρ τῶν ἐν τῆι ἐρήμωι τῆς ἁγίας πόλεως μοναχῶν ἀξιώσας ὑπέγραψα: —

69 Κασιανὸς ἐλέει θεοῦ πρεσβύτερος λαύρας τοῦ μακαρίου Σάββα καὶ ὑπὲρ τῶν ἐν τῆι ἐρήμωι τῆς ἁγίας πόλεως μοναχῶν ἀξιώσας ὑπέγραψα: — M VIII 911

70 Κυριακὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος τῶν πυργίων τοῦ Ἰορδάνου καὶ ὑπὲρ τῶν ἐν τῆι ἐρήμωι τῆς ἁγίας πόλεως μοναχῶν ἀξιώσας ὑπέγραψα: —

71 Νέσταβος ἐλέει θεοῦ πρεσβύτερος λαύρας τοῦ τῆς ὁσίας μνήμης Φιρμίνου καὶ ὑπὲρ τῶν ἐν τῆι ἐρήμωι τῆς ἁγίας πόλεως μοναχῶν ἀξιώσας ὑπέγραψα: —

72 Τερέντιος ἐλέει θεοῦ πρεσβύτερος Νέας λαύρας καὶ ὑπὲρ τῶν ἐν τῆι ἐρήμωι τῆς ἁγίας πόλεως μοναχῶν ἀξιώσας ὑπέγραψα: —

73 Λεόντιος ἐλέει θεοῦ μοναχὸς καὶ ἡγούμενος καὶ τοποτηρητὴς πάσης τῆς ἐρήμου ἀξιώσας ὑπέγραψα: —

74 Τραιανὸς ἐλέει θεοῦ πρεσβύτερος τῶν πυργίων τοῦ Ἰορδάνου καὶ ὑπὲρ τῶν ἐν τῆι ἐρήμωι τῆς ἁγίας πόλεως μοναχῶν ἀξιώσας ὑπέγραψα: —

75 Πολύευκτος διάκονος μονῆς τοῦ ἀββᾶ Θεοδοσίου καὶ ὑπὲρ τῶν ἐν τῆι ἐρήμωι τῆς ἁγίας πόλεως μοναχῶν ἀξιώσας ὑπέγραψα: —

O [= aev]

1 δευτεριάριοσ O^{av} 1/2 καὶ — ἀποστόλου om. $O^{e}Λ$ 2 ἀξιώσας om. $O^{e}Λ$ 3 ἐνταῦθα om. $O^{e}Λ$ 5/6 τοῦ — ἐπίκλην om. $O^{e}Λ$ 9. 10 post 7. 8 coll. $O^{e}Λ$ 13 ἑρμιώνησ O^{av} 17 ἀποστόλου om. $O^{e}Λ$ 18 τοῦ — τῆ O^{av} πλησίον τῆσ $O^{e}Λ$ πόρτησ $O^{e}Λ$ χειρὶ $O^{e}Λ$ 19 δευτεριαρίου O^{av} 20/21 χάριτι — ἀξιώσασ O^{av} τοῦ ἁγίου λαυρεντίου ὑπ' ἐμοῦ συστάσησ $O^{e}Λ$ 25. 26/27. 29. 31. 36/37. 38/39. p. 146, 1/2. 3/4. 5/6. 7/8 τῶν — ὑπέγραψα O^{av} πάντων $O^{e}Λ$ 28 ἡγούμενοσ μονῆσ $O^{av}Λ$ 30 τῆσ — μνήμησ O^{av} ὁσίου $O^{e}Λ$ 32/33 τῶν — ὑπέγραψα O^{av} πάντων τῶν ἐν τῆ ἐρήμω $O^{e}Λ$ 35 ἀξιώσας om. $O^{e}Λ$

76 Θεόδωρος ἐλέει θεοῦ διάκονος καὶ μοναχὸς τῆς Νέας λαύρας καὶ ὑπὲρ τῶν ἐν τῇι ἐρήμωι τῆς ἁγίας πόλεως μοναχῶν ἀξιώσας ὑπέγραψα: —

77 Κύρικος ἐλέει θεοῦ μοναχὸς καὶ διάκονος τῆς αὐτῆς Νέας λαύρας καὶ ὑπὲρ τῶν ἐν τῇι ἐρήμωι τῆς ἁγίας πόλεως μοναχῶν ἀξιώσας ὑπέγραψα: —

78 Ἀναστάσιος ἐλέει θεοῦ διάκονος μονῆς τοῦ ἁββᾶ Μαρτυρίου καὶ ὑπὲρ τῶν ἐν τῇι ἐρήμωι τῆς ἁγίας πόλεως μοναχῶν ἀξιώσας ὑπέγραψα: —

79 Μάμας ἐλέει θεοῦ μοναχὸς μονῆς τοῦ ἁββᾶ Μαρτυρίου καὶ ὑπὲρ τῶν ἐν τῇι ἐρήμωι τῆς ἁγίας πόλεως μοναχῶν ἀξιώσας ὑπέγραψα: —

L V 37 80 Ἰουλιανὸς ἐλέει θεοῦ μοναχὸς μονῆς τοῦ ἁββᾶ Θεοδοσίου καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι ἐρήμωι τῆς ἁγίας πόλεως μοναχῶν ὑπέγραψα: —

81 Ἰωάννης ἐλέει θεοῦ πρεσβύτερος μονῆς ἰδίας ἐν τῇι πεδιάδι καὶ ὑπὲρ πάντων τῶν ἐκεῖσε μοναχῶν ἀξιώσας ὑπέγραψα: —

82 Θεωνᾶς ἐλέει θεοῦ πρεσβύτερος τοῦ ἁγίου ὄρους Σινᾶ καὶ ἀποκρισιάριος τοῦ τε ὄρους Σινᾶ καὶ τῆς ἐκκλησίας Φαρὰν καὶ λαύρας Ῥαιθοῦ ὑπὲρ πάντων τῶν ἐκεῖσε μοναχῶν ἀξιώσας ὑπέγραψα: —

83 Στρατήγιος ἐλέει θεοῦ διάκονος καὶ μοναχὸς μονῆς τοῦ μακαρίου Ἰωάννου καὶ ὑπὲρ πάντων τῶν ὑπὸ Σκυθόπολιν μοναχῶν ἀξιώσας ὑπέγραψα: —

84 Ἰωάννης ἐλέει θεοῦ μοναχὸς μονῆς τοῦ ἁββᾶ Μαρτυρίου καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι ἐρήμωι τῆς ἁγίας πόλεως μοναχῶν ἀξιώσας ὑπέγραψα: —

85 Παῦλος ἐλέει θεοῦ μοναχὸς καὶ ἀποκρισιάριος μονῆς τοῦ μακαρίου Μάρωνος δευτέρας Συρίας καὶ ὑπὲρ πάντων τῶν ἐκεῖσε μοναχῶν ὑπέγραψα: —

86 Σευηριανὸς πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Ζωόρα τῶν θερμῶν Συριστὶ ὑπέγραψα: —

87 Κασσίσας πρεσβύτερος καὶ ἀρχιμανδρίτης τῆς εὐαγοῦς μονῆς τῶν Λουκᾶ Συριστὶ ὑπέγραψα: —

88 Ἰωάννης πρεσβύτερος καὶ ἀρχιμανδρίτης τῆς εὐαγοῦς μονῆς τοῦ κύρου Θωμᾶ Συριστὶ ὑπέγραψα: —

89 Συμεώνης ἐλέει θεοῦ διάκονος καὶ ἀποκρισιάριος μονῆς τοῦ μακαρίου Ἰακώβου δευτέρας Συρίας καὶ ὑπὲρ πάντων τῶν ἐκεῖσε μοναχῶν ἀξιώσας ὑπέγραψα: —

90 Ἰωάννης ἐλέει θεοῦ διάκονος καὶ ἀποκρισιάριος μονῆς τοῦ μακαρίου Θεοδώρου δευτέρας Συρίας καὶ ὑπὲρ πάντων τῶν ἐκεῖσε μοναχῶν ἀξιώσας ὑπέγραψα: —

91 Σέργιος ἐλέει θεοῦ πρεσβύτερος περιοδευτὴς τῶν ἁγίων ἐκκλησιῶν ἐπὶ χωρίων τῆς πρώτης Σύρων ἐπαρχίας ἀξιώσας ὑπέγραψα: —

92 Στέφανος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Εὐζερίου καὶ ὑπὲρ τῶν ἐκεῖσε πάντων μοναχῶν ἀξιώσας ὑπέγραψα: —

93 Ἰωάννης πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Θωμᾶ Συριστὶ ὑπέγραψα: —

94 Θωμᾶς πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Ἀαρὼν Συριστὶ ὑπέγραψα: —

95 Φαυστῖνος ἐλέει θεοῦ μοναχὸς καὶ ἀποκρισιάριος μονῆς τοῦ ἁγίου Στεφάνου

O [= aev]

3 κήρυκοσ O^{ev} αὐτῆσ $O^{e}\Lambda$ om. O^{av} 7 μονῆς om. O^{av} 9 μονῆς om. $O^{e}\Lambda$ ἀμβᾶ O^{v} 9/10 πάντων — ὑπέγραψα om. $O^{e}\Lambda$ 11/12 πάντων — ὑπέγραψα O^{av} τῶν ἐν αὐτῆ O^{e} πάντων Λ 13 ἀποκρισιαρίου O^{v} 14 Σινᾶ καὶ om. O^{e} 17 τῶν — ὑπέγραψα O^{av} τῶν ἐκεῖσε μοναχῶν [μοναστηρίων Λ] $O^{e}\Lambda$ 19 ἐν τῆ — ὑπέγραψα O^{av} ἐκεῖσε μοναχῶν $O^{e}\Lambda$ τῆς om. O^{v} 21 καὶ ὑπὲρ — ὑπέγραψα om. $O^{e}\Lambda$ 22 σεβηριανὸσ O^{a} 24 κασσίασ O^{v} τῆς εὐαγοῦς om. $O^{e}\Lambda$ 26 τῆς εὐαγοῦς om. $O^{ae}\Lambda$ 29 πάντων — ὑπέγραψα om. $O^{e}\Lambda$ 31 ἐκεῖσε O^{av} ἐν αὐτῆ $O^{e}\Lambda$ 31. 33 ἀξιώσας om. $O^{e}\Lambda$ 34. 35 τῶν — ὑπέγραψα om. $O^{e}\Lambda$ 37 om. O^{av}

Μαουζᾶ Ἰαμνίας καὶ ὑπὲρ πάντων τῶν ἐκεῖσε κληρικῶν καὶ μοναχῶν ἀξιώσας ὑπέγραψα: —

96 Θεόδωρος διάκονος καὶ ἀποκρισιάριος τῆς ἁγίας ἐκκλησίας Ἐρινδηλινῶν ἀξιώσας ὑπέγραψα: —

69 Δεσπότῃ ἡμῶν τὰ πάντα ἁγιωτάτῳ καὶ μακαριωτάτῳ πατρὶ πατέρων ἀρχι- M VIII 914
ἐπισκόπῳ τῆς Ῥωμαίων καὶ πατριάρχῃ Ἀγαπητῷ παρὰ τῶν ἐνδημούντων κατὰ ταύ- 6
την τὴν βασιλίδα πόλιν ἐπισκόπων τῆς τε Ἀνατολικῆς διοικήσεως καὶ τῶν ὑπὸ τοὺς ἁγίους Χριστοῦ τοῦ θεοῦ ἡμῶν τόπους καὶ ἀποκρισιαρίων καὶ λοιπῶν κληρικῶν. Ἐξ οὗ Χριστὸς ὁ θεὸς ἡμῶν ὑπὲρ τῶν ἐποφειλομένων ὑμῖν γερῶν τῆς δι' αὐτὸν ἐν παντὶ καιρῷ μετὰ παρρησίας ἀληθοῦς δημοσιευθείσης ὁμολογίας τῇ ἀοράτῳ καὶ φοβερᾷ αὐτοῦ δυ- 10
νάμει ἐπὶ τὴν σεβασμίαν ὑμῶν ἐπανεπαύσατο κεφαλὴν τὸν τοῦ κορυφαίου τῶν ἀποστόλων θρόνον καταπιστεύσας ὑμῖν, μακαριώτατοι, καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας Ps. 39, 3. 4
ὑμῶν καὶ κατεύθυνε τὰ διαβήματα ὑμῶν καὶ ἐνέπλησε τὸ στόμα ὑμῶν ἄισμα καινὸν ὕμνον τῷ θεῷ ἡμῶν, πολλοὶ ἴδονται καὶ φοβηθήσονται καὶ ἐλπιοῦσιν ἐπὶ κύριον κατὰ τὸ ψαλμικὸν λόγιον
καταυγασθέντες ὑπὸ τῆς πνευματικῆς ὑμῶν αἴγλης, δι' ἧς ὡς λύχνος ἐκλάμπων ἐπὶ λυχνίας L V 40
ἁγίας τὸ ζοφῶδες τῶν ἐν σκότει καθημένων καὶ τυφλῶν ἐφωτίσατε τοὺς ὀφθαλμοὺς τῆς 16
διανοίας αὐτῶν διανοίξαντες. διά τοι τοῦτο τεθαρρηκότες πιστεύοντές τε τῷ θείῳ λογίῳ τῷ διαγορεύοντι ἐν καιρῷ οὐ δειλιάσει καρδία ἡδρασμένη ἐπὶ διανοίαι Sir. 22, 16. 17
συνέσεως, πείραι τε μαθόντες ἀκριβεῖς ὑμᾶς φύλακας εἶναι τῶν ἀποστολικῶν θησαυρῶν ἐξοστρακίσαντας ἀρτίως Ἄνθιμον τὸν πρόσχημα εὐσεβείας περιβαλόμενον, τὴν δὲ 2. Tim. 3. 5
δύναμιν αὐτῆς ἀρνησάμενον, τὸν τὴν ἁρμοσθεῖσαν αὐτῷ νύμφην ἐξουθενήσαντα καὶ 21
λαβεῖν ἑτέραν κατατολμήσαντα παρὰ τοὺς θείους κανόνας; γινώσκοντες δὲ καὶ τὸν θεοφύλακτον ἡμῶν βασιλέα καθάπερ Χριστοῦ μαθητὴν δεδοκιμασμένην ἔχοντα ψυχὴν κοινωνὸν ὑμῖν τοῦ ἀγαθοῦ ἔργου τούτου γενόμενον καὶ σπουδάσαντα μὲν ἐκ προοιμίων τῆς αὐτοῦ βασιλείας μέχρι τοῦ νῦν τὸ τῆς ἐκκλησίας ἅπαν σῶμα φυλάξαι ὑγιὲς καὶ ἀκέραιον καὶ 25
πάσης αἱρετικῆς νόσου ἐλεύθερον καὶ διὰ τοῦτο νομοθετήσαντα τὰς ἱερὰς καὶ ἁγίας τέσσαρας συνόδους ἐν ταῖς ὁτεδήποτε γινομέναις θείαις μυσταγωγίαις μεγαλοφώνως ὑπὸ τῶν ἱερῶν κηρύκων κηρύττεσθαι τειχιζούσας τῶν πιστῶν τὰς καρδίας καὶ τὰς τῶν αἱρετικῶν συμπνιγούσας, ἐλπίζοντα δὲ ἐκ τῆς κατὰ φύσιν αὐτοῦ φιλανθρωπίας καὶ οἰόμενον καθάπερ τοὺς ἐξ ἁπλότητος ὑπαχθέντας τῇ πλάνῃ εἰκὸς ἐστιν ἐπιστρέψαι τῷ χρόνῳ, οὕτως καὶ 30
τοὺς ταύτης εὑρετάς, μᾶλλον δὲ τοῦ διαβόλου μαθητὰς καὶ μηδέποτε τὴν ἀλήθειαν ἐπιγνόντας τὴν τῶν ἐξ ἀρχῆς αἱρετικῶν ἐκβολὴν ὑπερτίθεσθαι, δεόμεθα, μακαριώτατοι, ἀναμνῆσαι τὸν μνημονικώτατον καὶ θεοφύλακτον ἡμῶν βασιλέα τῆς ἱερᾶς ἐκείνης φωνῆς τῆς λεγούσης πᾶν Sir. 15. 30
βδέλυγμα ἐμίσησε κύριος. ὃ πρῶτον καὶ μέσον καὶ ὕστατόν ἐστι Σεβῆρος ὁ ἀλιτήριος ὁ κατὰ τοῦ θεοῦ λαλήσας ἀδικίαν ἀεί, ποτὲ μὲν τὰ Ἑλλήνων μυστήρια μυηθεὶς καὶ M VIII 915
ταῦτα τιμήσας, ποτὲ δὲ τὰ Εὐτυχοῦς διδάξας καὶ Μάνεντος, ἐν ὅλῳ δὲ τῷ βίῳ τῇ τῶν 36
Χριστιανῶν ὀρθῇ πίστει φράσας ἐρρῶσθαι καὶ τὴν Νεστορίου τοῦ ἀνθρωπολάτρου προσηγορίαν εἰς ἐφόδιον τῆς ἀπάτης τοῖς ἐξ ἁπλότητος πρὸς ὑποδοχὴν ἔχουσιν ἕτοιμα

O [= ae, r (inde a 5), v]. l [inde a 5]

1 μαουζαμνίασ O^a 1/2 ἀξιώσας ὑπέγραψα om. $O^eΛ$ 3 ἐρινδηλινῶν O^{av} ἐρεινδηλινῶν O^r 5 inscr. ἀναφορὰ τῶν ἐν κωνσταντινουπόλει ἐπισκόπων πρὸς ἀγαπητὸν πάπαν ῥώμης l τῷ δεσπότῃ ἡμῶν τῷ O^r 5/6 τῷ ἀρχιεπισκόπῳ O^v 9 ἡμῖν $O^eΛ$ αὐτῶν O^v 11 σεβάσμιον O^v 17 ἀνοίξαντεσ l πιστεύοντές τε] πιστεύσαντές O^r 20 ἐξοστρακίσαντεσ $O^eΛ$ περιβαλλόμενον O^a περιβεβλημένον O^rl 21 αὐτῆς] τῆσ πίστεωσ O^rl αὐτῶν O^v ἐξουθενήσαντα l ἐξωθήσαντα ΟΛ 24 ὑμῶν O^{avv} τούτου ἔργου O^r 25 τοῦ O καὶ l 26 νόσου αἱρετικῆσ O^e νομοθετήσαντα lΛ νομοθετῆσαι O ἁγίασ καὶ ἱερὰσ O^v 27 γενομέναισ O^v 28 ταύτας κηρύττεσθαι O 29 φύσεωσ O^r 33 τῆς² l om. O 34 βδέλυγμα O^e 36 μάνη O^e 37 ὀρθῇ om. $O^eΛ$ 38 πρὸς] εἰσ O^r

τὰ ὦτα ἐπινοήσας, τὰ ἐκείνου εἰπὼν ἐναργῶς Νεστοριανούς τε καλέσας τοὺς τῶν ὀρθῶν δογμάτων καθηγητάς, οὐ φεισάμενος μήτε τοῦ βαπτίσαντος αὐτόν, ἀναθεμάτων ἀδυνάμων πάντα τὸν κόσμον ἐπλήρωσεν, ἀποφήνασθαι κατατολμήσας αὐτὸς ὡς δύναμιν κληρωσάμενος μετὰ τῶν προσχρησάντων αὐτῶι τῆς χειροτονίας σκιὰν κατὰ τῆς εἰρημένης οἰκουμενικῆς ἁγίας συνόδου τῆς ἐν Χαλκηδόνι καὶ τῶν ἱερῶν καὶ θεοφιλῶν ἐπιστολῶν τοῦ ἐν ἁγίοις τὴν μνήμην πάπα Λέοντος τοῦ γενομένου φωστῆρος καὶ στύλου τῆς ἐκκλησίας τοῦ στηρίξαντος τοὺς πιστοὺς τῆι βασιλικῆι τρίβωι πορεύεσθαι, ὡς λείπεσθαι
Ps. 7, 16 τὸ τῆι θείαι γραφῆι ῥηθὲν πληρωθῆναι ἐπ' αὐτῶι λάκκον ὤρυξε καὶ ἀνέσκαψεν αὐτὸν καὶ ἐμπεσεῖται εἰς βόθρον ὃν εἰργάσατο. ὅθεν ἀποροῦντες πῶς ἂν αὐτὸν κυρίως καλέσοιμεν Ἑλλήνων ὁμόφρονα, Εὐτυχοῦς ὁμόδοξον, ὁμότροπον Νεστορίου, ἐκ τῆς κυριωτάτης καὶ ἐπισήμου προσηγορίας ὀνομάσομεν τὸ ἐντεῦθεν ὄργανον τοῦτον σὺν ἀληθείαι τοῦ διαβόλου καλοῦντες. παρέντες τοίνυν τὸ πλῆθος τῶν ὑπ' αὐτοῦ τολμηθέντων τά τε κατὰ τὴν Ἑώιαν αἵματα τῶν ὁσίων ἀνδρῶν ἐκχυθέντα ὑπὸ τοῦ κατὰ φατρίαν ἐστασιασμένου Ἰουδαικοῦ συστάντος τότε στρατεύματος, καὶ ἄλλα δὲ τῶν εἰρημένων πολὺ χαλεπώτερα διὰ τὸ μῆκος τοῦ
2. Cor. 6, 2 διηγήματος, ἱκετεύομεν, ἁγιώτατοι, ἐπειδὴ νῦν καιρὸς εὐπρόσδεκτος, νῦν ἡμέρα σω-
L V 41 τηρίας, καὶ βοῶμεν· βοηθήσατε ἡμῖν καὶ ταῖς φονευθείσαις ὁσίαις ψυχαῖς, ἃς παρεστάναι νομίσατε νοητῶς καὶ δεικνύναι ὑμῖν ὡς διὰ Ἰησοῦν Χριστὸν παρεδόθησαν τῶι θανάτωι ὑπὸ τοῦ πολυκεφάλου θηρός. ἵνα οὖν μὴ καὶ αὖθις ἐκ τῆς φανερωθείσης πᾶσιν αὐτοῦ μαγγανείας καὶ Μανιχαικῆς πλάνης, ἧι θαρρῶν ὁ δείλαιος οὗτος κατετόλμησεν εἰς τὰς καθαρὰς βασιλείους εἰσδῦναι αὐλάς, μηδένα τόπον ὀφείλων ἔχειν ἢ τὸ βάραθρον εἰς κατάλυμα, ἀνατρέψηι καὶ ἐπὶ τοῦ παρόντος τὴν μετὰ τοσούτων κόπων καὶ ἱδρώτων ὑμῶν τε καὶ τοῦ φιλοχρίστου ἡμῶν βασιλέως φιλοτιμηθεῖσαν εἰρήνην ταῖς ἁπανταχοῦ τῶν πιστῶν ἐκκλησίαις, ἀπελαθῆναι σπουδάσατε πόρρω που καὶ τῆς ἐσχατιᾶς αὐτῆς φεισάμενοι τῶν τὰς συνουσίας πρὸς αὐτὸν ποιουμένων ψυχῶν καὶ κοινωνουσῶν διὰ τῆς ἐντεύξεως τοῖς κατ' αὐτοῦ ἀναθέμασι, τὸν ἀκάθαρτον, τὸν ἀποκήρυκτον, τὸν ἀναθέμασιν ἐγγράπτοις καὶ διηνεκέσιν ὑπὸ τοῦ ἀποστολικοῦ ὑμῶν θρόνου καὶ τοσούτων ἀρχιερέων καὶ ἐν οὐρανῶι παρὰ θεοῦ καὶ τῶν ἐκλεκτῶν αὐτοῦ ἀγγέλων κατάκριτον ἤδη γενό-
Ioh. 3, 18 μενον κατὰ τὴν εὐαγγελικὴν ἐκείνην καὶ θείαν φωνὴν μετ' Ἐκδικίου τοῦ βδελυροῦ ἀλλ' οὐ Πέτρου τοῦ καὶ τὴν ἑαυτοῦ προσηγορίαν μέχρι τοῦ νῦν οὐκ ἐρυθριάσαντος ψεύσασθαι τοῦ αὐτοῦ μαθητοῦ καὶ τὰ τῆς ἀποστασίας καθ' ἑκάστην ῥήματα φθεγξαμένου, καὶ Ζωόρα δὲ τοῦ παντελῶς ἀμυήτου τῆς θείας γραφῆς καὶ πάσης ἱερατικῆς λειτουργίας καὶ τάξεως, μετὰ δὲ παρρησίας οὐκ ἴσμεν τῆς ὅθεν χορηγουμένης αὐτῶι καταπατοῦντος
M VIII 918 τὴν κρατοῦσαν ἐκκλησιαστικὴν εὐκοσμίαν τε καὶ κατάστασιν ἐκ τῶν καθ' ἡμέραν παρασυνάξεων καὶ παραβαπτισμάτων ὑπ' αὐτοῦ τολμωμένων, οὗ τὴν συναγωγὴν γύναια κώμοις καὶ μέθαις ἀσελγείαις τε καὶ ἀκολασίαις ἐκδεδομένα πληροῖ, πείσαντες τὸν εὐσε-

O [= acrv], I

1 ἐπεννοήσασ O^r 2 ἐξηγητὰσ O^rI βαπτίσματος αὐτῶν I 2/3 ἀδυναμῶν O^r ἀδεῶσ ἡμῶν O^{av} 3 αὐτοὺσ I ὡς δύναμιν I ἐνδυνάμους $O^{er}Λ$ ἐνδυνάμωσ O^a ἐνδυνάμασ O^v 5 οἰκουμενικῆς om. O^r συνόδου ἁγίας I ἐν χαλκηδόνι συνόδου O^{av} 7 τῆι om. O^v 8 τὸ O^cO^a ex corr., I om. O^{arv} τῆσ θείασ γραφῆς I ῥητὸν O^rI πληρωθὲν O^{arv} 8/9 λάκκου — αὐτὸν om. $O^cΛ$ 9 ἂν om. O^r 10 καλέσομεν O^r 11 κυριωτάτης [κυριωτέρασ $O^{aev}Λ$] καὶ ἐπισήμου $IO^{aev}Λ$ ἐπισήμου καὶ κυριωτέρασ O^r ὀνομάσωμεν O^e 12 τοῦτον I αὐτὸν OΛ 13 αὐτοῦ αἵματα O^{av} 14 ἐκχεθέντα O^e κατὰ om. O^r ἐστασιασμένου $O^{arv}I$ ἑστασιασμένου ὑπ' αὐτοῦ $O^cΛ$ 15 μῆκοσ OΛ πλῆθοσ I 17 καὶ I om. OΛ βοηθήσατε I βοήθησον OΛ 18 ῑ̅υ̅ χ̅ν̅ $O^{ar}I$ χ̅ν̅ ῑ̅υ̅ O^v χ̅ν̅ $O^cΛ$ 19 οὖν I om. OΛ 21 εἰς τό O^r 22 ἀνατρέψῃ O^aI ἀνατρέψαι O^{erv} τοῦ om. O^a τόσων O^r 28 θ̅υ̅ καὶ I om. OΛ 29 βδελλυροῦ O^e 29/30 ἀλλ' οὐ I ἄλλου $O^rΛ$ ἄλλου του O^{aev} 30 ἐρυθριάσαντα O^r 31 τὰ om. O^r 33 postulatur τῆς οὐκ ἴσμεν

βέστατον ἡμῶν βασιλέα θῆρας αἱμοβόρους ἀρνάσι μὴ συγχωρεῖν συναυλίζειν, ἠκριβωμένον σαφῶς τὸ τῶι θείωι ἀποστόλωι ῥηθὲν ὡς οὐδεμία μετοχὴ δικαιοσύνηι καὶ 2 Cor. 6. 14.
ἀνομίαι ἢ κοινωνία φωτὶ πρὸς σκότος ἢ μερὶς πιστῶι μετὰ ἀπίστου. οἷα
δὲ οἷα δεδραματούργηται νῦν καὶ παρὰ Ἰσαακίου τοῦ Πέρσου, εἰπεῖν βουλομένους ἡμᾶς
ἀδακρυτὶ λέγειν οὐκ ἔστιν οὐδὲ δέους ἀπηλλάχθαι διηγουμένους ἃ ταῖς ἀνόμοις αὐτοῦ
χερσὶ δρᾶν ἐκεῖνος οὐκ ἔφριξεν. ἐν γὰρ καταγωγίωι τινὶ τιμίας εἰκόνος ἀνακειμένης
τοῦ τῶν εὐσεβῶν ἐπὶ τοῦ παρόντος σκήπτρων κρατοῦντος, ὥσπερ ἀμιλλώμενος ὁ
προλεχθεὶς δείλαιος καὶ ἀλάστωρ ἀνήρ, εἰ μὴ καὶ κατὰ τὸν ῥηθησόμενον νεώτερον τρόπον
βλασφημήσοι τὸ θεῖον, ἀνατείνας τὴν βακτηρίαν, ἐν ᾗ τὸ ἄτιμον αὐτοῦ σχηματίζεται
γῆρας στηρίζειν πληρῶν τὴν πεπλασμένην ἐπίθεσιν ἔμπροσθεν τῶν ὑπ' αὐτοῦ κατα-
γινομένων ἀπάγεσθαι, ἔτυπτεν ἀφειδῶς τὸ τοῦ φιλοχρίστου βασιλέως ὁμοίωμα, αἱρετικὸν
ἀποκαλῶν τὸν ἡνωμένον οὕτω θεῶι καὶ φρουρούμενον ὑπ' αὐτοῦ τὸ τῆς ἀληθείας φυ-
λάττοντα κήρυγμα καὶ οὐκ ἔπαυσε τὸν θυμὸν μέχρι τοσούτου ἕως οὗ καὶ τὴν φέρουσαν
τὸ περιφανὲς ἐκτύπωμα σινδόνα διέρρηξε καὶ μέρος κατέαξεν ἐξ αὐτοῦ, ὃ καὶ πυρὶ παρα-
δέδωκε. τὸ γὰρ ὅλον ἀφανίζειν οὐκ ἴσχυσεν φυλαχθὲν ὑπὸ τῆς προνοίας τοῦ κρείτ-
τονος εἰς ἔλεγχον ἀκριβῆ τοῦ τολμήματος τοῦδε φονικοῦ καὶ τοῦ μείζονος πάντων κατη-
γορήματος. μάρτυρες ἑστήκασιν ἄνδρες, ὡς ἔγνωτε, ἁγιώτατοι, σαφῆ τὴν ἀλήθειαν
συνήγορον ἔχοντες. ἐπειδὴ τοίνυν ἐκ παραδόξου οἱ προρρηθέντες αἱρεσιάρχαι
ἀνταλλαξάμενοι τῆς ὀφειλούσης αὐτῶν ἐκβολῆς γενέσθαι σὺν ἀτιμίαι πρὸ χρόνου L V 44
πολλοῦ τὸ ἐν τοῖς βασιλικοῖς ταμείοις οἰκεῖν παρρησίαν δεδώκασι τοῖς κατ' ἄλλον
τρόπον ἀρνουμένοις τὸ θεῖον, ἐγκαταλεγέντων αὐτοῖς πολλῶν ὀνόματι ἐπιπλάστου
ὀρθοδοξίας, καὶ κινδυνεύουσιν οἱ πιστοὶ πανταχοῦ γῆς μηκέτι ἐν ὁμονοίαι πορεύεσθαι Ps. 54. 15
ἐν τῶι οἴκωι τοῦ θεοῦ, ἐξάρατε ταχέως ἀφ' ἡμῶν τοὺς πονηρούς, προσενέγκατε
συνήθως ταύτην τὴν θυσίαν τῶι θεῶι τῶι σωτῆρι ὑπὲρ τῆς φυλαχθησομένης ὑμῖν
ἀγαθῆς ἀπολογίας ἐν τῆι μελλούσηι κρίσει τῆι φοβερᾶι, ἐλευθέραν παντὸς δέους
καὶ τρικυμίας αἱρετικῆς τὴν κρατοῦσαν εὔκοσμον ἐκκλησιαστικὴν φυλάξαντες κα-
τάστασιν, βεβαιοῦντες καὶ αὖθις τὰς κατ' αὐτῶν πρώην ἐξενεχθείσας ἐκ τοῦ ἀπο-
στολικοῦ ὑμῶν θρόνου ἐνθέσμους καὶ δικαίας καὶ εὐσεβεῖς ἀποφάσεις, εἰσηγούμενοι
τῶι ἐννομωτάτωι ἡμῶν βασιλεῖ καὶ τὰ ἐκείνων ἀσεβῆ συγγράμματα νομοθετῆσαι
πυρὶ παραδίδοσθαι καὶ καθυποβάλλεσθαι δημεύσει τοὺς ἔχοντας κατὰ μίμησιν τῶν τὰ
Μανιχαικὰ κεκτῆσθαι ζηλούντων καὶ τὰ Νεστορίου τοῦ δυσσεβοῦς καὶ τὰ Εὐτυχοῦς
τοῦ παράφρονος καὶ Διοσκόρου τοῦ αὐτῶν ὑπασπιστοῦ καὶ πατρός. οὕτω γὰρ
τοῖς εἰς αὐτοὺς μάτην ἐλπίζουσιν πᾶσα προσδοκία καταργηθήσεται. ἀξιοῦμεν δέ,
ἁγιώτατοι, καὶ τῆι κατὰ Ἄνθιμον ἱερᾶι ὑμῶν ψήφωι πέρας ἐπιθεῖναι τέλεον καὶ τοῖς
πατρικοῖς ὑμῶν κανόσιν ἁρμόδιον, ἵνα πᾶν ἐκ τοῦ μέσου σκάνδαλον ἀνέλητε καὶ ἀπὸ
τῶν μικρῶν τῶν πιστευόντων εἰς τὸν κύριον καὶ ἀκούσησθε παρὰ πάντων ἡμῶν· φυλάξοι M VIII 919

O [= aerv], I

1 συναυλίζεσθαι $O^{e}\Lambda$ 2 τῶ θείω O ῥηθὲν τῶ I ῥηθὲν O^{e} ῥητὸν O^{arv} I εἰρημένον ῥητὸν O^{r} 3 ἀδικία O^{r}I 4 οἷα om. O^{r}I Ἰσαακκίου O^{e} εἰπεῖν om. O^{e} 6 ἐκεῖνος οὐκ ἔφριξε δρᾶν O^{e} 8 καὶ^{2} om. I τὸν O^{e}I τὸ O^{arv} 9 ἀνατεῖναι O^{arv} 10 τὴν om. O^{r} ἐπίθεσιν = impostiuram 10/11 καταγινομένων] conicias συγκατατιθεμένων 13 οὗ om. O^{r} 15 ἀφανίσειν O^{r}I τοῦ O^{er}I τῆσ O^{av} 16 τοῦ φονικοῦ τοῦδε τολμήματοσ O^{e} τοῦ^{2} om. I 18 συνήγοροι O^{v} 19 τῆς ὀφειλούσης I τὴν ὀφείλουσαν OΛ ἐκβολῆς I ἐκβολὴν OΛ ταμιείοισ O^{e} 20 καὶ κατ' O^{e} 21 θεὸν ἀρνουμένοισ O^{e} 21/22 ὀρθοδοξίασ ἐπιπλάστου O^{e} 22 μηκέτι πανταχοῦ γῆσ O^{r}I 24 τῶ^{2} O^{arv}I καὶ $O^{e}\Lambda$ 25 ἀπολογίασ ἀγαθῆσ O^{rv} 26 τρικυμίασ O πάσης πλάνης I κρατοῦσαν O παροῦσαν I εὔκοσμον I εὐκοσμίαν O φυλάξαντεσ I φυλάξατε OΛ 26/27 καὶ κατάστασιν O^{arv} 28 καὶ^{2} om. O^{r} 29 βασιλεῖ ἡμῶν O^{e} 30 τοὺσ ἔχοντασ δημεύσει καθυποβάλλεσθαι O^{e} 31 ζητούντων O^{r}I ζηλούντων $O^{aev}\Lambda$ 32 πρσ καὶ ὑπερασπιστοῦ $O^{e}\Lambda$ ὑπερασπιστοῦ I 33 καταλυθήσεται I 34 θεία καὶ ἱερᾶ O^{e} 35 ἀνέλητε σκάνδαλον O^{e} 36 καὶ O^{arv}IΛ καὶ τὴν εὐκταίαν φωνὴν O^{e} φυλάξει O^{aev}

κύριος τὸν θρόνον ὑμῶν καὶ τοῦ φιλοχρίστου ἡμῶν βασιλέως ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ, τὰ τοῦ Πέτρου μιμήματα σώιζοντας καὶ σώσαντας ἡμᾶς ἐκ τῶν θλιβόντων καὶ τοὺς μισοῦντας ἡμᾶς καταισχύναντας.

Ὑπογραφαί

1 Θαλάσσιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Βηρυτίων πόλεως ἀξιώσας ὑπέγραψα: —
2 Μέγας ἐλέει θεοῦ ἐπίσκοπος τῆς Βεροιαίων φιλοχρίστου πόλεως ἀξιώσας ὑπέγραψα: —
3 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος Γαβάλων ὑπέγραψα Συριστί: —
4 Αἰθέριος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Μαριαμμιτῶν πόλεως ἀξιώσας ὑπέγραψα: —
5 Χριστοφόρος ἐλέει θεοῦ ἐπίσκοπος Πορφυρεῶνος ἀξιώσας ὑπέγραψα: —
6 Ἀρχέλαος ἐπίσκοπος Κωρύκου ἀξιώσας ὑπέγραψα: —
7 Δαυίθος ἐλέει θεοῦ ἐπίσκοπος τοῦ Κιρκινσίου ὑπέγραψα Συριστί: —
8 Ἀλέξανδρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς ποτὲ Βαρκουσῶν, νυνὶ δὲ Ἰουστινιανουπόλεως ἀξιώσας ὑπέγραψα: —
9 Ἀναστάσιος ἐλέει θεοῦ ἐπίσκοπος Ἰωτάβης ἀξιώσας ὑπέγραψα: —
10 Δόμνος ἐλέει θεοῦ ἐπίσκοπος Μαξιμιανουπόλεως ἀξιώσας ὑπέγραψα: —
11 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος Ζωόρων ἀξιώσας ὑπέγραψα: —
12 Μάγνος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀποκρισιάριος τῆς κατὰ Θεούπολιν ἁγιωτάτης μεγάλης ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —
13 Ἡράκλειος ἐλέει θεοῦ διάκονος καὶ ἀποκρισιάριος τῆς κατὰ Θεούπολιν ἁγίας τοῦ θεοῦ καθολικῆς ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —
14 Ἀθανάσιος διάκονος καὶ ἀποκρισιάριος τῆς κατὰ Τύρον ἁγιωτάτης ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —
15 Παῦλος ἐλέει θεοῦ ἀναγνώστης καὶ ἀποκρισιάριος τῆς κατὰ τὴν Ταρσέων ἁγιωτάτης ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —
L V 45 16 Θωμᾶς ἐλέει θεοῦ διάκονος καὶ ἀποκρισιάριος τῆς κατὰ τὴν Ἰουστινιανιτῶν πόλιν ἁγιωτάτης ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —
17 Ἀγάπιος ἐλέει θεοῦ διάκονος καὶ ἀποκρισιάριος τῆς ἁγίας ἐκκλησίας Ἱερᾶς πόλεως μητροπόλεως Εὐφρατησίας ἀξιώσας ὑπέγραψα: —
18 Ἰωάννης ἐλέει θεοῦ ὑποδιάκονος καὶ ἀποκρισιάριος τῆς κατὰ Βόστραν τὴν μητρόπολιν ἁγίας ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —
19 Τρόφιμος διάκονος καὶ ἀποκρισιάριος τῆς κατὰ Σελεύκειαν Ἰσαυρίας ἁγιωτάτης ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —
20 Εὐσέβιος ἐλέει θεοῦ διάκονος καὶ ἀποκρισιάριος τῆς κατὰ Ἄμιδαν ἁγιωτάτης ἐκκλησίας ἐπιστάμενος τὰ ἀνωτέρω εἰρημένα κατὰ Σεβήρου καὶ Πέτρου καὶ Ζωόρα καὶ Ἀνθίμου ἀξιώσας ὑπέγραψα: —

O [= ae, r (usque ad 8), v], I [usque ad 8]

4 αἱ ὑπογραφαί O^r om. $O^{av}I$ 5 sq. ἐλέει θεοῦ semper om. $O^eΛ$ 5 ἐλέω O^{rI} βηρυτῶν O^r 6. 7 om. I 6 βερροιαίων O^{ev} μερνέων O^r φιλοχρίστου om. $O^eΛ$ 8 ἐλέω I γαβούλων O^{arv} 9—p. 152, 6 Αἰθέριος — ὑπέγραψα] καὶ οἱ λοιποὶ πάντες ὑπέγραψαν [ὑπέγραψαν om. I] O^{rI} 9 τῆς — πόλεως] μαριάμμης $O^eΛ$ 11 om. O^{av} 12 τοῦ om. O^e 13 νῦν O^r 18/19 ἁγιωτάτης μεγάλης om. $O^eΛ$ 19. 21. 23. 25 ἀξιώσας om. $O^eΛ$ 20 ράκλιοσ O^a 20/21 κατὰ — καθολικῆς] αὐτῆς $O^eΛ$ 21 καθολικῆσ O^a om. O^v 22 ἁγιωτάτης om. $O^eΛ$ 24/25 κατὰ — ἁγιωτάτης O^{av} ἐν ταρσῶ $O^eΛ$ 26 τὴν om. O^a 26/27 τὴν — πόλιν O^{av} Ἰουστινιανούπολιν $O^eΛ$ 27 ἁγιωτάτης om. $O^eΛ$ 27. 31. 36. p. 151, 1. 4. 6. 8. 10. 11. 14. 15. 18. 20. 22. 23. 25. 27. 30. 32. 34. 36. 38. 40 ἀξιώσας om. $O^rΛ$ 28 τῆς om. O^{av} 30/31 τὴν μητρόπολιν om. $O^eΛ$ 35 καὶ¹ om. $O^eΛ$

21 Μάρκος διάκονος καὶ ἀποκρισιάριος τῆς ἁγίας ἐκκλησίας Ἐμέσης ἀξιώσας ὑπέγραψα: —

22 Συμεώνης διάκονος καὶ ἀποκρισιάριος τῆς κατὰ Ἀγιόπολιν ἁγιωτάτης ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —

23 Σέργιος διάκονος καὶ ἀποκρισιάριος τῆς κατὰ Πτολεμαίδα ἁγιωτάτης ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —

24 Κοσμᾶς ἐλέει θεοῦ μοναχὸς καὶ ἀποκρισιάριος τῆς κατὰ Ἀντάραδον ἁγιωτάτης ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —

25 Ἡσαίας ἐλέει θεοῦ διάκονος καὶ ἀποκρισιάριος τῆς κατὰ τὴν Ἀρεθουσίων ἁγιωτάτης ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —

26 Ἰουλιανὸς διάκονος καὶ ξενοδόχος τῆς Παλμυρέων ἁγίας ἐκκλησίας ἀξιώσας ὑπέγραψα: M VIII 922

27 Ἰωνᾶς διάκονος καὶ ἀποκρισιάριος τῆς Ἡλιουπολιτῶν ἁγιωτάτης ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —

28 Ἀβράμιος διάκονος καὶ ἀποκρισιάριος τῆς αὐτῆς ἁγίας ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —

29 Συμεώνης ἐλέει θεοῦ πρεσβύτερος τῆς κατὰ Κύπρον Κωνσταντίας ἁγίας τοῦ θεοῦ ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —

30 Ἰωάννης ἀναγνώστης καὶ ἀποκρισιάριος τῆς κατὰ Σελεύκειαν Συρίας ἁγίας τοῦ θεοῦ ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —

31 Μαρτύριος ἀναγνώστης τῆς κατὰ Βηρυτίων μητρόπολιν ἁγίας τοῦ θεοῦ ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —

32 Ἀρσένιος ἀναγνώστης τῆς κατὰ Μαριάμμην ἁγιωτάτης ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —

33 Σέργιος ἐλέει θεοῦ πρεσβύτερος καὶ περιοδευτὴς μονῆς Γινδάρου ἀξιώσας ὑπέγραψα: —

34 Συμεὼν ἐλέει θεοῦ διάκονος τῆς ἁγίας τοῦ Χριστοῦ Ἀναστάσεως ἀξιώσας ὑπέγραψα: —

35 Ἀναστάσιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀποκρισιάριος τῆς Καισαρέων ἁγιωτάτης ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —

40 Ἀλέξανδρος ἐλέει θεοῦ ὑποδιάκονος καὶ ἀποκρισιάριος τῆς Καισαρέων ἁγιωτάτης ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —

41 Ἰωάννης διάκονος καὶ ἀποκρισιάριος τῆς κατὰ Ἐλευθερόπολιν ἁγιωτάτης ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —

42 Θεοδόσιος διάκονος καὶ ἀποκρισιάριος τῆς Γαζαίων ἁγιωτάτης ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —

43 Πάμφιλος ἐλέει θεοῦ διάκονος καὶ ἀποκρισιάριος τῆς κατὰ Νεάπολιν ἁγίας τοῦ θεοῦ ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —

44 Εὔνομος πρεσβύτερος καὶ ἀποκρισιάριος τῆς κατὰ Πέτραν ἁγιωτάτης ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —

O [= acrv], 1

1 ἁγίασ — ἐμέσησ O^e κατὰ [om. O^v] ἁγίασ μητροπόλεωσ ἐμῆσ O^{av}, quae nimis corrupta sunt quam ut primaria subscriptio restituatur 3. 5. 7 ἁγίασ $O^eΛ$ 9/10. 13. 23. 29/30. 30/31. 33. 35. 39. p. 152, 5 ἁγιωτάτης om. $O^eΛ$ 11. 15 ἁγίας om. $O^eΛ$ 17 τοῦ θεοῦ om. $O^eΛ$ 19/20 ἁγίας τοῦ θεοῦ om. $O^eΛ$ 21 κατὰ — θεοῦ O^{av} ἐν βηρυτῷ $O^eΛ$ 27 συμεώνησ $O^eΛ$ ἐλέω O^a 32 ἐκκλησίασ παλαιστηνῶν $O^eΛ$ 35 γαζέων O^{av} 37/38. p. 152, 4 ἁγίας τοῦ θεοῦ om. $O^eΛ$ 39 Πέτραν scripsi πέτρον OΛ

45 Ἀναστάσιος διάκονος καὶ ἀποκρισιάριος τῆς αὐτῆς ἁγίας ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —

46 Βίκτωρ διάκονος καὶ ἀποκρισιάριος τῆς κατὰ Ἀρεόπολιν ἁγίας τοῦ θεοῦ ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —

47 Φιλούμενος ἀναγνώστης τῆς Ταρσέων ἁγιωτάτης ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —

70 L V [48] Καὶ μετὰ τὴν ἀνάγνωσιν τῶν λιβέλλων Μηνᾶς ὁ θεοσεβέστατος ἀναγνώστης καὶ νοτάριος σεκουνδοκήριος τῆς πρεσβύτιδος Ῥώμης προκομίσας τὸ ἄκτον τῆς γραφείσης παρὰ Ἀγαπητοῦ τοῦ τῆς ἁγίας μνήμης συνοδικῆς Ῥωμαικῆς ἐπιστολῆς ἀνέγνω. καὶ μετὰ τὴν ἀνάγνωσιν Χριστόδωρος ὁ θεοσεβέστατος νοτάριος καὶ διάκονος σηκρητάριος λαβὼν παρὰ τοῦ εἰρημένου θεοφιλεστάτου Μηνᾶ τὴν ἑρμηνείαν ἀνέγνω οὕτως

Ἑρμηνεία τῆς προαναγνωσθείσης συνοδικῆς ἐπιστολῆς

71 1. Tim. 3, 2 M VIII 923 Τῶι ἀγαπητῶι ἀδελφῶι Πέτρωι Ἀγαπητός. Ἠβουλόμεθα μέν, ἀδελφοὶ ἀγαπητοί, διὰ τὴν τῆς ὑμετέρας ἀγάπης συνάφειαν πάντας τοὺς τοῦ κυρίου ἱερεῖς κατὰ τὴν ἀποστολικὴν παράδοσιν ἀνεπιλήπτους εὑρίσκεσθαι καὶ μηδένα ἢ διὰ χάριν ἢ διὰ φόβον τῶν ἐκκλησιαστικῶν κανόνων ἐκκλίνειν· ἀλλ' ἐπειδὴ πολλὰ πολλάκις παρακολουθεῖ ἄτινα μεταμέλειαν τίκτειν δύναται καὶ νικᾶι τὰ πλημμελήματα τῶν ἁμαρτανόντων ὁ ἔλεος τοῦ θεοῦ καὶ διὰ τοῦτο ὑπερτίθεται ἡ τιμωρία, ὡς ἂν τόπον εὑρεῖν ἡ διόρθωσις δυνηθείη, παραινέσαι ἀναγκαῖον ἐκρίναμεν ἵνα τὰ παραληφθέντα κἂν τὸ λοιπὸν ἀπαράβατα φυλαχθείη. ἐχρῆν μὲν γὰρ τὴν ὑμετέραν ἀγάπην μεμνημένην τῶν πατρικῶν παραδόσεων μηδένα συγχωρεῖν τὰ κεκωλυμένα ποιεῖν, ἀλλὰ καὶ εἴ τις τολμηρὸς φανείη, πάσηι δυνάμει ἐναντιοῦσθαι. παραγενόμενοι τοιγαροῦν εἰς τὸ κομιτάτον τοῦ γαληνοτάτου ἡμῶν βασιλέως τοῦ ἡμετέρου υἱοῦ ηὕρομεν τὴν καθέδραν τῆς ἐν Κωνσταντινουπόλει ἐκκλησίας παρὰ τοὺς θεσμοὺς τῶν κανόνων ὑπὸ Ἀνθίμου τοῦ τῆς Τραπεζουντίων ἐκκλησίας ἐπισκόπου οὐ προσηκόντως ὑφαρπασθεῖσαν, οὗτινος τὴν ψυχὴν οὐ κατὰ τοῦτο μόνον τὸ μέρος, ἀλλ' ὅπερ καὶ μεῖζόν ἐστιν, ἐν τῆι τῆς ἀληθοῦς πίστεως ὁμολογίαι ἐπεθυμήσαμεν ἐκ τῆς ἀπωλείας ἐπαναγαγεῖν, ἀλλὰ τῆι Εὐτυχέος ἐνιστάμενος πλάνηι εἰς τὴν τῆς ἀληθείας ὁδὸν ἐπανελθεῖν κατεφρόνησεν. ὅθεν ἐπειδὴ κατὰ τὴν ἀποστολικὴν ἀγάπην τὴν ἐν τῆι πίστει αὐτοῦ μεταμέλειαν ἀναμένομεν, ἐν τῶι μεταξὺ οὐδὲ καθολικοῦ οὐδὲ ἱερέως ὀνόματος ἄξιον εἶναι ψηφίζομεν, μέχρις ἂν πάντα τὰ παρὰ τῶν πατέρων παραδοθέντα, δι' ὧν ἀληθῶς τῆς θρησκείας ἡ πίστις καὶ ἐπιστήμη φυλάττεται, κατὰ τὴν προσήκουσαν πληροφορίαν δέξηται. τοὺς δὲ ἑτέρους ὁμοίως τῆς αὐτοῦ ἀπονοίας τοὺς τῆι ψήφωι τῆς ἀποστολικῆς καθέδρας κατακριθέντας παραπλησίως ἡ ὑμετέρα ἀγάπη ἀποστραφήτω, ὧν αὐτὸς ἑαυτὸν μέτοχον ἐποίησεν. τῆς δὲ ἐν Κωνσταντινου-

---

O [= ac, r (inde a 8), v], I [inde a 8]

1. 3 ἁγίας om. $O^{eΛ}$ 1. 4 ἀξιώσας om. $O^{eΛ}$ 8 νοταρίων $O^{eΛ}$ 9 τοῦ om. O^{v} ῥωμαικῆσ O^{av} om. $O^{erIΛ}$ ἀνέγνω O^{arvI} ἀνέγνω διὰ ῥωμαικῶν λέξεων $O^{eΛ}$ 9/10 καὶ — ἀνάγνωσιν O^{arvI} τὴν δὲ ἑρμηνείαν ταύτησ ἀνέγνω $O^{eΛ}$ 10/11 ὁ θεοσεβέστατοσ — οὕτωσ O^{arv} διάκονοσ καὶ νοτάριοσ σηκρητάριοσ ἔχουσαν οὕτωσ $O^{eΛ}$ 10 καὶ διάκονοσ σηκρητάριοσ O^{av} om. O^{rI} 12 om. O^{r} ἐπιστολὴ ἀγαπητοῦ πάπα ῥώμησ πρὸσ πέτρον ἀρχιεπίσκοπον ἱεροσολύμων I προαναγνωσθείσησ — ἐπιστολῆσ O^{av} συνοδικῆσ ἐπιστολῆσ τῆσ διὰ ῥωμαικῶν γραφείσησ γραμμάτων ἅτινα παρείθησαν διὰ τὴν ἀπειρίαν αὐτῶν [ἅτινα — αὐτῶν om. Λ] $O^{eΛ}$ 13 ἀγαπητοὶ ἀδελφοὶ O^{e} 14 ἡμετέρασ O^{erv} 15 ἢ¹ om. O^{r} διὰ² om. O^{r} 16 ἐπεὶ O^{e} πολλὰ $O^{eΛ}$ om. O^{arvI} 17/18 ἔλεοσ τοῦ θῦ ΟΛ ἔρωσ τῆσ διορθώσεωσ I 19 ἐκκρίναμεν O^{a} παραλειφθέντα O^{rvI} κἂν O εἰσ I 20 μὲν om. I 22 παραγινόμενοι O^{r} 23 εὕρομεν O^{eI} 24 τοῦ ἀνθίμου τοῦ O^{av} 26 τὸ μέροσ μόνον I 27 εὐτυχοῦσ O^{r} 28 ἐπανελθεῖν om. O^{v} 31 δι' om. O^{rI} ἡ τῆσ θρησκείασ I 32 προσήκουσαν om. O^{v} ὁμοίουσ I 34 ἀμέτοχον O^{e}

πόλει καθέδρας τὴν ὕβριν βοηθοῦντος τοῦ θεοῦ τῇι ἀποστολικῇι αὐθεντίαι καὶ τῶν πιστοτάτων βασιλέων τῇι βοηθείαι διωρθώσαμεν. καὶ τρόπον τινὰ τεθαυμάκαμεν ὅτι τοῦτο τὸ ἔργον οὕτω τοῖς πατρικοῖς ψηφίσμασιν φανερῶς ἐναντίον ἡ ὑμετέρα ἀδελφότης οὐ μόνον εἰς γνῶσιν ἡμετέραν ἐνεγκεῖν ἠμέλησεν, ἀλλὰ καὶ ἐπιληψίμωι ἐβεβαίωσε συναινέσει, εὐχαριστοῦμεν δὲ τῶι θεῶι, οὕτινος τῶι νεύματι ὡς ἐπὶ τὸ πολὺ τὰ κακὰ πρὸς τὸ βέλτιον τρέπεται καὶ αἱ μικραὶ παραβάσεις εἰς ὄφελος καὶ ἀφορμὴν μεγάλης γίνονται χαρᾶς. τοῦτο δὲ ὑπὲρ τοῦ διεγεῖραι τῆς ὑμετέρας ὁμοψυχότητος τὴν ἀγαλλίασιν σημαίνω ὅτι Μηνᾶν τὸν ἀδελφὸν καὶ συνεπίσκοπον ἡμῶν, ἄνδρα πολλοῖς ἐπαίνων τρόποις κεκοσμημένον, ἡ μνημονευθεῖσα Κωνσταντινουπόλεως ἐκκλησία ἐπίσκοπον ἐδέξατο, ὥιτινι εἰ καὶ παρὰ τοὺς λοιποὺς τῶν γαληνοτάτων βασιλέων ἐπεγέλασεν ἡ ἐπιλογή, ὅμως τοσαύτη τοῦ τε κλήρου παντὸς καὶ τοῦ δήμου συναίνεσις προσγέγονεν, ὥστε παρ' ἑκάστου καὶ ἐπιλεγῆναι πιστεύεσθαι. καὶ γὰρ οὔτε τῇι εἰδήσει οὔτε τῇι L V [46]
ζωῇι τινὶ ἦν ἄγνωστος, ἀλλὰ καὶ τῇι ἀκεραιότητι τῆς πίστεως καὶ τῶν ἱερῶν γραφῶν τῇι σπουδῇι, οὐ μὴν ἀλλὰ καὶ τῆς εὐσεβοῦς διοικήσεως τῇι ὑπηρεσίαι οὕτω τοῦ προλεχθέντος ἀνδρὸς ἔλαμπεν ἡ δόξα, ὥστε αὐτῶι βραδύτερον δοκεῖν παραγεγονέναι οὗπερ ἠξίωται. καὶ τοῦτο δὲ πιστεύομεν τῇι αὐτοῦ ἀξίαι προστεθῆναι, ὅτιπερ ἐκ τῶν χρόνων τοῦ ἀποστόλου Πέτρου οὐδένα ἄλλον οἱαδήποτε Ἀνατολικὴ ἐκκλησία ἐδέξατο ἐπίσκοπον ταῖς χερσὶν τῆς ἡμετέρας καθέδρας χειροτονηθέντα, καὶ τυχὸν ἢ εἰς ἀπόδειξιν ἐπαίνου αὐτοῦ ἢ εἰς κατάλυσιν τῶν ἐχθρῶν τῆς ἐνστάσεως τοσοῦτον πρᾶγμα προέβη, ὥστε ἐκείνοις αὐτὸν εἶναι δοκεῖν ὅμοιον, οὓς ἐν τούτοις ποτὲ τοῖς μέρεσιν αὐτοῦ τῶν ἀποστόλων τοῦ πρώτου ἐχειροτόνησεν ἡ ἐπιλογή. κοινὴν τοιγαροῦν χαράν, ἀδελφοί, εὐσεβεῖ ἀγαλλιάσει ὑποδέξασθε καὶ ὁπόσον τῆς ἀποστολικῆς ἡμῶν καθέδρας τὴν κρίσιν ἀποδέχεσθε, τῇι συνήθει σημάνατε ἀντιγραφῇι, διπλῆν ἔχοντες εὐφροσύνης αἰτίαν ὅτι καὶ τὰ φαῦλα ἄνευ παρολκῆς διωρθώθη καὶ ἀντὶ τούτων τὰ εὐκταῖα παρηκολούθησε, M VIII 926
τοῦ λοιποῦ προφυλαττόμενοι ἵνα μὴ αὖθις τοῖς κανονικοῖς θεσπίσμασιν ἐναντίον τι δι' ὑμῶν, ὅπερ ἀπέστω, γένηται ἢ τῇι ὑμετέραι στερχθείῃ συναινέσει, ἐπειδὴ καθάπερ συγγνώμης ἀξία ἐστὶν ἡ πλάνη τοῦ ἅπαξ ἁμαρτάνειν, οὕτως ἡ συχνὴ παράβασις κίνησιν αὐστηρίας ἀπαιτεῖ. ὑπογραφή· Ὁ θεὸς ἐρρωμένον σε φυλάξοι, ἀδελφὲ τιμιώτατε.

Διαλαλιὰ Μηνᾶ πατριάρχου

72 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος καὶ πᾶσα ἡ ἁγία σύνοδος εἶπεν· Οὐδὲν θαυμαστὸν εἰ τοῖς ἑαυτοῦ κατακολουθεῖ καὶ νῦν ὁ μέγας ἀποστολικὸς θρόνος τούς τε ἱεροὺς τῶν ἁγιωτάτων ἐκκλησιῶν θεσμοὺς ἀπαρεγχειρήτους διατηρῶν καὶ τὰ τῆς ὀρθῆς πίστεως ἐκδικῶν καὶ φιλανθρώπου γνώμης τοῖς ἡμαρτηκόσι μεταδιδούς. ὅθεν καὶ ἡμεῖς πληροῦντες τὰ τῶι μακαριωτάτωι πάπαι ἐπὶ τῆς συνοδικῆς ἐπιστολῆς δεδογμένα καὶ καιρὸν

O [= acrv], I
1 τοῦ θεοῦ om. $O^{e}\Lambda$ 2 διορθώσαμεν O^{a} 3 φανερῶσ τοῖσ — ψηφίσμασιν O^{e} 4 ἐμέλησεν O^{a} ἐπιληψήμω O^{arv} 5 συνέσει O^{arv} πῦνι $O^{e}\Lambda$ 5/6 τὰ κακὰ — βέλτιον ὡσ — πολὺ O^{e} 6 μεγάλην O^{a} 7 ὁμοψυχίασ O^{e} 8 καὶ om. O^{av} 9 ῥηθεῖσα O^{e} ἐκκλησία $O\Lambda$ καθέδρα I 10/11 ἡ τῶν γαληνοτάτων ἐπεγέλασε βασιλέων ἐπιλογὴ O^{e} 11 ἐπιλοὴ I παντόσ τε τοῦ κλήρου O^{e} σύνεσισ O^{av} σύννευσισ O^{r} προσεγένετο O^{r}I 12 καὶ om. O^{a} 13 ἦν τινὶ O^{r} 14 τῇ τῆσ — διοικήσεωσ ὑπηρεσία I 15 ἡ δόξα διέλαμπεν O^{e} 16 προστιθέναι O^{r} ὅτιπερ I ὅπερ O 17 ἐκκλησία ἀνατολικὴ O^{r} 18 εἶσ O^{e}I om. O^{arv} 20 ὥστε καὶ I 21 ἀδελφοὶ χαρὰν O^{e} 22 ὁπόσον ὑμεῖσ $O^{e}\Lambda$ 22/23 ἀποδέχεσθε τὴν κρίσιν O^{e} 23 ἔχοντεσ διπλῆν O^{e} 24 καὶ^{1} I τὲ καὶ O διωρθώθη ἄνευ παρολκῆσ O^{e} 26 ἀπέστω] ἀπεύχομαι O^{r}I *non credo* [i. e. ἀπιστῶ pro ἀπέστω] Λ συνέσει O^{arv} 28 ἡ ὑπογραφή O^{r} om. O^{e}I post ὑπογραφὴ coll. διαλαλιὰ — πατριάρχου O^{v} φυλάξοι O^{r}I φυλάξει O^{e} διαφυλάξοι O^{a} διαφυλάξει O^{v} 29 om. O^{r}I 30 Ὁ ἁγιώτατος — εἶπεν om. O^{v} 31 τῆς O^{v} 34 μακαρίω I τοῖσ συνοδικοῖσ O^{a}

αὐτῶι μετανοίας ἐνδιδόντες συνορῶμεν Βοσπόριον τὸν ὁσιώτατον ἐπίσκοπον τῆς Νεοκαισαρέων μητροπόλεως καὶ Ἀκάκιον τὸν ὁσιώτατον ἐπίσκοπον τῆς Πισινούντων μητροπόλεως καὶ Ζαχαρίαν τὸν ὁσιώτατον ἐπίσκοπον τῆς Μιτυληναίων μητροπόλεως καὶ Ἰωάννην καὶ Θεόκτιστον τοὺς θεοφιλεστάτους πρεσβυτέρους καὶ ἐκδίκους τῆς ἐνταῦθα ἁγιωτάτης μεγάλης ἐκκλησίας καὶ Ἀκάκιον καὶ Χριστόδωρον τοὺς θεοσεβεστάτους διακόνους καὶ νοταρίους τῆς αὐτῆς ἁγιωτάτης ἐκκλησίας ἀναζητῆσαι Ἄνθιμον τὸν εὐλαβέστατον καὶ δῆλα μὲν αὐτῶι καταστῆσαι τὰ παρ' ἡμῖν πεπραγμένα, προτρέψαι δὲ εἴσω τριῶν ἡμερῶν, εἰ βούλοιτο παραγενέσθαι πρὸς τὴν ἁγίαν ταύτην σύνοδον καὶ τὴν προσήκουσαν ἐπὶ τοῖς προσηγγελμένοις ποιήσασθαι πληροφορίαν.

Ὑπεσημηνάμην.

73 Μετὰ δὲ τὴν ὑπατείαν Φλ' Βελισσαρίου τοῦ λαμπροτάτου τῆι πρὸ μιᾶς Νόνων
d. 6. m. Mai. Μαίων ἰνδικτιῶνος τεσσαρεσκαιδεκάτης ἐν τῆι φιλοχρίστωι καὶ βασιλευούσηι Κωνσταν-
a. 536 τινουπόλει Ῥώμηι

προκαθεζομένου τοῦ δεσπότου ἡμῶν τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου ἀρχι-
L V 52 επισκόπου καὶ οἰκουμενικοῦ πατριάρχου Μηνᾶ ἐν τῶι μεσαύλωι τῶι δυτικῶι τοῦ σε-
βασμίου οἴκου τῆς δεσποίνης ἡμῶν τῆς ἁγίας ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας τοῦ ὄντος πλησίον τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας

καὶ ἐκ μὲν τοῦ δεξιοῦ μέρους συνεδρευόντων αὐτῶι καὶ συνακροωμένων κατὰ εὐσεβῆ κέλευσιν τοῦ φιλοχρίστου καὶ θεοφυλάκτου ἡμῶν βασιλέως Ἰουστινιανοῦ τῶν ὁσιωτάτων καὶ θεοφιλεστάτων ἐπισκόπων

2 Σαβίνου τοῦ Κανουσίου
3 Ἐπιφανίου Ἐκλάνων
4 Ἀστερίου Σαλέρνων
5 Ῥουστίκου Φεσούλων
6 Λέοντος Νόλου

τῶν πάντων ἐκ τῆς Ἰταλῶν χώρας πρώην μὲν ἀπεσταλμένων ἐκ τῆς ἀποστολικῆς καθέδρας, ὕστερον δὲ συνόντων παραγενομένωι ἐνταῦθα Ἀγαπητῶι τῶι τῆς ἁγίας μνήμης γενομένωι πάπαι τῆς πρεσβυτέρας Ῥώμης

M VIII 927 7 Πέτρου τῆς μητροπόλεως Ἰουστινιανουπόλεως τῆς δευτέρας Καππαδοκῶν ἐπαρχίας

8 Ζαχαρίου τῆς μητροπόλεως Μιτυλήνης
9 Μάρκου τῆς μητροπόλεως Ἀπαμείας τῆς Βιθυνῶν ἐπαρχίας
10 Αὐξεντίου τῆς μητροπόλεως Σηλυβρίας
11 Τιμοθέου τῆς μητροπόλεως Βερόης

O [= aerv], I

1/2 Νεοκαισαρέων — ἐπίσκοπον τῆς om. O^r 2 πισσινούντων O^{ev} πισινουντίων I 3 καὶ Ζαχαρίαν — μητροπόλεως post 5 μεγάλης ἐκκλησίας coll. $O^eΛ$ μητροπόλεωσ μιτυληναίων O^{av} 7 ἡμῶν O^r 8 ἡμερῶν om. O^r 9 τὴν om. O^r ἐπὶ — ποιήσασθαι om. O^v προ[προσ- O^a ἐπηγγελμένοις O^{ar} inscr. πρᾶξισ ἑτέρα συστᾶσα [om. O^r] παρὰ μηνᾶ πριάρχου $O^{er}Λ$ πρᾶξις ἑτέρα I^{mg} 11 δὲ om. $O^eIΛ$ φλαβίου $O^eIΛ$ βελισαρίου $O^vIΛ$ μιλισαρίου O^r νόννων OI 12/13 ῥώμη κωνσταντινουπόλει $O^eΛ$ κωνσταντινουπόλει νέα ῥώμη O^a 16 τῆς — ἐνδόξου δεσποίνης ἡμῶν I 19 τὴν εὐσεβῆ I 21—26 τῶν om. O^rI 21 κανοσίου O^v 25/26 Νόλου τῶν] νολούτων O^a νελούτων O^v νολούνων O^e 26 πάντων O τῶν I post πρώην μὲν habentur in O^{av} πρώτης [δευτέρασO^v] καππαδοκίας [p. 156, 12] — τῆσ ὁσίασ μνήμησ [p. 156, 31], deinde ἀπεσταλμένων[26] — καισαρείασ τῆσ μροπολεωσ [p. 156, 12], denique καὶ ἐξάρχου ἅμα τοῖσ κτλ. [p. 156, 31] ordinem restituit O^a litteris β̄ ᾱ γ̄ margini appictis, ex littera ᾱ orta est lectio τῆσ πρώτησ [26] O^v 27 παραγενομένων O^r 28 ὁσίασ O^e 29—p. 155, 20 Πέτρου — Ἀλίνδων] καὶ λοιπῶν τῶν ὑπὸ τὴν βασιλίδα ταύτην τελούντων O^rI

12 Θαλασσίου τῆς μητροπόλεως Βηρυτοῦ
13 Μεγάλου τῆς μητροπόλεως Βεροίας
14 Ἰωάννου τῆς μητροπόλεως Βοσπόρου
15 Ἰωάννου Γαβάλων
16 Δομετιανοῦ Ζικχίας
17 Χριστοφόρου Πορφυρεῶνος ἐπαρχίας Φοινίκης παράλου
18 Ἀρχελάου Κωρύκου
19 Δαυίθου τοῦ Κιρκινσίου
20 Αἰθερίου Μαριάμμης
21 Ἀλεξάνδρου Βαρκουσῶν
22 Δόμνου Μαξιμιανουπόλεως τῆς δευτέρας Παλαιστίνης
23 Ἀναστασίου Ἰωτάβης
24 Ἰωάννου Ζωόρων
25 Ἀνδρέου τοῦ Πανίου
26 Ἐπιτυγχάνου Γέρμης ἐπαρχίας Ἑλλησπόντου
27 Πελαγίου Παρνασσοῦ
28 Παύλου τοῦ Στεκτορίου
29 Ἀνδρέου Πελτῶν
30 Θεοδώρου Μηροῦ
31 καὶ Θεοδωρίτου Ἀλίνδων
ἐκ δὲ τοῦ εὐωνύμου μέρους
32 Ὑπατίου τῆς μητροπόλεως Ἐφέσου
33 Κωνσταντίνου Ἡρακλείας τῆς μητροπόλεως Εὐρώπης
34 Θεαγένους τῆς μητροπόλεως Συνάδων
35 Βάκχου Ἀντιοχείας τῆς μητροπόλεως Πισιδίας
36 Ἱλαριανοῦ τῆς μητροπόλεως Πέργης
37 Βοσπορίου Νεοκαισαρείας τῆς μητροπόλεως Πόντου Πολεμωνιακοῦ
38 Παύλου τῆς μητροπόλεως Τυάνων
39 Ἀκακίου τῆς μητροπόλεως Πισσινούντων
40 Ἐπικτήτου Κλαυδιουπόλεως τῆς μητροπόλεως Ὀνωριάδος
41 Ἐπιφανίου Ἡρακλείας τῆς Ὀνωρεατῶν ἐπαρχίας
42 Ἀβραμίου Κρατίας
43 Ἀλεξάνδρου Κολωνείας τῆς δευτέρας Καππαδοκῶν ἐπαρχίας
44 Ἀστερίου Ἀμάστρεως
45 Εὐγενίου Τίου
46 Ἰωάννου Καισαρείας τῆς Βιθυνῶν ἐπαρχίας
47 Κυριακοῦ Θεοδοσιουπόλεως τῆς Φρυγῶν Πακατιανῶν ἐπαρχίας
48 Ἰωάννου Τραιανουπόλεως
49 Θεοδότου Εὐροίας Παλαιᾶς Ἠπείρου
50 Ἀνδρέου Ἀμυζόνος
51 Φλαβιανοῦ Κοτένων
52 Ἡλίου Ἀδριανῶν τῆς Βιθυνῶν ἐπαρχίας
53 καὶ Ἁρμονίου Καλλιπόλεως

O [= aerv], 1
2 βερροιασ O^{ev} 4 γαβουλῶν O^{av} 5 ζηκχίασ O^{e} 11 παλαιστήνησ O^{e} 16 παρνασσοῦ O^{a} 17 στεκτωρίου O^{av} 19 μίρου O^{e} 22 ὑπάτου O^{v} 24 θεογένους O^{r} 25—43 καὶ τῶν λοιπῶν O^{rl} 25 πισσιδίασ O^{ev} 37 καπατιανῶν O^{av} 40 ἀμουζῶνοσ O^{av} 41 κοτέννων O^{av}

54-57 συμπαρόντων δὲ αὐτῶι καὶ συνακροωμένων καὶ Θεοφάνους καὶ Πελαγίου τῶν θεοφιλεστάτων δισκόνων τῆς ἀποστολικῆς καθέδρας καὶ Μηνᾶ καὶ Πέτρου τῶν θεοσεβεστάτων νοταρίων καί τινων εὐλαβεστάτων ὑποδιακόνων καὶ ἐκδίκων καὶ λοιπῶν κληρικῶν τοῦ αὐτοῦ ἀποστολικοῦ θρόνου, οἳ καὶ συνόντες ἐτύγχανον παραγενομένωι ἐνταῦθα Ἀγαπητῶι τῶι τῆς ἁγίας μνήμης γενομένωι πάπαι τῆς πρεσβυτέρας Ῥώμης

58. 59 καὶ Μάγνου πρεσβυτέρου καὶ Ἡρακλείου διακόνου καὶ ἀποκρισιαρίων Ἐφραιμίου τοῦ ὁσιωτάτου πατριάρχου τῆς ἐν Θεουπόλει ἁγιωτάτης ἐκκλησίας

60 Σαβίνου διακόνου τῆς ἁγίας Χριστοῦ τοῦ θεοῦ ἡμῶν Ἀναστάσεως πληροῦντος τὰς ἀποκρίσεις Πέτρου τοῦ ὁσιωτάτου πατριάρχου Ἱεροσολύμων

61 Στεφάνου διακόνου καὶ ἀποκρισιαρίου Σωτηρίχου τοῦ ὁσιωτάτου ἐπισκόπου Καισαρείας τῆς μητροπόλεως πρώτης Καππαδοκίας

62 Γαιανοῦ πρεσβυτέρου καὶ ἀποκρισιαρίου Ἐλπιδίου τοῦ ὁσιωτάτου ἐπισκόπου Ἀγκύρας τῆς μητροπόλεως Γαλατίας πρώτης

L V 53 63. 64 Διονυσίου καὶ Καλλινίκου διακόνων καὶ ἀποκρισιαρίων Φωτίου τοῦ ὁσιωτάτου ἐπισκόπου τῆς μητροπόλεως Κορίνθου

παρόντος δὲ καὶ τοῦ εὐλαβοῦς κλήρου τῆς βασιλευούσης πόλεως

74 Εὐφήμιος ὁ θεοσεβέστατος διάκονος καὶ πριμικήριος νοταρίων εἶπε· Πρὸ τούτων φανερῶν ἡμερῶν εὐσεβοῦς ἡγησαμένης κελεύσεως τοῦ φιλοχρίστου καὶ θεοφυλάκτου ἡμῶν βασιλέως συνελήλυθεν ἡ παροῦσα τὰ νῦν ἁγία σύνοδος καὶ τῶν ἐπὶ τῆς βασιλίδος ταύτης πόλεως εὐλαβῶν μοναχῶν καί τινων ἐκ τῆς Θεουπολιτῶν ὁρμωμένων καὶ ἄλλων γε
M VIII 930 μὴν ἐκ τῆς Ἱεροσολυμιτῶν εὐλαβῶν ἀνδρῶν τηνικαῦτα παρ' ὑμῖν εἰσεληλυθότων πέπρακταί τινα ἐπὶ Ἀνθίμωι τῶι εὐλαβεστάτωι, ἃ δὴ τοῖς τηνικαῦτα συστᾶσιν ὑπομνήμασι περιέχεται, ἐν οἷς καὶ προθεσμίαν ῥητὴν ἐπὶ τῆι τοῦ αὐτοῦ εὐλαβεστάτου ἀνδρὸς ἀναζητήσει δεδώκατε, ἧς ἤδη διαδραμούσης, ἐπειδὴ καὶ νῦν ἡ ὑμετέρα συνῆλθεν ἁγιωσύνη τῆς αὐτῆς ὑποθέσεως ἕνεκα, παραφυλάττουσι δὲ τὴν ὑμετέραν ἀκρόασιν καὶ οἱ μνημονευθέντες μοναχοὶ τῆς παρ' ὑμῖν εἰσόδου τυχεῖν ἀξιοῦντες, ὑποβάλλομεν πρὸς τὸ παριστάμενον.

75 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος καὶ ἡ ἁγία σύνοδος εἶπεν· Εἰσίτωσαν.

76 Καὶ εἰσελθόντος Μαριανοῦ τοῦ θεοφιλεστάτου πρεσβυτέρου καὶ ἡγουμένου μονῆς Δαλματίου τοῦ τῆς ὁσίας μνήμης καὶ ἐξάρχου ἅμα τοῖς λοιποῖς θεοσεβεστάτοις ἀρχιμανδρίταις καὶ μοναχοῖς τῶν τε κατὰ τήνδε τὴν βασιλίδα πόλιν καὶ Θεούπολιν καὶ Ἱεροσόλυμα εὐαγῶν μοναστηρίων

1 Ἀγαπητοῦ τῆς Δίου

2 Διοσκόρου τῆς ἁγίας Εὐφημίας

3 Ἀγαπίου τῆς Θαλασσίου

4 Παύλου τῶν Ῥωμαίων

5 Ἀντωνίου τῆς Εὐσεβίου

6 Στεφάνου τῆς Ὀλυμπίου

7 Ἀναστασίου τῶν Ῥωμαίων

8 Δημητρίου τῆς Φωκᾶ

O [= aer v], I

1 αὐτῶι om. OrIΛ 7 καὶ3 om. IΛ 8 θεουπόλεωσ Ov 12 δευτέρασ Ov littera marginali [cf. notam ad p. 154, 26] non recte intellecta καππαδοκῶν ἐπαρχίασ OeΛ 17 εὐαγοῦσ Oe 18 πριμμικήριοσ OI 20 τῶν τε Oe 22 τηνικαῦτα] αὐτίκα Or εἰσεληλυθότων Ov 24 τοῦ om. Oav εὐλαβεστάτη Ov 25 διαδραμούσης I δραμούσησ O συνελήλυθεν Or 26 δὲ I δὲ καὶ OΛ 27 μνημονευθέντεσ εὐλαβέστατοι OeΛ 30 εἰσελθόντεσ Ov μαρινιανοῦ Oe 31 γ̄ (cf. notam ad p. 154, 26] καὶ ἐξάρχου Ov θεοφιλεστάτοισ Or 34—p. 159, 2 om. Or1

9 Κυριακοῦ τῆς Εὐφημίου
10 Ζωίλου τῆς Θεοδότου
11 'Ιουλιανοῦ τῆς Εὐφημίου
12 Στεφάνου τῶν Προμώτου
13 Ζήνωνος τῆς ἁγίας θεοτόκου ἐν τῆι πηγῆι
14 'Αλεξάνδρου τοῦ καλαμίου
15 Δάδα τῆς Καιουμᾶ
16 'Ρόδωνος τῆς Θεοδώρου
17 Γενναδίου τῆς Κυριακοῦ
18 Θεοδώρου τῆς Μαρωνίου
19 Σίλα τῆς 'Ηλία
20 Παύλου τῆς Σαμουηλίου
21 'Ιωάννου τῆς Θεοδώρου
22 Κυρίωνος τῶν Αἰγυπτίων
23 Βασιλείου τῆς Κυρακωνᾶ
24 'Ιωάννου τοῦ ἁγίου ἀποστόλου Θωμᾶ ἐν τοῖς Μοδέστου
25 Μάρκου τῆς Θεοδώρου
26 Φλαβιανοῦ πρεσβυτέρου καὶ δευτεραρίου τῆς Μοδέστου τῶν Λυκαόνων
27 Μαρίνου τῆς Παύλου
28 Θεοκτίστου τῆς ἁγίας θεοτόκου πλησίον τῶν 'Ιώβ
29 Θεοδώρου τῆς Τρύφωνος
30 Κοσμᾶ τοῦ ἁγίου 'Ιωάννου ἐν τοῖς Στουδίου
31 Πέτρου τῆς ἁγίας θεοτόκου καὶ τοῦ ἁγίου Διομήδους ἐν 'Ιερουσαλήμ
32 'Ελευθερίου τοῦ ἁγίου Κυριακοῦ
33 'Αλεξάνδρου τῆς 'Αβραμίου
34 Θεοδώρου τῆς 'Ιώβ
35 Τρύφωνος τῆς 'Ελπιδίου
36 Στεφάνου τῶν Κώνστα
37 Βαβύλα τῆς Δανιὴλ ἐν τῶι στύλωι
38 'Ιωάννου τῆς 'Αναστασίου
39 'Ανθεμίου τῆς Νέωνος
40 'Ιωάννου τοῦ ἁγίου Μιχαὴλ τῶν Χαρισίου
41 'Ιωάννου τῆς Μάρα πλησίον τῆς 'Αετίου κινστέρνης
42 Φωκᾶ τῆς 'Ιωνᾶ πλησίον τοῦ Δευτέρου
43 Ζωσίμου τῆς Εὐτυχίου τῶν Λυκαόνων
44 Τιμοθέου τῆς 'Αστερίου
45 Στρατονίκου τῆς Δομετίου
46 Πολυχρονίου τοῦ αἰθρίου
47 'Ανδρέου τῶν 'Ρωμαίων πλησίον τῆς 'Αετίου κινστέρνης
48 Μαρτυρίου τῆς Πέτρου πλησίον τῶν 'Αποστόλων
49 'Ανδρέου τῆς ἁγίας θεοτόκου πλησίον τοῦ ἁγίου Λουκᾶ
50 Μάρκου τοῦ ἁγίου Κυρίκου
51 'Ιακώβου τῆς 'Αβίβου Σύρου

O [= aev]
4 προμότου O^{e} 9. 8 coll. O^{aev} 12 σαμοηλίου O^{aev} 18 δευτεριαρίου O^{aev} 22 τοῦ ἁγίου — τοῖσ O^{aev}Λ τῶν O^{e} 23 ἐν τῆ O^{e} 33 ἀετοῦ O^{aev} 38 αἰθερίου O^{aev} 39 τῶν O^{e} τῆσ O^{aev} ἀετοῦ O^{aev} 42 κηρύκου O

52 Ἀττικοῦ τῶν Εὐκρατάδων
53 Ἰωσὴφ τῆς ἁγίας θεοτόκου ἐν τῶι λιθοστρώτωι
54 Παύλου τοῦ ἁγίου ἀποστόλου Πέτρου πλησίον τοῦ παλατίου
55 Ἀναστασίου πρεσβυτέρου καὶ δευτεραρίου τοῦ ἁγίου Φιλίππου ἐν τῶι βρεφοτροφείωι
56 Γεωργίου τῆς Κύρου
57 Εὐσεβίου τῆς Συμεωνίου
58 Ζωτικοῦ τοῦ ἁγίου Ἀνδρέου πλησίον τῆς Σατορνίνου πόρτης καὶ τῶν ὑπὸ Θεούπολιν
59 Παύλου μοναχοῦ καὶ ἀποκρισιαρίου μονῆς τῆς Μάρωνος
L V 56 60 Σεβηριανοῦ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου μονῆς Ζωόρα τῶν Θερμῶν Σύρου
61 Κασσισᾶ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου μονῆς Λουκᾶ Σύρου
62 Συμεωνίου διακόνου καὶ ἀποκρισιαρίου τῆς Ἰακώβου
63 Ἰωάννου διακόνου καὶ ἀποκρισιαρίου τῆς Θεοδώρου
64 Στεφάνου πρεσβυτέρου καὶ ἡγουμένου μονῆς Εὐξερίου
65 Ἰωάννου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου μονῆς τοῦ κύρου Θωμᾶ Σύρου
66 Θωμᾶ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου μονῆς Ἀαρὼν Σύρου
M VIII 931 67 Φωτεινοῦ μοναχοῦ καὶ ἀποκρισιαρίου μονῆς τοῦ ἁγίου Στεφάνου
68 Θεοδώρου διακόνου καὶ ἀποκρισιαρίου τῆς ἐκκλησίας Ἐρενδηληνῶν
69 Σεργίου πρεσβυτέρου καὶ περιοδευτοῦ
οἱ πάντες πράττοντες ὑπέρ τε ἑαυτῶν καὶ τῶν λοιπῶν
ἔτι γε μὴν καὶ τῶν ὑπὸ τοὺς ἁγίους Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν τόπους
70 Δομνίνου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου μονῆς τοῦ μακαρίου Μαρτυρίου
71 Ἡσυχίου πρεσβυτέρου καὶ ἀποκρισιαρίου μονῆς τοῦ μακαρίου Θεοδοσίου
72 Κασιανοῦ πρεσβυτέρου τῆς λαύρας τοῦ μακαρίου Σάββα
73 Κυριακοῦ πρεσβυτέρου καὶ ἡγουμένου τῶν πυργίων τοῦ Ἰορδάνου
74 Νεστάβου πρεσβυτέρου λαύρας τοῦ μακαρίου Φιρμίνου
75 Τερεντίου πρεσβυτέρου τῆς Νέας λαύρας
76 Λεοντίου μοναχοῦ καὶ ἡγουμένου καὶ τοποτηρητοῦ τῆς ἐρήμου πάσης
77 Τραιανοῦ πρεσβυτέρου τῶν πυργίων τοῦ Ἰορδάνου
78 Πολυεύκτου διακόνου μονῆς τοῦ ἀββᾶ Θεοδοσίου
79 Θεοδώρου διακόνου καὶ μοναχοῦ τῆς Νέας λαύρας
80 Κυρίκου διακόνου καὶ μοναχοῦ τῆς αὐτῆς Νέας λαύρας
81 Ἀναστασίου διακόνου μονῆς τοῦ μακαρίου Μαρτυρίου
82 Μάμα μοναχοῦ τῆς αὐτῆς μονῆς
83 Ἰωάννου μοναχοῦ τῆς αὐτῆς μονῆς
84 Ἰουλιανοῦ μοναχοῦ μονῆς τοῦ ἀββᾶ Θεοδοσίου
οἱ πάντες πράττοντες ὑπέρ τε τῶν οἰκείων μοναστηρίων καὶ πάντων τῶν ἐν τῆι ἐρήμωι τῆς ἁγίας πόλεως μοναχῶν
85 Ἰωάννου πρεσβυτέρου τῆς πεδιάδος καὶ ὑπὲρ πάντων τῶν ἐκεῖσε μοναχῶν
86 Θεωνᾶ πρεσβυτέρου τοῦ Σινᾶ ὄρους καὶ ἀποκρισιαρίου τοῦ τε ὄρους καὶ τῆς ἐκκλησίας Φαρὰν καὶ λαύρας Ῥαιθοῦ ὑπὲρ πάντων τῶν ἐκεῖσε μοναχῶν

O [= aev]

4 δευτεριαρίου O^{v} 11 σευηριανοῦ O^{ev} τῆσ μονῆσ O^{ev} 12 τῆσ μονῆσ O^{v} 16—17 τοῦ κύρου — μονῆς om. O^{aev} 18 μονῆς om. O^{e} 19 ἐρενδηλινῶν O^{av} 22 γε om. O^{v} 23 Δομετιανὸς p. 36, 30. 50, 11. 130, 18 25 κασσιανοῦ O^{v} 29 καὶ¹ om. O^{e} 32 διακόνου om. O^{a} 33 κηρύκου O 37 τῆσ μονῆσ O^{v} 38 τε om. O^{aev} 39 τῆς om. O^{v} 42 καὶ ὑπὲρ O^{e}Λ ἐκεῖ O^{a}

87 Στρατηγίου διακόνου καὶ μοναχοῦ μονῆς τοῦ μακαρίου Ἰωάννου καὶ ὑπὲρ πάντων τῶν ὑπὸ Σκυθόπολιν μοναχῶν

77 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος καὶ πᾶσα ἡ ἁγία σύνοδος εἶπεν· Ἀναγινωσκέσθω τὰ τῇ προτεραίαι πεπραγμένα.

Καὶ λαβὼν Μακάριος ὁ θεοσεβέστατος νοτάριος διάκονος καὶ ἀποκρισιάριος ἀνέγνω

78 Μετὰ τὴν ὑπατείαν Φλ' Βελισσαρίου τοῦ λαμπροτάτου τῇ πρὸ ἓξ Νόνων Μαίων p. 126, 1. 2
ἰνδικτιῶνος τεσσαρεσκαιδεκάτης ἐν τῇ φιλοχρίστωι καὶ βασιλευούσηι Κωνσταντινουπόλει Ῥώμηι καὶ τὰ λοιπὰ τῆς πρώτης πράξεως.

79 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος καὶ πᾶσα ἡ ἁγία σύνοδος εἶπεν· Οἱ παρ' ἡμῶν ἀπονεμηθέντες πρὸς ἀναζήτησιν Ἀνθίμου τοῦ εὐλαβεστάτου, εἰ τὰ διαλαληθέντα πρὸς ἔργον ἦγαγον, διδαξάτωσαν.

80 Βοσπόριος ὁ ὁσιώτατος ἐπίσκοπος τῆς Νεοκαισαρέων μητροπόλεως ἐπαρχίας Πόντου Πολεμωνιακοῦ εἶπε· Τοῖς ὑπὸ τῆς μακαριότητος ὑμῶν καὶ τῆς ἁγίας ταύτης συνόδου ψηφισθεῖσι πειθαρχοῦντες εἰκότως ἐγενόμεθα ἐν πᾶσι τοῖς νομιζομένοις ἡμῖν τόποις εἶναι Ἄνθιμον τὸν εὐλαβέστατον, φαμὲν δὴ ἔν τε τῶι εὐκτηρίωι οἴκωι τοῦ ἐνδόξου ἀρχαγγέλου Μιχαὴλ τοῦ ἐν τῶι παλατίωι καὶ ἐν τοῖς Ὁρμίσδου ἐν τῶι ἁγίωι ἀποστολείωι. ἐν οἷς συγκαλέσαντες τούς τε εὐλαβεστάτους πρεσβυτέρους καὶ διακόνους καὶ ἐγγὺς εἰπεῖν ἅπαντα τὸν κλῆρον τῶν εἰρημένων ἁγίων οἴκων ἐπυθόμεθα αὐτῶν εἰπεῖν ἡμῖν καὶ ὑποδεῖξαι εἴγε ἴσασι τὸν εἰρημένον Ἄνθιμον ἤτοι τὸν οἶκον ἐν ὧι ἔστιν αὐτὸν εὑρεῖν. οἱ δὲ πρότερον μὲν εἶπον συμφώνως μηδὲ ἑωρακέναι αὐτὸν ἐκεῖσε μηδὲ εἰδέναι οἶκον ἐν ὧι τυγχάνει αὐτός, εἶτα εἰς πληροφορίαν ἡμῶν δεδωκότες τινὰς L V 57
ἐξ αὐτῶν ἅμα Ἀκακίωι καὶ Χριστοδώρωι τοῖς θεοσεβεστάτοις διακόνοις καὶ νοταρίοις τῆς ὑμετέρας ἁγιωσύνης τὴν τοῦ εἰρημένου εὐλαβεστάτου Ἀνθίμου ἀναζήτησιν ἐποιή- M VIII 934
σαντο. νομίζοντες δὲ καὶ ἐν τῶι μιτάτωι αὐτοῦ ἐν ὧι πάλαι κατέμενεν, εὑρίσκεσθαι αὐτὸν ἐζητήσαμεν καὶ οὐδὲ ἐκεῖσε εὑρεῖν αὐτὸν ἰσχύσαμεν. ἀλλὰ καὶ ἐν τῶι προαστείωι αὐτοῦ τῶι περὶ τὸν ἅγιον Λαυρέντιον γενόμενοι, οὐδὲ ἐκεῖ αὐτὸν εὑρεῖν δεδυνήμεθα τοῦ ἐκεῖσε εὑρεθέντος ἀνθρώπου αὐτοῦ εἰρηκότος, ἀφ' οὗπερ ἀπέστη τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας, μηδὲ ἑωρακέναι αὐτὸν μηδὲ εἰδέναι ὅποι διάγει.

81 Ἀκάκιος ὁ ὁσιώτατος ἐπίσκοπος τῆς Πισσινουντίων μητροπόλεως τῆς δευτέρας Γαλατῶν ἐπαρχίας εἶπε· Κἀγὼ διδάσκω τὴν ὑμετέραν μακαριότητα ὡς παραγενόμενος ἅμα Βοσπορίωι καὶ Ζαχαρίαι τοῖς ὁσιωτάτοις συλλειτουργοῖς καὶ Ἰωάννηι καὶ Θεοκτίστωι τοῖς θεοφιλεστάτοις πρεσβυτέροις καὶ ἐκκλησιεκδίκοις Ἀκακίωι τε καὶ Χριστοδώρωι τοῖς θεοσεβεστάτοις διακόνοις καὶ νοταρίοις ἐν τοῖς εἰρημένοις τόποις τὴν ἀναζήτησιν ποιήσασθαι τοῦ εἰρημένου εὐλαβεστάτου Ἀνθίμου τοῦτον εὑρεῖν οὐ δεδύνημαι.

82 Ζαχαρίας ὁ ὁσιώτατος ἐπίσκοπος τῆς Μιτυληναίων μητροπόλεως εἶπεν· Καθὼς ἐδίδαξαν πρὸ ἐμοῦ Βοσπόριος καὶ Ἀκάκιος οἱ θεοφιλέστατοι ἐπίσκοποι τὸ ἱκανὸν ποιοῦντες

13 sq. de Anthimo a Theodora augusta occultato cf. Iohannes Ephesius Patrol. Orient. 18 p. 680 et Liberat. 21 [t. II 5 p. 136, 12]

O [= aerv], I

3 ἁγία om. $O^{e}\Lambda$ 4 πρωτέρα I 5 Μακάριος] νοτάριος O^{r} διάκονος νοτάριος $O^{e}I\Lambda$ 6 φλαβίου $O^{e}I\Lambda$ βελισαρίου $O^{rv}I\Lambda$ νόννων OI 8 Ῥώμηι om. $O^{a}I\Lambda$ πρώτης om. O^{a} 13—14 ταύτης — ἐγενόμεθα om. O^{v} 14 πειθαρκοῦντες I 16 ἐν· I om. O τοῖς] τῆσ O^{v} 18 ἁγιωτάτων $O^{e}\Lambda$ 19 αὐτὸν O^{r} ἀποδεῖξαι O^{av} ἠρημένον O^{v} 26 ἐκεῖσε I εὑρεῖν αὐτὸν O^{av} 28 ὅπη O^{a} 29 πισινουντίων $O^{r}I$ 31 ζαχαρίω O^{v} 32 ἐκκλησεκδίκοις O^{e} ut solet 34 ἠδυνήθημεν I

τοῖς προστεταγμένοις παρὰ τῆς ὑμετέρας ἁγιωσύνης, ἐγενόμεθα καὶ ἐν τῷι εὐαγεῖ εὐκτηρίωι οἴκωι τοῦ ἁγίου ἀρχαγγέλου Μιχαὴλ τῷι προσκειμένωι τῷι εὐσεβεῖ παλατίωι καὶ ἐν τῷι ἁγίωι ἀποστολείωι τῷι ὄντι ἐν τοῖς Ὁρμίσδου καὶ ἐν ὧι πρότερον κατέμενεν οἴκωι Ἄνθιμος ὁ εὐλαβέστατος ἐν αὐτοῖς τοῖς Ὁρμίσδου καὶ ἐν τῷι προαστείωι αὐτοῦ τῷι προσπαρακειμένωι τῷι εὐαγεῖ εὐκτηρίωι οἴκωι τοῦ ἁγίου Λαυρεντίου καὶ τὴν ἐνδεχομένην ἔρευναν ἅμα Ἰωάννηι καὶ Θεοκτίστωι ποιησάμενοι τοῖς θεοφιλεστάτοις πρεσβυτέροις καὶ ἐκκλησιεκδίκοις καὶ Ἀκακίωι καὶ Χριστοδώρωι τοῖς θεοσεβεστάτοις διακόνοις καὶ νοταρίοις οὐδαμῶς τοῦτον εὑρεῖν δεδυνήμεθα.

83 Ἰωάννης ὁ θεοσεβέστατος πρεσβύτερος καὶ ἐκκλησιέκδικος τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας εἶπε· Κατὰ τὴν κέλευσιν τῆς ὑμετέρας ἁγιωσύνης ἅμα τοῖς εἰρημένοις ὁσιωτάτοις ἐπισκόποις καὶ θεοσεβεστάτοις διακόνοις καὶ νοταρίοις γενόμενοι ἐγώ τε καὶ Θεόκτιστος ὁ θεοφιλέστατος κατὰ τοὺς προλεχθέντας ὑπ' αὐτῶν τόπους τοὺς καὶ νομιζομένους ἡμῖν κατάδηλον πάντως ποιεῖν Ἄνθιμον τὸν εὐλαβέστατον, τοῦτον εὑρεῖν οὐκ ἠδυνήθημεν.

84 Θεόκτιστος ὁ θεοφιλέστατος πρεσβύτερος καὶ ἐκκλησιέκδικος εἶπε· Κἀγὼ τὰ αὐτὰ κατατίθεμαι.

85 Ἀκάκιος ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος καὶ Χριστόδωρος ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος καὶ σηκρητάριος διὰ τοῦ ἑνὸς αὐτῶν Χριστοδώρου εἶπον· Ἅπερ οἱ ἅμα ἡμῖν ἀποσταλέντες ὁσιώτατοι ἐπίσκοποι καὶ θεοφιλέστατοι πρεσβύτεροι καὶ ἐκκλησιέκδικοι ἐπὶ τὴν ἀναζήτησιν Ἀνθίμου τοῦ εὐλαβεστάτου εἰρήκασι, τὰ αὐτὰ καὶ ἡμεῖς κατατιθέμεθα. ἐπιφερόμεθα δὲ καὶ τὰ τῆι προτεραίαι πεπραγμένα, ἐφ' ὧι ταῦτα δῆλα αὐτῶι καταστῆσαι, καὶ οὐδαμῶς αὐτὸν εὑρεῖν δεδυνήμεθα.

86 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος καὶ πᾶσα ἡ ἁγία σύνοδος εἶπε· Δήλη μὲν ἤδη γέγονεν ἡ Ἀνθίμου τοῦ εὐλαβεστάτου προαίρεσις οὐ βουληθέντος ἑαυτὸν φανερὸν καταστῆσαι παραγενέσθαι τε πρὸς ἡμᾶς εἰς διόρθωσιν πλὴν ἀλλ' ὡς ἔνεστιν ἀνθρώπους ὄντας ἡμᾶς ἀκολουθεῖν τῆι ἀγαθότητι τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ
L V 60 πάντας σωθῆναι βουλομένου καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, καὶ τὴν μετά-
M VIII 935 νοιαν ὥσπερ τι σωτήριον φάρμακον τοῖς ἁμαρτάνουσι παρασχόντος, ὥστε δι' αὐτῆς
1. Tim. 2, 3 καὶ τοὺς ἀπολισθαίνοντας τῆς εὐθείας ὁδοῦ πάλιν ἐπ' αὐτὴν ἀνακαλεῖσθαι διὰ τῆς προσηκούσης μακροθυμίας, καὶ ἡμεῖς σπουδάζοντες τὸν εἰρημένον εὐλαβέστατον Ἄνθιμον τὸν δυνατὸν περισώσασθαι τρόπον καὶ αὖθις ἐνδίδομεν αὐτῶι προθεσμίαν ἑτέρων ἡμερῶν τριῶν πρὸς μετάμελόν τε καὶ τὴν τῶν δεόντων ἐπίγνωσιν. ὧν ἐντὸς ἀναζητήσουσιν αὐτὸν Πέτρος τε ὁ ὁσιώτατος ἐπίσκοπος τῆς Ἰουστινιανουπολιτῶν μητροπόλεως τῆς δευτέρας Καππαδοκῶν ἐπαρχίας καὶ Θαλάσσιος ὁ ὁσιώτατος ἐπίσκοπος τῆς Βηρυτίων μητροπόλεως καὶ Δόμνος ὁ θεοφιλέστατος ἐπίσκοπος Μαξιμιανουπόλεως τῆς δευτέρας Παλαιστινῶν ἐπαρχίας καὶ Ῥωμανός γε μὴν καὶ Ἰωάννης οἱ θεοφιλέστατοι πρεσβύτεροι καὶ ἐκκλησιέκδικοι τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας καὶ πρός γε Ἀνδρέας τε καὶ Καλώνυμος οἱ θεοσεβέστατοι διάκονοι καὶ νοτάριοι, καὶ εἴπερ εὕροιεν αὐτόν, προ-

3 cf. Iohannes Ephesius Patrol. Orient. 18 p. 677 sq.

O [aerv], I

2 οἴκωι om. I προκειμένω O^{v} εὐλαβεῖ I 3 4 ὧ πρότερον — καὶ ἐν O^{arv}I om. O^{e}Λ 5 τῶι O^{e}IΛ ἐν τῷ O^{arv} τὴν om. O^{r} 13 τοῦτον O^{av} τοῦτον δν O^{e}Λ om. O^{r}I 15 αὐτοῦ O^{v} 17 θεοφιλέστατος I 18 διάκονος om. I καὶ^{1} O^{r}I om. O^{aev}Λ διάκονοσ σηκρητάριοσ καὶ νοτάριοσ O^{av} εἶπεν O^{r}I 21/22 δῆλα ταῦτα O^{av} 23 ἱερὰ καὶ ἁγία O^{e}Λ 24 καταστῆσαι φανερὸν O^{r}I 29 αὐτὸν O^{r} 31 τὸν^{1} O^{aev}I κατὰ τὸν O^{r} 33 ἰουστινιανιτῶν O^{r}I 35 βηρυτῶν μ̄ροπόλεωσ O^{arv} μ̄ροπόλεωσ βηρυτίων O^{e}Λ 36 παλαιστηνῶν OI 38 καὶ^{1} om. O^{r} εἰ O^{r}I 38—p. 161, 1 προτρέψειαν O^{a} προτρέψειεν O^{v} προτρέψουσι I

τρέψοιεν τῆς εἰρημένης ἐντὸς προθεσμίας μὴ παραφυγεῖν τὴν ἡμετέραν ἀκρόασιν ὀφείλοντα τὰς κατ' αὐτοῦ γινομένας ἀποδύσασθαι μέμψεις.

Ὑπεσημηνάμην.

87 Μετὰ τὴν ὑπατείαν Φλ' Βελισσαρίου τοῦ λαμπροτάτου τῇι πρὸ ἓξ Εἰδῶν Μαίων ἰνδικτιῶνος ιδ ἐν τῇι φιλοχρίστωι καὶ βασιλευούσηι πόλει Ῥώμηι d. 10. m. Maii a. 536

προκαθεζομένου τοῦ δεσπότου ἡμῶν τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου οἰκουμενικοῦ ἀρχιεπισκόπου καὶ πατριάρχου Μηνᾶ ἐν τῶι μεσαύλωι τῶι δυτικῶι τοῦ σεβασμίου οἴκου τῆς δεσποίνης ἡμῶν τῆς ἁγίας ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας τοῦ ὄντος πλησίον τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας

καὶ ἐκ μὲν τοῦ δεξιοῦ μέρους συνεδρεύοντων αὐτῶι καὶ συνακροωμένων κατὰ εὐσεβῆ κέλευσιν τοῦ φιλοχρίστου καὶ θεοφυλάκτου ἡμῶν βασιλέως Ἰουστινιανοῦ τῶν ὁσιωτάτων καὶ θεοφιλεστάτων ἐπισκόπων

2 Σαβίνου τοῦ Κανουσίου
3 Ἐπιφανίου Ἐκλάνων
4 Ἀστερίου Σαλέρνων
5 Ῥουστίκου Φεσούλων
6 Λέοντος Νόλου

τῶν πάντων ἐκ τῆς Ἰταλῶν χώρας πρώην μὲν ἀπεσταλμένων ἐκ τῆς ἀποστολικῆς καθέδρας, ὕστερον δὲ συνόντων παραγενομένωι ἐνταῦθα Ἀγαπητῶι τῶι τῆς ἁγίας μνήμης γενομένωι πάπαι τῆς πρεσβυτέρας Ῥώμης

7 Θαλασσίου τῆς μητροπόλεως Βηρυτοῦ
8 Μεγάλου τῆς μητροπόλεως Βεροίας
9 Ἰωάννου Γαβάλων
10 Χριστοφόρου Πορφυρεῶνος ἐπαρχίας Φοινίκης παράλου
11 Ἀρχελάου Κωρύκου
12 Δαυίθου τοῦ Κιρκινσίου
13 Αἰθερίου Μαριάμμης
14 Ἀλεξάνδρου Βαρκουσῶν
15 Δόμνου Μαξιμιανουπόλεως τῆς δευτέρας Παλαιστίνης
16 Ἀναστασίου Ἰωτάβης
17 Ἰωάννου Ζωόρων
18 Ἀστερίου Ἀμάστρεως
19 Ἀνδρέου τοῦ Πανίου
20 Ἐπιτυγχάνου Γέρμης ἐπαρχίας Ἑλλησπόντου
21 Παύλου Στεκτορίου
22 Ἀνδρέου Πελτῶν
23 Θεοδώρου Μηροῦ
24 Ἀνδρέου Ἀμυζόνος
25 Φλαβιανοῦ Κοτένων
26 Ἡλίου Ἀδριανῶν
27 Μακεδονίου Βριάνων

O [= ae, r (usque ad 23), v], I [usque ad 23]

1 τῆσ προθεσμίασ O^v μὴ om. O^e 2 γενομένασ O^r 4 inscr. πρᾶξισ ἑτέρα $O^{arv}I$ 4 φλαβίου $O^eIΛ$ βελισαρίου IΛ 5 πόλει Κωνσταντίνου p. 166, 7 6/7 οἰκουμενικοῦ om. $O^{arv}I$ 10 κατὰ τὴν I 16. 15 coll. $O^{arv}I$ 18 ἐκ²] ἐκ τῆσ Ἰταλῶν χώρασ ἦγουν $O^eΛ$ 22 βερροίασ $O^{ev}I$ 23 γαβουλῶν O^{arv} 24—p. 163, 14 [usque ad p. 162, 6 l] Χριστοφόρου — Κορίνθου] καὶ τῶν λοιπῶν O^rI 37 μίρου $O^eΛ$ 38 ἀμυζῶνοσ O^{av} 39 κοτέννων O^{av}

28 Θεοδωρίτου 'Αλίνδων
29 'Αρμονίου Καλλιπόλεως
30 Λεοντίου 'Ελενουπόλεως
31 Λογγίνου 'Ορεστιάδος
32 'Ιωάννου Καισαρείας Βιθυνίας
M VIII 938 33 καὶ 'Ιωάννου Τραιανουπόλεως Φρυγίας Πακατιανῆς
ἐκ δὲ τοῦ εὐωνύμου μέρους
34 'Υπατίου τῆς μητροπόλεως 'Εφέσου
35 Κωνσταντίνου 'Ηρακλείας τῆς μητροπόλεως Εὐρώπης
36 Εὐσεβίου τῆς μητροπόλεως Κυζίκου
I. V 61 37 Θαλασσίου τῆς μητροπόλεως Νικομηδείας
38 Φωτεινοῦ τῆς μητροπόλεως Χαλκηδόνος
39 Θεαγένους τῆς μητροπόλεως Συνάδων
40 Βάκχου τῆς μητροπόλεως 'Αντιοχείας Πισιδίας
41 'Ιλαριανοῦ τῆς μητροπόλεως Πέργης
42 Βοσπορίου Νεοκαισαρείας τῆς μητροπόλεως Πόντου Πολεμωνιακοῦ
43 Παύλου τῆς μητροπόλεως Τυάνων
44 'Ακακίου τῆς μητροπόλεως Πισσινοῦντος
45 'Επικτήτου Κλαυδιουπόλεως τῆς μητροπόλεως 'Ονωριάδος
46 Πέτρου τῆς μητροπόλεως 'Ιουστινιανουπόλεως τῆς δευτέρας Καππαδοκῶν ἐπαρχίας
47 Ζαχαρίου τῆς μητροπόλεως Μιτυλήνης
48 'Ηδίστου τῆς μητροπόλεως Κίου
49 Μάρκου τῆς μητροπόλεως 'Απαμείας τῆς Βιθυνῶν ἐπαρχίας
50 Αὐξεντίου τῆς μητροπόλεως Σηλυβρίας
51 Τιμοθέου τῆς μητροπόλεως Βερόης
52 'Ιωάννου τῆς μητροπόλεως Βοσπόρου
53 Δομετιανοῦ Ζικχίας
54 Καλώα Σμύρνης
55 'Επιφανίου 'Ηρακλείας τῆς ἐπαρχίας 'Ονωριάδος
56 'Αβραμίου Κρατίας
57 'Αλεξάνδρου Κολωνείας
58 Εὐγενίου Τίου
59 Κυριακοῦ Θεοδοσιουπόλεως ἐπαρχίας Φρυγίας Πακατιανῆς
60 Εὐσταθίου Τιβεριουπόλεως
61 Θεοδότου Εὐροίας
62 Εὐσεβίου Παλαιᾶς πόλεως
63 Θεοδώρου Γορδίου
64 Ματθαίου Κύμης
65 'Αλεξάνδρου 'Ελούζων
66 καὶ 'Ιωάννου τοῦ Μιδαείου
67-70 συμπαρόντων δὲ αὐτῶι καὶ συνακροωμένων καὶ Θεοφάνους καὶ Πελαγίου τῶν θεοφιλεστάτων διακόνων τῆς ἀποστολικῆς καθέδρας καὶ Μηνᾶ καὶ Πέτρου τῶν

O [... aev], I [inde a 7 usque ad 9]
1 ὀρεντιάδοσ O[av] 6 καπατιανῆσ O[av] 10 p. 163, 14 Εὐσεβίου — Κορίνθου] θεαγένουσ τῆσ μητροπόλεωσ συνάδων καὶ τῶν λοιπῶν I 14 πισσιδίασ O 28 ζηκχίασ O[a] ζικχῶν O[v] 29 καλωνᾶ O[a] καλλωνᾶ O[v] 34 καπατιανῆσ O[a] 41 μηδαίου OΛ

θεοσεβεστάτων νοταρίων καί τινων εὐλαβεστάτων ὑποδιακόνων καὶ ἐκδίκων καὶ λοιπῶν κληρικῶν τοῦ αὐτοῦ ἀποστολικοῦ θρόνου, οἳ καὶ συμπαρόντες ἔτυχον παραγενομένωι ἐνταῦθα Ἀγαπητῶι τῶι τῆς ἁγίας μνήμης γενομένωι πάπαι τῆς πρεσβυτέρας Ῥώμης

71. 72 καὶ Μάγνου πρεσβυτέρου καὶ Ἡρακλείου διακόνου καὶ ἀποκρισιαρίων Ἐφραιμίου τοῦ ὁσιωτάτου πατριάρχου τῆς ἐν Θεουπόλει ἁγιωτάτης ἐκκλησίας

73 Σαβίνου διακόνου τῆς ἁγίας Χριστοῦ τοῦ θεοῦ ἡμῶν Ἀναστάσεως πληροῦντος τὰς ἀποκρίσεις Πέτρου τοῦ ὁσιωτάτου πατριάρχου Ἱεροσολύμων

74 Στεφάνου διακόνου καὶ ἀποκρισιαρίου Σωτηρίχου τοῦ ὁσιωτάτου ἐπισκόπου Καισαρείας τῆς μητροπόλεως Καππαδοκίας πρώτης

75 Γαιανοῦ πρεσβυτέρου καὶ ἀποκρισιαρίου Ἐλπιδίου τοῦ ὁσιωτάτου ἐπισκόπου Ἀγκύρας τῆς μητροπόλεως Γαλατίας πρώτης

76. 77 Διονυσίου καὶ Καλλινίκου διακόνων καὶ ἀποκρισιαρίων Φωτίου τοῦ ὁσιωτάτου ἐπισκόπου τῆς μητροπόλεως Κορίνθου

παρόντος δὲ καὶ τοῦ εὐλαβοῦς κλήρου τῆς βασιλευούσης πόλεως

88 Εὐφήμιος ὁ θεοσεβέστατος διάκονος καὶ πριμικήριος νοταρίων εἶπε· Δὶς ἤδη συνελθούσης τῆς ἁγίας ὑμῶν συνόδου κατὰ κέλευσιν τοῦ εὐσεβεστάτου καὶ γαληνοτάτου ἡμῶν βασιλέως καὶ διαφόρων εὐλαβῶν μοναχῶν ἔκ τε τῆς βασιλίδος ταύτης πόλεως ἔκ τε τῆς Θεουπολιτῶν καὶ πρός γε τῆς Ἱεροσολυμιτῶν τηνικαῦτα παραγεγονότων προῆλθε τινὰ ἐπὶ Ἀνθίμωι, καθὰ τὰ περὶ τούτων πραχθέντα δηλοῖ. ἐν οἷς κατὰ πρώτην τε καὶ δευτέραν τάξιν προθεσμίαι ῥηταὶ δέδονται ἐπὶ ἀναζητήσει τοῦ αὐτοῦ εὐλαβεστάτου ἀνδρός. ἐπεὶ τοίνυν καὶ τὴν ἐν ὑστέρωι δεδομένην παρ' ὑμῶν προθεσμίαν διαδραμεῖν συνέβη συνεληλυθυίας τε αὖθις τῆς ὑμετέρας ἁγιωσύνης παραφυλάττουσι τὴν ὑμετέραν ἀκρόασιν οἱ εἰρημένοι εὐλαβέστατοι μοναχοὶ αἰτοῦντες εἰσόδου τυχεῖν, ὑποβάλλομεν πρὸς τὸ παριστάμενον. M VIII 939

89 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος καὶ πᾶσα ἡ ἁγία σύνοδος εἶπεν· Εἰσίτωσαν.

90 Καὶ εἰσῆλθον Μαριανὸς ὁ θεοφιλέστατος πρεσβύτερος καὶ ἡγούμενος μονῆς Δαλματίου τοῦ τῆς ὁσίας μνήμης καὶ ἔξαρχος σὺν αὐτῶι τε οἱ θεοφιλέστατοι πρεσβύτεροι καὶ ἀρχιμανδρῖται τῶν κατὰ τήνδε τὴν βασιλίδα πόλιν εὐαγῶν μοναστηρίων L V 64

1 Ἀγαπητὸς τῆς Δίου
2 Διόσκορος τῆς ἁγίας Εὐφημίας
3 Ἀγάπιος τῆς Θαλασσίου
4 Παῦλος τῶν Ῥωμαίων
5 Ἀντωνῖνος τῆς Εὐσεβίου
6 Στέφανος τῆς Ὀλυμπίου
7 Ἀναστάσιος τῶν Ῥωμαίων
8 Δημήτριος τῆς Φωκᾶ
9 Κυριακὸς τῆς Εὐφημίου
10 Ζωίλος τῆς Θεοδότου

O [ae, r (inde a 15 usque ad 29), I (inde a 15 usque ad 27), v]

11 γαινοῦ O^{v} 13 διονυσίου διακόνου καὶ καλλινίκου διακόνου τῶν $O^{e}\Lambda$ 15 εὐλαβεστάτου O^{e} 16 διάκονος καὶ πριμμικήριος νοταρίων O^{e} νοτάριος διάκονος καὶ πριμμικήριος $O^{arv}I$ 17 εὐλαβεστάτου I 20 κατὰ τὴν I 21 δίδονται O^{e} αὐτοῦ om. O^{a} 22 ἐν om. O^{r} 22/23 συνεληλυθείασ I 24 ἀπαιτοῦντεσ I ὑποβάλλομεν οὖν $O^{e}\Lambda$ 24/25 τὰ παριστάμενα I 27 εἰσῆλθον .. p. 166, 2 Σκυθόπολιν μοναχῶν] εἰσελθόντων αὐτῶν I 27 εἰσῆλθον O^{e} εἰσῆλθεν O^{ar} *intrauit* Λ μαρινιανὸσ O^{e} μονῆσ om. O^{av} 28/29 ἀρχιμανδρῖται καὶ πρεσβύτεροι O^{r} 29 τήνδε om. O^{r} 30—p. 166, 2 Ἀγαπητὸς — μοναχῶν om. O^{r} 32 ἀγαπητὸσ O^{av} 34 ἀντώνιοσ O^{av} 35 ὀλυμπίου $O^{e}\Lambda$ ὀλύμπου ἀντωνῖνοσ O^{a} ὀλύμπου ἄδοσ ἀντωνῖνοσ O^{v}

11 Ἰουλιανὸς τῆς Εὐφημίου
12 Στέφανος τῶν Προμώτου
13 Ζήνων τῆς ἁγίας θεοτόκου ἐν τῇι πηγῇι
14 Ἀλέξανδρος τοῦ καλαμίου
15 Δάδας τῆς Καιουμᾶ
16 Ῥόδων τῆς Θεοδώρου
17 Γεννάδιος τῆς Κυριακοῦ
18 Θεόδωρος τῆς Μαρωνίου
19 Σίλας τῆς Ἠλία
20 Παῦλος τῆς Σαμουηλίου
21 Ἰωάννης τῆς Θεοδώρου
22 Κυρίων τῶν Αἰγυπτίων
23 Βασίλειος τῆς Κυρακωνᾶ
24 Ἰωάννης τοῦ ἁγίου ἀποστόλου Θωμᾶ ἐν τοῖς Μοδέστου
25 Μάρκος τῆς Θεοδώρου
26 Φλαβιανὸς πρεσβύτερος καὶ δευτεράριος τῆς Μοδέστου τῶν Λυκαόνων
27 Μαρῖνος τῆς Παύλου
28 Θεόκτιστος τῆς ἁγίας θεοτόκου πλησίον τῶν Ἰώβ
29 Θεόδωρος τῆς Τρύφωνος
30 Κοσμᾶς τοῦ ἁγίου Ἰωάννου ἐν τοῖς Στουδίου
31 Πέτρος τῆς ἁγίας θεοτόκου καὶ τοῦ ἁγίου Διομήδους ἐν Ἱερουσαλήμ
32 Ἐλευθέριος τοῦ ἁγίου Κυριακοῦ
33 Ἀλέξανδρος τῆς Ἀβραμίου
34 Θεόδωρος τῆς Ἰώβ
35 Τρύφων τῆς Ἐλπιδίου
36 Στέφανος τῆς Κώνστα
37 Βαβύλας τῆς Δανιὴλ ἐν τῶι στύλωι
38 Ἰωάννης τῆς Ἀναστασίου
39 Ἄνθιμος τῆς Νέωνος
40 Ἰωάννης τοῦ ἁγίου Μιχαὴλ τῶν Χαρισίου
41 Ἰωάννης τῆς Μάρα πλησίον τῆς Ἀετίου κινστέρνης
42 Φωκᾶς τῆς Ἰωνᾶ πλησίον τοῦ Δευτέρου
43 Ζώσιμος τῆς Εὐτυχίου τῶν Λυκαόνων
44 Τιμόθεος τῆς Ἀστερίου
45 Στρατόνικος τῆς Δομετίου
46 Πολυχρόνιος τοῦ αἰθρίου
47 Ἀνδρέας τῶν Ῥωμαίων πλησίον τῆς κινστέρνης
48 Μαρτύριος τῆς Πέτρου πλησίον τῶν Ἀποστόλων
49 Ἀνδρέας τῆς ἁγίας θεοτόκου πλησίον τοῦ ἁγίου Λουκᾶ
50 Μάρκος τοῦ ἁγίου Κυρίκου
51 Ἰάκωβος τῆς Ἀβίβου Σύρος
52 Ἀττικὸς τῶν Εὐκρατάδων
53 Ἰωσὴφ τῆς ἁγίας θεοτόκου ἐν τῶι λιθοστρώτωι
54 Παῦλος τοῦ ἁγίου ἀποστόλου Πέτρου πλησίον τοῦ παλατίου

O [= aev]
2 προμότου O^{e} 10 σαμοηλίου O^{av} 14 θωμᾶ τοῦ ἀποστόλου O^{a} 31 ἁετοῦ O^{a} 36 αἰθερίου O^{av} 40 κηρύκου O

55 Ἀναστάσιος πρεσβύτερος καὶ δευτεράριος τοῦ ἁγίου Φιλίππου ἐν τῶι βρεφο-
τροφείωι
56 Γεώργιος τῆς Κύρου
57 Εὐσέβιος τῆς Συμεωνίου
58 Ζωτικὸς τοῦ ἁγίου Ἀνδρέου πλησίον τῆς Σατορνίνου πόρτης
59 Κυριακὸς τοῦ ἁγίου Ἰωάννου τῶν Σύρων
60 Ζώσιμος τῆς Μαξιμίνου
61 Πολυχρόνιος τῶν Κρητικῶν
62 Παῦλος τῆς ἁγίας Ἑρμιόνης
καὶ τῶν ὑπὸ Θεούπολιν
63 Παῦλος μοναχὸς καὶ ἀποκρισιάριος μονῆς τῆς Μάρωνος
64 Σευηριανὸς πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Ζωόρα τῶν Θερμῶν Σύρος
65 Κασσισᾶς πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Λουκᾶ Σύρος
66 Συμεώνης διάκονος καὶ ἀποκρισιάριος τῆς Ἰακώβου
67 Ἰωάννης διάκονος καὶ ἀποκρισιάριος τῆς Θεοδώρου
68 Στέφανος πρεσβύτερος καὶ ἡγούμενος μονῆς Εὐξερίου
69 Ἰωάννης πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ κυρίου Θωμᾶ Σύρος
70 Θωμᾶς πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῆς Ἀαρὼν Σύρος
71 Φωτεινὸς μοναχὸς καὶ ἀποκρισιάριος μονῆς τοῦ ἁγίου Στεφάνου
72 Θεόδωρος διάκονος καὶ ἀποκρισιάριος τῆς ἐκκλησίας Ἐρενδηληνῶν
73 Σέργιος πρεσβύτερος καὶ περιοδευτής
οἱ πάντες πράττοντες ὑπέρ τε ἑαυτῶν καὶ τῶν λοιπῶν
ἔτι μὴν καὶ τῶν ὑπὸ τοὺς ἁγίους Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν τόπους M VIII 942
74 Δομνῖνος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Μαρτυρίου
75 Ἡσύχιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Θεοδοσίου
76 Κασσιανὸς πρεσβύτερος τῆς λαύρας τοῦ μακαρίου Σάβα
77 Κυριακὸς πρεσβύτερος καὶ ἡγούμενος τῶν πυργίων τοῦ Ἰορδάνου
78 Νέσταβος πρεσβύτερος λαύρας τοῦ μακαρίου Φιρμίνου
79 Τερέντιος πρεσβύτερος τῆς Νέας λαύρας
80 Λεόντιος μοναχὸς καὶ ἡγούμενος καὶ τοποτηρητὴς τῆς ἐρήμου πάσης
81 Τραιανὸς πρεσβύτερος τῶν πυργίων τοῦ Ἰορδάνου
82 Πολύευκτος διάκονος τῆς μονῆς τοῦ ἀββᾶ Θεοδοσίου
83 Θεόδωρος διάκονος καὶ μοναχὸς τῆς Νέας λαύρας
84 Κύρικος διάκονος καὶ μοναχὸς τῆς αὐτῆς Νέας λαύρας L V 65
85 Ἀναστάσιος διάκονος μονῆς τοῦ μακαρίου Μαρτυρίου
86 Μάμας μοναχὸς τῆς αὐτῆς μονῆς
87 Ἰωάννης μοναχὸς τῆς αὐτῆς μονῆς
88 Ἰουλιανὸς μοναχὸς μονῆς τοῦ ἀββᾶ Θεοδοσίου
οἱ πάντες ὑπέρ τε τῶν οἰκείων μοναστηρίων καὶ πάντων τῶν ἐν τῆι ἐρήμωι
τῆς ἁγίας πόλεως μοναχῶν
89 Ἰωάννης πρεσβύτερος τῆς πεδιάδος καὶ ὑπὲρ πάντων τῶν ἐκεῖσε μοναχῶν
90 Θεωνᾶς πρεσβύτερος τοῦ Σινᾶ ὄρους καὶ ἀποκρισιάριος τοῦ τε ὄρους καὶ τῆς
ἐκκλησίας Φαρὰν καὶ λαύρας Ῥαιθοῦ ὑπὲρ πάντων τῶν ἐκεῖσε μοναχῶν

O [= aev]

9 ἑρμιώνησ O^{aev} 12 σεβηριανὸσ O^{a} 17. 18 τοῦ κυρίου — μονῆς om. $O^{e}\Lambda$ 20 ἑρεν-δηλινῶν O^{aev} 24 cf. ad p. 158, 23 26 κασιανὸσ O^{aev} σάββα O^{e} 33 τῆσ αὐτῆσ νέασ O 34 κήρυκοσ O αὐτῆς om. O 35 τῆσ μονῆσ O^{aev} 38 τῆσ αὐτῆσ μονῆσ O^{v}

91 Στρατήγιος διάκονος καὶ μοναχὸς μονῆς τοῦ μακαρίου Ἰωάννου ὑπὲρ πάντων τῶν ὑπὸ Σκυθόπολιν μοναχῶν

91 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος καὶ πᾶσα ἡ ἁγία σύνοδος εἶπεν· Ἀναγινωσκέσθω τὰ τῇι προτεραίαι πραχθέντα.

Καὶ λαβὼν Παῦλος ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος ἀνέγνω

92 Μετὰ τὴν ὑπατείαν Φλ' Βελισσαρίου τοῦ λαμπροτάτου τῇι πρὸ μιᾶς Νόνων Μαίων
p.154, 11—13 ἰνδικτιῶνος τεσσαρεσκαιδεκάτης ἐν τῇι φιλοχρίστωι καὶ βασιλευούσηι πόλει Κωνσταντίνου Ῥώμηι καὶ τὰ λοιπὰ τῆς δευτέρας πράξεως

93 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος καὶ πᾶσα ἡ ἁγία σύνοδος εἶπε· Διδασκέτωσαν ἡμᾶς οἱ θεοσεβέστατοι διάκονοι καὶ νοτάριοι πόσαι παρωιχήκασιν ἡμέραι μετὰ τὴν κατὰ δευτέραν τάξιν γενομένην σύνοδον.

94 Οἱ νοτάριοι εἶπον· Διδάσκομεν τὴν ὑμετέραν μακαριότητα ὡς ἐκ τῆς περιεχομένης ἡμέρας τοῖς νῦν ἀναγνωσθεῖσιν ὑπομνήμασιν μέχρι τῆς σήμερον καὶ αὐτῆς πέντε εἰσὶν ἡμέραι.

95 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος καὶ πᾶσα ἡ ἁγία σύνοδος εἶπε· Νῦν οἱ πρὸς ἀναζήτησιν κατὰ δευτέραν τάξιν παρ' ἡμῶν ἀπονεμηθέντες Ἀνθίμου τοῦ εὐλαβοῦς, εἰ τοῖς διαλαληθεῖσι πέρας ἐπιτεθείκασι, διδαξάτωσαν.

96 Πέτρος ὁ ὁσιώτατος ἐπίσκοπος Ἰουστινιανουπόλεως τῆς δευτέρας Καππαδοκίας εἶπε· Τὰ ὁσίως προσταχθέντα παρὰ τῆς ὑμετέρας ἁγιωσύνης εἰς ἔργον ἀγαγεῖν σπεύσαντες ἐγώ τε καὶ οἱ σὺν ἐμοὶ ἀπονεμηθέντες Θαλάσσιος ὁ ὁσιώτατος ἐπίσκοπος τῆς Βηρυτίων μητροπόλεως καὶ Δόμνος ὁ θεοφιλέστατος ἐπίσκοπος Μαξιμιανουπόλεως καὶ Ῥωμανὸς καὶ Ἰωάννης οἱ θεοφιλέστατοι πρεσβύτεροι καὶ ἔκδικοι καὶ Ἀνδρέας καὶ Καλώνυμος οἱ θεοσεβέστατοι διάκονοι καὶ νοτάριοι τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας γεγόναμεν εἰς διαφόρους τόπους καθ' οὓς ἐνομίζετο εὑρίσκεσθαι Ἄνθιμος ὁ εὐλαβέστατος, καὶ μετὰ πάσης ἐπιμελείας τὴν ἀναζήτησιν ποιησάμενοι οὐδαμοῦ τοῦτον εὑρεῖν δεδυνήμεθα. παραγενόμενοι δὲ καὶ ἐν τῶι σεπτῶι οἴκωι τοῦ ἐνδόξου μάρτυρος Λαυρεντίου ἐπυνθανόμεθα τῶν
M VIII 943 ἐκεῖσε κληρικῶν, εἰ οἴδασιν ὅπου διάγει ὁ μνημονευθεὶς εὐλαβέστατος ἀνήρ. οἵτινες μεθ' ὅρκου εἰρήκασι μὴ θεάσασθαι αὐτὸν ἀφ' οὗπερ ἀπέστη τοῦ θρόνου ταύτης τῆς βασιλίδος πόλεως, μήτε εἰδέναι ἐν ποίωι τόπωι διάγει, ἔφησαν δὲ προάστειον αὐτὸν ἔχειν πλησίον τοῦ προφητείου, ἐν ὧι συνεχέστερον ηὑρίσκετο ἀπιών, καὶ κατὰ τὴν μονὴν Θεοδώρου τοῦ θεοσεβεστάτου πρεσβυτέρου καὶ ἡγουμένου, πρὶν ἢ ἐπιλάβηται τῆς ἐπισκοπῆς ταύτης τῆς βασιλίδος πόλεως. οὓς παραλαβόντες καὶ γενόμενοι ἐν τοῖς εἰρημένοις τόποις καὶ ἐπιζητήσαντες οὐδὲ ἐν τούτοις αὐτὸν εὑρεῖν ἰσχύσαμεν τῶν ἐκεῖσε εὑρεθέντων
L V 68 μεθ' ὅρκων βεβαιωσαμένων μήτε θεάσασθαι αὐτὸν ἀφ' οὗ ἀνεχώρησε τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας. λαβόντες δὲ κατὰ νοῦν τὴν οὖσαν διάθεσιν αὐτῶι πρὸς Πέτρον τὸν ποτὲ τῆς Ἀπαμέων γενόμενον πρόεδρον παρεγενόμεθα καὶ ἐν τῶι προαστείωι τῶι διαφέροντι τῶι αὐτῶι Πέτρωι πλησίον ὄντι τοῦ εὐκτηρίου οἴκου τοῦ ἁγίου μάρτυρος Θύρσου καὶ οὐδὲ ἐκεῖ αὐτὸν εὑρεῖν δεδυνήμεθα.

O [aerv], I

6 φλαβίου O^{e}IΛ βελισαρίου O^{r}IΛ νόννων OI 7 κωνσταντινουπόλει O^{e}I πόλει p. 161, 5 8 νέα ῥώμη O^{a} 9 ἡμᾶς om. O^{a} 10 κατὰ τὴν O^{r} 12 ἡμετέραν O^{v} 16 παρ' ἡμῶν om. O^{a} 16/17 λαληθεῖσι O^{r} 17 ἐπιτεθήκασι I 18 ἐπίσκοποσ τῆσ O^{av} 19 πραχθέντα O^{e}Λ ἁγιωσύνησ καὶ ἡμῖν προσταχθέντα O^{e}Λ σπουδάσαντεσ O^{av} 21 θεοσεβέστατος I ἐπίσκοπος om. O^{av} 22 θεοσεβέστατοι I 23 ἁγιωτάτησ ταύτησ O^{av} 27 ὅποι O^{av} διάγοι O^{a} 30 προφήτου I εὑρίσκετο I 33 εὑρεῖν αὐτὸν O^{av} 34 ὅρκου O^{e}Λ μήτε [μὴ O^{r}I] θεάσασθαι αὐτὸν OI nescio an scribendum sit μὴ τεθεᾶσθαι 36 ἀπαμείασ O^{r} παραγενόμεθα O^{v} τῶι om. I 37 τῶι αὐτῶι] αὐτῶ τῶ O^{a} 38 οὐχ O^{a} ἐκεῖ αὐτὸν om. O^{av} ἐκεῖσε I

97 Θαλάσσιος ὁ ὁσιώτατος ἐπίσκοπος Βηρυτοῦ εἶπε· Τοῖς ἐνθέσμως καὶ κανονικῶς ὑπὸ τῆς ἁγίας ὑμῶν συνόδου διαλαληθεῖσι τὸ ἱκανὸν ποιοῦντες ἐγώ τε καὶ Πέτρος καὶ Δόμνος οἱ ὁσιώτατοι ἐπίσκοποι καὶ Ῥωμανὸς καὶ Ἰωάννης οἱ θεοφιλέστατοι πρεσβύτεροι καὶ ἐκκλησιέκδικοι καὶ Ἀνδρέας καὶ Καλώνυμος οἱ θεοσεβέστατοι διάκονοι καὶ νοτάριοι τῆς ἁγιωτάτης ταύτης μεγάλης ἐκκλησίας περιήλθομεν εἰς ἀναζήτησιν Ἀνθίμου τοῦ εὐλαβοῦς, ὀφείλοντες αὐτὸν προτρέψαι τὸν ἱερὸν τοῦτον καταλαβεῖν σύλλογον καὶ περὶ ὧν ἐγκαλεῖται, τὰς ἀπολογίας ποιήσασθαι. καὶ δὴ ἐν πολλοῖς γενόμενοι τόποις, εὐκτηρίοις ἁγίοις καὶ εὐαγέσι μοναστηρίοις, οὐ μὴν ἀλλὰ καὶ ἐν προαστείοις διαφέρουσιν αὐτῶι τε Ἀνθίμωι καὶ Πέτρωι τῶι καὶ Ἐκδικίωι τῶι ποτε τὸν Ἀπαμείας ἀθέσμως ὑφαρπάσαντι θρόνον, ἐν οἷς αὐτὸν ἐνομίσαμεν διατρίβειν, καὶ περινοστήσαντες οὐδαμῶς τοῦτον εὑρεῖν δεδυνήμεθα.

98 Δόμνος ὁ θεοφιλέστατος ἐπίσκοπος Μαξιμιανουπόλεως τῆς δευτέρας Παλαιστίνης εἶπεν· Ἀκολουθήσας κἀγὼ τοῖς κανονικῶς κελευσθεῖσι παρὰ τῆς ἁγίας ταύτης συνόδου περιενόστησα μετὰ Πέτρου καὶ Θαλασσίου τῶν ὁσιωτάτων ἐπισκόπων καὶ Ῥωμανοῦ καὶ Ἰωάννου τῶν θεοφιλεστάτων πρεσβυτέρων καὶ ἐκκλησιεκδίκων, καὶ Ἀνδρέου καὶ Καλωνύμου τῶν θεοσεβεστάτων διακόνων καὶ νοταρίων τοὺς παρ' αὐτῶν ἐξονομασθέντας τόπους καὶ οὐδαμοῦ τοῦτον εὑρεῖν δεδυνήμεθα.

99 Ῥωμανὸς ὁ θεοφιλέστατος πρεσβύτερος καὶ ἐκκλησιέκδικος εἶπε· Κἀγὼ παραγενόμενος ἅμα Πέτρωι Θαλασσίωι καὶ Δόμνωι τοῖς ὁσιωτάτοις ἐπισκόποις καὶ Ἰωάννηι τῶι θεοφιλεστάτωι συμπρεσβυτέρωι μου καὶ ἐκδίκωι καὶ Ἀνδρέαι καὶ Καλωνύμωι τοῖς θεοφιλεστάτοις διακόνοις καὶ νοταρίοις ἐν τῶι σεπτῶι οἴκωι τοῦ ἁγίου μάρτυρος Λαυρεντίου καὶ εἰσελθόντες ἐν αὐτῶι προετρεψάμεθα τοὺς θεοφιλεστάτους κληρικοὺς εἰπεῖν ποῦ δυνατὸν εὑρεθῆναι Ἄνθιμον τὸν εὐλαβέστατον, ἐφ' ὧι προσαγγελθῆναι αὐτῶι τὰ περὶ τῆς κινουμένης ὑποθέσεως ἐπὶ τῆς εὐαγοῦς συνόδου. καὶ μεθ' ὅρκου οἱ αὐτοὶ εὐλαβέστατοι κληρικοὶ εἰρήκασιν ὅτι ἴσμεν αὐτὸν ἔχοντα προάστειον πλησίον τοῦ προφητείου τοῦ ἁγίου Ἡσαίου καὶ ἐκεῖ τὰ πολλὰ διατρίβοντα, ἀπερχόμενον δὲ καὶ ἐν τῶι μοναστηρίωι M VIII 946
Θεοδώρου τοῦ θεοφιλεστάτου μοναχοῦ συνεχέστερον καὶ συνδιάγοντα αὐτῶι. ταῦτα ἴσμεν γίνεσθαι παρ' αὐτοῦ, πρὶν ἂν ἐπιλάβηται τῆς ἐπισκοπῆς ταύτης τῆς βασιλευούσης, ἐπειδή γε κατὰ τὸν τῆς ἐπισκοπῆς καιρὸν ἅπαξ καὶ μόνον οἴδαμεν αὐτὸν θρέψαντα τοὺς εὐλαβεστάτους αὐτοῦ κληρικοὺς τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας ἐν τῶι εἰρημένωι προαστείωι ἐν συνάξει τῆς δεσποίνης ἡμῶν τῆς θεοτόκου καὶ ἁγίας Μαρίας τῆς διακειμένης ἐν Βλαχέρναις προκεσσοῦ ὄντος βασιλικοῦ. καὶ τοῖς αὐτοῖς λόγοις μεθ' ὅρκων χρησάμενοι προσέθηκαν τοῦτο ὅτι νῦν παντελῶς οὐκ ἴσμεν ποῦ ἐστιν. εἰ δὲ καὶ μετὰ ταῦτα δυνηθῶμεν L V 69
γνῶναι ποῦ διάγει, προσαγγέλλομεν τῆι ὑμετέραι θεοφιλείαι. καὶ ταῦτα ἀκούσαντες παρ' αὐτῶν προετρεψάμεθα αὐτοὺς ἐλθεῖν ἅμα ἡμῖν ἐν τῶι μοναστηρίωι Θεοδώρου τοῦ θεοφιλεστάτου πρεσβυτέρου καὶ μοναχοῦ καὶ ἐν τῶι προαστείωι τοῦ εὐλαβεστάτου Ἀνθίμου, ὥστε καὶ ἐν ἐκείνοις τοῖς τόποις τὴν ζήτησιν αὐτοῦ ποιήσασθαι καὶ γνῶναι ποῦ διάγει. καὶ δὴ παραγενομένων ἡμῶν μετὰ τῶν εἰρημένων εὐλαβεστάτων κληρικῶν ἐν τῶι μοναστηρίωι Θεοδώρου τοῦ θεοφιλεστάτου πρεσβυτέρου καὶ ἡγου-

O [— ae, r (usque ad 13), v], I [usque ad 13]

5 ταύτης om. $O^{rv}I$ 8 μὴν O^{arv}Λ μόνον O^{e} 9 καὶ: om. O^{e} ἐκδίκω I ποτὲ τῆσ ἀπαμέων O^{av} ἀθέσμως om. O^{a} 12 ἐπίσκοπος om. I παλαιστήνης O^{e} καππαδοκίασ O^{r} 13—p. 168, 32 εἶπεν — ἐκδίκου] ῥωμανόσ ὁ θεοφιλέστατοσ πρεσβύτεροσ καὶ ἐκκλησιέκδικοσ ἰῶ ὁ θεοφιλέστατοσ πρεσβύτεροσ καὶ ἐκκλησιέκδικος [ἰῶ — ἐκκλησιέκδικος om. I] καὶ ἐπὶ τῶν φυλακῶν ἀνδρέασ ὁ θεοσεβέστατοσ διάκονοσ καὶ νοτάριοσ O^{rI} 17 τούτουσ O^{v} 20 συμπρεσβυτερίω O^{v} 26 *saepius abire* Λ 29 ἐπειδὴ O^{av} ἐπεὶ μὴ O^{e}Λ 31 ἐν συνάξει O^{e}Λ om. O^{av} καὶ O^{e} τῆσ O^{av} 32 προκένσου O^{e}Λ 33 καὶ τοῦτο O^{a} 34 διαγνῶναι O^{e} προσαγγέλωμεν O^{v} ὑμῶν O^{e}

μένου τῆς αὐτῆς μονῆς καὶ εἰσελθόντων ἐν τῶι εὐκτηρίωι οἴκωι τοῦ αὐτοῦ εὐαγοῦς μοναστηρίου εὕρομεν ἐκεῖσε εὐλαβεστάτους μοναχοὺς αὐτοῦ, ἐν οἷς ἦν καὶ Προκόπιος ὁ εὐλαβέστατος μοναχὸς καὶ πρωτοδιάκονος. καὶ ἀκούσαντες παρ' ἡμῶν ποῦ διάγει Ἄνθιμος ὁ θεοφιλέστατος διὰ τὸ ζητεῖσθαι αὐτὸν ὑπὸ τῆς ἁγίας συνόδου, εἶπον ταῦτα ὅτι ὡς ἐνώπιον τοῦ θεοῦ λέγομεν ὅτι πρὶν ἂν γένηται ἐπίσκοπος ὁ κύρις Ἄνθιμος ταύτης τῆς βασιλευούσης πόλεως, ἤρχετο συνεχῶς ἐν τῶι μοναστηρίωι ἡμῶν καὶ πρὸς τὸν ἡγούμενον καὶ συνδιῆγον ὁμοῦ καὶ εἶχον πρὸς ἀλλήλους διάθεσιν· ἀφ' οὗ δὲ ἐπελάβετο τῆς ἐπισκοπῆς, οὐκ ἦλθεν ἐνταῦθα οὐδὲ εἴδομεν αὐτοῦ ὄψιν, ὁ δὲ κύριος ἡγούμενος ἡμῶν ἀπῆλθεν εἰς εὐχὴν ἀπὸ πολλῶν ἡμερῶν, οὔτε δὲ ἠκούσαμεν, ὡς ἐπὶ τοῦ κυρίου, ποῦ διάγει Ἄνθιμος ὁ εὐλαβέστατος. παραγενόμενοι δὲ καὶ ἐν τῶι προαστείωι Ἀνθίμου τοῦ θεοφιλεστάτου καὶ εἰσελθόντες εὕρομεν ἐν αὐτῶι Στέφανον καὶ Λογγῖνον τοὺς προσήκοντας αὐτῶι καὶ ἐρωτηθέντες παρ' ἡμῶν ποῦ διάγει ὁ εἰρημένος εὐλαβέστατος Ἄνθιμος, εἶπον μεθ' ὅρκων μὴ εἰδέναι ποῦ διάγει, ἀλλ' αὐτοὺς μόνους εἶναι ἐν τῶι αὐτῶι προαστείωι· μὰ τὸν δὲ φιλάνθρωπον θεὸν καὶ τὰς ἁγίας ὑμῶν εὐχάς, ἀφ' οὗ ἐξῆλθε τῆς ἁγίας Μαρίας, οὐκέτι εἴδομεν αὐτοῦ πρόσωπον. κἀκεῖθεν παραγενόμενοι ἐν τῶι εὐκτηρίωι τοῦ ἁγίου μάρτυρος Θύρσου ἔγνωμεν ὡς πρόαστειον πλησίον διάκειται Πέτρου τοῦ ποτε τῆς Ἀπαμέων ἐπισκόπου, ἐν ὧι εὑρίσκεται Ἄνθιμος ὁ εὐλαβέστατος. καὶ δὴ ἐκεῖσε γενόμενοι ἐπηρωτήσαμεν Θαλέλαιον τὸν εὐλαβέστατον μοναχὸν εἰ οἶδε τὸν εἰρημένον εὐλαβέστατον Ἄνθιμον ἐκεῖσε εἶναι, καὶ ἔφησε μεθ' ὅρκων αὐτός τε καὶ Σισίννιος τὴν τέχνην ἐργολάβος ὅτι οὐδὲ πρὶν ἢ γένηται ἐπίσκοπος, οὐδὲ μετὰ τὸ γενέσθαι αὐτὸν οἴδαμεν αὐτὸν ἐλθόντα ἐνταῦθα, οὔτε δὲ ποῦ διάγει. καὶ ἀκούσαντες ταῦτα ἀνεχωρήσαμεν.

100 Ἰωάννης ὁ θεοφιλέστατος πρεσβύτερος καὶ ἐκκλησιέκδικος καὶ ἐπὶ τῶν φυλακῶν εἶπε· Κἀγὼ τὰ αὐτὰ κατατίθεμαι.

101 Ἀνδρέας ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος εἶπε· Κατὰ τὴν ὁσίαν πρόσταξιν
M VIII 947 τῆς ὑμετέρας μακαριότητος ἀπῆλθον ἅμα τοῖς εἰρημένοις ὁσιωτάτοις ἐπισκόποις καὶ θεοφιλεστάτοις πρεσβυτέροις καὶ ἐκδίκοις τοῖς σὺν ἐμοὶ προσταχθεῖσι παρ' ὑμῶν τῶν ὁσίων τὴν ἀναζήτησιν Ἀνθίμου τοῦ εὐλαβεστάτου ποιήσασθαι καὶ γενόμενος σὺν αὐτοῖς ἐν οἷς αὐτοὶ προεδίδαξαν τόποις, καὶ διὰ πολλῆς ἐρεύνης γενόμενος τοῦτον εὑρεῖν οὐκ ἠδυνήθην, ἐπήκουσα δὲ παρὰ τῶν προλεχθέντων κληρικῶν τοῦ ἁγίου μάρτυρος Λαυρεντίου καὶ μοναχῶν τῆς μονῆς Θεοδώρου τοῦ θεοφιλεστάτου πρεσβυτέρου καὶ ἡγουμένου καὶ τῶν προσ-
L V 72 κόντων ἀνθρώπων Ἀνθίμωι τῶι εὐλαβεστάτωι πάντα τὰ ἀνενεχθέντα ὑμῖν παρὰ Ῥωμανοῦ τοῦ θεοφιλεστάτου πρεσβυτέρου καὶ ἐκδίκου.

102 Καλώνυμος ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος εἶπε· Συνωιδὰ κἀγὼ τοῖς προειρημένοις θεοφιλεστάτοις ἀνδράσι κατατίθεμαι.

103 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος καὶ πᾶσα ἡ ἁγία σύνοδος εἶπεν· Ἔοικε μὲν Ἄνθιμος ὁ εὐλαβέστατος οὐκ ὀρθῶι συνειδότι κεχρημένος τὴν παρ' ἡμῖν μέχρι καὶ νῦν ἄφιξιν ἀναβάλλεσθαι. τί γὰρ τὸ κωλῦον ἦν, εἰ μὴ τοῖς κατ' αὐτοῦ προσαγγελθεῖσιν ὡς ἀληθέσιν ἐνεδίδου, γενέσθαι τε παρ' ἡμᾶς καὶ καθὰ προσῆκον ἦν, ἀποκρίνασθαι καὶ ἅμα τήν τε θεῶι φίλην καὶ ἱερατικῶι πρέπουσαν σχήματι παρασχέσθαι πληροφορίαν; ἀλλ' εἰ καὶ πρὸς τὴν καθ' ἑαυτοῦ ψῆφον ἐκεῖνος ἡμᾶς ἤδη τό γε ἐφ' ἑαυτῶι κεκίνηκεν, ὅμως ἡμεῖς οὐδένα τρόπον ἱερεῦσι θεοῦ πρεπούσης συμπαθείας πρὸς τὴν τῶν πλανωμένων ψυχῶν

O [= ac, r (inde a 32), v], I [inde a 32]

4 εἶπαν O^v 12 εἶπαν O^v 13 αὐτοῦ O^{ae}, corr. O^e φιλάνθρωπον δὲ O^e 14 ἡμῶν O^v 19 σισίνιος O^{av} 20 αὐτὸν^2 om. $O^eΛ$ οὔτε δὲ O^e ὅτι οὐδὲ O^{av} 22 καὶ om. O^e 30 εὐλαβεστάτου O^e 31 ἐνεχθέντα O^{av} 33 εἶπε] σὺν τοῖς προαγγελθεῖσιν εἶπον O^rI συνωιδὰ] τὰ ὅμοια O^r κἀγὼ] καὶ ἡμεῖς O^rI 34 κατατιθέμεθα O^rI 35/36 ὁ ἄνθιμος ὁ O^r 37 προσελεγχθεῖσιν O^r προενεχθεῖσιν I 37/38 ὡς ἀληθέσιν om. O^a 40 ἤδη om. I τό γε] τότε O^v

ἐπανόρθωσιν περιορῶντες καὶ τρίτης αὐτῶι μεταδίδομεν προθεσμίας, ἧς ἐντὸς εἰ μὴ παραγένοιτο καὶ τῶν προσηγγελμένων ἑαυτὸν ἐλεύθερον καταστήσειε, τὸ μὲν τέλος τῆι οἰκείαι τὸ ἐντεῦθεν ἐπιγράψειεν ἀπειθείαι, ἡμεῖς δὲ τοῖς τε εὐαγέσιν ἀκολουθοῦντες κανόσι καὶ τοῖς ὑπὸ Ἀγαπητοῦ τοῦ τῆς ἁγίας μνήμης διωρισμένοις προσέχοντες τὴν ἐπ' αὐτῶι ποιησόμεθα ψῆφον. ἀναζητήσουσι τοίνυν αὐτὸν καὶ νῦν Θεαγένης τε ὁ ὁσιώτατος ἐπίσκοπος τῆς Συναδέων μητροπόλεως καὶ Βάκχος ὁ ὁσιώτατος ἐπίσκοπος τῆς Ἀντιοχέων μητροπόλεως τῆς Πισιδῶν ἐπαρχίας καὶ Χριστοφόρος ὁ θεοφιλέστατος ἐπίσκοπος Πορφυρεῶνος Φοινίκης παράλου καὶ Ἰουλιανὸς καὶ Ἀμμώνιος οἱ θεοφιλέστατοι πρεσβύτεροι καὶ ἔκδικοι τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας καὶ Παῦλος καὶ Μακάριος οἱ θεοσεβέστατοι διάκονοι καὶ νοτάριοι, καὶ εἰ εὕροιεν, παρασκευάσουσιν ἡμερῶν ἄλλων εἴσω δέκα παραφυλάξαι τὴν ἡμετέραν ἀκρόασιν. ὑπὲρ δὲ τοῦ πᾶσαν ἀγνοίας ἢ τό γε ἀληθέστερον προσποιήσεως αὐτῶι πρόφασιν ἀνελεῖν, γενέσθαι δὲ καὶ τὰ παρ' ἡμῶν ἐψηφισμένα παντὶ τῶι τῆς βασιλίδος ταύτης πόλεως πιστοτάτωι λαῶι φανερά, καὶ κήρυγμα προτεθήσεται τὴν ἐπὶ Ἀνθίμωι γινομένην ζήτησιν παριστῶν καὶ πρὸς τὴν παρ' ἡμῖν αὐτὸν ὀψὲ γοῦν ἄφιξιν προτρεπόμενον.

Ὑπεσημηνάμην.

104 Μετὰ τὴν ὑπατείαν Φλ' Βελισσαρίου τοῦ λαμπροτάτου τῆι πρὸ δεκαδύο Καλανδῶν Ἰουνίων ἰνδικτιῶνος τεσσαρεσκαιδεκάτης ἐν τῆι φιλοχρίστωι καὶ βασιλευούσηι Κωνσταντινουπόλει Ῥώμηι d. 21. m. Mai. a. 536

προκαθεζομένου τοῦ δεσπότου ἡμῶν τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου οἰκουμενικοῦ ἀρχιεπισκόπου καὶ πατριάρχου Μηνᾶ ἐν τῶι μεσαύλωι τῶι δυτικῶι τοῦ σεβασμίου οἴκου τῆς δεσποίνης ἡμῶν τῆς ἁγίας ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας τοῦ ὄντος M VIII 950
πλησίον τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας

καὶ ἐκ μὲν τοῦ δεξιοῦ μέρους συνεδρευόντων αὐτῶι καὶ συνακροωμένων κατὰ εὐσεβῆ κέλευσιν τοῦ φιλοχρίστου καὶ θεοφυλάκτου ἡμῶν βασιλέως Ἰουστινιανοῦ τῶν ὁσιωτάτων καὶ θεοφιλεστάτων ἐπισκόπων

2 Σαβίνου τοῦ Κανουσίου
3 Ἐπιφανίου Ἐκλάνων
4 Ἀστερίου Σαλέρνων
5 Ῥουστίκου Φεσούλων
6 Λέοντος Νόλου

τῶν πάντων ἐκ τῆς Ἰταλῶν χώρας πρώην μὲν ἀπεσταλμένων ἐκ τῆς ἀποστολικῆς καθέδρας, ὕστερον δὲ συνόντων παραγενομένωι ἐνταῦθα Ἀγαπητῶι τῶι L V 73
τῆς ἁγίας μνήμης γενομένωι πάπαι τῆς πρεσβυτέρας Ῥώμης

7 Θαλασσίου τῆς μητροπόλεως Βηρυτοῦ
8 Μεγάλου τῆς μητροπόλεως Βεροίας
9 Ἰωάννου Γαβάλων

O [= ae, r (usque ad 34), v], I [usque ad 34]

1 μεταδιδόαμεν O^e 2 ἐπηγγελμένων O^{rI} καταστήσει O^e 3 ἐπιγράψει I 4 τοῦ ἁγαπητοῦ τοῦ [τοῦ om. O^a] O^{arv} 4/5 ψῆφον ποιησόμεθα O^{rI} δικαίαν ποιησόμεθα ψῆφον $O^eΛ$ 6 καὶ om. O^{arv} 6/7 βάκχοσ — ἐπαρχίασ post 8 παράλου habet O^{rI} μροπόλεωσ ἀντιοχέων O^e 7 πισσιδῶν O ἐπίσκοπος om. O^{arv} 8 τῆς ὑπὸ φοινίκην I θεοσεβέστατοι I 10/11 τὴν ἡμετέραν παραφυλάξαι O^e 11 ὑμετέραν O^{av} 14 γενομένην OΛ 16 in fine ἡ [om. O^v] ὑπογραφὴ O^{rv} 17 inscr. πρᾶξισ ἑτέρα $O^{ar}I$ φλαβίου $O^eIΛ$ βελισαρίου $O^{rI}Λ$ τῆι] τοῦ O^r 19 νέα ῥώμη O^a 22 καὶ ἐνδόξου O^r 24 ἐκ — μέρους om. O^{rI} συνόντων αὐτῶ καὶ συνακροωμένων καὶ συνεδρευόντων O^{rI} κατὰ τὴν I 27—31 om. O^{rI} 32 πάντων om. O^{rI} 32/33 καθολικῆσ O^r 33 δὲ καὶ $O^{arv}I$ 35—p. 171, 31 Κορίνθου] καὶ λοιπῶν μητροπολιτῶν ἐνδημούντων κατὰ ταύτην τὴν βασιλίδα πόλιν O^{rI} 36 βερροίασ O^{ev} 37 γαβούλων O^{av}

10 Χριστοφόρου Πορφυρεῶνος ἐπαρχίας Φοινίκης παράλου
11 Ἀρχελάου Κωρύκου
12 Δαυίθου τοῦ Κιρκινσίου
13 Αἰθερίου Μαριάμμης
14 Ἀλεξάνδρου Βαρκουσῶν
15 Δόμνου Μαξιμιανουπόλεως τῆς δευτέρας Παλαιστίνης
16 Ἀναστασίου Ἰωτάβης
17 Ἰωάννου Ζωόρων
18 Ἀστερίου Ἀμάστρεως
19 Ἀνδρέου τοῦ Πανίου
20 Ἐπιτυγχάνου Γέρμης ἐπαρχίας Ἑλλησπόντου
21 Παύλου τοῦ Στεκτορίου
22 Ἀνδρέου Πελτῶν
23 Θεοδώρου Μηροῦ
24 Ἀνδρέου Ἀμυζόνος
25 Φλαβιανοῦ Κοτένων
26 Ἡλίου Ἀδριανῶν
27 Μακεδονίου Βριάνων
28 Θεοδωρίτου Ἀλίνδων
29 Ἁρμονίου Καλλιπόλεως
30 Λεοντίου Ἑλενουπόλεως
31 Λογγίνου Ὀρεστιάδος
32 Ἰωάννου Καισαρείας τῆς Βιθυνίας
33 καὶ Ἰωάννου Τραιανουπόλεως Φρυγίας Πακατιανῆς
ἐκ δὲ τοῦ εὐωνύμου μέρους
34 Ὑπατίου τῆς μητροπόλεως Ἐφέσου
35 Κωνσταντίνου Ἡρακλείας τῆς μητροπόλεως Εὐρώπης
36 Εὐσέβιου τῆς μητροπόλεως Κυζίκου
37 Θαλασσίου τῆς μητροπόλεως Νικομηδείας
38 Φωτεινοῦ τῆς μητροπόλεως Χαλκηδόνος
39 Θεαγένους τῆς μητροπόλεως Συνάδων
40 Βάκχου Ἀντιοχείας τῆς μητροπόλεως Πισιδίας
41 Ἱλαριανοῦ τῆς μητροπόλεως Πέργης
42 Βοσπορίου Νεοκαισαρείας τῆς μητροπόλεως Πόντου Πολεμωνιακοῦ
43 Παύλου τῆς μητροπόλεως Τυάνων
44 Ἀκακίου τῆς μητροπόλεως Πισινοῦντος
45 Ἐπικτήτου Κλαυδιουπόλεως τῆς μητροπόλεως Ὀνωριάδος
46 Πέτρου τῆς μητροπόλεως Ἰουστινιανουπόλεως τῆς δευτέρας Καππαδοκῶν
ἐπαρχίας
47 Ζαχαρίου τῆς μητροπόλεως Μιτυλήνης
48 Ἡδίστου τῆς μητροπόλεως Κίου
49 Μάρκου τῆς μητροπόλεως Ἀπαμείας τῆς Βιθυνῶν ἐπαρχίας
50 Αὐξεντίου τῆς μητροπόλεως Σηλυβρίας

O [= aev]
1 φοινίκησ παράλου ἐπαρχίασ [ἐπάρχου Ov] Oav 3 κερκενσίου Oav 6 παλαιστήνησ Oe
11 ἐπάρχου Ov 14 μίρου OeΛ 15 ἀμυζῶνοσ Oav 16 κοτέννων Oav 22 ὀρεντιάδοσ Oav
26 ὑπάτου Ov 32 πισσιδίασ O 36 πισινοῦντοσ Oe

51 Ἰωάννου τῆς μητροπόλεως Βοσπόρου
52 Δομετιανοῦ Ζικχίας
53 Καλώα Σμύρνης
54 Ἐπιφανίου Ἡρακλείας τῆς ἐπαρχίας Ὀνωριάδος
55 Ἀβραμίου Κρατίας
56 Ἀλεξάνδρου Κολωνείας
57 Εὐγενίου Τίου
58 Κυριακοῦ Θεοδοσιουπόλεως ἐπαρχίας Φρυγίας Πακατιανῆς
59 Εὐσταθίου Τιβεριουπόλεως
60 Θεοδότου Εὐροίας
61 Εὐσεβίου Παλαιᾶς πόλεως
62 Θεοδώρου Γόρδου
63 Ματθαίου Κύμης
64 Ἀλεξάνδρου Ἐλούζων
65 καὶ Ἰωάννου τοῦ Μιδαείου
66-69 συμπαρόντων δὲ αὐτῶι καὶ συνακροωμένων καὶ Θεοφάνους καὶ Πελαγίου τῶν θεοφιλεστάτων διακόνων τῆς ἀποστολικῆς καθέδρας καὶ Μηνᾶ καὶ Πέτρου τῶν θεοσεβεστάτων νοταρίων καί τινων εὐλαβεστάτων ὑποδιακόνων καὶ ἐκδίκων καὶ λοιπῶν κληρικῶν τοῦ αὐτοῦ ἀποστολικοῦ θρόνου, οἳ καὶ συνόντες ἔτυχον παραγενομένωι ἐνταῦθα Ἀγαπητῶι τῶι τῆς ἁγίας μνήμης γενομένωι πάπαι τῆς πρεσβυτέρας Ῥώμης
70. 71 καὶ Μάγνου πρεσβυτέρου καὶ Ἡρακλείου διακόνου καὶ ἀποκρισιαρίων Ἐφραιμίου τοῦ ὁσιωτάτου πατριάρχου τῆς ἐν Θεουπόλει ἁγιωτάτης ἐκκλησίας
72 Σαβίνου διακόνου τῆς ἁγίας Χριστοῦ τοῦ θεοῦ ἡμῶν Ἀναστάσεως πληροῦντος τὰς ἀποκρίσεις Πέτρου τοῦ ὁσιωτάτου πατριάρχου Ἱεροσολύμων
73 Στεφάνου διακόνου καὶ ἀποκρισιαρίου Σωτηρίχου τοῦ ὁσιωτάτου ἐπισκόπου Καισαρείας τῆς μητροπόλεως Καππαδοκίας πρώτης M VIII 951
74 Γαιανοῦ πρεσβυτέρου καὶ ἀποκρισιαρίου Ἐλπιδίου τοῦ ὁσιωτάτου ἐπισκόπου Ἀγκύρας τῆς μητροπόλεως Γαλατίας πρώτης
75 Διονυσίου καὶ Καλλινίκου διακόνων καὶ ἀποκρισιαρίων Φωτίου τοῦ ὁσιωτάτου ἐπισκόπου τῆς μητροπόλεως Κορίνθου
παρόντος δὲ καὶ τοῦ εὐλαβοῦς κλήρου τῆς βασιλευούσης πόλεως

105 Εὐφήμιος ὁ θεοσεβέστατος διάκονος καὶ πριμικήριος νοταρίων εἶπε· Τρίτον ἤδη συνελθούσης τῆς ἁγίας ὑμῶν συνόδου κατὰ κέλευσιν εὐσεβῆ τοῦ φιλοχρίστου καὶ γαληνοτάτου ἡμῶν βασιλέως καί τινων ἐπὶ Ἀνθίμωι τῶι εὐλαβεῖ καὶ τῆι τούτου ἀναζητήσει L V 76
πραχθέντων παρὰ τῆι ὑμετέραι ἁγιωσύνηι ψήφου τε ὁσίας παρ' ὑμῶν προελθούσης προθεσμίαν ἡμερῶν δέκα πρὸς τὴν ἀναζήτησιν αὐτοῦ ὁριζούσης καὶ πρόγραμμα παρακελευομένης προτεθῆναι προτρέπον αὐτὸν παραγενέσθαι πρὸς τὴν ἁγίαν ὑμῶν σύνοδον, ἐπειδὴ συνέβη τό τε παρ' ὑμῶν προσταχθὲν ἔργωι προελθεῖν καὶ τὴν δεδομένην κατὰ τὴν ὁσίαν ὑμῶν ψῆφον προθεσμίαν διαδραμεῖν, συνελθούσης καὶ νῦν τῆς ἁγίας ὑμῶν συνόδου, παραφυλαττόντων δὲ τὴν ὑμετέραν ἀκρόασιν τῶν καὶ ἐν ἀρχῆι τὴν μέμψιν κατὰ τοῦ αὐτοῦ

O [= ae, r (inde a 32), v], I [inde a 32]
2 ζηκχίασ O^{e} 3 καλλᾶ O^{av} 13 κύβησ O^{av} 15 μηδαίου OΛ 22 καὶ3 O^{av} τῶν O^{e}Λ 23 θεουπόλεωσ O^{v} 29 τῆσ μητροπόλεωσ ἀγκύρασ O^{av} 32 δὲ om. O^{rI} βασιλευούσησ ταύτησ O^{rI} 33 εὐλαβέστατοσ O^{r} πριμμικήριοσ OI 33/34 συνελθούσησ ἤδη O^{av} 34 ἡμῶν O^{v} 36 προσελθούσησ O^{r} 36/37 προθεσμίαν τε O^{aev} 38 παρατεθῆναι O^{av} ἐπεὶ I

εὐλαβεστάτου Ἀνθίμου ποιησαμένων εὐλαβῶν μοναχῶν τῆς τε βασιλίδος ταύτης πόλεως καὶ ἐκ τῆς Θεουπολιτῶν διοικήσεως καὶ τῆς Ἱεροσολυμιτῶν γε μὴν ἐνορίας καὶ αἰτούντων εἰσόδου τυχεῖν ὑποβάλλομεν πρὸς τὸ παριστάμενον.

106 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Εἰσίτωσαν.

107 Καὶ εἰσῆλθε Μαριανὸς ὁ θεοφιλέστατος πρεσβύτερος καὶ ἡγούμενος μονῆς Δαλματίου τοῦ τῆς ὁσίας μνήμης καὶ ἔξαρχος καὶ σὺν αὐτῷ οἱ θεοφιλέστατοι πρεσβύτεροι καὶ ἀρχιμανδρῖται τῶν κατὰ τήνδε τὴν βασιλίδα πόλιν εὐαγῶν μοναστηρίων

1 Ἀγαπητὸς τῆς Δίου
2 Διόσκορος τῆς ἁγίας Εὐφημίας
3 Ἀγάπιος τῆς Θαλασσίου
4 Παῦλος τῶν Ῥωμαίων
5 Ἀντωνῖνος τῆς Εὐσεβίου
6 Στέφανος τῆς Ὀλυμπίου
7 Ἀναστάσιος τῶν Ῥωμαίων
8 Δημήτριος τῆς Φωκᾶ
9 Κυριακὸς τῆς Εὐφημίου
10 Ζωΐλος τῆς Θεοδότου
11 Ἰουλιανὸς τῆς Εὐφημίου
12 Στέφανος τῶν Προμώτου
13 Ζήνων τῆς ἁγίας θεοτόκου ἐν τῇ πηγῇ
14 Ἀλέξανδρος τοῦ καλαμίου
15 Δάδας τῆς Καιουμᾶ
16 Κυριακὸς τοῦ ἁγίου Ἰωάννου τῶν Σύρων
17 Ἐλπίδιος τῆς Βασιανοῦ
18 Ζώσιμος τῆς Μαξιμίνου
19 Πολυχρόνιος τῶν Κρητικῶν
20 Παῦλος τῆς ἁγίας Ἑρμιόνης
21 Ῥόδων τῆς Θεοδώρου
22 Γεννάδιος τῆς Κυριακοῦ
23 Θεόδωρος τῆς Μαρωνίου
24 Σίλας τῆς Ἠλία
25 Παῦλος τῆς Σαμουηλίου
26 Ἰωάννης τῆς Θεοδώρου
27 Κυρίων τῶν Αἰγυπτίων
28 Βασίλειος τῆς Κυρακωνᾶ
29 Ἰωάννης τοῦ ἁγίου ἀποστόλου Θωμᾶ ἐν τοῖς Μοδέστου
30 Μάρκος τῆς Θεοδώρου
31 Μαρῖνος τῆς Παύλου
32 Φλαβιανὸς πρεσβύτερος καὶ δευτεράριος τῶν Λυκαόνων
33 Θεόκτιστος τῆς ἁγίας θεοτόκου πλησίον τῶν Ἰωβ
34 Θεόδωρος τῆς Τρύφωνος
35 Ἐλευθέριος τοῦ ἁγίου Κυριακοῦ
36 Κοσμᾶς τοῦ ἁγίου Ἰωάννου ἐν τοῖς Στουδίου
37 Πέτρος τῆς ἁγίας θεοτόκου καὶ τοῦ ἁγίου Διομήδους ἐν Ἱερουσαλήμ

O [= ae, r (usque ad 7), v], I [usque ad 7]
5 εἰσῆλθον O^r μαρινιανὸσ O^e θεοσεβέστατοσ I 6 καὶ3 om. O^{av} 8—p. 174, 22 om. O^{rI} 19 προμότου O^e 21 τῆσ O^{av} 30 μαρώνησ O^v 32 σαμοήλου O^{av}

38 Ἀλέξανδρος τῆς Ἀβραμίου
39 Θεόδωρος τῆς Ἰώβ
40 Τρύφων τῆς Ἐλπιδίου
41 Στέφανος τῆς Κώνστα
42 Βαβύλας τῆς Δανιὴλ ἐν τῶι στύλωι
43 Ἰωάννης τῆς Ἀναστασίου
44 Ἀνθέμιος τῆς Νέωνος
45 Τιμόθεος τῆς Ἀστερίου
46 Ἰωάννης τοῦ ἁγίου Μιχαὴλ τῶν Χαρισίου
47 Ἰωάννης τῆς Μάρα πλησίον τῆς Ἀετίου κινστέρνης
48 Φωκᾶς τῆς Ἰωνᾶ πλησίον τοῦ Δευτέρου
49 Ζώσιμος τῆς Εὐτυχίου τῶν Λυκαόνων M VIII 954
50 Στρατόνικος τῆς Δομετίου
51 Πολυχρόνιος τῆς αἰθρίου
52 Ἀνδρέας τῶν Ῥωμαίων πλησίον τῆς κινστέρνης
53 Μαρτύριος τῆς Πέτρου πλησίον τῶν Ἀποστόλων
54 Ἀνδρέας τῆς ἁγίας θεοτόκου πλησίον τοῦ ἁγίου Λουκᾶ
55 Μάρκος τοῦ ἁγίου Κυρίκου
56 Ἰάκωβος τῆς Ἀβίβου Σύρος
57 Ἀττικὸς τῶν Εὐκρατάδων
58 Ἰωσὴφ τῆς ἁγίας θεοτόκου ἐν τῶι λιθοστρώτωι
59 Παῦλος τοῦ ἁγίου ἀποστόλου Πέτρου πλησίον τοῦ παλατίου
60 Ἀναστάσιος πρεσβύτερος καὶ δευτεράριος τοῦ ἁγίου Φιλίππου ἐν τῶι βρεφοτροφείωι
61 Γεώργιος τῆς Κύρου
62 Εὐσέβιος τῆς Συμεωνίου
63 Ζωτικὸς τοῦ ἁγίου Ἀνδρέου πλησίον τῆς Σατορνίνου πόρτης
64 Θεόδωρος μονῆς τῆς ὑπ' αὐτοῦ καταστάσης πλησίον τοῦ μαρτυρίου τοῦ ἁγίου Λαυρεντίου
καὶ τῶν ὑπὸ Θεούπολιν
65 Παῦλος μοναχὸς καὶ ἀποκρισιάριος μονῆς τῆς Μάρωνος
66 Σευηριανὸς πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Ζωόρα τῶν Θερμῶν Σύρος
67 Κασσισᾶς πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Λουκᾶ Σύρος
68 Συμεώνης διάκονος καὶ ἀποκρισιάριος τῆς Ἰακώβου L V 77
69 Ἰωάννης διάκονος καὶ ἀποκρισιάριος τῆς Θεοδώρου
70 Στέφανος πρεσβύτερος καὶ ἡγούμενος μονῆς Εὐξερίου
71 Ἰωάννης πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ κύρου Θωμᾶ Σύρος
72 Θωμᾶς πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Ἀαρὼν Σύρος
73 Φωτεινὸς μοναχὸς καὶ ἀποκρισιάριος μονῆς τοῦ ἁγίου Στεφάνου
74 Θεόδωρος διάκονος καὶ ἀποκρισιάριος τῆς ἐκκλησίας Ἐρενδηληνῶν
75 Σέργιος πρεσβύτερος καὶ περιοδευτής
οἱ πάντες πράττοντες ὑπέρ τε ἑαυτῶν καὶ τῶν λοιπῶν
ἔτι μὴν καὶ τῶν ὑπὸ τοὺς ἁγίους Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν τόπους

O [= aev]
10 ἀετοῦ O^{av} 11 πλησίον — Δευτέρου om. O^{av} 14 αἰθερίου O^{av} 18 κηρύκου O 28 τῆς om. O^{e} 30 τὴν O^{v} 31 τοῦ O^{av} 32 σεβηριανὸς O^{a} 34 Ἰακὼβ O^{v} 40 ἐρενδηλινῶν O^{av} 42 αὐτῶν O^{av}

76 Δομνῖνος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Μαρτυρίου
77 Ἡσύχιος πρεσβύτερος καὶ ἀποκρισιάριος μονῆς τοῦ μακαρίου Θεοδοσίου
78 Κασσιανὸς πρεσβύτερος τῆς λαύρας τοῦ μακαρίου Σάββα
79 Κυριακὸς πρεσβύτερος καὶ ἡγούμενος τῶν πυργίων τοῦ Ἰορδάνου
80 Νέσταβος πρεσβύτερος τῆς λαύρας τοῦ μακαρίου Φιρμίνου
81 Τερέντιος πρεσβύτερος τῆς Νέας λαύρας
82 Λεόντιος μοναχὸς καὶ τοποτηρητὴς τῆς ἐρήμου πάσης
83 Τραιανὸς πρεσβύτερος τῶν πυργίων τοῦ Ἰορδάνου
84 Πολύευκτος διάκονος τῆς μονῆς τοῦ ἀββᾶ Θεοδοσίου
85 Θεόδωρος διάκονος καὶ μοναχὸς τῆς Νέας λαύρας
86 Κύρικος διάκονος τῆς αὐτῆς Νέας λαύρας
87 Ἀναστάσιος διάκονος μονῆς τοῦ μακαρίου Μαρτυρίου
88 Μάμας μοναχὸς τῆς αὐτῆς μονῆς
89 Ἰωάννης μοναχὸς τῆς αὐτῆς μονῆς
90 Ἰουλιανὸς μοναχὸς μονῆς τοῦ ἀββᾶ Θεοδοσίου
οἱ πάντες πράττοντες ὑπέρ τε τῶν οἰκείων μοναστηρίων καὶ πάντων τῶν ἐν τῇ ἐρήμωι τῆς ἁγίας πόλεως μοναχῶν
91 Ἰωάννης πρεσβύτερος τῆς πεδιάδος καὶ ὑπὲρ πάντων τῶν ἐκεῖσε μοναχῶν
92 Θεωνᾶς πρεσβύτερος τοῦ Σινᾶ ὄρους καὶ ἀποκρισιάριος τοῦ τε ὄρους καὶ τῆς ἐκκλησίας Φαρὰν καὶ λαύρας Ῥαιθοῦ ὑπὲρ πάντων τῶν ἐκεῖσε μοναχῶν
93 Στρατήγιος διάκονος καὶ μοναχὸς μονῆς τοῦ μακαρίου Ἰωάννου ὑπὲρ πάντων τῶν ὑπὸ Σκυθόπολιν μοναχῶν

108 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ἀναγινωσκέσθω τὰ πεπραγμένα ταύτης ἕνεκα τῆς ὑποθέσεως.

109 Καὶ ἀνεγνώσθησαν αἱ μὲν δύο πράξεις διὰ Μακαρίου τοῦ θεοσεβεστάτου διακόνου καὶ νοταρίου, ἡ δὲ τρίτη διὰ Καλωνύμου τοῦ θεοσεβεστάτου διακόνου καὶ νοταρίου.

110 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος καὶ πᾶσα ἡ ἁγία σύνοδος εἶπεν· Εἰ τὸ παρ' ἡμῶν διαM VIII 955 λαληθὲν ἐπὶ ἀναζητήσει Ἀνθίμου τοῦ εὐλαβοῦς πεπράχασιν οἱ πρὸς τοῦτο ἀπονεμηθέντες θεοφιλέστατοι ἄνδρες, διδαχθῆναι βουλόμεθα.

111 Θεαγένης ὁ ὁσιώτατος ἐπίσκοπος τῆς μητροπόλεως Συνάδων εἶπεν· Κατὰ τὴν κέλευσιν τῆς ὑμετέρας ἁγιωσύνης καὶ πάσης τῆς σὺν ὑμῖν εὐαγοῦς συνόδου γενόμενος ἅμα Βάκχωι τῶι θεοφιλεστάτωι ἐπισκόπωι τῆς Ἀντιοχέων λαμπρᾶς μητροπόλεως τῆς Πισιδῶν ἐπαρχίας καὶ Χριστοφόρωι τῶι θεοφιλεστάτωι ἐπισκόπωι Πορφυρεῶνος τῆς ὑπὸ Φοινίκην πάραλον καὶ Ἰουλιανῶι καὶ Ἀμμωνίωι τοῖς θεοφιλεστάτοις πρεσβυτέροις καὶ ἐκκλησιεκδίκοις ταύτης τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας καὶ Παύλωι καὶ Μακαρίωι τοῖς θεοσεβεστάτοις διακόνοις καὶ νοταρίοις τοῦ εὐαγοῦς ὑμῶν ἐπισκοπείου ἐν τῶι σεπτῶι εὐκτηρίωι τοῦ ἁγίου μάρτυρος Σεργίου ἐν τοῖς Ὁρμίσδου καὶ ζητούντων ἡμῶν Ἄνθιμον τὸν εὐλαβέστατον ἐπεδείχθη ἡμῖν οἶκος ἔνθα πρότερον τὰς διατριβὰς ἐλέγετο ἔχειν, καὶ εὕρομεν κλεῖν ἐπικειμένην τῆι θύραι. ἐγενόμεθα δὲ καὶ ἐν ἑτέροις τόποις πρὸς ἀναζήτησιν τοῦ
L V 80 αὐτοῦ εὐλαβεστάτου Ἀνθίμου, ἐν οἷς ἐνομίζετο εἶναι, καὶ περιεργασάμενοι οὐκ ἠδυνήθημεν γνῶναι ποῦ διάγει, ἁπάντων ὡς ἐξ ἑνὸς στόματος λεγόντων μὴ ἑωρακέναι αὐτὸν μήτε εἰδέναι ποῦ διάγει ἀφ' οὗ ἐξῆλθε τῆς ἁγιωτάτης ἡμῶν μεγάλης ἐκκλησίας. πάλιν

O [= ae, r (inda a 23), v], I [inde a 23]
1 cf. ad p. 158, 23 3 κασιανὸσ O^{av} σάβα O^{v} 11 κήρυκοσ O 15 τῆσ αὐτῆσ μονῆσ O^{v} 26 καὶ νοταρίου om. I 30 θεογένησ O^{r} 31 τῆσ^{2} O^{arv}I τῆσ ὑπ' οὐρανὸν O^{e}Λ ἡμῖν O^{av} εὐαγοῦς om. O^{a} ἐγενόμην I 32—33 ἐπισκόπωι — θεοφιλεστάτωι om. O^{v} πισσιδῶν O^{e} 33 ἐπισκόπωι om. O^{av} 34 παράλου O^{av}I 36 ἡμῶν O^{av}Λ 38 εἰλέγχετο O^{r} 41 τὸ ποῦ O^{av}I 42 τὸ ποῦ O^{av} ὑμῶν I

μετὰ ταῦτα ἐν ἄλλῃ ἡμέραι ἀπελθόντες ἐν τῶι σεβασμίωι οἴκωι τοῦ ἁγίου ἀρχαγγέλου Μιχαὴλ τῶι διακειμένωι ἐν τῶι εὐσεβεῖ παλατίωι καὶ συγκαλεσάμενοι τοὺς εὐλαβεστάτους κληρικοὺς τοῦ αὐτοῦ εὐκτηρίοι ἠρωτήσαμεν αὐτοὺς περὶ τοῦ αὐτοῦ εὐλαβεστάτου ἀνδρὸς καὶ ἔφησαν μεθ' ὅρκου μήτε ἑωρακέναι μήτε εἰδέναι ποῦ διατρίβει. καὶ ταῦτα αὐτὰ ἐσπούδασα δῆλα καταστῆσαι τῆι ὑμετέραι ἁγιωσύνηι.

112 Βάκχος ὁ ὁσιώτατος ἐπίσκοπος τῆς Ἀντιοχέων μητροπόλεως τῆς Πισιδῶν ἐπαρχίας εἶπε· Κατὰ τὴν ὁσίαν τῆς ὑμετέρας ἁγιωσύνης διαλαλιὰν γενόμενος κἀγὼ ἅμα Θεαγένει καὶ Χριστοφόρωι τοῖς ὁσιωτάτοις ἐπισκόποις καὶ Ἰουλιανῶι καὶ Ἀμμωνίωι τοῖς θεοφιλεστάτοις πρεσβυτέροις καὶ ἐκκλησιεκδίκοις καὶ Παύλωι καὶ Μακαρίωι τοῖς θεοσεβεστάτοις διακόνοις καὶ νοταρίοις καὶ ἀναζητήσας σὺν αὐτοῖς Ἄνθιμον τὸν εὐλαβέστατον ἐν διαφόροις τόποις οὐδαμῶς αὐτὸν εὑρεῖν δεδύνημαι.

113 Χριστοφόρος ὁ ὁσιώτατος ἐπίσκοπος Πορφυρεῶνος ἐπαρχίας Φοινίκης παράλου εἶπε· Κατὰ τὰ κελευσθέντα ἡμῖν παρά τε τῆς ὑμετέρας μακαριότητος καὶ τῆς συγκαθημένης ὑμῖν ἁγίας συνόδου γενόμενοι ἅμα Θεαγένης τε καὶ Βάκχος οἱ ὁσιώτατοι ἐπίσκοποι καὶ μητροπολῖται σὺν τῆι ἐμῆι εὐτελείαι, οὐ μὴν ἀλλὰ καὶ Ἰουλιανὸς καὶ Ἀμμώνιος οἱ θεοφιλέστατοι πρεσβύτεροι καὶ ἐκκλησιέκδικοι τῆς ἁγιωτάτης ἐκκλησίας, προσέτι δὲ καὶ Παῦλος καὶ Μακάριος οἱ θεοσεβέστατοι διάκονοι καὶ νοτάριοι τοῦ εὐαγοῦς ὑμῶν ἐπισκοπείου ἀνεζητήσαμεν Ἄνθιμον τὸν εὐλαβέστατον, ἐφ' ὧι καὶ τὰς κινουμένας ἐπὶ ταύτης ὑμῶν τῆς ἱερᾶς συνόδου κατ' αὐτοῦ κατηγορίας προσαγγεῖλαι αὐτῶι καὶ προτρέψαι κατὰ τὸ δυνατὸν ἀπαντῆσαι αὐτὸν καὶ πρὸς τὰς μέμψεις ἀπολογήσασθαι. καὶ πρῶτον μὲν ἐν τοῖς Ὁρμίσδου γενόμενοι, ἐν ὧι οἴκωι κατέμενε πρὸ τοῦ ἁρπάσαι αὐτὸν τὸν τῆς βασιλίδος ταύτης πόλεως ἀρχιερατικὸν θρόνον, κατήναν εὕρομεν ταῖς θύραις ἐμβεβλημένην· τοὺς δὲ τοῖς ἐκεῖσε προσκαρτεροῦντας διερωτήσαντες εἴ που αὐτὸν ἐθεάσαντο, ἀκηκόαμεν λεγόντων μὴ ἑωρακέναι τοῦτον ἀπὸ πολλῶν ἡμερῶν. ὡσαύτως M VIII 958 δὲ καὶ ἐν τῶι σεπτῶι οἴκωι τοῦ ἁγίου ἀρχαγγέλου Μιχαὴλ ἐν τῶι παλατίωι γενόμενοι (ἑωρᾶτο γὰρ τὸ πρώην τοῖς ἐκεῖσε πυκνάζων) καὶ πυθόμενοι παρὰ τῶν αὐτόθι κληρικῶν εἴγε ἐφάνη αὐτοῖς ἐν ταῖς ἡμέραις ταύταις ὁ παρ' ἡμῶν ἐπιζητούμενος εὐλαβέστατος Ἄνθιμος, μεθ' ὅρκων παρ' αὐτῶν ἐπείσθημεν ὡς οὔτε εἶδον αὐτὸν οὔτε γινώσκουσιν ὅπου ἐστίν. οὐκ ἐν τούτοις δὲ μόνον, ἀλλὰ καὶ ἑτέροις μηνυθεῖσιν ἡμῖν γεγονότες τόποις, καὶ παισὶ δὲ αὐτοῦ τισὶ συναντήσαντες καὶ τούτους διερωτήσαντες, καθὼς καὶ οἱ σὺν ἐμοὶ σταλέντες ὁσιώτατοι καὶ θεοφιλέστατοι ἐπίστανται ἄνδρες, παρ' οὐδενὸς ἠδυνήθημεν γνῶναι ὅπου διάγει ὁ πολλάκις εἰρημένος εὐλαβέστατος Ἄνθιμος.

114 Ἰουλιανὸς ὁ θεοφιλέστατος πρεσβύτερος καὶ ἐκκλησιέκδικος εἶπε· Κατὰ τὴν ὁσίαν πρόσταξιν τῆς ὑμετέρας ἁγιωσύνης ἀπελθὼν ἅμα Θεαγένει καὶ Βάκχωι καὶ Χριστοφόρωι τοῖς ὁσιωτάτοις ἐπισκόποις καὶ Ἀμμωνίωι τῶι θεοφιλεστάτωι συμπρεσβυτέρωι μου καὶ ἐκδίκωι καὶ Παύλωι καὶ Μακαρίωι τοῖς θεοσεβεστάτοις διακόνοις καὶ νοταρίοις ἀνεζήτησα σὺν αὐτοῖς Ἄνθιμον τὸν εὐλαβῆ ἐν πλείστοις καὶ διαφόροις τόποις, ἐν οἷς τοῦτον εὑρεῖν ἐνομίσαμεν, καὶ οὐδαμοῦ αὐτὸν εὑρεῖν ἠδυνήθημεν. καὶ τοῦτο δὲ L V 81 διδάσκω τὴν ὑμετέραν ἁγιωσύνην ὅτι προετέθη καὶ τὸ πρόγραμμα τῆς ὑμετέρας ἁγιωσύνης καὶ οὐδὲ οὕτως αὐτὸν εὑρεῖν ἠδυνήθημεν.

O [= acerv], I

2 τῶι διακειμένωι] τοῦ Or I εὐσεβεῖ om. Or I 4 τὸ ποῦ Oacrv I 5 ἡμετέρα Ov 6 πισσιδῶν Oerv 7—32 εἶπε — Ἄνθιμος om. Or I 7—13 τὴν ὁσίαν — Κατὰ om. Oav 12 παραλίου Oe 13/14 καθημένησ Oav 14 ἡμῖν Ov 19 ἡμῶν Oe 21 ὁρμίσδα Oav 22 κατίναν Oev 24 αὐτὸν Oa 29 ἐν ἑτέροισ OeΛ 32 ὅποι Oa 33—40 εἶπε — ἠδυνήθημεν om. Or I 34 ἡμετέρασ Ov καὶ1 om. Oav 35 πρεσβυτέρω Oe 36 καὶ3] τῶ Ov 38 αὐτὸν Oav τοῦτον Oe 39 γράμμα Oa πρᾶγμα Ov

115 Ἀμμώνιος ὁ θεοσεβέστατος πρεσβύτερος καὶ ἐκκλησιέκδικος εἶπε· Κατὰ τὰ κελευσθέντα παρὰ τῆς ὑμῶν ἁγιωσύνης ἐγενόμην ἅμα τοῖς εἰρημένοις θεοφιλεστάτοις ἐπισκόποις καὶ Ἰουλιανῶι τῶι θεοφιλεστάτωι πρεσβυτέρωι καὶ συνεκδίκωι μου καὶ Παύλωι καὶ Μακαρίωι τοῖς θεοσεβεστάτοις διακόνοις καὶ νοταρίοις πρῶτον μὲν ἐν τῶι οἴκωι ἐν ᾧι κατέμενεν Ἄνθιμος ὁ εὐλαβέστατος, ὥστε εὑρισκομένου αὐτοῦ ἐκεῖσε ἐμφανῆ αὐτῶι καταστῆσαι τὰ παρὰ τῆς ἁγίας ὑμῶν συνόδου προσταχθέντα. καὶ τὰς θύρας τοῦ αὐτοῦ οἴκου ἠσφαλισμένας εὑρόντες ἔξωθεν διὰ κατήνας ἐπυνθανόμεθα τῶν τε παρατυχόντων καὶ τοῦ ὀστιαρίου τοῦ οἴκου ποῦ ἄρα διάγει ὁ εἰρημένος εὐλαβέστατος ἀνήρ, οἱ δὲ ἔφησαν παντελῶς μὴ ἐπίστασθαι· μηδὲ γὰρ ὀφθῆναι αὐτὸν κατὰ τὸν αὐτὸν οἶκον ἐκ πλείστου χρόνου. ἐγενόμεθα δὲ καὶ ἐν τῶι εὐκτηρίωι τοῦ ἁγίου ἀρχαγγέλου Μιχαὴλ καὶ τοὺς ἐν αὐτῶι θεοσεβεστάτους κληρικοὺς συναγαγόντες ὡρκώσαμεν εἴγε ἐπίστανται κατὰ τὸ αὐτὸ εὐκτήριον ἢ ἐν ἑτέρωι τόπωι διάγειν τὸν εἰρημένον εὐλαβέστατον ἄνδρα. οἳ δὲ ἀπωμόσαντο μηδεμίαν παντελῶς τοιαύτην εἴδησιν περὶ αὐτοῦ ἔχειν. ἐγενόμεθα δὲ καὶ ἐν ἑτέροις διαφόροις τόποις τοῦτον ἀναζητοῦντες καὶ οὐδαμῶς ἰσχύσαμεν καταλαβέσθαι ἔνθα διάγει, πάντων τὰ αὐτὰ ἀπομνυμένων ὡς οὐδαμῶς ἐπίστανται ποῦ νῦν ἐστι. διδάσκω δὲ τὴν ὑμῶν ἁγιωσύνην ὡς καὶ τὸ παρὰ τῆς ἁγίας ὑμῶν συνόδου γενόμενον πρόγραμμα προκαλούμενον τὸν εὐλαβέστατον Ἄνθιμον παραγενέσθαι καὶ ἀπολογήσασθαι τῆι ἁγίων ὑμῶν ταύτηι συνόδωι προτεθείκαμεν δημοσίαι ἀπὸ ἡμερῶν ἑπτά, ὥστε καὶ δι' αὐτοῦ μανθάνοντα τὰ παραστάντα τῆι ὑμῶν ἁγιωσύνηι ἐμφανῆ ἑαυτὸν καταστῆσαι, καὶ οὐδὲ οὕτως τὴν οἱανδήποτε δήλωσιν ἑαυτοῦ ἐποιήσατο.

116 Παῦλος ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος εἶπε· Κατὰ τὴν πρόσταξιν, δέσποτα, τῆς ὑμετέρας μακαριότητος καὶ τῆς εὐαγοῦς ὑμῶν συνόδου ἀπήλθομεν ἅμα τοῖς προ-
M VIII 959 εἰρημένοις θεοφιλεστάτοις ἀνδράσι καὶ Μακαρίωι τῶι θεοσεβεστάτωι συνδιακόνωι μου καὶ νοταρίωι ἐν διαφόροις τόποις καὶ ἀναζητήσαντες Ἄνθιμον τὸν εὐλαβέστατον, τοῦτον εὑρεῖν οὐκ ἠδυνήθημεν.

117 Μακάριος ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος καὶ ἀποκρισιάριος εἶπε· Τοῖς ἅμα ἐμοὶ ἑσταλμένοις ὁσιωτάτοις ἀνδράσιν ἀκολουθῶν κἀγὼ τὰ αὐτὰ κατατίθεμαι.

118 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος καὶ πᾶσα ἡ ἁγία σύνοδος εἶπεν· Ἀναγινωσκέσθω καὶ τὸ προτεθὲν πρόγραμμα κατὰ τὴν ἤδη προελθοῦσαν ψῆφον.

Καὶ λαβὼν Διόδωρος ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος ἀνέγνω

119 Μηνᾶς ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Ῥώμης καὶ πατριάρχης καὶ πᾶσα ἡ ἐνδημοῦσα τῆι αὐτῆι φιλοχρίστωι νέαι Ῥώμηι σύνοδος Ἀνθίμωι τῶι εὐλαβεστάτωι. Εἰ μέν τις ἦν σοι τοῦ προσήκοντος λόγος καὶ τῆς τῶν ἐγχειρηθέντων ἀτόπων μεταμελείας ἐλπίς, οὐδὲν ἂν τῶν παρόντων ἐδέησε κηρυγμάτων, πάλαι δὲ ἂν τῶι τῆς ἀοιδίμου μνήμης πάπαι τῆς πρεσβυτέρας Ῥώμης Ἀγαπητῶι φανερὰν τὴν σαυτοῦ γνώμην κατα-
στησάμενος καὶ τὴν ἐπὶ τοῖς ἤδη καταγνωσμένοις δόγμασι μέμψιν ἀπολυσάμενος τῆς
L V 84 γοῦν Τραπεζουντίων ἱερεὺς ἐπεφήνεις. ἀλλ' οὔτε τὴν ὑπ' ἐκείνωι ζήτησιν ὑπομείνας

O [= aerv], I

1 ὁ θεοφιλέστατος Oʳ IΛ om. Oᵉ 1—20 εἶπε — ἐποιήσατο om. Oʳ I 2 παρὰ om. Oᵃ 3 μου om. Oᵃᵛ 4 πρῶτα Oᵛ 5 αὐτῶι] αὐτοῦ Oᵛ 6 προσταχθέντα Oᵉ προαχθέντα Oᵃᵛ 7 εἰσφαλισμένας Oᵛ ἐσφαλισμένας Oᵃ κατίνας Oᵉᵛ 9 αὐτὸν οἶκον Oᵉ οἶκον αὐτὸν Oᵃᵛ 15 ὡς om. Oᵉ 18 προτεθήκαμεν Oᵛ 21 θεοφιλέστατος I 21—25 εἶπε — ἠδυνήθημεν om. Oʳ I 21 τὴν om. Oᵉ 24 τοῦτον om. Oᵃᵛ 26 θεοφιλέστατος I καὶ¹ om. OᵉΛ καὶ²] ὁ καὶ I 26—27 εἶπε — κατατίθεμαι] οἱ σύμπαντες ἅμα τὰ αὐτὰ κατατίθενται Oʳ I 27 ἀπεσταλμένοις Oᵉ 29 παρελθοῦσαν Oᵃʳᵛ I 31 inscr. πρόγραμμα μηνᾶ πριάρχου πρὸς ἄνθιμον I νέασ ῥώμησ Oᵃ οἰκουμενικὸσ πατριάρχησ OᵉΛ 32 αὐτοῦ Oᵛ 33 τῶν om. Oʳ ἐγχειρηθέντων I ἐγχειρισθέντων O 34 ἂν τῶν] αὐτῶν Oᵛ 35 αὐτοῦ Oʳ 36 ἀπολουσάμενοσ Oʳ I 37 ἐπεφήνησ Oᵃᵛ ὑπέμεινασ Oᵃᵛ

ὑφ' ἡμῶν τε προσκεκλημένος πολλάκις καὶ τοσούτου πρὸς μετάμελον χρόνου τετυχηκὼς οὐδὲν σεαυτοῦ γέγονας μετριώτερος ἱερατικῆς τε φιλανθρωπίας, ὡς ἔοικε, κρείττω τὴν ἑαυτοῦ διέδειξας ἀπείθειαν. καὶ ἦν μὲν οὐδὲ συγγνώμης ἄξια τὰ πραττόμενα παρὰ σοῦ, πλὴν ἀλλ' ἔτι τῶι τῶν ἀνθρώπων ὀλισθηρῶι τὰ πταίσματα λογιζόμενοι καὶ τὴν μέχρι πολλοῦ πρὸς τοὺς ἡμαρτηκότας ἀνεξικακίαν βραδείας γοῦν ὅμως ἐπανορθώσεως πρόφασιν πολλάκις γενομένην εὑρόντες, καὶ τῶι παρόντι σε γράμματι προσκαλούμεθα μὴ μέχρι παντὸς ἐπὶ τῆς αὐτῆς ἑστάναι φιλονεικίας τὴν σὴν παραινοῦντες εὐλάβειαν ἡμερῶν τε εἴσω τὸν ἀριθμὸν ἓξ τῆι τε ἁγίαι παραγενέσθαι συνόδωι καὶ ἣν ἐπὶ τοῖς ὀρθοῖς κέκτησαι δόγμασι γνώμην καθαρᾶι διαδεῖξαι φωνῆι σαφὲς τε τοῖς ἄλλοις ἅπασι καταστῆσαι ὁπόσα πατέρων ἐπιεικῶν καὶ δικαστῶν ἔτι φιλανθρώπων παραίνεσις τοῖς ὀλισθαίνουσι δύναται πρὸς ἀνάκλησιν. εἰ γὰρ δὴ καὶ ταύτης ἡμῶν τῆς κλήσεως ὑπερίδοις, σοί τε οὐκ ἐν καιρῶι τὰ τῆς μετανοίας ἔσται λοιπὸν ἡμῖν τε οὐχ ἑτέρωθεν ἢ ἐξ ὧν πέπραχας, τὰ τῆς κρίσεως εἰσαχθήσεται.

'Υπεσημηνάμην 14

Προετέθη μηνὶ Μαΐωι πεντεκαιδεκάτηι ἰνδικτιῶνος τεσσαρεσκαιδεκάτης μετὰ τὴν ὑπατείαν Φλ' Βελισσαρίου τοῦ ἐνδοξοτάτου d. 15. m. Mai. a. 536

120 'Ο ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Οἱ ὑπογράφοντες ἡμῖν εὐλαβέστατοι διάκονοι καὶ νοτάριοι διδασκέτωσαν ἡμᾶς τίνος χάριν τῆς ψήφου δέκα ἡμερῶν προθεσμίαν ὁριζούσης τὸ προτεθὲν πρόγραμμα ἓξ καὶ μόνον δίδωσι διορίαν.

121 Οἱ νοτάριοι εἶπον· Διδάσκομεν ὡς ἡ μὲν ὁσία ψῆφος προθεσμίαν δέδωκεν ἡμερῶν δέκα ἐπί τε τῆι ἀναζητήσει καὶ τῶι προγράμματι, οὐκ ἐκέλευσε δὲ παραχρῆμα τὸ κήρυγμα προτεθῆναι. γενομένης τοίνυν τῆς αὐτοῦ ἀναζητήσεως μέχρις ἡμερῶν τριῶν καὶ ἐκείνου ἀφανοῦς ὑπάρχοντος ἀναγκαῖον ἦν τὰς ὑπολοίπους ἑπτὰ ἡμέρας προτεθῆναι τὸ αὐτὸ ὅσιον πρόγραμμα τῆς τε ὑμετέρας μακαριότητος καὶ τῆς συνούσης ὑμῖν ἁγίας M VIII 962 συνόδου τὸ ποιοῦν αὐτῶι τὰ παρ' ὑμῶν προστεταγμένα φανερά. ἐκείνην τοίνυν εἰκότως τὴν ἡμέραν φέρει τὸ αὐτὸ κήρυγμα καθ' ἣν καὶ προτέθειται.

122 'Ο ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Οἱ ἐκ τῆς 'Ιταλῶν χώρας συμπαρόντες ἡμῖν ὁσιώτατοι συλλειτουργοὶ καὶ οἱ θεοφιλέστατοι διάκονοι καὶ οἱ εὐλαβέστατοι νοτάριοι τῆς ἀποστολικῆς καθέδρας ἐπακούσαντες τῶν τε ἐπιδεδομένων δεήσεων τῶι θεοφυλάκτωι ἡμῶν καὶ πιστοτάτωι βασιλεῖ καὶ τῶν 'Αγαπητῶι τῶι τῆς ἁγίας καὶ μακαρίας μνήμης προσδεδομένων λιβέλλων καὶ ὧν παρ' ἡμῖν αὖθις οἱ τούτους ἐπιδεδωκότες ἐποιήσαντο μέμψεων κατὰ 'Ανθίμου τοῦ εὐλαβοῦς καὶ ὡς ἐπὶ τοῖς καιριωτάτοις ἡ ἐπ' αὐτῶι προῆλθε κατηγορία, τοῦτο μὲν οὐχ ἑλομένου τοῖς ὀρθοῖς καὶ ἀποστολικοῖς τῆς ἀληθινῆς ἡμῶν πίστεως συγκαταθέσθαι δόγμασι, τοῦτο δὲ καὶ πρὸς τὴν Εὐτυχοῦς πλάνην τε καὶ κακοδοξίαν ἀποκλίναντος καὶ τοὺς παρὰ τῆς ἐν Χαλκηδόνι ἁγίας καὶ οἰκουμενικῆς συνόδου καὶ τῆς ἀποστολικῆς καθέδρας καὶ τῆς ἐξ ἐκείνου μέχρι καὶ νῦν κρατούσης ἐκκλησιαστικῆς καταστάσεως καθαιρεθέντας τε καὶ ἀναθεματισθέντας διὰ τὴν πρὸς Εὐτυχῆ κοινωνίαν τε καὶ ὁμοφροσύνην περιπτυσσομένου, ἀφορῶντες δὲ καὶ πρὸς τὰς συνοδικὰς ἐπιστολὰς

O [= aerv], I

3 σεαυτοῦ O^{ar}I 4 λογιζόμεθα O^{r} 6 προκαλούμεθα γράμματι O^{e} προκαλούμεθα O$^{a(e)}$Λ παρακαλούμεθα O^{v} 9 διδάξαι O^{rI} 10 καὶ O ἔτι καὶ I δικαστῶν] διδασκάλων καὶ δικαστῶν O^{rI} ἔτι φιλανῶν OΛ φιλάνος I 11 ἐπανάκλησιν I ὑπερίδησ O^{av}, corr. O^{v} 12 τὰ om. O^{v} τὲ I δὲ O 14 ἡ [om. O^{v}] ὑπογραφὴ ὑπεσημηνάμην O^{arv} 15 προσετέθη O^{aevΛ} 16 φλαβίου O^{eI}Λ βελισαρίου O^{rI}Λ 19 μόνων O^{r} διωρίαν O^{av} 21 οὐκ om. O^{r} δὲ om. O^{av} 24 ἡμετέρασ O^{v} ἡμῖν O^{v} 28 οἱ^{1} om. O^{eI} 30 καὶ πιστοτάτωι om. O^{rI} τῶν O^{ae}I τῶ O^{v} 31 προδεδομένων I 32 κυριωτάτοισ O^{e} 32/33 κατηγορία προῆλθε O^{av} 36 καὶ μέχρι καὶ O^{r} καὶ^{2} om. O^{e} 37 τε om. O^{av} 37—38 ἀναθεματισθέντας — δὲ καὶ om. I

L V 85 τὰς γενομένας παρὰ τοῦ τῆς ἁγίας καὶ μακαρίας μνήμης γενομένου ἡμῶν πατρὸς τῆς πρεσβυτέρας Ῥώμης πάπα Ἀγαπητοῦ κατὰ Ἀνθίμου, συλλογιζόμενοι δὲ καὶ τὴν μέχρι παντὸς αὐτοῦ ἀπείθειαν μήτε κανονικαῖς κλήσεσιν εἶξαι μήτε τὰς ἐπαχθείσας αὐτῶι μέμψεις ἀποδύσασθαι βουληθέντος, ἣν ἐπὶ τούτοις ἅπασι γνώμην ἔχουσιν, εἰπεῖν ἀξιούτωσαν.

Καὶ ἀνέγνω φωνὴν Μηνᾶς ὁ θεοσεβέστατος ἀναγνώστης καὶ σεκουνδοκήριος νοταρίων τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης ἔχουσαν οὕτως

124 SANCTI EPISCOPI PARTIVM ITALIAE ET VIRI VENERABILES DIACONI APOSTOLICAE SEDIS DIXERVNT: DEFINITIONEM SANCTAE RECORDATIONIS PATRIS NOSTRI QVONDAM PAPAE AGAPETI IN SYNODICIS EPISTVLIS PRO MENA SANCTISSIMO ARCHIEPISCOPO HVIVS REGIAE VRBIS CONSTANTINOPOLITANAE FACTIS ADDITAM DE PERSONA ANTHIMI TRAPEZVNTII QVONDAM EPISCOPI NOS SEQVI PER OMNIA PROFITEMVR

125 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· Καὶ ἡ λοιπὴ συνεδρεύουσα ἡμῖν ἁγία σύνοδος ἐπακούσασα πάντων τῶν ἐξ ἀρχῆς ἐπὶ τῆι κατὰ Ἄνθιμον ὑποθέσει πραχθέντων καὶ τοῖς παρ' ἡμῶν εἰρημένοις ἅπασι προσέχουσα, ἃ βούλεται προελθεῖν ἐπ' αὐτῶι, φανερὰ ποιῆσαι καταξιωσάτω.

126 Ἡ ἁγία σύνοδος διὰ Ὑπατίου τοῦ ὁσιωτάτου ἐπισκόπου τῆς Ἐφεσίων μητροπόλεως τῆς Ἀσιανῶν ἐπαρχίας εἶπεν· Πολλῶν παραβάσεων Ἄνθιμος ὑπεύθυνος ἀποδέδεικται τῶν μὲν πατρικῶν εὐαγῶν θεσμῶν ὡς οὐδὲ κειμένων κατολιγωρήσας καὶ μικροῦ δεῖν τῶι κατ' αὐτὸν παραδείγματι πᾶσαν ἐκκλησιαστικὴν συνταράξας κατάστασιν τῶι μηδαμόθεν αὐτῶι προσήκοντι πατριαρχικῶι θρόνωι τῆς ἐνταῦθα ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας ἐπεμβαλὼν ἑαυτὸν καὶ κοινήν τινα σύγχυσιν τοῖς τε ἱερεῦσι τοῦ θεοῦ
M VIII 963 καὶ τοῖς πιστοτάτοις λαοῖς ἐργασάμενος. καίτοι οὐδὲ τοῦτο μόνον αὐτῶι κατὰ τῶν ἁγιωτάτων ἐκκλησιῶν ἐσπουδάζετο, τὴν Εὐτυχέος δὲ δόξαν λανθάνουσαν ἔχων, ἐπειδὴ τῆς οὕτω μεγάλης ἀρχιερωσύνης ἐγκρατὴς ἠδυνήθη γενέσθαι καθ' ὃν εἴρηται τρόπον, κατὰ μικρὸν ὤιετο δεῖν τὴν τοιαύτην ἀσεβῆ νόσον ἐπινέμεσθαι ποιεῖν τὰς ἁγιωτάτας τοῦ θεοῦ ἐκκλησίας καὶ τοὐναντίον ἥπερ αἱ θεῖαι φωναὶ λέγουσιν, ἀντὶ τοῦ συνάγειν τὰ λογικὰ τῆς ποίμνης τοῦ θεοῦ πρόβατα διαιρέσεις ἐμηχανᾶτο κατὰ πάσης ὡς εἰπεῖν ἐκκλησίας, ὡς κινδυνεῦσαι τὴν τοσούτοις κατορθωθεῖσαν πόνοις τοῦ φιλοχρίστου ἡμῶν βασιλέως τῶν ἁγιωτάτων ἐκκλησιῶν ἕνωσιν εἰς πολλὰς διαιρέσεις ἐν βραχεῖ χρόνωι κατατεμεῖν. ἀμέλει κατὰ μικρὸν παρεδήλου τὴν τοιαύτην διαφθορὰν σχηματιζόμενος μὲν τὰς ἁγίας δέχεσθαι συνόδους, τήν τε ἐν Νικαίαι φαμὲν κατὰ τοῦ δυσσεβοῦς Ἀρείου καὶ τὴν ἐν Κωνσταντινουπόλει τὴν κατὰ τοῦ δυσσεβοῦς Μακεδονίου καὶ τὴν ἐν Ἐφέσωι πρώτην τὴν κατὰ τοῦ δυσσεβοῦς Νεστορίου καὶ τὴν ἐν Χαλκηδόνι τὴν κατὰ τοῦ δυσσεβοῦς Εὐτυχοῦς κἂν τοῖς ἱεροῖς αὐτὰς ἔχων διπτύχοις, συγκειμένης αὐταῖς καὶ τῆς τοῦ μακαριωτάτου πάπα

O [= aerv], D [inde a 18]

6 σεκουνδουκήριοσ O^{rI} 8—12 om. O^{av}, spat. rel. I 8 *sanctissimi* Λ σχοτιvm O^{e} italia O^{e} itali O^{r} veperabiles O^{e} δεαconι O^{r} 9 qvondiam O^{r} 9/10 agapeti in] agapetvn O^{er} 10 in om. Λ nctissimo O^{r} vivs O^{r} hhims O^{e} 11—12 factis — profitemvr om. O^{r} 11 αδιταm O^{e} ἄηthmι O^{e} avondam O^{e} inscr. ἡ [οἱ O^{v}] ἐν κωνσταντινουπόλει ψῆφοσ [ψῆφοσ τῆσ συνόδου O^{e}Λ] κατὰ ἀνθίμου ante 13 O^{av} ante 18 O^{e}Λ ἀναθεματισμὸσ ἀνθίμου μητροπολίτου τραπεζοῦντοσ D 17 τοῦ ὁσιωτάτου om. O^{rI} ἐφέσου O^{v} 19 μὲν om. I 20 αὐτῶν O^{v} 22 μεγάλης om. O^{rI} 26 σμικρὸν O^{aev} 26/27 ταῖσ ἁγιωτάταισ — ἐκκλησίαισ O^{arv}I 28 πρόβατα τῆσ τοῦ θῦ ποίμνησ O^{rI} διαίρεσιν O^{av} ὡς om. O^{v} τῆσ ἐκκλησίασ O^{r} 29 καὶ τὴν O^{av}D 31 παρετήρει O^{av}D 31/32 δέχεσθαι τὰσ ἁγίασ O^{e} 33 τὴν^{1} om. O^{av}D φαμὲν O^{r} πρώτην om. I τὴν^{3} om. O^{av}D 34 τὴν^{2} om. O^{av}D εὐτυχέος I 35 ἐγκειμένησ σὺν αὐταῖς O^{rI} τῆς] ταῖσ O^{v} μακαρίου O^{e}

Λέοντος μνήμης κατὰ μηδένα καιρὸν ἑτέρως ἢ μεταλαβὼν ἢ μεταδοὺς τῶν παναγίων
τοῦ θεοῦ μυστηρίων ἑορτήν τε αὐτῶν κηρύττων καὶ ἐπὶ τῆς ἐνταῦθα ἁγιωτάτης μεγάλης
ἐκκλησίας ποιῶν, ἀποπηδῶν δὲ καθόλου τῶν ὀρθῶν αὐτῶν ὁμολογιῶν καὶ οὐδὲ μεγάλων
ἀρχιερέων οὔτε μὴν εὐλαβεστάτων ἡγουμένων ὑπὲρ τῶν τοιούτων ἐπισκηπτόντων
αὐτῶι παντελῶς ἀνεχόμενος ἢ τὴν τυχοῦσαν διδοὺς ἀπολογίαν, ὡς οὐ μικρὸν ἑκάστης L V 88
ἡμέρας αἴρεσθαι τὸ ἐπὶ τούτοις σκάνδαλον, τῶν μὲν ἀπίστων ἐπεγγελώντων, τῶν δὲ 6
πιστῶν ὀδυρομένων καὶ τῶν ὀλιγοπίστων ἔτι μᾶλλον θορυβουμένων τε καὶ εἰς τὸ χεῖρον
καταπιπτόντων. ἐπὶ τοῖς τοιούτοις καὶ βασιλεὺς ὁ μέγας ἑαυτὸν καθεὶς καὶ τῆς τοῦ
πρώτου τῶν ἀποστόλων ἀναμνήσας αὐτὸν ὑφηγήσεως ἣι φησὶν ἑτοίμους ἡμᾶς ἀεὶ χρῆναι
γίνεσθαι πρὸς ἀπολογίαν παντὶ τῶι ἀπαιτοῦντι λόγον περὶ τῆς ἐν ἡμῖν ἐλ- 1. Petr. 3, 15
πίδος, πλέον οὐδὲν ὤνησεν, ἀλλὰ καὶ πρὸς τὴν αὐτοῦ γαληνότητα λόγοις ἀπατηλοῖς 11
κεχρημένος ἐπηγγέλλετο πάντα ποιήσειν ὅσα ὁ τῆς μεγάλης ἀποστολικῆς καθέδρας
ἀρχιερεὺς ὑφηγήσοιτο, καὶ πρὸς τοὺς ἁγιωτάτους πατριάρχας ἔγραφεν ἀκολουθεῖν διὰ
πάντων τῆι ἀποστολικῆι καθέδραι. τοῦ μεγάλου δὲ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ
Χριστοῦ μὴ μέχρι παντὸς τὰ τοιαῦτα προιέναι συγχωροῦντος ἐπέστη ταύτηι τῆι βασιλίδι 15
πόλει κατὰ τὴν αὐτοῦ θεότητα Ἀγαπητὸς ὁ τῆς ἁγίας καὶ ἀοιδίμου μνήμης ὁ μακα-
ριώτατος πάπας καὶ τοῖς μὲν ἱεροῖς κανόσιν εὐθὺς μετὰ θεὸν χεῖρα ὀρέξας τὸν μὲν τῆς
οὐ προσηκούσης αὐτῶι καθέδρας ἀπήλασε, συγγνώμης δὲ τοῖς μετασχοῦσιν ἤτοι κε-
κοινωνηκόσι τοῦ τοιούτου πράγματος μετέδωκε καὶ τῆι βασιλίδι καὶ φιλοχρίστωι πόλει
τὸν ἑαυτῆς ἱερατικὸν ἀποδέδωκε κόσμον τὴν ὑμετέραν ἀναδείξας μακαριότητα τῆς 20
μεγάλης ταύτης καὶ ἱερᾶς ἡγεῖσθαι καθέδρας. ἐπειδὴ δὲ καὶ τῆς ἐπὶ τοῖς δόγμασιν
ἀσεβείας ἐγκλήματα αὐτῶι μυρία εἰκότως ἐπηρτᾶτο δεήσεις τε καὶ λίβελλοι πολλοὶ τῶι
τε εὐσεβεστάτωι ἡμῶν βασιλεῖ καὶ αὐτῶι τῶι μακαριωτάτωι πάπαι παρὰ διαφόρων
εὐλαβῶν ἀνδρῶν ἐπεδίδοντο, πολλοῖς μὲν ἱδρῶσι τὴν αὐτοῦ ψυχὴν ἀνακαλέσασθαι
πατρικῶς ἐσπούδασεν ὁ αὐτὸς ἁγιώτατος πάπας, ὡς δὲ ἀνιάτως ἔχοντα εὗρε καὶ τὰ 25
μὲν εὐσεβῆ δόγματα παραιτούμενον καὶ προσέτι γε διαβάλλοντα καὶ τὴν ἐν δύο φύσεσι M VIII 966
φωνήν, τοῦτο ὅπερ κατὰ Εὐτυχοῦς μάλιστα ἡ ἐν Χαλκηδόνι ἁγία διώρισε σύνοδος,
καθάπαξ ἀρνούμενον, τοὺς δὲ ὀρθῶς κατακριθέντας ὑπὸ τῆς αὐτῆς ἁγίας συνόδου πα-
ραιτούμενον ἀποστρέφεσθαι, τοὐναντίον μὲν οὖν καὶ περιπτυσσόμενον αὐτοὺς καὶ τὸ
γε ἐπ' αὐτῶι Διόσκορόν τε καὶ αὐτὸν Εὐτυχέα δεικνύναι σπουδάζοντα καθάπαξ ἀνεύθυνον 30
ἐφ' οἷς ἑάλω κακοδοξῶν, ψῆφον ἐν γράμμασιν ἐξάγει φιλανθρωπίας τε ἅμα καὶ ἁγιο-
πρεποῦς ὁσιότητος μεστήν, ἐνδιδοὺς μὲν αὐτῶι μετανοίας καιρόν, ἀποφηνάμενος δὲ
ἕως πρὸς τὴν τοιαύτην γνώμην μεταβαλὼν τὸ ἱκανὸν τοῖς παρὰ τῶν ἁγίων πατέρων

18 σημ̄ ἐντεῦθεν ὅτι καὶ οἱ τῶι Μουζάλωι συλλειτουργήσαντες συγγνώμης ἀξιωθήσονται· εἰ δὲ μετα-
σχόντας νοήσεις, καὶ τοὺς χειροτονηθέντας ⟨οὐκ addo⟩ ἀπέβαλε τῆς ἐκκλησίας. συνάξεις δὲ τοῦτο ἀπὸ
ἄλλου ῥητοῦ τοῦ λέγοντος [p. 131, 37] ἐκ πολλοῦ χηρεύειν τὴν Τραπεζοῦντα ἐξ ὅτου παρενέβαλεν ἑαυτὸν
μοιχικῶς ὁ Ἄνθιμος τῶι θρόνωι Κωνσταντινουπόλεως. εἰ δὲ πολὺν καιρὸν ἐν τῶι πατριαρχικῶι ἐνεκάθησε
θρόνωι, οὐδὲν ἀπεικὸς καὶ χειροτονίας ποιῆσαι. ὡς δέ τινες λέγουσιν, ὅτι δέκα μῆνας ἦν ἐνεργῶν τὰ τοῦ
πατριάρχου ὁ Ἄνθιμος O^r in mg.

O [= acrv], ID

1 μεταβαλὼν O^{arv} μεταδιδοὺσ O^e 2 ἑαυτῶν O^r καὶ] τὲ καὶ O^v μεγάλης om. O^{avD} 5 μικρὸν O^rID σμικρὸν O^{aev} 8 τοῖς τοιούτοις] τούτοισ O^aD 9 ὑμᾶσ I 10 ὑμῖν I 12 ἐπηγγείλλετο O^{av} 13 ἐφηγήσοιτο O^v ὑφηγήσατο O^r ὑφηγήσαιτο I 14 θεοῦ om. O^{av} 17 πάπασ ῥώμησ D^{corr} μὲν om. I μετὰ θῡ ID μετὰ θῦ $O^{ae}\Lambda$ μετὰ χῦ O^v om. O^rI 19 μετα-δέδωκε $O^{av}D$ 20 ἀπέδωκε O^{rv} ἡμετέραν O^v 21 τῆς] τῆ O^v 23 τε om. O^v 24 ὑπεδίδοντο $O^{av}D$ 26 γε OI δὲ D 28 καθάπερ O^v 30 αὐτὸν om. O^rI ἀνευθύνουσ I 31 ἐφ' — κακοδοξῶν om. ID ἑάλω κακοδοξῶν O^e ζήλω κακοδόξων O^{arv} ἄγει O^{av} 31/32 ἁγιο-πρεποῦσ ὁσιότητοσ OD ἁγιότητοσ I 33 πρὸς — γνώμην OI ἂν τῆσ τοιαύτησ γνώμησ D

διωρισμένοις δογματικῶς τε καὶ κανονικῶς ποιήσειεν, μήτε καθολικοῦ μήτε ἱερέως αὐτὸν ἔχειν ὄνομα. τούτοις ἑπόμενος ὁ φιλόχριστος ἡμῶν βασιλεύς, ἀπιδὼν δὲ καὶ εἰς τὰς ἐπιδεδομένας τῇ αὐτῶν γαληνότητι παρὰ διαφόρων εὐλαβῶν προσώπων δεήσεις τήν τε ὑμετέραν μακαριότητα καὶ ἡμᾶς σύμπαντας εἰς ταυτὸν ἐπὶ τούτῳ συνελθεῖν, εὗ ποιῶν, ἐδικαίωσε. καὶ τοῖς εὐαγέσι τῶν ἁγίων ἡμῶν πατέρων ἀκολουθοῦντες κανόσι κλήσεσί τε ἱεραῖς αὐτὸν προσηγόμεθα καὶ καιρὸν αὐτῷ μετανοίας ἐνεδίδομεν καὶ ἀποκρυπτομένῳ καὶ τὴν ἰατρείαν ἀπαγορεύοντι καὶ κηρύγματι δῆλα τὰ παρ' ἡμῶν ἐποιοῦμεν. ὡς δὲ τούτοις ἅπασιν αὐτὸν εἰς ἐπιστροφὴν ἀγαγεῖν οὐκ ἰσχύσαμεν, σαφῆ ταύτην ἀπόδειξιν τῆς αὐτοῦ κακοδοξίας λαβόντες, ἀκολουθοῦντες δὲ καὶ τοῖς ὑπὸ τοῦ ἁγιωτάτου καὶ
L V 89 μακαριωτάτου πάπα καλῶς δεδοκιμασμένοις συνορῶμεν, εἰ τοῦτο ὑμῖν παρασταίη, καθάπαξ αὐτὸν ὡς μέλος ἄχρηστον καὶ σεσηπὸς ἀποβληθῆναι τοῦ σώματος τῶν ἁγίων τοῦ θεοῦ ἐκκλησιῶν καὶ τῆς Τραπεζουντίων ἐπισκοπῆς ἔξω γινόμενον καὶ πάσης ἱερᾶς ἀλλοτριούμενον ἀξίας καὶ ἐνεργείας καὶ κατὰ τὴν αὐτοῦ τοῦ ἁγιωτάτου πάπα ψῆφον τῆς τοῦ καθολικοῦ προσηγορίας.

127 Ὁ ἁγιώτατος καὶ μακαριώτατος οἰκουμενικὸς ἀρχιεπίσκοπος καὶ πατριάρχης Μηνᾶς εἶπεν· Τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν δεδωκότος ἐξουσίαν τοῖς
Ier. 1, 10 οἰκείοις ἱερεῦσιν ἐκτίλλειν τε καὶ καταφυτεύειν καθαιρεῖν τε καὶ οἰκοδομεῖν, ηὐχόμεθα τοῦ μὲν οἰκοδομεῖν τε καὶ καταφυτεύειν ἅπαντα ἡμῖν εἶναι καιρόν, μηδένα δὲ τοῦ ἐκτίλλειν τε καὶ καθαιρεῖν. ἀλλὰ δεινόν, ὡς ἔοικεν, ἡ τῆς ἀληθείας παράβασις καὶ μεγίστη τοῖς χρησαμένοις ὁδὸς πρὸς ἀπώλειαν. ἔνεστι γὰρ ἀκριβῶς σκοπουμένοις τὴν Ἀνθίμου προαίρεσιν πολλοὺς εἰς ταυτὸν ἱερατικοὺς ἰδεῖν παραβαθέντας θεσμούς. ὁ δὲ τὴν πρὸς τὸ θεῖον οὐ διατηρήσας ὁμολογίαν, ἀλλὰ καὶ τῆς ἐκεῖθεν ἀναχωρήσας ἐλπίδος πῶς οὐ τῆς οἰκείας ἄντικρυς εἶναι δόξειε κατήγορος ἀτοπίας; ταύτῃ τοιγαροῦν καὶ ἡμεῖς ὥσπερ τινὰ ἕλκους τῶν ἀνιάτων νομὴν ἐπειγόμενοι στῆσαι, εἰ τὴν τοῦ πεπονθότος μέλους ἐκτομὴν ποιησαίμεθα περιφρονοῦντες τὴν ἐντεῦθεν συμβησομένην ὀδύνην, πρὸς τὴν παροῦσαν ἐλθεῖν ἠναγκάσμεθα ψῆφον,
M VIII 967 βαλλόμενοι μὲν ταῖς ἐκ ταύτης ἀνίαις, τῶι δὲ κοινῶι τῆς καθολικῆς ἐκκλησίας συμφέροντι τὸ σύμπαν νέμοντες ἦπερ ταῖς αὐτοῦ ἕκαστος ἡμῶν οἰκείαις συμπαθείαις. ἐπειδὴ γὰρ διαφόρων ἐπ' αὐτῶι μέμψεων δογματικῶν τε καὶ κανονικῶν γενομένων ὁ μὲν τῆς ὁσίας μνήμης πάπας τῆς πρεσβυτέρας Ῥώμης Ἀγαπητὸς μεταμελείας αὐτῶι καιρὸν ἐνδιδούς, ἕως ἂν ἅπαντα τὰ τοῖς ἁγίοις πατράσι διωρισμένα φανείη δεξάμενος, οὐδὲ ἱερέως οὐδὲ καθολικοῦ προσηγορίαν αὐτὸν ἔχειν συνεχώρει, ἡμεῖς δέ (καὶ γὰρ περὶ τῶν αὐτῶν ἐνοχλουμένους περιορᾶν οὐκ ἐνῆν τὰ λεγόμενα) τὴν ἱερεῦσι πρέπουσαν ἐπὶ τοῖς τοιούτοις ὁδὸν μετιόντες κανονικαῖς αὐτὸν ἐπηγόμεθα κλήσεσιν ἀνακωχάς τε παρειχόμεθα πρὸς μετάγνωσιν καὶ τὸ δὴ πέρας, οὐδὲ τῶν εἰθισμένων ἀπειχόμεθα προγραμμάτων. ὃ δὲ τοσοῦτον ἀπέδει τῆς ἐπὶ τὸ κρεῖττον μεταβολῆς ἢ τῆς τῶν προσηγγελμένων ἀπολογίας, ὡς μηδὲ παραγενέσθαι καθάπαξ μηδὲ αὐτὸ γοῦν τὴν παρ' ἡμῖν ἐξέτασιν ὑποστῆναι (καὶ γὰρ ἦν, ὡς ἔοικεν, αὐτῶι κατήγορος ἡ συνείδησις καὶ τὸ τοῖς ἐγκεκληκόσιν ὑποχωρεῖν καθαρὰν εἰσῆγε τοῖς πταίσμασι συγκατάθεσιν ψυχή τε πλημμελεῖν εἰθισμένη

O [= aerv], ID

1/2 ἔχειν αὐτόν Or 2 ἐφεπόμενοσ Oa 3 αὐτοῦ D 6 προσηγούμεθα Oe ἐνεδιδόαμεν Oe 7 καὶ2 om. D 10 καὶ ὑμῖν D ἡμῖν Or 11 οὐδὲ καθάπαξ Oarv οὐ μόνον καθάπαξ Orl 12 ἐκκλησιῶν τοῦ θῦ l γενόμενον ID καὶ] ἀλλὰ καὶ Orl 13 ἀπηλλοτριωμένον D ἀλλοτριωθῆναι Orl 15 inscr. Ψῆφοσ μηνᾶ κατὰ ἀνθίμου OeΛ 16 ἡμῶν om. l 17 καθαιρεῖν] καὶ θαρεῖν Ov 18 τε om. Or 20 τὴν τοῦ D 21 αὐτὸν Oe ἰδεῖν ἱερατικοὺς I παραβάντασ I 22 δόξει D 23 ταύτην OrΛ 24 τὴν om. Or ποιησόμεθα Orl 25 τῆσ - συμβησομένησ ὀδύνησ Oarv D 27 ὑμῶν Or ἐπειδὴ OIΛ καὶ l 28 τῆς om. Ov 29 μνήμης γενόμενος I 30 ἂν om. Ov 32 οὐκ ἐνῆν περιορᾶν l 33 ἐπειγόμεθα Oarv παρεχόμεθα Orl 35 ἔδει Oe 36 αὐτὸ OI αὐτὴν D ἡμῶν Oer 37 αὐτῶ κατήγοροσ ὡσ ἔοικεν Oaev αὐτὴ Or 38 τοῦ πταίσματοσ OeIΛ τε γὰρ Oa corr. γὰρ D

δύσκολος εἰς μετάνοιαν, κἂν ὅτι μάλιστα πολλὰ εἴη τὰ πρὸς ταύτην ἀνθέλκοντα), ὅθεν ἐπιδακρύσαντες τῇ ἀμεταμελήτωι τῆς αὐτοῦ προαιρέσεως ἀπειθείαι καὶ τῇι καταλαβούσηι τὴν ἐκείνου ψυχὴν ἐπιστενάζοντες πλάνηι, ἑπόμενοι τῇι τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν παναγίαι φωνῇι διδασκούσηι μηδὲ τῶν οἰκείων φείδεσθαι μελῶν, εἴ τινος ἡμῖν Mt. 5, 29. 30
σκανδάλου παραίτια γίνοιτο, ἀλλὰ καὶ τὴν τούτων ἐκτομὴν ποιεῖσθαι παρεγγυώσηι L V 92
πρὸς τὴν τοῦ παντὸς ἀκεραιότητα σώματος, ἀποβλέποντες δὲ καὶ πρὸς τὰ παραστάντα 6
πρώην Ἀγαπητῶι τῶι τῆς ἁγίας μνήμης πάπαι τῆς πρεσβυτέρας Ῥώμης καὶ ὡς οὐδὲ καιρὸν λαβὼν μετανοίας εἴλετο τῆς καλλίονος γνώμης γενόμενος τοὺς ὑπ' αὐτοῦ σκανδαλισθέντας πληροφορῆσαι καὶ μὴν καὶ πρὸς τὰ νῦν παρὰ τῆς συνούσης ἡμῖν ἁγίας κεκριμένα συνόδου, καὶ τῆς Τραπεζουντίων τὸν αὐτὸν Ἄνθιμον ἱερωσύνης ἔξω καθεστάναι 10
συνορῶμεν πάσης τε ἑτέρας αὐτὸν ἱερατικῆς προσηγορίας τε ἅμα καὶ ἀξίας καὶ ἐνεργείας ἀλλότριον εἶναι τοῦ λοιποῦ καὶ ὅλως τοῦ ἐν ὀρθοδόξοις ἀριθμεῖσθαι ψηφιζόμεθα, οὐδὲ τῆς αὐτῆς Τραπεζουντίων ἔτι καθάπαξ οὐδὲ τῆς βασιλίδος ταύτης ἐπιβῆναι δυνάμενον πόλεως.

128 Καὶ μετὰ τὸ ἀναστῆναι τὴν ἁγίαν σύνοδον οἱ ἐκ τῆς Ἀνατολῆς, καὶ τινὲς δὲ τῶν 15
ἄλλων ἐπισκόπων καὶ οἱ μοναχοὶ καὶ ὁ κλῆρος ἐβόησαν· Πολλὰ τὰ ἔτη τοῦ βασιλέως, πολλὰ τὰ ἔτη τοῦ πατριάρχου, Πέτρον καὶ Ζωόραν καὶ Σεβῆρον ἄρτι ἀναθεμάτισον. τοὺς ἐχθροὺς τοῦ θεοῦ ἄρτι ἀναθεμάτισον. ὀρθόδοξον βασιλέα ἔχων τίνα φοβῆσαι; τοὺς παραβαπτιστὰς ἔξω βάλε.

129 Καὶ ἐπιδιδόντων τῶν μοναχῶν Ἱεροσολύμων χάρτην ἅπαντες ἐβόησαν· Πολλὰ 20
τὰ ἔτη τοῦ πατριάρχου, τὸν λίβελλον τῶν μοναχῶν ἄρτι δέξαι. ὁ λίβελλος ἄρτι ἀναγνωσθήτω. τοὺς κατ' οἶκον βαπτίζοντας ἔξω βάλε. τὸ σπήλαιον τοῦ Ζωόρα ἄρτι στρέψον. πολλὰ τὰ ἔτη τοῦ πατριάρχου, τὸν παραβαπτιστὴν ἄρτι ἀναθεμάτισον. τοῦ Χριστιανοῦ βασιλέως πολλὰ τὰ ἔτη, ὀρθοδόξου βασιλέως πολλὰ τὰ M VIII 970
ἔτη, τὰ σπήλαια τῶν αἱρετικῶν ἄρτι καῶσι. πολλὰ τὰ ἔτη τοῦ πατριάρχου, τὰ 25
μοναστήρια Πέτρου ἄρτι στρέψον. νικᾶι ἡ πίστις τοῦ βασιλέως· ὀρθόδοξος βασιλεύει· τίνα φοβῆσαι; Πέτρος μοναστήρια διὰ τί ἔχει; πάντας τοὺς αἱρετικοὺς ἐκεῖ ἔχει. Σεβῆρον καὶ Πέτρον καὶ Ζωόραν ἄρτι ἀναθεμάτισον. ἡ τριὰς τοὺς τρεῖς ἀναθεματίζει. ἀνάθεμα Σεβήρωι καὶ Πέτρωι καὶ Ζωόραι. Σεβῆρον τὸν Μανιχαῖον ἄρτι ἀναθεμάτισον. πολλὰ τὰ ἔτη τοῦ πατριάρχου, τοὺς ἐχθροὺς τοῦ Χριστοῦ ἄρτι 30
ἀναθεμάτισον, τοὺς αἱρετικοὺς ἄρτι ἀναθεμάτισον. τοὺς ἀναθεματισθέντας ἄρτι ἀναθεμάτισον, νικᾶι ἡ πίστις τῶν Χριστιανῶν.

130 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· Νομίζομεν μηδὲ τὴν ὑμετέραν ἀγάπην ἀγνοεῖν τὴν προαίρεσιν καὶ τὸν ζῆλον τοῦ εὐσεβοῦς καὶ θεοφυλάκτου ἡμῶν βασιλέως, ὃν ἐπὶ τῇι ὀρθοδόξωι ἡμῶν ἔχει πίστει, καὶ προσήκει μηδὲν τῶν ἐν τῇι ἁγιωτάτηι ἐκκλησίαι 35
κινουμένων παρὰ γνώμην αὐτοῦ καὶ κέλευσιν γενέσθαι. παρακαλοῦμεν τοίνυν τὴν

O [= acrv], ID

1 εἰσ O^e αὐτὴν O^a καθέλκοντα O^r 3 ἐπιστενάξαντεσ I 4 ἡμῶν om. O^c φωνῆ τῆ D φείσεσθαι O^r φείσασθαι I 5 γίνοιντο O^c παρεγγυώση O^a παρεγγυούση I παρεγγυώσησ O^{rv}D παρεγγυούσησ O^e 7 οὐδένα O^{av} 10 καὶ om. D 11 συγχωροῦμεν O^e τε ἅμα om. I τε om. D 15 ἀνατολῆσ ID ἀνατολικῆσ O 16 οἱ κληρικοὶ O^eΛ 17 καὶ σεβῆρον καὶ ζωόραν I σευῆρον O^e ut solet, O^v 18 τοὺς — ἀναθεμάτισον om. O^aDΛ ἔτι O^r τίνα ID τί O φοβῆ D 21 ἔτι O^r 22 ἀναγνωσθῆ O^{rv} 23 ἄρτι στρέψον OI ἀνάτρεψον D 23—25 τὸν — πατριάρχου om. I 24 ὀρθοδόξου — ἔτη om. O^{ar}D 25 καῦσον D 26 ἄρτι στρέψον OΛ κατάστρεψον D ἄρτι στρέψον· τὸν παραβαπτιστὴν ἄρτι ἀναθεμάτισον I 26—28 νικᾶι — ἀναθεμάτισον om. I 27 φοβῆ O^rD μοναστήριον O^a ἐκεῖ om. O^{av}, corr. O^a 30 *anathematiza uincit fides Christianorum* Λ 30—31 πολλὰ — ἀναθεμάτισον^2 om. O^{av}D 31 τοὺς αἱρετικούς — ἀναθεμάτισον om. I 35 πίστει ἔχει O^r 36 γίνεσθαι I

ὑμετέραν ἀγάπην ἐπὶ τοῦ παρόντος ἡσυχάσαι, ὥστε καιρὸν ἡμᾶς λαβεῖν ἀνενεγκεῖν εἰς τὰς εὐσεβεῖς αὐτοῦ ἀκοὰς τὰ παρ' ὑμῶν ἐκβοηθέντα. ἡμεῖς γάρ, ὡς καὶ ἡ ὑμῶν ἐπίσταται ἀγάπη, τῶι ἀποστολικῶι θρόνωι ἐξακολουθοῦμέν τε καὶ πειθόμεθα καὶ τοὺς κοινωνικοὺς αὐτοῦ κοινωνικοὺς ἔχομεν καὶ τοὺς ὑπ' αὐτοῦ κατακριθέντας καὶ ἡμεῖς κατακρίνομεν.

Ὑπογραφαί

181 1 Μηνᾶς ἐλέει θεοῦ ἐπίσκοπος Κωνσταντινουπόλεως Ῥώμης ὁρίσας ὑπεσημηνάμην: —

L V 93 2 Ὑπάτιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἐφεσίων μητροπόλεως τῆς Ἀσιανῶν ἐπαρχίας ὁρίσας ὑπεσημηνάμην: —

3 Κωνσταντῖνος ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Ἡράκλειαν τὴν φιλόχριστον μητρόπολιν τῆς Εὐρωπαίων ἐπαρχίας ἁγίας τοῦ θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας ὁρίσας ὑπεσημηνάμην:

4 Εὐσέβιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Κύζικον ἁγιωτάτης ἐκκλησίας τῆς Ἑλλησποντίων ἐπαρχίας ὁρίσας ὑπεσημηνάμην: —

5 Θαλάσσιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς λαμπρᾶς Νικομηδέων μητροπόλεως τῆς Βιθυνῶν ἐπαρχίας ὁρίσας ὑπεσημηνάμην: —

6 EGO SABINVS EPISCOP' SANCTAE ECCLESIAE CANVSINAE DEFINITIONEM SANCTAE RECORDATIONIS PATRIS NOSTRI PAPAE AGAPETI DE PERSONA ANTHIMI TRAPEZVNTII QVONDAM EPISCOPI SEQVENS IN OMNIBVS SVBSCRIPSI: —

7 EGO EPIPHANIVS EPISCOP' SANCTAE ECCLESIAE ECLANENSIS DEFINITIONEM SANCTAE καὶ τὰ λοιπὰ ὁμοίως διὰ Ῥωμαικῶν γραμμάτων: —

8 EGO ASTERIVS EPISCOP' SANCTAE ECCLESIAE SALERNITANAE DEFINITIONEM καὶ τὰ λοιπὰ ὁμοίως: —

9 EGO RVSTICVS EPISCOP' SANCTAE ECCLESIAE FESVLANAE DEFINITIONEM SANCTAE καὶ τὰ λοιπὰ ὁμοίως: —

10 IN NOMINE DOMINI IHESV CHRISTI LEO EPISCOP' ECCLESIAE NOLANAE DEFINITIONEM καὶ τὰ λοιπὰ ὁμοίως: —

11 THEOPHANES DIACON' SANCTAE ECCLESIAE ROMANAE DEFINITIONEM καὶ τὰ λοιπὰ ὁμοίως: —

12 PELAGIVS DIACON' SANCTAE ECCLESIAE ROMANAE DEFINITIONEM καὶ τὰ λοιπὰ ὁμοίως: —

13 Ἀναστάσιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Νικαέων μητροπόλεως τῆς Βιθυνῶν ἐπαρχίας διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος πᾶσι τοῖς ὁρισθεῖσιν ὑπεσημηνάμην: —

O [ae, r (usque ad 13), v], I [usque ad 13], D [usque ad 6]

2 αὐτοῦ om. I 4 κανωνικούσ O^{av}D κοινωνούσ O^{av}D 6 αἱ ὑπογραφαὶ D om. I 7 ἐλέω O^{er}I νέασ ῥώμησ O^{a} 7.8 ὑπέγραψα O^{e}Λ 9 ἐλέω O^{e}I 11 ἐλέω O^{e}I 12 τῶν I εὐρωπέων O^{e} 12/13 ἁγίας — ἐκκλησίας om. O^{r}I 13 ὑπέγραψα O^{e} 14—p. 186, 25] καὶ οἱ λοιποὶ ὁμοίωσ O^{r}I 14 ἐλέει θεοῦ om. O^{e} 14.15 τῆσ — ἐπαρχίασ O^{av} κυζίκου O^{e}Λ 16—17 om. O^{e}Λ 18—32 καὶ μετὰ ταῦτα ὑπέγραψαν οἱ ῥωμαῖοι ῥωμαιστὶ σαβῖνοσ ἐπίσκοποσ ἐπιφάνιοσ ἐπίσκοποσ ἀστέριοσ ἐπίσκοποσ ῥουστίκιοσ ἐπίσκοποσ νόμινε δόμινε ἐπίσκοποσ [ἐπίσκοποι O^{a}] καὶ διάκονοι στέφανοσ καὶ πελάγιοσ πάντεσ ῥωμαῖοι καὶ μετὰ ταῦτα ὑπέγραψαν ἑλληνιστὶ O^{av} 18 ἐgon O^{e} sabῖns O^{e} canvsίωνε O^{e} 18. 25. 27. 29. 31 definitiónε O^{e} 19/20 *quondam Trapezuntini* Λ 20 epiccopi O^{r} *sequendo* Λ 21. 23. 25 ἐgὸn O^{e} 21 *Esculanae* Λ 27 léonn O^{e} 29 zheophánes O^{r} canctae O^{e} 33 ἐλέω O^{e}

14 Αὐξέντιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Σεβαστηνῶν διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος πᾶσι τοῖς ὁρισθεῖσιν ὑπεσημηνάμην: —

15 Θεόδουλος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἰκονιέων μητροπόλεως διὰ τῆς ἀνα- M VIII 971
γνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ὁρισθεῖσιν ὑπεσημηνάμην: —

16 Θεαγένης ἐλέει θεοῦ ἐπίσκοπος τῆς Συναδέων μητροπόλεως ὁρίσας ὑπεσημηνάμην: —

17 Βάκχος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἀντιοχέων λαμπρᾶς μητροπόλεως τῆς Πισιδῶν ἐπαρχίας ὁρίσας ὑπεσημηνάμην: —

18 Μάμας ἐλέει θεοῦ ἐπίσκοπος τῆς Μελιτηνῶν ἁγιωτάτης ἐκκλησίας ἀναγνοὺς πάντα τὰ πεπραγμένα καὶ σύμψηφος γενόμενος ἐπὶ πᾶσιν ὑπεσημηνάμην: —

19 Ἱλαριανὸς ἐλέει θεοῦ ἐπίσκοπος τῆς Περγαίων μητροπόλεως ἁγιωτάτης ἐκκλησίας ὁρίσας ὑπεσημηνάμην: —

20 Βοσπόριος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Νεοκαισαρέων μητροπόλεως ὁρίσας ὑπεσημηνάμην: —

21 Παῦλος ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Τύανα τῆς μητροπόλεως ἁγιωτάτης τοῦ θεοῦ ἐκκλησίας ὁρίσας ὑπεσημηνάμην: —

22 Κόνων ἐλέει θεοῦ ἐπίσκοπος τῆς Σιδητῶν μητροπόλεως διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς ὁρίσας ὑπεσημηνάμην: —

23 Ἀκάκιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Πισινουντίων ἢ γοῦν τῆς Ἰουστινιανουπολιτῶν μητροπόλεως ὁρίσας ὑπεσημηνάμην: —

24 Προκόπιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Γαγγρηνῶν μητροπόλεως διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ὁρισθεῖσιν ὑπεσημηνάμην: —

25 Πέτρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἰουστινιανουπολιτῶν ⟨μητρο⟩πόλεως τῆς δευτέρας Καππαδοκῶν ἐπαρχίας ὁρίσας ὑπεσημηνάμην: —

26 Μάρκος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἀπαμέων μητροπόλεως τῆς Βιθυνῶν ἐπαρχίας ὁρίσας ὑπεσημηνάμην: —

27 Ἥδιστος ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Κίον τὴν μητρόπολιν ἁγιωτάτης ἐκκλησίας ὁρίσας ὑπεσημηνάμην: —

28 Ὑάκινθος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Μιλησίων μητροπόλεως διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ὁρισθεῖσιν ὑπεσημηνάμην: —

29 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος Βοσπόρου ὁρίσας ὑπεσημηνάμην: —

30 Θαλάσσιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Βηρυτίων φιλοχρίστου μητροπόλεως ὁρίσας ὑπεσημηνάμην: —

O [= aev]

1 ἐλέω O^e 1—3 τοῖς — ὑπεσημηνάμην O^{av} καὶ τὰ λοιπὰ O^e 4 hinc inde ἐλέει θεοῦ semper om. $O^eΛ$ 4—6 διὰ — ὁρισθεῖσιν om. $O^eΛ$ 7 τῆσ — μητροπόλεωσ O^{av} συνάδων $O^eΛ$ 9 τῆσ — μητροπόλεωσ O^{av} ἀντιοχείασ $O^eΛ$ πισσιδῶν O^{ev} 11 τῆσ — ἐκκλησίασ O^{av} μελιτηνῆσ $O^eΛ$ 11/12 ἀναγνοὺσ — πᾶσιν O^{av} ὁρίσασ $O^eΛ$ 13/14 τῆσ — ἐκκλησίασ O^{av} πέργησ $O^eΛ$ 15 τῆσ — ὁρίσασ O^{av} νεοκαισαρείασ $O^eΛ$ 17/18 τῆσ¹ — ἐκκλησίασ O^{av} τυάνων $O^eΛ$ 19/20 τῆσ¹ — ἐπιστὰσ O^{av} σίδησ $O^eΛ$ 19 πισιδητῶν O^a 21/22 τῆσ¹ — μητροπόλεωσ O^{av} πισσινούντων $O^eΛ$ 23 τῆσ — μητροπόλεωσ O^{av} γάγγρασ $O^eΛ$ 23/24 διὰ — ὁρισθεῖσιν O^{av} ὁρίσασ $O^eΛ$ 26 τῆσ — μητροπόλεωσ] ἰουστινιανουπόλεωσ $O^eΛ$ μητροπόλεωσ p. 115, 8 πόλεωσ O^{av} 28 τῆσ¹ — ἐπαρχίασ O^{av} ἀπαμείασ O^e 30/31 τῆσ — ἐκκλησίασ O^{av} κίου O^e om. Λ 32 μελησίων O^c μιλησσίων O^{av} 32/33 διὰ — ὁρισθεῖσιν om. $O^eΛ$ 35 ὑπέγραψα O^v 36 τῆσ — μητροπόλεωσ O^{av} βηρυτοῦ $O^eΛ$

31 Μέγας ἐλέει θεοῦ ἐπίσκοπος τῆς Βεροαίων φιλοχρίστου πόλεως τοῦ πρώτου Σύρων ἔθνους ὁρίσας ὑπέγραψα: —
ὑπογραφαὶ διὰ Συριακῶν γραμμάτων: —
32 Χριστοφόρος ἐλέει θεοῦ ἐπίσκοπος Πορφυρεῶνος ἐπαρχίας Φοινίκης παράλου ὁρίσας ὑπέγραψα: —
L V 96 33 Αἰθέριος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Μαριαμμιτῶν φιλοχρίστου πόλεως τῆς δευτέρας Σύρων ἐπαρχίας ὁρίσας ὑπέγραψα: —
34 Δομετιανὸς ἐλέει θεοῦ ἐπίσκοπος τοῦ ἔθνους τῶν Ζικχῶν ὁρίσας ὑπέγραψα: —
35 Εὐσέβιος ἐλέει θεοῦ ἐπίσκοπος Παλαιᾶς πόλεως ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὁρίσας ὑπέγραψα: —
36 Ἀναστάσιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Ἰωτάβην τὴν νῆσον ἁγιωτάτης τοῦ θεοῦ ἐκκλησίας τῆς τρίτης Παλαιστινῶν ἐπαρχίας ὁρίσας ὑπέγραψα: —
37 Δόμνος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Μαξιμιανουπόλεως Παλαιστίνης δευτέρας ὁρίσας ὑπέγραψα: —
38 Ἀρχέλαος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Κωρυκεωτῶν πόλεως ὁρίσας ὑπέγραψα: —
39 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος Ζωόρων τῆς τρίτης Παλαιστινῶν ἐπαρχίας ὁρίσας ὑπέγραψα: —
40 Ἀλέξανδρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Βαρκουσηνῶν ἤτοι Ἰουστινιανουπολιτῶν πόλεως ὁρίσας ὑπέγραψα: —
41 Πελάγιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Παρνασέων πόλεως ὁρίσας ὑπέγραψα: —
42 Εὐγένιος χάριτι θεοῦ ἐπίσκοπος τῆς κατὰ Τίον ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὁρίσας ὑπέγραψα: —
43 Εὐστάθιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Τιβεριουπολιτῶν πόλεως ὁρίσας ὑπέγραψα: —
M VIII 974 44 Ἐπιφάνιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Ἡράκλειαν ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὁρίσας ὑπέγραψα: —
45 Ἀβράμιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Κρατίαν ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὁρίσας ὑπέγραψα: —
46 Παῦλος ἐλέει θεοῦ ἐπίσκοπος πόλεως Στεκτορίου ὁρίσας ὑπέγραψα: —
47 Ἀστέριος χάριτι θεοῦ ἐπίσκοπος τῆς κατὰ Ἄμαστριν ἁγιωτάτης ἐκκλησίας ὁρίσας ὑπέγραψα: —
48 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Καισάρειαν ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὁρίσας ὑπέγραψα: —
49 Ἀνδρέας ἐλέει θεοῦ ἐπίσκοπος τῆς Πελτηνῶν πόλεως ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὁρίσας ὑπέγραψα: —
50 Λεόντιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Ἑλενούπολιν ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὁρίσας ὑπέγραψα: —

O [= aev]

1 τῆσ — πόλεωσ O^{aev} βεροίασ $O^{e}Λ$ βερροιαίων O^{v} 2 ὑπεσημηνάμην O^{e} 3 συρικῶν O^{a} συριατικῶν O^{ev} 4 παραλίου O^{e} om. Λ 6/7 τῆσ¹ — ἐπαρχίασ O^{av} μαριάμμησ O^{e} *Mariamnius* Λ 6 μαριαμιτῶν O^{av} 8 τοῦ — Ζικχῶν O^{av} ζηκχίασ $O^{e}Λ$ 9 ἁγίας — ἐκκλησίας om. $O^{e}Λ$ 11/12 τῆσ — ἐπαρχίασ O^{av} Ἰωτάβησ $O^{e}Λ$ 12 παλαιστηνῶν O^{v} 13 τῆσ — δευτέρασ O^{av} μαξιμιανουπόλεωσ $O^{e}Λ$ 15 θεοῦ om. O^{a} τῆσ — πόλεωσ O^{av} κωρύκου $O^{e}Λ$ 16 τῆσ ζωόρων τῆσ O^{v} τῆσ — ἐπαρχίας om. $O^{e}Λ$ 18/19 τῆσ — πόλεωσ O^{av} βαρκούσων $O^{e}Λ$ 20 τῆσ — πόλεως] παρνασοῦ $O^{e}Λ$ Παρνασέων p. 118, 4 παρνασῶν O^{av} 21 χῡ O^{v} τίχην O^{a} ἁγίας — θεοῦ om. $O^{e}Λ$ 23 τῆσ — πόλεως] βεριουπόλεωσ $O^{e}Λ$ τιβεριουτῶν πόλεωσ O^{av} 24 τῆσ — ἐκκλησίασ O^{av} ἡρακλείασ ποντικῆσ $O^{e}Λ$ 26 ἀβραάμιοσ $O^{e}Λ$ τῆσ — ἐκκλησίασ O^{av} κρατίασ $O^{e}Λ$ 28 πόλεωσ om. O^{a} τεκτορίου O^{v} 29 χάριτι θεοῦ om. $O^{e}Λ$ ἁγιωτάτης om. $O^{e}Λ$ 31 τῆσ — ἐκκλησίασ O^{av} καισαρείασ $O^{e}Λ$ 33 ἁγίας — ἐκκλησίας om. $O^{e}Λ$ 35 τῆσ — ἐκκλησίασ O^{av} ἑλενουπόλεωσ $O^{e}Λ$

51 Ἀνδρέας ἐλέει θεοῦ ἐπίσκοπος τῆς Πανιτῶν ἤτοι Θεοδοσιουπολιτῶν ὁρίσας ὑπέγραψα: —

52 Ἐπιτύγχανος ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Γέρμην ἁγιωτάτης ἐκκλησίας ὁρίσας ὑπέγραψα: —

53 Θεόδωρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Γορδηνῶν πόλεως ὁρίσας ὑπέγραψα: —

54 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος τῆς Τραιανουπολιτῶν Φρυγίας Πακατιανῆς ὁρίσας ὑπέγραψα: —

55 Κυριακὸς ἐλάχιστος ἐπίσκοπος τῆς Θεοδοσιουπολιτῶν ἁγίας τοῦ θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας ὁρίσας ὑπέγραψα: —

56 Θεοδώριτος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἀλινδέων πόλεως ὁρίσας ὑπέγραψα: —

57 Ματθίας ἐλέει θεοῦ ἐπίσκοπος τῆς Κυμαίων πόλεως ὁρίσας ὑπέγραψα: —

58 Φλαβιανὸς ἐλέει θεοῦ ἐπίσκοπος τῆς ἐν Κοτένοις ἁγιωτάτης ἐκκλησίας ὁρίσας ὑπέγραψα: —

59 Θεόδωρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Μιρηνῶν πόλεως ὁρίσας ὑπέγραψα: —

60 Μακεδόνιος ἐλέει θεοῦ ἐπίσκοπος Βρόζου ὁρίσας ὑπέγραψα: —

61 Μάρκελλος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἀνεατῶν πόλεως ἐπαρχίας τῆς Ἀσίας διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ὁρισθεῖσιν ὑπέγραψα: —

62 Πέτρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἀμβλασέων πόλεως διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ὁρισθεῖσιν ὑπέγραψα: —

63 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Μιδάειον ἁγιωτάτης ἐκκλησίας ὁρίσας ὑπέγραψα: —

64 Μαρτύριος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Βαρατέων πόλεως τῆς Λυκαόνων ἐπαρχίας διὰ τῆς ἀναγνώσεως ὑπέγραψα: —

65 Παντολέων ἐπίσκοπος τῆς Ἰουλιουπόλεως διὰ τῆς ἀναγνώσεως ὑπέγραψα: —

66 Ζώσιμος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἀνταν δρέων πόλεως τῆς Ἀσιανῶν ἐπαρχίας διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ὁρισθεῖσιν ὑπέγραψα: —

67 Κυριακὸς ἐλέει θεοῦ ἐπίσκοπος τῆς Σοφηνῆς ἐπαρχίας ὁρίσας ὑπέγραψα: —

68 Διονύσιος ἐλέει θεοῦ ἐπίσκοπος ⟨τῆς Εὐκαρπέων⟩ πόλεως διὰ τῆς ἀναγνώσεως L V 97
τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ὑπέγραψα: —
ὑπογραφαὶ διὰ Συριακῶν γραμμάτων

69 Λυκῖνος ἐλάχιστος τῆς κατὰ Πατάραν ἁγίας τοῦ θεοῦ ἐκκλησίας ἐπίσκοπος τῆς Λυκίων ἐπαρχίας διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ὁρισθεῖσιν ὑπέγραψα: —

O [= aev]

1 καπανιτῶν O^a 3 τῆσ — ἐκκλησίασ O^{av} γέρμησ $O^eΛ$ 6 τῆς om. O^e τραιανουπόλεωσ $O^eΛ$ 8 ἐλάχιστος om. O^e 8/9 τῆς — ἐκκλησίας] θεοδοσιουπόλεωσ $O^eΛ$ καθολικῆς καὶ ἀποστολικῆς om. O^v 10 τῆσ — πόλεωσ O^{av} ἀλίνδων $O^eΛ$ 11 τῆσ — πόλεωσ O^{av} κύμησ $O^eΛ$ 12 τῆς — ἐκκλησίας] κοτένων $O^eΛ$ κοτέννοισ O^{av} 14 τῆσ — πόλεωσ O^{av} μίρου $O^eΛ$ 15 *Berianus* Λ 16—18 τῆς¹ — ὁρισθεῖσιν] ἀνέων O^e *Areeñ* Λ 16 νεατῶν O^a 19 ἀλαβλασέων O^{ev} ἀναβλασέων O^a *Ambladeñ* Λ, cf. p. 117, 23 19/20 διὰ — ὁρισθεῖσιν O^{av} ὁρίσασ $O^eΛ$ 21 τῆς — ἐκκλησίας] μηδαίου $O^eΛ$ μηδάιου O^{av} 23/24 τῆσ² — ἀναγνώσεωσ O^{av} ὁρίσασ $O^eΛ$ 25 maximam partem formulae omisit librarius anticus 25 *Iuliopolitanus* Λ λουλιουπόλεωσ O^{av} λουλιουπολιτῶν πόλεωσ O^e διὰ — ἀναγνώσεως om. $O^eΛ$ 26 ἀντραδέων O^v *Andrapolitanus* Λ 26—28 τῆσ² — ὁρισθεῖσιν O^{av} ὁρίσασ $O^eΛ$ 29 σοφινῆσ O^{av} 30 *Eucarpieñ* Λ om. O, suppleui ex p. 118, 21 30/31 διὰ — γενόμενοσ O^{av} ἐπιστὰσ τοῖσ ὁρισθεῖσιν O^e 32 om. O^e συριατικῶν O^{av} 33—35 ἐλάχιστοσ — ὁρισθεῖσιν O^{av} ἐπίσκοποσ πατάρων ὁρίσασ $O^eΛ$

70 Παῦλος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Οἰνοανδέων πόλεως ἁγιωτάτης ἐκκλησίας τῆς Λυκίων ἐπαρχίας διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ὑπέγραψα: —

71 Ἐπιφάνιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς πατρανέων πόλεως τῆς Ἀσιανῶν ἐπαρχίας διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς ὁμοίως ὑπέγραψα: —

72 Τρύφων χάριτι τοῦ δεσπότου θεοῦ ἐπίσκοπος τῆς Κολβασέων πόλεως, ἣ μία τῆς Παμφύλων ἐστὶν ἐπαρχίας, διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς ὁμοίως ὑπέγραψα: —

73 Εὐστάθιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Τλωέων πόλεως τοῖς πεπραγμένοις ἐπιστὰς ὑπέγραψα: —

74 Μάγνος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος τοῦ ἀποστολικοῦ τῆς Θεουπολιτῶν θρόνου καὶ ἀποκρισιάριος τοῦ ἁγιωτάτου πατριάρχου Ἐφραιμίου ἀκολουθῶν τοῖς ὁρισθεῖσι παρὰ τῶν προγεγραμμένων ὁσίων ἡμῶν πατέρων ἐπὶ τῆι καθαιρέσει Ἀνθίμου τοῦ αἱρετικοῦ ἀλλότριον αὐτὸν ἔχω τῆς ἱερατικῆς ἀξίας καὶ αὐτοῦ τοῦ ὀνόματος τῶν Χριστιανῶν καὶ ὑπέγραψα: —

75 Ἡράκλειος ἐλέει θεοῦ διάκονος καὶ ἀποκρισιάριος τοῦ ἀποστολικοῦ τῆς Θεου-
M VIII 975 πολιτῶν θρόνου καὶ τοῦ τὰ πάντα ἁγιωτάτου καὶ μακαριωτάτου πατριάρχου Ἐφραιμίου ἀκολουθῶν τοῖς ὁρισθεῖσι παρὰ τῶν προγεγραμμένων ὁσίων ἡμῶν πατέρων ἐπὶ τῆι καθαιρέσει Ἀνθίμου τοῦ αἱρετικοῦ ἀλλότριον αὐτὸν ἔχω τῆς ἱερατικῆς ἀξίας καὶ αὐτοῦ τοῦ ὀνόματος τῶν Χριστιανῶν καὶ ὑπέγραψα: —

76 Σαβῖνος ἐλέει θεοῦ διάκονος τῆς ἁγίας Χριστοῦ τοῦ θεοῦ ἡμῶν Ἀναστάσεως πληρῶν τὰς ἀποκρίσεις Πέτρου τοῦ ἁγιωτάτου πατριάρχου Ἱεροσολύμων ἀκολουθῶν τοῖς ὁρισθεῖσι παρὰ τῶν προγεγραμμένων ὁσίων πατέρων ἡμῶν ἐπὶ τῆι καθαιρέσει Ἀνθίμου τοῦ αἱρετικοῦ ἀλλότριον αὐτὸν ἔχω τῆς ἱερατικῆς ἀξίας καὶ αὐτοῦ τοῦ ὀνόματος τῶν Χριστιανῶν καὶ ὑπέγραψα: —

L V 280 **132** Ὁ ἁγιώτατος καὶ μακαριώτατος πατριάρχης καὶ ἡ εὐαγὴς σύνοδος εἶπε· Δέ-
M VIII 1170 L V 281 δεικται καὶ νῦν ἐπὶ τῶν πραγμάτων ἀληθὴς ὁ προφητικὸς λόγος ὅτι οὐ παροικήσει
Ps. 5, 5. 6 πονηρὸς τῶι θεῶι οὐδὲ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν αὐτοῦ. ὁποῖόν τι γεγενῆσθαι καὶ ἐπὶ Ἀνθίμωι παρέστησε τὰ ἀρτίως ἀνεγνωσμένα ἱερατικά τε καὶ βασιλικὰ δόγματα. οὗτος γὰρ πρώην τὴν Τραπεζουντίων ἐπισκο-
Mt. 7, 15 πήσας πόλιν καὶ τῶν ὑγιῶν ἑαυτὸν ἐκδιαιτήσας δογμάτων, ἔνδυμα περιβαλόμενος προβάτου, λύκος δὲ ὢν ἅρπαξ εὐαγγελικῶς εἰπεῖν, τῶι ἀρχιερατικῶι τῆς βασιλίδος εἰσεπήδησε θρόνωι ὑποκρινόμενος μὲν τὴν ἀληθινὴν καὶ ἀμώμητον ἡμῶν πρεσβεύειν πίστιν καὶ τὰς ἁγίας τέσσαρας καὶ οἰκουμενικὰς ἀσμένως προσίεσθαι συνόδους, τήν τε ἐν Νικαίαι τῶν τιη̄ καὶ τῶν ἐν Κωνσταντινουπόλει ρν̄ καὶ τῶν ἐν Ἐφέσωι διακοσίων καὶ τῶν ἐν Χαλκηδόνι χλ̄ σὺν τῆι ὁσίαι ἐπιστολῆι Λέοντος τοῦ μακαρίου πάπα τῆς πρεσβυτέρας Ῥώμης, συγγραφείσηι μὲν πρὸς Φλαβιανὸν τὸν τῆς βασιλίδος πόλεως πρόεδρον, ἐμφερομένηι δὲ τοῖς πε-

---

O [ae, r (inde a 26), v], I [inde a 26]

1 οἰνοανδρέων O^v 1—3 ἁγιωτάτης — γενόμενος O^{av} ὁρίσας O^e 4 πατρανέων πόλεως O *Patreopolitanus* Λ. legendum Πιταναίων cf. p. 118, 26 4/5 τῆς^2 — ὁμοίως O^{av} ὁρίσας $O^eΛ$ 6 τοῦ δεσπότου om. $O^eΛ$ 6—8 ἣ — ὁμοίως O^{av} ὁρίσας $O^eΛ$ 9 τοῖς — ἐπιστὰς O^{av} ὁρίσας O^e 11 ἡγούμενος O ἀποκρισιάριος p. 119, 1 11/12 θρόνου τῆς θεουπολιτῶν O^e 12 ἀποκρισιάριος om. O^{av} 14 ἔχω om. O^v 17 τὰ πάντα om. $O^eΛ$ καὶ μακαριωτάτου om. $O^eΛ$ 19/20 ἐπὶ — Χριστιανῶν καὶ O^{av} καὶ τὰ λοιπὰ ὁμοίως $O^eΛ$ 21 χῡ̄ τοῦ θῡ̄ $O^{ae}Λ$ τοῦ χῡ̄ O^v 23 ἡμῶν πρῶν O^e 24/25 ἐπὶ — Χριστιανῶν καὶ O^{av} καὶ τὰ λοιπὰ ὁμοίως $O^eΛ$ 26 inscr. Ψῆφος πέτρου τοῦ [om. O^rI] ἱεροσολύμων [ἱεροσολύμων καὶ τῆς σὺν αὐτῶ συνόδου I] κατὰ ἀνθίμου $O^{er}IΛ$ 29 ἀναγνωσμένα O^v 31 περιβαλλόμενος O^v 34 τῑ καὶ η̄ O^e 36 μακαριωτάτου O^r

πραγμένοις τῆι ἐν Χαλκηδόνι εὐαγεστάτηι συνόδωι. ἐν δὲ τῶι τῆς διανοίας βάθει τὴν ἑαυτοῦ κατακρύπτων κακοπιστίαν Ἄνθιμος ὁ μνημονευθεὶς πρὸς τὴν προτέραν ἡμᾶς ἐπαναγαγεῖν ἔσπευσε ζάλην καὶ τὰς ἁπανταχοῦ ἁγίας καὶ καθολικὰς συνταράξαι ἐκκλησίας. ὡς γὰρ ἐγκρατὴς ὤιετο τῆς δολερᾶς καὶ ἀθεμίτου αὐτοῦ γεγενῆσθαι σπουδῆς, ἀθρόον μεταβαλὼν καὶ αὐτὸ δὴ τὸ τῆς ὑποκρίσεως ἀπεσείσατο σχῆμα καὶ ἐρρῶσθαι τοῖς ἐγγράφως παρ' αὐτοῦ συντεθειμένοις φράσας πρὸς τὰ ὀρθὰ ἀνένευε δόγματα, οὐδαμῶς ὁμολογεῖν ἀνεχόμενος ἐν δύο φύσεσιν ἀσυγχύτως ἀτρέπτως ἀδιαιρέτως ἀχωρίστως γνωρίζεσθαι τὸν ἕνα καὶ τὸν αὐτὸν κύριον ἡμῶν καὶ θεὸν καὶ σωτῆρα Ἰησοῦν Χριστόν, μὴ συνεγνωκὼς ὁ ἠλίθιος τῶν οὕτως εὐσεβῶν ῥημάτων τὴν δύναμιν. πρόδηλον γὰρ ὡς τὸ ἀσύγχυτον καὶ ἀδιαίρετον ἄτρεπτόν τε καὶ ἀχώριστον καὶ τὴν ἄκραν δηλοῖ τῶν οὐσιῶν ἕνωσιν καὶ τὴν τούτων φυλάττει διαφορὰν ἐφ' ἑνὶ προσώπωι καὶ ὑποστάσει μιᾶι. ἀλλ' οὐδὲ τοὺς ὑπὸ τῆς ἁγίας ἐν Χαλκηδόνι κατακεκριμένους συνόδου ἀποκηρῦξαι εἵλετο, καὶ ταύτηι ὁμόφρονα δεικνὺς ἑαυτὸν τῆς Εὐτυχοῦς τοῦ παράφρονος καὶ Διοσκόρου πλάνης. καὶ τὸ δὴ χαλεπώτερον ὅτι μηδὲ τὴν ἀπὸ τῆς διδασκαλίας ὑπέμεινεν ἰατρείαν, καίτοι φιλανθρωπίας αὐτῶι βασιλικῆς ὑπηργμένης καὶ ἀνακωχῆς ἱεροπρεποῦς δεδομένης πρός τε μετάμελον ἀρκούσης καὶ πρὸς τὴν τῆς ἀληθινῆς πίστεως προαγούσης ὁμολογίαν. ὡς οὖν λανθάνων ἐπέμενε καὶ τῆι χρονίαι ἀποφυγῆι ἐναργῶς προεμήνυε πάσης τε αὐτὸν ἑστερῆσθαι ἀπολογίας καὶ ἀνιάτως πρὸς τὴν οἰκείαν ἔχειν δυσσέβειαν, καθαιρέσεως ἐπ' αὐτῶι προῆλθε ψῆφος, ἀρχθεῖσα μὲν ὑπὸ Ἀγαπητοῦ τοῦ τῆς ὁσίας καὶ ἀοιδίμου μνήμης προέδρου τῆς πρεσβυτέρας Ῥώμης, συμπερασθεῖσα δὲ παρὰ Μηνᾶ τοῦ ἁγιωτάτου τῆς βασιλίδος πατριάρχου καὶ τῆς παρ' αὐτῶι συγκροτηθείσης εὐαγεστάτης συνόδου. κἀντεῦθεν οὐ τῆς Τραπεζουντίων μόνον ἐπισκοπῆς διαπέπτωκεν Ἄνθιμος ὁ μνημονευθείς, ἀλλὰ καὶ τῆς ἱερατικῆς ἀξίας τε καὶ ἐνεργείας τοῦ παντὸς χωρισθεὶς τῆς ἁγιωτάτης ἐκκλησίας σώματος, ἐπεὶ καὶ τῆς τοῦ καθολικοῦ ἑστέρηται προσηγορίας, ὥστε πρὸς τὴν ἀδιόρθωτον ἐκείνου πλάνην τὴν Ὡσηὲ ἐφαρμόζεσθαι προφητείαν ὅτι σὺ ἐπίγνωσιν ἀπώσω, κἀγὼ ἀπώσομαί σε τοῦ ἱερατεύειν. ταῦτα τῶν κατὰ τὴν βασιλίδα πόλιν πεπραγμένων διαρρήδην ἐχόντων καὶ ἡμεῖς ὁρῶντες ὀρθῶς τε καὶ κανονικῶς πάντα ἐπὶ Ἀνθίμωι προεληλυθότα καὶ τὴν τῶν κλήσεων ἐπαινέσαντες τάξιν καὶ τὴν ἐντεῦθεν ὑπηργμένην αὐτῶι φιλανθρωπίαν, κατεγνωκότες δὲ καὶ τῆς ὀλεθρίας Ἀνθίμου ἐνστάσεως σύμψηφοι γινόμενοι τοῖς εὖ διατετυπωμένοις ὑπὸ Ἀγαπητοῦ τοῦ τῆς ὁσίας καὶ μακαρίας μνήμης καὶ τοῖς ὡρισμένοις παρὰ Μηνᾶ τοῦ ἁγιωτάτου πατριάρχου τῆς βασιλίδος πόλεως καὶ τῆς παρ' αὐτοῦ ἀθροισθείσης εὐαγεστάτης συνόδου, ἀκολουθοῦντες δὲ καὶ τῆι περὶ τούτων κυρώσει τοῦ θείου καὶ βασιλικοῦ νόμου προσιέμεθα τὴν ἐπὶ Ἀνθίμωι καθαίρεσιν ὡς καὶ τὴν ἀρχὴν παρὰ τοὺς ἱεροὺς εἰσφρήσαντι κανόνας τῶι ἀρχιερατικῶι τῆς βασιλίδος θρόνωι καὶ ἐναργεστάτην ὕστερον τῆς αὐτοῦ κακοπιστίας καὶ ἀμεταμελήτου γνώμης παρασχομένωι ἀπόδειξιν, ὡς τὴν θείαν ἐπ' αὐτῶι πληρωθῆναι γραφὴν λέγουσαν ἐν ἡμέραις ἐλέγχου ἐν ταῖς φυλαῖς τοῦ Ἰσραὴλ ἔδειξα πιστά· ἐγένοντο οἱ ἄρχοντες Ἰούδα ὡς μετατιθέντες ὅρια, ἐπ' αὐτοὺς ἐκχεῶ ὡς ὕδωρ τὸ ὁρμημά μου καὶ πάλιν ἑτέραν γραφὴν ἐμίσησαν ἐν πύλαις ἐλέγχοντα καὶ λόγον ὅσιον ἐβ-

Os. 4, 6 M VIII 1171 Os. 5, 9. 10 Amos 5, 10

O [= aerv], I

1 τῆ I ὑπὸ τῆ O 2 πρότερον O^{av} 3 ἁπανταχῆ O^{av} συνταράξας O^{e} 5/6 ἀγράφωσ O^{r} 9/10 πρόδηλον — ἀδιαίρετον O^{er}IΛ ὅτι τὸ [ὁ O^{v}] O^{av} 12 κατακεκριμμένουσ O^{v} ταύτησ O^{r} 14 τὴν O^{v} 15 ἀνοχῆσ I διδομένησ O^{av} 16 οὖν O^{ae}IΛ οὐ O^{rv} 18 ἐπ' om. O^{e} 19 ἀπὸ O^{r}I 20 συμπερανθεῖσα O^{av} 22 διαπέπτωκεν — μνημονευθεὶς ἐπισκοπῆς I 26 ἱερατεύειν μοι O^{e}Λ 27/28 προεληλυθότα ἐπὶ ἀνθίμω I 28 κλήσεων O^{er}IΛ ἐκκλησιῶν O^{a} κληρικῶν O^{v} 29 αὐταῖσ O^{r} 30 γενόμενοι I καὶ μακαρίας om. O^{e}Λ 32 ἁγιωτάτησ O^{r} 33 ἀνθίμω ΟΛ τούτω I καθαίρεσιν ἤτοι τῶ ἀνθίμω I καὶ O^{er}I κατὰ O^{av} 34 εἰσφρήσαντα O^{av} εἰσφρήσαντι ἑαυτὸν I 35 ἀμεταβλήτου O^{e}Λ 35/36 παρεχομένω O^{av} 37 τοῦ om. O^{a} 38 ὡς² om. O^{arv}

δελύξαντο. κατὰ ταῦτα τοίνυν ἀλλότριον τοῦτον ὁριζόμεθα πάσης ἱερατικῆς ἀξίας τε καὶ ἐνεργείας, καὶ αὐτῆς δὲ τῆς τοῦ καθολικοῦ προσηγορίας. ὥσπερ γὰρ οὐδεμία τῶι
2. Cor. 6, 14 σκότει πρὸς τὸ φῶς κοινωνία, οὕτως οὐδὲ καταρρυπαίνεσθαι τὰς ἱερὰς προσήκει λειτουργίας ὑπ' ἀνδρῶν οὐκ εἰλικρινῶς τὸν δεσπότην πρεσβευόντων Χριστὸν τὸν ἀληθινὸν θεόν.

Ὑπογραφαί

133

1 Πέτρος ἐλέει θεοῦ ἐπίσκοπος Ἱεροσολύμων ὁρίσας ὑπεσημηνάμην:
2 Ἠλίας ἐλέει θεοῦ ἐπίσκοπος Καισαρείας ὁρίσας ὑπεσημηνάμην: —
3 Θεοδόσιος ἐλέει θεοῦ ἐπίσκοπος Σκυθοπόλεως ὁρίσας ὑπεσημηνάμην: —
4 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος Τιβεριάδος ὁρίσας ὑπεσημηνάμην: —
5 Στέφανος ἐλέει θεοῦ ἐπίσκοπος Σαριφαίας ὁρίσας ὑπεσημηνάμην: —
6 Ἀναστάσιος ἐλέει θεοῦ ἐπίσκοπος Γαβῶν ὁρίσας ὑπεσημηνάμην: —
7 Ἐπιφάνιος ἐπίσκοπος Ῥαφείας ὁρίσας ὑπεσημηνάμην: —
8 Ἠλίας ἐπίσκοπος Ἰόππης ὁρίσας ὑπεσημηνάμην: —
9 Ἰωάννης ἐπίσκοπος Αὐγουστοπόλεως ὁρίσας ὑπεσημηνάμην: —
10 Νικόστρατος ἐπίσκοπος Ἀβίλης ὁρίσας ὑπεσημηνάμην: —
11 Λάζαρος ἐλέει θεοῦ ἐπίσκοπος Ἀζώτου ὁρίσας ὑπεσημηνάμην: —
12 Λεόντιος ἐλέει θεοῦ ἐπίσκοπος Σωζούσης ὁρίσας ὑπεσημηνάμην: —
13 Στέφανος ἐλέει θεοῦ ἐπίσκοπος Ἄρδων ὁρίσας ὑπεσημηνάμην: —
14 Ἀναστάσιος ἐλέει θεοῦ ἐπίσκοπος Ἐλευθεροπόλεως ὁρίσας ὑπεσημηνάμην: —
M VIII 1174 15 Γρηγόριος ἐλέει θεοῦ ἐπίσκοπος Ἱεριχούντων ὁρίσας ὑπεσημηνάμην: —
16 Ἠλίας ἐλέει θεοῦ ἐπίσκοπος Ἀρεοπόλεως ὁρίσας ὑπεσημηνάμην. Θεόκτιστος ἐλάχιστος διάκονος καὶ νοτάριος τοῦ ὁσιωτάτου ἐπισκόπου Ἠλία ἔγραψα ὑπὲρ αὐτοῦ κατ' ἐγγράφους ἐντολὰς αὐτοῦ: —
17 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος διάρων ὁρίσας ὑπεσημηνάμην: —
18 Δημήτριος ἐλέει θεοῦ ἐπίσκοπος Χαραχμώβων ὁρίσας ὑπεσημηνάμην: —
19 Στέφανος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Μηνυτῶν ὁρίσας ὑπεσημηνάμην: —
20 Ζαχαρίας ἐλέει θεοῦ ἐπίσκοπος τῆς Πελλαίων ὁρίσας ὑπεσημηνάμην: —
LV 285 21 Μανουήλιος ἐλέει θεοῦ ἐπίσκοπος τοῦ Βιτυλίου ὁρίσας ὑπεσημηνάμην: —
22 Ἀναστάσιος ἐλέει θεοῦ ἐπίσκοπος Ἰωτάβης ὁρίσας ὑπεσημηνάμην: —
23 Ζηνόβιος ἐλέει θεοῦ ἐπίσκοπος Ἐλούσης ὁρίσας ὑπεσημηνάμην: —
24 Μαρκιανὸς ἐλέει θεοῦ ἐπίσκοπος Γάζης ὁρίσας ὑπεσημηνάμην: —
25 Θεόδωρος ἐλέει θεοῦ ἐπίσκοπος Πετρῶν ὁρίσας ὑπεσημηνάμην: —
26 Ζηνόβιος ἐλέει θεοῦ ἐπίσκοπος Νικοπόλεως ὁρίσας ὑπεσημηνάμην: —
27 Ἀράξιος ἐλέει θεοῦ ἐπίσκοπος Γαδάρων ὁρίσας ὑπεσημηνάμην: —
28 Προκόπιος ἐλέει θεοῦ ἐπίσκοπος Ἐλενουπόλεως ὁρίσας ὑπεσημηνάμην: —
29 Κυριακὸς ἐλέει θεοῦ ἐπίσκοπος Διοκαισαρείας ὁρίσας ὑπεσημηνάμην: —
30 Βάραχος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Βακάνων ὁρίσας ὑπεσημηνάμην: —
31 Διονύσιος ἐλέει θεοῦ ἐπίσκοπος Ἀσκάλωνος ὁρίσας ὑπεσημηνάμην: —

O [= ae, r (usque ad 8), v], I [usque ad 8]

3 ἱερατικὰς I 5 om. $O^{v}I$ 6 sq. ἐλέει θεοῦ semper om. $O^{e}Λ$ 6. 7. 8 ἐλέω I 8 θεόδωροσ O^{a} 9—p. 189, 17 [Ἰωάννης — ὑπεσημηνάμην] καὶ οἱ λοιποὶ πάντες ὁμοίως ὑπέγραψαν $O^{r}I$ 12—15 om. O^{av} 18 ἄρδων O^{e} ἀρδῶν O^{av} *Aradorum* Λ, quid sit, nescio 21 ἀρεωπόλεωσ O^{av} 23 ἔγγραφον ἐντολὴν O^{av} 24 διάρων O^{av} δοάρων O^{e} *Podaleanus* Λ, conicias Δώρων 25 χαροχβωμῶν O^{a} χαραχμωμῶν O^{v} 26 Μηνυτῶν i. e. ni fallor Μινωίδος 28 βιτύλου O^{av} 29 ἐπίσκοπος om. O^{v} 30 ἐλεούσησ O^{av} 33 νικουπόλεωσ O^{v} 34 γαδείρων O^{a} 37 postulatur Βακάθων 38 ἀσκάλων O^{v} ἀσκάλλων O^{a}

32 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος Φαινοῦς ὁρίσας ὑπεσημηνάμην: —
33 Μακάριος ἐλέει θεοῦ ἐπίσκοπος Ἀρινδήλων ὁρίσας ὑπεσημηνάμην: —
34 Βασίλειος ἐλέει θεοῦ ἐπίσκοπος Συκομαζόνος ὁρίσας ὑπεσημηνάμην: —
35 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος Νέας πόλεως ὁρίσας ὑπεσημηνάμην: —
36 Πέτρος ἐλέει θεοῦ ἐπίσκοπος τῶν Παρεμβολῶν ὁρίσας ὑπεσημηνάμην: —
37 Ζαχαρίας ἐλέει θεοῦ ἐπίσκοπος τῆς Λιβισίων ὁρίσας ὑπεσημηνάμην: —
38 Δόμνος ἐλέει θεοῦ ἐπίσκοπος Μαξιμιανουπόλεως ὁρίσας ὑπεσημηνάμην: —
39 Πελάγιος ἐλέει θεοῦ ἐπίσκοπος Σεβαστῆς ὁρίσας ὑπεσημηνάμην: —
40 Στέφανος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἰαμνιτῶν ὁρίσας ὑπεσημηνάμην: —
41 Παρθένιος ἐλέει θεοῦ ἐπίσκοπος Ἐξάλους ὁρίσας ὑπεσημηνάμην. Θεόδωρος ἐλέει θεοῦ ἐπίσκοπος ἔγραψα ὑπὲρ αὐτοῦ διὰ τὸ ἐν ἀσθενείαι αὐτὸν εἶναι: —
42 Θεόδωρος ἐλέει θεοῦ ἐπίσκοπος Γαδάρων ὁρίσας ὑπεσημηνάμην: —
43 Παῦλος ἐλέει θεοῦ ἐπίσκοπος τοῦ Ἀιλᾶ ὁρίσας ὑπεσημηνάμην: — M VIII 1175
44 Θεόδωρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἱππηνῶν ὁρίσας ὑπεσημηνάμην: —
45 Θεοδόσιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Καπετωλιαίων ὁρίσας ὑπεσημηνάμην: —
46 Διονύσιος ἐλέει θεοῦ ἐπίσκοπος Ἀμαθούντων ὁρίσας ὑπεσημηνάμην: —
47 Δωρόθεος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἀνθηδονιτῶν ὁρίσας ὑπεσημηνάμην: —

Λόγος τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως Ἰουστινιανοῦ καταπεμφθεὶς πρὸς Μηνᾶν τὸν ἁγιώτατον καὶ μακαριώτατον ἀρχιεπίσκοπον τῆς εὐδαίμονος πόλεως καὶ πατριάρχην κατὰ Ὠριγένους τοῦ δυσσεβοῦς καὶ τῶν ἀνοσίων αὐτοῦ δογμάτων L V 636 PG 86, 945

6 Ἡμῖν μὲν ἀεὶ σπουδὴ γέγονέ τε καὶ ἐστὶ τὸ τὴν ὀρθὴν καὶ ἀμώμητον πίστιν τῶν Χριστιανῶν καὶ τὴν κατάστασιν τῆς ἁγιωτάτης τοῦ θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας ἀτάραχον διὰ πάντων φυλάττεσθαι καὶ ταύτην πρώτην τῶν ἄλλων τὴν φροντίδα τιθέμεθα. δι' ἧς καὶ τὴν ἐν τῶι παρόντι κόσμωι βασιλείαν ἡμῖν ὑπὸ θεοῦ παραδεδόσθαι καὶ φυλάττεσθαι πεπιστεύκαμεν καὶ τοὺς ἐχθροὺς τῆς ἡμετέρας πολιτείας ὑποτάττεσθαι· δι' ἧς καὶ ἐν τῶι μέλλοντι αἰῶνι ἔλεος ἐνώπιον τῆς αὐτοῦ ἀγαθότητος εὑρεῖν ἐλπίζομεν. εἰ καὶ τὰ μάλιστα γὰρ ὁ τοῦ ἀνθρωπίνου γένους πολέμιος διαφόρους ἐφευρίσκει προφάσεις, δι' ὧν σπουδάζει λωβᾶσθαι ταῖς τῶν ἀνθρώπων ψυχαῖς, ἀλλ' οὖν ἡ τοῦ θεοῦ φιλανθρωπία τὴν ἐκείνου καταργοῦσα πονηρίαν καὶ τοὺς ἐναντίους διελέγχουσα οὐ συγχωρεῖ τὴν ἰδίαν καταβλάπτεσθαι ἢ σκορπίζεσθαι ποίμνην. ταῦτα δὲ ἡμῖν εἴρηται, ἐπείπερ ἦλθεν εἰς ἡμᾶς ὥς τινες μὴ ἔχοντες κατὰ νοῦν τὸν τοῦ θεοῦ φόβον μηδὲ τὴν τῶν ὀρθῶν δογμάτων διάκρισιν ἐπιστάμενοι, δι' ἧς πᾶς ὁ γινώσκων τὴν ἀλήθειαν σώιζεται, καταλείψαντες τὰς θείας γραφὰς καὶ τοὺς ἁγίους πατέρας, οὓς ἡ καθολικὴ τοῦ θεοῦ ἐκκλησία διδασκάλους ἔχει καὶ δι' ὧν πᾶσα μὲν πανταχοῦ αἵρεσις ἀπελήλαται, ἡ δὲ ὀρθόδοξος πίστις σεσαφήνισται, Ὠριγένους τε καὶ τῶν Ἑλληνικῶν καὶ Ἀρειανικῶν καὶ Μανιχαικῶν αὐτοῦ δογμάτων ἀντιποιοῦνται, δι' ὧν ἐκεῖνος εἰς βόθρον ἐνέπεσεν. οἱ δὲ τοιοῦτοι πῶς δύνανται Χριστιανοῖς συναριθμεῖσθαι προσώπου ἀντιποιούμενοι τὰ Ἑλλήνων καὶ Μανιχαίων L V 637 PG 947

O [= ae, r (inde a 18), v], I [inde a 18]
3 συκομάζων O^{av} 6 ζαχάριοσ O^{e} 8 σεβαστοῦ O^{v} 11 ἐν — εἶναι O^{av} ἀσθενεῖν αὐτόν O^{e} 12 γαδείρων O^{a} 15 θεόδωροσ O^{a} καπετολιαίων O^{a} κατολιαίων O^{v} καπετωλίου O^{e} 17 τῆς om. O^{e} ἀνθηδόνοσ O^{e} 18 inscr. βιβλίον τέταρτον τῶν πρακτικῶν τῆσ ἁγίασ πέμπτησ ἐν κωσταντινουπόλει συνόδου, tum sequitur λόγοσ τοῦ κτλ. I 19 ἁγιώτατον καὶ om. O^{av} 21 τὸ om. O^{e} 24 ἀπὸ O 28 λωβᾶσθαι ταῖσ — ψυχαῖσ O^{r}I ταῖσ — ἐπιβουλεύειν ψυχαῖσ O^{aev} 33 ἐκκλησία τοῦ θεοῦ O^{av} 35 ἀρειανικῶν καὶ O^{e} τῶν O^{av} om. O^{r}I αὐτοῦ om. I 37 τὰ O^{er}I τὰσ τῶν O^{av}

καὶ Ἀρειανῶν καὶ τῶν ἄλλων αἱρετικῶν σπουδάσαντος παραδοῦναι; ὅστις πρὸ πάντων εἰς αὐτὴν τὴν ἁγίαν καὶ ὁμοούσιον τριάδα βλασφημήσας ἐτόλμησεν εἰπεῖν τὸν μὲν πατέρα μείζονα εἶναι τοῦ υἱοῦ, τὸν δὲ υἱὸν τοῦ ἁγίου πνεύματος, τὸ δὲ ἅγιον πνεῦμα τῶν ἄλλων πνευμάτων. προστέθεικε δὲ καὶ τοῦτο τῇι ἑαυτοῦ ἀσεβείαι εἰπὼν μηδὲ τὸν υἱὸν δύνασθαι τὸν πατέρα ἰδεῖν μηδὲ τὸ ἅγιον πνεῦμα τὸν υἱόν, καὶ ὅτι ὁ υἱὸς καὶ τὸ ἅγιον πνεῦμα κτίσματά εἰσι, καὶ ὅπερ ἡμεῖς ἐσμὲν πρὸς τὸν υἱόν, τοῦτο ὁ υἱός ἐστι πρὸς τὸν πατέρα. προστίθησι δὲ ταῖς ἑαυτοῦ βλασφημίαις καὶ τοῦτο ἐν τῶι Περὶ ἀρχῶν αὐτοῦ [πρώτωι] λόγωι ἐπ' αὐτῆς λέξεως εἰπὼν οὕτως ἐν τῆι ἐπινοουμένηι ἀρχῆι τοσοῦτον ἀριθμὸν τῶι βουλήματι αὐτοῦ ὑποστῆσαι τὸν θεὸν νοερῶν οὐσιῶν ὅσον ἠδύνατο διαρκέσαι· πεπερασμένην γὰρ εἶναι καὶ τὴν δύναμιν τοῦ θεοῦ λεκτέον καὶ μὴ προφάσει εὐφημίας τὴν περιγραφὴν αὐτῆς περιαιρετέον. ἐὰν γὰρ ἄπειρος ἡ θεία δύναμις, ἀνάγκη αὐτὴν μηδὲ ἑαυτὴν νοεῖν· τῇι γὰρ φύσει τὸ ἄπειρον ἀπερίληπτον. πεποίηκε τοίνυν τοσαῦτα ὧν ἠδύνατο περιδράξασθαι καὶ ἔχειν αὐτὰ ὑπὸ χεῖρας καὶ συγκροτεῖν ὑπὸ τὴν αὐτοῦ πρόνοιαν, ὥσπερ καὶ τοσαύτην ὕλην κατεσκεύασεν ὅσην ἠδύνατο κατακοσμῆσαι. ποίαν ταύτης μείζονα βλασφημίαν κατὰ τοῦ θεοῦ προενεγκεῖν Ὠριγένης ἠδύνατο ὁ καὶ ἐπὶ τῆς ἁγίας τριάδος βαθμοὺς ἐπινοήσας πολυθείαν καὶ ἐντεῦθεν εἰσάγειν βουλόμενος, καὶ αὐτὴν δὲ τοῦ θεοῦ τὴν δύναμιν περιγραπτὴν εἶναι τερατευόμενος; κἀκεῖνο δὲ τὸ πάσης δυσσεβείας ἀνάμεστον τῆς αὐτοῦ ἐστι μυθολογίας τὸ λέγειν ὅτι πάντα τὰ γένη καὶ τὰ εἴδη συναίδιά ἐστι
PG 949 τῶι θεῶι, καὶ ὅτι τῶν λογικῶν τὰ ἁμαρτήσαντα καὶ διὰ τοῦτο ἐκπεσόντα τῆς ἐν οἷς ἦσαν καταστάσεως κατὰ τὴν ἀναλογίαν τῶν οἰκείων ἁμαρτημάτων τιμωρίας χάριν σώμασιν ἐνεβλήθη καὶ καθαιρόμενα πάλιν ἀνάγονται ἐν ἧι πρότερον ἦσαν καταστάσει παντελῶς ἀποτιθέμενα τὰ σώματα καὶ πάλιν ἐκ δευτέρου καὶ τρίτου καὶ πλεονάκις διαφόροις
L V 640 ἐμβάλλονται σώμασι πρὸς τιμωρίας. ὑποτίθεται δὲ καὶ διαφόρους κόσμους συστῆναί τε καὶ συνίστασθαι τοῦτο μὲν παρελθόντας, τοῦτο δὲ μέλλοντας. καὶ τίς οὕτως ἐστὶν ἠλίθιος ὅστις τῶν τοιούτων ἀκούων οὐ φρίξει τὴν διάνοιαν διὰ τὴν τῆς ἀσεβείας ὑπερβολήν; τίς δὲ οὐκ ἂν βδελύξηται τὸν μανέντα Ὠριγένην τοιαύτας πλασάμενόν τε καὶ ἐγγράφως ἐκθέμενον κατὰ θεοῦ βλασφημίας; ἄστινας ὡς πᾶσι Χριστιανοῖς ἀπηγορευμένας καὶ προφανῆ τῆς δυσσεβείας ἐχούσας τὸν ἔλεγχον περισσὸν ἐνομίσαμεν ἀντιρρήσεως ἀξιῶσαι. εἰ τοίνυν ἅπαντες αἱρετικοὶ ἐπί ἑνὸς τυχὸν ἢ δευτέρου δόγματος παρατροπῆι ἐκβέβληνται τῆς ἁγιωτάτης ἐκκλησίας ὑποβληθέντες ἀναθέματι μετὰ τῶν ἰδίων δογμάτων, τίς ὅλως Χριστιανῶν ἀνέξεται Ὠριγένους τε καὶ τῶν πονηρῶν αὐτοῦ συγγραμμάτων ἀντιποιεῖσθαι τοῦ τοσαύτας μὲν εἰρηκότος βλασφημίας, πᾶσι δὲ σχεδὸν αἱρετικοῖς τοσαύτην ὕλην ἀπωλείας παρασχομένου καὶ διὰ τοῦτο καὶ παρὰ τῶν ἁγίων πατέρων ἔκπαλαι ὑπὸ ἀνά-

---

2—4 = exc. I 4—6 = Hieron. ep. 51 p. 401, 5 cf. locos quos collegit Holl ad Epiphan. 64, 4 p. 410, 8 5/6 = exc. VIII 6 = exc. VI 8—14 cf. exc. II 18. 19 cf. exc. XI 19—23 locum Origenis qui accurate respondeat, non inuenio, sed cf. Hieron. ep. 124 p. 98, 9—12. 111, 13sq. 23. 24. cf. exc. XIII 33 σῆ ὅτι καὶ πρὸ τῆς πέμπτης οἰκουμενικῆς συνόδου ὁ Ὠριγένης ἀνεθεματίσθη παρὰ τῶν ἁγίων πατέρων O^e in mg.

O [= aerv], I

1 αἱρετικῶν δόξας O^{av} 2 βλασφημίας O^{aev} 3 τοῦ υἱοῦ εἶναι O^e 4 προσέθηκε O^r αὐτοῦ O^{av} 5 ἅγιον om. O^a τὸ πνα τὸ ἅγιον O^a 6 κτίσμα O^{arv} 7 πρώτω OI, deleui cl. p. 209, 1 8 οὕτως εἰπὼν O^{av} 10 καὶ[1] om. O^{av} 10/11 καὶ μὴ — περιαιρετέον om. I 11 γὰρ ἡ O^e 13 συγκρατεῖν I 15 τοῦ om. O^r προσενεγκεῖν O^{arv} ὁ om. O^e 16/17 τὴν δύναμιν τοῦ θῦ O^a 17 δυσφημίας O^r, corr. O^r 19 ἁμαρτήματα I τοῦτο καὶ O^a ἐκπεσόντων I 20/21 κατὰ — ἐνεβλήθη] κάτω τῆ [τῆ om. O^r] ἀλογία [ἀλογήσαντα O^r] ἐνεβλήθη [ἀπεβλήθη O^r] O^rI 22 ἀποτιθέμενα τὰ σώματα O^{aev} τὴν κακίαν ἀποτιθέμενα O^rI 23 τιμωρίαν O^e 24 οὗτος O^a 25 φρίξειε O^e 26 βδελλύξηται O^e τε om. O^{av} 29 τυχὸν om. O^v 31 τε om. O^r 32 δὲ om. O^v 33 ἀπωλείας scripsi ἀπωλείασ βλασφημίασ O^{av} ἀπωλείασ καὶ βλασφημίασ O^rI βλασφημίασ O^e παρεχομένου O^{av}

θεμα γενομένου μετὰ τῶν μυσαρῶν αὐτοῦ δογμάτων; εἰ γὰρ καὶ δοίη τις τὸν θεομάχον
Ὠριγένην, ὅπερ καὶ παρὰ τοῖς ἄλλοις αἱρετικοῖς εὑρίσκεται, ἀναμῖξαι τινὰ τοῖς πονηροῖς
αὐτοῦ συγγράμμασιν ἐκ τῶν ὀρθῶν δογμάτων, ταῦτα οὐκ ἴδια ἐκείνου καθέστηκεν, ἀλλὰ
τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὑπάρχει. καὶ τοῦτο δὲ αὐτὸ κακούργως ἐκεῖνος καὶ πρὸς
ἀπάτην τῶν ἁπλουστέρων ἐμηχανήσατο. ταῖς γὰρ τῶν Ἑλλήνων μυθολογίαις ἐν- 5
τραφεὶς καὶ ταύτας ἐπεκτεῖναι βουλόμενος ἐσχηματίσατο τὰς θείας δῆθεν ἑρμηνεύειν γρα-
φάς, ἵνα τούτωι τῶι τρόπωι τὰ ἑαυτοῦ μυσαρὰ δόγματα τοῖς τῶν θείων γραφῶν ὑπομνή-
μασιν ἀναμίξας κακοήθως τὴν Ἑλληνικὴν καὶ Μανιχαικὴν αὐτοῦ πλάνην καὶ Ἀρειανικὴν
μανίαν εἰσαγάγηι καὶ τοὺς μὴ ἠκριβωμένους τὰ τῆς θείας γραφῆς δυνηθῆι δελεάσαι. τί
γὰρ ἕτερον παρὰ τὰ Πλάτωνι εἰρημένα τῶι τὴν Ἑλληνικὴν μανίαν πλατύναντι Ὠριγένης 10
ἐξέθετο; ἢ παρὰ τίνος ἑτέρου Ἄρειος λαβὼν τὴν οἰκείαν συνεγράψατο νόσον ὁ πρὸς ὅλε-
θρον τῆς ἑαυτοῦ ψυχῆς εἰς τὴν ἁγίαν καὶ ὁμοούσιον τριάδα βαθμοὺς ἐπινοήσας; ἐν τίνι δὲ
οὗτος τοῦ Μανιχαίου ἀπολιμπάνεται ὁ λέγων τὰς τῶν ἀνθρώπων ψυχὰς διὰ ἁμαρτίας
τοῖς σώμασι τιμωρίας χάριν ἐμβληθῆναι, ὡς δὴ πρῶτον μὲν νόας οὔσας καὶ ἁγίας δυνά-
μεις, ἔπειτα κόρον λαβούσας τῆς θείας θεωρίας καὶ πρὸς τὸ χεῖρον τραπείσας καὶ διὰ τοῦτο 15
τῆς τοῦ θεοῦ ἀγάπης ἀποψυγείσας καὶ ἐντεῦθεν ψυχὰς ὀνομασθείσας καὶ τιμωρίας χάριν
τοῖς σώμασιν ἐμβληθείσας; ὅπερ καὶ μόνον ἱκανὸν ἦν εἰς τελείαν αὐτοῦ κατάκρισιν οἷα
τῆς Ἑλληνικῆς ὑπάρχον δυσσεβείας. τοῦ γὰρ θεοῦ εἰπόντος ποιήσωμεν ἄνθρωπον Gen. 1, 26
κατ' εἰκόνα καὶ ὁμοίωσιν ἡμετέραν εὑρίσκεται κατὰ τοὺς ἐκείνου ματαίους λόγους
σῶμα μόνον δίχα ψυχῆς κατ' εἰκόνα καὶ ὁμοίωσιν γενόμενον τοῦ θεοῦ, ἐὰν ὅλως προυπῆρχε 20
ψυχὴ καὶ μετὰ τὸ γενέσθαι τὸ σῶμα ἐνεβλήθη ἢ κατηγγίσθη ἐν αὐτῶι, καὶ ἀνάγκη πᾶσα
τοῦ λέγειν καὶ αὐτὸν τὸν θεὸν τὸν τοῦ ἀνθρώπου δημιουργὸν σῶμα ὑπάρχειν ὡς τὸ
σῶμα κατ' εἰκόνα καὶ ὁμοίωσιν ἰδίαν ποιησάμενον. πῶς δὲ δύναται εἰκὼν εἶναι τοῦ PG 951
ἀσωμάτου τὸ σῶμα; δι' ὃ μὴ γένοιτο τούτοις Χριστιανοὺς συνθέσθαι. εἰ δὲ κατὰ τὴν
Ὠριγένους βλασφημίαν προυπῆρχον αἱ ψυχαὶ καὶ διὰ τὸ ἁμαρτῆσαι αὐτὰς τιμωρίας 25
χάριν εἰς τὰ σώματα κατεπέμφθησαν, ἵνα παιδευθεῖσαι σωφρονήσωσιν, ἐχρῆν αὐτὰς μη-
κέτι ἁμαρτάνειν. εἰ γὰρ πρὸς κόλασιν τῆι ψυχῆι διὰ τὴν ἁμαρτίαν ἐδόθη τὸ σῶμα,
ὥστε αὐτὴν ὀδυνωμένην παιδευθῆναι πρὸς τὸ τιμᾶν τὸν θεόν, πῶς συνεργεῖ καὶ συ- L V 641
ναγωνίζεται αὐτῆι τὸ σῶμα πρὸς τὸ ἁμαρτάνειν; δεσμοὶ γὰρ καὶ φυλακαὶ καὶ πέδαι καὶ
συντόμως εἰπεῖν τὰ τοιαῦτα ἐφεκτικὰ τοῦ ἀδικεῖν καὶ τοῦ ἁμαρτάνειν τοῖς κολαζομένοις 30
γίνονται. οὐ γὰρ ὅπως ὁ ἁμαρτήσας πλέον ἁμαρτήσηι, συνεργὸς αὐτῶι πρὸς τὴν ἁμαρ-
τίαν ὁ δεσμὸς δίδοται, ἀλλ' ὅπως παύσηται τοῦ ἁμαρτάνειν διὰ τῶν δεσμῶν βασανιζό-
μενος. πρόδηλον τοίνυν ὅτι οὐ διὰ σωφρονισμὸν προλαβουσῶν ἁμαρτιῶν τοῖς σώ-
μασιν ἐνεβλήθησαν αἱ ψυχαὶ κατὰ τοὺς ἐκείνου λήρους, ἀλλὰ κατὰ ταυτὸν ὁ θεὸς τό τε
σῶμα τήν τε ψυχήν, τουτέστι τέλειον τὸν ἄνθρωπον ἐδημιούργησεν. ὅθεν τῶν διὰ 35
τοῦ σώματος ἡμῖν πεπραγμένων εἴτε ἀγαθῶν εἴτε φαύλων τὴν ἀνταπόδοσιν ἀναμένομεν.

15—18 = anath. ᾱ exc. XVIII

O [= aerv], I

2 ἀναμάξαι Or ἐντάξαι I 4/5 καὶ πρὸσ — ἁπλουστέρων ἐκεῖνοσ Oaev 6 δῆθεν om. I
7 μυσαρὰ αὐτοῦ Or θείων] ὀρθῶν Or 10 τὰ Oaev τῶ Or τὸ τῶ Or corr. τὰ τῶ I
εἰρημένον Or 12 καὶ om. Oav 16 ἀποψυγείσασ ἀγάπησ Oav ἀγάπησ ἀποψυχθείσασ
[ἀποψυχείσασ Or] Orl 18 ὑπάρχων Orl 22 τὸ om. I 24 χριστιανοῖσ Or 26 σω-
φρονισθῶσιν Oel 28 παιδευθῆναι om. Oa πρὸσ τὸ τιμᾶν Oerl προτιμᾶν Oav 29—30 δεσ-
μοὶ — ἁμαρτάνειν Oaev ὃ Orl 30 ἐφικτὰ Ov 31 γίνεται Or οὐ γίνεται I ἁμάρτη Oe
32 διαδέδοται Oav ὅπως] ὁμῶσ Ov 34 ἐκείνων Or 35 τὸν τέλειον Oe 36 ἀν-
τίδοσιν Oa

2. Cor. 5, 10 τοῦτο γὰρ ἡμῖν παραδίδωσιν καὶ ὁ θεῖος ἀπόστολος Παῦλος λέγων ὅτι πάντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν εἴτε ἀγαθὸν εἴτε φαῦλον. προσέχειν τοίνυν δεῖ τοῖς τοῦ ἀποστόλου ῥήμασιν ὅτι οὐκ εἶπε κομίζεσθαι δεῖν τὸν κρινόμενον πρὸς ἃ ἔπραξε πρὸ τοῦ σώματος ἀλλὰ διὰ τοῦ σώματος. εἰ δὲ ἐπὶ μόνοις τοῖς διὰ τοῦ σώματος κολάζεται ἄνθρωπος παρὰ τοῦ κρίνοντος τὴν γῆν ἢ τῆς δεούσης ἀξιοῦται τιμῆς, μνήμη δὲ οὐδεμία προγενεστέρων ἁμαρτημάτων, δῆλον ὅτι οὐ προυπάρχουσι τῶν σωμάτων αἱ ψυχαί· εἰ γὰρ προυπῆρχον, εἶπεν ἂν ὁ ἀπόστολος, ὥσπερ τὰ διὰ τοῦ σώματος, οὕτως καὶ τὰ πρὸ τοῦ σώματος. ὅτι δὲ αἱ τῶν ἀνθρώπων ψυχαὶ νοεραί τε καὶ λογικαὶ τυγχάνουσι, τῶν ὁμολογουμένων ἐστίν, ὅπερ οὐδὲ τοὺς Ὠριγένους ἀντιποιουμένους νομίζομεν ἀπαρνεῖσθαι. εἰπάτωσαν τοίνυν οἱ τὰ Ὠριγένους φρονοῦντες· αἱ ψυχαὶ αἱ αὐτῶν, εἴγε ἄρα καθὼς λέγουσι, προυπῆρχον τῶν σωμάτων, πρὶν ἢ ἐν τοῖς σώμασιν εἰσέλθωσιν, ἐν ποίαι τάξει ὑπῆρχον ἢ τί διεπράττοντο; ἐχρῆν γὰρ αὐτὰς εἰδέναι ποῦ ἦσαν, εἰ προῆσαν, καὶ πῶς ἐνταῦθα παρεγένοντο. εἰ δὲ τοῦτο αὐτοῖς ἀμήχανόν ἐστι λέγειν ὡς τῆς ἀληθείας μὴ οὔσης, δῆλον ὅτι μῦθοι τὰ κατ' αὐτοὺς ὑπάρχουσιν. ἴσως δὲ ἐροῦσιν ὅτι μετὰ τὸ εἰσελθεῖν τὰς ψυχὰς ἐν τοῖς σώμασι τότε δύνανται διακρίνειν τε καὶ γινώσκειν τὰ πραττόμενα παρ' αὐτῶν. εἰ δὲ τοῦτο εἴπωσιν, εὑρίσκεται τὸ σῶμα κατὰ τοὺς αὐτῶν ματαίους λόγους τιμιώτερον τῆς ψυχῆς οἷα χαριζόμενον αὐτῇ τὸ νοεράν τε καὶ λογικὴν γενέσθαι· ἀλλὰ τὸ λέγειν τοῦτο πάσης ἐστὶν ἀνοίας καὶ ἀτοπίας μεστόν. διὰ τί δὲ ὅλως, εἴπερ, ὡς λέγουσιν, προυπῆρχεν ἡ ψυχή, μαθήσεώς τινος ἢ διδαχῆς δέεται ἐν τῷ σώματι γενομένη κατὰ μικρὸν εἰσαγομένη καὶ προκόπτουσα εἰς τὰ μείζονά τε καὶ τελειότερα; εἰ γὰρ προῆν, καὶ ἐγίνωσκεν ἂν τὰ συμφέροντα μηδεμιᾶς μαθήσεως δεομένη καὶ ὡς ἐν γνώσει τυγχάνουσα διωρθοῦτο ταῖς ἐπιμελείαις καὶ εἰ τὸ πταῖσμα ἐγίνωσκεν, οὐκ ἐδιδάσκετο ὡς προεπισταμένη. εἰ δὲ διδάσκεται ὡς ἀγνοοῦσα, οὐ προήιδει· εἰ δὲ οὐ προήιδει, οὐ προῆν. ἀλλὰ δῆλον ὅτι οὐ προῆν. τῆς γὰρ γενέσεως ἡμῶν

PG 953 αἴτιός ἐστι μόνος ὁ θεός, ὅστις καθὼς οὐκ ὄντας ἡμᾶς ἐποίησεν, οὕτως καὶ γενομένους σώι-

Gen. 1, 26 ζει τῇ ἰδίαι χάριτι, ἐὰν ἄξιοι καὶ ἐπιτήδειοι φανῶμεν. ὁ θεὸς γὰρ εἰπὼν ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ ὁμοίωσιν ἀμφότερα κατὰ ταυτὸν ἐδημιούργησε, τουτέστι σῶμά τε πλάσας καὶ ψυχὴν νοεράν τε καὶ λογικὴν δημιουργήσας. ἅμα

L V 644 γὰρ σῶμα ἔπλασεν ὁ θεὸς καὶ τὴν ψυχὴν ἐδημιούργησε τέλειον τὸν ἄνθρωπον ἀποτελέσας· οὐδὲ γὰρ σῶμα χωρὶς ψυχῆς οὐδὲ ψυχὴ χωρὶς σώματος ἄνθρωπος. εἰ δὲ προυπῆρχεν ἡ ψυχή, καθὼς Ὠριγένης ληρεῖ, τίνος ἕνεκεν ὁ ἁγιώτατος προφήτης Ζαχαρίας εἶπε

Zach. 12, 1 πλάσσων πνεῦμα ἀνθρώπου ἐν αὐτῷ; εἰ γὰρ προῆν, ἔδει μᾶλλον εἰπεῖν καταγίζων ἢ καταπέμπων πνεῦμα ἀνθρώπου ἐν αὐτῷ· νῦν δὲ λέγων ὁ προφήτης πλάσσων δείκνυσιν ὅτι ὥσπερ τὸ σῶμα, οὕτω καὶ τὴν ψυχὴν οὐ προυπάρχουσαν ἐποίησεν ὁ θεὸς τῇ ἰδίαι δυνάμει αὐτοῦ καὶ ἀγαθότητι. καθὼς οὖν εἴρηται, τὸ κατ' εἰκόνα καὶ ὁμοίωσιν τοῦ θεοῦ γενέσθαι τὸν ἄνθρωπον καὶ τοῦ θείου ἐμφυσήματος ἀξιωθῆναι δηλοῖ μὴ μόνον νοερὰν καὶ λογικήν, ἀλλὰ καὶ ἀθάνατον τὴν ψυχὴν δημιουργηθῆναι

1—9 sententia desumpta est ex Cyrilli epistula infra p. 202, 4—12

O [= aerv], I

1 ἡμῖν om. O^{arv} 3 τὰ I om. O 4 κομίζεσθαι om. O^{arv}I δεῖ O^{arv} 6 καὶ παρὰ O^{a} ἢ om. O^{aev}, corr. O^{e} 8 τὰ om. I 10 ἀντιποιουμένους om. O^{av} 11 αἱ^{2} om. O^{rv} 12 ἑαυτῶν O^{e} 12/13 ἐν τοῖς — ἢ om. O^{r}I 13 αὐτοὺς O^{aev} ποῖ O^{r} 17 εἴποιεν O^{r} 21/22 τελεώτερα O^{av}I 23 ὑπάρχουσα O^{r} εἰ om. O^{aev} 25 οὐ^{2} O^{er}I οὐδὲ O^{av} γεννήσεως O^{av} 26 ὅστις] ὅτι O^{e} 27 χάριτι O^{arv}I χειρὶ O^{e} 28 καὶ καθ' I 29—30 τουτέστι — ἐδημούργησε om. O^{v} 32 εἶπεν ὁ O^{av} εἴρηκε O^{r} 33/34 εἰ γὰρ — ἐν αὐτῷ post ἀγαθότητι (36) habet O^{r} 36 δυνάμει αὐτοῦ καὶ ἀγαθότητι O^{r}I ἀγαθότητι O^{aev}

πρὸς τὸ ἄρχειν πάντων τῶν ἐπὶ γῆς ποιημάτων. τοῦτο γάρ ἐστι καὶ τὸ εἰρημένον τῶι θεολόγωι Γρηγορίωι περὶ τῆς ψυχῆς, τὴν ἐκ θεοῦ καὶ θείαν καὶ τῆς ἄνωθεν εὐγενείας PG 35. 425 μετέχουσαν, οὐχ ὡς τινες φανταζόμενοι λέγουσι, τῆς θεικῆς οὐσίας ὑπάρχουσαν τὴν ψυχήν, ἀλλ' ὡς διὰ τοῦ ἐμφυσήματος τοῦ θεοῦ γενομένην καὶ χάρισμα παρ' αὐτοῦ λαβοῦσαν τοῦ νοερὰν καὶ λογικὴν καὶ ἀθάνατον εἶναι καὶ μὴ συναποθνήισκειν τῶι σώματι καθ' ὁμοιότητα τῶν ἀλόγων ζώιων, ἀλλὰ κατὰ χάριν μετέχειν τῆς ἄνωθεν εὐγενείας, τουτέστιν ἀθανασίας. μαρτυρεῖ δὲ τούτοις καὶ ὁ ἐν ἁγίοις Ἰωάννης ὁ Κωνσταντινου- PG 53. 106 πόλεως πατριάρχης ἐν τῶι ἐνδεκάτωι λόγωι τῶι εἰς τὴν κτίσιν· λέγει γὰρ οὕτως [4 p. 100 Montf.]

καὶ ἐνεφύσησε, φησίν, εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγέ- Gen. 2, 7 νετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν. ἐνταῦθα τινὲς τῶν ἀγνωμόνων ἐξ οἰκείων λογισμῶν κινούμενοι καὶ οὐδὲν θεοπρεπὲς ἐννοοῦντες οὔτε τὴν συγκατάβασιν τῶν ῥημάτων λογιζόμενοι λέγειν ἐπιχειροῦσιν ὅτι ἐκ τῆς τοῦ θεοῦ οὐσίας ἐστὶν ἡ ψυχή. ὢ τῆς μανίας, ὢ τῆς παραφροσύνης.

Καὶ ταῦτα μὲν ὁ πατὴρ περὶ τῶν προκειμένων· σκόπει δὲ ὅτιπερ περὶ μὲν τῶν ἄλλων ἁπάντων τῶν ἐπὶ γῆς ποιημάτων εἶπεν ὁ θεὸς γενηθήτω καὶ ἐξαγαγέτω ἡ γῆ, καὶ Gen. 1, 3. 24 ἐγένετο· περὶ δὲ τοῦ ἀνθρώπου λέγει ποιήσωμεν ἄνθρωπον καὶ οὐ μόνον ποι- Gen. 1, 26 ήσωμεν, ἀλλὰ καὶ κατ' εἰκόνα ἡμετέραν καὶ ὁμοίωσιν καὶ λαβὼν χοῦν ἀπὸ τῆς Gen. 2, 7 γῆς ταῖς ἰδίαις χερσὶν ἔπλασε τὸν ἄνθρωπον καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν. ἐντεῦθεν τοίνυν ἔστιν ἰδεῖν πῶς ὁ θεὸς τὸν ἄνθρωπον τιμιώτερον ἐποίησε τῶν ἄλλων ἁπάντων τῶν ἐπὶ γῆς κτισμάτων. τὰ μὲν γὰρ ἄλλα πάντα λόγωι εἶπε, καὶ ἐγένετο· τὸν δέ γε ἄνθρωπον, καθὼς εἴρηται, αὐτὸς ταῖς ἰδίαις χερσὶ κατὰ τὴν θείαν γραφὴν ἐδημιούργησε. πάντα δὲ τὰ γενόμενα ὑπ' αὐτοῦ ἐπὶ τῆς γῆς ὑπέταξε τῶι ἀνθρώπωι τῶι γενομένωι ἐν Gen. 1, 28 τῆι ἕκτηι ἡμέραι, ἵνα πάντων τῶν ἐπὶ τῆς γῆς κτισμάτων ἤδη προγεγονότων καὶ ἑτοιμασθέντων αὐτῶι δεσπόζηι αὐτὸς ὑπὸ τοῦ πλάστου δεσποζόμενος. τοῦτο δὲ ἡμᾶς διδάσκει καὶ ὁ ἐν ἁγίοις θεολόγος Γρηγόριος ἐν τῶι λόγωι τῶι εἰς τὴν νέαν κυριακήν· λέγει γὰρ ταῦτα

οὕτω τι πρῶτον ἐν ἡμέραις ἀριθμεῖται καὶ δεύτερον καὶ τρίτον καὶ τὰ ἑξῆς ἄχρι τῆς PG 36. 612 ἑβδόμης καὶ καταπαυσίμου τῶν ἔργων ἡμέρας, αἷς καταμερίζεται τὰ γινόμενα λόγοις ἀρρήτοις τεταγμένα καὶ οὐκ ἀθρόως ἀναδιδόμενα τῶι πάντα δυνατῶι λόγωι, οὗ καὶ τὸ PG 955 νοῆσαι μόνον καὶ εἰπεῖν ἔργον ἐστὶ παριστάμενον. εἰ δὲ τελευταῖος ὁ ἄνθρωπος ἀνε- 31 δείχθη, καὶ ταῦτα χειρὶ θεοῦ καὶ εἰκόνι τετιμημένος, θαυμαστὸν οὐδέν· ἔδει γὰρ ὥσπερ βασιλεῖ προυποστῆναι τὰ βασίλεια καὶ οὕτως εἰσαχθῆναι τὸν βασιλέα πᾶσιν ἤδη δορυφορούμενον.

Εἰ τοίνυν κατὰ τὴν τοῦ θεολόγου Γρηγορίου διδασκαλίαν τελευταῖος ὁ ἄνθρωπος L V 645 ἀνεδείχθη, καὶ ταῦτα χειρὶ θεοῦ καὶ εἰκόνι τετιμημένος, καὶ πάντα παρὰ τοῦ θεοῦ αὐτῶι 36 προητοιμάσθη, ὥσπερ βασιλεῖ προυφίσταται τὰ βασίλεια, καὶ οὕτως εἰσήχθη παρὰ θεοῦ ὡς βασιλεὺς πᾶσιν ἤδη δορυφορούμενος, πῶς λέγουσιν οἱ κατὰ τὸν Ὠριγένην παραφρονοῦντες ὅτι προυπάρχουσαι αἱ ψυχαὶ διὰ ἁμαρτίας ἐν σώμασι καταπέμπονται ὀφεί-

---

O [= aerv], I

5 τὸ O^{av} 8 numeratur XIII in editis τῶι^{2}] τῶν O^{av} 11 οὐθὲν O^{e} 14 ὅτι I 15 τῶν O^{e} om. O^{arv}I γεννηθήτω O^{v} 21 γὰρ I οὖν O ἐγένοντο O^{ar} γε om. O^{er}, corr. O^{r} 23 ἐν om. O^{r} 24 τῆς om. O^{av} 26/27 λέγει — ταῦτα O^{aev}I λέγων O^{r} 28 τι O^{e}I τὲ O^{arv} 29 γενόμενα O^{arv} 30 ὢ I τῶ O^{v} 31 νοῆσαι — εἰπεῖν O νοῆσαι μόνον ἢ εἰπεῖν Greg. θελῆσαι I 33 προυποστῆσαι I 37 καὶ ὥσπερ O^{e} τοῦ θῦ O^{e} 38 δορυφορούμενον I 39 σώματι O^{v}

λουσαι δίκας ὑποσχεῖν τῶν πρώην ἡμαρτημένων; τὸ ἔμπαλιν γὰρ ὁ ἐν ἁγίοις Γρηγόριος καὶ ὕστερον πάντων λέγει τὸν ἄνθρωπον γεγενῆσθαι καὶ τιμηθῆναι ὑπὸ θεοῦ καὶ βασιλεύειν τῶν ἐπὶ γῆς πάντων, ὅπερ τιμωρίας μὲν οὐκ ἔστι, πάσης δὲ τὸ ἐναντίον προνοίας καὶ εὐεργεσίας ἔνδειξις ὑπάρχει. σύμφωνα δὲ τοῖς τοῦ θεολόγου Γρηγορίου καὶ ὁ ἐν
PG 53, 107 ἁγίοις Ἰωάννης ὁ Κωνσταντινουπόλεως πατριάρχης ἡμᾶς διδάσκει ἐν τῶι ἑνδεκάτωι
[4 p. 102 Montf.] λόγωι τῶι εἰς τὴν κτίσιν λέγων οὕτως

ἀλλ' ἴσως εἴποι τις ἄν· καὶ τίνος ἕνεκεν εἰ τιμιώτερον ἡ ψυχὴ τοῦ σώματος, τὸ ἔλαττον πρῶτον δημιουργεῖται καὶ τότε τὸ μεῖζον καὶ ὑπερέχον; οὐχ ὁρᾶις, ἀγαπητέ, ὅτι καὶ ἐπὶ τῆς κτίσεως τὸ αὐτὸ τοῦτο γέγονεν; ὥσπερ γὰρ ὁ οὐρανὸς καὶ ἡ γῆ καὶ ἥλιος καὶ σελήνη καὶ τὰ ἄλλα πάντα ἐδημιουργήθη καὶ μετὰ ταῦτα πάντα ὁ ἄνθρωπος ὁ τούτων πάντων τὴν ἀρχὴν μέλλων ἐγχειρίζεσθαι, τὸν αὐτὸν δὴ τρόπον καὶ ἐν αὐτῆι τῆι διαπλάσει τοῦ ἀνθρώπου πρότερον τὸ σῶμα πλάττεται καὶ τότε ἡ ψυχὴ ἡ τιμιωτέρα. ὃν γὰρ τρόπον τὰ ἄλογα τὰ πρὸς ὑπηρεσίαν μέλλοντα εἶναι χρήσιμα πρὸ τοῦ ἀνθρώπου δημιουργεῖται, ἵνα ἑτοίμην ἔχηι τὴν ὑπηρεσίαν ὁ μέλλων τῆς τούτων χρείας ἀπολαύειν, οὕτω καὶ τὸ σῶμα πρὸ τῆς ψυχῆς δημιουργεῖται, ἵνα ἐπειδὰν κατὰ τὴν ἀπόρρητον αὐτοῦ σοφίαν ἡ ψυχὴ παραχθῆι, ἔχηι τὰς οἰκείας ἐνεργείας ἐπιδείκνυσθαι διὰ τῆς τοῦ σώματος κινήσεως.

Καὶ ταῦτα μὲν ὅσον ἐπιδεῖξαι τοῖς ἀκροωμένοις ὅτι τὰ αὐτὰ τοῖς ἁγίοις πατράσι φθεγγόμεθα πανταχοῦ τὴν τῶν ψυχῶν προύπαρξιν ἀναιροῦσιν· πάλιν δὲ τῆς ἁγίας
Gen. 1, 28 λεγούσης γραφῆς περὶ τοῦ Ἀδὰμ καὶ τῆς Εὔας εὐλόγησεν αὐτοὺς ὁ θεὸς καὶ εἶπεν· αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν καὶ κατακυριεύσατε αὐτῆς, πῶς ἄρα εἰ προυπῆρχον αἱ ψυχαὶ τῶν σωμάτων, ἔμελλε κατὰ τὴν θείαν πρόσταξιν αὐξάνεσθαι καὶ πληθύνεσθαι τὰ προυπάρχοντα κατὰ τοὺς ἐκείνων μύθους; καὶ πῶς εἶχεν ὁ θεὸς εὐλογῆσαι τὰς ψυχὰς ταῖς ἁμαρτίαις ἤδη ὑποπεσούσας εἰς τὸ αὐξηθῆναί τε καὶ πληθυνθῆναι; ἁμαρτήσασαι γὰρ αἱ ψυχαὶ κατάρας μᾶλλον ἢπερ εὐλογίας ἔτυχον ἄξιαι. εἰ δὲ προυπῆρχον αἱ ψυχαὶ ἐν ἑτέραι τάξει ὑπάρχουσαι κατὰ τοὺς Ὠριγένους μύθους, διὰ τί μόνον τὸν Ἀδὰμ ἔπλασεν ὁ θεός; ἆρα μόνον ἡ ψυχὴ τοῦ Ἀδὰμ τότε ἦν ἁμαρτήσασα καὶ διὰ τοῦτο ἓν σῶμα ἔπλασεν ὁ θεός; εἰ γὰρ ἦσαν πρὸ τούτου καὶ ἄλλαι ψυχαί, ἔδει καὶ ἄλλα σώματα ἅμα πλασθῆναι ὑποδεχόμενα τὰς ψυχάς. πῶς δὲ ἡ ἁμαρτήσασα κατὰ τοὺς αὐτῶν λόγους ψυχὴ καὶ διὰ τιμωρίαν εἰς σῶμα βληθεῖσα εἰς τὸν παράδεισον τῆς τρυφῆς παρὰ τοῦ θεοῦ ἐτέθη; εἰ γὰρ διὰ τιμωρίαν σώματι ἐνεβλήθη, οὐκ ἐν παραδείσωι τῆς τρυφῆς, ἀλλ' ἐν κολάσεως ἂν ἀπετίθετο
PG 957 τόπωι. τοσοῦτον δὲ ὁ θεὸς ἠγάπησε τὸν ἄνθρωπον, ὃν μετὰ πάντα τὰ δημιουργήματα ἔπλασεν, ὅτι καὶ μετὰ τὸ παραβῆναι αὐτὸν τὴν δοθεῖσαν αὐτῶι παρὰ τοῦ θεοῦ ἐντολὴν καὶ διὰ τοῦτο ἐκβληθῆναι τοῦ παραδείσου αὐξανομένου τοῦ γένους τῶν
L V 648 ἀνθρώπων καὶ πληθυνομένης τῆς ἁμαρτίας διὰ τὸ ἐγκεῖσθαι τὴν διάνοιαν τῶν ἀνθρώπων ἐπιμελῶς ἐπὶ τὰ χείρονα οὐ περιεῖδεν ὁ θεὸς ὡς ἀγαθὸς τὸ ἴδιον πλάσμα, ἀλλὰ διαφόροις ἐνουθέτησε τρόποις τοῖς ὑπὸ τῆς ἁγίας δηλουμένοις γραφῆς. ἐπειδὴ δὲ ἐπὶ δεινοτέροις τοῖς ἁρρωστήμασι μείζονος ἐδεόμεθα καὶ τῆς θεραπείας, αὐτὸς ὁ μονογενὴς τοῦ θεοῦ λόγος, ὁ εἷς, τουτέστι τὸ ἓν πρόσωπον, τῆς ἁγίας τριάδος, διὰ τὴν ἑαυτοῦ

O [= aerv], I

1 ὑπέχειν O^{r}I ἡμαρτημένον O^{v} 5 ὁ om. O^{e} 6 τῶν I 10 ὁ ἥλιος O^{er}I ἡ σελήνη O^{r}I 13 εἰσ O^{r} μέλλοντα πρὸσ ὑπηρεσίαν O^{av} 16 ἔχει O^{v} 22/23 πρόστασιν I 24 τὰς ψυχὰς om. O^{v} 26 ἔτυχον O^{erv} τυχεῖν O^{a} ἐτύγχανον I 27 τὸν I om. O 29 ἅμα O^{e} om. O^{aerv}I 31 κῦ O^{r} 32 ἂν om. I 38 ἀπὸ O^{er} ἐπὶ om. O^{r}I 39 καὶ om. O^{e} θεραπείασ O^{aerv}I ἰατρείασ O^{e}

φιλανυρωπίαν ἄνθρωπος γίνεται μένων θεὸς μηδὲ τὴν θεικὴν αὐτοῦ οὐσίαν ἀλλοιώσας εἰς τὴν ἀνθρωπίνην μηδὲ τὴν ἀνθρωπίνην [αὐτοῦ οὐσίαν] εἰς τὴν θεικὴν μεταβαλὼν καὶ ἔστιν εἷς καὶ ὁ αὐτὸς ἐν ἑκατέραις ταῖς φύσεσιν ἀσυγχύτως καὶ ἀδιαιρέτως γνωριζόμενος. μείνας γὰρ ὅπερ ἦν, γέγονεν ὅπερ οὐκ ἦν, καὶ τὸν ὀφειλόμενον παρ' ἡμῶν θάνατον ἐκ τῆς διὰ τὴν παράβασιν κατακρίσεως ἐν τῇ ἰδίαι σαρκὶ ἀναδεξάμενος ἠλευθέρωσεν ἡμᾶς τοῦ αἰωνίου θανάτου ἀπαρχὴ τῶν κεκοιμημένων γενόμενος καὶ πρωτότοκος ἀναστὰς ἐκ νεκρῶν συνήγειρε καὶ συνεκάθισεν ἡμᾶς ἐν τοῖς ἐπουρανίοις, καθὼς ἡμᾶς ἐκδιδάσκει ἡ ἀποστολικὴ παράδοσις. εἰ γὰρ καὶ τὴν ἀρχὴν ἡ ἀνθρωπίνη φύσις διὰ τὴν παρακοὴν ἐστερήθη τοῦ παραδείσου, ἀλλ' ὅμως, ὡς εἴρηται, ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ διὰ τὴν πολλὴν ἀγάπην αὐτοῦ ἣν ἠγάπησεν ἡμᾶς, τὴν ἡμετέραν φύσιν ἑνώσας ἑαυτῷ ἀδιασπάστως καθ' ὑπόστασιν ἐν τῇ μήτραι τῆς ἁγίας ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μείζονος ἡμᾶς ἠξίωσε χάριτος τὴν ἐν οὐρανοῖς βασιλείαν ἡμῖν δωρησάμενος. μαρτυρεῖ δὲ τούτοις καὶ ὁ ἐν ἁγίοις Ἰωάννης ὁ Κωνσταντινουπόλεως πατριάρχης ἐν τῷι λόγωι τῷι εἰς τὴν ἀνάληψιν λέγων οὕτως

1. Cor. 15, 20
Col. 1, 18
Ephes. 2, 4
PG 49, 415 [2 p. 449 Montf.]

ἡμεῖς οἱ τῆς γῆς ἀνάξιοι φανέντες σήμερον εἰς τὸν οὐρανὸν ἀνήχθημεν· οἱ μηδὲ τῆς κάτω ἀρχῆς ὄντες ἄξιοι πρὸς τὴν βασιλείαν ἀνέβημεν τὴν ἄνω· ὑπερέβημεν τοὺς οὐρανούς, ἐπελαβόμεθα τοῦ θρόνου τοῦ βασιλικοῦ, καὶ ἡ φύσις, δι' ἣν ἐφύλαττε τὸν παράδεισον τὰ Χερουβίμ, αὐτὴ ἐπάνω τῶν Χερουβὶμ κάθηται σήμερον.

Ἀποδέδεικται τοίνυν ὅτι οὐχ ὡς Ὠριγένης ληρεῖ, ἐν οὐρανοῖς αἱ ψυχαὶ προυπάρχουσαι ἔπειτα ἁμαρτήσασαι κατεπέμφθησαν τιμωρίας χάριν εἰς τὰ σώματα, ἀλλ' ἐκ τῶν ἐναντίων ἐπὶ γῆς δημιουργηθεῖσα ὅλη ἡ τοῦ ἀνθρώπου φύσις, τουτέστι σώματος καὶ ψυχῆς, διὰ τῆς ὑπερβαλλούσης τοῦ θεοῦ ἀγαθότητος τῆς ἐν οὐρανοῖς ἠξίωται βασιλείας, ὥστε τοὺς ἀνθρώπους τοὺς τὴν ἐντολὴν τοῦ θεοῦ φυλάττοντάς τε καὶ πληροῦντας ἀξιοῦσθαι τῆς ἐν οὐρανοῖς τῶν ἀγγέλων διαγωγῆς, οὓς ἐν τῇι γῆι διὰ τῆς πρὸς θεὸν ὑμνολογίας μιμεῖσθαι προσετάχθημεν. βουλόμενος γὰρ ὁ θεὸς διὰ τὴν ἄφραστον αὐτοῦ φιλανθρωπίαν, ὃν τρόπον ἐν οὐρανοῖς ὑπὸ τῶν ἁγίων δυνάμεων δοξολογεῖται, οὕτως καὶ ἐπὶ τῆς γῆς ὑπὸ τῶν ἀνθρώπων δοξάζεσθαι, ἐδημιούργησε τὸν ἄνθρωπον δεύτερον ἄγγελον ἐπὶ τῆς γῆς, ὡς ἂν πληρωθῇ τὰ πάντα δόξης θεοῦ. ὅθεν καὶ ὁ κύριος παραδιδοὺς τοῖς ἑαυτοῦ μαθηταῖς ὅπως ὀφείλουσι προσεύχεσθαι, λέγει· πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῶι καὶ ἐπὶ τῆς γῆς. σύμφωνα δὲ τοῖς παρ' ἡμῶν εἰρημένοις καὶ ὁ ἐν ἁγίοις θεολόγος Γρηγόριος ἐν τῷι λόγωι τῷι εἰς τὸ ἅγιον πάσχα διδάσκει λέγων οὕτως

Mt. 6, 9. 10
PG 36, 632

τοῦτο δὴ βουληθεὶς ὁ τεχνίτης ἐπιδείξασθαι λόγος καὶ ζῶιον ἓν ἐξ ἀμφοτέρων, ἀοράτου τε λέγω καὶ ὁρατῆς φύσεως, δημιουργεῖ τὸν ἄνθρωπον. καὶ παρὰ μὲν τῆς ὕλης λαβὼν τὸ σῶμα ἤδη προυποστάσης, παρ' ἑαυτοῦ δὲ ζωὴν ἐνθείς, ὃ δὴ ψυχὴν νοερὰν καὶ εἰκόνα θεοῦ οἶδεν ὁ λόγος, οἷόν τινα κόσμον δεύτερον ἐν μικρῶι μέγαν ἐπὶ

PG 959
L V 649

O [= aervv], I

2 εἰς — ἀνθρωπίνην¹ om. Or μηδὲ] ἢ Or μήτε I αὐτοῦ οὐσίαν O om. I 4/5 θάνατον παρ' ἡμῶν Or 6/7 πρῶτος Oarv I 7 ἐκ νεκρῶν ἀναστὰς Oe συνεκάθισεν] συνεδόξασεν Or I 8 διδάσκει Or 10 ἣν] ἢ Ov 13 χαρισάμενος Or I 15 τὰ οὐράνια Or I 18 τὸ χερουβεὶμ Or 23 τηροῦντας Or I 24 τῶν om. Or διαγωγῆς Or I διαγωγῆς βασιλείας Oav συνδιαγωγῆς Oe 25 ὁμολογίας Or δοξολογίας I 26 ἀγγέλων I δοξολογεῖται Oarv I δοξάζεται Oe 27—29 ἐδημιούργησε — προσεύχεσθαι om. I 29 τοῖς — μαθηταῖς om. Or 31 γενηθήτω — σου] ἐλθέτω ἡ βασιλεία σου (iterum) Or 34 ἓν om. Or 35 ἀοράτου — ὁρατῆς I Greg. ὁρατῆς — ἀοράτου O τε om. Oa 36 ζωὴν Oarv I πνοὴν Oe utrumque in Greg. codd.

τῆς γῆς ἵστησιν, ἄγγελον ἄλλον, προσκυνητὴν μικτόν, ἐπόπτην τῆς ὁρατῆς κτίσεως, μύστην τῆς νοουμένης, βασιλέα τῶν ἐπὶ γῆς, βασιλευόμενον ἄνωθεν.

Πρόσχες τοίνυν ὅτι λέγων ὁ πατὴρ ὡς ἐξ ἀμφοτέρων ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, προσέθηκεν ὅτι τὸ μὲν σῶμα ἐξ ὕλης ἤδη προυποστάσης ἔλαβε, τὴν δὲ ψυχὴν οὐδὲ προυπάρχειν εἶπεν οὐδὲ ἔκ τινος προυπαρχούσης οὐσίας γεγενῆσθαι, ἀλλ' ὅτι παρ' ἑαυτοῦ ὁ θεὸς ἐνέθηκε τὴν ζωήν, ὃ δὴ ψυχὴν νοερὰν καὶ εἰκόνα θεοῦ οἶδεν ὁ λόγος. καὶ τὸ εἰπεῖν δὲ τὸν πατέρα ὅτι βασιλέα ἐπὶ τῆς γῆς ἐποίησε τὸν ἄνθρωπον ὁ θεὸς βασιλευόμενον ἄνωθεν, ἀναιρεῖ τὸ λέγειν ὡς διὰ κόλασιν ἐνεβλήθησαν αἱ ψυχαὶ τοῖς σώμασιν· τὸ γὰρ βασιλεύειν ἐπὶ τῆς γῆς καὶ ὑπὸ θεοῦ μόνου βασιλεύεσθαι οὐ τιμωρίας, ἀλλά μεγάλης ἐστὶ τῆς τοῦ θεοῦ δωρεᾶς. πρὸς τούτοις δὲ κἀκεῖνο εἰπεῖν ἀναγκαῖον ἡγούμεθα πρὸς τοὺς τὴν προύπαρξιν λέγοντας ὅτι εἴπερ ἀληθὲς ἦν τὸ προυπάρχειν τὰς ψυχὰς τῶν σωμάτων, ἐγίνωσκον ἂν καὶ ἐμέμνηντο τί ἔπραττον καὶ πρὸ τοῦ εἰσελθεῖν ἐν τοῖς σώμασιν, ὥσπερ καὶ μετὰ τὴν τελευτὴν ἐπίστανται καὶ γινώσκουσι τὰ πραχθέντα αὐταῖς ἐν τοῖς σώμασιν. ἀποδείξομεν δὲ τὸ γινώσκειν τὴν ψυχὴν μετὰ τὴν ἐντεῦθεν ἀποβίωσιν τὰ αὐτῇ πεπραγμένα ἐξ αὐτῶν τῶν τοῦ εὐαγγελίου ῥημάτων· λέγει γὰρ ὁ δεσπότης ἡμῶν καὶ σωτὴρ Χριστὸς ἐν τῷι κατὰ Λουκᾶν εὐαγγελίωι εἰς τὴν περιοχὴν τοῦ Λαζάρου καὶ τοῦ πλουσίου ταῦτα

Lc. 16, 19—28 ἄνθρωπός τις ἦν πλούσιος καὶ ἐνεδιδύσκετο πορφύραν καὶ βύσσον εὐφραινόμενος καθ' ἡμέραν λαμπρῶς. πτωχὸς δέ τις ἦν ὀνόματι Λάζαρος, ὃς ἐβέβλητο πρὸς τὸν πυλῶνα αὐτοῦ ἡλκωμένος καὶ ἐπιθυμῶν χορτασθῆναι ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τοῦ πλουσίου· ἀλλὰ καὶ οἱ κύνες ἀπέλειχον ἐρχόμενοι τὰ ἕλκη αὐτοῦ. ἐγένετο δὲ ἀποθανεῖν τὸν πτωχὸν καὶ ἀπενεχθῆναι αὐτὸν ὑπὸ τῶν ἀγγέλων εἰς τὸν κόλπον Ἀβραάμ· ἀπέθανε δὲ καὶ ὁ πλούσιος καὶ ἐτάφη. καὶ ἐν τῷι ἅιδηι ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ ὑπάρχων ἐν βασάνοις ὁρᾶι τὸν Ἀβραὰμ ἀπὸ μακρόθεν καὶ Λάζαρον ἐν τοῖς κόλποις αὐτοῦ. καὶ αὐτὸς φωνήσας εἶπε· πάτερ Ἀβραάμ, ἐλέησόν με καὶ πέμψον Λάζαρον ἵνα βάψηι τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ ὕδατος καὶ καταψύξηι τὴν γλῶσσάν μου, ὅτι ὀδυνῶμαι ἐν τῇι φλογὶ ταύτηι. εἶπε δὲ Ἀβραάμ· μνήσθητι, τέκνον, ὅτι ἀπέλαβες σὺ τὰ ἀγαθά σου ἐν τῇι ζωῇι σου καὶ Λάζαρος ὁμοίως τὰ κακά· νῦν δὲ οὗτος παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι. καὶ ἐπὶ πᾶσι τούτοις μεταξὺ ἡμῶν τε καὶ ὑμῶν χάσμα μέγα ἐστήρικται, ὅπως οἱ θέλοντες διαβῆναι ἔνθεν πρὸς ὑμᾶς μὴ δύνωνται μηδὲ οἱ ἐκεῖθεν πρὸς ἡμᾶς διαπερῶσιν. εἶπε δέ· ἐρωτῶ οὖν σε, πάτερ, ἵνα πέμψηις αὐτὸν εἰς τὸν οἶκον τοῦ πατρός μου, ἔχω γὰρ πέντε ἀδελφούς, ὅπως διαμαρτύρηται αὐτοῖς, ἵνα μὴ καὶ αὐτοὶ εἰσέλθωσιν εἰς τὸν τόπον τοῦτον τῆς βασάνου.

PG 961 Αἰσχυνθήτωσαν τοίνυν οἱ Ὠριγένους ἀντιποιούμενοι καὶ ἐκ τῶν τοῦ ἁγίου εὐαγγελίου ῥημάτων. εἰ γὰρ προυπῆρχον αἱ ψυχαὶ τῶν σωμάτων, ἐγίνωσκον ἂν

O [= aerv], I

1 ἄλλον om. O^r 2 βασιλείασ O^v 4 προστέθεικεν I 5 οὐσίασ O^{arv}I αἰτίασ O^e 7 ὁ θ̄ς̄ τὸν ἀν̄ον O^e 9 τῆς om. O^{av} 11 ὑπαρξιν O^{rv} 12 ὅτι O^e 14 ἀποδείξωμεν I δὲ καὶ O^{av} 15 ἑαυτῇ O^r τοῦ O^{ar} ἁγίου O^v τοῦ ἁγίου O^e 22 τὰ — αὐτοῦ ἐρχόμενοι O^e 24 τοῦ ἀβραὰμ O^{av} 26 ἀπὸ om. O^r 31 οὗτος — δὲ om. O^{aev}, corr. O^a in mg. οὗτοσ O^a in mg. αὐτὸσ μὲν O^rI 32 μέγα χάσμα O^r 33 διαβαίνειν O^r ἔνθεν om. O^r 33/34 πρὸς ὑμᾶς — ἐκεῖθεν om. O^v 34 οἱ om. O^e 35 εἰς τὸν om. O^a 36 διαμαρτύρηται καὶ O^r 38 οὖν O^e ἁγίου om. O^v

καὶ τὰ πρὸ τοῦ σώματος αὐταῖς πραχθέντα, καθάπερ καὶ μετὰ τὴν ἀποβίωσιν μέμνηνται τῶν διὰ τοῦ σώματος αὐταῖς πεπραγμένων. τοῦτο γὰρ ἐκ τῶν ῥήσεων τοῦ ἁγίου εὐαγγελίου ἐδιδάχθημεν.

Ὅτι δὲ ταῖς θεοπνεύστοις γραφαῖς ἀκολουθοῦντες οἱ ἅγιοι πατέρες τὰ τοιαῦτα κατέκριναν δόγματα σὺν Ὠριγένει τῶι ταῦτα μυθολογησαμένωι, ἐξ αὐτῶν τῶν εἰρημένων τοῖς ἁγίοις πατράσι καὶ ἤδη μὲν σαφῶς ἀπεδείξαμεν, οὐδὲν δὲ ἧττον καὶ διὰ τῶν L V 652
ἐφεξῆς μαρτυριῶν τῶν ἁγίων πατέρων ἀποδείξομεν. καὶ πρῶτον τὸν ἅγιον Πέτρον ἐπίσκοπον Ἀλεξανδρείας γενόμενον καὶ μάρτυρα παραθησόμεθα τοῖς τοιούτοις ἡμῶν μαρτυροῦντα λόγοις

Τοῦ ἁγίου Πέτρου ἐπισκόπου καὶ μάρτυρος τῆς μεγαλοπόλεως Ἀλεξανδρείας ἐκ τοῦ πρώτου λόγου περὶ τοῦ μηδὲ προυπάρχειν τὴν ψυχὴν μηδὲ ἁμαρτήσασαν διὰ τοῦτο εἰς σῶμα βληθῆναι

Ἡγούμεθα τὰ περὶ τοῦ πρώτου ἐκ γῆς χοικοῦ γεγενημένου ἀνθρώπου παραθέσθαι πρὸς τὸ δεῖξαι ἕνα καὶ τὸν αὐτὸν ἐν τῶι αὐτῶι καιρῶι γενόμενον, κἂν μερικῶς ποτε ὁ ἔσω καὶ ἔξω λέγηται ἄνθρωπος. εἰ γὰρ καὶ κατὰ τὸν σωτήριον λόγον ὁ ποιήσας Lc. 11. 40
τὰ ἔξωθεν καὶ τὰ ἔσωθεν ἐποίησεν, ἀλλ' οὖν γε ἐφάπαξ καὶ ἐν ἑνὶ καιρῶι, τουτέστι τῆι 16
αὐτῆι ἡμέραι ὅτε εἶπεν ὁ θεὸς ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ ὁμοίωσιν Gen. 1. 26
ἡμετέραν, ὡς ἐκ τούτου εὔδηλον εἶναι ὅτι οὐκ ἀπὸ συνόδου ὡς προόντος τινὸς ἑτέρου καὶ ἀφ' ἑτέρου τόπου συνεληλυθότος γεγένηται. εἰ γὰρ σύνοδος ἦν, τίνος ἕνεκεν καὶ πεποιημένον ἀνεγράφη; 20

Καὶ μεθ' ἕτερα· ὥστε οὐκ ἐνδέχεται πρὸ σωμάτων ἐν οὐρανῶι ἁμαρτάνειν ψυχὰς μηδὲ ὅλως πρὸ σωμάτων ὑποστάσας. τὸ μάθημα τοῦτο τῆς Ἑλληνικῆς ἐστι φιλοσοφίας ξένης καὶ ἀλλοτρίας οὔσης τῶν ἐν Χριστῶι εὐσεβῶς θελόντων ζῆν.

Τοῦ αὐτοῦ ἐκ τῆς μυσταγωγίας ἧς ἐποιήσατο πρὸς τὴν ἐκκλησίαν μέλλων τὸν τοῦ μαρτυρίου στέφανον ἀναδέχεσθαι 25

Διὰ τοῦτο παρακαλῶ, γρηγορεῖτε, ὅτι εἰς θλῖψιν πάλιν μέλλετε εἰσελθεῖν. οἴδατε πόσους κινδύνους ὑπέμεινεν ὁ ἀναθρέψας με πατήρ μου καὶ ἐπίσκοπος Θεωνᾶς ἀπὸ τῶν μαινομένων εἰς τὰ εἴδωλα (οὗ καὶ τὸν θρόνον διεδεξάμην, εἴθε δὲ καὶ τὸν τρόπον)· ὡς δὲ καὶ ὁ μέγας Διονύσιος κατακρυπτόμενος ἀπὸ τόπων εἰς τόπους, πρὸς τούτωι καὶ Σαβελλίου θλίβοντος. τί δὲ εἴπω Ἡρακλᾶν καὶ Δημήτριον τοὺς μακαρίους ἐπισκόπους, 30
οἵους πειρασμοὺς ὑπέστησαν ὑπὸ τοῦ μανέντος Ὠριγένους καὶ αὐτοῦ σχίσματα βαλόντος ἐν τῆι ἐκκλησίαι τὰ καὶ ἕως σήμερον ταραχὰς αὐτῆι ἐγείροντα;

10—20 extat in Ioh. Damasc. Sacr. Parall. [Texte und Unters. 20, 2 p. 210] 24—32 extant in actis spuriis Petri Alexandrini [Viteau, *Passions des saints Écaterine et Pierre d'Alexandrie*] p. 75

O [= aerv], I

5 σὺν om. O^r μυθολογήσαντι O^e 5/6 καὶ ἤδη — ἀπεδείξαμεν ἐξ αὐτῶν — πρασιν I 6 τῶν διὰ τῶν O^v 7 ἁγιώτατον O^r 9 μαρτυροῦντεσ O^v 10 ἀλεξανδρείασ καὶ μάρτυροσ O^eI τῆς μεγαλοπόλεως om. O^e 11 περὶ δὲ τοῦ O^{av} 12 ἐμβληθῆναι O^a 13 ἡγούμεθα O ἡγούμεθα δεῖν I ἀναγκαῖον ἡγησάμεθα καὶ Ioh. Dam. 15 λέγεται O^r 16 ἔξωθεν I Ioh. Dam. ἔσωθεν O καὶ τὰ ἔσωθεν ἐποίησεν I καὶ τὸ ἔσω αὐτὸς ἐποίησεν Ioh. Dam. καὶ τὰ ἔξωθεν ἐποίησεν O^{er} ἐποίησε καὶ τὰ ἔξωθεν O^{av} 16 ἐν om. I 18 ἑτέρου om. I 19 ἐφ' O^rI 20 τὸ πεποιημένον O^r 22 τὸ γὰρ O^rI 23 ἐθελόντων I 27 ἀναθρεψάμενός με I 29 τοῦτο O^v 31 βάλλοντοσ O^e 31 ἐγείραντα O^r

Πῶς τοίνυν δύναταί τις τῶν εὖ φρονούντων ἐναντιοῦσθαι τοῖς κατὰ Ὠριγένους εἰρημένοις παρὰ τοῦ ἁγίου μάρτυρος καὶ ἐπισκόπου Ἀλεξανδρείας Πέτρου; ὅστις τὸν καλὸν ὑπὲρ Χριστοῦ ἀναδεξάμενος ἀγῶνα οὐ μόνον ἀπεκήρυξεν Ὠριγένην καὶ τὰ μυσαρὰ αὐτοῦ δόγματα, ἀλλὰ καὶ μαρτυρεῖ ὡς οἱ πρὸ αὐτοῦ ἅγιοι πατέρες πολλοὺς ὑπέμειναν πειρασμοὺς ἀπὸ τῆς ἐκείνου φρενοβλαβείας.

Εἶπε δὲ καὶ ὁ ἐν ἁγίοις Ἀθανάσιος ἐπίσκοπος καὶ αὐτὸς Ἀλεξανδρείας γενόμενος ἐν τῷι λόγωι τῷι εἰς τὸν βίον τοῦ μακαρίου Ἀντωνίου ταῦτα

PG 26, 948 Πῶς δὲ χλευάζειν ἡμᾶς τολμᾶτε λέγοντας τὸν Χριστὸν ἄνθρωπον πεφανερῶσθαι, ὅπουγε ὑμεῖς ἐκ τοῦ νοῦ τὴν ψυχὴν ὁρίζοντες φάσκετε πεπλανῆσθαι αὐτὴν καὶ πεπτωκέναι ἀπὸ τῆς ἀψῖδος τοῦ οὐρανοῦ εἰς σῶμα;

PG 963 Δεῖ προσέχειν τοὺς ἀκροωμένους ὅτι ὁ ἐν ἁγίοις Ἀθανάσιος σαφῶς ἐναντιοῦται τοῖς λέγουσι προυπάρχειν τὸν νοῦν καὶ ἐκ τούτου γεγενῆσθαι τὴν ψυχὴν ἁμαρτήσασαν καὶ πεπτωκυῖαν ἀπὸ τῆς ἀψῖδος τοῦ οὐρανοῦ εἰς σῶμα.

Τοῦ αὐτοῦ ἐκ τοῦ κατὰ Ἀρειανῶν δευτέρου λόγου

c. Arian. 2,19 Πᾶσα ἡ φαινομένη κτίσις ἐν ἓξ ἡμέραις γέγονε καὶ τῇι μὲν πρώτηι τὸ φῶς, ὅπερ ἐκά-
[PG 26, 188] λεσεν ἡμέραν, τῇι δὲ δευτέραι τὸ στερέωμα καὶ τῇι τρίτηι συναγαγὼν τὰ ὕδατα ἔδειξε
L V 653 τὴν ξηρὰν καὶ τοὺς ἐν αὐτῇι ποικίλους προήγαγε καρποὺς καὶ τῇι τετάρτηι πεποίηκε τὸν ἥλιον καὶ τὴν σελήνην καὶ πάντα τὸν τῶν ἀστέρων χορόν, τῇι δὲ πέμπτηι τῶν ἐν τῇι θαλάττηι ζώιων καὶ τῶν ἐν τῷι ἀέρι πετεινῶν τὴν γένεσιν ἔκτισε, τῇι δὲ ἕκτηι τετράποδα ἐπὶ τῆς γῆς πεποίηκε, καὶ λοιπὸν τὸν ἄνθρωπον τὸν ἐκ ψυχῆς λογικῆς καὶ σώματος,
Rom. 1, 20 τά τε ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται. καὶ οὔτε τὸ φῶς ὡς ἡ νὺξ οὔτε ὁ ἥλιος ὡς ἡ σελήνη οὔτε τὰ ἄλογα ὡς ὁ λογικὸς ἄνθρωπός ἐστιν οὔτε ἄγγελοι ὡς οἱ θρόνοι οὔτε οὗτοι ὡς αἱ ἐξουσίαι, ἀλλὰ πάντα μέν ἐστι κτίσματα, ἕκαστον δὲ τῶν γενομένων κατὰ γένος τῇι ἰδίαι οὐσίαι ὡς γέγονεν, ἔστι τε καὶ μένει.

Ἰδοὺ καὶ ὁ ἐν ἁγίοις Ἀθανάσιος παραδίδωσιν ὅτι μετὰ πάντα τὰ κτίσματα ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον τὸν ἐκ σώματος καὶ ψυχῆς νοερᾶς καὶ λογικῆς. οὐ γὰρ εἶπε τὸ σῶμα μετὰ πάντα γενέσθαι, ἵνα προυπάρχουσα ψυχὴ εἰσέλθηι ἐν αὐτῶι· ἀλλ' εἶπε μετὰ πάντα τὰ κτίσματα τὸν ἄνθρωπον γεγενῆσθαι τὸν ἐκ ψυχῆς λογικῆς καὶ σώματος δεικνὺς ὅτι ἀμφότερα, τουτέστι σῶμά τε καὶ ψυχήν, ὁ θεὸς κατὰ ταυτὸν ἐδημιούργησεν.

Ἐπειδὴ δὲ καὶ τοῦτο μετὰ τῶν ἄλλων Ὠριγένους βλασφημιῶν εἴρηται ὅτι ἡ τοῦ κυρίου ψυχὴ προυπῆρχε καὶ ταύτηι ὁ θεὸς λόγος ἥνωτο πρὸ τῆς ἐκ παρθένου σαρκώσεως, καὶ τὴν τοιαύτην ἀναιρῶν ληρωιδίαν ὁ αὐτὸς ὁ ἐν ἁγίοις Ἀθανάσιοις ἐν τῇι πρὸς Ἐπίκτητον ἐπιστολῇι λέγει τάδε

---

31 cf. anathem. β

O [= aerv], I

5 ὑπὸ O^{e} 8 λέγοντασ O^{e}I λέγοντεσ O^{arv} 9 ἐκ τοῦ νοῦ τὴν ψυχὴν ὁρίζοντες OI, falsa apud Athanasium eduntur 11 τοῖσ ἀκροωμένοισ O^{e} 14 τοῦ αὐτοῦ O τοῦ ἁγίου ἀθανασίου I, extra textum inscr. τοῦ ἁγίου ἀθανασίου O^{e} 17 ἐποίησε I 18 τῶν^{2}] τὸν O^{r} 19 θαλάσση O^{e} 22 τὰ om. O^{aev} ὁ om. O^{aev} 25 τε om. O^{r}I 26 ἐν ἁγίοισ O^{aev} ἅγιοσ O^{r}I 28 ψυχὴ O^{e}I ἡ ψυχὴ O^{r} om. O^{av} 30 κατ' αὐτὸν O^{a} corr., O^{v} 32 θεὸς om. O^{e} 33 αὐτὸς ὁ I ὁ αὐτὸσ O^{v} αὐτὸσ O^{er} om. O^{a}

εἰκότως καταγνώσονται ἑαυτῶν πάντες οἱ νομίζοντες πρὸ τῆς Μαρίας εἶναι τὴν ad Epict. 8
ἐξ αὐτῆς σάρκα καὶ πρὸ ταύτης ἐσχηκέναι ψυχὴν ἀνθρωπίνην τὸν θεὸν λόγον καὶ ἐν p. 13, 7—10
αὐτῇ πρὸ τῆς ἐπιδημίας ἀεὶ γεγενῆσθαι.

Εἰ τοίνυν κατὰ τὰ εἰρημένα τῶι ἐν ἁγίοις Ἀθανασίωι ἡ ψυχὴ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ κατὰ πάντα ὁμοιωθέντος ἡμῖν χωρὶς ἁμαρτίας οὐ προυπῆρχε τῆς ἐν σαρκὶ αὐτοῦ ἐπιδημίας, ποίας ἂν εἴη μανίας τὸ λέγειν τὰς ἄλλας τῶν ἀνθρώπων ψυχὰς προυπάρχειν τῶν σωμάτων;

Ἀκούσωμεν δὲ πρὸς τούτοις καὶ τοῦ ἐν ἁγίοις Βασιλείου ἐν τῶι λόγωι τῶι εἰς τὸ ἐν ἀρχῆι ἦν ὁ λόγος καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν λέγοντος οὕτως Ioh. 1, 1

Ὅρα μή ποτέ σε παρακρούσηται τὸ ὁμώνυμον τῆς φωνῆς· πῶς γὰρ ἐν ἀρχῆι PG 31, 477
ἦν ὁ ἀνθρώπινος λόγος τοῦ ἀνθρώπου κάτω που λαβόντος τὴν ἀρχὴν τῆς γενέσεως; 11
πρὸ ἀνθρώπου θηρία, πρὸ ἀνθρώπου κτήνη, τὰ ἑρπετὰ ὅσα χερσαῖα καὶ ἔνυδρα, τὰ πετεινὰ τοῦ οὐρανοῦ, ἀστέρες ἥλιος σελήνη βοτάναι γῆ θάλαττα οὐρανός.

Ἰδοὺ ὁ πατὴρ σαφῶς ἡμῖν προαγορεύει μὴ συναπαχθῆναι τοῖς τοῦ Ὠριγένους μύθοις περὶ τῆς τῶν ψυχῶν προυπάρξεως. οὐ διδάσκει γὰρ ἡμᾶς ἐν ἀρχῆι τὸν ἀν- 15
θρώπινον λόγον, τουτέστι τὴν ψυχήν, ἀλλὰ διαρρήδην βοᾶι ὅτι ἀνθρώπου γένεσις ὑστέρα ἐστὶ πάντων τῶν τοῦ θεοῦ κτισμάτων. εἰ τοίνυν πάντα τὰ κτίσματα πρὸ τοῦ ἀνθρώπου, πῶς προυπῆρχον αἱ ψυχαί; ὁ γὰρ πατὴρ οὐ πρὸ τοῦ σώματος, ἀλλὰ PG 965
πρὸ τοῦ ἀνθρώπου, ὅπερ ἐστὶ ψυχή τε καὶ σῶμα, εἶπε τὰ πάντα γεγενῆσθαι, καὶ ἐκ τούτου δείκνυται ἅμα ἑκάτερον δημιουργηθῆναι. 20

Λέγει δὲ καὶ ὁ ἐν ἁγίοις Γρηγόριος ὁ Νύσσης, ἐκ τῆς εἰς τὸν ἄνθρωπον πραγματείας PG 44, 229

Τάχα γὰρ οὐκ ἔξω τῆς προκειμένης ἡμῖν πραγματείας ἐστὶ τὸ διεξετάσαι τὸ ἀμφιβαλλόμενον ταῖς ἐκκλησίαις περὶ ψυχῆς τε καὶ σώματος. τισὶ μὲν γὰρ δοκεῖ τῶν πρὸ ἡμῶν, οἷς ὁ περὶ τῶν ἀρχῶν ἐπραγματεύθη λόγος, καθάπερ τινὰ δῆμον ἐν ἰδιαζούσηι πόλει τὰς ψυχὰς προυφεστάναι λέγειν, προκεῖσθαι δὲ κἀκεῖ τὰ τῆς κακίας καὶ L V 656
τῆς ἀρετῆς ὑποδείγματα, καὶ παραμένουσαν μὲν ἐν τῶι καλῶι τὴν ψυχὴν τῆς πρὸς τὸ 26
σῶμα συμπλοκῆς μένειν ἀπείρατον, εἰ δὲ ἀπορρυῆι τῆς τοῦ ἀγαθοῦ μετουσίας, πρὸς τὸν τῆιδε βίον κατολισθαίνειν καὶ οὕτως ἐν σώματι γίνεσθαι. ἕτεροι δὲ τῆι κατὰ τὸν Μωσέα τάξει τῆς κατασκευῆς τοῦ ἀνθρώπου προσέχοντες δευτέραν εἶναι τὴν ψυχὴν τοῦ σώματος κατὰ τὸν χρόνον φασίν, ἐπειδὴ πρῶτον λαβὼν ὁ θεὸς χοῦν ἀπὸ τῆς γῆς 30
τὸν ἄνθρωπον ἔπλασεν, ἔπειτα οὕτως ἐψύχωσε διὰ τοῦ ἐμφυσήματος.

Καὶ μετ' ὀλίγα· οἱ τῶι προτέρωι παριστάμενοι λόγωι καὶ πρεσβυτέραν τῆς ἐν PG 44. 232
σαρκὶ ζωῆς τὴν πολιτείαν τῶν ψυχῶν δογματίζοντες οὐ μοι δακοῦσι τῶν Ἑλληνικῶν καθαρεύειν ⟨δογμάτων⟩ τῶν περὶ τῆς μετεμψυχώσεως μεμυθολογημένων. εἰ γάρ τις ἀκριβῶς ἐξετάσειε, πρὸς τοῦτο κατὰ πᾶσαν ἀνάγκην τὸν λόγον αὐτοῖς εὑρήσει κατα- 35
συρόμενον ⟨ὃν⟩ φασι τινὰ τῶν παρ' ἐκείνοις σοφῶν εἰρηκέναι ὅτι καὶ ἀνὴρ γέγονε καὶ

O [= aerv], I

1 πάντες ἑαυτῶν I 8 εἰς τὸ I om. O 11 ἀρχὴν] ἐν ἀρχὴν O^v 13 βοτάναι O^e Bas. βοτάνη $O^{arv}I$ θάλασσα $O^{av}I$ 15 οὐ O^rI om. O^{aev} ante ἐν per correcturam ins. οὐκ O^a m. prima 16 ὅτι ἡ O^v 19 καὶ^2 om. O^rI 20 τούτου δὴ I 21 ἐν τῆ — πραγματεία I 22 τάχα γὰρ om. O^a 23 μὲν om. O^a 24 καθάπερ γάρ O^a 25 λέγει O^{ev} om. I 26 ἐν om. I 26/27 πρὸ τοῦ σώματος O^v 27 ἀπείραστον O 30 χοῦν ὁ θ̄ς O^{av} 31 οὕτως O^{aev} Greg. τοῦτον O^rI ἐμψύχωσε O^a ἐμψύχωσ O^v 33 ἑλλήνων O^r 34 δογμάτων τῶν Greg. τῶν O om. I περὶ τῆς om. I μυθολογημάτων I 36 ὃν φασι Greg. φασὶ O φασὶ γοῦν I

γυναικὸς σῶμα ἠμφιάσατο καὶ μετ' ὀρνέων ἀνέπτη καὶ θάμνος ἔφυ καὶ τὸν ἔνυδρον ἔλαχε βίον, οὐ πόρρω τῆς ἀληθείας κατὰ τὴν ἐμὴν κρίσιν φερόμενος ὁ περὶ ἑαυτοῦ ταῦτα λέγων. ὄντως γὰρ βατράχων τινῶν ἢ κολοιῶν φλυαρίας ἢ ἀλογίας ἰχθύων ἢ δρυῶν ἀναισθησίας ἄξια τὰ τοιαῦτα δόγματα, τὸ μίαν ψυχὴν λέγειν διὰ τοσούτων ἐλθεῖν. τῆς δὲ τοιαύτης ἀτοπίας αὕτη ἐστὶν ἡ αἰτία, τὸ προυφεστάναι τὰς ψυχὰς οἴεσθαι· δι' ἀκολούθου γὰρ ἡ ἀρχὴ τοῦ τοιούτου δόγματος ἐπὶ τὸ προσεχές τε καὶ παρακείμενον τὸν λόγον προάγουσα μέχρι τούτου τερατευουμένη διέξεισιν. εἰ γὰρ διά τινος κακίας ἀποσπασθεῖσα τῆς ὑψηλοτέρας ἡ ψυχὴ πολιτείας ἄνθρωπος γίνεται, ἐμπαθέστερος δὲ πάντως ὁ ἐν σαρκὶ βίος ὡμολόγηται παρὰ τὸν ἄϊδιον καὶ ἀσώματον, ἀνάγκη πᾶσα τὴν ἐν τῶι τοιούτωι γινομένην βίωι ἐν ὧι καὶ πλείους αἱ πρὸς τὸ ἁμαρτάνειν εἰσὶν ἀφορμαί, ἐν πλείονί τινι τῆι κακίαι γενέσθαι καὶ ἐμπαθέστερον διατεθῆναι. ἀνθρωπίνης δὲ ψυχῆς πάθος ἡ πρὸς τὸ ἄλογόν ἐστιν ὁμοίωσις, τούτωι δὲ προσοικειωθεῖσαν αὐτὴν εἰς κτηνώδη φύσιν μεταρρυῆναι· ἅπαξ δὲ διὰ κακίας ὁδεύουσαν μηδὲ ἐν ἀλόγωι γενομένην τῆς ἐπὶ τὸ κακὸν προόδου λήξειν ποτέ. ἡ γὰρ τοῦ κακοῦ στάσις ἀρχὴ τῆς κατ' ἀρετήν ἐστιν ὁρμῆς, ἀρετὴ δὲ ἐν ἀλόγοις οὐκ ἔστιν. οὐκοῦν πρὸς τὸ χεῖρον ἐξ ἀνάγκης ἀλλοιωθήσεται πάντοτε πρὸς τὸ ἀτιμότερον προιοῦσα καὶ ἀεὶ τὸ χεῖρον τῆς ἐν ἧι ἐστι φύσεως ἐξευρίσκουσα, ὥσπερ δὲ τοῦ λογικοῦ τὸ αἰσθητὸν ὑποβέβηκεν, οὕτω καὶ ἀπὸ τούτου ἡ μετάπτωσις γίνεται. ἀλλὰ μέχρι τούτου προιὼν ὁ λόγος αὐτοῖς, εἰ καὶ ἔξω τῆς ἀληθείας φέρεται, ἀλλά γε διά τινος ἀκολουθίας ἄτοπον ἐξ ἀτόπου μεταλαμβάνει· τὸ δὲ ἐντεῦθεν ἤδη διὰ τῶν ἀσυναρτήτων αὐτοῖς τὸ δόγμα μυθοποιεῖται.
ἡ μὲν γὰρ ἀκολουθία παντελῆ διαφθορὰν τῆς ψυχῆς ὑποδείκνυσιν· ἡ γὰρ ἅπαξ τῆς ὑψηλῆς
PG 967 πολιτείας ἀπολισθήσασα ἐν οὐδενὶ μέτρωι κακίας στῆναι δυνήσεται, ἀλλὰ διὰ τῆς πρὸς τὰ πάθη σχέσεως ἀπὸ μὲν τοῦ λογικοῦ πρὸς τὸ ἄλογον μεταβήσεται, ἀπ' ἐκείνου δὲ πρὸς τὴν τῶν φυτῶν ἀναισθησίαν μετατεθήσεται· τῶι δὲ ἀναισθήτωι πως τὸ ἄψυχον, τούτωι δὲ τὸ ἀνύπαρκτον ἕπεται, ὥστε διόλου διὰ τῆς ἀκολουθίας πρὸς τὸ μὴ ὂν αὐτοῖς ἡ ψυχὴ μεταχωρήσει. οὐκοῦν ἀμήχανος αὐτῆι πάλιν ἔσται ἡ πρὸς τὸ κρεῖττον ἐπάνοδος. ἀλλὰ μὴν ἐκ θάμνου ἐπὶ τὸν ἄνθρωπον τὴν ψυχὴν ἐπανάγουσιν. οὐκοῦν
L V 657 προτιμοτέραν τὴν ἐν θάμνωι ζωὴν τῆς ἀσωμάτου διαγωγῆς ἐκ τούτων ἀποδεικνύουσιν. δέδεικται γὰρ ὅτι πρὸς τὸ χεῖρον γινομένη ἡ πρόοδος τῆς ψυχῆς πρὸς τὸ κατώτερον κατὰ τὸ εἰκὸς ὑποβήσεται, ὑποβέβηκε δὲ τὴν ἀναίσθητον φύσιν τὸ ἄψυχον, εἰς ὃ δι' ἀκολουθίας ἡ ἀρχὴ τοῦ δόγματος αὐτῶν τὴν ψυχὴν ἄγει. ἀλλ' ἐπειδὴ τοῦτο οὐ βούλονται, ἢ τῶι ἀναισθήτωι τὴν ψυχὴν κατακλείουσιν ἢ εἴπερ ἐντεῦθεν ἐπὶ τὸν ἀνθρώπινον αὐτὴν ἐπανάγοιεν βίον, προτιμότερον, καθὼς εἴρηται, τὸν ξυλώδη βίον τῆς πρώτης ἀποδείξουσι καταστάσεως, εἴπερ ἐκεῖθεν μὲν ἡ πρὸς κακίαν κατάπτωσις γέγονεν, ἐντεῦθεν δὲ ἡ πρὸς ἀρετὴν ἐπάνοδος γίνεται. οὐκοῦν ἀκέφαλός τις καὶ καὶ ἀτελὴς ὁ τοιοῦτος διελέγχεται λόγος ὁ τὰς ψυχὰς ἐφ' ἑαυτῶν πρὸ τῆς ἐν σαρκὶ ζωῆς βιοτεύειν κατασκευάζων καὶ διὰ κακίαν ἐνδεδέσθαι τοῖς σώμασι.

O [= aerv], 1

2 οὐ om. Ov ἑαυτοῦ Or1 αὐτοῦ Oaev Greg. edd. 3 οὕτωσ Ov 3/4 ἢ² — ἀναισθησίας om. Or 6 ἀκολουθίασ Oa προσεχέσ τε O°I Greg. προσεχέστερον Oarv 8 πολιτείασ ἡ ψυχὴ 1 9 ἐμμαθέστεροσ Ov τὸν Oae Greg. τῶν Oav τὸν τῶν OrI ἀιδίων καὶ ἀσωμάτων Oarv1 10 γενομένην 1 11 τῆι om. Oa γενέσθαι 1 Greg. γίνεσθαι O 12 τούτω δὲ Or1 Greg. τούτω Oav καὶ τούτω Oe 12/13 προσεικιωθεῖσαν Ov 13 αὐτὴν] εἰσ αὐτὴν Ov τὲ Oe ὁδεύουσα Oarv 14 γενομένη Or λήξει Oarv 16 ἀτιμότερον Oarv 1 Greg. χεῖρον καὶ ἀτιμότερον Oe 17 αἰσθητικὸν 1 19 εἰ 1 Greg. om. O 21 γὰρ¹ 1 Greg. om. O 25 διόλου om. 1 καθόλου Greg. 26 ἀμήχανον Oe αὐτῆι om. Ov 27 οὐνοῦν 1 28 ἐκ θάμνου Oav ἀποδείκνυσι 1 29 ἡ om. Oe ὁ Ov 31 ἀκολουθίαν Ov 31/32 ἄγει — ψυχὴν om. OrI 32 κατακλείει 1 32/33 οὐνιοῦν 1 34 ἀποδείξωσι Oe 36 ἐφ' ἑαυτῶν Greg. ἐν ἑαυτῶ O ἐν ἑαυταῖς 1

Προδήλου τοίνυν οὔσης τῆς τοῦ πατρὸς διδασκαλίας καὶ ἀποκηρυττούσης τὸ λέγειν προυπάρχειν τὰς ψυχὰς τῶν σωμάτων, ἀκούσωμεν καὶ τοῦ ἐν ἁγίοις Θεοφίλου τοῦ ἐπισκόπου Ἀλεξανδρείας ἀπὸ τοῦ λόγου τοῦ γραφέντος πρός τινας μοναχοὺς τὰ Ὠριγένους φρονοῦντας λέγοντος τάδε

Οὐκοῦν ἀναθεματίζοντες τὸν Ὠριγένην καὶ τοὺς ἄλλους αἱρετικούς, ὥσπερ ἡμεῖς καὶ ὁ τῆς Ῥωμαίων ἁγίας ἐκκλησίας ἐπίσκοπος Ἀναστάσιος ἐκ παλαιοτέρων ἀγωνισμάτων ἔνδοξος στρατηγὸς ἐπισήμου λαοῦ χειροτονηθείς, ὧι καὶ πᾶσα ἡ τῶν μακαρίων κατὰ τὴν Δύσιν ἐπισκόπων ἕπεται σύνοδος, ἀποδεχομένη τῆς τῶν Ἀλεξανδρέων ἐκκλησίας τὴν κατὰ τοῦ ἀσεβοῦς ψῆφον.

Τοῦ αὐτοῦ ἐκ τῆς ἐπιστολῆς τῆς πρὸς τοὺς ἐν τῆι Σκήτει ἁγίους πατέρας διὰ τοὺς ἐγκαλοῦντας τὴν τῶν δογμάτων Ὠριγένους καθαίρεσιν

Ἐτόλμησαν τινὲς εἰπεῖν διδάσκαλον εἶναι τῆς ἐκκλησίας Ὠριγένην. ἆρα πρέπον τῶν τοιούτων ἀνέχεσθαι; εἰ διδάσκαλός ἐστι τῆς ἐκκλησίας Ὠριγένης, μεγαλοφρονοῦσιν Ἀρειανοί τε καὶ Εὐνομιανοὶ καὶ Ἕλληνες, οἱ μὲν εἰς τὸν υἱὸν καὶ εἰς τὸ πνεῦμα βλασφημοῦντες, οἱ δὲ μετὰ τοῦ δυσσεβεῖν ὁμοίως αὐτοῖς καὶ τὴν ἀνάστασιν τῶν νεκρῶν χλευάζοντες.

Σαφὲς τοίνυν ἐκ τῶν εἰρημένων γεγένηται ὅτιπερ ὁ τοῖς ἁγίοις πατράσιν ἀκολουθῶν οὐκ ἀμφιβάλλει ὡς οἱ τὰ Ὠριγένους φρονοῦντες τῆι Ἑλληνικῆι πλάνηι καὶ Ἀρειανικῆι ἀκολουθοῦσι μανίαι.

Λέγει δὲ καὶ ὁ ἐν ἁγίοις Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας ἐκ τῆς ἐπιστολῆς τῆς πρὸς τοὺς ἐν Φουᾶι μοναχοὺς κατὰ τῶν λεγόντων μὴ εἶναι ἀνάστασιν τῶν σωμάτων τάδε

Φασὶ τοίνυν τῶν ἐν ὑμῖν τινὰς ἀρνεῖσθαι τῶν ἀνθρωπίνων σωμάτων τὴν ἀνάστασιν, ὅπερ ἐστὶ μέρος τῆς ὁμολογίας ἡμῶν ἧς ποιούμεθα προσιόντες τῶι σωτηρίωι βαπτίσματι. ὁμολογοῦντες γὰρ τὴν πίστιν προσεπάγομεν ὅτι πιστεύομεν καὶ τῆς σαρκὸς ἀνάστασιν. εἰ δ' ἀναιροῦμεν τοῦτο καὶ οὐ πιστεύομεν ὅτι Χριστὸς ἐκ νεκρῶν ἐγήγερται, ἵνα ἡμᾶς ἑαυτῶι συναναστήσηι, χωλεύουσαν ἔχομεν τὴν πίστιν καὶ τὴν βασιλικὴν ἀφέντες ὁδὸν βαδίζομεν τὴν διεστραμμένην. ἔστι δὲ ἡ τοιαύτη κακοδοξία τῆς Ὠριγένους φρενοβλαβείας, ὃν καὶ οἱ πατέρες ἡμῶν ὡς διαστρέφοντα τὴν ἀλήθειαν ἀπεκήρυξαν καὶ ἀνεθεμάτισαν. οὐ γὰρ ἐφρόνησεν ὡς Χριστιανός, ἀλλὰ ταῖς Ἑλλήνων ἀκολουθήσας φλυαρίαις πεπλάνηται. ἡ δὲ ἀρχὴ τοῦ νοσήματος ἐντεῦθεν αὐτῶι συμβέβηκε. φησὶ γὰρ ὅτι προυπάρχουσιν αἱ ψυχαὶ τῶν σωμάτων καὶ ἀπὸ ἁγιασμοῦ παρηνέχθησαν εἰς ἐπιθυμίας πονηρὰς καὶ ἀπέστησαν θεοῦ καὶ ταύτης ἕνεκα τῆς αἰτίας κατεδίκασεν αὐτὰς καὶ ἐσωμάτωσεν, καὶ εἰσὶν ὡς ἐν δεσμωτηρίωι ἐν σαρκί. ἡ δὲ ἐκκλησία ταῖς θεοπνεύστοις ἑπομένη γραφαῖς οὐκ οἶδε τῶν σωμάτων προυπάρχουσαν τὴν ψυχήν, PG 969 L V 660

O [= aerv], I

2 ἐν ἁγίοις om. I 2/3 τοῦ — ἀλεξανδρείας θεοφίλου I 5 ἀναθεματίζετε I 6 τε καὶ O^{e} ἁγίας om. I 7 ἡ I om. O 10 τοῦ αὐτοῦ O θεοφίλου ἀλεξανδρείας I ἐκ τῆς om. O^{r} τῆι om. O^{e} πατέρας I om. O 14 τε om. O^{e} εἰς² om. O^{r} 15 τοῦ O^{erI} τὸ O^{av} 21 πρὸς τοὺς om. O^{r} ἐν φουᾶ O^{a} corr., O^{erI} ἐφουᾶ O^{av} τῶν om. O^{aev} ταῦτα O^{avI} 22 τινὰς I τινὲς O 24 τῆς I εἰς O 25 τοῦτο om. O^{e} ὁ χ̄ς̄ O^{rI} 26 ἑαυτῶ συναναστήση O^{rI} ἑαυτῶ ἀναστήση O^{av} ἀναστήση σὺν ἑαυτῶ O^{e} τὴν πίστιν ἔχομεν O^{av} 31 ἀπὸ ἁγιασμοῦ O^{e} ἁγιασμῶ O^{av} ἁγνισμῶ O^{r} κἀκ τοῦ ἁγιασμοῦ I 33 ὡς om. I ἐν² O^{erI} τῆ O^{av} ante ἡ δὲ habent τοῦ αὐτοῦ ἐκ τῆς ἐπιστολῆς τῆς πρὸς τοὺς ἐν φουᾶ μοναχούς [τῆς πρὸς — μοναχούς ἐπιστολῆς O^{e}] O

ἀλλ' οὐδὲ προαμαρτήσασαν πρὸ αὐτῶν. πῶς γὰρ ἡ μὴ ὑφεστῶσα καὶ ἁμαρτεῖν ἠδύνατο; φαμὲν δὲ ὅτι ἔπλασε μὲν ὁ τῶν ὅλων δημιουργὸς τὸ σῶμα ἐκ γῆς, ἐψύχωσε δὲ αὐτὸ ψυχῇ νοερᾷ. καὶ αὕτη ἐστὶν ἡ τοῦ ἀνθρώπου κατασκευή.

Καὶ μεθ' ἕτερα· ὅτι οὐκ ἐκ προγενεστέρων, ὥσ φασιν, ἁμαρτημάτων καταδεδίκασται ἡ τοῦ ἀνθρώπου ψυχὴ καὶ εἰς τοῦτον κατεπέμφθη τὸν κόσμον, πιστώσεται γράφων καὶ
2 Cor. 5, 10 ὁ πάνσοφος Παῦλος· τοὺς γὰρ πάντας ἡμᾶς δεῖ φανερωθῆναι ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν εἴτε ἀγαθὸν εἴτε φαῦλον. διὰ τί γὰρ μόνα τὰ διὰ τοῦ σώματος φανερωθήσεσθαί φησι καὶ οὐχὶ δὴ μᾶλλον καὶ τὰ πρὸ τοῦ σώματος, εἴπερ ἤδει προοῦσαν καὶ προαμαρτήσασαν τὴν ψυχήν; εἰ δὲ ἐπὶ μόνοις κρινόμεθα τοῖς διὰ τοῦ σώματος, οὐκ ἔχομεν δῆλον ὅτι προγενεστέραν τοῦ σώματος ἁμαρτίαν. οὐ γὰρ ὑφέστηκεν ὅλως ἡ τοῦ ἀνθρώπου ψυχὴ πρὸ αὐτοῦ. πληροφορεῖ δὲ πρὸς τοῦτο ἡμᾶς καὶ ἡ τοῦ νομικοῦ γράμματος δύναμις. εἰ γάρ, ὥς φησιν ὁ πεπλανημένος Ὠριγένης, ἐκ τῶν προγενεστέρων ἁμαρτιῶν λόγωι κολάσεως ἤτοι τιμωρίας ἐδέξατο τὸ σῶμα ἡ ψυχή, διὰ ποίαν αἰτίαν ἠπείλησε θάνατον τοῖς ἁμαρτάνουσιν; ἔδει γὰρ μᾶλλον τοὺς δικαίους ἀποθνήισκειν, ἵνα ἀπαλλάττωνται τῶν δεσμῶν καὶ τῆς τιμωρίας, ζῆν δὲ τοὺς ἁλιτηρίους, ἵνα κολάζωνται μὴ ἀπαλλασσόμενοι τῶν δεσμῶν.

Ἐκ τῆς ἐκτεθείσης ὑπὸ τῶν κατ' Αἴγυπτον καὶ Ἀλεξάνδρειαν ἐπισκόπων συνοδικῆς ἐπιστολῆς κατὰ τῶν Ὠριγένους δογμάτων

Οὗτος τοίνυν ὁ προκείμενος Ὠριγένης καθάπερ τὸ τῆς ἐρημώσεως βδέλυγμα ἐν μέσωι τῆς ἀληθοῦς ἐκκλησίας γεγένηται καὶ πρεσβύτερος χειροτονηθεὶς ὑπὸ τῆς κανονικῆς τε καὶ μιᾶς χειρὸς ἀληθινῆς εἶχε τὸ ἀξίωμα τοῦ πρεσβυτέρου ψιλόν τε καὶ μόνον καθάπερ καὶ τὸ τῆς ἀποστολῆς εἶχεν ὁ κλέπτης καὶ προδότης Ἰούδας. ἀρξαμένου γὰρ αὐτοῦ βλασφήμους ὁμιλίας ὁμιλεῖν ὁ κατ' ἐκεῖνο καιροῦ μακαρίτης Ἡρακλᾶς ἐπίσκοπος ὡς ἀροτὴρ καὶ ἀμπελουργὸς φιλαλήθης τοῦ τῆς ἐκκλησίας χωρίου τυγχάνων ἐκ μέσου τοῦ καλοῦ σίτου τοῦτον ἐξέτιλεν ὡς τοῦ πονηροῦ ζιζανίου ὄντα ἀληθῶς.

Καὶ μετ' ὀλίγα· ἐκπεσὼν οὖν οὗτος ἐπὶ τὴν γῆν οὐρανόθεν ὡς ἀστραπή, καθάπερ ὁ τούτου πατὴρ ὁ διάβολος, θυμοῦ πνέων πολλοῦ καὶ δεινοῦ κατὰ τῆς ἀληθείας ἐπὶ τὴν καλουμένην Παλαιστίνην χώραν ἔπλευσε καὶ καθίσας ἐν τῆι Καισαρέων μητροπόλει κἀκεῖσε τὸ πρόσωπον ἀποκαλύψας ὅλον ἐξ ὅλου τοῦ καλύμματος, καθάπερ ὁ
PG 971 ἰχθὺς ἡ σηπία παρά τισι καλουμένη, ὅσπερ αὐτῶι καθ' ἡδονὴν ἐτύγχανε, σκοτεινόν τε καὶ μέλανα ἰὸν ἐξεμέσας ἐγγράφως ἀπετυπώσατο καὶ καθάπερ Ἰουδαικὸς κάπηλος προσχήματι ἀγαθοῦ πικρῶι γλυκὺ κατέμιξε. τί γὰρ ὁ κακομήχανος καὶ μανιώδης λέγει; ἦν, φησί, πρὸ σώματος ἡ ψυχὴ ἐν οὐρανοῖς προοῦσα, κἀκεῖσε, φησίν, ἁμαρτήσασαν ἐν φυλακῆι κατήγγισε, τουτέστιν ἐν τῶι σώματι κατέπεμψεν, εἰς καθαρισμόν,

---

O [= aerv]

1 ἡ Oerl εἰ Oav ἐφεστῶσα Ov καὶ om. Oe ἁμαρτάνειν Oa 2 αὐτῶ Oa 5 καὶ² om. I 8 ἀγαθὰ Oe φαῦλα Oe 8/9 φανερωθήσεται Oav 9 τοῦ om. Oav ἤιδει] εἴδη Or 13 ὡς om. Oav 14 ἁμαρτημάτων Oe 16/17 ἁλιτροὺσ I ἁλλοτρίουσ Or 17 κολάζονται Ov ἀπαλλαττόμενοι Oaev 18 τοῦ αὐτοῦ extra textum in mg. superiore Oe ὑπὸ τῶν I τῶν Oaev om. Or 19 θαυμάτων Ov 20 ἐρημίασ βδέλλυγμα Oe 24 ὁμιλεῖν ὁμιλίασ Oav ἐκείνου Oav ἡρακλᾶσ ἐπίσκοπος I ἡρακλᾶσ ὁ ἐπίσκοποσ Oarv ἐπίσκοποσ ἡρακλᾶσ Oe 26 ἐξέτιλλεν Oav, corr. Oa 28 ὁ² om. Oav πνέων Orl τοῦ τε Oae τούτου Ov 29 παλαιστήνην Oev παλαιστείνην Ov corr. ἔπλευσε πνεύσασ Oe καθήσασ Oe ἐν τῆι] ἐν τῆ κατὰ Or 30 κἀκεῖθεν Or προσωπεῖου Orl 31 δσπερ I ὥσπερ Or ὅπερ Oaev αὐτῶ I αὐτοῦ O 31/32 σκοτεινός τε καὶ μέλας I 32 μέλαν Oaev βίου ἰὸν Oarv ἰὸς I ἐξεμέσασ I ἐξεμέσας ἐκεῖσε O 33 γλυκεῖ Oa

φησί, καὶ σωφρονισμὸν τῶν ἐν οὐρανοῖς αὐτῇ γεγενημένων ἁμαρτιῶν. πρῶτον ἔνθεν εὐθὺς ὁ ἀσεβέστατος μυθολογεῖ καὶ μάχεσθαι τῇ ἀληθείαι θέλει.

Καὶ μετ' ὀλίγα· εἰ δὲ προῆν ἡ ψυχὴ ἐν τοῖς οὐρανοῖς καὶ προημάρτηκεν ἐκεῖσε, L V 661
καθὼς Ὠριγένης ὁ μανιώδης καὶ θεομάχος ἔφησεν, ἔδει μὴ λέγειν τὸν ἁγιώτατον προ-
φήτην καὶ πλάσσων πνεῦμα ἀνθρώπου ἐν αὐτῶι, ἀλλὰ μᾶλλον καταγγίζων Zach. 12, 1
πνεῦμα ἀνθρώπου ἐν αὐτῶι ἢ τάχα καταπέμπων. νῦν δὲ μὴ τοῦτο λέγων, ἀλλὰ 6
πλάσσων ἐν αὐτῶι δείκνυσι τοῦτον λύκον ὄντα βαρύτατον ἐνδεδυμένον ἔξωθεν πρὸς
ἀπάτην ἀπωλείας τὰ κώιδια. ὡς οὐρανόθεν γὰρ ὁ ἐπίληπτος καὶ τὰ ἐκεῖσε δια-
τετυπωμένα ἐπιστάμενος προφανῶς οὐ μόνον προοῦσαν, ἀλλὰ καὶ προημαρτηκέναι
τὴν ψυχὴν λέγει. 10

Ἀποδέδεικται τοίνυν διά τε τῆς θείας γραφῆς καὶ τῶν ἁγίων πατέρων ὅτι οὐδὲ
τῇι τῶν Χριστιανῶν ἀληθινῇι πίστει οὐδὲ τῶι ὀρθῶι λόγωι συμβαίνουσιν αἱ τῶν αἱ-
ρετικῶν περὶ προυπάρξεως ψυχῶν φαντασίαι.

Καὶ τοῦτο δὲ πρὸς τοῖς ἄλλοις τὴν Ὠριγένους παρίστησιν ἄνοιαν, τὸ λέγειν τὸν
οὐρανὸν καὶ τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας καὶ τὰ ὕδατα τὰ ἐπάνω τῶν 15
οὐρανῶν ἔμψυχα καὶ λογικάς τινας εἶναι δυνάμεις. ταῦτα δὲ σαφῶς ἀπαγορεύει
καὶ ὁ ἐν ἁγίοις Βασίλειος ἐν τῶι τρίτωι λόγωι τοῦ ὑπομνήματος τῆς ἑξαημέρου λέγων
κατὰ τῶν Ὠριγένους δογμάτων οὕτως

Ἡμῖν δὲ καὶ πρὸς τοὺς ἀπὸ τῆς ἐκκλησίας ἐστί τις λόγος περὶ τῶν διακριθέντων ὑδά- PG 29, 73
των, οἳ προφάσει ἀναγωγῆς καὶ νοημάτων δῆθεν ὑφηλοτέρων εἰς ἀλληγορίαν κατέφυγον 20
δυνάμεις λέγοντες πνευματικὰς καὶ ἀσωμάτους τροπικῶς ἐκ τῶν ὑδάτων σημαίνεσθαι καὶ
ἄνω μὲν ἐπὶ τοῦ στερεώματος μεμενηκέναι τὰς κρείττους, κάτω δὲ τοῖς περιγείοις καὶ ὑλι-
κοῖς τόποις προσαπομεῖναι τὰς πονηράς. διὰ τοῦτο δέ φασι καὶ τὰ ἐπάνω τῶν οὐρα-
νῶν ὕδατα αἰνεῖν τὸν κύριον, τουτέστι τὰς ἀγαθὰς δυνάμεις ἀξίας οὔσας διὰ καθαρότητα
τοῦ ἡγεμονικοῦ τὸν πρέποντα αἶνον ἀποδιδόναι τῶι κτίσαντι· τὰ δὲ ὑποκάτω τῶν 25
οὐρανῶν ὕδατα τὰ πνευματικὰ εἶναι τῆς πονηρίας ἀπὸ τοῦ κατὰ φύσιν ὕψους εἰς τὸ τῆς Eph. 6, 12
κακίας βάθος καταπεσόντα, ἅπερ ὡς ταραχώδη ὄντα καὶ στασιαστικὰ καὶ τοῖς θορύβοις
τῶν παθῶν κυμαινόμενα θαλάσσας ὠνομάσθαι διὰ τὸ εὐμετάβλητον καὶ ἄστατον τῶν
κατὰ προαίρεσιν κινημάτων. τοὺς δὲ τοιούτους λόγους ὡς ὀνειράτων συγκρίσεις καὶ
γραώδεις μύθους ἀποπεμψάμενοι τὸ ὕδωρ ὕδωρ νοήσωμεν καὶ τὴν διάκρισιν τὴν ὑπὸ τοῦ 30
στερεώματος κατὰ τὴν ἀποδοθεῖσαν αἰτίαν δεξώμεθα, κἂν εἰς δοξολογίαν ποτὲ τοῦ κοινοῦ
τῶν ὅλων δεσπότου τὰ ὑπεράνω τῶν οὐρανῶν παραλαμβάνηται ὕδατα, οὐ λογικὴν αὐτὰ
φύσιν παρὰ τοῦτο τιθέμεθα. οὔτε γὰρ οἱ οὐρανοὶ ἔμψυχοι, ἐπειδὴ διηγοῦνται Ps. 18, 2
δόξαν θεοῦ οὐδὲ τὸ στερέωμα ζῶιον αἰσθητικόν, ἐπειδὴ ἀναγγέλλει ποίησιν τῶν 35
χειρῶν αὐτοῦ.

---

14. 15 cf. anath. ζ

O [= acrv], I

1 φησί om. I ἁμαρτημάτων Or 2 εὐθὺς om. Oa 3 τοῖς om. I προημάρτησεν I
5/6 ἀλλὰ - - αὐτῶι om. Ov 7 τοῦτον] τὸν Oe 8/9 ἐκεῖθεν τετυπωμένα Or 9 προεπιστάμενος
φανερῶς Or, corr. Or προημαρτηκυῖαν I 12 τοῦ ὀρθοῦ λόγου Or ὀρθῶι om. Oa
13 ὑπάρξεως Or ψυχῶν om. Oa 15 τὴν σελήνην καὶ τὸν ἥλιον Oc 16 ἐμψύχους I
22 ἄνω μὲν O ἄνωθεν I 26 τὰ IBas. om. O πνεύματα Oav 28 ὠνομάσθαι IBas. ὀνομά-
ζεσθαι Oer χρὴ ὀνομάζεσθαι Oav καὶ ἄστατον om. I 29 δὴ I συγκρίσεις IBas. συγχύσεις O
32 αὐτὰ] κατα Ov 35 αἰσθητικὸν OeIBas. αἰσθητὸν Oarv

Δεῖ δὴ προσέχειν τοὺς ἀκροατὰς ὅτι τῶι εἰπεῖν τὸν πατέρα 'πρὸς τοὺς ἀπὸ τῆς ἐκκλησίας ἐστί τις ἡμῖν λόγος' περὶ 'Ωριγένους διαλέγεται τῆς τοῦ θεοῦ χάριτος καὶ τῆς
PG 973 ἁγίας τοῦ θεοῦ ἐκκλησίας ἀπελαθέντος καὶ τῶν ὁμοφρόνων ἐκείνωι· οὐ γὰρ εἶπε· πρὸς τοὺς ἐν τῆι ἐκκλησίαι, ἀλλά 'πρὸς τοὺς ἀπὸ τῆς ἐκκλησίας ἡμῖν ἐστί τις λόγος'. καὶ διὰ μὲν τοῦ εἰπεῖν ἡμῖν τοὺς τῆς ἐκκλησίας ἐδήλωσε, διὰ δὲ τοῦ ἀπό τοὺς ταύτης ἀποπεσόντας ἐσήμανεν.

Ἓν δὲ καὶ μόνον τῶι δυσσεβεῖ 'Ωριγένει σπούδασμα γέγονε τὸ τὴν Ἑλληνικὴν
L V 624 πλάνην κρατῦναι καὶ ταῖς τῶν σαθροτέρων ψυχαῖς ζιζάνια ἐγκατασπεῖραι. δι' ὃ κἀκεῖνο τὸ γέλωτος μὲν ἄξιον, παρ' αὐτοῦ δὲ ὅμως εἰρημένον περὶ τῆς τῶν ἀνθρώπων ἐκ νεκρῶν ἀναστάσεως προσθεῖναι συνείδομεν. λέγει γὰρ ὅτι ἐν τῆι ἀναστάσει σφαιροειδῆ ἐγείρονται τὰ σώματα τῶν ἀνθρώπων. ὢ τῆς ἀνοίας καὶ ἀμαθίας τοῦ φρενοβλαβοῦς τούτου καὶ τῶν Ἑλληνικῶν δογμάτων ἐξηγητοῦ. ὅστις τυφλώττων τὴν διάνοιαν καὶ τῆι τῶν Χριστιανῶν πίστει μύθους ἐπιμεῖξαι σπουδάσας αὐτὴν τὴν τῶν Χριστιανῶν ἐλπίδα τε καὶ σωτηρίαν, τουτέστι τὴν ἐπηγγελμένην ἡμῖν ἀνάστασιν, ἐσπούδασεν ἐνυβρίσαι μηδὲ τὴν τοῦ κυρίου ἀνάστασιν ἐντρεπόμενος. ἐγερθεὶς γὰρ ὁ κύριος
Cor. 15, 20 ἐκ νεκρῶν καὶ ἀπαρχὴ τῶν κεκοιμημένων γενόμενος τοῖς μαθηταῖς ὤφθη καὶ ἔδειξεν αὐτοῖς καὶ τὰς διατρήσεις τῶν χειρῶν καὶ τῶν ποδῶν καὶ τὴν πληγὴν τῆς πλευρᾶς καὶ ἔφαγε μετὰ τὴν ἀνάστασιν, οὐχ ὡς τροφῆς δεόμενος, ἀλλ' ἵνα τῶι τρόπωι τούτωι τὴν τοῦ ἀναστάντος σώματος φύσιν πιστώσηται. ἀμέλει τοι καὶ ἀναλαμβανομένου τοῦ κυρίου
Act. 1, 11 ὁ ἄγγελος πρὸς τοὺς μαθητὰς ἔλεγεν· οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανὸν οὕτως ἐλεύσεται ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν. εἰ δὲ καθὼς 'Ωριγένης μαίνεται, σφαιροειδὲς ἦν τὸ σῶμα τοῦ κυρίου, πῶς εἶχε δεῖξαι τὰς τῶν χειρῶν καὶ ποδῶν διατρήσεις ἢ τὴν πληγὴν τῆς πλευρᾶς; ἢ πῶς φαγεῖν ἠδύνατο ἢ ὅλως ὑπὸ τῶν μαθητῶν γνωρισθῆναι; πῶς δὲ καὶ
Mt. 27, 53 τὰ τῶν ἁγίων σώματα μετὰ τὴν τοῦ κυρίου ἀνάστασιν ἐγερθέντα καὶ ὀφθέντα ἐν τῆι ἁγίαι πόλει δυνατὸν ἦν παρὰ τῶν ἄλλων γνωρισθῆναι, εἴπερ ἐν ἄλλωι σχήματι ἦν παρ' ὅπερ ἐτύγχανεν ἐν τῆι ζωῆι; ἐν τῆι πέτραι τοίνυν τῆς πίστεως οὐκ ἐστηριγμένος ἀλλὰ τοιαύτας καὶ τούτων πολλῶι χείρους βλασφημίας ὁ δυσσεβὴς 'Ωριγένης ἐκθέμενος εἰκότως ἐν τῶι καιρῶι τοῦ μαρτυρίου τὸν μὲν Χριστὸν ἀπηρνήσατο, τῆι δὲ παρ' αὐτοῦ εἰσαγομένηι Ἑλληνικῆι πολυθείαι προσεκύνησε. καὶ τοῦτο δὲ κατὰ θεοῦ γέγονε πρόνοιαν, ἵνα μὴ ἀντὶ μάρτυρος ἐν τῆι ἐκκλησίαι δεχθῆι καὶ ἐντεῦθεν τῆι ποίμνηι τοῦ Χριστοῦ βλάβη προσγένηται. εἰ γάρ τινές εἰσι καὶ νῦν ὁμολογοῦντες μὲν τὸ ἐκείνου πτῶμα, ἀντιποιούμενοι δὲ τῶν αὐτοῦ, πῶς οὐκ ἔμελλον τὰ αὐτοῦ ὡς μάρτυρος καὶ πατρὸς ἐκδικεῖν, εἴπερ συνέβη αὐτὸν μὴ προσκυνήσαντα τοῖς εἰδώλοις τελειωθῆναι; οὐδεὶς γὰρ τῆς ἀληθείας ἀντεχόμενος ἐκπίπτει θεοῦ ἢ ἐγκακαλιμπάνεται ὑπ' αὐτοῦ κατὰ τὸ εἰρη-
Sir. 2, 10 μένον τῆι θείαι γραφῆι· ἐμβλέψατε εἰς ἀρχαίας γενεὰς καὶ ἴδετε· τίς ἐπίστευσε τῶι κυρίωι καὶ ἐγκατελείφθη; ἢ τίς ἤλπισεν εἰς αὐτὸν καὶ ὑπερεῖδεν αὐτόν; 'Ωριγένης δὲ ὁ δυσσεβὴς τὰς ἑαυτοῦ βλασφημίας οὐ μέχρις ἑαυτοῦ ἔστησεν, ἀλλὰ διὰ

10. 11 cf. anath. ε

30 ἐντεῦθεν γνῶτε δι' ἣν αἰτίαν 'Ωριγένης παρεχωρήθη ὑπὸ θεοῦ ἀρνήσασθαι αὐτόν Or in mg.

O [= aerv], I

1 δὴ I δὲ O τῶ I τὸ O 3 ἁγίας om. OrI ἐκείνων Ov 5 ἀπὸ OavI ἀπὸ τοῦ Or εἰπεῖν ἀπὸ Oe αὐτῆσ Or τῆσ ἐκκλησίασ I 6 ἐδήλωσεν. superscr. γρ ἐσήμανεν Or 7 δὴ I 10 προθεῖναι Oarv 12 καὶ om. I 13 ἐπιμίξαι Oaerl τῶν om. Oe 14 τε om. Or 14/15 ἐσπούδασεν — ἀνάστασιν om. I 20 ἡμῶν Ov 23 τοῦ om. Or 25 ἐγερθέντα ἀνάστασιν Oav 26 παρὰ — ἦν om. I 27/28 οὐκ ἐστηριγμένοσ OavI ἐστηριγμένοσ οὐδαμῶσ Oe 32 προσγένηται OaI προσγίνηται Oev προσγίνεται Or 37 ἐγκατελείφθη OaerI κατησχύνθη Ov

τῶν ἰδίων συγγραμμάτων καὶ εἰς πολλοὺς ἑτέρους τὴν οἰκείαν πλάνην παρέπεμψεν, ὥστε πάνυ ἐπ' αὐτῶι ἁρμοδίαν εἶναι τὴν τοῦ ἁγίου ἀποστόλου Παύλου φωνὴν λέγουσαν ὅτι τινῶν μὲν αἱ ἁμαρτίαι πρόδηλοί εἰσι προάγουσαι εἰς κρίσιν, τισὶ δὲ 1 Tim. 5, 24
καὶ ἐπακολουθοῦσιν. ἡ γὰρ διαδοχὴ τῆς πλάνης αὐτοῦ ἐν ταῖς τῶν σαθροτέρων PG 975
ἕρπουσα ψυχαῖς δίδωσιν ἀκολουθεῖν αὐτῶι τὰς ἐξ ἀρχῆς ὑπ' αὐτοῦ γενομένας ἁμαρτίας.
ὡς γὰρ οὐκ ἐξαρκούσης τοῖς τὰ 'Ωριγένους δοξάζουσι τῆς περὶ προυπάρξεως τῶν ψυχῶν
ἀσεβείας καὶ τῶν ἄλλων αὐτοῦ ματαιολογιῶν καὶ τῶν περὶ τῆς ἁγίας τριάδος βλασφη-
μιῶν, καὶ τοῦτο τῆι οἰκείαι προστιθέασι πλάνηι ἐκ τῶν ἐκείνου διεστραμμένων ὁδηγούμενοι
λόγων τὸ λέγειν ὅτι πάντων ἀσεβῶν ἀνθρώπων καὶ πρός γε δαιμόνων ἡ κόλασις πέρας L V 065
ἔχει καὶ ἀποκατασταθήσονται ἀσεβεῖς τε καὶ δαίμονες εἰς τὴν προτέραν αὐτῶν τάξιν.
ταῦτα δὲ λέγοντες ῥαθύμους μὲν ποιοῦσι τοὺς ἀνθρώπους περὶ τὸ πληροῦν τὰς ἐντολὰς
τοῦ θεοῦ, τῆς στενῆς καὶ τεθλιμμένης ὁδοῦ ἀποτρέποντες καὶ πρὸς τὴν πλατεῖαν καὶ εὐρύ-
χωρον ἀποπλανῶντες· ἐναντιοῦνται δὲ καθάπαξ καὶ τοῖς παρὰ τοῦ μεγάλου θεοῦ καὶ σω-
τῆρος ἡμῶν 'Ιησοῦ Χριστοῦ λεγομένοις. αὐτὸς γὰρ ἐν τῶι ἁγίωι εὐαγγελίωι διδάσκει
ὡς οἱ μὲν ἀσεβεῖς ἀπελεύσονται εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν Mt. 25, 46
αἰώνιον. καὶ πάλιν λέγει τοῖς μὲν ἐκ δεξιῶν· δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός Mt. 25, 34
μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς
κόσμου· τοῖς δὲ ἐξ εὐωνύμων· πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ ibid. 41
τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῶι διαβόλωι καὶ τοῖς ἀγγέλοις αὐτοῦ.
φανερῶς οὖν τοῦ κυρίου διὰ τοῦ ἁγίου εὐαγγελίου ἀτελεύτητον τήν τε κόλασιν τήν τε
βασιλείαν ἐπαγγελλομένου πρόδηλοι καθεστᾶσιν οὗτοι τοὺς 'Ωριγένους μύθους προτι-
μῶντες τῶν τοῦ κυρίου ἀποφάσεων. ὅπουγε κἀκεῖθεν αὐτῶν ἡ ἄνοια διελέγχεται.
εἰ γάρ τις κατὰ τοὺς ἐκείνου λήρους ὑπόθοιτο πέρας ἔχειν τὴν κόλασιν, ἀνάγκη τὸν τοι-
οῦτον καὶ τῆι ἐπηγγελμένηι τοῖς δικαίοις αἰωνίαι ζωῆι τέλος ἐπιθεῖναι· ἐξ ἴσης γὰρ ἐπ'
ἀμφοτέρων τὸ αἰώνιον κεῖται. καὶ εἴπερ πέρας ἔχει κόλασίς τε καὶ ἀπόλαυσις, διὰ τί ἡ
ἐνανθρώπησις τοῦ κυρίου ἡμῶν 'Ιησοῦ Χριστοῦ; διὰ τί δὲ καὶ ἡ σταύρωσις καὶ ὁ θάνατος
καὶ ἡ ταφὴ καὶ ἡ ἀνάστασις τοῦ κυρίου; ποῖον δὲ ὄφελος τοῖς τὸν καλὸν ἀγῶνα ἀγωνισα-
μένοις καὶ ὑπὲρ Χριστοῦ μαρτυρήσασιν, εἰ μέλλοιεν δαίμονές τε καὶ ἀσεβεῖς τὴν αὐτὴν τοῖς
ἁγίοις τάξιν διὰ τῆς ἀποκαταστάσεως λαμβάνειν; ἀλλὰ ταῦτα μὲν ἐπὶ τὰς ἐκείνων τρα-
πείη κεφαλὰς τῶν ταῦτα μυθολογούντων· οἱ γὰρ τοῦ Χριστοῦ λόγοι διαμενοῦσιν ἀσάλευ-
τοι ἐν ταῖς τῶν πιστῶν ψυχαῖς καὶ ἐν αὐτῆι τῆι τῶν πραγμάτων ἀληθείαι. οἱ δὲ τὴν
'Ωριγένους ἐκδικοῦντες κακοδοξίαν φεύγοντες τοὺς περὶ τούτων ἀρραγεῖς ἐλέγχους καὶ
συγκρύπτειν τὴν ἑαυτῶν πλάνην βουλόμενοι τινὰς ῥήσεις ἐκ τῶν ἁγίων πατέρων κακῶς
ἐκλαμβάνοντες καὶ πρὸς τὸν ἴδιον νοῦν παρερμηνεύοντες τῆι οἰκείαι προσαρμόζουσι νόσωι,
ὅπερ ποιοῦσι καὶ ἐπὶ τῶν θείων γραφῶν. ἡμεῖς δὲ ἐξ αὐτῶν τῶν ἁγίων πατέρων ἀπο-
δείξομεν ματαίους εἶναι καὶ τοὺς τοιούτους αὐτῶν λόγους. λέγει τοίνυν ὁ ἐν ἁγίοις
Γρηγόριος ὁ θεολόγος ἐν τῶι ἀπολογητικῶι λόγωι τάδε

ἡμῖν δὲ οἷς τὸ κινδυνευόμενόν ἐστι σωτηρία ψυχῆς τῆς μακαρίας τε καὶ ἀθανάτου PG 35, 437
καὶ ἀθάνατα κολασθησομένης ἢ ἐπαινεθησομένης διὰ κακίαν ἢ ἀρετήν, πόσον χρὴ δοκεῖν
εἶναι τὸν ἀγῶνα καὶ ὅσης δεῖν τῆς ἐπιστήμης;

9—10 cf. anath. θ̄

O [= aerv], I

2 ἀποστόλου om. OrI 8 προτιθέασι Ov 12 αὐτοὺσ ἀποτρέποντεσ ὁδοῦ Oe 13 παρὰ om. Oe 17 καὶ κληρονομήσατε Oe 20 τε1 om. Oe τήν τε Oarv] καὶ τὴν Oe 21 καεστᾶσιν OrI καθιστᾶσιν Ov καθεστήκασιν Oae τοὺσ — μύθουσ Oarv] τὰ — ληρήματα Oe 23 τι Ov ἐκείνων Oav ὑπόθητο Ov 24 αἰωνίω Or 30 κῦ̄ I 37 θεολόγος γρηγόριος Oe λόγωι om. OrI 40 ἐπιστήμησ Oarv I Greg. σπουδῆσ Oe

Καὶ ὁ αὐτὸς αὖθις ἐν τῶι εἰς τὴν πληγὴν τῆς χαλάζης λόγωι τάδε φησί

PG 35, 945 Τίς ψευδὴς ἀπολογία, ποία πιθανότης ἔντεχνος, τίς ἐπίνοια κατὰ τῆς ἀληθείας παραλογιεῖται τὸ δικαστήριον καὶ κλέψει τὴν ὀρθὴν κρίσιν τοῖς πᾶσι πάντα ἐν ζυγῶι τιθεῖσαν
PG 977 καὶ πρᾶξιν καὶ λόγον καὶ διανόημα καὶ ἀντισηκοῦσαν τοῖς πονηροῖς τὰ βελτίονα, ἵνα τὸ ῥέπον νικήσηι καὶ μετὰ τοῦ πλείονος ἡ ψῆφος γένηται, μεθ' ἣν οὐκ ἔφεσις, οὐ κριτὴς ὑψηλότερος, οὐκ ἀπολογία δι' ἔργων δευτέρων, οὐκ ἔλαιον παρὰ τῶν φρονίμων παρθένων ἢ τῶν πωλούντων ταῖς ἐκλειπούσαις λαμπάσιν, οὐ μεταμέλεια πλουσίου φλογὶ τηκομένου καὶ τοῖς οἰκείοις ἐπιζητοῦντος διόρθωσιν, οὐ προθεσμία μεταποιήσεως, ἀλλὰ καὶ μόνιμον
L V 688 καὶ τελευταῖον καὶ φοβερὸν τὸ κριτήριον καὶ δίκαιον πλέον ἢ ὅσον ἐπίφοβον, μᾶλλον δὲ διὰ
Dan. 7, 9. 10 τοῦτο καὶ φοβερώτερον, ὅτι δίκαιον, ἡνίκα θρόνοι τίθενται καὶ παλαιὸς ἡμερῶν προκαθέζεται καὶ βίβλοι ἀνοίγονται καὶ ποταμὸς πυρὸς ἕλκεται καὶ τὸ φῶς ἔμπροσθεν καὶ τὸ σκότος ἡτοιμασμένον καὶ πορεύονται οἱ τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς τῆς ἐν Χριστῶι νῦν κρυπτομένης καὶ ὕστερον αὐτῶι συμφανερουμένης, οἱ δὲ τὰ φαῦλα πράξαντες εἰς ἀνάστασιν κρίσεως, ἣν ἤδη παρὰ τοῦ κρίναντος αὐτοὺς λόγου οἱ μὴ πιστεύοντες κατεκρίθησαν. καὶ τοὺς μὲν τὸ ἄφραστον φῶς διαδέχεται καὶ ἡ τῆς ἁγίας καὶ βασιλικῆς θεωρία τριάδος ἐλλαμπούσης τρανότερόν τε καὶ καθαρώτερον καὶ ὅλης ὅλωι νοὶ μιγνυμένης, ἣν δὴ καὶ μόνην βασιλείαν οὐρανῶν ἐγὼ τίθεμαι· τοῖς δὲ μετὰ τῶν ἄλλων βάσανος, μᾶλλον δὲ πρὸ τῶν ἄλλων τὸ ἀπερρίφθαι θεοῦ καὶ ἡ ἐν τῶι συνειδότι αἰσχύνη πέρας οὐκ ἔχουσα.

Βασιλείου ἐπισκόπου Καισαρείας Καππαδοκίας ἐκ τοῦ ἀσκητικοῦ αὐτοῦ βιβλίου

PG 31, 1264 ἐρώτησις· Εἰ ὅπου μὲν λέγει δαρήσεται πολλάς, ὅπου δὲ ὀλίγας, πῶς λέγουσι
Lc. 12, 47. 48 τινὲς μὴ εἶναι τέλος τῆς κολάσεως τοῖς κολαζομένοις; ἀπόκρισις· Τὰ ἀμφίβολα καὶ ἐπικεκαλυμμένως εἰρῆσθαι δοκοῦντα ἔν τισι τόποις τῆς θεοπνεύστου γραφῆς ὑπὸ τῶν ἄλλων ἐν
Mt. 25, 46 ἄλλοις ὁμολογουμένων σαφηνίζεται. τοῦ οὖν κυρίου ἀποφηναμένου ὅτι ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον, ποτὲ δὲ
Mt. 25, 41 ἐκπέμποντος εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῶι διαβόλωι καὶ
Mc. 9, 48 τοῖς ἀγγέλοις αὐτοῦ καὶ ἄλλοτε ὀνομάζοντος γέενναν πυρὸς καὶ ἐπιφέροντος ὅπου ὁ σκώληξ αὐτῶν οὐ τελευτᾶι καὶ τὸ πῦρ οὐ σβέννυται, καὶ ἔτι πάλαι διὰ
Ies. 66, 24 τοῦ προφήτου περί τινων προειρηκότος ὅτι ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει καὶ τὸ πῦρ οὐ σβεσθήσεται, τούτων καὶ τῶν τοιούτων πολλάκις ὑπὸ τῆς θεοπνεύστου γραφῆς λεγομένων, ἓν καὶ τοῦτο τῆς μεθοδείας τοῦ διαβόλου τὸ τοὺς πολλοὺς τῶν ἀνθρώπων ὥσπερ ἐπιλαθομένους τῶν τοσούτων καὶ τοιούτων τοῦ κυρίου ἀποφάσεων τέλος κατατολμᾶν κολάσεων τῆς ἁμαρτίας εἰς τὸ μέλλον ἑαυτοῖς ὑπογράφειν. εἰ γὰρ τῆς αἰωνίου κολάσεως ἔσται ποτὲ τέλος, ἔξει πάντως καὶ ἡ αἰώνιος ζωὴ τέλος· εἰ δὲ ἐπὶ τῆς ζωῆς οὐχ οὕτως νοῆσαι τὸ ῥητὸν καταδεχόμεθα, ποῖον ἔχει λόγον τῆι κολάσει τῆι αἰωνίωι

O [= aerv], I

1 ὁ αὐτὸς — φησί I μετ' ὀλίγα O τοῦ θεολόγου O^e in mg. sup. extra textum 7 ταῖς om. O^r μεταμέλειαν O^r 8 καὶ μόνιμον O μόνον I 9 καὶ τελευταῖον καὶ φοβερὸν O^eI Greg. καὶ φοβερὸν καὶ τελευταῖον O^{aerv} 10 φοβερώτατον O^e 13 νῦν om. I 14 πιστεύσαντεσ O^v 15 τούτους O^e 16 θεωρία — ἐλλαμπούσης I Greg. τριάδοσ χάρισ ἐκλαμπούσησ O τρανώτερον O^{av} 17 οὐρανῶν βασιλείαν O^rI τίθεμαι I Greg. τίθημι O 18 ἀπερίφθαι O^{av} 20 τοῦ ἁγίου βασιλείου I ἀσκητικοῦ I κανονικοῦ O 21 πολλὰ — ὀλίγα O^r πῶς om. I 22 μὴ om. I ἀπόκρισις om. O^v 23 τῆς] τοῖσ O^v 25 ποτὲ δὲ om. O^r καὶ I ἐκπέμποντος I ἐκπέμποντοσ ἡμᾶσ O ἐκπέμποντος τινὰς Bas. edd. 32 τοιούτων καὶ τοσούτων O^r 32/33 τέλος — μέλλον O^e τέλος κολάσεως εἰς τὸ μέλλον κατατολμᾶν τῆς ἁμαρτίας Bas. εἰς τὸ μέλλον κατατολμᾶν τὰσ ἁμαρτίασ [ἀνέσεισ I] $O^{arv}I$ ἑαυτοῖς] αὐτῶν O^r περιγράφειν O^a 35 τῆι κολάσει om. O^a, κολάσει post αἰωνίωι superscr. αἰωνία O^r

τέλος διδόναι; ἡ γὰρ τοῦ αἰωνίου προσθήκη ἐφ' ἑκατέρων ἐπ' ἴσης κεῖται· ἀπελεύσονται γάρ φησιν, οὗτοι εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον. Mt. 25, 46

Τοῦ αὐτοῦ ἐκ τοῦ προτρεπτικοῦ εἰς τὸ βάπτισμα λόγου

Διὰ πρόσκαιρον ἁμαρτίας ἀπόλαυσιν ἀθάνατα βασανίζομαι· δι' ἡδονὴν σαρκὸς τῶι πυρὶ τῶι αἰωνίωι παραδίδομαι. PG 31, 444 5

Τοῦ ἐν ἁγίοις Ἰωάννου ἐπισκόπου Κωνσταντινουπόλεως ἐκ τοῦ πρὸς Θεόδωρον τὸν μοναχόν 1, 38 Montf. [PG 47, 313]

Ταῦτα ἐννόει δι' ὅλου καὶ τὸν ποταμὸν τοῦ πυρός· ποταμὸς γὰρ πυρὸς εἵλκε πρὸ προσώπου αὐτοῦ. Dan. 7, 10

οὐκ ἔστιν ἐκείνωι παραδοθέντα τῶι πυρὶ προσδοκῆσαι κολάσεως τέλος. ἀλλ' αἱ μὲν ἄτοποι τοῦ βίου ἡδοναὶ τῶν σκιῶν καὶ ὀνειράτων διαφέρουσιν οὐδέν, πρὶν ἢ γὰρ τελεσθῆναι τὰ τῆς ἁμαρτίας σβέννυται τὰ τῆς ἡδονῆς· αἱ δὲ ὑπὲρ τούτων κολάσεις πέρας οὐκ ἔχουσιν. PG 979 11

Τοῦ αὐτοῦ ἐκ τοῦ ὑπομνήματος τῆς πρὸς Κορινθίους πρώτης ἐπιστολῆς

Οὐ μικρὸν ἡμῖν τὸ προκείμενον ζήτημα ἐντεῦθεν, ἀλλὰ καὶ περὶ τῶν σφόδρα ἀναγκαίων. ἅπαντες ζητοῦσιν ἄνθρωποι εἰ τέλος ἔχει τὸ τῆς γεέννης πῦρ· ὅτι μὲν γὰρ οὐκ ἔχει, ὁ Χριστὸς ἀπεφήνατο λέγων· τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται καὶ ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει· καὶ ὁ Παῦλος δὲ δεικνὺς ἀθάνατον τὴν κόλασίν φησιν· οἱ ἁμαρτάνοντες δίκην τίσουσιν ὄλεθρον αἰώνιον. 10, 73 Montf. [PG 61, 75] Mc. 9, 48 17 2 Thess. 1, 9

Τῆς τοίνυν θείας γραφῆς καὶ τῶν ἁγίων πατέρων σαφῶς ἡμᾶς ἐκδιδασκόντων μὴ εἶναι τέλος κολάσεως τῶν ἀσεβῶν καὶ τῶν ὑπ' ἐκείνων θεραπευομένων δαιμόνων, ποίαν ἀποκατάστασιν οἱ τὰ 'Ωριγένους φρονοῦντες φαντάζονται, ἐν ὧι πέρας αἱ τιμωρίαι οὐκ ἔχουσιν; ἡ ἁγία γὰρ τοῦ θεοῦ ἐκκλησία ὥσπερ τοῖς δικαίοις ἀτελεύτητον κηρύσσει τὴν αἰώνιον ζωήν, οὕτω καὶ τοῖς ἀσεβέσιν ἀτελεύτητον κόλασιν παραδίδωσι.

Καὶ ταῦτα μὲν ἐν τούτοις· ἡμεῖς δὲ ὀλίγα μὲν ἐκ πολλῶν τῆι τε θείαι γραφῆι τοῖς τε ἁγίοις πατράσιν εἰρημένων παραγαγεῖν συνείδομεν πρὸς τὸ ἐλέγξαι τὴν τῶν 'Ωριγενιαστῶν δυσσέβειαν, βουλόμενοι δὲ πᾶν σκάνδαλον τῆς ἁγιωτάτης ἐκκλησίας ἀπελάσαι πρὸς τὸ μηδένα ῥύπον ἐν αὐτῆι καταλειφθῆναι καὶ ἀκολουθοῦντες ταῖς θείαις γραφαῖς τοῖς τε ἁγίοις πατράσι τοῖς τὸν αὐτὸν 'Ωριγένην καὶ τὰ τοιαῦτα μυσαρὰ καὶ ἀσεβῆ δόγματα ἐκβαλοῦσί τε καὶ δικαίως ἀναθέματι ὑποβαλοῦσι τὴν παροῦσαν ἡμῶν ἐπιστολὴν πρὸς τὴν σὴν ποιούμεθα μακαριότητα, δι' ἧς προτρέπομεν αὐτὴν συναγαγεῖν ἅπαντας τοὺς ἐνδημοῦντας κατὰ ταύτην τὴν βασιλίδα πόλιν ὁσιωτάτους ἐπισκόπους καὶ τοὺς θεοφιλεστάτους τῶν ἐνταῦθα εὐαγῶν μοναστηρίων ἡγουμένους καὶ παρασκευάσαι πάντας ἐγγράφως τὸν εἰρημένον δυσσεβῆ τε καὶ θεομάχον 'Ωριγένην τὸν καὶ Ἀδαμάντιον πρεσ-

O [= aerv], I

2 οὗτοι om. Oav 3 τοῦ αὐτοῦ I in mg. 4 ἀπόλαυσιν I Bas. ἡδονὴν O 5 τῶ αἰωνίω πυρὶ OrI τῶ πυρὶ Bas. edd. 6 Τοῦ — Κωνσταντινουπόλεως om. I, τοῦ χρυσοστόμου in mg. ἐν ἁγίοις Oarv ἁγίου Oe ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ χρυσοστόμου Oe τοῦ I τῆς O τὸν om. OrI 7 μοναχὸν ἐκπεσόντα I μοναχὸν πρώτης ἐπιστολῆς O 8 ταῦτα om. OeI 9 ἐκεῖνον Or 13 τοῦ αὐτοῦ I in mg. 16 εἰπὼν Or 17 δὲ om. OrI ἀθάνατον τὴν κόλασιν Oaev αὐτὸ ἀθάνατον OrI 18 ὀλέθριον Or 19 θείασ τοίνυν Oe 20 τῆς κολάσεως I ἀσεβῶν καὶ τῶν om. Oav καὶ om. Oe δαιμόνων om. Oav 22 γὰρ ἁγία OrI 23 τὴν κόλασιν Or 25 εἰρημένοις Oarv 25/26 ὡριγενειαστῶν Oe ὡριγενιατῶν Ov 28 τοιαῦτα OeI αὐτοῦ Oav ἀσεβῆ αὐτοῦ Or 33 ἀσεβῆ I τε om. OrI

βύτερον γενόμενον τῆς κατὰ Ἀλεξάνδρειαν ἁγιωτάτης ἐκκλησίας καὶ τὰ αὐτοῦ μυσαρὰ καὶ ἀσεβῆ δόγματα καὶ τὰ ὑποτεταγμένα πάντα κεφάλαια πᾶσι τρόποις ἀναθεματίσαι, ἐκπέμψαι δὲ καὶ τὰ ἴσα τῶν παρὰ τῆς σῆς μακαριότητος ταύτης ἕνεκα τῆς αἰτίας πραττομένων καὶ πρὸς τοὺς ἄλλους ἅπαντας ὁσιωτάτους ἐπισκόπους καὶ εὐαγῶν μοναστηρίων ἡγουμένους, ἐφ' ὥι τε καὶ αὐτοὺς δι' οἰκείας ὑπογραφῆς ἀναθεματίσαι Ὠριγένην καὶ τὰ μυσαρὰ αὐτοῦ δόγματα μετὰ πάντων τῶν δηλωθησομένων αἱρετικῶν, καὶ τοῦ λοιποῦ δὲ μὴ ἄλλως ἐπισκόπους χειροτονεῖσθαι ἢ μοναστηρίων ἡγουμένους, εἰ μήτι γε πρότερον μετὰ τῶν ἄλλων ἁπάντων αἱρετικῶν τῶν ἐξ ἔθους ἐν τοῖς γινομένοις λιβέλλοις ἀναθεματιζομένων, τουτέστι Σαβελλίου Ἀρείου Ἀπολιναρίου Νεστορίου Εὐτυχοῦς Διοσκόρου Τιμοθέου τοῦ Αἰλούρου καὶ Πέτρου τοῦ Μογγοῦ καὶ Ἀνθίμου Τραπεζοῦντος, Θεοδοσίου τοῦ Ἀλεξανδρέως, Πέτρου καὶ Σεβήρου τῶν πρώην Ἀντιοχείας καὶ Πέτρου τοῦ ποτὲ Ἀπαμείας καὶ τὸν εἰρημένον Ὠριγένην τὸν τὴν Ἑλληνικὴν καὶ Ἀρειανικὴν μανίαν νοσήσαντα
PG 981 μετὰ τῶν αὐτοῦ μυσαρῶν καὶ ἀσεβῶν δογμάτων ἀναθεματίσουσι. δεῖ γὰρ ἅπασι προαγορεῦσαι τοῦ μηδένα τολμᾶν παντελῶς ἀντιποιεῖσθαι τοῦ τοιούτου αἱρετικοῦ ἢ τῶν αὐτοῦ ἐκθέσεων, ἀλλὰ ταύτας ἕκαστον ἐκ πάσης ψυχῆς καὶ πάσης διανοίας μισεῖν τε καὶ ἀποστρέφεσθαι καὶ ἀναθεματίζειν οἷα τῆς Χριστιανικῆς παραδόσεως ἀλλοτρίας καθεστώσας καὶ ταῖς τῶν ἁπλουστέρων ψυχαῖς μεγάλην ἐργαζομένας λύμην.

Ταῦτα δὲ αὐτὰ γεγραφήκαμεν οὐ μόνον πρὸς τὴν σὴν ἁγιωσύνην, ἀλλὰ καὶ πρὸς τὸν ἁγιώτατον καὶ μακαριώτατον πάπαν τῆς πρεσβυτέρας Ῥώμης καὶ πατριάρχην Βιγίλιον καὶ τοὺς λοιποὺς ἅπαντας ἁγιωτάτους ἐπισκόπους καὶ πατριάρχας, τουτέστιν
L V 672 Ἀλεξανδρείας Θεουπόλεως καὶ Ἱεροσολύμων, ὥστε καὶ αὐτοὺς πρόνοιαν θέσθαι τοῦ ἔργωι καὶ πέρατι ταῦτα παραδοθῆναι. βουλόμενοι δὲ πάντας τοὺς Χριστιανοὺς γνῶναι ὡς τὰ Ὠριγένει συγγεγραμμένα παντελῶς ἀλλότρια τῆς ἀληθοῦς τῶν Χριστιανῶν τυγχάνει πίστεως, συνείδομεν ἐκ τῶν πολλῶν αὐτοῦ καὶ ἀμέτρων βλασμφημιῶν ὀλίγας ἐπ' αὐτῆς λέξεως παραθεῖναι· ἔχουσι δὲ οὕτως

Ἐκ τοῦ πρώτου λόγου τοῦ Περὶ ἀρχῶν βιβλίου

1 Ὅτι ὁ μὲν θεὸς καὶ πατὴρ συνέχων τὰ πάντα φθάνει εἰς ἕκαστον τῶν ὄντων μεταδιδοὺς ἑκάστωι ἀπὸ τοῦ ἰδίου τὸ εἶναι ὅπερ ἐστίν, ἐλαττόνως δὲ παρὰ τὸν πατέρα ὁ υἱὸς φθάνων ἐπὶ μόνα τὰ λογικά, δεύτερος γάρ ἐστι τοῦ πατρός· ἔτι δὲ ἠττόνως τὸ πνεῦμα τὸ ἅγιον ἐπὶ μόνους τοὺς ἁγίους διικνούμενον. ὥστε κατὰ τοῦτο μείζων ἡ δύναμις τοῦ πατρὸς παρὰ τὸν υἱὸν καὶ τὸ πνεῦμα τὸ ἅγιον, πλείων δὲ ἡ τοῦ υἱοῦ παρὰ τὸ πνεῦμα τὸ ἅγιον, καὶ πάλιν διαφέρουσα μᾶλλον τοῦ ἁγίου πνεύματος ἡ δύναμις παρὰ τὰ ἄλλα ἅγια.

---

1 = Hieronym. ep. 124 p. 98, 1—6 cf. supra p. 190, 2—4

O [= aerv], I

2 τὰ I om. O πάντα] πᾶσι O^{e} 4 καὶ¹ om. I ἁγιωτάτους O^{r} τῶν εὐαγῶν O^{r}I 7 δὲ om. O^{av}I ἄλλους O^{v} ἢ καὶ O^{av} μήτι γε O^{er}I μὴ O^{av} 8 γενομένοις O^{e} 9 Νεστορίου om. O^{av} 11 Πέτρου¹ — Ἀπαμείας] πέτρου τοῦ ἀπαμείας καὶ σεβήρου τοῦ ποτὲ ἀντιοχείας O^{r}I 11/12 Ἀπαμείας scripsi ἀντιοχείας O^{aev} 13 αὐτοῦ om. I ἀναθεματίσωσι O^{er} 15 ταῦτα O^{r} 16/17 ἀλλοτρίων καθεστωσῶν [καθεστὼσ O^{v}] O^{av} 17 ἐργαζομένων O^{av} 18 γεγράφαμεν I 20 βιγίλλιον O^{ev} O^{a} corr. 21 τοῦ I τῶ O 23 ὠριγένους O^{v} 25 παραθῆναι O^{v} 26 ὠριγένους ἐκ I τοῦ ὠριγένους in mg. extra textum O^{e} 27 μὲν ὁ O^{ev} 28 τὸ] τοῦ O^{av} ὅπερ I ὥ γάρ O^{arv} ὧν O^{e} ἔστι τί O^{e} 29 ἧττον O^{r} 30 δεικνύμενον O^{r} 31 τὸ ἅγιον πνεῦμα O^{a} 32 τοῦ] ἡ τοῦ O^{r}

"Οτι πεπερασμένη ἐστὶν ἡ τοῦ θεοῦ καὶ πατρὸς δύναμις, ἐκ τοῦ δευτέρου λόγου τοῦ αὐτοῦ βιβλίου

II Πεπερασμένην γὰρ εἶναι καὶ τὴν δύναμιν τοῦ θεοῦ λεκτέον καὶ οὐ προφάσει εὐφημίας τὴν περιγραφὴν αὐτῆς περιαιρετέον. Καὶ μετ' ὀλίγα· Πεποίηκε τοίνυν τοσαῦτα ὅσων ἠδύνατο περιδράξασθαι καὶ ἔχειν ὑπὸ χεῖρα καὶ συγκροτεῖν ὑπὸ τὴν ἑαυτοῦ πρόνοιαν, ὥσπερ καὶ τοσαύτην ὕλην κατεσκεύασεν ὅσην ἠδύνατο διακοσμῆσαι.

Ἐκ τοῦ τετάρτου λόγου τοῦ αὐτοῦ βιβλίου

III Μηδεὶς προσκοπτέτω τῶι λόγωι, εἰ μέτρα ἐπιτίθεμεν καὶ τῆι τοῦ θεοῦ δυνάμει. ἄπειρα γὰρ περιλαβεῖν τῆι φύσει ἀδύνατον τυγχάνει. ἅπαξ δὲ πεπερασμένων ὄντων ὧν περιδράττεται αὐτὸς ὁ θεός, ἀνάγκη ὅρον εἶναι μέχρι πόσων πεπερασμένων διαρκεῖ.

"Οτι κτίσμα καὶ γενητὸς ὁ υἱός, ἐκ τοῦ αὐτοῦ τετάρτου λόγου

IIII Οὗτος δὴ ὁ υἱὸς ἐκ θελήματος τοῦ πατρὸς γεννηθείς, ὅς ἐστιν εἰκὼν τοῦ θεοῦ τοῦ ἀοράτου καὶ ἀπαύγασμα τῆς δόξης αὐτοῦ χαρακτήρ τε τῆς ὑποστάσεως αὐτοῦ, πρωτότοκος πάσης κτίσεως, κτίσμα σοφία. αὕτη γὰρ ἡ σοφία φησίν· ὁ θεὸς ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ. Col. 1, 15 Hebr. 1, 3 1 Cor. 1, 24 Prou. 8, 22

"Οτι καὶ περιέχεται μετὰ τῶν ἄλλων κτισμάτων ὁ υἱὸς ὑπὸ τοῦ πατρὸς καὶ κατὰ πάντα μείζων ἐστὶν ὁ πατὴρ τοῦ υἱοῦ καὶ ἀόρατος αὐτῶι τυγχάνει, ἐκ τοῦ αὐτοῦ Περὶ ἀρχῶν τετάρτου λόγου PG 983 17

V Ὁ δὲ πατὴρ ἐμπεριέχει τὰ πάντα, τῶν δὲ πάντων ἐστὶν ὁ υἱός, δῆλον ὅτι καὶ τὸν υἱόν. ἄλλος δέ τις ζητήσει εἰ ἀληθὲς τὸ ὁμοίως τὸν θεὸν ὑφ' ἑαυτοῦ γινώσκεσθαι τῶι γινώσκεσθαι αὐτὸν ὑπὸ τοῦ μονογενοῦς, καὶ ἀποφανεῖται ὅτι τὸ εἰρημένον ὁ πατήρ ὁ πέμψας με μείζων μού ἐστιν ἐν πᾶσιν ἀληθές, ὥστε καὶ ἐν τῶι νοεῖν ὁ πατὴρ μείζων, ὃς καὶ τρανοτέρως καὶ τελειοτέρως νοεῖται ὑφ' ἑαυτοῦ ἢ ὑπὸ τοῦ υἱοῦ. Ioh. 14, 28

Ἐκ τοῦ πρώτου λόγου τοῦ αὐτοῦ βιβλίου

VI Γενόμενοι τοίνυν ἡμεῖς κατ' εἰκόνα τὸν υἱὸν πρωτότυπον ὡς ἀλήθειαν ἔχομεν τῶν ἐν ἡμῖν καλῶν τύπων· αὐτὸς δὲ ὅπερ ἡμεῖς ἐσμὲν πρὸς αὐτόν, τοιοῦτός ἐστι πρὸς τὸν πατέρα ἀλήθειαν τυγχάνοντα.

II plura extant supra p. 190, 8sq., pessime uertit Rufin. 2, 9 cf. Hieron. ep. 98 p. 201, 10—12. 202, 16—18 V = Hieronym. ep. 124 p. 115, 19—21. 23—p. 116, 4 VI cf. Hieronym. ep. 124 p. 97, 10—17

O [= aerv], I .

3 μὴ p. 190, 10 4 τοίνυν] γὰρ O^r 5 ὧν p. 190, 12 ἔχειν αὐτὰ p. 190, 13 χεῖρας p. 190, 13 συγκρατεῖν O^rI 6 αὐτοῦ p. 190, 13 κατακοσμῆσαι p. 190, 14 7 ἐκ I τοῦ αὐτοῦ ἐκ O 8 μηδεὶς δὲ O^e προκοκοπτέτω O^v 10 ὅρων O^{av} εἶναι om. O^{av} πεπερασμένων om. O^a διαρκεῖν O^{av} 11 κτίσματα O^{av} γεννητὸσ O^{arv} αὐτοῦ om. O^a 12 δὲ O^r ἐγενήθη I 14 πάσης τῆσ I αὐτὴ I 17 καὶ om. O^r αὐτοῦ O^{arv} 17/18 περὶ ἀρχῶν om. I 19 ὁ δὲ O^{aev} Hieronym. εἰ δὲ ὁ O^rI 20 ἄλλωσ O^v 21 πατὴρ μου I 22/23 μείζων ὃς Klostermann, cf. Hieron. μειζόνωσ OI 25—27 om. O^v 26 τύπον O^e δὲ ὁ πατὴρ O^e

'Εκ τοῦ αὐτοῦ λόγου

Sap. Sal. 7, 26 VII Οὕτω τοίνυν ἡγοῦμαι καὶ ἐπὶ τοῦ σωτῆρος καλῶς ἂν λεχθήσεσθαι ὅτι εἰκὼν ἀγαθότητος θεοῦ ἐστιν, ἀλλ' οὐκ αὐτοαγαθόν. καὶ τάχα καὶ ὁ υἱὸς ἀγαθός, ἀλλ' οὐχ Col. 1, 15 ὡς ἁπλῶς ἀγαθός, καὶ ὥσπερ εἰκὼν ἐστι τοῦ θεοῦ τοῦ ἀοράτου καὶ κατὰ τοῦτο θεός, ἀλλ' οὐ Ioh. 17, 3 περὶ οὗ λέγει αὐτὸς ὁ Χριστὸς ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν θεόν, οὕτως εἰκὼν τῆς ἀγαθότητος, ἀλλ' οὐχ ὡς ὁ πατὴρ ἀπαραλλάκτως ἀγαθός.

Ὅτι μετὰ τοῦ υἱοῦ καὶ τὸ ἅγιον πνεῦμα κτίσμα εἰπὼν συνηρίθμησε τοῖς ἄλλοις κτίσμασι, δι' ὃ καὶ λειτουργικὰ αὐτὰ ζῶια καλεῖ, ἐκ τοῦ δ̄ λόγου τοῦ Περὶ ἀρχῶν βιβλίου

VIII Ὅτι μὲν οὖν πᾶν ὅ τι ποτὲ παρὰ τὸν πατέρα καὶ θεὸν τῶν ὅλων γενητόν ἐστιν, ἐκ τῆς ἀκολουθίας πειθόμεθα. Καὶ μετά τινα· ἔλεγε δὲ ὁ Ἑβραῖος τὰ ἐν τῶι Ἡσαίαι Ies. 6, 2. 3 δύο σεραφὶμ ἐξαπτέρυγα κεκραγότα ἕτερον πρὸς τὸ ἕτερον καὶ λέγοντα ἅγιος ἅγιος ἅγιος κύριος σαβαὼθ τὸν μονογενῆ εἶναι τοῦ θεοῦ καὶ τὸ πνεῦμα τὸ ἅγιον. ἡμεῖς Hab. 3, 2 δὲ οἰόμεθα ὅτι καὶ τὸ ἐν τῆι ὠιδῆι Ἀμβακοὺμ ἐν μέσωι δύο ζώιων γνωσθήσηι περὶ Χριστοῦ καὶ ἁγίου πνεύματος εἴρηται.

Ἐκ τοῦ δευτέρου λόγου τοῦ Περὶ ἀρχῶν βιβλίου, ὅτι ἄνθρωπον ψιλὸν λέγει τὸν κύριον

VIIII Διὰ τοῦτο καὶ ἄνθρωπος γέγονε Χριστὸς ἐξ ἀνδραγαθήματος τούτου τυχών, Ps. 44, 8 ὡς μαρτυρεῖ ὁ προφήτης λέγων ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν. διὰ τοῦτο ἔχρισέ σε, ὁ θεός, ὁ θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου· ἔπρεπε δὲ τὸν μηδέποτε κεχωρισμένον τοῦ μονογενοῦς συγχρηματίσαι τῶι μονογενεῖ καὶ συνδοξασθῆναι αὐτῶι.

Ὅτι συναίδια τοῦ θεοῦ τὰ κτίσματα, ἐκ τοῦ πρώτου λόγου τοῦ περὶ ἀρχῶν βιβλίου

X Πῶς δὲ οὐκ ἄτοπον τὸ μὴ ἔχοντά τι τῶν πρεπόντων αὐτῶι τὸν θεὸν εἰς τὸ ἔχειν ἐληλυθέναι; εἰ δὲ οὐκ ἔστιν ὅτε παντοκράτωρ οὐκ ἦν, ἀεὶ εἶναι δεῖ ταῦτα δι' ἃ παντοκράτωρ ἐστὶ καὶ ἀεὶ ἦν ὑπ' αὐτοῦ κρατούμενα ἄρχοντι αὐτῶι χρώμενα.

'Εκ τοῦ αὐτοῦ λόγου

PG 985 XI Πάντα τὰ γένη καὶ τὰ εἴδη ἀεὶ ἦν, ἄλλος δέ τις ἐρεῖ καὶ τὸ καθ' ἓν ἀριθμῶι· πλὴν ἑκατέρως δηλοῦται ὅτι οὐκ ἤρξατο ὁ θεὸς δημιουργεῖν ἀργήσας ποτέ.

Περὶ τῆς προυπάρξεως τῶν ψυχῶν, ἐκ τοῦ πρώτου λόγου τοῦ Περὶ ἀρχῶν βιβλίου

XII Ἐξ ἰδίας αἰτίας τῶν μὴ προσεχόντων ἑαυτοῖς ἀγρύπνως γίνονται τάχιον ἢ βράδιον μεταπιπτούσης, καὶ ἐπὶ πλεῖον ἢ ἐπ' ἔλαττον, ὡς ἀπὸ ταύτης τῆς αἰτίας κρίσει

VII cf. Hieronym. ep. 124 p. 20—22 VIII 32—38 = Rufin. 1, 34 p. 53, 4—10 VIIII 41—45 cf. Rufin. 2, 6⁴ p. 143, 26—144, 1 X = Rufin. 1, 2¹⁰ p. 42, 15—20 XI = Rufin. 1, 4⁵ p. 68, 12—15 XII = Rufin. 1, 6² p. 81, 11—82, 5 ad 15—21 cf. Hieron. ep. 124 p. 98, 24—p. 99, 3

O [= aerv], I

1 τοῦ αὐτοῦ ἐκ O²ᵉʳ 2 λεχθήσεται Oᵃᵛ 3 ἀγαθότητι Oᵛ τοῦ θεοῦ I αὐτὸ τὸ ἀγαθὸν Oᵃᵛ ὁ I om. O 4 ἁπλῶς om. Oʳ ὁ I 8 λειτουργικὰ ζῶια i. e. seraphim αὐτοῦ Oᵛ ἐκ om. Oᵃᵛ τετάρτου Oᵃᵉ Δ̄ corruptum esse ex Ā probatur ex Rufino βιβλίου om. I 9 ὅλων I ἄλλων O γεννητόν Oʳᵛ 10 τῆσ αὐτῆσ Oʳ τὰ om. I 13 τὸ I Ruf. om. O ἀββακοὺμ Oᵃᵉ 14 εἴρηται I *sentiri debere* Ruf. om. O 15 ψιλὸν ἄνθρωπον I 19 τὸν — κεχαρισμένον I τοῦ — κεχωρισμένου O 21 τῶ θεῶ I βιβλίου om. I 22 τὰ Oᵃ τὸν Oᵛ ἔχον Oᵃ αὐτῶ OʳI αὐτοῦ Oᵉᵛ αὐτοῖς Oᵃ 23 ἐπεὶ Oʳ παντοκράτορ Oᵃ 24 ἦν] coniecerim εἶναι. cf. Rufin. 26 εἶδει Oᵛ τὰ Oᵉ ἀριθμῶ OᵃᵉᵛI ἀριθμοῦ Oʳ 27 δηλοῦνται Oᵉʳ 28 τοῦ om. Oᵃʳᵛ 30 μεταπιπτούσης OI, scil. ψυχῆς, μεταπτώσεις Labbé speciose καὶ om. I

θείαι συμπαραμετρούσηι τοῖς ἑκάστου βελτίοσιν ἢ χείροσι κινήμασι καὶ τὸ κατ' ἀξίαν ὁ μέν τις ἕξει ἐν τῆι ἐσομένηι διακοσμήσει τάξιν ἀγγελικὴν ἢ δύναμιν ἀρχικὴν ἢ ἐξουσίαν τὴν ἐπὶ τινῶν ἢ θρόνον τὸν ἐπὶ βασιλευομένων ἢ κυρείαν τὴν κατὰ δούλων, οἱ δὲ οὐ πάνυ τι ἐκπεσόντες τὴν ὑπὸ τοῖς εἰρημένοις οἰκονομίαν καὶ βοήθειαν ἕξουσι. καὶ οὕτως L V 676
κατὰ μὲν τὸ πλεῖστον ἀπὸ τῶν ὑπὸ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας καὶ τοὺς θρόνους καὶ τὰς κυριότητας, τάχα δὲ ἔσθ' ὅτε καὶ ἀντ' αὐτῶν συστήσεται τὸ τῶν ἀνθρώπων γένος ἐν τῶι καθ' ἕνα κόσμωι.

Ἐκ τοῦ αὐτοῦ λόγου ὅτι εἰ μεταβάλοιεν ἐπὶ τὸ κρεῖττον οἱ δαίμονες, συμπληρώσουσί ποτε ἀνθρωπότητα

XIII Οἶμαι δὲ δύνασθαι ἀπὸ τῶν ὑποτεταγμένων τοῖς χείροσιν ἀρχαῖς καὶ ἐξουσίαις καὶ κοσμοκράτορσι καθ' ἕκαστον κόσμον ἢ τινὰς κόσμους ἑνίους τάχιον εὐεργετουμένους καὶ βουλησομένους ἐξ αὐτῶν μεταβαλεῖν συμπληρώσειν ποτὲ ἀνθρωπότητα.

Περὶ τῆς τῶν ἄνωθεν εἰς σῶμα καταγωγῆς

XIIII Οὕτω δὴ ποικιλωτάτου κόσμου τυγχάνοντος καὶ τοσαῦτα διάφορα λογικὰ περιέχοντος τί ἄλλο χρὴ λέγειν αἴτιον γεγονέναι τοῦ ὑποστῆναι αὐτὸν ἢ τὸ ποικίλον τῆς ἀποπτώσεως τῶν οὐχ ὁμοίως τῆς ἑνάδος ἀπορρεόντων;

Ὅτι καὶ τὸν ἔννυδρον ἔσθ' ὅτε αἱρεῖται βίον ἡ ψυχή, ἐκ τοῦ δευτέρου λόγου τοῦ Περὶ ἀρχῶν βιβλίου

XV Ἡ ψυχὴ ἀπορρέουσα τοῦ καλοῦ καὶ τῆι κακίαι προσκλινομένη καὶ ἐπὶ πλεῖον ἐν ταύτηι γινομένη, εἰ μὴ ὑποστρέφοι, ὑπὸ τῆς ἀνοίας ἀποκτηνοῦται καὶ ὑπὸ τῆς πονηρίας ἀποθηριοῦται. Καὶ μετ' ὀλίγα· καὶ αἱρεῖται πρὸς τὸ ἀλογωθῆναι καὶ τὸν ἔννυδρον, ἵν' οὕτως εἴπω, βίον καὶ τάχα κατὰ ἀξίαν τῆς ἐπὶ πλεῖον πτώσεως τῆς κακίας ἐνδύεται σῶμα τοιοῦδε ἢ τοιοῦδε ζώιου ἀλόγου.

Ἐκ τοῦ αὐτοῦ λόγου ὅτι ἔσται τελεία τῶν σωμάτων ἀπόθεσις

XVI Εἰ δὲ τὰ ὑποταγέντα τῶι Χριστῶι ὑποταγήσεται ἐπὶ τέλει καὶ τῶι θεῶι, πάντες ἀποθήσονται τὰ σώματα καὶ οἶμαι ὅτι τότε εἰς τὸ μὴ ὂν ἔσται ἀνάλυσις, τῆς τῶν σωμάτων φύσεως ὑποστησομένης δεύτερον, ἐὰν πάλιν λογικὰ ὑποκαταβῆι.

Ἐκ τοῦ τρίτου λόγου τοῦ αὐτοῦ βιβλίου περὶ τοῦ αὐτοῦ

XVII Λεγομένου τοῦ θεοῦ πάντα γίνεσθαι ἐν πᾶσιν, ὥσπερ οὐ δυνάμεθα κακίαν 1 Cor. 15,
καταλιπεῖν, ὅτε θεὸς πάντα γίνεται ἐν πᾶσιν, οὐδὲ ἄλογα ζῶια, ἵνα μὴ καὶ ἐν κακίαι ὁ PG 987

XIII cf. Hieron. ep. 124 p. 99, 10. 11 XIIII = Rufin. 2, 1¹ p. 107, 6. 7. 8. 9. 11—15 XV cf. Rufin. 1, 8 p. 105, 1—5. Hieron. p. 124 p. 100, 23—25 XVI = Rufin. 2, 3³ p. 118, 7—10. Hieron. ep. 124 p. 102, 4—9 XVII = Rufin. 3, 6² p. 283, 1—7

O [= aerv], I

3 κυρίαν O^{v} κυριότητα O^{e} 4 ἐπὶ O^{er} τε καὶ O^{r} 5 τὰς^{2} om. O^{r}I 6 τάχα δὲ om. I τάχα δὲ καὶ O^{r} καὶ] δὲ καὶ I ἀντ' O ἀπ' I συμβήσεται O^{arv} 8 μεταβάλλοιεν O^{r}I 9 ἀνότητι O^{v} 10 δὲ om. O^{ev} 11 ἐνοίουσ O^{r} 13 τῶν om. O^{av} 14 ποικιλοτάτου O^{erv} 15 αἴτιον λέγειν O^{av} 17 Ὅτι I om. O καὶ τὸν — ψυχή eclogae XIIII adiungendo δευτέρου] ad finem libri primi ecloga pertinere uidetur 17/18 τοῦ^{2} — βιβλίου om. I 19 προσκλιναμένη O^{arv} 20 ἐν om. O^{e} ὑπὸ^{1}] ἀπὸ O^{av} ἀποκτενοῦται O^{av} καὶ om O^{aev} 21 τῶ O^{a} ἀλογοθῆναι I ἀναλόγω θεῖναι O^{av} 22 ἐκπτώσεωσ O^{e} 23 σῶμα — ἢ O^{aev}I σώματα οὐδεῆ O^{r} ἀλόγου ζώου I 24 ἢ τῶν O 25 ὑποτεταγμένα O^{r}I 28 περὶ τοῦ] τοῦ περὶ O^{r} 29 γενέσθαι O ὥσπερ om. O^{arv}I 30 ὅτε] οὔτε O^{aev} καὶ om. O^{e}

θεὸς γίνηται καὶ ἐν ἀλόγοις ζώιοις, ἀλλ' οὐδὲ ἄψυχα, ἵνα μὴ καὶ ἐν αὐτοῖς ὁ θεός, ὅτε πάντα γίνεται, οὕτως οὐδὲ σώματα ἄτινα τῆι ἰδίαι φύσει ἄψυχά εἰσιν.

Ἐκ τοῦ δευτέρου λόγου τοῦ Περὶ ἀρχῶν βιβλίου, πῶς νοῦς γέγονε ψυχὴ καὶ ψυχὴ καθαρθεῖσα γίνεται νοῦς

XVIII Παρὰ τὴν ἀπόπτωσιν καὶ τὴν ψύξιν τὴν ἀπὸ τοῦ ζῆν τῶι πνεύματι γέγονεν ἡ νῦν λεγομένη ψυχή, οὖσα καὶ δεκτικὴ τῆς ἐπανόδου τῆς ἐφ' ὅπερ ἦν ἐν ἀρχῆι, ὅπερ νο-
Ps. 114, 7 μίζω λέγεσθαι ὑπὸ τοῦ προφήτου ἐν τῶι ἐπίστρεψον, ψυχή μου, εἰς τὴν ἀνάπαυσίν σου, ὥστε ὅλον τοῦτο εἶναι νοῦς.

Ἐκ τοῦ αὐτοῦ λόγου περὶ τοῦ αὐτοῦ

Lc. 19, 19 XVIIII Ὥσπερ σῶσαι ἦλθεν τὸ ἀπολωλὸς ὁ σωτήρ, ὅτε μέντοι σώιζεται τὸ ἀπολωλός, οὐκέτι ἐστὶν ἀπολωλός· οὕτως ἦν σῶσαι ἦλθε ψυχὴν ὡς σῶσαι τὸ ἀπολωλός, οὐκέτι μένει ψυχὴ ἡ σωθεῖσα ψυχή [οὔτε τὸ ἀπολωλὸς ἀπολωλός]. ἔτι βασανιστέον εἰ
L V 677 ὥσπερ τὸ ἀπολωλὸς ἦν ὅτε οὐκ ἀπολώλει καὶ ἔσται ποτὲ ὅτε οὐκ ἔσται ἀπολωλός, οὕτω καὶ ἡ ψυχὴ ἦν ὅτε οὐκ ἦν ψυχὴ καὶ ἔσται ὅτε οὐκ ἔσται ψυχή.

Ἐκ τοῦ τετάρτου λόγου

XX Ἀνάγκη μὴ προηγουμένην τυγχάνειν τὴν τῶν σωμάτων φύσιν, ἀλλὰ ἐκ διαλειμμάτων ὑφίστασθαι διά τινα συμπτώματα γινόμενα περὶ τὰ λογικὰ δεόμενα σωμάτων, καὶ πάλιν τῆς ἐπανορθώσεως τελείως γινομένης εἰς τὸ μὴ εἶναι ἀναλύεσθαι ταῦτα, ὥστε τοῦτο ἀεὶ γίνεσθαι.

Ἐκ τοῦ πρώτου λόγου τοῦ αὐτοῦ βιβλίου ὅτι ἔμψυχος ὁ ἥλιος καὶ ἡ σελήνη καὶ οἱ ἀστέρες

XXI Ὅτι δὲ πρεσβυτέρα ἡ ψυχὴ τοῦ ἡλίου τῆς ἐνδέσεως αὐτοῦ τῆς εἰς τὸ σῶμα, μετὰ τὸ συλλογίσασθαι ἐκ συγκρίσεως ἀνθρώπου τῆς πρὸς αὐτὸν καὶ ἐντεῦθεν ἀπὸ τῶν γραφῶν οἶμαι ἀποδεῖξαι δύνασθαι.

Ἐκ τοῦ αὐτοῦ λόγου

Phil. 1, 23. 24 XXII Κάλλιον ἀναλῦσαι καὶ σὺν Χριστῶι εἶναι, πολλῶι γὰρ μᾶλλον κρεῖσσον. νομίζω γὰρ ὅτι λέγοι ἂν ὁ ἥλιος ὅτι κάλλιον ἀναλῦσαι καὶ σὺν Χριστῶι εἶναι· πολλῶι γὰρ μᾶλλον κρεῖσσον. καὶ ὁ μὲν Παῦλος ἀλλὰ τὸ ἐπιμένειν τῆι σαρκὶ ἀναγκαιότερον δι' ὑμᾶς, ὁ δὲ ἥλιος · τὸ ἐπιμένειν τῶι οὐρανίωι τούτωι σώματι ἀναγκαιότερον διὰ τὴν ἀποκάλυψιν τῶν τέκνων τοῦ θεοῦ. τὰ δὲ αὐτὰ καὶ περὶ σελήνης καὶ τῶν λοιπῶν λεκτέον.

XVIII = cf. Rufin. 2, 8^3 p. 158, 17—159, 2 XVIIII = Rufin. 2, 8^3 p. 156, 3—12 Hieronym. ep. 124 p. 103, 20—104, 1 XX = Hieronym. ep. 124 p. 116, 11—17 XXI = Rufin. 1, 7^4 p. 91, 7—10 XXII = Rufin. 1, 7^5 p. 93, 13—15. 20—26

O [= aerv], I

1/2 καὶ ἐν — γίνεται om. I 3 τοῦ — βιβλίου om. I τοῦ^2 om. O^{av} 3. 4 πῶσ — νοῦσ I in fine eclogae coll. O 3 νοῦσ I οὖν O 3/4 κατορθωθεῖσα O 6 λεγομένη I γενομένη O ὥπερ O^{ev} ἅπερ O^{a} 8 coniecerim εἶναι ⟨ὅπερ ἦν⟩ 9 λόγου om. O^{ae} 10 ἦλθε τὸ ἀπολωλὸσ ἦλθεν O^{r} τὸ ἀπολωλὸσ ἦλθεν I μέντοι γε O^{av} 11 ἦν] ἢ O^{v} εἰ I ὡς — ἀπολωλός om. I 12 μένει O^{e}I μὲν ἡ O^{arv} οὔτε — ἀπολωλός^2 om. I Hieron. Rufin. ἔτι δὲ O^{e} εἰ om. O^{av} 13 οὕτω I αὐτὸ O 17 δεόμενα γινόμενα [γινόμενα om. I] σωμάτων περὶ τὰ λογικὰ O^{r}I 18/19 καὶ πάλιν — γίνεσθαι om. O^{a} 24 ἔτι ἐκ O^{e} λόγου om. OI 25/26 Κάλλιον — κρεῖσσον om. I 26 γὰρ O^{e} Rufin. om. O^{arv}I ὅτι om. O^{r} 28 τὸ] τοῦ O^{av} τοῦ οὐρανοῦ τούτου O^{av} 30 τῶν λοιπῶν ἀστέρων O^{e} περὶ τῶν ἄλλων O^{r}

'Εκ τοῦ τετάρτου λόγου τοῦ αὐτοῦ βιβλίου ὅτι καὶ ὑπὲρ δαιμόνων δεῖ τὸν Χριστὸν σταυρωθῆναι καὶ πολλάκις τοῦτο εἰς τοὺς ἐσομένους αἰῶνας

XXIII 'Αλλὰ κἂν μέχρι τοῦ πάθους τις ζητήσῃ, τολμηρὸν δόξει ποιεῖν περὶ τὸν οὐρανὸν τόπον αὐτῶι ζητῶν. ἀλλ' εἴ ἐστι πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις, ὅρα εἰ ὥσπερ ἐνθάδε οὐκ αἰδούμεθα σταυρούμενον ὁμολογεῖν ἐπὶ καθαιρέσει ὧν καθεῖλε διὰ τοῦ πεπονθέναι, οὕτως κἀκεῖ τὸ παραπλήσιον διδόντες γίνεσθαι καὶ εἰς τὸ ἑξῆς ἕως τῆς συντελείας τοῦ παντὸς αἰῶνος οὐ φοβηθησόμεθα. Eph. 6, 12 PG 989

'Εκ τοῦ αὐτοῦ λόγου

XXIIII Τίς νοῦν ἔχων ὁρίσεται πρώτην καὶ δευτέραν καὶ τρίτην ἡμέραν ἑσπέραν τε καὶ πρωίαν χωρὶς ἡλίου γεγονέναι καὶ σελήνης καὶ ἀστέρων;

Τούτων τοίνυν οὕτως ἐχόντων καὶ πᾶσι δήλων γενομένων τῶν παρὰ 'Ωριγένους εἰρημένων βλασφημιῶν προσήκει τὸν ἐπ' αὐτῶι ἀναθεματισμὸν οὕτως γίνεσθαι

α Εἴ τις λέγει ἢ ἔχει προυπάρχειν τὰς τῶν ἀνθρώπων ψυχὰς οἷα πρώην νόας οὔσας καὶ ἁγίας δυνάμεις, κόρον δὲ λαβούσας τῆς θείας θεωρίας καὶ πρὸς τὸ χεῖρον τραπείσας καὶ διὰ τοῦτο ἀποψυγείσας μὲν τῆς τοῦ θεοῦ ἀγάπης, ἐντεῦθεν δὲ ψυχὰς ὀνομασθείσας καὶ τιμωρίας χάριν εἰς σώματα καταπεμφθείσας, ἀνάθεμα ἔστω.

β̄ Εἴ τις λέγει ἢ ἔχει τὴν τοῦ κυρίου ψυχὴν προυπάρχειν καὶ ἡνωμένην γεγενῆσθαι τῶι θεῶι λόγωι πρὸ τῆς ἐκ παρθένου σαρκώσεώς τε καὶ γεννήσεως, ἀνάθεμα ἔστω.

γ̄ Εἴ τις λέγει ἢ ἔχει πρῶτον πεπλάσθαι τὸ σῶμα τοῦ κυρίου ἡμῶν 'Ιησοῦ Χριστοῦ ἐν τῆι μήτραι τῆς ἁγίας παρθένου καὶ μετὰ ταῦτα ἑνωθῆναι αὐτῶι τὸν θεὸν λόγον καὶ τὴν ψυχὴν ὡς προυπάρξασαν, ἀνάθεμα ἔστω.

δ̄ Εἴ τις λέγει ἢ ἔχει πᾶσι τοῖς οὐρανίοις τάγμασιν ἐξομοιωθῆναι τὸν τοῦ θεοῦ λόγον, γενόμενον τοῖς χερουβὶμ χερουβὶμ καὶ τοῖς σεραφὶμ σεραφὶμ καὶ πάσαις ἁπλῶς ταῖς ἄνω δυνάμεσιν ἐξομοιωθέντα, ἀνάθεμα ἔστω.

ε Εἴ τις λέγει ἢ ἔχει ἐν τῆι ἀναστάσει σφαιροειδῆ τὰ τῶν ἀνθρώπων ἐγείρεσθαι σώματα καὶ οὐχ ὁμολογεῖ ὀρθίους ἡμᾶς ἐγείρεσθαι, ἀνάθεμα ἔστω.

ϛ Εἴ τις λέγει ⟨ἢ ἔχει⟩ οὐρανὸν καὶ ἥλιον καὶ σελήνην καὶ ἀστέρας καὶ ὕδατα τὰ ὑπεράνω τῶν οὐρανῶν ἐμψύχους καὶ λογικὰς εἶναί τινας δυνάμεις, ἀνάθεμα ἔστω.

ζ Εἴ τις λέγει ἢ ἔχει ὅτι ὁ δεσπότης Χριστὸς ἐν τῶι μέλλοντι αἰῶνι σταυρωθήσεται ὑπὲρ δαιμόνων, καθὰ καὶ ὑπὲρ ἀνθρώπων, ἀνάθεμα ἔστω.

XXIII = Hieronym. ep. 124 p. 114, 27—115, 7 XXIIII = Philocalia 3 p. 323, 5—7 Koetschau

9 τῆς γραφῆς λεγούσης καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωὶ ἡμέρα πρώτη ἢ δευτέρα [Gen. 1, 5], σὺ τί φλυαρεῖς, 'Ωρίγενες ἀνούστατε; Or in mg.

O [= aerv], I, B[a] [inde a 13], Σ [uersio Syriaca ed. Lannoo *Le Muséon* 43, 9—12]

3 ζητήσει O[e] δόξοι O[v] 3/4 τὸν οὐρανὸν [οὐράνιον Or] τόπον Or[I] τῶν οὐρανίων τόπων O[aev] 4 αὐτῶ I αὐτὸ O[er] αὐτὸσ O[av] πνι καὶ O[v] πνᾶ τί καὶ O[e] τοῖσ O[r] 5 ὥρα O[v] καθαιρέσεωσ O[v] 6 εἰσ τὸ I τὰ O 9 ὁρίσηται O[e] οἰήσεται Philocal. 11 γινομένων O[v] 12 προσήκειν O[ev] 13 numeri ex OI Σ inscr. ἀναθεματισμοὶ τῶν τοῦ ὠριγένους ληρημάτων τῆσ ἁγίασ καὶ οἰκουμενικῆσ ε̄ συνόδου B[a] 16 τὰ σώματα O[a] ἔστω om. Or[I] 17/18 τοῦ θῦ λόγου O[ev] 18 ἔστω om. I 20 παρθένου καὶ θεοτόκου O[e] 22 ἐπουρανίοισ Or[I] 23 σεραφεὶμ σεραφεὶμ Or σεραφὶμ σεραφεὶμ IB[a] ἁπλῶσ ταῖσ om. Or 25—26 [numero ϛ̄ adscripto O[a]] post 27—28 [numero ε̄ adscripto O[a]] coll. O[av] 26 ὁμολογεῖν Or 27 ἢ ἔχει Σ om. OIB[a] ὕδατα O[arv]I τὰ ὕδατα O[e] 28 λογικὰσ Σ, ut coni. Gaudentius [professor Pisanus s. 17] ὑλικὰσ OIB[a], cf. Hieron. ep. 98 p. 194, 23sq. 29 ἢ ἔχει om. B[a] ὅτι om. O[a] σταυρωθῆναι μέλλει B[a]

η̄ Εἴ τις λέγει ἢ ἔχει ἢ πεπερασμένην εἶναι τὴν τοῦ θεοῦ δύναμιν καὶ τοσαῦτα αὐτὸν δημιουργῆσαι ὅσων περιδράξασθαι καὶ νοεῖν ἠδύνατο, ἢ τὰ κτίσματα συναίδια εἶναι τῶι θεῶι, ἀνάθεμα ἔστω.

θ̄ Εἴ τις λέγει ἢ ἔχει πρόσκαιρον εἶναι τὴν τῶν δαιμόνων καὶ ἀσεβῶν ἀνθρώπων κόλασιν καὶ τέλος κατά τινα χρόνον αὐτὴν ἔξειν ἢ γοῦν ἀποκατάστασιν ἔσεσθαι δαιμόνων ἢ ἀσεβῶν ἀνθρώπων, ἀνάθεμα ἔστω.

Ἀνάθεμα καὶ Ὠριγένει τῶι καὶ Ἀδαμαντίωι τῶι ταῦτα ἐκθεμένωι μετὰ τῶν μυσαρῶν αὐτοῦ καὶ ἐπικαταράτων δογμάτων καὶ παντὶ προσώπωι φρονοῦντι ταῦτα ἢ ἐκδικοῦντι ἢ κατά τι παντελῶς ἐν οἱωιδήποτε χρόνωι τούτων ἀντιποιεῖσθαι τολμῶντι.

O [= aervv], I B^{a} Σ

1—3 post 4—6 coll. O^{v} 1 ἢ²: om. O^{r}IB^{a}, corr. O^{r} 2 ὅσον O^{v} ὅσα B^{a} περιδεδράξασθαι B^{a} 2/3 καὶ νοεῖν — τῶι θεῶι om. O^{r}I 2 ἐδύνατο B^{a} 5 ἔξειν αὐτὴν B^{a} ἔσεσθαι IΣ γενέσθαι OB^{a} 6 ἔστω om. I 7 καὶ om. O^{e}I ἀδαμαντίνω B^{a} 7—9 τῶ — τολμῶντι] καὶ τοῖσ φρονοῦσι ταῦτα καὶ πᾶσι τοῖσ αἱρετικοῖσ B^{a} 7 ταῦτα] καὶ ταῦτα O^{arv} 8 ἐπικαταράτων ἐναγῶν τε O^{e} 9 τι O^{arv}IΣ τινα τρόπον O^{e} in fine add. ἐν χ̄ω̄ ῑῡ τῶ κ̄ω̄ ἡμῶν [om. O^{v}] ὧ ἡ δόξα εἰσ τοὺσ αἰῶνασ τῶν αἰώνων ἀμήν O^{arv}

APPENDIX
EPISTVLARVM AD PETRVM FVLLONEM
COLLECTIO ANTIQVIOR

A = Codex Vatopedianus 236 membr. s. XI
V = Codex Vaticanus 1904 bomb. scriptus a. 1306
Λ = Textus Latinus quem edidit O. Günther in Coll. Auell. ep. 71—78
v = Collectio Auellana
b = Collectio Berolinensis

in margine adnotatae sunt paginae proecdoseos in *Abh. d. Bayer. Akad. d. Wiss. N.F.* 10 p. 125 sq.

Ἐπιστολαὶ διαφόρων ἐπισκόπων γραφεῖσαι πρὸς Πέτρον ἐπίσκοπον Ἀντιοχείας τὸν ἐπίκλην Γναφέα ὅτι οὐ δεῖ πάθος τῶι τρισαγίωι συνάπτειν διὰ τῆς προσθήκης τοῦ ὁ σταυρωθεὶς δι' ἡμᾶς, ἣν αὐτὸς Πέτρος ὡς αἱρετικὸς προσέθηκεν

1 Ἀντέωνος ἐπισκόπου Ἀρσενόης πρὸς Πέτρον ἐπίσκοπον Ἀντιοχείας

1 Πάνυ εἰμὶ ἐστυγνακὼς ἐπὶ σοί, ἀδελφὲ τιμιώτατε, ὅτι ἐπηύξηται διὰ σοῦ μέγα σκάνδαλον ἀντὶ τοῦ ἐκτέμνειν σε τὰ σκάνδαλα. καὶ γὰρ ἐπισχεῖν θέλω τὰ ἐπὶ τούτωι δάκρυα καὶ κεκώλυμαι ὑπὸ τῆς σῆς ἐν κακίαι ἐξενηνεγμένης αἱρέσεως, ὅτι παρατέτρωται παρὰ σοὶ τὰ εὐαγγέλια Πράξεις τε καὶ ὁ ἀπόστολος, ἐπείπερ παρ' αὐτοὺς ἔδοξας ἐπισοφίζεσθαι τοῦ μὴ Χριστὸν σταυρωθέντα καθαρῶς δι' ἡμᾶς ὁμολογεῖν, ἀλλὰ τῶι τρισαγίωι τὸν σταυρὸν ἐπισυνάπτειν, ὡς τὰ πρῶτά σου γράμματα τὰ πρὸς Ἀκάκιον τὸν τῆς Κων- 10
σταντινουπολιτῶν ἐκκλησίας ποιμένα δείκνυσιν. ἐπειδὴ δὲ εἰς ἀσέβειαν εἶ ἐμπεπτωκώς, διαφόρως περιστρέφεις τὴν ἐξενεχθεῖσαν ὑπὸ σοῦ ἀδίκως νομήν, εἴ πως ἐμπαράμονον καὶ
2 ἑδραίαν αὐτὴν παρὰ πᾶσι κυρώσεις. οὔτε γὰρ τὸ θεῖον λέγομεν παθητόν, ὡς σὺ φής, οὐδὲ γυμνὸν λόγον φαμὲν σταυρωθέντα, ἀλλὰ Χριστὸν Ἰησοῦν, ἀλλ' οὐδὲ αὐτὸν μετὰ τῆς τριάδος. εἷς γὰρ τῆς τριάδος ἐστὶν ἐνανθρωπήσας Ἰησοῦς ὁ Χριστός, ὁ δὲ σταυρὸς 15
περὶ τὸ ἀνθρώπινον τοῦ Χριστοῦ γεγένηταί τε καὶ πιστεύεται. ἐν δὲ τῶι τρισαγίωι ποῦ σώματος δήλωσις, ἵνα χώραν ἡ τοῦ σταυροῦ λάβηι προσηγορία; λέγεις γὰρ 'ἅγιος
3 ὁ θεός'. καὶ τίς οὐκ οἶδεν ὅτι πρῶτος ὁ πατὴρ κατὰ τὴν τάξιν τῆς συνήθους πᾶσι δοξολογίας, εἰ καὶ μὴ καθ' ὑπεροχὴν τῆς θεικῆς ἀξίας; ἔπειτα φάσκεις 'ἅγιος ἰσχυρός'. καὶ τίς οὐκ οἶδε κατὰ τὸν προφήτην Ἡσαίαν ὅτι τὸ τεχθὲν ἡμῖν παιδίον Ἰησοῦς Χριστός, 20
οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ καὶ καλεῖται καὶ ἔστι μεγάλης Ies. 9, 6
βουλῆς ἄγγελος θεὸς ἰσχυρός; εἰ γὰρ καὶ ἐσταυρώθη ἐξ ἀσθενείας, ἀλλὰ 2 Cor. 13, 4
τὸ ἀσθενὲς ἡμῶν σῶμα ἀναλαβὼν τοῦτο πέπονθεν, ἰσχυρὸς δὲ θεὸς τυγχάνων προθύμως
πρὸς τὸν σταυρὸν τὸ οἰκεῖον ἐξεδίδου σῶμα, ὡς εἰπεῖν καὶ τὸν προφήτην αὐτὸς τὰς Mt. 8, 17
4 ἀσθενείας ἡμῶν ἀνέλαβε. θεὸς δὲ καὶ ἄνθρωπος συνωμολόγηται παρὰ πάντων 25
ὁ υἱός· σὺ δὲ μόνον τὸ ἰσχυρὸν τῆς τοῦ υἱοῦ θεότητος εἰπών, παραδραμὼν δὲ καὶ τοῦτο
5 ἥκεις ἐπὶ τὸ πνεῦμα τὸ ἅγιον καὶ ὡμολόγησας, ὡς ἔστιν ἀληθῶς, ἀθάνατον. τίνα οὖν ἐπιφέρεις ἐσταυρωμένον δι' ἡμᾶς μετὰ ταῦτα; τὸν Χριστὸν λέγεις; οὐκοῦν δῆλος εἶ τε-

---

in collectione Latina 4 [Coll. Auell. 74]; recentior epistulae forma extat supra 4 I p. 6 [O]

AV, Λ [= vb]

1—3 om. ΛO 3 ὡσ A ὁ V 5 ἐπτήυξηται A 8 ὁ om. VO αὐτοῖσ V 9 *propter* Λ δεῖ [δεῖν V] AV 10 τὰ² O om. AV 11 δὲ om. Λ 12 νομὴν O *sententiam* Λ τομὴν AV 13 ante οὔτε habet Λ *dum autem pro ea a metropolitis culpatus fuisses, non uenisti ad satisfactionis examen neque respexisti ut sis bene glorificans, sed undique refutaris* 14—16 ἀλλὰ χν̄ ιν̄ — πιστεύεται [πεπίστευται A] AV *sed* [*aut* Λ^{b}] *Christum Iesum* [*post trinitatem Christum* Λ^{b}]. *ubi enim crux dicitur, necesse est esse corporis eleuationem* Λ ἀλλὰ χν̄ ιν̄ O 15 ὁ om. A 17 γὰρ ὅτι A 20 *Christus Iesus* Λ 23 post σῶμα add. *unde etiam dicebat spiritus quidem promptus, caro autem infirma* [Mt. 26, 41] Λ 26 υἱόσ AV χσ̄ ΛO υἱοῦ V θῦ A χῦ ΛO 27 *uenisti* Λ ἥκεσ O 28 ταῦτα ΛO ταῦτα δὲ AV

126 τράδα φρονῶν, ἕτερον παρὰ τὸν ἰσχυρὸν θεὸν τὸν Χριστὸν ὀνομάζων. ἀλλὰ τὸ πνεῦμα τὸ ἅγιον σταυρωθῆναι φάσκεις; καὶ τί τούτου δυσσεβέστερον γένοιτο ἄν; ἀλλὰ φαντασίαν λέγεις τὴν τοῦ πάθους οἰκονομίαν; οὐκοῦν φαντασία καὶ ἡ ἡμῶν σωτηρία κατὰ
6 τοὺς δυσσεβεῖς Μανιχαίους. ὁρᾷς πῶς πανταχόθεν περικρημνίζῃ καὶ ἀγνοεῖς ἢ καὶ εἰδὼς ἐκὼν κακουργεῖς; ἰδοὺ τοίνυν ὑπομνησθεὶς ἐντράπηθι περὶ τῆς ἀπαιδευσίαις σου καὶ εἶξον ὥσπερ ἐδέξω παρὰ τοῦ προφήτου, δοξολογεῖν τὸ τρισάγιον· ἀσωμάτως γὰρ ὀνομαζόμενον μηδενὸς προκειμένου τῆς σαρκώσεως τοῦ μονογενοῦς αἰνίγματος καθαρῶς ὀφείλει δοξολογεῖσθαι μηδεμιᾶς σταυροῦ προσθήκης ἐπαγομένης. ὡς γὰρ ἂν σοφί-
7 σηται τις, ἐκκρημνίζεται τῆς ὀρθοδοξίας. Χριστὸν δὲ παραλαβὼν δι' ἡμᾶς σταυρω-
1 Cor. 1, 23 θέντα τὸν υἱὸν τοῦ θεοῦ κατὰ τὸν μακάριον Παῦλον φάσκοντα ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν Ἰησοῦν καὶ τοῦτον ἐσταυρωμένον μὴ ἀπαρνοῦ τούτου τὸ ὄνομα καὶ τὸ
Gal. 1, 9 πάθος· εἰ δὲ μή, ἐκεῖνος προλαβὼν ἐπιφέρει· εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρ-
1 Cor. 2, 2 ελάβετε, ἀνάθεμα ἔστω. ἐγὼ γάρ φησιν οὐκ ἔκρινά τι εἰδέναι ἐν ὑμῖν εἰ μὴ
8 Χριστὸν Ἰησοῦν καὶ τοῦτον ἐσταυρωμένον. εἰ δὲ τοῦτον ἀπαρνεῖσθε σταυρωθέντα καὶ τῶι τρισαγίωι τὸ πάθος συνάπτετε, πῶς οὐχ ὑποίσετε τὸν ἀναθεματισμόν; Παῦλός ἐστιν ὁ ἀναθεματίζων, τὸ σκεῦος τῆς ἐκλογῆς. προβαλοῦ Χριστὸν καὶ σταυρὸν
9 [καὶ] μὴ ἀπαρνοῦ καὶ μὴ ἕτερον ἀνθ' ἑτέρου εἰσαγάγῃς. πλεῖστοι γάρ εἰσιν οἱ σταυρωθέντες, εἷς δὲ ὁ δι' ἡμᾶς. φέρε οὖν ἐν τῶι σταυρῶι τούτου τὸ ὄνομα, ἵνα μὴ ἕτερον ὑποπτευθῆις λέγειν σταυρωθέντα, ὅτι οἶδας ὅτι πολλὰ τὰ ἔνεδρα τοῦ δολίου· διὰ τοῦτο καὶ οἱ τιη καὶ οἱ ρν ἕνα κύριον Ἰησοῦν Χριστὸν σταυρωθέντα παραδιδόασι καὶ οὐ τὸ τρισάγιον· οἱ δὲ νομομαθεστέρους κρίναντες ἑαυτοὺς εἶναι τούτων τῶν πατέρων πῶς οὐ δεικνύουσιν τούτων ἑαυτοὺς ἀλλοτρίους;

[Τοῦ ἁγίου Γελασίου ἐπισκόπου Ῥώμης ἴσον ἐπιστολῆς πεμφθείσης τοῖς τῆς Συρίας ἐπισκόποις]

2 Κυρίοις μου τὰ πάντα θεοσεβεστάτοις καὶ ὁσιωτάτοις ἐπισκόποις Κοσμᾶι Σεβηριανῶι Κύρωι Ζωίλωι Εὐσεβίωι Θωμᾶι Σιλβανὸς ἐλέει θεοῦ διάκονος τῆς καθολικῆς καὶ ἀποστολικῆς πίστεως.

εἰ ἅπερ ἠξίωσας, ἔγραψας, ἔργωι πρόελθε

Τίς τὰς ἐμᾶς ὠδῖνας πρὸς ὑμᾶς ἐγκαταμίξει, θεοφιλέστατοι; τί δὲ καὶ τοῦ ταπεινοῦ ἢ πρὸς τοὺς μεγάλους παρρησία; οὐ προπετείας τὸ ἐπιχείρημα οὔτε κενῆς δόξης ἡ ἔναρξις· θείας ἀγάπης καὶ σωτηριώδους πυρσὸς ὑπελθὼν ἐπεγείρει τὴν προτροπήν. κἀμοὶ

---

2 Gelas. ep. 43 Thiel. primus edidit A. Mai Nou. bibl. 11 653—662. inscriptio inscite composita est. accidit enim ut Gelasii fictae epistulae [p. 218, 28. 220, 15—222, 42] adiceretur altera et genuina quae a Siluano diacono Romano Hormisdae papae iussu episcopis secundae Syriae scripta est. olim [*Abhndlg. d. Bayer. Akad. d. Wiss.* N. F. 10 p. 296sq.] impeditus sum falsa lectione Σιλουανῶι quominus rem claram perspicerem. manifestum denique est epistulam diaconi per Iohannem et Sergium [cf. Coll. Auell. ep. 139 et hic p. 219, 21] ab urbe Roma ad episcopos secundae Syriae esse perlatam. ex Latina sine dubio translata est.

AV, Λ [= vb ; usque ad 22]

4 περικνημίζηι A ἢ] εἰ A 8 ὅσω A 12 *iam praecedens ille ait* Λ προλαβὼν ἐκεῖνος ἔφη O 16 προβάλλου A 17 καὶ¹ AV om. ΛO καὶ² AVΛ om. O εἰσαγάγησ AV om. O 18 ὁ O om. AV 19 ὅτι οἶδασ ὅτι AO οἶδασ γὰρ ὅτι V δολίου ΛO διαβόλου AV 22 multa addit Λ 23 πεμφθεί A 25 μου AV δὲ falso in V legisse sibi uisus est Mai τὰ om. V 26 σιλβανόσ A de V nihil constat πίστεως falsum

δότε συγγνώμην, παρακαλῶ· οὐδὲ γὰρ ὡς ἐλλείποντα τῇ ὑμετέραι συνέσει τὰ τῆς 127
τελειότητος προεθέμην λέγειν, ἀλλ' ὡς ἐν ὑπομνήσει φιλοθέωι ἡ παράκλησις, ὅτι πάντες
ὑμεῖς διδακτοὶ θεοῦ, καθὰ πού φησι τὸ θεῖον λόγιον. οὐκοῦν τὰ ἐξ ἀγάπης λεγό- Ioh. 6, 45
μενα κρίναντες δότε μισθὸν ἀνταποδόσεως τῶν εὐχῶν ὑμῶν τὰς ἀμοιβάς. ἔδει τοὺς
καλοὺς διδασκάλους τῶν μαθητῶν προαρπάξαι τὴν πρὸς τὴν πρεσβείαν τάξιν, εἰ καὶ 5
ὑμῖν ἐπιγράφεται ταύτης τὸ κάλλιστον ὡς ἐν προδρόμοις θεμένοις τῆς ἐπιδείξεως τὴν
σπουδήν, διεγείρασι μὲν καὶ καταρτίσασι τὰ μέλη, προοδοποιήσασι δὲ τὴν μήνυσιν
τῆς στερρότητος δι' ἑαυτῶν. καλῶν διδασκάλων ἀληθῶς ἄριστοι μαθηταί· καλῶν
ποιμένων θαυμασία τῶν προβάτων ἡ νομή· οὗτοι τῶν ὑμετέρων πόνων οἱ καρποί.
ἐπειδὴ τοίνυν φθάσαν παρ' ἡμῖν τῶν εὐαγῶν μοναχῶν θεῖον σύστημα δεξιὰς ἔλαβε κοι- 10
νωνίας παρὰ τῆς ἀποστολικῆς καθέδρας ἀρνησάμενον μὲν τὴν πρὸς τοὺς Εὐτυχιανιστὰς
ἢ γοῦν Μανιχαίους κοινωνίαν, συμφωνῆσαν δὲ πᾶσι τοῖς κρίμασι τῶν θείων κανόνων
ἐν ἀποβολῆι μὲν τῶν καθαιρεθέντων αἱρετικῶν πάντων, ὁμολογίαι δὲ τῆς ἁπάντων
ἐν Χαλκηδόνι συνόδου καὶ τοῦ ἐν ἁγίοις καὶ ἀποστόλοις Λέοντος τοῦ πάπα, λέγειν 14
ἐπάναγκες πρὸς τὴν ἁγίαν ὑμῶν σύνοδον· εἰ ἡ ἀπαρχὴ ἁγία, καὶ τὸ φύραμα, καὶ Rom. 11, 16
εἰ ἡ ῥίζα ἐκλεκτή, καὶ οἱ κλάδοι. ἐκ γὰρ τοῦ καρποῦ τὸ δένδρον Mt. 12, 33
γινώσκεται. ἥκατε δὴ καὶ ὑμεῖς, ὦ τιμιώτατοι, πρὸς τὴν εὐαγγελισθεῖσαν παρ'
ὑμῶν ἁγίαν καθέδραν· προφθάσατε πρὸς τὴν ἀχείμαστον Πέτρου πέτραν· συναριθ-
μήθητε χορῶι τῶι ἀποστολικῶι· βεβαιώσατε ὑμῶν τῆς νίκης τοὺς στεφάνους· προ-
καταλάβετε τὴν ἡτοιμασμένην ὑμῖν, σεβασμιώτατοι, σεβασμιότητα, παρ' οἷς καὶ ἀεὶ 20
ἡ πίστις τὸ κῦρος ἔχει. διηγήσαντο γὰρ ὑμῖν Ἰωάννης καὶ Σέργιος οἱ σπουδαιότατοι
ἀδελφοὶ οἱ ἀφ' ὑμῶν πρὸ ἡμᾶς παραγενόμενοι τῆς πίστεως τῶν Ῥωμαίων τὸ ἀήττητον,
τὴν περὶ τὰ τέκνα φιλοστοργίαν, τὴν μέριμναν τῶν ἐκκλησιῶν. οὐδὲ γὰρ ὡς κατά-
σκοποι τῆς ἐλευθερίας ἡμῶν ἐδέχθησαν, ἀλλ' ὡς μηνυταὶ τῆς ἀνδρίας ὑμῶν, οὐδὲ ὡς
ἀδόκιμοι ἀπεπέμφθησαν, ἀλλ' ὡς εὐαγγελισταὶ τῆς ὁμοφροσύνης ὑμῶν. ἀπήγγειλαν 25
γὰρ καὶ διηγήσαντο τήν τε σταθηρὰν κρίσιν ὑμῶν καὶ τῶν αἱρετικῶν τὴν αὐθάδειαν,
τῆς ὑπομονῆς ὑμῶν τὸ καρτερικὸν καὶ τῶν αἰσχίστων τὴν μιαιφονίαν, τοῦτο μὲν στόματι
διηγησάμενοι, τῶι δὲ ἀληθεῖ καὶ διὰ λιβέλλου τῶν ὑφ' ὑμᾶς εὐλαβῶν μοναχῶν δια-
πεμφθέντος διδάξαντες ὅσας θλίψεις πολλὰς καὶ κακὰς διήλθατε, ὅσαι τοῦ θεοῦ αἱ ἀντι-
λήψεις ἐπανέτειλαν. καὶ οὐ θαυμαστόν· οὐδὲ γὰρ ἐν πρώτοις τῶν λύκων αἱ ἐπι- 30
δρομαί, ἀλλ' ἀεὶ μὲν ἐπιτρέχουσιν, ἀεὶ δὲ τῶι ῥοπάλωι τοῦ καλοῦ ποιμένος ἐκδιώκονται.
τότε νικᾶι ἡ πίστις, ὅταν ἐπαναστῆι πόλεμος. οὐκ ἐν εἰρήνηι τὰ τῆς ἀνδρίας, ἀλλ' ἐν
πολέμωι τὸ λαμπρὸν τῆς δοκιμῆς. τί γὰρ οὐκ ἐκίνησαν οἱ ἀλάστορες πρὸς τὸ ἄρδην
ἀφανίσαι τοῦ Χριστιανισμοῦ καὶ τὸ ὄνομα καὶ τὸ πρᾶγμα; τίνα χρήμασιν οὐχ ὑπέφθειραν
ἀνταρσίαν ἐγεῖραι κατὰ τοῦ Χριστοῦ; ποῖαι μάστιγες οὐ διεφθάρησαν ἐν βασάνοις 35

AV

1 ὡσ A om. V 2 τελειότητοσ A detritum in V ἐν A de V non constat 5 προαρπάξαι A, fortasse etiam V 6 ὑμῖν A ἡμῖν V 7 διεγείρασι AV διεγείρουσι Mai 10 φθάσαν scripsi φθασάντων AV ἡμῖν V ὑμῖν A δεξιᾶσ AV 12 συμφωνῆσαν V συμφωνήσασι A 13 μὲν A om. V ἁπάντων A et, ut uidetur V 14 καλχηδόνι A 15 ἡ ἀπαρχὴ V ὑπάρχει A 17 ἥκατε V ἅτε A δὴ A detritum in V παρ' V περὶ A 20 οἷσ καὶ V ἧσ A 21 ὑμῖν scripsi ἡμῖν AV 23 οὐδὲ A, detritum in V 24 ἡμῶν V ὑμῶν A ἐλευθερίασ A et, ut uidetur, V 25 εὐαγγελισταὶ AV ὁμολογηταὶ Mai falso 26 αὐθάδειαν A detritum in V 27 αἰσχίστων AV coniecerim ἀποσχιστῶν 28 τῶι δὲ ἀληθεῖ A et sine dubio V ἡμᾶσ A 31 ἐκδιώκονται A detritum in V 32 ὅταν ἐπαναστῆ A, in V inter πίστις et στῆι antiquae litterae emanuerunt, τότε οὐκ ἐξαναστῆ a. m. rec. suppleta sunt εἰρήνηι A, detritum in V ἀνδρείασ V 33 πολέμωι A, detritum in V δοκιμῆσ A, in V non legitur nisi δοκι, μασίασ add. m. rec. ἀλάστορεσ A, detritum in V 34 χρήμασιν A in V non legitur nisi χρήμα, χρήματα m. rec. in mg. 35 ἐγεῖραι κατὰ A, detrita in V μάστιγεσ A, detritum in V

γυμνάζουσαι τοὺς ἁγίους; ποῖον ξίφος ἠκονημένον οὐκ ἠμβλύνθη ἐκ τῶν τεμνομένων μακαρίων αὐχένων καὶ μελῶν τῶν καθολικῶν ἢ τίς θαλάττης βυθὸς οὐ πεπλήρωται ὀστέων τῶν ἐν αὐτῶι συρρυέντων σωμάτων ὀρθοδόξων; ποία δὲ ἔρημος οὐ πεπόλισται ἐκ τῶν ἐν αὐτῆι ἐξορισθέντων ἀρχιερέων διὰ τὴν πίστιν ἢ ποῖαι πόλεις ὑπερόριοι καὶ μακράν που ἀπωικισμέναι τῆς ἑαυτῶν ἐξουσίας οὐ κοσμοῦνται καὶ θάλλουσιν ἐκ τῶν
128 διασπαρέντων καὶ φυγόντων ἁγίων πατριαρχῶν ἐπισκόπων κληρικῶν μοναχῶν τε καὶ λαικῶν; παρὰ τοῖς Μανιχαίοις ἐξουσία τοῦ λαλεῖν καὶ πράττειν ἅπερ βούλονται· παρ' αὐτοῖς χρημάτων θησαυροὶ λαοπλάνων· παρ' αὐτοῖς ἔρεις τε καὶ μάχαι καὶ θρόνων ἐφέσεις· παρ' αὐτοῖς γοήτων ἑσμοί, φαρμακῶν χοροὶ ἐν μοναχῶν σχήματι τὴν μορφὴν ἀμειβόντων. ἐκεῖ μαγεία σκιρτῶσα κατεπαίρεται καὶ ἀστρονομία γαυριῶσα κατα-
θύμια χρησμοδοτεῖ· δαίμονες βακχεύοντες καὶ ἱερεῖς ἀσεβείαις αὐτῶν κροτοῦντες καὶ Χριστὸς ὁ παιζόμενος καὶ ὁ συνιῶν οὐκ ἔστιν. τοῦτο τῶν τὴν μίαν φύσιν ἐν τῶι Χριστῶι τραγωιδούντων τὸ συμπόσιον· τοῦτο τῶν μεθυόντων καὶ ἀφανιζόντων ἐν συγχύσει τὰς ἑνωθείσας φύσεις τὸ ἐργαστήριον

Mt. 16, 16 κἀγὼ μέν, ὦ αἱρετικέ, τρέψω πρὸς σὲ τὸν λόγον. ὁμολογῶν Χριστὸν υἱὸν θεοῦ τοῦ ζῶντος τὰ τοῦ ἁγίου Πέτρου φθέγγομαι ῥήματα, τὴν ἀποκάλυψιν τοῦ πατρὸς ὑμνῶν κηρύττω· σὺ δὲ λέγων θεοῦ παθόντος ἀναιρεῖς τὰ τῆς οἰκονομίας, καινοτομεῖς
1 Petr. 4, 1 ἀποβαλλόμενος τοῦ κορυφαίου τὴν ὁμολογίαν. ἐκεῖνος λέγει Χριστοῦ παθόντος καὶ σὺ ἀντιπράττεις κράζων θεοῦ παθόντος. τὸ λέγειν θεοῦ παθόντος ψιλὴν ὑποφαίνει τὴν θεότητα, γυμνὴν τοῦ ἐνδύματος, ἐστερημένην τοῦ ναοῦ καὶ τῆς τοῦ δούλου μορφῆς προσλήψεως. τί τὴν ἀπαθῆ θεότητα καθέλκεις εἰς πάθος, θεομάχε; τί τὴν ἀθάνατον φύσιν ὑπὸ δουλείαν καὶ φθορὰν θανάτου ὑποβάλλεις; ἐγὼ Χριστὸν υἱὸν θεοῦ τοῦ ζῶντος ὁμολογῶν οὐ ψιλὸν τὸν ἄνθρωπον τοῦ Χριστοῦ κηρύττω, ἀλλ' ἐν θεότητι τελείαι καὶ ἐν ἀνθρωπότητι τελείαι τὸν αὐτὸν υἱὸν τοῦ θεοῦ τοῦ ζῶντος προσκυνῶ. δύο γὰρ φύσεων ἕνωσις ἀσυγχύτως καὶ ἀτρέπτως γέγονεν, ἵνα εἷς πιστευθῆι Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, εἷς εἰ καὶ τῶν ἑνωθεισῶν φύσεων τὸ διάφορον νοεῖται μετὰ τῶν ἐνεργειῶν. εἰ γὰρ καὶ αἱ φύσεις ἐν ταῖς ἰδιότησι κοσμοῦνται, ἀλλ' ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος ὁ αὐτὸς θεὸς κατὰ ἀλήθειαν καὶ ἄνθρωπος κατὰ ἀλήθειαν, ἕνωσις ἀδιαίρετος καὶ ἀδιάζευκτος χωρισμὸν μὴ ὑφισταμένη, εἷς Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ
Eph. 4, 5 ζῶντος, εἷς κύριος, μία πίστις, ἓν βάπτισμα. ἀλλὰ δάκνηι καὶ σπαράττηι τοὺς ὀδόντας διαπρίων, τὴν ἐν Χαλκηδόνι σεβασμίαν σύνοδον ταῦτα κηρύξασαν αἰτιώμενος καὶ τὸν ἀοίδιμον καὶ ἐν ἀποστολικῆι χορείαι καταριθμούμενον Λέοντα βάλλεις ὕβρεσιν ἐν παραφροσύνηι. καὶ ἡμεῖς μὲν οἱ τῶν ἁγίων ἀποστόλων ὑπήκοοι γνήσιοι τὰ παρ' αὐτῶν θεσπίσματα ἐν στόματι φέροντες καὶ καρδίαι ἐγκεκολαμμένα ἔχοντες στέργομεν ἀπαρεγχειρήτως, σὺ δὲ ταῦτα ἀφεὶς καὶ πρὸς ἀσεβείας βάραθρον ἐμπεπτωκὼς μαρυκᾶις τὴν τῶν ἀκανθῶν χορτώδη ποιότητα. ἔστι γάρ σου καὶ ἄλλο ἐφ' ὧι κομπάζεις καὶ σκιρτᾶις, ἐγχειρίδιον πίστεως, τῆς σῆς γνώμης καὶ τυραννίδος ἐφόδιον, ὧι προσηνῶς καὶ ἀπατηλῶς προσέρριψας ὄνομα ἑνωτικὸν καλέσας. φεῦ τῆς φληνάφου τερθρείας τῶν ἀποστατῶν· παρώσαντο τῶν ἀποστόλων τὴν διδαχὴν καὶ λαικῶν διδάγμασιν

inter 14 et 15 interrumpitur conexus

AV

1 ἡμβλύνθη A, detritum in V 2 βυθὸς οὐ A, detrita in V 3 ἐν αὐτῶι A, detritum in V, ἐν αἵματι m. rec. in mg. 4 αὐτῆ V αὐτῶ A 11 βακχεύοντες A, detritum in V 17 ὑμνῶν A, et sine dubio V κηρύττων A 22 θῦ V τοῦ θῦ A 27 καὶ — ἰδιότησιν A, detrita in V ὁ A detritum in V 31 καλχηδόνι A ut solet 34 ἐγκεκολλημένα A 35 ἀπαρεγχωρήτως A πρὸς A πρὸς τὸν V ut uidetur 36 κομπάζη V 38 ἀπατηλῶς A et sine dubio V

ἐναβρύνονται, τῶν ἐνθέσμων συνόδων ἀποστρέφονται τὰς ἐκθέσεις καὶ κοσμικῶν ἐπιστολιδίοις τὰς ἐλπίδας ἑαυτῶν ἀνατιθέασι, τῶν ἁγίων καὶ ὁμολογητῶν ἀπωθοῦνται τὴν σεβασμιότητα καὶ χάρτην ἐπ' ἐκβολῇ τῆς ἐν Χαλκηδόνι ἁγίας συνόδου ἐκφωνηθέντα καταπομπεύουσι, τοῦ Ὀζίου τὴν θρασύτητα δοξάζουσι καὶ ἱερωσύνης τὸν ἁγιασμὸν 2 Paralip. 26, 16—20
ἀποτινάσσονται. καὶ ὑμεῖς μέν, ὦ οὗτοι, ἕως ὧδε στῆτε λεπρῶντες καὶ τοῦ προ- 6
πηλακισμοῦ τὴν ἀτιμίαν ἐπὶ προσώπου λάβετε σημεῖον τρέμοντες καὶ στένοντες ἐπὶ τῆς γῆς· οὐ γὰρ ὀρθῶς προσηνέγκατε ἀγνοήσαντες ἱερωσύνης αὐθεντίαν καὶ λαικῶν προπέτειαν. εἰ γὰρ καὶ βασιλεὺς προῆλθεν, ἀλλ' οὐκ ἀρχιερεὺς ἐχειροτονήθη· βασιλεία 129
μὲν γὰρ ὑπὸ ἱερωσύνης παιδαγωγουμένη διαμένει ἐν δικαιοσύνῃ καὶ ἱερωσύνη ὑπὸ βασιλείας δοξαζομένη φαιδρύνει τὴν ἁλουργίδα, δαιδουχεῖ τὰ σκῆπτρα, ἁγιάζει τὴν ἀξίαν, 10
ὑβριζομένη δὲ ἐκριζοῖ θεμέλια.

Ἐφευρέθη δὲ καὶ ἕτερον εἶδος ἀσεβείας ὑπὸ τῶν τολμητῶν θεοπασχιτῶν. πέφυκε γὰρ τὸν κρατούμενον τῶι τῆς παραφροσύνης πάθει ἐκεῖνα λέγειν ἅπερ ἡ φρενῖτις ὑποτίθεται. τί οὖν τὰ τῆς ἀλογίας; τὸν ὑπὸ ἁγίου ἀγγέλου ἐκδοθέντα ὕμνον ἐξ ἁμαρτιῶν ὀργῆς κρατησάσης καὶ γῆς ἐκ μόχλων κινουμένης καὶ σεισμοῖς ἀναβραζομένης πόλεών 15
τε ἐκ βάθρων καταρριπτομένων καὶ τάφων αὐτοσχεδίων ἀθρόον τοῖς ἐκγόνοις γινομένων ἐτόλμησαν οἱ σκληροτράχηλοι καὶ τῶι ἁγίωι πνεύματι ἀντιπίπτοντες παρασαλεῦσαι τῆς θείας ὁροθεσίας τῶν ὕμνων τὰ σήμαντρα κἀνταῦθα βασκαίνοντες τῆι τῶν ἀνθρώπων σωτηρίαι ἀνατρέψαντες, ὡς ἔστιν ἰδεῖν, καὶ τῶν στοιχείων τὴν εὔτακτον κίνησιν, μείζονα ὀργὴν ἐπισπασάμενοι διὰ τὴν εἰς τὸ ὕψος ἄδικον δυσφημίαν. καὶ 20
ὥσπερ διὰ τῆς ἐκδοθείσης φιλανθρώπως ὑμνωιδίας ἡ θραῦσις ἐκόπασεν, οὕτω πάλιν καταργηθείσης διὰ τῆς παρατροπῆς τῶν σχισματικῶν ἐπληθύνθη πρὸς ταῖς ἄλλαις αὐτῶν ἀσεβείαις ἡ πτῶσις. ἐντεῦθεν σεισμῶν ἀπαύστων ἀναβρασμοί, χειμώνων ἀγρίων πιεσμοί, καρπῶν ἀφορία, ἐκκλησιῶν ταραχαί, ἐθνῶν ἐπαναστάσεις, εἰρήνης φυγή, συγχύσεως ἐπικράτησις, αἱμάτων ἀκόρεστος ἔκχυσις. καὶ ἡ μὲν καθολικὴ 25
ἐκκλησία ἥνπερ ἐν παιδείαι μετ' οἰκτιρμῶν παρέλαβεν ὑμνωιδίαν, μετὰ φόβου καὶ τρόμου ἀπαύστωι στόματι καὶ χείλεσιν ἀσιγήτοις βοᾶι ψάλλουσα καθ' ἑκάστην ἅγιος ὁ θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς· ἡ δέ γε τῶν θεομισῶν ἐναγὴς φατρία ἡ τὴν ἀκήρατον καὶ ἄχραντον τοῦ θεοῦ φύσιν ἀεὶ παρανόμοις βέλεσι κατατοξεύουσα τὸ ὁ σταυρωθεὶς τῶι αἴνωι προσέθηκεν, ἵνα τῆς θεότητος καὶ τὸ ἀθάνατον καθυβρίσηι καὶ 30
τῆς ἁγίας τριάδος τὸ ὁμοούσιον διαφθείρηι, ἐπινοοῦντες οἱ ἀναιδεῖς ἕτερον εἶδος παραπληξίας μεστόν. ἐν γὰρ τῆι προσθήκηι τοῦ ὁ σταυρωθεὶς ἄλλος τις εὑρίσκεται παρὰ τὸ τρισάγιον νοούμενος ὁ ἐλεῆσαι αὐτοὺς δῆθεν ἀναγκαζόμενος. εἰπόντες γὰρ τὸ τρισάγιον καὶ ἐπιπροσθέντες τὴν καινοτομίαν ἑτερόν τινα ὑποφαίνουσι διεζευγμένον τοῦ τρισαγίου καὶ τοῦτον ἀνώνυμον. εἰ γὰρ ὡς ἐπὶ τῆς τριάδος ἅγιος ὁ θεὸς ὁ πατήρ, 35
ἅγιος ἰσχυρὸς ὁ υἱός, ἅγιος ἀθάνατος τὸ πνεῦμα τὸ ἅγιον, τὸ ὁ σταυρωθεὶς λεγόμενον ἄλλον τινὰ βούλεται ἔξω τῆς τριάδος. ἀλλ' οὐκ αἰδῆι οὐδὲ αἰσχύνηι τὸ ἀλλόκοτον καὶ ἀπαίδευτόν σου τῆς δοξολογίας; πῶς λέγεις ἅγιος ἀθάνατος ἢ πῶς ἐπάγεις τὸ ὁ σταυρωθείς; ἢ ἄνελε τὸ ἀθάνατος καὶ εἰπὲ τὸ ὁ σταυρωθεὶς ἢ ἐρυθριάσας τὸ ἀθάνατον παραίτησαι τὸ ὁ σταυρωθείς. ἀλλ' οὐ νήφεις, ἐμβρόντητε, οὔτε ταῖς ἀκοαῖς ἐνηχήθης 40
οὔτε τῆι διανοίαι κατενόησας τῆς ὑμνωιδίας τὴν μεγαλοπρέπειαν ὅπως θεὸν ἰσχυρὸν ἀθάνατον τὸ τρισάγιον ἐκδιδάσκει. ὁμολογοῦμεν καὶ ἡμεῖς, συκοφάντα, τὸν σταυρωθέντα, ἀλλὰ κατὰ τὴν οἰκονομίαν· οὐκ ἐφ' ὕβρει τοῦ ἀθανάτου οὐδὲ ἐπὶ καταλύσει τοῦ

AV

3 σεβασμιότητα, detritum in V ἐκβολῇ A detritum in V 4 καταπομπεύουσι A, detrita in V 9 δικαιοσύνηι A, detritum in V 10 δαδουχεῖ A et sine dubio V 12 ἐφευρέθη A, detritum in V θεοπασχητῶν A de V non constat 22 σχισματικῶν A σχισμάτων V 24 ἀγρίων V ἀπαύστων A 34 προσθέντες V 35 ὁ πηρ ὁ θσ̄ A

Mt. 16, 16. 17 ἀφθάρτου προσκυνοῦμεν τὸν ἐσταυρωμένον, ἀλλὰ Χριστὸν υἱὸν τοῦ θεοῦ τοῦ ζῶντος, ὡς ὁ ἅγιος Πέτρος ἐξ ἀποκαλύψεως τοῦ πατρὸς παιδευθεὶς ἐδίδαξεν. ἡ ἁγία καὶ μακαρία τριὰς οὐ βαθμοῖς ὀνομάτων ὑπόκειται, ἀλλ' ἰσότητι ἀξίας μεγαλύνεται. εἰ γὰρ καὶ πρόσωπα τρία, ἀλλ' οὐ τρεῖς ἀξίαι· ἔνθα τὸ ὁμοούσιον, ἐκεῖ τὸ παντοδύναμον. τὸ διάφορον ἐν ὀνόμασιν, ἀλλ' οὐκ ἐν ἀξίαι· τὸ ἀνόμοιον ἐν προσηγορίαις, οὐκ ἐν οὐσίαι. εἰ γὰρ καὶ τρεῖς ὑποστάσεις πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, ἀλλὰ μία οὐσία, μία θεότης [μία] ἐν ἀθανασίαι, ἐν ἀπαθείαι, ἐν ἀτρεπτότητι, ἐν βουλῆι, ἐν δημιουργίαι, ἐν ἐλέει, ἐν οἰκτιρμοῖς.

130 Οὐκ ἐμοὶ οἱ λόγοι, τῶν ἁγίων ἀποστόλων αὕτη ἡ διδασκαλία, τῶν ἁγίων πα-
Lc. 1, 2 τέρων ἡ ἐξήγησις. πατέρας δὲ λέγω τοὺς διαδόχους τῶν αὐτοπτῶν καὶ ὑπηρετῶν τοῦ λόγου, οὓς λυσσῶν ἀναθεματίζεις μὴ φέρων αὐτῶν τοὺς ἀνεπαισχύντους ἐλέγχους μηδὲ τὴν λαμπρότητα τῶν μαρμαρυγῶν τοῦ ἐν αὐτοῖς θείου χαρίσματος. οὐκ ἠγνόηται δὲ ὅτι ἡ ἐν Χαλκηδόνι τῶν ἁγίων σύνοδος Νεστόριον μὲν ὡς φρενοβλαβῆ κατέκρινεν, Εὐτυχέα δὲ ἀσεβήσαντα ἀπεκήρυξεν ἀναθέματι βαλοῦσα, Διόσκορον δὲ τὸν Ἀλεξανδρέα καὶ φονέα τοῦ ἁγίου Φλαβιανοῦ τὸν καὶ τοὺς προμάχους τῆς πίστεως παρανόμως καθελόντα καὶ ἄλλους δὲ ἀρχαιοτέρους φωστῆρας ἀποκηρύξαντα καὶ Εὐτυχεῖ περιπλακέντα τοῦ σώματος τῆς ἐκκλησίας ἀπέκοψεν. οἱ ἀναθεματισμοὶ ὑμῶν οὓς κατὰ τῶν φίλων τοῦ θεοῦ κορυβαντιῶντες ἀκοντίζετε, τὸν κόσμον ἀνέτρεψαν, τὸν ἀέρα ἐμόλυναν, τοὺς οὐρανοὺς ἠχλύωσαν, τοὺς ἀγγέλους παρώτρυναν, τὰ σεραφὶμ παρώργισαν, τὸν χερουβικὸν θρόνον ἐπέσεισαν, τὸν βασιλέα τῆς δόξης εἰς ἐκδίκησιν παρεκίνησαν.
Ies. 34, 5 ἀμὴν γὰρ λέγω ὑμῖν τοῖς ἐκλεκτοῖς μου, φησὶν ὁ δεσπότης, τοῖς δι' ἐμὲ ὅλην τὴν ἡμέραν ὑπὸ ἀφρόνων ἀναθεματιζομένοις ὅτι ποιήσω τὴν ἐκδίκησιν ὑμῶν καὶ ἐκδικήσω καὶ ἀνταποδώσω. μεθύσω τὰ βέλη μου ἀφ' αἵματος καὶ ἡ μάχαιρά μου φάγεται κρέα ἀφ' αἵματος τραυματιῶν καὶ αἰχμαλωσιῶν, ἀπὸ κεφαλῆς ἀρχόντων ἐθνῶν καὶ ἐκκαθαριῶ τὴν γῆν τοῦ λαοῦ μου. ἐξῆλθεν ἡ ἀπόφασις καὶ ἐδόθη ἡ μάχαιρα κυρίου ἐν ἱερεῦσιν ἀνομίας· μάχαιρα κυρίου ἐν ἄρχουσιν ἀδικίας· μάχαιρα ἐν πόλει, ἐν ἀγρῶι, ἐν παντὶ ὑβριστῆι καὶ ὑπερηφάνωι, ἐν παντὶ τόπωι ἀνόμων καὶ ἀποστατῶν, ἐν παντὶ κοινωνήσαντι τῆι τῶν ἁγίων ὕβρει, ἐν παντὶ προσπελάσαντι τῆι τῶν ἀναθεματισθέντων ἀσεβῶν κοινωνίαι. τούτων οὕτως ἐν ὀργῆι ἐξωγρημένων ὑπὸ τὸ ἀμφίβληστρον τῆς ἐκδικήσεως καλῶς ὑμεῖς ἐξεκλίνατε, θεοφιλέστατοι, τόπον δώσαντες· καλῶς ἀφωρίσθητε ἐξ αὐτῶν τῶι βορβόρωι τῆς ἀθείας ἐγκυλιομένους ἐγκαταλείψαντες. χαίρει Χριστὸς διαιρούμενον τὸν σύνδεσμον αὐτῶν ὁρῶν· εὐφραίνεται τοὺς ἐξ αὐτῶν ἀποστατουμένους
Ps. 19, 8. 9 προσλαμβανόμενος. ἐκεῖνοι ἐν ἅρμασι καὶ ἵπποις, ἡμεῖς δὲ ἐν ὀνόματι κυρίου θεοῦ ἡμῶν μεγαλυνθησόμεθα· αὐτοὶ συνεποδίσθησαν καὶ ἔπεσον ὑπὸ τὴν μάχαιραν τοῦ κυρίου, ἡμεῖς δὲ ἀνέστημεν καὶ ἐσώθημεν ἐν σκέπηι τοῦ θεοῦ τοῦ οὐρανοῦ αὐλιζόμενοι. ἐνηχήσατε ἡμῖν τῶν πνευματικῶν ὑμῶν ὀργάνων τὴν τερπνὴν
Act. 12, 13. μελωιδίαν· προπηδήσει καὶ αὖθις ἡ καλὴ καὶ πιστὴ Ῥόδη τῆς ἀπὸ θεοῦ ἐπιστασίας
7. 10 ὑμῶν φωνοῦσα τὴν εὐαγγελισμόν. διηγήσασθε θᾶττον πῶς ἐπέστη ὁ ἄγγελος κυρίου καὶ τὰ δεσμὰ διεσπάραξεν ἄφνω ὕπνωι νεκρώσας τοὺς φύλακας ὅπως τε ἡ σιδηρᾶ πύλη ἀνεπετάσθη πρὸς τὴν πόλιν τοῦ θεοῦ ἀπάγουσα ὑμᾶς. οὕτω γὰρ οὕτω συνευφραινόμενοι τῆι κατοικίαι ἐπὶ τὸ αὐτὸ καὶ τὴν μεγαλειότητα τοῦ θεοῦ παρ' ὑμῶν ἀκούοντες αὐτῶι τῶι μεγαλουργῶι θεῶι καὶ πατρὶ ἅμα τῶι μονογενεῖ υἱῶι σὺν ἁγίωι πνεύματι δόξαν ἀναπέμψωμεν ὁμοθυμαδὸν εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

AV

3 ἀλλ' — ἀξίας scripsi ἀξίας ἀλλ' ἰσότητι πραγμάτων AV · μία delevi 11 ἀνεπαισχύντως A 16 εὐτυχῆ AV 36 ὀργάνων A ἀγώνων V · ἀπὸ scripsi ἐπὶ AV 38 διηγήσασθαι A

Παμφίλου ἐπισκόπου Ἀβύδων πρὸς Πέτρον αἱρετικὸν ἐπίσκοπον Ἀντιοχείας ὅτι οὐ δεῖ ἐν τῶι τρισαγίωι θεοπασχίαν λέγειν διὰ τῆς προσθήκης τοῦ ὁ σταυρωθεὶς δι' ἡμᾶς

3 Τὸ πολύθρυπτον τῶν ἐμῶν παίδων, ἀγαπητέ, διεγείρει με κελαδεῖν θρῆνον· οἶδας γὰρ ὅτι ἐν ὧι οἴκωι θνήισκει τις, ἐκεῖσε κλαυθμὸς φοιτᾶι. πῶς οὖν οὐκ ἀποδυρήσομαι τὸν ἀλιτηρίως ἐκ τῶν σῶν ἀγγείων καταγγισθέντα τῶν ἐμῶν υἱῶν θάνατον, οὓς ἔδει 5 131
2 σε ὡς συναδελφὸν ἐπισπουδάσαι σὺν ἐμοὶ ἄξαι πρὸς τὸν θεόν; τοὐναντίον δὲ πέπρακταί σοι, θεοφιλέστατε· ἐγένου γὰρ αὐτῶν ὀλετὴρ καὶ οὐ ζωή, πικρία καὶ οὐχ ἡδύτης, ὄμφαξ καὶ οὐ πέπειρος βότρυς, ζιζάνιον καὶ οὐ σῖτος, καλάμη καὶ οὐ χρυσός, ἄκανθα καὶ
3 οὐκ ἄνθος, ἐκταραγμὸς καὶ οὐ γαλήνη. τί γὰρ τῶν προτέρων ἡμῶν καὶ ἐπίσων οὐ προσέχων τὰ σύμβολα εἶξας μὴ προσθέσθαι τῆι τριάδι τετράδα ἐν τῶι τὸ τρισάγιόν σε 10
4 φάσκειν ἐν προσθήκηι σταυροῦ; αὕτη γὰρ δρακοντικὴ καὶ ἰοβόλων αἱρέσεων φωνὴ καὶ πύλη ἅιδου καὶ αἰώνιος πυλωρὸς θανάτου, Χριστιανῶν βρόχος, ἀκάκων θήρευμα, ὀρθοδόξων μῶμος, πιστῶν πρόπτωσις, σωφρόνων σκάμβωσις, ἀσκητῶν σκάνδαλον, οἷς ὑπώπτευσας γλυκὺς εἶναι σὺν τῆι ἐκφωνουμένηι σου ἐκθέσει τῆι παρακοντιζούσηι τὸν ἀποστολικὸν ὅρον καὶ τὰ εὐαγγέλια καὶ τῶν τιη τὸ σύμβολον τῶν τὴν προσθήκην τὴν 15
5 ἐν τῶι τρισαγίωι ἀγνοούντων τὸ νοητὸν δηλητήριον. φράσον μοι· τίς οὖν θεὸν ἔφη σταυρὸν ὑπομεμενηκέναι; τί τὸν θεὸν λόγον γυμνοῖς ἀπὸ τῆς στολῆς; τί διχάζεις τὸν ἄτμητον τῆι σῆι σκαιότητι; τί παρατιτρώσκεις τὴν ἀλήθειαν; τί Νεστορίωι καὶ Εὐτυχεῖ τῆι τομῆι τοῦ Χριστοῦ ὑπόσπονδος γίνηι καὶ τῶι Σαμοσατεῖ μεμαθήτευσαι ῥῆξαι Χριστοῦ τὴν θείαν οὐσίαν ἀπὸ τῆς σαρκὸς καὶ Οὐαλεντίνωι ἀνόμως συνεξηρεύξω ὡσαύτως φάσκων 20
τὸν ἀθάνατον σταυροῦσθαι καὶ ὑπόδουλον τιθεὶς τοῖς πάθεσι τὴν θείαν φύσιν; τί ἐπίσχω
6 ἢ τί λαλήσω; οὐ Παυλιανιστήν σε φωνήσω· ἀλλ' ἐν τοῖς συγγράμμασιν ἔφης μετὰ τὴν τριάδα Χριστὸν φωνεῖν δι' ἡμᾶς σταυρωθέντα. οὐ Μανιχαῖόν σε λέξω· ἀλλὰ γέγονας αὐτέλεγκτος θεὸν καὶ οὐ Χριστὸν φωνήσας ἐσταυρωμένον. οὐ Νεστοριανόν σε φράσω· ἀλλ' ἀπέδειξας μετὰ τὸν πατέρα μὴ ὁμολογεῖν τὸν ὑμνούμενον ὑπὸ πιστῶν θεοῦ ἰσχυρὸν 25
υἱὸν σαρκὶ ἐσταυρωμένον. οὐκ Εὐτυχιανιστήν σε ἀναγορεύσω· ἀλλὰ μὴν σεαυτὸν θεοπασχίτην ἀνηγόρευσας. οὐκ Ἀπολιναριαστήν σε λέξω· ἀλλ' ἔφυρας ὡσαύτως
7 θεὸν συνχύσας τοῖς τῆς σαρκὸς παθήμασιν. λίαν οὖν λύπηι συσχεθεὶς τάδε σοι προστίθημι σὺν τῶι εἰς τοῦτό με προβιβάσαντι Ἀκακίωι, αὐτὸν δὲ ὁ τῆς Ῥωμαίων, τοὺς πάντας δὲ ὁ πάντων ἐπίσκοπος Χριστός· τί λυμαίνηι τὴν ἐκκλησίαν, τί σκορπίζεις Χριστοῦ τὴν 30
ποίμνην; εἰ κακῶς λέγω, φράσον μοι σύ· ζητῶ γάρ σε τῆι διδασκαλίαι τῆι ὀρθοτάτηι ὑπε-
8 ρέχειν ἐμὲ καὶ πλείστους. τί οὖν φράσομεν; ὡς Παῦλος, Χριστὸν ἐσταυρωμένον ἢ ὡς σύ, τὸν ἀθάνατον ἐσταυρωμένον; ὡς εἶπεν ὁ κύριος ὅτι ταῦτα ἔδει παθεῖν τὸν Χριστόν, ἢ ὡς σὺ τὸ τρισάγιον φάσκεις παθητόν; τί ἐροῦμεν; ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου, ὡς πολ-
9 λαχῶς ὁ κύριος ἔφη, παθεῖν ἢ ὡς σὺ κεκαινοτόμηκας, τὸν θεὸν παθεῖν; ἢ τὰ εὐαγγέλια 35

---

3 in collectione Latina 6 [Coll. Auell. 76], recentior epistulae forma supra 4 111 p. 9 [O]

AV, Λ [= vb]

ὁ σταυρωθεὶς δι' ἡμᾶς in liturgiam ecclesiasticam introductum est. at compluribus annis antea formula Constantinopoli sub episcopo Proclo recepta est, ut ferebatur, ex reuelatione quadam occasione terrae motus puero per angelum facta. ibi formula non ad Christum, sed ad trinitatem relata est, quo additamentum ὁ σταυρωθεὶς δι' ἡμᾶς excludebatur; post ἀθάνατος enim, quo significabatur spiritus sanctus, locum iam non habebat. ex hoc interpretationis discrimine, cum monachi Orientales Seuerum secuti Constantinopoli peregrinarentur formulamque cum additamento in processibus et litaniis publice canerent, rixae cum monachis urbis regiae additamentum perosis atque seditiones etiam graues annis 511 et 512 ortae sunt. his temporibus, nulla tamen rerum quae acciderunt, ipsarum ratione habita collectionis Vaticanae epistulae 1. 3—7 fabricatae sunt a monachis barbarae originis siue Graecum siue Latinum sermonem parum edoctis, tamen Graece balbutiendo pium zelum effundere non ueritis. his miri sane generis commentis etiam mirabilior intrusus est centauricus quidam fetus, epistula 2, de qua iam certius iudicari potest quam licuit in proecdosi [*Abhndlg.* etc. p. 296 sq.]. postquam initio quinque episcopos secundae Syriae a Siluano diacono sedis apostolicae [p. 218, 27 πίστεως interpolatum est pro καθέδρας] salutari per codicem A constitit, euanescunt omnes dubitationes quin epistula quae incipit p. 218, 29, re uera scripta sit non, sicut olim opinari licebat, ab ipso Hormisda papa, sed ab eius diacono, quem optime decet prooemium excusationibus plenum quod ausus sit episcopos admonitionibus adire. scripta est epistula, postquam Iohannes et Sergius [p. 219, 21 cf. Coll. Auell. 139 p. 567, 6] a monachis Syriae secundae delegati preces illorum obtulerunt Hormisdae papae [Coll. Auell. ep. 139]. responsum [Coll. Auell. ep. 140] a se ipso conscriptum papa dedit Iohanni Sergioque ad fratres in Syriam portandum die 10. m. Febr. a. 518; addidit epistulam suo iussu a Siluano diacono conscriptam qua episcopi Syriae secundae monebantur ut monachorum exemplum imitarentur legatosque Romam mitterent, cf. epistulam ad Iohannem patriarcham Constantinopolitanum eorundem Cyri Zoili Seueriani Cosmae Eusebii, qui initio huius epistulae salutantur, et quae de illa exposui *Abhndlg.* p. 296 sq. denique non mirum stilum diaconi non eundem esse atque papae ipsius; descriptio ipsa persecutionis quae imminere dicitur parti Chalcedonensem fidem confitentium quamuis exaggerata tamen apta est ultimis Anastasii temporibus. genuina epistula mutilata est; pannus ex altera parte decerptus nescio quo modo delatus est inter salutationem ipsiusque epistulae initium [p. 218, 28]; finis epistulae interiit. suppleta est, ni fallor, ab epistularum ad Petrum Fullonem collectore disputatione ficticia papae Romani cuiusdam contra henoticon ipsumque imperatorem Anastasium; Oziae exemplum p. 221, 4 desumptum est ex Hormisdae epistula ad monachos [Coll. Auell. ep. 140 p. 582, 19]. sequitur inuectiua contra theopaschitas et additamentum ὁ σταυρωθεὶς δι' ἡμᾶς formulae trisagii adiectum, quae ab epistulis ficticiis contra Petrum Fullonem et sententiis et sermone longe distat, sed ea intentione confecta est, ut uniuersum opusculum, et epistula genuina Siluani et supplementum fictum epistularum ad Petrum Fullonem corpori insereratur.

Monachis deserti Hierosolimitani controuersia de trisagii formula non erat ignota. nam Sabas quo tempore [kal. Iul. a. 501] dedicata est ecclesia s. Mariae in Magna Laura, prohibuerat monachos Armenios ne trisagion canerent cum Petri Fullonis additamento [Cyrill. uit. Sab. 32 p. 118, 1 sq.], Cyrillusque Scythopolita [p. 118, 12] mentionem facit damnationis ficticiae Petri per Felicem papam Romanum [Coll. Vat. ep. 7]. ceterum Iustinianus quoque imperator in dissertatione quam a. circa 541 destinauit ad monachos circo nonum miliarium apud Alexandriam habitantes [*Abhndlg. d. Bayer. Akad. d. Wiss.* N. F. 18 p. 41, 7 sq. = PG 86, 1141] inuehitur in Seuerum quod trisagion

non ad trinitatem, sed ad unum Christum rettulerit, cf. epistulam quae fertur Felicis papae p. 231, 5 sq. at iis qui collectionem Sabbaiticam composuerunt, neque antiquissimum epistularum ad Petrum Fullonem corpus iam praesto erat neque exemplar Graecum uersionis Latinae, sed recentior illa collectio quae in codicibus extat OI. in eam receptum est corpus anticum quod extat in collectione Vaticana praeter ep. 2, ita tamen ut hic illic dura barbaries aliquantum mitigaretur. praeterea haud paucas bonas lectiones antiqui corporis in hac recensione seruatas esse quae in duobus codicibus illius corporis corruptelas subierunt, non est cur mirabile et absonum censeatur. denique collectioni antiquissimae, quamuis in Vaticana desit, adiudicanda est epistula Iusticini qui fertur episcopus Siciliae [5]; habetur enim in uersione Latina [3] nec sententiis sermoneque ab antiquissimis epistulis discrepat. at ipsa nouae collectionis intentio non manifesta fit nisi in tribus eis epistulis quae corpori antiquo adiectae sunt. Acacii [VIII] et priorem Felicis [VIIII] epistulas fingendi ansam praebuit corporis antiqui ep. 7 [cf. p. 18, 6 cum p. 230, 28 et p. 230, 14], atque ex eodem epistula deriuata est ea qua Felix fingitur Zenonem monuisse ut Petrum Fullonem ex Antiochia urbe expellat [x]. sermo commode fluens neque impolitus longe distat a barbarie figmentorum antiquiorum; desunt incultae ipsarum rerum inscitiae indicia, immo, ut unum afferam exemplum, apparet aliqua certe notitia eorum quae Zeno redux gessit, ut fidem Chalcedonensem restitueret [cf. locum p. 25, 20 sq., quem nunc domum ope codicis I intellegentiae reddere licuit]. imprimis uero notatione digna est noua quaedam uituperatio Petri Fullonis, quae etiam fortius premitur quam trisagii formulae nouatio. legitur in epistula 1 collectionis Vaticanae [p. 217, 15] εἷς τῆς τριάδος ἐστὶν ἐνανθρωπήσας Ἰησοῦς ὁ Χριστός. additur tamen ὁ δὲ σταυρὸς περὶ τὸ ἀνθρώπινον τοῦ Χριστοῦ γεγένηταί τε καὶ πιστεύεται. tecte atque in praetereundo et hic pugnatur contra formulam quae est *unus de trinitate passus* [cf. Act. Conc. t. IIII 2 p. VII sq.] et in epistulae 6 eiusdem collectionis [p. 228, 37] sententia condicionali εἰ εἷς τῆς τριάδος ἀπέθανε, πῶς οὐ γέγονέ ποτε δυὰς ἡ τριάς; at in eis epistulis quae in collectione Sabbaitica adiectae sunt, aperte atque etiam acerbius trisagii nouatione uituperatur illa formula quae est εἷς τῆς τριάδος παθών, cf. p. 18, 38 ἐξετράπης κατὰ τὸν Ἄρειον καὶ Ἀπολινάριον λέγων τὸν ἕνα τῆς τριάδος παθεῖν, p. 19, 18 τὸ λέγειν τὸν ἕνα τῆς τριάδος παθεῖν δείκνυσιν αὐτὸν τὸν λόγον παθητόν, p. 21, 5 ἐτόλμησας εἰπεῖν ὅτι ὁ εἷς τῆς . . . τριάδος τὸ πάθος ὑπέμεινε, ibid. 33 τὸν τῆς πολυθείας λόγον μὴ κράτυνε διὰ τοῦ λέγειν τεθνάναι τὸν ἕνα τῆς τριάδος, p. 23, 9 ἐκδιδάσκεις . . . λέγειν . . . ὅτι ὁ εἷς τῆς τριάδος ἀπέθανεν, ὅστις ἐστὶν αὐτὸς ὁ θεὸς λόγος, denique p. 24, 22 λέγειν ἐτόλμησεν τὸν ἕνα τῆς τριάδος τὸ πάθος τὸ ὑπὲρ ἡμῶν ὑπομεῖναι εἰς τὴν τῆς θεότητος οὐσίαν κατὰ τὴν Ἀρείου καὶ Ἀπολιναρίου καὶ Εὐνομίου παράδοσιν. primum de ista formula controuersia orta est inter monachos Scythicos, i. e. Gothicos Maxentium et consortes atque legatos quos Hormisda papa anno 519 eunte Constantinopolim destinauit de communione inter ecclesias Romanam et Constantinopolitanam restituenda, inprimis Dioscorum exulem Alexandrinum atque diaconum Hormisdae. cuius controuersiae uicissitudines olim prolixe enarraui [Act. Conc. t. IIII 2 p. VII sq.]. nihil probabilius quam illo tempore tres quae in collectione Sabbaitica adiectae sunt epistulas falsicatas esse contra Maxentium et consortes formulam quae est unus de siue ex trinitate passus, acriter defendentes a monachis uel clericis Constantinopolitanis, nisi de ipso Dioscoro cogitare mauis, ne minimum quidem fidei Chalcedonensi adici debere obstinate contendentibus. at Iustini augusti nepos Iustinianus, qui inde ab initio illius regni res ecclesiasticas gubernabat, post aliquot cunctationes atque uacillationes formulam probandam esse quodam certe modo censuit in litteris quas d. 9. m. Sept. a. 520 ad Hormisdam direxit [Coll. Auell. 235 p. 715, 20] *nobis uidetur*

quoniam filius dei uiui . . . Iesus Christus ex uirgine Maria natus, quem praedicat summus apostolorum carne passum [1 Petr. 4, 1], *recte dicitur unus in trinitate cum patre spirituque sancto regnare, maiestatisque eius personam in trinitate et ex trinitate non infideliter credimus.* quibus prudenter papa d. 26. Mart. a. 521 ita rescripsit, ut aperte contra formulam non pugnaret, sed totam controuersiam ad synodica, i. e. Chalcedonensia decreta tomumque Leonis remitteret [Coll. Auell. ep. 236 p. 718, 11. 722, 9]. iterum exarsit rixa quando Cyrus de monasterio Acoemitensi Romam profectus cum nonnullis sequacibus contra formulam pugnauit; iam uero augustus solus Iustinianus litteris ad Iohannem papam II d. 14. m. Mart. a. 533 missis pronuntiauit *Iesum Christum . . . incarnatum . . . hominem factum atque crucifixum unum esse sanctae et consubstantialis trinitatis* [Coll. Auell. ep. 84 p. 323, 7. 27] postulauitque ut qui hanc rectam fidem denegarent, condemnarentur. paruerunt huic placito et Iohannes [Coll. Auell. ep. 84 data d. 25 m. Mart. a. 534; cf. etiam Act. Conc. t. IIII 2 p. 206 sq.] et Agapetus successor [ibid. ep. 91 data d. 18. m. Mart. a. 536]. Iohannis responsum cum litteris suis in codicis alteram editionem [I 1, 8], quae in publicum edita est d. 16. m. Nou. a. 534, Iustinianus recepit. neque monachos Palaestinos aliter atque imperatorem sensisse testis est Cyrillus Scythopolitanus in uita Sabae 38 p. 127, 22 narrando de duobus monachis Nestorianis: μὴ ὁμολογοῦντες κυρίως καὶ κατὰ ἀλήθειαν θεοτόκον τὴν ἁγίαν παρθένον Μαρίαν, ἀλλ' οὐδὲ ἕνα εἶναι τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος ἐπρέσβευον Χριστὸν τὸν ἀληθινὸν θεόν. negari igitur nequit monachos illos qui collectionem Sabbaiticam composuerunt, cum tres illas epistulas operi suo inseruerunt, quodam modo non imperatori tantum, sed sibi quoque ipsis esse aduersatos. quod peccatum mihi quidem inde explicari uidetur, quod collectionis Sabbaiticae auctores non tres tantum epistulas, sed totum illud corpus recentissimum receperunt unico studio contra additamentum trisagii pugnandi tantopere abrepti, ut quas praeterea inueniebant inuectiuas contra formulam quae est εἷς τῆς τριάδος παθών, prolatas suae intentioni grauiter nocere posse non animaduerterent.

Ante hos uiginti quinque annos ipsis diebus quibus exarsit bellum infeliciter gloriosum, primum uolumen [t. IIII 2] Actorum Conciliorum in publicum editum est. post pacem quamuis turpem tamen restitutam seditionesque internas profligatas ad opus per quinque annos interruptum redii atque Acta Ephesena et Chalcedonensia ad finem perduxi. iam iterum Mars incultus Musas paene silere cogit; quod ego non obmutui, sed tomum tertium potui terminare, grates debeo sinceras intrepido librario. praefationem et indices in fines angustiores esse coartatos et illi et mihi pondere simul senectutis et belli oppresso condonabitur.

Monachiae mense Nouembri a. h. s. XXXVIIII

E. Schwartz

COLLECTIO SABBAITICA

O = Collectio Sabbaitica
- a = Codex Monacensis 186 chart. scriptus a. 1446
- e = Codex Parisinus 418 chart. s. xv
- r = Codex Vaticanus 479 bomb. s. xiii
- v = Codex Vatopedianus 620 s. xiii

I = Codex Athous Iwiron 381 s. xv

P = Codex Vaticanus 1455 s. xiii

R = Cod. Vat. 1431 s. xii

X = Cod. Vat. 720 s. xii

Y = Cod. Vat. 2029 s. xii

Z = Cod. Vat. 48 s. xiii

W = Codex Vindobon. hist. gr. 127 s. xi

B = Codex Barberinus 578 s. xi

D = Codex Vaticanus 680 s. xiii

B^a = Codex Neapolitanus II B 15 s. xiii

Λ = versio Latina primum edita a Merlino, repetita in editione Coloniensi Conciliorum omnium t. II a. 1551 ex officina Ioannis Quentel

Ἔκθεσις πίστεως κατὰ ἀποκάλυψιν Γρηγορίου ἐπισκόπου Νεοκαισαρείας

1 Εἷς θεὸς πατὴρ λόγου ζῶντος, σοφίας ὑφεστώσης καὶ δυνάμεως καὶ χαρακτῆρος ἀιδίου, τέλειος τελείου γεννήτωρ, πατὴρ υἱοῦ μονογενοῦς· εἷς κύριος, μόνος ἐκ μόνου, θεὸς ἐκ θεοῦ, χαρακτὴρ καὶ εἰκὼν θεότητος, λόγος ἐνεργός, σοφία τῆς τῶν ὅλων συστάσεως περιεκτικὴ καὶ δύναμις τῆς ὅλης κτίσεως ποιητική, υἱὸς ἀληθινὸς ἀληθινοῦ πατρός, ἀόρατος ἀοράτου καὶ ἄφθαρτος ἀφθάρτου καὶ ἀθάνατος ἀθανάτου καὶ ἀίδιος ἀιδίου· ἓν πνεῦμα ἅγιον, ἐκ θεοῦ τὴν ὕπαρξιν ἔχον καὶ δι' υἱοῦ πεφηνός, δηλαδὴ τοῖς ἀνθρώποις, εἰκὼν τοῦ υἱοῦ τελείου τελεία, ζωὴ ζώντων αἰτία, ἁγιότης ἁγιασμοῦ χορηγός, ἐν ᾧ φανεροῦται θεὸς ὁ πατὴρ ὁ ἐπὶ πάντων καὶ ἐν πᾶσιν καὶ θεὸς ὁ υἱὸς ὁ διὰ πάντων· τριὰς τελεία δόξῃ καὶ ἀιδιότητι καὶ βασιλείαι, μὴ μεριζομένη μηδὲ ἀπαλλοτριουμένη. οὔτε οὖν κτιστόν τι ἢ δοῦλον ἐν τῇι τριάδι οὔτε ἐπείσακτον, ὡς πρότερον μὲν οὐχ ὑπάρχον, ὕστερον δὲ ἐπεισελθόν, οὔτε οὖν ἐνέλιπέν ποτε υἱὸς πατρὶ οὔτε υἱῶι πνεῦμα, ἀλλὰ ἄτρεπτος καὶ ἀναλλοίωτος ἡ αὐτὴ τριὰς ἀεί.

1 Cor. 1, 24
Col. 1, 15
Hebr. 1, 3

Βασιλείου ἐπισκόπου Καισαρείας Καππαδοκίας ἐκ τοῦ περὶ πίστεως λόγου

2 Ἡ ἄκτιστος φύσις καὶ ἀκατάληπτος οὐσία, ἡ αὐτεξούσιος δύναμις, ἡ φυσικὴ ἀγαθότης, τὸ δεσποτικὸν ἀξίωμα, πατὴρ καὶ υἱὸς καὶ πνεῦμα ἅγιον.

3 Ἡ ἁγία καὶ μεγάλη καὶ οἰκουμενικὴ σύνοδος ἡ κατὰ θεοῦ χάριν καὶ θέσπισμα τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων Οὐαλεντινιανοῦ καὶ Μαρκιανοῦ αὐγούστων συναχθεῖσα ἐν τῇι Χαλκηδονέων μητροπόλει τῆς Βιθυνῶν ἐπαρχίας ἐν τῶι μαρτυρίωι

---

1 edidit Caspari in *Quellen z. Gesch. d. Taufsymbols* 1 sq.

2 Basil. hom. 15 p. 131 ἐκεῖ πατὴρ καὶ υἱὸς καὶ ἅγιον πνεῦμα, ἡ ἄκτιστος φύσις, τὸ δεσποτικὸν ἀξίωμα, ἡ φυσικὴ ἀγαθότης, cf. Theodor. uita Theodosii p. 3, 8 Usener ἡ . . . μία οὐσία καὶ θεότης καὶ δύναμις πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, ἡ ἄκτιστος φύσις, τὸ δεσποτικὸν ἀξίωμα

3 = t. II 1, 322, 8—326, 11. uariam lectionem, quam ibi adnotaui, hic non repeto

---

O [= aerv], RXYZ [usque ad 13], Λ^r [= Rufinus in *Eusebius Kirchengesch. her. v. Schwartz-Mommsen* p. 955 sq., usque ad 13]

ipsa collectio inscribitur Πρακτικὰ τῆσ ἐν κωνσταντινουπόλει ἁγίασ πέμπτης συνόδου O^e Πρακτικὰ τῆσ ἁγίασ πέμπτησ [δευτέρασ O^r] συνόδου τῆσ ἐν κωνσταντινουπόλει πραχθείσησ O^{arv} 1 Ἔκθεσις — κατὰ ἀποκάλυψιν [καὶ ἀποκάλυψισ O^{arv}] — νεοκαισαρείασ OΛ πίστισ ὀρθὴ τοῦ μεγάλου καὶ θαυματουργοῦ γρηγορίου ἐπισκόπου νεοκαισαρείασ ἣν ἐδιδάχθη δια θείασ ἀποκαλύψεωσ ὑπὸ τοῦ εὐαγγελιστοῦ Ἰωάννου R γρηγορίου ἐπισκόπου νεοκαισαρείασ τοῦ θαυματουργοῦ ἀποκάλυψισ καὶ μυσταγωγία περὶ τριάδοσ X ἔκθεσισ πίστεωσ ἣν ὁ ἅγιοσ θεῖοσ εὐαγγελιστῆσ καὶ θεολόγοσ ἰωάννησ κατ' ἐπιστροφὴν τῆς παναγίασ θ̄κ̄ου τῶ ἁγίω γρηγορίω τῶ θαυματουργῶ ὑπηγόρευσεν Y θεολογία ἣν ἐμυσταγωγήθη ὁ μέγασ γρηγόριοσ ὁ θαυματουργὸς παρὰ τῆσ ὑπεραγίασ θ̄κ̄ου καὶ τοῦ θεολόγου ἰωάννου Z 2 ὑπεστώσησ R καὶ² om. Y 3 ἰδίου RΛ^r τέλειος om. Z μονογεννοῦσ O^a ut solet καὶ εἷσ Z 4/5 ὅλων — τῆς om. Y 5 πατρὸς] θ̄ῡ R om. Λ^r 7 καὶ ἓν Z δηλαδὴ τοῖς ἀνθρώποις om. Λ^r δηλαδὴ om. R 8 τοῦ om. Z τελεία] καὶ Z ζωὴ om. Λ^r post αἰτία habet πηγὴ ἁγία Z χορηγὸν R 9 ἐν] ἐπὶ Z θεὸς² om. Λ^r ὁ¹ om. O^{arv} post πάντων habet καὶ θσ τὸ π̄ν̄ᾱ τὸ ἅγιον Y 10 μήτε Y ἀπηλλοτριομένη Z 11 τῆι om. O^{arv} οὐχ om. Z 12 οὖν] γὰρ Z ἐνέλειπέν RY ποτε om. O^{arv} τὸ π̄ν̄ᾱ X post πνεῦμα habent οὔτε ηὐξήθη [ηὐξήθη ἡ R] μονὰσ εἰσ δυάδα οὔτε [καὶ RY] δυὰσ [μονὰσ Y] εἰσ τριάδα RXY 15 καὶ O^cΛ ἡ O^{arv} 17 ἁγαθότησ σύνοδοσ O^r ἡ² om. O^r 19 χαλκηδονίων O^{av} βιθυνίων O^r

τῆς ἁγίας καὶ καλλινίκου μάρτυρος Εὐφημίας ὥρισε τὰ ὑποτεταγμένα. Ὁ κύριος ἡμῶν
Ioh. 14, 27 καὶ σωτὴρ ὁ Χριστὸς τῆς πίστεως τὴν γνῶσιν τοῖς μαθηταῖς βεβαιῶν ἔφη εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν, ὥστε μηδένα πρὸς τὸν πλησίον διαφωνεῖν ἐν τοῖς δόγμασι τῆς εὐσεβείας, ἀλλ' ἐπίσης τὸ τῆς ἀληθείας ἐπιδείκνυσθαι κήρυγμα. ἐπειδὴ δὲ οὐ παύεται διὰ τῶν ἑαυτοῦ ζιζανίων ὁ πονηρὸς τοῖς τῆς ἀληθείας ἐπιφυόμενος σπέρμασι καί τι καινὸν κατὰ τῆς ἀληθείας ἐφευρίσκων ἀεί, διὰ τοῦτο συνήθως ὁ δεσπότης ἡμῶν Χριστὸς προνοούμενος τοῦ ἀνθρωπίνου γένους τὸν εὐσεβῆ τοῦτον καὶ πιστότατον πρὸς ζῆλον ἀνέστησε βασιλέα καὶ τοὺς ἁπανταχῆι τῆς ἱερωσύνης πρὸς ἑαυτὸν ἀρχηγοὺς συνεκάλεσεν, ὥστε τῆς χάριτος τοῦ πάντων ἡμῶν δεσπότου Χριστοῦ συνεργούσης πᾶσαν μὲν τοῦ ψεύδους τῶν Χριστοῦ προβάτων ἀποσείσασθαι λύμην, τοῖς δὲ τῆς ἀληθείας αὐτὴν καταπιαίνειν βλαστήμασιν. ὃ δὴ καὶ πεποιήκαμεν, κοινῆι ψήφωι τὰ τῆς πλάνης ἀπελάσαντες δόγματα, τὴν δὲ ἁπλανῆ τῶν πατέρων ἀνανεωσάμενοι πίστιν, τὸ τῶν τιη σύμβολον τοῖς πᾶσι κηρύξαντες καὶ ὡς οἰκείους τοὺς τοῦτο τῆς εὐσεβείας τὸ σύνθημα δεξαμένους πατέρας ἐπιγραψάμενοι, οἵπερ εἰσὶν οἱ μετὰ ταῦτα ἐν τῆι μεγάληι Κωνσταντινουπόλει συνελθόντες ρν, καὶ αὐτοὶ τὴν αὐτὴν ἐπισφραγισάμενοι πίστιν. ὁρίζομεν τοίνυν, τὴν τάξιν καὶ τοὺς περὶ τῆς πίστεως τῶν κανόνων ἅπαντας τύπους φυλάττοντες καὶ ἡμεῖς τῆς κατὰ Ἔφεσον ἁγίας συνόδου, ἧς ἡγεμόνες οἱ ἁγιώτατοι τὴν μνήμην Κελεστῖνος ὁ τῆς Ῥωμαίων καὶ Κύριλλος ὁ τῆς Ἀλεξανδρέων καὶ Ἰωάννης ὁ τῆς Ἀντιοχέων ἐτύγχανον, προλάμπειν μὲν τῆς ὀρθῆς ταὶ ἀμωμήτου πίστεως τὴν ἔκθεσιν τῶν τιη ἁγίων καὶ μακαρίων πατέρων τῶν ἐν Νικαίαι ἐπὶ τοῦ τῆς εὐσεβοῦς μνήμης Κωνσταντίνου τοῦ γενομένου βασιλέως συναχθέντων κρατεῖν τε καὶ τὰ παρὰ τῶν ρν ἁγίων πατέρων ἐν Κωνσταντινουπόλει ὁρισθέντα πρὸς ἀναίρεσιν μὲν τῶν τότε φυεισῶν αἱρέσεων, βεβαίωσιν δὲ τῆς καθολικῆς καὶ ἀποστολικῆς ἡμῶν πίστεως: —

Τὸ σύμβολον τῶν ἐν Νικαίαι τιη ἁγίων πατέρων

Πιστεύομεν εἰς ἕνα θεὸν πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς ὁρατῶν τε πάντων καὶ ἀοράτων· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστόν, τὸν υἱὸν τοῦ θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων, φῶς ἐκ φωτός, θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ, γεννηθέντα οὐ ποιηθέντα, ὁμοούσιον τῶι πατρί, δι' οὗ τὰ πάντα ἐγένετο, τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου καὶ ἐνανθρωπήσαντα σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου καὶ παθόντα καὶ ταφέντα καὶ ἀναστάντα τῆι τρίτηι ἡμέραι κατὰ τὰς γραφὰς καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐν δεξιᾶι τοῦ πατρὸς καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος· καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον. τοὺς δὲ λέγοντας 'ἦν ποτε ὅτε οὐκ ἦν' καὶ 'πρὶν γεννηθῆναι οὐκ ἦν' καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο, ἢ ἐξ ἑτέρας ὑποστάσεως ἢ οὐσίας φάσκοντας εἶναι ἢ τρεπτὸν ἢ ἀλλοιωτὸν τὸν υἱὸν τοῦ θεοῦ, τούτους ἀναθεματίζει ἡ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία: —

ὡσαύτως καὶ τῶν ἁγίων ρν πατέρων τῶν ἐν Κωνσταντινουπόλει συναχθέντων

Πιστεύομεν εἰς ἕνα θεὸν πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς ὁρατῶν τε πάντων καὶ ἀοράτων· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστόν, τὸν υἱὸν τοῦ θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων, φῶς ἐκ φωτός,

---

O [= aerv]

4 ἐπίσης ἅπασι O^{e} corr., cf. Chalced. 5 ἐπεὶ O^{r} ἀληθείας O εὐσεβείας Chalced. 8 ἀρχηγοὺς πρὸς ἑαυτὸν O^{r} 10 τοῦ χυ O^{e} corr., cf. Chalced. 11 τὲ O δὲ Chalced. 13 τῆς αὐτῆς O^{e} corr., cf. Chalced. 26 τοῦ om. O^{v} 33 ἐκ δεξιῶν O^{e} 38 ὡσαύτως καὶ O^{e} τὸ σύμβολον O^{aerv}

θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ, γεννηθέντα οὐ ποιηθέντα, ὁμοούσιον τῶι πατρί, δι' οὗ τὰ πάντα ἐγένετο, τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου καὶ ἐνανθρωπήσαντα σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου καὶ παθόντα καὶ ταφέντα καὶ ἀναστάντα τῆι τρίτηι ἡμέραι κατὰ τὰς γραφὰς καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐν δεξιᾶι τοῦ πατρὸς καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος· καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τὸ κύριον καὶ ζωοποιόν, τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, τὸ σὺν πατρὶ καὶ υἱῶι συμπροσκυμούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν· εἰς μίαν ἁγίαν καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν. ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν, προσδοκῶ ἀνάστασιν νεκρῶν καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. ἀμήν: —

Ἔκθεσις τῶν ἐν Χαλκηδόνι συνελθόντων ἐπισκόπων

Ἤρκει μὲν οὖν εἰς ἐντελῆ τῆς εὐσεβείας ἐπίγνωσίν τε καὶ βεβαίωσιν τὸ σοφὸν καὶ σωτήριον τοῦτο τῆς θείας χάριτος σύμβολον· περὶ τε γὰρ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος ἐκδιδάσκει τὸ τέλειον καὶ τοῦ κυρίου τὴν ἐνανθρώπησιν τοῖς πιστῶς δεχομένοις παρίστησιν. ἀλλ' ἐπειδήπερ οἱ τῆς ἀληθείας ἀθετεῖν ἐπιχειροῦντες τὸ κήρυγμα διὰ τῶν οἰκείων αἱρέσεων τὰς κενοφωνίας ἀπέτεκον, οἳ μὲν τὸ τῆς τοῦ κυρίου δι' ἡμᾶς οἰκονομίας μυστήριον παραφθείρειν τολμήσαντες καὶ τὴν θεοτόκος ἐπὶ τῆς παρθένου φωνὴν ἀπαρνούμενοι, οἳ δὲ σύγχυσιν καὶ κρᾶσιν εἰσάγοντες καὶ μίαν εἶναι φύσιν τῆς σαρκὸς καὶ τῆς θεότητος ἀνοήτως ἀναπλάττοντες καὶ παθητὴν τοῦ μονογενοῦς τὴν θείαν φύσιν τῆι συγχύσει τερατευόμενοι, διὰ τοῦτο πᾶσαν αὐτοῖς ἀποκλεῖσαι κατὰ τῆς ἀληθείας μηχανὴν βουλομένη ἡ παροῦσα νῦν αὕτη ἁγία καὶ μεγάλη καὶ οἰκουμενικὴ σύνοδος τὸ τοῦ κηρύγματος ἄνωθεν ἀσάλευτον ἐκδιδάσκουσα ὥρισε προηγουμένως τῶν τιη ἁγίων πατέρων τὴν πίστιν μένειν ἀπαρεγχείρητον. καὶ διὰ μὲν τοὺς τῶι πνεύματι τῶι ἁγίωι μαχομένους τὴν χρόνοις ὕστερον παρὰ τῶν ἐπὶ τῆς βασιλευούσης πόλεως συνελθόντων ρν ἁγίων πατέρων περὶ τῆς τοῦ πνεύματος οὐσίας παραδοθεῖσαν διδασκαλίαν κυροῖ, ἣν ἐκεῖνοι πᾶσιν ἐγνώρισαν, οὐχ ὡς τι λεῖπον τοῖς προλαβοῦσιν ἐπεισάγοντες, ἀλλὰ τὴν περὶ τοῦ ἁγίου πνεύματος αὐτῶν ἔννοιαν κατὰ τῶν τὴν αὐτοῦ δεσποτείαν ἀθετεῖν πειρωμένων γραφικαῖς μαρτυρίαις τρανώσαντες· διὰ δὲ τοὺς τὸ τῆς οἰκονομίας παραφθείρειν ἐπιχειροῦντας μυστήριον καὶ ψιλὸν ἄνθρωπον εἶναι τὸν ἐκ τῆς ἁγίας παρθένου τεχθέντα Μαρίας ἀναιδῶς ληρωιδοῦντας τὰς τοῦ μακαρίου Κυρίλλου τοῦ τῆς Ἀλεξανδρέων ἐκκλησίας γενομένου ποιμένος συνοδικὰς ἐπιστολὰς πρός τε Νεστόριον καὶ τοὺς τῆς Ἀνατολῆς ἁρμοδίας οὔσας ἐδέξατο, εἰς ἔλεγχον μὲν τῆς Νεστορίου φρενοβλαβείας, ἑρμηνείαν δὲ τῶν εὐσεβεῖ ζήλωι τοῦ σωτηρίου συμβόλου ποθούντων τὴν ἔννοιαν· αἷς καὶ τὴν ἐπιστολὴν τοῦ τῆς μεγίστης καὶ πρεσβυτέρας Ῥώμης προέδρου τοῦ ἁγιωτάτου καὶ μακαρίου Λέοντος τὴν γραφεῖσαν πρὸς τὸν ἐν ἁγίοις ἐπίσκοπον Φλαβιανὸν ἐπ' ἀναιρέσει τῆς Εὐτυχοῦς κακονοίας, ἅτε δὴ τοῦ μεγάλου Πέτρου ὁμολογίαι συμβαίνουσαν καὶ κοινήν τινα στήλην ὑπάρχουσαν κατὰ τῶν κακοδοξούντων, εἰκότως συνήρμοσε πρὸς τὴν τῶν ὀρθῶν δογμάτων βεβαίωσιν. τοῖς τε γὰρ εἰς υἱῶν δυάδα τὸ τῆς οἰκονομίας διασπᾶν ἐπιχειροῦσι μυστήριον παρα-

---

O [= acrv]

6 ἐκ δεξιῶν O^{pr} 8 καὶ^1] τὸ O^{av} 10 ὁμολογῶμεν O^r 11 προσδοκῶμεν O^r 17/18 τῆς — οἰκονομίασ O^e τοῦ κῦ δι' ἡμᾶσ τῆσ οἰκονομίασ O^{av} τῆσ δι' ἡμᾶσ τοῦ κῦ οἰκονομίασ O^r 18 τολμῶντεσ O^r 22 καὶ^1 om. O^r καὶ^2 om. O^{av} 24/25 τῶ ἁγίω πνι O^{av} 26 συνελθόντων ἑκατὸν πεντήκοντα ἁγίων πρων O^r ρν O^{aev} 27 τοῖς πᾶσιν O^r 31 τὰς om. O^{aev} 32 ἁρμοδίουσ O^r 34/35 καὶ πρεσβυτέρας om. O^r 35 ἁγιωτάτου [ἁγίου O^e] καὶ μακαρίου O^{aev} μακαριωτάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου O^r 36 ἀρχιεπίσκοπον O^r ἐπ' ἀναιρέσει O^r πρὸσ ἀναίρεσιν μὲν O^{aev} 38 ὀρθῶν O^{aev} ὀρθοδόξων O^r

τάττεται καὶ τοὺς παθητὴν τοῦ μονογενοῦς λέγειν τολμῶντας τὴν θεότητα τοῦ τῶν ἱερῶν ἀπωθεῖται συλλόγου καὶ τοῖς ἐπὶ τῶν δύο φύσεων τοῦ Χριστοῦ κρᾶσιν ἢ σύγχυσιν ἐπινοοῦσιν ἀνθίσταται καὶ τοὺς οὐράνιον ἢ ἑτέρας τινὸς ὑπάρχειν οὐσίας τὴν ἐξ ἡμῶν ληφθεῖσαν αὐτῶι τοῦ δούλου μορφὴν παραπαίοντας ἐξελαύνει καὶ τοὺς δύο μὲν πρὸ τῆς ἑνώσεως φύσεις τοῦ κυρίου μυθεύοντας, μίαν δὲ μετὰ τὴν ἕνωσιν ἀναπλάττοντας ἀναθεματίζει. ἑπόμενοι τοίνυν τοῖς ἁγίοις πατράσιν ἕνα καὶ τὸν αὐτὸν ὁμολογεῖν υἱὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν συμφώνως ἅπαντες ἐκδιδάσκομεν, τέλειον τὸν αὐτὸν ἐν θεότητι καὶ τέλειον τὸν αὐτὸν ἐν ἀνθρωπότητι, θεὸν ἀληθῶς καὶ ἄνθρωπον ἀληθῶς τὸν αὐτὸν ἐκ ψυχῆς λογικῆς καὶ σώματος, ὁμοούσιον τῶι πατρὶ κατὰ τὴν θεότητα καὶ ὁμοούσιον ἡμῖν τὸν αὐτὸν κατὰ τὴν ἀνθρωπότητα, κατὰ πάντα ὅμοιον ἡμῖν χωρὶς ἁμαρτίας, πρὸ αἰώνων μὲν ἐκ τοῦ πατρὸς γεννηθέντα κατὰ τὴν θεότητα, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν τὸν αὐτὸν δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Μαρίας τῆς παρθένου τῆς θεοτόκου κατὰ τὴν ἀνθρωπότητα ἕνα καὶ τὸν αὐτὸν Χριστὸν Ἰησοῦν κύριον μονογενῆ, ἐν δύο φύσεσιν ἀσυγχύτως ἀτρέπτως ἀδιαιρέτως ἀχωρίστως γνωριζόμενον, οὐδαμοῦ τῆς τῶν φύσεων διαφορᾶς ἀνηιρημένης διὰ τὴν ἕνωσιν, σωιζομένης δὲ μᾶλλον τῆς ἰδιότητος ἑκατέρας φύσεως καὶ εἰς ἓν πρόσωπον καὶ μίαν ὑπόστασιν συντρεχούσης, οὐκ εἰς δύο πρόσωπα μεριζόμενον ἢ διαιρούμενον, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν υἱὸν μονογενῆ θεὸν λόγον κύριον Ἰησοῦν Χριστόν, καθάπερ ἄνωθεν οἱ προφῆται περὶ αὐτοῦ καὶ αὐτὸς ἡμᾶς Ἰησοῦς Χριστὸς ἐξεπαίδευσε καὶ τὸ τῶν πατέρων ἡμῖν παραδέδωκε σύμβολον. τούτων τοίνυν μετὰ πάσης πανταχόθεν ἀκριβείας καὶ ἐμμελείας παρ' ἡμῶν διατυπωθέντων ὥρισεν ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος ἑτέραν πίστιν μηδενὶ ἐξεῖναι προφέρειν ἢ γοῦν συγγράφειν ἢ συντιθέναι ἢ φρονεῖν ἢ διδάσκειν ἑτέρως, τοὺς δὲ τολμῶντας ἢ συντιθέναι πίστιν ἑτέραν ἢ γοῦν προκομίζειν ἢ διδάσκειν ἢ παραδιδόναι ἕτερον σύμβολον τοῖς ἐθέλουσιν ἐπιστρέφειν ἐξ Ἑλληνισμοῦ ἢ Ἰουδαισμοῦ ἢ γοῦν ἐξ αἱρέσεως οἱασδηποτοῦν, τούτους, εἰ μὲν εἶεν ἐπίσκοποι ἢ κληρικοί, ἀλλοτρίους εἶναι τοὺς ἐπισκόπους τῆς ἐπισκοπῆς καὶ τοὺς κληρικοὺς τοῦ κλήρου· εἰ δὲ μονάζοντες ἢ λαικοὶ εἶεν, ἀναθεματίζεσθαι: —

Hebr. 4, 15

I

4 Ἀντέωνος ἐπισκόπου Ἀρσενόης ἐπιστολὴ πρὸς Πέτρον ἐπίσκοπον Ἀντιοχείας ὅτι οὐ δεῖ πάθος ἐν τῶι τρισαγίωι συνάπτειν διὰ τῆς προσθήκης τῆς ὁ σταυρωθεὶς δι' ἡμᾶς ἣν οἱ αἱρετικοὶ προσέθηκαν

1 Πάνυ εἰμὶ ἐστυγνακώς, ἀδελφὲ τιμιώτατε, ὅτι ἐπηύξηται διὰ σοῦ μέγα σκάνδαλον ἀντὶ τοῦ ἐκτεμεῖν σε τὰ σκάνδαλα. καὶ γὰρ ἐπισχεῖν θέλω τὰ ἐπὶ τούτωι δάκρυα καὶ κεκώλυμαι ὑπὸ τῆς σῆς ἐν κακίαι ἐξενηνεγμένης αἱρέσεως, ὅτι παρατέτρωται παρὰ σοὶ τὰ εὐαγγέλια Πράξεις τε καὶ ἀπόστολος, ἐπείπερ παρ' αὐτοὺς ἔδοξας ἐπισοφίζεσθαι τοῦ μὴ Χριστὸν σταυρωθέντα καθαρῶς ὁμολογεῖν, ἀλλὰ τῶι τρισαγίωι τὸν σταυρὸν συνάπτειν ὡς τὰ πρῶτά σου γράμματα τὰ πρὸς Ἀκάκιον τὸν Κωνσταντινουπόλεως ποιμένα δείκνυσιν.

---

epistulae collocatae sunt VIII. VIIII. 1—VII. X. ante VIII extat inscriptio Βιβλίον πρῶτον τῶν πρακτικῶν τῆσ ἁγίασ καὶ οἰκουμενικῆς πέμπτης συνόδου I

I antiquior epistulae forma [ΓΛ[a]] edita est infra in appendice 1

O [= aerv], I [inde Λ 28]

3 ὑπάρχειν O[r] ὕπαρξιν O[aev] 10 ἡμῖν τὸν αὐτὸν O[e] τὸν αὐτὸν ἡμῖν O[r] τὸν αὐτὸν O[av] 12 παρθένου τῆς θεοτόκου O[r] παρθένου O[av] παρθένο υτεχθέντα O[e] 13 Ἰησοῦν] υἱὸν O[r] 13. 14 ἐκ δύο φύσεων O[r] 14 ἀχωρίστως] ἀσυγχύτωσ O[a] 17 μονογενῆ υἱὸν O[u] κύριον om. O[aev] 18 ὁ κσ ισ O[r] 19 παρέδωκε O[av] 23 θέλουσιν O[e] 28 Ἀντέωνος — Ἀρσενόης] ἑτέρα I om. O[r] ἀρσινόησ O[av] 29/30 ἣν οἱ O[ar] I ἣν O[e] ἥσ O[v] 32 ἀντὶ — σκάνδαλα om. O[r] 34 τε om. O[a] 35 τὸ O[v]

ἐπειδή γε εἰς ἀσέβειαν ἐμπέπτωκας, διαφόρως διαστρέφεις τὴν ἐξενεχθεῖσαν ὑπὸ σοῦ ἀδίκως
2 νομήν, ὅπως ἐμπαράμονον καὶ ἑδραίαν αὐτὴν παρὰ πᾶσι κυρώσηις. οὔτε γὰρ τὸ
θεῖον λέγομεν παθητόν, ὡς σὺ λέγεις, οὔτε γυμνὸν λόγον φαμὲν σταυρωθέντα, ἀλλὰ
Χριστὸν Ἰησοῦν. ἐν δὲ τῶι τρισαγίωι ποῦ σώματος δήλωσις, ἵνα χώραν ἡ τοῦ σταυροῦ
3 λάβηι προσηγορία; λέγεις γὰρ 'ἅγιος ὁ θεός'. καὶ τίς οὐκ οἶδεν ὅτι πρῶτος ὁ πατὴρ 5
κατὰ τὴν τάξιν τῆς συνήθους πᾶσι δοξολογίας, εἰ καὶ μὴ καθ' ὑπεροχὴν τῆς θεικῆς ἀξίας;
ἔπειτα φάσκεις 'ἅγιος ἰσχυρός'. καὶ τίς οὐκ οἶδε κατὰ τὸν προφήτην Ἡσαίαν ὅτι τὸ
τεχθὲν ἡμῖν παιδίον Χριστὸς Ἰησοῦς, οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ καὶ Ies. 9, 6
καλεῖται καὶ ἔστι μεγάλης βουλῆς ἄγγελος θεὸς ἰσχυρός; εἰ γὰρ καὶ ἐσταυ- 2 Cor. 13, 4
ρώθη ἐξ ἀσθενείας, ἀλλὰ τὸ ἀσθενὲς ἡμῶν ἀναλαβὼν σῶμα τοῦτο πέπονθεν, ἰσχυρὸς 10
δὲ θεὸς τυγχάνων προθύμως πρὸς τὸν σταυρὸν τὸ οἰκεῖον ἐξεδίδου σῶμα, ὡς εἰπεῖν καὶ
4 τὸν προφήτην αὐτὸς τὰς ἀσθενείας ἡμῶν ἀνέλαβε. θεὸς δὲ καὶ ἄνθρωπος παρὰ Mt. 8, 17
πάντων συνωμολόγηται ὁ Χριστός· σὺ δὲ μόνον τὸ ἰσχυρὸν τῆς τοῦ Χριστοῦ θεότητος
εἰπών, παραδραμὼν δὲ καὶ τοῦτο ἦκες ἐπὶ τὸ πνεῦμα τὸ ἅγιον καὶ ὡμολόγησας, ὡς
5 ἔστιν ἀληθῶς, ἀθάνατον. τίνα οὖν ἐπιφέρεις ἐσταυρωμένον δι' ἡμᾶς μετὰ ταῦτα; τὸν 15
Χριστὸν λέγεις; οὐκοῦν δῆλος γέγονας τετράδα φρονῶν, ἕτερον παρὰ τὸν ἰσχυρὸν θεὸν
τὸν Χριστὸν ὀνομάζων. ἀλλὰ τὸ πνεῦμα τὸ ἅγιον σταυρωθῆναι φάσκεις; καὶ τί τούτου
δυσσεβέστερον γένοιτ' ἄν; ἀλλὰ φαντασίαν λέγεις τὴν τοῦ πάθους οἰκονομίαν; οὐκοῦν
6 φαντασία κατὰ τοὺς ἀσεβεῖς Μανιχαίους καὶ ἡ ἡμῶν σωτηρία. ὁρᾶις πῶς πανταχόθεν
περικρημνίζηι καὶ ἀγνοεῖς, ἢ καὶ εἰδὼς ἑκὼν κακουργεῖς; ἰδοὺ νῦν ὑπομνησθεὶς ἐντράπηθι 20
περὶ τῆς ἀπαιδευσίας σου καὶ εἶξον, ὡς παρεδέξω παρὰ τοῦ προφήτου, δοξολογεῖν τὸ
τρισάγιον· ἀσωμάτως γὰρ ὀνομαζόμενον μηδενὸς προκειμένου τῆς σαρκώσεως τοῦ μονο-
γενοῦς αἰνίγματος καθαρῶς ὀφείλει δοξολογεῖσθαι μηδεμιᾶς σταυροῦ προσθήκης ἐπαγο-
7 μένης. ὡς γὰρ ἂν σοφίσηταί τις, ἐκκρημνίζεται τῆς ὀρθοδοξίας. Χριστὸν δὲ παρα- 25
λαβὼν δι' ἡμᾶς σταυρωθέντα τὸν υἱὸν τοῦ θεοῦ κατὰ τὸν μακάριον Παῦλον φάσκοντα
ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν Ἰησοῦν καὶ τοῦτον ἐσταυρωμένον, μὴ ἀπαρνοῦ 1 Cor. 1, 23
τούτου τὸ ὄνομα καὶ τὸ πάθος· εἰ δὲ μή, προλαβὼν ἐκεῖνος ἔφη· εἴ τις ὑμᾶς εὐαγγε- Gal. 1, 9
λίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. ἐγὼ γάρ φησιν οὐκ ἔκρινά τι 1 Cor. 2, 2
8 εἰδέναι ἐν ὑμῖν εἰ μὴ Χριστὸν Ἰησοῦν καὶ τοῦτον ἐσταυρωμένον. εἰ δὲ
τοῦτον ἀπαρνεῖσθε σταυρωθέντα καὶ τῶι τρισαγίωι πάθος προσάπτετε, πῶς οὐχ ὑποίσετε 30
τὸν ἀναθεματισμόν; Παῦλός ἐστιν ὁ ἀναθεματίζων, τὸ σκεῦος τῆς ἐκλογῆς. προβαλοῦ
9 Χριστὸν καὶ σταυρὸν μὴ ἀπαρνοῦ· μὴ ἕτερον ἀνθ' ἑτέρου. πλεῖστοι γάρ εἰσιν οἱ
σταυρωθέντες, εἷς δὲ ὁ δι' ἡμᾶς. φέρε οὖν ἐν τῶι σταυρῶι τούτου τὸ ὄνομα, ἵνα μὴ
ἕτερον ὑποπτευθῆις λέγειν σταυρωθέντα, ὅτι οἶδας ὅτι πολλὰ τὰ ἔνεδρα τοῦ δολίου. διὰ
τοῦτο καὶ οἱ τιη̄ καὶ οἱ ρν̄ ἕνα κύριον Ἰησοῦν Χριστὸν παραδιδόασι σταυρωθέντα καὶ οὐ 35
τὸ τρισάγιον· οἱ δὲ νομομαθεστέρους κρίναντες ἑαυτοὺς εἶναι τούτων τῶν πατέρων πῶς
οὐ δεικνύουσιν ἑαυτοὺς τούτων ἀλλοτρίους;

O [= aerv], I

1 γε O^{rI} δὲ O^{aev} Λ ἐμπεπτωκὼσ O^{arv} ἐκπεπτωκὼς Í cf. Γ 5 λάβοι O^{er} 8 ιϭ χϭ O^{a} ἐγεννήθη O^{v} 9 ἰσχυρὸς θϭ O^{rI} 10 οὐκ ἐξ O^{e} τούτω I 12 ἔλαβε I 14 τοῦτο ΙΛΛ^{a}Γ τοῦτον O 16 φωνῶν O^{rI} 20 περικνημίζη I 22 προσκειμένου I 23/24 ἐπαγόμενοσ O^{v} 24/25 δι' ἡμᾶς — θεοῦ παραλαβὼν O^{rI} 26 ιν̄ χν̄ O^{arv}I 27 ὑμῖν I 29 ιν̄ χν̄ O^{arI} 31 προλαβοῦ I 34 ὅτι^{2} om. O^{r} πονηροῦ I 35 οἱ^{1} om. O^{a}I, corr. O^{a} οἱ^{2} om. O^{a}

II

Φαύστου ἐπισκόπου Ἀπολλωνιάδος πρὸς τὸν αὐτὸν Πέτρον

1 Ἐπειδήπερ ἐπιτέτραπται νύττεσθαι τοὺς πρώτους ὑπὸ τῶν ἀποκαλυφθέντων Χριστοῦ τὸ μυστήριον ἐσχάτων, ἐκείνους δὲ σιγὴν ἄγειν τῆς κακοδιδασκαλίας ὡς γεγονότας κακίστους δογματιστάς, ἤκουσα παρὰ πολλῶν συνεπισκόπων, ἀγαπητέ, ἐκνενευκέναι σε τῆς ὀρθοδοξίας καὶ τοῦτο πανταχοῦ περιήχηται, δι' ὃ ἀναγκαῖον ἡγησάμην πυθέσθαι παρὰ σοῦ εἰ ταῦτα οὕτως ἔχει. δεῖξαι γάρ μοι δέδοκται μὴ οὕτως σε φρονεῖν ὀφείλειν ὥστε τῶι τρισαγίωι σταυρὸν συνάπτειν καὶ πάθει καὶ θνήσει τὸ ἀπαθὲς ὑποβάλλειν,
2 ἀλλὰ καθαρῶς ὡς τὰ σεραφὶμ καὶ εὐσεβῶς δοξολογεῖν. πῶς γὰρ Χριστιανίσουσι τὰ ἔθνη τοῦ ὀνόματος τοῦ σωτῆρος μὴ ἐπιφερομένου τῶι Χριστῶι; πῶς δὲ καὶ αὐτοὶ οἱ Χριστιανοὶ δύνανται πιστοὶ τυγχάνειν μὴ ἀνατιθέντες τῶι σταυρῶι τὸ τοῦ Χριστοῦ ὄνομα; ἀκούοντες γὰρ οἱ ἄπιστοι θεὸν ἀθάνατον δι' ἡμᾶς σταυρωθέντα ἐροῦσι σκάνδαλον εἶναι, τὸ πιστεῦσαι Χριστῶι ἀποστρεφόμενοι καὶ λέγοντες· οἱ θεοὶ ἡμῶν οἱ παρὰ τοῖς Χριστιανοῖς κίβδηλοι ὄντες ἀθάνατοι παρ' ἡμῶν ἀναγορεύονται, καὶ πῶς ὁ αὐτῶν θεὸς ἀθάνατος ὢν ἔθανε; δῆλον ὅτι ψευδὴς ἡ ῥῆσις αὕτη· εἰ γὰρ ἀπέθανεν, οὐκέτι ἀθάνατος οὐδὲ
3 ἰσχυρός, ἀλλὰ ἀσθενὴς τῆς ἀθανασίας τραπείς. οὐχ οὗτοι δὲ μόνον, ἀλλὰ καὶ θεοσεβεῖς καὶ ἡμῖν ὁμόπιστοι λέξουσιν ἄν· οὗτοι θεοπασχῖται καὶ οὐχὶ Χριστιανοί εἰσι· Μανιχαῖοι καὶ οὐκ ὀρθοτόμοι· τετραδῖται καὶ οὐ τριαδόδοξοι· Εὐτυχιανισταὶ καὶ οὐκ ὀρθόδοξοι· Νεστο-
4 ριανοὶ καὶ οὐ φιλόχριστοι. εἰ δέ τις τὸν ἐπὶ σταυροῦ κρεμασθέντα ἀκούσει Χριστὸν Ἰησοῦν εἶναι, ὃς τὴν θνητὴν ἡμῶν σάρκα χρισθεὶς φιλανθρωπίαι Χριστὸς εἰκότως κικλήσκεται, δι' ὃ καὶ ἐσταύρωσαν αὐτόν, ὃν ἐλπίζομεν ὅτι αὐτός ἐστιν ὁ μέλλων λυτροῦσθαι τὸν Ἰσραήλ, τότε πεσὼν ἐπὶ πρόσωπον ἐρεῖ· κἀγὼ Χριστιανός εἰμι, πιστεύω εἰς ὃν καὶ
5 οὗτοι ἐπίστευσαν, καὶ πιστευθήσεται καὶ τὰ πάθη καὶ ἡ θνῆσις τοῦ σώματος αὐτοῦ. καὶ γὰρ διὰ τοῦτο πλείσταις λοιδορίαις ἐβλήθη παρὰ τῶν ἀπίστων ἡ ἐν Χαλκηδόνι τῶν χλ πατέρων ὀρθόδοξος πίστις, ὅτι εἶπον δύο φύσεις εἶναι ἐν τῶι Χριστῶι, μίαν παθητὴν θνητὴν ὁρατήν τε καὶ ἔπαφον, ἥτις ἐστὶν ἡ σὰρξ ἡμῶν, καὶ μίαν ἀπαθῆ ἀθάνατον ἀόρατον ἀψη-
6 λάφητον, ἥτις ἐστὶν ἡ τοῦ θεοῦ ἄχραντος φύσις. τὰ ἑκάτερα οὖν ἐν τῶι Χριστῶι δεῖ ἡμᾶς ὁμολογεῖν, ὧν τῆι ἑνώσει μὴ δῶις διάστασιν μηδὲ τέμηις τὸν θεὸν ἀπὸ τῆς σαρκός, καὶ οὐ φωραθήσηι Νεστοριανός. μηδὲ τὸ διάφορον ἀπαρνήσηι τῶν τοῦ Χριστοῦ φύσεων, καὶ οὐχ ὑπεπτευθήσηι Εὐτυχιανιστὴς εἶναι. καὶ μὴ συγχέηις θεὸν σαρκὸς πάθεσι, καὶ οὐ λεχθήσηι Ἀπολιναριαστὴς εἶναι. μηδὲ τὸν ἀπαθῆ καὶ ἀθάνατον τετράφθαι λέξηις θεόν, καὶ οὐ προσοχθίσεις εἶναι Μανιχαῖος. μηδὲ ἐν τῶι τρισαγίωι μετὰ θεὸν πατέρα καὶ ἰσχυρὸν αὐτοῦ υἱὸν καὶ ἀθάνατον πνεῦμα προσθῆις Χριστὸν ἐσταυρωμένον, καὶ οὐχ ἕξεις τοῦ Σαμοσατέως τὴν αἵρεσιν καὶ οὐκ ἐλεγχθήσηι τετράδα φρονῶν καὶ οὐ τρι-
7 άδα. μηδὲ τὴν τριάδα εἰς Χριστὸν ἀναπλάσηις αὐτὸν λέγων πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, καὶ οὐχ ὑποίσεις τὴν Σαβελλίου δίκην. μηδὲ κληθῆναι θέλων καθηγητὴς καὶ οὐκ ἀκόλουθος τῆς Χριστοῦ διδασκαλίας καινοτομήσηις κενοδοξίας αἵρεσιν, καὶ οὐ μωμήσηι

II antiquior epistulae forma [ΓΛ^{a}] edita est infra in appendice 5

O [= aerv], I

4 τὸ om. I δακοδιδασκαλίασ O^{v} 5 ἤκουσα O correcturam corruptelae Γ ΗΚΟΥCΜΑΙ. in qua latere ΗΚΟΥCΑΔΕ docet Λ^{a}, non ad finem perficiendo ἐπισκόπων O^{r} 8 θνήσκει I 10 σωτῆροσ OΛ σταυροῦ ΓΛ^{a} recte Χριστῶι] σταυρῶ I 15 κρίσισ O^{arv}I 17 ἄν om. I ὀρθόδοξοι O^{e}Λ 18 τριαδόδοξοι scripsi τριάδοξοι OI τρίδοξοι Γ ὀρθότομοι O^{e}Λ 20 Ἰησοῦν om. O^{r}I 20/21 κέκληται O^{e} κληθήσεται I 26 ἀόρατον om. I 29 τοῦ om. O^{r}I 30 ἐλεγχθήση I 31 ἀπολιναριστὴς O^{ar}I 32 προσοχθίσησ O^{v} προσοχθίση O^{a} προσωχθίση O^{r} 34 φωνῶν O^{r}I 35 εἰς om. I αὐτὸν] cf. quae in appendice adnotaui 36 ὑποίσησ O^{v} 37 καινοτομήσεισ O^{r} καινοδοξίασ O^{rv} μωμήσεισ O^{r}I

σὴν ψυχήν, ὅτι οἶδας τοὺς ἀποστόλους μὴ καθηγησαμένους ἐν καινοτομίαις, ἀλλ' ἰχνηλατή-
8 σαντας τὸν μόνον καθηγητὴν καὶ νομοθέτην Χριστόν. βλέπε, ἀγαπητέ, μὴ εἰς πέρας
ἄξηις τὸ διαφημιζόμενον περὶ σοῦ, μὴ γέλως γένηι ὡς θεοπασχίτης ἢ τετραδίτης. εἰ
δὲ καὶ ἐφήψω τούτων τῶν λόγων ἢ τῆς φρονήσεως ἐν παροιστρήσει, τάχος ἔκκλινον ἀπὸ Ps. 36, 27
κακοῦ καὶ ποίησον ἀγαθόν, ἵνα, ὡς εὐχόμεθα, ὀρθοτομῆις τὸν λόγον τῆς ἀληθείας 5
Χριστὸν καθομολογῶν σαρκὶ δι' ἡμᾶς παθόντα τὸν υἱὸν τοῦ θεοῦ τοῦ ζῶντος καὶ ἄπαξ τοῦ
οὕτως ὁμολογεῖν, μὴ ὑποσκελισθῆις ὑπὸ τῶν αἱρέσεων. πολλοὶ γὰρ πλάνοι ἐξ- 2 Ioh. 7
ῆλθον εἰς τὸν κόσμον οἱ μὴ ὁμολογοῦντες Χριστὸν Ἰησοῦν ἐν σαρκὶ
ἐληλυθέναι.

III 10

Παμφίλου ἐπισκόπου Ἀβύδων πρὸς τὸν αὐτὸν Πέτρον

1 Τὸ πολύθρυπτον τῶν ἐμῶν παίδων, ἀγαπητέ, διεγείρει με κελαδεῖν θρῆνον· εἰ γὰρ
ἐν οἴωι οἴκωι θνήισκει τις, ἐκεῖσε κλαυθμὸς φοιτᾶι. πῶς οὐκ ἀποδακρύσομαι καὶ ἀπ-
οδύρωμαι τὸν ἀλιτηρίως ἐκ τῶν σῶν ἀγγείων καταγγισθέντα τῶν ἐμῶν υἱῶν θάνατον,
2 οὓς ἔδει σε ὡς συναδελφὸν ἐπισπουδάσαι σὺν ἐμοὶ ἄξαι πρὸς τὸν θεόν; τοὐναντίον 15
δὲ πέπρακταί σοι, θεοφιλέστατε· ἐγένου γὰρ αὐτῶν ὀλετὴρ καὶ οὐ ζωή, πικρία καὶ οὐχ
ἡδύτης, ὄμφαξ καὶ οὐ πέπειρος βότρυς, ζιζάνιον καὶ οὐ σῖτος, καλάμη καὶ οὐ χρυσός,
3 ἄκανθα καὶ οὐκ ἄνθος, ἐκταραγμὸς καὶ οὐ γαλήνη. τί γὰρ τῶν προέδρων ἡμῶν καὶ
ἐπίσων οὐ προσχὼν τὰ σύμβολα εἶξας μὴ προσθέσθαι τῆι τριάδι τετράδα ἐν τῶι τὸ
4 τρισάγιόν σε φάσκειν ἐν προσθήκηι σταυροῦ; αὕτη γὰρ δρακοντικὴ καὶ ἰοβόλων αἱρέσεων 20
φωνὴ καὶ πύλη ἅιδου καὶ αἰώνιος πυλωρὸς θανάτου, Χριστιανῶν βρόχος, ἀκάκων θήρ-
ευμα, ὀρθοδόξων μῶμος, πιστῶν πρόπτωσις, σωφρόνων σκάμβωσις, ἀσκητῶν σκάνδαλον,
οἷς ὑπώπτευσας γλυκὺς εἶναι σὺν τῆι ἐκφωνουμένηι σου ἐκθέσει τῆι παρακοντιζούσηι
τὸν ἀποστολικὸν ὅρον καὶ τὰ εὐαγγέλια καὶ τὸ τῶν τιη σύμβολον τῶν τὴν προσθήκην
5 ἐν τῶι τρισαγίωι ἀγνοούντων τὸ νοητὸν δηλητήριον. φράσον μοι οὖν· τίς τὴν 25
θεότητα ἔφη σταυρὸν ὑπομεμενηκέναι; τί τὸν θεὸν λόγον γυμνοῖς ἀπὸ τῆς στολῆς; τί
διχάζεις τὸν ἄτμητον τῆι σῆι σκαιότητι; τί παρατιτρώσκεις τὴν ἀλήθειαν; τί Νεστορίωι
καὶ Εὐτυχεῖ τῆι τομῆι τοῦ Χριστοῦ ὑπόσπονδος γίνηι καὶ τῶι Σαμοσατεῖ μεμαθήτευσαι
ῥῆξαι Χριστοῦ τὴν θείαν οὐσίαν ἀπὸ τῆς σαρκὸς καὶ Οὐαλεντίνωι συνηρεύξω, ὡς
6 ἐκεῖνος, φάσκων τὸν ἀθάνατον σταυροῦσθαι καὶ ὑπόδουλον τιθεὶς τοῖς πάθεσι τὴν θείαν 30
φύσιν; τί ἐπίσχω ἢ τί λαλήσω; οὐ Παυλιανιστήν σε φωνήσω; ἀλλ' ἐν τοῖς συγγράμμασιν
ἔφης μετὰ τὴν τριάδα φωνεῖν Χριστὸν δι' ἡμᾶς σταυρωθέντα. οὐ Μανιχαῖόν σε
λέξω; ἀλλὰ γέγονας αὐτέλεγκτος θεὸν καὶ οὐχὶ Χριστὸν φήσας ἐσταυρωμένον. οὐ
Νεστοριανόν σε φράσω; ἀλλ' ἀπέδειξας μετὰ τὸν πατέρα μὴ ὁμολογεῖν τὸν ὑμνούμενον
ὑπὸ πιστῶν θεοῦ ἰσχυρὸν υἱὸν σαρκὶ ἐσταυρωμένον. οὐκ Ἀπολιναριαστήν σε λέξω, 35
7 ἔφυρας γὰρ ὡς αὐτὸς θεὸν συγχέας σαρκὸς παθέσι. λίαν οὖν λύπηι συσχεθεὶς τάδε

III epistulae antiquior forma [ΓΛ^{a}] edita est infra in appendice 3

O [= aerv], I

1 σὴν] τὴν O^{r}I 4 ἐψήφω I ἢ om. O^{e}Λ ἐμπαροιστρίση O^{r} 8 ιν̄ χν̄ O^{arv}I 11 παμφύλου O^{v} ἀβύδου O^{r}I 12 πολύθαπτον I κελλαδεῖν O^{r} 13/14 ἀποδύρομαι O^{er} 16 αὐτῶν om. O^{r} 17 ὄμφαξ — σῖτος om. O^{r}I βότρυς] βρῶσις O^{av} *esca* Λ^{a} 18 ἐκτιναγμὸσ O^{a} καταρραγμὸσ O^{r}I προέδρων OI, cf. append. 19 ἐπίσων O^{av} ἐπισκόπων O^{er}I cf. append. τοῖσ συμβόλοισ O^{r}I εἶξαν I προθέσθαι O^{v} τετράδα ἣν O^{r}I 19/20 τὸ τρισάγιόν σε O^{e}Λ τρισαγίω σε O^{rv}I τρισαγίω O^{a} φάσκειν λέγουσιν O^{r}I 21/22 θήραμα O^{v} 23 ὑπώπτευσαι O^{er}Λ 28 εὐτυχῆ O^{v} 29 ὥστε ῥῆξαι O^{r}I 30 θεὶσ O 32 τὴν [τὴν τῆσ O^{r}] τριάδοσ φωνὴν O^{r}I Χριστὸν] τὸν I 33 αὐτέλεκτος O^{r} 34 ὑπέδειξας I 35 θν̄ O^{av}I ἀπολιναριστήν O^{ar}I 36 ἔφυρεσ O σχεθεὶσ O^{r}

σοι προστίθημι σὺν τῶι εἰς τοῦτό με συμβιβάσαντι Ἀκακίωι, αὐτὸν δὲ ὁ τῆς Ῥωμαίων, τοὺς πάντας δὲ ὁ παντέπισκοπος· τί λυμαίνηι τὴν ἐκκλησίαν, τί σκορπίζεις Χριστοῦ τὴν ποίμνην; εἰ κακῶς λέγω, φράσον μοι σύ· ζητῶ γάρ σε τῆι διδασκαλίαι τῆι ὀρθοτάτηι
8 ὑπερέχειν με καὶ πλείστους. τί οὖν φράσομεν; ὡς Παῦλος, Χριστὸν ἐσταυρωμένον ἢ ὡς σύ, τὸν ἀθάνατον ἐσταυρωμένον; τί ἐροῦμεν; ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου, ὡς
9 πολλαχῶς ἔφη ὁ κύριος, παθεῖν ἢ ὡς σὺ κεκαινοτόμηκας, τὴν θεότητα παθεῖν; ἢ τὰ εὐαγγέλια καὶ αἱ Πράξεις καὶ ὁ ἀπόστολος, ὡς σὺ ἔφης, οὐ λέγουσιν ὥσπερ δεῖ, ἀλλὰ εἰσὶ παρὰ σοὶ μεμπτέα καὶ παρὰ τοῖς ἐξηκολουθηκόσι τῆι τοιᾶιδε σου παραφροσύνηι τοῦ τὸ τρισάγιον φωνεῖν ἐσταυρωμένον; ἀποδεδειγμένοι γάρ εἰσι σὺν σοὶ τετράδα παρεισφέροντες. εἰ δὲ ταῦτα οὕτως ἔχει, τί ἀναγινώσκονται αἱ θεῖαι γραφαί, εἰ αὗται οὐ πιστεύονται, ἀλλὰ σύ; ἄνω γὰρ καὶ κάτω Χριστὸν παραδιδόασι δι' ἡμᾶς ἐσταυρω-
10 μένον καὶ οὐ τὸ τρισάγιον, ὡς σὺ νῦν φάσκεις. ἀλλὰ καὶ ἀποβλητέους εἶπον αἱ γραφαὶ τοὺς θεοπασχίτας. ἤδη δὲ καὶ πρὸ τούτων τῶν γραμμάτων ὡς κυρίωι μου καὶ πατρὶ ὡς ὀρθότατα φρονοῦντι δεδήλωκα ἐπανορθώσασθαι καὶ ἀναρρῆξαι τόδε τὸ παρὰ σοῦ καινισθὲν ἀσεβὲς δόγμα καὶ οὐκ εἶξας. διὰ τοῦτο τοίνυν ὡς πρὸς πρῶτον εὑρετὴν τῶν ἀσεβῶν τούτων λόγων δεδόνημαι τοῖς κατὰ σοῦ ἐπιτιμίοις, ἴσως κἂν διὰ τούτων ἐντραπεὶς ἐπιστομιζόμενος παρ' ἥσσονος τῆι ἀξίαι θᾶττον εἴξεις ὀρθοδοξεῖν πατέρα καὶ
11 υἱὸν καὶ ἅγιον πνεῦμα ἐν τῶι μηδὲν τούτοις προστιθέναι ἢ ὑφαιρεῖν καὶ ἔχεσθαι τῆς ὑπὲρ ἡμᾶς ἀψῖδος τοῦ θρόνου. εἰ δὲ μηδὲ οὕτως ἀνάσχηι, οἴσω σοι κοινωνίας παραίτησιν·
Tit. 3, 10. 11 ἔφη γὰρ ὁ ἀπόστολος αἱρετικὸν ἄνθρωπον μετὰ πρώτην καὶ δευτέραν νουθεσίαν παραιτοῦ εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦτος καὶ ἁμαρτάνει ὢν αὐτοκατάκριτος. πλὴν θεοῦ ἐσμὲν ἐντεῦκται μὴ γενέσθαι σε αὐτοκατάκριτον, ἀλλὰ ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας.

IIII

Ἀσκληπιάδου ἐπισκόπου Τράλλεων πρὸς τὸν αὐτὸν Πέτρον

1 Ἰδού, ἀγαπητέ, πεπλήρωται ὁ κόσμος ἐκ τῆς ἐκθέσεώς σου σκανδάλου καὶ τὰ βασίλεια ἐμφρόντιστα γέγονε καὶ οἱ ποιμένες διεγείρονται ἐπαξίως ἄξαι ἐπὶ σοὶ ταλανισμόν. δὸς οὖν, παρακλήθητι, φωνὴν μίαν ὀρθοτομίας τοῦ ἐπιπρυτανεύειν τἀληθὲς ἐν τῶι κοινῶι τοῦ τὸν υἱὸν τοῦ θεοῦ τῶι κόσμωι καθομολογεῖν ἐσταυρωμένον καὶ μὴ τοῦτον διαρριπτεῖσθαι διὰ σοῦ καὶ τούτου τὸ ὄνομα ἐν τῶι ἑτέρως ἐν διαστροφῆι λέγειν ἐν τῶι τρισαγίωι
2 τούτου τὸν σταυρόν. μὴ σὺ πρῶτος εἶ τῶν ἐν Νικαίαι πατέρων, ἵνα ἄρξηι ὁ ὅρος σου ὑπὲρ αὐτούς; ἀλλά, φησίν, ἐγὼ διὰ Νεστόριον προσέθηκα ἐν τῶι τρισαγίωι τὸν σταυρὸν διὰ τὸ αὐτὸν παρεξωθεῖσθαι ἐν τούτωι τὴν θεότητα ἐν τῶι σταυροῦσθαι αὐτόν.
3 καὶ τί; μή νεώτερον Νεστορίου τὸ φρόνημα; ἦρξε γὰρ τοῦτο ἀπὸ τοῦ μεταιόφρονος Φωτεινοῦ, ὃν οἱ ἅγιοι πατέρες οἱ ἐν Νικαίαι ἐν ζωῆι μὲν οὐ κατέφθασαν, τὸ δὲ δόγμα

IIII epistulae antiquior forma edita est infra in appendice 4

O [= acrv], I

1 προτίθημι O^{rI} σὺν τῶι om. O^{rI} με συμβιβάσαντι O^{arv} συμβιβάσαντί με O^{e} με συμβιβάσαντος O^{r} corr., I ἀκακίου O^{rI} 2 τοὺς om. I πάντων ἐπίσκοποσ O^{rI} 4 ὑπερένχει I μου O^{rI} πλείστων O^{rI} παῦλον I 7 ὡς — ἔφης om. I οὐ om. O^{arv} 8 σου om. O^{r} 9 φωνοῦντοσ I 9/10 ἐσταυρωμένον ἢ μετὰ τὴν τριάδα $\overline{\chi\nu}$ ἐσταυρωμένον $O^{aevΛ}$ 10 εἰ O^{rI} ἢ $O^{aevΛ}$ 12 τὸ om. O^{av} νῦν om. $O^{eΛ}$ καὶ om. O^{a} 13 ὡς om. O^{r} 14 *sapiens* Λ 15 οὐχ εἶξασ O^{r} 17 εἴξεις O^{rI} εἴξησ $O^{eΛ}$ ἤξεισ O^{v} ἤξεισ O^{a} 18 προσθεῖναι O 19 ἡμῶν O^{er} μὴ O^{r} ἀνάσχει O^{r} 22 εὐτεκταὶ O^{r}

25 τράλεων O^{r} 27 ἄσαι O^{v} σὲ O^{av} 28 κοινῶ OI. Λ [*coniter* i. e. communiter' cf. append. 29 τὸν $\overline{\chi\nu}$ τὸν $\overline{\upsilon\nu}$ I τὸν κόσμον O^{arv} 32 αὐτούς] τὸν ἐκείνων I *dices* Λ 34 καὶ τί O^{erI} καίτοι O^{av} τοῦ νεστορίου O^{rI} ἦρξαι O^{rv}

αὐτοῦ κατέκριναν οὐ διὰ τὸ φράσαι αὐτοὺς τὸ τρισάγιον ἐσταυρωμένον, ἐπειδὴ τοῦτο ἦν ἐν γνώσει αὐτοῖς λίαν δύσφορον, Φωτεινῶι δὲ ἐράσμιον. ὅθεν τὸ μὲν τρισάγιον ἐν μυστηρίοις μόνοις ἀπέθεντο φωνεῖσθαι καθὰ τὰ σεραφίμ, φασι, μηδεμίαν ἐν τούτωι
4 προσθήκην ἢ ὑφαίρεσιν πράξαντες. πάλιν δὲ τοῦτο τὸ ἀσεβὲς ἀνανεωθὲν ἐπὶ τοῦ Σαμοσατέως λίαν ἠδρύνθη καὶ ἐπισυναχθέντες οἱ ἁγιώτατοι τὴν μνήμην πατέρες ἐν τῆι Κωνσταντινουπόλει, εἰ καὶ αὐτὸν οὐ παρέφθασαν, ἀλλὰ τὸ δόγμα αὐτοῦ κατέκριναν τὸ μὴ φρονεῖν δύο υἱούς, δι' ὃ ἕνα καθωμολόγησαν ἐν τῶι ὅρωι αὐτῶν υἱόν. μὴ τὸ τρισάγιον ἔφησαν δι' αὐτὸν ἐσταυρωμένον, ὅτι τῶι ὅρωι τῶν πρὸ αὐτῶν πατέρων ἐξηκολούθησαν καὶ ἔπεσθαι τοῖς δόγμασιν αὐτῶν ἔκριναν τοῦ τὸ τρισάγιον ἐν τοῖς
5 μυστηρίοις μόνον ἐξακούεσθαι ἀπαθῶς ὡς τὰ σεραφὶμ καὶ μὴ ἐσταυρωμένον; πάλιν δὲ Νεστορίου ἀνακύψαντος καὶ καταρτίζοντος τὰ ἀσεβῆ πρὸ αὐτοῦ δόγματα, φαμὲν δὴ τὰ Φωτεινοῦ καὶ τὰ τοῦ Σαμοσατέως, συναθροισθέντες δι' αὐτὸν οἱ περὶ Κελεστῖνον καὶ Κύριλλον ἔπαυσαν τὰς τοιάσδε δυσσεβείας οὐκ ἀποθέντες ἐν τῶι τρισαγίωι σταυρόν. ἢ σὺ δοκεῖς πάντων τούτων σοφώτερος εἶναι ἢ ἔχεσθαι παρ' αὐτοὺς πνεύματος ἁγίου, οἷς ἦν γνῶσις; ἡ σὴ τοίνυν ἀποτεθεῖσα ἐν τῶι τρισαγίωι σταυροῦ προσθήκη δυσμενὴς
6 βλασφημία ἐστί. πλὴν καὶ μετὰ τούτους τοὺς ἁγίους πατέρας δυσφόρων καταλαβόντων τὴν Κωνσταντινούπολιν σεισμῶν μικρὸς καὶ μέγας, πλούσιος καὶ πένης, δοῦλος καὶ ἐλεύθερος ἐκ τῆσδε ἀπαναχωρήσαντες ἐν τῶι Κάμπωι ἅμα συνέδραμον κρυμοῖς καὶ χειμῶνι ἐκεῖσε μᾶλλον ὀλέσθαι καὶ μὴ συμπεπτῶσθαι τῆι αὐτῆι πόλει. οὓς φειδοῦς ὁ θεὸς ἀξιώσας φιλανθρωπευσάμενος ἀπεκάλυψε τῶι μακαρίωι Πρόκλωι τὸ τρισάγιον εἰς παῦσιν ὀργῆς λιτανεύοντας αὐτοὺς φωνεῖν καὶ τοῦτο ἐμφανῶς, οὐχ ἑνὶ ἢ δευτέρωι γνωσθέν, ἀλλὰ παντὶ τῶι κόσμωι. μὴ ἀπέθετο ὁ θεὸς ἐν αὐτῶι λέγεσθαι σταυρόν;
7 ὅτι οὐδὲν ὁρᾶι εἰς ὕβριν αὐτοῦ· ἔφη γὰρ φάσκειν »ἅγιος ὁ θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.« πῶς οὖν σὺ τετόλμηκας παραθέσθαι σταυρὸν παρὰ τὸν θεὸν ἢ καὶ παρὰ τοὺς πατέρας τὸν πατέρα συγχέων τῶι υἱῶι καὶ τῶι ἁγίωι πνεύματι ἐν τῶι τρισαγίωι φωνῶν τὸν σταυρόν, ὡς παρὰ σοὶ μὴ εἶναι πατέρα τὸν πατέρα μόνον, ἀλλὰ καὶ υἱόν, καὶ τὸν υἱὸν μὴ εἶναι υἱὸν μόνον, ἀλλὰ καὶ πατέρα, καὶ τὸ πνεῦμα τὸ ἅγιον μὴ εἶναι μόνον πνεῦμα, ἀλλὰ καὶ υἱόν;

8 διὰ τοῦτο εἴ τις ἀνατιθεῖ ἐν τῶι τρισαγίωι σταυρὸν παρὰ τὸν υἱὸν τοῦ θεοῦ, ἀνάθεμα ἔστω.

εἴ τις τετράδα παρεισφέρει ἐν τῶι τρισαγίωι παραθεὶς μετὰ τὴν τριάδα Χριστὸν ἐσταυρωμένον, ἀνάθεμα ἔστω.

εἴ τις συγχέει τὴν τριάδα αὐτὸν λέγων εἶναι πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, ἀνάθεμα ἔστω.

9 εἴ τις διίστησι τὴν μίαν οὐσίαν τῆς τριάδος εἰς δύο, ἀνάθεμα ἔστω.

εἴ τις τὸν ἕνα υἱὸν διχάζει εἰς δυάδα υἱῶν, ἀνάθεμα ἔστω.

εἴ τις τὸν θεὸν λόγον καὶ τὴν σάρκα μίαν φύσιν λέγει ἀγνοῶν τῶν φύσεων τὸ διάφορον, ἀνάθεμα ἔστω.

O [- aerv], I

1 τὸ¹] τοῦ O^{eI} 2 φωτεινῶ $O^{rI}\Lambda$ φωτεινοῦ O^{aev} 5 λίαν] πάλιν O^{e} ἱδρύνθη O^{r} τῆι om. O^{c} 6 τὸ² OI cf. append. 7 μὴ om. I 8 τρισαγίω O^{v} δι' $O^{arv}I$ δὲ $O^{e}\Lambda$ 9 τρισαγίω O^{v} 10 μόνοις O^{e} 11 ἀνακαλύψαντοσ O^{er} δὲ O^{aev} 12 τὰ om. I 13 τοιαύτασ $O^{arv}I$ ἐπιθέντες I 15 οἷς ἦν] ἡ σὴ I ἐπιτεθεῖσα I τοῦ σταυροῦ O^{e} om. O^{r} δυσσεβὴσ $O^{e}\Lambda$ 18 ὑπαναχωρήσαντεσ I 19 συνεπτῶσθαι O^{c} συμπτωθῆναι I αὐτοῦ O^{v} 20 ἀξιώσασ καὶ $O^{c}I$ 21/22 καὶ τοῦτο — κόσμωι om. O^{a} 22 ὑπέθετο O^{e} αὐτῶι] τῶ I 26 τὸν² om. O^{a} πνα̅ μόνον O^{av} 29 ἐν — στρὸν ἐντιθεῖ I ἀνατίθησιν O^{e} 31/32 om. $O^{aev}\Lambda$ 31 Χριστὸν om. I 33/34 om. O^{a} 33 αὐτὸν OI cf. quae adnotaui ad append. 35 post 36 coll. $O^{r}I$ εἰσ οὐσίασ δύο O^{a} om. $O^{e}\Lambda$

11 καὶ γὰρ πιστεύομεν ὅτι ἡ ζωὴ ζωή ἐστι καὶ οὐ μετέπεσεν εἰς θάνατον. σὺ δὲ γνώσηι καὶ ἀποκόψηι ἐφ' οἷς ἀνόμως εἴρηκας· ἔστω δὲ καὶ ἔστι τοῦ θεοῦ ἡ χάρις μετὰ τῶν ὀρθοτομούντων τὸν λόγον τῆς ἀληθείας.

V

p. 141 Ἐπιστολὴ Ἰουστικίνου ἐπισκόπου Σικελίας πρὸς τὸν αὐτὸν Πέτρον ὅτι οὐ δεῖ προσθήκην εἶναι ἐν τῶι τρισαγίωι σταυροῦ, ἵνα μὴ δύο εἰσάξηις υἱούς

1 Δεῖ τὸν στρατιώτην ὁπλίζεσθαι κατὰ τῶν πολεμίων καὶ τὸν ἀθλητὴν τοῖς ἀνθισταμένοις· ἡ δὲ πάλη ἡμῶν οὐ σαρκικὴ οὐδὲ ἐπιφανείας σώματος ἀλείμμασιν οὐδὲ σχολάζων τις τῆς πάλης τὸ στέφος ἕξει τῆς θεότητος ἐρραθυμήσας τοῖς ἐπιπλήττουσι μὴ προέσθαι
2 Tim. 2, 5 τῆς ἀληθείας τὴν πάλην. καὶ γὰρ καὶ ἀθλητὴς οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως
2 Cor. 10, 4. 5 ἀθλήσηι, καὶ τὰ ὅπλα ἡμῶν οὐ σαρκικά, ἀλλὰ δυνατὰ τῶι θεῶι πρὸς καθαίρεσιν ὀχυρωμάτων, λογισμοὺς καθαιροῦντα καὶ πᾶν ὕψωμα ἐπαι-
2 ρόμενον κατὰ τῆς γνώσεως τοῦ θεοῦ. δι' ὃ ὡς ἀδελφὸν διανίστημι ἐν ὑπομνήσει ὅτι καλὸν τὸ ὑπείκειν τοῖς πατράσι καὶ ἀπείπασθαι οἰκείας καινοτομίας· πείθου Φίλικος, ἀγαπητέ, ταῖς ὑποθέσεσιν ἐν τῶι μὴ παραθέσθαι σε ἐν τῶι τρισαγίωι δύο υἱοὺς καὶ πείθου τοῖς σεραφὶμ τὴν τριάδα ὡσαύτως δοξολογεῖν καὶ μὴ παρὰ ταῦτα νόσει κενοδοξίαν τοῦ ποιεῖσθαι κακίστην ἐπισόφισιν. σταυρὸν τῶι ὕμνωι προστιθεὶς πήρωσις
3 πολλοῖς ⟨εἶ⟩ γινόμενος. τί οὖν διορύττεις ὄμματα ἰδιωτῶν ἐπισκαλίζων ἀσεβῶν ὁρμάς, Μάνην καὶ Οὐαλεντῖνον καὶ Εὐτυχῆ ὁπλίζων τοῦ φάσκειν παθητὸν τὸ θεῖον, μᾶλλον δὲ Παῦλον τὸν Σαμοσατέα καὶ Νεστόριον, διότι ἐν τῶι τρισαγίωι προστιθεῖς τετράδα; ὅτι ὡς ἐὰν περιστραφῆις, τὸ ἀσεβὲς νόημα εὐσέβειαν οὐκ ἔχει, ἀλλὰ πλείστων
4 αἱρέσεων δείκνυσι μορφάς. Ἄρειος γὰρ ἐλαττοῖ τὸν υἱὸν καὶ Εὐτυχὴς ὁμοίως διὰ τὸ τὸ πάθος περιθέσθαι τῆι θείαι φύσει τοῦ υἱοῦ, δι' ὃ οὐδὲ ὁμοούσιον φράσειαν, ὡς Εὐνόμιος, τὸν υἱόν. εἰ γὰρ δὴ παρ' αὐτοῖς ὁ πατὴρ ἀπαθής, ὁ υἱὸς δὲ τῆι θεότητι παθητός, πῶς ὁμοούσιος; Μακεδόνιος δὲ τέμνει ἐκ τοῦ πατρὸς τὸ ἅγιον πνεῦμα καὶ Νεστόριος ὡσαύτως διχάζει εἰς δυάδα υἱῶν τὸν ἕνα υἱὸν καὶ ἡδύνεται, ὡς σὺ ἔφης, φάσκειν ἐν τῶι
5 τρισαγίωι τετράδα, σταυρὸν μετὰ τὸ ὁμολογῆσαι τὴν τριάδα προστιθεὶς ἀσεβῶς. παῦσαι οὖν τῆς τοιαύτης σου ἀσεβοῦς φαραγγώσεως μὴ προσθεῖναι τῶι σκανδάλωι σκάνδαλον καὶ μὴ ἔσηι αἴτιος ἀπωλείας τῶν ἁπλουστέρων ἀνθρώπων, μήπως ὁ πρόεδρος ἡμῶν Φίληξ κατὰ τοὺς κανόνας ἀποφήνηται κατὰ σοῦ καὶ οὐδὲν σε ὠφελήσει τὸ λέγειν »ἐγὼ
p. 142 εὐχρήστως τοῦτο ἀπετιθέμην τοῦ τὸν σταυρωθέντα ἐν τῶι τρισαγίωι ὁμολογεῖν.« ἆρον ἀνομίαν ἐκ τῆς οἰκουμένης, μήπως τοῦτο τάχος περιπολάσηι, ὅτι τὸ ἀσεβὲς ῥάιδιον
6 δεκτόν, τὸ δὲ ἄμεινον οὔ. δέξαι οὖν ὡς ἀδελφοῦ σου παραίνεσιν καὶ σβέσον τὸ φρύαγμα

V in collectione Latina 3. paginae hic et p. 18 sq. adnotatae sunt editionis in *Abhndg. d. Bayer. Akad. d. Wiss. N. F. 10*

O [= aerv], I, Λ^a [= vb]

2 ἔστι] ἔστη O^v

5 Ἰουστικίνου O^{eI} Ἰουστικηνοῦ O^{arv} *Iustini* Λ^a *Iustiniani* Λ σικελλίας O^e σικελείασ O^v 6 ἄξησ O^{arv} λέξησ I 8 πάλησ $O^{e}\Lambda\Lambda^a$ πλάνησ O^{arv}I 9 στίφος O^{arv}I ἕξει $O^{e}\Lambda^a$ ἄξει κατὰ O^{r}I om. O^{av} ἐραθύμησασ O^r προελέσθαι I 10 πάλην $O^{e}\Lambda\Lambda^a$ πλάνην O^{arv}I καὶ $I\Lambda^a$ εἰ OΛ ἀθλητὴσ $O^{arv}I\Lambda^a$ ἀθλεῖ τίσ $O^{e}\Lambda$ 12 καθαιροῦντεσ O^a 14 *Felicis* Λ^a φιλικῶς OIΛ 15 ὑποθήκαις I παραθέσθαι O^{ev} παραθέ O^a παραθέσει O^r παραθέσειν O^r corr., παραθήσειν I 16 νόσει Λ^a νοσεῖν OΛ 16/17 κενοδοξίαν $O^{e}I\Lambda$ κενοδοξίασ O^{arv} 17 σταυρῶ I προστιθῶν O^{av} πήρωσις I *caecitas* Λ^a πηρὸς OΛ 18 εἶ addidi *effectus es* Λ^a ὀρύττεισ O^r 20 προστίθησ O^e 21 τὴν τετράδα O^e περιστραφεῖσ O^v εὐσέβειαν $I\Lambda^a$ εὐσεβείασ OΛ 22 τὸ alterum om. O^{arv}I 23 παραθέσθαι O 26 υἱῶν $O^{e}\Lambda\Lambda^a$ om. O^{arv}I ἡδύνε O^r ἡδύνετο O^r corr. 27 προστιθῶν O^{av} ἀσεβῶς om. I 31 ἐπετιθέμην I τοῦ] τὸ I 32 τοῦτο] τὸ O^{av} ἐπιπολάση O^e περιπολεύση I ῥάδιον $O^{e}\Lambda^a$ ῥᾶον O^{arv}I 33 δεκτὸν I δεκτικὸν OΛ

τῶν αἱρετικῶν καὶ γενοῦ ποιμὴν τῶν προβάτων καὶ οὐ λύκος. καὶ τῶι μακαρίωι Πρόκλωι ἀκόλουθος γενοῦ καὶ τῆι αὐτοῦ ἐν τῶι Κάμπωι ἀποκαλύψει φόβων ὄντων λιτῶς φάσκειν τὸ τρισάγιον εἰς παῦσιν ὀργῆς καὶ μὴ ἐγείρειν ἔτι θυμὸν ἰσχυρόν. εἰ δὲ μή, ὄψει σύ· ἡ δὲ ἀδελφότης μου ἀθῶιος ἔσται κἀγὼ μετ' αὐτῶν καὶ οἱ σὺν ἐμοὶ γράψαντές σοι
7 περὶ τούτων. φρούρει σεαυτόν, ἀγαπητέ, ἀπὸ τῶν σκανδάλων. ἔμαθες ἀπὸ τοῦ 5
'Ησαίου ἅγιος ἅγιος ἅγιος λέγειν· μὴ σταυρὸν ἔφη σοι λέγειν; ἀλλά, φησί, τότε ὁ υἱὸς Ies. 6, 3
οὐκ ἐσταυρώθη καὶ διὰ τοῦτο οὐ παρέδωκε τότε τὸ ὁ σταυρωθείς. τί οὖν; νῦν τὰ σεραφὶμ ἐν τῶι τρισαγίωι προσέθηκαν τὸν σταυρόν, ὅτι σὺ λέγεις; καί φησιν 'οὐκ οἶμαι.' καὶ εἰ οὐκ οἶδας, πῶς ἀσεβεῖς; καὶ γὰρ καὶ τότε ἔφη τὰ πάθη τῆς σαρκὸς τοῦ λόγου ὁ προ-
8 φήτης καὶ ὑμνολογεῖ σεμνῶς τὸ τρισάγιον. πλὴν πῶς καὶ λέγεις δεδέχθαι τὴν ἐν Χαλκη- 10
δόνι σύνοδον, καὶ ὡς αὐτὴ παραδίδωσί σοι, οὐ δοξολογεῖς τὸ τρισάγιον, ἀλλ' ἀπειθεῖς κἀκείνηι καὶ οὐκ ἐφοβήθης λεγούσης αὐτῆς 'ὁ μὴ φρονῶν οὕτως ἀνάθεμα ἔστω;' ὑγιῶς δοξολόγει, καὶ ὑγιὴς ἔσηι· εἰ δὲ μή γε, μόνος ἀντλήσεις τὰ κακά.

VI

Φίληκος ἐπισκόπου 'Ρώμης πρὸς τὸν αὐτὸν Πέτρον καθαιροῦσα αὐτόν 15

1 'Επειδὴ δυστήνων ἐξεμαγεύθης ἐν ἀσεβείαι λόγων καὶ οὐκ ἔκρινας εἶξαι τοῖς προτεταγμένοις ἁγίοις πατράσι τοῖς κατακοσμήσασι τὸν θρόνον τοῦ τῆς μακαρίας μνήμης καὶ πολυ-
2 άθλου 'Ιγνατίου τοῦ μάρτυρος, οὗ καὶ ἀνάξιος ὢν οὐκ οἶδα ὅπως ἐμπεπήδηκας ἅρξαι, καὶ μώμοις σου βεβήλοις καὶ ἀσεβέσι δόγμασι καινοτομίαν τῆι καθολικῆι ἐκκλησίαι ἐνέκρινας τοῦ μὴ Χριστὸν σταυρωθέντα δι' ἡμᾶς δεῖν εἰπεῖν, ἀλλὰ πάθος τῶι ἀπαθεῖ θεῶι ἀνόμως ἐπεισ- 20
άξαι καὶ τῶι ἀθανάτωι πνεύματι θάνατον ἐπιθεῖναι καὶ οὐκ ἐφρικίασας ἃ οὐ παρεδέξω ἔκ τε τῶν θείων εὐαγγελίων καὶ ἀποστόλων καὶ τῶν ἀνδραγαθησάντων εὐφήμων πατέρων, κακίστως ἐπισοφισάμενος ταῦτα ἐπιστροβῆσαι καὶ οἰκείας φρονήσεως λύμην ἐμπαραθέσθαι τοῖς ἁπλουστέροις καὶ σκάνδαλον τοιαύτης αἱρέσεως, ὡς οὐδὲ ἴσα ταῖς προτέραις αἱρέσεσιν ἀνθεῖν, ὑπεράγειν δὲ μᾶλλον πολλαχῶς, καὶ οὐχ ὥρμησας τῆι ἀληθείαι καὶ τοῖς ἐπὶ δὶς 25
3 γράμμασιν ἡμῶν ἐνωτίσασθαι, νῦν ἠρξάμην ἀποφήνασθαι κατὰ σοῦ, μᾶλλον δὲ ὁ κορυφαιότατος τῶν ποιμαντικῶν θρόνων, ὁ ἐν ἁγίαις εὐφημίαις κομῶν, ὁ ἄριστος τῶν ἀποστόλων ἀληθῶς Πέτρος, οὐ μόνον δὲ κατὰ σοῦ, οὗ τὸ ὄνομα ἔπισος εἶ, ἀλλ' οὐ τῆι γνώμηι οὐδὲ τῆι πίστει, ὅτι ὑπεράγαν ἐκ τούτου ἐκκεκλικὼς εἶ τοῦ ὀρθοῦ σκοποῦ καὶ τῆς ἀμωμήτου πίστεως, ἀλλὰ μὴν καὶ κατὰ τῶν μὴ ἐρυθριασάντων τοὺς τῶν σεπτῶν εὐαγγελιστῶν χα- 30
ρακτῆρας καὶ τῶν τούτοις ἑπομένων ἀποστόλων καὶ τελείων ἀνδρῶν διδασκάλων τοὺς λόγους, ἀστάτωι γνώμηι ἐπερειδομένων τῆι ἐκ σοῦ παρανομουμένηι ἐκθέσει ὡς ἠδύτατα περιέπεσθαι ἐπὶ τὸ τῆς κακοδοξίας ὄντως πικρότατον καὶ οὐκ ἀποστραφέντων τὴν τοιάνδε

VI epistulae antiquior forma edita est infra in appendice 7

O [= acrv]. I

1 καὶ οὐ $O^{r}\Lambda^{a}$ οὐ O^{avI} μὴ O^{e} 2 γενοῦ om. $O^{e}\Lambda$ τοῦ λιτῶς Günther 4 δὲ om. $O^{e}I\Lambda$ 6 ὁ om. O^{r} 7 ὁ I om. O 8 οἶμαι $O\Lambda\Lambda^{a}$ οἶδα I 9 τῆσ σαρκὸς τὰ πάθη I 10 ὑμνολογεῖν Λ^{a} σεμνῶσ O^{arv}I σαφῶσ $O^{e}\Lambda$ πλὴν om. I πῶς $O^{e}\Lambda$ πῶς δὲ O^{arv}I 11 σοι Λ^{a} σὺ OIΛ 11/12 ἀλλὰ πείθεις κἀκείνην O^{r} 13 τὰ om. O^{av} 15 ἐπιστολὴ φήληκος I 16 δυστυχῶσ O^{r}I ἐξεβακχεύθης I 17 ἀνδράσι O^{r}I 17/18 καὶ πολυάθλου om. O^{av} 19 νόμοισ $O^{e}\Lambda$ 21 πρὶ $O^{ev}\Lambda$ 23 οἰκείαν O^{arv} 24 τοὺσ ἁπλουστέρουσ O^{r} 25 ἐπὶ δὶς] πρὸσ σὲ $O^{e}\Lambda$ 26 ἐνωτίσασθαι] πεισθῆναι $O^{e}\Lambda$ ὑπακοῦσαι I 27 κοσμῶν O^{r} 28 οὗ] cf. append. τῶ ὀνόματι $O^{e}I\Lambda$ ἔπισοσ εἶ $O^{er}\Lambda$ ἐπισυσσεῖ O^{av} ἴσωσ εἶ I 29 ἐκκεκλικὼσ εἶ] ἐκκεκλικόσι O^{a} ἐκκεκληκόσι O^{v} 30 μὴ om. O^{arv}I 32 ἀστάκτω O^{r} ἐπερειδομένων $O^{e}I\Lambda$ ἐπερειδομένουσ O^{arv} παραμιμουμένη O^{r} 33 περιέπεσθαι OΛ περιέλκεσθαι I cf. append. τῆς om. O^{a} οὐκ om. O^{av} τοιαύτην O^{av}

4 δυσσέβειαν. λέξομεν οὖν σοι, ὡς καὶ κατ' ἐκείνων, ἐπειδὴ ἠγάπησας κακίαν ὑπὲρ
Ps. 51, 5-7 ⟨ἀγαθωσύνην, ἀδικίαν ὑπὲρ⟩ τὸ λαλῆσαι δικαιοσύνην, ἠγάπησας πάντα
ῥήματα καταποντισμοῦ, γλῶσσαν δολίαν, διὰ τοῦτο ὁ θεὸς καθελεῖ σε
εἰς τέλος οὐ μόνον ἀπὸ τῆς Ἀντιοχέων ἐκκλησίας, ἀλλὰ καὶ ἀπὸ πάσης πόλεως καί γε
πεπαγιωμένως ἔστω σου ἡ καθαίρεσις αὕτη ὑπ' ἐμοῦ καὶ τῶν διεπόντων μετ' ἐμοῦ τὸν 5
ἀποστολικὸν θρόνον καὶ Ἀκακίου τοῦ τῆς Κωνσταντινουπολιτῶν ἐκκλησίας ποιμένος καὶ
τῶν αὐτῶι τιμίων ὑποκειμένων περιορίων ἐπισκόπων ὡς καὶ τῶν αὐτῶν μὴ ἀνασχο-
5 μένων ὑπομνημάτων. ὁτὲ μὲν γὰρ ἔφης τριάδα δι' ἡμᾶς σταυρωθῆναι καὶ οὐχὶ Χριστόν,
ὁτὲ δὲ τὸ ἀθάνατον πνεῦμα Μανιχαίζων, ὁτὲ δὲ ἐκ τούτων φυγὼν διακατελεγχόμενος ὑπὸ
τῶν ἐμῶν ὑποθηκῶν καὶ λόγων Χριστὸν μετὰ τὸ ἀθάνατον πνεῦμα ἔλεξας ὑπομεμενηκέναι 10
6 ὡς ὁ Σαμοσατεὺς καὶ Νεστόριος τὸ πάθος τὸν ἕνα υἱὸν διχάζοντες εἰς δυάδα υἱῶν. ὅτε
δὲ καὶ ἐπὶ τούτωι εἶξας μὴ διασύρεσθαι, ἦκες ἐπὶ τὸ κάκιον τὸ τὸν χερουβικὸν ὕμνον εὐπαρέ-
δρωι τρόμωι ἀνενδοιάστως ὡσαύτως τὴν τριάδα μὴ δοξολογεῖν, ἀλλὰ τὸν πάντα ὕμνον
εἰς τὸν υἱὸν ἄγειν, ἐθέλων ἐνστήσασθαι ἣν κατὰ τῶν ἀκάκων ἐξήνεγκας νομῆς γάγγραιναν,
καὶ παντοίαις ἐντεῦθεν ἀγχόναις αἱρέσεων μεγίστως περικρημνιζόμενος ἐκνεύων τῆς ἀλη- 15
θείας τοῦ τὸν Χριστὸν μὴ κηρύττειν δι' ἡμᾶς σταυρωθέντα τὸν μονογενῆ τοῦ θεοῦ υἱόν, τὸν
7 ἐν μέσωι πατρὸς καὶ ἁγίου πνεύματος εὐσεβῶς δοξολογούμενον. τί γὰρ τούτου ἀπαγο-
ρευτικώτερον, πατρὸς παρ' ὑμῶν καὶ ἁγίου πνεύματος ἀδοξουμένου καὶ συκοφαντίαν τοῖς
σεραφὶμ ὑμῶν παρεισφερόντων ὅτι οὐ τὴν τριάδα φάσκουσι δοξολογεῖν ἅγιος ἅγιος ἅγιος,
ἀλλὰ μονοπροσώπως τὸν υἱόν; καὶ ποία φαραγκώδης αἱρέσεων οὕτως ἀπηναισχύντησεν 20
8 ὡς ὑμεῖς; πλὴν καὶ ἐν τούτωι διατρέχοντες ἔτι καινοτέρως ἐπέβητε ταῖς στραγγαλιώδεσι
τῶν ὑπὸ θεοῦ ἀπειπαμένων δυσφημιῶν· τὸν υἱὸν πατέρα καὶ ἅγιον πνεῦμα λέγοντες
Σαβελλιανίζοντες καὶ συναλείφειν κρίνοντες τὴν τριάδα ὁμολόγως ἀπηρνήσασθε, εἰς ἣν
9 ἐβαπτίσθημεν καὶ πιστεύομεν καὶ ὁμολογοῦμεν. τίς οὖν οὐκ ἀποδύρεται τοὺς οὕτω
φάσκοντας περὶ τοῦ τρισαγίου τοῦ ἀχράντου; ὃ ἐμοὶ λίαν πρέπει ἀπείπασθαι καὶ κλαυθμὸν 25
δοῦναι ἐπαξίως τῶν ἐπὶ τούτωι διασυλωμένων ἁπλουστέρων ψυχῶν τῶν τὸ ἀσεβὲς ὡς
εὐσεβὲς δραματουργησάντων. οὓς καὶ ἀλλοτρίους ἡγούμεθα τῆς ὀρθοδόξου πίστεως
καὶ τῆς καθολικῆς ἐκκλησίας καὶ τῆς κοινωνίας τοῦ ἡμῶν ἡγουμένου ἐνδόξου προέδρου Πέ-
10 τρου τοῦ τὰς κλεῖς τῆς βασιλείας παρὰ τοῦ σωτῆρος ἡμῶν εἰληφότος. οἱ δὲ τοῦ ἀπο-
στόλου θέλοντες εἶναι κοινωνοὶ ἄγονται καὶ τῆι διδαχῆι τούτου τοῦ τὸν Χριστὸν φάσκειν 30
καὶ πιστεύειν δι' ἡμᾶς σταυρωθέντα καὶ μὴ τοῦτον ἀπαρνήσασθαι ὡς καὶ ὁ ἀρτίως καθηι-
ρημένος Πέτρος διὰ τὸ ἀλλοκότως καὶ δυσμενῶς ἐν τῶι τρισαγίωι προσκεκαινοτομηκέναι τὸ
ὁ σταυρωθεὶς δι' ἡμᾶς, εἰδότες ὅτι οὐ τριάδα παρὰ τῶν ἀποστόλων σταυρωθεῖσαν παρε-
δέξασθε, οὐ πατέρα, οὐ πνεῦμα ἅγιον, εἰ μὴ σαρκὶ τὸν υἱὸν τοῦ θεοῦ τὸν μονογενῆ μονώ-
11 τατον. φεύγετε τοίνυν ἀπὸ τῆς δυσμενοῦς τούτου κοινωνίας καὶ ἔσομαι ὑμῶν κοινωνὸς 35

O [= aervi, I

1/2 κακίαν — ἠγάπησας om. O^{arv} 2 ἀγαθωσύνην — ὑπὲρ om. O^{er}IΛ τοῦ O^{r} 3 καθέλοι O^{e} 4 ἀπὸ τῆσ οὐ μόνον O^{arv} 5 πεπαγιωμένη O^{r}I σου om. O^{r} μετ' ἐμοῦ O^{er}vIΛ κατ' ἐμὲ O^{a} cf. append. 7 περιορίων I περιορίαν O^{r} ὑπερορία O^{av} om. O^{e}Λ cf. append. ὡς om. O^{arv} ὧν I 6/7 καὶ τῶν αὐτῶν om. I 7/8 ἀνασχομένων O^{v} corr. ἀνασχομένω O^{av} ἀνασχόμενον O^{e} ἀνασχόμενοσ O^{r}I *sustinuisti* Λ 8 ὑπομνημάτων OΛ τῶν ὑπομνημάτων I cf. append. ὁτὲ Χριστόν om. I 9 διαφυγὼν διακατελεγχόμενοσ O^{e}Λ ποτελεγχόμενος I 10/11 cf. append. τὸ πάθοσ ante ὡσ coll. O^{e}Λ 12 δὲ om. O^{arv} τοῦτο O^{arv} 12/13 ἀπαρέδρω O^{v} 13 cf. append. 14 λέγειν O^{e} 15 μεγίστων O^{r}I 17 εὐσεβῶς om. O 17/18 ἐκκηρυκτότερον I 20 φαραγκώδησ O^{v} φαραγγώδησ O^{aer} φάραγξ I *praecipitatio* Λ ἀπηναισχήντησεν O^{v} ἀπηναισχύντηκεν O^{r}I 21 cf. append. 22 ἀπηγορευμένων I 23 ἀπαρνήσασθαι O^{av} 26 τοῦτο O^{r}I 30 τούτων O^{r}, corr. O^{r} αὐτοῦ O^{e} 31 καὶ πιστεύειν om. I 32 διαλλοκότωσ O^{av} ἐν τρισαγίωι om. O^{a} 33 ὁ om. O^{av} 33/34 παραδέξασθε O^{r} παρεδέξαντο I 35 καὶ — κοινωνὸς om. O^{a}

καθότι καὶ ὑμεῖς ἐμοὶ τοῦ δολεροῦ φάσματος πόρρω ὑμῶν τῆς ὀρθοδοξίας ἐκπεπηδηκότος. φυλάξατε, Χριστοῦ μαθηταί, ἐμοῦ δὲ υἱοί, τὰς παραδόσεις ἃς παρελάβετε ἀπὸ τῶν θείων γραφῶν.

VII

Ἐπιστολὴ Κυντιανοῦ ἐπισκόπου Ἀρκουλιανῶν πρὸς Πέτρον ἐπίσκοπον Ἀντιοχείας

1 Πολυτρόπως καὶ πολυμερῶς ἐξένευσας, ἀγαπητέ, τῆς ἀληθείας τἀναντία πράτ- Hebr. 1, 1
των τοῦ δεσποτικοῦ μυστηρίου, μὴ ἑπόμενος τοῖς εὐαγγελίοις ἢ τοῖς ἀποστόλοις ἢ τοῖς ἁγίοις πατράσι. καὶ γὰρ βαρεῖαν φέρει κατ' αὐτῶν καινοτομίαν τῆς καθολικῆς ἐκκλησίας ἡ ἔκθεσίς σου καὶ μέντοιγε οὐκ ἀπείπω ταύτης πολλῶν ἐπισκόπων ὑπομεμνηκότων σε, μάλιστα τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Φίληκος τοῦ ταύτης ἀποστραφῆναί σε καὶ εὐθῆ καὶ ὀρθοτόμον εἶναι τοῦ σωτηρίου κηρύγματος. ἀλλ' οὖν γε ἀντιποιούμενος αἱρέσεων τὸ τῆς θείας διδασκαλίας τάλαντον ἀπεκρύψω εἰς τὴν γῆν καὶ οὐ μᾶλλον τοῦτο προβαλέσθαι ἐπὶ τράπεζαν εἶξας οἷον ἐν ταῖς τῶν ἀνθρώπων καρδίαις τὴν ὑγιῆ διδασκαλίαν,
2 ἀλλὰ τοὐναντίον ζιζάνια ἔσπειρας. καὶ τίς ἔτι ἀνέξεταί σου διαστρέφοντος τὸ τοῦ Χριστοῦ εὐαγγέλιον; οὐ τὸν ἐν δύο φύσεσιν ἕνα υἱὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τοῦτον κηρύσσοντος ἐσταυρωμένον, ἀλλὰ τὸν θεὸν τὸν ἰσχυρὸν τὸν ἀθάνατον οἷον τὴν μίαν τῆς τριάδος οὐσίαν φάσκοντος ἐσταυρωμένην, καὶ οὐ μόνον, ἀλλάγε καὶ μίαν φύσιν τοῦ θεοῦ
3 λόγου καὶ τῆς σαρκὸς φής. καὶ εἰ μία φύσις τοῦ θεοῦ λόγου καὶ τῆς σαρκός, μία δὲ φύσις τοῦ θεοῦ πατρὸς καὶ τοῦ λόγου, πῶς οὐ μία καὶ ἡ αὐτὴ φύσις τοῦ πατρὸς καὶ τοῦ σώματος καὶ τοῦ λόγου; εἰ δὲ οὐ μία φύσις θεοῦ πατρὸς καὶ σαρκὸς ἀνθρωπείας καὶ τοῦ λόγου, φράσον πῶς μία φύσις τοῦ λόγου καὶ τῆς σαρκός. πῶς γὰρ κτιστὴ καὶ
4 ἄκτιστος μία φύσις; εἰ δὲ τοῦτο ἀδύνατον, πῶς ἡ κτιστὴ σὰρξ καὶ ὁ ἄκτιστος λόγος μία φύσις καὶ οὐ δύο ἐνηλλαγμέναι; εἰ δὲ φύσεως μιᾶς ἐστιν ὁ Χριστὸς καὶ οὐ δύο, τί οὐ λέγεις τὸν Χριστὸν κτιστὸν ὡς ὁ Ἄρειος ἢ ἄκτιστον ὡς ὁ Μανιχαῖος; ποῦ δὲ καὶ ἡ χρονικὴ Χρι- 24
στοῦ γεννήσεως φύσις καὶ ἡ τῆς θεότητος αὐτοῦ προαιώνιος γέννησις; ποῦ τὸ σήμερον Ps. 2, 7
γεγέννηκά σε καὶ τὸ ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε καὶ τὸ Ἰησοῦς Ps. 109, 3
Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας; πῶς δὲ καὶ λέγεις πρὸ Hebr. 3, 8
τῆς ἑνώσεως τοῦ θεοῦ λόγου καὶ τῆς σαρκὸς δύο, εἰ μὴ προυπῆρχεν ἡ κατ' οὐσίαν ἐκ παρθένου ἕνωσις; καὶ γὰρ εἰ μὴ προυπάρχει ἡ τοῦ Χριστοῦ σὰρξ πρὸ Μαρίας κατὰ τὸν Οὐαλεν-
5 τίνου ἀσεβῆ λόγον, πῶς δύο προυπῆρχον φύσεις πρὸ Μαρίας; τίνος δὲ καὶ αὕτη ἡ ἔκφρασις; οὐχὶ Εὐτυχοῦς τοῦ μᾶλλον ἀτυχοῦς τὸ ἐκ δύο λέγειν φύσεων μίαν γεγενῆσθαι φύσιν; εἰ δὲ ταὐτὰ ἐκείνωι φρονεῖς, πῶς τοῦτον ἀποβάλληι ὁ τὰ αὐτοῦ παραδεχόμενος κά-

---

VII antiquior epistulae forma edita est infra in appendice 6

O [= aerv], I, W [inde a 5]

1 ὑμῶν] ἡμῶν $O^{aev}\Lambda$ ἐκπεπηδοικότεσ O^{v}

5 Ἴσον ἐπιστολῆσ W om. I κοντιανοῦ O^{r} ἐπισκόπου om. I ἀρκουλιανῶν $O^{aev}W$ ἐρκουλιανῶν O^{r} ἐρκουλίων I cf. append. 6 πολυμερῶσ καὶ πολυτρόπωσ $O^{e}\Lambda$ 6/7 πράσσων W 7 ἤτοι — ἤτοι OI 8 βαρέωσ O^{aev} 9 σου om. W ταύτην $O^{r}I$ ὑπομνησάντων O^{av} ὑπομιμνησκόντων IW 10 καὶ μάλισται I ταύτην $O^{r}I$ 11 σωτηρίου] θείου I ἀλλὰ γοῦν W ἀλλ' I ἀντιποιούμενοσ $O^{er}I\Lambda$ περιποιούμενοσ $O^{av}W$ cf. append. τῶν αἱρέσεων I 12/13 προβάλλεσθαι $O^{e}W$ προβαλλέσθαι $O^{r}I$ 13 τραπεζῶν O^{av} τῇ — καρδια [cf. append.] W 15 ἐν — υἱὸν OIΛ ἐξ ἀμφοῖν ἕνα υἱὸν ἐκ δύο φύσεων καὶ ἐν δύο W [= append.] 16 κηρύσσοντοσ $I\Lambda^{a}$ κηρύσσων OW τὸν θῦ τὸν θῦ O^{v} 17 φάσκοντοσ I φάσκων OW ἐσταυρωμένον $O^{r}I$ 17/18 τοῦ θεοῦ λόγου φύσιν μίαν $O^{r}I$ 18 καὶ εἰ — μία δὲ] εἰ μία δὲ W 19 θεοῦ om. W πῶς οὐ om. I καὶ ἡ αὐτὴ om. I 19/20 φύσις — λόγου] φύσις ἔσται τοῦ θῦ $\overline{\text{πρς}}$ καὶ τῆς σαρκός I 23 τί οὐ $O^{r}IW$ τί O^{e} *quarum* Λ om. O^{av} 24 ὁ om. O^{e} 26 ἐκ γαστρὸς — καὶ τὸ om. $O^{e}I\Lambda$ γεγέννηκα $O^{r}W$ 27 ποῦ W 28 εἰ μὴ I εἰ $O^{r}W$ ἢ $O^{aev}\Lambda$ 29 μὴ I om. OWΛ τοῦ ἀλεντίνου I 31 φύσεων λέγειν W 32 ἀποβάλη O^{ar}

κιστα καινίσματα; εἴπερ ἐπ' ἀληθείας τοῦτο πέπρακτο, τοὺς κατ' αὐτοῦ ἁγίους πατέρας
6 τοὺς ἐν Χαλκηδόνι εἶχες δεκτούς. πλὴν φράσον μοι πῶς ἡνωμένως ὁ πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα λέγεται τριάς, μόνος ὢν θεός, εἰ οὐ παραδέχῃ λέγειν ἐν ἑνὶ υἱῶι δύο φύσεις. καὶ εἰ ἡ τριὰς εἷς θεός, πῶς ὁ θεὸς καὶ τὸ ἡμῶν σῶμα αὐτῶι ἑνωθὲν οὐκ ὀφείλει λέγεσθαι εἷς υἱὸς ἐν δύο φύσεσιν; εἰ δὲ μία φύσις ὁ θεὸς λόγος καὶ ἡ σάρξ, δῆλον ὅτι τραπεὶς ὁ λόγος οὐκέτι λόγος, ἀλλὰ σάρξ, καὶ εἰ ἡ σὰρξ τραπεῖσα γέγονε λόγος, οὐκέτι εἴη σάρξ. εἰ δὲ ἐν τούτοις οὐ γέγονε τροπή, πῶς οὐκ εἰσιν ἐν Χριστῶι δύο φύσεις; ἡ γὰρ σὰρξ σάρξ ἐστιν, εἰ
7 καί ἐστι θεοῦ σάρξ, καὶ ὁ λόγος λόγος ἐστίν, εἴ γε καὶ ἀνέλαβε τὴν ἡμῶν πρόσληψιν. εἰ δὲ ἐτράπη, πῶς οὐχ ὁμοούσιος ἡ σὰρξ καὶ συναίδιος τῶι πατρὶ καθὸ καὶ ὁ λόγος; εἰ δὲ ἑτεροούσιός ἐστιν ἡ σὰρξ τῶι πατρί, καθότι αὕτη μὲν πρόσφατος, ὁ δὲ πατὴρ ἄχρονος, πῶς οὐχὶ πρόσφατος καὶ ὁ λόγος, καθὸ μίαν εἶναι φύσιν τῆς σαρκὸς καὶ τοῦ θεοῦ λόγου λέγεις καὶ τῶι πατρὶ ἑτεροούσιον αὐτὸν λέγεις; εἰ δὲ οὐχ ἡ αὐτὴ φύσις τοῦ θεοῦ λόγου καὶ τῆς σαρκός, πῶς οὐκ εἰσὶ δύο ἡ σὰρξ καὶ ὁ λόγος; εἰ δὲ πᾶσα ἡ θεότης σὰρξ γεγένηται, πῶς ἔμεινεν ὁ λόγος ὃ ἦν; πῶς δὲ καὶ ἄτρεπτος σαρκωθείς; καὶ εἰ οὐκ ἔστι Χριστὸς ἐν δύο φύσεσι,
8 πῶς σαρκωθεὶς ὁ θεὸς λόγος ἔμεινεν ὃ ἦν; καὶ εἴ ἐστιν ὁ θεὸς λόγος παθητός, ἀπαθὴς δὲ ὁ πατήρ, πῶς εἷς καὶ μόνος ἐστὶν ὁ θεός; πῶς δὲ καὶ τούτων μία ἐστὶν ἡ φύσις; εἰ δὲ καὶ ἀπαθὴς ἡ τριάς, πῶς ὁ θεὸς λόγος ἔπαθεν ὑπὲρ ἡμῶν; εἰ δὲ οὐκ ἔπαθε, πῶς ἡ ἑτέρα φύσις τῆς σαρκὸς οὐκ ἔπαθε; καὶ εἰ πᾶν τὸ πάσχον κτιστόν, πῶς ὁ θεὸς λόγος οὐ κτιστὸς πάσχων σαρκί; εἰ δὲ πάσχει σαρκὶ ὁ θεός, πῶς οὐ πάσχει θεότητι; εἰ δὲ οὐ πάσχει θεότητι, τίνι πάσχει
9 σαρκί; εἰ δὲ σαρκὶ πάσχει, πῶς οὐ πάσχει καὶ ἑαυτῶι ὁ θεός; εἰ δὲ ταὐτὸν τὸ εἰπεῖν θεοῦ παθόντος σαρκὶ τῶι εἰπεῖν Χριστοῦ παθόντος σαρκί, πῶς οὐκ ἔσται ταὐτὸν τὸ εἰπεῖν πνεῦμα θεῖον πάσχει σαρκί, ἐπειδὴ πνεῦμα ὁ θεός; εἰ δὲ οὐχ ὅμοιον τὸ εἰπεῖν θεοῦ παθόν-
10 τος σαρκὶ τῶι εἰπεῖν Χριστοῦ παθόντος σαρκί, πῶς δυνατὸν πλέον οἰκειοῦσθαι τὸν θεὸν λόγον τὰ τῆς σαρκὸς οὗ οἰκειοῦται τὰ τοῦ θεοῦ λόγου ὁ πατήρ; πῶς δὲ καὶ εἰ οἰκειώσει ὁ θεὸς λόγος πάσχει σαρκί, οὐκ ἔσται οἰκειώσει καὶ ὁ πατὴρ τῶι θεῶι λόγωι πάσχων; καὶ εἰ ἀπέθανεν ὁ θεὸς λόγος σαρκί, πῶς ἐστιν ὁμοούσιος τῶι πατρὶ τῆι ἀθανασίαι; ὁ γὰρ θανὼν ὑπὲρ ἡμῶν οὐκ ἐστιν ἀθάνατος· ἀπέθανε γὰρ κατὰ τὰς γραφάς. καὶ εἰ εἷς τῆς τριάδος ἀπέθανε, ποτὲ δυὰς ἡ τριάς· καὶ εἰ δυὰς ἡ τριὰς οὐ γέγονέ ποτε, πῶς εἷς τῆς τριάδος ἀπέθανεν, εἴγε ἡ ἑτέρα φύσις τοῦ θεοῦ λόγου οἷον ἡ τῶν ἀνθρώπων φύσις οὐκ ἔθανεν; εἰ δὲ ἡ τρισαγία φωνὴ τριὰς οὐχ ὑφίσταται, δῆλον ὅτι μιᾶς ὑποστάσεως εἶναι
11 λέγεις τὴν τριάδα, καὶ πῶς οὐ δείκνυσαι εἶναι Σαβελλιανός; εἰ δὲ ἐν τρισὶν ὑποστάσεσι μία φύσις ὑφίσταται τῆς τρισαγίας φωνῆς, πῶς οὐχὶ τὴν τριάδα σταυρωθεῖσαν λέγεις καὶ ἄθεον ἑαυτὸν ὡς οἱ Μαρκιωνισταὶ εἶναι οὐ λέγεις;

Πᾶς γοῦν ὅστις λέγει μίαν φύσιν θεοῦ λόγου καὶ σαρκὸς καὶ οὐ δύο ἡνωμένας καὶ ἀδιαιρέτους, καθαιρείσθω.

O [illegible] aerv]. IW

1 εἴπερ $O^{aev}\Lambda$ ὅπερ $O^{r}I$ εἰ δὲ μὴ W τοῦτο $O^{aev}\Lambda$ σοι τοῦτο O^{r} σοι I τοῦτο σοι W πέπρακτο ἂν εἰ $O^{r}I$ πέπρακτο ἂν O^{av} πέπρακται W 2 εἶχες ἂν $O^{e}W$ ἡνωμένος O^{r} 3 τὸ ἅγιον $\overline{\text{πνα}}$ $O^{r}I\Lambda$ εἰ] ἢ εἰ O^{r} ἐν ἑνὶ υἱῶ λέγειν W 4 πῶς ὁ θεός om. W 5 δυσὶ O^{r} δὲ] δὲ οὐ O^{av} θεὸς] θ$\overline{\text{ς}}$ καὶ O^{av} 5.6 δῆλον — εἶη σάρξ om. O^{av} 6 οὐκέτι] εἶη $O^{r}I$ οὐκ ἔστι W εἰ] om. O^{av} καὶ οὐκέτι O^{av} εἶη om. O^{e} εἰ δὲ] καὶ O^{a} 7.8 εἰ καὶ] καὶ εἰ $O^{r}I$ 8 εἴ γε $O^{aev}I$ εἰ $O^{e}W$ 9 ἡ OI καὶ ἡ W 10 τοῦ $\overline{\text{πρσ}}$ W 11 καθὸ γὰρ $O^{r}I$ φύσιν εἶναι W φύσιν I 12 λέγων W οὐχὶ αὐτῆ ἡ O^{v} 13 δύο καὶ W 14 cf. append. ἀτρέπτωσ $O^{er}I\Lambda$, corr. O^{r} ἐσαρκώθη $O^{e}I\Lambda$ ὁ σαρκωθεῖσ W εἰ om. I 15 θ$\overline{\text{ς}}$ ὁ λόγοσ W 16 μία τούτων W 20 ὁ om. I 20/21 τῶ — τὸ I 21 οὐκ — τὸ] οὐ ταυτὸν τῶ I τὸ om. W 21/22 $\overline{\text{πνα}}$ θεῖον εἰπεῖν πάσχειν W 22 τὸ εἰπεῖν $W\Lambda^{a}$ τὸ O^{aev} om. $O^{r}I$ 23 τῶι — σαρκί om. I τῶι] τὸ O^{r} 24 τὰ] om. O δὲ om. $O^{v}W$ εἰ καὶ W εἰ om. O^{av} οἰκειώσει] οἰκειοῦται W 25 πάσχων O^{a} οἰκείωσ. εἰ W καὶ] om. $O^{r}I$ πάσχει W 26 τῶι πατρὶ] ὁ $\overline{\text{πηρ}}$ W τῆ ἀθανασία τῶ υἱῶ W 28 cf. append. 30 τρισάγιοσ O^{a} εἶναι om. W 32 ὑφεῖσται O^{r} συνίσταται O^{a} τῆ τρισαγία φωνῆ I 33 μαρκιανισταὶ O^{v} 34 οὖν I γὰρ W 34/35 καὶ ἀδιαιρέτους om. $O^{aev}I$

καὶ εἴ τις φύρει τὰς δύο τοῦ Χριστοῦ φύσεις λέγων θεὸν παθόντα σαρκὶ καὶ οὐ παθόντα Χριστὸν σαρκὶ κατὰ τὸν ἀπόστολον, καθαιρείσθω. 1 Petr. 4, 1

12 καὶ εἴ τις τὸν ἀπαθῆ καὶ ἀθάνατον θεὸν λόγον λέγει τετράφθαι εἰς πάθος καὶ εἰς θνῆσιν καὶ οὐκ ἀποδιδῶι τῆι αὐτοῦ σαρκί, καθαιρείσθω.

καὶ εἴ τις τὴν τρισαγίαν λέγει δι' ἡμᾶς σταυρωθεῖσαν θεότητα καὶ οὐχὶ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ, καθαιρείσθω.

καὶ εἴ τις μετὰ τὴν τρισαγίαν φωνὴν Χριστὸν λέγει σταυρωθέντα καὶ οὐχὶ μᾶλλον τὸν ἕνα υἱὸν τὸν ἐν μέσωι τῆς τρισαγίας φωνῆς ἀνυμνούμενον, καθαιρείσθω.

καὶ εἴ τις ἄνθρωπον λέγει τὸν δι' ἡμᾶς σταυρωθέντα ἤτοι θεὸν χωρίζων τὰς φύσεις καὶ οὐ συνάπτων ἐν τῶι σταυροῦσθαι αὐτόν, καθαιρείσθω.

καὶ εἴ τις ψιλὸν ἄνθρωπον λέγει ὡς Παῦλος ὁ Σαμοσατεὺς ἢ ὥσπερ Φωτεινός, ἀναθεματιζέσθω.

13 καὶ εἴ τις θεανθρωπίαν λέγει καὶ οὐχὶ θεὸν καὶ ἄνθρωπον μᾶλλον λέγει, ἀναθεματιζέσθω.

καὶ εἴ τις ἑτεροούσιον λέγει τῆς ἡμετέρας σαρκὸς τὴν σάρκα τοῦ Χριστοῦ καὶ οὐχὶ δὴ μᾶλλον ἡμῖν ὁμοούσιον χωρὶς ἁμαρτίας, καθαιρείσθω.

14 καὶ εἴ τις λέγει ἄνουν καὶ ἄψυχον τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ ἀντὶ ψυχῆς ἔχειν τὴν θεότητα καὶ ὡς ἐκ τούτου πάσχειν σαρκὶ τὸν θεὸν λόγον λέγειν καὶ οὐχὶ δὴ μᾶλλον νουνεχῆ τὴν ψυχὴν τὴν λογικὴν ἀνειληφέναι τὸν θεὸν λόγον καὶ ἀπαθῆ λέγει αὐτὸν τῆι θεότητι, παθητὸν δὲ τῆι ἀνθρωπότητι, καθαιρείσθω.

15 Ταύτας τὰς δώδεκα καθαιρέσεις ἀπέστειλά σοι, ὅπως φοβηθεὶς τούτων τὰς κρίσεις διεστηκὼς ἔσηι τῆς πανδεινοτάτης σου καινοτομίας εἰδὼς ὅτι χρὴ ἐξακολουθεῖν τῆι ἀποκαλύψει τοῦ ὁσιωτάτου τῆς Κωνσταντινουπόλεως ἐκκλησίας ἐπισκόπου Πρόκλου, πῶς ἐν τῶι Κάμπωι καταδραμὼν σὺν παντὶ τῶι λαῶι κυματιζομένης ὑπὸ σεισμῶν τῆς αὐτῆς πόλεως καὶ θρήνου ὑπὸ πάντων ἀναπεμπομένου ἄφνω παῖδα εἰς τὸν ἀέρα ἁρθῆναι συνέβη ὑπό τινος δυνάμεως καὶ τούτωι ἐνθέσθαι τοῦ λιτανεύειν τὸ τρισάγιον καὶ λέγειν ἅγιος ὁ θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς, καὶ ταῦτα τοῦ ἀπαγγεῖλαι τῶι ἐπισκόπωι προσετάχθη. ὃς καὶ μετὰ τρίωρον ἔστη ἐν τῶι τριβουναλίωι παρὰ τοὺς πόδας τοῦ αὐτοῦ ἐπισκόπου καὶ ταῦτα διηγήσατο καὶ οὕτως λιτανευσάντων ἔστησαν οἱ σεισμοί.

16 οὕτως οὖν καὶ σὺ λιτάνευε καὶ παύσεται ἡ κατὰ σοῦ μελετωμένη ἐξενεχθῆναι ὀργή· εἰ δὲ μή, ἥξει ἐπὶ σὲ καθαίρεσις ὑπὸ τοῦ πάπα ἡμῶν Φίληκος. φυλάξει δὲ ὁ θεὸς τὸν κόσμον ἀπὸ τῶν σκανδάλων, ὧι ἡ δόξα νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

21 sq. ὅρα αἱρετικέ Or[v] in mg.

O [= aerv], IW

1 φέρει Or[v]W 1/2 καὶ οὐ — σαρκὶ om. W 3 λέγει om. O[arv]I θνῆσιν φησὶ Or[v]I 4 ἀποδίδωσι W ἀποδιδοὺς O[a] ἀποδιδῶ [ἀποδιδοῖ I] τὸ πάθος Or[v]I 5 ὁ om. O[e]Λ 6 θεοῦ] θεοῦ τὸν μονογενῆ W, cf. append. 7 τρισάγιον O[a] δι' ἡμᾶς σταυρωθέντα W [cf. append.] 8 τὸν[1] om. I 22 τρισαγίου O[a] ἁγίασ τριαδικῆσ W συνυμνούμενον W 10 αὐτὸν om. W 11 σαμοσάτων [ἐκ σ. I] O[arv]I 13/14 post 16 coll. W [cf. append.] 13 καὶ οὐχὶ — λέγει om. W 15 κῦ W 18 καὶ[1] — λέγειν om. I λέγει O[ar]W 19 νουνεχῆ O[ar]W νοῦν ἔχειν O[er]Λ νοῦν I τὴν [om. W] ψυχὴν τὴν [καὶ W] O[arv]W καὶ ψυχὴν O[e]IΛ λέγειν Or[v] 20 παθητὸν — ἀνθρωπότητι om. W 22 παντοδεινοτάτησ I 23 κωνσταντινουπολιτῶν O[e] ἐκκλησίας om. W πῶς] οὗ I 24 καταδραμόντος I 25 οὐρανὸν Or[v]I συνέβη I om. OW 26 ἐκθέσθαι I 27 τοῦ om. I 28 προσετάγη W ὃς καὶ] καὶ οὕτωσ O[e]Λ 30—32 εἰ δὲ — ἀμήν om. W 31 πάππα O[v] φυλάξοι O[a]

VIII

p. 142 Ἐπιστολὴ Ἀκακίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως πρὸς Πέτρον ἀρχιεπίσκοπον Ἀντιοχείας ὅτι οὐ δεῖ ἐν τῶι τρισαγίωι ἐντίθεσθαι τὸ ὁ σταυρωθεὶς δι' ἡμᾶς

Ps. 17, 8 Ἐξέστη ὁ οὐρανὸς καὶ ἔφριξεν ἡ γῆ, ἐσαλεύθη δὲ καὶ τὰ θεμέλια τῆς ἁγίας τοῦ θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, θρῆνος δὲ καὶ κλαυθμὸς κατείληφε τοὺς ἱερεῖς τοῦ Χριστοῦ ἐφ' οἷς ἐγώ τε καὶ ἡ κατὰ θεοῦ ἐπίνευσιν ἐνταῦθα ἀθροισθεῖσα ἁγία σύνοδος ἀκηκόαμεν πεπρᾶχθαι ὑπὸ σοῦ, ἀδελφέ. ποία γραφή σε ἐδίδαξε τὸ ἅγιον πνεῦμα λέγειν ἐσταυρῶσθαι ἢ δύο υἱοὺς δογματίζειν ἢ νοθεύειν τὴν τρισάγιον ὑμνολογίαν ἢ τετράδα ἀντὶ τριάδος δοξολογεῖν ἢ ἀγγέλων ἁγιώτερον καὶ νουνεχέστερον ἑαυτὸν ἀποφαίνειν; ἐν γὰρ τῶι λέγειν σε 'ἅγιος ἰσχυρός' καὶ πάλιν κατωτέρω ἐπάγειν 'ὁ σταυρωθεὶς δι' ἡμᾶς' δύο υἱοὺς σημαίνεις, ἕνα ἰσχυρὸν καὶ ἕνα τὸν σταυρωθέντα· ὅταν δὲ πάλιν εἴπηις 'ἅγιος ἀθάνατος ὁ σταυρωθεὶς δι' ἡμᾶς', εὑρίσκεσαι τῶι ἁγίωι πνεύματι τὸν σταυρὸν ἐπιφέρων· περὶ γὰρ αὐτοῦ εἴρηται τὸ 'ἅγιος ἀθάνατος'. καὶ τὰ τοιαῦτά σου φρονήματα πάσης αἱρετικῆς κακονοίας ἴδια, μᾶλλον δὲ Μανιχαικῆς μανίας ἰνδάλματα. καὶ γὰρ ἐκεῖνος, καθάπερ καὶ σύ, παντελῶς ἀπαρνησάμενος τὸν μονογενῆ τοῦ θεοῦ υἱὸν καὶ τὴν παρ-
p. 143 θενικὴν ὠδῖνα ἔφησε τὸ ἅγιον πνεῦμα τὸ ἐν εἴδει περιστερᾶς κατελθὸν ἐκ τῶν οὐρανῶν ἐν τῶι Ἰορδάνηι ποταμῶι σεσωματῶσθαι ἐκ τῶν ὑδάτων καὶ τοῖς ἀνθρώποις συναστραφῆναι καὶ τῶι σταυρῶι προσηλῶσθαι καὶ τὸν θάνατον ὑπομεμενηκέναι τὸν ὑπὲρ ἡμῶν. πῶς δὲ καὶ ἐπιβαίνειν νῦν οὐκ ἐρυθριᾶις τῶι ἱερατικῶι θρόνωι, ὃν ἐμόλυνας διὰ τῶν σῶν βλασφημιῶν, ἔξω τοῦ ἱερατικοῦ τάγματος καὶ ἀλλότριος γεγονὼς τοῦ ποιμνίου τοῦ Χριστοῦ; οὐ μόνον γὰρ τὸν χερουβικὸν ὕμνον ἐνόθευσας, δι' οὗ καὶ ἡ ἡμετέρα πόλις ἐστερεώθη σαλευομένη ποτὲ ὑπὸ ἀνενδότων σεισμῶν, παιδὸς νηπίου περὶ τὸν ἀέρα ἁρπαγέντος
2 Cor. 12, 2 ἐπ' ὄψεσι πάσης τῆς πόλεως ἕως τρίτου οὐρανοῦ κατὰ τὸν θεσπέσιον Παῦλον κἀκεῖ ἀκηκοότος τὴν ἄρρητον ταύτην ὑμνολογίαν καθ' ἣν ὥραν ἐν τῶι Κάμπωι τὰ πλήθη μετὰ δακρύων ἀνεβόων τὸ κύριε ἐλέησον πρὸς τὸν θεὸν ἅμα τῶι ἐν ἁγίοις Πρόκλωι τῶι γεγονότι πατρὶ ἡμῶν καὶ ἀρχιεπισκόπωι ταύτης τῆς βασιλίδος καὶ φιλοχρίστου πόλεως· ἀλλὰ γὰρ πολυτρόπως πειρᾶσαι τὰ ἐναντία φρονεῖν οὐ μόνον τῶν ἁγίων συνόδων τῆς τε ἐν Νικαίαι καὶ ἐν ταύτηι τῆι βασιλίδι πόλει καὶ τῆς ἐν Χαλκηδόνι, ἀλλὰ καὶ τῶν θείων γραφῶν, μὴ βουλόμενος κατὰ τὴν αὐτῶν παράδοσιν λέγειν Χριστὸν τὸν μονογενῆ τοῦ θεοῦ υἱὸν τὸ πάθος ὑπομεμενηκέναι σαρκὶ κατὰ τὴν παράδοσιν τοῦ κορυφαίου τῶν ἀποστόλων.
1 Petr. 3, 18. 19 γράφων γὰρ αὐτὸς οὕτω φράζει Χριστὸς ἅπαξ περὶ ἁμαρτιῶν ἀπέθανε, δίκαιος ὑπὲρ ἀδίκων, θανατωθεὶς μὲν σαρκί, ζωοποιηθεὶς δὲ πνεύματι, ἐν ᾧι καὶ τοῖς ἐν φυλακῆι πνεύμασι πορευθεὶς ἐκήρυξε, φυλακὴν τὸν ἄιδην καλῶν. κρύψας γὰρ τὸ ἄγκιστρον τῆς αὐτοῦ θεότητος ἔνδον τῆς ψυχῆς τοῦ ἁγίου αὐτοῦ σώματος, οὕτως τῶι ἅιδηι συνεκρίθη καὶ τὴν αὐτοῦ παμφάγον γαστέρα ἀνέτεμε καὶ τοὺς ἀπ' αἰῶνος
Iob 40, 20 θανόντας ἐζωοποίησε κατὰ τὸν Ἰὼβ τὸν λέγοντα ἄξεις δράκοντα ἐν ἀγκίστρωι. σὺ δὲ ἀπὸ τῆς ἀληθείας τὴν ἀκοὴν ἀποστρέψας ἐπὶ τοὺς μύθους ἐξετράπης κατὰ τὸν Ἄρειον καὶ Ἀπολινάριον λέγων τὸν ἕνα τῆς τριάδος παθεῖν, ὅς ἐστιν ἡ ἄρρητος σοφία τοῦ θεοῦ
Hebr. 1, 3 καὶ πατρὸς τό τε αὐτοῦ ἀπαύγασμα καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ,
Ioh. 1, 1. 3 λόγος συνάναρχος καὶ συναίδιος· ἐν ἀρχῆι ἦν ὁ λόγος καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν καὶ θεὸς ἦν ὁ λόγος. πάντα δι' αὐτοῦ ἐγένετο καὶ χωρὶς αὐτοῦ

O [- aerv], I

2 ἐπίσκοπον Or 3 τὸ om. Orl 8 τρισαγίαν Orv 9 δοξάζειν Oe 10 σε om. OeΛ 11 σημαίνει Oer 12 εὑρίσκη Oerl 13 σου om. Oav 16/17 ἐν τῶ — ποταμῶ ἐκ τῶν οὐρανῶν Orl 22 αἰθέρα Oe 23 ὡσ ἕωσ Or 25 τοῦ - - πρόκλου τοῦ γεγονότοσ πρσ - - ἀρχιεπισκόπου Oerl 27 γὰρ om. Oav τῆσ OaeIΛ τῶν Orv 31 οὕτω I εὖ OΛ 36 θανέντασ Or 38 ἀπολλινάριον Or ὅσ OeΛ ἥτισ Oarvl 40 ἀρχῆ γὰρ OeΛ

ἐγένετο οὐδὲ ἕν. οὕτως δὲ φρονεῖν ἔσπευσας, ἐπειδὴ ἀπηρνήσω τὴν σωτήριον τοῦ λόγου ἐνανθρώπησιν, ἣν καὶ ὑπὲρ ἡμῶν αὐτὸς ὁ λόγος καὶ θεὸς λύτρον δέδωκε τῶι θανάτωι καὶ ἀναστὰς ἐκ νεκρῶν ἀνήγαγεν εἰς οὐρανούς. περὶ ἧς καὶ τῶι Ἀβραὰμ ἔλεγεν ὁ θεὸς ἐν τῶι σπέρματι σου εὐλογηθήσονται πάντα τὰ ἔθνη, ὃ καὶ βεβαιῶν ἔλεγεν Gen. 22, 18
ὁ ἀπόστολος τῶι Ἀβραὰμ ἐλέχθησαν αἱ ἐπαγγελίαι καὶ τῶι σπέρματι αὐτοῦ. Gal. 3, 16
οὐ λέγει 'καὶ τοῖς σπέρμασιν αὐτοῦ' ὡς ἐπὶ πολλῶν, ἀλλ' ὡς ἐφ' ἑνός 'καὶ
τῶι σπέρματί' σου, ὅς ἐστιν Ἰησοῦς Χριστός. ἐσπούδασται δέ σοι τὸ οὕτως
φρονεῖν καθότι οὐδὲ τὴν τοῦ δεσπότου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπωνυμίαν
προσδέχηι [ἤτοι] τὴν τοῦ υἱοῦ τοῦ θεοῦ, καὶ ἄρα πάντως περὶ σοῦ ἂν εἴη τὸ γεγραμμένον
'εἴ τις οὐχ ὁμολογεῖ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθέναι, ἤτω ἀνάθεμα'
καὶ τὸ ὑπὸ Ἰωάννου λεγόμενον πᾶν πνεῦμα ὃ ὁμολογεῖ Ἰησοῦν Χριστόν, ἐκ 1 Io. 4, 2. 3
τοῦ θεοῦ γεγέννηται καὶ πᾶν πνεῦμα ὃ μὴ ὁμολογεῖ Ἰησοῦν Χριστόν, ἐκ
τοῦ θεοῦ οὐ γεγέννηται. οἱ οὖν ἐκ θεοῦ γεννηθέντες Χριστοῦ τοῦ υἱοῦ τοῦ θεοῦ τὸ p. 144
πάθος γεγενῆσθαι λέγουσι κατὰ τὰς προαγγελθείσας περὶ αὐτοῦ προφητείας καὶ τὰ τῶν
ἀποστόλων διδάγματα. Χριστὸν γὰρ λέγων τὸν τοῦ θεοῦ τοῦ παντοκράτορος υἱὸν
τὸν σταυρὸν ὑπομεμενηκέναι τὰ ἑκάτερα λέγεις ἐν τῶι ἑνί, τήν τε αὐτοῦ θεότητα καθ' ἣν
θεός ἐστιν ἀπαθὴς καὶ ὁμοούσιος τοῦ θεοῦ καὶ πατρός, καὶ ⟨τὴν ἀνθρωπότητα καθ' ἣν ἐστιν⟩
ἄνθρωπος ὁ αὐτὸς θνητὸς καὶ ὁμοούσιος τῆι παρθένωι μητρί· τὸ δὲ λέγειν τὸν ἕνα τῆς τριάδος παθεῖν δείκνυσιν αὐτὸν τὸν λόγον παθητόν. ἐὰν οὖν ὁ λόγος παθητός, ὁμοίως
καὶ ὁ πατήρ· εἰ δὲ ὁ πατὴρ καὶ ὁ λόγος παθητός, παθητὸν καὶ τὸ πνεῦμα τὸ ἅγιον, ἐπειδὴ
μία οὐσία καὶ μία ἡ τούτων θεότης. ἐὰν δὲ εἴπηις φεύγων τὸ τῆς υἱοπατορίας ἔγκλημα
παθητὸν μὲν τὸν λόγον, ἀπαθῆ δὲ τὸν πατέρα καὶ τὸ πνεῦμα, ἔλυσας τὸ ὁμοούσιον,
ἐπηύξησας δὲ καὶ τὴν πολυθείαν. ἵνα οὖν μὴ ἄτριπτον καὶ ἄβατον τρίβον διοδεύων
κρημνισθῆις εἰς τὴν τῶν αἱρέσεων φάραγγα, γένηι δὲ καὶ ὑπαίτιος τῆς τῶν πολλῶν ἀπωλείας καὶ τῆς τοῦ θεοῦ ἱερατείας ἀλλότριος, τῆι βασιλικῆι ὁδῶι σεαυτὸν καὶ τὴν ποίμνην
σου ὁδήγησον, καθ' ἣν καὶ οἱ ἐν Χαλκηδόνι ἅγιοι πατέρες βαδίσαντες κατέλαβον τὸν
οὐρανόν. ἐπεὶ ἔσο γινώσκων ὅτι ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν ἀκάρπων δένδρων Mt. 3, 10
κεῖται, καὶ ὑπ' αὐτῆς ὡς ἀγριέλαιος ἐκκοπήσηι, τοῦτ' ἐστὶ τῆι τοῦ ἁγίου πνεύματος Rom. 11, 24
δυνάμει, ἵνα ἡ εἰρήνη καὶ ὁμόνοια ἀρραγὴς διαμείνηι τοῖς ἱερεῦσι τοῦ Χριστοῦ.

VIIII

Ἐπιστολὴ Φίληκος ἐπισκόπου Ῥώμης πρὸς Πέτρον ἐπίσκοπον Ἀντιοχείας παραινοῦσα ὅτι οὐ δεῖ προστιθέναι ἐν τῶι τρισαγίωι τὸ 'ὁ σταυρωθεὶς δι' ἡμᾶς'

Τίς δώσει τῆι κεφαλῆι μου ὕδωρ καὶ τοῖς βλεφάροις μου πηγὴν Ier. 9, 1
δακρύων; ποῖον δὲ καὶ ἄξιον ὀδυρμὸν προσοίσω τῆι ἐμαυτοῦ ψυχῆι συναλγῶν τῆι τοῦ

O [= aerv], I

1 οὐδὲ ἕν O^{arI} οὐδὲν O^{v} *nihil* Λ οὐδὲ ἓν ὃ γέγονεν O^{e} 2 θ̄σ̄ καὶ λόγος O^{eΛ} 3 ἣν καὶ ἀναστήσας O^{eΛ} 4 εὐλογηθήσονται O^{eI} ἐνευλογηθήσονται O^{a} εὐλογηθήσεται O^{rv} 4/5 ὁ ἀπόστολος ἔλεγε O^{e} 7 ῑ̄σ̄ O^{aevΛ} ὁ O^{rI} τὸ om. O^{r} 8 Ἰησοῦ om. O^{av} 9 τὴν scripsi secundum Λ οὔτε τὴν O^{a} εἴτε τὴν O^{e} εἴτε O^{v} ἤτοι τὴν O^{rI} 10 ἤτω O^{eI} εἴη τὸ O^{arv} 11 τὸ om. O^{v} πᾶν] πν̄α̅ O^{r} ὃ ὁμολογεῖ O^{arvI} ὁμολογοῦν O^{e} 12 τοῦ om. O^{rI} γεγένηται O^{eΛ} 12/13 καὶ πᾶν — οὐ γεγέννηται om. O^{rvI} 13 γεγένηται O^{eΛ} ἐκ τοῦ θῦ οὖν O^{e} γενηθέντες O^{e} corr., Λ 14 προαγγελίασ περὶ τῆσ αὐτοῦ O^{v} 15 τοῦ^{2} om. O^{a} 16 τὸν σταυρὸν OΛ τὸ πάθος I 17 τὴν ἀνθρωπότητα καθ' ἣν ἐστιν om. OI, supplevi secundum Λ 18 δὲ I γὰρ [γὰρ σὴ O^{v}] OΛ 20 δὲ καὶ O^{r} καὶ τὸ — ἅγιον παθητόν O^{rI} 21 υἱοπατερίασ O^{r} υἱοπατρίασ O^{e} 23 καὶ^{1} om. I ἄτριβον O^{rI} ἄτρεπτον O^{v} 24 κριμνησθεὶσ O^{v} φάλαγγα O^{erΛ} τῶν^{3} om. O^{e} 26 σου om. O^{eΛ} 28 τῆι om. O^{arv} 29 καὶ ἡ O^{e} 31 φήληκοσ I πάπα O^{e} 32 προσθεῖναι O^{e} τὸ om. O^{erI} 33 βλεφάροις O^{arv}I ὀφθαλμοῖσ O^{e}Λ (LXX)

Thren. 1, 2 δεσπότου καὶ σωτῆρος ἡμῶν Χριστοῦ ἁγίαι καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίαι; κλαίουσα ἔκλαυσεν αὕτη ἐπὶ υἱοῖς καὶ θυγατράσιν αὐτῆς καὶ οὐχ ὑπάρχει ὁ παρα-
Thren. 1, 3 καλῶν αὐτὴν ἀπὸ πάντων τῶν ἀγαπώντων αὐτήν· ἅπαντες οἱ καταδιώκοντες αὐτὴν τύραννοί τε καὶ αἱρεσιάρχαι κατέλαβον αὐτὴν διὰ σοῦ, ἀδελφὲ τιμι-
Thren. 1, 5 ώτατε, καὶ οἱ ἐκθλίβοντες αὐτὴν ἐγένοντο εἰς κεφαλὴν αὐτῆς· πᾶσα ἡ εὐπρέπεια αὐτῆς τὸ ὅσον ἐπὶ σοί, ἐγένετο εἰς οὐδέν. ἰδόντες οἱ ἐχθροὶ αὐτῆς ἐχάρησαν ἐπὶ τῇ ἀπωλείαι τῶν τέκνων αὐτῆς· οὓς γὰρ ἐξέθρεψεν, οὓς ἐτιθηνήσατο, οὓς εἰς μέτρον ἡλικίας ἀνήγαγε γαλακτοτροφήσασα προφητικοῖς καὶ ἀποστολικοῖς δόγμασι, τούτους ἐν μιᾶι καιροῦ ῥοπῇ διὰ δηλητηρίου ἐφόνευσας. καθ' ὃν γὰρ τρόπον οἱ τὴν ἁλιευτικὴν μετερχόμενοι βρώματι τὸ ἄγκιστρον καλύπτουσι καὶ ἀπροόπτως τοὺς ἰχθύας ἀγρεύουσιν, οὕτως καὶ σὺ τῇι τῶν ἀγγέλων ὑμνολογίαι προσθήκην ἐπήγαγες καὶ τῇι τρισαγίαι λιτῇι ὡς ἐκ προσώπου εὐσεβείας ἀσέβειαν ἐπενόησας δεινήν. ἐκ πολλῶν γὰρ ἐπαρχιῶν τῶν κατὰ τὴν Ἀνατολὴν γράμματα ἐδεξάμεθα τὰ σημαίνοντα ἡμῖν ὡς ὅτι ἡ σὴ θεοφίλεια τὸ πάλαι σιωπηθὲν Οὐαλεντίνου δόγμα ἀνέλαβε καὶ ἀθετεῖται παρ' ὑμῶν ἡ σωτήριος ἐνανθρώπησις καὶ ὅτι εἰς τὸ Μανιχαίων δόγμα Ἀρείου τε καὶ Ἀπολιναρίου καὶ Παύλου τοῦ Σαμοσατέως περιηνέχθητε. τὸ γὰρ μὴ λέγειν τὸν μονογενῆ υἱὸν καὶ κύριον ἡμῶν
p. 145 Ἰησοῦν Χριστὸν εἶναι τέλειον ἐν θεότητι καὶ τέλειον ἐν ἀνθρωπότητι αὐτόν τε τὸ πάθος τὸ τοῦ σταυροῦ ὑπομεμενηκέναι, ἀλλὰ μίαν φύσιν τοῦ θεοῦ λόγου σεσαρκωμένην ἄψυχόν τε καὶ ἄνουν τὸ τοῦ κυρίου σῶμα τὴν Ἀπολιναρίου αἵρεσιν κρατύνει, μὴ ἐγνωκότος ἐκείνου ὅτι κατ' αὐτὴν τὴν ἔναρξιν τῆς κοσμοποιίας πρῶτον ἡ ψυχὴ τοῦ πρωτοπλάστου καὶ προπάτορος ἡμῶν ἐθανατώθη καὶ εἶθ' οὕτως τὸ σῶμα· ἐλέχθη γὰρ πρὸς αὐτὸν ὑπὸ τοῦ
Gen. 2, 17 θεοῦ ἧι δ' ἂν ἡμέραι φάγηι ἀπὸ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρόν, θανάτωι ἀποθανεῖται· κατὰ οὖν τὴν ἀπόφασιν τὴν ὑπὸ τοῦ θεοῦ κατ' αὐτοῦ ἐπενεχθεῖσαν ἐν ἧι ἡμέραι ἔφαγεν ἀπὸ τοῦ ξύλου, ἐν αὐτῆι ἐθανατώθη ψυχικῶς· ὁ γὰρ τοῦ
Gen. 5, 5 σώματος αὐτοῦ θάνατος γέγονε μετὰ ἐνακόσια καὶ τριάκοντα ἔτη. ὁ τοίνυν θεὸς οὐχ ἡμιτελὲς τὸ δῶρον αὐτοῦ ἐποίησεν, ἀλλ' ὅλον ὁμοῦ τὸν Ἀδὰμ ἐκ μήτρας παρθενικῆς ἀνέλα-
Ioh. 10, 15 βεν, ἵνα καὶ ὅλον τὸν ἀπολωλότα διασώσηι· δι' ὃ καὶ ἔλεγεν ὁ κύριος ἐγὼ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων. κρατύνειν δὲ βούλει καὶ Οὐαλεντίνου καὶ Μαρκίωνος Μανιχαίων τε καὶ Βασιλειδιανῶν, ἔτι μὴν καὶ Ἑλλήνων τὰ θρησκεύματα. εἰ γὰρ θεός ** ὁ ἀποθανὼν διαιρετῶς καὶ οὐσιωδῶς, ὡσαύτως δὲ καὶ τὸ ἅγιον πνεῦμα θεὸς καὶ αὐτὸ διαιρετῶς καὶ οὐσιωδῶς, εὑρεθήσονται ὡς κατὰ τὸν σὸν καὶ τὸν ἐκείνων λόγον τρεῖς θεοί, καὶ διὰ τούτου κρατυνθήσεται τῆς πολυθείας ἡ πλάνη, καὶ ὅσον ἐπὶ σοί, δι-
Deut. 6, 4 εσκέδασται τὸ ἄκουε Ἰσραήλ, κύριος ὁ θεός σου κύριος εἷς ἐστι καὶ ὅπερ ἔλεγεν
Baruch 3, 36 ὁ Ἱερεμίας, οὗτος ὁ θεὸς ἡμῶν· οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν, ὁμοίως
Ioh. 17, 3 δὲ καὶ ὁ κύριος ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν θεόν. καὶ τῆς θείας γραφῆς ἕνα θεὸν τὴν ἁγίαν καὶ ἀδιαίρετον τριάδα κηρυττούσης, σὺ καὶ οἱ πρὸ σοῦ αἱρεσιάρχαι τρεῖς θεοὺς ἐδογματίσατε, ἄλλον μὲν λέγοντες θεὸν τὸν πατέρα παρὰ τὸν υἱὸν καὶ ἕτερον θεὸν τὸν υἱὸν παρὰ τὸν πατέρα καὶ πάλιν ἄλλον θεὸν τὸ πνεῦμα τὸ ἅγιον παρὰ τὸν πατέρα καὶ τὸν υἱὸν καὶ τὸν μὲν θνητὸν καὶ νεογενῆ, τὸν δὲ ἄναρχον καὶ ἀθάνατον.

O [= aervv], I

6 ὅσον τὸ O^{e} 12 δεινὴν ἐπενόησας O^{e} 14 κατέλαβε O^{r} 15 μανιχαῖον O^{arv} μανιχαικὸν $O^{r}I$ 18 τὸ om. $O^{e}I$ 19 μὴ — ἐκείνου I ἐκεῖνος γὰρ μὴ ἐγνωκὼς OΛ 20/21 καὶ — ἡμῶν om. I 21 ἡμῶν om. O^{r} ἐλέγχθη O^{v} 22/23 τοῦ — πονηρόν om. $O^{r}I$, cf. 24 22 γινώσκοντος O^{arv} 23 ἀποθανῆ I γοῦν O^{e} τοῦ om. O^{e} 24 ἢ ἂν I ξύλου τοῦ γινώσκειν [γινώσκοντος O^{r} καλὸν καὶ πονηρὸν $O^{r}I$ 26/27 ἀνέλαβε παρθενικῆς O^{e} 27 ὅλον τὸν ἀπολωλότα $O^{arv}I$ ἀπωλολότα ὅλον $O^{e}Λ$ 30 lacunam indicani e. gr. supplendo ὁ πατὴρ διαιρετῶς καὶ οὐσιωδῶς καὶ θεὸς καὶ] om. O^{av} 31 εὑρεθήσεται $O^{er}Λ$ τὸν^{2}] τῶν O^{rv} 32 τοῦτο O^{arv} 34 ὁ^{1} om. O^{e} οὗτος $O^{aervv}Λ$ κσ $O^{r}I$ καὶ οὐ O^{av} 35 θεόν om. O^{v} 36 τριάδα καὶ ἀδιαίρετον $O^{r}I$ 37 μὲν OΛ om. I 39 νεογεννῆ O^{a} ut sol. I

ἐπὶ τούτοις δὲ τοῖς βλαβεροῖς σου ῥήμασι βουλόμενος τὰ ἐναντία φρονεῖν τῶν τε ἐν Νικαίαι ἀθροισθέντων καὶ ἐν τῇι Κωνσταντινουπόλει καὶ ἐν Χαλκηδόνι ἁγίων πατέρων τῶν καὶ τὸ ὁμοούσιον κρατυνάντων καὶ μίαν τὴν θεότητα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος κεκραγότων κατὰ τὴν Ἀρείου φρενοβλάβειαν καὶ σὺ ἐπ' ἐκκλησίας ἐτόλμησας εἰπεῖν ὅτι ὁ εἷς τῆς ἀκτίστου καὶ ἀδιαιρέτου τριάδος τὸ πάθος ὑπέμεινε, καὶ διὰ τούτου ἐδοκίμασας λύειν καὶ τὸ ὁμοούσιον καὶ ἀριθμῶι ὑποβάλλειν τὸ θεῖον. εἰ γὰρ εἷς τῆς ἁγίας τριάδος τῆς ἀκτίστου καὶ συναίδιος ὁ σταυρωθεὶς θεός, τουτέστιν ὁ υἱός, δύο δὲ τῆς τριάδος ὁ πατὴρ καὶ τὸ ἅγιον πνεῦμα, λέγονται δὲ θεοὶ καὶ οὐχὶ κατὰ τὸν εὐθῆ λόγον θεός, καθὼς παραδεδώκασιν ἡμῖν οἱ αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ Lc. 1, 2
λόγου, εὑρεθήσεται [καὶ οὕτως] λυόμενον μὲν τὸ ὁμοούσιον (θνητὸν γὰρ καὶ ἀθάνατον ὁμοούσια εἶναι ἔτι οὐ δύνανται), κρατυνθήσεται δὲ καὶ οὕτως ὁ τῆς πολυθείας λόγος ἐν τῶι τρεῖς θεοὺς τὸν Χριστιανισμὸν καταγγέλλειν. ὁπότε οὖν γέγραπται ὅτι ὁ λόγος Ioh. 1, 14
σὰρξ γέγονε καὶ θεὸς ἦν ὁ λόγος, οὐχ ἕτερος θεὸς ὁ λόγος παρὰ τὸν πατέρα εὑρεθή- Ioh. 1, 1
σεται. λόγος γὰρ οὐχ ἁπλῶς, ἀλλὰ λόγος ἐνυπόστατος καὶ θεὸς ὁ υἱὸς εἴρηται, ἵνα ἐκ τῆς ἡμῶν εὐτελείας γνῶμεν τὸ ταὐτὸν τῆς οὐσίας τοῦ πατρός καὶ τοῦ λόγου καὶ τοῦ πνεύ-
ματος τοῦ ἁγίου. καὶ γὰρ ἡμεῖς οὐχ ἕτεροι παρὰ τὸν ἡμέτερον λόγον εὑρεθησόμεθα. p. 146
ἐπεὶ οὖν καθὸ λόγος, ὁ μονογενὴς τοῦ θεοῦ υἱὸς οὐκ ἠδύνατο εἰς ἰδίαν οὐσίαν παθεῖν, ἵνα μὴ καὶ εἰς τὴν τοῦ παντοκράτορος θεοῦ καὶ πατρὸς τὸ πάθος λογισθῆι (μία γὰρ θεότης πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος), πάσχει τὸ γεγονὸς ἴδιον τοῦ λόγου ἔμψυχον σῶμα, ὅπερ αὐτὸς ὁ τοῦ θεοῦ ἐνυπόστατος λόγος ἐξ αὐτῆς τῆς μήτρας τῆς ἁγίας καὶ ἀπειρογάμου
παρθένου ἑνώσας ἑαυτῶι προῆλθεν ἐκ γυναικός, περὶ ἧς προμυθούμενοι οἱ θεηγόροι ἄνδρες ἔλεγον ὁ θεὸς τῶν δυνάμεων, ἐπίστρεψον δὴ καὶ ἐπίβλεψον ἐξ οὐρανοῦ καὶ Ps. 79, 15. 16
ἴδε καὶ ἐπίσκεψαι τὴν ἄμπελον ταύτην καὶ κατάρτισαι αὐτὴν ἣν ἐφύτευ-
σεν ἡ δεξιά σου, καὶ ἐπὶ υἱὸν ἀνθρώπου ὃν ἐκραταίωσας ἑαυτῶι, ἄμπελον καὶ υἱὸν ἀνθρώπου ὃν ὁ λόγος ἐκραταίωσε συντρῖψαι τὰ τοῦ ἅιδου κλεῖθρα καὶ ζωοποιῆσαι
τοὺς ἀπὸ τῶν αἰώνων θανόντας, τὴν σωτήριον τοῦ λόγου ἐνανθρώπησιν καλοῦντες· δι' ὃ καὶ [ὁ κύριος] ἔλεγε τοῖς ἑαυτοῦ μαθηταῖς ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα, Ioh. 15, 5. 1
καὶ ὁ πατήρ μου ὁ γεωργός ἐστι καὶ μέλλει ὁ υἱὸς τοῦ ἀνθρώπου παρα- Mt. 17, 22.
δίδοσθαι εἰς χεῖρας ἁμαρτωλῶν. ὁ γὰρ τοῦ πατρὸς ἐνυπόστατος καὶ θεὸς λόγος 26, 45
δι' ἀκοῆς εἰσπηδήσας τῆς ἁγίας παρθένου μυστικῶς τὴν κυοφορίαν εἰργάσατο. καθὸ
τοίνυν ὁ μονογενὴς υἱός ἐστι τοῦ πατρὸς ὁμοούσιος καὶ εἷς τῆς ἀδιαιρέτου τριάδος ἄκτιστός τε καὶ ἀθέατος, μεμενήκει ἀπαθὴς καὶ ἀθάνατος. τὸ οὖν ἄκτιστον καὶ ἀθάνατον τῆι κτίσει μὴ σύναπτε καὶ τὸν τῆς πολυθείας λόγον μὴ κράτυνε διὰ τοῦ λέγειν τεθνάναι τὸν ἕνα τῆς τριάδος. καθὸ δὲ πάλιν ἐκ γυναικὸς ἐγεννήθη καὶ ἔστιν ἡμῖν ὁμογενὴς καὶ ὁμόφυλος καὶ
ὁμοούσιος ἄνευ ἁμαρτίας, τὸ πάθος ὑπέμεινεν. ὅτι δὲ οὐ μόνον ὁμοούσιος ἡμῖν ὁ υἱὸς τὸ
κατὰ σάρκα, ἀλλὰ καὶ συγγενής, διδάσκει αὐτὸς ὁ κύριος ἐν τῶι λέγειν ποτὲ μὲν ἐν εὐαγ-
γελίοις τοῖς εἰς αὐτὸν πιστεύσασιν ἐγὼ ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα, ποτὲ δὲ καὶ Ioh. 15, 5

O [= acrv], I

1 τοῖς — βουλόμενος] καὶ I ῥήμασι — ἐναντία om. Or φρονῶν I 3 κρατυνόντων Oacv 4 κατὰ OarvI καὶ OeΛ φρενοβλάβειαν καταισχυνόντων OeΛ 4/5 ἐτόλμησας εἰπεῖν ἐπ' ἐκκλ. OrI 4 ἐκκλησία Oarv 5 τοῦτο Oarv 7 συναιδίου I 8 θς̄ λόγος OrI 10 καὶ οὕτως OrI δὲ [δὴ Oe] καὶ οὕτως Oaev delcui ἀθάνατα Oav 11 ἔτι εἶναι Oe καὶ om. I 12 τὸν χριστιανισμὸν I χριστιανισμῶ ΟΛ ὅτι] καὶ Oa 14 γὰρ I om. ΟΛ εἴρηται OarvI εὑρεθήσεται OeΛ 15/16 τοῦ ἁγίου πνεύματος Oe 18 καὶ I om. ΟΛ 19 πάσχει δὲ OaevΛ 21 παρθένου om. OrI προμηθούμενοι Oervl θεογόροι Ov 24 σεαυτῶ I 26 θανέντας Or καλοῦντεσ I καλῶν ΟΛ 27 ὁ κς̄ OeIΛ ὁ θς̄ Orv ὁ χς̄ Oa, delcui ἡμεῖσ Or 29 ἀνῶν ἁμαρτωλῶν Oe 31 ἄκτιστος] ἀθάνατοσ Ov 32 ἀθάνατοσ OaevI ἀθέατοσ Or 33 σύναπτε Oav σύνταττε OerI τοῦ OrI τὸ Oaev 34/35 ὁμοούσιοσ καὶ ὁμογενὴσ καὶ ὁμόφυλοσ Oe 34 ὁ μονογενὴσ I 37 πιστεύουσιν OrI

Ps. 21, 23 ἐν ψαλμοῖς ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου. πόθεν δέ σοι καὶ ἡ τοσαύτη κακίστη ἔννοια ὑπεισῆλθεν, ὥστε σεαυτὸν καὶ τῶν ἁγίων ἀγγέλων εὐσυνετώ-
Phil. 3, 19 τερον καὶ σοφώτερον λογίσασθαι; ἐν τούτοις κλαίω, ἐν τούτοις ὀδύρομαι τοὺς ἐχθροὺς τοῦ σταυροῦ τοῦ Χριστοῦ, ὧν τὸ τέλος ἀπώλεια, ὧν ὁ θεὸς ἡ κοιλία καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν. οὐκ ἐνενόησας ὅτι τὸ σκανδαλίσαι
Mt. 18, 6 καὶ μόνον ἕνα τῶν πιστευόντων εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀφόρητον ἔχει τὴν ἀγανάκτησιν, ἀλλ' οὕτως ἀπαραφυλάκτως, καθάπερ ὁ ὄφις τῇ Εὔαι, καὶ αὐτὸς τὸν ἰὸν τῆς ἀπάτης τῶι πλήθει τῶν πιστῶν ταῖς ἀκοαῖς ἐπέχεας καὶ τὸν παραδοθέντα ἡμῖν ὑπ' ἀγγέλων τρισάγιον αἶνον ἐνόθευσας ἐνθέμενος ἐν αὐτῶι ὁ σταυρωθεὶς δι' ἡμᾶς; ἆρα οὐκ ἐνενόησας ἀσεβέστερον σαυτὸν ὁριζόμενος Παύλου τοῦ Σαμοσατέως καὶ Φωτεινοῦ καὶ
10 Ἀρτεμᾶ τῶν δύο υἱοὺς τοῦ θεοῦ ὁρισαμένων, ἕνα προαιώνιιον καὶ ἕνα νεογενῆ, ὅτι καὶ σὺ πλεονασμὸν τῇι τριάδι ἐνέθου δύο υἱοὺς τοῦ θεοῦ εἰπών, ἕνα ἰσχυρὸν καὶ ἕνα τὸν σταυρωθέντα; ἐπὶ τούτοις δὲ καὶ εἰς ἔννοιαν οἰέσαι ἄγειν τὸ πιστότατον Χριστοῦ ποίμνιον ὡς ὅτι κατὰ τὸν Μανῆ λόγον τὸ ἅγιον πνεῦμα ἐσταυρώθη. μετὰ γὰρ τὸ εἰπεῖν ἅγιος
15 ἀθάνατος, ὅπερ ἐστὶ τὸ πνεῦμα τὸ ἅγιον, τότε ἐπάγεις ὁ σταυρωθεὶς δι' ἡμᾶς, ἐλέησον ἡμᾶς, καὶ τετράδα, οὐ τριάδα εὑρίσκηι τὸν λαὸν ἐκδιδάσκων. καὶ εἰ μὲν ἐξ ἀνθρωπίνης παραδόσεως ὑπῆρχεν ὁ αἶνος, καὶ οὕτως μετὰ παραφυλακῆς ἂν τὸν σταυρὸν ἐν τῶι τρισ-
p. 147 αγίωι παρέθηκας, ἔνθα ἡ τοῦ υἱοῦ προσηγορία, ἥτις ἐν τῶι τρισαγίωι ἰσχυρὸς εἴρηται· ὁπότε δὲ ὑπ' ἀγγέλων ὁ τρισάγιος οὗτος αἶνος ἡμῖν ἐξεδόθη, οἵτινες πρὸ μὲν τοῦ σταυροῦ
Ies. 6, 3 ἔλεγον ἅγιος ἅγιος ἅγιος, ὡς ἠξιώθη Ἡσαίας θεάσασθαι, μετὰ δὲ τὸν σταυρὸν ὑμνολόγουν
20 ἅγιος ὁ θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ὥσπερ ὁ κομιδῆι νήπιος παῖς σειομένης τῆς Κωνσταντινουπόλεως καὶ τοῦ λαοῦ ἐν τῶι Κάμπωι ἱκετεύοντος ἡρπάγη εἰς τὸν αἰθέρα ὡς ἐπὶ ὥραν μίαν τοῦ ὅλου πλήθους θεωροῦντος καὶ Πρόκλου τοῦ τῆς πόλεως ἐπισκόπου, κἀκεῖ μεμαθηκὼς τὸν αἶνον καὶ πάλιν κατενεχθεὶς ἀπήγγειλεν ἅπερ ἐδιδάχθη ἐν τῶι αἰθέρι, εἰπὼν ἐξ οὐρανῶν ὡς ὑπὸ πλήθους πολλοῦ φέρεσθαι εἰς τὰ ὦτα αὐτοῦ ταύτην τὴν ὑμνωι-
25 δίαν καὶ ὅτι ἐρρέθη αὐτῶι ἐξειπεῖν τῶι λαῶι τὴν τοιαύτην ὑμνολογίαν. ἧς ἐναρξάμενοι οἱ λαοὶ τὴν πόλιν κατέλαβον καὶ τὸν θεὸν διὰ τῆς τοιαύτης ὑμνωιδίας ἐξευμενισάμενοι ἐλυτρώθησαν τῆς ἐπικειμένης ὀργῆς. σὺ δὲ ἀφειδῶς κατετόλμησας, ὡς τὰς λοιπὰς θείας γραφάς, καὶ τὴν τῶν ἀγγέλων ὑμνωιδίαν διαστρέψαι. τίς οὖν οὐ μὴ θρηνήσηι ἐν τούτοις; τίς οὐ μὴ στενάξηι; ὁποῖον δὲ ἄλγος κατὰ τὸ ἄλγος τῆς τοῦ κυρίου καὶ σωτῆρος
30 ἡμῶν Χριστοῦ ἐκκλησίας εὑρεθήσεται; θεωρεῖ σε τὸν ταχθέντα φῶς εἶναι τῶν ἐν σκότει καὶ παιδευτὴν τῶν ἀφρόνων μᾶλλον ἀφροσύνης διδάσκαλον καὶ τὸ φῶς εἰς σκότος μεταποιοῦντα, θεωρεῖ σε τοὺς λαοὺς τοὺς ἅπαξ φωτισθέντας καὶ καλὰ γευσαμένους θεοῦ ῥητά, θεοῦ ἐντάλματα, θεοῦ προφητικὰ προρρήματα, θεοῦ ἀποστολικὰ καὶ εὐαγγελικὰ διδάγματα μᾶλλον ὑπὸ σοῦ διαστρεφομένους καὶ ἐκδιδασκομένους μὴ μόνον ἀνασταυροῦν τὸν
35 υἱὸν τοῦ θεοῦ καὶ παραδειγματίζειν, ἀλλὰ καὶ ἐναντία φρονεῖν τῶν θείων γραφῶν, ἀπαρνή-

---

O [- aervɣ, I

1 σοι $O^{aevΛ}$ σε I om. O^{r} 2 τοιαύτη I κάκιστοσ O^{av} ἐπεισῆλθεν O^{e} 2/3 συνετώτερον I 4 καὶ ὧν O^{e} ὁ om. O^{av} 5 οὐκ ἂν O^{e} 8 τοῦ πλήθουσ I ἐπέχεεσ O^{a} ἐπέχεισ O^{v} 9 ὕμνον I 10 σεαυτὸν O^{e} 13 οἴει O^{e} 14 μανῆ O^{av} τοῦ μάνεντοσ O^{erI} 15 τότε om. I ἐπάγει O^{e} 17 καὶ om. I οὗτοσ O^{vI} 17/18 ἐν τῶ τρισαγίω τὸν στρὸν O^{rI} 18 ἔθηκασ O^{rI} ἰσχυρὸσ ἐν τῶ τρισαγίω O^{e} 19 αἶνοσ οὗτοσ O^{e} 21 ὁ² om. O^{aev} 22 οὐρανὸν O^{e} 23 τοῦ³ om. O^{av} 23/24 ἅπερ — αἰθέρι ἀπήγγειλεν O^{a} 25 οὐρανοῦ $O^{eΛ}$ καὶ ὡς I ἀπὸ I 26 ἐρρήθη O^{rI} εἰπεῖν O^{e} ταύτην τήν O^{rI} 29 μὴ om. O^{e} θρηνήσει O^{eI} 30 μὴ om. O^{e} στενάξει O^{eI} 31. 33 θεωρεῖ σε $O^{aevΛ}$ θεωρῆσαι O^{rI} 31 τῶ σκότει O^{e} 33 καλὰ — ῥητὰ O^{av} καλὸν — ῥῆμα O^{r} καλῶν — ῥημάτων O^{eI} 34 ἐνταλμάτων O^{eI} θεοῦ² om. I προφητικῶν προρρήσεων O^{e} om. I 34/35 ἀποστολικῶν καὶ εὐαγγελικῶν διδαγμάτων O^{eI} 35 διδασκομένουσ O^{e} ἀνασταυροῦντασ O^{a} ἀνασταυροῦντα O^{v} 36 παραδειγματίζονταση O^{a} παραδειγματίζοντα O^{v} φρονοῦντα O^{v} γραφῶν διδάσκονται O^{a} γραφῶν διδάσκοντα τὲ O^{v}

σασθαι δὲ καὶ τὰς συνθήκας ἃς συνέθεντο αὐτοὶ προσιόντες τῶι ἁγίωι βαπτίσματι. συνθέμενοι γὰρ ἐπὶ πάντων τῶν χερουβικῶν δυνάμεων καὶ τῶν προφητικῶν καὶ ἀποστολικῶν ταγμάτων ἐν τῶι τοῦ ἁγίου βαπτίσματος καιρῶι πιστεύειν εἰς ἕνα θεὸν πατέρα παντοκράτορα, νῦν εἰς θεοὺς τρεῖς πιστεύειν αὐτοὺς ἐξεπαίδευσας. πάλιν συνθεμένων πιστεύειν εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ τὸν σαρκωθέντα καὶ ἐνανθρωπήσαντα ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου, σὺ ἐκδιδάσκεις αὐτοὺς μὴ λέγειν τὸν κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ τὸν σταυρὸν ὑπομεμενηκέναι, ὃς ἐστι θεὸς κατὰ τὴν ἐκ θεοῦ πατρὸς προαιώνιον καὶ ἀπαθῆ γέννησιν καὶ ἄνθρωπος ὁ αὐτὸς κατὰ τὴν ἐπ' ἐσχάτων ἐκ γυναικὸς γέννησιν, καθ' ἣν καὶ τὸ πάθος ὑπέμεινεν, ἀλλ' ὅτι ὁ εἷς τῆς τριάδος ἀπέθανεν, ὃς ἐστιν αὐτὸς ὁ θεὸς λόγος. ὡμολόγησαν πάλιν τὸ ἅγιον πνεῦμα ζωοποιὸν καὶ ἀθάνατον, εἰπόντες πιστεύειν εἰς τὸ πνεῦμα τὸ ἅγιον τὸ κύριον καὶ ζωοποιόν· καὶ σὺ θνητὸν ὑποτίθεσαι εἶναι τὸ πνεῦμα τὸ ἅγιον διὰ τοῦ λέγειν ἅγιος ἀθάνατος ὁ σταυρωθεὶς δι' ἡμᾶς. ἀπόφυγε, παρακαλῶ, τὴν τοιαύτην πλάνην· ἔπεσες, μὴ ἐπιμείνηις τῶι πτώματι· ἥμαρτες, μηκέτι ἁμάρτανε· ἀναμένει σε ἡ ἁγία τοῦ θεοῦ ἐκκλησία περιπτύξασθαί σε μετανοοῦντα ἐπὶ τοῖς ματαίοις σου προβλήμασι καὶ σὺν αὐτῆι θεολογοῦντα τὸν Χριστὸν καὶ μὴ ἀπαρνούμενον τὴν αὐτοῦ ἔμψυχον ἐνανθρώπησιν, καθ' ἣν καὶ τὸ πάθος ὑπομεῖναι λέγεται, καὶ βοᾶι σοι δι' ἡμῶν δεῦτε πρός με πάντες οἱ κοπιῶντες κἀγὼ ἀναπαύσω ὑμᾶς· οὐ βούλεται ὁ θεός, ἀδελφὲ τιμιώτατε, τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. μνημόνευε Ἰησοῦν Χριστὸν ἐγηγερμένον ἐκ νεκρῶν κατὰ τὸ εὐαγγέλιον, μνημόνευε τοῦ μακαρίου Ματθαίου γράφοντος βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ υἱοῦ Δαυὶδ υἱοῦ Ἀβραάμ, μνημόνευε Παύλου ἐπιστέλλοντος ἀφωρισμένος εἰς εὐαγγέλιον θεοῦ, ὃ προεπηγγείλατο αὐτὸς ὁ θεὸς ἐν γραφαῖς ἁγίαις περὶ τοῦ υἱοῦ αὐτοῦ τοῦ γενομένου ἐκ σπέρματος Δαυὶδ κατὰ σάρκα, τοῦ ὁρισθέντος υἱοῦ θεοῦ, μνημόνευε καὶ Ἰωάννου βοῶντος ἐν ἀρχῆι ἦν ὁ λόγος καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν, ὡς καὶ ἔστι, καὶ θεὸς ἦν ὁ λόγος καὶ ὅτι σὰρξ γέγονεν ἐνανθρωπήσας καὶ ὅτι θεὸν οὐδεὶς ἑώρακε πώποτε. ταῦτά σοι γεγράφηκα ἅμα τῆι συνούσηι μοι ἁγίαι συνόδωι, παρεγγυώμενός σε ἐνώπιον τοῦ θεοῦ καὶ τῶν ἁγίων ἀγγέλων ἵνα ταῦτα διδάσκηις καὶ ταῦτα φρονῆις μεθ' ἡμῶν, ἵνα ἀνόθευτος ἡ πίστις ἡμῶν διαμείνηι εἰς δόξαν θεοῦ.

Mt. 11, 28 · Ezech. 33, 11 · p. 148 · Rom. 1, 1 · Ioh. 1, 1 · Ioh. 1, 14. 18

X

Ἴσα γραμμάτων ἀποσταλέντων Ζήνωνι βασιλεῖ παρὰ Φίληκος ἐπισκόπου Ῥώμης, ἐν οἷς σημαίνει Πέτρου ἐπισκόπου Ἀντιοχείας τὴν καθαίρεσιν, διότι ἐν τῶι τρισαγίωι ἐνέθετο τὸ ὁ σταυρωθεὶς δι' ἡμᾶς

Τῶι ἐνδοξοτάτωι καὶ γαληνοτάτωι υἱῶι Ζήνωνι αὐγούστωι Φίληξ ἐπίσκοπος ἐν κυρίωι χαίρειν. Πρέπει τῆι σῆι φιλανθρωπίαι ταῦτα ἃ πρέπει τῆι τῶν πραγμάτων τάξει, ἀπαγγεῖλαι, ἅπερ καὶ ἀνῆκεν ἀπαγγεῖλαι εἰς ἀσφάλειαν τοῦ τῆς σῆς γαληνότητος κράτους. καὶ καθάπερ ἐγγὺς τυγχάνων παρακαλῶ τὴν ἐμὴν ἱκετηρίαν δέξασθαι ταῖς φιλαγάθοις ὑμῶν ἀκοαῖς ὡς Χριστιανικώτατος ὢν βασιλεύς, μηδαμῶς τε ἡ σὴ εὐσέβεια

O [= aerv], I
1 δὲ om. O^{av} συνθεμένους I 2 πασῶν O^{e}I 4 τρεῖσ θεοὺσ O^{e} 5 σταυρωθέντα O^{av} 7 τὸν' — θεοῦ om. I 12 ἀποτίθεσαι O^{v} τὸ ἅγιον πνεῦμα O^{av} 13 ἔπεσασ O^{er} 15 σε om. IΛ 17/18 κἀγὼ — ὑμᾶσ O^{aev} καὶ τὰ ἑξῆσ O^{r}I 19/20 Ἰησοῦν — μνημόνευε om. I 21/22 ἀφωρισμένον O^{arv} 23 λέγων περὶ I 24 θεοῦ om. O^{e}Λ 25 καὶ ὁ λόγος — ὁ λόγος om. I 27 σοι O^{av}
31 Ἴσον ἐπιστολῆσ ἀποσταλείσησ O^{e} 32 ἢ O^{ev} τοῦ ἀντιοχείασ ἐπισκόπου O^{v} 33 τὸ O^{r} om. O^{aev}I 36 ἀπαγγεῖλαι τάξει O^{r}I ὠφέλειαν O^{r}I 37 καθάπερ ὡσ O^{erv}

διανοηθείη ἕτερόν τινα μετὰ καθαρᾶς τῆς διανοίας ὑμᾶς ἀγαπᾶν πλὴν ἐκείνου τοῦ βουλομένου σε μετὰ τοῦ θεοῦ τὴν εἰρήνην ἔχειν, ἐπειδήπερ ἐκ πιστῆς ὡρμημένος τῆς διανοίας οὐκ ἀμφισβητεῖς τοῦ προσκαίρου θρόνου τὴν ἐξουσίαν καὶ τῆς αἰωνίου ζωῆς τὴν ἀντίδοσιν ἐκ τῆς ἄνωθεν ροπῆς ἠρτῆσθαι, διά τε τῆς ἡμῶν βραχύτητος δέξασθαι καταξίωσον τὴν σεπτὴν καὶ θεόφραστον ὁμολογίαν τοῦ μακαριωτάτου Πέτρου τοῦ πρωτοστάτου τῶν ἀποστόλων, ὃς καὶ τὰς τῆς βασιλείας κλεῖς ὑπὸ τοῦ σωτῆρος πιστευθεὶς προευτρεπίσει τῇι φιλοχρίστωι ὑμῶν βασιλείαι τὴν ἐν ὑψίστοις μετ' ἀγγέλων διαγωγήν. ὃς καὶ τὴν ἀπαράλλακτον καὶ ἀμώμητον πίστιν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ μονογενῆ τοῦ θεοῦ υἱὸν πρῶτος ἐκθέμενος ἐμακαρίσθη ὑπ' αὐτοῦ τοῦ σωτῆρος. εἰπόντος
Mt. 16, 16—18 γὰρ αὐτοῦ πρὸς τὸν κύριον σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, ἀκήκοε παρ' αὐτοῦ μακάριος εἶ, Σίμων βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς καὶ ἐπὶ ταύτηι τῇι ὁμολογίαι οἰκοδομήσω μου τὴν ἐκκλησίαν καὶ πύλαι ἅιδου οὐ κατισχύσουσιν αὐτῆς. τοῦ οὖν σωτῆρος φήσαντος, ὅτι πύλαι ἅιδου οὐ κατισχύσουσι τῆς αὐτοῦ ἐκκλησίας τοῦ ἐξᾶραι ἀπ' αὐτῆς τὴν αὐτοῦ ἐπωνυμίαν, ἥτις εἴρηται Χριστὸς Ἰησοῦς καὶ θεοῦ τοῦ παντοκράτορος υἱός, Πέτρος ὁ πρωτότοκος υἱὸς τοῦ διαβόλου ὁ ἀναξίως εἰσπηδήσας τῇι Ἀντιοχέων ἁγίαι τοῦ θεοῦ ἐκκλησίαι καὶ μιάνας τὸν τῆς ἀρχιερωσύνης θρόνον Ἰγνατίου τοῦ μάρτυρος, ὃς τῇι δεξιᾶι Πέτρου τὴν ἀρχιερωσύνην ἐδέξατο, καὶ Εὐσταθίου τοῦ ὁμολογητοῦ καὶ προέδρου τῶν τιη ἁγίων πατέρων τῶν ἐν Νικαίαι ἀθροισθέντων λέγειν ἐτόλμησεν ὅτι οὐ δεῖ τὸν Χριστὸν καὶ υἱὸν τοῦ θεοῦ ὀνομάζειν κατὰ τὴν θείαν τοῦ σωτῆρος νομοθεσίαν καὶ τὴν τῶν θείων γραφῶν παράδοσιν καὶ ἔκθεσιν τῶν πατέρων, ἀλλὰ τὸν
p. 140 ἕνα τῆς τριάδος τὸ πάθος τὸ ὑπὲρ ἡμῶν ὑπομεῖναι εἰς τὴν τῆς θεότητος οὐσίαν κατὰ τὴν Ἀρείου καὶ Ἀπολιναρίου καὶ Εὐνομίου παράδοσιν, βουλόμενος διὰ τῆς τοιαύτης φωνῆς ἀθετῆσαι μὲν τὴν σωτήριον ἐνανθρώπησιν καθ' ἣν ὁ Χριστὸς καὶ τὸ πάθος ὑπέμεινε,
Hebr. 2, 16 λέγεται δὲ καὶ εἷς ἐξ ἡμῶν ὡς τοῦ σπέρματος Ἀβραὰμ ἐπιλαβόμενος, ἐπαυξῆσαι δὲ καὶ τὴν πολυθείαν. ὁ γὰρ νοῦς τοῦ λόγου τρεῖς θεοὺς παρεισάγει, ἕνα τεθνεῶτα καὶ δύο ζῶντας, λύει δε καὶ τὸ ὁμοούσιον καὶ τὰς ἁγίας συνόδους ἐξωθεῖται τήν τε ἐν Νικαίαι καὶ ἐν Κωνσταντινουπόλει καὶ ἐν Χαλκηδόνι. ἀλλὰ καὶ τὴν ἁγίαν παρθένον Μαρίαν μὴ προσδεχόμενος εὑρεθήσεται. εἰ γὰρ μὴ ἐξ αὐτῆς σαρκωθεὶς ὁ λόγος ἐνηνθρώπησε, τίς χρεία τῆς παρθένου; διὰ τί δὲ καὶ ὁ Γαβριὴλ ἔλεγε πρὸς αὐτὴν τὸ γεννώμενον
Lc. 1, 35. 32 ἐκ σοῦ ἅγιον κληθήσεται υἱὸς θεοῦ καὶ δώσει αὐτῶι κύριος ὁ θεὸς τὸν θρόνον Δαυὶδ τοῦ πατρὸς αὐτοῦ; ἐπὶ πᾶσι δὲ τούτοις τοῖς ἀσεβέσι καὶ βλασφήμοις αὐτοῦ τολμήμασι καὶ τὴν τρισάγιον λιτὴν νοθεῦσαι βουληθεὶς διὰ τοῦ ἐνθέσθαι ἐν αὐτῆι ὁ σταυρωθεὶς δι' ἡμᾶς μυρία ἄτοπα εἰργάσατο καὶ πολλὰ παρ' ἡμῶν καὶ τῆς ἐν Χριστῶι ἀδελφότητος ἡμῶν τε καὶ τῶν ἐν τῆι Ἀνατολῆι καὶ τοῦ θεοσεβεστάτου ἀρχιεπισκόπου Ἀκακίου τῆς παρ' ὑμῶν βασιλευομένης καὶ φιλοχρίστου πόλεως παραινεθεὶς ἐπιστρέψαι οὐκ ἠβουλήθη. καὶ διὰ τοῦτο νῦν ἡ ἁγία τοῦ θεοῦ ἐκκλησία ταῖς μητρικαῖς σε φωναῖς ὡς [πρὸς] τὸν ἔξοχον αὐτῆς υἱὸν προσφθεγγομένη οὐ παύεται· ὦ φιλόχριστε βασιλεῦ, τῆς ἐμῆς τιμιότητος τὸν δεσμὸν ἐν ὧι περισφίγγονται τὰ πλήθη τῶν πιστῶν, μὴ συγχωρήσηις διαλυθῆναι· τὴν τοῦ δεσπότου Χριστοῦ καὶ μονογενοῦς υἱοῦ τοῦ θεοῦ ἐπωνυμίαν μὴ συγχωρήσηις παραβαθῆναι· τὴν τρισάγιον ὑμνωιδίαν, ἥτις καὶ τὴν ὑμετέραν πόλιν διέσωσε κινδυνεύουσαν, ὡς ἀγγέλων παράδοσιν ἀνόθευτον διαφύλαξον· Πέτρον τὸν τῆι

O [= aerv], I

1 ἡμᾶσ O^{a} corr., $O^{r}\Lambda$ 2 τοῦ om. O^{e}I 8 ἀπαράλλακτον O^{er}IΛ ἀπαράβλητον O^{a} ἀπαράκλητον O^{v} 10 αὐτοῦ om. I 12/13 ταύτη μου O^{r} 15 ιϛ χϛ O^{av} τοῦ om. O^{a} καὶ τοῦ O^{v} 17 εἰσ τὴν — ἁγίαν — ἐκκλησίαν O^{av} 22 τὸ^{2} om. O^{e} 23 τοῦ ἀρείου O^{r}I 29 ὁ λόγοσ σαρκωθεισ O^{r}I 33 τρισαγίαν O^{v} 37 σε $O^{e}\Lambda$ σοῦ O^{av}I αὐτῆσ O^{r}I 38 πρὸσ τὸν ἔξοχον O^{er}IΛ τὸν προσέξοχον O^{av} πρὸς deleni φθεγγομένη O^{r}I 41 παραβασθῆναι O^{r}

'Αρειανικῆι θρησκείαι ἐπακολουθήσαντα τῆς τῶν 'Αντιοχέων ἐκκλησίας ἀπέλασον. τίνος ἕνεκεν Πέτρος τὴν ἐμὴν πίστιν ἀθετήσας ῥηγνύει τοῦ κόσμου τὴν σύνεσιν; τίνος ἕνεκεν Πέτρος ῥηγνύει τὸν χιτῶνά μου τὸν ἄνωθεν ὑφαντόν; ὁ θεὸς καὶ πατὴρ ἐνε- Ioh. 19, 23
τείλατο τῶι κορυφαίωι τί δέοι καλεῖσθαι τὸν αὐτοῦ υἱόν· ὁ μονογενὴς υἱὸς ἐν τῆι ὁμο- Mt. 16, 17. 18
λογίαι τοῦ κορυφαίου τῶν ἀποστόλων ἐθεμελίωσέ με· τὸ ἅγιον πνεῦμα ἐφ' ἑκάστης
διαμαρτύρεταί μοι λέγον, μὴ κρίνηις εἰδέναι τι εἰ μὴ 'Ιησοῦν Χριστὸν καὶ τοῦτον 1 Cor. 2, 2
ἐσταυρωμένον. οἱ ἐχθροί, οἱ ἀπειθεῖς, οἱ ἐπίβουλοι, οἱ ἔξω τοῦ ἀμπελῶνος τὸν
μονογενῆ τοῦ θεοῦ υἱὸν σφαγιάσαντες καὶ λιθοβολήσαντες καὶ τῶι ξύλωι τοῦ σταυροῦ
προσπήξαντες οὐ διεῖλον τὸν αὐτοῦ χιτῶνα, καὶ Πέτρος τῆς πίστεώς μου τὸν χιτῶνα Mt. 21, 33
διαρρήσσει; αἱ τοῦ ἅιδου πύλαι οὐκ ἴσχυσαν κατ' ἐμοῦ, καὶ Πέτρος πειρᾶται τὸ τεῖχός Mt. 16, 18
μου καταβάλαι; ἐγώ, εὐσεβέστατε βασιλεῦ, ὠθισθέντα σε τῆς βασιλείας αὖθις ἐπαν- 11
ήγαγον καὶ τοὺς πονηροὺς καὶ ἀπειθεῖς τῶν ἐν ἐμοὶ θείων δογμάτων δέδωκα ἀντὶ τῆς Ies. 53, 9
ταφῆς σου δυνάμεώς τε ὁδὸν ἠνέωιξα ἔμπροσθέν σου· τοὺς σοὺς ἐχθροὺς καταβέβληκα
μετὰ τοῦ ἀθεμίτου αὐτῶν δόγματος· τὸ ἀρχαῖον κράτος ἐξηιτησάμην σοι παρὰ τοῦ ἐν
ὑψίστοις βασιλεύοντος θεοῦ, ἐξ οὗ καὶ τὸ βασιλεύειν εἴληφας. ἀπόβλεψον εἰς τὸν 15
προηγησάμενόν σου εὐσεβέστατον βασιλέα Μαρκιανὸν καὶ τὴν ἐκείνου πίστιν ἀσμένως
ἀσπάζου· τὴν αἱρετικὴν Πέτρου τυραννίδα διὰ τάχους ἐκρίζωσον· τὸν Οὐαλεντίνου καὶ
Εὐτυχέος μαθητὴν ἀποδίωξον τῆς ἀκροπόλεως καὶ τῆς ἐκκλησιαστικῆς διοικήσεως, ἅμα
τοῦ ἱερατικοῦ ἀξιώματος κατενεχθῆναι θεσπίσατε. θεώρησον, ὦ γνησιώτατε υἱὲ καὶ
ἀήττητε βασιλεῦ, ὁποία τῆι ἐν Χαλκηδόνι συνόδωι ἀναμφισβήτητος ἐκδίκησις γέγονε, 20
καὶ τοὺς οὓς πολεμεῖ, ἐκδίκησον καὶ τῆς αἱρετικῆς διδασκαλίας Πέτρου τοὺς δήμους ἐκ-
λύτρωσον.' ταῦτα πρεσβεύει ἡ ἁγία τοῦ θεοῦ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία,
ἵνα τὸν ὑπ' αὐτῆς καθαιρεθέντα διὰ τὰς εἰρημένας αἰτίας εἰς κοινωνίαν τοῦ λοιποῦ μὴ
προσδέξησθε, ἀλλὰ διὰ θείων ὑμῶν συλλαβῶν τῆς 'Αντιοχέων πόλεως ὑπερόριον γενέσθαι
παρασκευάσητε, ἀντ' αὐτοῦ δὲ καταστῆσαι ἄνδρα ἔργοις τὴν ἱερωσύνην κοσμοῦντα 25
φύλακά τε ἀκριβῆ τῆς ἐν Χαλκηδόνι ἁγίας συνόδου καὶ τῶν ἐν αὐτῆι βεβαιωθέντων.
'Ο παντακράτωρ θεὸς διαφυλάξει τὸ ὑμέτερον κράτος ἐν εἰρήνηι διὰ παντός.

51 Τάδε ἔνεστιν ἐν τῆι παρούσηι βίβλωι MVIII 874

ᾱ Τὰ κατὰ Σεβήρου Ζωόρα καὶ Πέτρου καὶ 'Ανθίμου πεπραγμένα παρὰ Μηνᾶι πατριάρχηι Κωνσταντινουπόλεως ἐν οἷς φέρονται 30
β̄ Λίβελλος τῶν ἐν δευτέραι Συρίαι ἐπισκόπων πρὸς 'Ιουστινιανὸν βασιλέα
γ̄ Λίβελλος τῶν μοναχῶν τῶν τε ἐνταῦθα μοναστηρίων καὶ τῶν ἐν 'Ιεροσολύμοις καὶ τῆι ἐρήμωι καὶ δευτέραι Συρίαι καὶ τῶι ὄρει Σινᾶ καὶ τρισὶ Παλαιστίναις πρὸς τὸν αὐτόν
δ̄ Λίβελλος τῶν αὐτῶν πρὸς τὴν ἐνδημοῦσαν ἐνταῦθα σύνοδον 35

O [= aerv], I [usque ad 27]

2 ἕνεκα Or1 ἕνεκεν ὁ Oav 2/3 τὴν ἐμὴν — Πέτρος om. OeΛ 3 ἕνεκα Or1 ἕνεκεν ὁ Oav μου τὸν χιτῶνα I 4 δέει Oa 7 οἱ 3] καὶ I 8 καὶ λιθοβολήσαντες om. I 10 διαρρήσει I 11 καταβαλεῖν OrI ὠθησθέντα Oa ὠηθέντα Or αὖθις Oe ταύτης Oarv I 13 ἐχθρούσ σου Oe 14 ἐξαιτησάμην O 17 τοῦ πέτρου Oe 18 εὐτυχοῦσ Oe τῆς2 om. Oaev 19 coniecerim θεσπίσας 21 τοὺσ οὖσ πολεμεῖ I τοῖς οἷσ ἐπολέμει Oe τοῦ σοῦ πολεμίου Oarv ἐκδίκησον 1 ἐκδίκησις Oarv αἰσχύνη OeΛ 21/22 εὐλύτωσον Oer εὐλήτωσον I 22 ἐκκλησία ἡ καθολικὴ — ἀποστολικὴ Oe 24 ἀντιόχου Oe μεθόριον Oerv 25 καταστῆσαι Oarv I καταστήσητε OeΛ 27 διαφυλάξοι Oa 29 ᾱ hic om. et ad 31 apponit Oe, unde factum est ut ceteri numeri unitate minuerentur τῆ Oaev σευήρου Oe ut solet καὶ ζωορᾶ Or καὶ1 om. Oe πεπραγμένη Oe 30 πατρίαρ superscripta χ Or πατριάρχου Oaev αἷσ Ov φέρονται ταῦτα Oa 31 β Or δύο Ov 33 καὶ2 τῆ Oe

M VIII 875

ε̄ Ἐπιστολαὶ Ὁρμίσδου πάπα Ῥώμης πρὸς τοὺς ἐν δευτέραι Συρίαι κληρικοὺς καὶ ἀρχιμανδρίτας καὶ λοιποὺς ὀρθοδόξους ἐν οἱωδήποτε κλίματι τῆς Ἀνατολῆς

ϛ̄ Ἑτέρα ἐπιστολὴ τοῦ αὐτοῦ πρὸς Ἐπιφάνιον ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως

ζ̄ Δέησις κληρικῶν καὶ μοναχῶν Ἀντιοχείας πρὸς Ἰωάννην ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως καὶ τὴν ἐνδημοῦσαν ἐνταῦθα σύνοδον

η̄ Ἀναφορὰ πρὸς Ἰωάννην ἀρχιεπίσκοπον παρὰ τῆς ἐνδημούσης συνόδου

θ̄ Λίβελλος παρὰ τῶν ἀρχιμανδριτῶν Κωνσταντινουπόλεως πρὸς τὴν ἐνδημοῦσαν σύνοδον, ὥιτινι συνέζευκται καὶ πότε καὶ πῶς ἐκηρύχθησαν αἱ δ̄ ἐν τῇι ἐκκλησίαι σύνοδοι

ῑ Ἐπιστολὴ Ἰωάννου πατριάρχου πρὸς Ἰωάννην τὸν Ἱεροσολύμων

ιᾱ Ἑτέρα ἐπιστολὴ τοῦ αὐτοῦ πατριάρχου πρὸς Ἐπιφάνιον ἐπίσκοπον Τύρου

ιβ̄ Ἀντίγραφα Ἰωάννου Ἱεροσολύμων καὶ τῶν ὑπ' αὐτὸν ἐπισκόπων πρὸς Ἰωάννην τὸν Κωνσταντινουπόλεως

ιγ̄ Ἐπιστολὴ Ἐπιφανίου ἐπισκόπου Τύρου καὶ τῶν ὑπ' αὐτὸν ἐπισκόπων πρὸς τὴν ἐνδημοῦσαν ἐν Κωνσταντινουπόλει σύνοδον καὶ ἐκβοήσεις τοῦ ἐν Τύρωι πιστοῦ πλήθους καὶ ἀναθεματισμὸς Σεβήρου καὶ τοῦ φρονήματος αὐτοῦ

ιδ̄ Ἐπιστολὴ τῶν ἐν δευτέραι Συρίαι ἐπισκόπων πρὸς Ἰωάννην πατριάρχην καὶ τὴν ἐνδημοῦσαν σύνοδον

ιε̄ Πρᾶξις συστᾶσα παρὰ τῶι τῆς ἐπαρχίας ἄρχοντι κατὰ Πέτρου τοῦ Ἀπαμείας

ις̄ Ἑτέρα πρᾶξις παρὰ τῶι αὐτῶι

ιζ̄ Λίβελλοι ἐπιδοθέντες παρὰ τῶν μοναχῶν Ἀπαμείας τοῖς ἐπισκόποις δευτέρας Συρίας κατὰ Σεβήρου καὶ Πέτρου τοῦ Ἀπαμείας

ιη̄ Ψῆφος τῶν ἀπὸ τῆς Ἰταλίας ὄντων ἐνταῦθα κατὰ Σεβήρου καὶ Πέτρου

ιθ̄ Ψῆφος Ἐπιφανίου πατριάρχου Κωνσταντινουπόλεως καὶ τῆς ἐνδημούσης ἐνταῦθα συνόδου κατὰ Σεβήρου καὶ Πέτρου

κ̄ Ψῆφος Μηνᾶ πατριάρχου κατὰ Σεβήρου Πέτρου καὶ Ζωόρα

L V 269
M VIII 1158

2 Τάδε ἔνεστιν ἐν τῶι δευτέρωι βιβλίωι τῶν κατὰ Ἀνθίμου πεπραγμένων

Θεία διάταξις Ἰουστινιανοῦ βασιλέως κατὰ Ἀνθίμου Σεβήρου Πέτρου καὶ Ζωόρα πρὸς Πέτρον ἀρχιεπίσκοπον Ἱεροσολύμων

L V 272 Τὰ πεπραγμένα ἐν Ἱεροσολύμοις παρὰ Πέτρωι ἀρχιεπισκόπωι κατὰ Ἀνθίμου, ἐν οἷς ἐμπεφάνισται καὶ τὰ ἐν Κωνσταντινουπόλει παρὰ Μηνᾶι πατριάρχηι περὶ τοῦ αὐτοῦ πραχθέντα ἐν τέτρασι πραξειδίοις· ὧντινων ἐνταγέντων καὶ αὐτὸς Πέτρος ὁ Ἱεροσολύμων τὴν κατ' αὐτοῦ ψῆφον ἐποιήσατο. καὶ ἐν τούτοις δὲ τινὰ κατὰ Σεβήρου καὶ τῶν αὐτοῦ συγγραμμάτων εὑρίσκεται.

3 Ἰστέον ὅτι πρῶτα ἐπράχθη παρὰ Μηνᾶι τῶι πατριάρχηι τὰ κατὰ Ἀνθίμου, ἅπερ καὶ ἐντάξιμα γέγονε τῶν παρὰ Πέτρωι τῶι Ἱεροσολύμων πεπραγμένων. ἡ μὲν γὰρ

O [= aerv]

1 ἐπιστολὴ O^{e} τοὺς om. O^{r} β̄ O^{r} 3 τοῦ αὐτοῦ om. O^{r} 13 αὐτοῦ O^{r} 16 σύνοδον om. O^{v} 17 ἀναθεματισμοὶ O^{aev} σευήρου O^{ev} 18 β O^{r} 20 πέτρου O^{er} σευήρου O^{v} σεβήρου O^{a} 22 δύο O^{rv} 23 σευήρου O^{ev} 24 post 26 coll. O^{aev} σευήρου O^{ev} 25 Ἐπιφανίου — καὶ non bene addita 26 σευήρου O^{ev} 27 σευήρου O^{ev} καὶ πέτρου O^{a} 28 δευτέρωι om. O^{a} 29 praem. ᾱ O^{v} σευήρου O^{ev} 31 praem. ᾱ O^{a} δεύτερον O^{v} Τὰ om. O^{ev} 32 ἐπεμφάνισται O^{r} πατριάρχου O^{aev} παρὰ O^{e} τοῦ om. O^{a} 33 τέσσαρσι O^{e} πραξιδίοις O^{aev} 34 σευήρου O^{ev} 35 εὑρίσκονται O^{r} 36 τὰ om. O^{ar} 37 μὲν om. O^{r}

τελευταία πρᾶξις τῶν κατὰ Ἀνθίμου παρὰ Μηνᾶι γεγονότων, ἔνθα καὶ ἡ ψῆφος ἀνέγνωσται, φέρει τὴν κα τοῦ Μαίου μηνὸς ἰνδικτιῶνος ιδ, εἶτα ὕστερον τῆι δ τοῦ Ἰουνίου μηνὸς a. 536
τῆς αὐτῆς ιδ ἰνδικτιῶνος ἐπράχθη τὰ κατὰ Σεβήρου καὶ Πέτρου καὶ Ζωόρα παρὰ τῶι αὐτῶι Μηνᾶι καὶ διὰ τῶν προκομισθέντων ἐδείχθη ὅτι καὶ πάλαι καὶ πρόπαλαι ἀνεθε- 4
ματίσθησαν. ὁ δὲ νόμος πρὸ ὀκτὼ Εἰδῶν Αὐγούστων ἰνδικτιῶνος ιδ, τὰ δὲ ἐν Ἱεροσολύμοις ἐπ' ἐμφανείαι τῶν κατὰ Ἀνθίμου πραχθέντων συνέστη πρὸ ιγ Καλανδῶν Ὀκτωβρίων ἰνδικτιῶνος ιε. οὐκοῦν πρώτη ἐστὶν ἡ κατὰ Ἀνθίμου ψῆφος ἐν Κωνσταντινουπόλει, δευτέρα δὲ ἡ ἐν Κωνσταντινουπόλει ψῆφος κατὰ Σεβήρου καὶ Πέτρου καὶ Ζωόρα, τρίτη ἡ διάταξις, τετάρτη δὲ ἡ ἐν Ἱεροσολύμοις πρᾶξις. πάντα δὲ ταῦτα τὰ προειρημένα γέγονε καὶ συνέστη ἐν μησὶ τέτρασι. d. 6. m. Aug. a. 536 d. 19. m. Sept. a. 536 10

4 Μετὰ τὴν ὑπατείαν Φλ Βελισαρίου τοῦ λαμπροτάτου τῆι πρὸ μιᾶς Νόνων Ἰουνίων ἰνδικτιῶνος ιδ ἐν τῆι φιλοχρίστωι καὶ βασιλευούσηι Κωνσταντινουπόλει Ῥώμηι M VIII 975 d. 4. m. Iun. a. 536

προκαθεζομένου τοῦ δεσπότου ἡμῶν τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου οἰκουμενικοῦ ἀρχιεπισκόπου καὶ πατριάρχου Μηνᾶ ἐν τῶι μεσαύλωι τῶι δυτικῶι τοῦ σεβασμίου οἴκου τῆς ἁγίας δεσποίνης ἡμῶν ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας τοῦ ὄντος 15
πλησίον τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας

καὶ ἐκ μὲν τοῦ δεξιοῦ μέρους συνεδρευόντων αὐτῶι καὶ συνακροωμένων κατὰ εὐσεβῆ κέλευσιν τοῦ φιλοχρίστου καὶ θεοφυλάκτου ἡμῶν βασιλέως Ἰουστινιανοῦ τῶν ὁσιωτάτων καὶ θεοφιλεστάτων ἐπισκόπων

2 Σαβίνου τοῦ Κανουσίου 20
3 Ἐπιφανίου Ἐκλάνων
4 Ἀστερίου τῆς Σαλερνιτῶν
5 Λεοντίου Νολάνων
6 Ῥουστίκου τῆς Φεσουλάνων
7 Θεοφάνους διακόνου Ῥώμης 25
8 Πελαγίου διακόνου Ῥώμης

ὄντων τῶν πάντων ἐκ τῆς Ἰταλῶν χώρας, πρώην μὲν ἀπεσταλμένων ἐκ τῆς ἀποστολικῆς καθέδρας, ὕστερον δὲ συνόντων παραγενομένωι ἐνταῦθα Ἀγαπητῶι τῶι τῆς ἁγίας μνήμης γενομένωι πάπαι τῆς πρεσβυτέρας Ῥώμης

9 Πέτρου τῆς μητροπόλεως Ἰουστινιανουπόλεως τῆς δευτέρας Καππαδοκῶν 30 ἐπαρχίας
10 Ἰωάννου τῆς μητροπόλεως Βοσπόρου
11 Θαλασσίου τῆς μητροπόλεως Βηρυτοῦ

---

de legatis quos Agapetus papa Constantinopolim ad Iustinianum misit, cf. Coll. Auell. ep. 88, quae data est d. 15. m. Oct. a. 535, p. 337, 16. 338, 9

O [= aerv], I [unde a 11]
2 κα] κατὰ O^{v} 3 ιδ om. O^{e} σευήρου O^{ev} 4 αὐτῶι om. O^{r} 6 ἐπ' — πραχθέντων O^{erv} κατὰ ἀνθίμου πραχθέντα O^{a} 7/8 ἐν — σεβήρου [σευήρου O^{e}] O^{aev} κατὰ σεβήρου ψῆφοσ ἐν κωνσταντινουπόλει O^{r} 9 πάντα δὲ O^{arv} καὶ πάντα O^{e} 10 τέσσαρα O^{a} 11 inscr. Βιβλίον δεύτερον τῶν πρακτικῶν τῆσ ἁγίασ καὶ οικουμενικῆσ ε̄ συνόδου κατὰ σευήρου πέτρου ζωώρα καὶ ἀνθίμου πεπραγμένα παρὰ μηνᾶ πατριάρχου κωνσταντινουπόλεωσ I φλαβίου βελισαρίου O^{el} φλ βελισσαρίου O^{a} φλαβιλισαρίου O^{r} νόννων O^{aev}I 12 κωνσταντινουπόλει νέα ῥώμη O^{a} ῥώμη τῆ κωνσταντινουπόλει O^{e} 13 μακαρίου O^{arv} 15 ὑπεραγίασ O^{a} ἐνδόξου om. I 22. 23 om. O^{r}I 22 σαλερτίνων O^{aev} 24 ῥουστίνου O^{r} 27 τῶν om. O^{a} 28/29 ἐνταῦθα — γενομένωι om. O^{v} 29 τῶι om. O^{r} 30 τυάνων I post 32 coll. p. 28, 2 O

12 Μεγάλου τῆς μητροπόλεως Βεροίας
13 Ἰωάννου Γαβάλων
14 Χριστοφόρου Πορφυρεῶνος ἐπαρχίας Φοινίκης παράλου
15 Δαβίθου τοῦ Κιρκενσίου
16 Αἰθερίου Μαριάμμης
17 Ἀλεξάνδρου Βαρκουσῶν
18 Δόμνου Μαξιμιανουπόλεως τῆς δευτέρας Παλαιστίνης
19 Ἀνδρέου τοῦ Πανίου
20 Ἐπιτυγχάνου Γέρμης ἐπαρχίας Ἑλλησπόντου
21 Θεοδώρου Γόρδου
22 Εὐσεβίου Καράνων ἐπαρχίας Περσαρμενίας
23 Κυριακοῦ Θεοδοσιουπόλεως ἐπαρχίας Φρυγίας Πακατιανῆς
24 Ἰωάννου Τραιανουπόλεως ἐπαρχίας Φρυγίας Σαλουταρίας
25 Κυριακοῦ Σωφανηνῆς ἐπαρχίας Ἀρμενίας πρώτης
26 Κασσισᾶ τῆς Βελαβιτηνῆς
ἐκ δὲ τοῦ εὐωνύμου μέρους
M VIII 978 27 Ὑπατίου τῆς μητροπόλεως Ἐφέσου
28 Κωνσταντίνου Ἡρακλείας τῆς Εὐρωπαίων μητροπόλεως
29 Εὐσεβίου τῆς μητροπόλεως Κυζίκου
30 Θαλασσίου τῆς μητροπόλεως Νικομηδείας
31 Θεαγένους τῆς μητροπόλεως Συνάδων
32 Βάκχου Ἀντιοχείας τῆς μητροπόλεως Πισσιδίας
33 Ἰλαριανοῦ τῆς μητροπόλεως Πέργης
34 Βοσπορίου τῆς μητροπόλεως Νεοκαισαρείας Πόντου Πολεμωνιακοῦ
35 Παύλου τῆς μητροπόλεως Τυάνων
36 Ἀκακίου τῆς μητροπόλεως Πισινοῦντος
37 Ἐπικτήτου Κλαυδιουπόλεως τῆς μητροπόλεως Ὀνωριάδος
38 Ἡδίστου τῆς μητροπόλεως Κίου
39 Ἀρχελάου Κωρύκου
40 Ἰωάννου Ζωόρων
41 Ἀναστασίου Ἰωτάβης
42 Δομετιανοῦ Ζικχίας
43 Πελαγίου Παρνασσοῦ
44 Ἀβραμίου Κρατίας
45 Ἀλεξάνδρου Κολωνείας
46 Παύλου τοῦ Στεκτορίου
47 Ἀνδρέου Πελτῶν
48 Θεοδώρου Μηροῦ
49 Ἰωάννου Καισαρείας Βιθυνίας
50 Εὐσταθίου Τιβεριουπόλεως

O [= aerv], I

1—15 Μεγάλου — Βελαβιτηνῆς] καὶ τῶν λοιπῶν $O^{r}I$ 1 βερροίασ O^{ev} 3 παραλίου O^{e} 4 δανίθου O^{a} δαίθου O^{e} κρικενσίου O^{e} 11 Καράνων scripsi καμάρων O^{av} κανάρων O^{e} ἐπάρχου O^{av} περσαμενίασ O^{a} 12 καππατιανῆσ O^{av} 13 Πακατιανῆς siue Καπατιανῆς ceteris locis omnibus 14 σοφανίνησ O^{av} σοφιανίνησ O^{e} 18 εὐρωπέων O^{ev} εὐροπέων O^{r} 20—p. 29, 1 Θαλασσίου — Ἑλενουπόλεως] καὶ τῶν λοιπῶν $O^{r}I$ 24/25 Νεοκαισαρείας — μητροπόλεως om. O^{v} 26 πισσινοῦντοσ O^{ae} 29 κορύκων O^{e} 32 ζηκχίασ O^{ev} 34 ἀβρααμίου O^{e} 36 στεκτωρίου O^{av} 40 τιβριουπόλεωσ O^{e}

51 καὶ Λεοντίου Ἑλενουπόλεως
συμπαρόντων δὲ αὐτῶι καὶ συνακροωμένων
52—55 Θεοφάνους καὶ Πελαγίου τῶν θεοφιλεστάτων διακόνων τῆς ἀποστολικῆς καθέδρας καὶ Μηνᾶ καὶ Πέτρου τῶν θεοσεβεστάτων νοταρίων καὶ τινῶν εὐλαβεστάτων ὑποδιακόνων καὶ ἐκδίκων καὶ λοιπῶν κληρικῶν τοῦ αὐτοῦ ἀποστολικοῦ θρόνου, οἳ καὶ συνόντες ἐτύγχανον παραγενομένωι ἐνταῦθα Ἀγαπητῶι τῶι τῆς ἁγίας μνήμης γενομένωι πάπαι τῆς πρεσβυτέρας Ῥώμης
56. 57 καὶ Μάγνου πρεσβυτέρου καὶ Ἡρακλείου διακόνου καὶ ἀποκρισιαρίων Ἐφραιμίου τοῦ ὁσιωτάτου πατριάρχου τῆς ἐν Θεουπόλει ἁγιωτάτης ἐκκλησίας
58 Σαβίνου διακόνου τῆς ἁγίας Χριστοῦ τοῦ θεοῦ ἡμῶν Ἀναστάσεως πληροῦντος τὰς ἀποκρίσεις Πέτρου τοῦ ὁσιωτάτου πατριάρχου Ἱεροσολύμων
59 Στεφάνου διακόνου καὶ ἀποκρισιαρίου Σωτηρίχου τοῦ ὁσιωτάτου ἐπισκόπου Καισαρείας τῆς μητροπόλεως Καππαδοκίας πρώτης
60 Γαιανοῦ πρεσβυτέρου καὶ ἀποκρισιαρίου Ἐλπιδίου τοῦ ὁσιωτάτου ἐπισκόπου Ἀγκύρας τῆς μητροπόλεως Γαλατίας πρώτης
61. 62 Διονυσίου καὶ Καλλινίκου διακόνων καὶ ἀποκρισιαρίων Φωτίου τοῦ ὁσιωτάτου ἐπισκόπου τῆς μητροπόλεως Κορίνθου
παρόντος καὶ τοῦ εὐλαβοῦς κλήρου τῆς βασιλευούσης πόλεως

5 Εὐφήμιος ὁ θεοσεβέστατος διάκονος καὶ πριμικήριος νοταρίων εἶπεν· Οἱ κατὰ τήνδε τὴν βασιλίδα πόλιν εὐλαβέστατοι μοναχοὶ καί τινες ἐκ τῆς Θεουπολιτῶν καὶ Ἱεροσολυμιτῶν ὁρμώμενοι δεήσεις προσδεδώκασι τῶι εὐσεβεστάτωι καὶ γαληνοτάτωι ἡμῶν βασιλεῖ καὶ λιβέλλους τῆι ὑμετέραι μακαριότητι. κατὰ κέλευσιν τοίνυν εὐσεβῆ τοῦ θεοφυλάκτου ἡμῶν βασιλέως συνελθούσης τῆς ἁγίας ὑμῶν συνόδου ἑστήκασι πρὸ τοῦ εὐαγοῦς ὑμῶν σηκρήτου ἅμα Θεοδώρωι τῶι περιβλέπτωι ῥαιφερενδαρίωι οἷα παρὰ τοῦ γαληνοτάτου ἡμῶν δεσπότου πρὸς ὑμᾶς ἐσταλμένωι ἐπικομιζόμενοι τὰς ἐπιδοθείσας παρ' αὐτῶν δεήσεις καὶ ἀξιοῦσιν εἰσόδου τυχεῖν· καὶ ὑποβάλλομεν πρὸς τὸ παριστάμενον.

6 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Εἰσίτωσαν Θεόδωρός τε ὁ περίβλεπτος ῥαιφερενδάριος τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως καὶ οἱ εὐλαβεῖς μοναχοί.

7 Καὶ εἰσήλθοσαν Θεόδωρός τε ὁ περίβλεπτος τριβοῦνος νοτάριος καὶ ῥαιφερενδάριος τοῦ θεοφυλάκτου ἡμῶν δεσπότου καὶ Μαριανὸς ὁ θεοφιλέστατος πρεσβύτερος καὶ ἡγούμενος μονῆς Δαλματίου τοῦ τῆς ὁσίας μνήμης καὶ ἔξαρχος καὶ σὺν αὐτῶι οἱ θεοσεβέστατοι πρεσβύτεροι καὶ ἀρχιμανδρῖται καὶ μοναχοὶ οἱ καὶ ὑπογράψαντες τῶι ἐπιδοθέντι παρ' αὐτῶν λιβέλλωι τῶι δεσπότηι ἡμῶν τῶι ἁγιωτάτωι καὶ μακαριωτάτωι οἰκουμενικῶι ἀρχιεπισκόπωι καὶ πατριάρχηι Μηνᾶι. M VIII 979

8 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· Λεγέτω κατὰ πρώτην τάξιν Θεόδωρος ὁ περίβλεπτος τὴν αἰτίαν ἐφ' ἧι παραγέγονε πρὸς ἡμᾶς.

9 Θεόδωρος ὁ περίβλεπτος τριβοῦνος νοτάριος καὶ ῥαιφερενδάριος τοῦ εὐσεβεστάτου ἡμῶν δεσπότου εἶπεν· Οἱ θεοφιλέστατοι ἐπίσκοποι τῆς δευτέρας Σύρων ἐπαρχίας ἀναφορᾶι ἐχρήσαντο περί τινων ἐκκλησιαστικῶν κεφαλαίων πρὸς τὸν εὐσεβέστατον καὶ θειότατον

O [= ae, r (inde a 2), v], I [inde a 2]

1 καὶ — ἑλενουπόλεως O^{e} om. O^{arv} 2 δὲ om. O^{e} 3/4 Θεοφάνους — καὶ¹ om. I 4 θεοφιλεστάτων O^{e} 5 καὶ¹ om. O^{e} αὐτοῦ om. I 8 διακόνων O^{e} καὶ³ om. I 9 ἐνθέου πόλεως O^{rv} ἁγίας O^{r}I 10 ἡμῶν om. I 15 ἀγγύρας O^{r} 18 παρόντος δὲ O^{e} εὐλαβοῦς O^{e}I εὐσεβοῦς O^{arv} 19 πριμμικήριος O^{aer}I πριμμηκήριος O^{v} 20 βασιλεύουσαν O^{ar} 23 ἡμῶν O^{rv} ἡμῶν O^{v} 24 σεκρέτου O^{e}I ῥαιφενδαρίω O^{v}I 25 δεσπότου ἡμῶν O^{e} ἀποκομιζόμενοι O^{e} ἐπιδοθείσας om. O^{a} 27/28 ῥαιφενδάριος O^{v}I ut solent 28 τοῦ — βασιλέως om. I 29 εἰσήλθοσαν O^{r}I εἰσῆλθον O^{aev} 29/30 ῥαιφερενδάριος τοῦ — δεσπότου τριβοῦνος καὶ νοτάριος O^{e} 31 οἱ σὺν αὐτῶ O^{e} 33 καὶ μακαριωτάτω καὶ O^{r} 38 Οἱ om. O^{e}

ἡμῶν δεσπότην, οὐ μὴν ἀλλὰ καὶ οἱ εὐλαβέστατοι ἀρχιμανδρῖται τῶν εὐαγῶν μοναστηρίων ταύτης τῆς βασιλίδος πόλεως καὶ τινὲς τῶν ἐκ τῆς Ἀνατολικῆς διοικήσεως καὶ οἱ ὑπὸ τὰ Ἱεροσόλυμα εὐλαβέστατοι μοναχοὶ δεήσεις ἐπιδεδώκασι τῶι καλλινίκωι ἡμῶν δεσπότηι θεσπίσαι τε κατηξίωσε τὸ αὐτῶν κράτος ταύτας δι' ἐμοῦ ἀποδοθῆναι τῆι ὑμετέραι μακαριότητι καὶ τοῖς ἐκ τῆς πρεσβυτέρας Ῥώμης ὁσιωτάτοις ἀνδράσι καὶ τῆι λοιπῆι ἐνδημούσηι εὐαγεῖ συνόδωι, ἀγαγεῖν δὲ παρ' ὑμᾶς καὶ αὐτοὺς τοὺς τὰς δεήσεις ἐπιδεδωκότας εὐλαβεστάτους ἄνδρας, ἐφ' ὧι ταύταις ἐντυγχάνοντας ὑμᾶς πέρας αὐταῖς ἐπιθεῖναι.

10 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ἀναγινωσκέσθω τὰ παρὰ Θεοδώρου τοῦ περιβλέπτου προισχόμενα.

Καὶ λαβὼν Διόδωρος ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος τὰς δύο δεήσεις, τήν τε ἐκ προσώπου τῶν ἐπισκόπων καὶ τὴν ἐκ προσώπου τῶν μοναχῶν, ἀνέγνω

Λίβελλος ἐπισκόπων τῶι βασιλεῖ Ἰουστινιανῶι

11 Τῶι εὐσεβεστάτωι καὶ γαληνοτάτωι ὅλης τῆς οἰκουμένης μετὰ θεὸν δεσπότηι Φλ Ἰουστινιανῶι τῶι φιλοχρίστωι καὶ αἰωνίωι αὐγούστωι καὶ αὐτοκράτορι παρὰ Παύλου
Ps. 125, 3 ἐπισκόπου Ἀπαμείας καὶ τῶν λοιπῶν ἐπισκόπων τῆς δευτέρας Σύρων ἐπαρχίας. Ἐμεγάλυνε καὶ νῦν κύριος τοῦ ποιῆσαι μεθ' ἡμῶν, ἐγενήθημεν εὐφραινόμενοι, καθὼς γέγραπται, εὐσεβέστατε καὶ φιλόχριστε βασιλεῦ. δικαίως γὰρ τὰ δίκαια διώκοντες καὶ τὰ ἀληθῆ καὶ ὀρθόδοξα δόγματα τῶν ἁγίων ἡμῶν πατέρων ὀσημέραι ἀναζητοῦντες καὶ κρατύνοντες κηρύττετε ἐμφανῶς πᾶσι τοῖς ὀρθοδόξοις λαοῖς Χριστὸν τὸν θεὸν ἡμῶν βασιλέα τῶν ἁπάντων καὶ κεφαλὴν τῆς ἐκκλησίας αὐτοῦ τῆς ἁγίας, ἣν τῶι ἰδίωι αἵματι περιεποιήσατο λυτρωσάμενος ἡμᾶς ἐκ θανάτου οὗ ἐπήγαγεν ἡμῖν ὁ ἀλάστωρ διάβολος διὰ τῶν ὑποθηκῶν αὐτοῦ τῶν πονηρῶν, καὶ ἀληθῶς ἔγνωμεν ὅτι ἐμεγάλυνε κύριος τὴν ἱερὰν ὑμῶν καὶ δικαίαν βασιλείαν καὶ πάντας τοὺς ἐναντιουμένους ὑποχειρίους τοῦ κράτους ὑμῶν πεποίηκεν, ὅτι τὴν ἄμωμον καὶ ἁγίαν πίστιν ἐκδικοῦντες τὸν μὲν σῖτον τὸν καθαρόν, τοῦτ' ἐστὶ τὰ ὀρθὰ δόγματα ὡς θυμίαμα προσφέρετε τῆι αὐτοῦ ἀγαθότητι, τὸ δὲ ἄχυρον κατακαίετε πυρὶ ἀσβέστωι, φαμὲν δὴ τοὺς αἱρετικοὺς τοὺς μὴ δεχομένους τὰς ἁγίας τέσσαρας συνόδους ὡς ἕνα ὅρον πίστεως ἀληθοῦς, τήν τε τῶν τιη καὶ τὴν τῶν ρν καὶ τὴν ἐν Ἐφέσωι
M VIII 982 πρώτην καὶ τὴν ἐν Χαλκηδόνι ἁγίαν οἰκουμενικὴν σύνοδον, μεθ' ὧν καὶ τὴν τιμίαν καὶ σε-
cf. t. II 1 βασμίαν ἐπιστολὴν τοῦ ἐν ἁγίοις πάπα Λέοντος ἀσπαζόμεθα τὴν ὄντως στήλην ὀρθο-
p. 365, 15 δοξίας ὑπάρχουσαν. οἵτινες ἅγιοι ἡμῶν πατέρες πᾶσαν αἱρετικὴν πλάνην καὶ κακοδοξίαν καθελόντες πόρρω τῶν ἁγίων τοῦ θεοῦ ἐκκλησιῶν πεποιήκασι διδάξαντες ἡμᾶς γεγεννῆσθαι μὲν ἀχρόνως ἐκ τοῦ πατρὸς τὸν υἱὸν τοῦ θεοῦ καὶ εἶναι αὐτοῦ ὁμοούσιον κατὰ τὴν θεότητα καὶ τὸ πνεῦμα τὸ ἅγιον πατρὶ καὶ αὐτῶι τῶι υἱῶι συμπροσκυνεῖσθαι καὶ συνδοξάζεσθαι καὶ μίαν εἶναι πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος τὴν οὐσίαν καὶ τὴν θεότητα καὶ ἐν τρισὶν ὑποστάσεσιν, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν τὸν αὐτὸν προαιώνιον υἱὸν τοῦ θεοῦ καὶ θεὸν ἡμῶν σαρκωθῆναί τε καὶ ἐνανθρωπῆσαι καὶ γεννηθῆναι ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς κατὰ ἀλήθειαν θεοτόκου καὶ ἀειπαρθένου καὶ γενέσθαι ἡμῖν ὁμοούσιον καὶ εἶναι τὸν αὐτὸν τέλειον ἐν θεότητι καὶ τέλειον τὸν αὐτὸν ἐν ἀνθρωπότητι, τὰς τῶν δύο φύσεων ἰδιότητας μὴ ἀποβαλλόμενον, ἀλλ' ἐν ἑκατέραι φύσει γνωρι-

O [= acrv]. I
2 ἀνατολῆσ Orv οἱ om. Oer τὰ om. OarvI 4 καὶ ταύτασ l ὁ τε l 7 ταύτασ Or ἐπιθῆναι Ov 13 β Oa in mg. φλαβίω OeI om. Oav 15 ἐπαρχίασ σύρων Oav 18 πρων ἡμῶν Oav 19 κηρύττεται Orv κηρύττομεν lΛ φανερῶσ Oe 20 ἐν τῶ Or 21 ἐκ τοῦ I ὃν l 23/24 ὑμῶν τοῦ κράτους Orl 25 προσφέρεται Or 26 πυρὶ ἀσβέστω κατακαίετε Oe κατακαίεται Or 28 ἁγίαν καὶ l 29 ἀσπαζόμεθα om. l 30 οἵτινεσ οἱ l 32 γεγενῆσθαι Orv, corr. Ov αὐτῶ l 33 αὐτῶι τῶι om. Or 35 καὶ om. I 39 ἀποβαλόμενον l

ζόμενον τὸν αὐτὸν ἐν ἑνὶ προσώπωι καὶ μιᾶι ὑποστάσει ἀσυγχύτως ἀτρέπτως ἀδιαιρέτως, ὡς ἐντεῦθεν τὰ Νεστορίου καὶ Εὐτυχοῦς βδελυρὰ καὶ θεομισῆ δόγματα κατὰ κράτος ἐκβάλλεσθαι καὶ ἐκ ῥιζῶν ἀνασπᾶσθαι τὰ ζιζάνια ἃ ταῖς ὀρθοδόξοις ἐκκλησίαις ἐνέσπειραν. ὅθεν τοῦ μὲν φρενοβλαβοῦς καὶ ἀνθρωπολάτρου Νεστορίου τὴν διαίρεσιν ἀποφεύγοντες ὁμολογοῦμεν ὅπερ ἐκεῖνος ἠρνήσατο, τὴν ἁγίαν ἄχραντον καὶ ἀειπάρθενον μητέρα τοῦ κυρίου καὶ θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ θεοτόκον, Εὐτυχοῦς δὲ τοῦ λήρου καὶ παράφρονος τὸ βδελυρὸν καὶ ἀνόητον δόγμα ἀναθεματίζοντες παντελῶς καὶ ἐξοστρακίζοντες τὴν διαφορὰν τῶν φύσεων ἐπιγινώσκομεν καὶ ὁμολογοῦμεν δύο φύσεις μετὰ τὴν ἕνωσιν ἐν μιᾶι ὑποστάσει ἐν τῶι ἑνὶ Χριστῶι τῶι θεῶι ἡμῶν καὶ οὐχ ὥσπερ οἱ ἀνόητοι Εὐτυχιανισταὶ μετὰ τοῦ διδασκάλου αὐτῶν Εὐτυχοῦς καὶ Διοσκόρου τοῦ δεξαμένου αὐτὸν οὐκ ὀρθῶς πρὸ τῆς ἑνώσεως δύο λέγομεν φύσεις, μίαν δὲ μετὰ τὴν ἕνωσιν. τοῦτο γάρ ἐστιν ἀρνήσασθαι παντελῶς τὴν τοῦ θεοῦ ἡμῶν καὶ σωτῆρος οἰκονομίαν καὶ ἄτρεπτον ἐνανθρώπησιν, ἣν κατεδέξατο διὰ τὴν ἡμετέραν σωτηρίαν. οἱ γὰρ τὰ εἰρημένα βλασφημήσαντες ἀνόητοι καὶ ἀλλότριοι τῆς ὁμολογίας ἧς ὁ κορυφαῖος τῶν ἀποστόλων Πέτρος ὡμολόγησεν εἰπὼν σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος· ἡμεῖς δὲ οἱ τῆς ὑμετέρας ὑπερευχόμενοι Mt. 16, 16 εὐσεβοῦς βασιλείας, τῆς καθαρᾶς πηγῆς τῶν ναμάτων τῆς ὀρθοδοξίας μετέχοντες καὶ μεταδιδόντες τοῖς ὀρθοδόξοις λαοῖς καὶ ταύτηι τῆι πίστει τὴν ὑμετέραν γαληνότητα στεφανουμένην ὁρῶντες καὶ νικῶσαν πάντα ἐχθρὸν καὶ ὑπεναντίον τῆς εὐσεβοῦς ὑμῶν βασιλείας, παρακαλοῦμεν ἀποστραφῆναι τὸν ἐν σκαμβῆι καρδίαι καὶ μὴ ἐξ ὅλης καὶ καθαρᾶς διανοίας δεξάμενον τὰ ὀρθὰ καὶ ἀνεπίληπτα δόγματα τῶν εἰρημένων ἁγίων πατέρων, ἀλλ' ἐν ὑποκρίσει μὲν σχηματισάμενον δέξασθαι τὰς ἁγίας τέσσαρας συνόδους καὶ τὴν ἀοίδιμον ἐπιστολὴν τοῦ ἐν ἁγίοις πάπα Λέοντος διὰ τὸ ἀξιόπιστον τῶν προσώπων, ἔργοις δὲ ἀρνησάμενον καὶ μὴ ὁμολογήσαντα τὴν ἀγαθὴν αὐτῶν πίστιν καὶ ὀρθόδοξον καὶ ἰδικῶς τὰς φωνὰς ἐκείνας δι' ὧν Εὐτυχῆ τὸν παράφρονα τῆς ἐκκλησίας ἐξέτεμον, καὶ ἀπελάσαι τοῦτον τῆς ὑμετέρας εὐσεβοῦς πολιτείας, φαμὲν δὲ Ἄνθιμον. Σεβῆρον δὲ καὶ Πέτρον τοὺς ἀναθεμα- M VIII 983
τισθέντας καὶ νῦν ἀποστρεφόμεθα καὶ ἀναθεματίζομεν καὶ ἀλλοτρίους ἔχομεν τῆς τῶν ὀρθοδόξων κοινωνίας αἱρετικοὺς ὄντας καὶ χαίροντας ἀεὶ τῆι διαιρέσει τῶν ἁγίων τοῦ θεοῦ ἐκκλησιῶν· μεθ' ὧν καὶ τὸν προειρημένον Διόσκορον οὐκ ὀρθῶς, ὡς εἴρηται, δεξάμενον Εὐτυχέα τὸν δυσώνυμον ἀποστρεφόμεθα καὶ ἀναθεματίζομεν. οὕτω γὰρ ἔχοντες καὶ οὕτω φρονοῦντες καὶ τῶι τῆς ὁσίας μνήμης πάπαι καὶ ἀρχιεπισκόπωι τῆς πρεσβυτέρας Ῥώμης Ἀγαπητῶι τῶι ἐπ' εὐεργεσίαι πασῶν τῶν ἐκκλησιῶν καὶ τῆς ὑμετέρας εὐσεβοῦς πολιτείας ἐπιστάντι καὶ ἀξιωθέντι τῶν εὐσεβῶν ὑμῶν ἰχνῶν διὰ μετρίας ἐπιστολῆς περὶ τούτων αὐτῶν ἐγνωρίσαμεν καὶ ὡς ἡγούμεθα, οὐκ ἔφθασε ταύτην ἀπολαβεῖν προσκληθεὶς ὑπὸ Χριστοῦ τοῦ θεοῦ ἡμῶν. ὃν ὁ κύριος μετέστησεν, ἵνα τὸ πλήρωμα τῆς κατορθώσεως τῆι ὑμετέραι φυλάξηι γαληνότητι. ὑμᾶς δὲ ὁ κύριος τῆς δόξης φυλάξοι τοὺς εὐσεβεῖς καὶ ζηλωτὰς καὶ φύλακας τῆς ὀρθοδόξου πίστεως, ἣν παραδεδώκασιν ἡμῖν οἱ προλεχθέντες ἅγιοι ἡμῶν πατέρες, πάσηι τῆι οἰκουμένηι καὶ ταῖς ἁγιωτάταις αὐτοῦ ἐκκλησίαις ἐν εἰρήνηι καὶ εὐφροσύνηι καὶ νίκηι τῆι κατὰ τῶν ἐναντίων προνοουμένους καὶ κυβερνῶντας τὴν ἐγχειρισθεῖσαν ὑμῖν παρὰ τῆς αὐτοῦ ἀγαθότητος βασιλείαν.

O [= acrv], I

1 ἐν om. OᵃI ἀτρέπτως καὶ IΛ 2 τε καὶ² Oᵉ 6 τοῦ om. Oʳ 7 ἐξοστρακίζοντασ Oᵛ 10 διαδεξαμένου I 11 λέγοντεσ I 15 ὁ om. Oᵃᵛ 16 ὑμεῖσ Oᵛ ἡμετέρασ Oʳ 16/17 μετέχοντες — ὀρθοδόξοις om. Oᵛ 23 καὶ ὀρθόδοξον πίστιν αὐτῶν [αὐτῶν πίστιν Oᵃᵛ] Oᵃᵉᵛ 24 ἐξέτεμαν Oʳ ἐξέτεμεν Oᵛ 24/25 ἡμετέρασ Oᵃᵛ 25 σευῆρον Oᵉᵛ τὲ Oʳ 27 πολιτείασ καὶ κοινωνίασ I 30 ἀρχιεπισκόπου Oʳ 32 ἡμῶν Oᵛ διαμετρίσασ Oᵛ 35 φυλάξοι OᵃI φυλάξει Oᵉᵛ φυλάξαι Oʳ 37 πρεσ̄ ἡμῶν Oᵉ

Ὑπογραφαί

1 Παῦλος ἐλέει θεοῦ ἐπίσκοπος τῆς ὑμετέρας Ἀπαμείας ὑπερευχόμενος τῆς εὐσεβοῦς ὑμῶν καὶ θεοφυλάκτου βασιλείας ἐδεήθην

2 Σεβηριανὸς ἐλέει θεοῦ ἐπίσκοπος τῆς ὑμετέρας Ἀρεθούσης ὑπερευχόμενος τῆς εὐσεβοῦς ὑμῶν καὶ θεοφυλάκτου βασιλείας ἐδεήθην

3 Θεόδωρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς ὑμετέρας Βαλανεωτῶν ὑπερευχόμενος τῆς εὐσεβοῦς ὑμῶν καὶ θεοφυλάκτου βασιλείας ἐδεήθην

4 Στέφανος ἐλέει θεοῦ ἐπίσκοπος τῆς ὑμετέρας Λαρίσσης ὑπερευχόμενος τῆς εὐσεβοῦς ὑμῶν καὶ θεοφυλάκτου βασιλείας ἐδεήθην

5 Νόννος ἐλέει θεοῦ ἐπίσκοπος τῆς ὑμετέρας Ῥεφανίας ὑπερευχόμενος τῆς εὐσεβοῦς ὑμῶν καὶ θεοφυλάκτου βασιλείας ἐδεήθην

6 Κυριακὸς ἐλέει θεοῦ ἐπίσκοπος τῆς ὑμετέρας Σελευκοβήλου ὑπερευχόμενος τῆς εὐσεβοῦς ὑμῶν καὶ θεοφυλάκτου βασιλείας ἐδεήθην

7 Σέργιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς ὑμετέρας Ἐπιφανείας ὑπερευχόμενος τῆς εὐσεβοῦς ὑμῶν καὶ θεοφυλάκτου βασιλείας ἐδεήθην.

Λίβελλος τῶν μοναστηρίων

12 Βασιλεῖ θεοφιλεστάτωι καὶ πανευσεβεστάτωι Ἰουστινιανῶι αὐτοκράτορι αὐγούστωι δέησις καὶ ἱκεσία παρὰ Μαριανοῦ ἐλέει θεοῦ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου μονῆς Δαλματίου τοῦ μακαριωτάτου καὶ ἐξάρχου τῶν εὐαγῶν μοναστηρίων τῆσδε τῆς πόλεως καὶ ἀρχιμανδριτῶν τῶν αὐτῶν εὐαγῶν μοναστηρίων καὶ τῶν ἐν αὐτῆι ἐνδημούντων ἀπὸ τῆς ὑπὸ τὰ Ἱεροσόλυμα ἐρήμου ἀρχιμανδριτῶν καὶ μοναχῶν καὶ τῆς δευτέρας Συρίας καὶ τοῦ
Prou. 21, 1 ἁγίου ὄρους Σινᾶ καὶ τῶν τριῶν Παλαιστινῶν. Τὴν ἐν χειρὶ θεοῦ καρδίαν τῆς ὑμετέρας
M VIII 986 εὐσεβείας οὗ δὰν θέλῃι, κλινομένην ὁρῶντες καὶ διὰ τοῦτο τῶν συνεχόντων πραγμάτων τὴν καλλίστην ὑμῶν πολιτείαν προτιμῶσαν καὶ τὴν τῶν ἁγιωτάτων ἐκκλησιῶν εἰρήνην καὶ τῶν πιστῶν λαῶν τὴν ἡσυχίαν, εἰκότως θαρροῦμεν παρενοχλεῖν τῶι θεοφυλάκτωι ὑμῶν κράτει περὶ τῶν κοινῆι πᾶσι Χριστιανοῖς συμφερόντων. διδάσκομεν τοίνυν ὡς εἰσόδου τετυχηκότες πρὸ τούτων φανερῶν ἡμερῶν παρὰ τῆι ὑμετέραι εὐσεβείαι ἐδεήθημεν τῶν εὐσεβῶν ὑμῶν ἰχνῶν τὸν ἐπιδεδομένον παρ' ἡμῶν λίβελλον τῶι ἁγιωτάτωι καὶ μακαριωτάτωι πατριάρχηι Μηνᾶι προσδεχθῆναι καὶ κανονικῶς πραχθῆναι. ἐπεὶ τοίνυν ὑπὲρ τῶν αὐτῶν δεόμεθα, θεσπισάτω ἡ ὑμετέρα φιλόθεος γαληνότης δι' εὐσεβοῦς ὑμῶν κελεύσεως καταπεμπομένης πρὸς τὸν εἰρημένον μακαριώτατον ἄνδρα τὸν εἰρημένον λίβελλον τὸν γενόμενον κατὰ τῶν λυμαινόντων τὴν ἁγίαν τοῦ θεοῦ ἐκκλησίαν, φαμὲν δὴ Σεβήρου καὶ Πέτρου τῶν δυσσεβῶν καὶ τῶν τὰ ὅμοια τούτοις φρονούντων ἀπὸ Εὐτυχοῦς καὶ Διοσκόρου καταγομένων Ἀκεφάλων αἱρετικῶν, ὧν εἷς ἐστιν καὶ ὁ μάλιστα διαταράξας τό γε ἐπ' αὐτῶι τὴν ἁγίαν τοῦ θεοῦ ἐκκλησίαν Ζωόρας τις Σύρος ἀλόγιστος πλήρης πάσης ἀνοίας καὶ μανίας καὶ μηδὲν ἕτερον παρὰ τούτων μαθὼν ἢ ἀναθεματίζειν τοὺς ἁγίους ἡμῶν πατέρας καὶ τοὺς τούτοις κοινωνοῦντας καὶ ἀπαιτεῖν τοὺς πρὸς αὐτὸν παραγινομένους

O [= aerv], I

1 αἱ ὑπογραφαί I^{mg} om. O^{av} 2 ἐλέω O^{ev} ἐλαίω O^{a} ελ superscripta ε O^{r} 4 σευηριανὸσ O^{e} ἐλέω [semper] O^{e} ελ superscripta ε O^{r} 5 ὑμῶν om. O^{e} 6—15 ὑπερευχόμενος — ἐδεήθην] σὺν τοῖσ λοιποῖσ ἐδεήθην $O^{r}I$ 15 καὶ θεοφυλάκτου ὑμῶν O^{av} 17 $\overline{\gamma}$ O^{a} in mg. 18 ἐλέω $O^{e}I$ 19/20 τῆσδε τῆς — μοναστηρίων om. O^{v} 19 καὶ^{2} τῶν I 20 εὐαγῶν om. $O^{r}I\Lambda$ ἐκδημούντων O^{v} 22 τῶν I om. O παλαιστηνῶν O^{e} 23 ἂν O^{av} θέλῃι om. O^{v} 24 ἡμῶν I καὶ^{1} om. O^{e} 26 χριστιανῶν O^{v} 27 τῆ — εὐσεβεία $O^{aev}I$ τὰ ὑμέτερα βασίλεια O^{r} 28 τὸν ἐπιδεδομένων O^{v} 29 μινᾶ O^{r} 32 τοῦ θῦ ἁγίαν O^{av} 32/33 φαμὲν — πέτρου O^{aev} ἤγουν σεβήρου καὶ πέτρου [πέτρου καὶ ζωορᾶ O^{r}] $O^{r}I$ 32 δὲ O^{v} 34 καὶ om. O^{aev} 35 ζωώρασ I 36 μηδενὶ O^{v} 37 ἀπαιτεῖν scripsi ἀπατεῖν O^{r} ἀπατᾶν $O^{aev}I\Lambda$ παραγενομένουσ O^{arv}

τοῦτο ποιεῖν καὶ παρασυνάγειν καὶ παραβαπτίζειν, ὡς ἐδεήθημεν, προσδεχθῆναι καὶ κανονικῶς τά γε ἐγκείμενα αὐτῶι πέρας δέξασθαι συνιόντων κατὰ ταὐτὸν τοῦ τε εἰρημένου πατριάρχου Μηνᾶ καὶ τῶν ὁσιωτάτων καὶ θεοφιλεστάτων Ῥωμαίων καὶ τῆς ἐνδημούσης κατὰ ταύτην τὴν βασιλίδα πόλιν ἁγίας συνόδου. τούτου γὰρ τυχόντες μειζόνως καὶ ἐπιτεταμένως τὰς ὑπὲρ τῆς ὑμετέρας εὐσεβείας ἱκεσίας ἀναπέμψομεν τῶι φιλανθρώπωι θεῶι ἐφ' ὧι τε δωρηθῆναι ἡμῖν ἐπὶ μηκίστους χρόνους τὸ ὑμέτερον εὐσεβὲς ὄνομα καὶ πρᾶγμα καὶ τὴν ὑμετέραν βασιλείαν φρουρουμένην ὑπὸ τῆς πάντα νοῦν ὑπερεχούσης τοῦ θεοῦ εἰρήνης καὶ ταύτην χορηγοῦσαν ταῖς ἁπανταχοῦ ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις καὶ ἐκποδὼν ποιουμένην τούτων πάντα τὸν μὴ κοινωνοῦντα ταύταις καὶ τῶι ἀποστολικῶι θρόνωι.

Ὑπογραφαί

1 Μαριανὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ ἐν ἁγίοις Δαλματίου καὶ ἔξαρχος τῶν εὐαγῶν μοναστηρίων ταύτης τῆς βασιλίδος πόλεως ὑπογράψας ἐδεήθην: —

2 Ἀγαπητὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Δίου δεηθεὶς ὑπέγραψα: —

3 Ἀγάπιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ τῆς θείας μνήμης Θαλασσίου ὑπογράψας ἐδεήθην: —

4 Ἀλέξανδρος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ ἐν ἁγίοις Ἀβραμίου ὑπογράψας ἐδεήθην: —

5 Θεόδωρος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Ἰὼβ ὑπογράψας ἐδεήθην: —

6 Ἐλευθέριος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος τοῦ ἁγίου μάρτυρος Κυριακοῦ ὑπογράψας ἐδεήθην: —

7 Διόσκορος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος ⟨μονῆς⟩ τῶν Ὀλυβρίου ὑπογράψας ἐδεήθην: —

8 Παῦλος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος τῶν Ῥωμαίων πλησίον τῶν Πατροΐνου ὑπογράψας ἐδεήθην: — M VIII 987

9 Κοσμᾶς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος τοῦ ἁγίου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου τοῦ ἐν τοῖς Στουδίου ὑπογράψας ἐδεήθην: —

10 IVLIANVS MISERICORDIA DEI PRESBYTER ET HEGVMENVS MONASTERII ROMANORVM SVBSCRIPSI ET SVPPLICAVI: —

11 Ἰωάννης ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου ἀποστόλου Θωμᾶ ὑπογράψας ἐδεήθην: —

12 Ἰωάννης ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος τῆς εὐαγοῦς μονῆς τοῦ ἁγίου καὶ ⟨ἐνδόξου⟩ ἀρχαγγέλου Μιχαὴλ ὑπογράψας ἐδεήθην: —

13 Κυριακὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Εὐφημίου ὑπογράψας ἐδεήθην: —

14 Δημήτριος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Φωκᾶ ὑπογράψας ἐδεήθην: —

O [= aerv], I

1 τοῦτο ποιεῖν om. $O^{e}Λ$ εἰσδεχθῆναι $O^{r}I$ 6 δοθῆναι ὑμῖν O^{av} ἡμέτερον O^{v} 10 αἱ ὑπογραφαί O^{a} om. I 11 et semper ἐλέω O^{e} 11/12 δαλμάτου O^{v} 12/13 δεηθεὶσ ὑπέγραψα O^{a} 17 et semper usque ad p. 36, 3 δεηθεὶσ ὑπέγραψα O^{a} 18—p. 38, 12 Ἀλέξανδρος - ἐπέδωκα] καὶ οἱ λοιποὶ $O^{r}I$ 24 μονῆς addidi ex p. 45, 7 ὀλυμβρίου O^{e} 26 τῶν² O^{e} τοῦ O^{av} 27 προΐνου O^{e} 29 τοῦ om. O^{av} 30/31 litteris Latinis uncialibus perscripta O^{e} ὑπογραφὴ ῥωμαικὴ O^{v} om. O^{a} 31 SVBSCRIPSI O^{e} 32/33 om. O^{av} 35 ἐνδόξου suppleui cf. p. 45, 16 38 μονῆς om. O^{e}

15 Θεόδωρος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Τρύφωνος ὑπογράψας ἐδεήθην: —

16 Φωκᾶς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Ἰωνᾶ ὑπογράψας ἐδεήθην: —

17 Στέφανος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Προμώτου ὑπογράψας ἐδεήθην: —

18 Δάδας ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Καιουμᾶ ὑπογράψας ἐδεήθην: —

19 Ἀλέξανδρος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ καλαμίου ὑπογράψας ἐδεήθην: —

20 Στέφανος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Κώνστα ὑπογράψας ἐδεήθην: —

21 Γεννάδιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Κυριακοῦ ὑπογράψας ἐδεήθην: —

22 Κυριακὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Σύρων ὑπογράψας ἐδεήθην: —

23 Ἀττικὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Εὐκρατάδων ὑπογράψας ἐδεήθην: —

24 Κυρίων ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Αἰγυπτίων ὑπογράψας ἐδεήθην: —

25 Θεόδωρος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Μαρωνίου ὑπογράψας ἐδεήθην: —

26 Τιμόθεος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Ἀστερίου ὑπογράψας ἐδεήθην: —

27 Ζώσιμος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Μαξιμίνου ὑπογράψας ἐδεήθην: —

28 Μάρκος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Θεοδώρου ἀπὸ ἐκσκεπτόρων ὑπογράψας ἐδεήθην: —

29 Ἀνδρέας ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς ἁγίας ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας τῆς τῶν Βεσσῶν ὑπογράψας ἐδεήθην: —

30 Διονύσιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Μάρκου ὑπογράψας ἐδεήθην: —

31 Στρατόνικος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου μάρτυρος Δομετίου ὑπογράψας ἐδεήθην: —

32 Μάρκος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου μάρτυρος Κυρίκου ὑπογράψας ἐδεθήην: —

100 33 Ἰωάννης ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Ἰσαακίου ὑπογράψας ἐδεήθην: —

34 Ζώιλος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Θεοδότου ὑπογράψας ἐδεήθην: —

35 Κυριακὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου μάρτυρος Γεωργίου ἐν τῶι Ξηροκέρκωι ὑπογράψας ἐδεήθην: —

O [= aev]

5 τῆσ μονῆσ O^e προμότου O^e 7 μονῆς om. O^e 9 τῆσ μονῆσ O^e τοῦ O^e τῶν O^{av} καλάμου $O^eΛ$ 11 μονῆς om. O^e 17/18 ante 15/16 coll. O^v 29 μονῆς om. O^{av} 29/30 τῆς ἁγίας — Μαρίας τῆς om. $O^eΛ$ 31 διόννσσοσ O^v 33 μάρτυρος om. O^e 34/35 Δομετίου — μάρτυρος om. O^a 35 μονῆς om. O^v μάρτυρος om. O^e 37 Ἰσαακίου] Θεοδότου O^v 39 Θεοδότου] Ἰσαακίου O^v 41 καὶ om. O^v μάρτυρος om. O^e 42 τῆ O^e ξηροκίρκω O^a

36 Μαρῖνος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Παυλίνου ὑπογράψας ἐδεήθην: --

37 Παῦλος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου Ζηνοβίου ὑπογράψας ἐδεήθην: —

38 Στέφανος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν 'Ολυμπίου ὑπογράψας ἐδεήθην: —

39 'Ιάκωβος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος τῶν 'Αββίβου ὑπογράψας ἐδεήθην: —

40 Πέτρος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς ἐπιλεγομένης 'Ιερουσαλὴμ ὑπογράψας ἐδεήθην: --

41 Παῦλος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Σαμουὴλ κατὰ τὸν Σκύθην ὑπογράψας ἐδεήθην διὰ Ζωτικοῦ διακόνου: —

42 'Ιωάννης ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Θεοδώρου ἐν τῆι πέτραι ὑπογράψας ἐδεήθην: —

43 'Ελευθέριος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Νέωνος ὑπογράψας ἐδεήθην: --

44 Μόδεστος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς ἐπίκλην τῶν Λυκαόνων ὑπογράψας ἐδεήθην διὰ χειρὸς Φλαβιανοῦ πρεσβυτέρου καὶ δευτεραρίου: —

45 Γεώργιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Κύρου ὑπογράψας ἐδεήθην: --

46 'Αντώνιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Εὐσεβίου ὑπογράψας ἐδεήθην: --

47 Τρύφων ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Μανουηλίου ὑπογράψας ἐδεήθην: —

48 Θεόκτιστος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς ἁγίας ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας ὑπογράψας ἐδεήθην: --

49 Ζήνων ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς ⟨τῆς⟩ διακειμένης ἐν Καλῶι ἀγρῶι τοῦ ἁγίου προδρόμου καὶ βαπτιστοῦ 'Ιωάννου ὑπογράψας ἐδεήθην: —

50 Παῦλος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς ἁγίας μάρτυρος 'Ερμιόνης τῆς διακειμένης πλησίον τῶν 'Ελλεβίχου ὑπογράψας ἐδεήθην διὰ χειρὸς Μαρίνου ἀναγνώστου: —

51 Σίλας ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν 'Ηλία ὑπογράψας ἐδεήθην: —

52 'Ιωάννης ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῶν Μάρα πλησίον τῆς 'Αετίου κινστέρνης ὑπογράψας ἐδεήθην: --

53 Βασίλειος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου Συμεὼν ἐπίκλην [τῶν] Κυρακωνᾶ ὑπογράψας ἐδεήθην: --

54 Θεόδωρος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς ὑπ' ἐμοῦ χάριτι Χριστοῦ συστάσης ὑπογράψας ἐδεήθην: —

O [= aev]

7 ἀβίβου O^e 11/12 Σαμουὴλ — διακόνου] θεοδώρου ἐν τῆ πέτρα ὑπεγράψασ ἐδεήθην O^v 13/14 Θεοδώρου — πέτραι] σαμουὴλ κατὰ τὸν σκύθην O^v 14 ἐδεήθην διὰ ζωτικοῦ διακόνου O^v 17 λυκώνων O^v 18 ἐδεήθην post δευτεριαρίου coll. O^v δευτεριαρίου O^{av} 21/22 post 23/24 coll. O^v 22 Εὐσεβείου O^a 23 τῶν Μανουηλίου] τῆσ ἁγίασ ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου μαρίασ O^v 25/26 τῆς — Μαρίας] τῶν μανουηλίου O^v 27 τῆς suppleui cf. p. 46, 34 30 τῶν O^e τοῦ O^{av} ἐλεβίχου O^v 34 ἀρχιμανδρίτησ O^{av} ἡγούμενοσ O^v 35 ἁετοῦ O^{av} 37 τῶν O^e τοῦ O^{av}, omittitur p. 47, 4 38 μονῆς O *mon. S. Laurentii* Λ ὑπ' ἐμοῦ om. O^{av} θῦ O^eΛ

M VIII 991

55 Βαβύλας ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ τῆς ὁσίας μνήμης Δανιὴλ τοῦ ἐν τῶι στύλωι καὶ τοῦ ἁγίου Ἰωάννου τοῦ προδρόμου καὶ βαπτιστοῦ καὶ τοῦ ἁγίου ἀποστόλου Ἀνδρέου ὑπογράψας ἐδεήθην: —

56 Πολυχρόνιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ ἁγίου ἀρχαγγέλου Μιχαὴλ τοῦ ἐν τῶι αἰθρίωι διὰ Ἀναστασίου μοναχοῦ δεηθεὶς ὑπέγραψα: —

57 Ἀναστάσιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῶν Ῥωμαίων τῆς ἐν τῶι Πετρίωι δεηθεὶς ὑπέγραψα: —

58 Ἀνδρέας ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Ῥωμαίων δεηθεὶς ὑπέγραψα: —

59 Ἐλπίδιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Βασιανοῦ δεηθεὶς ὑπέγραψα: —

60 Ζώσιμος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Λυκαόνων δεηθεὶς ὑπέγραψα: —

61 Πολυχρόνιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῶν Κρητικῶν δεηθεὶς ὑπέγραψα: —

62 Ἰωσὴφ ἡγούμενος τῆς ἁγίας ἐνδόξου καὶ ἀειπαρθένου θεοτόκου Μαρίας τῆς οὔσης ἐν τῶι λιθοστρώτωι δεηθεὶς ὑπέγραψα διὰ χειρὸς Στεφάνου πρεσβυτέρου καὶ δευτεραρίου μου: —

63 Ῥόδων ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῶν Θεοδώρου δεηθεὶς ὑπέγραψα: —

64 Ζωτικὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης τοῦ ἁγίου Ἀνδρέου πλησίον τῆς Σατορνίνου πόρτης δεηθεὶς ὑπέγραψα: —

65 Μαρτύριος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Οὐάλεντος τῆς τοῦ ἁγίου Ἰωάννου τοῦ βαπτιστοῦ δεηθεὶς ὑπέγραψα: —

66 Ἰωάννης ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῆς πλησίον τοῦ ἀγωγοῦ δεηθεὶς ὑπέγραψα: —

67 Ἡσύχιος ἐλέει θεοῦ πρεσβύτερος καὶ μοναχὸς μονῆς τοῦ μακαρίου Θεοδοσίου ποιούμενος τὸν λόγον ὑπὲρ πάσης τῆς ὑπὸ τὴν ἁγίαν πόλιν ἐρήμου δεηθεὶς ὑπέγραψα: —

68 Δομετιανὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Μαρτυρίου ποιούμενος τοὺς λόγους ὑπὲρ πάσης τῆς ὑπὸ τὴν ἁγίαν πόλιν ἐρήμου δεηθεὶς ὑπέγραψα: —

69 Κασιανὸς ἐλέει θεοῦ πρεσβύτερος λαύρας [μονῆς] τοῦ μακαρίου Σάββα ποιούμενος τὸν λόγον ὑπὲρ τῆς ὑπὸ τὴν ἁγίαν πόλιν ἐρήμου δεηθεὶς ὑπέγραψα: —

70 Κυριακὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης λαύρας τῶν πυργίων ποιούμενος τὸν λόγον ὑπὲρ πάντων τῶν ἐν τῶι Ἰορδάνηι δεηθεὶς ὑπέγραψα: —

71 Νέσταβος ἐλέει θεοῦ πρεσβύτερος καὶ μοναχὸς λαύρας τοῦ μακαρίου Φιρμίνου ποιούμενος τὸν λόγον ὑπὲρ τῆς ὑπὸ τὴν ἁγίαν πόλιν ἐρήμου δεηθεὶς ὑπέγραψα: —

72 Τερέντιος ἐλέει θεοῦ πρεσβύτερος τῆς Νέας λαύρας ποιούμενος τὸν λόγον ὑπὲρ τῆς ὑπὸ τὴν ἁγίαν πόλιν ἐρήμου δεηθεὶς ὑπέγραψα: —

73 Τραιανὸς ἐλέει θεοῦ πρεσβύτερος τῶν πυργίων τῶν ἐν τῶι Ἰορδάνηι καὶ ὑπὲρ πάντων τῶν αὐτόθι μοναχῶν δεηθεὶς ὑπέγραψα: —

O [= aev]

3 ἀνδρέα O^{v} 7 τῶι om. O^{v} 10 μονῆς om. O^{av} 16 μαρίασ τῆσ θεοτόκου O^{e} 18 δευτεριαρίου O^{av} μου om. O^{av} 22 σατουρνίνου O^{e} 27 μοναχὸς p. 50, 8 ἀρχιμανδρίτησ O 30 μονῆς om. $O^{e}Λ$ 33 κασιανὸσ O^{ae} βασιανὸσ O^{v} λάβρασ O^{av} μονῆς deteni σάβα O^{v} 35 λάβρασ O^{av} 36 τῶι om. O^{av} 37 μοναχὸς p. 50, 20 ἀρχιμανδρίτησ O λάβρασ O^{v} 42 πυργίων τῶν om. O^{a}

74 Λεόντιος ἐλέει θεοῦ μοναχὸς ποιούμενος τὸν λόγον ὑπὲρ τῶν κατὰ τὴν ἔρημον ἁγίων πατέρων δεηθεὶς ὑπέγραψα: —

75 Θεόδωρος ἐλέει θεοῦ διάκονος καὶ μοναχὸς τῆς Νέας λαύρας καὶ ὑπὲρ πάντων M VIII 994
τῶν ἐν τῇι ἐρήμωι Ἱεροσολύμων μοναχῶν δεηθεὶς ὑπέγραψα: —

76 Κύρικος ἐλέει θεοῦ διάκονος καὶ μοναχὸς τῆς αὐτῆς Νέας λαύρας καὶ ὑπὲρ πάντων
τῶν ἐν τῇι ἐρήμωι Ἱεροσολύμων μοναχῶν δεηθεὶς ὑπέγραψα: —

77 Πολύευκτος ἐλέει θεοῦ διάκονος καὶ μοναχὸς τῆς μονῆς τοῦ μακαρίου Θεοδοσίου καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι ἐρήμωι Ἱεροσολύμων μοναχῶν δεηθεὶς ὑπέγραψα: —

78 Ἀναστάσιος ἐλέει θεοῦ διάκονος καὶ μοναχὸς τῆς μονῆς τοῦ μακαρίου Μαρτυρίου καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι ἐρήμωι μοναχῶν δεηθεὶς ὑπέγραψα: —

79 Νίκων ἐλέει θεοῦ διάκονος καὶ μοναχὸς μονῆς τοῦ μακαρίου Θεοδοσίου καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι ἐρήμωι Ἱεροσολύμων μοναχῶν δεηθεὶς ὑπέγραψα: —

80 Μάμας ἐλέει θεοῦ μοναχὸς μονῆς τοῦ μακαρίου Μαρτυρίου καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι ἐρήμωι Ἱεροσολύμων μοναχῶν δεηθεὶς ὑπέγραψα: —

81 Ἰουλιανὸς ἐλέει θεοῦ μοναχὸς μονῆς τοῦ μακαρίου Θεοδοσίου καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι ἐρήμωι Ἱεροσολύμων μοναχῶν δεηθεὶς ὑπέγραψα: —

82 Ἰωάννης ἐλέει θεοῦ μοναχὸς μονῆς τοῦ μακαρίου Μαρτυρίου καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι ἐρήμωι Ἱεροσολύμων μοναχῶν δεηθεὶς ὑπέγραψα: —

83 Σαββάτιος ἐλέει θεοῦ μοναχὸς τῆς λαύρας τοῦ μακαρίου Σάββα καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι ἐρήμωι Ἱεροσολύμων μοναχῶν δεηθεὶς ὑπέγραψα: —

84 Μαρτύριος ἐλέει θεοῦ μοναχὸς τῆς Νέας λαύρας καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι ἐρήμωι Ἱεροσολύμων μοναχῶν δεηθεὶς ὑπέγραψα: —

85 Βασίλειος ἐλέει θεοῦ μοναχὸς τοῦ Ἰορδάνου καὶ ὑπὲρ πάντων τῶν ἐν τῶι Ἰορδάνηι μοναχῶν δεηθεὶς ὑπέγραψα: —

86 Θεόδωρος ἐλέει θεοῦ μοναχὸς τῆς λαύρας τοῦ μακαρίου Φιρμίνου καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι ἐρήμωι Ἱεροσολύμων μοναχῶν δεηθεὶς ὑπέγραψα: —

87 Θεωνᾶς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀποκρισιάριος τοῦ ἁγίου ὄρους Σινᾶ καὶ τῆς ἐρήμου Ῥαιθοῦ καὶ τῆς κατὰ Φαρὰν ἁγίας ἐκκλησίας ποιούμενος τοὺς λόγους ὑπὲρ πάντων τῶν ὄντων μοναχῶν ἐν τοῖς εἰρημένοις ἐρήμοις τόποις δεηθεὶς ὑπέγραψα: —

88 Ἰωάννης ἐλέει θεοῦ πρεσβύτερος καὶ μοναχὸς λαύρας τῶν ἀμμίων τῆς πεδιάδος καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι πεδιάδι μοναχῶν δεηθεὶς ὑπέγραψα: —

89 Θεόδωρος ἐλέει θεοῦ διάκονος καὶ μοναχὸς μονῆς τοῦ μακαρίου Σεργίου τῆς ἐν τῇι πεδιάδι καὶ ὑπὲρ πάντων τῶν ἐν αὐτῇι μοναχῶν δεηθεὶς ὑπέγραψα: —

90 Κοσμᾶς ἐλέει θεοῦ μοναχὸς καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι πρώτηι Παλαιστίνηι μοναχῶν δεηθεὶς ὑπέγραψα: —

91 Στρατήγιος ἐλέει θεοῦ διάκονος καὶ μοναχὸς καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι δευτέραι Παλαιστίνηι μοναχῶν δεηθεὶς ὑπέγραψα: —

92 Σαλαμίνης ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος καὶ ὑπὲρ πάντων τῶν ἐν τῇι τρίτηι Παλαιστίνηι ἀρχιμανδριτῶν καὶ μοναχῶν δεηθεὶς ὑπέγραψα: —

O [= aerv]. I

1 μοναχὸς O *monachus et prior proprii monasterii* Λ, cf. p. 50, 30 3/4 post 5/6 coll. O^{a} om. O^{v} 3 διάκονος καὶ om. O^{a} τῆσ — καὶ O^{e} ποιούμενοσ τὸν λόγον O^{a} 5 λάβρασ O^{v} 8 Ἱεροσολύμων om. O^{e}Λ 11 μονῆς om. O^{e}Λ 13 μονῆς om. O^{e}Λ 19 λάβρασ O^{v} σάβα O^{v} 21 λάβρασ O^{v} 25 λάβρασ O^{v} 26 Ἱεροσολύμων om. O^{e}Λ 31/32 post 33/34 coll. O^{v} 31 λάβρασ O^{v} ἀμμίων p. 51, 19 ἀμνίων OΛ 32 τῆι om. O^{v} 33 τῆς] τοῖσ O^{v} 34 καὶ ὑπὲρ — αὐτῆι om. O^{v} 35 πάντων om. O^{a} 37/38 om. O^{v} 39 σελαμίνησ O^{e} 40 μοναχῶν καὶ ἀρχιμανδριτῶν O^{e}

93 Ἠλίας ἐλέει θεοῦ διάκονος καὶ μοναχὸς καὶ ὑπὲρ πάντων τῶν ἐν Αὐγουστοπόλει μοναχῶν τῆς τρίτης Παλαιστίνης δεηθεὶς ἐπέδωκα: —

94 Ἀναστάσιος ἐλέει θεοῦ διάκονος καὶ μοναχὸς καὶ ὑπὲρ πάντων τῶν ἐν Πέτραις μοναχῶν τῆς τρίτης Παλαιστίνης δεηθεὶς ἐπέδωκα: —

M VIII 995 95 Φωτεινὸς ἐλέει θεοῦ μοναχὸς τοῦ ἁγίου Στεφάνου τοῦ ἐν Μαωζᾶ Ἰαμνίας πρώτης Παλαιστίνης καὶ ὑπὲρ πάντων τῶν ἐν αὐτῶι μοναχῶν δεηθεὶς ἐπέδωκα: —

96 Ἰωάννης ἐλέει θεοῦ πρεσβύτερος καὶ μοναχὸς καὶ ὑπὲρ πάντων τῶν ἐν τῶι Ἀιλᾶ τῆς τρίτης Παλαιστίνης μοναχῶν δεηθεὶς ἐπέδωκα: —

97 Παῦλος ἐλέει θεοῦ διάκονος καὶ ἀποκρισιάριος μονῆς τοῦ μακαρίου Μάρωνος τῆς ἐξαρχούσης τῶν ἐν τῆι δευτέραι Συρίαι εὐαγῶν μοναστηρίων ποιούμενος τοὺς λόγους τῶν ἐν τῆι αὐτῆι δευτέραι Συρίαι ἀρχιμανδριτῶν καὶ μοναχῶν δεηθεὶς ἐπέδωκα. —

13 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Θεόδωρος μὲν ὁ περίβλεπτος ῥαιφερενδάριος ἀναχωρείτω πράξας ἐφ' ὧι παραγέγονεν, ἀναγινωσκέσθωσαν δὲ καὶ οἱ ἡμῖν ἐπιδοθέντες λίβελλοι παρὰ τῶν αὐτῶν εὐλαβῶν μοναχῶν.

Καὶ λαβὼν Διόδωρος ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος ἀνέγνω

Λίβελλος μοναχῶν πρὸς Μηνᾶν πατριάρχην

14 Τῶι δεσπότηι ἡμῶν τὰ πάντα ἁγιωτάτωι καὶ μακαριωτάτωι ἀρχιεπισκόπωι καὶ πατριάρχηι τῆς βασιλίδος Μηνᾶι καὶ τοῖς ἐνδημοῦσιν αὐτῆι ὁσιωτάτοις ἐπισκόποις τῆς Ἰταλῶν χώρας καὶ θεοφιλεστάτοις ἀρχιδιακόνοις τοῦ ἀποστολικοῦ θρόνου καὶ τῆι ἐνδημούσηι τῆιδε τῆι φιλοχρίστωι πόλει ἁγιωτάτων ἐπισκόπων συνόδωι παρὰ Μαριανοῦ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου μονῆς Δαλματίου καὶ ἐξάρχου τῶν εὐαγῶν μοναστηρίων τῆς βασιλίδος πόλεως καὶ ἀρχιμανδριτῶν τῶν εἰρημένων εὐαγῶν μοναστηρίων καὶ τῶν ἐνδημούντων ἐν αὐτῆι ἀρχιμανδριτῶν καὶ μοναχῶν τῆς ὑπὸ τὰ Ἱεροσόλυμα ἐρήμου καὶ ἀπὸ τῆς δευτέρας Συρίας καὶ τοῦ ἁγίου ὄρους Σινᾶ καὶ τῶν τριῶν Παλαιστινῶν. Τῆς ἐπὶ Ἀνθίμωι κρίσεως πληρωθείσης καὶ τῆς κατ' αὐτοῦ ψήφου παρ' ὑμῶν τῶν ἁγιωτάτων δικαίως ἐξενεχθείσης, ὅτι καὶ περὶ τοὺς θείους κανόνας ἡμαρτηκὼς ἑάλω καὶ τὰ τῆς καθολικῆς ἐκκλησίας ὁμολογῆσαι δόγματα μέχρι τέλους ἠπείθησεν, εὐχαριστοῦμεν τῶι θεῶι τῶι διὰ τῆς σπουδῆς τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως τὸν ἱερὸν ὑμῶν σύλλογον

Eph. 5, 27 εἰς ἓν ἀγαγόντι, ἵνα καθαρίσηι τὴν αὐτοῦ ἐκκλησίαν καὶ παραστήσηι αὐτὴν ἑαυτῶι, ὡς ἀεί, ἔνδοξον μὴ ἔχουσαν σπῖλον ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων αἱρετικῶν ζιζανίων. καὶ ἦν μὲν ἡμῖν δι' εὐχῆς τῶι ἰδίωι σχολάζοντας ἐπαγγέλματι τούτωι προσανέχειν καὶ μόνωι ὑπὸ μηδενὸς τῶν ἔξωθεν περιισταμένων διακοπτομένους· ἀλλ' ἐπειδὴ ὁ μισόκαλος δαίμων ὁ τοῖς ἀγαθοῖς τῶν ἀνθρώπων ἀεὶ ἐποφθαλμιῶν ἐπιτήδεια ὄργανα εὑρὼν Σεβῆρον καὶ Πέτρον δι' αὐτῶν ταράττων τὴν εἰρήνην τῶν ἁγίων τοῦ θεοῦ ἐκκλη-

O [- ae, r inde a 13, v¹, I [inde a 13]

2 ὑπέγραψα Oe 4 ὑπέγραψα Oe 5 μαωζᾶ Oe ναωζᾶ Oav 8 ἐπιδέδωκα Oe 13 μὲν om. Oe 14 ὁ Or 15 εὐλαβεστάτων OrI 17 δ Oav in mg. 18 ἡμῶν τῶ Oa 19 καὶ πατριάρχηι om. Oe 20 τῶν Ἰταλῶν Oa 21 ἁγιωτάτων Oe ἁγία τῶν Oarv1 μαριανοῦ Oe 22 πρεσβυτέρου] πέτρου Ov 23 τῆς — μοναστηρίων om. Oa καὶ ἀρχιμανδριτῶν — μοναστηρίων om. OrI 23 ἀρχιμανδριτῶν p. 32, 20 ἀρχιμάνδριτου Oev 25 παλαιστηνῶν Oe 28 ὁμολογήσασ Oav 29 τῶι om. OrI 30 τὸ ἓν O συναγαγόντι OeΛ ἑαυτοῦ l 31 τοιούτων om. Oa 32 σχολάζουσιν Oav 33 καὶ μόνω προσανέχειν Oe διακοπτομένοισ Oav 35 σευῆρον Oe ταράττειν l

σιῶν οὐ παύεται, τούτου χάριν περὶ αὐτῶν καὶ ἐν τοῖς παρ' ἡμῶν ἐπιδεδομένοις λιβέλλοις τῶι ἐν ἁγίοις πάπαι Ἀγαπητῶι τοῖς καὶ ἀναγνωσθεῖσιν ἐπὶ τῆς ὑμετέρας μακαριότητος κατὰ τὴν προτέραν σύνοδον καὶ ἐν τῆι προσδοθείσηι τῶι εὐσεβεστάτωι ἡμῶν βασιλεῖ p. 32, 17 sq
δεήσει τῆι καὶ καταπεμφθείσηι τῆι ὑμῶν ἁγιωσύνηι παρὰ τῆς αὐτοῦ εὐσεβείας διὰ Θεο- p. 30, 1 sq.
δώρου τοῦ περιβλέπτου ῥαιφερενδαρίου, διακομίσαντος καὶ τὴν αὐτοῦ εὐσεβῆ κέλευσιν
προστάττουσαν τῆι ἁγίαι ὑμῶν συνόδωι περὶ πάντων τῶν περιεχομένων ἐν τῆι δεήσει M VIII 998
ὑμᾶς διασκοπῆσαι, διεξήλθομεν μέρος τι, οὐ γὰρ οἷόν τε πάντα τὰ παρ' αὐτῶν καὶ τῶν τὰ ὅμοια τούτοις φρονούντων ἀπὸ Εὐτυχοῦς καὶ Διοσκόρου καταγομένων Ἀκεφάλων αἱρετικῶν κατὰ τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας ἔν τε τῆι βασιλίδι ταύτηι πόλει καὶ ἐν ἑτέραις πόλεσι τολμηθέντα καὶ τολμώμενα διεξελθεῖν. οὗτοι γὰρ ὥσπερ μικρὰ λογισάμενοι τὰ ἤδη παρ' αὐτῶν τολμηθέντα, Ἀνατολὴν πᾶσαν διαταράξαντες καὶ παντοίοις ἀνθρωπίνοις αἵμασι καταμολύναντες ὁσίων καὶ ἑτέρων ἀνδρῶν, φιλονεικοῦσι πάντως καὶ τήνδε τὴν βασιλίδα πόλιν τοιούτοις περιβαλεῖν, εἴπερ ἰσχύσουσι, κακοῖς. ἅπερ βουλόμενοι συντόμωι λόγωι ἀνακεφαλαιώσασθαι οὐκ ἴσμεν τί πρῶτον ἢ τί ὕστερον διηγησόμεθα ἢ τί σιωπήσαντες ὡς βραχὺ τί ὡς μεῖζον φανερώσομεν πάντων τῶν παρ' αὐτῶν δραματουργηθέντων κατὰ σύγκρισιν ὁμοτίμων ὄντων καὶ οὐδενὸς καθ' ἑτέρου τὴν ὑπεροχὴν ἔχειν δυναμένου. τί γὰρ εἴποιμεν; τὰ τῶν δικαίων αἵματα ὧν αἱ χεῖρες αὐτῶν πλήρεις; ἀλλὰ τοὺς ἀναθεματισμοὺς οὓς κατὰ τῶν ἁγίων καὶ θεοφόρων τῆς ἐκκλησίας διδασκάλων τὰ μιαρὰ αὐτῶν ἐξενεγκεῖν ἐτόλμησαν στόματα καὶ μάλιστα κατὰ τῆς ἁγίας ἐν Χαλκηδόνι συνόδου καὶ τοῦ μακαρίου πάπα Λέοντος; ἀλλὰ τὰ σχίσματα τῶν ἁγίων ἐκκλησιῶν καὶ τῶν πιστῶν λαῶν τὰ σκάνδαλα; ἀλλὰ τοὺς συνωθισμοὺς οὓς κατὰ θεοφιλῶν ἀρχιμανδριτῶν καὶ ὁσίων ἀρχιερέων εἰργάσαντο, πλῆθος ἀνδρῶν αὐτοῖς περιστοιχίσαντες, ἵνα τοὺς κατὰ τῶν ἁγίων ἀναθεματισμοὺς ἀπαιτήσωσιν; ἀλλὰ τὰς ἐγγράφους ὁμολογίας περιεχούσας ἀναθέματα κατὰ τῶν εἰρημένων ἁγίων πατέρων; ἅπερ βίαι καὶ ἀνάγκηι καὶ πάσηι στρεβλώσει ὑποβάλλοντές τινας τῶν ὑπ' αὐτοὺς ἀρχιερέων ἐκομίσαντο παρ' αὐτῶν, ἡνίκα ὁ μὲν τὸν τῆς Θεουπολιτῶν ἐκκλησίας, ὁ δὲ τὸν τῆς Ἀπαμείας ἀθέσμως καὶ παρὰ πάντα ἱερὸν κανόνα ὑφήρπασαν καὶ κατεμόλυναν τό γε ἐπ' αὐτοῖς θρόνον, καίτοιγε οὐδὲ εἰς μοναστὰς ἢ κληρικοὺς τελέσαντες κανονικῶς τούτου τυχεῖν ἠξιώθησαν. ἀλλὰ τί εἴποιμεν τοὺς συγκλασθέντας δακτύλους τῶν ἁγίων, οἷς περιέσχον τὰ θυσιαστήρια, ὡς ἐπί τινα τόπον ἄσυλον ἐπ' αὐτὰ καταφυγόντες διὰ τὴν τῶν εἰρημένων μιαιφονίαν; ὅθεν ἐξελκόμενοι ὑπὸ ἀνδρῶν ἀνηλεῶν βιαίωι θανάτωι παρεδίδοντο ἢ καὶ ἐν αὐτοῖς τοῖς σεβασμίοις τόποις ὑπὸ τῆς τούτων μανίας διεχειρίζοντο μὴ δυναμένων τόπου διαφορὰν διακρῖναι ἁγίου τε καὶ κοινοῦ. σιωπῶμεν τὰς ἀπὸ νεκρᾶς χειρὸς ἐπιθέσεις τοῦ βδελυκτοῦ καὶ ψευδοῦς αὐτῶν ἀρχιερέως καὶ τοὺς ὑπὲρ τοῦ νεκροῦ ζῶντος ἐπὶ τοῖς χειροτονουμένοις ῥήματα ἐπικλήσεως προιεμένους, οὐκ ἐκ θείας χάριτος ἀλλ' ἐκ κοιλίας κενολογοῦντας καὶ ἀπὸ γῆς φθεγγομένους. σιωπῶμεν τὰ δεσμωτήρια καὶ τὰ δεσμὰ καὶ τὰς κατὰ τῶν εὐαγῶν μοναστηρίων νύκτωρ τε καὶ μεθ' ἡμέραν ληιστρικὰς ἐφόδους καὶ ἁρπαγὰς τῶν ἐν αὐτοῖς καὶ τῶν ἀσκουμένων τὰς βιαίας σφαγάς· σιωπῶμεν τὰς ἐν ταῖς ὁδοῖς κατὰ τῶν ἁγίων ἐνέδρας καὶ τὸ ἐκχεθὲν αὐτῶν ἀθῶον αἷμα, ὅτε ζήλωι θείωι κινηθέντες τὴν πορείαν ἐπὶ τὴν μάνδραν τοῦ ἁγίου

O [= aerv], I

1 περὶ — καὶ I καὶ περὶ αὐτῶν OΛ ἐπιδιδομένοις Or 3 προδοθείσηι Oarl προδοθεῖσι Ov 6 τῶν om. Ov 7 οἵονται Or τῶν om. l 10 διεξελθεῖν OrlΛ om. Oacv 11 καὶ ἀνατολὴν O 12 κατατολμήσαντεσ Or 14 πρώτερον Or 15 τί IΛ τι ἢ O παρ' αὐτοῖσ Or αὐτοῖσ l 16 ὄντων l om. O 17 εἴπωμεν Oe 18 τῆσ ἐκκλησίασ OerIΛ καὶ τῆσ ἐκκλησίασ Oa πρων καὶ τῆσ ἐκκλησίασ Ov 21 κατὰ τῶν Oel ἀνδρῶν ἀρχιμανδριτῶν Orl 22 αὐτοὺσ Oe 24 ἅσπερ Oe 24/25 ὑποβάλοντεσ Or ὑποβαλόντεσ Oel 26 καὶ παρὰ] κατὰ Or 27 ἁφήρπασαν Oacv τόν Oacv 30 φυγόντεσ Oacv 32 μανίασ Oarvl μιαρίασ OeΛ 33 ἐπιθήσεισ Or 34 ὑπὸ Orl 38 βία Oacv ἐκχυθὲν Orl 39 αὐτοῦ τοῦ Oe

Συμεῶνος ἐποιοῦντο κοινῆς χάριν σκέψεως τῶν κατὰ τῆς ἐκκλησίας παρὰ τούτων κινουμένων. συλλέξαντες γὰρ πλῆθος παρανόμων ληιστῶν Ἰουδαίων ἐπαφῆκαν τοῖς τιμίοις ἐκείνοις ἀνδράσιν, ἐφ' ὧι ἀποσταλέντες οἱ ἀπάνθρωποι τούτων ὑπηρέται ἐνήδρευον
M VIII 999 τοὺς εἰρημένους ὁσίους ἄνδρας κατὰ τὴν ὁδὸν καὶ παριοῦσιν αὐτοῖς ἐπαναστάντες ἐκ τοῦ λόχου καὶ αἰφνίδιον ἐπελθόντες καὶ μηδὲ τὴν πολιὰν αἰδεσθέντες, ἔργον μαχαίρας τούτους ποιησάμενοι περὶ τοὺς τριακοσίους πεντήκοντα τὸν ἀριθμὸν ὄντας διέσπειραν αὐτῶν τὰ κῶλα κατὰ τὴν λεωφόρον, μηδὲ ταφῆι παραδεδωκότες τὰ τίμια ἐκείνων λείψανα μηδὲ τῶν σκηνῶν αὐτῶν φεισάμενοι, πρὸς ἀτιμίαν τοῦ πιστοῦ λαοῦ οἱ τὸ μιαρὸν τῶν Ἰουδαίων ἔργον καὶ τότε ἐπαγόμενοι. καὶ οὐ θαυμαστὸν εἰ τοιαύτας ἐπεδίδουν τοῖς ὑπ' αὐτῶν θεραπευομένοις δαίμοσιν ἀνθρωποθυσίας καὶ μάλιστα Σεβῆρος, οὕπω καὶ τήμερον τὴν Ἑλληνικὴν ἀποθέμενος δεισιδαιμονίαν. ἐκείνων γὰρ ἦσαν μαθηταὶ περὶ ὧν καὶ ὁ
Ps. 105, 37—39 Δαυὶδ βοᾶι λέγων καὶ ἔθυσαν τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις καὶ ἐξέχεαν αἷμα ἀθῶον, αἷμα υἱῶν αὐτῶν καὶ θυγατέρων ὧν ἔθυσαν τοῖς γλυπτοῖς Χαναάν, καὶ ἐφονοκτονήθη ἡ γῆ ἐν τοῖς αἵμασι καὶ ἐμιάνθη ἐν τοῖς ἔργοις αὐτῶν, καὶ ἐπόρνευσαν ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν. τίς γὰρ οὐκ ἐπίσταται τὸν ἐκ νέας κομιδῆι ἡλικίας αἰσχρὸν καὶ μυσαρὸν αὐτῶν βίον καὶ δαίμοσι προσανακείμενον καὶ ὅτι ἐπὶ μαγγανείαις Σεβῆρος ἁλοὺς κατὰ τὴν Βηρυτίων ὁ τῶν δαιμόνων θεραπευτὴς καὶ τὴν ἐκ τούτου κατηγορίαν διαφυγεῖν βουλόμενος ἐσχηματίσατο μετατίθεσθαι τὴν δαιμονικὴν αὐτοῦ δόξαν καὶ προσιέναι, ὡς φησιν αὐτός, τῶι βαπτίσματι κατὰ τὸν ἐν Τριπόλει προσκυνητὸν οἶκον τοῦ ἁγίου καὶ καλλινίκου μάρτυρος Λεοντίου καὶ μήπω τῶν ἐπὶ τοῖς βαπτιζομένοις ἡμερῶν τελεσθεισῶν, ὡς εἶδεν ὁ τὴν ἀλήθειαν πρὸς μικρὸν ὑποκρινάμενος ὅτι πάλιν προφανῶς ἐπὶ τὸν ἀρχαῖον τῆς Ἑλληνικῆς
Prou. 26, 11 αὐτοῦ δόξης ἔμετον ὑποστρέφειν οὐ δύναται, δι' ἑτέρας ὁδοῦ εἰς τὸ σπουδαζόμενον καταντᾶι. ἀρνεῖται γὰρ εὐθὺς τὴν ἐκκλησίαν καὶ τὸν τοῦτον βαπτίσαντα προσχωρήσας τοῖς τὰ Εὐτυχοῦς φρονοῦσιν Ἀκεφάλοις αἱρετικοῖς καὶ αἱρέσεως καὶ ἀσεβείας καλῶν κατ-
Ps. 57, 4. 5 αγώγια τοὺς ἁγίους τοῦ θεοῦ οἴκους, διὰ τούτου ἀθετῶν ὅπερ φησὶν εἰληφέναι βάπτισμα, ὥστε ἐπ' αὐτῶι πληροῦσθαι τὸ προφητικὸν λόγιον ὃ φησιν ἐπὶ τοῖς τοιούτοις ἀπηλλοτριώθησαν ἀπὸ μήτρας, ἐπλανήθησαν ἀπὸ γαστρός, ἐλάλησαν ψευδῆ, θυμὸς αὐτοῖς κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως. ὅτι δὲ καὶ αὐτὴν ὑπεκρίνατο τῶν Ἀκεφάλων τὴν θρησκείαν, ἐκ τῶν ἐφεξῆς πρόδηλον ἅπασι γέγονε. προστατῶν γὰρ τοῦ κατ' αὐτὸν Ἀκεφάλου τμήματος καὶ τὸ λεγόμενον ἑνωτικὸν οὐ προσιέμενος, ἀλλὰ κενωτικὸν αὐτὸ καὶ διαιρετικὸν καλῶν καὶ ἀναθεματίζων ἐν ἰδίοις αὐτοῦ συγγράμμασιν, ἐπειδὴ καιρὸν ἔσχεν ὑφαρπάσαι τὸν τῆς Θεουπολιτῶν εὐαγῆ θρόνον, εἰρωνεύεται πάλιν ἐξ ἀντιστρόφου τοῦτο δέχεσθαι, τὸν Ἀλεξανδρείας πρόεδρον ὑποτρέχων καὶ Πέτρον, ὃν καλοῦσι Μογγόν, κατὰ τὸν καιρὸν τοῦ αὐτοῦ ἑνωτικοῦ τὸν τῆς Ἀλεξανδρέων ὑφαρπάσαντα θρόνον ἐν τοῖς ἱεροῖς τῆς Θεουπολιτῶν ἐκκλησίας τίθησι διπτύχοις, καταλιπὼν πάντας τοὺς ἀποπλανηθέντας παρ' αὐτοῦ ἐπὶ τούτωι καὶ διδαχθέντας παρ' αὐτοῦ διὰ Πέτρον ὀφείλειν ἀπορρήγνυσθαι τῆς κατὰ Ἀλεξάνδρειαν ἐκκλησίας. ἐμμένει δὲ οὐδὲ τού-
M VIII 1002 τοις καθάπαξ. γνώμη γὰρ ἦν αὐτῶι θορύβους κινεῖν καὶ μηδέποτε ἐπὶ τῶν αὐτῶν ἵστα-

---

O [= aerv], I

1 συμεὼν O^{r}I συμεώνου O^{e} ἐποιήσαντο O^{e} χάριν O^{aev}I γὰρ O^{r} ἐκκλησίασ O^{r}I ἐκκλησίασ καὶ τῶν [τῶν τότε O^{av}] O^{aev}Λ 3 ὧ in ὃ corr. O^{r} τούτων i. e. Seueri et Petri 7 παραδιδόντεσ I 10 σευῆροσ O^{e} 11 καὶ om. O^{e} ὁ om. I 17 μαγγανείασ O^{v} σευῆροσ O^{e} ut solet 21 ἐν O^{e} οἶδεν O^{av} 22 ὑποκρινόμενοσ O^{e} προφανῶσ ὡσ O^{r} 23 ἐπιστρέφειν O^{r}I 24 προχωρήσας O^{v} καὶ προσχωρεῖ O^{e} 25/26 καταγώγια καλῶν O^{aev} 26 διὰ — ἀθετῶν] διάθετῶν O^{r} corr. O^{r} εἴληφε I 29 αὐτὴν O^{r}IΛ ταύτην O^{aev} ὑπεκρίναντο O^{e} ὑπεκρίνετο O^{r}I 30 προστὰς I 32 καὶ νοτικὸν O^{r} 33 θρῆνον O^{v} 35 μόγον O^{r} καιροῦ I 36 τῆς] τοῖσ O^{v} 38 ἐμμένειν O^{r}

σθαι. πῶς γὰρ οἷόν τε ἦν τὸν μὴ διὰ πίστιν Χριστιανικὴν ἀγωνιζόμενον μὴ τοῦτο μόνον πραγματεύεσθαι τὸ διαταράττειν ἐκ πάσης προφάσεως ἀεὶ τὰς ἁγίας τοῦ θεοῦ ἐκκλησίας; τοιγαροῦν καὶ τὸν Ἴβηρα Πέτρον κατὰ ταυτὸν δέχεται, κοινωνεῖ δὲ καὶ τοῖς λοιποῖς Ἀκεφάλοις, ὡς ἐνόμισεν, ἀπεσχισμένοις τῆς Ἀλεξανδρέων ἐκκλησίας, ἧς τὴν ἕνωσιν ἀσπάζεσθαι τότε προσεποιεῖτο, καθὼς ἀνωτέρω εἴρηται. πρὸς τούτοις δὲ πᾶσιν οὐδὲν ἦν αὐτῶι πρὸς τὸ τῆς συνεχοῦς παραβασίας ἐμπόδισμα. τὴν γὰρ ἐν Χαλκηδόνι ἁγίαν σύνοδον ἐφ' ἑκάστης ὡς εἰπεῖν ἀναθεματίζειν τολμῶν, ἐκοινώνει ταύτηι, πολλοὺς τῶν συνεδρευσάντων ἐν αὐτῆι τῆι κατὰ Χαλκηδόνα ἁγίαι συνόδωι τῶν ὑπ' αὐτὸν ἐπισκόπων ἐν τοῖς ἱεροῖς ἐχόντων διπτύχοις. ἀλλ' οὐδὲ ἡ ἐπὶ κακῶι δεξαμένη αὐτοὺς τῶν Ἀλεξανδρέων πόλις διέφυγε τοὺς αὐτῶν θορύβους. ἐφ' ἑαυτῆς γὰρ ἡσυχάζουσαν, ὅπως ποτὲ καὶ διέκειτο, ταύτην εὑρόντες εἰς ἀνατροπὴν τελείαν κατέστησαν, προσθέντες αὐτοῖς τμήματα καὶ κατ' ἀλλήλων τὸν ἐκεῖσε λαὸν κινήσαντες, ὥστε καὶ ἐμφυλίους γενέσθαι πολέμους καὶ πολλῶν μὲν οἴκων γενέσθαι καύσεις, πολλῶν δὲ ἀνθρώπων αἵματα χεθῆναι καὶ τούτους μόλις ποτὲ φυγῆι τὰς ἐπὶ τούτοις ποινὰς διαφυγεῖν. οὗπερ ἐκεῖνοι διαμαρτόντες ἀναθέματι γοῦν αὐτοὺς καθυπέβαλον καὶ ἑτέραις πλείοσιν ἐπ' ἐκκλησίας ἀραῖς, αἱρετικοὺς καὶ αὐτοὶ δικαίως ἀποκαλοῦντες, ὡς περιγενέσθαι αὐτοῖς ἐκ τῆς τοῦ θεοῦ κρίσεως τὸ εἰς βόθρον ἐμπεσεῖν, ὃν εἰργάσαντο, καὶ ἐπιστρέψαι τὸν πόνον αὐτῶν εἰς κεφαλὴν αὐτῶν. Ps. 7, 16. 17 πᾶσαν γὰρ ἐκκλησίαν ἀδίκως ἀναθεματίσαι τολμήσαντες ὑπὸ πάσης ἐκκλησίας αὐτοὶ L V 124 δικαίως ἀνεθεματίσθησαν. πολλὰ μὲν οὖν καὶ ἕτερα τετολμήκασιν, ἅτινα πᾶσίν ἐστιν τοῖς κατὰ τὴν Ἀνατολὴν ἐγνωσμένα, δι' ὅπερ καὶ τὸν ὄγκον τούτων φεύγοντες καὶ αἰδοῖ τοῦ τῆς ὑμετέρας μακαριότητος συλλόγου καὶ τοῦ καθ' ἡμᾶς εὐαγοῦς σχήματος τὰς αἰσχρὰς τούτων πράξεις ἀπεσιωπήσαμεν. οὕτω δὲ οἰκτρῶς, ὡς προείρηται, τήν τε Ἀνατολὴν καὶ Ἀλεξάνδρειαν διαθέντες καταλαμβάνουσι καὶ τὴν βασιλίδα ταύτην πόλιν οἱ παρὰ τούτων καὶ τῶν τούτοις ὁμοίων ἀποπλανηθέντες, πρόδρομοι ὥσπερ τῆς ἐκείνων κακίας ὑπάρχοντες καὶ προομαλίσαι αὐτοῖς τὴν τοῦ μύσους ὁδὸν ὀφείλοντες, καὶ μετ' ἐκείνους πάλιν Πέτρος, ἐφεξῆς δὲ τούτοις καὶ Σεβῆρος, καὶ τούς τε ἰδιωτικοὺς οἴκους τάς τε ἐκκλησίας τοῦ θεοῦ καὶ αὐτὴν τὴν πολιτείαν, ὅσον γε τὸ ἐπ' αὐτοῖς, λυμαινόμενοι καὶ παρασυνάξεις καὶ παραβαπτίσματα προφανῶς καὶ μετὰ πάσης ἀναιδοῦς παρρησίας δημοσίαι τε καὶ ἰδίαι τολμῶντες, παρεμβάλλοντες δὲ ἑαυτοὺς καὶ μεσιτείαι χρηματικῶν πραγμάτων φόβον καὶ πλοῦτον οὐ τὸν τυχόντα ἐκ τούτου καὶ ἐκ πολλῶν οἴκων ἑαυτοῖς περιεποιήσαντο. δι' ὧν τὰς μὲν τῶν ἀκεραιοτέρων ψυχὰς ἐξηπάτησαν, τὰς δὲ τῶν δεινοτέρων κατεκτύπησαν, τὰς δὲ τῶν πρὸς χρήματα ἢ δόξαν ἢ τρυφὴν κεχηνότων ὑπέσυραν· ἀλλὰ μὴν καὶ ἐνδύνοντες εἰς οἰκίας αἰχμαλωτίζουσι ψυχὰς ἀστηρίκτους ἀνδρῶν τε καὶ γυναικῶν, καὶ οὐ μόνον ψυχικῶς, ἀλλὰ δὴ καὶ σωματικῶς ταύτας διαφθείροντες τῶι τῆς ἀσεβείας καὶ ἀσελγείας βαράθρωι ἐγκατορύττουσι. καὶ τί δεῖ περὶ τούτων τὸν λόγον ἐπεκτείνειν πάντων τῶν ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἐπισταμένων τὰς ἀνοσίους πράξεις τῶν εἰρημένων Ἀκεφάλων M VIII 1003 αἱρετικῶν Σεβήρου καὶ Πέτρου καὶ τὰς μιαρὰς αὐτῶν καὶ ἀθέους καὶ βλασφήμους καὶ φόνοις χαιρούσας ψυχάς; ταῦτα γὰρ φανερῶς δείκνυσι τά τε ἐν τῆι πρεσβυτέραι Ῥώμηι, ἡνίκα ὁ τῆς ὁσίας μνήμης Ὁρμίσδας τὸν ἀποστολικὸν ἐκεῖνον διεῖπε θρόνον, καὶ ἐν ταύτηι τῆι βασιλίδι πόλει καὶ ἐν Θεουπόλει καὶ ἐν Ἱεροσολύμοις πραχθέντα τε καὶ συστάντα ὑπομνήματα τὸν μυσαρὸν ἐκείνων βίον ἅπασι διαγγέλλοντα καὶ τοὺς αἰωνίους καὶ ἀλύτους

O [= aerv], I

2 ἀεὶ $O^{e}\Lambda$ om. O^{arv}I 3 δέχεσθαι O^{av} 5 οὐδὲ O^{v} 8 συνεδρευόντων O^{v}I τῆι om. O^{a} χαλκηδόνι O^{e} 15 γοῦν om. 1Λ καθυπέβαλλον O^{r} ἐκκλησίαισ O^{v} 16 αὐτοῖσ O^{e}1Λ αὐτοὺσ O^{arv} 17 βόθυνον O^{a} 20 καὶ· I εἰσ O^{arv} ἡμεῖσ O^{e} 21 ἡμετέρασ O^{v} ἱεροῦ συλλόγου O^{av} ὑμᾶσ $O^{er}\Lambda$ 25 τὴν om. O^{r}I μίσουσ O^{v} 26 τούς] τού O^{v} 27 λυμαινόμενοι οὐκ ἐπαύσαντο $O^{aev}\Lambda$ 29 αὐτοὺσ O^{v} 35 τὸν] τῶν O^{v} 36 ἀν' ἅπασαν O^{r} 37 αἱρετικῶν 1Λ αἱρετικῶν καὶ O μυσαρὰσ I

ἀναθεματισμοὺς οἷς βέβληνται οἱ εἰρημένοι διὰ τὰς ἀπηγορευμένας αὐτῶν πράξεις ἃς εἰργάσαντο. ἐφ' οἷς ἐγκαλύπτεσθαι ὀφείλοντες καὶ λέγειν τοῖς ὄρεσι πέσατε ἐφ' ἡμᾶς
Lc. 23, 30 καὶ καλύψατε ἡμᾶς ἢ ἐν τοῖς βάθεσι τῆς γῆς ἐγκατορύττεσθαι καὶ κρείττονα τῆς παρούσης ζωῆς τὸν θάνατον ἡγεῖσθαι διὰ τὸ μόνους αὐτοὺς τῶν πάντων αἱρετικῶν αἰωνίοις καὶ ἀλύτοις ἀναθέμασιν ὑποβεβλῆσθαι, τοῦτο μὲν οὐκ ἐποίησαν, ὡς ἐπὶ σεμνοῖς δὲ τοῖς αἰσχίστοις ἐγκαυχώμενοι εἰσέφρησαν, ὡς εἴρηται, τῇδε τῇ πόλει, καὶ ὁ μὲν ἡμέραν ἐξ ἡμέρας τῇ ἀσεβείαι προστίθησιν ἀδικίαν εἰς τὸ ὕψος λαλῶν καὶ τῶν ἁγίων κατεξανιστάμενος πατέρων καὶ τὰ τούτων ὀρθὰ διασύρων καὶ βλασφημῶν δόγματα, ὁ δὲ Πέτρος τὰ αὐτὰ βλασφημῶν καὶ παντὶ αἰσχρῶι καὶ μυσαρῶι ἐγχειρήματι ἑαυτὸν παρεμβάλλειν οὐ
Phil. 3, 19 παραιτούμενος, θεὸν ἔχων τὴν κοιλίαν καὶ τὴν ἐπομένην ταύτηι ἀσωτίαν καὶ τὴν δόξαν ἐν τῇ αἰσχύνηι αὐτοῦ ἐφ' ὕψους τε σοβαρῶς καθήμενος πρόεισι δημοσίαι ἐμπομπεύων πᾶσι τὴν αὐτοῦ ἀναίδειαν καὶ ὑπὸ τῶν παρεπομένων καὶ προπεμπόντων πάντας τοὺς
ἂν ἐβασίλευσεν. ἀλλ' ἐπειδὴ μηδὲ κωλυόντων τῶν ἐπιμελητῶν τοῦ ναοῦ ὁ ἐπίμονος παραβάτης ἀπέστη, ἐν αὐτοῖς βδελύγματι λέπρας πληγεὶς τοῖς θυσιαστηρίοις τὴν λειτουργίαν τῆς βασιλείας ἀπώλεσε, τὴν ὑπηρεσίαν τοῦ ἱερέως ὑπελθών. γινωσκέτωσαν τοιγαροῦν μὴ εἶναι θεῶι προσδεκτὰ ἅπερ ἐκ τῶν αὐτοῦ ἐντολῶν παρὰ τῶν τολμηρῶν ὑφαρπάζεται, ὁπότε ἕνα πρὸς ἐπίδειξιν τῆς ἀποφάσεως τῆι τῆς μεγάλης ἀκοσμίας τιμωρίαι ἐφύλαξεν, ἄλλους ταχινὴ φλὸξ κατηνάλωσε. δι' ὃ δὴ εἴπερ τινά εἰσί τινι σχήματι θρησκείας δεδεγμένα, ἰσχὺν ἔχειν οὐ δύνανται, τοσαύταις αὐθεντίαις καταπαλαιόμενα.

Gal. 1, 8 βοᾶι Παῦλος ὁ ἀπόστολος κἂν ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμᾶς παρ' ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω. οὐχ ἅπαξ εἰρηκὼς τοῦτο ἠρκέσθη, ἐπανέλαβε δὲ τὴν ὑγιαίνουσαν ἐντολήν· ὡς προείπομεν, καὶ ἄρτι πάλιν λέγω· εἴ τις

Gal. 1, 9 ὑμᾶς εὐαγγελίσεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. φυλάττοι τοιγαροῦν τὴν προενεχθεῖσαν ὑπὲρ τῆς φυλακῆς τῆς πίστεως ἀπόφασιν, εἴ τις τῆι ἀποστολικῆι ἀκολουθεῖ διδασκαλίαι. καὶ ἡμῖν μὲν οὐ φροντὶς ἐνέλειψε· καὶ γὰρ τῆι τῆς διπλῆς πρεσβείας ὑπηρεσίαι, εἴ τι ἐν ταῖς δεήσεσι ταπεινόν, εἴ τι ἐν ταῖς δικαιολογίαις εὔλογον, εἴ τι ἐν ταῖς ἐντολαῖς ὑγιές, ἐπηνέγκαμεν. ἀλλὰ μὴ διὰ τοῦτο ἀμελητέα ἐστὶν ἡ ὁδὸς τῆς δικαιοσύνης, ἐπειδὴ τὰς ἰδίας πλάνας ἀγαπᾶι μετὰ ἀπονοίας ἡ ἀπιστία; οὐκ ἔστι

L V 152 συνάπτεσθαι μετὰ τοῦ τῶν πιπτόντων ὀλισθήματος· ἄνευ τῆς ἡμετέρας λύμης ἀπολλύσθωσαν οἱ ἀπὸ τῶν οἰκείων ἀσεβειῶν μηδὲ μαστιγουμένης τῆς πλάνης ἐκκλίνοντες.

Καὶ ἑτέραι χειρὶ· ὁ θεὸς ὑμᾶς ὑγιαίνοντας διαφυλάξοι, τέκνα ἀγαπητά.

d. 10. m. Febr. a. 518 Ἐδόθη πρὸ τεσσάρων Εἰδῶν Φεβρουαρίων μετὰ τὴν ὑπατείαν Ἀγαπητοῦ τοῦ λαμπρωτάτου

Ἐπιστολὴ Ὁρμίσδου πρὸς Ἐπιφάνιον

21 Ὁρμίσδας Ἐπιφανίωι ἐπισκόπωι Κωνσταντινουπόλεως. Πολλῆς ἐπλήσθην χαρᾶς, ὅτι περὶ τὴν εἰρήνην τῆς ἐκκλησίας καὶ τοῦ ἁγιωτάτου βασιλέως καὶ τῆς σῆς ἀγάπης τοιαύτη σπουδή, οἵαν διὰ τῶν γραμμάτων ἐμήνυσας καὶ διὰ τῆς τῶν ἐμῶν πρέσβεων καταθέσεως ἔγνων. σαφὴς γὰρ ἐντεῦθεν τῆς οὐρανίου εὐσπλαχνίας ἀπόδειξις πρόεισιν, ὅταν καὶ οἱ τοῦ κόσμου βασιλεῖς τὰς ὑποθέσεις τὰς περὶ τῆς πίστεως μετὰ τῆς διοικήσεως τῆς πολιτείας συζευγνύωσι καὶ οἱ τῶν ἐκκλησιῶν ἡγούμενοι τὰ συντείνοντα εἰς τὴν ἰδίαν οἰκονομίαν μεμνημένοι τοῦ καθήκοντος ἐκτελῶσι. τοιούτων ἔχρηιζε μετὰ τὰς τῆς διχονοίας καταιγίδας ἡ Χριστιανικὴ θρησκεία ἰθυντήρων, οἵτινες κατευνασθεισῶν προνοητικωτάτηι διατυπώσει τῶν θυελλῶν τὴν ἐπὶ πολὺ ξενωθεῖσαν εἰρήνην ἐξωσθέντος

M VIII 1031 τοῦ χειμῶνος ἐπανάξουσι καὶ εἰς τοὺς μέλλοντας μετὰ ταῦτα αἰῶνας τῆς ἰδίας προθέσεως τὰ ὑποδείγματα ἐπεκτείνοντες ἑαυτοῖς ἐπιγεγράφθαι ἀναμφιβόλως ἐπιδείξουσιν, εἴ τι τῶι θεῶι ἀρέσκον οἱ μεταγενέστεροι ἀπὸ τῆς αὐτῶν μιμήσεως ποιήσουσιν. εὐλογήσωμεν

---

21 Latinum exemplar extat in Coll. Auell. 237 [d. 26. m. Mart. a. 521]

O [= aerv], I

3 ἀπώλεσε OrIΛΛa ἀπολέσασ Oaev τῆ ὑπηρεσία Oaev ὑπελθών OrI ἀπελθών Oav ἐπελθών OeΛ γινωκέσθωσαν Oav 4 παρὰ — τολμηρῶν om. I 5 τῆ OerI τὸ Oav 6 κατανάλωσε Oav σχήματα OrI 7 δύναται Oe 9 εὐηγγελισάμην I 11 εὐαγγελίσηται Or εὐαγγελίζεται I φυλάττοι OvΛa φυλάττει OaerI τοιγαροῦν OarvΛa γὰρ OeΛ 13 οὐ ΙΛΛa οὖν O ἐνέλλειψε Oa 14 ὑπηρεσία πρεσβείασ Oe 15 ὑπηνέγκαμεν O 17/18 ἀπολύσθωσαν Oav ἀπολλυέσθωσαν I ἀπολυέσθωσαν Or 18 ἐκκλίναντεσ I 19 διαφυλάξοι I διαφυλάξαι Oav διαφυλάξει Oer 20 φευρουαρίων OaeI ὑπατίαν Or τοῦ om. Oav

23 ϛ in mg. Oa ὁρμίσδασ ἐπίσκοπος I ἐπισκόπω OeΛ ἀρχιεπισκόπω OarvI 24 καὶ om. OrI γαληνοτάτου I 25 τοιαύτην σπουδήν Λa, sed nolui interpretem corrigere τοιαύτη ἐστὶ I γραμμάτων ΙΛΛa πραγμάτων O 28 συζευγνύουσι Or ζευγνύωσι Oav 30 τῆς om. Oarv 31 διαθέσει OrI 32 μέλλοντοσ Ov 33 ἐπιδείξωσιν Oarv τῶι om. Or

τὸν θεόν, ἀδελφοί, ταῖς ἡμῶν τοῦτο ἡμέραις συγκεχωρημένον γεγονέναι καὶ πάσαις εὐχῶν καὶ μεριμνῶν δυνάμεσιν ἐπερεισθῶμεν ἵνα ἅπερ διὰ τῆς τοῦ θεοῦ ἡμῶν συνεργίας καλῶς ἤρχθη, αὐτοῦ βοηθοῦντος ἐν πᾶσι πληρωθῶσιν. ἐλπὶς γάρ ἐστιν ὅτιπερ εἰς τὴν ἁρμονίαν τοῦ οἰκείου σώματος καὶ τὰ λοιπὰ καὶ ἔτι νῦν διηρημένα μέλη σπουδάσουσι καὶ ἀπὸ τῶν κρεισσόνων τὰ ἧσσονα οὐ διαφωνήσουσιν. εἰς ὃ ἐπείπερ με ἡ σὴ διάθεσις τῇ σπουδῇ τῆς Χριστιανικῆς ἀγάπης προτρέπεται, ὀφείλει εἰς ὃ διεγείρει ἀκολουθῆσαι καὶ ὅπερ ἀγαπᾶσθαι συμβουλεύει, περιπτύξασθαι. ὁμοίαν γὰρ λοιπὸν τῆς πίστεως φροντίδα χειρίζοντες διὰ τῆς εὐσεβοῦς ὑπομονῆς ἴσον καὶ τὸ ἔπαθλον τοῦ ἀγαθοῦ ἔργου ἐκβάσει ἐλπίζομεν. οὔτε γὰρ ταῖς δυσχερείαις ἐστὶ παραχωρητέον· οὐ καταπονεῖται τοῖς τραχέσιν ἡ πίστις οὐδὲ εἰς τὰ τῶν οὐρανῶν ὑψώματα διὰ κατωφεροῦς τις ἐπεκτείνεται οὔτε τῆς ἀνταμείψεως ἄνευ τῆς τοῦ καμάτου γυμνασίας τις ἀξιοῦται. δι' ὃ ἵνα μὴ Gal. 6, 9
ἐκκακῶμεν τὸ ἀγαθὸν ποιοῦντες, ἰδικῶς ὑπομιμνησκόμεθα· καὶ γὰρ μακάριοι, ὡς μαρτυρεῖ ὁ ψαλμωιδός, οἱ φυλάσσοντες κρίσιν καὶ ποιοῦντες δικαιοσύνην ἐν παντὶ Ps. 105, 3
καιρῶι, ὅτι οὐχ ἡ ἀρχὴ τοῦ καμάτου τὴν ἀντάμειψιν τοῦ ἐπάθλου εἴωθεν εὑρίσκειν, ἀλλὰ τὸ τέλος. τοιγαροῦν ἴσην σπουδὴν τῆς μερίμνης ἀναλαβόμενοι, οἷς ἐστι μία ἐν τῇι κοινωνίαι καὶ τῇι πίστει ἡ ἑταιρία, ὃν τρόπον περὶ τῆς ἑνωθείσης τῶι ἀποστολικῶι θρόνωι τῆς Κωνσταντινουπόλεως ἐκκλησίας ἐπίσης ἀγαλλιῶμεν ἐν κυρίωι, οὕτω καὶ περὶ τῆς τῶν λοιπῶν, καθὼς ἐνδιαθέτως παραινεῖς, ἀποκαταστάσεως φροντίσωμεν πρῶτον ἵνα τὴν πίστιν καὶ τὴν τελειότητα ἡμῶν ἄσπιλον ἀπὸ παντὸς μιάσματος φυλάξωμεν. καὶ γὰρ οἶσθα, ἀδελφὲ τιμιώτατε, ποῖοι τὴν ἐκκλησιαστικὴν φυλάττουσιν ὁμόνοιαν σύν- 20
δεσμοι, τίνα ἡμᾶς ἀπὸ τῶν αἱρετικῶν διαφυλάττουσιν ἐπιβουλῶν καὶ διὰ ποίων ἡ τῶν κανόνων φυλάττεται αὐθεντία. τούτων ἐν τῇι ἰδίαι ἰσχύι πάσηι προσοχῇι φυλατ- L V 153
τομένων ἴασις τοῖς ἐλπίζουσι προσενεχθήσεται. ἔχει γὰρ τῶν ἐκκλησιαστικῶν κανόνων ἡ τάξις καὶ αὐτῆς τῆς δικαιοσύνης ὁ τύπος, ὅπως εὔλογος θεραπεία τοῖς καλοθελῶς καὶ πιστῶς ἐλπίζουσι μὴ ἀρνηθείη, οὐδέ τίς ἐστιν οὕτως ἀπὸ τῆς φιλανθρωπίας διηιρη- 25
μένος, ὃν οὐχὶ ἀπὸ τῆς σκληρότητος τοῦ δεσμοῦ ἐπικάμψει ἡ ἀπάνουργος ἁπλότης. ἀλλ' ἵνα ἀσφαλῶς τοῦτο καὶ χωρὶς μέμψεως ἢ τινὸς ἐφόδου πλάνης ἰσχύσειε προελθεῖν, ἀγαπητὲ ἀδελφέ, τὸ ἐμὸν πρόσωπόν σε ἐν τούτωι χρὴ ὑπελθεῖν, ἐπιστάμενον ἐν ταῖς τοιαύταις ὑποθέσεσι, καθὼς προείρηται, τί ποιητέον εἴη, τί φυλακτέον, οὕτω πάντων προνοούμενον, ὡς μὴ ἀμφιβάλλοντα λόγον ταύτης τῆς διατυπώσεως τῶι θεῶι ἀπο- 30
δώσοντα, οὕτω μέντοι ἵνα τούτους οἵτινες ὑμῖν τῇι κοινωνίαι συναφθεῖεν καὶ δι' ὑμῶν τῶι ἀποστολικῶι θρόνωι, τὰ ὑμέτερα γράμματα ἡμῖν δηλώσωσιν· οἷς καὶ τὰ περιεχόμενα τοῖς λιβέλλοις οὓς ἂν προσενέγκοιεν, ἐμφερέσθω. οὕτω γὰρ καὶ τῆς Σεβήρου καὶ τῶν τούτωι συμπλεκομένων καὶ τῶν ὁμοίων ἀπολυθήσονται πλάνης καὶ οὐδὲ τούτων M VIII 1034
οἵτινες ἰαθῆναι δυνήσονται, τὴν ζημίαν ὑπομείνωμεν. ὅπερ διὰ τοῦτο ὑμῖν ἰδικῶς ὠιήθημεν ἐπιθεῖναι πρὸς τὴν ὑμετέραν ἐπιμέλειαν τὰ ἡμέτερα μεταφέροντες βάρη, ἐπείπερ 36
οὐ μικρὰς ἤδη ἀποδείξεις τοῖς αἱρετικοῖς ἀνθιστάμενοι δεδώκατε καὶ οὐ χρὴ περὶ τούτου διστάζειν, ὃν καλῶς συνέβη δόκιμον ἀποδειχθῆναι. ἅμα προσλαβέσθαι τὰς θεραπείας τῆς ἰάσεως, ἅμα ζώσασθαι τὴν αὐθεντίαν τῆς δικαιοσύνης καὶ οὕτως περὶ τοὺς ἱκέτας

O [= aerv], I

1 *frater carissime* Λ^a 2 συνεργείασ O^v 4 σπουδάσωσι O^r 5 ἧττονα O^e ἐπειδήπερ O^rI με $O^e\Lambda$ om. $O^{aerv}I$ 6 ὀφείλεισ $O^e\Lambda$ 7/8 τῆσ πίστεωσ — χειρίζοντεσ λοιπὸν O^rI 9 δυσχερίαισ O^e 12 ὑπομιμνησκώμεθα $O^{ev}I$ 14 οὐχὶ $O^{rv}I$ 17 τῆς om. I 18 φροντίσωμεν O^e 20 ὁμόνοιαν φυλάττουσι O^eI 21 φυλάττουσιν O^e 25 οὐδέ] εἰ δέ I οὕτοσ O^a 27 ἐφόδου $O^{aerv}I$ νεφώδουσ O^e *palliatione* Λ *naeuum* Λ^a 31 τούτοισ O^v ἡμῖν $O^rI\Lambda$ 32 δηλώσωσιν $I\Lambda^a$ δηλώσουσιν O 34 ἀπολυσθήσονται O^r 35 ὑπομείνομεν O^{aerv} 36 ἡμετέραν O^r 37 ἀποδείξοισ O^v ἀποδείξασ I 38 ἅμα τῶ O^{av} ἀλλὰ I 39 *simul accingere* (imperat. pass.) Λ^a ἀναζώσασθαι $O^{av}I$ ἀναζώσασθε $O^e\Lambda$ ἀναζώσασ O^r

τῆι φιλανθρωπίαι ἀπαλύνεσθαι, ἵνα τοὺς ἐν τῶι τῶν αἱρετικῶν μιάσματι ἐπιμένοντας ἢ τούτους οἵτινες τὸ ἀνεύθυνον ὑποκρίνονται καὶ μετὰ τῶν ἡμετέρων μόνηι τῆι φωνῆι συμφωνοῦσιν, ἀπὸ τούτων ὧν ὑπὲρ τῆς ἀποκαταστάσεως τῆς ἐκκλησίας φροντὶς καὶ πρόνοια ἐστίν, ἀποκινήσηις. οὐδὲ γὰρ λυσιτελεῖ περὶ τούτους τὴν ἐκκλησιαστικὴν κεράσαι αὐστηρίαν· οὐ γὰρ ἔσται λοιπὸν τοῦ ἐλέους τὰ ἀγαθὰ διὰ τὴν τῶν προνοηθῆναι ὀφειλόντων ἀνάγκην συναχθέντα, ἐὰν ἀδιακρίτως ἔσονται κοινὰ καλοῖς καὶ κακοῖς. καὶ ἐπειδὴ τῶν Ἱεροσολυμιτῶν ὁμοίως ποιήσασθαι ὠιήθη ἐν τοῖς οἰκείοις γράμμασι μνήμην ἡ σὴ ἀγάπη, ὧν καὶ πρὸς ἡμᾶς ἠνέχθη τις ὁμολογία, ἀναγκαῖον ἡγησάμεθα καὶ ἀναγνῶναι τὰ γραφέντα καὶ ἀποκρίνασθαι τὰ πρόσφορα. οἵτινες εἰ τὰς τῶν ἁγίων πατέρων διατυπώσεις φυλάττουσιν, εἰ ἐκείνης τῆς πίστεως τοὺς θεμελίους σέβονται, [καὶ] ἀπὸ τούτων τῶν δι' αὐτῶν τοῦ ἁγίου πνεύματος κατανύσσοντος ὁρισθέντων οὐκ ἀναχωρήσουσιν. ἢ γὰρ εἰσι τέλεια, ὥσπερ εἰσί, καὶ προσθήκης οὐ δέονται, ἢ καλῶς βέβαια καὶ διὰ τοῦτο οὐκ ἀμειπτέα, ὁπότε δι' αὐτῶν πάντα τὰ τῶν αἱρετικῶν δηλητήρια κατεπιέσθη. οὐδέ τι ἡ ἐν Χαλκηδόνι σύνοδος, ὅπερ χρήσιμον οἱαδήποτε ἐπιμέλεια ἠδύνατο ἐπινοῆσαι, παρέδραμεν. ἥτις τῶν προλαβουσῶν ὁμοίως τὰ δόγματα ἢ τηλαυγέστερον ἐφανέρωσεν ἢ ἐπαναληφθεῖσηι τῆι αὐθεντίαι ἐβεβαίωσεν ἰδικόν τινα κατὰ Νεστορίου καὶ Εὐτυχοῦς ἀναδεξαμένη ἀγῶνα, τοῦ μὲν ἑτέρου τὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ θεότητα ἀπὸ τῆς σαρκὸς χωρίζοντος καὶ διὰ τοῦτο τὴν ἁγίαν Μαρίαν θεοῦ γεννήτριαν ἐξαγγέλλειν ἐκκλίνοντος, τοῦ δὲ ἑτέρου τὴν ἀλήθειαν τῆς σαρκὸς ἐν τῶι κυρίωι ἀπαναινομένου, ὁπότε ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ αὐτὸς υἱὸς θεοῦ, ὁ αὐτὸς ἄνθρωπος, ἓν πρόσωπον ἐν δύο φύσεσι καὶ θεότητος καὶ σαρκὸς οὐδὲ τῶν φύσεων ἐν τῆι ἑνώσει συγχυ-
Phil. 2, 7 θεισῶν, οὐχ ὡς τετάρτου προσώπου προστεθέντος τῆι τριάδι, ἀλλ' αὐτὸς ὁ υἱὸς τοῦ
L V 156 θεοῦ ἐκένωσεν ἑαυτὸν καὶ μορφὴν δούλου ἔλαβε· δι' ὃ καὶ μίαν καὶ οὐ διαιρετὴν ὁμολογοῦμεν οὐσίαν τῆς τριάδος καὶ τὴν ἰδίαν ὅμως ἰδιότητα ἴσμεν ἐνεῖναι τοῖς προσώποις. ἐν γὰρ τοῦ πατρὸς ὁμολογοῦμεν εἶναι πρόσωπον, ἐν τοῦ υἱοῦ τοῦ θεοῦ μετὰ τῆς προσληφθείσης σαρκός, ἐν τοῦ πνεύματος τοῦ ἁγίου, καὶ τὰ πρόσωπα ταῖς ἰδιότησι σημαίνοντες καὶ διὰ τῆς ἑνότητος τῆς οὐσίας τὸ ἀχώριστον τῆς τριάδος μυστήριον ὁμολογοῦντες. οὔτε γὰρ δυνατὸν ἀμφιβάλλεσθαι τὸν λόγον τοῦ θεοῦ ἐν τοῖς τῆς μητρὸς σπλάγχνοις διὰ τῆς σαρκὸς τὴν ἀνθρωπείαν προσειληφέναι φύσιν καὶ μὴ μετὰ τὴν παρ' αὐτοῦ γενομένην ἐν τῆι μήτραι τῶν φύσεων ἕνωσιν διηιρημένον. καθάπερ γὰρ οὐκ ἔστιν ἐν αὐτῶι ἀνθρωπότης ἄνευ θεοῦ γεννηθεῖσα, οὕτως ἐν τῶι σταυρῶι ἡ ἀπαθὴς θεότης οὐκ ἔστιν ἀπὸ τοῦ τῆς σαρκὸς πάθους διηιρημένη, ὅπερ ὁ τῆς παρθένου τόκος καὶ ἡ ἄχραντος γονιμότης καὶ ἡ ἐξαίρετος ἐκ νεκρῶν ἀνάστασις καὶ ἡ εἰς οὐρανοὺς δείκνυσιν ἄνοδος. ταῦτα
M VIII 1035 εἰ καθὼς παρὰ τῶν πατέρων ὡρίσθη, φυλάττουσι, πιστευέτωσαν καὶ μηδὲ τὰ ὡρισμένα παραβαινέτωσαν. ἀφ' ἧς τρίβου οἱ ἐκκλίνοντες αὐτοὶ ἑαυτοῖς νέφος ἀμφιβολίας περιχέ-
1 Cor. 11, 16 ουσιν, ἡμῖν δὲ ἐκεῖνο τὸ ἀποστολικὸν τοῖς φιλονείκοις ἀποκρίνασθαι ἀνάγκη ἐστίν· ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν οὐδὲ ἡ ἐκκλησία τοῦ θεοῦ. ταῦτα διὰ τοῦτο διὰ βραχέων, ἐπειδὴ οὔτε ἀμφιβάλλεσθαι προσήκει περὶ πραγμάτων τῶν περὶ τῆς πίστεως πολλάκις ὁρισθέντων καὶ παντελῶς περιττή ἐστιν ἡ δικαιολογία ἡ προσφερο-

---

O [acrv], I

2 οἱ O^e μόνον O^rI 4 ἀποκινήσησ I *secernatis* Λ *excludas* $Λ^a$ ἀπὸ ἐκκλησίασ O ἀποκλήισης Guenther συντελεῖ O^e 6 ἀδιακρίτωσ γὰρ I 7 ἱεροσολυμητῶν O^v 10 καὶ om. $Λ^a$ 12 ἢι $O^rIΛ^a$ εἰ O^{aev} 13/14 καταπιέσθη O^v καταπιεσθῆ O^e 14/15 ἐννοῆσαι O^{av} 16 ἐπαναληφθείση $IΛ^a$ ἐπαναληφθεῖσα O 18 θεοτόκον O^e 20 ὁ αὐτὸς^{1} $IΛ^a$ οὗτοσ OΛ τοῦ θεοῦ O^rI καὶ ἀνσ O^a *hominis* $Λ^a$ 22 οὐχ ὡσ $O^{er}Λ^a$ οὐδ' ὡς IΛ οὐδὲ O^{av} 23 οὐδὲ $O^{ev}IΛ$ 24 ὁμωσ $O^eΛΛ^a$ ὁμοίωσ $O^{arv}I$ ἐνεῖναι Thiel secundum $Λ^a$ ἓν εἶναι OI ἐν τοῖς I 27 ὁμολογοῦμεν O^r 29 ἀνθρωπίαν O^r 30 τῶν φύσεων ἐν τῆι μήτραι O^rI 31 γενηθεῖσα O^e *facta* Λ 32 πάθοσ O^a 35 οἱ om. O^{av} 35/36 περιχέουσιν $O^e]ΛΛ^a$ περιέχουσιν O^{arv} 38 περὶ^{2} om. O^a

μένη τοῖς παρεσκευασμένοις, ὁπότε περὶ τούτου τοῦ πράγματος καὶ πρὸς τὸν ἐνδοξότατον καὶ φιλανθρωπότατον βασιλέα τὸν ἡμέτερον υἱὸν οὐκ ὀλίγα ἐσημάναμεν. καὶ ἐπειδὴ περὶ τῆς τῶν Ἱεροσολυμιτῶν ὁμολογίας ἀπεκρινάμεθα, καὶ τοῦτο ὑπελάβομεν τῆς τούτων σωτηρίας χάριν ἁρμοδίως προσθεῖναι, ἵνα ἐὰν τῆς καθολικῆς κοινωνίας ἐπιποθῶσι τὴν ἕνωσιν, τῆς ἰδίας ὁμολογίας τὸ ὕφος, ἐγγράφως μηνυθεῖσαν ἣν τοῖς ἡμετέροις πρεσβευταῖς ἐν Κωνσταντινουπόλει διάγουσι προσήνεγκαν, διὰ τῶν ἰδίων πρὸς ἡμᾶς ἀποστείλωσιν ἢ τῇ ὑμετέραι ἀδελφότητι δώσουσι, τῇ αὐτῇ μέντοι, καθὼς εἶπον, δυνάμει συγγεγραμμένην, ἥτις πρὸς ἡμᾶς πᾶσι τρόποις δι' ὑμετέρας διατυπώσεως κομισθήσεται. περὶ γὰρ τῶν Θεσσαλονικέων, ὧν πρὸς ἡμᾶς οἱ πρέσβεις διὰ τῆς τοῦ πιστοτάτου καὶ ἐνδοξοτάτου βασιλέως τοῦ ἡμετέρου υἱοῦ διατυπώσεως ἦλθον, ἵνα μή τι παραλελοιπέναι δόξωμεν, γινώσκειν ὑμᾶς βουλόμεθα κατὰ ταῦτα ἅπερ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐμπνέοντος ἤρεσαν, τὴν ὑπόθεσιν πᾶσαν τῇ ἡμετέραι διασκέψει ψηλαφητέαν καί, εἰ ὅπερ χρὴ πληρώσουσι, διατυπωτέαν. ταῦτα διὰ τοῦ ἀδελφοῦ καὶ συνεπισκόπου ἡμῶν τοῦ σεβασμιωτάτου ἀνδρὸς Ἰωάννου, ἀλλὰ καὶ διὰ τῶν υἱῶν ἡμῶν Ἡρακλειανοῦ τοῦ πρεσβυτέρου καὶ Κωνσταντίνου τοῦ διακόνου τῆς ἐκκλησιαστικῆς τιμῆς ἀξίων τὰ πρὸς τὴν ὑπόθεσιν ἀνήκοντα ἀρκεσθέντες ἀντιγράψαι, ἤσθημεν ἐν ἀνδρὶ τῆς ἡμετέρας τάξεως ἴσην ἀξίαν καὶ εὐλαβῆ πρόθεσιν ἡμᾶς εὑρηκέναι καὶ μετὰ τῶν τῆς πρεσβείας ἐντολῶν τῇι φρονήσει καὶ τοῖς τρόποις συνάιδοντα. εὐκταῖον γὰρ πρᾶγμα καὶ πλῆρες χαρᾶς, ἵνα ὥσι κεκριμένως δόκιμοι οὓς τῆς κοινωνίας καὶ τῆς τάξεως συνέβη εἶναι συγκλήρους.

Καὶ ἄλλῃ χειρί· ὁ θεός σε ὑγιῆ διαφυλάττοι, ἀδελφὲ τιμιώτατε.

22 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· Νῦν καὶ οἱ θεοσεβέστατοι νοτάριοι τῆς ἁγιωτάτης ἡμῶν ἐκκλησίας, εἴ τινές εἰσι παρ' αὐτοῖς χάρται τὴν παροῦσαν ὁρῶντες ὑπόθεσιν, δήλους ἡμῖν τούτους ποιείτωσαν.

23 Καὶ προκομισθέντων τῶν χαρτῶν διὰ Κοσμᾶ τοῦ θεοσεβεστάτου διακόνου νοταρίου καὶ χαρτοφύλακος Μακάριος ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος τὸν ἐκ προσώπου τῶν L V 157
Θεουπόλεως κληρικῶν λίβελλον καὶ τὴν ἀναφορὰν τῆς ἐνδημούσης τηνικαῦτα τῇι βασιλίδι 26
πόλει συνόδου, ἀμφότερα πρὸς τὸν ἐν ἁγίοις Ἰωάννην ἀρχιεπίσκοπον γενόμενον τῆς αὐτῆς βασιλίδος πόλεως, ἀνέγνω καὶ Καλώνυμος ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος ἀπὸ κώδικος τὴν πρὸς Ἰωάννην τὸν τῆς ὁσίας μνήμης ἀρχιεπίσκοπον γενόμενον Ἱεροσολύμων ἐπιστολὴν καὶ τὴν πρὸς Ἐπιφάνιον τὸν τῆς θεοφιλοῦς μνήμης τῆς Τυρίων γενόμενον 30
ἐπίσκοπον ἀνέγνω, ἔτι μὴν καὶ τὴν πεμφθεῖσαν ὑπό τε αὐτοῦ Ἰωάννου τοῦ τῆς Ἱεροσολυμιτῶν ἐπισκόπου καὶ τῆς ὑπ' αὐτὸν συνόδου πρὸς τὸν ἐν ἁγίοις Ἰωάννην ἐπιστολὴν ἀνέγνω· καὶ Στέφανος ὁ θεοσεβέστατος νοτάριος καὶ διάκονος τὴν σταλεῖσαν ἀναφορὰν σὺν τοῖς πεπραγμένοις παρὰ Ἐπιφανίου ἐπισκόπου γενομένου Τύρου καὶ τῆς ὑπ' αὐτὸν συνόδου ἀνέγνω, καὶ Παῦλος ὁ θεοσεβέστατος νοτάριος καὶ διάκονος τὴν σταλεῖσαν 35
ἀναφορὰν σὺν τοῖς πεπραγμένοις ὑπὸ τῶν ἐπισκόπων δευτέρας Συρίας πρὸς τὸν ἐν ἁγίοις Ἰωάννην γενόμενον ἀρχιεπίσκοπον τῆς βασιλίδος πόλεως· ἅτινα συμπάντα καὶ ἐντέτακται.

O [= aerv], I

1 παρασκευασμένοισ O^{rv} ἀντιλέγειν παρεσκευασμένοις I 1/2 καὶ πρὸς — φιλανθρωπότατον I φιλανθρωπότατον καὶ πρὸσ τὸν ἐνδοξότατον O *et ad clementissimum* $Λ^{a}$ 2 ἐσημήναμεν I 4 κοινωνίασ $O^{avr}IΛ^{a}$ ἐκκλησίασ $O^{e}Λ$ ἐπιποθοῦσι O^{r} 5 ἣν ἐγγράφωσ μηνυθεῖσαν I 7 εἶπαν O^{r} 11 ἐμπνέοντεσ O^{r} ἐμπνέοντον [sic] O^{v} 12 ἡμετέρα $IΛ^{a}$ ὑμετέρα OΛ 12/13 καὶ — διατυπωτέαν om. O^{av} πληρώσωσι O^{r} 14 ὑμῶν O^{e} 15 τοῦ om. O^{av} 16 ἀρεσθέντεσ I 17 *non inuenisse* $Λ^{a}$ 18 πλήρησ O^{r} κεκριμένοι O^{r} 20 διαφυλάττει O^{ev} 22 ἡμῶν om. $O^{r}I$ 23 τούτουσ δήλουσ ἡμῖν $O^{r}I$ 25 Μακάριος] ἀνέγνω μακάριος I 30 τύρων O^{r} 33 διάκονοσ καὶ νοτάριοσ I 34 σὺν τοῖς πεπραγμένοις I om. OΛ 36 ἀπὸ O 37 ἀρχιεπίσκοπον γενόμενον O^{r}

M VIII 1038

Δέησις κληρικῶν καὶ μοναχῶν

’Αντιοχείας πρὸς ’Ιωάννην τὸν πατριάρχην καὶ τὴν ἐνδημοῦσαν σύνοδον κατὰ Σεβήρου

24 Τῶι ὁσιωτάτωι καὶ ἁγιωτάτωι καὶ μακαριωτάτωι ἀρχιεπισκόπωι καὶ οἰκουμενικῶι πατριάρχηι ’Ιωάννηι καὶ τῆι ἐνδημούσηι ἁγίαι συνόδωι ἀξίωσις παρὰ κληρικῶν καὶ μοναχῶν τοῦ ἀποστολικοῦ θρόνου τῆς ’Αντιοχέων μεγαλοπόλεως ἁγίας τοῦ θεοῦ καθολικῆς ἐκκλησίας. Νῦν εἴπερ ποτὲ καιρός, ὦ μακαριώτατοι, πάσας τῆς οἰκουμένης τὰς
Ps. 95, 11 ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὡς ἐξ ἑνὸς στόματος τὸ προφητικὸν ἐκεῖνο ἐκβοῆσαι εὐφραινέσθωσαν οἱ οὐρανοὶ καὶ ἀγαλλιάσθω ἡ γῆ καὶ πάντα τὰ ἐν αὐτῆι, ὅτι ἠλέησεν ὁ θεὸς τὸν λαὸν αὐτοῦ. τὸ γὰρ τὰ σκῆπτρα ’Ρωμαίων τοὺς οὕτως εὐσεβεῖς καὶ φιλοχρίστους ἐγχειρισθῆναι βασιλέας, ἐλευθερίαν δὲ χαρισθῆναι καὶ παρρησίαν τοῖς τὴν ὀρθόδοξον πρεσβεύουσι θρησκείαν πῶς οὐχὶ ταύτην πείθει εἰκότως τοὺς πιστοὺς βοῆσαι φωνήν; ἀλλ’ ἐν οὕτω κοινῆι τῆς οἰκουμένης ἑορτῆι μία ἐκ πάντων ἡ κομιδῆι σὺν ὀλίγαις ἡ τῶν Αντιοχέων ἐκκλησία κατηφείας πεπλήρωται καὶ θρήνων. λύκον γὰρ ἀντὶ ποιμένος οὐκ οἴδαμεν ὅπως δεξαμένη κακοπαθεῖ. ποίαν γὰρ τραγωιδίαν οὐκ ἀπέκρυψε τὰ τολμηθέντα παρὰ Σεβήρου κακά; ὃς πρῶτον μέν, ἵν’ ὅπως βεβίωκε παραλίπωμεν φειδοῖ τῶν ὑμετέρων ἀκοῶν, οὐδεμιᾶι πώποτε φαίνεται κοινωνήσας ἐκκλησίαι, εἶτα συκοφαντίας βέλεσι κατατοξεύσας τε καὶ παρασκευάσας ἐξελαθῆναι τὸν ἔνθεσμον ποιμένα Φλαβιανὸν τὸν μακαριώτατον, τὸν ἐκείνου θρόνον βιαίως καὶ ἀκανονίστως ὑφήρπασε κἀντεῦθεν
Ioh. 10, 12 sq μισθωτοῦ δίκην οὐ μόνον οὐκ ἐπήμυνε τῆι ποίμνηι τοῦ Χριστοῦ οὐδὲ ἔφυγεν, ὅπερ ἦν ἀγαπητόν, ἀλλ’ αὐτὸς τὰ τῶν θηρίων ἕδρα σφάττων τε καὶ διασκορπίζων τὰ πρόβατα, κενοφωνίας δὲ καὶ βλασφημίας κατὰ τοῦ θεοῦ πλαττόμενος οὐδενὸς τῶν ἁγίων ἡμῶν πατέρων ἐφείσατο, διατελεῖ δὲ πᾶσαν ἡμέραν ὡς εἰπεῖν τὰς ὑπὲρ εὐσεβείας ἀθροισθείσας ἀποκηρύττων συνόδους. ὁ γὰρ τὴν ἐν Χαλκηδόνι ἁγίαν σύνοδον ἀναθεματίσαι τε καὶ πολεμῆσαι τολμήσας τὴν μάλιστα βεβαιώσασαν τὸ σύμβολον τῶν τιη ἁγίων πατέρων,
L V 160 ἀποδεξαμένην δὲ καὶ τοὺς ρν ὁσίους καὶ ἁγίους πατέρας, ἔτι μὴν καὶ τοὺς ἐν ’Εφέσωι κατὰ Νεστορίου τοῦ δυσσεβοῦς συνελθόντας ὁμοίως ὁσίους πατέρας, εὔδηλον ὡς καὶ τὰς εἰρημένας ἀποστρέφεται καὶ μισεῖ ὡς ταύτης ἀδελφάς. καὶ ὅσους μὲν φόνους ἁγίων εἰργάσατο μοναχῶν ’Ιουδαικαῖς χερσὶ τὴν τοιαύτην ἐγχειρίσας σφαγήν, οὔτε ὑμᾶς, ὁσιώτατοι, οὔτε τῶν ἄλλων ἔλαθεν οὐδένα. θέαμα γὰρ ἦσαν κείμενοι δεινὸν ἄνδρες ἀσκητικοῖς ἀγῶσι μέχρι πολιᾶς ἐναθλήσαντες γυμνοὶ καὶ ἄταφοι ἐρριμμένοι, ὑπὲρ τοὺς τριακοσίους ὄντες, ἐκ
Il. A 4. 5 τῆς δευτέρας Σύρων ἐπαρχίας ὁρμώμενοι, κυσὶ σπαράγματα καὶ οἰωνοῖς προκείμενοι. ὅμοια δὲ καὶ ὡσαύτως ἐλεεινὰ καὶ ὅσα ἐν τοῖς ξενῶσιν αὐτῶι πέπρακται· δεσμωτήρια γὰρ δομᾶται νῦν κἀκεῖσε πολλοὺς ὑπὲρ εὐσεβείας καθείργων ἐν σκότει καὶ μαστίζων ἀναιρεῖ.
M VIII 1039 οἷα δέ, ὁσιώτατοι, καὶ περὶ τὰς ἐν Δάφνηι πηγὰς πρᾶξαι τετόλμηκε μαγείαις τε χρώμενος αὐτόθι καὶ θυμιάμασι μυσαροῖς θεραπεύων τοὺς δαίμονας, καὶ τοῦτο πᾶσα ἐκείνη ἡ μεγάλη ἄιδει πόλις. οὐ μὴν οὐδὲ αὐτῶν ἐφείσατο τῶν ἁγίων θυσιαστηρίων οὐδὲ τῶν ἱερῶν σκευῶν, τὰ μὲν ξέων ὡς ἐναγῆ, τὰ δὲ χωνεύων καὶ ῥογεύων τοῖς ὁμοτρόποις. τετόλμηται δὲ αὐτῶι καὶ τοῦτο, ὦ μακαριώτατοι. τὰς γὰρ εἰς τύπον τοῦ ἁγίου πνεύματος

O [= aerv], I

1 ☧ in mg. O^a μοναχῶν καὶ κληρικῶν I 2 ἐνδημοῦσαν OL ἐν κωνσταντινουπόλει I 3 μακαριωτάτωι καὶ ἁγιωτάτω O^e καὶ3 I om. OL 4 συνόδω ἁγία O^rI 5 μρο̄πόλεως O^v 6 ἤπερ O^e 7 χῡ O^rI 8 καὶ πάντα — αὐτῆ O^eL om. $O^{arv}I$ 11 τοιαύτην I τοὺς] de O^r propter correcturas non constat πιστῶσ O^r 11/12 τὴν φωνὴν O^e 12 ἢ O^eIL om. O^{arv} 13 καὶ θρήνων πεπλήρωται O^e 15 ἵν’ om. O^{av} 16 ἡμετέρων O^r ἐκκλησίαν O^v 17 φλαυιανὸν O^e 19 ἐποίμαινε τῆ [in τὴν corr.] ποίμνην O^rL ἔφαγεν O^r 21 ἡμῶν om. O^r 23 ἀναθεματίσασ O^rI 25 τὲ O^r 30 ἄτυφοι O^v ἐρημμένοι O^r 30/31 ἐκ τῆς om. O^rI 31 κείμενοι O^r 32 αὐτῶν O^{av} 33 διμᾶται O^v πολλοὺς I πολλοὺσ τῶν O 34 οἷα O οἴδατε I καὶ δ I χρώμενον O^v

χρυσᾶς τε καὶ ἀργυρᾶς περιστερὰς κρεμαμένας ὑπεράνω τῶν θείων κολυμβηθρῶν καὶ θυσιαστηρίων μετὰ τῶν ἄλλων ἐσφετερίσατο λέγων οὐ χρῆναι ἐν εἴδει περιστερᾶς ὀνομάζεσθαι τὸ ἅγιον πνεῦμα. τὰ μέντοι χρήματα καὶ οἰκήματα καὶ ὅσα ἐν τοῖς καλλίστοις χωρίοις ὑπῆρχε τῇ ἐκκλησίαι, πάντα ἐκφορήσας ἐξεδαπάνησε καὶ βαρυτάτοις δανείσμασι τὴν ἐκκλησίαν κατέχωσεν. ἀλλ' οὐχ οἷόν τε, ὦ μακαριώτατοι, πάντα διεξελθεῖν τὰ ἐκείνωι τετολμημένα, δι' ὃ τοῖς ὀλίγοις τούτοις καίπερ οὖσι τηλικούτοις ἀρκούμενοι δεόμεθα τῆς ὑμετέρας ἁγίας συνόδου ὀψὲ καὶ μόλις στῆσαι τὰ συνέχοντα κακὰ τὴν ἡμετέραν ἐκκλησίαν καὶ πᾶσαν σχεδὸν τὴν Ἀνατολικὴν διοίκησιν καὶ τοῦ τε παμπονήρου ἀνδρὸς ἡμᾶς ἐλευθερῶσαι ἀπαιτουμένου κατὰ τοὺς θείους κανόνας καὶ τοὺς πολιτικοὺς νόμους δίκας ὧν ἔπραξε, πρόνοιαν δὲ ποιῆσαι καὶ τῶν ὑπολειφθέντων πραγμάτων, εἴ γέ τι μεμένηκε, πείθοντας τὴν εὐσεβῆ καὶ καλλίνικον κορυφὴν ἀποσταλῆναί τινας ἐν τάχει ἐπ' ἀγαθοῖς μαρτυρουμένους τρόποις τινὸς τῶν ἐξ ἡμῶν συνερχομένου καὶ τοῖς πράγμασιν ἐφεστῶτος, ἐφ' ὧι συσχεθῆναι μὲν καὶ λογοθετηθῆναι τοὺς ἐξ ἀρχῆς καὶ μεχρὶ νῦν εἰς ταῦτα ὑπουργήσαντας καὶ εἰς ἑαυτοὺς τὰ πολλὰ κεκλοφότας, ἐξασφαλισθῆναι δὲ καὶ τὰ εὑρισκόμενα, ἵνα μὴ τελέως ἅπαντα ἐκφορηθῆι. οὐ γὰρ παύεται ὁ χρηστὸς ἄνθρωπος κατὰ τῆς ἐκκλησίας τοῦ θεοῦ τὰ διαφέροντα αὐτῆι διασκορπίζων· πάσης γὰρ ἐλπίδος εἰκότως ἐκπεσὼν τοῦ θεοῦ εἰς ἄνδρας πονηροὺς καὶ ἐκ τῶν τοιούτων τρεφομένους τὰς ἐλπίδας ἔχει. πρεσβεῦσαι δὲ παρακαλοῦμεν καὶ ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, εἴτε ἐπίσκοποι εἶεν εἴτε κληρικοὶ ἢ μοναχοὶ ἢ καὶ λαικοί, ὅπως ἀνακληθέντες ἀποδοθεῖεν ταῖς οἰκείαις πόλεσι καὶ τάξεσιν. ἐπὶ τούτοις πᾶσι, συγγνώμην αἰτοῦντες διὰ τὴν συνέχουσαν ἡμᾶς ὀδύνην, ἐνορκοῦμεν τὴν ὑμετέραν μακαριότητα τὴν ἁγίαν καὶ ὁμοούσιον τριάδα καὶ τὴν εὐσέβειαν καὶ νίκην καὶ διαμονὴν τῶν δεσποτῶν ὅλης τῆς οἰκουμένης Ἰουστίνου καὶ Εὐφημίας τῶν αἰωνίων αὐγούστων κινηθῆναί τε ὑμᾶς δεόντως καὶ μὴ περιιδεῖν ἡμῶν τὰς αἰτήσεις, ἀναγαγεῖν δὲ ταῦτα πάντα ἐπὶ τοὺς εὐσεβεῖς καὶ φιλοχρίστους ἡμῶν βασιλέας καὶ πεῖσαι τὴν αὐτῶν γαληνότητα πάντα τὰ κατὰ τὴν ἁγιωτάτην ἡμῶν ἐκκλησίαν τῆς αὐτῶν τε καὶ ὑμῶν προνοίας τυχεῖν. L V 161

Ὑπογραφαί

1 Θεοδόσιος ἐλέει θεοῦ πρεσβύτερος Ἀντιοχείας ἐπέδωκα: —
2 Λογγῖνος διάκονος ὁμοίως ἐπέδωκα: —
3 Στέφανος διάκονος ὁμοίως ἐπέδωκα: —
4 Μαυρίκιος ὑποδιάκονος ὁμοίως ἐπέδωκα: —
5 Ἰουλιανὸς διάκονος ὁμοίως ἐπέδωκα: —
6 Θωμᾶς διάκονος ὁμοίως ἐπέδωκα: —
7 Ἰωάννης ἐλέει θεοῦ πρεσβύτερος ὁμοίως ἐπέδωκα: — M VIII 1042
8 Ἀνδρέας ἐπέδωκα: —
9 Ἰουλιανὸς [ὁμοίως] ἐπέδωκα: —
10 Μάρκελλος διάκονος ὁμοίως ἐπέδωκα: —

O = [aerv], I

1 θείων om. O^a 2/3 τὸ ἅγιον πνα ὀνομάζεσθαι O^e 8 τε om. O^a 9 πρᾶξαι O^r 10 εἴ γέ τι OΛ ἃ εἰς ἔτι I πείθοντας scripsi πείθοντες Ol 12 τρόπους O^v τῶν om. I ὑμῶν O^aI ἐφεστῶτος] *superscr.* Λ ἐφιστῶντος O^{aer}I ἐφιστῶντες O^v 13 μὲν – λογοθετηθῆναι om. I τοῦ νῦν O^e 14/15 τελείως O^r 15 ἐκφωρηθῆ O^r 16 σκορπίζων O^e ἐκπεσὼν εἰκότως O^a 17 τρεφόμενος O^eΛ 18 ἐπίσκοπον O^v 19 καὶ om. O^rΛ ἀνακληθέντες ἀποδοθεῖεν O^rI ἀνακληθέντας ἀποδοθῆναι O^{aev} 22 τῆς ὅλης O^{aev} 24 πάντα ταῦτα O^{av} ταῦτα I βασιλεῖς I 25 ἡμῶν O^{er}IΛ ὑμῶν O^{av} 27 αἱ ὑπογραφαί O^a om. O^{rv}IΛ 28 θεόδωρος O^a ἐλέω O^e ut solet 31—p. 62, 17 Μαυρίκιος — ἐπέδωκα] καὶ οἱ λοιποὶ O^rI 32. 33 ἐλέω θῡ διάκονος O^eΛ 35 ὁμοίως ἐπέδωκα O^eΛ 36 om. O^{av} ὁμοίως deleui 37 ὁμοίως om. O^v

11 Σέργιος ἐλεεινὸς ὁμοίως ἐπέδωκα: —
12 Ἰωάννης ἐλεεινὸς ὁμοίως ἐπέδωκα: —
13 Μωσῆς θεοῦ χάριτι πρεσβύτερος ὁμοίως ἐπέδωκα: —
14 Ἰωάννης ὑποβολεὺς ἐπέδωκα: —
15 Ἰωάννης μοναχὸς μονῆς τοῦ μακαρίου Μάρωνος ὁμοίως ἐπέδωκα: —
16 Ἰάκωβος μοναχὸς μονῆς τοῦ μακαρίου Βίζου ὁμοίως ἐπέδωκα: —
17 Κωνσταντῖνος μοναχὸς καὶ ἀποκρισιάριος τοῦ τῆς ὁσίας μνήμης Ἀστερίου ἐπέδωκα: —
18 Νόννος διάκονος μονῆς τοῦ μακαρίου Παύλου ἐπέδωκα: —
19 Σολομὼν μοναχὸς μονῆς τοῦ μακαρίου Οὐαλεντίνου τοῦ Καπροέλης ἐπέδωκα: —
20 Συμεὼν μοναχὸς μονῆς τοῦ μακαρίου Ἀγαπητοῦ ὁμοίως ἐπέδωκα: —
21 Σέργιος μοναχὸς μονῆς τοῦ μακαρίου Συμεῶνος ὁμοίως ἐπέδωκα: —
22 Ἄλφιος μοναχὸς μονῆς τοῦ μακαρίου Ἰακώβου ὁμοίως ἐπέδωκα: —
23 Φίληξ μοναχὸς μονῆς τοῦ μακαρίου Ἰωάννου ὁμοίως ἐπέδωκα: —
24 Συμεώνης μοναχὸς μονῆς Ἰουγάτων τοῦ μακαρίου Παύλου ἐπέδωκα: —
25 Παῦλος μοναχὸς μονῆς τοῦ μακαρίου Ἡσυχίου ὁμοίως ἐπέδωκα: —
26 Κυριακὸς μοναχὸς μονῆς τοῦ μακαρίου Δωροθέου ὁμοίως ἐπέδωκα: —

Ἀναφορὰ πρὸς Ἰωάννην πατριάρχην παρὰ τῆς ἐνδημούσης συνόδου

25 Τῶι δεσπότηι ἡμῶν τῶι ἁγιωτάτωι καὶ μακαριωτάτωι πατρὶ πατέρων ἀρχιεπισκόπωι καὶ οἰκουμενικῶι πατριάρχηι Ἰωάννηι ἡ ἐνδημοῦσα κατὰ τὴν φιλόχριστον ταύτην καὶ βασιλίδα πόλιν σύνοδος ἐν κυρίωι χαίρειν. Ἐπειδὴ ὁ θεὸς ὁ πάντων δεσπότης ἐπὶ συμφέροντι τῆς ὀρθοδοξίας καὶ συστάσει τῆς καθολικῆς ἐκκλησίας κατὰ τὴν
d. 15. et 16. m. Iul. a. 518 L V 164 παρελθοῦσαν κυριακήν τε καὶ δευτέραν λειτουργίας ἐπιτελουμένης ἐν τῆι ἁγίαι τοῦ θεοῦ μεγάληι ἐκκλησίαι τῆς βασιλίδος ταύτης πόλεως μιᾶι φωνῆι ἐκίνησε τὸν ἀναριθμήτων μυριάδων λαόν, ὥστε ζήλωι θείωι τοῦτον ἐκκαυθέντα ἐπὶ πολὺ καὶ ἐπιμόνως αἰτῆσαι τὴν ὑμετέραν μακαριότητα ἐπὶ τοῦ ἄμβωνος ἀνελθεῖν καὶ προσφωνῆσαι ὑπὲρ τῆς ὀρθῆς πίστεως, ὑπὲρ ἧς ἀεὶ ἠγωνίσασθε καὶ ἀγωνίζεσθε, καὶ τοῦτο ποιησάντων ὑμῶν ἐκβοήσεις γεγόνασι, καθὼς εἴρηται, πλεῖσται καὶ ἐπίμονοι τοῦ λαοῦ, ὑμᾶς μὲν ἐπὶ τῆι ὀρθοδοξίαι εὐφημοῦντος, τοὺς δὲ πρὸ ὑμῶν ἐκβληθέντας πατέρας ἀνακληθῆναι ἐξαιτοῦντος, ὁ δὲ ὑμέτερος ἄγγελος τῆι ἡμετέραι δοκιμασίαι τὸ πᾶν ἀποδεδωκὼς τὰ δέοντα σκοπῆσαι προσέταξεν, ἀναγκαῖον
M VIII 1043 ἐλογισάμεθα τὰ παρακολουθήσαντα καὶ τυπωθέντα παρ' ἡμῶν δι' ἀναφορᾶς πρῶτον τῆι ὑμετέραι μακαριότητι ἀναγάγαι καὶ τότε δι' ὑμῶν καὶ τῶι εὐσεβεστάτωι καὶ κρατίστωι
d. 20. m. Iul. a. 518 ἡμῶν βασιλεῖ δῆλα καταστῆσαι· ἔστι δὲ ταῦτα. κατὰ τὴν εἰκάδα τοῦ ἐνεστῶτος Ἰουλίου μηνὸς τῆς παρούσης ἐνδεκάτης ἐπινεμήσεως, ὑπατείας Μάγνου τοῦ λαμπροτάτου, ἅπαν τὸ μοναχικὸν τάγμα τῆς φιλοχρίστου ταύτης καὶ βασιλίδος πόλεως ἐκ διαφόρων συνελθὸν μοναστηρίων, τοῦτο μὲν ἀρχιμανδριτῶν, τοῦτο δὲ καὶ τῶν λοιπῶν, λιβέλλους προσδέδωκε τῆι ἐνδημούσηι ταύτηι πάσηι ἡμῶν συνόδωι, αἰτοῦν καὶ ἀναγνωσθῆναι τούτους καὶ τὰ περιεχόμενα τοῖς λιβέλλοις κεφάλαια δοκιμασθέντα παρ' ἡμῶν πέρατι παραδοθῆναι,

---

O [= aerv], I

3 ὁμοίως om. O^e 4 ὁμοίωσ ἐπέδωκα $O^eΛ$ 5 ὁμοίως om. $O^eΛ$ 6 μονῆς om. $O^eΛ$ ἐπέδωκα ὁμοίωσ O^a 7 κωνσταντῖνοσ O^{ae} ῑ̄ω̄ O^v 8. 9 ὁμοίωσ ἐπέδωκα $O^eΛ$ 10 τοῦ καπροέλησ O^{av} om. $O^rΛ$ 11 συμεώνησ O^e 11. 12. 13. 14. 16. 17 ὁμοίως om. $O^eΛ$ 13 ἄλφειόσ O^e 15 Ἰουγατῶν O^{ae} Ἰουγάπων $O^eΛ$ 18 τὸν π̄ρῑάρχην I ἐνδημούσησ O ἐν κωνσταντινουπόλει I 19 η̄ in mg. O^a 21 ὁι om. O^rI 24 μεγάλη om. $O^eΛ$ ἀναριθμήτων scripsi ἀναρίθμητον $O^{ar}Λ$ ἀρίθμητον O^v ἀναρίθμητον τῶν O^eI 25 καὶ om. O^a 28 τῆσ O^r εὐφημοῦντεσ O^v 32 ἀναγαγεῖν O^{av} καὶ² om. $O^{aev}Λ$ 33 ἡμῶν om. O^rI 35 συνελθὼν O^v 36 μοναστηριων OΛ μοναχῶν I προδέδωκε O^r 37 συνόδω ἡμῶν O^e

μᾶλλον δὲ τύπωι συνοδικῶι ὑποβληθῆναι. ἀναγνωσθῆναι τοίνυν ποιήσαντες τοὺς λιβέλλους, οὓς καὶ ὑπετάξαμεν τῶιδε τῶι τύπωι, ταῦτα περιέχειν ἐν τούτοις ἐγνώκαμεν.

Πρώτην αἴτησιν οἱ λίβελλοι περιέχουσιν ὥστε τοὺς ἐν ὁσίαι τῆι μνήμηι Εὐφήμιον καὶ Μακεδόνιον ἐκβληθέντας καὶ ἐν ἐξορίαι τετελευτηκότας δικαίως καὶ κανονικῶς ἀνακληθῆναι καὶ ἀποδοθῆναι τῶι καταλόγωι τῶν πρὸ αὐτῶν ἐνταῦθα ἐν κυρίωι ἀναπαυσαμένων ἀρχιεπισκόπων, πάντων ἀργῶν μενόντων τῶν κατ' αὐτῶν ὁπωσοῦν γενομένων, ἐντεθῆναι δὲ καὶ τοῖς ἱεροῖς διπτύχοις τὰς τούτων προσηγορίας, καθὼς ἅπας ὁ λαὸς καὶ τὸ μοναχικὸν τάγμα ἐπιμόνως καὶ ἐπὶ πολὺ ἐξεβόησαν. ἡμεῖς δὲ τάξιν εὔτακτον τῆι αἰτήσει ἐπιθεῖναι σπουδάσαντες ἐζητήσαμεν τὰ πεπραγμένα ἐπ' αὐτοῖς καὶ γνόντες διὰ τῆς ἀναγνώσεως ὡς τὰ πλεῖστα τούτων οὔτε σὺν ἀκριβείαι προῆλθεν οὔτε πίστεως ἕνεκα δικαίως τὴν ἐκβολὴν ὑπέμειναν οἱ μνημονευθέντες πατέρες οὔτε ὡς παρασαλεύοντές τι τῶν πρότερον τῆι ὀρθοδοξίαι πεφυλαγμένων, ἀναγκαῖον ἐλογισάμεθα ταῖς αἰτήσεσι, παντὸς τοῦ λαοῦ σὺν γυναιξὶ καὶ παισὶ καὶ πάσης ἀξίας καὶ στρατείας ἀλλὰ μὴν καὶ τοῦ μοναχικοῦ τάγματος ἐπιμόνως ἐκβοησάντων, κατὰ τοὺς προσδοθέντας λιβέλλους τὸ ἱκανὸν μετὰ τῆς ἀληθείας ποιῆσαι, ἵνα καθὼς καὶ οἱ ἐν ἁγίοις τὴν μνήμην Παῦλος καὶ Ἰωάννης καὶ Φλσβιανὸς πατέρες ταύτης τῆς βασιλίδος πόλεως γενόμενοι ἀνεκλήθησαν, οὕτω καὶ αὐτοὶ τῆς αὐτῆς τιμῆς καὶ τῆς ἐν ταῖς ἱεραῖς δέλτοις μνήμης ἀξιωθῶσιν. ἃ οὖν συνεωρακότες ἐτυπώσαμεν, πρέπον ὠιήθημεν ἀναγάγαι τῆι ὑμετέραι μακαριότητι καὶ δι' αὐτῆς τωι εὐσεβεστάτωι ἡμῶν βασιλεῖ.

Δεύτερον κεφάλαιον τοῖς λιβέλλοις περιείχετο ὥστε τοὺς διὰ τὴν αἰτίαν τῶν εἰρημένων πατέρων, Εὐφημίου φαμὲν καὶ Μακεδονίου, ἐξορισθέντας καὶ φυγαδευθέντας ἐπανελθόντας ἀποδοθῆναι τοῖς ἰδίοις βαθμοῖς. ἐπεὶ οὖν εὔλογος ἡ αἴτησις καὶ ἀκόλουθος τῆι προτέραι, συνείδομεν ὥστε τοὺς εἰρημένους βοηθηθῆναι καὶ ἀνενεχθῆναι ἐπὶ τὸν εὐσεβέστατον καὶ γαληνότατον ἡμῶν βασιλέα. L V 165

Τρίτον κεφάλαιον τῆι αἰτήσει περιείχετο ὥστε τὴν ἁγίαν καὶ μεγάλην σύνοδον τῶν τιη̄ πατέρων τῶν συναχθέντων κατὰ τὴν Νικαέων τῶν καὶ τὸ ἅγιον σύμβολον τῆς πίστεως καὶ ὁρισάντων καὶ ἐκφωνησάντων, εἰς ὃ καὶ ἐβαπτίσθημεν καὶ βαπτίζομεν, καὶ τὴν ἐν Κωνσταντινουπόλει ἐπὶ Νεκταρίου τοῦ τῆς ὁσίας μνήμης συνελθοῦσαν καὶ κυρώσασαν τὸ προειρημένον ἅγιον σύμβολον τῶν αὐτῶν τιη̄ ἁγίων πατέρων καὶ τὴν ἐν Ἐφέσωι ὁμοίως βεβαιώσασαν τὸ αὐτὸ ἅγιον σύμβολον τῶν τιη̄ ἁγίων πατέρων καὶ τὴν ἐν Χαλκηδόνι M VIII 1046 ἐπισφραγίσασαν ὡσαύτως τὸ προειρημένον ἅγιον σύμβολον τῶν τιη̄ ἁγίων πατέρων ἐντεθῆναι τοῖς ἱεροῖς διπτύχοις. ἐπεὶ οὖν εὔλογος ἡ αἴτησης, ἐπὶ συμφέροντι γὰρ τῆς ἐκκλησιαστικῆς καταστάσεως τὸ γινόμενον γίνεται, ἄξιον ἐκρίναμεν κατὰ τὰς ἐκβοήσεις τοῦ λαοῦ καὶ τὰς προσφωνήσεις τῆς ὑμετέρας μακαριότητος καὶ κατὰ τὸν ἐπιδοθέντα λίβελλον παρὰ τῶν εὐσεβεστάτων ἀρχιμανδριτῶν τε καὶ μοναχῶν τὰς ἁγίας ταύτας συνόδους ἀναγορεύεσθαι τοῖς διπτύχοις.

Τέταρτον κεφάλαιον τῆι αἰτήσει τῶν εὐλαβεστάτων μοναχῶν περιείχετο ὥστε τὸ ὄνομα τοῦ τῆς ὁσίας μνήμης προέδρου γενομένου τῆς Ῥωμαίων, Λέοντος φαμὲν τοῦ μακαριωτάτου, ἐν ταῖς ἱεραῖς δέλτοις ὁμοίως ἀναγορεύεσθαι, καθὼς καὶ αἱ ἐκβοήσεις τοῦ

O [= aerv], I

1 μᾶλλον — ὑποβληθῆναι om. O^{av} 3 περιέχουσιν I ἔχουσιν OΛ 5 αὐτῶν — ἀναπαυσαμένων ἐνταῦθα O^{e} ἐν O^{erI}Λ τῶ O^{av} 9 σπουδάζοντεσ O^{e} ἐξητήσαμεν I 10 προῆλθον O^{e} 11 δικαίωσ post οἱ repetunt O^{r}I 12 προτέρων O^{arv} ταῖσ αἰτήσεσι O^{e}IΛ τὰσ αἰτήσεισ O^{arv} 17 αὐτοὶ I οἱ αὐτοὶ O 18 ἀναγαγεῖν O^{av} 22/23 τῆ προτέρα ἀκόλουθοσ O^{e} 25 τῆ αἰτήσει O^{ervI}Λ τοῖσ λιβέλλοισ O^{a} 26 τῶν^{2} om. O^{arv}I 29 ἁγίων om. O^{er} 29/30 ἐν Ἐφέσωι — καὶ τὴν om. O^{av} 30 ἁγίων om. O^{aev} 31 ἁγίων om. O^{e} 32—36 ἐπεὶ — διπτύχοις om. O^{r}I 34 προφωνήσεισ O^{v} 35 εὐσεβεστάτων uitiosum, postulatur εὐλαβεστάτων, *uenerabilibus* Λ 37 εὐσεβεστάτων I om. O^{a} 38/39 λέοντος προέδρου γενομένου τῆσ ῥωμαίων ἐν ταῖσ I 39 ὁμοίως om. I αἱ om. O^{arv}

λαοῦ ἀνενδότως καὶ ἐπιμόνως γεγένηνται. ἐπεὶ οὖν ἡ ἐν Χαλκηδόνι ἁγία σύνοδος οὐ μόνον Λέοντος τοῦ ἐν ὁσίαι τῆι μνήμηι, ἀλλὰ καὶ Κυρίλλου τοῦ τῆς Ἀλεξανδρέων γενομένου θεοφιλοῦς ποιμένος μνήμην ἐπὶ τῆι ὀρθοδοξίαι πεποίηται καὶ Κυρίλλος μὲν ὁ τῆς Ἀλεξανδρέων ἐν τοῖς διπτύχοις ἀναγορεύεται, Λέων δὲ ὁ τῆς ὁσίας μνήμης οὐκ ἀναφέρεται, εὔλογον ἐκρίναμεν τὸ λεῖπον ἀναπληρωθῆναι καὶ τοὺς ἴσως παρὰ τῆς ἁγίας ταύτης συνόδου ἐπὶ συστάσει τῆς ὀρθοδοξίας τιμηθέντας ὁμοίως καὶ ἐν τοῖς ἱεροῖς διπτύχοις ἐπὶ ὠφελείαι καὶ εἰρήνηι τῆς ἐκκλησίας κηρύττεσθαι.

Πέμπτον κεφάλαιον ἐν ταῖς αὐταῖς δεήσεσιν ἐνέκειτο ὥστε τὸν τολμήσαντα κατὰ τῆς ἐν Χαλκηδόνι ἁγίας συνόδου νεανιεύσασθαι καὶ βλάσφημα ῥήματα κατ' αὐτῆς ἐκχέαι, Σεβῆρον φαμὲν τὸν ἐν Ἀντιοχείαι ἀτάκτως καὶ προπετῶς ἐνεχθέντα, ἀναθέματι ὑποβληθῆναι, καθὼς καὶ αἱ ἐπίμονοι βοαὶ παντὸς τοῦ λαοῦ ἐγένοντο. ἐπεὶ τοίνυν ἔδει καὶ περὶ τούτου τύπον τὸν ἁρμόζοντα ἐκκλησιαστικῆι καταστάσει ἐξενέγκαι, ἀναγκαῖον ἐκρίναμεν πρῶτον τοὺς βλασφήμους αὐτοῦ λόγους ἐν μέσωι τῆς πάσης ταύτης συνόδου ἀναγνωσθῆναι πρὸς ἔλεγχον τῶν παρ' αὐτοῦ τολμηθέντων. ἔχει τοιγαροῦν τὰ παρ' αὐτοῦ κατὰ τῆς ἁγίας συνόδου τολμηθέντα τε καὶ βλασφημηθέντα ἐπὶ λέξεως οὕτως· 'τὰ ἐν Χαλκηδόνι ὑπὸ τῆς κατ' ἐκεῖνο καιροῦ συνειλεγμένης συνόδου τυπωθέντα καὶ τῶν ὑπὲρ ταύτης ἀγωνιζομένων ἀναθεματίζομεν.' αὕτη τῆς μιαρᾶς αὐτοῦ φωνῆς ἡ βλασφημία, οὐ μόνον δὲ αὕτη, ἀλλὰ καὶ ἕτεραι πολλαὶ δυσφημίαι ἐν βίβλοις αὐτοῦ πομπεύονται κατὰ ταύτην τὴν βασιλίδα πόλιν, αἷς οἱ τῆς ὀρθοδοξίας ἐρασταὶ ἐντυγχάνοντες ἐπεγγελῶσι τῆι αὐτοῦ φρενοβλαβείαι ἀλλοκότως φερομένου. ἐπεὶ οὖν αὐτοκατήγορον ἔχει τὸν ἔλεγχον οὐ μόνον ἐκ τῆς εἰρημένης ταύτης φωνῆς, ἀλλ' ὡς προγέγραπται, καὶ ἐξ ἑτέρων πλείστων τῆς αἰσχίσης αὐτοῦ γλώσσης δυσφημιῶν κατὰ τῆς ἁγίας ταύτης συνόδου, τοῦτον δικαίως ἀναθέματι αἰωνίωι καὶ ἡμεῖς ὑπεβάλομεν,
L V 168 παντὸς πράγματος ὀνόματος ἀξίας ἐνεργείας Χριστιανῶι ἢ ἱερατικῶι ἁρμοζούσης ἢ ἁρμόσαι δυναμένης ἀλλοτριώσαντες καὶ γυμνὸν τῆς θείας κοινωνίας κατὰ τοὺς ἐκκλησιαστικοὺς κανόνας καταστήσαντες, ἀνθ' ὧν καὶ βλασφημῆσαι καὶ συκοφαντῆσαι τὴν ἐν Χαλκηδόνι ἁγίαν σύνοδον ἐπεχείρησεν ἰδικῶς ἐπισφραγίσασαν τὸ σύμβολον τῶν τιη̄ ἁγίων πατέρων τῶν ἐν Νικαίαι συναχθέντων ἀσάλευτόν τε καὶ ἀπαρεγχείρητον τοῦτο ὑπάρχειν κηρύξασαν, καθὼς καὶ οἱ ἐν Κωνσταντινουπόλει καὶ οἱ ἐν Ἐφέσωι συναχθέντες
M VIII 1047 ὅσιοι πάτερες ὁμοίως ἐβεβαίωσαν, μεθ' ὧν καὶ ἡ ἐν Χαλκηδόνι ἁγία σύνοδος τὰ ὅμοια ἐκδικεῖ προλάμπειν πανταχοῦ τοῦτο κελεύσασα. ἕνεκεν τούτου οὐ μόνον ὡς βλάσφημον, ἀλλὰ καὶ ὡς συκοφάντην καὶ πάσας τὰς ἁγίας συνόδους διὰ τῆς συνόδου ταύτης ὑβρίσαντα τὸν προειρημένον Σεβῆρον ἔρημον πάσης τιμῆς καταστήσαντες ἀναθέματι ὑπεβάλομεν. ταῦτα παρ' ἡμῶν δοκιμασθέντα καὶ τυπωθέντα ἐπὶ τὸν ὅσιον ἄγγελον τῆς σῆς μακαριότητος ἐσπουδάσαμεν δυσωπήσαντες καὶ ὑπογράψαντες ἕκαστος τῆι ἰδίαι χειρὶ ἀναγαγεῖν καὶ ὑποτάξαντες τοὺς προσδοθέντας ἡμῖν λιβέλλους πρὸς ἐπίγνωσιν ἀληθείας, ὥστε διὰ τῆς ὑμετέρας μακαριότητος ταῦτα ἐλθεῖν καὶ εἰς τὸν κράτιστον καὶ γαληνότατον ἡμῶν βασιλέα καὶ τὴν εὐσεβεστάτην καὶ φιλόχριστον αὐγούσταν καὶ τὴν ἔνδοξον αὐτῶν καὶ μεγάλην σύγκλητον.

O [ac, r usque ad 13 ἐκρί(ναμεν), v], I

5 ἴσους O^{av} 6/7 τοῖσ διπτύχοισ τοῖσ ἱεροῖσ O^{av} 9 νεανιεύεσθαι I 10 ἀναχθέντα I 11 αἱ om. O^{arv} πίμονοι I 12 ἐναρμόζοντα O ἐξενεχθῆναι O^{e} 13 - p. 67, 6 (ἐκρί)ναμεν - Λεοντίου om. O^{r} propter folii defectum 13 πάσησ ταύτησ τῆσ O^{e} 15 τε om. I 17 τὸν - - ἀγωνιζόμενον O^{arv} 19 οἱ] ἡ O^{v} 27 τὸ ἅγιον I 29 ὑπάρχον O^{e} 34 ὑποβάλλομεν O^{a}I ὑποβάλομεν O^{v} 36 προδοθέντασ O^{av} 37 προελθεῖν O^{a} 38 ἡμῶν αὐγούσταν I

Ὑπογραφαί

1 Θεόφιλος ἐλέει θεοῦ ἐπίσκοπος Ἡρακλείας Εὐρώπης ὑπέγραψα τῇι ἀναφορᾶι χειρὶ ἐμῇι: —

2 Στέφανος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Νικομηδέων μητροπόλεως ὑπέγραψα τῇι ἀναφορᾶι χειρὶ ἐμῇι: —

3 Βασιλίσκος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Κυζικηνῶν μητροπόλεως ὑπέγραψα τῇι ἀναφορᾶι χειρὶ ἐμῇι: —

4 Ἀναστάσιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Νικαέων μητροπόλεως ὑπέγραψα τῇι ἀναφορᾶι χειρὶ ἐμῇι: —

5 Μαρκιανὸς κατὰ φιλανθρωπίαν θεοῦ ἐπίσκοπος τῆς Χαλκηδονίων μητροπόλεως ὑπέγραψα τῇι ἀναφορᾶι χειρὶ ἐμῇι: —

6 Θεόδοτος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Γαγγρηνῶν μητροπόλεως ὑπέγραψα τῇι ἀναφορᾶι χειρὶ ἐμῇι: —

7 Ὑπάτιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Κλαυδιουπολιτῶν μητροπόλεως τῆς Ὀνωρεατῶν ἐπαρχίας ὑπέγραψα τῇι ἀναφορᾶι : —

8 Κυριακὸς ἐλέει θεοῦ ἐπίσκοπος τῆς Τυανέων μητροπόλεως τῆς δευτέρας Καππαδοκῶν ἐπαρχίας ὑπέγραψα τῇι ἀναφορᾶι: —

9 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος τῆς Κλαυδιουπολιτῶν τῆς Ἰσαύρων χώρας ὑπέγραψα τῇι ἀναφορᾶι: —

10 Σχολαστίκιος ἐλέει θεοῦ ἐπίσκοπος Ναζιανζοῦ ὑπέγραψα τῇι ἀναφορᾶι: —

11 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος Βοσπόρου ὑπέγραψα τῇι ἀναφορᾶι: —

12 Πυθαγόρας ἐλέει θεοῦ ἐπίσκοπος τῆς Σινωπέων τῆς Ἑλενοποντίων ἐπαρχίας ὑπέγραψα τῇι ἀναφορᾶι: —

13 Ἀνδρέας χάριτι θεοῦ ἐπίσκοπος τῆς Τιανῶν τῆς Ὀνωρεατῶν ἐπαρχίας ὑπέγραψα τῇι ἀναφορᾶι χειρὶ ἐμῇι: —

14 Θεόδωρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Ἀδριανούπολιν ἁγίας τοῦ θεοῦ ἐκκλησίας τῆς Ὀνωρεατῶν ἐπαρχίας ὑπέγραψα τῇι ἀναφορᾶι: —

15 Θαλάσσιος ἐλέει θεοῦ ἐπίσκοπος Δορυλαίου ὑπέγραψα τῇι ἀναφορᾶι: —

16 Δωρόθεος ἐλάχιστος ἐπίσκοπος τῆς Κώων νήσου ὑπέγραψα τῇι ἀναφορᾶι: —

17 Ἀμμώνιος συγχωρήσει θεοῦ ἐπίσκοπος τῆς Ἀβυδηνῶν ὑπέγραψα: —

18 Εὐστάθιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Φιλαδελφέων μητροπόλεως τῆς Λυδῶν L V 169
ἐπαρχίας ὑπέγραψα τῇι ἀναφορᾶι: —

19 Πλάτων ἐλέει θεοῦ ἐπίσκοπος τῆς Κρατιανῶν πόλεως ὑπέγραψα: —

20 Φωκᾶς ἐλέει θεοῦ ἐπίσκοπος Δαρδάνου ὑπέγραψα: —

---

1 sq. cf. catalogum episcoporum Coll. Auell. 234

O [= aev], I [usque ad 7]

1 αἱ ὑπογραφαί O^a om. I 2 ἐλέω O^eI 3. 5. 7 χειρὶ ἐμῇι om. $O^eΛ$ 4. 6. 8 ἐλέει θεοῦ om. $O^eΛ$ 4. 6 ἐλέω I 4 τῆσ — μητροπόλεωσ O^{av}I νικομηδείασ $O^eΛ$ 6 τῆσ — μητροπόλεωσ O^{av}I κυζίκου $O^eΛ$ 8—p. 66, 34 Ἀναστάσιος — χειρὶ ἐμῇι] καὶ οἱ λοιποὶ I 8 τῆσ — μητροπόλεωσ O^{av} νικαίασ $O^eΛ$ 10 κατὰ — θῦ O^{av} om. $O^eΛ$ τῆσ — μητροπόλεωσ O^{av} χαλκηδόνοσ $O^eΛ$ χαλκηδονέων O^v 11. 13 χειρὶ ἐμῇι om. O^e 12—22 ἐλέει θεοῦ om. $O^eΛ$ 14 μητροπόλεως om. $O^eΛ$ 14/15 ὀνορεατῶν O^{av} 16 τυάνων μητροπόλεωσ O^{av} τυανέων $O^eΛ$ 20 σχολαστικὸσ $O^eΛ$ 20/21 Ναζιανζοῦ — ἐπίσκοπος om. O^v 21 βοοσπόρου O^e 22 σινωπέων $O^eΛ$ σινωπέων μητροπόλεωσ O^{av} 24 χάριτι θεοῦ om. $O^eΛ$ τιάνων O^e *Teorum* Λ τυάνων μ̄ρ̄ο̄πόλεωσ O^{av} ὀνορεατῶν O^a ὀνονεατῶν O^v 25 χειρὶ ἐμῇι om. O^e 26. 28 ἐλέει θεοῦ om. $O^eΛ$ 26 ἁγίας τοῦ θεοῦ om. $O^eΛ$ 27 ὀνορεατῶν O^a ὀνεατῶν O^v 28 δορυλέου O^e δορυλλέου O^{av} 29 νήσσου O^v τῇι ἀναφορᾶι om. O^{av} 31. 33. 34 ἐλέει θεοῦ om. $O^eΛ$ 31 μητροπόλεως suspectum, om. Λ λυδωνῶν O^v 33 μ̄ρ̄οπόλεωσ O^{av} 34 τῆσ δαρδάνου O^e

21 AMANTIVS EXIGVVS EPISCOPVS NICOPOLITANAE CIVITATIS MYSIAE SECVNDAE SVBSCRIPSI PROPRIA MANV: —

M VIII 1050

22 Κυριακὸς ἐλέει θεοῦ ἐπίσκοπος τῆς Νεοκαισαρέων τῆς Βιθυνῶν ἐπαρχίας ὑπέγραψα τῇι ἀναφορᾶι χειρὶ ἐμῇι: —

23 Παῦλος ἐλέει θεοῦ ἐπίσκοπος Καισαρείας Βιθυνίας ὑπέγραψα: —

24 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος Φαναγορέως ὑπέγραψα τῇι ἀναφορᾶι: —

25 Ἀκύλας ἐλέει θεοῦ ἐπίσκοπος τῆς Πρυμνησίων πόλεως ὑπέγραψα: —

26 Στέφανος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἀναστασιουπόλεως τῆς Φρυγῶν Πακατιανῆς ἐπαρχίας ὑπέγραψα τῇι ἀναφορᾶι: —

27 Πελάγιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Αἰζανιτῶν πόλεως ὑπέγραψα τῇι ἀναφορᾶι: —

28 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος τῆς Γαργαρέων ἐπαρχίας Ἀσίας ὑπέγραψα: —

29 Κυριακὸς ἐλέει θεοῦ ἐπίσκοπος Βασιλινουπόλεως ὑπέγραψα τῇι ἀναφορᾶι: —

30 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος τῆς ὑματῶν πόλεως τῆς Παμφύλων χώρας ὑπέγραψα: —

31 Φωτεινὸς ἐλέει θεοῦ ἐπίσκοπος τῆς Οὐαμανενδεωτῶν πόλεως τῆς Παμφύλων χώρας ὑπέγραψα: —

32 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος Μητροπόλεως τῆς Πισιδῶν χώρας ὑπέγραψα τῇι ἀναφορᾶι: —

33 Κόνων ἐλέει θεοῦ ἐπίσκοπος Ἀδριανουπόλεως ὑπέγραψα: —

34 Μάμας ὁ ἐλάχιστος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἀριστιανῶν πόλεως ἐπαρχίας Φρυγίας Πακατιανῆς ὑπέγραψα: —

35 Μακεδόνιος ἐλέει θεοῦ ἐπίσκοπος Ἐλούζων ὑπέγραψα: —

36 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ὑδητῶν πόλεως ὑπέγραψα: —

37 Μαρκιανὸς ἐλάχιστος ἐπίσκοπος τῆς κατὰ Μαρκιανὴν τὴν πόλιν ἁγιωτάτης ἐκκλησίας ὑπέγραψα τῇι ἀναφορᾶι: —

38 Ἀντίπατρος ἐλέει θεοῦ ἐπίσκοπος ὑπέγραψα τῇι ἀναφορᾶι: —

39 Γοργόνιος ἐπίσκοπος οὐραδίας ὑπέγραψα: —

40 Φώτιος ἐλάχιστος ἐπίσκοπος ἐλέει θεοῦ τῆς Εὐδοκιατῶν τῆς Λυκίων ἐπαρχίας ὑπέγραψα τῇι ἀναφορᾶι χειρὶ ἐμῇι: —

41 Ἰωάννης ἁμαρτωλὸς ἐπίσκοπος Ὀλύμπου τῆς Λυκίων ἐπαρχίας ὑπέγραψα τῇι ἀναφορᾶι χειρὶ ἐμῇι: —

42 Νικόλαος ἐλάχιστος ἐπίσκοπος τῆς Ῥοδιαπολιτῶν ἁγίας τοῦ δεσπότου θεοῦ ἐκκλησίας, ἥτις ἐστὶ μία τῆς Λυκίων ἐπαρχίας, ὑπέγραψα τῇι ἀναφορᾶι χειρὶ ἐμῇι: —

O [= aev]

1/2 om. O^{av} 1 *eps exiguus* Λ EXIGIVS O^{e} 1/2 *propria manu sub.* Λ 1 CEVMBSCRIPSI O^{e} 3—19 ἐλέει θεοῦ om. $O^{e}Λ$ 4 τῇι — ἐμῇι om. $O^{e}Λ$ 7 προιμνησίων O^{e} 8/9 καπατιανῶν ἐπαρχίασ O^{av} πακατιανῆσ O^{e} 9 τῇ ἀναφορᾶ O^{e} om. $O^{av}Λ$ 10 αἰζιανιτῶν O^{av} τῇι ἀναφορᾶι om. O^{av} 12 τῇι ἀναφορᾶι om. $O^{e}Λ$ 13 ὑματῶν [*Commadorum* Λ] corruptum, Σεννέων p. 74.8 17 πισσιδῶν O^{e} 17/18 τῇι ἀναφορᾶι om. $O^{e}Λ$ 19 ἀριαδνουπόλεωσ O^{e} *Adrianae* Λ 20 ὁ — θῦ O^{a} ἐλέει θῦ ἐλάχιστοσ O^{v} om. $O^{e}Λ$ 21 καπατιανῆσ O^{av} om. $O^{e}Λ$ 22. 23 ἐλέει θεοῦ om. $O^{e}Λ$ 24 ἐλάχιστος om. $O^{e}Λ$ 25 τῇι ἀναφορᾶι om. $O^{e}Λ$ 26 om. Λ ἐλέει θεοῦ om. O^{e} 27 corruptum 28 ἐλάχιστος om. $O^{e}Λ$ ἐλέει θεοῦ om. $O^{e}Λ$ 29 τῇι — ἐμῇι om. O^{e} 30/31 post 32—34 coll. O^{a} 30 ἁμαρτωλὸς om. $O^{e}Λ$ 30/31 · 33/34 τῇι — ἐμῇι om. $O^{e}Λ$ 32 ἐλάχιστος om. $O^{e}Λ$ δεσπότου om. $O^{e}Λ$ 33 ἥτις — μία om. $O^{e}Λ$

Λίβελλος τῶν μοναχῶν πρὸς τὴν ἐνδημοῦσαν σύνοδον, ὥιτινι συνέζευκται καὶ ὅπως ἐκηρύχθησαν αἱ τέσσαρες ἐν τῇι ἐκκλησίαι σύνοδοι

26 Τοῖς θεοφιλεστάτοις καὶ ὁσιώτατοις πατράσι καὶ ἐπισκόποις Θεοφίλωι Βασιλίσκωι Ἀναστασίωι Μαρκιανῶι Θεοδότωι Ὑπατίωι Θεοδώρωι Ἰωάννηι Πυθαγόραι καὶ τῇι λοιπῇι εὐαγεῖ συνόδωι ἐνδημούσηι κατὰ ταύτην τὴν βασιλίδα πόλιν παρὰ Ἀλεξάνδρου Κώνστα Διογένους Εὐηθίου Ἀντωνίου Ἀκακίου Ἰωάννου Δόμνου Λεοντίου Ἰωάννου Πολυχρονίου Ἀνατολίου Μαρτυρίου Κυριακοῦ Ἰουλιανοῦ Ἀλεξάνδρου Ἰακώβου Χριστίνου Ἰωάννου Βασιλίσκου Βαβύλα Ὑπατίου Μάρκου καὶ τῶν λοιπῶν πρεσβυτέρων καὶ ἀρχιμανδριτῶν τῶν εὐαγῶν μοναστηρίων τῶν διακειμένων κατὰ τὴν φιλόχριστον καὶ L V 172
βασιλίδα πόλιν καὶ παντὸς τοῦ μοναχικοῦ τάγματος. Μέλει μὲν τῇι ὑμετέραι ἁγιωσύνηι τῆς πίστεως τῆς ὀρθῆς καὶ τῆς ἄλλης εὐταξίας τῶν ἁγιωτάτων ἐκκλησιῶν καὶ πρὸ M VIII 1051
τῆς ἡμετέρας αἰτήσεως· ἐπειδὴ δὲ καὶ ἡμᾶς ἔδει μέρος γενέσθαι τῶν εἰς δόξαν θεοῦ συντελούντων, δίκαιον ἡγησάμεθα πρῶτον μὲν εὐχαριστῆσαι τῶι σκοπῶι τῆς ὑμετέρας ἁγιωσύνης καὶ τῶι εὐσεβεῖ ζήλωι τῶν καλλινίκων ἡμῶν βασιλέων, εἶθ' οὕτως ἐπὶ τὴν παροῦσαν ἰδεῖν δέησιν, δι' ἧς ἀξιοῦμεν πάντες ἡμεῖς καὶ δι' ἡμῶν ὁ λοιπὸς κατάλογος τῶν εὐλαβεστάτων μοναχῶν ὡς ἐκ μιᾶς γνώμης τὰ καλῶς καὶ συμφερόντως κινηθέντα ἐν τῇι ἁγιωτάτηι μεγάληι ἐκκλησίαι τῆς βασιλίδος ταύτης πόλεως παρὰ τοῦ πιστοτάτου λαοῦ καὶ τὰ προσφωνηθέντα πρὸς τὸν αὐτὸν φιλόχριστον λαὸν παρὰ τοῦ τὰ πάντα ὁσιωτάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου ἡμῶν καὶ οἰκουμενικοῦ πατριάρχου Ἰωάννου, ταῦτα διὰ φωνῆς τῆς ἁγίας ὑμῶν συνόδου ἐγγράφως δέξασθαι τὸ κῦρος καὶ τοὺς οὐκ ἴσμεν ὅπως ἐξεωθέντας ἐν ὁσίαι τῇι μνήμηι γενομένους πατέρας ἡμῶν, φαμὲν Εὐφήμιον καὶ Μακεδόνιον, τούτους ἐπὶ τοῦ παρόντος δικαίως καὶ κανονικῶς ἀνακληθῆναι καὶ ἀποδοθῆναι τῶι καταλόγωι τῶν πρὸ αὐτῶν ἐνταῦθα ἐν κυρίωι ἀναπαυσαμένων ἀρχιεπισκόπων, πάντων ἀργῶν μενόντων τῶν κατ' αὐτῶν ὁπωσοῦν γενομένων, προστεθῆναι δὲ ταῖς ἁγίαις δέλτοις σὺν αὐτοῖς καὶ τὸ θεοφιλὲς ὄνομα τοῦ τῆς Ῥωμαίων ἀρχιεπισκόπου γενομένου Λέοντος. τὸ δὲ πάντων μέγιστον καὶ πάντας διεγεῖρον πρὸς τὴν ὀρθοδοξίαν, αἰτοῦμεν ὑμᾶς, ὁσιώτατοι, ὅπως καὶ τὰς κατὰ καιρὸν ὑπὲρ εὐσεβείας συναθροισθείσας ἁγίας συνόδους ἐντεθῆναι ταῖς αὐταῖς δέλτοις, τουτέστι τήν τε ἐν Νικαίαι ἐκφωνήσασαν τὸ ἅγιον σύμβολον, ἐν ὧι ἐβαπτίσθημεν καὶ βαπτίζομεν, καὶ τὴν ἐν Κωνσταντινουπόλει τοῦτο κυρώσασαν καὶ τὴν ἐν Ἐφέσωι ὁμοίως βεβαιώσασαν καὶ τὴν ἐν Χαλκηδόνι ὡσαύτως ἐπισφραγίσασαν. πρὸς τούτοις δὲ παρακαλοῦμεν προστεθῆναι καὶ τοῦτο ὥστε καὶ Σεβῆρον τὸν ἄθεσμα κατὰ τῆς ἐκκλησιαστικῆς εὐταξίας τολμήσαντα εἰπεῖν ἀναθεματισθῆναι. ὁμοίως δὲ ἐξαιτοῦμεν καὶ τοὺς διὰ τὴν αἰτίαν τῶν προειρημένων ὁσιωτάτων πατέρων ἐξελαθέντας ἐπισκόπους τε καὶ κληρικοὺς καὶ ἀρχιμανδρίτας καὶ μοναχοὺς καὶ λαικούς, τούτους διὰ πρεσβείας ὑμετέρας γινομένης πρός τε τὸν ἁγιώτατον καὶ ὁσιώτατον ἀρχιεπίσκοπον ἡμῶν καὶ οἰκουμενικὸν πατριάρχην Ἰωάννην καὶ τοὺς εὐσεβεστάτους καὶ καλλινίκους ἡμῶν βασιλεῖς ἐπανακληθῆναι καὶ ἀποδοθῆναι τῇι οἰκείαι τάξει. καὶ ἵνα μὴ εἰς πλῆθος λόγων ἐκτείνωμεν τὰς ἱκετείας, παρακαλοῦμεν τάς τε ἐκβοήσεις παντὸς τοῦ φιλοχρίστου λαοῦ καὶ τὰς προσφωνήσεις τὰς γενομένας ἐν τῇι εἰρημένηι ἁγιωτάτηι μεγάληι ἐκκλησίαι παρὰ τοῦ αὐτοῦ ἁγιωτάτου ἀρχιεπισκόπου καὶ οἰκουμενικοῦ πατριάρχου διὰ

O [= ae, r (inde a 7 πολυχρονίου), v], I

1 ἐνδημοῦσαν O ἐν κωνσταντινουπόλει I 2 ἐν — ἐκκλησίαι om. I 6 ἀντωνίνου O^e 8 βασιλικοῦ $O^eΛ$ 10 μέλλει O^r 11 τῆς τε O^e 12 ἐπεὶ O^e 12/13 συντελούντων I λυσιτελούντων O 14 τῶ O^rI om. O^{aev} 17 καὶ μεγάλη O^{av} om. I 18 τὰ I om. O αὐτὸν $O^{ae}Λ$ αὐτοῦ $O^{rv}I$ τά om. O^v 20 ἁγιωτάτης $O^eΛ$ ἡμῶν O^r 21 ἐξεωσθέντασ I φαμὲν om. I 30 Ἐφέσωι — ἐν om. O^{av} 31 δὲ om. O^{av} 33 πρῶν $O^{arv}I$ ἐπισκόπων $O^eΛ$ 35 καὶ ὁσιώτατον om. I 38 παντὸς om. I τοῦ om. O^r 38 προφωνήσεισ O^r γινομένασ O^{av} 40 ἀρχιεπισκόπου om. I

ἱερᾶς ὑμῶν φωνῆς καὶ ὑποσημειώσεως καὶ εὐσεβοῦς τύπου τοῦ καλλινίκου ἡμῶν βασιλέως βεβαιωθῆναι. τὰς δὲ ἐκβοήσεις καὶ προσφωνήσεις ὑπετάξαμεν.

Ἴσον ὑπογραφῶν

1 Ἀλέξανδρος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ τῆς ὁσίας μνήμης Δαλματίου καὶ ἔξαρχος τῶν εὐαγῶν μοναστηρίων ὑπέγραψα χειρὶ ἐμῇ: —

L V 173
M VIII 1054

2 Κώνστας πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ τῆς ὁσίας μνήμης Δίου προτάξας τῇι ἰδίαι μου χειρὶ τὸν τίμιον σταυρὸν καὶ τὸ ὄνομά μου ὑπέγραψα τοῖσδε τοῖς λιβέλλοις διὰ χειρὸς Στρατονίκου πρεσβυτέρου καὶ δευτεραρίου μου: —

3 Διογένης πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ τῆς ὁσίας μνήμης Θαλασσίου τῶν ἐπίκλην Ἀνυποδέτων προτάξας τῇι ἰδίαι μου χειρὶ τὸν τίμιον σταυρὸν καὶ τὸ ὄνομά μου ὑπέγραψα διὰ Χρηστοῦ ἀναγνώστου διὰ τὸ ἐμὲ γήραι κρατεῖσθαι καὶ μὴ δυνάμενον τὰ ὅλα δι' ἑαυτοῦ ὑπογράψαι: —

4 Εὐήθιος διάκονος καὶ ἀρχιμανδρίτης τῆς εὐαγοῦς μονῆς τῶν Ἀκοιμήτων ὑπέγραψα χειρὶ ἐμῇ: —

5 Ἰωάννης ἐλέει θεοῦ πρεσβύτερος τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας καὶ ἡγούμενος μονῆς τοῦ ἐν ἁγίοις Εὐσεβίου ὑπέγραψα τοῖς λιβέλλοις χειρὶ ἐμῇ: —

6 Ἀντώνιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης τῆς εὐαγοῦς μονῆς τῶν Ἀβραμίου ὑπέγραψα χειρὶ ἐμῇ: —

7 Ἀκάκιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης τῆς εὐαγοῦς μονῆς τοῦ ἁγίου Κυριακοῦ ὑπέγραψα τοῖσδε τοῖς λιβέλλοις: —

8 Δόμνος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ τῆς ὁσίας μνήμης Ἰὼβ προτάξας τῇι ἰδίαι μου χειρὶ τὸν τίμιον σταυρὸν καὶ τὰ ὀνομά μου τὰ λοιπὰ ὑπέγραψα διὰ χειρὸς Γυμνασίου μοναχοῦ καὶ ἀποκρισιαρίου μου διὰ τὸ ἐμὲ γέροντα εἶναι καὶ ἀσθενῆ καὶ μὴ δυνάμενον τὰ ὅλα δι' ἑαυτοῦ ὑπογράψαι: —

9 Ἰωάννης πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ τῆς ὁσίας μνήμης Μανουηλίου προτάξας τῇι ἰδίαι μου χειρὶ τὸν τίμιον σταυρὸν καὶ τὸ ὄνομά μου τὰ λοιπὰ ὑπέγραψα τοῖσδε τοῖς λιβέλλοις διὰ χειρὸς Τρύφωνος πρεσβυτέρου μου διὰ τὸ ἐμὲ γέροντα εἶναι καὶ μὴ δύνασθαι τὰ ὅλα ὑπογράψαι: —

10 Λεόντιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ ἐν ὁσίοις Τρύφωνος ὑπέγραψα τοῖσδε τοῖς λιβέλλοις χειρὶ ἐμῇ: —

11 Ἰωάννης πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῶν ἐπίκλην Κώνστα προτάξας τῇι ἰδίαι μου χειρὶ τὸν τίμιον σταυρὸν ὑπέγραψα τοῖσδε τοῖς λιβέλλοις διὰ

O [= ae, r usque ad 14, v, l [usque ad 14]

3 ἴσον ὑπογραφῶν O^{av} ὑπογραφαί $O^{e}I$ om. O^{r} 4 ἐλέω $O^{er}I$ καὶ om. $O^{e}Λ$ 4 5 μονῆς τοῦ τῆσ ὁσίασ μνήμησ δαλματίου [δίου O^{r}] $O^{r}I$ om. O^{aev} 7. 11 τῆς ὁσίασ μνήμησ $O^{arv}I$ ὁσίου O^{e} 8—10 προτάξας — δευτεραρίου μου om. $O^{e}Λ$ 8 ὑπογράψασ O^{r} 9 τοῖς om. O^{r} πρεσβυτέρου om. O^{r} δευτεριαρίου O^{arv} 12 ἐπίκλην om. $O^{e}Λ$ ἀνυποδύτων O^{e} 12—14 προτάξας — ὑπογράψαι om. $O^{e}Λ$ 14 δύνασθαι $O^{r}I$ 15—p. 71, 29 ὑπέγραψα] καὶ οἱ λοιποί $O^{r}I$ 15 τῆς εὐαγοῦς om. $O^{e}Λ$ 16 χειρὶ ἐμῇ om. $O^{e}Λ$ 17 ἐλέει θεοῦ om. $O^{e}Λ$ 18 μονῆς om. $O^{e}Λ$ τοῖς — ἐμῇ om. $O^{e}Λ$ 19. 20 post 21. 22 coll. O^{a} 19 ἀντωνῖνοσ O^{e} τῆς εὐαγοῦς om. $O^{e}Λ$ 20 χειρὶ ἐμῇ om. $O^{e}Λ$ 21 ἐλέει θεοῦ om. $O^{e}Λ$ τῆς εὐαγοῦς om. $O^{e}Λ$ 22 τοῖσδε — λιβέλλοις om. $O^{e}Λ$ 23—26 προτάξας — ὑπογράψαι] ὑπέγραψα $O^{e}Λ$ 26 καὶ ἀσθενῆ om. O^{v} δύνασθαι O^{v} δι' ἑαυτοῦ om. O^{v} 27 μνήμης om. O^{a} 28—30 προτάξας — ὑπογράψαι] ὑπέγραψα $O^{e}Λ$ 29 τοῖσδε — λιβέλλοις om. O^{v} τρύφωνοσ — μου O^{a} γυμνασίου μοναχοῦ καὶ ἀποκρισιαρίου μου O^{v} 31 μονῆς om. O^{e} 32 τοῖσδε — ἐμῇ om. $O^{e}Λ$ 33 ἐπίκλην om. $O^{e}Λ$ 33—p. 69, 2 προτάξας — εἰδέναι] ὑπέγραψα $O^{e}Λ$

χειρὸς Σεργίου τοῦ ἐμοῦ διακόνου καὶ ἀποκρισιαρίου διὰ τὸ ἐμὲ γράμματα μὴ εἰδέναι: —

12 Πολυχρόνιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῆς ἐν τῶι αἰθρίωι ὑπέγραψα: —

13 Σωφρόνιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῆς ἐπίκλην ἐν τῶι καλάμωι ὑπέγραψα: —

14 Ἀνατόλιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῆς Ἀστερίου ὑπέγραψα τοῖς λιβέλλοις χειρὶ ἐμῆι: —

15 Μαρτύριος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῆς κατὰ Βασιανὸν τὸν τῆς ὁσίας μνήμης προτάξας τῆι ἰδίαι μου χειρὶ τὸν τίμιον σταυρὸν καὶ τὸ ὄνομά μου τὰ λοιπὰ ὑπέγραψα διὰ χειρὸς Ἰωσηφίου διακόνου καὶ μοναχοῦ τοῦ αὐτοῦ μοναστηρίου διὰ τὸ ἐμὲ γέροντα εἶναι καὶ μὴ δύνασθαι τὰ ὅλα ὑπογράψαι: —

16 Κυριακὸς πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῆς ἐπίκλην τῶν Σύρων ἐπιδοὺς τούσδε τοὺς λιβέλλους καὶ αἰτήσας πάντα τὰ προγεγραμμένα ὑπέγραψα χειρὶ ἐμῆι: —

17 Ἰουλιανὸς πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ ἐν ὁσίοις Φωκᾶ ὑπέγραψα τοῖς λιβέλλοις διὰ χειρὸς Δημητρίου τοῦ ἐμοῦ διακόνου προτάξας τῆι ἰδίαι μου χειρὶ τὸν τίμιον σταυρὸν διὰ τὸ ἐμὲ γράμματα μὴ εἰδέναι: —

18 Ἰάκωβος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῶν Ῥωμαίων τῆς ἐν τῶι Πετρίωι ὑπέγραψα χειρὶ ἐμῆι: —

19 Χριστῖνος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ ἐν ὁσίοις Θεοδώρου προτάξας τῆι ἰδίαι μου χειρὶ τὸν τίμιον σταυρὸν ὑπέγραψα τοῖσδε τοῖς λιβέλλοις διὰ χειρὸς Θεοδώρου μοναχοῦ διὰ τὸ ἐμὲ ἀσθενεῖς ἔχειν τὰς χεῖρας: —

20 Ἰωάννης πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ ἁγίου Ἰωάννου τῶν Στουδίου προτάξας τῆι ἰδίαι μου χειρὶ τὸν τίμιον σταυρὸν καὶ τὸ ὄνομά μου τὰ λοιπὰ ὑπέγραψα τοῖσδε τοῖς λιβέλλοις διὰ χειρὸς Θεοδώρου ἀναγνώστου καὶ μοναχοῦ διὰ τὸ ἐμὲ γέροντα εἶναι καὶ ἀσθενῆ: —

21 Βασιλίσκος πρεσβύτερος καὶ ἀρχιμανδρίτης τῆς ἁγίας Εὐφημίας τῆς ἐν τοῖς Ὀλυβρίου προτάξας τῆι ἰδίαι μου χειρὶ τὸν τίμιον σταυρὸν καὶ τὸ ὄνομά μου τὰ λοιπὰ ὑπέγραψα διὰ χειρὸς Ἀνδρονίκου πρεσβύτερου τοῖσδε τοῖς λιβέλλοις διὰ τὸ ἐμὲ γέροντα εἶναι καὶ τρέμειν: —

22 Βαβύλας πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ ἐν ἁγίοις Δανιὴλ τοῦ ἐν τῶι στύλωι ὑπέγραψα χειρὶ ἐμῆι: —

23 Ὑπάτιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Ὀλυμπίου ὑπέγραψα: —

24 Μάρκος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς ἐπίκλην Ἱερουσαλὴμ ὑπέγραψα τοῖσδε τοῖς λιβέλλοις αἰτήσας πάντα τὰ ἐν αὐτοῖς ἐμφερόμενα: —

25 Κυριακὸς πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Ἀναστασίου ἐν τῶι ἀγωγῶι προτάξας τῆι ἰδίαι μου χειρὶ τὸν τίμιον σταυρὸν ὑπέγραψα διὰ χειρὸς Σαββατίον τοῦ ἐμοῦ ἀποκρισιαρίου τοῖσδε τοῖς λιβέλλοις: —

O [= acv]

1 γράφειν O^a 3. 5 ἐλέει θεοῦ om. $O^eΛ$ 3. 4 *s. Michaelis in Ethrio* Λ 5—7 ἐπίκλην — τῆς O^e om. O^{av} 7. 8 τοῖς — ἐμῆι om. $O^eΛ$ 9. 10 τῆς¹ — μνήμης] τοῦ ὁσίου βασιανοῦ $O^eΛ$ 10—12 προτάξας — ὑπογράψαι] ὑπέγραψα $O^eΛ$ 13 τῆς O^e τὸ O^a τῶν O^v 13—15 ἐπιδοὺς — ἐμῆ O^{av} ὑπέγραψα $O^eΛ$ 17. 18 τοῖς — εἰδέναι om. $O^eΛ$ 20 χειρὶ ἐμῆι om. $O^eΛ$ 22/23 προτάξασ — χεῖρασ O^{av} ὑπέγραψα $O^eΛ$ 24 τοῦ — Ἰωάννου om. $O^eΛ$ 25—27 προτάξασ — ἀσθενῆ O^{av} ὑπέγραψα $O^eΛ$ 28 βασιλικὸσ O^e *Basilius* Λ τῆς² om. O^{av} 29 ὀλυμβρίου $O^eΛ$ 29—31 προτάξασ — τρέμειν O^{av} ὑπέγραψα $O^eΛ$ 32 ἐν ἁγίοισ O^{av} ὁσίου $O^eΛ$ τοῦ² cf. p. 36, 2. 47, 8 τῆς O 33 χειρὶ ἐμῆι om. $O^eΛ$ 35 ἐλέει θεοῦ om. $O^eΛ$ ἐπίκλην om. $O^eΛ$ 36 τοῖσδε — ἐμφερόμενα om. $O^eΛ$ 38. 39 προτάξασ — λιβέλλοισ O^{av} ὑπέγραψα $O^eΛ$

26 Σωφρόνιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Θεοδώρου Αἰγυπτίου ὑπέγραψα: —

27 Ἠλίας ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ ἐν ὁσίοις Εὐφημίου ὑπέγραψα τοῖσδε τοῖς λιβέλλοις χειρὶ ἐμῇι: —

L V 176 28 Ῥαβουλᾶς πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῆς ἐπίκλην τοῦ τῆς ὁσίας μνήμης Ἠλία ὑπέγραψα διὰ χειρὸς Θωμᾶ διακόνου διὰ τὸ ἐμὲ μὴ εἰδέναι Ἑλληνιστί: —

M VIII 1055 29 Ἀνδρέας ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῆς ἐπίκλην Κυριακοῦ τοῦ τῆς ὁσίας μνήμης ὑπέγραψα: —

30 Ἀρίστων πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῆς ἐπίκλην Ἰωάννου ὑπέγραψα τοῖς λιβέλλοις διὰ χειρὸς Ἀκακίου διακόνου διὰ τὸ ἐμὲ γράμματα μὴ εἰδέναι: —

31 Ζώσιμος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Μαξιμίνου αἰτήσας πάντα τὰ ἐμφερόμενα τοῖς λιβέλλοις ὑπέγραψα: —

32 Ἰωάννης ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῶν Κύρου πλησίον τοῦ ἁγίου Ῥωμανοῦ ἐν τοῖς Ἑλλεβίχου ὑπέγραψα τοῖς λιβέλλοις: —

33 Τιμόθεος πρεσβύτερος καὶ ἀρχιμανδρίτης ὑπέγραψα: —

34 Ζώιλος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Θεοδότου ὑπέγραψα τοῖς λιβέλλοις: —

35 Δωρόθεος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῶν Θεοδώρου ὑπέγραψα τοῖς λιβέλλοις προτάξας τῆι ἰδίαι μου χειρὶ τὸν τίμιον σταυρὸν διὰ χειρὸς Πέτρου διακόνου διὰ τὸ ἐμὲ ἐγκλίνιον εἶναι: —

36 Ζωτικὸς πρεσβύτερος καὶ ἀρχιμανδρίτης ὑπέγραψα τοῖς λιβέλλοις: —

37 Παντολέων πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῆς ἐπιλεγομένης Βεναντίου ἐπιδοὺς τοὺς λιβέλλους ὑπέγραψα χειρὶ ἐμῇι: —

38 Ὑπάτιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῶν Χαρισίου προτάξας τῆι ἰδίαι μου χειρὶ τὸν τίμιον σταυρὸν ὑπέγραψα τοῖσδε τοῖς λιβέλλοις διὰ χειρὸς Ἐλευθερίου διακόνου διὰ τὸ ἐμὲ γράμματα μὴ εἰδέναι: —

39 Εὐγένιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ ἁγίου Γεωργίου ἐν τῶι Ξηροκίρκωι προτάξας τῆι ἰδίαι μου χειρὶ τὸν τίμιον σταυρὸν ὑπέγραψα τοῖς λιβέλλοις διὰ χειρὸς Ἐλευθερίου διακόνου διὰ τὸ ἐμὲ γράμματα μὴ εἰδέναι: —

40 Εὐτύχιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῶν Λυκαόνων πλησίον τοῦ ἁγίου Λαυρεντίου ἐπιδοὺς τοὺς λιβέλλους ὑπέγραψα: —

41 Ἀλέξανδρος πρεσβύτερος καὶ ἀρχιμανδρίτης ὑπέγραψα τοῖς λιβέλλοις: —

42 Συμεὼν πρεσβύτερος καὶ ἀρχιμανδρίτης τῶν Καιουμᾶ ὑπέγραψα: —

43 Ἐλευθέριος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Παυλίνου ὑπέγραψα: —

44 Ἀμβρόσιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῆς ἁγίας Μαρίας τῆς ἐν τῶι λιθοστρώτωι ἐπιδοὺς τοὺς λιβέλλους ὑπέγραψα χειρὶ ἐμῇι: —

O [– aev]

1 μονῆς om. O^v 3 ἐλέει θεοῦ om. $O^eΛ$ 4 τοῖσδε — ἐμῇι om. $O^eΛ$ 6. 7 διὰ — Ἑλληνιστί om. $O^eΛ$ 8 ἐλέει θεοῦ om. $O^eΛ$ 9 τοῦ — μνήμης om. $O^eΛ$ 11 τοῖς — εἰδέναι om. $O^eΛ$ 12. 14 ἐλέει θεοῦ om. $O^eΛ$ 12 μαξίμου O^e 12—14 Μαξιμίνου — μονῆς τῶν om. Λ 12/13 αἰτήσας — λιβέλλοις om. O^e 14/15 πλησίον — Ῥωμανοῦ om. $O^eΛ$ 15 ἐλεβίχου $O^eΛ$ 15. 17/18 τοῖς λιβέλλοις om. $O^eΛ$ 19—21 τοῖς — εἶναι om. $O^eΛ$ 22 post 23. 24 coll. O^v πρεσβύτεροσ O *presbyter monasterii sancti Andreae prope portam Satur⟨n⟩inam* Λ τοῖς λιβέλλοις om. $O^eΛ$ 23 λεγομένησ $O^eΛ$ 24 ἐπιδοὺσ — ἐμῇ O^{av} ὑπέγραψα $O^eΛ$ 25 ἐλέει θεοῦ om. $O^eΛ$ χαρσίου O^e 25—27 προτάξασ — εἰδέναι O^{av} ὑπέγραψα $O^eΛ$ 28/29 τῆ ξηροκέρκω $O^eΛ$ 29/30 προτάξασ — εἰδέναι O^{av} ὑπέγραψα $O^eΛ$ 32 ἐπιδοὺς — λιβέλλους om. $O^eΛ$ 33 τοῖς λιβέλλοις om. $O^eΛ$ 34 συμεώνησ $O^eΛ$ 36 ἐλέει θεοῦ om. O^e 35 ἐπιδοὺσ — ἐμῇι O^{av} ὑπέγραψα $O^eΛ$

45 Σάβας πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ ἁγίου Θωμᾶ πλησίον τῆς κινστέρνης ὑπέγραψα τοῖς λιβέλλοις δι' Ἀουλσαβοῦ πρεσβυτέρου διὰ τὸ ἐμὲ γράμματα μὴ εἰδέναι: —

46 Παῦλος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῶν Λυκαόνων ὑπέγραψα τοῖσδε τοῖς λιβέλλοις διὰ χειρὸς Ἰουλιανοῦ ἀναγνώστου διὰ τὸ ἐμὲ ἀσθενείαι συσχεθῆναι καὶ μὴ δυνηθῆναι ὑπογράψαι: —

47 Βιβέντιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῆς ἐπίκλην τῶν Ῥωμαίων ὑπέγραψα τοῖσδε τοῖς λιβέλλοις διὰ χειρὸς Στεφάνου μοναχοῦ τοῦ αὐτοῦ μοναστηρίου διὰ τὸ ἐμὲ γράμματα μὴ εἰδέναι: —

48 Ἀλέξανδρος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῶν Κυκλωπίων ὑπέγραψα τοῖσδε τοῖς λιβέλλοις διὰ χειρὸς Φωκᾶ μοναχοῦ καὶ ἀποκρισιαρίου διὰ τὸ ἐμὲ τὰς χεῖρας ἀλγεῖν καὶ μὴ δύνασθαι ὑπογράψαι: —

49 Ἰορδάνης ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῆς ἁγίας Μαρίας πλησίον τοῦ ἁγίου Λουκᾶ ὑπέγραψα: —

50 Ζηνόβιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Μαρωνίου ἐν Συκαῖς ὑπέγραψα τοῖς λιβέλλοις: —

51 Ἀνατόλιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Φιλίππου ὑπέγραψα τοῖς λιβέλλοις χειρὶ ἐμῇ: —

52 Ἰάκωβος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῆς ἁγίας Μαρίας πλησίον τῶν Βουκολίων ἐπιδοὺς τούσδε τοὺς λιβέλλους ὑπέγραψα διὰ χειρὸς Εὐσταθίου μοναχοῦ διὰ τὸ ἐμὲ ὀλιγογράμματον εἶναι προτάξας τὸν τίμιον σταυρὸν καὶ τὸ ὄνομά μου: —

53 Ἠλίας ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Σαμουὴλ τοῦ τῆς ὁσίας μνήμης τοῦ ὄντος ἐν Συκαῖς ἐπιδοὺς τούσδε τοὺς λιβέλλους ὑπέγραψα διὰ χειρὸς Κοσμᾶ μοναχοῦ διὰ τὸ ἐμὲ γράμματα μὴ εἰδέναι προτάξας τῇ ἰδίαι μου χειρὶ τὸν τίμιον στὰυρόν: —

54 Λεόντιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ ἁγίου ἀρχαγγέλου Μιχαὴλ τοῦ ἐν τοῖς Πουσέου ἐπιδοὺς τούσδε τοὺς λιβέλλους ὑπέγραψα χειρὶ ἐμῇ: —

Ὅπως ἐκηρύχθησαν ἐν τῇ ἐκκλησίαι αἱ σύνοδοι

L V 177
M VIII 1058

27 Εἰσόδου γενομένης κατὰ τὸ σύνηθες ἐν τῇ ἁγιωτάτῃ ἡμῶν μεγάλῃ ἐκκλησίαι ἐν ἡμέραι κυριακῇ τῇ πεντεκαιδεκάτῃ τοῦ ἐνεστῶτος Ἰουλίου μηνὸς τῆς ἐνδεκάτης ἐπινεμήσεως παρὰ τοῦ δεσπότου ἡμῶν τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου καὶ οἰκουμενικοῦ πατριάρχου Ἰωάννου, ὡς οὐκ ἀγνοεῖ καὶ ἡ ὑμετέρα θεοφίλεια, ἐν τῷι γενέσθαι αὐτὸν σὺν τῷι εὐαγεῖ κλήρωι περὶ τὸν ἄμβωνα φωναὶ γεγόνασιν ἀπὸ τοῦ λαοῦ λέγουσαι· a. 518

Πολλὰ τὰ ἔτη τοῦ πατριάρχου, πολλὰ τὰ ἔτη τοῦ βασιλέως, πολλὰ τὰ ἔτη τῆς αὐγούστας, πολλὰ τὰ ἔτη τοῦ πατριάρχου· ἀκοινώνητοι διὰ τί μένομεν ἐπὶ τοσαῦτα

O [= ae, r (inde a 31), v], I [inde a 30]

1 σάββασ $O^{eΛ}$ 2/3 τοῖς — εἰδέναι om. $O^{eΛ}$ 4—6 τοῖσδε — ὑπογράψαι om. O^{e} 7 βιβέντιοσ O^{e} λιβέντιοσ O^{av} 8/9 τοῖσδε — εἰδέναι om. $O^{eΛ}$ 10 κυκλώπων $O^{eΛ}$ 11/12 τοῖσδε — ὑπογράψαι om. $O^{eΛ}$ 13. 15 ἐλέει θεοῦ om. $O^{eΛ}$ 13/14 τῆσ — λουκᾶ $O^{eΛ}$ πλησίου τοῦ — λουκᾶ τῆσ — μαρίασ O^{av} 16 τοῖς λιβέλλοις om. $O^{eΛ}$ 18/19 τοῖς — ἐμῇι om. $O^{eΛ}$ 20/22 ἐπιδοὺσ — μου O^{av} ὑπέγραψα $O^{eΛ}$ 23 ἐλέει θεοῦ om. $O^{eΛ}$ μονῆς om. Λ 23/24 τῆς ὁσίας — ὄντος om. $O^{eΛ}$ 24/26 ἐπιδοὺσ — σταυρὸν O^{av} ὑπέγραψα $O^{eΛ}$ 27 ἐλέει θεοῦ om. $O^{eΛ}$ μονῆσ O^{e} om. O^{av} 28 Μιχαὴλ om. $O^{eΛ}$ 28/29 ἐπιδοὺσ — ἐμῇ O^{av} ὑπέγραψα $O^{eΛ}$ 30 om. O^{r} ἐν τῇ ἐκκλησίαι om. $O^{aev}Λ$ 13 Ἐσόδου O^{e} 32 τῇι om. $O^{r}I$ 34 καὶ om. I ἡμετέρα O^{v} 37 αὐγούστησ O^{ae}

ἔτη; διὰ τί οὐ κοινωνοῦμεν; ἐκ τῶν χειρῶν σου κοινωνῆσαι θέλομεν. ἐὲς ἄνελθε εἰς τὸν ἄμβωνα, ἐὲς πεῖσον τὸν λαόν σου. διὰ πολλῶν ἐτῶν κοινωνῆσαι θέλομεν. ὀρθόδοξος εἶ, τίνα φοβῆσαι; ἄξιε τῆς τριάδος· ἡ ἁγία Μαρία θεοτόκος ἐστίν. ἄξιε τοῦ θρόνου· ἡ ἁγία Μαρία θεοτόκος ἐστίν. πολλὰ τὰ ἔτη τοῦ βασιλέως, πολλὰ τὰ ἔτη τῆς αὐγούστας· Σεβῆρον τὸν Μανιχαῖον ἔξω βάλε· ὁ μὴ λαλῶν Μανιχαῖός ἐστιν. ἀνασκαφῆι τὰ ὀστέα τῶν Μανιχαίων. τὴν ἁγίαν σύνοδον ἄρτι κήρυξον. πολλὰ τὰ ἔτη τοῦ βασιλέως, πολλὰ τὰ ἔτη τοῦ πατριάρχου· ἄξιε τῆς τριάδος, ἡ ἁγία σύνοδος ἄρτι κηρυχθήτω. ἄξιε τῆς τριάδος, ἡ ἁγία Μαρία θεοτόκος ἐστίν. ἄξιε τοῦ θρόνου, ἡ ἁγία Μαρία θεοτόκος ἐστίν· ἡ ἁγία σύνοδος τοῦτο εἶπεν. ὁ μὴ λαλῶν Μανιχαῖός ἐστι. νικᾶι ἡ πίστις τῆς τριάδος, νικᾶι ἡ πίστις τῶν ὀρθοδόξων. τὴν ἁγίαν σύνοδον ἄρτι κήρυξον· ὀρθόδοξος βασιλεύει, τίνα φοβῆσαι; νικᾶι ἡ πίστις τοῦ βασιλέως, νικᾶι ἡ πίστις τῆς αὐγούστας. τοῦ νέου Κωνσταντίνου πολλὰ τὰ ἔτη, τῆς νέας Ἑλένης πολλὰ τὰ ἔτη· πολλὰ τὰ ἔτη τοῦ πατριάρχου· ἄξιε τῆς τριάδος· Ἰουστῖνε αὔγουστε TVINCAS· τοῦ νέου Κωνσταντίνου πολλὰ τὰ ἔτη· ἢ ἐξέρχηι ἢ κηρύοσσεις. πολλὰ τὰ ἔτη τοῦ βασιλέως· Ἰουστῖνε αὔγουστε TVINCAS· τὴν σύνοδον Χαλκηδόνος ἄρτι κήρυξον. Ἰουστῖνος βασιλεύει, τίνα φοβῆσαι; Σεβῆρον τὸν Μανιχαῖον ἔξω βάλε. τὴν σύνοδον Χαλκηδόνος ἄρτι κήρυξον. ὁ μὴ ἀναθεματίζων Σεβῆρον Μανιχαῖός ἐστιν. ἀνάθεμα Σεβήρωι τῶι Μανιχαίωι· ὁ μὴ λαλῶν Μανιχαῖός ἐστι. Σεβῆρον ἔξω βάλε, τὸν νέον Ἰούδαν ἔξω βάλε, τὸν ἐπίβουλον τῆς τριάδος ἔξω βάλε. τὴν ἁγίαν σύνοδον ἄρτι κήρυξον. ἐὲς μαρτύρομαι· ἢ κηρύσσεις ἢ ἐξέρχηι. πίστις ἐστίν, οὐκ ἔνι θεωρεῖν. ἀδελφοὶ Χριστιανοὶ μία ψυχή. Ἰουστῖνε αὔγουστε TVINCAS· εἰ φιλεῖς τὴν πίστιν, Σεβῆρον ἀναθεμάτισον. ἐὲς μαρτύρομαι· ἐὲς σύρω σε, ἐὲς τὰς θύρας κλείω. ὁ μὴ λαλῶν Μανιχαῖός ἐστιν. μαρτύρομαί σε· οὐδὲν παρ' ἐμέ. ὀρθόδοξος βασιλεύει, τίνα φοβῆσαι; τοῦ ὀρθοδόξου βασιλέως πολλὰ τὰ ἔτη· Σεβῆρον τὸν ἐπίβουλον τῆς τριάδος ἔξω βάλε, τὸν νέον Ἰούδαν ἔξω βάλε· ὁ μὴ λαλῶν Μανιχαῖός ἐστιν. ἐὲς σύναξιν τῆι συνόδωι, ἐὲς ἄρτι κήρυξον. μὰ τὸ εὐαγγέλιον, οὐδὲν παρ' ἐμέ, ἐὲς μαρτύρομαι. πολλὰ τὰ ἔτη τοῦ βασιλέως, τοῦ νέου Κωνσταντίνου πολλὰ τὰ ἔτη, τοῦ ὀρθοδόξου βασιλέως πολλὰ τὰ ἔτη, τῆς νέας Ἑλένης πολλὰ τὰ ἔτη· Σεβῆρον ἔξω βάλε, τὸν νέον Ἰούδαν ἔξω βάλε, τὸν ἐπίβουλον τῆς τριάδος ἔξω βάλε. πολλὰ τὰ ἔτη τοῦ βασιλέως· ἀδελφοὶ Χριστιανοὶ μία ψυχή. πίστις ἐστίν, οὐκ ἔνι ἁπλῶς. ἡ ἁγία Μαρία θεοτόκος ἐστίν· ταῦτα καὶ ἡ σύνοδος εἶπε.

L V 180
M VIII 1050

Ταῦτα αὐτῶν ἐκβοησάντων ἐδόθη αὐτοῖς ἀπόκρισις παρὰ τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου ἀρχιεπισκόπου καὶ οἰκουμενικοῦ πατριάρχου Ἰωάννου αὖτη· μακροθυμήσατε, ἀδελφοί, ἵνα πρότερον προσκυνήσωμεν τὸ ἅγιον θυσιαστήριον, καὶ μετὰ τοῦτο δίδωμι

O [= aerv], I

1 ἐὰσ I ut solet usque ad 20 3/4 ἡ ἁγία — θρόνου — θκοσ ἐστὶν Or I om. Oaev Λ 4/5 αὐγούστησ Oaev 5 ἀνασκαφείη Oa 6—8 πολλὰ — θρόνου om. Or I 7/8 ἡ ἁγία σύνοδος — τριάδος om. Oav 9—11 ἡ ἁγία¹ — κήρυξον om. I 12 αὐγούστησ Oae 14 TVNBICAC Oer om. Oav I ἢ ἐξέρχη ἢ κηρύσσεισ Oe Λ ἢ ἐξαρχὴ ἢ κηρύσσεις I ἡ ἐξαρ̃ ἣν κηρύσσεισ Or om. Oav 15 TVINCAC Or TVNBICAC Oe om. Oav I 17 ἀναθεματίζων σεβῆρον [σευῆρον Oe] Oer I Λ λαλῶν Oav 18 ἀνάθεμα — ἐστι om. Ov Λ μανιχαίω Oae μανιχεῖ Or ἔξω βάλε σευῆρον Oe Λ σεβῆρον ἔξω βάλε ἀνάθεμα σεβήρω τῶ μανιχαίω ὁ μὴ λαλῶν μανιχαῖοσ ἐστὶν Ov 20 ἢ¹ Oer I ἃ Λ Oav ἢ ἐξέρχη Oe Λ ἢ ἐξαρχὴ Or I ἡ ἐξ ἀρχῆσ Oav ἔνι θεώριν Oae I ἐπιθεωρεῖν Λ ἐνθεώριν Ov ἐνθεωρεῖν Or 21 TVINCAC Or TVNBICAC Oe om. Oav I 25 τὸν νέον — βάλε Oe Λ om. Oarv I σύναξον Oa 26 μὰ Oer I Λ μετὰ Oav 27 πολλὰ — ἔτη τοῦ — κωνσταντίνου Or I 27/28 πολλὰ τὰ ἔτη τῆσ — ἑλένησ· τοῦ ὀρθοδόξου — ἔτη I 28/29 τὸν — Ἰούδαν — βάλε om. I 30 ἔνι ἁπλῶσ Oae I ἐναπλῶσ Orv coniecio ἔνι ⟨ἢ⟩ ἁπλῶς 32 ταῦτα — ἐκβοησάντων] ταῦτα αὐτῶν ἐκβοησάντων καὶ ἡ σύνοδοσ εἶπεν Or 33 Ἰωάννου om. Oav I

ὑμῖν ἀπόκρισιν. καὶ εἰσελθόντος αὐτοῦ εἰς τὸ ἅγιον θυσιαστήριον ἐπέμειναν κράζοντες· Πολλὰ τὰ ἔτη τοῦ βασιλέως, πολλὰ τὰ ἔτη τῆς αὐγούστας· ἐὲς μαρτύρομαι· οὐκ ἐξέρχηι, ἐὰν μὴ ἀναθεματίσηις Σεβῆρον. ἀνάθεμα Σεβήρωι φανερῶς εἰπέ. ἐὲς ἀπόκλεισον· ἐὲς μαρτύρομαι. πολλὰ τὰ ἔτη τοῦ βασιλέως.

Καὶ λοιπὸν ἀνελθὼν ἐπὶ τοῦ ἄμβωνος ὁ ἁγιώτατος καὶ μακαριώτατος ἡμῶν ἀρχιεπίσκοπος καὶ οἰκουμενικὸς πατριάρχης Ἰωάννης προσεφώνησε ταῦτα· Οἴδατε τοὺς ἐμοὺς ἀγῶνας, ἀγαπητοί, οὓς καὶ ἐν τῶι πρεσβυτερίωι ὢν κατεβαλόμην, καὶ νῦν ἀντεσχόμην τῆς ὀρθοδοξίας καὶ ἀντέχομαι ἕως θανάτου. οὐ χρεία τοίνυν ταραχῆς ἢ θορύβου· οὔτε γάρ τι παρεβάθη τῆς ὀρθῆς πίστεως οὔτε ἁγίαν σύνοδον τολμᾶι τις ἀναθεματίσαι, ἀλλὰ πάσας τὰς ἁγίας συνόδους τὰς βεβαιωσάσας τὸ ἅγιον σύμβολον τῶν τιη̄ πατέρων τῶν συνελθόντων κατὰ τὴν Νικαέων ὀρθοδόξους γινώσκομεν καὶ μάλιστα τὰς ἁγίας τρεῖς συνόδους ταύτας, τουτέστι τὴν ἐν Κωνσταντινουπόλει καὶ τὴν ἐν Ἐφέσωι καὶ τὴν μεγάλην τὴν ἐν Χαλκηδόνι. ἰδικῶς γὰρ τὸ σύμβολον τῶν τιη̄ ἁγίων πατέρων, εἰς ὃ βαπτιζόμεθα, αὗται αἱ ἅγιαι τρεῖς σύνοδοι ὁμοφρόνως ἐβεβαίωσαν.

Καὶ μετὰ τὴν προσφώνησιν ἐπιμενόντων αὐτῶν ἐπὶ πλείστας ὥρας ταῖς αὐταῖς φωναῖς καὶ προσθέντων· Οὐ κατέρχηι, ἐὰν μὴ ἀναθεματίσηις· πολλὰ τὰ ἔτη τοῦ πατριάρχου. ἄξιε τῆς τριάδος, πολλὰ τὰ ἔτη τοῦ βασιλέως, πολλὰ τὰ ἔτη τῆς αὐγούστης· τὴν σύναξιν τῆς συνόδου Χαλκηδόνος ἄρτι κήρυξον. οὐκ ἀναχωρῶ, ἐὰν μὴ κηρύξηις. ἕως ὀψὲ ὧδε ἐσμέν. τὴν σύναξιν εἰς τὴν αὔριον κήρυξον. τὴν μνήμην τῶν πατέρων αὔριον κήρυξον. τῶν ἐν Χαλκηδόνι πατέρων τὴν σύναξιν αὔριον κήρυξον. σήμερον ἐὰν κηρύξηις, αὔριον ἐπιτελεῖται. οὐκ ἀναχωρῶ, ἐὰν μὴ κηρύξηις. τοὺς ἀναθεματίσαντας Νεστόριον καὶ Εὐτυχέα εἰς τὴν αὔριον κήρυξον. ἐὰν μὴ λάβω ἀπόκρισιν, ἕως ὀψὲ ὧδε εἰμί,

[καὶ] προσεφώνησεν ὁ ἁγιώτατος καὶ μακαριώτατος ἀρχιεπίσκοπος ἡμῶν καὶ οἰκουμενικὸς πατριάρχης Ἰωάννης οὕτως· Ἐπειδὴ σύναξιν ἠιτήσατε τῶν ἁγίων πατέρων τῶν ἐν Χαλκηδόνι ἐπιτελεσθῆναι, γινώσκοντες γνώσεσθε ὅτι καὶ τοῦτο ποιήσομεν γνώμηι τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου ἡμῶν βασιλέως.

Ἐπιμενόντων δὲ αὐτῶν καὶ τὰς αὐτὰς φωνὰς ἐκβοώντων καὶ προσθέντων· Οὐκ ἀναχωρῶ μὰ τὸ εὐαγγέλιον· τὴν σύναξιν τῶν πατέρων ἄρτι κήρυξον· τῶν ἐν Χαλκηδόνι πατέρων τὴν σύναξιν αὔριον ποίησον, ἐκηρύχθη ἡ σύναξις διὰ Σαμουὴλ διακόνου οὕτως· Γνωρίζομεν τῆι ὑμετέραι ἀγάπηι ὅτιπερ τῆι αὔριον μνήμην ἐπιτελοῦμεν τῶν ἐν ἁγίοις πατέρων ἡμῶν καὶ ἐπισκόπων γενομένων τῶν κατὰ τὴν Χαλκηδονέων μητρόπολιν συναχθέντων καὶ βεβαιωσάντων ἅμα τοῖς ἐν Κωνσταντινουπόλει καὶ ἐν Ἐφέσωι συναχθεῖσιν M VIII 1062
ἁγίοις πατράσιν τὸ σύμβολον τῶν τιη̄ ἁγίων πατέρων τῶν συναχθέντων κατὰ τὴν Νι- L V 181
καέων. συναγόμεθα δὲ καὶ ἐνταῦθα.

Καὶ μετὰ τὴν προσφώνησιν τῆς συνάξεως πάλιν ἐπέμεινεν ὁ λαὸς καὶ μιᾶι φωνῆι ἐπὶ πολὺ ἔκραζον· Σεβῆρος ἄρτι ἀναθεματισθῆι. ὁ ἐπίβουλος τῆς τριάδος ἄρτι ἀναθεματισθῆι. ὁ κατὰ τῶν πατέρων ἄρτι ἀναθεματισθῆι. ὁ ἀναθεματίσας τὴν σύνοδον Χαλκηδόνος ἄρτι ἀναθεματισθῆι. οὐκ ἐξέρχομαι, ἐὰν μὴ ἄρτι ἀναθεματισθῆι καὶ ἀπό-

8 cf. Coll. Auell. 146 p. 591, 18

O [= aerv], I

1 εἰσελθόντες $O^{e}\Lambda$ αὐτοῦ om. $O^{e}\Lambda$ 2 αὐγούστης O^{aev} 3 ἐξέρχει O^{v} 7/8 ἀντέσχον O 10 ἁγίων πρ̄ων O^{e} 14 ὁμοφώνως $O^{e}\Lambda$ 16 προστεθέντων O^{e} οὐ κατέρχη $O^{e}I\Lambda$ οὐκ ἀνέρχη O^{arv} 19 εἰς τὴν om. I 22 ὧδε εἰμὶ ἕωσ ὀψέ O^{av} 23 καὶ OΛ om. I 24 Ἰωάννης om. I 25 τελεσθῆναι O^{r} 27 προστεθέντων O^{e} 28 τὸ ἅγιον $O^{e}\Lambda$ 29 ἡ om. O^{av} 30 τὴν O^{arv}I 31 κατὰ τὴν χαλκηδονέων μητρόπολιν OΛ ἐν χαλκηδόνι νέα μητροπόλει I 33 πατέρων om. O^{a} 34 καὶ I om. OΛ 37—38 ὁ ἀναθεματίσας — ἀναθεματισθῆι¹ om. $O^{a}\Lambda$ 38/p. 74.1 ἄρτι — ἀπόκρισιν I ἄρτι ἀπόκρισιν $O^{ev}\Lambda$ ἀπόκρισιν ἄρτι O^{r} ἀπόκρισιν O^{a}

κρισιν λάβω. μαρτύρομαι· ὀρθόδοξος εἶ, ἄρτι ἀναθεμάτισον. ἢ ἀναθεμάτισον ἢ οὐδὲν παρ' ἐμέ.

Καὶ ἐπὶ πολὺ τοῖς αὐτοῖς ἐπιμενόντων αὐτῶν, παρόντων Θεοφίλου τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς 'Ηρακλεωτῶν καὶ Θεοδότου τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς Γαγγρηνῶν καὶ 'Υπατίου τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς Κλαυδιουπολιτῶν καὶ 'Ιωάννου τοῦ θεοφιλεστάτου ἐπισκόπου Βοσπόρου καὶ Πυθαγόρου τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς Σινωπέων καὶ 'Ισαακίου τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς Πενταπόλεως τῆς 'Ελλάδος καὶ 'Ιωάννου τοῦ θεοφιλεστάτου ἐπισκόπου Σεννέων τῆς Παμφύλων χώρας καὶ 'Αμαντίου τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς Νικοπολιτῶν καὶ 'Αμμωνίου τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς 'Αβυδηνῶν, Πλάτωνος τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς Κρατιανῶν, Εὐσταθίου τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς Φιλαδελφέων καὶ Πελαγίου τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς Αἰζανιτῶν καὶ ἑτέρων θεοφιλεστάτων ἐπισκόπων τῶν καὶ συναινούντων τῶι ἁγιωτάτωι καὶ μακαριωτάτωι ἀρχιεπισκόπωι καὶ οἰκουμενικῶι πατριάρχηι 'Ιωάννηι προσεφωνήθη ταῦτα· "Οτι Σεβῆρος χωρίσας ἑαυτὸν τῆς ἁγίας ταύτης ἐκκλησίας ἑαυτῶι κρίματι ὑπέβαλε, πρόδηλον πᾶσιν. ἑπόμενοι τοίνυν καὶ ἡμεῖς τοῖς θείοις κανόσι καὶ τοῖς ἁγίοις πατράσιν ἀλλότριον τοῦτον ἡγούμεθα καὶ ὑπὸ τῶν θείων κανόνων ἤδη διὰ τῆς βλασφημίας αὐτοῦ κατακριθέντα ἀναθεματίζομεν καὶ ἡμεῖς.

Τούτων παρακολουθησάντων τῆι κυριακῆι, τῆι ἕξῆς, ἥτις ἐστὶν ἑξκαιδεκάτη τοῦ 'Ιουλίου μηνός, ἡμέραι δευτέραι, ἐπιτελουμένης τῆς μνήμης τῶν προλεχθέντων ἁγίων πατέρων, πάλιν τῆς εἰσόδου γενομένης παρὰ τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου ἀρχιεπισκόπου καὶ οἰκουμενικοῦ πατριάρχου 'Ιωάννου, εὐθέως ἅμα τῶι γενέσθαι αὐτὸν πλησίον τοῦ ἄμβωνος φωναὶ ἤλθοσαν ἀπὸ παντὸς τοῦ λαοῦ οὕτως· Πολλὰ τὰ ἔτη τοῦ πατριάρχου, πολλὰ τὰ ἔτη τοῦ βασιλέως, πολλὰ τὰ ἔτη τῆς αὐγούστης, τοῦ νέου Κωνσταντίνου πολλὰ τὰ ἔτη, τῆς νέας 'Ελένης πολλὰ τὰ ἔτη· τὸ λείψανον Μακεδονίου τῆι ἐκκλησίαι. 'Ιουστῖνε αὔγουστε TVINCAS, Εὐφημία αὐγούστα TVINCAS· τοὺς ἐν ἐξορίαι διὰ τὴν πίστιν τῆι ἐκκλησίαι. ἀνασκαφῆι τὰ ὀστέα τῶν Νεστοριανῶν, ἀνασκαφῆι τὰ ὀστέα τῶν Εὐτυχιανιστῶν. τίς ἔνι Νεστόριος, ἐγὼ οὐκ οἶδα· ἀνάθεμα αὐτῶι ἀπὸ τῆς τριάδος. τίς ἔνι Νεστόριος, ἐγὼ οὐκ οἶδα· ἀνάθεμα αὐτῶι μετ' Εὐτυχέος. ἀνασκαφῆι τὰ ὀστέα τῶν Νεστοριανῶν, ἀνασκαφῆι τὰ ὀστέα τῶν Εὐτυχιανιστῶν. τοὺς Μανιχαίους ἔξω βάλε. 'Ιουστῖνε αὔγουστε TVINCAS· Σεβῆρον τὸν 'Ιούδαν ἔξω βάλε. τοὺς Μανιχαίους τῆς ἐκκλησίας ἔξω βάλε. τοὺς δύο Στεφάνους ἔξω βάλε. τὸ λείψανον Μακεδονίου ἄρτι φέρε. τὸ ὄνομα Μακεδονίου ἄρτι ταγῆι. δεόμεθα, τὰς ὅλας φωνὰς τῶι βασιλεῖ. τὸν νέον Τζουμᾶν ἔξω βάλε. ὁ νέος Τζουμᾶς 'Αμάντις ἐστί. τὸν λῆρον τοῦ παλατίου
M VIII 1063 ἔξω βάλε. Εὐφήμιον καὶ Μακεδόνιον τῆι ἐκκλησίαι. τὰ συνοδικὰ εἰς 'Ρώμην ἄρτι ἀπέλθωσιν. πολλὰ τὰ ἔτη τοῦ πατριάρχου· τοῦ νέου 'Ιωάννου πολλὰ τὰ ἔτη· ἄξιε τῆς τριάδος. 'Ιουστῖνε αὔγουστε TVINCAS, πολλὰ τὰ ἔτη τῆς αὐγούστης· τὸ λείψανον Μα-

---

O [= aerv], I

6 βοοσπόρου O^{e} 7 σινοπέων O^{a} 8 σεννέων I σεμνέων O *Commacorum* Λ παμφύλου O^{a} παμφίλου O^{rv} 9 νεαπολιτῶν $O^{r}I$ 9/10 ἐπισκόπου om. O^{av} 10 ἀβυδηνοῦ O^{r} 12 ἀζανιτῶν OIΛ, cf. p. 66, 10 14 ταῦτα] ταῦτα τὴν κατὰ σεβήρου προσφώνησιν O^{v} χωρήσασ O^{av} ἑαυτῶ [i. e. ipse] O^{av} ἑαυτὸν O^{er}IΛ 15 θείοις om. I 16 ἤδη om. O^{e}Λ 17 αὐτοῦ βλασφημίασ O^{aev} 18 κυρία O^{e} ἑνδεκάτη O^{r} 20 γινομένησ O^{ev} 21 τῶ O^{aev}I τοῦ O^{r} 21/22 πλησίον τοῦ ἄμβωνος O^{e}Λ ἐπὶ τοῦ ἄμβωνοσ πλησίον O^{arv}I 22 ἤλθοσαν O^{a}I ἤλθασιν O^{rv} ἤλθον O^{e} 25. 30. 36 TVINCAC O^{er} om. O^{av}I, O^{a} spatio rel. 26 ἀνασκαφεῖ O^{rv} ἀνασκαφείη O^{ae} ἀνασκαφεῖ O^{rv} ἀνασκαφείη O^{e} ἀνασφείη O^{a} 27 ἐν O^{v} ἀπὸ — τριάδοσ O^{ev}Λ μετ' εὐτυχέοσ O^{ar}I 28 ἐν O^{v} τίς ἔνι — οἶδα om. O^{r}I μετ' εὐτυχέοσ O^{ev}Λ ἀπὸ τῆσ τριάδοσ O^{ar}I 28/29 ἀνασκαφῆι — Εὐτυχιανιστῶν om. O^{r}I 28. 29 ἀνασκαφεῖ O^{v} ἀνασκαφείη O^{ae} [bis] 30—31 'Ιουστῖνε — ἐκκλησίασ ἔξω βάλε om. I 31 ἔξω¹ om. O^{a} 32 ἄρτι²] ἄρ O^{a} τάγει O^{rv} τάξον I 33 τζουμαν O^{r} τζουμμᾶσ O^{r} ἀμάντησ O^{r}I

κεδονίου τῆι ἐκκλησίαι· ἐν τούτοις ἀεὶ νικήσεις. Εὐφημίου καὶ Μακεδονίου τὰ ὀνόματα ἄρτι L V 182
ταγῆι. τελείαν ἑορτὴν τῆι ἐκκλησίαι. τοὺς ψευδομάρτυρας Μακεδονίου ἔξω βάλε.
τὰς τέσσαρας συνόδους τοῖς διπτύχοις. Λέοντα τὸν ἐπίσκοπον Ῥώμης τοῖς διπτύχοις.
ἡ ἁγία Μαρία θεοτόκος ἐστί· τοῦτο ἡ σύνοδος εἶπε. τὰ δίπτυχα τῶι ἄμβωνι· ὁ μὴ
λαλῶν Μανιχαῖός ἐστι. τὰ δίπτυχα τῶι ἄμβωνι ἄρτι, τὸν θεόν σοι. Ἰουστῖνε αὔγουστε, 5
TVINCAS· κουράτωρα οὐκ ἔχεις, τὰ δίπτυχα ἄρτι φέρε. Ἰουστῖνος βασιλεύει, τὰ
δίπτυχα ἄρτι φέρε. τοῦ ὀρθοδόξου βασιλέως πολλὰ τὰ ἔτη, τῆς νέας Ἑλένης πολλὰ
τὰ ἔτη, τοῦ νέου Ἰωάννου πολλὰ τὰ ἔτη· οὕτως ἔχεις τὸν δεσπότην, τὰ δίπτυχα ἄρτι φέρε.
οὕτως ἔχεις τὴν αὐγούσταν, τὰ δίπτυχα ἄρτι φέρε. οὕτως ἔχεις τὴν τριάδα, τὰ δίπτυχα ἄρτι
φέρε. οἱ κανόνες τούτους οὐκ ἐξέβαλαν· ἐὲς τάξον, ἐὲς τάξον, ἐὲς τάξον. 10

Καὶ προσεφωνήθη ταῦτα· Καὶ κατὰ τὴν χθὲς ἡμέραν ἀρκούντως ἐπληροφορήσαμεν
τὴν ὑμετέραν ἀγάπην, καὶ νῦν δὲ τὸν ζῆλον ὑμῶν σαφῶς ἐπιστάμενοι ἐκεῖνα ἐσπεύσαμεν καὶ
σπεύδομεν ποιῆσαι ὅσα καὶ τὸν θεὸν θεραπεύει καὶ ὑμᾶς διὰ πάντων ἐν πᾶσι πληροφορεῖ.
ὅτι δὲ μέλει ἡμῖν τοῦ μηδὲν παρασαλευθῆναι τῆς ὀρθῆς πίστεως, οἶμαι κατὰ διαφόρους
χρόνους καὶ τρόπους πεῖραι παρειληφέναι τὴν ὑμετέραν ἀγάπην. δι' ὃ καὶ τὸν θε- 15
μέλιον τῆς πίστεως κατὰ τὴν τῶν ἁγίων πατέρων παράδοσιν ἀρραγῆ διαμένειν τῆι χάριτι
τοῦ δεσπότου ἡμῶν καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ ἐσπουδάσαμεν, ἐλπίσαντες δι' αὐτῆς
καὶ τὰς διεστώσας ἐκκλησίας ἑνῶσαι, πανταχοῦ τὴν τάξιν τῶν θείων κανόνων ἐνθέσμως
κρατοῦντες. οὐδὲ γὰρ ἐγχωρεῖ τι παρασαλεῦσαι καὶ περὶ κενοφωνίας καὶ λεπτολογίας
ἀπασχολεῖσθαι τοὺς πιστούς, ἀλλὰ προσέχειν τῶι ἁγίωι συμβόλωι, ἐν ὧι πάντες ἐβαπτί- 20
σθημεν, ὅπερ ἐξεφώνησεν ἡ ἐν Νικαίαι ἐν ἁγίωι πνεύματι σύνοδος καὶ ἐκύρωσεν ἡ ἐν Κων-
σταντινουπόλει τῶν ἁγίων πατέρων συνέλευσις καὶ ἐβεβαίωσεν ἡ ἐν Ἐφέσωι ὁσία σύνοδος
καὶ ἐπεσφράγισεν ὁμοίως ἡ ἐν Χαλκηδόνι ἁγία μεγάλη σύνοδος, ἣν κατ' οὐδένα λόγον ἢ
τρόπον παρασαλεῦσαί τις δυνήσεται πᾶσαν ἀναιροῦσαν τοῖς κακοδόξοις πρόφασιν.
ταύτην τοίνυν τὴν πίστιν ἀσάλευτον κρατοῦντες πρὸς ἀλλήλους μὴ ἀμφιβάλητε, ἀλλὰ 25
πᾶσαν κενοφωνίαν καὶ πᾶσαν καινοτομίαν καὶ πᾶσαν λεπτολογίαν ἀπωθούμενοι ἑνὶ στόματι
τὴν ἁγίαν καὶ ὁμοούσιον τριάδα δοξάσωμεν, ἥτις φυλάττοι ἐν εἰρήνηι τὴν ζωὴν τῶν εὐσε-
βεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων καὶ πάντων ἡμῶν. τῶι γὰρ πατρὶ καὶ
υἱῶι καὶ ἁγίωι πνεύματι πρέπει ἡ δόξα νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ταύτης τῆς προσφωνήσεως γενομένης ἐπέμειναν κράζοντες· Ἐὰν μὴ ἄρτι, οὐδεὶς ἐκ- 30
βαίνει· μαρτύρομαί σε, τὰς θύρας κλείω. ἀδελφοὶ ὀρθόδοξοι μία ψυχή· ἀδελφοὶ διὰ
πίστιν μία ψυχή.· Ἰουστῖνε αὔγουστε TVINCAS· ὁ μὴ λαλῶν Μανιχαῖός ἐστιν. ἅγιος
ἅγιος ἅγιος· ἡ τριὰς ἐνίκησεν. ἀπάρτι οὐ φοβῆσαι Ἀμάντιν τὸν Μανιχαῖον. Ἰου-
στῖνος βασιλεύει, Ἀμάντιν τί φοβῆσαι; ἄξιε τῆς τριάδος, καὶ τοῦτο τὸ καλόν σοι
ἐτηρεῖτο· ὁ φιλῶν τὴν σύνοδον οὕτως τιμᾶται. πολλὰ τὰ ἔτη τοῦ βασιλέως, πολλὰ M VIII 1066
τὰ ἔτη τῆς αὐγούστης, πολλὰ τὰ ἔτη τοῦ πατριάρχου· νικᾶι ἡ πίστις τῶν ὀρθοδόξων. 36

Καὶ πάλιν ἐπιμενόντων αὐτῶν ἐπὶ πολὺ ταῖς αὐταῖς φωναῖς προσεφωνήθη αὐτοῖς
ταῦτα· Ὅτι διὰ πάντων σπουδὴν ἐθέμεθα θεραπεῦσαι ὑμᾶς καὶ ἀσκανδαλίστους φυλάξαι,
σαφῶς ἐπίστασθε· ἐπειδὴ δὲ δεῖ πάντα κανονικῶς καὶ μετὰ εὐταξίας γενέσθαι, συγχω-

---

O [= aerv], I

2 τάγει O^{rv} ταγήτω O^{a} τάξον I 3 Λέοντα — διπτύχοις om. O^{rI} 4/5 ὁ μὴ — ἄμβωνι $O^{evΛ}$ om. O^{arI} 5 σου O^{av} 6 TVINCAS om. O^{avI}, O^{a} spat. rel. 6/7 Ἰουστῖνος — φέρε om. O^{avI} 8 τοῦ νέου — ἔτη om. $O^{eΛ}$ ἄρτι φέρε τὰ δίπτυχα O^{e} 9 οὕτως — φέρε om. O^{av} 9/10 οὕτως — φέρε om. $O^{eΛ}$ 10 ἐξέβαλον O^{aevI} 12 ὑμῶν τὴν I 14 μέλλει O^{erv} 19 παραλεῦσαι O^{a} 21 ἐν² O^{rI} σὺν $O^{aevΛ}$ 23 μεγάλη ἁγία O^{aev} 23/24 τρόπον ἢ λόγον $O^{aevΛ}$ 25 τηροῦντες O^{rI} ἀμφιβάλητε O^{v} ἀμφιβάλετε O^{a} ἀμφιβάλητε O^{er} ἀμφιβάλλετε I 27 φυλάττει O^{arv} 31/32 ἀδελφοὶ — ψυχή om. O^{rI} 32 TVNDICAC O^{e} om. O^{avI} spat. rel. O^{a} 33 ἀμάντην O^{r} 34 ἀμάντην O^{rI} τινά I 35 οὕτος O^{a} 36 αὐγούστας O^{av} 37 αὐτῶν om. O^{avI}

L V 185 ῥήσατε ἡμῖν συναγαγεῖν τοὺς θεοφιλεστάτους ἐπισκόπους, ἐφ' ᾧι τε κατὰ τοὺς θείους κανόνας πάντα προβῆναι γνώμηι καὶ κελεύσει τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως. τὰς γὰρ ἐκβοήσεις ὑμῶν πάσας ἀνοίσομεν ἐπὶ τὴν αὐτοῦ γαληνότητα.

Καὶ κλεισάντων αὐτῶν τὰς θύρας καὶ ἐπιμένοντων ταῖς αὐταῖς ἐκβοήσεσι λαβὼν τὰ δίπτυχα ὁ ἁγιώτατος καὶ μακαριώτατος ἀρχιεπίσκοπος καὶ οἰκουμενικὸς πατριάρχης 5
Ἰωάννης ἐκέλευσε ταγῆναι τὰς ἁγίας τέσσαρας συνόδους τῶν τε ἐν Νικαίαι συνελθόντων ἁγίων πατέρων καὶ τῶν ἐν Κωνσταντινουπόλει ὡσαύτως συναχθέντων ἐπὶ Νεκταρίου τοῦ τῆς ὁσίας μνήμης καὶ τῶν ἐν Ἐφέσωι ἐπὶ τῆι ἐκβολῆι Νεστορίου καὶ τῶν ἐν Χαλκηδόνι ἐπὶ τῆι ἐκβολῆι Εὐτυχοῦς καὶ τοῦ αὐτοῦ δυσσεβοῦς Νεστορίου καὶ τὰ ὀνόματα τῶν τελευτησάντων ἐν ὁσίαι τῆι μνήμηι γενομένων ἀρχιεπισκόπων ταύτης τῆς βασιλίδος 10
πόλεως Εὐφημίου καὶ Μακεδονίου καὶ μέντοι καὶ Λέοντος τοῦ γενομένου ἀρχιεπισκόπου Ῥώμης. τότε φωνῆι μεγάληι πάντες οἱ τοῦ λαοῦ ὡς ἐξ ἑνὸς στόματος ἐβόησαν
Luc. 1, 68 εὐλογητὸς κύριος ὁ θεὸς τοῦ Ἰσραήλ, ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῶι λαῶι αὐτοῦ, καὶ πάλιν δεύτερον ἔκραξαν εὐλογητὸς κύριος Ἰησοῦς ὁ βασιλεύς, ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῶι λαῶι αὐτοῦ. ἐπὶ πολλὴν δὲ 15
ὥραν ἀντιφωνούντων ἑκατέρων τῶν μερῶν καὶ ψαλλόντων τὴν ψαλμωιδίαν ταύτην, οἱ ψάλται ἐπετράπησαν ἀνελθόντες εἰπεῖν τὸ τρισάγιον καὶ αὐτῶν ἀρξαμένων πᾶς ὁ λαὸς ἐπαύσατο καὶ ὑπήκουσε τοῦ τρισαγίου. καὶ μετὰ τὴν ἀνάγνωσιν τοῦ ἁγίου εὐαγγελίου ἐξ ἔθους τῆς θείας λειτουργίας ἐπιτελουμένης καὶ τῶν θυρῶν κλεισθεισῶν καὶ τοῦ ἁγίου μαθήματος κατὰ τὸ σύνηθες λεχθέντος τῶι καιρῶι τῶν διπτύχων μετὰ πολλῆς 20
ἡσυχίας συνέδραμον ἅπαν τὸ πλῆθος κύκλωι τοῦ θυσιαστηρίου καὶ ἠκροῶντο καὶ μόνον ἐλέχθησαν αἱ προσηγορίαι τῶν εἰρημένων ἁγίων τεσσάρων συνόδων παρὰ τοῦ διακόνου καὶ τῶν ἐν ὁσίαι τῆι μνήμηι ἀρχιεπισκόπων Εὐφημίου καὶ Μακεδονίου καὶ Λέοντος, φωνῆι μεγάληι ἔκραξαν ἅπαντες· δόξα σοι κύριε. καὶ μετὰ τοῦτο μετὰ πάσης εὐταξίας ἐπληρώθη σὺν θεῶι ἡ θεία λειτουργία. 25

Ἐπιστολὴ Ἰωάννου τοῦ τῆς ὁσίας μνήμης ἀρχιεπισκόπου γενομένου τῆς βασιλευούσης ταύτης πόλεως καὶ οἰκουμενικοῦ πατριάρχου γραφεῖσα Ἰωάννηι τῶι τῆς ὁσίας μνήμης γενομένωι ἀρχιεπισκόπωι Ἱεροσολύμων καὶ πᾶσι τοῖς μὴ ἐνδημοῦσι τηνικαῦτα μητροπολίταις

28 Τοῖς συμψύχοις καὶ ὁμοδόξοις τὸν σύνδεσμον τῆς ἀγάπης ἐν εἰρήνηι Χριστὸς ὁ 30
θεὸς ἡμῶν ἄνωθεν δεδωκὼς κοινὰ καὶ τὰ παρ' αὐτῶν πραττόμενα εἶναι δικαιοῖ. ἐπεὶ τοίνυν θεία τις οὐρανόθεν γέγονε κίνησις τοῦ φιλοχρίστου λαοῦ τῆς βασιλίδος ταύτης πόλεως καὶ πάντα τὰ ἐκβοηθέντα παρ' αὐτοῦ καὶ προσφωνηθέντα παρ' ἐμοῦ δῆλα τῶι κόσμωι γεγένηται, ἀναγκαῖον ἐλογισάμην σημᾶναι τῆι σῆι θεοφιλείαι, ἵνα τῆι συνεργείαι τοῦ ἁγίου πνεύματος ταῦτα γνοῦσα ἐπισφραγίσηι τῶι λόγωι τῆς ἀληθείας, ἐπειδὴ 35
M VIII 1067 μάλιστα ἡ ἐνδημοῦσα ἁγία σύνοδος τῆι αἰτήσει παντὸς τοῦ μοναχικοῦ τάγματος ἐγγράφως τε ὥρισε καὶ ἅπερ ὥρισε τῆι σῆι ἁγιότητι διὰ τάχους ἐκπέμψαι ἐσπουδάσαμεν.

O [= aerv], I, P [inde a 26]

2 θεοφιλεστάτου I τὰσ O καὶ I 3 ἀνύσομεν O^{av} ἀνοίσωμεν I 4 αὐτῶν O^{r} 6 τὰσ ἁγίασ — συνόδουσ ταγῆναι O^{e} 14/15 καὶ πάλιν — αὐτοῦ O^{r}I om. O^{aevl} 17 ἐπετράπησαν O^{e}I ἐτράπησαν O^{arv} 20 λεχθέντοσ κατὰ τὸ σύνηθεσ O^{av} τῶ O^{er}I ἐν O^{av} πολλῆσ τῆσ O^{r} 21 συνέδραμεν O^{vl} μόνον O^{arv}I ὡσ μόνον O^{e}Λ 24 μεγάλη φωνῆ O^{e} 26 1 O^{a} in mg. Ἰωάννου OIΛ γραφεῖσα παρὰ Ἰωάννου P 27 ταύτησ om. I τὲ τῶ O^{e} 27/28 τῶι — γενομένωι om. I 28 γενομένου terminatione in ἀρχιεπισκό(π) non perscripta P τηνικαῦτα om. I 31 ἄνωθεν om. O^{r}Λ εἶναι om. P 33 τὰ om. O^{r} προσφωνηθέντα scripsi προσεκφωνηθέντα O^{av}P ἐκφωνηθέντα O^{er}I 34 συνεργία O^{ae} 35 ἐπισφραγίσει P 36 μοναδικοῦ O^{av}P

Ἄλλη ἐπιστολὴ τοῦ αὐτοῦ τῆς ἁγίας μνήμης οἰκουμενικοῦ πατριάρχου Ἰωάννου ἰδικὴ γραφεῖσα Ἐπιφανίῳ τῷι τῆς θεοφιλοῦς μνήμης γενομένωι ἐπισκόπωι Τύρου 29

Ὁ πάντα πρὸς τὸ συμφέρον θεὸς ἄνωθεν οἰκονομῶν καὶ νῦν τὴν σὴν θεοσέβειαν ἐν θλίψει κατὰ τὸν προφήτην πλατυνθεῖσαν ἐπὶ τὴν στενὴν πύλην τῆς βασιλείας τῶν οὐρανῶν ἀνέτως εἰσελεύσεσθαι παρεσκεύασεν. ἰδοὺ γὰρ τοῦ οὐρανίου κινήματος κατὰ τῶν ἀποστατῶν τῆς ἐκκλησίας πνεύματι θεοῦ γενομένου, ὅσοι μὲν ἀνάξιοι ὤφθησαν τῆς ἀχράντου ὑπηρεσίας τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, κρίματι αἰωνίωι ὑπεβλήθησαν· ὅσοι δὲ τῆς ὀρθοδόξου πίστεως ἐρασταὶ ἐφάνησαν, πολλῶι μᾶλλον διὰ τῆς τοιαύτης κινήσεως ἐλαμπρύνθησαν. τοιγαροῦν τῆς ἐνδημούσης ἁγίας συνόδου τῆι φιλοχρίστωι καὶ βασιλίδι πόλει ἐκ διαφόρων ἐπαρχιῶν δῆλα ποιησάσης τὰ πραχθέντα κατὰ τῶν ἐχθρῶν τῆς ἀληθείας πᾶσι τοῖς ὑφ' ἡμᾶς ἀναγκαῖον ἔκρινα καὶ τῆι σῆι πεμφθῆναι θεοφιλείαι, ἵνα τὰ παρ' αὐτῶν καὶ δι' αὐτῶν τυπωθέντα ἀναγνοὺς καὶ γνούς, ὁσιώτατε, σύμψηφος καὶ ὁμόψυχος ἔσηι καὶ κἂν ὀψέ ποτε τῶν κυκλωσάντων σε ἐχθρῶν λυτρωθείης. ἅπαντα τοίνυν τὰ πεπραγμένα κατὰ τῶν ἐχθρῶν τῆς ἀληθείας δῆλα ποιῆσαι τοῖς ὁμοδόξοις εὐλαβέστατοις συλλειτουργοῖς καὶ μοναχοῖς καὶ φιλοχρίστοις λαοῖς, καθὼς ἂν συνίδηις, σπούδασον, θεοφιλέστατε.

Ps. 4, 1
L V 188
Mt. 7, 13

Ἀντίγραφον Ἰωάννου Ἱεροσολύμων καὶ τῶν ὑπ' αὐτὸν ἐπισκόπων πρὸς Ἰωάννην τὸν Κωνσταντινουπόλεως

Τῶι δεσπότηι μου τῶι θεοφιλεστάτωι καὶ ὁσιωτάτωι συλλειτουργῶι Ἰωάννηι καὶ τῆι ἐνδημούσηι κατὰ τὴν φιλόχριστον Κωνσταντινούπολιν ἁγίαι συνόδωι Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος Ἱεροσολύμων καὶ ἡ κατὰ τὰς τρεῖς Παλαιστίνας τελοῦσα ὑπὸ τοὺς ἁγίους Χριστοῦ τοῦ ἐπὶ πάντων θεοῦ τόπους ἁγία σύνοδος ἐν κυρίωι χαίρειν. Ἐπειδὴ διπλῆ τίς ἐστιν ἡ τῶν δακρύων κίνησις, ἡ μὲν πρὸς ὀδύνην φέρουσα, ἡ δὲ πρὸς εὐφροσύνην (Ἰωσὴφ γὰρ ὁ πατριάρχης ἀναγνωριζόμενος τοῖς ἀδελφοῖς μεγάλα ἐξ εὐθυμίας ἐδάκρυσε καὶ Παῦλός φησι τὸ σκεῦος τῆς ἐκλογῆς ὅτι ἡ τοῦ κόσμου λύπη θάνατον κατεργάζεται, ἡ δὲ κατὰ θεὸν σωτηρίαν), ἐντυχόντες οὐκ ἀδακρυτὶ τοῖς ἐπιστολεῖσι παρὰ τῆς ὑμετέρας ἁγιωσύνης καὶ πραχθεῖσι θυμηδίας ἐπλήσθημεν, ὥστε ἂν ἡμᾶς εἰπεῖν μετὰ τοῦ μεγάλου προφήτου Δαυίδ· εὐφράνθημεν ἐπὶ τοῖς εἰρηκόσιν ἡμῖν, εἰς οἶκον κυρίου πορευσόμεθα, καὶ αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου, καὶ ἐξομολογεῖθε τῶι θεῶι τῶν θεῶν τῶι ποιήσαντι θαυμάσια μεγάλα μόνωι, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ καὶ τίς λαλήσει τὰς δυναστείας τοῦ κυρίου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ; ἰδοὺ γὰρ ὁ θεός φησι διὰ τοῦ Σαμουὴλ ποιῶ τὰ ἔργα μου ἐν Ἱερουσαλήμ, ὥστε παντὸς ἀκούοντος ἠχῆσαι ἀμφότερα τὰ ὦτα αὐτοῦ. ταῦτα καὶ ἐπὶ τῶν χρόνων τῶν ἡμετέρων ἔργωι προῆλθε. τὸ γὰρ βδέλυγμα τῆς ἐρημώσεως, τὸ τέρας τὸ ἀνερυθρίαστον, Σεβῆρον φαμὲν τὸν ἀδικίαν εἰς τὸ ὕψος λαλήσαντα διὰ τῶν βλασφήμων αὐτοῦ λόγων τῶν κατὰ τῆς ἁγίας μεγάλης καὶ οἰκουμενικῆς συνόδου τῆς ἐν Χαλκηδόνι λεχθέντων, οὐδὲ τὴν ἀρχὴν γινωσκόμενον ἡμῖν οὐδὲ ὅστις εἴη, τὸν τῆς Ἀντιοχέων ἀδίκως καὶ τυραν-

Gen. 45, 2
Act. 9, 15
2 Cor. 7, 10
Ps. 121, 1
Ps. 76, 11
Ps. 135, 2. 5
Ps. 105, 2
1 Reg. 3, 11
M VIII 1070
Ps. 72, 8

O [= aerv], IP

1 ιᾱ O^a in mg. Ἰωάννου om. $O^{av}P$ 2 γενομένωι om. I 3 ια' O^v in mg. θεοφίλειαν $O^{av}P$ 11 πᾶσι — ἡμᾶς I πάσηι τῆι ἐφ' ἡμῶν OP om. Λ 13 σύμψηφος O^eI σύμψυχος $O^{arv}P$ 14 λυτρωθείης — ἐχθρῶν om. I λυτρωθείης] ά desunt II litterae θείης O^r 16 συνίδοις O^{rv} 17 ιβ' O^v in mg. ἀντίγραφα I 19 ιβ̄ O^a in mg. 20 φιλόχριστον om. O^rI 21 ἐλέω $O^{er}I$ 22 τοῦ χῡ τοῦ O^r 26/27 ἀποσταλεῖσι O^rI 27 ἡμᾶς om. O^a 33 ιη̄λ $O^eΛ$ 34 αὐτοῦ om. O^a χρόνων $O^{aev}IPΛ$ ἔργων O^r 35 βδέλυγμα O^e 37 μεγάλης] μεγάλησ ἐκκλησίασ O^r χαλκηδώνη P 38 τὸν] τῶν P

νικῶς καὶ παρὰ πάντα ἐκκλησιαστικὸν κανόνα ὑφαρπάσαντα θρόνον, τὸν κατὰ τὸν
Act. 21, 38 Αἰγύπτιον ἐκεῖνον τὸν ἐν ταῖς Πράξεσιν ἀναστατώσαντα καὶ ἐξαγαγόντα εἰς τὴν ἔρημον
τοὺς σικαρίους ἀναθέματι ὑποβέβληκε καὶ ἀλλότριον παντὸς ἱερατικοῦ συλλόγου καὶ
L V 189 ἀξίας καὶ πράγματος πεποίηκε διὰ τῆς ὑμετέρας μισοπονήρου ἁγιωσύνης. ὁ γὰρ
Ier. 1, 10 παρεσχηκὼς Ἱερεμίαι τῶι προφήτηι τὸ ἀνοικοδομεῖν καὶ κατασκάπτειν καὶ ἐκριζοῦν
Mt. 16, 19 καὶ καταφυτεύειν καὶ Πέτρωι τῶι κορυφαίωι τῶν ἀποστόλων τὸ λύειν καὶ δεσμεῖν, καὶ
τῆι κοινῆι τοῦτο ἐφιλοτιμήσατο ἱερωσύνηι. τοὺς μὲν οὖν θεοφιλεστάτους καὶ ὁσιω-
τάτους μοναχοὺς τοὺς ὑπὸ τὴν μεγάλην ἐκείνην καὶ βασιλίδα πόλιν οἰκοῦντας, οὐ μὴν
ἀλλὰ καὶ τὸν φιλόχριστον ταύτης λαὸν τοῦ κατὰ θεὸν ζήλου ἐμακαρίσαμεν καὶ ὅτι μέχρι
θανάτου διανέστησαν, ὥστε τὸν λύκον τῆς Ἀντιοχέων τῆς νομῆς ἀπελάσαι τῶν προ-
Num, 22, 6. βάτων τὸν λαθόντα ἑαυτὸν καὶ μείζοσιν ἐγχειρήσαντα ἢ κατ' αὐτὸν καὶ κατὰ τὸν Βαλὰκ
12 ἐκεῖνον ἀράσασθαι πειραθέντα ὃν οὐκ ἀρᾶται ὁ κύριος. τοιγαροῦν εἰς κεφαλὴν αὐτοῦ
τὰ τῆς ἀρᾶς πάντα ἐκβέβηκε καὶ ηὐλόγηται ὁ νοητὸς Ἰσραὴλ καὶ ἀπώλετο μὲν ὁ Βαλάκ,
τὸν ὅμοιον δὲ τρόπον καὶ Βαλαὰμ ὁ μάντις τἀπίχειρα τῶν αὐτοῦ πράξεων ἐδέξατο καὶ ἀνα-
Mt. 25, 26 τεθεμάτισται καὶ τὴν ἐκεῖσε περιμένει μετὰ τοῦ δούλου τοῦ ὀκνηροῦ καὶ πονηροῦ ποινήν.
ἀλλὰ ταῦτα μὲν ἐκεῖνοι· ἡμεῖς δὲ τοῖς πραχθεῖσι καὶ ἐπισταλεῖσι παρὰ τῆς ὑμετέρας ἁγιω-
σύνης ὁμόφρονες καὶ ὁμόψυχοι τυγχάνομεν καὶ ἀναθεματίζομεν πᾶσαν αἵρεσιν καὶ
Νεστόριον τὸν ἀνθρωπολάτρην καὶ Εὐτυχέα τὸν ματαιόφρονα καὶ τὸν Μάνην καὶ Σεβῆρον
τὸν ἁλιτήριον, οὐ μὴν ἀλλὰ καὶ τὰ τούτου συγγράμματα, ἐν ταῖς ἑαυτῶν διανοίαις ἔχοντες
καὶ ἀσπαζόμενοι τὰς τέσσαρας ἁγίας συνόδους, τήν τε τῶν τιη τῶν ἐν Νικαίαι συναχθέντων
κατὰ Ἀρείου τοῦ δυσωνύμου τῶν ἐκθεμένων τὸ ἅγιον σύμβολον, εἰς ὃ ἐβαπτίσθημεν καὶ
βαπτίζομεν, καὶ τὴν τῶν ρν̄ τῶν ἐν Κωνσταντινουπόλει κατὰ Μακεδονίου τοῦ πνευματο-
μάχου τῶν τὸ εἰρημένον ἅγιον σύμβολον βεβαιωσάντων καὶ τὴν τῶν διακοσίων τῶν
ἐν Ἐφέσωι τῶν καθελόντων Νεστόριον τὸν ἀνθρωπολάτρην, τὸ δὲ αὐτὸ ἅγιον σύμ-
βολον περιπτυξαμένων, καὶ τὴν μεγάλην καὶ οἰκουμενικὴν σύνοδον τῶν χλ̄, φαμὲν τῶν
ἐν Χαλκηδόνι συνελθόντων καὶ βεβαιωσάντων καὶ κρατυνάντων τὸ αὐτὸ ἅγιον σύμβολον,
ἐπισφραγισάντων δὲ τὰ κατὰ Νεστορίου τοῦ ἀνθρωπολάτρου καὶ ἀποβαλόντων Εὐτυχέα
τὸν ματαιόφρονα, δεχόμενοι καὶ τὰς θεοφράστους ἐπιστολὰς τοῦ τῆς ὁσίας καὶ θεοφιλοῦς
μνήμης Λέοντος τοῦ γενομένου τῆς Ῥωμαίων ἀρχιεπισκόπου καὶ πατριάρχου. συν-
ευφραινόμενοι τοίνυν ἐπὶ τούτοις τῆι ὑμετέραι ἁγιωσύνηι καὶ συναινοῦντες τοῖς παρ'
ὑμῶν ἐπισταλεῖσι καὶ πραχθεῖσι καὶ κοινωνικοὶ ὄντες ὑμῖν, τὸ προφητικὸν ἐκεῖνο λέγομεν
M VIII 1071 Naum 1, 15 λόγιον· ἑόρταζε, Ἰούδα, τὰς ἑορτάς σου, ἀπόδος τῶι κυρίωι τὰς εὐχάς
σου, διότι οὐ μὴ προσθῆις τοῦ εἶναι εἰς παλαίωσιν. καὶ ἡμῖν οὖν τὰ
αὐτὰ ταῦτα συνεύχεσθε, ἁγιώτατοι (κοινὰ γὰρ τὰ τῶν ἱερέων), καὶ τὴν ἁγίαν καὶ δε-
δοξασμένην παρθένον καὶ θεοτόκον Μαρίαν σὺν ἡμῖν ἱκετεύσατε πρεσβείαν ποιήσασθαι
ὑπὲρ τῆς εἰρήνης τῶν ἁγιωτάτων ἐκκλησιῶν καὶ νίκης καὶ διαμονῆς τοῦ εὐσεβεστάτου
καὶ γαληνοτάτου ἡμῶν βασιλέως.

O [= aerv], IP

1 πάντα I τὸν OP *ecclesiasticos canones* Λ 4 μισσοπονήρου P 5 ἐκρι O^r 6 τὸ] τῶ P 7 τούτω O^r 11 ἐγχειρίσαντα O^r βαλαὰκ P 13 νοητὸσ OPΛ νέος I 14/15 ἀναθεμάτισται O^r 16 ἡμετέρασ P 17 ὁμόψυχοι O^{aervIP} ὁμόψηφοι $O^eΛ$ 18 μόρην P 20 τιῆ O^{aervI} τριακοσίων δεκαοκτῶ P τιῆ ἁγίων πρ̄ων $O^eΛ$ συνελθόντων I 21 δυσ-σωνύμου P 22 τοῦ μακεδονίου O^r εὐνομίου $O^eΛ$ 23—25 βεβαιωσάντων — σύμβολον om. I 26 χαλκηδὼνη P καὶ κρατυνάντων om. $O^{aev}P$ 27 ἀποβαλλόντων O^rI 28 καὶ θεοφιλοῦς om. O^r 31 κοινωνοὶ I 34 ταῦτα om. P 35 ποιήσασθε $O^{rv}P$ 36/37 τῶν εὐσεβεστάτων καὶ γαληνοτάτων ἡμῶν βασιλέων I

Ὑπογραφαί

1 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος τῆς Καισαρέων ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

2 Θεοδόσιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Σκυθοπολιτῶν ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: — L V 192

3 Ζηνόβιος ἐλέει θεοῦ ἐπισκόπος Ἰαμνίας ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι: —

4 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος Τιβεριάδος ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι: —

5 Πολυχρόνιος ἐλέει θεοῦ ἐπίσκοπος Ἀρεοπόλεως ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι: —

6 Προκόπιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Νεαπολιτῶν ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

7 Εὐστάθιος ἐλέει θεοῦ ἐπίσκοπος Ἀνθηδόνος ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι: —

8 Στέφανος ἐλέει θεοῦ ἐπίσκοπος τοῦ Μαιουμᾶ Ἀσκάλωνος ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

9 Πέτρος ἐλέει θεοῦ ἐπίσκοπος Ἐλούσης ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

10 Μαρκελλῖνος ἐπίσκοπος Νεοκαισαρείας ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

11 Γρηγόριος ἐπίσκοπος Ἐλευθεροπόλεως ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

12 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος Ἱεριχούντων ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

13 Ἀντώνιος ἐπίσκοπος τῆς Ἀσκάλωνος ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι: —

14 Ἰωάννης ἐπίσκοπος Μονοίδος ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

15 Παῦλος ἐλέει θεοῦ ἐπίσκοπος Πέλλης ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

16 Ἄλφιος ἐλέει θεοῦ ἐπίσκοπος Συκομαζόνος ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

17 Βάσσης ἐλέει θεοῦ ἐπίσκοπος Καπετωλιάδος ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

18 Προκόπιος ἐλέει θεοῦ ἐπίσκοπος Μαιουμᾶ Γάζης ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

19 Ἰσίδωρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ζωορηνῶν ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

O [= aerv], 1P

1 αἱ ὑπογραφαί O^a om. O^rI 2 ἐλέω O^rI inde a 4 usque ad p. 80, 29 ἐλέει θεοῦ semper om. $O^eΛ$ 4. 6 ἐλέω I inde a 4 usque ad p. 80, 29 post ἐρρῶσθαι με καὶ nihil habet nisi τὰ λοιπὰ $O^eΛ$ 5 δεσπόται I δεσπόται καὶ $O^{rv}P$ om. O^a 6 Ἰαμνίασ $O^{aev}PΛ$ Ἰαμνείασ [Ἰαμνίασ O^r] καὶ οἱ λοιποὶ [λοιποὶ ἐρρῶσθαι ἡμᾶσ καὶ τῶ κῶ εὐαρεστεῖν εὔχεσθε δεσπόται θεοφιλέστατοι I] O^rI 8—80, 30 om. O^rI 10 ἀρεωπόλεωσ O^e 12. 13 post 14. 15 coll. $O^eΛ$ 16 μαιουμᾶ O^a μαϊαμᾶ O^vP μαΐμᾶ O^e 20 Νεοκαισαρείας] uitium antiquum pro Διοκαισαρείας 26 ἀντωνῖνοσ O^{ev} 30 πέλησ O^a 32 ἀλφειὸσ O^e 34 βάσσοσ O^e 36 μαιουμᾶ O^{ae} μαΐμᾶ O^vP με om. O^a 38 τῆς om. $O^{av}PΛ$ ζωωρηνῶν $O^{av}P$

20 Οὐάλης ἐλέει θεοῦ ἐπίσκοπος τῶν Παρεμβολῶν ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

21 Πέτρος ἐλέει θεοῦ ἐπίσκοπος Φαινοῦς ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

22 Ἐπιφάνιος ἐλέει θεοῦ ἐπίσκοπος Ῥαφίας ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

M VIII 1074 23 Ἠλίας ἐλέει θεοῦ ἐπίσκοπος Ἰόππης ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

24 PRESTVTVS ÈPÍSCOPOS TV AGÍv ŌRVS THABÒR ERROSTHAE ME καὶ τὰ λοιπὰ διὰ Ῥωμαικῶν γραμμάτων: —

25 Προκόπιος ἐπίσκοπος Ἀμαθούντων ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

26 Σολομὼν ἐλέει θεοῦ ἐπίσκοπος Ἀβίλης ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

27 Κόνων ἐλέει θεοῦ ἐπίσκοπος Ἵππων ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

28 Λεόντιος ἐλέει θεοῦ ἐπίσκοπος Σωζούσης ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλεστατοι καὶ ὁσιώτατοι πατέρες: —

29 Ἀμβρίλλιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Γαζαίων ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

30 Στέφανος ἐλέει θεοῦ ἐπίσκοπος Ὁράων ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

31 Μέγας ἐλέει θεοῦ ἐπίσκοπος τῆς Μαξιμιανουπολιτῶν ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

32 Γρηγόριος ἐλέει θεοῦ ἐπίσκοπος Βακάθας ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

33 Βαρώχιος ἐλέει θεοῦ ἐπίσκοπος Δώρων ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

L V 193 34 Ἀπολλώνιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Διοσπολιτῶν ἐρρῶσθαί με καὶ τῶι κυρίωι εὐαρεστεῖν εὔχεσθε, δεσπόται θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες: —

Ἐπιστολὴ Ἐπιφανίου ἐπισκόπου Τύρου καὶ τῶν ὑπ' αὐτὸν πρὸς τὴν ἐνδημοῦσαν ἐν Κωνσταντινουπόλει σύνοδον

31 Τοῖς πάντα θεοφιλεστάτοις καὶ ὁσιωτάτοις ἀδελφοῖς καὶ συλλειτουργοῖς Θεοφίλωι Βασιλίσκωι Μαρκιανῶι καὶ πάσηι τῆι ἐνδημούσηι κατὰ τὴν βασιλίδα καὶ φιλόχριστον πόλιν θεοῦ χάριτι ἁγίαι συνόδωι Ἐπιφάνιος καὶ οἱ ὑπ' αὐτὸν ἐπίσκοποι ἐν κυρίωι χαίρειν. Εὐλογητὸς ὁ θεὸς ὁ τῆς εἰρήνης κύριος, ὃς ἐπέστησεν ἡμῖν τὸ τίμιον γράμμα τῆς ὑμῶν ἁγιωσύνης οὕτω πανταχόθεν διαλάμπον περί τε τὸν πνευματικὸν ζῆλον καὶ τοὺς ὑπὲρ τῆς ἀληθείας ἀγῶνας καὶ περὶ τὸ κήρυγμα τῆς ὀρθοδόξου πίστεως, ἃ δεῖ πάντα λαβεῖν ἐν αὐτῶι συνηγμένα πρὸς θεμέλιον καὶ βάθρον ἀρραγὲς τῆς εἰρήνης τῶν ἁγιωτάτων ἐκκλησιῶν καὶ τῶν ἐν αὐταῖς ἀρχιερέων καὶ τῶν ἐν ἑκάστηι πόλει πιστῶν καὶ τὴν ὀρθὴν

O [ac. r (inde a 31), v], I [inde a 31], P

3 φενοῦσ OP 9. 10 om. $O^{av}PΛ$ 9 PRESTVTVS suspectum, sed emendatio incerta TIAIIÒR O^{e} ÈPKOSTIAE O^{e} 13 ἀβέλησ O^{e} 15. 16 post 17. 18 coll. $O^{a}Λ$ 19 κυρίλιοσ O^{e} *Cyrillus* Λ τῆς om. O^{e} 24 εὔχεσθε om. O^{v} 29 ἀπωλώνιοσ I^{p} διοπολιτῶν O^{v}I^{p} 31 ἐνδημοῦσαν om. IΛ 32 σύνοδον om. O^{av}P 33 ιγ O^{a} in mg., inser. O^{v} πάντα om. I^{p} 34 μαρκιανῶ βασιλίσκω O^{av}I^{p} 37 διαλάμπων O^{v} 40 ἐν^{a} O^{r}I om. O^{ae}^{v}PΛ

ὁμολογίαν περιπτυσσομένων, ὅσην δὲ ποιεῖται καὶ τῶν θείων κανόνων ἐπιμέλειαν ἐξ ὧν τὸν κατ' οὐδένα τρόπον ἢ χρόνον ἀσπασάμενον τὴν πρὸς τὴν ἁγίαν καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν κοινωνίαν ἢ τὴν ὀρθόδοξον τιμήσαντα πίστιν, τῶι δὲ θρόνωι τῆς 'Αντιοχέων ἀποστολικῆς ἐκκλησίας ἐπιπηδήσαντα τυραννικῶς ἀναθέματι προσήλωσε γυμνὸν εἶναι ἀποφηνάμενον παντὸς πράγματος ὀνόματος ἀξίας ἐνεργείας Χριστιανῶι ἢ ἱερατικῶι ἁρμοζούσης ἢ ἁρμόσαι δυναμένης καὶ ἀλλότριον τῆς θείας κοινωνίας κατὰ τοὺς θείους κανόνας αὐτὸν καταστῆσαν. καὶ γὰρ ἦν ἀκόλουθον συνέπεσθαι τῆι τῶν ἀχράντων εὐαγγελίων θείαι διδασκαλίαι καθ' ἣν φησιν ὁ κύριος τοὺς δοκοῦντας ἐν ἑαυτοῖς ἔχειν τι καὶ τούτου πάντως ἀφαιρεῖσθαι καὶ τοῖς ἔχουσιν ἐκ δικαιοσύνης προστίθεσθαι. τῆς οὖν δικαίας ἐξ ὑμῶν κατακρίσεως ἐπάξιος ὤφθη Σεβῆρος ὁ δυσσεβὴς πρὸς βλασφημίαν ἅμα καὶ συκοφαντίαν ὀξύνας ἣν ἔχει γλῶτταν κατὰ τῆς μεγάλης καὶ οἰκουμενικῆς συνόδου τῆς ἐν Χαλκηδόνι συνελθούσης καὶ δικαιῶν ἑαυτὸν ἐξ ἀσεβοῦς φρονήματος καὶ πονηρᾶς προαιρέσεως. ἀλλ' ἡ τοῦ δεσπότου θεοῦ καὶ σωτῆρος ἡμῶν 'Ιησοῦ Χριστοῦ δύναμις τοῦ τῆς ἐκκλησίας λειμῶνος αὐτὸν ἐξήλασε δικαίαι ψήφωι τῆς ἐν ὑμῖν τοῖς θεοφιλέσι διαλαμψάσης πνευματικῆς χάριτος, πρὸς ἣν συγκατατιθέμενοι σύμψηφοι γινόμεθα τοὺς αὐτοὺς δεσμοὺς ἐπιφέροντες ἐπ' ἐκεῖνον, οὓς καὶ τὸ τίμιον γράμμα τῆς ὑμετέρας ὁσιότητος ἐπάγει κανονικῶς. τίς γὰρ ἀρκέσει λόγος εἰς ἀπαρίθμησιν ὧν ἐκεῖνος ἐξήμαρτεν εἰς ἐναντίωσιν τῶν θείων κανόνων καὶ τῆς ἐκκλησιαστικῆς εὐταξίας τὴν ὀφρὺν ἀνασπάσας εἰς ἀλαζονείαν καὶ κομπὸς ἐν τοῖς ἀναθέμασι φαινόμενος ἐνομιλίαις καὶ συγγράμμασιν ἀσεβέσι κατὰ τῶν ἁγίων πατέρων, τὸ δέ γε ἀληθέστερον κατ' αὐτῆς τῆς πνευματικῆς διδασκαλίας τῶν θεσπεσίων ἀποστόλων αὐτὸς καθ' ἑαυτοῦ πρὸς ἔλεγχον καθιστάμενος ἐν ἅπασιν οἷς γέγραφε ματαίοις λόγοις. καὶ γὰρ προσήκει τοὺς ἐγκειμένους αἱρέσει δυσσεβεῖ καὶ τὸν νοῦν τεταράχθαι καὶ μηδὲ διαρκεῖν ἄχρι παντὸς συγκαλύπτειν ὅπερ ἔχουσι νόσημα κατεσθίον αὐτῶν τὴν διάνοιαν. ἀλλ' οὐκ ἦν οὕτως τολμηρός, ὥστε καὶ δεσμὸν ἐπιθεῖναι ἐξ αὐθεντίας χωρίζοντα τῆς θείας κοινωνίας κληρικοὺς ἄλλων πόλεων, μηδὲ γνώμης μηδὲ συναινέσεως μετέχων τῶν αὐτῶν ἐπισκόπων; τί δέ; οὐ τεθάρρηκε τοὺς καταδεδεμένους κανονικῶς ἀλλοτρίους κληρικοὺς ἐκ τῶν οἰκείων ἐπισκοπῶν προσρυέντας αὐτῶι καὶ τὸ ψυχοφθόρον ὑπαλειφθέντας παρ' αὐτοῦ κήρυγμα προσειληφέναι πρὸς τὴν ἑαυτοῦ κοινωνίαν καὶ δίχα τῆς παρὰ τοῦ καταδήσαντος ἀφέσεως ἐπιτρέψαι ταῖς ἐκκλησιαστικαῖς λειτουργίαις ὑπηρετεῖν; ἑκάτερον δὲ τούτων πέπραχε κατὰ τὴν Τυρίων. ἀλλ' οὐ τοὺς μετειληφότας ἀξίας πρεσβυτέρων ἀντιτιθέντας μὲν αὐτῶι τὴν ἀρχὴν κενοφωνοῦντι τὴν ἀσεβῆ διδασκαλίαν, ὕστερον δὲ συμπεσόντας αὐτῶι παρεσκεύασεν ἐν τῶι σχήματι τῆς διακονίας λειτουργεῖν, ἀθέσμως αὐτοὺς τῆς τῶν πρεσβυτέρων τιμῆς ἀφελόμενος, ἐπειδὴ μὴ τότε τὸν αὐτοὺς χειροτονήσαντα σκελίσας ἦν συγκαταθέσθαι ταῖς ἀσεβέσιν αὐτοῦ διδασκαλίαις, καὶ προφάσει τούτου τὴν ἐπιτεθεῖσαν παρ' αὐτοῦ χειροτονίαν ἐξελόμενος; ὃ δὴ γεγένηται παρ' αὐτοῦ κατὰ τὴν 'Αρκηνῶν. πρὸς δὲ τούτοις οὐκ ἦν ἐπεκτείνων τὰ τῆς αὐτοῦ θρασύτητος καὶ παραχαράττων τοὺς θείους κανόνας, ἐν ἀλλοτρίαις παροικίαις προχειριζόμενος ποτὲ μὲν χωρεπισκόπους, ἄλλοτε δὲ παραμοναρίους, πιστεύων ἱκανῶς ἔχειν ἀπομάχεσθαι καὶ διαλύειν τὰ παρὰ τῶν θείων κανόνων ὡρισμένα δίκαια τοῖς

4 cf. p. 64, 24—26 Mt. 13, 12. 25, 29 M VIII 1075 11 L V 196

O [= aerv], IP

2 χρόνον ἢ τρόπον I 5 αἱρετικῶ Oe 7 αὐτῶν OvP 8 κσ OPΛ χσ I 9 τούτου OarvIP τοῦτο OeΛ 10 ἐπαξίωσ Oe 11 τῆσ ἁγίασ OeΛ 12 χαλκηδώνη l' αὐτὸν OavP 14 ἐξέλασε Or 15 συγκατατιθέμεθα OavP σύμψηφοι I καὶ σύμψηφοι OP'Λ 17 κοινωνικῶσ OavP' ἀπαρίθμισιν Or ἥμαρτεν Oe 19 κόμποσ OaevPΛ [*faustus* i. e. fastus] κομψὸσ OrI 21 ἑαυτοῦ I ἑαυτὸν OP' 24/25 ἐξ αὐθεντίας ἐπιθεῖναι OaevP' 26 μετέχων τῶν OarvIP' μετεχόντων Oe 27 ἐπισκοπῶν I ἐπισκόπων OP' 28 τὸ OarvIP' πρὸσ τὸ Oe προσειληφέναι OrI προσληφθέντασ OaevΛ προσλειφθέντασ l' 30 λειτουργίαισ om. Or πέπρακε Oa ἀλλ' οὐ OarvIP' ἀλλά καὶ OeΛ 35 καὶ om. lΛ 38 πιστεύειν Or

ἐπισκόποις; τούτων εἰς μαρτυρίαν ἔστι λαβεῖν τὴν Τριπολιτῶν καὶ πάλιν τὴν Ἀρκηνῶν. φαίνεται δὲ τολμήσας ἐπιτρέψαι χειροτονεῖν ἐπισκόπωι κατὰ τὴν ἐνορίαν ἑτέρας πόλεως, ἧς ἔτι περιῆν ὁ ταύτης ἐπισκοπῶν· ὑπουργὸς δ' ἐγεγόνει τούτωι Στέφανος ὁ τῆς Ὀρθωσιέων ἐπίσκοπος τολμήσας χειροτονίαν ἐπιθεῖναι κατὰ τὴν ἐνορίαν τῆς Ἀνταραδέων ἔτι περιόντος Θεοδοσίου τοῦ τῆς θεοφιλοῦς μνήμης ἐπισκοπήσαντος τὴν εἰρημένην πόλιν. τί δ' ἂν φαίημεν καὶ πρὸς τὸ διαβοηθὲν καθ' ὅλον ὡς εἰπεῖν τὸν κύκλον τῆς γῆς, εἴγε ἄρα πρὸς ἀλήθειάν ἐστιν, ὅτι περιείλετο τὴν αὐτῶι δεδομένην χειροτονίαν πρεσβυτέρου παρὰ τῶν σχισματικῶν ἐξ ἑτέρων πάλιν αὐτὸς μετασχεῖν τῆς χειροτονίας; τὸ δὲ πέπραχεν ἐν
M VIII 1078 σπουδῆι κατεπειγόμενος δράξασθαι τοῦ λογικοῦ ποιμνίου τῆς Ἀντιόχου καὶ πάσης ἄλλης ἐκκλησίας ὀρθοδόξου καὶ μεταγαγεῖν ἐπ' ἀπωλείαι τῆι βδελυκτῆι καὶ μυσαρᾶι φωνῆι φερούσηι σκώληκας ἐξ ὧν αὐτὸς ἐθησαύρισε καθ' ἑαυτοῦ μηδὲν ὑγιὲς ἢ γοῦν ὀρθὸν πρὸς τὴν ὀρθόδοξον πίστιν φθεγγόμενος. ἀλλ' ἔστι τῶν ἐσπιλωμένων αὐτῶι πράξεων καὶ πρὸς τοὺς ἐρανισθέντας παρ' αὐτοῦ τὸ φιλότιμον, διπλῆς ἐντεῦθεν ἐξυφαινομένης τῆς ἁμαρτίας καὶ πρὸς τὴν χείρω κατάκρισιν αὐτὸν περιιστώσης. πρῶτον μὲν γὰρ ἡ συλλογὴ τοῦ χρυσίου τῶν ἐκκλησιαστικῶν πραγμάτων τῆς Ἀντιόχου λυμαινομένων καὶ σπαθωμένων καὶ πρὸς ἀνίατον ἐπανόρθωσιν καθισταμένων ἐγίνετο· δεύτερον ὅτι τοῖς ἐκ τῶν ἐράνων σιτιζομένοις ἐπετάττετο πᾶσαν ἐξανιστᾶν ταραχὴν καὶ πάντα θόρυβον διασκεδάζειν ἔν τε ταῖς τῶν πόλεων ἐκκλησίαις καὶ τοῖς ἐγκεκλεισμένοις ἐν μοναστηρίοις, καὶ σπέρματα σχισμάτων διερραίνετο παρ' αὐτῶν. πρὸς ὃ δὴ λαβεῖν ἔστιν ἐναργῶς ἀπομαχόμενον αὐτὸν καὶ ταῖς προσφωνητικαῖς ἐν τοῖς ἀχράντοις εὐαγγελίοις θείαις διδασκαλίαις τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ κηρύττοντος
L V 197 μὲν αὐτοῦ τὴν εἰρήνην καὶ ταύτην ἐπιζητεῖν, τὰ σκάνδαλα δὲ βδελύττεσθαι καὶ τὸν τούτων
Mt. 18, 2 αἴτιον εἰς αἵρεσιν βαλεῖν τοῦ καταδῆσαι πρὸς τῶι τραχήλωι λίθον μυλίτην καὶ βυθίσαι κατὰ τὸ γραφικὸν ἑαυτόν. ἀλλὰ ταῦτα μὲν ἐράσμια Σεβήρωι τῶι δυσσεβεῖ, τὸ δὲ τῆς εἰρήνης χρῆμα παντελῶς ἀποφεύγει. καὶ τὸ μὲν καθ' ἕκαστον εἰ διεξελθεῖν πειραθείημεν, ἀτελεύτητος ἡμῖν ὁ λόγος ἔσται· πλὴν ταῦτα καταλέξαντες καὶ τὸ πλῆθος τῶν παραλελειμμένων ἄλλοις ἀφηγεῖσθαι συγχωρήσαντες, καθάπερ εἰρήκαμεν, ὁμόφρονες ὑμῖν τοῖς θεοφιλέσι γεγόναμεν ἐφάπαξ τοῖς ἐπιτιμίοις οἷς αὐτὸν εἰκότως κατεδήσατε, ἐπιτεθείκαμεν δὲ τὸν ἴσον ὅρον καθελόντες καὶ ἀναθέματι καταδήσαντες καὶ Ἰωάννην τινὰ παραμονάριον κατὰ τὸν πάνσεπτον οἶκον τῆς ἁγίας ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας τὸν διακείμενον κατὰ τὴν Τυρίων περιφανῆ μητρόπολιν, εὑρηκότες αὐτὸν ἐν ὑποκρίσει καὶ κατὰ δόλον ἡμῖν συλλειτουργήσαντα καὶ τῆς θείας μετασχόντα κοινωνίας, ἐξ ὧν τοῦτο δὴ πράττων καὶ συλλειτουργὸς ἡμῶν τυγχάνων κατὰ τὸ λεληθὸς τοῖς σχισματικοῖς διαλεγόμενος ἀμέσως ἔδραμεν ἑκοντὶ κατὰ τὴν Ἀντιόχου καὶ Σεβήρωι τῶι δυσσεβεῖ προσρίψας ἑαυτὸν ἀπέστη μὲν τῆς ὀρθοδόξου πίστεως, ἐκείνωι δὲ συνεκοινώνησε περί τε τὸ δαιμονιῶδες αὐτοῦ φρόνημα καὶ τοὺς ἀσεβεῖς ἀναθεματισμοὺς κατὰ τῶν ἁγίων ἡμῶν πατέρων καὶ τῆς τιμίας ἐπιστολῆς τοῦ τῆς ὁσίας μνήμης Λέοντος τοῦ τῆς Ῥωμαίων γενομένου ἀρχιεπισκόπου, οἰκείαι χειρὶ ταῦτα συγγραψάμενος καὶ κατασφαλισάμενος ἐκεῖνον· πρὸς

O [= acrv], 11'

3 ταύτης ἐπισκοπῶν O1' ἐπίσκοπος 1 δὲ γέγονε O^{ae} 3,4 ὀρθοσιαίων O^{e} 4 ἐπιθῆναι O^{v} ἀνταραδαίων O^{e} 7 temptauit ὅτιπερ εἴλετο ⟨μετὰ⟩ *quod accepit* Λ περιείλατο $O^{v}1'$ πρεσβυτέρω O^{a} 8 σχηματικῶν $O^{rv}1'$ αὐτὸς 1 αὐτῆς O1'Λ 10 τῆ O^{e}1Λ τῆ δὲ $O^{arv}1'$ βδελλυκτῆ O^{e} 11 φερούσης 1' καθ' ἑτοῦ O^{a} 12 μετὰ τῶν 1 14 περιστώσης 1 παριστώσης O1' 16 σπαθιζομέων O1' ἐπανόρθωσιν $O^{aev}1'$Λ κατάστασιν O^{r}I, scripserim ἀνιάτων πρὸς ἐπανόρθωσιν ἐγένετο 1 18 διακευάζειν $O^{av}1'$ 19 σχιμάτων O^{v} 22 βδελλύττεσθαι O^{e}1 τὸν] τῶν 1' 23 βαλεῖν τοῦ 1 λαβεῖν τὸ O1' μυλικὸν O^{r}1 βυθῆσαι O^{v} 24 κατὰ τὸ γραφικὸν om. 1 τῶ O^{v} 28 ante siue post τοῖς ἐπιτιμίοις addiderim συναινέσαντες siue tale quid οἷς om. O^{a} 31 τῶν τυρίων O^{e} 32/33 δὴ τοῦτο $O^{v}1'$ 33 ἡμῖν O^{e}Λ σχηματικοῖσ O^{r} 34 ἔδραμον 1' 35 τῶ 1' 38 ἀσφαλισάμενοσ $O^{av}1'$

δὲ τούτοις, ὅτι κατὰ τὴν Τυρίων ἐπανελθὼν παραδέδωκε τοῖς σχισματικοῖς τὸν εὐκτήριον οἶκον τῆς θεοτόκου καθεστῶτα τοῖς ἀπὸ τῆς πόλεως ἐκκλησίαν, ἐν αὐτῷ τολμήσας καὶ παρασυνάξεις καὶ παραφωτίσματα πληρῶσαι καὶ δοῦναι τοῦτο σπέρμα μεγάλης ταραχῆς τῷ πιστοτάτῳ λαῷ τῆς πόλεως, ὁρῶντι τὸ κατὰ μηδένα χρόνον γεγονός, ἐκ δύο τόπων τῶν νεοφωτίστων φαίνεσθαι τὰς προελεύσεις ἐναντίως ἐχόντων ἀλλήλοις, καὶ πολέμους καὶ θορύβους διασκεδάζων κατά τε τῆς ἁγιωτάτης ἡμῶν ἐκκλησίας καὶ τοῦ πιστοτάτου λαοῦ τῆς πόλεως, ὧν ἔλεγχος τὰ πεπραγμένα κατὰ τὸ δικαστήριον. ἐφ' οἷς ὁ τίμιος σταυρὸς ἐλιθάσθη παρὰ τῶν ἐμφωλευόντων σὺν αὐτῷ κατὰ τὸν εὐκτήριον οἶκον τὸν προ- M VIII 1079
δηλωθέντα τῆς θεοτόκου καὶ τινὲς τοῦ πλήθους τῶν Χριστιανῶν καὶ τῶν εὐλαβεστάτων κληρικῶν πληγάδες γεγόνασι. συνέβη δὲ κἀμὲ τὸν τῆς Τυρίων ἐπίσκοπον ἄχρι θανάτου κινδυνεῦσαι δι' ὧν αὐτὸς μετά γε τῶν συνόντων αὐτῷ θανατηφόρους ἐξήρτυεν ἐπιβουλάς. ὥστε δὲ μηδὲν ἐλλεῖψαι τῶν δεόντων, καὶ τὰ πεπραγμένα παρὰ τῆς ὑμῶν ὁσιότητος διήλθομεν ἐπ' ἐκκλησίας τοῖς ἀπὸ τοῦ κλήρου καὶ τῷ πιστοτάτῳ λαῷ τῆς πόλεως καὶ πνευματικὴν ἀναδησάμενοι πανήγυριν εὐχάριστον ἀφήκαμεν φωνὴν τῷ δεσπότῃ θεῷ καὶ σωτῆρι τῶν ὅλων Ἰησοῦ Χριστῷ καὶ τῷ πανευσεβεῖ καὶ κρατίστῳ ἡμῶν βασιλεῖ καὶ τῇ πιστοτάτῃ βασιλίδι καὶ τῷ ὁσιωτάτῳ πατριάρχῃ τῆς βασιλευούσης καὶ τοῖς θεοφιλέσιν ὑμῖν· ὧν τὴν κοινωνίαν ἀσπαζόμενοι καὶ πρὸς ἣν ἔχετε πίστιν ὁμόφρονες καθεστῶτες ἀποστρεφόμεθα σὺν ὑμῖν ἐπιφέροντες τὸν ἔγκριτον ἀναθεματισμὸν κατὰ παντὸς μὲν αἱρετικοῦ, διαφερόντως δὲ κατὰ Νεστορίου φανέντος ἀνθρωπολάτρου, προ- L V 200
σέτι δὲ καὶ κατὰ Εὐτυχοῦς καὶ κατὰ Σεβήρου τοῦ πρὸς βλασφημίαν καὶ συκοφαντίαν ἐνόχου καταστάντος (ταῦτα γὰρ κατεπράξατο κατὰ τῆς ἁγίας μεγάλης καὶ οἰκουμενικῆς συνόδου τῆς ἀθροισθείσης ἐν Χαλκηδόνι), προσέτι δὲ καὶ κατὰ Ἰωάννου τοῦ γεγονότος παραμοναρίου τοῦ πανσέπτου οἴκου τῆς θεοτόκου τοῦ διακειμένου κατὰ τὴν Τυρίων περιφανῆ μητρόπολιν διὰ τὰς ἀφηγημένας αὐτοῦ κακίστας πράξεις, ἐξ ὧν ἀποδέδεικται τοῖς θείοις κανόσιν ἐναντίως ἐλθών, καὶ παρακαλοῦμεν τὴν ὑμετέραν ἁγιωσύνην ἐπικυρῶσαι τὸ κατ' αὐτοῦ τεθὲν κανονικῶς ἐπιτίμιον. περιπτυσσόμεθα δὲ καὶ τιμῶμεν τὴν ἐν Νικαίᾳ συνελθοῦσαν ἱερὰν σύνοδον τῶν τιη πρὸς ἔλεγχον καὶ καθαίρεσιν Ἀρείου καὶ τὸ παρ' αὐτῆς ἐκτεθειμένον ὀρθόδοξον σύμβολον ὁμολογοῦμεν ἐν παρρησίαι καὶ κηρύσσομεν ἐπ' ἐκκλησίας, ἐν αὐτῷ βαπτισθέντες καὶ βαπτίζοντες, καὶ τὴν τῶν ρν τῶν συνελθόντων κατὰ τὴν βασιλίδα πόλιν πρὸς καθαίρεσιν Μακεδονίου τοῦ πνευματομάχου καὶ τὴν ἐν Ἐφέσῳ τῶν διακοσίων πατέρων συνδραμοῦσαν ἁγίαν σύνοδον πρὸς καθαίρεσιν Νεστορίου τοῦ δυσσεβοῦς καὶ τὴν μεγάλην ἁγίαν σύνοδον τὴν ἀθροισθεῖσαν ἐν Χαλκηδόνι τῶν χλ κυρώσασαν κατὰ τὸ προοίμιον τὸ σύμβολον τῶν τιη, καθελοῦσαν δὲ Νεστόριον τὸν ἀνθρωπολάτρην καὶ τὸν ἀσεβέστατον Εὐτυχῆ καὶ Διόσκορον τὸν τούτῳ γενόμενον ὁμόφρονα καὶ πᾶσαν αἵρεσιν διελέγχουσαν, ὅθεν καὶ πάντας τοὺς ἐσπιλωμένους τοῖς αἱρετικοῖς δόγμασιν ἔστι λαβεῖν δυσμενῶς ἔχοντας πρὸς ταύτην τὴν μεγάλην καὶ ἁγίαν οἰκουμενικὴν σύνοδον. τοῦτο γὰρ ἐμπέπηγε κατὰ φύσιν τοῖς κακοδόξοις, ἐκπεπολεμῶσθαι κατὰ τῶν αὐτοὺς διελεγχόντων. σὺν αὐτῇ δὲ τῇ ἁγίαι συνόδῳ δεχόμεθα καὶ πάσας τὰς ἐπιστολὰς τοῦ τῆς ὁσίας μνήμης ἀρχιεπισκόπου γενομένου τῆς πρεσβυτέρας Ῥώμης Λέοντος ὀρθῶς καὶ ἀνεπιλήπτως ἐχούσας καὶ καταγωνιζομένας πάσας ὡς εἰπεῖν τὰς αἱρέσεις,

O [O acrv], IP

1 σχηματικοῖσ Or 2 ἐκκλησίασ OvIP ἐν αὐτῷ OcrIΛ ἑαυτῷ OavIP 5 γίνεσθαι Or1 6 διασκεδάζων I διασκευάζων OIΛ 8/9 τὸν — οἶκον τὸν προδηλωθέντα Or1 τὸν εἰρημένον οἶκον Oacv1P 12 δὲ om. Oa ἐλλεῖψαι OPΛ μελλῆσαι I 13 ὑπὸ Ov 15 πανσεβεῖ Or 18 ἔκκριτον Ocr1, corr. Oc 20 κατὰ² om. Oa0 21 καὶ Oc om. Oacv1P 22 ἔτι Oc 24 ἀφ' Oa 30 τὴν² τὴν τῶν Ov1P 31 τῶν om. P ἁγίων πρῶν I ἁγίαν om. I 32 τῶν om. P 34 τὸν² om. Oacv1P 36 δυσμενῶσ — οἰκουμενικὴν Ocr1Λ δυσμενικὴν OavIP ταύτην I αὐτὴν Or μεγάλην καὶ ἁγίαν I ἁγίαν μεγάλην OcrΛ 37 ἐμπεπολεμῶσθαι Oacv1P

ἐξαιρέτως τὴν Νεστορίου καὶ Εὐτυχοῦς τῶν δυσσεβῶν. παρακαλοῦμεν τοίνυν τὴν ὑμετέραν ὁσιότητα μαθοῦσαν τὸν ἡμέτερον σκοπὸν καὶ ὅπως ἐν πᾶσιν ἀκολουθοῦμεν τοῖς ὑμετέροις κατὰ θεὸν βουλεύμασι, τὰς ὑπὲρ ἡμῶν ποιεῖσθαι πρεσβείας πρὸς τὸν τῶν ὅλων δεσπότην καὶ θεὸν Ἰησοῦν τὸν Χριστόν, ὥστε τὴν ἐν ἡμῖν κρατοῦσαν εἰρήνην ἐπαυξῆσαι καὶ πρὸς τὴν ἠγαπημένην αὐτῶι δικαίαν ἕνωσιν συνάψαι τὰς ἁγιωτάτας ἐκκλησίας εἰς
M VIII 1082 δόξαν αὐτοῦ τοῦ δεσπότου θεοῦ καὶ καύχημα τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων καὶ κόσμον τοῦ ὁσιωτάτου τῆς βασιλίδος ἀρχιεπισκόπου καὶ πνευματικὴν ἀγαλλίασιν πάντων ἡμῶν καὶ τοῦ πρὸς ἑκάστηι πόλει πιστοτάτου καὶ ὀρθοδόξου λαοῦ. τὰς δὲ παρὰ τοῦ πλήθους τῶν Χριστιανῶν τῆς Τυρίων ἀφεθείσας ἐπὶ τῆς ἐκκλησίας φωνάς, ὅτε μεμαθήκασι τὰ πεπραγμένα παρὰ τῆς ὑμῶν ὁσιότητος, εὐφροσύνης ἐμφορηθέντες, κα- 10
θυπετάξαμεν τῶι προκειμένωι γράμματι, τὸν ἔνθεον αὐτῶν ζῆλον ἐντεῦθεν παριστῶντες τῆι ὑμετέραι θεοφιλείαι. κἀκείνωι δὲ προσεσχηκότες τὸν νοῦν καὶ τὴν διάνοιαν ὁδηγηθέντες ἐκ τῶν ἐγκειμένων κεφαλαίων ταῖς ὑμετέραις δικαίαις κρίσεσι περὶ τῆς ἀνακλήσεως τῶν σωμάτων τῶν γενομένων ἡμῶν ἁγίων πατέρων Εὐφημίου καὶ Μακεδονίου καὶ τῆς καταγραφῆς τῶν αὐτῶν προσηγοριῶν ἐν τοῖς ἱεροῖς διπτύχοις, ὅτι δὴ σύνεσιν φιλόθεον 15
ἔχοντες ψῆφον ἐξηγάγετε δοκιμάζουσαν αὐτοὺς ἀνακληθῆναι καὶ τὰς προσηγορίας ἐγ-
L V 201 γραφῆναι ταῖς ἱεραῖς δέλτοις, μηδὲν καθάπαξ τῶν ἐπ' αὐτοῖς ἀδίκως πεπραγμένων κατὰ τὸν φθάσαντα χρόνον ῥυπωσάντων τὴν ἔνθεον αὐτῶν πολιτείαν, τὴν ὁμοίαν ἐπὶ τούτοις παράκλησιν ἐπιτείνομεν ἔκ τε κρίσεως τοῦ παναγίου πατριάρχου τῆς βασιλευούσης πόλεως καὶ τῆς ὑμετέρας ὁσιότητος καὶ τῆς πρὸς τὸν εὐσεβῆ καὶ φιλόχριστον ἡμῶν βασιλέα γε- 20
νομένης ἱκετείας λαβεῖν ἐν φιλοτιμίαι καὶ τὸ σῶμα τοῦ γεγονότος ἡμῶν πατρὸς πνευματικοῦ καὶ πατριάρχου τῆς Ἀντιοχέων Φλαβιανοῦ ἀποκαταστῆναι τῶι καταλόγωι τῶν προκοιμηθέντων ἁγίων πατέρων κατ' αὐτὸν τὸν ἀποστολικὸν θρόνον, ἐνταγῆναι δὲ καὶ τὴν τιμίαν αὐτοῦ προσηγορίαν ταῖς ἱεραῖς δέλτοις. δίκαιον γὰρ τὸν ὑπὲρ Χριστοῦ τοῦ θεοῦ ἡμῶν καὶ τῆς εἰς αὐτὸν ὀρθῆς ὁμολογίας κεκμηκότα καὶ τῶν αὐτὸν συκοφαντησάντων 25
ὑπομείναντα τὴν μοχθηρὰν ψῆφον μετασχεῖν ὧν κατὰ κρίσιν τῆς ὑμετέρας θεοφιλείας μετέσχον οἱ γεγονότες αὐτῶι συλλειτουργοὶ καὶ συναγωνισταὶ πατριάρχαι τῆς βασιλευούσης πόλεως, Εὐφήμιος καὶ Μακεδόνιος φαμὲν οἱ τῆς ὁσίας μνήμης, ὥστε τὸν εὐσεβῆ καὶ γαληνὸν ἡμῶν βασιλέα καταξιῶσαι θεσπίσαι τοῦτο δὴ προελθεῖν ὡς τάχος εἰς δόξαν τῆς ἀχράντου καὶ ὁμοουσίου τριάδος φυλαττούσης τὴν εὐσεβῆ καὶ φιλόθεον αὐτῶν βασιλείαν ἐν γαλήνηι 30
καὶ πρὸς ἀναίρεσιν πάσης βαρβαρικῆς ἀπονοίας καὶ τὸν ὁσιώτατον πατριάρχην τῆς βασιλευούσης ἐν εἰρήνηι μετὰ τῆς ὑμετέρας ὁσιότητος. ἐξ ὑμῶν γὰρ καὶ τὰ πρὸς εὐχαριστίαν ἔχοντα τοῦ κρείττονος ἐρρίζωται καὶ τὰ διαβολικὰ σκάνδαλα παντελῶς ἐξελήλαται.

Ὑπογραφαί 35

Ἐπιφάνιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Τυρίων μητροπόλεως ὑπέγραψα: —
Ἀνδρέας ἐλέει θεοῦ ἐπίσκοπος τῆς Σιδονίων πόλεως ὑπέγραψα: —
Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος τῆς Πτολεμαίων ὑπέγραψα: —

O [= acrv], IP

1 ἐξαιρέτως δὲ O^{e} 4 ιν̄ χν̄ O^{arvP} αὐξῆσαι O^{a} 8 ἑκάστην πόλιν $O^{l}P^{1}$ 10 μεμαθήκαμεν $O^{vl}P^{1}$ 10/11 καθυπετάξαμεν $O^{arv}IP$ καθυπέταξαν ἐν $O^{e}\Lambda$ 13 δικαίωσ $O^{avl}P^{1}$ 17 δέλταισ I^{1} 18 ῥυπωσάντων κατὰ τὸν — χρόνον $O^{rl}I$ 20/21 γινομένης I 21 πνικοῦ πρσ O^{r} 22 λόγω O^{r} 26 πονηρὰν $O^{rl}I$ 27 αὐτῶ $O^{a}I$ αὐτῶν $O^{rv}P$ αὐτοῦ $O^{e}\Lambda$ βασιλίδοσ, in mg. γρ' βασιλευούσησ I 28 ὁ O^{r} 30 αὐτῶν [plur. maiest.] O^{e} αὐτοῦ $O^{arv}IP$ 31 καὶ om. I 33 ἐρρίζωνται $O^{aevl}P^{1}$ 35 om. I 36. 37. 38. ἐλέει θεοῦ om. $O^{e}\Lambda$ 36. 38 ἐλέω I 37 om. I ἐπίσκοποσ τῆς om. I^{1} μητροπόλεωσ O^{r} 38 πολεμαίων $O^{vl}P^{1}$

Θεόδωρος ⟨ἐλέει θεοῦ⟩ ἐπίσκοπος τῆς Πορφυρεῶνος ὑπέγραψα: —
Ἠλίας ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ζηνοπολιτῶν ὑπέγραψα: —

Εἰσὶν αἱ λαληθεῖσαι φωναὶ ἐκ τοῦ Χριστιανικωτάτου πλήθους ἐν τῇι ἀρχαίαι ἁγίαι **32**
ἐκκλησίαι μετὰ τὴν ἀνάγνωσιν τοῦ ἁγίου εὐαγγελίου καὶ δύο ἐπιστολῶν, μιᾶς μὲν παρὰ M VIII 1083
Ἰωάννου τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς βασιλίδος πόλεως, τῆς δὲ ἑτέρας παρὰ τοῦ i. e. 29
ὁσιωτάτου Θεοφίλου ἐπισκόπου Ἡρακλείας πρὸς τὸν ὁσιώτατον ἐπίσκοπον Ἐπιφάνιον, 6
ὁμοίως δὲ καὶ τρίτης γεγραμμένης ἐπιστολῆς παρὰ τῶν συνελθόντων κατὰ τὴν βασιλίδα
πόλιν ὁσιωτάτων ἐπισκόπων πρὸς τὸν ἀπομνημονευθέντα τῆς Τυρίων θεοφιλέστατον
ἐπίσκοπον, ἀναγνωσθείσης δὲ οὐδὲν ἧττον παραχρῆμα καὶ ἀναφορᾶς γενομένης παρὰ i. c. 25
τῶν προειρημένων ὁσιωτάτων ἐπισκόπων τῶν κατὰ τὴν βασιλίδα πρὸς τὸν ὁσιώτατον 10
καὶ μακαριώτατον οἰκουμενικὸν πατριάρχην τῆς αὐτῆς βασιλίδος πόλεως, ἐν ᾗι ἀνε-
θεματίσθη Σεβῆρος ὁ ἐπίσκοπος τῆς Ἀντιοχέων κατὰ τὰ περιεχόμενα τῶι αὐτῶι
ἀναγνωσθέντι χάρτηι διὰ Σεργίου τοῦ εὐλαβεστάτου διακόνου, ἐν μηνὶ κατὰ Τυρίους
Λώωι εἰκάδι ὀγδόηι, ἤτοι Σεπτεβρίου ἑκκαιδεκάτηι, τοῦ τρίτου τεσσαρακοστοῦ ἑξακο- d. 16. m. Sept.
σιοστοῦ, ἰνδικτιῶνος δωδεκάτης, αὗται· (fer. 1) a. 518

Τοῦ αὐγούστου πολλὰ τὰ ἔτη· τῆς αὐγούστας πολλὰ τὰ ἔτη· τῆς συγκλήτου 16
πολλὰ τὰ ἔτη· τῶν ἐπάρχων πολλὰ τὰ ἔτη· Ἰωάννου κόμητος πολλὰ τὰ ἔτη· Ἐπι-
φανίου πατριάρχου πολλὰ τὰ ἔτη. εἷς θεὸς ὁ τοῦτο ποιήσας· ὁ μέγας θεὸς τοῦτο L V 204
παρέσχεν. εἷς θεός, ἴδε πίστις· εἷς θεός, μία πίστις. εἰς εἰρήνην τῶν ἐκκλησιῶν· εἰς
εἰρήνην τῶν ὀρθοδόξων. Ἰωάννου πατριάρχου πολλὰ τὰ ἔτη· Ἐπιφανίου ὀρθοδόξου 20
πολλὰ τὰ ἔτη. ἃ ἐποίησεν ἡ σύνοδος, καὶ σὺ ποίησον· ἃ ἐποίησεν ἡ σύνοδος, ταῦτα
ποίησον. Ἰωάννου ὀρθοδόξου πολλὰ τὰ ἔτη. εἰς αἰῶνας τὸ βασίλειον τοῦτο. νικᾶι
ἡ πίστις τοῦ αὐγούστου· ἐκ θεοῦ τὸ βασίλειον τοῦτο. νέου Κωνσταντίνου πολλὰ τὰ
ἔτη· ὀρθοδόξου πατρὸς πολλὰ τὰ ἔτη. ὁ μὴ λαλῶν οὐκ ἔνι πιστός. ἃ ἐποίησεν ἡ
σύνοδος, ἔμβα ποίησον· ἃ πέπραχεν ἡ ἁγία τοῦ θεοῦ σύνοδος, ἔμβα ποίησον. νικᾶι 25
ἡ πίστις τοῦ αὐγούστου· εἰς αἰῶνας τὸ βασίλειον τοῦτο. Βιταλιανοῦ πατρικίου πολ-
λὰ τὰ ἔτη· Βιταλιανοῦ ὀρθοδόξου πολλὰ τὰ ἔτη· Ἐπιφανίου ὀρθοδόξου πολλὰ τὰ ἔτη·
ἔμβα ἀναθεμάτισον καθὼς καὶ οἱ πατέρες· ἔμβα ἀναθεμάτισον καθὼς καὶ ἡ σύνοδος·
ἔμβα ἀναθεμάτισον Σεβῆρον καὶ τὸν μανδρίτην· ἔμβα ἀναθεμάτισον Σεβῆρον καὶ
Ἰωάννην. 30

Καὶ ἀνελθόντος τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου ἐν τῶι ἄμβωνι ἐξεβόησαν· Καλῶς
ὁ θεὸς ἤνεγκέ σε· εἷς θεός, μία πίστις. εἷς θεὸς ὁ τοῦτο ποιήσας. ἄνω βάλε τοὺς
ἐπισκόπους· ἄνω βάλε τοὺς ὀρθοδόξους.

Καὶ ἀνελθόντων τῶν θεοφιλεστάτων Ἰωάννου ἐπισκόπου τῆς Πτολεμαίδος καὶ Θεο-
δώρου ἐπισκόπου τῆς Πορφυρεῶνος καὶ Ἠλίου ἐπισκόπου τῆς Ῥαχληνῶν πάλιν ἐξεβόη- 35

---

16 ὅρα τὸν ζῆλον τοῦ λαοῦ μέχρι τέλουσ οἷος θερμός ἐστιν O^{v} in mg. P^{mg}

O [-- aerv], II^{P}

1 om. $O^{aervII^{P}}$ ἐλέει θεοῦ addidi 2 Ἠλίας — ὑπέγραψα] καὶ οἱ λοιποί $O^{r}I$ 3 λαληθεῖσαι I βληθεῖσαι OP 8 conicio ἄνω μνημονευθέντα 9 ἀρχιεπίσκοπον O^{e} καὶ IΛ om. OI^{2} 14 λαῶ O^{r} σεπτεβρίω P σεπτεμβρίου O^{r} ἑξκαιδεκάτη O^{e} 14/15 ἑξακοσιοστοῦ ἔτους O^{avP} χρόνου I 15 δεκάτης O^{a} 16 αὐγούστης I 18 τοῦ πατριάρχου O^{aevP} 19 παρέσχεν I παράσχοι O^{aer} παράσχη O^{vP} *impartiatur* Λ ἴδε OP ἥδε I 21/22 ἃ: — ποίησον om. $O^{a}\Lambda$ 23—26 ἐκ θεοῦ — τοῦ αὐγούστου hic om. O^{a} cf. ad 28 23 τοῦ νέου O^{r} 24 ἐν $O(^{a})^{v}$ ἦν P 25 ἃ πέπραχεν — ποίησον om. $O(^{a})^{rv}IP$ 28 post 27 ἔτη^{3} habet νέου — ἔτη ὀρθοδόξου — ἔτη ὁ μὴ — οὐκ ἐν — ἔμβα ποίησον^{2} νικᾶ — τοῦτο (23—26) O^{a} 28 καὶ^{2} om. $O^{r}I$ 29 τὸν μανδρίτην — Σεβῆρον καὶ om. $O^{r}I$ 34 ἐπισκόπου om. $O^{r}I$ τῆσ O^{aervP} τοῦ τῆσ O^{r} τοῦ I

σαν· Ἐπιφανίου πατριάρχου πολλὰ τὰ ἔτη· ὡς οἱ ἅγιοι, ἐμαρτύρησες· ἐμαρτύρησες καὶ ἐνίκησες. πέμψον φέρε τοὺς ἐπισκόπους· πέμψον φέρε τοὺς ὀρθοδόξους. οὗτος μόνος διὰ πίστιν ἀπέθανεν· οὗτος μόνος ἀπέλαβε καμάτους· ἐμαρτύρησες καὶ ἐνίκησες. οὗτος μόνος διὰ πίστιν ἐνίκησεν· ἐμαρτύρησες καὶ ἡ πίστις σου ἐνίκησεν. ἔβαλεν αὐτοὺς τὸ τρισάγιον· ἔβαλεν αὐτοὺς ἡ θεοτόκοις· ἔβαλε Σεβῆρον ἡ θεοτόκος. ἐτάραξε τὰς ἐκκλησίας, ἔβαλεν αὐτοὺς τὸ μυστήριον· ἔβαλεν αὐτοὺς ὃν ἐλίθασαν· ἔβαλεν αὐτοὺς ὃν ὕβρισαν. τούτους ἔξω τῆς πόλεως· ποία πόλις τῶν Ἀποσχιστῶν; τοὺς Αἰγυπτίους ἔξω βάλε. ὁ βασιλεὺς ὀρθόδοξος ἔνι· εἰς αἰῶνας τὸ βασίλειον τοῦτο· τὸ σπήλαιον τῶν
M VIII 1086 ληιστῶν ἔξω βάλε· τὸ σπήλαιον τῶν Ἀποσχιστῶν ἄρον καῦσον. ἄνω βάλε τὸν Πριγκιπίας· ὅλους δολίους ἔξω βάλε· τὸν Ῥωμαικὸν ἔξω βάλε· ἄνω βάλε τοὺς ἡλέησες. ἔξω βάλε τὸν συνθηκάριεν . ἔξω βάλε τὸν λοίδορον. μετὰ σοῦ ἦσαν καὶ δόλιοι ἦσαν· ἔξω βάλε τὸν συνθηκάριν καὶ Μανιχαῖον. ὁ Ῥωμαικὸς δόλιος ἔνι· τὸν Ῥωμαικὸν ἔξω βάλε· τὸν Μανιχαῖον ἔξω βάλε· καθάρισον τὰς ἐκκλησίας. μετὰ σοῦ ἐστι καὶ συνθηκίζει τοὺς ἐπισκόπους. πέμψον φέρε τοὺς ἐπισκόπους· πέμψον φέρε τοὺσ ὀρθοδόξους. ἀνάθεμα Σεβήρωι καὶ τοῖς φρονοῦσι τὰ αὐτοῦ καὶ τῶι μανδρίτηι. ἀνάθεμα Σεβήρωι Εὐτυχεῖ καὶ Νεστορίωι καὶ τῶι μανδρίτηι· τὸ ἐργαστήριον ἐντολίου διὰ τί ἠνοίγη; ἔμβα ἀναθεμάτισον, ὡς ὁ Ῥώμης πατριάρχης. Ἠλίαν τὸν Βοτρυηνόν, τὸν ἀρτοκόπον ἄρτι ἀναθεμάτισον· ἐπίσκοπον ἀντὶ αὐτοῦ ἐκεῖ πέμψον· ἐπισκόπους αἱρετικοὺς ἔξω βάλε. Ἰουστῖνος βασιλεύει, οὐκ ἔνι φοβηθῆναι· ὀρθόδοξος ἔνι. τοῦ αὐγούστου πολλὰ τὰ ἔτη· εἰς αἰῶνας τὸ βασίλειον τοῦτο· νέος ἐστὶ Κωνσταντῖνος·
L V 205 οὐκ ἔνι φοβηθῆναι. νέας Ἑλένης πολλὰ τὰ ἔτη· Βιταλιανοῦ πατρικίου πολλὰ τὰ ἔτη· Βιταλιανιοῦ στρατηλάτου πολλὰ τὰ ἔτη· τῶν ἐπάρχων πολλὰ τὰ ἔτη· τοῦ μαγίστρου πολλὰ τὰ ἔτη· τῆς ὅλης συγκλήτου πολλὰ τὰ ἔτη· Ἠλία κουράτωρος πολλὰ τὰ ἔτη· Ἐπιφανίου πατριάρχου πολλὰ τὰ ἔτη. τὴν νίκην τοῦ αὐγούστου, κάθελε τὸν Βοτρυηνὸν ὡς Μανιχαῖον. Αἰγυπτίους ξυλεμπόρους οὐ θέλει ἡ πόλις. ἔξω βάλε τοὺς Ἀκεφάλους· εἰ ἐνίκησαν, ἀπεθνήισκομεν. Φλαβιανὸν πατριάρχην τοῖς διπτύχοις. ἡ τριὰς ἐνίκησε· λάβε τὴν θεοτόκον· ὁ βασιλεὺς ἐκέλευσε καὶ ὅλη ἡ σύνοδος· ὁ βασιλεὺς ἐκέλευσεν ὡς εἶπεν ἡ σύνοδος· Ἀποσχίστης οὐκ ἔνι. λάβε τὴν θεοτόκον· εἴσβα καὶ καθάρισον τὸν οἶκον τὸν ἅγιον· ὁ μὴ λαλῶν οὐκ ἔνι πιστός. εἰς τὴν θεοτόκον ἄγωμεν· κήρυξον καὶ ἄγωμεν. τοῦ αὐγούστου πολλὰ τὰ ἔτη· εἷς θεός, μία πίστις. τὸ λείψανον Φλαβιανοῦ πέμψον φέρε. εἰς τὴν ἁγίαν Μαρίαν ἄγωμεν. ἴδε δεύτερον

———

O [= aerv], lP

1 ἐμαρτύρησασ ἐμαρτύρησασ Orl ἐμαρτύρησαν ἐμαρτύρησασ OeΛ 2 ἐνίκησασ Oerl 3 ἐμαρτύρησασ καὶ ἐνίκησασ Oerl 4 ἐμαρτύρησασ Oerl σου] οὐκ Or om. I ἔβαλεν Oerl ἔλαβεν Oavl' 5 ἔβαλεν' Oerlʌ ἔλαβεν Oavl' 8—9 ὁ βασιλεὺς — βάλε' om. I 8 ἔν Ovl' 9 τῶν ἀποσχιστῶν om. Or 10 πριγκηπίασ Oe πριγγιπίασ I τοὺς δολίουσ Oae 10—13 ἄνω βάλε — ἔξω βάλε' hic om. Orl cf. ad 13 10 τοὺς] οὗσ Oe(I) 11 συνθηκάρην Oa(r)v(I)l' συνθηκάριον Oe ἔξω βάλε — τὸν συνθηκάριν om. OeΛ 12 συνθηκάρην Oa(r)v(I)l' ἔν Oal' 13 post τὸν Μανιχαῖον ἔξω βάλε habent μετὰ σοῦ ἐστὶ καὶ συνθηκίζει τοὺς ἐπισκόπους [μετὰ — ἐπισκόπους om. Or] καθάρισον τὰσ ἐκκλησίασ ἄνω βάλε τοὺσ [οὺς I] ἡλέησασ ἔξω βάλε τὸν συνθηκάρην ἔξω βάλε τὸν λοίδορον μετὰ σοῦ ἦσαν καὶ δόλιοι ἦσαν τὸν ῥωμαικὸν ἔξω βάλε τὸν μανιχαῖον ἔξω βάλε Orl pergunt πέμψον' (14) 14 πέμψον' — τοὺς ἐπισκόπους om. Oavl' 14/15 πέμψον² — τοὺς ὀρθοδόξους om. OeΛ 15—17 ἀνάθεμα: — πατριάρχησ Oevl'Λ τὸ ἐργαστήριον — ἠνοίγη ἀνάθεμα — μανδρίτη ἔμβα — πατριάρχησ Oa τὸ ἐργαστήριον — ἠνοίγη ἔμβα — πατριάρχησ ἀνάθεμα — μανδρίτη Orl 15 νεστορίω τῶ μανδρίτη l' 17 βοτρύινον Oarvlp 19 ἔν Ovl' 20 αἰῶνα Or ἐστὶ om. l' 21 τῆσ νέασ Or 21/22 πολλὰ τὰ ἔτη Βιταλιανοῦ στρατηλάτου — ἐπάρχων om. Oa 23 ἡλία — ἔτη τοῦ μαγίστρου — ἔτη τῆσ ὅλησ — ἔτη Orl 24 πατριάρχου Orl ἀρχιεπισκόπου Oaevl'Λ 24.25 βοτρύινον Oarl βοτρύιν Ovl' 27 ὁ βασιλεὺς ἐκέλευσεν om. Λ καὶ ὅλη ἡ σύνοδοσ [ἡ σύνοδος ὅλη l] Oarvlp' ὡσ εἶπεν ἡ σύνοδος OeΛ 28 ὡσ εἶπεν Oarvlp' καὶ ὅλη ἡ OeΛ 29 ἔν Ovl'

ἀνέφραξαν τὰ ἔσω· τὸ σταυρὶν δὸς ἡμῖν. τὸν σταυρὸν ἐλίθασαν καὶ ἀνέφραξαν τὰ ἔσω· εἰς ποίαν πόλιν ταῦτα γίνονται; μία πίστις γέγονεν, οὐκ ἔνι ἀταξία. ὁ σταυρὸς ἐνίκησε καὶ οὐκ ἔνι ἀταξία· ἡ τριὰς ἐνίκησε καὶ οὐκ ἔνι ἀταξία. ἡ τριὰς ἐνίκησεν· ἀπῆλθεν ὁ Ἀκέφαλος· ὁ αὔγουστος ἐνίκησεν. ἄγωμεν εἰς τὴν θεοτόκον, νικᾶι Ἰουστῖνος· ἄγωμεν εἰσέλθωμεν. νικᾶι Ἰουστῖνος· ἄγωμεν ἄρτι ἔσω. νικᾶι Ἰουστῖνος, κήρυξον τὴν σύναξιν· νικᾶι Ἰουστῖνος, τὴν ἡμέραν κήρυξον. Ἰωάννου πατριάρχου πολλὰ τὰ ἔτη· Ἐπιφανίου πατριάρχου πολλὰ τὰ ἔτη· τοῦ αὐγούστου πολλὰ τὰ ἔτη· Εὐφημίας αὐγούστας πολλὰ τὰ ἔτη· Ἐπιφανίου ἀρχιεπισκόπου πολλὰ τὰ ἔτη. ὅπου ἐμαρτύρησες, κήρυξον τὴν σύναξιν. ἄγωμεν εἰσέλθωμεν ἔσω εἰς τὴν θεοτόκον. ἐνίκησεν ὁ αὔγουστος, κήρυξον τὴν σύναξιν. καστέλλιν ἐγένετο, λάβε τὴν θεοτόκον· συναγωγὴ ἐγένετο, λάβε τὴν θεοτόκον. ἄγωμεν εἰσέλθωμεν κἀκεῖ ἀναθεμάτισον· ἄγωμεν εἰσέλθωμεν, ἀπῆλθεν ὁ Ἀκέφαλος. ἄγωμεν εἰσέλθωμεν, καθηιρέθη ὁ Ἀκέφαλος. κέλευσον, καὶ ὑπάγωμεν τὸν σταυρὸν βαστάζοντες. νικᾶι ὁ αὔγουστος, ἄγωμεν εἰσέλθωμεν· νικᾶι ὁ αὔγουστος, ἔσω ἀναθεμάτισον. τίνα μένεις; ὀρθόδοξος εἶ. λιτανείαν, κἀκεῖ εἰσβῶμεν. νικᾶι Ἰουστῖνος, ἔνθεν ἔσω ἄγωμεν. μαρτύρομαί σε, οὐδὲν ἀφῆκαν ἔσω· τὰ κειμήλια ἔλαβεν ὁ τοῦ μοδαρίου. κήρυξον τὴν σύναξιν. τὴν νίκην τοῦ αὐγούστου, μίαν ἀργίαν τῆι πόλει· μίαν ἀργίαν τοῖς ὀρθοδόξοις. εἴσβα λῦσον τὸ M VIII 1087
οἰκοδόμημα· ὁ Ἀκέφαλος οὐκ ἔχει ὧδε τόπον· οὐκ ἔχει ὧδε τόπον ὁ Μανιχαῖος. Ἐπιφανίου ἀρχιεπισκόπου πολλὰ τὰ ἔτη· εἷς θεός, ὑγείαν αὐτῶι.

Καὶ προσφωνήσαντος τοῦ αὐτοῦ ἁγιωτάτου ἀρχιεπισκόπου· παρακαλῶ τὴν ὑμετέραν ἀγάπην ἀνεξικάκως ἐνεγκεῖν καὶ συγχωρῆσαι κἀμὲ καὶ τοὺς θεοφιλεστάτους ἐπισκόπους ἀναθεματίσαι τὸν Ἀκέφαλον· καὶ ἐνταῦθα γὰρ καὶ ἐν τῶι εὐκτηρίωι οἴκωι τῆς ἁγίας θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ ἐν ὅλοις τοῖς εὐκτηρίοις οἴκοις καὶ ἐν ὅλαις ταῖς ἐκκλησίαις καὶ ἐν ὅλαις ταῖς πόλεσιν καὶ ἐν ὅλωι τῶι κόσμωι ἀναθεματίζεται ἕως τοῦ αἰῶνος, πάλιν ἐξεβόησαν· ἡσυχίαν τῶι κυρῶι ἡμῶν. καὶ λοιπὸν εἶπε πρὸς τοὺς ἀπὸ τοῦ πλήθους ὁ ἁγιώτατος ἡμῶν ἀρχιεπίσκοπος Ἐπιφάνιος ταῦτα

Τὴν ὀρθὴν καὶ ἀμώμητον καὶ ἀληθινὴν πίστιν, ἣν παραδεδώκασιν ἡμῖν οἱ ἀπ' Lc. 1, 1
ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου καὶ ἐδίδαξαν ἡμᾶς οἱ θεσπέσιοι καὶ πανάγιοι ἀπόστολοι καὶ ἐξ αὐτῶν λαβόντες οἱ τρισμακάριοι ἡμῶν ἅγιοι πατέρες οἱ ἐπὶ τῆι ὀρθῆι διαλάμψαντες πίστει οἵ τε ἐν Νικαίαι τιη καὶ οἱ ἐν τῆι βασιλευούσηι Κωνσταν- L V 208
τινουπόλει ρν καὶ οἱ ἐν Ἐφέσωι σ̄ καὶ οἱ ἐν Χαλκηδόνι χλ, καὶ οἱ λοιποὶ δὲ πάντες ὅσιοι καὶ ὁμόφρονες αὐτῶν ὀρθόδοξοι πατέρες, παραλαβόντες καὶ ἀεὶ ἐν ἑαυτοῖς ἐσχηκότες καὶ ἔχοντες καὶ ταύτην ἄτρωτον φυλάξαντες, ἣν ἀεὶ καὶ ἐκηρύξαμεν ἐπ' ἐκκλησίας καὶ κηρύσσομεν ὑμῖν, ἀγαπητοί, καὶ ἀνεθεματίσαμεν ἀεὶ καὶ ἀναθεματίζομεν πάντας μὲν τοὺς αἱρετικοὺς μετὰ τῶν δυσσεβῶν αὐτῶν φρονημάτων καὶ τῶν φρονούντων τὰ ὀλέθρια αὐτῶν διδάγματα, ἐξαιρέτως δὲ καὶ ὀνόματι ἀναθεματίζομεν Ἄρειον Εὐνόμιον Μακεδόνιον τὸν

O [= aerv], IP

1 ἔφραξαν O^e 1—2 τὰ ἔσω εἰσ ποίαν — γίνονται τὸ σταυρὶν — ἡμῖν τὸν σταυρὸν — τὰ ἔσω O^a 1 τὸ σταυρίον O^e τὸν σταυρὸν P ἐνέφραξαν $O^{avl}P$ 2 ποίαν om. l γέγονεν O^{erl} ταῦτα γέγονεν $O^{avl}P$ 2/3 ὁ σταυρὸς — ἀταξία² om. P ἡ τριὰς — ἀταξία ὁ σταυρὸσ — ἀταξία O^r 3 καὶ οὐκ — ἐνίκησεν om. $O^{al}P$ 5 ἄρτι ἔσω ἄγωμεν O^e 8 Εὐφημίας — τὰ ἔτη² om. l αὐγούστησ O^e 9 ἐμαρτύρησασ $O^{er}l$ 10 καστέλλιον O^e 13 ὑπάγομεν O^v 14 λιτανείαν ποίησον P 16 μοδιαρίου $O^eΛ$ 19 ὑγίειαν $O^{av}lP$ αὐτῶ in αὐτῆσ corr. P 20 καὶ — ἀρχιεπισκόπου om. O^vlP, corr. P^{mg} 24 ἀναθεματίζετε P 25 καὶ πάλιν $OlΛ$ ἡσυχία $O^{av}lP$ 26 Ἐπιφάνιος om. $O^{av}lP$ 30 οἵ τε οἱ P οἱ om. P 32 καὶ ὁμόφρονεσ — πρεσ O^{aerv} P πρεο καὶ ὁμόφρονεσ αὐτῶν καὶ ὀρθόδοξοι [καὶ ὀρθόδοξοι om. O^r] O^rl 33 ἣν| ὃν O^r καὶ ἀεὶ καὶ l 33/34 κηρύσσωμεν P 34 ἀναθεματίζομεν καὶ ἀνεθεματίσαμεν ἀεὶ O^e ἀναθεματίσαμεν l μὲν om. l 36 ὀνομαστὶ $O^{ae}Λ$

πνευματομάχον Ἐβίωνα Φωτεινὸν Μάρκελλον Θεόδοτον Ἀρτεμᾶν Παῦλον τὸν Σαμοσατέα Νεστόριον τὸν ἀνθρωπολάτρην καὶ δυσσεβῆ, Οὐαλεντῖνον Σκυθιανὸν Μάνην Μαρκίωνα Βαρδισάνην Ἀπολινάριον Εὐτυχέα, μετὰ τούτων πάντων τῶν αἱρετικῶν καὶ ὁμοίως τούτων πάντων ἀναθεματίζομεν καὶ τὸν δυσσεβῆ Σεβῆρον τὸν Ἀκέφαλον καὶ Ἀποσχίστην καὶ ἀεὶ ἀλλότριον γενόμενον τοῦ δεσπότου ἡμῶν καὶ κυρίου Ἰησοῦ Χριστοῦ καὶ τῆς ἁγίας αὐτοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας καὶ τὸ δυσσεβὲς αὐτοῦ φρόνημα, ὡς ἀναθεματίσαντα τοὺς ἁγίους ἡμῶν ὀρθοδόξους πατέρας καὶ σχίσματα καὶ ταραχὰς ἐμποιήσαντα ταῖς ἁγίαις ἐκκλησίαις τῶν ὀρθοδόξων Χριστιανῶν παντὸς ὡς εἰπεῖν τοῦ κόσμου.

Καὶ διακόψαντες αὐτὸν οἱ ἀπὸ τοῦ πλήθους ἐξεβόησαν· Εἷς θεὸς ὁ τοῦτο ποιήσας· εἷς θεός, μία πίστις. εἰς εἰρήνην τῶν ἐκκλησιῶν, Ἐπιφανίου ἀρχιεπισκόπου πολλὰ τὰ ἔτη. εἰς εἰρήνην τῶν ὀρθοδόξων, εἰς εἰρήνην τοῦ βασιλέως. ἀναθεμάτισον καὶ τὸν μανδρίτην.

Πληρῶν δὲ ὁ αὐτὸς ἁγιώτατος ἡμῶν ἀρχιεπίσκοπος τά τε λοιπὰ τῆς προσφωνήσεως καὶ τοῦ ἀναθέματος ἔφη πρὸς αὐτοὺς ταῦτα· Ὡσαύτως δὲ ἀναθεματίζομεν καὶ Ἰωάννην τὸν μανδρίτην τὸν ἀποστάτην καὶ ἀρνησίθεον, ἀφ' οὗ καὶ προσέλαβε τὸ δυσσεβὲς φρόνημα παρὰ τοῦ αὐτοῦ ἀσεβεστάτου Σεβήρου. ἔστωσαν τοίνυν οἱ εἰρημένοι Σεβῆρος ὁ Ἀκέφαλος καὶ Ἰωάννης ὁ μανδρίτης καὶ τὸ δυσσεβὲς αὐτῶν φρόνημα μετὰ τῶν κοινωνούντων αὐτοῖς ἀνάθεμα καὶ κατάθεμα ἀπὸ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, ἐν τῷ αἰῶνι τούτῳ καὶ ἐν τῷ μέλλοντι. ἀμήν.

Καὶ ἐξεβόησαν οἱ ἀπὸ τοῦ πλήθους· Ἀμὴν ἀμὴν ἀμήν. εἷς θεὸς ὁ τοῦτο ποιήσας· Ἐπιφανίου ἀρχιεπισκόπου πολλὰ τὰ ἔτη· Ἰωάννου κόμητος πολλὰ τὰ ἔτη. ὅλους τοὺς αἱρετικοὺς ἀναθεμάτισον. μίαν ἀργίαν τῇ θεοτόκῳ. ἡ τριὰς ἐνίκησε, τὴν σύναξιν κήρυξον. ὁ σταυρὸς ἐνίκησε, τὴν σύναξιν κήρυξον. ἄνω βάλε τὸν Πριγκιπίας, ἄνω βάλε τοὺς μεταβάτας. ἔσω εἰς τὴν θεοτόκον, τὴν σύναξιν κήρυξον· ὁ μὴ λαλῶν οὐκ ἔνι πιστός. αὕτη ἡ ὥρα θεῷ ἀρέσκει καὶ τῷ αὐγούστῳ, αὕτη ἡ ὥρα θεῷ ἀρέσκει καὶ τοῖς πατράσιν. νικᾶι Ἰουστῖνος, τὴν σύναξιν κήρυξον. εἴσβα ἄνοιξον τὴν θεοτόκον. εἴσβα ἄνοιξον τὴν παρέλαβες. οἱ Ἰουδαῖοι χαίρονται ὅτι ἠσφάλισται τὰ ἔσω. οἱ Ἰουδαῖοι χαίρονται, τὴν θεοτόκον ἄνοιξον. εἴσβα, ἁγίασον, ἣν ἐκοίνωσαν. οὐκέτι Ἀναστάσιος· Ἰουστῖνος βασιλεύει· ὀρθόδοξος ἔνι. Ἰουστῖνος βασιλεύει· οὐκ ἔστι Μανιχαῖος· ὀρθόδοξος ἔνι· Ἰουστῖνος βασιλεύει ὁ νέος Κωνσταντῖνος. οὐκ ἔστι Μανιχαῖος ὡς Ἀναστάσιος. Ἰωάννου πατριάρχου πολλὰ τὰ ἔτη· Ἐπιφανίου ὀρθοδόξου πολλὰ τὰ ἔτη· τὸν ἀνεψιὸν τοῦ μανδρίτου ἀναθεμάτισον· τοὺς κατὰ σοῦ ἀναθεμάτισον. μίαν ἀργίαν τῇ πόλει· ἄνοιξον τὴν ἥρπασαν. εἷς θεός, μία πίστις. ἀπέθανεν Ἀμάντις ὁ ἀντάρτης
L V 209 τῆς τριάδος. εἴσβα ἔνδυσον τὴν ἐγύμνωσαν. νικᾶι Ἰουστῖνος· τὴν σύναξιν κήρυξον.

O [= aerv], IP

1 εὐβίωνα I φωτεινὸν τὸν ἐσκοτισμένον P Θεόδοτον om. OvP 2 σκυθινον Or μάρην P 3 βαρδισιάνην OvP καρδισιάνην Oa 4 πάντων τούτων OavP 10 οἱ om. I 13 καὶ om. OavP 14 ἡμῶν om. I 16 τὸν μανδρίτην post ἀρνησίθεον coll. I ἀφ' οὗ OP ὃς IΛ 19 τοῦ πρσ Oe καὶ2 om. I τοῦ υἱοῦ καὶ τοῦ ἁγίου OaevP 21 Καὶ I om. OPΛ 21 ἐξεβόησαν — ἀμήν3 om. OavP 25 πριγκηπίασ Oe πριγγιπίασ I 26 ἐν OavP 26/27 αὕτη — αὐγούστω αὕτη — πατράσι OrI αὕτη — πατράσιν — αὐγούστω OeΛ αὕτη ἡ ὥρα θῶ θῶ om. Oa] ἀρέσκει καὶ τῷ αὐγούστω OavP 28 ἣν OerI 29 οἱ1 om. I χαίρουσιν (bis) I ὅτι ἠσφάλισται τὰ ἔσω OarI τὴν θεοτόκον ἄνοιξον OevPΛ 29/30 τὴν θεοτόκον ἄνοιξον OarI ὅτι ἠσφάλισται τὰ ἔσω OevPΛ ἐκοινώνησαν Or οὐκέτι OrI οὐκ ἔστι OaevPΛ 31/32 ὀρθόδοξος1 — βασιλεύει om. I 31 ἐν OvP Ἰουστῖνος βασιλεύει Or om. OaevPΛ 32 ἐν OvP ὡς ὁ I 33 τὰ om. Oe 35 ἣν Oe τὴν ἣν I ἀμάντης OarvIP 36 ἐνδὺσ OavP ἔνδον I ἣν Oe τὴν ἣν I

τὸ λυχνικὸν ἔσω ποίησον· τὴν σύναξιν κήρυξον. ἁγία τριάς, τὴν ὑγείαν δὸς αὐτῶι. εἷς θεός, μία πίστις· ὅλων ὀρθοδόξων πολλὰ τὰ ἔτη. πέμψον φέρε τοὺς ἄλλους ἐπισκόπους· Ἠλίαν τὸν Βοτρυηνὸν ἀναθεμάτισον. Ἰωάννου πατριάρχου πολλὰ τὰ ἔτη· Ἐπιφανίου πατριάρχου πολλὰ τὰ ἔτη· τοῦ αὐγούστου πολλὰ τὰ ἔτη. Εὐφημίας αὐγούστας πολλὰ τὰ ἔτη. τὴν νίκην τοῦ βασιλέως, εἴσελθε ἔσω. εἰς αἰῶνας τὸ βασίλειον τοῦτο, ἀπελάτα τοῦ Ἀκεφάλου, ἀπελάτα τῶν αἱρετικῶν.

Καὶ λοιπὸν Ἰωάννης ὁ θεοφιλέστατος ἐπίσκοπος Πτολεμαίδος εἶπε πρὸς τοὺς ἀπὸ τοῦ πλήθους ταῦτα· Ἀναθεματίζομεν πάντας μὲν οὓς ἀνεθεμάτισεν ὁ ἁγιώτατος καὶ μακαριώτατος ἡμῶν ἀρχιεπίσκοπος καὶ μητροπολίτης, καὶ πάσας τὰς αἱρέσεις, ἐξαιρέτως δὲ τὸν δυσσεβῆ καὶ θεομάχον Σεβῆρον τὸν Ἀκέφαλον καὶ Μανιχαῖον καὶ Ἰωάννην τὸν δυσσεβῆ καὶ θεομάχον, τὸν μανδρίτην, καὶ ἀποστρεφόμεθα τὴν πρὸς αὐτοὺς κοινωνίαν καὶ ἀλλοτρίους αὐτοὺς καλοῦμεν καὶ αὐτοῦ τοῦ ὀνόματος τῶν Χριστιανῶν. ἔστωσαν οὖν ἀνάθεμα ἀπὸ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, ἐν τῶι οὐρανῶι καὶ ἐν τῆι γῆι, ἐν τῶι αἰῶνι τούτωι καὶ ἐν τῶι μέλλοντι, ἀμήν.

Εἶπε δὲ καὶ ὁ θεοφιλέστατος ἐπίσκοπος Θεόδωρος τῆς Πορφυρεωνιτῶν ταῦτα· Πάντας ὅσους προλαβὼν ἀνεθεμάτισεν ὁ ἁγιώτατος καὶ μακαριώτατος ἡμῶν ἀρχιεπίσκοπος καὶ μητροπολίτης, ἀναθεματίζομεν σὺν αὐτῶι· σὺν αὐτοῖς ἀναθεματίζομεν καὶ Σεβῆρον τὸν Ἀκέφαλον καὶ Ἰωάννην τὸν μανδρίτην ὡς συναινέσαντα τοῖς αἱρετικοῖς αὐτοῦ δόγμασιν. ἔστωσαν τοίνυν ἀνάθεμα ἀπὸ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, ἐν τῶι οὐρανῶι καὶ ἐν τῆι γῆι, ἐν τῶι αἰῶνι τούτωι καὶ ἐν τῶι μέλλοντι, ἀμήν.

Ἔφη δὲ καὶ Ἠλίας ὁ θεοσεβέστατος ἐπίσκοπος τῆς Ῥαχληνῶν ταῦτα· Καὶ ἡμεῖς κατ' ἴχνος βαίνοντες τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου ἡμῶν ἀρχιεπισκόπου καὶ μητροπολίτου καὶ πειθόμενοι τῆι αὐτοῦ ἀγαθῆι διδασκαλίαι καὶ εἰδότες ὡς ἄνω καὶ κάτω τὰ δίκαια καὶ τὰ ἀληθῆ ταῖς ἁγιωτάταις ἐκκλησίαις πραγματεύεται, τούτου χάριν ἀναθεματίζομεν τοὺς οὐχ ἅπαξ, οὐ δὶς ἀναθεματισθέντας, ἀλλὰ καὶ καθ' ἑκάστην ἡμέραν M VIII 1091
ἀναθεματιζομένους, τὸν Ἀκέφαλον καὶ Μανιχαῖον Σεβῆρον καὶ τὰ δυσσεβῆ αὐτοῦ φρονήματα καὶ Ἰωάννην τὸν μανδρίτην καὶ τὰ δυσσεβῆ αὐτοῦ διδάγματα μετὰ καὶ τῶν κοινωνούντων αὐτοῖς. περὶ γὰρ τῶν λοιπῶν περιττόν ἐστι καὶ λέγειν. ἔστωσαν τοίνυν ἀνάθεμα ἀπὸ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, ἐν τῶι οὐρανῶι καὶ ἐν τῆι γῆι, ἐν τῶι αἰῶνι τούτωι καὶ ἐν τῶι μέλλοντι, ἀμήν.

Καὶ ἐξεβόησαν οἱ ἀπὸ τοῦ πλήθους· Εἷς θεός, Χριστὸς βασιλεύει. τῶν ἐπισκόπων πολλὰ τὰ ἔτη· τῶν ὀρθοδόξων πολλὰ τὰ ἔτη. εὐλογητὸς κύριος Ἰησοῦς ὁ βασιλεύς, ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῶι λαῶι αὐτοῦ. Lc. 1, 68

Καὶ ἔτι ἐπιμεινάντων τῶν ἀπὸ τοῦ πλήθους καὶ ἐκβοώντων περὶ τοῦ γενέσθαι ἁγίαν σύναξιν ἐν τῶι εὐκτηρίωι οἴκωι τῆς ἁγίας ἐνδόξου καὶ θεοτόκου παρθένου Μαρίας, προσεφώνησεν αὐτοῖς ὁ ἁγιώτατος ἡμῶν ἀρχιεπίσκοπος ταῦτα· Ἐπειδὴ πολλὴ ὥρα ἐστὶ καὶ δίκαιόν ἐστιν ποιῆσαι ἡμᾶς τὴν θείαν λειτουργίαν, δι' ἧς θεραπεύεται ὁ θεὸς εἰς ὠφέλειαν τῶν ἡμετέρων ψυχῶν, ἀρκεσθῶμεν τούτοις· πολλὰ γάρ ἐστι τὰ ἔχοντα ἀναγνωσθῆναι. τῆι οὖν σὺν θεῶι ἁγίαι κυριακῆι τῆι ἐπιούσηι ἐν τῶι εἰρημένωι εὐκτηρίωι οἴκωι τῆς d. 23. m. Sept. a. 518

O [= aerv], IP

1 τὸ λυχνικὸν — κήρυξον om. I ὑγείαν $O^{arv}P$ 3 βοτρύινον $O^{arv}IP$ 4/5 αὐγούστης $O^{e}I$ 6 ἀπελάτου — ἀπελάτου $O^{arv}I^{2}$ 7 τῆς πτολεμαίδος OP 13 τοῦ¹ om. I τοῦ² om. I 15 καὶ om. O^{r} ὁ θεοφιλέστατος θεόδωρος ἐπίσκοπος O^{arv} θεόδωρος ὁ θεοφιλέστατος ἐπίσκοπος $O^{e}\Lambda$ 17 αὐτοῖς δὲ $O^{e}\Lambda$ 18 τοῦτον τοῖς O^{e} αἱρετικοῖς καὶ ἀσεβέσιν $O^{e}\Lambda$ 19 ἔστω I ἀνάθεμα αὐτοῖς I 22 δὲ om. O^{a} θεοφιλέστατος O^{er} 24 εἰδότες I *credentes* Λ om. OP 26 οὐ OP' ἢ I 29 ἔστω I 30 ἀνάθεμα αὐτοῖς I 32 βασιλεὺς $O^{arv}P$ 33 Ἰησοῦς om. $O^{r}I$ 36 καὶ om. $O^{v}I^{2}$

δεσποίνης ἡμῶν τῆς ἐνδόξου καὶ θεοτόκου παρθένου Μαρίας τὰ λοιπὰ ἀναγινώσκομεν καὶ πάλιν ἀναθεματίζομεν τὸν Ἀκέφαλον καὶ πάντας τοὺς μετ' αὐτοῦ.

L V 212 Καὶ λοιπὸν ἐκήρυξε τὴν τοιαύτην ἁγίαν σύναξιν Ζαχαρίας ὁ θεοσεβέστατος ἀρχιδιάκονος· Γνωρίζομεν τῇ ὑμετέραι ἀγάπηι ὅτιπερ τῇι ἐπιούσηι κυριακῇι εἰς δόξαν τοῦ δεσπότου Χριστοῦ τοῦ θεοῦ ἡμῶν καὶ τῆς ἁγίας ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ ὑπὲρ σωτηρίας νίκης καὶ διαμονῆς τοῦ φιλοχρίστου ἡμῶν βασιλέως Ἰουστίνου καὶ τῆς εὐσεβεστάτης βασιλίδος Εὐφημίας καὶ τῶν μειζόνων ἐξουσιῶν καὶ τοῦ ἁγιωτάτου πατριάρχου τῆς βασιλίδος πόλεως Ἰωάννου καὶ τῆς αὐτόθι ἐνδημούσης ἁγίας συνόδου ἐν τῶι οἴκωι τῆς ἁγίας Μαρίας τῶι ἐν Ἰαμψούφοις τὴν ἁγίαν σύναξιν ποιούμεθα. τῇι δὲ αὐτῇι ἁγίαι κυριακῇι ἕωθεν ἐνταῦθα συνερχόμεθα, ἵνα ἐντεῦθεν μετὰ ψαλμωιδιῶν καὶ κηρῶν καὶ θυμιαμάτων ἐν τῶι ἁγίωι οἴκωι καταντήσαντες τὴν λιτὴν καὶ τὴν ἁγίαν σύναξιν πληρώσωμεν· καὶ πάντες καὶ πᾶσαι μετὰ σπουδῆς συνέλθωμεν. καὶ μετ' αὐτὸν καὶ ὁ ἁγιώτατος ἡμῶν ἀρχιεπίσκοπος εἶπεν οὕτως· Γνωρίζομεν τῇι ὑμετέραι ἀγάπηι ὡς ὅτιπερ τῇι ἐπιούσηι ἁγίαι κυριακῇι ἐνταῦθα συνερχόμεθα, ἵνα ἐντεῦθεν μετὰ ψαλμωιδιῶν καὶ κηρῶν καὶ θυμιαμάτων λιτανεύοντες καταντήσωμεν ἐν τῶι εὐκτηρίωι οἴκωι τῆς ἁγίας θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, κἀκεῖσε τὴν ἁγίαν σύναξιν πληροῦμεν.

Καὶ ἐξεβόησαν οἱ ἀπὸ τοῦ πλήθους· Τὸν ἔφορον ἔξω βάλε· ὅλους τοὺς Ἀποσχίστας ἔξω βάλε. ἀνάθεμα τοῖς Ἀποσχίσταις· ἀνάθεμα τοῖς δεχομένοις ἕνα ἐκείνων. κληρικοὺς Ἀποσχίστας μηδεὶς δέξηται. τοὺς ἀποστάτας μηδεὶς δέξηται. τοὺς ἀρνησαμένους τὴν ἐκκλησίαν μηδεὶς δέξηται. τοὺς πολεμήσαντας τὸν σταυρὸν μηδεὶς δέξηται.

Καὶ λοιπὸν προσεφώνησεν αὐτοῖς ὁ ἁγιώτατος ἡμῶν ἀρχιεπίσκοπος ταῦτα· Τὸ μέντοι λυχνικὸν τῶι σαββάτωι ἑσπέρας ἐν τῶι αὐτῶι εὐκτηρίωι οἴκωι τῆς ἁγίας θεοτόκου καὶ ἀειπαρθένου Μαρίας ποιούμεθα. καὶ ἡσυχασάντων ἐπετελέσθη ἡ ἁγία σύναξις.

M VIII 1094 Ἐπιστολὴ τῶν ἐν δευτέραι Συρίαι ἐπισκόπων πρὸς Ἰωάννην πατριάρχην καὶ τὴν σύνοδον

33 Δεσπότηι ἡμῶν τὰ πάντα ἁγιωτάτωι καὶ μακαριωτάτωι πατρὶ πατέρων ἀρχιεπισκόπωι καὶ οἰκουμενικῶι πατριάρχηι Ἰωάννηι καὶ τῇι κατὰ τὴν βασιλίδα τῶν πόλεων ἐνδημούσηι ἁγίαι καὶ θεοτιμήτωι συνόδωι οἱ ἐλάχιστοι ἐπίσκοποι Συρίας δευτέρας. Ὅταν ἀποβλέψωμεν πρὸς τὴν φορὰν τῶν περιστοιχισάντων ἡμᾶς χαλεπῶν καὶ λογισώμεθα τὴν ἐπενεχθεῖσαν σύγχυσιν ἀπροσδοκήτως ταῖς ἐκκλησίαις τοῦ θεοῦ, τὸ πᾶν εἰκότως ταῖς οἰκείαις ἐπιγράφοντες ἁμαρτίαις τὴν τοῦ κυρίου μακροθυμίαν θαυμάζομεν· ὅταν δὲ πάλιν τὴν πρὸς τὸ κρεῖττον ἐνθυμηθῶμεν εὐκταίαν μεταβολήν, τὴν ἀποστολικὴν ἐκείνην
2 Cor. 9, 15 προαγόμεθα λέγειν φωνὴν χάρις τῶι θεῶι ἐπὶ τῇι ἀνεκδιηγήτωι αὐτοῦ δωρεᾶι·
Lc. 1, 68 οὐ γὰρ περιεῖδεν εἰς τέλος ἡμᾶς, ἀλλ' ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῶι λαῶι αὐτοῦ. ἵνα τοίνυν καὶ τοῖς λίαν ἀπίστοις τῆς ἀληθείας ἐπίγνωσις γένηται καὶ διὰ τῶν πραγμάτων φανῶσιν ὡς ἀληθῶς ἀψευδεῖς αἱ τοῦ κυρίου φωναὶ καὶ πρὸς ταῖς ἄλλαις

O [= aerv], I, P [usque ad 25]

1 καὶ om. P 6 καὶ² om. OᵛP, corr. Oᵛ 8 ἀρχιεπισκόπου OᵉΛ 9 τῆς ἁγίας om. Oᵃ 10 συναγόμεθα OʳI 11 τῶ αὐτῶ OᵉΛ 12 καὶ² I om. OP 13 ἀρχιεπίσκοποσ ἡμῶν OP' 15 κηρίων Oʳ m. alt. in loco detrito 18 εὔφορον Oʳ τοὺσ I om. OP 20/21 τοὺς ἀποστάτας — τὸν σταυρὸν μηδεὶς δέξηται scripsi τοὺσ ἀποστάτασ — δέξηται τοὺσ πολεμήσαντασ — δέξηται OᵉΛ τοὺσ ἀρνησαμένουσ — δέξηται τοὺσ πολεμήσαντασ — δέξηται OᵃᵛI' τοὺσ ἀποστάτασ — δέξηται τοὺσ ἀρνησαμένουσ — δέξηται OʳI 22 ἀρχιεπίσκοποσ ἡμῶν OᵃʳᵛI' 23 ἑσπέραν OʳᵛI' αὐτῶι] ἁγίωι OʳI 24 σὺν θῶ ποιούμεθα Oᵉ ἐπιτελέσθη I' 26 ἰδ Oᵃ in mg. σύναξιν Oᵛ 27 τῶ δεσπότη Oᵉ τὰ OᵃʳᵛI τῶ Oᵉ 28 τὴν om. I 30 περιστοιχησάντων Oᵃᵛ χαλεπῶν] κακῶν OʳI 31 οἰκότωσ Oᵃ 36 τῆς ἀληθείας om. OʳI

ἡ διαρρήδην βοῶσα· ἰδοὺ ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν Mc. 7, 15
δέ εἰσι λύκοι ἅρπαγες, ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς, καὶ
λοιπὸν περισωθῶσι καὶ ἐγκαταλεγῶσι τῇι ἱερᾶι ποίμνηι Χριστοῦ τοῦ θεοῦ ἡμῶν τὰ
παρ' αὐτῶν διασπασθέντα πρόβατα, δέδωκε καὶ ἐφήπλωσεν ὁ θεὸς ἐπὶ τῇι τῶν ἐκκλησιῶν
εὐκοσμίαι κατὰ πᾶσαν τὴν οἰκουμένην εἰρήνης ἄφατον δωρεάν. βασιλέως γὰρ πιστοῦ
χρηματίζοντος καὶ τὴν καρδίαν ἐλλαμπομένου προμηθείαι τοῦ κρείττονος καὶ ἀρχιερέως L V 213
ὁσίου ψήφωι θείας χάριτος ἀναφανέντος κατὰ τὴν βασιλίδα τῶν πόλεων καὶ τῶν ἀποστο-
λικῶν ὑπερμαχοῦντος δογμάτων, πῶς ἔνεστι μὴ λίαν τὸν λογισμὸν ὑπεραίρεσθαι καὶ
εὐφραίνεσθαι τῇι τῶν ἀρίστων ἀπὸ τῶν χειρόνων ταχείαι μεταβολῇι καὶ ἀπορρίπτειν
ἀσμένως, ὡς ἐνῆν μάλιστα, τοῦ φθονεροῦ διαβόλου τὰ κέντρα; καταστάντες γὰρ εἰς γνῶσιν
ἡμεῖς ὧν ἐνθέσμως καὶ κανονικῶς ἔπραξεν ἡ ἁγία σύνοδος τῶν ὁσιωτάτων ὑμῶν μηδὲ ὅλως
ὑπομείνασα τὴν ἄθεον καὶ παράνομον Σεβήρου προπέτειαν (ποία γὰρ δύναμις λόγου κἂν
πρὸς ὀλίγον ἐφικέσθαι δυνήσεται τῶν ἐκείνου κακῶν καὶ ὧν τὸ θεῖον ἐβλασφήμησε, τὸν
ἅπαντα χρόνον ἀναθεματίζων τὴν ἁγίαν μεγάλην καὶ οἰκουμενικὴν ἐν Χαλκηδόνι σύνοδον
καὶ τὴν ἐπιστολὴν τοῦ ἐν ἁγίοις Λέοντος γενομένου τῆς πρεσβυτέρας Ῥώμης ἀρχιεπι-
σκόπου, συνεργὸν καὶ παραπλήσιον ἐν ἅπασιν ἔχων Πέτρον τὸν ἀσεβῆ τὸν τῆς Ἀπα-
μέων τὴν προεδρίαν παρὰ πάντα θεσμὸν ἐκκλησιαστικὸν ὑφαρπάσαντα), ἤσθημεν εἰκό-
τως, πῶς γὰρ οὐκ ἐμέλλομεν; καὶ εὐχαρίστους ἀνεπέμψαμεν ὕμνους Χριστῶι τῶι θεῶι
ἡμῶν ἐφ' οἷς καὶ νῦν θεραπείαν εὔκαιρον καὶ λύσιν τῶν δυσχερῶν ἐδωρήσατο πᾶσιν ἡμῖν.
ἤδη μὲν οὖν εὐθὺς ἐν προοιμίοις ἐν γνώσει τῶν ἐκείνοις ἐπταισμένων γενόμενοι καὶ μὴ
φέροντες τὴν ὀλεθρίαν εἰσήγησιν τῶν πονηροτάτων κατανοεῖν, φθάσαντες ἠλευθερώσαμεν
τὰς ἑαυτῶν ψυχὰς καὶ τὰς πιστευθείσας ἡμῖν ἐκκλησίας τῆς Σεβήρου καὶ Πέτρου κακίας καὶ
ἀπεκηρύξαμεν ὡς αἱρεσιάρχας καὶ ἀναθέμασιν ὑπεβάλομεν, χωρίσαντες ἑαυτοὺς τῆς πρὸς M VIII 1095
ἐκείνους κοινωνίας. ἀλλ' ἐπειδήπερ οὐ μόνον ἡ τῶν ἐλαχίστων ἡμῶν γέγονε δικαία
κατ' ἐκείνων ἀποκήρυξις, ἀλλ' ἤδη καὶ τῶν μακαριωτάτων ὑμῶν, οἷς καὶ ἡμεῖς ἀκολουθεῖν
ἐπειγόμεθα, φέρειν οὐ δυνάμενοι τῶν τηλικούτων ἀτοπημάτων τὸ μέγεθος, στένοντες δὲ καὶ
δακρύοντες ἐπὶ τῇι τῶν ἀσεβῶν ἀναλγησίαι καὶ βουλόμενοι μένειν ἐπὶ τοῖς προτέροις συν-
εχωρήθημεν οὐδαμῶς, οἷα λιβέλλων ἡμῖν ἐπιδοθέντων ὑπὸ τοῦ θεοφιλοῦς τῆς Ἀπαμέων
κλήρου καὶ τοῦ τάγματος τῶν εὐλαβῶν μοναχῶν, δι' ὧν διεξῆλθον φόνους, παροινίας,
πράξεις τολμηράς, πολιορκίας μοναστηρίων εὐαγῶν, γυναίων ἀσέμνων ἐπεισαγωγὰς ἐν
τοῖς ἱεροῖς καὶ ἀβεβήλοις σηκοῖς, ἐπιορκίας, βλασφημίας, δόσει χρημάτων χειροτονίας
(τὰ γὰρ τούτων φρικωδέστερα καὶ μείζονα ἢ κατὰ φύσιν ἀνθρωπίνην ὡς εἰπεῖν περίεργον
ἂν εἴη διακωδωνίζειν, συγχωρεῖν δὲ διὰ τῆς τῶν ἐγγεγραμμένων λιβέλλων καταγραφῆς
γνῶσιν παραλαμβάνειν τοὺς ἐντυγχάνοντας), ἀφορμὴν δὲ καὶ δίκαια σπέρματα τῆς κατ' ἐκεί-
νων ἐνθέσμου πάλιν κατακρίσεως εὑρόντες καὶ νῦν ἀφ' ὧν ἐκεῖνοι μάλιστα καὶ πληττόμενοι
τῶι οἰκείωι συνειδότι καὶ πάντα παρὰ κανόνας πράττοντες δελεάσαντες ἐνίους τῶν τελούν-
των εἰς τοὺς ἡμετέρους κλήρους διὰ σωφρονισμὸν ἐκκλησιαστικὸν πρὸς ὀλίγον ἐκβλη-
θέντας εἰς ἑαυτοὺς εἵλκυσαν καὶ ἀπηνέγκαντο καὶ ταῖς ὑπ' αὐτῶν πορθουμέναις ἐκκλησίαις
ἀθέσμως ἀπεγράψαντο πανταχοῦ τοῖς θείοις κανόσι μαχόμενοι, τούτου χάριν ἡμεῖς παιδα-
γωγούμενοι τῇι ὁσίαι τῶν ὑμετέρων διδαγμάτων ἐπικρίσει ἀναθεματίζομεν καὶ ἐπὶ τοῦ
παρόντος Σεβῆρον καὶ Πέτρον τοὺς φρενοβλαβεῖς καὶ τῇι κρίσει τοῦ μεγάλου βήματος καὶ

O [= acrv], I

10 ὡς IΛ καὶ ὡς O 11 ὑμεῖσ O^{av} ὧν O^{or} IΛ ὡς O^{av} 13 εἰσ τὸ O^{av} 16 ἔχων ἐν ἅπασι O^{r}I 18 καὶ εὐχαρίστουσ O^{arv}IΛ εὐχαρίστουσ τὲ O^{e} ἀναπέμψαμεν O^{v} ἀναπέμψαι IΛ χω O^{arv}I κω O^{e}Λ 19 ἡμῖν om. O^{v} 20 ἐκείνοις om. O^{av} 22 καταπιστευθείσασ O^{av} 23 καὶ om. O^{r} 25 ἀποκήρυξις I ἀπαγόρευσισ O 26 ἐπειγόμεθα IΛ ἐπειγόμενοι καὶ O 31 ἀβεβήλοις I ἀσύλοισ O 32 ἢ O^{e}I om. O^{arv} 33 διακωνίζειν O^{v} 34 δὲ O^{r}I om. O^{aev} 37 τοὺς om. O^{a} διὰ I καὶ διὰ O

φοβεροῦ παραδίδομεν τὰς ἐκείνων ἀνοσίας ψυχάς, ἀπαλλοτριοῦντες αὐτοὺς παραπλησίως
L V 216 καθάπερ ὑμεῖς, μακαριώτατοι, παντὸς πράγματος, τιμῆς, ἀξίας, ἐνεργείας ἱερατικῆς, τῆς σεπτῆς κοινωνίας καὶ γυμνοῦντες οὐ μόνον ἱερωσύνης ἧς ἔχειν ἐφαντάζοντο μάτην, ἀλλὰ καὶ πάσης μετουσίας πρὸς τὴν τῶν ὀρθὰ φρονεῖν ἐγνωκότων διάκρισιν (δέος γὰρ μὴ τοὺς ἀκεραιοτέρους ἐπὶ πλεῖον μιμητὰς τῶν οἰκείων βλασφημιῶν καθελκύσωσι· πάντα γὰρ τολμῶσιν ὡς ἔτυχε), καὶ δεόμεθα τῶν ἁγιωτάτων ὑμῶν διὰ ταύτης ἡμῶν τῆς μετρίας ἐπιστολῆς, ἣι καὶ ἐντέτακται τὰ ἐπιδοθέντα διδασκαλικά, γνῶσιν ἀληθῆ παρειληφότας τῶν Σεβήρου καὶ Πέτρου πλημμελημάτων ἐπικυρῶσαι καὶ τὴν παρ' ἡμῶν νῦν ἡγησαμένην διοίκησιν τοῖς θείοις ἐγνωσμένην κανόσιν, εἰ καὶ μηδὲν ἔχειν αὐτοὺς ἔνθεσμον ἱερωσύνης ἐγνώκαμεν πώποτε, ἀναγαγεῖν δὲ καὶ ἐπὶ τὸν εὐσεβέστατον καὶ ὀρθόδοξον ἡμῶν βασιλέα, ἐφ' ὧι τε μανθάνοντα τὰ περιεχόμενα τοῖς λιβέλλοις καὶ τὰ παρ' ἡμῶν κριθέντα καὶ δικαίαν εἴδησιν ἔχοντα τῶν παρ' ὑμῶν ἤδη καλῶς καὶ ὁσίως ἐψηφισμένων, θεσπίσαι ταῖς ἡμῶν ἱκεσίαις πειθόμενον τέλεον ἐλευθερῶσαι τῆς ἐκείνων ψυχοφθόρου βλάβης τὰς ἁγίας τοῦ θεοῦ ἐκκλησίας. οὕτω γὰρ ἂν ὁ καθαρὸς σῖτος ἐπὶ τῆς εὐσεβοῦς αὐτῶν βασιλείας ἀδιάφθορος μένοι τῶν ζιζανίων χωρισθέντων, ὡς εἴθε πάλαι καὶ πρόπαλαι. πρὸς γὰρ εὐμάθειαν τῶν μακαριωτάτων ὑμῶν καὶ τὰ ἴσα τῶν παρὰ τοῦ μεγαλοπρεπεστάτου τῆς ἐπαρχίας ἄρχοντος γνωρισθέντων τοῖς ἐνδοξοτάτοις ἄρχουσιν ἐνετάξαμεν τῆιδε τῆι συνοδικῆι τῶν ἐλαχίστων ἡμῶν ἐπιστολῆι.

M VIII 1098 Ὑπογραφαί

Κῦρος ἐλέει θεοῦ ἐπίσκοπος Μαριάμμης ἐρρῶσθαί με ἐν κυρίωι καὶ αὐτῶι δουλεύειν ἀπερισπάστως ὑπερεύχεσθε, κύριοι τὰ πάντα ἁγιώτατοι καὶ μακαριώτατοι πατέρες: —

Ζωίλος ἐλέει θεοῦ ἐπίσκοπος Ῥεεφάνης ἐρρῶσθαί με ἐν κυρίωι καὶ αὐτῶι δουλεύειν ἀπερισπάστως ὑπερεύχεσθε, κύριοι τὰ πάντα ἁγιώτατοι καὶ μακαριώτατοι πατέρες: —

Σεβηριανὸς ἐλέει θεοῦ ἐπίσκοπος Ἀρεθούσης ἐρρῶσθαί με ἐν κυρίωι καὶ αὐτῶι δουλεύειν ἀπερισπάστως ὑπερεύχεσθε, κύριοι τὰ πάντα ἁγιώτατοι καὶ μακαριώτατοι πατέρες: —

Κοσμᾶς ἐλέει θεοῦ ἐπίσκοπος Ἐπιφανείας τῆς φιλοχρίστου ἐρρῶσθαί με ἐν κυρίωι καὶ αὐτῶ δουλεύειν ἀπερισπάστως ὑπερεύχεσθε, κύριοι τὰ πάντα ἁγιώτατοι καὶ μακαριώτατοι πατέρες: —

Εὐσέβιος ἐλέει θεοῦ ἐπίσκοπος Λαρίσσης ἐρρῶσθαί με ἐν κυρίωι καὶ αὐτῶι δουλεύειν ἀπερισπάστως ὑπερεύχεσθε, τὰ πάντα ἁγιώτατοι καὶ μακαριώτατοι πατέρες: —

34 Ἴσον πράξεως συστάσης ἐπὶ τοῦ μεγαλοπρεπεστάτου τῆς ἐπαρχίας ἄρχοντος

IDEM STEPHANVS PETRVS ET IVLIANVS DIACONI DIXERUNT: Κατὰ τὸ διελθὸν πάσχα
d. 22. m. Apr. a. 518 ἅγιον τῆι νέαι κυριακῆι ἀνελθόντος τοῦ κλήρου παντός, ὡς ἔθος ἐστίν, εἰς προση-

---

O [= aerv], I

3 ἦν I 4 δέον O^{r} 13 τὰσ O τῆσ I 15 ἀδιαφθόρωσ O^{v} εἴθε] εἴωθε O^{r}I 17 γνωσθέντων I 19 αἱ ὑπογραφαί O^{r} 20. 22. 24. 27. 30 ἐλέω O^{e} 20. 22. 24 ἐλέω I 20 μαριάμνησ O^{rv}I 21 ὑπερεὔχεσθαι O^{v} εὔχεσθε O^{r}I κύριοι τὰ πάντα om. O^{r}I 22 ῥεεφένησ O^{v} ῥεφάνης I 22/23 ἐν κυρίωι — πατέρες om. O^{e}Λ 23 μακάριοι I 24—26 post 27—29 coll. O^{a} 24 σευηριανόσ O^{n} ἐρρῶ O^{n} 24—26 με — πατέρες om. O^{e}Λ 25 καὶ μακαριώτατοι om. O^{r}I 27—31 καὶ οἱ λοιποί O^{r}I 27—29 ἐν κυρίωι — πατέρες om. O^{e}Λ 30 ἐρρῶ O^{n} 30—31 με — πατέρες om. O^{e}Λ 32 ιε̄ O^{a} in mg. συστάσησ O^{arv}I συστάσησ κατὰ πέτρου τοῦ ἀπαμείασ O^{e}Λ post ἄρχοντοσ addl. alteram inscriptionem Πρᾶξισ κατὰ πέτρου τοῦ ἀπαμείασ O^{av} 33 IDEM — DIXERVNT om. sicut omnia Latina O^{av}I, spat. rel. O^{a} IDEM om. Λ PETROS O^{er} Κατὰ I ἐπειδήπερ κατὰ ΟΛ 33/34 ἅγιον πάσχα O^{e}

γορίαν τοῦ γενομένου ἡμῶν ἐπισκόπου Πέτρου ἀκηκόαμεν παρ' αὐτοῦ ἀγανακτήσαντος κατὰ τῶν ἀναγνωστῶν (τότε γὰρ ἀναγνῶσται ἐτυγχάνομεν) καὶ λέγοντος ἡμῖν ὅτι διὰ τί κοινοποιεῖτε κατ' ἐμοῦ, ὅτι ἐποίησα Κωνσταντῖνον ἀπὸ λαικῶν διάκονον καὶ ὑμᾶς παρεῖδον; μὰ τὸν Ἰησοῦν ὅτι ἐδοκίμασα τὴν νύκτα ταύτην ποιῆσαι ὑμᾶς ἀπὸ ἀναγνωστῶν ὑποδιακόνους, ἵνα αὐτὸς ὁ σταυρωθεὶς κατελθὼν μὴ ἐλυτρώσατο ὑμᾶς ἐκ τῶν χειρῶν μου. ταῦτα δὲ καὶ ἐπὶ παντὸς τοῦ κλήρου εἶπε. κἀγὼ δὲ Στέφανος οἶδα καὶ τὸ τῆς στολῆς γενόμενον εἰς τὸ Μαρατοζαβδάλης. ἐπειδὴ δὲ καὶ διδασκαλικὸν συνέταξαν οἱ παρόντες θεοφιλέστατοι κληρικοί, ὅπερ καὶ ἐπέτρεψαν ἡμῖν ἐπιδοῦναι, παρακαλοῦμεν L V 217 τοῦτο ἀναγνωσθῆναι καὶ ἕκαστον διασαφηνίσαι ἅπερ οἶδε κεφάλαια περιεχόμενα τῶι διδασκαλικῶι.

FL' IOHANNES PALLADIVS EVTVCHIANVS VIR CLARISSIMVS COMES ET PRAESES DIXIT:

Τὸ ἐπιδιδόμενον διδασκαλικὸν ἀναγινωσκέσθω οὕτω τε κατὰ τὴν αἴτησιν τῶν ἐπιδεδωκότων παρόντες οἱ θεοφιλέστατοι πρεσβύτεροι διάκονοι ὑποδιάκονοι ἀναγνῶσται καὶ λοιποὶ εὐλαβεῖς κληρικοὶ βουλόμενοι σαφῆ ποιείτωσαν τὴν οἰκείαν γνώμην ἐφ' οἷς καὶ ἐπίστανται, τὸν θεὸν κατὰ νοῦν λαμβάνοντες καὶ τὸ οἰκεῖον πρόσχημα, ὡς οὐδὲν πρὸς ἀπέχθειαν ἢ χάριν ποιήσονται, ἀλλὰ πάντα σὺν ἀληθείαι ἐκδιδάξουσιν.

ET CVM OBTVLISSET EX OFFICIO RECITATA EST

Τοῖς πάντα ὁσιωτάτοις πατράσι καὶ ἐπισκόποις τῆς δευτέρας Σύρων ἐπαρχίας παρὰ τοῦ κοινοῦ τῶν κληρικῶν τῆς ἐν Ἀπαμείαι τῆι μητροπόλει ἁγίας τοῦ θεοῦ ἐκκλησίας. Ἴδιον ἱερωσύνης καὶ τοῦ σεμνοῦ τῶν Χριστιανῶν ἐπαγγέλματος σωφροσύνη καὶ ἐπιείκεια καὶ πρό γε πάντων ὁ τῶν ὁσίων δογμάτων θεσμὸς καὶ ἡ θεσπεσία M VIII 1099 τῆς πίστεως παραφυλακή, ἐφ' ἧι καὶ ὁ τῶν μακαρίων πατέρων ἀοίδιμός τε καὶ σεβάσμιος χορὸς ἄνωθεν ἔκ τινος ἀνεπιλήπτου διαδοχῆς ἀκηράτοις λογισμοῖς ῥυθμὸν ἐναρμόνιον εἰσηγήσατο ταῖς ἀγαθαῖς τῶν ἀνθρώπων ψυχαῖς πρὸς ἁγιασμὸν τῆς θείας μυσταγωγίας. μεμαθήκαμεν γὰρ ἀπὸ τῶν θείων λογίων βοᾶν μὴ μέταιρε ὅρια αἰώνια ἃ ἔθεντο Prou. 22, 28 οἱ πατέρες σου. ἀλλὰ ταῦτα μὲν οἱ σεβάσμιοι πατέρες καὶ τῶν θεσπεσίων ἀποστόλων διάδοχοι κρατύνοντες καὶ φῶς ἀγαθὸν ταῖς ἐκκλησίαις πρυτανεύοντες, ὅθεν ἔμεινεν ἀδιάφθορα τὰ μέλη τῶν ἐκκλησιῶν, καὶ οἱ τούτων ὑπηρέται δουλεύοντες ἀνοθεύτως Χριστῶι τῶι θεῶι ἡμῶν καὶ τὸν τῆς θείας γραφῆς κατ' ἀξίαν μισθὸν κομιζόμενοι καὶ δεχόμενοι μὲν τὰς ἀμέμπτους ἀπαρχὰς καὶ ἀπὸ τῆς πρεσβυτέρας Ῥώμης, ἀρυόμενοι δὲ τοὺς τῆς θείας χάριτος καρποὺς ζήλωι θείωι καὶ πυρὶ πνευματικῶι, ἕως ὅτε πρὸ φανεροῦ τινος χρόνου νεώτερος κατὰ τῶν ἐκκλησιῶν καινισμὸς εἰσηνέχθη. ἀλλ' εἰ μὲν ἔστη μέχρι τῶν εἰρημένων τὰ κακά, εἰ καὶ δυσχερῶς, ὅμως φορητῶς ἂν ἠνέγκαμεν τοῦ παθήματος δυναμένου ῥαιδίως ἴασιν ἐπιδέξασθαι· ἀλλ' ὅτε καὶ Σεβῆρον ὁ τῆς Ἀντιοχέων εἰσεδέξατο δῆμος μηδὲ πώποτε τῆι καθολικῆι τῶν ὀρθοδόξων ἐκκλησίαι κοινωνήσαντα, οὐκέτι τῶν χειρόνων ἐπὶ τὸ βέλτιον μετασκευή, ἀλλ' ἤδη τῶν ἡγησαμένων χαλεπῶν τραχύτερα τὰ τῶν συμβαινόντων καὶ ὡς εἰπεῖν ἀνίατα τραύματα. δρᾶμα γέγονεν ἡ πιστὴ πόλις Ἀπά-

---

O [= aerv], I

5 τῆς χειρός I 6 καὶ om. I 7 ἐν τῶ Oᵉ μαρατοζαβδάλησ Oᵃᵛ μαράτω ζαβδάλησ Oᵉ καὶ om. Oᵃᵉᵛ 8 ἐπέτρεψαν OᵉI ἐπετρέψαμεν Oᵃʳᵛ 9 οἶδα Oᵃᵛ 9/10 περιεχόμενα τῶ διδασκαλικῶ ΙΛ τῶ περιεχομένω διδασκαλικῶ O 11 FL' — DIXIT om. OᵃᵛI VR Oᵉ IOMES ET PRAESES Oᵉʳ *dum esset praesens* Λ 12 ἐπιδόμενον Oʳ 17 om. OᵃᵛI *detulissent* Λ EST OᵉΛ ST Oʳ 18 ὁσιωτάτοις καὶ ἁγιωτάτοις Oᵉ 19 τῆ μητροπόλει OᵉʳI μητροπόλεωσ Oᵃᵛ 21 θεσπισία Oʳ 23 θεολήπτου διδαχῆς I 25 ἀπὸ I ὑπὸ O 26 θεσπισίων Oᵃ θείων θεσπεσίων I 27 ἀγαθὸν Oᵃʳᵛ I καθαρὸν OᵉΛ ἔμειναν I 28 μέλη Oᵃʳᵛ I τεμένη OᵉΛ 30 μὲν om. Oᵃ ἀμέπτους I 32 εἰσήχθη I ἐστι Oᵃᵛ 33 δυσχερὲσ OᵉΛ 34 ὑποδέξασθαι Oᵃᵉᵛ 35 μηδέποτε OʳI 36 ταχύτερα OᵉΛ τὰ τραχύτερα Oᵃᵛ 36/37 τὰ [om. Oᵃʳᵛ] τῶν συμβαινόντων Oᵃʳᵛ I τὰ συμβαίνοντα Oᵉ 37 καὶ δρᾶμα Oᵉ

μεια τὴν Σεβήρου τοῦ κακόφρονος προβολὴν δεξαμένη καὶ μακάριοι μᾶλλον οἱ προκοιμηθέντες καὶ μὴ θεασάμενοι Πέτρον τὸν κληθέντα τῆς ἡμετέρας πόλεως πρόεδρον. ὁσάκις γὰρ ἀνανεούμεθα τῇι μνήμηι τὰ παρ' ἐκείνου πραχθέντα, ἀναπιμπλάμεθα μὲν δικαίας ὀργῆς, ἐγκαλυπτόμεθα δὲ καὶ τοῦ λέγειν τὰ πλημμεληθέντα τὸν λογισμὸν ἀνθελκόμεθα. πλὴν ἡ ἀνάγκη βιάζεται καὶ σιγᾶν τὸν ἅπαντα χρόνον οὐκ ἐᾶι, ἵνα μὴ ἀγνοίαι τινὶ συσκιαζόμενα τὰ μεγέθη τῶν κακῶν χωρήσηι καὶ ἐπὶ τοὺς εὖ ἔχοντας, ὡς εἰκός, καὶ σειρὰν ἑλκύσηι
L V 220 γένους καὶ φρονήματος ἀθέσμου. πολλὰ οὖν κατὰ ταυτὸν συνελθόντα λέγειν ἡμῖν ἐπιτρέπει τὰ κατὰ τῆς ἁγιωτάτης ἡμῶν ἐκκλησίας τολμηθέντα, παραινεῖ δὲ προσφόρως καὶ ὁ τῆς φίλης θεῶι μετανοίας εὐσεβὴς λογισμὸς ἐπὶ ταύτην ἡμᾶς τὴν τεταγμένην καὶ λυσιτελῆ γνώμην χωρεῖν. φανεὶς γάρ, ὡς εἴθε μήποτε, τῆι Ἀπαμέων ὁ εἰρημένος Πέτρος ἐξ ὑπογύου κατὰ τὸ βῆμα τῆς ἐκκλησίας ἀναβεβηκὼς ἀναθεματίζει μὲν τοὺς ὁσίους ἡμῶν πατέρας, ἐξαλείφει δὲ τῶν ἱερῶν διπτύχων τὰς αὐτῶν προσηγορίας, ἀνδρῶν σεμνῶς βεβιωκότων καὶ ὁσίως καὶ ἱδρυσάντων σεβάσμια καὶ προσκυνητὰ τεμένη πάμπολλα καὶ φιλοτιμησαμένων ἱερὰ σκεύη ταῖς θείαις λειτουργίαις καὶ φωτισάντων τοὺς μακαριωτάτους ἡμῶν πατέρας καὶ ἡμᾶς αὐτοὺς καὶ χεῖρας ἐνθέσμως ἐπιτεθεικότων κατὰ πᾶσαν τὴν ἐπαρχίαν καὶ δίχα σκανδάλων οἰκονομησάντων τὰ δίκαια τῶν ἐκκλησιῶν. τὸ δὲ πάντων σχετλιώτερον ὅτι δὴ καὶ τὰ τοιαῦτα τῆς ἀσεβείας ἀδικήματα μικρὰ πάνυ νενομικὼς οὐ μόνον ἐξήλειψε τας εἰρημένας προσηγορίας, ἀλλὰ καὶ ἀντάλλαγμα τῶν ἀγαθῶν ἐκείνων
M VIII 1102 ψυχῶν ἀνατέθεικε τοιχικῆι γραφῆι ἐν τοῖς τοῦ ἁγίου Ἰωάννου Διόσκορον καὶ Τιμόθεον τοὺς κατακρίτους καὶ τοὺς τούτοις παραπλησίους, ὧν ἡ μνήμη παγχάλεπος, εἰ καὶ λέγειν τι κατὰ τεθνεώτων βαρύ. ταῦτα μὲν οὖν, ὅσα πρὸς τὴν καθολικὴν ἐκκλησία νπεπλημμέληται παρ' αὐτοῦ· ἃ δὲ καὶ ἰδίαι προσμείνας τῶι θρόνωι τῆς Ἀπαμέων διὰ τὰς ἡμῶν ἁμαρτίας διήμαρτε Πέτρος, εὔλογον ἡγησάμεθα διὰ βραχέων, ὡς ἔνεστι, κεφαλαιωδέστερον ἀφηγήσασθαι. τῶν γὰρ εὐλαβεστάτων ἀναγνωστῶν ἑστώτων μετὰ πρέποντος λογισμοῦ καὶ αἰτούντων βαθμοῦ μείζονος κατὰ ἀκολουθίαν τυχεῖν, ὃ μάλιστα τῆι φύσει προσπέπηγε τῶν βελτιόνων ἐρᾶν, ἐξαναστὰς μετὰ πολλῆς τῆς θρασύτητος ἀπὸ μηδενὸς λόγου τὴν ἀθέμιτον ταύτην ἀφῆκε φωνὴν ὡς 'εἰ μὴ σιωπήσητε', φησίν, 'χειροτονίαν ὑμῖν ὑποδιακόνων ἐπιθήσω, ἵνα αὐτὸς ὁ σταυρωθεὶς κατελθὼν μὴ λυτρώσηται ὑμᾶς ἐκ τῶν χειρῶν μου'. εἶτα συμβέβηκεν Ἰουλιανὸν, ὃς ἀποδέκτης γέγονε τῶν ἐκκλησιαστικῶν χρημάτων, τελευτῆσαι καὶ τὰ ἐκείνου διοικῆσαι δίκαια Ῥουφῖνον, ἐπὶ πολλοὺς καὶ ἀπείρους χρόνους οἰκονομήσαντα τὰ τῆς ἁγιωτάτης ἡμῶν ἐκκλησίας πράγματα, ὥστε μετὰ τὴν τούτου τελευτὴν πρὸς ἔκτισιν λόγων καὶ χρημάτων εὐθύνεσθαι τοὺς ἐν κατοχῆι τῶν ἐκείνου γενομένους χρημάτων καὶ πολλῶν κινηθέντων συμβιβασθῆναι τὰ μέρη καὶ πρὸς διάλυσιν ἐνεχθῆναι καὶ λόγον, εἰ τὸν ἐκείνου λόγον ἀποκαλεῖν χρή, προστεθῆναί φησιν ὡς ἀνάθεμα πᾶς ἄνθρωπος ἔστω κἂν Παῦλος ὁ ἀπόστολος ἐγκαθίσηι τῶι θρόνωι τούτωι, πρὸς ἀνατροπὴν ἢ μέμψιν ὁρῶν τῶν ἡγησαμένων διαλύσεων. καὶ ὁ ταῦτα διαρρήδην εἰπὼν φαίνεται τὴν οὕτω φρικτὴν ἀπόφασιν παριδὼν καὶ εἰσπράξας φανερὰν χρυσίου ποσότητα. πάλιν ἐροῦμεν καὶ ἕτερόν τι τὸ πᾶσιν ἐγνωσμένον. εἰπὼν γὰρ πρὸς τὸν θεοφιλέστατον οἰκονόμον Εὐστάθιον ὠνηθῆναί τινα σκαμνάλια εἰς λόγον τοῦ σηκρήτου

O [= aerv], 1

4 καὶ om. I ἀνελκόμεθα Ov ἀνθελκόμενοι I 5 ἀγνοία Oarv I ἀνάγκη OcΛ 10 εἴωθε Or 11 ὑπογέου OrΛ 12 δὲ καὶ Oe 13 καὶ ὁσίωσ OeΛ om. Oarv I πάμπολλα Oc πολλὰ Oarv I 15 ἐνθέσμουσ OcΛ 19 ἐν τοῖσ Oarv I ἐντὸσ OcΛ καὶ Τιμόθεον om. Oav 20 τούτουσ Ov 21 τῶν τεθνεώτων Oav 24 μετὰ τοῦ I 26 ἐρᾶν in δρᾶν corr. Or 27 σιωπήσετε Oav I 27/28 ὑποδιακόνων χειροτονίαν ὑμῖν Oe 28 λυτρώση Ov 29 ὑποδέκτης I 31 οἰκονομήσαντοσ Oav τὰ — πράγματα om. Or I 32 εὐθύνεσθαι I ἰθύνεσθαι Oerv Λ ἰθύνεσθε Oa 33 ἐκείνουσ γενομένων Oe χρημάτων Oe πραγμάτων Oarv I 33 συμβαθῆναι Or I 34 προστεθῆναι φησιν [προσθεῖναι φασιν I] εἰ — χρὴ Or I 36/37 εἰπὼν διαρρήδην I 39 θεοσεβέστατον I σεκρέτου Oe σηκρηταρίου Oa

τοῦ ἐπισκοπείου καὶ μικρᾶς ὑπερθέσεως γενομένης, ὡσαύτως δυσφημῶν κατὰ τοῦ θείου μεγάλῃ κέκραγε φωνῇ· πάσας τὰς ἐκκλησίας καὶ τὰ θυσιαστήρια κατακαύσοι ὁ θεὸς καὶ ποιήσοι βουνὸν ἕνα, ἵνα τοῖς ἐκείνου χρησώμεθα ῥήμασι. τὸ δὲ καὶ γύναιον ἄσεμνον μὴ ἀξιωθὲν τοῦ θείου φωτίσματος παρεισαγαγεῖν καὶ στῆσαι παρὰ τὴν σεπτὴν κολυμβήθραν L V 221
τῶν θείων κατὰ τὸν εὐκτήριον τῆς θεοτόκου οἶκον ἐπιτελουμένων μυστηρίων ποῖος ἀνέξεται
λόγος ἢ ποία Χριστιανῶν ἀκοὴ τοσαύτην ὑπομείνῃ λεγομένην, μήτι γε δὴ καὶ πραττομένην ἀσέβειαν; μηδεὶς ἀπιστείτω καὶ πρὸς τὴν τῶν ἐφεξῆς λεγομένων ἀλήθειαν. ὑπαγαγὼν γὰρ Στεφάνην τὴν ἀπὸ σκηνῆς τὴν ἐπίκλην Πτεροβόλον καὶ μοναστηρίοις, φησί, παραδεδωκώς ἰδίαι τε καὶ οὐδενὸς ἑτέρου παρόντος τὸ πολὺ μέρος ἑκάστης ἡμέρας περὶ τὴν ἐκείνης ἄτοπον κολακείαν ἀνήλισκε καὶ ποτε καὶ Σεβῆρος ὑποτοπήσας ταύτην κατὰ τὴν Ἀντιόχου τὰς διατριβὰς ποιεῖσθαι παρεσκεύασε. καὶ ἔδοξε μὲν ἐπὶ τούτοις ὁ Πέτρος οὐκ ἄχθεσθαι, ἐλαχίστων δὲ διαδραμουσῶν ἡμερῶν ἡ τῆς ὑπομονῆς δοκοῦσα καρτερία τοῖς τοῦ σώματος βέλεσιν ἐγυμνοῦτο πρὸς ἔλεγχον· ὅθεν μὴ φέρων αὐτῆς τὴν ἀπόλειψιν γίνεται καὶ προφάσεως χωρὶς κατὰ τὴν Ἀντιοχέων, τὴν ἐκείνης ταχεῖαν ἐπάνοδον πάντων ἔμπροσθεν ἀσχηματίστως ποιούμενος. καὶ δεινὸν μὲν ὡς ἀληθῶς καὶ ἐλεεινὸν ἀφηγεῖσθαι τοσαῦτα δράματα συμφορῶν· πεποίηκε γὰρ καὶ ἕτερόν τι τῆς αὐτοῦ προπετείας ὡς ἔοικε συγγενές. ἐνδυσάμενος γὰρ τὴν οὐδαμόθεν αὐτῷ κατὰ λόγον M VIII 1103
προσήκουσαν τῆς ἱερωσύνης στολὴν ἄσπρην ὡς ἐν τάξει τῶν θεοφόρων ἀποστόλων ὁ πάσης ἁμαρτίας ὑποβρύχιος, ἐν τῷ Μαρατοζαβδάλης καὶ Νωγέω χωρίῳ καταθέσεως ἁγίων μαρτύρων παρ' αὐτοῦ γινομένης κατατεμὼν εἰς ἄπειρα μέρη τὴν στολὴν διεδίδου
τοῖς εὐχερῶς ἀπατωμένοις ὁ ἀσεβής, ἀγνοῶν ἡλίκον ἐστὶ καὶ τοὺς μετὰ τῆς ἀληθείας πορευομένους τοιούτοις τισὶν ἐγχειρεῖν καὶ παρεκβαίνειν τὰ μέτρα τῆς ἀνθρωπίνης καταστάσεως καὶ τὰ διατάγματα τοῦ δεσπότου καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ τοῦ θεοῦ ἡμῶν. τοσοῦτον γὰρ ἀπετυφλώθη τὸ τῆς ψυχῆς ὄμμα, ὡς ἱστάμενος ἐπὶ θυσίαι ἀναιμάκτοι, ἣ τοῖς ἀξίοις πρόσφορος ἐτύγχανεν, οὐκ ἐκείνοι, καὶ τὴν πᾶσαν διάνοιαν ἀπορρίπτων εἰς τὸν
τῶν γυναίων ἀτενισμόν, πτύσμασι κατέχρωσε τοῦ σεπτοῦ θυσιαστηρίου τὴν ἅλουργίδα, οὐκ εἰδὼς ὡς καὶ ἀπὸ μόνου βλέμματος ἡ ἁμαρτία συνίσταται κατὰ τὴν θείαν γραφήν. Mt. 5, 28
ἀλλ' οὗτος ἡμῖν ὁ χρηστὸς οὐ μόνον ἑώρα, οὐκ ἐψηλάφα πικρῶς, ἀλλὰ καὶ τῶν χειρόνων καθήπτετο· περαιτέρω γὰρ τούτων λέγειν τὰ ἀσχημονέστερα λίαν εἰκότως ὠδίνομεν. τοσαύτη δέ τις ἦν ἡ ἄλογος θρασύτης τῆς ἐκείνου νεότητος, ὡς οὐκ ἐπαύετο τοὺς παρατυγχάνοντας παροινῶν ἐν τῷ ἁγίῳ καὶ φρικωδεστάτῳ καιρῷ τοῦ φωτίσματος. οὐχ ἡγούμεθά τινα διαλανθάνειν τῶν ἀξιωθέντων τῆς θείας μυσταγωγίας, ὅσος ἀγὼν ἐπικρατεῖ τοὺς φοβουμένους τὸν κύριον καθ' ὃν μέλλουσι προσιέναι καιρὸν τῷ θείῳ βαπτίσματι οἱ προκατασχεθέντες τῇ πλάνῃ, καὶ ἐπειδὴ σὺν ἀληθείαι φῶς ἐλεύθερον ἐπιλάμπει ταῖς τοιαύταις ψυχαῖς καὶ δουλείας ἐλευθεροῦνται παγχαλέπου, ἵστανται τὸ σχῆμα τοῦ ἀγῶνος
ἀποπληροῦντες, κάτω νεύοντες καὶ τὰς χεῖρας συμπλέκοντες καὶ τρέμοντες εὐκαίρως καὶ ἀντικαθιστάμενοι τῇ φθονερᾷ τοῦ διαβόλου περιεργίαι, ἅπαξ λύτρωσιν ἀληθῶς τοῦ σωτηρίου φωτίσματος ἀπεκδεχόμενοι. καὶ ὅμως τούτων οὕτως κρατούντων οὐκ ὤκνησεν ἀπώσασθαι μὲν τοὺς μελλοφωτίστους, τῷ δὲ μεγέθει τοῦ τοιούτου θείου καὶ

O [= aerv], I

1 ὑποθέσεως O^{arv} 2 κατακαύσει O^{erv} ὁ om. O^{e} 3 ποιήσει O^{erv} 4 ἁγίου βαπτίσματος I 5 οἶκον τῆς θεοτόκου $O^{rI}\Lambda$ 6 ὑπομείνει O^{rv} μήτοι O^{av} 7 καὶ om. O^{av} πρὸς om. O^{rI} τῶν ἐφεξῆς Λ ἐφεξῆς τῶν OI 8 τῆς σκηνῆς O^{rl} 9 πολὺ μέρος O^{erI} πολυμερὲς O^{av} 10 ὑποτοπάσας O^{r} ὑποσπάσας I 12 δραμουσῶν O^{av} 17 ἔοικε] ἔκε O^{a} 18 ἄσπρην om. I 19 μαρατοζαβδαλλῆς O^{av} μαράτω ζαβδάλης O^{e} καὶ νωγέω $O^{e}\Lambda$ κενόγεω I κενωγίων O^{arv} χωρίω I τοῖς χωρίοις O 20 γενομένης O^{el} 21 ἀγνοῶν I οὐκ ἀγνοῶν ὡς OΛ 23 διδάγματα I 24 γὰρ om. O^{av}IΛ 25 τὸν IΛ τὸν περὶ O 26 γυναικῶν O^{rI} 29 ὠδίνομεν OΛ οὐ δυνάμεθα I 31 τῷ I om. O 33 καιρὸν προσιέναι I 38 κρατούντων οὕτως O^{e}

ἀγαθοῦ χρηματισμοῦ ἀντισηκῶσαι τὴν ἐπιθυμίαν τοῦ συστάντος ὑπ' αὐτοῦ τῶν ἀσκητριῶν, φησίν, ἐργαστηρίου δεινοῦ, ὡς Στέφανος ὁ θεῖος καὶ ἱερώτατος διάκονος ἐπιμαρτυρεῖ
L V 224 ὁ καὶ τὰς προσηγορίας τῶν εἰς τὸ θεῖον βάπτισμα προσιόντων ἐγγράφειν τεταγμένος. καὶ εἰκότως κατὰ τὴν οἰκείαν δόξαν πρὸς τὸ κακὸν ἔρρεπε καὶ ἐνικᾶτο τῇι σωματικῇι τῶν ἐπιτηδευμάτων ἐπιθυμίαι. καὶ τοῦτο γὰρ ἴδιον πέφυκε Μανιχαικῆς ἀταξίας ἡγεῖσθαι τὸ κακὸν ἐνυπόστατον καὶ εἶναι διὰ τοῦτο πολλοὺς τοὺς δουλεύοντας καὶ τῇι κατ' ἐκείνους πονηρᾶι ἀρχῆι. τί δ' ἄν τις καὶ ἐπὶ πλέον διέλθοι περὶ τῶν εἰρημένων δειλαίων γυναίων; ὡς γὰρ ἐθεάσαντο τὴν δικαίαν ἐκβολὴν προελθοῦσαν κατὰ Πέτρου, οὐκέτι λοιπὸν συνέστησαν, ἀλλ' ὑπεχώρουν οἴκαδε δάκρυσι καὶ ὀδυρμοῖς ἀμέτροις θρηνοῦσαι τὴν ἀπόλειψιν καὶ τὸν χωρισμὸν τοῦ εἰρημένου Πέτρου, πρὸς δὲ τούτωι λοιπὸν καὶ τὴν ἡδυπάθειαν τοῦ ἀνδρὸς καὶ τὴν ἄπληστον ὀψοποιίαν, καὶ ὡς ἐπὶ νυμφίωι τεθνεῶτι κλαίουσαι καὶ κοπτόμεναι τὸν ἐκείνου βίον ἐπὶ πλέον κατέχραινον, δεικνῦσαι τὴν ἄσεμνον τοῦ στηλιτευθέντος, οὐ ποιμένος ἱερατικῆς ποίμνης, ἀπώλειαν. εἰ μὴ περαιτέρω τοῦ ἡμετέρου προσχήματος ἦν, καὶ ἕτερά τινα διεξήειμεν περὶ γυναίων εὐπροσώπων καὶ σχηματιζο-
M VIII 1106 μένων πρὸς ἐλευθερίαν ἀνακηρύττεσθαι, ἵνα μηδὲν τραχύτερον εἴποιμεν, τὸ ὅλον παρέχοντες τῶι κακῶι συνειδότι τῶν καὶ πληττομένων ταῖς ἡμετέραις ἐναντίαις φωναῖς, εἰ καὶ μέτρια ὅμως εἴρηταί τινα περὶ Στεφάνης τῆς λεγομένης Πτεροβόλου, πρὸς ἣν ἀδιακόπως ὡς εἰπεῖν διημέρευε καὶ ἣν ἔλεγεν ἐκείνης ἐπὶ τὸ βέλτιον μεταβολὴν ὑποσυλῶν ἐπιθυμίαι σώματος ἐπταισμένου. μάρτυρες τυγχάνουσιν ⟨οἱ⟩ ὑπειλημμένοι τῆς σεμνῆς διακονίας ὑπηρέται πεφυκότες οἳ γεγόνασιν εἰς τὸ Βένετον μέρος, προτρέποντες παρελθεῖν ἐπὶ τὴν πολιορκίαν τοῦ εὐαγοῦς μοναστηρίου τῶν Δωροθέου, ὅτε πλῆθος ἀτάκτων αὐτὸς παραλαβὼν ὥρμησε κατὰ τῶν ἀσκούντων ἐν τῶι εἰρημένωι εὐαγεῖ μοναστηρίωι, ἑταίρας καὶ ὀρχηστρίδας παρεισαγαγὼν καὶ πλῆθος ἐρανιζομένων καὶ μηδὲν εἶδος παραλελοιπὼς πρὸς καθαίρεσιν καὶ ἀναίρεσιν τῶν ἀσκούντων αὐτόθι. ὅτι δὲ καὶ τὴν γαμετὴν στρατιώτου τινὸς τοῦ ἐπίκλην Ψηφᾶ, ὥσπερ καὶ ἐπὶ μυρίαις ἄλλαις, ὑπαγαγὼν τὴν ὀλισθηρὰν φύσιν τῆς γυναικός, τὴν ἐκείνης ἐλευθερίαν ἐπολιόρκησεν, ἴσασι σχεδὸν ἅπαντες καὶ
Lc. 19, 40 κατὰ τὸ γραφικόν, κἂν ἡμεῖς σιωπήσωμεν, οἱ λίθοι κεκράξονται ἡ μὴ δυνηθεῖσα τὴν ἄτοπον ἐπιθυμίαι ὑπομεῖναι τοῦ ἀνδρὸς εἰς φυγὴν ἀπεχώρησε τραγωιδοῦσα τάς τε οἰκείας καὶ τοῦ δεδρακότος ἐπονειδίστους συμφοράς. καλὸν ἂν εἴη μηδὲ τὴν αἰτίαν τῆς κατὰ Ἰουλιανοῦ τοῦ εὐλαβεστάτου λύπης παραδραμεῖν. ἐπειδὴ γάρ τινες ἐκινήθησαν λόγοι ἐν τῶι σηκρήτωι τοῦ ἁγίου Στεφάνου δογματικοὶ καὶ ἀπεκρίνατο ὁ εἰρημένος εὐλαβὴς ἀνὴρ καλῶς καὶ ὁσίως πιστεύειν τὸν εὐσεβέστατον ἡμῶν βασιλέα, ἀχθεσθεὶς ὥσπερ καὶ κεντηθεὶς τὴν ψυχὴν ἐπὶ τῆι δικαίαι ταύτηι φωνῆι, ὑπὸ λόγον καὶ κατάκριμα, φησί, τοῦτον πεποίηκε Πέτρος ὁ τῆς ἀληθείας ἐχθρός, ὁ μηδαμόθεν ἔχων εὔλογον λόγον, ἀλλὰ μόνον κατὰ πάντα προπετὴς ἀντικρυς κἀνταῦθα μαχόμενος τῶι φιλοχρίστωι καὶ ὀρθοδόξωι λογισμῶι τοῦ τῆς ὅλης μετὰ θεὸν οἰκουμένης δεσπότου. καὶ ἀρκεῖν μὲν ἡγούμεθα καὶ μίαν τῶν εἰρημένων αἰτίαν καταγωνίσασθαι τὴν ἄσεμνον Πέτρου

29—36 = p. 111, 14—26

O [= aerv]

2 θεῖοσ καὶ ἱερώτατοσ $O^{eΛ}$ θεοσεβέστατοσ O^{arvI} 5 ἡγεῖσθαι IΛ ἡγεῖσθαι καὶ O 7 πονηρᾶ I τοὺσ πονηροτάτουσ OΛ γυναικῶν O^{r} 8 λοιπὸν $O^{eΛ}$ om. O^{arvI} 9 ἁμέτροισ $O^{eΛ}$ om. O^{arvI} 10 προειρημένου O^{e} πρὸσ — λοιπὸν $O^{eΛ}$ om. O^{arvI} 12 πλεῖον I 13 τῆς ἱερατικῆσ I 16 ἐναντίαισ O^{eI} om. O^{arv} 17 ὁμοίωσ O^{r} περιβόλου O^{v} ἀδιακόπτωσ O^{e} 18 διημερεύετο O καὶ OΛ δι' I ἐπιθυμίαν I 19 oi suppleui 20 πεφυκότεσ — γεγόνασιν O^{arvI} γεγονότεσ — πεφύκασιν $O^{eΛ}$ 21 τῶν] τοῦ O^{r} 22 ἑτέρασ I 23 ὀρχιστρίδασ O^{ar} ἐρρανιζόντων O^{a} 25 τοῦ O^{arv} τὸ O^{e} 28 ὑπομεῖναι om. O^{r} φυγὴν $O^{aevΛ}$ σφαγὴν O^{rI} 29 καὶ τὰσ O^{e} 30 εὐλάττου O^{a} 31 σεκρέτω O^{e} 33 ταύτησ O^{r} 34 πεποιηκέναι I 36 ὀρθοδόξω καὶ φιλοχρίστω O^{r} τῆς] τοῖσ O^{v} δεσπόταισ corr. in δεσπότεσ O^{v}

πολιτείαν· τῶι δὲ καὶ χρήμασι χειροτονεῖν, ὃ δὴ μάλιστα φαίνεται πεποιηκὼς ἐπὶ Ἀντιόχωι
τῶι μυρεψῶι, τῆι τε ἀκολουθίαι τῶν θείων διατυπώσεων καὶ τῆι ὁμοίαι τῶν τοιούτων L V 225
ὑποθέσεων κρίσει φαίνεται μαχησάμενος, ὥστε πανταχόθεν ἔκπτωσιν ὑπομένειν ἧς ἔχειν
ἐφαντάζετο μάτην ἱερωσύνης. ἐπιμνησθῆναι καὶ τοῦ δοχείου τῆς ὅλης ἀσεβείας οὐκ
ἔξω λόγου καθέστηκε. τὸ γὰρ λεγόμενον μοναστήριον τοῦ Ῥωμανοῦ ἀντὶ προσευχῶν 5
καὶ πολιτείας ἡμέρου καὶ ἧς προσήκει τοὺς ἀνακεχωρημένους ἀσπάζεσθαι, ψαλμοὺς
ἀναθεμάτων κατὰ τῶν ὁσίων πατέρων ἡμῶν οἱ χρηματισταὶ καὶ οὐ μοναχοὶ μᾶλλον
ποιεῖν ἐδιδάχθησαν. ἔχοντες γὰρ Πέτρον τὸν ἡγεμόνα τῶν κακῶν ταύτην ἐμπορίαν
ἐποιοῦντο κατὰ τῆς ἐκκλησίας τοῦ θεοῦ, πρεσβυτέρους δῆθεν χειροτονοῦντες ἐξ αὐτῶν
καὶ παραμοναρίους καὶ ξενοδόχους ἱστῶντες καὶ πανταχόθεν ὑποσυλῶντες τῶν πτωχῶν 10
τὴν ἀναγκαίαν τροφήν. ἀλλ' εἰ καὶ τὸ ἀληθὲς οὕτως ἔχειν οὐκ ἂν ἀρνηθείη ποτε,
ἡμεῖς προσευχόμεθα πρὸς τὴν φίλην θεῶι μετάνοιαν τούτους ἰδεῖν καὶ λύσιν εὐπρόσδεκτον
καὶ Χριστιανοῖς πρέπουσαν λαβεῖν τῶν προηγησαμένων δυσκόλων. ἐπὶ τούτοις
ἅπασι τοῦ κακοῦ νεμηθέντος καὶ τοῦ θεοῦ τὴν ἐκείνων ἀποστραφέντος ῥύμην, νῦν ὅτε 14
τὴν χρηστὴν παρρησίαν δρεπόμεθα δωρηθεῖσαν ἡμῖν ὑπὸ τε τῆς αὐτοῦ φιλανθρωπίας M VIII 1107
καὶ τοῦ εὐσεβεστάτου καὶ ὀρθοδόξου ἡμῶν βασιλέως καὶ τῶν ἁγιωτάτων ἐνθέσμων πα-
τριαρχῶν καὶ τῶν μεγίστων ἐξουσιῶν, καθὰ καὶ μεγίστη πεφοίτηκε πρόσταξις καὶ γέγονεν
ἐμφανὴς κατὰ τὸ λαμπρὸν ἡγεμονικὸν δικαστήριον, πιστεύοντες καὶ κατακολουθοῦντες
τῶι εὐσεβεῖ σκοπῶι τοῦ γαληνοτάτου ἡμῶν βασιλέως καὶ τῶν ἁγιωτάτων ἐνθέσμων
πατριαρχῶν συνείδομεν τὸ καθ' ἕκαστον τούτων διασαφηνίσαι διὰ τῶνδε τῶν λιβέλλων 20
καὶ ἀναγαγεῖν ἐπὶ τὴν ὑμετέραν πατρότητα πρὸς εὐμάθειαν ἀκριβῆ καὶ γνῶσιν τῶν
παρηκολουθηκότων, εὖ εἰδότας ὡς εἰ καί τις κατὰ συγχώρησιν δοίη χειροτονίαν ἔνθεσμον
προελθεῖν ἐπὶ Πέτρωι, τοσούτων ἠγησαμένων πλημμελημάτων ἀλλότριος ἂν ἀπεφάνθη
τῆς τῶν Χριστιανῶν ἱερωσύνης, ἐφ' ὧι τε τὸ καθ' ἕκαστον τούτων ἐπισταμένους τοὺς
ὁσιωτάτους ὑμᾶς κρῖναι τὰ τοῖς θείοις κανόσι δοκοῦντα καὶ πρὸς λυσιτέλειαν ὁρῶντα 25
τῆς καθ' ἡμᾶς ἁγιωτάτης ἐκκλησίας, σύμπαντα ταῦτα γνώριμα καθιστῶντας, εἰ συνίδοιτε,
καὶ τοῖς ἁγιωτάτοις ἐνθέσμοις πατριάρχαις καὶ τῶι κρατίστωι ἡμῶν βασιλεῖ πρὸς τὸ
παριστάμενον καὶ ἀρέσκον τῆι τε αὐτῶν γαληνότητι καὶ τῆι ὁσίαι τῶν μακαριωτάτων
ἀνδρῶν ἐπικρίσει, ἵνα Χριστοῦ τοῦ θεοῦ ἡμῶν τὰ συμφέροντα βραβεύοντος πᾶσιν ἡμῖν
εἰρήνη καὶ ἀνόθευτος ἕνωσις γένηται ταῖς ἁγίαις αὐτοῦ ἐκκλησίαις καὶ ἐνιδρυνθείη τῆι 30
Ἀπαμέων μητροπόλει ὅσιος λογικὸς ἅγιος ἀνήρ, ἐπ' ἀγαθῶι χορηγῶν τῆι καθ' ἡμᾶς
ἐπαρχίαι τὰ λυσιτελοῦντα. ταύτην γὰρ ἔχοντες τὴν ἀγαθὴν ἐλπίδα καὶ ἀφορῶντες
εἰς θεὸν καὶ τὸν εὐσεβέστατον ἡμῶν βασιλέα καὶ τοὺς ἁγιωτάτους πατριάρχας, καὶ τὰς
προσηγορίας τῶν μακαρίων ἡμῶν ἐπισκόπων ἐνεγράψαμεν τοῖς ἱεροῖς διπτύχοις κατὰ
τὴν ἀρχαίαν τάξιν τῆς ἱερατικῆς καταστάσεως καὶ προσευχόμεθα Χριστῶι τῶι θεῶι 35
ἡμῶν ἄσειστα διαφυλάξαι τὰ ἀήττητα σκῆπτρα τοῦ γαληνοτάτου ἡμῶν βασιλέως τοσαύτην
πρόνοιαν φιλοτιμησαμένου ταῖς ἁπανταχοῦ ἐκκλησίαις καὶ ἡμᾶς ἐλευθερώσαντος τῆς
πικρᾶς καὶ μοχθηρᾶς προαιρέσεως Πέτρου τοῦ τὰ δίκαια τῆς ἡμετέρας ἐκκλησίας λυμη-
ναμένου κατὰ τὴν τῶν ἀφηγηθέντων δύναμιν, ἵνα τὰ πολλὰ παρέντες τοῖς ἐν τῶι τέως

O [= aerv], I

1 τῶι I τὸ O 3 μαχεσάμενοσ Oe 5 τοῦ Oarv I τῶν Oe 6 ἧσ Oer IΛ οὗσ Oav 7 ἀνάθεμα τῶν Oav ἡμῶν I om. OΛ οἱ] οὐ Or 8 ταύτην Oarv ταύτην τὴν OeΛ μάτην I 9 ἐποιοῦντο Oarv I ποιοῦντα OeΛ 16/17 καὶ τῶν — πατριαρχῶν Or I om. Oaev 17 με-γίστων Or I μεγάλων Oaev 20 συνείδομεν I συνοίδαμεν O διασαφῆσαι Or I τῶνδε om. Oa 22 ἔκθεσμον Oav 23 ἐλθεῖν I ἂν ἀπεφάνθη OeΛ ἀνεπεφάνθη Oav ἐναπεφάνθη Or I 26 καθιστῶντεσ Oe συνίδοιτε I συνειδῆτε O 28 ἀρέσκων Or αὐτῶν [plur. maiest.] Oe I αὐτοῦ Oarv τῆσ ὁσίασ Or 30 γένηται καὶ I αὐτοῦ ἁγίαισ Or I ἐνιδρηθείη Ov 31/32 τὰ τῆι — ἐπαρχία λυσιτελοῦντα I 33 βασιλέαν Ov ἁγίουσ Oa 34 ἐνετάξαμεν I 36 ἀδιάσειστα φυλάξαι Oe 38 αἱρέσεωσ IΛ 39 παρόντεσ Or

L V 228 ἀφηγηθεῖσιν ἀρκεσθῶμεν. ταῦτα δὲ σύμπαντα αἰτοῦμεν καὶ ἐνορκοῦμεν γνωρισθῆναι διά τε τῆς ὑμετέρας ὁσιότητος καὶ τοῦ μεγαλοπρεπεστάτου τῆς ἐπαρχίας ἄρχοντος· δι' ὃ καὶ ἐμφανὲς τοῦτο κατεστήσαμεν.

THALLELAEVS REVERENTISSIM' PRESB' DIXIT: Παρήμην ὅτε εἶπεν ὁ γενόμενος ἡμῶν ἐπίσκοπος Πέτρος τὸ βλάσφημον ῥῆμα κατὰ τοῦ σταυρωθέντος ἀγανακτῶν τοῖς ἀναγνώσταις. οἶδα δὲ καὶ περὶ τοῦ εἰπεῖν αὐτὸν κατὰ τῶν ἐκκλησιῶν καὶ τῶν θυσιαστηρίων τὸ βλάσφημον ῥῆμα.

HESVCHIVS REVERENTISSIM' PRESB' DIXIT: Ἐκ τῶν ἀναγνωσθέντων κεφαλαίων φέρω ἐπὶ μνήμης ἀκηκοέναι τὸ παρὰ Πέτρου τοῦ γενομένου ἐπισκόπου ῥηθὲν βλάσφημον ῥῆμα κατὰ τοῦ σταυρωθέντος Χριστοῦ τοῦ ἐπὶ πάντων θεοῦ ὑπὲρ τῆς ἡμετέρας σωτηρίας, ἡνίκα ἠγανάκτησε κατὰ τῶν ἀναγνωστῶν. οἶδα δὲ τὸ τηνικαῦτα τυγχάνων ἐν τῷι εὐκτηρίωι τῆς ἁγίας θεοτόκου Μαρίας ἀκηκοέναι ὡς ὁ αὐτὸς ἐπίσκοπος λαβών τινα
M VIII 1110 μήπω τοῦ ἁγίου ἀξιωθεῖσαν φωτίσματος εἶχεν ἐν τῷι βαπτιστηρίωι πλησίον τῆς κολυμβήθρας, δι' ὃ καὶ οἱ τότε ὄντες ἐκεῖ ἔφριττον.

ROMANVS REV' PRESB' DIXIT: Εἰ μὲν ἐγὼ μόνος ἦ τεθέαμαι ἢ ἀκήκοα γενόμενον τι ἢ ῥηθὲν ιταρὰ Πέτρου τοῦ γενομένου ἡμῶν ἐπισκόπου, εἶχον ἂν παρασιωπῆσαι, μήπως ὡς κατήγορος κριθείην· ἐπειδὴ τοίνυν τὴν ἐκ θυμοῦ ῥηθεῖσαν βλάσφημον φωνὴν παρ' αὐτοῦ κατὰ τοῦ σταυρωθέντος ἐπὶ πάντων τῶν εἰς προσηγορίαν ἀνελθόντων εὐλαβεστάτων κληρικῶν εἴρηκε, τούτου χάριν κἀγὼ οἶδα ἀκηκοέναι. ὁμοίως δὲ καὶ τὸ κατὰ τὸ εὐκτήριον τῆς ἀειπαρθένου καὶ θεοτόκου Μαρίας γενόμενον, ἐπείπερ καὶ αὐτὰ γνώριμα τοῖς πλείοσι καθέστηκεν, ἐρῶ, ὡς τὴν Ἐμισηνήν, Μαρίαν φημὶ τὴν ἀπὸ σκηνῆς, κατ' ἐπιτροπὴν αὐτοῦ πολλάκις εἰσήγαγον ἐν τῷι ἁγίωι φωτιστηρίωι καὶ τῶν ἁγίων μυστηρίων ἐπιτελουμένων πρὸ τοῦ ἀξιωθῆναι αὐτὴν τοῦ ἁγίου φωτίσματος προσδιηλέχθη αὐτῆι ἰδίαι. οἶδα δὲ ἀκριβῶς καὶ ὑπουργὸς γέγονα καὶ τῆς κατὰ χώραν τομῆς καὶ διανομῆς τῆς στολῆς.

ANVSIVS REV' PRESB' DIXIT: Τότε διάκονος τυγχάνων, μετέδιδον εἰς τὸ ἅγιον φωτιστήριον τοῦ εὐκτηρίου οἴκου τῆς ἁγίας Μαρίας ἑβδομαδάριος ὤν, καὶ ἦλθεν ὁ παραμονάριος καὶ ὁ πρεσβύτερος Ῥωμανὸς λέγων· ὄντως σὺ ἔπαρον τὴν κοινωνίαν καὶ ἄπελθε μετάδος εἰς τὸ ὑποδιακονικόν, ἐπειδὴ ὁ μέγας θέλει διαλεχθῆναι ὧδε Μαρίαι τῆι Ἐμισηνῆι. οἶδα δὲ ὅτι καὶ τοῦτο εἶπεν εἰς τὰ κατὰ τοὺς κληρονόμους Ῥουφίνου ὅτι ποιήσατε τὰς διαλύσεις τοῖς κληρονόμοις Ῥουφίνου καὶ ἔνθετε τριακοσίων νομισμάτων πρόστιμον, καὶ εἴ τις ἂν θέλῃι παραβῆναι τὰς διαλύσεις ταύτας, κἂν Παῦλος ὁ ἀπόστολος ἀναστῆι καὶ καθίσηι εἰς τὸν θρόνον τοῦτον, ἀνάθεμα ἔστω.

MEGAS REVERENTISSIM' PRESB' DIXIT: Παρήμην ἐν τῆι προσηγορίαι τῆι γενομένηι ἐν τῷι ἐπισκοπείωι, ὅτε εἶπεν ὁ ἐπίσκοπος Πέτρος τοῖς ἀναγνώσταις ὅτι εἰ ἐποίησα ὑμᾶς ὑποδιακόνους, αὐτὸς ὁ σταυρωθείς, εἰ κατέβη, οὐκ ἐρρύετο ὑμᾶς τῶν χειρῶν μου.

O [= aerv], I

1 πάντα I 4 etc. omnia Latina om. O^{av}I plerumque spatiis relictis *Natalis* Λ 8 HESVSNIVS O^{er} *Nesinius* Λ 11 τυγχάνον O^{r} 12 ἁγίας καὶ O^{e} 13 μήπωσ O^{r} βαπτίσματοσ I φωτιστηρίω O^{r}I 15 ἢ^{1} om. O^{r} 16 μήπω O^{e} 17 ἐπεὶ δὲ I 18 ἐλθόντων O^{arv}I 20 τὸ O^{r}I τὸν O^{aev} καὶ^{1} om. O^{e} μαρίασ οἶκον O^{e}Λ αὐτὸ γνώριμον I 21 καθέστηκε τοῖσ πλείοσιν O^{r}I ἐμεσηνὴν O^{a}I ἐμεσινὴν O^{r} τῆσ σκηνῆσ O^{r}I 23 προσδιειλέχθη O^{av} προδιηλέχθη O^{r} προδιειλέχθη I 24 τὴν χώραν O^{av} I τιμῆσ O^{av} 26 ANVSIV O^{er} *Anicetus* Λ μετεδίδων O^{e} μετεδίδουν I 27 ἑβδομάριοσ O^{rv}I 29 διαλεχθῆναι θέλει O^{e} 30 ἐμεσηνῆ O^{a}I ἐμεσινῆ O^{r} τὰ O^{r}I τὸ O^{aev} 31 ὅτι — Ῥουφίνου om. O^{v} τὰσ om. I 32 ἂν θέλῃ O^{erv} θέλει O^{a} 34—p. 99,1 Παρήμην — DIXIT om. O^{e}Λ 35 ὅτι εἰ ἐποίησα O^{av}I ὅτε ἐποίει O^{r} 36 ἐρύετο O^{rv} ἐρρύσατο I

IOHANNES REVERENTISSIM' PRESB' DIXIT: Ἐπειδὴ ὁ θεὸς πρόκειταί καὶ δεῖ τὴν ἀλήθειαν ἐξειπεῖν, παρέτυχον ἐν τῶι σηκρήτωι τοῦ τιμίου ἐπισκοπείου εἰς τὸ δευτερόπασχα τῆς διελθούσης ἑνδεκάτης ἐπινεμήσεως, ὅτε κινηθεὶς κατὰ τῶν ἀναγνωστῶν ὁ προλεχθεὶς d.22.m.April. Πέτρος ἐθυμώθη καὶ εἶπε τὴν φωνὴν ταύτην ὅτι τῆι νυκτὶ ταύτηι διενοήθην ἀπὸ ἀνα- a. 518 γνωστῶν ὑποδιακόνους ὑμᾶς ποιῆσαι καὶ εἰ ἐπέθηκά τινι ἐξ ὑμῶν τὴν χεῖρα, ὁ σταυρωθεὶς κατελθὼν οὐκ ἂν αὐτὸν ἐξείλετο τῆς χειρός μου. ὡσαύτως δὲ καὶ πρὸ τούτου ὅτε ἐπέτρεψεν L V 229 ἀγορασθῆνα τὰ λινᾶ σκαμνάλια εἰς λόγον τοῦ σηκρήτου τοῦ ἐπισκοπείου, ἀγανακτήσας κατὰ Εὐσταθίου τοῦ θεοφιλεστάτου οἰκονόμου εἶπεν ὅτι κάλλιόν ἐστι τὸν θεὸν κατακαῦσαι τὰς ἐκκλησίας καὶ ποιῆσαι βουνὸν ἕνα.

ANTONINVS REV' PRESB' DIXIT: Τελευτήσαντος Ῥουφίνου τοῦ μακαριωτάτου οἰκονόμου M VIII 1111 γεγονότος τῆς κατὰ τήνδε τὴν μητρόπολιν ἁγιωτάτης ἐκκλησίας συναγαγὼν ἅπαντα τὸν εὐαγῆ κλῆρον Πέτρος ὁ γενόμενος ἡμῶν ἐπίσκοπος ἀπήιτει ὡς ἐπὶ μάρτυρι τῶι ἐπὶ πάντων θεῶι ἀπαγγεῖλαι, εἴ τι κατὰ τὸν καιρὸν τῆς αὐτοῦ οἰκονομίας ἔβλαψεν ἢ παρεῖδεν ἢ ἐσφετερίσατο ἐν τοῖς ἐκκλησιαστικοῖς, κἀμοῦ πολλὰ ἐξειπόντος κεφάλαια εἰς πολλὴν χρυσίου ποσότητα συντείνοντα, μετὰ πολλὰ τὰ κινηθέντα ὁρίσαντος αὐτοῦ τινὰ παρασχεῖν ἀντὶ πολλῶν τοὺς κληρονόμους τοῦ αὐτοῦ Ῥουφίνου ἔφη γενέσθαι αὐτοῖς διαλύσεις καὶ ἐντεθῆναι τριακοσίων νομισμάτων πρόστιμον ὥστε τὰς εἰρημένας διαλύσεις κρατύνεσθαι· εἰ δ' οὔ, ἀναθέματι ὑποβαλῶ τοὺς μετὰ τὰς τοιαύτας διαλύσεις τὶ ὑπεναντίον διαπραττομένους, κἂν Παῦλος ὁ ἀπόστολος ἀναστὰς καθίσηι εἰς τὸν θρόνον τοῦτον. τῆι δὲ νέαι κυριακῆι τοῦ παρελθόντος ἁγίου πάσχα εἰς προσκύνησιν ἀνελθόντος τοῦ παντὸς κλήρου, ἀκήκοα παρ' αὐτοῦ, εἰπόντος αὐτοῦ πρὸς τοὺς εὐλαβεστάτους ἀναγνώστας τὸν περὶ τοῦ ὑπὲρ τῆς ἡμετέρας ζωῆς σταυρωθέντος βλάσφημον λόγον κατὰ τὰ κατατεθέντα ὑπὸ Στεφάνου καὶ Πέτρου καὶ Ἰουλιανοῦ τῶν τηνικαῦτα εὐλαβεστάτων ἀναγνωστῶν, νῦν δὲ διακόνων. γενόμενος δὲ ἐν σαββάτωι ἐν τῆι συνάξει ἐν τῶι εὐκτηρίωι τῆς ἁγίας παρθένου καὶ θεοτόκου Μαρίας ἔγνων εἰσελθόντα αὐτὸν ἐν τῶι φωτιστηρίωι τῆς αὐτῆς ἁγίας θεοτόκου Μαρίας καὶ διαλεγόμενον γυναικί τινι μήπω μετόχωι γενομένηι, οὐ λέγω τῶν ἁγίων μυστηρίων, ἀλλ' οὐδὲ αὐτῆς τῆς ἁγίας σφραγῖδος, κακεῖθεν αὐτὸν πλειστάκις ἐδεξάμεθα ἐξιόντα, διάκονος τὸ τηνικαῦτα τυγχάνων. οὐκ ἔστι δὲ μέσος οἶκος, εἰ μὴ τὸ τίμιον διακονικόν.

STEPHANVS ET ALTER STEPHANVS PRESB' DIXERVNT: Ἐν τῶι φωτιστηρίωι ὄντες εἰς κατήχησιν τῶν νεοφωτίστων ἀπὸ στιχαρίων καὶ ἀνυποδήτων ὄντων ἐφορκιζόντων αὐτοὺς τῶν διακόνων, ἐλθὼν ὁ γενόμενος ἡμῶν ἐπίσκοπος Πέτρος ἔβαλεν ἡμᾶς ἔξω μετὰ καὶ τῶν νεοφωτίστων καὶ εἰσήγαγε τὰς κανονικὰς καὶ ἰδίαζεν αὐταῖς ἐπὶ πολλὰς ὥρας. ἀκηκόαμεν δὲ καὶ ἡμεῖς μετὰ τῶν ἄλλων καὶ τὸν λόγον ὃν εἶπε πρὸς τοὺς ἀναγνώστας κατὰ τοῦ σταυρωθέντος ὑπὲρ τῆς ἡμετέρας ζωῆς.

EVTYCHIANVS REV' DIACON' DIXIT: Κατὰ τὸ ἔθος προσηγορίας γινομένης ἐν τῶι σηκρήτωι τοῦ τιμίου ἐπισκοπείου ἀκήκοα τὸ ῥῆμα τὸ παρ' αὐτοῦ ῥηθὲν κατὰ τοῦ σταυρωθέντος.

O [= ac, r (usque ad 29), v], I [usque ad 29]

1 ὁ om. O^e 2 σεκρέτωι O^e δευτερόπασχα O^rI δεύτερον πάσχα O^e δευτερόπασχον O^{av} 4 τῆ φωνῆ ταύτη O^r 6 αὐτὸν [αὐτὸ siue αὐτόσ O^v] ἐξείλετο $O^{ev}Λ$ αὐτοὺσ ἐξείλετο O^a ἐξείλετο ὑμᾶσ O^r ἐξείλετο I 7 λινὰ O^{aev} λιτὰ O^rI σεκρέτου O^e 11 ἁγιωτάτην ἐκκλησίαν O^v 12/13 τῶι ἐπὶ πάντων $O^eΛ$ om. $O^{arv}I$ 15 ὁρίσαντοσ αὐτοῦ O ὁρίσασ I 17 ὥστε I εἰπὼν ὥσ καὶ OΛ εἰ δ'οὔ I om. OΛ 18 ὑποβαλῶ O^r ὑποβάλλω I ὑποβαλὼν O^{aev} 19 καθίστη O^v 21 αὐτοῦ: om. $O^{av}I$ 22 τεθέντα O^v 23 εὐλαβεστάτων om. I 24 γινόμενος I δὲ om. O^a εὐκτηρίω οἴκω $O^eΛ$ 25/26 ἔγνων — Μαρίας om. $O^{rv}I$ 25 ἁγίασ καὶ O^a 26 καὶ διαλεγόμενον O διελέγετο I 27 ἐδεξάμην I 28 τοτηνικαῦτα $O^{aev}I$ τῶι τότε O^r τὸ τίμιον] τόμιον O^r 30—101, 22 πεντήκοντα] καὶ οἱ λοιποὶ πάντεσ τοῖσ κατατεθεῖσι λιβελλικῶσ συμμαρτυροῦμεν ἅτε τούτων καὶ ἀκροαταὶ καὶ αὐτόπται γενόμενοι O^rI 30 STEPHANVS bis O^e 21 ἐπιορκιζόντων O^e 36 γενομένησ O^e 36/37 σεκρέτω O^e

L V 228 ἀφηγηθεῖσιν ἀρκεσθῶμεν. ταῦτα δὲ σύμπαντα αἰτοῦμεν καὶ ἐνορκοῦμεν γνωρισθῆναι διά τε τῆς ὑμετέρας ὁσιότητος καὶ τοῦ μεγαλοπρεπεστάτου τῆς ἐπαρχίας ἄρχοντος· δι' ὃ καὶ ἐμφανὲς τοῦτο κατεστήσαμεν.

THALLELAEVS REVERENTISSIM' PRESB' DIXIT: Παρήμην ὅτε εἶπεν ὁ γενόμενος ἡμῶν ἐπίσκοπος Πέτρος τὸ βλάσφημον ῥῆμα κατὰ τοῦ σταυρωθέντος ἀγανακτῶν τοῖς ἀναγνώσταις. οἶδα δὲ καὶ περὶ τοῦ εἰπεῖν αὐτὸν κατὰ τῶν ἐκκλησιῶν καὶ τῶν θυσιαστηρίων τὸ βλάσφημον ῥῆμα.

HESVCHIVS REVERENTISSIM' PRESB' DIXIT: Ἐκ τῶν ἀναγνωσθέντων κεφαλαίων φέρω ἐπὶ μνήμης ἀκηκοέναι τὸ παρὰ Πέτρου τοῦ γενομένου ἐπισκόπου ῥηθὲν βλάσφημον ῥῆμα κατὰ τοῦ σταυρωθέντος Χριστοῦ τοῦ ἐπὶ πάντων θεοῦ ὑπὲρ τῆς ἡμετέρας σωτηρίας, ἡνίκα ἠγανάκτησε κατὰ τῶν ἀναγνωστῶν. οἶδα δὲ τὸ τηνικαῦτα τυγχάνων ἐν τῶι εὐκτηρίωι τῆς ἁγίας θεοτόκου Μαρίας ἀκηκοέναι ὡς ὁ αὐτὸς ἐπίσκοπος λαβών τινα
M VIII 1110 μήπω τοῦ ἁγίου ἁξιωθεῖσαν φωτίσματος εἶχεν ἐν τῶι βαπτιστηρίωι πλησίον τῆς κολυμβήθρας, δι' ὃ καὶ οἱ τότε ὄντες ἐκεῖ ἔφριττον.

ROMANVS REV' PRESB' DIXIT: Εἰ μὲν ἐγὼ μόνος ἦ τεθέαμαι ἢ ἀκήκοα γενόμενον τι ἢ ῥηθὲν παρὰ Πέτρου τοῦ γενομένου ἡμῶν ἐπισκόπου, εἶχον ἂν παρασιωπῆσαι, μήπως ὡς κατήγορος κριθείην· ἐπειδὴ τοίνυν τὴν ἐκ θυμοῦ ῥηθεῖσαν βλάσφημον φωνὴν παρ' αὐτοῦ κατὰ τοῦ σταυρωθέντος ἐπὶ πάντων τῶν εἰς προσηγορίαν ἀνελθόντων εὐλαβεστάτων κληρικῶν εἴρηκε, τούτου χάριν κἀγὼ οἶδα ἀκηκοέναι. ὁμοίως δὲ καὶ τὸ κατὰ τὸ εὐκτήριον τῆς ἀειπαρθένου καὶ θεοτόκου Μαρίας γενόμενον, ἐπείπερ καὶ αὐτὰ γνώριμα τοῖς πλείοσι καθέστηκεν, ἐρῶ, ὡς τὴν Ἐμισηνήν, Μαρίαν φημὶ τὴν ἀπὸ σκηνῆς, κατ' ἐπιτροπὴν αὐτοῦ πολλάκις εἰσήγαγον ἐν τῶι ἁγίωι φωτιστηρίωι καὶ τῶν ἁγίων μυστηρίων ἐπιτελουμένων πρὸ τοῦ ἁξιωθῆναι αὐτὴν τοῦ ἁγίου φωτίσματος προσδιηλέχθη αὐτῆι ἰδίαι. οἶδα δὲ ἀκριβῶς καὶ ὑπουργὸς γέγονα καὶ τῆς κατὰ χώραν τομῆς καὶ διανομῆς τῆς στολῆς.

ANVSIVS REV' PRESB' DIXIT: Τότε διάκονος τυγχάνων, μετέδιδον εἰς τὸ ἅγιον φωτιστήριον τοῦ εὐκτηρίου οἴκου τῆς ἁγίας Μαρίας ἑβδομαδάριος ὤν, καὶ ἦλθεν ὁ παραμονάριος καὶ ὁ πρεσβύτερος Ῥωμανὸς λέγων· ὄντως σὺ ἔπαρον τὴν κοινωνίαν καὶ ἄπελθε μετάδος εἰς τὸ ὑποδιακονικόν, ἐπειδὴ ὁ μέγας θέλει διαλεχθῆναι ὧδε Μαρίαι τῆι Ἐμισηνῆι. οἶδα δὲ ὅτι καὶ τοῦτο εἶπεν εἰς τὰ κατὰ τοὺς κληρονόμους Ῥουφίνου ὅτι ποιήσατε τὰς διαλύσεις τοῖς κληρονόμοις Ῥουφίνου καὶ ἔνθετε τριακοσίων νομισμάτων πρόστιμον, καὶ εἴ τις ἂν θέλῃ παραβῆναι τὰς διαλύσεις ταύτας, κἂν Παῦλος ὁ ἀπόστολος ἀναστῆι καὶ καθίσηι εἰς τὸν θρόνον τοῦτον, ἀνάθεμα ἔστω.

MEGAS REVERENTISSIM' PRESB' DIXIT: Παρήμην ἐν τῆι προσηγορίαι τῆι γενομένηι ἐν τῶι ἐπισκοπείωι, ὅτε εἶπεν ὁ ἐπίσκοπος Πέτρος τοῖς ἀναγνώσταις ὅτι εἰ ἐποίησα ὑμᾶς ὑποδιακόνους, αὐτὸς ὁ σταυρωθείς, εἰ κατέβη, οὐκ ἐρρύετο ὑμᾶς τῶν χειρῶν μου.

O [= aerv], I

1 πάντα I 4 etc. omnia Latina om. O^{avI} plerumque spatiis relictis *Natalis* Λ 8 HESVSNIVS O^{er} *Nesinius* Λ 11 τυγχάνον O^{r} 12 ἁγίας καὶ O^{e} 13 μήπωσ O^{r} βαπτίσματοσ I φωτιστηρίω O^{rI} 15 ἢ¹ om. O^{r} 16 μήπω O^{e} 17 ἐπεὶ δὲ I 18 ἐλθόντων O^{arv}I 20 τὸ O^{rI} τὸν O^{aev} καὶ¹ om. O^{e} μαρίασ οἶκον O^{e}Λ αὐτὸ γνώριμον I 21 καθέστηκε τοῖσ πλείοσιν O^{rI} ἐμεσηνὴν O^{aI} ἐμεσινὴν O^{r} τῆσ σκηνῆσ O^{rI} 23 προσδιειλέχθη O^{av} προδιηλέχθη O^{r} προδιειλέχθη I 24 τὴν χώραν O^{av} I τιμῆσ O^{av} 26 ANVSIV O^{er} *Anicetus* Λ μετεδίδων O^{e} μετεδίδουν I 27 ἑβδομάριοσ O^{rv}I 29 διαλεχθῆναι θέλει O^{e} 30 ἐμεσηνῆ O^{aI} ἐμεσινῆ O^{r} τὰ O^{rI} τὸ O^{aev} 31 ὅτι — Ῥουφίνου om. O^{v} τὰσ om. I 32 ἂν θέλῃ O^{erv} θέλει O^{a} 34—p. 99,1 Παρήμην — DIXIT om. O^{e}Λ 35 ὅτι εἰ ἐποίησα O^{avI} ὅτε ἐποίει O^{r} 36 ἐρύετο O^{rv} ἐρρύσατο I

IOHANNES REVERENTISSIM' PRESB' DIXIT: Ἐπειδὴ ὁ θεὸς πρόκειται καὶ δεῖ τὴν ἀλήθειαν ἐξειπεῖν, παρέτυχον ἐν τῶι σηκρήτωι τοῦ τιμίου ἐπισκοπείου εἰς τὸ δευτερόπασχα τῆς διελθούσης ἑνδεκάτης ἐπινεμήσεως, ὅτε κινηθεὶς κατὰ τῶν ἀναγνωστῶν ὁ προλεχθεὶς d.22.m.April. Πέτρος ἐθυμώθη καὶ εἶπε τὴν φωνὴν ταύτην ὅτι τῆι νυκτὶ ταύτηι διενοήθην ἀπὸ ἀνα- a. 518 γνωστῶν ὑποδιακόνους ὑμᾶς ποιῆσαι καὶ εἰ ἐπέθηκά τινι ἐξ ὑμῶν τὴν χεῖρα, ὁ σταυρωθεὶς κατελθὼν οὐκ ἂν αὐτὸν ἐξείλετο τῆς χειρός μου. ὡσαύτως δὲ καὶ πρὸ τούτου ὅτε ἐπέτρεψεν L V 229 ἀγορασθῆνα τὰ λινᾶ σκαμνάλια εἰς λόγον τοῦ σηκρήτου τοῦ ἐπισκοπείου, ἀγανακτήσας κατὰ Εὐσταθίου τοῦ θεοφιλεστάτου οἰκονόμου εἶπεν ὅτι κάλλιόν ἐστι τὸν θεὸν κατα- καῦσαι τὰς ἐκκλησίας καὶ ποιῆσαι βουνὸν ἕνα.

ANTONINVS REV' PRESB' DIXIT: Τελευτήσαντος Ῥουφίνου τοῦ μακαριωτάτου οἰκονόμου M VIII 1111 γεγονότος τῆς κατὰ τήνδε τὴν μητρόπολιν ἁγιωτάτης ἐκκλησίας συναγαγὼν ἅπαντα τὸν εὐαγῆ κλῆρον Πέτρος ὁ γενόμενος ἡμῶν ἐπίσκοπος ἀπήιτει ὡς ἐπὶ μάρτυρι τῶι ἐπὶ πάντων θεῶι ἀπαγγεῖλαι, εἴ τι κατὰ τὸν καιρὸν τῆς αὐτοῦ οἰκονομίας ἔβλαψεν ἢ παρεῖδεν ἢ ἐσφετερίσατο ἐν τοῖς ἐκκλησιαστικοῖς, κάμοῦ πολλὰ ἐξειπόντος κεφάλαια εἰς πολλὴν χρυσίου ποσότητα συντείνοντα, μετὰ πολλὰ τὰ κινηθέντα ὁρίσαντος αὐτοῦ τινὰ παρασχεῖν ἀντὶ πολλῶν τοὺς κληρονόμους τοῦ αὐτοῦ Ῥουφίνου ἔφη γενέσθαι αὐτοῖς διαλύσεις καὶ ἐντεθῆναι τριακοσίων νομισμάτων πρόστιμον ὥστε τὰς εἰρημένας διαλύσεις κρατύνεσθαι· εἰ δ' οὔ, ἀναθέματι ὑποβαλῶ τοὺς μετὰ τὰς τοιαύτας διαλύσεις τὶ ὑπεναντίον διαπραττομένους, κἂν Παῦλος ὁ ἀπόστολος ἀναστὰς καθίσηι εἰς τὸν θρόνον τοῦτον. τῆι δὲ νέαι κυριακῆι τοῦ παρελθόντος ἁγίου πάσχα εἰς προσκύνησιν ἀνελθόντος τοῦ παντὸς κλήρου, ἀκήκοα παρ' αὐτοῦ, εἰπόντος αὐτοῦ πρὸς τοὺς εὐλαβεστάτους ἀναγνώστας τὸν περὶ τοῦ ὑπὲρ τῆς ἡμετέρας ζωῆς σταυρωθέντος βλάσφημον λόγον κατὰ τὰ κατατεθέντα ὑπὸ Στεφάνου καὶ Πέτρου καὶ Ἰουλιανοῦ τῶν τηνικαῦτα εὐλαβεστάτων ἀναγνωστῶν, νῦν δὲ διακόνων. γενόμενος δὲ ἐν σαββάτωι ἐν τῆι συνάξει ἐν τῶι εὐκτηρίωι τῆς ἁγίας παρθένου καὶ θεοτόκου Μαρίας ἔγνων εἰσελθόντα αὐτὸν ἐν τῶι φωτιστηρίωι τῆς αὐτῆς ἁγίας θεοτόκου Μαρίας καὶ διαλεγόμενον γυναικί τινι μήπω μετόχωι γενομένηι, οὐ λέγω τῶν ἁγίων μυστηρίων, ἀλλ' οὐδὲ αὐτῆς τῆς ἁγίας σφραγῖδος, κακεῖθεν αὐτὸν πλειστάκις ἐδεξάμεθα ἐξιόντα, διάκονος τὸ τηνικαῦτα τυγχάνων. οὐκ ἔστι δὲ μέσος οἶκος, εἰ μὴ τὸ τίμιον διακονικόν.

STEPHANVS ET ALTER STEPHANVS PRESB' DIXERVNT: Ἐν τῶι φωτιστηρίωι ὄντες εἰς κατήχησιν τῶν νεοφωτίστων ἀπὸ στιχαρίων καὶ ἀνυποδήτων ὄντων ἐφορκιζόντων αὐτοὺς τῶν διακόνων, ἐλθὼν ὁ γενόμενος ἡμῶν ἐπίσκοπος Πέτρος ἔβαλεν ἡμᾶς ἔξω μετὰ καὶ τῶν νεοφωτίστων καὶ εἰσήγαγε τὰς κανονικὰς καὶ ἰδίαζεν αὐταῖς ἐπὶ πολλὰς ὥρας. ἀκηκόαμεν δὲ καὶ ἡμεῖς μετὰ τῶν ἄλλων καὶ τὸν λόγον ὃν εἶπε πρὸς τοὺς ἀναγνώστας κατὰ τοῦ σταυρωθέντος ὑπὲρ τῆς ἡμετέρας ζωῆς.

EVTVCHIANVS REV' DIACON' DIXIT: Κατὰ τὸ ἔθος προσηγορίας γινομένης ἐν τῶι σηκρήτωι τοῦ τιμίου ἐπισκοπείου ἀκήκοα τὸ ῥῆμα τὸ παρ' αὐτοῦ ῥηθὲν κατὰ τοῦ σταυρωθέντος.

O [= ac, r (usque ad 29), v], I [usque ad 29]

1 ὁ om. O^e 2 σεκρέτω O^e δευτερόπασχα O^rI δεύτερον πάσχα O^e δευτερόπασχον O^{av} 4 τῆ φωνῆ ταύτη O^r 6 αὐτὸν [αὐτὸ siue αὐτὸσ O^v] ἐξείλετο $O^{ev}Λ$ αὐτοὺσ ἐξείλετο O^a ἐξείλετο ὑμᾶσ O^r ἐξείλετο I 7 λινὰ O^{aev} λιτὰ O^rI σεκρέτου O^e 11 ἁγιωτάτην ἐκκλησίαν O^v 12/13 τῶ ἐπὶ πάντων $O^eΛ$ om. $O^{arv}I$ 15 ὁρίσαντοσ αὐτοῦ O ὁρίσασ I 17 ὥστε I εἰπὼν ὥσ καὶ OΛ εἰ δ' οὔ I om. OΛ 18 ὑποβαλῶ O^r ὑποβάλλω I ὑποβαλὼν O^{aev} 19 καθίστη O^v 21 αὐτοῦ: om. $O^{av}I$ 22 τεθέντα O^v 23 εὐλαβεστάτων om. I 24 γινόμενος I δὲ om. O^a εὐκτηρίω οἴκω $O^eΛ$ 25/26 ἔγνων — Μαρίας om. $O^{rv}I$ 25 ἁγίασ καὶ O^a 26 καὶ διαλεγόμενον O διελέγετο I 27 ἐδεξάμην I 28 τοτηνικαῦτα $O^{aev}I$ τῶ τότε O^r τὸ τίμιον] τόμιον O^r 30—101, 22 πεντήκοντα] καὶ οἱ λοιποὶ πάντεσ τοῖσ κατατεθεῖσι λιβελλικῶσ συμμαρτυροῦμεν ἅτε τούτων καὶ ἀκροαταὶ καὶ αὐτόπται γενόμενοι O^rI 30 STEPIANVS bis O^e 21 ἐπιορκιζόντων O^e 36 γενομένησ O^e 36/37 σεκρέτω O^e

THOMAS DIACONVS DIXIT: Ὅτε εἰς προσηγορίαν ἀνήλθομεν τῇ νέαι κυριακῇ τοῦ
M VIII 1114 δευτερόπασχα, τοῦ γενομένου ἡμῶν ἐπισκόπου Πέτρου ἤκουσα τὸν βλάσφημον λόγον ὅτι εἶπε κατὰ τοῦ σταυρωθέντος. καὶ ὅτε δὲ ἐκινεῖτο τὸ κατὰ τοὺς κληρονόμους τοῦ μακαρίου Ῥουφίνου τοῦ γενομένου οἰκονόμου, ἤκουσα τοῦ αὐτοῦ ἐπισκόπου λέγοντος ὅτι ἀνάθεμα ἤτω γενομένων τῶν διαλύσεων, κἂν Παῦλος ἀναστὰς καθίσηι εἰς τὸν τόπον τοῦτον, ὁ ἀναζητῶν καὶ ἐρευνῶν τοὺς λόγους τούτους ἢ λέγων αὐτῶι τί ποτε.

L V 232 LEONTIVS FILIVS MATRONIANI DIACON' DIXIT: Οἶδα κἀγὼ ἀκηκοέναι παρ' αὐτοῦ ἀγανακτήσαντος κατὰ τῶν ἀναγνωστῶν τῇ νέαι ἁγίαι κυριακῇ ὅτι ἐὰν κρίνω καὶ ποιήσω ὑμᾶς ὑποδιακόνους ἀπὸ ἀναγνωστῶν, ὁ σταυρωθεὶς δι' ἡμᾶς ἐὰν ἔλθηι, οὐκ ἐπαίρει τοῦτο παρ' ὑμῶν. ἤκουσα δὲ καὶ τοῦτο παρ' αὐτοῦ εἰς τὸ σήκρητον τὸ χειμερινόν, ἀγανακτήσαντος αὐτοῦ περὶ τῶν σκαμναλίων τοῦ ἐπισκοπείου, ὅτι εἶπε· καύσει ὁ θεὸς τὰς ἐκκλησίας καὶ τὰ θυσιαστήρια καὶ ποιήσει αὐτὰ βουνὸν ἕνα. καὶ τοῦτο δὲ οἶδα ὅτι εἰσήρχετο πολλάκις ἐν τῶι μοναστηρίωι πρὸς τὴν Πτεροβόλον καὶ ἐπὶ πολλὰς ἰδίαζεν αὐτῆι ὥρας.

IVLIANVS DIACONVS DIXIT: Συνάξεως ἐπιτελουμένης τῶν φώτων εἰς τὸν ἅγιον Στέφανον συναγαγὼν τοὺς πρεσβυτέρους καὶ διακόνους καὶ ἕκαστον τῶν κληρικῶν τῶν εὑρεθέντων ἐκεῖσε ἐν τῶι σηκρήτωι ἀπήιτει με· διὰ τί μὴ ἀναθεματίζεις τὴν σύνοδον τῶν χλ'; καὶ ἐμοῦ εἰπόντος αὐτῶι ὅτι ὁ βασιλεὺς ὀρθόδοξός ἐστι καὶ οἷς πιστεύει, αὐτῶι ἐξακολουθῶ, οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ τοὺς ἀναθεματίζοντας τὴν σύνοδον ἀναθεματίζω, μανεὶς ἀνέστη καὶ ἐκώλυσέ με ἐπὶ παντὸς τοῦ κλήρου.

MEGAS PRESB' DIXIT: Παρήμην τοῖς λεχθεῖσι παρὰ τοῦ παρόντος Ἰουλιανοῦ διακόνου καὶ ἀληθείας ἔχεται τὰ παρ' αὐτοῦ εἰρημένα.

ANVSIVS PRESB' DIXIT: Παρήμην κἀγὼ τοῖς λεχθεῖσι παρὰ τοῦ παρόντος Ἰουλιανοῦ διακόνου καὶ ἀληθείας ἔχεται τὰ παρ' αὐτοῦ εἰρημένα.

EPIPHANIVS DIACONVS DIXIT: Παρήμην κἀγὼ τῇ προσηγορίαι τηι γενομένηι ἐν τῶι τιμίωι ἐπισκοπείωι, ὅτε εἶπε Πέτρος τοῖς ἀναγνώσταις ὅτι εἰ ἐποίησα ὑμᾶς ὑποδιακόνους, αὐτὸς ὁ σταυρωθεὶς εἰ κατέβη, οὐκ ἐρρύετο ὑμᾶς ἐκ τῶν χειρῶν μου.

SVMEONES DIACONVS DIXIT: Κἀγὼ ἀκήκοα παρὰ Πέτρου τοῦ γενομένου ἐπισκόπου τὸ περὶ τοῦ σταυρωθέντος κεφάλαιον καὶ τὸ περὶ τοῦ ἀναθέματος ἔνθα εἶπεν ὅτι κἂν Παῦλος ὁ ἀπόστολος καθίσηι ἐν τῶι θρόνωι τούτωι.

M VIII 1115 IOHANNES DIACON' ET SEMIOGRAF' DIXIT: Κἀγὼ τὴν αὐτὴν φωνὴν λέγω ἥνπερ ἀκήκοα περὶ τοῦ σταυρωθέντος καὶ περὶ τοῦ ἀναθέματος τοῦ κατὰ τὸν ἅγιον Παῦλον.

LEONTIVS DIACONVS DIXIT: Κἀγὼ ἀκήκοα τὸν περὶ τοῦ σταυρωθέντος λόγον καὶ τὸ ἀνάθεμα τὸ κατὰ τὸν ἅγιον Παῦλον.

LEONTIVS DIACONVS DIXIT: Κἀγὼ ἀκήκοα τὸ περὶ τοῦ σταυρωθέντος, πάλιν δὲ καὶ περὶ τοῦ ἀναθέματος Παύλου τοῦ ἀποστόλου.

THEONAS DIACONVS DIXIT: Κἀγὼ ἀκήκοα τὸν λόγον τὸν περὶ τοῦ σταυρωθέντος καὶ ὅτι εἰσῆλθεν εἰς τὸ φωτιστήριον τῆς ἁγίας Μαρίας πλησίον τῆς κολυμβήθρας γυμνῆς οὔσης, ὅτε εἰσήνεγκε Μαρίαν πρὸ τοῦ φωτισθῆναι, μηδένα συγχωρήσας στῆναι ἔσω, τῆς θείας κοινωνίας ἐπιτελουμένης. ἐγὼ γὰρ ἀρχιεβδομάριος αὐτοῦ ἤμην καὶ ἐκ τούτου οἶδα.

O [= ^{aev}]

1 DIACONOS O^{e} 2 δευτέρου πάσχα O^{e} 3 τὸ om. O^{av} τῶν κληρονόμων O^{a} 6 λέγων] ἐνάγων? cf. 101, 10 8 ἁγίαι om. O^{av} 10 σέκρετον O^{e} τὸ O^{e} τὸν O^{av} 11 καύσοι O^{a} 12 ποιήσοι O^{a} 13 πτεροβόλην O^{av} 15. 25. 28. 33. 35. 37 DIACONOS O^{e} 15 φόβων O^{av} 17 σεκρέτω O^{e} 23 *Amisius* Λ 26 ὅτι O^{av} 27 ἐρύετο O^{v} 28 *Simeon* Λ 31 *notarius* Λ 31/32 bis habet O^{a} 33. 34 Κἀγὼ — Παῦλον om. O^{av} 40 ἀρχιεύδομάριοσ O^{v} ἀρχιεβδομάριοσ O^{e} ἀρχιεβδομαδάριος O^{a}Λ

τοῦτο δὲ ἐποίησε καὶ ἅπαξ καὶ δὶς καὶ τρίτον. οἶδα δὲ καὶ τὰ περὶ τοῦ ἀναθέματος Παύλου τοῦ ἀποστόλου καὶ τὸ κατὰ τὴν Πτεροβόλον.

PAVLVS SVBDIACONVS DIXIT: Κἀγὼ ἀκήκοα τὸν λόγον τὸν περὶ τοῦ σταυρωθέντος. οἶδα δὲ καὶ ὅτι ἐδίωξε νεοφωτίστους καὶ εἰσήγαγε κανονικάς.

THERAPIVS DIACONVS DIXIT: Κἀγὼ ἀκήκοα τὸ περὶ τοῦ σταυρωθέντος καὶ τὸ περὶ τοῦ ἀναθέματος Παύλου τοῦ ἀποστόλου.

IOHANNES PRESBVTERVS DIXIT: Κἀγὼ ἀκήκοα τὴν παρ' αὐτοῦ λεχθεῖσαν βλασφημίαν ἕνεκεν τοῦ σταυρωθέντος καὶ πάλιν ὅτε εἶπε· κατακαύσει ὁ θεὸς τὰς ἐκκλησίας αὐτοῦ πυρὶ καὶ ποιήσει βουνὸν ἕνα. καὶ πάλιν τοῦ πράγματος τοῦ κατὰ Ῥουφῖνον ἀκουομένου ἔθηκεν ἀνάθεμα τῶι μετ' αὐτὸν ἐνάγοντι αὐτῶι, κἂν Παῦλος ἦι ὁ ἀπόστολος. L V 233

CVRINOS SVBDIACONVS DIXIT: Κἀγὼ ἀκήκοα ὅτε εἶπε περὶ τοῦ σταυρωθέντος.

IOHANNES SVBDIACONVS DIXIT: Κἀγὼ ἀκήκοα τὸν λόγον τὸν περὶ τοῦ σταυρωθέντος.

RIANVS DIACONVS DIXIT: Ἐν κυριακῆι ἀνελθὼν εἰς προσηγορίαν, τότε ὢν ὑποδιάκονος, ἤκουσα κἀγὼ τὸν περὶ τοῦ σταυρωθέντος λόγον.

ANTONINVS LECTOR DIXIT: Οἶδα κἀγὼ παρὼν ἐν τῶι σηκρήτωι ἀκηκοέναι Πέτρου τοῦ γενομένου ἡμῶν ἐπισκόπου, παρόντος τοῦ εὐαγοῦς κλήρου, εἰπόντος τὴν ἄθεσμον M VIII 1118 βλασφημίαν κατὰ τοῦ σταυρωθέντος Χριστοῦ τοῦ θεοῦ ἡμῶν καὶ τὸν λόγον τοῦ ἀναθέματος τὸν παρ' αὐτοῦ ἐπιτεθέντα ἐν τοῖς κατὰ Ῥουφῖνον, εἰπόντος ὅτι κἂν Παῦλος ὁ ἀπόστολος ἀναστὰς καθίσηι μετ' ἐμὲ εἰς τὸν θρόνον τοῦτον, ἀνάθεμα ἔστω ἀνατρέπων τὰ νῦν δόξαντα, καὶ ὅτι Ἰωάννης ὁ τοῦτον κληρονομήσας ἐπὶ πάντων ἔφη ὡς μετὰ τὸ ἀνάθεμα ἀπηιτήθη παρ' αὐτοῦ γραμματεῖον νομισμάτων πεντήκοντα. τὰ γὰρ περὶ τῆς Πτεροβόλου οὔτε ἄλλος τις τῶν οἰκούντων ταύτην τὴν μητρόπολιν, ὡς οἶμαι, ἀγνοεῖ.

OMNES PRESB'B' ET DIACON'N' ET LECTOR'R' DIXERVNT: Δήλων οὐσῶν τῶν προελθουσῶν καταθέσεων αἰτοῦμεν καὶ ἐνορκοῦμεν τὴν ὑμῶν μεγαλοπρέπειαν κατὰ τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος καὶ νίκης καὶ διαμονῆς τοῦ δεσπότου ἡμῶν Φλ' Ἰουστίνου τοῦ αἰωνίου αὐγούστου καὶ τῶν μεγίστων ἐξουσιῶν γνωρίσαι ἅμα τοῖς ὁσιωτάτοις ἐπισκόποις καθὰ καὶ ἄκτα γεγόνασι παρὰ παντὸς τοῦ πλήθους, τῆι τε πρώτηι καὶ ἀνεχούσηι τῶν ἀρχῶν καὶ τῶι πανευφήμωι μαγίστρωι τῶν θείων ὀφφικίων καὶ τοῖς ἀνδρειοτάτοις στρατηγοῖς τοῦ θείου πραισέντου ἑκατέρων δυνάμεων, ὥστε διὰ τῆς αὐτῶν ὑπεροχῆς καὶ εἰς τὰς θείας ἀνενεχθῆναι ἀκοὰς τὰ παρακολουθήσαντα. ὡς γὰρ ἐπίστασθε, πολὺ καὶ ἄπειρον πλῆθος καὶ ἀδελφικὸν καὶ μοναχικὸν ἐξήιτησε καὶ ἐνώρκωσε ταῦτα γνωρίσαι τὴν ὑμῶν ἐξουσίαν. τὸ γὰρ μὴ καταθέσθαι τοὺς ἀδελφοὺς καὶ μοναχούς, τοῦτο ἔθος ἄνωθεν κρατῆσαν, ἀλλ' ἀρκεῖσθαι μόνον ταῖς αὐτῶν ἐκβοήσεσιν.

OMNES SVPRASCRIPTI V' RELIGIOS' EPISCOP' DIXERVNT: Εὐχῆς ἡμῖν ἄξιον ἦν ταῖς ἀποκληρωθείσαις ἡμῖν ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις σχολάζειν καὶ τὰς θείας πληροῦν λειτουργίας· ἐπειδὴ δὲ πίστεως καὶ εὐσεβείας πρόκειται λόγος, εὔλογον εἶναι νενομίκαμεν πειθαρχῆσαι ταῖς αἰτήσεσι τῶν θεοφιλεστάτων κληρικῶν τῆς Ἀπαμέων. ὅθεν ἀπὸ γραμμάτων

O [= ae, r (inde a 22 τὰ γὰρ), v], I (inde a 22 τὰ γὰρ)

1 καὶ¹ om. O^e 2 πτεροβόλην O^a 3 PAVLOS SVBDIÁCONOS O^e τὸν²] τοῦ O^v 5 THERAPIOS O^e *Serapius* Λ διαCONOS O^e 6 τοῦ¹ om. O^{av} 7 PRESBVTEROS O^e 8 κατακαύσοι O^a 11. 12 SVBDIACONOS O^e 11 *Surinus* Λ 14 RIANÒS διάCONOS O^e τότε δὲ O^{av} 16 ANTONNÍNOS LÉCTONR O^e *Antonius* Λ σεκρέτω O^e 20 μετ' ἐμὲ καθίση O^{av} 23 οὔτε — οἶμαι O^{aev} οὐδεὶσ τῶν κατὰ τὴν μροπολιν οικούντων O^rI 24 ET² O^e *ac* Λ LESTOR'R' O^e AESTORR O^r 26 φλαβίου I 27 ἐξουσιῶν OI *potestatum ac prime et excelse principiantium* Λ τοῖς — ἐπισκόποις IΛ τῶν ὁσιωτάτων ἐπισκόπων O 30 πραισένδου O^rI διὰ IΛ καὶ διὰ O 32 ἐξήτησε $O^eΛ$ 33 μὴ γὰρ O^{av} 34 ἀρκεῖσθε O^r 35 SVPRASSCRIPTI $O^eΛ$ SVPRASSCRSPTI O^r V' O^e om. Λ DIXERRVNT $O^eΛ$ DIXEPVNT O^r 37/38 πειθαρχεῖν O^rI

ἡμῖν σταλέντων ὑπὸ τοῦ εὐαγοῦς κλήρου τῆς Ἀπαμέων ἁγίας τοῦ θεοῦ ἐκκλησίας τῶν καὶ κομισθέντων ἡμῖν δι' Ἀντωνίνου καὶ Ἰουλιανοῦ τῶν θεοσεβεστάτων, παρεγενόμεθα ἐν τῶι Ἀμβροδίκης, ἔνθα συμβέβηκε πολλοὺς τῶν εὐλαβεστάτων κληρικῶν ἐλθεῖν πρὸς
L V 236 ἡμᾶς ἐν τῶι εἰρημένωι εὐκτηρίωι καὶ αἰτῆσαι ἡμᾶς γενέσθαι εἰς τὰ εὐαγῆ μοναστήρια τοῦ τε μακαρίου Ἡσυχίου καὶ τοῦ μακαρίου Δωροθέου ἔξω τυγχάνοντα τῆς μητροπόλεως διὰ τὸ εὐχερέστερον τοὺς εὐλαβεστάτους κληρικοὺς δύνασθαι ἐξιέναι πρὸς ἡμᾶς καὶ διδάσκειν ἃ βούλονται, ὃ δὴ καὶ πεποιήκαμεν. καὶ ἐπειδὴ λιβέλλους ἐπιδεδώκασιν ἡμῖν, οὓς καὶ ἐνεφάνισαν τῆι ὑμετέραι μεγαλοπρεπείαι, καί τινας καταθέσεις ἐποιήσαντο, αἰτοῦμεν καὶ ἡμεῖς τὴν σὴν μεγαλοπρέπειαν, καθὰ καὶ αἱ ἐκβοήσεις γεγόνασιν, ὡς ἐπίστασθε, ὑπὸ τοῦ πλήθους τῶν εὐλαβεστάτων κληρικῶν, ἐντάξαι μὲν καὶ τὰ γενόμενα ἄκτα, μηνῦσαι δὲ τῶι τε πρώτωι καὶ ἀνέχοντι θρόνωι καὶ τῶι πανευφήμωι μαγίστρωι τῶν θείων
M VIII 1110 ὀφφικίων καὶ τοῖς ἀνδρειοτάτοις στρατηγοῖς τοῦ θείου πραισέντου ἑκατέρων δυνάμεων, ἐφ' ὧι τε διὰ τῆς αὐτῶν ὑπεροχῆς εἰς γνῶσιν ἐλθεῖν πάντα τὰ προελθόντα τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου ἡμῶν βασιλέως. καὶ γὰρ καὶ ἡμεῖς γνωρίζομεν τῶι τε ἁγιωτάτωι καὶ μακαριωτάτωι ἀρχιεπισκόπωι καὶ οἰκουμενικῶι πατριάρχηι τῆς βασιλίδος πόλεως καὶ τοῖς ἐνδοξοτάτοις καὶ μεγάλοις ἄρχουσι τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως.

FL' IOHANNES PALLADIVS EVTVCHIANVS V' SP' COM' ET PRAESES DIXIT: Φέρει μὲν τὰ κατατεθέντα ὑπὸ τῶν θεοφιλεστάτων κληρικῶν τῆς ἐν Ἀπαμείαι ἁγίας τοῦ θεοῦ ἐκκλησίας τῶν ὑπομνημάτων ἡ πίστις, ἅπερ καὶ διεξῆλθον παρουσίαι καὶ τοῦ δημεκδιτοῦντος τὴν Ἀπαμέων μητρόπολιν· ἐπειδὴ δὲ καὶ ἐντευκτικὰς ἐποιήσαντο διδασκαλίας οἱ τελοῦντες εἰς τὸν εἰρημένον εὐαγῆ κλῆρον, τὸν ἴσον δὲ τρόπον καὶ οἱ ὁσιώτατοι τῆς ἐπαρχίας ἐπίσκοποι ἡιτηκότες φαίνονται σύμπαντα τὰ προεληλυθότα γνώριμα καταστῆναι τῶι τε πρώτωι καὶ ἀνέχοντι θρόνωι καὶ τῶι πανευφήμωι πατρικίωι καὶ μαγίστρωι τῶν θείων ὀφφικίων καὶ τοῖς ἀνδρειοτάτοις στρατηγοῖς ἑκατέρων δυνάμεων, ἐφ' ὧι τε διὰ τῆς αὐτῶν ὑπεροχῆς καὶ εἰς τὰς θείας ἀκοὰς ἐνεχθῆναι τὸ καθ' ἕκαστον τῶν κεκινημένων, εἶκον τὸ δικαστήριον τοῖς παρ' αὐτῶν, μάλιστα καὶ διὰ τοὺς προσενεχθέντας μοι σεβασμίους ὅρκους, συζεύξει πάντα τὰ ἐπὶ τῆι ὑποθέσει πεπραγμένα καὶ γνωρίσει πρὸς τὸ παριστάμενον τῆι αὐτῶν φιλανθρωπίαι, ἐντάττον τοῖς ἐπὶ τοῦ παρόντος πεπραγμένοις καὶ τὰς προελθούσας ἐκβοήσεις ὑπὸ τοῦ πλήθους τοῦ εὐαγοῦς κλήρου τῆς εἰρημένης ἁγιωτάτης ἐκκλησίας.

Τοῦ βασιλέως πολλὰ τὰ ἔτη· τῆς αὐγούστας πολλὰ τὰ ἔτη· τῶν ἐπάρχων πολλὰ τὰ ἔτη· τοῦ μαγίστρου πολλὰ τὰ ἔτη· Πρόβου καὶ Ὑπατίου πολλὰ τὰ ἔτη· τῆς συγκλήτου πολλὰ τὰ ἔτη. τοὺς ἀντάρτας ἔξω βάλε· τοὺς φαγόντας τὰ ἐκκλησιαστικὰ ἔξω βάλε. ὅλα τὰ ἐκκλησιαστικὰ Σεβῆρος καὶ Πέτρος ἔφαγον· ὅλα εἰς ἔρανα ἔδωκαν. τὸν βλασφημήσαντα τὸν σταυρὸν ἔξω βάλε. ποῦ τὰ κτήματα τῆς ἐκκλησίας; ποῦ τὰ σκεύη τῆς ἐκκλησίας; ὅλα γυναῖκες ἔλαβον· ὅλα ἡ Πτεροβόλος ἔλαβε. τοὺς ἀξίους

O [= aerv], l

1 ὑπὸ O^{arvl} ἀπὸ O^{e} 3 εὐλαβεστάτων O^{arvl} θεοσεβεστάτων O^{e} 5 τοῦ μακαρίου: om. O^{arvl} 6 εὐτυχέστερον O^{av} δύνασθαι τοὺσ — κληρικοὺσ l 8 οὓσ l om. OΛ ἐνεφάνησαν O^{av} ἡμετέρα O^{v} 9 αἱ l om. O 9/10 ὡς ἐπίστασθε om. l 10/11 ἄκτα μηνύσαι O^{arv} καταμηνύσαι O^{e}Λ 11 τε om. O^{arvl} 12 πραισένδου l 13 ὥστε O^{e} 13/14 φιλοχρίστου καὶ εὐσεβεστάτου O^{e} καὶ: om. O^{av} 15 καὶ μακαριωτάτωι om. O^{rl} οἰκουμενικῶι om. l 16 καὶ — ἄρχουσι O^{av} ἄρχουσι καὶ μεγάλοισ O^{rl} καὶ μεγαλοπρεπεστάτοισ καὶ μεγάλοισ ἄρχουσι O^{e}Λ 17 om. Latina O^{arvl} ut solent FL' om. Λ IOHANES O^{r} PALLÁDIOS O^{e} EVTOCHIANVS O^{e} EVSEVTVCHIANNE O^{r} V' SP' om. Λ PRAES O^{r} 19/20 δημεκδικοῦντοσ O^{rl} δήμου ἐκδικοῦντοσ O^{e}Λ διεκδικοῦντοσ O^{av} 20 ἐνευκτικὰσ O^{rvl} 22 γνωρίσματα O^{arv} 24 τε om. O^{a} διὰ l καὶ διὰ O 25 εἶκον O^{arvl} ἥκω εἰσ O^{e}Λ 27 συζεῦξαι O^{e} *coniungam* Λ γνωρίσαι O^{e} *notificaba* Λ 28 αὐτοῦ O^{r} ἐντάττον l ἐντάττων O προσέλθούσασ O^{v} 30 αὐγούστησ O^{el} 31/32 τῆσ συγκλήτου — ἔτη πρόβου — ἔτη O^{e}Λ 31 ὑπάτου O^{av} 32 ἐντάρτασ l 32/33 τοὺσ — βάλε om. l 33 ἔρανον O^{el} 34/35 ποῦ τὰ κτήματα — ἔλαβε om. l

τοῦ ἀναθέματος τῶι ἀναθέματι. ἄρον βίαν τῆς ἐκκλησίας· ὅλας τὰς ἐκκλησίας ἐπραίδευσαν· εἰς ἔρανα ὅλα ἔδωκαν. πιστοῦ βασιλέως πολλὰ τὰ ἔτη· Βιταλιανοῦ στρατήλάτου πολλὰ τὰ ἔτη. μίαν ἐρώτησιν ταῖς κανονικαῖς. νικᾶι ἡ πίστις τῶν ὀρθοδόξων· ὀρθοδόξων ἐπισκόπων πολλὰ τὰ ἔτη. Εὐτυχιανοῦ τοῦ κόμητος πολλὰ τὰ ἔτη· ἀναπαῆι τὰ ὀστέα τοῦ πατρός σου. ὅλα τὰ ἐκκλησιαστικὰ γυναῖκες ἔλαβον. ταῦτα ἄκτα τῶι βασιλεῖ. τὰ ὀστέα Δόμνου ἐπώλησαν. ἀποσχίσαντας κληρικοὺς ἔξω βάλε. τὰ L V 237 κτήματα Δόμνου ἐπώλησαν. οἱ φαγόντες τὰ ἐκκλησιαστικὰ ἀπέσχισαν. μαρτύρομαί σε, ἐγὼ αὐτοὺς καίω. ὅλα τὰ ἐκκλησιαστικὰ ἐπώλησαν. ἔλθηι ἡ Πτεροβόλος, καὶ αὐτὴ λέγει. τοὺς ἀντάρτας τοῦ βασιλέως ἔξω βαλε. τὴν σωτηρίαν τοῦ βασιλέως, γνώρισον· μάθωμεν τὰ χαμαιπάτια τίνος εἰσί. πατήτια ἐν τῶι ἐπισκοπείωι πῶς εὑρέθη; ἐμίανε τὰ θυσιαστήρια· ἐμίανε τὸ φωτιστήριον. μάθωμεν τὰ πατήτια ποῦ εἰσιν· ἠιμάτωσαν τὰ θυσιαστήρια. Σεβῆρον καὶ Πέτρον τῶι πυρί. Πρόβου καὶ Ὑπατίου πολλὰ τὰ ἔτη. ἄξιος Πρόβος τοῦ βασιλέως· ἄξιος Ὑπάτιος τοῦ βασιλέως. πατρικίου τοῦ μαγίστρου πολλὰ τὰ ἔτη· τῶν ἐπάρχων πολλὰ τὰ ἔτη· πάσης M VIII 1122 τῆς συγκλήτου πολλὰ τὰ ἔτη. πολλὰ τὰ ἔτη τῆς αὐγούστας· Εὐφημίας αὐγούστας πολλὰ τὰ ἔτη. ἄξιος Βιταλιανὸς τοῦ βασιλέως. Ἰωάννου πατριάρχου πολλὰ τὰ ἔτη. ταῦτα ἄκτα τῶι θεῶι. ὅλους τοὺς φόνους Φαῦστος ἐποίησε. μυρίους φόνους ἐποίησε· τοὺς φονευθέντας ἐν τῶι ἁγίωι Ἀντωνίνωι τῶι βασιλεῖ· ὁ βασιλεὺς ὀρθόδοξός ἐστι. Πέτρον τὸν Μανιχαῖον τῶι βασιλεῖ· Σεβῆρος καὶ Πέτρος Μανιχαῖοί εἰσίν. ἡ σύγκλητος ὀρθόδοξος ἔνι. ἄρον Φαῦστον· σῶσον πόλιν. Εὐτυχιανοῦ τοῦ κόμητος πολλὰ τὰ ἔτη. δικαία ἡ ψῆφος τῶν ἐπάρχων. δεόμεθα γνώρισον· τὴν σωτηρίαν τοῦ βασιλέως, γνώρισον· τὴν σωτηρίαν τῆς αὐγούστας, γνώρισον.

35 Ἴσον ἄλλης πράξεως συστάσης ἐπὶ τοῦ αὐτοῦ μεγαλοπρεπεστάτου ἄρχοντος

ITEM ROMANVS ARCHIDIACON' DIXIT: Τοῦ θεοῦ δεδωκότος τοῖς πράγμασι καὶ ταῖς ἁγίαις αὐτοῦ ἐκκλησίαις ὀρθόδοξον καὶ εὐσεβέστατον βασιλέα, παρούσης τῆς ὑμετέρας μεγαλοπρεπείας παρενεγγύησάν μοι οἱ ὁσιώτατοι ἐπίσκοποι τῆς ἡμετέρας ἐπαρχίας τὰ παλαιὰ ἔθη τῆς ἐκκλησιαστικῆς καταστάσεως κρατεῖν, τοῦτο καὶ τοῦ εὐαγοῦς κλήρου τῆς Ἀπαμέων αἰτήσαντος· δι' ὃ ἐξαιτῶ τοὺς παρόντας θεοφιλεστάτους πρεσβυτέρους διακόνους ὑποδιακόνους ἀναγνώστας καὶ λοιποὺς κληρικοὺς τοῦ αὐτοῦ εὐαγοῦς κλήρου ἕκαστον αὐτῶν φανερῶσαι ἐπὶ τῶν ὑπομνημάτων τὴν οἰκείαν γνώμην.

FL' IOHANNES PALLADIVS EVTVCHIANVS V' SP' COM' ET PRAESES DIXIT: Παρόντες οἱ θεοφιλέστατοι πρεσβύτεροι καὶ λοιποὶ κληρικοὶ καὶ τῆς διδασκαλίας ἐπακούσαντες Ῥωμανοῦ τοῦ εὐλαβεστάτου ἀρχιδιακόνου τὴν οἰκείαν φανερούτωσαν γνώμην.

EVDOXIVS REV' PRESB' DIXIT: Ἑορτὴ παντὸς τοῦ κόσμου ἐστὶν αὕτη ἡ νῦν κρατοῦσα εὐσεβὴς κατάστασις· δι' ὃ κατὰ τὰ κατατεθέντα παρὰ τοῦ εὐλαβεστάτου ἀρχιδιακόνου ἐπιτρέπομεν πάντα καινισμὸν ἤδη προελθόντα ὑπὸ τῶν γενομένων αἱρετικῶν ἀφαιρε-

---

O [= aerv], I

1/2 ἐπραίδευσασ Or 2 ἔρανον OeI 4 ἀναπαῆ I ἀναπάει Orv ἀναπαυῆ Oa ἀναπαυθῆ Oe 5 αἱ γυναῖκεσ Oe 7/8 οἱ φαγόντες — ἐπώλησαν hic om. OrI, cf. ad 9 8 ἔλθοι Or 8/9 ὁ πτεροβόλοσ Ov 9 λέγει] λέγει οἱ φαγόντεσ τὰ ἐκκλησιαστικὰ ἀπέσχισαν μαρτύρομαί σε ἐγὼ αὐτοὺσ καίω OrI 11 τὸ θυσιαστήριον Or 13/14 ἄξιος Πρόβος — βασιλέως om. Oav 14 τῶν ἐπάρχων — ἔτη πατρικίου — ἔτη Oav 15. 22 αὐγούστησ OeI 23 ις Oa in mg 25 etc. Latina omnia om. OavI 25 ROMANOS ARCHIDIÁCONOS Oe 26 αὐτοῦ ΙΛ τοῦ θυ O ἡμετέρασ Oev 27 παρηγγύησαν OeI ὁσιότατοι Oa 30 ἀναγνώστασ I καὶ ἀναγνώστασ ΟΛ 32 PALLÁDIOS Oe PALLDIVS Or EVTVCHIANOS V' S' RO'M Oe V' SP' om. Λ PRAES Oe 33 λοιποὶ I οἱ λοιποὶ O 35 EVDOXIOS REAS' Oe *Eudoxius* Λ PRSB' Or 36 τεθέντα I 37 post γενομένων supplenerim ἐπισκόπων

θῆναι, ἐντεθῆναι δὲ τὰ ὅσια ὀνόματα τῶν μακαριωτάτων ἡμῶν πατέρων καὶ ἐπισκόπων ἀπὸ Δόμνου τοῦ μακαριωτάτου ἕως τοῦ τῆς θεοφιλοῦς μνήμης Ἰσαακίου τοῦ γενομένου ἡμῶν ἐπισκόπου, κρατεῖν δὲ καὶ ἐπὶ τοῖς ἄλλοις ἅπασι τὴν ἀρχαίαν κατάστασιν τῆς ἁγίας ἐκκλησίας.

EVSTATHIVS REV' PRESB' ET OECONOM' DIXIT: Καθὼς ἐδίδαξεν ὁ παρὼν θεοφιλέστατος ἀρχιδιάκονος πάντας τοὺς θεοφιλεστάτους πρεσβυτέρους διακόνους καὶ λοιποὺς κληρικοὺς τῆς ἁγιωτάτης ἡμῶν ἐκκλησίας αἰτῆσαι τὰ ἀρχαῖα ἔθη κρατεῖν τοῦτο, κἀγὼ κρατυνθῆναι παρακαλῶ.

L V 240
M VIII 1123 STEPHANVS REV' PRESB' DIXIT: Κἀγὼ συναινῶ τῇι καταθέσει τῇι γενομένηι παρὰ τοῦ θεοσεβεστάτου Εὐσταθίου πρεσβυτέρου καὶ οἰκονόμου τῆς παρ' ἡμῖν ἁγίας τοῦ θεοῦ ἐκκλησίας καὶ τῶν λοιπῶν θεοσεβεστάτων κληρικῶν.

THALELAEVS REV' PRESB' DIXIT: Μόλις ποτὲ ἀπὸ ζάλης ἐχαρίσατο ἡμῖν ὁ θεὸς τὸν λιμένα τοῦτον, τὸν ὀρθόδοξον λέγω βασιλέα, εἰς ὃν μετὰ θεὸν καταφυγόντες. θεασάμενος δὲ καὶ τῶν ἐμῶν συγκληρικῶν τὸν ζῆλον τὸν ὑπὲρ τῶν γενομένων ἡμῶν ὁσίων ἀρχιερέων καὶ πατέρων, παρακαλῶ τὴν μὲν γενομένην καινοτομίαν παρὰ τῶν αἱρετικῶν ἐν τῇι ἁγιωτάτηι ἡμῶν ἐκκλησίαι ἀνατραπῆναι, κρατῆσαι δὲ τὸ παλαιὸν ἔθος τῆς ἐκκλησιαστικῆς καταστάσεως καὶ ἐντεθῆναι τοῖς ἱεροῖς διπτύχοις τὰς προσηγορίας τῶν μακαριωτάτων ἡμῶν ἐπισκόπων ἀπὸ τοῦ μακαριωτάτου Δόμνου καὶ ἕως τοῦ μακαριωτάτου Ἰσαακίου τοῦ γενομένου ἡμῶν ἐπισκόπου.

HESVCHIVS REV' PRESB' DIXIT: Κἀγὼ εὐχαριστῶν τῶι θεῶι τῶι εἰρήνην καὶ ἕνωσιν ταῖς ἁγίαις ἐκκλησίαις διὰ τοῦ φιλοχρίστου ἡμῶν βασιλέως δεδωκότι συναινῶ πᾶσι τοῖς αἰτηθεῖσι παρά τε τοῦ εὐαγοῦς ἡμῶν κλήρου καὶ βεβαιωθεῖσι παρὰ τῶν ὁσιωτάτων τῆς ἐπαρχίας ἐπισκόπων, ὥστε ἀνατραπῆναι μὲν ἅπαν καινὸν ἐπεισαχθὲν τῇι ἁγιωτάτηι ἡμῶν ἐκκλησίαι, ἀνανεωθῆναι δὲ καὶ κρατυνθῆναι τὰ παλαιὰ ἔθη τὰ κρατήσαντα ἄχρι τῆς τελευτῆς τοῦ τῆς θεοφιλοῦς μνήμης Ἰσαακίου τοῦ γενομένου ἡμῶν ἀρχιεπισκόπου ἐπί τε ταῖς θείαις λειτουργίαις καὶ τοῖς λοιποῖς ἅπασιν.

MEGAS REV' PRESB' DIXIT: Πάντα τὰ καινισθέντα ὑπὸ τῶν Ἀκεφάλων βούλομαι παυθῆναι καὶ κρατεῖν τὴν ἀρχαίαν κατάστασιν καὶ ἐντεθῆναι τὰ ὀνόματα τῶν ἁγίων ἡμῶν πατέρων καὶ τῶν ὁσιωτάτων ἡμῶν ἐπισκόπων τῶν γενομένων ἐν τῇι ἡμετέραι μητροπόλει ἕως τῆς τελευτῆς τοῦ μακαρίου Ἰσαακίου.

SERGIVS REV' PRESB' DIXIT: Εὐχὴν τοιαύτην εἶχον καὶ παρεκάλουν τὸν δεσπότην ἡμῶν Ἰησοῦν Χριστὸν, ὥστε ἐπαρθῆναι τὰ ἔθη τὰ καινισθέντα παρὰ τῶν κακῶς φρονούντων, ἐντεθῆναι δὲ τὰ ὀνόματα τῶν ἁγίων ἡμῶν πατέρων, καθὼς καὶ ἐπὶ τοῦ μακαριωτάτου Ἰσαακίου τοῦ γενομένου ἡμῶν ἐπισκόπου ἐνέκειντο· καὶ συναινῶ πᾶσι τοῖς κατατεθεῖσι παρὰ τῶν θεοφιλεστάτων πρεσβυτέρων.

M VIII 1126 SABBATIVS REV' PRESB' DIXIT: Κἀγὼ συναινῶ πᾶσι τοῖς κατατεθεῖσι παρὰ τῶν θεοφιλεστάτων πρεσβυτέρων.

ROMANVS REV' PRESB' DIXIT: Κἀγὼ εὐχαριστῶν τῶι δεσπότηι θεῶι δεδωρημένωι κόσμωι παντὶ καὶ ταῖς ἁγίαις ἐκκλησίαις ὀρθόδοξον βασιλέα, συναινῶ καὶ στοιχῶ πᾶσι

O [= ae, r (usque ad 11), v], I [usque ad 11]

2 τοῦ² om. I Ἰσαακκίου O^e ut solet 5 EVSTATHVS O^r EVSTÁTHIOS O^e 6 διάκονος I 8 κρατηθῆναι O^r 9 STEPIANÒS O^e 12—106, 11] καὶ οἱ λοιποὶ ὁμοίως $O^{r}I$ 12 THALELAEOS O^e *Thelelaeus* Λ 13 καταφυγόντες O^{ae} καταφυγὼν $O^eΛ$, coniecerim c. g. καταφυγεῖν ἔστιν 14 κληρικῶν O^{av} τὸν²] τῶν O^v 17 ἐν τοῖς O^{av} 20 HESVCIOS O^e *Nesneius* Λ εὐχαριστῶ O^a 22 τοῦ — κλήρου O^e τῶν ὁσιωτάτων τῆσ ἐπαρχίας ἐπισκόπων O^{av} 22/23 παρὰ — ἐπισκόπων om. O^{av} 23 κενὸν O^a om. O^v 28 καὶ κρατεῖν — ἐντεθῆναι om. O^v 29 ἐπισκόπων ἡμῶν O^e 31 SERGIOS O^e 32 τὸν χῡ O^{av} 32/33 φρονησάντων O^{av} 33 καὶ om. O^v 36 SABBÁTIOS O^a 36 ὑπὸ O^{av} 38 ROMANÒS O^e εὐχαριστῶ O^a

τοῖς τε ὑπὸ τῶν θεοσεβεστάτων μου συγκληρικῶν αἰτηθεῖσι ⟨καὶ τοῖς κατατεθεῖσι⟩ παρὰ τῶν πρὸ ἐμοῦ θεοφιλεστάτων πρεσβυτέρων ἐπὶ τῶι πᾶσαν καινοτομίαν γενομένην ἀνατραπῆναι, κρατυνθῆναι δὲ τὰ παλαιὰ ἔθη τῆς ἁγιωτάτης ἐκκλησίας καὶ ἐντεθῆναι τοῖς ἱεροῖς διπτύχοις τὰς προσηγορίας τῶν γενομένων ἡμῶν ὁσιωτάτων ἐπισκόπων ἄχρι τοῦ μακαριωτάτου Ἰσαακίου τοῦ γενομένου ἡμῶν ἀρχιεπισκόπου.

IOHANNES REV' PRESB' DIXIT: Κἀγὼ συναινῶ πᾶσι τοῖς κατατεθεῖσιν.

ASTERIVS [IOHANNES] REV' PRESB' DIXIT: Γέγραπται αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν Ps. 117, 24
ὁ κύριος, δι' ὃ καὶ ἀγαλλιῶντες καὶ εὐφραινόμενοι ἐν αὐτῆι μετὰ δακρύων πα- L V 241
ρακαλῶ ἐντεθῆναι τοὺς ἁγιωτάτους ἡμῶν πατέρας ἄχρι τῆς τελευτῆς τοῦ τῆς ὁσίας μνήμης Ἰσαακίου τοῦ γενομένου ἡμῶν ἐπισκόπου καὶ κρατυνθῆναι τὸ παλαιὸν ἔθος.

IOHANNES ZACHAEVS REVV' PRESB' DIXERVNT: Καὶ ἡμεῖς συναινοῦμεν πᾶσι τοῖς δόξασιν.

CVRIACVS REV' PRESB' ET LOGOTHET' DIXIT: Κἀγὼ παρακαλῶ τὴν ὑμετέραν ἐξουσίαν ἐντεθῆναι ἐν τοῖς ἱεροῖς διπτύχοις τοὺς ὁσίους ἡμῶν καὶ μακαρίους γενομένους ἐπισκόπους τοὺς ἄχρι τοῦ μακαριωτάτου Ἰσαακίου τοὺς καὶ ἐν τοῖς θρόνοις αὐτῶν ἀποθανόντας, κρατυνθῆναι δὲ καὶ τὰ παλαιὰ ἔθη τὰ ἐκκλησιαστικά. Ὑπερεύχομαι δὲ καὶ ὑπὲρ τῆς νίκης τοῦ δεσπότου ἡμῶν τοῦ εὐσεβεστάτου Ἰουστίνου ὀρθοδόξου βασιλέως.

ANTONINVS PRESB' DIXIT: Εὐχὴ μὲν ἦν ἡμῖν τὸ ἐντεθῆναι ἐν τοῖς ἱεροῖς διπτύχοις τοὺς ὁσίους καὶ μακαρίους ἡμῶν πατέρας τοὺς γενομένους ἡμῶν ἐπισκόπους ἄχρι τοῦ τῆς μακαρίας μνήμης Ἰσαακίου καὶ αὐτοῦ γενομένου ἡμῶν ἐπισκόπου, κρατυνθῆναι δὲ καὶ τὰ ἔθη τὰ ἐκκλησιαστικὰ τὰ μέχρι τοῦ αὐτοῦ τῆς μακαρίας μνήμης Ἰσαακίου.

EVTVCHIANVS DIACONVS DIXIT: Εὐχαριστῶν τῶι τῶν ὅλων δεσπότηι θεῶι τῶι δεδωκότι ἡμῖν εὐσεβῆ καὶ φιλόχριστον βασιλέα Ἰουστῖνον ἐπὶ εἰρήνηι τῶν ἁγιωτάτων αὐτοῦ ἐκκλησιῶν, κἀγὼ αἰτῶ ἐντεθῆναι ἐν τοῖς ἱεροῖς διπτύχοις τὰς προσηγορίας τῶν γενομένων ἡμῶν ὁσίων ἐπισκόπων τῶν ἄχρι τοῦ τῆς μακαρίας μνήμης Ἰσαακίου τοῦ γενομένου ἡμῶν ἐπισκόπου, κρατεῖν δὲ καὶ τὰ παλαιὰ ἔθη τὰ ἐκκλησιαστικά.

SERGIVS ET EVSEBIVS ET IOHANNES PRESB' DIXERVNT: Καὶ ἡμεῖς συναινοῦμεν πᾶσι M VIII 1127
τοῖς πρὸ ἡμῶν κατατεθεῖσιν.

CALLIOPIVS FILIVS AFTHONII LEONTIVS FILIVS MATRONI ANASTASIVS STEPHANVS ET THEODOSIVS DIACON' DIXERVNT: Συναινοῦμεν καὶ ἡμεῖς τοῖς κατατεθεῖσι παρὰ τῶν παρόντων εὐλαβεστάτων ἀνδρῶν.

DIAS FILIVS VRANII ANASTASIVS FILIVS THEODOSIOV MACEDONIVS IOHANNES FILIVS FOTII RVFINVS LEONTIVS FILIVS ANATOLII ET NONNVS FILIVS EORTASIV DIACON" DIXERVNT: Καὶ ἡμεῖς τοῖς συνδόξασι στοιχοῦμεν.

STEPHANVS ANTHEMIVS EVLOGIVS ANTONINVS LEONTIVS HELIAS EPIPHANIVS SVMEONES AETIVS FOTINVS IVLIANVS LEONTIVS IOHANNES EPILAMPSIVS STEPHANVS REV'V' DIACON' DIXERVNT: Καὶ ἡμεῖς ἀκολουθοῦμεν τοῖς συνδόξασι παρὰ τοῦ εὐαγοῦς κλήρου.

O [= aev]

1 καὶ τοῖς κατατεθεῖσι addidi 7 ASTERIOS O^e Ἰωάννης O^e, deleui 8 θ$\bar{\text{ω}}$ O^{av} 11 ζαχαῖος O^e *et Zachaeus* Λ πᾶσι om. O^a 13 CVRIACὸS O^e 14 ἡμῶν καὶ μακαρίουσ $O^eΛ$ καὶ μακαριωτάτουσ ἡμῶν O^{av} 15 τοὺς καὶ] καὶ τοὺς O^e 18 ANTONNĪNOS O^e *Antonius* Λ 19 μακαριωτάτουσ O^{av} 22 EVTVCHIANὸS διάc[ex κ corr.]ονος O^c δεσπότηι om. $O^eΛ$ 25 τοῦ^1 om. O^{av} 27 SÉRGIOS ET EÚSÉBIOS O^e ET^2 O^e *ac* Λ 29 CALLIOPIOS FÍLOS AFTHONIS LEÓNTIOS FÍLIOS O^e et ita semper pro terminatione Latina ponitur Graeca, etiam in uocabulo *filius* *Aschonii* Λ MATRONI' [= Matroniani cf. p. 100, 7] $O^eΛ$ STEPIANὸS O^e et ita semper 31 παρόντων om. $O^eΛ$ 32 διας O^e *Dyas* Λ latet ni fallor HELIAS 33 FOTII RVFINVS scripsi FONTÍCRVFIONT O^e *Rufini et* Λ ANATOLII scripsi ANATOLIOS O^e ET NONNVS O^e *Epionus* Λ 35 ἀNTHONĪNOS O^e VMEONNES O^e *Simeon* Λ 36 FHOTIIINὸS O^e

PAVLVS DIOGENES THOMAS IOHANNES STEPHANVS ET ASTERIVS IOHANNES STEPHANV DIACON' DIXERVNT: Καὶ ἡμεῖς ἀκολουθοῦμεν πᾶσι τούτοις.

THEODOSIVS IOHANNES SYMEONES MARCELLVS ROMANVS IVLIANVS LEONTIVS ET ASTERIV IVLIANVS IOHANNES SYMEONES MARAS THEODOTVS THOMAS EPIPHANIVS IOHANNES LEONTIVS ET SOFRONIVS DIACON'' DIXERVNT: Καὶ ἡμεῖς συναινοῦμεν πᾶσι τοῖς συνδόξασι παρὰ τοῦ εὐαγοῦς κλήρου.

EPIPHANIVS ROMANVS GINDEVS ET AFTHONIVS DIODORVS IOHANNES ANTONINVS EVAGRIVS THOMAS IOHANNES THOMAS BACCHVS STEPHANVS ANASTASIVS STRATEGIVS EPIPHANIVS ET THEO-
L V 244 CTISTVS REV'V' ANAGNOST' DIXERVNT: Καὶ ἡμεῖς ἀκολουθοῦμεν πᾶσι τούτοις.

FL' IOHANNES PALLADIVS EVTVCHIANVS V' SP' COM' ET PRAESES DIXIT: Δῆλα τὰ πεπραγμένα. EDANTVR

Λίβελλος τῶν μοναχῶν Ἀπαμείας πρὸς τοὺς ἰδίους ἐπισκόπους

36 Ἴσον λιβέλλων ἐπιδοθέντων παρὰ τοῦ κοινοῦ τῶν μοναχῶν τῆς Ἀπαμέων

Τοῖς ὁσιωτάτοις ἐπισκόποις δεσπόταις ἡμῶν τοῖς τὰ πάντα ὁσιωτάτοις καὶ ἁγιωτάτοις πατράσιν ἐπισκόποις Συρίας δευτέρας παρὰ Ἀλεξάνδρου Ἰωάννου Συμεώνου Παλλαδίου Προκοπίου Εὐγενίου Στεφάνου καὶ λοιπῶν ἀρχιμανδριτῶν καὶ μοναχῶν τῆς
Eccles. 3, 1 Ἀπαμέων ἐνορίας. Διδάσκουσιν ἡμᾶς αἱ θεῖαι γραφαὶ ὡς μεμάθηκε καιρῶι δουλεύειν καὶ ἡ τῶν πραγμάτων ἀνάγκη. ἐσιγήσαμεν οὖν τοὺς φθάσαντας κύκλους δυναστείαι τῶν τότε κρατούντων καὶ τῆι μανίαι τῶν αἱρετικῶν βιαζόμενοι, ἀλλὰ νῦν θεοῦ βραβεύσαντος δικαίαν παρρησίαν καὶ φιλοτιμησαμένου τοῖς πράγμασιν εὐκταίαν ἐλπίδα καὶ ταῖς ἐκκλησίαις αὐτοῦ καὶ ἐπανατείλαντος πάσηι τῆι γῆι φιλόχριστον καὶ ὀρθόδοξον βασιλέα ἀνάγκη πᾶσα καὶ τοὺς ἐν ἀφωνίαι πιεζομένους βοᾶν. ἴστε γὰρ ὡς καὶ τῶν ἀδυνάτων σχεδὸν ἡ τῶν ἀπαραιτήτων πραγμάτων ἐφάπτεται βία. θεοῦ τοίνυν φιλανθρωπίαν πρυτανεύσαντος ** ἀγαθοῦ βασιλέως χρηματίζοντος, ἀποχωρησάντων τῶν σκυλεύειν ἐπιχειρούντων τὴν εὐθεῖαν τῆς ὀρθοδόξου πίστεως ὁδόν, λείπεται λέγειν ἡμᾶς, εἰ καὶ μετρίαι φωνῆι, τὸν Σεβήρου τοῦ κακοδόξου πικρότατον βίον, εἶτα καὶ Πέτρου τὸ αἰσχρὸν καὶ πάσης βδελυρίας γέμον πολίτευμα. ὅτε γὰρ ἐπορευόμεθα κατὰ τὸ Καπροκεραμέων χωρίον οὐ πόρρω τοῦ σεβασμίου τεμένους τυγχάνον τοῦ μακαρίτου καὶ ὁμολογητοῦ Συμεώνου, πρὸς εἰρήνην καὶ ἕνωσιν ἀγάπης καὶ δικαίαν εὐχὴν ἀποβλέποντες μόνον, πρόσχημα καὶ ψυχὴν περιφέροντες πρέπουσαν μοναχοῖς, οὐκ ἴσμεν ὅπως τὸν ἀσεβῆ Σεβῆρον πολέμιον ἐσχηκότες, ὃν οὐκ εἶδεν, οὐκ ἐδέξατο πώποτε τῶν Χριστιανῶν ἡ κατάστασις οὐδὲ κοινωνίας ἀληθοῦς κατά τινα τρόπον ἢ χρόνον μετέσχεν, ὅσον ἀπὸ γνώμης τοῦ ἐχθροῦ τῆς ἀληθείας ἄρδην ἅπαντες ἀπωλόμεθα, Ἰουδαίων ἢ καὶ ἄλλως κοσμικῶν τε καὶ δῆθεν μοναχῶν ἐπενεχθέντων ἡμῖν ἔκ τινων ὑψηλῶν καὶ ὑποφόρων χωρίων. τί δὲ καὶ ποιεῖν ἐνῆν ἢ πῶς ἀντικαθίστασθαι τῆι μανίαι τῶν ἐπιπεμφθέντων καὶ τοῦ δεινοῦ τῆς ἀσεβείας στρατηγοῦ; τοὺς μὲν οὖν καὶ διέφθειραν, ἑτέρους αἰχμαλώτους ἀφείλκυσαν, ἐνίους γυμνοὺς τῆς ἐσθῆτος

O [= ac, r (inde a 13), v], I [inde a 13]

1. 4 THEOMÃS O^e 2 ἅπασι O^{av} 3 THEODÓSIO O^e *Simeon* Λ 3. 7 ROMANÒS O^e 4 EPIPHÁNIOS O^e 5 *et Sophronius* Λ STENOFRONIOS O^e 7 GINDEOS O^e *Guideus* Λ corruptum *Setustonius* Λ ÁNTONNĪNOS O^e 8/9 THEÓCTIST' O^e 9 ANAGNNOST' O^e *lectores* Λ Καὶ — τούτοις om. O^a 10 FL' — DIXIT: om. O^{av} V' SP om. Λ 11 EDANTVR om. O^{av} 14 ιγ̄ O^a in mg. 19 τότε O^{er}IΛ τε O^{av} 21 αὐτοῦ I *eius* Λ τοῦ θεοῦ O 23 φιλα͞νία O^{arv} 24 lacunam posui propter Λ qui habet post *donauerit* (= πρυτανεύσαντος) haec: *et tranquillitatem terris reddiderit, qui pro sua singulari bonitate sui cultores ac in se confidentes consilio desertos numquam relinquit sed consolatur* καὶ ἀγαθοῦ O^{r}I χρηματίζοντες O^{v} ἀποχωρισάντων O^{rv}I 25 λείλεται O^r 25/26 μετρία φωνῆ O^{r}I μέτρια φανῆ O^{aev}Λ 27 τό καπροκεραμέων O^{av} τὸ κάπρον κεραμέων O^r τὸ [om. O^e] προκεραμέων O^eI 28 τυγχάνων O^v 31 οἶδεν O^{av}Λ 33 πάντεσ O^r ἀπολώμεθα O^{av} ἄλλων I 34 ἐπιφόρων I 35 τῆι I om. O

κατέστησαν, ἄλλους κατερρωγυίας τῆς ἐσθῆτος ὡς ἐν ἀσχήμονι βίωι κατὰ τὴν ἐκείνων δόξαν ἐπόμπευον. ἡμεῖς μὲν οὖν ἐπὶ τοῖς γεγενημένοις εἰκότως ἐσεμνυνόμεθα πάθη καὶ ὁσίας πληγὰς ὑπὲρ Χριστοῦ τοῦ θεοῦ ἡμῶν μετὰ πάσης ἀγαθῆς ἐλπίδος προφέροντες· ἀλλὰ καὶ τὰ οὕτως μεγάλα τῶν ἀδικημάτων μικρὰ νενομικότες ἐπιπέμπουσι κατὰ τὸ Νικερτων στρατιὰν ἀγροίκων μείζονα ταύτης, δευτέραν ἔφοδον κατὰ τοῦ εἰρημένου L V 245
μοναστηρίου ποιούμενοι. οἱ διορύττουσι μέρος τοῦ τειχίου καὶ ὑπεισέρχονται νύκτωρ
καὶ τινὰς μὲν κατασφάττουσι, τοὺς δὲ πολλοὺς καταπλήττουσιν, ὑφαρπάσαντες καὶ τὴν M VIII 1131
μετρίαν τοῦ μοναστηρίου περιουσίαν, ὥστε ἀντὶ μεγάλων ὀδυρμῶν τρόπαια, φησί, κατὰ τῆς εὐσεβείας ἱστᾶν. καὶ οὗτοι μὲν οὖν πολλὰ δεινὰ δεδρακότες, εἰ καὶ μόλις, ἀπεδιώχθησαν· κόρος δὲ οὐδεὶς ἦν μιαιφονίας Σεβήρωι τῶι μόνωι τῆς πάσης οἰκουμένης ἐχθρῶι ἤ, τό γε ἀληθέστερον, καὶ τῆς τῶν οὐρανίων θεωρίας. ἀλλ' ὡς μὴ ἀρκοῦντος, ὡς ἔοικε, μόνου Σεβήρου κατασπιλῶσαι τῆς ὅλης οἰκουμένης τὰ κόσμια, πάλιν καὶ Πέτρος κατὰ τῆς Ἀπαμέων ἐξανίσταται καὶ προβάλλεται, φησί, πρόεδρος, ὃν ἔδει μᾶλλον γράμμασι καὶ συλλαβαῖς παραδίδοσθαι καὶ μὴ ὀνειροπολεῖν ἱερατικῆς μυσταγωγίας θεσπίσματα. ὅθεν τὸ ἄλογον τῆς νεότητος θράσος ἐπιπέμπει πολλάκις τῶι εὐαγεῖ μοναστηρίωι τῶν Δωροθέου, παρασύρων πλῆθος, δημώδη γύναια τούτωι προσαρμόζοντα ὅσωι τὸ τῆς ἀκοσμίας ἐκώμαζεν ἐν αὐταῖς· ἑταῖραι γὰρ ἦσαν καὶ οὐδαμόθεν εὐγενεῖς. καὶ καταπλήττων τοὺς αὐτόθι θεοφιλεῖς μοναχοὺς ἕλκει κατὰ τὴν πόλιν καὶ δεσμωτηρίωι καθείργει καὶ τοῦτο πολλάκις ποιῶν οὐκ ἐπαύσατο. τίς ἂν ἐφικέσθαι δυνήσεται τῶν ἡγησαμένων ἐν τῶι μοναστηρίωι τῶν Ματρώνης κακῶν; ἔτι γὰρ καὶ νῦν ἐμπεπήγασι βέλη τῶν ἑπομένων καὶ προσκαρτερούντων αὐτῶι Ἰσαύρων βοῶντα τοῦ συμβεβηκότος δράματος τὴν ὑπερβολήν, οὔπω τῶν θυρῶν ἐκείνου τοῦ μοναστηρίου ὁ ἀφανισμὸς ἀδακρυτὶ συγχωρεῖ παριέναι τοὺς ὁρῶντας. εἰ δὲ καὶ τὴν μιαιφονίαν ἐξειπεῖν τολμήσομεν εἰς ἣν καταχρώσας πολλάκις τὰς χεῖρας καὶ ὁρῶν τὰ αἵματα τοῖς θυσιαστηρίοις ἀναπιμπλάμενα προσφέρειν ἐθάρρει, ποῖος τῶν ὀρθοδόξων Χριστιανῶν οὐκ ἀποκνήσει καὶ λέγειν καὶ σιγῆι μᾶλλον ἀγαπήσει τὰ τοιαῦτα τῶν πραγμάτων ἐπικαλύπτειν; ἀλλ' εἰ καὶ πάλιν ἐπιμνησθῶμεν τῶν προελθυθότων κατὰ τὸ Ὀράγων μοναστήριον, ποῖος ἀρκέσει χάρτης πρὸς ἀφήγησιν τῶν τοσούτων πλημμελημάτων; οὐ γὰρ ὤκνησαν ὡς ἐν πολιορκίαι καθελεῖν τὸ μοναστήριον καὶ δίκην αἰχμαλώτων λαβεῖν τοὺς αὐτόθι ψάλλοντας μοναχούς, ἐπειδὴ πρὸς μικρὸν ὁλισθήσαντες ὕστερον τὸν λόγον τῆς ἀληθείας ἠγάπησαν καὶ τὴν ἐπίγνωσιν τῆς ἡμῶν κοινωνίας ἠσπάσαντο. τὴν ἐν Λαρίσσηι συστᾶσαν μάχην καὶ τὴν ἄφατον Φαύστου μανίαν καὶ ὅσους κατέβαλε βέλεσιν ἀθέσμοις, φέρει καί τινων πεπραγμένων ἡ πίστις, ὥσπερ οὖν καὶ ἐπὶ τῆι τοῦ Νικερτων ἐφόδωι γεγένηται πρᾶξις καὶ οὐδένα τῶν οἰκούντων τὴν ἐπαρχίαν διαλέληθεν. ὅσα δὲ καὶ οἷα διαφόρως κατὰ τὸν σεβάσμιον οἶκον τοῦ καλλινίκου μάρτυρος Ἀντωνίνου τετόλμηται, ποία φύσις ἔχουσα λόγον ἀδακρυτὶ διηγήσεται; ὥσπερ

O [= aerv], I

1 ὡσ O κατέστησαν καὶ ὡς I εὐσχήμονι O^{av} βίωι om. O^{av} 2 ἐπόμπευον O^{e}IΛ πομπεύοντες O^{ar} πομβέβοντεσ O^{v} 3 προσφέροντεσ O^{r} 4 καὶ κατὰ O^{e} 4/5 τὸ Νικερτων scripsi, cf. infra 33 τὸ νίκερτον O^{aev}I τὸν ἱκιρτὸν O^{r} *exertem* Λ 5 στρατείαν O ἔφοδον δευτέραν I 7 πολλοὺσ O^{er}Λ λοιποὺσ O^{av}I 8 τρόπαι O^{v} κατὰ] καὶ τὰ O^{v} 10 καιρὸς O^{e}Λ πάσης τῆς I 11 ὡσ μὴ ὡσ O^{a} 13 μᾶλλον I μᾶλλον καὶ O^{aev} καὶ μᾶλλον καὶ O^{r} 13/14 καὶ συλλαβαῖς I ἐν συλλαβαῖσ O^{er}Λ ἐνσυλλάβοισ O^{av} 15 τῶν I τῶ O^{er} τοῦ O^{av} 16 παρασύρον O^{a} τὸ O^{er} τῶ O^{av} τὰ I 17 ἐκόμαζεν O^{r} 18 αὐτόθι om. O^{r}I 20 τῶν O^{aev} τῶν τῆσ O^{r} τῆς I 22 ὁ τῶν θυρῶν — ἀφανισμὸσ O^{e}I ὁ om. O^{r} 24 χεῖρασ O^{aev}IΛ θύρασ O^{r} τὰ αἵματα τοῖσ θυσιαστηρίοισ O^{erv}IΛ τὰ θυσιαστήρια τοῖσ αἵμασιν O^{a} 24/25 ποῖος — ὀρθοδόξων ante ὁρῶν coll. Λ, conicere possis χεῖρας προσφέρειν ἐθάρρει, ποῖος τῶν ὀρθοδόξων Χριστιανῶν καθορῶν τὰ αἵματα ἅμα πιλνάμενα τοῖς θυσιαστηρίοις 26 ἀποκαλύπτειν O^{r} 27 τὸ] τὸ τῶν O^{a} 28 πολυορκία O^{rv} 31 ἐκ λαρίσσησ O^{v} 32 κατέλαβε O^{av} ἀθέσμωσ O^{e}Λ 33 τοῦ O^{arv} τῶν O^{e} νικέρτου I 34 διέλαθεν O^{r}I 35 γεγένηται I

γὰρ ἐν ἔθει γενόμενος τῆς τῶν μοναχῶν μιαιφονίας καὶ μέγα κέρδος τὸ πᾶσι τοῖς ἀνθρώποις ἀπευκτὸν λογιζόμενος, κατέσφαττε διὰ τῶν ἑπομένων αὐτῶι, ὧν οὐχ ὁσίως ἐστρατήγει, τοὺς ἐπὶ τιμῆι τῆς ἐκεῖσε ἐπιτελουμένης ἑορτῆς ἀθροιζομένους εὐλαβεῖς καὶ ὀρθοδόξους μοναχοὺς οὕτω τε χερσὶν ἡμαγμέναις τῶι θυσιαστηρίωι παρίστατο. ἀκηκόατε παρόντος τοῦ τε μεγαλοπρεπεστάτου τῆς ἐπαρχίας ἄρχοντος καὶ Ἀμελίου τοῦ ἐνδοξο-
L V 248 τάτου καὶ Ναρσοῦ τοῦ μεγαλοπρεπεστάτου καὶ ἑτέρων ἐν τέλει τινῶν ὅσας ἀφῆκαν φωνὰς παρόντες οἱ θεοφιλέστατοι πρεσβύτεροι καὶ διάκονοι καὶ ὑποδιάκονοι καὶ τὸ λοιπὸν πλήρωμα
M VIII 1134 τῆς ἐν Ἀπαμείαι καθολικῆς ἐκκλησίας ὡς μετὰ πορνῶν καὶ γυναικῶν ἀθέσμων τὸν βίον ἐπορεύετο καὶ δυσφήμους ἀφῆκε κατὰ τοῦ θείου φωνάς, παροινῶν τὸν σταυρωθέντα Χριστόν, γύναια παρασύρων ἐν τῆι θείαι τῶν Χριστιανῶν κολυμβήθραι μηδὲ τοῦ θεσπεσίου βαπτίσματος ἀξιωθέντα καὶ εἰ θελήσομεν ἅπαντα διεξελθεῖν, ἑτέρου μᾶλλον καὶ οὐ μόνον τοῦ παρόντος δεησόμεθα καιροῦ· δι' ὃ παρέντες τὰ πολλὰ τῶν πλημμεληθέντων Σεβήρωι καὶ Πέτρωι ἀκροθιγῶς, ὡς οἷόν τε ἦν, ὑποψελλίσαντες διεξήλθομεν τὰς κατ' ἐκείνων ἀληθεῖς κατηγορίας. καλὸν ἂν εἴη μηδὲ τὴν αἰτίαν τῆς κατὰ Ἰουλιανοῦ τοῦ εὐλαβεστάτου λύπης παραδραμεῖν. ἐπειδὴ γάρ τινες ἐκινήθησαν λόγοι ἐν τῶι σηκρήτωι τοῦ ἁγίου Στεφάνου ἑορτῆς ἐπιτελουμένης καὶ ἀπεκρίνατο ὁ εἰρημένος εὐλαβέστατος ἀνὴρ καλῶς καὶ ὁσίως πιστεύειν τὸν εὐσεβέστατον ἡμῶν βασιλέα, ἀχθεσθεὶς ὥσπερ καὶ κεντηθεὶς τὴν ψυχὴν ἐπὶ τῆι δικαίαι ταύτηι φωνῆι, ὑπὸ λόγον καὶ κατάκριμα, φησί, τοῦτον πεποίηκε Πέτρος ὁ τῆς ἀληθείας ἐχθρός, ὁ μηδαμόθεν ἔχων εὔλογον λόγον, ἀλλὰ μόνον κατὰ πάντα προπετὴς ἄντικρυς κἀνταῦθα μαχόμενος τῶι φιλοχρίστωι καὶ ὀρθοδόξωι λογισμῶι τοῦ τῆς ὅλης μετὰ θεὸν οἰκουμένης δεσπότου. ταῦτα γὰρ ὡς ἐπιμαρτυρεῖται, παρόντος τοῦ μεγαλοπρεπεστάτου τῆς ἐπαρχίας ἄρχοντος καί τινων λαμπρῶν λογάδων τῆς μητροπόλεως πολλοὶ τῶν τελούντων εἰς τὸν εὐαγῆ κλῆρον τῆς Ἀπαμέων ἐξεδίδασκον, προστιθέντες καὶ ὅσην ἔσωιζεν ἡδυτάτην στοργὴν περὶ Στεφάνην τὴν ἀπὸ σκηνῆς, ἣν ἀναγαγὼν πειθοῖ καὶ κολακείαι πολλῆι μοναστηρίωι, φησίν, ἐμβάλλει, κατὰ πάντα καιρὸν ἰδίαι καὶ κατὰ μόνας προσεδρεύων αὐτῆι καὶ τοῦτο καταγώγιον ἁπρεπὲς πάλιν ἑαυτῶι τεχνασάμενος καὶ πρόφασιν ἄσεμνον, ἣν αὐτὸς ἐκάλει διδασκαλίαν εἶναι καὶ παραίνεσιν, ἅπαντας τοὺς προεπισταμένους φενακίζειν οἰόμενος καὶ τῆς ἀληθείας παρακρούεσθαι ὧι ἐπὶ κακῶι τὴν πρὸς ἐκείνην ἠσπάζετο συνουσίαν, ἵνα πάνυ σωφρονέστερον τὸν περὶ τούτου διεξέλθωμεν λόγον. δι' ὃ ἱκετεύομεν καὶ δεόμεθα τῆς ὑμετέρας μακαριότητος ἀφορῶντας εἴς τε τὸν ἀληθῆ λόγον ὧι λατρεύετε καὶ τὸν ἅπαντα χρόνον εὐσεβῶς δουλεύετε, καὶ εἰς τὸν ἀοίδιμον καὶ ὀρθόδοξον σκοπὸν τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως καὶ τῶν μεγίστων ἐξουσιῶν εἶξαι καὶ κατακολουθῆσαι ταῖς καθαραῖς πράξεσι τοῦ μακαριωτάτου πατριάρχου τῆς βασιλίδος καὶ τῆς συνεδρευσάσης αὐτῶι ἁγίας συνόδου καὶ συναινέσαι μὲν τῆι κατὰ Σεβήρου τοῦ αἱρεσιάρχου δικαίαι ἐκβολῆι, καθελεῖν δὲ καὶ Πέτρον, ὃν ἐξονομάζοντες εἰκότως ἐγκαλυπτόμεθα, πειθόμενοι δὲ τῆι ἀνάγκηι λέγομεν καὶ δεόμεθα καθελεῖν τοῦτον καὶ ἔξω καταστῆσαι θείου χοροῦ καὶ ἱερωσύνης, ἧς αὐτὸς παντελῶς ἀλλότριος γέγονεν ἤδη καὶ νῦν, ἑαυτῶι
M VIII 1137 δὲ μόνον ἀθέσμως περιετίθει τὸ τῆς ἱερωσύνης πρόσχημα. τούτων γὰρ οὕτως ἡγουμένων καὶ ὁ θεὸς εἰσδέξεται τὴν ὑμετέραν καθαρὰν καὶ αὐτῶι φίλην προαίρεσιν καὶ βασιλεῦς

14—21 = p. 96, 29—36

O [= aerv], I

1 πᾶσιν ἀνοις I 3 τοὺσ O^{arv}I τῆσ O^{e} 4 τῶι — παρίστατο om. O^{a} παρίστατο lΛ παριστάμενος O ἀκηκόαμεν O^{a} ἀκήκοα O^{v} 6 ναρσοῦ O^{e}IΛ μαρσοῦ O^{arv} 10 θείου O^{e} 11 μόνου O^{r}I 12 δεηθησόμεθα O^{e} 15 σεκρέτω O^{e} 16 εἰρημένοσ O^{e} om. O^{arv}I 19 λόγον om. O^{r} 20/21 μετὰ θεὸν] τῆσ O^{r} 21 δεσπόταισ O^{v} 25 καιρὸν om. O^{v} 26 αὐτῆ O^{r}I αὐτὸσ O^{e}Λ αὐτῆ αὐτὸσ O^{av} 27 τοὺσ I om. O 28 τὴν ἀλήθειαν O^{e}Λ ὧι scripsi ὧν OIΛ 31 ὃ O^{aev}I ὃν O^{r} καὶ τὸν — δουλεύετε om. O^{e}Λ 33 τῆς βασιλίδος om. O^{e}Λ 34 συνεδρευούσης l ἁγίασ αὐτῶ O^{av} 39 om. ὁ O^{aer}

ὁ μέγας ἐπαινέσει τὸν ὀρθὸν τῆς ὑμῶν δικαιοσύνης λογισμὸν καὶ τὰ παρενοχλήσαντα πάθη τοῖς μέλεσι τῆς ἐκκλησίας ἐκκόψετε ὡς (εἴθε πάλαι καὶ πρόπαλαι) ἴασιν καὶ θεραπείαν ἀποστολικὴν ταῖς ἐκκλησίαις χαριζόμενοι, πρὸς ὁσίαν καὶ ἐναρμόνιον τάξιν συνάγοντες L V 249
τὴν ἀμώμητον τῶν Χριστιανῶν πίστιν, ἐφ' ὧι τε δόξαν καὶ ἀδιακόπους ὕμνους ἀσιγήτοις φωναῖς ἀνακηρύττεσθαι τῶι δεσπότηι τῶν ὅλων θεῶι ὑπό τε τῶν οὐρανίων δυνάμεων καὶ πάσης ἀνθρωπίνης φύσεως, εἰς ἕνωσιν ἀγαθὴν συνιόντων τῶν δικαίων τῆς καθολικῆς ἐκκλησίας κατὰ τὴν θείαν φωνήν, ἵνα γένηται μία ποίμνη, εἷς ποιμήν, Χριστὸς ὁ Ioh. 10, 16
θεὸς ἡμῶν.

Ὑπογραφαί

1 Ἀλέξανδρος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Μάρωνος ἐπέδωκα τοὺς προκειμένους λιβέλλους ὑπογράψας χειρὶ ἐμῆι: —

2 Συμεὼν ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Ἀγαπητοῦ ἐπέδωκα τοὺς προκειμένους λιβέλλους ὑπογράψας χειρὶ ἐμῆι: —

3 Προκόπιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Θεοδοσίου ἐπέδωκα τοὺς προκειμένους λιβέλλους ὑπογράψας χειρὶ ἐμῆι: —

4 Εὐγένιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Ἡσυχίου ὁμοίως ὑπέγραψα: —

5 Παλλάδιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Οὐαλεντίνου τοῦ ἐν τῶι Καπριόλης ὁμοίως ὑπέγραψα: —

6 Στέφανος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ ὁσίου Θεοδώρου τοῦ ἐν τῶι Βασαλα ὁμοίως ὑπέγραψα: —

7 Ἰωάννης πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Βηλίου ὁμοίως ὑπέγραψα: —

8 Μάρας πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Βασιλείου ὁμοίως ὑπέγραψα:

9 Μουσίλιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Βαρσαβᾶ ὁμοίως ὑπέγραψα: —

10 Σέργιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Θαλασσίου ὁμοίως: —

11 Τιμόθεος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Γαιανοῦ ὁμοίως ὑπέγραψα: —

12 Συμεώνης διάκονος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Εὐγραφίου ὁμοίως ὑπέγραψα: —

13 Ἰουλιανὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ Παπούλης ὁμοίως ὑπέγραψα: —

14 Δωρόθεος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Κυρίλλου ὁμοίως ὑπέγραψα: —

15 Ῥωμύλος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Ἰακώβου ὁμοίως ὑπέγραψα: —

O [= aerv], I

2 ἐκκόψετε I ἐκκόψητε O^{arv} ἐκκόψαι $O^{e}\Lambda$ 4 αἴνουσ I 7 μία O^{arI} ποία O^{e} om. O^{v} 9 αἱ ὑπογραφαί O^{r} om. I 11 χειρὶ ἐμῆ ὑπογράφασ O^{av} 12 ἐλέω O^{erI} 12/13 ἀγαπητοῦ καὶ μακαρίου O^{r} 13 ἐπέδωκα — ἐμῆι om. $O^{e}\Lambda$ 14 ἐλέω θῦ O^{rI} om. $O^{e}\Lambda$ 15 ἐπέδωκα — ἐμῆι om. $O^{e}\Lambda$ 16—110, 7 Εὐγένιος — ὑπογραφαί] καὶ οἱ λοιποί O^{rI} 16. 18. 20. 33 ἐλέει θεοῦ om. $O^{e}\Lambda$ 17. 19. 21. 22/23. 24/25. 26/27. 29/30. 31/32. 34. 35/36. 37/38. p. 110, 1/2. 3/4. 5/6 ὁμοίωσ ὑπέγραψα O^{a} ὁμοίωσ O^{v} om. $O^{e}\Lambda$ 18. 19 post 20. 21 coll. O^{av} 19 καπριόλω O^{e} *Captiolo* Λ 20 ἁγίου O^{av} 22/23 ὁμοίωσ ὑπέγραψα O^{a} ὁμοίωσ O^{v} ἐπέδωκα $O^{e}\Lambda$ 26 μουσήλιοσ $O^{e}\Lambda$; nescio an idem sit atque *Mocimus* Coll. Auell. p. 569, 3 βαρασυβᾶ O^{e} *Barasomae* Λ 28 ὁμοίωσ O^{av} om. O^{e} 31 εὐγράφου O^{e} 37 Ιακώβ O^{e} *Iohannis et Iacobi* Λ

16 Θωμᾶς πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Ἰωάννου ὁμοίως ὑπέγραψα: —

17 Καιουμᾶς διάκονος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Παύλου ὁμοίως ὑπέγραψα: —

18 Σαμουήλιος διάκονος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Ἰσαακίου ὁμοίως ὑπέγραψα: —

Εἰσὶ δὲ καὶ τῇι τῶν Σύρων γλώττηι πολλαὶ καὶ ἄπειροι μοναχῶν ὑπογραφαί.

37 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ἡ συμπαροῦσα ἡμῖν ἁγία σύνοδος ἣν ἐπὶ τοῖς πεπραγμένοις τε καὶ ἀνεγνωσμένοις ἔχει γνώμην, εἰπάτω.

Καὶ ἀνέγνω φωνὴν ὁ θεοσεβέστατος ἀναγνώστης καὶ σεκουνδοκήριος νοταρίων τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης ἔχουσαν οὕτως * * *

Χριστόδωρος ὁ θεοσεβέστατος νοτάριος καὶ διάκονος καὶ σηκρητάριος τὴν ἑρμηνείαν ἀνέγνω οὕτως

Οἱ ἁγιώτατοι ἐπίσκοποι τῶν μερῶν Ἰταλίας καὶ οἱ σεβασμιώτατοι διάκονοι τῆς ἀποστολικῆς καθέδρας εἶπον· Πάλαι ἔγνωσταί τοῖς ὅροις τοῦ ἀποστολικοῦ ἡγεμόνος Ὁρμίσδου Σεβῆρον καὶ Πέτρον ἤτοι τοὺς τούτοις συμπλεκομένους καὶ ἀκολούθους αὐτῶν ὑπὲρ τῆς σαφοῦς ἑαυτῶν πλάνης κατακεκρίσθαι. οὕστινας καὶ ἡμεῖς ἀκολουθοῦντες τοῖς τῆς
M VIII 1138 ἀποστολικῆς καθέδρας διὰ πάντων θεσπίσμασιν ἐν τῶι τόπωι ἤτοι τῶι ἀριθμῶι τῶν κατα-
L V 252 κρίτων ἔχεσθαι ὁμολογοῦμεν, ἀλλὰ καὶ τοῦ προλεχθέντος Σεβήρου τὰ ἀσεβῆ συγγράμματα ἐν οἷς τῆς ἁγίας ἐν Χαλκηδόνι συνόδου τοὺς ὅρους καὶ τοῦ τῆς μακαρίας μνήμης πάπα Λέοντος τὰς ἐπιστολὰς βλασφήμωι στόματι ἀναθεματίσαι ἐτόλμησεν, οὐ μὴν ἀλλὰ καὶ Ζωόραν καὶ πάντας τοὺς τῆι αὐτῶν κοινωνίαι ἤτοι πλάνηι ἐμμένοντας τῆς αὐτῆς ἀποφάσεως ἡ αὐστηρία ἤτοι τοῦ ἀναθέματος οἱ δεσμοὶ καθέξουσιν.

38 Ψῆφος τῆς ἐνδημούσης συνόδου κατὰ Σεβήρου καὶ Πέτρου

Ἡ ἐνδημοῦσα ἁγία σύνοδος εἶπεν· Εἰ καί τι νεώτερον ἦν τὸ παρὰ τῶν εὐλαβεστάτων ἡγουμένων τῶν εὐαγῶν μοναστηρίων αἰτηθὲν ὡς ὑπὲρ τῶν ἁγιωτάτων ἐκκλησιῶν προτεινόμενον, προσδέξασθαι πάντως ἡμᾶς ἔδει καὶ τῶι θεοφιλεῖ αὐτῶν κοινωνῆσαί τε καὶ ἐπαγωνίσασθαι ζήλωι· νῦν δὲ καὶ προεξειργασμένον ἤδη τοῦτο κατὰ λόγον ὀρθὸν ὁρῶμεν ὑπὸ τῶν μακαριωτάτων ἡμῶν πατέρων καὶ ἀδελφῶν, ὥστε καὶ ἐγκλήματος εἶναι μεγίστου τὸ μὴ τούτοις ἐξακολουθεῖν τοῖς οὐ μικροὺς ἱδρῶτας ἐσχηκόσιν ὑπὲρ τῆς κοινῆς τῶν ἁγιωτάτων ἐκκλησιῶν εἰρήνης καὶ ἐν τοῖς μεγάλοις καὶ πατριαρχικοῖς διαλάμψασι

O [= acrv], I, B [8/9 et inde a 25], D [inde a 24]

3 μαιουμᾶσ O^a 5 ἰσαακκίου O^e 8 ἀρχιεπίσκοπος] καὶ μακαριώτατοσ πατριάρχησ μηνᾶσ B 9 ἔχειν O^e 10/11 Καὶ ἀνέγνω — οὕτωσ O^{arv}I post οὕτωσ spatium nonnullarum linearum vacuum relinquunt O^{av}, ut notaretur uerba Latina esse omissa, omnia om. O^eΛ 10 σεκουνδουκήριος νοτάριος I 12/13 ἀριστόδωρος — οὕτωσ O^{av} ἧσ τὴν ἑρμηνείαν ἀνέγνω χριστόδωροσ ὁ θεοσεβέστατοσ νοτάριοσ καὶ διάκονοσ καὶ σηκρητάριοσ O^rI καὶ ἀνέγνω χριστόδωροσ ὁ θεοσεβέστατοσ νοτάριοσ καὶ διάκονοσ καὶ σηκρητάριοσ τὴν τῆσ ἀναγνωσθείσης διὰ ῥωμαικῶν λέξεων φωνῆσ ἑρμηνείαν ἔχουσαν οὕτωσ O^eΛ 12 χριστόδωροσ (O^{er}I)] ἀριστόδωροσ O^{av} Χριστοφόρος p. 52, 30 14 ιθ̄ O^a in mg. ιη̄ O^v in mg. τῆς ἰταλίας O^e 16 ἤτοι [= *uel*] O καὶ I 17 σαφοῦσ O^{aev} σφῶν I σ. [una litt. erasa] φῶν O^r αὐτῶν I 18 ἤτοι] εἴτι O^v 19 εὔχεσθαι O^{av} ὁμολογοῦμεν I αὐτοὺσ [αὐτὰσ O^v] ὁμολογοῦμεν ΟΛ 20 τῆσ ἁγίασ I τῆσ ἁγίασ τῆσ O 21 ἐτόλμησαν O 23 τοῦ αὐτοῦ O^e 24 ιη̄ O^a in mg. ιθ̄ O^v in mg. ψῆφοσ I ψῆφοσ ἐπιφανίου πατριάρχου [πατριάρχου κωνσταντινουπόλεωσ O^{arv}D] καὶ ΟΛD ἐνδημούσησ ODΛ ἐν κωνσταντινουπόλει I σεβήρου καὶ ζωόρα καὶ πέτρου O^{av}D 25 ἐνδημοῦσα om. BΛ 27 ἡμᾶσ πάντωσ O^e 28/29 τοῦτο — ὁρῶμεν ἤδη O^e 29 τὲ καὶ O^{aev}D

θρόνοις. ἐκ πάντων τοίνυν τῶν ἀνεγνωσμένων εὕρομεν Σεβῆρον καὶ Πέτρον πάσης ἐκκλησίας καθολικῆς ἀλλὰ καὶ αὐτῆς τῆς ὀρθοδόξου πίστεως ἀποστάτας καὶ ἀποτετμημένους καὶ τῶν μὲν ἁπλουστέρων ψυχῶν ἐπιβούλους, τῶν δὲ ἀσεβῶν αἱρετικῶν συνεργοὺς οἷα ταῖς αὐτῶν ποικίλαις ὑπαγομένων πλάναις. ἀλλὰ καὶ τοὺς ἱεροὺς τῶν ἁγίων ἡμῶν πατέρων θεσμοὺς παρ' οὐδὲν ἡγήσαντο, τὰ τούτοις ἀπηγορευμένα ῥιψοκινδύνως ποιεῖν τολμήσαντες καὶ διὰ ταῦτα ταῖς ἀνεγνωσμέναις ὑποπεσόντες ἱερατικαῖς ψήφοις. δι' ὃ καὶ ἡμεῖς ἀκολουθοῦντες αὐταῖς τοὺς εἰρημένους Σεβῆρον καὶ Πέτρον μηδὲ τοῖς ὑπὸ τοσούτων ἁγίων γενομένοις κατ' αὐτῶν αἰωνίοις κατακρίμασί τε καὶ ἀναθέμασιν ὑποσταλέντας ἢ μετριωτέρους γοῦν κατά τι γενομένους, τουναντίον δὲ καὶ ἐπαυξήσαντας τὴν ἑαυτῶν θρασύτητα κατὰ πασῶν τῶν ἁγιωτάτων ἐκκλησιῶν καὶ θορύβων τὸ ἐπ' αὐτοῖς πληρώσαντας αὐτὰς καὶ τῶν ἰδίων πόνων τοὺς καρπούς, ὡς φησιν ἡ θεία γραφή, δρεψαμένους ἐν τῇ τάξει γενομένους ἔχομεν ὧν ἠγάπησαν αἱρετικῶν, καὶ ἅπερ ἐσπούδασαν ἐφ' ὕβρει μὲν τῶν ἁγιωτάτων ἡμῶν πατέρων, ἀνατροπῇ δὲ τῶν πιστῶν ἐφευρεῖν ἀναθέματα, ταῦτα ἔχοντας αὐτοὺς κατὰ τῆς ἑαυτῶν κεφαλῆς, πορευομένους, ὡς ὁ προφήτης φησί, τῶι φωτὶ τοῦ πυρὸς αὐτῶν καὶ τῇ φλογὶ ἧι ἐξέκαυσαν, κἂν τούτωι ἐξακολουθούντων ἡμῶν τοῖς μνημονευθεῖσιν ἁγίοις πατράσι καὶ διὰ τῆσδε ἡμῶν τῆς μετρίας κατ' αὐτῶν ἀποφάσεως ἀναθεματιζόντων τοὺς αὐτοὺς Σεβῆρον καὶ Πέτρον, ὧν ὁ μὲν τὸν τῆς Θεουπολιτῶν, ὁ δὲ τὸν τῆς Ἀπαμέων ἀθέσμως ὑφήρπασαν θρόνον, ὥστε τοὺς εἰς Χριστὸν ἠλπικότας καὶ τῆς καθολικῆς ἐκκλησίας τυγχάνοντας τοῦτο εἰδότας μὴ περιπίπτειν αὐτοῖς ἀγνοίαι τῶν κατ' αὐτῶν κανονικῶς ὁρισθέντων, ἀλλ' εἰδέναι κατὰ τὴν εὐαγγελικήν τε καὶ ἀποστολικὴν ὑφήγησιν ὅτι αἱρετικὸν ἄνδρα μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτεῖσθαι χρὴ καὶ ὅτι χαίρειν οὐ δεῖ τῶι τοιούτωι λέγειν· ὁ γὰρ λέγων αὐτῶι χαίρειν κοινωνεῖ τοῖς ἔργοις αὐτοῦ τοῖς πονηροῖς. δῆλον δὲ ὅτι τῆς αὐτῆς εἰσι κατακρίσεως Ζωόρας τε ὁ δυσσεβέστατος καὶ πάντες οἱ τοῖς εὐσεβέσι θυσιαστηρίοις τε καὶ βαπτιστηρίοις ἀνθιστῶντες τὰς αἱρετικὰς ἑαυτῶν παρασυνάξεις καὶ παραβαπτίσματα. καὶ τὰ ἀσεβῆ συγγράμματα τοῦ εἰρημένου Σεβήρου τὸν ὅμοιον ἀναθεματίζομεν τρόπον· ἐν ἴσωι γάρ, ὡς φησιν ἡ θεία γραφή, μισητὰ τῶι θεῶι καὶ ὁ ἀσεβῶν καὶ ἡ ἀσέβεια αὐτοῦ.

Prou. 1, 31 — Ies. 50, 11 — Tit. 3, 10 — 2 Ioh. 10. 11 — M VIII 1139 — L V 253 — Sap.Sal.11,9

Ψῆφος Μηνᾶ πατριάρχου κατὰ Σεβήρου Πέτρου καὶ Ζωόρα

39 Ὁ ἁγιώτατος καὶ μακαριώτατος οἰκουμενικὸς ἀρχιεπίσκοπος καὶ πατριάρχης Μηνᾶς εἶπεν· Ἰωάννου τοῦ θεσπεσίου ἀποστόλου καὶ μαθητοῦ τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ λέγοντος τινὰς ἁμαρτίας εἶναι μὴ πρὸς θάνατον, τινὰς δὲ καὶ πρὸς θάνατον, καὶ διδάσκοντος ἡμᾶς διὰ ταύτης τῆς ἀποφάσεως τὰς εἰς θεὸν διὰ τῶν αἱρετικῶν δοξῶν ἀποφεύγειν βλασφημίας ὡς δὴ πρὸς θάνατον ἀγούσας, φαίνονται Σεβῆρος καὶ Πέτρος αὐθαιρέτως ἑλόμενοι τὰς πρὸς θάνατον ἁμαρτίας. δέον γὰρ τὴν ἀρχὴν πλανηθέντας καὶ δόξαις αἱρετικαῖς ὑπαχθέντας καὶ διὰ τοῦτο παρὰ τῆς καθολικῆς καὶ ἀποστολι-

1 Ioh. 5, 16

O [= aerv], IBD

5 πρῶν ἡμῶν $O^{av}D$ 6 ἀνεγνωσμέναις om. B ἱερατικαῖσ ὑποπεσόντεσ B 9 μετριωτέρωσ B καὶ om. B 10 ἑαυτοῖσ O^{r} αὐτῶν B αὐτῆσ O^{r} 12 ἔχομεν om. O^{av} 13 ἁγίων O^{e} 13/14 ἀξίαν ἀναθέματοσ D 15 ἑαυτῶν O^{e} τούτων O^{r} τούτοις I ἐξακολουθοῦντεσ B 16 ἡμῶν om. B ἁμετρίασ B 17 ἀναθεματίζομεν B τοὺς om. O^{a} 18 ἀθέσμωσ om. O^{r} ἀφήρπασαν O^{r} 24 τοῖς] τῆσ O^{rv}B τε om. O^{r} 24/25 τε καὶ βαπτιστηρίοις om. I 25 ἀνθιστῶτεσ O^{e} τὰ παραβαπτίσματα O^{e} 26 post ἀσεβῆ superscr. δὲ D 29 om. B καὶ πέτρου D 30 $\bar{κ}$ O^{av} in mg. οἰκουμενικὸς — καὶ om. B 31 Μηνᾶς om. B 32 καὶ om. B 36 αἱρετικῶν O^{r}I

κῆς ἁγίας ἐκκλησίας καὶ πάντων τῶν ἐν αὐτῇ ἀρχιερατεύειν λαχόντων τὸ κατάκριμα ἑαυτοῖς ἐπαγαγόντας σωφρόνως ἐνεγκεῖν τὴν τιμωρίαν καὶ πρόφασιν μετανοίας ἀλλὰ μὴ ἀπογνώσεως ταύτην ὑπολαβεῖν, οἳ δὲ τοιοῦτον μὲν οὐδὲν φαίνονται διαπεπραγμένοι οὐδέ τινα παρ' ὅλον τὸν χρόνον μεταγνώσεως ἔνδειξιν ποιησάμενοι, ἀλλ' ὡς πρὸς αὐτὸν τὸν θεὸν ἀπαυθαδιαζόμενοι ἐνέμειναν ταῖς οἰκείαις ἀσεβείαις, μικρὸν ἡγησάμενοι τὸ μέχρις αὐτῶν στῆσαι τὴν ἀπώλειαν, εἰ μὴ καὶ τοὺς ἄλλους ἅπαντας ὅσους ἂν γένοιντο δυνατοί, προσαπολέσαιεν, ἔργον ἐπιτηδεύσαντες μόνου τοῦ ἀρχηγοῦ τῆς κακίας καὶ εὑρετοῦ ἄξιον, ὃς τὴν οἰκείαν ἀπόπτωσιν κοινὴν ἁπάντων ἀνθρώπων ἀπώλειαν ἠβουλήθη τε καὶ μέχρι νῦν βούλεται καταστῆσαι. οὔκουν ἐπαύσαντο διδασκαλίαις ἐγγράφοις τε καὶ ἀγράφοις χρώμενοι οὐ μόνον ἐν αἷς ἐτύγχανον διατρίβοντες πόλεσιν, ἀλλὰ καὶ κατὰ τὰς πόρρω διεστώσας, καὶ τὰς τῶν ἁπλουστέρων ψυχὰς δελεάζοντες καὶ κοινωνοὺς ποιούμενοι τῆς ἰδίας ἀπωλείας, μηδὲ τὸ κρίμα τοῦ θεοῦ κατὰ νοῦν λαβόντες μηδὲ τὴν κυριακὴν ἀπό-
Mt. 18, 6 (9) φασιν διαρρήδην βοῶσαν ὃς ἐὰν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων [τῶν ἐλαχίστων], ἔνοχος ἔσται τῇ γεέννῃ τοῦ πυρός. κατεπάτησαν δὲ πρὸς τούτοις καὶ τοὺς εὐαγεῖς κανόνας, οἳ σαφῶς διαγορεύουσι τὸν ἔν τινι συνόδῳ κατακεκριμένον μηδέ τινι τρόπῳ δύνασθαι λειτουργίας ἱερατικῆς ἀντιλαμβάνεσθαι, μέχρις ἂν ἐξέτασις ἐπ' αὐτῷ γενομένη ὑφ' ἑτέρας συνόδου ἀθῷον αὐτὸν ἀποδείξῃ· εἰ δέ τις τολμήσει ἱερατικόν τι πρᾶξαι κατὰ τὸν ἐν μέσῳ χρόνον πρὸ τῆς ἐν ἑτέραι συνόδῳ ἀποκαταστάσεως, τοῦτον μηδὲ ὕστερον ἐν ἄλλῃ συνόδῳ ἐλπίδα τινὰ ἔχειν ἀποκαταστάσεως. ἀλλὰ τούτων πάντων ὑπεριδόντες οἱ προειρημένοι Σεβῆρος τε καὶ Πέτρος καὶ οἱ τούτων κοινωνοὶ καὶ μέτοχοι, (ὧν ἐστι Ζωόρας τις μοναχὸς ἐκ τῆς Σύρων ὁρμώμενος, ἄνθρωπος οὐδὲ νοῆσαι ποτέ τι τῶν ἱερῶν οὐδὲ μὴν πρᾶξαι κατὰ λόγον δυνάμενος, οὐχ ὅτι γε καὶ ἄλλοις ἀγαθοῦ τινος μεταδοῦναι, ἀλλ' ἁπλῶς οὕτω τὴν ὑπόκρισιν ὥσπερ τι δέλεαρ
M VIII 1142 ταῖς τῶν ἐντυγχανόντων ψυχαῖς προτεινόμενος, μᾶλλον δέ, ἀληθέστερον εἰπεῖν, ὑπόθεσιν πλεονεξίας ποιούμενος) καταφρονήσαντες μὲν τῆς ἐν τῇ Ῥωμαίων ἁγιωτάτῃ ἐκκλησίαι
L V 256 τῶν ἀποστόλων διαδοχῆς τὴν κατ' αὐτῶν ἀπόφασιν ποιησαμένης, παρ' οὐδὲν δὲ λογισάμενοι καὶ τὸν τῆσδε τῆς βασιλευούσης πατριαρχικὸν θρόνον καὶ πᾶσαν τὴν ὑπ' αὐτὸν ἁγίαν σύνοδον τήν τε αὐτοῦ τοῦ δεσπότου καὶ σωτῆρος τῶν ὅλων ἐν τοῖς ἁγίοις τόποις ἀποστολικὴν διαδοχὴν καὶ πρὸς πᾶσι τούτοις τὴν πάσης τῆς Ἀνατολικῆς διοικήσεως κατ' αὐτῶν ψῆφον γεγενημένην, τὸ δὴ λεγόμενον, ἀνίπτοις χερσὶ τὰ ἅγια μεταχειρι-
Mt. 7, 6 σάμενοι καὶ καθάπερ δή τινες χοῖροι τοὺς μαργαρίτας πατήσαντες, λέγω δὴ τὰς εὐαγγελικάς τε καὶ πατρικὰς ἀποφάσεις, οὐκ ἐπαύσαντο μέχρι καὶ τήμερον παντοίως λυμαινόμενοι τῇ καταστάσει καὶ εἰρήνῃ τῶν ἁγιωτάτων ἐκκλησιῶν, αὐτοὶ μὲν λαθραίως τὰ τοῖς κανόσιν ἀπηγορευμένα διαπραττόμενοι, ἄλλους δὲ πολλοὺς τῶν πειθομένων τῇ ἀθέσμῳ αὐτῶν διδασκαλίαι παρασκευάζοντες συνάξεις τε καὶ βαπτίσματα κατ' οἴκους καὶ μο-
νασταήρια ποιεῖν ἀκανονίστως καὶ τῆς μυσαρᾶς αὐτῶν πολλοῖς τῶν ὑπ' αὐτῶν διεστραμμένων μεταδιδόναι κοινωνίας, ἀνθρώπους μηδὲ τὴν σχήματι, οὐδὲ γὰρ πράγματι φαμέν,

15 sq. non accurate allegatur canon Antioch. 4

O [= aerv], IBD

1 ἐκκλησίασ ἁγίασ D 2 ἐπάγοντασ O^{ar} 3 τοιοῦτον OD τοιοῦτο B τούτων I 4 παρ' ὅλον] παραλόγον O^{r} 5 ἀπαυθαδιζόμενοι B 6 στῆναι O^{e}Λ μὴ καὶ O^{r}IBD καὶ μὴ O^{aev} 6/7 προσαπολέσειαν B 7 ἔργον τοίνυν D^{corr} τῆσ — εὑρετοῦ I καὶ τῆσ κακίασ εὑρετοῦ O^{arv}BD καὶ εὑρετοῦ τῆς κακίας O^{e} ἄξιον om. B ὃς] ὡσ O^{v} 8 ἀπώλειαν om. O^{r}I 9 τοῦ νῦν ID 12 οἰκείας D 13 τῶν [καὶ D] ἐλαχίστων OBD om. I 15 σαφῶς IB σοφῶσ ODΛ μηδενὶ I 16 ἀντιλαμβάνεσθαι O^{r}I ἀντιλαβέσθαι O^{a}BD ἐπιλαβέσθαι O^{e} ἀπολαβέσθαι O^{v} ἄχρισ B 17 τολμήσοι B 20 ἁπάντων O^{r}I πάντεσ D 21 ἐκ] καὶ O^{r} τῶν σύρων O^{av}D 22 τι ποτὲ I 23 ἀπόκρισιν O^{v} 27 βασιλευούσης πόλεως B 31 δή om. BD 32 τε om. D πρ͞ιαρχικᾶσ O^{r}I σήμερον D 33 μὲν om. O^{r} λάθρα O^{r}I 35/36 μοναστρίασ O^{a} 36 ποιοῦντεσ O^{e}Λ 37 ἀνθρώποισ O^{r}ID γὰρ om. I

παρ' αὐτῶν διδομένην τοῖς ὁμοίως αὐτοῖς διεστραμμένοις χειροτονίαν ἐσχηκότας, ὥστε διὰ ταῦτα μὴ μόνον τὸ ἀρχῆθεν παρὰ τῶν πατέρων ἡμῶν ἐπιτεθὲν οἷον ἐρριζωθῆναι ἀνάθεμα, ἀλλὰ καὶ ἐξ ἡμετέρας ἀποφάσεως, μᾶλλον δὲ τῆς τῶν κανόνων αὐθεντίας τὴν ἐλπίδα τῆς ἀποκαταστάσεως αὐτοῖς ἀναιρεθῆναι καὶ τοῦτο μανθάνοντας τοὺς τῆς καθολικῆς καὶ ἁγίας ἐκκλησίας τροφίμους ἀποφεύγειν τὴν ἐκείνων πλάνην τε καὶ κακοδοξίαν. διὰ ταῦτα τοιγαροῦν ταῖς τῶν ἁγίων ἡμῶν πατέρων ἑπόμενοι ψήφοις καὶ τοῖς εὐαγγελικοῖς τε καὶ πατρικοῖς ἀκολουθοῦντες θεσμοῖς, ἀποδεχόμενοι δὲ καὶ τοὺς ὁσιωτάτους ἀδελφοὺς καὶ συλλειτουργούς, τῆς παρ' αὐτῶν ἐξενεχθείσης ἀποφάσεως κατὰ τῶν εἰρημένων Σεβήρου καὶ Πέτρου καὶ Ζωόρα καὶ τῶν ἄλλων ὅσοι κοινωνοῦσιν αὐτοῖς τῆς ἀσεβείας, καὶ τῶν συμπλεκομένων ταῖς ἐκείνων ἀνοσιουργίαις καὶ ἡμεῖς διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν, ὥσπερ τινὰς λύκους βαρεῖς ἐπερχομένους τῇι ποίμνηι τοῦ Χριστοῦ ἀπελαύνοντες, σύμψηφοι γινόμεθα τοῖς ὁσιωτάτοις ἡμῶν ἀδελφοῖς καὶ συλλειτουργοῖς καὶ τοὺς πολλάκις πρότερον ὀνομασθέντας Σεβῆρον καὶ Πέτρον τῶι ὁμοίωι τιτρώσκομεν ἀναθέματι, οὐκ αὐτοὺς δὲ μόνον, ἀλλὰ καὶ Ζωόραν καὶ τοὺς ἄλλους τοὺς παρασυνάξεις καὶ παραβαπτίσματα ποιοῦντας καὶ πάντα τὰ παρ' αὐτῶν συγγεγραμμένα, οἷα τοῦ ἀρχεκάκου δράκοντος ἰὸν ἐν ἑαυτοῖς διασώιζοντα καὶ τοῦτον ταῖς τῶν ἁπλουστέρων ψυχαῖς ἐνιέντα. Act. 20, 29

ᾱ 1 Μηνᾶς ἐλέει θεοῦ ἐπίσκοπος Κωνσταντινουπόλεως Ῥώμης ὁρίσας ὑπεσημηνάμην:

β̄ 2 EGO SABINVS EPISCOP(VS) SANCTAE ECCLESIAE CANVSINAE HVIC SYNODO SEQVENS DEFINITIONEM SANCTAE RECORDATIONIS PAPAE ORMISDAE ANATHEMATIZANS ATQVE CONDEMNANS SEVERVM ET EIVS IMPIA SCRIPTA ET PETRVM QVONDAM APAMENVM SED ET CONPLICES EORVM ATQVE SEQVACES NEC NON ET ZOARAM VEL COMMVNICATORES EORVM ET IN EODEM ERRORE PERMANENTES SVBSCRIPSI: —

γ̄ 3 EGO EPIPHANIVS EPISCOPVS SANCTAE ECCLESIAE ECLANAE καὶ τὰ λοιπὰ ὁμοίως διὰ Ῥωμαίων γραμμάτων: —

δ̄ 4 EGO ASTERIVS EPISCP' SANCTAE ECCLESIAE SALERNITANAE καὶ τὰ λοιπὰ ὁμοίως διὰ Ῥωμαίων γραμμάτων: —

ε̄ 5 IN NOMINE DOM' IHESV CHRISTI LEO EPISCOP' ECCLESIAE NOLANAE καὶ τὰ ἐξῆς τῆς ὑπογραφῆς ὁμοίως διὰ Ῥωμαικῶν γραμμάτων: — M VIII 1143

ϛ̄ 6 EGO RVSTICVS EPISCOP' SANCTAE ECCLESIAE FAESVLANAE καὶ τὰ λοιπὰ ὁμοίως δι' ἴσων γραμμάτων: — L V 257

ζ 7 THEOPHANES DIACON' SANCTAE ECCLESIAE ROMANAE καὶ τὰ λοιπὰ ὡσαύτως διὰ τῶν αὐτῶν γραμμάτων: —

η 8 PELAGIVS DIACON' SANCTAE ECCLESIAE ROMANAE καὶ τὰ λοιπὰ ὁμοίως: —

O [= aerv], I, BD [usque ad 17]

1 αὐτῶν $O^{arv}D$ ἐσχηκόσιν $O^{r}ID$ 2 οἷον] αὐτοῖς D ἐκριζωθῆναι D 6 ταῖς τε $O^{e}B$ 8 καὶ τῆσ B 9 καὶ^{1} om. I 10 ἀνουσιουργίασ O^{v} 12 Χριστοῦ] κυ B ἁγιωτάτοις D 13 συναδελφοῖς D 14 καὶ οὐκ $O^{arv}D$ δὲ om. D 15 τοὺσ τὰσ B 16 τὸν τοῦ $O^{e}B$ αὐτοῖσ B 17 τούτων O^{r} τῶν om. O^{v} ἐνιόντα O^{v} 18 inscr. ὑπογραφαί $O^{e}\Lambda$ numeri Graeci ex O^{e} ἐλέω $O^{er}I$ ἀρχιεπίσκοποσ $O^{r}I$ νέασ ῥώμησ O^{a} ὑπέγραψα O^{arv} 19—34 $O^{e}\Lambda$ καὶ ὑπέγραψαν καὶ ἕτεροι ἑπτὰ ἐπίσκοποι Ἰταλοὶ ὑπογραφαῖσ [ὑπογραφῆ O^{v}] γραμμάτων Ἰταλικῶν [ἑλληνικῶν O^{a}] ὧν τὰ ὀνόματα ταῦτα· σαβῖνοσ· ἐπιφάνιοσ· ἀστέριοσ· ἐνόμινε δόμινε· πουστίκουσ· καὶ διάκονοι δύο· γιεοπιάνεσ καὶ πελάγιοσ· καὶ μετὰ ταῦτα ὑπέγραψαν οἱ λοιποὶ ὡσ ὑποτέτακται O^{arv} om. $O^{r}I$ 19. 24. 26. 30 εgὸν O^{e} 19 sancti O^{e} canovsinae O^{e} hvis O^{e} *in* Λ 20 atqv O^{e} 20/21 conɒemans O^{e} 21 severvm O^{e} qvonɒm O^{e} *Apamearum episcopum* Λ 22 seqvases O^{e} ʒoram O^{e} comvnicatores O^{e} 23 rermanéntes O^{e} 24 ἐριγιάδιος ἐρίscopos O^{e} eslanie O^{e} *Esculanae* Λ 26 ἀστέrios O^{e} 28 δόmIne svchristi leónn O^{e} 30 pvsticvs O^{e} πουστίκουσ O^{arv} [cf. notam 19—34] sanctaeclesíae O^{e} 32 Θεοφάνους p. 34. 5 γιεοπιάνεσ O^{arv} [cf. notam 19—34] theodohrianòs O^{e} sanc'ta O^{e} riohmanae O^{e} 34 pelágios O^{e} sanctaecclelíae O^{e} rohmanae O^{e}

θ̄ 9 Ὑπάτιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἐφεσίων μητροπόλεως τῆς Ἀσιανῶν ἐπαρχίας ὁρίσας ὑπεσημηνάμην: —

ι 10 Κωνσταντῖνος ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Ἡράκλειαν τὴν φιλόχριστον μητρόπολιν τῆς Εὐρωπαίων ἐπαρχίας ἁγίας τοῦ θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας ὁρίσας ὑπεσημηνάμην: —

ιᾱ 11 Εὐσέβιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Κύζικον τὴν μητρόπολιν ἁγιωτάτης ἐκκλησίας τῆς Ἑλλησποντίων ἐπαρχίας ὁρίσας ὑπεσημηνάμην: —

ιβ̄ 12 Θαλάσσιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Νικομηδέων μητροπόλεως τῆς Βιθυνῶν ἐπαρχίας ὁρίσας ὑπεσημηνάμην: —

ιγ̄ 13 Ἀναστάσιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Νικαέων μητροπόλεως τῆς Βιθυνῶν ἐπαρχίας διὰ τῆς ἀναγνώστεως τοῖς πεπραγμένοις ἐπιστὰς καὶ ἀναθεματίζων Σεβῆρον καὶ τὰ αὐτοῦ ἀσεβῆ συγγράμματα καὶ Πέτρον τὸν ποτὲ Ἀπαμείας καὶ Ζωόραν καὶ τοὺς κοινωνικοὺς αὐτῶν καὶ τοὺς ἐν τῇι αὐτῶν πλάνηι ἐπιμένοντας ὁρίσας ὑπεσημηνάμην: —

ιδ̄ 14 Φωτεινὸς κατὰ φιλανθρωπίαν θεοῦ ἐπίσκοπος τῆς Χαλκηδονίων λαμπρᾶς μητροπόλεως ὁρίσας ὑπεσημηνάμην: —

ιε̄ 15 Αὐξέντιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Σεβαστιανῶν μητροπόλεως τῆς πρώτης Ἀρμενίων ἐπαρχίας διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ὁρισθεῖσιν ὑπεσημηνάμην: —

ις̄ 16 Θεόδουλος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἰκονιέων μητροπόλεως διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ὁρισθεῖσιν ὑπεσημηνάμην: —

ιζ̄ 17 Θεαγένης ἐλέει θεοῦ ἐπίσκοπος τῆς Συναδέων μητροπόλεως ὁρίσας ὑπεσημηνάμην: —

ιη̄ 18 Βάκχος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἀντιοχέων λαμπρᾶς μητροπόλεως τῆς Πισιδῶν ἐπαρχίας ὁρίσας ὑπεσημηνάμην: —

ιθ̄ 19 Μάμας ἐλέει θεοῦ ἐπίσκοπος τῆς Μελιτηνῶν ἁγιωτάτης ἐκκλησίαις ἀναγνοὺς ἅπαντα τὰ πεπραγμένα καὶ σύμψηφος γενόμενος ἐπὶ πᾶσιν ὑπέγραψα: —

κ̄ 20 Ἱλαριανὸς ἐλέει θεοῦ ἐπίσκοπος τῆς Περγαίων μητροπόλεως ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὁρίσας ὑπεσημηνάμην: —

κᾱ 21 Βοσπόριος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Νεοκαισαρέων μητροπόλεως ὁρίσας ὑπεσημηνάμην: —

κβ̄ 22 Παῦλος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Τυανέων μητροπόλεως ὁρίσας ὑπεσημηνάμην: —

κγ̄ 23 Ἀκάκιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Πισιν(ουντ)ίων ἢ γοῦν Ἰουστινιανουπολιτῶν μητροπόλεως ὁρίσας ὑπεσημηνάμην: —

O [= ae, r (usque ad 5), v], I [usque ad 5]

1. 2 post 3—5 coll. O^{r} I 1 ἐλέει θεοῦ om. $O^{e}\Lambda$ ἐλέω I τῆς ἐφεσίων — ἐπαρχίας O^{arv} I ἐφέσου $O^{e}\Lambda$ 3 ἐλέω θῦ O^{r}I om. $O^{e}\Lambda$ 3—5 κατὰ — ὁρίσας O^{arv} κατ' εὐρώπην ἡρακλείας $O^{e}\Lambda$ 4 εὐρωπίων O^{arv} 6—p. 119, 25 om. O^{r} καὶ οἱ λοιποί I 6 sq. ἐλέει θεοῦ semper om. $O^{e}\Lambda$ 6/7 τῆς κατὰ κύζικον — ἐπαρχίας O^{av} κυζίκου $O^{e}\Lambda$ 7 τῆς om. O^{v} 8/9 τῆς νικομηδέων — ἐπαρχίας O^{av} νικομηδείας $O^{e}\Lambda$ 10 τῆς Βιθυνῶν ἐπαρχίας om. $O^{e}\Lambda$ 15 κατὰ — θεοῦ om. $O^{e}\Lambda$ 15/16 τῆς — μητροπόλεως O^{av} χαλκηδόνος $O^{e}\Lambda$ 15 χαλκηδονέων O^{v} 16 ὑπέγραψα O^{av} 17—19 τῆς σεβαστιανῶν — ἐπιστὰς O^{av} σεβαστείας $O^{e}\Lambda$ 19 γενόμενος ἐν πᾶσι O^{av} ὢν $O^{e}\Lambda$ ὑπέγραψα O^{e} 20 τῆς — μητροπόλεως O^{av} Ικονίου $O^{e}\Lambda$ 20/21 διὰ — ὁρισθεῖσιν O^{av} σύμψηφος ὢν καὶ αὐτὸς $O^{e}\Lambda$ 23 τῆς [τοῖς O^{v}] συναδαίων μητροπόλεως O^{av} συνάδων $O^{e}\Lambda$ 25/26 τῆς ἀντιοχέων — ἐπαρχίας O^{av} τῆς ἐν πισσιδία ἀντιοχείας $O^{e}\Lambda$ 27/28 τῆς μελιτηνῶν [μελιτινῶν O^{a}] — σύμψηφος γενόμενος O^{av} μελιτηνῆς σύμψηφος ὢν $O^{e}\Lambda$ 29/30 τῆς περγαίων — ἐκκλησίας O^{av} πέργης $O^{e}\Lambda$ 31 τῆς — μητροπόλεως O^{av} νεοκαισαρείας $O^{e}\Lambda$ 33 τῆς — μητροπόλεως O^{av} τυάνων $O^{e}\Lambda$ 34/35 τῆς πισινιῶν — μητροπόλεως O^{av} πισσινοῦντος $O^{e}\Lambda$

κδ 24 Κόνων ἐλέει θεοῦ ἐπίσκοπος τῆς Σιδητῶν μητροπόλεως διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς ὁρίσας ὑπεσημηνάμην: —

κε 25 Ἐπίκτητος ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Κλαυδιούπολιν τὴν μητρόπολιν ἁγιωτάτης ἐκκλησίας ὁρίσας ὑπεσημηνάμην: —

κς 26 Προκόπιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Γαγγρηνῶν μητροπόλεως διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ὁρισθεῖσιν ὑπεσημηνάμην: —

κζ 27 Πέτρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἰουστινιανιτῶν μητροπόλεως τῆς δευτέρας Καππαδοκῶν ἐπαρχίας ὁρίσας ὑπεσημηνάμην: —

κη 28 Μάρκος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἀπαμέων πόλεως τῆς Βιθυνῶν ἐπαρχίας ὁρίσας ὑπεσημηνάμην: —

κθ 29 Ἥδιστος ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Κίον τὴν μητρόπολιν ἁγιωτάτης ἐκκλησίας ὁρίσας ὑπεσημηνάμην: —

λ 30 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος Βοσπόρου ὁρίσας ὑπεσημηνάμην: —

λα 31 Θεόδωρος ἐλέει θεοῦ ἐπίσκοπος Γορτύνης, ἣ μητρόπολίς ἐστι τῆς Κρητῶν ἐπαρχίας, διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς καὶ ἀναθεματίζων Σεβῆρον καὶ τὰ αὐτοῦ ἀσεβῆ συγγράμματα καὶ Πέτρον τὸν ποτὲ Ἀπαμείας καὶ Ζωόραν καὶ τοὺς κοινωνικοὺς αὐτῶν καὶ τοὺς ἐν τῇι πλάνηι αὐτῶν ἐπιμένοντας ὁρίσας ὑπεσημηνάμην: — M VIII 1146

λβ 32 Ὑάκινθος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Μιλησίων μητροπόλεως διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ὁρισθεῖσιν ὑπεσημηνάμην: —

λγ 33 Θαλάσσιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Βηρυτίων φιλοχρίστου μητροπόλεως ἀναθεματίσας Σεβῆρον καὶ τὰ αὐτοῦ ἀσεβῆ συγγράμματα, Πέτρον τὸν ποτὲ Ἀπαμείας καὶ Ζωόραν καὶ τοὺς κοινωνοὺς αὐτῶν καὶ τοὺς ἐν τῇι αὐτῶν πλάνηι ἐπιμένοντας ὑπεσημηνάμην: — L V 260

λδ 34 Μέγας ἐλέει θεοῦ ἐπίσκοπος τῆς Βεροιαίων φιλοχρίστου πόλεως τῆς πρώτης Σύρων ἐπαρχίας ὁρίσας ὑπεσημηνάμην: —

λε 35 Αἰθέριος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Μαριαμμιτῶν φιλοχρίστου πόλεως τῆς δευτέρας Σύρων ἐπαρχίας ὁρίσας ὑπεσημηνάμην: —

λς 36 Δομετιανὸς ἐλέει θεοῦ ἐπίσκοπος τοῦ ἔθνους τῶν Ζικχῶν ὁρίσας ὑπεσημηνάμην: —

λζ 37 Καλλόας ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Σμύρναν ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὁρίσας ὑπεσημηνάμην: —

O [= aev]

1 τῆσ — μητροπόλεωσ O^{av} σίδησ $O^{e}Λ$ 1/2 διὰ — ὑπεσημηνάμην O^{av} σύμψηφοσ ὢν καὶ αὐτὸσ ὑπέγραψα $O^{e}Λ$ 3/4 τῆς — ἁγιωτάτησ ἐκκλησίασ [ἁγιωτάτην ἐκκλησίαν O^{v}] O^{av} κλαυδιουπόλεωσ O^{r} *Claudiupolitanus Honoriadis* Λ 4 ὑπέγραψα O^{e} 5 τῆσ — μητροπόλεωσ O^{av} γάγγρασ $O^{e}Λ$ 5—7 διὰ — ὑπεσημηνάμην O^{av} σύμψηφοσ ὢν ὑπέγραψα $O^{e}Λ$ 8 τῆσ — μητροπόλεωσ O^{av} ἰουστινιανουπόλεωσ $O^{e}Λ$ 10 τῆσ ἀπαμέων — ἐπαρχίασ O^{av} ἀπαμείασ $O^{e}Λ$ 12/13 τῆσ — ἐκκλησίασ O^{av} κίου $O^{e}Λ$ 14 ὑπέγραψα O^{ev} 15 γορτύνου O^{v} ἣ — ἐστὶ O^{e} μροπόλεωσ ἐστι O^{v} μητροπόλεωσ O^{a} 18/19 ὑπέγραψα O^{e} 20 ὑάκυνθοσ O^{a} μελισίων O^{v} πόλεωσ $O^{e}Λ$ 20—22 διὰ — ὑπεσημηνάμην O^{av} ὁρίσασ ὑπέγραψα $O^{e}Λ$ 23 τῆσ — μητροπόλεωσ O^{av} βηρυτοῦ $O^{e}Λ$ 23/24 ἀναθεματίσασ O^{av} σύμψηφοσ ὢν καὶ αὐτὸσ ἐν πᾶσι τοῖσ ἐνταῦθα ὁρισθεῖσι καὶ τοὺσ αὐτοὺσ ἀναθεματίζων ἥγουν $O^{e}Λ$ 25 καὶ τοὺσ O^{av} τούσ τε O^{e} κοινωνικοὺσ O^{e} πλάνη αὐτῶν O^{r} 26 ὑπέγραψα $O^{ev}Λ$ 27. 28 post 29. 30 coll. O^{av} 27 τῆσ — πόλεωσ O^{av} βερροίασ $O^{e}Λ$ βερροιαίων O^{v} 28 ὑπέγραψα O^{ev} 29 τῆσ — πόλεωσ O^{av} μαριάμμησ O^{e} *Mariamniae* Λ 30 ὁρίσας om. O^{v} ὑπέγραψα O^{ev} 31 τοῦ — ζικχῶν O^{av} ζηκχίασ O^{e} *Zichiae* Λ ὑπέγραψα O^{ev} 32 καλλόασ O^{e} καλλωνᾶσ O^{av} τῆσ — ἐκκλησίασ O^{av} σμύρνησ $O^{e}Λ$ 33 ὑπέγραψα O^{v}

λη 38 Ἀρχέλαος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Κωρυκεωτῶν πόλεως ὁρίσας ὑπεσημηνάμην: —
λθ 39 Χριστοφόρος ἐλέει θεοῦ ἐπίσκοπος Πορφυρεῶνος ἐπαρχίας Φοινίκης παράλου ἀναθεματίζων Σεβῆρον καὶ τὰ αὐτοῦ ἀσεβῆ συγγράμματα, Πέτρον τὸν ποτὲ Ἀπαμείας καὶ Ζωόραν καὶ τοὺς κοινωνοὺς αὐτῶν καὶ τοὺς ἐν τῇι αὐτῶν πλάνηι ἐπιμένοντας ὁρίσας ὑπεσημηνάμην: —
μ μα 40. 41 ἔχει καὶ δύο Σύρων ὑπογραφάς: —
μβ 42 Ἀλέξανδρος ἐλέει θεοῦ ἐπίσκοπος Βαρκουσῶν ἤτοι Ἰουστινιανουπόλεως ἀναθεματίζων Σεβῆρον καὶ τὰ αὐτοῦ ἀσεβῆ συγγράμματα, Πέτρον τὸν ποτὲ Ἀπαμείας καὶ Ζωόραν καὶ τοὺς κοινωνοὺς αὐτῶν καὶ τοὺς ἐν τῇι αὐτῶν πλάνηι ἐπιμένοντας ὁρίσας ὑπεσημηνάμην: —
μγ 43 Εὐστάθιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Τιβεριουπολιτῶν πόλεως ὁρίσας ὑπεσημηνάμην: —
μδ 44 Ἀναστάσιος ἐλέει θεοῦ ἐπίσκοπος νήσου Ἰωτάβης ὁρίσας ὑποσημηνάμην: —
με 45 Δόμνος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Μαξιμιανουπολιτῶν πόλεως ὁρίσας ὑπεσημηνάμην: —
μς 46 Πελάγιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Παρνασέων πόλεως ὁρίσας ὑπεσημηνάμην: —
μζ 47 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος ⟨Ζωόρων⟩ τῆς τρίτης Παλαιστίνης ἐπαρχίας ὁρίσας ὑπέγραψα: —
μη 48 Ἐπιφάνιος ἐλέει θεοῦ ἐπίσκοπος Ἡρακλείας ὁρίσας ὑπέγραψα: —
μθ 49 Ἀβράμιος ἐλέει θεοῦ ἐπίσκοπος Κρατίας ὁρίσας ὑπέγραψα: —
ν 50 Ἀλέξανδρος ⟨ἐλέει θεοῦ⟩ ἐπίσκοπος τῆς Κολωνέων πόλεως ὁρίσας ὑπέγραψα: —
να 51 Εὐγένιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Τίον ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὁρίσας ὑπέγραψα: —
νβ 52 Ἐπιτύγχανος ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Γέρμην ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὁρίσας ὑπέγραψα: —
νγ 53 Ἀνδρέας ἐλέει θεοῦ ἐπίσκοπος τῆς Πανιτῶν ἤτοι Θεοδοσιουπολιτῶν ἐκκλησίας ὁρίσας ὑπέγραψα: —
νδ 54 Εὐσέβιος ἐλέει θεοῦ ἐπίσκοπος Παλαιᾶς πόλεως ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὁρίσας ὑπέγραψα: —
νε 55 Ἀστέριος ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Ἄμαστριν ἁγιωτάτης ἐκκλησίας ὁρίσας ὑπέγραψα: —
νς 56 Θεόδωρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Γορδηνῶν πόλεως ὁρίσας ὑπέγραψα: —
M VIII 1147 νζ 57 Ματθίας ἐλέει θεοῦ ἐπίσκοπος τῆς ἐν Κύμηι ἁγίας τοῦ θεοῦ ἐκκλησίας ἀναθεματίζων Σεβῆρον καὶ τὰ αὐτοῦ ἀσεβῆ συγγράμματα, Πέτρον τὸν ποτὲ Ἀπαμείας καὶ Ζωόραν καὶ τοὺς κοινωνικοὺς αὐτῶν καὶ τοὺς ἐν τῇι αὐτῶν πλάνηι ἐπιμένοντας ὁρίσας ὑπέγραψα: —

O [= ^{acv}]
1 κορυκεωτῶν O^{e} ὑπέγραψα O^{ev} 2 παραλίου O^{e}Λ 3 τὰ — συγγράμματα καὶ O^{e}Λ 3/4 τὸν ποτὲ Ἀπαμείας om. O^{e}Λ 4 κοινωνικοὺς O^{e} ἐν — πλάνηι O^{av} τῇ πλάνῃ αὐτῶν O^{e} 5 ὑπέγραψα O^{v} 6 ἔχει καὶ O^{e}Λ καὶ ἔχει O^{av} 7 βαρκουκουσῶν O^{av} Ἰουστιανουπόλεως O^{e} *Iustinianae ciuitatis* Λ 9 κοινωνικοὺς O^{e} ἐν — πλάνηι O^{av} τῇ πλάνῃ αὐτῶν O^{e} 10 ὑπέγραψα O^{ev} 11 τῆς — πόλεως O^{av} τιβεριουπόλεως O^{e}Λ 11/12 ὑπέγραψα O^{ev} 13 ὑπέγραψα O^{ev} 14 τῆς — πόλεως O^{av} μαξιμιανουπόλεως O^{e}Λ 14/15 ὑπέγραψα O^{ev} 16 τῆς — πόλεως O^{av} παρνασοῦ O^{e}Λ ὑπέγραψα O^{ev} 17 *Zoaranus* Λ Ζωόρων p. 28, 30 om. O 20/21 Κρατίας — ἐπίσκοπος om. O^{av} 21 ἐλέει θεοῦ addidi τῆς [om. O^{v}] — πόλεως O^{av} κολωνείας O^{e}Λ 22 τῆς — ἐκκλησίας O^{av} τίου O^{e}Λ 24 τῆς — ἐκκλησίας O^{av} γέρμης O^{e}Λ 26 τῆς — ἐκκλησίας O^{av} θεοδοσιουπόλεως O^{e}Λ 28 ἁγίας — ἐκκλησίας om. O^{e}Λ 30 τῆς — ἐκκλησίας O^{av} ἀμάστριδος O^{e}Λ 33 τῆς — ἐκκλησίας O^{av} κύμης O^{e}Λ 33—35 ἀναθεματίζων — ἐπιμένοντας om. O^{e}Λ 35 κοινωνοὺς O^{a}

νη 58 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Ποδάλειαν τὴν πόλιν ἁγίας τοῦ θεοῦ ἐκκλησίας διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς ὁρίσας ὑπέγραψα:

νθ 59 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Μιδάειον ἁγιωτάτης ἐκκλησίας ἀναθεματίζων Σεβῆρον καὶ τὰ αὐτοῦ ἀσεβῆ συγγράμματα, Πέτρον τὸν ποτὲ Ἀπαμείας καὶ Ζωόραν καὶ τοὺς κοινωνικοὺς αὐτῶν καὶ τοὺς ἐν τῇι αὐτῶν πλάνηι ἐπιμένοντας ὁρίσας ὑπέγραψα: —

ξ 60 Παῦλος ἐλέει θεοῦ ἐπίσκοπος πόλεως Στεκτορίου ὁρίσας ὑπέγραψα: —

ξα 61 Ἀνδρέας ἐλέει θεοῦ ἐπίσκοπος τῆς Πελτηνῶν πόλεως ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὁρίσας ὑπέγραψα: —

ξβ 62 Θεόδωρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Μηρινῶν ὁρίσας ὑπέγραψα: —

ξγ 63 ἔχει καὶ ἄλλην ὑπογραφὴν μίαν Σύραν: —

ξδ 64 Λεόντιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἑλενοπολιτῶν ὁρίσας ὑπέγραψα: —

ξε 65 Μηνᾶς ἐλέει θεοῦ ἐπίσκοπος Εὐδοξιάδος διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ὁρισθεῖσιν ὑπέγραψα: —

ξς 66 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος τῆς Καισαρέων ὁρίσας ὑπέγραψα: —

ξζ 67 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος τῆς Τραιανουπόλεως Φρυγίας Πακατιανῆς ὁρίσας ὑπέγραψα: — L V 261

ξη 68 Στρατόνικος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Συέδρων πόλεως διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ῥηθεῖσιν ὑπέγραψα: —

ξθ 69 Κυριακὸς ἐλάχιστος ἐπίσκοπος τῆς Θεοδοσιουπολιτῶν πόλεως ὁρίσας ὑπέγραψα: —

ο 70 Φλαβιανὸς ἐλέει θεοῦ ἐπίσκοπος τῆς ἐν Κοτένοις ἁγιωτάτης τοῦ θεοῦ ἐκκλησίας ὁρίσας ὑπέγραψα: —

οα 71 Πέτρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἀμβλαδέων πόλεως διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ῥηθεῖσιν ὑπέγραψα: —

οβ 72 Εὐστάθιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Τλωέων πόλεως διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ῥηθεῖσιν ὑπέγραψα: —

ογ 73 Θεόδωρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Κασατῶν πόλεως διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ῥηθεῖσιν ὑπέγραψα: —

οδ 74 Ἑλλάδιος χάριτι Χριστοῦ ἐπίσκοπος τῆς κατὰ Πανέμου τεῖχος ἁγίας τοῦ θεοῦ ἐκκλησίας διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ῥηθεῖσιν ὑπέγραψα: —

οε 75 Θεόδοτος ἐλέει θεοῦ ἐπίσκοπος Εὐροιέων πόλεως τῆς Παλαιᾶς τῶν Ἠπείρων ἐπαρχίας ὁρίσας ὑπέγραψα: —

ος 76 Μακεδόνιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Βρουζηνῶν πόλεως ὁρίσας ὑπέγραψα: —

οζ 77 Ζώσιμος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἀντανδρέων πόλεως τῆς Ἀσιανῶν ἐπαρχίας

O [= aev]

1/2 τῆς — ἐκκλησίας $O^{a\nu}$ ποδαλείας $O^{e}\Lambda$ 2 διὰ — ἐπιστὰς om. $O^{c}\Lambda$ 3—6 τῆς κατὰ μηδάειον — ἐπιμένοντας $O^{a\nu}$ μηδαείου $O^{e}\Lambda$ 7 post 9 coll. O^{v} πόλεως O^{e} om. $O^{a\nu}$ 8 τῆς — ἐκκλησίας $O^{a\nu}$ πέλτης $O^{e}\Lambda$ 11 καὶ ἔχει O^{v} σύρου O^{e} 12 τῆς om. O^{e} ἑλενουπόλεως $O^{e}\Lambda$ 13/14 διὰ — ὁρισθεῖσιν $O^{a\nu}$ ὁρίσας $O^{e}\Lambda$ 15 τῆς καισαρέων $O^{a\nu}$ καισαρείας $O^{e}\Lambda$ 16 τῆς om. O^{e} καπατιανῆς $O^{a\nu}$ 18/19 διὰ — ῥηθεῖσιν $O^{a\nu}$ ὁρίσας $O^{e}\Lambda$ τῶν πεπραγμένων $O^{a\nu}$ 20 τῆς — πόλεως $O^{a\nu}$ θεοδοσιουπόλεως O^{e} 21 φαβιανὸς O^{v} τῆς [τοῖς O^{v}] — κοτέννοις — ἐκκλησίας $O^{a\nu}$ κοτένων $O^{e}\Lambda$ ἁγιωτάτοις O^{v} 23/24 διὰ — ῥηθεῖσιν $O^{a\nu}$ ὁρίσας $O^{e}\Lambda$ 25. 26 om. Λ 25 πλοέων $O^{a\nu}$ 25/26 διὰ — ῥηθεῖσιν $O^{a\nu}$ ὁρίσας O^{e} 27. 28 om. O^{v} 27 κασσατῶν O^{e} *Carissorum* Λ 27/28 διὰ — ῥηθεῖσιν O^{a} ὁρίσας $O^{e}\Lambda$ 29 ἑλλάδιος O^{ev} παλλάδιος O^{a} χάριτι χῡ $O^{a\nu}$ om. $O^{e}\Lambda$ ἁγίας τοῦ θεοῦ om. $O^{e}\Lambda$ 30/31 διὰ — ῥηθεῖσιν $O^{a\nu}$ ὁρίσας $O^{e}\Lambda$ 35 τῆς ἀτταυδρέων πόλεως $O^{a\nu}$ ἀττάνδρου O^{e} *Antandrus* Λ ἀσινῶν O^{v}

διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ὁρισθεῖσιν ὑπέγραψα: —

οη 78 Θεοδώριτος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἀλινδέων πόλεως ὁρίσας ὑπέγραψα: —

οθ 79 Λυκῖνος ἐλάχιστος ἐπίσκοπος τῆς κατὰ Πάταρα ἁγίας τοῦ θεοῦ ἐκκλησίας τῆς Λυκίων ἐπαρχίας διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς καὶ ἀναθεματίζων Σεβῆρον καὶ τὰ ἀσεβῆ αὐτοῦ συγγράμματα καὶ Πέτρον τὸν ποτὲ Ἀπαμείας καὶ Ζωόραν καὶ τοὺς κοινωνικοὺς αὐτῶν καὶ τοὺς ἐν τῆι αὐτῶν πλάνηι ἐπιμένοντας ὑπέγραψα: —

π 80 Παῦλος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Οἰνοανδέων πόλεως ἁγιωτάτης ἐκκλησίας τῆς Λυκίων ἐπαρχίας διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς καὶ ἀναθεματίζων Σεβῆρον καὶ τὰ ἀσεβῆ αὐτου συγγράμματα καὶ Πέτρον τὸν ποτὲ Ἀπαμείας καὶ Ζωόραν καὶ τοὺς κοινωνικοὺς αὐτῶν καὶ τοὺς ἐν τῆι αὐτῶν πλάνηι ἐπιμένοντας ὑπέγραψα: —

πα 81 Παντολέων ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἰουλιουπολιτῶν πόλεως τῆς Γαλατῶν ἐπαρχίας διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ὁρισθεῖσιν ὑπέγραψα: —

πβ 82 Κυριακὸς ἐλέει θεοῦ ἐπίσκοπος τῆς Σοφηνῆς ἐπαρχίας ὁρίσας ὑπέγραψα: —

πγ 83 Μαρτύριος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Βαρατέων πόλεως τῆς Λυκαόνων ἐπαρχίας διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ὁρισθεῖσιν ὑπέγραψα: —

πδ 84 Διονύσιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Εὐκαρπέων πόλεως ἁγιωτάτης ἐκκλησίας διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς καὶ ἀναθεματίζων Σεβῆρον καὶ τὰ αὐτοῦ συγγράμματα καὶ Πέτρον τὸν ποτὲ Ἀπαμείας καὶ τοὺς συμπλεκομένους αὐτοῖς καὶ τοὺς ἀκολουθοῦντας αὐτοῖς, οὐ μὴν ἀλλὰ καὶ Ζωόραν καὶ τοὺς κοινωνικοὺς αὐτῶν καὶ τοὺς ἐν τῆι αὐτῆι πλάνηι ἐπιμένοντας ὑπέγραψα: —

πε 85 Ἐπιφάνιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς ἐν Πιτάνηι ἁγίας τοῦ θεοῦ ἐκκλησίας διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς καὶ ἀναθεματίζων Σεβῆρον καὶ τὰ αὐτοῦ ἀσεβῆ συγγράμματα καὶ Πέτρον τὸν ποτὲ Ἀπαμείας καὶ Ζωόραν καὶ τοὺς κοινωνοὺς αὐτῶν καὶ τοὺς ἐν τῆι αὐτῶν πλάνηι ἐπιμένοντας ὑπέγραψα: —

πς 86 Μάρκελλος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἀνεατῶν πόλεως ἐπαρχίας τῆς Ἀσίας διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς καὶ ἀναθεματίζων Σεβῆρον καὶ τὰ αὐτοῦ ἀσεβῆ συγγράμματα καὶ Πέτρον τὸν ποτὲ Ἀπαμείας καὶ Ζωόραν καὶ τοὺς κοινωνοὺς αὐτῶν καὶ τοὺς ἐν τῆι αὐτῶν πλάνηι ἐπιμένοντας ὑπέγραψα: —

M VIII 1150 πζ 87 Τρύφων χάριτι τοῦ δεσπότου θεοῦ ἐπίσκοπος τῆς Κολβασέων πόλεως, ἣ μία τῆς Παμφύλων ἐπαρχίας ἐστί, διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ὁρισθεῖσιν ὑπέγραψα: —

O [= aev]

1/2 διὰ — ὁρισθεῖσιν O^{av} ὁρίσασ O^{e} 4 ἐλάχιστος om. $O^{e}\Lambda$ πατάραν O^{av} τοῦ θεοῦ om. $O^{e}\Lambda$ 4–7 τῆσ λυκίων — ἐπιμένοντασ O^{av} ὁρίσασ $O^{e}\Lambda$ 9—13 om. Λ 9 οἰνοανδρέων O^{a} 9—12 ἁγιωτάτησ — ἐπιμένοντασ O^{av} ὁρίσασ O^{e} 14 *Iuliopolitanus* Λ λουλιουπολιτῶν O^{e} λουλιοπολιτῶν O^{av} πόλεως om. $O^{e}\Lambda$ 15/16 διὰ — ὁρισθεῖσιν O^{av} ὁρίσασ $O^{e}\Lambda$ 17 σοφινῆσ O^{av} σοφίνησ O^{e} *Sophenae Armeniae primae* Λ 18 τῆσ Βαρατέων — ἐπαρχίασ O *in Pitana* Λ 19/20 διὰ — ὁρισθεῖσιν O^{av} ὁρίσασ $O^{e}\Lambda$ 21 ἀκαρπέων O^{av} ἁγιωτάτησ ἐκκλησίασ om. $O^{e}\Lambda$ 21—25 διὰ — ἐπιμένοντασ O^{av} ὁρίσασ $O^{e}\Lambda$ 26 τῆσ — ἐκκλησίασ] *Baratthaeus Lycaoniae provinciae* Λ τοῦ θεοῦ om. O^{e} 26—29 διὰ — ὑπέγραψα O^{a} ὑπέγραψα ὁμοίωσ O^{v} ὁρίσασ ὑπέγραψα $O^{e}\Lambda$ 30 τῆσ ἀνεατῶν — ἀσίασ O^{av} ἀναίων O^{e} 30—34 διὰ — ὑπέγραψα O^{a} ὑπέγραψα ὁμοίωσ O^{v} σύμψηφοσ ὢν καὶ αὐτὸσ [καὶ αὐτὸσ om. Λ] ὑπεστημηνάμην $O^{e}\Lambda$ 34 χάριτι – θῦ O^{av} om. $O^{e}\Lambda$ 34/35 ἣ — ἐστὶ O^{av} τῆσ παμφύλ(ων) ἐπαρχίασ $O^{e}\Lambda$ 35/36 διὰ — ὁρισθείσιν O^{av} om. $O^{e}\Lambda$

πη 88 Μάγνος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀποκρισιάριος τοῦ ἀποστολικοῦ τῆς Θεουπολιτῶν θρόνου καὶ τοῦ ἁγιωτάτου πατριάρχου Ἐφραιμίου ἀκολουθῶν τοῖς πάλαι καὶ νῦν ἐψηφισμένοις παρὰ τῶν ἁγίων ἡμῶν πατέρων καὶ ἀρχιερέων ἀναθεματίζων Σεβῆρον καὶ τὰ αἱρετικὰ αὐτοῦ συγγράμματα καὶ Πέτρον τὸν καὶ Ἐκδίκιον καὶ πρός γε Ζωόραν τὸν τῆς τούτων ἀσεβείας ἀκόλουθον καὶ τοὺς τῇι πλάνηι τούτων ἐνισταμένους ὑπέγραψα: —

πθ 89 Ἡράκλειος ἐλέει θεοῦ διάκονος καὶ ἀποκρισιάριος τοῦ ἀποστολικοῦ τῆς Θεουπολιτῶν θρόνου καὶ τοῦ τὰ πάντα ἁγιωτάτου καὶ μακαριωτάτου πατριάρχου Ἐφραιμίου ἀκολουθῶν τοῖς πάλαι καὶ νῦν ἐψηφισμένοις παρὰ τῶν ἁγίων ἡμῶν πατέρων καὶ ἀρχιερέων ἀναθεματίζων Σεβῆρον καὶ τὰ αἱρετικὰ αὐτοῦ συγγράμματα καὶ Πέτρον τὸν καὶ Ἐκδίκιον καὶ πρός γε Ζωόραν τὸν τῆς τούτων ἀσεβείας ἀκόλουθον καὶ τοὺς τῇι πλάνηι τούτων ἐνισταμένους ὑπέγραψα: —

ϙ 90 Σαβῖνος ἐλέει θεοῦ διάκονος τῆς ἁγίας Χριστοῦ τοῦ θεοῦ ἡμῶν Ἀναστάσεως πληρῶν τὰς ἀποκρίσεις Πέτρου τοῦ ἁγιωτάτου πατριάρχου Ἱεροσολύμων ἀκολουθῶν τοῖς πάλαι καὶ νῦν ἐψηφισμένοις παρὰ τῶν ἁγίων ἡμῶν πατέρων καὶ ἀρχιερέων ἀναθεματίζων Σεβῆρον καὶ τὰ αὐτοῦ αἱρετικὰ συγγράμματα καὶ Πέτρον τὸν καὶ Ἐκδίκιον καὶ πρός γε Ζωόραν τὸν τῆς τούτων ἀσεβείας ἀκόλουθον καὶ τοὺς τῇι πλάνηι τούτων ἐνισταμένους ὑπέγραψα: —

ϙα 91 Παῦλος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ναξίων πόλεως διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ὁρισθεῖσιν ὑπέγραψα: —

ϙβ 92 Μηνᾶς ἐλέει θεοῦ ἐπίσκοπος τῆς Καρπαθίων νήσου διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ὁρισθεῖσιν ὑπέγραψα: —

ϙγ 93 Θεόδωρος ἐλέει θεοῦ ἐπίσκοπος Παρίων Σιφνίων καὶ Ἀμουλγιτῶν πόλεων διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ὁρισθεῖσιν ὑπέγραψα: — L V 264

Ἡ διάταξις Ἰουστινιανοῦ βασιλέως κατὰ Ἀνθίμου Σεβήρου Πέτρου καὶ Ζωόρα

41 Ἐν ὀνόματι τοῦ δεσπότου Ἰησοῦ Χριστοῦ τοῦ θεοῦ ἡμῶν αὐτοκράτωρ Καῖσαρ Φλ' Ἰουστινιανὸς Ἀλαμανικὸς Γοτθικὸς Φραγγικὸς Γερμανικὸς Ἀντικὸς Ἀλανικὸς Οὐανδαλικὸς Ἀφρικὸς εὐσεβὴς εὐτυχὴς ἔνδοξος νικητὴς τροπαιοῦχος ἀεισέβαστος αὔγουστος Μηνᾶι πατριάρχηι. Πρᾶγμα οὐκ ἄηθες βασιλείαι καὶ ἡμεῖς πράττοντες ἐπὶ

41 extat in Nouellarum 168 corpore sub numero 42 [N]. uariam lectionem, quam non totam adfero, desumpsi ex editione Schoelliana [N^m = cod. Marc. 179, N^l = cod. Laurent. LXXX 4, N^a = uersio Latina quod uocatur Authenticum]

O [= ae, r (inde a 26) v], ID [inde a 26]
2 εὐφραιμίου $O^{av}\Lambda$ 3 ἀναθεματίζω $O^e\Lambda$ 5/6 αὐτῶν ἐπισταμένους O^{av} 6 καὶ ὑπέγραψα $O^e\Lambda$ 8 τὰ πάντα — μακαριωτάτου O^{av} ἁγιωτάτου $O^e\Lambda$ 8/9 εὐφραιμίου $O^{ev}\Lambda$ 9—12 ἀκολουθῶν — ἐνισταμένους O^{av} ἀκολούθως τῶ συναποκρισιαρίω μου μάγνω $O^e\Lambda$ 15—18 τοῖς πάλαι — ἐνισταμένους] μάγνω καὶ ἡρακλείω $O^e\Lambda$ 16 καὶ ἀναθεματίζων O^v 19/20 διὰ — ἐπιστὰς om. $O^e\Lambda$ 20 γενόμενος O^{av} γενόμενος καὶ αὐτὸς $O^e\Lambda$ 21/22 διὰ — ἐπιστὰς om. $O^e\Lambda$ 22 γενόμενος O^{av} ὢν καὶ αὐτὸς $O^e\Lambda$ 23 Ἀμουλγιτῶν scripsi ἀμουλγήτων O^v ἀβουλγήτων O^a ἀμουλγίων τῶν $O^e\Lambda$ 23/24 διὰ — ἐπιστὰς om. O^e 24 γενόμενος O^{av} ὢν καὶ αὐτὸς $O^e\Lambda$ 26 inscr. Βιβλίον τρίτον τῶν πρακτικῶν τῆσ ἁγίασ καὶ οἰκουμενικῆσ ε̄ ἐν κωνσταντινουπόλει συνόδου I Περὶ τῆς καθαιρέσεως Ἀνθίμου καὶ Σεβήρου καὶ Πέτρου καὶ Ζωόρα καὶ τῶν λοιπῶν N Ἡ om. I in fine add. πρὸς μηνᾶν πατριάρχην I 27—30 πατριάρχηι] ὁ αὐτὸς βασιλεὺς Μηνᾶι τῶι ἁγιωτάτωι καὶ μακαριωτάτωι ἀρχιεπισκόπωι καὶ οἰκουμενικῶι πατριάρχηι N 28 φλάβιοσ O^eIΛ αὔγουστοσ I φραγκικὸς I 28/29 Γερμανικὸς — Οὐανδαλικὸς om. O^{arv}ID 28 ἀττικὸς $O^e\Lambda$ 29 Ἀφρικὸς om. O^{av} 30 τῆι βασιλείαι N

τὸν παρόντα ἐληλύθαμεν νόμον. ὁσάκις γὰρ ἡ τῶν ἱερέων ψῆφος τινὰς τῶν οὐκ ἀξίων τῆς ἱερωσύνης τῶν ἱερατικῶν κατεβίβασε θρόνων, ὁποῖον δὴ Νεστόριόν τε καὶ Εὐτυχῆ Ἀρειόν τε καὶ Μακεδόνιον καὶ Εὐνόμιον καὶ ἄλλους δή τινας εἰς κακίαν οὐκ ἐλάττους ἐκείνων, τοσαυτάκις ἡ βασιλεία σύμψηφος γέγονε τῆι τῶν ἱερέων αὐθεντίαι, ὥστε τὰ θειότερά τε καὶ ἀνθρώπινα συνδραμόντα μίαν συμφωνίαν ταῖς ὀρθαῖς ποιήσασθαι ψήφοις. ὁποῖον δή τι καὶ ἔναγχος γενόμενον περὶ Ἄνθιμον ἴσμεν ἀπελαθέντα μὲν τοῦ τῆς βασιλίδος ταύτης πόλεως θρόνου παρὰ Ἀγαπητοῦ τοῦ τῆς ὁσίας καὶ ἀοιδίμου μνήμης προέδρου γεγονότος τῆς κατὰ τὴν πρεσβυτέραν Ῥώμην ἁγιωτάτης ἐκκλησίας οἷα τῶι κατὰ μη-
M VIII 1151 δένα τρόπον αὐτῶι προσήκοντι παρὰ πάντας τοὺς εὐαγεῖς κανόνας ἐπεισπηδήσαντα θρόνωι, κοινῆι δὲ ψήφωι τοῦ τε αὐτοῦ τῆς ἁγίας μνήμης ἀνδρὸς πρότερον καὶ μὴν καὶ τῆς ἐνταῦθα γενομένης ἱερᾶς συνόδου καταδεδικασμένον τε καὶ καθηιρημένον, διότι τῶν ὀρθῶν ἀπεφοίτα δογμάτων καὶ οἷς πρότερον πολλαχόθεν ἐφαίνετο στέργων, ταῦτα ὕστερον διαφόροις ἀπέφευγε περινοίαις, προσποιούμενος μὲν ταῖς τέσσαρσιν ἁγίαις συνόδοις ἀκολουθεῖν, τῆι τε τῶν τριακοσίων δέκα καὶ ὀκτὼ πατέρων τῶν ἐν Νικαίαι τῆι τε τῶν πεντήκοντα καὶ ἑκατὸν τῶν ἐν ταύτηι τῆι εὐδαίμονι πόλει τῆι τε τῶν ἐν Ἐφέσωι τὸ πρῶτον συναχθέντων διακοσίων τῆι τε τῶν θεοφιλῶν πατέρων τῶν ἐν Χαλκηδόνι χλ, οὐ μὴν τοῖς τούτων δόγμασι κατακολουθῶν οὔτε τὴν ἡμετέραν φιλανθρωπίαν καὶ τὴν συγκατάβασιν ἣν διὰ τὴν αὐτοῦ σωτηρίαν ἔσχομεν, προσδέξασθαι βουληθεὶς οὐδὲ ἀποκηρῦξαι καὶ αὐτὸς τοὺς τῶν ἀσεβῶν δογμάτων ἀρχηγοὺς τοὺς ὑπὸ τῶν προτέρων ἁγίων ἐκβεβλημένους συνόδων, ἀλλ' οἰόμενος χρῆναι κατὰ ταὐτὸν καὶ ἐν ἴσωι τοὺς καταδεδικασμένους τούς τε καταδικάσαντας ἄγειν. ἅπαξ γὰρ ταῖς ἀλλοτρίαις τῆς ἁγιωτάτης ἐκκλησίας ἐννοίαις κατανδραποδισθεὶς καὶ τῶν ὀρθῶν ἠλλοτριωμένος δογμάτων εἰκότως ἐπανελθεῖν εἰς τὴν αὐτῶν οὐκ ἴσχυσεν ὀρθότητα, καὶ ταῦτα παρ' ἡμῶν καὶ προτραπεὶς καὶ ὁδηγηθεὶς πάσηι χρησαμένων σπουδῆι πρὸς τὴν σωτηρίαν τὴν αὐτοῦ.

Διὰ ταῦτα τοίνυν ἅπαντα τὴν γενομένην ἐπ' αὐτῶι τῆς καθαιρέσεως ψῆφον παρὰ τῆς ἁγίας συνόδου προφάσει τῆς τε οὐ θεμιτῆς οὐδὲ ὑπὸ τῶν ἁγίων κανόνων μαρτυρου-
L V 265 μένης τῶν τῆς βασιλίδος ταύτης ἱερατικῶν θρόνων ἁρπαγῆς καὶ τῆς ἀπὸ τῶν ὀρθῶν τε καὶ ἀληθῶν δογμάτων ἐκτροπῆς κυρίαν ἡ ἡμετέρα τίθεται βασιλεία καὶ ἐπὶ τούτοις τὸν παρόντα γράφει νόμον. ἀπαγορεύομεν δὲ αὐτῶι καὶ τῆς κατὰ τὴν εὐδαίμονα ταύτην πόλιν καὶ τῆς περιοικίδος αὐτῆς διατριβῆς καὶ πάσης ἑτέρας τῶν ἐπισήμων πόλεων, θεσπίζοντες ἐφ' ἡσυχίας εἶναι καὶ τούτοις στέργειν οἷς ἑαυτὸν ἀξίως ὑπέθηκε, καὶ μήτε τισὶν ἐπικοινωνεῖν μήτε ἐμβιβάζειν αὐτοὺς εἰς τὴν τῶν ἀπηγορευμένων δογμάτων ἀπώλειαν. οὐ μὴν οὐδὲ τὴν δικαίως ἐξενεχθεῖσαν κατὰ Σεβήρου ψῆφον τὴν ἐκ πάντων ὡς εἰπεῖν τῶν ἀρχιερατικῶν τε καὶ πατριαρχικῶν μετὰ της μοναχικῆς συναινέσεως προ-
ελθοῦσαν θρόνων τὴν τὸν ἀναθεματισμὸν ἐπάγουσαν αὐτῶι βασιλικῆς ἔξω καταλιμπάνομεν ἐπικυρώσεως. ὃς πρότερον παρὰ τοὺς ἱεροὺς θεσμοὺς καταλαβὼν τὸν θρόνον

O [= aerv], ID, N [= mla]

1 ἱερῶν $O^{arv}ID$ 2 τε om. O^{v} 3 τινὰσ τοὺσ O^{r} 4 τοσαυτάκις καὶ N 5 τε om. O^{a} ποιήσασθαι $O^{e}N$ ποιεῖσθαι $O^{arv}ID$ 7 καὶ ἀοιδίμου om. O^{v} 8 γενομένου D ἁγιωτάτην ἐκκλησίαν O^{v} 9 ἐπεισπηδήσαντι O^{av} 13 περινοίασ O^{v} τέτρασιν $O^{av}N$ 14 συνόδοις om. O^{v} τριακοσίων δέκα ὀκτὼ $O^{r}D$ τῖη $O^{e}I$ 16 θεοφιλεστάτων N 20 χρῆναι καὶ O κατ' αὐτὸν O^{v} τοὺς] τούσ τε N^{l} deficit N^{m} 22—p. 124, 15 ἐννοίαις — τῶ τὰ hic om. O^{r}, sed habet inter ἐκείνων et συνάρσεως p. 131, 30 22 ἐννοίαισ OND δόξαις ἐνισχημένος καὶ διὰ τῆς ἐκείνων πλάνης I ἀλλοτριωμένοσ O^{rl} 23 εἰσ τὴν αὐτῶν οὐκ ἴσχυσεν ἐπανελθεῖν ὀρθότητα O^{e} 24 25 τὴν αὐτοῦ σ̄ριαν D 28 τῶν τε O^{r} ταύτησ OIDN^{a} ταύτησ πόλεωσ N^{ml} 30 31 τῆσ · - πόλιν ON τὴν κατὰ — πόλιν D τὴν ἐπὶ τῆσ εὐδαίμονοσ ταύτησ πόλεωσ I 31 τὴν περιοικίδα ταύτησ D διατριβὴν ID πᾶσαν ἑτέραν D 32 ἐφ' ἡσυχίασ εἶναι OIDΛ ἐφησυχάσαι N ἐπέθηκε O^{r} 33 εἰς om. $O^{e}Λ$ 35 συνέσεωσ O^{r} N^{l}

τῆς Θεουπολιτῶν ἁγιωτάτης ἐκκλησίας οὕτω συνετάραξεν ἅπαντα, οὕτω μεστὰ πεποίηκε ταραχῆς, ὡς κοινόν τινα καὶ ἀκήρυκτον ταῖς ἁγιωτάταις ἐκκλησίαις ἐμβαλεῖν πρὸς ἀλλήλας πόλεμον καὶ τοῦτο καὶ τοῖς πρὸ ἡμῶν σκήπτροις πρὸς αὐτὸν γεγράφθαι ποικίλαις μὲν δογμάτων καὶ ἀπηλλοτριωμέναις τῆς ὀρθότητος περινοίαις τε καὶ βλασφημίαις χρησάμενον, ἅπαντα δὲ συνταράξαντα καὶ μόνον τῶν τῆς ἑκατέρου τῶν αἱρεσιαρχῶν πλάνης βδελυρῶν τε καὶ ἀνοσίων δογμάτων ἀντεχόμενον, Νεστορίου τε φαμὲν καὶ Εὐτυχοῦς καὶ τῶν ἑκατέρου τούτων καθηγεμόνων ἐξ ἐναντίας μέν πως εἶναι δοκούντων ἀλλήλοις, πρὸς ἓν δὲ τέλος τῆς ἀσεβείας ἐπειγομένων, καὶ τοὺς ἐκείνων χαρακτηριστικοὺς ἐντυπωσάμενον λόγους. δύο γὰρ ὄντων ἐναντίων ἀλλήλοις δογμάτων, ὧν ἑκάτερον ὁμοίως εἰς ψυχικὴν ἀπώλειαν ἄγει, τοῦ τε Νεστορίου τοῦ τε Εὐτυχοῦς, καθάπερ εἰπόντες ἔφθημεν, ἅπερ ἐκ τῶν Ἀρειανικῶν καὶ Ἀπολιναρίου συνέστη μιασμάτων, αὐτός τι παράδοξον παθὼν ὁμοίως εἰς ἑκάτερον ἐμπέπτωκε καὶ πῇ μὲν τοῦτο, πῇ δὲ ἐκεῖνο πρεσβεύων κοινὸν ἔδοξε δοχεῖον ἑαυτόν τε καὶ τοὺς ἑαυτοῦ λόγους τῶν τηλικούτων πλημμελημάτων καταστῆσαι. ἔστω τοίνυν καὶ αὐτὸς ὑπὸ τὸν εἰρημένον ἀναθεματισμόν, ὃν ἅπαν τὸ πατριαρχικόν τε καὶ ἱερατικὸν καὶ μοναχικὸν τῆς ἡμετέρας πολιτείας ὡς εἰπεῖν σχῆμα δικαίως ἐπήγαγεν αὐτῷ, τῆς μὲν Θεουπολιτῶν ἐκβεβλημένος, διότιπερ αὐτὸν ὁ κατ' ἐκείνην ἀπεσείσατο θρόνος οἷα μηδὲ τὴν ἀρχὴν ὀρθῶς αὐτῆς ἐπειλημμένον, ἀλλ' ἔτι ζῶντός τε καὶ ἐν ταῖς ἁγιωτάταις ἐκκλησίαις ἀνακηρυττομένου τοῦ πρὸ αὐτοῦ τὴν ἱερωσύνην ἐσχηκότος, παρὰ δὲ τοῦ μετ' αὐτὸν τῆς ἱερωσύνης ἐκπεπτωκότος, οὐ στάντα δὲ μέχρι τούτου μόνον, ἀλλ' ἤδη καὶ ὑπὸ κοινὸν ἀναθεματισμὸν τῆς ὀρθοδόξου καὶ καθολικῆς ἐκκλησίας γενόμενον καὶ πολλῶν ἡμῖν βιβλίων βλασφήμων τε καὶ ἀπηγορευμένων ἐμπλήσαντα τὸ πολίτευμα. ὥστε καὶ ἀπαγορεύομεν ἅπασι τῶν αὐτοῦ τι κεκτῆσθαι βιβλίων καὶ ὥσπερ οὐκ ἔξεστι τὰ Νεστορίου γράφειν ἢ κεκτῆσθαι βιβλία, διότι τοῖς πρὸ ἡμῶν αὐτοκράτορσιν ἐν ταῖς ἑαυτῶν διατάξεσιν ἔδοξε τοῖς παρὰ Πορφυρίου κατὰ Χριστιανῶν εἰρημένοις ὁμοια καθεστάναι, t. I 1, 4 p. 66 οὕτω μήτε τὰ Σεβήρωι ῥηθέντα τε καὶ γραφέντα μενέτω παρά τινι Χριστιανῶι, ἀλλ' ἔστω βέβηλα καὶ ἀλλότρια τῆς καθολικῆς ἐκκλησίας πυρί τε φλεγέσθω παρὰ τῶν κεκτημένων, εἰ μὴ βούλονται κινδυνεύειν οἱ ταῦτα ἔχοντες, γραφέσθω τε παρὰ μηδενὸς τὸ λοιπὸν μηδὲ τῶν εἰς κάλλος μηδὲ τῶν εἰς τάχος γραφόντων μηδὲ ἄλλου τινὸς τῶν πάντων, εἰδότος ὡς ἀποκοπὴ χειρὸς ἔσται τοῖς τὰ ἐκείνου γράφουσιν ἡ ποινή. οὐδὲ γὰρ βουλόμεθα καὶ τῶι λειπομένωι χρόνωι τὴν ἐξ ἐκείνων ἐπισύρεσθαι βλασφημίαν. ὁμοίως δὲ δὴ καὶ τοῦτον L V 268 παντοίως ἀπαγορεύομεν τῆς βασιλίδος ἐπιβαίνειν πόλεως ἢ τῆς περιοικίδος αὐτῆς ἄλλης τε τῶν ἐπισημοτέρων τινός, ἀλλ' ἐν ἐρημίαι τινὶ καὶ ἡσυχίαι καθῆσθαι καὶ μὴ διαφθείρειν ἑτέρους μηδὲ εἰς βλασφημίαν αὐτοὺς προάγειν μηδὲ ἀεί τι καινὸν ἐξευρίσκειν κατὰ τῶν ἀληθῶν δογμάτων, δι' οὗ πάλιν ἡμῖν συνταράξαι τὰς ἁγιωτάτας ἐκκλησίας σπεύσειεν.

Οὐ μὴν οὐδὲ Πέτρον τὸν Ἀπαμείας γενόμενον ἐπίσκοπον καὶ ἅμα μὲν καθηιρημένον, ἅμα δὲ ἐπὶ τοῖς αὐτοῖς ἐφ' οἷς Σεβῆρος ὑπὸ τὸ εἰρημένον ἀνάθεμα γενόμενον ἡ βασιλεία προσίεται, ἀλλ' ἔστω κύρια καὶ τὰ κατ' αὐτοῦ ψηφισθέντα καὶ ὑπὸ τὸν κοινὸν ἀχθεὶς ἀναθεματισμὸν ὑπ' αὐτὸν τετάχθω, τῆς τῶν ἁγιωτάτων ἀρχιερέων προελθούσης ἐπ' αὐτοῖς

O [= aervv], ID, N [= mla]

1/2 μεστὰ πεποίηκε $O^{ae}DN^{a}$ μεταπεποίηκεν $O^{rv}IN^{ml}$ 3 γέγραπται D 5 μόνων IN^{m} τὸν $O^{r}N^{l}$ ἑκατέρας D τῶν om. D 6 βδελλυρῶν O^{e} ut solet, D φαμὲν om. O^{e} 7 εἶναί πως N δοκούντων εἶναι I 9 ἐνετυπώσαμεν O^{r} 10 ψυχὴν O^{r} ψυχῆς I εἰπόντος O^{v} ἁπόντες I 11 Ἀρειανικῶν καὶ] ἀρειανῶν καὶ τῶν $O^{e}\Lambda$ 12 εἰσ ἑκάτερον ODN ἑκατέροις I 14 ὑπὸ τῶν εἰρημένων O^{v} 15 καὶ²] τε καὶ O^{av} ὡσ εἰπεῖν πολιτείασ O^{e} 16 μὲν οὖν I 16/17 ἀποσείσατο O^{v} 17 αὐτοῦ D ζῶντός τε] ζῶν τότε O^{v} 19 ἐκπεπτωκότα DN^{l} 22 τι om. D 25 τε om. $O^{r}I$ 28 γραφέντων $O^{v}N^{l}$ τῶν πάντων τινὸς N 31 τῆς τε N τῆσ² ID om. ON 32 ἐν om. I 35 Οὐ μὴν om. O^{a} ἐπίσκοπον γενόμενον $O^{r}I$ 36 ἐπὶ O^{r} 37 ταχθεὶσ $O^{e}\Lambda$ 38 ἔστω $O^{e}\Lambda$ αὐτῶι N^{ml}

ψήφου κυρίας διαμενούσης. οὐκ ἐφίεμεν δὲ οὐδὲ ἐκείνωι ταύτην οἰκεῖν τὴν βασιλίδα πόλιν ἢ τὴν αὐτῆς περιοικίδα ἤ τινα τῶν σεμνοτέρων, ἀλλ' ὧν ἠκολούθησε τῆι πλάνηι, τούτων μιμείσθω καὶ τὴν δίαιταν ἀπωικισμένος ὅτι πορρωτάτω καὶ κατακρύπτων ἑαυτόν, ὡς τοῖς γε τοιούτοις τὸ κρύπτεσθαι μᾶλλον τοῦ φαίνεσθαι λυσιτελέστερον. ἀφανεῖς μὲν γὰρ ὄντες ἑαυτοὺς καταβλάψουσι μόνους, δημοσιεύοντες δὲ τὰ ἑαυτῶν δόγματα πολλοῖς τῶν ἀφελεστέρων ἀφορμὴν ἀπωλείας παρέχουσιν, ὅπερ κατ' οὐδένα γίνεσθαι τρόπον ἐν τῆι Χριστιανικῆι τοῦ θεοῦ ποίμνηι καὶ τῶι ὀρθοδόξωι λαῶι δίκαιόν ἐστιν οὐδὲ παρὰ τῆς βασιλείας συγχωρούμενον.

Ἐπειδὴ δὲ καὶ Ζωόραν ἠξίωσαν ὅλως ὑπὸ ἀναθεματισμὸν οἱ σεβασμιώτατοι καὶ τὰ δίκαια κρίνοντες ἐπίσκοποι ποιήσασθαι μικράν τινα παρενθήκην τῶν τοιούτων ὄντα κακῶν καὶ ἐν οἷς ἠτίμασται, τὸ γοῦν ὅλως τυχεῖν τινος εὐπορήσαντα μνήμης, ἔστω καὶ Ζωόρας τῆς πονηρᾶς ταύτης μερίδος, Ἀνθίμου τε καὶ Σεβήρου καὶ Πέτρου φαμέν, παρενθήκη
M VIII 1155 τις εὐτελὴς καὶ ἐν τοῖς ἀνατεθεματισμένοις καὶ αὐτὸς τετάχθω, τῆς ἱερατικῆς αὐτὸν κατενεγκούσης ψήφου, ἣν κυρίαν καὶ αὐτὴν ἐφ' ἑαυτῆς οὖσαν κυριωτέραν ἔτι μᾶλλον ἡ βασιλεία ποιεῖ, καὶ τοῦτον ἐξελαύνουσα τῆς βασιλίδος ταύτης πόλεως καὶ τῆς ταύτης περιοικίδος καὶ τὴν ἐπὶ τῶν πόλεων οἴκησιν αὐτῶι παντοίως ἀπαγορεύουσα, ὥστε μετ' ἐκείνων μόνων οἰκεῖν τε καὶ βουλεύεσθαι τῶν ἔμπροσθεν ἡμῖν εἰρημένων, ὅμοια μὲν βλασφημούντων, ὁμοίως δὲ περιωρισμένων. εἰ δὲ τι καὶ ἕτερον τῆι τῶν ἁγιωτάτων ἐπισκόπων περιέχεται ψήφωι τῆι τοὺς προειρημένους καθαιρούσηι τε καὶ ἀναθεματιζούσηι, κύριον δὴ καὶ τοῦτο τίθεμεν καὶ τοῖς βασιλικοῖς ἡμῶν αὐτὸ νόμοις ἐπικυροῦμεν, ὡς ἂν εἰ παρὰ τῆς βασιλείας αὐτῆς προελθὸν ἐτύγχανεν. εἰ δέ τις αὐτῶν ἁλοίη τὸ λοιπὸν πράττων τι παρὰ τὰ διατετυπωμένα, ἴστω καὶ τοῖς πολιτικοῖς ὑποπεσούμενος νόμοις, οἳ τοὺς τὰς ἐλάττους τῶν ποινῶν ἐκκλίνοντας εἰς μείζους ἐμβάλλουσι τὰς ἀγανακτήσεις. ἀπαγορεύομεν δὲ καὶ παντὶ τῶι τὴν καθολικὴν ἐκκλησίαν τοῦ θεοῦ διασπᾶν ἐπιχειροῦντι εἴτε κατὰ τὴν Νεστορίου τοῦ φρενοβλαβοῦς ὑφήγησιν εἴτε κατὰ τὴν ἀνόητον Εὐτυχοῦς παράδοσιν εἴτε κατὰ τὴν Σεβήρου βλασφημίαν τοῦ ταὐτὰ ἐκείνοις νοσήσαντος εἴτε τῶν ἐκείνοις ἀκολουθούντων ταῖς ἁγιωτάταις ἐκκλησίαις ταραχὰς ἐμβάλλειν καὶ φθέγγεσθαί τι περὶ πίστεως, ἀλλὰ θεσπίζομεν ἕκαστον τῶν τοιούτων τὴν ἡσυχίαν ἄγειν καὶ μηδὲ συγκαλεῖν εἰς ἑαυτόν τινας μήτε προσιόντας
L V 269 δέχεσθαι ἢ παραβαπτίζειν θαρρεῖν ἢ τὴν ἱερὰν κοινωνίαν ῥυπαίνειν καὶ ταύτης μεταδιδόναι τισὶν ἢ τὰς ἀπηγορευμένας διδασκαλίας ὑφηγεῖσθαι ἢ ἐπὶ ταύτης τῆς βασιλίδος ἡμῶν πόλεως ἢ ἐφ' ἑτέρας, ἀλλ' ὑφορᾶσθαι πάντα κίνδυνον, εἴ τι τοιοῦτον πράξαιεν. ἀπαγορεύομεν δὲ καὶ πᾶσι τούτους ὑποδέχεσθαι. ἀπελαύνειν μὲν οὖν θεσπίζομεν αὐτοὺς τῶν ὑπ' αὐτῶν ταραττομένων πόλεων, εἰδότας τὰς ποινὰς τὰς ταῖς θείαις ἡμῶν ἤδη περιεχομένας διατάξεσιν, αἵπερ καὶ τὰς οἰκίας αὐτὰς ἐν αἷς τοιοῦτόν τι πράττεται, καὶ τὰ χωρία ἐξ ὧν τὰς ἀποτροφὰς χορηγοῦνται, ταῖς ἁγιωτάταις ἐκκλησίαις προσκυροῦσι, τῶν μὲν κεκτημένων ἀφαιρούμεναι, διότι βλάβης αἴτια τοῖς ἁπλουστέροις γίνεται, ὑπὸ δὲ τὰς ἁγιωτάτας καὶ ὀρθοδόξους ἐκκλησίας ταῦτα δικαίως ἄγουσαι.

O [= aerv], ID, N [= mlα]

1 ἐφίεμαι O^{arv} 1/2 τὴν — πόλιν οἰκεῖν O^{r}I 2 σεμνοτέρων πόλεων N^{ml} 4 τὸ om. D ἀναφεῖσ O^{r} 6 παρέξουσιν D 9 ἐπειδὴ O^{v}N ἐπεὶ O^{aer}ID 10 ἐπίσκοπον O^{r} τινὰ μικρὰν N 11 ἀπορήσαντα O^{av}D 12 πέτρου καὶ σευήρου O^{r} 13 ἀναθεματισμοῖσ D 15 συνεξελαύνουσα N 16 αὐτῶι om. I μόνον I 17 συμβουλεύεσθαι O^{av}D βλασφημούντων O^{arv}IDN βλασφημούντων ὅμοια δὲ καὶ παθόντων O^{e}Λ 18 δὲ O^{arv}IDN δὲ καὶ O^{e} 19/20 τιθέμεθα O^{e} 20 θείοις καὶ βασιλικοῖς O^{e} ἡμῶν om. O^{av}D εἰ om. O^{v} 21 προελθὼν O^{ev} 21/22 διατεταγμένα N 22 πλοπτωκοῖσ O^{r} βασιλικοῖσ O^{e}Λ τοὺς N om. OIDΛ 23 ἐκκλίνοντας N ἐκκλίνοντεσ OIDΛ ἐμβάλουσι O^{r} 26 τοῦ N om. OID κἀκείνοισ O^{e} νοήσαντοσ O^{e}DΛ ἐκείνουσ O^{v} 28 τὴν OIDN om. I ἑαυτόν OIDN^{a} ταυτὸ N^{ml} 30 ἡμῶν om. O^{r}I 31 τοιοῦτο N 32 τούτοισ O^{v} 34 τοιοῦτό N διαπράττεται O^{r}I 35 τροφὰσ N 36 αἴτιαι D γίνονται D

Ταῦτα ὑπὲρ τῆς κοινῆς εἰρήνης τῶν ἁγιωτάτων ἐκκλησιῶν νομοθετοῦμεν, ταῦτα ψηφιζόμεθα τοῖς τῶν ἁγίων πατέρων κατακολουθοῦντες δόγμασιν, ὅπως ἂν τὸ ἱερατικὸν ἅπαν ἀτάραχον ἡμῖν τοῦ λοιποῦ διαμένοι. οὗπερ ἐν εἰρήνηι φυλαττομένου καὶ τὸ λοιπὸν ἡμῖν εὐθηνήσει πολίτευμα τὴν ἄνωθεν ἔχον εἰρήνην, ἣν πᾶσιν ὁ μέγας θεὸς καὶ σωτὴρ ἡμῶν Ἰησοῦς Χριστὸς ὁ τῆς τριάδος εἷς ὁ μονογενὴς τοῦ θεοῦ λόγος κηρύττει τε καὶ χορηγεῖ τοῖς γνησίως αὐτὸν καὶ ἀληθῶς δοξάζειν τε καὶ προσκυνεῖν ἠξιωμένοις. ἡ τοίνυν σὴ μακαριότης τὰ ὀρθῶς ἡμῖν παραστάντα φυλαττέτω καταπέμπουσα ταῦτα διὰ θεοφιλῶν αὐτῆς γραμμάτων πᾶσι τοῖς ὑπ' αὐτὴν τεταγμένοις ὁσιωτάτοις μητροπολίταις, ὧν ἑκάστωι γενήσεται φροντὶς ταῖς ὑπ' αὐτοὺς τεταγμέναις ἁγιωτάταις ἐκκλησίαις ταῦτα ποιῆσαι φανερά, ὥστε μηδένα τῶν πάντων διαλαθεῖν τά τε τῆι ἀρχιερωσύνηι δόξαντα τά τε ὑπὸ τῆς βασιλείας κεκυρωμένα.

Ἡ θεία ὑπογραφή· DIVINITAS TE SERVET PER MVLTOS ANNOS SANCTE AC RELIGIOSISSIME PATER.

DATA OCTAVO IDVS AVGVSTAS CONSTANTINOPOLI POST CONSVLAT' BELISSARI VIRI CLARISSIMI

d. 6. m. Aug. a. 536

42 Μετὰ τὴν ὑπατείαν Φλ' Βελισσαρίου τοῦ ἐνδοξοτάτου πρὸ δεκατριῶν Καλανδῶν Ὀκτωβρίων, [χρόνων] πεντεκαιδεκάτης ἰνδικτιῶνος, ἐν κολωνείαι Αἰλίαι μητροπόλει τῆι καὶ Ἱεροσολύμοις

L V 276
M VIII 1163
d. 19. m. Sept. a. 536

προκαθημένου τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου ἀρχιεπισκόπου καὶ πατριάρχου Πέτρου ἐν τῶι σηκρήτωι τοῦ εὐαγοῦς ἐπισκοπείου τῆς αὐτῶν μακαριότητος, συνεδρευόντων δὲ τῆι αὐτῶν ἀρχιερωσύνηι καὶ τῶν ὁσιωτάτων ἐπισκόπων τῆς κατὰ Παλαιστίνας τρεῖς ὑπὸ τοὺς ἁγίους τελούσης τόπους εὐαγεστάτης συνόδου

Ἐλισσαῖος διάκονος καὶ νοτάριος τοῦ αὐτοῦ ἁγιωτάτου πατριάρχου εἰς μέσον παρελθὼν εἶπεν· Εὐσεβοῦς καταπεμφθέντος νόμου τῆι ὑμετέραι μακαριότητι πρὸς ἀσφάλειαν, σὺν θεῶι λέγειν, τυγχάνοντος τῶν ἁγιωτάτων ἐκκλησιῶν καὶ τῆς νῦν κρατούσης σὺν θεῶι καταστάσεως, ἀποδοθείσης δὲ τοῖς ἁγιωτάτοις ὑμῖν καὶ ὁσίας ἐπιστολῆς τοῦ ἁγιωτάτου πατριάρχου τῆς βασιλευούσης πόλεως Μηνᾶ τὴν αὐτὴν φερούσης ὑπόθεσιν, ὧν ἑκάτερον διεκόμισαν οἱ θεοσεβέστατοι μοναχοὶ τῆς καθ' ἡμᾶς εὐαγεστάτης ἐρήμου, οἵπερ ἐπὶ τῆς βασιλίδος γεγόνασι πόλεως τῆς ἐκκλησιαστικῆς καταστάσεως χάριν, ἐπέτρεψεν ἡ ὑμετέρα μακαριότης εἰς ταὐτόν με τὴν εὐαγῆ προσκαλέσασθαι σύνοδον, ὡς ἂν καταφανῆ καὶ τῆι αὐτῶν γένηται ὁσιότητι τὰ εὐσεβῶς νενομοθετημένα τῶι κρατίστωι καὶ θεοφυλάκτωι ἡμῶν βασιλεῖ, ἐπεσταλμένα δὲ καὶ παρὰ τοῦ μνημονευθέντος ἁγιωτάτου πατριάρχου τῆς βασιλίδος πόλεως. ἐπεὶ οὖν πάρεστι τῆι ὑμετέραι μακαριότητι ἡ εὐαγὴς σύνοδος, προσεδρεύουσι δὲ τῶι εὐαγεῖ ἐπισκοπείωι τῆς ὑμετέρας ἀρχιερωσύνης καὶ οἱ θεοφιλέστατοι ἀρχιμανδρῖται καὶ μοναχοὶ παρεῖναι ἐξαιτοῦντες τῆι τῶν εἰρημένων ἐμφανείαι, τί τῆι ὑμετέραι μακαριότητι καὶ τῆι εὐαγεῖ συνόδωι δοκεῖ;

O [— aerv], I, D (usque ad 12), N [= mila; usque ad 11]

4 ἡμῶν O^{rI} ἅπασιν N 7 ἡμῖν om. $O^{eΛ}$ φυλαττέτω OIDΛ φυλαττέτω τε καὶ εἰς ἔργον ἀγέτω N αὐτὰ N 8 αὐτὸν O^{v} 10 ἁπάντων D 12. 13 om. NI 12—15 Latina om. O^{avD} 12 SERBET O^{er} 12/13 RELIGIOSSISSIME O^{er} *religiosissime* Λ 14/15 om. I 14 διατα O^{r} OCTABO O^{er} CONSTANTINPOLI O^{e} IONSVLAT' O^{er} VRI O^{e} VVRI O^{r} 14/15 CLARISCIMI O^{r} 16 inscr. πεπραγμένα ἐν Ἱεροσολύμοις παρὰ πέτρῳ ἀρχιεπισκόπῳ κατὰ ἀνθίμου ἐν οἷς ἐμπεφάνισται καὶ τὰ ἐν κωνσταντινουπόλει παρὰ μηνᾶ πατριάρχου κατὰ τοῦ αὐτοῦ πραχθέντα ἐν τέτρασι πραξειδίοις ὄντινων ἐνταγέντων καὶ αὐτὸς πέτρος Ἱεροσολύμων τὴν καὶ αὐτοῦ ψῆφον ἐποιήσατο· καὶ ἐν τούτοις δέ τινα κατὰ σεβήρου εἰσί I φλαβίου $O^{eIΛ}$ βελισαρίου $O^{vIΛ}$ 17 χρόνων om. I 20 σεκρέτῳ O^{e} αὐτοῦ $O^{eIΛ}$ 21 αὐτοῦ $O^{eIΛ}$ 25 νῦν I εὖ O 26 τῆσ ὁσίασ O^{av} 27 πόλεως om. O^{rI} 29 ἐπέτρεπεν O 30 προκαλέσασθαι O^{r} καταφανεῖ O^{v} 33 βασιλευούσησ O^{e} 35 μοναχοὶ O^{arvI} οἱ ὁσιώτατοι μοναχοὶ O^{e} 36 εὐαγεστάτη O^{rvI} εὐαγεστάτω O^{s}

48 Ὁ ἁγιώτατος καὶ μακαριώτατος πατριάρχης καὶ ἡ εὐαγὴς σύνοδος εἶπε· Προσκα-
L V 277 λείσθωσαν οἱ θεοφιλέστατοι ἀρχιμανδρῖται καὶ μοναχοί.

44 Ἐλισσαῖος διάκονος καὶ νοτάριος ἐν μέσωι καταστὰς εἶπε· Κατὰ τὴν κέλευσιν τῆς ὑμετέρας μακαριότητος πάρεισιν οἱ θεοσεβέστατοι ἀρχιμανδρῖται καὶ μοναχοί.

45 Ὁ ἁγιώτατος καὶ μακαριώτατος πατριάρχης καὶ ἡ εὐαγὴς σύνοδος εἶπε· Κατὰ τὴν
M VIII 1166 πρώτην τάξιν ὁ πανευσεβὴς νόμος τοῦ κρατίστου καὶ θεοφυλάκτου ἡμῶν βασιλέως προσφόρως ἀναγινωσκέσθω καὶ ἠγείσθω τῶν πραττομένων.

46 Καὶ ἀνεγνώσθη ὁ αὐτὸς θεῖος νόμος διὰ Ἐλισσαίου τοῦ θεοσεβεστάτου διακόνου καὶ νοταρίου καὶ προλάμπει τῶν πραττομένων ἐπὶ λέξεως οὕτως ἔχων ὡς προγέγραπται.

47 Ὁ ἁγιώτατος καὶ μακαριώτατος πατριάρχης καὶ ἡ εὐαγὴς σύνοδος εἶπεν· Ἀναγινωσκέσθω καὶ τὰ ὅσια γράμματα τοῦ ἁγιωτάτου πατριάρχου τῆς βασιλευούσης πόλεως Μηνᾶ.

Καὶ μεταχειρισάμενος ταῦτα ὁ μνημονευθεὶς θεοσεβέστατος διάκονος καὶ νοτάριος Ἐλισσαῖος ἀνέγνω καὶ ἐγγέγραπται τοῖς πεπραγμένοις ἐπὶ λέξεως οὕτως ἔχοντα

48 Τῶι τὰ πάντα θεοφιλεστάτωι καὶ ὁσιωτάτωι ἀδελφῶι καὶ συλλειτουργῶι Πέτρωι Μηνᾶς ἐν κυρίωι χαίρειν. Τῶν καθ' ὑμᾶς θεοφιλῶν ἀνδρῶν καὶ μόνον μνημονεύοντες εὐφραινόμεθα. οἶδε γὰρ καὶ χωρὶς τῆς κατὰ πρόσωπον ἐντεύξεως ψυχὴν ἐπιτέρπειν ἡ πρὸς αὐτοὺς δι' ἐπιστολῶν ὁμιλία. κατ' αὐτὸ οὖν καὶ μόνον νῦν τὸ κινηθῆναί με πρὸς τὸ γράφειν ἐξ αὐτῆς τῆς ἐπὶ τὸ προσειπεῖν ὑμᾶς ῥοπῆς ἐτέρφθην ὡς ἐπὶ παντὶ πλούτωι.
Cant. 1, 3 μύρον γὰρ ἐκκενωθὲν ὄνομά σοι, ὥστε καὶ μὴ παρόντος, ἀλλὰ καὶ μήκοθεν ὄντος συναισθανόμεθα τῆς εὐωδίας. τὴν ὑπερβολὴν τῶν ὑμετέρων τρόπων κατ' αὐτὸ τῆς καρδίας μου μέσον ἐθέμην· εὐφροσύνης πληρούμεθα τῶν ὑμετέρων πλεονεκτημάτων ἀκούοντες τὰς ἀρετάς. λόγος τῆς σῆς θεοφιλείας πολὺς καθ' ἡμέραν. τὰ ἐν ὑμῖν κατορθώματα πολλοὶ μὲν διηγοῦνται, ἐξαιρέτως δὲ ὁ κοινὸς ἀδελφός, μᾶλλον δὲ εἰπεῖν, ὁ κοινὸς εὐεργέτης ὁ θεοφιλέστατος πρεσβύτερος Εὐσέβιος. ἀλήθειαν ἐρῶ καὶ οὐ ψεύδομαι. πολὺς παντοίως καὶ συνεχὴς ὁ περὶ ὑμῶν λόγος, μάλιστα παρὰ τῆς αὐτοῦ ὁσιότητος. ὃς ἡδέως διηγεῖται τὰ καθ' ὑμᾶς, ὡς πίστις ὀρθή, ἄμεμπτος βίος, πραότης πολλὴ καὶ ἁπλῶς εἰπεῖν πᾶς ὁ χορὸς τῶν ἀρετῶν ἐν ὑμῖν ἐδόθη παρὰ θεοῦ, ὥστε καὶ τὸν Ἰακώβου δέξασθαι θρόνον καὶ φύλακα γενέσθαι τῆς ὀρθοδόξου πίστεως. τοιγαροῦν καὶ Σεβῆρον ὡς βλάσφημον ὁ ὑμέτερος θρόνος κατηγωνίσατο. τῶν μετὰ ταῦτα καρπῶν ἡ σὴ παρέσχεν ἡμῖν ὁσιότης τὰ σπέρματα· γεγόναμεν ὑμῖν ἐπὶ Σεβήρωι σύμψηφοι. πέφηνε τούτωι καὶ Πέτρος παρόμοιος, ὃς εἰ καὶ παρ' ἑτέρων ἤδη καθήιρητο, τῆς αὐτῆς ἐκείνωι καὶ παρ' ἡμῶν τετύχηκε κατακρίσεως. εἰς τὴν ὁμοίαν ἐάλωσαν Ἄνθιμός τε καὶ Ζωόρας ἐμπεπτωκότες πλάνην· ἴσης καὶ τούτων ἑκάτερος ἠξίωται τῆς ποινῆς. κεκοινωνήκασιν ἡμῖν ἐφ' ἅπασι τούτοις οἵ τε ἐκ τῆς πρεσβυτέρας παραγενόμενοι Ῥώμης καὶ ὅσοι τῆς εὐαγοῦς ἡμῶν ἐνεδήμουν συνόδου. σπουδὴν ἄγρυπνον καὶ θεοφιλῆ πρόνοιαν τούτοις ἅπασι συνεισήνεγκαν καὶ οἱ εὐλαβέστατοι μοναχοὶ οἱ ἐκ τῆς ὑμετέρας φιλοχρίστου χώρας τῆι βασιλίδι ἐνδημοῦντες πόλει. αὐτὰς τοίνυν ὑμῖν

O [= acrv], I

1–3 Προσκαλείσθωσαν – – εἶπε om. O^r 1/2 Προσκαλείσθωσαν] εἰσίτωσαν I 2 μοναχοί] μοναχοί· καὶ εἰσελθόντων αὐτῶν I 3 ἐλισσαῖος ὁ θεοφιλέστατος διάκονος I ἐν – καταστὰς om. I 9 ἔχων οὕτως O^o 11 τοῦ – πατριάρχου om. I 13 θεοφιλέστατος I om. O^{av} 14 ἐγγέγραπτο O^a 15 inscr. ἐπιστολὴ μηνᾶ πατριάρχου κωνσταντινουπόλεως πρὸς πέτρον ἀρχιεπίσκοπον ἱεροσολύμων I ὁσιωτάτῳ καὶ θεοφιλεστάτῳ I 16 ἡμᾶς O^v 17 γὰρ om. O^r ἐντάξεως O^v 18 νῦν – με O^{aev} τὸ κινηθῆναι με νῦν O^rI 20 σου $O^{av}\Lambda$ καὶ[3] om. O^eIΛ 22 μου om. O^e τὸ I ἐθέμεθα I ἡμετέρων O^{av} 24 ἐκδιηγοῦνται I εἰπεῖν om. O^e 26 καὶ IΛ om. O 26 ὃς] ἣς O^r 28 ἐν om. I διὰ ἰακώβου O^{arv} 29/30 θρόνος] λόγος O^a 33 ἐάλοσαν O^r πλάνῃ O^v 35 ῥώμης παραγενόμενοι I 36 θεοφιλεῖ O^v συνεισήνεγκασ O^r 37 αὐτὸσ O^rI ἡμῖν O^{av}

τὰς ἐφ' ἅπασι τούτοις συστάσας τῶν ὑπομνημάτων ἀπεστάλκαμεν πράξεις. γίνεσθε τοιγαροῦν ἐπὶ μὲν Σεβήρωι τοῖς τε παρ' ὑμῶν αὐτῶν τοῖς τε ὑφ' ἡμῶν κεκριμένοις σύμψηφοι, ἐπὶ δὲ Πέτρωι καὶ Ζωόραι καὶ Ἀνθίμωι τοῖς ὑφ' ἡμῶν τε αὖθις καὶ τῶν ἄλλων ὡς εἰπεῖν L V 280 ἁπάντων δεδοκιμασμένοις ἀκολουθῆσαι μὴ κατοκνήσητε. καὶ γὰρ ἂν εἴη διαφερόντως ὑμέτερον τοῖς μὲν ἀρχὴν αὐτόθεν παρασχέσθαι τῆς ἀπαλλαγῆς τῶν φαύλων, τοῖς δὲ κἂν M VIII 1167 εἴη δεδομένα παρ' ἑτέρων, ἀκολουθεῖν. καὶ δείξει μὲν ὑμῖν τὸ κατὰ μέρος ἡ τῶν πεπραγ- 6 μένων τάξις τε καὶ κατάστασις, πλὴν ἀλλ' ἐμφανῆ τε γενέσθαι παρ' ὑμῖν αὐτοῖς ταῦτα βουλόμεθα καὶ τὴν μὲν τούτων ἐμφάνειαν ἐφ' ἡμᾶς ἀποστείλατε τὴν ὑμετέραν τε καὶ τῶν ὑφ' ὑμᾶς θεοφιλῶν ἐπισκόπων ἐπὶ τοῖς πραχθεῖσι συναίνεσιν διὰ τῶν ὑποτεθησομένων αὐτοῖς δηλοῦντες γραμμάτων, αὐτὰ δὲ ταῦτα τὰ παρ' ἡμῶν ἀπεσταλμένα μένειν ἐάσατε 10 παρ' ὑμῖν τῆς τε ὑμῶν αὐτῶν ὁμολογίας ὀρθῆς τῆς τε τῶν πεπονθότων κακοδοξίας εἰς αἰῶνας ἐσόμενα σύμβολον. παρακαλῶ δὲ τὸ τάλαντον ὅπερ ἐπιστεύθητε, μὴ κατορύ- Mt. 25, 25 ξητε, ἀλλὰ τῆι μεταδόσει πολυπλασιάσατε. διαλέχθητε, μετάδοτε τῶν ὑμετέρων ἀληθῶν, μήποτε ἄρα φανείης ἀποδεσμεύων αὐτό· ἰδιοποιούμενοι τὰ κατ' ἐμὲ ὑπὲρ ἀδελφοῦ προσεύξασθε δέησιν καταπυκνοῦντες καὶ λέγοντες· κύριε εἰρήνην δὸς ἡμῖν· πάντα 15 γὰρ ἀπέδωκας ἡμῖν.

Πᾶσαν τὴν σὺν τῆι ὑμετέραι ὁσιότητι ἐν Χριστῶι ἀδελφότητα πλεῖστα προσαγορεύομεν. ἐρρωμένος ἐν κυρίωι ὑπερεύχου ἡμῶν, θεοφιλέστατε ἀδελφέ.

49 Ὁ ἁγιώτατος καὶ μακαριώτατος πατριάρχης καὶ ἡ εὐαγὴς σύνοδος εἶπεν· Εἰ τὰ κατὰ τὴν βασιλίδα πόλιν συνοδικῶς ἐψηφισμένα, ὧν μνήμην ποιεῖται ὁ θεῖος καὶ πανευσε- 20 βὴς νόμος καὶ ἡ τοῦ μνημονευθέντος ἁγιωτάτου πατριάρχου ἐπιστολή, Ἐλισσαῖος μεταχειρίζεται ὁ θεοσεβὴς νοτάριος, διδασκέτω.

50 Ἐλισσαῖος νοτάριος εἶπε· Διδάσκω τὴν ὑμετέραν μακαριότητα καὶ τὴν παροῦσαν εὐαγῆ σύνοδον ὡς σὺν τῆι ἀναγνωσθείσηι τιμίαι ἐπιστολῆι τοῦ ἁγιωτάτου πατριάρχου τῆς βασιλευούσης πόλεως Μηνᾶ καὶ τὰ ὑπομνήματα ἃ ἀπεστάλη παρὰ τῆς αὐτοῦ μακα- 25 ριότητος, τά τε ἐπὶ τῆι καθαιρέσει πραχθέντα Ἀνθίμου, ὃς πρώην γέγονε τῆς Τραπεζουντίων ἐπίσκοπος, καὶ τὰ ἐπὶ τῶι ἀναθεματισμῶι Σεβήρου καὶ Πέτρου καὶ Ζωόρα μετὰ χεῖράς ἐστί μοι. κατὰ τοίνυν τὸ παριστάμενον τῆι ὑμετέραι ἁγιωσύνηι καὶ τῆι ἁγίαι συνόδωι τὴν τούτων ποιοῦμαι ἐμφάνειαν.

51 Ὁ ἁγιώτατος καὶ μακαριώτατος πατριάρχης καὶ ἡ εὐαγὴς σύνοδος εἶπε· Τέως 30 τὰ ἐπὶ Ἀνθίμωι πεπραγμένα δῆλα γινέσθω διὰ τῆς ἀναγνώσεως ἐγγραφόμενα τοῖς ὑφ' ἡμῖν πραττομένοις. οὕτω γὰρ καθ' ἑτέραν εἰσόμεθα καὶ τὰ ἐπὶ τῶι ἀναθεματισμῶι παρακολουθήσαντα Σεβήρου καὶ Πέτρου καὶ Ζωόρα τῶν δυσσεβεστάτων, κἂν τὰ μάλιστα οὐκ ἄγνωστα ἡμῖν ταῦτα καθέστηκε.

Καὶ παραλαβὼν τὰ ἐπὶ Ἀνθίμωι πεπραγμένα Ἐλισσαῖος ὁ θεοσεβέστατος νοτάριος 35 καὶ διάκονος διῆλθε καὶ ἐγγέγραπται τοῖς νῦν πραττομένοις ἐπὶ λέξεως ἔχοντα οὕτως

O [= aerv], I

1 ἀπέσταλκα I γένεσθε O^c 2 ὑμῶν O^cI ἡμῶν $O^{arv}\Lambda$ τοῖσ τε O καὶ τοῖς I ἡμῶν O^e corr., O^vI ὑμῶν $O^{aer}\Lambda$ 3 ὑμῶν O^a 6 διδομένα O^v δεδογμένα I 8 μὲν om. I ἀποστεῖλαι I 9 ἡμᾶσ O^{rv} ὑποτεθεισαμένων O^r ἀποτεθησομένων O^{av} 10 δηλοῦντασ I ταῦτα I om. O ἐπεσταλμένα I 11 ἡμῶν I 12 ἐπίθητε O^v 14 ἀγαθῶν I αὐτά I 15 προσάξασθε O^v δέησιν O^{ar} τὴν δέησιν I δεήσεσιν O^{ev} 17 σὺν] σὴν O^v ἡμετέρα O^v 17/18 post προσαγορεύομεν ins. ὑπογραφή O^{arv} 20 πεπραγμένα πόλιν καὶ $O^e\Lambda$ πόλιν καὶ O^r ποιεῖτε O^a 22 διδασκέσθω O^r 23 διδάσκων O^v 26 προαχθέντα O^v 27 τῶι om. O^e 31 γενέσθω I 32 ἡμῶν O^rI τῶι om. O^e 33 σεβήρου καὶ πέτρου παρακολουθήσαντα καὶ Ζωόρα O^a δυσσεβῶν O^rI 35 ἐλισσαῖοσ $O^e\Lambda$ om. O^{arv}I 36 ἐγγέγραπτο O^a

52 Μετὰ τὴν ὑπατείαν Φλ' Βελισσαρίου τοῦ λαμπροτάτου τῇ πρὸ ἓξ Νόνων Μαίων
L V 4 ἰνδικτιῶνος ῑδ ἐν τῇ φιλοχρίστωι καὶ βασιλευούσηι Κωνστατινουπόλει Ῥώμηι
M VIII 878 προκαθεζομένου τοῦ δεσπότου ἡμῶν τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου ἀρχι-
d. 2. m. Mai a. 536 ἐπισκόπου καὶ πατριάρχου Μηνᾶ ἐν τῶι μεσαύλωι τῶι δυτικῶι τοῦ σεβασμίου οἴκου τῆς δεσποίνης ἡμῶν τῆς ἁγίας ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας τοῦ ὄντος πλησίον τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας

καὶ ἐκ μὲν τοῦ δεξιοῦ μέρους συνεδρευόντων αὐτῶι καὶ συνακροωμένων κατὰ εὐσεβῆ κέλευσιν τοῦ φιλοχρίστου καὶ θεοφυλάκτον ἡμῶν βασιλέως Ἰουστινιανοῦ τῶν ὁσιωτάτων καὶ θεοφιλεστάτων ἐπισκόπων

2 Σαβίνου τοῦ Κανουσίου
3 Ἐπιφανίου Ἐκλάνων
4 Ἀστερίου Σαλέρνων
5 Ῥουστίκου Φεσούλων
6 Λέοντος Νόλου

τῶν πάντων ἐκ τῆς Ἰταλῶν χώρας πρώην μὲν ἀπεσταλμένων ἐκ τῆς ἀποστολικῆς καθέδρας, ὕστερον δὲ συνόντων παραγενομένωι ἐνταῦθα Ἀγαπητῶι τῶι τῆς ἁγίας μνήμης γενομένωι πάπαι τῆς πρεσβυτέρας Ῥώμης

L V 5 7 Πέτρου τῆς Ἰουστινιανουπόλεως τῆς μητροπόλεως τῆς δευτέρας Καππαδοκῶν ἐπαρχίας
8 Ζαχαρίου τῆς Μιτυληναίων μητροπόλεως
9 Μάρκου τῆς μητροπόλεως Ἀπαμείας τῆς Βιθυνῶν ἐπαρχίας
10 Αὐξεντίου τῆς Σηλυβρηνῶν μητροπόλεως
11 Θαλασσίου τῆς μητροπόλεως Βηρυτοῦ
12 Μεγάλου τῆς μητροπόλεως Βεροίας
13 Ἰωάννου Γαβάλων
14 Ἰωάννου Βοσπόρου
15 Δομετιανοῦ τοῦ Ζηκχῶν ἔθνους
16 Χριστοφόρου Πορφυρεῶνος ἐπαρχίας Φοινίκης παράλου
17 Ἀρχελάου Κωρύκου
18 Δαυίθου Κιρκησίου
19 Αἰθερίου Μαριάμμης
20 Ἀλεξάνδρου Βαρκουσῶν
21 Δόμνου Μαξιμιανουπόλεως τῆς δευτέρας Παλαιστίνης
22 Ἀναστασίου Ἰωτάβης
23 Ἰωάννου Ζωόρων
24 Ἀνδρέου τοῦ Πανίου
25 Ἐπιτυγχάνου Γέρμης ἐπαρχίας Ἑλλησπόντου
26 Παύλου τοῦ Στεκτορίου
27 Ἀνδρέου Πελτῶν
28 Θεοδώρου Μηροῦ
29 Θεοδωρίτου Ἀλίνδων

ἐκ δὲ τοῦ εὐωνύμου μέρους

O [acerv., l

1 inscr. πεπραγμένα ἐν Κωνσταντινουπόλει κατὰ ἀνθέμου παρὰ μηνᾶ πατριάρχου καὶ τῆσ μετ' αὐτοῦ συνόδου l 1 φλαβίου $O^{e}IΛ$ νόννων $O^{ae}rI$ 2 νέα ῥώμη $O^{ae}Λ$ 10—14 om. O^{rl} 15 πάντων om. l 16 τῶι om. O^{r} 18—41 om. O^{rl} 22 συληβρηνῶν O^{v} 24 βερροίασ O^{e} 30 κιρκισίων O^{av} 37 ἐπιτυγχάνοντοσ O^{a}

30 Ὑπατίου τῆς μητροπόλεως Ἐφέσου
31 Κωνσταντίνου Ἡρακλείας τῆς μητροπόλεως Εὐρώπης
32 Θεαγένους τῆς μητροπόλεως Συνάδων
33 Βάκχου Ἀντιοχείας τῆς μητροπόλεως Πισιδίας
34 Ἰλαριανοῦ τῆς μητροπόλεως Πέργης
35 Βοσπορίου Νεοκαισαρείας τῆς μητροπόλεως Πόντου Πολεμωνιακοῦ
36 Παύλου τῆς μητροπόλεως Τυάνων
37 Ἀκακίου τῆς μητροπόλεως Πισινοῦντος
38 Ἐπικτήτου Κλαυδιουπόλεως τῆς μητροπόλεως Ὀνωριάδος
39 Τιμοθέου τῆς μητροπόλεως Βερόης
40 Ἐπιφανίου Ἡρακλείας τῆς Ὀνωρεατῶν ἐπαρχίας
41 Ἀβραμίου Κρατίας
42 Ἀλεξάνδρου Κολωνείας τῆς δευτέρας Καππαδοκῶν ἐπαρχίας
43 Ἀστερίου Ἀμάστρεως
44 Εὐγενίου Τίου
45 Ἰωάννου Καισαρείας τῆς Βιθυνῶν ἐπαρχίας
46 Κυριακοῦ Θεοδοσιουπόλεως τῆς Φρυγῶν Πακατιανῶν ἐπαρχίας
47 Ἰωάννου Τραιανουπόλεως
48 Θεοδότου Εὐροίας Παλαιᾶς Ἠπείρου M VIII 879
49 Ἀνδρέου Ἀμύζωνος
50 Φλαβιανοῦ Κοτένων
51 Ἠλίου Ἀδριανῶν τῆς Βιθυνῶν ἐπαρχίας
52 Μακεδονίου Βριάνων
53 καὶ Ἁρμονίου Καλλιπόλεως
54-57 συμπαρόντων δὲ αὐτῶι καὶ συνακροωμένων καὶ Θεοφάνους καὶ Πελαγίου τῶν θεοφιλεστάτων διακόνων τῆς ἀποστολικῆς καθέδρας καὶ Μηνᾶ καὶ Πέτρου τῶν θεοσεβεστάτων νοταρίων καί τινων εὐλαβεστάτων ὑποδιακόνων καὶ ἐκδίκων καὶ λοιπῶν κληρικῶν τοῦ αὐτοῦ ἀποστολικοῦ θρόνου, οἳ καὶ συνόντες ἔτυχον παραγενομένωι ἐνταῦθα Ἀγαπητῶι τῶι τῆς ἁγίας μνήμης γενομένωι πάπαι τῆς πρεσβυτέρας Ῥώμης
58. 59 καὶ Μάγνου πρεσβυτέρου καὶ Ἡρακλείου διακόνου καὶ ἀποκρισιαρίων Ἐφραιμίου τοῦ ὁσιωτάτου πατριάρχου τῆς ἐν Θεουπόλει ἁγιωτάτης ἐκκλησίας
60 Σαβίνου διακόνου τῆς ἁγίας Χριστοῦ τοῦ θεοῦ ἡμῶν Ἀναστάσεως πληροῦντος τὰς ἀποκρίσεις Πέτρου τοῦ ὁσιωτάτου πατριάρχου Ἱεροσολύμων
61 Στεφάνου διακόνου καὶ ἀποκρισιαρίου Σωτηρίχου τοῦ ὁσιωτάτου ἐπισκόπου Καισαρείας τῆς μητροπόλεως Καππαδοκίας πρώτης
62 Γαιανοῦ πρεσβυτέρου καὶ ἀποκρισιαρίου Ἐλπιδίου τοῦ ὁσιωτάτου ἐπισκόπου Ἀγκύρας τῆς μητροπόλεως Γαλατίας πρώτης
63. 64 Διονυσίου καὶ Καλλινίκου διακόνων καὶ ἀποκρισιαρίων Φωτίου τοῦ ὁσιωτάτου ἐπισκόπου τῆς μητροπόλεως Κορίνθου
παρόντος δὲ καὶ τοῦ εὐλαβοῦς κλήρου τῆς βασιλευούσης πόλεως

O [= aerv], I

1 ὑπάτου O^{v} 4—24 Βάκχου — Καλλιπόλεως] καὶ τῶν λοιπῶν $O^{r}I$ 4 πισσιδίασ O^{ev} 6 νεοκαισσαρείασ O^{v} 8 πισσινοῦντος O^{ev} 17/18 τῆς Φρυγῶν — Τραιανουπόλεως om. O^{v} 17 καππατιανῶν O^{a} 21 κοτεννῶν O^{av} 24 καλλιουπόλεωσ O^{av} 25 αὐτῶι om. $O^{r}I$ 25—31 καὶ Θεοφάνους — ἀποκρισιαρίων om. O^{r} 25—30 καὶ Θεοφάνους — Ῥώμης καὶ om. I 31 καὶ O^{av} τῶν O^{e} om. I 32 ἁγιωτάτου O^{e} Θεουπόλει] θεουπόλεωσ O^{r} 33/34 πληροῦντοσ — ἱεροσολύμων σαβίνου — ἀναστάσεωσ O^{r} 35—40 om. $O^{r}I$

53 Εὐφήμιος ὁ θεοσεβέστατος διάκονος καὶ πριμικήριος νοταρίων εἶπε· Μαριανοῦ τοῦ θεοσεβεστάτου πρεσβυτέρου καὶ ἡγουμένου μονῆς τῆς ἐπικαλουμένης Δαλματίου τοῦ τῆς θεοφιλοῦς μνήμης καὶ ἐξάρχου τῶν ἐπὶ τῆς βασιλευούσης ταύτης πόλεως διακειμένων εὐαγῶν μοναστηρίων καὶ τῶν λοιπῶν εὐαγῶν ἡγουμένων τῶν κατὰ τὴν φιλόχριστον ταύτην πόλιν καθεστώτων εὐαγῶν μοναστηρίων καὶ πρός γε τῶν ἐνδημούντων ταύτῃ τῇ βασιλίδι πόλει εὐαγῶν μοναχῶν τελούντων ὑπὸ Θεούπολιν καὶ τὰ Ἱεροσόλυμα δεήσεις
L V 8 ἀνατεινάντων τῶι εὐσεβεστάτωι καὶ θεοφυλάκτωι ἡμῶν βασιλεῖ θεσπίσαι κατηξίωσε τὸ αὐτοῦ κράτος τούς τε παρόντας ὁσιωτάτους ἐπισκόπους ἐκ τῆς Ἰταλῶν χώρας καὶ προσέτι γε τοὺς θεοφιλεστάτους ἀρχιδιακόνους τῆς ἀποστολικῆς καθέδρας καὶ τοὺς εὐλαβεστάτους νοταρίους καὶ ἐκδίκους τοῦ αὐτοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης ἐνταῦθα παραγεγονότας, οἳ καὶ συνῆσαν Ἀγαπητῶι τῶι τῆς ὁσίας μνήμης γενομένωι πάπαι τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης, καὶ τοὺς ἄλλους γε μὴν ἅπαντας τοὺς ἐνδημοῦντας θεοφιλεστάτους ἐπισκόπους παρὰ τὴν ὑμετέραν μακαριότητα συνελθεῖν, ἐφ' ᾧι δήλων ὑμῖν γινομένων τῶν ἐπιδεδομένων τῇι αὐτῶν γαληνότητι δεήσεων καὶ ὧν ἂν προσαγγεῖλαι βουληθεῖεν οἱ ταύτας ἐπιδεδωκότες, τὰ τοῖς εὐαγέσι κανόσι δοκοῦντα καὶ τῇι ἐκκλησιαστικῇι τάξει προσήκοντα πρὸς ἔργον ἀχθῆναι. ἐπεὶ τοίνυν πάρεισι μέν, ὡς βασιλεῖ τῶι μεγάλωι παρέστη, πάντες οἱ τὸν ἱερὸν ὑμῶν πληροῦντες σύλλογον, παραφυλάττουσι δὲ τὸ εὐαγὲς ὑμῶν σήκρητον οἵ τε εἰρημένοι εὐλαβέστατοι μοναχοὶ καὶ Θεόδωρος ὁ περίβλεπτος ῥαιφερενδάριος παρὰ τοῦ εὐσεβεστάτου ἡμῶν πρὸς τοῦτο ἀπεσταλμένος δεσπότου, ὑποβάλλομεν πρὸς τὸ παριστάμενον.

54 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Εἰσίτωσαν ὅ τε μνημονευθεὶς περίβλεπτος ῥαιφερενδάριος Θεόδωρος καὶ οἱ ἐξονομασθέντες εὐλαβέστατοι ἄνδρες.

55 Καὶ εἰσῆλθε Θεόδωρός τε ὁ περίβλεπτος τριβοῦνος νοτάριος καὶ ῥαιφερενδάριος τοῦ θεοφυλάκτου ἡμῶν βασιλέως καὶ Μαριανὸς ὁ θεοφιλέστατος πρεσβύτερος καὶ ἡγούμενος μονῆς Δαλματίου τοῦ τῆς ὁσίας μνήμης καὶ ἔξαρχος καὶ σὺν αὐτοῖς οἱ θεοσεβέστατοι πρεσβύτεροι καὶ ἀρχιμανδρῖται τῶν κατὰ τήνδε τὴν βασιλίδα πόλιν εὐαγῶν μοναστηρίων

1 Ἀγαπητὸς τῆς Δίου
2 Διόσκορος τῆς ἁγίας Εὐφημίας
3 Ἀγάπιος τῆς Θαλασσίου
4 Παῦλος τῶν Ῥωμαίων
5 Ἀντωνῖνος τῆς Εὐσεβίου
6 Στέφανος τῆς Ὀλυμπίου
7 Ἀναστάσιος τῶν Ῥωμαίων
8 Δημήτριος τῆς Φωκᾶ
9 Κυριακὸς τῆς Εὐφημίου
10 Ζωίλος τῆς Θεοδότου
11 Ἰουλιανὸς τῆς Εὐφημίου
12 Στέφανος τῶν Προμώτου
13 Ζήνων τῆς ἁγίας θεοτόκου ἐν τῇ πηγῇ

O [-- aerv], I

1 πριμμικήριοσ OI μαρινιανοῦ O^{e} 2 δαλμάτου O^{av} 4 μοναστηρίων] μοναστηρίων καὶ πρός γε τῶν ἐνδημούντων O^{a} 4/5 καὶ τῶν λοιπῶν — μοναστηρίων om. O^{rl} 5/6 τῇ βασιλίδι ταύτῃ I 6 εὐλαβῶν I 11 ἁγίασ O^{e} 14 ὑμῖν in ἡμῖν corr. O^{e} αὐτῶν O^{arvl} [plur. maiest.] αὐτοῦ O^{e} 15 προαγγεῖλαι O^{e} 15/16 οἱ ταύτας — δοκοῦντα καὶ om. O^{v} 16 τοίνυν om. I 17 παρέστησαν O^{arv} 18 σέκρετον O^{e} 19 ῥαιφερενδάριοσ O^{ervl} semper ῥαιφενδάριοσ O^{a} 19/20 πρὸς — δεσπότου] βασιλέωσ πρὸσ τοῦτο ἀπεσταλμένοσ O^{rl} 21 ἐπίσκοποσ O^{arv} 23 εἰσῆλθον $O^{e}\Lambda$ τε om. I 24 μαρινιανὸσ O^{e} θεοσεβέστατοσ O^{e} 25 δαλμάτου O^{av} οἱ I om. O 27—p. 130, 29 om. O^{rl} 30 τῆσ O^{av} 34 post 30 coll. O^{av} 36. 37 om. $O^{e}\Lambda$ 38 προμότου O^{e}

14 Ἀλέξανδρος τοῦ καλαμίου
15 Δάδας τῆς Καιουμᾶ
16 Ῥόδων τῆς Θεοδώρου
17 Γεννάδιος τῆς Κυριακοῦ
18 Θεόδωρος τῆς Μαρωνίου
19 Σίλας τῆς Ἠλία
20 Παῦλος τῆς Σαμουήλου
21 Ἰωάννης τῆς Θεοδώρου
22 Κυρίων τῶν Αἰγυπτίων
23 Βασίλειος τῆς Κυρακωνᾶ
24 Ἰωάννης τοῦ ἁγίου ἀποστόλου Θωμᾶ ἐν τοῖς Μοδέστου
25 Μάρκος τῆς Θεοδώρου
26 Φλαβιανὸς πρεσβύτερος καὶ δευτεράριος τῆς Μοδέστου τῶν Λυκαόνων
27 Μαρῖνος τῆς Παύλου
28 Θεόκτιστος τῆς ἁγίας θεοτόκου πλησίον τῶν Ἰώβ
29 Θεόδωρος τῆς Τρύφωνος
30 Κοσμᾶς τοῦ ἁγίου Ἰωάννου ἐν τοῖς Στουδίου
31 Πέτρος τῆς ἁγίας θεοτόκου καὶ τοῦ ἁγίου Διομήδους ἐν Ἱερουσαλήμ
32 Ἐλευθέριος τοῦ ἁγίου Κυριακοῦ
33 Ἀλέξανδρος τῆς Ἀβραμίου
34 Θεόδωρος τῆς Ἰώβ
35 Τρύφων τῆς Ἐλπιδίου
36 Στέφανος τῆς Κώνστα
37 Βαβύλας τῆς Δανιὴλ ἐν τῶι στύλωι
38 Ἰωάννης τῆς Ἀναστασίου
39 Ἀνθέμιος τῆς Νέωνος
40 Ἰωάννης τοῦ ἁγίου Μιχαὴλ τῶν Χαρσίου
41 Ἰωάννης τῆς Μάρα πλησίον τῆς Ἀετίου κινστέρνης
42 Φωκᾶς τῆς Ἰωνᾶ πλησίον τοῦ Δευτέρου
43 Ζώσιμος τῆς Εὐτυχίου τῶν Λυκαόνων
44 Τιμόθεος τῆς Ἀστερίου
45 Στρατόνικος τῆς Δομετίου
46 Πολυχρόνιος τοῦ αἰθρίου
47 Ἀνδρέας τῶν Ῥωμαίων πλησίον τῆς κινστέρνης
48 Μαρτύριος τῆς Πέτρου πλησίον τῶν Ἀποστόλων
49 Ἀνδρέας τῆς ἁγίας θεοτόκου πλησίον τοῦ ἁγίου Λουκᾶ
50 Μάρκος τοῦ ἁγίου Κυρίκου
51 Ἰάκωβος τῆς Ἀβίβου Σύρος
52 Ἀττικὸς τῶν Εὐκρατάδων
53 Ἰωσὴφ τῆς ἁγίας θεοτόκου ἐν τῶι λιθοστρώτωι
54 Παῦλος τοῦ ἁγιωτάτου ἀποστόλου Πέτρου πλησίον τοῦ παλατίου
55 Ἀναστάσιος πρεσβύτερος καὶ δευτεράριος τοῦ ἁγίου Φιλίππου ἐν τῶι βρεφοτροφείωι L V 9

O [ac v]

7 σαμοήλου O$^{ac v}$ σαμουηλίου O^{e} 8 *Theodori in petra Dominicus* [i. e. Κυριακός] *Syriorum* Λ 10 τοῦ O$^{ac v}$ 13 δευτεριάριοσ O$^{ac v}$ 26 ἄνθιμοσ O$^{ac v}$ 27 χαρισίου O^{e} 28 ἀετοῦ O$^{ac v}$ 32 στρατόνιοσ O$^{ac v}$ *Domeeii martvris* Λ 33 *sancti Michaelis in Ethrio* Λ 35 *apostolos sine Valentini et Dandati* Λ 37 κηρύκου O^{e} 41 ἁγίου O^{e} 42 δευτεριάριοσ O$^{ac v}$

56 Γεώργιος τῆς Κύρου
57 Εὐσέβιος τῆς Συμεωνίου
58 Ζωτικὸς τοῦ ἁγίου Ἀνδρέου πλησίον τῆς Σατορνίνου πόρτης καὶ τῶν ὑπὸ Θεούπολιν
59 Παῦλος μοναχὸς καὶ ἀποκρισιάριος μονῆς τῆς Μάρωνος
60 Σεβηριανὸς πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Ζωόρα τῶν Θερμῶν Σύρος
61 Κασσισᾶς πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Λουκᾶ Σύρος
62 Συμεώνης διάκονος καὶ ἀποκρισιάριος τῆς Ἰακώβου
63 Ἰωάννης διάκονος καὶ ἀποκρισιάριος τῆς Θεοδώρου
64 Στέφανος πρεσβύτερος καὶ ἡγούμενος μονῆς Εὐξηρίου
65 Ἰωάννης πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ κυρίου Θωμᾶ Σύρος
66 Θωμᾶς πρεσβύτερος καὶ ἀρχιμανδρίτης τῆς μονῆς Ἀαρὼν Σύρος
67 Φωτεινός μοναχὸς καὶ ἀποκρισιάριος μονῆς τοῦ ἁγίου Στεφάνου
68 Θεόδωρος διάκονος καὶ ἀποκρισιάριος τῆς ἐκκλησίας Ἐρινδηληνῶν
69 Σέργιος πρεσβύτερος καὶ περιοδευτής
οἱ πάντες πράττοντες ὑπέρ τε ἑαυτῶν καὶ τῶν λοιπῶν, ἔτι μὴν καὶ τῶν ὑπὸ τοὺς ἁγίους Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν τόπους
M VIII 883 70 Δομετιανὸς πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Μαρτυρίου
71 Ἡσύχιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Θεοδοσίου
72 Κασιανὸς πρεσβύτερος τῆς λαύρας τοῦ μακαρίου Σάββα
73 Κυριακὸς πρεσβύτερος καὶ ἡγούμενος τῶν πυργίων τοῦ Ἰορδάνου
74 Νέσταβος πρεσβύτερος λαύρας τοῦ μακαρίου Φιρμίνου
75 Τερέντιος πρεσβύτερος τῆς Νέας λαύρας
76 Λεόντιος μοναχὸς καὶ ἡγούμενος καὶ τοποτηρητὴς τῆς ἐρήμου πάσης
77 Τραιανὸς πρεσβύτερος τῶν πυργίων τοῦ Ἰορδάνου
78 Πολύευκτος διάκονος τῆς μονῆς τοῦ ἀββᾶ Θεοδοσίου
79 Θεόδωρος διάκονος καὶ μοναχὸς τῆς Νέας λαύρας
80 Κύρικος διάκονος καὶ μοναχὸς τῆς αὐτῆς Νέας λαύρας
81 Ἀναστάσιος διάκονος μονῆς τοῦ μακαρίου Μαρτυρίου
82 Μάμας μοναχὸς τῆς αὐτῆς μονῆς
83 Ἰωάννης μοναχὸς τῆς αὐτῆς μονῆς
84 Ἰουλιανὸς μοναχὸς μονῆς τοῦ ἀββᾶ Θεοδοσίου
οἱ πάντες πράττοντες ὑπέρ τε ἑαυτῶν καὶ τῶν οἰκείων μονοστηρίων καὶ πάντων τῶν ἐν τῇ ἐρήμῳ τῆς ἁγίας πόλεως μοναχῶν
85 Ἰωάννης πρεσβύτερος τῆς πεδιάδος καὶ ὑπὲρ πάντων τῶν ἐκεῖσε μοναχῶν
86 Θεωνᾶς πρεσβύτερος τοῦ Σινᾶ ὄρους καὶ ἀποκρισιάριος τοῦ τε ὄρους καὶ τῆς ἐκκλησίας Φαρὰν καὶ λαύρας Ῥαιθοῦ ὑπὲρ πάντων τῶν ἐκεῖσε μοναχῶν
87 Στρατήγιος διάκονος καὶ μοναχὸς μονῆς τοῦ μακαρίου Ἰωάννου ὑπὲρ πάντων τῶν ὑπὸ Σκυθόπολιν μοναχῶν.

56 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ἐν πρώτῃ τάξει διδαχθῆναι βουλόμεθα παρὰ Θεοδώρου τοῦ περιβλέπτου τὴν αἰτίαν δι' ἣν εἰς ἡμᾶς γέγονε.

57 Θεόδωρος ὁ περίβλεπτος τριβοῦνος νοτάριος καὶ βαιφερενδάριος τοῦ εὐσεβεστάτου δεσπότου εἶπε· Δεήσεις ἀνέτειναν οἱ παρόντες εὐλαβέστατοι μοναχοὶ τῶι θειοτάτωι καὶ

O [= aev, r inde a 40], I [inde a 40]
6 σευκριανὸσ O^a 7 post 8 coll. O^a 10 *Euxeri Syrus* Λ 12 om. O^{av} 14 ερκωδηλινῶν O^{av} 18 ἁγίου καὶ μακαρίου O^e 19 ἀρχιμανδρίτης O^e ἀποκρισιάριοσ O^{av} 20, 22 λάβρασ O^v 28 om. O^{av} κήρυκοσ O^e 36 σιννᾶ O^a ὄρους — ὄρους om. O^a 40 παρὰ ΙΛ καὶ παρὰ O 41 εἰσ O^{arv}I πρὸσ O^eΛ 43 ἡμῶν δεσπότου O^eΛ

καλλινίκωι ἡμῶν βασιλεῖ καὶ ταύτας θεσπίσαι κατηξίωσε τὸ αὐτῶν κράτος λαβόντα με διακομίσαι πρὸς τὴν ὑμετέραν ἁγιωσύνην, ἀγαγεῖν δὲ καὶ τοὺς εὐλαβεστάτους μοναχοὺς ἐφ' ὧι διδασκομένους ὑμᾶς τὰ παρ' αὐτῶν τὰ καλῶς ἔχειν τῆι ὑμετέραι μακαριότητι φαινόμενα κανονικῶς διατυπῶσαι. ταύτας τοίνυν ἔχων μετὰ χεῖρας ἐπιδίδωμι τῆι ὑμετέραι μακαριότητι πρὸς ἀνάγνωσιν.

58 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ἡ παρὰ τῶν εὐλαβεστάτων μοναχῶν ἐπιδοθεῖσα δέησις τῶι εὐσεβεστάτωι καὶ φιλοχρίστωι ἡμῶν δεσπότηι ὑποδεχθεῖσα δήλη γινέσθω. Καὶ λαβὼν Ἀκάκιος ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος ἀνέγνω

59 Βασιλεῖ θεοσεβεστάτωι καὶ πανευσεβεστάτωι αὐτοκράτορι αὐγούστωι Ἰουστινιανῶι δέησις καὶ ἱκεσία παρὰ Μαριανοῦ μοναχοῦ καὶ ἀρχιμανδρίτου μονῆς τοῦ μακαρίου Δαλματίου καὶ ἐξάρχου τῶν εὐαγῶν μοναστηρίων τῆς βασιλίδος καὶ τῶν ταύτης ἀρχιμανδριτῶν καὶ παρὰ τῶν ἐνδημούντων ἐν αὐτῆι Ἱεροσολυμιτῶν καὶ τοῦ ἁγίου ὄρους Σινᾶ καὶ τῆς δευτέρας Συρίας ἀρχιμανδριτῶν καὶ μοναχῶν. Ὁ θεὸς ὁ μέγας καὶ θαυμαστός, δι' οὗ βασιλεῖς βασιλεύουσι καὶ δυνάσται κρατοῦσι γῆς, προγινώσκων τά τε ὄντα τά τε ἐσόμενα, κατανοήσας τὴν θεοφιλῆ καρδίαν τῆς ὑμετέρας εὐσεβείας οἷα μόνος τὰ ἐν ταύταις ἐνθύμια διερευνᾶν δυνάμενος, καὶ ἰδὼν τόν τε προλαβόντα ὑπὲρ τῆς ὀρθῆς πίστεως ζῆλον τήν τε μέλλουσαν γίνεσθαι σπουδὴν ὑπὲρ τῆς νυνὶ κρατούσης ἐν ταῖς ἁγιωτάταις ἐκκλησίαις καταστάσεως ἀνήγαγεν ἐπὶ τὸν βασιλικὸν θρόνον τὴν ὑμετέραν γαληνότητα καὶ τὴν ἐφ' ὑμῖν ἀπροσωπόληπτον αὐτοῦ κρίσιν πᾶσιν ἐπιδεῖξαι βουλόμενος προύθηκεν εἰς φανερὸν τὴν ὑμετέραν ἀγαθὴν ἐργασίαν, ἣν νύκτωρ καὶ μεθ' ἡμέραν ὑπέρ τε τῆς ἐκκλησιαστικῆς εἰρήνης καὶ τιμῆς καὶ σεβάσματος τῆς τε ὀρθῆς πίστεως καὶ τῶν ἁγίων ποιεῖσθε πατέρων ὑπέρ τε τῆς εἰς τὸν πλησίον ἐξ ἀγάπης ἐλεημοσύνης. ἐλεημοσύναις γὰρ καὶ πίστεσιν ἀποκαθαίρεσθαι τὰς ἁμαρτίας μεμαθήκατε. τοῦτο δὴ τὸ τῆς ἀγαθῆς βουλῆς ἔργον διασκεδάσαι προθυμούμενοι Ἄνθιμος καὶ Σεβῆρος καὶ Πέτρος καὶ Ζωόρας καὶ οἱ τὰ ὅμοια τούτοις φρονοῦντες κατὰ πάντα χρόνον καὶ τρόπον θορύβους καὶ ταραχὰς ταῖς ἐκκλησίαις ἐμποιοῦντες οὐκ ἐπαύσαντο, τὴν μὲν γῆν καὶ τὰς πόλεις αἵμασιν ἁγίων καὶ ἑτέρων τινῶν καταμολύνοντες καὶ θορύβοις συσσαλεύοντες, τὸν δὲ ἀέρα καὶ τὰ τῶν ἀκουόντων ὦτα τοῖς κατὰ τῶν ἁγίων ἀναθεματισμοῖς μιάναντες, τὸ δὲ πέρας καὶ εἰς ταύτην τὴν βασιλίδα πόλιν εἰσφρήσαντες καὶ θυσιαστήρια ἐβδελυγμένα καὶ βαπτιστήρια ἀλλότρια ἐξ ἐναντίας τοῦ ἀληθινοῦ θυσιαστηρίου καὶ τῆς ἁγίας κολυμβήθρας κατὰ πολλοὺς καὶ περιφανεῖς τόπους τῆσδε τῆς πόλεως καὶ ἐν προαστείοις καὶ ἰδιωτικοῖς πηξάμενοι οἴκοις τὰ ἄθεσμα πράττοντες ἐν αὐτοῖς οὐ διαλιμπάνουσι τούς τε ἐν τοῖς οἴκοις διαφθείροντες καὶ αἰχμαλωτίζοντες κατὰ τὸν ἀπόστολον τοὺς ἐν αὐτοῖς ἁπλουστέρους πάντοτε μανθάνοντας καὶ μηδέποτε εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν δυναμένους. τὸ δὲ δὴ μεῖζον καὶ ἐγκόλπιον ἡμῶν κακὸν Ἄνθιμος ὁ ποτὲ Τραπεζούντων προχειρισθεὶς ἐπίσκοπος. οὗτος γὰρ ἐκ πολλοῦ τὴν ἰδίαν ἐκκλησίαν καταλιπὼν καὶ πεπλασμένον βίον ἐγκρατείας ἀναλαβὼν καὶ συνδιαιτηθεὶς τοῖς εἰρημένοις αἱρετικοῖς καὶ τὰ ἐκείνοις ἀρέσκοντα ποιῶν τε καὶ λέγων οἷα νοσῶν τὴν ὁμοίαν ἐκείνοις αἱρετικὴν πλάνην ἠδυνήθη διὰ τῆς ἐκείνων

L V 12

Prou. 8, 15. 16

M VIII 886

2. Tim. 3, 6. 7

PG 37, 331

O [= aervJ, I

2 πρὸσ — ἁγιωσύνην διακομίσαι O^{av} 7 ἡμῶν om. I *suscepta* Λ ὑποδειχθεῖσα OI 8 γενέσθω I 9 inser. δέησις τῶν ἐν κωνσταντινουπόλει μοναχῶν πρὸς ἰουστινιανὸν βασιλέα I 11 δαλμάτου O^{av} 16 ἐρευνᾶν O^{e} 16/17 προσλαβόντα O^{a} 22 ἐξ om. $O^{e}Λ$ 26 τόπον $O^{e}Λ$ 27 καταμολύναντεσ O^{aev} 28 σαλεύοντεσ O^{rl} 29 δὲ ΙΛ δὴ O 29/30 ἑαυτοὺς εἰσφρήσαντες I 30 ἐβδελλυγμένα O^{e} 32 οἴκοισ O^{erl} οἴκουσ τόποισ O^{av} 36 κακῶν ἡμῶν I τραπεζούντων [τραπεζουντίων I] προχειρισθεὶσ O^{arvl} προχειρισθεὶσ τραπεζουντίων O^{e} 37/38 πεπλασμένον - - καὶ om. O^{arvl} 39 ἠδυνήθην O^{r}

συνάρσεως τὸν τῆσδε τῆς πόλεως θρόνον ὑφαρπάσαι παρὰ πάντας τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς καὶ κανόνας. ἐπεὶ οὖν πάντες οἱ τῆς καθολικῆς ἐκκλησίας τρόφιμοι περί τε τῆς τοῦ εἰρημένου Ἀνθίμου ἀθέσμου τε καὶ βιαίας προβολῆς περί τε τῶν εἰρημένων ἀνοσίων ἀνδρῶν καὶ τῶι θεῶι καὶ ὑμῖν δι' ὄχλου γινόμενοι οὐκ ἐπαύσαντο, ὑμεῖς δέ, εὐσεβέστατοι, καίπερ δυνάμενοι τούτους ἐξωθῆσαι ὅμως γοῦν κανονικὴν κρίσιν παρὰ τοῦ ἀρχιερέως τῆς πρεσβυτέρας Ῥώμης ἐπί τε αὐτῶι Ἀνθίμωι καὶ τοῖς εἰρημένοις αἱρετικοῖς καλῶς ποιοῦντες ἀκοῦσαι ἠβουλήθητε πειθόμενοι τῶι εἰπόντι ἐπερώτησον τὸν πατέρα σου καὶ ἀναγγελεῖ σοι, τοὺς πρεσβυτέρους σου καὶ ἐροῦσί σοι καὶ τῶι ἀποστόλωι λέγοντι πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε· αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν ὡς λόγον ἀποδώσοντες, ἐξαπέστειλεν ὁ θεὸς τῆιδε τῆι πόλει Ἀγαπητὸν τὸν ὄντως ἀγαπητὸν θεῶι καὶ ἀνθρώποις ἀρχιερέα τῆς πρεσβυτέρας Ῥώμης ἐπὶ καθαιρέσει Ἀνθίμου τε καὶ τῶν εἰρημένων αἱρετικῶν ὥσπερ ποτὲ Πέτρον τὸν μέγαν τοῖς Ῥωμαίοις ἐπὶ καθαιρέσει τῆς Σίμωνος γοητείας. οὗτος οὖν ὁ τίμιος ἀνὴρ τὰ κατὰ τῆς ἐκκλησίας ἀθέσμως τολμώμενα μαθὼν διά τε πλείστων καὶ ἡμετέρων λιβέλλων καὶ ταῦτα αὐτῆι ὄψει παραλαβὼν καθάπαξ οὐδὲ εἰς θέαν τὸν κατὰ τῶν κανόνων μανέντα Ἄνθιμον παραδέξασθαι ἠβουλήθη, ἀλλὰ τοῦτον δικαίως ἐξωθήσας τοῦ τῆσδε τῆς πόλεως ἀρχιερατικοῦ θρόνου συνεπαμυνούσης καὶ συνεπισχυούσης τῆι τε καθολικῆι πίστει καὶ τοῖς θείοις κανόσι τῆς ὑμετέρας εὐσεβείας προεχειρίσατο τῆιδε τῆι ἐκκλησίαι τὸν ἐπὶ ὀρθῆι πίστει καὶ σώφρονι βίωι καὶ σεμνῆι πολιτείαι καὶ τῆι ἐγχειρισθείσηι αὐτῶι τῶν ἀσθενούντων διακονίαι μαρτυρούμενον Μηνᾶν τὸν ἁγιώτατον. ἐπὶ τούτοις πάλιν λιβέλλους περί τε Ἀνθίμου καὶ τῶν εἰρημένων αἱρετικῶν ἐπιδεδωκότες οἵ τε ἐνδημοῦντες τῆιδε τῆι πόλει Παλαιστινοὶ ἐπίσκοποι καὶ τῆς Ἀνατολικῆς διοικήσεως καὶ οἱ τῶν ἄλλων ἀρχιερέων ἀποκρισιάριοι καὶ ἡμεῖς αὐτοὶ ἐξητήσαμεν τὸν μὲν Ἄνθιμον οἷα Τραπεζούντων χρηματίζοντα ἐπίσκοπον ποιῆσαι τὸν ἐγνωσμένον τῶι ἀποστολικῶι θρόνωι λίβελλον καὶ ἐλευθερῶσαι ἑαυτὸν πάσης αἱρετικῆς πλάνης καὶ ἐξορμῆσαι ἐπὶ τὴν Τραπεζουντίων ἐκκλησίαν ἢ τοῦτο μὴ ἀνεχόμενον τελείως κατακριθῆναι καὶ πάσης ἀξίας ἱερατικῆς καὶ ἐνεργείας γυμνωθῆναι, ὥσπερ ὁ ἐν ἁγίοις Κελεστῖνος ἐπὶ Νεστορίωι τῶι δυσσεβεῖ διεπράξατο, ἑαυτὸν τῶι τοιούτωι κρίματι ὑποβαλόντα καὶ τὴν μετὰ τῶν αἱρετικῶν μερίδα ἀσπασάμενον καὶ τούτους τῆς ἰδίας ἐκκλησίας προτιμήσαντα, τοὺς δὲ εἰρημένους αἱρετικοὺς ἢ κανονικῶς προσελθεῖν τῆι ἐκκλησίαι ἢ παύσασθαι λοιπὸν τῶν κατ' αὐτῆς ἐπιβουλῶν καὶ παρασυνάξεων καὶ παραβαπτισμάτων καὶ τῆσδε τῆς πόλεως καὶ πάσης ἑτέρας ἐκδιωχθῆναι ὡς λυμεῶνας καὶ ἐπιβούλους οὐ μόνον τῶν ἁγιωτάτων ἐκκλησιῶν, ἀλλὰ καὶ αὐτῆς τῆς καλῶς ὑφ' ὑμῶν εὐνομουμένης πολιτείας, ἀξιώσαντες ταῦτα αὐτὸν εἰς γνῶσιν ἐνέγκαι τῆς ὑμετέρας εὐσεβείας, ἐφ' ὧι δι' αὐτῆς εἰς πέρας τὰ παρ' ἡμῶν αἰτηθέντα ἀχθῆναι. ταύτας δὲ τὰς δικαίας ἡμῶν αἰτήσεις προφθάνων ὁ εἰρημένος δικαιότατος ἀνήρ, ἐπειδὴ ἀφανῆ ἑαυτὸν κατέστησεν ὁ Ἄνθιμος, συγκατεδίκασε τοῖς εἰρημένοις αἱρετικοῖς πάσης ἱερατικῆς ἀξίας καὶ ἐνεργείας γυμνώσας καὶ παντὸς ἐπισκοπικοῦ καὶ ὀρθοδόξου ὀνόματος ἄχρι μετανοίας τῶν αὐτῶι ἐπταισμένων, ἐξαποστείλας τοὺς ἡμετέρους λιβέλλους τῆι ὑμετέραι εὐσεβείαι ἐφ' ὧι τε τὰ ἐν αὐτοῖς δι' ὑμῶν εἰς πέρας

Deut. 32, 7 Hebr. 13, 17 L V 13 M VIII 887

25 cf. Coll. Auell. 167 p. 619, 22sq. 223 p. 683, 26

O [= aerv], I

4 ἡμῖν $O^{eΛ}$ 9 ἡμῶν O^{arv} 10 ἡμῶν O^{arv} 13 μέγα O^{r} 15 πλείστων ἑτέρων I λιβέλλων ἡμετέρων O^{arv}I 18 εὐσεβείας O^{arv}I βασιλείας $O^{eΛ}$ 22 παλαιστηνοι O^{e} ut solet 24 ἡμεῖς I ἡμεῖσ τὲ O τραπεζουντίων I χρηματίσαντα O^{e} 26 τὴν τῶν O^{r} 29 ὑποβάλλοντα O^{arv} 31 προελθεῖν O^{r} 34 ἡμῶν O^{rv} 34/35 ἐνέγκαι εἰσ γνῶσιν O^{e} 35—p. 133, 16 ἐφ' ὧι — εὐσεβείας om. O^{a} 36/37 δικαιότατοσ O^{rv}I ὁσιώτατοσ O^{e} 39 ἡμετέρουσ $O^{eΛ}$ εἰρημένουσ O^{rv}

ἀχθῆναι. συμβὰν δὲ οὕτω παρὰ τοῦ σοφῶς τὰ καθ' ἡμᾶς οἰκονομοῦντος θεοῦ προσ-
ελήφθη οὗτος ὁ τίμιος ἀνὴρ καὶ προσετέθη τοῖς πατράσιν αὐτοῦ τὸν ἀγῶνα τὸν καλὸν 2 Tim. 4, 7
ἀγωνισάμενος καὶ τὸν δρόμον τελέσας καὶ τὴν πίστιν τηρήσας. ἐνορκοῦμεν οὖν τὴν
ὑμετέραν εὐσέβειαν, εἰ καὶ τολμηρόν τι ποιοῦμεν, κατὰ τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος
ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ὑπερασπίζοντος τῆς ὑμετέρας τιμίας βασιλείας καὶ πάντα
ἐχθρὸν καὶ πολέμιον διὰ τὴν ὑμετέραν ὀρθὴν πίστιν ὑμῖν ὑποτάσσοντος μὴ παριδεῖν
τὴν δικαίαν κρίσιν τοῦ εἰρημένου ἁγίου ἀνδρός, ἀλλὰ ταύτην ἐπεξελθεῖν τήν τε ἐκκλησίαν
τοῦ θεοῦ καὶ πάντα τὸν κόσμον ἐλευθεροῦντας τῆς λύμης Ἀνθίμου τε καὶ τῶν εἰρημένων
αἱρετικῶν. καὶ γὰρ καὶ τοῦ εἰρημένου ὁσίου ἀνδρὸς Ἀγαπητοῦ τῶιδε τῶι βίωι
ἐνδημοῦντος μετὰ θεὸν εἰς τὴν ὑμετέραν εὐσέβειαν ἀποβλέποντες ταῦτα πέρας λαβεῖν παρ'
ὑμῶν ἐξεδεχόμεθα. τὰ οὖν παρ' ἐκείνου δικαίως καὶ κανονικῶς κεκριμένα πληροῦντες καὶ
διὰ γενικῆς ὑμῶν νομοθεσίας ταῦτα κυροῦντες καὶ τοιαῦτα τοῦ λοιποῦ τολμᾶσθαι ἀπαγο- L V 16
ρεύοντες τὴν μὲν ἐκείνου μακαρίαν ψυχὴν θεραπεύσετε, ἥτις ἐγγύτερον θεοῦ γενομένη, M VIII 890
ὅσωι καὶ τοῦ δεσμοῦ τῆς γῆς τοῦ σαρκίου τούτου λέλυται καὶ παρρησίαν ἐκ τῶν οἰ-
κείων ἀγαθῶν ἐκτήσατο ἔργων, πρεσβεύσει ὑπὲρ τῆς εἰρήνης καὶ σωτηρίας τῆς ὑμετέρας
εὐσεβείας, ὑμεῖς δὲ σὺν τῶι Δαβὶδ μετὰ παρρησίας πρὸς θεὸν κεκράξετε οὐχὶ τοὺς μισοῦν- Ps. 138, 21. 22
τάς σε, κύριε, ἐμίσησα καὶ ἐπὶ τοὺς ἐχθρούς σου ἐξετηκόμην; τέλειον μῖσος
ἐμίσουν αὐτούς, εἰς ἐχθροὺς ἐγένοντό μοι. δέος γὰρ, εὐσεβέστατοι, μὴ διὰ
τὴν πολλὴν ἀνοχὴν τὸ τοῦ Ἰσραηλιτικοῦ λαοῦ πάθωμεν καὶ ἡμεῖς ἐν μέσωι ἔχοντες
τοὺς ὑπὸ πάσης ἀρχιερωσύνης ἀναθεματισθέντας, ὃς ἐπειδήπερ ἐν μέσωι εἶχεν Ἄχαρ Ios. 7, 1 sq.
καὶ Ἰωνάθαν τοὺς ἐν γνώσει καὶ ἀγνωσίαι ἑαυτοὺς τῶι ἀναθέματι ὑποβαλόντας, ἐκιν- 1 Reg. 14, 24 sq.
δύνευσε πανστρατιᾶι ἀπολέσθαι καίπερ ἀγνοῶν ὅτιπερ ἐν μέσωι εἶχε τὸ ἀνάθεμα. μὴ
οὖν ὑπομείνητε, Χριστιανικώτατοι βασιλεῖς, παριδεῖν τὸ τοιοῦτον κακόν, ἀλλὰ χρή-
σασθε τῶι κατ' ἐπίγνωσιν ὑπὲρ θεοῦ καὶ τῶν αὐτοῦ ζήλωι πληροῦντες τὸ γεγραμμένον
λικμήτωρ ἀσεβῶν βασιλεὺς σοφός, ἵνα μετὰ Δαβὶδ καὶ Ἰωσίου καὶ Ἠλίου καὶ Prou. 20, 20
Φινεὲς καὶ Ἀγαπητοῦ τῶν μάλιστα ζηλωσάντων ὑπὲρ θεοῦ τὴν μερίδα ἐχόντων ὑμῶν
ἐν μὲν τῶι παρόντι ὥσπερ κἀκείνοις ὑποπόδιον τῶν ποδῶν πάντας ὑμῖν τοὺς ἐχθροὺς Ps. 109, 1
ὑποτάξηι, ἐν δὲ τῶι μέλλοντι σὺν ἐκείνοις τὴν αἰώνιον βασιλείαν παράσχοι ὁ ἐπαγγει- Mt. 19, 29
λάμενος καὶ ἐν τούτωι ἑκατονταπλασίονα καὶ ἐν τῶι μέλλοντι αἰῶνι τοῖς ἀγαπῶσιν
αὐτὸν ζωὴν αἰώνιον ἀποδιδόναι.

Ὑπογραφαί

Μαριανὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης καὶ ἔξαρχος τῶν εὐαγῶν
μοναστηρίων τῆς βασιλίδος ταύτης πόλεως σὺν ἅπασι τοῖς εὐλαβεστάτοις ἀρχιμαν-
δρίταις σὺν ἐμοὶ δεηθεῖσι κατὰ συναίνεσιν πάντων ὑπογράψας ἐπέδωκα: —

Ἡσύχιος ἐλέει θεοῦ πρεσβύτερος καὶ μοναχὸς μονῆς τοῦ μακαρίου ἀββᾶ Θεοδοσίου
τὸν τόπον ἐπέχων Σωφρονίου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου τῆς αὐτῆς μονῆς καὶ
πρώτου πάσης τῆς ἐρήμου Ἱεροσολύμων σὺν πᾶσι τοῖς σὺν ἐμοὶ ἀποσταλεῖσιν ἀρχι-
μανδρίταις καὶ μοναχοῖς Ἱεροσολυμίταις εἰς τήνδε τὴν βασιλίδα πράττουσι καὶ ὑπὲρ

O [= aerv], I

1 σοφῶς om. O^e οἰκονομοῦντοσ τὰ καθ' ἡμᾶσ O^v 2 ὁ τίμιοσ οὗτοσ O^{rI} καὶ om. O^{rv} 4 εὐσέβειαν O βασιλείαν Λ 7 ταύτη I ὑπεξελθεῖν O^r 9 καὶ² om. I εἰρημένου om. O^e 12 τὰ τοιαῦτα I 15 πρεσβεύει O^{rI} εἰρήνης] εἰρημένησ O^r 16 κεκράξατε O^{av} 17 τοῖσ ἐχθροῖς O^e μῖσοσ τέλειον O^e 18 εὐσεβέστατε O^{erv} 19 ἰσραηλίτου O^{av} 22 πανστρατι O^e ὅτι O^r 27 ἐκείνοισ O^{rI} 28 ὑποτάξαι O^r παράσχη O^{avI} 31 αἱ ὑπογραφαί O^{av} om. O^{rI} 32. 35 ἐλέω O^{erI} 35 μονῆς om. I ἀββᾶ om. I 38 βασιλίδα πόλιν O^{av}

πάντων τῶν τὴν αὐτὴν ἔρημον οἰκούντων καὶ τὰς τρεῖς Παλαιστίνας ἀρχιμανδριτῶν καὶ μοναχῶν σὺν ἐμοὶ δεηθεῖσιν ὑπογράψας κατὰ συναίνεσιν πάντων ἐπέδωκα: —

Θεωνᾶς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀποκρισιάριος τοῦ ἁγίου ὄρους Σινᾶ καὶ τῆς ἐρήμου Ῥαιθοῦ καὶ τῆς κατὰ Φαρὰν ἁγιωτάτης ἐκκλησίας πράττων ὑπὲρ πάντων τῶν προγεγραμμένων δεηθεὶς καὶ ὑπογράψας ἐπέδωκα: —

Παῦλος ἐλέει θεοῦ διάκονος καὶ ἀποκρισιάριος τῆς εὐαγοῦς μονῆς τοῦ μακαρίου Μάρωνος τῆς ἐξαρχούσης τῶν εὐαγῶν μοναστηρίων δευτέρας Συρίας ἀποσταλεὶς ἐνταῦθα παρὰ τοῦ κοινοῦ τῶν θεοφιλεστάτων ἀρχιμανδριτῶν καὶ μοναχῶν τῆς αὐτῆς χώρας πρὸς τὴν ὑμετέραν εὐσέβειαν μετὰ δεήσεων αὐτῶν, ἃς ἀνέτειναν κατὰ τῶν προγεγραμμένων Ἀκεφάλων, πράττων ὑπὲρ πάντων τῶν εἰρημένων ἀρχιμανδριτῶν καὶ μοναχῶν δεηθεὶς καὶ ὑπογράψας ἐπέδωκα: —

L V 17 M VIII 891 **60** Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν Ἀπίτω μὲν Θεόδωρος ὁ περίβλεπτος ῥαιφερενδάριος πράξας ἐφ' ὧι παραγέγονεν· λεγέτωσαν δὲ οἱ παρόντες εὐλαβέστατοι μοναχοί, εἴ τι πλέον διδάξαι βούλονται.

61 Οἱ εὐλαβέστατοι μοναχοὶ διὰ Μαριανοῦ τοῦ θεοσεβεστάτου ἐξάρχου ἐπέδωκαν διδασκαλικόν, ὅπερ δεξάμενος Χριστόδωρος ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος καὶ σηκρητάριος ἀνέγνω

62 Ἐπιφανίου τοῦ τῆς ὁσίας μνήμης γενομένου ἀρχιεπισκόπου τῆς βασιλίδος ταύτης πόλεως ἐν εἰρήνηι τὸν βίον τελέσαντος Ἄνθιμος ὁ Τραπεζούντων ποτὲ προχειρισθεὶς ἐπίσκοπος τὸ τῆς ἀρχιερωσύνης μέγεθος καὶ ἀξίωμα οὐ πνευματικὴν ψυχῶν ἐπιστασίαν εἶναι λογισάμενος, ἀλλ' οἷόν τινα πολιτικὴν ἀρχὴν καὶ διὰ τοῦτο τῆς μείζονος ὀρεγόμενος, ἤδη ἐκ πολλοῦ καταλιπὼν τὴν ἰδίαν ἐκκλησίαν καὶ καταλαβὼν τήνδε τὴν πόλιν ὥσπερ τις Αἰγυπτιακὴ πληγὴ καὶ τὸν πεπλασμένον βίον τῆς ἐσχηματισμένης αὐτοῦ ἐγκρατείας πᾶσιν ἐπιδεικνύμενος συνδιαιτηθείς τε τοῖς ἐμφωλεύουσιν ἐνταῦθα αἱρετικοῖς οἷα νοσῶν τὴν ὁμοίαν αὐτοῖς αἱρετικὴν μανίαν καὶ τὰ ἐκείνοις ἀρέσκοντα ποιῶν τε καὶ λέγων ἠδυνήθη μοιχικῶς τὸν τῆσδε τῆς πόλεως ἀρχιερατικὸν ὑφαρπάσαι θρόνον παρὰ πάντας τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς καὶ κανόνας. ἐπεὶ οὖν περὶ ἀμφότερα ἁμαρτάνων ἐφάνη περί τε τοὺς θείους κανόνας περί τε τὴν ὀρθὴν καὶ ἀμώμητον πίστιν, εἰκότως ἡμεῖς ἐπιστάμενοι τὴν τῶν θείων κανόνων ἐκδίκησιν ἀρχιερεῦσι μόνον ἁρμόττειν, τὴν δὲ τῆς ὀρθῆς πίστεως οὐ μόνον ἱερωμένοις, ἀλλὰ καὶ παντὶ ὀρθοδόξωι Χριστιανῶι, τὰ περὶ ταύτης μόνης τοῦτον ἐπηρωτῶμεν οὐχ ἅπαξ, οὐ δίς, ἀλλὰ καὶ πολλάκις παρακαλοῦντες αὐτὸν τὰ κατὰ Εὐτυχέος δογματισθέντα παρὰ τῶν ἁγίων πατέρων καὶ μάλιστα παρὰ τῶν ἐν τῆι ἁγίαι καὶ οἰκουμενικῆι συνόδωι τῆι ἐν Χαλκηδόνι συναχθέντων καὶ τοῦ μακαριωτάτου πάπα Λέοντος ὁμολογῆσαι, φαμὲν δὴ τὸ εἶναι ἐν δύο φύσεσι τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀσυγχύτως ἀδιαιρέτως ἀτρέπτως ἀχωρίστως, καὶ συγκαταδικάζειν καὶ ἀναθεματίζειν μετὰ Νεστορίου καὶ Εὐτυχέος καὶ Διόσκορον τὸν γενόμενον Ἀλεξανδρείας ἐπίσκοπον τὸν τῆς ἀσεβείας Εὐτυχέος προστάτην καὶ ἔκδικον τὸν πάντων τῶν κακῶν γενόμενον αἴτιον, κατακριθέντα καὶ ἀναθεματισθέντα μετὰ Νεστορίου καὶ Εὐτυχέος παρὰ τῆς εἰρημένης ἁγίας ἐν Χαλκηδόνι συνόδου. ὃ δὲ διὰ τὴν μελετη-

O [- acrv], l

1 κατὰ τὴν O^{e} καὶ — Παλαιστίνας om. l 3 ἐλέω O^{e} rl Σινᾶ om. O^{r} 6–11 Παῦλος — ἐπέδωκα] καὶ οἱ λοιποί O^{r} om. l 6 ἐλέω O^{e} 12 ἀπήτω O^{av} 12/13 ὁ — ῥαιφερενδάριος θεόδωρος O^{e} 13 ὃ O^{r} παρόντες O^{aev}lΛ πάντες O^{r} 14/15 εἴ τι — μοναχοὶ om. O^{arv}l 16 ἐπέδωκαν] ὅπερ [εἴπερ l] ἐπέδωκαν O^{r}l 16 καὶ om. O^{e}Λ 18 inscr. γράμμα διδασκαλικὸν τῶν ἐν κωνσταντινουπόλει μοναχῶν πρὸς μηνᾶν πατριάρχην καὶ τὴν μετ' αὐτοῦ σύνοδον l 19 τραπεζουντίων l 20 ἐπιμέλειαν O^{e}Λ 25 αὐτοῖς l ἐκείνοις O τε om. O^{a} 30 ἱερωμένης O^{r} 31 ἐπερωτῶμεν O^{av} οὐ ΟΛ οὐδὲ l 32 τὰ l καὶ τὰ O εὐτυχοῦσ O^{r} 35 ἀδιαιρέτωσ ἀτρέπτωσ ἀσυγχύτωσ O^{e}Λ 36 μετὰ] κατὰ O^{r}

θεῖσαν κατὰ τῆς ἐκκλησίας βουλὴν μύων τοὺς τῆς οἰκείας διανοίας ὀφθαλμοὺς καὶ ἕνα καὶ μόνον σκοπὸν ἔχων ἅπαξ ὑπερβὰς τὴν θύραν τῆς μάνδρας τῶν Χριστοῦ τοῦ θεοῦ ἡμῶν προβάτων τὴν ποίμνην τοῖς λύκοις παραδοῦναι παρεκρούσατο τὰς ἡμετέρας ἐπερωτήσεις καὶ παρακλήσεις καὶ ἐπελάθετο τῆς τε ἀψευδοῦς τοῦ κυρίου περὶ τῆς αὐτοῦ ἐκκλησίας ἐπαγγελίας ὅτι πύλαι ἅιδου οὐ κατισχύσουσιν αὐτῆς καὶ τοῦ γραφικοῦ Mt. 16, 18 ἐκείνου ὅτι ἣν ἂν βουλὴν βουλεύσησθε, διασκεδάσει κύριος. δι' ὃ ὁ τὸ ἀκαταμά- Ies. 8, 10 χητον τῇι αὐτοῦ ἐκκλησίαι ἀεὶ κατὰ τῶν αἱρέσεων δωρησάμενος κύριος ἐξήγειρε τὸ πνεῦμα τοῦ τῆς πρεσβυτέρας Ῥώμης ἁγιωτάτου ἀρχιεπισκόπου Ἀγαπητοῦ καὶ δὴ θεοῦ βουλήσει καταλαμβάνει τήνδε τὴν πόλιν καὶ μαθὼν διά τε πλείστων καὶ ἡμετέρων λιβέλλων τὰ ἀθέσμως τολμηθέντα κατὰ τῆς τοῦ θεοῦ ἐκκλησίας οὐδὲ εἰς θέαν καθάπαξ παραδέξασθαι ἠβουλήθη τὸν κατὰ τῶν θείων κανόνων μανέντα Ἄνθιμον οὐδὲ συμμετασχεῖν αὐτῶι τῆς θείας κοινωνίας, ἀλλὰ τὴν ὕβριν ἐκδικῶν τῶν τε θείων κανόνων καὶ τῆς καθολικῆς πίστεως, L V 20 τοῦτον μὲν ἐξώθησεν οὗπερ μοιχικῶς καὶ ἀθέσμως ἐπέβη ἀρχιερατικοῦ θρόνου συνεπι- M VIII 894 σχύοντος τῆι τε καθολικῆι πίστει καὶ τῆι τῶν θείων κανόνων αὐθεντίαι τοῦ εὐσεβεστάτου καὶ πιστοτάτου ἡμῶν βασιλέως, τὴν δὲ ὑμετέραν μακαριότητα ἐπί τε ὀρθῆι πίστει ἄνωθεν καὶ ἐξ ἀρχῆς μαρτυρουμένην καὶ ἐπὶ σώφρονι βίωι καὶ σεμνῆι πολιτείαι καὶ τῆι ἐγχειρισθείσηι αὐτῆι τῶν ἀσθενούντων διακονίαι προεχειρίσατο ἀρχιερέα τῆιδε τῆι ἐκκλησίαι κατ' ἐπιλογὴν καὶ ψῆφον τῶν εὐσεβεστάτων ἡμῶν βασιλέων καὶ τοῦ εὐαγοῦς τῆσδε τῆς ἁγιωτάτης ἐκκλησίας κλήρου καὶ τῶν ἐν διαφόροις ἀξιώμασι καὶ ἀρχαῖς τελούντων φιλοχρίστων ἀνδρῶν καὶ ἡμῶν αὐτῶν καὶ πάντων ὁμοῦ τῶν ὀρθοδόξων Χριστιανῶν. ἐπεὶ οὖν ἐχρῆν τὸν ἐπὶ κακοδοξίαι φωραθέντα μηδὲ ἑτέρας ἄρχειν ἐκκλησίας ἢ διδασκάλου ὄνομα περιφέρειν τὸν μηδ' ὅλως μαθεῖν ἐθελήσαντα παρὰ τῶν ἁγίων πατέρων ἅπερ δέοι αὐτὸν τῶι λαῶι παραδιδόναι, εἰκότως καὶ περὶ τούτου λιβέλλους ἐπεδώκαμεν τῶι εἰρημένωι ἁγιωτάτωι Ἀγαπητῶι παρακαλοῦντες ἢ τὸν ἐγνωσμένον λίβελλον τῶι ἀποστολικῶι θρόνωι ἐπιδόντα τὸν εἰρημένον Ἄνθιμον ἐλευθερῶσαι ἑαυτὸν πάσης αἱρετικῆς πλάνης καὶ εἶθ' οὕτως, εἰ δοκιμάσοι ὁ εἰρημένος ὅσιος ἀνήρ, ἐπὶ τὴν Τραπεζουντίων τοῦτον ἐκπεμφθῆναι ἐκκλησίαν ἢ τοῦτο μὴ ἀνεχόμενον τοῖς αἱρετικοῖς συγκατακριθῆναι ἅπαξ τὴν μετ' ἐκείνων συνδιαγωγὴν τῆς αὐτοῦ ἐκκλησίας προτιμήσαντα καὶ ἕτερον ἀντ' αὐτοῦ τῆι εἰρημένηι ἐκκλησίαι προχειρισθῆναι ἐκ πολλοῦ χηρευούσηι ἐπισκόπου. ταύτας τὰς δικαίας ἡμῶν αἰτήσεις προσδεξάμενος ὁ εἰρημένος ὅσιος ἀνὴρ ἐν μὲν συστατικοῖς γράμμασι γενομένοις πρὸς τοὺς ἁγιωτάτους ἀρχιερεῖς ὑπὲρ τῆς ὑμετέρας ἁγιωσύνης, ἐπειδὴ ἀφανῆ ἑαυτὸν κατέστησεν ὁ εἰρημένος Ἄνθιμος, ἐγύμνωσε τοῦτον παντὸς ὀνόματος ἐπισκοπικοῦ τε καὶ καθολικοῦ, τουτέστιν ὀρθοδόξου, ἄχρις ἂν τὰ παραδεδομένα παρὰ τῶν ἁγίων πατέρων πάντα προσομολογήσηι, τοὺς δὲ ἡμετέρους λιβέλλους ἐξαπέστειλε τῶι εὐσεβεστάτωι ἡμῶν βασιλεῖ, ἐφ' ὧι τὰ ἐν αὐτοῖς αἰτηθέντα πέρατι παραδοθῆναι διὰ τῆς αὐτῶν εὐσεβείας. συμβὰν δὲ οὕτω παρὰ τοῦ σοφῶς τὰ καθ' ἡμᾶς οἰκονομοῦντος θεοῦ προσελήφθη οὗτος ὁ τίμιος ἀνὴρ καὶ προσετέθη τοῖς πατράσιν αὐτοῦ πλήρης πνευματικῶν ἡμερῶν ἀληθῶς κατὰ τῶν λύκων Gen. 25, 8

3 ἐκ τοῦ παρακρούεσθαι παρεῖχεν ὑπόνοιαν ὡς εἴη καὶ αὐτὸς ἐκείνοις συγκοινωνῶν O^e in mg. 24 cf. ad p. 132, 25 32 σῆ ἐντεῦθεν ὅτι πολὺν καιρὸν ἦν ἀρχιερατεύων ἐν Κωνσταντινουπόλει Ἄνθιμος, ὥστε οὐδὲν ἀπεικὸς καὶ ἀρχιερεῖς χειροτονῆσαι O^r in mg.

O [= aerv], I

2 καὶ om. O^e τοῦ χῦ τοῦ O^rI 3 τὰσ I τάσ τε O 6 ἂν om. I δι' ὃ ὁ] διότι O^r 7 ἀεὶ om. O^a 9 πλείστων ἑτέρων I 12 τε $O^{arv}I$ τε ἱερῶν καὶ $O^eΛ$ 13 μὲν om. O^a 14/15 πιστοτάτου καὶ εὐσεβεστάτου $O^eΛ$ 15 δὲ] δι O^r 16 σώφρονι — πολιτείαι $O^{arv}I$ ὀρθῆι καὶ σεμνῆι πολιτείαι καὶ σώφρονι βίωι $O^eΛ$ 20 τῶν om. O^{aev} 24 ἐπιδεδώκαμεν O^e 28 διαγωγὴν O^e 33 ἐπισκόπου $O^{arv}I$ ὀρθοδόξου] πιστοῦ O^rI 34 προσομολογήσει O^v προσομολογήσοι O^{ar} 36 δοθῆναι O^rI αὐτοῦ O^e 37 ὁ τίμιοσ οὗτοσ O^e

Mt. 23, 23 προπολεμήσας τῆς τοῦ ἀρχιποιμένος Χριστοῦ τοῦ θεοῦ ἡμῶν ποίμνης καὶ πιστὸς δοῦλος
Lc. 12, 42 ἐν τῶι πιστευθέντι ταλάντωι ἀποδειχθεὶς καὶ ἀπροσωπόληπτος οἰκονόμος ἑκάστωι ἐν καιρῶι διδοὺς τὸ σιτομέτριον. ἡμεῖς οὖν μετὰ τὴν μακαρίαν ἐκείνου κοίμησιν σύντομον πέρας ἐπιτεθῆναι τοῖς κινουμένοις σπεύδοντες δεήσεις ἀνατεινάμενοι τῶι εὐσεβεστάτωι ἡμῶν βασιλεῖ καὶ τὰ ἐν τοῖς προτέροις λιβέλλοις ἀνακεφαλαιωσάμενοι παρεκαλοῦμεν καὶ ἐνωρκοῦμεν τὴν αὐτοῦ εὐσέβειαν τὴν ἐπὶ τούτοις δικαίαν κρίσιν τοῦ ἐν ἁγίοις Ἀγαπητοῦ πληρῶσαι. ἡ οὖν αὐτῶν εὐσέβεια κἀν τούτωι Χριστιανικῶς κινουμένη καὶ πάντα τὰ εἰς ἐκκλησιαστικὴν κατάστασιν τείνοντα κανονικῶς περαιοῦσθαι βουλομένη τὰς τοιαύτας δεήσεις κατέπεμψε τῆι ὑμετέραι ἁγιωσύνηι, ἐφ' ὧι τὰ δοκοῦντα τοῖς θείοις κανόσιν ἐπὶ τῶι εἰρημένωι Ἀνθίμωι ψηφίσασθαι.

Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος καὶ ἡ ἐνδημοῦσα ἁγία σύνοδος εἶπεν Οἱ παρόντες
L V 21 ὁσιώτατοι ἐπίσκοποι τῆς πρεσβυτέρας Ῥώμης καὶ οἱ θεοφιλέστατοι διάκονοι τῆς ἀποστο-
M VIII 895 λικῆς καθέδρας, ἔτι γε μὴν καὶ οἱ εὐλαβέστατοι νοτάριοι τῆς αὐτῆς ἀποστολικῆς καθέδρας ἐπακούσαντες τῶν ἀναγνωσθέντων περί τε τῶν ἐπιδεδόσθαι λεγομένων λιβέλλων καὶ τῶν συνοδικῶν ἐπιστολῶν τῶν παρὰ Ἀγαπητοῦ τοῦ τῆς ἁγίας μνήμης ὅσα περὶ τούτων ἴσασι, δῆλα ποιεῖν ἀξιούτωσαν.

64 Καὶ ἀνέγνω φωνὴν Μηνᾶς ὁ θεοσεβέστατος ἀναγνώστης τῆς ἀποστολικῆς καθέδρας τῆς πρεσβυτέρας Ῥώμης καὶ νοτάριος σεκουνδοκήριος ἔχουσαν οὕτως

65 Οἱ σεπτότατοι ἐπίσκοποι καὶ οἱ σεβασμιώτατοι τῆς ἀποστολικῆς καθέδρας διάκονοι εἶπον· Ὅ τι παρὰ τοῦ ἐν ἁγίαι τῆι μνήμηι πατρὸς ἡμῶν τοῦ πάπα Ἀγαπητοῦ μοναχοὶ διαφόρων μοναστηρίων δι' ἐπιδοθεισῶν δεήσεων γενέσθαι ἤιτησαν, καὶ εἴ τι παρὰ τοῦ αὐτοῦ πατρὸς ἡμῶν περὶ Ἀνθίμου τοῦ Τραπεζουντίων ποτὲ γενομένου ἐπισκόπου ἐν ταῖς συνοδικαῖς ἐπιστολαῖς ταῖς ὑπὲρ τῆς χειροτονίας τοῦ ἁγιωτάτου Μηνᾶ ἀρχιεπισκόπου ταύτης τῆς βασιλευούσης πόλεως ὥρισται, μετὰ χεῖρας ἔχοντες ἐπιδίδομεν πρὸς ἀνάγνωσιν.

66 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος καὶ ἡ εὐαγὴς σύνοδος εἶπε· Τὰ προισχόμενα ἀναγινωσκέσθω.

67 Καὶ λαβὼν Ἀκάκιος νοτάριος καὶ διάκονος τὰς δεήσεις τάς τε ἐκ προσώπου τῶν μοναχῶν καὶ τὰς ἐκ προσώπου τῶν ἐπισκόπων ἀνέγνω

68 Τῶι δεσπότηι ἡμῶν τῶι ἁγιωτάτωι καὶ μακαριωτάτωι ἀρχιεπισκόπωι τῆς πρεσβυτέρας Ῥώμης καὶ οἰκουμενικῶι πατριάρχηι Ἀγαπητῶι παρὰ Μαριανοῦ πρεσβυτέρου καὶ ἐξάρχου τῶν μοναστηρίων τῆς βασιλίδος καὶ λοιπῶν ἀρχιμανδριτῶν τῆς αὐτῆς καὶ παρὰ τῶν ἐνδημούντων ἐν αὐτῆι Ἱεροσολυμιτῶν καὶ Ἀνατολικῶν ἀρχιμανδριτῶν καὶ μοναχῶν. Τὰ συνέχοντα τὰς ἁγίας τοῦ θεοῦ ἐκκλησίας κατανοοῦντες καὶ τοὺς ἐχθροὺς τοῦ θεοῦ ἐναβρυνομένους κατὰ ταύτης ὁσημέραι ὁρῶντες τὸν τοῦ θείου Γρηγορίου ἐπὶ τοῖς τοιούτοις ὀδυρμὸν εὐκαίρως προοιμιαζόμεθα πρὸς τὴν ὑμετέραν μακαριότητα λέγοντες

O [= aerv], I

2 εὐπροσωπόληπτος O^a 2/3 ἐν καιρῶ ἑκάστω O^{e}IΛ 3 διαδοὺς O^{av} 4 κεκινημένοις I 5/6 παρακαλοῦμεν O^{e}IΛ 6 ἐνορκοῦμεν O^{aer}IΛ 7 αὐτοῦ O^{e} 10 Ἱεροῖς καὶ θείοις O^{e}Λ ψηφίζεσθαι O^{av} 12 οἱ I om. O 13 ἔτι γε — καθέδρας O^{a} in mg., O^{rv}I om. O^{ae}Λ οἱ I om. O 14 ἐπιδιδόσθαι O^{r} 15 παρὰ] περὶ O^{a} ὁσίας I 18 νοταρίων O^{e}Λ σεκουνδουκήριος O^{r}I 20 ἁγίοις O 21 δι' I om. O καὶ I om. O 22 τραπεζουντίου O^{v} 22.23 ταῖς ἐπιστολαῖς ταῖς συνοδικαῖς O^{r}I 24 διδόαμεν O^{e} 25 προσισχόμενα O^{rv} 27 ὁ θεοσεβέστατος νοτάριος O^{e}Λ 28 θεοφιλεστάτων ἐπισκόπων O^{e}Λ 29 inscr. δέησις τῶν ἐν κωνσταντινουπόλει μοναχῶν πρὸς ἁγαπητὸν πάπαν ῥώμης I 31 τῶν λοιπῶν I 34 ἐναμβρυνομένους O^{a}

'ἔοικε τὴν παροῦσαν ζωὴν ἐπιλελοιπέναι καθόλου ἡ τοῦ θεοῦ κηδεμονία ἡ ἐν τοῖς ep. 202 [PG
πρὸ ἡμῶν χρόνοις τὰς ἐκκλησίας φυλάττουσα καὶ δὴ τοσοῦτον βεβάπτισται ἡ ἑκάστου 37, 329]
ψυχὴ ὑπὸ συμφορῶν, ὥστε τὰ μὲν ἴδια τῆς ζωῆς ἡμῶν ἀλγεινὰ μηδ' ἐν κακοῖς εἶναι λογίζεσθαι τοσαῦτα καὶ τοιαῦτα ὄντα, πρὸς μόνα δὲ βλέπειν τὰ κοινὰ τῶν ἐκκλησιῶν πάθη, ὧν εἰ μὴ γένοιτό τις ἐν τῶι παρόντι καιρῶι σπουδὴ πρὸς διόρθωσιν, πρὸς παντελῆ ἀνελπιστίαν κατὰ μικρὸν προελεύσεται.'

πολυτρόπως μὲν οὖν ἤδη ταῦτα ἐκδιηγησάμεθα, οὐχ ἧττον δὲ καὶ νῦν τὰς μεγάλας καὶ ἀνυποστάτους ἐπιβουλὰς τὰς κατὰ τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας ἐξαπλώσομεν. οἱ ἀπὸ τῆς μανίας Διοσκόρου καὶ Εὐτυχέος καταγόμενοι Ἀποσχίσται καὶ Ἀκέφαλοι 'οὐκ οἴδαμεν τίνος αὐτοὺς παρακινήσαντος εἰς ἀπόνοιαν, ὥσπερ τινὸς παρρησίας ἐπειλημμένοι τῆι νόσωι ἑαυτῶν ἐμπομπεύουσιν' παρασυνάγοντες καὶ παραβαπτίσματα καινοτομοῦντες, 'ὡς ἐξ ἐπιτροπῆς τοῦτο ποιοῦντες, ὡς καὶ ὄνομα ἐπισκόπων ἑαυτοῖς ἐπιφημίζοντες τοῖς καθ' ἡμᾶς τόποις φανερῶς ἐπιπολάζειν', καὶ ἀδεῶς πάντα τολμῶσιν οὐ κατ' ἐκκλησιῶν μόνων, οὐ κατὰ τῶν τῆς ἐκκλησίας τροφίμων, ἀλλ' ἤδη καὶ κατ' αὐτοῦ τοῦ εὐσεβεστάτου ἡμῶν βασι- M VIII 898
λέως καὶ τῆς ὑμετέρας τιμίας κεφαλῆς, ὡς πεφανέρωται τῆι ὑμετέραι μακαριότητι. τοσαύτη τῶν εἰρημένων ἡ μανία. εὑρόντες γὰρ κατά τινα οἶκον σχῆμα ἔχοντα εὐκτηρίου, ἐν ὧι μοναχοί τινες οἰκοῦσι τῶν τῆς ἐκείνων ἀθεμίτου συμμορίας, τὴν εἰκόνα τοῦ φιλοθέου ἡμῶν βασιλέως τῆι μανίαι τυφλώττοντες τὸ τοῦ πατρὸς αὐτῶν τοῦ διαβόλου πεπράχασιν, L V 24
ὃς μὴ δυνάμενος τῶι κτίστηι, κατὰ τοῦ πλάσματος τὴν αὐτοῦ ἐπιδείκνυται μανίαν. ὁρμήσας γὰρ εἷς ἐξ αὐτῶν ὁ περίφημος ἐν κακοῖς Ἰσαάκιος ὁ Πέρσης ὁ μαγγανείαι τινὶ χρώμενος καὶ ἐξαπατῶν τὰς καρδίας τῶν ἐθελόντων παρ' αὐτοῦ ἐξαπατᾶσθαι καὶ ἐγκλειόμενος εἰς τὰ Βηρίνης ἐπὶ πεντήκοντα ἡμέρας, ὡς οἱ τούτου συμμύσται καὶ ταῦτα ποιεῖν αὐτὸν παρασκευάζοντες πρὸς διαφθορὰν καὶ ἐξαπάτην τῶν ἁπλουστέρων διαφημίζουσιν, ἔτυπτε ῥάβδωι κατὰ τῆς κεφαλῆς τὴν εἰκόνα, ἐπιφθεγγόμενος τινὰ κατὰ τοῦ ὀρθοδόξου βασιλέως ἡμῶν, μᾶλλον δὲ κατὰ τοῦ θεοῦ, δι' ὃν καὶ τὴν εἰκόνα ἔτυπτε, τὰ μήτε ἀκοῆι χωρητὰ μήτε διανοίαι δεκτὰ καὶ κλασθείσης ἐν τῶι τύπτειν τῆς ῥάβδου, ὥσπερ ἐξαπορούμενος τί ἕτερον ἀτιμότερον πράξει εἰς τὴν τοῦ ἀνθρώπου τοῦ θεοῦ εἰκόνα, ἐπελθὼν διεσπάραξε τὴν γεγραμμένην σινδόνα καὶ τὸ παρ' αὐτοῦ διαρραγὲν ἐκ ταύτης πυρὶ παραδέδωκε. τί τοίνυν οὐκ ἂν ἔπραξε κατὰ τοῦ ὀρθοδόξου βασιλέως, εἰ τοῦτον μετ' ἐξουσίας ἐν χερσὶν ἔσχεν ὁ βίαιος οὗτος καὶ ἀλόγιστος ἀνήρ, ὅπου γε τῆς ἐν σινδόνι γραφῆς ἀψύχου οὐκ ἐφείσατο; καὶ δὴ τὸ τοῦ προφήτου πρὸς τὸν θεὸν καὶ πρὸς ὑμᾶς καὶ πρὸς τὸν εὐσεβέστατον ἡμῶν βασιλέα ἀπολεγομένους ἁρμόδιον λέγειν ἕως τίνος κεκραξόμεθα, καὶ οὐ μὴ εἰσα- Habac. 1, 2
κούσητε; βοησόμεθα πρὸς ὑμᾶς ἀδικούμενοι, καὶ οὐ σώσετε; 'εἰ γὰρ οἱ ταῦτα καὶ φρονοῦντες' καὶ ποιοῦντες ὁμοτίμως συνδιάγειν ἡμῖν κατὰ πάντα καιρὸν καὶ τόπον ἐπιτρέπονται, σκοπεῖτε, μακαριώτατοι, 'ὅτι μὴ συμβαινόντων ἡμῶν οἷς ἐκεῖνοι φρονοῦσι', μηδὲ ἀναστελλομένης τῆς τούτων παροινίας τὸ λαβεῖν αὐτοὺς ἐξουσίαν συνάξεως ἢ τὸ συγχωρηθῆναι αὐτοὺς τοιαῦτα τολμᾶν 'οὐδὲν ἕτερόν ἐστιν ἢ ἀληθεστέρους τοῦ καθ' ἡμᾶς δόγματος νομισθῆναι' καὶ ἀδικωτέρους καὶ βιαιοτέρους ἀπεργασθῆναι καθ' ἡμῶν. 'εἰ γὰρ ὡς εὐσεβοῦν-

9sq. 33 sq. signaui etiam ea quae sine nomine ex Gregorio sumpta sunt

O [= aerv], I

5 μὴ O^{arv}IΛ μὲν O^{e} γένηται O^{r}I 7 ἐκδιηγησάμεθα I ἐκδιηγησάμενοι O καὶ om. O^{r} 8 ἀνυποστάτους O^{arv}I ἀνυποίστους O^{e} ἐξαπλώσωμεν O^{e} 12 ὡς om. O^{e} 13 καὶ IΛ om. O τολμῶσιν O^{r}IΛ τολμῶντες O^{aev} μόνον O^{ar}I 15/16 τοσαύτη γὰρ I 16 ἡ om. O^{av} οἶκον O^{aev}Λ τόπον I τόπον οἶκον O^{r} 19 αὐτοῦ] οἰκείαν O^{r}I 20 εἷς om. I Ἰσαάκκιος O^{e} 21 ἐγκλειόμενος scripsi ἐγκαιόμενος O^{aev}IΛ ἐκκαιόμενος O^{r} 27 ἀτιμώτερον O^{v} om. O^{e} πράξοι O^{aer} ἐπελθὼν ἀτιμότερον O^{a} 28 σιδόνα O^{r} 29 ἐν χερσὶν om. O^{r} 30 εἶχεν O^{e} 32 βασιλέα ἡμῶν O^{e} ἀπολογουμένους O^{ar}I 33 βοησόμεθα — σώσετε om. O^{av} σώσητε O^{er} οἱ] εἰ I τοιαῦτα O^{av} 34 καὶ^{1} O^{r}I om. O^{aev}Λ τόπον I τρόπον OΛ 36/37 αὐτοὺς om. I 37 ἡμᾶς O^{a} 38/p. 138, 1 εὐσεβεῖς O^{r}I

τες ἐκεῖνοι διδάσκειν ὡς φρονοῦσι, καὶ κηρύττειν ἐν παρρησίαι τὸ καθ' ἑαυτοὺς ἐπιτρέπονται δόγμα, δῆλον ὅτι κατέγνωσται ὁ τῆς ἐκκλησίας λόγος ὡς τῆς ἀληθείας παρ' αὐτοῖς οὔσης. δύο γὰρ ἐναντίους λόγους περὶ τοῦ αὐτοῦ πράγματος ἀληθεῖς εἶναι φύσιν οὐκ ἔχει', φησὶν ὁ
p. 333 μέγας Γρηγόριος. ἐπειδὴ οὖν ἐκ ταύτης τῆς αἰτίας εἰς πολλοὺς οἴκους τῶν ἐν ὑπεροχῇ ι
2. Tim. 3, 6. 7 ὄντων εἰσδύνοντες ἄτοπά τινα διαπράττονται αἰχμαλωτίζοντες γυναικάριά τινα 5
σεσωρευμένα ἁμαρτίαις ἀγόμενα ἐπιθυμίαις ποικίλαις πάντοτε μανθάνοντα καὶ μηδέποτε εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν δυνάμενα, ἀλλὰ μὴν καὶ ἐν αὐτοῖς τοῖς ἰδιωτικοῖς οἴκοις καὶ ἐν προαστείοις θυσιαστήρια καὶ βαπτιστήρια ἀντεγεί-
M VIII 899 ροντες τῶι ἀληθινῶι θυσιαστηρίωι καὶ τῇι ἁγίαι κολυμβήθραι πάντων ὁμοῦ κατεφρόνησαν διὰ τὴν ἀπονεμομένην αὐτοῖς προστασίαν παρὰ τῶν ἔν τε τῶι δεσποτικῶι οἴκωι καὶ τῶν 10
ἄλλωι τρόπωι τινὶ δυναστευόντων, μὴ ὑπομείνητε, μακαριώτατοι, 'μὴ χρήσασθαι τῇι συνήθει παρρησίαι εἰς διόρθωσιν τοῦ τοσούτου κακοῦ', ἀλλ' ὥσπερ τὸ πρότερον ἐπὶ 'Ανθίμωι διανέστητε καὶ τὸν διὰ δορᾶς προβάτου περικαλύψαι τὸν λύκον ἐπιχειρήσαντα καὶ ὑπερβῆναι τὴν θύραν τῶν ἐκκλησιαστικῶν θεσμῶν καὶ κανόνων καὶ ληιστρικῶς ἐπιβάντα τῆς τῶν προβάτων μάνδρας ἀπογυμνώσαντες τῆς δορᾶς ἐφ' ἑαυτοῦ ἀπεδείξατε πόρρω που 15
τῆς μάνδρας ἀπελάσαντες, οὕτω καὶ νῦν ἐπαγρυπνήσατε καὶ διδάξατε τὸν εὐσεβέστατον
L V 25 ἡμῶν βασιλέα ὅτι 'οὐδὲν κέρδος αὐτῶι', καθά φησιν ὁ θεῖος Γρηγόριος, 'τῆς λοιπῆς αὐτοῦ περὶ τὰς ἐκκλησίας σπουδῆς, εἰ τὸ τοιοῦτο κακὸν ἐπὶ καθαιρέσει τῆς ὑγιαινούσης πίστεως διὰ τῆς παρρησίας αὐτῶν κατισχύσοι' καὶ συγχωρηθεῖεν ἔτι οὗτοι πρὸς διαφθορὰν τῆς ἐκκλησίας ἐμφωλεύειν τοῖς δεσποτικοῖς οἴκοις καὶ ἰδιωτικοῖς καὶ τὰ ἄθεσμα ἐν τούτοις πράτ- 20
τειν. καὶ ταῦτα μὲν τέως φέρομεν καίπερ ὑπὸ τῶν δεινῶν κατακαμπτόμενοι, εἰ καὶ ἀνύποιστα, ἐλπίδας ἔχοντες εἰς τὸν φιλάνθρωπον θεὸν τὸν καιρῶι εὐθέτωι τὴν ὑμετέραν παρουσίαν ἡμῖν ἀναδείξαντα, ὅτι ὥσπερ Πέτρον τὸν μέγαν τὸν τῶν ἀποστόλων κορυφαῖον τοῖς ἐν 'Ρώμηι ἐπὶ καθαιρέσει τῆς Σίμωνος γοητείας ἐξαπέστειλεν, οὕτως καὶ ὑμᾶς ἐξαποστείλας ἐπὶ καθαιρέσει καὶ ἀποδιώξει τῆς Σεβήρου καὶ Πέτρου καὶ Ζωόρα καὶ τῶν 25
τὰ ὅμοια αὐτοῖς φρονούντων καὶ παντοίαις περιθαλπόντων τιμαῖς πρὸς ἀτιμίαν θεοῦ βλασφημίας τε καὶ ὑπερηφανίας δύναμιν ὑμῖν ἐπιχορηγήσει συνεπισχύοντος ὑμῖν καὶ τοῦ πιστοτάτου καὶ θεοφυλάκτου ἡμῶν βασιλέως τούτους ἐξελάσαι πάσης ἐκκλησίας καὶ πόλεως ὡς ἐπιβούλους καὶ λυμεῶνας οὐ μόνον τῶν ἁγιωτάτων ἐκκλησιῶν, ἀλλὰ καὶ τῆς πολιτείας αὐτῆς. πρὸς γὰρ τὴν αὐτοῦ κακίαν ἐπιτήδεια ὄργανα εὑρὼν τούτους ὁ μισόκαλος 30
πᾶσαν ἀνάστατον πεποίηκε τὴν οἰκουμένην καὶ αἵμασιν ἁγίων τὴν γῆν κατεμόλυνε καὶ πόλεις σφαγαῖς καὶ θορύβοις συνετάραξεν. ἐξελάσετε οὖν τούτους, εὖ ἴσμεν, εἰ τὸν εὐσεβέστατον ἡμῶν βασιλέα καὶ τοὺς τούτου φιλοχρίστους ἄρχοντας διδάξετε ὡς κοινωνοῦσι
Ios. 7, 1 sq. τῶι ἀναθέματι ἐν μέσωι ἔχοντες τὸ ἀνάθεμα, ὥσπερ ὑπέδειξεν ἡμῖν ἡ παλαιὰ γραφὴ ἐπὶ
1. Reg. 14, Ἄχαρ καὶ Ἰωνάθαν τοὺς ἐν γνώσει καὶ ἀγνωσίαι ὑποπεσόντας τῶι ἀναθέματι καὶ ταῦτα 35
24 sq. τῶν κινδυνευσάντων συναπολέσθαι τούτοις ἀγνοούντων ὅτι ἐν μέσωι αὐτῶν ἦν τὸ ἀνάθεμα, ὑπομνήσετέ τε τὸ φιλόθεον αὐτοῦ κράτος προσαγαγεῖν τῶι θεῶι καὶ τοὺς παρ' αὐτῶν τῆς ὀρθῆς ἀπαχθέντας πίστεως ἢ τοῦτο μὴ ἀνεχομένους τοὺς κατὰ τῆς ἐκκλησίας ἐπιβούλους ἀπώσασθαι. ὡς γὰρ οὐ διέλαθε τὴν σὴν μακαριότητα, καίπερ τοῦ εὐσεβεστάτου

O [= aerv], I

2 ὁ] τὸ I λόγος om. OrI 3 ἀληθεῖσ εἶναι περὶ — πράγματοσ Oe 4 ἐν om. Oarv 5 τινα Oe om. OarvI 7 ἐλθεῖν om. Or 8 προαστείοισ εἰσ Or 8/9 ἀνεγείροντεσ Oa 10 παρά τε τῶν ἐν τῶ I 11 χρήσασθε Or 15 ἑαυτοῦ I ἑαυτὸν O 18 τοιοῦτον OeI καθαιρέσεωσ Ov 19 διὰ — διαφθορὰν] καὶ OrI οὕτωσ Oav 20 ἐμφωλεύει I οἴκοις καὶ ἰδιωτικοῖς IΛ καὶ ἰδιωτικοῖσ οἴκοις Oe καὶ ἰδιωτικοῖσ Oarv 20/21 πράττει I 22 ἐν καιρῶ Or 23 ὑμῖν Ov τὸν² om. OrI 26 τούτοισ Ov 27 χορηγήσει Oarv 28 πάσησ ἐξω Oe 31 ἐποίησε Oav 32 τὰσ πόλεισ I καὶ om. Oav 32 ἐξελάσατε OerIΛ 33 διδάξατε Or διδάξητε Oe 37 ὑπομνήσητέ Oev

ἡμῶν βασιλέως κελεύσαντος μήτε παρασυνάξαι μήτε παραβαπτίσαι, Ζωόρας ὅμως γοῦν
τῆς τοιαύτης καταφρονήσας κελεύσεως κατεβάπτισεν ἐν τῇ τοῦ πάσχα ἡμέραι οὐκ ὀλίγους, d. 23. m.
ἐν οἷς ἦσαν καὶ παῖδες τῶν τῶι δεσποτικῶι παραμενόντων οἴκωι, ὡς κατέθετο ὁ ἀπ' αὐτῶν Mart. a. 536
δυνηθεὶς θεοῦ χάριτι ἐκσπασθῆναι καὶ εἰς τὴν τοῦ θεοῦ ἐκκλησίαν ἐπαναδραμεῖν. καὶ
ἐν ἄλλοις δὲ τόποις καὶ οἴκοις τῶν ἐν ὑπεροχῆι ὄντων τὰ αὐτὰ τούτοις πέπρακται. ἀλλὰ M VIII 902
εἰ οὗτοι μόνοι τὴν τοῦ θεοῦ ἐκκλησίαν διετάραττον καὶ παρελύπουν, ἐστήσαμεν ἂν μέχρι 6
τούτων τὸν ὀδυρμόν, ἀλλ' ἐπειδὴ καὶ ὑπὸ τῶν δοκούντων ἐντὸς ταύτης εἶναι καὶ εἰς ἀρ-
χιερέων τάξιν τελεῖν παντοίως ἐκπορθεῖται, καιρὸς τὸ τοῦ ψαλμοῦ περὶ αὐτῶν εἰπεῖν εἰ ὁ ἐχ- Ps. 54. 13–15
θρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν, καὶ εἰ ὁ μισῶν με ἐπ' ἐμὲ ἐμεγαλορρημόνη-
σεν, ἐκρύβην ἂν ἀπ' αὐτοῦ· σὺ δέ, ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου καὶ 10
γνωστέ μου, ὃς ἐπὶ τὸ αὐτὸ ἐγλύκανάς μοι ἐδέσματα, ἐν τῶι οἴκωι τοῦ
θεοῦ ἐπορεύθημεν ἐν ὁμονοίαι. τοιοῦτοι πεφήνασιν ἔνιοι τῶν ἐνδιατριβόντων
κατὰ τὴν μεγάλην καὶ βασιλίδα καὶ πρώτην τῶν πόλεων, ὄνομα μὲν ποιμένων ἐπιφερόμενοι,
τὸ δὲ ὅλον λύκοι ἅρπαγες, ὧν μάλιστα ὑπάρχει Ἄνθιμος ὁ Τραπεζούντων καὶ ἄλλοι ἄλλων L V 28
πόλεων. οὗτος γὰρ καὶ οἱ ὅμοιοι τούτωι ἐξ αἱρετικῶν Ἀκεφάλων ὄντες πρὸς μικρὸν 15
ὑποκρινάμενοι τὴν ὀρθοδοξίαν ταῖς ἐκκλησίαις εἰσέφρησαν ὥσπερ τινὲς Αἰγυπτιακαὶ μάστι-
γες. οἵτινες μηδαμῶς ταῖς ἰδίαις ἐκκλησίαις σχολάζειν ἐθέλοντες, τοῦτο μόνον καλῶς φρο-
νοῦντες, ἵνα μὴ λυμαίνωνται τὰς κατακριθείσας αὐτοῖς ἐκκλησίας , τὸ ἕτερον κακῶς ἐφρόνη-
σαν ἐν πλήθει διάγειν τοσούτωι ἐν τῆι βασιλευούσηι, ἵνα πολλοὺς τῶι ἰδίωι βαράθρωι
συγκατασπάσωσι. ἐξασκήσας γὰρ ὁ εἰρημένος Ἄνθιμος οὐ τὴν εὐαγγελικήν, ἀλλὰ τὴν 20
πεπλασμένην ζωήν, ὡς τὸ τέλος ἔδειξεν, ἀπολιπὼν τὴν ἐμπιστευθεῖσαν αὐτῶι ἐκκλησίαν
Τραπεζούντων ἐπέβη τῆσδε τῆς πόλεως πρὸ τούτων φανερῶν ἐνιαυτῶν ἐκπομπεύων πᾶσι
τὴν ἐσχηματισμένην τῆς οἰκείας πολιτείας ἐγκράτειαν καὶ πορισμὸν ἐκ τούτου ποιούμενος 1. Tim. 6, 5
τὴν εὐσέβειαν. συναρπάσας οὖν διὰ ταύτης ἠδυνήθη καὶ τοῖς βασιλείοις εἰσδῦναι ἐκεῖθεν

---

16 ὑπεκρίνετο τὴν εὐσέβειαν καὶ ὡς ὀρθόδοξος χειροτονηθεὶς Τραπεζοῦντος ὕστερον ὡς εὐσεβὴς ἅμα καὶ ἐγκρατὴς καὶ τὴν μεγαλόπολιν προύπιεν. ὡς μὲν οὖν παρὰ κανόνας προχειρισθέντα εἰς Κωνσταντινούπολιν κατὰ μετάστασιν ἢ μετάβασιν καὶ ἄνευ ἐξετάσεώς τε καὶ κρίσεως ὁ μακάριος Ἀγαπητὸς αὐτὸν τοῦ θρόνου ἀπεσκοράκισεν, ὡς δὲ ὑπόνοιαν ἔχοντα φρονεῖν τὰ τῶν αἱρετικῶν (καὶ γὰρ ὑπομνησθεὶς κατ' αὐτῶν οὐδὲν ἐφρόνησεν ὑγιὲς εἰς εὐσέβειαν οὐδὲ κεκίνητο κατ' αὐτῶν), λιβέλλους ἀπήιτουν αὐτὸν κατὰ τῆς αἱρέσεως, ἵνα ἀποτριψάμενος τὴν ὑπόνοιαν πάλιν τὸν Τραπεζοῦντος θρόνον κληρώσηται· εἰ δὲ μή, κἀκεῖνον προσαπολέπειε καὶ ὡς αἱρετικὸς ἀναντιρρήτως λογίζοιτο. τάχα δὲ καὶ τὸ ἐξ αἱρετικῶν εἶναι καὶ Ἀκεφάλων ἐκ τοῦ μὴ εὑρεθῆναι καὶ πρώην καὶ μετὰ ταῦτα ὑπονενόηται. ἔλεγχος γὰρ αὐτοῦ φανερὸς τῆς αἱρέσεως οὐχ εὑρίσκεται. διὰ μόνην ἄρα τὴν παρὰ κανόνας ἀπὸ ταπεινοτέρου θρόνου ἐφ' ὑψηλότερον μετάστασιν καὶ ἄνευ κρίσεως τῶν τῆς Κωνσταντινουπόλεως ἀπελήλατο καὶ οὐ διὰ τὴν αἵρεσιν. εἰ γὰρ διὰ ταύτην κατεβιβάσθη, πάντως καὶ τῆς Τραπεζοῦντος αὐτὸν ἔδει ἀπελαθῆναι καὶ μὴ διὰ λιβέλλων δόσεως αὐτὴν ἐπιτρέπεσθαι, ὥσπερ καὶ εἰ μὴ ὁ τῆς μεταστάσεως κανὼν διεκώλυεν, ἔδει τὴν Κωνσταντινούπολιν ἔχειν δόντα λιβέλλους οἵους ἀπητεῖτο καὶ ἐπὶ τῆι τῆς Τραπεζοῦντες ἐκκλησίαι, καὶ ἀποτριψάμενον τὴν ἀσέβειαν. ὅτι δὲ οὐχ ὡς αἱρετικὸς ἁπλῶς, ἀλλ' ὡς ὑπόνοιαν ἔχων αἱρετικοῦ ἐνεκαλεῖτο, δηλοῖ μὲν καὶ τὸ ἐπιτρέπεσθαι πάλιν τὴν Τραπεζοῦντος, δηλοῖ δὲ καὶ ὁ συνοψίσας τὰς συνόδους ἁπάσας [L V 275 M VIII 1162] Μανιχαίων λέγων αὐτὸν δεδωκέναι ὑπόνοιαν, ὥστε ἐξ ὑπονοίας οὐκ ἂν οὐδὲ τοῦ τῆς Κωνσταντινουπόλεως ἐδεδίωκτο, εἰ μὴ τοῖς περὶ μεταστάσεως κανόσι προσέκρουσεν: — O^c in mg.

O [aerv], I
1 ὅμως om. O^{av} 2 οὐκ ὀλίγους ἐν τῆ τοῦ πάσχα ἡμέρα O^a 5/6 ἀλλ' ἀεὶ $O^eΛ$ ἀλλὰ καὶ εἰ O^rI 6 τὴν ἐκκλησίαν τοῦ θῦ O^r 7 τὸ ἐντὸσ O^r 8 ὅτι εἰ I 11 γνῶστα O^v 12 διατριβόντων $O^{av}I$ 13 τὴν μεγάλην — πόλεων $O^eΛ$ κωνσταντινούπολιν $O^{arv}I$ 14 τραπεζοῦντος O^e τραπεζουντίων I 16 εἰσέφρησαν ἑαυτοὺσ I 17 μηδαμῶς om. O^{av} ἐθέλοντες σχολάζειν O^e μὴ σχολάζειν O^a corr. μόνω O^v 18 λυμαίνωνται — ἐκκλησίασ $O^{arv}I$ τὰς κατακριθείσας αὐτοῖς λυμαίνωνται $O^eΛ$ 19/20 συγκατασπάσωσι τῶ — βαράθρω O^e 20 ἐγκατασπάσωσιν I 21 ἐκκλησίαν αὐτῶ O^e 22 τῶν τραπεζοῦντων O^e τραπεζοῦντοσ O^rI 24 ἐκεῖθεν εἰσδύναι O^e

ὥσπερ ἐπαύξειν προσδοκῶν τὴν ὕπουλον τῆς οἰκείας ζωῆς ὑπόληψιν καὶ συνδιαιτηθεὶς ἐπὶ πολλοὺς χρόνους τοῖς ἐμφωλεύουσιν ἐνταῦθα αἱρετικοῖς καὶ τὰ ἐκείνοις κεχαρισμένα καὶ πράττων καὶ λέγων οἷα νοσῶν τὴν ὁμοίαν αὐτοῖς αἱρετικὴν μανίαν, ἐπειδὴ ἐν ἐσχάτοις διακείμενον ἐθεώρησε τὸν τῆς ὁσίας μνήμης Ἐπιφάνιον, μηχανᾶταί τι ὅπερ ἄντικρυς τὸν αὐτοῦ διεφθαρμένον ἤλεγξε σκοπόν. ὥσπερ γὰρ ἐπειγόμενος πᾶσι παραστῆσαι τῆς μακρᾶς αὐτοῦ ἐνταῦθα προσεδρίας τὸν δόλον καὶ τὸ πολλοῖς ἀπορούμενον καὶ τοῖς συνετωτέροις μόνον ὑποπτευόμενον εἰς φανερὸν καὶ ἄκων ἐνέγκαι ἐξεβιάσθη· πρὸ πολλοῦ γὰρ προὔπινε τὴν μοιχικὴν ἁρπαγὴν τῆς βασιλίδος ἐκκλησίας. τοῦτο οὖν ἠδυνήθη διὰ τῆς ἐκείνων συνάρσεως καὶ τὸν εὐαγῆ τῆσδε τῆς πόλεως θρόνον ὑφαρπάσαι καὶ εἰς τοσαύτην διοίκησιν προαχθῆναι τῆς ἰδίας ἀμελήσας ἐκκλησίας καὶ χήραν καὶ ἄνανδρον μέχρι τοῦδε ταύτην καταλιπών, ἐξ οὗ καὶ τὸν δόλον τῆς πεπλασμένης πολιτείας προφανῆ πᾶσιν ἀπέδειξεν. μικρᾶς γὰρ ἀντέχεσθαι ἐκκλησίας ὑπερηφανήσας εὐθὺς εἰς τοσοῦτον ἀσύγκριτον ἐκείνης ἐκκλησίαν ἑαυτὸν ἐπέδωκεν ὡς ἱκανὸν ὄντα ταύτης ἐπιμελεῖσθαι. ἐπειδὴ οὖν δικαίως οὗτος ἐπιτετίμηται παρ' ὑμῶν καὶ ἐκβέβληται τοῦ θρόνου τῆς βασιλίδος ταύτης πόλεως τοῦ πιστοτάτου ἡμῶν βασιλέως τὴν δικαίαν ὑμῶν ἐπὶ τούτωι ἀγανάκτησιν προσδεξαμένου καὶ συνεπαμύναντος τοῖς τε θείοις κανόσι καὶ τῆι καθολικῆι πίστει, οὐ βούλεσθε δὲ
Lc. 5. 32 τὴν παντελῆ τούτου ἀπώλειαν ὡς τὸ ἐπιστρέψαι αὐτόν (μιμεῖσθε γὰρ Χριστὸν τὸν θεὸν ἡμῶν τὸν ἐλθόντα καλέσαι οὐ δικαίους ἀλλ' ἁμαρτωλοὺς εἰς μετάνοιαν καὶ οὕτως πατρικοῖς
M VIII 903 σπλάγχνοις, εἰ ἐπιγνοὺς τὴν οἰκείαν ἁμαρτίαν ἐπιστρέψει, προσδέχεσθε), ὁρκίζομεν τὴν ὑμετέραν μακαριότητα, εἰ καὶ τολμηρόν τι ποιοῦμεν, κατὰ τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος καὶ τοῦ κορυφαίου τῶν ἀποστόλων Πέτρου καὶ τῆς σωτηρίας καὶ νίκης τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως μὴ περιιδεῖν τοὺς θείους κανόνας ὑπὸ τούτου καταπατουμένους μηδὲ περιφρονουμένην παρ' αὐτοῦ τὴν παραδοθεῖσαν αὐτῶι ἐκκλησίαν, ἀλλ' ἐξακολουθοῦσαν ἐν ἅπασι τοῖς πρὸ αὐτῆς διαλάμψασιν ἐν τῶι ἀποστολικῶι ὑμῶν θρόνωι πρᾶξαι ἐπ' αὐτῶι
L V 29 ἔτι καὶ νῦν κατὰ τῆς τῶν κανόνων αὐθεντίας νεανιευομένωι καὶ προτιμήσαντι τὴν μετὰ τῶν εἰρημένων αἱρετικῶν συνδιαγωγὴν τῆς ἰδίας ἐκκλησίας, ἅπερ ὁ ἐν ἁγίοις Κελεστῖνος ἐπὶ Νεστορίωι τῶι δυσσεβεῖ φαίνεται διαπραξάμενος. προθεσμίαν αὐτῶι παρέχοντες ὥσπερ οὖν κἀκεῖνος Νεστορίωι, ἧς ἐντὸς ἐὰν μὴ ἀπαντήσας τὸν εἰρημένον λίβελλον τῆι ἀποστολικῆι ὑμῶν καθέδραι ἐπιδῶι τῆι τε ὑμετέραι μακαριότητι καὶ τῶι ἁγιωτάτωι τῆς βασιλίδος ἀρχιεπισκόπωι καὶ τῆς αἱρετικῆς νόσου ἑαυτὸν ἀπαλλάξηι καὶ ἐπὶ τὴν ἐμπιστευθεῖσαν αὐτῶι τῆς Τραπεζουντίων ἐξορμήσηι ἐκκλησίαν, ὁρίσατε, ἁγιώτατοι, ἀλλότριον μὲν αὐτὸν εἶναι καὶ γυμνὸν πάσης ἀρχιερατικῆς ἀξίας τε καὶ ἐνεργείας τῶι κρίματι ὑποβαλόντα ἑαυτὸν τῶν εἰρημένων αἱρετικῶν καὶ τὴν μερίδα τούτων ἀσπασάμενον, ἕτερον δὲ ἀντὶ τούτου τῆι ἐκκλησίαι Τραπεζούντων προχειρισθῆναι. ἐπειδὴ δὲ οὐ μόνον οὗτος, ἀλλὰ καὶ ἕτεροι ἐπίσκοποί τε καὶ κληρικοὶ καὶ ἀρχιμανδρῖται εὐαρίθμητοι ἐπιβουλαῖς χρώμενοι κατὰ τῆς τοῦ θεοῦ ἐκκλησίας καὶ διὰ τοῦτο καὶ μόνον τῆιδε τῆι πόλει ἐνδιατρίβοντες ταραχὰς

O [= aerv], I

1 ὑπόληψιν τῆς — ζωῆς O^{r} 2 τοῖς I καὶ τοῖσ O καὶ= om. $O^{aevΛ}$ 3/4 τὸν — ἐπιφάνιον ἐν ἐσχάτοις ἐθεώρησε διακείμενον O^{e} 5 διήλεγξε διεφθαρμένον O^{e} 5—6 τῆσ μακρᾶσ — δόλον πᾶσι παραστῆσαι $O^{r}I$ 5 μικρᾶσ O^{av} 6 ἐνταῦθα om. O^{a} αὐτοῦ ἐνταῦθα $O^{rv}I$ ἐνταῦθα αὐτοῦ O^{e} προσεδρείσ O^{e} παρεδρίασ $O^{r}I$ προεδρίασ O^{av} καὶ τὸ om. I 7 προύτινε O^{v} προύτεινε O^{a} 9 θρόνον τῆσδε ἁρπάσαι τῆς πόλεως O^{e} 10 ταύτην om. O^{av} 11 καὶ om. I πεπλανημένησ O^{v} 12/13 ἐκκλησίαν ἐκείνησ O^{e} 13 ἐκκλησίασ θρόνον $O^{r}I$ ἑαυτῶ O^{v} ἐπεὶ O^{r} 14 ἡμῶν O^{r} 16 συνεπαμύνοντοσ O^{av} 17 ὡς] εἰσ I ἐπιστρέψαι καὶ ζῆν $O^{r}I$ μιμεῖσθαι O^{r} 18 εἰς] εἰ O^{r} οὕτως $O^{r}I$ πάντωσ $O^{aevΛ}$ 19 προσδέχεσθαι O^{r} τοῦτον προσδέχεσθε I 20 ὑμῶν O^{r} ὁμοουσίου καὶ ἁγίασ O^{r} 23 ἐξακολουθήσαντα O^{av} 24 αὐτοῦ O^{av} 26 αἱρετικῶν om. O^{r} 27 παρέχοντεσ αὐτῶ O^{r} αὐτῶ παρέχοντασ I 30 ἐπὶ om. I 31 τῆσ $O^{rv}I$ τὴν O^{a} om. O^{e} τραπεζοῦντοσ O^{e} ἐκκλησίαν ἐξορμήση O^{e} 32 ὑποβάλλοντα O^{r} 34 τραπεζουντίων $O^{e}I$ δὲ om. O^{av}

παρέχειν καὶ ταύτηι καὶ ταῖς ἁπανταχοῦ ἐκκλησίαις κατ' οὐδένα τρόπον παραιτοῦνται, δεόμεθα καὶ τοὺς τοιούτους ἅπαντας παρ' ὑμᾶς ἀχθῆναι καὶ εὐθύνας ὑποσχεῖν τὰς τοῖς κανόσι πρεπούσας, δηλονότι καὶ ἐπὶ τοῦ προειρημένου Ἀνθίμου, καὶ τούτων δὲ πάντων γρηγορούσης τῆς δικαιοκρισίας τῶν παρ' ὑμῶν καλῶς φυλαττομένων κανόνων, ἵνα μικρὸν ἀναψύξηι ἡ τοῦ θεοῦ ἐκκλησία τούτων ἐλευθερουμένη καὶ μάθωσιν οἱ τῆι ποιμαντικῆι καὶ τῶι κλήρωι προσελθεῖν τούτωι τῶι τρόπωι βουλόμενοι ὡς οὐκ εἰς τέλος παρασιωπήσεται κύριος, ἀλλ' ἐπαγρυπνήσει ἐπὶ τοὺς τοιούτους ποιμένας, ἐφ' οὓς κατὰ τὸν προφήτην καὶ παρωξύνθη ὁ θυμὸς αὐτοῦ. οὗτοι γὰρ οὗτοι ποιμαίνοντες οὐ τὰ πρόβατα, ἀλλ' ἑαυτοὺς καὶ βδελυσσόμενοι κρίμα καὶ πάντα τὰ ὀρθὰ διαστρέφοντες παρ' οὐδὲν ἔθεντο τὴν κατὰ τῆς ἐκκλησίας ἐπιβουλὴν καὶ τὴν κατὰ τῶν ἁγίων πατέρων βλασφημίαν. ἣν ἐκδικοῦντες, μακαριώτατοι, προσδέξασθε τὴν ἡμετέραν ἱκεσίαν καὶ τὴν παρὰ τοῦ θεοῦ δοθεῖσαν ὑμῖν ἐξουσίαν ἐπ' αὐτοῖς κινήσαντες καθαρίσατε τὴν τοῦ θεοῦ ἐκκλησίαν τῶν λύκων ἐπαφέντες αὐτοῖς οὐ τὴν ποιμαντικήν, ἀλλὰ τὴν παιδευτικὴν ὑμῶν ῥάβδον. κἂν γὰρ μετανοεῖν ἐπαγγείλωνται, ἡ προλαβοῦσα αὐτῶν ζωὴ ἄλλοτε ἄλλως τοῖς καιροῖς καὶ οὐ τῆι ἀληθείαι συμμεταβαλλομένη πιστεύεσθαι τὰ ποίμνια τούτοις οὐκ ἐπιτρέπει. τούς γε μὴν τὴν τοῦ θεοῦ ἐκκλησίαν ἀρνησαμένους καὶ ἔξω ταύτης δικαίως καταστάντας αἱρετικοὺς Σεβῆρον καὶ Πέτρον καὶ Ζωόραν καὶ τοὺς τὰ ὅμοια τούτοις φρονοῦντας, ἐφ' οἷς τὴν ὑμετέραν κρίσιν ἐξεδέχετο ὁ εὐσεβέστατος βασιλεύς, ἤδη κατακεκριμένους ὑπό τε τοῦ ἀποστολικοῦ ὑμῶν θρόνου καὶ τῶν ἄλλων πατριαρχικῶν θρόνων καὶ πάσης ἀρχιερωσύνης μὴ ἀνεχομένους κανονικῶς τῆι τοῦ θεοῦ προσελθεῖν ἐκκλησίαι ἐξελάσαι παντὸς οἴκου δημοσίου τε καὶ ἰδιωτικοῦ ἀξιώσατε συμψήφου ὑμῖν γινομένου ὑπὲρ τῆς τῶν ἐκκλησιῶν εἰρήνης καὶ τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως, ὧι πᾶσα σπουδὴ καὶ φροντὶς νύκτωρ τε καὶ μεθ' ἡμέραν περὶ ταύτης πρὸ τῶν ἄλλων γίνεται, καὶ παῦσαι πᾶσαν ταραχὴν ἐπιγινομένην ταῖς ἐκκλησίαις παρ' αὐτῶν καὶ πᾶσαν αὐτῶν ἑτεροδιδασκαλίαν συνιδεῖν τε, μακαριώτατοι, καὶ προτρέψαι τὸν φιλόθεον ἡμῶν δεσπότην, ἐφ' ὧι νομοθετῆσαι ὥσπερ τὰ Νεστορίου τοῦ δυσσεβοῦς, οὕτω καὶ τὰ Σεβήρου τοῦ φρενοβλαβοῦς ψυχοφθόρα συγγράμματα βλασφημοῦντα εἴς τε τὴν ἐν Χαλκηδόνι ἁγίαν σύνοδον καὶ τὸν τόμον τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Λέοντος πυρὶ παραδοθῆναι. διὰ γὰρ τούτων ἀμφίβολον τὴν πίστιν ἐν ταῖς τῶν ἁπλουστέρων ψυχαῖς ποιεῖν ἐσπούδακε καὶ μυκτηρίζεσθαι παρὰ τοῖς ἔθνεσι τὸ μέγα καὶ σεπτὸν ὄνομα τοῦ Χριστιανισμοῦ πεποίηκε. καὶ γὰρ τούτου χάριν εἴς τε τὴν Ῥωμαίων πρὸς ὑμᾶς ἐξαπεστείλαμεν, καὶ τὴν ὑμετέραν δὲ εὐκταίαν εὐαγγελισθέντες παρουσίαν ἐξεδεξάμεθα ταύτην, τοιαύτας παρὰ τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως ὑποσχέσεις δεξάμενοι ὅτι τὰ παρ' ὑμῶν ἐπ' αὐτοῖς κανονικῶς ψηφιζόμενα σπουδάσει ἡ αὐτῶν εὐσέβεια παντὶ τρόπωι πέρατι παραδοῦναι καὶ τῆς χρονίας τούτων ταραχῆς πάντα τὸν κόσμον λοιπὸν ἐλευθερῶσαι. τὰς δὲ προσηγορίας τῶν εἰρημένων ἐπισκόπων καὶ κληρικῶν καὶ μοναχῶν καιρῶι δέοντι ἐξονομάσομεν παριστῶντες πῶς οἱ μὲν τὰ Νεστορίου, οἱ δὲ τὰ Εὐτυχέος φρονοῦντες ἐφ' ἑκάτερα διασπᾶν τὴν ἐκκλησίαν ἐπιχειροῦσιν.

Zach. 10, 3

M VIII 906

L V 32

15 ὁ μὲν Ἄνθιμος ὑπόνοιαν αἱρετικοῦ δεδωκὼς συνεχωρεῖτο τὴν ἐκκλησίαν Τραπεζοῦντος πάλιν ἰθύνειν, εἰ λίβελλον δοίη κατὰ τῶν αἱρέσεων· οὗτοι δ' ὡς ὡμολογημένως [ὁμολογημένως O^{e}] ὄντες ἐν τῆι αἱρέσει διὰ τὸ πολλάκις τοῖς καιροῖς φωραθῆναι συναλλοιωθέντες οὐδὲ τῆς ποιμαντικῆς ἐκρίνοντο ἄξιοι: — O^{e} in mg.

...

O [= aerv], I

1 πανταχοῦ I 2 ὑμῶν O^{r} 3 δοκούσασ I 6 τούτω — τρόπω προσελθεῖν I τούτω καὶ τῶ O^{v} 9 βδελλυσσόμενοι O^{e} τὴν om. I 11 ἡμῖν O^{v} 13 γὰρ εἰ O^{r} 14 ἐπαγγέλλωνται I αὐτοῖσ O^{r} 15 συμμεταβαλομένη O^{r} τούτοισ τὰ ποίμνια O^{r} γε μὴν O^{arv}I δὲ O^{e} 17 τούτων O^{e} ἡμετέραν O^{r} 18—19 ὑπό τε — ἀνεχομένους om. O^{v} 21 ἀξιώσατε I om. OΛ γενομένου O^{v} 22 τε καὶ O^{r}I τε om. O^{a} 26 φρενολήπτου O^{e}Λ 28 παραδιδόναι I 28/29 ποιεῖν τὴν — ψυχαῖς I 32 ταύτησ O^{r} 33 ἡμῶν O^{e}Λ σπουδάζει O 35 καὶ^{1} om. O^{e} τὲ καὶ I 36/37 εὐτυχοῦσ O^{r}

Ὑπογραφαί

1 Μαριανὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης καὶ ἔξαρχος τῶν εὐαγῶν μοναστηρίων ἀξιώσας ὑπέγραψα: —

2 Ἀγαπητὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Δίου ἀξιώσας ὑπέγραψα: —

3 Διόσκορος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς ἁγίας μάρτυρος Εὐφημίας ἀξιώσας ὑπέγραψα: —

4 Ἀγάπιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Θαλασσίου ἀξιώσας ὑπέγραψα: —

5 Παῦλος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Ῥωμαίων ἀξιώσας ὑπέγραψα: —

6 Ἀντωνῖνος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου πατρὸς ἡμῶν Εὐσεβίου ἀξιώσας ὑπέγραψα: —

7 Στέφανος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Ὀλυμπίου ἀξιώσας ὑπέγραψα: —

8 Ἀναστάσιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Ῥωμαίων ἀξιώσας ὑπέγραψα: —

9 Δημήτριος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Φωκᾶ ἀξιώσας ὑπέγραψα: —

10 Κυριακὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Εὐφημίου ἀξιώσας ὑπέγραψα: —

11 Ζωίλος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Θεοδότου ἀξιώσας ὑπέγραψα: —

12 IVLIANVS MISERICORDIA DEI PRESBYTER ET HEGVMEN' MONASTERIO EVPHEMII ROGATVS SVSCRIBSI: —

13 Στέφανος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Προμώτου ἀξιώσας ὑπέγραψα: —

M VIII 907 14 Ζήνων ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς οὔσης καὶ διακειμένης πλησίον τοῦ οἴκου τῆς ἁγίας ἐνδόξου παρθένου καὶ θεοτόκου Μαρίας ἐν τῇ πηγῇ ἀξιώσας ὑπέγραψα: —

15 Ἀλέξανδρος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ καλαμίου ἀξιώσας ὑπέγραψα: —

16 Δάδας ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Καιουμᾶ ἀξιώσας ὑπέγραψα: —

17 Ῥόδων ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Θεοδώρου ἀξιώσας ὑπέγραψα: —

18 Γεννάδιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Κυριακοῦ ἀξιώσας ὑπέγραψα: —

O [- ae, r (usque ad 7), v], I [usque ad 7]

1 αἱ ὑπογραφαί O^{ar} om. I 2 μαρινιανὸς O^{e} ἐλέω O^{er}I 3 ἀξιώσας om. I 4 ἐλέω θῦ O^{r}I om. $O^{e}\Lambda$ στουδίου $O^{e}\Lambda$ o sq. ἐλέει θεοῦ om. semper $O^{e}\Lambda$ ἐλέω I 7 ἀξιώσας ὑπέγραψα om. O^{e} ἀξιώσας om. IΛ 8—p. 147, 4 Ἀγάπιος — ὑπέγραψα] καὶ οἱ λοιποὶ O^{r}I 12—14 τοῦ ἁγίου — μονῆς om. O^{v} 12/13 πατρὸς ἡμῶν om. O^{e} 24. 25 om. O^{av}, O^{a} spatio rel 24 *dei misericordia* Λ HEIIGVMEN' O^{e} *prior* Λ EVRHEMII O^{e} 25 CRIBSI O^{e} 26 προμότου O^{e} 28/29 οὔσης — μαρίας O^{av} ἁγίας θεοτόκου τῆς $O^{e}\Lambda$ 30 ἀξιώσας ὑπέγραψα om. O^{e} 31 καλάμου $O^{e}\Lambda$ 33 μονῆς om. $O^{e}\Lambda$

19 Θεόδωρος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Μαρωνίου ἐν Συκαῖς ἀξιώσας ὑπέγραψα: —

20 Σίλας ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Ἠλία ἀξιώσας ὑπέγραψα: —

21 Παῦλος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Σαμουηλίου ἀξιώσας ὑπέγραψα: —

22 Ἰωάννης ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Θεοδώρου ἀξιώσας ὑπέγραψα: L V 33

23 Κυρίων ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Αἰγυπτίων ἀξιώσας ὑπέγραψα: —

24 Βασίλειος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου Συμεώνη ἐπίκλην τῶν Κυρακωνᾶ ἀξιώσας ὑπέγραψα: —

25 Ἰωάννης ἐλέει θεοῦ πρεσβύτερος τοῦ ἁγίου ἀποστόλου Θωμᾶ ἐν τοῖς Μοδέστου ἀξιώσας ὑπέγραψα: —

26 Μάρκος ἡγούμενος μονῆς Θεοδώρου ἀπὸ ἐκσκεπτόρων ἀξιώσας ὑπέγραψα: —

27 Φλαβιανὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ δευτεράριος Μοδέστου τοῦ θεοφιλεστάτου πρεσβυτέρου καὶ ἡγουμένου τῆς εὐαγοῦς μονῆς Μοδέστου ἐπίκλην τῶν Λυκαόνων ἀξιώσας ὑπέγραψα: —

28 Μαρῖνος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Παυλίνου ἀξιώσας ὑπέγραψα: —

29 Θεόδωρος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Τρύφωνος ἀξιώσας ὑπέγραψα: —

30 Θεόκτιστος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς ἁγίας ἐνδόξου παρθένου καὶ θεοτόκου Μαρίας πλησίον τῶν Ἰωβ ἀξιώσας ὑπέγραψα: —

31 Κοσμᾶς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου ἐν τοῖς Στουδίου ἀξιώσας ὑπέγραψα: —

32 Πέτρος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς ἁγίας ἐνδόξου παρθένου καὶ θεοτόκου Μαρίας καὶ τοῦ ἁγίου καὶ ἐνδόξου μάρτυρος Διομήδους ἐπίκλην Ἱερουσαλὴμ ἀξιώσας ὑπέγραψα: —

33 Ἐλευθέριος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου καὶ ἐνδόξου μάρτυρος Κυριακοῦ ἀξιώσας ὑπέγραψα: —

34 Ἀλέξανδρος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς κατὰ Ἀβράμιον τὸν τῆς ὁσίας μνήμης ἀξιώσας ὑπέγραψα: —

35 Θεόδωρος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Ἰὼβ ἀξιώσας ὑπέγραψα: —

36 Τρύφων ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Ἐλπιδίου ἀξιώσας ὑπέγραψα: —

37 Στέφανος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Κώνστα ἀξιώσας ὑπέγραψα διὰ χειρὸς Ἰακώβου διακόνου κατ' ἐπιτροπήν μου γράψαντος προτάξας τῇ ἰδίαι μου χειρὶ τὸν τίμιον σταυρόν: —

38 Βαβύλας ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἐν ἁγίοις Δανιὴλ τοῦ

O [= aev]

1 θεόδωροσ O *Zenobiae* Λ μαρώνησ O^{v} μάρωνοσ O^{a} 2 ἀξιώσας ὑπέγραψα om. O^{a} 5 μονῆς om. O^{v} 11/12 μονῆσ — ἐπίκλην O^{aev} μονῆς $O^{e}Λ$ 16 δευτεριάριοσ O^{aev} 17 εὐαγοῦς om. $O^{e}Λ$ Μοδέστου om. $O^{e}Λ$ 23/24 ἐνδόξου — μαρίασ O^{aev} θεοτόκου O^{v} θεοτόκου Μαρίας Λ 25/26 τοῦ ἁγίου — ἐν τοῖσ O^{aev} τῶν $O^{e}Λ$ 27/28 τῆσ ἁγίασ — διομήδουσ O^{aev} om. $O^{e}Λ$ 29 ἱερουσ-ὴλ O^{aev} 30/31 καὶ ἐνδόξου μάρτυροσ O^{aev} om. O^{a} μάρτυροσ Λ 32/33 τῆσ κατὰ — μνήμησ O^{aev} ἀβραμίου $O^{e}Λ$ 38 χειρὶ διακόνου ἰακώβου O^{a} μου O^{aev} ἐμὴν O^{a} 40 ἁγίου O^{a}

ἐν τῶι στύλωι καὶ τοῦ ἁγίου Ἰωάννου ἐν τῶι μικρῶι βάθει καὶ τοῦ ἁγίου ἀποστόλου Ἀνδρέου πλησίον τοῦ στύλου ἀξιώσας ὑπέγραψα: —

39 Ἰωάννης ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Ἀναστασίου ἀξιώσας ὑπέγραψα: —

40 Ἀνθέμιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Νέωνος ἀξιώσας ὑπέγραψα: —

M VIII 910 41 Ἰωάννης ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου ἀρχαγγέλου Μιχαὴλ τῆς ἐπίκλην τῶν Χαρισίου ἀξιώσας ὑπέγραψα: —

42 Ἰωάννης ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Μάρα πλησίον τῆς Ἀετίου κινστέρνης ἀξιώσας ὑπέγραψα: —

43 Φωκᾶς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς ἐπίκλην τῶν Ἰωνᾶ πλησίον τοῦ Δευτέρου ὑπέγραψα: —

44 Ζώσιμος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Εὐτυχίου τῶν Λυκαόνων πλησίον τῶν Ματρώνης ἀξιώσας ὑπέγραψα: —

45 Τιμόθεος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Ἀστερίου ἀξιώσας ὑπέγραψα: —

46 Πολυχρόνιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς ἐπίκλην αἰθρίου ἀξιώσας ὑπέγραψα διὰ χειρὸς Σευηριανοῦ μωναχοῦ: —

47 Σευηριανὸς πρεσβύτερος ὑπέγραψα ὑπὲρ αὐτοῦ ἐπιτραπεὶς παρ' αὐτοῦ προτάξαντος αὐτοῦ τῆι ἰδίαι χειρὶ τὸν τίμιον σταυρόν: —

48 Στρατόνικος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου Δομετίου ἀξιώσας ὑπέγραψα: —

49 ANDREAS MISERICORDIA DEI PRESBYTER ET ARCHIMANDRITA MONASTERII ROMANORVM ADIACENTEM CISTERNA ASPAROS CONSENTIENS SVBSCRIPSI: —

50 Μαρτύριος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Πέτρου ἤτοι Οὐάλεντος καὶ Δαυδάτου πλησίον τῶν ἁγίων Ἀποστόλων ἀξιώσας ὑπέγραψα: —

L V 36 51 Ἀνδρέας ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς διακειμένης ἐν τῶι σεβασμίωι οἴκωι τῆς ἁγίας ἐνδόξου παρθένου καὶ θεοτόκου Μαρίας πλησίον τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Λουκᾶ ἀξιώσας ὑπέγραψα: —

52 Μάρκος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου μάρτυρος Κυρίκου ἀξιώσας ὑπέγραψα διὰ χειρὸς Αὐξάνοντος διακόνου: —

53 Ἰάκωβος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Ἀββίβου Σύρος Συριστὶ ὑπέγραψα: —

54 Ἀττικὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Εὐκρατάδων πλησίον τῆς ἁγίας Μαύρας ἀξιώσας ὑπέγραψα: —

55 Ἰωσὴφ ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς ἁγίας θεοτόκου καὶ ἀειπαρθένου Μαρίας ἐν τῶι λιθοστρώτωι ἀξιώσας ὑπέγραψα διὰ χειρὸς Ἰωάννου διακόνου: —

56 Παῦλος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος ἀξιώσας ὑπέγραψα: —

O [= acv]

2 ἀποστόλου ἀνδρέου O^{cv} ἀνδρέου τοῦ ἀποστόλου O^{a} 3/4 *Anastasii prope agogum* Λ 7/8 τοῦ — Μιχαὴλ om. O^{e}Λ 7 ἁγίου om. O^{v} 9 ἀετοῦ O^{acv} *aereum* Λ 10 ἀξιώσας om. O^{c} 17 τῆσ ἐπίκλην O^{acv} τοῦ O^{e}Λ 18 διὰ — μοναχοῦ om. O^{e}Λ 19/20 om. O^{a} προτάξαντοσ — σταυρόν O^{v} om. O^{e}Λ 23/24 om. O^{acv} 23 *dei miseratione* Λ ET om. Λ 24 ADIACENTEM — ASPAROS om. Λ MADICENTEM O^{e} 25/26 Οὐάλεντος καὶ om. O^{a} 28 ἐνδόξου — μαρίασ O^{acv} θεοτόκου O^{e}Λ 29 ἀποστόλου καὶ εὐαγγελιστοῦ om. O^{e}Λ 30 κηρύκου O^{ev} 31 διὰ — διακόνου om. O^{c} 32 ἀββίβου O^{e}Λ 34 ἀκρατάδων O^{acv} 34/35 πλησίον — Μαύρας om. O^{e}Λ 36/37 καὶ - Μαρίας om. O^{e}Λ 37 ἀξιώσας om. O^{e}Λ 37/38 διὰ — διακόνου om. O^{e}Λ 39 post 31 coll. O^{a}

57 Ἀναστάσιος ἐλέει θεοῦ πρεσβύτερος καὶ δευτεράριος μονῆς τοῦ ἁγίου καὶ ἐνδόξου ἀποστόλου Φιλίππου τοῦ ἐν τῶι βρεφοτροφείωι ἀξιώσας ὑπέγραψα διὰ τὸ μὴ παρεῖναι τὸν ἡγούμενον ἐνταῦθα: —

58 Γεώργιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῶν Κύρου ἀξιώσας ὑπέγραψα: —

59 Κυριακὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ ἁγίου Ἰωάννου ἐπίκλην τῶν Σύρων ἀξιώσας ὑπέγραψα: —

60 Ἐλπίδιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῶν Βασιανοῦ ἀξιώσας ὑπέγραψα: —

61 Ζώσιμος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῶν Μαξιμίνου ἀξιώσας ὑπέγραψα: —

62 Πολυχρόνιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῶν Κρητικῶν ἀξιώσας ὑπέγραψα: —

63 Παῦλος πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς ἁγίας Ἑρμιόνης ἀξιώσας ὑπέγραψα: —

64 Εὐσέβιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς ἐπίκλην Συμεὼν ἀξιώσας ὑπέγραψα: —

65 Ζωτικὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου ἀποστόλου Ἀνδρέου τοῦ ὄντος ἐν τῆι Σατορνίνου πόρτηι ἀξιώσας ὑπέγραψα διὰ χειρὸς Μάρκου πρεσβυτέρου καὶ δευτεραρίου, ἐμοῦ προτάξαντος τὸν τίμιον σταυρόν: —

66 Θεόδωρος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς χάριτι θεοῦ ὑπ' ἐμοῦ συστάσης πλησίον τοῦ ἁγίου μάρτυρος Λαυρεντίου ἀξιώσας ὑπέγραψα: —

67 Δομετιανὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Μαρτυρίου καὶ ὑπὲρ πάντων τῶν ἐν τῆι ἐρήμωι τῆς ἁγίας πόλεως μοναχῶν ὑπέγραψα: —

68 Ἡσύχιος ἐλέει θεοῦ πρεσβύτερος μονῆς τοῦ μακαρίου Θεοδοσίου καὶ ὑπὲρ τῶν ἐν τῆι ἐρήμωι τῆς ἁγίας πόλεως μοναχῶν ἀξιώσας ὑπέγραψα: —

69 Κασιανὸς ἐλέει θεοῦ πρεσβύτερος λαύρας τοῦ μακαρίου Σάββα καὶ ὑπὲρ τῶν ἐν τῆι ἐρήμωι τῆς ἁγίας πόλεως μοναχῶν ἀξιώσας ὑπέγραψα: — M VIII 911

70 Κυριακὸς ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος τῶν πυργίων τοῦ Ἰορδάνου καὶ ὑπὲρ τῶν ἐν τῆι ἐρήμωι τῆς ἁγίας πόλεως μοναχῶν ἀξιώσας ὑπέγραψα: —

71 Νέσταβος ἐλέει θεοῦ πρεσβύτερος λαύρας τοῦ τῆς ὁσίας μνήμης Φιρμίνου καὶ ὑπὲρ τῶν ἐν τῆι ἐρήμωι τῆς ἁγίας πόλεως μοναχῶν ἀξιώσας ὑπέγραψα: —

72 Τερέντιος ἐλέει θεοῦ πρεσβύτερος Νέας λαύρας καὶ ὑπὲρ τῶν ἐν τῆι ἐρήμωι τῆς ἁγίας πόλεως μοναχῶν ἀξιώσας ὑπέγραψα: —

73 Λεόντιος ἐλέει θεοῦ μοναχὸς καὶ ἡγούμενος καὶ τοποτηρητὴς πάσης τῆς ἐρήμου ἀξιώσας ὑπέγραψα: —

74 Τραιανὸς ἐλέει θεοῦ πρεσβύτερος τῶν πυργίων τοῦ Ἰορδάνου καὶ ὑπὲρ τῶν ἐν τῆι ἐρήμωι τῆς ἁγίας πόλεως μοναχῶν ἀξιώσας ὑπέγραψα: —

75 Πολύευκτος διάκονος μονῆς τοῦ ἀββᾶ Θεοδοσίου καὶ ὑπὲρ τῶν ἐν τῆι ἐρήμωι τῆς ἁγίας πόλεως μοναχῶν ἀξιώσας ὑπέγραψα: —

O [= aev]

1 δευτεριάριοσ O^{av} 1/2 καὶ — ἀποστόλου om. $O^{e}Λ$ 2 ἀξιώσας om. $O^{e}Λ$ 3 ἐνταῦθα om. $O^{e}Λ$ 5/6 τοῦ — ἐπίκλην om. $O^{e}Λ$ 9. 10 post 7. 8 coll. $O^{e}Λ$ 13 ἑρμιώνησ O^{av} 17 ἀποστόλου om. $O^{e}Λ$ 18 τοῦ — τῆ O^{av} πλησίον τῆσ $O^{e}Λ$ πόρτησ $O^{e}Λ$ χειρὶ $O^{e}Λ$ 19 δευτεριαρίου O^{av} 20/21 χάριτι — ἀξιώσασ O^{av} τοῦ ἁγίου λαυρεντίου ὑπ' ἐμοῦ συστάσησ $O^{e}Λ$ 25. 26/27. 29. 31. 36/37. 38/39. p. 146, 1/2. 3/4. 5/6. 7/8 τῶν — ὑπέγραψα O^{av} πάντων $O^{e}Λ$ 28 ἡγούμενοσ μονῆσ $O^{av}Λ$ 30 τῆσ — μνήμησ O^{av} ὁσίου $O^{e}Λ$ 32/33 τῶν — ὑπέγραψα O^{av} πάντων τῶν ἐν τῆ ἐρήμω $O^{e}Λ$ 35 ἀξιώσας om. $O^{e}Λ$

76 Θεόδωρος ἐλέει θεοῦ διάκονος καὶ μοναχὸς τῆς Νέας λαύρας καὶ ὑπὲρ τῶν ἐν τῇ ἐρήμωι τῆς ἁγίας πόλεως μοναχῶν ἀξιώσας ὑπέγραψα: —

77 Κύρικος ἐλέει θεοῦ μοναχὸς καὶ διάκονος τῆς αὐτῆς Νέας λαύρας καὶ ὑπὲρ τῶν ἐν τῇ ἐρήμωι τῆς ἁγίας πόλεως μοναχῶν ἀξιώσας ὑπέγραψα: —

78 Ἀναστάσιος ἐλέει θεοῦ διάκονος μονῆς τοῦ ἁββᾶ Μαρτυρίου καὶ ὑπὲρ τῶν ἐν τῇ ἐρήμωι τῆς ἁγίας πόλεως μοναχῶν ἀξιώσας ὑπέγραψα: —

79 Μάμας ἐλέει θεοῦ μοναχὸς μονῆς τοῦ ἁββᾶ Μαρτυρίου καὶ ὑπὲρ τῶν ἐν τῇ ἐρήμωι τῆς ἁγίας πόλεως μοναχῶν ἀξιώσας ὑπέγραψα: —

L V 37 80 Ἰουλιανὸς ἐλέει θεοῦ μοναχὸς μονῆς τοῦ ἁββᾶ Θεοδοσίου καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ ἐρήμωι τῆς ἁγίας πόλεως μοναχῶν ὑπέγραψα: —

81 Ἰωάννης ἐλέει θεοῦ πρεσβύτερος μονῆς ἰδίας ἐν τῇ πεδιάδι καὶ ὑπὲρ πάντων τῶν ἐκεῖσε μοναχῶν ἀξιώσας ὑπέγραψα: —

82 Θεωνᾶς ἐλέει θεοῦ πρεσβύτερος τοῦ ἁγίου ὄρους Σινᾶ καὶ ἀποκρισιάριος τοῦ τε ὄρους Σινᾶ καὶ τῆς ἐκκλησίας Φαρὰν καὶ λαύρας Ῥαιθοῦ ὑπὲρ πάντων τῶν ἐκεῖσε μοναχῶν ἀξιώσας ὑπέγραψα: —

83 Στρατήγιος ἐλέει θεοῦ διάκονος καὶ μοναχὸς μονῆς τοῦ μακαρίου Ἰωάννου καὶ ὑπὲρ πάντων τῶν ὑπὸ Σκυθόπολιν μοναχῶν ἀξιώσας ὑπέγραψα: —

84 Ἰωάννης ἐλέει θεοῦ μοναχὸς μονῆς τοῦ ἁββᾶ Μαρτυρίου καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ ἐρήμωι τῆς ἁγίας πόλεως μοναχῶν ἀξιώσας ὑπέγραψα: —

85 Παῦλος ἐλέει θεοῦ μοναχὸς καὶ ἀποκρισιάριος μονῆς τοῦ μακαρίου Μάρωνος δευτέρας Συρίας καὶ ὑπὲρ πάντων τῶν ἐκεῖσε μοναχῶν ὑπέγραψα: —

86 Σευηριανὸς πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Ζωόρα τῶν θερμῶν Συριστὶ ὑπέγραψα: —

87 Κασσίσας πρεσβύτερος καὶ ἀρχιμανδρίτης τῆς εὐαγοῦς μονῆς τῶν Λουκᾶ Συριστὶ ὑπέγραψα: —

88 Ἰωάννης πρεσβύτερος καὶ ἀρχιμανδρίτης τῆς εὐαγοῦς μονῆς τοῦ κύρου Θωμᾶ Συριστὶ ὑπέγραψα: —

89 Συμεώνης ἐλέει θεοῦ διάκονος καὶ ἀποκρισιάριος μονῆς τοῦ μακαρίου Ἰακώβου δευτέρας Συρίας καὶ ὑπὲρ πάντων τῶν ἐκεῖσε μοναχῶν ἀξιώσας ὑπέγραψα: —

90 Ἰωάννης ἐλέει θεοῦ διάκονος καὶ ἀποκρισιάριος μονῆς τοῦ μακαρίου Θεοδώρου δευτέρας Συρίας καὶ ὑπὲρ πάντων τῶν ἐκεῖσε μοναχῶν ἀξιώσας ὑπέγραψα: —

91 Σέργιος ἐλέει θεοῦ πρεσβύτερος περιοδευτὴς τῶν ἁγίων ἐκκλησιῶν ἐπὶ χωρίων τῆς πρώτης Σύρων ἐπαρχίας ἀξιώσας ὑπέγραψα: —

92 Στέφανος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Εὐξερίου καὶ ὑπὲρ τῶν ἐκεῖσε πάντων μοναχῶν ἀξιώσας ὑπέγραψα: —

93 Ἰωάννης πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Θωμᾶ Συριστὶ ὑπέγραψα: —

94 Θωμᾶς πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Ἀαρὼν Συριστὶ ὑπέγραψα: —

95 Φαυστῖνος ἐλέει θεοῦ μοναχὸς καὶ ἀποκρισιάριος μονῆς τοῦ ἁγίου Στεφάνου

O [= aev]

3 κήρυκοσ O^{ev} αὐτῆσ $O^{e}\Lambda$ om. O^{av} 7 μονῆς om. O^{av} 9 μονῆς om. $O^{e}\Lambda$ ἁμβᾶ O^{v} 9/10 πάντων — ὑπέγραψα om. $O^{e}\Lambda$ 11/12 πάντων — ὑπέγραψα O^{av} τῶν ἐν αὐτῇ O^{e} πάντων Λ 13 ἀποκρισιαρίου O^{v} 14 Σινᾶ καὶ om. O^{e} 17 τῶν — ὑπέγραψα O^{av} τῶν ἐκεῖσε μοναχῶν [μοναστηρίων Λ] $O^{e}\Lambda$ 19 ἐν τῇ — ὑπέγραψα O^{av} ἐκεῖσε μοναχῶν $O^{e}\Lambda$ τῆς om. O^{v} 21 καὶ ὑπὲρ — ὑπέγραψα om. $O^{e}\Lambda$ 22 σεβηριανὸσ O^{a} 24 κασσίασ O^{v} τῆς εὐαγοῦς om. $O^{e}\Lambda$ 26 τῆς εὐαγοῦς om. $O^{ae}\Lambda$ 29 πάντων — ὑπέγραψα om. $O^{e}\Lambda$ 31 ἐκεῖσε O^{av} ἐν αὐτῇ $O^{e}\Lambda$ 31. 33 ἀξιώσας om. $O^{e}\Lambda$ 34. 35 τῶν — ὑπέγραψα om. $O^{e}\Lambda$ 37 om. O^{av}

Μαουζᾶ Ἰαμνίας καὶ ὑπὲρ πάντων τῶν ἐκεῖσε κληρικῶν καὶ μοναχῶν ἀξιώσας ὑπέγραψα: —

96 Θεόδωρος διάκονος καὶ ἀποκρισιάριος τῆς ἁγίας ἐκκλησίας Ἐρινδηλινῶν ἀξιώσας ὑπέγραψα: —

69 Δεσπότῃ ἡμῶν τὰ πάντα ἁγιωτάτῳ καὶ μακαριωτάτῳ πατρὶ πατέρων ἀρχι- M VIII 914
ἐπισκόπῳ τῆς Ῥωμαίων καὶ πατριάρχῃ Ἀγαπητῷ παρὰ τῶν ἐνδημούντων κατὰ ταύ- 6
την τὴν βασιλίδα πόλιν ἐπισκόπων τῆς τε Ἀνατολικῆς διοικήσεως καὶ τῶν ὑπὸ τοὺς ἁγίους Χριστοῦ τοῦ θεοῦ ἡμῶν τόπους καὶ ἀποκρισιαρίων καὶ λοιπῶν κληρικῶν. Ἐξ οὗ Χριστὸς ὁ θεὸς ἡμῶν ὑπὲρ τῶν ἐποφειλομένων ὑμῖν γερῶν τῆς δι' αὐτὸν ἐν παντὶ καιρῷ μετὰ παρρησίας ἀληθοῦς δημοσιευθείσης ὁμολογίας τῇ ἀοράτῳ καὶ φοβερᾷ αὐτοῦ δυ- 10
νάμει ἐπὶ τὴν σεβασμίαν ὑμῶν ἐπανεπαύσατο κεφαλὴν τὸν τοῦ κορυφαίου τῶν ἀποστόλων θρόνον καταπιστεύσας ὑμῖν, μακαριώτατοι, καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας Ps. 39, 3. 4
ὑμῶν καὶ κατεύθυνε τὰ διαβήματα ὑμῶν καὶ ἐνέπλησε τὸ στόμα ὑμῶν ἄισμα καινὸν ὕμνον τῷ θεῷ ἡμῶν, πολλοὶ ἴδονται καὶ φοβηθήσονται καὶ ἐλπιοῦσιν ἐπὶ κύριον κατὰ τὸ ψαλμικὸν λόγιον
καταυγασθέντες ὑπὸ τῆς πνευματικῆς ὑμῶν αἴγλης, δι' ἧς ὡς λύχνος ἐκλάμπων ἐπὶ λυχνίας L V 40
ἁγίας τὸ ζοφῶδες τῶν ἐν σκότει καθημένων καὶ τυφλῶν ἐφωτίσατε τοὺς ὀφθαλμοὺς τῆς 16
διανοίας αὐτῶν διανοίξαντες. διά τοι τοῦτο τεθαρρηκότες πιστεύοντές τε τῷ θείῳ
λογίῳ τῷ διαγορεύοντι ἐν καιρῷ οὐ δειλιάσει καρδία ἡδρασμένη ἐπὶ διανοίαι Sir. 22, 16. 17
συνέσεως, πείραι τε μαθόντες ἀκριβεῖς ὑμᾶς φύλακας εἶναι τῶν ἀποστολικῶν θησαυρῶν
ἐξοστρακίσαντας ἀρτίως Ἄνθιμον τὸν πρόσχημα εὐσεβείας περιβαλόμενον, τὴν δὲ 2. Tim. 3. 5
δύναμιν αὐτῆς ἀρνησάμενον, τὸν τὴν ἁρμοσθεῖσαν αὐτῷ νύμφην ἐξουθενήσαντα καὶ 21
λαβεῖν ἑτέραν κατατολμήσαντα παρὰ τοὺς θείους κανόνας; γινώσκοντες δὲ καὶ τὸν θεοφύλακτον ἡμῶν βασιλέα καθάπερ Χριστοῦ μαθητὴν δεδοκιμασμένην ἔχοντα ψυχὴν κοινωνὸν ὑμῖν τοῦ ἀγαθοῦ ἔργου τούτου γενόμενον καὶ σπουδάσαντα μὲν ἐκ προοιμίων τῆς αὐτοῦ βασιλείας μέχρι τοῦ νῦν τὸ τῆς ἐκκλησίας ἅπαν σῶμα φυλάξαι ὑγιὲς καὶ ἀκέραιον καὶ 25
πάσης αἱρετικῆς νόσου ἐλεύθερον καὶ διὰ τοῦτο νομοθετήσαντα τὰς ἱερὰς καὶ ἁγίας τέσσαρας συνόδους ἐν ταῖς ὁτεδήποτε γινομέναις θείαις μυσταγωγίαις μεγαλοφώνως ὑπὸ τῶν ἱερῶν κηρύκων κηρύττεσθαι τειχιζούσας τῶν πιστῶν τὰς καρδίας καὶ τὰς τῶν αἱρετικῶν συμπνιγούσας, ἐλπίζοντα δὲ ἐκ τῆς κατὰ φύσιν αὐτοῦ φιλανθρωπίας καὶ οἰόμενον καθάπερ τοὺς ἐξ ἁπλότητος ὑπαχθέντας τῇ πλάνῃ εἰκὸς ἐστιν ἐπιστρέψαι τῷ χρόνῳ, οὕτως καὶ 30
τοὺς ταύτης εὑρετάς, μᾶλλον δὲ τοῦ διαβόλου μαθητὰς καὶ μηδέποτε τὴν ἀλήθειαν ἐπιγνόντας τὴν τῶν ἐξ ἀρχῆς αἱρετικῶν ἐκβολὴν ὑπερτίθεσθαι, δεόμεθα, μακαριώτατοι, ἀναμνῆσαι τὸν μνημονικώτατον καὶ θεοφύλακτον ἡμῶν βασιλέα τῆς ἱερᾶς ἐκείνης φωνῆς τῆς λεγούσης πᾶν Sir. 15. 30
βδέλυγμα ἐμίσησε κύριος. ὃ πρῶτον καὶ μέσον καὶ ὕστατόν ἐστι Σεβῆρος ὁ ἀλιτήριος ὁ κατὰ τοῦ θεοῦ λαλήσας ἀδικίαν ἀεί, ποτὲ μὲν τὰ Ἑλλήνων μυστήρια μυηθεὶς καὶ M VIII 915
ταῦτα τιμήσας, ποτὲ δὲ τὰ Εὐτυχοῦς διδάξας καὶ Μάνεντος, ἐν ὅλῳ δὲ τῷ βίῳ τῇ τῶν 36
Χριστιανῶν ὀρθῇ πίστει φράσας ἐρρῶσθαι καὶ τὴν Νεστορίου τοῦ ἀνθρωποπλάτρου προσηγορίαν εἰς ἐφόδιον τῆς ἀπάτης τοῖς ἐξ ἁπλότητος πρὸς ὑποδοχὴν ἔχουσιν ἕτοιμα

O [= ae, r (inde a 5), v]. l [inde a 5]

1 μαουζαμνίασ O^a 1/2 ἀξιώσας ὑπέγραψα om. $O^eΛ$ 3 ἐρινδηλινῶν O^{av} ἐρεινδηλινῶν O^c 5 inscr. ἀναφορὰ τῶν ἐν κωνσταντινουπόλει ἐπισκόπων πρὸς ἀγαπητὸν πάπαν ῥώμης l τῷ δεσπότῃ ἡμῶν τῷ O^c 5/6 τῷ ἀρχιεπισκόπῳ O^c 9 ἡμῖν $O^eΛ$ αὐτῶν O^v 11 σεβάσμιον O^v 17 ἀνοίξαντεσ l πιστεύοντές τε] πιστεύσαντές O^r 20 ἐξοστρακίσαντεσ $O^eΛ$ περιβαλλόμενον O^a περιβεβλημένον O^rl 21 αὐτῆς] τῆσ πίστεωσ O^rl αὐτῶν O^v ἐξουθενήσαντα l ἐξωθήσαντα ΟΛ 24 ὑμῶν O^{av} τούτου ἔργου O^r 25 τοῦ O καὶ l 26 νόσου αἱρετικῆσ O^e νομοθετήσαντα lΛ νομοθετῆσαι O ἁγίασ καὶ ἱερὰσ O^v 27 γενομέναισ O^v 28 ταύτασ κηρύττεσθαι O 29 φύσεωσ O^r 33 τῆς² l om. O 34 βδέλυγμα O^e 36 μάνη O^e 37 ὀρθῇ om. $O^eΛ$ 38 πρὸς] εἰσ O^r

τὰ ὦτα ἐπινοήσας, τὰ ἐκείνου εἰπὼν ἐναργῶς Νεστοριανούς τε καλέσας τοὺς τῶν ὀρθῶν δογμάτων καθηγητάς, οὐ φεισάμενος μήτε τοῦ βαπτίσαντος αὐτόν, ἀναθεμάτων ἀδυνάμων πάντα τὸν κόσμον ἐπλήρωσεν, ἀποφήνασθαι κατατολμήσας αὐτὸς ὡς δύναμιν κληρωσάμενος μετὰ τῶν προσχρησάντων αὐτῶι τῆς χειροτονίας σκιὰν κατὰ τῆς εἰρημένης οἰκουμενικῆς ἁγίας συνόδου τῆς ἐν Χαλκηδόνι καὶ τῶν ἱερῶν καὶ θεοφιλῶν ἐπιστολῶν τοῦ ἐν ἁγίοις τὴν μνήμην πάπα Λέοντος τοῦ γενομένου φωστῆρος καὶ στύλου τῆς ἐκκλησίας τοῦ στηρίξαντος τοὺς πιστοὺς τῆι βασιλικῆι τρίβωι πορεύεσθαι, ὡς λείπεσθαι
Ps. 7, 16 τὸ τῆι θείαι γραφῆι ῥηθὲν πληρωθῆναι ἐπ' αὐτῶι λάκκον ὤρυξε καὶ ἀνέσκαψεν αὐτὸν καὶ ἐμπεσεῖται εἰς βόθρον ὃν εἰργάσατο. ὅθεν ἀποροῦντες πῶς ἂν αὐτὸν κυρίως καλέσοιμεν Ἑλλήνων ὁμόφρονα, Εὐτυχοῦς ὁμόδοξον, ὁμότροπον Νεστορίου, ἐκ τῆς κυριωτάτης καὶ ἐπισήμου προσηγορίας ὀνομάσομεν τὸ ἐντεῦθεν ὄργανον τοῦτον σὺν ἀληθείαι τοῦ διαβόλου καλοῦντες. παρέντες τοίνυν τὸ πλῆθος τῶν ὑπ' αὐτοῦ τολμηθέντων τά τε κατὰ τὴν Ἑώιαν αἵματα τῶν ὁσίων ἀνδρῶν ἐκχυθέντα ὑπὸ τοῦ κατὰ φατρίαν ἐστασιασμένου Ἰουδαικοῦ συστάντος τότε στρατεύματος, καὶ ἄλλα δὲ τῶν εἰρημένων πολὺ χαλεπώτερα διὰ τὸ μῆκος τοῦ
2. Cor. 6, 2 διηγήματος, ἱκετεύομεν, ἁγιώτατοι, ἐπειδὴ νῦν καιρὸς εὐπρόσδεκτος, νῦν ἡμέρα σω-
L V 41 τηρίας, καὶ βοῶμεν· βοηθήσατε ἡμῖν καὶ ταῖς φονευθείσαις ὁσίαις ψυχαῖς, ἃς παρεστάναι νομίσατε νοητῶς καὶ δεικνύναι ὑμῖν ὡς διὰ Ἰησοῦν Χριστὸν παρεδόθησαν τῶι θανάτωι ὑπὸ τοῦ πολυκεφάλου θηρός. ἵνα οὖν μὴ καὶ αὖθις ἐκ τῆς φανερωθείσης πᾶσιν αὐτοῦ μαγγανείας καὶ Μανιχαικῆς πλάνης, ἣι θαρρῶν ὁ δείλαιος οὗτος κατετόλμησεν εἰς τὰς καθαρὰς βασιλείους εἰσδῦναι αὐλάς, μηδένα τόπον ὀφείλων ἔχειν ἢ τὸ βάραθρον εἰς κατάλυμα, ἀνατρέψηι καὶ ἐπὶ τοῦ παρόντος τὴν μετὰ τοσούτων κόπων καὶ ἱδρώτων ὑμῶν τε καὶ τοῦ φιλοχρίστου ἡμῶν βασιλέως φιλοτιμηθεῖσαν εἰρήνην ταῖς ἁπανταχοῦ τῶν πιστῶν ἐκκλησίαις, ἀπελαθῆναι σπουδάσατε πόρρω που καὶ τῆς ἐσχατιᾶς αὐτῆς φεισάμενοι τῶν τὰς συνουσίας πρὸς αὐτὸν ποιουμένων ψυχῶν καὶ κοινωνουσῶν διὰ τῆς ἐντεύξεως τοῖς κατ' αὐτοῦ ἀναθέμασι, τὸν ἀκάθαρτον, τὸν ἀποκήρυκτον, τὸν ἀναθέμασιν ἐγγράπτοις καὶ διηνεκέσιν ὑπὸ τοῦ ἀποστολικοῦ ὑμῶν θρόνου καὶ τοσούτων ἀρχιερέων καὶ ἐν οὐρανῶι παρὰ θεοῦ καὶ τῶν ἐκλεκτῶν αὐτοῦ ἀγγέλων κατάκριτον ἤδη γενό-
Ioh. 3, 18 μενον κατὰ τὴν εὐαγγελικὴν ἐκείνην καὶ θείαν φωνὴν μετ' Ἐκδικίου τοῦ βδελυροῦ ἀλλ' οὐ Πέτρου τοῦ καὶ τὴν ἑαυτοῦ προσηγορίαν μέχρι τοῦ νῦν οὐκ ἐρυθριάσαντος ψεύσασθαι τοῦ αὐτοῦ μαθητοῦ καὶ τὰ τῆς ἀποστασίας καθ' ἑκάστην ῥήματα φθεγξαμένου, καὶ Ζωόρα δὲ τοῦ παντελῶς ἀμυήτου τῆς θείας γραφῆς καὶ πάσης ἱερατικῆς λειτουργίας καὶ τάξεως, μετὰ δὲ παρρησίας οὐκ ἴσμεν τῆς ὅθεν χορηγουμένης αὐτῶι καταπατοῦντος
M VIII 918 τὴν κρατοῦσαν ἐκκλησιαστικὴν εὐκοσμίαν τε καὶ κατάστασιν ἐκ τῶν καθ' ἡμέραν παρασυνάξεων καὶ παραβαπτισμάτων ὑπ' αὐτοῦ τολμωμένων, οὗ τὴν συναγωγὴν γύναια κώμοις καὶ μέθαις ἀσελγείαις τε καὶ ἀκολασίαις ἐκδεδομένα πληροῖ, πείσαντες τὸν εὐσε-

O [= acrv]. I

1 ἐπεννοήσασ O^r 2 ἐξηγητὰσ O^{rI} βαπτίσματος αὐτῶν I 2/3 ἀδυναμῶν O^r ἀδεῶσ ἡμῶν O^{av} 3 αὐτοὺσ I ὡς δύναμιν I ἐνδυνάμους $O^{erΛ}$ ἐνδυνάμωσ O^a ἐνδυνάμασ O^v 5 οἰκουμενικῆς om. O^r συνόδου ἁγίας I ἐν χαλκηδόνι συνόδου O^{av} 7 τῆι om. O^v 8 τὸ O^eO^a ex corr., I om. O^{arv} τῆσ θείασ γραφῆς I ῥητὸν O^{rI} πληρωθὲν O^{arv} 8/9 λάκκον — αὐτὸν om. $O^eΛ$ 9 ἂν om. O^r 10 καλέσομεν O^r 11 κυριωτάτης [κυριωτέρασ $O^{aev}Λ$] καὶ ἐπισήμου $IO^{aev}Λ$ ἐπισήμου καὶ κυριωτέρασ O^r ὀνομάσωμεν O^e 12 τοῦτον I αὐτὸν OΛ 13 αὐτοῦ αἵματα O^{av} 14 ἐκχεθέντα O^e κατὰ om. O^r ἐστασιασμένου $O^{arv}I$ ἐστασιασμένου ὑπ' αὐτοῦ $O^eΛ$ 15 μῆκοσ OΛ πλῆθος I 17 καὶ' I om. OΛ βοηθήσατε I βοήθησον OΛ 18 ἰν̄ χν̄ $O^{ar}I$ χν̄ ἰν̄ O^v χν̄ $O^eΛ$ 19 οὖν I om. OΛ 21 εἰς τό O^r 22 ἀνατρέψῃ O^aI ἀνατρέψαι O^{erv} τοῦ om. O^a τόσων O^r 28 θῦ καὶ I om. OΛ 29 βδελλυροῦ O^e 29/30 ἀλλ' οὐ I ἄλλου $O^{r}Λ$ ἄλλου του O^{aev} 30 ἐρυθριάσαντα O^r 31 τὰ om. O^r 33 postulatur τῆς οὐκ ἴσμεν

βέστατον ἡμῶν βασιλέα θῆρας αἱμοβόρους ἁρνάσι μὴ συγχωρεῖν συναυλίζειν, ἠκριβωμένον σαφῶς τὸ τῶι θείωι ἀποστόλωι ῥηθὲν ὡς οὐδεμία μετοχὴ δικαιοσύνηι καὶ 2 Cor. 6, 14.
ἀνομίαι ἢ κοινωνία φωτὶ πρὸς σκότος ἢ μερὶς πιστῶι μετὰ ἀπίστου. οἷα
δὲ οἷα δεδραματούργηται νῦν καὶ παρὰ Ἰσαακίου τοῦ Πέρσου, εἰπεῖν βουλομένους ἡμᾶς
ἀδακρυτὶ λέγειν οὐκ ἔστιν οὐδὲ δέους ἀπηλλάχθαι διηγουμένους ἃ ταῖς ἀνόμοις αὐτοῦ
χερσὶ δρᾶν ἐκεῖνος οὐκ ἔφριξεν. ἐν γὰρ καταγωγίωι τινὶ τιμίας εἰκόνος ἀνακειμένης
τοῦ τῶν εὐσεβῶν ἐπὶ τοῦ παρόντος σκήπτρων κρατοῦντος, ὥσπερ ἀμιλλώμενος ὁ
προλεχθεὶς δείλαιος καὶ ἀλάστωρ ἀνήρ, εἰ μὴ καὶ κατὰ τὸν ῥηθησόμενον νεώτερον τρόπον
βλασφημήσοι τὸ θεῖον, ἀνατείνας τὴν βακτηρίαν, ἐν ᾗ τὸ ἄτιμον αὐτοῦ σχηματίζεται
γῆρας στηρίζειν πληρῶν τὴν πεπλασμένην ἐπίθεσιν ἔμπροσθεν τῶν ὑπ' αὐτοῦ κατα-
γινομένων ἀπάγεσθαι, ἔτυπτεν ἀφειδῶς τὸ τοῦ φιλοχρίστου βασιλέως ὁμοίωμα, αἱρετικὸν
ἀποκαλῶν τὸν ἡνωμένον οὕτω θεῶι καὶ φρουρούμενον ὑπ' αὐτοῦ τὸ τῆς ἀληθείας φυ-
λάττοντα κήρυγμα καὶ οὐκ ἔπαυσε τὸν θυμὸν μέχρι τοσούτου ἕως οὗ καὶ τὴν φέρουσαν
τὸ περιφανὲς ἐκτύπωμα σινδόνα διέρρηξε καὶ μέρος κατέαξεν ἐξ αὐτοῦ, ὃ καὶ πυρὶ παρα-
δέδωκε. τὸ γὰρ ὅλον ἀφανίζειν οὐκ ἴσχυσεν φυλαχθὲν ὑπὸ τῆς προνοίας τοῦ κρείτ-
τονος εἰς ἔλεγχον ἀκριβῆ τοῦ τολμήματος τοῦδε φονικοῦ καὶ τοῦ μείζονος πάντων κατη-
γορήματος. μάρτυρες ἑστήκασιν ἄνδρες, ὡς ἔγνωτε, ἁγιώτατοι, σαφῆ τὴν ἀλήθειαν
συνήγορον ἔχοντες. ἐπειδὴ τοίνυν ἐκ παραδόξου οἱ προρρηθέντες αἱρεσιάρχαι
ἀνταλλαξάμενοι τῆς ὀφειλούσης αὐτῶν ἐκβολῆς γενέσθαι σὺν ἀτιμίαι πρὸ χρόνου L V 44
πολλοῦ τὸ ἐν τοῖς βασιλικοῖς ταμείοις οἰκεῖν παρρησίαν δεδώκασι τοῖς κατ' ἄλλον
τρόπον ἀρνουμένοις τὸ θεῖον, ἐγκαταλεγέντων αὐτοῖς πολλῶν ὀνόματι ἐπιπλάστου
ὀρθοδοξίας, καὶ κινδυνεύουσιν οἱ πιστοὶ πανταχοῦ γῆς μηκέτι ἐν ὁμονοίαι πορεύεσθαι Ps. 54, 15
ἐν τῶι οἴκωι τοῦ θεοῦ, ἐξάρατε ταχέως ἀφ' ἡμῶν τοὺς πονηρούς, προσενέγκατε
συνήθως ταύτην τὴν θυσίαν τῶι θεῶι τῶι σωτῆρι ὑπὲρ τῆς φυλαχθησομένης ὑμῖν
ἀγαθῆς ἀπολογίας ἐν τῆι μελλούσηι κρίσει τῆι φοβερᾶι, ἐλευθέραν παντὸς δέους
καὶ τρικυμίας αἱρετικῆς τὴν κρατοῦσαν εὔκοσμον ἐκκλησιαστικὴν φυλάξαντες κα-
τάστασιν, βεβαιοῦντες καὶ αὖθις τὰς κατ' αὐτῶν πρώην ἐξενεχθείσας ἐκ τοῦ ἀπο-
στολικοῦ ὑμῶν θρόνου ἐνθέσμους καὶ δικαίας καὶ εὐσεβεῖς ἀποφάσεις, εἰσηγούμενοι
τῶι ἐννομωτάτωι ἡμῶν βασιλεῖ καὶ τὰ ἐκείνων ἀσεβῆ συγγράμματα νομοθετῆσαι
πυρὶ παραδίδοσθαι καὶ καθυποβάλλεσθαι δημεύσει τοὺς ἔχοντας κατὰ μίμησιν τῶν τὰ
Μανιχαικὰ κεκτῆσθαι ζηλούντων καὶ τὰ Νεστορίου τοῦ δυσσεβοῦς καὶ τὰ Εὐτυχοῦς
τοῦ παράφρονος καὶ Διοσκόρου τοῦ αὐτῶν ὑπασπιστοῦ καὶ πατρός. οὕτω γὰρ
τοῖς εἰς αὐτοὺς μάτην ἐλπίζουσιν πᾶσα προσδοκία καταργηθήσεται. ἀξιοῦμεν δέ,
ἁγιώτατοι, καὶ τῆι κατὰ Ἄνθιμον ἱερᾶι ὑμῶν ψήφωι πέρας ἐπιθεῖναι τέλεον καὶ τοῖς
πατρικοῖς ὑμῶν κανόσιν ἁρμόδιον, ἵνα πᾶν ἐκ τοῦ μέσου σκάνδαλον ἀνέλητε καὶ ἀπὸ
τῶν μικρῶν τῶν πιστευόντων εἰς τὸν κύριον καὶ ἀκούσησθε παρὰ πάντων ἡμῶν· φυλάξοι M VIII 919

O [= aerv], I

1 συναυλίζεσθαι $O^{e}\Lambda$ 2 τῶ θείω O ῥηθὲν τῶ I ῥηθὲν O^{e} ῥητὸν O^{arv} I εἰρημένον ῥητὸν O^{r} 3 ἀδικία O^{r}I 4 οἷα om. O^{r}I Ἰσαακκίου O^{e} εἰπεῖν om. O^{e} 6 ἐκεῖνοσ οὐκ ἔφριξε δρᾶν O^{e} 8 καὶ^{2} om. I τὸν O^{e}I τὸ O^{arv} 9 ἀνατεῖναι O^{arv} 10 τὴν om. O^{r} ἐπίθεσιν = impostiuram 10/11 καταγινομένων] conicias συγκατατιθεμένων 13 οὗ om. O^{r} 15 ἀφανίσειν O^{r}I τοῦ O^{er}I τῆσ O^{av} 16 τοῦ φονικοῦ τοῦδε τολμήματοσ O^{e} τοῦ^{2} om. I 18 συνήγοροι O^{v} 19 τῆς ὀφειλούσης I τὴν ὀφείλουσαν OΛ ἐκβολῆς I ἐκβολὴν OΛ ταμιείοισ O^{e} 20 καὶ κατ' O^{e} 21 θεὸν ἀρνουμένοισ O^{e} 21/22 ὀρθοδοξίασ ἐπιπλάστου O^{e} 22 μηκέτι πανταχοῦ γῆσ O^{r}I 24 τῶ^{2} O^{arv}I καὶ $O^{e}\Lambda$ 25 ἀπολογίασ ἀγαθῆσ O^{rv} 26 τρικυμίασ O πάσης πλάνης I κρατοῦσαν O παροῦσαν I εὔκοσμον I εὐκοσμίαν O φυλάξαντες I φυλάξατε OΛ 26/27 καὶ κατάστασιν O^{arv} 28 καὶ^{2} om. O^{r} 29 βασιλεῖ ἡμῶν O^{e} 30 τοὺσ ἔχοντασ δημεύσει καθυποβάλλεσθαι O^{e} 31 ζητούντων O^{r}I ζηλούντων $O^{aev}\Lambda$ 32 πρσ καὶ ὑπερασπιστοῦ $O^{e}\Lambda$ ὑπερασπιστοῦ I 33 καταλυθήσεται I 34 θεία καὶ ἱερᾶ O^{e} 35 ἀνέλητε σκάνδαλον O^{e} 36 καὶ O^{arv}IΛ καὶ τὴν εὐκταίαν φωνὴν O^{e} φυλάξει O^{aev}

κύριος τὸν θρόνον ὑμῶν καὶ τοῦ φιλοχρίστου ἡμῶν βασιλέως ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ, τὰ τοῦ Πέτρου μιμήματα σώιζοντας καὶ σώσαντας ἡμᾶς ἐκ τῶν θλιβόντων καὶ τοὺς μισοῦντας ἡμᾶς καταισχύναντας.

Ὑπογραφαί

1 Θαλάσσιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Βηρυτίων πόλεως ἀξιώσας ὑπέγραψα: —
2 Μέγας ἐλέει θεοῦ ἐπίσκοπος τῆς Βεροιαίων φιλοχρίστου πόλεως ἀξιώσας ὑπέγραψα: —
3 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος Γαβάλων ὑπέγραψα Συριστί: —
4 Αἰθέριος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Μαριαμμιτῶν πόλεως ἀξιώσας ὑπέγραψα: —
5 Χριστοφόρος ἐλέει θεοῦ ἐπίσκοπος Πορφυρεῶνος ἀξιώσας ὑπέγραψα: —
6 Ἀρχέλαος ἐπίσκοπος Κωρύκου ἀξιώσας ὑπέγραψα: —
7 Δαυίθος ἐλέει θεοῦ ἐπίσκοπος τοῦ Κιρκινσίου ὑπέγραψα Συριστί: —
8 Ἀλέξανδρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς ποτὲ Βαρκουσῶν, νυνὶ δὲ Ἰουστινιανουπόλεως ἀξιώσας ὑπέγραψα: —
9 Ἀναστάσιος ἐλέει θεοῦ ἐπίσκοπος Ἰωτάβης ἀξιώσας ὑπέγραψα: —
10 Δόμνος ἐλέει θεοῦ ἐπίσκοπος Μαξιμιανουπόλεως ἀξιώσας ὑπέγραψα: —
11 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος Ζωόρων ἀξιώσας ὑπέγραψα: —
12 Μάγνος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀποκρισιάριος τῆς κατὰ Θεούπολιν ἁγιωτάτης μεγάλης ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —
13 Ἡράκλειος ἐλέει θεοῦ διάκονος καὶ ἀποκρισιάριος τῆς κατὰ Θεούπολιν ἁγίας τοῦ θεοῦ καθολικῆς ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —
14 Ἀθανάσιος διάκονος καὶ ἀποκρισιάριος τῆς κατὰ Τύρον ἁγιωτάτης ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —
15 Παῦλος ἐλέει θεοῦ ἀναγνώστης καὶ ἀποκρισιάριος τῆς κατὰ τὴν Ταρσέων ἁγιωτάτης ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —
L V 45 16 Θωμᾶς ἐλέει θεοῦ διάκονος καὶ ἀποκρισιάριος τῆς κατὰ τὴν Ἰουστινιανιτῶν πόλιν ἁγιωτάτης ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —
17 Ἀγάπιος ἐλέει θεοῦ διάκονος καὶ ἀποκρισιάριος τῆς ἁγίας ἐκκλησίας Ἱερᾶς πόλεως μητροπόλεως Εὐφρατησίας ἀξιώσας ὑπέγραψα: —
18 Ἰωάννης ἐλέει θεοῦ ὑποδιάκονος καὶ ἀποκρισιάριος τῆς κατὰ Βόστραν τὴν μητρόπολιν ἁγίας ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —
19 Τρόφιμος διάκονος καὶ ἀποκρισιάριος τῆς κατὰ Σελεύκειαν Ἰσαυρίας ἁγιωτάτης ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —
20 Εὐσέβιος ἐλέει θεοῦ διάκονος καὶ ἀποκρισιάριος τῆς κατὰ Ἄμιδαν ἁγιωτάτης ἐκκλησίας ἐπιστάμενος τὰ ἀνωτέρω εἰρημένα κατὰ Σεβήρου καὶ Πέτρου καὶ Ζώρα καὶ Ἀνθίμου ἀξιώσας ὑπέγραψα: —

O [= ae, r (usque ad 8), v], I [usque ad 8]
4 αἱ ὑπογραφαί O^r om. $O^{av}I$ 5 sq. ἐλέει θεοῦ semper om. $O^eΛ$ 5 ἐλέω O^rI βηρυτῶν O^r 6. 7 om. I 6 βερροιαίων O^{ev} μερυέων O^r φιλοχρίστου om. $O^eΛ$ 8 ἐλέω I γαβούλων O^{arv} 9—p. 152, 6 Αἰθέριος — ὑπέγραψα] καὶ οἱ λοιποὶ πάντες ὑπέγραψαν [ὑπέγραψαν om. I] O^rI 9 τῆς — πόλεως] μαριάμμης $O^eΛ$ 11 om. O^{av} 12 τοῦ om. O^e 13 νῦν O^r 18/19 ἁγιωτάτης μεγάλης om. $O^eΛ$ 19. 21. 23. 25 ἀξιώσας om. $O^eΛ$ 20 ράκλιοσ O^a 20/21 κατὰ — καθολικῆς] αὐτῆσ $O^eΛ$ 21 καθολικῆσ O^a om. O^v 22 ἁγιωτάτης om. $O^eΛ$ 24/25 κατὰ — ἁγιωτάτησ O^{av} ἐν ταρσῶ $O^eΛ$ 26 τὴν om. O^a 26/27 τὴν — πόλιν O^{av} Ἰουστινιανούπολιν $O^eΛ$ 27 ἁγιωτάτης om. $O^eΛ$ 27. 31. 36. p. 151, 1. 4. 6. 8. 10. 11. 14. 15. 18. 20. 22. 23. 25. 27. 30. 32. 34. 36. 38. 40 ἀξιώσας om. $O^rΛ$ 28 τῆς om. O^{av} 30/31 τὴν μητρόπολιν om. $O^eΛ$ 35 καὶ om. $O^eΛ$

21 Μάρκος διάκονος καὶ ἀποκρισιάριος τῆς ἁγίας ἐκκλησίας Ἐμέσης ἀξιώσας ὑπέγραψα: —

22 Συμεώνης διάκονος καὶ ἀποκρισιάριος τῆς κατὰ Ἀγιόπολιν ἁγιωτάτης ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —

23 Σέργιος διάκονος καὶ ἀποκρισιάριος τῆς κατὰ Πτολεμαίδα ἁγιωτάτης ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —

24 Κοσμᾶς ἐλέει θεοῦ μοναχὸς καὶ ἀποκρισιάριος τῆς κατὰ Ἀντάραδον ἁγιωτάτης ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —

25 Ἡσαίας ἐλέει θεοῦ διάκονος καὶ ἀποκρισιάριος τῆς κατὰ τὴν Ἀρεθουσίων ἁγιωτάτης ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —

26 Ἰουλιανὸς διάκονος καὶ ξενοδόχος τῆς Παλμυρέων ἁγίας ἐκκλησίας ἀξιώσας ὑπέγραψα: M VIII 922

27 Ἰωνᾶς διάκονος καὶ ἀποκρισιάριος τῆς Ἡλιουπολιτῶν ἁγιωτάτης ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —

28 Ἀβράμιος διάκονος καὶ ἀποκρισιάριος τῆς αὐτῆς ἁγίας ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —

29 Συμεώνης ἐλέει θεοῦ πρεσβύτερος τῆς κατὰ Κύπρον Κωνσταντίας ἁγίας τοῦ θεοῦ ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —

30 Ἰωάννης ἀναγνώστης καὶ ἀποκρισιάριος τῆς κατὰ Σελεύκειαν Συρίας ἁγίας τοῦ θεοῦ ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —

31 Μαρτύριος ἀναγνώστης τῆς κατὰ Βηρυτίων μητρόπολιν ἁγίας τοῦ θεοῦ ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —

32 Ἀρσένιος ἀναγνώστης τῆς κατὰ Μαριάμμην ἁγιωτάτης ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —

33 Σέργιος ἐλέει θεοῦ πρεσβύτερος καὶ περιοδευτὴς μονῆς Γινδάρου ἀξιώσας ὑπέγραψα: —

34 Συμεὼν ἐλέει θεοῦ διάκονος τῆς ἁγίας τοῦ Χριστοῦ Ἀναστάσεως ἀξιώσας ὑπέγραψα: —

35 Ἀναστάσιος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἀποκρισιάριος τῆς Καισαρέων ἁγιωτάτης ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —

40 Ἀλέξανδρος ἐλέει θεοῦ ὑποδιάκονος καὶ ἀποκρισιάριος τῆς Καισαρέων ἁγιωτάτης ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —

41 Ἰωάννης διάκονος καὶ ἀποκρισιάριος τῆς κατὰ Ἐλευθερόπολιν ἁγιωτάτης ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —

42 Θεοδόσιος διάκονος καὶ ἀποκρισιάριος τῆς Γαζαίων ἁγιωτάτης ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —

43 Πάμφιλος ἐλέει θεοῦ διάκονος καὶ ἀποκρισιάριος τῆς κατὰ Νεάπολιν ἁγίας τοῦ θεοῦ ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —

44 Εὔνομος πρεσβύτερος καὶ ἀποκρισιάριος τῆς κατὰ Πέτραν ἁγιωτάτης ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —

O [= acrv], 1

1 ἁγίασ — ἐμέσησ O^e κατὰ [om. O^v] ἁγίασ μητροπόλεωσ ἐμῆσ O^{av}, quae nimis corrupta sunt quam ut primaria subscriptio restituatur 8. 5. 7 ἁγίασ $O^eΛ$ 9/10. 13. 23. 29/30. 30/31. 33. 35. 39. p. 152, 5 ἁγιωτάτης om. $O^eΛ$ 11. 15 ἁγίας om. $O^eΛ$ 17 τοῦ θεοῦ om. $O^eΛ$ 19/20 ἁγίας τοῦ θεοῦ om. $O^eΛ$ 21 κατὰ — θεοῦ O^{av} ἐν βηρυτῶ $O^eΛ$ 27 συμεώνησ $O^eΛ$ ἐλέω O^a 32 ἐκκλησίασ παλαιστηνῶν $O^eΛ$ 35 γαζέων O^{av} 37/38. p. 152, 4 ἁγίας τοῦ θεοῦ om. $O^eΛ$ 39 Πέτραν scripsi πέτρον OΛ

45 Ἀναστάσιος διάκονος καὶ ἀποκρισιάριος τῆς αὐτῆς ἁγίας ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —

46 Βίκτωρ διάκονος καὶ ἀποκρισιάριος τῆς κατὰ Ἀρεόπολιν ἁγίας τοῦ θεοῦ ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —

47 Φιλούμενος ἀναγνώστης τῆς Ταρσέων ἁγιωτάτης ἐκκλησίας ἀξιώσας ὑπέγραψα: —

70 Καὶ μετὰ τὴν ἀνάγνωσιν τῶν λιβέλλων Μηνᾶς ὁ θεοσεβέστατος ἀναγνώστης καὶ
L V [48] νοτάριος σεκουνδοκήριος τῆς πρεσβύτιδος Ῥώμης προκομίσας τὸ ἄκτον τῆς γραφείσης παρὰ Ἀγαπητοῦ τοῦ τῆς ἁγίας μνήμης συνοδικῆς Ῥωμαικῆς ἐπιστολῆς ἀνέγνω. καὶ μετὰ τὴν ἀνάγνωσιν Χριστόδωρος ὁ θεοσεβέστατος νοτάριος καὶ διάκονος σηκρητάριος λαβὼν παρὰ τοῦ εἰρημένου θεοφιλεστάτου Μηνᾶ τὴν ἑρμηνείαν ἀνέγνω οὕτως

Ἑρμηνεία τῆς προαναγνωσθείσης συνοδικῆς ἐπιστολῆς

71 Τῶι ἀγαπητῶι ἀδελφῶι Πέτρωι Ἀγαπητός. Ἠβουλόμεθα μέν, ἀδελφοὶ ἀγαπητοί, διὰ τὴν τῆς ὑμετέρας ἀγάπης συνάφειαν πάντας τοὺς τοῦ κυρίου ἱερεῖς κατὰ τὴν ἀποστο-
1. Tim. 3, 2 λικὴν παράδοσιν ἀνεπιλήπτους εὑρίσκεσθαι καὶ μηδένα ἢ διὰ χάριν ἢ διὰ φόβον τῶν ἐκκλησιαστικῶν κανόνων ἐκκλίνειν· ἀλλ' ἐπειδὴ πολλὰ πολλάκις παρακολουθεῖ ἅτινα μεταμέλειαν τίκτειν δύναται καὶ νικᾶι τὰ πλημμελήματα τῶν ἁμαρτανόντων ὁ ἔλεος τοῦ θεοῦ καὶ διὰ τοῦτο ὑπερτίθεται ἡ τιμωρία, ὡς ἂν τόπον εὑρεῖν ἡ διόρθωσις δυνηθείη, παραινέσαι ἀναγκαῖον ἐκρίναμεν ἵνα τὰ παραληφθέντα κἂν τὸ λοιπὸν ἀπαράβατα
M VIII 923 φυλαχθείη. ἐχρῆν μὲν γὰρ τὴν ὑμετέραν ἀγάπην μεμνημένην τῶν πατρικῶν παραδόσεων μηδένα συγχωρεῖν τὰ κεκωλυμένα ποιεῖν, ἀλλὰ καὶ εἴ τις τολμηρὸς φανείη, πάσηι δυνάμει ἐναντιοῦσθαι. παραγενόμενοι τοιγαροῦν εἰς τὸ κομιτάτον τοῦ γαληνοτάτου ἡμῶν βασιλέως τοῦ ἡμετέρου υἱοῦ ηὕρομεν τὴν καθέδραν τῆς ἐν Κωνσταντινουπόλει ἐκκλησίας παρὰ τοὺς θεσμοὺς τῶν κανόνων ὑπὸ Ἀνθίμου τοῦ τῆς Τραπεζουντίων ἐκκλησίας ἐπισκόπου οὐ προσηκόντως ὑφαρπασθεῖσαν, οὗτινος τὴν ψυχὴν οὐ κατὰ τοῦτο μόνον τὸ μέρος, ἀλλ' ὅπερ καὶ μεῖζόν ἐστιν, ἐν τῆι τῆς ἀληθοῦς πίστεως ὁμολογίαι ἐπεθυμήσαμεν ἐκ τῆς ἀπωλείας ἐπαναγαγεῖν, ἀλλὰ τῆι Εὐτυχέος ἐνιστάμενος πλάνηι εἰς τὴν τῆς ἀληθείας ὁδὸν ἐπανελθεῖν κατεφρόνησεν. ὅθεν ἐπειδὴ κατὰ τὴν ἀποστολικὴν ἀγάπην τὴν ἐν τῆι πίστει αὐτοῦ μεταμέλειαν ἀναμένομεν, ἐν τῶι μεταξὺ οὐδὲ καθολικοῦ οὐδὲ ἱερέως ὀνόματος ἄξιον εἶναι ψηφίζομεν, μέχρις ἂν πάντα τὰ παρὰ τῶν πατέρων παραδοθέντα, δι' ὧν ἀληθῶς τῆς θρησκείας ἡ πίστις καὶ ἐπιστήμη φυλάττεται, κατὰ τὴν προσήκουσαν πληροφορίαν δέξηται. τοὺς δὲ ἑτέρους ὁμοίως τῆς αὐτοῦ ἀπονοίας τοὺς τῆι ψήφωι τῆς ἀποστολικῆς καθέδρας κατακριθέντας παραπλησίως ἡ ὑμετέρα ἀγάπη ἀποστραφήτω, ὧν αὐτὸς ἑαυτὸν μέτοχον ἐποίησεν. τῆς δὲ ἐν Κωνσταντινου-

---

O [= ac, r (inde a 8), v], I [inde a 8]

1. 3 ἁγίας om. $O^{eΛ}$ 1. 4 ἀξιώσας om. $O^{eΛ}$ 8 νοταρίων $O^{eΛ}$ 9 τοῦ om. O^{v} ῥωμαικῆς O^{av} om. $O^{erIΛ}$ ἀνέγνω O^{arvI} ἀνέγνω διὰ ῥωμαικῶν λέξεων $O^{eΛ}$ 9/10 καὶ — ἀνάγνωσιν O^{arvI} τὴν δὲ ἑρμηνείαν ταύτης ἀνέγνω $O^{eΛ}$ 10/11 ὁ θεοσεβέστατος — οὕτως O^{arv} διάκονος καὶ νοτάριος σηκρητάριος ἔχουσαν οὕτως $O^{eΛ}$ 10 καὶ διάκονος σηκρητάριος O^{av} om. O^{rI} 12 om. O^{r} ἐπιστολὴ ἀγαπητοῦ πάπα ῥώμης πρὸς πέτρον ἀρχιεπίσκοπον ἱεροσολύμων I προαναγνωσθείσης — ἐπιστολῆς O^{av} συνοδικῆς ἐπιστολῆς τῆς διὰ ῥωμαικῶν γραφείσης γραμμάτων ἅτινα παρείθησαν διὰ τὴν ἀπειρίαν αὐτῶν [ἅτινα — αὐτῶν om. Λ] $O^{eΛ}$ 13 ἀγαπητοὶ ἀδελφοὶ O^{e} 14 ἡμετέρας O^{erv} 15 ἢ¹ om. O^{r} διὰ² om. O^{r} 16 ἐπεὶ O^{e} πολλὰ $O^{eΛ}$ om. O^{arvI} 17/18 ἔλεος τοῦ θῦ ΟΛ ἔρως τῆς διορθώσεως I 19 ἐκκρίναμεν O^{a} παραλειφθέντα O^{rvI} κἂν O εἰς I 20 μὲν om. I 22 παραγινόμενοι O^{r} 23 εὕρομεν O^{eI} 24 τοῦ ἀνθίμου τοῦ O^{av} 26 τὸ μέρος μόνον I 27 εὐτυχοῦς O^{r} 28 ἐπανελθεῖν om. O^{v} 31 δι' om. O^{rI} ἡ τῆς θρησκείας I 32 προσήκουσαν om. O^{v} ὁμοίους I 34 ἀμέτοχον O^{e}

πόλει καθέδρας τὴν ὕβριν βοηθοῦντος τοῦ θεοῦ τῇι ἀποστολικῇι αὐθεντίαι καὶ τῶν πιστοτάτων βασιλέων τῇι βοηθείαι διωρθώσαμεν. καὶ τρόπον τινὰ τεθαυμάκαμεν ὅτι τοῦτο τὸ ἔργον οὕτω τοῖς πατρικοῖς ψηφίσμασιν φανερῶς ἐναντίον ἡ ὑμετέρα ἀδελφότης οὐ μόνον εἰς γνῶσιν ἡμετέραν ἐνεγκεῖν ἠμέλησεν, ἀλλὰ καὶ ἐπιληψίμωι ἐβεβαίωσε συναινέσει, εὐχαριστοῦμεν δὲ τῶι θεῶι, οὗτινος τῶι νεύματι ὡς ἐπὶ τὸ πολὺ τὰ κακὰ πρὸς τὸ βέλτιον τρέπεται καὶ αἱ μικραὶ παραβάσεις εἰς ὄφελος καὶ ἀφορμὴν μεγάλης γίνονται χαρᾶς. τοῦτο δὲ ὑπὲρ τοῦ διεγεῖραι τῆς ὑμετέρας ὁμοψυχότητος τὴν ἀγαλλίασιν σημαίνω ὅτι Μηνᾶν τὸν ἀδελφὸν καὶ συνεπίσκοπον ἡμῶν, ἄνδρα πολλοῖς ἐπαίνων τρόποις κεκοσμημένον, ἡ μνημονευθεῖσα Κωνσταντινουπόλεως ἐκκλησία ἐπίσκοπον ἐδέξατο, ὥιτινι εἰ καὶ παρὰ τοὺς λοιποὺς τῶν γαληνοτάτων βασιλέων ἐπεγέλασεν ἡ ἐπιλογή, ὅμως τοσαύτη τοῦ τε κλήρου παντὸς καὶ τοῦ δήμου συναίνεσις προσγέγονεν, ὥστε παρ' ἑκάστου καὶ ἐπιλεγῆναι πιστεύεσθαι. καὶ γὰρ οὔτε τῇι εἰδήσει οὔτε τῇι L V [46]
ζωῇι τινὶ ἦν ἄγνωστος, ἀλλὰ καὶ τῇι ἀκεραιότητι τῆς πίστεως καὶ τῶν ἱερῶν γραφῶν τῇι σπουδῇι, οὐ μὴν ἀλλὰ καὶ τῆς εὐσεβοῦς διοικήσεως τῇι ὑπηρεσίαι οὕτω τοῦ προλεχθέντος ἀνδρὸς ἔλαμπεν ἡ δόξα, ὥστε αὐτῶι βραδύτερον δοκεῖν παραγεγονέναι οὗπερ ἠξίωται. καὶ τοῦτο δὲ πιστεύομεν τῇι αὐτοῦ ἀξίαι προστεθῆναι, ὅτιπερ ἐκ τῶν χρόνων τοῦ ἀποστόλου Πέτρου οὐδένα ἄλλον οἱαδήποτε Ἀνατολικὴ ἐκκλησία ἐδέξατο ἐπίσκοπον ταῖς χερσὶν τῆς ἡμετέρας καθέδρας χειροτονηθέντα, καὶ τυχὸν ἢ εἰς ἀπόδειξιν ἐπαίνου αὐτοῦ ἢ εἰς κατάλυσιν τῶν ἐχθρῶν τῆς ἐνστάσεως τοσοῦτον πρᾶγμα προέβη, ὥστε ἐκείνοις αὐτὸν εἶναι δοκεῖν ὅμοιον, οὓς ἐν τούτοις ποτὲ τοῖς μέρεσιν αὐτοῦ τῶν ἀποστόλων τοῦ πρώτου ἐχειροτόνησεν ἡ ἐπιλογή. κοινὴν τοιγαροῦν χαράν, ἀδελφοί, εὐσεβεῖ ἀγαλλιάσει ὑποδέξασθε καὶ ὁπόσον τῆς ἀποστολικῆς ἡμῶν καθέδρας τὴν κρίσιν ἀποδέχεσθε, τῇι συνήθει σημάνατε ἀντιγραφῇι, διπλῆν ἔχοντες εὐφροσύνης αἰτίαν ὅτι καὶ τὰ φαῦλα ἄνευ παρολκῆς διωρθώθη καὶ ἀντὶ τούτων τὰ εὐκταῖα παρηκολούθησε, M VIII 926
τοῦ λοιποῦ προφυλαττόμενοι ἵνα μὴ αὖθις τοῖς κανονικοῖς θεσπίσμασιν ἐναντίον τι δι' ὑμῶν, ὅπερ ἀπέστω, γένηται ἢ τῇι ὑμετέραι στερχθείῃ συναινέσει, ἐπειδὴ καθάπερ συγγνώμης ἀξία ἐστὶν ἡ πλάνη τοῦ ἅπαξ ἁμαρτάνειν, οὕτως ἡ συχνὴ παράβασις κίνησιν αὐστηρίας ἀπαιτεῖ. ὑπογραφή· Ὁ θεὸς ἐρρωμένον σε φυλάξοι, ἀδελφὲ τιμιώτατε.

Διαλαλιὰ Μηνᾶ πατριάρχου

72 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος καὶ πᾶσα ἡ ἁγία σύνοδος εἶπεν· Οὐδὲν θαυμαστὸν εἰ τοῖς ἑαυτοῦ κατακολουθεῖ καὶ νῦν ὁ μέγας ἀποστολικὸς θρόνος τούς τε ἱεροὺς τῶν ἁγιωτάτων ἐκκλησιῶν θεσμοὺς ἀπαρεγχειρήτους διατηρῶν καὶ τὰ τῆς ὀρθῆς πίστεως ἐκδικῶν καὶ φιλανθρώπου γνώμης τοῖς ἡμαρτηκόσι μεταδιδούς. ὅθεν καὶ ἡμεῖς πληροῦντες τὰ τῶι μακαριωτάτωι πάπαι ἐπὶ τῆς συνοδικῆς ἐπιστολῆς δεδογμένα καὶ καιρὸν

O [= acrv], I
1 τοῦ θεοῦ om. $O^{e}\Lambda$ 2 διορθώσαμεν O^{a} 3 φανερῶσ τοῖσ — ψηφίσμασιν O^{e} 4 ἐμέλησεν O^{a} ἐπιληψήμω O^{arv} 5 συνέσει O^{arv} τ̄νι $O^{e}\Lambda$ 5/6 τὰ κακὰ — βέλτιον ὡσ — πολὺ O^{e} 6 μεγάλην O^{a} 7 ὁμοψυχίασ O^{e} 8 καὶ om. O^{av} 9 ῥηθεῖσα O^{e} ἐκκλησία $O\Lambda$ καθέδρα I 10/11 ἡ τῶν γαληνοτάτων ἐπεγέλασε βασιλέων ἐπιλογὴ O^{e} 11 ἐπιλοὴ I παντόσ τε τοῦ κλήρου O^{e} σύνεσισ O^{av} σύννευσισ O^{r} προσεγένετο O^{r}I 12 καὶ om. O^{a} 13 ἦν τινὶ O^{r} 14 τῇ τῆσ — διοικήσεωσ ὑπηρεσία I 15 ἡ δόξα διέλαμπεν O^{e} 16 προστιθέναι O^{r} ὅτιπερ I ὅπερ O 17 ἐκκλησία ἀνατολικὴ O^{r} 18 εἶσ O^{e}I om. O^{arv} 20 ὥστε καὶ I 21 ἀδελφοὶ χαρὰν O^{e} 22 ὁπόσον ὑμεῖσ $O^{e}\Lambda$ 22/23 ἀποδέχεσθε τὴν κρίσιν O^{e} 23 ἔχοντεσ διπλῆν O^{e} 24 καὶ^{1} I τὲ καὶ O διωρθώθη ἄνευ παρολκῆσ O^{e} 26 ἀπέστω] ἀπεύχομαι O^{r}I *non credo* [i. e. ἀπιστῶ pro ἀπέστω] Λ συνέσει O^{arv} 28 ἡ ὑπογραφή O^{r} om. O^{e}I post ὑπογραφὴ coll. διαλαλιὰ — πατριάρχου O^{v} φυλάξοι O^{r}I φυλάξει O^{e} διαφυλάξοι O^{a} διαφυλάξει O^{v} 29 om. O^{r}I 30 Ὁ ἁγιώτατος — εἶπεν om. O^{v} 31 τῆς O^{v} 34 μακαρίω I τοῖσ συνοδικοῖσ O^{a}

αὐτῶι μετανοίας ἐνδιδόντες συνορῶμεν Βοσπόριον τὸν ὁσιώτατον ἐπίσκοπον τῆς Νεοκαισαρέων μητροπόλεως καὶ Ἀκάκιον τὸν ὁσιώτατον ἐπίσκοπον τῆς Πισινούντων μητροπόλεως καὶ Ζαχαρίαν τὸν ὁσιώτατον ἐπίσκοπον τῆς Μιτυληναίων μητροπόλεως καὶ Ἰωάννην καὶ Θεόκτιστον τοὺς θεοφιλεστάτους πρεσβυτέρους καὶ ἐκδίκους τῆς ἐνταῦθα ἁγιωτάτης μεγάλης ἐκκλησίας καὶ Ἀκάκιον καὶ Χριστόδωρον τοὺς θεοσεβεστάτους διακόνους καὶ νοταρίους τῆς αὐτῆς ἁγιωτάτης ἐκκλησίας ἀναζητῆσαι Ἄνθιμον τὸν εὐλαβέστατον καὶ δῆλα μὲν αὐτῶι καταστῆσαι τὰ παρ' ἡμῖν πεπραγμένα, προτρέψαι δὲ εἴσω τριῶν ἡμερῶν, εἰ βούλοιτο παραγενέσθαι πρὸς τὴν ἁγίαν ταύτην σύνοδον καὶ τὴν προσήκουσαν ἐπὶ τοῖς προσηγγελμένοις ποιήσασθαι πληροφορίαν.

Ὑπεσημηνάμην.

73 Μετὰ δὲ τὴν ὑπατείαν Φλ' Βελισσαρίου τοῦ λαμπροτάτου τῆι πρὸ μιᾶς Νόνων
d. 6. m. Mai. Μαίων ἰνδικτιῶνος τεσσαρεσκαιδεκάτης ἐν τῆι φιλοχρίστωι καὶ βασιλευούσηι Κωνσταν-
a. 536 τινουπόλει Ῥώμηι

προκαθεζομένου τοῦ δεσπότου ἡμῶν τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου ἀρχι-
L V 52 ἐπισκόπου καὶ οἰκουμενικοῦ πατριάρχου Μηνᾶ ἐν τῶι μεσαύλωι τῶι δυτικῶι τοῦ σε-
βασμίου οἴκου τῆς δεσποίνης ἡμῶν τῆς ἁγίας ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας τοῦ ὄντος πλησίον τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας

καὶ ἐκ μὲν τοῦ δεξιοῦ μέρους συνεδρευόντων αὐτῶι καὶ συνακροωμένων κατὰ εὐσεβῆ κέλευσιν τοῦ φιλοχρίστου καὶ θεοφυλάκτου ἡμῶν βασιλέως Ἰουστινιανοῦ τῶν ὁσιωτάτων καὶ θεοφιλεστάτων ἐπισκόπων

2 Σαβίνου τοῦ Κανουσίου
3 Ἐπιφανίου Ἐκλάνων
4 Ἀστερίου Σαλέρνων
5 Ῥουστίκου Φεσούλων
6 Λέοντος Νόλου

τῶν πάντων ἐκ τῆς Ἰταλῶν χώρας πρώην μὲν ἀπεσταλμένων ἐκ τῆς ἀποστολικῆς καθέδρας, ὕστερον δὲ συνόντων παραγενομένωι ἐνταῦθα Ἀγαπητῶι τῶι τῆς ἁγίας μνήμης γενομένωι πάπαι τῆς πρεσβυτέρας Ῥώμης

M VIII 927 7 Πέτρου τῆς μητροπόλεως Ἰουστινιανουπόλεως τῆς δευτέρας Καππαδοκῶν ἐπαρχίας
8 Ζαχαρίου τῆς μητροπόλεως Μιτυλήνης
9 Μάρκου τῆς μητροπόλεως Ἀπαμείας τῆς Βιθυνῶν ἐπαρχίας
10 Αὐξεντίου τῆς μητροπόλεως Σηλυβρίας
11 Τιμοθέου τῆς μητροπόλεως Βερόης

O [= aerv], I

1/2 Νεοκαισαρέων — ἐπίσκοπον τῆς om. O^r 2 πισσινούντων O^{ev} πισινουντίων I 3 καὶ Ζαχαρίαν — μητροπόλεως post 5 μεγάλης ἐκκλησίας coll. $O^eΛ$ μητροπόλεωσ μιτυληναίων O^{av} 7 ἡμῶν O^r 8 ἡμερῶν om. O^r 9 τὴν om. O^r ἐπὶ — ποιήσασθαι om. O^v προ[προσ- O^a ἐπηγγελμένοις O^{ar} inscr. πρᾶξισ ἑτέρα συστᾶσα [om. O^r] παρὰ μηνᾶ πριάρχου $O^{er}Λ$ πρᾶξις ἑτέρα I^{mg} 11 δὲ om. $O^eIΛ$ φλαβίου $O^eIΛ$ βελισαρίου $O^vIΛ$ μιλισαρίου O^r νόννων OI 12/13 ῥώμη κωνσταντινουπόλει $O^eΛ$ κωνσταντινουπόλει νέα ῥώμη O^a 16 τῆς — ἐνδόξου δεσποίνης ἡμῶν I 19 τὴν εὐσεβῆ I 21—26 τῶν om. O^rI 21 κανοσίου O^v 25/26 Νόλου τῶν] νολούτων O^a νελούτων O^v νολούνων O^e 26 πάντων O τῶν I post πρώην μὲν habentur in O^{av} πρώτης [δευτέρασO^v] καππαδοκίας [p. 156, 12] — τῆσ ὁσίασ μνήμησ [p. 156, 31], deinde ἀπεσταλμένων[26] — καισαρείασ τῆσ μροπολεωσ [p. 156, 12], denique καὶ ἐξάρχου ἅμα τοῖσ κτλ. [p. 156, 31] ordinem restituit O^a litteris β̄ α̅ γ̄ margini appictis, ex littera α̅ orta est lectio τῆσ πρώτησ [26] O^v 27 παραγενομένων O^r 28 ὁσίασ O^e 29—p. 155, 20 Πέτρου — Ἀλίνδων] καὶ λοιπῶν τῶν ὑπὸ τὴν βασιλίδα ταύτην τελούντων O^rI

12 Θαλασσίου τῆς μητροπόλεως Βηρυτοῦ
13 Μεγάλου τῆς μητροπόλεως Βεροίας
14 Ἰωάννου τῆς μητροπόλεως Βοσπόρου
15 Ἰωάννου Γαβάλων
16 Δομετιανοῦ Ζικχίας
17 Χριστοφόρου Πορφυρεῶνος ἐπαρχίας Φοινίκης παράλου
18 Ἀρχελάου Κωρύκου
19 Δαυίθου τοῦ Κιρκινσίου
20 Αἰθερίου Μαριάμμης
21 Ἀλεξάνδρου Βαρκουσῶν
22 Δόμνου Μαξιμιανουπόλεως τῆς δευτέρας Παλαιστίνης
23 Ἀναστασίου Ἰωτάβης
24 Ἰωάννου Ζωόρων
25 Ἀνδρέου τοῦ Πανίου
26 Ἐπιτυγχάνου Γέρμης ἐπαρχίας Ἑλλησπόντου
27 Πελαγίου Παρνασσοῦ
28 Παύλου τοῦ Στεκτορίου
29 Ἀνδρέου Πελτῶν
30 Θεοδώρου Μηροῦ
31 καὶ Θεοδωρίτου Ἀλίνδων
ἐκ δὲ τοῦ εὐωνύμου μέρους
32 Ὑπατίου τῆς μητροπόλεως Ἐφέσου
33 Κωνσταντίνου Ἡρακλείας τῆς μητροπόλεως Εὐρώπης
34 Θεαγένους τῆς μητροπόλεως Συνάδων
35 Βάκχου Ἀντιοχείας τῆς μητροπόλεως Πισιδίας
36 Ἰλαριανοῦ τῆς μητροπόλεως Πέργης
37 Βοσπορίου Νεοκαισαρείας τῆς μητροπόλεως Πόντου Πολεμωνιακοῦ
38 Παύλου τῆς μητροπόλεως Τυάνων
39 Ἀκακίου τῆς μητροπόλεως Πισσινούντων
40 Ἐπικτήτου Κλαυδιουπόλεως τῆς μητροπόλεως Ὀνωριάδος
41 Ἐπιφανίου Ἡρακλείας τῆς Ὀνωρεατῶν ἐπαρχίας
42 Ἀβραμίου Κρατίας
43 Ἀλεξάνδρου Κολωνείας τῆς δευτέρας Καππαδοκῶν ἐπαρχίας
44 Ἀστερίου Ἀμάστρεως
45 Εὐγενίου Τίου
46 Ἰωάννου Καισαρείας τῆς Βιθυνῶν ἐπαρχίας
47 Κυριακοῦ Θεοδοσιουπόλεως τῆς Φρυγῶν Πακατιανῶν ἐπαρχίας
48 Ἰωάννου Τραιανουπόλεως
49 Θεοδότου Εὐροίας Παλαιᾶς Ἠπείρου
50 Ἀνδρέου Ἀμυζόνος
51 Φλαβιανοῦ Κοτένων
52 Ἡλίου Ἀδριανῶν τῆς Βιθυνῶν ἐπαρχίας
53 καὶ Ἁρμονίου Καλλιπόλεως

O [= aerv], I

2 βερροίασ O^{ev} 4 γαβουλῶν O^{av} 5 ζηκχίασ O^{e} 11 παλαιστήνησ O^{e} 16 παρνασσοῦ O^{a} 17 στεκτωρίου O^{av} 19 μίρου O^{e} 22 ὑπάτου O^{v} 24 θεογένους O^{r} 25—43 καὶ τῶν λοιπῶν O^{r} 25 πισσιδίασ O^{ev} 37 καπατιανῶν O^{av} 40 ἀμουζῶνοσ O^{av} 41 κοτέννων O^{av}

54-57 συμπαρόντων δὲ αὐτῶι καὶ συνακροωμένων καὶ Θεοφάνους καὶ Πελαγίου τῶν θεοφιλεστάτων διεκόνων τῆς ἀποστολικῆς καθέδρας καὶ Μηνᾶ καὶ Πέτρου τῶν θεοσεβεστάτων νοταρίων καί τινων εὐλαβεστάτων ὑποδιακόνων καὶ ἐκδίκων καὶ λοιπῶν κληρικῶν τοῦ αὐτοῦ ἀποστολικοῦ θρόνου, οἳ καὶ συνόντες ἐτύγχανον παραγενομένωι ἐνταῦθα Ἀγαπητῶι τῶι τῆς ἁγίας μνήμης γενομένωι πάπαι τῆς πρεσβυτέρας Ῥώμης

58. 59 καὶ Μάγνου πρεσβυτέρου καὶ Ἡρακλείου διακόνου καὶ ἀποκρισιαρίων Ἐφραιμίου τοῦ ὁσιωτάτου πατριάρχου τῆς ἐν Θεουπόλει ἁγιωτάτης ἐκκλησίας

60 Σαβίνου διακόνου τῆς ἁγίας Χριστοῦ τοῦ θεοῦ ἡμῶν Ἀναστάσεως πληροῦντος τὰς ἀποκρίσεις Πέτρου τοῦ ὁσιωτάτου πατριάρχου Ἱεροσολύμων

61 Στεφάνου διακόνου καὶ ἀποκρισιαρίου Σωτηρίχου τοῦ ὁσιωτάτου ἐπισκόπου Καισαρείας τῆς μητροπόλεως πρώτης Καππαδοκίας

62 Γαιανοῦ πρεσβυτέρου καὶ ἀποκρισιαρίου Ἐλπιδίου τοῦ ὁσιωτάτου ἐπισκόπου Ἀγκύρας τῆς μητροπόλεως Γαλατίας πρώτης

L V 53 63. 64 Διονυσίου καὶ Καλλινίκου διακόνων καὶ ἀποκρισιαρίων Φωτίου τοῦ ὁσιωτάτου ἐπισκόπου τῆς μητροπόλεως Κορίνθου

παρόντος δὲ καὶ τοῦ εὐλαβοῦς κλήρου τῆς βασιλευούσης πόλεως

74 Εὐφήμιος ὁ θεοσεβέστατος διάκονος καὶ πριμικήριος νοταρίων εἶπε· Πρὸ τούτων φανερῶν ἡμερῶν εὐσεβοῦς ἡγησαμένης κελεύσεως τοῦ φιλοχρίστου καὶ θεοφυλάκτου ἡμῶν βασιλέως συνελήλυθεν ἡ παροῦσα τὰ νῦν ἁγία σύνοδος καὶ τῶν ἐπὶ τῆς βασιλίδος ταύτης πόλεως εὐλαβῶν μοναχῶν καί τινων ἐκ τῆς Θεουπολιτῶν ὁρμωμένων καὶ ἄλλων γε
M VIII 930 μὴν ἐκ τῆς Ἱεροσολυμιτῶν εὐλαβῶν ἀνδρῶν τηνικαῦτα παρ' ὑμῖν εἰσεληλυθότων πέπρακταί τινα ἐπὶ Ἀνθίμωι τῶι εὐλαβεστάτωι, ἃ δὴ τοῖς τηνικαῦτα συστᾶσιν ὑπομνήμασι περιέχεται, ἐν οἷς καὶ προθεσμίαν ῥητὴν ἐπὶ τῆι τοῦ αὐτοῦ εὐλαβεστάτου ἀνδρὸς ἀναζητήσει δεδώκατε, ἧς ἤδη διαδραμούσης, ἐπειδὴ καὶ νῦν ἡ ὑμετέρα συνῆλθεν ἁγιωσύνη τῆς αὐτῆς ὑποθέσεως ἕνεκα, παραφυλάττουσι δὲ τὴν ὑμετέραν ἀκρόασιν καὶ οἱ μνημονευθέντες μοναχοὶ τῆς παρ' ὑμῖν εἰσόδου τυχεῖν ἀξιοῦντες, ὑποβάλλομεν πρὸς τὸ παριστάμενον.

75 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος καὶ ἡ ἁγία σύνοδος εἶπεν· Εἰσίτωσαν.

76 Καὶ εἰσελθόντος Μαριανοῦ τοῦ θεοφιλεστάτου πρεσβυτέρου καὶ ἡγουμένου μονῆς Δαλματίου τοῦ τῆς ὁσίας μνήμης καὶ ἐξάρχου ἅμα τοῖς λοιποῖς θεοσεβεστάτοις ἀρχιμανδρίταις καὶ μοναχοῖς τῶν τε κατὰ τήνδε τὴν βασιλίδα πόλιν καὶ Θεούπολιν καὶ Ἱεροσόλυμα εὐαγῶν μοναστηρίων

1 Ἀγαπητοῦ τῆς Δίου
2 Διοσκόρου τῆς ἁγίας Εὐφημίας
3 Ἀγαπίου τῆς Θαλασσίου
4 Παύλου τῶν Ῥωμαίων
5 Ἀντωνίου τῆς Εὐσεβίου
6 Στεφάνου τῆς Ὀλυμπίου
7 Ἀναστασίου τῶν Ῥωμαίων
8 Δημητρίου τῆς Φωκᾶ

O [= aer v], I

1 αὐτῶι om. OrIΛ 7 καὶ3 om. IΛ 8 θεουπόλεωσ Ov 12 δευτέρασ Ov littera marginali [cf. notam ad p. 154, 26] non recte intellecta καππαδοκῶν ἐπαρχίασ OeΛ 17 εὐαγοῦσ Oe 18 πριμμικήριοσ OI 20 τῶν τε Oe 22 τηνικαῦτα] αὐτίκα Or εἰσεληλυθότων Ov 24 τοῦ om. Oav εὐλαβεστάτη Ov 25 διαδραμούσης I δραμούσησ O συνελήλυθεν Or 26 δὲ I δὲ καὶ OΛ 27 μνημονευθέντεσ εὐλαβέστατοι OeΛ 30 εἰσελθόντεσ Ov μαρινιανοῦ Oe 31 γ̄ (cf. notam ad p. 154, 26] καὶ ἐξάρχου Ov θεοφιλεστάτοισ Or 34—p. 159, 2 om. OrI

9 Κυριακοῦ τῆς Εὐφημίου
10 Ζωίλου τῆς Θεοδότου
11 'Ιουλιανοῦ τῆς Εὐφημίου
12 Στεφάνου τῶν Προμώτου
13 Ζήνωνος τῆς ἁγίας θεοτόκου ἐν τῆι πηγῆι
14 'Αλεξάνδρου τοῦ καλαμίου
15 Δάδα τῆς Καιουμᾶ
16 'Ρόδωνος τῆς Θεοδώρου
17 Γενναδίου τῆς Κυριακοῦ
18 Θεοδώρου τῆς Μαρωνίου
19 Σίλα τῆς 'Ηλία
20 Παύλου τῆς Σαμουηλίου
21 'Ιωάννου τῆς Θεοδώρου
22 Κυρίωνος τῶν Αἰγυπτίων
23 Βασιλείου τῆς Κυρακωνᾶ
24 'Ιωάννου τοῦ ἁγίου ἀποστόλου Θωμᾶ ἐν τοῖς Μοδέστου
25 Μάρκου τῆς Θεοδώρου
26 Φλαβιανοῦ πρεσβυτέρου καὶ δευτεραρίου τῆς Μοδέστου τῶν Λυκαόνων
27 Μαρίνου τῆς Παύλου
28 Θεοκτίστου τῆς ἁγίας θεοτόκου πλησίον τῶν 'Ιώβ
29 Θεοδώρου τῆς Τρύφωνος
30 Κοσμᾶ τοῦ ἁγίου 'Ιωάννου ἐν τοῖς Στουδίου
31 Πέτρου τῆς ἁγίας θεοτόκου καὶ τοῦ ἁγίου Διομήδους ἐν 'Ιερουσαλήμ
32 'Ελευθερίου τοῦ ἁγίου Κυριακοῦ
33 'Αλεξάνδρου τῆς 'Αβραμίου
34 Θεοδώρου τῆς 'Ιώβ
35 Τρύφωνος τῆς 'Ελπιδίου
36 Στεφάνου τῶν Κώνστα
37 Βαβύλα τῆς Δανιὴλ ἐν τῶι στύλωι
38 'Ιωάννου τῆς 'Αναστασίου
39 'Ανθεμίου τῆς Νέωνος
40 'Ιωάννου τοῦ ἁγίου Μιχαὴλ τῶν Χαρισίου
41 'Ιωάννου τῆς Μάρα πλησίον τῆς 'Αετίου κινστέρνης
42 Φωκᾶ τῆς 'Ιωνᾶ πλησίον τοῦ Δευτέρου
43 Ζωσίμου τῆς Εὐτυχίου τῶν Λυκαόνων
44 Τιμοθέου τῆς 'Αστερίου
45 Στρατονίκου τῆς Δομετίου
46 Πολυχρονίου τοῦ αἰθρίου
47 'Ανδρέου τῶν 'Ρωμαίων πλησίον τῆς 'Αετίου κινστέρνης
48 Μαρτυρίου τῆς Πέτρου πλησίον τῶν 'Αποστόλων
49 'Ανδρέου τῆς ἁγίας θεοτόκου πλησίον τοῦ ἁγίου Λουκᾶ
50 Μάρκου τοῦ ἁγίου Κυρίκου
51 'Ιακώβου τῆς 'Αβίβου Σύρου

O [= aev]
4 προμότου O^{e} 9. 8 coll. O^{av} 12 σαμοηλίου O^{av} 18 δευτεριαρίου O^{av} 22 τοῦ ἁγίου — τοῖσ O^{av}Λ τῶν O^{e} 23 ἐν τῆ O^{e} 33 ἀετοῦ O^{av} 38 αἰθερίου O^{av} 39 τῶν O^{e} τῆσ O^{av} ἀετοῦ O^{av} 42 κηρύκου O

52 Ἀττικοῦ τῶν Εὐκρατάδων
53 Ἰωσὴφ τῆς ἁγίας θεοτόκου ἐν τῶι λιθοστρώτωι
54 Παύλου τοῦ ἁγίου ἀποστόλου Πέτρου πλησίον τοῦ παλατίου
55 Ἀναστασίου πρεσβυτέρου καὶ δευτεραρίου τοῦ ἁγίου Φιλίππου ἐν τῶι βρεφοτροφείωι
56 Γεωργίου τῆς Κύρου
57 Εὐσεβίου τῆς Συμεωνίου
58 Ζωτικοῦ τοῦ ἁγίου Ἀνδρέου πλησίον τῆς Σατορνίνου πόρτης καὶ τῶν ὑπὸ Θεούπολιν
59 Παύλου μοναχοῦ καὶ ἀποκρισιαρίου μονῆς τῆς Μάρωνος
L V 56 60 Σεβηριανοῦ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου μονῆς Ζωόρα τῶν Θερμῶν Σύρου
61 Κασσισᾶ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου μονῆς Λουκᾶ Σύρου
62 Συμεωνίου διακόνου καὶ ἀποκρισιαρίου τῆς Ἰακώβου
63 Ἰωάννου διακόνου καὶ ἀποκρισιαρίου τῆς Θεοδώρου
64 Στεφάνου πρεσβυτέρου καὶ ἡγουμένου μονῆς Εὐξερίου
65 Ἰωάννου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου μονῆς τοῦ κύρου Θωμᾶ Σύρου
66 Θωμᾶ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου μονῆς Ἀαρὼν Σύρου
M VIII 931 67 Φωτεινοῦ μοναχοῦ καὶ ἀποκρισιαρίου μονῆς τοῦ ἁγίου Στεφάνου
68 Θεοδώρου διακόνου καὶ ἀποκρισιαρίου τῆς ἐκκλησίας Ἐρενδηληνῶν
69 Σεργίου πρεσβυτέρου καὶ περιοδευτοῦ
οἱ πάντες πράττοντες ὑπέρ τε ἑαυτῶν καὶ τῶν λοιπῶν
ἔτι γε μὴν καὶ τῶν ὑπὸ τοὺς ἁγίους Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν τόπους
70 Δομνίνου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου μονῆς τοῦ μακαρίου Μαρτυρίου
71 Ἡσυχίου πρεσβυτέρου καὶ ἀποκρισιαρίου μονῆς τοῦ μακαρίου Θεοδοσίου
72 Κασιανοῦ πρεσβυτέρου τῆς λαύρας τοῦ μακαρίου Σάββα
73 Κυριακοῦ πρεσβυτέρου καὶ ἡγουμένου τῶν πυργίων τοῦ Ἰορδάνου
74 Νεστάβου πρεσβυτέρου λαύρας τοῦ μακαρίου Φιρμίνου
75 Τερεντίου πρεσβυτέρου τῆς Νέας λαύρας
76 Λεοντίου μοναχοῦ καὶ ἡγουμένου καὶ τοποτηρητοῦ τῆς ἐρήμου πάσης
77 Τραιανοῦ πρεσβυτέρου τῶν πυργίων τοῦ Ἰορδάνου
78 Πολυεύκτου διακόνου μονῆς τοῦ ἀββᾶ Θεοδοσίου
79 Θεοδώρου διακόνου καὶ μοναχοῦ τῆς Νέας λαύρας
80 Κυρίκου διακόνου καὶ μοναχοῦ τῆς αὐτῆς Νέας λαύρας
81 Ἀναστασίου διακόνου μονῆς τοῦ μακαρίου Μαρτυρίου
82 Μάμα μοναχοῦ τῆς αὐτῆς μονῆς
83 Ἰωάννου μοναχοῦ τῆς αὐτῆς μονῆς
84 Ἰουλιανοῦ μοναχοῦ μονῆς τοῦ ἀββᾶ Θεοδοσίου
οἱ πάντες πράττοντες ὑπέρ τε τῶν οἰκείων μοναστηρίων καὶ πάντων τῶν ἐν τῆι ἐρήμωι τῆς ἁγίας πόλεως μοναχῶν
85 Ἰωάννου πρεσβυτέρου τῆς πεδιάδος καὶ ὑπὲρ πάντων τῶν ἐκεῖσε μοναχῶν
86 Θεωνᾶ πρεσβυτέρου τοῦ Σινᾶ ὄρους καὶ ἀποκρισιαρίου τοῦ τε ὄρους καὶ τῆς ἐκκλησίας Φαρὰν καὶ λαύρας Ῥαιθοῦ ὑπὲρ πάντων τῶν ἐκεῖσε μοναχῶν

O [= aev]

4 δευτεριαρίου O^{v} 11 σευηριανοῦ O^{ev} τῆσ μονῆσ O^{ev} 12 τῆσ μονῆσ O^{v} 16—17 τοῦ κύρου — μονῆς om. O^{aev} 18 μονῆς om. O^{e} 19 ἐρενδηλινῶν O^{av} 22 γε om. O^{v} 23 Δομετιανὸς p. 36, 30. 50, 11. 130, 18 25 κασσιανοῦ O^{v} 29 καὶ¹ om. O^{e} 32 διακόνου om. O^{a} 33 κηρύκου O 37 τῆσ μονῆσ O^{v} 38 τε om. O^{aev} 39 τῆς om. O^{v} 42 καὶ ὑπὲρ $O^{e}Λ$ ἐκεῖ O^{a}

87 Στρατηγίου διακόνου καὶ μοναχοῦ μονῆς τοῦ μακαρίου Ἰωάννου καὶ ὑπὲρ πάντων τῶν ὑπὸ Σκυθόπολιν μοναχῶν

77 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος καὶ πᾶσα ἡ ἁγία σύνοδος εἶπεν· Ἀναγινωσκέσθω τὰ τῇ προτεραίαι πεπραγμένα.

Καὶ λαβὼν Μακάριος ὁ θεοσεβέστατος νοτάριος διάκονος καὶ ἀποκρισιάριος ἀνέγνω

78 Μετὰ τὴν ὑπατείαν Φλ' Βελισσαρίου τοῦ λαμπροτάτου τῇ πρὸ ἓξ Νόνων Μαΐων p. 126, 1. 2
ἰνδικτιῶνος τεσσαρεσκαιδεκάτης ἐν τῇ φιλοχρίστωι καὶ βασιλευούσηι Κωνσταντινουπόλει Ῥώμηι καὶ τὰ λοιπὰ τῆς πρώτης πράξεως.

79 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος καὶ πᾶσα ἡ ἁγία σύνοδος εἶπεν· Οἱ παρ' ἡμῶν ἀπονεμηθέντες πρὸς ἀναζήτησιν Ἀνθίμου τοῦ εὐλαβεστάτου, εἰ τὰ διαλαληθέντα πρὸς ἔργον ἦγαγον, διδαξάτωσαν.

80 Βοσπόριος ὁ ὁσιώτατος ἐπίσκοπος τῆς Νεοκαισαρέων μητροπόλεως ἐπαρχίας Πόντου Πολεμωνιακοῦ εἶπε· Τοῖς ὑπὸ τῆς μακαριότητος ὑμῶν καὶ τῆς ἁγίας ταύτης συνόδου ψηφισθεῖσι πειθαρχοῦντες εἰκότως ἐγενόμεθα ἐν πᾶσι τοῖς νομιζομένοις ἡμῖν τόποις εἶναι Ἄνθιμον τὸν εὐλαβέστατον, φαμὲν δὴ ἔν τε τῶι εὐκτηρίωι οἴκωι τοῦ ἐνδόξου ἀρχαγγέλου Μιχαὴλ τοῦ ἐν τῶι παλατίωι καὶ ἐν τοῖς Ὁρμίσδου ἐν τῶι ἁγίωι ἀποστολείωι. ἐν οἷς συγκαλέσαντες τούς τε εὐλαβεστάτους πρεσβυτέρους καὶ διακόνους καὶ ἐγγὺς εἰπεῖν ἅπαντα τὸν κλῆρον τῶν εἰρημένων ἁγίων οἴκων ἐπυθόμεθα αὐτῶν εἰπεῖν ἡμῖν καὶ ὑποδεῖξαι εἴγε ἴσασι τὸν εἰρημένον Ἄνθιμον ἤτοι τὸν οἶκον ἐν ὧι ἔστιν αὐτὸν εὑρεῖν. οἱ δὲ πρότερον μὲν εἶπον συμφώνως μηδὲ ἑωρακέναι αὐτὸν ἐκεῖσε μηδὲ εἰδέναι οἶκον ἐν ὧι τυγχάνει αὐτός, εἶτα εἰς πληροφορίαν ἡμῶν δεδωκότες τινὰς L V 57
ἐξ αὐτῶν ἅμα Ἀκακίωι καὶ Χριστοδώρωι τοῖς θεοσεβεστάτοις διακόνοις καὶ νοταρίοις τῆς ὑμετέρας ἁγιωσύνης τὴν τοῦ εἰρημένου εὐλαβεστάτου Ἀνθίμου ἀναζήτησιν ἐποιήσαντο. M VIII 934
νομίζοντες δὲ καὶ ἐν τῶι μιτάτωι αὐτοῦ ἐν ὧι πάλαι κατέμενεν, εὑρίσκεσθαι αὐτὸν ἐζητήσαμεν καὶ οὐδὲ ἐκεῖσε εὑρεῖν αὐτὸν ἰσχύσαμεν. ἀλλὰ καὶ ἐν τῶι προαστείωι αὐτοῦ τῶι περὶ τὸν ἅγιον Λαυρέντιον γενόμενοι, οὐδὲ ἐκεῖ αὐτὸν εὑρεῖν δεδυνήμεθα τοῦ ἐκεῖσε εὑρεθέντος ἀνθρώπου αὐτοῦ εἰρηκότος, ἀφ' οὗπερ ἀπέστη τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας, μηδὲ ἑωρακέναι αὐτὸν μηδὲ εἰδέναι ὅποι διάγει.

81 Ἀκάκιος ὁ ὁσιώτατος ἐπίσκοπος τῆς Πισσινουντίων μητροπόλεως τῆς δευτέρας Γαλατῶν ἐπαρχίας εἶπε· Κἀγὼ διδάσκω τὴν ὑμετέραν μακαριότητα ὡς παραγενόμενος ἅμα Βοσπορίωι καὶ Ζαχαρίαι τοῖς ὁσιωτάτοις συλλειτουργοῖς καὶ Ἰωάννηι καὶ Θεοκτίστωι τοῖς θεοφιλεστάτοις πρεσβυτέροις καὶ ἐκκλησιεκδίκοις Ἀκακίωι τε καὶ Χριστοδώρωι τοῖς θεοσεβεστάτοις διακόνοις καὶ νοταρίοις ἐν τοῖς εἰρημένοις τόποις τὴν ἀναζήτησιν ποιήσασθαι τοῦ εἰρημένου εὐλαβεστάτου Ἀνθίμου τοῦτον εὑρεῖν οὐ δεδύνημαι.

82 Ζαχαρίας ὁ ὁσιώτατος ἐπίσκοπος τῆς Μιτυληναίων μητροπόλεως εἶπεν· Καθὼς ἐδίδαξαν πρὸ ἐμοῦ Βοσπόριος καὶ Ἀκάκιος οἱ θεοφιλέστατοι ἐπίσκοποι τὸ ἱκανὸν ποιοῦντες

13 sq. de Anthimo a Theodora augusta occultato cf. Iohannes Ephesius Patrol. Orient. 18 p. 680 et Liberat. 21 [t. II 5 p. 136, 12]

O [= aerv], I

3 ἁγία om. $O^{e}\Lambda$ 4 πρωτέρα I 5 Μακάριος] νοτάριοσ O^{r} διάκονοσ νοτάριοσ $O^{e}I\Lambda$ 6 φλαβίου $O^{e}I\Lambda$ βελισαρίου $O^{rv}I\Lambda$ νόννων OI 8 Ῥώμηι om. $O^{a}I\Lambda$ πρώτης om. O^{a} 13—14 ταύτης — ἐγενόμεθα om. O^{v} 14 πειθαρκοῦντεσ I 16 ἐν: I om. O τοῖς] τῆσ O^{v} 18 ἁγιωτάτων $O^{e}\Lambda$ 19 αὐτὸν O^{r} ἀποδεῖξαι O^{av} ἠρημένον O^{v} 26 ἐκεῖσε I εὑρεῖν αὐτὸν O^{av} 28 ὅπη O^{a} 29 πισινουντίων $O^{r}I$ 31 ζαχαρίω O^{v} 32 ἐκκλησεκδίκοις O^{e} ut solet 34 ἠδυνήθημεν I

τοῖς προστεταγμένοις παρὰ τῆς ὑμετέρας ἁγιωσύνης, ἐγενόμεθα καὶ ἐν τῷ εὐαγεῖ εὐκτηρίῳ οἴκῳ τοῦ ἁγίου ἀρχαγγέλου Μιχαὴλ τῷ προσκειμένῳ τῷ εὐσεβεῖ παλατίῳ καὶ ἐν τῷ ἁγίῳ ἀποστολείῳ τῷ ὄντι ἐν τοῖς Ὁρμίσδου καὶ ἐν ᾧι πρότερον κατέμενεν οἴκῳ Ἄνθιμος ὁ εὐλαβέστατος ἐν αὐτοῖς τοῖς Ὁρμίσδου καὶ ἐν τῷ προαστείῳ αὐτοῦ τῷ προσπαρακειμένῳ τῷ εὐαγεῖ εὐκτηρίῳ οἴκῳ τοῦ ἁγίου Λαυρεντίου καὶ τὴν ἐνδεχομένην ἔρευναν ἅμα Ἰωάννηι καὶ Θεοκτίστωι ποιησάμενοι τοῖς θεοφιλεστάτοις πρεσβυτέροις καὶ ἐκκλησιεκδίκοις καὶ Ἀκακίωι καὶ Χριστοδώρωι τοῖς θεοσεβεστάτοις διακόνοις καὶ νοταρίοις οὐδαμῶς τοῦτον εὑρεῖν δεδυνήμεθα.

83 Ἰωάννης ὁ θεοσεβέστατος πρεσβύτερος καὶ ἐκκλησιέκδικος τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας εἶπε· Κατὰ τὴν κέλευσιν τῆς ὑμετέρας ἁγιωσύνης ἅμα τοῖς εἰρημένοις ὁσιωτάτοις ἐπισκόποις καὶ θεοσεβεστάτοις διακόνοις καὶ νοταρίοις γενόμενοι ἐγώ τε καὶ Θεόκτιστος ὁ θεοφιλέστατος κατὰ τοὺς προλεχθέντας ὑπ' αὐτῶν τόπους τοὺς καὶ νομιζομένους ἡμῖν κατάδηλον πάντως ποιεῖν Ἄνθιμον τὸν εὐλαβέστατον, τοῦτον εὑρεῖν οὐκ ἠδυνήθημεν.

84 Θεόκτιστος ὁ θεοφιλέστατος πρεσβύτερος καὶ ἐκκλησιέκδικος εἶπε· Κἀγὼ τὰ αὐτὰ κατατίθεμαι.

85 Ἀκάκιος ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος καὶ Χριστόδωρος ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος καὶ σηκρητάριος διὰ τοῦ ἑνὸς αὐτῶν Χριστοδώρου εἶπον· Ἅπερ οἱ ἅμα ἡμῖν ἀποσταλέντες ὁσιώτατοι ἐπίσκοποι καὶ θεοφιλέστατοι πρεσβύτεροι καὶ ἐκκλησιέκδικοι ἐπὶ τὴν ἀναζήτησιν Ἀνθίμου τοῦ εὐλαβεστάτου εἰρήκασι, τὰ αὐτὰ καὶ ἡμεῖς κατατιθέμεθα. ἐπιφερόμεθα δὲ καὶ τὰ τῆι προτεραίαι πεπραγμένα, ἐφ' ᾧι ταῦτα δῆλα αὐτῶι καταστῆσαι, καὶ οὐδαμῶς αὐτὸν εὑρεῖν δεδυνήμεθα.

86 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος καὶ πᾶσα ἡ ἁγία σύνοδος εἶπε· Δήλη μὲν ἤδη γέγονεν ἡ Ἀνθίμου τοῦ εὐλαβεστάτου προαίρεσις οὐ βουληθέντος ἑαυτὸν φανερὸν καταστῆσαι παραγενέσθαι τε πρὸς ἡμᾶς εἰς διόρθωσιν πλὴν ἀλλ' ὡς ἔνεστιν ἀνθρώπους ὄντας ἡμᾶς ἀκολουθεῖν τῆι ἀγαθότητι τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ
L V 60 πάντας σωθῆναι βουλομένου καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, καὶ τὴν μετά-
M VIII 935 νοιαν ὥσπερ τι σωτήριον φάρμακον τοῖς ἁμαρτάνουσι παρασχόντος, ὥστε δι' αὐτῆς
1. Tim. 2, 3 καὶ τοὺς ἀπολισθαίνοντας τῆς εὐθείας ὁδοῦ πάλιν ἐπ' αὐτὴν ἀνακαλεῖσθαι διὰ τῆς προσηκούσης μακροθυμίας, καὶ ἡμεῖς σπουδάζοντες τὸν εἰρημένον εὐλαβέστατον Ἄνθιμον τὸν δυνατὸν περισώσασθαι τρόπον καὶ αὖθις ἐνδίδομεν αὐτῶι προθεσμίαν ἑτέρων ἡμερῶν τριῶν πρὸς μετάμελόν τε καὶ τὴν τῶν δεόντων ἐπίγνωσιν. ὧν ἐντὸς ἀναζητήσουσιν αὐτὸν Πέτρος τε ὁ ὁσιώτατος ἐπίσκοπος τῆς Ἰουστινιανουπολιτῶν μητροπόλεως τῆς δευτέρας Καππαδοκῶν ἐπαρχίας καὶ Θαλάσσιος ὁ ὁσιώτατος ἐπίσκοπος τῆς Βηρυτίων μητροπόλεως καὶ Δόμνος ὁ θεοφιλέστατος ἐπίσκοπος Μαξιμιανουπόλεως τῆς δευτέρας Παλαιστινῶν ἐπαρχίας καὶ Ῥωμανός γε μὴν καὶ Ἰωάννης οἱ θεοφιλέστατοι πρεσβύτεροι καὶ ἐκκλησιέκδικοι τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας καὶ πρός γε Ἀνδρέας τε καὶ Καλώνυμος οἱ θεοσεβέστατοι διάκονοι καὶ νοτάριοι, καὶ εἴπερ εὕροιεν αὐτόν, προ-

3 cf. Iohannes Ephesius Patrol. Orient. 18 p. 677 sq.

O [aerv], I

2 οἴκωι om. I προκειμένω O^{v} εὐλαβεῖ I 3 4 ᾧ πρότερον — καὶ ἐν O^{arv}I om. O^{e}Λ 5 τῶι O^{e}IΛ ἐν τῶ O^{arv} τὴν om. O^{r} 13 τοῦτον O^{av} τοῦτον δν O^{e}Λ om. O^{r}I 15 αὐτοῦ O^{v} 17 θεοφιλέστατος I 18 διάκονος om. I καὶ^{1} O^{r}I om. O^{aev}Λ διάκονοσ σηκρητάριοσ καὶ νοτάριοσ O^{av} εἶπεν O^{r}I 21/22 δῆλα ταῦτα O^{av} 23 ἱερὰ καὶ ἁγία O^{e}Λ 24 καταστῆσαι φανερὸν O^{r}I 29 αὐτὸν O^{r} 31 τὸν^{1} O^{aev}I κατὰ τὸν O^{r} 33 Ἰουστινιανιτῶν O^{r}I 35 βηρυτῶν μροπόλεωσ O^{arv} μροπόλεωσ βηρυτίων O^{e}Λ 36 παλαιστηνῶν OI 38 καὶ^{1} om. O^{r} εἰ O^{r}I 38—p. 161, 1 προτρέψειαν O^{a} προτρέψειεν O^{v} προτρέψουσι I

τρέψοιεν τῆς εἰρημένης ἐντὸς προθεσμίας μὴ παραφυγεῖν τὴν ἡμετέραν ἀκρόασιν ὀφείλοντα τὰς κατ' αὐτοῦ γινομένας ἀποδύσασθαι μέμψεις.

Ὑπεσημηνάμην.

87 Μετὰ τὴν ὑπατείαν Φλ' Βελισσαρίου τοῦ λαμπροτάτου τῇ πρὸ ἓξ Εἰδῶν Μαίων ἰνδικτιῶνος ιδ ἐν τῇ φιλοχρίστωι καὶ βασιλευούσηι πόλει Ῥώμηι d. 10. m. Maii a. 536

προκαθεζομένου τοῦ δεσπότου ἡμῶν τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου οἰκουμενικοῦ ἀρχιεπισκόπου καὶ πατριάρχου Μηνᾶ ἐν τῶι μεσαύλωι τῶι δυτικῶι τοῦ σεβασμίου οἴκου τῆς δεσποίνης ἡμῶν τῆς ἁγίας ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας τοῦ ὄντος πλησίον τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας 6

καὶ ἐκ μὲν τοῦ δεξιοῦ μέρους συνεδρεύοντων αὐτῶι καὶ συνακροωμένων κατὰ εὐσεβῆ κέλευσιν τοῦ φιλοχρίστου καὶ θεοφυλάκτου ἡμῶν βασιλέως Ἰουστινιανοῦ τῶν ὁσιωτάτων καὶ θεοφιλεστάτων ἐπισκόπων 10

2 Σαβίνου τοῦ Κανουσίου
3 Ἐπιφανίου Ἐκλάνων
4 Ἀστερίου Σαλέρνων 15
5 Ῥουστίκου Φεσούλων
6 Λέοντος Νόλου

τῶν πάντων ἐκ τῆς Ἰταλῶν χώρας πρώην μὲν ἀπεσταλμένων ἐκ τῆς ἀποστολικῆς καθέδρας, ὕστερον δὲ συνόντων παραγενομένωι ἐνταῦθα Ἀγαπητῶι τῶι τῆς ἁγίας μνήμης γενομένωι πάπαι τῆς πρεσβυτέρας Ῥώμης 20

7 Θαλασσίου τῆς μητροπόλεως Βηρυτοῦ
8 Μεγάλου τῆς μητροπόλεως Βεροίας
9 Ἰωάννου Γαβάλων
10 Χριστοφόρου Πορφυρεῶνος ἐπαρχίας Φοινίκης παράλου
11 Ἀρχελάου Κωρύκου 25
12 Δαυίθου τοῦ Κιρκινσίου
13 Αἰθερίου Μαριάμμης
14 Ἀλεξάνδρου Βαρκουσῶν
15 Δόμνου Μαξιμιανουπόλεως τῆς δευτέρας Παλαιστίνης
16 Ἀναστασίου Ἰωτάβης 30
17 Ἰωάννου Ζωόρων
18 Ἀστερίου Ἀμάστρεως
19 Ἀνδρέου τοῦ Πανίου
20 Ἐπιτυγχάνου Γέρμης ἐπαρχίας Ἑλλησπόντου
21 Παύλου Στεκτορίου 35
22 Ἀνδρέου Πελτῶν
23 Θεοδώρου Μηροῦ
24 Ἀνδρέου Ἀμυζόνος
25 Φλαβιανοῦ Κοτένων
26 Ἡλίου Ἀδριανῶν 40
27 Μακεδονίου Βριάνων

O [= ae, r (usque ad 23), v], I [usque ad 23]

1 τῆσ προθεσμίασ O^v μὴ om. O^e 2 γενομένασ O^r 4 inscr. πρᾶξισ ἑτέρα $O^{arv}I$ 4 φλαβίου $O^eIΛ$ βελισαρίου $IΛ$ 5 πόλει Κωνσταντίνου p. 166, 7 6/7 οἰκουμενικοῦ om. $O^{arv}I$ 10 κατὰ τὴν I 16. 15 coll. $O^{arv}I$ 18 ἐκ²] ἐκ τῆσ Ἰταλῶν χώρασ ἦγουν $O^eΛ$ 22 βερροίασ $O^{ev}I$ 23 γαβουλῶν O^{arv} 24—p. 163, 14 [usque ad p. 162, 6 l] Χριστοφόρου — Κορίνθου] καὶ τῶν λοιπῶν O^rI 37 μίρου $O^eΛ$ 38 ἀμυζῶνοσ O^{av} 39 κοτέννων O^{av}

28 Θεοδωρίτου ’Αλίνδων
29 ‘Αρμονίου Καλλιπόλεως
30 Λεοντίου ‘Ελενουπόλεως
31 Λογγίνου ’Ορεστιάδος
32 ’Ιωάννου Καισαρείας Βιθυνίας
33 καὶ ’Ιωάννου Τραιανουπόλεως Φρυγίας Πακατιανῆς
M VIII 938 ἐκ δὲ τοῦ εὐωνύμου μέρους
34 ‘Υπατίου τῆς μητροπόλεως ’Εφέσου
35 Κωνσταντίνου ‘Ηρακλείας τῆς μητροπόλεως Εὐρώπης
36 Εὐσεβίου τῆς μητροπόλεως Κυζίκου
37 Θαλασσίου τῆς μητροπόλεως Νικομηδείας
I. V 61 38 Φωτεινοῦ τῆς μητροπόλεως Χαλκηδόνος
39 Θεαγένους τῆς μητροπόλεως Συνάδων
40 Βάκχου τῆς μητροπόλεως ’Αντιοχείας Πισιδίας
41 ‘Ιλαριανοῦ τῆς μητροπόλεως Πέργης
42 Βοσπορίου Νεοκαισαρείας τῆς μητροπόλεως Πόντου Πολεμωνιακοῦ
43 Παύλου τῆς μητροπόλεως Τυάνων
44 ’Ακακίου τῆς μητροπόλεως Πισσινοῦντος
45 ’Επικτήτου Κλαυδιουπόλεως τῆς μητροπόλεως ‘Ονωριάδος
46 Πέτρου τῆς μητροπόλεως ’Ιουστινιανουπόλεως τῆς δευτέρας Καππαδοκῶν ἐπαρχίας
47 Ζαχαρίου τῆς μητροπόλεως Μιτυλήνης
48 ‘Ηδίστου τῆς μητροπόλεως Κίου
49 Μάρκου τῆς μητροπόλεως ’Απαμείας τῆς Βιθυνῶν ἐπαρχίας
50 Αὐξεντίου τῆς μητροπόλεως Σηλυβρίας
51 Τιμοθέου τῆς μητροπόλεως Βερόης
52 ’Ιωάννου τῆς μητροπόλεως Βοσπόρου
53 Δομετιανοῦ Ζικχίας
54 Καλώα Σμύρνης
55 ’Επιφανίου ‘Ηρακλείας τῆς ἐπαρχίας ‘Ονωριάδος
56 ‘Αβραμίου Κρατίας
57 ’Αλεξάνδρου Κολωνείας
58 Εὐγενίου Τίου
59 Κυριακοῦ Θεοδοσιουπόλεως ἐπαρχίας Φρυγίας Πακατιανῆς
60 Εὐσταθίου Τιβεριουπόλεως
61 Θεοδότου Εὐροίας
62 Εὐσεβίου Παλαιᾶς πόλεως
63 Θεοδώρου Γορδίου
64 Ματθαίου Κύμης
65 ’Αλεξάνδρου ’Ελούζων
66 καὶ ’Ιωάννου τοῦ Μιδαείου
67-70 συμπαρόντων δὲ αὐτῶι καὶ συνακροωμένων καὶ Θεοφάνους καὶ Πελαγίου τῶν θεοφιλεστάτων διακόνων τῆς ἀποστολικῆς καθέδρας καὶ Μηνᾶ καὶ Πέτρου τῶν

O | aev], I [inde a 7 usque ad 9]
1 ὀρεντιάδοσ O^{av} 6 καπατιανῆσ O^{av} 10 p. 163, 14 Εὐσεβίου — Κορίνθου] θεαγένουσ τῆσ μητροπόλεωσ συνάδων καὶ τῶν λοιπῶν I 14 πισσιδίασ O 28 ζηκχίασ O^{av} ζικχῶν O^{v} 29 καλωνᾶ O^{av} καλλωνᾶ O^{v} 34 καπατιανῆσ O^{a} 41 μηδαίου OA

θεοσεβεστάτων νοταρίων καί τινων εὐλαβεστάτων ὑποδιακόνων καὶ ἐκδίκων καὶ λοιπῶν κληρικῶν τοῦ αὐτοῦ ἀποστολικοῦ θρόνου, οἳ καὶ συμπαρόντες ἔτυχον παραγενομένωι ἐνταῦθα Ἀγαπητῶι τῶι τῆς ἁγίας μνήμης γενομένωι πάπαι τῆς πρεσβυτέρας Ῥώμης

71. 72 καὶ Μάγνου πρεσβυτέρου καὶ Ἡρακλείου διακόνου καὶ ἀποκρισιαρίων Ἐφραιμίου τοῦ ὁσιωτάτου πατριάρχου τῆς ἐν Θεουπόλει ἁγιωτάτης ἐκκλησίας

73 Σαβίνου διακόνου τῆς ἁγίας Χριστοῦ τοῦ θεοῦ ἡμῶν Ἀναστάσεως πληροῦντος τὰς ἀποκρίσεις Πέτρου τοῦ ὁσιωτάτου πατριάρχου Ἱεροσολύμων

74 Στεφάνου διακόνου καὶ ἀποκρισιαρίου Σωτηρίχου τοῦ ὁσιωτάτου ἐπισκόπου Καισαρείας τῆς μητροπόλεως Καππαδοκίας πρώτης

75 Γαιανοῦ πρεσβυτέρου καὶ ἀποκρισιαρίου Ἐλπιδίου τοῦ ὁσιωτάτου ἐπισκόπου Ἀγκύρας τῆς μητροπόλεως Γαλατίας πρώτης

76. 77 Διονυσίου καὶ Καλλινίκου διακόνων καὶ ἀποκρισιαρίων Φωτίου τοῦ ὁσιωτάτου ἐπισκόπου τῆς μητροπόλεως Κορίνθου

παρόντος δὲ καὶ τοῦ εὐλαβοῦς κλήρου τῆς βασιλευούσης πόλεως

88 Εὐφήμιος ὁ θεοσεβέστατος διάκονος καὶ πριμικήριος νοταρίων εἶπε· Δὶς ἤδη συνελθούσης τῆς ἁγίας ὑμῶν συνόδου κατὰ κέλευσιν τοῦ εὐσεβεστάτου καὶ γαληνοτάτου ἡμῶν βασιλέως καὶ διαφόρων εὐλαβῶν μοναχῶν ἔκ τε τῆς βασιλίδος ταύτης πόλεως ἔκ τε τῆς Θεουπολιτῶν καὶ πρός γε τῆς Ἱεροσολυμιτῶν τηνικαῦτα παραγεγονότων προῆλθε τινὰ ἐπὶ Ἀνθίμωι, καθὰ τὰ περὶ τούτων πραχθέντα δηλοῖ. ἐν οἷς κατὰ πρώτην τε καὶ δευτέραν τάξιν προθεσμίαι ῥηταὶ δέδονται ἐπὶ ἀναζητήσει τοῦ αὐτοῦ εὐλαβεστάτου ἀνδρός. ἐπεὶ τοίνυν καὶ τὴν ἐν ὑστέρωι δεδομένην παρ' ὑμῶν προθεσμίαν διαδραμεῖν συνέβη συνελεύσεως τε αὖθις τῆς ὑμετέρας ἁγιωσύνης παραφυλάττουσι τὴν ὑμετέραν ἀκρόασιν οἱ εἰρημένοι εὐλαβέστατοι μοναχοὶ αἰτοῦντες εἰσόδου τυχεῖν, ὑποβάλλομεν πρὸς τὸ παριστάμενον. M VIII 939

89 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος καὶ πᾶσα ἡ ἁγία σύνοδος εἶπεν· Εἰσίτωσαν.

90 Καὶ εἰσῆλθον Μαριανὸς ὁ θεοφιλέστατος πρεσβύτερος καὶ ἡγούμενος μονῆς Δαλματίου τοῦ τῆς ὁσίας μνήμης καὶ ἔξαρχος σὺν αὐτῶι τε οἱ θεοφιλέστατοι πρεσβύτεροι καὶ ἀρχιμανδρῖται τῶν κατὰ τήνδε τὴν βασιλίδα πόλιν εὐαγῶν μοναστηρίων L V 64

1 Ἀγαπητὸς τῆς Δίου
2 Διόσκορος τῆς ἁγίας Εὐφημίας
3 Ἀγάπιος τῆς Θαλασσίου
4 Παῦλος τῶν Ῥωμαίων
5 Ἀντωνῖνος τῆς Εὐσεβίου
6 Στέφανος τῆς Ὀλυμπίου
7 Ἀναστάσιος τῶν Ῥωμαίων
8 Δημήτριος τῆς Φωκᾶ
9 Κυριακὸς τῆς Εὐφημίου
10 Ζωίλος τῆς Θεοδότου

O [ae, r (inde a 15 usque ad 29), I (inde a 15 usque ad 27), v]

11 γαινοῦ O^{v} 13 διονυσίου διακόνου καὶ καλλινίκου διακόνου τῶν $O^{e}\Lambda$ 15 εὐλαβεστάτου O^{e} 16 διάκονοσ καὶ πριμμικήριοσ νοταρίων O^{e} νοτάριοσ διάκονοσ καὶ πριμμικήριοσ O^{arv}I 17 εὐλαβεστάτου I 20 κατὰ τὴν I 21 δίδονται O^{e} αὐτοῦ om. O^{a} 22 ἐν om. O^{r} 22/23 συνελευθείασ I 24 ἀπαιτοῦντεσ I ὑποβάλλομεν οὖν $O^{e}\Lambda$ 24/25 τὰ παριστάμενα I 27 εἰσῆλθον – p. 166, 2 Σκυθόπολιν μοναχῶν] εἰσελθόντων αὐτῶν I 27 εἰσῆλθον O^{e} εἰσὴλθεν O^{v} εἰσῆλθε O^{ar} *intrauit* Λ μαρινιανὸσ O^{e} μονῆσ om. O^{arv} 28/29 ἀρχιμανδρῖται καὶ πρεσβύτεροι O^{r} 29 τήνδε om. O^{r} 30—p. 166, 2 Ἀγαπητὸς — μοναχῶν om. O^{r} 32 ἀγαπητὸσ O^{arv} 34 ἀντώνιοσ O^{arv} 35 ὀλυμπίου $O^{e}\Lambda$ ὀλύμπου ἀντωνῖνοσ O^{a} ὀλύμπου ἄδοσ ἀντωνῖνοσ O^{v}

11 Ἰουλιανὸς τῆς Εὐφημίου
12 Στέφανος τῶν Προμώτου
13 Ζήνων τῆς ἁγίας θεοτόκου ἐν τῇι πηγῇι
14 Ἀλέξανδρος τοῦ καλαμίου
15 Δάδας τῆς Καιουμᾶ
16 Ῥόδων τῆς Θεοδώρου
17 Γεννάδιος τῆς Κυριακοῦ
18 Θεόδωρος τῆς Μαρωνίου
19 Σίλας τῆς Ἠλία
20 Παῦλος τῆς Σαμουηλίου
21 Ἰωάννης τῆς Θεοδώρου
22 Κυρίων τῶν Αἰγυπτίων
23 Βασίλειος τῆς Κυρακωνᾶ
24 Ἰωάννης τοῦ ἁγίου ἀποστόλου Θωμᾶ ἐν τοῖς Μοδέστου
25 Μάρκος τῆς Θεοδώρου
26 Φλαβιανὸς πρεσβύτερος καὶ δευτεράριος τῆς Μοδέστου τῶν Λυκαόνων
27 Μαρῖνος τῆς Παύλου
28 Θεόκτιστος τῆς ἁγίας θεοτόκου πλησίον τῶν Ἰὼβ
29 Θεόδωρος τῆς Τρύφωνος
30 Κοσμᾶς τοῦ ἁγίου Ἰωάννου ἐν τοῖς Στουδίου
31 Πέτρος τῆς ἁγίας θεοτόκου καὶ τοῦ ἁγίου Διομήδους ἐν Ἱερουσαλήμ
32 Ἐλευθέριος τοῦ ἁγίου Κυριακοῦ
33 Ἀλέξανδρος τῆς Ἀβραμίου
34 Θεόδωρος τῆς Ἰὼβ
35 Τρύφων τῆς Ἐλπιδίου
36 Στέφανος τῆς Κώνστα
37 Βαβύλας τῆς Δανιὴλ ἐν τῶι στύλωι
38 Ἰωάννης τῆς Ἀναστασίου
39 Ἄνθιμος τῆς Νέωνος
40 Ἰωάννης τοῦ ἁγίου Μιχαὴλ τῶν Χαρισίου
41 Ἰωάννης τῆς Μάρα πλησίον τῆς Ἀετίου κινστέρνης
42 Φωκᾶς τῆς Ἰωνᾶ πλησίον τοῦ Δευτέρου
43 Ζώσιμος τῆς Εὐτυχίου τῶν Λυκαόνων
44 Τιμόθεος τῆς Ἀστερίου
45 Στρατόνικος τῆς Δομετίου
46 Πολυχρόνιος τοῦ αἰθρίου
47 Ἀνδρέας τῶν Ῥωμαίων πλησίον τῆς κινστέρνης
48 Μαρτύριος τῆς Πέτρου πλησίον τῶν Ἀποστόλων
49 Ἀνδρέας τῆς ἁγίας θεοτόκου πλησίον τοῦ ἁγίου Λουκᾶ
50 Μάρκος τοῦ ἁγίου Κυρίκου
51 Ἰάκωβος τῆς Ἀβίβου Σύρος
52 Ἀττικὸς τῶν Εὐκρατάδων
53 Ἰωσὴφ τῆς ἁγίας θεοτόκου ἐν τῶι λιθοστρώτωι
54 Παῦλος τοῦ ἁγίου ἀποστόλου Πέτρου πλησίον τοῦ παλατίου

O [= aev]
2 προμότου O^{e} 10 σαμοηλίου O^{av} 14 θωμᾶ τοῦ ἀποστόλου O^{a} 31 ἁετοῦ O^{a} 36 αἰθερίου O^{av} 40 κηρύκου O

55 Ἀναστάσιος πρεσβύτερος καὶ δευτεράριος τοῦ ἁγίου Φιλίππου ἐν τῶι βρεφο-
τροφείωι
56 Γεώργιος τῆς Κύρου
57 Εὐσέβιος τῆς Συμεωνίου
58 Ζωτικὸς τοῦ ἁγίου Ἀνδρέου πλησίον τῆς Σατορνίνου πόρτης
59 Κυριακὸς τοῦ ἁγίου Ἰωάννου τῶν Σύρων
60 Ζώσιμος τῆς Μαξιμίνου
61 Πολυχρόνιος τῶν Κρητικῶν
62 Παῦλος τῆς ἁγίας Ἑρμιόνης
καὶ τῶν ὑπὸ Θεούπολιν
63 Παῦλος μοναχὸς καὶ ἀποκρισιάριος μονῆς τῆς Μάρωνος
64 Σευηριανὸς πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Ζωόρα τῶν Θερμῶν Σύρος
65 Κασσισᾶς πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Λουκᾶ Σύρος
66 Συμεώνης διάκονος καὶ ἀποκρισιάριος τῆς Ἰακώβου
67 Ἰωάννης διάκονος καὶ ἀποκρισιάριος τῆς Θεοδώρου
68 Στέφανος πρεσβύτερος καὶ ἡγούμενος μονῆς Εὐξερίου
69 Ἰωάννης πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ κυρίου Θωμᾶ Σύρος
70 Θωμᾶς πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῆς Ἀαρὼν Σύρος
71 Φωτεινὸς μοναχὸς καὶ ἀποκρισιάριος μονῆς τοῦ ἁγίου Στεφάνου
72 Θεόδωρος διάκονος καὶ ἀποκρισιάριος τῆς ἐκκλησίας Ἐρενδηληνῶν
73 Σέργιος πρεσβύτερος καὶ περιοδευτής
οἱ πάντες πράττοντες ὑπέρ τε ἑαυτῶν καὶ τῶν λοιπῶν
ἔτι μὴν καὶ τῶν ὑπὸ τοὺς ἁγίους Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν τόπους M VIII 942
74 Δομνῖνος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Μαρτυρίου
75 Ἡσύχιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Θεοδοσίου
76 Κασσιανὸς πρεσβύτερος τῆς λαύρας τοῦ μακαρίου Σάβα
77 Κυριακὸς πρεσβύτερος καὶ ἡγούμενος τῶν πυργίων τοῦ Ἰορδάνου
78 Νέσταβος πρεσβύτερος λαύρας τοῦ μακαρίου Φιρμίνου
79 Τερέντιος πρεσβύτερος τῆς Νέας λαύρας
80 Λεόντιος μοναχὸς καὶ ἡγούμενος καὶ τοποτηρητὴς τῆς ἐρήμου πάσης
81 Τραιανὸς πρεσβύτερος τῶν πυργίων τοῦ Ἰορδάνου
82 Πολύευκτος διάκονος τῆς μονῆς τοῦ ἀββᾶ Θεοδοσίου
83 Θεόδωρος διάκονος καὶ μοναχὸς τῆς Νέας λαύρας
84 Κύρικος διάκονος καὶ μοναχὸς τῆς αὐτῆς Νέας λαύρας L V 65
85 Ἀναστάσιος διάκονος μονῆς τοῦ μακαρίου Μαρτυρίου
86 Μάμας μοναχὸς τῆς αὐτῆς μονῆς
87 Ἰωάννης μοναχὸς τῆς αὐτῆς μονῆς
88 Ἰουλιανὸς μοναχὸς μονῆς τοῦ ἀββᾶ Θεοδοσίου
οἱ πάντες ὑπέρ τε τῶν οἰκείων μοναστηρίων καὶ πάντων τῶν ἐν τῆι ἐρήμωι
τῆς ἁγίας πόλεως μοναχῶν
89 Ἰωάννης πρεσβύτερος τῆς πεδιάδος καὶ ὑπὲρ πάντων τῶν ἐκεῖσε μοναχῶν
90 Θεωνᾶς πρεσβύτερος τοῦ Σινᾶ ὄρους καὶ ἀποκρισιάριος τοῦ τε ὄρους καὶ τῆς
ἐκκλησίας Φαρὰν καὶ λαύρας Ῥαιθοῦ ὑπὲρ πάντων τῶν ἐκεῖσε μοναχῶν

O [= aev]

9 ἑρμιώνησ O^{av} 12 σεβηριανὸσ O^{a} 17. 18 τοῦ κυρίου — μονῆς om. $O^{e}\Lambda$ 20 ἑρενδηλινῶν O^{av} 24 cf. ad p. 158, 23 26 κασιανὸσ O^{av} σάββα O^{e} 33 τῆσ αὐτῆσ νέασ O 34 κήρυκοσ O αὐτῆς om. O 35 τῆσ μονῆσ O^{av} 38 τῆσ αὐτῆσ μονῆσ O^{v}

91 Στρατήγιος διάκονος καὶ μοναχὸς μονῆς τοῦ μακαρίου Ἰωάννου ὑπὲρ πάντων τῶν ὑπὸ Σκυθόπολιν μοναχῶν

91 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος καὶ πᾶσα ἡ ἁγία σύνοδος εἶπεν· Ἀναγινωσκέσθω τὰ τῇ προτεραίαι πραχθέντα.

Καὶ λαβὼν Παῦλος ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος ἀνέγνω

92 Μετὰ τὴν ὑπατείαν ΦΛ' Βελισσαρίου τοῦ λαμπροτάτου τῇ πρὸ μιᾶς Νόνων Μαίων
p.154, 11—13 ἰνδικτιῶνος τεσσαρεσκαιδεκάτης ἐν τῇ φιλοχρίστωι καὶ βασιλευούσηι πόλει Κωνσταντίνου Ῥώμηι καὶ τὰ λοιπὰ τῆς δευτέρας πράξεως

93 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος καὶ πᾶσα ἡ ἁγία σύνοδος εἶπε· Διδασκέτωσαν ἡμᾶς οἱ θεοσεβέστατοι διάκονοι καὶ νοτάριοι πόσαι παρωιχήκασιν ἡμέραι μετὰ τὴν κατὰ δευτέραν τάξιν γενομένην σύνοδον.

94 Οἱ νοτάριοι εἶπον· Διδάσκομεν τὴν ὑμετέραν μακαριότητα ὡς ἐκ τῆς περιεχομένης ἡμέρας τοῖς νῦν ἀναγνωσθεῖσιν ὑπομνήμασιν μέχρι τῆς σήμερον καὶ αὐτῆς πέντε εἰσὶν ἡμέραι.

95 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος καὶ πᾶσα ἡ ἁγία σύνοδος εἶπε· Νῦν οἱ πρὸς ἀναζήτησιν κατὰ δευτέραν τάξιν παρ' ἡμῶν ἀπονεμηθέντες Ἀνθίμου τοῦ εὐλαβοῦς, εἰ τοῖς διαλαληθεῖσι πέρας ἐπιτεθείκασι, διδαξάτωσαν.

96 Πέτρος ὁ ὁσιώτατος ἐπίσκοπος Ἰουστινιανουπόλεως τῆς δευτέρας Καππαδοκίας εἶπε· Τὰ ὁσίως προσταχθέντα παρὰ τῆς ὑμετέρας ἁγιωσύνης εἰς ἔργον ἀγαγεῖν σπεύσαντες ἐγώ τε καὶ οἱ σὺν ἐμοὶ ἀπονεμηθέντες Θαλάσσιος ὁ ὁσιώτατος ἐπίσκοπος τῆς Βηρυτίων μητροπόλεως καὶ Δόμνος ὁ θεοφιλέστατος ἐπίσκοπος Μαξιμιανουπόλεως καὶ Ῥωμανὸς καὶ Ἰωάννης οἱ θεοφιλέστατοι πρεσβύτεροι καὶ ἔκδικοι καὶ Ἀνδρέας καὶ Καλώνυμος οἱ θεοσεβέστατοι διάκονοι καὶ νοτάριοι τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας γεγόναμεν εἰς διαφόρους τόπους καθ' οὓς ἐνομίζετο εὑρίσκεσθαι Ἄνθιμος ὁ εὐλαβέστατος, καὶ μετὰ πάσης ἐπιμελείας τὴν ἀναζήτησιν ποιησάμενοι οὐδαμοῦ τοῦτον εὑρεῖν δεδυνήμεθα. παραγενόμενοι δὲ καὶ ἐν τῶι σεπτῶι οἴκωι τοῦ ἐνδόξου μάρτυρος Λαυρεντίου ἐπυνθανόμεθα τῶν
M VIII 943 ἐκεῖσε κληρικῶν, εἰ οἴδασιν ὅπου διάγει ὁ μνημονευθεὶς εὐλαβέστατος ἀνήρ. οἵτινες μεθ' ὅρκου εἰρήκασι μὴ θεάσασθαι αὐτὸν ἀφ' οὗπερ ἀπέστη τοῦ θρόνου ταύτης τῆς βασιλίδος πόλεως, μήτε εἰδέναι ἐν ποίωι τόπωι διάγει, ἔφησαν δὲ προάστειον αὐτὸν ἔχειν πλησίον τοῦ προφητείου, ἐν ὧι συνεχέστερον ηὑρίσκετο ἀπιών, καὶ κατὰ τὴν μονὴν Θεοδώρου τοῦ θεοσεβεστάτου πρεσβυτέρου καὶ ἡγουμένου, πρὶν ἢ ἐπιλάβηται τῆς ἐπισκοπῆς ταύτης τῆς βασιλίδος πόλεως. οὓς παραλαβόντες καὶ γενόμενοι ἐν τοῖς εἰρημένοις τόποις καὶ ἐπιζητήσαντες οὐδὲ ἐν τούτοις αὐτὸν εὑρεῖν ἰσχύσαμεν τῶν ἐκεῖσε εὑρεθέντων
L V 68 μεθ' ὅρκων βεβαιωσαμένων μήτε θεάσασθαι αὐτὸν ἀφ' οὗ ἀνεχώρησε τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας. λαβόντες δὲ κατὰ νοῦν τὴν οὖσαν διάθεσιν αὐτῶι πρὸς Πέτρον τὸν ποτὲ τῆς Ἀπαμέων γενόμενον πρόεδρον παρεγενόμεθα καὶ ἐν τῶι προαστείωι τῶι διαφέροντι τῶι αὐτῶι Πέτρωι πλησίον ὄντι τοῦ εὐκτηρίου οἴκου τοῦ ἁγίου μάρτυρος Θύρσου καὶ οὐδὲ ἐκεῖ αὐτὸν εὑρεῖν δεδυνήμεθα.

O [aerv], I

6 φλαβίου O^{e}IΛ βελισαρίου O^{r}IΛ νόννων OI 7 κωνσταντινουπόλει O^{e}I πόλει p. 161, 5 8 νέα ῥώμη O^{a} 9 ἡμᾶς om. O^{a} 10 κατὰ τὴν O^{r} 12 ἡμετέραν O^{v} 16 παρ' ἡμῶν om. O^{a} 16/17 λαληθεῖσι O^{r} 17 ἐπιτεθήκασι I 18 ἐπίσκοποσ τῆσ O^{av} 19 πραχθέντα O^{e}Λ ἁγιωσύνησ καὶ ἡμῖν προσταχθέντα O^{e}Λ σπουδάσαντεσ O^{av} 21 θεοσεβέστατος I ἐπίσκοπος om. O^{av} 22 θεοσεβέστατοι I 23 ἁγιωτάτησ ταύτησ O^{av} 27 ὅποι O^{av} διάγοι O^{a} 30 προφήτου I εὑρίσκετο I 33 εὑρεῖν αὐτὸν O^{av} 34 ὅρκου O^{e}Λ μήτε [μὴ O^{r}]I θεάσασθαι αὐτὸν OI nescio an scribendum sit μὴ τεθεᾶσθαι 36 ἀπαμείασ O^{r} παραγενόμεθα O^{v} τῶι om. I 37 τῶι αὐτῶι] αὐτῶ τῶ O^{a} 38 οὐχ O^{a} ἐκεῖ αὐτὸν om. O^{av} ἐκεῖσε I

97 Θαλάσσιος ὁ ὁσιώτατος ἐπίσκοπος Βηρυτοῦ εἶπε· Τοῖς ἐνθέσμως καὶ κανονικῶς ὑπὸ τῆς ἁγίας ὑμῶν συνόδου διαλαληθεῖσι τὸ ἱκανὸν ποιοῦντες ἐγώ τε καὶ Πέτρος καὶ Δόμνος οἱ ὁσιώτατοι ἐπίσκοποι καὶ Ῥωμανὸς καὶ Ἰωάννης οἱ θεοφιλέστατοι πρεσβύτεροι καὶ ἐκκλησιέκδικοι καὶ Ἀνδρέας καὶ Καλώνυμος οἱ θεοσεβέστατοι διάκονοι καὶ νοτάριοι τῆς ἁγιωτάτης ταύτης μεγάλης ἐκκλησίας περιήλθομεν εἰς ἀναζήτησιν Ἀνθίμου τοῦ εὐλαβοῦς, ὀφείλοντες αὐτὸν προτρέψαι τὸν ἱερὸν τοῦτον καταλαβεῖν σύλλογον καὶ περὶ ὧν ἐγκαλεῖται, τὰς ἀπολογίας ποιήσασθαι. καὶ δὴ ἐν πολλοῖς γενόμενοι τόποις, εὐκτηρίοις ἁγίοις καὶ εὐαγέσι μοναστηρίοις, οὐ μὴν ἀλλὰ καὶ ἐν προαστείοις διαφέρουσιν αὐτῶι τε Ἀνθίμωι καὶ Πέτρωι τῶι καὶ Ἐκδικίωι τῶι ποτε τὸν Ἀπαμείας ἀθέσμως ὑφαρπάσαντι θρόνον, ἐν οἷς αὐτὸν ἐνομίσαμεν διατρίβειν, καὶ περινοστήσαντες οὐδαμῶς τοῦτον εὑρεῖν δεδυνήμεθα.

98 Δόμνος ὁ θεοφιλέστατος ἐπίσκοπος Μαξιμιανουπόλεως τῆς δευτέρας Παλαιστίνης εἶπεν· Ἀκολουθήσας κἀγὼ τοῖς κανονικῶς κελευσθεῖσι παρὰ τῆς ἁγίας ταύτης συνόδου περιενόστησα μετὰ Πέτρου καὶ Θαλασσίου τῶν ὁσιωτάτων ἐπισκόπων καὶ Ῥωμανοῦ καὶ Ἰωάννου τῶν θεοφιλεστάτων πρεσβυτέρων καὶ ἐκκλησιεκδίκων, καὶ Ἀνδρέου καὶ Καλωνύμου τῶν θεοσεβεστάτων διακόνων καὶ νοταρίων τοὺς παρ' αὐτῶν ἐξονομασθέντας τόπους καὶ οὐδαμοῦ τοῦτον εὑρεῖν δεδυνήμεθα.

99 Ῥωμανὸς ὁ θεοφιλέστατος πρεσβύτερος καὶ ἐκκλησιέκδικος εἶπε· Κἀγὼ παραγενόμενος ἅμα Πέτρωι Θαλασσίωι καὶ Δόμνωι τοῖς ὁσιωτάτοις ἐπισκόποις καὶ Ἰωάννηι τῶι θεοφιλεστάτωι συμπρεσβυτέρωι μου καὶ ἐκδίκωι καὶ Ἀνδρέαι καὶ Καλωνύμωι τοῖς θεοφιλεστάτοις διακόνοις καὶ νοταρίοις ἐν τῶι σεπτῶι οἴκωι τοῦ ἁγίου μάρτυρος Λαυρεντίου καὶ εἰσελθόντες ἐν αὐτῶι προετρεψάμεθα τοὺς θεοφιλεστάτους κληρικοὺς εἰπεῖν ποῦ δυνατὸν εὑρεθῆναι Ἄνθιμον τὸν εὐλαβέστατον, ἐφ' ὧι προσαγγελθῆναι αὐτῶι τὰ περὶ τῆς κινουμένης ὑποθέσεως ἐπὶ τῆς εὐαγοῦς συνόδου. καὶ μεθ' ὅρκου οἱ αὐτοὶ εὐλαβέστατοι κληρικοὶ εἰρήκασιν ὅτι ἴσμεν αὐτὸν ἔχοντα προάστειον πλησίον τοῦ προφητείου τοῦ ἁγίου Ἡσαίου καὶ ἐκεῖ τὰ πολλὰ διατρίβοντα, ἀπερχόμενον δὲ καὶ ἐν τῶι μοναστηρίωι M VIII 946
Θεοδώρου τοῦ θεοφιλεστάτου μοναχοῦ συνεχέστερον καὶ συνδιάγοντα αὐτῶι. ταῦτα ἴσμεν γίνεσθαι παρ' αὐτοῦ, πρὶν ἂν ἐπιλάβηται τῆς ἐπισκοπῆς ταύτης τῆς βασιλευούσης, ἐπειδή γε κατὰ τὸν τῆς ἐπισκοπῆς καιρὸν ἅπαξ καὶ μόνον οἴδαμεν αὐτὸν θρέψαντα τοὺς εὐλαβεστάτους αὐτοῦ κληρικοὺς τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας ἐν τῶι εἰρημένωι προαστείωι ἐν συνάξει τῆς δεσποίνης ἡμῶν τῆς θεοτόκου καὶ ἁγίας Μαρίας τῆς διακειμένης ἐν Βλαχέρναις προκεσσοῦ ὄντος βασιλικοῦ. καὶ τοῖς αὐτοῖς λόγοις μεθ' ὅρκων χρησάμενοι προσέθηκαν τοῦτο ὅτι νῦν παντελῶς οὐκ ἴσμεν ποῦ ἐστιν. εἰ δὲ καὶ μετὰ ταῦτα δυνηθῶμεν L V 69
γνῶναι ποῦ διάγει, προσαγγέλλομεν τῆι ὑμετέραι θεοφιλείαι. καὶ ταῦτα ἀκούσαντες παρ' αὐτῶν προετρεψάμεθα αὐτοὺς ἐλθεῖν ἅμα ἡμῖν ἐν τῶι μοναστηρίωι Θεοδώρου τοῦ θεοφιλεστάτου πρεσβυτέρου καὶ μοναχοῦ καὶ ἐν τῶι προαστείωι τοῦ εὐλαβεστάτου Ἀνθίμου, ὥστε καὶ ἐν ἐκείνοις τοῖς τόποις τὴν ζήτησιν αὐτοῦ ποιήσασθαι καὶ γνῶναι ποῦ διάγει. καὶ δὴ παραγενομένων ἡμῶν μετὰ τῶν εἰρημένων εὐλαβεστάτων κληρικῶν ἐν τῶι μοναστηρίωι Θεοδώρου τοῦ θεοφιλεστάτου πρεσβυτέρου καὶ ἡγου-

O [— ae, r (usque ad 13), v], I [usque ad 13]

5 ταύτης om. $O^{rv}I$ 8 μὴν $O^{arv}IΛ$ μόνον O^{e} 9 καὶ: om. O^{e} ἐκδίκω I ποτὲ τῆς ἀπαμέων O^{av} ἀθέσμως om. O^{a} 12 ἐπίσκοπος om. I παλαιστήνης O^{e} καππαδοκίας O^{r} 13—p. 168, 32 εἶπεν — ἐκδίκου] ῥωμανὸς ὁ θεοφιλέστατος πρεσβύτερος καὶ ἐκκλησιέκδικος ἰῶ ὁ θεοφιλέστατος πρεσβύτερος καὶ ἐκκλησιέκδικος [ἰῶ — ἐκκλησιέκδικος om. I] καὶ ἐπὶ τῶν φυλακῶν ἀνδρέας ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος $O^{r}I$ 17 τούτους O^{v} 20 συμπρεσβυτερίω O^{v} 26 *saepius abire* Λ 29 ἐπειδή O^{av} ἐπεὶ μή $O^{e}Λ$ 31 ἐν συνάξει $O^{e}Λ$ om. O^{av} καὶ O^{e} τῆς O^{av} 32 προκένσου $O^{e}Λ$ 33 καὶ τοῦτο O^{a} 34 διαγνῶναι O^{e} προσαγγέλωμεν O^{v} ὑμῶν O^{e}

μένου τῆς αὐτῆς μονῆς καὶ εἰσελθόντων ἐν τῶι εὐκτηρίωι οἴκωι τοῦ αὐτοῦ εὐαγοῦς μοναστηρίου εὕρομεν ἐκεῖσε εὐλαβεστάτους μοναχοὺς αὐτοῦ, ἐν οἷς ἦν καὶ Προκόπιος ὁ εὐλαβέστατος μοναχὸς καὶ πρωτοδιάκονος. καὶ ἀκούσαντες παρ' ἡμῶν ποῦ διάγει Ἄνθιμος ὁ θεοφιλέστατος διὰ τὸ ζητεῖσθαι αὐτὸν ὑπὸ τῆς ἁγίας συνόδου, εἶπον ταῦτα ὅτι ὡς ἐνώπιον τοῦ θεοῦ λέγομεν ὅτι πρὶν ἂν γένηται ἐπίσκοπος ὁ κύριος Ἄνθιμος ταύτης τῆς βασιλευούσης πόλεως, ἤρχετο συνεχῶς ἐν τῶι μοναστηρίωι ἡμῶν καὶ πρὸς τὸν ἡγούμενον καὶ συνδιῆγον ὁμοῦ καὶ εἶχον πρὸς ἀλλήλους διάθεσιν· ἀφ' οὗ δὲ ἐπελάβετο τῆς ἐπισκοπῆς, οὐκ ἦλθεν ἐνταῦθα οὐδὲ εἴδομεν αὐτοῦ ὄψιν, ὁ δὲ κύριος ἡγούμενος ἡμῶν ἀπῆλθεν εἰς εὐχὴν ἀπὸ πολλῶν ἡμερῶν, οὔτε δὲ ἠκούσαμεν, ὡς ἐπὶ τοῦ κυρίου, ποῦ διάγει Ἄνθιμος ὁ εὐλαβέστατος. παραγενόμενοι δὲ καὶ ἐν τῶι προαστείωι Ἀνθίμου τοῦ θεοφιλεστάτου καὶ εἰσελθόντες εὕρομεν ἐν αὐτῶι Στέφανον καὶ Λογγῖνον τοὺς προσήκοντας αὐτῶι καὶ ἐρωτηθέντες παρ' ἡμῶν ποῦ διάγει ὁ εἰρημένος εὐλαβέστατος Ἄνθιμος, εἶπον μεθ' ὅρκων μὴ εἰδέναι ποῦ διάγει, ἀλλ' αὐτοὺς μόνους εἶναι ἐν τῶι αὐτῶι προαστείωι· μὰ τὸν δὲ φιλάνθρωπον θεὸν καὶ τὰς ἁγίας ὑμῶν εὐχάς, ἀφ' οὗ ἐξῆλθε τῆς ἁγίας Μαρίας, οὐκέτι εἴδομεν αὐτοῦ πρόσωπον. κἀκεῖθεν παραγενόμενοι ἐν τῶι εὐκτηρίωι τοῦ ἁγίου μάρτυρος Θύρσου ἔγνωμεν ὡς πρόαστειον πλησίον διάκειται Πέτρου τοῦ ποτε τῆς Ἀπαμέων ἐπισκόπου, ἐν ὠι εὑρίσκεται Ἄνθιμος ὁ εὐλαβέστατος. καὶ δὴ ἐκεῖσε γενόμενοι ἐπηρωτήσαμεν Θαλέλαιον τὸν εὐλαβέστατον μοναχὸν εἰ οἶδε τὸν εἰρημένον εὐλαβέστατον Ἄνθιμον ἐκεῖσε εἶναι, καὶ ἔφησε μεθ' ὅρκων αὐτός τε καὶ Σισίννιος τὴν τέχνην ἐργολάβος ὅτι οὐδὲ πρὶν ἢ γένηται ἐπίσκοπος, οὐδὲ μετὰ τὸ γενέσθαι αὐτὸν οἴδαμεν αὐτὸν ἐλθόντα ἐνταῦθα, οὔτε δὲ ποῦ διάγει. καὶ ἀκούσαντες ταῦτα ἀνεχωρήσαμεν.

100 Ἰωάννης ὁ θεοφιλέστατος πρεσβύτερος καὶ ἐκκλησιέκδικος καὶ ἐπὶ τῶν φυλακῶν εἶπε· Κἀγὼ τὰ αὐτὰ κατατίθεμαι.

101 Ἀνδρέας ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος εἶπε· Κατὰ τὴν ὁσίαν πρόσταξιν
M VIII 947 τῆς ὑμετέρας μακαριότητος ἀπῆλθον ἅμα τοῖς εἰρημένοις ὁσιωτάτοις ἐπισκόποις καὶ θεοφιλεστάτοις πρεσβυτέροις καὶ ἐκδίκοις τοῖς σὺν ἐμοὶ προσταχθεῖσι παρ' ὑμῶν τῶν ὁσίων τὴν ἀναζήτησιν Ἀνθίμου τοῦ εὐλαβεστάτου ποιήσασθαι καὶ γενόμενος σὺν αὐτοῖς ἐν οἷς αὐτοὶ προεδίδαξαν τόποις, καὶ διὰ πολλῆς ἐρεύνης γενόμενος τοῦτον εὑρεῖν οὐκ ἠδυνήθην, ἐπήκουσα δὲ παρὰ τῶν προλεχθέντων κληρικῶν τοῦ ἁγίου μάρτυρος Λαυρεντίου καὶ μοναχῶν τῆς μονῆς Θεοδώρου τοῦ θεοφιλεστάτου πρεσβυτέρου καὶ ἡγουμένου καὶ τῶν προση-
L V 72 κόντων ἀνθρώπων Ἀνθίμωι τῶι εὐλαβεστάτωι πάντα τὰ ἀνενεχθέντα ὑμῖν παρὰ Ῥωμανοῦ τοῦ θεοφιλεστάτου πρεσβυτέρου καὶ ἐκδίκου.

102 Καλώνυμος ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος εἶπε· Συνωιδὰ κἀγὼ τοῖς προειρημένοις θεοφιλεστάτοις ἀνδράσι κατατίθεμαι.

103 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος καὶ πᾶσα ἡ ἁγία σύνοδος εἶπεν· Ἔοικε μὲν Ἄνθιμος ὁ εὐλαβέστατος οὐκ ὀρθῶι συνειδότι κεχρημένος τὴν παρ' ἡμῖν μέχρι καὶ νῦν ἄφιξιν ἀναβάλλεσθαι. τί γὰρ τὸ κωλῦον ἦν, εἰ μὴ τοῖς κατ' αὐτοῦ προσαγγελθεῖσιν ὡς ἀληθέσιν ἐνεδίδου, γενέσθαι τε παρ' ἡμᾶς καὶ καθὰ προσῆκον ἦν, ἀποκρίνασθαι καὶ ἅμα τήν τε θεῶι φίλην καὶ ἱερατικῶι πρέπουσαν σχήματι παρασχέσθαι πληροφορίαν; ἀλλ' εἰ καὶ πρὸς τὴν καθ' ἑαυτοῦ ψῆφον ἐκεῖνος ἡμᾶς ἤδη τό γε ἐφ' ἑαυτῶι κεκίνηκεν, ὅμως ἡμεῖς οὐδένα τρόπον ἱερεῦσι θεοῦ πρεπούσης συμπαθείας πρὸς τὴν τῶν πλανωμένων ψυχῶν

O [= ae, r (inde a 32), v], I [inde a 32]

4 εἶπαν O^{v} 12 εἶπαν O^{v} 13 αὐτοῦ O^{ae}, corr. O^{e} φιλάνθρωπον δὲ O^{e} 14 ἡμῶν O^{v} 19 σισίνιοσ O^{av} 20 αὐτὸν^{2} om. O^{e}Λ οὔτε δὲ O^{e} ὅτι οὐδὲ O^{av} 22 καὶ om. O^{e} 30 εὐλαβεστάτου O^{e} 31 ἐνεχθέντα O^{av} 33 εἶπε] σὺν τοῖσ προαγγελθεῖσιν εἶπον O^{r}I συνωιδά] τὰ ὅμοια O^{r} κάγὼ] καὶ ἡμεῖσ O^{r}I 34 κατατιθέμεθα O^{r}I 35/36 ὁ ἄνθιμοσ ὁ O^{r} 37 προσελεγχθεῖσιν O^{r} προενεχθεῖσιν I 37/38 ὡς ἀληθέσιν om. O^{a} 40 ἤδη om. I τό γε] τότε O^{v}

ἐπανόρθωσιν περιορῶντες καὶ τρίτης αὐτῶι μεταδίδομεν προθεσμίας, ἧς ἐντὸς εἰ μὴ παραγένοιτο καὶ τῶν προσηγγελμένων ἑαυτὸν ἐλεύθερον καταστήσειε, τὸ μὲν τέλος τῆι οἰκείαι τὸ ἐντεῦθεν ἐπιγράψειεν ἀπειθείαι, ἡμεῖς δὲ τοῖς τε εὐαγέσιν ἀκολουθοῦντες κανόσι καὶ τοῖς ὑπὸ Ἀγαπητοῦ τοῦ τῆς ἁγίας μνήμης διωρισμένοις προσέχοντες τὴν ἐπ' αὐτῶι ποιησόμεθα ψῆφον. ἀναζητήσουσι τοίνυν αὐτὸν καὶ νῦν Θεαγένης τε ὁ ὁσιώτατος ἐπίσκοπος τῆς Συναδέων μητροπόλεως καὶ Βάκχος ὁ ὁσιώτατος ἐπίσκοπος τῆς Ἀντιοχέων μητροπόλεως τῆς Πισιδῶν ἐπαρχίας καὶ Χριστοφόρος ὁ θεοφιλέστατος ἐπίσκοπος Πορφυρεῶνος Φοινίκης παράλου καὶ Ἰουλιανὸς καὶ Ἀμμώνιος οἱ θεοφιλέστατοι πρεσβύτεροι καὶ ἔκδικοι τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας καὶ Παῦλος καὶ Μακάριος οἱ θεοσεβέστατοι διάκονοι καὶ νοτάριοι, καὶ εἴ εὕροιεν, παρασκευάσουσιν ἡμερῶν ἄλλων εἴσω δέκα παραφυλάξαι τὴν ἡμετέραν ἀκρόασιν. ὑπὲρ δὲ τοῦ πᾶσαν ἀγνοίας ἢ τό γε ἀληθέστερον προσποιήσεως αὐτῶι πρόφασιν ἀνελεῖν, γενέσθαι δὲ καὶ τὰ παρ' ἡμῶν ἐψηφισμένα παντὶ τῶι τῆς βασιλίδος ταύτης πόλεως πιστοτάτωι λαῶι φανερά, καὶ κήρυγμα προτεθήσεται τὴν ἐπὶ Ἀνθίμωι γινομένην ζήτησιν παριστῶν καὶ πρὸς τὴν παρ' ἡμῖν αὐτὸν ὀψὲ γοῦν ἄφιξιν προτρεπόμενον.

Ὑπεσημηνάμην.

104 Μετὰ τὴν ὑπατείαν ΦΛ' Βελισσαρίου τοῦ λαμπροτάτου τῆι πρὸ δεκαδύο Καλανδῶν Ἰουνίων ἰνδικτιῶνος τεσσαρεσκαιδεκάτης ἐν τῆι φιλοχρίστωι καὶ βασιλευούσηι Κωνσταντινουπόλει Ῥώμηι d. 21. m. Mai. a. 536

προκαθεζομένου τοῦ δεσπότου ἡμῶν τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου οἰκουμενικοῦ ἀρχιεπισκόπου καὶ πατριάρχου Μηνᾶ ἐν τῶι μεσαύλωι τῶι δυτικῶι τοῦ σεβασμίου οἴκου τῆς δεσποίνης ἡμῶν τῆς ἁγίας ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας τοῦ ὄντος M VIII 950
πλησίον τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας

καὶ ἐκ μὲν τοῦ δεξιοῦ μέρους συνεδρευόντων αὐτῶι καὶ συνακροωμένων κατὰ εὐσεβῆ κέλευσιν τοῦ φιλοχρίστου καὶ θεοφυλάκτου ἡμῶν βασιλέως Ἰουστινιανοῦ τῶν ὁσιωτάτων καὶ θεοφιλεστάτων ἐπισκόπων

2 Σαβίνου τοῦ Κανουσίου
3 Ἐπιφανίου Ἐκλάνων
4 Ἀστερίου Σαλέρνων
5 Ῥουστίκου Φεσούλων
6 Λέοντος Νόλου

τῶν πάντων ἐκ τῆς Ἰταλῶν χώρας πρώην μὲν ἀπεσταλμένων ἐκ τῆς ἀποστολικῆς καθέδρας, ὕστερον δὲ συνόντων παραγενομένωι ἐνταῦθα Ἀγαπητῶι τῶι L V 73
τῆς ἁγίας μνήμης γενομένωι πάπαι τῆς πρεσβυτέρας Ῥώμης

7 Θαλασσίου τῆς μητροπόλεως Βηρυτοῦ
8 Μεγάλου τῆς μητροπόλεως Βεροίας
9 Ἰωάννου Γαβάλων

O [= ae, r (usque ad 34), v], I [usque ad 34]

1 μεταδιδόαμεν O^e 2 ἐπηγγελμένων O^{rI} καταστήσει O^e 3 ἐπιγράψει I 4 τοῦ ἁγαπητοῦ τοῦ [τοῦ om. O^a] O^{arv} 4/5 ψῆφον ποιησόμεθα O^{rI} δικαίαν ποιησόμεθα ψῆφον $O^eΛ$ 6 καὶ om. O^{arv} 6/7 βάκχοσ — ἐπαρχίασ post 8 παράλου habet O^{rI} μροπόλεωσ ἀντιοχέων O^e 7 πισσιδῶν O ἐπίσκοποσ om. O^{arv} 8 τῆς ὑπὸ φοινίκην I θεοσεβέστατοι I 10/11 τὴν ἡμετέραν παραφυλάξαι O^e 11 ὑμετέραν O^{av} 14 γενομένην OΛ 16 in fine ἡ [om. O^v] ὑπογραφή O^{rv} 17 inscr. πρᾶξισ ἑτέρα O^{arI} φλαβίου $O^eIΛ$ βελισαρίου $O^{rI}Λ$ τῆι] τοῦ O^r 19 νέα ῥώμη O^a 22 καὶ ἐνδόξου O^r 24 ἐκ — μέρουσ om. O^{rI} συνόντων αὐτῶ καὶ συνακροωμένων καὶ συνεδρευόντων O^{rI} κατὰ τὴν I 27—31 om. O^{rI} 32 πάντων om. O^{rI} 32/33 καθολικῆσ O^r 33 δὲ καὶ $O^{arv}I$ 35—p. 171, 31 Κορίνθου] καὶ λοιπῶν μητροπολιτῶν ἐνδημούντων κατὰ ταύτην τὴν βασιλίδα πόλιν O^{rI} 36 βερροίασ O^{ev} 37 γαβούλων O^{av}

10 Χριστοφόρου Πορφυρεῶνος ἐπαρχίας Φοινίκης παράλου
11 Ἀρχελάου Κωρύκου
12 Δαυίθου τοῦ Κιρκινσίου
13 Αἰθερίου Μαριάμμης
14 Ἀλεξάνδρου Βαρκουσῶν
15 Δόμνου Μαξιμιανουπόλεως τῆς δευτέρας Παλαιστίνης
16 Ἀναστασίου Ἰωτάβης
17 Ἰωάννου Ζωόρων
18 Ἀστερίου Ἀμάστρεως
19 Ἀνδρέου τοῦ Πανίου
20 Ἐπιτυγχάνου Γέρμης ἐπαρχίας Ἑλλησπόντου
21 Παύλου τοῦ Στεκτορίου
22 Ἀνδρέου Πελτῶν
23 Θεοδώρου Μηροῦ
24 Ἀνδρέου Ἀμυζόνος
25 Φλαβιανοῦ Κοτένων
26 Ἡλίου Ἀδριανῶν
27 Μακεδονίου Βριάνων
28 Θεοδωρίτου Ἀλίνδων
29 Ἁρμονίου Καλλιπόλεως
30 Λεοντίου Ἑλενουπόλεως
31 Λογγίνου Ὀρεστιάδος
32 Ἰωάννου Καισαρείας τῆς Βιθυνίας
33 καὶ Ἰωάννου Τραιανουπόλεως Φρυγίας Πακατιανῆς
ἐκ δὲ τοῦ εὐωνύμου μέρους
34 Ὑπατίου τῆς μητροπόλεως Ἐφέσου
35 Κωνσταντίνου Ἡρακλείας τῆς μητροπόλεως Εὐρώπης
36 Εὐσέβιου τῆς μητροπόλεως Κυζίκου
37 Θαλασσίου τῆς μητροπόλεως Νικομηδείας
38 Φωτεινοῦ τῆς μητροπόλεως Χαλκηδόνος
39 Θεαγένους τῆς μητροπόλεως Συνάδων
40 Βάκχου Ἀντιοχείας τῆς μητροπόλεως Πισιδίας
41 Ἱλαριανοῦ τῆς μητροπόλεως Πέργης
42 Βοσπορίου Νεοκαισαρείας τῆς μητροπόλεως Πόντου Πολεμωνιακοῦ
43 Παύλου τῆς μητροπόλεως Τυάνων
44 Ἀκακίου τῆς μητροπόλεως Πισινοῦντος
45 Ἐπικτήτου Κλαυδιουπόλεως τῆς μητροπόλεως Ὀνωριάδος
46 Πέτρου τῆς μητροπόλεως Ἰουστινιανουπόλεως τῆς δευτέρας Καππαδοκῶν
ἐπαρχίας
47 Ζαχαρίου τῆς μητροπόλεως Μιτυλήνης
48 Ἡδίστου τῆς μητροπόλεως Κίου
49 Μάρκου τῆς μητροπόλεως Ἀπαμείας τῆς Βιθυνῶν ἐπαρχίας
50 Αὐξεντίου τῆς μητροπόλεως Σηλυβρίας

O [= acv]
1 φοινίκησ παράλου ἐπαρχίασ [ἐπάρχου O^{v}] O^{acv} 3 κερκενσίου O^{acv} 6 παλαιστήνησ O^{e}
11 ἐπάρχου O^{v} 14 μίρου O^{e}Λ 15 ἀμυζῶνοσ O^{acv} 16 κοτέννων O^{acv} 22 ὀρεντιάδοσ O^{acv}
26 ὑπάτου O^{v} 32 πισσιδίασ O 36 πισσινοῦντοσ O^{e}

51 Ἰωάννου τῆς μητροπόλεως Βοσπόρου
52 Δομετιανοῦ Ζικχίας
53 Καλώα Σμύρνης
54 Ἐπιφανίου Ἡρακλείας τῆς ἐπαρχίας Ὀνωριάδος
55 Ἀβραμίου Κρατίας
56 Ἀλεξάνδρου Κολωνείας
57 Εὐγενίου Τίου
58 Κυριακοῦ Θεοδοσιουπόλεως ἐπαρχίας Φρυγίας Πακατιανῆς
59 Εὐσταθίου Τιβεριουπόλεως
60 Θεοδότου Εὐροίας
61 Εὐσεβίου Παλαιᾶς πόλεως
62 Θεοδώρου Γόρδου
63 Ματθαίου Κύμης
64 Ἀλεξάνδρου Ἐλούζων
65 καὶ Ἰωάννου τοῦ Μιδαείου
66-69 συμπαρόντων δὲ αὐτῶι καὶ συνακροωμένων καὶ Θεοφάνους καὶ Πελαγίου τῶν θεοφιλεστάτων διακόνων τῆς ἀποστολικῆς καθέδρας καὶ Μηνᾶ καὶ Πέτρου τῶν θεοσεβεστάτων νοταρίων καί τινων εὐλαβεστάτων ὑποδιακόνων καὶ ἐκδίκων καὶ λοιπῶν κληρικῶν τοῦ αὐτοῦ ἀποστολικοῦ θρόνου, οἳ καὶ συνόντες ἔτυχον παραγενομένωι ἐνταῦθα Ἀγαπητῶι τῶι τῆς ἁγίας μνήμης γενομένωι πάπαι τῆς πρεσβυτέρας Ῥώμης
70. 71 καὶ Μάγνου πρεσβυτέρου καὶ Ἡρακλείου διακόνου καὶ ἀποκρισιαρίων Ἐφραιμίου τοῦ ὁσιωτάτου πατριάρχου τῆς ἐν Θεουπόλει ἁγιωτάτης ἐκκλησίας
72 Σαβίνου διακόνου τῆς ἁγίας Χριστοῦ τοῦ θεοῦ ἡμῶν Ἀναστάσεως πληροῦντος τὰς ἀποκρίσεις Πέτρου τοῦ ὁσιωτάτου πατριάρχου Ἱεροσολύμων
73 Στεφάνου διακόνου καὶ ἀποκρισιαρίου Σωτηρίχου τοῦ ὁσιωτάτου ἐπισκόπου Καισαρείας τῆς μητροπόλεως Καππαδοκίας πρώτης M VIII 951
74 Γαιανοῦ πρεσβυτέρου καὶ ἀποκρισιαρίου Ἐλπιδίου τοῦ ὁσιωτάτου ἐπισκόπου Ἀγκύρας τῆς μητροπόλεως Γαλατίας πρώτης
75 Διονυσίου καὶ Καλλινίκου διακόνων καὶ ἀποκρισιαρίων Φωτίου τοῦ ὁσιωτάτου ἐπισκόπου τῆς μητροπόλεως Κορίνθου
παρόντος δὲ καὶ τοῦ εὐλαβοῦς κλήρου τῆς βασιλευούσης πόλεως

105 Εὐφήμιος ὁ θεοσεβέστατος διάκονος καὶ πριμικήριος νοταρίων εἶπε· Τρίτον ἤδη συνελθούσης τῆς ἁγίας ὑμῶν συνόδου κατὰ κέλευσιν εὐσεβῆ τοῦ φιλοχρίστου καὶ γαληνοτάτου ἡμῶν βασιλέως καί τινων ἐπὶ Ἀνθίμωι τῶι εὐλαβεῖ καὶ τῆι τούτου ἀναζητήσει L V 76
πραχθέντων παρὰ τῆι ὑμετέραι ἁγιωσύνηι ψήφου τε ὁσίας παρ' ὑμῶν προελθούσης προθεσμίαν ἡμερῶν δέκα πρὸς τὴν ἀναζήτησιν αὐτοῦ ὁριζούσης καὶ πρόγραμμα παρακελευομένης προτεθῆναι προτρέπον αὐτὸν παραγενέσθαι πρὸς τὴν ἁγίαν ὑμῶν σύνοδον, ἐπειδὴ συνέβη τό τε παρ' ὑμῶν προσταχθὲν ἔργωι προελθεῖν καὶ τὴν δεδομένην κατὰ τὴν ὁσίαν ὑμῶν ψῆφον προθεσμίαν διαδραμεῖν, συνελθούσης καὶ νῦν τῆς ἁγίας ὑμῶν συνόδου, παραφυλαττόντων δὲ τὴν ὑμετέραν ἀκρόασιν τῶν καὶ ἐν ἀρχῆι τὴν μέμψιν κατὰ τοῦ αὐτοῦ

O [= ae, r (inde a 32), v], I [inde a 32]
2 ζηκχίασ O^{e} 3 καλλᾶ O^{av} 13 κύβησ O^{av} 15 μηδαίου OΛ 22 καὶ3 O^{av} τῶν O^{e}Λ 23 θεουπόλεωσ O^{v} 29 τῆσ μητροπόλεωσ ἀγκύρασ O^{av} 32 δὲ om. O^{r}I βασιλευούσησ ταύτησ O^{r}I 33 εὐλαβέστατοσ O^{r} πριμμικήριοσ OI 33/34 συνελθούσησ ἤδη O^{av} 34 ἡμῶν O^{v} 36 προσελθούσησ O^{r} 36/37 προθεσμίαν τε O^{aev} 38 παρατεθῆναι O^{av} ἐπεὶ I

εὐλαβεστάτου Ἀνθίμου ποιησαμένων εὐλαβῶν μοναχῶν τῆς τε βασιλίδος ταύτης πόλεως καὶ ἐκ τῆς Θεουπολιτῶν διοικήσεως καὶ τῆς Ἱεροσολυμιτῶν γε μὴν ἐνορίας καὶ αἰτούντων εἰσόδου τυχεῖν ὑποβάλλομεν πρὸς τὸ παριστάμενον.

106 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Εἰσίτωσαν.

107 Καὶ εἰσῆλθε Μαριανὸς ὁ θεοφιλέστατος πρεσβύτερος καὶ ἡγούμενος μονῆς Δαλματίου τοῦ τῆς ὁσίας μνήμης καὶ ἔξαρχος καὶ σὺν αὐτῶι οἱ θεοφιλέστατοι πρεσβύτεροι καὶ ἀρχιμανδρῖται τῶν κατὰ τήνδε τὴν βασιλίδα πόλιν εὐαγῶν μοναστηρίων

1 Ἀγαπητὸς τῆς Δίου
2 Διόσκορος τῆς ἁγίας Εὐφημίας
3 Ἀγάπιος τῆς Θαλασσίου
4 Παῦλος τῶν Ῥωμαίων
5 Ἀντωνῖνος τῆς Εὐσεβίου
6 Στέφανος τῆς Ὀλυμπίου
7 Ἀναστάσιος τῶν Ῥωμαίων
8 Δημήτριος τῆς Φωκᾶ
9 Κυριακὸς τῆς Εὐφημίου
10 Ζωίλος τῆς Θεοδότου
11 Ἰουλιανὸς τῆς Εὐφημίου
12 Στέφανος τῶν Προμώτου
13 Ζήνων τῆς ἁγίας θεοτόκου ἐν τῆι πηγῆι
14 Ἀλέξανδρος τοῦ καλαμίου
15 Δάδας τῆς Καιουμᾶ
16 Κυριακὸς τοῦ ἁγίου Ἰωάννου τῶν Σύρων
17 Ἐλπίδιος τῆς Βασιανοῦ
18 Ζώσιμος τῆς Μαξιμίνου
19 Πολυχρόνιος τῶν Κρητικῶν
20 Παῦλος τῆς ἁγίας Ἑρμιόνης
21 Ῥόδων τῆς Θεοδώρου
22 Γεννάδιος τῆς Κυριακοῦ
23 Θεόδωρος τῆς Μαρωνίου
24 Σίλας τῆς Ἠλία
25 Παῦλος τῆς Σαμουηλίου
26 Ἰωάννης τῆς Θεοδώρου
27 Κυρίων τῶν Αἰγυπτίων
28 Βασίλειος τῆς Κυρακωνᾶ
29 Ἰωάννης τοῦ ἁγίου ἀποστόλου Θωμᾶ ἐν τοῖς Μοδέστου
30 Μάρκος τῆς Θεοδώρου
31 Μαρῖνος τῆς Παύλου
32 Φλαβιανὸς πρεσβύτερος καὶ δευτεράριος τῶν Λυκαόνων
33 Θεόκτιστος τῆς ἁγίας θεοτόκου πλησίον τῶν Ἰώβ
34 Θεόδωρος τῆς Τρύφωνος
35 Ἐλευθέριος τοῦ ἁγίου Κυριακοῦ
36 Κοσμᾶς τοῦ ἁγίου Ἰωάννου ἐν τοῖς Στουδίου
37 Πέτρος τῆς ἁγίας θεοτόκου καὶ τοῦ ἁγίου Διομήδους ἐν Ἱερουσαλήμ

O [= ae, r (usque ad 7), v], I [usque ad 7]
5 εἰσῆλθον O^{r} μαρινιανὸσ O^{e} θεοσεβέστατοσ I 6 καὶ3 om. O^{av} 8–p. 174, 22 om. $O^{r}I$ 19 προμότου O^{e} 21 τῆσ O^{av} 30 μαρώνησ O^{v} 32 σαμοήλου O^{av}

38 Ἀλέξανδρος τῆς Ἀβραμίου
39 Θεόδωρος τῆς Ἰώβ
40 Τρύφων τῆς Ἐλπιδίου
41 Στέφανος τῆς Κώνστα
42 Βαβύλας τῆς Δανιὴλ ἐν τῶι στύλωι
43 Ἰωάννης τῆς Ἀναστασίου
44 Ἀνθέμιος τῆς Νέωνος
45 Τιμόθεος τῆς Ἀστερίου
46 Ἰωάννης τοῦ ἁγίου Μιχαὴλ τῶν Χαρισίου
47 Ἰωάννης τῆς Μάρα πλησίον τῆς Ἀετίου κινστέρνης
48 Φωκᾶς τῆς Ἰωνᾶ πλησίον τοῦ Δευτέρου
49 Ζώσιμος τῆς Εὐτυχίου τῶν Λυκαόνων M VIII 954
50 Στρατόνικος τῆς Δομετίου
51 Πολυχρόνιος τῆς αἰθρίου
52 Ἀνδρέας τῶν Ῥωμαίων πλησίον τῆς κινστέρνης
53 Μαρτύριος τῆς Πέτρου πλησίον τῶν Ἀποστόλων
54 Ἀνδρέας τῆς ἁγίας θεοτόκου πλησίον τοῦ ἁγίου Λουκᾶ
55 Μάρκος τοῦ ἁγίου Κυρίκου
56 Ἰάκωβος τῆς Ἀβίβου Σύρος
57 Ἀττικὸς τῶν Εὐκρατάδων
58 Ἰωσὴφ τῆς ἁγίας θεοτόκου ἐν τῶι λιθοστρώτωι
59 Παῦλος τοῦ ἁγίου ἀποστόλου Πέτρου πλησίον τοῦ παλατίου
60 Ἀναστάσιος πρεσβύτερος καὶ δευτεράριος τοῦ ἁγίου Φιλίππου ἐν τῶι βρεφοτροφείωι
61 Γεώργιος τῆς Κύρου
62 Εὐσέβιος τῆς Συμεωνίου
63 Ζωτικὸς τοῦ ἁγίου Ἀνδρέου πλησίον τῆς Σατορνίνου πόρτης
64 Θεόδωρος μονῆς τῆς ὑπ' αὐτοῦ καταστάσης πλησίον τοῦ μαρτυρίου τοῦ ἁγίου Λαυρεντίου
καὶ τῶν ὑπὸ Θεούπολιν
65 Παῦλος μοναχὸς καὶ ἀποκρισιάριος μονῆς τῆς Μάρωνος
66 Σευηριανὸς πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Ζωόρα τῶν Θερμῶν Σύρος
67 Κασσισᾶς πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Λουκᾶ Σύρος
68 Συμεώνης διάκονος καὶ ἀποκρισιάριος τῆς Ἰακώβου L V 77
69 Ἰωάννης διάκονος καὶ ἀποκρισιάριος τῆς Θεοδώρου
70 Στέφανος πρεσβύτερος καὶ ἡγούμενος μονῆς Εὐξερίου
71 Ἰωάννης πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ κύρου Θωμᾶ Σύρος
72 Θωμᾶς πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Ἀαρὼν Σύρος
73 Φωτεινὸς μοναχὸς καὶ ἀποκρισιάριος μονῆς τοῦ ἁγίου Στεφάνου
74 Θεόδωρος διάκονος καὶ ἀποκρισιάριος τῆς ἐκκλησίας Ἐρενδηληνῶν
75 Σέργιος πρεσβύτερος καὶ περιοδευτής
οἱ πάντες πράττοντες ὑπέρ τε ἑαυτῶν καὶ τῶν λοιπῶν
ἔτι μὴν καὶ τῶν ὑπὸ τοὺς ἁγίους Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν τόπους

O [= aev]
10 ἀετοῦ O^{av} 11 πλησίον — Δευτέρου om. O^{av} 14 αἰθερίου O^{av} 18 κηρύκου O 28 τῆς om. O^{e} 30 τὴν O^{v} 31 τοῦ O^{av} 32 σεβηριανὸσ O^{a} 34 ἰακὼβ O^{v} 40 ἐρενδηλινῶν O^{av} 42 αὐτῶν O^{av}

76 Δομνῖνος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Μαρτυρίου
77 Ἡσύχιος πρεσβύτερος καὶ ἀποκρισιάριος μονῆς τοῦ μακαρίου Θεοδοσίου
78 Κασσιανὸς πρεσβύτερος τῆς λαύρας τοῦ μακαρίου Σάββα
79 Κυριακὸς πρεσβύτερος καὶ ἡγούμενος τῶν πυργίων τοῦ Ἰορδάνου
80 Νέσταβος πρεσβύτερος τῆς λαύρας τοῦ μακαρίου Φιρμίνου
81 Τερέντιος πρεσβύτερος τῆς Νέας λαύρας
82 Λεόντιος μοναχὸς καὶ τοποτηρητὴς τῆς ἐρήμου πάσης
83 Τραιανὸς πρεσβύτερος τῶν πυργίων τοῦ Ἰορδάνου
84 Πολύευκτος διάκονος τῆς μονῆς τοῦ ἀββᾶ Θεοδοσίου
85 Θεόδωρος διάκονος καὶ μοναχὸς τῆς Νέας λαύρας
86 Κύρικος διάκονος τῆς αὐτῆς Νέας λαύρας
87 Ἀναστάσιος διάκονος μονῆς τοῦ μακαρίου Μαρτυρίου
88 Μάμας μοναχὸς τῆς αὐτῆς μονῆς
89 Ἰωάννης μοναχὸς τῆς αὐτῆς μονῆς
90 Ἰουλιανὸς μοναχὸς μονῆς τοῦ ἀββᾶ Θεοδοσίου
οἱ πάντες πράττοντες ὑπέρ τε τῶν οἰκείων μοναστηρίων καὶ πάντων τῶν ἐν τῇ ἐρήμῳ τῆς ἁγίας πόλεως μοναχῶν
91 Ἰωάννης πρεσβύτερος τῆς πεδιάδος καὶ ὑπὲρ πάντων τῶν ἐκεῖσε μοναχῶν
92 Θεωνᾶς πρεσβύτερος τοῦ Σινᾶ ὄρους καὶ ἀποκρισιάριος τοῦ τε ὄρους καὶ τῆς ἐκκλησίας Φαρὰν καὶ λαύρας Ῥαιθοῦ ὑπὲρ πάντων τῶν ἐκεῖσε μοναχῶν
93 Στρατήγιος διάκονος καὶ μοναχὸς μονῆς τοῦ μακαρίου Ἰωάννου ὑπὲρ πάντων τῶν ὑπὸ Σκυθόπολιν μοναχῶν

108 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ἀναγινωσκέσθω τὰ πεπραγμένα ταύτης ἕνεκα τῆς ὑποθέσεως.

109 Καὶ ἀνεγνώσθησαν αἱ μὲν δύο πράξεις διὰ Μακαρίου τοῦ θεοσεβεστάτου διακόνου καὶ νοταρίου, ἡ δὲ τρίτη διὰ Καλωνύμου τοῦ θεοσεβεστάτου διακόνου καὶ νοταρίου.

110 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος καὶ πᾶσα ἡ ἁγία σύνοδος εἶπεν· Εἰ τὸ παρ' ἡμῶν διαM VIII 955 λαληθὲν ἐπὶ ἀναζητήσει Ἀνθίμου τοῦ εὐλαβοῦς πεπράχασιν οἱ πρὸς τοῦτο ἀπονεμηθέντες θεοφιλέστατοι ἄνδρες, διδαχθῆναι βουλόμεθα.

111 Θεαγένης ὁ ὁσιώτατος ἐπίσκοπος τῆς μητροπόλεως Συνάδων εἶπεν· Κατὰ τὴν κέλευσιν τῆς ὑμετέρας ἁγιωσύνης καὶ πάσης τῆς σὺν ὑμῖν εὐαγοῦς συνόδου γενόμενος ἅμα Βάκχωι τῶι θεοφιλεστάτωι ἐπισκόπωι τῆς Ἀντιοχέων λαμπρᾶς μητροπόλεως τῆς Πισιδῶν ἐπαρχίας καὶ Χριστοφόρωι τῶι θεοφιλεστάτωι ἐπισκόπωι Πορφυρεῶνος τῆς ὑπὸ Φοινίκην πάραλον καὶ Ἰουλιανῶι καὶ Ἀμμωνίωι τοῖς θεοφιλεστάτοις πρεσβυτέροις καὶ ἐκκλησιεκδίκοις ταύτης τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας καὶ Παύλωι καὶ Μακαρίωι τοῖς θεοσεβεστάτοις διακόνοις καὶ νοταρίοις τοῦ εὐαγοῦς ὑμῶν ἐπισκοπείου ἐν τῶι σεπτῶι εὐκτηρίωι τοῦ ἁγίου μάρτυρος Σεργίου ἐν τοῖς Ὁρμίσδου καὶ ζητούντων ἡμῶν Ἄνθιμον τὸν εὐλαβέστατον ἐπεδείχθη ἡμῖν οἶκος ἔνθα πρότερον τὰς διατριβὰς ἐλέγετο ἔχειν, καὶ εὕρομεν κλεῖν ἐπικειμένην τῆι θύραι. ἐγενόμεθα δὲ καὶ ἐν ἑτέροις τόποις πρὸς ἀναζήτησιν τοῦ
L V 80 αὐτοῦ εὐλαβεστάτου Ἀνθίμου, ἐν οἷς ἐνομίζετο εἶναι, καὶ περιεργασάμενοι οὐκ ἠδυνήθημεν γνῶναι ποῦ διάγει, ἁπάντων ὡς ἐξ ἑνὸς στόματος λεγόντων μὴ ἑωρακέναι αὐτὸν μήτε εἰδέναι ποῦ διάγει ἀφ' οὗ ἐξῆλθε τῆς ἁγιωτάτης ἡμῶν μεγάλης ἐκκλησίας. πάλιν

O [= ae, r (inda a 23), v], I [inde a 23]
1 cf. ad p. 158, 23 3 κασιανὸσ O^{av} σάβα O^{v} 11 κήρυκοσ O 15 τῆσ αὐτῆσ μονῆσ O^{v} 26 καὶ νοταρίου om. I 30 θεογένησ O^{r} 31 τῆσ: $O^{arv}I$ τῆσ ὑπ' οὐρανὸν $O^{e}Λ$ ἡμῖν O^{av} εὐαγοῦς om. O^{a} ἐγενόμην I 32—33 ἐπισκόπωι — θεοφιλεστάτωι om. O^{v} πισσιδῶν O^{e} 33 ἐπισκόπωι om. O^{av} 34 παράλου $O^{av}I$ 36 ἡμῶν $O^{av}Λ$ 38 εἰλέγχετο O^{r} 41 τὸ ποῦ $O^{av}I$ 42 τὸ ποῦ O^{av} ὑμῶν I

μετὰ ταῦτα ἐν ἄλλῃ ἡμέραι ἀπελθόντες ἐν τῷι σεβασμίωι οἴκωι τοῦ ἁγίου ἀρχαγγέλου Μιχαὴλ τῷι διακειμένωι ἐν τῷι εὐσεβεῖ παλατίωι καὶ συγκαλεσάμενοι τοὺς εὐλαβεστάτους κληρικοὺς τοῦ αὐτοῦ εὐκτηρίοι ἠρωτήσαμεν αὐτοὺς περὶ τοῦ αὐτοῦ εὐλαβεστάτου ἀνδρὸς καὶ ἔφησαν μεθ' ὅρκου μήτε ἑωρακέναι μήτε εἰδέναι ποῦ διατρίβει. καὶ ταῦτα αὐτὰ ἐσπούδασα δῆλα καταστῆσαι τῆι ὑμετέραι ἁγιωσύνηι.

112 Βάκχος ὁ ὁσιώτατος ἐπίσκοπος τῆς Ἀντιοχέων μητροπόλεως τῆς Πισιδῶν ἐπαρχίας εἶπε· Κατὰ τὴν ὁσίαν τῆς ὑμετέρας ἁγιωσύνης διαλαλιὰν γενόμενος κἀγὼ ἅμα Θεαγένει καὶ Χριστοφόρωι τοῖς ὁσιωτάτοις ἐπισκόποις καὶ Ἰουλιανῶι καὶ Ἀμμωνίωι τοῖς θεοφιλεστάτοις πρεσβυτέροις καὶ ἐκκλησιεκδίκοις καὶ Παύλωι καὶ Μακαρίωι τοῖς θεοσεβεστάτοις διακόνοις καὶ νοταρίοις καὶ ἀναζητήσας σὺν αὐτοῖς Ἄνθιμον τὸν εὐλαβέστατον ἐν διαφόροις τόποις οὐδαμῶς αὐτὸν εὑρεῖν δεδύνημαι.

113 Χριστοφόρος ὁ ὁσιώτατος ἐπίσκοπος Πορφυρεῶνος ἐπαρχίας Φοινίκης παράλου εἶπε· Κατὰ τὰ κελευσθέντα ἡμῖν παρά τε τῆς ὑμετέρας μακαριότητος καὶ τῆς συγκαθημένης ὑμῖν ἁγίας συνόδου γενόμενοι ἅμα Θεαγένης τε καὶ Βάκχος οἱ ὁσιώτατοι ἐπίσκοποι καὶ μητροπολῖται σὺν τῆι ἐμῆι εὐτελείαι, οὐ μὴν ἀλλὰ καὶ Ἰουλιανὸς καὶ Ἀμμώνιος οἱ θεοφιλέστατοι πρεσβύτεροι καὶ ἐκκλησιέκδικοι τῆς ἁγιωτάτης ἐκκλησίας, προσέτι δὲ καὶ Παῦλος καὶ Μακάριος οἱ θεοσεβέστατοι διάκονοι καὶ νοτάριοι τοῦ εὐαγοῦς ὑμῶν ἐπισκοπείου ἀνεζητήσαμεν Ἄνθιμον τὸν εὐλαβέστατον, ἐφ' ὧι καὶ τὰς κινουμένας ἐπὶ ταύτης ὑμῶν τῆς ἱερᾶς συνόδου κατ' αὐτοῦ κατηγορίας προσαγγεῖλαι αὐτῶι καὶ προτρέψαι κατὰ τὸ δυνατὸν ἀπαντῆσαι αὐτὸν καὶ πρὸς τὰς μέμψεις ἀπολογήσασθαι. καὶ πρῶτον μὲν ἐν τοῖς Ὁρμίσδου γενόμενοι, ἐν ὧι οἴκωι κατέμενε πρὸ τοῦ ἁρπάσαι αὐτὸν τὸν τῆς βασιλίδος ταύτης πόλεως ἀρχιερατικὸν θρόνον, κατήναν εὕρομεν ταῖς θύραις ἐμβεβλημένην· τοὺς δὲ τοῖς ἐκεῖσε προσκαρτεροῦντας διερωτήσαντες εἴ που αὐτὸν ἐθεάσαντο, ἀκηκόαμεν λεγόντων μὴ ἑωρακέναι τοῦτον ἀπὸ πολλῶν ἡμερῶν. ὡσαύτως M VIII 958
δὲ καὶ ἐν τῷι σεπτῷι οἴκωι τοῦ ἁγίου ἀρχαγγέλου Μιχαὴλ ἐν τῷι παλατίωι γενόμενοι (ἑωρᾶτο γὰρ τὸ πρώην τοῖς ἐκεῖσε πυκνάζων) καὶ πυθόμενοι παρὰ τῶν αὐτόθι κληρικῶν εἴγε ἐφάνη αὐτοῖς ἐν ταῖς ἡμέραις ταύταις ὁ παρ' ἡμῶν ἐπιζητούμενος εὐλαβέστατος Ἄνθιμος, μεθ' ὅρκων παρ' αὐτῶν ἐπείσθημεν ὡς οὔτε εἶδον αὐτὸν οὔτε γινώσκουσιν ὅπου ἐστίν. οὐκ ἐν τούτοις δὲ μόνον, ἀλλὰ καὶ ἑτέροις μηνυθεῖσιν ἡμῖν γεγονότες τόποις, καὶ παισὶ δὲ αὐτοῦ τισὶ συναντήσαντες καὶ τούτους διερωτήσαντες, καθὼς καὶ οἱ σὺν ἐμοὶ σταλέντες ὁσιώτατοι καὶ θεοφιλέστατοι ἐπίστανται ἄνδρες, παρ' οὐδενὸς ἠδυνήθημεν γνῶναι ὅπου διάγει ὁ πολλάκις εἰρημένος εὐλαβέστατος Ἄνθιμος.

114 Ἰουλιανὸς ὁ θεοφιλέστατος πρεσβύτερος καὶ ἐκκλησιέκδικος εἶπε· Κατὰ τὴν ὁσίαν πρόσταξιν τῆς ὑμετέρας ἁγιωσύνης ἀπελθὼν ἅμα Θεαγένει καὶ Βάκχωι καὶ Χριστοφόρωι τοῖς ὁσιωτάτοις ἐπισκόποις καὶ Ἀμμωνίωι τῶι θεοφιλεστάτωι συμπρεσβυτέρωι μου καὶ ἐκδίκωι καὶ Παύλωι καὶ Μακαρίωι τοῖς θεοσεβεστάτοις διακόνοις καὶ νοταρίοις ἀνεζήτησα σὺν αὐτοῖς Ἄνθιμον τὸν εὐλαβῆ ἐν πλείστοις καὶ διαφόροις τόποις, ἐν οἷς τοῦτον εὑρεῖν ἐνομίσαμεν, καὶ οὐδαμοῦ αὐτὸν εὑρεῖν ἠδυνήθημεν. καὶ τοῦτο δὲ L V 81
διδάσκω τὴν ὑμετέραν ἁγιωσύνην ὅτι προετέθη καὶ τὸ πρόγραμμα τῆς ὑμετέρας ἁγιωσύνης καὶ οὐδὲ οὕτως αὐτὸν εὑρεῖν ἠδυνήθημεν.

O [= aerv], I

2 τῶι διακειμένωι] τοῦ Or I εὐσεβεῖ om. Or I 4 τὸ ποῦ Oarv I 5 ἡμετέρα Ov 6 πισσιδῶν Oerv 7—32 εἶπε — Ἄνθιμος om. Or I 7—13 τὴν ὁσίαν — Κατὰ om. Oav 12 παραλίου Oe 13/14 καθημένησ Oav 14 ἡμῖν Ov 19 ἡμῶν Oe 21 ὁρμίσδα Oav 22 κατίναν Oev 24 αὐτὸν Oa 29 ἐν ἑτέροισ OeΛ 32 ὅποι Oa 33—40 εἶπε — ἠδυνήθημεν om. Or I 34 ἡμετέρασ Ov καὶ1 om. Oav 35 πρεσβυτέρω Oe 36 καὶ3] τῶ Ov 38 αὐτὸν Oav τοῦτον Oe 39 γράμμα Oa πρᾶγμα Ov

115 Ἀμμώνιος ὁ θεοσεβέστατος πρεσβύτερος καὶ ἐκκλησιέκδικος εἶπε· Κατὰ τὰ κελευσθέντα παρὰ τῆς ὑμῶν ἁγιωσύνης ἐγενόμην ἅμα τοῖς εἰρημένοις θεοφιλεστάτοις ἐπισκόποις καὶ Ἰουλιανῶι τῶι θεοφιλεστάτωι πρεσβυτέρωι καὶ συνεκδίκωι μου καὶ Παύλωι καὶ Μακαρίωι τοῖς θεοσεβεστάτοις διακόνοις καὶ νοταρίοις πρῶτον μὲν ἐν τῶι οἴκωι ἐν ᾧι κατέμενεν Ἄνθιμος ὁ εὐλαβέστατος, ὥστε εὑρισκομένου αὐτοῦ ἐκεῖσε ἐμφανῆ αὐτῶι καταστῆσαι τὰ παρὰ τῆς ἁγίας ὑμῶν συνόδου προσταχθέντα. καὶ τὰς θύρας τοῦ αὐτοῦ οἴκου ἠσφαλισμένας εὑρόντες ἔξωθεν διὰ κατήνας ἐπυνθανόμεθα τῶν τε παρατυχόντων καὶ τοῦ ὀστιαρίου τοῦ οἴκου ποῦ ἄρα διάγει ὁ εἰρημένος εὐλαβέστατος ἀνήρ, οἱ δὲ ἔφησαν παντελῶς μὴ ἐπίστασθαι· μηδὲ γὰρ ὀφθῆναι αὐτὸν κατὰ τὸν αὐτὸν οἶκον ἐκ πλείστου χρόνου. ἐγενόμεθα δὲ καὶ ἐν τῶι εὐκτηρίωι τοῦ ἁγίου ἀρχαγγέλου Μιχαὴλ καὶ τοὺς ἐν αὐτῶι θεοσεβεστάτους κληρικοὺς συναγαγόντες ὡρκώσαμεν εἴγε ἐπίστανται κατὰ τὸ αὐτὸ εὐκτήριον ἢ ἐν ἑτέρωι τόπωι διάγειν τὸν εἰρημένον εὐλαβέστατον ἄνδρα. οἳ δὲ ἀπωμόσαντο μηδεμίαν παντελῶς τοιαύτην εἴδησιν περὶ αὐτοῦ ἔχειν. ἐγενόμεθα δὲ καὶ ἐν ἑτέροις διαφόροις τόποις τοῦτον ἀναζητοῦντες καὶ οὐδαμῶς ἰσχύσαμεν καταλαβέσθαι ἔνθα διάγει, πάντων τὰ αὐτὰ ἀπομνυμένων ὡς οὐδαμῶς ἐπίστανται ποῦ νῦν ἐστι. διδάσκω δὲ τὴν ὑμῶν ἁγιωσύνην ὡς καὶ τὸ παρὰ τῆς ἁγίας ὑμῶν συνόδου γενόμενον πρόγραμμα προκαλούμενον τὸν εὐλαβέστατον Ἄνθιμον παραγενέσθαι καὶ ἀπολογήσασθαι τῆι ἁγίων ὑμῶν ταύτηι συνόδωι προτεθείκαμεν δημοσίαι ἀπὸ ἡμερῶν ἑπτά, ὥστε καὶ δι' αὐτοῦ μανθάνοντα τὰ παραστάντα τῆι ὑμῶν ἁγιωσύνηι ἐμφανῆ ἑαυτὸν καταστῆσαι, καὶ οὐδὲ οὕτως τὴν οἱανδήποτε δήλωσιν ἑαυτοῦ ἐποιήσατο.

116 Παῦλος ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος εἶπε· Κατὰ τὴν πρόσταξιν, δέσποτα, τῆς ὑμετέρας μακαριότητος καὶ τῆς εὐαγοῦς ὑμῶν συνόδου ἀπήλθομεν ἅμα τοῖς προ-
M VIII 959 εἰρημένοις θεοφιλεστάτοις ἀνδράσι καὶ Μακαρίωι τῶι θεοσεβεστάτωι συνδιακόνωι μου καὶ νοταρίωι ἐν διαφόροις τόποις καὶ ἀναζητήσαντες Ἄνθιμον τὸν εὐλαβέστατον, τοῦτον εὑρεῖν οὐκ ἠδυνήθημεν.

117 Μακάριος ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος καὶ ἀποκρισιάριος εἶπε· Τοῖς ἅμα ἐμοὶ ἐσταλμένοις ὁσιωτάτοις ἀνδράσιν ἀκολουθῶν κἀγὼ τὰ αὐτὰ κατατίθεμαι.

118 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος καὶ πᾶσα ἡ ἁγία σύνοδος εἶπεν· Ἀναγινωσκέσθω καὶ τὸ προτεθὲν πρόγραμμα κατὰ τὴν ἤδη προελθοῦσαν ψῆφον.

Καὶ λαβὼν Διόδωρος ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος ἀνέγνω

119 Μηνᾶς ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Ῥώμης καὶ πατριάρχης καὶ πᾶσα ἡ ἐνδημοῦσα τῆι αὐτῆι φιλοχρίστωι νέαι Ῥώμηι σύνοδος Ἀνθίμωι τῶι εὐλαβεστάτωι. Εἰ μέν τις ἦν σοι τοῦ προσήκοντος λόγος καὶ τῆς τῶν ἐγχειρηθέντων ἀτόπων μεταμελείας ἐλπίς, οὐδὲν ἂν τῶν παρόντων ἐδέησε κηρυγμάτων, πάλαι δὲ ἂν τῶι τῆς ἀοιδίμου μνήμης πάπαι τῆς πρεσβυτέρας Ῥώμης Ἀγαπητῶι φανερὰν τὴν σαυτοῦ γνώμην κατα-
L V 84 στησάμενος καὶ τὴν ἐπὶ τοῖς ἤδη καταγνωσμένοις δόγμασι μέμψιν ἀπολυσάμενος τῆς γοῦν Τραπεζουντίων ἱερεὺς ἐπεφήνεις. ἀλλ' οὔτε τὴν ὑπ' ἐκείνωι ζήτησιν ὑπομείνας

O [= aerv], I

1 ὁ θεοφιλέστατος $O^{rI\Lambda}$ om. O^{e} 1—20 εἶπε — ἐποιήσατο om. O^{rI} 2 παρὰ om. O^{a} 3 μου om. O^{arv} 4 πρῶτα O^{v} 5 αὐτῶι] αὐτοῦ O^{v} 6 προσταχθέντα O^{e} πραχθέντα $O^{a\text{-}v}$ 7 εἰσφαλισμένας O^{v} ἐσφαλισμένας O^{a} κατίνας O^{ev} 9 αὐτὸν οἶκον O^{e} οἶκον αὐτὸν $O^{a\text{-}v}$ 15 ὡς om. O^{e} 18 προτεθήκαμεν O^{v} 21 θεοφιλέστατος I 21—25 εἶπε — ἠδυνήθημεν om. O^{rI} 21 τὴν om. O^{e} 24 τοῦτον om. O^{arv} 26 θεοφιλέστατος I καὶ^{1} om. $O^{e}\Lambda$ καὶ^{2}; ὁ καὶ I 26—27 εἶπε — κατατίθεμαι] οἱ σύμπαντες ἅμα τὰ αὐτὰ κατατίθενται O^{rI} 27 ἀπεσταλμένοις O^{e} 29 παρελθοῦσαν O^{arvI} 31 inscr. πρόγραμμα μηνᾶ πριάρχου πρὸς ἄνθιμον I νέας ῥώμης O^{a} οἰκουμενικὸς πατριάρχης $O^{e}\Lambda$ 32 αὐτοῦ O^{v} 33 τῶν om. O^{r} ἐγχειρηθέντων I ἐγχειρισθέντων O 34 ἂν τῶν] αὐτῶν O^{v} 35 αὐτοῦ O^{r} 36 ἀπολουσάμενος O^{rI} 37 ἐπεφήνης O^{arv} ὑπέμεινας O^{arv}

ὑφ' ἡμῶν τε προσκεκλημένος πολλάκις καὶ τοσούτου πρὸς μετάμελον χρόνου τετυχηκὼς οὐδὲν σεαυτοῦ γέγονας μετριώτερος ἱερατικῆς τε φιλανθρωπίας, ὡς ἔοικε, κρείττω τὴν ἑαυτοῦ διέδειξας ἀπείθειαν. καὶ ἦν μὲν οὐδὲ συγγνώμης ἄξια τὰ πραττόμενα παρὰ σοῦ, πλὴν ἀλλ' ἔτι τῶι τῶν ἀνθρώπων ὀλισθηρῶι τὰ πταίσματα λογιζόμενοι καὶ τὴν μέχρι πολλοῦ πρὸς τοὺς ἡμαρτηκότας ἀνεξικακίαν βραδείας γοῦν ὅμως ἐπανορθώσεως πρόφασιν πολλάκις γενομένην εὑρόντες, καὶ τῶι παρόντι σε γράμματι προσκαλούμεθα μὴ μέχρι παντὸς ἐπὶ τῆς αὐτῆς ἑστάναι φιλονεικίας τὴν σὴν παραινοῦντες εὐλάβειαν ἡμερῶν τε εἴσω τὸν ἀριθμὸν ἓξ τῆι τε ἁγίαι παραγενέσθαι συνόδωι καὶ ἣν ἐπὶ τοῖς ὀρθοῖς κέκτησαι δόγμασι γνώμην καθαρᾶι διαδεῖξαι φωνῆι σαφὲς τε τοῖς ἄλλοις ἅπασι καταστῆσαι ὁπόσα πατέρων ἐπιεικῶν καὶ δικαστῶν ἔτι φιλανθρώπων παραίνεσις τοῖς ὀλισθαίνουσι δύναται πρὸς ἀνάκλησιν. εἰ γὰρ δὴ καὶ ταύτης ἡμῶν τῆς κλήσεως ὑπερίδοις, σοί τε οὐκ ἐν καιρῶι τὰ τῆς μετανοίας ἔσται λοιπὸν ἡμῖν τε οὐχ ἑτέρωθεν ἢ ἐξ ὧν πέπραχας, τὰ τῆς κρίσεως εἰσαχθήσεται.

Ὑπεσημηνάμην 14

Προετέθη μηνὶ Μαίωι πεντεκαιδεκάτηι ἰνδικτιῶνος τεσσαρεσκαιδεκάτης μετὰ τὴν ὑπατείαν Φλ' Βελισσαρίου τοῦ ἐνδοξοτάτου d. 15. m. Mai. a. 536

120 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Οἱ ὑπογράφοντες ἡμῖν εὐλαβέστατοι διάκονοι καὶ νοτάριοι διδασκέτωσαν ἡμᾶς τίνος χάριν τῆς ψήφου δέκα ἡμερῶν προθεσμίαν ὁριζούσης τὸ προτεθὲν πρόγραμμα ἓξ καὶ μόνον δίδωσι διορίαν.

121 Οἱ νοτάριοι εἶπον· Διδάσκομεν ὡς ἡ μὲν ὁσία ψῆφος προθεσμίαν δέδωκεν ἡμερῶν δέκα ἐπί τε τῆι ἀναζητήσει καὶ τῶι προγράμματι, οὐκ ἐκέλευσε δὲ παραχρῆμα τὸ κήρυγμα προτεθῆναι. γενομένης τοίνυν τῆς αὐτοῦ ἀναζητήσεως μέχρις ἡμερῶν τριῶν καὶ ἐκείνου ἀφανοῦς ὑπάρχοντος ἀναγκαῖον ἦν τὰς ὑπολοίπους ἑπτὰ ἡμέρας προτεθῆναι τὸ αὐτὸ ὅσιον πρόγραμμα τῆς τε ὑμετέρας μακαριότητος καὶ τῆς συνούσης ὑμῖν ἁγίας M VIII 962 συνόδου τὸ ποιοῦν αὐτῶι τὰ παρ' ὑμῶν προστεταγμένα φανερά. ἐκείνην τοίνυν εἰκότως τὴν ἡμέραν φέρει τὸ αὐτὸ κήρυγμα καθ' ἣν καὶ προτέθειται.

122 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Οἱ ἐκ τῆς Ἰταλῶν χώρας συμπαρόντες ἡμῖν ὁσιώτατοι συλλειτουργοὶ καὶ οἱ θεοφιλέστατοι διάκονοι καὶ οἱ εὐλαβέστατοι νοτάριοι τῆς ἀποστολικῆς καθέδρας ἐπακούσαντες τῶν τε ἐπιδεδομένων δεήσεων τῶι θεοφυλάκτωι ἡμῶν καὶ πιστοτάτωι βασιλεῖ καὶ τῶν Ἀγαπητῶι τῶι τῆς ἁγίας καὶ μακαρίας μνήμης προσδεδομένων λιβέλλων καὶ ὧν παρ' ἡμῖν αὖθις οἱ τούτους ἐπιδεδωκότες ἐποιήσαντο μέμψεων κατὰ Ἀνθίμου τοῦ εὐλαβοῦς καὶ ὡς ἐπὶ τοῖς καιριωτάτοις ἡ ἐπ' αὐτῶι προῆλθε κατηγορία, τοῦτο μὲν οὐχ ἑλομένου τοῖς ὀρθοῖς καὶ ἀποστολικοῖς τῆς ἀληθινῆς ἡμῶν πίστεως συγκαταθέσθαι δόγμασι, τοῦτο δὲ καὶ πρὸς τὴν Εὐτυχοῦς πλάνην τε καὶ κακοδοξίαν ἀποκλίναντος καὶ τοὺς παρὰ τῆς ἐν Χαλκηδόνι ἁγίας καὶ οἰκουμενικῆς συνόδου καὶ τῆς ἀποστολικῆς καθέδρας καὶ τῆς ἐξ ἐκείνου μέχρι καὶ νῦν κρατούσης ἐκκλησιαστικῆς καταστάσεως καθαιρεθέντας τε καὶ ἀναθεματισθέντας διὰ τὴν πρὸς Εὐτυχῆ κοινωνίαν τε καὶ ὁμοφροσύνην περιπτυσσομένου, ἀφορῶντες δὲ καὶ πρὸς τὰς συνοδικὰς ἐπιστολὰς

O [= aerv], I

3 σεαυτοῦ O^{arI} 4 λογιζόμεθα O^{r} 6 προκαλούμεθα γράμματι O^{e} προκαλούμεθα $O^{a(e)}\Lambda$ παρακαλούμεθα O^{v} 9 διδάξαι O^{rI} 10 καὶ O ἔτι καὶ I δικαστῶν] διδασκάλων καὶ δικαστῶν O^{rI} ἔτι φιλανῶν OΛ φιλάνος I 11 ἐπανάκλησιν I ὑπερίδησ O^{av}, corr. O^{v} 12 τὰ om. O^{v} τε² I δὲ O 14 ἡ [om. O^{v}] ὑπογραφὴ ὑπεσημηνάμην O^{arv} 15 προσετέθη $O^{aev}\Lambda$ 16 φλαβίου $O^{e}I\Lambda$ βελισαρίου $O^{r}I\Lambda$ 19 μόνων O^{r} διωρίαν O^{av} 21 οὐκ om. O^{r} δὲ om. O^{av} 24 ἡμετέρασ O^{v} ἡμῖν O^{v} 28 οἱ¹ om. O^{eI} 30 καὶ πιστοτάτωι om. O^{rI} τῶν O^{aeI} τῶ O^{-v} 31 προδεδομένων I 32 κυριωτάτοισ O^{e} 32/33 κατηγορία προῆλθε O^{av} 36 καὶ μέχρι καὶ O^{r} κε¡² om. O^{e} 37 τε om. O^{av} 37—38 ἀναθεματισθέντας — δὲ καὶ om. I

L V 85 τὰς γενομένας παρὰ τοῦ τῆς ἁγίας καὶ μακαρίας μνήμης γενομένου ἡμῶν πατρὸς τῆς πρεσβυτέρας Ῥώμης πάπα Ἀγαπητοῦ κατὰ Ἀνθίμου, συλλογιζόμενοι δὲ καὶ τὴν μέχρι παντὸς αὐτοῦ ἀπείθειαν μήτε κανονικαῖς κλήσεσιν εἶξαι μήτε τὰς ἐπαχθείσας αὐτῷι μέμψεις ἀποδύσασθαι βουληθέντος, ἣν ἐπὶ τούτοις ἅπασι γνώμην ἔχουσιν, εἰπεῖν ἀξιούτωσαν.

Καὶ ἀνέγνω φωνὴν Μηνᾶς ὁ θεοσεβέστατος ἀναγνώστης καὶ σεκουνδοκήριος νοταρίων τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης ἔχουσαν οὕτως

124 SANCTI EPISCOPI PARTIVM ITALIAE ET VIRI VENERABILES DIACONI APOSTOLICAE SEDIS DIXERVNT: DEFINITIONEM SANCTAE RECORDATIONIS PATRIS NOSTRI QVONDAM PAPAE AGAPETI IN SYNODICIS EPISTVLIS PRO MENA SANCTISSIMO ARCHIEPISCOPO HVIVS REGIAE VRBIS CONSTANTINOPOLITANAE FACTIS ADDITAM DE PERSONA ANTHIMI TRAPEZVNTII QVONDAM EPISCOPI NOS SEQVI PER OMNIA PROFITEMVR

125 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· Καὶ ἡ λοιπὴ συνεδρεύουσα ἡμῖν ἁγία σύνοδος ἐπακούσασα πάντων τῶν ἐξ ἀρχῆς ἐπὶ τῆι κατὰ Ἄνθιμον ὑποθέσει πραχθέντων καὶ τοῖς παρ' ἡμῶν εἰρημένοις ἅπασι προσέχουσα, ἃ βούλεται προελθεῖν ἐπ' αὐτῶι, φανερὰ ποιῆσαι καταξιωσάτω.

126 Ἡ ἁγία σύνοδος διὰ Ὑπατίου τοῦ ὁσιωτάτου ἐπισκόπου τῆς Ἐφεσίων μητροπόλεως τῆς Ἀσιανῶν ἐπαρχίας εἶπεν· Πολλῶν παραβάσεων Ἄνθιμος ὑπεύθυνος ἀποδέδεικται τῶν μὲν πατρικῶν εὐαγῶν θεσμῶν ὡς οὐδὲ κειμένων κατολιγωρήσας καὶ μικροῦ δεῖν τῶι κατ' αὐτὸν παραδείγματι πᾶσαν ἐκκλησιαστικὴν συνταράξας κατάστασιν τῶι μηδαμόθεν αὐτῶι προσήκοντι πατριαρχικῶι θρόνωι τῆς ἐνταῦθα ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας ἐπεμβαλὼν ἑαυτὸν καὶ κοινήν τινα σύγχυσιν τοῖς τε ἱερεῦσι τοῦ θεοῦ
M VIII 963 καὶ τοῖς πιστοτάτοις λαοῖς ἐργασάμενος. καίτοι οὐδὲ τοῦτο μόνον αὐτῶι κατὰ τῶν ἁγιωτάτων ἐκκλησιῶν ἐσπουδάζετο, τὴν Εὐτυχέος δὲ δόξαν λανθάνουσαν ἔχων, ἐπειδὴ τῆς οὕτω μεγάλης ἀρχιερωσύνης ἐγκρατὴς ἠδυνήθη γενέσθαι καθ' ὃν εἴρηται τρόπον, κατὰ μικρὸν ὤιετο δεῖν τὴν τοιαύτην ἀσεβῆ νόσον ἐπινέμεσθαι ποιεῖν τὰς ἁγιωτάτας τοῦ θεοῦ ἐκκλησίας καὶ τοὐναντίον ἥπερ αἱ θεῖαι φωναὶ λέγουσιν, ἀντὶ τοῦ συνάγειν τὰ λογικὰ τῆς ποίμνης τοῦ θεοῦ πρόβατα διαιρέσεις ἐμηχανᾶτο κατὰ πάσης ὡς εἰπεῖν ἐκκλησίας, ὡς κινδυνεῦσαι τὴν τοσούτοις κατορθωθεῖσαν πόνοις τοῦ φιλοχρίστου ἡμῶν βασιλέως τῶν ἁγιωτάτων ἐκκλησιῶν ἕνωσιν εἰς πολλὰς διαιρέσεις ἐν βραχεῖ χρόνωι κατατεμεῖν. ἀμέλει κατὰ μικρὸν παρεδήλου τὴν τοιαύτην διαφθορὰν σχηματιζόμενος μὲν τὰς ἁγίας δέχεσθαι συνόδους, τήν τε ἐν Νικαίαι φαμὲν κατὰ τοῦ δυσσεβοῦς Ἀρείου καὶ τὴν ἐν Κωνσταντινουπόλει τὴν κατὰ τοῦ δυσσεβοῦς Μακεδονίου καὶ τὴν ἐν Ἐφέσωι πρώτην τὴν κατὰ τοῦ δυσσεβοῦς Νεστορίου καὶ τὴν ἐν Χαλκηδόνι τὴν κατὰ τοῦ δυσσεβοῦς Εὐτυχοῦς κἂν τοῖς ἱεροῖς αὐτὰς ἔχων διπτύχοις, συγκειμένης αὐταῖς καὶ τῆς τοῦ μακαριωτάτου πάπα

O [= aerv], D [inde a 18]

6 σεκουνδουκήριοσ O^{rI} 8—12 om. O^{av}, spat. rel. I 8 *sanctissimi* Λ σχοτινμ O^{e} italia O^{e} itali O^{r} veperabiles O^{e} δεαconι O^{r} 9 qvondiam O^{r} 9/10 agapeti in] agapetvn O^{er} 10 in om. Λ nctissimo O^{r} vivs O^{r} hhims O^{e} 11—12 factis — profitemvr om. O^{r} 11 αδιταμ O^{e} ἄηthmι O^{e} avondam O^{e} inscr. ἡ [οἱ O^{v}] ἐν κωνσταντινουπόλει ψῆφοσ [ψῆφοσ τῆσ συνόδου O^{e}Λ] κατὰ ἀνθίμου ante 13 O^{av} ante 18 O^{e}Λ ἀναθεματισμὸσ ἀνθίμου μητροπολίτου τραπεζοῦντοσ D 17 τοῦ ὁσιωτάτου om. O^{rI} ἐφέσου O^{v} 19 μὲν om. I 20 αὐτῶν O^{v} 22 μεγάλης om. O^{rI} 26 σμικρὸν O^{aev} 26/27 ταῖσ ἁγιωτάταισ — ἐκκλησίαισ O^{arv}I 28 πρόβατα τῆσ τοῦ θῦ ποίμνησ O^{rI} διαίρεσιν O^{av} ὡς om. O^{v} τῆσ ἐκκλησίασ O^{r} 29 καὶ τὴν O^{av}D 31 παρετήρει O^{av}D 31/32 δέχεσθαι τὰσ ἁγίασ O^{e} 33 τὴν^{1} om. O^{av}D φαμὲν O^{r} πρώτην om. I τὴν^{3} om. O^{av}D 34 τὴν^{2} om. O^{av}D εὐτυχέος I 35 ἐγκειμένησ σὺν αὐταῖς O^{rI} τῆς] ταῖσ O^{v} μακαρίου O^{e}

Λέοντος μνήμης κατὰ μηδένα καιρὸν ἑτέρως ἢ μεταλαβὼν ἢ μεταδοὺς τῶν παναγίων
τοῦ θεοῦ μυστηρίων ἑορτήν τε αὐτῶν κηρύττων καὶ ἐπὶ τῆς ἐνταῦθα ἁγιωτάτης μεγάλης
ἐκκλησίας ποιῶν, ἀποπηδῶν δὲ καθόλου τῶν ὀρθῶν αὐτῶν ὁμολογιῶν καὶ οὐδὲ μεγάλων
ἀρχιερέων οὔτε μὴν εὐλαβεστάτων ἡγουμένων ὑπὲρ τῶν τοιούτων ἐπισκηπτόντων
αὐτῶι παντελῶς ἀνεχόμενος ἢ τὴν τυχοῦσαν διδοὺς ἀπολογίαν, ὡς οὐ μικρὸν ἑκάστης L V 88
ἡμέρας αἴρεσθαι τὸ ἐπὶ τούτοις σκάνδαλον, τῶν μὲν ἀπίστων ἐπεγγελώντων, τῶν δὲ 6
πιστῶν ὀδυρομένων καὶ τῶν ὀλιγοπίστων ἔτι μᾶλλον θορυβουμένων τε καὶ εἰς τὸ χεῖρον
καταπιπτόντων. ἐπὶ τοῖς τοιούτοις καὶ βασιλεὺς ὁ μέγας ἑαυτὸν καθεὶς καὶ τῆς τοῦ
πρώτου τῶν ἀποστόλων ἀναμνήσας αὐτὸν ὑφηγήσεως ἣι φησὶν ἑτοίμους ἡμᾶς ἀεὶ χρῆναι
γίνεσθαι πρὸς ἀπολογίαν παντὶ τῶι ἀπαιτοῦντι λόγον περὶ τῆς ἐν ἡμῖν ἐλ- 1. Petr. 3, 15
πίδος, πλέον οὐδὲν ὤνησεν, ἀλλὰ καὶ πρὸς τὴν αὐτοῦ γαληνότητα λόγοις ἀπατηλοῖς 11
κεχρημένος ἐπηγγέλλετο πάντα ποιήσειν ὅσα ὁ τῆς μεγάλης ἀποστολικῆς καθέδρας
ἀρχιερεὺς ὑφηγήσοιτο, καὶ πρὸς τοὺς ἁγιωτάτους πατριάρχας ἔγραφεν ἀκολουθεῖν διὰ
πάντων τῆι ἀποστολικῆι καθέδραι. τοῦ μεγάλου δὲ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ
Χριστοῦ μὴ μέχρι παντὸς τὰ τοιαῦτα προιέναι συγχωροῦντος ἐπέστη ταύτηι τῆι βασιλίδι 15
πόλει κατὰ τὴν αὐτοῦ θεότητα Ἀγαπητὸς ὁ τῆς ἁγίας καὶ ἀοιδίμου μνήμης ὁ μακα-
ριώτατος πάπας καὶ τοῖς μὲν ἱεροῖς κανόσιν εὐθὺς μετὰ θεὸν χεῖρα ὀρέξας τὸν μὲν τῆς
οὐ προσηκούσης αὐτῶι καθέδρας ἀπήλασε, συγγνώμης δὲ τοῖς μετασχοῦσιν ἤτοι κε-
κοινωνηκόσι τοῦ τοιούτου πράγματος μετέδωκε καὶ τῆι βασιλίδι καὶ φιλοχρίστωι πόλει
τὸν ἑαυτῆς ἱερατικὸν ἀποδέδωκε κόσμον τὴν ὑμετέραν ἀναδείξας μακαριότητα τῆς 20
μεγάλης ταύτης καὶ ἱερᾶς ἡγεῖσθαι καθέδρας. ἐπειδὴ δὲ καὶ τῆς ἐπὶ τοῖς δόγμασιν
ἀσεβείας ἐγκλήματα αὐτῶι μυρία εἰκότως ἐπηρτᾶτο δεήσεις τε καὶ λίβελλοι πολλοὶ τῶι
τε εὐσεβεστάτωι ἡμῶν βασιλεῖ καὶ αὐτῶι τῶι μακαριωτάτωι πάπαι παρὰ διαφόρων
εὐλαβῶν ἀνδρῶν ἐπεδίδοντο, πολλοῖς μὲν ἱδρῶσι τὴν αὐτοῦ ψυχὴν ἀνακαλέσασθαι
πατρικῶς ἐσπούδασεν ὁ αὐτὸς ἁγιώτατος πάπας, ὡς δὲ ἀνιάτως ἔχοντα εὗρε καὶ τὰ 25
μὲν εὐσεβῆ δόγματα παραιτούμενον καὶ προσέτι γε διαβάλλοντα καὶ τὴν ἐν δύο φύσεσι M VIII 966
φωνήν, τοῦτο ὅπερ κατὰ Εὐτυχοῦς μάλιστα ἡ ἐν Χαλκηδόνι ἁγία διώρισε σύνοδος,
καθάπαξ ἀρνούμενον, τοὺς δὲ ὀρθῶς κατακριθέντας ὑπὸ τῆς αὐτῆς ἁγίας συνόδου πα-
ραιτούμενον ἀποστρέφεσθαι, τοὐναντίον μὲν οὖν καὶ περιπτυσσόμενον αὐτοὺς καὶ τὸ
γε ἐπ' αὐτῶι Διόσκορόν τε καὶ αὐτὸν Εὐτυχέα δεικνύναι σπουδάζοντα καθάπαξ ἀνεύθυνον 30
ἐφ' οἷς ἑάλω κακοδοξῶν, ψῆφον ἐν γράμμασιν ἐξάγει φιλανθρωπίας τε ἅμα καὶ ἁγιο-
πρεποῦς ὁσιότητος μεστήν, ἐνδιδοὺς μὲν αὐτῶι μετανοίας καιρόν, ἀποφηνάμενος δὲ
ἕως πρὸς τὴν τοιαύτην γνώμην μεταβαλὼν τὸ ἱκανὸν τοῖς παρὰ τῶν ἁγίων πατέρων

18 σημ̄ ἐντεῦθεν ὅτι καὶ οἱ τῶι Μουζάλωι συλλειτουργήσαντες συγγνώμης ἀξιωθήσονται· εἰ δὲ μετα-
σχόντας νοήσεις, καὶ τοὺς χειροτονηθέντας ⟨οὐκ addo⟩ ἀπέβαλε τῆς ἐκκλησίας. συνάξεις δὲ τοῦτο ἀπὸ
ἄλλου ῥητοῦ τοῦ λέγοντος [p. 131, 37] ἐκ πολλοῦ χηρεύειν τὴν Τραπεζοῦντα ἐξ ὅτου παρενέβαλεν ἑαυτὸν
μοιχικῶς ὁ Ἄνθιμος τῶι θρόνωι Κωνσταντινουπόλεως. εἰ δὲ πολὺν καιρὸν ἐν τῶι πατριαρχικῶι ἐνεκάθησε
θρόνωι, οὐδὲν ἀπεικὸς καὶ χειροτονίας ποιῆσαι. ὡς δέ τινες λέγουσιν, ὅτι δέκα μῆνας ἦν ἐνεργῶν τὰ τοῦ
πατριάρχου ὁ Ἄνθιμος O^r in mg.

O [= aerv], ID

1 μεταβαλὼν O^{arv} μεταδιδοὺς O^e 2 ἑαυτῶν O^r καὶ] τὲ καὶ O^v μεγάλης om. $O^{av}D$ 5 μικρὸν O^rID σμικρὸν O^{aev} 8 τοῖς τοιούτοις] τούτοις O^aD 9 ὑμᾶς I) 10 ὑμῖν D 12 ἐπηγγείλλετο O^{av} 13 ἐφηγήσοιτο O^v ὑφηγήσατο O^r ὑφηγήσαιτο I 14 θεοῦ om. O^{av} 17 πάπας ῥώμης D^{corr} μὲν om. I μετὰ θῡ I) μετὰ θῦ $O^{ae}Λ$ μετὰ χῦ O^v om. O^rI 19 μετα-δέδωκε $O^{av}D$ 20 ἀπέδωκε O^{rv} ἡμετέραν O^v 21 τῆς] τῆ O^v 23 τε om. O^v 24 ὑπεδίδοντο $O^{av}D$ 26 γε OI δὲ D 28 καθάπερ O^v 30 αὐτὸν om. O^rI ἀνευθύνους I 31 ἐφ' — κακοδοξῶν om. ID ἑάλω κακοδοξῶν O^e ζήλω κακοδόξων O^{arv} ἄγει O^{av} 31/32 ἁγιο-πρεποῦσ ὁσιότητοσ OD ἁγιότητοσ I 33 πρὸς — γνώμην OI ἂν τῆσ τοιαύτησ γνώμησ D

διωρισμένοις δογματικῶς τε καὶ κανονικῶς ποιήσειεν, μήτε καθολικοῦ μήτε ἱερέως αὐτὸν ἔχειν ὄνομα. τούτοις ἑπόμενος ὁ φιλόχριστος ἡμῶν βασιλεύς, ἀπιδὼν δὲ καὶ εἰς τὰς ἐπιδεδομένας τῇ αὐτῶν γαληνότητι παρὰ διαφόρων εὐλαβῶν προσώπων δεήσεις τήν τε ὑμετέραν μακαριότητα καὶ ἡμᾶς σύμπαντας εἰς ταυτὸν ἐπὶ τούτωι συνελθεῖν, εὖ ποιῶν, ἐδικαίωσε. καὶ τοῖς εὐαγέσι τῶν ἁγίων ἡμῶν πατέρων ἀκολουθοῦντες κανόσι κλήσεσί τε ἱεραῖς αὐτὸν προσηγόμεθα καὶ καιρὸν αὐτῶι μετανοίας ἐνεδίδομεν καὶ ἀποκρυπτομένωι καὶ τὴν ἰατρείαν ἀπαγορεύοντι καὶ κηρύγματι δῆλα τὰ παρ' ἡμῶν ἐποιοῦμεν. ὡς δὲ τούτοις ἅπασιν αὐτὸν εἰς ἐπιστροφὴν ἀγαγεῖν οὐκ ἰσχύσαμεν, σαφῆ ταύτην ἀπόδειξιν τῆς αὐτοῦ κακοδοξίας λαβόντες, ἀκολουθοῦντες δὲ καὶ τοῖς ὑπὸ τοῦ ἁγιωτάτου καὶ
L V 89 μακαριωτάτου πάπα καλῶς δεδοκιμασμένοις συνορῶμεν, εἰ τοῦτο ὑμῖν παρασταίη, καθάπαξ αὐτὸν ὡς μέλος ἄχρηστον καὶ σεσηπὸς ἀποβληθῆναι τοῦ σώματος τῶν ἁγίων τοῦ θεοῦ ἐκκλησιῶν καὶ τῆς Τραπεζουντίων ἐπισκοπῆς ἔξω γινόμενον καὶ πάσης ἱερᾶς ἀλλοτριούμενον ἀξίας καὶ ἐνεργείας καὶ κατὰ τὴν αὐτοῦ τοῦ ἁγιωτάτου πάπα ψῆφον τῆς τοῦ καθολικοῦ προσηγορίας.

127 Ὁ ἁγιώτατος καὶ μακαριώτατος οἰκουμενικὸς ἀρχιεπίσκοπος καὶ πατριάρχης Μηνᾶς εἶπεν· Τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν δεδωκότος ἐξουσίαν τοῖς
Ier. 1, 10 οἰκείοις ἱερεῦσιν ἐκτίλλειν τε καὶ καταφυτεύειν καθαιρεῖν τε καὶ οἰκοδομεῖν, ηὐχόμεθα τοῦ μὲν οἰκοδομεῖν τε καὶ καταφυτεύειν ἅπαντα ἡμῖν εἶναι καιρόν, μηδένα δὲ τοῦ ἐκτίλλειν τε καὶ καθαιρεῖν. ἀλλὰ δεινόν, ὡς ἔοικεν, ἡ τῆς ἀληθείας παράβασις καὶ μεγίστη τοῖς χρησαμένοις ὁδὸς πρὸς ἀπώλειαν. ἔνεστι γὰρ ἀκριβῶς σκοπουμένοις τὴν Ἀνθίμου προαίρεσιν πολλοὺς εἰς ταυτὸν ἱερατικοὺς ἰδεῖν παραβαθέντας θεσμούς. ὁ δὲ τὴν πρὸς τὸ θεῖον οὐ διατηρήσας ὁμολογίαν, ἀλλὰ καὶ τῆς ἐκεῖθεν ἀναχωρήσας ἐλπίδος πῶς οὐ τῆς οἰκείας ἄντικρυς εἶναι δόξειε κατήγορος ἀτοπίας; ταύτηι τοιγαροῦν καὶ ἡμεῖς ὥσπερ τινὰ ἕλκους τῶν ἀνιάτων νομὴν ἐπειγόμενοι στῆσαι, εἰ τὴν τοῦ πεπονθότος μέλους ἐκτομὴν ποιησαίμεθα περιφρονοῦντες τὴν ἐντεῦθεν συμβησομένην ὀδύνην, πρὸς τὴν παροῦσαν ἐλθεῖν ἠναγκάσμεθα ψῆφον,
M VIII 967 βαλλόμενοι μὲν ταῖς ἐκ ταύτης ἀνίαις, τῶι δὲ κοινῶι τῆς καθολικῆς ἐκκλησίας συμφέροντι τὸ σύμπαν νέμοντες ἥπερ ταῖς αὐτοῦ ἕκαστος ἡμῶν οἰκείαις συμπαθείαις. ἐπειδὴ γὰρ διαφόρων ἐπ' αὐτῶι μέμψεων δογματικῶν τε καὶ κανονικῶν γενομένων ὁ μὲν τῆς ὁσίας μνήμης πάπας τῆς πρεσβυτέρας Ῥώμης Ἀγαπητὸς μεταμελείας αὐτῶι καιρὸν ἐνδιδούς, ἕως ἂν ἅπαντα τὰ τοῖς ἁγίοις πατράσι διωρισμένα φανείη δεξάμενος, οὐδὲ ἱερέως οὐδὲ καθολικοῦ προσηγορίαν αὐτὸν ἔχειν συνεχώρει, ἡμεῖς δέ (καὶ γὰρ περὶ τῶν αὐτῶν ἐνοχλουμένους περιορᾶν οὐκ ἐνῆν τὰ λεγόμενα) τὴν ἱερεῦσι πρέπουσαν ἐπὶ τοῖς τοιούτοις ὁδὸν μετιόντες κανονικαῖς αὐτὸν ἐπηγόμεθα κλήσεσιν ἀνακωχάς τε παρειχόμεθα πρὸς μετάγνωσιν καὶ τὸ δὴ πέρας, οὐδὲ τῶν εἰθισμένων ἀπειχόμεθα προγραμμάτων. ὁ δὲ τοσοῦτον ἀπέδει τῆς ἐπὶ τὸ κρεῖττον μεταβολῆς ἢ τῆς τῶν προσηγγελμένων ἀπολογίας, ὡς μηδὲ παραγενέσθαι καθάπαξ μηδὲ αὐτὸ γοῦν τὴν παρ' ἡμῖν ἐξέτασιν ὑποστῆναι (καὶ γὰρ ἦν, ὡς ἔοικεν, αὐτῶι κατήγορος ἡ συνείδησις καὶ τὸ τοῖς ἐγκεκληκόσιν ὑποχωρεῖν καθαρὰν εἰσῆγε τοῖς πταίσμασι συγκατάθεσιν ψυχή τε πλημμελεῖν εἰθισμένη

O [= aerv], ID

1/2 ἔχειν αὐτὸν Or 2 ἑφεπόμενοσ On 3 αὐτοῦ D 6 προσηγούμεθα Oe ἐνεδιδόαμεν Oe 7 καὶ2 om. D 10 καὶ ὑμῖν D ἡμῖν Or 11 οὐδὲ καθάπαξ Oaev οὐ μόνον καθάπαξ OrI 12 ἐκκλησιῶν τοῦ θῦ l γενόμενον ID καὶ] ἀλλὰ καὶ OrI 13 ἀπηλλοτριωμένον D ἀλλοτριωθῆναι OrI 15 inscr. ψῆφοσ μηνᾶ κατὰ ἀνθίμου OcΛ 16 ἡμῶν om. I 17 καθαιρεῖν] καὶ θαρεῖν Ov 18 τε om. Or 20 τὴν τοῦ D 21 αὐτὸν Oe ἰδεῖν ἱερατικοὺς I παραβάντασ I 22 δόξει D 23 ταύτην OrΛ 24 τὴν om. Or ποιησόμεθα OrI 25 τῆσ - συμβησομένησ ὀδύνησ Oaevd 27 ὑμῶν Or ἐπειδὴ OIΛ καὶ l 28 τῆς om. Ov 29 μνήμης γενόμενος I 30 ἂν om. Ov 32 οὐκ ἐνῆν περιορᾶν l 33 ἐπειγόμεθα Oaev παρεχόμεθα OrI 35 ἔδει Oe 36 αὐτὸ OI αὐτὴν D ἡμῶν Oer 37 αὐτῶ κατήγοροσ ὡσ ἔοικεν Oaev αὐτὴ Or 38 τοῦ πταίσματοσ OeIΛ τε γὰρ Os corr. γὰρ D

δύσκολος εἰς μετάνοιαν, κἂν ὅτι μάλιστα πολλὰ εἴη τὰ πρὸς ταύτην ἀνθέλκοντα), ὅθεν ἐπιδακρύσαντες τῇι ἀμεταμελήτωι τῆς αὐτοῦ προαιρέσεως ἀπειθείαι καὶ τῇι καταλαβούσηι τὴν ἐκείνου ψυχὴν ἐπιστενάζοντες πλάνηι, ἑπόμενοι τῇι τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν παναγίαι φωνῆι διδασκούσηι μηδὲ τῶν οἰκείων φείδεσθαι μελῶν, εἴ τινος ἡμῖν Mt. 5, 29. 30
σκανδάλου παραίτια γίνοιτο, ἀλλὰ καὶ τὴν τούτων ἐκτομὴν ποιεῖσθαι παρεγγυώσηι L V 92
πρὸς τὴν τοῦ παντὸς ἀκεραιότητα σώματος, ἀποβλέποντες δὲ καὶ πρὸς τὰ παραστάντα 6
πρώην Ἀγαπητῶι τῶι τῆς ἁγίας μνήμης πάπαι τῆς πρεσβυτέρας Ῥώμης καὶ ὡς οὐδὲ καιρὸν λαβὼν μετανοίας εἴλετο τῆς καλλίονος γνώμης γενόμενος τοὺς ὑπ' αὐτοῦ σκανδαλισθέντας πληροφορῆσαι καὶ μὴν καὶ πρὸς τὰ νῦν παρὰ τῆς συνούσης ἡμῖν ἁγίας κεκριμένα συνόδου, καὶ τῆς Τραπεζουντίων τὸν αὐτὸν Ἄνθιμον ἱερωσύνης ἔξω καθεστάναι
συνορῶμεν πάσης τε ἑτέρας αὐτὸν ἱερατικῆς προσηγορίας τε ἅμα καὶ ἀξίας καὶ ἐνεργείας ἀλλότριον εἶναι τοῦ λοιποῦ καὶ ὅλως τοῦ ἐν ὀρθοδόξοις ἀριθμεῖσθαι ψηφιζόμεθα, οὐδὲ τῆς αὐτῆς Τραπεζουντίων ἔτι καθάπαξ οὐδὲ τῆς βασιλίδος ταύτης ἐπιβῆναι δυνάμενον πόλεως.

128 Καὶ μετὰ τὸ ἀναστῆναι τὴν ἁγίαν σύνοδον οἱ ἐκ τῆς Ἀνατολῆς, καὶ τινὲς δὲ τῶν ἄλλων ἐπισκόπων καὶ οἱ μοναχοὶ καὶ ὁ κλῆρος ἐβόησαν· Πολλὰ τὰ ἔτη τοῦ βασιλέως, πολλὰ τὰ ἔτη τοῦ πατριάρχου, Πέτρον καὶ Ζωόραν καὶ Σεβῆρον ἄρτι ἀναθεμάτισον. τοὺς ἐχθροὺς τοῦ θεοῦ ἄρτι ἀναθεμάτισον. ὀρθόδοξον βασιλέα ἔχων τίνα φοβῆσαι; τοὺς παραβαπτιστὰς ἔξω βάλε.

129 Καὶ ἐπιδιδόντων τῶν μοναχῶν Ἱεροσολύμων χάρτην ἅπαντες ἐβόησαν· Πολλὰ τὰ ἔτη τοῦ πατριάρχου, τὸν λίβελλον τῶν μοναχῶν ἄρτι δέξαι. ὁ λίβελλος ἄρτι ἀναγνωσθήτω. τοὺς κατ' οἶκον βαπτίζοντας ἔξω βάλε. τὸ σπήλαιον τοῦ Ζωόρα ἄρτι στρέψον. πολλὰ τὰ ἔτη τοῦ πατριάρχου, τὸν παραβαπτιστὴν ἄρτι ἀναθεμάτισον. τοῦ Χριστιανοῦ βασιλέως πολλὰ τὰ ἔτη, ὀρθοδόξου βασιλέως πολλὰ τὰ M VIII 970
ἔτη, τὰ σπήλαια τῶν αἱρετικῶν ἄρτι καῶσι. πολλὰ τὰ ἔτη τοῦ πατριάρχου, τὰ μοναστήρια Πέτρου ἄρτι στρέψον. νικᾶι ἡ πίστις τοῦ βασιλέως· ὀρθόδοξος βασιλεύει· τίνα φοβῆσαι; Πέτρος μοναστήρια διὰ τί ἔχει; πάντας τοὺς αἱρετικοὺς ἐκεῖ ἔχει. Σεβῆρον καὶ Πέτρον καὶ Ζωόραν ἄρτι ἀναθεμάτισον. ἡ τριὰς τοὺς τρεῖς ἀναθεματίζει. ἀνάθεμα Σεβήρωι καὶ Πέτρωι καὶ Ζωόραι. Σεβῆρον τὸν Μανιχαῖον ἄρτι ἀναθεμάτισον. πολλὰ τὰ ἔτη τοῦ πατριάρχου, τοὺς ἐχθροὺς τοῦ Χριστοῦ ἄρτι
ἀναθεμάτισον, τοὺς αἱρετικοὺς ἄρτι ἀναθεμάτισον. τοὺς ἀναθεματισθέντας ἄρτι ἀναθεμάτισον, νικᾶι ἡ πίστις τῶν Χριστιανῶν.

130 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· Νομίζομεν μηδὲ τὴν ὑμετέραν ἀγάπην ἀγνοεῖν τὴν προαίρεσιν καὶ τὸν ζῆλον τοῦ εὐσεβοῦς καὶ θεοφυλάκτου ἡμῶν βασιλέως, ὃν ἐπὶ τῇι ὀρθοδόξωι ἡμῶν ἔχει πίστει, καὶ προσήκει μηδὲν τῶν ἐν τῇι ἁγιωτάτηι ἐκκλησίαι κινουμένων παρὰ γνώμην αὐτοῦ καὶ κέλευσιν γενέσθαι. παρακαλοῦμεν τοίνυν τὴν

O [= acerv], ID

1 εἰσ O^e αὐτὴν O^a καθέλκοντα O^r 3 ἐπιστενάξαντεσ I 4 ἡμῶν om. O^v φωνῆ τῆ D φείσεσθαι O^r φείσασθαι I 5 γίνοιντο O^e παρεγγυώση O^a παρεγγυούση I παρεγγυώσησ O^{rv}D παρεγγυούσησ O^e 7 οὐδένα O^{av} 10 καὶ om. D 11 συγχωροῦμεν O^e τε ἅμα om. I τε om. D 15 ἀνατολῆσ ID ἀνατολικῆσ O 16 οἱ κληρικοὶ O^eΛ 17 καὶ σεβῆρον καὶ ζωόραν I σευῆρον O^e ut solet, O^v 18 τοὺς — ἀναθεμάτισον om. O^aDΛ ἔτι O^r τίνα ID τί O φοβῆ D 21 ἔτι O^r 22 ἀναγνωσθῆ O^{rv} 23 ἄρτι στρέψον OI ἀνάτρεψον D 23—25 τὸν — πατριάρχου om. I 24 ὀρθοδόξου — ἔτη om. O^{arv}D 25 καῦσον D 26 ἄρτι στρέψον OΛ κατάστρεψον D ἄρτι στρέψον· τὸν παραβαπτιστὴν ἄρτι ἀναθεμάτισον I 26—28 νικᾶι — ἀναθεμάτισον om. I 27 φοβῆ O^rD μοναστήριον O^a ἐκεῖ om. O^{av}, corr. O^a 30 *anathematiza uincit fides Christianorum* Λ 30—31 πολλὰ — ἀναθεμάτισον^2 om. O^{av}D 31 τοὺς αἱρετικούς — ἀναθεμάτισον om. I 35 πίστει ἔχει O^r 36 γίνεσθαι I

ὑμετέραν ἀγάπην ἐπὶ τοῦ παρόντος ἡσυχάσαι, ὥστε καιρὸν ἡμᾶς λαβεῖν ἀνενεγκεῖν εἰς τὰς εὐσεβεῖς αὐτοῦ ἀκοὰς τὰ παρ' ὑμῶν ἐκβοηθέντα. ἡμεῖς γάρ, ὡς καὶ ἡ ὑμῶν ἐπίσταται ἀγάπη, τῶι ἀποστολικῶι θρόνωι ἐξακολουθοῦμέν τε καὶ πειθόμεθα καὶ τοὺς κοινωνικοὺς αὐτοῦ κοινωνικοὺς ἔχομεν καὶ τοὺς ὑπ' αὐτοῦ κατακριθέντας καὶ ἡμεῖς κατακρίνομεν.

Ὑπογραφαί

181 1 Μηνᾶς ἐλέει θεοῦ ἐπίσκοπος Κωνσταντινουπόλεως Ῥώμης ὁρίσας ὑπεσημηνάμην: —

L V 93 2 Ὑπάτιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἐφεσίων μητροπόλεως τῆς Ἀσιανῶν ἐπαρχίας ὁρίσας ὑπεσημηνάμην: —

3 Κωνσταντῖνος ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Ἡράκλειαν τὴν φιλόχριστον μητρόπολιν τῆς Εὐρωπαίων ἐπαρχίας ἁγίας τοῦ θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας ὁρίσας ὑπεσημηνάμην:

4 Εὐσέβιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Κύζικον ἁγιωτάτης ἐκκλησίας τῆς Ἑλλησποντίων ἐπαρχίας ὁρίσας ὑπεσημηνάμην: —

5 Θαλάσσιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς λαμπρᾶς Νικομηδέων μητροπόλεως τῆς Βιθυνῶν ἐπαρχίας ὁρίσας ὑπεσημηνάμην: —

6 EGO SABINVS EPISCOP' SANCTAE ECCLESIAE CANVSINAE DEFINITIONEM SANCTAE RECORDATIONIS PATRIS NOSTRI PAPAE AGAPETI DE PERSONA ANTHIMI TRAPEZVNTII QVONDAM EPISCOPI SEQVENS IN OMNIBVS SVBSCRIPSI: —

7 EGO EPIPHANIVS EPISCOP' SANCTAE ECCLESIAE ECLANENSIS DEFINITIONEM SANCTAE καὶ τὰ λοιπὰ ὁμοίως διὰ Ῥωμαικῶν γραμμάτων: —

8 EGO ASTERIVS EPISCOP' SANCTAE ECCLESIAE SALERNITANAE DEFINITIONEM καὶ τὰ λοιπὰ ὁμοίως: —

9 EGO RVSTICVS EPISCOP' SANCTAE ECCLESIAE FESVLANAE DEFINITIONEM SANCTAE καὶ τὰ λοιπὰ ὁμοίως: —

10 IN NOMINE DOMINI IHESV CHRISTI LEO EPISCOP' ECCLESIAE NOLANAE DEFINITIONEM καὶ τὰ λοιπὰ ὁμοίως: —

11 THEOPHANES DIACON' SANCTAE ECCLESIAE ROMANAE DEFINITIONEM καὶ τὰ λοιπὰ ὁμοίως: —

12 PELAGIVS DIACON' SANCTAE ECCLESIAE ROMANAE DEFINITIONEM καὶ τὰ λοιπὰ ὁμοίως: —

13 Ἀναστάσιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Νικαέων μητροπόλεως τῆς Βιθυνῶν ἐπαρχίας διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος πᾶσι τοῖς ὁρισθεῖσιν ὑπεσημηνάμην: —

O [ae, r (usque ad 13), v], I [usque ad 13], D [usque ad 6]

2 αὐτοῦ om. I 4 κανωνικοὺσ $O^{av}D$ κοινωνοὺσ $O^{av}D$ 6 αἱ ὑπογραφαὶ D om. I 7 ἐλέω $O^{er}I$ νέασ ῥώμησ O^{a} 7/8 ὑπέγραψα $O^{e}\Lambda$ 9 ἐλέω $O^{e}I$ 11 ἐλέω $O^{e}I$ 12 τῶν I εὐρωπέων O^{e} 12/13 ἁγίας — ἐκκλησίας om. $O^{r}I$ 13 ὑπέγραψα O^{e} 14—p. 186, 25] καὶ οἱ λοιποὶ ὁμοίωσ $O^{r}I$ 14 ἐλέει θεοῦ om. O^{e} 14/15 τῆσ — ἐπαρχίασ O^{av} κυζίκου $O^{e}\Lambda$ 16—17 om. $O^{e}\Lambda$ 18—32 καὶ μετὰ ταῦτα ὑπέγραψαν οἱ ῥωμαῖοι ῥωμαιστὶ σαβῖνοσ ἐπίσκοποσ ἐπιφάνιοσ ἐπίσκοποσ ἀστέριοσ ἐπίσκοποσ ῥουστίκιοσ ἐπίσκοποσ νόμινε δόμινε ἐπίσκοποσ [ἐπίσκοποι O^{a}] καὶ διάκονοι στέφανοσ καὶ πελάγιοσ πάντεσ ῥωμαῖοι καὶ μετὰ ταῦτα ὑπέγραψαν ἑλληνιστὶ O^{av} 18 ἐgon O^{e} sabῖns O^{e} canvsíωne O^{e} 18. 25. 27. 29. 31 definitiónε O^{e} 19/20 *quondam Trapezuntini* Λ 20 epiccopi O^{e} *sequendo* Λ 21. 23. 25 ἐgὸn O^{e} 21 *Esculanae* Λ 27 léonn O^{e} 29 zιeoφιάnes O^{e} canctae O^{e} 33 ἐλέω O^{e}

14 Αὐξέντιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Σεβαστηνῶν διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος πᾶσι τοῖς ὁρισθεῖσιν ὑπεσημηνάμην: —

15 Θεόδουλος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἰκονιέων μητροπόλεως διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ὁρισθεῖσιν ὑπεσημηνάμην: — M VIII 971

16 Θεαγένης ἐλέει θεοῦ ἐπίσκοπος τῆς Συναδέων μητροπόλεως ὁρίσας ὑπεσημηνάμην: —

17 Βάκχος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἀντιοχέων λαμπρᾶς μητροπόλεως τῆς Πισιδῶν ἐπαρχίας ὁρίσας ὑπεσημηνάμην: —

18 Μάμας ἐλέει θεοῦ ἐπίσκοπος τῆς Μελιτηνῶν ἁγιωτάτης ἐκκλησίας ἀναγνοὺς πάντα τὰ πεπραγμένα καὶ σύμψηφος γενόμενος ἐπὶ πᾶσιν ὑπεσημηνάμην: —

19 Ἱλαριανὸς ἐλέει θεοῦ ἐπίσκοπος τῆς Περγαίων μητροπόλεως ἁγιωτάτης ἐκκλησίας ὁρίσας ὑπεσημηνάμην: —

20 Βοσπόριος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Νεοκαισαρέων μητροπόλεως ὁρίσας ὑπεσημηνάμην: —

21 Παῦλος ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Τύανα τῆς μητροπόλεως ἁγιωτάτης τοῦ θεοῦ ἐκκλησίας ὁρίσας ὑπεσημηνάμην: —

22 Κόνων ἐλέει θεοῦ ἐπίσκοπος τῆς Σιδητῶν μητροπόλεως διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς ὁρίσας ὑπεσημηνάμην: —

23 Ἀκάκιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Πισινουντίων ἢ γοῦν τῆς Ἰουστινιανουπολιτῶν μητροπόλεως ὁρίσας ὑπεσημηνάμην: —

24 Προκόπιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Γαγγρηνῶν μητροπόλεως διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ὁρισθεῖσιν ὑπεσημηνάμην: —

25 Πέτρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἰουστινιανουπολιτῶν ⟨μητρο⟩πόλεως τῆς δευτέρας Καππαδοκῶν ἐπαρχίας ὁρίσας ὑπεσημηνάμην: —

26 Μάρκος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἀπαμέων μητροπόλεως τῆς Βιθυνῶν ἐπαρχίας ὁρίσας ὑπεσημηνάμην: —

27 Ἥδιστος ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Κίον τὴν μητρόπολιν ἁγιωτάτης ἐκκλησίας ὁρίσας ὑπεσημηνάμην: —

28 Ὑάκινθος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Μιλησίων μητροπόλεως διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ὁρισθεῖσιν ὑπεσημηνάμην: —

29 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος Βοσπόρου ὁρίσας ὑπεσημηνάμην: —

30 Θαλάσσιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Βηρυτίων φιλοχρίστου μητροπόλεως ὁρίσας ὑπεσημηνάμην: —

O [= aev]

1 ἐλέω O^e 1—3 τοῖς — ὑπεσημηνάμην O^{av} καὶ τὰ λοιπὰ O^e 4 hinc inde ἐλέει θεοῦ semper om. $O^eΛ$ 4—6 διὰ — ὁρισθεῖσιν om. $O^eΛ$ 7 τῆσ — μητροπόλεωσ O^{av} συνάδων $O^eΛ$ 9 τῆσ — μητροπόλεωσ O^{av} ἀντιοχείασ $O^eΛ$ πισσιδῶν O^{ev} 11 τῆσ — ἐκκλησίασ O^{av} μελιτηνῆσ $O^eΛ$ 11/12 ἀναγνοὺσ — πᾶσιν O^{av} ὁρίσασ $O^eΛ$ 13/14 τῆσ — ἐκκλησίασ O^{av} πέργησ $O^eΛ$ 15 τῆσ — ὁρίσασ O^{av} νεοκαισαρείασ $O^eΛ$ 17/18 τῆσ¹ — ἐκκλησίασ O^{av} τυάνων $O^eΛ$ 19/20 τῆσ¹ — ἐπιστὰσ O^{av} σίδησ $O^eΛ$ 19 πισιδητῶν O^a 21/22 τῆσ¹ — μητροπόλεωσ O^{av} πισσινούντων $O^eΛ$ 23 τῆσ — μητροπόλεωσ O^{av} γάγγρασ $O^eΛ$ 23/24 διὰ — ὁρισθεῖσιν O^{av} ὁρίσασ $O^eΛ$ 26 τῆσ — μητροπόλεως] Ἰουστινιανουπόλεωσ $O^eΛ$ μητροπόλεως p. 115, 8 πόλεωσ O^{av} 28 τῆσ¹ — ἐπαρχίασ O^{av} ἀπαμείασ O^e 30/31 τῆσ — ἐκκλησίασ O^{av} κίου O^e om. Λ 32 μελησίων O^c μιλησσίων O^{av} 32/33 διὰ — ὁρισθεῖσιν om. $O^eΛ$ 35 ὑπέγραψα O^v 36 τῆσ — μητροπόλεωσ O^{av} βηρυτοῦ $O^eΛ$

31 Μέγας ἐλέει θεοῦ ἐπίσκοπος τῆς Βεροαίων φιλοχρίστου πόλεως τοῦ πρώτου Σύρων ἔθνους ὁρίσας ὑπέγραψα: —
ὑπογραφαὶ διὰ Συριακῶν γραμμάτων: —
32 Χριστοφόρος ἐλέει θεοῦ ἐπίσκοπος Πορφυρεῶνος ἐπαρχίας Φοινίκης παράλου ὁρίσας ὑπέγραψα: —
L V 96 33 Αἰθέριος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Μαριαμμιτῶν φιλοχρίστου πόλεως τῆς δευτέρας Σύρων ἐπαρχίας ὁρίσας ὑπέγραψα: —
34 Δομετιανὸς ἐλέει θεοῦ ἐπίσκοπος τοῦ ἔθνους τῶν Ζικχῶν ὁρίσας ὑπέγραψα: —
35 Εὐσέβιος ἐλέει θεοῦ ἐπίσκοπος Παλαιᾶς πόλεως ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὁρίσας ὑπέγραψα: —
36 Ἀναστάσιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Ἰωτάβην τὴν νῆσον ἁγιωτάτης τοῦ θεοῦ ἐκκλησίας τῆς τρίτης Παλαιστινῶν ἐπαρχίας ὁρίσας ὑπέγραψα: —
37 Δόμνος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Μαξιμιανουπόλεως Παλαιστίνης δευτέρας ὁρίσας ὑπέγραψα: —
38 Ἀρχέλαος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Κωρυκεωτῶν πόλεως ὁρίσας ὑπέγραψα: —
39 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος Ζωόρων τῆς τρίτης Παλαιστινῶν ἐπαρχίας ὁρίσας ὑπέγραψα: —
40 Ἀλέξανδρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Βαρκουσηνῶν ἤτοι Ἰουστινιανουπολιτῶν πόλεως ὁρίσας ὑπέγραψα: —
41 Πελάγιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Παρνασέων πόλεως ὁρίσας ὑπέγραψα: —
42 Εὐγένιος χάριτι θεοῦ ἐπίσκοπος τῆς κατὰ Τίον ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὁρίσας ὑπέγραψα: —
43 Εὐστάθιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Τιβεριουπολιτῶν πόλεως ὁρίσας ὑπέγραψα: —
M VIII 974 44 Ἐπιφάνιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Ἡράκλειαν ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὁρίσας ὑπέγραψα: —
45 Ἀβράμιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Κρατίαν ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὁρίσας ὑπέγραψα: —
46 Παῦλος ἐλέει θεοῦ ἐπίσκοπος πόλεως Στεκτορίου ὁρίσας ὑπέγραψα: —
47 Ἀστέριος χάριτι θεοῦ ἐπίσκοπος τῆς κατὰ Ἄμαστριν ἁγιωτάτης ἐκκλησίας ὁρίσας ὑπέγραψα: —
48 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Καισάρειαν ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὁρίσας ὑπέγραψα: —
49 Ἀνδρέας ἐλέει θεοῦ ἐπίσκοπος τῆς Πελτηνῶν πόλεως ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὁρίσας ὑπέγραψα: —
50 Λεόντιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Ἑλενούπολιν ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὁρίσας ὑπέγραψα: —

O [= aev]
1 τῆσ — πόλεωσ O^{av} βεροίασ $O^{e}Λ$ βερροιαίων O^{v} 2 ὑπεσημηνάμην O^{e} 3 συρικῶν O^{a} συριατικῶν O^{ev} 4 παραλίου O^{e} om. Λ 6/7 τῆσ¹ — ἐπαρχίασ O^{av} μαριάμμησ O^{e} *Mariamnius* Λ 6 μαριαμιτῶν O^{av} 8 τοῦ — Ζικχῶν O^{av} ζηκχίασ $O^{e}Λ$ 9 ἁγίας — ἐκκλησίας om. $O^{e}Λ$ 11/12 τῆσ — ἐπαρχίασ O^{av} ἰωτάβησ $O^{e}Λ$ 12 παλαιστηνῶν O^{v} 13 τῆσ — δευτέρασ O^{av} μαξιμιανουπόλεωσ $O^{e}Λ$ 15 θεοῦ om. O^{a} τῆσ — πόλεωσ O^{av} κωρύκου $O^{e}Λ$ 16 τῆσ ζωόρων τῆσ O^{v} τῆσ — ἐπαρχίας om. $O^{e}Λ$ 18/19 τῆσ — πόλεωσ O^{av} βαρκούσων $O^{e}Λ$ 20 τῆσ — πόλεως] παρνασοῦ $O^{e}Λ$ Παρνασέων p. 118, 4 παρνασῶν O^{av} 21 χῡ O^{v} τίχην O^{a} ἁγίας — θεοῦ om. $O^{e}Λ$ 23 τῆσ — πόλεως] βεριουπόλεωσ $O^{e}Λ$ τιβεριουτῶν πόλεωσ O^{av} 24 τῆσ — ἐκκλησίασ O^{av} ἡρακλείασ ποντικῆσ $O^{e}Λ$ 26 ἀβραάμιοσ $O^{e}Λ$ τῆσ — ἐκκλησίασ O^{av} κρατίασ $O^{e}Λ$ 28 πόλεως om. O^{a} τεκτορίου O^{v} 29 χάριτι θεοῦ om. $O^{e}Λ$ ἁγιωτάτης om. $O^{e}Λ$ 31 τῆσ — ἐκκλησίασ O^{av} καισαρείασ $O^{e}Λ$ 33 ἁγίας — ἐκκλησίας om. $O^{e}Λ$ 35 τῆσ — ἐκκλησίασ O^{av} ἑλενουπόλεωσ $O^{e}Λ$

51 Ἀνδρέας ἐλέει θεοῦ ἐπίσκοπος τῆς Πανιτῶν ἤτοι Θεοδοσιουπολιτῶν ὁρίσας ὑπέγραψα: —

52 Ἐπιτύγχανος ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Γέρμην ἁγιωτάτης ἐκκλησίας ὁρίσας ὑπέγραψα: —

53 Θεόδωρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Γορδηνῶν πόλεως ὁρίσας ὑπέγραψα: —

54 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος τῆς Τραιανουπολιτῶν Φρυγίας Πακατιανῆς ὁρίσας ὑπέγραψα: —

55 Κυριακὸς ἐλάχιστος ἐπίσκοπος τῆς Θεοδοσιουπολιτῶν ἁγίας τοῦ θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας ὁρίσας ὑπέγραψα: —

56 Θεοδώριτος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἀλινδέων πόλεως ὁρίσας ὑπέγραψα: —

57 Ματθίας ἐλέει θεοῦ ἐπίσκοπος τῆς Κυμαίων πόλεως ὁρίσας ὑπέγραψα: —

58 Φλαβιανὸς ἐλέει θεοῦ ἐπίσκοπος τῆς ἐν Κοτένοις ἁγιωτάτης ἐκκλησίας ὁρίσας ὑπέγραψα: —

59 Θεόδωρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Μιρηνῶν πόλεως ὁρίσας ὑπέγραψα: —

60 Μακεδόνιος ἐλέει θεοῦ ἐπίσκοπος Βρόζου ὁρίσας ὑπέγραψα: —

61 Μάρκελλος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἀνεατῶν πόλεως ἐπαρχίας τῆς Ἀσίας διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ὁρισθεῖσιν ὑπέγραψα: —

62 Πέτρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἀμβλασέων πόλεως διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ὁρισθεῖσιν ὑπέγραψα: —

63 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ Μιδάειον ἁγιωτάτης ἐκκλησίας ὁρίσας ὑπέγραψα: —

64 Μαρτύριος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Βαρατέων πόλεως τῆς Λυκαόνων ἐπαρχίας διὰ τῆς ἀναγνώσεως ὑπέγραψα: —

65 Παντολέων ἐπίσκοπος τῆς Ἰουλιουπόλεως διὰ τῆς ἀναγνώσεως ὑπέγραψα: —

66 Ζώσιμος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἀντανδρέων πόλεως τῆς Ἀσιανῶν ἐπαρχίας διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ὁρισθεῖσιν ὑπέγραψα: —

67 Κυριακὸς ἐλέει θεοῦ ἐπίσκοπος τῆς Σοφηνῆς ἐπαρχίας ὁρίσας ὑπέγραψα: —

68 Διονύσιος ἐλέει θεοῦ ἐπίσκοπος ⟨τῆς Εὐκαρπέων⟩ πόλεως διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ὑπέγραψα: — L V 97

ὑπογραφαὶ διὰ Συριακῶν γραμμάτων

69 Λυκῖνος ἐλάχιστος τῆς κατὰ Πατάραν ἁγίας τοῦ θεοῦ ἐκκλησίας ἐπίσκοπος τῆς Λυκίων ἐπαρχίας διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ἐν πᾶσι τοῖς ὁρισθεῖσιν ὑπέγραψα: —

O [= aev]

1 καπανιτῶν O^a 3 τῆσ — ἐκκλησίασ O^{av} γέρμησ $O^eΛ$ 6 τῆς om. O^e τραιανουπόλεωσ $O^eΛ$ 8 ἐλάχιστος om. O^e 8/9 τῆς — ἐκκλησίας] θεοδοσιουπόλεωσ $O^eΛ$ καθολικῆς καὶ ἀποστολικῆς om. O^v 10 τῆσ — πόλεωσ O^{av} ἀλίνδων $O^eΛ$ 11 τῆσ — πόλεωσ O^{av} κύμησ $O^eΛ$ 12 τῆς — ἐκκλησίας] κοτένων $O^eΛ$ κοτέννοισ O^{av} 14 τῆσ — πόλεωσ O^{av} μίρου $O^eΛ$ 15 *Berianus* Λ 16—18 τῆς¹ — ὁρισθεῖσιν] ἀνέων O^e *Areēn* Λ 16 νεατῶν O^a 19 ἀλαβλασέων O^{ev} ἀναβλασέων O^a *Amblādeē̄* Λ, cf. p. 117, 23 19/20 διὰ — ὁρισθεῖσιν O^{av} ὁρίσασ $O^eΛ$ 21 τῆς — ἐκκλησίας] μηδαΐου $O^eΛ$ μηδάιου O^{av} 23/24 τῆσ² — ἀναγνώσεωσ O^{av} ὁρίσασ $O^eΛ$ 25 maximam partem formulae omisit librarius anticus 25 *Iuliopolitanus* Λ λουλιουπόλεωσ O^{av} λουλιουπολιτῶν πόλεωσ O^e διὰ — ἀναγνώσεως om. $O^eΛ$ 26 ἀντραδέων O^v *Andrapolitanus* Λ 26—28 τῆσ² — ὁρισθεῖσιν O^{av} ὁρίσασ $O^eΛ$ 29 σοφινῆσ O^{av} 30 *Eucarpiē̄* Λ om. O, suppleui ex p. 118, 21 30/31 διὰ — γενόμενοσ O^{av} ἐπιστὰσ τοῖσ ὁρισθεῖσιν O^e 32 om. O^e συριατικῶν O^{av} 33—35 ἐλάχιστοσ — ὁρισθεῖσιν O^{av} ἐπίσκοποσ πατάρων ὁρίσασ $O^eΛ$

70 Παῦλος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Οἰνοανδέων πόλεως ἁγιωτάτης ἐκκλησίας τῆς Λυκίων ἐπαρχίας διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς σύμψηφος γενόμενος ὑπέγραψα: —

71 Ἐπιφάνιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς πατρανέων πόλεως τῆς Ἀσιανῶν ἐπαρχίας διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς ὁμοίως ὑπέγραψα: —

72 Τρύφων χάριτι τοῦ δεσπότου θεοῦ ἐπίσκοπος τῆς Κολβασέων πόλεως, ἣ μία τῆς Παμφύλων ἐστὶν ἐπαρχίας, διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς ὁμοίως ὑπέγραψα: —

73 Εὐστάθιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Τλωέων πόλεως τοῖς πεπραγμένοις ἐπιστὰς ὑπέγραψα: —

74 Μάγνος ἐλέει θεοῦ πρεσβύτερος καὶ ἡγούμενος τοῦ ἀποστολικοῦ τῆς Θεουπολιτῶν θρόνου καὶ ἀποκρισιάριος τοῦ ἁγιωτάτου πατριάρχου Ἐφραιμίου ἀκολουθῶν τοῖς ὁρισθεῖσι παρὰ τῶν προγεγραμμένων ὁσίων ἡμῶν πατέρων ἐπὶ τῇι καθαιρέσει Ἀνθίμου τοῦ αἱρετικοῦ ἀλλότριον αὐτὸν ἔχω τῆς ἱερατικῆς ἀξίας καὶ αὐτοῦ τοῦ ὀνόματος τῶν Χριστιανῶν καὶ ὑπέγραψα: —

75 Ἡράκλειος ἐλέει θεοῦ διάκονος καὶ ἀποκρισιάριος τοῦ ἀποστολικοῦ τῆς Θεου-
M VIII 975 πολιτῶν θρόνου καὶ τοῦ τὰ πάντα ἁγιωτάτου καὶ μακαριωτάτου πατριάρχου Ἐφραιμίου ἀκολουθῶν τοῖς ὁρισθεῖσι παρὰ τῶν προγεγραμμένων ὁσίων ἡμῶν πατέρων ἐπὶ τῇι καθαιρέσει Ἀνθίμου τοῦ αἱρετικοῦ ἀλλότριον αὐτὸν ἔχω τῆς ἱερατικῆς ἀξίας καὶ αὐτοῦ τοῦ ὀνόματος τῶν Χριστιανῶν καὶ ὑπέγραψα: —

76 Σαβῖνος ἐλέει θεοῦ διάκονος τῆς ἁγίας Χριστοῦ τοῦ θεοῦ ἡμῶν Ἀναστάσεως πληρῶν τὰς ἀποκρίσεις Πέτρου τοῦ ἁγιωτάτου πατριάρχου Ἱεροσολύμων ἀκολουθῶν τοῖς ὁρισθεῖσι παρὰ τῶν προγεγραμμένων ὁσίων πατέρων ἡμῶν ἐπὶ τῇι καθαιρέσει Ἀνθίμου τοῦ αἱρετικοῦ ἀλλότριον αὐτὸν ἔχω τῆς ἱερατικῆς ἀξίας καὶ αὐτοῦ τοῦ ὀνόματος τῶν Χριστιανῶν καὶ ὑπέγραψα: —

L V 280 **132** M VIII 1170 L V 281 Ps. 5, 5. 6 Mt. 7, 15 Ὁ ἁγιώτατος καὶ μακαριώτατος πατριάρχης καὶ ἡ εὐαγὴς σύνοδος εἶπε· Δέδεικται καὶ νῦν ἐπὶ τῶν πραγμάτων ἀληθὴς ὁ προφητικὸς λόγος ὅτι οὐ παροικήσει πονηρὸς τῶι θεῶι οὐδὲ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν αὐτοῦ. ὁποῖόν τι γεγενῆσθαι καὶ ἐπὶ Ἀνθίμωι παρέστησε τὰ ἀρτίως ἀνεγνωσμένα ἱερατικά τε καὶ βασιλικὰ δόγματα. οὗτος γὰρ πρώην τὴν Τραπεζουντίων ἐπισκοπήσας πόλιν καὶ τῶν ὑγιῶν ἑαυτὸν ἐκδιαιτήσας δογμάτων, ἔνδυμα περιβαλόμενος προβάτου, λύκος δὲ ὢν ἅρπαξ εὐαγγελικῶς εἰπεῖν, τῶι ἀρχιερατικῶι τῆς βασιλίδος εἰσεπήδησε θρόνωι ὑποκρινόμενος μὲν τὴν ἀληθινὴν καὶ ἀμώμητον ἡμῶν πρεσβεύειν πίστιν καὶ τὰς ἁγίας τέσσαρας καὶ οἰκουμενικὰς ἀσμένως προσίεσθαι συνόδους, τήν τε ἐν Νικαίαι τῶν τιη καὶ τῶν ἐν Κωνσταντινουπόλει ρν καὶ τῶν ἐν Ἐφέσωι διακοσίων καὶ τῶν ἐν Χαλκηδόνι χλ σὺν τῆι ὁσίαι ἐπιστολῆι Λέοντος τοῦ μακαρίου πάπα τῆς πρεσβυτέρας Ῥώμης, συγγραφείσηι μὲν πρὸς Φλαβιανὸν τὸν τῆς βασιλίδος πόλεως πρόεδρον, ἐμφερομένηι δὲ τοῖς πε-

---

O [ae, r (inde a 26), v], I [inde a 26]

1 οἰνοανδρέων O^v 1—3 ἁγιωτάτης — γενόμενος O^{av} ὁρίσας O^e 4 πατρανέων πόλεως O *Patreopolitanus* Λ. legendum Πιταναίων cf. p. 118, 26 4/5 τῆς^2 — ὁμοίως O^{av} ὁρίσας $O^eΛ$ 6 τοῦ δεσπότου om. $O^eΛ$ 6—8 ἣ — ὁμοίως O^{av} ὁρίσας $O^eΛ$ 9 τοῖσ — ἐπιστὰσ O^{av} ὁρίσας O^e 11 ἡγούμενοσ O ἀποκρισιάριος p. 119, 1 11/12 θρόνου τῆς θεουπολιτῶν O^e 12 ἀποκρισιάριοσ om. O^{av} 14 ἔχω om. O^v 17 τὰ πάντα om. $O^eΛ$ καὶ μακαριωτάτου om. $O^eΛ$ 19/20 ἐπὶ — Χριστιανῶν καὶ O^{av} καὶ τὰ λοιπὰ ὁμοίωσ $O^eΛ$ 21 χῡ τοῦ θῡ $O^{ae}Λ$ τοῦ χῡ O^v 23 ἡμῶν πρῶν O^e 24/25 ἐπὶ — Χριστιανῶν καὶ O^{av} καὶ τὰ λοιπὰ ὁμοίωσ $O^eΛ$ 26 inscr. Ψῆφοσ πέτρου τοῦ [om. O^rI] ἱεροσολύμων [ἱεροσολύμων καὶ τῆσ σὺν αὐτῶ συνόδου I] κατὰ ἀνθίμου $O^{er}IΛ$ 29 ἀναγνωσμένα O^v 31 περιβαλλόμενοσ O^v 34 τι καὶ η O^e 36 μακαριωτάτου O^r

πραγμένοις τῆι ἐν Χαλκηδόνι εὐαγεστάτηι συνόδωι. ἐν δὲ τῶι τῆς διανοίας βάθει τὴν ἑαυτοῦ κατακρύπτων κακοπιστίαν Ἄνθιμος ὁ μνημονευθεὶς πρὸς τὴν προτέραν ἡμᾶς ἐπαναγαγεῖν ἔσπευσε ζάλην καὶ τὰς ἁπανταχοῦ ἁγίας καὶ καθολικὰς συνταράξαι ἐκκλησίας. ὡς γὰρ ἐγκρατὴς ὤιετο τῆς δολερᾶς καὶ ἀθεμίτου αὐτοῦ γεγενῆσθαι σπουδῆς, ἀθρόον μεταβαλὼν καὶ αὐτὸ δὴ τὸ τῆς ὑποκρίσεως ἀπεσείσατο σχῆμα καὶ ἐρρῶσθαι τοῖς ἐγγράφως παρ' αὐτοῦ συντεθειμένοις φράσας πρὸς τὰ ὀρθὰ ἀνένευε δόγματα, οὐδαμῶς ὁμολογεῖν ἀνεχόμενος ἐν δύο φύσεσιν ἀσυγχύτως ἀτρέπτως ἀδιαιρέτως ἀχωρίστως γνωρίζεσθαι τὸν ἕνα καὶ τὸν αὐτὸν κύριον ἡμῶν καὶ θεὸν καὶ σωτῆρα Ἰησοῦν Χριστόν, μὴ συνεγνωκὼς ὁ ἠλίθιος τῶν οὕτως εὐσεβῶν ῥημάτων τὴν δύναμιν. πρόδηλον γὰρ ὡς τὸ ἀσύγχυτον καὶ ἀδιαίρετον ἄτρεπτόν τε καὶ ἀχώριστον καὶ τὴν ἄκραν δηλοῖ τῶν οὐσιῶν ἕνωσιν καὶ τὴν τούτων φυλάττει διαφορὰν ἐφ' ἑνὶ προσώπωι καὶ ὑποστάσει μιᾶι. ἀλλ' οὐδὲ τοὺς ὑπὸ τῆς ἁγίας ἐν Χαλκηδόνι κατακεκριμένους συνόδου ἀποκηρῦξαι εἵλετο, καὶ ταύτηι ὁμόφρονα δεικνὺς ἑαυτὸν τῆς Εὐτυχοῦς τοῦ παράφρονος καὶ Διοσκόρου πλάνης. καὶ τὸ δὴ χαλεπώτερον ὅτι μηδὲ τὴν ἀπὸ τῆς διδασκαλίας ὑπέμεινεν ἰατρείαν, καίτοι φιλανθρωπίας αὐτῶι βασιλικῆς ὑπηργμένης καὶ ἀνακωχῆς ἱεροπρεποῦς δεδομένης πρός τε μετάμελον ἀρκούσης καὶ πρὸς τὴν τῆς ἀληθινῆς πίστεως προαγούσης ὁμολογίαν. ὡς οὖν λανθάνων ἐπέμενε καὶ τῆι χρονίαι ἀποφυγῆι ἐναργῶς προεμήνυε πάσης τε αὐτὸν ἐστερῆσθαι ἀπολογίας καὶ ἀνιάτως πρὸς τὴν οἰκείαν ἔχειν δυσσέβειαν, καθαιρέσεως ἐπ' αὐτῶι προῆλθε ψῆφος, ἀρχθεῖσα μὲν ὑπὸ Ἀγαπητοῦ τοῦ τῆς ὁσίας καὶ ἀοιδίμου μνήμης προέδρου τῆς πρεσβυτέρας Ῥώμης, συμπερασθεῖσα δὲ παρὰ Μηνᾶ τοῦ ἁγιωτάτου τῆς βασιλίδος πατριάρχου καὶ τῆς παρ' αὐτῶι συγκροτηθείσης εὐαγεστάτης συνόδου. κἀντεῦθεν οὐ τῆς Τραπεζουντίων μόνον ἐπισκοπῆς διαπέπτωκεν Ἄνθιμος ὁ μνημονευθείς, ἀλλὰ καὶ τῆς ἱερατικῆς ἀξίας τε καὶ ἐνεργείας τοῦ παντὸς χωρισθεὶς τῆς ἁγιωτάτης ἐκκλησίας σώματος, ἐπεὶ καὶ τῆς τοῦ καθολικοῦ ἐστέρηται προσηγορίας, ὥστε πρὸς τὴν ἀδιόρθωτον ἐκείνου πλάνην τὴν Ὠσηὲ ἐφαρμόζεσθαι προφητείαν ὅτι σὺ ἐπίγνωσιν ἀπώσω, κἀγὼ ἀπώσομαί σε τοῦ ἱερατεύειν. ταῦτα τῶν κατὰ τὴν βασιλίδα πόλιν πεπραγμένων διαρρήδην ἐχόντων καὶ ἡμεῖς ὁρῶντες ὀρθῶς τε καὶ κανονικῶς πάντα ἐπὶ Ἀνθίμωι προεληλυθότα καὶ τὴν τῶν κλήσεων ἐπαινέσαντες τάξιν καὶ τὴν ἐντεῦθεν ὑπηργμένην αὐτῶι φιλανθρωπίαν, κατεγνωκότες δὲ καὶ τῆς ὀλεθρίας Ἀνθίμου ἐνστάσεως σύμψηφοι γινόμενοι τοῖς εὖ διατετυπωμένοις ὑπὸ Ἀγαπητοῦ τοῦ τῆς ὁσίας καὶ μακαρίας μνήμης καὶ τοῖς ὡρισμένοις παρὰ Μηνᾶ τοῦ ἁγιωτάτου πατριάρχου τῆς βασιλίδος πόλεως καὶ τῆς παρ' αὐτοῦ ἀθροισθείσης εὐαγεστάτης συνόδου, ἀκολουθοῦντες δὲ καὶ τῆι περὶ τούτων κυρώσει τοῦ θείου καὶ βασιλικοῦ νόμου προσιέμεθα τὴν ἐπὶ Ἀνθίμωι καθαίρεσιν ὡς καὶ τὴν ἀρχὴν παρὰ τοὺς ἱεροὺς εἰσφρήσαντι κανόνας τῶι ἀρχιερατικῶι τῆς βασιλίδος θρόνωι καὶ ἐναργεστάτην ὕστερον τῆς αὐτοῦ κακοπιστίας καὶ ἀμεταμελήτου γνώμης παρασχομένωι ἀπόδειξιν, ὡς τὴν θείαν ἐπ' αὐτῶι πληρωθῆναι γραφὴν λέγουσαν ἐν ἡμέραις ἐλέγχου ἐν ταῖς φυλαῖς τοῦ Ἰσραὴλ ἔδειξα πιστά· ἐγένοντο οἱ ἄρχοντες Ἰούδα ὡς μετατιθέντες ὅρια, ἐπ' αὐτοὺς ἐκχεῶ ὡς ὕδωρ τὸ ὁρμημά μου καὶ πάλιν ἑτέραν γραφὴν ἐμίσησαν ἐν πύλαις ἐλέγχοντα καὶ λόγον ὅσιον ἐβ-

Os. 4, 6 M VIII 1171 L V 284 Os. 5, 9. 10 Amos 5, 10

O [= aerv], I

1 τῆ I ὑπὸ τῆ O 2 πρότερον O^{av} 3 ἁπανταχῆ O^{av} συνταράξας O^{e} 5/6 ἁγράφωσ O^{r} 9/10 πρόδηλον — ἀδιαίρετον $O^{erI\Lambda}$ ὅτι τὸ [ὁ O^{v}] O^{av} 12 κατακεκριμμένουσ O^{v} ταύτησ O^{r} 14 τὴν O^{v} 15 ἀνοχῆσ I διδομένησ O^{av} 16 οὖν $O^{ae}I\Lambda$ οὐ O^{rv} 18 ἐπ' om. O^{e} 19 ἀπὸ $O^{r}I$ 20 συμπερανθεῖσα O^{av} 22 διαπέπτωκεν — μνημονευθεὶς ἐπισκοπῆς I 26 ἱερατεύειν μοι $O^{e}\Lambda$ 27/28 προεληλυθότα ἐπὶ ἀνθίμω I 28 κλήσεων $O^{erI\Lambda}$ ἐκκλησιῶν O^{a} κληρικῶν O^{v} 29 αὐταῖσ O^{r} 30 γενόμενοι I καὶ μακαρίας om. $O^{e}\Lambda$ 32 ἁγιωτάτησ O^{r} 33 ἀνθίμω $O\Lambda$ τούτω I καθαίρεσιν ἤτοι τῶ ἀνθίμω I καὶ $O^{er}I$ κατὰ O^{av} 34 εἰσφρήσαντα O^{av} εἰσφρήσαντι ἑαυτὸν I 35 ἀμεταβλήτου $O^{e}\Lambda$ 35/36 παρεχομένω O^{av} 37 τοῦ om. O^{a} 38 ὡς^{2} om. O^{arv}

δελύξαντο. κατὰ ταῦτα τοίνυν ἀλλότριον τοῦτον ὁριζόμεθα πάσης ἱερατικῆς ἀξίας τε καὶ ἐνεργείας, καὶ αὐτῆς δὲ τῆς τοῦ καθολικοῦ προσηγορίας. ὥσπερ γὰρ οὐδεμία τῶι
2. Cor. 6, 14 σκότει πρὸς τὸ φῶς κοινωνία, οὕτως οὐδὲ καταρρυπαίνεσθαι τὰς ἱερὰς προσήκει λειτουργίας ὑπ' ἀνδρῶν οὐκ εἰλικρινῶς τὸν δεσπότην πρεσβευόντων Χριστὸν τὸν ἀληθινὸν θεόν.

Ὑπογραφαί

133 1 Πέτρος ἐλέει θεοῦ ἐπίσκοπος Ἱεροσολύμων ὁρίσας ὑπεσημηνάμην:
2 Ἠλίας ἐλέει θεοῦ ἐπίσκοπος Καισαρείας ὁρίσας ὑπεσημηνάμην: —
3 Θεοδόσιος ἐλέει θεοῦ ἐπίσκοπος Σκυθοπόλεως ὁρίσας ὑπεσημηνάμην: —
4 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος Τιβεριάδος ὁρίσας ὑπεσημηνάμην: —
5 Στέφανος ἐλέει θεοῦ ἐπίσκοπος Σαριφαίας ὁρίσας ὑπεσημηνάμην: —
6 Ἀναστάσιος ἐλεει θεοῦ ἐπίσκοπος Γαβῶν ὁρίσας ὑπεσημηνάμην: —
7 Ἐπιφάνιος ἐπίσκοπος Ῥαφείας ὁρίσας ὑπεσημηνάμην: —
8 Ἠλίας ἐπίσκοπος Ἰόππης ὁρίσας ὑπεσημηνάμην: —
9 Ἰωάννης ἐπίσκοπος Αὐγουστοπόλεως ὁρίσας ὑπεσημηνάμην: —
10 Νικόστρατος ἐπίσκοπος Ἀβίλης ὁρίσας ὑπεσημηνάμην: —
11 Λάζαρος ἐλέει θεοῦ ἐπίσκοπος Ἀζώτου ὁρίσας ὑπεσημηνάμην: —
12 Λεόντιος ἐλέει θεοῦ ἐπίσκοπος Σωζούσης ὁρίσας ὑπεσημηνάμην: —
13 Στέφανος ἐλέει θεοῦ ἐπίσκοπος Ἄρδων ὁρίσας ὑπεσημηνάμην: —
14 Ἀναστάσιος ἐλέει θεοῦ ἐπίσκοπος Ἐλευθεροπόλεως ὁρίσας ὑπεσημηνάμην: —
M VIII 1174 15 Γρηγόριος ἐλέει θεοῦ ἐπίσκοπος Ἱεριχούντων ὁρίσας ὑπεσημηνάμην: —
16 Ἠλίας ἐλέει θεοῦ ἐπίσκοπος Ἀρεοπόλεως ὁρίσας ὑπεσημηνάμην. Θεόκτιστος ἐλάχιστος διάκονος καὶ νοτάριος τοῦ ὁσιωτάτου ἐπισκόπου Ἠλία ἔγραψα ὑπὲρ αὐτοῦ κατ' ἐγγράφους ἐντολὰς αὐτοῦ: —
17 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος διάρων ὁρίσας ὑπεσημηνάμην: —
18 Δημήτριος ἐλέει θεοῦ ἐπίσκοπος Χαραχμώβων ὁρίσας ὑπεσημηνάμην: —
19 Στέφανος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Μηνυτῶν ὁρίσας ὑπεσημηνάμην: —
20 Ζαχαρίας ἐλέει θεοῦ ἐπίσκοπος τῆς Πελλαίων ὁρίσας ὑπεσημηνάμην: —
LV 285 21 Μανουήλιος ἐλέει θεοῦ ἐπίσκοπος τοῦ Βιτυλίου ὁρίσας ὑπεσημηνάμην: —
22 Ἀναστάσιος ἐλέει θεοῦ ἐπίσκοπος Ἰωτάβης ὁρίσας ὑπεσημηνάμην: —
23 Ζηνόβιος ἐλέει θεοῦ ἐπίσκοπος Ἐλούσης ὁρίσας ὑπεσημηνάμην: —
24 Μαρκιανὸς ἐλέει θεοῦ ἐπίσκοπος Γάζης ὁρίσας ὑπεσημηνάμην: —
25 Θεόδωρος ἐλέει θεοῦ ἐπίσκοπος Πετρῶν ὁρίσας ὑπεσημηνάμην: —
26 Ζηνόβιος ἐλέει θεοῦ ἐπίσκοπος Νικοπόλεως ὁρίσας ὑπεσημηνάμην: —
27 Ἀράξιος ἐλέει θεοῦ ἐπίσκοπος Γαδάρων ὁρίσας ὑπεσημηνάμην: —
28 Προκόπιος ἐλέει θεοῦ ἐπίσκοπος Ἐλενουπόλεως ὁρίσας ὑπεσημηνάμην: —
29 Κυριακὸς ἐλέει θεοῦ ἐπίσκοπος Διοκαισαρείας ὁρίσας ὑπεσημηνάμην: —
30 Βάραχος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Βακάνων ὁρίσας ὑπεσημηνάμην: —
31 Διονύσιος ἐλέει θεοῦ ἐπίσκοπος Ἀσκάλωνος ὁρίσας ὑπεσημηνάμην: —

O [= ae, r (usque ad 8), v], I [usque ad 8]

3 ἱερατικὰς I 5 om. $O^{v}I$ 6 sq. ἐλέει θεοῦ semper om. $O^{e}\Lambda$ 6. 7. 8 ἐλέω l 8 θεόδωροσ O^{a} 9—p. 189, 17 [Ἰωάννης — ὑπεσημηνάμην] καὶ οἱ λοιποὶ πάντες ὁμοίως ὑπέγραψαν $O^{r}I$ 12—15 om. O^{av} 18 ἄρδων O^{e} ἀρδῶν O^{av} *Aradorum* Λ, quid sit, nescio 21 ἀρεωπόλεωσ O^{av} 23 ἔγγραφον ἐντολὴν O^{av} 24 διάρων O^{av} δοάρων O^{e} *Podaleanus* Λ, conicias Δώρων 25 χαροχβωμῶν O^{a} χαραχμωμῶν O^{v} 26 Μηνυτῶν i. e. ni fallor Μινωίδος 28 βιτύλου O^{av} 29 ἐπίσκοπος om. O^{v} 30 ἐλεούσησ O^{av} 33 νικουπόλεωσ O^{v} 34 γαδείρων O^{a} 37 postulatur Βακάθων 38 ἀσκάλων O^{v} ἀσκάλλων O^{a}

32 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος Φαινοῦς ὁρίσας ὑπεσημηνάμην: —
33 Μακάριος ἐλέει θεοῦ ἐπίσκοπος Ἀρινδήλων ὁρίσας ὑπεσημηνάμην: —
34 Βασίλειος ἐλέει θεοῦ ἐπίσκοπος Συκομαζόνος ὁρίσας ὑπεσημηνάμην: —
35 Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος Νέας πόλεως ὁρίσας ὑπεσημηνάμην: —
36 Πέτρος ἐλέει θεοῦ ἐπίσκοπος τῶν Παρεμβολῶν ὁρίσας ὑπεσημηνάμην: —
37 Ζαχαρίας ἐλέει θεοῦ ἐπίσκοπος τῆς Λιβισίων ὁρίσας ὑπεσημηνάμην: —
38 Δόμνος ἐλέει θεοῦ ἐπίσκοπος Μαξιμιανουπόλεως ὁρίσας ὑπεσημηνάμην: —
39 Πελάγιος ἐλέει θεοῦ ἐπίσκοπος Σεβαστῆς ὁρίσας ὑπεσημηνάμην: —
40 Στέφανος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἰαμνιτῶν ὁρίσας ὑπεσημηνάμην: —
41 Παρθένιος ἐλέει θεοῦ ἐπίσκοπος Ἐξάλους ὁρίσας ὑπεσημηνάμην. Θεόδωρος ἐλέει θεοῦ ἐπίσκοπος ἔγραψα ὑπὲρ αὐτοῦ διὰ τὸ ἐν ἀσθενείαι αὐτὸν εἶναι: —
42 Θεόδωρος ἐλέει θεοῦ ἐπίσκοπος Γαδάρων ὁρίσας ὑπεσημηνάμην: —
43 Παῦλος ἐλέει θεοῦ ἐπίσκοπος τοῦ Ἀιλᾶ ὁρίσας ὑπεσημηνάμην: — M VIII 1175
44 Θεόδωρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἱππηνῶν ὁρίσας ὑπεσημηνάμην: —
45 Θεοδόσιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Καπετωλιαίων ὁρίσας ὑπεσημηνάμην: —
46 Διονύσιος ἐλέει θεοῦ ἐπίσκοπος Ἀμαθούντων ὁρίσας ὑπεσημηνάμην: —
47 Δωρόθεος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἀνθηδονιτῶν ὁρίσας ὑπεσημηνάμην: —

Λόγος τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως Ἰουστινιανοῦ καταπεμφθεὶς πρὸς Μηνᾶν τὸν ἁγιώτατον καὶ μακαριώτατον ἀρχιεπίσκοπον τῆς εὐδαίμονος πόλεως καὶ πατριάρχην κατὰ Ὠριγένους τοῦ δυσσεβοῦς καὶ τῶν ἀνοσίων αὐτοῦ δογμάτων L V 636 PG 86, 945

6 Ἡμῖν μὲν ἀεὶ σπουδὴ γέγονέ τε καὶ ἐστὶ τὸ τὴν ὀρθὴν καὶ ἀμώμητον πίστιν τῶν Χριστιανῶν καὶ τὴν κατάστασιν τῆς ἁγιωτάτης τοῦ θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας ἀτάραχον διὰ πάντων φυλάττεσθαι καὶ ταύτην πρώτην τῶν ἄλλων τὴν φροντίδα τιθέμεθα. δι' ἧς καὶ τὴν ἐν τῶι παρόντι κόσμωι βασιλείαν ἡμῖν ὑπὸ θεοῦ παραδεδόσθαι καὶ φυλάττεσθαι πεπιστεύκαμεν καὶ τοὺς ἐχθροὺς τῆς ἡμετέρας πολιτείας ὑποτάττεσθαι· δι' ἧς καὶ ἐν τῶι μέλλοντι αἰῶνι ἔλεος ἐνώπιον τῆς αὐτοῦ ἀγαθότητος εὑρεῖν ἐλπίζομεν. εἰ καὶ τὰ μάλιστα γὰρ ὁ τοῦ ἀνθρωπίνου γένους πολέμιος διαφόρους ἐφευρίσκει προφάσεις, δι' ὧν σπουδάζει λωβᾶσθαι ταῖς τῶν ἀνθρώπων ψυχαῖς, ἀλλ' οὖν ἡ τοῦ θεοῦ φιλανθρωπία τὴν ἐκείνου καταργοῦσα πονηρίαν καὶ τοὺς ἐναντίους διελέγχουσα οὐ συγχωρεῖ τὴν ἰδίαν καταβλάπτεσθαι ἢ σκορπίζεσθαι ποίμνην. ταῦτα δὲ ἡμῖν εἴρηται, ἐπείπερ ἦλθεν εἰς ἡμᾶς ὥς τινες μὴ ἔχοντες κατὰ νοῦν τὸν τοῦ θεοῦ φόβον μηδὲ τὴν τῶν ὀρθῶν δογμάτων διάκρισιν ἐπιστάμενοι, δι' ἧς πᾶς ὁ γινώσκων τὴν ἀλήθειαν σώιζεται, καταλείψαντες τὰς θείας γραφὰς καὶ τοὺς ἁγίους πατέρας, οὓς ἡ καθολικὴ τοῦ θεοῦ ἐκκλησία διδασκάλους ἔχει καὶ δι' ὧν πᾶσα μὲν πανταχοῦ αἵρεσις ἀπελήλαται, ἡ δὲ ὀρθόδοξος πίστις σεσαφήνισται, Ὠριγένους τε καὶ τῶν Ἑλληνικῶν καὶ Ἀρειανικῶν καὶ Μανιχαικῶν αὐτοῦ δογμάτων ἀντιποιοῦνται, δι' ὧν ἐκεῖνος εἰς βόθρον ἐνέπεσεν. οἱ δὲ τοιοῦτοι πῶς δύνανται Χριστιανοῖς συναριθμεῖσθαι προσώπου ἀντιποιούμενοι τὰ Ἑλλήνων καὶ Μανιχαίων L V 637 PG 947

O [= ae, r (inde a 18), v], I [inde a 18]
3 συκομάζων O^{av} 6 ζαχάριοσ O^{e} 8 σεβαστοῦ O^{v} 11 ἐν — εἶναι O^{av} ἀσθενεῖν αὐτόν O^{e} 12 γαδείρων O^{a} 15 θεόδωροσ O^{a} καπετολιαίων O^{a} κατολιαίων O^{v} καπετωλίου O^{e} 17 τῆς om. O^{e} ἀνθηδόνοσ O^{e} 18 inscr. βιβλίον τέταρτον τῶν πρακτικῶν τῆσ ἁγίασ πέμπτησ ἐν κωσταντινουπόλει συνόδου, tum sequitur λόγοσ τοῦ κτλ. I 19 ἁγιώτατον καὶ om. O^{av} 21 τὸ om. O^{e} 24 ἀπὸ O 28 λωβᾶσθαι ταῖσ — ψυχαῖσ O^{r}I ταῖσ — ἐπιβουλεύειν ψυχαῖσ O^{aev} 33 ἐκκλησία τοῦ θεοῦ O^{av} 35 ἀρειανικῶν καὶ O^{e} τῶν O^{av} om. O^{r}I αὐτοῦ om. I 37 τὰ O^{er}I τὰσ τῶν O^{av}

καὶ Ἀρειανῶν καὶ τῶν ἄλλων αἱρετικῶν σπουδάσαντος παραδοῦναι; ὅστις πρὸ πάντων εἰς αὐτὴν τὴν ἁγίαν καὶ ὁμοούσιον τριάδα βλασφημήσας ἐτόλμησεν εἰπεῖν τὸν μὲν πατέρα μείζονα εἶναι τοῦ υἱοῦ, τὸν δὲ υἱὸν τοῦ ἁγίου πνεύματος, τὸ δὲ ἅγιον πνεῦμα τῶν ἄλλων πνευμάτων. προστέθεικε δὲ καὶ τοῦτο τῇ ἑαυτοῦ ἀσεβείαι εἰπὼν μηδὲ τὸν υἱὸν δύνασθαι τὸν πατέρα ἰδεῖν μηδὲ τὸ ἅγιον πνεῦμα τὸν υἱόν, καὶ ὅτι ὁ υἱὸς καὶ τὸ ἅγιον πνεῦμα κτίσματά εἰσι, καὶ ὅπερ ἡμεῖς ἐσμὲν πρὸς τὸν υἱόν, τοῦτο ὁ υἱός ἐστι πρὸς τὸν πατέρα. προστίθησι δὲ ταῖς ἑαυτοῦ βλασφημίαις καὶ τοῦτο ἐν τῶι Περὶ ἀρχῶν αὐτοῦ [πρώτωι] λόγωι ἐπ' αὐτῆς λέξεως εἰπὼν οὕτως ἐν τῇ ἐπινοουμένηι ἀρχῇ τοσοῦτον ἀριθμὸν τῶι βουλήματι αὐτοῦ ὑποστῆσαι τὸν θεὸν νοερῶν οὐσιῶν ὅσον ἠδύνατο διαρκέσαι· πεπερασμένην γὰρ εἶναι καὶ τὴν δύναμιν τοῦ θεοῦ λεκτέον καὶ μὴ προφάσει εὐφημίας τὴν περιγραφὴν αὐτῆς περιαιρετέον. ἐὰν γὰρ ἄπειρος ἡ θεία δύναμις, ἀνάγκη αὐτὴν μηδὲ ἑαυτὴν νοεῖν· τῇ γὰρ φύσει τὸ ἄπειρον ἀπερίληπτον. πεποίηκε τοίνυν τοσαῦτα ὧν ἠδύνατο περιδράξασθαι καὶ ἔχειν αὐτὰ ὑπὸ χεῖρας καὶ συγκροτεῖν ὑπὸ τὴν αὐτοῦ πρόνοιαν, ὥσπερ καὶ τοσαύτην ὕλην κατεσκεύασεν ὅσην ἠδύνατο κατακοσμῆσαι. ποίαν ταύτης μείζονα βλασφημίαν κατὰ τοῦ θεοῦ προενεγκεῖν Ὠριγένης ἠδύνατο ὁ καὶ ἐπὶ τῆς ἁγίας τριάδος βαθμοὺς ἐπινοήσας πολυθείαν καὶ ἐντεῦθεν εἰσάγειν βουλόμενος, καὶ αὐτὴν δὲ τοῦ θεοῦ τὴν δύναμιν περιγραπτὴν εἶναι τερατευόμενος; κἀκεῖνο δὲ τὸ πάσης δυσσεβείας ἀνάμεστον τῆς αὐτοῦ ἐστι μυθολογίας τὸ λέγειν ὅτι πάντα τὰ γένη καὶ τὰ εἴδη συναίδιά ἐστι
PG 949 τῶι θεῶι, καὶ ὅτι τῶν λογικῶν τὰ ἁμαρτήσαντα καὶ διὰ τοῦτο ἐκπεσόντα τῆς ἐν οἷς ἦσαν καταστάσεως κατὰ τὴν ἀναλογίαν τῶν οἰκείων ἁμαρτημάτων τιμωρίας χάριν σώμασιν ἐνεβλήθη καὶ καθαιρόμενα πάλιν ἀνάγονται ἐν ἧι πρότερον ἦσαν καταστάσει παντελῶς ἀποτιθέμενα τὰ σώματα καὶ πάλιν ἐκ δευτέρου καὶ τρίτου καὶ πλεονάκις διαφόροις
L V 640 ἐμβάλλονται σώμασι πρὸς τιμωρίας. ὑποτίθεται δὲ καὶ διαφόρους κόσμους συστῆναί τε καὶ συνίστασθαι τοῦτο μὲν παρελθόντας, τοῦτο δὲ μέλλοντας. καὶ τίς οὕτως ἐστὶν ἠλίθιος ὅστις τῶν τοιούτων ἀκούων οὐ φρίξει τὴν διάνοιαν διὰ τὴν τῆς ἀσεβείας ὑπερβολήν; τίς δὲ οὐκ ἂν βδελύξηται τὸν μανέντα Ὠριγένην τοιαύτας πλασάμενόν τε καὶ ἐγγράφως ἐκθέμενον κατὰ θεοῦ βλασφημίας; ἄστινας ὡς πᾶσι Χριστιανοῖς ἀπηγορευμένας καὶ προφανῆ τῆς δυσσεβείας ἐχούσας τὸν ἔλεγχον περισσὸν ἐνομίσαμεν ἀντιρρήσεως ἀξιῶσαι. εἰ τοίνυν ἅπαντες αἱρετικοὶ ἐπὶ ἑνὸς τυχὸν ἢ δευτέρου δόγματος παρατροπῆι ἐκβέβληνται τῆς ἁγιωτάτης ἐκκλησίας ὑποβληθέντες ἀναθέματι μετὰ τῶν ἰδίων δογμάτων, τίς ὅλως Χριστιανῶν ἀνέξεται Ὠριγένους τε καὶ τῶν πονηρῶν αὐτοῦ συγγραμμάτων ἀντιποιεῖσθαι τοῦ τοσαύτας μὲν εἰρηκότος βλασφημίας, πᾶσι δὲ σχεδὸν αἱρετικοῖς τοσαύτην ὕλην ἀπωλείας παρασχομένου καὶ διὰ τοῦτο καὶ παρὰ τῶν ἁγίων πατέρων ἔκπαλαι ὑπὸ ἀνά-

---

2—4 = exc. I 4—6 = Hieron. ep. 51 p. 401, 5 cf. locos quos collegit Holl ad Epiphan. 64, 4 p. 410, 8 5/6 = exc. VIII 6 = exc. VI 8—14 cf. exc. II 18. 19 cf. exc. XI 19—23 locum Origenis qui accurate respondeat, non inuenio, sed cf. Hieron. ep. 124 p. 98, 9—12. 111, 13sq. 23. 24. cf. exc. XIII 33 σῆ ὅτι καὶ πρὸ τῆς πέμπτης οἰκουμενικῆς συνόδου ὁ Ὠριγένης ἀνεθεματίσθη παρὰ τῶν ἁγίων πατέρων O^e in mg.

O [= aerv], I

1 αἱρετικῶν δόξασ O^{av} 2 βλασφημίασ O^{aev} 3 τοῦ υἱοῦ εἶναι O^e 4 προσέθηκε O^r αὐτοῦ O^{av} 5 ἅγιον om. O^a τὸ πνα τὸ ἅγιον O^a 6 κτίσμα O^{arv} 7 πρώτω OI. deleui cl. p. 209, 1 8 οὕτωσ εἰπὼν O^{av} 10 καὶ^1 om. O^{av} 10/11 καὶ μὴ — περιαιρετέον om. I 11 γὰρ ἡ O^e 13 συγκρατεῖν I 15 τοῦ om. O^r προσενεγκεῖν O^{arv} ὁ om. O^e 16/17 τὴν δύναμιν τοῦ θῦ O^a 17 δυσφημίασ O^r, corr. O^r 19 ἁμαρτήματα I τοῦτο καὶ O^a ἐκπεσόντων I 20/21 κατὰ — ἐνεβλήθη] κάτω τῆ [τῆ om. O^r] ἀλογία [ἀλογήσαντα O^r] ἐνεβλήθη [ἀπεβλήθη O^r] O^rI 22 ἀποτιθέμενα τὰ σώματα O^{aev} τὴν κακίαν ἀποτιθέμενα O^rI 23 τιμωρίαν O^e 24 οὕτοσ O^a 25 φρίξειε O^e 26 βδελλύξηται O^e τε om. O^{av} 29 τυχὸν om. O^v 31 τε om. O^r 32 δὲ om. O^v 33 ἀπωλείας scripsi ἀπωλείασ βλασφημίασ O^{av} ἀπωλείασ καὶ βλασφημίασ O^rI βλασφημίασ O^e παρεχομένου O^{av}

θεμα γενομένου μετὰ τῶν μυσαρῶν αὐτοῦ δογμάτων; εἰ γὰρ καὶ δοίη τις τὸν θεομάχον
'Ωριγένην, ὅπερ καὶ παρὰ τοῖς ἄλλοις αἱρετικοῖς εὑρίσκεται, ἀναμῖξαι τινὰ τοῖς πονηροῖς
αὐτοῦ συγγράμμασιν ἐκ τῶν ὀρθῶν δογμάτων, ταῦτα οὐκ ἴδια ἐκείνου καθέστηκεν, ἀλλὰ
τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὑπάρχει. καὶ τοῦτο δὲ αὐτὸ κακούργως ἐκεῖνος καὶ πρὸς
ἀπάτην τῶν ἁπλουστέρων ἐμηχανήσατο. ταῖς γὰρ τῶν Ἑλλήνων μυθολογίαις ἐν- 5
τραφεὶς καὶ ταύτας ἐπεκτεῖναι βουλόμενος ἐσχηματίσατο τὰς θείας δῆθεν ἑρμηνεύειν γρα-
φάς, ἵνα τούτῳ τῷ τρόπῳ τὰ ἑαυτοῦ μυσαρὰ δόγματα τοῖς τῶν θείων γραφῶν ὑπομνή-
μασιν ἀναμίξας κακοήθως τὴν Ἑλληνικὴν καὶ Μανιχαικὴν αὐτοῦ πλάνην καὶ Ἀρειανικὴν
μανίαν εἰσαγάγῃ καὶ τοὺς μὴ ἠκριβωμένους τὰ τῆς θείας γραφῆς δυνηθῇ δελεάσαι. τί
γὰρ ἕτερον παρὰ τὰ Πλάτωνι εἰρημένα τῷ τὴν Ἑλληνικὴν μανίαν πλατύναντι 'Ωριγένης 10
ἐξέθετο; ἢ παρὰ τίνος ἑτέρου Ἄρειος λαβὼν τὴν οἰκείαν συνεγράψατο νόσον ὁ πρὸς ὄλε-
θρον τῆς ἑαυτοῦ ψυχῆς εἰς τὴν ἁγίαν καὶ ὁμοούσιον τριάδα βαθμοὺς ἐπινοήσας; ἐν τίνι δὲ
οὗτος τοῦ Μανιχαίου ἀπολιμπάνεται ὁ λέγων τὰς τῶν ἀνθρώπων ψυχὰς διὰ ἁμαρτίας
τοῖς σώμασι τιμωρίας χάριν ἐμβληθῆναι, ὡς δὴ πρῶτον μὲν νόας οὔσας καὶ ἁγίας δυνά-
μεις, ἔπειτα κόρον λαβούσας τῆς θείας θεωρίας καὶ πρὸς τὸ χεῖρον τραπείσας καὶ διὰ τοῦτο 15
τῆς τοῦ θεοῦ ἀγάπης ἀποψυγείσας καὶ ἐντεῦθεν ψυχὰς ὀνομασθείσας καὶ τιμωρίας χάριν
τοῖς σώμασιν ἐμβληθείσας; ὅπερ καὶ μόνον ἱκανὸν ἦν εἰς τελείαν αὐτοῦ κατάκρισιν οἷα
τῆς Ἑλληνικῆς ὑπάρχον δυσσεβείας. τοῦ γὰρ θεοῦ εἰπόντος ποιήσωμεν ἄνθρωπον Gen. 1, 26
κατ' εἰκόνα καὶ ὁμοίωσιν ἡμετέραν εὑρίσκεται κατὰ τοὺς ἐκείνου ματαίους λόγους
σῶμα μόνον δίχα ψυχῆς κατ' εἰκόνα καὶ ὁμοίωσιν γενόμενον τοῦ θεοῦ, ἐὰν ὅλως προυπῆρχε 20
ψυχὴ καὶ μετὰ τὸ γενέσθαι τὸ σῶμα ἐνεβλήθη ἢ κατηγγίσθη ἐν αὐτῷ, καὶ ἀνάγκη πᾶσα
τοῦ λέγειν καὶ αὐτὸν τὸν θεὸν τὸν τοῦ ἀνθρώπου δημιουργὸν σῶμα ὑπάρχειν ὡς τὸ
σῶμα κατ' εἰκόνα καὶ ὁμοίωσιν ἰδίαν ποιησάμενον. πῶς δὲ δύναται εἰκὼν εἶναι τοῦ PG 951
ἀσωμάτου τὸ σῶμα; δι' ὃ μὴ γένοιτο τούτοις Χριστιανοὺς συνθέσθαι. εἰ δὲ κατὰ τὴν
'Ωριγένους βλασφημίαν προυπῆρχον αἱ ψυχαὶ καὶ διὰ τὸ ἁμαρτῆσαι αὐτὰς τιμωρίας 25
χάριν εἰς τὰ σώματα κατεπέμφθησαν, ἵνα παιδευθεῖσαι σωφρονήσωσιν, ἐχρῆν αὐτὰς μη-
κέτι ἁμαρτάνειν. εἰ γὰρ πρὸς κόλασιν τῇ ψυχῇ διὰ τὴν ἁμαρτίαν ἐδόθη τὸ σῶμα,
ὥστε αὐτὴν ὀδυνωμένην παιδευθῆναι πρὸς τὸ τιμᾶν τὸν θεόν, πῶς συνεργεῖ καὶ συ- L V 641
ναγωνίζεται αὐτῇ τὸ σῶμα πρὸς τὸ ἁμαρτάνειν; δεσμοὶ γὰρ καὶ φυλακαὶ καὶ πέδαι καὶ
συντόμως εἰπεῖν τὰ τοιαῦτα ἐφεκτικὰ τοῦ ἀδικεῖν καὶ τοῦ ἁμαρτάνειν τοῖς κολαζομένοις 30
γίνονται. οὐ γὰρ ὅπως ὁ ἁμαρτήσας πλέον ἁμαρτήσῃ, συνεργὸς αὐτῷ πρὸς τὴν ἁμαρ-
τίαν ὁ δεσμὸς δίδοται, ἀλλ' ὅπως παύσηται τοῦ ἁμαρτάνειν διὰ τῶν δεσμῶν βασανιζό-
μενος. πρόδηλον τοίνυν ὅτι οὐ διὰ σωφρονισμὸν προλαβουσῶν ἁμαρτιῶν τοῖς σώ-
μασιν ἐνεβλήθησαν αἱ ψυχαὶ κατὰ τοὺς ἐκείνου λήρους, ἀλλὰ κατὰ ταυτὸν ὁ θεὸς τό τε
σῶμα τήν τε ψυχήν, τουτέστι τέλειον τὸν ἄνθρωπον ἐδημιούργησεν. ὅθεν τῶν διὰ 35
τοῦ σώματος ἡμῖν πεπραγμένων εἴτε ἀγαθῶν εἴτε φαύλων τὴν ἀνταπόδοσιν ἀναμένομεν.

15—18 = anath. ᾱ exc. XVIII

O [= aerv], I

2 ἀναμάξαι O^r ἐντάξαι I 4/5 καὶ πρὸσ — ἁπλουστέρων ἐκεῖνοσ O^{aev} 6 δῆθεν om. I 7 μυσαρὰ αὐτοῦ O^r θείων] ὀρθῶν O^r 10 τὰ O^{aev} τῶ O^r τὸ τῶ O^r corr. τὰ τῶ I εἰρημένον O^r 12 καὶ om. O^{av} 16 ἀποψυγείσασ ἀγάπησ O^{av} ἀγάπησ ἀποψυχθείσασ [ἀποψυχείσασ O^r] O^{rI} 18 ὑπάρχων O^{rI} 22 τὸ om. I 24 χριστιανοῖσ O^r 26 σω-φρονισθῶσιν O^{eI} 28 παιδευθῆναι om. O^a πρὸσ τὸ τιμᾶν O^{erI} προτιμᾶν O^{av} 29—30 δεσ-μοὶ — ἁμαρτάνειν O^{aev} ὁ O^{rI} 30 ἐφικτὰ O^v 31 γίνεται O^r οὐ γίνεται I ἁμάρτη O^e 32 διαδέδοται O^{av} ὅπωσ] ὁμωσ O^v 34 ἐκείνων O^r 35 τὸν τέλειον O^e 36 ἀν-τίδοσιν O^a

2. Cor. 5, 10 τοῦτο γὰρ ἡμῖν παραδίδωσιν καὶ ὁ θεῖος ἀπόστολος Παῦλος λέγων ὅτι πάντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν εἴτε ἀγαθὸν εἴτε φαῦλον. προσέχειν τοίνυν δεῖ τοῖς τοῦ ἀποστόλου ῥήμασιν ὅτι οὐκ εἶπε κομίζεσθαι δεῖν τὸν κρινόμενον πρὸς ἃ ἔπραξε πρὸ τοῦ σώματος ἀλλὰ διὰ τοῦ σώματος. εἰ δὲ ἐπὶ μόνοις τοῖς διὰ τοῦ σώματος κολάζεται ἄνθρωπος παρὰ τοῦ κρίνοντος τὴν γῆν ἢ τῆς δεούσης ἀξιοῦται τιμῆς, μνήμη δὲ οὐδεμία προγενεστέρων ἁμαρτημάτων, δῆλον ὅτι οὐ προυπάρχουσι τῶν σωμάτων αἱ ψυχαί· εἰ γὰρ προυπῆρχον, εἶπεν ἂν ὁ ἀπόστολος, ὥσπερ τὰ διὰ τοῦ σώματος, οὕτως καὶ τὰ πρὸ τοῦ σώματος. ὅτι δὲ αἱ τῶν ἀνθρώπων ψυχαὶ νοεραί τε καὶ λογικαὶ τυγχάνουσι, τῶν ὁμολογουμένων ἐστίν, ὅπερ οὐδὲ τοὺς Ὠριγένους ἀντιποιουμένους νομίζομεν ἀπαρνεῖσθαι. εἰπάτωσαν τοίνυν οἱ τὰ Ὠριγένους φρονοῦντες· αἱ ψυχαὶ αἱ αὐτῶν, εἴγε ἄρα καθὼς λέγουσι, προυπῆρχον τῶν σωμάτων, πρὶν ἢ ἐν τοῖς σώμασιν εἰσέλθωσιν, ἐν ποίαι τάξει ὑπῆρχον ἢ τί διεπράττοντο; ἐχρῆν γὰρ αὐτὰς εἰδέναι ποῦ ἦσαν, εἰ προῆσαν, καὶ πῶς ἐνταῦθα παρεγένοντο. εἰ δὲ τοῦτο αὐτοῖς ἀμήχανόν ἐστι λέγειν ὡς τῆς ἀληθείας μὴ οὔσης, δῆλον ὅτι μῦθοι τὰ κατ' αὐτοὺς ὑπάρχουσιν. ἴσως δὲ ἐροῦσιν ὅτι μετὰ τὸ εἰσελθεῖν τὰς ψυχὰς ἐν τοῖς σώμασι τότε δύνανται διακρίνειν τε καὶ γινώσκειν τὰ πραττόμενα παρ' αὐτῶν. εἰ δὲ τοῦτο εἴπωσιν, εὑρίσκεται τὸ σῶμα κατὰ τοὺς αὐτῶν ματαίους λόγους τιμιώτερον τῆς ψυχῆς οἷα χαριζόμενον αὐτῇ τὸ νοεράν τε καὶ λογικὴν γενέσθαι· ἀλλὰ τὸ λέγειν τοῦτο πάσης ἐστὶν ἀνοίας καὶ ἀτοπίας μεστόν. διὰ τί δὲ ὅλως, εἴπερ, ὡς λέγουσιν, προυπῆρχεν ἡ ψυχή, μαθήσεώς τινος ἢ διδαχῆς δέεται ἐν τῷ σώματι γενομένη κατὰ μικρὸν εἰσαγομένη καὶ προκόπτουσα εἰς τὰ μείζονά τε καὶ τελειότερα; εἰ γὰρ προῆν, καὶ ἐγίνωσκεν ἂν τὰ συμφέροντα μηδεμιᾶς μαθήσεως δεομένη καὶ ὡς ἐν γνώσει τυγχάνουσα διωρθοῦτο ταῖς ἐπιμελείαις καὶ εἰ τὸ πταῖσμα ἐγίνωσκεν, οὐκ ἐδιδάσκετο ὡς προεπισταμένη. εἰ δὲ διδάσκεται ὡς ἀγνοοῦσα, οὐ προήιδει· εἰ δὲ οὐ προήιδει, οὐ προῆν. ἀλλὰ δῆλον ὅτι οὐ προῆν. τῆς γὰρ γενέσεως ἡμῶν
PG 953 αἰτιός ἐστι μόνος ὁ θεός, ὅστις καθὼς οὐκ ὄντας ἡμᾶς ἐποίησεν, οὕτως καὶ γενομένους σώι-
Gen. 1, 26 ζει τῇ ἰδίαι χάριτι, ἐὰν ἄξιοι καὶ ἐπιτήδειοι φανῶμεν. ὁ θεὸς γὰρ εἰπὼν ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ ὁμοίωσιν ἀμφότερα κατὰ ταυτὸν ἐδημιούργησε, τουτέστι σῶμά τε πλάσας καὶ ψυχὴν νοεράν τε καὶ λογικὴν δημιουργήσας. ἅμα
L V 644 γὰρ σῶμα ἔπλασεν ὁ θεὸς καὶ τὴν ψυχὴν ἐδημιούργησε τέλειον τὸν ἄνθρωπον ἀποτελέσας· οὐδὲ γὰρ σῶμα χωρὶς ψυχῆς οὐδὲ ψυχὴ χωρὶς σώματος ἄνθρωπος. εἰ δὲ προυπῆρχεν ἡ ψυχή, καθὼς Ὠριγένης ληρεῖ, τίνος ἕνεκεν ὁ ἁγιώτατος προφήτης Ζαχαρίας εἶπε
Zach. 12, 1 πλάσσων πνεῦμα ἀνθρώπου ἐν αὐτῷ; εἰ γὰρ προῆν, ἔδει μᾶλλον εἰπεῖν καταγίζων ἢ καταπέμπων πνεῦμα ἀνθρώπου ἐν αὐτῷ· νῦν δὲ λέγων ὁ προφήτης πλάσσων δείκνυσιν ὅτι ὥσπερ τὸ σῶμα, οὕτω καὶ τὴν ψυχὴν οὐ προυπάρχουσαν ἐποίησεν ὁ θεὸς τῇ ἰδίαι δυνάμει αὐτοῦ καὶ ἀγαθότητι. καθὼς οὖν εἴρηται, τὸ κατ' εἰκόνα καὶ ὁμοίωσιν τοῦ θεοῦ γενέσθαι τὸν ἄνθρωπον καὶ τοῦ θείου ἐμφυσήματος ἀξιωθῆναι δηλοῖ μὴ μόνον νοερὰν καὶ λογικήν, ἀλλὰ καὶ ἀθάνατον τὴν ψυχὴν δημιουργηθῆναι

1—9 sententia desumpta est ex Cyrilli epistula infra p. 202, 4—12

O [= aerv], I

1 ἡμῖν om. O^{av} 3 τὰ I om. O 4 κομίζεσθαι om. O^{arv}I δεῖ O^{arv} 6 καὶ παρὰ O^{a} ἢ om. O^{aev}, corr. O^{e} 8 τὰ om. I 10 ἀντιποιουμένους om. O^{av} 11 αἱ^{2} om. O^{rv} 12 ἑαυτῶν O^{e} 12/13 ἐν τοῖς — ἢ om. O^{r}I 13 αὐτοὺς O^{aev} ποῖ O^{r} 17 εἴποιεν O^{r} 21/22 τελεώτερα O^{av}I 23 ὑπάρχουσα O^{r} εἰ om. O^{aev} 25 οὐ^{2} O^{er}I οὐδὲ O^{av} γεννήσεως O^{av} 26 ὅστις] ὅτι O^{e} 27 χάριτι O^{arv}I χειρὶ O^{e} 28 καὶ καθ' I 29—30 τουτέστι — ἐδημούργησε om. O^{v} 32 εἶπεν ὁ O^{av} εἴρηκε O^{r} 33/34 εἰ γὰρ — ἐν αὐτῷ post ἀγαθότητι (36) habet O^{r} 36 δυνάμει αὐτοῦ καὶ ἀγαθότητι O^{r}I ἀγαθότητι O^{aev}

πρὸς τὸ ἄρχειν πάντων τῶν ἐπὶ γῆς ποιημάτων. τοῦτο γάρ ἐστι καὶ τὸ εἰρημένον
τῶι θεολόγωι Γρηγορίωι περὶ τῆς ψυχῆς, τὴν ἐκ θεοῦ καὶ θείαν καὶ τῆς ἄνωθεν εὐγενείας PG 35, 425
μετέχουσαν, οὐχ ὥς τινες φανταζόμενοι λέγουσι, τῆς θεικῆς οὐσίας ὑπάρχουσαν
τὴν ψυχήν, ἀλλ' ὡς διὰ τοῦ ἐμφυσήματος τοῦ θεοῦ γενομένην καὶ χάρισμα παρ' αὐτοῦ
λαβοῦσαν τοῦ νοερὰν καὶ λογικὴν καὶ ἀθάνατον εἶναι καὶ μὴ συναποθνήισκειν τῶι σώ- 5
ματι καθ' ὁμοιότητα τῶν ἀλόγων ζώιων, ἀλλὰ κατὰ χάριν μετέχειν τῆς ἄνωθεν εὐγενείας,
τουτέστιν ἀθανασίας. μαρτυρεῖ δὲ τούτοις καὶ ὁ ἐν ἁγίοις Ἰωάννης ὁ Κωνσταντινου- PG 53, 106
πόλεως πατριάρχης ἐν τῶι ἑνδεκάτωι λόγωι τῶι εἰς τὴν κτίσιν· λέγει γὰρ οὕτως [4 p. 100 Montf.]

καὶ ἐνεφύσησε, φησίν, εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγέ- Gen. 2, 7
νετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν. ἐνταῦθα τινὲς τῶν ἀγνωμόνων ἐξ οἰκείων 10
λογισμῶν κινούμενοι καὶ οὐδὲν θεοπρεπὲς ἐννοοῦντες οὔτε τὴν συγκατάβασιν τῶν ῥημά-
των λογιζόμενοι λέγειν ἐπιχειροῦσιν ὅτι ἐκ τῆς τοῦ θεοῦ οὐσίας ἐστὶν ἡ ψυχή. ὢ τῆς
μανίας, ὢ τῆς παραφροσύνης.

Καὶ ταῦτα μὲν ὁ πατὴρ περὶ τῶν προκειμένων· σκόπει δὲ ὅτιπερ περὶ μὲν τῶν ἄλλων 14
ἁπάντων τῶν ἐπὶ γῆς ποιημάτων εἶπεν ὁ θεὸς γενηθήτω καὶ ἐξαγαγέτω ἡ γῆ, καὶ Gen. 1, 3. 24
ἐγένετο· περὶ δὲ τοῦ ἀνθρώπου λέγει ποιήσωμεν ἄνθρωπον καὶ οὐ μόνον ποι- Gen. 1, 26
ήσωμεν, ἀλλὰ καὶ κατ' εἰκόνα ἡμετέραν καὶ ὁμοίωσιν καὶ λαβὼν χοῦν ἀπὸ τῆς Gen. 2, 7
γῆς ταῖς ἰδίαις χερσὶν ἔπλασε τὸν ἄνθρωπον καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον
αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν. ἐντεῦθεν
τοίνυν ἔστιν ἰδεῖν πῶς ὁ θεὸς τὸν ἄνθρωπον τιμιώτερον ἐποίησε τῶν ἄλλων ἁπάντων τῶν 20
ἐπὶ γῆς κτισμάτων. τὰ μὲν γὰρ ἄλλα πάντα λόγωι εἶπε, καὶ ἐγένετο· τὸν δέ γε
ἄνθρωπον, καθὼς εἴρηται, αὐτὸς ταῖς ἰδίαις χερσὶ κατὰ τὴν θείαν γραφὴν ἐδημιούργησε.
πάντα δὲ τὰ γενόμενα ὑπ' αὐτοῦ ἐπὶ τῆς γῆς ὑπέταξε τῶι ἀνθρώπωι τῶι γενομένωι ἐν Gen. 1, 28
τῆι ἕκτηι ἡμέραι, ἵνα πάντων τῶν ἐπὶ τῆς γῆς κτισμάτων ἤδη προγεγονότων καὶ ἑτοι-
μασθέντων αὐτῶι δεσπόζηι αὐτὸς ὑπὸ τοῦ πλάστου δεσποζόμενος. τοῦτο δὲ ἡμᾶς δι- 25
δάσκει καὶ ὁ ἐν ἁγίοις θεολόγος Γρηγόριος ἐν τῶι λόγωι τῶι εἰς τὴν νέαν κυριακήν· λέγει
γὰρ ταῦτα

οὕτω τι πρῶτον ἐν ἡμέραις ἀριθμεῖται καὶ δεύτερον καὶ τρίτον καὶ τὰ ἑξῆς ἄχρι τῆς PG 36, 612
ἑβδόμης καὶ καταπαυσίμου τῶν ἔργων ἡμέρας, αἷς καταμερίζεται τὰ γινόμενα λόγοις
ἀρρήτοις τασσόμενα καὶ οὐκ ἀθρόως ἀναδιδόμενα τῶι πάντα δυνατῶι λόγωι, οὗ καὶ τὸ PG 955
νοῆσαι μόνον καὶ εἰπεῖν ἔργον ἐστὶ παριστάμενον. εἰ δὲ τελευταῖος ὁ ἄνθρωπος ἀνε- 31
δείχθη, καὶ ταῦτα χειρὶ θεοῦ καὶ εἰκόνι τετιμημένος, θαυμαστὸν οὐδέν· ἔδει γὰρ ὥσπερ
βασιλεῖ προυποστῆναι τὰ βασίλεια καὶ οὕτως εἰσαχθῆναι τὸν βασιλέα πᾶσιν ἤδη δορυ-
φορούμενον.

Εἰ τοίνυν κατὰ τὴν τοῦ θεολόγου Γρηγορίου διδασκαλίαν τελευταῖος ὁ ἄνθρωπος L V 645
ἀνεδείχθη, καὶ ταῦτα χειρὶ θεοῦ καὶ εἰκόνι τετιμημένος, καὶ πάντα παρὰ τοῦ θεοῦ αὐτῶι 36
προητοιμάσθη, ὥσπερ βασιλεῖ προυφίσταται τὰ βασίλεια, καὶ οὕτως εἰσήχθη παρὰ θεοῦ
ὡς βασιλεὺς πᾶσιν ἤδη δορυφορούμενος, πῶς λέγουσιν οἱ κατὰ τὸν Ὠριγένην παρα-
φρονοῦντες ὅτι προυπάρχουσαι αἱ ψυχαὶ διὰ ἁμαρτίας ἐν σώμασι καταπέμπονται ὀφεί-

---

O [= aerv], I

5 τὸ O^{av} 8 numeratur XIII in editis τῶι²] τῶν O^{av} 11 οὐθὲν O^{e} 14 ὅτι I
15 τῶν O^{e} om. O^{arv}I γεννηθήτω O^{v} 21 γὰρ I οὖν O ἐγένοντο O^{ar} γε om. O^{er}, corr. O^{r}
23 ἐν om. O^{r} 24 τῆς om. O^{av} 26/27 λέγει — ταῦτα O^{aev}I λέγων O^{r} 28 τι O^{e}I τὲ O^{arv}
29 γενόμενα O^{arv} 30 ὢ I τῶ O^{v} 31 νοῆσαι — εἰπεῖν O νοῆσαι μόνον ἢ εἰπεῖν Greg. θελῆσαι I
33 προυποστῆσαι I 37 καὶ ὥσπερ O^{e} τοῦ θῦ O^{e} 38 δορυφορούμενον I 39 σώματι O^{v}

λουσαι δίκας ὑποσχεῖν τῶν πρώην ἡμαρτημένων; τὸ ἔμπαλιν γὰρ ὁ ἐν ἁγίοις Γρηγόριος καὶ ὕστερον πάντων λέγει τὸν ἄνθρωπον γεγενῆσθαι καὶ τιμηθῆναι ὑπὸ θεοῦ καὶ βασιλεύειν τῶν ἐπὶ γῆς πάντων, ὅπερ τιμωρίας μὲν οὐκ ἔστι, πάσης δὲ τὸ ἐναντίον προνοίας καὶ εὐεργεσίας ἔνδειξις ὑπάρχει. σύμφωνα δὲ τοῖς τοῦ θεολόγου Γρηγορίου καὶ ὁ ἐν
PG 53, 107 ἁγίοις Ἰωάννης ὁ Κωνσταντινουπόλεως πατριάρχης ἡμᾶς διδάσκει ἐν τῷι ἑνδεκάτωι
[4 p. 102 Montf.] λόγωι τῶι εἰς τὴν κτίσιν λέγων οὕτως

ἀλλ' ἴσως εἴποι τις ἄν· καὶ τίνος ἕνεκεν εἰ τιμιώτερον ἡ ψυχὴ τοῦ σώματος, τὸ ἔλαττον πρῶτον δημιουργεῖται καὶ τότε τὸ μεῖζον καὶ ὑπερέχον; οὐχ ὁρᾶις, ἀγαπητέ, ὅτι καὶ ἐπὶ τῆς κτίσεως τὸ αὐτὸ τοῦτο γέγονεν; ὥσπερ γὰρ ὁ οὐρανὸς καὶ ἡ γῆ καὶ ἥλιος καὶ σελήνη καὶ τὰ ἄλλα πάντα ἐδημιουργήθη καὶ μετὰ ταῦτα πάντα ὁ ἄνθρωπος ὁ τούτων πάντων τὴν ἀρχὴν μέλλων ἐγχειρίζεσθαι, τὸν αὐτὸν δὴ τρόπον καὶ ἐν αὐτῆι τῆι διαπλάσει τοῦ ἀνθρώπου πρότερον τὸ σῶμα πλάττεται καὶ τότε ἡ ψυχὴ ἡ τιμιωτέρα. ὃν γὰρ τρόπον τὰ ἄλογα τὰ πρὸς ὑπηρεσίαν μέλλοντα εἶναι χρήσιμα πρὸ τοῦ ἀνθρώπου δημιουργεῖται, ἵνα ἑτοίμην ἔχηι τὴν ὑπηρεσίαν ὁ μέλλων τῆς τούτων χρείας ἀπολαύειν, οὕτω καὶ τὸ σῶμα πρὸ τῆς ψυχῆς δημιουργεῖται, ἵνα ἐπειδὰν κατὰ τὴν ἀπόρρητον αὐτοῦ σοφίαν ἡ ψυχὴ παραχθῆι, ἔχηι τὰς οἰκείας ἐνεργείας ἐπιδείκνυσθαι διὰ τῆς τοῦ σώματος κινήσεως.

Καὶ ταῦτα μὲν ὅσον ἐπιδεῖξαι τοῖς ἀκροωμένοις ὅτι τὰ αὐτὰ τοῖς ἁγίοις πατράσι φθεγγόμεθα πανταχοῦ τὴν τῶν ψυχῶν προύπαρξιν ἀναιροῦσιν· πάλιν δὲ τῆς ἁγίας
Gen. 1, 28 λεγούσης γραφῆς περὶ τοῦ Ἀδὰμ καὶ τῆς Εὔας εὐλόγησεν αὐτοὺς ὁ θεὸς καὶ εἶπεν· αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν καὶ κατακυριεύσατε αὐτῆς, πῶς ἄρα εἰ προυπῆρχον αἱ ψυχαὶ τῶν σωμάτων, ἔμελλε κατὰ τὴν θείαν πρόσταξιν αὐξάνεσθαι καὶ πληθύνεσθαι τὰ προυπάρχοντα κατὰ τοὺς ἐκείνων μύθους; καὶ πῶς εἶχεν ὁ θεὸς εὐλογῆσαι τὰς ψυχὰς ταῖς ἁμαρτίαις ἤδη ὑποπεσούσας εἰς τὸ αὐξηθῆναί τε καὶ πληθυνθῆναι; ἁμαρτήσασαι γὰρ αἱ ψυχαὶ κατάρας μᾶλλον ἢπερ εὐλογίας ἔτυχον ἄξιαι. εἰ δὲ προυπῆρχον αἱ ψυχαὶ ἐν ἑτέραι τάξει ὑπάρχουσαι κατὰ τοὺς Ὠριγένους μύθους, διὰ τί μόνον τὸν Ἀδὰμ ἔπλασεν ὁ θεός; ἆρα μόνον ἡ ψυχὴ τοῦ Ἀδὰμ τότε ἦν ἁμαρτήσασα καὶ διὰ τοῦτο ἐν σῶμα ἔπλασεν ὁ θεός; εἰ γὰρ ἦσαν πρὸ τούτου καὶ ἄλλαι ψυχαί, ἔδει καὶ ἄλλα σώματα ἅμα πλασθῆναι ὑποδεχόμενα τὰς ψυχάς. πῶς δὲ ἡ ἁμαρτήσασα κατὰ τοὺς αὐτῶν λόγους ψυχὴ καὶ διὰ τιμωρίαν εἰς σῶμα βληθεῖσα εἰς τὸν παράδεισον τῆς τρυφῆς παρὰ τοῦ θεοῦ ἐτέθη; εἰ γὰρ διὰ τιμωρίαν σώματι ἐνεβλήθη, οὐκ ἐν παραδείσωι τῆς τρυφῆς, ἀλλ' ἐν κολάσεως ἂν ἀπετίθετο
PG 957 τόπωι. τοσοῦτον δὲ ὁ θεὸς ἠγάπησε τὸν ἄνθρωπον, ὃν μετὰ πάντα τὰ δημιουργήματα ἔπλασεν, ὅτι καὶ μετὰ τὸ παραβῆναι αὐτὸν τὴν δοθεῖσαν αὐτῶι παρὰ τοῦ θεοῦ ἐντολὴν καὶ διὰ τοῦτο ἐκβληθῆναι τοῦ παραδείσου αὐξανομένου τοῦ γένους τῶν
L V 648 ἀνθρώπων καὶ πληθυνομένης τῆς ἁμαρτίας διὰ τὸ ἐγκεῖσθαι τὴν διάνοιαν τῶν ἀνθρώπων ἐπιμελῶς ἐπὶ τὰ χείρονα οὐ περιεῖδεν ὁ θεὸς ὡς ἀγαθὸς τὸ ἴδιον πλάσμα, ἀλλὰ διαφόροις ἐνουθέτησε τρόποις τοῖς ὑπὸ τῆς ἁγίας δηλουμένοις γραφῆς. ἐπειδὴ δὲ ἐπὶ δεινοτέροις τοῖς ἁρρωστήμασι μείζονος ἐδεόμεθα καὶ τῆς θεραπείας, αὐτὸς ὁ μονογενὴς τοῦ θεοῦ λόγος, ὁ εἷς, τουτέστι τὸ ἓν πρόσωπον, τῆς ἁγίας τριάδος, διὰ τὴν ἑαυτοῦ

O [= aerv], I

1 ὑπέχειν O^{r}I ἡμαρτημένον O^{v} 5 ὁ om. O^{e} 6 τῶν I 10 ὁ ἥλιος O^{er}I ἡ σελήνη O^{r}I 13 εἰσ O^{r} μέλλοντα πρὸσ ὑπηρεσίαν O^{av} 16 ἔχει O^{v} 22/23 πρόστασιν I 24 τὰς ψυχὰς om. O^{v} 26 ἔτυχον O^{erv} τυχεῖν O^{a} ἐτύγχανον I 27 τὸν I om. O 29 ἅμα O^{e} om. O^{arv}I 31 κῦ O^{r} 32 ἂν om. I 38 ἀπὸ O^{er} ἐπὶ om. O^{r}I 39 καὶ om. O^{e} θεραπείασ O^{arv}I ἰατρείασ O^{e}

φιλανυρωπίαν ἄνθρωπος γίνεται μένων θεὸς μηδὲ τὴν θεικὴν αὐτοῦ οὐσίαν ἀλλοιώσας εἰς τὴν ἀνθρωπίνην μηδὲ τὴν ἀνθρωπίνην [αὐτοῦ οὐσίαν] εἰς τὴν θεικὴν μεταβαλὼν καὶ ἔστιν εἷς καὶ ὁ αὐτὸς ἐν ἑκατέραις ταῖς φύσεσιν ἀσυγχύτως καὶ ἀδιαιρέτως γνωριζόμενος. μείνας γὰρ ὅπερ ἦν, γέγονεν ὅπερ οὐκ ἦν, καὶ τὸν ὀφειλόμενον παρ' ἡμῶν θάνατον ἐκ τῆς διὰ τὴν παράβασιν κατακρίσεως ἐν τῇι ἰδίαι σαρκὶ ἀναδεξάμενος ἠλευθέρωσεν ἡμᾶς τοῦ αἰωνίου θανάτου ἀπαρχὴ τῶν κεκοιμημένων γενόμενος καὶ πρωτότοκος ἀναστὰς ἐκ νεκρῶν συνήγειρε καὶ συνεκάθισεν ἡμᾶς ἐν τοῖς ἐπουρανίοις, καθὼς ἡμᾶς ἐκδιδάσκει ἡ ἀποστολικὴ παράδοσις. εἰ γὰρ καὶ τὴν ἀρχὴν ἡ ἀνθρωπίνη φύσις διὰ τὴν παρακοὴν ἐστερήθη τοῦ παραδείσου, ἀλλ' ὅμως, ὡς εἴρηται, ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ διὰ τὴν πολλὴν ἀγάπην αὐτοῦ ἣν ἠγάπησεν ἡμᾶς, τὴν ἡμετέραν φύσιν ἑνώσας ἑαυτῶι ἀδιασπάστως καθ' ὑπόστασιν ἐν τῇι μήτραι τῆς ἁγίας ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μείζονος ἡμᾶς ἠξίωσε χάριτος τὴν ἐν οὐρανοῖς βασιλείαν ἡμῖν δωρησάμενος. μαρτυρεῖ δὲ τούτοις καὶ ὁ ἐν ἁγίοις Ἰωάννης ὁ Κωνσταντινουπόλεως πατριάρχης ἐν τῶι λόγωι τῶι εἰς τὴν ἀνάληψιν λέγων οὕτως

1. Cor. 15, 20 Col. 1, 18 Ephes. 2, 4 11 PG 49, 415 [2 p. 449 Montf.]

ἡμεῖς οἱ τῆς γῆς ἀνάξιοι φανέντες σήμερον εἰς τὸν οὐρανὸν ἀνήχθημεν· οἱ μηδὲ τῆς κάτω ἀρχῆς ὄντες ἄξιοι πρὸς τὴν βασιλείαν ἀνέβημεν τὴν ἄνω· ὑπερέβημεν τοὺς οὐρανούς, ἐπελαβόμεθα τοῦ θρόνου τοῦ βασιλικοῦ, καὶ ἡ φύσις, δι' ἣν ἐφύλαττε τὸν παράδεισον τὰ Χερουβίμ, αὐτὴ ἐπάνω τῶν Χερουβὶμ κάθηται σήμερον.

Ἀποδέδεικται τοίνυν ὅτι οὐχ ὡς Ὠριγένης ληρεῖ, ἐν οὐρανοῖς αἱ ψυχαὶ προυπάρχουσαι ἔπειτα ἁμαρτήσασαι κατεπέμφθησαν τιμωρίας χάριν εἰς τὰ σώματα, ἀλλ' ἐκ τῶν ἐναντίων ἐπὶ γῆς δημιουργηθεῖσα ὅλη ἡ τοῦ ἀνθρώπου φύσις, τουτέστι σώματος καὶ ψυχῆς, διὰ τῆς ὑπερβαλλούσης τοῦ θεοῦ ἀγαθότητος τῆς ἐν οὐρανοῖς ἠξίωται βασιλείας, ὥστε τοὺς ἀνθρώπους τοὺς τὴν ἐντολὴν τοῦ θεοῦ φυλάττοντάς τε καὶ πληροῦντας ἀξιοῦσθαι τῆς ἐν οὐρανοῖς τῶν ἀγγέλων διαγωγῆς, οὓς ἐν τῇι γῆι διὰ τῆς πρὸς θεὸν ὑμνολογίας μιμεῖσθαι προσετάχθημεν. βουλόμενος γὰρ ὁ θεὸς διὰ τὴν ἄφραστον αὐτοῦ φιλανθρωπίαν, ὃν τρόπον ἐν οὐρανοῖς ὑπὸ τῶν ἁγίων δυνάμεων δοξολογεῖται, οὕτως καὶ ἐπὶ τῆς γῆς ὑπὸ τῶν ἀνθρώπων δοξάζεσθαι, ἐδημιούργησε τὸν ἄνθρωπον δεύτερον ἄγγελον ἐπὶ τῆς γῆς, ὡς ἂν πληρωθῆι τὰ πάντα δόξης θεοῦ. ὅθεν καὶ ὁ κύριος παραδιδοὺς τοῖς ἑαυτοῦ μαθηταῖς ὅπως ὀφείλουσι προσεύχεσθαι, λέγει· πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῶι καὶ ἐπὶ τῆς γῆς. σύμφωνα δὲ τοῖς παρ' ἡμῶν εἰρημένοις καὶ ὁ ἐν ἁγίοις θεολόγος Γρηγόριος ἐν τῶι λόγωι τῶι εἰς τὸ ἅγιον πάσχα διδάσκει λέγων οὕτως

Mt. 6, 9. 10 PG 36, 632

τοῦτο δὴ βουληθεὶς ὁ τεχνίτης ἐπιδείξασθαι λόγος καὶ ζῶιον ἓν ἐξ ἀμφοτέρων, ἀοράτου τε λέγω καὶ ὁρατῆς φύσεως, δημιουργεῖ τὸν ἄνθρωπον. καὶ παρὰ μὲν τῆς ὕλης λαβὼν τὸ σῶμα ἤδη προυποστάσης, παρ' ἑαυτοῦ δὲ ζωὴν ἐνθείς, ὃ δὴ ψυχὴν νοερὰν καὶ εἰκόνα θεοῦ οἶδεν ὁ λόγος, οἷόν τινα κόσμον δεύτερον ἐν μικρῶι μέγαν ἐπὶ

PG 959 L V 649

O [= aerv], I

2 εἰς — ἀνθρωπίνην¹ om. O^r μηδὲ] ἢ O^r μήτε I αὐτοῦ οὐσίαν O om. I 4/5 θάνατον παρ' ἡμῶν O^r 6/7 πρῶτος O^{arv}I 7 ἐκ νεκρῶν ἀναστὰς O^e συνεκάθισεν] συνεδόξασεν O^rI 8 διδάσκει O^r 10 ἦν] ἢ O^v 13 χαρισάμενος O^rI 15 τὰ οὐράνια O^rI 18 τὸ χερουβείμ O^r 23 τηροῦντας O^rI 24 τῶν om. O^r διαγωγῆς O^rI διαγωγῆς βασιλείας O^{av} συνδιαγωγῆς O^e 25 ὁμολογίας O^r δοξολογίας I 26 ἀγγέλων I δοξολογεῖται O^{arv}I δοξάζεται O^e 27—29 ἐδημιούργησε — προσεύχεσθαι om. I 29 τοῖς — μαθηταῖς om. O^r 31 γενηθήτω — σου] ἐλθέτω ἡ βασιλεία σου (iterum) O^r 34 ἓν om. O^r 35 ἀοράτου — ὁρατῆς I Greg. ὁρατῆς — ἀοράτου O τε om. O^a 36 ζωὴν O^{arv}I πνοὴν O^e utrumque in Greg. codd.

τῆς γῆς ἵστησιν, ἄγγελον ἄλλον, προσκυνητὴν μικτόν, ἐπόπτην τῆς ὁρατῆς κτίσεως, μύστην τῆς νοουμένης, βασιλέα τῶν ἐπὶ γῆς, βασιλευόμενον ἄνωθεν.

Πρόσχες τοίνυν ὅτι λέγων ὁ πατὴρ ὡς ἐξ ἀμφοτέρων ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, προσέθηκεν ὅτι τὸ μὲν σῶμα ἐξ ὕλης ἤδη προυποστάσης ἔλαβε, τὴν δὲ ψυχὴν οὐδὲ προυπάρχειν εἶπεν οὐδὲ ἔκ τινος προυπαρχούσης οὐσίας γεγενῆσθαι, ἀλλ' ὅτι παρ' ἑαυτοῦ ὁ θεὸς ἐνέθηκε τὴν ζωήν, ὃ δὴ ψυχὴν νοερὰν καὶ εἰκόνα θεοῦ οἶδεν ὁ λόγος. καὶ τὸ εἰπεῖν δὲ τὸν πατέρα ὅτι βασιλέα ἐπὶ τῆς γῆς ἐποίησε τὸν ἄνθρωπον ὁ θεὸς βασιλευόμενον ἄνωθεν, ἀναιρεῖ τὸ λέγειν ὡς διὰ κόλασιν ἐνεβλήθησαν αἱ ψυχαὶ τοῖς σώμασιν· τὸ γὰρ βασιλεύειν ἐπὶ τῆς γῆς καὶ ὑπὸ θεοῦ μόνου βασιλεύεσθαι οὐ τιμωρίας, ἀλλὰ μεγάλης ἐστὶ τῆς τοῦ θεοῦ δωρεᾶς. πρὸς τούτοις δὲ κἀκεῖνο εἰπεῖν ἀναγκαῖον ἡγούμεθα πρὸς τοὺς τὴν προύπαρξιν λέγοντας ὅτι εἴπερ ἀληθὲς ἦν τὸ προυπάρχειν τὰς ψυχὰς τῶν σωμάτων, ἐγίνωσκον ἂν καὶ ἐμέμνηντο τί ἔπραττον καὶ πρὸ τοῦ εἰσελθεῖν ἐν τοῖς σώμασιν, ὥσπερ καὶ μετὰ τὴν τελευτὴν ἐπίστανται καὶ γινώσκουσι τὰ πραχθέντα αὐταῖς ἐν τοῖς σώμασιν. ἀποδείξομεν δὲ τὸ γινώσκειν τὴν ψυχὴν μετὰ τὴν ἐντεῦθεν ἀποβίωσιν τὰ αὐτῆι πεπραγμένα ἐξ αὐτῶν τῶν τοῦ εὐαγγελίου ῥημάτων· λέγει γὰρ ὁ δεσπότης ἡμῶν καὶ σωτὴρ Χριστὸς ἐν τῶι κατὰ Λουκᾶν εὐαγγελίωι εἰς τὴν περιοχὴν τοῦ Λαζάρου καὶ τοῦ πλουσίου ταῦτα

Lc. 16, 19—28 ἄνθρωπός τις ἦν πλούσιος καὶ ἐνεδιδύσκετο πορφύραν καὶ βύσσον εὐφραινόμενος καθ' ἡμέραν λαμπρῶς. πτωχὸς δέ τις ἦν ὀνόματι Λάζαρος, ὃς ἐβέβλητο πρὸς τὸν πυλῶνα αὐτοῦ ἡλκωμένος καὶ ἐπιθυμῶν χορτασθῆναι ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τοῦ πλουσίου· ἀλλὰ καὶ οἱ κύνες ἀπέλειχον ἐρχόμενοι τὰ ἕλκη αὐτοῦ. ἐγένετο δὲ ἀποθανεῖν τὸν πτωχὸν καὶ ἀπενεχθῆναι αὐτὸν ὑπὸ τῶν ἀγγέλων εἰς τὸν κόλπον Ἀβραάμ· ἀπέθανε δὲ καὶ ὁ πλούσιος καὶ ἐτάφη. καὶ ἐν τῶι ἅιδηι ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ ὑπάρχων ἐν βασάνοις ὁρᾶι τὸν Ἀβραὰμ ἀπὸ μακρόθεν καὶ Λάζαρον ἐν τοῖς κόλποις αὐτοῦ. καὶ αὐτὸς φωνήσας εἶπε· πάτερ Ἀβραάμ, ἐλέησόν με καὶ πέμψον Λάζαρον ἵνα βάψηι τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ ὕδατος καὶ καταψύξηι τὴν γλῶσσάν μου, ὅτι ὀδυνῶμαι ἐν τῆι φλογὶ ταύτηι. εἶπε δὲ Ἀβραάμ· μνήσθητι, τέκνον, ὅτι ἀπέλαβες σὺ τὰ ἀγαθά σου ἐν τῆι ζωῆι σου καὶ Λάζαρος ὁμοίως τὰ κακά· νῦν δὲ οὗτος παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι. καὶ ἐπὶ πᾶσι τούτοις μεταξὺ ἡμῶν τε καὶ ὑμῶν χάσμα μέγα ἐστήρικται, ὅπως οἱ θέλοντες διαβῆναι ἔνθεν πρὸς ὑμᾶς μὴ δύνωνται μηδὲ οἱ ἐκεῖθεν πρὸς ἡμᾶς διαπερῶσιν. εἶπε δέ· ἐρωτῶ οὖν σε, πάτερ, ἵνα πέμψηις αὐτὸν εἰς τὸν οἶκον τοῦ πατρός μου, ἔχω γὰρ πέντε ἀδελφούς, ὅπως διαμαρτύρηται αὐτοῖς, ἵνα μὴ καὶ αὐτοὶ εἰσέλθωσιν εἰς τὸν τόπον τοῦτον τῆς βασάνου.

PG 961 Αἰσχυνθήτωσαν τοίνυν οἱ Ὠριγένους ἀντιποιούμενοι καὶ ἐκ τῶν τοῦ ἁγίου εὐαγγελίου ῥημάτων. εἰ γὰρ προυπῆρχον αἱ ψυχαὶ τῶν σωμάτων, ἐγίνωσκον ἂν

O [= aerv], I

1 ἄλλον om. O^r 2 βασιλείασ O^v 4 προστέθεικεν I 5 οὐσίασ O^{arv}I αἰτίασ O^e 7 ὁ θ̄σ̄ τὸν ἀν̄ον O^e 9 τῆς om. O^{av} 11 ὕπαρξιν O^{rv} 12 ὅτι O^e 14 ἀποδείξωμεν I δὲ καὶ O^{av} 15 ἑαυτῆ O^r τοῦ O^{ar} ἁγίου O^v τοῦ ἁγίου O^e 22 τὰ — αὐτοῦ ἐρχόμενοι O^e 24 τοῦ ἀβραὰμ O^{av} 26 ἀπὸ om. O^r 31 οὗτος — δὲ om. O^{aev}, corr. O^a in mg. οὗτοσ O^a in mg. αὐτὸσ μὲν O^rI 32 μέγα χάσμα O^r 33 διαβαίνειν O^r ἔνθεν om. O^r 33/34 πρὸς ὑμᾶς — ἐκεῖθεν om. O^v 34 οἱ om. O^e 35 εἰς τὸν om. O^a 36 διαμαρτύρηται καὶ O^r 38 οὖν O^e ἁγίου om. O^v

καὶ τὰ πρὸ τοῦ σώματος αὐταῖς πραχθέντα, καθάπερ καὶ μετὰ τὴν ἀποβίωσιν μέμνηνται τῶν διὰ τοῦ σώματος αὐταῖς πεπραγμένων. τοῦτο γὰρ ἐκ τῶν ῥήσεων τοῦ ἁγίου εὐαγγελίου ἐδιδάχθημεν.

Ὅτι δὲ ταῖς θεοπνεύστοις γραφαῖς ἀκολουθοῦντες οἱ ἅγιοι πατέρες τὰ τοιαῦτα κατέκριναν δόγματα σὺν Ὠριγένει τῶι ταῦτα μυθολογησαμένωι, ἐξ αὐτῶν τῶν εἰρημένων τοῖς ἁγίοις πατράσι καὶ ἤδη μὲν σαφῶς ἀπεδείξαμεν, οὐδὲν δὲ ἧττον καὶ διὰ τῶν L V 652
ἑφεξῆς μαρτυριῶν τῶν ἁγίων πατέρων ἀποδείξομεν. καὶ πρῶτον τὸν ἅγιον Πέτρον ἐπίσκοπον Ἀλεξανδρείας γενόμενον καὶ μάρτυρα παραθησόμεθα τοῖς τοιούτοις ἡμῶν μαρτυροῦντα λόγοις

Τοῦ ἁγίου Πέτρου ἐπισκόπου καὶ μάρτυρος τῆς μεγαλοπόλεως Ἀλεξανδρείας ἐκ τοῦ πρώτου λόγου περὶ τοῦ μηδὲ προυπάρχειν τὴν ψυχὴν μηδὲ ἁμαρτήσασαν διὰ τοῦτο εἰς σῶμα βληθῆναι

Ἡγούμεθα τὰ περὶ τοῦ πρώτου ἐκ γῆς χοικοῦ γεγενημένου ἀνθρώπου παραθέσθαι πρὸς τὸ δεῖξαι ἕνα καὶ τὸν αὐτὸν ἐν τῶι αὐτῶι καιρῶι γενόμενον, κἂν μερικῶς ποτε ὁ ἔσω καὶ ἔξω λέγηται ἄνθρωπος. εἰ γὰρ καὶ κατὰ τὸν σωτήριον λόγον ὁ ποιήσας Lc. 11. 40
τὰ ἔξωθεν καὶ τὰ ἔσωθεν ἐποίησεν, ἀλλ' οὖν γε ἐφάπαξ καὶ ἐν ἑνὶ καιρῶι, τουτέστι τῆι αὐτῆι ἡμέραι ὅτε εἶπεν ὁ θεὸς ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ ὁμοίωσιν Gen. 1. 26
ἡμετέραν, ὡς ἐκ τούτου εὔδηλον εἶναι ὅτι οὐκ ἀπὸ συνόδου ὡς προόντος τινὸς ἑτέρου καὶ ἀφ' ἑτέρου τόπου συνεληλυθότος γεγένηται. εἰ γὰρ σύνοδος ἦν, τίνος ἕνεκεν καὶ πεποιημένον ἀνεγράφη;

Καὶ μεθ' ἕτερα· ὥστε οὐκ ἐνδέχεται πρὸ σωμάτων ἐν οὐρανῶι ἁμαρτάνειν ψυχὰς μηδὲ ὅλως πρὸ σωμάτων ὑποστάσας. τὸ μάθημα τοῦτο τῆς Ἑλληνικῆς ἐστι φιλοσοφίας ξένης καὶ ἀλλοτρίας οὔσης τῶν ἐν Χριστῶι εὐσεβῶς θελόντων ζῆν.

Τοῦ αὐτοῦ ἐκ τῆς μυσταγωγίας ἧς ἐποιήσατο πρὸς τὴν ἐκκλησίαν μέλλων τὸν τοῦ μαρτυρίου στέφανον ἀναδέχεσθαι

Διὰ τοῦτο παρακαλῶ, γρηγορεῖτε, ὅτι εἰς θλῖψιν πάλιν μέλλετε εἰσελθεῖν. οἴδατε πόσους κινδύνους ὑπέμεινεν ὁ ἀναθρέψας με πατήρ μου καὶ ἐπίσκοπος Θεωνᾶς ἀπὸ τῶν μαινομένων εἰς τὰ εἴδωλα (οὗ καὶ τὸν θρόνον διεδεξάμην, εἴθε δὲ καὶ τὸν τρόπον)· ὡς δὲ καὶ ὁ μέγας Διονύσιος κατακρυπτόμενος ἀπὸ τόπων εἰς τόπους, πρὸς τούτωι καὶ Σαβελλίου θλίβοντος. τί δὲ εἴπω Ἡρακλᾶν καὶ Δημήτριον τοὺς μακαρίους ἐπισκόπους, οἵους πειρασμοὺς ὑπέστησαν ὑπὸ τοῦ μανέντος Ὠριγένους καὶ αὐτοῦ σχίσματα βαλόντος ἐν τῆι ἐκκλησίαι τὰ καὶ ἕως σήμερον ταραχὰς αὐτῆι ἐγείροντα;

10—20 extat in Ioh. Damasc. Sacr. Parall. [Texte und Unters. 20, 2 p. 210] 24—32 extant in actis spuriis Petri Alexandrini [Viteau, *Passions des saints Écaterine et Pierre d'Alexandrie*] p. 75

O [= aerv], I

5 σὺν om. O^r μυθολογήσαντι O^e 5/6 καὶ ἤδη — ἀπεδείξαμεν ἐξ αὐτῶν — πρᾶσιν I 6 τῶν διὰ τῶν O^v 7 ἁγιώτατον O^r 9 μαρτυροῦντες O^v 10 ἀλεξανδρείασ καὶ μάρτυροσ O^eI τῆς μεγαλοπόλεως om. O^e 11 περὶ δὲ τοῦ O^{av} 12 ἐμβληθῆναι O^a 13 ἡγούμεθα O ἡγούμεθα δεῖν I ἀναγκαῖον ἡγησάμεθα καὶ Ioh. Dam. 15 λέγεται O^r 16 ἔξωθεν I Ioh. Dam. ἔσωθεν O καὶ τὰ ἔσωθεν ἐποίησεν I καὶ τὸ ἔσω αὐτὸς ἐποίησεν Ioh. Dam. καὶ τὰ ἔξωθεν ἐποίησεν O^{er} ἐποίησε καὶ τὰ ἔξωθεν O^{av} 16 ἐν om. I 18 ἑτέρου om. I 19 ἐφ' O^rI 20 τὸ πεποιημένον O^r 22 τὸ γὰρ O^rI 23 ἐθελόντων I 27 ἀναθρεψάμενός με I 29 τοῦτο O^v 31 βάλλοντοσ O^e 31 ἐγείραντα O^r

Πῶς τοίνυν δύναταί τις τῶν εὖ φρονούντων ἐναντιοῦσθαι τοῖς κατὰ Ὠριγένους εἰρημένοις παρὰ τοῦ ἁγίου μάρτυρος καὶ ἐπισκόπου Ἀλεξανδρείας Πέτρου; ὅστις τὸν καλὸν ὑπὲρ Χριστοῦ ἀναδεξάμενος ἀγῶνα οὐ μόνον ἀπεκήρυξεν Ὠριγένην καὶ τὰ μυσαρὰ αὐτοῦ δόγματα, ἀλλὰ καὶ μαρτυρεῖ ὡς οἱ πρὸ αὐτοῦ ἅγιοι πατέρες πολλοὺς ὑπέμειναν πειρασμοὺς ἀπὸ τῆς ἐκείνου φρενοβλαβείας.

Εἶπε δὲ καὶ ὁ ἐν ἁγίοις Ἀθανάσιος ἐπίσκοπος καὶ αὐτὸς Ἀλεξανδρείας γενόμενος ἐν τῷι λόγωι τῷι εἰς τὸν βίον τοῦ μακαρίου Ἀντωνίου ταῦτα

PG 26, 948 Πῶς δὲ χλευάζειν ἡμᾶς τολμᾶτε λέγοντας τὸν Χριστὸν ἄνθρωπον πεφανερῶσθαι, ὅπουγε ὑμεῖς ἐκ τοῦ νοῦ τὴν ψυχὴν ὁρίζοντες φάσκετε πεπλανῆσθαι αὐτὴν καὶ πεπτωκέναι ἀπὸ τῆς ἀψῖδος τοῦ οὐρανοῦ εἰς σῶμα;

PG 963 Δεῖ προσέχειν τοὺς ἀκροωμένους ὅτι ὁ ἐν ἁγίοις Ἀθανάσιος σαφῶς ἐναντιοῦται τοῖς λέγουσι προυπάρχειν τὸν νοῦν καὶ ἐκ τούτου γεγενῆσθαι τὴν ψυχὴν ἁμαρτήσασαν καὶ πεπτωκυῖαν ἀπὸ τῆς ἀψῖδος τοῦ οὐρανοῦ εἰς σῶμα.

Τοῦ αὐτοῦ ἐκ τοῦ κατὰ Ἀρειανῶν δευτέρου λόγου

c. Arian. 2,19 [PG 26, 188] L V 653 Πᾶσα ἡ φαινομένη κτίσις ἐν ἓξ ἡμέραις γέγονε καὶ τῇι μὲν πρώτηι τὸ φῶς, ὅπερ ἐκέλευσεν ἡμέραν, τῇι δὲ δευτέραι τὸ στερέωμα καὶ τῇι τρίτηι συναγαγὼν τὰ ὕδατα ἔδειξε τὴν ξηρὰν καὶ τοὺς ἐν αὐτῇι ποικίλους προήγαγε καρποὺς καὶ τῇι τετάρτηι πεποίηκε τὸν ἥλιον καὶ τὴν σελήνην καὶ πάντα τὸν τῶν ἀστέρων χορόν, τῇι δὲ πέμπτηι τῶν ἐν τῇι θαλάττηι ζώιων καὶ τῶν ἐν τῶι ἀέρι πετεινῶν τὴν γένεσιν ἔκτισε, τῇι δὲ ἕκτηι τετράποδα ἐπὶ τῆς γῆς πεποίηκε, καὶ λοιπὸν τὸν ἄνθρωπον τὸν ἐκ ψυχῆς λογικῆς καὶ σώματος,

Rom. 1, 20 τά τε ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται. καὶ οὔτε τὸ φῶς ὡς ἡ νὺξ οὔτε ὁ ἥλιος ὡς ἡ σελήνη οὔτε τὰ ἄλογα ὡς ὁ λογικὸς ἄνθρωπός ἐστιν οὔτε ἄγγελοι ὡς οἱ θρόνοι οὔτε οὗτοι ὡς αἱ ἐξουσίαι, ἀλλὰ πάντα μέν ἐστι κτίσματα, ἕκαστον δὲ τῶν γενομένων κατὰ γένος τῇι ἰδίαι οὐσίαι ὡς γέγονεν, ἔστι τε καὶ μένει.

Ἰδοὺ καὶ ὁ ἐν ἁγίοις Ἀθανάσιος παραδίδωσιν ὅτι μετὰ πάντα τὰ κτίσματα ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον τὸν ἐκ σώματος καὶ ψυχῆς νοερᾶς καὶ λογικῆς. οὐ γὰρ εἶπε τὸ σῶμα μετὰ πάντα γενέσθαι, ἵνα προυπάρχουσα ψυχὴ εἰσέλθηι ἐν αὐτῶι· ἀλλ' εἶπε μετὰ πάντα τὰ κτίσματα τὸν ἄνθρωπον γεγενῆσθαι τὸν ἐκ ψυχῆς λογικῆς καὶ σώματος δεικνὺς ὅτι ἀμφότερα, τουτέστι σῶμά τε καὶ ψυχήν, ὁ θεὸς κατὰ ταυτὸν ἐδημιούργησεν.

Ἐπειδὴ δὲ καὶ τοῦτο μετὰ τῶν ἄλλων Ὠριγένους βλασφημιῶν εἴρηται ὅτι ἡ τοῦ κυρίου ψυχὴ προυπῆρχε καὶ ταύτηι ὁ θεὸς λόγος ἥνωτο πρὸ τῆς ἐκ παρθένου σαρκώσεως, καὶ τὴν τοιαύτην ἀναιρῶν ληρωιδίαν ὁ αὐτὸς ὁ ἐν ἁγίοις Ἀθανάσιοις ἐν τῇι πρὸς Ἐπίκτητον ἐπιστολῇι λέγει τάδε

---

31 cf. anathem. β

O [= aerv], I

5 ὑπὸ O^{e} 8 λέγοντασ O^{el} λέγοντεσ O^{arv} 9 ἐκ τοῦ νοῦ τὴν ψυχὴν ὁρίζοντες OI, falsa apud Athanasium eduntur 11 τοῖσ ἀκροωμένοισ O^{e} 14 τοῦ αὐτοῦ O τοῦ ἁγίου ἀθανασίου I, extra textum inser. τοῦ ἁγίου ἀθανασίου O^{e} 17 ἐποίησε I 18 τῶν^{2}] τὸν O^{r} 19 θαλάσσῃ O^{e} 22 τὰ om. O^{aev} ὁ om. O^{aev} 25 τε om. O^{rI} 26 ἐν ἁγίοισ O^{aev} ἁγιοσ O^{rI} 28 ψυχὴ O^{el} ἡ ψυχὴ O^{r} om. O^{av} 30 κατ' αὐτὸν O^{a} corr., O^{v} 32 θεὸς om. O^{e} 33 αὐτὸς ὁ I ὁ αὐτὸσ O^{v} αὐτὸσ O^{er} om. O^{a}

εἰκότως καταγνώσονται ἑαυτῶν πάντες οἱ νομίζοντες πρὸ τῆς Μαρίας εἶναι τὴν ἐξ αὐτῆς σάρκα καὶ πρὸ ταύτης ἐσχηκέναι ψυχὴν ἀνθρωπίνην τὸν θεὸν λόγον καὶ ἐν αὐτῇ πρὸ τῆς ἐπιδημίας ἀεὶ γεγενῆσθαι. ad Epict. 8 p. 13, 7—10

Εἰ τοίνυν κατὰ τὰ εἰρημένα τῶι ἐν ἁγίοις Ἀθανασίωι ἡ ψυχὴ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ κατὰ πάντα ὁμοιωθέντος ἡμῖν χωρὶς ἁμαρτίας οὐ προυπῆρχε τῆς ἐν σαρκὶ αὐτοῦ ἐπιδημίας, ποίας ἂν εἴη μανίας τὸ λέγειν τὰς ἄλλας τῶν ἀνθρώπων ψυχὰς προυπάρχειν τῶν σωμάτων;

Ἀκούσωμεν δὲ πρὸς τούτοις καὶ τοῦ ἐν ἁγίοις Βασιλείου ἐν τῶι λόγωι τῶι εἰς τὸ ἐν ἀρχῆι ἦν ὁ λόγος καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν λέγοντος οὕτως Ioh. 1, 1

Ὅρα μή ποτέ σε παρακρούσηται τὸ ὁμώνυμον τῆς φωνῆς· πῶς γὰρ ἐν ἀρχῆι PG 31, 477 ἦν ὁ ἀνθρώπινος λόγος τοῦ ἀνθρώπου κάτω που λαβόντος τὴν ἀρχὴν τῆς γενέσεως; πρὸ ἀνθρώπου θηρία, πρὸ ἀνθρώπου κτήνη, τὰ ἑρπετὰ ὅσα χερσαῖα καὶ ἔνυδρα, τὰ πετεινὰ τοῦ οὐρανοῦ, ἀστέρες ἥλιος σελήνη βοτάναι γῆ θάλαττα οὐρανός.

Ἰδοὺ ὁ πατὴρ σαφῶς ἡμῖν προαγορεύει μὴ συναπαχθῆναι τοῖς τοῦ Ὠριγένους μύθοις περὶ τῆς τῶν ψυχῶν προυπάρξεως. οὐ διδάσκει γὰρ ἡμᾶς ἐν ἀρχῆι τὸν ἀνθρώπινον λόγον, τουτέστι τὴν ψυχήν, ἀλλὰ διαρρήδην βοᾶι ὅτι ἀνθρώπου γένεσις ὑστέρα ἐστὶ πάντων τῶν τοῦ θεοῦ κτισμάτων. εἰ τοίνυν πάντα τὰ κτίσματα πρὸ τοῦ ἀνθρώπου, πῶς προυπῆρχον αἱ ψυχαί; ὁ γὰρ πατὴρ οὐ πρὸ τοῦ σώματος, ἀλλὰ PG 965 πρὸ τοῦ ἀνθρώπου, ὅπερ ἐστὶ ψυχή τε καὶ σῶμα, εἶπε τὰ πάντα γεγενῆσθαι, καὶ ἐκ τούτου δείκνυται ἅμα ἑκάτερον δημιουργηθῆναι.

Λέγει δὲ καὶ ὁ ἐν ἁγίοις Γρηγόριος ὁ Νύσσης, ἐκ τῆς εἰς τὸν ἄνθρωπον πραγματείας PG 44, 229

Τάχα γὰρ οὐκ ἔξω τῆς προκειμένης ἡμῖν πραγματείας ἐστὶ τὸ διεξετάσαι τὸ ἀμφιβαλλόμενον ταῖς ἐκκλησίαις περὶ ψυχῆς τε καὶ σώματος. τισὶ μὲν γὰρ δοκεῖ τῶν πρὸ ἡμῶν, οἷς ὁ περὶ τῶν ἀρχῶν ἐπραγματεύθη λόγος, καθάπερ τινὰ δῆμον ἐν ἰδιαζούσηι πόλει τὰς ψυχὰς προυφεστάναι λέγειν, προκεῖσθαι δὲ κἀκεῖ τὰ τῆς κακίας καὶ L V 656 τῆς ἀρετῆς ὑποδείγματα, καὶ παραμένουσαν μὲν ἐν τῶι καλῶι τὴν ψυχὴν τῆς πρὸς τὸ σῶμα συμπλοκῆς μένειν ἀπείρατον, εἰ δὲ ἀπορρυῆι τῆς τοῦ ἀγαθοῦ μετουσίας, πρὸς τὸν τῆιδε βίον κατολισθαίνειν καὶ οὕτως ἐν σώματι γίνεσθαι. ἕτεροι δὲ τῆι κατὰ τὸν Μωσέα τάξει τῆς κατασκευῆς τοῦ ἀνθρώπου προσέχοντες δευτέραν εἶναι τὴν ψυχὴν τοῦ σώματος κατὰ τὸν χρόνον φασίν, ἐπειδὴ πρῶτον λαβὼν ὁ θεὸς χοῦν ἀπὸ τῆς γῆς τὸν ἄνθρωπον ἔπλασεν, ἔπειτα οὕτως ἐψύχωσε διὰ τοῦ ἐμφυσήματος.

Καὶ μετ' ὀλίγα· οἱ τῶι προτέρωι παριστάμενοι λόγωι καὶ πρεσβυτέραν τῆς ἐν PG 44, 232 σαρκὶ ζωῆς τὴν πολιτείαν τῶν ψυχῶν δογματίζοντες οὔ μοι δακοῦσι τῶν Ἑλληνικῶν καθαρεύειν ⟨δογμάτων⟩ τῶν περὶ τῆς μετεμψυχώσεως μεμυθολογημένων. εἰ γάρ τις ἀκριβῶς ἐξετάσειε, πρὸς τοῦτο κατὰ πᾶσαν ἀνάγκην τὸν λόγον αὐτοῖς εὑρήσει κατασυρόμενον ⟨ὃν⟩ φασι τινὰ τῶν παρ' ἐκείνοις σοφῶν εἰρηκέναι ὅτι καὶ ἀνὴρ γέγονε καὶ

O [= aerv], I

1 πάντες ἑαυτῶν I 8 εἰς τὸ I om. O 11 ἀρχὴν] ἐν ἀρχὴν O^v 13 βοτάναι O^e Bas. βοτάνη $O^{arv}I$ θάλασσα $O^{aev}I$ 15 οὐ O^rI om. O^{aev} ante ἐν per correcturam ins. οὐκ O^a m. prima 16 ὅτι ἡ O^v 19 καὶ^2 om. O^rI 20 τούτου δὴ I 21 ἐν τῆ — πραγματεία I 22 τάχα γὰρ om. O^a 23 μὲν om. O^a 24 καθάπερ γάρ O^a 25 λέγει O^{ev} om. I 26 ἐν om. I 26/27 πρὸ τοῦ σώματος O^v 27 ἀπείραστον O 30 χοῦν ὁ θ$\bar{\text{ς}}$ O^{av} 31 οὕτως O^{aev} Greg. τοῦτον O^rI ἐμψύχωσε O^a ἐμψύχωσ O^v 33 ἑλλήνων O^r 34 δογμάτων τῶν Greg. τῶν O om. I περὶ τῆς om. I μυθολογημάτων I 36 ὃν φασι Greg. φασὶ O φασὶ γοῦν I

γυναικὸς σῶμα ἠμφιάσατο καὶ μετ' ὀρνέων ἀνέπτη καὶ θάμνος ἔφυ καὶ τὸν ἔννδρον ἔλαχε βίον, οὐ πόρρω τῆς ἀληθείας κατὰ τὴν ἐμὴν κρίσιν φερόμενος ὁ περὶ ἑαυτοῦ ταῦτα λέγων. ὄντως γὰρ βατράχων τινῶν ἢ κολοιῶν φλυαρίας ἢ ἀλογίας ἰχθύων ἢ δρυῶν ἀναισθησίας ἄξια τὰ τοιαῦτα δόγματα, τὸ μίαν ψυχὴν λέγειν διὰ τοσούτων ἐλθεῖν. τῆς δὲ τοιαύτης ἀτοπίας αὕτη ἐστὶν ἡ αἰτία, τὸ προυφεστάναι τὰς ψυχὰς οἴεσθαι· δι' ἀκολούθου γὰρ ἡ ἀρχὴ τοῦ τοιούτου δόγματος ἐπὶ τὸ προσεχές τε καὶ παρακείμενον τὸν λόγον προάγουσα μέχρι τούτου τερατευουμένη διέξεισιν. εἰ γὰρ διά τινος κακίας ἀποσπασθεῖσα τῆς ὑψηλοτέρας ἡ ψυχὴ πολιτείας ἄνθρωπος γίνεται, ἐμπαθέστερος δὲ πάντως ὁ ἐν σαρκὶ βίος ὡμολόγηται παρὰ τὸν ἀίδιον καὶ ἀσώματον, ἀνάγκη πᾶσα τὴν ἐν τῶι τοιούτωι γινομένην βίωι ἐν ὧι καὶ πλείους αἱ πρὸς τὸ ἁμαρτάνειν εἰσὶν ἀφορμαί, ἐν πλείονί τινι τῆι κακίαι γενέσθαι καὶ ἐμπαθέστερον διατεθῆναι. ἀνθρωπίνης δὲ ψυχῆς πάθος ἡ πρὸς τὸ ἄλογόν ἐστιν ὁμοίωσις, τούτωι δὲ προσοικειωθεῖσαν αὐτὴν εἰς κτηνώδη φύσιν μεταρρυῆναι· ἅπαξ δὲ διὰ κακίας ὁδεύουσαν μηδὲ ἐν ἀλόγωι γενομένην τῆς ἐπὶ τὸ κακὸν προόδου λήξειν ποτέ. ἡ γὰρ τοῦ κακοῦ στάσις ἀρχὴ τῆς κατ' ἀρετήν ἐστιν ὁρμῆς, ἀρετὴ δὲ ἐν ἀλόγοις οὐκ ἔστιν. οὐκοῦν πρὸς τὸ χεῖρον ἐξ ἀνάγκης ἀλλοιωθήσεται πάντοτε πρὸς τὸ ἀτιμότερον προιοῦσα καὶ ἀεὶ τὸ χεῖρον τῆς ἐν ἧι ἐστι φύσεως ἐξευρίσκουσα, ὥσπερ δὲ τοῦ λογικοῦ τὸ αἰσθητὸν ὑποβέβηκεν, οὕτω καὶ ἀπὸ τούτου ἡ μετάπτωσις γίνεται. ἀλλὰ μέχρι τούτου προιὼν ὁ λόγος αὐτοῖς, εἰ καὶ ἔξω τῆς ἀληθείας φέρεται, ἀλλά γε διά τινος ἀκολουθίας ἄτοπον ἐξ ἀτόπου μεταλαμβάνει· τὸ δὲ ἐντεῦθεν ἤδη διὰ τῶν ἀσυναρτήτων αὐτοῖς τὸ δόγμα μυθοποιεῖται. ἡ μὲν γὰρ ἀκολουθία παντελῆ διαφθορὰν τῆς ψυχῆς ὑποδείκνυσιν· ἡ γὰρ ἅπαξ τῆς ὑψηλῆς
PG 667 πολιτείας ἀπολισθήσασα ἐν οὐδενὶ μέτρωι κακίας στῆναι δυνήσεται, ἀλλὰ διὰ τῆς πρὸς τὰ πάθη σχέσεως ἀπὸ μὲν τοῦ λογικοῦ πρὸς τὸ ἄλογον μεταβήσεται, ἀπ' ἐκείνου δὲ πρὸς τὴν τῶν φυτῶν ἀναισθησίαν μετατεθήσεται· τῶι δὲ ἀναισθήτωι πως τὸ ἄψυχον, τούτωι δὲ τὸ ἀνύπαρκτον ἕπεται, ὥστε διόλου διὰ τῆς ἀκολουθίας πρὸς τὸ μὴ ὂν αὐτοῖς ἡ ψυχὴ μεταχωρήσει. οὐκοῦν ἀμήχανος αὐτῆι πάλιν ἔσται ἡ πρὸς τὸ κρεῖττον ἐπάνοδος. ἀλλὰ μὴν ἐκ θάμνου ἐπὶ τὸν ἄνθρωπον τὴν ψυχὴν ἐπανάγουσιν. οὐκοῦν
L V 657 προτιμοτέραν τὴν ἐν θάμνωι ζωὴν τῆς ἀσωμάτου διαγωγῆς ἐκ τούτων ἀποδεικνύουσιν. δέδεικται γὰρ ὅτι πρὸς τὸ χεῖρον γινομένη ἡ πρόοδος τῆς ψυχῆς πρὸς τὸ κατώτερον κατὰ τὸ εἰκὸς ὑποβήσεται, ὑποβέβηκε δὲ τὴν ἀναίσθητον φύσιν τὸ ἄψυχον, εἰς ὃ δι' ἀκολουθίας ἡ ἀρχὴ τοῦ δόγματος αὐτῶν τὴν ψυχὴν ἄγει. ἀλλ' ἐπειδὴ τοῦτο οὐ βούλονται, ἢ τῶι ἀναισθήτωι τὴν ψυχὴν κατακλείουσιν ἢ εἴπερ ἐντεῦθεν ἐπὶ τὸν ἀνθρώπινον αὐτὴν ἐπανάγοιεν βίον, προτιμότερον, καθὼς εἴρηται, τὸν ξυλώδη βίον τῆς πρώτης ἀποδείξουσι καταστάσεως, εἴπερ ἐκεῖθεν μὲν ἡ πρὸς κακίαν κατάπτωσις γέγονεν, ἐντεῦθεν δὲ ἡ πρὸς ἀρετὴν ἐπάνοδος γίνεται. οὐκοῦν ἀκέφαλός τις καὶ καὶ ἀτελὴς ὁ τοιοῦτος διελέγχεται λόγος ὁ τὰς ψυχὰς ἐφ' ἑαυτῶν πρὸ τῆς ἐν σαρκὶ ζωῆς βιοτεύειν κατασκευάζων καὶ διὰ κακίαν ἐνδεδέσθαι τοῖς σώμασι.

O [= aerv], 1

2 οὐ om. Ov ἑαυτοῦ Or1 αὐτοῦ Oaev Greg. edd. 3 οὕτωσ Ov 3/4 ἢ² — ἀναισθησίας om. Or 6 ἀκολουθίασ Oa προσεχέσ τε O°I Greg. προσεχέστερον Oarv 8 πολιτείασ ἡ ψυχὴ 1 9 ἐμμαθέστεροσ Ov τὸν Oae Greg. τῶν Oav τὸν τῶν OrI ἀιδίων καὶ ἀσωμάτων Oarv1 10 γενομένην 1 11 τῆι om. Oa γενέσθαι 1 Greg. γίνεσθαι O 12 τούτω δὲ Or1 Greg. τούτω Oav καὶ τούτω Oe 12/13 προσεικιωθεῖσαν Ov 13 αὐτὴν] εἰσ αὐτὴν Ov τὲ Oe ὁδεύουσα Oarv 14 γενομένη Or λήξει Oarv 16 ἀτιμότερον Oarv 1 Greg. χεῖρον καὶ ἀτιμότερον Oe 17 αἰσθητικὸν 1 19 εἰ 1 Greg. om. O 21 γὰρ¹ 1 Greg. om. O 25 διόλου om. 1 καθόλου Greg. 26 ἀμήχανον Oe αὐτῆι om. Ov 27 οὐνοῦν 1 28 ἐκ θάμνου Oav ἀποδείκνυσι 1 29 ἡ om. Oe ὁ Ov 31 ἀκολουθίαν Ov 31/32 ἄγει — ψυχὴν om. Or1 32 κατακλείει 1 32/33 οὐνιῶν 1 34 ἀποδείξωσι Oe 36 ἐφ' ἑαυτῶν Greg. ἐν ἑαυτῶ O ἐν ἑαυταῖς 1

Προδήλου τοίνυν οὔσης τῆς τοῦ πατρὸς διδασκαλίας καὶ ἀποκηρυττούσης τὸ λέγειν προυπάρχειν τὰς ψυχὰς τῶν σωμάτων, ἀκούσωμεν καὶ τοῦ ἐν ἁγίοις Θεοφίλου τοῦ ἐπισκόπου Ἀλεξανδρείας ἀπὸ τοῦ λόγου τοῦ γραφέντος πρός τινας μοναχοὺς τὰ Ὠριγένους φρονοῦντας λέγοντος τάδε

Οὐκοῦν ἀναθεματίζοντες τὸν Ὠριγένην καὶ τοὺς ἄλλους αἱρετικούς, ὥσπερ ἡμεῖς καὶ ὁ τῆς Ῥωμαίων ἁγίας ἐκκλησίας ἐπίσκοπος Ἀναστάσιος ἐκ παλαιοτέρων ἀγωνισμάτων ἔνδοξος στρατηγὸς ἐπισήμου λαοῦ χειροτονηθείς, ᾧ καὶ πᾶσα ἡ τῶν μακαρίων κατὰ τὴν Δύσιν ἐπισκόπων ἕπεται σύνοδος, ἀποδεχομένη τῆς τῶν Ἀλεξανδρέων ἐκκλησίας τὴν κατὰ τοῦ ἀσεβοῦς ψῆφον.

Τοῦ αὐτοῦ ἐκ τῆς ἐπιστολῆς τῆς πρὸς τοὺς ἐν τῇ Σκήτει ἁγίους πατέρας διὰ τοὺς ἐγκαλοῦντας τὴν τῶν δογμάτων Ὠριγένους καθαίρεσιν

Ἐτόλμησαν τινὲς εἰπεῖν διδάσκαλον εἶναι τῆς ἐκκλησίας Ὠριγένην. ἆρα πρέπον τῶν τοιούτων ἀνέχεσθαι; εἰ διδάσκαλός ἐστι τῆς ἐκκλησίας Ὠριγένης, μεγαλοφρονοῦσιν Ἀρειανοί τε καὶ Εὐνομιανοὶ καὶ Ἕλληνες, οἱ μὲν εἰς τὸν υἱὸν καὶ εἰς τὸ πνεῦμα βλασφημοῦντες, οἱ δὲ μετὰ τοῦ δυσσεβεῖν ὁμοίως αὐτοῖς καὶ τὴν ἀνάστασιν τῶν νεκρῶν χλευάζοντες.

Σαφὲς τοίνυν ἐκ τῶν εἰρημένων γεγένηται ὅτιπερ ὁ τοῖς ἁγίοις πατράσιν ἀκολουθῶν οὐκ ἀμφιβάλλει ὡς οἱ τὰ Ὠριγένους φρονοῦντες τῇ Ἑλληνικῇ πλάνῃ καὶ Ἀρειανικῇ ἀκολουθοῦσι μανίαι.

Λέγει δὲ καὶ ὁ ἐν ἁγίοις Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας ἐκ τῆς ἐπιστολῆς τῆς πρὸς τοὺς ἐν Φουᾶι μοναχοὺς κατὰ τῶν λεγόντων μὴ εἶναι ἀνάστασιν τῶν σωμάτων τάδε

Φασὶ τοίνυν τῶν ἐν ὑμῖν τινὰς ἀρνεῖσθαι τῶν ἀνθρωπίνων σωμάτων τὴν ἀνάστασιν, ὅπερ ἐστὶ μέρος τῆς ὁμολογίας ἡμῶν ἧς ποιούμεθα προσιόντες τῷι σωτηρίωι βαπτίσματι. ὁμολογοῦντες γὰρ τὴν πίστιν προσεπάγομεν ὅτι πιστεύομεν καὶ τῆς σαρκὸς ἀνάστασιν. εἰ δ' ἀναιροῦμεν τοῦτο καὶ οὐ πιστεύομεν ὅτι Χριστὸς ἐκ νεκρῶν ἐγήγερται, ἵνα ἡμᾶς ἑαυτῷι συναναστήσηι, χωλεύουσαν ἔχομεν τὴν πίστιν καὶ τὴν βασιλικὴν ἀφέντες ὁδὸν βαδίζομεν τὴν διεστραμμένην. ἔστι δὲ ἡ τοιαύτη κακοδοξία τῆς Ὠριγένους φρενοβλαβείας, ὃν καὶ οἱ πατέρες ἡμῶν ὡς διαστρέφοντα τὴν ἀλήθειαν ἀπεκήρυξαν καὶ ἀνεθεμάτισαν. οὐ γὰρ ἐφρόνησεν ὡς Χριστιανός, ἀλλὰ ταῖς Ἑλλήνων ἀκολουθήσας φλυαρίαις πεπλάνηται. ἡ δὲ ἀρχὴ τοῦ νοσήματος ἐντεῦθεν αὐτῷι συμβέβηκε. φησὶ γὰρ ὅτι προυπάρχουσιν αἱ ψυχαὶ τῶν σωμάτων καὶ ἀπὸ ἁγιασμοῦ παρηνέχθησαν εἰς ἐπιθυμίας πονηρὰς καὶ ἀπέστησαν θεοῦ καὶ ταύτης ἕνεκα τῆς αἰτίας κατεδίκασεν αὐτὰς καὶ ἐσωμάτωσεν, καὶ εἰσὶν ὡς ἐν δεσμωτηρίωι ἐν σαρκί. ἡ δὲ ἐκκλησία ταῖς θεοπνεύστοις ἑπομένη γραφαῖς οὐκ οἶδε τῶν σωμάτων προυπάρχουσαν τὴν ψυχήν, PG 969 L V 660

O [= aerv], I

2 ἐν ἁγίοις om. I 2/3 τοῦ — ἀλεξανδρείας θεοφίλου I 5 ἀναθεματίζετε I 6 τε καὶ O^{e} ἁγίας om. I 7 ἡ I om. O 10 τοῦ αὐτοῦ O θεοφίλου ἀλεξανδρείας I ἐκ τῆς om. O^{r} τῇι om. O^{e} πατέρας I om. O 14 τε om. O^{e} εἰς² om. O^{r} 15 τοῦ O^{erI} τὸ O^{av} 21 πρὸς τοὺς om. O^{r} ἐν φουᾶ O^{a} corr., O^{erI} ἐφουᾶ O^{av} τῶν om. O^{aev} ταῦτα O^{avI} 22 τινὰς I τινὲς O 24 τῆς I εἰς O 25 τοῦτο om. O^{e} ὁ χ̄ς̄ O^{rI} 26 ἑαυτῷ συναναστήσηι O^{rI} ἑαυτῷ ἀναστήσηι O^{av} ἀναστήσηι σὺν ἑαυτῷ O^{e} τὴν πίστιν ἔχομεν O^{av} 31 ἀπὸ ἁγιασμοῦ O^{e} ἁγιασμῷ O^{av} ἁγνισμῷ O^{r} κάκ τοῦ ἁγιασμοῦ I 33 ὡς om. I ἐν² O^{erI} τῇ O^{av} ante ἡ δὲ habent τοῦ αὐτοῦ ἐκ τῆς ἐπιστολῆς τῆς πρὸς τοὺς ἐν φουᾶ μοναχούς [τῆς πρὸς — μοναχούς ἐπιστολῆς O^{e}] O

ἀλλ' οὐδὲ προαμαρτήσασαν πρὸ αὐτῶν. πῶς γὰρ ἡ μὴ ὑφεστῶσα καὶ ἁμαρτεῖν ἠδύνατο; φαμὲν δὲ ὅτι ἔπλασε μὲν ὁ τῶν ὅλων δημιουργὸς τὸ σῶμα ἐκ γῆς, ἐψύχωσε δὲ αὐτὸ ψυχῇ νοερᾷ. καὶ αὕτη ἐστὶν ἡ τοῦ ἀνθρώπου κατασκευή.

Καὶ μεθ' ἕτερα· ὅτι οὐκ ἐκ προγενεστέρων, ὥσ φασιν, ἁμαρτημάτων καταδεδίκασται ἡ τοῦ ἀνθρώπου ψυχὴ καὶ εἰς τοῦτον κατεπέμφθη τὸν κόσμον, πιστώσεται γράφων καὶ
2 Cor. 5, 10 ὁ πάνσοφος Παῦλος· τοὺς γὰρ πάντας ἡμᾶς δεῖ φανερωθῆναι ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν εἴτε ἀγαθὸν εἴτε φαῦλον. διὰ τί γὰρ μόνα τὰ διὰ τοῦ σώματος φανερωθήσεσθαί φησι καὶ οὐχὶ δὴ μᾶλλον καὶ τὰ πρὸ τοῦ σώματος, εἴπερ ἤδει προοῦσαν καὶ προαμαρτήσασαν τὴν ψυχήν; εἰ δὲ ἐπὶ μόνοις κρινόμεθα τοῖς διὰ τοῦ σώματος, οὐκ ἔχομεν δῆλον ὅτι προγενεστέραν τοῦ σώματος ἁμαρτίαν. οὐ γὰρ ὑφέστηκεν ὅλως ἡ τοῦ ἀνθρώπου ψυχὴ πρὸ αὐτοῦ. πληροφορεῖ δὲ πρὸς τοῦτο ἡμᾶς καὶ ἡ τοῦ νομικοῦ γράμματος δύναμις. εἰ γάρ, ὥς φησιν ὁ πεπλανημένος Ὠριγένης, ἐκ τῶν προγενεστέρων ἁμαρτιῶν λόγωι κολάσεως ἤτοι τιμωρίας ἐδέξατο τὸ σῶμα ἡ ψυχή, διὰ ποίαν αἰτίαν ἠπείλησε θάνατον τοῖς ἁμαρτάνουσιν; ἔδει γὰρ μᾶλλον τοὺς δικαίους ἀποθνήισκειν, ἵνα ἀπαλλάττωνται τῶν δεσμῶν καὶ τῆς τιμωρίας, ζῆν δὲ τοὺς ἀλιτηρίους, ἵνα κολάζωνται μὴ ἀπαλλασσόμενοι τῶν δεσμῶν.

Ἐκ τῆς ἐκτεθείσης ὑπὸ τῶν κατ' Αἴγυπτον καὶ Ἀλεξάνδρειαν ἐπισκόπων συνοδικῆς ἐπιστολῆς κατὰ τῶν Ὠριγένους δογμάτων

Οὗτος τοίνυν ὁ προκείμενος Ὠριγένης καθάπερ τὸ τῆς ἐρημώσεως βδέλυγμα ἐν μέσωι τῆς ἁληθοῦς ἐκκλησίας γεγένηται καὶ πρεσβύτερος χειροτονηθεὶς ὑπὸ τῆς κανονικῆς τε καὶ μιᾶς χειρὸς ἀληθινῆς εἶχε τὸ ἀξίωμα τοῦ πρεσβυτέρου ψιλόν τε καὶ μόνον καθάπερ καὶ τὸ τῆς ἀποστολῆς εἶχεν ὁ κλέπτης καὶ προδότης Ἰούδας. ἀρξαμένου γὰρ αὐτοῦ βλασφήμους ὁμιλίας ὁμιλεῖν ὁ κατ' ἐκεῖνο καιροῦ μακαρίτης Ἡρακλᾶς ἐπίσκοπος ὡς ἀροτὴρ καὶ ἀμπελουργὸς φιλαλήθης τοῦ τῆς ἐκκλησίας χωρίου τυγχάνων ἐκ μέσου τοῦ καλοῦ σίτου τοῦτον ἐξέτιλεν ὡς τοῦ πονηροῦ ζιζανίου ὄντα ἀληθῶς.

Καὶ μετ' ὀλίγα· ἐκπεσὼν οὖν οὗτος ἐπὶ τὴν γῆν οὐρανόθεν ὡς ἀστραπή, καθάπερ ὁ τούτου πατὴρ ὁ διάβολος, θυμοῦ πνέων πολλοῦ καὶ δεινοῦ κατὰ τῆς ἀληθείας ἐπὶ τὴν καλουμένην Παλαιστίνην χώραν ἔπλευσε καὶ καθίσας ἐν τῆι Καισαρέων μητροπόλει κἀκεῖσε τὸ πρόσωπον ἀποκαλύψας ὅλον ἐξ ὅλου τοῦ καλύμματος, καθάπερ ὁ
PG 971 ἰχθὺς ἡ σηπία παρά τισι καλουμένη, ὅσπερ αὐτῶι καθ' ἡδονὴν ἐτύγχανε, σκοτεινόν τε καὶ μέλανα ἰὸν ἐξεμέσας ἐγγράφως ἀπετυπώσατο καὶ καθάπερ Ἰουδαικὸς κάπηλος προσχήματι ἀγαθοῦ πικρῶι γλυκὺ κατέμιξε. τί γὰρ ὁ κακομήχανος καὶ μανιώδης λέγει; ἦν, φησί, πρὸ σώματος ἡ ψυχὴ ἐν οὐρανοῖς προοῦσα, κἀκεῖσε, φησίν, ἁμαρτήσασαν ἐν φυλακῆι κατήγγισε, τουτέστιν ἐν τῶι σώματι κατέπεμψεν, εἰς καθαρισμόν,

---

O [= aerv]

1 ἡ O^{er}I εἰ O^{av} ἐφεστῶσα O^{v} καὶ om. O^{e} ἁμαρτάνειν O^{a} 2 αὐτῶ O^{a} 5 καὶ^{2} om. I 8 ἀγαθὰ O^{e} φαῦλα O^{e} 8/9 φανερωθήσεται O^{av} 9 τοῦ om. O^{av} ἤιδει] εἴδη O^{r} 13 ὥς om. O^{av} 14 ἁμαρτημάτων O^{e} 16/17 ἁλιτροὺσ I ἁλλοτρίουσ O^{r} 17 κολάζονται O^{v} ἀπαλλαττόμενοι O^{aev} 18 τοῦ αὐτοῦ extra textum in mg. superiore O^{e} ὑπὸ τῶν I τῶν O^{aev} om. O^{r} 19 θαυμάτων O^{v} 20 ἐρημίασ βδέλλυγμα O^{e} 24 ὁμιλεῖν ὁμιλίασ O^{av} ἐκείνου O^{av} ἡρακλᾶσ ἐπίσκοπος I ἡρακλᾶσ ὁ ἐπίσκοποσ O^{arv} ἐπίσκοποσ ἡρακλᾶσ O^{e} 26 ἐξέτιλλεν O^{av}, corr. O^{a} 28 ὁ^{2} om. O^{av} πνέων O^{r}I τοῦ τε O^{ae} τούτου O^{v} 29 παλαιστήνην O^{ev} παλαιστείνην O^{v} corr. ἔπλευσε πνεύσασ O^{e} καθήσασ O^{e} ἐν τῆι] ἐν τῆ κατὰ O^{r} 30 κἀκεῖθεν O^{r} προσωπεῖου O^{r}I 31 ὅσπερ I ὥσπερ O^{r} ὅπερ O^{aev} αὐτῶ I αὐτοῦ O 31/32 σκοτεινός τε καὶ μέλας I 32 μέλαν O^{aev} βίου ἰὸν O^{arv} ἰὸς I ἐξεμέσασ I ἐξεμέσας ἐκεῖσε O 33 γλυκεῖ O^{a}

φησί, καὶ σωφρονισμὸν τῶν ἐν οὐρανοῖς αὐτῇι γεγενημένων ἁμαρτιῶν. πρῶτον ἔνθεν εὐθὺς ὁ ἀσεβέστατος μυθολογεῖ καὶ μάχεσθαι τῆι ἀληθείαι θέλει.

Καὶ μετ' ὀλίγα· εἰ δὲ προῆν ἡ ψυχὴ ἐν τοῖς οὐρανοῖς καὶ προημάρτηκεν ἐκεῖσε, L V 661
καθὼς Ὠριγένης ὁ μανιώδης καὶ θεομάχος ἔφησεν, ἔδει μὴ λέγειν τὸν ἁγιώτατον προ-
φήτην καὶ πλάσσων πνεῦμα ἀνθρώπου ἐν αὐτῶι, ἀλλὰ μᾶλλον καταγγίζων Zach. 12, 1
πνεῦμα ἀνθρώπου ἐν αὐτῶι ἢ τάχα καταπέμπων. νῦν δὲ μὴ τοῦτο λέγων, ἀλλὰ 6
πλάσσων ἐν αὐτῶι δείκνυσι τοῦτον λύκον ὄντα βαρύτατον ἐνδεδυμένον ἔξωθεν πρὸς
ἀπάτην ἀπωλείας τὰ κώιδια. ὡς οὐρανόθεν γὰρ ὁ ἐπίληπτος καὶ τὰ ἐκεῖσε δια-
τετυπωμένα ἐπιστάμενος προφανῶς οὐ μόνον προοῦσαν, ἀλλὰ καὶ προημαρτηκέναι
τὴν ψυχὴν λέγει. 10

Ἀποδέδεικται τοίνυν διά τε τῆς θείας γραφῆς καὶ τῶν ἁγίων πατέρων ὅτι οὐδὲ
τῆι τῶν Χριστιανῶν ἀληθινῆι πίστει οὐδὲ τῶι ὀρθῶι λόγωι συμβαίνουσιν αἱ τῶν αἱ-
ρετικῶν περὶ προυπάρξεως ψυχῶν φαντασίαι.

Καὶ τοῦτο δὲ πρὸς τοῖς ἄλλοις τὴν Ὠριγένους παρίστησιν ἄνοιαν, τὸ λέγειν τὸν
οὐρανὸν καὶ τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας καὶ τὰ ὕδατα τὰ ἐπάνω τῶν 15
οὐρανῶν ἔμψυχα καὶ λογικάς τινας εἶναι δυνάμεις. ταῦτα δὲ σαφῶς ἀπαγορεύει
καὶ ὁ ἐν ἁγίοις Βασίλειος ἐν τῶι τρίτωι λόγωι τοῦ ὑπομνήματος τῆς ἑξαημέρου λέγων
κατὰ τῶν Ὠριγένους δογμάτων οὕτως

Ἡμῖν δὲ καὶ πρὸς τοὺς ἀπὸ τῆς ἐκκλησίας ἐστί τις λόγος περὶ τῶν διακριθέντων ὑδά- PG 29, 73
των, οἳ προφάσει ἀναγωγῆς καὶ νοημάτων δῆθεν ὑφηλοτέρων εἰς ἀλληγορίαν κατέφυγον 20
δυνάμεις λέγοντες πνευματικὰς καὶ ἀσωμάτους τροπικῶς ἐκ τῶν ὑδάτων σημαίνεσθαι καὶ
ἄνω μὲν ἐπὶ τοῦ στερεώματος μεμενηκέναι τὰς κρείττους, κάτω δὲ τοῖς περιγείοις καὶ ὑλι-
κοῖς τόποις προσαπομεῖναι τὰς πονηράς. διὰ τοῦτο δέ φασι καὶ τὰ ἐπάνω τῶν οὐρα-
νῶν ὕδατα αἰνεῖν τὸν κύριον, τουτέστι τὰς ἀγαθὰς δυνάμεις ἀξίας οὔσας διὰ καθαρότητα
τοῦ ἡγεμονικοῦ τὸν πρέποντα αἶνον ἀποδιδόναι τῶι κτίσαντι· τὰ δὲ ὑποκάτω τῶν 25
οὐρανῶν ὕδατα τὰ πνευματικὰ εἶναι τῆς πονηρίας ἀπὸ τοῦ κατὰ φύσιν ὕψους εἰς τὸ τῆς Eph. 6, 12
κακίας βάθος καταπεσόντα, ἅπερ ὡς ταραχώδη ὄντα καὶ στασιαστικὰ καὶ τοῖς θορύβοις
τῶν παθῶν κυμαινόμενα θαλάσσας ὠνομάσθαι διὰ τὸ εὐμετάβλητον καὶ ἄστατον τῶν
κατὰ προαίρεσιν κινημάτων. τοὺς δὲ τοιούτους λόγους ὡς ὀνειράτων συγκρίσεις καὶ
γραώδεις μύθους ἀποπεμψάμενοι τὸ ὕδωρ ὕδωρ νοήσωμεν καὶ τὴν διάκρισιν τὴν ὑπὸ τοῦ 30
στερεώματος κατὰ τὴν ἀποδοθεῖσαν αἰτίαν δεξώμεθα, κἂν εἰς δοξολογίαν ποτὲ τοῦ κοινοῦ
τῶν ὅλων δεσπότου τὰ ὑπεράνω τῶν οὐρανῶν παραλαμβάνηται ὕδατα, οὐ λογικὴν αὐτὰ
φύσιν παρὰ τοῦτο τιθέμεθα. οὔτε γὰρ οἱ οὐρανοὶ ἔμψυχοι, ἐπειδὴ διηγοῦνται Ps. 18, 2
δόξαν θεοῦ οὐδὲ τὸ στερέωμα ζῶιον αἰσθητικόν, ἐπειδὴ ἀναγγέλλει ποίησιν τῶν 35
χειρῶν αὐτοῦ.

---

14. 15 cf. anath. ζ

O [= acrv], I

1 φησί om. I ἁμαρτημάτων Or 2 εὐθὺς om. Oa 3 τοῖς om. I προημάρτησεν I
5/6 ἀλλὰ - - αὐτῶι om. Ov 7 τοῦτον] τὸν Oe 8/9 ἐκεῖθεν τετυπωμένα Or 9 προεπιστάμενος
φανερῶς Or, corr. Or προημαρτηκυῖαν I 12 τοῦ ὀρθοῦ λόγου Or ὀρθῶι om. Oa
13 ὑπάρξεως Or ψυχῶν om. Oa 15 τὴν σελήνην καὶ τὸν ἥλιον Oe 16 ἐμψύχους I
22 ἄνω μὲν O ἄνωθεν I 26 τὰ IBas. om. O πνεύματα Oav 28 ὠνομάσθαι IBas. ὀνομά-
ζεσθαι Oer χρὴ ὀνομάζεσθαι Oav καὶ ἄστατον om. I 29 δὴ I συγκρίσεις IBas. συγχύσεις O
32 αὐτὰ] κατα Ov 35 αἰσθητικὸν OeIBas. αἰσθητὸν Oarv

Δεῖ δὴ προσέχειν τοὺς ἀκροατὰς ὅτι τῶι εἰπεῖν τὸν πατέρα 'πρὸς τοὺς ἀπὸ τῆς ἐκκλησίας ἐστί τις ἡμῖν λόγος' περὶ 'Ωριγένους διαλέγεται τῆς τοῦ θεοῦ χάριτος καὶ τῆς
PG 973 ἁγίας τοῦ θεοῦ ἐκκλησίας ἀπελαθέντος καὶ τῶν ὁμοφρόνων ἐκείνωι· οὐ γὰρ εἶπε· πρὸς τοὺς ἐν τῆι ἐκκλησίαι, ἀλλά 'πρὸς τοὺς ἀπὸ τῆς ἐκκλησίας ἡμῖν ἐστί τις λόγος'. καὶ διὰ μὲν τοῦ εἰπεῖν ἡμῖν τοὺς τῆς ἐκκλησίας ἐδήλωσε, διὰ δὲ τοῦ ἀπό τοὺς ταύτης ἀποπεσόντας ἐσήμανεν.

Ἓν δὲ καὶ μόνον τῶι δυσσεβεῖ 'Ωριγένει σπούδασμα γέγονε τὸ τὴν Ἑλληνικὴν
L V 624 πλάνην κρατῦναι καὶ ταῖς τῶν σαθροτέρων ψυχαῖς ζιζάνια ἐγκατασπεῖραι. δι' ὃ κἀκεῖνο τὸ γέλωτος μὲν ἄξιον, παρ' αὐτοῦ δὲ ὅμως εἰρημένον περὶ τῆς τῶν ἀνθρώπων ἐκ νεκρῶν ἀναστάσεως προσθεῖναι συνείδομεν. λέγει γὰρ ὅτι ἐν τῆι ἀναστάσει σφαιροειδῆ ἐγείρονται τὰ σώματα τῶν ἀνθρώπων. ὢ τῆς ἀνοίας καὶ ἀμαθίας τοῦ φρενοβλαβοῦς τούτου καὶ τῶν Ἑλληνικῶν δογμάτων ἐξηγητοῦ. ὅστις τυφλώττων τὴν διάνοιαν καὶ τῆι τῶν Χριστιανῶν πίστει μύθους ἐπιμεῖξαι σπουδάσας αὐτὴν τὴν τῶν Χριστιανῶν ἐλπίδα τε καὶ σωτηρίαν, τουτέστι τὴν ἐπηγγελμένην ἡμῖν ἀνάστασιν, ἐσπούδασεν ἐνυβρίσαι μηδὲ τὴν τοῦ κυρίου ἀνάστασιν ἐντρεπόμενος. ἐγερθεὶς γὰρ ὁ κύριος
Cor. 15, 20 ἐκ νεκρῶν καὶ ἀπαρχὴ τῶν κεκοιμημένων γενόμενος τοῖς μαθηταῖς ὤφθη καὶ ἔδειξεν αὐτοῖς καὶ τὰς διατρήσεις τῶν χειρῶν καὶ τῶν ποδῶν καὶ τὴν πληγὴν τῆς πλευρᾶς καὶ ἔφαγε μετὰ τὴν ἀνάστασιν, οὐχ ὡς τροφῆς δεόμενος, ἀλλ' ἵνα τῶι τρόπωι τούτωι τὴν τοῦ ἀναστάντος σώματος φύσιν πιστώσηται. ἀμέλει τοι καὶ ἀναλαμβανομένου τοῦ κυρίου
Act. 1, 11 ὁ ἄγγελος πρὸς τοὺς μαθητὰς ἔλεγεν· οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανὸν οὕτως ἐλεύσεται ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν. εἰ δὲ καθὼς 'Ωριγένης μαίνεται, σφαιροειδὲς ἦν τὸ σῶμα τοῦ κυρίου, πῶς εἶχε δεῖξαι τὰς τῶν χειρῶν καὶ ποδῶν διατρήσεις ἢ τὴν πληγὴν τῆς πλευρᾶς; ἢ πῶς φαγεῖν ἠδύνατο ἢ ὅλως ὑπὸ τῶν μαθητῶν γνωρισθῆναι; πῶς δὲ καὶ
Mt. 27, 53 τὰ τῶν ἁγίων σώματα μετὰ τὴν τοῦ κυρίου ἀνάστασιν ἐγερθέντα καὶ ὀφθέντα ἐν τῆι ἁγίαι πόλει δυνατὸν ἦν παρὰ τῶν ἄλλων γνωρισθῆναι, εἴπερ ἐν ἄλλωι σχήματι ἦν παρ' ὅπερ ἐτύγχανεν ἐν τῆι ζωῆι; ἐν τῆι πέτραι τοίνυν τῆς πίστεως οὐκ ἐστηριγμένος ἀλλὰ τοιαύτας καὶ τούτων πολλῶι χείρους βλασφημίας ὁ δυσσεβὴς 'Ωριγένης ἐκθέμενος εἰκότως ἐν τῶι καιρῶι τοῦ μαρτυρίου τὸν μὲν Χριστὸν ἀπηρνήσατο, τῆι δὲ παρ' αὐτοῦ εἰσαγομένηι Ἑλληνικῆι πολυθείαι προσεκύνησε. καὶ τοῦτο δὲ κατὰ θεοῦ γέγονε πρόνοιαν, ἵνα μὴ ἀντὶ μάρτυρος ἐν τῆι ἐκκλησίαι δεχθῆι καὶ ἐντεῦθεν τῆι ποίμνηι τοῦ Χριστοῦ βλάβη προσγένηται. εἰ γάρ τινές εἰσι καὶ νῦν ὁμολογοῦντες μὲν τὸ ἐκείνου πτῶμα, ἀντιποιούμενοι δὲ τῶν αὐτοῦ, πῶς οὐκ ἔμελλον τὰ αὐτοῦ ὡς μάρτυρος καὶ πατρὸς ἐκδικεῖν, εἴπερ συνέβη αὐτὸν μὴ προσκυνήσαντα τοῖς εἰδώλοις τελειωθῆναι; οὐδεὶς γὰρ τῆς ἀληθείας ἀντεχόμενος ἐκπίπτει θεοῦ ἢ ἐγκακαλιμπάνεται ὑπ' αὐτοῦ κατὰ τὸ εἰρη-
Sir. 2, 10 μένον τῆι θείαι γραφῆι· ἐμβλέψατε εἰς ἀρχαίας γενεὰς καὶ ἴδετε· τίς ἐπίστευσε τῶι κυρίωι καὶ ἐγκατελείφθη; ἢ τίς ἤλπισεν εἰς αὐτὸν καὶ ὑπερεῖδεν αὐτόν; 'Ωριγένης δὲ ὁ δυσσεβὴς τὰς ἑαυτοῦ βλασφημίας οὐ μέχρις ἑαυτοῦ ἔστησεν, ἀλλὰ διὰ

10. 11 cf. anath. ε

30 ἐντεῦθεν γνῶτε δι' ἣν αἰτίαν 'Ωριγένης παρεχωρήθη ὑπὸ θεοῦ ἀρνήσασθαι αὐτόν Or in mg.

O [= aervy], I

1 δὴ I δὲ O τῶ I τὸ O 3 ἁγίας om. OrI ἐκείνων Ov 5 ἀπὸ OavI ἀπὸ τοῦ Or εἰπεῖν ἀπὸ Oe αὐτῆσ Or τῆσ ἐκκλησίασ I 6 ἐδήλωσεν. superscr. γρ ἐσήμανεν Or 7 δὴ I 10 προθεῖναι Oaev 12 καὶ om. I 13 ἐπιμίξαι Oaevl τῶν om. Oe 14 τε om. Or 14/15 ἐσπούδασεν — ἀνάστασιν om. I 20 ἡμῶν Ov 23 τοῦ om. Or 25 ἐγερθέντα ἀνάστασιν Oav 26 παρὰ — ἦν om. I 27/28 οὐκ ἐστηριγμένοσ Oaevl ἐστηριγμένοσ οὐδαμῶσ Oe 32 προσγένηται OaI προσγίνηται Oev προσγίνεται Or 37 ἐγκατελείφθη Oaevl κατησχύνθη Ov

τῶν ἰδίων συγγραμμάτων καὶ εἰς πολλοὺς ἑτέρους τὴν οἰκείαν πλάνην παρέπεμψεν, ὥστε πάνυ ἐπ' αὐτῶι ἁρμοδίαν εἶναι τὴν τοῦ ἁγίου ἀποστόλου Παύλου φωνὴν λέγουσαν ὅτι τινῶν μὲν αἱ ἁμαρτίαι πρόδηλοί εἰσι προάγουσαι εἰς κρίσιν, τισὶ δὲ καὶ ἐπακολουθοῦσιν. ἡ γὰρ διαδοχὴ τῆς πλάνης αὐτοῦ ἐν ταῖς τῶν σαθροτέρων ἔρπουσα ψυχαῖς δίδωσιν ἀκολουθεῖν αὐτῶι τὰς ἐξ ἀρχῆς ὑπ' αὐτοῦ γενομένας ἁμαρτίας. ὡς γὰρ οὐκ ἐξαρκούσης τοῖς τὰ 'Ωριγένους δοξάζουσι τῆς περὶ προυπάρξεως τῶν ψυχῶν ἀσεβείας καὶ τῶν ἄλλων αὐτοῦ ματαιολογιῶν καὶ τῶν περὶ τῆς ἁγίας τριάδος βλασφημιῶν, καὶ τοῦτο τῆι οἰκείαι προστιθέασι πλάνηι ἐκ τῶν ἐκείνου διεστραμμένων ὁδηγούμενοι λόγων τὸ λέγειν ὅτι πάντων ἀσεβῶν ἀνθρώπων καὶ πρός γε δαιμόνων ἡ κόλασις πέρας ἔχει καὶ ἀποκατασταθήσονται ἀσεβεῖς τε καὶ δαίμονες εἰς τὴν προτέραν αὐτῶν τάξιν. ταῦτα δὲ λέγοντες ῥαθύμους μὲν ποιοῦσι τοὺς ἀνθρώπους περὶ τὸ πληροῦν τὰς ἐντολὰς τοῦ θεοῦ, τῆς στενῆς καὶ τεθλιμμένης ὁδοῦ ἀποτρέποντες καὶ πρὸς τὴν πλατεῖαν καὶ εὐρύχωρον ἀποπλανῶντες· ἐναντιοῦνται δὲ καθάπαξ καὶ τοῖς παρὰ τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ λεγομένοις. αὐτὸς γὰρ ἐν τῶι ἁγίωι εὐαγγελίωι διδάσκει ὡς οἱ μὲν ἀσεβεῖς ἀπελεύσονται εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον. καὶ πάλιν λέγει τοῖς μὲν ἐκ δεξιῶν· δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου· τοῖς δὲ ἐξ εὐωνύμων· πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῶι διαβόλωι καὶ τοῖς ἀγγέλοις αὐτοῦ. φανερῶς οὖν τοῦ κυρίου διὰ τοῦ ἁγίου εὐαγγελίου ἀτελεύτητον τήν τε κόλασιν τήν τε βασιλείαν ἐπαγγελλομένου πρόδηλοι καθεστᾶσιν οὗτοι τοὺς 'Ωριγένους μύθους προτιμῶντες τῶν τοῦ κυρίου ἀποφάσεων. ὅπουγε κἀκεῖθεν αὐτῶν ἡ ἄνοια διελέγχεται. εἰ γάρ τις κατὰ τοὺς ἐκείνου λήρους ὑπόθοιτο πέρας ἔχειν τὴν κόλασιν, ἀνάγκη τὸν τοιοῦτον καὶ τῆι ἐπηγγελμένηι τοῖς δικαίοις αἰωνίαι ζωῆι τέλος ἐπιθεῖναι· ἐξ ἴσης γὰρ ἐπ' ἀμφοτέρων τὸ αἰώνιον κεῖται. καὶ εἴπερ πέρας ἔχει κόλασίς τε καὶ ἀπόλαυσις, διὰ τί ἡ ἐνανθρώπησις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ; διὰ τί δὲ καὶ ἡ σταύρωσις καὶ ὁ θάνατος καὶ ἡ ταφὴ καὶ ἡ ἀνάστασις τοῦ κυρίου; ποῖον δὲ ὄφελος τοῖς τὸν καλὸν ἀγῶνα ἀγωνισαμένοις καὶ ὑπὲρ Χριστοῦ μαρτυρήσασιν, εἰ μέλλοιεν δαίμονές τε καὶ ἀσεβεῖς τὴν αὐτὴν τοῖς ἁγίοις τάξιν διὰ τῆς ἀποκαταστάσεως λαμβάνειν; ἀλλὰ ταῦτα μὲν ἐπὶ τὰς ἐκείνων τραπείη κεφαλὰς τῶν ταῦτα μυθολογούντων· οἱ γὰρ τοῦ Χριστοῦ λόγοι διαμενοῦσιν ἀσάλευτοι ἐν ταῖς τῶν πιστῶν ψυχαῖς καὶ ἐν αὐτῆι τῆι τῶν πραγμάτων ἀληθείαι. οἱ δὲ τὴν 'Ωριγένους ἐκδικοῦντες κακοδοξίαν φεύγοντες τοὺς περὶ τούτων ἀρραγεῖς ἐλέγχους καὶ συγκρύπτειν τὴν ἑαυτῶν πλάνην βουλόμενοι τινὰς ῥήσεις ἐκ τῶν ἁγίων πατέρων κακῶς ἐκλαμβάνοντες καὶ πρὸς τὸν ἴδιον νοῦν παρερμηνεύοντες τῆι οἰκείαι προσαρμόζουσι νόσωι, ὅπερ ποιοῦσι καὶ ἐπὶ τῶν θείων γραφῶν. ἡμεῖς δὲ ἐξ αὐτῶν τῶν ἁγίων πατέρων ἀποδείξομεν ματαίους εἶναι καὶ τοὺς τοιούτους αὐτῶν λόγους. λέγει τοίνυν ὁ ἐν ἁγίοις Γρηγόριος ὁ θεολόγος ἐν τῶι ἀπολογητικῶι λόγωι τάδε

ἡμῖν δὲ οἷς τὸ κινδυνευόμενόν ἐστι σωτηρία ψυχῆς τῆς μακαρίας τε καὶ ἀθανάτου καὶ ἀθάνατα κολασθησομένης ἢ ἐπαινεθησομένης διὰ κακίαν ἢ ἀρετήν, πόσον χρὴ δοκεῖν εἶναι τὸν ἀγῶνα καὶ ὅσης δεῖν τῆς ἐπιστήμης;

Tim. 5, 24

PG 975

L V 665

Mt. 25, 46

Mt. 25, 34

ibid. 41

PG 35, 437

9—10 cf. anath. θ̄

O [= aerv], I

2 ἀποστόλου om. OrI 8 προτιθέασι Ov 12 αὐτοὺσ ἀποτρέποντεσ ὁδοῦ Oe 13 παρὰ om. Oe 17 καὶ κληρονομήσατε Oe 20 τε¹ om. Oe τήν τε Oarv] καὶ τὴν Oe 21 καεστᾶσιν OrI καθιστᾶσιν Ov καθεστήκασιν Oae τοὺσ — μύθουσ Oarv] τὰ — ληρήματα Oe 23 τι Ov ἐκείνων Oav ὑπόθητο Ov 24 αἰωνίω Or 30 κῦ I 37 θεολόγος γρηγόριος Oe λόγωι om. Orl 40 ἐπιστήμησ OarvI Greg. σπουδῆσ Oe

Καὶ ὁ αὐτὸς αὖθις ἐν τῶι εἰς τὴν πληγὴν τῆς χαλάζης λόγωι τάδε φησί

PG 35. 945 Τίς ψευδὴς ἀπολογία, ποία πιθανότης ἔντεχνος, τίς ἐπίνοια κατὰ τῆς ἀληθείας παραλογιεῖται τὸ δικαστήριον καὶ κλέψει τὴν ὀρθὴν κρίσιν τοῖς πᾶσι πάντα ἐν ζυγῶι τιθεῖσαν
PG 977 καὶ πρᾶξιν καὶ λόγον καὶ διανόημα καὶ ἀντισηκοῦσαν τοῖς πονηροῖς τὰ βελτίονα, ἵνα τὸ ῥέπον νικήσηι καὶ μετὰ τοῦ πλείονος ἡ ψῆφος γένηται, μεθ' ἣν οὐκ ἔφεσις, οὐ κριτὴς ὑψηλότερος, οὐκ ἀπολογία δι' ἔργων δευτέρων, οὐκ ἔλαιον παρὰ τῶν φρονίμων παρθένων ἢ τῶν πωλούντων ταῖς ἐκλειπούσαις λαμπάσιν, οὐ μεταμέλεια πλουσίου φλογὶ τηκομένου καὶ τοῖς οἰκείοις ἐπιζητοῦντος διόρθωσιν, οὐ προθεσμία μεταποιήσεως, ἀλλὰ καὶ μόνιμον
L V 688 καὶ τελευταῖον καὶ φοβερὸν τὸ κριτήριον καὶ δίκαιον πλέον ἢ ὅσον ἐπίφοβον, μᾶλλον δὲ διὰ
Dan. 7, 9. 10 τοῦτο καὶ φοβερώτερον, ὅτι δίκαιον, ἡνίκα θρόνοι τίθενται καὶ παλαιὸς ἡμερῶν προκαθέζεται καὶ βίβλοι ἀνοίγονται καὶ ποταμὸς πυρὸς ἕλκεται καὶ τὸ φῶς ἔμπροσθεν καὶ τὸ σκότος ἡτοιμασμένον καὶ πορεύονται οἱ τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς τῆς ἐν Χριστῶι νῦν κρυπτομένης καὶ ὕστερον αὐτῶι συμφανερουμένης, οἱ δὲ τὰ φαῦλα πράξαντες εἰς ἀνάστασιν κρίσεως, ἣν ἤδη παρὰ τοῦ κρίναντος αὐτοὺς λόγου οἱ μὴ πιστεύοντες κατεκρίθησαν. καὶ τοὺς μὲν τὸ ἄφραστον φῶς διαδέχεται καὶ ἡ τῆς ἁγίας καὶ βασιλικῆς θεωρία τριάδος ἐλλαμπούσης τρανότερόν τε καὶ καθαρώτερον καὶ ὅλης ὅλωι νοὶ μιγνυμένης, ἣν δὴ καὶ μόνην βασιλείαν οὐρανῶν ἐγὼ τίθεμαι· τοῖς δὲ μετὰ τῶν ἄλλων βάσανος, μᾶλλον δὲ πρὸ τῶν ἄλλων τὸ ἀπερρίφθαι θεοῦ καὶ ἡ ἐν τῶι συνειδότι αἰσχύνη πέρας οὐκ ἔχουσα.

Βασιλείου ἐπισκόπου Καισαρείας Καππαδοκίας ἐκ τοῦ ἀσκητικοῦ αὐτοῦ βιβλίου

PG 31, 1264 ἐρώτησις· Εἰ ὅπου μὲν λέγει δαρήσεται πολλάς, ὅπου δὲ ὀλίγας, πῶς λέγουσι
Lc. 12, 47. 48 τινὲς μὴ εἶναι τέλος τῆς κολάσεως τοῖς κολαζομένοις; ἀπόκρισις· Τὰ ἀμφίβολα καὶ ἐπικεκαλυμμένως εἰρῆσθαι δοκοῦντα ἔν τισι τόποις τῆς θεοπνεύστου γραφῆς ὑπὸ τῶν ἄλλων ἐν
Mt. 25, 46 ἄλλοις ὁμολογουμένων σαφηνίζεται. τοῦ οὖν κυρίου ἀποφηναμένου ὅτι ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον, ποτὲ δὲ
Mt. 25. 41 ἐκπέμποντος εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῶι διαβόλωι καὶ
Mc. 9, 48 τοῖς ἀγγέλοις αὐτοῦ καὶ ἄλλοτε ὀνομάζοντος γέενναν πυρὸς καὶ ἐπιφέροντος ὅπου ὁ σκώληξ αὐτῶν οὐ τελευτᾶι καὶ τὸ πῦρ οὐ σβέννυται, καὶ ἔτι πάλαι διὰ
Ies. 66, 24 τοῦ προφήτου περί τινων προειρηκότος ὅτι ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει καὶ τὸ πῦρ οὐ σβεσθήσεται, τούτων καὶ τῶν τοιούτων πολλάκις ὑπὸ τῆς θεοπνεύστου γραφῆς λεγομένων, ἓν καὶ τοῦτο τῆς μεθοδείας τοῦ διαβόλου τὸ τοὺς πολλοὺς τῶν ἀνθρώπων ὥσπερ ἐπιλαθομένους τῶν τοσούτων καὶ τοιούτων τοῦ κυρίου ἀποφάσεων τέλος κατατολμᾶν κολάσεων τῆς ἁμαρτίας εἰς τὸ μέλλον ἑαυτοῖς ὑπογράφειν. εἰ γὰρ τῆς αἰωνίου κολάσεως ἔσται ποτὲ τέλος, ἕξει πάντως καὶ ἡ αἰώνιος ζωὴ τέλος· εἰ δὲ ἐπὶ τῆς ζωῆς οὐχ οὕτως νοῆσαι τὸ ῥητὸν καταδεχόμεθα, ποῖον ἔχει λόγον τῆι κολάσει τῆι αἰωνίωι

O [= aerv], I

1 ὁ αὐτὸς — φησί I μετ' ὀλίγα O τοῦ θεολόγου O^{e} in mg. sup. extra textum 7 ταῖς om. O^{r} μεταμέλειαν O^{r} 8 καὶ μόνιμον O μόνον I 9 καὶ τελευταῖον καὶ φοβερὸν O^{e}I Greg. καὶ φοβερὸν καὶ τελευταῖον O^{aerv} 10 φοβερώτατον O^{e} 13 νῦν om. I 14 πιστεύσαντεσ O^{v} 15 τούτους O^{e} 16 θεωρία — ἐλλαμπούσης I Greg. τριάδοσ χάρισ ἐκλαμπούσησ O τρανώτερον O^{av} 17 οὐρανῶν βασιλείαν O^{r}I τίθεμαι I Greg. τίθημι O 18 ἀπερίφθαι O^{av} 20 τοῦ ἁγίου βασιλείου I ἀσκητικοῦ I κανονικοῦ O 21 πολλὰ — ὀλίγα O^{r} πῶς om. I 22 μὴ om. I ἀπόκρισις om. O^{v} 23 τῆς] τοῖσ O^{v} 25 ποτὲ δὲ om. O^{r} καὶ I ἐκπέμποντος I ἐκπέμποντοσ ἡμᾶσ O ἐκπέμποντος τινὰς Bas. edd. 32 τοιούτων καὶ τοσούτων O^{r} 32/33 τέλος — μέλλον O^{e} τέλος κολάσεως εἰς τὸ μέλλον κατατολμᾶν τῆς ἁμαρτίας Bas. εἰς τὸ μέλλον κατατολμᾶν τὰσ ἁμαρτίασ [ἀνέσεισ I] O^{aerv}I ἑαυτοῖς] αὐτῶν O^{r} περιγράφειν O^{a} 35 τῆι κολάσει om. O^{a}, κολάσει post αἰωνίωι superscr. αἰωνία O^{r}

τέλος διδόναι; ἡ γὰρ τοῦ αἰωνίου προσθήκη ἐφ' ἑκατέρων ἐπ' ἴσης κεῖται· ἀπελεύσονται γάρ φησιν, οὗτοι εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον. Mt. 25, 46

Τοῦ αὐτοῦ ἐκ τοῦ προτρεπτικοῦ εἰς τὸ βάπτισμα λόγου

Διὰ πρόσκαιρον ἁμαρτίας ἀπόλαυσιν ἀθάνατα βασανίζομαι· δι' ἡδονὴν σαρκὸς τῶι πυρὶ τῶι αἰωνίωι παραδίδομαι. PG 31, 444 5

Τοῦ ἐν ἁγίοις Ἰωάννου ἐπισκόπου Κωνσταντινουπόλεως ἐκ τοῦ πρὸς Θεόδωρον τὸν μοναχόν 1, 38 Montf. [PG 47, 313]

Ταῦτα ἐννόει δι' ὅλου καὶ τὸν ποταμὸν τοῦ πυρός· ποταμὸς γὰρ πυρὸς εἵλκε πρὸ προσώπου αὐτοῦ. Dan. 7, 10 οὐκ ἔστιν ἐκείνωι παραδοθέντα τῶι πυρὶ προσδοκῆσαι κολάσεως τέλος. ἀλλ' αἱ μὲν ἄτοποι τοῦ βίου ἡδοναὶ τῶν σκιῶν καὶ ὀνειράτων διαφέρουσιν οὐδέν, πρὶν ἢ γὰρ τελεσθῆναι τὰ τῆς ἁμαρτίας σβέννυται τὰ τῆς ἡδονῆς· αἱ δὲ ὑπὲρ τούτων κολάσεις πέρας οὐκ ἔχουσιν. PG 979 11

Τοῦ αὐτοῦ ἐκ τοῦ ὑπομνήματος τῆς πρὸς Κορινθίους πρώτης ἐπιστολῆς

Οὐ μικρὸν ἡμῖν τὸ προκείμενον ζήτημα ἐντεῦθεν, ἀλλὰ καὶ περὶ τῶν σφόδρα ἀναγκαίων. ἅπαντες ζητοῦσιν ἄνθρωποι εἰ τέλος ἔχει τὸ τῆς γεέννης πῦρ· ὅτι μὲν γὰρ οὐκ ἔχει, ὁ Χριστὸς ἀπεφήνατο λέγων· τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται καὶ ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει· καὶ ὁ Παῦλος δὲ δεικνὺς ἀθάνατον τὴν κόλασίν φησιν· οἱ ἁμαρτάνοντες δίκην τίσουσιν ὄλεθρον αἰώνιον. 10, 73 Montf. [PG 61, 75] Mc. 9, 48 17 2 Thess. 1, 9

Τῆς τοίνυν θείας γραφῆς καὶ τῶν ἁγίων πατέρων σαφῶς ἡμᾶς ἐκδιδασκόντων μὴ εἶναι τέλος κολάσεως τῶν ἀσεβῶν καὶ τῶν ὑπ' ἐκείνων θεραπευομένων δαιμόνων, ποίαν ἀποκατάστασιν οἱ τὰ 'Ωριγένους φρονοῦντες φαντάζονται, ἐν ὧι πέρας αἱ τιμωρίαι οὐκ ἔχουσιν; ἡ ἁγία γὰρ τοῦ θεοῦ ἐκκλησία ὥσπερ τοῖς δικαίοις ἀτελεύτητον κηρύσσει τὴν αἰώνιον ζωήν, οὕτω καὶ τοῖς ἀσεβέσιν ἀτελεύτητον κόλασιν παραδίδωσι. 20

Καὶ ταῦτα μὲν ἐν τούτοις· ἡμεῖς δὲ ὀλίγα μὲν ἐκ πολλῶν τῆι τε θείαι γραφῆι τοῖς τε ἁγίοις πατράσιν εἰρημένων παραγαγεῖν συνείδομεν πρὸς τὸ ἐλέγξαι τὴν τῶν 'Ωριγενιαστῶν δυσσέβειαν, βουλόμενοι δὲ πᾶν σκάνδαλον τῆς ἁγιωτάτης ἐκκλησίας ἀπελάσαι πρὸς τὸ μηδένα ῥύπον ἐν αὐτῆι καταλειφθῆναι καὶ ἀκολουθοῦντες ταῖς θείαις γραφαῖς τοῖς τε ἁγίοις πατράσι τοῖς τὸν αὐτὸν 'Ωριγένην καὶ τὰ τοιαῦτα μυσαρὰ καὶ ἀσεβῆ δόγματα ἐκβαλοῦσί τε καὶ δικαίως ἀναθέματι ὑποβαλοῦσι τὴν παροῦσαν ἡμῶν ἐπιστολὴν πρὸς τὴν σὴν ποιούμεθα μακαριότητα, δι' ἧς προτρέπομεν αὐτὴν συναγαγεῖν ἅπαντας τοὺς ἐνδημοῦντας κατὰ ταύτην τὴν βασιλίδα πόλιν ὁσιωτάτους ἐπισκόπους καὶ τοὺς θεοφιλεστάτους τῶν ἐνταῦθα εὐαγῶν μοναστηρίων ἡγουμένους καὶ παρασκευάσαι πάντας ἐγγράφως τὸν εἰρημένον δυσσεβῆ τε καὶ θεομάχον 'Ωριγένην τὸν καὶ Ἀδαμάντιον πρεσ- 25 30

O [= aerv], I

2 οὗτοι om. O^{av} 3 τοῦ αὐτοῦ I in mg. 4 ἀπόλαυσιν I Bas. ἡδονὴν O 5 τῶι αἰωνίωι πυρὶ O^{rI} τῶι πυρὶ Bas. edd. 6 Τοῦ — Κωνσταντινουπόλεως om. I, τοῦ χρυσοστόμου in mg. ἐν ἁγίοις O^{arv} ἁγίου O^{e} ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ χρυσοστόμου O^{e} τοῦ+ I τῆς O τὸν om. O^{rI} 7 μοναχὸν ἐκπεσόντα I μοναχὸν πρώτης ἐπιστολῆς O 8 ταῦτα om. O^{eI} 9 ἐκεῖνον O^{r} 13 τοῦ αὐτοῦ I in mg. 16 εἰπὼν O^{r} 17 δὲ om. O^{rI} ἀθάνατον τὴν κόλασιν O^{aev} αὐτὸ ἀθάνατον O^{rI} 18 ὀλέθριον O^{r} 19 θείασ τοίνυν O^{e} 20 τῆς κολάσεως I ἀσεβῶν καὶ τῶν om. O^{av} καὶ om. O^{e} δαιμόνων om. O^{av} 22 γὰρ ἁγία O^{rI} 23 τὴν κόλασιν O^{r} 25 εἰρημένοις O^{arv} 25/26 ὡριγενειαστῶν O^{e} ὡριγενιατῶν O^{v} 28 τοιαῦτα O^{erI} αὐτοῦ O^{av} ἀσεβῆ αὐτοῦ O^{r} 33 ἀσεβῆ I τε om. O^{rI}

βύτερον γενόμενον τῆς κατὰ Ἀλεξάνδρειαν ἁγιωτάτης ἐκκλησίας καὶ τὰ αὐτοῦ μυσαρὰ καὶ ἀσεβῆ δόγματα καὶ τὰ ὑποτεταγμένα πάντα κεφάλαια πᾶσι τρόποις ἀναθεματίσαι, ἐκπέμψαι δὲ καὶ τὰ ἴσα τῶν παρὰ τῆς σῆς μακαριότητος ταύτης ἕνεκα τῆς αἰτίας πραττομένων καὶ πρὸς τοὺς ἄλλους ἅπαντας ὁσιωτάτους ἐπισκόπους καὶ εὐαγῶν μοναστηρίων ἡγουμένους, ἐφ' ὥι τε καὶ αὐτοὺς δι' οἰκείας ὑπογραφῆς ἀναθεματίσαι Ὠριγένην καὶ τὰ μυσαρὰ αὐτοῦ δόγματα μετὰ πάντων τῶν δηλωθησομένων αἱρετικῶν, καὶ τοῦ λοιποῦ δὲ μὴ ἄλλως ἐπισκόπους χειροτονεῖσθαι ἢ μοναστηρίων ἡγουμένους, εἰ μήτι γε πρότερον μετὰ τῶν ἄλλων ἁπάντων αἱρετικῶν τῶν ἐξ ἔθους ἐν τοῖς γινομένοις λιβέλλοις ἀναθεματιζομένων, τουτέστι Σαβελλίου Ἀρείου Ἀπολιναρίου Νεστορίου Εὐτυχοῦς Διοσκόρου Τιμοθέου τοῦ Αἰλούρου καὶ Πέτρου τοῦ Μογγοῦ καὶ Ἀνθίμου Τραπεζοῦντος, Θεοδοσίου τοῦ Ἀλεξανδρέως, Πέτρου καὶ Σεβήρου τῶν πρώην Ἀντιοχείας καὶ Πέτρου τοῦ ποτὲ Ἀπαμείας καὶ τὸν εἰρημένον Ὠριγένην τὸν τὴν Ἑλληνικὴν καὶ Ἀρειανικὴν μανίαν νοσήσαντα
PG 981 μετὰ τῶν αὐτοῦ μυσαρῶν καὶ ἀσεβῶν δογμάτων ἀναθεματίσουσι. δεῖ γὰρ ἅπασι προαγορεῦσαι τοῦ μηδένα τολμᾶν παντελῶς ἀντιποιεῖσθαι τοῦ τοιούτου αἱρετικοῦ ἢ τῶν αὐτοῦ ἐκθέσεων, ἀλλὰ ταύτας ἕκαστον ἐκ πάσης ψυχῆς καὶ πάσης διανοίας μισεῖν τε καὶ ἀποστρέφεσθαι καὶ ἀναθεματίζειν οἷα τῆς Χριστιανικῆς παραδόσεως ἀλλοτρίας καθεστώσας καὶ ταῖς τῶν ἁπλουστέρων ψυχαῖς μεγάλην ἐργαζομένας λύμην.

Ταῦτα δὲ αὐτὰ γεγραφήκαμεν οὐ μόνον πρὸς τὴν σὴν ἁγιωσύνην, ἀλλὰ καὶ πρὸς τὸν ἁγιώτατον καὶ μακαριώτατον πάπαν τῆς πρεσβυτέρας Ῥώμης καὶ πατριάρχην Βιγίλιον καὶ τοὺς λοιποὺς ἅπαντας ἁγιωτάτους ἐπισκόπους καὶ πατριάρχας, τουτέστιν
L V 672 Ἀλεξανδρείας Θεουπόλεως καὶ Ἱεροσολύμων, ὥστε καὶ αὐτοὺς πρόνοιαν θέσθαι τοῦ ἔργωι καὶ πέρατι ταῦτα παραδοθῆναι. βουλόμενοι δὲ πάντας τοὺς Χριστιανοὺς γνῶναι ὡς τὰ Ὠριγένει συγγεγραμμένα παντελῶς ἀλλότρια τῆς ἀληθοῦς τῶν Χριστιανῶν τυγχάνει πίστεως, συνείδομεν ἐκ τῶν πολλῶν αὐτοῦ καὶ ἀμέτρων βλασμφημιῶν ὀλίγας ἐπ' αὐτῆς λέξεως παραθεῖναι· ἔχουσι δὲ οὕτως

Ἐκ τοῦ πρώτου λόγου τοῦ Περὶ ἀρχῶν βιβλίου

1 Ὅτι ὁ μὲν θεὸς καὶ πατὴρ συνέχων τὰ πάντα φθάνει εἰς ἕκαστον τῶν ὄντων μεταδιδοὺς ἑκάστωι ἀπὸ τοῦ ἰδίου τὸ εἶναι ὅπερ ἐστίν, ἐλαττόνως δὲ παρὰ τὸν πατέρα ὁ υἱὸς φθάνων ἐπὶ μόνα τὰ λογικά, δεύτερος γάρ ἐστι τοῦ πατρός· ἔτι δὲ ἠττόνως τὸ πνεῦμα τὸ ἅγιον ἐπὶ μόνους τοὺς ἁγίους διικνούμενον. ὥστε κατὰ τοῦτο μείζων ἡ δύναμις τοῦ πατρὸς παρὰ τὸν υἱὸν καὶ τὸ πνεῦμα τὸ ἅγιον, πλείων δὲ ἡ τοῦ υἱοῦ παρὰ τὸ πνεῦμα τὸ ἅγιον, καὶ πάλιν διαφέρουσα μᾶλλον τοῦ ἁγίου πνεύματος ἡ δύναμις παρὰ τὰ ἄλλα ἅγια.

1 = Hieronym. ep. 124 p. 98, 1—6 cf. supra p. 190, 2—4

O [= aerv], I

2 τὰ I om. O πάντα] πᾶσι O^e 4 καὶ¹ om. I ἁγιωτάτους O^r τῶν εὐαγῶν O^{rI} 7 δὲ om. O^{avI} ἄλλους O^v ἢ καὶ O^{av} μήτι γε O^{erI} μὴ O^{av} 8 γενομένοις O^e 9 Νεστορίου om. O^{av} 11 Πέτρου¹ — Ἀπαμείας] πέτρου τοῦ ἀπαμείασ καὶ σεβήρου τοῦ ποτὲ ἀντιοχείασ O^{rI} 11/12 Ἀπαμείας scripsi ἀντιοχείασ O^{aev} 13 αὐτοῦ om. I ἀναθεματίσωσι O^{er} 15 ταῦτα O^r 16/17 ἀλλοτρίων καθεστωσῶν [καθεστὼσ O^v] O^{av} 17 ἐργαζομένων O^{av} 18 γεγράφαμεν I 20 βιγίλλιον O^{ev} O^a corr. 21 τοῦ I τῶ O 23 ὠριγένουσ O^v 25 παραθῆναι O^v 26 ὠριγένουσ ἐκ I τοῦ ὠριγένουσ in mg. extra textum O^e 27 μὲν ὁ O^{ev} 28 τὸ] τοῦ O^{av} ὅπερ I ὦ γάρ O^{arv} ὧν O^e ἔστι τί O^e 29 ἧττον O^r 30 δεικνύμενον O^r 31 τὸ ἅγιον πνεῦμα O^a 32 τοῦ] ἡ τοῦ O^r

Ὅτι πεπερασμένη ἐστὶν ἡ τοῦ θεοῦ καὶ πατρὸς δύναμις, ἐκ τοῦ δευτέρου λόγου τοῦ αὐτοῦ βιβλίου

II Πεπερασμένην γὰρ εἶναι καὶ τὴν δύναμιν τοῦ θεοῦ λεκτέον καὶ οὐ προφάσει εὐφημίας τὴν περιγραφὴν αὐτῆς περιαιρετέον. Καὶ μετ' ὀλίγα· Πεποίηκε τοίνυν τοσαῦτα ὅσων ἠδύνατο περιδράξασθαι καὶ ἔχειν ὑπὸ χεῖρα καὶ συγκροτεῖν ὑπὸ τὴν ἑαυτοῦ πρόνοιαν, ὥσπερ καὶ τοσαύτην ὕλην κατεσκεύασεν ὅσην ἠδύνατο διακοσμῆσαι.

Ἐκ τοῦ τετάρτου λόγου τοῦ αὐτοῦ βιβλίου

III Μηδεὶς προσκοπτέτω τῶι λόγωι, εἰ μέτρα ἐπιτίθεμεν καὶ τῆι τοῦ θεοῦ δυνάμει. ἄπειρα γὰρ περιλαβεῖν τῆι φύσει ἀδύνατον τυγχάνει. ἅπαξ δὲ πεπερασμένων ὄντων ὧν περιδράττεται αὐτὸς ὁ θεός, ἀνάγκη ὅρον εἶναι μέχρι πόσων πεπερασμένων διαρκεῖ.

Ὅτι κτίσμα καὶ γενητὸς ὁ υἱός, ἐκ τοῦ αὐτοῦ τετάρτου λόγου

IIII Οὗτος δὴ ὁ υἱὸς ἐκ θελήματος τοῦ πατρὸς γεννηθείς, ὅς ἐστιν εἰκὼν τοῦ θεοῦ τοῦ ἀοράτου καὶ ἀπαύγασμα τῆς δόξης αὐτοῦ χαρακτήρ τε τῆς ὑποστάσεως αὐτοῦ, πρωτότοκος πάσης κτίσεως, κτίσμα σοφία. αὕτη γὰρ ἡ σοφία φησίν· ὁ θεὸς ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ. Col. 1, 15 Hebr. 1, 3 1 Cor. 1, 24 Prou. 8, 22

Ὅτι καὶ περιέχεται μετὰ τῶν ἄλλων κτισμάτων ὁ υἱὸς ὑπὸ τοῦ πατρὸς καὶ κατὰ πάντα μείζων ἐστὶν ὁ πατὴρ τοῦ υἱοῦ καὶ ἀόρατος αὐτῶι τυγχάνει, ἐκ τοῦ αὐτοῦ Περὶ ἀρχῶν τετάρτου λόγου PG 983 17

V Ὁ δὲ πατὴρ ἐμπεριέχει τὰ πάντα, τῶν δὲ πάντων ἐστὶν ὁ υἱός, δῆλον ὅτι καὶ τὸν υἱόν. ἄλλος δέ τις ζητήσει εἰ ἀληθὲς τὸ ὁμοίως τὸν θεὸν ὑφ' ἑαυτοῦ γινώσκεσθαι τῶι γινώσκεσθαι αὐτὸν ὑπὸ τοῦ μονογενοῦς, καὶ ἀποφανεῖται ὅτι τὸ εἰρημένον ὁ πατὴρ ὁ πέμψας με μείζων μού ἐστιν ἐν πᾶσιν ἀληθές, ὥστε καὶ ἐν τῶι νοεῖν ὁ πατὴρ μείζων, ὃς καὶ τρανοτέρως καὶ τελειοτέρως νοεῖται ὑφ' ἑαυτοῦ ἢ ὑπὸ τοῦ υἱοῦ. Ioh. 14, 28

Ἐκ τοῦ πρώτου λόγου τοῦ αὐτοῦ βιβλίου

VI Γενόμενοι τοίνυν ἡμεῖς κατ' εἰκόνα τὸν υἱὸν πρωτότυπον ὡς ἀληθειαν ἔχομεν τῶν ἐν ἡμῖν καλῶν τύπων· αὐτὸς δὲ ὅπερ ἡμεῖς ἐσμὲν πρὸς αὐτόν, τοιοῦτός ἐστι πρὸς τὸν πατέρα ἀλήθειαν τυγχάνοντα.

II plura extant supra p. 190, 8sq., pessime uertit Rufin. 2, 9 cf. Hieron. ep. 98 p. 201, 10—12. 202, 16—18 V = Hieronym. ep. 124 p. 115, 19—21. 23—p. 116, 4 VI cf. Hieronym. ep. 124 p. 97, 10—17

O [= aerv], I .

3 μὴ p. 190, 10 4 τοίνυν] γὰρ O^r 5 ὧν p. 190, 12 ἔχειν αὐτὰ p. 190, 13 χεῖρας p. 190, 13 συγκρατεῖν O^{rI} 6 αὐτοῦ p. 190, 13 κατακοσμῆσαι p. 190, 14 7 ἐκ I τοῦ αὐτοῦ ἐκ O 8 μηδεὶς δὲ O^e προκοκοπτέτω O^v 10 ὅρων O^{av} εἶναι om. O^{av} πεπερασμένων om. O^a διαρκεῖν O^{av} 11 κτίσματα O^{av} γεννητὸσ O^{arv} αὐτοῦ om. O^a 12 δὲ O^r ἐγενήθη I 14 πάσης τῆσ I αὐτὴ I 17 καὶ om. O^r αὐτοῦ O^{arv} 17/18 περὶ ἀρχῶν om. I 19 ὁ δὲ O^{aev} Hieronym. εἰ δὲ ὁ O^{rI} 20 ἄλλωσ O^v 21 πατὴρ μου I 22/23 μείζων ὃς Klostermann, cf. Hieron. μειζόνωσ OI 25—27 om. O^v 26 τύπον O^e δὲ ὁ πατὴρ O^e

Ἐκ τοῦ αὐτοῦ λόγου

Sap. Sal. 7,26 VII Οὕτω τοίνυν ἡγοῦμαι καὶ ἐπὶ τοῦ σωτῆρος καλῶς ἂν λεχθήσεσθαι ὅτι εἰκὼν ἀγαθότητος θεοῦ ἐστιν, ἀλλ' οὐκ αὐτοαγαθόν. καὶ τάχα καὶ ὁ υἱὸς ἀγαθός, ἀλλ' οὐχ
Col. 1, 15 ὡς ἁπλῶς ἀγαθός, καὶ ὥσπερ εἰκών ἐστι τοῦ θεοῦ τοῦ ἀοράτου καὶ κατὰ τοῦτο θεός, ἀλλ' οὐ
Ioh. 17, 3 περὶ οὗ λέγει αὐτὸς ὁ Χριστὸς ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν θεόν, οὕτως εἰκὼν τῆς ἀγαθότητος, ἀλλ' οὐχ ὡς ὁ πατὴρ ἀπαραλλάκτως ἀγαθός.

Ὅτι μετὰ τοῦ υἱοῦ καὶ τὸ ἅγιον πνεῦμα κτίσμα εἰπὼν συνηρίθμησε τοῖς ἄλλοις κτίσμασι, δι' ὃ καὶ λειτουργικὰ αὐτὰ ζῶια καλεῖ, ἐκ τοῦ δ̄ λόγου τοῦ Περὶ ἀρχῶν βιβλίου

VIII Ὅτι μὲν οὖν πᾶν ὅ τι ποτὲ παρὰ τὸν πατέρα καὶ θεὸν τῶν ὅλων γενητόν ἐστιν, ἐκ τῆς ἀκολουθίας πειθόμεθα. Καὶ μετά τινα· ἔλεγε δὲ ὁ Ἑβραῖος τὰ ἐν τῶι Ἡσαίαι
Ies. 6, 2. 3 δύο σεραφὶμ ἐξαπτέρυγα κεκραγότα ἕτερον πρὸς τὸ ἕτερον καὶ λέγοντα ἅγιος ἅγιος ἅγιος κύριος σαβαὼθ τὸν μονογενῆ εἶναι τοῦ θεοῦ καὶ τὸ πνεῦμα τὸ ἅγιον. ἡμεῖς
Hab. 3, 2 δὲ οἰόμεθα ὅτι καὶ τὸ ἐν τῆι ὠιδῆι Ἀμβακοὺμ ἐν μέσωι δύο ζώιων γνωσθήσηι περὶ Χριστοῦ καὶ ἁγίου πνεύματος εἴρηται.

Ἐκ τοῦ δευτέρου λόγου τοῦ Περὶ ἀρχῶν βιβλίου, ὅτι ἄνθρωπον ψιλὸν λέγει τὸν κύριον

VIIII Διὰ τοῦτο καὶ ἄνθρωπος γέγονε Χριστὸς ἐξ ἀνδραγαθήματος τούτου τυχών,
Ps. 44, 8 ὡς μαρτυρεῖ ὁ προφήτης λέγων ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν. διὰ τοῦτο ἔχρισέ σε, ὁ θεός, ὁ θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου· ἔπρεπε δὲ τὸν μηδέποτε κεχωρισμένον τοῦ μονογενοῦς συγχρηματίσαι τῶι μονογενεῖ καὶ συνδοξασθῆναι αὐτῶι.

Ὅτι συναίδια τοῦ θεοῦ τὰ κτίσματα, ἐκ τοῦ πρώτου λόγου τοῦ περὶ ἀρχῶν βιβλίου

X Πῶς δὲ οὐκ ἄτοπον τὸ μὴ ἔχοντά τι τῶν πρεπόντων αὐτῶι τὸν θεὸν εἰς τὸ ἔχειν ἐληλυθέναι; εἰ δὲ οὐκ ἔστιν ὅτε παντοκράτωρ οὐκ ἦν, ἀεὶ εἶναι δεῖ ταῦτα δι' ἃ παντοκράτωρ ἐστὶ καὶ ἀεὶ ἦν ὑπ' αὐτοῦ κρατούμενα ἄρχοντι αὐτῶι χρώμενα.

Ἐκ τοῦ αὐτοῦ λόγου

PG 985 XI Πάντα τὰ γένη καὶ τὰ εἴδη ἀεὶ ἦν, ἄλλος δέ τις ἐρεῖ καὶ τὸ καθ' ἓν ἀριθμῶι· πλὴν ἑκατέρως δηλοῦται ὅτι οὐκ ἤρξατο ὁ θεὸς δημιουργεῖν ἀργήσας ποτέ.

Περὶ τῆς προυπάρξεως τῶν ψυχῶν, ἐκ τοῦ πρώτου λόγου τοῦ Περὶ ἀρχῶν βιβλίου

XII Ἐξ ἰδίας αἰτίας τῶν μὴ προσεχόντων ἑαυτοῖς ἀγρύπνως γίνονται τάχιον ἢ βράδιον μεταπιπτούσης, καὶ ἐπὶ πλεῖον ἢ ἐπ' ἔλαττον, ὡς ἀπὸ ταύτης τῆς αἰτίας κρίσει

VII cf. Hieronym. ep. 124 p. 20—22 VIII 32—38 = Rufin. 1, 34 p. 53, 4—10 VIIII 41—45 cf. Rufin. 2, 64 p. 143, 26—144, 1 X = Rufin. 1, 2[10] p. 42, 15—20 XI = Rufin. 1, 45 p. 68, 12—15 XII = Rufin. 1, 6[2] p. 81, 11—82, 5 ad 15—21 cf. Hieron. ep. 124 p. 98, 24—p. 99, 3

O [= aerv], I

1 τοῦ αὐτοῦ ἐκ O[2er] 2 λεχθήσεται O[av] 3 ἀγαθότητι O[v] τοῦ θεοῦ I αὐτὸ τὸ ἀγαθὸν O[av] ὁ I om. O 4 ἁπλῶς om. O[r] ὁ I 8 λειτουργικὰ ζῶια i. e. seraphim αὐτοῦ O[v] ἐκ om. O[av] τετάρτου O[ae] Δ̄ corruptum esse ex Ā probatur ex Rufino βιβλίου om. I 9 ὅλων I ἄλλων O γεννητόν O[rv] 10 τῆς αὐτῆς O[r] τὰ om. I 13 τὸ I Ruf. om. O ἀββακοὺμ O[ae] 14 εἴρηται I *sentiri debere* Ruf. om. O 15 ψιλὸν ἄνθρωπον I 19 τὸν — κεχαρισμένον I τοῦ — κεχωρισμένου O 21 τῶ θεῶ I βιβλίου om. I 22 τὰ O[a] τὸν O[v] ἔχον O[a] αὐτῶ O[r]I αὐτοῦ O[ev] αὐτοῖς O[a] 23 ἐπεὶ O[r] παντοκράτορ O[a] 24 ἦν] coniecerim εἶναι, cf. Rufin. 26 εἶδει O[v] τὰ O[e] ἀριθμῶ O[aev]I ἀριθμοῦ O[r] 27 δηλοῦνται O[er] 28 τοῦ om. O[arv] 30 μεταπιπτούσης OI, scil. ψυχῆς, μεταπτώσεις Labbé speciose καὶ om. I

θείαι συμπαραμετρούσηι τοῖς ἑκάστου βελτίοσιν ἢ χείροσι κινήμασι καὶ τὸ κατ' ἀξίαν ὁ μέν τις ἕξει ἐν τῆι ἐσομένηι διακοσμήσει τάξιν ἀγγελικὴν ἢ δύναμιν ἀρχικὴν ἢ ἐξουσίαν τὴν ἐπὶ τινῶν ἢ θρόνον τὸν ἐπὶ βασιλευομένων ἢ κυρείαν τὴν κατὰ δούλων, οἱ δὲ οὐ πάνυ τι ἐκπεσόντες τὴν ὑπὸ τοῖς εἰρημένοις οἰκονομίαν καὶ βοήθειαν ἕξουσι. καὶ οὕτως L V 676
κατὰ μὲν τὸ πλεῖστον ἀπὸ τῶν ὑπὸ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας καὶ τοὺς θρόνους καὶ τὰς κυριότητας, τάχα δὲ ἔσθ' ὅτε καὶ ἀντ' αὐτῶν συστήσεται τὸ τῶν ἀνθρώπων γένος ἐν τῶι καθ' ἕνα κόσμωι.

Ἐκ τοῦ αὐτοῦ λόγου ὅτι εἰ μεταβάλοιεν ἐπὶ τὸ κρεῖττον οἱ δαίμονες, συμπληρώσουσί ποτε ἀνθρωποτητα

XIII Οἶμαι δὲ δύνασθαι ἀπὸ τῶν ὑποτεταγμένων τοῖς χείροσιν ἀρχαῖς καὶ ἐξουσίαις καὶ κοσμοκράτορσι καθ' ἕκαστον κόσμον ἢ τινὰς κόσμους ἐνίους τάχιον εὐεργετουμένους καὶ βουλησομένους ἐξ αὐτῶν μεταβαλεῖν συμπληρώσειν ποτὲ ἀνθρωπότητα.

Περὶ τῆς τῶν ἄνωθεν εἰς σῶμα καταγωγῆς

XIIII Οὕτω δὴ ποικιλωτάτου κόσμου τυγχάνοντος καὶ τοσαῦτα διάφορα λογικὰ περιέχοντος τί ἄλλο χρὴ λέγειν αἴτιον γεγονέναι τοῦ ὑποστῆναι αὐτὸν ἢ τὸ ποικίλον τῆς ἀποπτώσεως τῶν οὐχ ὁμοίως τῆς ἑνάδος ἀπορρεόντων;

Ὅτι καὶ τὸν ἔννυδρον ἔσθ' ὅτε αἱρεῖται βίον ἡ ψυχή, ἐκ τοῦ δευτέρου λόγου τοῦ Περὶ ἀρχῶν βιβλίου

XV Ἡ ψυχὴ ἀπορρέουσα τοῦ καλοῦ καὶ τῆι κακίαι προσκλινομένη καὶ ἐπὶ πλεῖον ἐν ταύτηι γινομένη, εἰ μὴ ὑποστρέφοι, ὑπὸ τῆς ἀνοίας ἀποκτηνοῦται καὶ ὑπὸ τῆς πονηρίας ἀποθηριοῦται. Καὶ μετ' ὀλίγα· καὶ αἱρεῖται πρὸς τὸ ἀλογωθῆναι καὶ τὸν ἔννυδρον, ἵν' οὕτως εἴπω, βίον καὶ τάχα κατὰ ἀξίαν τῆς ἐπὶ πλεῖον πτώσεως τῆς κακίας ἐνδύεται σῶμα τοιοῦδε ἢ τοιοῦδε ζώιου ἀλόγου.

Ἐκ τοῦ αὐτοῦ λόγου ὅτι ἔσται τελεία τῶν σωμάτων ἀπόθεσις

XVI Εἰ δὲ τὰ ὑποταγέντα τῶι Χριστῶι ὑποταγήσεται ἐπὶ τέλει καὶ τῶι θεῶι, πάντες ἀποθήσονται τὰ σώματα καὶ οἶμαι ὅτι τότε εἰς τὸ μὴ ὂν ἔσται ἀνάλυσις, τῆς τῶν σωμάτων φύσεως ὑποστησομένης δεύτερον, ἐὰν πάλιν λογικὰ ὑποκαταβῆι.

Ἐκ τοῦ τρίτου λόγου τοῦ αὐτοῦ βιβλίου περὶ τοῦ αὐτοῦ

XVII Λεγομένου τοῦ θεοῦ πάντα γίνεσθαι ἐν πᾶσιν, ὥσπερ οὐ δυνάμεθα κακίαν 1 Cor. 15,
καταλιπεῖν, ὅτε θεὸς πάντα γίνεται ἐν πᾶσιν, οὐδὲ ἄλογα ζῶια, ἵνα μὴ καὶ ἐν κακίαι ὁ PG 987

XIII cf. Hieron. ep. 124 p. 99, 10. 11 XIIII = Rufin. 2, 1[1] p. 107, 6. 7. 8. 9. 11—15 XV cf. Rufin. 1, 8 p. 105, 1—5. Hieron. p. 124 p. 100, 23—25 XVI = Rufin. 2, 3[3] p. 118, 7—10. Hieron. ep. 124 p. 102, 4—9 XVII = Rufin. 3, 6[2] p. 283, 1—7

O [= aerv], I

3 κυρίαν O[v] κυριότητα O[e] 4 ἐπὶ O[er] τε καὶ O[r] 5 τὰς[2] om. O[r]I 6 τάχα δὲ om. I τάχα δὲ καὶ O[r] καὶ] δὲ καὶ I ἀντ' O ἀπ' I συμβήσεται O[aerv] 8 μεταβάλλοιεν O[r]I 9 ἀνότητι O[v] 10 δὲ om. O[ev] 11 ἐνοίουσ O[r] 13 τῶν om. O[av] 14 ποικιλοτάτου O[erv] 15 αἴτιον λέγειν O[av] 17 Ὅτι I om. O καὶ τὸν — ψυχή eclogae XIIII adiungendo δευτέρου] ad finem libri primi ecloga pertinere uidetur 17/18 τοῦ[2]—βιβλίου om. I 19 προσκλιναμένη O[aerv] 20 ἐν om. O[e] ὑπὸ[1] ἀπὸ O[av] ἀποκτενοῦται O[av] καὶ om O[aev] 21 τῶ O[a] ἀλογοθῆναι I ἀναλόγω θεῖναι O[av] 22 ἐκπτώσεως O[e] 23 σῶμα — ἢ O[aev]I σώματα οὐδεῖ O[r] ἀλόγου ζώου I 24 ἡ τῶν O 25 ὑποτεταγμένα O[r]I 28 περὶ τοῦ] τοῦ περὶ O[r] 29 γενέσθαι O ὥσπερ om. O[aerv]I 30 ὅτε] οὔτε O[aev] καὶ om. O[e]

θεὸς γίνηται καὶ ἐν ἀλόγοις ζώιοις, ἀλλ' οὐδὲ ἄψυχα, ἵνα μὴ καὶ ἐν αὐτοῖς ὁ θεός, ὅτε πάντα γίνεται, οὕτως οὐδὲ σώματα ἄτινα τῆι ἰδίαι φύσει ἄψυχά εἰσιν.

Ἐκ τοῦ δευτέρου λόγου τοῦ Περὶ ἀρχῶν βιβλίου, πῶς νοῦς γέγονε ψυχὴ καὶ ψυχὴ καθαρθεῖσα γίνεται νοῦς

XVIII Παρὰ τὴν ἀπόπτωσιν καὶ τὴν ψύξιν τὴν ἀπὸ τοῦ ζῆν τῶι πνεύματι γέγονεν ἡ νῦν λεγομένη ψυχή, οὖσα καὶ δεκτικὴ τῆς ἐπανόδου τῆς ἐφ' ὅπερ ἦν ἐν ἀρχῆι, ὅπερ νο-
.Ps. 114, 7 μίζω λέγεσθαι ὑπὸ τοῦ προφήτου ἐν τῶι ἐπίστρεψον, ψυχή μου, εἰς τὴν ἀνάπαυσίν σου, ὥστε ὅλον τοῦτο εἶναι νοῦς.

Ἐκ τοῦ αὐτοῦ λόγου περὶ τοῦ αὐτοῦ

Lc. 19, 19 XVIIII Ὥσπερ σῶσαι ἦλθεν τὸ ἀπολωλὸς ὁ σωτήρ, ὅτε μέντοι σώιζεται τὸ ἀπολωλός, οὐκέτι ἐστὶν ἀπολωλός· οὕτως ἦν σῶσαι ἦλθε ψυχὴν ὡς σῶσαι τὸ ἀπολωλός, οὐκέτι μένει ψυχὴ ἡ σωθεῖσα ψυχή [οὔτε τὸ ἀπολωλὸς ἀπολωλός]. ἔτι βασανιστέον εἰ
L V 677 ὥσπερ τὸ ἀπολωλὸς ἦν ὅτε οὐκ ἀπολώλει καὶ ἔσται ποτὲ ὅτε οὐκ ἔσται ἀπολωλός, οὕτω καὶ ἡ ψυχὴ ἦν ὅτε οὐκ ἦν ψυχὴ καὶ ἔσται ὅτε οὐκ ἔσται ψυχή.

Ἐκ τοῦ τετάρτου λόγου

XX Ἀνάγκη μὴ προηγουμένην τυγχάνειν τὴν τῶν σωμάτων φύσιν, ἀλλὰ ἐκ διαλειμμάτων ὑφίστασθαι διά τινα συμπτώματα γινόμενα περὶ τὰ λογικὰ δεόμενα σωμάτων, καὶ πάλιν τῆς ἐπανορθώσεως τελείως γινομένης εἰς τὸ μὴ εἶναι ἀναλύεσθαι ταῦτα, ὥστε τοῦτο ἀεὶ γίνεσθαι.

Ἐκ τοῦ πρώτου λόγου τοῦ αὐτοῦ βιβλίου ὅτι ἔμψυχος ὁ ἥλιος καὶ ἡ σελήνη καὶ οἱ ἀστέρες

XXI Ὅτι δὲ πρεσβυτέρα ἡ ψυχὴ τοῦ ἡλίου τῆς ἐνδέσεως αὐτοῦ τῆς εἰς τὸ σῶμα, μετὰ τὸ συλλογίσασθαι ἐκ συγκρίσεως ἀνθρώπου τῆς πρὸς αὐτὸν καὶ ἐντεῦθεν ἀπὸ τῶν γραφῶν οἶμαι ἀποδεῖξαι δύνασθαι.

Ἐκ τοῦ αὐτοῦ λόγου

Phil. 1, 23. 24 XXII Κάλλιον ἀναλῦσαι καὶ σὺν Χριστῶι εἶναι, πολλῶι γὰρ μᾶλλον κρεῖσσον. νομίζω γὰρ ὅτι λέγοι ἂν ὁ ἥλιος ὅτι κάλλιον ἀναλῦσαι καὶ σὺν Χριστῶι εἶναι· πολλῶι γὰρ μᾶλλον κρεῖσσον. καὶ ὁ μὲν Παῦλος ἀλλὰ τὸ ἐπιμένειν τῆι σαρκὶ ἀναγκαιότερον δι' ὑμᾶς, ὁ δὲ ἥλιος · τὸ ἐπιμένειν τῶι οὐρανίωι τούτωι σώματι ἀναγκαιότερον διὰ τὴν ἀποκάλυψιν τῶν τέκνων τοῦ θεοῦ. τὰ δὲ αὐτὰ καὶ περὶ σελήνης καὶ τῶν λοιπῶν λεκτέον.

XVIII = cf. Rufin. 2, 8^3 p. 158, 17—159, 2 XVIIII = Rufin. 2, 8^3 p. 156, 3—12 Hieronym. ep. 124 p. 103, 20—104, 1 XX = Hieronym. ep. 124 p. 116, 11—17 XXI = Rufin. 1, 7^4 p. 91, 7—10 XXII = Rufin. 1, 7^5 p. 93, 13—15. 20—26

O [= aerv], I

1/2 καὶ ἐν — γίνεται om. I 3 τοῦ — βιβλίου om. I τοῦ^2 om. O^{av} 3. 4 πῶσ — νοῦσ I in fine eclogae coll. O 3 νοῦσ I οὖν O 3/4 κατορθωθεῖσα O 6 λεγομένη I γενομένη O ὥπερ O^{ev} ἅπερ O^{a} 8 coniecerim εἶναι ⟨ὅπερ ἦν⟩ 9 λόγου om. O^{ae} 10 ἦλθε τὸ ἀπολωλὸσ ἦλθεν O^{r} τὸ ἀπολωλὸσ ἦλθεν I μέντοι γε O^{av} 11 ἦν] ἢ O^{v} εἰ I ὡς — ἀπολωλός om. I 12 μένει O^{e}I μὲν ἡ O^{arv} οὔτε — ἀπολωλός^2 om. I Hieron. Rufin. ἔτι δὲ O^{e} εἰ om. O^{av} 13 οὕτω I αὐτὸ O 17 δεόμενα γινόμενα [γινόμενα om. I] σωμάτων περὶ τὰ λογικὰ O^{r}I 18/19 καὶ πάλιν — γίνεσθαι om. O^{a} 24 ἔτι ἐκ O^{e} λόγου om. OI 25/26 Κάλλιον — κρεῖσσον om. I 26 γὰρ O^{e} Rufin. om. O^{arv}I ὅτι om. O^{r} 28 τὸ] τοῦ O^{av} τοῦ οὐρανοῦ τούτου O^{av} 30 τῶν λοιπῶν ἀστέρων O^{e} περὶ τῶν ἄλλων O^{r}

Ἐκ τοῦ τετάρτου λόγου τοῦ αὐτοῦ βιβλίου ὅτι καὶ ὑπὲρ δαιμόνων δεῖ τὸν Χριστὸν σταυρωθῆναι καὶ πολλάκις τοῦτο εἰς τοὺς ἐσομένους αἰῶνας

XXIII Ἀλλὰ κἂν μέχρι τοῦ πάθους τις ζητήσῃ, τολμηρὸν δόξει ποιεῖν περὶ τὸν οὐρανὸν τόπον αὐτῶι ζητῶν. ἀλλ' εἴ ἐστι πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις, ὅρα εἰ ὥσπερ ἐνθάδε οὐκ αἰδούμεθα σταυρούμενον ὁμολογεῖν ἐπὶ καθαιρέσει ὧν καθεῖλε διὰ τοῦ πεπονθέναι, οὕτως κἀκεῖ τὸ παραπλήσιον διδόντες γίνεσθαι καὶ εἰς τὸ ἑξῆς ἕως τῆς συντελείας τοῦ παντὸς αἰῶνος οὐ φοβηθησόμεθα. Eph. 6, 12 PG 989

Ἐκ τοῦ αὐτοῦ λόγου

XXIIII Τίς νοῦν ἔχων ὁρίσεται πρώτην καὶ δευτέραν καὶ τρίτην ἡμέραν ἑσπέραν τε καὶ πρωίαν χωρὶς ἡλίου γεγονέναι καὶ σελήνης καὶ ἀστέρων;

Τούτων τοίνυν οὕτως ἐχόντων καὶ πᾶσι δήλων γενομένων τῶν παρὰ Ὠριγένους εἰρημένων βλασφημιῶν προσήκει τὸν ἐπ' αὐτῶι ἀναθεματισμὸν οὕτως γίνεσθαι

α Εἴ τις λέγει ἢ ἔχει προυπάρχειν τὰς τῶν ἀνθρώπων ψυχὰς οἷα πρώην νόας οὔσας καὶ ἁγίας δυνάμεις, κόρον δὲ λαβούσας τῆς θείας θεωρίας καὶ πρὸς τὸ χεῖρον τραπείσας καὶ διὰ τοῦτο ἀποψυγείσας μὲν τῆς τοῦ θεοῦ ἀγάπης, ἐντεῦθεν δὲ ψυχὰς ὀνομασθείσας καὶ τιμωρίας χάριν εἰς σώματα καταπεμφθείσας, ἀνάθεμα ἔστω.

β̄ Εἴ τις λέγει ἢ ἔχει τὴν τοῦ κυρίου ψυχὴν προυπάρχειν καὶ ἡνωμένην γεγενῆσθαι τῶι θεῶι λόγωι πρὸ τῆς ἐκ παρθένου σαρκώσεώς τε καὶ γεννήσεως, ἀνάθεμα ἔστω.

γ̄ Εἴ τις λέγει ἢ ἔχει πρῶτον πεπλάσθαι τὸ σῶμα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν τῆι μήτραι τῆς ἁγίας παρθένου καὶ μετὰ ταῦτα ἑνωθῆναι αὐτῶι τὸν θεὸν λόγον καὶ τὴν ψυχὴν ὡς προυπάρξασαν, ἀνάθεμα ἔστω.

δ̄ Εἴ τις λέγει ἢ ἔχει πᾶσι τοῖς οὐρανίοις τάγμασιν ἐξομοιωθῆναι τὸν τοῦ θεοῦ λόγον, γενόμενον τοῖς χερουβὶμ χερουβὶμ καὶ τοῖς σεραφὶμ σεραφὶμ καὶ πάσαις ἁπλῶς ταῖς ἄνω δυνάμεσιν ἐξομοιωθέντα, ἀνάθεμα ἔστω.

ε Εἴ τις λέγει ἢ ἔχει ἐν τῆι ἀναστάσει σφαιροειδῆ τὰ τῶν ἀνθρώπων ἐγείρεσθαι σώματα καὶ οὐχ ὁμολογεῖ ὀρθίους ἡμᾶς ἐγείρεσθαι, ἀνάθεμα ἔστω.

ς Εἴ τις λέγει ⟨ἢ ἔχει⟩ οὐρανὸν καὶ ἥλιον καὶ σελήνην καὶ ἀστέρας καὶ ὕδατα τὰ ὑπεράνω τῶν οὐρανῶν ἐμψύχους καὶ λογικὰς εἶναί τινας δυνάμεις, ἀνάθεμα ἔστω.

ζ Εἴ τις λέγει ἢ ἔχει ὅτι ὁ δεσπότης Χριστὸς ἐν τῶι μέλλοντι αἰῶνι σταυρωθήσεται ὑπὲρ δαιμόνων, καθὰ καὶ ὑπὲρ ἀνθρώπων, ἀνάθεμα ἔστω.

XXIII = Hieronym. ep. 124 p. 114, 27—115, 7 XXIIII = Philocalia 3 p. 323, 5—7 Koetschau

9 τῆς γραφῆς λεγούσης καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωὶ ἡμέρα πρώτη ἢ δευτέρα [Gen. 1, 5], σὺ τί φλυαρεῖς, Ὠρίγενες ἀνούστατε; O^{r} in mg.

O [= aerv], I, B^{a} [inde a 13], Σ [uersio Syriaca ed. Lannoo *Le Muséon* 43, 9—12]

3 ζητήσει O^{e} δόξοι O^{v} 3/4 τὸν οὐρανὸν [οὐράνιον O^{r}] τόπον O^{r}I τῶν οὐρανίων τόπων O^{aev} 4 αὐτῶ I αὐτὸ O^{er} αὐτὸσ O^{av} πνῑ καὶ O^{v} πνᾱ τί καὶ O^{e} τοῖσ O^{r} 5 ὥρα O^{v} καθαιρέσεωσ O^{v} 6 εἰσ τὸ I τὰ O 9 ὁρίσηται O^{e} οἰήσεται Philocal. 11 γινομένων O^{v} 12 προσήκειν O^{ev} 13 numeri ex OI Σ inscr. ἀναθεματισμοὶ τῶν τοῦ ὠριγένους ληρημάτων τῆσ ἁγίασ καὶ οἰκουμενικῆσ ε̄ συνόδου B^{a} 16 τὰ σώματα O^{a} ἔστω om. O^{r}I 17/18 τοῦ θῦ λόγου O^{ev} 18 ἔστω om. I 20 παρθένου καὶ θεοτόκου O^{e} 22 ἐπουρανίοισ O^{r}I 23 σεραφεὶμ σεραφεὶμ O^{r} σεραφὶμ σεραφεὶμ IB^{a} ἁπλῶσ ταῖσ om. O^{r} 25—26 [numero ϛ̄ adscripto O^{a}] post 27—28 [numero ε̄ adscripto O^{a}] coll. O^{av} 26 ὁμολογεῖν O^{r} 27 ἢ ἔχει Σ om. OIB^{a} ὕδατα O^{arv}I τὰ ὕδατα O^{e} 28 λογικὰσ Σ, ut coni. Gaudentius [professor Pisanus s. 17] ὑλικὰσ OIB^{a}. cf. Hieron. ep. 98 p. 194, 23sq. 29 ἢ ἔχει om. B^{a} ὅτι om. O^{a} σταυρωθῆναι μέλλει B^{a}

η̄ Εἴ τις λέγει ἢ ἔχει ἢ πεπερασμένην εἶναι τὴν τοῦ θεοῦ δύναμιν καὶ τοσαῦτα αὐτὸν δημιουργῆσαι ὅσων περιδράξασθαι καὶ νοεῖν ἠδύνατο, ἢ τὰ κτίσματα συναίδια εἶναι τῶι θεῶι, ἀνάθεμα ἔστω.

θ̄ Εἴ τις λέγει ἢ ἔχει πρόσκαιρον εἶναι τὴν τῶν δαιμόνων καὶ ἀσεβῶν ἀνθρώπων κόλασιν καὶ τέλος κατά τινα χρόνον αὐτὴν ἕξειν ἢ γοῦν ἀποκατάστασιν ἔσεσθαι δαιμόνων ἢ ἀσεβῶν ἀνθρώπων, ἀνάθεμα ἔστω.

Ἀνάθεμα καὶ Ὠριγένει τῶι καὶ Ἀδαμαντίωι τῶι ταῦτα ἐκθεμένωι μετὰ τῶν μυσαρῶν αὐτοῦ καὶ ἐπικαταράτων δογμάτων καὶ παντὶ προσώπωι φρονοῦντι ταῦτα ἢ ἐκδικοῦντι ἢ κατά τι παντελῶς ἐν οἱωιδήποτε χρόνωι τούτων ἀντιποιεῖσθαι τολμῶντι.

O [= aerv], I B^a Σ

1—3 post 4—6 coll. O^v 1 ἢ: om. O^rIB^a, corr. O^r 2 ὅσον O^v ὅσα B^a περιδεδράξασθαι B^a 2/3 καὶ νοεῖν — τῶι θεῶι om. O^rI 2 ἐδύνατο B^a 5 ἕξειν αὐτὴν B^a ἔσεσθαι ΙΣ γενέσθαι OB^a 6 ἔστω om. I 7 καὶ om. O^eI ἀδαμαντίνω B^a 7—9 τῶ — τολμῶντι] καὶ τοῖσ φρονοῦσι ταῦτα καὶ πᾶσι τοῖσ αἱρετικοῖσ B^a 7 ταῦτα] καὶ ταῦτα O^{arv} 8 ἐπικαταράτων ἐναγῶν τε O^e 9 τι O^{arv}IΣ τινα τρόπον O^e in fine add. ἐν χ̄ῳ̄ ῑῡ τῶ κ̄ῳ̄ ἡμῶν [om. O^v] ὧ ἡ δόξα εἰσ τοὺσ αἰῶνασ τῶν αἰώνων ἀμήν O^{arv}

APPENDIX
EPISTVLARVM AD PETRVM FVLLONEM
COLLECTIO ANTIQVIOR

A = Codex Vatopedianus 236 membr. s. XI
V = Codex Vaticanus 1904 bomb. scriptus a. 1306
Λ = Textus Latinus quem edidit O. Günther in Coll. Auell. ep. 71—78
v = Collectio Auellana
b = Collectio Berolinensis

in margine adnotatae sunt paginae proecdoseos in *Abh. d. Bayer. Akad. d. Wiss. N.F.* 10 p. 125 sq.

Ἐπιστολαὶ διαφόρων ἐπισκόπων γραφεῖσαι πρὸς Πέτρον ἐπίσκοπον Ἀντιοχείας τὸν ἐπίκλην Γναφέα ὅτι οὐ δεῖ πάθος τῶι τρισαγίωι συνάπτειν διὰ τῆς προσθήκης τοῦ ὁ σταυρωθεὶς δι' ἡμᾶς, ἣν αὐτὸς Πέτρος ὡς αἱρετικὸς προσέθηκεν

1 Ἀντέωνος ἐπισκόπου Ἀρσενόης πρὸς Πέτρον ἐπίσκοπον Ἀντιοχείας

1 Πάνυ εἰμὶ ἐστυγνακὼς ἐπὶ σοί, ἀδελφὲ τιμιώτατε, ὅτι ἐπηύξηται διὰ σοῦ μέγα σκάνδαλον ἀντὶ τοῦ ἐκτέμνειν σε τὰ σκάνδαλα. καὶ γὰρ ἐπισχεῖν θέλω τὰ ἐπὶ τούτωι δάκρυα καὶ κεκώλυμαι ὑπὸ τῆς σῆς ἐν κακίαι ἐξενηνεγμένης αἱρέσεως, ὅτι παρατέτρωται παρὰ σοὶ τὰ εὐαγγέλια Πράξεις τε καὶ ὁ ἀπόστολος, ἐπείπερ παρ' αὐτοὺς ἔδοξας ἐπισοφίζεσθαι τοῦ μὴ Χριστὸν σταυρωθέντα καθαρῶς δι' ἡμᾶς ὁμολογεῖν, ἀλλὰ τῶι τρισαγίωι τὸν σταυρὸν ἐπισυνάπτειν, ὡς τὰ πρῶτά σου γράμματα τὰ πρὸς Ἀκάκιον τὸν τῆς Κωνσταντινουπολιτῶν ἐκκλησίας ποιμένα δείκνυσιν. ἐπειδὴ δὲ εἰς ἀσέβειαν εἶ ἐμπεπτωκώς, διαφόρως περιστρέφεις τὴν ἐξενεχθεῖσαν ὑπὸ σοῦ ἀδίκως νομήν, εἴ πως ἐμπαράμονον καὶ **2** ἑδραίαν αὐτὴν παρὰ πᾶσι κυρώσεις. οὔτε γὰρ τὸ θεῖον λέγομεν παθητόν, ὡς σὺ φής, οὐδὲ γυμνὸν λόγον φαμὲν σταυρωθέντα, ἀλλὰ Χριστὸν Ἰησοῦν, ἀλλ' οὐδὲ αὐτὸν μετὰ τῆς τριάδος. εἷς γὰρ τῆς τριάδος ἐστὶν ἐνανθρωπήσας Ἰησοῦς ὁ Χριστός, ὁ δὲ σταυρὸς περὶ τὸ ἀνθρώπινον τοῦ Χριστοῦ γεγένηταί τε καὶ πιστεύεται. ἐν δὲ τῶι τρισαγίωι ποῦ σώματος δήλωσις, ἵνα χώραν ἡ τοῦ σταυροῦ λάβηι προσηγορία; λέγεις γὰρ 'ἅγιος **3** ὁ θεός'. καὶ τίς οὐκ οἶδεν ὅτι πρῶτος ὁ πατὴρ κατὰ τὴν τάξιν τῆς συνήθους πᾶσι δοξολογίας, εἰ καὶ μὴ καθ' ὑπεροχὴν τῆς θεικῆς ἀξίας; ἔπειτα φάσκεις 'ἅγιος ἰσχυρός'. καὶ τίς οὐκ οἶδε κατὰ τὸν προφήτην Ἡσαίαν ὅτι τὸ τεχθὲν ἡμῖν παιδίον Ἰησοῦς Χριστός, οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ καὶ καλεῖται καὶ ἔστι μεγάλης βουλῆς ἄγγελος θεὸς ἰσχυρός; εἰ γὰρ καὶ ἐσταυρώθη ἐξ ἀσθενείας, ἀλλὰ τὸ ἀσθενὲς ἡμῶν σῶμα ἀναλαβὼν τοῦτο πέπονθεν, ἰσχυρὸς δὲ θεὸς τυγχάνων προθύμως πρὸς τὸν σταυρὸν τὸ οἰκεῖον ἐξεδίδου σῶμα, ὡς εἰπεῖν καὶ τὸν προφήτην αὐτὸς τὰς **4** ἀσθενείας ἡμῶν ἀνέλαβε. θεὸς δὲ καὶ ἄνθρωπος συνωμολόγηται παρὰ πάντων ὁ υἱός· σὺ δὲ μόνον τὸ ἰσχυρὸν τῆς τοῦ υἱοῦ θεότητος εἰπών, παραδραμὼν δὲ καὶ τοῦτο **5** ἥκεις ἐπὶ τὸ πνεῦμα τὸ ἅγιον καὶ ὡμολόγησας, ὡς ἔστιν ἀληθῶς, ἀθάνατον. τίνα οὖν ἐπιφέρεις ἐσταυρωμένον δι' ἡμᾶς μετὰ ταῦτα; τὸν Χριστὸν λέγεις; οὐκοῦν δῆλος εἶ τε-

Is. 9, 6

2 Cor. 13, 4

Mt. 8, 17

---

in collectione Latina 4 [Coll. Auell. 74]; recentior epistulae forma extat supra 4 I p. 6 [O]

AV, Λ [= vb]

1—3 om. ΛO 3 ὡσ A ὁ V 5 ἐπτήυξηται A 8 ὁ om. VO αὐτοῖσ V 9 *propter* Λ δεῖ [δεῖν V] AV 10 τὰ² O om. AV 11 δὲ om. Λ 12 νομὴν O *sententiam* Λ τομὴν AV 13 ante οὔτε habet Λ *dum autem pro ea a metropolitis culpatus fuisses, non uenisti ad satisfactionis examen neque respexisti ut sis bene glorificans, sed undique refutaris* 14—16 ἀλλὰ χν̄ ιν̄ — πιστεύεται [πεπίστευται A] AV *sed* [*aut* Λ^{b}] *Christum Iesum* [*post trinitatem Christum* Λ^{b}]. *ubi enim crux dicitur, necesse est esse corporis eleuationem* Λ ἀλλὰ χν̄ ιν̄ O 15 ὁ om. A 17 γὰρ ὅτι A 20 *Christus Iesus* Λ 23 post σῶμα add. *unde etiam dicebat spiritus quidem promptus, caro autem infirma* [Mt. 26, 41] Λ 26 υἱόσ AV χσ̄ ΛO υἱοῦ V θῦ A χῦ ΛO 27 *uenisti* Λ ἦκεσ O 28 ταῦτα ΛO ταῦτα δὲ AV

126 τράδα φρονῶν, ἕτερον παρὰ τὸν ἰσχυρὸν θεὸν τὸν Χριστὸν ὀνομάζων. ἀλλὰ τὸ πνεῦμα τὸ ἅγιον σταυρωθῆναι φάσκεις; καὶ τί τούτου δυσσεβέστερον γένοιτο ἄν; ἀλλὰ φαντασίαν λέγεις τὴν τοῦ πάθους οἰκονομίαν; οὐκοῦν φαντασία καὶ ἡ ἡμῶν σωτηρία κατὰ
6 τοὺς δυσσεβεῖς Μανιχαίους. ὁρᾶις πῶς πανταχόθεν περικρημνίζηι καὶ ἀγνοεῖς ἢ καὶ εἰδὼς ἑκὼν κακουργεῖς; ἰδοὺ τοίνυν ὑπομνησθεὶς ἐντράπηθι περὶ τῆς ἀπαιδευσίαις σου καὶ εἶξον ὥσπερ ἐδέξω παρὰ τοῦ προφήτου, δοξολογεῖν τὸ τρισάγιον· ἀσωμάτως γὰρ ὀνομαζόμενον μηδενὸς προκειμένου τῆς σαρκώσεως τοῦ μονογενοῦς αἰνίγματος καθαρῶς ὀφείλει δοξολογεῖσθαι μηδεμιᾶς σταυροῦ προσθήκης ἐπαγομένης. ὡς γὰρ ἂν σοφί-
7 σηται τις, ἐκκρημνίζεται τῆς ὀρθοδοξίας. Χριστὸν δὲ παραλαβὼν δι' ἡμᾶς σταυρω-
1 Cor. 1, 23 θέντα τὸν υἱὸν τοῦ θεοῦ κατὰ τὸν μακάριον Παῦλον φάσκοντα ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν Ἰησοῦν καὶ τοῦτον ἐσταυρωμένον μὴ ἀπαρνοῦ τούτου τὸ ὄνομα καὶ τὸ
Gal. 1, 9 πάθος· εἰ δὲ μή, ἐκεῖνος προλαβὼν ἐπιφέρει· εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρ-
1 Cor. 2, 2 ελάβετε, ἀνάθεμα ἔστω. ἐγὼ γάρ φησιν οὐκ ἔκρινά τι εἰδέναι ἐν ὑμῖν εἰ μὴ
8 Χριστὸν Ἰησοῦν καὶ τοῦτον ἐσταυρωμένον. εἰ δὲ τοῦτον ἀπαρνεῖσθε σταυρωθέντα καὶ τῶι τρισαγίωι τὸ πάθος συνάπτετε, πῶς οὐχ ὑποίσετε τὸν ἀναθεματισμόν; Παῦλός ἐστιν ὁ ἀναθεματίζων, τὸ σκεῦος τῆς ἐκλογῆς. προβαλοῦ Χριστὸν καὶ σταυρὸν
9 [καὶ] μὴ ἀπαρνοῦ καὶ μὴ ἕτερον ἀνθ' ἑτέρου εἰσαγάγηις. πλεῖστοι γάρ εἰσιν οἱ σταυρωθέντες, εἷς δὲ ὁ δι' ἡμᾶς. φέρε οὖν ἐν τῶι σταυρῶι τούτου τὸ ὄνομα, ἵνα μὴ ἕτερον ὑποπτευθῆις λέγειν σταυρωθέντα, ὅτι οἶδας ὅτι πολλὰ τὰ ἔνεδρα τοῦ δολίου· διὰ τοῦτο καὶ οἱ τιη καὶ οἱ ρν ἕνα κύριον Ἰησοῦν Χριστὸν σταυρωθέντα παραδιδόασι καὶ οὐ τὸ τρισάγιον· οἱ δὲ νομομαθεστέρους κρίναντες ἑαυτοὺς εἶναι τούτων τῶν πατέρων πῶς οὐ δεικνύουσιν τούτων ἑαυτοὺς ἀλλοτρίους;

[Τοῦ ἁγίου Γελασίου ἐπισκόπου Ῥώμης ἴσον ἐπιστολῆς πεμφθείσης τοῖς τῆς Συρίας ἐπισκόποις]

2 Κυρίοις μου τὰ πάντα θεοσεβεστάτοις καὶ ὁσιωτάτοις ἐπισκόποις Κοσμᾶι Σεβηριανῶι Κύρωι Ζωίλωι Εὐσεβίωι Θωμᾶι Σιλβανὸς ἐλέει θεοῦ διάκονος τῆς καθολικῆς καὶ ἀποστολικῆς πίστεως.

εἰ ἅπερ ἠξίωσας, ἔγραψας, ἔργωι πρόελθε

Τίς τὰς ἐμᾶς ὠδῖνας πρὸς ὑμᾶς ἐγκαταμίξει, θεοφιλέστατοι; τί δὲ καὶ τοῦ ταπεινοῦ ἡ πρὸς τοὺς μεγάλους παρρησία; οὐ προπετείας τὸ ἐπιχείρημα οὔτε κενῆς δόξης ἡ ἔναρξις· θείας ἀγάπης καὶ σωτηριώδους πυρσὸς ὑπελθὼν ἐπεγείρει τὴν προτροπήν. κἀμοὶ

---

2 Gelas. ep. 43 Thiel. primus edidit A. Mai Nou. bibl. 11 653—662. inscriptio inscite composita est. accidit enim ut Gelasii fictae epistulae [p. 218, 28. 220, 15—222, 42] adiceretur altera et genuina quae a Siluano diacono Romano Hormisdae papae iussu episcopis secundae Syriae scripta est. olim [*Abhndlg. d. Bayer. Akad. d. Wiss.* N. F. 10 p. 296sq.] impeditus sum falsa lectione Σιλουανῶι quominus rem claram perspicerem. manifestum denique est epistulam diaconi per Iohannem et Sergium [cf. Coll. Auell. ep. 139 et hic p. 219, 21] ab urbe Roma ad episcopos secundae Syriae esse perlatam. ex Latina sine dubio translata est.

AV, Λ [= vb ; usque ad 22]

4 περικνημίζηι A ἢ] εἰ A 8 ὅσω A 12 *iam praecedens ille ait* Λ προλαβὼν ἐκεῖνος ἔφη O 16 προβάλλου A 17 καὶ¹ AV om. ΛO καὶ² AVΛ om. O εἰσαγάγησ AV om. O 18 ὁ O om. AV 19 ὅτι οἶδασ ὅτι AO οἶδασ γὰρ ὅτι V δολίου ΛO διαβόλου AV 22 multa addit Λ 23 πεμφθεί A 25 μου AV δὲ falso in V legisse sibi uisus est Mai τὰ om. V 26 σιλβανὸσ A de V nihil constat πίστεως falsum

δότε συγγνώμην, παρακαλῶ· οὐδὲ γὰρ ὡς ἐλλείποντα τῇ ὑμετέραι συνέσει τὰ τῆς 127
τελειότητος προεθέμην λέγειν, ἀλλ' ὡς ἐν ὑπομνήσει φιλοθέωι ἡ παράκλησις, ὅτι πάντες
ὑμεῖς διδακτοὶ θεοῦ, καθὰ πού φησι τὸ θεῖον λόγιον. οὐκοῦν τὰ ἐξ ἀγάπης λεγό- Ioh. 6, 45
μενα κρίναντες δότε μισθὸν ἀνταποδόσεως τῶν εὐχῶν ὑμῶν τὰς ἀμοιβάς. ἔδει τοὺς
καλοὺς διδασκάλους τῶν μαθητῶν προαρπάξαι τὴν πρὸς τὴν πρεσβείαν τάξιν, εἰ καὶ 5
ὑμῖν ἐπιγράφεται ταύτης τὸ κάλλιστον ὡς ἐν προδρόμοις θεμένοις τῆς ἐπιδείξεως τὴν
σπουδήν, διεγείρασι μὲν καὶ καταρτίσασι τὰ μέλη, προοδοποιήσασι δὲ τὴν μήνυσιν
τῆς στερρότητος δι' ἑαυτῶν. καλῶν διδασκάλων ἀληθῶς ἄριστοι μαθηταί· καλῶν
ποιμένων θαυμασία τῶν προβάτων ἡ νομή· οὗτοι τῶν ὑμετέρων πόνων οἱ καρποί.
ἐπειδὴ τοίνυν φθάσαν παρ' ἡμῖν τῶν εὐαγῶν μοναχῶν θεῖον σύστημα δεξιὰς ἔλαβε κοι- 10
νωνίας παρὰ τῆς ἀποστολικῆς καθέδρας ἀρνησάμενον μὲν τὴν πρὸς τοὺς Εὐτυχιανιστὰς
ἢ γοῦν Μανιχαίους κοινωνίαν, συμφωνῆσαν δὲ πᾶσι τοῖς κρίμασι τῶν θείων κανόνων
ἐν ἀποβολῇ μὲν τῶν καθαιρεθέντων αἱρετικῶν πάντων, ὁμολογίαι δὲ τῆς ἁπάντων
ἐν Χαλκηδόνι συνόδου καὶ τοῦ ἐν ἁγίοις καὶ ἀποστόλοις Λέοντος τοῦ πάπα, λέγειν 14
ἐπάναγκες πρὸς τὴν ἁγίαν ὑμῶν σύνοδον· εἰ ἡ ἀπαρχὴ ἁγία, καὶ τὸ φύραμα, καὶ Rom. 11, 16
εἰ ἡ ῥίζα ἐκλεκτή, καὶ οἱ κλάδοι. ἐκ γὰρ τοῦ καρποῦ τὸ δένδρον Mt. 12, 33
γινώσκεται. ἥκατε δὴ καὶ ὑμεῖς, ὦ τιμιώτατοι, πρὸς τὴν εὐαγγελισθεῖσαν παρ'
ὑμῶν ἁγίαν καθέδραν· προφθάσατε πρὸς τὴν ἀχείμαστον Πέτρου πέτραν· συναριθ-
μήθητε χορῶι τῶι ἀποστολικῶι· βεβαιώσατε ὑμῶν τῆς νίκης τοὺς στεφάνους· προ-
καταλάβετε τὴν ἡτοιμασμένην ὑμῖν, σεβασμιώτατοι, σεβασμιότητα, παρ' οἷς καὶ ἀεὶ 20
ἡ πίστις τὸ κῦρος ἔχει. διηγήσαντο γὰρ ὑμῖν Ἰωάννης καὶ Σέργιος οἱ σπουδαιότατοι
ἀδελφοὶ οἱ ἀφ' ὑμῶν πρὸ ἡμᾶς παραγενόμενοι τῆς πίστεως τῶν Ῥωμαίων τὸ ἀήττητον,
τὴν περὶ τὰ τέκνα φιλοστοργίαν, τὴν μέριμναν τῶν ἐκκλησιῶν. οὐδὲ γὰρ ὡς κατά-
σκοποι τῆς ἐλευθερίας ἡμῶν ἐδέχθησαν, ἀλλ' ὡς μηνυταὶ τῆς ἀνδρίας ὑμῶν, οὐδὲ ὡς
ἀδόκιμοι ἀπεπέμφθησαν, ἀλλ' ὡς εὐαγγελισταὶ τῆς ὁμοφροσύνης ὑμῶν. ἀπήγγειλαν 25
γὰρ καὶ διηγήσαντο τήν τε σταθηρὰν κρίσιν ὑμῶν καὶ τῶν αἱρετικῶν τὴν αὐθάδειαν,
τῆς ὑπομονῆς ὑμῶν τὸ καρτερικὸν καὶ τῶν αἰσχίστων τὴν μιαιφονίαν, τοῦτο μὲν στόματι
διηγησάμενοι, τῶι δὲ ἀληθεῖ καὶ διὰ λιβέλλου τῶν ὑφ' ὑμᾶς εὐλαβῶν μοναχῶν δια-
πεμφθέντος διδάξαντες ὅσας θλίψεις πολλὰς καὶ κακὰς διήλθατε, ὅσαι τοῦ θεοῦ αἱ ἀντι-
λήψεις ἐπανέτειλαν. καὶ οὐ θαυμαστόν· οὐδὲ γὰρ ἐν πρώτοις τῶν λύκων αἱ ἐπι- 30
δρομαί, ἀλλ' ἀεὶ μὲν ἐπιτρέχουσιν, ἀεὶ δὲ τῶι ῥοπάλωι τοῦ καλοῦ ποιμένος ἐκδιώκονται.
τότε νικᾶι ἡ πίστις, ὅταν ἐπαναστῆι πόλεμος. οὐκ ἐν εἰρήνηι τὰ τῆς ἀνδρίας, ἀλλ' ἐν
πολέμωι τὸ λαμπρὸν τῆς δοκιμῆς. τί γὰρ οὐκ ἐκίνησαν οἱ ἀλάστορες πρὸς τὸ ἄρδην
ἀφανίσαι τοῦ Χριστιανισμοῦ καὶ τὸ ὄνομα καὶ τὸ πρᾶγμα; τίνα χρήμασιν οὐχ ὑπέφθειραν
ἀνταρσίαν ἐγεῖραι κατὰ τοῦ Χριστοῦ; ποῖαι μάστιγες οὐ διεφθάρησαν ἐν βασάνοις 35

AV

1 ὡσ A om. V 2 τελειότητοσ A detritum in V ἐν A de V non constat 5 προαρπάξαι A, fortasse etiam V 6 ὑμῖν A ἡμῖν V 7 διεγείρασι AV διεγείρουσι Mai 10 φθάσαν scripsi φθασάντων AV ἡμῖν V ὑμῖν A δεξιᾶσ AV 12 συμφωνῆσαν V συμφωνήσασι A 13 μὲν A om. V ἁπάντων A et, ut uidetur V 14 καλχηδόνι A 15 ἡ ἀπαρχὴ V ὑπάρχει A 17 ἥκατε V ἅτε A δὴ A detritum in V παρ' V περὶ A 20 οἷσ καὶ V ἧσ A 21 ὑμῖν scripsi ἡμῖν AV 23 οὐδὲ A, detritum in V 24 ἡμῶν V ὑμῶν A ἐλευθερίασ A et, ut videtur, V 25 εὐαγγελισταὶ AV ὁμολογηταὶ Mai falso 26 αὐθάδειαν A detritum in V 27 αἰσχίστων AV coniecerim ἀποσχιστῶν 28 τῶι δὲ ἀληθεῖ A et sine dubio V ἡμᾶσ A 31 ἐκδιώκονται A detritum in V 32 ὅταν ἐπαναστῆ A, in V inter πίστις et στῆι antiquae litterae emanuerunt, τότε οὐκ ἐξαναστῆ a. m. rec. suppleta sunt εἰρήνηι A, detritum in V ἀνδρείασ V 33 πολέμωι A, detritum in V δοκιμῆσ A, in V non legitur nisi δοκι, μασίασ add. m. rec. ἀλάστορεσ A, detritum in V 34 χρήμασιν A in V non legitur nisi χρήμα, χρήματα m. rec. in mg. 35 ἐγεῖραι κατὰ A, detrita in V μάστιγεσ A, detritum in V

γυμνάζουσαι τοὺς ἁγίους; ποῖον ξίφος ἠκονημένον οὐκ ἠμβλύνθη ἐκ τῶν τεμνομένων μακαρίων αὐχένων καὶ μελῶν τῶν καθολικῶν ἢ τίς θαλάττης βυθὸς οὐ πεπλήρωται ὀστέων τῶν ἐν αὐτῷι συρρυέντων σωμάτων ὀρθοδόξων; ποία δὲ ἔρημος οὐ πεπόλισται ἐκ τῶν ἐν αὐτῇι ἐξορισθέντων ἀρχιερέων διὰ τὴν πίστιν ἢ ποῖαι πόλεις ὑπερόριοι καὶ μακράν που ἀπωικισμέναι τῆς ἑαυτῶν ἐξουσίας οὐ κοσμοῦνται καὶ θάλλουσιν ἐκ τῶν
128 διασπαρέντων καὶ φυγόντων ἁγίων πατριαρχῶν ἐπισκόπων κληρικῶν μοναχῶν τε καὶ λαικῶν; παρὰ τοῖς Μανιχαίοις ἐξουσία τοῦ λαλεῖν καὶ πράττειν ἅπερ βούλονται· παρ' αὐτοῖς χρημάτων θησαυροὶ λαοπλάνων· παρ' αὐτοῖς ἔρεις τε καὶ μάχαι καὶ θρόνων ἐφέσεις· παρ' αὐτοῖς γοήτων ἑσμοί, φαρμακῶν χοροὶ ἐν μοναχῶν σχήματι τὴν μορφὴν ἀμειβόντων. ἐκεῖ μαγεία σκιρτῶσα κατεπαίρεται καὶ ἀστρονομία γαυριῶσα κατα- θύμια χρησμοδοτεῖ· δαίμονες βακχεύοντες καὶ ἱερεῖς ἀσεβείαις αὐτῶν κροτοῦντες καὶ Χριστὸς ὁ παιζόμενος καὶ ὁ συνιῶν οὐκ ἔστιν. τοῦτο τῶν τὴν μίαν φύσιν ἐν τῶι Χριστῶι τραγωιδούντων τὸ συμπόσιον· τοῦτο τῶν μεθυόντων καὶ ἀφανιζόντων ἐν συγχύσει τὰς ἑνωθείσας φύσεις τὸ ἐργαστήριον

Mt. 16, 16 κἀγὼ μέν, ὦ αἱρετικέ, τρέψω πρὸς σὲ τὸν λόγον. ὁμολογῶν Χριστὸν υἱὸν θεοῦ τοῦ ζῶντος τὰ τοῦ ἁγίου Πέτρου φθέγγομαι ῥήματα, τὴν ἀποκάλυψιν τοῦ πατρὸς ὑμνῶν κηρύττω· σὺ δὲ λέγων θεοῦ παθόντος ἀναιρεῖς τὰ τῆς οἰκονομίας, καινοτομεῖς
1 Petr. 4, 1 ἀποβαλλόμενος τοῦ κορυφαίου τὴν ὁμολογίαν. ἐκεῖνος λέγει Χριστοῦ παθόντος καὶ σὺ ἀντιπράττεις κράζων θεοῦ παθόντος. τὸ λέγειν θεοῦ παθόντος ψιλὴν ὑποφαίνει τὴν θεότητα, γυμνὴν τοῦ ἐνδύματος, ἐστερημένην τοῦ ναοῦ καὶ τῆς τοῦ δούλου μορφῆς προσλήψεως. τί τὴν ἀπαθῆ θεότητα καθέλκεις εἰς πάθος, θεομάχε; τί τὴν ἀθάνατον φύσιν ὑπὸ δουλείαν καὶ φθορὰν θανάτου ὑποβάλλεις; ἐγὼ Χριστὸν υἱὸν θεοῦ τοῦ ζῶντος ὁμολογῶν οὐ ψιλὸν τὸν ἄνθρωπον τοῦ Χριστοῦ κηρύττω, ἀλλ' ἐν θεότητι τελείαι καὶ ἐν ἀνθρωπότητι τελείαι τὸν αὐτὸν υἱὸν τοῦ θεοῦ τοῦ ζῶντος προσκυνῶ. δύο γὰρ φύσεων ἕνωσις ἀσυγχύτως καὶ ἀτρέπτως γέγονεν, ἵνα εἷς πιστευθῆι Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, εἷς εἰ καὶ τῶν ἑνωθεισῶν φύσεων τὸ διάφορον νοεῖται μετὰ τῶν ἐνεργειῶν. εἰ γὰρ καὶ αἱ φύσεις ἐν ταῖς ἰδιότησι κοσμοῦνται, ἀλλ' ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος ὁ αὐτὸς θεὸς κατὰ ἀλήθειαν καὶ ἄνθρωπος κατὰ ἀλήθειαν, ἕνωσις ἀδιαίρετος καὶ ἀδιάζευκτος χωρισμὸν μὴ ὑφισταμένη, εἷς Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ
Eph. 4, 5 ζῶντος, εἷς κύριος, μία πίστις, ἓν βάπτισμα. ἀλλὰ δάκνηι καὶ σπαράττηι τοὺς ὀδόντας διαπρίων, τὴν ἐν Χαλκηδόνι σεβασμίαν σύνοδον ταῦτα κηρύξασαν αἰτιώμενος καὶ τὸν ἀοίδιμον καὶ ἐν ἀποστολικῆι χορείαι καταριθμούμενον Λέοντα βάλλεις ὕβρεσιν ἐν παραφροσύνηι. καὶ ἡμεῖς μὲν οἱ τῶν ἁγίων ἀποστόλων ὑπήκοοι γνήσιοι τὰ παρ' αὐτῶν θεσπίσματα ἐν στόματι φέροντες καὶ καρδίαι ἐγκεκολαμμένα ἔχοντες στέργομεν ἀπαρεγχειρήτως, σὺ δὲ ταῦτα ἀφεὶς καὶ πρὸς ἀσεβείας βάραθρον ἐμπεπτωκὼς μαρυκᾶις τὴν τῶν ἀκανθῶν χορτώδη ποιότητα. ἔστι γάρ σου καὶ ἄλλο ἐφ' ὧι κομπάζεις καὶ σκιρτᾶις, ἐγχειρίδιον πίστεως, τῆς σῆς γνώμης καὶ τυραννίδος ἐφόδιον, ὧι προσηνῶς καὶ ἀπατηλῶς προσέρριψας ὄνομα ἑνωτικὸν καλέσας. φεῦ τῆς φληνάφου τερθρείας τῶν ἀποστατῶν· παρώσαντο τῶν ἀποστόλων τὴν διδαχὴν καὶ λαικῶν διδάγμασιν

inter 14 et 15 interrumpitur conexus

AV

1 ἠμβλύνθη A, detritum in V 2 βυθὸσ οὐ A, detrita in V 3 ἐν αὐτῶι A, detritum in V, ἐν αἵματι m. rec. in mg. 4 αὐτῆ V αὐτῶ A 11 βακχεύοντες A, detritum in V 17 ὑμνῶν A, et sine dubio V κηρύττων A 22 θῦ V τοῦ θῦ A 27 καὶ — ἰδιότησιν A, detrita in V ὁ A detritum in V 31 καλχηδόνι A ut solet 34 ἐγκεκολλημένα A 35 ἀπαρεγχωρήτωσ A πρὸσ A πρὸσ τὸν V ut uidetur 36 κομπάζη V 38 ἀπατηλῶσ A et sine dubio V

ἐναβρύνονται, τῶν ἐνθέσμων συνόδων ἀποστρέφονται τὰς ἐκθέσεις καὶ κοσμικῶν ἐπιστολιδίοις τὰς ἐλπίδας ἑαυτῶν ἀνατιθέασι, τῶν ἁγίων καὶ ὁμολογητῶν ἀπωθοῦνται τὴν σεβασμιότητα καὶ χάρτην ἐπ' ἐκβολῆι τῆς ἐν Χαλκηδόνι ἁγίας συνόδου ἐκφωνηθέντα καταπομπεύουσι, τοῦ Ὀζίου τὴν θρασύτητα δοξάζουσι καὶ ἱερωσύνης τὸν ἁγιασμὸν 2 Paralip. 26, 16—20
ἀποτινάσσονται. καὶ ὑμεῖς μέν, ὦ οὗτοι, ἕως ὧδε στῆτε λεπρῶντες καὶ τοῦ προ- 6
πηλακισμοῦ τὴν ἀτιμίαν ἐπὶ προσώπου λάβετε σημεῖον τρέμοντες καὶ στένοντες ἐπὶ τῆς γῆς· οὐ γὰρ ὀρθῶς προσηνέγκατε ἀγνοήσαντες ἱερωσύνης αὐθεντίαν καὶ λαικῶν προπέτειαν. εἰ γὰρ καὶ βασιλεὺς προῆλθεν, ἀλλ' οὐκ ἀρχιερεὺς ἐχειροτονήθη· βασιλεία 129
μὲν γὰρ ὑπὸ ἱερωσύνης παιδαγωγουμένη διαμένει ἐν δικαιοσύνηι καὶ ἱερωσύνη ὑπὸ βασιλείας δοξαζομένη φαιδρύνει τὴν ἁλουργίδα, δαιδουχεῖ τὰ σκῆπτρα, ἁγιάζει τὴν ἀξίαν, 10
ὑβριζομένη δὲ ἐκριζοῖ θεμέλια.

Ἐφευρέθη δὲ καὶ ἕτερον εἶδος ἀσεβείας ὑπὸ τῶν τολμητῶν θεοπασχιτῶν. πέφυκε γὰρ τὸν κρατούμενον τῶι τῆς παραφροσύνης πάθει ἐκεῖνα λέγειν ἅπερ ἡ φρενῖτις ὑποτίθεται. τί οὖν τὰ τῆς ἀλογίας; τὸν ὑπὸ ἁγίου ἀγγέλου ἐκδοθέντα ὕμνον ἐξ ἁμαρτιῶν ὀργῆς κρατησάσης καὶ γῆς ἐκ μόχλων κινουμένης καὶ σεισμοῖς ἀναβραζομένης πόλεών 15
τε ἐκ βάθρων καταρριπτομένων καὶ τάφων αὐτοσχεδίων ἀθρόον τοῖς ἐκγόνοις γινομένων ἐτόλμησαν οἱ σκληροτράχηλοι καὶ τῶι ἁγίωι πνεύματι ἀντιπίπτοντες παρασαλεῦσαι τῆς θείας ὁροθεσίας τῶν ὕμνων τὰ σήμαντρα κἀνταῦθα βασκαίνοντες τῆι τῶν ἀνθρώπων σωτηρίαι ἀνατρέψαντες, ὡς ἔστιν ἰδεῖν, καὶ τῶν στοιχείων τὴν εὔτακτον κίνησιν, μείζονα ὀργὴν ἐπισπασάμενοι διὰ τὴν εἰς τὸ ὕψος ἄδικον δυσφημίαν. καὶ 20
ὥσπερ διὰ τῆς ἐκδοθείσης φιλανθρώπως ὑμνωιδίας ἡ θραῦσις ἐκόπασεν, οὕτω πάλιν καταργηθείσης διὰ τῆς παρατροπῆς τῶν σχισματικῶν ἐπληθύνθη πρὸς ταῖς ἄλλαις αὐτῶν ἀσεβείαις ἡ πτῶσις. ἐντεῦθεν σεισμῶν ἀπαύστων ἀναβρασμοί, χειμώνων ἀγρίων πιεσμοί, καρπῶν ἀφορία, ἐκκλησιῶν ταραχαί, ἐθνῶν ἐπαναστάσεις, εἰρήνης φυγή, συγχύσεως ἐπικράτησις, αἱμάτων ἀκόρεστος ἔκχυσις. καὶ ἡ μὲν καθολικὴ 25
ἐκκλησία ἥνπερ ἐν παιδείαι μετ' οἰκτιρμῶν παρέλαβεν ὑμνωιδίαν, μετὰ φόβου καὶ τρόμου ἀπαύστωι στόματι καὶ χείλεσιν ἀσιγήτοις βοᾶι ψάλλουσα καθ' ἑκάστην ἅγιος ὁ θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς· ἡ δέ γε τῶν θεομισῶν ἐναγὴς φατρία ἡ τὴν ἀκήρατον καὶ ἄχραντον τοῦ θεοῦ φύσιν ἀεὶ παρανόμοις βέλεσι κατατοξεύουσα τὸ ὁ σταυρωθεὶς τῶι αἴνωι προσέθηκεν, ἵνα τῆς θεότητος καὶ τὸ ἀθάνατον καθυβρίσηι καὶ 30
τῆς ἁγίας τριάδος τὸ ὁμοούσιον διαφθείρηι, ἐπινοοῦντες οἱ ἀναιδεῖς ἕτερον εἶδος παραπληξίας μεστόν. ἐν γὰρ τῆι προσθήκηι τοῦ ὁ σταυρωθεὶς ἄλλος τις εὑρίσκεται παρὰ τὸ τρισάγιον νοούμενος ὁ ἐλεῆσαι αὐτοὺς δῆθεν ἀναγκαζόμενος. εἰπόντες γὰρ τὸ τρισάγιον καὶ ἐπιπροσθέντες τὴν καινοτομίαν ἕτερόν τινα ὑποφαίνουσι διεζευγμένον τοῦ τρισαγίου καὶ τοῦτον ἀνώνυμον. εἰ γὰρ ὡς ἐπὶ τῆς τριάδος ἅγιος ὁ θεὸς ὁ πατήρ, 35
ἅγιος ἰσχυρὸς ὁ υἱός, ἅγιος ἀθάνατος τὸ πνεῦμα τὸ ἅγιον, τὸ ὁ σταυρωθεὶς λεγόμενον ἄλλον τινὰ βούλεται ἔξω τῆς τριάδος. ἀλλ' οὐκ αἰδῆι οὐδὲ αἰσχύνηι τὸ ἀλλόκοτον καὶ ἀπαίδευτόν σου τῆς δοξολογίας; πῶς λέγεις ἅγιος ἀθάνατος ἢ πῶς ἐπάγεις τὸ ὁ σταυρωθείς; ἢ ἄνελε τὸ ἀθάνατος καὶ εἰπὲ τὸ ὁ σταυρωθείς ἢ ἐρυθριάσας τὸ ἀθάνατον παραίτησαι τὸ ὁ σταυρωθείς. ἀλλ' οὐ νήφεις, ἐμβρόντητε, οὔτε ταῖς ἀκοαῖς ἐνηχήθης 40
οὔτε τῆι διανοίαι κατενόησας τῆς ὑμνωιδίας τὴν μεγαλοπρέπειαν ὅπως θεὸν ἰσχυρὸν ἀθάνατον τὸ τρισάγιον ἐκδιδάσκει. ὁμολογοῦμεν καὶ ἡμεῖς, συκοφάντα, τὸν σταυρωθέντα, ἀλλὰ κατὰ τὴν οἰκονομίαν· οὐκ ἐφ' ὕβρει τοῦ ἀθανάτου οὐδὲ ἐπὶ καταλύσει τοῦ

AV

3 σεβασμιότητα, detritum in V ἐκβολῆι A detritum in V 4 καταπομπεύουσι A, detrita in V 9 δικαιοσύνηι A, detritum in V 10 δαδουχεῖ A et sine dubio V 12 ἐφευρέθη A, detritum in V θεοπασχητῶν A de V non constat 22 σχισματικῶν A σχισμάτων V 24 ἀγρίων V ἀπαύστων A 34 προσθέντες V 35 ὁ πηρ ὁ θσ A

Mt. 16, 16. 17 ἀφθάρτου προσκυνοῦμεν τὸν ἐσταυρωμένον, ἀλλὰ Χριστὸν υἱὸν τοῦ θεοῦ τοῦ ζῶντος, ὡς ὁ ἅγιος Πέτρος ἐξ ἀποκαλύψεως τοῦ πατρὸς παιδευθεὶς ἐδίδαξεν. ἡ ἁγία καὶ μακαρία τριὰς οὐ βαθμοῖς ὀνομάτων ὑπόκειται, ἀλλ' ἰσότητι ἀξίας μεγαλύνεται. εἰ γὰρ καὶ πρόσωπα τρία, ἀλλ' οὐ τρεῖς ἀξίαι· ἔνθα τὸ ὁμοούσιον, ἐκεῖ τὸ παντοδύναμον. τὸ διάφορον ἐν ὀνόμασιν, ἀλλ' οὐκ ἐν ἀξίαι· τὸ ἀνόμοιον ἐν προσηγορίαις, οὐκ ἐν οὐσίαι. εἰ γὰρ καὶ τρεῖς ὑποστάσεις πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, ἀλλὰ μία οὐσία, μία θεότης [μία] ἐν ἀθανασίαι, ἐν ἀπαθείαι, ἐν ἀτρεπτότητι, ἐν βουλῆι, ἐν δημιουργίαι, ἐν ἐλέει, ἐν οἰκτιρμοῖς.

130 Οὐκ ἐμοὶ οἱ λόγοι, τῶν ἁγίων ἀποστόλων αὕτη ἡ διδασκαλία, τῶν ἁγίων πα-
Lc. 1, 2 τέρων ἡ ἐξήγησις. πατέρας δὲ λέγω τοὺς διαδόχους τῶν αὐτοπτῶν καὶ ὑπηρετῶν τοῦ λόγου, οὓς λυσσῶν ἀναθεματίζεις μὴ φέρων αὐτῶν τοὺς ἀνεπαισχύντους ἐλέγχους μηδὲ τὴν λαμπρότητα τῶν μαρμαρυγῶν τοῦ ἐν αὐτοῖς θείου χαρίσματος. οὐκ ἠγνόηται δὲ ὅτι ἡ ἐν Χαλκηδόνι τῶν ἁγίων σύνοδος Νεστόριον μὲν ὡς φρενοβλαβῆ κατέκρινεν, Εὐτυχέα δὲ ἀσεβήσαντα ἀπεκήρυξεν ἀναθέματι βαλοῦσα, Διόσκορον δὲ τὸν Ἀλεξανδρέα καὶ φονέα τοῦ ἁγίου Φλαβιανοῦ τὸν καὶ τοὺς προμάχους τῆς πίστεως παρανόμως καθελόντα καὶ ἄλλους δὲ ἀρχαιοτέρους φωστῆρας ἀποκηρύξαντα καὶ Εὐτυχεῖ περιπλακέντα τοῦ σώματος τῆς ἐκκλησίας ἀπέκοψεν. οἱ ἀναθεματισμοὶ ὑμῶν οὓς κατὰ τῶν φίλων τοῦ θεοῦ κορυβαντιῶντες ἀκοντίζετε, τὸν κόσμον ἀνέτρεψαν, τὸν ἀέρα ἐμόλυναν, τοὺς οὐρανοὺς ἠχλύωσαν, τοὺς ἀγγέλους παρώτρυναν, τὰ σεραφὶμ παρώργισαν, τὸν χερουβικὸν θρόνον ἐπέσεισαν, τὸν βασιλέα τῆς δόξης εἰς ἐκδίκησιν παρεκίνησαν. ἀμὴν γὰρ λέγω ὑμῖν τοῖς ἐκλεκτοῖς μου, φησὶν ὁ δεσπότης, τοῖς δι' ἐμὲ ὅλην τὴν ἡμέραν ὑπὸ ἀφρόνων ἀναθεματιζομένοις ὅτι ποιήσω τὴν ἐκδίκησιν ὑμῶν καὶ ἐκδικήσω καὶ ἀντα-
Ies. 34, 5 ποδώσω. μεθύσω τὰ βέλη μου ἀφ' αἵματος καὶ ἡ μάχαιρά μου φάγεται κρέα ἀφ' αἵματος τραυματιῶν καὶ αἰχμαλωσιῶν, ἀπὸ κεφαλῆς ἀρχόντων ἐθνῶν καὶ ἐκκαθαριῶ τὴν γῆν τοῦ λαοῦ μου. ἐξῆλθεν ἡ ἀπόφασις καὶ ἐδόθη ἡ μάχαιρα κυρίου ἐν ἱερεῦσιν ἀνομίας· μάχαιρα κυρίου ἐν ἄρχουσιν ἀδικίας· μάχαιρα ἐν πόλει, ἐν ἀγρῶι, ἐν παντὶ ὑβριστῆι καὶ ὑπερηφάνωι, ἐν παντὶ τόπωι ἀνόμων καὶ ἀποστατῶν, ἐν παντὶ κοινωνήσαντι τῆι τῶν ἁγίων ὕβρει, ἐν παντὶ προσπελάσαντι τῆι τῶν ἀναθεματισθέντων ἀσεβῶν κοινωνίαι. τούτων οὕτως ἐν ὀργῆι ἐξωγρημένων ὑπὸ τὸ ἀμφίβληστρον τῆς ἐκδικήσεως καλῶς ὑμεῖς ἐξεκλίνατε, θεοφιλέστατοι, τόπον δώσαντες· καλῶς ἀφωρίσθητε ἐξ αὐτῶν τῶι βορβόρωι τῆς ἀθείας ἐγκυλιομένους ἐγκαταλείψαντες. χαίρει Χριστὸς διαιρούμενον τὸν σύνδεσμον αὐτῶν ὁρῶν· εὐφραίνεται τοὺς ἐξ αὐτῶν ἀποστατουμένους
Ps. 19, 8. 9 προσλαμβανόμενος. ἐκεῖνοι ἐν ἅρμασι καὶ ἵπποις, ἡμεῖς δὲ ἐν ὀνόματι κυρίου θεοῦ ἡμῶν μεγαλυνθησόμεθα· αὐτοὶ συνεποδίσθησαν καὶ ἔπεσον ὑπὸ τὴν μάχαιραν τοῦ κυρίου, ἡμεῖς δὲ ἀνέστημεν καὶ ἐσώθημεν ἐν σκέπηι τοῦ θεοῦ τοῦ οὐρανοῦ αὐλιζόμενοι. ἐνηχήσατε ἡμῖν τῶν πνευματικῶν ὑμῶν ὀργάνων τὴν τερπνὴν
Act. 12, 13. μελωιδίαν· προπηδήσει καὶ αὖθις ἡ καλὴ καὶ πιστὴ Ῥόδη τῆς ἀπὸ θεοῦ ἐπιστασίας
7. 10 ὑμῶν φωνοῦσα τὴν εὐαγγελισμόν. διηγήσασθε θᾶττον πῶς ἐπέστη ὁ ἄγγελος κυρίου καὶ τὰ δεσμὰ διεσπάραξεν ἄφνω ὕπνωι νεκρώσας τοὺς φύλακας ὅπως τε ἡ σιδηρᾶ πύλη ἀνεπετάσθη πρὸς τὴν πόλιν τοῦ θεοῦ ἀπάγουσα ὑμᾶς. οὕτω γὰρ οὕτω συνευφραινόμενοι τῆι κατοικίαι ἐπὶ τὸ αὐτὸ καὶ τὴν μεγαλειότητα τοῦ θεοῦ παρ' ὑμῶν ἀκούοντες αὐτῶι τῶι μεγαλουργῶι θεῶι καὶ πατρὶ ἅμα τῶι μονογενεῖ υἱῶι σὺν ἁγίωι πνεύματι δόξαν ἀναπέμψωμεν ὁμοθυμαδὸν εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

AV

3 ἀλλ' — ἀξίας scripsi ἀξίας ἀλλ' ἰσότητι πραγμάτων AV · μία deleui 11 ἀνεπαισχύντως A 16 εὐτυχῆ AV 30 ὀργάνων A ἀγώνων V · ἀπὸ scripsi ἐπὶ AV 38 διηγήσασθαι A

Παμφίλου ἐπισκόπου Ἀβύδων πρὸς Πέτρον αἱρετικὸν ἐπίσκοπον Ἀντιοχείας ὅτι οὐ δεῖ ἐν τῶι τρισαγίωι θεοπασχίαν λέγειν διὰ τῆς προσθήκης τοῦ ὁ σταυρωθεὶς δι' ἡμᾶς

3 Τὸ πολύθρυπτον τῶν ἐμῶν παίδων, ἀγαπητέ, διεγείρει με κελαδεῖν θρῆνον· οἶδας γὰρ ὅτι ἐν ὧι οἴκωι θνήισκει τις, ἐκεῖσε κλαυθμὸς φοιτᾶι. πῶς οὖν οὐκ ἀποδυρήσομαι τὸν ἀλιτηρίως ἐκ τῶν σῶν ἀγγείων καταγγισθέντα τῶν ἐμῶν υἱῶν θάνατον, οὓς ἔδει 5 131
2 σε ὡς συναδελφὸν ἐπισπουδάσαι σὺν ἐμοὶ ἄξαι πρὸς τὸν θεόν; τοὐναντίον δὲ πέπρακταί σοι, θεοφιλέστατε· ἐγένου γὰρ αὐτῶν ὀλετὴρ καὶ οὐ ζωή, πικρία καὶ οὐχ ἡδύτης, ὄμφαξ καὶ οὐ πέπειρος βότρυς, ζιζάνιον καὶ οὐ σῖτος, καλάμη καὶ οὐ χρυσός, ἄκανθα καὶ
3 οὐκ ἄνθος, ἐκταραγμὸς καὶ οὐ γαλήνη. τί γὰρ τῶν προτέρων ἡμῶν καὶ ἐπίσων οὐ προσέχων τὰ σύμβολα εἶξας μὴ προσθέσθαι τῆι τριάδι τετράδα ἐν τῶι τὸ τρισάγιόν σε 10
4 φάσκειν ἐν προσθήκηι σταυροῦ; αὕτη γὰρ δρακοντικὴ καὶ ἰοβόλων αἱρέσεων φωνὴ καὶ πύλη ἅιδου καὶ αἰώνιος πυλωρὸς θανάτου, Χριστιανῶν βρόχος, ἀκάκων θήρευμα, ὀρθοδόξων μῶμος, πιστῶν πρόπτωσις, σωφρόνων σκάμβωσις, ἀσκητῶν σκάνδαλον, οἷς ὑπώπτευσας γλυκὺς εἶναι σὺν τῆι ἐκφωνουμένηι σου ἐκθέσει τῆι παρακοντιζούσηι τὸν ἀποστολικὸν ὅρον καὶ τὰ εὐαγγέλια καὶ τῶν τιη τὸ σύμβολον τῶν τὴν προσθήκην τὴν 15
5 ἐν τῶι τρισαγίωι ἀγνοούντων τὸ νοητὸν δηλητήριον. φράσον μοι· τίς οὖν θεὸν ἔφη σταυρὸν ὑπομεμενηκέναι; τί τὸν θεὸν λόγον γυμνοῖς ἀπὸ τῆς στολῆς; τί διχάζεις τὸν ἄτμητον τῆι σῆι σκαιότητι; τί παρατιτρώσκεις τὴν ἀλήθειαν; τί Νεστορίωι καὶ Εὐτυχεῖ τῆι τομῆι τοῦ Χριστοῦ ὑπόσπονδος γίνηι καὶ τῶι Σαμοσατεῖ μεμαθήτευσαι ῥῆξαι Χριστοῦ τὴν θείαν οὐσίαν ἀπὸ τῆς σαρκὸς καὶ Οὐαλεντίνωι ἀνόμως συνεξηρεύξω ὡσαύτως φάσκων 20
τὸν ἀθάνατον σταυροῦσθαι καὶ ὑπόδουλον τιθεὶς τοῖς πάθεσι τὴν θείαν φύσιν; τί ἐπίσχω
6 ἢ τί λαλήσω; οὐ Παυλιανιστήν σε φωνήσω· ἀλλ' ἐν τοῖς συγγράμμασιν ἔφης μετὰ τὴν τριάδα Χριστὸν φωνεῖν δι' ἡμᾶς σταυρωθέντα. οὐ Μανιχαῖόν σε λέξω· ἀλλὰ γέγονας αὐτέλεγκτος θεὸν καὶ οὐ Χριστὸν φωνήσας ἐσταυρωμένον. οὐ Νεστοριανόν σε φράσω· ἀλλ' ἀπέδειξας μετὰ τὸν πατέρα μὴ ὁμολογεῖν τὸν ὑμνούμενον ὑπὸ πιστῶν θεοῦ ἰσχυρὸν 25
υἱὸν σαρκὶ ἐσταυρωμένον. οὐκ Εὐτυχιανιστήν σε ἀναγορεύσω· ἀλλὰ μὴν σεαυτὸν θεοπασχίτην ἀνηγόρευσας. οὐκ Ἀπολιναριαστήν σε λέξω· ἀλλ' ἔφυρας ὡσαύτως
7 θεὸν συνχύσας τοῖς τῆς σαρκὸς παθήμασιν. λίαν οὖν λύπηι συσχεθεὶς τάδε σοι προστίθημι σὺν τῶι εἰς τοῦτό με προβιβάσαντι Ἀκακίωι, αὐτὸν δὲ ὁ τῆς Ῥωμαίων, τοὺς πάντας δὲ ὁ πάντων ἐπίσκοπος Χριστός· τί λυμαίνηι τὴν ἐκκλησίαν, τί σκορπίζεις Χριστοῦ τὴν 30
ποίμνην; εἰ κακῶς λέγω, φράσον μοι σύ· ζητῶ γάρ σε τῆι διδασκαλίαι τῆι ὀρθοτάτηι ὑπε-
8 ρέχειν ἐμὲ καὶ πλείστους. τί οὖν φράσομεν; ὡς Παῦλος, Χριστὸν ἐσταυρωμένον ἢ ὡς σύ, τὸν ἀθάνατον ἐσταυρωμένον; ὡς εἶπεν ὁ κύριος ὅτι ταῦτα ἔδει παθεῖν τὸν Χριστόν, ἢ ὡς σὺ τὸ τρισάγιον φάσκεις παθητόν; τί ἐροῦμεν; ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου, ὡς πολ-
9 λαχῶς ὁ κύριος ἔφη, παθεῖν ἢ ὡς σὺ κεκαινοτόμηκας, τὸν θεὸν παθεῖν; ἢ τὰ εὐαγγέλια 35

---

3 in collectione Latina 6 [Coll. Auell. 76], recentior epistulae forma supra 4 111 p. 9 [O]

AV, Λ [= vb]

1 παμφύλου V ἀβύδων Λ ἀβίδου A $\text{ἀβ}^{\delta}_{\upsilon}$ V cf. O τὸν αὐτὸν πέτρον ΛO 1/2 αἱρετικὸν — ἡμᾶς om. ΛO 3 πολύθρυπτον ΛO πολυθρύλλητον AV κελλαδεῖν A 4 *illic et* Λ ἀποδυροῦμαι V 6 ἄξαι O ἄγξαι AV *colligere* Λ 8 βότρυς V βρῶσις A *esca* Λ cf. O ἄκανθα ΛO ἄκανθαι AV 9 προτέρων scripsi *praecessorum* Λ προέδρων AVO καὶ ἐπίσων (i. e. aequalium) AV om. Λ 10 προσέχων VΛ προέχων A 11 post σταυροῦ aliqua add. Λ 13 πρόπτωσισ O πρόσπτωσισ AV 14 ὑπώπτευσασ V ὑποπτεῦσαι A cf. O *suspicaris* Λ 16 τὸ νοητὸν δηλητήριον ΛO τῶν νοητῶν δηλητηρίων AV φράσαι A οὖν τίσ ΛO 16/17 θν̄ ἔφη A ἔφη θν̄ V τὴν θεότητα ἔφη ΛO 19 ῥήξασ V 24/26 οὐ — ἐσταυρωμένον ΛO om. AV 26/27 οὐκ — ἀνηγόρευσας om. O 28 συνχύσασ scripsi συνέχυσασ AV συγχέασ O 31 σύ ΛO εὖ AV 32 ὡς Παῦλος om. V 33 εἶπεν om. Λ 34 τὸ] τὸν V 35 τὸν θν̄ AV τὴν θεότητα ΛO ἢ AVO εἰ Λ

καὶ αἱ Πράξεις καὶ ὁ ἀπόστολος, ὡς σὺ ἔφης, οὐ λέγουσιν ὥσπερ δεῖ, ἀλλὰ εἰσὶ παρὰ σοὶ
132 μεμπτέα καὶ παρὰ τῶν ἐξηκολουθηκότων τῇι τοιᾶιδε σου παραφροσύνηι τοῦ τὸ τρισάγιον
φωνεῖν ἐσταυρωμένον; ἀποδεδειγμένοι γάρ εἰσι σὺν σοὶ τετράδα προσκυνοῦντές τε καὶ
παρεισφέροντες. εἰ δὲ ταῦτα οὕτως ἔχει, τί ἀναγινώσκονται αἱ γραφαί, εἰ αὗται οὐ
πιστεύονται, ἀλλὰ σύ; ἄνω γὰρ καὶ κάτω Χριστὸν παραδιδόασί σοι δι' ἡμᾶς ἐσταυρω- 5
10 μένον καὶ οὐ τὸ τρισάγιον, ὡς σὺ νῦν φάσκεις. ἀλλὰ καὶ ἀποβλήτους εἶπον αἱ γραφαὶ
τοὺς θεοπασχίτας. ἤδη δὲ καὶ πρὸ τούτων μου τῶν γραμμάτων ὡς κυρίωι μου καὶ πατρὶ
ὡς ὀρθότατα φρονοῦντι μεμήνυκα ἐπανορθώσασθαι καὶ ἀναρρῆξαι τόδε τὸ παρὰ σοῦ
καινισθὲν ἀσεβὲς δόγμα καὶ οὐκ εἴξας. διὰ τοῦτο τὰ νῦν ὡς πρὸς πρῶτον ἐφευρετὴν
τῶν ἀσεβῶν τούτων λόγων δεδόνημαι τούτοις κατὰ σοῦ τοῖς ἐπιτιμίοις, ἴσως κἂν διὰ τού- 10
των ἐντραπεὶς ἀποστομιζόμενος παρ' ἥττονος τῆι ἀξίαι θᾶττον εἴξεις ὀρθοδοξεῖν πατέρα
καὶ υἱὸν καὶ ἅγιον πνεῦμα ἐν τῶι μηδὲν τούτοις προστιθέναι ἢ ὑφαιρεῖν καὶ ἔχεσθαι τῆς
ὑπὲρ ἡμᾶς ἀψῖδος τοῦ θρόνου. εἰ δὲ μηδὲ οὕτως ἀνάσχηι, οἴσω σοι κοινωνίας παραί-
Tit. 3, 10. 11 τησιν· ἔφη γὰρ ὁ ἀπόστολος αἱρετικὸν ἄνθρωπον μετὰ πρώτην καὶ δευτέραν
νουθεσίαν παραιτοῦ εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦτος καὶ ἁμαρτάνει 15
ὢν αὐτοκατάκριτος. πλὴν θεοῦ ἐσμὲν ἐντεῦκται μὴ γενέσθαι σε αὐτοκατάκριτον,
ἀλλ' ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας.

Ἀσκληπιάδου ἐπισκόπου Τράλλεων πρὸς Πέτρον ἐπίσκοπον Ἀντιοχείας ὅτι οὐ δεῖ τὸ τρισάγιον λέγειν ἐσταυρωμένον

4 Ἰδού, ἀγαπητέ, πεπλήρωται πᾶς ὁ κόσμος σκανδάλου ἐκ τῆς ἐκθέσεώς σου καὶ τὰ 20
βασίλεια ἐμφρόντιστα γέγονε καὶ οἱ ποιμένες διεγείρονται ἐπαξίως ἄξαι ἐπὶ σοὶ ταλανι-
σμούς. δὸς οὖν, παρακλήθητι, φωνὴν μίαν ὀρθοτομίας τοῦ ἐπιπρυτανεύειν τὸ ἀληθὲς
ἐν τῶι κόσμωι τοῦ τὸν υἱὸν τοῦ θεοῦ καθομολογεῖν ἐσταυρωμένον καὶ μὴ τοῦτον διαρρί-
πτεσθαι διὰ σοῦ καὶ τούτου τὸ ὄνομα ἐν τῶι ἑτέρως ἐν διαστροφῆι λέγειν ἐν τῶι τρισαγίωι
2 τούτου τὸν σταυρόν. μὴ σὺ πρῶτος εἶ τῶν ἐν Νικαίαι πατέρων, ἵνα ἄρξηι ὁ ὅρος 25
σου ὑπὲρ αὐτούς; ἀλλά, φησίν, ἐγὼ διὰ Νεστόριον προσέθηκα ἐν τῶι τρισαγίωι τὸν
σταυρὸν διὰ τὸ αὐτὸν παρεξωθεῖσθαι ἐκ τούτου τὴν θεότητα ἐν τῶι σταυροῦσθαι αὐτόν.
3 καὶ τί; μὴ νεώτερον Νεστορίου τὸ φρόνημα; ἦρξε γὰρ τοῦτο ἀπὸ τοῦ ματαιόφρονος Φω-
τεινοῦ, ὃν οἱ ἅγιοι πατέρες οἱ ἐν Νικαίαι ἐν ζωῆι μὲν οὐ κατέφθασαν, τὸ δὲ δόγμα αὐτοῦ
κατέκριναν οὐ διὰ τὸ φράσαι αὐτοὺς τὸ τρισάγιον ἐσταυρωμένον, ἐπειδὴ τοῦτο ἦν ἐν 30
γνώσει αὐτοῖς λίαν δύσφορον, Φωτεινοῦ δὲ ἐράσμιον. ὅθεν τὸ μὲν τρισάγιον ἐν μυ-
στηρίοις μόνοις ἀπέθεντο φωνεῖσθαι καθὰ τὰ σεραφίμ, φησί, μηδεμίαν ἐν τούτωι προσθή-
4 κην ἢ ὑφαίρεσιν πράξαντες. πάλιν δὲ τοῦτο τὸ ἀσεβὲς ἀνανεωθὲν ἐπὶ τοῦ Σαμοσατέως
λίαν ἠδρύνθη καὶ ἐπισυναχθέντες οἱ ἁγιώτατοι τὴν μνήμην πατέρες ἐν τῆι Κωνσταντινου-

---

4 in collectione Latina 8 [Coll. Auell. 78], recentior epistulae forma extat supra 4 IIII p. 10 [O

V, Λ [= vb]

2 τοῖσ ἐξηκολουθηκόσι ΛΟ 3 φωνεῖν ΛΟ φρονεῖν AV προσκυνοῦντέσ τε καὶ AV om. ΛΟ 4 θεῖαι γραφαί ΛΟ 6 εἶπαν A *scripturae diuinae* Λ 8 ὡς om. V φρονῶν V 9 τανῦν AV τοίνυν ΛΟ πρὸσ om. V 10 δεδόνημαι O *moueor* Λ δεδέημαι AV τοῖς ἐπιτιμίοις om. Λ 11 ἀποστομιζόμενοσ A ἀπομαστιζόμενοσ V ἐπιστομιζόμενοσ O ἦξεισ A ἤξησ V cf. O εἰσ πρα V 13 ἀπέσχηι Λ

20 σκανδάλου ΑΛΟ σκανδάλων V 21 ἐμβρόντιστα V ἐγείρονται V^{corr} 21, 22 ταλανισμόν ΛΟ 22 παρακλήθητι ΑΟ παρακαλῶ VΛ 23 κοινῶ ΛΟ καθομολογεῖν V τῶ κόσμω [τὸν κόσμον A] καθομολογεῖν ΑΛΟ 24 διὰ ΑΛΟ παρὰ V 26 *ais* Λ 27 ἐκ τούτου AV ἐν τούτω O om. Λ 28 καὶ τί Λ καὶ ἔτι AV cf. O μὴ OΛ μὴν AV ἦρξαι V 29 οὐ κατέφθασαν ΑΟ οὐκ ἔφθασαν V 32 ἀπέθεντο OV^{corr} ἀπέθετο AV φασὶ ΛΟ

πόλει, εἰ καὶ αὐτὸν οὐ παρέφθασαν, ἀλλὰ τὸ δόγμα αὐτοῦ κατέκριναν τοῦ μὴ φρονεῖν δύο 133
υἱούς, δι' ὃ καὶ ἕνα καθωμολόγησαν ἐν τῶι ὅρωι αὐτῶν υἱόν. μὴ τὸ τρισάγιον ἔφησαν
δι' αὐτὸν ἐσταυρωμένον [ὅτι τῶι ὅρωι τῶν πρὸ αὐτῶν πατέρων ἐξηκολούθησαν καὶ
ἔπεσθαι τοῖς δόγμασιν αὐτῶν ἔκριναν τοῦ τὸ τρισάγιον ἐν τοῖς μυστηρίοις μόνον ἐξακού-
5 εσθαι ἀπαθῶς ὡς τὰ σεραφὶμ καὶ μὴ ἐσταυρωμένον]; πάλιν δὲ Νεστορίου ἀνακύψαντος 5
καὶ καταρτίζοντος τὰ τῶν πρὸ αὐτοῦ ἀσεβῆ δόγματα, φαμὲν δὴ τὰ Φωτεινοῦ καὶ τὰ τοῦ
Σαμοσατέως, συναθροισθέντες δι' αὐτὸν οἱ περὶ Κελεστῖνον καὶ Κύριλλον ἔπαυσαν τὰς τοι-
άσδε δυσφημίας οὐκ ἀποθέντες ἐν τῶι τρισαγίωι σταυρόν. ἢ σὺ δοκεῖς τούτων ἁπάν-
των σοφώτερος εἶναι ἢ ἔχεσθαι παρ' αὐτοὺς πνεύματος ἁγίου, οἷς ἦν ἡ γνῶσις; ἡ σὴ
6 τοίνυν ἀποτεθεῖσα ἐν τῶι τρισαγίωι σταυροῦ προσθήκη δυσμενὴς βλασφημία ἐστίν. πλὴν 10
καὶ μετὰ τούτους τοὺς ἁγίους πατέρας δυσφόρων καταλαβόντων τὴν Κωνσταντινούπολιν
σεισμῶν μικρὸς καὶ μέγας, πλούσιος καὶ πένης, δοῦλος καὶ ἐλεύθερος ἐκ τῆσδε ἀπαναχωρή-
σαντες ἐν τῶι Κάμπωι ἅμα συνέδραμον κρυμοῖς καὶ χιόνι ἐκεῖσε μᾶλλον ὀλέσθαι καὶ μὴ
συμπεπτῶσθαι τῆι αὐτῆι πόλει. οὓς φειδοῦς ὁ θεὸς ἀξιώσας φιλανθρωπευσάμενος
ἀπεκάλυψε τῶι μακαρίωι Πρόκλωι τὸ τρισάγιον εἰς παῦσιν ὀργῆς λιτανεύοντας αὐτοὺς 15
φωνεῖν καὶ τοῦτο ἐμφανῶς, οὐχ ἑνὶ ἢ δευτέρωι γνωσθέν, ἀλλὰ σχεδὸν τῶι κόσμωι. μὴ
7 ἀπέθετο ἐν αὐτῶι ὁ θεὸς λέγεσθαι σταυρόν; οὐδὲν οὖν ὅ τι ὁρᾶι εἰς ὕβριν αὐτοῦ· ἔφη γὰρ
φάσκειν 'ἅγιος ὁ θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.' πῶς οὖν σὺ
τετόλμηκας παραθέσθαι σταυρὸν παρὰ τὸν θεὸν ἢ καὶ παρὰ τοὺς πατέρας τὸν πατέρα
συγχύνων τῶι υἱῶι καὶ τῶι ἁγίωι πνεύματι ἐν τῶι τρισαγίωι φωνῶν τὸν σταυρόν, ὡς 20
παρὰ σοὶ τὸν πατέρα μὴ εἶναι πατέρα μόνον, ἀλλὰ καὶ υἱόν, καὶ τὸν υἱὸν μὴ εἶναι μόνον
υἱόν, ἀλλὰ καὶ πατέρα, καὶ τὸ πνεῦμα τὸ ἅγιον μὴ εἶναι πνεῦμα μόνον, ἀλλὰ καὶ υἱόν;
8 ᾱ διὰ τοῦτο εἴ τις ἀνατιθεῖ ἐν τῶι τρισαγίωι σταυρὸν παρὰ τὸν υἱὸν τοῦ θεοῦ,
ἀνάθεμα ἔστω.

β̄ εἴ τις τετράδα παρεισφέρει ἐν τῶι τρισαγίωι παραθεὶς μετὰ τὴν τριάδα Χριστὸν 25
ἐσταυρωμένον, ἀνάθεμα ἔστω.

γ̄ εἴ τις συγχέει τὴν τριάδα αὐτὸν εἶναι λέγων πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα,
ἀνάθεμα ἔστω.

9 [εἴ τις διίστησι τὴν μίαν οὐσίαν τῆς τριάδος, ἀνάθεμα ἔστω.]

δ̄ εἴ τις τὸν ἕνα υἱὸν διχάζει εἰς δυάδα υἱῶν, ἀνάθεμα ἔστω. 30

ε̄ εἴ τις θεοῦ τὸν λόγον καὶ τὴν σάρκα λέγει μίαν φύσιν ἀγνοῶν τῶν φύσεων τὸ διά-
φορον, ἀνάθεμα ἔστω.

10 ϛ̄ εἴ τις τὴν θείαν φύσιν τοῦ θεοῦ συγχέει τοῖς πάθεσι τῆς σαρκὸς αὐτοῦ, ἀνάθεμα
ἔστω.

ζ εἴ τις λέγει θεοπασχίαν ἢ θνήσεως θεὸν γεύσασθαι ὡς εἰς ταῦτα αὐτὸν εὐδοκίαι 35
ἥκειν ἐν τῶι τετράφθαι αὐτὸν καὶ μὴ ὁμολογεῖ αὐτὸν ὡς θεὸν μὴ κεκυριεῦσθαι ὑπὸ τοῦ
θανάτου, θάνατον δὲ θανατώσαντα δι' ἧς εἴληφε θνητῆς αὐτοῦ σαρκός, ἀνάθεμα ἔστω.

11 καὶ γὰρ πιστεύομεν ὅτι οὐ μετέπεσεν εἰς θάνατον· ζωὴ γάρ ἐστι. σὺ δὲ γνώσηι 134
καὶ ἀποκόψηι ἐφ' οἷς ἀνόμως εἴρηκας· ἔστω δὲ καὶ ἔστιν ἡ τοῦ θεοῦ χάρις μετὰ τῶν ὀρθο-
τομούντων τὸν λόγον τῆς ἀληθείας. 40

AV, Λ [-- vb]

2 αὐτὸν A 3 διὰ τὸν AV *propter nos* Λ cf. O 3—5 ὅτι — ἐσταυρωμένον ΛO om. AV 6 δὴ V δὲ A cf. O τὰ τοῦ φωτεινοῦ V 8 δυσσεβείασ ΛO 12/13 ἀπαναχωρήσαντεσ O ἐπαναχωρήσαντεσ AV 13 χιόνι AV χειμῶνι ΛO 16 φωνεῖν O φωνεῖσθαι AV δευτέρω ΛO δύο AV σχεδὸν ΛV παντὶ ΛO 17 οὐδὲν οὖν ὅ τι scripsi *nihil itaque quia* Λ ὅτι οὐδὲν [οὐθὲν A] AVO ὁρᾶ O *esset* Λ ἐρᾶ AV 23—33 numeri ex A 27 τὸν αὐτὸν Günther, sed cf. p. 226, 35 29 Λ om. AV cf. O 31 τὴν om. V 33. 34 A, plura habet Λ om. VO 35—37 om. O 36 τετράφθαι AΛ τετάφθαι V 38 οὐ — ἐστι AV ἡ ζωὴ ζωή ἐστι καὶ οὐ μετέπεσεν εἰσ θάνατον ΛO

5 **1** Φαῦστος ἐπίσκοπος Ἀπολλωνιάδος τῶι θεοφιλεστάτωι πατρὶ καὶ ἀρχιεπισκόπωι τῆς Ἀντιοχέων ἐκκλησίας Πέτρωι ἐν κυρίωι χαίρειν. Ἐπειδήπερ ἐπιτέτραπται νύττεσθαι τοὺς πρώτους ὑπὸ τῶν ἀποκαλυφθέντων Χριστοῦ τὸ μυστήριον ἐσχάτων, ἐκείνους δὲ σιγὴν ἄγειν τῆς κακοδιδασκαλίας ὡς γεγονότας κακίστους δογματιστάς, ἤκουσα δὲ παρὰ πολλῶν συνεπισκόπων, ἀγαπητέ, ἐκνενευκέναι σε τῆς ὀρθοδοξίας καὶ τοῦτο παντα- 5
χοῦ περιηχεῖται, δι' ὃ ἀναγκαῖον ἡγησάμην πυθέσθαι παρὰ σοῦ εἰ ταῦτα οὕτως ἔχει. δεῖξαι γάρ μοι δέδοκται μὴ οὕτως σε φρονεῖν ὀφείλειν ὥστε τῶι τρισαγίωι σταυρὸν συνάπτειν καὶ πάθει καὶ θνήσει τὸ ἀπαθὲς ὑποβάλλειν, ἀλλὰ καθαρῶς ὡς τὰ σεραφὶμ καὶ εὐ-
2 σεβῶς δοξολογεῖν. πῶς γὰρ Χριστιανίσουσι τὰ ἔθνη τοῦ ὀνόματος τοῦ σταυροῦ μὴ ἐπιφερομένου τῶι Χριστῶι; πῶς δὲ δύνανται καὶ αὐτοὶ οἱ Χριστιανοὶ πιστοὶ τυγχάνειν 10
μὴ ἀποτιθέντες τῶι σταυρῶι τὸ τοῦ Χριστοῦ ὄνομα; ἀκούοντες γὰρ οἱ ἄπιστοι θεὸν ἀθάνατον δι' ἡμᾶς σταυρωθέντα ἐροῦσι σκάνδαλον εἶναι, τὸ πιστεῦσαι Χριστῶι ἀποστρεφόμενοι καὶ λέγοντες· οἱ θεοὶ ἡμῶν οἱ παρὰ τοῖς Χριστιανοῖς κίβδηλοι ὄντες ἀθάνατοι παρ' ἡμῶν ἀναγορεύονται, καὶ πῶς ὁ αὐτῶν θεὸς ἀθάνατος ὢν ἔθανε; δῆλον ὅτι ψευδὴς ἡ ῥῆσις αὕτη. εἰ γὰρ ἀπέθανεν, οὐκέτι ἀθάνατος οὐδὲ ἰσχυρός, ἀλλ' ἀσθενὴς τῆς ἀθανασίας τρα- 15
3 πείς. οὐχ οὗτοι δὲ μόνον, ἀλλὰ καὶ θεοσεβεῖς καὶ ἡμῖν ὁμόπιστοι λέξουσιν ἄν· οὗτοι θεοπασχῖται καὶ οὐ Χριστιανοί εἰσι· Μανιχαῖοι καὶ οὐκ ὀρθοτόμοι· τετραδῖται καὶ οὐ
4 τριαδόδοξοι· Εὐτυχιανισταὶ καὶ οὐκ ὀρθόδοξοι· Νεστοριανοὶ καὶ οὐ φιλόχριστοι. εἰ δέ τις τὸν ἐπὶ σταυροῦ κρεμασθέντα παρ' ἡμῶν ἀκούσει Χριστὸν Ἰησοῦν εἶναι, ὃς τὴν θνη-
Lc. 24, 21 τὴν ἡμῶν σάρκα χρισθεὶς φιλανθρωπίαι Χριστὸς εἰκότως κικλήσκεται, δι' ὃ καὶ ἐσταύρωσαν 20
αὐτόν, ὃν ἐλπίζομεν ὅτι αὐτός ἐστιν ὁ μέλλων λυτροῦσθαι τὸν Ἰσραήλ, τότε πεσὼν ἐπὶ πρόσωπον ἐρεῖ· κἀγὼ Χριστιανός εἰμι, πιστεύω εἰς ὃν καὶ οὗτοι ἐπίστευσαν, καὶ πιστευ-
5 θήσεται τὰ πάθη καὶ ἡ θνῆσις τοῦ σώματος αὐτοῦ. καὶ γὰρ πλείσταις λοιδορίαις διὰ τοῦτο ἐβλήθη παρὰ τῶν ἀπίστων ἡ τῶν ἐν Χαλκηδόνι πατέρων ὀρθόδοξος πίστις, ὅτι δύο φύσεις εἶπον εἶναι ἐν τῶι Χριστῶι, μίαν παθητὴν θνητὴν ὁρατήν τε καὶ ἔπαφον, ἥτις 25
ἐστὶν ἡ σὰρξ ἡμῶν, καὶ μίαν ἀπαθῆ ἀθάνατον ἀόρατον ἀψηλάφητον, ἥτις ἐστὶν ἡ τοῦ
6 θεοῦ ἄχραντος φύσις. τὰ ἑκάτερα οὖν δεῖ ἡμᾶς ἐν τῶι Χριστῶι ὁμολογεῖν, ὧν τῆι ἑνώσει μὴ δῶις διάστασιν μηδὲ τέμηις τὸν θεὸν ἀπὸ τῆς αὐτοῦ σαρκός, καὶ οὐ φωραθήσηι Νεστοριανός. μηδὲ τὸ διάφορον ἀπαρνήσηι τῶν τοῦ Χριστοῦ φύσεων, καὶ οὐχ ὑποπτευθήσηι Εὐτυχιανιστὴς εἶναι. μηδὲ συγχέηις θεὸν σαρκὸς πάθεσι καὶ οὐ λεχθήσηι Ἀπο- 30
λιναριαστής. μηδὲ τὸν ἀπαθῆ καὶ ἀθάνατον πρὸς πάθη λέξηις θεὸν τετράφθαι καὶ οὐ
135 προσοχθίσεις εἶναι Μανιχαῖος. μηδὲ ἐν τῶι τρισαγίωι μετὰ θεὸν πατέρα καὶ ἰσχυρὸν αὐτοῦ υἱὸν καὶ ἀθάνατον πνεῦμα προσθῆις Χριστὸν ἐσταυρωμένον καὶ οὐχ ἕξεις τοῦ Σαμο-
7 σατέως τὴν αἵρεσιν καὶ οὐκ ἐλεγχθήσηι τετράδα φρονῶν καὶ οὐ τριάδα. μηδὲ τὴν τριάδα εἰς Χριστὸν ἀναπλάσηις αὐτὸν φρονῶν πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, καὶ οὐχ 35
ἥξεις εἰς τὴν Σαβελλίου καταδίκην. μηδὲ κληθῆναι θέλων καθηγητὴς καὶ οὐκ ἀκόλουθος τῆς Χριστοῦ διδαχῆς καινοτομήσηις κενοδοξίας αἵρεσιν, καὶ οὐ μωμήσεις σὴν ψυχήν, ὅτι

---

5 in collectione Latina 5 [Coll. Auell. 75], recentior epistulae forma extat supra 4 11 p. 8 [O]

AV, Λ [= vb]

1 inscr. Φαύστου ἐπισκόπου ἀπολλωνιάδοσ πρὸσ τὸν αὐτὸν πέτρον ΛΟ 1/2 Φαῦστος — χαίρειν om. ΛΟ 4 ἤκουσα δὲ Λ ἤκουσμαι AV ἤκουσα O 6 περιήχηται ΛΟ 11 γὰρ ΛΟ om. AV 13 ἡμῶν om. V 13/14 παρ' ἡμῶν ΑΛΟ παρ' αὐτῶν V 15 οὐκ ἔστι V 18 τριαδόδοξοι scripsi τριάδοξοι O τρίδοξοι AV 19 παρ' ἡμῶν AV om. ΛΟ 24 χαλκηδόνι ctiani A ὀρθόδοξοσ ΛΟ ὀρθοδόξων AV 25 εἶπαν A 28 αὐτοῦ om. ΛΟ 30/31 ἀπολιναριαστὴσ εἶναι ΛΟ 31 πρὸσ πάθη AV om. ΛΟ τετράφθαι λέξησ θν̄ ΛΟ 32 προσωχθίσεισ V 33 προσθῆσ O προσθήσεισ A προσθήσησ V 36 ἥξεισ εἰσ AV ὑποίσεισ ΛΟ 37 σὴν A τὴν σὴν V cf. O

οἶδας τοὺς ἀποστόλους μὴ καθηγησαμένους ἐν καινοτομίαις, ἀλλ' ἰχνηλατήσαντας τὸν
8 μόνον καθηγητὴν καὶ νομοθέτην Χριστόν. βλέπε, ἀγαπητέ, μὴ εἰς πέρας ἄξηις τὸ
περιφημιζόμενον διὰ σέ, μὴ γέλως ἔσηι ⟨σὺν⟩ τοῖς θεοπασχίταις ἢ τοῖς τετραδίταις· εἰ δὲ
καὶ ἐφήψω τούτων τῶν λόγων καὶ τῆς φρονήσεως ἐν παροιστρήσει τινί, τάχος ἔκκλινον Ps. 36, 27
ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν, ἵν' ὡς εὐχόμεθα, ὀρθοτομῆις τὸν λόγον τῆς ἀλη- 5
θείας Χριστὸν καθομολογῶν σαρκὶ δι' ἡμᾶς σταυρωθέντα τὸν υἱὸν τοῦ θεοῦ τοῦ ζῶν-
τος, καὶ ἅπαξ οὕτως ὁμολόγει, μὴ ὑποσκελισθῆις ὑπὸ τῶν αἱρέσεων. πολλοὶ γὰρ 2 Ioh. 7
πλάνοι ἐξῆλθον εἰς τὸν κόσμον οἱ μὴ ὁμολογοῦντες Ἰησοῦν Χριστὸν
ἐν σαρκὶ ἐληλυθέναι.

Εὔχου ὑπὲρ ἐμοῦ, θεοφιλέστατε καὶ ἁγιώτατε πάτερ. 10

Ἐπιστολὴ Κυντιανοῦ ἐπισκόπου Ἀσκουλιανῶν πρὸς Πέτρον ἐπίσκοπον Ἀντιοχείας ὅτι οὐ δεῖ παθητὴν λέγειν τὴν τριάδα

6 **1** Πολυμερῶς καὶ πολυτρόπως ἐξένευσας, ἀγαπητέ, τῆς ἀληθείας [τὰ ἐναντία Hebr. 1, 1
φρονῶν| τὰ ἐναντία πράττων τοῦ δεσποτικοῦ μυστηρίου, μὴ ἑπόμενος τοῖς εὐαγγελίοις
ἢ τοῖς ἀποστόλοις ἢ τοῖς ἁγίοις πατράσι, καὶ βαρέως φέρηι κατ' αὐτῶν καινοτομίαν τῆι 15
καθολικῆι ἐκκλησίαι ἐκθεὶς καὶ μέντοιγε οὐκ ἀπείπω ταύτης πολλῶν συνεπισκόπων
μεμηνυκότων σοι περὶ αὐτῆς, μάλιστα τοῦ [ἁγιωτάτου] ἀρχιεπισκόπου Φίληκος τοῦ
ταύτης ἀποστραφῆναί σε καὶ εὐθῆ καὶ ὀρθοτόμον ἔσεσθαι τοῦ σωτηρίου κηρύγματος.
ἀλλ' οὖν περιβροχούμενος ὑπὸ αἱρέσεων τὸ τῆς θείας διδασκαλίας τάλαντον ἀπεκρύψω cf. Mt. 25—27
εἰς τὴν γῆν καὶ οὐ μᾶλλον τοῦτο προβαλέσθαι ἐπὶ τράπεζαν εἶξας οἷον ἐν τῆι τῶν ἀν- 20
2 θρώπων καρδίαι τὴν ὑγιῆ διδασκαλίαν, ἀλλ' οὖν τοὐναντίον ζιζάνια ἐνέσπειρας. καὶ
τίς ἔτι ἀνέξεταί σου διαστρέφοντος τὸ τοῦ Χριστοῦ εὐαγγέλιον; οὐ τὸν ἐξ ἀμφοῖν ἕνα υἱὸν
ἐκ δύο φύσεων καὶ ἐν δύο τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τοῦτον δι' ἡμᾶς κηρύσσων
ἐσταυρωμένον, ἀλλὰ ⟨διὰ⟩ διαστρόφου κενοδοξίας τοῦτον πέπαυσαι δι' ἡμᾶς λέγειν
ἐσταυρωμένον. τὸν θεὸν τὸν ἰσχυρὸν τὸν ἀθάνατον οἷον τὴν μίαν τῆς τριάδος φύσιν 25 136
ἔφης ἐσταυρωμένην, καὶ οὐ μόνον, ἀλλάγε καὶ μίαν φύσιν τοῦ θεοῦ καὶ τῆς σαρκώσεως.
3 καὶ εἰ μία φύσις τοῦ θεοῦ λόγου καὶ τῆς σαρκός, μία δὲ φύσις τοῦ θεοῦ λόγου καὶ τοῦ πα-
τρός, μία πως καὶ ἡ αὐτὴ φύσις τοῦ πατρὸς καὶ τοῦ σώματος καὶ τοῦ λόγου. εἰ δὲ οὐ μία
φύσις τοῦ θεοῦ καὶ πατρὸς καὶ σαρκὸς [ἀνθρωπότητος| καὶ τοῦ λόγου, φράσον πῶς μία
φύσις τοῦ |πατρὸς καὶ τοῦ| λόγου καὶ τῆς σαρκός. πῶς γὰρ κτιστὴ καὶ ἄκτιστος μία 30
φύσις; εἰ δὲ τοῦτο ἀδύνατον, πῶς ἡ κτιστὴ σὰρξ καὶ ὁ ἄκτιστος λόγος μία φύσις ἐστὶ καὶ
4 οὐ δύο ἐνηλλαγμέναι; εἰ δὲ φύσεως μιᾶς ἐστιν ὁ Χριστὸς καὶ οὐ δύο, τί λέγεις τὸν Χριστόν;
κτιστὸν ὡς ὁ Ἄρειος ἢ ἄκτιστον ὡς ὁ Μανιχαῖος; ποῦ δὲ καὶ ἡ χρονικὴ τῆς Χριστοῦ γεν-

in collectione Latina 2 [Coll. Aucll. 72], recentior epistulae forma extat supra 4 VII p. 15 [O]

ΑV, Λ [- vb]

2 ἀγαπητέ ΛΛΟ ἀγαπητέ μου V 3 διαφημιζόμενον περὶ σοῦ O *de te diffamatur* Λ, ubi aliqua adduntur σὺν ex Λ addidi ὡς θεοπασχίτης ἢ τετραδίτης O 4 καὶ² AV ἢ Λ 6 παθόντα ΛΟ τοῦ² om. Λ 7 οὕτωσ Λ τοῦ οὕτωσ O om. AV ὁμολόγει Λ ὁμολογεῖν AVO 8 χν ῑ̄ν Λ 10 om. ΛΟ

11 — Ἀντιοχείας om. Λ^b *Asculani* Λ^v 12 ὅτι — τριάδα om. Λ^vO 13/14 τὰ — φρονῶν AV om. ΛΟ 14 ταράσσων Λ 15 καὶ γὰρ ΛΟ φέρει ΛΟ 16 ἐπισκόπων ΛΟ 17 ἁγιωτάτου ΛΟ om. AV φίλικοσ Λ 19 περιβρουχούμενοσ Λ περιβρογχούμενοσ V *inlaqueatus* Λ 20 προβάλλεσθαι Λ 24 διὰ addidi 25 θν ΛΛΟ θν δὲ V φύσιν V om. Λ οὐσίαν ΛΟ 26 καὶ² ΛΟ om. AV θυ λόγου ΛΟ 28 μία πωσ scripsi cf. *quodammodo* Λ πῶσ μία AV πῶσ οὐ μία O τοῦ θυ καὶ π̄ρσ AV θυ πρσ ΛΟ 29 ἀνθρωπότητοσ Λ καὶ ἀνθρωπότητοσ V deleui καὶ σαρκὸσ ἀνθρωπείασ ΛΟ 30 πατρὸσ καὶ τοῦ AVΛ om. O 32 τί ΑΛ τί οὐ V 33 τῆσ om. ΛΟ

Ps. 2,7. 109 3 νήσεως φύσις καὶ ἡ τῆς θεότητος αὐτοῦ πρὸ αἰώνων φυσικὴ γέννησις, τὸ σήμερον γε-
Hebr. 13, 8 γέννηκά σε καὶ τὸ ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε καὶ τὸ Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας; πῶς δὲ καὶ λέγεις ἐκ δύο φύσεων πρὸ τῆς ἑνώσεως τοῦ θεοῦ λόγου καὶ τῆς σαρκός, εἰ οὐχ ὑπῆρχεν ἡ ἐκ Μαρίας κατ' οὐσίαν ἕνωσις; καὶ γὰρ εἰ οὐχ ὑπάρχει ἡ Χριστοῦ σὰρξ πρὸ Μαρίας κατὰ τὸν 5
5 Οὐαλεντίνου ἀσεβῆ λόγον, πῶς δύο φύσεις προυπῆρχον πρὸ Μαρίας; τίνος δὲ καὶ αὕτη ἡ ἔκφρασις; οὐχὶ Εὐτυχοῦς τοῦ μάλα ἀτυχοῦς τὸ ἐκ δύο λέγειν φύσεων μίαν γεγενῆσθαι φύσιν; εἰ δὲ τὰ αὐτοῦ φρονεῖς, πῶς τοῦτον ἀποπτύῃ καὶ τὰ αὐτοῦ παραδέχῃ κάκιστα καινίσματα; εἰ γὰρ ἐπ' ἀληθείας τοῦτο παρὰ σοὶ ἐπέπρακτο ἄν, τοὺς κατ' αὐτοῦ ἁγίους
6 πατέρας τοὺς ἐν Χαλκηδόνι εἶχες δεκτούς. πλὴν φράσον μοι πῶς ἡνωμένος ὁ πατὴρ καὶ 10
ὁ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον λέγεται τριὰς μόνος ὢν ὁ θεός, εἰ οὐ παραδέχῃ ἐν ἑνὶ υἱῶι λέγειν δύο φύσεις. καὶ εἰ ἡ τριὰς εἷς θεός, πῶς ὁ θεὸς λόγος καὶ τὸ ἡμῶν σῶμα αὐτῶι ἑνωθὲν οὐκ ὀφείλει λέγεσθαι εἷς υἱὸς ἐν δύο φύσεσιν; εἰ δὲ μία φύσις ὁ θεὸς λόγος καὶ ἡ σάρξ, δῆλον ὅτι τραπεὶς ὁ λόγος οὐκέτι λόγος, ἀλλὰ σάρξ, καὶ ἡ σὰρξ τραπεῖσα γέγονε λόγος καὶ οὐκέτι εἴη σάρξ. εἰ δὲ ἐν τούτοις οὐ γέγονε τροπή, πῶς οὔκ εἰσιν ἐν Χριστῶι δύο φύσεις; ἡ 15
γὰρ σὰρξ σάρξ ἐστιν, εἰ καί ἐστι θεοῦ σάρξ, καὶ ὁ λόγος λόγος ἐστίν, εἰ καὶ ἀνέλαβε τὴν ἡμῶν
7 πρόσληψιν. εἰ δὲ ἐτράπη, πῶς οὐχ ὁμοούσιος ἡ σὰρξ καὶ συναίδιος τῶι πατρὶ καθὰ καὶ ὁ λόγος; εἰ δὲ ἑτεροούσιός ἐστιν ἡ σὰρξ τῶι πατρί, καθότι αὕτη μὲν πρόσφατος, ὁ δὲ πατὴρ ἄχρονος, πῶς οὐ πρόσφατος καὶ ὁ λόγος, καθὸ μίαν φύσιν εἶναι τῆς σαρκὸς καὶ τοῦ λόγου λέγεις καὶ τῶι πατρὶ ἑτεροούσιον αὐτὸν λέγεις; εἰ δὲ οὐκ αὐτὴ ἡ φύσις τοῦ λόγου 20
137 καὶ τῆς σαρκός, πῶς οὐκ εἰσὶ δύο φύσεις ἡ σὰρξ καὶ ὁ λόγος; εἰ μὲν γὰρ πᾶσα ἡ θεότης σὰρξ
8 γεγένηται, πῶς ἔμεινεν ὁ λόγος ὃ ἦν; εἰ δὲ ἐν μέρει γέγονε σάρξ, μεμέρισται ἡ τοῦ λόγου θεότης. εἰ δὲ σαρκωθεὶς ὁ λόγος ἔμεινεν ὃ ἦν, πῶς οὔκ ἐστιν ἄτρεπτος καὶ σαρκωθείς; καὶ εἰ οὐκ ἔστι Χριστὸς ἐν δύο φύσεσι, πῶς σαρκωθεὶς ὁ θεὸς λόγος ἔμεινεν ὃ ἦν; καὶ εἰ ἔστιν ὁ θεὸς λόγος παθητός, ἀπαθὴς δὲ ὁ πατήρ, πῶς εἷς καὶ μόνος ἐστὶν ὁ θεός; πῶς δὲ καὶ τού- 25
των μία ἐστὶ φύσις; εἰ δὲ καὶ ἀπαθὴς ἡ τριάς, πῶς ὁ θεὸς λόγος ἔπαθεν ὑπὲρ ἡμῶν, εἰ ἐν τῆι ἑτέραι φύσει τῆς σαρκὸς οὐκ ἔπαθεν; καὶ εἰ πᾶν τὸ πάσχον κτιστόν, πῶς ὁ θεὸς λόγος οὐ κτιστὸς πάσχων σαρκί; εἰ δὲ πάσχει σαρκὶ ὁ θεός, πῶς οὐ πάσχει θεότητι; εἰ δὲ οὐ πάσχει θεότητι, τίνι πάσχει σαρκί; εἰ δὲ σαρκὶ πάσχει, πῶς οὐ πάσχει καὶ ἑαυτῶι
9 ὁ θεός; εἰ δὲ ταὐτὸν τὸ εἰπεῖν θεοῦ παθόντος σαρκὶ τῶι εἰπεῖν Χριστοῦ παθόντος σαρκί, 30
πῶς οὐκ ἔσται ταὐτὸν τὸ εἰπεῖν πνεῦμα θεῖον πάσχει σαρκί, ἐπειδὴ πνεῦμα ὁ θεός; εἰ δὲ οὐχ
10 ὅμοιον τὸ εἰπεῖν θεοῦ παθόντος σαρκὶ τῶι εἰπεῖν Χριστοῦ παθόντος σαρκί, πῶς δυνατὸν πλέον οἰκειοῦσθαι [εἰ δὲ οὐ πάσχει θεότητι] τὸν θεὸν λόγον τὰ τῆς σαρκὸς οὗ οἰκειοῦται τὰ τοῦ λόγου ὁ πατήρ; καὶ πῶς εἰ οἰκειώσει πάσχει ὁ θεὸς λόγος σαρκί, οὐκ ἔσται οἰκειώσει καὶ ὁ πατὴρ τῶι θεῶι λόγωι πάσχων; καὶ εἰ ἀπέθανεν ὁ θεὸς λόγος σαρκί, πῶς ἐστιν ὁμο- 35
ούσιος τῶι πατρὶ τῆι ἀθανασίαι; ὁ γὰρ θανὼν ὑπὲρ ἡμῶν οὐκ ἐστιν ἀθάνατος· ἀπέθανε γὰρ κατὰ τὰς γραφάς. καὶ εἰ εἷς τῆς τριάδος ἀπέθανε, πῶς οὐ γέγονέ ποτε δυὰς ἡ τριάς; καὶ εἰ δυὰς ἡ τριὰς οὐ γέγονέ ποτε, πῶς εἷς τῆς τριάδος ἀπέθανεν, εἴγε ἡ ἑτέρα φύσις τοῦ θεοῦ λόγου οἷον ἡ τῶν ἀνθρώπων φύσις οὐκ ἀπέθανεν; εἰ δὲ ἡ τρισαγία φωνὴ τριὰς

AV, Λ [= vb]

4 οὐχ ὑπῆρχεν AV *non praeextitit* Λ προυπῆρχεν O 4/5 ἡ — ἕνωσις AV ἡ κατ' οὐσίαν ἐκ παρθένου ἕνωσις O ὁ ἐκ Μαρίας κατ' οὐσίαν Λ 5 οὐχ AVΛ om. O προυπάρχει ΛO 6 αὕτη ἡ ΛO ἡ αὐτὴ AV 7 μᾶλλον ΛO 18 αὕτη μὲν ΛO αὐτὴ AV 20 θυ λόγου ΛO θυ λόγου ΛO 21 καὶ ἡ σὰρξ καὶ A 22/23 εἰ δὲ ἐν μέρει — ἦν AΛ om. VO 24 θσ ΛΛO om. V 28/29 θεότητι — τίνι ΛO θεότησ εἰ AV 30 τῶι εἰπεῖν — σαρκί om. AV, corr. V 33 εἰ δὲ — θεότητι AV om. ΛO τὸν θν λόγον ΛO θσ̄ λόγοσ AV 33/34 οὗ οἰκειοῦται τὰ τοῦ θυ λόγου ΛO τοῦ λόγου οὐκ οἰκειοῦται AV 34 καὶ πῶσ AV πῶς δὲ Λ πῶσ δὲ [om. Ov] καὶ O οὐκ ἔσται ΛO οὐκέτι AV 35 ὁ̄ O om. AV 37 εἰ ΛO om. AV 38 οὐ Λ οὖν AV

οὐχ ὑφίσταται, δῆλον ὅτι μιᾶς ὑποστάσεως λέγεις εἶναι τὴν τριάδα, καὶ πῶς οὐ δείκνυσαι εἶναι Σαβελλιανός; εἰ δὲ ἐν τρισὶν ὑποστάσεσι μία φύσις ὑφίσταται τῆς τρισαγίας φωνῆς,
11 πῶς οὐ τὴν τριάδα σταυρωθεῖσαν λέγεις καὶ ἄθεον ἑαυτὸν ὡς οἱ Μαρκιωνισταὶ εἶναι λέγεις ἐν τῶι κόσμωι;

α̅ Πᾶς γοῦν ὅστις λέγει μίαν φύσιν τοῦ θεοῦ λόγου καὶ τῆς σαρκὸς καὶ οὐ δύο ἡνωμένας καὶ ἀδιαιρέτους, καθαιρείσθω.

12 β̅ καὶ εἴ τις φύρει τὰς δύο φύσεις τοῦ Χριστοῦ λέγων θεὸν παθόντα σαρκὶ καὶ οὐ παθόντα Χριστὸν σαρκὶ κατὰ τὸν ἀπόστολον, καθαιρείσθω. 1 Petr. 4, 1

γ̅ καὶ εἴ τις τὸν ἀπαθῆ καὶ ἀθάνατον θεὸν λόγον λέγει τετράφθαι εἰς πάθος καὶ θνῆσιν καὶ οὐκ ἀποδίδωσι ταῦτα τῆι αὐτοῦ σαρκί, καθαιρείσθω.

δ̅ καὶ εἴ τις τὴν τρισαγίαν φωνὴν λέγει δι' ἡμᾶς σταυρωθεῖσαν καὶ οὐχὶ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ τὸν μονογενῆ, καθαιρείσθω.

ε̅ καὶ εἴ τις μετὰ τὴν τρισαγίαν φωνὴν Χριστὸν λέγει σταυρωθέντα δι' ἡμᾶς καὶ οὐχὶ 138
μᾶλλον τὸν ἕνα υἱὸν τὸν ἐν μέσωι τῆς τρισαγίας φωνῆς ὑμνούμενον, καθαιρείσθω.

ϛ̅ καὶ εἴ τις ἄνθρωπον λέγει τὸν δι' ἡμᾶς σταυρωθέντα ἤτοι θεὸν χωρίζων τὰς φύσεις καὶ οὐ συνάπτων ταύτας ἐν τῶι σταυροῦσθαι αὐτόν, καθαιρείσθω.

13 ζ̅ καὶ εἴ τις θεανθρωπίαν καὶ οὐχὶ μᾶλλον θεὸν καὶ ἄνθρωπον λέγει, καθαιρείσθω.

η̅ καὶ εἴ τις λέγει δύο πρόσωπα ἤτοι ὑποστάσεις καὶ οὐχὶ μᾶλλον δύο φύσεις εἰς ἓν πρόσωπον καὶ μίαν ὑπόστασιν συντρεχούσας, καθαιρείσθω.

θ̅ καὶ εἴ τις ἑτεροούσιον λέγει τὴν σάρκα τοῦ κυρίου τῆς ἡμῶν σαρκὸς καὶ οὐχὶ μᾶλλον ἡμῖν ὁμοούσιον χωρὶς ἁμαρτίας, καθαιρείσθω.

14 ι̅ καὶ εἴ τις λέγει κτιστὸν τὸν τοῦ πατρὸς λόγον καὶ οὐχὶ μᾶλλον τὴν αὐτοῦ σάρκα, καθαιρείσθω.

ια̅ καὶ εἴ τις λέγει ὁμοούσιον τὴν σάρκα τοῦ κυρίου τῶι θεῶι καὶ πατρὶ καὶ οὐχὶ μᾶλλον τὸν θεὸν λόγον, καθαιρείσθω.

ιβ̅ καὶ εἴ τις λέγει ἄνουν καὶ ἄψυχον τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ ἀντ' αὐτῆς ἔχειν τὴν θεότητα καὶ ὡς ἐκ τούτου λέγειν πάσχειν τὸν θεὸν λόγον καὶ οὐχὶ μᾶλλον νοῦν μετὰ ψυχῆς λογικῆς ἐνανθρωπῆσαι τὸν θεὸν λόγον καὶ ἀπαθῆ λέγειν αὐτὸν τῆι θεότητι, παθητὸν δὲ τῆι ἀνθρωπότητι, καθαιρείσθω.

15 Ταύτας δὲ τὰς δώδεκα καθαιρέσεις ἀπέστειλά σοι, ὅπως φοβηθεὶς τούτων τὰς κρίσεις διεστηκὼς ἔσηι τῆς πανδεινοτάτης σου καινοτομίας εἰδὼς ὅτι χρὴ ἀκολουθεῖν τῆι ἀποκαλύψει τοῦ ὁσιωτάτου τῆς Κωνσταντινουπόλεως ἐκκλησίας ἐπισκόπου Πρόκλου, πῶς ἐν τῶι Κάμπωι καταδραμὼν σὺν τῶι παντὶ αὐτοῦ λαῶι κυματιζομένης ὑπὸ σεισμοῦ τῆς πόλεως καὶ θρήνου ἀναπεμπομένου ὑπὸ πάντων ἄφνω παῖδα ἁρθῆναι εἰς τὸν ἀέρα ὑπό τινος δυνάμεως καὶ τούτωι ἐνθέσθαι τοῦ λιτανεύειν τὸ τρισάγιον καὶ λέγειν ἅγιος ὁ θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς, καὶ ταῦτα ἀπαγγεῖλαι τῶι ἐπισκόπωι προσετάχθη. ὃς καὶ μετὰ τρίωρον ἔστη ἐν τῶι τριβουναλίωι παρὰ τοὺς πόδας τοῦ αὐτοῦ ἐπισκόπου
16 καὶ διηγήσατο ταῦτα ὁ παῖς καὶ οὕτως λιτανευσάντων ἔστησαν οἱ φόβοι. οὕτως οὖν καὶ σὺ λιτάνευε, καὶ παύσεται ἡ κατὰ σοῦ δικαίως ἐξενεχθεῖσα ὀργή· εἰ δὲ μή γε, ἥκει ἐπὶ σὲ ἡ καθαίρεσις ὑπὸ τοῦ πάπα ἡμῶν Φίλικος. φυλάξει δὲ ὁ θεὸς τὸν κόσμον ἀπὸ τῶν σκανδάλων, ὧι ἡ δόξα νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

AV, Λ [= vb]

3 λέγεισ εἶναι V εἶναι οὐ λέγεισ ΛO 5 numeri ex ΛΛ τῆς om. AO 7,8 καὶ οὐ — σαρκὶ ΛO om. AV 13 χν AVO θν Λ 17 post 21 coll. Λ θεοανθρωπίαν A 18 εἰς om. Λ 27 πάσχειν σαρκὶ ΛO 28 ἐνανθρωπῆσαι ΑΛ ἀναλαβέσθαι ἐνανθρωπῆσαι θελήσαντα V ἀνειληφέναι O 30 δὲ om. ΛO 33 τῆσ αὐτῆσ ΛO 35 τούτωι ΛO τοῦτο AV ἐνθέσθαι sc. τὴν δύναμιν τοῦ O τῶ AV 39 δικαίωσ AV om. ΛO ἥξει ΛO 40 πάππα AV

139 Ἐπιστολὴ Φίλικος ἐπισκόπου Ῥώμης καθαιροῦσα Πέτρον ἐπίσκοπον Ἀντιοχείας ὡς θέντα δύο υἱοὺς ἐν τῶι τρισαγίωι, ἕνα ἰσχυρὸν μετὰ τὸν πατέρα καὶ ἕνα ἐσταυρωμένον μετὰ τὸ ἀθάνατον ἅγιον πνεῦμα

7 **1** Ἐπειδήπερ δυστήνων ἐξεμαγεύθης ἐν ἀσεβείαι λόγων καὶ οὐκ ἔκρινας εἶξαι τοῖς προτεταγμένοις ἁγίοις πατράσι τοῖς κατακοσμήσασι τὸν θρόνον τοῦ τῆς μακαρίας μνήμης **2** καὶ πολυάθλου Ἰγνατίου τοῦ μάρτυρος, οὗ καὶ ἀνάξιος ὢν οὐκ οἶδα πῶς ἐμπεπήδηκας ἄρξαι, καὶ μώμοις σου βεβήλοις καὶ ἀσεβῶν δόγμασι καινοτομίαν τῆι καθολικῆι ἐκκλησίαι ἐνέκρινας τοῦ μὴ Χριστὸν σταυρωθέντα δι' ἡμᾶς δεῖν εἰπεῖν, ἀλλὰ πάθος τῶι ἀπαθεῖ θεῶι ἀνόμως ἐπεισάξαι καὶ τῶι ἀθανάτωι πνεύματι θάνατον τιθέναι καὶ οὐκ ἐφρικίασας ἃ οὐ παρεδέξω ἔκ τε τῶν θείων εὐαγγελίων καὶ ἀποστόλων καὶ τῶν ἀνδραγαθησάντων εὐφήμων πατέρων, κακίστως ἐπισοφισάμενος ταῦτα ἐπιστροβῆσαι καὶ οἰκείαν φρονήσεως λύμην ἐμπαραθέσθαι τοῖς ἁπλουστέροις καὶ σκάνδαλον τῆς τοιαύτης αἱρέσεως, ὡς οὐδὲ ἴσα ταῖς προτέραις αἱρέσεσιν ἀνθεῖν, ὑπεράγειν δὲ μᾶλλον πολλαχῶς, καὶ οὐχ **3** ὥρμησας τῆι ἀληθείαι καὶ τοῖς ἐπὶ δὶς γράμμασιν ἡμῶν ἐνωτίσασθαι, νῦν ἠρξάμην ἀποφήνασθαι κατὰ σοῦ, μᾶλλον δὲ ὁ κορυφαιότατος τῶν ποιμαντικῶν θρόνων, ὁ ἐν ἁγίαις εὐφημίαις κομῶν, ὁ ἅγιος καὶ ἄριστος τῶν ἀποστόλων ἀληθῶς Πέτρος, οὐ μόνον δὲ κατὰ σοῦ, ⟨ὃς αὐτ⟩οῦ τὸ ὄνομα ἔφισος εἶ, ἀλλ' οὐ τῆι γνώμηι οὐδὲ τῆι πίστει, ὅτι ὑπεράγαν ἐκ τούτου ἐκκεκλικὼς εἶ τοῦ ὀρθοῦ σκοποῦ καὶ τῆς ἀμωμήτου πίστεως, ἀλλὰ μὴν καὶ κατὰ τῶν μὴ ἐρυθριασάντων τοὺς τῶν σεπτῶν εὐαγγελιστῶν χαρακτῆρας καὶ τῶν τούτοις ἑπομένων ἀποστόλων τε καὶ τελείων ἀνδρῶν διδασκάλων τοὺς λόγους, ἀστάτωι γνώμηι ἐπερειδομένων τῆι ἐκ σοῦ παρανομουμένηι ἐκθέσει ὡς ἡδύτατα παρέπεσθαι ἐπὶ τὸ τῆς κακοδοξίας ὄντως πικρότατον καὶ οὐκ ἀποστραφέντων τὴν τοιάνδε δυσώδη
Ps.51,5—7 **4** δυσσέβειαν. λέξομεν οὖν σοι, ὡς καὶ κατ' ἐκείνων, ἐπειδὴ ἠγάπησας κακίαν ὑπὲρ ἀγαθωσύνην, ἀδικίαν ὑπὲρ τὸ λαλῆσαι δικαιοσύνην, ἠγάπησας πάντα ῥήματα καταποντισμοῦ, γλῶσσαν δολίαν, διὰ τοῦτο ὁ θεὸς καθελεῖ σε εἰς τέλος οὐ μόνον ἀπὸ τῆς Ἀντιοχέων ἐκκλησίας, ἀλλὰ μὴν καὶ πάσης πόλεως καί γε πεπαγιωμένως ἔσται σου ἡ καθαίρεσις αὕτη ὑπ' ἐμοῦ καὶ τῶν διεπόντων ὑπ' ἐμὲ τὸν ἀποστολικὸν θρόνον καὶ Ἀκακίου τοῦ τῆς Κωνσταντινουπολιτῶν ἐκκλησίας ποιμένος καὶ τῶν αὐτῶι ὁρίων ἐπισκόπων ὡς καὶ τῶν αὐτῶν μὴ ἀνασχόμενον **5** ὑπομνημάτων. ὁτὲ μὲν γὰρ ἔφησας τριάδα δι' ἡμᾶς σταυρωθῆναι καὶ οὐχὶ
140 Χριστόν, ὁτὲ δὲ τὸ ἀθάνατον πνεῦμα, ὁτὲ δὲ ἐκ τούτων φυγὼν κατελεγχόμενος ὑπὸ τῶν ἡμῶν ὑποθηκῶν καὶ λόγων Χριστὸν μετὰ τὸ ἀθάνατον πνεῦμα [ἔλεξας ὑπομεμενηκέναι], ὡς ὁ Σαμοσατεὺς καὶ Νεστόριος [τὸ πάθος] τὸν ἕνα υἱὸν διχάζοντες εἰς δυάδα **6** υἱῶν. ὅτε καὶ ἐπὶ τοῦτο εἶξας, ἦκες ἐπὶ τὸ κάκιστον τὸ τὸν χερουβικὸν ὕμνον εὐπα-

7 in collectione Latina 1 [Coll. Auell. 71], recentior epistulae forma extat supra 4 VI p. 13 [O]

V, Λ [= vb], Σ [uersio Syriaca, cf. *Abhandl. d. Bayr. Akad. d. Wiss. N. F.* 10 p. 200]

150 Anastasius misericordia dei episcopus Rachlenorum ciuitatis prouinciae Tyriorum. similiter.
151 Theodorus misericordia dei episcopus sanctae ecclesiae Porthmi Graeciae prouinciae. similiter. Sur II 602
152 Paulus misericordia dei episcopus sanctae ecclesiae Stectorii ciuitatis Pentapoliticae regionis Phrygiae Salutaris prouinciae. similiter. L V 585
153 Stephanus misericordia dei episcopus Amasenorum clarae metropoleos. similiter. M VIIII 395
154 Paulus misericordia dei episcopus Adrasenorum ciuitatis. similiter.
155 Euander humilis episcopus sanctae dei ecclesiae Cnidi ciuitatis. similiter.

G s (b)

1 dabon *G s* Danabon *b* 3 Elpidephorus *G* Elpidophorus *s* misericordia dei *om. G* 4 casie *G* 6 Theodurus *G* 7 Silias *b* misericordia dei *om. G* Tiberiopoleos *s* Phrygiae *om. G s* paccatiane *G* 9 myrenorum *G s* 11 ciuitatis *om. G* 14 similiter *om. G* 15 liri *G* 16 Theodorus — 17 similiter *om. s* Gangrensium *b* 18 misericordia dei *om. G* 21 semeatanorum *G* 22 misericordia dei *om. G s* 24 Sisinmus *G* 27 misericordia dei *om. G* 29 ep̄ xp̄i *G* ecclesiae *om. G* porthini grecie *G* 30 similiter *om. G* 31 rectorii *G* 32 frigie *G* 33 clara *G* 34 similiter *om. G*

156 Menas peccator et humilis episcopus Carpathiorum insularum. similiter.
157 Eleusinius misericordia dei episcopus Traianopolitanorum metropoleos Rhodopiae prouinciae. similiter.
L V 586 158 Sabatius misericordia dei episcopus Arcadiopoleos. similiter.
159 Stephanus misericordia dei episcopus metropoleos Iustinianae nouae siue Darasi. similiter.
M VIIII 396 160 Stephanus misericordia dei episcopus Chersonis. similiter.
161 Cyprianus misericordia dei episcopus Adrianutheron ciuitatis. similiter.
162 Iohannes misericordia dei episcopus Apamenorum ciuitatis Pisidiae prouinciae. similiter.
163 Leontius misericordia dei episcopus Amadessenorum ciuitatis. similiter.
164 Theodorus gratia Christi episcopus Bizyenorum metropoleos. similiter.
165 Paulus misericordia dei episcopus Anchiali ciuitatis. similiter.
166 Conon misericordia dei episcopus Adrianitanae ciuitatis. similiter.

G s (b)

1 carpadorum *G* Carpathorum *s* 2 Eleusimus *G* misericordia dei *om. G* tralano politanorū *G* 2/3 rodopie *G* Rhodopiae *s* similiter *om. G* 4 Sabbatius *s* archadii ipoleos *G* Archadiopoleos *s* 5 misericordia dei *om. G* iustimane *G* 8 Ciprianus *G* similiter *om. G* 10 similiter *om. G* 12 Byzienorum *s* similiter *om. G* 14 *post* similiter *adnot.:* Explicit. In hac synodo sederunt episcopi CLXV *s* Explicit. In hac synodo sederunt Episcopi CLXVI *b*

APPENDIX

VERSIONES GRAECAE

I 1 Eutychii epistula ad Vigilium (cf. p. 15, 2—16, 15)
2 Vigilii epistula I ad Eutychium (cf. p. 16, 17—18, 14)

II Sententiae dogmaticae
1 pars prior (cf. p. 208, 1—11)
2 pars posterior (cf. p. 214, 16—28)

III Canones (cf. p. 215—220)

IIII Vigilii epistula II ad Eutychium

V Canones XV (contra Origenem siue Origenistas)

Π = codex Parisinus gr. 1115 a. 1276
A = codex Arundelianus 529 a. 1111
I = codex Athous monasterii Iwiron gr. 381 s. XV
Z = codex Ambrosianus E 94 sup. s. XIII
Ω = codex Ambrosianus F 48 sup. s. XII
Φ = codex Ambrosianus B 107 sup. s. XII—XIII
M = codex Venetus Marcianus gr. 226 s. XIII—XIIII
Λ = codex Vaticanus gr. 1455 a. 1299
O = codex Vindobonensis hist. gr. 7 s. XII—XIII

Τῶι τὰ πάντα ἁγιωτάτωι καὶ μακαριωτάτωι κυρίωι ἀδελφῶι καὶ συλλειτουργῶι
M VIIII 185 1 Βιγιλίωι Εὐτύχιος. Εἰδότες ὁπόσων ἀγαθῶν αἰτία ἐστὶν ἡ τοῦ θεοῦ εἰρήνη φρουροῦσα τὰς καρδίας καὶ τὰ νοήματα τῶν πιστῶν καὶ συνάγουσα αὐτοὺς εἰς τὸ ἓν καὶ τὸ αὐτὸ φρονεῖν ἐν τῆι περὶ τῆς ὀρθῆς πίστεως ὁμολογίαι καὶ τῆι τῶν θείων ἐντολῶν κατορθώσει καὶ τὸν θεὸν εὐμενῆ καθιστῶσα τοῖς εἰς τὰ ὀρθὰ ὁμονοοῦσι, διὰ τοῦτο σπουδάζοντες τὴν ἕνωσιν φυλάξαι πρὸς τὴν καθολικὴν καθέδραν τῆς ὑμετέρας μακαριότητος φανερὸν ποιοῦμεν, ὅτι ἀεὶ ἡμεῖς ἐφυλάξαμεν καὶ φυλάττομεν τὴν πίστιν τὴν ἐξ ἀρχῆς παραδοθεῖσαν ὑπὸ τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῖς ἁγίοις ἀποστόλοις καὶ παρ' ἐκείνων ἐν παντὶ τῶι κόσμωι κηρυχθεῖσαν καὶ ὑπὸ τῶν ἁγίων πατέρων σαφηνισθεῖσαν καὶ μάλιστα ὑπὸ τῶν ἐν ταῖς ἁγίαις τέτρασι συνόδοις συνελθόντων, οἷς διὰ παντὸς καὶ ἐν πᾶσιν ἀκολουθοῦμεν καὶ δεχόμεθα, τουτέστι τοὺς τριακοσίους δέκα καὶ ὀκτὼ ἁγίους πατέρας τοὺς ἐν Νικαίαι συνελθόντας καὶ τὸ ἅγιον σύμβολον ἤτοι μάθημα τῆς πίστεως ἐκθεμένους καὶ τὴν Ἀρείου μανίαν ἀναθεματίσαντας καὶ τοὺς ταύτην φρονήσαντας ἢ φρονοῦντας. δεχόμεθα δὲ καὶ τοὺς ρν̄ ἁγίους πατέρας τοὺς ἐν Κωνσταντινουπόλει συνελθόντας, οἵτινες τὸ αὐτὸ ἅγιον μάθημα ἐσαφήνισαν καὶ τὰ περὶ τῆς θεότητος τοῦ ἁγίου πνεύματος ἐτράνωσαν καὶ τὴν αἵρεσιν Μακεδονίου τοῦ πνευματομάχου καὶ τὸν ἀσεβῆ Ἀπολινάριον κατέκριναν μετὰ τῶν τὰ αὐτὰ ἐκείνοις φρονησάντων ἢ φρονούντων. δεχόμεθα δὲ καὶ τοὺς σ̄ ἁγίους πατέρας τοὺς ἐν τῆι κατ' Ἔφεσον πρώτηι συνόδωι ἀθροισθέντας, οἵτινες διὰ πάντων ἠκολούθησαν τῶι αὐτῶι ἁγίωι συμβόλωι ἤτοι μαθήματι καὶ κατέκριναν Νεστόριον τὸν ἀσεβῆ καὶ τὰ μυσαρὰ αὐτοῦ δόγματα καὶ τοὺς τὰ ὅμοια αὐτῶι ὁτεδήποτε φρονήσαντας ἢ φρονοῦντας. πρὸς τούτοις δὲ δεχόμεθα καὶ τοὺς χλ̄ ἁγίους πατέρας τοὺς ἐν Χαλκηδόνι συνελθόντας, οἵτινες καὶ αὐτοὶ διὰ πάντων συνήινεσαν ταῖς προρρηθείσαις

Eutychii epistulam ad Vigilium praebent codd. Paris. gr. 1115, fol. 31ᵘ—32ᵘ (Π) et Arundel. 529, fol. 75ᵘ—77ᵘ (A) et Athous Iwiron 381, fol. 308ᵘ—309ᵘ (I); Latine ext. p. 15, 2—16, 15 2—236, 22 *cf. p.* 237, 1—238, 5 5 διὰ τοῦτο — 236, 4 ἐκκλησίαις *adferuntur in sessione Ferrariensi III (V) concilii Florentini [ed. I. Gill S. I., Concilium Florentinum, ser. B, uol. V 1 (Romae 1953) p. 78—80] (φ).*

Π A I, φ *[inde a* 5 διὰ τοῦτο*]*

inscr. Ἐκ τοῦ δευτέρου βιβλίου τῶν πρακτικῶν (ἐκ τῶν ὑπομνημάτων ΠA) τῆς ἁγίας καὶ (*om.* ΠA) οἰκουμενικῆς ε̄ συνόδου. Ἐπιστολὴ (*om.* Π) εὐτυχίου ἀρχιεπισκόπου κωνσταντινουπόλεως πρὸς βιγίλιον (Βιγήλιον A ιιγίλλιον Π) πάπαν ῥώμης ΠAI 2 ιιγιλλίωι Π ιιγηλίωι A ἰδόντες Π, *cf. p.* 237, 1 *et uers. Lat.* 2/3 φρονοῦσα Π 6 καθολικὴν] ἀποστολικὴν Aφ *et p.* 237, 5 *et uers. Lat.* ἡμετέρας A 7 ἡμεῖς ἀεὶ *trp.* φ 9 ὑπὸ] ἀπὸ Aφ καὶ ἀπὸ — 10 μάλιστα *in calce* A 9 ἁγίων *om.* I 10 ἁγίαις] ἄλλαις φ διὰ πάντων Aφ *et p.* 237, 9 11 ἐν ἅπασιν φ *et p.* 237, 9 11/12 ἁγίων πατέρων Π 13 ἀποκηρύξαντας καὶ ἀναθεματίσαντας φ ταύτην] αὐτὴν φ 16 ἀπολλινάριον Π 18 σ̄] διακοσίους Iφ πρώτηι] τρίτηι φ *suprascr.* I 19 καὶ *om.* Π 21 δὲ *om.* Πφ χλ̄] ἑξακοσίους τριάκοντα φ 22 καλχιδόνι A *ut solet* προριθείσαις A

ἁγίαις τρισὶ συνόδοις καὶ ἠκολούθησαν τῶι προειρημένωι συμβόλωι ἤτοι μαθήματι τῶι παρὰ τῶν τιη ἁγίων πατέρων ἐκτεθέντι καὶ ὑπὸ τῶν ρν ἁγίων πατέρων σαφηνισθέντι καὶ ἀνεθεμάτισαν τοὺς ἕτερον παρὰ τὸ εἰρημένον σύμβολον τολμῶντας διδάσκειν ἢ ἐκτίθεσθαι ἢ παραδιδόναι ταῖς ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις. κατέκριναν δὲ καὶ ἀνεθεμάτισαν καὶ Εὐτυχῆ καὶ Νεστόριον καὶ τὰ ἀσεβῆ αὐτῶν δόγματα καὶ τοὺς τὰ ὅμοια αὐτοῖς φρονή- 5

2 σαντας ἢ φρονοῦντας. τούτων οὕτως ἐχόντων δῆλον ποιοῦμεν, ὅτι πάντα τὰ ὑπὸ τῶν προειρημένων ἁγίων τεσσάρων συνόδων κριθέντα τε καὶ ὁρισθέντα καὶ ἐφυλάξαμεν καὶ M VIII 188 φυλάττομεν, ἐπειδή, εἰ καὶ κατὰ διαφόρους χρόνους αἱ εἰρημέναι ἁγίαι τέσσαρες σύνοδοι ἐγένοντο, ὅμως μίαν καὶ τὴν αὐτὴν ὁμολογίαν τῆς πίστεως ἐφύλαξαν καὶ ἐκήρυξαν. δεχόμεθα δὲ καὶ περιπτυσσόμεθα καὶ τὰς ἐπιστολὰς τῶν προέδρων τῆς ἐν Ῥώμηι ἀποστολικῆς 10 καθέδρας τῶν τε ἄλλων καὶ Λέοντος τοῦ ἐν ἁγίοις τὰς περὶ τῆς ὀρθῆς πίστεως γεγραμμένας

3 καὶ περὶ τῶν ἁγίων τεσσάρων συνόδων ἢ μιᾶς ἐξ αὐτῶν. ὁπότε τοίνυν τὰ προειρημένα πάντα καὶ ἐφυλάξαμεν καὶ φυλάττομεν καὶ ἐν τούτοις συμφωνοῦμεν ἀλλήλοις, ἀναγκαῖόν ἐστιν ἀντιβληθῆναι περὶ τῶν τριῶν κεφαλαίων, περὶ ὧν τισι ζήτησις ἀνεφύη. καὶ διὰ τοῦτο αἰτοῦμεν προκαθημένης ἡμῶν τῆς ὑμετέρας μακαριότητος ἀταράχως καὶ μετὰ ἱερατικῆς πραιότητος τῶν ἁγίων προκειμένων εὐαγγελίων τὰ αὐτὰ κεφάλαια ἐν μέσωι προτιθέμενα κοινῶι τρακτάτωι ζητηθῆναι καὶ ἀντιβληθῆναι καὶ πέρας ἐπιτεθῆναι τῆι ζητήσει θεῶι ἀρέσκον καὶ σύμφωνον τοῖς παρὰ τῶν ἁγίων τεσσάρων συνόδων ὁρισθεῖσιν, ἐπειδὴ εἰς αὔξησιν τῆς εἰρήνης καὶ εἰς ὁμόνοιαν τῶν ἐκκλησιῶν συντείνει τὸ πάσης διχονοίας ἐκ μέσου ἀναιρουμένης τὰ ὑπὸ τῶν ἁγίων τεσσάρων συνόδων ὁρισθέντα ἀσάλευτα τηρηθῆναι τοῦ σεβάσματος τῶν ἁγίων συνόδων ἐν ἅπασι φυλαττομένου. τούτοις δὲ καὶ ὑπεσημηνάμεθα.

καὶ ὑπογραφή. ἐρρωμένος ἐν κυρίωι ὑπερεύχου ἡμῶν, ἁγιώτατε καὶ μακαριώτατε ἀδελφέ. ἐγὼ Εὐτύχιος ἐλέει θεοῦ ἐπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης πᾶσι τοῖς προγεγραμμένοις ὑπέγραψα.

Ὁ αὐτὸς λίβελλος ἐγένετο καὶ παρὰ Ἀπολιναρίου τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου τῆς Ἀλεξανδρέων μεγαλοπόλεως καὶ Δομνίνου τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου τῆς Θεουπολιτῶν καὶ τῶν ὑπ' αὐτοὺς θεοφιλεστάτων ἐπισκόπων τῶν καὶ ἐνδημούντων ταύτηι τῆι βασιλίδι πόλει πρὸς τὸν αὐτὸν ὁσιώτατον Βιγίλιον.

I 2 VIGILII EPISTVLA I AD EVTYCHIVM

Ps. 125, 2 **1** Τῶι ἀγαπητῶι ἀδελφῶι Εὐτυχίωι καὶ τοῖς ὑπὸ σὲ ἐπισκόποις Βιγίλιος. Ἐπλη- JK 932
ρώθη χαρᾶς τὸ στόμα ἡμῶν καὶ ἡ γλῶσσα ἡμῶν ἀγαλλιάσεως, ὅτι τῆς συγχύ- 31
σεως τοῦ διχονοεῖν περιαιρεθείσης τὴν εἰρήνην ὁ θεὸς τῆι αὐτοῦ ἀποκατέστησεν ἐκκλησίαι,
Ps. 132, 1 ἵνα πληρωθῆι τὸ γεγραμμένον· ἰδοὺ δὴ τί καλὸν ἢ τί τερπνὸν ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό; πάνυ γὰρ ἡμᾶς ἐν κυρίωι ἀγαλλιᾶσθαι προσήκει, ὅτιπερ ἐγγράφως ἡμῖν προσηνέχθη πληροφορία τῆς ὑμετέρας ἀγάπης, ἧς ἡ δύναμις οὕτως ἔχει· 35

---

30 sq. *Vigilii epist. ad Eutychium ext. in codd. Paris. gr. 1115, fol. 32ᵘ—34ʳ (Π) et Arundel. 529, fol. 77ᵘ—80ᵘ (A) et Athoo Iwiron 381, fol. 309ᵘ—311ʳ (I); uersio Latina ext. p. 16, 17—18, 14; cf. quae eo loco notaui.*

Π A I, φ *[usque ad* 4 ἐκκλησίαις*]*

1 προρρηθέντι Π 2 τιη *om.* I ὑπὸ] ἀπὸ ΠA 6 ὑπὸ] ἀπὸ ΠA 7 τεσσάρων· δ I τε *om.* I 8 εἰ *om.* Π 12 καὶ *om.* Π 14 διαντιβληθῆναι ΠA 15 ἡμῶν *om.* I 18 τεσσάρων] δ I 20 τεσσάρων] δ I 23 καὶ¹ *om.* A καὶ ὑπογραφή *om.* I 25 προγεγραμμένης A 27 μεγαλουπόλεως Π 28 ταύτηι *om.* I 29 ιιγίλλιον Π ιιγίλιον A 30 *inscr.* ἀντίγραφον ἐπιστολῆς Βιγιλίου (ιιγιλλίου Π) τοῦ ὁσιωτάτου πάπα πρὸς εὐτύχιον τὸν ἁγιώτατον ἀρχιεπίσκοπον κωνσταντινουπόλεως καὶ τὴν ὑπ' αὐτὸν σύνοδον ΠAI 34/35 ἔγγραφος I *corr. ex* ἐγγράφως A 35 ἡμῶν Π ἡμετέρας Π

2 1 Εἰδότες ὁπόσων ἀγαθῶν αἰτία ἐστὶν ἡ τοῦ θεοῦ εἰρήνη φρουροῦσα τὰς καρδίας καὶ τὰ νοήματα τῶν πιστῶν καὶ συνάγουσα [τοὺς] αὐτοὺς εἰς τὸ ἓν καὶ τὸ αὐτὸ φρονεῖν ἐν τῇι περὶ τῆς ὀρθῆς πίστεως ὁμολογίαι καὶ τῇι τῶν ἐντολῶν κατορθώσει καὶ τὸν θεὸν εὐμενῆ καθιστῶσα τοῖς εἰς τὰ ὀρθὰ ὁμονοοῦσι, διὰ τοῦτο σπουδάζοντες τὴν ἕνωσιν φυλάξαι πρὸς τὴν ἀποστολικὴν καθέδραν τῆς ὑμετέρας μακαριότητος φανερὸν ποιοῦμεν, ὅτι ἡμεῖς ἀεὶ ἐφυλάξαμεν καὶ φυλάττομεν τὴν πίστιν τὴν ἐξ ἀρχῆς παραδοθεῖσαν ὑπὸ τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῖς ἁγίοις ἀποστόλοις καὶ παρ' ἐκείνων ἐν παντὶ τῶι κόσμωι κηρυχθεῖσαν καὶ ὑπὸ τῶν ἁγίων πατέρων σαφηνισθεῖσαν καὶ μάλιστα ὑπὸ τῶν ἐν ταῖς ἁγίαις τέτρασι συνόδοις συνελθόντων, οἷς διὰ πάντων καὶ ἐν ἅπασιν ἀκολουθοῦμεν καὶ δεχόμεθα, τουτέστι τοὺς τιη ἁγίους πατέρας τοὺς ἐν Νικαίαι συνελθόντας καὶ τὸ ἅγιον σύμβολον ἤτοι μάθημα τῆς πίστεως ἐκθεμένους καὶ τὴν Ἀρείου μανίαν ἀναθεματίσαντας καὶ τοὺς ταύτην φρονήσαντας ἢ φρονοῦντας· δεχόμεθα δὲ καὶ τοὺς ρν ἁγίους πατέρας τοὺς ἐν Κωνσταντινουπόλει συνελθόντας, οἵτινες τὸ αὐτὸ ἅγιον μάθημα ἐσαφήνισαν καὶ τὰ περὶ τῆς θεότητος τοῦ ἁγίου πνεύματος ἐτράνωσαν καὶ τὴν αἵρεσιν Μακεδονίου τοῦ πνευματομάχου καὶ τὸν ἀσεβῆ Ἀπολινάριον κατέκριναν μετὰ τῶν τὰ αὐτὰ ἐκείνοις φρονησάντων ἢ φρονούντων. δεχόμεθα δὲ καὶ τοὺς διακοσίους ἁγίους πατέρας τοὺς ἐν τῇι κατ' Ἔφεσον πρώτηι συνόδωι ἀθροισθέντας, οἵτινες διὰ πάντων ἠκολούθησαν τῶι αὐτῶι ἁγίωι συμβόλωι ἤτοι μαθήματι καὶ κατέκριναν Νεστόριον τὸν ἀσεβῆ καὶ τὰ μυσαρὰ αὐτοῦ δόγματα καὶ τοὺς τὰ ὅμοια αὐτῶι ὁτεδήποτε φρονήσαντας ἢ φρονοῦντας. πρὸς τούτοις δὲ δεχόμεθα καὶ τοὺς χλ ἁγίους πατέρας τοὺς ἐν Χαλκηδόνι συνελθόντας, οἵτινες καὶ αὐτοὶ διὰ πάντων συνήινεσαν ταῖς προρρηθείσαις ἁγίαις τρισὶ συνόδοις καὶ ἠκολούθησαν τῶι προειρημένωι συμβόλωι ἤτοι μαθήματι τῶι παρὰ τῶν τιη ἁγίων πατέρων ἐκτεθέντι καὶ ὑπὸ τῶν ρν ἁγίων πατέρων σαφηνισθέντι καὶ ἀνεθεμάτισαν τοὺς ἕτερον παρὰ τὸ εἰρημένον σύμβολον τολμῶντας διδάσκειν ἢ ἐκτίθεσθαι ἢ παραδιδόναι ταῖς ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις. κατέκριναν δὲ καὶ ἀνεθεμάτισαν καὶ Εὐτυχῆ καὶ Νεστόριον
2 καὶ τὰ ἀσεβῆ αὐτῶν δόγματα καὶ τοὺς τὰ ὅμοια αὐτοῖς φρονήσαντας ἢ φρονοῦντας. τούτων οὕτως ἐχόντων δῆλον ποιοῦμεν, ὅτι πάντα τὰ ὑπὸ τῶν προειρημένων ἁγίων τεσσάρων συνόδων κριθέντα τε καὶ ὁρισθέντα καὶ ἐφυλάξαμεν καὶ φυλάττομεν, ἐπειδή, εἰ καὶ κατὰ διαφόρους χρόνους αἱ εἰρημέναι ἁγίαι τέσσαρες σύνοδοι ἐγένοντο, ὅμως μίαν καὶ τὴν αὐτὴν ὁμολογίαν τῆς πίστεως ἐφύλαξαν καὶ ἐκήρυξαν. δεχόμεθα δὲ καὶ περιπτυσσόμεθα καὶ τὰς ἐπιστολὰς τῶν προέδρων τῆς ἐν Ῥώμηι ἀποστολικῆς καθέδρας τῶν τε ἄλλων καὶ Λέοντος τοῦ ἐν ἁγίοις τὰς περὶ τῆς ὀρθῆς πίστεως γεγραμμένας καὶ περὶ τῶν ἁγίων
3 τεσσάρων συνόδων ἢ μιᾶς ἐξ αὐτῶν. ὁπότε τοίνυν τὰ προειρημένα πάντα καὶ ἐφυλάξαμεν καὶ φυλάττομεν καὶ ἐν τούτοις συμφωνοῦμεν ἀλλήλοις, ἀναγκαῖόν ἐστιν ἀντιβληθῆναι περὶ τῶν τριῶν κεφαλαίων, περὶ ὧν τισι ζήτησις ἀνεφύη. καὶ διὰ τοῦτο αἰτοῦμεν προκαθημένης ἡμῶν τῆς ὑμετέρας μακαριότητος ἀταράχως καὶ μετὰ ἱερατικῆς πραιότητος τῶν ἁγίων προκειμένων εὐαγγελίων τὰ αὐτὰ κεφάλαια ἐν μέσωι προτιθέμενα κοινῶι τρακτάτωι

---

4 διὰ τοῦτο — 25 ἐκκλησίαις *cf. quae ad p.* 235, 5—236, 4 ***notaui***.

Π A I, φ *[inde a* 4 διὰ τοῦτο *usque ad* 25 ἐκκλησίαις*]*

2 τοὺς ΠA *om.* I, *cf. et p.* 235, 3 3 θείων ἐντολῶν *p.* 235, 4 εὐμενᾶ A 5 ὑμῶν Π 8 ὑπὸ] ἀπὸ ΠAφ 9 ἁγίαις] ἄλλαις φ 10 τριακοσίους δέκα καὶ ὀκτὼ AI καὶ ἁγίους I 12 ἀποκηρύξαντας καὶ ἀναθεματίσαντας φ ταύτην] αὐτὴν φ ρν] ἑκατὸν πεντήκοντα A 17 πρώτηι] τρίτηι φ 20 δὲ *om.* φ χλ] ἑξακοσίους τριάκοντα Aφ 22 συμιόλου Π τιη] τι καὶ ὀκτὼ I τριακοσίων δέκα καὶ ὀκτὼ A 23 ὑπὸ] ἀπὸ ΠA ρν] ἑκατὸν πεντήκοντα A καὶ ἀνεθεμάτισαν — 25 δὲ *om.* I 24 ἢ¹ *om.* Π 27 προειρημένων] πρὸ A *om.* I 28 τεσσάρων] δ I 36 ἡμῶν *om.* A *(lacuna erasa)* I 37 ἐμμέσω Π

ζητηθῆναι καὶ ἀντιβληθῆναι καὶ πέρας ἐπιτεθῆναι τῇ ζητήσει θεῶι ἀρέσκον καὶ συμφωνοῦν τοῖς παρὰ τῶν ἁγίων ⟨τεσσάρων⟩ συνόδων ὁρισθεῖσιν, ἐπειδὴ εἰς αὔξησιν τῆς εἰρήνης καὶ εἰς ὁμόνοιαν τῶν ἐκκλησιῶν συντείνει τὸ πάσης διχονοίας ἐκ μέσου ἀναιρουμένης τὰ ὑπὸ τῶν ἁγίων τεσσάρων συνόδων ὁρισθέντα ἀσάλευτα τηρηθῆναι τοῦ σεβάσματος τῶν ἁγίων συνόδων ἐν ἅπασι φυλαττομένου. τούτοις δὲ καὶ ὑπεσημηνάμεθα.

3 Ταύτης τῆς ὀρθοδόξου ὁμολογίας τὴν φαιδρότητα ἀσμένως περιπτυξάμενοι τὰ αὐτὰ ἡμεῖς διὰ πάντων καὶ ἐν ἅπασιν ἀποδεχόμενοι φυλάξειν τε καὶ ἀμωμήτως τηρήσειν τοῦ M VIIII 189
θεοῦ ἡμῶν προηγουμένου ἐπαγγελλόμεθα· ἁπάντων τοίνυν τῶν τῇ ὑμετέραι περιεχομένων ὁμολογίαι ἐν τῇ οἰκείαι δυνάμει εἰς τὸ διηνεκὲς μενόντων ἤιτησεν ἡ ἀδελφότης ὑμῶν, ὥστε ἡμῶν προκαθημένων περὶ τῶν τριῶν κεφαλαίων, ἐξ ὧν ζήτησις ἀνεφύη, ἀταράχως τε καὶ μετὰ ἱερατικῆς πραιότητος τῶν ἁγίων προκειμένων εὐαγγελίων συγκριθῆναι καὶ τέλος τῇ ζητήσει ταύτηι τῶι θεῶι ἀρέσκον καὶ συμβαῖνον τοῖς παρὰ τῶν μνημονευθεισῶν τεσσάρων ἁγίων συνόδων ὁρισθεῖσιν ἐπιτεθῆναι, ἵνα πάσης ἐκ μέσου διχονοίας ἀναιρουμένης τὰ ὑπὸ τῶν ἁγίων τεσσάρων συνόδων ὁρισθέντα ἀσάλευτα φυλαχθείη τοῦ σεβάσματος τῶν αὐτῶν συνόδων ἐν ἅπασι φυλαττομένου. ἥνπερ ὁμολογίαν τῶν πατρικῶν παραδόσεων μνημονεύουσαν καὶ αὐταῖς ἀκολουθοῦσαν τοῦτο μὲν ἐν τῇ ὑμῶν ἀδελφότητι, τοῦτο δὲ ἐν ἅπασι τοῖς τὰ ὅμοια ὁμολογήσασί τε καὶ ὁμολογοῦσι παντὸς ἐπαίνου πεπληρωμένην κρίνομεν καὶ ἡμετέρους ἐξ αὐτοῦ τοῦ πράγματος ἀληθῶς ἀδελφοὺς ἐπιγινώσκομεν. ὅθεν τὴν τοῦ θεοῦ φιλανθρωπίαν ἱκετεύομεν, ὥστε πάντας ἡμᾶς ἐν ταύτηι τῇ ὁμολογίαι καὶ ταῖς πατρικαῖς παραδόσεσιν ἐμμένοντας ἀξίους εὑρεθῆναι τοῦ ἐπαγγέλματος ἡμῶν καὶ ἐν τῇ ἡμέραι τῆς θείας κρίσεως ἐπ' οὐδεμιᾶι παραβάσει τῶν πατρικῶν διατυπώσεων ὑπεύ-
4 θύνους εὑρεθῆναι. τούτων οὕτως εἰρημένων τῆς ὑμετέρας αἰτήσεως τὸν πόθον ἐγνωκότες ἐπενεύσαμεν, ἵνα περὶ τῶν τριῶν κεφαλαίων, ἐξ ὧν ζήτησις ἀνεφύη, γινομένης κανονικῆς συνόδου καὶ τοῦ δικαίου φυλαττομένου ἐν μέσωι [τῶν] προκειμένων τῶν ἁγίων εὐαγγελίων ἅμα τοῖς ἐνωθεῖσιν ἡμῖν ἀδελφοῖς σύγκρισιν ποιησώμεθα καὶ τέλος δοθῆι τῶι θεῶι ἀρέσκον καὶ συμβαῖνον τοῖς παρὰ τῶν ἁγίων τεσσάρων συνόδων ὁρισθεῖσιν, εἰδότες δηλαδή, καθάπερ καὶ ἡ τῆς κοινῆς ὁμολογίας μαρτυρία δείκνυσιν, ὡς τῶν μνημονευθεισῶν τεσσάρων συνόδων ἐν ἅπασι τὸ σέβας φυλάττεται. ὑπογραφή. ὁ θεὸς σὲ ὑγιῆ διαφυλάξει, ἀδελφὲ τιμιώτατε.

ἐδόθη πρὸ ἑπτὰ εἰδῶν Ἰανουαρίων βασιλείας τοῦ δεσπότου Ἰουστινιανοῦ τοῦ d. 7. m. Ian.
αἰωνίου Αὐγούστου ἔτους εἰκοστοεβδόμου μετὰ τὴν ὑπατείαν Βασιλείου τοῦ λαμπροτάτου a. 553
ἔτους δωδεκάτου.

5 Τῶι αὐτῶι τύπωι ἔγραψε καὶ πρὸς Ἀπολινάριον τὸν ὁσιώτατον ἀρχιεπίσκοπον τῆς Ἀλεξανδρέων μεγαλοπόλεως καὶ πρὸς Δομνῖνον τὸν ὁσιώτατον ἀρχιεπίσκοπον τῆς Θεουπολιτῶν καὶ τὴν ὑπ' αὐτοὺς σύνοδον.

Π A I

1 ἐπιζητηθῆναι τῇι συζητήσει Π 2 τεσσάρων *om.* ΠAI 6 αὐτὰ καὶ I 9 μενόντων μόνον τῶν Π *ex* μόνον τῶν *corr.* A ὥστε] ὧ ὅτε Π 10 ἐξ] *cf. p.* 237, 35 περὶ 12/13 τεσσάρων] δ̄ I 14 ὑπὸ] ἀπὸ ΠA τεσσάρων] δ̄ I 24 ἐμμέσω Π τῶν¹ Π *om.* AI 25 ποιησόμεθα A 28 ὑπογραφή *om.* I 30 ἑπτὰ] VIII *uers. Lat.* 31 ὑπατίαν ΠA βελισαρίου I 32 δωδεκάτου] ιβ̄ I

II SENTENTIA SYNODICA

M VIIII 368 Τῆς ἁγίας καὶ οἰκουμενικῆς ε̄ συνόδου ἐκ τῆς η̄ πράξεως κατὰ Θεοδώρου ἐπισκόπου γενομένου Μοψουεστίας.

1 Ἡ ἁγία σύνοδος εἶπε· Τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ κατὰ τὴν ἐν τοῖς εὐαγγελίοις παραβολὴν πρὸς τὴν ἑκάστου δύναμιν τὰ τάλαντα διανείμαντος καὶ τὴν ἐργασίαν τούτων ἐν καιρῷ τῷι δέοντι ἀπαιτοῦντος, εἰ ὁ πιστευθεὶς τὸ ἓν τάλαντον καὶ φυλάξας ἀμείωτον, ἐφ' ᾧι οὐκ εἰργάσατο καὶ ἐπλεόνασε τὸ πιστευθέν, καταδικάζεται, πόσωι μείζονι καὶ φοβερῷι κρίματι ὑπόκειται ὁ μὴ μόνων τῶν καθ' ἑαυτὸν ἀμελήσας, ἀλλὰ καὶ ἑτέροις σκανδάλου καὶ ταραχῆς γενόμενος αἴτιος, προδήλου πᾶσι τοῖς εὐσεβέσι καθεστῶτος ὡς, ἡνίκα περὶ πίστεως λόγος κινεῖται, οὐ μόνον ὡς ἀσεβὴς κατακρίνεται, ἀλλὰ καὶ ὡς δυνάμενος μὲν κωλῦσαι τὴν ἀσέβειαν, ἀμελήσας δὲ περὶ τὴν τῶν ἑτέρων διόρθωσιν. καὶ ἡμεῖς τοίνυν ποιμαίνειν πιστευθέντες τὴν ἐκκλησίαν τοῦ κυρίου, εὐλαβούμενοι τὴν κατάραν τὴν ἀπειλουμένην τοῖς ἀμελῶς τὰ ἔργα κυρίου ποιοῦσι, σπουδὴν ποιούμεθα τὸ καλὸν τῆς πίστεως σπέρμα διαφυλάξαι καθαρὸν ἀπὸ τῶν τοῦ ἐχθροῦ ἐπισπειρομένων τῆς ἀσεβείας ζιζανίων.

cf. Matth. 25, 14—30 cf. Ier. 48, 10 cf. Matth. 13, 24 sq.

2 Κατακρίνομεν δὲ καὶ ἀναθεματίζομεν πρὸς τοῖς ἄλλοις ἅπασιν αἱρετικοῖς τοῖς κατακριθεῖσι καὶ ἀναθεματισθεῖσι παρὰ τῶν εἰρημένων ἁγίων τεσσάρων συνόδων καὶ ἀπὸ τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας καὶ Θεόδωρον τὸν γενόμενον ἐπίσκοπον Μοψουεστίας καὶ τὰ ἀσεβῆ αὐτοῦ συγγράμματα καὶ τὰ ἀσεβῶς συγγραφέντα παρὰ Θεοδωρήτου κατά τε τῆς ὀρθῆς πίστεως καὶ τῶν δώδεκα κεφαλαίων τοῦ ἐν ἁγίοις Κυρίλλου καὶ τῆς ἐν Ἐφέσωι ἁγίας πρώτης συνόδου, καὶ ὅσα ὑπὲρ συνηγορίας Θεοδώρου καὶ Νεστορίου αὐτῶι γέγραπται. καὶ πρὸς τούτοις ἀναθεματίζομεν καὶ τὴν ἀσεβῆ ἐπιστολὴν τὴν λεγομένην παρὰ Ἴβα γεγράφθαι πρὸς Μάριν τὸν Πέρσην, τὴν ἀρνουμένην τὸν θεὸν λόγον ἐκ τῆς ἁγίας Μαρίας τῆς θεοτόκου σαρκωθέντα ἄνθρωπον γεγενῆσθαι καὶ τὸν θεσπέσιον Κύριλλον ὡς αἱρετικὸν διαβάλλουσαν καὶ μεμφομένην μὲν τὴν ἐν Ἐφέσωι πρώτην ἁγίαν σύνοδον ὡς χωρὶς κρίσεως καὶ ζητήσεως Νεστόριον καθελοῦσαν καὶ τὰ δώδεκα

1—14 *initium sententiae dogmaticae ext. in codd. Paris. gr. 1115, fol. 38ᵘ—39ʳ (Π) et Ambros. gr. E 94 sup., fol. 219ʳ (Z), cf. et in praefatione p.* XXV; *Latine ext. p.* 208, 1—11 3 Τοῦ — 4 παραβολὴν *adf. Euagrius, h. e. IV 38 [ed. Bidez-Parmentier p. 188, 8—9]* 15—240, 2 *adf. Georgius Monachus, Chronicon [ed. C. de Boor, uol. II p. 640, 3—21] et Georgius Cedrenus, Compendium historiarum [PG 121, 729 D—732 A]; Latine ext. p.* 214, 16—28 15—22 Πέρσην *adf. Euagrius, h. e. IV 38 [ed. Bidez-Parmentier p. 188, 10—21]* 15—21 γέγραπται *ext. in definitione apocrisiariorum Gregorii papae IX [Mansi XXIII 65/66 A—B] (Apoc.).*

Π Z *[usque ad 14]*

1 καὶ *om.* Z 2 μομψουεστίας ΠZ 3 Ἡ *om.* Π 3/4 κατὰ τῶν εὐαγγελικῶν παραβολῶν Z 4 ἐν *om.* Π τὸ τάλαντον Z 5 εἰ] ἀεὶ Π 6 τὸ — 7 φοβερῷι *om.* Z 7 τῶι κρίματι Z καθ' ἑαυτῶν Z 9 ὡς ἡνίκα] ὁπηνίκα Z πίστεως *om.* Z 12 τὴν *om.* Z ἀπειλούμενοι Z τὰ ἔργα ποιοῦσι τοῦ κυρίου *trp.* Z σπουδὰς Z 13 τῶν *om.* Z τῆς²] τῶν Z 15 *inscr.* λέγει γὰρ ἡ πέμπτη ἁγία καὶ καθολικὴ σύνοδος ἐν πράξει ὀγδόηι οὕτως *Apoc.* 16 παρὰ] ὑπὸ *Georg., Cedr.* παρά τε *Apoc.* 16/17 καὶ ἀπὸ τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας *om. Georg., Cedr.* 17 ἁγίας *om. Apoc.* καὶ ἀποστολικῆς *om. Apoc.* τὸν *om. Cedr.* λεγόμενον *Euagr.* 18 Μομψουεστίας *Georg.* ἀσεβῆ] δυσσεβῆ *Georg., Cedr.* καὶ² — Θεοδωρήτου] καὶ μέντοι καὶ τὰ κακῶς παρὰ Θεοδωρήτου συγγραφέντα *Georg., Cedr.* 20 πρώτης] τρίτης *Apoc.* 21 αὐτοῦ *Apoc.* καὶ¹ *om. Georg., Cedr.* 23 Μαρίας τῆς θεοτόκου] παρθένου τῆς θεοτόκου Μαρίας *Cedr., cf.* dei genetrice et semper uirgine Maria *uers. Lat.*

κεφάλαια τοῦ μακαρίου Κυρίλλου διαπτύουσαν, ἐκδικοῦσαν δὲ τὸν Νεστόριον καὶ Θεόδωρον καὶ τὰ θεοστυγῆ αὐτῶν συγγράμματά τε καὶ δόγματα.

III CANONES

1 Εἴ τις οὐχ ὁμολογεῖ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος μίαν φύσιν ἤτοι οὐσίαν μίαν τε δύναμιν καὶ ἐξουσίαν, τριάδα ὁμοούσιον, μίαν θεότητα ἐν τρισὶν ὑποστάσεσιν ἤγουν προσώποις προσκυνουμένην, ὁ τοιοῦτος ἀνάθεμα ἔστω. εἷς γὰρ θεὸς καὶ πατήρ, ἐξ οὗ τὰ πάντα, καὶ εἷς κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα, καὶ ἓν πνεῦμα ἅγιον, ἐν ᾧ τὰ πάντα. M VIIII 376 L V 568 1 Cor. 8, 6 L V 569 M VIIII 377 7

2 Εἴ τις οὐχ ὁμολογεῖ τοῦ θεοῦ λόγου εἶναι τὰς δύο γεννήσεις, τήν τε πρὸ αἰώνων ἐκ τοῦ πατρὸς ἀχρόνως καὶ ἀσωμάτως τήν τε ἐπ' ἐσχάτων τῶν ἡμερῶν τοῦ αὐτοῦ κατελθόντος ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντος ἐκ τῆς ἁγίας ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ γεννηθέντος ἐξ αὐτῆς, ὁ τοιοῦτος ἀνάθεμα ἔστω. 10

3 Εἴ τις λέγει ἄλλον εἶναι τὸν θεὸν λόγον τὸν θαυματουργήσαντα καὶ ἄλλον τὸν Χριστὸν τὸν παθόντα ἢ τὸν θεὸν λόγον συνεῖναι λέγει τῶι Χριστῶι γενομένωι ἐκ γυναικὸς ἢ ἐν αὐτῶι εἶναι ὡς ἄλλον ἐν ἄλλωι, ἀλλ' οὐχ ἕνα καὶ τὸν αὐτὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν τοῦ θεοῦ λόγον σαρκωθέντα καὶ ἐνανθρωπήσαντα καὶ τοῦ αὐτοῦ τά τε θαύματα καὶ τὰ πάθη, ἅπερ ἑκουσίως ὑπέμεινε σαρκί, ὁ τοιοῦτος ἀνάθεμα ἔστω. cf. Gal. 4, 4 15

4 Εἴ τις λέγει κατὰ χάριν ἢ κατὰ ἐνέργειαν ἢ κατὰ ἀξίαν ἢ κατὰ ἰσοτιμίαν ἢ κατὰ αὐθεντίαν ἢ ἀναφορὰν ἢ σχέσιν ἢ δύναμιν τὴν ἕνωσιν τοῦ θεοῦ λόγου πρὸς ἄνθρωπον γεγενῆσθαι ἢ κατὰ εὐδοκίαν, ὡς ἀρεσθέντος τοῦ θεοῦ λόγου τοῦ ἀνθρώπου ἀπὸ τοῦ εὖ

---

3 sq. *Canonum uersio Graeca ext. in codd. Paris. gr. 1115, fol. 34^{r}—36^{u} (Π), Arundel. 529, fol. 82^{u}—87^{r} (A), Iwiron 381, fol. 311^{r}—314^{u} (I), Ambros. B 107 sup., fol. 43^{u}—44^{r} (Φ), Ambros. E 94 sup., fol. 235^{r}—235^{u} (Z), Ambros. F 48 sup., fol. 85^{u}—87^{r} (Ω), Marcian. 226, fol. 43^{u}—44^{r} (M) et in concil. Lateran. (cod. Vatic. gr. 1455, fol. 97^{r}—100^{r} = Λ) [Mansi X 1045 sq. (μ)], cf. et in praefatione p.* XXVI. *Latine ext. p.* 215—220*; quae ratio intercedat inter huius concilii canones et XIII anathematismos a Iustiniano in edicto de recta fide [p. 90—95 (Schwartz)] similiter prolatos, in praefatione notaui.*

Π Ω Φ M I Z Λ μ *[inde a* 3*]*, A *[*3 EI — πνεύματος*]*

1 τὸν *om. Georg., Cedr.* 2 *post* δόγματα *praeb. Georg., Cedr.:* διὸ δὴ τοίνυν τὰς μὲν τῶν αἱρετικῶν τούτων καὶ πάντων ἀθυροστόμους γλώσσας καὶ τὰς τούτων ἀσεβεστάτους συγγραφὰς αὐτούς τε τοὺς αἱρετικοὺς τοὺς μέχρι τέλους ἐμμείναντας τῆι οἰκείαι κακοδοξίαι καὶ πονηρίαι μετὰ τοῦ (τοῦ *om. Cedr.*) πατρὸς τοῦ ψεύδους εἰκότως διαβόλου συναριθμοῦντες ἐροῦμεν· πορεύεσθε τῶι φωτὶ τοῦ πυρὸς ὑμῶν καὶ τῆι φλογί, ἣι ἐξεκαύσατε. 3 *inscr.* Ἐκ τῆς ὁγδόης πράξεως τῆς ἁγίας οἰκουμενικῆς ε̄ συνόδου κατὰ Θεοδώρου ἐπισκόπου γενομένου Μομψουεστίας Π Κεφάλαια δογματικὰ τῆς ἁγίας οἰκουμενικῆς ε̄ συνόδου τῆς ἐν Κωνσταντινουπόλει γενομένης (πέμπτης ἐν Κ. γενομένης συνόδου A) κατὰ Θεοδώρου ἐπισκόπου γενομένου (γεναμένου A) μομψουεστίας Ω Φ M I Z A Ὅρος κεφαλαιώδης τῆς ἁγίας πέμπτης συνόδου τῆς ἐπὶ Ἰουστινιανοῦ τοῦ τῆς θείας λήξεως ἀθροισθείσης ἐν Κωνσταντινουπόλει μ ἤτοι οὐσίαν *om.* Z 5 εἷς — 7 πάντα *om.* Ω 10 ἐκ τῆς *om.* M ἐνδόξου] καὶ Z 11 ὁ τοιοῦτος *om.* Ω Φ M Z 13 γιννωμένωι I γεννωμένωι Λ 17 κατὰ ἀταξίαν Π 18 πρὸς τὸν IZ 19 τῶι ἀνθρώπωι Ω Φ M IZ Λ μ

καὶ καλῶς δόξαι αὐτῶι περὶ αὐτοῦ, καθὼς Θεόδωρος μαινόμενος λέγει, ἢ κατὰ ὁμωνυμίαν, καθ' ἣν οἱ Νεστοριανοὶ τὸν θεὸν λόγον Ἰησοῦν καὶ Χριστὸν καλοῦντες καὶ τὸν ἄνθρωπον κεχωρισμένως Χριστὸν καὶ υἱὸν ὀνομάζοντες καὶ δύο πρόσωπα προφανῶς λέγοντες κατὰ μόνην τὴν προσηγορίαν καὶ τιμὴν καὶ ἀξίαν καὶ προσκύνησιν καὶ ἓν πρόσωπον καὶ ἕνα Χριστὸν ὑποκρίνονται λέγειν, ἀλλ' οὐχ ὁμολογεῖ τὴν ἕνωσιν τοῦ θεοῦ λόγου πρὸς σάρκα ἐμψυχωμένην ψυχῆι λογικῆι καὶ νοερᾶι κατὰ σύνθεσιν ἤγουν καθ' ὑπόστασιν γεγενῆσθαι, καθὼς οἱ ἅγιοι πατέρες ἐδίδαξαν, καὶ διὰ τοῦτο μίαν αὐτοῦ τὴν ὑπόστασιν, ὅ ἐστιν ὁ κύριος Ἰησοῦς Χριστός, εἷς τῆς ἁγίας τριάδος, ὁ τοιοῦτος ἀνάθεμα ἔστω. πολυτρόπως γὰρ νοουμένης τῆς ἑνώσεως οἱ μὲν τῆι ἀσεβείαι Ἀπολιναρίου καὶ Εὐτυχοῦς ἀκολουθοῦντες τῶι ἀφανισμῶι τῶν συνελθόντων προσκείμενοι τὴν κατὰ σύγχυσιν ἕνωσιν πρεσβεύουσιν, οἱ δὲ τὰ Θεοδώρου καὶ Νεστορίου φρονοῦντες τῆι διαιρέσει χαίροντες σχετικὴν τὴν ἕνωσιν
L V 572 ἐπεισάγουσιν. ἡ μέντοι ἁγία τοῦ θεοῦ ἐκκλησία ἑκατέρας αἱρέσεως τὴν ἀσέβειαν ἀποβαλλομένη τὴν ἕνωσιν τοῦ θεοῦ λόγου πρὸς τὴν σάρκα κατὰ σύνθεσιν ὁμολογεῖ, ὅπερ ἐστὶ καθ' ὑπόστασιν. ἡ γὰρ κατὰ σύνθεσιν ἕνωσις ἐπὶ τοῦ κατὰ Χριστὸν μυστηρίου οὐ μόνον
M VIIII 380 ἀσύγχυτα τὰ συνελθόντα διαφυλάττει, ἀλλ' οὐδὲ διαίρεσιν ἐπιδέχεται.

5 Εἴ τις τὴν μίαν ὑπόστασιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ οὕτως ἐκλαμβάνει ὡς ἐπιδεχομένην πολλῶν ὑποστάσεων σημασίαν καὶ διὰ τούτου εἰσάγειν ἐπιχειρεῖ ἐπὶ τοῦ κατὰ Χριστὸν μυστηρίου δύο ὑποστάσεις ἤτοι δύο πρόσωπα καὶ τῶν παρ' αὐτοῦ εἰσαγομένων δύο προσώπων ἓν πρόσωπον λέγει κατὰ ἀξίαν καὶ τιμὴν καὶ προσκύνησιν, καθάπερ Θεόδωρος καὶ Νεστόριος μαινόμενοι συνεγράψαντο, καὶ συκοφαντεῖ τὴν ἁγίαν ἐν Χαλκηδόνι σύνοδον ὡς κατὰ ταύτην τὴν ἀσεβῆ ἔννοιαν χρησαμένην τῶι τῆς μιᾶς ὑποστάσεως ῥήματι, ἀλλὰ μὴ ὁμολογεῖ τὸν τοῦ θεοῦ λόγον σαρκὶ καθ' ὑπόστασιν ἑνωθῆναι καὶ διὰ τοῦτο μίαν αὐτοῦ τὴν ὑπόστασιν ἤτοι ἓν πρόσωπον, οὕτω τε καὶ τὴν ἁγίαν ἐν Χαλκηδόνι σύνοδον μίαν ὑπόστασιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὁμολογῆσαι, ὁ τοιοῦτος ἀνάθεμα ἔστω. οὔτε γὰρ προσθήκην προσώπου ἤγουν ὑποστάσεως ἐπεδέξατο ἡ ἁγία τριὰς καὶ σαρκωθέντος τοῦ ἑνὸς τῆς ἁγίας τριάδος θεοῦ λόγου.

6 Εἴ τις καταχρηστικῶς, ἀλλ' οὐκ ἀληθῶς θεοτόκον λέγει τὴν ἁγίαν ἔνδοξον ἀειπάρθενον Μαρίαν ἢ κατὰ ἀναφορὰν ὡς ἀνθρώπου ψιλοῦ γεννηθέντος, ἀλλ' οὐχὶ τοῦ θεοῦ λόγου σαρκωθέντος ⟨καὶ γεννηθέντος⟩ ἐξ αὐτῆς, ἀναφερομένης δὲ κατ' ἐκείνους τῆς τοῦ ἀνθρώπου γεννήσεως ἐπὶ τὸν θεὸν λόγον ὡς συνόντα τῶι ἀνθρώπωι γεννωμένωι, καὶ συκοφαντεῖ τὴν ἁγίαν ἐν Χαλκηδόνι σύνοδον ὡς κατὰ ταύτην τὴν ἀσεβῆ ἐπινοηθεῖσαν παρὰ Θεοδώρου ἔννοιαν θεοτόκον τὴν παρθένον εἰποῦσαν, ἢ εἴ τις ἀνθρωποτόκον αὐτὴν καλεῖ ἢ Χριστοτόκον ὡς τοῦ Χριστοῦ μὴ ὄντος θεοῦ, ἀλλὰ μὴ κυρίως καὶ κατὰ ἀλήθειαν θεοτόκον αὐτὴν ὁμολογεῖ διὰ τὸ τὸν πρὸ τῶν αἰώνων ἐκ τοῦ πατρὸς γεννηθέντα θεὸν λόγον ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐξ αὐτῆς σαρκωθῆναι καὶ γεννηθῆναι οὕτω τε εὐσεβῶς καὶ τὴν ἁγίαν ἐν Χαλκηδόνι σύνοδον θεοτόκον αὐτὴν ὁμολογῆσαι, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

Π I Λ μ, Ω Φ M Z *[usque ad 15]*

2 καθὼς Λ μ καὶ[1] *om.* Z μ καὶ[2] — 3 ὀνομάζοντες *om.* M κεχωρισμένος Φ 6 ἐψυχωμένην I Λ τῆι ψυχῆι μ 7 ἅγιοι *om.* Ω Φ M Z ὅ] ὃς Ω 7/8 ὃς ἐστιν αὐτὸς ὁ κύριος ἡμῶν Λ μ 8 ὁ εἷς Λ μ τῆς τριάδος τῆς ἁγίας *trp.* Z 10 ἀφορισμῶι Ω τῶν *om.* Φ Z προκείμενοι Π τὴν ἕνωσιν Π 13 θεοῦ *om.* Z 14 γὰρ *om.* Z 15 φυλάττει Ω M Z οὐδὲ] οὔτε Λ μ *post* ἐπιδέχεται *des.* Ω Φ M Z 23 καλχηδόνι I 29 σαρκωθέντος καὶ τῆς ἐξ αὐτῆς Π σαρκωθέντος ἐξ αὐτῆς I Λ μ, *sed cf.* incarnato et nato ex ipsa *uers. Lat.* κατ' ἐκείνου Π, *sed cf.* sicut illi dicunt *uers. Lat.* 31 συκοφαντεῖν Π 34 διὰ τὸ τῶν πρὸ αἰώνων Π I 36 καλχηδόνι I

7 Εἴ τις ἐν δύο φύσεσι λέγων μὴ ὡς ἐν θεότητι καὶ ἀνθρωπότητι τὸν ἕνα κύριον ἡμῶν M VIII 381
Ἰησοῦν Χριστὸν γνωρίζεσθαι ὁμολογεῖ, ἵνα διὰ τούτου σημάνῃ τὴν διαφορὰν τῶν L V 573
φύσεων, ἐξ ὧν ἀσυγχύτως ἡ ἄφραστος ἕνωσις γέγονεν, οὔτε τοῦ λόγου εἰς τὴν τῆς σαρκὸς
μεταποιηθέντος φύσιν οὔτε τῆς σαρκὸς πρὸς τὴν τοῦ λόγου φύσιν μεταχωρησάσης, (μένει
γὰρ ἑκάτερον, ὅπερ ἐστὶ τῇ φύσει, καὶ γενομένης τῆς ἑνώσεως καθ' ὑπόστασιν), ἀλλ' ἐπὶ 5
διαιρέσει τῇ ἀνὰ μέρος τὴν τοιαύτην λαμβάνει φωνὴν ἐπὶ τοῦ κατὰ Χριστὸν μυστηρίου
ἢ τὸν ἀριθμὸν τῶν φύσεων ὁμολογῶν ἐπὶ τοῦ αὐτοῦ ἑνὸς κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ
τοῦ θεοῦ λόγου σαρκωθέντος μὴ τῇ θεωρίαι μόνῃ τὴν διαφορὰν τούτων λαμβάνει, ἐξ ὧν
καὶ συνετέθη, οὐκ ἀναιρουμένην διὰ τὴν ἕνωσιν, (εἷς γὰρ ἐξ ἀμφοῖν καὶ δι' ἑνὸς ἀμφότερα),
ἀλλ' ἐπὶ τούτωι κέχρηται τῶι ἀριθμῶι, ὡς κεχωρισμένας καὶ ἰδιοϋποστάτους εἶναι τὰς 10
φύσεις, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

8 Εἴ τις ἐκ δύο φύσεων θεότητος καὶ ἀνθρωπότητος ὁμολογῶν τὴν ἕνωσιν γεγενῆσθαι
ἢ μίαν φύσιν τοῦ θεοῦ λόγου σεσαρκωμένην λέγων μὴ οὕτως αὐτὰ λαμβάνηι, καθάπερ οἱ
ἅγιοι πατέρες ἐδίδαξαν, ὅτι ἐκ τῆς θείας φύσεως καὶ τῆς ἀνθρωπίνης τῆς ἑνώσεως καθ'
ὑπόστασιν γενομένης εἷς Χριστὸς ἀπετελέσθη, ἀλλ' ἐκ τῶν τοιούτων φωνῶν μίαν φύσιν 15
ἤτοι οὐσίαν θεότητος καὶ σαρκὸς τοῦ Χριστοῦ εἰσάγειν ἐπιχειρεῖ, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.
καθ' ὑπόστασιν γὰρ λέγοντες σαρκὶ τὸν μονογενῆ λόγον ἡνῶσθαι οὐκ ἀνάχυσίν τινα τὴν
εἰς ἀλλήλους τῶν φύσεων πεπρᾶχθαί φαμεν, μενούσης δὲ μᾶλλον ἑκατέρας τοῦτο ὅπερ ἐστίν,
ἡνῶσθαι σαρκὶ νοοῦμεν τὸν λόγον· διὸ καὶ εἷς ἐστὶν ὁ Χριστὸς θεὸς καὶ ἄνθρωπος, ὁ αὐτὸς
ὁμοούσιος τῶι πατρὶ κατὰ τὴν θεότητα καὶ ὁμοούσιος ἡμῖν ὁ αὐτὸς κατὰ τὴν ἀνθρωπό- 20
τητα· ἐπ' ἴσης γὰρ καὶ τοὺς ἀνὰ μέρος διαιροῦντας ἤτοι τέμνοντας καὶ τοὺς συγχέοντας
τὸ τῆς θείας οἰκονομίας μυστήριον τοῦ Χριστοῦ ἀποστρέφεται καὶ ἀναθεματίζει ἡ τοῦ
θεοῦ ἐκκλησία.

9 Εἴ τις προσκυνεῖσθαι ἐν δυσὶ φύσεσι λέγει τὸν Χριστόν, ἐξ οὗ δύο προσκυνήσεις
εἰσάγονται ἰδίαι τῶι θεῶι λόγωι καὶ ἰδίαι τῶι ἀνθρώπωι, ἢ εἴ τις ἐπὶ ἀναιρέσει τῆς σαρκὸς 25
ἢ ἐπὶ συγχύσει τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος ἢ μίαν φύσιν ἤγουν οὐσίαν τῶν συνελ-
θόντων τερατευόμενος οὕτω προσκυνεῖ τὸν Χριστόν, ἀλλ' οὐχὶ μιᾶι προσκυνήσει τὸν θεὸν
λόγον σαρκωθέντα μετὰ τῆς ἰδίας αὐτοῦ σαρκὸς προσκυνεῖ, καθάπερ ἡ τοῦ θεοῦ ἐκκλησία M VIII 384
παρέλαβεν ἐξ ἀρχῆς, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

10 Εἴ τις οὐχ ὁμολογεῖ τὸν ἐσταυρωμένον σαρκὶ κύριον ἡμῶν Ἰησοῦν Χριστὸν θεὸν L V 576
1 Cor. 2, 8 εἶναι ἀληθινὸν καὶ κύριον τῆς δόξης καὶ ἕνα τῆς ἁγίας τριάδος, ὁ τοιοῦτος ἀνάθεμα ἔστω. 31

11 Εἴ τις μὴ ἀναθεματίζει Ἄρειον, Εὐνόμιον, Μακεδόνιον, Ἀπολινάριον, Νεστόριον,
Εὐτυχέα καὶ Ὠριγένην μετὰ τῶν ἀσεβῶν αὐτῶν συγγραμμάτων καὶ τοὺς ἄλλους πάντας
αἱρετικοὺς τοὺς κατακριθέντας καὶ ἀναθεματισθέντας ὑπὸ τῆς ἁγίας καθολικῆς καὶ ἀπο-
στολικῆς ἐκκλησίας καὶ τῶν προειρημένων ἁγίων τεσσάρων συνόδων καὶ τοὺς τὰ ὅμοια 35
τῶν προειρημένων αἱρετικῶν φρονήσαντας ἢ φρονοῦντας καὶ μέχρι τέλους τῇι οἰκείαι
ἀσεβείαι ἐμμείναντας, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

1—11 *adfertur in epist. I Agathonis papae in actis concil. Constantinop. III [Mansi XI 256]* (= κ).

Π, A *[inde a* 2 σημάνηι*]*, I Λ μ, κ *[usque ad* 11*]*

2 γνωρίζεται Π σημάνει A σημαίνηι μκ 5/6 ἐπεὶ διαιρέσει Π ἐπειδὴ αἱρέσει Λμ 7 καὶ ἑνὸς I 8 σαρκωθέντος θεοῦ λόγου *trp.* I 9 ἀνηιρημένην Λμκ 10 ἐπεὶ Λμ εἶναι] εἰ καὶ Π 11 φύσεις λέγων Λμ 12 Εἴ] Ἤ A γεγενεῖσθαι A *ut solet* 13 λαμβάνει ΑΛμ καὶ οἱ Π 17 σαρκὶ *om.* Π 18 ἀλλήλας ΑΛμ τοῦτο *om.* Π 25 ἀναιρέσει] διαιρέσει Λμ 26 ἐπὶ *om.* Λμ ἢ² *om.* IΛ 30 οὐκ A θεὸν *om.* Π 32 Νεστόριον *om.* I 35 ἁγίων — 36 προειρημένων *repet.* Π *om.* I

12 Εἴ τις ἀντιποιεῖται Θεοδώρου τοῦ ἀσεβοῦς τοῦ Μοψουεστίας τοῦ εἰπόντος ἄλλον εἶναι τὸν θεὸν λόγον καὶ ἄλλον τὸν Χριστὸν ὑπὸ παθῶν ψυχῆς καὶ τῶν τῆς σαρκὸς ἐπιθυμιῶν ἐνοχλούμενον καὶ τῶν χειρόνων κατὰ μικρὸν χωριζόμενον καὶ οὕτως ἐκ προκοπῆς ἔργων βελτιωθέντα καὶ ἐκ πολιτείας ἄμωμον καταστάντα ὡς ψιλὸν ἄνθρωπον βαπτισθῆναι εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος καὶ διὰ τοῦ βαπτίσματος τὴν χάριν τοῦ ἁγίου πνεύματος λαβεῖν καὶ υἱοθεσίας ἀξιωθῆναι καὶ κατ' ἰσότητα βασιλικῆς εἰκόνος εἰς πρόσωπον τοῦ θεοῦ λόγου προσκυνεῖσθαι καὶ μετὰ τὴν ἀνάστασιν ἄτρεπτον ταῖς ἐννοίαις καὶ ἀναμάρτητον παντελῶς γενέσθαι· καὶ πάλιν εἰρηκότος τοῦ αὐτοῦ ἀσεβοῦς Θεοδώρου τὴν ἕνωσιν τοῦ θεοῦ λόγου πρὸς τὸν Χριστὸν τοιαύτην γεγενῆσθαι, οἵαν εἶπεν ὁ ἀπόστολος ἐπὶ ἀνδρὸς καὶ γυναικός· ἔσονται οἱ δύο εἰς σάρκα μίαν, καὶ πρὸς ταῖς ἄλλαις ἀναριθμήτοις αὐτοῦ βλασφημίαις τολμήσαντος εἰπεῖν, ὅτι μετὰ τὴν ἀνάστασιν ἐμφυσήσας ὁ κύριος τοῖς μαθηταῖς καὶ εἰπών· λάβετε πνεῦμα ἅγιον, οὐ δέδωκεν αὐτοῖς πνεῦμα ἅγιον, ἀλλὰ σχήματι μόνον ἐνεφύσησε· οὗτος δὲ καὶ τὴν ὁμολογίαν Θωμᾶ τὴν ἐπὶ τῇ ψηλαφήσει τῶν χειρῶν καὶ τῆς πλευρᾶς τοῦ κυρίου μετὰ τὴν ἀνάστασιν, τὸ ὁ κύριός μου καὶ ὁ θεός μου, εἶπε μὴ εἰρῆσθαι περὶ τοῦ Χριστοῦ παρὰ τοῦ Θωμᾶ, (οὐδὲ γὰρ αὐτὸν εἶναι λέγει τὸν Χριστὸν θεόν), ἀλλ' ἐπὶ τῶι παραδόξωι τῆς ἀναστάσεως ἐκπλαγέντα τὸν Θωμᾶν ὑμνῆσαι τὸν θεὸν τὸν ἐγείραντα τὸν Χριστόν· τὸ δὲ χεῖρον, καὶ ἐν τῇι τῶν πράξεων τῶν ἀποστόλων γενομένηι παρ' αὐτοῦ δῆθεν ἑρμηνείαι συγκρίνων ὁ αὐτὸς Θεόδωρος τὸν Χριστὸν Πλάτωνι καὶ Μανιχαίωι καὶ Ἐπικούρωι καὶ Μαρκίωνι λέγει, ὅτι, ὥσπερ ἐκείνων
M VIIII 385 ἕκαστος εὑράμενος οἰκεῖον δόγμα τοὺς αὐτῶι μαθητεύσαντας πεποίηκε καλεῖσθαι Πλα-
L V 577 τωνικοὺς καὶ Μανιχαίους καὶ Ἐπικουρείους καὶ Μαρκιωνιστάς, τὸν ὅμοιον τρόπον καὶ τοῦ Χριστοῦ εὑραμένου τὸ δόγμα ἐξ αὐτοῦ τοὺς Χριστιανοὺς καλεῖσθαι· εἴ τις τοίνυν ἀντιποιεῖται τοῦ εἰρημένου ἀσεβεστάτου Θεοδώρου καὶ τῶν ἀσεβῶν αὐτοῦ συγγραμμάτων, ἐν οἷς τάς τε εἰρημένας καὶ ἄλλας ἀναριθμήτους βλασφημίας ἐξέχεε κατὰ τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀλλὰ μὴ ἀναθεματίζει αὐτὸν καὶ τὰ ἀσεβῆ αὐτοῦ συγγράμματα καὶ πάντας τοὺς δεχομένους ἢ καὶ ἐκδικοῦντας αὐτὸν ἢ λέγοντας ὀρθοδόξως αὐτὸν ἐκθέσθαι καὶ τοὺς γράψαντας ὑπὲρ αὐτοῦ καὶ τὰ αὐτὰ ἐκείνωι φρονήσαντας ἢ καὶ τοὺς γράφοντας ὑπὲρ αὐτοῦ καὶ τῶν ἀσεβῶν αὐτοῦ συγγραμμάτων καὶ τοὺς τὰ ὅμοια αὐτῶι φρονοῦντας ἢ φρονήσαντας πώποτε καὶ μέχρι τέλους ἐμμείναντας ἢ ἐμμένοντας τῇι τοιαύτηι ἀσεβείαι, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

Eph. 5, 31 — Ioh. 20, 22 — Ioh. 20, 28

13 Εἴ τις ἀντιποιεῖται τῶν ἀσεβῶν συγγραμμάτων Θεοδωρήτου τῶν κατὰ τῆς ὀρθῆς πίστεως καὶ τῆς ἐν Ἐφέσωι πρώτης ἁγίας συνόδου καὶ τοῦ ἐν ἁγίοις Κυρίλλου καὶ τῶν δώδεκα αὐτοῦ κεφαλαίων καὶ πάντων, ὧν συνεγράψατο ὑπὲρ Θεοδώρου καὶ Νεστορίου τῶν δυσσεβῶν καὶ τῶν ἄλλων τῶν τὰ αὐτὰ τοῖς προειρημένοις Θεοδώρωι καὶ Νε-

---

1—30 *can. XII adf. decurtatum Manuel Caleca; cf. quae ad p.* 218, 15—219, 11 *notaui* 1 ἄλλον —22 καλεῖσθαι *adf. Vigilius in epist. II ad Eutychium [Appendix IIII, p.* 246, 21—41*]; Latine ext. in Vigilii epist. adu. tria capitula 157—160 [A C O IV 2 p. 166, 26—45]* 31—244, 6 *can. XIII adf. decurtatum Manuel Caleca; cf. quae ad p.* 219, 13—21 *notaui.*

Π A I Λ μ

1 μομψουεστίας ΠA *ut solent* 2 τῶν] τὸν Π 3 χειρόνων] χρόνων I χειρῶν Λ 4 βελτιωθέντα] τελειωθέντα μ βαπτισθέντα Λμ 6 καὶ[1] *om.* μ ἀξιωθῆναι] ἀπολαύειν Λμ 7 προσκυνούμενον Λμ 9 εἶπεν *om.* Π 13 μόνωι Λμ τὴν[2] *om.* I 15 οὐδὲ — 16 θεὸν *om.* Π 15 αὐτὸν *om.* A λέγειν A 16 Χριστὸν *om.* AI τὸν *om.* μ 17 ὅτι καὶ ἐν τῇι AIΛμ τῇι *om.* Π 20 μαθητευθέντας Λμ 21 Ἐπικουρίους ΠAΛμ 22 οἰκεῖον τὸ Λμ τὸ *om.* Π 26 ἢ λέγοντας ἢ Π 27 τὰ αὐτὰ — 28 αὐτοῦ καὶ *om.* Π 28 αὐτῶι] αὐτῶν Π 29 ἐμμείναντας ἢ ἐμμένοντας] ἐμμείνοντας Π 30 ἀσεβείαι] αἱρέσει Π ὁ τοιοῦτος *om.* ΠI 31 θεοδωρίτου Π *ut solet* ὀρθῆς] ἀληθοῦς Π 32 πρώτης καὶ ἁγίας Π 33 θεοδωρίτου ΠΛμ 34 τῶν[3]] ὑπὲρ Π αὐτὰ] λοιπὰ Λμ θεοδωρίτωι Π

στορίωι φρονησάντων καὶ δεχομένων αὐτοὺς καὶ τὴν αὐτῶν ἀσέβειαν, καὶ διὰ τοῦτο ἀσεβεῖς καλεῖ τοὺς τῆς ἐκκλησίας διδασκάλους τοὺς καθ' ὑπόστασιν τὴν ἕνωσιν τοῦ θεοῦ λόγου πρὸς τὴν σάρκα ὁμολογοῦντας, ἀλλὰ μὴ ἀναθεματίζει τὰ εἰρημένα ἀσεβῆ συγγράμματα καὶ τοὺς τὰ ὅμοια τούτοις φρονήσαντας ἢ φρονοῦντας καὶ πάντας δὲ τοὺς γράψαντας κατὰ τῆς ὀρθῆς πίστεως ἢ τοῦ ἐν ἁγίοις Κυρίλλου καὶ τῶν δώδεκα αὐτοῦ κεφαλαίων καὶ ἐν τῆι τοιαύτηι ἀσεβείαι τελευτήσαντας, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

14 Εἴ τις ἀντιποιεῖται τῆς ἐπιστολῆς τῆς λεγομένης παρὰ Ἴβα γεγράφθαι πρὸς Μάριν τὸν Πέρσην, τῆς ἀρνουμένης μὲν τὸν θεὸν λόγον ἐκ τῆς ἁγίας θεοτόκου καὶ ἀειπαρθένου Μαρίας σαρκωθέντα ἄνθρωπον γεγενῆσθαι, λεγούσης δὲ ψιλὸν ἄνθρωπον ἐξ αὐτῆς γεννηθῆναι, ὃν ναὸν ἀποκαλεῖ, ὡς ἄλλον εἶναι τὸν θεὸν λόγον καὶ ἄλλον τὸν ἄνθρωπον, καὶ τὸν ἐν ἁγίοις Κύριλλον τὴν ὀρθὴν τῶν Χριστιανῶν πίστιν κηρύξαντα διαβαλλούσης ὡς αἱρετικὸν καὶ ὁμοίως Ἀπολιναρίωι τῶι δυσσεβεῖ γράψαντα καὶ μεμφομένης τὴν ἐν Ἐφέσωι M VIII 388
πρώτην ἁγίαν σύνοδον ὡς χωρὶς κρίσεως καὶ ζητήσεως Νεστόριον καθελοῦσαν, — καὶ τὰ δώδεκα κεφάλαια τοῦ ἐν ἁγίοις Κυρίλλου ἀσεβῆ καὶ ἐναντία τῆι ὀρθῆι πίστει ἀποκαλεῖ ἡ αὐτὴ ἀσεβὴς ἐπιστολὴ καὶ ἐκδικεῖ Θεόδωρον καὶ Νεστόριον καὶ τὰ ἀσεβῆ αὐτῶν δόγματα καὶ συγγράμματα — εἴ τις τοίνυν τῆς εἰρημένης ἀσεβοῦς ἐπιστολῆς ἀντιποιεῖται καὶ μὴ L V 580
ἀναθεματίζει αὐτὴν καὶ τοὺς ἀντιποιουμένους αὐτῆς καὶ λέγοντας αὐτὴν ὀρθὴν εἶναι ἢ μέρος αὐτῆς καὶ γράψαντας ἢ καὶ γράφοντας ὑπὲρ αὐτῆς ἢ τῶν περιεχομένων αὐτῆι ἀσεβειῶν καὶ τολμῶντας ταύτην ἐκδικεῖν ἢ τὰς περιεχομένας αὐτῆι ἀσεβείας ὀνόματι τῶν ἁγίων πατέρων ἢ τῆς ἁγίας ἐν Χαλκηδόνι συνόδου καὶ τούτοις μέχρι τέλους ἐμμείναντας, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

Τούτων τοίνυν οὕτως ὁμολογηθέντων, ἃ καὶ παρελάβομεν ἐκ τῆς θείας γραφῆς καὶ τῆς τῶν ἁγίων πατέρων διδασκαλίας καὶ τῶν ὁρισθέντων περὶ τῆς μιᾶς καὶ τῆς αὐτῆς πίστεως παρὰ τῶν προειρημένων ἁγίων τεσσάρων συνόδων, γενομένης δὲ καὶ παρ' ἡμῶν τῆς ἐπὶ τοῖς αἱρετικοῖς καὶ τῆς τούτων ἀσεβείας, πρός γε καὶ τῆς τῶν ἐκδικησάντων ἢ ἐκδικούντων τὰ εἰρημένα τρία κεφάλαια καὶ ἐναπομεινάντων ἢ καὶ ἀπομενόντων τῆι οἰκείαι πλάνηι κατακρίσεως, εἴ τις ἐπιχειρήσοι ὑπεναντία τοῖς παρ' ἡμῶν εὐσεβῶς διατυπωθεῖσι παραδοῦναι ἢ διδάξαι ἢ γράψαι, εἰ μὲν ἐπίσκοπος εἴη ἢ ἐν κλήρωι ἀναφερόμενος, ὁ τοιοῦτος ἀλλότρια ἱερέων καὶ τῆς ἐκκλησιαστικῆς καταστάσεως πράττων γυμνωθήσεται τῆς ἐπισκοπῆς ἢ τοῦ κλήρου, εἰ δὲ μοναχὸς ἢ λαϊκός, ἀναθεματισθήσεται. αἱ ὑπογραφαί.

Εὐτύχιος ἐλέωι θεοῦ ἐπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης· ἐψηφισάμην τὰ προκείμενα καὶ ὁμολογῶ οὕτως ἔχειν, ὡς πάντα τὰ προγεγραμμένα κεφάλαιά τε καὶ δόγματα περιέχει, καὶ δεχόμενος τὰς ἁγίας τέσσαρας συνόδους, τουτέστι τὴν ἐν Νικαίαι καὶ τὴν ἐν Κωνσταντινουπόλει καὶ τὴν ἐν Ἐφέσωι τὸ πρότερον καὶ τὴν ἐν Χαλκηδόνι, καὶ τὰ παρ' αὐτῶν περὶ τῆς μιᾶς καὶ τῆς αὐτῆς πίστεως ὁρισθέντα καὶ πᾶσι τούτοις ἐμμένων,

---

7 τῆς ἐπιστολῆς — 16 συγγράμματα *ext. in Vigilii epist. adu. tria capitula 149 [A C O IV 2 p. 165, 15—24]; cf. p.* 247, 9—18 22—30 *adfertur decurtatum in act. IIII concil. Lateran. [Mansi X 1060 A—B].*

Π A l, Λ μ *[usque ad* 30 ἀναθεματισθήσεται*]*

1 φρονούντων Π δεχόντων Π δεξαμένων Λμ δέχεται A αὐτοὺς *om.* Λμ αὐτούς τε Al διὰ τοῦτο] δι' αὐτῶν τοὺς Π 2 τοὺς καθ' ὑπόστασιν] ὡς Λμ 3 πρὸς τὴν σάρκα *om.* Π φρονοῦντας καὶ ὁμολογοῦντας Π ἀλλὰ μή] καὶ εἴπερ οὐκ Π 5 καὶ[1]] ἢ Π 7 μάρην Π 14 ἀποκαλεῖ] καλεῖ μ 17 αὐτῆς] αὐτὴν Π 17/18 ἢ μέρος *om.* Π *lacuna relicta* 18 αὐτῆς[1]] αὐτῆι Π αὐτὴν A ἢ[1] *om.* Π καὶ[2] *om.* Λμ 19 ταύτην] αὐτὴν Λμ 20 τούτοις] τούτους Π 22 ὁμολογηθέντων παρ' ἡμῶν Λμ 24 τεσσάρων] δ̄ l 25 τούτων] αὐτῶν Π πρὸς δέ γε l 26 καὶ[2] *om.* Π 27 ἐπιχειρήσει Λμ 28 εἰ — ἀναφερόμενος *om.* l ἢ[3] *om.* A 29 ἀλλότριος μ 30 λαϊκὸς εἴη Λμ αἱ ὑπογραφαί] ὑπογραφή l *om.* Π 31 ἐλέει A ἐψηλαφησάμην Πl 34 ἐν[2] *om.* Π

καθὼς προγέγραπται, κατακρίνω καὶ ἀναθεματίζω πρὸς τοῖς ἄλλοις αἱρετικοῖς καὶ τοῖς ἀσεβέσιν αὐτῶν συγγράμμασι Θεόδωρον τὸν ἀσεβῆ τὸν Μοψουεστίας γενόμενον ἐπίσκοπον μετὰ τῶν ἀσεβῶν αὐτοῦ συγγραμμάτων καὶ πάντα τὰ ἀσεβῶς συγγραφέντα Θεοδωρήτωι, καθ' ἃ προείρηται, καὶ τὴν ἀσεβῆ ἐπιστολὴν τὴν λεγομένην Ἴβα καὶ τοὺς τὰ ὅμοια τούτοις φρονήσαντας ἢ φρονοῦντας. καὶ ὑπέγραψα.

M VIIII 389 Ἀπολινάριος ἐλέωι θεοῦ ἐπίσκοπος Ἀλεξανδρείας
Δομνῖνος ἐλέωι θεοῦ ἐπίσκοπος τῆς Θεουπολιτῶν
Ὁμοίως καὶ οἱ λοιποὶ ἐπίσκοποι ὑπέγραψαν.

IIII VIGILII EPISTVLA II AD EVTYCHIVM

M VIIII 413 Τῶι ἀγαπητῶι ἀδελφῶι Εὐτυχίωι Βιγίλιος

JK 936 1 Τὰ σκάνδαλα ἅπερ ὁ τοῦ ἀνθρωπίνου γένους ἐχθρὸς τῶι σύμπαντι κόσμωι διήγειρεν, οὐδεὶς ἀγνοεῖ, οὕτως ὡς τὸ οἰκεῖον βούλημα πρὸς τὸ ἀνατρέψαι τὴν τοῦ θεοῦ ἐκκλησίαν ἐν ὅληι τῆι οἰκουμένηι διακειμένην ἕκαστον φαύλου σκοποῦ τυγχάνοντα πληρῶσαι, οἵωι δήποτε τρόπωι σπουδάζοντα οὐ μόνον ἐξ ὀνόματος ἰδίου, ἀλλὰ καὶ ἐξ ἡμετέρου καὶ ἐξ ἄλλων διὰ τοῦ λέγειν ἢ τοῦ γράφειν διάφορα πλάσασθαι, πεποίηκεν εἰς τοσοῦτον, ὅτι ἡμᾶς μετὰ τῶν ἀδελφῶν καὶ συνεπισκόπων ἡμῶν ἐν τῆι βασιλίδι πόλει διάγοντας καὶ ἴσωι σεβάσματι τὰς τέσσαρας συνόδους ἐκδικοῦντας καὶ ἐν τῆι τῶν τεσσάρων συνόδων μιᾶι καὶ τῆι αὐτῆι πίστει ἀμώμως διατελοῦντας τοῖς σοφίσμασι τῆς οὕτω πονηρᾶς αὐτῶν πανουργίας ἐπεχείρησε διελεῖν, ὥστε ἡμᾶς τοὺς ἐν μιᾶι πίστει ὁμόφρονας γεγονότας καὶ ὄντας,
2 καταφρονήσαντας τῆς ἀδελφικῆς ἀγάπης, εἰς διχόνοιαν ἀπαχθῆναι. ἀλλ' ἐπειδὴ Χριστὸς ὁ θεὸς ἡμῶν, ὅς ἐστι φῶς ἀληθινόν, ὃν σκότος οὐ καταλαμβάνει, πάσης συγχύσεως τῆς ἡμῶν διανοίας ἀποκινηθείσης πρὸς εἰρήνην τὴν οἰκουμενικὴν ἀνεκαλέσατο ἐκκλησίαν, οὕτως ὥστε τὰ ὀφείλοντα διατυπωθῆναι παρ' ἡμῶν ἀποκαλύπτοντος τοῦ κυρίου καὶ τῆς ἀληθείας ἀνιχνευθείσης σωτηριωδῶς πληρωθῆναι, διὰ τοῦτο γινωσκέτω ὑμῶν ἡ σύμπασα ἀδελφότης, ὅτι περ τὰς τέσσαρας συνόδους, τουτέστι τὴν ἐν Νικαίαι, τὴν ἐν Κωνσταντινουπόλει, τὴν ἐν Ἐφέσωι πρώτην καὶ τὴν ἐν Χαλκηδόνι, ἅμα τοῖς ἡμῶν ἀδελφοῖς ἐν πᾶσι καὶ δεχόμεθα καὶ θεοφιλεῖ διανοίαι προσκυνοῦμεν καὶ ὁμοψύχως φυλάττομεν καὶ, οἵτινες δήποτε ταῖς αὐταῖς ἁγίαις συνόδοις ἐν πᾶσι τοῖς ὑπ' αὐτῶν περὶ τῆς ἁγίας πίστεως ὁρισθεῖσιν οὐκ ἀκολουθοῦσι, τούτους ἀλλοτρίους τοῦ συλλόγου τῆς ἁγίας καὶ καθολικῆς

cf. Ioh. 1, 9
1 Ioh. 1, 5

Haec epistula Vigilii ad Eutychium ext. in codd. Parisino gr. 1115, fol. 36ᵘ—38ᵘ (Π) et Arundel. 529, fol. 87ʳ—91ʳ (A) et Athoo Iwiron 381, fol. 314ʳ—316ʳ (I).

Π A I

1 ἄλλοις ἅπασιν I 6 ἐλέει A 7 ἐλέει A 9 *inscr.* Βιγιλίου (υιγιλλίου Π) ἀρχιεπισκόπου ῥώμης πρὸς εὐτύχιον ἀρχιεπίσκοπον κωνσταντινουπόλεως καὶ πᾶσαν (*om.* Π) τὴν προκειμένην ἁγίαν σύνοδον ΠAI υιγίλλιος Π 16 τεσσάρων τούτων ΠA 21 τὴν οἰκουμένην ἀνεκαλέσατο καὶ ἐκκλησίαν Π 23 ἡ *addidit in marg.* A *om.* Π 25 καλχηδόνι AI ἅμα τοῖς] σὺν αὐτοῖς Π 27 εἴτινες A τὰς αὐτὰς ἁγίας συνόδους ΠA

3 ἐκκλησίας κρίνομεν. διὰ τοῦτο τὴν ὑμῶν ἀδελφότητα τὸ παρ' ἡμῶν γενόμενον εἰδέναι
βουλόμενοι τούτοις τοῖς γράμμασι κατάδηλον αὐτῇ ποιοῦμεν, ἐπειδὴ οὐδενὶ ἀμφίβολόν
ἐστιν, ὁπόσα κεκίνηται περὶ τῶν τριῶν κεφαλαίων, τουτέστι περὶ Θεοδώρου τοῦ ποτε
Μοψουεστίας ἐπισκόπου καὶ τῶν αὐτοῦ συγγραμμάτων, οὐ μὴν ἀλλὰ καὶ τῶν Θεο-
δωρήτου συγγραμμάτων καὶ τῆς ἐπιστολῆς τῆς λεγομένης παρὰ Ἴβα γεγράφθαι πρὸς M VIII 416
Μάριν τὸν Πέρσην, καὶ διάφορα περὶ τῶν αὐτῶν κεφαλαίων γεγένηταί τε καὶ γέγραπται· 6
4 καὶ διὰ τοῦτο εἴγε ἐν παντὶ πράγματι ὁ τῆς σοφίας λόγος ἀπαιτεῖ τὸ ζητηθὲν ἀναψηλαφᾶσ-
θαι καὶ οὐκ αἰδὼς εἶναι ὀφείλει, ὥστε τῇ σπουδῇ τῆς ἀληθείας τὸ παρὰ τὴν ἀρχὴν μὲν
παραλειφθέν, εὑρεθὲν δὲ μετὰ ταῦτα δημοσιευθῆναι, πόσωι γε μᾶλλον ταῖς ἐκκλησιαστικαῖς
ὑποθέσεσι τοῦτο ἁρμόζει φυλάττεσθαι; ὁπότε δῆλόν ἐστι τοὺς ἡμῶν πατέρας καὶ μάλιστα 10
τὸν μακαριώτατον Αὐγουστῖνον, τὸν ἐκλάμψαντα ἐν τοῖς θείοις λόγοις τῆς Ῥωμαϊκῆς
εὐγλωττίας διδάσκαλον, ἀναψηλαφῆσαί τε τοὺς οἰκείους λόγους καὶ διορθώσασθαι τὰ
αὐτῶι εἰρημένα καὶ τὰ παραλειφθέντα, μετὰ ταῦτα δὲ εὑρεθέντα προστεθεικέναι, καὶ
ἡμεῖς ὁμοίως τοῖς τοιούτοις ὑποδείγμασι προτραπέντες ἐν τῇ ὑποθέσει τῶν μνημονευ-
θέντων τριῶν κεφαλαίων οὐδέποτε ἀπέστημεν δι' ἐρεύνης γινόμενοι, τί περὶ τούτων τῶν 15
προειρημένων τριῶν κεφαλαίων ἐν τοῖς τῶν ἡμετέρων πατέρων γράμμασι δύνηται τὸ
5 ἀληθέστερον εὑρεθῆναι. ὅθεν φανερὸν γέγονε διὰ καθαρᾶς ἀληθείας ἐν τοῖς εἰρημένοις Θεοδώ-
ρου τοῦ Μοψουεστίας λόγοις τοῖς πανταχοῦ στηλιτευομένοις τὰ ἐναντία τῇ ὀρθῇ πίστει
καὶ ταῖς διδασκαλίαις τῶν ἁγίων πατέρων περιέχεσθαι, ἀμέλει τε καὶ οἱ ἅγιοι πατέρες κατ'
αὐτοῦ γράφοντες ἰδίους λόγους πρὸς διδασκαλίαν τῆς ἁγίας ἐκκλησίας καταλελοίπασι. 20
καὶ γὰρ ἐν ταῖς ἄλλαις αὐτοῦ βλασφημίαις φανερῶς αὐτὸν εἰρηκέναι εὑρίσκομεν ἄλλον
εἶναι τὸν θεὸν λόγον καὶ ἄλλον τὸν Χριστὸν ὑπὸ τῶν τῆς ψυχῆς παθῶν καὶ τῶν τῆς σαρκὸς
ἐπιθυμιῶν ἐνοχλούμενον καὶ τῶν χειρόνων κατὰ μικρὸν ἀφιστάμενον πρὸς τὰ κρείττονα
τῇ προκοπῇ τῶν ἔργων ἐληλυθέναι καὶ τῇ πολιτείαι ἄμωμον γενόμενον καὶ ὡς ψιλὸν
ἄνθρωπον βαπτισθῆναι ἐν ὀνόματι πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος καὶ διὰ τοῦ 25
βαπτίσματος τὴν χάριν τοῦ ἁγίου πνεύματος εἰληφέναι καὶ υἱοθεσίας ἠξιῶσθαι καὶ καθ'
ὁμοίωσιν βασιλικῆς εἰκόνος εἰς πρόσωπον τοῦ θεοῦ λόγου τὸν Χριστὸν προσκυνεῖσθαι
καὶ μετὰ τὴν ἀνάστασιν ἄτρεπτον ταῖς ἐννοίαις καὶ παντελῶς ἀναμάρτητον γεγενῆσθαι.
6 πρὸς τούτοις εἶπε τοιαύτην γεγενῆσθαι τὴν ἕνωσιν τοῦ θεοῦ λόγου πρὸς τὸν Χριστόν,
1 Cor. 6, 16 ὁποίαν ὁ ἀπόστολος εἶπε περὶ τοῦ ἀνδρὸς καὶ τῆς γυναικός· ἔσονται οἱ δύο εἰς σάρκα 30
Ioh. 20, 22 μίαν, καὶ ὅτι μετὰ τὴν ἀνάστασιν ἐμφυσήσας ὁ κύριος τοῖς μαθηταῖς καὶ εἰπών· λάβετε
7 πνεῦμα ἅγιον, οὐ δέδωκεν αὐτοῖς πνεῦμα ἅγιον. ὁμοίως καὶ τοῦτο ἐτόλμησεν εἰπεῖν ὅτι
τὴν ὁμολογίαν, ἣν Θωμᾶς ἐποιήσατο ψηλαφήσας τὰς χεῖρας καὶ τὴν πλευρὰν τοῦ κυρίου
Ioh. 20, 28 μετὰ τὴν ἀνάστασιν λέγων· ὁ κύριός μου καὶ ὁ θεός μου, μὴ εἰρῆσθαι ὑπὸ τοῦ Θωμᾶ
περὶ τοῦ Χριστοῦ, (οὐδὲ γὰρ λέγει Θεόδωρος θεὸν εἶναι τὸν Χριστόν), ἀλλὰ πρὸς τὰ 35
θαύματα τῆς ἀναστάσεως ἐκπλαγέντα τὸν Θωμᾶν δοξάσαι τὸν θεὸν καὶ ταῦτα εἰρηκέναι.
8 τὸ δὲ χεῖρον ἔτι μὴν καὶ ἐν τῇι ἑρμηνείαι, ἣν δῆθεν ἐν ταῖς πράξεσι τῶν ἀποστόλων ἔγραψεν,
ὁ αὐτὸς Θεόδωρος ὅμοιον ἐποιήσατο τὸν Χριστὸν Πλάτωνι καὶ Μανιχαίωι καὶ Ἐπικούρωι
καὶ Μαρκίωνι λέγων ὅτι, ὥσπερ ἕκαστος ἐκείνων ἐκ τοῦ οἰκείου οὗ εὕρατο δόγματος, τοὺς
ἰδίους μαθητὰς ἐκάλεσε Πλατωνικοὺς καὶ Μανιχαίους καὶ Ἐπικουρείους καὶ Μαρκιωνιστάς, M VIIII 417
τὸν αὐτὸν τρόπον καὶ ὁ Χριστὸς τὸ δόγμα εὑρηκὼς ἐξ αὐτοῦ τοὺς Χριστιανοὺς ἐκάλεσεν. 41

13 καὶ ἡμεῖς — 41 ἐκάλεσεν *ext. in Vigilii epist. adu. tria capitula 156—160 [ACO IV 2 p. 166, 21—45]* 21 ἄλλον — 41 ἐκάλεσεν *ext. in can. XII concilii quinti [Appendix III, p. 243, 1—22], Latine p.* 218, 15—219, 4.

Π A I

16 συγγράμμασι AI δύνηται τὸ] δύναιτο A 17 προειρημένοις AI 19 ἀμέλει τε] ἀμελειτοὶ Π ἀμέλη I ἀμέλει A (ἀμέλλη τοι *in marg.*) 24 τὴν προκοπὴν Π καὶ[1] *om.* I 28 ἐννοίαις I 34 ὑπὸ *om.* Π 39 οὗ *om.* ΠA ηὕρατο A 40 ἰδίους] οἰκείους Π ἐπικούρους ΠA

διὰ ταῦτα τοίνυν σύμπασα γινωσκέτω ἡ καθολικὴ ἐκκλησία δικαίως ἡμᾶς καὶ ἀνεπιλήπτως
9 πρὸς τὰ περιεχόμενα ταύτηι ἡμῶν τῆι διατυπώσει ἐληλυθέναι. ὅθεν κατακρίνομεν καὶ ἀναθεματίζομεν ὁμοίως τοῖς ἄλλοις πᾶσιν αἱρετικοῖς τοῖς κατακριθεῖσι καὶ ἀναθεματισθεῖσιν, ὡς φανερόν ἐστιν, ὑπὸ τῶν προειρημένων ἁγίων τεσσάρων συνόδων καὶ ὑπὸ τῆς καθολικῆς ἐκκλησίας καὶ Θεόδωρον τόν ποτε Μοψουεστίας ἐπίσκοπον καὶ τὰ τούτου ἀσεβῆ συγγράμματα, οὐδὲν ἧττον καὶ τὰ παρὰ Θεοδωρήτου συγγραφέντα κατὰ τῆς ὀρθῆς πίστεως καὶ κατὰ τῶν δώδεκα κεφαλαίων τοῦ ἐν ἁγίοις Κυρίλλου καὶ κατὰ τῆς ἐν Ἐφέσωι πρώτης συνόδου καὶ τὰ πρὸς ἐκδίκησιν Θεοδώρου καὶ Νεστορίου ὑπ' αὐτοῦ συγγραφέντα.
10 πρὸς τούτοις ἀναθεματίζομεν καὶ κατακρίνομεν τὴν ἐπιστολὴν τὴν πρὸς Μάριν τὸν Πέρσην τὸν αἱρετικὸν παρὰ Ἴβα γεγράφθαι λεγομένην, ἥτις τὸν θεὸν λόγον ἐκ τῆς ἁγίας θεοτόκου καὶ ἀειπαρθένου Μαρίας σαρκωθέντα ἄνθρωπον γεγενῆσθαι ἀπαρνεῖται, ψιλὸν δὲ ἄνθρωπον ἐξ αὐτῆς γεννηθῆναι λέγει, ὃν ναὸν προσαγορεύει, ὥστε ἐκ τούτου ἄλλον νοεῖσθαι τὸν θεὸν λόγον καὶ ἄλλον τὸν Χριστόν· καὶ τὸν ἅγιον δὲ Κύριλλον, τὸν τῆς ὀρθῆς πίστεως διδάσκαλόν τε καὶ κήρυκα, ὡς αἱρετικὸν καὶ ὅμοια Ἀπολιναρίου γράψαντα διαβάλλει καὶ καταγινώσκει τῆς ἐν Ἐφέσωι πρώτης συνόδου ὡς χωρὶς κρίσεώς τε καὶ ζητήσεως τὸν Νεστόριον κατακρινάσης καὶ τὰ δώδεκα κεφάλαια τοῦ ἐν ἁγίοις Κυρίλλου ἀσεβῆ καὶ ἐναντία τῆι ὀρθῆι πίστει ἀποκαλεῖ ἡ αὐτὴ ἐπιστολή, ἐκδικεῖ δὲ Θεόδωρον καὶ Νεστόριον καὶ τὰ ἀσεβῆ αὐτῶν δόγματα καὶ συγγράμματα. τὰ προειρημένα τοίνυν τρία ἀσεβῆ κεφάλαια ἀναθεματίζομεν καὶ κατακρίνομεν, τουτέστι τὸν ἀσεβῆ Θεόδωρον τὸν Μοψουεστίας μετὰ τῶν ἀσεβῶν αὐτοῦ συγγραμμάτων καὶ ἅπερ ἀσεβῶς Θεοδώρητος συνεγράψατο, καὶ τὴν ἐπιστολὴν τὴν λεγομένην παρὰ Ἴβα γεγράφθαι, ἤτινι αἱ εἰρημέναι ἀνωτέρω ἀθέμιτοι περιέχονται βλασφημίαι, καὶ τὸν ὄντινα δήποτε ταῦτα ἐν οἱῳδήποτε χρόνωι πιστεύοντα ὀφείλειν δεχθῆναι ἢ ἐκδικηθῆναι ἢ ἐπιχειροῦντά ποτε τὴν παροῦσαν κατάκρισιν ἀνατρέψαι,
11 τῶι ὁμοίωι ἀναθέματι ὑποβάλλομεν. τοὺς δέ, ὅσοι φυλάττοντες τὴν ὀρθὴν πίστιν τὴν ὑπὸ τῶν προειρημένων τεσσάρων συνόδων κηρυχθεῖσαν τὰ μνημονευθέντα τρία κεφάλαια κατέκριναν ἤγουν κατακρίνουσιν, ἀδελφοὺς καὶ συνιερεῖς ὁριζόμεθα. ἅτινα δήποτε εἴτε παρ' ἐμοῦ εἴτε παρ' ἄλλων πρὸς ἐκδίκησιν τῶν προειρημένων τριῶν κεφαλαίων γεγένηται, τῆι διατυπώσει τοῦ παρόντος ἡμῶν γράμματος καταργοῦμεν· πάσας γὰρ τὰς ἐμφερομένας ἀνωτέρω βλασφημίας ἀπέστω τῆς καθολικῆς ἐκκλησίας ἵνα τις εἴποι ὅτι αἱ προειρημέναι τέσσαρες σύνοδοι ἢ μία ἐξ αὐτῶν ἐδέξατο ἢ τοὺς τὰ ὅμοια φρονοῦντας καὶ ἀκολουθοῦντας· δηλοῦται ὄντως ὅτι περ ὑπὸ τῶν μνημονευθέντων ἁγίων πατέρων καὶ μάλιστα ὑπὸ τῆς ἁγίας ἐν Χαλκηδόνι συνόδου οὐδεὶς περὶ οὗ ὑποψία τις γέγονεν, ἐδέχθη, εἰ μὴ ὃς ἀπεβάλετο τὰς ἀνωτέρω ἐμπεριεχομένας βλασφημίας ἤγουν τὰ ὅμοια ταύταις ἢ τὴν αἵρεσιν περὶ ἧς ὕποπτος γέγονεν, ἢ τὰς βλασφημίας ἀπηρνήσατο καὶ κατέκρινε, περὶ ὧν ἐν ὑπονοίαι γέγονεν.

M VIIII 420 d. 8. m. Decemb. a. 553

Ὁ θεός σε ὑγιῆ διαφυλάττοι, ἀδελφὲ τιμιώτατε.

Ἐδόθη τῆι πρὸ ἓξ εἰδῶν Δεκεμβρίων βασιλείας τοῦ δεσπότου ἡμῶν Ἰουστινιανοῦ τοῦ αἰωνίου αὐγούστου ἔτους εἰκοστοῦ ἑβδόμου μετὰ τὴν ὑπατείαν Βασιλείου τοῦ λαμπροτάτου ἔτους δωδεκάτου.

1—8; 9—18; 18—35 *ext. in Vigilii epist. adu. tria capitula 164; 149; 165/6 [ACO IV 2 p. 167, 25—34; p. 165, 15—24; p. 168, 3—18]* 9—18 *cf. can. XIV, p. 244, 7—16.*

Π A l

4 ὡς] ὥστε ΠA ὑπὸ[1]] ἀπὸ ΠA προειρημένων *om.* l τεσσάρων] $\overline{δ}$ l ὑπὸ[2]] ἀπὸ ΠA 7 δώδεκα] $\overline{ιβ}$ l 13 τὸν[3] *om.* ΠA 14 ἀπολιναρίωι l 16 δώδεκα] $\overline{ιβ}$ l 22 ταῦτα] τὰ ΠA 25 ὑπὸ] ἀπὸ ΠA τεσσάρων] $\overline{δ}$ l 27 εἰρημένων Al 30 τέσσαρες] $\overline{δ}$ l 31 ὄντος l ὑπὸ] ἀπὸ ΠA 32 ὑπὸ] ἀπὸ ΠA 35 ὑπογραφή *in marg.* ΠA 38 εἰκοστοεβδόμου Π ὑπατίαν ΠA βελισαρίου l 39 δωδεκάτου] $\overline{ιc}$ A *post* δωδεκάτου *adnot.* ΠA: τέλος βιβλίου ἢ τῆς ἁγίας συνόδου τῆς ἐν κωνσταντινουπόλει συναχθείσης· χριστὲ ὁ θεός, δόξα σοι· ἀμήν.

V CANONES XV (CONTRA ORIGENEM SIVE ORIGENISTAS)

Τῶν ἁγίων ρξε πατέρων τῆς ἐν Κωνσταντινουπόλει ἁγίας πέμπτης συνόδου κανόνες δεκαπέντε M VIIII 396

1 Εἴ τις τὴν μυθώδη προϋπαρξιν τῶν ψυχῶν καὶ τὴν ταύτηι ἑπομένην τερατώδη ἀποκατάστασιν πρεσβεύει, ἀνάθεμα ἔστω.

2 Εἴ τις λέγει πάντων τῶν λογικῶν τὴν παραγωγὴν νόας ἀσωμάτους καὶ ἀΰλους γεγονέναι δίχα παντὸς ἀριθμοῦ καὶ ὀνόματος, ὡς ἑνάδα πάντων τούτων γενέσθαι τῆι ταυτότητι τῆς οὐσίας καὶ δυνάμεως καὶ ἐνεργείας καὶ τῆι πρὸς τὸν θεὸν λόγον ἑνώσει τε καὶ γνώσει· κόρον δὲ αὐτοὺς λαβεῖν τῆς θείας θεωρίας καὶ πρὸς τὸ χεῖρον τραπῆναι κατὰ τὴν ἑκάστου ἀναλογίαν τῆς ἐπὶ τοῦτο ροπῆς καὶ εἰληφέναι σώματα λεπτομερέστερα ἢ παχύτερα καὶ ὄνομα κληρώσασθαι διὰ τὸ ὡς ὀνομάτων οὕτω καὶ σωμάτων διαφορὰς εἶναι τῶν ἄνω δυνάμεων· καὶ ἐντεῦθεν τοὺς μὲν χερουβίμ, τοὺς δὲ σεραφίμ, τοὺς δὲ ἀρχὰς καὶ ἐξουσίας ἢ κυριότητας ἢ θρόνους καὶ ἀγγέλους καὶ ὅσα ἐστὶν οὐράνια τάγματα γεγονέναι τε καὶ ὀνομασθῆναι, ἀνάθεμα ἔστω.

sermonem protulit, non illum unigenitum dei filium secundum quod intellegitur et est
deus, passum in propria natura ea quæ sunt corporis, confitendo, sed magis passum
eum natura terrena', aperte etiam hic duas naturas docuit subsistentes, et terrenam
M 828 56 passibilem et deitatis inpassibilem; sed et in fine epistolæ suæ illud quod ait: 'quid I. c. p. 145d
enim est humana natura nisi caro animata sensibiliter? sed et passum carne dicimus
dominum'. ecce in ipsa quæ a uobis prolata est epistola, licet falsata est, non totiens
f. 67u de una natura | quantum de duabus naturis fidei rectæ tribuit aduocationem non solum
L 1774 post unitionem, quæ in uirginis facta uulua est, sed et post passionem et resurrectio-
nem magni dei saluatoris nostri Iesu Christi, qui post resurrectionem ostendit perfora-
tas inmaculatas manus suas et transfixos pedes suos sanctis discipulis suis, ostendens se
57 uiuum eis et unum esse in una persona et in duabus naturis. quod enim dicit: u i d e t e Luc. 24, 39
m a n u s m e a s e t p e d e s m e o s, q u o n i a m e g o i p s e s u m, unam eius
personam ostendit incarnatæ deitatis; quod autem addidit: p e r t r a c t a t e e t
u i d e t e q u o n i a m s p i r i t u s c a r n e m e t o s s a n o n h a b e t, s i c u t
m e u i d e t i s h a b e n t e m, diuersitatem ostendit in semet ipso duarum naturarum,
tam adsumentis deitatis quam adsumptæ humanitatis magni dei saluatoris nostri Iesu
58 Christi. in tantum autem afuit beatus Cyrillus a contradictione orthodoxæ duarum
naturam confessionis, ut etiam confirmatores huiuscemodi confessionis, Gregorium
Nanzanzenum et Gregorium Nyssenum et Ambrosium Mediolani protulit in sæpe dicto
59 Efesiaco sancto concilio ac ueluti sibi eos aduocans produxit. quorum prior his
uerbis dixit: [beati Gregorii Nanzanzeni episcopi] 'naturæ quidem duæ, deus et homo, L III 515b =
nam et anima et caro; filii autem non duo neque dei. nec enim hic duo homines, M IIII 1192d
etsi ita Paulus tam interiorem quam exteriorem hominem appellauit, et si licet breuiter 2 Cor. 4, 16
dicere, aliud quidem et aliud, ex quibus saluator, si reuera non est idem uisibile et in-
f. 68r 60 uisibile, et temporale et sine tempore. non autem alter et alter: absit.' | item beatum L III 515c =
Gregorium Nyssenum protulit dicentem:' quid humilius in deo quam forma seruilis? M IIII 1193c
aut quid humilius in rege omnium quam in communionem nostræ exiguæ naturæ propria
61 uoluntate descendere'? per beatum autem Ambrosium in eodem duas naturas esse L III 514 =
ita adprobauit dicens: 'custodiamus diuersitatem carnis et diuinitatis. unus enim M IIII 1192a
dei filius in utroque loquitur, quia utraque natura in eo est. attende in ipso nunc
quidem gloriam dei, nunc uero hominis passiones. sicut deus, docet diuina, quo-
niam uerbum est; sicut homo, loquitur humana, quoniam in mea loquitur natura.'
62 hæc testimonia ad confirmationem rectæ et inlibatæ fidei suæ in Efesiaco concilio pro-
63 tulit, et sicut rectæ fidei ea sanctum illud concilium confirmauit. quanticumque
ergo sermones sub nomine eius prolati istis consentiunt, tamquam sancti Cyrilli sus-
cipimus; quanti uero his aduersantur, aut non sunt illius aut certe falsati sunt, etiamsi

33—36 *est Latina uersio uersionis Graecae*

8—10 *locus iste a fine epistulae Graecae satis longe abesse uidetur; at uersio latina quae extat in Synodico Casinensi* [*nr. 215*], *epistulam terminat haud multo post hunc locum in sententia* igitur non simpliciter proferunt uerba, sed cum quodam dolo atque insidiis malignis = p. 146a ὥστε οὐχ ἁπλῶς τὰς λέξεις προφέρουσιν, ἀλλά μετά τινος δόλου καὶ κακουργίας 21 affuit *P* 25 beati — episcopi *nota marginalis* 28/9 uisibilem et inuisibilem *P* 29 a beatum *P* a *in* ad *corr.* 31/32 re]ge — beatum *in ras. P* 31 communionem *Schw ex Graeco* communem *P* 39 eius *superscr. P*

concedamus illius esse. ideo neque condemnamus talem patrem, sed nec ad præiudicium rectæ fidei conlaudamus quæ ex persona eius proferuntur diuersa latrantes epistolæ.

64 Contradicentes: »Concilia pro unitate [sanctorum] sanctarum ecclesiarum in diuinis diptycis intexta sunt aut pro maiori diuisione?« episcopus: Quid autem? et ante- 6
quam nominatim insererentur, numquid in omnibus ecclesiis quæ sub cælo sunt, non M 829
65 recitabantur? contradicentes: »Quomodo recitabantur qui nec nominabantur?« episcopus: »Etsi nominatim concilia ipsa non recitabantur, tamen in propriis regionibus et ciuitatibus singuli quique | adnotabantur. si ergo in propriis ciuitatibus unusquis- f. 68ᵘ
que, in quocumque subscripsit concilio, recitabatur, quanto magis rationabilius erat eos 10
qui cum labore et sudore in unum conuenerunt aduersus hæreticos et deo placitum L 1775
prœlium susceperunt et bonam illam uictoriam per gratiam dei uicerunt, uno consensu inseri in gloriam dei et laudem certantium, ad maiorem adhortationem eorum qui post
66 certaturi sunt?« contradicentes: »Sicut prius recitabantur, neminem scandalizabant; nunc autem plurimos scandalizant.« episcopus: »Si cœperimus per singulos 15
de his qui scandalizantur hæreticis concilia auferre, inueniemur fidem nostram denegantes. Arriani enim scandalizantur in Nicæno concilio, Macedoniani in Constantinopolitano, Nestoriani in Efeseno, Eutychianistæ in Chalcedonensi; si ergo illos uo-
67 luerimus placare, deum offendemus, fidem nostram denegantes. nam et uos quanta per singula tempora innouastis, imperatores, qui a uobis persuaderentur, indepti, sicut 20
encyclia Basilisci aduersus orthodoxam fidem et enoticum Zenonis et trisagii nouitatem et alia multa huiuscemodi, quæ ad euersionem fidei facta sunt et orthodoxos non sine causa scandalizant. hæc enim nullum fidelium scandalizant; si autem infideles hæretici scandalizantur, ⟨scandalizentur;⟩ nec enim ex hoc conscientia nostra pertur-
68 batur.« contradicentes: »Ibas ergo et Theodoritus sicut rectæ fidei suscepti sunt 25
a synodo et sicut rectæ fidei in diuinis diptycis recitantur?« episcopus: »Vtrique Nestorium anathematizantes suscepti sunt in sancto concilio.« con|tradicentes: f. 69ʳ
»In tantum per dolum anathematizauit Theodoritus, quia postquam ex necessitate
L IIII 622ᶜ = M VII 189ᵇ 69 anathematizauit, discedens dixit eis: Valete.« episcopus: »Quid ergo? quoniam Eusebius Nicomedenæ et Theognius Nicænæ et alii quidam cum ipsis et in ipso Nicæno 30
sancto concilio ficte subscripserunt et post hæc aperte Arrium secuti ecclesiam deuastarunt et sanctos patres nostros Eustathium Antiochiæ, Athanasium Alexandriæ et Paulum Constantinopolitanum fugauerunt, propter illos nec Nicænum sanctum concilium debe-
70 mus suscipere aut in diuinis id diptycis non recitare? absit; nos autem non tamquam Theodoritum defendentes, uel ea quæ præcesserunt, diximus, uel quæ sequentur, dicemus, 35
sed ueritatem et sanctum concilium quod eum iuste suscepit. uolens enim satisfacere quemadmodum saperet, nec tamen permissus [est] propter anticipatos quosdam atque in eo scandalizatos, postquam uidit non suscipi satisfactionem suam, anathematizans Nestorium et Eutychen addidit: 'Valete.' cur autem hoc ipsud dixerit
L IIII 622ᵃ = M VII 189ᵃ 'ualete', superius manifestauit dicens: 'quoniam nec sedem ambio nec pro episcopatu 40
sollicitus ueni, sed ut persuadeam quemammodum credo. propter quod anathematizo, sicut iubetis, et uale uobis facio.' unde neque sanctum concilium neque gloriosissimi M 830
iudices ad iniuriam hunc sermonem susceperunt, pro certo scientes quia antequam

---

2 latrantes *Schw* lacerantes *P* 4 scorum *del. Schw* 9 inter ciuitatibus *et* unusquisque *add.* singuli quique adnotabantur. si ergo in propriis ciuitatibus *P* 10 suscripsi *P* 15 per singulos = δι' ἑκάστους 16 inueniemur *Schw* inuenimus *P* 18 calchedonensi *P* 19 offendemus *Schw* offendimus *P* 20 indempti *P* 21 endodia *P* 24 hæretici *Schw* hæreticis *P* scandalizentur *suppl. Schw* 35 sequenter, r *ex* s *corr. P* 37 est *del. Schw*

sanctum istud concilium fieret, pacificatus esset beato Cyrillo, qui ab eo iniuriatus
71 est in contradictoriis libris duodecim capitulorum.« contradicentes: »Et unde hoc
f. 69u potestis ostendere?« | episcopus: »Ex ipsa quæ ad Ioannem et Orientales scripta
est epistola beati Cyrilli pro unitate ecclesiarum.« contradicentes: »Non habetis
L 1776 unde ostendere quia indulsit eis.« episcopus: »Nos ad omne Orientale concilium
epistolam ipsam scriptam inuenimus; ostendite autem uos quod in unitione hos ex
72 illa pacifica et coadunante epistola sua subtraxit. quid autem est amplius, uerbis
detrahere an per condemnationem inferre contumeliam? si ergo ipsi beato Iohanni
et omnibus qui cum eo fuerant in Efeso et per condemnationem eum iniuriantes, indul-
sit beatus Cyrillus, multo magis qui tantummodo uerbo in eo peccauerunt, indulgentiam
73 præstitit. sed et inuenimus in Theodoriti litteris quas ad Dioscorum fecit, quia et Theodoret. ep.
secundo in his quæ contra Nestorium scripta sunt, subscripserit, et quando contra 83 p. 1150 Schulze
Iulianum uel apopompæon conscripsit libros, ipsos destinauit in Antiochia beatus Cyrillus
et rogauit beatum Iohannem ostendere illos Orientalibus præclaris doctoribus, et quia
ostensis eis scripsit ei Theodoritus et rescripsit ei beatus Cyrillus, et diligentiam et
affectum eius testificans, et quia duas ab ipso suscepit affectiosas epistolas, quæ et
custodiuntur apud eum, nullam de eo contumeliam designantes. sed tamen et his
ita scriptis atque dictis, non aliter eum suscepit sanctum Chalcedonense concilium,
nisi clare sub conspectu omnium anathematizasset Nestorium et omnes definitiones
74 eius.« his autem ita de Theodorito dictis, contradicentes: »Et Ibas ergo iuste
susceptus est a Chalcedonensi concilio?« episcopus: »Ibæ et accusantium eum L IIII 626 sq. =
f. 70r iudicium ex imperiali auctoritate delegatum est Fotio episcopo Tyri | et Eustathio M VII 196 sq.
episcopo Beryti et Vranio Imerinæ ciuitatis episcopo; qui reuerentissimi uiri et nimium
horrentes Nestorii blasphemias, cum omni diligentia discutientes eum, inmunem et sine
culpa eum decreuerunt, sicut et acta ipsorum et relatio manifestat. quem ergo iudices
75 iustificauerunt, quemadmodum concilium poterat condemnare?« contradicentes: »Et
illa ergo quæ ad Marin Persam epistola eius scripta est, recte continet?« quæ et
prolata ab eis et relecta nobis est et inuenta est narrationem habens actorum inter L IIII 662 sq. =
beatum Cyrillum et nefandum Nestorium, eo quod quasi per istos duos homines omne M VII 241 sq.
sæculum conturbatum esset, Nestorio quidem ea quæ Paulus Samosatenus saperet,
adfirmante et propter hoc a beato Cyrillo in Efeseno concilio condemnato, Cyrillum
autem suspicantibus quasi cum Apollinario saperet in illis duodecim capitulis, et propter
hoc condemnato a Iohanne Antiochenæ ciuitatis episcopo et cum eo habito concilio;
et quia propter hanc causam cum inimicitia de Efeso discesserunt et propter illam
M 831 inimicitiam diuisæ sunt omnes ubique ecclesiæ et fideles populi, aliquantis quidem huic
parti consentientibus, aliis uero illi; et quia dum in his essent rebus, conpunxit deus
piissimum imperatorem Theodosium conuocare uirum reuerentissimum episcopum
Constantinopolitanæ ciuitatis Maximianum et eos qui tunc forte in eadem gloriosa
aderant ciuitate, hortarique et sollicitudinem habere uel cogitare de pace sanctarum

---

36—182, 3 *haec ipsa ab Iba non narrantur, sed addita sunt ad narrationem eius multo breuiorem explicandam, cf. constitutionem Theodosii* 11. Σκοπὸς ἡμῖν *L III 1082e = M V 280b*

---

6 unitionem *P* 9 *postulatur* iniuriauerant, *sed mala subesse potest uersio uerborum Graecorum* 12 subscripserit *Schw ex Graeco* scripserit *P* 13 apopompeos *P cf. textum Græcum* καὶ ἡνίκα δὲ τὰ κατὰ Ἰουλιανοῦ συγγράμματα εἰς τὴν Ἀντιόχειαν ἐκπέπομφεν, ὡσαύτως δὲ καὶ τὰ εἰς τὸν ἀποπομπαῖον [*L III 1130 = M V 328*] 15 ei *Labbaeus* eis *P* 21 calchedonense *P* 22 eustachio *P* 23 ciuitas *P* 24 omnia *P* 28 actorum *ex* auctorum *corr. P*

ecclesiarum, et post illam pacificam cogitationem destinauit piissimus imperator Aristolaum tribunum et notarium ob hoc ipsud; qui perueniens | tam in Antiochia quam f. 70ᵛ
in Alexandria utrasque partes miserante deo ad pacem perduxit. his ergo per episto- L 1777
76 lam declaratis, episcopus dixit: »Hæ litteræ etiam in uita beati Cyrilli diuulgatæ sunt,
et non solum quia non mouerunt eum propter factam pacem et unitatem propter deum,
L III 1175c = M V 372c sed et Valeriano scribens episcopo Iconii talia de ipsis satisfecit dicens: 'nam si epistolas
sibi componentes quidam circumferunt tamquam ex persona scriptas inlustrium uirorum,
non debent credi; qui enim semel scriptis fidem propriam confessi sunt, quemammodum
diuersa possunt scribere tamquam ex pænitentia ad non bene credendum traducti?'
77 sed tamen et beato Cyrillo ita pro eis testificante et recenseta præfata epistola in Chalce-
L IIII 678 sq. = M VII 265 sq. donensi sancto concilio, non tamen aliter præuidit suscipi eum propter suspiciones in
eadem epistola insertas, nisi et ipse Nestorium et omnia eius decreta anathematizasset;
et postquam anathematizauit, tunc susceptus est in sancto concilio. nec tamen de
his solis dico, sed et Nestorius et Eutyches simili modo, si proprias hæreses anathemati-
78 zassent, modis omnibus etiam illi suscepti fuissent a sanctis conciliis. Chalcedonense
ergo concilium circa Ibam et Theodoritum districtius agit quam beatus Cyrillus.
beatus enim Cyrillus contentus fuit in consensu damnationis Nestorii et ordinatione
beati Maximiani, qui pro illo in hac ciuitate factus episcopus est; Chalcedonense autem
sanctum concilium, nisi sub præsentia sua anathematizassent Nestorium et omnia
dogmata eius | et scriptis inter acta insertæ fuissent uoces eorum, non fuit contenta f. 71ʳ
suscipere eos.« in his ergo dictis, contradicentes: »De his quidem persuasum est
nobis.«

79 Et ita secundæ diei conuentu dissoluto et discedentibus nobis et multa testimonia
de duabus naturis præparantibus, piissimus atque amator dei imperator noster accer-
sito sanctissimo archiepiscopo patriarcha Epifanio, præcipiens etiam nos ingredi cum
ipso et postquam per confabulationem locutus ei quæ deus illi inspirauit, ipsum quidem
dimisit, secundum morem oratione facta pro eius pietate, nos autem una cum uenerando
80 senatu retinuit censuitque etiam contradicentes ingredi. quibus ingressis, ipsos
quidem præcepit in uno scamno sedere, nos autem in altero una cum gloriosissimis
iudicibus, et omnibus nobis tacentibus, pietas eius tanta ac talia ad eos locuta est cum
omni mansuetudine et tranquillitate, ut si alter mihi diceret ab eius pietate hæc dicta, M 832
uix crederem, nisi ipse auribus meis audissem quæ cum magna gratia dei ex benedicto
eius ore prolata sunt. nam Dauiticæ mansuetudinis et Mosaicæ patientiæ et aposto-
licæ clementiæ instar in eo conspexi. etsi enim non isdem sermonibus quibus beatus
Paulus, sed tamen eadem mente qua ille ad sanctam ecclesiam uestram scripsisset,
locutus est cum eis; de qua idem beatus Paulus sanctæ ecclesiæ uestræ, sicut dictum
1 Thess. 2, 7.8 est, scripsit dicens: q u i a f u i m u s i n m e d i o u e s t r u m t r a n q u i l l i , e t
t a m q u a m n u t r i x f o u e n s f i l i o s s u o s ; i t a c u m b o n a u o l u n | t a - f. 71ᵘ
t e f e s t i n a m u s t r a d e r e u o b i s n o n s o l u m e u a n g e l i u m d e i , s e d
e t p r o p r i a s a n i m a s ; p r o p t e r q u o d d i l e c t i n o b i s f a c t i e s t i s .
81 et ut ex paucis possitis conicere quæ multifarie multisque modis tam illo die ab eius
pietate ad eos dicta sunt, quam in reliquis confabulationibus, ⟨ex⟩ exemplaribus piæ L 1778

---

4 sq. *cf. Liberat. 9 p. 40* ex hac conclusione epistulae suae in qua dicit Cyrillus »si uero epistolas sibimet componentes quidam circumferunt« et cetera, probat Hypatius .... Cyrillum epistolae hic fecisse mentionem scriptæ ad Marim Persam 5 non solum quia *cf. p. 171, 5* 7 circumferunt *Baronius* circumfuerunt *P* 17 ordinationem *P* 18 calchedonensem *P* 20 contenta *sc.* ἡ σύνοδος 21 in — dictis = ἐπὶ τούτοις οὖν τοῖς λεγομένοις 25 patriarchæ *P* 26 postquam *superfluum traductoris additamentum* 27 demisit *P* 39 festinamus = εὐδοκοῦμεν *:interpres imperfectum non agnouit* 42 ex *suppl. Baronius*

eius epistolæ [quæ] cognoscetis, quæ scripta est ad Efremium uirum reuerentissimum Theopolitanæ ciuitatis archiepiscopum, ut per hoc appareat omnibus qui ab ipsis decepti sunt in Oriente. quæ præsenti subiungentes epistolæ, uestræ uenerationi transmisimus, ut per eam cognoscatis quanta dei gratia per benedictum os eius tam primo die quam reliquis locuta est ad eos.

82 Et postquam in nomine domini conlocuti sumus inuicem, accusare nos temptantes contradicentes ad piissimum imperatorem, secrete suggesserunt ei per quendam, tamquam non confitentibus nobis deum passum carne uel unum eum esse de sancta trinitate nec eiusdem esse personæ tam miracula quam passiones. ingresso itaque sanctissimo patriarcha in uenerando palatio ad piissimum imperatorem et domno uiro reuerentissimo archiepiscopo Ypatio cum eo, percontata est pietas eius ab ipsis, his uerbis:

83 »Non confitemini eiusdem personæ domini nostri esse Iesu Christi tam passiones quam miracula uel deum esse qui carne passus est, atque unum eum esse de trinitate?« re-

84 spondit idem reuerentissimus uir: »Nos, domine, magis autem mater uestra catholica et apostolica sancta dei ecclesia eiusdem personæ magni dei et saluatoris nostri Iesu Christi

f. 72r prædicat et passiones et miracu|la, non tamen eiusdem naturæ, sed sicut docuerunt sancti patres, 'passibilem carne, inpassibilem deitate, circumscriptum corpore, incircumscriptum spiritu, terrenum et cælestem, uisibilem et intellegibilem, ut integro homini eidem et deo integer homo cohæreat, qui ceciderat sub peccato', sicut beatus Gregorius Nanzanzenus docuit in epistola scripta ad Cledonium et utraque sancta concilia tam in Epheso aduersus Nestorium quam in Chalcedona aduersus Eutychen

Greg. Naz. ep. 1 ad Cledon. p. 85

85 et Nestorium congregata consenserunt et confirmauerunt. sed et deum carne passum ita rursus confitemur propter eos qui confundunt uel diuidunt, ut passibilem eum dicentes carne, inpassibilem confiteamur deitate, similiter et unum esse ex trinitate secundum diuinam naturam tam credentes quam confitentes, secundum carnem uero unum ex

M 833 nobis placuisse ei credimus fieri, et sicut consubstantialem patri secundum deitatem, ita nobis consubstantialem secundum humanitatem, et sicut perfectum in deitate, ita

86 perfectum et in humanitate. si autem illi aliter dicunt et præsumunt eum dicere, ut secundum carnem quidem ante sæcula sit, secundum deitatem uero in nouissimis diebus, uel creaturam eum esse secundum deitatem, non creatum autem secundum humanitatem, uel uisibilem et passibilem secundum deitatem, inuisibilem uero ⟨et inpassibilem⟩ secundum humanitatem, tunc calumnient nos tamquam frustra contrarios sibi.«

87 Post ⟨con⟩lationem ergo habitam cum Orientalibus episcopis ac nostræ tenuitatis

f. 72v uel piissimi nostri imperatoris, | rursus alia uice ingressis nobis in uenerabili palatio eius una cum domino meo archiepiscopo uel aliis qui cum eo conuenerant reuerentissimis episcopis, piissimus imperator exultans in uirtute dei et gaudens in salutari eius ac

Ps. 20, 2. 3

L 1779 lætus nimis, quia desiderium cordis eius secundum propheticam uocem præstiterat ei et uoluntate labiorum eius non priuauit eum, cœpit dicere ad nos, præsente uenerabili

88 senatu, quia »postquam locuti estis cum Orientalibus episcopis per duos dies, tertio die conuocatis tam uobis quam illis, antequam susciperem uos, ingressus sum in oratorio gloriosi archangeli Michaelis, quod est in choclio, et rogaui deum dicens quia 'si in ueritate uniri habent nobis, magis autem sanctæ ecclesiæ tuæ, conpunge eos uelociter consentire nobis; sin autem nolunt, præpedi eos, ut ex ipsis magis culpa nascatur et non

1 *haec Iustiniani epistula non extat* 8—9 *cf. constitutiones Iustiniani Cod. I 1, 5 et 6*

1 quæ *del. Schw* aeque *Baronius* eufremium *P* 17 carnem — deitatem *P* 24 deitatem *P* 31/32 et inpassibilem *suppl. Schw* 34 lationem *P* hac *P* 39 uoluntatem *P*

ex nobis.' et cognouistis quantis propositionibus rationabilibus et pacificis cum omni mansuetudine et patientia prolatis a nobis, uir reuerentissimus episcopus Filoxenus M 834 tantummodo persuasus est; ceterorum uero peruersitatem cordis deus aspiciens, conligauit linguas eorum, ut neque satisfactionem inuenirent neque ueritati consentirent,
89 ut ex ipsis fiat occasio auersionis eorum et non ex nobis.« et hæc quidem gratias agens deo dixit eius tranquillitas de eorum peruersitate; sed tamen et usque hactenus omni continentia et beneficio dignatus eos adtendere, non cessauit expectans propter deum conuersionem eorum ad bonum. quæ illum spes non | fefellit; nam etsi episcopi f. 73u usque hactenus in sua dissuasione permanserunt, sed tamen plurimi clericorum et monachorum qui cum his conuenerunt, ad sanctam communionem cum gaudio remea-
90 runt in ecclesiis suis ac monasteriis. ex quibus quidem lingua Syriatica per interpretes locuti sunt nobis, dicentes quia 'ab illis decepti, et nos euersi sumus et multas animas euertimus; dicebant enim nobis eo quod sanctus spiritus recessit ab ecclesiis et baptismate communione eorum, et ideo hæc audientes et ueluti ueracibus credentes, decepti sumus. sed gloria deo qui satisfecit nobis de errore eorum et uniuit nos catholicis et apostolicis sanctis ecclesiis suis; confidimus enim in bonitate eius quoniam dabit nobis uirtutem, ut eorum quos euertimus, pluriores iterum conuertamus ad sanctas ecclesias eius, in gloriam et laudem sancti nominis eius.'

7 dignatus *Schw* dignatur *P*

APPENDIX

I. PROCLI CONSTANTINOPOLITANI TOMVS AD ARMENIOS

II. IOHANNIS PAPAE II EPISTVLA AD AVIENVM CASSIODORIVM CETEROS

PROCLI CODICES

A = Codex Atheniensis Societatis archaeologicae Christianae 9 s. XIII

C = Codex Vindobonensis theol. gr. 40 s. XIII

O = Codex Bodleianus Auct. E 4 18 [misc. 61] s. XI

P = Codex Parisinus 1335 s. XIII

V = Codex Vaticanus 1431 s. XI

Δ = Versio latina Dionysii Exigui, cuius codices sunt

A = Codex Parisinus Bibliothecae Armamentarii 341 s. XIII

P = Codex Parisinus Bibliothecae Nationalis 16331 s. XIII

s = editio princeps Sichardi [Antidotum contra diuersas omnium fore saeculorum haereses. Basileae, excudebat Henricus Petrus mense Augusto MDXXVIII f. 178—181]

Σ = Versio syriaca [Anecdota syriaca ed. Land t. III p. 103—115]. uariam lectionem graece transtuli

S = Versio syriaca altera, quam ex cod. Mus. Brit. 14557 publicanit Bedjan in libro syriaco 'Nestorius, le livre d'Héraclide' Parisiis p. 596—615

IOHANNIS EPISTVLAE CODICES

M = Codex Montepessulanus 308 s. VIIII/X

A = Codex Parisinus Bibliothecae Armamentarii 351 s. XII

s = editio princeps Sichardi u. s.

Migne, PG 65, 856

1 Τοῖς θεοφιλεστάτοις καὶ θεοσεβεστάτοις ἐπισκόποις καὶ πρεσβυτέροις καὶ ἀρχιμανδρίταις τοῖς οὖσι κατὰ πᾶσαν τὴν Ἀρμενίαν τῆς ὀρθοδόξου ἁγίας ἐκκλησίας Πρόκλος ἐν κυρίῳ χαίρειν. Οὐ μετρίως, ἀδελφοί, συνέχεεν ἡμῶν τὴν ψυχὴν καὶ τὸν λογισμὸν τῇ τυράννῳ λύπῃ κατέτρωσεν ἡ φήμη τῶν νεαρῶν τῆς ἀπάτης ζιζανίων, ἅπερ ἔναγχος τῇ ὑμετέραι πανούργως ἐπέσπειρεν χώραι ὁ κοινὸς τῆς φύσεως ἐχθρός. πλήττειν γὰρ ἀφορήτως ἡ τῶν ἀπευκτῶν εἴωθεν ἀκοὴ τὴν μήπω προγυμνασθεῖσαν ἐν τῇ τοιαύτῃ μελέτῃ ψυχὴν καὶ τοσούτῳ πλέον χαλεπώτερον τοξεύει, κατὰ βάθους εἰσωθοῦσα τὰ βέλη, ὅσῳ τὸν κίνδυνον οὐ περὶ τὴν τοῦ σώματος ἵστησι παχύτητα, ἀλλὰ τὸ ἄυλον πολιορκεῖ, ταῖς φήμαις τὸ ἔντιμον τῆς πίστεως διαθρυλοῦσα ἢ ἐλεεινῶς διερρῆχθαι ἢ παντελῶς σεσυλῆσθαι ἱμάτιον.

2 πᾶσα μὲν γὰρ ἀρετὴ περισπούδαστος ὑπάρχει τοῖς τὸ λογικὸν μὴ ἀμαυρωθεῖσιν ὑπὸ τῆς ὕλης, πᾶσα δὲ κακία βδελυκτὴ οὐκ ἀπεικότως τοῖς εὖ φρονοῦσιν κρίνεται, οἷα δὴ κατ' ἐναντιότητα πολεμοῦσα τῇ φύσει τῶι παρὰ φύσιν. ὥσπερ γὰρ τὸ συμφέρον τοῖς αἱρουμένοις ἀναγκαίως περιμάχητον, οὕτως τὸ μὴ τοιοῦτον ἀλλ' ἀντικείμενον ἢ παρὸν ἀποβολῆς ἄξιον ἢ προσδοκώμενον τοῦ μὴ συμβῆναι φροντίδος οὐκ ἀλλότριον.

3 Ἀρετῆς μὲν οὖν εἴδη πολλά, διαφόρως δὲ ὡρίσαντο περὶ ταύτης οἵ τε ὑπὸ πλάνης ἀγχόμενοι Ἕλληνες καὶ τὸ ἀκριβὲς τῆς διακρίσεως ὑπὸ τῆς περὶ τὸ θεῖον ἀγνοίας ἐπισκοτούμενοι καὶ οἱ διὰ πίστεως τοὺς ὀφθαλμοὺς τῆς διανοίας πεφωτισμένοι Χριστιανοὶ καὶ πρὸς τὸν τῆς δικαιοσύνης ἥλιον τρανῶς διὰ τῆς ὁμολογίας ἀτενίζειν δυνάμενοι. οἱ μὲν γὰρ τοῖς οἰκείοις λογισμοῖς ὥσπερ ἐν σκότει προσπταίοντες καὶ ἀνηγεμόνευτον ἔχοντες ὑπὸ προλή-

---

Σ 1—3 Τοῖς—χαίρειν *om.* 3—9 Οὐ — ἱμάτιον] Τὸ τῆς ἀληθοῦς πίστεως μυστήριον, ἀγαπητοί, ἐστὶν ἀληθὴς ἀγάπη καὶ καθαρὰ ἄνευ διαταγμοῦ ὁμολογία τῆς ὁμοουσίου καὶ ἀδιαιρέτου καὶ προσθήκην οὐ δεχομένης τριάδος καὶ βεβαία διάνοια μὴ ἐφ' αἱρέσει [ܡܫܬܚܠܦ] μεταλλασσομένη ἐν τῇ εἰς θεὸν πίστει, ἣν τὴν πίστιν οὐκ ἐν πλαξὶν λιθίναις ὥσπερ ἐν τύπωι κρατοῦμεν, ἀλλ' ἐν πλαξὶν τῆς καρδίας ἡμῶν ὥσπερ ἐν μυστηρίωι φοροῦμεν [*cf. 2 Cor. 3, 3*] ταῖς προσηλωμέναις τῶι σταυρῶι καὶ τῶι τοῦ αἵματος τοῦ θεοῦ ῥαντισμῶι ἐσφραγισμέναις· οὐδὲ πιστεύειν μόνον προσήκει ἡμῖν, ἀλλὰ καὶ διώκειν τὰς ἀρετὰς καὶ πολιτείαν πίστεως ἀξίαν. 11—14 πᾶσα δὲ — ἀλλότριον *om.* 17—188, 8 καὶ οἱ διὰ — λογισμοῖς *om.*

Titulum præmittunt πρόκλου ἀρχιεπισκόπου κωνσταντινουπόλεως λόγος πρὸς ἀρμενίους περὶ πίστεως C ἐπιστολὴ πρόκλου τοῦ ἁγιωτάτου ἐπισκόπου κωνσταντινουπόλεως πρὸς ἀρμενίους περὶ πίστεως P Πρόκλου ἐπισκόπου κωνσταντινουπόλεως [κων|τινουπόλεωσ V] πρὸς ἀρμενίους περὶ πίστεως AV
1 θεοφιλεστάτοις καὶ θεοσεβεστάτοις ACPV εὐλαβεστάτοις καὶ θεοφιλεστάτοις συλλειτουργοῖσ OS
3 καὶ ACPV τὲ καὶ O τῇ ACPV καὶ τῇ O 4 κατέτρωσεν OACP καὶ τέτρωσεν V
5 ὑπέσπειρε C φύσεως ὡς O πλήττει V 6 ἀπευκταίων O μήπω ACPV μὴ O προσγυμνασθήσαν V τῇ ACPV *om.* O 7 βάθοσ C 8 τὸ ἄυλον ACPV τὴν ἄυλον ψυχὴν OS statum mentis Δ 11 τοῖς ACPV παρὰ τοῖς O 12 αἱρουμένοις ACPV ἐρρωμένοις O
14 τοῦ OS (si metuitur) ne (accidat) Δ τῶ AP το V *om.* C 15 ἀρετῆς ACPV ἀλλ' ἀρετὴν O
16 ἀγχόμενοι OACPVΣS quos . . exagitat Δ 17 τῆς πίστεως O πεφωτισμένως O
17/18 Χριστιανοὶ — τρανῶς *om.* O 19 ἀπὸ O

ψεως τὸν νοῦν, ἐπισφαλῶς ὁδεύουσι τοῖς λογισμοῖς, μόνην ἐν οἷς δογματίζουσιν ψηλαφῶντες τὴν ῥέουσαν καὶ ἄστατον τῶν ὁρωμένων φύσιν, τὸ δὲ τῆς ἀληθοῦς θεωρίας ὄμμα
4 ἢ ἀμβλυώττοντες ὑπὸ χρόνου ἢ πηρωθέντες ὑπὸ πλάνης. καὶ φασὶν ἀρετῆς τέτταρα εἴδη εἶναι, δικαιοσύνην φημὶ καὶ φρόνησιν σωφροσύνην τε καὶ ἀνδρίαν· ἅπερ εἰ καὶ καλὰ δοκεῖ 857
τυγχάνειν, χθαμαλά τε ἕρπει καὶ περὶ γῆν νήχεται καὶ κατώτερα τῆς τοῦ οὐρανοῦ τυγχάνει 5
ἀψῖδος. ἀνδρίαν γὰρ φήσαντες τὴν πρὸς τὴν ὕλην πάλην καὶ σωφροσύνην τὸ κατὰ τῶν παθῶν κράτος καὶ φρόνησιν τὴν ἐν ταῖς πολιτείαις ἀριστοκρατίαν καὶ δικαιοσύνην τὴν ἀρίστην τοῦ ἴσου μερίδα, τῶι βίωι, ὡς γε ἐνόμισαν, τάξιν ἐνομοθέτησαν, χαλινώσαντες τῶι ὄρωι τὴν ἐφ' ἑκάτερα τοῦ πλείονος ἀμετρίαν· ὑψηλὸν δὲ καὶ τῆς παρούσης λήξεως κρεῖττον οὐδὲ νοῆσαι οὐδὲ ἐκθέσθαι τι ἠδυνήθησαν, ἀλλὰ τῶι ἀσυνέτωι τῆς πεπωρωμένης 10
καρδίας βιασάμενοι, τό γε ἐπ' αὐτοῖς, τὴν ἀρετήν, τοῖς ὁρωμένοις αὐτὴν περιέκλεισαν μόνον,
5 μηδὲν συγχωρήσαντες αὐτὴν ἔχειν ὑψηλόν τε καὶ τῆς τῶν οὐρανῶν εὐκοσμίας ἐφάμιλλον. οἱ δέ γε πεφωτισμένοι διὰ πίστεως τοὺς ὀφθαλμοὺς τῆς καρδίας, ὧν καθηγητὴς καὶ διδάσκαλος ὁ μακάριος ὑπάρχει Παῦλος, ἀρετὴν ὡρίσαντο τὴν πρὸς τὸν θεὸν ἀναπτεροῦσαν καὶ τὰ περὶ γῆν ἐν τάξει
6 πηδαλιουχοῦσαν. τοιγαροῦν αὐτὸς οὗτος ὁ ἐν πᾶσιν ἀοίδιμος πολλὰ μὲν ἀπηρίθμησεν 15
1 Cor. 13, 3 ἀρετῆς εἴδη, τρία δὲ ταῦτα ἐξαίρετα ἀνεβόησεν, πίστιν, ἐλπίδα καὶ ἀγάπην· ὧν ἡ μὲν πίστις χαρίζεται τοῖς ἀνθρώποις τὰ ὑπὲρ φύσιν, τοῖς νοητοῖς ἤδη καταμιγνῦσα τὸν ἔτι φοροῦντα τὸ πολυπαθὲς τῆς ὕλης ἱμάτιον. ἃ γὰρ ἡ τῶν ἀγγέλων καὶ τῶν λοιπῶν ἀσάρκων δυνάμεων ἠγνόησεν διὰ μέγεθος φύσις, τούτων τοῖς χαμαὶ βαδίζουσιν καὶ ἐπὶ γῆς καλινδουμένοις ἀνθρώποις τὴν ἐπιστήμην χαρίζεται ἡ πίστις, προσάγουσά τε τῶι βασι- 20
λικῶι καὶ ἀσχηματίστωι θρόνωι καὶ ἀκριβῆ τὴν ἔλλαμψιν ἐνιεῖσα τῆς ἀνάρχου καὶ ἀκτίστου φύσεως
τῆι τε οἰκείαι ἀστραπῆι τὴν ἀχλὺν τῶν αἰσθήσεων ἀπελαύνουσα καὶ εἴ τι παχὺ καὶ νεφῶδες τῶν τῆιδε, τοῦ νοῦ ἀποψήσασα, ποιεῖ τρανῶς ἐκεῖνα ὁρᾶν, ἃ τῶι μὴ φθάνεσθαι ὁρᾶται καὶ
7 τῶι ἀπροσίτωι καταλαμβάνεται. ἡ δὲ ἐλπὶς οὐκ ὀνειροπολεῖν ἀξιοῖ, ὡς ἄν τις εἴποι, ἀλλὰ γενναίως κρατεῖν ἐν τοῖς παροῦσι παρασκευάζει τὰ μέλλοντα, τῆς ἀναμφιβόλου πλη- 25
ροφορίας τὸ μήπω παρὸν τῶι χρόνωι, ὡς ἐνεστὸς ἤδη, τῶι λογισμῶι ἐγχειριζούσης καὶ σχεδὸν τὰ προσδοκώμενα ὑπ' ὄψιν ἀγούσης. ὑπερβᾶσα γὰρ ἡ ἐλπὶς τὰ ἐμποδὼν κωλύματα, συνάπτει τὸ ποθοῦν πρὸς τὸ ἐρώμενον, τὸ παραρρέον τοῦ χρόνου τῆι τοῦ μέλλοντος
8 σχέσει νικῶσα. ἡ δὲ ἀγάπη τοῦ καθ' ἡμᾶς μυστηρίου ἐστὶ τὸ κεφάλαιον· αὕτη γὰρ τὸν θεὸν λόγον, ἐπὶ γῆς ἀεὶ παρόντα, ἐλθεῖν διὰ σαρκὸς ἐδυσώπησεν. ἑκάτερα τοίνυν 30
ἀλλήλαις συμβαίνει· ἡ μὲν γὰρ πίστις ἔσοπτρόν ἐστιν ἀγάπης, ἡ δὲ ἀγάπη βεβαίωσις ὑπάρχει πίστεως. πιστεύομεν ὅτι ὁ θεὸς λόγος ἀπαθῶς ἐσαρκώθη, καὶ εὐσεβῶς πιστεύομεν· αὕτη γὰρ τῆς ἡμετέρας σωτηρίας ἡ κρηπίς· ἀλλὰ καὶ ἀγαπῶμεν τὸν δι' ἡμᾶς τὴν τοῦ δού-
Phil. 2, 7 λου μορφὴν λαβόντα μήτε φύσεως τροπὴν ὑπομείναντα μήτε προσθήκην τῆι τριάδι ἐργασάμενον.

Σ 5/6 καὶ κατώτερα — ἀψῖδος *om.* 6 ὕλην] ὠμὴν φύσιν [= S] 12 μηδὲν — ἐφάμιλλον *om.* 28/29 τὸ παραρρέον — νικῶσα *om.* 30 *post* παρόντα *add.* καὶ παντὶ πλησίον καὶ μετὰ παντὸς ὄντα καὶ τὸν οὐρανὸν καὶ τὴν γῆν πληροῦντα *post* ἐδυσώπησεν *add.* καὶ θεὸς ὢν ἐγένετο καὶ ἄνθρωπος τηρῶν τὸ οἰκεῖον δι' ἑαυτὸν καὶ ὢν ὡς ἡμεῖς δι' ἡμᾶς 32 ἀτρέπτως 33/34 ἀλλὰ — λαβόντα *om.*

1 λογισμοῖς ACPVΔ λόγοις OS μόνην ACPV μόνον O οἷς ACPVΔ τοῖς O 2 ὄμμα OAC, V^{m} m. 2 ὄνομα PV^{1} 3 πλάνης OSΔ πλάνης ἀπώλεσαν ACPV τέτταρα εἴδη ACP τέττερα εἴδη V εἴδη τέτταρα O 5 γῆν OACV τὴν γῆν P 6 ὕλην OACPV rebus aduersis Δ 9 λήξεως OΔ λέξεως ACPV 12 αὐτὴν OΔ *om.* ACPV εὐκοσμίας OAPV βασιλείας C 14 τὸν ACPV *om.* O γῆν ἐν τάξει ACPV τὴν σύνταξιν O 15 αὐτὸς ACPV *om.* O 16 πίστιν ACPV πίστιν καὶ O 17 νοητοῖς ACPV ΣS inuisibilibus Δ ἀθανάτοις O 18 καὶ ACPV καὶ ἡ O 19 ἠγνώησε δυνάμεων P 20 καλινδουμένοις O κυλινδουμένοις ACPV 21 ἐνιεῖσα ACPV ἐνθεῖσα O 23 ἀποψήσασα OΔΣS ἀποστήσασα ACPV ποιεῖ OACPΣS ποιεῖ γὰρ V 24 ἀξιοῖ ὡς Δ ἀξίως ὡς ACPV ἀξίως O 24/25 εἴποι — παροῦσι *om.* P 25 κρατεῖν ACV τὸ κρατεῖν O παρασκευάζει ACV κατασκευάζει O σκευάζη P 26 τῶν λογισμῶν O 28 ὁριμενον Δ 29 αὕτη OCP αὐτὴ A αὐτῆ V 31 ἀλλήλοις O μὲν *om.* O 32 ὁ *om.* O 34 λαβόντα OΔ λαβόντα καὶ ACPV

860 9 Πᾶς τοίνυν Χριστιανὸς ὁ μὴ πλουτῶν πίστει καὶ ἐλπίδι καὶ ἀγάπηι οὐκ ἔστιν ὃ λέγεται, ἀλλ' εἰ καὶ δοκεῖ πολλάκις δουλαγωγεῖν τὸ σῶμα καὶ τῶν τῆς ψυχῆς παθῶν ἐλευθεριάζειν, τὴν ἠθικὴν μόνην ἀρετὴν κατορθώσας, τῶν τῆς νίκης στεφάνων οὐκ ἀξιοῦται, οἷα δὴ πρὸς ἐκεῖνον τῆι θεολογίαι μὴ φθάσας τὸν βραβευτὴν ὄντα τῶν στεφάνων τοῖς ὑπὲρ ἀρετῆς γενναίως ἀθλήσασιν. πίστις τοίνυν, καθὰ προέφην, πάντων τῶν ἀγαθῶν ὑπάρχουσα κεφάλαιον, φυλαττέσθω ἀνόθευτος, μηδὲν κίβδηλον ἐπαγομένη ἐκ λογισμῶν ἀνθρωπίνων μηδὲ μὴν βεβήλοις κενοφωνίαις ἐπιθολουμένη, ἀλλ' εἴσω τῶν εὐαγγελικῶν τε καὶ ἀποστολικῶν μένουσα ὅρων, μηδενὸς τολμῶντος παρεγχειρεῖν τῆι δι' ἧς ἐσώθημεν καὶ 10 ἣν ἐν τῶι βαπτίσματι τῆι γλώττηι ἐχειρογραφήσαμεν. ἀποπέμπεται γὰρ τὸ ὕψος τῆς πίστεως πᾶσαν ἔφοδον θράσους καὶ τόλμαν, οὐ μόνον ἀνθρωπίνην, ἀλλὰ καὶ ὑπὸ φύσεως ἀσάρκου κορυφουμένην, τοῦ μακαρίου Παύλου βοῶντος· ἐὰν ἡμεῖς ἢ ἄγγελος ἐξ οὐ- Gal. 1, 8 ρανῶν εὐαγγελίσηται ὑμῖν παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. λειτουργεῖν γὰρ ἄγγελος ἐτάχθη, οὐ δογματίζειν, καὶ ἐπισφαλὲς τυγχάνει τὸ μὴ ἕκαστον ἐν οἷς ἐτάχθη, ἐμμένειν, ἀλλ' ἐπιχειρεῖν τοῖς ὑπὲρ φύσιν· ὥστε εἰ καὶ τὸ τῆς φύσεως ὁ τολμῶν ἐπάγοιτο 11 ἀξιόπιστον, ἀπαράδεκτος ἔστω ἡ καινοτομία τοῦ κηρύγματος. φυλάξωμεν τοίνυν ἀνυστάκτως ὃ παρελάβομεν, ἀμετεώριστον ἀεὶ ἐπὶ τῶι θησαυρῶι τῆς πίστεως τὸ τῆς ψυχῆς διανοίγοντες ὄμμα. τί δὲ ἐκ τῶν γραφῶν παρελάβομεν ἢ πάντως τοῦτο; ὅτι ὁ θεὸς ἐδημιούργησεν λόγωι τὸν κόσμον καὶ παρήγαγεν οὐ πρότερον οὖσαν τὴν κτίσιν, ὅτι νόμωι φυσικῶι τὸ λογικὸν ἐτίμησε ζῶιον, ὅτι δέδωκεν ἐντολὴν τῶι αὐτεξουσίωι ὑποδεικνὺς τὸ συμφέρον, ἵνα φύγηι τῆι καλλίστηι αἱρέσει τὸ βλάπτον, καὶ ὅτι ἡ ἐθελούσιος πρὸς τὸ χεῖρον τοῦ ἀνθρώπου ὁρμὴ ἐξόριστον ἐποίησε τὸν ἀπειθῆ τοῦ παραδείσου, ὅτι διὰ πατέρων καὶ πατριαρχῶν καὶ νόμου καὶ κριτῶν καὶ προφητῶν ἐπαίδευσεν ὁ πλάστης τὴν φύσιν κατα- 12 φρονεῖν μὲν τοῦ ἁμαρτάνειν, φροντίζειν δὲ τοῦ δικαιοπραγεῖν· ὅτι τέλος, ὡς ἐπεκράτει βουλομένων ἡμῶν ἡ ἁμαρτία, ὁ δὲ διάβολος δίκην τοῦ πλημμελεῖν ἀπήιτει τὴν τῆς φύσεως πανωλεθρίαν, οἷα δὴ καὶ τοῦ φυσικοῦ νόμου ἀμαυρωθέντος καὶ τοῦ γραπτοῦ φαυλισθέντος καὶ τῶν προφητῶν ὡς ἀνθρώπων ὑπομνησάντων τοῦ πρακτέου, ἀλλ' οὐκ ἐξαρπασάντων τοῦ χείρονος, αὐτὸς ὁ θεὸς ὁ ἀσχημάτιστος καὶ ἄναρχος καὶ ἀπερίγραπτος καὶ παντοδύναμος λόγος ἐλθὼν ἐσαρκώθη (τὸ γὰρ δυνατὸν παρῆν αὐτῶι βουλομένωι) καὶ λαβὼν τὴν τοῦ δούλου μορφήν, ἐγένετο σὰρξ καὶ ἐτέχθη ἐκ παρθένου, πανταχοῦ βουλόμενος δεῖξαι ὅτι κατὰ ἀλήθειαν γέγονεν ἄνθρωπος. ἀναγκαίως γὰρ τῆι φύσει παρέπονται αἱ ἀρχαὶ καὶ τὰ σχήματα καὶ τὰ πάθη. οὐδὲ γὰρ λέγει ὁ εὐαγγελιστὴς ὅτι εἰσῆλθεν εἰς τέλειον ἄνθρω- 861 πον, ἀλλ' ἐγένετο σάρξ, ἐπ' αὐτὴν τὴν καταβολὴν τῆς φύσεως φθάσας καὶ εἰς τὴν Ioh. 1, 14 13 ἀρχὴν τῆς γενέσεως ἀναδραμών. ὥσπερ γὰρ ὁ τικτόμενος κατὰ φύσιν ἄνθρωπος οὐκ εὐθὺ τέλειος ταῖς ἐνεργείαις πρόεισιν, ἀλλ' αὐτὴ ἡ καταβολὴ τῆς φύσεως πρῶτον γίνεται σάρξ, εἶτα τῶι χρόνωι κατὰ μικρὸν προσλαμβάνει τὰς πρὸς ἀπαρτισμὸν τῶν αἰσθήσεών τε καὶ ἐνεργειῶν συντελούσας δυνάμεις, οὕτως ὁ θεὸς λόγος ἐπ' αὐτὴν τὴν ἀρχὴν καὶ

Σ 7 *post* ἐπιθολουμένη *add* μηδ' ἐξηγήσει τῶν δοκησισόφων διότι ἀνεξήγητος ἡ πίστις. μυστήριον ἡ πίστις 18 *post* ὅτι *add* κατ' εἰκόνα καὶ ὁμοίωσιν αὐτοῦ ἐποίησε τὸν ἄνθρωπον καὶ 24/25 ὁ δὲ — πανωλεθρίαν *om.* 29 *post* σάρξ *add* εἷς ὢν τῆς τριάδος 30 31 ἀναγκαίως — τὰ πάθη *om.*

---

4 ὄντα ΛCPV *om.* O 5 πάντων τῶν ἀγαθῶν OΔΣS πασῶν τῶν ἀρετῶν ACPV 7 μηδὲ O μήτε ACPV καινοφωνίαις Δ ἀλλ' OACPV ἡ Δ 8 τῆ APV τί OC 12 ὑμῖν OCPΔ ὑμᾶς AV 13 ἄγγελος ἐτάχθη OAVΔ ἄγγελοι ἐτάχθησαν P οὐχὶ P ἐν ACPV *om.* O 14 ὁ τολμῶν ACPV τολμῶν O *om.* Δ ἐπάγοιτο ACP ἐπάγοι τὸ V ἐπάγει τὸ O 16 ὃ OΔ ἃ ΛCPV 17 δὲ OCPΔ δὴ AV ὁ ACPV *om.* O 19 τῶ αὐτεξουσίω ACPVΣS αὐτῶ αὐτεξούσιον O 20 καλλίστη OACV καλῆ P meliori Δ 22 23 καταφρονεῖν ACPV κατωλιγορεῖν O 29 πανταχῆ O 32 καταβολὴν OACV καταβολὴν τὴν P 34 εὐθὺς P τέλειος *om.* O 35 κατα ΛCPV καὶ κατα O 36 θς καὶ λόγος C

ρίζαν τῆς ἀνθρωπείας γένεσεως ἀναδραμών, πρῶτον γέγονε σάρξ, οὐ τραπεὶς εἰς σάρκα, μὴ γένοιτο· μένει γὰρ ἡ θεότης ἀλλοιώσεως ἀνωτέρα, ἐπείπερ τὸ τρεπτὸν παραρρεούσης
14 φύσεως πάθος, τῆς δὲ ἀϊδίου καὶ ἀεὶ ὡσαύτως ἐχούσης τὸ ἄτρεπτον ἴδιον. φαμὲν οὖν
Ioh. 1, 14 ἑκατέραις κεχρημένοι ταῖς γραφικαῖς φωναῖς ὅτι καὶ ἐγένετο σὰρξ καὶ ἔλαβεν τὴν τοῦ
Phil. 2, 7 δούλου μορφήν, καὶ ἑκάτερα εὐσεβῶς νοούμενα, σωτηρίας ἡμῖν τυγχάνει σπέρματα. διὰ μὲν γὰρ τοῦ ἐγένετο τὸ ἀδιαίρετον τῆς ἄκρας ἑνώσεως ὁ εὐαγγελιστὴς ὑπαινίττεται. ὥσπερ γὰρ ἡ μονὰς οὐκ ἂν τμηθείη εἰς μονάδας δύο· ἡ γὰρ εἰς ταύτας διαιρουμένη οὐκ ἂν εἴη μονάς, ἀλλὰ δυάς· οὕτως τὸ ἓν κατὰ τὴν ἄκραν ἕνωσιν οὐκ ἂν διαιρεθείη εἰς δύο. τὸ δὲ ἔλαβεν βοᾶι τὸ ἄτρεπτον τῆς φύσεως· ἐπειδὴ γὰρ πᾶν τὸ γινόμενον ἢ ἐξ οὐκ ὄντος γίνεται, ὡς ὁ οὐρανὸς μὴ πρότερον ὤν, ἢ ἐκ τοῦ ὑπάρχοντος ἀλλοιοῦται, ὡς τὸ
Exod. 7, 20 Νειλῶιον ῥεῖθρον ἐξ ὕδατος εἰς αἷμα μετεβλήθη· ἑκάτερα δὲ ἐπὶ τῆς θείας φύσεως ἀνάρμοστα· οὔτε γὰρ ἐξ οὐκ ὄντων παρήχθη ὁ ἀεὶ ἄναρχος οὔτε ἐξ ὄντων ἐτράπη ὁ ἀναλλοίωτος λόγος· διὰ τοῦτο δι' ἑκατέρων καὶ τὸ ἄτρεπτον τῆς θεότητος καὶ τὸ ἀδιαίρετον τοῦ μυστηρίου ἡ θεία ὑπεμφαίνουσα γραφὴ τὸ ἐγένετο εἶπεν καὶ τὸ ἔλαβεν ἐκήρυξεν, ἵνα διὰ μὲν τοῦ προτέρου τὸ ἑνικὸν τοῦ προσώπου παραστήσηι, διὰ δὲ τοῦ ἑτέρου
15 τὸ ἀναλλοίωτον τῆς φύσεως ἐκβοήσηι. ἐγένετο τοίνυν ὁ θεὸς λόγος τέλειος ἄνθρωπος, οὐ κολοβώσαντος τὴν ἄτρεπτον φύσιν τοῦ ὑπὲρ ἔννοιαν θαύματος· ἀλλὰ πίστει τὸ τοιοῦτο μεμαθήκαμεν, οὐκ ἐρεύνηι κατειλήφαμεν. καὶ γενόμενος ἄνθρωπος, σώιζει τῶι ὁμοιοπαθεῖ τὸ κατὰ σάρκα ὁμόφυλον γένος, ἐκτίσας μὲν τῆς ἁμαρτίας τὸ χρέος τῶι ὑπὲρ ἁπάντων ἀποθανεῖν ὡς ἄνθρωπος, καταργήσας δὲ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον, ὡς μισοπόνηρος θεός, τοῦ τε νόμου τὸ ⟨ἀδύνατον⟩ δυνατὸν ὑπέδειξεν διὰ τοῦ πληρῶσαι πᾶσαν δικαιοσύνην, καὶ τῆι φύσει τὴν προτέραν εὐγένειαν ἀπέδωκεν διὰ τοῦ
16 τιμῆσαι τῶι ἐνανθρωπῆσαι τὴν ἐκ γῆς παρ' αὐτοῦ διαπλασθεῖσαν φύσιν. εἷς τοίνυν ἐστὶν υἱός· τριάδα γὰρ ὁμοούσιον προσκυνοῦντες, τέταρτον τῶι ἀριθμῶι οὐκ ἐπεισφέρομεν, ἀλλ' ἔστιν εἷς υἱὸς ὁ ἀνάρχως ἐκ πατρὸς γεννηθείς, δι' οὗ τοὺς αἰῶνας πιστεύομεν γεγενῆσθαι,
ὁ συναΐδιος τῆι ῥίζηι κλάδος, ὁ ἀρεύστως ἐκ πατρὸς ἐκλάμψας, ὁ ἀχωρίστως τοῦ νοῦ 864
προιών τε καὶ μένων λόγος· εἰ γὰρ καὶ ἐπὶ γῆς ὤφθη, ἀλλὰ τοῦ γεννήσαντος οὐκ ἐχωρίσθη. οὗτος ἠθέλησεν σῶσαι ὃν ἔπλασεν, καὶ ἔσωσέν γε, μήτραν οἰκήσας τὴν κοινὴν τῆς φύσεως πύλην, ἣν καὶ τῆι οἰκήσει εὐλογήσας καὶ τῆι γεννήσει σφραγίσας, ἔδειξεν τῶι ὑπὲρ φύσιν τόκωι ἑαυτὸν ὑπὲρ λόγον ἐνανθρωπήσαντα.

17 Οὐκ ἄλλος οὖν ὁ Χριστὸς καὶ ἄλλος ὁ θεὸς λόγος, ⟨μὴ γένοιτο⟩. δύο γὰρ υἱοὺς ἡ θεία φύσις οὐκ οἶδεν· ὁ μόνος μονογενῆ ἐγέννησεν. ἔνθα γὰρ οὐκ ἔστι συζυγία τῶν τικτόντων,
Phil. 2, 10 ἐκεῖ οὐχ εὑρίσκεται δυὰς τῶν τικτομένων. ἐν τῶι ὀνόματι Ἰησοῦ Χριστοῦ πᾶν γόνυ κάμπτει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων. εἰ δὲ ἄλλος ἐστὶν ὁ Χριστὸς παρὰ τὸν θεὸν λόγον, ἀναγκαίως ψιλὸς ἄνθρωπος ὁ Χριστός, ⟨κἂν ἦι ναὸς τοῦ θεοῦ⟩ κατὰ τὸν τῶν ἐμπλήκτων λόγον· εἰ δὲ ψιλὸς ἄνθρωπος ὁ Χριστός, πῶς τοῦ κατὰ φύσιν

Σ 1—16 πρῶτον γέγονε — ἐκβοήσηι *om.* 30 *post* ἐνανθρωπήσαντα *add* οὐ γὰρ ἔστιν οὔτ' ἄνωθεν οὔτε κάτωθεν εἰδέναι πῶς ἐνηνθρώπησεν

3/4 οὖν ἑκατέραις ACPVΔ οὐκ ἂν ἑτέραις O 6 τοῦ ACPV τοῦ τε O ἄκρας ACPV ἀκραν O 7 ταύτας OΔ ταῦτα CPV ταῦθα A 9 γὰρ ACPV *om.* OΔ 10 ὄντων OP¹, *corr.* P ὁ ACPV *om.* O τοῦ ὑπάρχοντος ACPVΔ προυπάρχοντος O 12 ὄντων OACV οὐκ ὄντων P 14 ἐγένετο OAPV ἀδιαίρετον C 15 τὸ ἑνικὸν τοῦ προσώπου] personæ singularitatem naturæ utriusque Δ *(est interpolatio Chalcedonica)* ἑτέρου ACPVΔ δευτέρου O 19 *in uerbis* ὁμόφυλον γένος *finem facit* O τῶι ACV² τὸ PV¹ 21 ἀδύνατον Δ *om.* ACPVΣS 23 γῆς — αὐτοῦ APV τῆς — αὐτοῦ σοφίας C 24 υἱός ACPVΣS υἱός, εἷς κύριος Δ 26 ἀρεύστως APVΣS ἀρρεύστως C ἀρρήτως Δ 28 οὕτωσ C 31 ἄλλος² AΔΣS ἄλλος θ̄ς CPV μὴ γένοιτο ΔΣS *om.* ACPV 34 κάμπτει CVΔ κάμψει APΣS ἄλλως Δ 35 κἂν — θεοῦ S *om.* ACPV 36 κατὰ — χ̄ς *in margine add* V¹ *om.* ΔΣ φύσιν APV φύσιν υἱοῦ C

αὐτὸν προτιμᾶι τὰ οὐράνια καὶ γονυπετεῖ τὴν ἐπωνυμίαν τοῦ ἥττονος; πῶς κἂν δεξώμεθα τὰς προφητικὰς φωνὰς βοώσας· ὁ θεὸς ἡμῶν ἐπὶ γῆς ὤφθη καὶ τοῖς ἀνθρώ- Baruch 3, 36.
ποις συνανεστράφη; ὀπτασίαν γάρ φησι τὴν κατὰ σάρκα φανέρωσιν καὶ συναναστρο- 38
φὴν ὀνομάζει τὴν ἐπὶ καιροῦ μετὰ ἀνθρώπων πολιτείαν, ἐν ἧι δημοσιεύων ὁ ἄφθονος τὸ παντοδύναμον ἔδειξεν ὅτι ὡς παντοκράτωρ, καὶ ὃ ἦν, ἔμεινεν δι' ἑαυτὸν καὶ ὃ ἠθέλησεν, γέγονεν δι' ἡμᾶς.

18 Εἰ δέ τισιν σκανδάλου παραίτια γίνεται τὰ σπάργανα καὶ ἡ ἐν φάτνηι ἀνάκλισις καὶ ἡ ἐν χρόνοις κατὰ σάρκα αὔξησις καὶ τὸ καθευδῆσαι ἐν πλοίωι καὶ τὸ κοπιᾶσαι ὁδοιπορήσαντα καὶ τὸ πεινῆσαι ἐν καιρῶι καὶ ὅσα τῶι κατὰ ἀλήθειαν γεγονότι συμβαίνει ἀνθρώπωι, ἴστωσαν ὡς κωμωιδοῦντες τὰ πάθη ἀρνοῦνται τὴν φύσιν, ἀρνούμενοι δὲ τὴν φύσιν οὐ πιστεύουσι τῆι οἰκονομίαι, μὴ πιστεύοντες δὲ τῆι οἰκονομίαι ζημιοῦνται τὴν σωτηρίαν. εἰ μὲν γὰρ ἐξωλίσθησεν ἀπὸ γένεσεως κόσμου εἰς τὸν βίον ἄνθρωπος ἑτέραν παρὰ ταύτην φύσεως βαδίσας ὁδὸν, δεικνύτωσαν οἱ φιλόνεικοι, καὶ τότε τοὺς οἰκείους ὑφαινέτωσαν λήρους· εἰ δὲ αὕτη τῆς κοινῆς φύσεως ἡ ἀρχή, ὁ δὲ θεὸς λόγος κατὰ ἀλήθειαν γέγονεν ἄνθρωπος, τοῦ χάριν συνομολογοῦντες τὴν φύσιν σκώπτουσιν τὰ πάθη; θάτερον οὖν ἑκατέρων ἐπιλεξάσθωσαν· ἢ ἐπαισχυνόμενοι τὰ πάθη, ἀρνείσθωσαν τὴν φύσιν καὶ τὰ Μανιχαίων φρονοῦντες τοῖς ἀσεβέσι συντετάχθωσαν, ἢ εἰ προσίενται τὸ ἐκ τῆς ἐνανθρωπήσεως κέρδος, ὁμολογοῦντες τὴν φύσιν, μὴ αἰσχυνέσθωσαν τὰ τῆι φύσει
19 συμβαίνοντα πάθη. θαυμάζω δὲ καὶ τὴν φρενοβλάβειαν τῶν καινὰς ὁδοὺς ἀπάτης ἀνατεμνόντων. ἐγὼ γὰρ ἕνα εἰδώς τε καὶ διδαχθεὶς εὐσεβῶς υἱόν, μίαν ὁμολογῶ τὴν τοῦ
865 σαρκωθέντος θεοῦ λόγου ὑπόστασιν. ἑνὸς δὲ ὄντος τοῦ τε τὰ πάθη ὑπομείναντος καὶ τοῦ τὰ θαύματα τελεσιουργήσαντος, τοῦ χάριν τὰ θειότερα σιωπῶντες, τὰ ἥττονα κωμωιδοῦσιν; ἵνα γὰρ πιστώσηται ὅτι θεὸς ὢν καὶ λόγος ὑπάρχων καὶ μείνας ὃ ἦν, γέγονεν σάρξ καὶ βρέφος καὶ ἄνθρωπος, μηδεμιᾶς τροπῆς τὸ μυστήριον ὑβριζούσης, ὁ αὐτὸς καὶ θαυματουργεῖ καὶ πάσχει, διὰ μὲν τῶν σημείων τὸ εἶναι ὃ ἦν, αἰνιττόμενος, διὰ δὲ τῶν παθῶν τὸ γενέσθαι ὃ ἔπλασεν, πιστούμενος. ἕνα τοίνυν καὶ τὸν αὐτὸν ἀιδίως τε καὶ ἐπ' ἐσχάτων σαρκωθέντα ὁμολογοῦμεν υἱόν, μηδὲν ἐπεισάγοντες τῆι φύσει νόθον· οὐδὲν γὰρ περιττὸν ἐν τῶι θρόνωι.

20 Ἀλλὰ πάντως ἐκεῖνο τὸ πολυθρύλητόν μοι ἐροῦσιν, πλέκοντες συλλογισμοὺς ἀράχνης ἀσθενεστέρους· >εἰ ἡ τριάς<, φησίν, >ὁμοούσιος, ἡ τριὰς ἀπαθής· ὁ δὲ θεὸς λόγος ἐν τῆι τριάδι ὁρᾶται· καὶ ὁ λόγος ἄρα ἀπαθής. εἰ δὲ ὁ θεὸς λόγος ἀπαθής, εὑρεθήσεται ὁ σταυρωθεὶς ἕτερος παρὰ τὸν θεὸν λόγον τὸν ἀπαθῆ.< ὄντως ἴστὸν ἀράχνης ὑφαί- Ies. 59, 5

Σ 10/11 τὴν φύσιν *bis*] τὴν οἰκονομίαν *bis* τῆι οἰκονομίαι *bis*] τῆι σαρκώσει *bis* 13 φιλόνεικοι νέοι Ἰουδαῖοι 15 τὴν φύσιν] τὴν οἰκονομίαν 17 τὴν φύσιν] τὴν οἰκονομίαν τὰ Μανιχαίων φρονοῦντες *om.* 18 ἐνανθρωπήσεως] οἰκονομίας 20 *post* εἰδώς *add* ἐκ τῶν ἁγίων γραφῶν 21 ὑπόστασιν] φύσιν 21—24 ἑνός τε — ὑβριζούσης *om.* 25—27 διὰ μὲν — υἱόν] καὶ ἐγεννήθη ὑπὸ τοῦ πατρὸς αὐτοῦ πρὸ πάντων καὶ ἐσαρκώθη ἐπ' ἐσχάτων καὶ ἐτέχθη ἐκ Μαρίας τῆς θεοτόκου καὶ ὁμολογοῦμεν ὅτι αὐτός ἐστιν ὁ ἐπὶ πάντων θεός 27 τῆι φύσει] τῆι θεότητι 28 τῶι θρόνωι] τῆι ὁμοουσίωι τριάδι, ἀλλ' ὁ αὐτὸς κύριος Ἰησοῦς Χριστὸς δι' οὗ τὰ πάντα [1 Cor. 8, 6], καὶ τὰς ἁμαρτίας ἡμῶν φέρει καὶ περὶ ἡμῶν ὀδυνᾶται, ὡς εἶπεν ὁ προφήτης [Ies. 53, 4], καὶ ὁ αὐτὸς ἐθαυματούργησε καὶ ἔπαθεν ὑπὲρ ἡμῶν 29 *post* ἐροῦσιν *add* οἱ νέοι Ἰουδαῖοι 30/31 ὁ δὲ θεὸς — λόγος ἀπαθής] καὶ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν τῆι τριάδι ἀριθμεῖται καὶ αὐτὸς θεὸς ὁ λόγος, ἀπαθὴς ἄρα ἐστι καὶ

---

1 τὰ APV εἰς τὰ C ἥττονος ACVΔ κρείττονος P κἂν *Schw* etiam Δ δ' ἂν ACPV 10/11 ἀρνούμενοι — φύσιν *om.* P 13 βαδίσας φύσεως P φιλόνικοι V 14 αὕτη τῆς ACV^{r} αὐτὸ τῆς P αὐτῆς V 15 τὴν *om.* C 17 εἰ *om.* V^{1} *add.* V^{r} 19 καινὰς PΔΣS κενὰς ACV 20 τε *om.* P 21 θεοῦ *om.* A δὲ A τε PV *om.* C τε CPV *om.* A 29 συλλογισμούς ACV τοὺς συλλογισμούς P 30/31 ὁ δὲ — ἀπαθής *om.* P 31 ἀριθμεῖται ΣS εὑρεθήσεται ὁ σταυρωθεὶς *om.* P 32 ὄντως ΔΣS οὕτως ACPV

νουσιν οἱ ταῦτα λέγοντες καὶ καθ' ὑδάτων γράφουσιν οἱ τὰ κενὰ ταῦτα μελετῶντες προ-
Rom. 1, 21 βλήματα. φάσκοντες γὰρ εἶναι σοφοί, ἐμωράνθησαν, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος
αὐτῶν καρδία· λημῶν γὰρ ὀφθαλμὸς ἡλίου ἀκτῖνας καθαρῶς οὐ δέχεται καὶ ἀσθενοῦσα
21 διάνοια πίστεως οὐ προσίεται ὕψος. τί τοίνυν φαμὲν ἡμεῖς; ὅτι κατὰ τὸν λόγον τῆς
θεότητος ἡ τριὰς ὁμοούσιός ἐστι καὶ ἀπαθής. οὐδὲ γὰρ φάσκοντες αὐτὸν πεπονθέναι, 5
τῶι λόγωι τῆς θεότητός φαμεν αὐτὸν πεπονθέναι· ἀνεπίδεκτος γὰρ ἡ θεία φύσις παντὸς
πάθους· ἀλλ' ὁμολογοῦντες τὸν θεὸν λόγον, τὸν ἕνα τῆς τριάδος, σεσαρκῶσθαι, διδόαμεν
τὴν αἰτίαν τοῦ νοεῖν τοῖς μετὰ πίστεως ἐρωτῶσιν, δι' ὃ ἐσαρκώθη. ἐπειδὴ γὰρ ἠβούλετο
ὁ θεὸς λόγος καταργῆσαι τὰ πάθη, ὧν πέρας ἦν ὁ θάνατος, προσίεσθαι δὲ πάλιν τὰ πάθη
ἡ ἀνώλεθρος φύσις οὐχ οἵα τε ἦν· εἰ γὰρ πᾶν πάθος στάσις ἐστὶ καὶ μάχη τῶν συνθέτων, 10
περὶ δὲ τὸ ἄυλον καὶ μόνον οὐδεμία σύνθεσις, οὐκ ἄρα ἐκεῖ ἔφθανεν πάθος, ἔνθα οὐδὲ
σύνθεσις τυγχάνει· βουληθεὶς τοιγαροῦν τὰ τυραννοῦντα τὴν λογικὴν σάρκα πάθη καταρ-
γῆσαι, καθὰ προέφημεν, ὧν ἀκρόπολις ὑπῆρχεν ὁ θάνατος, σαρκοῦται ἐκ παρθένου, ὡς
οἶδεν, ὁ θεὸς λόγος καὶ σχηματίζεται ὡς ἄνθρωπος· τοῦτο γὰρ ἠὐδόκησεν· καὶ κενοῖ
ἑαυτὸν ἐν δούλου μορφῆι, μηδεμίαν τῆς θεότητος περιγραφὴν ὑπομείνας, καὶ οὕτω σώιζει 15
πᾶν τὸ ἀνθρώπινον γένος, ἐν τῆι σαρκὶ μὲν αὐτοῦ καταργήσας τὰ πάθη, φυλάξας δὲ αὐτοῦ
22 ἀπαθῆ τὴν θεότητα. διὰ τοῦτο καὶ ὁ Γαβριὴλ εὐαγγελιζόμενος τὴν τοῦ τεχθέντος αὐθεν-
Mt. 1, 21 τίαν καὶ δύναμιν, ἐβόα πρὸς τὴν Μαριάμ· αὐτὸς γάρ, φησίν, σώσει τὸν λαὸν αὐτοῦ
ἀπὸ τῶν ἀνομιῶν αὐτῶν. λαὸς δὲ οὐκ ἂν εἴη ἀνθρώπου, ἀλλὰ θεοῦ, οὐδ' ἂν 868
ἀπαλλάξειεν τὸν κόσμον ἁμαρτημάτων ὁ μετὰ φθορᾶς εἰσπηδήσας εἰς τὸν βίον καὶ τὴν 20
ἀρχὴν τῆς γενέσεως οὐκ ἐσχηκὼς ἀκατηγόρητον· ἀλλὰ ἀναγκαίως ὁ αὐτὸς θεός τε ὢν καὶ
ἄνθρωπος, οὐ διαιρούμενος εἰς δύο, ἀλλὰ μένων εἷς, διὰ μὲν τοῦ ἐκ γυναικὸς γεννηθῆναι
δεικνὺς ὅτι ἄνθρωπος, διὰ δὲ τοῦ ἀσυνδυάστως καὶ φυλάξαι τὴν τεκοῦσαν παρθένον μαρ-
τυρόμενος ὅτι ἐστὶ θεός, ἔσωσεν τὸν κόσμον Ἰησοῦς ὁ Χριστός, ἐλθὼν ἐπὶ γῆς καὶ τοῖς
23 ἀνθρώποις συναναστραφείς. εἰ δὲ ὁ Χριστὸς ψιλός ἐστιν ἄνθρωπος καὶ οὐκ αὐτὸς ὁ 25
θεὸς λόγος, πῶς ἔκτισεν τὰ πάντα ἐν ἀρχῆι, τότε οὐκ ὤν; εἰ γὰρ μεταγενέστερος τῆς
δημιουργίας ὁ ἄνθρωπος, εὔδηλον ὡς τοῖς πρὸ αὐτοῦ τὴν γένεσιν οὐκ ἐχαρίσατο ὁ Χριστός,
1 Cor. 8, 6 οἷα δὴ μεταγένεστερος προαχθεὶς ὡς ψιλὸς ἄνθρωπος. πῶς οὖν Παῦλος ἐβόα· εἷς
κύριος Ἰησοῦς ὁ Χριστός, δι' οὗ τὰ πάντα; εἰ γὰρ διὰ Χριστοῦ τὰ πάντα, εὔδηλον
Ioh. 1, 4—3 ὅτι Χριστὸς θεός ἐστι λόγος, τοῦ εὐαγγελιστοῦ βοῶντος· ἐν ἀρχῆι ἦν ὁ λόγος, καὶ ὁ 30
λόγος ἦν πρὸς τὸν θεὸν, καὶ θεὸς ἦν ὁ λόγος. οὗτος ἦν ἐν ἀρχῆι πρὸς
τὸν θεόν. πάντα δι' αὐτοῦ ἐγένετο. εἰ τοίνυν ὁ εὐαγγελιστὴς βοᾶι ὅτι διὰ
τοῦ λόγου τὰ πάντα ἐγένετο, καὶ ὁ Παῦλος τοῦτο ἑρμηνεύων λέγει εἷς κύριος Ἰησοῦς
ὁ Χριστός, δι' οὗ τὰ πάντα, εὔδηλον ὅτι Χριστὸς θεός ἐστι λόγος.

Σ 6 τῶι — θεότητός] φυσικῶς ἡ θεία φύσις] ἡ φύσις αὐτοῦ 8 *post* ἐπειδὴ γὰρ *add* ἄνθρωπος ὁ κατὰ εἰκόνα θεοῦ κτισθείς, ὧι τὸ αὐτεξούσιον ἐδόθη, τῶι αὐτεξουσίωι ἐπλανήθη καὶ τῆι τοῦ ἐπιβούλου συμβουλῆι ἀχθεὶς τῆι πλάνηι ἐνέδωκεν καὶ ἐδουλώθη τοῖς τῆς ἐπιθυμίας πάθεσιν τοῖς πάντων κρατοῦσι τῶν συνθέτων ὧν πέρας ἔστι θάνατος καὶ τοῖς κτισθεῖσι οὐκ ἔστι καταργῆσαι αὐτά 9 *post* θάνατος *add* ἠβούλετο δὲ σαρκωθῆναι καὶ γενέσθαι σύνθετον, τοῦτ' ἐστὶ ἄνθρωπος τέλειος ἐν παντὶ ὡς ἡμεῖς πλὴν ἁμαρτίας 10 *post* ἀνώλεθρος *add* καὶ ἀῒττητος καὶ ἀόρατος 14 σχηματίζεται ὡς ἄνθρωπος] καὶ γίνεται ἄνθρωπος τελείως ὑπάρχων ὁ ἐπὶ πάντων θεός· οὐ γὰρ καταλιπὼν τὸ ἑαυτοῦ ἐγένετο ὡς ἡμεῖς, ἀλλὰ ὑπάρχων θεὸς ἐγένετο ἄνθρωπος 15 *post* ἑαυτὸν *add* ἐκὼν *post* μορφῆι *add* καὶ ἐγένετο ἄνθρωπος καὶ ἔπαθεν ὑπὲρ ἡμῶν ἑκών 16/17 ἐν τῆι — θεότητα *om.* 20/21 καὶ — ἀκατηγόρητον *om.* 21/22 θεός — ἄνθρωπος *om.* 22 *post* δύο *add* μὴ γένοιτο 23 ἄνθρωπος] ἀληθῶς ἔμενεν ἄνθρωπος 25 *post* συναναστραφείς *add* καθάπερ μαρτυροῦσιν αἱ ἅγιαι γραφαί

1 καινὰ ΣS 3 ἀκτῖνας ἡλίου C 4 προίεται V^1 *corr.* V^r τὸν *om.* P 9 δ' AC *om.* PV 11 ἔφθανεν V ἔφθανε AP ἔφθασε C 13 ἡ ἀκρόπολις A 15 αὐτὸν A 20 ἁμαρτημάτων τὸν κόσμον Λ 23 24 μαρτυρόμενος P^1 μαρτυρούμενος ACV 24 τῆς γῆς A τοῖς *om.* A 29 ὁ *om.* P^1 32/33 εἰ τοίνυν — ἐγένετο *om.* Δ 34 ὁ χς A

24 Εἰ δὲ προφέροιεν τὰς ἐν ταῖς θείαις γραφαῖς φωνὰς ἐν αἷς κέκληται ἄνθρωπος, τοῦ Πέτρου λέγοντος Ἰησοῦν τὸν ἀπὸ Ναζαρὲτ ἄνδρα, καὶ τοῦ Παύλου λέγοντος ἐν ἀνδρὶ ᾧ ὥρισεν πίστιν παρασχών, καὶ αὐτοῦ τοῦ δεσπότου περὶ ἑαυτοῦ λέγοντος τί με ζητεῖτε ἀποκτεῖναι ἄνθρωπον, ἴστωσαν ὡς ἢ διὰ νωθείαν ἀπελείφθησαν τῆς γραφικῆς ἐννοίας ἢ διὰ πονηρίαν πρὸς τὴν ἑαυτῶν μοχθηρίαν διαστρέφουσι τὰ καλῶς γραφέντα. καὶ ἄνθρωπος γάρ ἐστι κατὰ ἀλήθειαν ὁ Χριστός, ἀλλὰ τοῦτο γέγονεν, οὐ πρότερον ὢν εἰ μὴ μόνον θεός. ὥσπερ γὰρ θεὸς οὐ κτιστός, οὕτως ὁ αὐτὸς καὶ ἄνθρωπος οὐ φανταστός, καὶ ὥσπερ τῷ πατρὶ κατὰ τὴν θεότητα ὁμοούσιος, οὕτως ὁ αὐτὸς καὶ τῇ παρθένῳ κατὰ τὴν σάρκα ὁμόφυλος, πανταχοῦ τῆς ἀληθείας τοῦ μυστηρίου προλαμπούσης καὶ πάσης ἀπάτης σχολαζούσης. εἰ δὲ μὴ ἔτεκεν θεὸν ἡ παρθένος, οὐδὲ πολλοῦ θαύματος ἀξία ἡ ἄφθορος· πολλαὶ γὰρ καὶ ἄλλαι γυναῖκες ἐκαρποφόρησαν τῷ βίῳ **25** δικαίους. εἰ δὲ προφητῶν γλῶσσαι, τὸ ἄρρητον προσαλπίζουσαι μυστήριον, βοῶσιν· ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ, ὃ ἑρμηνεύων ὁ Γαβριὴλ φάσκει· μεθ' ἡμῶν ὁ θεός, τοῦ χάριν **26** διὰ τὴν τοῦ τεχθέντος συγκατάβασιν τὴν δόξαν τῆς τεκούσης περικόπτουσιν; ἀλλ' ἀντιτιθέασι πάντως τοῦτο· »πᾶν τὸ τικτόμενον«, φησίν, »ὁμόφυλον ὑπάρχει τῇ τικτούσῃ· εἰ 869 τοίνυν ἄνθρωπος ἡ τεκοῦσα, ἄνθρωπος ἀναγκαίως καὶ ὁ τεχθείς.« εὐλόγως φατέ, ὦ οὗτοι· ἀλλὰ τὸ ὁμόφυλον τίκτει ἡ ὠδίνουσα, ὅταν κατὰ φύσιν προβαίη ὁ τόκος, φυσικοῦ τε τόκου τὸ προοίμιον φθορά, ἐπειδὴ καὶ μῖξις προηγεῖται τῆς φθορᾶς. ἐνθάδε δὲ τῆς ὕβρεως ταύτης οὐδὲ ἔννοια, ἀλλ' ἐσχεδιάσθη ὑπὲρ λόγον τὸ θαῦμα. ὅπου ὑπὲρ φύσιν **27** ὁ τόκος, ἐκεῖ ὁ τεχθεὶς θεός. ὁμολογοῦμεν τοίνυν τὸν αὐτὸν καὶ τὸν κόσμον παραγαγόντα καὶ τὸν νόμον δεδωκότα καὶ ἐν προφήταις ἐμπνεύσαντα καὶ ἐπ' ἐσχάτων σαρκωθέντα καὶ τοὺς ἀποστόλους εἰς σωτηρίαν ἐθνῶν τε καὶ λαῶν ἁλιεύσαντα· φύγωμεν τοὺς θολεροὺς καὶ βορβορώδεις τῆς ἀπάτης ῥύακας, τὰς θεομάχους λέγω αἱρέσεις, τὴν Ἀρείου μανίαν διαιροῦσαν τὴν ἀμέριστον τριάδα, τὴν Εὐνομίου τόλμαν περικλείουσαν τῇ γνώσει τὴν ἀκατάληπτον φύσιν, τὴν Μακεδονίου λύσσαν χωρίζουσαν τῆς θεότητος τὸ ἀχωρίστως ἐκπορευόμενον πνεῦμα, καὶ τὴν νεότευκτον ταύτην καὶ καινὴν βλασφημίαν τὴν τὸν Ἰουδαϊσμὸν κατὰ πολὺ εἰς βλασφημίαν νικῶσαν. οἱ μὲν γὰρ τὸν ὄντα υἱὸν ἀθετοῦσιν, ζημιοῦντες τὴν ῥίζαν τοῦ κλάδου· οἱ δὲ τῷ ὄντι καὶ ἕτερον ἐπεισάγουσι, στηλιτεύοντες ὡς πολύγονον τὴν **28** ἀκήρατον φύσιν. εἴπωμεν οὖν μετὰ Παύλου· Χριστός ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἕν· Ἰουδαῖον γὰρ καὶ Ἕλληνα διὰ τοῦ βαπτίσματος εἰς ἕνα καινὸν ἔκτισεν ἄνθρωπον, ἑνώσας τῇ δυνάμει τὰ τῇ πολιτείαι διεστῶτα. φριττέτωσαν τὴν κατάκρισιν οἱ νεωτεροποιοὶ εἰς ἀσέβειαν, εἴ γε τὰ μὲν διεστῶτα εἰς συμφωνίαν ἡνώθη, ὁ δὲ ἑνώσας εἰς δυάδα τό γε ἐπ' αὐτοῖς διηρέθη.

29 Ἀλλὰ λοιπὸν τὸ μῆκος τῶν λόγων παρείς, ἐπὶ τὴν συντομίαν ἐλεύσομαι τοῦ ὀρθοῦ

Act. 2, 22 · Act. 17, 31 · Ioh. 8, 40 · Ies. 7, 14 · Mt. 1, 24 · Eph. 2, 14

23—34 *extant in uersione latina, quæ non Dionysii est, Actorum concilii Constantinopolitani L V 465. 487 = M VIIII 243. 270*

Σ 8—10 οὐ φανταστός — σχολαζούσης] κατ' ἀλήθειαν, ὁρικῶς καὶ ἀληθινῶς, ἄνευ τροπῆς ἢ πάθους ἢ φαντασίας· καὶ οὐχ ὁμολογοῦμεν τὸ τοῦ κυρίου σῶμα εἶναι ἐξ οὐρανοῦ καὶ ἀναθεματίζομεν πάντα τὸν τοῦτο λέγοντα, ἀλλ' ὁμολογοῦμεν εἶναι ἐκ πνεύματος ἁγίου καὶ δυνάμεως τοῦ ὑψίστου τῆς τῇ ἁγίαι παρθένῳ ἐνοικησάσης, Μαρίαι τῇ θεοτόκῳ 11/12 πολλαὶ — δικαίους *om.* 22 *post* ἐσχάτων *add* διὰ τὴν σωτηρίαν τῶν ἀνθρώπων 27 *post* καινὴν βλασφημίαν *add* τοῦ Νεστορίου 29 *post* τῷ ὄντι *add* ἀπ' αἰῶνος καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθέντι 30 *post* ἀκήρατον *add* καὶ μόνην ἐκ μόνου ἡ εἰρήνη ἡμῶν *om*

1 γραφὰς P 16 τεκούση A 17 καὶ ACVΣS *om.* PΔ 19 τε CV τι P δὲ A ἐπειδὴ AP ἐπειδὴ δὲ CV ταῖς φθοραῖς P ἐνθάδε δὲ ACPV ἔνθα δέ ΔΣS 20 ἀλλ' *om.* C 26 μακεδονίου ACPVΣS Manichæi Δ 27 κενὴν V¹ 30 παύλου APV τοῦ παύλου C 32 ἄνον ἔκτισεν P φριττέσθωσαν A 33 τὴν ACPV^r οἱ V¹

Ioh. 8, 58 δόγματος. εἴ τις θέλει γνῶναι κατὰ ἀλήθειαν ὅτι αὐτός ἐστιν ὁ εἷς καὶ μόνος υἱὸς ὁ
ἱερατεύειν ἀπέκοπτον, βλασφημίαις ἐξαγίστοις κατακοντίζουσαν τὸ πνεῦμα τὸ ἅγιον, τὸ δὲ τῆς πίστεως αὖθις προσανέπτυσσον σύμβολον, ὅτε *θεὸς τὸ πνεῦμα* κυρώσαντες, δι' ὧν τρανότερον ἐξειργάσαντο· οὕτω μὲν οὖν τοὺς τῆς τριάδος τὴν ἕνωσιν λύοντας ἡ τῆς τριάδος κατέλυσε δύναμις. πολλὴ δὲ πάνυ καὶ πολυσχεδὴς καὶ ἡ περὶ τὴν τοῦ μονογενοῦς οἰκονομίαν ἀντίρρησις, ἀλλὰ τὰ γενικώτερα διεξελθεῖν ὁ λόγος ἐπείγεται. πάλιν Νεστόριος καὶ πάλιν Κελεστῖνος καὶ Κύριλλος. ὁ μὲν γὰρ τὸν Χριστὸν διῄρει καὶ κατεδίχαζεν, οἱ δὲ τῷ δεσπότῃ [συλλαμβανόμενοι] ⟨συμπνεύσαντες⟩ σὺν τῷ τῶν σκήπτρων δεσπόζοντι τὸν κατατομέα κατέβαλον. Ἔφεσος ταῦτα καὶ τῶν ἐκεῖσε πραχθέντων οἱ πίνακες δι' ἐγγραμμάτου φωνῆς σιγῶσαι λαλοῦσι τὰ πράγματα. εἶτα τῆς Εὐτυχοῦς ἀνοίας ληρωδούσης ἕτερον μύθευμα καὶ τοῦ σωτῆρος πάντῃ παραιτουμένου τὴν ἐνανθρώπησιν καὶ σκιοειδῆ τινα τὴν πρὸς ἡμᾶς αὐτοῦ τερατολογοῦντος ὁμοίωσιν ἆρα σιωπᾶν ἐχρῆν; καὶ οὐχὶ τοὺς πνευματοφόρους ἄνδρας ἀνίστασθαι ταῖς θεολογίαις τὰς ψευδολογίας κατασιγάζοντας; καὶ πῶς ἂν οὐκ ἠγανάκτει θεὸς βλασφημούμενος καὶ μὴ διεκδικούμενος; Λέοντος τοίνυν ἡ δέλτος καθάπερ λέοντος βρύχημα ῥωμαλέον ἐκ Ῥώμης ἠχήσασα τὸν τέως ἀρχιμανδρίτην θῆρα κατεξεφόβησε τῆς τε μοναστικῆς ἀγέλης ἀπήλασε καὶ τὴν αὐτοῦ φαντασίαν καὶ δόκησιν ἀπεδοκίμασε καὶ ἠφάνισε. ταύτην ἄρα τὴν θεόγραπτον δέλτον Μαρκιανὸς ὁ βασιλεὺς ὁ θειότατος καὶ Ἀνατόλιος ὁ Κωνσταντινουπόλεως πρόεδρος σὺν ἅπαντι τῷ κατὰ Χαλκηδόνα χριστολέκτῳ συλλόγῳ περιεπτύξαντο καὶ

2 Joh. 4,24

MTO l

2 ὅτε] ὅτι l 3 ἐξειργάσαντο] ἐξειργάσατο l τοὺς] τοῦ M *om.* O λύοντας] λύοντος M 4 δὲ *om.* M πολυσχεδὴς] πολυσχιδὴς T 5 οἰκονομίαν] οἰκονομίαλίαν l 6 κελεστῖνος] κελευστῖνος T l 7 conspirantes = ⟨συμπνεύσαντες⟩] [συλλαμβανόμενοι] MTO l τῷ²] τὸ l 8 σκήπτρων] σκήπτωρ l κατατομέα] κατὰ τὸν μεα l κατέβαλον] κατέβαλλον T l ἐκεῖσε] ἐκεῖ l 10 μύθευμα] μύθημα T πάντῃ] παντὶ l 11 σκιοειδῆ] σκιωειδῆ T σκιώδη l τερατολογοῦντος] l *marg.*: ὑποκριτικῶς 12 οὐχὶ] οὐ T ἄνδρας *om.* T 13 – 14 l *marg.*: σῆ δ' ἔνθα ἀπομνημονεύεται σύνοδος 14 ῥωμαλέον] ῥωμαλαῖον M 15 ἠχήσασα] ἠχήσατο T τῆς τε μοναστικῆς] καὶ τῆς μοναδικῆς M τῆς τε μοναχικῆς l 17 θειότατος] θεότατος MT 18 ἅπαντι τῷ] ἅπαντα τὸ l κατὰ τὴν χαλκηδόνα O

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/9/15 1:42 AM

linguam a sacerdotio abscidebant, quae blasphemiis exsecrabilibus spiritum sanctum iaculabatur, fidei uero symbolum denuo explanabant, quod *deus est spiritus* confirmantes per ea quae manifestius exposuerunt. sic igitur eos qui trinitatis unitatem soluebant trinitatis uirtus distruxit. multum uero ualde et multifariae et super ipsa unigeniti dispensatione facta est oppositio, sed generalia [sermo] ⟨uerbum⟩ exsequi festinat. iterum Nestorius et iterum Caelestinus et Cyrillus. ille quidem Christum diuidebat et partiebat, hii uero cum domino conspirantes una cum sceptrorum domino diuisorem deiciebant. Ephesus et ibidem gestorum tabulae per litterariam uocem dum sileant causas ipsas loquuntur. deinde Euticetis insania delirante alteram fabulam ipsiusque saluatoris [humanitatem] ⟨humanationem⟩ penitus recusante et umbrosam quandam eius ad nos similitudinem praestigante, putasne tacendum erat? et non spiritales uiros insurgere, qui diuinis uerbis falsidicos compescerent? et quomodo non indignaretur deus, qui blasphemabatur et non defendebatur? Leonis igitur tabula tamquam leonis rugitus uiriliter ex Roma uociferans interim archimandritam bestiam perterruit et a monachico grege proiecit eiusque fantasiam atque putationem reprobauit et uaniscere fecit. hanc profecto a deo inscriptam tabulam Marcianus sacratissimus imperator et Anatolius Constantinopolitanus antistes cum omni Calcedonense a Christo collecta congregatione amplexi sunt atque

VP CBR MN

1 linguam] lingam C abscidebant] abcidebant P^1 abscindebant R blasphemiis] blaspemiis P^1 blaspemias C blasphemus B exsecrabilibus] execrabilibus R M execralibus N 2 symbolum] symbulum VP simbulum C simbolum N denuo] denue N 3 quae *om.* CBR sic] si C^1BR eos] eo V trinitatis] trinitate C 4 distruxit] destruxit P R MN uero ualde] uerouualde C^1 multifariae] multifaria P N multifariam M unigeniti] ungeniti C 5 oppositio] apositio VP obpositio CB generalia] geralia CB generaliam N ὁ λόγος = ⟨uerbum⟩] [sermo] VP CBR MN exsequi] exequi R N festinat] festinant M^1 6 nestorius] nestoruus V^1 caelestinus] celestinus VP^1 B N cyrillus] cycirilrillus V^1 ille] illae C partiebat] partiebatur MN^1 7 hii] hi M conspirantes] cospirantes M^1 sceptrorum] speceptrorum V^1 isceptrorum C hiis ceptrorum R sceptorum M^1 7–8 domino ... gestorum *om.* N 7 diuisorem] diuisorum V^1 deiciebant] deiciebat VP diciebant B^1 8 ephesus] aeffusus C^1 aeeffesus C^2 efesus B effusus R tabulae] turbulae CR turbolae B litterariam] literaliam M litteraliam N causas] cassas C^1 caussas C^2 9 loquuntur] loquentur C^1R loquntur C^2 (!) locuntur B M^1 euticetis] euthycetis V eutycetis P^1 eutychetis P^2 eoticetis C delirante] delerante CR delarante B 10 ἐνανθρώπησιν = ⟨humanationem⟩] [humanitatem] VP CBR MN penitus] paenitus P C et penitus R recusante] recusantem CR N recusasantem B recusantes M umbrosam] umbrosa N ad] et CR 11 putasne] putasnae V tacendum] tenendum C^1BR uiros] ueros CR 12 falsidicos compescerent] falsedicos compescerent CBR deus V *add.* 12–13 blasphemabatur] blasphemabantur P^1 blasfemabatur R 13 defendebatur] defendabatur B tabula] turbla C^1 turbula C^2B tabulam N tabula tamquam] bullatam quam R rugitus] ruitus N 14 interim *om.* N archimandritam] archimandrita N bestiam] uestiam MN perterruit] perter....ruit P *ras.* perterruit eam et N monachico] monachicon VP monahico C^2B^1 monachio R monastico M proiecit] proicit CBR 15 fantasiam] phantasiam N putationem] putatione C reprobauit] reprouabit P uaniscere] uanescere R MN profecto] propheto V profeto P 16 inscriptam] inistam C^1BR instam C^2 inscripta N tabulam] turbulam CBR marcianus] martianus P MN imperator] imperatore N anatolius] cinatolius VP (!) anatholius CBR 17 antistes] antestis V antestites C^1B antistites C^2R calcedonense] calcaedonense P calcidonense M^1 amplexi] amplexae M amplexe N

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/9/15 1:42 AM

χειρὶ καὶ γλώττῃ συνετίθεντό τε καὶ συνυπέγραφον καὶ ταύτῃ τὸ σύστοιχον Εὐτυχεῖ τοῦ Διοσκόρου κατήργησαν φρόνημα. οὕτω γοῦν μετὰ ταῦτα Βιγίλλιος Ἰουστινιανῷ τῷ πανευσεβεῖ συμπεφώνηκε καὶ τὸ τῆς πέμπτης συνέστη συνέδριον τὰ φωραθέντα καὶ λαθόντα τινῶν ἀναθεματίζον συγγράμματα βδελυρίας πληρέστατα.

Τούτων οὕτως ἐχόντων ἀναγκαῖον ἐτύγχανε καὶ τὴν ὑμετέραν φιλόχριστον ἡμερότητα τὴν πανίερον ταύτην καὶ πολυάνθρωπον συναγείρειν ὁμήγυριν τῷ καλῶς ποιεῖν νομίζειν ἀμφότερα καὶ τὸ μὲν αἴτιον τῆς τῶν ἐκκλησιῶν διαστάσεως ἀποσείσασθαι, τὰ δὲ διεζευγμένα πρὸς ἕνωσιν ἐφελκύσασθαι. οὐκ ἔφερες γάρ, θεομίμητε δέσποτα, τὴν ἔναγχος ὑφανθεῖσαν τῆς ψευδοδιδασκαλίας ἐπίνοιαν τὸν τῆς ὀρθοδοξίας χιτῶνα μέχρι πολλοῦ καθορᾶν περισχίζουσαν, ἀλλ' ὡς δι' ὀργάνων τολμῶμεν λέγειν τοῦ πνεύματος δι' ἡμῶν τε καὶ μεθ' ἡμῶν τὸ διερρωγὸς ἐξανύφανας καὶ τῇ ὁλοκληρίᾳ συνήρμοσας, καὶ δὴ τῇ συμπνοίᾳ τοῦ παναγίου συμπνεύσαντες πνεύματος ἀλλήλοις τε πάντες ὁμοφωνήσαντες καὶ ὁμονοήσαντες καὶ τοῖς Ἁγάθωνος τοῦ μακαριωτάτου πατρὸς ἡμῶν καὶ κορυφαιοτάτου πάπα δογματικοῖς ⟨ἀπεσταλμένοις⟩ πρὸς τὸ ὑμέτερον κράτος ὁμοφρονήσαντες γράμμασι, τῇ τε τῆς ὑπ' αὐτὸν ἁγίας συνόδου τῶν ἑκατὸν εἴκοσι πέντε πατέρων ἀναφορᾷ συναινέσαντες ἕνα τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ σαρκωθέντα τῆς ἁγίας τριάδος δοξάζομεν „ἐν δύο" τελείαις ταῖς „φύσεσιν ἀδιαιρέτως ἀσυγχύτως" ὑμνούμενον. ὡς μὲν γὰρ λόγος ὁμοούσιός ἐστι καὶ συναΐδιος τῷ θεῷ καὶ γεννήτορι, ὡς δὲ σάρκα λαβὼν „ἐκ τῆς" ἀχράντου „παρθένου καὶ θεοτόκου Μαρίας ἄνθρωπός ἐστι τέλειος, ὁμοούσιος ἡμῖν" καὶ ὑπὸ χρόνον γενόμενος „τέλειον οὖν ἐν θεότητι καὶ τέλειον τὸν αὐτὸν ἐν ἀνθρωπότητι" κατά τε τὰς πατρικὰς ἄνωθεν παραδόσεις καὶ τὸν ἐν Χαλκηδόνι θεῖον ὅρον κηρύττομεν. καὶ ὥσπερ δύο παρειλήφαμεν φύσεις οὕτω καὶ δύο φυσικὰ θελήματα καὶ δύο φυσικὰς αὐτοῦ

9 cf. Joh. 19,23

17 – 20 cf. Symb. Chalc., ACO II 1,2 p. 129,24 – 31

MTO l

1 γλώττῃ] γλώσσῃ O συνετίθεντό] συνεπείθεντο T 2 κατήργησαν] κατηγόρησαν l 3 συμπεφώνηκε] συνεπεφώνικε l συνέδριον καὶ τὰ O l 4 ἀναθεματίζον] ἀναθεματίζων T ἀνεθεματίζον O συγγράμματα βδελυρίας] συντάγματα βδελλυρίας O 6 τῷ] τὸ l 8 θεομίμητε] θεοτίμητε T 9 χιτῶνα] χειτόνα l 11 ἐξανύφανας] ἐξανύφηνας M ἐξύφανας O ἐξύφινας l 12 – 13 ὁμονοήσαντες καὶ ὁμοφωνήσαντες TO l 14 missis = ⟨ἀπεσταλμένοις⟩ *om.* MTO l ὁμοφρονήσαντες γράμμασι] ὁμοφωνήσαντες δόγμασι O 15 αὐτὸν] αὐτῶν l ἑκατὸν εἴκοσι πέντε] ρ̄κ̄ē TO l ἀναφορᾷ] ἀναφορὰς l 18 συναΐδιος τῷ *om.* O 21 τὸν] τῶν l 22 παρειλήφαμεν] παρειλήφομεν T

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/9/15 1:42 AM

manu et lingua consentiebant et pariter subscribebant et cum hac consona Euticheti Dioscori intellegentiam euacuerunt. sic igitur post haec Uigilius Iustiniano piissimo consonauit et quintum concilium constitutum est et quorundam opuscula, quae in latenti reperta sunt, repleta abominatione anathematizabant.

His ita se habentibus necessarium exsistebat et uestram Christo amabilem mansuetudinem sacratissimum hunc et copiosum congregare conuentum, dum utraque benefacere putarentur, et causam quidem dissensionis ecclesiarum repellere, distantia uero ad unitatem reducere. nec enim sufferebas conspicere, deo imitabilis domine, ut nuper contexta falsae doctrinae adinuentio tunicam rectae fidei usquequaque conscinderet, sed audenter dicimus tamquam per organa spiritus per nos et una nobiscum quod excisum erat retexuisti et ad soliditatem conpaginasti [integritatique restituisti], proinde inspirationi sancti spiritus conspirantes et ad inuicem omnes consonantes atque consentientes et Agathonis beatissimi patris nostri et summi papae dogmaticis litteris ad uestram fortitudinem missis consentientes nec non et suggestioni sanctae quae sub eo est synodi centum uiginti quinque patrum concordantes unum de sancta trinitate dominum nostrum Iesum Christum etiam incarnatum praedicamus „in duabus“ perfectis „naturis indiuise inconfuse“ laudandum. ut enim uerbum consubstantialis est et consempiternus deo genitori, ut autem carnem sumens „ex“ intemerata „uirgine deique genetrice Maria homo perfectus est consubstantialis nobis“ factusque sub tempore, „perfectum igitur in deitate et perfectum eundem in humanitate“ secundum priscas patrum traditiones et Chalcedonensem diuinam definitionem praedicamus. et quemadmodum duas percepimus

VP CBR MN

1 consentiebant] consentiebat C^1 subscribebant] subscripsebant N hac] ac C hanc MN consona] consonantia CBR euticheti] euthyceti V eutycheti P eothicheti CR eoticheti B eutyceti M 2 intellegentiam] intellegentium V euacuerunt] euarŧ P^1 euacurŧ P^2 euacuarunt CBR M sic] si CB uigilius post haec iustiniano CB 3 quorundam] corundam C in *om.* CR 4 reperta] repperta MN anathematizabant] anathamatizabant VP anatimatizabant C^1 anatimathizabant B 5 habentibus] abentibus V exsistebat] exsistebant C existebant R existebat B MN 6 hunc *om.* VP copiosum] coposum C^1 copiosum hunc et congregare N congregare] congraegare C congregatore N dum ut utraque N 7 causam] causa M dissensionis] dissentionis R repellere] reppellere M 7–8 unitatem] unitate N 8 sufferebas] subferebas CR sufferabas N imitabilis] inmitabilis V imitabiles M^1 9 contexta] texta V usquequaque] usquaequaque C conscinderet] conscindere CBR consinderet M^1 10 audenter] audienter M^1 excisum] scisum VP excissum C N 11 καὶ τῇ ὁλοκληρίᾳ συνήρμοσας = [integritatique restituisti] et ad soliditatem conpaginasti soliditatem] solitudinem V soliditem C^1 solemnitatem B conpaginasti] compaginasti V M^2N 12 inspirationi] insp.rationi P *ras.* inspirationis CB MN conspirantes] conspirataes V conspirates P ad *om.* N 12–13 atque consentientes *om.* N 13 agathonis] hagathonis P nostri] nosti P summi] summis VP summe B 14 nec non C^2 *add.* suggestioni] suggestionae C suggestione B synodi] sinodi CB 15 centum uiginti quinque] CXXV VP CB centum XXV. N concordantes] concordiantes C^1 16 indiuise] indiuisae C 17 inconfuse] inconfusae V C laudandum] laudandtium P M^1 consubstantialis] cumsubstantialis VP consubstentialis C^1 consempiternus] cumsempiternus V consempiternis C 18 uirgine] uirgini V deique] dei N genetrice] genitrice R M^2N 19 perfectus] factus N consubstantialis] cumsubstantialis V consubstentialis C 20 perfectum] inperfectum N traditiones] traditionis V^1 C tradictionis M 20–21 chalcedonensem] calcedonensem C^1B M 21 diffinitionem diuinam M definitionem] difinitionem V diffinitionem M^2 quemadmodum] quemammodum P percepimus] percipimus CBR

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/9/15 1:42 AM

τὰς ἐνεργείας γνωρίζομεν οὐδετέραν γὰρ τῶν ἐν Χριστῷ φύσεων ἐπὶ τῆς οἰκονομίας αὐτοῦ τολμήσομεν ἀθέλητον ἢ ἀνενέργητον ἀποφήνασθαι, μήπως αὐτῶν ἀναιροῦντες τὰ ἰδιώματα καὶ τὰς ὥνπερ εἰσιν ἰδιώματα φύσεις συναναιρήσομεν. οὐ γὰρ ἀρνούμεθα τὸ φυσικὸν αὐτοῦ τῆς ἀνθρωπότητος θέλημα ἢ τὴν κατὰ φύσιν ἐνέργειαν, ἵνα μὴ καὶ τὸ τῆς σωτηρίας ἡμῶν οἰκονομικὸν κεφάλαιον ἀθετήσωμεν καὶ τῇ θεότητι τὰ πάθη προσάψωμεν. τοῦτο γὰρ ἔσπευδον οἱ προσεχῶς ἓν ἐπ' αὐτοῦ τὸ θέλημα καὶ τὴν μίαν ἐνέργειαν ἀνοσίως καινοτομήσαντες, τὴν Ἀρείου τε καὶ Ἀπολιναρίου καὶ Εὐτυχοῦς καὶ Σεβήρου κακοδοξίαν ἀνανεούμενοι. εἰ γὰρ ἀθέλητόν τε καὶ ἀνενέργητον τὴν ἀνθρωπίνην τοῦ κυρίου φύσιν λέγειν παρήσομεν, ποῦ τὸ „τέλειον ἐν ἀνθρωπότητι" σέσωσται; οὐδὲν γὰρ συνίστησιν ἕτερον τῆς ἀνθρωπίνης οὐσίας τὴν τελειότητα εἰ μήτοιγε τὸ οὐσιῶδες θέλημα, δι' οὗ καὶ ἡ τῆς αὐτεξουσιότητος ἐν ἡμῖν χαρακτηρίζεται δύναμις. οὕτως ἐχέτω καὶ ἡ οὐσιώδης ἐνέργεια. πῶς γὰρ πάλιν φαμὲν αὐτὸν „ἐν ἀνθρωπότητι τέλειον" μηδὲν ἀνθρώπινον παθόντα ἢ ἐνεργήσαντα; ὥσπερ οὖν ἡ τῶν δύο φύσεων συνδρομὴ μίαν ἡμῖν ἀσύγχυτόν τε καὶ ἀδιάτμητον ἐφύλαξε τὴν ὑπόστασιν, οὕτω καὶ ἡ μία ὑπόστασις ἐν δύο διαλάμπουσα φύσεσι τὰ ἑκατέρᾳ προσήκοντα παρεδείκνυεν ἴδια.

Δύο γοῦν ἐπ' αὐτοῦ φυσικὰ θελήματα καὶ δύο φυσικὰς ἐνεργείας κοινωνικῶς τε καὶ ἀδιαιρέτως προϊούσας δοξάζομεν, τὰς δὲ κενὰς καινοφωνίας καὶ τοὺς τούτων ἐφευρετὰς πόρρω που τῶν ἐκκλησιαστικῶν περιβόλων ἐκβάλλομεν καὶ τῷ ἀναθέματι δικαίως καθυποβάλλομεν, φαμὲν δὴ Θεόδωρον τὸν τῆς Φαράν, Σέργιόν τε καὶ Παῦλον, Πύρρον ἅμα καὶ Πέτρον τοὺς Κωνσταντινουπόλεως προεδρεύσαντας, ἔτι δὲ καὶ Κῦρον τὸν τῆς Ἀλεξανδρέων

2 cf. Symb. VI. concilii, p. 772,16

MTO l

1 οὐδετέραν] οὐδετέρα M 2 – 3 ἰδιώματα ... συναναιρήσομεν] ἰδιωμάτων ... συναναιρήσωμεν O 7 ἀπολιναρίου] ἀπολεναρίου T 10 μήτοιγε] μή τι γε O μὴ τό γέ l 13 ἡ] ἤ O εἰ l 14 τε *om.* O ἐφύλαξε] διεφύλαξε O 17 κενὰς] καινὰς O 18 ἐκβάλλομεν] ἐβάλομεν T 18 – 19 καὶ ... καθυποβάλλομεν *om.* O καθυποβάλλομεν] καθυπεβάλομεν T

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/9/15 1:42 AM

naturas ita et duas naturales uoluntates et duas naturales ⟨eius⟩ operationes agnoscimus neutram enim eorum, quae Christi sunt naturarum, in eius dispensatione audemus absque uoluntate uel absque operatione pronuntiare, ne forte earum perimentes proprietates etiam naturas quorum sunt proprietates pariter perimamus. nec enim negamus naturalem humanitatis eius uoluntatem aut naturalem operationem, ne et quod pro salute nostra est dispensationis capitulum denegemus et deitati passiones applicemus. hoc quippe conabantur qui nuper in eo unius uoluntatis et unius operationis exsecrabilem nouitatem introduxerunt Arrii et Apollenarii et Eutychetis atque Seueri malignam sectam restaurantes. si enim absque uoluntate et absque operatione humanam domini naturam dicere cesserimus, ubi „perfectum in humanitate" saluatum est? nihil enim aliud substituit humanae substantiae integritatem nisi essentialis uoluntas, per quam liberi arbitrii uigor in nobis designatur. sic se habeat et substantialis operatio. quomodo enim a⟨i⟩emus eum „in humanitate perfectum", si nihil humanum passus est aut operatus? quemadmodum enim duarum naturarum concursus unam nobis inconfusam atque indiuisam conseruauit ⟨subsistentiam⟩, ita et una subsistentia in duabus coruscans naturis, quae utrique conueniunt, propria demonstrabat.

Duas igitur in eo naturales uoluntates et duas naturales operationes communiter atque indiuise procedentes praedicamus, superfluas autem uocum nouitates et harum adinuentores procul quodam ab ecclesiasticis septis abicimus et anathemati merito subicimus, id est Theodorum Pharanitanum, Sergium et Paulum, Pyrrum simul et Petrum, qui Constantinopoleos praesulatum tenuerunt, insuper et Cyrum, qui Alexandrinorum sacerdo-

VP C(1)BR MNL(1)

1 uoluntates] uolontates C operationes B αὐτοῦ = ⟨eius⟩ *om.* VP CBR MN operationes] rationes L *inc.* (*cf.* 809,14) agnoscimus C *desin.* (*cf.* 847,21)] agnoscemus B 2 neutram] neutra MN naturam L eorum] earum? naturarum] natuturarum V 3 uoluntate uel absque uoluntate uel P^1 absque] asque M^1 proprietatęs] propriaetates P proprietatis N 4 quorum] quarum B L 4–5 humanitatis] humanitate B 5 aut] et L 6 deitati] deitate V^1 passiones applicemus] passionis adplicemus B possessionis applicemus R 6–7 ἔσπευδον = conabantur (properabant) 7 uoluntatis] uoluntates B unius²] unus V^1 exsecrabilem] execrabilem V R NL nouitatem] ....tatem M *ras.* 8 introduxerunt] interduxerunt V arrii] arii V^1 apollenarii] apolonari V apollonarii P apolinarii BR appollinarii N apollinarii L et² *om.* VP BR MN eutychetis] euticheti B euticis R euticetis M eutycetis NL seueri] seuer. M *ras.* malignam] magnam L κακοδοξίαν = malignam sectam sectam] isectam N 9–10 humanam ... in *om.* N 9 humanam] humanum V 10 cesserimus] censerimus V censserimus P cesseremus B censemus R humanitate] humanitatis MNL nihil] nichil R N 11 nisi essentialis] nesienssentialis V^1 nesiessentialis V^2 uoluntas] natura L quam] quem V liberi] libera V^1 uigor] uogor M 12 designatur] designatus L et] ut BR quomodo] quo L a⟨i⟩emus] agemus VP MNL agimus B 13 nihil] nichil R L passus] passum M^1 quemadmodum] quemammodum V^1P 14 concursus] concur currus B inconfusam] inconfussam V indiuisam] indeuisam V conseruauit] conseruabit VP BR 15 ὑπόστασιν = ⟨subsistentiam⟩] substantiam VP BR MNL una] unam M subsistentia] subsstantia V subssistentia P sba R subsistentiam M coruscans] corruscans L utrique] utique L 16 propria] propriae B^2 proprie R demonstrabat] demontrabat M^1 17 operationes] operationis V 18 indiuise] idiuise B^1 superfluas] superfluus B^1 uocum *om.* N harum] horum BR 18–19 adinuentores] adinuentiones NL 19 quodam] quosdam M^2 quadam N quondam L septis] sectis BR MNL et ... subicimus *om.* MNL anathemati] anathamati V anathimati B 20 theodorum pharanitanum] thedorum faranitanum BR et¹ *om.* N pyrrum] pyrrhum P 20–21 constantinopoleos] constantipoleos P^1 constantinupoleos P^2 constantinopoleus B 21 cyrum] cyrrum V N 21–817,1 sacerdotium] sacerdocium V sacerdotuim B^1

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/9/15 1:42 AM

ἱερατεύσαντα, καὶ σὺν αὐτοῖς Ὀνώριον τὸν τῆς Ῥώμης γενόμενον πρόεδρον ὡς ἐκείνοις ἐν τούτοις ἀκολουθήσαντα. καὶ πρός γε τούτοις κατ' ἐξαίρετον λόγον ἀναθεματίζομεν καθαιρήσαντες Μακάριον τὸν γενόμενον τῆς Ἀντιοχέων ἐπίσκοπον καὶ Στέφανον τὸν τούτου μαθητὴν μᾶλλον δὲ λέγειν καθηγητήν, τὴν τῶν πρὸ αὐτῶν διεκδικεῖν ἀγωνισαμένους δυσσέβειαν, καὶ πᾶσαν ὡς ἔπος εἰπεῖν *τὴν οἰκουμένην ἀναστατώσαντας* καὶ τοῖς μὲν πανταχοῦ λοιμώδεσι γράμμασι, ταῖς δὲ καθ' ἕκαστον δολεραῖς κατηχήσεσι τὴν τῶν πολλῶν ληϊσαμένους ἁπλότητα, ὁμοίως δὲ καὶ Πολυχρόνιον τὸν νηπιόφρονα καὶ ληρήσαντα γέροντα τὸν τοὺς νεκροὺς ἐγείρειν ἐπαγγελλόμενον καὶ τῷ μὴ ἐγείρειν γελώμενον, καὶ πάντας τοὺς θεματίσαντας ἢ θεματίζοντας ἢ θεματίζειν τολμῶντας ἓν θέλημα καὶ μίαν ἐπὶ τῆς οἰκονομίας Χριστοῦ τὴν ἐνέργειαν. καὶ μή τινες ἴσως ἐπιμεμφέσθωσαν τῆς τε τοῦ παναγίου πάπα θείας παραζηλώσεως τῆς τε παρούσης ἀγγελικῆς συνελεύσεως.

ἡμεῖς τε γὰρ ταῖς ἐκείνου καὶ πρὸ ἡμῶν καὶ σὺν ἡμῖν ἐκεῖνος ταῖς ἀποστολικαῖς τε καὶ πατρικαῖς ἠκολουθήσαμεν παραδόσεσι καὶ οὐδὲν ἀπᾷδόν τε καὶ ἀσύμφωνον τῆς αὐτῶν στοιχειώσεως ἐφευράμεθα. ἄλλως τε καὶ πρὸς τοὺς ἐπαναστάντας ἀντεπανέστημεν, ἀλλ' οὐ προεπανέστημεν καὶ οὐχ ἡμεῖς τῆς συμβολῆς ἀπηρξάμεθα, τοῖς δὲ προαρξαμένοις ἀνθοπλισάμεθα.

Τίς ἑώρακεν ἄρα τηλικαῦτα παράδοξα; πνευματικὸν ἡμῖν ἄρτι προετίθετο στάδιον καὶ ὁ τῆς *ψευδωνύμου γνώσεως* προαπεδύετο πρόμαχος. οὐκ ἤδει δὲ μὴ κομίζεσθαι τῆς νίκης τὸν στέφανον ἀλλὰ καὶ συνεκδύεσθαι τῆς ἱερωσύνης τὸν στέφανον. ὁ δὲ κορυφαιότατος ἡμῖν συνηγωνίζετο πρωταπόστολος. τὸν γὰρ ἐκείνου μιμητὴν καὶ τῆς καθέδρας διάδοχον εἴχομεν ὑπαλείφοντα καὶ τὸ τῆς θεολογίας μυστήριον διὰ γραμμάτων ἐκφαίνοντα. ὁμολογίαν σοι θεοχάρακτον ἡ Ῥώμη πόλις ἡ πρεσβύτις ἀνέτεινε, τὴν τῶν δογμάτων ἡμέραν

5 cf. Act. 17,6 18 cf. 1. Tim. 6,2 18 – 19 cf. 1. Cor. 9,25

MTO l

2 – 3 καθαιρήσαντες] καθαιροῦντες M 3 τῆς ἀντιοχέων γενόμενον O 8 – 9 καὶ ... γελώμενον *om.* T 10 τὴν ἐνέργειαν ἐπὶ τῆς οἰκονομίας χριστοῦ l 13 ἠκολουθήσαμεν] ἠκολούθησαν μὲν T 14 ἐφευράμεθα] ἐφηυράμεθα T 15 οὐ ... καὶ *om.* l προεπανέστημεν] προσεπανέστημεν MT 21 ἐκφαίνοντα] ἐμφαίνοντα T

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/9/15 1:42 AM

tium gessit, et cum eis Honorium, qui fuit Romae praesul, utpote qui eos in his secutus est. super his praecipua ratione anathematizamus deponentes Macarium, qui fuit Antiochenus episcopus, et Stephanum huius discipulum et ut potius dicamus magistrum, qui praecessorum suorum impietatem defendere conati sunt, et ut uerbialiter dicatur *totum orbem terrarum concitauerunt* et omnes quidem ubique pestiferis litteris, fraudulentis uero institutionibus unumquemque, multorum tamen simplicitatem deuastauerunt, similiter autem et Polichronium infantilis intellegentiae delirum senem, qui mortuos suscitare pollicitus, dum non suscitaret, derisus est, et omnes, qui constituerunt uel constituunt constituereue praesumpserint unam uoluntatem et unam ⟨Christi⟩ operationem in dispensatione, et ne forte quidam reprehendant seu sanctissimi papae diuinam aemulationem siue presentem angelicum conuentum. nos enim illius et ante nos et nobiscum ille apostolicas et paternas traditiones sumus secuti et nihil dissonum aut discrepans ab eorum informatione adinuenimus insuper et contra insurgentes nobis restitimus, sed non anticipauimus et neque nos congressionem assumpsimus, praeincipientibus uero e diuerso sumus armati.

Quis igitur aspexit talia mirabilia? spiritale nunc proponebatur st⟨a⟩dium et propugnator *falsidicae scientiae* iam ante exuebatur. ignorabat autem, quod non adipisceretur coronam uictoriae, sed et exueretur coronam sacerdotii. summus autem nobiscum concertabatur apostolorum princeps. illius enim imitatorem et sedis successorem habuimus fautorem et diuini ⟨uerbi⟩ [sacramenti] mysterium per litteras inlustrantem confessionem tibi a deo inscriptam illa Romana antiqua ciuitas optulit et dogmatum diem a uespertinis

---

VP BR MNL

---

1 honorium] homorium P^1 utpote] utpute BR qui²] que V eos] eo N 2 anathematizamus] anathamatizamus V anathimatizamus B deponentes] depo.entes P *ras.* macarium] macharium V M 2 – 3 antiochenus] antiocenus ML anthiocenus N 3 stephanum] sthephanum P stephanus M^1 4 praecessorum] praecessorem B defendere] defende. .e P *ras.* et *om.* N dicatur] dicatum M^1 totum] totom V 5 pestiferis] pestifieris V litteris] literas V^1 litteras V^2 fraudulentis] fraudolentis B ML 6 tamen in simplicitate B simplicitatem] simplicitate BR MNL deuastauerunt] deuestauerunt V 7 autem *om.* M polichronium] polychronium P polocronium B ML polochronium N infantilis] in fontibus R infantilis intellegentiae] infantulis intelligentiae L delirum] delerum BR senem] senum V mortuos] mortuus B^1 8 pollicitus] pollititus V omnes *om.* B 9 constituereue] constituere uel V constituere M^1 χριστοῦ = ⟨christi⟩ *om.* VP BR MNL 9 – 10 dispensatione] dispensationem P 10 quidam] quidem V reprehendant] reprehendat V^1 L sanctissimi] sanctissimae VP aemulationem] aemulacionem V emulationem BR MNL 12 apostolicas] apostilicas V apostolicus MNL^1 nihil] nichil R N dissonum] desonum V aut] au V^1 13 adinuenimus] adinuenemus B adinueniemus R et *om.* BR nobis *om.* L 13 – 14 προεπανέστημεν = anticipauimus? 14 nos *om.* B ἀπηρξάμεθα = assumpsimus? assumpsimus] adsumpsimus B praeincipientibus] praeincipientes BR praeincientibus N e diuerso] aduerso N 16 mirabilia] miracula BR proponebatur] propenebatur B στάδιον = st⟨a⟩dium] studi.um V *ras.* studium P BR MNL 17 falsidicae] falsedicae V falsidices N scientiae] stientiae P adipisceretur] adepisceretur B 18 coronam¹ ... exueretur P^2 *marg.* et *om.* MNL exueretur] exuretur B coronam²] corona M sacerdotii] sacerdotum MNL summus] sumus MN^1 19 apostolorum] apostulorum VP apostholorum B imitatorem] imitator est B imitationem R 19 – 20 et ... fautorem V^2 *marg.* 19 sedis] sedes V successorem] successores M^1 habuimus] habuemus B 20 fautorem] fauctorem N τῆς θεολογίας = diuini ⟨uerbi⟩ *om.* VP BR MNL [sacramenti] *cf.* mysterium mysterium] misterium VP N mysterii B misterii R litteras] literas P inlustrantem] illustrantem P R M^2L 21 inscriptam] conscriptam L optulit] obtulit V^1 B ML

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/9/15 1:42 AM

ἐκ τῆς ἑσπέρας ἀνέτειλε, χάρτης καὶ μέλαν ἐφαίνετο καὶ δι' Ἀγάθωνος ὁ Πέτρος ἐφθέγγετο καὶ τῷ συμβασιλεύοντι παντοκράτορι βασιλεὺς αὐτοκράτωρ συνεψηφίζου σύ, θεοψήφιστε, καὶ Σίμωνες παράσημοι τῷ τῆς ἀθετήσεως πτερῷ κατέπιπτον ἀνιπτάμενοι καὶ στήλη τούτων ἡ κατάβλησις ἵσταται καὶ ἡ πίστις ἀνίσταται καὶ τῶν λαῶν ἡ ὁμόνοια πρὸς τὸν οἰκεῖον κόσμον ἀποκαθίσταται. *ἐπήρθη ὁ ἥλιος καὶ ἡ σελήνη ἔστη ἐν τῇ τάξει αὐτῆς*, φησὶν ὁ προφήτης. εἰς φῶς *ἐπήρθη ὁ ἥλιος*, ὁ νοῦς ὁ ὑμέτερος, πρὸς τὸν *τῆς δικαιοσύνης* ἀνέδραμεν *ἥλιον* καθαρωτάτῳ καθαρῶς ἀτενίσας καὶ τὴν καταλλαγὴν ἡμῖν ἐντεῦθεν διακεκόμικε, *καὶ ἡ σελήνη ἔστη ἐν τῇ τάξει αὐτῆς*, ἡ ἐκκλησία φαμέν, καὶ *νύμφη* Χριστοῦ τὴν ἑαυτῆς σεμνότητα περιβάλλεται καὶ τὴν εὐσέβειαν ὡς παρθενίαν καταστολίζεται καὶ τὴν τῆς ὀρθοδοξίας πληροφορουμένη φαιδρότητα δᾳδουχεῖ τῷ κόσμῳ τὴν εἰρήνην ἀνέκλειπτον.

Ἀκούσατε ταῦτα πάντες, ὅσοι τε τὸ γεῶδες τοῦτο σκῆνος ἀπεξεδύσασθε καὶ ὅσοι μετατίκτεσθαι μέλλετε· τοῖς ἐνεστῶσι γὰρ ὅρασις οὐκ ἀκοὴ πληροφόρησις καὶ τῷ μόνῳ σοφῷ τε καὶ δυναμένῳ θεῷ χαριστήριον ὕμνον ἐκτενῶς ἀνατείνωμεν· *δόξα ἐν ὑψίστοις θεῷ καὶ ἐπὶ γῆς εἰρήνη* προσᾴδοντες τῷ εὐδοκήσαντι Χριστῷ τῷ φιλανθρώπῳ ἀναστῆσαι βασιλέα φιλόχριστον τὴν ἕνωσιν ταῖς ἐκκλησίαις βραβεύσαντα. ἀλλ', ὦ φιλάγαθε καὶ φιλοδίκαιε δέσποτα, τῷ τὸ κράτος χαρισαμένῳ σοι τήνδε τὴν εὔνοιαν ἀντιχάρισαι καὶ τοῖς παρ' ἡμῶν ὁρισθεῖσι σφραγῖδα παράσχου τὴν ὑμῶν ἔγγραφον βασιλικὴν ἐπικύρωσιν καὶ διὰ θείων ἰδίκτων καὶ τῶν ἐξ ἔθους εὐσεβῶν διατάξεων τὴν τούτων ἁπάντων βεβαίωσιν, ὥστε μηδένα τοῖς πραχθεῖσιν ἢ ἀντιφθέγγεσθαι ἢ καινότερον ζήτημα μηχανήσασθαι. ἴσθι γάρ, ὦ βασιλεῦ γαληνότατε, ὡς οὐδὲν τῶν ἐν ταῖς ὅλαις συνόδοις καὶ τῶν ἐκκρίτων πατέρων ὑποτυπωθέντων παρεχαράξαμεν, μενοῦνγε μᾶλλον ἐβεβαιώσαμεν καὶ „ἰδοὺ" πάντες συμψύχως τε καὶ συμφώνως ἀναφθεγγόμεθα· *σῶσον, κύριε, τὸν βασιλέα ἡμῶν* τὸν

5–8 Hab. 3,11 6–7 Mal. 4,2 8 cf. Joh. 3,29 12 cf. 2. Cor. 5,1 14–15 cf. Lc. 2,14 23 Ps. 19,9 (Vulg. 19,10)

3 σίμωνες] σήμωνες T πτερῷ *om.* M πτέρῳ O 6 ὑμέτερος] ἡμέτερος M τὸν *om.* M 7 ἐντεῦθεν ἡμῖν O 8 ἔστη *om.* O 12 τε *om.* M 14 θεῷ[1]] χριστῷ M ἀνατείνωμεν] ἀνατείνομεν T 15 εὐδοκήσαντι] εὐδοκῆσαι TO χριστῷ τῷ φιλανθρώπῳ] χριστὸν τὸν φιλάνθρωπον O 17 ἀντιχάρισαι] ἀντιχαρίσαι T 19 ἰδίκτων] ἰνδίκτων T 21 ἐκκρίτων] ἐγκρίτων O

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/9/15 1:42 AM

partibus extulit, charta et atramentum uidebatur et per Agathonem Petrus loquebatur et cum omnipotenti conregnatori princeps imperator simul decernebas tu, qui a deo decretus es, et Simone⟨s PA⟩R⟨A⟩SIMI pinnis praeuaricationis uolitantes corruebant et stat ruinae eorum statua, fides uero resurgit plebisque concordia in proprium restituitur decus. *eleuatus est sol et luna stetit in ordine suo*, ait propheta. in lumen *eleuatus est sol*, id est mens uestra, ad *iustitiae solem* ascendit purissimum pur⟨e⟩ conspicere reconciliationem, quae nobis ex hoc apportauit, *et luna stetit in ordine suo*, id est ecclesia, et *sponsa* Christi suum decorem amicta est et pietatem tamquam uirginitatis stolam induitur et orthodoxae fidei pulchritudine plenius satisfacta perpet⟨em⟩ pacem mundum inlustrat.

Audite haec omnes, qui terrenum hoc tabernaculum uos exuistis et qui postea nascituri estis! praesentibus enim non auditus sed uisus est satisfactio et solo sapienti et potenti deo gratiarum laudes enixius offeramus: *gloria in excelsis deo et in terra pax* decantantes dum Christo [omnipotenti] ⟨clementi⟩ complacuit suscitare principem Christo dilectum, qui unitatis ecclesiarum mediator effectus est. sed, o benignissime domine et amator iustitiae, ei, qui tibi potentatum largitus est, hanc gratiam reconpensa, et his, quae a nobis definita sunt, signaculum tribue uestram in scripto imperialem ratihabitionem et per edicta diualia atque per pias constitutiones ex more horum omnium firmitatem, quatenus nullus his quae gesta sunt aut contradicat nouamue quaestionem maccinetur. scito enim, serenissime imperator, quod nihil horum, quae in synodis uniuersis et probabilibus patribus constituta sunt falsauimus, uerum potius confirmauimus et „en" omnes unanimiter atque consonanter acclamamus. *domine saluum fac regem nostrum*, qui post te corroborauit

---

VP BR MNL

---

1 ἀνέτειλε = extulit (oriatur – ἐξάγειν) charta] carta V BR atramentum] atrementum R loquebatur] loquaebatur N 2 omnipotenti] cnomnipotenti V conregnatori] congregatori M congregatore N princeps] primus BR (*cf.* 7,4) simul] semul B decernebas] decertabas L 3 σίμωνες παράσημοι = simone⟨s pa⟩r⟨a⟩simi] si non eresimi V¹ simon eresimi V²P simone heresimi B symone resimi R MN (= simones falsi – mendaces) pinnis] pimus R pennis M uolitantes] uoluntates VP NL corruebant] curruebant VP κατάβλησις = ruinae (deiectionis) 4 in proprium] inproperium V M¹ restituitur] restituetur BR 5 sol¹] sed R in ordine = in habitaculo Vulg. in lumen eleuatus] in lumine leuatus B 6 mens] in mente M uestra] uestram N ad] aut V solem] sole N purissimum] purisimum V¹ pur⟨e⟩] pura VP MNL puorum BR conspicere] conspirare V 7 apportauit] aportauit V adportauit N 8 τὴν ἑαυτῆς σεμνότητα = suum decorem uirginitatis] uirginitas N induitur] induta est M indutus N induit L 9 pulchritudine] pulcritudine V B plenius] plenus N πληροφορουμένη = plenius satisfacta τὴν εἰρήνην ἀνέκλειπτον = perpet⟨em⟩ pacem perpet⟨em⟩] perpeti VP B MNL perpetu R pacem] pace ML inlustrat] illustrat P M²L 10 haec audite VP omnes gentes qui R tabernaculum] habitaculum R nascituri] nascituris V 11 satisfactio] satisfatio V solo] sola MNL 12 χαριστήριον = gratiarum (χαριστηρίων) et M² *add.* pax hominibus bone uoluntatis decantantes L 13 dum a christo V φιλανθρώπῳ = ⟨clementi⟩] [omnipotenti] VP BR MNL complacuit] conplacuit P BR 14 effectus] affectus VP 0 *om.* B benignissime] benissime B 15 reconpensa] recompensa ML conpensa N a *om.* P R 16 definita] difinita V diffinita R tribue] tribuae P² B² in scripto] inscriptio N imperialem] inperialem V ratihabitionem] ratihabitationem MN per edicta] per eredicta P per edita R praedicta MNL 17 diualia] diuilia V constitutiones] constitutionis B¹ more] mere V horum *om.* BR hore N firmitatem] firmitataem V 18 maccinetur] macinetur B¹R machinetur B² ML scito] scio V R 19 quod nihil] et quid nichil N et quod nihil L synodis] sinodis P B L 20 falsauimus] falsabimus M¹ potius] post R en] enim R ecce M unanimiter] unianimiter MN 21 acclamamus] adclamamus B declamamus R post te] poste V¹ corroborauit] coroborauit V

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/9/15 1:42 AM

μετὰ σὲ κρατύναντα τὴν κρηπῖδα τῆς πίστεως· εὐλόγησον τὴν ζωὴν αὐτοῦ· *κατεύθυνον τὰ διαβήματα* τῶν βουλῶν αὐτοῦ· πατησάτω τὴν ἰσχὺν τῶν ἐχθρῶν αὐτοῦ καὶ οἱ ἀνθεστηκότες αὐτῷ παραχρῆμα πιπτέτωσαν, ὅτι *ἐποίησε κρίμα καὶ δικαιοσύνην* αἰώνιον καὶ τῇ ἀληθείᾳ κινδυνευούσῃ χεῖρας ὠρέξατο καὶ τὸν λαόν σου διέσωσε καὶ ὁμοδοξεῖν συνεβίβασε· χαῖρε, πόλις νέα Ῥώμη Κωνσταντινούπολις, δεδοξασμένη τῷ τοῦ κράτους ὀνόματι, ἰδού, ὁ βασιλεύς σου πιστότατος ἀλλὰ καὶ ἀνδρειότατος, καὶ λήψεται πανοπλίαν τὴν ζηλωτικὴν αὐτοῦ δύναμιν, *ἐνεδύσατο θώρακα δικαιοσύνην* καὶ ὁσιότητα, περιέθετο κόρυθα φρόνησιν τὸ τῶν ἀρετῶν σκοπευτήριον καὶ *θυρεὸν* ἀνελάβετο τὴν ἀκαταμάχητον θεοσέβειαν τούτοις καθοπλιζόμενον κατίδοι τοῦτον τὸ βάρβαρον καὶ εἰς τὸ θεῖον ἐλπίζομεν ὑπόσπονδον ἀχθήσεται τῷ δεσπόζοντι· *εὐφραίνου* πόλις *Σιών*, τῆς οἰκουμένης περιωπὴ καὶ βασίλεια, Κωνσταντῖνος ἀλουργίδι σε προεκόσμησε καὶ πίστει προέστεψε καὶ Κωνσταντῖνος ἀμφοτέροις ἐπέστεψε *καὶ πύλαι ᾅδου* τῆς σῆς ὀρθοδόξου βασιλείας *οὐ κατισχύσουσι*· *χαῖρε καὶ θάρσει*, βασιλεῦ ὡραιότατε, κύριος *ὁ θεός* σου ἐν σοὶ δυνατὸς *περιζωννύων* σε δύναμιν σώσει σε, ἐπάξει ἐπὶ σὲ *εὐφροσύνην* καὶ *ἀγαλλίασιν* καὶ αὐξηθήσεται ἡ βασιλεία σου καὶ ὑψωθήσεται ὁ βραχίων σου καὶ κατισχυσάτω πάσης δυσμενοῦς ἀθεΐας καὶ ἀντιστάσεως καὶ κόψεται μὲν τὸ πολέμιον, χαρήσεται δὲ τὸ ὑπήκοον, διότι ἐγὼ δυνατός εἰμι, λέγει κύριος παντοκράτωρ.

---

2 Ps. 118,133 2 – 3 cf. Jer. 44,10 3 – 4 Ps. 118,121 7 – 8 Eph. 6,14; Eph. 6,17 10 – 11 cf. Ps. 96,8 12 cf. Mt. 16,18 13 cf. Joel 2,21 13 – 14 cf. Ps. 17,33 14 – 15 cf. Ps. 44,16

---

1 κρατύναντα] κρατύνοντα T 2 διαβήματα] βήματα T 3 παραχρῆμα] παραυτίκα MO 6 τῷ *om.* O 8 τὸ] τὸν T 12 ἐπέστεψε] ἐπέστεπται M 13 οὐ *om.* T

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/9/15 1:42 AM

fidei fundamentum benedicito uitam eius *dirige gressus* cogitationum eius conterat uirtutem inimicorum suorum et resistentes ei continuo corruant, quia *fecit iudicium et iustitiam* sempiternam et periclitanti ueritati manus porrexit populumque tuum saluauit ad eadem sapere eos concilians. gaude, ciuitas noua Roma Constantinopolis, glorificata nomine principali, ecce, rex tuus fidelis sed et fortissimus, et accipiet armaturam aemulatricem eius uirtutem, *indutus est loricam iustitiam* et sanctitatem, circumposuit sibi galeam prudentiam, quae est specula uirtutum et *scutum* assumpsit inexpugnabilem in deum pietatem. his armatum eum aspiciant barbari et speramus in deum obtemperare dominanti. *letare*, ciuitas *Sion*, cacumen orbis terrarum atque imperium, Constantinus te purpura preornauit et fidem ⟨pre⟩coronauit et Constantinus utrisque supercoronauit *porteque inferi* aduersus tuum orthodoxum imperium *non praeualebunt*, *gaude et fiducialiter age*, imperator speciosissime, dominus *deus* tuus in te potens *precingens* te uirtutem saluabit te, adducet super te *iocunditatem* et *exultationem* ampliabiturque imperium tuum et exaltabitur brachium tuum et dominetur cunctis aduersis deumque non agnoscentibus atque antistantibus et lamentabitur quidem hostilitas, gaudebit autem oboedientia, quia ego potens sum, dicit dominus omnipotens.

VP BR MNL

---

1 benedicito] benedicio V benediceto B benedico R 2 conterat] contere M resistentes] resistens V resistentis B¹ corruant] curruant V corruunt R quia] qui R N 3 iudicium] iuditium P B sempiternam] semper et eternam R periclitanti] perclitanti V ueritati] ueritate M¹ porrexit] porexit V 4 tuum *om.* N saluauit] saluabit B eadem] eadam V gaude] gaudet V caude N 4 – 5 constantinopolis] constantinopoli BR constantinopoletis N 5 glorificata] glorificatio N et¹ *om.* VP L accipiet] accepit V 6 aemulatricem] emulatricem B MN¹L loricam] lucricam P iustitiam] iustitiae B MN iusticie R sanctitatem] sanctitatis BR 6 – 7 sanctitatem et circumposuit L 7 galeam] galliam B prudentiam] prodentiam V est *om.* BR uirtutum] uirtutem M¹ assumpsit] adsumpsit B 8 inexpugnabilem] inexpugnabile M deum] domini MNL pietatem] pietate N et speramus] &peramus M¹ 8 – 9 et ... dominanti V² *marg.* 9 deum] domino L obtemperare] optemperare R NL letare] laetare P sion] syon R NL 9 – 10 orbis ... constantinus¹ *om.* N 10 purpura] pupora V¹ purpora V² porpora B¹ corpora R preornauit] ornauit M ⟨pre⟩coronauit] percornauit V percoronauit P BR MNL 11 porteque] portaque V portequae P portae M¹ aduersus] aduersum BR orthodoxum] orthodosum L 12 dominus] domine V¹ deus] sdš VP 13 precingens] precing.ens M *ras.* saluabit ... iocunditatem *om.* MNL te super BR exultationem] exaltationem M¹ 14 ampliabiturque] ampliabitur quia R exaltabitur] exultabitur P¹ dominetur] domine cur R 14 – 15 aduersis B² *add.* 15 atque antistantibus P² *marg.* atque] adque P² M antistantibus] antestantibus V R lamentabitur] lamentantibus N 16 sum] suum V¹

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/9/15 1:42 AM

ΑΙ ΥΠΟΓΡΑΦΑΙ ΤΗΣ ΣΥΝΟΔΟΥ

Ᾱ Θεόδωρος ἐλάχιστος πρεσβύτερος τῆς ἁγίας ἐκκλησίας Ῥώμης καὶ τὸν τόπον ἐπέχων Ἀγάθωνος τοῦ μακαριωτάτου καὶ οἰκουμενικοῦ πάπα πόλεως Ῥώμης τῷδε τῷ προσφωνητικῷ δεηθεὶς ὑπέγραψα

Β̄ Γεώργιος ἐλάχιστος πρεσβύτερος τῆς ἁγίας ἐκκλησίας Ῥώμης καὶ τὸν τόπον ἐπέχων Ἀγάθωνος τοῦ μακαριωτάτου καὶ οἰκουμενικοῦ πάπα πόλεως Ῥώμης τῷδε τῷ προσφωνητικῷ δεηθεὶς ὑπέγραψα

Γ̄ Ἰωάννης ἐλέει θεοῦ διάκονος τῆς ἁγίας ἐκκλησίας Ῥώμης καὶ τὸν τόπον ἐπέχων Ἀγάθωνος τοῦ μακαριωτάτου καὶ οἰκουμενικοῦ πάπα πόλεως Ῥώμης τῷδε τῷ προσφωνητικῷ δεηθεὶς ὑπέγραψα

Δ̄ Γεώργιος ἐλέει θεοῦ ἐπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης τῷδε τῷ προσφωνητικῷ δεηθεὶς ὑπέγραψα

Ε̄ Πέτρος ἐλέει θεοῦ πρεσβύτερος καὶ τοποτηρητὴς τοῦ θρόνου τῆς Ἀλεξανδρέων μεγαλοπόλεως τῷδε τῷ προσφωνητικῷ ὁμοίως ὑπέγραψα

ΣΤ̄ Θεοφάνης ἐλέει θεοῦ ἐπίσκοπος Θεουπόλεως ἤτοι Ἀντιοχείας τῷδε τῷ προσφωνητικῷ δεηθεὶς ὑπέγραψα

Ζ̄ Γεώργιος ἐλέει θεοῦ πρεσβύτερος τῆς ἁγίας Χριστοῦ τοῦ θεοῦ ἡμῶν Ἀναστάσεως ἐπέχων τὸν τόπον Θεοδώρου τοῦ θεοφιλεστάτου πρεσβυτέρου καὶ τοποτηρητοῦ τοῦ ἀποστολικοῦ θρόνου Ἱεροσολύμων ὁμοίως ὑπέγραψα

Η̄ Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος Θεσσαλονίκης καὶ βικάριος τοῦ ἀποστολικοῦ θρόνου Ῥώμης καὶ ληγάτος ὁμοίως ὑπέγραψα

Θ̄ Θεόδωρος ἐλέει θεοῦ ἐπίσκοπος Τριμιθούντων τῆς Κυπρίων νήσου τὸν τόπον ἐπέχων Ἐπιφανίου τοῦ ἁγιωτάτου μου ἀρχιεπισκόπου ὁμοίως ὑπέγραψα

Ῑ Θεόδωρος πρεσβύτερος τῆς ἁγιωτάτης ἐκκλησίας Ῥαβέννης καὶ τὸν τόπον ἐπέχων Θεοδώρου τοῦ ἁγιωτάτου μου ἀρχιεπισκόπου ὁμοίως ὑπέγραψα

ΙᾹ Ἰωάννης ἀνάξιος ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας τοῦ Πόρτου καὶ ληγάτος πάσης τῆς συνόδου τοῦ ἀποστολικοῦ θρόνου Ῥώμης ὁμοίως ὑπέγραψα

ΙΒ̄ Στέφανος ἐλέει θεοῦ ἐπίσκοπος Κορίνθου καὶ ληγάτος τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης ὁμοίως ὑπέγραψα

ΙΓ̄ Βασίλειος ἀνάξιος ἐπίσκοπος μητροπόλεως Γορτύνης τῆς Κρητῶν νήσου καὶ ληγάτος τῆς ὅλης ἁγίας συνόδου τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης ὁμοίως ὑπέγραψα

ΙΔ̄ Ἀβουνδάντιος ἐπίσκοπος Τεμψάνης καὶ ἀποκρισιάριος πάσης τῆς συνόδου τοῦ ἁγίου καὶ ἀποστολικοῦ θρόνου Ῥώμης ὁμοίως ὑπέγραψα

MTO

---

2 αἱ] ι M *om.* T ἡ O ὑπογραφαὶ] ὑπογραφὴ O 4 Ᾱ *om.* T (*etc.*) 5–6 προσφωνητικῷ] προσφωνηματικῷ T 7 γεώργιος] θεώργιος M 10 ἐλέει] ἐλέῳ T (*ita saepe*) 11 καὶ *om.* O 11–12 τῷδε τῷ προσφωνητικῷ δεηθεὶς] ὁμοίως MT 22 βικάριος] βεικάριος O 23 ληγάτος] λεγάτος O 24 τριμιθούντων] τριμυθούντων M 25 μου *om.* O 28 τοῦ *om.* O ληγάτος] λεγάτος O 29 θρόνου τῆς πρεσβυτέρας ῥώμης O 30 ἐλέει θεοῦ *om.* O ληγάτος] λεγάτος O 32 ληγάτος] λεγάτος O 33 τοῦ ἀποστολικοῦ θρόνου *om.* O 35–36 ἁγίου καὶ *om.* O

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/9/15 1:42 AM

ΙΕ̄ Ἰωάννης ἀνάξιος ἐπίσκοπος πόλεως τοῦ Ῥηγίου καὶ ἀποκρισιάριος πάσης τῆς συνόδου τοῦ ἁγίου καὶ ἀποστολικοῦ θρόνου Ῥώμης ὁμοίως ὑπέγραψα

ΙΣ̄Τ̄ Φιλαλήθης ἀνάξιος ἐπίσκοπος τῆς Καισαρέων μεγαλοπόλεως τῆς πρώτης τῶν Καππαδοκῶν ἐπαρχίας ὁμοίως ὑπέγραψα

ΙΖ̄ Θεόδωρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἐφεσίων μητροπόλεως τῆς Ἀσιανῶν ἐπαρχίας τῷδε τῷ προσφωνητικῷ ὁμοίως ὑπέγραψα

ΙΗ̄ Σισίννιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἡρακλεωτῶν μητροπόλεως τῆς Εὐρωπέων ἐπαρχίας τῷδε τῷ προσφωνητικῷ ὁμοίως ὑπέγραψα

ΙΘ̄ Πλάτων ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἀγκυρανῶν μητροπόλεως τῆς πρώτης τῶν Γαλατῶν ἐπαρχίας ὁμοίως ὑπέγραψα

Κ̄ Γεώργιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Κυζικηνῶν μητροπόλεως τῆς Ἑλλησποντίων ἐπαρχίας τῷδε τῷ προσφωνητικῷ ὁμοίως ὑπέγραψα

ΚᾹ Μαρῖνος ἀνάξιος ἐπίσκοπος τῆς Σάρδεων μητροπόλεως τῆς Λυδῶν ἐπαρχίας τῷδε τῷ προσφωνητικῷ δεηθεὶς ὑπέγραψα

ΚΒ̄ Πέτρος ἀνάξιος ἐπίσκοπος τῆς Νικομηδέων μητροπόλεως τῆς Βιθυνῶν ἐπαρχίας τῷδε τῷ προσφωνητικῷ ὁμοίως ὑπέγραψα

ΚΓ̄ Φώτιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Νικαέων μητροπόλεως τῆς Βιθυνῶν ἐπαρχίας τῷδε τῷ προσφωνητικῷ ὁμοίως ὑπέγραψα

ΚΔ̄ Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος τῆς Χαλκηδονέων μητροπόλεως τῆς Βιθυνῶν ἐπαρχίας τῷδε τῷ προσφωνητικῷ ὁμοίως ὑπέγραψα

ΚΕ̄ Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος τῆς Σιδιτῶν μητροπόλεως τῆς Παμφυλῶν ἐπαρχίας τῷδε τῷ προσφωνητικῷ ὁμοίως ὑπέγραψα

ΚΣ̄Τ̄ Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἀμασέων μητροπόλεως τῆς Ἑλενοποντίων ἐπαρχίας ὁμοίως ὑπέγραψα

ΚΖ̄ Θεόδωρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Μελιτηνῶν μητροπόλεως τῆς πρώτης τῶν Ἀρμενίων ἐπαρχίας ὁμοίως ὑπέγραψα

ΚΗ̄ Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος τῆς Πισινουντιέων μητροπόλεως τῆς δευτέρας τῶν Γαλατῶν ἐπαρχίας ὁμοίως ὑπέγραψα

ΚΘ̄ Ἰουστῖνος ἀνάξιος ἐπίσκοπος τῆς Τυανέων μητροπόλεως τῆς δευτέρας τῶν Καππαδοκῶν ἐπαρχίας ὁμοίως ὑπέγραψα

Λ̄ Ἀλύπιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Γαγγρηνῶν μητροπόλεως τῆς Παφλαγόνων ἐπαρχίας ὁμοίως ὑπέγραψα

MTO

---

1 τοῦ *om.* O 2 ἁγίου καὶ *om.* O 3 μεγαλοπόλεως] μητροπόλεως ? τῶν *om.* O 3 – 4 καππαδοκῶν] καππαδοκέων M 6 ὁμοίως] δεηθεὶς O 7 σισίννιος] σισίνιος MT εὐρωπέων] εὐρωπαίων M εὐροπέων TO 8 τῷ *bis* M 9 ἀγκυρανῶν] ἀγκυράνων T τῶν *om.* O 10 ὑπέγραψα *om.* O 11 ἑλλησποντίων] ἑλησποντίων MTO 12 τῷδε τῷ προσφωνητικῷ *om.* O ὑπέγραψα *om.* O (O *saepe nonnulla om.*) 13 – 14 τῷδε ... ὑπέγραψα] ὁμοίως O 15 βιθυνῶν] βιθύνων T 17 βιθυνῶν] βιθύνων T 19 χαλκηδονέων] χαλκηδονίων M βιθυνῶν] βιθύνων T 21 σιδιτῶν] σιδητων T σιδητῶν O παμφυλῶν] παμφύλων O 23 ἑλενοποντίων] ἑλλησποντίων M ἑλενοπόντου O 25 μελιτηνῶν] μελιτηνῆς M μελιτινῶν O 26 ὁμοίως] ὁρίσας M 27 πισινουντιέων] πισινουντίων M πισινουντιαίων O 31 παφλαγόνων] παφλαγώνων M

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/9/15 1:42 AM

ΛΑ Κυπριανὸς ἐλέει θεοῦ ἐπίσκοπος τῆς Κλαυδιουπολιτῶν μητροπόλεως τῆς Ὀνωρεατῶν ἐπαρχίας ὁμοίως ὑπέγραψα

ΛΒ Πολύευκτος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Μυρέων μητροπόλεως τῆς Λυκίων ἐπαρχίας ὁμοίως ὑπέγραψα

ΛΓ Θεόδωρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Σταυρουπολιτῶν μητροπόλεως τῆς Καρῶν ἐπαρχίας τῷδε τῷ προσφωνητικῷ ὁμοίως ὑπέγραψα

ΛΔ Τιβέριος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Λαοδικέων μητροπόλεως τῆς Φρυγῶν Πακατιανῶν ἐπαρχίας τῷδε τῷ προσφωνητικῷ ὁμοίως ὑπέγραψα

ΛΕ Κοσμᾶς ἐλέει θεοῦ ἐπίσκοπος τῆς Συναδέων μητροπόλεως τῆς Φρυγῶν Σαλουταρῶν ἐπαρχίας ὁμοίως ὑπέγραψα

ΛΣΤ Κωνσταντῖνος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Βαρατέων πόλεως τῆς Λυκαόνων ἐπαρχίας καὶ τὸν τόπον ἐπέχων Παύλου τοῦ ἁγιωτάτου μου ἐπισκόπου, τουτέστι μητροπολίτου Ἰκονίου, ὁμοίως ὑπέγραψα

ΛΖ Στέφανος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἀντιοχέων μητροπόλεως τῆς Πισιδῶν ἐπαρχίας τῷδε τῷ προσφωνητικῷ ὁμοίως ὑπέγραψα

ΛΗ Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος τῆς Περγέων μητροπόλεως τῆς Παμφύλων ἐπαρχίας τῷδε τῷ προσφωνητικῷ ὁμοίως ὑπέγραψα

ΛΘ Θεόπεμπτος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἰουστινιανουπολιτῶν ἤτοι Μωκισσηνῶν μητροπόλεως τῆς δευτέρας τῶν Καππαδοκῶν ἐπαρχίας ὁμοίως ὑπέγραψα

Μ Ἰσίδωρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ῥοδίων μητροπόλεως τῶν Κυκλάδων νήσων τῷδε τῷ προσφωνητικῷ ὁμοίως ὑπέγραψα

ΜΑ Σισίννιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἱεραπολιτῶν μητροπόλεως τῆς Φρυγῶν Πακατιανῶν ἐπαρχίας τῷδε τῷ προσφωνητικῷ ὁμοίως ὑπέγραψα

ΜΒ Θεόδωρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ταρσέων μητροπόλεως τῆς πρώτης τῶν Κιλίκων ἐπαρχίας τῷδε τῷ προσφωνητικῷ ὁμοίως ὑπέγραψα

ΜΓ Στέφανος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἀναζαρβέων μητροπόλεως τῆς δευτέρας τῶν Κιλίκων ἐπαρχίας ὁμοίως ὑπέγραψα

ΜΔ Μακρόβιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Σελευκέων μητροπόλεως τῆς Ἰσαύρων χώρας τῷδε τῷ προσφωνητικῷ ὁμοίως ὑπέγραψα

ΜΕ Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος Ἀθηνῶν καὶ ληγάτος τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης τῷδε τῷ προσφωνητικῷ ὁμοίως ὑπέγραψα

ΜΣΤ Γεώργιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Βιζυηνῶν πόλεως τῆς Θρᾳκῶν χώρας ὁμοίως ὑπέγραψα

ΜΖ Θεόδωρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Πομπηϊουπολιτῶν πόλεως τῆς Παφλαγόνων ἐπαρχίας τῷδε τῷ προσφωνητικῷ ὁμοίως ὑπέγραψα

MTO

---

1 κλαυδιουπολιτῶν] κλαυδιουτῶν O 3 μυρέων] μυραίων M λυκίων] λυκαόνων M 7 λαοδικέων] λαοδικαίων O πακατιανῶν *om.* M 9 συναδέων] συνάδεων T σαλουταρῶν] σαλουταρίων T 12 μου *om.* M 12 – 13 μητροπολίτου τοῦ ἰκονίου T 13 ὁμοίως] τῷδε τῷ προσφωνητικῷ δεηθεὶς O 18 ἰουστινιανουπολιτῶν] ἰουστινιανιτῶν O μωκισσηνῶν] μωκισσίων M μωκησηνῶν O 22 σισίννιος] σισίνιος MT 22 – 23 πακατιανῶν] καπατιανῶν M 28 σελευκέων] σελευκαίων M 29 τῷδε τῷ προσφωνητικῷ *om.* MO 30 ληγάτος] λεγάτος O ἀποστολικοῦ *om.* O 32 βιζυηνῶν] βυζιηνῶν M 34 παφλαγόνων] παμφλαγόνων T

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/9/15 1:42 AM

ΜΗ Ζαχαρίας ἐλέει θεοῦ ἐπίσκοπος τῆς Λεοντουπολιτῶν πόλεως τῆς Ἰσαύρων χώρας τῷδε τῷ προσφωνητικῷ ὁμοίως ὑπέγραψα
ΜΘ Γρηγόριος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Μιτυληναίων πόλεως τῆς Λεσβίων νήσου τῷδε τῷ προσφωνητικῷ ὁμοίως ὑπέγραψα
Ν Ἀλέξανδρος ἐλέει θεοῦ ἐπίσκοπος Κοτράδων Ἰσαυρίας ὁμοίως ὑπέγραψα
ΝΑ Ἐπιφάνιος ἐλέει θεοῦ ἐπίσκοπος Εὐχαΐτων ὁμοίως ὑπέγραψα
ΝΒ Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος Ἡρακλειουπόλεως δευτέρας Ἀρμενίας ὁμοίως ὑπέγραψα
ΝΓ Στρατόνικος ἐλέει θεοῦ ἐπίσκοπος Σόλων τῆς Κυπρίων νήσου ὁμοίως ὑπέγραψα
ΝΔ Τύχων ἐλέει θεοῦ ἐπίσκοπος τοῦ Κιτίου τῆς Κυπρίων νήσου ὁμοίως ὑπέγραψα
ΝΕ Πέτρος χάριτι τοῦ θεοῦ ἐπίσκοπος Μεσημβρίας Θράκης ὁμοίως ὑπέγραψα
ΝΣΤ Πέτρος ἀνάξιος ἐπίσκοπος Σωζοπόλεως Θράκης ὁμοίως ὑπέγραψα
ΝΖ Ἰωάννης ἀνάξιος ἐπίσκοπος τῆς Στοβέων πόλεως ὁμοίως ὑπέγραψα
ΝΗ Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος τοῦ Ἄργους ὁμοίως ὑπέγραψα
ΝΘ Γεώργιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Μιλησίων πόλεως τῆς Καρῶν ἐπαρχίας ὁμοίως ὑπέγραψα
Ξ Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος τῆς Λαμπέων πόλεως τῆς Κρητῶν νήσου ὁμοίως ὑπέγραψα
ΞΑ Θεοδόσιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Λακεδαιμονίων πόλεως ὁμοίως ὑπέγραψα
ΞΒ Γρηγόριος ἐλέει θεοῦ ἐπίσκοπος Καντάνου τῆς Κρητῶν νήσου ὁμοίως ὑπέγραψα
ΞΓ Σέργιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Σηλυβρινῶν πόλεως τῆς Εὐρωπέων ἐπαρχίας ὁμοίως ὑπέγραψα
ΞΔ Ἀνδρέας ἐλέει θεοῦ ἐπίσκοπος τῆς Μεθυμναίων πόλεως τῆς Λεσβίων νήσου ὁμοίως ὑπέγραψα
ΞΕ Θεόγνιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Κιανῶν πόλεως τῆς Βιθυνῶν ἐπαρχίας ὁμοίως ὑπέγραψα
ΞΣΤ Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος τῆς Νυσσαέων πόλεως τῆς πρώτης τῶν Καππαδοκῶν ἐπαρχίας ὁμοίως ὑπέγραψα
ΞΖ Θεόδωρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Θερμηνῶν πόλεως τῆς πρώτης τῶν Καππαδοκῶν ἐπαρχίας ὁμοίως ὑπέγραψα
ΞΗ Γεώργιος χάριτι θεοῦ ἐπίσκοπος τῆς Καμουλιανῶν πόλεως τῆς πρώτης τῶν Καππαδοκῶν ἐπαρχίας ὁμοίως ὑπέγραψα
ΞΘ Θεόδωρος ἐλέει θεοῦ ἐπίσκοπος Ἰουστινιανουπόλεως Ἀρμενίας ὁμοίως ὑπέγραψα

ΜΤΟ

---

1 λεοντουπολιτῶν] λεοντοπολιτῶν M 3 μιτυληναίων] μιτυληνέων T πόλεως] μητροπόλεως M 10 τοῦ *om.* M 11 τοῦ *om.* M θεοῦ ἡμῶν ἐπίσκοπος T 13 στοβέων] τοβέων O 15 τῆς² *om.* O ἐπαρχίας κάρου O 17 λαμπέων] λαπαίων M 19 λακεδαιμονίων] λακεδαιμονέων T 20 καντάνου] καντανοῦ M 21 σηλυβρινῶν] σιλυβρηνῶν T σηλυβρινῶν O τῆς² *om.* O εὐρωπέων] εὐρωπαίων MO εὐροπέων T ἐπαρχίας εὐρωπαίων O 23 λεσβίων] λεσβηνῶν M νήσου λεσβίων O 25 κιανῶν] κιάνων T βιθυνῶν] βιθύνων T 27 τῆς¹ *om.* O πόλεως νυσαέων O τῶν *om.* O 29 πόλεως *om.* M τῆς² *om.* O 31 τῆς¹ *om.* O πόλεως καμουλιανῶν O 32 ἐπαρχίας τῷδε τῷ προφωνητικῷ ὁμοίως T 33 ἐλέει θεοῦ *om.* T

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/9/15 1:42 AM

Ō Γεώργιος ἐλέει θεοῦ ἐπίσκοπος Δαρανάλεως, κλίματος τῆς μεγάλης τῶν Ἀρμενίων ἐπαρχίας, τῷδε τῷ προσφωνητικῷ ὁμοίως ὑπέγραψα

ŌĀ Ζωϊτὸς ἐλέει θεοῦ ἐπίσκοπος τῆς Χριστουπολιτῶν πόλεως ἤτοι Διὸς ἱεροῦ τῆς Ἀσιανῶν ἐπαρχίας ὁμοίως ὑπέγραψα

ŌB Θεόδωρος ἐλέει θεοῦ ἐπίσκοπος πόλεως Περγάμου τῆς Ἀσιανῶν ἐπαρχίας ὁμοίως ὑπέγραψα

ŌΓ Πατρίκιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Μαγνητῶν πρὸς τῷ Μαιάνδρῳ πόλεως τῆς Ἀσιανῶν ἐπαρχίας τῷδε τῷ προσφωνητικῷ ὁμοίως ὑπέγραψα

ŌΔ Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος πόλεως Ἄνεων τῆς Ἀσιανῶν ἐπαρχίας ὁμοίως ὑπέγραψα

ŌE Θεόδωρος ἐλέει θεοῦ ἐπίσκοπος Μασταύρων ἐπαρχίας Ἀσίας ὁμοίως ὑπέγραψα

ŌS̄T̄ Σισίννιος ἐλέει θεοῦ ἐπίσκοπος πόλεως Νύσσης ἐπαρχίας Ἀσίας ὁμοίως ὑπέγραψα

ŌZ Ῥηγῖνος ἐλέει θεοῦ ἐπίσκοπος τοῦ Πανίου τῷδε τῷ προσφωνητικῷ ὁμοίως ὑπέγραψα

ŌH Μαρτύριος ἐλέει θεοῦ ἐπίσκοπος Ἰουλιουπόλεως Γαλατίας πρώτης ὁμοίως ὑπέγραψα

ŌΘ Μιχαὴλ ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἀσπονέων πόλεως ὁμοίως ὑπέγραψα

Π Πλάτων ἐλέει θεοῦ ἐπίσκοπος τῆς Κιννηνῶν πόλεως Γαλατίας πρώτης ὁμοίως ὑπέγραψα

ΠĀ Γενέσιος ἐλέει θεοῦ ἐπίσκοπος Ἀναστασιουπόλεως ⟨Γαλατίας πρώτης⟩ ὁμοίως ὑπέγραψα

ΠB Ἀνδρέας ἐλέει θεοῦ ἐπίσκοπος ⟨πόλεως⟩ Μνίζου ἐπαρχίας Γαλατίας πρώτης ὁμοίως ὑπέγραψα

ΠΓ Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος Μιλητουπόλεως Ἑλλησπόντου ὁμοίως ὑπέγραψα

ΠΔ Κυρικὸς ἐλέει θεοῦ ἐπίσκοπος Ἀδριανίας Ἑλλησπόντου ὁμοίως ὑπέγραψα

ΠE Σισίννιος ἐλέει θεοῦ ἐπίσκοπος Βασιλινουπόλεως Βιθυνίας ὁμοίως ὑπέγραψα

ΠS̄T̄ Θεόδωρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Πραινετίων πόλεως ἐπαρχίας Βιθυνίας ὁμοίως ὑπέγραψα

ΠZ Θεόδωρος ἐλέει θεοῦ ἐπίσκοπος Ἰουστινιανουπόλεως ἤτοι Μέλης ὁμοίως ὑπέγραψα

ΠH Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἀνδραπηνῶν πόλεως ὁμοίως ὑπέγραψα

ΠΘ Σολομὼν ἐλέει θεοῦ ἐπίσκοπος πόλεως Κλανέου τῷδε τῷ προσφωνητικῷ ὁμοίως ὑπέγραψα

Ϙ Γεώργιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ναξίων νήσου ὁμοίως ὑπέγραψα

ϘĀ Πολυχρόνιος ἐλέει θεοῦ ἐπίσκοπος Θεουπόλεως ἤτοι Προύσης ὁμοίως ὑπέγραψα διὰ Θεοδοσίου πρεσβυτέρου διὰ τὸ προσὸν αὐτῷ γῆρας

ϘB Θεόδωρος ἐλέει θεοῦ ἐπίσκοπος πόλεως τοῦ Ἀμορίου ὁμοίως ὑπέγραψα

MTO

---

1 ἐπίσκοπος *om.* O 2 ἐλάχιστος] ἐλέει θεοῦ M 4 ὑπεσημηνάμην *om.* O 6 ὑπεσημηνάμην] ὁμοίως O 8 ὑπὲρ ἐμαυτοῦ *om.* O ὑπεσημηνάμην *om.* O 9 πόλεως *om.* O τριμιθούντων] τριμυθούντων M τριμιθοῦντος O 10 μου *om.* O 11 ὑπεσημηνάμην *om.* O 12 κιτονάτος] κιτωνάτος M καραλίας] καραλλίας O σαρδηνίας] σαρδινίας M 14 ἁγίας *om.* M 15 μου *om.* O ὑπεσημηνάμην *om.* O 16 ληγάτος] λεγάτος O 17 θρόνου τῆς πόλεως O 18 ὑπὲρ] περὶ M ὑπεσημηνάμην *om.* O (*et ita semper*) 21 γορτυνέων] γορτυναίων M 23 ληγάτος] λεγάτος O 26 τοῦ *om.* M 27 πόλεως *om.* O 28 καὶ ἔξαρχος *om.* O 29 καὶ ... συνόδου *om.* O 30 σισίννιος] σισίνιος MT εὐρωπέων] εὐρωπαίων M εὐροπέων T 31 συνόδου *om.* O

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/9/15 1:42 AM

ΙΖ̄ Πλάτων ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἀγκυρανῶν μητροπόλεως τῆς πρώτης τῶν Γαλατῶν ἐπαρχίας ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑπεσημηνάμην

ΙΗ̄ Γεώργιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Κυζικηνῶν μητροπόλεως τῆς Ἑλλησποντίων ἐπαρχίας ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑπεσημηνάμην

ΙΘ̄ Μαρῖνος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Σάρδεων μητροπόλεως τῆς Λυδῶν ἐπαρχίας ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑπεσημηνάμην

Κ̄ Πέτρος ἀνάξιος ἐπίσκοπος τῆς Νικομηδέων μητροπόλεως τῆς Βιθυνῶν ἐπαρχίας ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑπεσημηνάμην

ΚᾹ Φώτιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Νικαέων μητροπόλεως τῆς Βιθυνῶν ἐπαρχίας ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑπεσημηνάμην

ΚΒ̄ Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος τῆς Χαλκηδονέων μητροπόλεως τῆς Βιθυνῶν ἐπαρχίας ὑπεσημηνάμην

ΚΓ̄ Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος τῆς Σιδητῶν μητροπόλεως τῆς Παμφύλων ἐπαρχίας ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑπεσημηνάμην

ΚΔ̄ Θεοδόσιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Σεβαστηνῶν μητροπόλεως τῆς πρώτης τῶν Ἀρμενίων ἐπαρχίας ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑπεσημηνάμην

ΚΕ̄ Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἀμασέων μητροπόλεως τῆς Ἑλενοποντίων ἐπαρχίας ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑπεσημηνάμην

ΚΣ̄Τ̄ Θεόδωρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Μελιτηνῶν μητροπόλεως τῆς πρώτης τῶν Ἀρμενίων ἐπαρχίας ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑπεσημηνάμην

ΚΖ̄ Ἰουστῖνος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Τυανέων μητροπόλεως τῆς δευτέρας τῶν Καππαδοκῶν ἐπαρχίας ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑπεσημηνάμην

ΚΗ̄ Ἀλύπιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Γαγγρηνῶν μητροπόλεως τῆς Παφλαγόνων ἐπαρχίας ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑπεσημηνάμην

ΚΘ̄ Κυπριανὸς ἐλέει θεοῦ ἐπίσκοπος τῆς Κλαυδιουπολιτῶν μητροπόλεως τῆς Ὀνωρεατῶν ἐπαρχίας ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑπεσημηνάμην

Λ̄ Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος τῆς Πισινουντιέων μητροπόλεως τῆς δευτέρας τῶν Γαλατῶν ἐπαρχίας ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑπεσημηνάμην

ΛᾹ Πολύευκτος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Μυρέων μητροπόλεως τῆς Λυκίων ἐπαρχίας ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑπεσημηνάμην

ΛΒ̄ Θεόδωρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Σταυροπολιτῶν μητροπόλεως τῆς Καρῶν ἐπαρχίας ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑπεσημηνάμην

ΛΓ̄ Τιβέριος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Λαοδικέων μητροπόλεως τῆς Φρυγῶν Πακατιανῶν ἐπαρχίας ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑπεσημηνάμην

ΛΔ̄ Κοσμᾶς ἐλέει θεοῦ ἐπίσκοπος τῆς Συναδέων μητροπόλεως τῆς Φρυγῶν Σαλουταρίων ἐπαρχίας ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑπεσημηνάμην

MTO

---

1 ἐλέει θεοῦ *om.* O ἀγκυρανῶν] ἀγκυριανῶν O 2 συνόδου *om.* O 3 ἐλέει θεοῦ *om.* O μητροπόλεως] πόλεως M ἑλλησποντίων] ἑλησπόντου O 4 ὑπὲρ … συνόδου *om.* O (*et ita semper*) 5 ἐλέει θεοῦ *om.* O (*et ita semper*) 7 ἀνάξιος *om.* O 12 ὑπεσημηνάμην] ὁμοίως O 13 σιδητῶν] σιδιτῶν M παμφύλων] παμφίλων T 15 πρώτης] δευτέρας TO 17 ἀμασέων] ἀμασηνῶν O ἑλενοποντίων] ἑλλησποντίων M 19 μελιτηνῶν] μελιτινῶν O πρώτης τῶν *om.* M 21 δευτέρας] β′ T 27 τῆς *om.* M πισινουντιέων] πισινουντίων M δευτέρας] β′ MT 29 μυρέων] μυραίων M 31 σταυροπολιτῶν] σταυροπολιτῆς M 33 πακατιανῶν] καπατιανῶν M 35 σαλουταρίων] σαλουτάρων TO

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/9/15 1:42 AM

ΛΕ Κωνσταντῖνος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Βαρατέων πόλεως καὶ τὸν τόπον ἀναπληρῶν Παύλου τοῦ ἁγιωτάτου μου μητροπολίτου τῆς Ἰκονιέων μητροπόλεως τῆς Λυκαόνων ἐπαρχίας ὁμοίως ὑπεσημηνάμην

ΛΣΤ Στέφανος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἀντιοχέων μητροπόλεως τῆς Πισιδῶν ἐπαρχίας ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑπεσημηνάμην

ΛΖ Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος τῆς Περγέων μητροπόλεως τῆς Παμφύλων ἐπαρχίας ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑπεσημηνάμην

ΛΗ Θεόπεμπτος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἰουστινιανουπολιτῶν ἤτοι Μωκισσηνῶν φιλοχρίστου μητροπόλεως τῆς δευτέρας τῶν Καππαδοκῶν ἐπαρχίας ὁμοίως ὑπεσημηνάμην

ΛΘ Ἰσίδωρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ῥοδίων μητροπόλεως τῶν Κυκλάδων νήσων ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑπεσημηνάμην

Μ Σισίννιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἱεραπολιτῶν μητροπόλεως τῆς Φρυγῶν Πακατιανῶν ἐπαρχίας ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑπεσημηνάμην

ΜΑ Θεόδωρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ταρσέων μητροπόλεως τῆς πρώτης τῶν Κιλίκων ἐπαρχίας ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑπεσημηνάμην

ΜΒ Στέφανος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἀναζαρβέων μητροπόλεως τῆς δευτέρας τῶν Κιλίκων ἐπαρχίας ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑπεσημηνάμην

ΜΓ Μακρόβιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Σελευκέων μητροπόλεως τῆς Ἰσαύρων χώρας ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑπεσημηνάμην

ΜΔ Γεώργιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Βιζυηνῶν πόλεως τῆς Θρᾳκῶν χώρας ὑπεσημηνάμην

ΜΕ Θεόδωρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Πομπηϊουπολιτῶν πόλεως τῆς Παφλαγόνων ἐπαρχίας ὁμοίως ὑπεσημηνάμην

ΜΣΤ Ζαχαρίας ἐλέει θεοῦ ἐπίσκοπος τῆς Λεοντουπολιτῶν πόλεως τῆς Ἰσαύρων χώρας ὑπεσημηνάμην

ΜΖ Γρηγόριος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Μιτυληναίων πόλεως τῆς Λεσβίων νήσου ὑπεσημηνάμην

ΜΗ Γεώργιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Μιλησίων πόλεως τῆς Καρῶν ἐπαρχίας ὑπεσημηνάμην

ΜΘ Σέργιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Σηλυβρηνῶν πόλεως τῆς Θρᾳκῶν χώρας ⟨ὑ⟩πεσημηνάμην

ΜΤΟ

---

1 βαρατέων] βαραταίων M 2 μου *om.* O ἰκονιέων] ἰκονιαίων M 6 περγέων] περγαίων M παμφύλων] παμφίλων T 8 θεοῦ *om.* MO τῆς *om.* M ἰουστινιανουπολιτῶν] ἰουστινιανιτῶν M μωκισσηνῶν] μωκησηνῶν O 9 μητροπόλεως] πόλεως O δευτέρας] πρώτης M β' T 12 – 13 πακατιανῶν] καπατιανῶν M 13 ὑπ'] ἐπ' M 16 μητροπόλεως] πόλεως MT 16 – 17 τῆς … ἐπαρχίας *om.* M 16 δευτέρας] β' T 20 βιζυηνῶν] βυζιηνῶν M 20 – 21 χώρας αὐτοκέφ . . ὑπεσημηνάμην O 23 ὁμοίως *om.* M (*recte?*) 26 μιτυληναίων] μιτυληνέων T λεσβίων] λεσβήνων O 30 σέργιος] γέργιος M σηλυβρηνῶν] σιλυμβρηνῶν T 31 ⟨ὑ⟩πεσημηνάμην] ἐπεσημηνάμην MT *om.* O

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/9/15 1:42 AM

Ν̄ Ἀνδρέας ἐλέει θεοῦ ἐπίσκοπος τῆς Μεθυμναίων πόλεως τῆς Λεσβίων νήσου ὑπεσημηνάμην
ΝᾹ Ἀλέξανδρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Κοτραδέων πόλεως τῆς Ἰσαύρων χώρας ὑπεσημηνάμην
ΝΒ̄ Ἐπιφάνιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Εὐχαϊτηνῶν φιλοχρίστου μητροπόλεως τῆς Ἑλενοποντίων ἐπαρχίας ὁμοίως ὑπεσημηνάμην
ΝΓ̄ Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος τῆς Καρπαθίων νήσου ὁμοίως ὑπεσημηνάμην
ΝΔ̄ Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἡρακλειουπολιτῶν πόλεως τῆς δευτέρας τῶν Ἀρμενίων ἐπαρχίας ὑπεσημηνάμην
ΝΕ̄ Πέτρος χάριτι θεοῦ ἐπίσκοπος τῆς Μεσημβρηνῶν πόλεως τῆς Αἱμιμοντίων ἐπαρχίας ὑπεσημηνάμην
ΝΣΤ̄ Πέτρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Σωζοπολιτῶν πόλεως τῆς Θρᾳκῶν χώρας ὑπεσημηνάμην

Ἀντίγραφος θεία σάκρα τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου βασιλέως Κωνσταντίνου γενομένη πρὸς Λέοντα τὸν ἁγιώτατον καὶ μακαριώτατον πάπαν τῆς πρεσβυτέρας Ῥώμης, σταλεῖσα διὰ τῶν ἐκεῖθεν σταλέντων συνοδικαρίων παρὰ περιόντος Ἀγάθωνος τοῦ τῆς ὁσίας μνήμης.

Ἡ ἐπιγραφή

Λέοντι τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ ἀρχιεπισκόπῳ τῆς ἀρχαίας καὶ περιδόξου πόλεως Ῥώμης καὶ οἰκουμενικῷ πάπᾳ.

Ἀπελύθη μηνὶ Δεκε⟨μ⟩βρίῳ τρίτῃ καὶ δεκάτῃ ἰνδικτιῶνος δεκάτης.

Τῆς τῶν οὐρανῶν ἀκαταλήκτου βασιλείας τε καὶ μακαριότητος ἐφιέμενοι καὶ πρὸς τὴν πνευματικὴν υἱοθεσίαν τὸν φιλευσεβῆ σκοπὸν ἡμῶν διευθύνοντες ἐκεῖνα διαμελετῶμεν καὶ πράττομεν, ὅσα τοῦ σπουδαζομένου τυχεῖν ὑποτίθεται. τί οὖν ὁ κύριος ἐν εὐαγγελίοις ἐπηγγείλατο; *μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ υἱοὶ θεοῦ κληθήσονται.* ταύτης δὴ τῆς ἐπαγγελίας τῆς καὶ πρὸς τὴν θείαν ἡμᾶς ἀναβιβαζούσης συγγένειαν καὶ τὴν τῆς υἱοθεσίας χαριζομένης εὐγένειαν ἐντὸς γενέσθαι βουλόμενοι καὶ τὸν περιστέψαντα ἡμᾶς Χριστὸν αὐτὸν ἐκμιμούμενοι καὶ *τὸ πᾶν ἐν ἑαυτῷ τῷ θεῷ καταλλάξαντα* πρὸς εἰρήνην τε καὶ

32 Mt. 5,9 35 Col. 1,20

MTO(13)

1 μεθυμναίων] μεθυμνέων T 3 κοτραδέων] κοτραδαίων M 5 μητροπόλεως] πόλεως M 6 ἑλενοποντίων] ἑλληνοποντίων M ὑπεσημηνάμην] ὁμοίως O 8 δευτέρας] β′ M 9 ὑπεσημηνάμην] ὁμοίως O 10 θεοῦ] χριστοῦ T αἱμιμοντίων] ἐμιμοντίων O 13 *expl.* O (902,13) 17 θεία σάκρα τοῦ] θείας ἀκράτου T 18 γενομένη] γενομένης T 19 σταλέντων] ἀποσταλέντων T 22 ἡ *om.* T 27 δεκε⟨μ⟩βρίῳ] δεκεβρίῳ M δεκ T τρίτῃ καὶ δεκάτῃ] ιγ′ MT δεκάτης] ι′ MT 34 ἡμᾶς] ὑμᾶς M

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/9/15 1:42 AM

Ν̄ Ἀνδρέας ἐλέει θεοῦ ἐπίσκοπος τῆς Μεθυμναίων πόλεως τῆς Λεσβίων νήσου ὑπεσημηνάμην
ΝᾹ Ἀλέξανδρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Κοτραδέων πόλεως τῆς Ἰσαύρων χώρας ὑπεσημηνάμην
ΝΒ̄ Ἐπιφάνιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Εὐχαϊτηνῶν φιλοχρίστου μητροπόλεως τῆς Ἑλενοποντίων ἐπαρχίας ὁμοίως ὑπεσημηνάμην
ΝΓ̄ Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος τῆς Καρπαθίων νήσου ὁμοίως ὑπεσημηνάμην
ΝΔ̄ Ἰωάννης ἐλέει θεοῦ ἐπίσκοπος τῆς Ἡρακλειουπολιτῶν πόλεως τῆς δευτέρας τῶν Ἀρμενίων ἐπαρχίας ὑπεσημηνάμην
ΝΕ̄ Πέτρος χάριτι θεοῦ ἐπίσκοπος τῆς Μεσημβρηνῶν πόλεως τῆς Αἱμιμοντίων ἐπαρχίας ὑπεσημηνάμην
ΝΣΤ̄ Πέτρος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Σωζοπολιτῶν πόλεως τῆς Θρᾳκῶν χώρας ὑπεσημηνάμην

Ἀντίγραφος θεία σάκρα τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου βασιλέως Κωνσταντίνου γενομένη πρὸς Λέοντα τὸν ἁγιώτατον καὶ μακαριώτατον πάπαν τῆς πρεσβυτέρας Ῥώμης, σταλεῖσα διὰ τῶν ἐκεῖθεν σταλέντων συνοδικαρίων παρὰ περιόντος Ἀγάθωνος τοῦ τῆς ὁσίας μνήμης.

Ἡ ἐπιγραφή

Λέοντι τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ ἀρχιεπισκόπῳ τῆς ἀρχαίας καὶ περιδόξου πόλεως Ῥώμης καὶ οἰκουμενικῷ πάπᾳ.

Ἀπελύθη μηνὶ Δεκε⟨μ⟩βρίῳ τρίτῃ καὶ δεκάτῃ ἰνδικτιῶνος δεκάτης.

Τῆς τῶν οὐρανῶν ἀκαταλήκτου βασιλείας τε καὶ μακαριότητος ἐφιέμενοι καὶ πρὸς τὴν πνευματικὴν υἱοθεσίαν τὸν φιλευσεβῆ σκοπὸν ἡμῶν διευθύνοντες ἐκεῖνα διαμελετῶμεν καὶ πράττομεν, ὅσα τοῦ σπουδαζομένου τυχεῖν ὑποτίθεται. τί οὖν ὁ κύριος ἐν εὐαγγελίοις ἐπηγγείλατο; *μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ υἱοὶ θεοῦ κληθήσονται.* ταύτης δὴ τῆς ἐπαγγελίας τῆς καὶ πρὸς τὴν θείαν ἡμᾶς ἀναβιβαζούσης συγγένειαν καὶ τὴν τῆς υἱοθεσίας χαριζομένης εὐγένειαν ἐντὸς γενέσθαι βουλόμενοι καὶ τὸν περιστέψαντα ἡμᾶς Χριστὸν αὐτὸν ἐκμιμούμενοι καὶ *τὸ πᾶν ἐν ἑαυτῷ τῷ θεῷ καταλλάξαντα* πρὸς εἰρήνην τε καὶ

32 Mt. 5,9 35 Col. 1,20

MTO(13)

1 μεθυμναίων] μεθυμνέων T 3 κοτραδέων] κοτραδαίων M 5 μητροπόλεως] πόλεως M 6 ἑλενοποντίων] ἑλληνοποντίων M ὑπεσημηνάμην] ὁμοίως O 8 δευτέρας] β′ M 9 ὑπεσημηνάμην] ὁμοίως O 10 θεοῦ] χριστοῦ T αἱμιμοντίων] ἐμιμοντίων O 13 *expl.* O (902,13) 17 θεία σάκρα τοῦ] θείας ἀκράτου T 18 γενομένη] γενομένης T 19 σταλέντων] ἀποσταλέντων T 22 ἡ *om.* T 27 δεκε⟨μ⟩βρίῳ] δεκεβρίῳ M δεκ T τρίτῃ καὶ δεκάτῃ] ιγ′ MT δεκάτης] ι′ MT 34 ἡμᾶς] ὑμᾶς M

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/9/15 1:42 AM

ὁμόνοιαν τὴν ἡμετέραν φιλόχριστον πολιτείαν ἄγειν σπουδάζομεν, ἐξαιρέτως δὲ τῆς τῶν ἁγίων τοῦ θεοῦ ἐκκλησιῶν εὐταξίας φροντίζομεν καὶ τὴν τῆς πίστεως ἕνωσιν διὰ παντὸς ἐμπορεύεσθαι προνοούμεθα. λίαν τοίνυν καὶ οὐ μετρίως ἐχαλεπαίνομεν καὶ τὸ λοιπὸν οὐκ ἐφέρομεν τὴν τοσαύτην τῷ χρόνῳ διάστασιν συνακμάσασαν, ὥστε καὶ τοὺς ἀπίστους τοῖς φιλοχρίστοις ἐπιγελᾶν καὶ εὐφροσύνην ἡγεῖσθαι τὴν τῶν Χριστιανῶν εἰς ἀλλήλους ἀπέχθειαν. τὴν πρὸς ἐκείνους γὰρ ἀφέντες ἀντιπαράταξιν κατ' ἀλλήλων τὰς γλώσσας ἠκονημένῳ ξυρῷ ταῖς δυσφημίαις ἐξώπλιζον καὶ τὴν πίστιν ταῖς διχονοίαις συγκατεδίχαζον.

Ταῦτα πρὸ τῶν ἡμετέρων χρόνων ἀρξάμενα καὶ εἰς τοσοῦτον κακίας ἐλάσαντα, ὥστε καὶ τὸ πάθος ἀνίατον μένειν δοκεῖν, στῆσαι μὲν ἦν χαλεπόν, μὴ στῆσαι δὲ χαλεπώτερον· καὶ παρώργιζον μὲν θεόν, παρώργιζον δὲ καὶ τὴν ἡμῶν ἡμερότητα. οὐκ ἄλλως τοίνυν τὴν συνέχουσαν νόσον τὰς ἐκκλησίας τοῦ θεοῦ θεραπεῦσαι διέγνωμεν, εἰ μήπω δὴ τοὺς τοῦ θεοῦ μὲν ἱερεῖς καὶ θεράποντας, τῶν δὲ τοιούτων θεραπευτὰς εἰς ἐπίσκεψιν προτρεψόμεθα· πολλάκις γὰρ ἡ ἐκκλησία ταῖς ἐκβολαῖς τῶν αἱρέσεων ἐπικινδύνως ἐνόσησεν· ἀλλ' οὐχ ἑτέρως ἐδέξατο τῆς ὀρθοδοξίας τὴν ἴασιν, εἰ μὴ ταῖς τῶν εὐσεβῶν καὶ φιλοχρίστων βασιλέων προσκλήσεσι, ταῖς δὲ τῶν θεοφόρων ἱερέων συννεύσεσί τε καὶ συνελεύσεσι.

διὸ δὴ τὴν μὲν τοῦ ἐν ἁγίοις πάπα Ἀγάθωνος μακαριότητα δι' εὐσεβῶν ἡμῶν κεραιῶν στεῖλαί τινας τοὺς τὸ πρόσωπον αὐτοῦ ἐπέχοντας προετρέψαμεν, τοὺς δὲ λοιποὺς ἁγιωτάτους προέδρους διηγορεύσαμεν τοὺς ὑπ' αὐτὸν ἕκαστον ὁσιωτάτους ἱερεῖς συγκαλέσαντα πάντας ὁμοῦ κατὰ τὴν θεοφύλακτον ἡμῶν καὶ βασιλίδα συναγείρεσθαι πόλιν, ὥστε τοῦ μὲν σεσηπότος ἢ σκανδαλίζοντος μέλους τὸ ἀλυσιτελὲς ἐκτεμεῖν, ἡνίκα μὴ βούλητε μάλιστα τὸ θεραπεύεσθαι δέχεσθαι, τὸ δὲ λοιπὸν ἅπαν καταρρῶσαι σῶμα Χριστοῦ τοῖς τῆς εὐσεβείας δόγμασί τε καὶ καταπλάσμασι. *συμφέρει* γάρ – εὐαγγελικῶς εἰπεῖν, – ἵνα *ἓν μέλος ἀπόληται* καὶ σέσωσται τῆς ἐκκλησίας ὅλης τὸ πλήρωμα. καὶ δὴ κατὰ τὴν ἡμετέραν πρόσκλησίν τε καὶ πρόσταξιν τῶν τε τοῦ μέρους τῆς ὑμετέρας μακαριότητος, τῶν τε συνθρόνων αὐτῇ μετ' αὐτὴν ἁγιωτάτων πατριαρχῶν καὶ λοιπῶν ἁπάντων ὁσιωτάτων ἐπισκόπων τῇ ἡμετέρᾳ συνελθόντων τε καὶ συνεδρευσάντων φιλευσεβεῖ γαληνότητι τὸν περὶ πίστεως διεγυμνάζομεν λόγον.

Αὐτίκα γοῦν τὴν πρὸς τὸ ἡμέτερον κράτος τοῦ ἐν ἁγίοις πάπα Ἀγάθωνος ἀναφορὰν οἱ τὸ πρόσωπον αὐτοῦ ἐπέχοντες προκομίσαντες – φαμὲν δὴ Ἀβουνδάντιος, Ἰωάννης καὶ Ἰωάννης οἱ ἁγιώτατοι ἐπίσκοποι, Θεόδωρος καὶ Γεώργιος οἱ θεοφιλέστατοι πρεσβύτεροι καὶ Ἰωάννης ὁ θεοφιλέστατος ἀρχιδιάκονος καὶ Κωνσταντῖνος ὁ εὐλαβέστατος ὑποδιάκονος καὶ Θεόδωρος ὁ θεοφιλέστατος πρεσβύτερος τῆς ἐκκλησίας Ῥαβέννης καὶ οἱ σὺν αὐτοῖς – τῇ ἡμετέρᾳ γαλήνῃ ταύτην ἀνέτειναν, ἣν εἰς ἐπήκοον πάντων ἀναγνωσθῆναι

23 – 24 cf. Mt. 5,29 – 30

MT

7 ξυρῷ] ξηρῷ M 11 παρώργιζον] παροργίζον T *bis*

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/9/15 1:42 AM

κελεύσαντες τῆς ὑγιοῦς τε καὶ ἀνοθεύτου πίστεως ἐν αὐτῇ τὸν χαρακτῆρα κατοπτρισάμεθα· τάς τε γὰρ εὐαγγελικάς τε καὶ ἀποστολικὰς φωνὰς ἀνακρίναντες, τά τε παρὰ τῶν ἁγίων τε καὶ οἰκουμενικῶν συνόδων συγκροτηθέντα τε καὶ ὁρισθέντα ταύτῃ συγκρούσαντες καί, ἅσπερ ἔφερε χρήσεις, τοῖς πατρικοῖς παραβαλόντες συντάγμασι καὶ μηδὲν εὑρηκότες ἀσύμφωνον ἀπαραχάρακτον τῆς ἀληθοῦς ὁμολογίας ἐν αὐτῇ τὸν λόγον κατενοήσαμεν, καὶ ὥσπερ αὐτὸν τὸν ἐξάρχοντα τοῦ ἀποστολικοῦ χοροῦ, τὸν πρωτόβαθρον Πέτρον, τοῖς νοητοῖς κατενοήσαμεν ὄμμασι τὸ τῆς οἰκονομίας ὅλης θεολογοῦντα μυστήριον καὶ διὰ τῶν γραμμάτων τῷ Χριστῷ προσφθεγγόμενον· *σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος*· αὐτὸν γὰρ ὅλον Χριστὸν ἡμῖν τὸ ἱερὸν αὐτοῦ γράμμα τῷ λόγῳ διέγραφεν, ὅπερ ἅπαντες ἀσπασίως τε καὶ εἰρηνικῶς ἐδεξάμεθα καὶ οἷον αὐτὸν Πέτρον ταῖς τῆς ψυχῆς ἀγκάλαις ὑπεδεξάμεθα. μόνος δέ, σὺν οἷς ὑπεσύρετο, Μακάριος ὁ μὴ μακάριος ἀπεστάτησεν, ὃς τὴν Ἀντιοχέων προήδρευσε καὶ τοῦ μὲν ζυγοῦ τοῦ Χριστοῦ ἐναντίσας ἑαυτὸν ὑπεξήγαγε, τῆς δὲ ἱερατικῆς ὁμηγύρεως ἀπεσκίρτησε· μηδὲ γὰρ ὅλως συνθέσθαι τοῖς πανιέροις Ἀγάθωνος κατένευσε γράμμασιν ὥσπερ ἂν εἰ καὶ κατ' αὐτοῦ τοῦ κορυφαίου Πέτρου μαινόμενος. πολλὴ μὲν οὖν ἡ παραίνεσις, πολλὴ δὲ καὶ ἡ παράκλησις αὐτῷ προσεφέρετο· πάσης γὰρ ἐπιστροφῆς ὁδὸν ὑπεδείξαμεν, τί μὲν οὖν οὐ λέγοντες, τί δὲ οὐ τεχναζόμενοι τῶν ὅσα μάλιστα μὲν τοῦ ἱερατικοῦ συλλόγου χωρίζουσι διεσπώμεθα γὰρ αὐτῷ. πῶς γὰρ οὐχὶ καὶ τοῖς οἰκτιρμοῖς τὸ σπλάγχνον ἐσπαρασσόμεθα διασπωμένῳ τῆς τοῦ κυρίου ἀγέλης; ἀλλ' *ὄψις πόρνης ἐγένετο* αὐτῷ καὶ τὸ τῆς *ἀναισχυντίας* ἐνεδύσατο πρόσωπον καὶ σὺν τῇ παρακλήσει καὶ τὴν εὐσέβειαν ἀπεκρούσατο· οὐ γὰρ συνῆκε τοῦ συνιέναι *καὶ λόγον ὅσιον ἐβδελύξατο*. καὶ τί μηκύνομεν τὴν περὶ τούτου ἐξήγησιν, περὶ ὧν διηγεῖται λεπτομερέστερον τῶν πεπραγμένων ἡ δύναμις, δι' ὧν σταλέντων ὑμῖν τῶν κινηθέντων ἁπάντων τὴν εἴδησιν ἀνιχνεύετε;

Ἐπεὶ δὲ οὗτος *ἐσκλήρυνε* καὶ *νεῦρον σιδηροῦν τὸν τράχηλον* ἀνετείνατο καὶ *τὸ πρόσωπον ἀπεχάλκωσε* τά τε ὦτα τοῦ μὴ ἀκούειν ἐβάρυνε καὶ τὴν καρδίαν ἔταξεν ἀπειθῆ τοῦ μὴ εἰσακοῦσαι τοῦ νόμου, – *νόμος γὰρ ἐκ Σιὼν ἐκπορεύεται*, τῆς ἀποστολικῆς ἀκρωρείας τὰ δόγματα –, διά τοι ταῦτα ἡ ἁγία τε καὶ οἰκουμενικὴ σύνοδος τὸν αὐτὸν φρενοβλαβῆ Μακάριον σὺν τοῖς αὐτῷ συναιρέταις τοῦ μὲν ἱερατικοῦ σχήματος ἀπεγύμνωσε, κοινῇ δὲ πάντες δι' ἐγγράφου δεήσεως τὴν ἡμετέραν γαλήνην ἱκέτευσαν πρὸς τὴν ὑμετέραν τούτους παραπέμψαι μακαριότητα. τοῦτο δὴ καὶ πεπράχαμεν καὶ πρὸς ὑμᾶς ἐκείνους ἐστάλκαμεν τῇ ὑμετέρᾳ πατρικῇ κρίσει τὸ πᾶν περὶ αὐτῶν ἐπιτρέψαντες· θεῖον δὲ καὶ σεβάσμιον ὅρον ἡ ἁγία σύνοδος ἐξεφώνησεν, ᾧ καὶ συνυπεγράψαμεν καὶ δι' εὐσεβῶν ἡμῶν ἰδίκτων τοῦτον ἐπεκυρώσαμεν προτρέψαντες ἅπαντα τὸν φιλόχριστον ἡμῶν λαὸν τῇ ἐν αὐτοῖς ἐγγεγραμμένῃ πίστει συνέπεσθαι καὶ μηδὲν τὸ παράπαν ἐφευρίσκειν αἱρεσιούργημα. καὶ δόξα τῷ ποιοῦντι δεδοξασμένα θεῷ τῷ παρ' ⟨ἡ⟩μῖν τὴν πίστιν ἀπαρεγχείρητον διασώσαντι.

---

8 Mt. 16,18 19 Jer. 3,3 20–21 Amos 5,10 24–25 Is. 48,4 26 Is. 2,3

MT

---

3 τε² *om.* T ὁρισθέντα] ὡρισθέντα T 4 συντάγμασι] συγγράμμασι M 9 ἡμῖν] ὑμῖν T 10 εἰρηνικῶς] εἰλικρινῶς T 12 προήδρευσε] προήδρευε M ἐναντίσας] τεναντίσας M 15 πάσης] πᾶσαν *susp.* La 16 οὐ *om.* T μὲν ⟨. . . . .⟩ τοῦ *susp.* La 17 διεσπώμεθα] διεπόμεθα T 29 πάντες] πάντως T 32 ἐξεφώνησεν] ἐξεβόησεν T ἡμῶν] ὑμῶν T 35 ⟨ἡ⟩μῖν *coni.* P. Conte] ὑμῖν MT

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/9/15 1:42 AM

πῶς γὰρ οὐκ ἔμελλεν, ἐν ᾗ *πέτρᾳ τὴν ἐκκλησίαν* ἐθεμελίωσε καὶ *πύλαις ᾅδου* ταῖς αἱρετικαῖς ἐνεδρεύσεσι μὴ κατισχύεσθαι προηγόρευσεν, ἐξ ἧς, ὥσπερ ἐξ οὐρανίων ἀψίδων τῆς ἀληθοῦς ὁμολογίας, ὁ λόγος ἀνέλαμψε καὶ τὰς ψυχὰς τῶν φιλοχρίστων ἐφώτισε καὶ τὴν ὀρθοδοξίαν κατεψυγμένην ἀνεζωπύρησε. ταῦτα κατὰ σκοπὸν θεοῦ συννεύσαντος διηνύσαμεν καὶ *εἰς μίαν ποίμνην* τὰ τοῦ Χριστοῦ πρόβατα συνηλάσαμεν, οὐκέτι μὲν οὖν τοῖς *μισθωτοῖς* καὶ οὐκ οὖσι *ποιμέσιν* ἐξαπατώμενα καὶ διὰ τοῦτο τοῖς *λύκοις* ἁλώσιμα, ἑνὶ δὲ καὶ μόνῳ *ποιμένι τῷ καλῷ* ποιμαινόμενα, ᾧ καὶ ὑμεῖς συμποιμαίνειν ἐτάχθητε καὶ *ὑπὲρ τῶν προβάτων τιθέναι τὴν ψυχὴν διετάχθητε.* οὐκοῦν ἀνδρίζου καὶ ἴσχυε καὶ τὴν τοῦ λόγου ῥομφαίαν περίζωσαι καὶ θείῳ ζήλῳ ταύτην παράθηξον· καὶ στῆθι ἑδραῖος τῆς εὐσεβείας ὑπερμαχόμενος, καὶ πᾶσαν αἱρετικὴν ἀκοὴν καὶ εἰσήγησιν ἐκτεμεῖν προθυμήθητι, καθὰ καὶ Πέτρος τὸ πρότερον τὸ τῆς Ἰουδαϊκῆς ἀκροάσεως αἰσθητήριον *τῇ μαχαίρᾳ πατάξας* ἀφείλετο τῆς νομικῆς τε καὶ ἀνδραποδώδους συναγωγῆς προδιαγράφων τὴν κώφευσιν· ἀνάτεινον *τὴν ἀξίνην* τοῦ πνεύματος καὶ *πᾶν δένδρον* ἐκφύον *καρπὸν* αἱρέσεως ἢ κατηχήσεσι μεταφύτευσον ἢ κανονικαῖς ἐπιτιμήσεσιν ἔκκοψον καὶ *εἰς τὸ πῦρ* τῆς μελλούσης γεέννης παράπεμψον, ἵνα πάντοθεν τῶν τὴν πίστιν λυμαινομένων ἐκτεμνομένων ἐρρωμένον ᾖ καὶ ὁλόκληρον τῆς ἐκκλησίας τὸ σῶμα τῇ εἰρήνῃ τοῦ πνεύματος συσφιγγόμενόν τε καὶ συναρμολογούμενον· ἧς ἀκλονήτου μενούσης κλονεῖται μὲν τῶν δυσμενῶν ἡ στάσις τε καὶ ἀντίστασις, ἐρείδεται δὲ τῇ πέτρᾳ τῆς πίστεως ὁ θρόνος τῆς ἡμῶν γαληνότητος, ἰθύνεται δὲ πρὸς τὸ συμφέρον τοῦ ἡμετέρου κράτους τὰ βουλεύματα καὶ κινήματα, τῆς ὅλης δὲ πολιτείας Ῥωμαϊκῆς ἡ κατάστασις συγγαληνιᾷ τῇ γαλήνῃ τῆς πίστεως.

Προτρέπομεν δὲ καὶ τὴν ὑμετέραν πανίερον κορυφὴν ἀνυπερθέτως ἐκπέμψαι τὸν παρ' αὐτῆς ὁριζόμενον ἀποκρισιάριον, ἐφ' ᾧ τοῦτον κατὰ τὴν βασιλίδα καὶ θεοφύλακτον ἡμῶν διάγειν πόλιν καὶ ἐν τοῖς ἀνακύπτουσιν εἴτε δογματικοῖς εἴτε κανονικοῖς καὶ ἁπλῶς ἐκκλησιαστικοῖς ἅπασι πράγμασι τὸ τῆς ὑμετέρας ἁγιωσύνης ἐξεικονίζειν πρόσωπον.

Ἔρρωσο ἐν κυρίῳ, μακαριώτατε, καὶ ὑπερεύχεσθαι τοῦ ἡμετέρου κράτους συντονώτερον διανάστηθι.

Ἡ ὑπογραφὴ τοῦ εὐσεβεστάτου βασιλέως

Τὸ θεῖον σε περιφυλάξοι ἐπὶ πολλοὺς χρόνους, ἁγιώτατε καὶ μακαριώτατε πάτερ.

1 Mt. 16,18 5 Joh. 10,16 6 Joh. 10,12 7 Joh. 10,14 8 Joh. 10,17 11 – 12 Mt. 26,51 13 – 14 Mt. 3,10

MT

2 κατισχύεσθαι] κατησχύνεσθαι T 7 – 8 καὶ[3] ... διετάχθητε *om.* M 9 περίζωσαι] περιζῶσαι T 13 καρπὸν ἐκφύον T 21 καὶ *om.* T 30 περιφυλάξοι] περιφυλάξει T

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/9/15 1:42 AM

Ἐπίλογος τοῦ τὴν παροῦσαν βίβλον ἰδιοχείρως ἀπογραψαμένου, ἐν ᾧ καὶ περὶ τῶν ὑπὸ Βαρδάνου τοῦ τυράννου καὶ παράφρονος κατὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου τετολμημένων ἐμφέρεται.

Ὁ ἁμαρτωλὸς ἐγὼ καὶ πάντων ἐλάχιστος Ἀγάθων, ἀνάξιος διάκονος καὶ χαρτοφύλαξ τῆς ἐνταῦθα ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας καὶ τοῦ εὐαγοῦς πατριαρχικοῦ σεκρέτου πρωτονοτάριος καὶ καγκελλάριος δεύτερος, πρὸ τοῦ τῶν τριάκοντα δύο μικρῷ πλέον ἢ ἔλασσον χρόνων ἔτι νέαν ἄγων τὴν ἡλικίαν, ἐν τῷ τοῦ ἀ⟨να⟩γνώστου βαθμῷ κατηριθμημένος, ὢν καὶ ἀχρεῖος νοτάριος καθυπούργησα τῇ ἁγίᾳ ταύτῃ καὶ οἰκουμενικῇ ἕκτῃ συνόδῳ, πᾶσι τοῖς ἐν αὐτῇ κεκινημένοις παρηκολουθηκώς, ἐφεξῆς ἅμα Παύλῳ τῷ ἐν ἁγίοις ἀρχιεπισκόπῳ γενομένῳ τῶν ἐνταῦθα καὶ πατριάρχῃ, ἐν λαϊκοῖς ἔτι τελοῦντι καὶ βασιλικῷ ἀσηκρῆτις τυγχάνοντι σὺν καὶ ἑτέροις τρισίν, ἅπαντας δὲ τῶν ἐν αὐτῇ πεπραγμένων τοὺς τόμους ἐν καθαρῷ δι' ἐκκλησιαστικῶν γραμμάτων οἰκείᾳ ἔγραψα χειρί· οἵτινες καὶ ἐν τῷ βασιλικῷ παλατίῳ σφραγισθέντες κατησφαλίσθησαν καὶ ἀπέκειντο σὺν καὶ τῷ ἐκφωνηθέντι ἐνυπογράφῳ τῆς πίστεως ὅρῳ ὑπὸ τῆς αὐτῆς ἁγίας συνόδου· ἀλλὰ μὴν καὶ τοὺς ἐκδοθέντας τοῖς πέντε πατριαρχικοῖς θρόνοις ἰσοτύπους ἐνυπογράφους τοῦ αὐτοῦ ὅρου τόμους κατὰ τὸν ὅμοιον τρόπον ἔγραψα κελευσθεὶς οὕτω παρὰ τοῦ ἐν εὐσεβεῖ τῇ μνήμῃ Κωνσταντίνου τοῦ βασιλέως τοῦτο προστάξαντος οὕτω γενέσθαι διὰ τὸ ἀνεπιβούλευτον τῆς ὀρθοδοξίας ἀνόθευτόν τε καὶ γνήσιον. τοῦ δὲ φιλανθρώπου καὶ μόνου ἀγαθοῦ καὶ ἐλεήμονος θεοῦ σπλαγχνισθέντος ἐπ' ἐμοὶ τῷ εὐτελεῖ καὶ ἀχρείῳ καὶ τὸ ζῆν χαρισαμένου καὶ συγχωρήσαντος μέχρι καὶ νῦν εἰκότως καὶ τὴν παροῦσαν βίβλον ἰδιοχείρως γράψαι προεθυμήθην τε καὶ συνεῖδον, καὶ μάλιστα διὰ τὸν ἑξῆς λεχθησόμενον τρόπον.

Τῆς εἰρήνης τῶν ἁγίων τοῦ θεοῦ ἐκκλησιῶν καὶ ὁμονοίας αὐτῶν καὶ τῆς οἰκουμενικῆς καταστάσεως ἐν τοῖς τοσούτοις χρόνοις ἐπικρατούσης καὶ μηδεμιᾶς ἐν αὐταῖς ἀναφανείσης ἀντιλογίας καὶ ἔριδος ἢ διχονοίας καὶ ἀντιστάσεως, τοῦτο βλέπειν μὴ φέρων ὁ πονηρὸς καὶ ἀρχέκακος δαίμων διάβολος πρόφασιν ἐμηχανήσατο καὶ ἐξεῦρεν ἀξίαν τῆς οἰκείας αὐτοῦ κακοβουλίας τε καὶ σκαιότητος· τῶν γὰρ ἐξ ἡμετέρων ἁμαρτιῶν ἐπισυμβάντων ἐν τοῖς προλαβοῦσιν ἔμπροσθεν χρόνοις δεινῶν καὶ ἀλλεπαλλήλως κινουμένων πραγμάτων οὐ μόνον ἐν τῷ κοινῷ τῆς φιλοχρίστου πολιτείας μείωσιν καὶ κατάλυσιν μεγίστην ἐργασαμένων, ἀλλ' ἤδη καὶ εἰς αὐτὴν φθασάντων τῆς βασιλείας τὴν κορυφήν, ὡς ταῖς ἐπὶ συχνοῦ τῶν ἐν αὐτῇ κρατούντων ὑπαλλαγαῖς ⟨καὶ ταῖς⟩ ἐκ τυραννίδος ἐπαναστάσεσι τέλεον τὰ κατ' αὐτὴν περιφρονηθῆναι καὶ εἰς ἐξουδένωμα γενέσθαι, τῷ μάλιστα τὸν τὴν τοιαύτην βασιλείαν διαδεξάμενον μετὰ τελευτὴν τοῦ οἰκείου πατρὸς Κωνσταντίνου Ἰουστινιανὸν μὴ μόνον εἰσάπαξ διὰ τὴν κακίστην αὐτοῦ ἐξ ἀρχῆς καὶ μιαιφόνον προαίρεσιν

---

7 cf. Rom. 3,7; 1. Cor. 15,9; Eph. 3,8 22 cf. Mt. 19,17 cf. Lc. 17,10 35 cf. Ps. 89,5

12 Pt. Paulus III (688 – 693)

MT

3 ἀπογραψαμένου] γραψαμένου M 4 ἕκτης] ς' T 9 καγκελλάριος] καγγελάριος M 10 ἀ⟨να⟩γνώστου] ἀγνώστου MT 11 καθυπούργησα] καθυπουργεῖσα T 12 ἕκτῃ] ς' T 14 ἀσηκρῆτις] ἀσεκρέτης T καὶ *om.* M τρισίν] τισὶν T 16 ἀπέκειντο] ἀπέκυντο T 28 ἢ] καὶ M 29 ἐμηχανήσατο] ἐμηχανίσατο T ἐξεῦρεν] ἐξηῦρεν T 32 κατάλυσιν] κατάλευσιν M 34 ὑπαλλαγαῖς ⟨καὶ ταῖς⟩ ἐκ *coni.* La 35 τὸν τὴν] τὴν M 36 διαδεξάμενον] δεξάμενον M

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/9/15 1:43 AM

τῆς βασιλείας ἐκπεσεῖν καὶ ἀπορριφῆναι, ἀλλὰ καὶ δὶς μετὰ Λεόντιον καὶ Τιβέριον τοὺς ἐν μέσῳ τῆς βασιλείας κρατήσαντας τοῦτο ὑπομεμενηκότα ἐν τῷ ἐσχάτῳ καὶ ὑπὸ τοῦ ξίφους ἐν τῷ Δαματρὺ λεγομένῳ τόπῳ τῆς Βιθυνῶν ἐπαρχίας καρατομηθῆναι τοῦ ὑπ' αὐτοῦ ἐν διαφόροις ταξειδίοις ἀποσταλέντος διὰ θαλάσσης πλείστου στρατοῦ ἐπὶ τῇ καταστροφῇ καὶ ἁλώσει Χερσῶνος τῆς πόλεως καὶ τοῦ ἐν αὐτῇ κατοικοῦντος λαοῦ κατασφαγῇ καὶ ἀφανισμῷ ἐκεῖθεν ἐπαναστάντος αὐτῷ καὶ ἀνασοβήσαντος κατ' αὐτοῦ καὶ φύρδην ἔνθεν, ὡς ἔτυχε, καὶ δίχα τινὸς ἐννόμου δοκιμασίας τε καὶ ψηφίσματος εἰς βασιλέα προστησαμένου καὶ ἀναγορεύσαντος ἐξόριστον ἐκεῖσε τὸν τηνικαῦτα διὰ πρόφασιν τυραννίδος γενόμενον Βαρδάνην τοὔνομα, υἱὸν γεγονότα Νικηφόρου, τὸ γένος Περσα⟨ρ⟩μενίου τυγχάνοντα· ὅστις ἑαυτὸν Φιλιππικὸν τῷ δοκεῖν μετονομάσας ἐκεῖθεν ἀπροσδοκήτως αἰφνίδιον ἐπιστὰς τῇ βασιλίδι ταύτῃ πόλει μετὰ πλωΐμου τῆς ἑπομένης αὐτῷ καὶ συντρεχούσης στρατιωτικῆς ἐνόπλου δυνάμεως τῶν αὐτὸν εἰς βασιλέα προστησαμένων, ἔμφυτον ἔκπαλαι κεκτημένος οὐ μόνον ἐκ προλαβούσης γονικῆς, ὡς ἔλεγε, διδαχῆς τε καὶ παραδόσεως, ἀλλὰ καὶ διά τινος ἐπεισάκτου κακοδιδασκαλίας τὴν ἐναντίαν ταύτης τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου παμβέβηλον αἵρεσιν, ὡς οἷα μαθητευθεὶς καὶ φοιτήσας παιδόθεν κατὰ καιροὺς Στεφάνῳ τῷ ἀββᾷ, μαθητῇ Μακαρίου, εὐθὺς καὶ παραχρῆμα βασιλικῇ ἐξουσίᾳ καὶ αὐθεντίᾳ χρησάμενος πρὸ τῆς οἰκείας εἰσόδου τὴν μὲν ἀπὸ χρόνων ἤδη ἀνατεθεῖσαν εἰκόνα τῆς αὐτῆς ἁγίας ἕκτης συνόδου πλησίον καὶ μεταξὺ τῆς τετάρτης καὶ ἕκτης σχολῆς ἐν τοῖς προαυλίοις τοῦ βασιλικοῦ παλατίου κατενεχθῆναι προσέταξε, μὴ ἄλλως φήσας ἐν τοῖς οὐκ οὖσιν αὐτοῦ βασιλείοις εἰσέρχεσθαι καταδέχεσθαι, πρὶν ἢ μὴ τοῦτο γενήσεται, θεσπίσας ἐξουσιαστικῶς καὶ τοῦτο, ὥστε τὴν προσηγορίαν Σεργίου τε καὶ Ὀνωρίου καὶ τῶν λοιπῶν σὺν αὐτοῖς ὑπὸ τῆς αὐτῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου ἐκβληθέντων καὶ ἀναθεματισθέντων ἐν τοῖς ἱεροῖς τῶν ἁγιωτάτων ἐκκλησιῶν διπτύχοις ἀνακηρύττεσθαι καὶ τὰς αὐτῶν ἀναστηλοῦσθαι κατὰ τόπον εἰκόνας.

Μετὰ δὲ χρόνον βραχύτατον εὑρηκὼς καὶ τοὺς εἰρημένους καὶ ἐν τῷ βασιλικῷ παλατίῳ ἀποκειμένους ἰδιοχείρους μου τόμους τῶν πεπραγμένων τῆς αὐτῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου, τούτους ἐκβαλὼν καὶ δημοσιεύσας ἐπὶ σεκρέτου πυρὶ παραδέδωκε καὶ ἠφάνισε, πλείστων εὐσεβῶν καὶ ὀρθοδόξων ἀνδρῶν διωγμὸν ποιησάμενος καί τινας αὐτῶν παραπέμψας ἐν ἐξορίᾳ καὶ μάλιστα τοὺς μὴ ἑλομένους ἐν τῷ κατ' ἐπιταγὴν αὐτοῦ συνταγέντι καὶ ὑπαγορευθέντι περὶ πίστεως δῆθεν καὶ ὡσανεὶ τόμῳ ἐπ' ἀθετήσει τῆς αὐτῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου καθυπογράψαι.

Τούτων δὲ οὕτως ὑπ' αὐτοῦ ἐπὶ διετῆ χρόνον ἅμα τῶν συνεπομένων καὶ ὁμοφρονούντων τῇ ἐκείνου κακοδοξίᾳ τελουμένων βιαίως θᾶττον αὐτὸν ἐπαξίως τῶν πραττομένων ἡ θεία δίκη μετῆλθε καὶ κατεστρέψατο, μάλιστα καὶ διὰ τὰς ἐξ αὐτοῦ γινομένας μετὰ πάσης

MT

3 βιθυνῶν] βιθύνων T 4 τῇ *om.* M 5 ἁλώσει] ἀλλώσει T χερσῶνος] χέρσονος T 6 ἔνθεν] ἐνθέως T 8 τὸν] τὸ M 9 περσα⟨ρ⟩μενίου] περσαμενίου MT 14 τῆς ἁγίας ταύτης T 15 ἕκτης] ς′ T 16 εὐθὺς] εὐθὺ T 20 βασιλείοις] βασιλίοις T ἢ] εἰ MT 25 καὶ² *om.* M 27 ἕκτης] ς′ T 31 ἕκτης] ς′ T 32 διετῆ] δυετῆ T² ὁμοφρονούντων] ὁμοφωνούντων M 33 θᾶττον] θάνατον M

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/9/15 1:43 AM

ἀναισχυντίας ἐπὶ συχνοῦ ἐν τοῖς εὐαγέσι γυναικείοις μοναστηρίοις καὶ ἑτέροις τῶν καθυπουργούντων αὐτῷ προσώπων ἀθεμίτους ἐγχειρήσεις καὶ αἰσχρουργίας, πλεῖστον ἐπὶ τούτοις καὶ ἄφατον σκορπισμόν τε καὶ μείωσιν τῶν ἐπισυναχθέντων ὑπὸ Ἰουστινιανοῦ καὶ ἀποκειμένων ἐν τῷ παλατίῳ χρημάτων ποιήσαντος. κατὰ γὰρ τὴν ἡμέραν τοῦ σαββάτου τῆς ἁγίας Πεντηκοστῆς, ἰνδικτιῶνος ἐνδεκάτης, ἄφνω περὶ δειλ⟨ιν⟩ὴν ὀψίαν ἐπαναστάσεως αὐτῷ γενομένης ἀπροσδοκήτως ἐκ τοῦ ἐπισωρευθέντος ἐν τῇ Θράκῃ στρατοῦ διὰ τὴν προσεχῶς τότε καὶ ἐξ αἰτίας αὐτοῦ καὶ παραβασίας τῶν συγκειμένων πάκτων γεγονυῖαν ἔφοδον τοῦ γειτνιάζοντος ἔθνους τῶν Οὐννογούρων Βουλγάρων μετὰ πλείστης αἰχμαλωσίας τε καὶ σφαγῆς τῶν ἐν τῇ Θράκῃ καταμενόντων Χριστιανῶν, συλληφθεὶς ὁ αὐτὸς μιξοβάρβαρος τύραννος καὶ τῆς βασιλείας ἀπωσθεὶς καὶ ἐκβεβλημένος πηροῦται παραχρῆμα τὰς ὄψεις ἐν σκότει τὸ λοιπὸν τῆς ἑαυτοῦ *ἀσυνέτου καρδίας* τὸν χρόνον τῆς ἑαυτοῦ ζωῆς κατὰ τὸ ψαλμικὸν διαπορευόμενος λόγιον. ἀνακηρύττεται δὲ τῇ ἑξῆς κατ' αὐτὴν τὴν ἡμέραν τῆς ἁγίας Πεντηκοστῆς τῇ ἐπιφοιτήσει καὶ χάριτι τῆς ἐπιδημίας τοῦ παναγίου καὶ ζωοποιοῦ πνεύματος βασιλεὺς εὐσεβὴς καὶ ὀρθόδοξος Φιλαρτέμιος τοὔνομα, ὁ καὶ μετακληθεὶς Ἀναστάσιος, τῆς τῶν ἀσηκρητίων σχολῆς πρότερον γενόμενος ἐναρίθμιος, ψήφῳ κοινῇ καὶ δοκιμασίᾳ τῆς τε ἱερᾶς συγκλήτου καὶ παντὸς τοῦ ἱερατικοῦ καταλόγου τῶν τε ἐπιδημούντων φιλοχρίστων ἐκστρατευμάτων καὶ τοῦ πολιτικοῦ δήμου παντὸς ἀναγορευθεὶς πρῶτον ἐν τῇ ἁγιωτάτῃ τοῦ θεοῦ καθολικῇ καὶ ἀποστολικῇ μεγάλῃ ἐκκλησίᾳ καὶ στεφθεὶς ὑπὸ τοῦ ἀρχιερέως καὶ πατριάρχου Ἰωάννου ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ θυσιαστηρίῳ, συνανακηρυχθείσης αὐτῷ καὶ συναναγορευθείσης ἀναφανδὸν καὶ διαπρυσίως ὑπὸ πάντων τῶν ἐπιδημούντων ὁσιωτάτων ἀρχιερέων καὶ τοῦ εὐαγοῦς κλήρου τῆς εἰρημένης ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου τῆς εἰρήνης καὶ ὁμονοίας τῶν ἁπανταχοῦ Χριστοῦ τοῦ θεοῦ ἁγιωτάτων ἐκκλησιῶν φροντίδα καὶ πρόνοιαν μεγίστην ποιουμένων. οὕτω τε μετὰ βραχὺ συνευδοκήσαντος αὐτοῦ καὶ συνεπινεύσαντος παραυτίκα καὶ προσφορὰ γεγόνασιν ἀκολούθως ἀπολογίας ἐχόμενα γράμματα ὑπὸ τοῦ τῶν ἐνταῦθα ἁγιωτάτου ἀρχιερέως Ἰωάννου πρὸς Κωνσταντῖνον τὸν ἁγιώτατον καὶ μακαριώτατον πάπαν τῆς πρεσβυτέρας Ῥώμης, ἅτινα καὶ μετὰ τῶν ἐξ ἔθους συνοδικῶν γραμμάτων ἐξαπεστάλησαν τὴν πρέπουσαν καθηκόντως πληροφορίαν περὶ τῶν προγεγραμμένων ἁπάντων ἐμπεριέχοντα. ἐπειδὴ δὲ μετὰ τὴν κατένεξιν τῆς ἀνωτέρω δηλουμένης συνοδικῆς τελείας εἰκόνος ὁ ταύτην ἀθέσμως προστάξας κατενεχθῆναι Βαρδάνης ὁ ἀλιτήριος καὶ παράφορος ἐν τῇ οὕτω λεγομένῃ τοῦ Μηλίου καμάρᾳ τὰς ἁγίας καὶ οἰκουμενικὰς πέντε συνόδους καὶ μόνον ἐπὶ τῆς εἰκόνος ἀναστηλωθῆναι προσέταξεν ἑαυτὸν ἐν τῷ μέσῳ ταύτης ἅμα τῷ Σεργίῳ στηλογραφήσας ὀρθόστατον ἀναγκαίως πάνυ καὶ ἄγαν ἁρμοδίως τῶν αὐτῶν δύο προσώπων ἐξ ἐκείνης κατενηνεγμένων, ἡ τῆς αὐτῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου ἀναζωγράφησις σὺν ταῖς ἄλλαις πέντε γεγένηται, κοινῆς ἑορτῆς καὶ εὐφροσύνης καὶ πνευματικῆς ἐν κυρίῳ ἀγαλλιάσεως παντὶ γεγονυίας τῷ τῆς ἁγίας ἐκκλησίας φιλοθέῳ πληρώματι ἐπὶ τῇ καταστάσει καὶ εἰρήνῃ τῶν ἁγιωτάτων ἐκκλησιῶν. πρὸς μέντοι περισσοτέραν τῶν ὑπ' ἐμοῦ ἐνταῦθα προσγεγραμμένων

11 cf. Ps. 75,6

MT

1 γυναικείοις] γυναικίοις T 5 ἐνδεκάτης] ια' T δειλ⟨ιν⟩ὴν] δείλην M δήλην T 8 τοῦ ... ἔθνους *om.* M οὐννογούρων] οὐνογούρων M 15 ἀσηκρητίων] ἀσηκριτίων T 16 κοινῇ] τινὶ T 22 ἕκτης] ς' T 23 χριστοῦ *om.* T 24 ποιουμένων] ποιούμενον MT 30 προστάξας *om.* M 31 ἁλιτήριος] ἀλητήριος T μηλίου] μιλίου M 35 ἕκτης] ς' T 37 τῇ *om.* M

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/9/15 1:43 AM

πίστωσιν καὶ ἀσφάλειαν καὶ τῶν ἐντυγχάνειν μελλόντων φιλοπονώτερον τῇ παρούσῃ βίβλῳ πληροφορίαν τε καὶ βεβαίωσιν τὸ ἰσότυπον ἀπαραλείπτως τῆς ἀνωτέρω δηλουμένης καὶ πρὸς τὸν ἁγιώτατον πάπαν Ῥώμης Κωνσταντῖνον ἐκπεμφθείσης ἐπὶ τοῦ παρόντος ἐπιστολῆς παρὰ τοῦ ἁγιωτάτου τῶν ἐνταῦθα πατριάρχου Ἰωάννου τῇ παρούσῃ βίβλῳ συνεῖδον καθυποτάξαι. καὶ παρακαλῶν ἐξαιτῶ πάντας τοὺς ἐντυγχάνειν μέλλοντας ἐν αὐτῇ τὸν μόνον εὐδιάλλακτον καὶ φιλάνθρωπον ἐξιλεοῦσθαι καὶ καθικετεύειν θεόν, πρωτοτύπως μὲν τὴν εἰρήνην καὶ ὁμόνοιαν τῶν ἁγίων αὐτοῦ ἐκκλησιῶν μέχρι τέλους καὶ φυλάττειν ἀκλόνητον καὶ παντοίως ἀσάλευτον, οὕτω τε κἀμοὶ τῷ ἁμαρτωλῷ καὶ ἐλαχίστῳ καὶ πάσης ἀπολογίας ἐστερημένῳ ἱλασμόν τε καὶ ἄφεσιν τῶν πολλῶν καὶ ἀνεικάστων μου δωρηθῆναι παραπτωμάτων ἐν τῇ μεγάλῃ καὶ φοβερᾷ τῆς δευτέρας παρουσίας αὐτοῦ τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ, κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ ἡμέρᾳ καὶ τῆς δικαίας τῶν ἑκάστῳ βεβιωμένων ἀνταποδόσεως.

Ἐπιστολὴ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως Ἰωάννου πρὸς Κωνσταντῖνον τὸν ἁγιώτατον πάπαν Ῥώμης ἀπολογητικὴ ἕνεκεν τῶν ἐπὶ τῶν χρόνων τῆς τυραννίδος τοῦ Βαρδάνη κεκινημένων κατὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου.

Ἡ ἐπιγραφή

Τῷ τὰ πάντα ἁγιωτάτῳ καὶ μακαρίῳ ἀδελφῷ καὶ συλλειτουργῷ κυρῷ Κωνσταντίνῳ Ἰωάννης ἀνάξιος ἐπίσκοπος ἐν κυρίῳ χαίρειν.

Ὁ τῆς ἑαυτοῦ θειότητος καὶ δυνάμεως μήνυμα τὴν ἐν τοῖς ὁρωμένοις μεγαλουργίαν τεκτηνάμενος θεὸς ἐξαιρέτως ἐν τῷ τιμιωτάτῳ τῆς αἰσθητῆς κτίσεως, τῷ ἡμετέρῳ φημὶ πλαστουργήματι, τὰ τῆς οἰκείας δόξης τε καὶ σοφίας ἐπεδείξατο, καθὸ δὴ καὶ *τεθαυμαστῶσθαι ἐξ αὐτοῦ τὴν θείαν γνῶσιν* ὁ προφήτης ἀνεβόησεν αὐτὸς ὁ τῆς φύσεως ἡμῶν δημιουργὸς τοῦ ὅλου σώματος προβεβλῆσθαι φιλοτεχνήσας τὴν κεφαλήν, ἐν αὐτῇ τὰ καιριώτατα τῶν αἰσθητηρίων ἀποθέμενος πᾶσαν ἐκεῖθεν τὴν τῶν λοιπῶν μελῶν κίνησιν καὶ ἀρτιότητα γίνεσθαί τε καὶ συντηρεῖσθαι πεποίηκε, κἄν τι τούτων προσπταῖσαι συμβαίη ἢ ἄλλως πῶς κεκακῶσθαι· οὐκ ἀπροσποίητον τὴν τούτων ἐπιμέλειαν τίθεται, ἀλλὰ καὶ πρὸς τὰ τῶν μελῶν ἔσχατα τὴν φυσικὴν δεικνῦσα συμπάθειαν διὰ τῆς τῶν χειρῶν ὑπουργίας τῇ ὁδηγίᾳ τοῦ ὀφθαλμοῦ θεραπεύει, τὸ πεπονηκὸς οὐκ ἀτιμάζουσα καὶ ἀποπεμπομένη τὴν τούτων συνέργειαν ὡς ἄχρηστον.

---

26 – 27 Ps. 138,6

MT

---

6 καθικετεύειν] καθιτεύειν T 7 καὶ² *om.* T 11 μονογενοῦς] μονογεννοῦς M 17 τοῦ *om.* T βαρδάνη] βάρδα T ἕκτης] ς′ T 19 ἡ ἐπιγραφή *om.* T 21 τὰ *om.* M 27 αὐτοῦ] ἑαυτοῦ T 28 αὐτῇ] ταύτῃ M 32 δεικνῦσα] δεικνῦσας *susp.* Fro 33 οὐκ ἀτιμάζουσα] οὐ κατατιμάζουσα T 34 συνέργειαν] συνεργίαν M

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/9/15 1:43 AM

πίστωσιν καὶ ἀσφάλειαν καὶ τῶν ἐντυγχάνειν μελλόντων φιλοπονώτερον τῇ παρούσῃ βίβλῳ πληροφορίαν τε καὶ βεβαίωσιν τὸ ἰσότυπον ἀπαραλείπτως τῆς ἀνωτέρω δηλουμένης καὶ πρὸς τὸν ἁγιώτατον πάπαν Ῥώμης Κωνσταντῖνον ἐκπεμφθείσης ἐπὶ τοῦ παρόντος ἐπιστολῆς παρὰ τοῦ ἁγιωτάτου τῶν ἐνταῦθα πατριάρχου Ἰωάννου τῇ παρούσῃ βίβλῳ συνεῖδον καθυποτάξαι. καὶ παρακαλῶν ἐξαιτῶ πάντας τοὺς ἐντυγχάνειν μέλλοντας ἐν αὐτῇ τὸν μόνον εὐδιάλλακτον καὶ φιλάνθρωπον ἐξιλεοῦσθαι καὶ καθικετεύειν θεόν, πρωτοτύπως μὲν τὴν εἰρήνην καὶ ὁμόνοιαν τῶν ἁγίων αὐτοῦ ἐκκλησιῶν μέχρι τέλους καὶ φυλάττειν ἀκλόνητον καὶ παντοίως ἀσάλευτον, οὕτω τε κἀμοὶ τῷ ἁμαρτωλῷ καὶ ἐλαχίστῳ καὶ πάσης ἀπολογίας ἐστερημένῳ ἱλασμόν τε καὶ ἄφεσιν τῶν πολλῶν καὶ ἀνεικάστων μου δωρηθῆναι παραπτωμάτων ἐν τῇ μεγάλῃ καὶ φοβερᾷ τῆς δευτέρας παρουσίας αὐτοῦ τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ, κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ ἡμέρᾳ καὶ τῆς δικαίας τῶν ἑκάστῳ βεβιωμένων ἀνταποδόσεως.

Ἐπιστολὴ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως Ἰωάννου πρὸς Κωνσταντῖνον τὸν ἁγιώτατον πάπαν Ῥώμης ἀπολογητικὴ ἕνεκεν τῶν ἐπὶ τῶν χρόνων τῆς τυραννίδος τοῦ Βαρδάνη κεκινημένων κατὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου.

Ἡ ἐπιγραφή

Τῷ τὰ πάντα ἁγιωτάτῳ καὶ μακαρίῳ ἀδελφῷ καὶ συλλειτουργῷ κυρῷ Κωνσταντίνῳ Ἰωάννης ἀνάξιος ἐπίσκοπος ἐν κυρίῳ χαίρειν.

Ὁ τῆς ἑαυτοῦ θειότητος καὶ δυνάμεως μήνυμα τὴν ἐν τοῖς ὁρωμένοις μεγαλουργίαν τεκτηνάμενος θεὸς ἐξαιρέτως ἐν τῷ τιμιωτάτῳ τῆς αἰσθητῆς κτίσεως, τῷ ἡμετέρῳ φημὶ πλαστουργήματι, τὰ τῆς οἰκείας δόξης τε καὶ σοφίας ἐπεδείξατο, καθὸ δὴ καὶ *τεθαυμαστῶσθαι ἐξ αὐτοῦ τὴν θείαν γνῶσιν* ὁ προφήτης ἀνεβόησεν αὐτὸς ὁ τῆς φύσεως ἡμῶν δημιουργὸς τοῦ ὅλου σώματος προβεβλῆσθαι φιλοτεχνήσας τὴν κεφαλήν, ἐν αὐτῇ τὰ καιριώτατα τῶν αἰσθητηρίων ἀποθέμενος πᾶσαν ἐκεῖθεν τὴν τῶν λοιπῶν μελῶν κίνησιν καὶ ἀρτιότητα γίνεσθαί τε καὶ συντηρεῖσθαι πεποίηκε, κἄν τι τούτων προσπταῖσαι συμβαίη ἢ ἄλλως πῶς κεκακῶσθαι· οὐκ ἀπροσποίητον τὴν τούτων ἐπιμέλειαν τίθεται, ἀλλὰ καὶ πρὸς τὰ τῶν μελῶν ἔσχατα τὴν φυσικὴν δεικνῦσα συμπάθειαν διὰ τῆς τῶν χειρῶν ὑπουργίας τῇ ὁδηγίᾳ τοῦ ὀφθαλμοῦ θεραπεύει, τὸ πεπονηκὸς οὐκ ἀτιμάζουσα καὶ ἀποπεμπομένη τὴν τούτων συνέργειαν ὡς ἄχρηστον.

---

26 – 27 Ps. 138,6

MT

---

6 καθικετεύειν] καθιτεύειν T 7 καὶ² *om.* T 11 μονογενοῦς] μονογεννοῦς M 17 τοῦ *om.* T βαρδάνη] βάρδα T ἕκτης] ς′ T 19 ἡ ἐπιγραφή *om.* T 21 τὰ *om.* M 27 αὐτοῦ] ἑαυτοῦ T 28 αὐτῇ] ταύτῃ M 32 δεικνῦσα] δεικνῦσας *susp.* Fro 33 οὐκ ἀτιμάζουσα] οὐ κατατιμάζουσα T 34 συνέργειαν] συνεργίαν M

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/9/15 1:43 AM

Τούτοις δὴ τὰ κατὰ τὴν ὑμετέραν ἀποστολικὴν προεδρίαν ἔχομεν παραβάλλειν, ἁγιώτατοι, καὶ κεφαλὴν τῆς κατὰ Χριστὸν ἱερωσύνης κανονικῶς ὑμᾶς λογιζόμενοι, εἰκότως δι' ὑμῶν ἐπιζητοῦμεν τῆς ἐπισυμβάσης ἀθυμίας τῷ καθ' ἡμᾶς ἐκκλησιαστικῷ σώματι ἐκ τῆς λοιμώδους καὶ νοσοποιοῦ τῶν ψυχῶν τυραννικῆς ἐξουσίας παραμυθίαν κομίσασθαι· πάντως γὰρ καὶ ὑμεῖς τῷ τῆς κεφαλῆς ἰδιώματι ἀβουλήτως νενοσηκότας ἡμᾶς οὐ περιόψεσθε οὐδὲ τῆς ἑαυτῶν συμφυΐας ἡμᾶς ἀποπέμψησθε, ἀλλὰ μᾶλλον τοῖς τραύμασιν ἡμῶν ἐπιστυγνάσαντες – *πάσχοντος* γὰρ *ἑνὸς μέλους συμπάσχειν* εἰκὸς *πάντα τὰ μέλη* κατὰ τὴν τοῦ ἀποστόλου φωνήν – νῦν τῇ πρὸς τὸ ὑγιὲς ἐπαναδρομῇ καὶ πρὸς τὸ ἄρτιον ἀποκαταστάσει ἡμῶν συγχαρήσεσθε δικαιότατα καὶ μάλιστα, ὁπηνίκα τὸ ἀρρώστημα οὐκ ἐκ τῆς αἰτίας τοῦ σώματος τὴν σύστασιν εἴληφεν, ἀλλ' ἔξωθεν βεβιασμένης καὶ ἀδοκήτου συμφορᾶς γέγονεν ἀποτέλεσμα. περὶ ἧς ἀναγκαίως ὑμῖν, ἀδελφοὶ θεοτίμητοι, τὸ παρὸν τῆς πληροφορίας ἀπεστείλαμεν γράμμα οἷον ἀπογυμνοῦντες ὑμῖν δι' αὐτοῦ καὶ δεικνύντες τὸ τῆς πληγῆς δυσαχθές. διὸ καὶ μέχρι τοῦ νῦν πρὸς τὴν ὑμῶν ἁγιωσύνην τῷ συνήθει τῆς συνοδικῆς προσφωνήσεως καταντῆσαι διεκωλύθημεν τυραννικῶς κατεχόμενοι· οὐ γὰρ ἄλλως ἦν ἡμᾶς πρὸς ὑμᾶς γράφειν ἢ καθαρῶς τε καὶ ἀνεπιθολώτως ἐκτιθεμένους τῆς εὐσεβείας τὰ δόγματα. καταλαβὼν γὰρ τὴν θεοφύλακτον ταύτην πόλιν μετὰ τῆς ἔξωθεν δυναστείας – οὐ γὰρ ἂν φαίην ἀληθῶς βασιλείας – ὁ τὸ ἔλκος ἡμῖν λῃστρικῶς καὶ οἷον ἐξ ἐνέδρας ἐπαγαγών, καθ' οὓς οἶδε λόγους ἡ κυβερνητικὴ πρόνοια τῶν ἁπάντων – καὶ γὰρ οὐχ ἡμῶν ἐστι τῶν θείων κριμάτων τὸν βυθὸν ἐρευνᾶν – θεμέλιον καὶ ὑποβάθραν τοῦ κράτους τὸ βίαιον καὶ οὐκ ἔννομον προβαλλόμενος καθεῖλε μὲν καὶ πρὸ τῆς ἑαυτοῦ εἰσόδου τὴν ἀνατεθεῖσαν ἐν τοῖς προαυλίοις τῶν βασιλείων εἰκόνα τῆς ἁγίας ἕκτης συνόδου, ἐγκαταστῆσαι δὲ βουληθεὶς εἰς τὸν τῆς ἀρχιερωσύνης θρόνον ἄνδρα οὐκ ἐκ τοῦ ἐκκλησιαστικοῦ ἡμῶν συλλόγου τυγχάνοντα, τῆς δὲ οἰκείας ἐν διαστρόφου γνώμης ὁμόφρονα, ὅμως τῇ τοῦ καθ' ἡμᾶς εὐαγοῦς κλήρου ὁρμῇ τε καὶ ἐνστάσει βιασθεὶς προήγαγεν ἡμᾶς οὐ προσδοκῶντας, οὐ βουλομένους, οὐκ ἀπαθῶς τε καὶ ἀβαρῶς καὶ δίχα παντὸς ὀδυρμοῦ τὸ τοιοῦτον ὑπομείναντας, πρὸς τὴν τῆς ἀρχιερωσύνης ἀξίαν καὶ κορυφήν. τίς γὰρ ἂν ἀπείρως ἔχων πάντῃ τοῦ πλέειν τὴν θάλασσαν νηὸς ἐπιβαίνειν καὶ πορθμὸν διαπεραιοῦσθαι ἀνάσχοιτο; πολὺ γὰρ εἰπεῖν τὴν διὰ μακροῦ πελάγους στέλλεσθαι ἀποδημίαν αὐτὸς μέλλων μόνος τῆς ὁλκάδος ἐγχειρισθῆναι τοὺς οἴακας ἑαυτοῦ τε καὶ τῶν συμπλεόντων ἀναδεχόμενος τὴν κυβέρνησιν. ὅπερ καὶ ἐφ' ἡμῖν πᾶς τις καθορῶν – οὐ γὰρ τῶν ἐν ἱεράρχαις πρεπωδεστάτων καὶ ἁρμοδίων ἐν μελέτῃ ἦμέν ποτε ἢ τὸ περιφανὲς ἐν ταῖς ἐκκλησιαστικαῖς κεκτημένοι ἀξίαις, μόνῃ τῇ ὑπηρεσίᾳ τῶν μυστηρίων ἀδιαλείπτως σχολάζοντες – οὐκ ἄπιστον ἡγήσεται τὸ περὶ τούτου τῆς ἡμετέρας γνώμης ἀθέλητον, αὐτὸ *τὸ μαρτύριον τῆς συνειδήσεως ἡμῶν*, ὅπερ *καύχημα ἑαυτοῦ* ὁ θεῖος ἀπόστολος διωρίσατο, προβαλλομένων ἡμῶν τῷ θεῷ εἰς παράστασιν ἀληθείας τῶν ἐξ ἡμῶν λεγομένων.

---

7 1. Cor. 12,26 34 2. Cor. 1,12

MTO(13)

---

1 παραβάλλειν] παραβαλεῖν M 6 συμφυΐας] συμφυείας T ἀποπέμψησθε] ἀποπέμψοισθε T 8 ἄρτιον] ἀρτίον T 12 ὑμῖν] ἡμῖν T¹ 13 διὸ *inc.* Cod. Ochrid. 85 = O 14–15 τυραννικῶς κατεχόμενοι *om.* O 16 ταύτην *om.* O 20 προβαλλόμενος] προβαλόμενος O 21 ἐν *om.* M βασιλείων] βασιλειῶν T 22 ἕκτης] ς' T 23 συλλόγου] καταλόγου O 25 προήγαγεν] προσήγαγεν O 27 ἂν ἀπείρως] ἀναπείρως T 31 ἱεράρχαις] ἱεραρχίαις M 33 σχολάζοντες ἀδιαλείπτως O 34 ἑαυτοῦ] αὐτοῦ O

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/9/15 1:43 AM

Οὗτος τοίνυν ὁ κόσμον οἰκεῖον τὴν ἀκοσμίαν τῆς ἐκκλησίας τιθέμενος ὤδινε μὲν καὶ ἐσπούδαζε τῆς ἀσεβείας ἀποκυῆσαι τὸν βασιλίσκον, τὸν τοῦ ἀρχεκάκου ὄφεως γέννημα, ὥστε δημοσίᾳ ἐπ' ἐκκλησίαις καὶ ἐν ταῖς ὁμολογίαις τῶν ἐπισκόπων ἀναθέματι ὑποβάλλεσθαι τὴν εἰρημένην ἁγίαν ἕκτην σύνοδον καὶ τοὺς τοῦ καθ' ὑμᾶς ἀποστολικοῦ καὶ σεβασμίου θρόνου προπάτορας, ὅσοι τὸ εὐαγὲς τῆς ἀληθείας διεπρέσβευσαν δόγμα, κοινῇ δὲ συνομολογεῖσθαι λέξεσιν ἀπεμφαινούσαις καὶ μηδεμίαν ἐχούσαις συγγένειαν πρὸς τὰς γνωριστικὰς τῆς τελειότητος τοῦ κατὰ Χριστὸν μυστηρίου ἐννοίας, αὐτὸ δὴ τὸ θεῖον τῆς ἐνανθρωπήσεως τοῦ λόγου μυστήριον ὡς [οὐ] πόρρω τυγχάνειν, μᾶλλον δὲ ἤδη τινὰς καὶ ὑπ' ὀδόντα γρύζειν τοῦ καὶ αὐτὴν τὴν ἁγίαν ἐν Χαλκηδόνι σύνοδον ἀθετεῖσθαι ὡς ἐκείνῃ συνηρτημένης κατὰ τὴν τῶν δογμάτων οἰκειότητα καὶ οἷον εἰπεῖν αὐτὴν ἐχούσης ῥίζαν τε καὶ βεβαίωσιν τῆς εἰρημένης ἁγίας ἕκτης συνόδου.

Ἐῶ γὰρ λέγειν, ὅσας ἡμῖν ὀχλήσεις ὡς ἐπὶ τῆς ἀληθείας προσήγαγε πρὸς τὸ γράμμασιν ἡμᾶς χρήσασθαι κατὰ τὸν τῆς ἐκείνου παρανοίας σκοπὸν πρὸς τὴν ὑμετέραν ἀδελφικὴν μακαριότητα. πρὸς ταῦτα ὅπως ἡμεῖς τῷ κατ' οἰκονομίαν ἐχρησάμεθα λόγῳ, ὥστε διακρούσασθαι μὲν τὴν τυραννικὴν καὶ ἀνένδοτον ἔνστασιν, πρὸς τὸ μετριώτερον δὲ τὰ τῆς ἀτοπίας συστεῖλαι, τὴν ὡς ἐν κακοῖς διαφορὰν εἰδότες οὐ πάντῃ ἀπόβλητον, ὅτε μὴ αὐτὸ τὸ καλὸν καθαρῶς κατὰ πρώτην ἔνεστι τάξιν κρατεῖν. αὕτη ἡμῖν μαρτυρήσειεν ἡ τῶν ἐν καρδίᾳ βουλευμάτων ἔφορος δύναμις καὶ ἐν ἀνθρώποις δὲ ὁ τῆς καθ' ὑμᾶς ἱερωτάτης καθέδρας ἐνδημῶν ἐνταῦθα θεοφιλὴς ἀποκρισιάριος, ὃν ἐν αὐτῇ τῇ ἀκμῇ τοῦ κακοῦ ἐνωμότως μετὰ τῆς ἀληθείας ἐπληροφορήσαμεν καθαρὰν αὐτῷ τὴν ἐνυπάρχουσαν ἡμῖν περὶ τὴν ὀρθόδοξον πίστιν διάθεσιν φανερώσαντες. οἴδατε γὰρ καὶ ὑμεῖς τῇ πείρᾳ σαφῶς μεμαθηκότες, ἁγιώτατοι, ὡς οὐ λίαν ἀντιτύπως καὶ σκληρῶς ἔχειν πρὸς τὴν τῆς ἐξουσίας ἀνάγκην ἐν τοῖς τοιούτοις ἄνευ τινὸς τέχνης τε καὶ περινοίας καθέστηκεν εὐμαρές, ἐπεὶ καὶ Νάθαν ὁ προφήτης οὐκ ἀπερικάλυπτον τὸν ἔλεγχον τὸν περὶ τῆς μοιχείας τε καὶ τοῦ φόνου προσήγαγε τῷ Δαυίδ, ἀλλὰ τοῦτον ἐπιχρώσας πιθανῷ τινι διηγήματι ἐκ τῆς ἐκείνου ψήφου τὴν κατ' αὐτοῦ προηγάγετο κρίσιν καίτοι καὶ αὐτοῦ τοῦ Δαυὶδ προφητικῷ τετιμημένου χαρίσματι. „κατὰ τοῦτο καὶ ἡμεῖς," ὅπερ φησὶν ὁ μέγας Βασίλειος, „ἐνδιδόναι μικρὸν τῷ ἤθει τοῦ ἀνδρὸς κατεδεξάμεθα, ὥστε τὴν ἐν τοῖς καιρίοις τῆς πίστεως ὁμολογίαν, εἰ καὶ μὴ λέξεσιν, ἀλλά γε ταῖς ἐννοίαις φυλάττεσθαι ἀπαράβατον." „οὐ γὰρ ἐν λέξεσιν ἡμῖν, ἀλλ' ἐν πράγμασιν ἡ ἀλήθεια" ὁ θεολόγος Γρηγόριος βοᾷ καὶ πάλιν ἱκανῶς ἄτοπον καὶ λίαν αἰσχρὸν διορίζεται τὸ περὶ τὸν ἦχον σμικρολογεῖσθαι. καὶ ὁ ἀποστολικὸς δὲ Διονύσιος ὁ Ἀρεοπαγίτης „ἄλογον" ὁμοῦ „καὶ σκαιὸν" ἀποφαίνεται „τὸ μὴ τῇ δυνάμει τοῦ

17 – 18 cf. Ps. 80,13 24 cf. 2. Reg. 12,1 – 25

27 – 29 Basilius Caes., unde? 29 – 30 Gregorius Naz., or. 29,13, PG 36,92 A = SC 250 (1978) 204 32 – 904,4 cf. Ps.-Dionysius, de div. nom. 4,11, PG 3,708 BC

MTO

1 οἰκεῖον] οἰκείαν O 2 τὸν²] τὸ M 4 ἕκτην] ς' T 5 ὅσοι] οἳ M 6 ἀπεμφαινούσαις] ἀπεμφαίνουσαν O ἐχούσαις] ἔχουσαν O 7 γνωριστικὰς] γνωστικὰς M 8 ὡς *om.* O [οὐ] MT, O *add.*, *del.* La 11 ἕκτης] ς' T 14 ὅπως] ὁμως *susp.* La 15 τὰ *om.* O 16 οὐ *om.* O¹ 17 καθαρῶς *om.* O αὕτη] αὐτὴ M 17 – 18 ἐν καρδίᾳ] ἐγκαρδίων O 18 ὑμᾶς] ἡμᾶς TO 21 τῇ πείρᾳ] τὴν πείραν O 27 κατὰ] κα T 31 ἦχον] χριστὸν M

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/9/15 1:43 AM

σκοποῦ προσέχειν, ἀλλὰ ταῖς λέξεσι· καὶ ταῦτα οὐκ ἔστι τῶν τὰ θεῖα νοεῖν ἐθελόντων ἴδιον," φησίν, „ἀλλὰ τῶν ἤχους ψιλοὺς καταδεχομένων καὶ τούτους ἄχρι τῶν ὤτων ἀδιαβάτους, ἔξωθεν συνεχόντων καὶ οὐκ ἐθελόντων εἰδέναι, τί μὲν ἡ τοιάδε λέξις σημαίνει, πῶς δὲ ταύτην χρὴ καὶ δι' ἑτέρων ὁμοδυνάμων καὶ ἐκφαντικωτέρων λέξεων διασαφῆσαι." ταῦτα δὲ λέγομεν οὐχ ὡς ἀνατρέπειν βουλόμενοι τὰς ἤδη συνοδικῶς ὁρισθείσας φωνὰς καὶ πρὸς πάσης τῆς τοῦ θεοῦ ἐκκλησίας ἐπὶ συχνὸν οὕτως ὁμολογηθείσας τὸν χρόνον, τουτέστι τὸ λέγειν ἐπὶ τοῦ κατὰ Χριστὸν τῆς σαρκώσεως μυστηρίου κατὰ τὴν εὐσεβῆ τε καὶ τοῖς ἁγίοις πατράσι γνώριμον ἔννοιαν δύο φυσικὰ θελήματα καὶ δύο φυσικὰς ἐνεργείας, ἀλλὰ πρὸς μόνην ὁρῶντες τοῦ τυράννου *τὴν πεισμονήν*, ὡς ὁ ἀπόστολος ὀνομάζει, καὶ τὸ ταύτην δι' ἐπινοίας εἰς τὸ ἐναντίον περιτραπῆναι, ὥστε μὴ ἀλλότρια δόγματα ἀναφανδὸν ἐπεισαχθῆναι τῇ ἐκκλησίᾳ καὶ τέλεον διασαλευθῆναι τὰ καλῶς πεπηγότα καὶ ἀκράδαντα μείναντα περὶ τοῦ προκειμένου τῆς εὐσεβείας θεσπίσματος, καὶ ἅμα μέγα τιθέμενοι τὸ καὶ παρὰ τῶν πολεμίων τῆς διονομασθείσης ἁγίας συνόδου τὴν κατ' ἔννοιαν αὐτῆς ὁμολογεῖσθαι διδασκαλίαν, ὅθεν μὴ ἀνατροπήν, ἀλλὰ βεβαίωσιν μᾶλλον ἐκείνης σαφῶς ἀποδείκνυσθαι παρά γε τοῖς ὑγιεῖ τε καὶ ἀπροσκλινεῖ τῆς τῶν πραγμάτων κατανοήσεως ὀφθαλμῷ τὰ τοιαῦτα εἰδόσι σκοπεῖν αὐτὰ δὴ τὰ κατὰ τῆς συνόδου τῷ τυράννῳ σκαιωρηθέντα· τὸ γὰρ θελητικόν τε καὶ ἐνεργητικὸν καθ' ἑκατέραν φύσιν λέγειν τὸν Χριστὸν οὐδὲν ἕτερόν ἐστιν ἢ δύο φυσικὰ θελήματα καὶ δύο φυσικὰς ἐνεργείας νοεῖν. κατὰ ταύτην γὰρ ῥητῶς τὴν διάνοιαν τὰς τοιαύτας νοεῖσθαι φωνὰς ἐν τῷ ἐκφωνηθέντι παρ' αὐτῆς ὅρῳ προεθέσπισεν ἡ ἐν τῇ καθ' ὑμᾶς μεγαλοπόλει Ῥώμῃ συναχθεῖσα σύνοδος ἱερὰ ἐπὶ τοῦ τῆς σεβασμίας μνήμης Μαρτίνου τοῦ τῆς ὑμετέρας προεδρεύσαντος ἐκκλησίας, ὡς ἐκεῖνα σαφῶς καὶ ἐπὶ ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἐλαχίστων τὴν τοῦ θεοῦ σοφίαν οἰκονομῆσαι *τοῦ δρασσομένου τῶν σοφῶν ἐν τῇ πανουργίᾳ αὐτῶν*, ἅπερ ὁ θεολόγος Γρηγόριος ἐν τῷ εἰς τὸν μέγαν Βασίλειον τίθησιν ἐπιταφίῳ λόγῳ, ἔνθα ἐκεῖνον εἰσάγει συμβούλῳ τῷ θείῳ Δαυὶδ κεχρημένον καὶ *οἰκονομοῦντα τοὺς λόγους αὐτοῦ ἐν κρίσει* παρησυχάσαι μὲν τὴν κυρίαν ἐπὶ τοῦ ἁγίου πνεύματος φωνήν, ἑτέραις δὲ φωναῖς ταυτὸν δυναμέναις τὸ εὐσεβὲς κρατύνειν τῆς πίστεως κήρυγμα, καίτοι τὸ διάφορον ὅσον ἑκατέρας ὑποθέσεως, τῆς δὲ περὶ αὐτήν φημι τὴν τῆς θεότητος πίστιν τε καὶ ὁμολογίαν καὶ τῶν περὶ τῆς θείας σαρκώσεως, ὡς ὁ αὐτὸς ἐν ἁγίοις θεολόγος Γρηγόριος, φροντισμάτων. ὅσα ἡ λεπτομερὴς ἀναγκαίως ἐπιζητεῖ θεωρία πρὸς ἔνδειξιν τῆς καθ' ἑκατέραν φύσιν τελειότητος, οὐδένα ἂν οἶμαι ἀγνοεῖν, οὐχ ὡς τούτων παραμελεῖσθαι παρ' ἡμῶν ὀφειλόντων, ἀλλ' ὡς τῶν περὶ τῆς θείας φύσεως ἤγουν τῆς ζωοποιοῦ τριάδος λόγων τε καὶ δογμάτων μᾶλλον τὸ προηγούμενον ἐχόντων

9 cf. Gal. 5,8 22 – 23 1. Cor. 3,19 25 Ps. 111,5

23 – 29 cf. Gregorius Naz., or. 43,68 PG 36,588 A

MTO

3 τοιάδε] τοιαύτη O 6 πρὸς] πρὸ T 12 θεσπίσματος] θεσπίσματα TO 15 ὑγιεῖ … ἀπροσκλινεῖ] ὑγιῆ … ἀπροσκλινῆ T τῆς *om.* M 17 ἑκατέραν] ἑτέραν O 27 δὲ] τε T *om.* O 29 γρηγόριος θεολόγος O 30 ἂν *om.* O 31 παραμελεῖσθαι] ἀμελεῖσθαι M παρημελῆσθαι O

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/9/15 1:43 AM

ὑπερανεστηκός τε καὶ προτιμότερον. οὕτω γὰρ καὶ τὰ ἐν τῷ κατ' Εὐνομιανῶν περὶ θεολογίας λόγῳ εἰρημένα τῷ αὐτῷ σοφῷ θεολόγῳ ἐκδεξόμεθα, ἐν οἷς τοιάδε φησί· „φιλοσόφει μοι περὶ κόσμου, περὶ ὕλης, περὶ ψυχῆς, περὶ λογικῶν φύσεων βελτιόνων τε καὶ χειρόνων, περὶ ἀναστάσεως, κρίσεως, ἀνταποδόσεως, Χριστοῦ παθημάτων· ἐν τούτοις γὰρ καὶ τὸ ἐπιτυγχάνειν οὐκ ἄχρηστον καὶ τὸ ἁμαρτάνειν ἀκίνδυνον." οὐχ ἁπλῶς γὰρ ταῦτα καὶ ἀπολύτως τέθεικεν ὁ διδάσκαλος, ἀλλὰ τῷ κατὰ ἀντιπαράθεσιν λόγῳ πρὸς τὰ περὶ τῆς θείας τριάδος λεγόμενά τε καὶ δογματιζόμενα. κατὰ τοῦτον δὴ τὸν τῆς οἰκονομικῆς καὶ κατὰ περίστασιν συμβάσεως τρόπον καὶ τὰ λοιπὰ τῶν γεγενημένων προελθεῖν πειθόμενοι, ἁγιώτατοι, μὴ ἀσύγγνωστον ἡμῖν τὸ ἐπὶ τούτοις ἔγκλημα προσαγαγεῖν καταδέξησθε, ἀλλὰ κἄν τι τῆς ἀκριβείας ἡμῖν ἡμαρτῆσθαι ὑπονοεῖτε, τῇ παραθέσει τῶν ἐκ τῶν ἁγίων πατέρων ἡμῶν οἰκονομικῶς προελθόντων ἀπολυέσθω ἀνεύθυνον καὶ πάσης ἐλεύθερον κατακρίσεως. ἐπεὶ καὶ Κύριλλος ὁ σοφώτατος μὴ ῥητῶς ἀποκηρύττεσθαι τὸν Μομψουεστίας Θεόδωρον παρεγγυᾷ· δι' οἰκονομίαν χαριζόμενος τοῖς ἔτι ἀσθενέστερον περὶ τοῦτο διακειμένοις, καίτοι ἀρχηγὸν καὶ πατέρα τῆς Νεστορίου κακοδοξίας ἐκεῖνον εἰδώς· καὶ τοῦτο δηλοῖ τὰ περὶ τούτου γραφέντα παρ' αὐτοῦ πρὸς τὸν ἐν ἁγίοις Πρόκλον τὸν τῆς καθ' ἡμᾶς ἁγιωτάτης ἐκκλησίας προεδρεύσαντα. καὶ ὁ μὲν ἀνωτέρω δηλωθεὶς τῆς πίστεως τύραννος, *κεκαυτηριασμένην ἔχων τὴν ἰδίαν συνείδησιν*, καθώς φησιν ὁ ἱερώτατος Παῦλος, κατακαῦσαι τετόλμηκε τοὺς τόμους τῶν πεπραγμένων τῆς διονομασθείσης ἁγίας ἕκτης συνόδου τοὺς ἐν τῷ παλατίῳ ἀποκειμένους, οἰόμενος κατά γε τὸ αὐτῷ δοκοῦν, συνεξαφανίζειν τούτοις *τῆς ἀληθείας τὸν λόγον*· ἡμεῖς δὲ τοῦτον ἐάσαντες τῇ ἑαυτοῦ ἐναπατᾶσθαι οἰήσει καὶ ὡς ἐπὶ μεγάλῳ τινὶ κατορθώματι τῇ οἰκείᾳ συγκαυχᾶσθαι αἰσχύνῃ, ἐπιμελῶς παρεφυλάξαμεν τοὺς παρ' ἡμῖν ἀποκειμένους τῶν πεπραγμένων τόμους τῆς διονομασθείσης ἁγίας ἕκτης συνόδου, ἐν οἷς καὶ αἱ τῶν συνελθόντων ἐπισκόπων ἁπάντων ἐν τῇ τοιαύτῃ ἁγίᾳ συνόδῳ ὑπογραφαὶ μετὰ τῆς βασιλικῆς ὑποσημειώσεως ἐν τῷ παρ' αὐτῆς ἐκτεθέντι ὅρῳ ἐμφέρονται. καὶ ἑτέρως δὲ ἐν τῷ καθ' ἡμᾶς χρόνῳ τὸ ἀδιάπτωτα φυλαχθῆναι τὰ πεπραγμένα τῆς αὐτῆς ἁγίας συνόδου φιλοπονώτερον διεσπουδάσθη, καθὸ καὶ βιβλίον ἰδιόγραφον Παύλου τοῦ τῆς ἁγίας μνήμης προέδρου γεγονότος τῆς καθ' ἡμᾶς ἁγιωτάτης ἐκκλησίας χάριτι θεοῦ σῴζεται παρ' ἡμῖν· ὃς ἀσηκρῆτις ὑπάρχων ἐν τῇ τοιαύτῃ συνόδῳ καθυπούργησεν, ὡς ἐκ τούτου τὸ ἀσφαλὲς καὶ ἐν τοῖς μετὰ ταῦτα τῇ τοῦ θεοῦ ἐκκλησίᾳ προσεῖναι τοῦ μήτινα τῶν πάντων κακονοίᾳ τινί, οἷα πολλὰ καινοτομεῖν εἴωθεν ἐν τοῖς ἀνθρώποις ὁ χρόνος, ὑπονοθεύειν ἀποτολμᾶν τά, ὡς

17 1. Tim. 4,2 20 cf. 2. Cor. 6,7; Eph. 1,13 etc.

2 – 5 cf. Gregorius Naz., or. 27,10, PG 36,25 A 6 – 11 12 – 17 cf. Cyrillus Alex., epist. 72, PG 77, 344 – 345; Abh. BAdW 32,6 (1927) 18,6 – 24

M(30)TO

1 ἐν τῷ *om.* O 10 ἡμαρτῆσθαι ὑπονοεῖτε] ἁμαρτεῖσθαι ὑπονοεῖτε M ἡμαρτεῖσθαι ὑπονοῆται T 13 μομψουεστίας] μοψουεστίας TO 15 – 16 πρὸς τὸν ἐν ἁγίοις πρόκλον παρ' αὐτοῦ O 16 προεδρεύσαντα ἐκκλησίας O 17 κεκαυτηριασμένην] κεκαυστηριασμένην M 19 ἕκτης] ς′ T 21 ἐναπατᾶσθαι] ἐναπατᾶσθε T 21 – 22 συγκαυχᾶσθαι] ἐγκαυχᾶσθαι O 22 αἰσχύνῃ] οἰήσει O 23 ἕκτης] ς′ T συνελθόντων ἁγίων ἐπισκόπων O 23 – 24 ἁπάντων ἐπισκόπων T 25 χρόνῳ] θρόνῳ M O? 30 προσεῖναι M *explic.* 31 τά *om.* O

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/9/15 1:43 AM

προλέλεκται, συνεχῶς πεπραγμένα τῆς ἁγίας ἕκτης συνόδου ἢ κακοτρόπως ἑτέροις τὰ τοιαῦτα ἐπιφημίζειν δύνασθαι. τὸ γὰρ ἀπαράγραπτόν τε καὶ γνήσιον τῆς ἀληθείας καὶ ἐκ τοῦ τοιούτου βιβλίου πᾶσι δειχθήσεται φανερώτερον, ἐπειδὴ ὁ ἀληθὴς ἡμῶν ἐπιστάτης καὶ σωτὴρ ὁ κύριος Ἰησοῦς Χριστὸς ἐπὶ πολὺ τῇ ἐν τούτοις ἀνοχῇ ὑπνοῦν οὐκ ἠνέσχετο· διαναστὰς τῇ οἰκείᾳ ἀγαθότητι καὶ δυνάμει *ἐπετίμησε* καὶ νῦν *τῷ κλύδωνι, οὐ τοῦ ὕδατος*, ἀλλὰ τοῦ ἀθέσμου ἐγχειρήματος, καὶ τὸν μὲν χειμῶνα τῆς τῶν ἐκκλησιῶν ζάλης κατέπαυσε, ἐδωρήσατο δὲ ἡμῖν τὴν μεγάλην τῶν πραγμάτων *γαλήνην* εὐσεβῆ βασιλέα καὶ κατὰ πάντα ἐνάρετον, ἐφάμιλλόν τε καὶ ἄξιον τοῦ ὕψους τῆς βασιλείας, κεκτημένον τῆς ὀρθοδοξίας τὸν ζῆλον καὶ τῶν τρόπων τὸ κόσμιον, φερωνύμως ἀναστήσαντα ἡμῖν τὴν ἐκκλησιαστικὴν εἰρήνην τε καὶ ὁμόνοιαν. πεποίθαμεν δὲ τῷ ταύτην ἡμῖν χαρισαμένῳ, ὅτι καὶ τῶν τῆς πολιτείας πραγμάτων τὴν ἀνέγερσιν ἡμῖν ἐπωνυμικῶς προοιμιάζεται.

ἀνήκει πρὸς τὰς ἰδιότητας τῶν φύσεων, πάντα διπλᾶ ὁμολογεῖ, ὅτι ὁ αὐτὸς κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ θεὸς τέλειός ἐστι καὶ ἄνθρωπος τέλειός ἐστι καὶ ἐκ δύο καὶ ἐν δύο φύσεσι καὶ μετὰ τὴν θαυμαστὴν ἐνανθρώπησιν ὑπάρχων οὔτε ἡ θεότης αὐτοῦ χωρὶς τῆς ἀνθρωπότητος οὔτε ἡ ἀνθρωπότης αὐτοῦ χωρὶς τῆς θεότητος δύναται νοεῖσθαι. ἀκολούθως τοίνυν πρὸς τὸν κανόνα τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς τοῦ Χριστοῦ ἐκκλησίας καὶ δύο φυσικὰ θελήματα ἐν αὐτῷ καὶ δύο φυσικὰς ἐνεργείας εἶναι ὁμολογεῖ καὶ κηρύττει. ἐὰν γάρ τις προσωπικὸν νοήσῃ τὸ θέλημα, ἐν ὅσῳ τρία πρόσωπα ἐν τῇ ἁγίᾳ τριάδι λέγονται, ἀναγκαῖον ἐστίν, ἵνα καὶ τρία προσωπικὰ θελήματα καὶ τρεῖς προσωπικὰς ἐνεργείας, ὅπερ ἀλλόκοτόν ἐστι καὶ λίαν βέβηλον, λεχθήσονται· ἐπεί, ὅπερ ἡ ἀλήθεια τῆς χριστιανικωτάτης πίστεως περιέχει, φυσικὸν θέλημά ἐστιν, ὅπου μία φύσις λέγεται τῆς ἁγίας καὶ ἀχωρίστου τριάδος, ἀκολούθως καὶ ἓν φυσικὸν θέλημα καὶ μία φυσικὴ ἐνέργεια νοεῖται. ἡνίκα δὲ ἐν τῷ ἑνὶ προσώπῳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ *τοῦ μεσίτου θεοῦ καὶ ἀνθρώπων* δύο φύσεις, τουτέστιν τὴν θείαν καὶ τὴν ἀνθρωπίνην, ὁμολογοῦμεν, ἐν αἷς καὶ μετὰ τὴν θαυμαστὴν ἕνωσιν ὑπάρχει, καθὼς δύο τοῦ ἑνὸς καὶ τοῦ αὐτοῦ τὰς φύσεις, οὕτως καὶ δύο φυσικὰ θελήματα καὶ δύο φυσικὰς αὐτοῦ τὰς ἐνεργείας κανονικῶς ὁμολογοῦμεν. ἵνα δὲ ταύτης τῆς ἀληθευούσης ὁμολογίας ἡ νόησις ἐκ τῆς παλαιᾶς καὶ καινῆς διαθήκης ἡ *θεόπνευστος διδασκαλία* ταῖς ἐννοίαις τῆς ὑμετέρας εὐσεβείας φανῇ (πλέον γὰρ καὶ ἀσυγκρίτως ἡ ὑμετέρα φιλανθρωπία δυνήσεται τὴν ἔννοιαν τῶν ἁγίων γραφῶν ἐπεξεργάσασθαι ἤπερ ἡ ἡμετέρα σμικρότης ῥευστοῖς ῥήμασι σαφηνίσαι), αὐτὸς ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ ἀληθινὸς καὶ τέλειος θεός, ἀληθινὸς καὶ τέλειος ἄνθρωπός ἐστιν, ἐν τοῖς ἱεροῖς αὐτοῦ εὐαγγελίοις προμαρτύρεται – ἓν τισι τὰ ἀνθρώπινα, ἓν τισι τὰ θεῖα καὶ ἅμα ἑκάτερα ἐν ἄλλοις περὶ αὐτοῦ φανερὰ ποιούμενος – ὅπως αὐτὸν ἀληθῆ θεὸν καὶ ἀληθῆ ἄνθρωπον πιστεύειν καὶ κηρύττειν τοὺς πιστοὺς αὐτοῦ καταρτίσῃ. προσεύχεται οὖν πρὸς τὸν πατέρα ὡς ἄνθρωπος, ἵνα τὸ *ποτήριον* τοῦ πάθους παραγάγῃ, ὅτι ἐν αὐτῷ τῆς ἡμετέρας ἀνθρωπότητος ἡ φύσις *χωρὶς μόνης ἁμαρτίας* τελεία ἐστί· *πάτερ, φάσκων, εἰ δυνατόν ἐστι, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο, πλὴν οὐχ ὡς ἐγὼ θέλω ἀλλ' ὡς σὺ θέλεις.* καὶ ἐν ἄλλῳ· *μὴ τὸ ἐμὸν θέλημα ἀλλὰ τὸ σὸν γενέσθω.* ἤστινος μαρτυρίας τὴν ἔννοιαν ἐὰν ἀπὸ τῶν ἁγίων καὶ ἐκκρίτων πατέρων σαφηνισθεῖσαν ἐπιγνῶναι ἐπιθυμῶμεν, καὶ τί *τὸ ἐμὸν θέλημα*, τί *τὸ σὸν* σημαίνει τὸ ἀληθὲς νοῆσαι, ὁ μακάριος Ἀμβρόσιος ἐν τῷ δευτέρῳ λόγῳ πρὸς τὸν τῆς εὐσεβοῦς μνήμης Γρατιανὸν τὸν βασιλέα τούτοις τοῖς ῥήμασι περὶ τοῦ τόπου τούτου ἡμᾶς νοεῖν ὑπομιμνήσκει φάσκων· „δέχεται τοίνυν τὴν βούλησιν τὴν ἐμήν, δέχεται τὸ στυγνὸν ⟨τὸ ἐμόν⟩, θαρρῶν γὰρ ὀνομάζω στυγνότητα, ἐπειδὴ κηρύσσω σταυρόν. ἐμὸν ἦν τοῦτο τὸ βούλημα, ὅπερ ἴδιον ἔλεγεν, ἐπειδήπερ ὡς ἄνθρωπος τὰ τῆς ἐμῆς στυγνότητος ἔλαβεν, ὡς ἄνθρωπος καὶ ἐλάλησεν, καὶ διὰ τοῦτό φησιν· *οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σὺ θέλεις.* ἐμὴ γάρ ἐστιν ἡ στυγνότης, ἣν κατ' ἐμὴν διάθεσιν ἀνεδέξατο."

---

12 – 13 1. Tim. 2,5 17 2. Tim. 3,16 24 Mt. 26,39 25 cf. Hebr. 4,15 25 – 27 Mt. 26,39 27 Lc. 22,42 29 Lc. 22,42 35 Mt. 26,39

---

31 – 36 Ambrosius, de fide II 7,7 – 12 (53), PL 16,593 – 594; CSEL 78 (1962) 74

MT K v

---

1 αὐτὸς ὁ κύριος MT 8 τρία … καὶ *om.* v 9 ἀλλόκοτόν] ἀλλοκώτατον T λεχθήσονται] λεχθήσεται M εἶπη v 14 τὰς *om.* K v 15 φυσικὰ δύο v τὰς *om.* v 16 ἀληθευούσης] ἀληθοῦς MT νόησις] ὄνησις v 17 ὑμετέρας] ἡμετέρας v 18 γραφῶν *om.* M 19 ἤπερ] εἴπερ T K 21 προμαρτύρεται] προσμαρτύρεται MT 22 ἄλλοις] ἀλλήλοις v 24 οὖν *om.* K 26 – 27 ὡς σὺ ὡς θέλεις K 27 γενέσθω] γινέσθω T v 28 ἁγίων καὶ *om.* M ἐκκρίτων] ἐγκρίτων v 29 ἀμβρόσιος] ἀμβρώσιος T 31 νοεῖν] ὑπονοεῖν v 32 meam = ⟨τὸ ἐμόν⟩ *om.* MT K v 36 ἀνεδέξατο] ἐδέξατο K

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 9/19/17 11:35 AM

tinet, duplicia omnia confitetur, quia idem ipse dominus noster Iesus Christus et deus perfectus est et homo perfectus est ex duabus et in duabus naturis et post ammirabilem incarnationem existens nec deitas eius sine humanitate nec humanitas eius sine deitate possit intellegi. consequenter itaque iuxta regulam sanctae catholicae atque apostolicae Christi ecclesiae duas etiam naturales uoluntates in eo et duas naturales operationes esse confitetur et praedicat. nam si personalem quisquam intellegat uoluntatem, dum tres personae in sancta trinitate dicuntur, necesse est, ut et tres personales uoluntates et tres personales operationes, quod absurdum est et nimis profanum, dicerentur; sin autem, quod fidei christianae ueritas continet, naturalis uoluntas est, ubi una natura dicitur sanctae et inseparabilis trinitatis, consequenter et una naturalis uoluntas et una naturalis operatio intellegenda est. ubi uero in una persona domini nostri Iesu Christi *mediatoris dei et hominum* duas naturas, id est diuinam et humanam, confitemur, in quibus et post ammirabilem adunationem consistit, sicut duas unius eiusdemque naturas, ita et duas naturales uoluntates duasque naturales operationes eius regulariter confitemur. ut autem huius ueridicae confessionis intellegentia ex ueteris nouique testamenti *a deo inspirata doctrina* pietatis uestrae mentibus clareat (plusquam enim et inconparabiliter uestra possit clementia sensum sanctarum scripturarum penetrare quam nostra pusillitas uerbis defluentibus explanare) ipse dominus noster Iesus Christus, qui uerus et perfectus deus, uerus et perfectus homo est, in sacris suis euangeliis protestatur – in aliquibus humana, in aliquibus diuina et simul utraque in aliis de se patefaciens – ut se uerum deum uerumque hominem credere ac predicare fideles suos perstrueret. orat quidem ad patrem ut homo, ut *calicem* passionis transageret, quia in eo nostrae humanitatis natura *absque solo peccato* perfecta est; *pater*, inquiens, *si possibile est, transeat a me calix iste, uerumtamen non sicut ego uolo sed sicut tu uis.* et in alio: *non mea uoluntas sed tua fiat.* cuius testimonii sensum si a sanctis et probabilibus patribus explanatum cognoscere cupimus, et quid *mea uoluntas* quid *tua* significet ueraciter intellegere, beatus Ambrosius in secundo libro ad piae memoriae Gratianum augustum his uerbis de hoc loco nos intellegere commonet inquiens: „suscepit ergo uoluntatem meam, suscepit tristitiam meam. confidenter tristitiam nomino, quia crucem predico. mea est uoluntas, quam suam dixit, quia ut homo suscepit tristitiam meam, ut homo locutus est et ideo ait: *non sicut ego uolo, sed sicut tu uis.* mea est tristitia, quam meo suscepit affectu."

VP BR MNL K

1 duplicia] dupplicia K 2 est et ex MNL¹ et²] ac B² ammirabilem] admirabilem ML 4 intellegi] intelligi R ML K consequenter] consequentes N apostolicae] apostholicae B 5 operationes] operationis V 6 intellegat] intelligat ML K dum per tres N 7 sancta] sancte V 8 operationes] operationis V absurdum] absordum M profanum] prophanum K 9 fidei] fide NL naturalis] naturales V una *om.* MNL una haec natura VP 10 sanctae] sancta VP trinitatis] natiuitatis VP una¹] unam naturam VP uoluntas ... naturalis *om.* K et] est R 11 intellegenda] intelligenda R ML iesu christi] yesu cripsti K 12 hominum] hominis M naturas] naturales V 13 ammirabilem] admirabilem M ambirabilem N adunationem] adunitionem M¹N adunctionem L eiusdemque] eiusdem K 15 ueridicae] ueridicet VP uiridicae B¹ intellegentia] intelligentia ML K intellegentia et ex B¹ ueteris] ueteri NL 16 uestrae] uestris BR plusquam] plusque B¹R plus B² possit] est B² 17 sanctarum sensum K pusillitas] posillitas P 19 euangeliis] euungeliis V¹P 20 simul] semul R aliis] alius VP¹ uerumque] uerum N 21 orat] ora V¹ 22 transageret] transierat B¹ transegerit R 24 alio loco non BR M (*cf.* 69,27) 25 explanatum] explanantum V¹ cognoscere] cognuscere V² 26 quid²] ad R intellegere] intelligere ML K 27 gratianum augustum] gratiarum agustum VP intellegere] intelligere R ML K 28 meam¹] eam V 29 tristitiam nomino] dico tristitiam meam R 30 et *om.* R 31 meo] mea VP¹

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 9/19/17 11:35 AM

Ἰδοὺ φαίνεται, εὐσεβέστατοι βασιλέων, ὅτι ἐνταῦθα ὁ ἅγιος πατὴρ τὸ ῥῆμα τοῦτο, ὅπερ ὁ κύριος προσευχόμενος προσήγαγε, τό· *οὐχ ὡς ἐγὼ θέλω*, πρὸς τὴν ἀνθρωπότητα αὐτοῦ ἀνήκειν ἐπισφραγίζει, καθ' ἣν καὶ ὑπήκοος κατὰ τὴν διδασκαλίαν τοῦ μακαρίου Παύλου *τοῦ ἀποστόλου τῶν ἐθνῶν* λέγεται· *μέχρι θανάτου, θανάτου δὲ σταυροῦ*. ὅθεν καὶ *ὑποτασσόμενος* τοῖς γονεῦσι γνωρίζεται, ὅτε οὖν τὴν ὑπακοὴν αὐτοῦ τὴν ἑκούσιον οὐ κατὰ τὴν θεότητα, ἥτις πάντων δεσπόζει, εὐσεβές ἐστι νοεῖν, ἀλλὰ κατὰ τὴν ἀνθρωπότητα, δι' ἧς ἑκουσίως τοῖς γονεῦσιν *ὑπετάγη*, ὅπερ καὶ ὁ ἅγιος Λουκᾶς ὁ εὐαγγελιστὴς ὁμοίως μνημονεύει τὸν αὐτὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν κατὰ τὴν ἀνθρωπότητα προσευχόμενον πρὸς τὸν πατέρα εἰσάγων καὶ διαβεβαιούμενος· *πάτερ, εἰ δυνατόν ἐστι παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο, πλὴν μὴ τὸ ἐμὸν θέλημα ἀλλὰ τὸ σὸν γενέσθω*.

ὄντινα τόπον ὁ τοῦ Χριστοῦ ὁμολογητὴς Ἀθανάσιος ὁ ἀρχιερεὺς τῆς Ἀλεξανδρέων ἐκκλησίας ἐν τῷ λόγῳ τῷ κατὰ Ἀπολλιναρίου τοῦ αἱρετικοῦ περὶ τῆς τριάδος καὶ ἐνανθρωπήσεως καὶ τοῦ δυϊκοῦ ἀριθμοῦ δραττόμενος οὕτως σαφηνίζει· „καὶ ὅταν λέγῃ· *πάτερ, εἰ δυνατόν, τὸ ποτήριον τοῦτο παρελθέτω* ⟨*ἀπ' ἐμοῦ*⟩, *πλὴν μὴ τὸ ἐμὸν θέλημα γένηται, ἀλλὰ τὸ σόν*. ⟨καὶ πάλιν·⟩ *τὸ πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής*, δύο θελήματα ἐνταῦθα δείκνυσι, τὸ μὲν ἀνθρώπινον, ὅπερ ἐστὶ τῆς σαρκός, τὸ δὲ θεϊκόν· τὸ γὰρ ἀνθρώπινον διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς παραιτεῖται τὸ πάθος, τὸ δὲ θεϊκὸν αὐτοῦ *πρόθυμον*." ἤστινος σαφηνείας τί ἀληθέστερον δυνήσεται γνωρισθῆναι; πῶς γὰρ οὐκ ἐν αὐτῷ δύο θελήματα, τουτέστι θεῖον καὶ ἀνθρώπινον, πιστῶς ἐπιγνωσθήσονται, ἐν ᾧ δύο φύσεις καὶ μετὰ τὴν ἀχώριστον ἕνωσιν συνοδικῷ κηρύγματι κηρύττονται; καὶ Ἰωάννης γάρ, ὃς *ἐπὶ τὸ στῆθος* τοῦ κυρίου *ἀνέπεσεν*, ὁ ἀγαπητὸς μαθητής, τὴν αὐτὴν περιοχὴν τούτοις σαφηνίζει τοῖς ῥήμασιν· *ὅτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με πατρός*· καὶ πάλιν· *τοῦτό ἐστι τὸ θέλημα τοῦ πέμψαντός με, ἵνα πᾶν ὃ δέδωκέ μοι μὴ ἀπολέσω ἐξ αὐτοῦ τι, ἀλλ' ἵνα ἀναστήσω αὐτὸ ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ*. ὡσαύτως τὸν αὐτὸν κύριον εἰσάγει μετὰ τῶν Ἰουδαίων διαλεγόμενον καὶ λέγοντα μετὰ τῶν λοιπῶν *ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμὸν ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με*. οὗτινος θείου λόγου τὸν σκοπὸν ὁ μακάριος Αὐγουστῖνος ὁ ἐξοχώτατος διδάσκαλος οὕτως κατὰ Μαξιμ⟨ίν⟩ου τοῦ Ἀρειανοῦ φράζει καὶ λέγει· „ὅπου δὲ εἶπεν ὁ υἱὸς τῷ πατρί· *πλὴν οὐχ ὅπερ ἐγὼ θέλω ἀλλ' ὅπερ σὺ θέλεις*· τί σοι βοηθεῖ, ὅτι τὰ σὰ ῥήματα ὑποβάλλεις καὶ λέγεις· „ἔδειξεν ἀληθῶς τὸ ἴδιον θέλημα ὑποτεταγμένον τῷ ἰδίῳ γεννήτορι", ὡσανεὶ ἡμεῖς ἀρνησόμεθα τὸ θέλημα τοῦ

---

2 Mt. 26,39 4 Rom. 11,13 Phil. 2,8 5 cf. Lc. 2,51 9 – 10 Lc. 22,42 14 – 15 Lc. 22,42 15 Mt. 26,41 21 Joh. 13,25 22 – 23 Joh. 6,38 23 – 25 Joh. 6,39 26 – 27 Joh. 5,30 29 – 30 Lc. 22,42

13 – 18 Ps.-Athanasius (Marcellus Anc.), de incarn. et c. Arianos 21, PG 26,1021 B 10 – C 4; ACO ser. II vol. I p. 282,23 – 30; ed. F. Diekamp, Doctrina patrum 18 I p. 117,13 – 15 29 – 72,15 Augustinus, c. Maximinum, II 20,2, PL 42,789,7 – 31

MT K v

1 τοῦτο] αὐτὸν K αὐτοῦ v 2 προσήγαγε] προήγαγε MT 5 ὅτε] οὔτε T 6 οὐ *om.* T 10 τὸ[2] *om.* K γενέσθω] γινέσθω T v 11 τόπον] τρόπον K 12 ἀπολλιναρίου] ἀπολιναρίου MT v 13 λέγῃ] λέγει K 14 τοῦτο *om.* v a me = ⟨*ἀπ' ἐμοῦ*⟩ *om.* MT K v 15 et iterum = ⟨*καὶ πάλιν·*⟩ *om.* MT K v 18 δυνήσεται] δύναται MT 24 ἵνα[2] *om.* MT 27 με + πατρός T[1] 28 maximinum = μαξιμ⟨ίν⟩ου] μαξίμου MT K v ἀρειανοῦ] αἱρετικοῦ K 29 καὶ λέγει *om.* v 31 ὡσανεὶ καὶ ἡμεῖς K ὡς ἂν ἡμεῖς v ἀρνησόμεθα] ἀρνησώμεθα K v

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 9/19/17 11:35 AM

Ecce claret, piissimi principum, quod hic sanctus pater uerbum ipsum, quod dominus orans protulit, *non quod ego uolo*, ad humanitatem eius pertinere consignat, per quam et oboediens secundum doctrinam beati Pauli *apostoli gentium* dicitur: *usque ad mortem, mortem autem crucis*. unde et *oboediens* parentibus intimatur, quandoquidem oboedientiam eius uoluntariam non secundum diuinitatem, quae omnium dominatur, pium est intellegere, sed secundum humanitatem, qua sponte se parentibus *subdidit*, quod et sanctus Lucas euangelista similiter memorat eundem dominum nostrum Iesum Christum secundum humanitatem orantem ad patrem introducens et asserens: *pater, si possibile est transeat a me calix iste, uerumtamen non mea uoluntas sed tua fiat.* quem locum confessor Christi Athanasius antistes Alexandrinae ecclesiae in libro aduersus Apollinarium hereticum de trinitate et incarnatione etiam duali numero conprehendens sic explanat: „et quando dicit: *pater, si possibile est, transeat a me calix iste* et *tamen non mea, sed tua uoluntas fiat*, et iterum: *spiritus promptus, caro autem infirma*, duas uoluntates hic ostendit, et unam quidem humanam, quae est carnis, aliam autem diuinam. quod enim humanam propter infirmitatem carnis refugiebat passionem, diuinam autem eius promptam." qua explanatione quid uerius poterit intimare? quomodo enim non in eum duae uoluntates, id est diuina et humana, fideliter agnoscantur, in quo duae naturae etiam post inseparabilem adunationem synodali praeconio praedicantur? nam et Iohannes, qui *super pectus* domini *recubuit*, dilectus discipulus, eandem continentiam his explanat uerbis: *quia descendi de caelo, non ut faciam uoluntatem meam, sed uoluntatem eius, qui misit me patris*; et iterum: *haec est uoluntas eius, qui me misit, ut omne, quod dedit mihi, non perdam ex eo quemquam, sed ut resuscitem illum in nouissimo die.* item eundem dominum introducit cum Iudaeis disputantem atque dicentem inter cetera: *quia non quaero uoluntatem meam, sed uoluntatem eius, qui misit me.* cuius diuinae sermonis intentum beatus Augustinus praestantissimus doctor ita aduersum Maximinum Arrianum disserit et dicit: „ubi autem dixit filius patri: *uerum non quod ego uolo, sed quod tu uis*; quid te adiubat, quod tua uerba subiungis et dicis: „ostendit uere suam uoluntatem subiectam suo genitori", quasi nos negemus hominis uoluntatem uoluntati dei esse debere

---

VP BR MNL K

---

1 piissimi] piissime BR 2 consignat pertinere K 3 oboediens] obediens R NL K 3 – 4 secundum ... oboediens B^2 *marg.* 3 apostoli] apostuli V^2 gentium] patri B^2R 4 oboediens] obediens R NL K 4 – 5 oboedientiam] obedientiam NL K 6 intellegere] intelligere R ML K sed *om.* V 8 est] es B^1 9 uerumtamen] ueruntamen N 10 antistes] antestis V B alexandrinae] alexandriae B apollinarium] apollonarium V apolinarium B^1R apolinarem B^2 11 et *om.* VP incarnatione] incarnationem V 12 quando] quan N 12 – 13 uoluntas sed tua K 13 promptus] prumtus VP^1 prumptus B uoluntates] uoluntas VP^1 14 quidem unam K aliam autem] alteram M quod] qui VP^1 quia P^2 15 humanam que propter B^2 propter] proter V^1 15 – 16 promptam] prumtam V^1 prumptam V^2P^1 B^1 16 intimare] intimari B^2 NL K 17 diuina et humana] diuinam et humanam MNL K agnoscantur] agnuscantur V 20 descendi] discendi VP meam *om.* R 21 omne] omnem R K mihi] michi N mihi pater non VP 22 quemquam] quemque VP^1 quicquam M resuscitem] resuscitaem V 23 introducit] introduxit VP K atque] adque VP inter cetera dicentem K 24 me misit VP diuinae] diuini P^2 B^2R MNL K 25 augustinus] agustinus VP aduersum] aduersus K maximinum] maximum VP NL maximianum B^2 arrianum *om.* N 26 disserit] asserit MNL dixerit K quod non NL 27 quid] qui VP^1 adiubat] adiuuat P^2 B^2R MNL K 28 subiectam ... hominis B^2 *marg.* genitori] genitore V^1 quasi] quas VP B^1 uoluntatem *om.* VP uoluntati] uoluntatem N debere esse M debere *om.* K

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 9/19/17 11:35 AM

ἀνθρώπου τῷ τοῦ θεοῦ θελήματι ὀφείλειν εἶναι ὑποτεταγμένον. καὶ γὰρ ἐκ τῆς φύσεως τοῦ ἀνθρώπου τοῦτο εἰρηκέναι τὸν κύριον ταχέως θεωρεῖ, ὅστις τὸν τόπον αὐτοῦ τοῦ ἁγίου εὐαγγελίου μικρὸν προσεχέστερον ἐπισκήψει. ἐκεῖ γὰρ εἶπε· *περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου.* μήτι ἐκ τῆς φύσεως τοῦ μονογενοῦς λόγου δυνήσεται τοῦτο λέγεσθαι; ἀλλ' ἄνθρωπε, ὅστις νομίζεις *στενάζειν τὴν φύσιν* τοῦ πνεύματος τοῦ ἁγίου, διὰ τί μὴ καὶ τὴν φύσιν τοῦ μονογενοῦς θεοῦ λόγου *περίλυπον* εἶναι εἴποις δύνασθαι; πλὴν αὐτὸς μήπως τι τοιοῦτον λεχθείη οὐκ ἔφη· ‚*περίλυπός* εἰμι', εἰ καὶ τὰ μάλιστα εἰ καὶ τοῦτο εἰρήκει, οὐχὶ μὴ ἐκ τῆς φύσεως τοῦ ἀνθρώπου ἐχρῆν νοεῖσθαι, ἀλλά φησι· *περίλυπός ἐστιν ἡ ψυχή μου*, ἣν ὡς ἄνθρωπος πάντως εἶχεν ἀνθρωπίνην, εἰ καὶ τὰ μάλιστα καὶ ἐν τούτῳ φησίν· *οὐχ ὅπερ ἐγὼ θέλω* ἄλλο ἑαυτὸν δείκνυσι θέλειν παρὰ τὸν πατέρα, ὅπερ εἰ μὴ τῇ ἀνθρωπίνῃ καρδίᾳ οὐκ ἠδύνατο, ὁπόταν τὴν ἡμετέραν ἀσθένειαν εἰς τὴν ἰδίαν οὐχὶ τὴν θείαν ἀλλὰ τὴν ἀνθρωπίνην μετασχηματίσαι διάθεσιν· ἀνθρώπου δηλαδὴ μὴ προσληφθέντος οὐδαμῶς τῷ πατρὶ εἶπεν ἂν ὁ μονογενὴς λόγος *οὐχ ὅπερ ἐγὼ θέλω*· οὐδέποτε γὰρ ἠδύνατο ἡ ἄτρεπτος ἐκείνη φύσις τί ποτε ἕτερον θέλειν παρὰ τὸν πατέρα. ταῦτα ἐὰν διαστέλλητε, Ἀρειανοὶ αἱρετικοὶ οὐκ ἔσεσθε." δι' ἧς διαλέξεως ὁ σεβάσμιος οὗτος πατὴρ ἀποδείκνυσιν, ὅτι καί, ἡνίκα λέγει ὁ κύριος, ἴδιον τῆς ἀνθρωπότητος αὐτοῦ σημαίνει τὸ θέλημα, καὶ ὅτε λέγει μὴ ποιεῖν τὸ θέλημα τὸ ἑαυτοῦ, ὑπομιμνήσκει ἡμᾶς οὐχὶ τὸ ἡμέτερον ζητεῖν πρωτοτύπως θέλημα, ἀλλὰ δι' ὑπακοῆς τὸ ἡμέτερον θέλημα τῷ θείῳ θελήματι ὑποτάσσεσθαι. ὅθεν φανεροποιεῖ, ὅτι καὶ τὸ ἀνθρώπινον ἔσχε θέλημα, καθ' ὃ ὑπήκουσε τῷ πατρί, καὶ ἄμωμον ἀπὸ πάσης *ἁμαρτίας* τὸ αὐτὸ ἀνθρώπινον θέλημα, ἅτε δὴ θεὸς ἀληθὴς καὶ ἄνθρωπος τοῦτο ἐν ἑαυτῷ ἔσχε καὶ ἀπέδειξεν. ὅπερ καὶ ὁ ἅγιος Ἀμβρόσιος σαφηνίζων τὸν ἅγιον Λουκᾶν τὸν εὐαγγελιστὴν οὕτως φράζει· „τὸ ἴδιον αὐτοῦ εἰς τὸν ἄνθρωπον ἀνήγαγε, τὸ τοῦ πατρὸς εἰς τὴν θεότητα· τὸ γὰρ ἀνθρώπινον θέλημα πρόσκαιρον, τὸ δὲ θέλημα τῆς θεότητος αἰώνιον." ταῦτα ὁ πνευματικὸς πατὴρ ὑπομιμνήσκων καταρτίζει, ὁποῖον θέλημα ἐξ ἀϊδίου σὺν τῷ πατρὶ καὶ τῷ πνεύματι τῷ ἁγίῳ φυσικῶς κοινὸν ὁ υἱὸς ἔχει ἢ ὁποῖον χρονικῶς διὰ τῆς προσληφθείσης ἀνθρωπότητος ὁ αὐτὸς ἐν τῷ ἰδίῳ προσώπῳ ἀνέλαβεν. ὅπερ καὶ ὁ τῆς ἀποστολικῆς μνήμης ὁ ἅγιος Λέων ἐν τῇ ἐπιστολῇ τῇ πρὸς Λέοντα τὸν βασιλέα σαφηνίζει καὶ τῇ μιᾷ ἑκάστῃ *μορφῇ*, τουτέστι φύσει, ἅτινά εἰσιν ἐν τῷ Χριστῷ σκοπῷ διακεκριμένῳ ἅπερ ἐν ταῖς γραφαῖς περὶ αὐτοῦ ἀναφέρονται – φανερῶν καὶ τοῦτο, ὅπερ ἴδιον θέλημα ὁ κύριος εἶπε πρὸς τὴν ἀνθρω-

3 – 4 Mt. 26,38 5 cf. Rom. 8,22 6 – 9 Mt. 26,38 10 Lc. 22,42 13 Lc. 22,42 20 cf. Hebr. 4,15

22 – 24 Ambrosius, in Luc. X 593 – 595 (60), PL 15,1911 C 2 – 4; CC 14 (1957) 363

MT K v

2 τόπον] τρόπον K 4 λόγου *om.* MT 5 νομίζεις δὲ στενάζειν K 6 μονογενοῦς *om.* MT 7 τοιοῦτον] τοιοῦτο T μάλιστα καὶ εἰ K 9 εἶχεν] ἔσχεν v 10 ἄλλο] ἀλλ' ὃ T ἑαυτὸν] αὐτὸν v παρὰ *om.* v εἰ μὴ] ἐμῇ M 10 – 11 καρδίᾳ τῇ ἀνθρωπίνῃ M 11 ὁπόταν] ὁπότε M 12 μετασχηματίσαι] μετεσχημάτιζε Mansi προσληφθέντος] ληφθέντος v 13 – 14 ἡ ἄτρεπτος ἐκείνη ἠδύνατο v 14 διαστέλλητε] διαστέλλετε T K 15 αἱρετικοὶ *bis* K 16 καὶ *om.* MT 17 – 18 πρωτοτύπως ζητεῖν MT 21 ἀμβρόσιος] ἀμβρώσιος T 24 πρόσκαιρον] τοιοῦτον v δὲ *om.* T θέλημα *om.* v 25 καὶ τῷ πνεύματι *om.* v 26 ἢ ὁποῖον] καὶ πιο . . . . T 27 ὁ² *om.* T 29 διακεκριμένῳ] διακεκρυμένῳ K

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 9/19/17 11:35 AM

subiectam. nam ex natura hominis hoc dixisse dominum cito uidet, qui locum ipsum sancti euangelii paulo attentius intuetur. ibi enim dixit: *tristis est anima mea usque ad mortem*. numquid ex natura unici uerbi possit hoc dici? sed homo, qui putas *gemere naturam* spiritus sancti, cur non etiam naturam uerbi dei unigeniti *tristem* dicas esse potuisse? ille tamen ⟨ne⟩ quid tale diceretur non ait: ‚*tristis* sum', quamuis etiam si hoc dixisset, non nisi ex natura hominis oportuisset intellegi, sed ait: *tristis est anima mea*, quam sicut homo utique habebat humanam, quamquam et in hoc quod ait: *non quod ego uolo* aliud se ostendit uoluisse quam pater, quod nisi humano corde non posset, cum infirmitatem nostram in suum non diuinum sed humanum transfiguraret affectum; homine quippe non assumpto, nullo modo patri diceret unicum uerbum: *non quod ego uolo*; numquam enim posset inmutabilis illa natura quicquam aliud uelle quam pater. haec si distingueretis, Arriani heretici non essetis." per quam disputationem hic uenerabilis pater demonstrat, quia et, cum dicit dominus, suam humanitatis suae significat uoluntatem, et cum dicit non facere uoluntatem suam, ammonet nos non nostram quaerere principaliter uoluntatem, sed per oboedientiam nostram uoluntatem diuinae subiicere uoluntati. unde patefacit, quia et humanam habuit uoluntatem, per quam oboediit patri, et inmaculatam ab omni *peccato* eandem humanam uoluntatem, utpote uerus deus et homo hanc in semetipso habuit et probauit. quod et sanctus Ambrosius in explanatione sancti Lucae euangelistae sic disserit: „suam ad hominem retulit, patris ad diuinitatem; uoluntas enim hominis temporalis, uoluntas diuinitatis aeterna." haec spiritalis pater commemorans astruit, qualem uoluntatem ex aeterno cum patre et spiritu sancto filius communem naturaliter habet qualemue temporaliter per assumptam humanitatem idem ipse in sua persona suscepit. quod et apostolicae memoriae sanctus Leo in epistula ad Leonem augustum explanat, et unicuique *formae* id est naturae, quae in Christo sunt discreta consideratione quae in scripturis de eo referuntur – assignans et hoc, quod suam dominus dixit uoluntatem ad humanitatem eius pertinere, demonstrans

---

VP BR MNL K

---

2 sancti] sanctae B¹ attentius] adtentius V N attestantius K 3 qui] quid N putas] putes VP gemere] genera V 3 – 4 gemere … naturam² *om.* N 4 cur] quur B¹ non] nonne K 5 ille] illa VP μήπως = ⟨ne⟩ *om.* VP BR MNL K tale quid MNL ait] aut VP¹ quamuis] quis VP 6 oportuisset] opportuisset B K oportuisse NL intellegi] intelligi R ML K ait] aut VP 7 quam] qui VP humanam] humanum NL quamquam] quemqui VP quod] qui VP 8 uolo non aliud M quam] quae VP quod] qui VP posset] possit B 9 infirmitatem] infirmitate R MNL K nostram] nostra K in suum *om.* VP diuinum] diuinam VP K transfiguraret] tranfugaret K 10 quippe quidem non K patri] de patre M non quod] neque VP 11 numquam] numqui VP posset] potest N inmutabilis] inmutabiles VP immotabilis M 12 distingueretis] distingueremus B essetis] essemus B 13 cum] cur K humanitatis] humilitatis V 14 facere] esse BR ammonet] admonet BR M 15 oboedientiam] oboedientia V 15 – 16 diuinae … uoluntatem B *marg.* 15 subiicere] subiacere VP² 16 uoluntati] uoluntatem V uoluntate P patefacit] patefecit B¹ *marg.* humanam] humanum V² habuit] habiit N¹ oboediit] obediit NL K 17 utpote] utpute B 18 homo est hanc P¹ probauit] probabit VP¹ 19 sancti] sancte V sic disserit *om.* BR disserit] diserit V dixerit N K retulit] rettulit P¹ 20 – 21 spiritalis] spiritualis M 21 ex] aex N 22 qualemue] qualem uero M assumptam] assumptum VP¹ assumtam B 24 epistula] epistola R L augustum] agustum V 25 assignans] adsignans BR MNL

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 9/19/17 11:35 AM

πότητα αὐτοῦ ἀνήκειν, δεικνύων οὕτως φησί· „κατὰ μὲν τὴν *μορφὴν τοῦ δούλου οὐκ ἦλθε ποιῆσαι τὸ θέλημα τὸ ἑαυτοῦ, ἀλλὰ τὸ τοῦ πέμψαντος αὐτόν.*" ἰδοὺ γὰρ ἐνταῦθα ὁ ἀποστολικὸς πατὴρ πρὸς τὴν *μορφὴν τοῦ δούλου* τὸν αὐτὸν τοῦ κυρίου ἡμῶν λόγον ἁρμοδίως ἡμᾶς ἐδίδαξε νοεῖν.

Προσεπιτούτοις ὅπως εὐσεβῶς δυνηθῶσι νοεῖσθαι αἱ διάφοροι ἐπὶ τούτῳ τῶν ἁγίων γραφῶν μαρτυρίαι, ἅτινά ποτε μὲν ἐκ τῆς φύσεως τῆς ἀνθρωπότητος, ποτὲ δὲ ἐκ τῆς θείας τοῦ ἑνὸς καὶ τοῦ αὐτοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ καὶ ἀνθρώπου κατασκευάζονται καὶ ἐπὶ τοῦ παρόντος ἡ γραφὴ μνημονεύει· *πάντα ὅσα ἠθέλησεν ὁ κύριος ἐποίησεν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ· ὡσαύτως· ὥσπερ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτως καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ·* καὶ τῷ λεπρῷ λέγει· *θέλω καθαρίσθητι·* καί· *οὐδεὶς δύναται γνῶναι τὸν πατέρα εἰ μὴ ὁ υἱὸς καὶ ᾧτινι θελήσει ὁ υἱὸς ἀποκαλύψαι.* ὡσαύτως τινὰ περὶ τοῦ ἀνθρωπίνου αὐτοῦ θελήματος τοῦ εὐαγγελίου τὰ μυστήρια μνημονεύουσιν, ἡνίκα λέγουσιν αὐτὸν *ἐπὶ τῆς θαλάσσης περιπατοῦντα* θέλειν ὡς ἀληθῶς ἄνθρωπον τοὺς ἰδίους περάσαι μαθητάς. καὶ ἐν τῷ διέρχεσθαι αὐτὸν διὰ τῆς *Γαλιλαίας* μετὰ τῶν μαθητῶν οὐκ ἤθελεν, ἵνα τις γνῷ, καὶ ὡς ἄνθρωπος λέγει· *ἐμὸν βρῶμά ἐστιν ἵνα ποιῶ τὸ θέλημα τοῦ πέμψαντός με,* καί· *οὐκ ἤθελε διὰ τῆς Ἰουδαίας περιπατῆσαι, ὅτι ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι ἀποκτεῖναι,* καὶ πάλιν· *ἐγερθεὶς ἦλθεν εἰς τὰ μεθόρια Τύρου καὶ εἰσελθὼν εἰς οἶκον οὐκ ἤθελέ τινα γνῶναι, καὶ οὐκ ἠδυνήθη λαθεῖν.* μὴ οὖν αὐτὸς ὁ δημιουργὸς τῶν πάντων καὶ *λυτρωτής,* περὶ οὗ εἴρηται· *πάντα ὅσα ἠθέλησεν ὁ κύριος ἐποίησεν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ,* οὗτινος τὸ θέλειν τοῦτό ἐστιν ὅπερ δύναται, οὗτινος τῷ νεύματι αἱ οὐρανίαι δυνάμεις σὺν φόβῳ λατρεύουσιν, *λαθεῖν* ἐπὶ γῆς θέλων οὐκ *ἠδυνήθη,* ὁ κατὰ τὴν θείαν μεγαλωσύνην ἐξ ἀϊδίου σὺν τῷ πατρὶ ἐν τοῖς οὐρανοῖς ἀπορρήτως δεσπόζων *καὶ ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς,* εἰ μὴ τοῦτο πρὸς τὸ ἀνθρώπινον αὐτοῦ θέλημα, ὅπερ χρονικῶς κατηξίωσε προσλαβεῖν, ἐπαναδοθῇ; πόσῃ οὖν πλάνῃ ἐγκεκύλισται ὁ τὰ τοιαῦτα μὴ διακρίνων, ἵνα εἴπῃ ἑνὶ καὶ τῷ αὐτῷ θελήματι καὶ *πάντα ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ ἅπερ ἠθέλησε τὸν κύριον* δύνασθαι καὶ τῷ αὐτῷ πάλιν θελήματι ἐν οἴκῳ εὐτελεῖ *θέλοντα λαθεῖν μὴ δύνασθαι* κατὰ τὰς εὐαγγελικὰς μαρτυρίας;

ἀλλ' ἐὰν πρὸς τὴν οἰκονομίαν τῆς ἀνθρωπότητος αὐτοῦ, καθ' ἣν τὸ ταπεινὸν ἡμῶν προσέλαβεν, ἀποδοθῇ, πάντα τὰ τῆς θείας αὐτοῦ μεγαλωσύνης ἠλαττωμένα πρὸς τὴν ἀνθρωπότητα αὐτοῦ ἀνήκειν γνωρίζει, ἣν τελείως προσέλαβε *χωρὶς* τινος *ἁμαρτίας,* ἵνα ταύτην καὶ τελείως σώσῃ· „τὸ γὰρ παρ' αὐτοῦ μὴ προσληφθὲν οὐδὲ σώζεται", καθὼς

---

1 Phil. 2,7 1–2 Joh. 6,38 8–9 Ps. 113,11 9–10 Joh. 5,21 10 Mt. 8,3 11 Mt. 11,27 13 Mt. 14,25 14 Joh. 4,3 15–16 Joh. 4,34 16–17 Joh. 7,1 17–18 Mc. 7,24 19 cf. Act. 7,35 19–20 Ps. 113,11 21 Mc. 7,24 23 Ps. 94,4 25–26 Ps. 113,11 27 Mt. 7,24 30 cf. Hebr. 4,15

1–2 Leo papa, ep. 165, ACO II 4 p. 117,25–26; Abh. BAdW 32,6 p. 61,1–2 31 Gregorius Naz., ep. 101,32 ad Cledonium, PG 37,181 C; SC 208 (1974) 50

MT K v

1 μὲν *om.* MT 2 τὸ[3] *om.* K v 3 τοῦ δούλου μορφὴν MT ἡμῶν *om.* MT 5 αἱ διάφοροι] ἀδιάφοροι v 7 θεοῦ *om.* M 11 θελήσει] θέλει MT v ἀποκαλύψαι] ἀποκαλύψει M 13 ἐπὶ τῆς θαλάσσης αὐτὸν M 14 περάσαι] πειρᾶσαι M παρεῖσαι K ἐκπερᾶσαι v 15 ἤθελεν] ἠθέλησεν M 21 θέλων ἐπὶ γῆς M 22 in ... archanis = ἀπορρήτως 24 αὐτοῦ *om.* M προσλαβεῖν] προσλαβέσθαι K v ἐπαναδοθῇ] ἐπαναδοθείη MT οὖν *om.* v 26 αὐτῳ] αὐτοῦ MT 30 ἀνήκειν γνωρίζει] ἀνήκει γνωρίζεσθαι MT

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 9/19/17 11:35 AM

sic dicit: „secundum quidem *formam serui non uenit facere uoluntatem suam, sed eius qui misit eum.*“ ecce enim hic apostolicus pater ad *formam serui* eundem domini nostri sermonem congruere nos docuit intellegere.

Praeterea quomodo pie poterint intellegi diuersa super hoc sanctarum testimonia scripturarum, quae nunc quidem ex natura humanitatis, nunc autem ex diuinitate unius eiusdemque domini nostri Iesu Christi ueri dei et hominis astruuntur et modo scriptura commemorat: *omnia quaecumque uoluit dominus fecit in caelo et in terra*, itemque: *sicut pater suscitat mortuos et uiuificat, ita et filius quos uult uiuficat*, et leproso dicit: *uolo, mundare!* et: *nemo possit cognoscere patrem nisi filius et cui uoluerit filius reuelare.* itemque quaedam de humana eius uoluntate euangelii sacramenta commemorant, cum dicunt eum *super mare ambulantem* uelle ut uere hominem suos transire discipulos. et dum cum discipulis per *Galileam* transire noluit, ut aliquis cognosceret, et ut homo dicit: *meus cibus est ut faciam uoluntatem eius qui me misit*, et: *nolebat per Iudeam ambulare, quia querebant eum Iudei interficere*, et iterum: *surgens uenit in partes Tyri, et ingressus in domum noluit aliquem scire, et non potuit latere.* ergone illae omnium conditor ac *redemptor*, de quo dicitur: *omnia quaecumque uoluit dominus fecit in caelo et in terra*, cuius uelle hoc est quod posse, cuius nutui caelestes cum terrore deseruiunt potestates, in terris *latere* uoluens *non potuit*, qui per diuinam maiestatem ex aeterno cum patre in caelestibus dominatur archanis *et in manu eius fines terrae sunt*, nisi hoc ad humanam eius uoluntatem, quam temporaliter est dignatus assumere, redigatur, quanto ergo errore talia non discernens inuoluitur, ut dicat una eademque uoluntate et *omnia in caelo et in terra quae uoluit dominum* posse et eadem iterum uoluntate in domo uili *uolentem latere non posse* secundum euangelica testimonia, sed si ad dispensationem humanitatis eius, per quam humilitatem nostram assumpsit, redigitur, omnia quaeque diuinae eius maiestati minora sunt, ad humanitatem ipsius pertinere cognoscit, quam perfecte suscepit *absque* ullo *peccato*, ut hanc etiam perfecte saluaret; „quod enim ab eo non susceptum

---

VP BR MNL K

---

1 sic] sicut M formam quidem K 2 qui me misit V ecce ... eundem *om.* VP apostolicus] apostholicus B 3 congruere] congrue K intellegere] intelligere R ML K 4 poterint] poterit VP poterunt K intellegi] intelligi P^2 R ML 5 unius] unus P^1 6 eiusdemque] eundemque VP^1 et^2] ut M 7 itemque] item quia VP 9 possit] potest B^2 cognoscere] cognuscere V et^2 ... filius *om.* N 10 quaedam] quidam VP 11 suos] suus B^1 discipulos] discipulus V 12 discipulis] discipulos VP^1 N K galileam] gallileam P B transire] transiret BR M K aliquis] aliqui VP^1 cognosceret] cognoscerit V^1 B^1 13 cibus] cybus N misit me M iudeam] iudaeam B MN 14 quia] qui R N iudei] iudaei P^2 B MN partes] partis V^1 tyri] tyrii VP tiri K ingressus] ingresus P 15 illae] ille P^2 B MNL K 16 quaecumque] que B^1R quae B^2 17 caelestes] caelestis V potestates] potestatis V 18 qui] quid N^1 diuinam] diuina V ex *om.* N 19 archanis] arcanis V L fines terrae] fenestre V 20 est] et R assumere] adsumere BR assummere K ergo *om.* N 21 una] unam N K eademque] eadem M uoluntate] uoluntatem V R NL K 22 uoluntate] uoluntatem V BR K uili] uolui K uili uolentem] uinolentem B^1 uolentem] uolente P MNL 23 si *om.* B^1 24 assumpsit] assumsit P adsumpsit B redigitur] reditur M quaeque] quae R MNL diuinae] diuinaeque NL 25 perfecte] perfectae P^1 B 26 ut] et R perfecte] perfectae P^1 N saluaret] saluare N

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 9/19/17 11:35 AM

ἡμᾶς ὁ συστατικὸς τῆς ἀληθείας κῆρυξ Γρηγόριος ὁ Ναζιανζοῦ πρόεδρος ἐφωδίασε. τοιγαροῦν εἰ τὸ παρὰ τοῦ ἀνθρώπινον θέλημα καθὼς καὶ ἡ φύσις προσελήφθη καὶ ἐσώθη, καὶ ὅπερ παρὰ τοῦ προσλαβομένου ἐσώθη, οὐκ ἠδύνατο εἶναι αὐτοῦ ἐναντίον· οὐδὲν γὰρ ἐναντίον ἑαυτῷ ὁ δημιουργὸς τῶν ὅλων ἔκτισεν ἢ διὰ τοῦ μυστηρίου τῆς ἐνανθρωπήσεως προσέλαβε· καὶ ὁ ψαλμῳδὸς Δαυὶδ τὸ πρόσωπον τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν ψαλμοῖς εἰσάγων προμηνύει· *τοῦ ποιῆσαι τὸ θέλημά σου, ὁ θεός μου, ἠβουλήθην, ὡσαύτως· ἑκουσίως θύσω σοι·* μήτι κατὰ τὴν θεότητα ἄλλο ἐστὶ θέλημα τοῦ πατρὸς παρὰ τὸν υἱόν, ἢ ἄλλο θέλει ὁ υἱὸς παρὰ τὸν πατέρα; εἰ τοίνυν ἓν θέλουσι καὶ οὐδεμία ἐστὶ διαφορὰ θελήματος ἐν τῇ ἁγίᾳ τριάδι, πῶς ἐστι νοητέον, ὅπερ ὁ προφήτης περὶ τοῦ προσώπου αὐτοῦ μαρτυρεῖ· *τοῦ ποιῆσαι τὸ θέλημά σου, ὁ θεός μου, ἠβουλήθην*, εἰ μὴ πιστῶς νοηθῇ εἰρημένον περὶ τοῦ ἀμώμου θελήματος τῆς αὐτοῦ ἀνθρωπότητος; ὅθεν καὶ ἕπεται· *καὶ τὸν νόμον σου ἐν μέσῳ τῆς κοιλίας μου.* οὐδεὶς γὰρ ἀμφιβάλλων ὅ τι ὁ αὐτὸς ψαλμὸς εἰς τὸ πρόσωπον τοῦ Χριστοῦ ἀπὸ τοῦ προφήτου ἐκηρύχθη, ὅπερ καὶ ὁ ἀπόστολος Παῦλος ἐν τῇ ἐπιστολῇ τῇ πρὸς Φιλιππησίους ἀναγγέλλει, εἰ πεπληρωμένῃ πίστει θελέσει τις προσέχειν, περὶ τοῦ αὐτοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ οὕτως λέγων· *ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβὼν ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος ἐταπείνωσεν ἑαυτὸν γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ.* Ἰδοὺ ἐνταῦθα ὁ ἀληθέστατος κῆρυξ καὶ τῶν *μορφῶν*, τουτέστι τῶν φύσεων, τοῦ Χριστοῦ τὴν διαφορὰν διδάσκει καὶ τὴν ὑπακοὴν *μέχρι θανάτου* τῆς ἀνθρωπίνης *μορφῆς* σοφῶς ἐπισφραγίζει. τίς γὰρ εἰς τοσοῦτον ἀπὸ τοῦ φωτὸς τῆς ἀληθείας ἀπεχώρησεν, ἵνα κατὰ τὸ θέλημα τῆς αὐτοῦ θεότητος προπετεύσηται λέγειν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τῷ πατρὶ ὑπακοῦσαι, ᾧτινί ἐστιν ἴσος ἐν πᾶσι, καὶ τοῦτο θέλει ἐν πᾶσι καὶ αὐτὸς ὅπερ ὁ πατήρ; ἢ τίς μὴ νοήσοι τὴν ὑπακοὴν τῷ ἀνθρωπίνῳ θελήματι μᾶλλον ἁρμόζειν, ἐν ᾧ παντελῶς οὐδεμίαν ἔσχεν ἁμαρτίαν οὔτε ῥηθήσεται *ὑπήκοος μέχρι θανάτου*, εἰ μὴ ἀνθρώπινον θέλημα ἐν ἑαυτῷ ἀνέλαβε καθὼς ψυχὴν λογικὴν καὶ σάρκα μετὰ πάντων αὐτῶν τῶν ἰδιοτήτων σαρκωθεὶς προσέλαβε; προσεπιτούτοις ἵνα φανῇ τῇ ὑμετέρᾳ εὐσεβεῖ εὐμενείᾳ, ὅτι φυσικόν ἐστι τὸ ἀνθρώπινον θέλημα, καὶ ὁ ἀρνούμενος τὸ ἀνθρώπινον θέλημα *χωρὶς* μόνης *ἁμαρτίας* ἐν τῷ Χριστῷ οὔτε ἔχειν αὐτὸν ἀνθρωπίνην ψυχὴν ὁμολογεῖ, ὁ

---

6 Ps. 39,9 7 Ps. 53,8 10 – 12 Ps. 39,9 15 – 18 Phil. 2,6 – 8 20 Phil. 2,8 21 cf. Jac. 5,19 25 cf. Hebr. 4,15 29 cf. Hebr. 4,15

MT K v

---

1 ναζιανζοῦ] νανζιανζοῦ T ἐφωδίασε] ἐφοδίασε K 2 παρὰ τοῦ] παρ' αὐτοῦ M καὶ¹ *om.* MT 3 παρὰ τοῦ] παρ' αὐτοῦ M 4 ἐναντίον ἑαυτῷ] αὐτῷ ἐναντίον v 5 χριστοῦ *om.* M 7 μήτι] μήτοι K 8 τὸν υἱὸν] τοῦ υἱοῦ v 9 ἁγίᾳ *om.* M 10 μαρτυρεῖ] μαρτύρεται K v 12 ἀμφιβάλλων] ἀμφιβάλλει MT ὁ ἀμφιβάλλων v 12 – 13 αὐτὸς ψαλμὸς] ψαλμὸς οὗτος MT 14 παῦλος *om.* v ἀναγγέλλει τῇ πρὸς φιλιππησίους K v θελέσει] θελήσοι M 16 τὸ] τῷ M 18 ὑπήκοος] ὑπήκος K 19 τῶν φύσεων] τῆς φύσεως K¹ 20 σοφῶς] σαφῶς K 21 ἀπεχώρησεν] ἀπεχώρισεν MT K 24 ἢ] εἴ M K 25 ὑπήκοος] ὑπήκος K 26 πάντων] πασῶν M 27 – 28 εὐσεβεῖ εὐμενείᾳ] εὐσεβεία εὐμένεια K 28 καὶ ... θέλημα *om.* v 29 οὔτε] οὕτως v

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 9/19/17 11:35 AM

est nec saluatum" secundum quod nos constantissimus praedicator ueritatis Gregorius Nazianzenus praesul instituit. itaque si ab eo humana uoluntas sicut et natura suscepta est et saluata, et quod a susceptore saluatum est, non ei poterat esse contrarium; nihil enim sibi contrarium creator omnium condidit uel per mysterium incarnationis assumpsit; et ymnidicus Dauid personam domini nostri Iesu Christi in psalmis introducens pronuntiat: *ut faciam uoluntatem tuam, deus meus, uolui* itemque: *uoluntariae sacrificabo tibi*, numquid secundum deitatem alia est uoluntas patris quam filii, aut aliud uult filius quam pater? si igitur unum uolunt et nulla est in sancta trinitate differentia uoluntatis, quomodo intellegendum est, quod propheta de eius persona testatur: *ut faciam uoluntatem tuam, deus meus, uolui*, nisi fideliter intellegatur de inmaculata eius humanitatis uoluntate dixisse? unde et sequitur: *et legem tuam in medio cordis mei*. nullus enim qui ambigat, quod idem psalmus in persona Christi a propheta praedicatus est, quod et apostolus Paulus in epistula ad Philippenses, si fide plena quisquam intendere uelit, annuntiat de eodem domino nostro Iesu Christo sic inquiens: *qui cum in forma dei esset, non rapinam arbitratus est esse se aequalem deo, sed semetipsum exinaniuit formam serui accipiens, in similitudinem hominum factus, et habitu inuentus ut homo humiliauit semetipsum factus oboediens usque ad mortem, mortem autem crucis.* ecce hic uerissimus praeco et *formarum*, id est naturarum, Christi differentiam docet et oboedientiam *usque ad mortem* humanae *formae* prudenter adsignat. nam quis in tantum a luce ueritatis abscessit, ut secundum diuinitatis suae uoluntatem presumat dicere dominum nostrum Iesum Christum patri oboedisse, cui est aequalis in omnibus, et hoc uelit in omnibus et ipse quod pater? aut quis non intellegat oboedientiam humanae magis competere uoluntati, in qua nullum habuit omnino peccatum nec diceretur *oboediens usque ad mortem*, nisi humanam in se susciperet uoluntatem sicut animam rationalem carnemque cum omnibus suis proprietatibus humanatus assumpsit? praeterea ut clareat uestrae piissimae benignitati, quod naturalis est humana uoluntas, et qui uoluntatem humanam in Christo abnegat *absque* solo *peccato* eum nec habere humanam animam confitetur, ueritatis

VP BR MNL K

1 nec] neque K saluatum est secundum P^1 B^2 M praedicator] praedicatur VP^1 2 nazianzenus] nazanenus R instituit] instuit N et] id B^2 3 nihil] nichil R N 4 creator omnium contrarium K mysterium] misterium P R L K assumpsit] adsumsit B assupsit M 5 et] ut B^2 ymnidicus] hymnidicus B NL hyramdicus R pronuntiat] pronuntiet N pronumptiat L 6 uoluntariae] uoluntarie P^2 R M 7 quam filii] quam patris B^1 9 intellegendum] intelligenda R intelligendum M K 10 intellegatur] intelligatur R ML K inmaculata] maculata R immaculata ML uoluntate humanitatis N 11 cordis = κοιλίας enim] est B M 12 apostolus] apostulus V apostholus B 13 epistula] epistola BR L K philippenses] phylippenses V philipenses R M fide plena] fidem plenam BR MNL K quisquam] quisque VP uelit] uel B^1 annuntiat] adnuntiat BR 14 esset] essent N^1 15 se *om.* B 16 similitudinem] similitudine VP 17 factus oboediens *om.* K oboediens] obediens R NL 19 adsignat] designat R assignat ML K 20 secundum diuinitatis suae uoluntatem P^2 diuinitatis] diuinitatem VP^1 BR MNL K suae] suam M uoluntatem] uoluntati BR 21 iesum *om.* B oboedisse] obedisse P NL K obdisse R cui] qui R uelit] uellit B 22 aut] at M intellegat] intelligat P^2 R ML K oboedientiam] obedientiam R L K competere] com patre V cumpatere R conpetere BR N 23 oboediens] obediens R NL K 24 susciperet] susceperit V^1 R susceperet V^2 suscipere NL K 25 proprietatibus] proprietabus V^1P^1 assumpsit] adsumpsit BR praeterea] propterea M uestrae] uere VP 26 quod] qui VP^1 quia P^2 naturalis] naturales V 27 absque] abque K eum] cum R K

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 9/19/17 11:35 AM

σοφώτατος τῆς ἀληθείας κῆρυξ ὁ μακάριος Αὐγουστῖνος ἐν τῷ πέμπτῳ τόμῳ τῆς διαλέξεως κατὰ Ἰουλιανοῦ τοῦ Πελαγιανιστοῦ τί ἐστι θέλημα τούτοις ὁρίζει τοῖς ῥήμασι· „κίνησις ψυχῆς τί ἐστιν εἰ μὴ κίνησις φύσεως; ἡ γὰρ ψυχὴ ἀνενδοιάστως φύσις ἐστίν· διόπερ τὸ θέλημα κίνησις φύσεως ὑπάρχει, ἐπειδὴ κίνησίς ἐστι ψυχῆς." ἰδοὺ κατὰ τὸν ὅρον τούτου τοῦ σοφωτάτου πατρὸς τί εἶη τὸ ἀνθρώπινον θέλημα δείκνυται, ὅτι „ψυχῆς κίνησίς ἐστιν·" ὁμοίως ἐν τῷ αὐτῷ· „ἡ ἀλήθεια δὲ λέγει ἐφ' ὅσον ἐστὶ θέλημά τι, ἀπὸ τῆς φύσεως χωρισθῆναι οὐ δύναται·" καὶ πάλιν ἐν τῷ αὐτῷ τόμῳ· „καί ποθεν ἔστι τὸ θέλημα καὶ εἶναι οὐ λογίζεται· καὶ ἐὰν ἡ ἀρχαιογονία αὐτοῦ οὐκ ἔστι ζητητέα, οὐχὶ διὰ τοῦτο οὐκ ἔστι ζητητέα, ὅτι τὸ θέλημά ποθεν οὐκ ἔστιν, ἀλλ' ὅτι πεφανέρωται πόθεν εἴη. ἐξ ἐκείνου γάρ ἐστι τὸ θέλημα, οὗτινός ἐστι τὸ θέλημα· ἀπ' ἀγγέλου δηλονότι θέλημα ἀγγέλου, ἀπὸ ἀνθρώπου ἀνθρώπου, ἀπὸ θεοῦ θεοῦ. καὶ ἐὰν ἐνεργῇ ὁ θεὸς θέλημα ἀγαθὸν ἐν τῷ ἀνθρώπῳ, τοῦτο ἐνεργεῖ, ἵνα ἀνατείλῃ ἐξ αὐτοῦ ἀγαθὸν θέλημα, οὗτινός ἐστι τὸ θέλημα·" καὶ πάλιν φησί· „διατί οὖν ἀρνῇ κεκλεισμένοις ὀφθαλμοῖς πράγματα φανερὰ ἀπὸ τῆς φύσεως τοῦ ἀνθρώπου ἀναφύεσθαι θέλημα τῷ ἀνθρώπῳ;" ὡσαύτως· „αὐτὴ ἡ κίνησις τῆς ψυχῆς μηδενὸς ἀναγκάζοντος θέλημά ἐστιν. δι⟨ὰ⟩ τοῦτό ἐστι λέγειν· τὸ θέλημα ἀπὸ τῆς κινήσεως τῆς ψυχῆς ὑπάρχειν, ὅπερ θέλημα ὑπάρχει ἀπὸ θελήματος·" καὶ πάλιν οὕτως· „οὐκ ἀληθῶς ἄρα, Ἰουλιανέ, ἐξ ἀνθρώπου θέλημα ἀνθρώπου οὐκ ἀναφύεται, ὁπόταν ὁ ἄνθρωπος ἀγαθὸν ποίημα θεοῦ εἴη; ἔπειτα ἡδυνήθη μὴ ἀνελθεῖν εἰς τὴν καρδίαν σου φύεσθαι μὲν ἐξ ἀνθρώπου θέλημα, ἀλλ' οὐχὶ ἐκ τοῦ αὐτεξουσίου αὐτοῦ; εἰπὲ οὖν πόθεν, ἐὰν οὐχὶ ἀπὸ τῆς φύσεως, τουτέστι οὐχὶ ἀπ' αὐτοῦ τοῦ ἀνθρώπου;" αἵστισι μαρτυρίαις φαίνεται μίαν ἑκάστην αὐτῶν, ἅστινας ἐνταῦθα ὁ πνευματικὸς πατὴρ ἀπηρίθμησε φύσεις, ἴδιον φυσικὸν ἔχειν καὶ ἑνὶ ἑκάστῳ προσκυροῦσθαι ὀφείλειν θέλημα· οὔτε γὰρ δυνήσεται ἡ τῶν ἀγγέλων φύσις θεῖον ἔχειν θέλημα ἢ ἀνθρώπινον, οὔτε ἡ ἀνθρωπίνη φύσις θέλημα θεοῦ ἢ ἀγγέλου, καθὼς οὔτε ἑτέρου, παρ' ὃ ἐστι, τι⟨ς⟩ ἔχειν φύσιν δυνήσεται ἢ κίνησιν, εἰ μὴ ὅπερ ἐστὶ φυσικῶς ἢ ἐδημιουργήθη. ὁπόταν ταῦτα οὕτως ἡ ἀλήθεια ἔχει, ἀκριβέστατα φαίνεται, ὅτι ἐν τῷ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ δύο, τουτέστι θεοῦ καὶ ἀνθρώπου, φύσεις ἤτοι οὐσίας ὁμολογοῦντες εἰς μίαν αὐτοῦ συνεληλυθέναι τὴν ὑπόστασιν ἤτοι πρόσωπον, ἀναγκαῖόν ἐστι καὶ δύο ἡμᾶς φυσικὰ ἐν αὐτῷ ὁμολογεῖν θελήματα, θεῖον δηλονότι καὶ ἀνθρώπινον, ἐπειδὴ οὔτε τὴν αὐτοῦ θεότητα, ὅσον πρὸς τὸν τῆς φύσεως λόγον ἀνήκει, ἀνθρώπινον ἐσχηκέναι θέλημα λέγειν ἔστιν οὔτε τὴν ἀνθρωπότητα αὐτοῦ θεῖον φυσικῶς ἐσχηκέναι θέλημα πιστεύειν ἔστιν, οὔτε δὲ πάλιν τινὰ ἐκ τῶν αὐτῶν δύο τοῦ Χριστοῦ οὐσιῶν ἐκτὸς τοῦ φυσικοῦ θελήματος ὑπάρχειν ὁμολογεῖν, ὁπόταν καὶ τὰ ἀνθρώπινα διὰ τῆς παντοκρατορίας τῆς θεότητος αὐτοῦ ὑψηλά εἰσι καὶ τὰ θεῖα διὰ τῆς ἀνθρωπότητος αὐτοῦ φανερὰ τοῖς ἀνθρώποις.

---

2 – 6 Augustinus, c. Iulianum lib. V 40, PL 45,1476,22 – 25 6 – 7 Augustinus, c. Iulianum lib. V 53, PL 45,1487,32 – 33 7 – 13 Augustinus, c. Iulianum lib. V 42, PL 45,1479,12 – 19 13 – 14 Augustinus, c. Iulianum lib. V 56, PL 45,1490,8 – 9 15 – 17 Augustinus, c. Iulianum lib. V 60, PL 45,1495, 3 ab imo – 1496,2 17 – 21 Augustinus, c. Iulianum lib. V 56, PL 45,1489,35 – 41; cf. ACO ser. II vol. I p. 350,2 – 4; p. 351,2 – 4

MT K v

---

5 τοῦ σοφωτάτου τούτου M τούτου *om.* v δείκνυται] δείκνυτο M 6 θέλημά τι] θελήματι T 9 οὐχὶ ... ζητητέα *om.* T 10 τὸ² *om.* K τὸ ἀπὸ θέλημα v 12 τοῦτο ὁ ἐνεργεῖ M 13 ἀρνῇ] ἀρνήσαι MT 15 ἡ αὐτὴ M 15 – 17 δι⟨ὰ⟩ ... θελήματος *om.* MT 15 δι⟨ὰ⟩] διὸ K v 17 ἄρα *om.* K v 18 ἔπειτα δὲ ἠδυνήθη MT v 20 εἰπὲ] εἶπεν MT τουτέστι ἐὰν οὐχὶ MT 22 φύσεις] φύσις M 25 τι⟨ς⟩ *coni.* Frohne] τι MT K *om.* v ἢ ἐδημιουργήθη] ἠδημιουργήθη K 26 ἡ ἀλήθεια *om.* MT 29 οὔτε] οὐδὲ v 31 οὔτε ... ἐστίν *om.* K 33 – 34 αὐτοῦ θεότητος MT 34 αὐτοῦ² *om.* MT K

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 9/19/17 11:35 AM

prudentissimus praedicator beatus Augustinus in quinto uolumine disputationis aduersus Iulianum Pelagianistam quid sit uoluntas his definit uerbis: „motus animi quid est nisi motus naturae? animus enim sine dubitatione natura est; proinde uoluntas motus est naturae, quoniam motus est animi." ecce per huius prudentissimi patris definitionem quid sit humana uoluntas monstratum est, quia „animi motus est;" item in eodem: „ueritas autem dicit quamdiu est uoluntas ulla, a natura non potest separari," et rursus in eodem uolumine: „et alicunde est uoluntas et esse non cognitur; et si eius origo quaerenda non est, non ideo quaerenda non est, quod uoluntas alicunde non est, sed quia manifestum est unde sit. ab illo enim est uoluntas cuius est uoluntas; ab angelo scilicet uoluntas angeli, ab homine hominis, a deo dei. et si operatur deus in hominem uoluntatem bonam, id agit, ut oriatur ab illo bona uoluntas, cuius est uoluntas;" et iterum „cur ergo negas" inquid „clausis oculis res apertas de natura hominis exoriri homini uoluntatem?" itemque: „ipse animi motus cogente nullo uoluntas est. quapropter hoc est dicere: uoluntas extitit de animi motu, quod uoluntas extitit de uoluntate;" et iterum: „itane uero, Iuliane, ex homine hominis uoluntas non oritur, cum homo bonum opus dei sit? postremo potuitne ascendere in cor tuum exoriri quidem hominis uoluntatem, sed non de libero eius arbitrio? dic ergo unde, si non de natura, id est non de ipso homine?" quibus testimoniis claret unamquamque earum, quas hic spiritalis pater dinumerauit naturas, propriam naturalem habere et unicuique assignari debere uoluntatem; neque enim poterit angelica natura diuinam habere uoluntatem aut humanam, neque humana natura uoluntatem dei uel angeli, sicut nec alterius quam est quisquam naturam habere poterit ⟨aut⟩ motum, nisi quod est naturaliter aut creatus est. cum haec ita ueritas habeat, certissime claret, quod in domino nostro Iesu Christo duas, id est dei et hominis, naturas siue substantias confitentes in unam eius conuenisse subsistentiam siue personam, necesse est et duas nos naturales in eo fateri uoluntates, diuinam scilicet et humanam, quia neque diuinitatem eius, quantum ad naturae rationem pertinet, humanam habuisse uoluntatem dicendum est, neque humanitatem eius diuinam habuisse naturaliter uoluntatem credendum est, neque rursum aliquam ex eisdem duabus Christi substantiis absque naturali uoluntate extitisse fatendum, cum et humana per omnipotentiam diuinitatis eius sublimata sint et diuina per humanitatem eius hominibus reserata.

VP BR MNL K

1 praedicator] praedicatur V beatus] beatissimus MNL augustinus] agustinus V 2 quid[1]] quod NL his] hiis R (*et ita semper*) hic NL definit] diffinit R M motus] motis V[1] animi = ψυχῆς 4 per] pro V definitionem] difinitione V diffinitionem R M 5 quid] quod N 6 quamdiu] quadiu P[1] quamdiu illa est VP[2] uoluntas ... natura] uoluntas sola natura V uoluntas ulla natura P uoluntas a natura MN 7 alicunde] aliunde P[1] L cognitur] cogitur Aug. BR NL cognoscitur K si] sic VP 8 alicunde] aliunde P[1] L 9 manifestum] manifestatum M K est[1] *om.* B[1] 10 hominis] hominibus N deus] eius N hominem] homine Aug. P[2] 11 cuius est uoluntas *om.* K 12 cur] quur B homini] hominis BR M[1] 13 quapropter] quia propter VP 14 motu] moto B motus N uoluntate] uoluntatem V 17 libero] libro B[1]R 18 earum] eorum VP B MNL K spiritalis] spiritales V spiritualis M 19 assignari] adsignare B designare R adsignari MNL K 20 enim *om.* M poterit] pote. P 21 quisquam] quisque VP 22 poterit habere M ἢ = ⟨aut⟩ *om.* VP BR MNL K ita] itaque R N 24 eius *om.* BR subsistentiam] substantiam L 25 est] esse VP uoluntates] uoluntatis V[1] 26 naturae] natura V 28 eisdem] isdem VP absque] abque K 29 uoluntate] uoluntati VP extitisse] extitit se VP[1] 30 sint] sit B[1]R N[2]

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 9/19/17 11:35 AM

Ἀποδοῦναι τοίνυν ἀναγκαῖόν ἐστι τὰ ὄντα θεῖα τῷ αὐτῷ ὡς θεῷ, τὰ ὄντα ἀνθρώπινα τῷ αὐτῷ ὡς ἀνθρώπῳ, καὶ ἑκάτερα διὰ τῆς καθ' ὑπόστασιν ἑνώσεως τοῦ ἑνὸς καὶ τοῦ αὐτοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀληθῶς ἐπιγινώσκειν, ὅπερ ὁ ἀληθὴς ὅρος τῆς ἁγίας ἐν Χαλκηδόνι συνόδου ὑπομιμνήσκει ἡμᾶς διαβεβαιούμενος· „ἑπόμενοι τοίνυν τοῖς ἁγίοις πατράσιν ἕνα καὶ τὸν αὐτὸν ὁμολογεῖν υἱὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν συμφώνως ἅπαντες ἐκδιδάσκομεν, τέλειον τὸν αὐτὸν ἐν θεότητι καὶ τέλειον τὸν αὐτὸν ἐν ἀνθρωπότητι, θεὸν ἀληθῶς καὶ ἄνθρωπον ἀληθῶς, τὸν αὐτὸν ἐκ ψυχῆς λογικῆς καὶ σώματος, ὁμοούσιον τῷ πατρὶ κατὰ τὴν θεότητα καὶ ὁμοούσιον ἡμῖν τὸν αὐτὸν κατὰ τὴν ἀνθρωπότητα, κατὰ πάντα ὅμοιον ἡμῖν *χωρὶς ἁμαρτίας*, πρὸ αἰώνων μὲν ἐκ τοῦ πατρὸς γεννηθέντα κατὰ τὴν θεότητα, *ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν* τὸν αὐτὸν δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Μαρίας τῆς παρθένου τῆς θεοτόκου κατὰ τὴν ἀνθρωπότητα, ἕνα καὶ τὸν αὐτὸν Χριστὸν υἱὸν κύριον μονογενῆ, ἐν δύο φύσεσιν ἀσυγχύτως ἀτρέπτως ἀδιαιρέτως ἀχωρίστως γνωριζόμενον, οὐδαμοῦ τῆς τῶν φύσεων διαφορᾶς ἀνῃρημένης διὰ τὴν ἕνωσιν, σωζομένης δὲ μᾶλλον τῆς ἰδιότητος ἑκατέρας φύσεως καὶ εἰς ἓν πρόσωπον καὶ μίαν ὑπόστασιν συντρεχούσης, οὐκ εἰς δύο πρόσωπα μεριζόμενον ἢ διαιρούμενον, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν υἱὸν μονογενῆ θεὸν λόγον κύριον Ἰησοῦν Χριστόν." τοῦτο αὐτὸ καὶ ἡ ἁγία σύνοδος ἡ ὑπὸ τοῦ τῆς σεβασμίας μνήμης Ἰουστινιανοῦ τοῦ βασιλέως ἐν Κωνσταντινουπόλει συναθροισθεῖσα ἐν τῷ ἑβδόμῳ κεφαλαίῳ τῶν ὅρων κηρύττει· „εἴ τις ἐν δυσὶ φύσεσι λέγων μὴ ὡς ἐν θεότητι καὶ ἀνθρωπότητι τὸν ἕνα κύριον ἡμῶν Ἰησοῦν Χριστὸν γνωρίζεσθαι ὁμολογεῖ, ἵνα διὰ τούτου σημάνῃ τὴν διαφορὰν τῶν φύσεων, ἐξ ὧν ἀσυγχύτως ἡ ἄφραστος ἕνωσις γέγονεν, οὔτε τοῦ λόγου εἰς τὴν τῆς σαρκὸς μεταποιηθέντος φύσιν οὔτε τῆς σαρκὸς πρὸς τὴν τοῦ λόγου φύσιν μεταχωρησάσης (μένει γὰρ ἑκάτερον, ὅπερ ἐστί τῇ φύσει, καὶ γενομένης τῆς ἑνώσεως καθ' ὑπόστασιν), ἀλλ' ἐπὶ διαιρέσει τῇ ἀνὰ μέρος τὴν τοιαύτην λαμβάνει φωνὴν ἐπὶ τοῦ κατὰ Χριστὸν μυστηρίου ἢ τὸν ἀριθμὸν τῶν φύσεων ὁμολογῶν ἐπὶ τοῦ αὐτοῦ ἑνὸς κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ θεοῦ λόγου σαρκωθέντος μὴ τῇ θεωρίᾳ μόνῃ τὴν διαφορὰν τούτων λαμβάνει, ἐξ ὧν καὶ συνετέθη, οὐκ ἀνῃρημένην διὰ τὴν ἕνωσιν (εἷς γὰρ ἐξ ἀμφοῖν καὶ δι' ἑνὸς ἀμφότερα), ἀλλ' ἐπὶ τούτῳ κέχρηται τῷ ἀριθμῷ,

9 Hebr. 1,2 10 cf. Lc. 1,2

4 – 16 Symb. Chalc., ACO II 1,2 p. 129,23 – 130,2; ACO II 3,2 p. 137,23 – 138,4 18 – 82,1 Symb. V. conc., ACO IV 1 p. 242,1 – 11; ACO IV 1 p. 217,7 – 16

MT K v

3 ἁγίας *om.* M 4 τοίνυν *om.* MT K 10 διὰ *om.* v 12 κύριον υἱὸν μονογενῆ K ἀδιαιρέτως ἀσυγχύτως ἀχωρίστως T 15 οὐκ] οὐχ T 18 δυσὶ] δύο MT 19 καὶ ἐν ἀνθρωπότητι T 20 σημάνῃ] σημαίνῃ K 21 μεταποιηθέντος] ματαποιηθεῖσαν K 22 μεταχωρησάσης] μεταχωρίσαντος T 24 λαμβάνει] λαμβάνη v 27 ἀμφοῖν] ἀμφοῖς K

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 9/19/17 11:35 AM

Reddere itaque necesse est quae diuina sunt eidem ut deo, quae humana sunt eidem ut homini, et utraque per subsistentialem adunationem unius eiusdemque domini nostri Iesu Christi ueraciter cognoscenda, quod uerissima definitio sanctae Chalcedonensis concilii nos commonet asserens: „sequentes igitur sanctos patres unum eundem confiteri filium et dominum nostrum Iesum Christum consonanter omnes docemus, eundem perfectum in deitate, eundem perfectum in humanitate, deum uere et hominem uere, eundem ex anima rationale et corpore, consubstantialem patri secundum deitatem, consubstantialem nobis eundem secundum humanitatem, per omnia nobis similem *absque peccato*, ante secula quidem de patre genitum secundum deitatem, *in nouissimis autem diebus* eundem propter nos et propter salutem nostram ex Maria uirgine dei genetrice secundum humanitatem, unum eundemque Christum filium dominum unigenitum, in duabus naturis inconfuse inmutabiliter indiuise inseparabiliter agnoscendum, nusquam sublata naturarum differentia propter unitionem magisque salua proprietate utriusque naturae et in unam personam atque subsistentiam concurrente, non in duas personas partitum atque diuisum, sed unum et eundem filium unigenitum deum uerbum dominum Iesum Christum.“ hoc idem etiam et sancta synodus, quae sub augustae memoriae Iustiniano principe in Constantinopoli congregata est, in septimo definitionum capitulo predicat: „si quis in duabus naturis dicens non ut deitate et humanitate unum dominum nostrum Iesum Christum cognosci confitetur, ut per hoc significet differentiam naturarum, ex quibus inconfuse et ineffabilis unitas facta est, neque uerbo in naturam carnis transfigurato neque carne ad uerbi naturam translata (manet enim utrumque quod est secundum naturam et post factam unitionem substantialiter), sed in diuisionem per partem huiusmodi suscepit uocem in mysterio Christi aut numerum naturarum confitens in uno eodemque domino nostro Iesu Christo deo uerbo incarnato, non tantummodo contemplatione differentiam earum accipit, ex quibus et conpositus est, non interempta propter unitionem (unus enim ex

Τοὺς δὲ τῷ τοιούτῳ μὲν τῆς διγαμίας πάθει περιπεσόντας, πρὸ δὲ τῆς ἡμῶν συνελεύσεως τὸ συμφέρον ἐπεγνωκότας καὶ τὸ κακὸν ἐξ ἑαυτῶν περικόψαντας καὶ πόρρω τὴν ξένην ταύτην καὶ νόθον συμπλοκὴν ἐκδιώξαντας, ἢ καὶ ὧν αἱ κατὰ δεύτερον γάμον γυναῖκες ἤδη τετελευτήκασιν ἢ καὶ αὐτοὶ πρὸς ἐπιστροφὴν εἶδον μεταμαθόντες τὴν σωφροσύνην καὶ τῶν πρώην αὐτοῖς παρανομηθέντων ταχέως ἐπιλαθόμενοι, εἴτε πρεσβύτεροι εἴτε διάκονοι εἴτε ὑποδιάκονοι ὄντες τυγχάνοιεν, τούτους ἔδοξε πεπαῦσθαι μὲν πάσης ἱερατικῆς λειτουργίας ἤτοι ἐνεργείας ἤδη ἐπὶ ῥητόν τινα χρόνον ἐπιτιμηθέντας, τῆς δὲ τιμῆς τῆς κατὰ τὴν καθέδραν καὶ στάσιν μετέχειν *ἀρκουμένους τῇ προεδρίᾳ καὶ προσκλαίοντας τῷ κυρίῳ συγχωρηθῆναι αὐτοῖς τὸ ἐκ τῆς ἀγνοίας ἀνόμημα. εὐλογεῖν γὰρ ἕτερον τὸν τὰ οἰκεῖα τημελεῖν ὀφείλοντα τραύματα, ἀνακόλουθον.* RP 313 JoN 128/72

Τοὺς δὲ γαμετῇ μὲν μιᾷ συναφθέντας, χήρα δὲ ἡ προσληφθεῖσα ἐτύγχανεν, ὡσαύτως δὲ καὶ τοὺς μετὰ τὴν χειροτονίαν γάμῳ ἑνὶ παρανόμως προσομιλήσαντας, τουτέστι πρεσβυτέρους καὶ διακόνους καὶ ὑποδιακόνους, ἤδη ἐπὶ βραχύν τινα χρόνον εἰρχθέντας τῆς ἱερᾶς λειτουργίας καὶ ἐπιτιμηθέντας, αὖθις αὐτοὺς ἐν τοῖς οἰκείοις ἀποκαταστῆναι βαθμοῖς, μηδαμῶς ἐν ἑτέρῳ μείζονι προκόπτοντας βαθμῷ, προδήλως διαλυθέντος αὐτοῖς τοῦ ἀθέσμου συνοικεσίου. Mansi 944 JoN 129/73 COGD 233

Ταῦτα δὲ ἐπὶ τοῖς καταληφθεῖσι μέχρι τῆς πεντεκαιδεκάτης, ὡς εἴρηται, τοῦ Ἰανουαρίου μηνὸς τῆς τετάρτης ἰνδικτιῶνος ἐν τοῖς προδηλωθεῖσι πταίσμασι καὶ μόνον ἱερατικῶς ἐτυπώσαμεν ὁρίζοντες ἀπὸ τοῦ παρόντος καὶ ἀνανεούμενοι τὸν κανόνα τὸν διαγορεύοντα· *τὸν δυσὶ γάμοις συμπλακέντα μετὰ τὸ βάπτισμα ἢ παλλακὴν κτησάμενον μὴ δύνασθαι εἶναι ἐπίσκοπον ἢ πρεσβύτερον ἢ διάκονον ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ,* ὡσαύτως καὶ· *τὸν χήραν λαβόντα ἢ ἐκβεβλημένην ἢ ἑταίραν ἢ οἰκέτιν ἢ τῶν ἐπὶ τῆς σκηνῆς μὴ δύνασθαι εἶναι ἐπίσκοπον ἢ πρεσβύτερον ἢ διάκονον ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ.* RP 314 JoN 130/74

---

1 διγαμίας cf. can. Apost. 17, SC 336, 278 p. 60–62; can. Bas. 12, II p. 130, 1–2 Courtonne **9–11** = can. Bas. 27, II p. 159, 10–11. 4–5 Courtonne **12–17** Τοὺς δὲ γαμετῇ – προκόπτοντας βαθμῷ cf. Iust., Nov. 123,14,2 et etiam Nov. 6,5 p. 605, 14–19; p. 43, 9–13 Schöll/Kroll **13–14** τοὺς μετὰ τὴν χειροτονίαν – προσομιλήσαντας cf. Iust., Nov. 6,5; 123,14,1 p. 43, 5–9. p. 605, 10–13 Schöll/Kroll **21–23** = can. Apost. 17, SC 336 p. 278, 60–62 **23–25** = can. Apost. 18, SC 336 p. 280, 63–65

AAtBIJΠΠαParPeSuVVaVn *BenJoPitTi* **12** Τοὺς δὲ] Πα chart. corr. **16–17** προκόπτοντας – διαλυθέντος] Πα chart. corr.

---

4 ἢ] οἱ AtΠΠαVVa εἰ Va **6** εἴτε ὑποδιάκονοι om. ΙΠΠαParVVa*BenTi* **10** συγχωρηθῆναι] συγχωρεθῆναι Π | ἐκ om. V*Ben* | εὐλογεῖν] Εὔλογον Va **11** τημελεῖν] τημελλεῖν Va **12** Τοὺς δὲ om. ΙΠVVa *Ti* <Τοὺς οὖν> *Ben* | Τοὺς – συναφθέντας] Οἱ δὲ γαμετῇ μὲν μία συναφθέντες et inc. can. 4 ArAtBarBin FeVig[1] | χήρα] χείρα Πα **13** δὲ om. Va*Ben* | παρανόμως] παρανόμω ΙΠ*Ti* **14** καὶ[1] om. ΠVVa*Ben* | βραχύν] βραχύ ΠΠαPeVVa **15** ἱερᾶς λειτουργίας] ἱερουργίας *Ben* **16** ἀποκαταστῆναι] ἀποκατασταθῆναι Π*Ti* **17** διαλυθέντος αὐτοῖς] διαλυθέντας αὐτοὺς Va*Ben* **19** προδηλωθεῖσι] ποργηλωθεῖση V **23** χήραν] χείραν Πα **24** ἑταίραν] ἑτέραν ΠΠα | τῶν] τὸν Va | τῆς om. AAtΙΠVa*Ben*

RP 315

Δ

Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος ἢ ὑποδιάκονος ἢ ἀναγνώστης ἢ ψάλτης ἢ θυρωρὸς γυναικὶ ἀφιερωμένῃ θεῷ μιχθείη, καθαιρείσθω, ὡς τὴν νύμφην τοῦ Χριστοῦ διαφθείρας, εἰ δὲ λαϊκὸς ἀφοριζέσθω.

RP 317

Ε

JoN 131/75 COGD 234

Μηδεὶς τῶν ἐν ἱερατικῷ καταλεγομένων τάγματι, τῶν ἐν τῷ κανόνι ἐμφερομένων ἀνυπόπτων προσώπων ἐκτὸς διάγων, γυναῖκα κεκτήσθω ἢ θεραπαινίδας τὸ ἀνεπίληπτον ἑαυτῷ ἐντεῦθεν τηρῶν· εἰ δὲ παραβαίνοι τις τὰ παρ᾽ ἡμῶν ὁρισθέντα, καθαιρείσθω. τὸ αὐτὸ δὲ τοῦτο καὶ οἱ εὐνοῦχοι παραφυλαττέσθωσαν τὸ ἄμεμπτον ἑαυτοῖς προνοούμενοι· παραβαίνοντες δέ, εἰ μὲν κληρικοὶ εἶεν καθαιρείσθωσαν, εἰ δὲ λαϊκοὶ ἀφοριζέσθωσαν.

RP 318

Ϛ

JoN 132/76

Ἐπειδὴ παρὰ τοῖς ἀποστολικοῖς κανόσιν εὕρηται τῶν εἰς κλῆρον προαγομένων ἀγάμων μόνους ἀναγνώστας καὶ ψάλτας γαμεῖν, καὶ ἡμεῖς τοῦτο παραφυλάττοντες ὁρίζομεν, ἀπὸ τοῦ νῦν μηδαμῶς ὑποδιάκονον ἢ διάκονον ἢ πρεσβύτερον μετὰ τὴν ἐπ᾽ αὐτῷ προερχομένην χειροτονίαν ἔχειν ἄδειαν γαμικὸν ἑαυτῷ συνιστᾶν συνοικέσιον· εἰ δὲ τοῦτο τολμήσοι ποιῆσαι, καθαιρείσθω. εἰ δὲ βούλοιτό τις τῶν εἰς κλῆρον προερχομένων γάμου νόμῳ συνάπτεσθαι γυναικί, πρὸ τῆς τοῦ ὑποδιακόνου ἢ διακόνου ἢ πρεσβυτέρου χειροτονίας τοῦτο πραττέτω.

RP 320

Ζ

JoN 133/77 COGD 235

Ἐπειδὴ μεμαθήκαμεν ἔν τισι τῶν ἐκκλησιῶν διακόνους τυγχάνειν ὀφφίκια ἐκκλησιαστικὰ ἔχοντας ἐντεῦθέν τέ τινας αὐτῶν αὐθαδείᾳ καὶ αὐτονομίᾳ κεχρημένους πρὸ τῶν πρεσβυτέρων καθέζεσθαι, ὁρίζομεν ὥστε τὸν διάκονον, κἂν ἐν ἀξιώματι, τουτέστιν ἐν ὀφφικίῳ τῷ οἱῳδήποτε ἐκκλησιαστικῷ τυγχάνῃ, τὸν τοιοῦτον μὴ πρὸ τοῦ πρεσβυτέρου καθέζεσθαι· ἐκτὸς εἰ μὴ τὸ πρόσωπον ἐπέχων τοῦ οἰκείου πατριάρχου ἢ μητροπολίτου ἐν ἑτέρᾳ πόλει παραγένηται ἐπί τινι κεφαλαίῳ· τότε γὰρ ὡς τὸν ἐκείνου τόπον ἀναπληρῶν τιμηθήσεται. εἰ δέ τις τοιοῦτον τολμήσοι τυρρανικῷ χρώμενος θράσει διαπράξασθαι, ὁ τοιοῦτος ἐκ τοῦ οἰκείου καταβιβασθεὶς βαθμοῦ ἔσχατος πάντων γινέσθω τοῦ ἐν ᾧπερ κατα- Mansi 945

3–4 τὴν νύμφην – διαφθείρας cf. Apoph. patr., Coll. anon., De anachor. p. 411,1 Nau **6–7** τῶν ἐν τῷ κανόνι – προσώπων cf. CNic. (325), can. 3, Jo I,1 p. 25, 19 – p. 26, 4; Iust., Nov. 137,1 p. 696, 23–25 Schöll/Kroll **13–14** τῶν εἰς κλῆρον – γαμεῖν cf. can. Apost. 26, SC 336 p. 280, 83–84 **24–25** τὸν τοιοῦτον – καθέζεσθαι cf. CNic. (325), can. 18, Jo I,1 p. 39, 24 – p. 40, 2; CLaod., can. 20, Jo I,2 p. 139, 4–7

AAtBIJΠΠαParPeSuVVaVn *BenJoPitTi*

8 παραβαίνοι] παραβαίη Π παραβαίνει IVVa*BenTi* **9** παραφυλαττέσθωσαν] παραφυλαττέτωσαν ΠVa *Ben* **13** Ἐπειδὴ + καὶ ΠParVVa*Ben* | εὕρηται] ηὕρηται ΠVVa*Ben* **14–15** παραφυλάττοντες] φυλάττοντες Va*Ben* **16** προερχομένην] προσερχομένην Π **19** πραττέτω] προσταττέτω Π πραττέσθω AI **21** Ἐπειδὴ + δὲ V **24** τυγχάνῃ] τυγχάνοι ΙΠΠαVVa*BenTi* **26** παραγένηται] γένηται Va*Ben* **28** τοιοῦτον] τοιοῦτο ΠVa*Ben* τοιούτω AIV*Ti*

λέγεται τάγματος ἐν τῇ κατ᾽ αὐτὸν ἐκκλησίᾳ, τοῦ κυρίου ἡμῶν παραινοῦντος μὴ χαίρειν ταῖς πρωτοκλισίαις κατὰ τὴν ἐν τῷ ἁγίῳ εὐαγγελιστῇ Λουκᾷ ὡς ἐξ αὐτοῦ τοῦ κυρίου καὶ θεοῦ ἡμῶν κειμένην διδασκαλίαν· *ἔλεγε γὰρ πρὸς τοὺς κεκλημένους παραβολήν, ἐπέχων πῶς τὰς πρωτοκλισίας ἐξελέγοντο, λέγων πρὸς αὐτούς· ὅταν κληθῇς ὑπό τινος εἰς γάμους, μὴ κατακλιθῇς εἰς τὴν πρωτοκλισίαν, μήποτε ἐντιμότερός σου ᾖ κεκλημένος ὑπ᾽ αὐτοῦ, καὶ ἐλθὼν ὁ σὲ καὶ αὐτὸν καλέσας, ἐρεῖ σοι· δὸς τούτῳ τόπον, καὶ τότε ἄρξῃ μετ᾽ αἰσχύνης τὸν ἔσχατον τόπον κατέχειν· ἀλλ᾽ ὅταν κληθῇς, πορεύθητι καὶ ἀνάπεσε εἰς τὸν ἔσχατον τόπον, ἵνα, ὅταν ἔλθῃ ὁ κεκληκώς, εἴπῃ σοι· φίλε, προσανάβηθι ἀνώτερον· τότε ἔσται σοι δόξα ἐνώπιον τῶν συνανακειμένων σοι· ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται καὶ ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται.* τὸ δὲ αὐτὸ φυλαχθήσεται καὶ ἐπὶ τῶν λοιπῶν ἱερῶν ταγμάτων, ἐπειδὴ τῶν κατὰ τὸν κόσμον ἀξιωμάτων κρείττονα τὰ πνευματικὰ ἐπιστάμεθα. JoN 134/78 COGD 236 RP 321 JoN 135/79

H RP 324

Ἐν πᾶσι τὰ ὑπὸ τῶν ἁγίων πατέρων ἡμῶν θεσπισθέντα καὶ ἡμεῖς κρατεῖν βουλόμενοι ἀνανεοῦμεν καὶ τὸν κανόνα τὸν διαγορεύοντα καθ᾽ ἕκαστον ἔτος συνόδους τῶν ἐν ἑκάστῃ ἐπαρχίᾳ γίνεσθαι ἐπισκόπων, *ἔνθα ἂν ὁ τῆς μητροπόλεως δοκιμάσῃ ἐπίσκοπος.* ἐπειδὴ δὲ διά τε τὰς τῶν βαρβάρων ἐπιδρομὰς διά τε τὰς προσπιπτούσας ἑτέρας αἰτίας ἀδυνάτως οἱ τῶν ἐκκλησιῶν πρόεδροι ἔχουσι δὶς τοῦ ἔτους τὰς συνόδους ποιεῖσθαι, ἔδοξεν ὥστε τρόπῳ παντὶ ἅπαξ τοῦ ἐνιαυτοῦ τὴν τῶν προγεγραμμένων ἐπισκόπων, διὰ τὰ ὡς εἰκὸς ἀναφυόμενα ἐκκλησιαστικὰ κεφάλαια, ἑκάστῃ ἐπαρχίᾳ γίνεσθαι σύνοδον ἀπὸ τῆς ἁγίας τοῦ πάσχα ἑορτῆς καὶ μέχρι συμπληρώσεως τοῦ ὀκτωβρίου μηνὸς ἑκάστου ἔτους, κατὰ τὸν τόπον ὃν ὁ τῆς μητροπόλεως, καθὰ προείρηται, δοκιμάσει ἐπίσκοπος. *τοὺς δὲ μὴ συνιόντας ἐπισκόπους ἐνδημοῦντας ταῖς ἑαυτῶν πόλεσι καὶ ταῦτα ἐν ὑγείᾳ διάγοντας καὶ πάσης ἀπαραιτήτου καὶ ἀναγκαίας ἀσχολίας ὄντας ἐλευθέρους, ἀδελφικῶς ἐπιπλήττεσθαι.* JoN 136/80 RP 325

3–11 = Lc 14, 7–11

16–17 καθ᾽ ἕκαστον ἔτος – ἐπισκόπων cf. CChalc., can. 19, ACO 2,1,2 p. 161, 32–33 **17–18** = CChalc., can. 19, ACO 2,1,2 p. 161, 33 **19–20** δὶς τοῦ ἔτους – ποιεῖθαι cf. CNic. (325), can. 5, Jo I,1 p. 27, 18–19; CAnt., can. 20, Jo I,2 p. 120, 7–9; can. Apost. 37, SC 336 p. 286, 139 **20–22** τρόπῳ παντὶ ἅπαξ – σύνοδον cf. Iust., Nov. 137,4 p. 698, 9 Schöll/Kroll **22–23** ἀπὸ τῆς ἁγίας – ὀκτωβρίου μηνὸς cf. Iust., Nov. 137,4 p. 698, 7–8 Schöll/Kroll; CAnt., can. 20, Jo I,2 p. 120, 9–18; can. Apost. 37, SC 336 p. 286, 142–144 **24–27** = CChalc., can. 19, ACO 2,1,2 p. 162, 1–3

AAtBIJΠΠαParPeSuVVaVn *BenJoPitTi* **1–2** παραινοῦντος – τὴν] Πα chart. corr. **9** ἔλθῃ – εἴπῃ] Πα chart. corr. **19–21** δὶς – ὡς] Πα chart. corr.

---

1 ἡμῶν] ἡμῖν ΠΠαVa*Ben* **2** ταῖς] ἐν ταῖς Va*Ben* **3** καὶ θεοῦ ἡμῶν] ἡμῶν καὶ θεοῦ AtIΠΠαVa*BenTi* **4** ἐπέχων] ἔχων I **5** γάμους] γάμον Va*Ben* **8** κληθῇς] κληθεῖς Πα | πορεύθητι καὶ om. IΠΠαVVa*Ben Ti* | ἀνάπεσε] ἀνάπεσαι ΠVa **9** κεκληκώς + σε AtIΠΠαParVVa*Ben* l.l. Lc 14, 9 sic | ἀνώτερον] ἀνωτέρω AtΠΠαVa*Ben* **12** τῶν κατὰ τὸν] τῶν τὸν κατὰ Π **15** ἁγίων πατέρων ἡμῶν] ἁγίων ἡμῶν πατέρων Π **18** τῶν βαρβάρων ἐπιδρομὰς διά τε τὰς om. I | τὰς[2] om. ΠΠαParV *Ti* **19** αἰτίας om. V **20** ἔτους] ἐνιαυτοῦ ΠVVa*BenTi* **20–21** ἐνιαυτοῦ] ἔτους ΠVVa*BenTi* **22** ἑκάστῃ] ἐν ἑκάστη ΠΠαVa *Ben* **25–26** ταῖς – διάγοντας om. AAtI

RP 326
COGD 237

Θ

Μηδενὶ ἐξεῖναι κληρικῷ καπηλικὸν ἐργαστήριον ἔχειν· εἰ γὰρ τῷ τοιούτῳ εἰσιέ-
JoN 137/81 ναι ἐν καπηλείῳ οὐκ ἐπιτέτραπται, πόσῳ μᾶλλον οὐ χρὴ αὐτὸν ἄλλοις ἐν τούτῳ διακονεῖσθαι καὶ ἃ μὴ θέμις αὐτῷ ἐγχειρεῖν; εἰ δέ τις τοιοῦτον διαπράξοιτο, ἢ παυσάσθω ἢ καθαιρείσθω.

RP 328

Ι

Ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος τόκους ἢ τὰς λεγομένας ἑκατοστὰς λαμβάνων ἢ παυσάσθω ἢ καθαιρείσθω.

ΙΑ

Μηδεὶς τῶν ἐν ἱερατικῷ καταλεγομένων τάγματι ἢ λαϊκὸς τὰ παρὰ τῶν Ἰουδαί-
JoN 138/82 ων ἄζυμα ἑσθιέτω, ἢ τούτοις προσοικειούσθω, ἢ ἐν νόσοις προσκαλείσθω καὶ
RP 329 ἰατρείας παρ᾽ αὐτῶν λαμβανέτω, ἢ ἐν βαλανείοις τούτοις παντελῶς συλλουέσθω· εἰ δέ τις τοῦτο πρᾶξαι ἐπιχειροίη, εἰ μὲν κληρικὸς εἴη καθαιρείσθω, εἰ δὲ λαϊκὸς ἀφοριζέσθω.

RP 330
COGD 238

ΙΒ

Καὶ τοῦτο δὲ εἰς γνῶσιν ἡμετέραν ἦλθεν, ὡς ἔν τε τῇ Ἀφρικῇ καὶ Λιβύῃ καὶ ἑτέ-
Mansi 948 ροις τόποις οἱ τῶν ἐκεῖσε θεοφιλέστατοι πρόεδροι συνοικεῖν ταῖς ἰδίαις γαμεταῖς καὶ μετὰ τὴν ἐπ᾽ αὐτοῖς προελθοῦσαν χειροτονίαν οὐ παραιτοῦνται, πρόσκομμα τοῖς λαοῖς ἐντεῦθεν τιθέντες καὶ σκάνδαλον. πολλῆς οὖν ἡμῖν σπουδῆς οὔσης τοῦ
JoN 139/83 πάντα πρὸς ὠφέλειαν τῶν ὑπὸ χεῖρα ποιμνίων διαπράττεσθαι ἔδοξεν, ὥστε
RP 331 μηδαμῶς τὸ τοιοῦτον ἀπὸ τοῦ νῦν γίνεσθαι. τοῦτο δέ φαμεν οὐκ ἐπ᾽ ἀθετήσει ἢ ἀνατροπῇ τῶν ἀποστολικῶς νενομοθετημένων, ἀλλὰ τῆς σωτηρίας καὶ τῆς ἐπὶ τὸ κρεῖττον προκοπῆς τῶν λαῶν προμηθούμενοι καὶ τοῦ μὴ δοῦναι μῶμόν τινα κατὰ τῆς ἱερατικῆς καταστάσεως· φησὶ γὰρ ὁ θεῖος ἀπόστολος· *πάντα εἰς δόξαν θεοῦ ποιεῖτε· ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις καὶ Ἕλλησι καὶ τῇ ἐκκλησίᾳ τοῦ*

24–30,2 = 1 Cor 10, 31 – 11,1

2–3 τῷ τοιούτῳ – ἐπιτέτραπται cf. CLaod., can. 24, Jo I,2 p. 140, 12–18; can. Apost. 54, SC 336 p. 296. 267–268; CCarth., can. 40, Jo I,2 p. 259, 7–10 **7–8** Ἐπίσκοπος – καθαιρείσθω cf. can. Apost. 44 SC 336 p. 288, 182–183; cf. etiam CNic. (325), can. 17, Jo I,1 p. 38, 12–19; CLaod., can. 4, Jo I,2 p. 132, 3–5; CCarth., can. 5, Jo I,2 p. 218, 12–15 **10–11** Μηδεὶς – ἄζυμα ἑσθιέτω cf. CLaod., can. 38, Jo I,2 p. 146, 9–11; can. Apost. 70, SC 336 p. 300, 319–321 **13–14** εἰ μὲν κληρικὸς – ἀφοριζέσθαι cf. can. Apost. 70, SC 336 p. 300 **22** τῶν ἀποστολικῶς νενομοθετημένων cf. can. Apost. 5, SC 336 p. 276,17–19

AAtBIJΠΠαParPeSuVVaVn *BenJoPitTi* **13–17** καθαιρείσθω – τῶν] Πα chart. corr. **22** νενομοθετημένων – σωτηρίας] Πα chart. corr.

---

2 καπηλικὸν] καπηλίον Va **3–4** τούτῳ] τούτοις ΠΠαVVa*Ben* **3** ἐπιτέτραπται] ἐπιτρέπεται Va*Ben* **4** αὐτῷ] αὐτὸν V | τις τοιοῦτον] τις τοιοῦτο Va*Ben* τι τοιοῦτο ΠΠα τι τοιοῦτον I*Ti* **11** τούτοις] τούτους ΠΠαV τοιούτοις Va*Ben* | προσκαλείσθω] προκαλείσθω Π **18** χειροτονίαν] τῆς ἐπισκοπῆς χειροτονίαν ΙΠΠαVVa*Ben* **19** οὖν om. Va*Ben* | ἡμῖν] ἡμεῖς I **21** τὸ] τι V | τὸ τοιοῦτον] τι τοιοῦτο Π Πα τι τοιοῦτον Va*Ben* **22** ἀποστολικῶς] ἀποστολικῶν V | νενομοθετημένων] προνενομοθετημένων ΠV Va*Ben* **23** τοῦ] τὸ Π*Ti*

θεοῦ, καθὼς κἀγὼ πάντα πᾶσιν ἀρέσκω μὴ ζητῶν τὸ ἐμαυτοῦ συμφέρον ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσι· μιμηταί μου γίνεσθε καθὼς κἀγὼ Χριστοῦ. εἰ δέ τις φωραθείη τὸ τοιοῦτον πράττων, καθαιρείσθω.

ΙΓ

RP 333
JoN 140/84
COGD 239

Ἐπειδὴ ἐν τῇ Ῥωμαίων ἐκκλησίᾳ ἐν τάξει κανόνος παραδεδόσθαι διέγνωμεν τοὺς μέλλοντας διακόνου ἢ πρεσβυτέρου ἀξιοῦσθαι χειροτονίας καθομολογεῖν, ὡς οὐκέτι ταῖς ἑαυτῶν συνάπτονται γαμεταῖς, ἡμεῖς τῷ ἀρχαίῳ ἐξακολουθοῦντες κανόνι τῆς ἀποστολικῆς ἀκριβείας καὶ τάξεως τὰ τῶν ἱερῶν ἀνδρῶν κατὰ νόμους συνοικέσια καὶ ἀπὸ τοῦ νῦν ἐρρῶσθαι βουλόμεθα, μηδαμῶς αὐτῶν τὴν πρὸς γαμετὰς συνάφειαν διαλύοντες ἢ ἀποστεροῦντες αὐτοὺς τῆς πρὸς ἀλλήλους κατὰ καιρὸν τὸν προσήκοντα ὁμιλίας. ὥστε εἴ τις ἄξιος εὑρεθείη πρὸς χειροτονίαν ὑποδιακόνου ἢ διακόνου ἢ πρεσβυτέρου, οὗτος μηδαμῶς κωλυέσθω ἐπὶ τοιοῦτον βαθμὸν ἐμβιβάζεσθαι γαμετῇ συνοικῶν νομίμῳ· μήτε μὴν ἐν τῷ τῆς χειροτονίας καιρῷ ἀπαιτείσθω ὁμολογεῖν, ὡς ἀποστήσεται τῆς νομίμου πρὸς τὴν οἰκείαν γαμετὴν ὁμιλίας, ἵνα μὴ ἐντεῦθεν τὸν ἐκ θεοῦ νομοθετηθέντα καὶ εὐλογηθέντα τῇ αὐτοῦ παρουσίᾳ γάμον καθυβρίζειν ἐκβιασθῶμεν, τῆς τοῦ εὐαγγελίου φωνῆς βοώσης· *ἃ ὁ θεὸς ἔζευξεν, ἄνθρωπος μὴ χωριζέτω*, καὶ τοῦ ἀποστόλου διδάσκοντος· *τίμιον τὸν γάμον καὶ τὴν κοίτην ἀμίαντον*, καὶ· *δέδεσαι γυναικί, μὴ ζήτει λύσιν.*

JoN 141/85
RP 334

Ἴσμεν δέ, ὥσπερ καὶ οἱ ἐν Καρθαγένῃ συνελθόντες τῆς ἐν βίῳ σεμνότητος τῶν λειτουργῶν τιθέμενοι πρόνοιαν ἔφασαν, *ὥστε τοὺς ὑποδιακόνους τοὺς τὰ ἱερὰ μυστήρια ψηλαφῶντας καὶ τοὺς διακόνους καὶ πρεσβυτέρους κατὰ τοὺς ἰδίους ὅρους καὶ ἐκ τῶν συμβίων ἐγκρατεύεσθαι, ἵνα καὶ τὸ διὰ τῶν ἀποστόλων παραδοθὲν καὶ ἐξ αὐτῆς τῆς ἀρχαιότητος κρατηθὲν καὶ ἡμεῖς ὁμοίως φυλάξωμεν*, καιρὸν ἐπὶ παντὸς ἐπιστάμενοι πράγματος καὶ μάλιστα νηστείας καὶ προσευχῆς· χρὴ γὰρ τοὺς τῷ θυσιαστηρίῳ προσεδρεύοντας ἐν τῷ καιρῷ τῆς τῶν ἁγίων μεταχειρήσεως *ἐγκρατεῖς εἶναι ἐν πᾶσιν, ὅπως δυνηθῶσιν ὃ παρὰ τοῦ θεοῦ ἁπλῶς αἰτοῦσιν ἐπιτυχεῖν.*

COGD 240
JoN 142/86

Εἴ τις οὖν τολμήσοι, παρὰ τοὺς ἀποστολικοὺς κανόνας κινούμενος, τινὰ τῶν ἱερωμένων, πρεσβυτέρων φαμὲν ἢ διακόνων ἢ ὑποδιακόνων, ἀποστερεῖν τῆς πρὸς τὴν νόμιμον γυναῖκα συναφείας τε καὶ κοινωνίας, καθαιρείσθω· ὡσαύτως

JoN 143/87

---

17 = Mt 19, 6 et Mc 10, 9 **18–19** δέδεσαι – λύσιν = 1 Cor 7, 27 **18** τίμιον – ἀμίαντον = Heb 13, 4

7–8 τῷ ἀρχαίῳ – τάξεως cf. can. Apost. 5, SC 336 p. 276, 17–19 **7** ὡς οὐκέτι – γαμεταῖς cf. CCarth., can. 3–4, Jo I,2 p. 218, 12–15 **21–23** = CCarth., can. 25, Jo I,2 p. 241, 6–11, ubi post πρεσβυτέρους legitur ἀλλὰ καὶ ἐπισκόπους; cf. etiam CCarth., can. 70, Jo I,2 p. 312, 16–19 **23–28** ἵνα καὶ – φυλάξωμεν et ἐγκρατεῖς εἶναι – ἐπιτυχεῖν = CCarth., can. 3, Jo I,2 p. 217, 4–8. 2–4

AAtBIJΠΠαParPeSuVVaVn *BenJoPitTi* **8** ἀκριβείας – ἱερῶν] Πα chart. corr. **25** πράγματος – προσευχῆς] Πα chart. corr. **31** τὴν Pt inc.

---

1 ἐμαυτοῦ] ἑαυτοῦ Π σαυτοῦ I **3** τὸ om. ΠVVa*Ben* **7** ἑαυτῶν] αὐτῶν ΠΠαVVa*BenTi* **8** ἱερῶν] ἱερατικῶν ΠVVa **8–9** κατὰ νόμους συνοικέσια] κανονι... (sic) AI **13** τοιοῦτον βαθμὸν] τοιούτω βαθμῷ V **14** ὁμολογεῖν om. V **17** βοώσης] ἐκβοώσης ΠVa*Ben* ἐκβοώσας διαπρυσίως Πα | χωριζέτω] χωριζέσθω Π **18** γάμον + ἐν πᾶσιν AΠΠαVVa*Ben* l.l. Heb 13, 4 sic **20** ὥσπερ] ὅπως ΠΠαVVa*Ben* | Καρθαγένῃ] Χαρθαγένῃ Π Χαρθγεννης Πα

καὶ εἴ τις πρεσβύτερος ἢ διάκονος τὴν ἑαυτοῦ γυναῖκα προφάσει εὐλαβείας ἐκβάλλοι, ἀφοριζέσθω, ἐπιμένων δέ, καθαιρείσθω.

Mansi 949
RP 337

ΙΔ

Ὁ τῶν ἁγίων καὶ θεοφόρων ἡμῶν πατέρων κρατείτω κανὼν καὶ ἐν τούτῳ
COGD 241 ὥστε *πρεσβύτερον πρὸ τῶν τριάκοντα ἐτῶν μὴ χειροτονεῖσθαι, κἂν πάνυ ᾖ ὁ ἄν-* 5
θρωπος ἄξιος, ἀλλ' ἀποτηρεῖσθαι· ὁ γὰρ κύριος Ἰησοῦς Χριστὸς ἐν τῷ τριακοστῷ
JoN 144/88 *ἔτει ἐβαπτίσθη καὶ ἤρξατο διδάσκειν*. ὁμοίως μήτε διάκονος πρὸ τῶν εἰκοσιπέντε ἐτῶν ἢ διακόνισσα πρὸ τῶν τεσσαράκοντα χρόνων χειροτονείσθω.

ΙΕ

RP 338 Ὑποδιάκονος μὴ ἧττον τῶν εἴκοσι ἐνιαυτῶν χειροτονείσθω. εἰ δέ τις τῶν ἐν οἱᾳ- 10
οῦν ἱερατικῇ καταστάσει παρὰ τοὺς ὁρισθέντας χειροτονηθείη χρόνους, καθαιρείσθω.

RP 339

ΙϚ

JoN 145/89 Ἐπειδὴ αἱ τῶν Πράξεων βίβλοι ἑπτὰ διακόνους ὑπὸ τῶν ἀποστόλων καταστῆναι παραδιδόασιν, οἱ δὲ τῆς κατὰ Νεοκαισάρειαν συνόδου οὕτως ἐν τοῖς ἐκτε- 15
θεῖσι παρ' αὐτῶν κανόσι σαφῶς διεξῆλθον, ὅτι *διάκονοι ἑπτὰ ὀφείλουσιν εἶναι*
κατὰ τὸν κανόνα, κἂν πάνυ μεγάλη ἡ πόλις ᾖ, πεισθήσῃ δὲ ἐκ τῆς βίβλου τῶν
COGD 242 *Πράξεων*, ἡμεῖς τῷ ἀποστολικῷ ῥητῷ τὸν νοῦν ἐφαρμόσαντες τῶν πατέρων εὕρομεν, ὡς ὁ λόγος αὐτοῖς οὐ περὶ τῶν τοῖς μυστηρίοις διακονουμένων ἀνδρῶν ἦν, ἀλλὰ περὶ τῆς ἐν ταῖς χρείαις τῶν τραπεζῶν ὑπουργίας, τῆς τῶν Πράξεων 20
βίβλου οὕτως ἐχούσης· *ἐν ταῖς ἡμέραις ταύταις πληθυνόντων τῶν μαθητῶν ἐγένετο*
γογγυσμὸς τῶν Ἑλληνιστῶν πρὸς τοὺς Ἑβραίους, ὅτι παρεθεωροῦντο ἐν τῇ διακο-
JoN 146/90 *νίᾳ τῇ καθημερινῇ αἱ χῆραι αὐτῶν. προσκαλεσάμενοι δὲ οἱ δώδεκα τὸ πλῆθος τῶν*
μαθητῶν, εἶπον· οὐκ ἀρεστόν ἐστιν ἡμᾶς καταλείψαντας τὸν λόγον τοῦ θεοῦ δια-
κονεῖν τραπέζαις· ἐπισκέψασθε οὖν, ἀδελφοί, ἄνδρας ἐξ ὑμῶν μαρτυρουμένους ἑπτά, 25
πλήρεις πνεύματος ἁγίου καὶ σοφίας, οὓς καταστήσομεν ἐπὶ τῆς χρείας ταύτης·
RP 340 *ἡμεῖς δὲ τῇ προσευχῇ καὶ τῇ διακονίᾳ τοῦ λόγου προσκαρτερήσομεν. καὶ ἤρεσεν ὁ*

14–15 ἑπτὰ διακόνους – καταστῆναι cf. Act 6, 1–6 **21–32,4** = Act 6, 1–6

1–2 πρεσβύτερος – καθαιρείσθω cf. can. Apost. 5, SC 336 p. 276,17–19 **5–7** = CNeoc., can. 11, Jo I,2 p. 80, 10–14 **7–8** μήτε διάκονος – ἐτῶν cf. CCarth., can. 16, Jo I,2 p. 231, 4–5 **8** διακόνισσα – χειροτονείσθω cf. CChalc., can. 15, ACO 2,1,2 p. 161, 9 **16–18** = CNeoc., can. 15, Jo I,2 p. 82, 6–9

AAtBIJΠΠαParPePtSuVVaVn *BenJoPitTi* **15–16** οὕτως – ὅτι] Πα chart. corr.

1–2 ἐκβάλλοι] ἐκβάλλῃ ΠΠα ἐκβάλλει IParPeVa*BenTi* **4** ἁγίων καὶ θεοφόρων ἡμῶν] ἁγίων ἡμῶν καὶ θεοφόρων ΠΠαVVa*Ben* **7** μήτε] τε I μὴ καὶ A **8** τεσσαράκοντα] ν΄ Pt | χειροτονείσθω] χειροτονεῖσθαι AI **10** ἐνιαυτῶν] ἐτῶν *Ti* | ἐνιαυτῶν χειροτονείσθω ord. inv. ΠΠαParPtVVa*Ben* χειροτονείσθω ἐτῶν I **11** ἱερατικῇ καταστάσει ord. inv. *Ben* **15** παραδιδόασιν corr. marg. παραδίδωσιν Va παραδίδωσιν I **17** ᾖ] εἴη Pt | πεισθήσῃ] πισθήση AtΠα **18–19** εὕρομεν] ἠύρομεν PtV **21** οὕτως om. Va*Ben* **23** δὲ] οὖν BJPeVaVn*BenJo* | τὸ] τῶν Pt **24** ἐστιν om. Π*Ti* **25** ἐπισκέψασθε] ἐπισκέψασθαι AtΠΠα | ἀδελφοί, ἄνδρας ἐξ ὑμῶν] ἄνδρας ἐξ ὑμῶν, ἀδελφοί Va*Ben* **26** καταστήσομεν] καταστήσωμεν Pt **27** προσκαρτερήσομεν] προκαρτερήσωμεν Π*Ti*

λόγος ἐνώπιον παντὸς τοῦ πλήθους καὶ ἐξελέξαντο Στέφανον, ἄνδρα πλήρη πίστεως καὶ πνεύματος ἁγίου, καὶ Φίλιππον καὶ Πρόχορον καὶ Νικάνορα καὶ Τίμωνα καὶ Παρμενᾶν καὶ Νικόλαον, προσήλυτον Ἀντιοχέα, οὓς ἔστησαν ἐνώπιον τῶν ἀποστόλων.

Ταῦτα διερμηνεύων ὁ τῆς ἐκκλησίας διδάσκαλος Ἰωάννης ὁ Χρυσόστομος οὕτω διέξεισι· *θαυμάσαι ἄξιον, πῶς οὐκ ἐσχίσθη τὸ πλῆθος ἐπὶ τῇ αἱρέσει τῶν ἀνδρῶν, πῶς οὐκ ἀπεδοκιμάσθησαν ὑπ᾽ αὐτῶν οἱ ἀπόστολοι. ὁποῖον δὲ ἄρα ἀξίωμα εἶχον οὗτοι καὶ ποίαν ἐδέξαντο χειροτονίαν, ἀναγκαῖον μαθεῖν. ἆρα τὴν τῶν διακόνων; καὶ μὴν τοῦτο ἐν ταῖς ἐκκλησίαις οὐκ ἔστιν. ἀλλὰ τῶν πρεσβυτέρων ἐστὶν ἡ οἰκονομία; καίτοι οὐδέπω οὐδεὶς ἐπίσκοπος ἦν, ἀλλ᾽ οἱ ἀπόστολοι μόνον. ὅθεν οὔτε διακόνων οὔτε πρεσβυτέρων οἶμαι τὸ ὄνομα εἶναι δῆλον καὶ φανερόν.* JoN 147/91

Ἐπὶ τούτοις οὖν κηρύσσομεν καὶ ἡμεῖς, ὥστε τοὺς προειρημένους ἑπτὰ διακόνους μὴ ἐπὶ τῶν τοῖς μυστηρίοις διακονουμένων λαμβάνεσθαι κατὰ τὴν προερμηνευθεῖσαν διδασκαλίαν, ἀλλὰ τοὺς τὴν οἰκονομίαν τῆς κοινῆς χρείας τῶν τότε συνηθροισμένων ἐγχειρισθέντας τούτους ὑπάρχειν· οἳ τύπος ἡμῖν κἂν τούτῳ γεγόνασι τῆς περὶ τοὺς δεομένους φιλανθρωπίας τε καὶ σπουδῆς. COGD 243 JoN 148/92

IZ

Mansi 952
RP 343

Ἐπειδήπερ διαφόρων ἐκκλησιῶν κληρικοὶ τὰς ἰδίας ἐν αἷς ἐχειροτονήθησαν ἐκκλησίας καταλιπόντες πρὸς ἑτέρους συνέδραμον ἐπισκόπους καὶ γνώμης δίχα τοῦ οἰκείου ἐπισκόπου ἐν ταῖς ἀλλοτρίαις κατετάγησαν ἐκκλησίαις ἐκ τούτου τε συνέβη ἀνυποτάκτους αὐτοὺς καταστῆναι, ὁρίζομεν ὥστε ἀπὸ τοῦ Ἰανουαρίου μηνὸς τῆς παρελθούσης τετάρτης ἐπινεμήσεως μηδένα τῶν ἁπάντων κληρικῶν, κἂν ἐν οἱῳδήποτε τυγχάνῃ βαθμῷ, ἄδειαν ἔχειν, ἐκτὸς τῆς τοῦ οἰκείου ἐπισκόπου ἐγγράφου ἀπολυτικῆς, ἐν ἑτέρᾳ κατατάττεσθαι ἐκκλησίᾳ· ἐπεὶ ὁ μὴ τοῦτο ἀπὸ τοῦ νῦν παραφυλαττόμενος, ἀλλὰ καταισχύνων τό γε ἐπ᾽ αὐτῷ τὸν τὴν χειροτονίαν αὐτῷ ἐπιτεθεικότα, καθαιρείσθω καὶ αὐτὸς καὶ ὁ παραλόγως αὐτὸν προσδεξάμενος. JoN 149/93

6–11 = Io. Chrys., In acta ap. hom. 14,3, PG 60 col. 116BC

AAtBIJΠΠαParPePtSuVVaVn *BenJoPitTi* **6–7** πῶς—ἀπεδοκιμάσθησαν] Πα chart. corr. **7** ὁποῖον—ἀξίωμα] Πα chart. corr. **10** ἦν] Πα chart. corr. **10–11** διακόνων—πρεσβυτέρων] Πα chart. corr. **11** εἶναι—φανερόν] Πα chart. corr. **12** ὥστε τοὺς] Πα chart. corr. **24** ἐγγράφου—κατατάττεσθαι] Πα chart. corr.

1–2 Στέφανον—ἁγίου] ἄνδρας πλήρεις πίστεως καὶ πνεύματος ἁγίου, Στέφανον Va*Ben* **1** ἐνώπιον] ἐπὶ AtPt | πλήρη] πλήρης IPt πλήρις ΠΠα **2** Πρόχορον] Πρόχωρον ΠΠαParVa | Τίμωνα] Τίμονα IVa*Ti* **3** Παρμενᾶν] Παρμενὰ ΠΠα | Ἀντιοχέα] Ἀντιοχεία Πα **5** οὕτω] οὕτως Pt **6** τῇ αἱρέσει] αἱρείσει AI **10** ὅθεν om. V **12** κηρύσσομεν καὶ ἡμεῖς] καὶ ἡμεῖς κηρύσσομεν ΠΠαVVa*Ben* **13–14** προερμηνευθεῖσαν] προερμηνεύθησαν Πα **16** τε om. Va*Ben* | σπουδῆς + καὶ ἐπιμελείας Π **19–20** καὶ—ἐπισκόπου om. I **19** ἐκκλησίας] ἐκκλησίαις ΠΠVa | καταλιπόντες] καταλειπόντες V **20** ἐν om. Va*Ben* **21** τοῦ om. AI **23** οἰκείου] ἰδίου Pt **25** αὐτῷ] αὐτὸν I

RP 344
COGD 244

ΙΗ

Τοὺς προφάσει βαρβαρικῆς ἐπιδρομῆς ἢ ἄλλως πως ἐκ περιστάσεως μετανάστας γενομένους κληρικούς, ἡνίκα δ᾽ ἂν ὁ τρόπος αὐτοῖς ἀποπαύσηται, ἢ αἱ τῶν βαρβάρων ἐπιδρομαὶ ἢ δι᾽ ἃ τὴν ἀναχώρησιν ἐποιήσαντο, αὖθις ἐν ταῖς οἰκείαις ἐκκλησίαις προστάσσομεν ἐπανέρχεσθαι καὶ μὴ ἐπὶ πολὺ ταύτας ἀπροφασίστως καταλιμπάνειν. εἰ δέ τις μὴ κατὰ τὸν παρόντα διαγένηται κανόνα, ἀφοριζέσθω
JoN 150/94 μέχρις ἂν πρὸς τὴν οἰκείαν ἐκκλησίαν ἐπαναδράμῃ. τὸ αὐτὸ δὲ τοῦτο καὶ ἐπὶ τῷ κατέχοντι αὐτὸν ἐπισκόπῳ γινέσθω.

RP 346

ΙΘ

Ὅτι δεῖ τοὺς τῶν ἐκκλησιῶν προεστῶτας ἐν πάσῃ μὲν ἡμέρᾳ, ἐξαιρέτως δὲ ταῖς κυριακαῖς, πάντα τὸν κλῆρον καὶ τὸν λαὸν ἐκδιδάσκειν τοὺς τῆς εὐσεβείας λόγους ἐκ τῆς θείας γραφῆς ἀναλεγομένους τὰ τῆς ἀληθείας νοήματά τε καὶ κρί-
JoN 151/95 COGD 245 ματα καὶ μὴ παρεκβαίνοντας τοὺς ἤδη τεθέντας ὅρους ἢ τὴν ἐκ τῶν θεοφόρων πατέρων παράδοσιν. ἀλλὰ καὶ εἰ γραφικὸς ἀνακινηθείη λόγος, μὴ ἄλλως τοῦτον ἑρμηνευέτωσαν ἢ ὡς ἂν οἱ τῆς ἐκκλησίας φωστῆρες καὶ διδάσκαλοι διὰ τῶν οἰκείων συγγραμμάτων παρέθεντο· καὶ μᾶλλον ἐν τούτοις εὐδοκιμείτωσαν ἢ λόγους οἰκείους συντάττοντες, ἔστιν ὅτε πρὸς τοῦτο ἀπόρως ἔχοντες ἀποπίπτοιεν τοῦ προσήκοντος· διὰ γὰρ τῆς τῶν προειρημένων πατέρων διδασκαλίας οἱ λαοὶ ἐν γνώσει γινόμενοι τῶν τε σπουδαίων καὶ αἱρετῶν καὶ τῶν ἀσυμφόρων καὶ ἀποβλήτων τὸν βίον μεταρρυθμίζουσι πρὸς τὸ βέλτιον καὶ τῷ τῆς ἀγνοίας οὐχ ἁλίσκονται πάθει, ἀλλὰ προσέχοντες τῇ διδασκαλίᾳ ἑαυτοὺς πρὸς
RP 347 JoN 152/96 τὸ μὴ κακῶς παθεῖν παραθήγουσι καὶ φόβῳ τῶν ἐπηρτημένων τιμωριῶν τὴν σωτηρίαν αὐτοῖς ἐξεργάζονται.

RP 349

Κ

Μὴ ἐξέστω ἐπισκόπῳ εἰς ἑτέραν τὴν μὴ αὐτῷ προσήκουσαν πόλιν δημοσίᾳ διδάσκειν· εἰ δέ τις φωραθείη τοῦτο ποιῶν, τῆς ἐπισκοπῆς παυέσθω, τὰ δὲ τοῦ πρεσβυτερίου ἐνεργείτω.

10–12 Ὅτι δεῖ – τῆς εὐσεβείας λόγους cf. can. Apost. 58, SC 336 p. 296, 277–279

AAtBIJΠΠαParPePtSuVVaVn *BenJoPitTi* **16–17** καὶ – λόγους] Πα chart. corr. **25–34,6** Μὴ – σχήματι] Πα chart. corr. **27** πρεσβυτερίου ἐνεργείτω] Πα chart. corr.

---

3 γενομένους] γινομένους ΠΠα **3–4** ἢ αἱ τῶν βαρβάρων ἐπιδρομαὶ ἢ δι᾽ ἃ τὴν ἀναχώρησιν ἐποιήσαντο] δι᾽ ὃν τὴν ἀναχώρησιν ἐποιήσαντο, ἢ αἱ τῶν βαρβάρων ἐπιδρομαὶ ParVVa*Ben* ἰδίαν τὴν ἀναχώρησιν ἐποιήσαντο ἢ αἱ τῶν βαρβάρων ἐπιδρομαὶ ΠΠα ἢ αἱ τῶν βαρβάρων ἐπιδρομαὶ, ἰδίαν τὴν ἀναχώρησιν ἐποιήσαντο AAtIPt*Ti* **7** ἐπαναδράμῃ] ἐπαναδράμοι ΙΠαVVa*BenTi* ἀναδρὰμοι sed add. s.l. ἐπ- Π **8** τῷ] τὸ I **10** δεῖ] χρὴ ΠΠαParPtVVa*Ben* **13** τεθέντας] παραδοθέντας *Ti* **14** γραφικὸς] γραφικῶς I Πα | ἄλλως] ἄλλος Πα **15** ἐκκλησίας] ἀληθείας Va*Ben* | φωστῆρες] φωστῆρές τε ΙΠVa | καὶ] τε καὶ Pt **16** εὐδοκιμείτωσαν] εὐδοκιμήτωσαν ΠV*Ti* **17** ἀπόρως] ἀπόνως V **21** προσέχοντες] προσήκοντες *Ti* **22** ἐπηρτημένων] ἐπιτηρτιμένων Πα **23** αὐτοῖς] αὐτοῖς Πα **27** πρεσβυτερίου] πρεσβυτέρου ΙΠVa*Ben*

ΚΑ

RP 352

Οἱ ἐπ᾽ ἐγκλήμασι κανονικοῖς ὑπεύθυνοι γινόμενοι καὶ διὰ τοῦτο παντελεῖ τε καὶ διηνεκεῖ καθαιρέσει ὑποβαλλόμενοι καὶ ἐν τῷ τῶν λαϊκῶν ἀπωθούμενοι τόπῳ, εἰ μὲν ἑκουσίως πρὸς ἐπιστροφὴν ὁρῶντες ἀθετοῦσι τὴν ἁμαρτίαν, δι᾽ ἧς τῆς χάριτος ἐκπεπτώκασι, καὶ ταύτης τέλεον ἀλλοτρίους ἑαυτοὺς καθιστῶσι, τῷ τοῦ κληρικοῦ κειρέσθωσαν σχήματι· εἰ δὲ μὴ τοῦτο αὐθαιρέτως αἱρήσονται, καθάπερ οἱ λαϊκοὶ τὴν κόμην ἐπιτρεφέτωσαν, ὡς τὴν ἐν τῷ κόσμῳ ἀναστροφὴν τῆς οὐρανίου ζωῆς προτιμήσαντες.

JoN 153/97
Mansi 953
COGD 245

ΚΒ

RP 354

Τοὺς ἐπὶ χρήμασι χειροτονουμένους, εἴτε ἐπισκόπους ἢ οἱουσδήποτε κληρικούς, καὶ οὐ κατὰ δοκιμασίαν καὶ τοῦ βίου αἵρεσιν καθαιρεῖσθαι προστάσσομεν, ἀλλὰ καὶ τοὺς χειροτονήσαντας.

ΚΓ

RP 355
JoN 154/98

Περὶ τοῦ μηδένα τῶν εἴτε ἐπισκόπων ἢ πρεσβυτέρων ἢ διακόνων τῆς ἀχράντου μεταδιδόντα κοινωνίας παρὰ τοῦ μετέχοντος εἰσπράττειν τῆς τοιαύτης μεταλήψεως χάριν ὀβολοὺς ἢ εἶδος τὸ οἰονοῦν· οὐδὲ γὰρ πεπραμένη ἡ χάρις, οὐδὲ χρήμασι τὸν ἁγιασμὸν τοῦ πνεύματος μεταδιδόαμεν, ἀλλὰ τοῖς ἀξίοις τοῦ δώρου ἀπανουργεύτως μεταδοτέον. εἰ δὲ φανείη τις τῶν ἐν κλήρῳ καταλεγομένων ἀπαιτῶν τὸν ᾧ μεταδίδωσι τῆς ἀχράντου κοινωνίας τὸ οἰονοῦν εἶδος, καθαιρείσθω ὡς τῆς Σίμωνος ζηλωτὴς πλάνης καὶ κακουργίας.

COGD 247

ΚΔ

RP 356
JoN 155/99

Μὴ ἐξέστω τινὶ τῶν ἐν ἱερατικῷ καταλεγομένων τάγματι ἢ μοναχῷ ἐν ἱπποδρομίαις ἀνιέναι ἢ θυμελικῶν παιγνίων ἀνέχεσθαι. ἀλλ᾽ εἰ καί τις κληρικὸς κληθείη ἐν γάμῳ, ἡνίκα δ᾽ ἂν τὰ πρὸς ἀπάτην εἰσέλθοιεν παίγνια, ἐξαναστήτω καὶ παραυτίκα ἀναχωρείτω, οὕτω τῆς τῶν πατέρων ἡμῖν προσταττούσης διδασκαλίας. εἰ δέ τις ἐπὶ τούτῳ ἁλῷ, ἢ παυσάσθω ἢ καθαιρείσθω.

---

20 ὡς τῆς Σίμωνος – κακουργίας cf. Act 8, 9–24

10–12 Τοὺς ἐπὶ χρήμασι – χειροτονήσαντας cf. can. Apost. 29, SC 336 p. 282, 95–98; CChalc., can. 2, ACO 2,1,2 p. 158, 11–17; Cod. Iust. I,3,30 et I,3,41,21 p. 22 – p. 27 Krüger **22–25** Μὴ ἐξέστω – καὶ παραυτίκα ἀναχωρείτω cf. CLaod., can. 54, Jo I,2 p. 152, 4–8

AAtBIJΠΠαParPePtSuVVaVn *BenJoPitTi* **10** ἐπισκόπους] Πα fol. 218^{v} leg. n.p.

---

1 ΚΑ] ΚΒ Va*Ben* **2** Οἱ] Εἰ I | γινόμενοι] γενόμενοι ΠVa*Ben* **3** διηνεκεῖ] κανονικῇ sed add. marg. διηνεκεῖ Va κανονικῇ V*Ben* | καθαιρέσει] καθάρσει Π | ἀπωθούμενοι] καταριθμούμενοι sed add. marg. ἀπωθούμενοι Va καταριθμούμενοι V*Ben* **4** ἧς] ἣν *Pit* **5** τέλεον] τέλειον AtVVa | ἀλλοτρίους ἑαυτοὺς ord. inv. V | καθιστῶσι] καθιστᾶσι Va*Ben* **6** κληρικοῦ] κλήρου *Pit* | αἱρήσονται] εἰρήσονται Π ἀρνήσονται *Ti* | καθάπερ + καὶ Va*Ben* **7** κόμην] κώμην AΠ | τῷ om. ΠαPtV **9** ΚΒ] ΚΑ Va*Ben* **19** τὸν om. AtΠΠαPt*PitTi* **22** ἐν[1] + τῶ Va | ἱερατικῷ] ἱερῶ Π | μοναχῷ] μοναχῶν *Pit* **25** ἀναχωρείτω] ἀπαναχωρείτω ΠΠαParVa*Ben* | πατέρων om. V

RP 360

ΚΕ

JoN 156/100 Πρὸς τοῖς ἄλλοις ἅπασιν ἀνανεοῦμεν καὶ τὸν κανόνα τὸν διαγορεύοντα *τὰς καθ᾽ ἑκάστην ἐκκλησίαν ἀγροικικὰς παροικίας ἢ ἐγχωρίους μένειν ἀπαρασαλεύτους παρὰ τοῖς κατέχουσιν αὐτὰς ἐπισκόποις, καὶ μάλιστα εἰ τριακονταετῆ χρόνον ταύτας ἀβιάστως διακατέχοντες ᾠκονόμησαν. εἰ δὲ ἐντὸς τῶν τριάκοντα ἐτῶν γεγένηται τις ἢ* RP 361 *γίγνοιτο περὶ αὐτῶν ἀμφισβήτησις, ἐξεῖναι τοῖς λέγουσιν ἠδικεῖσθαι περὶ τούτων κινεῖν παρὰ τῇ συνόδῳ τῆς ἐπαρχίας.*

COGD 248

ΚϚ

Πρεσβύτερον τὸν κατὰ ἄγνοιαν ἀθέσμῳ γάμῳ περιπαρέντα καθέδρας μὲν μετέχειν, JoN 157/101 κατὰ τὰ ὑπὸ τοῦ ἱεροῦ κανόνος ἡμῖν νομοθετηθέντα, *τῶν δὲ λοιπῶν ἐνεργειῶν ἀπέχεσθαι· ἀρκετὸν γὰρ τῷ τοιούτῳ ἡ συγγνώμη· εὐλογεῖν δὲ ἕτερον τὸν τὰ* RP 362 *οἰκεῖα τημελεῖν ὀφείλοντα τραύματα ἀνακόλουθον· εὐλογία γὰρ ἁγιασμοῦ μετάδοσίς ἐστιν· ὁ δὲ τοῦτο μὴ ἔχων διὰ τὸ ἐκ τῆς ἀγνοίας παράπτωμα, πῶς ἑτέρῳ μεταδώσει; μήτε τοίνυν δημοσίᾳ μήτε ἰδίᾳ εὐλογείτω, μήτε τὸ τοῦ Χριστοῦ σῶμα κατανεμέτω ἑτέροις, μήτε τι ἄλλο λειτουργείτω, ἀλλ᾽ ἀρκούμενος τῇ προεδρίᾳ προσκλαιέτω τῷ κυρίῳ συγχωρηθῆναι αὐτῷ τὸ ἐκ τῆς ἀγνοίας ἀνόμημα.* πρόδηλον γὰρ ὡς ὁ τοιοῦτος ἄθεσμος γάμος διαλυθήσεται καὶ οὐδαμῶς ὁ ἀνὴρ μετουσίαν ἕξει πρὸς τὴν δι᾽ ἧς τῆς ἱερᾶς ἐνεργείας ἐστέρηται.

Mansi 956
JoN 158/102

ΚΖ

Μηδεὶς τῶν ἐν κλήρῳ καταλεγομένων ἀνοίκειον ἐσθῆτα ἀμφιεννύσθω, μήτε ἐν πόλει διάγων μήτε ἐν ὁδῷ βαδίζων, ἀλλὰ στολαῖς κεχρήσθω ταῖς ἤδη τοῖς ἐν COGD 249 κλήρῳ καταλεγομένοις ἀπονεμηθείσαις. εἰ δέ τις διαπράξοιτο τὸ τοιοῦτον, ἐπὶ ἑβδομάδα μίαν ἀφοριζέσθω.

RP 365

ΚΗ

Ἐπειδὴ ἐν διαφόροις ἐκκλησίαις μεμαθήκαμεν σταφυλῆς ἐν τῷ θυσιαστηρίῳ προσφερομένης κατά τι κρατῆσαν ἔθος τοὺς λειτουργοὺς ταύτην τῇ ἀναιμάκτῳ JoN 159/103 τῆς προσφορᾶς θυσίᾳ συνάπτοντας οὕτω ἅμα τῷ λαῷ διανέμειν ἀμφότερα, συνείδομεν ὥστε μηκέτι τοῦτό τινα τῶν ἱερωμένων ποιεῖν, ἀλλ᾽ εἰς ζωοποίησιν καὶ ἁμαρτιῶν ἄφεσιν τῷ λαῷ τῆς προσφορᾶς μόνης μεταδιδόναι, ὡς ἀπαρχὴν δὲ τὴν τῆς σταφυλῆς λογιζομένους προσένεξιν ἰδικῶς τοὺς ἱερεῖς εὐλογοῦντας RP 366

2–7 = CChalc., can. 17, ACO 2,1,2 p. 161, 17–21 **9–16** = can. Bas. 27, II p. 159, 1–11 Courtonne **25–26** στραφυλῆς – προσφερομένης cf. can. Apost. 3, SC 336 p. 274, 9–12 **29–36,2** Ὡς ἀπαρχὴν – ἐκτρέφεται cf. Trad. Apost. 31–32, SC 11b p. 110 – p. 114

AAtBIJΠΠαParPePtSuVVaVn *BenJoPitTi* **4–5** ἀβιάστως] Πα des.

---

2 ἅπασιν om. *Pit* | καὶ om. V **4** ταύτας] αὐτὰς *Pit* **6** γίγνοιτο] γίνοιτο ΠPtVa*Ti* γένοιτο IVa*Ben* γένηται *Pit* | αὐτῶν] αὐτὸ I*Ti* | τούτων] τούτου *Pit* **13** τὸ + τῆς Pt **14–15** μήτε^{3}–λειτουργείτω om. AtV **14** τοῦ Χριστοῦ σῶμα] σῶμα τοῦ Χριστοῦ ΠParPtVa*BenTi* σῶμα τοῦ κυρίου *Pit* **15** κατανεμέτω] διανεμέτω *Pit* **22** διαπράξοιτο] διαπράξηται sed corr. marg. -πράξοιτο Va διαπράξηται *Ben* | τὸ] τι AtΠVa*Ben* **27** οὕτω] οὕτως Pt **30** λογιζομένους] νομιζομένην Pt

τοῖς αἰτοῦσι ταύτης μεταδιδόναι πρὸς τὴν τοῦ δοτῆρος τῶν καρπῶν εὐχαριστίαν, δι᾽ ὧν τὰ σώματα ἡμῶν κατὰ τὸν θεῖον ὅρον αὔξει τε καὶ ἐκτρέφεται. εἴ τις οὖν κληρικὸς παρὰ τὰ διατεταγμένα ποιήσοι, καθαιρείσθω.

ΚΘ

RP 367

Ὁ τῶν ἐν Καρθαγένῃ διαγορεύει κανών, *ὥστε ἅγια θυσιαστηρίου εἰ μὴ ὑπὸ νηστικῶν ἀνθρώπων μὴ ἐπιτελεῖσθαι ἐξῃρημένης μιᾶς ἐτησίας ἡμέρας, ἐν ᾗ τὸ κυριακὸν δεῖπνον ἐπιτελεῖται,* ἴσως τηνικαῦτα διά τινας κατὰ τοὺς τόπους προφάσεις τῇ ἐκκλησίᾳ λυσιτελεῖς τῶν θείων ἐκείνων πατέρων τῇ αὐτῇ χρησαμένων οἰκονομίᾳ. μηδενὸς οὖν ἡμᾶς ἐνάγοντος καταλιπεῖν τὴν ἀκρίβειαν, ὁρίζομεν, ἀποστολικαῖς καὶ πατρικαῖς ἑπόμενοι παραδόσεσι, *μὴ δεῖν ἐν τεσσαρακοστῇ τῇ ὑστέρᾳ ἑβδομάδι τὴν πέμπτην λύειν καὶ ὅλην τὴν τεσσαρακοστὴν ἀτιμάζειν.*

JoN 160/104

COGD 250

Λ

RP 369

Πάντα πρὸς οἰκοδομὴν τῆς ἐκκλησίας βουλόμενοι διαπράττεσθαι καὶ τοὺς ἐν ταῖς βαρβαρικαῖς ἐκκλησίαις ἱερέας οἰκονομεῖν διεγνώκαμεν. ὥστε εἰ τὸν ἀποστολικὸν κανόνα τὸν περὶ τοῦ προφάσει εὐλαβείας τὴν οἰκείαν γαμετὴν μὴ ἐκβάλλειν ὑπεραναβαίνειν οἴονται δεῖν καὶ πέραν τῶν ὁρισθέντων ποιεῖν ἐκ τούτου τε μετὰ τῶν οἰκείων συμφωνοῦντες συμβίων τῆς πρὸς ἀλλήλους ὁμιλίας ἀπέχονται, ὁρίζομεν τούτους μηκέτι ταύταις συνοικεῖν καθ᾽ οἱονδήποτε τρόπον, ὡς ἂν ἡμῖν ἐντεῦθεν ἐντελῆ τῆς ὑποσχέσεως παρέξοιεν τὴν ἀπόδειξιν. πρὸς τοῦτο δὲ αὐτοῖς οὐ δι᾽ ἄλλο τι ἢ διὰ τὴν τῆς γνώμης μικροψυχίαν καὶ τὸ τῶν ἠθῶν ἀπεξενωμένον καὶ ἀπαγὲς ἐνδεδώκαμεν.

JoN 161/105

ΛΑ

RP 371
JoN 162/106
COGD 251

Τοὺς ἐν τοῖς εὐκτηρίοις οἴκοις ἔνδον οἰκίας τυγχάνουσι λειτουργοῦντας κληρικούς ὑπὸ γνώμην τοῦτο πράττειν τοῦ κατὰ τὸν τόπον ἐπισκόπου ὁρίζομεν· ὥστε εἴ τις κληρικὸς μὴ τοῦτο οὕτω παραφυλάξῃ, καθαιρείσθω.

5–7 = CCarth., can. 41, Jo I,2 p. 259, 14–18 **10–11** = CLaod., can. 50, Jo I,2 p. 150, 16–19 **14–16** τὸν ἀποστολικὸν – μὴ ἐκβάλλειν cf. can. Apost. 5, SC 336 p. 276, 17–19 **23–25** Τοὺς – καθαιρείσθω cf. Iust., Nov. 58 et 131,8 p. 314, 23 – p. 316, 16; p. 657, 18 – p. 658, 5 Schöll/Kroll; CLaod., can. 58, Jo I,2 p. 153, 19–21

A At B I J Π Par Pe Pt Su V Va Vn *Ben Jo Pit Ti*

---

2 αὔξει τε] αὔξεται Π αὔξη τε AI **3** ποιήσοι] ποιήσει AtIΠPtVa*Ben* **7** τόπους] τύπους Pt **8** τῇ αὐτῇ] τῆ τοιαύτη *Ben* τοιαύτη *Pit* **10** καὶ] τε καὶ ΠPar **13** Πάντα + τὰ ΙΠVa*Ben* **16** οἴονται] οἰόν τε ΙΠPt*Ti* | πέραν] πέρα ΙΠPtVa*BenTi* | τε om. Pt **17** συμφωνοῦντες] συμφωνοῦντας Π **19** ἐντελῆ] ἐν τέλει Π **23** ἐν τοῖς om. Va*Ben* | λειτουργοῦντας + ἢ βαπτίζοντας *Pit* **25** παραφυλάξῃ] παραφυλάξοι AAtVVa*Ben*

RP 373

ΛΒ

Ἐπειδὴ εἰς γνῶσιν ἡμετέραν ἦλθεν, ὡς ἐν τῇ Ἀρμενίων χώρᾳ οἶνον μόνον ἐν τῇ ἱερᾷ τραπέζῃ προσάγουσιν ὕδωρ αὐτῷ μὴ μιγνύντες οἱ τὴν ἀναίμακτον θυσίαν
JoN 163/107 ἐπιτελοῦντες, προτιθέμενοι τὸν τῆς ἐκκλησίας διδάσκαλον Ἰωάννην τὸν Χρυσό-
Mansi 957 στομον φάσκοντα διὰ τῆς εἰς τὸ κατὰ Ματθαῖον εὐαγγέλιον ἑρμηνείας ταῦτα· *τίνος ἕνεκεν οὐχ ὕδωρ ἔπιεν ἀναστὰς ἀλλ᾽ οἶνον; ἄλλην αἵρεσιν πονηρὰν πρόρριζον ἀνασπῶν· ἐπειδὴ γὰρ εἰσί τινες ἐν τοῖς μυστηρίοις ὕδατι κεχρημένοι, δεικνὺς ὅτι καὶ ἡνίκα τὰ μυστήρια παρέδωκεν, οἶνον παρέδωκε, καὶ ἡνίκα ἀναστὰς χωρὶς μυστηρίων καὶ ψιλὴν τράπεζαν παρετίθετο, οἴνῳ ἐχρῆτο ἐκ τοῦ γενήματος, φησί, τῆς ἀμπέλου· ἄμπελος δὲ οἶνον, οὐχ ὕδωρ γεννᾷ*, ἐκ τούτου τε τὸν διδάσκαλον οἴονται ἀνατρέ-
COGD 252 πειν τὴν τοῦ ὕδατος ἐν τῇ ἱερᾷ θυσίᾳ προσαγωγήν· ὡς ἂν μὴ καὶ ἀπὸ τοῦ νῦν κατέχοιντο τῇ ἀγνοίᾳ, τὴν τοῦ πατρὸς διάνοιαν ὀρθοδόξως ἀποκαλύπτομεν.

JoN 164/108 Τῆς γὰρ πονηρᾶς τῶν ὑδροπαραστατῶν αἱρέσεως παλαιᾶς ὑπαρχούσης, οἳ ἀντὶ οἴνου μόνῳ τῷ ὕδατι ἐν τῇ οἰκείᾳ θυσίᾳ κέχρηνται, ἀνασκευάζων οὗτος ὁ θεοφόρος ἀνὴρ τὴν παράνομον τῆς τοιαύτης αἱρέσεως διδαχήν καὶ δεικνὺς, ὡς ἐξ ἐναντίας τῆς ἀποστολικῆς ἴενται παραδόσεως τὸν εἰρημένον κατεσκεύασε λόγον. ἐπεὶ καὶ τῇ κατ᾽ αὐτὸν ἐκκλησίᾳ, ἔνθα τὴν ποιμαντικὴν ἐνεχειρίσθη
RP 374 ἡγεμονίαν, ὕδωρ οἴνῳ μιγνύναι παρέδωκεν ἡνίκα τὴν ἀναίμακτον θυσίαν ἐπιτελεῖσθαι δεήσειε, τὴν ἐκ τῆς τιμίας πλευρᾶς τοῦ λυτρωτοῦ ἡμῶν καὶ σωτῆρος Χριστοῦ τοῦ θεοῦ ἐξ αἵματος καὶ ὕδατος κρᾶσιν παραδεικνύς, ἥτις εἰς ζωοποίησιν παντὸς τοῦ κόσμου ἐξεχέθη καὶ ἁμαρτιῶν ἀπολύτρωσιν. καὶ κατὰ
JoN 165/109 πάσης δὲ ἐκκλησίας, ἔνθα οἱ πνευματικοὶ φωστῆρες ἐξέλαμψαν, ἡ θεόσδοτος αὕτη τάξις κρατεῖ· καὶ γὰρ καὶ Ἰάκωβος ὁ κατὰ σάρκα Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἀδελφός, ὃς τῆς Ἱεροσολυμιτῶν ἐκκλησίας πρῶτος τὸν θρόνον ἐνεπιστεύθη, καὶ Βασίλειος ὁ τῆς Καισαρέων ἀρχιεπίσκοπος, οὗ τὸ κλέος κατὰ πᾶσαν τὴν οἰκουμένην διέδραμεν, ἐγγράφως τὴν μυστικὴν ἡμῖν ἱερουργίαν παραδεδωκότες οὕτω τελειοῦν ἐν τῇ θείᾳ λειτουργίᾳ ἐξ ὕδατος καὶ οἴνου τὸ ἱερὸν ποτήριον ἐκδεδώκασι. καὶ οἱ ἐν Καρθαγένῃ συναχθέντες ὅσιοι πατέρες οὕτω ῥητῶς ἐπεμνήσθησαν, *ἵνα ἐν τοῖς ἁγίοις μηδὲν πλέον τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ κυρίου*
COGD 253 *προσενεχθείη, ὡς καὶ αὐτὸς ὁ κύριος παρέδωκε, τουτέστιν ἄρτου καὶ οἴνου*

---

9 ἐκ τοῦ γενήματος – τῆς ἀμπέλου cf. Mt 26, 29 **19–20** τὴν ἐκ τῆς τιμίας πλευρᾶς – παραδεικνύς cf. Io 19, 34

6–10 = Io. Chrys., In Mt. hom. 82,2, PG 58 col. 740A **23–28** καὶ γὰρ καὶ Ἰάκωβος – ἐκδεδώκασι cf. Lit. Iac., PO 36 p. 202, 13; Lit. Bas. 1 p. 328, 10 Brightman **23–24** Ἰάκωβος – ἐνεπιστεύθη cf. Eus. Caes., Hist. eccl. VII,19,1, GCS 9 p. 672, 24 – p. 674, 3 **25–26** οὗ τὸ κλέος – διέδραμεν cf. Theod. Cyr., Qu. in III. Regn. 12, PG 80 col. 677BC **29–38,1** = CCarth., can. 37, Jo I,2 p. 257, 5–9

AAtBIJΠParPePtSuVVaVn *BenJoPitTi* **2** Ἐπειδὴ S iterum inc.

---

2 Ἀρμενίων] τῶν Ἀρμενίων *PitTi* **6** πρόρριζον] πρόριζων ΠVa **8** τὰ – ἡνίκα om. I | παρέδωκεν] παραδέδωκεν Π | οἶνον παρέδωκε om. *Ti* **10** οἴονται] οἴοντες Pt **11** θυσίᾳ] θυσίαν Pt **14–15** οὗτος ὁ θεοφόρος] ὁ θεοφόρος οὗτος ΙΠSVa*Ben* οὕτως ὁ θεοφόρος Pt*Ti* **16** ἴενται] ἴεντα ΠVa*Ben* ἰόντα V **18** παρέδωκεν] παραδέδωκεν ΠV **21** ἐξεχέθη] ἐξεχύθη *Pit* ἐξηνέχθη Π **26** ἡμῖν ἱερουργίαν ord. inv. Π Va*Ben* **27** ὕδατος + τε *Pit* | ποτήριον] μυστήριον Va*Ben* **28** συναχθέντες] δὲ συναχθέντες ΠVa*Ben* **29** τοῦ[2] om. *Jo* **30** καὶ[1] om. Pt | παρέδωκε] παραδέδωκεν ΠSVVa*BenTi* παραδέδωκε Pt*Pit*

ὕδατι μεμιγμένου. εἴ τις οὖν ἐπίσκοπος ἢ πρεσβύτερος μὴ κατὰ τὴν παραδοθεῖσαν ὑπὸ τῶν ἀποστόλων τάξιν ποιεῖ καὶ ὕδωρ οἴνῳ μιγνύς οὕτω τὴν ἄχραντον προσάγει θυσίαν, καθαιρείσθω ὡς ἀτελῶς τὸ μυστήριον ἐξαγγέλλων καὶ καινίζων τὰ παραδεδομένα. JoN 166/110

ΛΓ RP 379

Ἐπειδήπερ ἔγνωμεν ἐν τῇ Ἀρμενίων χώρᾳ μόνους ἐν κλήρῳ τοὺς ἐκ γένους ἱερατικοῦ κατατάττεσθαι, Ἰουδαϊκοῖς ἔθεσιν ἑπομένων τῶν τοῦτο πράττειν ἐπιχειρούντων, τινὰς δὲ αὐτῶν καὶ μὴ ἀποκειρομένους ἱεροψάλτας καὶ ἀναγνώστας τοῦ θείου νόμου καθίστασθαι συνείδομεν, ὥστε ἀπὸ τοῦ νῦν μὴ ἐξεῖναι τοῖς εἰς JoN 167/111
κλῆρον βουλομένοις προάγειν τινὰς εἰς τὸ γένος ἀποβλέπειν τοῦ προχειριζομένου· ἀλλὰ δοκιμάζοντες, εἰ ἄξιοι εἶεν κατὰ τοὺς τεθέντας ἐν τοῖς ἱεροῖς κανόσιν ὅρους ἐν κλήρῳ καταλεγῆναι τούτους ἐκκλησιαστικῶς προχειρίζεσθαι, εἴτε καὶ ἐκ προγόνων γεγόνασιν ἱερέων εἴτε καὶ μή. ἀλλὰ μηδέ τινα τῶν ἁπάντων συγχωρεῖν ἐπ᾽ ἄμβωνος κατὰ τὴν τῶν ἐν κλήρῳ καταλεγομένων τάξιν τοὺς θείους τῷ λαῷ λόγους ὑποφωνεῖν, εἰ μή τι ἂν ἱερατικῇ κουρᾷ χρήσηται ὁ τοιοῦτος καὶ τὴν εὐλογίαν ὑπὸ τοῦ οἰκείου ποιμένος κανονικῶς ὑποδέξηται. εἰ δέ τις φωραθείη παρὰ τὰ προεγεγραμμένα ποιῶν, ἀφοριζέσθω. Mansi 960

ΛΔ RP 382 JoN 168/112 COGD 254

Καὶ τοῦτο δὲ τοῦ ἱερατικοῦ κανόνος σαφῶς διαγορεύοντος, ὡς *τὸ τῆς συνωμοσίας ἢ φατρίας ἔγκλημα καὶ παρὰ τῶν ἔξω νόμων πάντη κεκώλυται, πολλῷ δὲ μᾶλλον ἐν τῇ τοῦ θεοῦ ἐκκλησίᾳ τοῦτο γίνεσθαι ἀπαγορεύειν προσήκει,* καὶ ἡμεῖς παραφυλάττειν σπουδάζομεν, ὡς *εἴ τινες κληρικοὶ ἢ μοναχοὶ εὑρεθεῖεν ἢ συνομνύμενοι ἢ φατριάζοντες ἢ κατασκευὰς τυρεύοντες ἐπισκόπων ἢ συγκληρικῶν, ἐκπιπτέτωσαν πάντη τοῦ οἰκείου βαθμοῦ.*

19–24 = CChalc., can. 18, ACO 2,1,2 p. 161, 25–28

AAtBIJΠParPePtSSuVVaVn *BenJoPitTi* **1–4** εἴ– παραδεδομένα mss.$^{omn.}$ **21** ἐν τῇ S lac. usque ad can. 68

---

1 μὴ om. AmbAsBarFeMosPi **1–2** παραδοθεῖσαν] παραδοθῆσαν Sn **2** τῶν ἀποστόλων] τοῦ κυρίου καὶ τῶν αὐτῶν μαθητῶν καὶ ἀποστόλων AmbBarFeMos | ποιεῖ] ποιῇ AtBCDcIJLMlMoΠPaParPePs PsuPtRwSSiSuVVeVtaVuWhWi μὴ ποιῇ AmbAs(sic)FeMosPtV μὴ ποιεῖ Bar | ὕδωρ οἴνῳ] οἶνον ὕδωρ Rw | ὕδωρ] ὕδατι AmbAsBarFeMos | οἴνῳ] οἴνου AmbAsBarFeMlMosSn om. Mo | μιγνύς] μὴ μιγνὺς As(sic)BinMosVaVe **3** προσάγει] προσάγη Π προσάγοι Vtc προσφέρει Ve | ἐξαγγέλλων] καταγγέλλων Bin **4** καινίζων] κανονίζων SiVta | τὰ παραδεδομένα] τὰ μὴ παραδεδομένα Va*Ben* τὰ παραδεδομένα ὑπό τε τοῦ Χριστοῦ καὶ τῶν αὐτοῦ ὁσίων πατέρων I + ἡμῖν Bin | τὰ + μὴ (sic) Co **8** ἀποκειρομένους] ἀποκειρομένων **11** δοκιμάζοντες] δοκιμάζοντας ΠVa*Pit* **12** ἐκκλησιαστικῶς] ἐκκλησιαστικοὺς *Pit* **14** κλήρῳ] τῷ κλήρω *Pit* **15** ὑποφωνεῖν] ἀποφωνεῖν *PitTi* **17** προγεγραμμένα] προστεταγμένα ΠVa*Ben* γεγραμμένα AtIParPePtS **19** τοῦ ἱερατικοῦ κανόνος σαφῶς] σαφῶς τοῦ ἱεροῦ κανόνος ΠVVa *Ben* | ὡς τὸ] ὥστε Π **20** δὲ] δὴ AtIΠPeSVa*Ben* **22** ὡς] ὥστε IΠPePtVa*BenTi* **23** συγκληρικῶν] κληρικῶν Va

RP 383
JoN 169/113

ΛΕ

RP 384 Μὴ ἐξέστω τινὶ τῶν ἁπάντων μητροπολιτῶν τελευτῶντος ἐπισκόπου τελοῦντος ὑπὸ τὸν κατ᾽ αὐτὸν θρόνον τὰ αὐτοῦ πράγματα ἢ τῆς κατ᾽ αὐτὸν ἐκκλησίας ἀφαιρεῖσθαι ἢ σφετερίζεσθαι, ἀλλ᾽ ὑπὸ παραφυλακὴν ἔστωσαν τοῦ κλήρου τῆς ἐκκλησίας, ἧς ὁ τελευτήσας ἐτύγχανε πρόεδρος, μέχρι τῆς ἑτέρου ἐπισκόπου προαγωγῆς. ἐκτὸς εἰ μὴ κληρικοὶ ἐν τῇ αὐτῇ ἐκκλησίᾳ οὐχ ὑπελείφθησαν· τηνικαῦτα γὰρ ὁ μητροπολίτης ταῦτα παραφυλάξει, ἀμείωτα τῷ χειροτονηθησομένῳ ἐπισκόπῳ πάντα ἀποδούς.

RP 387
JoN 170/114
COGD 255

ΛϚ

Ἀνανεούμενοι τὰ παρὰ τῶν ἑκατὸν πεντήκοντα ἁγίων πατέρων, τῶν ἐν τῇ θεοφυλάκτῳ ταύτῃ καὶ βασιλίδι πόλει συνελθόντων, καὶ τῶν ἑξακοσίων τριάκοντα, τῶν ἐν Καλχηδόνι συναθροισθέντων νομοθετηθέντα, ὁρίζομεν ὥστε τὸν Κωνσταντινουπόλεως θρόνον *τῶν ἴσων ἀπολαύειν πρεσβείων τοῦ τῆς πρεσβυτέρας Ῥώμης θρόνου καὶ ἐν τοῖς ἐκκλησιαστικοῖς ὡς ἐκεῖνον μεγαλύνεσθαι πράγμασι, δεύτερον μετ᾽ ἐκεῖνον ὑπάρχοντα*· μεθ᾽ ὃν ὁ τῆς Ἀλεξανδρέων μεγαλοπόλεως ἀριθμείσθω θρόνος, εἶτα ὁ τῆς Ἀντιοχέων μεγαλοπόλεως, καὶ μετὰ τοῦτον ὁ τῆς Ἱεροσολυμιτῶν πόλεως.

RP 388
JoN 171/115

ΛΖ

Ἐπειδὴ κατὰ διαφόρους καιροὺς βαρβαρικαὶ γεγόνασιν ἔφοδοι καὶ πλεῖσται πόλεις ἐντεῦθεν ὑποχείριοι τοῖς ἀνόμοις κατέστησαν, ὡς ἐντεῦθεν μὴ δυνηθῆναι τὸν τῆς τοιαύτης πόλεως πρόεδρον μετὰ τὴν ἐπ᾽ αὐτῷ χειροτονίαν τὸν οἰκεῖον θρόνον καταλαβεῖν καὶ ἐν αὐτῷ ἱερατικῇ καταστάσει ἐνιδρυθῆναι καὶ οὕτω κατὰ τὸ κρατῆσαν ἔθος τὰς χειροτονίας καὶ πάντα, ἃ τῷ ἐπισκόπῳ ἀνήκει, πράττειν
COGD 256 τε καὶ μεταχειρίζεσθαι, ἡμεῖς τὸ τίμιον καὶ σεβάσμιον τῇ ἱερωσύνῃ φυλάττοντες καὶ μηδαμῶς πρὸς λύμην τῶν ἐκκλησιαστικῶν δικαίων τὴν ἐθνικὴν ἐπήρειαν ἐνεργεῖσθαι βουλόμενοι τοῖς οὕτω χειροτονηθεῖσι καὶ διὰ τὴν προκειμένην αἰτίαν
JoN 172/116 ἐν τοῖς ἑαυτῶν μὴ ἐγκαταστᾶσι θρόνοις τὸ ἀπόκριτον τηρεῖσθαι συνεωράκαμεν, ὥστε καὶ χειροτονίας κληρικῶν διαφόρων κανονικῶς ποιεῖν καὶ τῇ τῆς προεδρίας αὐθεντίᾳ κατὰ τὸν ἴδιον ὅρον κεχρῆσθαι καὶ βεβαίαν καὶ νενομισμένην εἶναι

2–4 Μὴ ἐξέστω – σφετερίζεσθαι cf. CAnt., can. 24, Jo I,2 p. 124, 2–20; can. Apost. 40, SC 336 p. 286, 154 – p. 288, 165; CChalc., can. 22 et 25, ACO 2,1,2 p. 162, 12–14 p. 162, 32 – 163, 2 **4–5** ἀλλ᾽ ὑπὸ – πρόεδρος cf. CChalc., can. 26, ACO 2,1,2 p. 163, 3–8 Cod. Iust. I,3,41,9 p. 26 Krüger **10–11** τὰ παρὰ – συνελθόντων cf. CCpl. (381), can.3, Jo I,1 p. 47, 21 – p. 48, 3 **11–12** τῶν ἑξακοσίων τριάκοντα – νομοθετηθέντα cf. CChalc., can. 28, ACO 2,1,3 p. 88, 28 – p. 89, 17 **13–15** = CChalc., can. 28, ACO 2,1,3 p. 89, 7–9 **14–15** δεύτερον – ὑπάρχοντα cf. Iust., Nov. 131, 2 p. 655, 9–15 Schöll/Kroll

---

AAtBIJΠParPePtSuVVaVn *BenJoPitTi*

---

2 ἁπάντων] πάντων ΙΠVVa*BenTi* **3** τῆς] τὰς Pt **11** ταύτῃ – πόλει] καὶ βασιλίδι πόλει ταύτῃ V | συνελθόντων] συναθροισθέντων *Pit* **12** Καλχηδόνι] Χαλχηδόνι V **13** ἴσων] σῶν Π **15** ὃν] ὧν ΙΠPtV **22** ἐνιδρυθῆναι] ἐνιδρυνθῆναι AAtΙΠVa*BenPitTi* **27** ἐγκαταστᾶσι] ἐν καταστάσει Π | ἀπόκριτον] ἀπρόκριτον Π ἀπροκριμάτιστον *Pit* | συνεωράκαμεν] συνεσοράκαμεν Pt

πᾶσαν ὑπ᾽ αὐτῶν προϊοῦσαν διοίκησιν· οὐ γὰρ, ὑπὸ τοῦ τῆς ἀνάγκης καιροῦ τῆς ἀκριβείας περιγραφείσης, ὁ τῆς οἰκονομίας ὅρος περιορισθήσεται.

ΛΗ

RP 392

Τὸν ἐκ τῶν πατέρων ἡμῶν τεθέντα κανόνα καὶ ἡμεῖς παραφυλάττομεν, τὸν οὕτω διαγορεύοντα· *εἴ τις ἐκ βασιλικῆς ἐξουσίας ἐκαινίσθη πόλις ἢ αὖθις καινισθείη, τοῖς πολιτικοῖς καὶ δημοσίοις τύποις καὶ τῶν ἐκκλησιαστικῶν πραγμάτων ἡ τάξις ἀκολουθείτω.*

Mansi 961
JoN 173/117

ΛΘ

RP 395
COGD 257

Τοῦ ἀδελφοῦ καὶ συλλειτουργοῦ ἡμῶν Ἰωάννου τοῦ τῆς Κυπρίων νήσου πρόεδρου, ἅμα τῷ οἰκείῳ λαῷ ἐπὶ τὴν Ἑλλησπόντιον ἐπαρχίαν διά τε τὰς βαρβαρικὰς ἐφόδους διά τε τὸ τῆς ἐθνικῆς ἐλευθερωθῆναι δουλείας καὶ καθαρῶς τοῖς σκήπτροις τοῦ χριστιανικωτάτου κράτους ὑποταγῆναι τῆς εἰρημένης μεταστάντος νήσου, προνοίᾳ τοῦ φιλανθρώπου θεοῦ καὶ μόχθῳ τοῦ φιλοχρίστου καὶ εὐσεβοῦς ἡμῶν βασιλέως συνορῶμεν, ὥστε ἀκαινοτόμητα διαφυλαχθῆναι τὰ παρὰ τῶν ἐν Ἐφέσῳ τὸ πρότερον συνελθόντων θεοφόρων πατέρων τῷ θρόνῳ τοῦ προγεγραμμένου ἀνδρὸς παρασχεθέντα προνόμια, ὥστε τὴν Νέαν Ἰουστινιανούπολιν τὸ δίκαιον ἔχειν τῆς Κωνσταντιέων πόλεως καὶ τὸν ἐπ᾽ αὐτῇ καθιστάμενον θεοφιλέστατον ἐπίσκοπον πάντων προεδρεύειν τῶν τῆς Ἑλλησποντίων ἐπαρχίας καὶ ὑπὸ τῶν οἰκείων ἐπισκόπων χειροτονεῖσθαι κατὰ τὴν ἀρχαίαν συνήθειαν· τὰ γὰρ ἐν ἑκάστῃ ἐκκλησίᾳ ἔθη καὶ οἱ θεοφόροι ἡμῶν πατέρες παραφυλάττεσθαι διεγνώκασι, τοῦ τῆς Κυζικηνῶν πόλεως ἐπισκόπου ὑποκειμένου τῷ προέδρῳ τῆς εἰρημένης Ἰουστινιανουπόλεως, μιμήσει τῶν λοιπῶν ἁπάντων ἐπισκόπων τῶν ὑπὸ τὸν λεχθέντα θεοφιλέστατον πρόεδρον Ἰωάννην, ὑφ᾽ οὗ χρείας καλούσης καὶ ὁ τῆς αὐτῆς Κυζικηνῶν πόλεως ἐπίσκοπος χειροτονηθήσεται.

JoN 174/118
RP 396

Μ

RP 397
JoN 175/119
COGD 258

Ἐπειδὴ τῷ θεῷ κολλᾶσθαι διὰ τῆς ἐκ τῶν τοῦ βίου θορύβων ἀναχωρήσεως λίαν ἐστὶ σωτήριον, χρὴ μὴ ἀνεξετάστως ἡμᾶς παρὰ τὸν καιρὸν τοὺς τὸν μονή-

---

27 τῷ θεῷ κολλᾶσθαι cf. Ps 72, 28; 1 Cor 6, 17

5–7 ~ CChalc., can. 17, ACO 2,1,2 p. 161, 23–24, sed pro πραγμάτων leg. παροικιῶν **14–16** τὰ παρὰ – προνόμια cf. CEph., can. 8, ACO 1,7 p. 122, 1–10 **20–21** τὰ γὰρ – διεγνώκασι cf. CNic. (325), can. 6, Jo I,1 p. 28,15 – p. 29, 3; CEph., can. 8, ACO 1,7 p. 122, 17–19; CChalc., can. 28, ACO 2,1,3 p. 89, 13–15

AAtBIJΠParPePtSuVVaVn *BenJoPitTi* **26** mss.$^{omn.}$ | Μ] Περὶ μοναχῶν καὶ μοναστηριῶν add. IMvΠPe ΠçVVa*BenJo* Κανὼν περὶ μοναχῶν καὶ μοναστηριῶν ABJSuVn*Ti*; cf. p. LII–LIII et can. 3. 50

---

1 αὐτῶν] αὐτὸν Π **2** ὅρος] τρόπος ΠParVa*Ben* **7** ἡ om. *Pit* **10** Ἑλλησπόντιον] Ἑλλησποντίων ΠV Va*Ben* **12–13** μεταστάντος] μεταναστάντος ΙΠParVa*BenPitTi* **14** διαφυλαχθῆναι] φυλαχθῆναι ΠVVa *Ben* **17** Κωνσταντιέων] Κωνσταντίνου Pt **18** τῶν om. Pt **22** τῷ προέδρῳ] τοῦ προέδρου ΠVa | Ἰουστινιανουπόλεως] Νέας Ἰουστινιανοῦ πόλεως ΠVa Νέας Ἰουστινιανουπόλεως *Ben* **23** τῶν] τὸν ΙΠVa *Ti* **24–25** χειροτονηθήσεται om. I*Pit*

ρη βίον αἱρουμένους προσίεσθαι, ἀλλὰ τὸν παραδοθέντα ἡμῖν παρὰ τῶν πατέ-
RP 398 ρων καὶ ἐν αὐτοῖς φυλάττειν ὅρον· ὥστε *τὴν ὁμολογίαν* τοῦ κατὰ θεὸν βίου *τότε προσίεσθαι δεῖ, ὡς ἤδη βεβαίαν καὶ ἀπὸ γνώμης οἰκείας καὶ κρίσεως γινομένην μετὰ τὴν τοῦ λόγου συμπλήρωσιν*.

JoN 176/120 Ἔστω τοίνυν ὁ μέλλων τὸν μοναχικὸν ὑπέρχεσθαι ζυγὸν οὐχ ἧττον ἢ δεκαετής, ἐν τῷ προέδρῳ κειμένης καὶ τῆς ἐπὶ τούτῳ δοκιμασίας, εἰ τὸν χρόνον αὐτῷ αὐξηθῆναι λυσιτελέστερον ἡγεῖται πρὸς τὴν ἐν τῷ μονήρει βίῳ εἰσαγωγὴν καὶ κατάστασιν. εἰ γὰρ καὶ ὁ μέγας Βασίλειος ἐν τοῖς ἱεροῖς αὐτοῦ κανόσι τὴν *ἑκουσίως ἑαυτὴν προσαγάγουσαν τῷ κυρίῳ* καὶ τὴν παρθενίαν ἀσπαζομένην τὸν ἑπτακαιδέκατον διανύουσαν χρόνον τῷ τῶν παρθένων τάγματι ἀριθμεῖσθαι νο-
μοθετεῖ, ἀλλ᾽ οὖν τῷ περὶ τῶν χηρῶν τε καὶ διακονισσῶν παραδείγματι κατακολουθήσαντες εἰς τὸν εἰρημένον χρόνον ἀναλόγως τοὺς τὸν μονήρη βίον ἑλομένους περιεστήσαμεν· ἐν γὰρ τῷ θείῳ ἀποστόλῳ γέγραπται ἑξήκοντα ἐτῶν
COGD 259 τὴν ἐν τῇ ἐκκλησίᾳ καταλέγεσθαι χήραν, οἱ δὲ ἱεροὶ κανόνες τεσσαράκοντα
JoN 177/121 ἐτῶν τὴν διακόνισσαν χειροτονεῖσθαι παραδεδώκασι, τὴν ἐκκλησίαν χάριτι θείᾳ κραταιοτέραν γινομένην καὶ ἐπὶ τὰ πρόσω βαίνουσαν ἑωρακότες καὶ τὸ τῶν
Mansi 964 πιστῶν πρὸς τὴν τῶν θείων ἐντολῶν τήρησιν πάγιόν τε καὶ ἀσφαλές. ὅπερ καὶ ἡμεῖς ἄριστα κατανοήσαντες ἀρτίως διωρισάμεθα, τὴν εὐλογίαν τῆς χάριτος τῷ μέλλοντι τῶν κατὰ θεὸν ἀγώνων ἐνάρχεσθαι, ὥσπέρ τινα σφραγῖδα ταχέως ἐνσημαινόμενοι, ἐντεῦθεν αὐτὸν πρὸς τὸ μὴ ἐπὶ πολὺ ὀκνεῖν καὶ ἀναδύεσθαι προβιβάζοντες, μᾶλλον μὲν οὖν καὶ πρὸς τὴν τοῦ ἀγαθοῦ παρορμῶντες ἐκλογὴν καὶ κατάστασιν.

RP 401 MA

JoN 178/122 Τοὺς ἐν πόλεσιν ἢ χωρίοις ἐν ἐγκλείστραις βουλομένους ἀναχωρεῖν καὶ ἑαυτοῖς κατὰ μόνας προσέχειν πρότερον ἐν μοναστηρίῳ εἰσιέναι δεῖ καὶ τὴν ἀναχωρητι-
κὴν παιδοτριβεῖσθαι διαγωγήν· καὶ ἐπὶ τριετῆ χρόνον τῷ τῆς μονῆς ἐξάρχοντι ἐν φόβῳ θεοῦ ὑποτάττεσθαι καὶ τὴν κατὰ πάντα ὡς προσῆκεν ὑπακοὴν ἐκπλη-
RP 402 ροῦν· καὶ οὕτως ὁμολογοῦντας περὶ τῆς ἐν τῷ τοιούτῳ βίῳ προαιρέσεως καὶ ὡς ἐξ ὅλης καρδίας ἑκουσίως τοῦτον ἀσπάζονται ὑπὸ τοῦ κατὰ τὸν τόπον

13–14 ἐν γὰρ τῷ θείῳ – χήραν cf. 1 Tim 5, 9

2–4 τὴν ὁμολογίαν – τοῦ λόγου συμπλήρωσιν cf. Bas. Caes., Asc. magn. XV, 4, PG31 col. 956B; cf. can. Bas. 18, II p. 156, 35–37 Courtonne **5** τὸν μοναχικὸν ὑπέρχεσθαι ζυγὸν cf. Georgius Syceota, Vita Theod. Syceot. 104. p. 84, 29–30 Festugière **8–9** = can. Bas. 18, II p. 156, 33–34 Courtonne **9–10** τὸν ἑπτακαιδέκατον – χρόνον cf. can. Bas. 18, II p. 156, 38–39 Courtonne **14–15** οἱ δὲ ἱεροὶ – παραδεδώκασι cf. CChalc., can. 15, ACO 2,1,2 p. 161, 9–10 **15–16** τὴν ἐκκλησίαν – βαίνουσαν cf. can. Bas. 18, II p. 155, 7–9 Courtonne

---

AAtBIJΠParPePtSuVVaVn *BenJoPitTi*

---

1 προσίεσθαι] προίεσθαι Pt | παρὰ] ἢ παρὰ AtΠVa*Ben* **3** γνώμης οἰκείας ΠVVa*Ben* l.l. Bas.Caes. Asc.magn. XV, 4 sic: γνώσεως cet. **5** μέλλων] μέλλον Π | μοναχικὸν] μοναδικὸν Pt | ὑπέρχεσθαι] ὑπεξέρχεσθαι Π **6** αὐτῷ] αὐτὸν Va*Ben* **9** προσαγάγουσαν ΠPar*Ben* l.l. can.Bas. 18 sic: προσάγουσαν cet. | κυρίῳ] θεῷ AIPt*PitTi* **11** τῷ] τὸ Π | τε om. PeVa*Ben* **16** κραταιοτέραν] κρατεωτέραν Π **20** αὐτὸν] αὐτῶν Π | ὀκνεῖν + τε ΠVa*Ben* **21** προβιβάζοντες] προσβιβάζοντες ΠVa*BenTi* **22** κατάστασιν] κατάσχεσιν ΠVa*Ben*

δοκιμάζεσθαι προέδρου· εἶθ᾽ οὕτως τε ἐφ᾽ ἕτερον ἐνιαυτὸν ἔξωθεν προσκαρτερεῖν τῆς ἐγκλείστρας, ὡς ἂν ὁ σκοπὸς αὐτῶν πλειόνως φανερωθείη· τηνικαῦτα γὰρ πληροφορίαν παρέξουσιν, ὡς οὐ κενὴν θηρώμενοι δόξαν, ἀλλὰ δι᾽ αὐτὸ τὸ ὄντως καλὸν τὴν ἡσυχίαν ταύτην μεταδιώκουσι· μετὰ δὲ τὴν τοσούτου χρόνου συμπλήρωσιν, εἰ τῇ αὐτῇ προαιρέσει ἐμμένοιεν, ἐγκεκλεῖσθαι αὐτοὺς καὶ μηκέτι τούτους ἐξεῖναι ὅτε βούλονται τῆς τοιαύτης καταμονῆς ἀφίστασθαι, ἐκτὸς εἰ μὴ διὰ κοινὴν λυσιτέλειαν καὶ ὠφέλειαν ἢ ἑτέραν ἀνάγκην πρὸς θάνατον αὐτοὺς βιαζομένην πρὸς τοῦτο ἕλκοιντο, καὶ οὕτω μετ᾽ εὐλογίας τοῦ κατὰ τὸν τόπον ἐπισκόπου· τῶν δὲ εἰρημένων προφάσεων δίχα ἐγχειροῦντας ἐκ τῶν καταγωγίων αὐτῶν ἐξιέναι πρωτοτύπως μὲν ἄκοντας αὐτοὺς καθειργνύειν ἐν τῇ εἰρημένῃ ἐγκλείστρᾳ, ἔπειτα δὲ νηστείαις καὶ ἑτέραις σκληραγωγίαις αὐτοὺς θεραπεύειν εἰδότας κατὰ τὸ γεγραμμένον ὡς *οὐδεὶς βαλὼν τὴν χεῖρα ἐπ᾽ ἄροτρον καὶ στραφεὶς εἰς τὰ ὀπίσω εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν*.

COGD 260

JoN 179/123

ΜΒ

RP 406
JoN 180/124

Τοὺς λεγομένους ἐρημίτας, οἵτινες μελανειμονοῦντες καὶ τὰς κεφαλὰς κομῶντες περιάγουσι τὰς πόλεις μεταξὺ ἀνδρῶν λαϊκῶν καὶ γυναικῶν ἀναστρεφόμενοι καὶ τὸ οἰκεῖον ἐπάγγελμα καθυβρίζοντες, ὁρίζομεν, εἰ μὲν αἱροῦνται τὰς κόμας ἀποκειράμενοι τὸ τῶν λοιπῶν μοναχῶν ἀναδέξασθαι σχῆμα, τούτους ἐν μοναστηρίῳ ἐγκαθίστασθαι καὶ τοῖς ἀδελφοῖς ἐγκαταλέγεσθαι· εἰ δὲ μὴ τοῦτο προέλοιντο, παντάπασιν αὐτοὺς τῶν πόλεων ἀπελαύνεσθαι καὶ τὰς ἐρήμους οἰκεῖν, ἐξ ὧν καὶ τὴν ἐπωνυμίαν ἑαυτοῖς ἀνεπλάσαντο.

COGD 261

ΜΓ

RP 408
JoN 181/125

Ἐξὸν ὑπάρχει παντὶ χριστιανῷ τὸν ἀσκητικὸν ἑλέσθαι βίον καὶ τὴν πολυτάραχον ζάλην τῶν βιωτικῶν πραγμάτων ἀποθέμενον ἐν μοναστηρίῳ εἰσιέναι καὶ κατὰ τὸ μοναχικὸν σχῆμα ἀποκαρῆναι, κἂν ἐν οἱῳδήποτε πταίσματι ἁλῷ· ὁ γὰρ σωτὴρ ἡμῶν θεὸς ἔφη· *τὸν ἐρχόμενον πρός με οὐ μὴ ἐκβάλω ἔξω*. ὡς οὖν τῆς μοναχικῆς πολιτείας τὴν ἐν μετανοίᾳ ζωὴν στηλογραφούσης ἡμῖν, τῷ γνησίως ταύτῃ προστιθεμένῳ συνευδοκοῦμεν· καὶ οὐδεὶς αὐτὸν παρεμποδίσει τρόπος πρὸς τὴν τοῦ οἰκείου σκοποῦ ἀποπλήρωσιν.

12–13 = Lc 9, 62 **26** = Io 6, 37

A AtB I J Π Par Pe Pt Su V Va Vn *Ben Jo Pit Ti*

---

1 οὕτως] οὕτω ΠVa **3** δι᾽ αὐτὸ] διὰ Π **4** μεταδιώκουσι] διώκουσι I | τοσούτου] τοῦ τοσούτου Π τοῦ s.l. V **5** ἐγκεκλεῖσθαι] ἐγκλεῖεσθαι Va*Ben* **6** βούλονται] ἂν βούλωνται ΠParVVa*Ben* **7** ἢ] καὶ Π **8** τὸν om. *Pit* **12** χεῖρα + αὐτοῦ *Pit* **13** τῶν οὐρανῶν] τοῦ θεοῦ V **21** τὴν ἐπωνυμίαν] τὰς ἐπωνυμίας *Pit* | ἑαυτοῖς] ἑαυτοῖς ἑκοντὶ I **23–24** πολυτάραχον ζάλην] ζάλην τὴν πολυτάραχον I | πολυτάραχον — ἀποθέμενον] πολυτάραχον τῶν βιωτικῶν πραγμάτων ζάλην ἀποθεμένω Va*Ben* **23** παντὶ om. A AtI*PitTi* **27** τὴν ἐν μετανοίᾳ ζωὴν] τῆς ἐν μετανοίᾳ AI*Ti* | ζωὴν om. Pt **28** παρεμποδίσει] παρεμποδίσοι IPeV*Ti*

ΜΔ

Mansi 965
RP 409
JoN 182/126

Μοναχὸς ἐπὶ πορνείᾳ ἁλοὺς ἢ πρὸς γάμου κοινωνίαν καὶ συμβίωσιν γυναῖκα ἀγόμενος τοῖς τῶν πορνευόντων ἐπιτιμίοις κατὰ τοὺς κανόνας ὑποβληθήσεται.

ΜΕ

RP 411
COGD 262

Ἐπειδὴ μεμαθήκαμεν ἔν τισι γυναικείοις μοναστηρίοις τὰς μελλούσας τοῦ ἱεροῦ ἐκείνου καταξιοῦσθαι σχήματος πρότερον σηρικαῖς καὶ ἑτέραις παντοίαις στολαῖς, ἔτι μὴν καὶ κοσμίοις χρυσῷ καὶ λίθῳ πεποικιλμένοις ὑπὸ τῶν προσαγόντων αὐτὰς περιστέλλεσθαι, καὶ οὕτω τῷ θυσιαστηρίῳ προσιούσας ἐκδιδύσκεσθαι τὴν τοσαύτην τῆς ὕλης ἀμφίασιν παραχρῆμά τε γίγνεσθαι ἐπ᾽ αὐταῖς τὴν τοῦ σχήματος εὐλογίαν καὶ τὸ μέλαν αὐτὰς ἔνδυμα ἀμφιέννυσθαι, ὁρίζομεν ὥστε μηκέτι ἀπὸ τοῦ νῦν τοῦτο γίνεσθαι· οὐδὲ γὰρ εὐαγὲς ὑπάρχει, τὴν ἤδη διὰ τῆς οἰκείας προαιρέσεως ἀποθεμένην πᾶσαν τὴν τοῦ βίου τερπνότητα καὶ ἀσπασαμένην τὴν κατὰ θεὸν πολιτείαν καὶ βεβαιώσασαν ταύτην λογισμοῖς ἀκλινέσι καὶ οὕτω τῷ μοναστηρίῳ προσελθοῦσαν αὖθις εἰς ἀνάμνησιν διὰ τοῦ τοιούτου φθαρτοῦ τε καὶ ῥέοντος κόσμου ἐλθεῖν, ὧν ἤδη ἐποιήσατο λήθην· ἐκ τούτου τε ἀμφίβολον καταστῆναι καὶ τὴν ψυχὴν ἐκταραχθῆναι, δίκην κυμάτων ἐπικλυζόντων καὶ τῇδε κἀκεῖσε περιστρεφόντων, ὡς μήτε δάκρυον ἔστιν ὅτε λοιπὸν ἀφιεῖσαν τὴν ἐν τῇ καρδίᾳ διὰ τοῦ σώματος κατάνυξιν ἐπιδείξασθαι· ἀλλ᾽ εἰ καὶ βραχύ τι, ὡς εἰκός, ἐκπηδήσειε δάκρυον, μὴ μᾶλλον τῆς διὰ τὸν ἀσκητικὸν ἀγῶνα διαθέσεως χάριν ἢ διὰ τὸ τὸν κόσμον καὶ τὰ ἐν τῷ κόσμῳ καταλιπεῖν, παρὰ τοῖς ὁρῶσι τοῦτο προελθὸν λογισθῆναι.

JoN 183/127
RP 412
JoN 184/128

ΜϚ

RP 414
COGD 263

Αἱ τὸν ἀσκητικὸν αἱρούμεναι βίον καὶ ἐν μοναστηρίῳ καταταττόμεναι καθόλου μὴ προϊέτωσαν. εἰ δέ τις ἀπαραίτητος αὐτὰς ἀνάγκη πρὸς τοῦτο ἕλκοι, μετ᾽ εὐλογίας καὶ ἐπιτροπῆς τῆς προεστώσης τοῦτο πραττέτωσαν, καὶ τότε μὴ μόναι καθ᾽ ἑαυτάς, ἀλλὰ μετά τινων πρεσβυτίδων καὶ πρωτευουσῶν ἐν τῷ μοναστηρίῳ μετ᾽ ἐντολῆς τῆς καθηγουμένης· παντελῶς δὲ αὐτὰς ἐξωκοιτεῖν οὐκ ἔξεστιν. ἀλλὰ καὶ ἄνδρες οἱ τὸν μονήρη βίον μετερχόμενοι χρείας ἐπειγούσης, καὶ αὐτοὶ μετὰ εὐλογίας τοῦ τὴν ἡγουμενίαν ἐμπεπιστευμένου προϊέτωσαν. ὥστε οἱ παραβαίνοντες τὸν νῦν ὁρισθέντα παρ᾽ ἡμῶν ὅρον, εἴτε ἄνδρες εἶεν εἴτε γυναῖκες, προσφόροις ἐπιτιμίοις ὑποβληθήτωσαν.

JoN 185/129

2–3 Μοναχὸς — ὑποβληθήσεται cf. can. Bas. 18, II p. 156, 27–28 Courtonne; CChalc., can. 16, ACO 2,1,2 p. 161, 13–14

AAtBIJΠParPePtSuVVaVn *BenJoPitTi*

---

2 ἁλοὺς] ἁλοὶς V **3** τοὺς κανόνας] τὸν κανόνα Va **5** τισι] τισιν εὐαγέσιν IV τισιν εὐαγέσι ΠParPtVa τισι εὐαγέσι *Ben* | γυναικείοις μοναστηρίοις ord. inv. Va*Ben* **6** ἑτέραις om. Pt **7** πεποικιλμένοις] πεποικιλμέναις Va*Ben* **9** τοσαύτην om. Pt | γίγνεσθαι] γίνεσθαι AtIΠVVa*BenPitTi* **14** τῷ] τὸ Va **15** ἐποιήσατο] ἐποιήσαντο Π **18** ἀφιεῖσαν] ἐπαφιεῖσαν ΠVVa*Ben* | τὴν] καὶ τὴν At*Pit* **19** τι om. Π τη V | τῆς] τι Pt **20** τὸ] τὰ V **26** μόναι] μόνον καὶ Π | ἑαυτάς] αὑτάς AAtVa*Ben* **27** ἐξωκοιτεῖν] ἐξοικητεῖν Π ἐξωκοιτὴν I **28** βίον μετερχόμενοι ord. inv. ΠPtV*PitTi* βίον μετερχόμενοι βίον (sic) I **31** γυναῖκες + εἶεν V

ΜΖ

RP 416

Μήτε ἐν ἀνδρείῳ μοναστηρίῳ γυνὴ μήτε ἐν γυναικείῳ ἀνὴρ καθευδέτω· παντὸς γὰρ προσκόμματος καὶ σκανδάλου ἔξω εἶναι δεῖ τοὺς πιστούς καὶ *πρὸς τὸ εὔσχημον καὶ εὐπάρεδρον τῷ κυρίῳ* τὸν ἑαυτῶν εὐθετίζειν βίον. εἰ δέ τις τοῦτο πράξει, εἴτε κληρικὸς εἴη εἴτε λαϊκὸς ἀφοριζέσθω.

JoN 186/130

ΜΗ

RP 419
COGD 264

Ἡ τοῦ πρὸς ἐπισκοπῆς προεδρίαν ἀναγομένου γυνὴ κατὰ κοινὴν συμφωνίαν τοῦ οἰκείου ἀνδρὸς προδιαζευχθεῖσα μετὰ τὴν ἐπ᾽ αὐτῷ τῆς ἐπισκοπῆς χειροτονίαν ἐν μοναστηρίῳ εἰσίτω πόρρω τῆς τοῦ ἐπισκόπου καταγωγῆς ᾠκοδομημένῳ καὶ τῆς ἐκ τοῦ ἐπισκόπου προνοίας ἀπολαυέτω· εἰ δὲ καὶ ἀξία φανείη, καὶ πρὸς τὸ τῆς διακονίας ἀναβιβαζέσθω ἀξίωμα.

ΜΘ

RP 423
JoN 187/131

Ἀνανεούμενοι καὶ τοῦτον τὸν ἱερὸν κανόνα ὁρίζομεν, ὥστε *τὰ ἅπαξ καθιερωθέντα μοναστήρια κατὰ γνώμην ἐπισκόπου μένειν εἰς τὸ διηνεκὲς μοναστήρια· καὶ τὰ ἀνήκοντα αὐτοῖς πράγματα φυλάττεσθαι τῷ μοναστηρίῳ· καὶ μηκέτι δύνασθαι γίνεσθαι αὐτὰ κοσμικὰ καταγώγια*, μήτε δὲ ὑπό τινος τῶν ἁπάντων κοσμικοῖς ἀνδράσι ταῦτα ἐκδίδοσθαι· ἀλλ᾽ εἰ καὶ μέχρι νῦν γέγονε τοῦτο, μηδαμῶς κρατεῖσθαι ὁρίζομεν. *τοὺς δὲ* ἀπὸ τοῦ παρόντος *πράττειν τοῦτο ἐπιχειροῦντας ὑποκεῖσθαι τοῖς ἐκ τῶν κανόνων ἐπιτιμίοις*.

Mansi 968

Ν

RP 424
JoN 188/132
COG*D* 265

Μηδένα τῶν ἁπάντων, εἴτε λαϊκῶν εἴτε κληρικῶν, κυβεύειν ἀπὸ τοῦ νῦν· εἰ δέ τις τοιοῦτο φωραθείη πράττων, εἰ μὲν κληρικὸς εἴη καθαιρείσθω, εἰ δὲ λαϊκὸς ἀφοριζέσθω.

3–4 = 1 Cor 7, 35

---

2 Μήτε ἐν ἀνδρείῳ – καθευδέτω cf. Iust., Nov. 133,3 p. 669, 26–31 Schöll/Kroll **13–16** = CChalc., can. 24, ACO 2,1,2 p. 162, 24–26 **18–19** τοὺς δὲ – ἐπιτιμίοις ~ CChalc., can. 24, ACO 2,1,2 p. 162, 26–27, ubi leg. τοὺς δὲ συγχωροῦντας τοῦτο γίνεσθαι etc. **21** Μηδένα – κυβεύειν ἀπὸ τοῦ νῦν cf. can. Apost. 42-43, SC 336 p. 288, 178–181; Cod. Iust. III,43 p. 147 Krüger

---

AAtBIJΠParPePtSuVVaVn *BenJoPitTi* **20** mss.$^{omn.}$ | Ν] Περὶ λαϊκῶν add. MvΠçSu*Jo*; cf. p. LII–LIII et can. 3. 40

---

2 Μήτε + δὲ ΙΠPtV*PitTi* | γυναικείῳ + μοναστηρίῳ ΠVVa*Ben* **4** εὐπάρεδρον] εὐπρόσεδρον AtIPtVa *BenPitTi* **5** πράξει] πράξοι ΙΠVa*BenTi* **10** φανείη] φανῆ Va*Ben* | καὶ^{3} om. ΠVa*Ben* **17** νῦν] τοῦ νῦν *Pit* **21** λαϊκῶν εἴτε κληρικῶν ord. inv. ΠVa*Ben*

ΝΑ

Καθόλου ἀπαγορεύει ἡ ἁγία αὕτη καὶ οἰκουμενικὴ σύνοδος τοὺς λεγομένους μί-
RP 425 μους καὶ τὰ τούτων θέατρα, εἶτά γε μὴν καὶ τὰ τῶν κυνηγίων θεώρια καὶ τὰς
ἐπὶ σκηνῆς ὀρχήσεις ἐπιτελεῖσθαι. εἰ δέ τις τοῦ παρόντος κανόνος καταφρονήσοι
JoN 189/133 καὶ πρός τι ἑαυτὸν τῶν ἀπηγορευμένων ἐκδῷ, εἰ μὲν κληρικὸς εἴη καθαιρείσθω, 5
εἰ δὲ λαϊκὸς ἀφοριζέσθω.

RP 427

ΝΒ

Ἐν πάσαις ταῖς τῆς ἁγίας τεσσαρακοστῆς τῶν νηστειῶν ἡμέραις, παρεκτὸς σαβ-
βάτου καὶ κυριακῆς καὶ τῆς ἁγίας τοῦ εὐαγγελισμοῦ ἡμέρας, γινέσθω ἡ τῶν
προηγιασμένων ἱερὰ λειτουργία. 10

RP 428
COGD 266

ΝΓ

JoN 190/134 Ἐπειδὴ μείζων ἡ κατὰ τὸ πνεῦμα οἰκειότης τῆς τῶν σωμάτων συναφείας, ἔγνω-
μεν δὲ ἔν τισι τόποις τινὰς ἐκ τοῦ ἁγίου καὶ σωτηριώδους βαπτίσματος παῖδας
ἀναδεχομένους μετὰ τοῦτο ταῖς ἐκείνων μητράσι χηρευούσαις γαμικὸν συναλ-
λάσσοντας συνοικέσιον, ὁρίζομεν ἀπὸ τοῦ παρόντος μηδὲν τοιοῦτον πραχθῆναι. 15
RP 429 εἰ δέ τινες μετὰ τὸν παρόντα κανόνα φωραθεῖεν τοῦτο ποιοῦντες, πρωτοτύπως
μὲν οἱ τοιοῦτοι ἀφιστάσθωσαν τοῦ παρανόμου τούτου συνοικεσίου, ἔπειτα δὲ
καὶ τοῖς τῶν πορνευόντων ἐπιτιμίοις ὑποβληθήτωσαν.

RP 432

ΝΔ

Τῆς θείας ἡμᾶς οὕτω σαφῶς ἐκδιδασκούσης γραφῆς· *οὐκ εἰσελεύσῃ πρὸς πάντα* 20
JoN 191/135 *οἰκεῖον σαρκός σου ἀποκαλύψαι ἀσχημοσύνην αὐτοῦ*, ὁ θεοφόρος Βασίλειος τινὰ
τῶν ἀπηγορευμένων γάμων ἐν τοῖς οἰκείοις κανόσιν ἀπηριθμήσατο, σιωπῇ τὰ
πλεῖστα παραδραμὼν καὶ κατ᾽ ἀμφότερα κατασκευάσας ἡμῖν τὸ ὠφέλιμον· τὸ
γὰρ τῶν αἰσχρῶν ὀνομασιῶν πλῆθος παραιτησάμενος, ὡς ἂν μὴ τὸν λόγον
καταρρυπαίνοιτο τοῖς ῥήμασι, γενικοῖς ὀνόμασι τὰς ἀκαθαρσίας διέλαβε, δι᾽ ὧν 25

20–21 οὐκ εἰσελεύσῃ — αὐτοῦ cf. Lev 18, 6

---

3 τὰ τῶν κυνηγίων θεώρια cf. Const. Apost. VIII, 32, 15, SC 336 p. 238, 46–47 **3–4** τὰς ἐπὶ σκηνῆς ὀρχήσεις cf. Const. Apost. VIII, 32, 9, SC 336 p. 236, 25 – p. 238, 29 **8–10** Ἐν πάσαις – λειτουργία cf. CLaod., can. 49, Jo I,2 p. 150, 10–12; Chron. pasch. p. 705, 18 – p. 706, 8 Dindorf **12** Ἐπειδὴ – συναφείας cf. Cod. Iust. V,4,26,2 p. 197 Krüger **20–21** ~ can. Bas. 87, II p. 91, 3–4 Courtonne **21–22** ὁ θεοφόρος Βασίλειος – ἀπηριθμήσατο cf. can. Bas. 23. 67–68. 75–76. 78–79. 87, II p. 158, 1–5; p. 212, 3; p. 213,1 – p. 214, 1–3; p. 88, 1 – p. 92, 20 Courtonne

---

A At B I J Π Par Pe Pt Su V Va Vn *Ben Jo Pit Ti*

---

2 αὕτη] ταύτη ΙΠParPeVa*Ti* **3** τὰ^{2} – θεώρια] τὰς τῶν κυνηγίων θεώριας Va*Ben* **4** ἐπιτελεῖσθαι] μὴ ἐπιτελεῖσθαι Va*Ben* | καταφρονήσοι] καταφρονήσει I*Pit* **5** ἀπηγορευμένων + τούτων ΙΠV Va*Ben Pit Ti* **8** τῆς – ἡμέραις] ἁγίας τῆς μ΄ ἡμέραις τῶν νηστειῶν Va ἁγίας τῆς τεσσαρακοστῆς ἡμέραις τῶν νηστειῶν Va*Ben* **9** γινέσθω] μὴ γινέσθω πλὴν Va*Ben* **12** τὸ om. ΠV Va*Ben* **14** μετὰ] καὶ μετὰ *Pit* **17** ἀφιστάσθωσαν] ἀφείσθωσαν *Ben* **20** οὕτω] οὕτως ΠVa*Ben Ti* **21** αὐτοῦ] αὐτῶν AtΠVa*Ben* l.l. can.Bas. 87 sic | τινὰ] τινὰς *Ben Pit* **23** κατασκευάσας] παρασκεύασας V **25** καταρρυπαίνοιτο] καταρυπαίνοι ΠParVa*Ben* καταρρυπαίνοι *Pit* lac. in Pt

περιεκτικῶς ἡμῖν τοὺς παρανόμους γάμους ὑπέδειξεν. ἐπειδὴ δὲ τῇ τοιαύτῃ σιωπῇ καὶ τῷ ἀδιαγνώστῳ τῆς τῶν ἀθέσμων γάμων ἀπαγορεύσεως ἑαυτὴν ἡ φύσις συνέχεε, συνείδομεν γυμνότερον τὰ περὶ τούτου ἐκθέσθαι, ὁρίζοντες ἀπὸ τοῦ νῦν τὸν τῇ οἰκείᾳ ἐξαδέλφῃ πρὸς γάμου κοινωνίαν συναπτόμενον, ἢ πατέρα καὶ υἱὸν μητρὶ καὶ θυγατρί, ἢ δύο κόραις ἀδελφαῖς πατέρα καὶ υἱόν, ἢ ἀδελφοῖς δυσὶ μητέρα καὶ θυγατέρα, ἢ ἀδελφοὺς δύο δυσὶν ἀδελφαῖς ὑπὸ τὸν τῆς ἑπταετίας πίπτειν κανόνα, ἀφισταμένων αὐτῶν προδήλως τοῦ παρανόμου συνοικεσίου. COGD 267 JoN 192/136

NE

Mansi 969
RP 434

Ἐπειδὴ μεμαθήκαμεν τοὺς ἐν τῇ Ῥωμαίων πόλει ἐν ταῖς ἁγίαις τῆς τεσσαρακοστῆς νηστείαις τοῖς ταύτης σάββασι νηστεύειν παρὰ τὴν παραδοθεῖσαν ἐκκλησιαστικὴν ἀκολουθίαν ἔδοξε τῇ ἁγίᾳ συνόδῳ, ὥστε κρατεῖν καὶ ἐπὶ τῇ Ῥωμαίων ἐκκλησίᾳ ἀπαρασαλεύτως τὸν κανόνα τὸν λέγοντα· *εἴ τις κληρικὸς εὑρεθείη τῇ ἁγίᾳ κυριακῇ νηστεύων ἢ τῷ σαββάτῳ, πλὴν τοῦ ἑνὸς καὶ μόνου, καθαιρείσθω, εἰ δὲ λαϊκός ἀφοριζέσθω*. JoN 193/137

NS

RP 436

Ὡσαύτως μεμαθήκαμεν ἔν τε τῇ Ἀρμενίων χώρᾳ καὶ ἐν ἑτέροις τόποις ἐν τοῖς σάββασι καὶ ἐν ταῖς κυριακαῖς τῆς ἁγίας τεσσαρακοστῆς τῶν νηστειῶν ἡμέραις ᾠὰ καὶ τυρὸν ἐσθίειν τινάς. ἔδοξε τοίνυν καὶ τοῦτο, ὥστε τὴν κατὰ πᾶσαν τὴν οἰκουμένην τοῦ θεοῦ ἐκκλησίαν μιᾷ κατακολουθοῦσαν τάξει τὴν νηστείαν ἐπιτελεῖν καὶ ἀπέχεσθαι ὥσπερ θυτοῦ παντοίου, οὕτω δὴ καὶ ᾠοῦ καὶ τυροῦ, ἃ καρπός εἰσι καὶ γεννήματα τῶν ὧν ἀπεχόμεθα. εἰ δὲ μὴ τοῦτο παραφυλάττοιεν, εἰ μὲν κληρικοὶ εἶεν καθαιρείσθωσαν, εἰ δὲ λαϊκοὶ ἀφοριζέσθωσαν. COGD 268 JoN 194/138

NZ

RP 437

Ὅτι οὐ χρὴ ἐν τοῖς θυσιαστηρίοις μέλι καὶ γάλα προσφέρεσθαι.

NH

Μηδεὶς τῶν ἐν λαϊκοῖς τεταγμένων ἑαυτῷ τῶν θείων μυστηρίων μεταδιδότω παρόντος ἐπισκόπου ἢ πρεσβυτέρου ἢ διακόνου. ὁ δέ τι τοιοῦτον τολμῶν ὡς παρὰ τὸ διατεταγμένον ποιῶν ἐπὶ ἑβδομάδα μίαν ἀφοριζέσθω, ἐντεῦθεν παιδαγωγούμενος μὴ φρονεῖν παρ᾽ ὃ δεῖ φρονεῖν. JoN 195/139

12–14 = can. Apost. 64, SC 336 p. 298, 297–299 **24** Ὅτι οὐ χρὴ – προσφέρεσθαι cf. can. Apost. 3–4 SC 336 p. 274, 9 – p. 276, 16, sed etiam e contario CCarth., can. 37, Jo I,2 p. 257, 9–17 **28** τὸ διατεταγμένον cf. can. Bas. 94, I p. 204, 10–28 Courtonne

---

A At B I J Π Par Pe Pt Su V Va Vn *Ben Jo Pit Ti*

1–2 τῇ τοιαύτῃ σιωπῇ] ἡ τοιαύτη σιωπὴ I Va*Ben Ti* **5** καὶ[1] – υἱόν add. marg. man. post. At Pt | δύο] δυσὶ *Pit* **12–13** τῇ ἁγίᾳ κυριακῇ] τὴν ἁγίαν κυριακὴν *Pit* **13** τῷ σαββάτῳ] τὸ σάββατον At Π Par Pt Va*Ben Pit Ti* **16** μεμαθήκαμεν + ὡς ὅτι I | τε om. I Va*Ben* **17** ἐν om. Π V | τεσσαρακοστῆς] τῆς τεσσαρακοστῆς I | τῶν νηστειῶν ἡμέραις om. *Pit* **20** καὶ[2] om. *Pit Ti* | ᾠοῦ] ὠῶν Π V Va*Ben* **21** τῶν om. I Par Pt *Pit Ti* | παραφυλάττοιεν] παραφυλάττειεν I

RP 438

ΝΘ

Μηδαμῶς ἐν εὐκτηρίῳ οἴκῳ ἔνδον οἰκίας τυγχάνοντι βάπτισμα ἐπιτελείσθω· ἀλλ᾽
RP 439 COGD 269 οἱ μέλλοντες ἀξιοῦσθαι τοῦ ἀχράντου φωτίσματος ταῖς καθολικαῖς προσερχέσθωσαν ἐκκλησίαις κἀκεῖσε τῆς δωρεᾶς ταύτης ἀπολαυέτωσαν. εἰ δέ τις ἁλῷ παραβαίνων τὰ παρ᾽ ἡμῶν ὁρισθέντα, εἰ μὲν κληρικὸς εἴη καθαιρείσθω, εἰ δὲ λαϊκὸς ἀφοριζέσθω.

RP 440 JoN 196/140

ΞΖ

Τοῦ ἀποστόλου βοῶντος ὅτι *ὁ κολλώμενος τῷ κυρίῳ ἓν πνεῦμά ἐστι*, πρόδηλον ὡς καὶ ὁ τῷ ἐναντίῳ ἑαυτὸν οἰκειῶν ἓν γίνεται τῇ πρὸς αὐτὸν συναφείᾳ. τοὺς τοίνυν δαιμονᾶν ὑποκρινομένους καὶ τρόπων φαυλότητι προσποιητῶς τὰ ἐκείνων σχηματιζομένους ἔδοξε τρόπῳ ἐπιτιμᾶσθαι παντὶ καὶ τοιαύταις αὐτοὺς σκληραγωγίαις καὶ πόνοις ὑποβάλλειν, οἷς ἂν οἱ ἀληθῶς δαιμονῶντες πρὸς
RP 441 ἀπαλλαγὴν τῆς τοῦ δαίμονος ἐνεργείας ἀξίως ὑποβάλλοιντο.

RP 442

ΞΑ

JoN 197/141 Οἱ μάντεσιν ἑαυτοὺς ἐκδιδόντες ἢ τοῖς λεγομένοις ἑκατοντάρχοις ἤ τισι τοιούτοις, ὡς ἂν παρ᾽ ἐκείνων μάθοιεν ὅ τι ἂν αὐτοῖς ἐκκαλύπτεσθαι βούλοιντο, κατὰ τὰ πρώην ὑπὸ τῶν πατέρων περὶ αὐτῶν ὁρισθέντα ὑπὸ τὸν κανόνα πιπτέτωσαν τῆς ἐξαετίας. τῷ αὐτῷ δὲ τούτῳ ἐπιτιμίῳ καθυποβάλλεσθαι δεῖ καὶ τοὺς
COGD 270 τὰς ἄρκτους ἐπισυρομένους ἢ τοιαῦτα ζῷα πρὸς παίγνιον καὶ βλάβην τῶν
RP 443 ἁπλουστέρων καὶ τύχην καὶ εἱμαρμένην καὶ γενεαλογίαν καὶ τοιούτων τινῶν ῥημάτων ὄχλον κατὰ τοὺς τῆς πλάνης λήρους φωνοῦντας τούς τε λεγομένους
Mansi 972 νεφοδιώκτας καὶ γητευτὰς καὶ φυλακτηρίους καὶ μάντεις. ἐπιμένοντας δὲ τούτοις καὶ μὴ μετατιθεμένους καὶ ἀποφεύγοντας τὰ ὀλέθρια ταῦτα καὶ ἑλληνικὰ ἐπιτη-
JoN 198/142 δεύματα παντάπασιν ἀπορρίπτεσθαι τῆς ἐκκλησίας, ὁρίζομεν, καθὰ καὶ οἱ ἱεροὶ κανόνες διαγορεύουσι· *τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος*, φησὶν ὁ ἀπόστολος, ἢ *τίς συγκατάθεσις ναῷ θεοῦ μετὰ εἰδώλων, ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου, τις δὲ συμφώνησις Χριστῷ πρὸς Βελίαρ*;

---

8 = 2 Cor 6, 17 **25–27** = 2 Cor 6, 14–16 (ord. inv.)

---

22 καὶ γητευτὰς – μάντεις cf. can. Bas. 65, 72 et 83, II p. 212,1–3; p. 213,1–5; p. 216,1–7 Courtonne; can. Greg. Nyss. 3 p. 5, 10 – p. 7, 15 Mühlenberg | καὶ φυλακτηρίους cf. CLaod., can. 36, Jo I,2 p. 145, 13–19

AAtBIJΠParPePtSuVVaVn *BenJoPitTi*

---

2 οἰκίας om. AmAsAtFe **4** ἁλῷ om. I **4–5** παραβαίνων – ὁρισθέντα] τὰ παρ᾽ ἡμῶν ὁρισθέντα μὴ φυλάττων IPt*PitTi* **5** εἴη] εἶ Π **9** αὐτὸν] αὐτὸ V **12** οἷς] οὗς Π **15** ἐκδιδόντες] ἐπιδιδόντες ΙΠPtV **18** καθυποβάλλεσθαι] ὑποβάλλεσθαι V **21** τε om. Π **22** γητευτὰς] γοητευτὰς *Pit* γυτευτὰς AAtIVa *Ben* γυτευκτὰς *Ti* | φυλακτηρίους] φυλακτηρίοις Π **25** φησὶν] ὥς φησιν ΙΠParPtVa*BenPitTi*

ϠΒ

RP 448

Τὰς οὕτω λεγομένας καλάνδας καὶ τὰ λεγόμενα βοτὰ καὶ τὰ καλούμενα βρουμάλια καὶ τὴν ἐν τῇ πρώτῃ τοῦ μαρτίου μηνὸς ἡμέρᾳ ἐπιτελουμένην πανήγυριν καθάπαξ ἐκ τῆς τῶν πιστῶν πολιτείας περιαιρεθῆναι βουλόμεθα. ἀλλὰ μὴν καὶ τὰς τῶν γυναίων δημοσίας ὀρχήσεις, πολλὴν λύμην καὶ βλάβην ἐμποιεῖν δυναμένας, ἔτι μὴν καὶ τὰς ὀνόματι τῶν παρ᾽ Ἕλλησι ψευδῶς ὀνομασθέντων θεῶν ἢ JoN 199/143 ἐξ ἀνδρῶν ἢ γυναικῶν γινομένας ὀρχήσεις καὶ τελετάς κατά τι ἔθος παλαιὸν καὶ ἀλλότριον τοῦ τῶν χριστιανῶν βίου ἀποπεμπόμεθα, ὁρίζοντες μηδένα ἄνδρα COGD 271 γυναικείαν στολὴν ἐνδιδύσκεσθαι ἢ γυναῖκα τὴν ἀνδράσιν ἁρμόδιον· ἀλλὰ μήτε προσωπεῖα κωμικὰ ἢ σατυρικὰ ἢ τραγικὰ ὑποδύεσθαι μήτε τοῦ βδελυκτοῦ Διονύσου ὄνομα τὴν σταφυλὴν ἐκθλίβοντας ἐν ταῖς ληνοῖς ἐπιβοᾷν· μηδὲ τὸν οἶνον ἐν τοῖς πίθοις ἐπιχέοντας γέλωτα ἐπικινεῖν ἀγνοίας τρόπῳ ἢ ματαιότητος τὰ τῆς δαιμονιώδους πλάνης ἐνεργοῦντας. τοὺς οὖν ἀπὸ τοῦ νῦν τι τῶν προειρημένων ἐπιτελεῖν ἐγχειροῦντας ἐν γνώσει τούτων καθισταμένους τούτους, JoN 200/144 εἰ μὲν κληρικοὶ εἶεν καθαιρεῖσθαι προστάσσομεν, εἰ δὲ λαϊκοὶ ἀφορίζεσθαι.

ϠΓ

RP 452

Τὰ ψευδῶς ὑπὸ τῶν τῆς ἀληθείας ἐχθρῶν συμπλασθέντα μαρτυρολόγια, ὡς ἂν τοὺς τοῦ Χριστοῦ μάρτυρας ἀτιμάζοιεν καὶ πρὸς ἀπιστίαν ἐνάγοιεν τοὺς ἀκούοντας, μὴ ἐπ᾽ ἐκκλησίαις δημοσιεύεσθαι προστάσσομεν, ἀλλὰ ταῦτα πυρὶ παραδίδοσθαι. τοὺς δὲ ταῦτα παραδεχομένους ἢ ὡς ἀληθέσι τούτοις προσανέχοντας ἀναθεματίζομεν.

ϠΔ

RP 453
JoN 201/145

Ὅτι οὐ χρὴ δημοσίᾳ λαϊκὸν δογματικὸν λόγον κινεῖν ἢ διδάσκειν, ἀξίωμα ἑαυτῷ διδασκαλικὸν ἐντεῦθεν περιποιούμενον, ἀλλ᾽ εἴκειν τῇ παραδοθείσῃ παρὰ τοῦ κυρίου τάξει καὶ τὸ οὗς τοῖς τὴν χάριν τοῦ διδασκαλικοῦ λαβοῦσι λόγου RP 454 διανοίγειν καὶ τὰ θεῖα παρ᾽ αὐτῶν ἐκδιδάσκεσθαι· ἐν γὰρ τῇ μιᾷ ἐκκλησίᾳ διάφορα μέλη πεποίηκεν ὁ θεὸς κατὰ τὴν τοῦ ἀποστόλου φωνήν, ἣν ὁ θεολόγος ἑρμηνεύων Γρηγόριος σαφῶς τὴν ἐν τούτοις τάξιν παρίστησι φάσκων· *ταύτην αἰδοίμεθα τὴν τάξιν, ἀδελφοί, ταύτην φυλάττομεν· ὃ μὲν ἔστω τις ἀκοή, ὃ δὲ γλῶσσα, ὃ δὲ χείρ, ὃ δὲ ἄλλο τι· ὃ μὲν διδασκέτω, ὃ δὲ μανθανέτω*, καὶ μετὰ βραχέα· JoN 202/146

6–7 τὰς ὀνόματι – τελετάς cf. CCarth., can. 60, Jo I,2 p. 297, 4 – p. 298, 7 **8–9** μηδένα ἄνδρα – ἁρμόδιον cf. Dt 22,5; CGangr., can. 13, Jo I,2 p. 94, 17 – p. 95, 2 **28–30** = Greg. Naz., Or. 32,12, SC 318 p. 110, 1–3

AAtBIJΠParPePtSuVVaVn *BenJoPitTi*

2–3 βρουμάλια] βρομαλίων AmAsFl **2** καλάνδας] βοτανῶν Am **3** ἡμέρᾳ] ἡμέραν AtΙΠPeVa*Ben* om. *Ti* **5** γυναίων] γυναικῶν Va*Ben* | πολλὴν λύμην] ὡς ἀσέμνους καὶ πολλὴν λύμην ΠVa*BenPit* τὰς πολλὴν λύμην AI καὶ πολλὴν λύμην Pt*Ti* | ἐμποιεῖν] ἐνποιεῖν Π **10** ἢ[1]] καὶ Π | ἢ σατυρικὰ om. Pt **11** ὄνομα] ὀνόματος Va*Ben* | ταῖς] τοῖς Va*Ben* **13** ἐνεργοῦντας] ἐνεργοῦντα ΙΠVa*BenTi* **17** ὑπὸ τῶν] ὑπό τινων ΠVVa*Ben* | ἀληθείας] ἐκκλησίας ΠPeVVa*Ben* **20** προσανέχοντας] προσέχοντας *PitTi* **23** δογματικὸν om. Pt **24–25** παραδοθείσῃ – κυρίου] παρὰ τοῦ κυρίου παραδοθείση Va*Ben* **24** εἴκειν] ἥκειν PtVa*Ti* **25** τάξει] διατάξει *Pit*

καὶ ὁ μανθάνων ἐν εὐπειθείᾳ καὶ ὁ χωρηγῶν ἐν ἱλαρότητι καὶ ὁ ὑπουργῶν ἐν προθυμίᾳ· μὴ πάντες ὦμεν γλῶσσα, τὸ ἑτοιμότατον· μὴ πάντες ἀπόστολοι, μὴ πάντες προφῆται, μὴ πάντες διερμηνεύωμεν· καὶ μετά τινα· *τί σεαυτὸν ποιεῖς ποιμένα, πρόβατον ὤν; τί γίνῃ κεφαλή, ποῦς τυγχάνων; τί στρατηγεῖν ἐπιχειρεῖς, τεταγμένος ἐν στρατιώταις;* καὶ ἑτέρωθι· ἡ *σοφία διακελεύεται· μὴ ἴσθι ταχὺς ἐν λόγοις, μὴ συμπαρεκτείνου πένης ὢν πλουσίῳ, μηδὲ ζήτει τῶν σοφῶν εἶναι σοφώτερος.* εἰ δέ τις ἁλῷ τὸν παρόντα παρασαλεύων κανόνα, ἐπὶ ἡμέρας τεσσαράκοντα ἀφοριζέσθω.

Mansi 973

ΞΕ

RP 456
JoN 203/147

Τὰς ἐν ταῖς νουμηνίαις ὑπό τινων πρὸ τῶν οἰκείων ἐργαστηρίων καὶ οἴκων ἀναπτομένας πυρκαϊάς, ἃς καὶ ὑπεράλλεσθαί τινες κατά τι ἔθος ἀρχαῖον ἐπιληροῦσιν, ἀπὸ τοῦ παρόντος καταργηθῆναι προστάσσομεν. ὅστις οὖν τοιοῦτόν τι πράξοι, εἰ μὲν κληρικὸς εἴη καθαιρείσθω, εἰ δὲ λαϊκὸς ἀφοριζέσθω· γέγραπται γὰρ ἐν τῇ τετάρτῃ τῶν Βασιλειῶν· *καὶ ᾠκοδόμησε Μανασσῆς θυσιαστήριον πάσῃ τῇ στρατιᾷ τοῦ οὐρανοῦ ἐν ταῖς δύο αὐλαῖς οἴκου κυρίου, καὶ διήγαγε τὰ τέκνα αὐτοῦ ἐν πυρὶ καὶ ἐκληδονίζετο καὶ οἰωνίζετο καὶ ἐποίησεν ἐγγαστριμύθους καὶ γνώστας ἐπλήθυνε, καὶ ἐπλήθυνε τοῦ ποιῆσαι τὸ πονηρὸν ἐνώπιον κυρίου τοῦ παροργίσαι αὐτόν.*

COGD 273
RP 457
JoN 204/148

ΞϚ

RP 460

Ἀπὸ τῆς ἁγίας ἀναστασίμου Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἡμέρας μέχρι τῆς καινῆς κυριακῆς τὴν ὅλην ἑβδομάδα ἐν ταῖς ἁγίαις ἐκκλησίαις σχολάζειν δεῖ ἀπαραλείπτως τοὺς πιστοὺς ἐν ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς εὐφραινομένους ἐν Χριστῷ καὶ ἑορτάζοντας καὶ τῇ τῶν θείων γραφῶν ἀναγνώσει προσέχοντας καὶ τῶν ἁγίων μυστηρίων κατατρυφῶντας· ἐσόμεθα γὰρ οὕτω Χριστῷ συνανιστάμενοί τε καὶ συνανυψούμενοι· μηδαμῶς οὖν ἐν ταῖς προκειμέναις ἡμέραις ἱπποδρόμια ἢ ἑτέρας δημώδεις θέας ἐπιτελεῖσθαι.

JoN 205/149

5–7 Ἡ σοφία – σοφώτερος cf. Prov 29, 20. 23, 4. 30, 24 **14–18** ~ 4 Reg 21, 5–6

1–3 = Greg. Naz., Or. 32,12, SC 318 p. 110, 9–13; cf. 1 Cor 12,29–30; Rom 12,8 **3–5** = Greg. Naz., Or. 32,13, SC 318 p. 112, 2–4 **5–7** = Greg. Naz., Or. 32,21, SC 318 p. 130, 21–23 **25–26** Μηδαμῶς οὖν – ἐπιτελεῖσθαι cf. CCarth., can. 61, Jo I,2 p. 298, 12 – p. 299, 4; Cod. Iust. III,12,6,3 et III,12,9,2 p. 127–128 Krüger

---

AAtBIJΠParPePtSuVVaVn *BenJoPitTi*

---

1 ἐν[1] om. ΠVa | χωρηγῶν] χωρηγεγῶν Pt **3–4** ποιεῖς ποιμένα] ποιμένα ποιῇ Π **6** μὴ] μηδὲ Va*Ben* | συμπαρεκτείνου] παρεκτείνου I l.l. Prov 23, 4 sic **6–7** μηδὲ – σοφώτερος om. AI **11–12** ἐπιληροῦσιν] ἐπιχειροῦσιν Va*BenPit* **12** τοιοῦτόν τι] τοιοῦτό ΠPeVa*Ben* **13** πράξοι] πράξει V **15** τῇ om. Pt | διήγαγε] ἤγαγε IPt **17** καὶ ἐπλήθυνε om. IPeVa*Ben* l.l. 4 Reg 21, 5–6 sic **25** συνανυψούμενοι] συνυψούμενοι ΠVa*BenTi* **26** ἱπποδρόμια] ἱπποδρομεῖα Π | ἑτέρας – ἐπιτελεῖσθαι] ἑτέρα δημώδης θέα ΙΠPe Va*BenPitTi*

ϛZ

RP 462
COGD 274

Θεία ἡμῖν γραφὴ ἐνετείλατο *ἀπέχεσθαι αἵματος καὶ πνικτοῦ καὶ πορνείας*. τοῖς οὖν διὰ τὴν λίχνον γαστέρα αἷμα οἱουδήποτε ζῴου τέχνῃ τινὶ κατασκευάζουσιν ἐδώδιμον καὶ οὕτω τοῦτο ἐσθίουσι προσφόρως ἐπιτιμῶμεν. εἴ τις οὖν ἀπὸ τοῦ νῦν αἷμα ζῴου ἐσθίειν ἐπιχειρήσοι οἱῳδήποτέ τινι τρόπῳ, εἰ μὲν κληρικὸς εἴη καθαιρείσθω, εἰ δὲ λαϊκὸς ἀφοριζέσθω.

ϛH

RP 463
JoN 206/150

Περὶ τοῦ μὴ ἐξεῖναί τινι τῶν πάντων βιβλίον τῆς παλαιᾶς καὶ καινῆς διαθήκης τῶν τε ἁγίων καὶ ἐγκρίτων ἡμῶν κηρύκων καὶ διδασκάλων διαφθείρειν ἢ κατατέμνειν ἢ τοῖς βιβλιοκαπήλοις ἢ τοῖς λεγομένοις μυρεψοῖς ἢ ἄλλῳ τινὶ τῶν πάντων πρὸς ἀφανισμὸν ἐκδιδόναι, εἰ μή τι ἄρα τέλεον εἴτε ὑπὸ σητῶν ἢ ὕδατος ἢ ἑτέρῳ τρόπῳ ἀχρειωθῇ. ὁ δέ τι τοιοῦτο ποιεῖν ἀπὸ τοῦ νῦν ἁλισκόμενος ἐπὶ ἐνιαυτὸν ἀφοριζέσθω. ὁμοίως καὶ ὁ τὰς τοιαύτας βίβλους ὠνούμενος, εἰ μήτε αὐτὸς ταύτας κατέχει πρὸς οἰκείαν ὠφέλειαν μήτε ἑτέρῳ πρὸς εὐεργεσίαν καὶ τὸ διαμεῖναι ἀπόδοται, ἀλλὰ ταῦτα διαφθείρειν ἐπιχειρήσοι, ἀφοριζέσθω.

RP 464

JoN 207/151

ϛΘ

RP 466
COGD 275

Μὴ ἐξέστω τινὶ τῶν ἁπάντων ἐν λαϊκοῖς τελοῦντι ἔνδον ἱεροῦ εἰσιέναι θυσιαστηρίου, μηδαμῶς ἐπὶ τούτῳ τῆς βασιλικῆς εἰργομένης ἐξουσίας καὶ αὐθεντίας, ἡνίκα δ᾽ ἂν βουληθείη προσάξαι δῶρα τῷ πλάσαντι κατά τινα ἀρχαιοτάτην παράδοσιν.

O

RP 467
JoN 208/152

Μὴ ἐξέστω ταῖς γυναιξὶ ἐν τῷ καιρῷ τῆς θείας λειτουργίας λαλεῖν, ἀλλὰ κατὰ τὴν φωνὴν Παύλου τοῦ ἀποστόλου *σιγάτωσαν· οὐ γὰρ ἐπιτέτραπται αὐταῖς λαλεῖν, ἀλλ᾽ ὑποτάττεσθαι, καθὼς καὶ ὁ νόμος λέγει. εἰ δέ τι μαθεῖν θέλουσιν, ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν*.

RP 468

---

2 ἀπέχεσθαι—πορνείας ~ Act 15, 20; 21, 25 **23–25** ~ 1 Cor 14, 34–35

4–6 Εἴ τις οὖν – ἀφοριζέσθω cf. can. Apost. 63, SC 336 p. 298, 293–295 **17–18** ἔνδον – θυσιαστηρίου cf. CLaod., can. 44, Jo I,2 p. 148, 16–17

AAtBIJΠParPePtSuVVaVn *BenJoPitTi* **8** Περὶ S iterum inc.

---

5 οἱῳδήποτέ τινι] οἱωδήτινι ΙΠVa*BenPitTi* **8** πάντων] ἁπάντων *Pit* | βιβλίον] βιβλίων IVVa*BenTi* βιβλία *Pit* **9** κηρύκων] πατερῶν Pt **10** ἢ[2] om. AtParPeVa*Ben* | μυρεψοῖς] μυρεψαῖς Π **10–11** πάντων] ἁπάντων *Pit* **11** τέλεον] τέλειον Va **12** ἀχρειωθῇ] ἀχρειωθείη ΙΠVa*Ben* **14** κατέχει] διακατέχοι AtΠVVa*Ben* κατέχοι S*Ti* κατέχειν I **15** ἀπόδοται] ἀπόδοιη *Pit* ἀποδῶ I | διαφθείρειν] διαφέρειν Π **18** τούτῳ] τούτο PeS **19** δ᾽ om. *Pit*

Mansi 976
RP 469

ΟΑ

Τοὺς διδασκομένους τοὺς πολιτικοὺς νόμους μὴ δεῖν τοῖς ἑλληνικοῖς ἔθεσι κεχρῆσθαι, μήτε μὴν ἐπὶ θεάτρων ἀνάγεσθαι ἢ τὰς λεγομένας κυλίστρας ἐπιτελεῖν
JoN 209/153 ἢ παρὰ τὴν κοινὴν χρῆσιν στολὰς ἑαυτοῖς περιτιθέναι, μήτε καθ᾽ ὃν καιρὸν τῶν μαθημάτων ἐνάρχονται ἢ πρὸς τὸ τέλος αὐτῶν καταντῶσιν ἢ καθόλου φάναι
RP 470 διὰ μέσου τῆς τοιαύτης παιδεύσεως. εἰ δέ τις ἀπὸ τοῦ νῦν τοῦτο πρᾶξαι τολμήσοι, ἀφοριζέσθω.

RP 471
COGD 276

ΟΒ

Μὴ ἐξέστω ὀρθόδοξον ἄνδρα αἱρετικῇ συνάπτεσθαι γυναικί μήτε μὴν αἱρετικῷ ἀνδρὶ γυναῖκα ὀρθόδοξον ζεύγνυσθαι· ἀλλ᾽ εἰ καὶ φανείη τι τοιοῦτον ὑπό τινος τῶν ἁπάντων γινόμενον, ἄκυρον τὸν γάμον ἡγεῖσθαι καὶ τὸ ἄθεσμον διαλύεσθαι
JoN 210/154 συνοικέσιον· οὐ γὰρ χρὴ τὰ ἄμικτα μιγνύναι οὐδὲ τῷ προβάτῳ λύκον συμπλέκεσθαι καὶ τῇ τοῦ Χριστοῦ μερίδι τὸν τῶν ἁμαρτωλῶν κλῆρον. εἰ δὲ παραβῇ τις τὰ παρ᾽ ἡμῶν ὁρισθέντα, ἀφοριζέσθω.

Εἰ δέ τινες ἔτι ἐν τῇ ἀπιστίᾳ τυγχάνοντες καὶ οὕπω τῇ τῶν ὀρθοδόξων ἐγκαταλεγέντες ποίμνῃ ἀλλήλοις γάμῳ νομίμῳ ἡρμόσθησαν, εἶτα ὁ μέν τὸ καλὸν ἐκλεξάμενος τῷ φωτὶ τῆς ἀληθείας προσέδραμεν, ὁ δὲ ὑπὸ τοῦ τῆς πλάνης κατ-
RP 472 εσχέθη δεσμοῦ μὴ πρὸς τὰς θείας ἀτενίσαι ἀκτῖνας ἑλόμενος, εὐδοκεῖ δὲ τῷ πιστῷ ἡ ἄπιστος συνοικεῖν ἢ τὸ ἔμπαλιν ὁ ἄπιστος τῇ πιστῇ, μὴ χωριζέσθωσαν κατὰ τὸν θεῖον ἀπόστολον· *ἡγίασται γὰρ ἀνὴρ ὁ ἄπιστος ἐν τῇ γυναικί, καὶ ἡγίασται γυνὴ ἡ ἄπιστος ἐν τῷ ἀνδρί*.

RP 474
JoN 211/155

ΟΓ

Τοῦ ζωοποιοῦ σταυροῦ δείξαντος ἡμῖν τὸ σωτήριον, πᾶσαν σπουδὴν ἡμᾶς τιθέναι χρὴ τοῦ τιμὴν τὴν ἀξίαν ἀποδιδόναι τῷ δι᾽ οὗ σεσῴσμεθα τοῦ παλαιοῦ
COGD 277 παραπτώματος. ὅθεν καὶ νῷ καὶ λόγῳ καὶ αἰσθήσει τὴν προσκύνησιν αὐτῷ ἀπονέμοντες τοὺς ἐν τῷ ἐδάφει τοῦ σταυροῦ τύπους ὑπό τινων κατασκευαζομένους ἐξαφανίζεσθαι παντοίως προστάσσομεν, ὡς ἂν μὴ τῇ τῶν βαδιζόντων

20–21 ~ 1 Cor 7, 14

9–10 Μὴ ἐξέστω – ζεύγνυσθαι cf. CLaod., can. 10 et 31, Jo I,2 p. 134, 19 – p. 135, 2; p. 143, 13–16; CCarth., can. 21, Jo I,2 p. 237, 14–16; CChalc., can. 14, ACO 2,1,2 p. 161, 1–8 **26–27** τοὺς ἐν τῷ ἐδάφει – προστάσσομεν cf. Cod. Iust,. I,8,1 p. 61 Krüger

AAtBIJΠParPePtSSuVVaVn *BenJoPitTi*

2–3 κεχρῆσθαι] κεχρεῖσθαι Π **3** ἀνάγεσθαι] ἐνάγεσθαι *Pit* **5** ἐνάρχονται] ἐνάρχεσθαι I ἀπάρχωνται *Ti* **6–7** τολμήσοι] θελήσοι PeS **10** ζεύγνυσθαι] συνζεύγνυσθαι *Pit* | φανείη] φανῇ ΙΠParSVa*Ben* φανεῖ Pt*Ti* **12** μιγνύναι] μίγνυσθαι V **13** ἁμαρτωλῶν] ἁμαρτωλὸν *Jo* **15** οὕπω] οὔτω AtVa*BenTi* | ὀρθοδόξων] ὀρθοδόξαν PeS **16** γάμῳ νομίμῳ] γάμου νόμω ΠVa*Ben* | γάμῳ – ἡρμόσθησαν] γάμου νόμω εἱρμόσθσαν V | ἡρμόσθησαν] συνηρμόσθησαν Va*Ben* **18** ἀτενίσαι] ἀτενίαι V | εὐδοκεῖ] εὐδοκῆ Va **20** ἀνὴρ – ἄπιστος ΠVa*Ben* l.l. 1 Cor 7, 14 sic: ὁ ἄπιστος ἀνὴρ cet. **21** γυνὴ – ἄπιστος ΠVa*Ben* l.l. 1 Cor 7, 14 sic: ἡ ἄπιστος γυνὴ cet. **24** τὴν om. Va*Ben* **25** παραπτώματος] πτώματος *Pit*

καταπατήσει τὸ τῆς νίκης ἡμῖν τρόπαιον ἐφυβρίζοιτο. τοὺς οὖν ἀπὸ τοῦ νῦν τοῦ σταυροῦ τύπον ἐπὶ ἐδάφους κατασκευάζοντας ὁρίζομεν ἀφορίζεσθαι.

ΟΔ

RP 476
JoN 212/156

Ὅτι οὐ δεῖ ἐν τοῖς κυριακοῖς ἢ ἐν ταῖς ἐκκλησίαις τὰς λεγομένας ἀγάπας ποιεῖν καὶ ἔνδον ἐν τῷ οἴκῳ ἐσθίειν καὶ ἀκκούβιτα στρωννύειν· οἱ δὲ τοῦτο ποιεῖν τολμῶντες, ἢ παυσάσθωσαν ἢ ἀφοριζέσθωσαν.

ΟΕ

RP 478

Τοὺς ἐπὶ τὸ ψάλλειν ἐν ταῖς ἐκκλησίαις παραγινομένους βουλόμεθα μήτε βοαῖς ἀτάκτοις κεχρῆσθαι καὶ τὴν φύσιν πρὸς κραυγὴν ἐκβιάζεσθαι μήτε τι ἐπιλέγειν τῶν μὴ τῇ ἐκκλησίᾳ ἁρμοδίων τε καὶ οἰκείων, ἀλλὰ μετὰ πολλῆς προσοχῆς τε καὶ κατανύξεως τὰς τοιαύτας ψαλμῳδίας προσάγειν τῷ τῶν κρυπτῶν ἐφόρῳ θεῷ· *εὐλαβεῖς γὰρ ἔσεσθαι τοὺς υἱοὺς Ἰσραήλ*, τὸ ἱερὸν ἐδίδαξε λόγιον.

JoN 213/157

ΟϚ

RP 480
COGD 278

Ὅτι οὐ χρὴ ἔνδον τῶν ἱερῶν περιβόλων καπηλεῖον ἢ τὰ διὰ βρωμάτων εἴδη προτιθέναι ἢ ἑτέρας πράσεις ποιεῖσθαι, τὸ σεβάσμιον ταῖς ἐκκλησίαις φυλάσσοντας· ὁ γὰρ σωτὴρ ἡμῶν καὶ θεὸς διὰ τῆς ἐν σαρκὶ πολιτείας παιδαγωγῶν ἡμᾶς *μὴ ποιεῖν τὸν οἶκον τοῦ πατρὸς αὐτοῦ ἐμπορίου οἶκον* παρεκελεύσατο· ὃς καὶ *τῶν κολλυβιστῶν τὸ κέρμα ἐξέχεε* καὶ τοὺς τὸ ἱερὸν κοινοποιοῦντας ἀπήλασεν. εἴ τις οὖν ἐπὶ τῷ προκειμένῳ ἁλῷ πλημμελήματι, ἀφοριζέσθω.

RP 481
Mansi 977
JoN 214/158

ΟΖ

RP 483

Ὅτι οὐ δεῖ ἱερατικοὺς ἢ κληρικοὺς ἢ ἀσκητὰς ἐν βαλανείῳ μετὰ γυναικῶν ἀπολούεσθαι, μηδὲ πάντα χριστιανόν· αὕτη γὰρ πρώτη κατάγνωσις παρὰ τοῖς ἔθνεσιν. εἰ δέ τις ἐπὶ τούτῳ φωραθείη, εἰ μὲν κληρικὸς εἴη καθαιρείσθω, εἰ δὲ λαϊκὸς ἀφοριζέσθω.

RP 484

ΟΗ

RP 485
JoN 215/159
COGD 279

Ὅτι δεῖ τοὺς φωτιζομένους τὴν πίστιν ἐκμανθάνειν καὶ τῇ πέμπτῃ τῆς ἑβδομάδος ἀπαγγέλλειν τῷ ἐπισκόπῳ ἢ τοῖς πρεσβυτέροις.

---

12 ~ Lev 17, 31 **17–18** = Io 2, 15 **17** ~ Io 2, 16

4–5 = CLaod., can. 28, Jo I,2 p. 142, 4–7 **21–22** = CLaod., can. 30, Jo I,2 p. 143, 4–8

AAtBIJΠParPePtSSuVVaVn *BenJoPitTi* **23–24** ἀφοριζέσθω Pt des.

2 ἐδάφους] τοῦ ἐδάφους I **8** τὸ] τῶ Π*Pit* | παραγινομένους] παραγενομένους ΠVa*Ben* **14** καπηλεῖον] καπηλείων Π **15–16** φυλάσσοντας] φυλάσσοντες ΠV **15** ποιεῖσθαι] ποιοῦντες V | ταῖς ἐκκλησίαις] τῇ ἐκκλησία Va*Ben* **17** παρεκελεύσατο] παρεκελεύετο PePtS **19** πλημμελήματι] πλημμέλημα Π ἐγκλήματι Va*Ben* **22** χριστιανόν + ἢ λαϊκῶν PtSV

RP 486

ΟΘ

RP 487 Ἀλόχευτον τὸν ἐκ τῆς παρθένου θεῖον τόκον ὁμολογοῦντες, ὡς καὶ ἀσπόρως συστάντα, καὶ παντὶ τῷ ποιμνίῳ κηρύσσοντες, τοὺς ἐξ ἀγνοίας πράττοντάς τι τῶν οὐ δεόντων διορθώσει καθυποβάλλομεν. ὅθεν ἐπειδή τινες μετὰ τὴν ἡμέραν τῆς ἁγίας Χριστοῦ τοῦ θεοῦ ἡμῶν γεννήσεως δείκνυνται σεμίδαλιν ἕψοντες καὶ
JoN 216/160 ταύτης ἀλλήλοις μεταδιδόντες, προφάσει τιμῆς δῆθεν λοχείων τῆς ἀχράντου παρθενομήτορος, ὁρίζομεν μηδὲν τοιοῦτον ὑπὸ τῶν πιστῶν τελεῖσθαι· οὐ γὰρ τιμή γε τοῦτο τῇ παρθένῳ, τῇ ὑπὲρ νοῦν καὶ λόγον τὸν ἀχώρητον τεκούσῃ λόγον σαρκί, ἐκ τῶν κοινῶν τε καὶ καθ᾽ ἡμᾶς τὰ κατὰ τὸν ἄφραστον αὐτῆς τόκον ὁρίζειν καὶ ὑπογράφειν. εἴ τις οὖν ἀπὸ τοῦ νῦν πράττων τοιοῦτόν τι φωραθείη, εἰ μὲν κληρικὸς εἴη καθαιρείσθω, εἰ δὲ λαϊκὸς ἀφοριζέσθω.

RP 489
COGD 280

Π

JoN 217/161 Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος ἢ τῶν ἐν κλήρῳ καταλεγομένων ἢ λαϊκός, *εἰ μηδεμίαν ἀνάγκην βαρυτέραν ἔχοι ἢ πρᾶγμα δυσχερὲς ἐπὶ πλεῖστον ἀπολείπεσθαι τῆς αὐτοῦ ἐκκλησίας, ἀλλ᾽ ἐν πόλει διάγων τρεῖς κυριακὰς ἡμέρας ἐν τρισὶν ἑβδομάσι μὴ συνέρχοιτο*, εἰ μὲν κληρικὸς εἴη καθαιρείσθω, εἰ δὲ λαϊκὸς *ἀποκινείσθω τῆς κοινωνίας*.

RP 490

ΠΑ

Ἐπειδήπερ ἔν τισι χώραις μεμαθήκαμεν ἐν τῷ τρισαγίῳ ὕμνῳ ἐν προσθήκης μέρει ἐκφωνεῖσθαι μετὰ τὸ *Ἅγιος ἀθάνατος* τὸ *Ὁ σταυρωθεὶς δι᾽ ἡμᾶς, ἐλέησον ἡμᾶς*, τοῦτό τε ὑπὸ τῶν πάλαι ἁγίων πατέρων ὡς τῆς εὐσεβείας ἀλλότριον ἐκ
JoN 218/162 τοῦ τοιούτου ἀπηλάθη ὕμνου σὺν τῷ τὴν τοιαύτην φωνὴν καινουργήσαντι παρανόμῳ αἱρετικῷ, καὶ ἡμεῖς κυροῦντες τὰ παρὰ τῶν ἁγίων πατέρων ἡμῶν πρὶν εὐσεβῶς θεσμοθετηθέντα ἀναθεματίζομεν τοὺς ἔτι μετὰ τὸν παρόντα ὅρον παραδεχομένους τὴν τοιαύτην οὕτω φωνὴν ἐπ᾽ ἐκκλησίαις ἢ ἄλλως πως τῷ τρισαγίῳ ὕμνῳ συνάπτοντας. καὶ εἰ μὲν ἱερατικός ἐστιν ὁ παραβάτης τῶν ὁρισθέντων, ἀπογυμνοῦσθαι τοῦτον τῆς ἱερατικῆς ἀξίας προστάσσομεν, εἰ δὲ λαϊκὸς ἢ μοναχός ἀφοριζέσθω.

2–3 Ἀλόχευτον – συστάντα cf. Procl. Const., Hom. de dogm. inc. 20 p. 48, 1 Martin **7** παρθενομήτορος cf. Ephr. Syr., Prec. ad dei matrem 5 et 9, VI p. 374, 7. p. 401, 6 p. 402, 3 Phrantzolas; Cyr. Alex., Enc. in S.Mariam deip., PG 77 col. 1032C **14–15** = CSerd., can. 11, Jo I,2 p. 176, 14–17 **15–16** = CSerd., can. 11, Jo I,2 p. 176, 8–10 **16–17** ἀποκινείσθω τῆς κοινωνίας = CSerd., can. 11, Jo I,2 p. 176, 10–11 **19–21** ἐν τῷ τρισαγίῳ ὕμνῳ – ἡμᾶς cf. Sev. Antioch., Hom.125, PO 29 p. 232–252; Chron. pasc. p. 629, 10–20 Dindorf; Sahak III., Ep. dogm. 67–70 p. 466– p. 469 Izmireantz

---

AAtBIJΠParPeSSuVVaVn *BenJoPitTi*

---

5 Χριστοῦ] τοῦ Χριστοῦ *Pit* **6** λοχείων] λοχίων IS*Ti* λοχείας Va*Ben* **8** γε τοῦτο ord. inv. ΠParVVa *Ben* **10** τοιοῦτόν] τοιοῦτό ΠVa*BenTi* | τι om. IS*Ti* **14** ἀνάγκην βαρυτέραν ord. inv. ΠVVa*Ben* **15** ἀλλ᾽ om. V **16–17** ἀποκινείσθω] ἀποκινοῖτο AtΠVa*Ben* l.l. CSerd., can. 11 sic **16–17** ἀποκινείσθω – κοινωνίας] ἀποκινοῖτο τῆ κοινωνιᾶ S ἀφορίζεσθω V **20** τὸ[2] om. ΠVa*Ti* <τὸ> *Ben* **22** ἀπηλάθη] ἀπηλάσαν PeS **25** οὕτω om. *PitTi* | ἐπ᾽] ἤ V | ἐπ᾽ ἐκκλησίαις] ἢ ἐπ᾽ ἐκκλησίαις ΠΠ **27–28** λαϊκὸς ἢ μοναχός ord. inv. Va*Ben* | ἢ μοναχός om. *Ti* **28** ἀφοριζέσθω] ἀφορίζεσθαι *PitTi*

ΠΒ

RP 492
COGD 281

Ἔν τισι τῶν σεπτῶν εἰκόνων γραφαῖς ἀμνὸς δακτύλῳ τοῦ Προδρόμου δεικνύμενος ἐγχαράττεται, ὃς εἰς τύπον παρελήφθη τῆς χάριτος τὸν ἀληθινὸν ἡμῖν διὰ νόμου προϋποφαίνων ἀμνόν, Χριστὸν τὸν θεὸν ἡμῶν. τοὺς οὖν παλαιοὺς τύπους καὶ τὰς σκιὰς ὡς τῆς ἀληθείας σύμβολά τε καὶ προχαράγματα τῇ ἐκκλησίᾳ παραδεδομένους κατασπαζόμενοι, τὴν χάριν προτιμῶμεν καὶ τὴν ἀλήθειαν, ὡς πλήρωμα νόμου ταύτην ὑποδεξάμενοι. ὡς ἂν οὖν τὸ τέλειον κἀν ταῖς χρωματουργίαις ἐν ταῖς ἁπάντων ὄψεσιν ὑπογράφηται, *τὸν τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου ἀμνοῦ*, Χριστοῦ τοῦ θεοῦ ἡμῶν, κατὰ τὸ ἀνθρώπινον χαρακτῆρα καὶ ἐν ταῖς εἰκόσιν ἀπὸ τοῦ νῦν ἀντὶ τοῦ παλαιοῦ ἀμνοῦ ἀναστηλοῦσθαι ὁρίζομεν, δι᾽ αὐτοῦ τὸ τῆς ταπεινώσεως ὕψος τοῦ θεοῦ λόγου κατανοοῦντες καὶ πρὸς μνήμην τῆς ἐν σαρκὶ πολιτείας τοῦ τε πάθους αὐτοῦ καὶ τοῦ σωτηρίου θανάτου χειραγωγούμενοι καὶ τῆς ἐντεῦθεν γενομένης τῷ κόσμῳ ἀπολυτρώσεως.

JoN 219/163
Mansi 980
RP 493
JoN 220/164

ΠΓ

RP 495

Μηδεὶς *τοῖς σώμασι τῶν τελευτώντων τῆς εὐχαριστίας μεταδιδότω· γέγραπται γάρ· Λάβετε, φάγετε· τὰ δὲ τῶν νεκρῶν σώματα οὐδὲ λαβεῖν δύναται οὐδὲ φαγεῖν.*

COGD 282

ΠΔ

RP 496

Τοῖς κανονικοῖς τῶν πατέρων θεσμοῖς κατακολουθοῦντες ὁρίζομεν καὶ περὶ τῶν νηπίων· *ὁσάκις μὴ εὑρίσκωνται βέβαιοι μάρτυρες, οἱ ταῦτα ἀναμφιβόλως βαπτισθέντα εἶναι λέγοντες, καὶ οὐδὲ ταῦτα διὰ τὴν κεῖραν περὶ τῆς παραδοθείσης αὐτοῖς μυσταγωγίας ἀποκρίνασθαι ἐπιτηδείως ἔχωσι, χωρίς τινος προσκόμματος ὀφείλειν ταῦτα βαπτίζεσθαι, μήποτε ὁ τοιοῦτος δισταγμὸς ἀποστερήσῃ αὐτὰ τῆς τοιαύτης τοῦ ἁγιασμοῦ καθάρσεως.*

JoN 221/165

2–3 ἀμνὸς δακτύλῳ – δεικνύμενος cf. Io 1, 29. 36 **5** σκιὰς cf. Heb 10, 1 **6–7** τὴν χάριν – ὑποδεξάμενοι cf. Io 1, 16–17 **8–9** = Io 1, 29 **16** = Mt 26, 26

2–13 = CNic (787), actio II. III, ACO ser. II 3,1 p. 176, 10 – p. 178, 4; p. 240, 15–26; actio IV, ACO ser. II 3,2 p. 344, 6 – 346, 2 **15–16** = CCarth., can. 18, Jo I,2 p. 232, 18 – p. 233, 3 **19–23** = CCarth., can. 72, Jo I,2 p. 314, 1–10

AAtBIJΠParPeSSuVVaVn *BenJoPitTi* **7–10** ὡς – ὁρίζομεν mss.$^{omn.}$

---

4 προϋποφαίνων] ὑποφαίνων V*Ben* προϋφαίνων Π προφαῖνων I **7–8** χρωματουργίαις] χρματουργίαις Vts(sic) **7** ἂν om. ArBin | τὸ om. AmAmbAsFeMosVenVtu | κἀν] καὶ Va*Ben* **8–9** τὴν ἁμαρτίαν τοῦ κόσμου] τὴν τοῦ κόσμου ἁμαρτίαν TVat **8** ἐν om. Ven | ὑπογράφηται] ὑπὸ γράφηται Ar **9** τοῦ[1] om. Vtu | ἀμνοῦ] ἀμνὸν ABar om. BiBinFeSn | τὸ AtBBaLMMoPaSuVatVen, cf. CNic. (787), actio IV, ACO ser. II 3,2 p. 344, 14: τὸν AAmAmbAngArAsBarBiBinBinCCoCsDFΦFeIJMlMosMvΠPiPs ΠςPsuRwSSeSiTVVaValVcVlVnVtaVtsVtuVuWWhWiA[1]J[1]Vig[2]*BenJoMansiPitTi*, cf. adn. ad CNic. (787), actio II, ACO ser. II 3, 1 p. 176, 17; actio IV, ACO ser. II 3,2 p. 344, 9 **10** τοῦ[2] om. Vtc | ὁρίζομεν] προστάττομεν BinVat ὁρίζωμεν MlMvParSu **11** ὕψος om. PeS **16** δύναται] δύνανται ΙΠV l.l. CCarth., can.18 sic **19** μὴ] μὲν Π | εὑρίσκωνται] εὑρίσκονται ΙΠVVa*Ben* **20** ταῦτα] αὐτὰ *Pit* l.l. CCarth., can. 72 sic | κεῖραν] κύραν I κήραν SV **21** ἀποκρίνασθαι] ἀποκρίνεσθαι ΠVa*Ben* l.l. CCarth., can. 72 sic | ἔχωσι] ἔχουσι AIΠSVVa*BenTi* | ὀφείλειν] φιλεῖν sed s.l. add. ὀ- Π **22** ἀποστερήσῃ] ἀποστερήσει V

RP 498

ΠΕ

RP 499 Ἐπὶ δύο καὶ τριῶν μαρτύρων βεβαιοῦσθαι πᾶν ῥῆμα γραφικῶς παρελάβομεν· τοὺς οὖν ὑπὸ τῶν οἰκείων δεσποτῶν ἐλευθερουμένους δούλους ἐπὶ τρισὶ μάρτυ-
JoN 222/166 σι τῆς τοιαύτης τιμῆς ἀπολαύειν διοριζόμεθα, οἳ τὸ κῦρος παρόντες τῇ ἐλευθερίᾳ προσοίσουσι καὶ τὸ πιστὸν ἐξ ἑαυτῶν τοῖς γενομένοις παρέξουσιν.

RP 503
COGD 283

ΠϚ

Τοὺς ἐπὶ τῶν ψυχῶν ὀλίσθῳ πόρνας ἐπισυνάγοντας καὶ ἐκτρέφοντας, εἰ μὲν κληρικοὶ εἶεν καθαιρεῖσθαι ὁρίζομεν, εἰ δὲ λαϊκοὶ ἀφορίζεσθαι.

RP 505

ΠΖ

Ἡ τὸν ἄνδρα καταλιποῦσα μοιχαλίς ἐστιν, εἰ ἐπ᾽ ἄλλον ἦλθε, κατὰ τὸν ἱερὸν καὶ
JoN 223/167 θεῖον Βασίλειον ἐκ τῆς Ἱερεμίου προφητείας ἄριστα τοῦτο ἀναλεξάμενον ὅτι· *ἐὰν γένηται γυνὴ ἀνδρὶ ἑτέρῳ, οὐκ ἐπιστρέψει πρὸς τὸν ἄνδρα αὐτῆς, ἀλλὰ μιαινομένη μιανθήσεται*· καὶ πάλιν· *ὁ ἔχων μοιχαλίδα ἄφρων καὶ ἀσεβής*. εἰ οὖν *φανῇ τοῦ ἀνδρὸς ἀλόγως ἀναχωρήσασα, ὁ μὲν συγγνώμης ἐστὶν ἄξιος, ἡ δὲ ἐπιτιμίων· ἡ δὲ συγγνώμη τούτῳ πρὸς τὸ κοινωνεῖν τῇ ἐκκλησίᾳ δοθήσεται. ὁ μέντοι καταλιμπάνων τὴν νομίμως συναφθεῖσαν αὐτῷ γυναῖκα καὶ ἑτέραν ἀγόμενος, κατὰ τὴν τοῦ κυρίου*
RP 506
Mansi 981
COGD 284 *ἀπόφασιν τῷ τῆς μοιχείας ὑπόκειται κρίματι. κεκανόνισται δὲ παρὰ τῶν πατέρων ἡμῶν τοὺς τοιούτους ἐνιαυτὸν προσκλαίειν, διετίαν ἐπακροᾶσθαι, τριετίαν ὑποπί-*
JoN 224/168 *πτειν καὶ τῷ ἑβδόμῳ συνίστασθαι τοῖς πιστοῖς καὶ οὕτω τῆς προσφορᾶς καταξι-οῦσθαι, ἐὰν μετὰ δακρύων μετανοήσωσιν.*

RP 510

ΠΗ

Μηδεὶς ἔνδον ἱεροῦ ναοῦ κτῆνος τὸ οἰονοῦν εἰσαγέτω, ἐκτὸς εἰ μή τις ὁδοιπο-
ρῶν, μεγίστης καταλαβούσης ἀνάγκης, οἰκίσκου καὶ καταγωγῆς ἀπορῶν ἐν τῷ
RP 511 τοιούτῳ καταλύσει ναῷ· διὰ γὰρ τοῦ μὴ τὸ κτῆνος ἔνδον εἰσενεχθῆναι, αὐτὸ μὲν ἔστιν ὅτε διαφθαρήσεται, ὁ δὲ τῇ τοῦ ὑποζυγίου ἀποβολῇ καὶ τῷ ἐντεῦθεν ἀπόρῳ τῆς ἐπὶ τὴν ὁδοιπορίαν ὁρμῆς θανάτου κινδύνῳ παραδοθήσεται· *τὸ γὰρ*

---

2 Ἐπὶ δύο – πᾶν ῥῆμα cf. Dt 19, 15; Mt 18, 16; 2 Cor 13, 1; 1 Tim 5, 19 **11–13** cf. Ier 3,1; Prov 18,22a; Mt 5,32; 19,9 **26–56,1** = Mc 2, 27

3–4 τοὺς οὖν – διοριζόμεθα cf. Cod. Iust. VII,6,2 p. 296 Krüger, ubi pro manumissione numerus testium quinque constitutus est **10** = can. Bas. 9, II p. 129, 23–24 Courtonne **11–13** = can. Bas. 9, II p. 128, 7–10 Courtonne ubi citatur Ier 3,1 et Prov 18,22a cf. Mt 5,32; 19,9 **13–15** = can. Bas. 35, II p. 161, 2–4 Courtonne **15–20** = can. Bas. 77, II p. 214, 1–8 Courtonne **17–18** Κεκανόνισται – πατέρων ἡμῶν cf. CAnc., can. 20, Jo I,2 p. 70, 12–15

A At B I J Π Par Pe S Su V Va Vn *Ben Jo Pit Ti*

5 γενομένοις] γινομένοις ΙΠ V Va *Ben Pit Ti* **7** τῶν om. ΙΠ Va *Ben Pit Ti* | ὀλίσθῳ] ὀλίσθο Π **8** καθαιρεῖσθαι] ἀφορίζεσθαι καὶ καθαιρεῖσθαι *Pit* **11** ἀναλεξάμενον] ἀναλεξάμενου Va **14** ἐπιτιμίων] ἐπιτιμίοις Π Va *Ben* **19–20** καταξιοῦσθαι] ἀξιοῦσθαι ΠVa **19** καὶ[1] om. ΠVa **24** τοῦ om. PeS **25** τῷ] τῶν IS *Ti* **25–26** τῷ ἐντεῦθεν ἀπόρῳ] τὸ ἐντεῦθεν ἀπορῶν AAtJ **26** ἀπόρῳ] ἀπόρως AI *Ti* ἀπόρως ἔχειν *Pit*

σάββατον διὰ τὸν ἄνθρωπον γενέσθαι ἐκδιδασκόμεθα, ὥστε διὰ πάντων προτιμητέαν ἡγεῖσθαι τὴν τοῦ ἀνθρώπου σωτηρίαν τε καὶ ἀπάθειαν. εἰ δέ τις φωραθείη χωρὶς ἀνάγκης, ὡς εἴρηται, κτῆνος εἰσάγων ἐν ἱερῷ, εἰ μὲν κληρικὸς εἴη καθαιρείσθω, εἰ δὲ λαϊκὸς ἀφοριζέσθω. JoN 225/169

ΠΘ RP 512

Τὰς τοῦ σωτηρίου πάθους ἡμέρας ἐν νηστείᾳ καὶ προσευχῇ καὶ κατανύξει καρδίας ἐπιτελοῦντας χρὴ τοὺς πιστοὺς περὶ μέσας τῆς περὶ τὸ σάββατον νυκτὸς ὥρας ἀπονηστίζεσθαι, τῶν θείων εὐαγγελιστῶν Ματθαίου καὶ Λουκᾶ, τοῦ μὲν διὰ τοῦ *Ὀψὲ σαββάτων* προσρήματος, τοῦ δὲ διὰ τοῦ *Ὄρθρου βαθέως,* τὴν βραδυτῆτα τῆς νυκτὸς ὑπογραφόντων. RP 513 COGD 285

Ϙ RP 516 JoN 226/170

Ταῖς κυριακαῖς μὴ γόνυ κλίνειν ἐκ τῶν θεοφόρων ἡμῶν πατέρων κανονικῶς παρελάβομεν, τὴν τοῦ Χριστοῦ τιμῶντες ἀνάστασιν. ὡς ἂν οὖν μὴ ἀγνοῶμεν τὸ σαφὲς τῆς ἐπὶ τοῦτο παρατηρήσεως, δῆλον τοῖς πιστοῖς καθιστῶμεν, ὥστε μετὰ τὴν ἐν τῷ σαββάτῳ ἑσπερινὴν τῶν ἱερωμένων πρὸς τὸ θυσιαστήριον εἴσοδον κατὰ τὸ κρατοῦν ἔθος μηδένα γόνυ κλίνειν μέχρι τῆς ἐφεξῆς κατὰ τὴν κυριακὴν ἑσπέρας· καθ᾽ ἣν μετὰ τὴν ἐν τῷ λυχνικῷ εἴσοδον αὖθις τὰ γόνατα κάμπτοντες, οὕτω τὰς εὐχὰς κυρίῳ προσάγομεν· τῆς γὰρ τοῦ σωτῆρος ἡμῶν ἐγέρσεως πρόδρομον τὴν μετὰ τὸ σάββατον νύκτα παραλαμβάνοντες τῶν ὕμνων ἐντεῦθεν πνευματικῶς ἀπαρχόμεθα, εἰς φῶς ἐκ σκότους τὴν ἑορτὴν καταλήγοντες ὡς ἐν ὁλοκλήρῳ ἐντεῦθεν νυκτὶ καὶ ἡμέρᾳ πανηγυρίζειν ἡμᾶς τὴν ἀνάστασιν. JoN 227/171

ϘΑ RP 518 COGD 286

Τὰς τὰ ἀμβλωθρίδια διδούσας φάρμακα καὶ τὰς δεχομένας τὰ ἐμβρυοκτόνα δηλητήρια τῷ τοῦ φονέως ἐπιτιμίῳ καθυποβάλλομεν. RP 519

8–10 = Mt 28, 1; Lc 24, 1

8–10 τῶν θείων εὐαγγελιστῶν – ὑπογραφόντων cf. can. Dion., prol., Jo II p. 4, 15 – p. 9, 20 **12–13** Ταῖς κυριακαῖς – παρελάβομεν cf. can. Petr. 15, Jo II p. 58, 3–6; CNic. (325), can. 20, Jo I,1 p. 41, 11–15 **23–24** = can. Bas. 8, II p. 128, 46–48 Courtonne

---

A At B I J Π Par Pe S Su V Va Vn *Ben Jo Pit Ti*

1–2 προτιμητέαν] προτιμηταίαν Π **7** περὶ τὸ + μέγα I*Pit Ti* μετὰ τὸ μέγα ΠVVa*Ben* **9** προσρήματος] ῥήματος *Pit* | τοῦ[3]] τὸ *Ben* | βαθέως ΙΠVVa l.l. Lc 24, 1 sic: βαθέος cet. **10** νυκτὸς + ἡμῖν V ἡμῖν S | ὑπογραφόντων] ὑπογράφοντος ΙΠPeSVa*Ben Ti* **12** ἡμῶν πατέρων ord. inv. V **13** τιμῶντες] τιμώντων ΠVa*Ben* **14** τοῦτο] τούτω ΠVa*Ben* **17** εἴσοδον] εἰσόδου Π **19** ὕμνων] ὕμνον S **20** ἀπαρχόμεθα] ἀπαρχώμεθα Π **23–24** δηλητήρια] δειλητήρια ΠVa

RP 521

ϛΒ

Τοὺς ἁρπάζοντας γυναῖκας ἐπ᾽ ὀνόματι συνοικεσίου ἢ συμπράττοντας ἢ συναιρου-
JoN 228/172 *μένους τοῖς ἁρπάζουσιν ὥρισεν ἡ ἁγία σύνοδος, εἰ μὲν κληρικοὶ εἶεν, ἐκπίπτειν τοῦ οἰκείου βαθμοῦ, εἰ δὲ λαϊκοὶ ἀναθεματίζεσθαι.*

RP 522

ϛΓ

Ἡ ἀναχωρήσαντος τοῦ ἀνδρὸς καὶ ἀφανοῦς ὄντος πρὸ τοῦ πεισθῆναι περὶ τοῦ θανάτου αὐτοῦ ἑτέρῳ συνοικοῦσα μοιχᾶται. ὡσαύτως καὶ *στρατιώτιδες αἱ τῶν ἀνδρῶν ἀφανῶν ὄντων γαμηθεῖσαι τῷ αὐτῷ ὑπόκεινται λόγῳ ὥσπερ καὶ αἱ διὰ τὴν*
Mansi 984 *ἀποδημίαν τοῦ ἀνδρὸς μὴ ἀναμείνασαι τὴν ἐπάνοδον· πλὴν ἔχει τινὰ συγγνώμην τὸ*
COGD 287 *πρᾶγμα ἐνταῦθα, διὰ τὸ μᾶλλον πρὸς θάνατον εἶναι τὴν ὑπόνοιαν. ἡ δὲ τῷ κατα-*
JN 229/173 *λειφθέντι πρὸς καιρὸν παρὰ τῆς γυναικὸς κατ᾽ ἄγνοιαν γημαμένη, εἶτα ἀφεθεῖσα διὰ τὸ ἐπανελθεῖν πρὸς αὐτὸν τὴν προτέραν, ἐπόρνευσε μέν, ἐν ἀγνοίᾳ δέ· γάμου οὖν οὐκ εἰρχθήσεται, κάλλιον δέ, ἐὰν μείνῃ οὕτως.* εἰ δέ γε ὁ στρατιώτης ἐπανέλθοι χρόνῳ ποτέ, οὗ ἡ γυνὴ διὰ τὴν ἐπὶ πολὺ ἐκείνου ἀπόλειψιν ἑτέρῳ συνήφθη
RP 523 ἀνδρί, οὗτος, εἰ προαιρεῖται, τὴν οἰκείαν αὖθις ἀπολαμβανέτω γυναῖκα, συγγνώ-
μης αὐτῇ ἐπὶ τῇ ἀγνοίᾳ δεδομένης καὶ τῷ ταύτην εἰσοικισαμένῳ κατὰ δεύτερον γάμον ἀνδρί.

RP 528

ϛΔ

JoN 230/174 Τοὺς ὀμνύοντας ὅρκους ἑλληνικοὺς ὁ κανὼν ἐπιτιμίοις καθυποβάλλει· ὅθεν καὶ ἡμεῖς τούτοις τὸν ἀφορισμὸν ὁρίζομεν.

RP 529

ϛΕ

Τοὺς προστιθεμένους τῇ ὀρθοδοξίᾳ καὶ τῇ μερίδι τῶν σῳζομένων ἀπὸ αἱρετικῶν
RP 530 *δεχόμεθα κατὰ τὴν ὑποτεταγμένην ἀκολουθίαν τε καὶ συνήθειαν.*
Ἀρειανοὺς μὲν καὶ Μακεδονιανοὺς καὶ Ναυατιανούς, τοὺς λέγοντας ἑαυτοὺς Καθαροὺς καὶ Ἀριστερούς, καὶ τοὺς Τεσσαρεσκαιδεκατίτας ἤγουν Τετραδίτας καὶ Ἀπολ-
COGD 288 *λιναριστὰς δεχόμεθα διδόντας λιβέλλους καὶ ἀναθεματίζοντας πᾶσαν αἵρεσιν μὴ*
JoN 231/175 *φρονοῦσαν ὡς φρονεῖ ἡ ἁγία τοῦ θεοῦ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία, σφραγιζομένους ἤτοι χριομένους πρῶτον τῷ ἁγίῳ μύρῳ τό τε μέτωπον καὶ τοὺς*

2–4 = CChalc., can. 27, ACO 2,1,2 p. 163, 9–11 **6–7** = can. Bas. 31, II p. 161, 1–3 Courtonne **7–10** = can. Bas. 36, II p. 161, 1–5 Courtonne **10–13** = can. Bas. 46, II p. 163, 1–5 Courtonne **19** Τοὺς ὀμνύοντας – καθυποβάλλει cf. can. Bas. 81, II p. 215, 1–16 Courtonne **22–58,2** ~ CCpl. (381), can. 7 (falso attrib., immo saec. V), Jo I,1 p. 53, 7 – 54, 4

A At B I J Π Par Pe S Su V Va Vn *Ben Jo Pit Ti*

2–3 συναιρουμένους] συναιρομένους *Pit* **4** οἰκείου] ἰδίου Π Va*Ben* **8** ὥσπερ] ὥπερ Courtonne **9** τοῦ ἀνδρὸς] τῶν ἀνδρῶν Π V Va*Ben* **11** ἀφεθεῖσα] ἀφθεὶς Π αὖθις Va*Ben* **10–11** καταλειφθέντι] καταληφθέντι I Va **13** οὐκ] οὐχ V **14** ἀπόλειψιν] ἀπόληψιν Va **15–16** συγγνώμης] καὶ συγγνώμης Pe S **15** ἀπολαμβανέτω] ἀπολαβέτω Π Va*Ben Pit Ti* **16** δεδομένης] διδομένης Π Va*Ben Pit* **19** ὅθεν om. Pe S **24** Μακεδονιανοὺς + καὶ Σαββατιανοὺς l.l. CCpl. (381), can. 7 sic Π V Va*Ben* **24–25** Καθαροὺς] καὶ Καθαροὺς Π **25–26** Ἀπολλιναριστὰς] Ἀπολιναριστὰς A Π S V Va*Ti* **25** καὶ Ἀριστερούς om. Va*Ben* **28** σφραγιζομένους ἤτοι χριομένους ord. inv. Π | τε om. S

ὀφθαλμοὺς καὶ τὰς ῥίνας καὶ τὸ στόμα καὶ τὰ ὦτα· καὶ σφραγίζοντες αὐτοὺς λέγομεν· σφραγὶς δωρεᾶς πνεύματος ἁγίου.

Περὶ δὲ τῶν Παυλιανιστῶν, εἶτα προσφυγόντων τῇ καθολικῇ ἐκκλησίᾳ ὅρος ἐκτέθειται ἀναβαπτίζεσθαι αὐτοὺς ἐξάπαντος.

Εὐνομιανοὺς μέντοι, τοὺς εἰς μίαν κατάδυσιν βαπτιζομένους, καὶ Μοντανιστάς, τοὺς ἐνταῦθα λεγομένους Φρύγας, καὶ Σαβελλιανούς, τοὺς υἱοπατορίαν διδάσκοντας καὶ ἕτερά τινα χαλεπὰ ποιοῦντας, καὶ πάσας τὰς ἄλλας αἱρέσεις, ἐπειδὴ πολλοί εἰσιν ἐνταῦθα, μάλιστα οἱ ἀπὸ τῆς Γαλατῶν χώρας ἐρχόμενοι, πάντας τοὺς ἀπ᾽ αὐτῶν θέλοντας προστίθεσθαι τῇ ὀρθοδοξίᾳ, ὡς Ἕλληνας δεχόμεθα· καὶ τὴν πρώτην ἡμέραν ποιοῦμεν αὐτοὺς χριστιανούς, τὴν δὲ δευτέραν κατηχουμένους· εἶτα τὴν τρίτην ἐξορκίζομεν αὐτοὺς μετὰ τοῦ ἐμφυσᾶν τρίτον εἰς τὸ πρόσωπον καὶ εἰς τὰ ὦτα· καὶ οὕτω κατηχοῦμεν αὐτούς, καὶ ποιοῦμεν χρονίζειν ἐν τῇ ἐκκλησίᾳ καὶ ἀκροᾶσθαι τῶν γραφῶν, καὶ τότε αὐτοὺς βαπτίζομεν. JoN 232/176

Καὶ τοὺς Μανιχαίους δὲ καὶ τοὺς Οὐαλεντίνους καὶ Μαρκιωνιστὰς καὶ τοὺς ἐκ τῶν ὁμοίων αἱρέσεων προσερχομένους, ὡς Ἕλληνας δεχόμενοι, ἀναβαπτίζομεν. RP 531

Νεστοριανοὺς δὲ καὶ Εὐτυχιανιστὰς καὶ Σεβηριανοὺς καὶ τοὺς ἐκ τῶν ὁμοίων αἱρέσεων χρὴ ποιεῖν λιβέλλους καὶ ἀναθεματίζειν τὴν αἵρεσιν αὐτῶν καὶ Νεστόριον καὶ Εὐτυχέα καὶ Διόσκορον καὶ Σεβῆρον καὶ τοὺς λοιποὺς ἐξάρχους τῶν τοιούτων αἱρέσεων καὶ τοὺς φρονοῦντας τὰ αὐτῶν καὶ πάσας τὰς προαναφερομένας αἱρέσεις, καὶ οὕτω μεταλαμβάνειν τῆς ἁγίας κοινωνίας. JoN 233/177 COGD 289

ϛ

RP 533

Οἱ τὸν Χριστὸν διὰ τοῦ βαπτίσματος ἐνδυσάμενοι τὴν ἐνσαρκὶ αὐτοῦ πολιτείαν μιμεῖσθαι καθωμολόγησαν. τοὺς οὖν τὰς ἐν τῇ κεφαλῇ τρίχας πρὸς λύμην τῶν ὁρώντων ἐν ἐπινοίαις ἐμπλοκῆς εὐθετίζοντας καὶ διασκευάζοντας καὶ δέλεαρ προτιθέντας ἐντεῦθεν ταῖς ἀστηρίκτοις ψυχαῖς, ἐπιτιμίῳ προσφόρῳ πατρικῶς θεραπεύομεν, παιδαγωγοῦντες αὐτοὺς καὶ σωφρόνως βιοῦν ἐκδιδάσκοντες πρὸς τὸ ἀφέντας τὴν ἐκ τῆς ὕλης ἀπάτην καὶ ματαιότητα πρὸς τὴν ἀνώλεθρον καὶ μακαρίαν ζωὴν τὸν νοῦν μετάγειν διηνεκῶς, καὶ ἐν φόβῳ ἁγνὴν ἔχειν ἀναστροφήν, καὶ θεῷ πλησιάζειν κατὰ τὸ ἐφικτὸν διὰ τῆς ἐν βίῳ καθάρσεως, καὶ τὸν ἔνδον ἢ τὸν ἔξω ἄνθρωπον μᾶλλον κοσμεῖν ἀρεταῖς καὶ χρηστοῖς καὶ ἀμώμοις τοῖς Mansi 985 JoN 234/178

---

22 Οἱ τὸν Χριστὸν – ἐνδυσάμενοι cf. Gal 3, 27 **23–26** τοὺς οὖν – θεραπεύομεν cf. 1 Cor 11, 14; Lev. 19, 27

3–4 = CNic. (325), can. 19, Jo I,1 p. 40, 10–13 **5–13** = CCpl. (381), can. 7, Jo I,1 p. 54, 4 – p. 54, 24 **23–26** Τοὺς οὖν – θεραπεύομεν cf. Const. Apost. I,3, 8 et 10, SC 320 p. 112, 30–36; p. 112, 43 – p. 114, 49

AAtBIJΠParPeSSuVVaVn *BenJoPitTi*

---

3 Παυλιανιστῶν] Παυλιανισαντῶν *Pit* | εἶτα προσφυγόντων om. PeS **6** υἱοπατορίαν] υἱοπρατωρίαν V | διδάσκοντας ΠVVa*Ben* l.l. CCpl. (381), can. 7 sic: δοξάζοντας cet. **9** πρώτην] μὲν πρώτην *Pit* **10** τὴν[1] – κατηχουμένους om. PeS **11** αὐτοὺς om. *Pit* **12** ἐν τῇ ἐκκλησίᾳ] εἰς τὴν ἐκκλησίαν AtΠParV Va*BenJo* **14** τοὺς[2] om. ΠVa*Ben* | Οὐαλεντίνους] Οὐαλεντινιανοὺς *PitTi* **15–17** προσερχομένους – αἱρέσεων om. IS*Ti* **15** ἀναβαπτίζομεν] βαπτίζομεν ΠVa*Ben* **16** Σεβηριανοὺς] Σευηριανοὺς ΠVVa*Ben* **17** αὐτῶν om. ΙΠSVa*BenTi* **18** Σεβῆρον] Σευῆρον ΙΠVVa*Ben* **25** πατρικῶς] πατρικῷ Π **27** ἀνώλεθρον] ἀνόλεθρον AΠVa*Pit*

ἤθεσιν ὥστε μηδὲν λείψανον φέρειν ἐν ἑαυτοῖς τῆς τοῦ ἐναντίου σκαιότητος. εἰ δέ τις παρὰ τὸν παρόντα κανόνα διαγίνοιτο, ἀφοριζέσθω.

RP 536

ϚZ

JoN 235/179 COG*D* 290

Τοὺς ἢ γαμετῇ συνοικοῦντας ἢ ἄλλως ἀδιακρίτως τοὺς ἱεροὺς τόπους κοινοποιοῦντας καὶ καταφρονητικῶς περὶ αὐτοὺς ἔχοντας καὶ οὕτως ἐν αὐτοῖς καταμένοντας, καὶ ἐκ τῶν ἐν τοῖς σεβασμίοις ναοῖς κατηχουμενείων ἐξωθεῖσθαι προστάσσομεν. εἰ δέ τις μὴ τοῦτο παραφυλάξοι, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω, εἰ δὲ λαϊκὸς ἀφοριζέσθω.

RP 538

ϚH

RP 539

Ὁ ἑτέρῳ μνηστευθεῖσαν γυναῖκα, ἔτι τοῦ μνηστευσαμένου ζῶντος, πρὸς γάμου κοινωνίαν ἀγόμενος τῷ τῆς μοιχείας ὑποκείσθω ἐγκλήματι.

RP 543

ϚΘ

JoN 236/180

Καὶ τοῦτο δὲ ἐν τῇ Ἀρμενίων χώρᾳ γίνεσθαι μεμαθήκαμεν, ὥς τινες ἔνδον ἐν τοῖς ἱεροῖς θυσιαστηρίοις μέλη κρεῶν ἕψοντες προσάγουσιν, ἀφαιρέματα τοῖς ἱερεῦσιν ἰουδαϊκῶς ἀπονέμοντες. ὅθεν τὸ τῆς ἐκκλησίας φυλάττοντες ἀκηλίδωτον ὁρίζομεν μὴ ἐξεῖναί τινι τῶν ἱερέων ἀφωρισμένα κρεῶν μέλη παρὰ τῶν προσαγόντων λαμβάνειν, ἀλλ᾽ οἷς ἀρεσθῇ ὁ προσάγων, τούτοις ἀρκείσθωσαν, ἔξω τῆς ἐκκλησίας τῆς τοιαύτης γινομένης προσαγωγῆς. εἰ δέ τις μὴ τοῦτο οὕτω ποιῇ, ἀφοριζέσθω.

RP 545 COGD 291

P

Οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέτωσαν, καὶ *πάσῃ φυλακῇ τήρει σὴν καρδίαν*, ἡ σοφία

JoN 237/181

διακελεύεται· ῥαδίως γὰρ τὰ ἑαυτῶν ἐπὶ τὴν ψυχὴν αἱ τοῦ σώματος αἰσθήσεις εἰσκρίνουσι. τὰς οὖν τὴν ὅρασιν καταγοητευούσας γραφάς, εἴτε ἐν πίναξιν εἴτε ἄλλως πως ἀνατεθειμένας, καὶ τὸν νοῦν διαφθειρούσας καὶ κινούσας πρὸς τὰ τῶν αἰσχρῶν ἡδονῶν ὑπεκκαύματα οὐδαμῶς ἀπὸ τοῦ νῦν οἱῳδήποτε τρόπῳ προστάσσομεν ἐγχαράττεσθαι. εἰ δέ τις τοῦτο πράττειν ἐπιχειρήσοι, ἀφοριζέσθω.

---

21 = Prov 4, 25 | = Prov 4, 23

13–14 ἐν τοῖς ἱεροῖς θυσιαστηρίοις – προσάγουσιν cf. can. Apost. 2–3, SC 336 p. 274, 4–12

A At B I J Π Par Pe S Su V Va Vn *Ben Jo Pit Ti*

---

5 οὕτως] οὕτω Π **6** κατηχουμενείων] κατηχουμένων I*Pit Ti* **7** παραφυλάξοι] παραφυλάξη SVa*Ben Ti* παραφυλάξει I **14** ἕψοντες] ἔχοντες *Jo* | ἀφαιρέματα] ἀφαίρεμα Π **18** τοιαύτης] ταύτης Π **23** εἴτε[1]] εἰ Va **24** ἀνατεθειμένας] ἀνατιθεμένας *Ti* ἀνατιθειμένας *Pit* **25** οἱῳδήποτε] ἐν οἱῳδήποτε ΠVa*Ben* | τρόπῳ] τόπῳ IΠSVa

PA

RP 546

Σῶμα Χριστοῦ καὶ *ναὸν* τὸν κατ᾽ εἰκόνα θεοῦ κτισθέντα ἄνθρωπον ὁ θεῖος ἀπόστολος μεγαλοφώνως ἀποκαλεῖ. πάσης οὖν αἰσθητῆς κτίσεως ὑπερκείμενος ὁ τῷ σωτηρίῳ πάθει τοῦ οὐρανίου τυχὼν ἀξιώματος, ἐσθίων καὶ πίνων Χριστόν, πρὸς ζωὴν διὰ παντὸς μεθαρμόζεται τὴν ἀΐδιον, ψυχὴν καὶ σῶμα τῇ μετοχῇ τῆς θείας ἁγιαζόμενος χάριτος. ὥστε εἴ τις τοῦ ἀχράντου σώματος μετασχεῖν ἐν τῷ τῆς συνάξεως βουληθείη καιρῷ καὶ ἓν πρὸς αὐτὸ τῇ μετουσίᾳ γενέσθαι, τὰς χεῖρας σχηματίζων εἰς τύπον σταυροῦ οὕτω προσίτω καὶ δεχέσθω τὴν κοινωνίαν τῆς χάριτος· τοὺς γὰρ ἐκ χρυσοῦ ἢ ἄλλης ὕλης ἀντὶ χειρός τινα δοχεῖα κατασκευάζοντας πρὸς τὴν τοῦ θείου δώρου ὑποδοχὴν καὶ δι᾽ αὐτῶν τῆς ἀχράντου κοινωνίας ἀξιουμένους οὐδαμῶς προσιέμεθα, ὡς προτιμῶντας τῆς τοῦ θεοῦ εἰκόνος τὴν ἄψυχον ὕλην καὶ ὑποχείριον. εἰ δέ τις ἁλῷ τῆς ἀχράντου κοινωνίας μεταδιδοὺς τοῖς τοιαῦτα δοχεῖα προσφέρουσι, ἀφοριζέσθω, καὶ ὁ ταῦτα ἐπιφερόμενος.

JoN 238/182
RP 547
Mansi 988
COGD 292
JoN 239/183

PB

RP 549

Δεῖ δὲ τοὺς ἐξουσίαν λύειν καὶ δεσμεῖν παρὰ θεοῦ λαβόντας σκοπεῖν τὴν τῆς ἁμαρτίας ποιότητα καὶ τὴν τοῦ ἡμαρτηκότος πρὸς ἐπιστροφὴν ἑτοιμότητα καὶ οὕτω κατάλληλον τὴν θεραπείαν προσάγειν τῷ ἀρρωστήματι, ἵνα μὴ τῇ ἀμετρίᾳ καθ᾽ ἑκάτερον χρώμενος ἀποσφαλείη πρὸς τὴν σωτηρίαν τοῦ κάμνοντος· οὐ γὰρ ἁπλῆ τῆς ἁμαρτίας ἡ νόσος, ἀλλὰ ποικίλη καὶ πολυειδὴς καὶ πολλὰς τὴς βλάβης παραφυάδας βλαστάνουσα, ἐξ ὧν τὸ κακὸν ἐπὶ πολὺ διαχεῖται καὶ πρόσω βαίνει, μέχρις ἂν σταίη τῇ δυνάμει τοῦ θεραπεύοντος. ὥστε τὸν τὴν ἰατρικὴν ἐν πνεύματι ἐπιστήμην ἐπιδεικνύμενον πρότερον χρὴ τὴν τοῦ ἡμαρτηκότος διάθεσιν ἐπισκέπτεσθαι καὶ εἴτε πρὸς τὴν ὑγείαν νεύει ἢ τοὐναντίον διὰ τῶν οἰκείων τρόπων προσκαλεῖται καθ᾽ ἑαυτοῦ τὸ ἀρρώστημα ἐφορᾷν ὅπως τε τῆς ἐν τῷ μεταξὺ προνοεῖται ἀναστροφῆς καὶ εἰ μὴ τῷ τεχνίτῃ ἀντιπαλαίει καὶ τὸ τῆς ψυχῆς ἕλκος διὰ τῆς τῶν ἐπιτιθεμένων φαρμάκων αὐξάνει προσαγωγῆς, καὶ οὕτω τὸν ἔλεον κατ᾽ ἀξίαν ἐπιμετρεῖν.

JoN 240/184
COGD 293
RP 550

---

2 Σῶμα Χριστοῦ cf. 1 Cor 12, 27 | ναὸν cf. 1 Cor 3, 16; 6, 19; 2 Cor 6, 16 | τὸν κατ᾽ εἰκόνα — ἄνθρωπον cf. Gen. 1, 26

AAtBIJΠParPeSSuVVaVn *BenJoPitTi*

---

2 Σῶμα] ἀργυρήν AmAs (sic) **2–3** κτισθέντα — ἀποκαλεῖ] ἴσμεν AI (sic) **2** κτισθέντα] στώματι L σώματι *Jo* **5** σῶμα τῇ μετοχῇ] σώματι μετέχει ISVa*Ben* **7** πρὸς] πρόσθεν PeS | αὐτὸ] αὐτοῦ S **8** σχηματίζων εἰς τύπον] ἐν τύπω σχηματίζων ΠVa*Ben* | σταυροῦ] τοῦ σταυροῦ Va*Ben* **9** ἄλλης] ἑτέρας ΠVa*Ben* **12** ἁλῷ] ἁλλῶ AAtIPar **16** σκοπεῖν] κοινὴν Π **18–19** ἀμετρίᾳ] ἁμαρτία PeS **21** παραφυάδας] τὰς παραφυάδας AtIParVa*BenPit* **22** ἂν] ἄντι S | ἂν σταίη] ἀντισταίη I*Ti* ἂν στέη Π **23** πρότερον] πρῶτον Va*Ben* **24** εἴτε] εἴ τι AI ἤτοι ParS*Ti* | ὑγείαν] ὑγίειαν ΙΠVa*BenPitTi* **25** τῆς] τοὺς Va **26** προνοεῖται] προνοῆται Π | παλαίει] ἀντιπαλαίη ΙΠ*Ti* **27** αὐξάνει] αὐξάνη ΠSVa

Πᾶς γὰρ λόγος θεῷ καὶ τῷ τὴν ποιμαντικὴν ἐγχειρισθέντι ἡγεμονίαν τὸ πλανώμενον πρόβατον ἐπαναγαγεῖν καὶ τρωθὲν ὑπὸ τοῦ ὄφεως ἐξιάσασθαι· καὶ μήτε
JoN 241/185 κατὰ κρημνῶν ὠφθῆσαι τῆς ἀπογνώσεως μήτε τὸν χαλινὸν ἐπιδοῦναι πρὸς τὴν τοῦ βίου ἔκλυσίν τε καὶ καταφρόνησιν, ἀλλ᾽ ἑνί γε τρόπῳ πάντως, εἴτε διὰ τῶν αὐστηροτέρων τε καὶ στυφόντων εἴτε διὰ τῶν ἁπαλωτέρων τε καὶ πραοτέρων φαρμάκων, κατὰ τοῦ πάθους στῆναι καὶ πρὸς συνούλωσιν τοῦ ἕλκους ἀντ-
αγωνίσασθαι, τοὺς τῆς μετανοίας καρποὺς δοκιμάζοντι καὶ οἰκονομοῦντι σοφῶς τὸν πρὸς τὴν ἄνω λαμπροφορίαν καλούμενον ἄνθρωπον. *ἀμφότερα τοίνυν εἰδέναι ἡμᾶς χρή, καὶ τὰ τῆς ἀκριβείας καὶ τὰ τῆς συνηθείας, ἕπεσθαι δὲ ἐπὶ τῶν μὴ καταδεξαμένων τὴν ἀκρότητα τῷ παραδοθέντι τύπῳ,* καθὼς ὁ ἱερὸς ἡμᾶς ἐκδιδάσκει Βασίλειος.

Superfluas autem tumultuationes et garrulitates post haec inconsulte promulgatas, ut apud uos minime receptas neque per diuinam gratiam dictas, irritas aestimamus. et

P VE

2 Eutychea *scripsi coll. p. 263,9, cf. etiam p. 99,15*: Eutyce P Eutichae V Eutiche E Eutichetem *ed. Rom.* ex* F 4 Alicarnasseno VE: Alicarnansseno *(sic)* P Alicarnasseo *ed. Rom.** | fabulose P V^{pc}: fabulatorem V^{ac} (a^2 *in* o *mut.*, torem *del.*, se *superscr.* V^{1-2}) fabulasse E 5 in quinta] inquinata *(sic)* P quinta quae F^2 in quinta quae *ed. Rom.*, sed potius Anastasii exemplar graecum mendosum* 6 in superficie] insuperficiae P | rescidit *ed. Rom.** 7 Didymum *ed. Rom. (cf. p. 95,17 et p. 263,10)*: Didimus P Didimum VE 8 portentosas *ed. Rom.** 11 Pyrrum VE 12–13 gomorriticam V F^2: egomorriticam P igomorriticam E gomorrhiticam *ed. Reg.** 13 botrionem VE *edd.* | habentes] *exspetaueris coll. gr.* habentem (*sc.* propaginem), *sed Anast. constructionem uerborum mutauisse uidetur* 15 depromtos VE | refertur F^2 *edd.* 17 demonstrans *ed. Rom.** 18 deum] dominum E *edd.* | ueteres] uteres P^{ac} (e *add.* P^c *s.l.*) 20 honore praeferimus ~ προτιμῶμεν (honore *deest Act. II p. 177,11 et Act. IV 39 E 10; cf. tamen Act. VI 219 D 1* 22 dei nostri Christi *ed. Rom.* ex* F | peccata *ed. Rom.* fort. ex 1 Ioh. 3,5* 25 adque P aque V^{ac} (t V^{1-2} *s.l.*) 27 tumultuationis VE | gurrulitates VE | ut] et F^2 28 receptam P | estimamus *codd.* 28–243,1 et aue istis dicentes P V: et hironice dicit aue dicens E *(glossema in textum receptum)*

ἡγοῦμαι. καὶ χαίρειν τούτοις εἰπόντες καὶ ἐκποδὼν ποιησάμενοι διαζωννύμεθα *τὰς ὀσφύας τῆς διανοίας* ἡμῶν *ἐν ἀληθείᾳ* καὶ διανιστάμεθα ἅμα τοῖς εὐσεβέσι προμάχοις τῆς ἀληθείας πιστοῖς βασιλεῦσιν ἡμῶν πρὸς ἕνωσιν τῆς ἁγίας τοῦ θεοῦ καθολικῆς ἐκκλησίας· οὓς καὶ σύνοδον γενέσθαι οἰκουμενικὴν ἠτησάμεθα ἐπὶ παρουσίᾳ παντὸς τοῦ φιλοχρίστου αὐτῶν λαοῦ, καὶ τῇ ἡμετέρᾳ αἰτήσει εὐσεβῶς ἐπένευσαν.

Rom. 444 La.-Co. 168 Ha. 136 Ma. 1127

Ὑμᾶς τοὺς *ἐποικοδομηθέντας ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν, ὄντος ἀκρογωνιαίου αὐτοῦ Ἰησοῦ Χριστοῦ*, καθὼς ἐν τοῖς πρόσθεν εἴρηται, συμμάχους καὶ συνοπαδοὺς καὶ συνασπιστὰς λαβόμενοι πεποίθησιν τοιαύτην ἔχομεν πρὸς τὸν θεόν — *οὐχ ὅτι ἱκανοί ἐσμεν ἀφ' ἑαυτῶν λογίσασθαί τι ὡς ἐξ ἑαυτῶν, ἀλλ' ἡ ἱκανότης ἡμῶν ἐκ τοῦ θεοῦ* ἐστιν — ὅτι τὰ διερρωγότα μέλη καὶ ἀποσχισθέντα εἰς ἓν *σῶμα συναρμολογούμενον καὶ συμβιβαζόμενον* τὴν αὔξησιν ποιήσεται, ἐν οἷς *κεφαλὴ ἐστι Χριστός*, καὶ μηκέτι ᾖ διεσκορπισμένα.

Καὶ λοιπὸν αἰτοῦμεν τὴν ὑμετέραν ἁγιότητα, ἕως τῶν δύο τοποτηρητῶν ἀποστεῖλαι μετὰ θεηγόρου γραμματείου ὑμῶν, καὶ εἴ τί ἐστιν ὑμῖν ἐκ τοῦ θεοῦ ἐνηχημένον περὶ τῆς ὑποθέσεως ταύτης, φανερῶσαι ἡμῖν, ὡς ὀφειλόντων καὶ τῶν τοποτηρητῶν ὑμῶν καὶ τῶν γραμμάτων ὑμῶν συνοδικῶς ἐπὶ πᾶσι τῶν μὲν λαλῆσαι, τῶν δὲ ἀναγνωσθῆναι, ὅπως ἐνωθῇ τὰ διεσχισμένα. αὐτὸ γὰρ τοῦτο καὶ παρὰ τοῦ προέδρου τῆς πρεσβυτέρας Ῥώμης ἠτησάμεθα. καὶ παρακαλῶ ὑμᾶς, ἀδελφικῶς τὴν ἀποστολικὴν ὑμῖν προσφθεγγόμενος φωνήν, *ὡς τοῦ θεοῦ παρακαλοῦντος δι' ἡμῶν*, πάντα ἐρευνῶντες κατὰ τὸν ἔνθεον σκοπὸν ὑμῶν φανερώσατε ἡμῖν. γέγραπται γάρ· *χείλη ἱερέων φυλάξεται γνῶσιν, καὶ νόμον ἐκζητήσουσιν ἐκ στόματος αὐτῶν*· πεπείσμεθα γάρ, ὅτι τὰ σπέρματα τῆς ἀληθείας ἐν ἑαυτοῖς διασῴζετε. καὶ οἱ εὐσεβεῖς δὲ ἡμῶν βασιλεῖς καὶ κατὰ πάντα ὀρθόδοξοι τὴν τῆς ἀληθείας βεβαίωσιν ἐπισπῶνται καὶ κύριον τὸν θεὸν ἱκετεύουσι κατὰ τὸν τῆς θεολογίας ἐπώνυμον Γρηγόριον, ἵνα γενώμεθα οἱ τοῦ ἑνὸς θεοῦ ἓν καὶ οἱ τῆς τριάδος ἡνωμένοι καὶ ὁμότιμοι καὶ ὁμόψυχοι, οἱ τοῦ ἁγίου πνεύματος οὐ κατ' ἀλλήλων, ἀλλὰ σὺν ἀλλήλοις, οἱ τῆς ἀληθείας τὸ αὐτὸ φρονοῦντες καὶ λέγοντες. καὶ μὴ εἴη ἔρις καὶ διχοστασία ἐν ἡμῖν, ἀλλ' ὥσπερ ἔχομεν *ἓν βάπτισμα, μίαν πίστιν*, οὕτως καὶ συμφωνίαν μίαν ἐπὶ παντὸς ἐκκλησιαστικοῦ πράγματος. *καὶ ἡ εἰρήνη τοῦ θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν* εἰς ἓν συναγάγοι ἡμᾶς καὶ τὰ διῃρημένα ἑνώσειε καὶ τὸ χρόνιον ἕλκος ἰάσαιτο

1–2 διαζωννύμεθα — ἀληθείᾳ cf. 1 Petr. 1,13; Eph. 6,14; Is. 11,5 6–7 Eph. 2,20 9–10 2 Cor. 3,5 11–12 Eph. 4,15–16 12 διεσκορπισμένα cf. Ioh. 11,52 19 2 Cor. 5,20 19–20 πάντα ἐρευνῶντες cf. 1 Cor. 2,10 21 Mal. 2,7 28 Eph. 4,5 29–30 Phil. 4,7

4–5 cf. Taras. apol. p. 10,13–15; sacra imp. ad syn. p. 46,22–31; Hadr. epist. ad Taras. p. 182,1–4 7 cf. supra p. 234,18–23 20 κατὰ τὸν ἔνθεον σκοπὸν cf. Greg. Nyss. uirg. c. 20,4,40 Aubineau; p. 328,7 Cavarnos 25–27 cf. Greg. Naz. or. 6 (de pace I) c. 4,10–14 Calvet-Sebasti; cf. Taras. apol. p. 10,15–18

HV T M

1 καὶ ἐκποδὼν ποιησάμενοι om. V 2 τῆς διανοίας om. V | ἡμῶν post ὀσφύας T edd. | εὐσεβέσι + καὶ H 4 γενέσθαι T ex coni. (cf. p. 10,13–15 et p. 46,22–23): om. HV M, cf. lat. 5 παντὸς post αὐτῶν M, om. V 6 Ὑμᾶς] Ὅθεν ὑμᾶς T edd., sed cf. lat. | ἐπὶ] ἐν H 7 ἔμπροσθεν V 9 ἱκανοί — ἑαυτῶν[1]] ἀφ' ἑαυτῶν ἱκανοί ἐσμεν *N.T.* | ὡς ἀφ' H 10 διερρογότα V 12 ἐστι + ὁ V edd. ex *N.T.* ut uidetur | ᾖ] εἴη T edd. 13 αἰτοῦμεν HV (cf. lat.): αἰτοῦμαι T M 14 γράμματος HV γραμματίου M edd. | ἐνηχούμενον V edd. 15 φανερώσατε T edd. | ἡμῖν] ὑμῖν V 20 ἐρευνῶντες + καὶ M 21 ἱερέως *Sept.*, sed cf. lat. | γνῶσιν] κρίσιν M | νόμον + κυρίου M | αὐτῶν] αὐτοῦ M *Sept.*, sed cf. lat. 22 τὰ om. H | ἑαυτοῖς] αὐτοῖς M | διασῴζετε HV (cf. lat.): διασώζονται T M 23 δὲ om. V | καὶ κατὰ πάντα ὀρθόδοξοι om. V | τὴν om. Vc edd. 24 κύριον om. V 26–27 οἱ[2] — λέγοντες om. V 27 καὶ μὴ] καὶ εἰ μὴ V 28–29 ἐπὶ — πράγματος om. V 30 συναγάγη V | καὶ[1] — ἑνώσειε om. V | ἰάσαιτο T (fort. ex coni.): ἰάσεται HV M

aue istis dicentes fugacesque facturi accingimur *lumbos mentis* nostrae *in ueritate* et suscitamur una cum piis et fidelibus imperatoribus nostris, propugnatoribus uidelicet ueritatis, ad unitatem sanctae catholicae dei ecclesiae. a quibus et synodum uniuersalem petiuimus in praesentia totius eorum deo amabilis populi, et postulationi nostrae pie annuerunt.

Vos qui *superedificati estis super fundamentum apostolorum et prophetarum, ipsum uidelicet summum angularem lapidem Christum Iesum*, quemadmodum in praecedentibus dictum est, concertatores et consectatores ac auxiliatores sumentes confidentiam talem habemus ad deum – *non quod sufficientes simus cogitare aliquid a nobis quasi ex nobis, sed sufficientia nostra ex deo est* – quia disrupta membra et discissa in unum *corpus compactum et conexum* crescere faciet, in quibus *caput est Christus*, et ultra iam non erunt dispersa. Rom. 444 La.-Co. 167 Ha. 135 PL 129,257

De cetero rogamus sanctitatem uestram, usque ad duos loci seruatores mittere ad nos cum deiloqua epistola sua, et quicquid sibi fuerit diuinitus super hoc negotio reuelatum, nobis facere manifestum, ut secundum quod debitum est tam loci seruatores quam litterae uestrae synodice siue ad loquendum siue ad legendum in omnibus inueniantur, quatinus per hoc quae scissa sunt uniantur. idipsum enim et a praesule senioris Romae petiuimus. et rogo uos, fraterne apostolicam uobis uocem pronuntians, tanquam deo exhortante per nos, omnia perscrutantes secundum consilium uestrum, quod in deo est, patefacite nobis. scriptum est enim: *labia sacerdotum custodient scientiam, et legem exquirent ex ore eorum.* certi enim sumus quod semina ueritatis in uobis salua custodiatis. sed et pii imperatores nostri et per cuncta horthodoxi ueritatis firmitatem sectantur et domino deo supplicare non cessant, secundum Gregorium, qui a theologia cognomen sortitus est, ut efficiamur nos qui unius dei existimus unum, et qui sumus trinitatis uniti et honore pares atque unanimes in cunctis inueniamur, et qui sancti spiritus sumus non contra inuicem, sed pro inuicem simus, et qui sumus ueritatis idipsum sapientes atque dicentes exhibeamur. et non sit contentio uel dissensio in nobis, sed sicut habemus *unum baptisma, unam fidem*, ita et consonantiam unam in omni ecclesiastico negotio. *et pax dei, quae exsuperat omnem sensum,* in unum nos conducat et diuisa uniat atque [in] diuturnum uulnus Ma. 1128

P VE

1 facturi] *Anast. fort. legit* ποιησόμενοι | accincimur P accingimus *ed. Rom.** 3 catholicae *om.* VE *edd.* 4 praesentia F^2: praesentiam P VE 5 piae P 6 *ante* Vos *add.* unde *ed. Rom.* ex gr. T, *sed cf. gr.* HV M 7 summum + et *ed. Rom.*, *sed cf. Vulg.* 9 dominum *ed. Rom.** | sumus *ed. Rom.** 10 ex nobis V (*cf. Vulg.*): ex uobis P a nobis E *edd.* 11 compactam P^{ac} (*supra* a *scr.* u P^c) | connexum VE *edd.* | capud P 13 seruatores] uicarios *La.-Co.*^{mg}, *sed cf. gr.* | ad nos *om.* V *edd.* 15 manistum P^{ac} (fe *suppl.* P^c *s.l.*) 16 synodice (~ συνοδικῶς) E: synodicę P V 18 et rogo] ergo P 19 tamquam *codd.* | exhortante F^2: exortante P V exhortantes E 20 nostrum VE | est^1 *om. ed. Rom.** | labia + enim VE *ex Vulg.* | sacerdotis V *Vulg.* sacerdotium E 21 custodiant P^{ac} (e *s.l.* P^c) custodiunt V^{ac} (e *supra* u $V^{1\text{-}2}$) | requirent *Vulg.* | eorum] eius *Vulg.*, *sed cf. gr.* 22–23 orthodoxe *ed. Rom.* orthodoxae *ed. Reg.** 25 pares] patres P 26 sumus sancti spiritus VE *edd.* 28 habemus] in nobis P^{ac} (*sublin. et* habemus *superscr.* P^c) | ita *om.* P^{ac}, *add.* P^c *in fine lineae* 29 exuperat V *ed. Rom.* 30 in^2 *del.* F^2, *om. ed. Rom.** | diuturnum ~ χρόνιον *(cf. Gloss.)*

καὶ ἐν εὐρωστίᾳ πίστεως ἀκραιφνοῦς καὶ ἀληθοῦς ὁμολογίας καὶ συμφωνίας στηρίξειε πάντας καὶ φρουρήσειε τὴν ἁγίαν αὐτοῦ ἐκκλησίαν καὶ παύσειε τὰ κατ᾽ αὐτῆς ἐπικείμενα σκάνδαλα, πρεσβείαις τῆς ἀχράντου δεσποίνης ἡμῶν θεοτόκου καὶ πάντων τῶν ἁγίων· γένοιτο, ἀμήν.

Πέτρος καὶ Πέτρος οἱ θεοφιλέστατοι πρεσβύτεροι καὶ τὸν τόπον ἐπέχοντες τοῦ μακαριωτάτου πάπα Ἀδριανοῦ τῆς πρεσβυτέρας Ῥώμης εἶπον· Τοιαῦτα γράμματα δεξάμενος καὶ ὁ ἁγιώτατος ἡμῶν πάπας τούτου ἕνεκεν ἀπέστειλεν ἡμᾶς μετὰ τῶν ἀντιγράφων τῶν ἤδη ἀναγνωσθέντων.

Ἰωάννης ὁ θεοφιλέστατος πρεσβύτερος καὶ τὸν τόπον ἐπέχων τῶν ἀνατολικῶν ἀρχιερέων εἶπε· Ταῦτα τὰ ἱερὰ γράμματα καὶ ἡ εὐσέβεια τῆς βασιλείας παρεσκεύασεν ἡμᾶς τοῦ παραγενέσθαι ἐνταῦθα καὶ διαφυγεῖν τῶν παρανόμων ἐκείνων καὶ ἐχθρῶν τῆς ἐκκλησίας τὰς χεῖρας.

Rom. 445 Ἡ ἁγία σύνοδος εἶπεν· Ὁ θεὸς καλῶς ὑμᾶς ἤνεγκε.

Κωνσταντῖνος ὁ θεοφιλέστατος διάκονος καὶ νοτάριος εἶπεν· Ἐπὶ χεῖρας ἔχω τὰς μνημονευθείσας τετράδας τὰς ἀποσταλείσας ἐκ τῆς ἀνατολῆς, καὶ εἰ κελεύετε, ἀναγνώσομαι.

La.-Co. 169 Τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ κυρίῳ καὶ δεσπότῃ Ταρασίῳ ἀρχιεπισκόπῳ Κωνσταντινουπόλεως καὶ οἰκουμενικῷ πατριάρχῃ οἱ τῆς ἑῴας ἀρχιερεῖς τε καὶ ἱερεῖς ἐν κυρίῳ χαίρειν

Τοῖς πανιέροις καὶ ἐκ θείας ἐπιπνοίας ὑπαγορευθεῖσι λιβέλλοις τῆς ὑμετέρας ἐντετυχηκότες ἀποστολικῆς τε καὶ πατρικῆς ἁγιωσύνης, μακαριώτατοι, ἡμεῖς οἱ ταπεινοὶ καὶ τῶν τὴν ἔρημον παροικεῖν ἐφιεμένων ἔσχατοι τρόμῳ καὶ χαρᾷ συνεσχέθημεν, τρόμῳ μὲν διὰ τὸν φόβον τῶν οἷς δουλεύειν διὰ τὰς ἁμαρτίας ἡμῶν κατεκρίθημεν, *τῶν* ὄντως ὄντων *ἀσεβῶν* καὶ *κύκλῳ* κατὰ τὸ γεγραμμένον *περιπατούντων* καὶ
Ha. 137 προφάσεις καθ᾽ ἑκάστην ὡς ἔπος εἰπεῖν ἡμέραν ἐπιζητούντων τοῦ θανατῶσαι καὶ ἀπολέσαι ἡμᾶς, χαρᾷ δὲ διὰ τὴν ἐκλάμπουσαν ἐν αὐτοῖς ἀκτίνων δίκην ἡλιακῶν τῆς ὀρθοδόξου πίστεως ἀκρίβειαν καὶ τῶν ἀποστολικῶν τε καὶ πατρικῶν δογμάτων τὴν διαφανεστάτην ἐξάπλωσιν. περὶ ὧν εὐκαίρως τῆς τοῦ προφήτου Ζαχαρίου

---

24 cf. Ps. 11,9 **26** ἐκλάμπουσαν – ἡλιακῶν cf. Sir. 43,4

2–3 cf. Cyr. Scyth. uita Sabae p. 157,20–21 Schwartz

17–254,13 epistula episcoporum orientalium ad Tarasium (a. 785?), cui subiungitur epistula synodica Theodori Hier.

HV T M

---

1 ἀκραιφνοῦς] ἀκλινοῦς M | καὶ συμφωνίας om. V **2** παύση H **5–6** Πέτρος[1] – εἶπον] Οἱ θεοφιλέστατοι πρεσβύτεροι τῆς πρεσβυτέρας Ῥώμης τοῦ πάπα εἶπον V **7** ἡμῶν om. H | τούτου ἕνεκεν om. V **7–8** μετὰ – ἀναγνωσθέντων] μετὰ τῶν ἤδη ἀναγνωσθέντων ἀντιγράφων V **9** ὁ θεοφιλέστατος om. V | καὶ τὸν τόπον ἐπέχων om. V **10** ἱερὰ om. V | ἡ εὐσεβεστάτη βασιλεία M **11** τοῦ παραγενέσθαι om. V **14** ὁ θεοφιλέστατος om. V **15** μνημονευθείσας] ζητηθείσας V **15–16** ἀναγνώσομαι] ἀναγνώσω ταύτας V **15–16** post ἀναγνώσομαι fort. lac. statuenda, exspectaueris (cf. e.g. p. 72,14–18; 234,4–6 etc.) Ἡ ἁγία σύνοδος εἶπεν· Ἀναγνωσθήτωσαν. Καὶ ἀνέγνω Κωνσταντῖνος ὁ θεοφιλέστατος διάκονος καὶ νοτάριος **17** κυρίῳ om. M | καὶ[2] om. HV | καὶ δεσπότῃ suspectum, cf. lat. **21** πατριαρχικῆς V **22** παροικεῖν ἐφιεμένων] παροικούντων V **24** κατὰ τὸ γεγραμμένον om. V **25** ὡς – ἡμέραν om. V **25–26** ἀπολέσαι καὶ θανατῶσαι M **25–26** καὶ ἀπολέσαι om. V **26** ἐν αὐτοῖς] ἐν ὑμῖν T **27** πίστεως + τὴν HV | καὶ[1] om. HV **28** τὴν om. T edd. | τῆς] τὸ V

sanet et in incolomitate fidei integros seruet et in uera confessione atque concordia stabiliat omnes muniatque sanctam ecclesiam suam et compescat scandala quae superiacent ei, intercessionibus intemeratae dominae nostrae dei genitricis et omnium sanctorum. fiat, amen.

Petrus et Petrus deo amabiles presbyteri et locum retinentes beatissimi papae Hadriani senioris Romae dixerunt: Huiuscemodi litteras sanctissimus papa recepit et idcirco direxit nos cum rescriptis, quae iam lecta sunt.

Iohannes deo amabilis presbyter et locum retinens orientalium principum sacerdotum dixit: Hae litterae et pietas imperii fecit nos uenire huc et effugire iniquorum illorum et inimicorum ecclesiae manus.

Sancta synodus dixit: Deus bene uos adduxit. Rom. 445

Constantinus deo amabilis diaconus et notarius dixit: Prae manibus habeo memoratos quaterniones qui missi sunt ab oriente, et si iubetis, legemus.

Sanctissimo ac beatissimo domino Tarasio archiepiscopo Constantinopoleos et PL 129,258
uniuersali patriarchae orientis summi sacerdotes et sacerdotes in domino salutem La.-Co. 170

Sacratissimis et ex diuina dictatis inspiratione libellis apostolicae ac paternae sanctitatis uestrae pellectis, o beatissimi, nos humiles et eorum qui desertum incolere gestiunt ultimi tremore pariter et gaudio sumus detenti, tremore quidem propter timorem eorum quibus ob peccata nostra seruire decreti sumus quique uere sunt *impii* et *in circuitu*, secundum quod scriptum est, *ambulant* ac per singulos pene dies Ha. 138 occasiones exquirunt, ut nos morti tradant et perdant, gaudio uero propter ueritatem horthodoxae fidei, quae fulget in eis solarium more radiorum, et luculentissimam explanationem apostolicorum dogmatum et paternorum. de quibus apte genitorem uocis uerbi, id est prophetam Zachariam, ad memoriam reducentes magna uoce

P VE

1 sanet *ed. Rom.*: sanans *codd.* | in[1] *om. ed. Rom.** | incolumitate *ed. Rom.** *ex* F 2 uniatque *ed. Rom.** 3 genetricis P 6 Huiusmodi *ed. Rom.** 8 horientalium P 9 effugere E *edd.* 10 et inimicorum ecclesiae P V *(cf. gr.)*: ecclesiae E ecclesiae inimicorum *ed. Rom.** 11 uos bene VE *edd.* 13 legimus VE 14 domino ~ κυρίῳ καὶ δεσπότῃ? 15 uniuersale P[ac] (i P[c] *s.l.*), *notandum* καὶ οἰκουμενικῷ *ab Anastasio hoc loco praetermissum non esse, cf. ad p. 233,19* 16 dictatis] deitatis *ed. Rom.** 17 pellectis (= perlectis, *cf. ThLL s.u.*) P V: perlectis E praelectis *ed. Rom.** *ex* F 20 scriptum est + impii VE *edd.* 22 radiorum] gaudiorum V[ac] (ga *del.*, *in* u *scr.* ra V[2]) E *(corr.* F[2]*)* 24 prophaetam P

καὶ τῆς τοῦ λόγου φωνῆς γεννήτορος εἰς μνήμην ᾠδῆς ἐληλυθότες μεγαλοφώνως βοῶμεν· *ἐπεσκέψατο ἡμᾶς ἀνατολὴ* παμφαὴς *ἐξ ὕψους* θεωρητικῆς τε καὶ θεοφρονεστάτης διανοίας *τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου* κακοτρόπου πλάνης ἤτοι ἀρραβικῆς δυσσεβείας *καθημένοις* ἡμῖν *τοῦ κατευθῦναι τοὺς* νοηματικοὺς *ἡμῶν πόδας εἰς ὁδὸν* καὶ τρίβους εἰρηνικῆς καταστάσεως. *τίς λαλήσει τὰς δυναστείας κυρίου,* συμψαλλέτω Δαβὶδ ἡμῖν ὁ θεοπάτωρ, *ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις*
Ma. 1130 *αὐτοῦ; ὅτι ἠλέησεν ὁ θεὸς τὸν* ἀπεγνωσμένον *λαὸν αὐτοῦ* καὶ τὰ διεστῶτα πρὸς μίαν συνῆψε πίστεως ἁρμονίαν, ὅτι *ἤγειρε κέρας σωτηρίας ἡμῖν* καὶ ἀνορθώσεως *ἐν οἴκῳ* καὶ θεοδόχῳ ναῷ τοῦ μονογενοῦς υἱοῦ αὐτοῦ, κυρίου δὲ καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, *οἵτινές ἐστε ὑμεῖς,* ἁγιώτατοι, καὶ οἱ τὰ δεύτερα κατὰ θεσμὸν καὶ τάξιν ἐκκλησίας φέροντες ὑμῶν θεοστεφεῖς τροπαιοῦχοι καὶ θεοψήφιστοι βασιλεῖς ἡμῶν καὶ δεσπόται τῆς οἰκουμένης· ἱερωσύνη γὰρ βασιλείας ἁγιασμός ἐστι καὶ στοιχείωσις, καὶ βασιλεία ἱερωσύνης ἰσχὺς καὶ κραταίωμα. περὶ ὧν σοφός τις ἄναξ καὶ ἐν βασιλεῦσιν ἁγίοις ἔφη μακαριώτατος· „μέγιστον δῶρον θεὸς ἀνθρώποις παρέσχεν ἱερωσύνην καὶ βασιλείαν, τὴν μὲν τὰ οὐράνια κατακοσμοῦσαν καὶ διέπουσαν, τὴν δὲ οἰακίζουσαν θεσμοῖς δικαίοις τὰ ἐπίγεια." *νῦν* ἀληθῶς *τὸ μεσότοιχον τοῦ φραγμοῦ* διαλέλυται, καὶ συμφωνία κατάρχει διαφωνίας, καὶ ὑποκύπτει ἑνώσει διαίρεσις, καὶ φροῦδος κατέστη διάστασις, *καὶ ἡ εἰρήνη τοῦ θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν* φαιδρῶς πομπεύει τῷ προσώπῳ καὶ παρρη-
Rom. 446 σιαστικῶς πολιτεύεται. *νῦν* οἱ γενηθέντες ἡμεῖς *ὄνειδος τοῖς γείτοσι* καὶ συνομόροις *ἡμῶν, μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ ἡμῶν* κἀκ τούτου πρὸς γῆν κεχηνότες, εἰς οὐρανοὺς ἐκθύμως συνανανεύομεν καὶ ψαλμικῶς ἐν ἀγαλλιάσει ἀνακράζομεν· *ἐν τούτῳ ἔγνων, ὅτι τεθέληκάς με, ὅτι οὐ μὴ ἐπιχαρῇ ὁ ἐχθρός μου ἐπ' ἐμέ, κἀμοῦ δὲ διὰ τὴν ἀκακίαν* καὶ ἁπλότητα πλάνῃ περιτραπέντος *ἀντελάβου,* καὶ διασώσας με ἀνέστησας, καὶ ἐπὶ τὴν πέτραν τῆς ἀποστολικῆς πίστεως τοὺς χωλάναντάς μου πόδας κατέπηξας.

Ταῦτα καὶ τὰ τούτοις γράφειν ἡμᾶς συνῳδὰ παρεσκεύασαν αἱ θεοχάρακτοι δέλτοι
La.-Co. 172 ὑμῶν, ἃς κανονικῷ κινούμενοι νόμῳ καὶ πατροπαραδότῳ εὐταξίᾳ ποδηγούμενοι τοῖς τοὺς ἀποστολικοὺς θρόνους διέπειν λαχοῦσι διὰ ξυνωρίδος εὐλαβοῦς καὶ θεοδηγήτου πεπόμφατε. οἵτινες ἀφικόμενοι καὶ κατὰ θεοῦ βούλησίν τε καὶ ἐπίνευσιν

2–5 cf. Lc. 1,78–79 **5** τρίβους – καταστάσεως cf. Prou. 3,17 **5–7** Ps. 105,2 **7** ὅτι – αὐτοῦ[2] Is. 49,13 **8–9** Lc. 1,69 **9–10** ναῷ – ὑμεῖς cf. 1 Cor. 3,17 **16–17** Eph. 2,14 **18–19** Phil. 4,7 **20–21** cf. Ps. 78,4 **23–25** cf. Ps. 40,12–13

14–16 cf. Iustin. nou. 6 pr. p. 35,27–36,1 Schoell/Kroll

HV T M

1 καὶ τῆς – ἐληλυθότες om. V **1–2** βοῶμεν μεγαλοφώνως V **3** τοῖς] τοὺς H **3–4** ἀραβικῆς H edd. **4** καθημένους T | ἡμῖν om. T | κατευθύναι M | πόδας om. T **5** δυναστείας + τοῦ *Sept.* **6** συμψαλλέτω – θεοπάτωρ om. V | πάσας om. M **8** ἁρμωνίαν (sic) πίστεως V | ὅτι] fort. καὶ scribendum, cf. lat. et *N.T.* | κέρας iter. V | καὶ ἀνορθώσεως om. M | ἀνωρθώσεως (sic) V **9–10** καὶ θεοῦ καὶ σωτῆρος om. V **10** οἱ om. M[ac] (add. M[2] s.l.) **11** ὑμῶν] ἡμῶν M **11–12** θεοψήφιστοι βασιλεῖς ἡμῶν καὶ om. V **12–13** ἁγιασμός ἐστι καὶ] ἡγιασμένη H **12–13** ἡγιασμένη H **13** ἐστι καὶ om. H | ἀναστοιχείωσις T edd. uix recte | κραταίωσις T M, sed cf. lat. **14** ἔφησε V | μακάρτατος H μακαριστότατος T edd. | θεοῦ V **16** διέπουσαν] μένουσαν HV **17** διαλύεται H **19** θεοῦ + ἡμῶν V **20** γεννηθέντες V T | ἡμεῖς] ὑμεῖς V **22** εὐθύμως H ἐνθέσμως M | συνανανεύομεν] συναναβαίνομεν M | ἐν ἀγαλλιάσει om. V **24** ἐμέ] ἐμοί T edd., sed cf. *Sept.* | κἀμοῦ] ἐμοῦ *Sept.* | ἁπλότητα] πραότητα H | πλάνῃ] πάντη V | περιτραπέντι V περιτραπέντα T **26** χολάναντάς V **27** καὶ τὰ τούτοις om. V | συνῳδὰ om. V **28–29** καὶ – λαχοῦσι om. V **29** ξυνωρίδος + ἁγίας καὶ T edd., sed cf. lat. | εὐλαβοῦς + ἡμῖν V **29–30** καὶ θεοδηγήτου om. V **30** καὶ ἐπίνευσιν om. V

clamamus: *uisitauit nos oriens* splendidus *ex alto* theoretica et diuina prudentia illustratae mentis *in tenebris et umbra mortis* maligni erroris, id est arabicae impietatis, *sedentes ad dirigendos* intelligibiles *pedes nostros in uiam* et semitas paciferae constitutionis. *quis loquetur potentias domini*, nobiscum psallat Dauid pater dei, *auditas faciet omnes laudes eius?* quoniam misertus est deus desperati populi sui et distantia ad unam fidei collegit armoniam, *et erexit cornu salutis nobis* et directionis *in domo* et deum recipiente templo unigeniti filii sui, domini uidelicet dei ac saluatoris nostri Ma. 1129
Iesu Christi, *quod estis uos*, sanctissimi, atque hi qui secunda per legem et ordinem ecclesiae uestrae reportant, triumphatores scilicet ac diuinitus redimiti seu decreti principes nostri et domini terrarum orbis. sacerdotium enim imperii sanctificatio est et constitutio, et imperium sacerdotii fortitudo et firmamentum. de quibus sapiens quidam princeps et in sanctis regibus beatissimus ait: „maximum donum deus hominibus praestitit sacerdotium et imperium, illud quidem adornans et regens caelestia, hoc uero gubernans legibus iustis terrestria." nunc ueraciter *medius maceriae paries* solutus est, et concordia discordiae principatur, et incuruatur unitati diuisio, et fuga lapsa disparuit dissonantia, *et pax dei quae exsuperat omnem sensum* iocundo uultu triumphat et fiducialiter conuersatur. nunc nos, qui *facti* fueramus *opprobrium* Rom. 446
uicinis et affinibus *nostris, subsannatio et derisio his qui in circuitu nostro sunt* ac per hoc ad terram prae confusione prospicientes, ad caelos unanimi in alacritate suspicimus et psallentes exultatione clamamus: *in hoc cognoui quoniam uoluisti me, quia non gaudebit inimicus meus super me, me autem propter innocentiam* et simplicitatem errore titubantem *suscepisti*, et saluum me faciens erexisti, et super petram PL 129,259
apostolicae fidei claudicantes pedes meos infixisti.

Haec et his concinentia scribere nos fecerunt diuinitus exarata uolumina uestra, quae canonica moti lege et paternae traditionis disciplina ducti his qui apostolicarum La.-Co. 171
sedium moderamen sortiti sunt per reuerendas et a deo directas bigas misistis. qui peruenientes et per dei uoluntatem ac nutum occurrentes dei cultoribus fratribus

P VE

1 ex alto splendidus V^{ac} (*signis interpositis corr.* V^{x}) E *edd.* | theoretica] theorica *ed. Rom.** | prudentia] prouidentia *ed. Rom.** 2 et + in *Vulg.* | impiaetatis P 4 *post* dei *add.* aut F^{2mg} *edd.* 5 faciat VE | distantiam P 6 harmoniam *ed. Rom.** 6–7 et deum] domini F^{2} et dominum *ed. Rom.** 8 atque hi qui secunda per V^{pc}: atque secunda hi qui per P atque hi qui per (prae EF) secunda V^{ac} (*signis interpositis corr.* V^{x}) EF, *post* secunda *add.* ecclesiae portant imperatores id est qui iura quia prima retinent patriarchae. nam primum in ecclesia locum sacerdotes possident. secunda per EF (*crucem add.* F^{2mg}), *inde „Anastasii uerba* Quia primas retinent patriarchae, nam primum in ecclesia locum possident sacerdotes" *ed. Rom.*^{mg}, *sed dubito an glossema Anastasio imputandum, quia deest in* P V 8–9 qui – reportant] qui partes secundas ecclesiae portant per legem et ordinem ecclesiae nostrae *ed. Rom.** 9 uestrae P V *(error Anastasii, debuit* secunda post uos ~ τὰ δεύτερα ὑμῶν, *ut adnot. ed. Rom.*^{mg}*)*: nostrae E *edd.* 13 prestitit VE 14 maceriae *ed. Rom.*: macaeriae P macheriae VE 16 dei quae] dei que P 17 obprobrium VE 18 uicinis – nostris] uicinis nostris et affinibus V^{ac} (nostris *post* affinibus *s.l. iter. et signum transpositionis add.* V^{1-2}) E 20 psallentes ~ ψαλμικῶς? *cf. p. 189,13* cum psalmista | proclamamus VE *edd.* 22 erroris E *edd.* (*corr. La.-Co.*^{mg} *ex* P) 24 continentia VE 25 conica VE (*corr.* F^{2}) 27 accurrentes P

ὑπαντηκότες τοῖς θεοσεβεστάτοις ἀδελφοῖς ἡμῶν, ἀνδράσιν ἁγίοις καὶ δεδωκόσι τὰς ψυχὰς αὐτῶν ὑπὲρ τῆς τῶν ἐκκλησιῶν διορθώσεως, καὶ ἀναγνωρισθέντες ἐκ παλαιᾶς καὶ ἀρχαίας ἀναστροφῆς λίαν ἐχάρησαν, καὶ μάλιστα εὑρηκότες ἄμφω ἐν ἑνὶ διατρίβοντας τόπῳ καὶ τὸν θεοφιλῆ τρόπον διώκοντας. καὶ ἀνακαλύψαντες ἑαυτοὺς ὑπέδειξαν αὐτοῖς τοὺς τῆς ὀρθοδοξίας ὑμῶν θεοπρεπεῖς καὶ ἀξιαγάστους λιβέλλους, διηγησάμενοι κατ' ἔπος τῆς θεαρέστου γνώμης τῆς σῆς ἁγιότητος καὶ τῶν θεοφυλάκτων δεσποτῶν ἡμῶν τὴν εὐβουλίαν καὶ τῆς κοινῆς τῶν ὅλων σωτηρίας τὴν προσδοκίαν καὶ πρὸς θεὸν ἀκαταίσχυντον ἐλπίδα. οἱ δὲ ὥσπερ μίαν ψυχὴν ἐν δυσὶ σώμασιν ἔχοντες καὶ *τὸ ἓν* ἀποστολικῶς *φρονοῦντες* καὶ ὑπὸ τοῦ θείου κινούμενοι πνεύματος, μυστικῶς ἅμα καὶ συνετῶς τοὺς ἀδελφοὺς περιστείλαντές τε καὶ κατακρύψαντες διὰ τὸ περιστοιχοῦν δέος τῶν ἐχθρῶν τοῦ σταυροῦ οὐ κατεθάρρησαν, καίπερ σοφοὶ ὄντες, ἢ καταπιστεῦσαι τῇ σφῶν αὐτῶν θεωρίᾳ ‹ἢ› τῆς ὑποθέσεως ἐνεργῆσαι τὴν διέξοδον, δεδεημένης καὶ μάλιστα διεσμιλευμένης καὶ πεπυκνωμένης βουλῆς τε καὶ σκέψεως. *βουλὴ* γάρ φησι *καλὴ φυλάξει σε, ἔννοια δὲ*
Ha. 140 *ἀγαθὴ τηρήσει σε*. καὶ δὴ λαθόντες οὓς ἐν ἀσφαλείᾳ παραφυλακῆς ἀπέθεντο
Ma. 1131 ἕδραμον ὡς ἡμᾶς, καὶ ἐπὶ τὸ αὐτὸ ἠθροικότες ἀψοφητὶ τὴν ἡμετέραν ταπείνωσιν πρῶτον μὲν κατακρίσει φρικωδεστάτῃ συνδήσαντες ἡμᾶς φυλάξαι ἀνεξαγόρευτα τὰ πρὸς αὐτῶν λεχθησόμενα καὶ τοῦτον τὸν τρόπον ἑαυτοῖς ἐπισεσωρευκότες τὸ ἀσφαλές, ἀπεκάλυψαν ἡμῖν πᾶσαν τὴν περιπέτειαν. καταπλαγέντες δὲ καὶ κατανυγέντες τὴν καρδίαν δάκρυσί τε συσχεθέντες θερμοῖς ἐπὶ τῷ τοιούτῳ τῆς διηγήσεως θαύματι καὶ τῷ παραδόξῳ τῆς τοιαύτης μεταβολῆς, ἔστημεν εἰς προσευχὴν ὡς ἁμαρτωλοὶ μετὰ φόβου καὶ τρόμου, καὶ τῷ *ποιοῦντι πάντα καὶ μετασκευάζοντι* πρὸς τὸ βέλτιον προσαγηοχότες τὴν πρέπουσαν αἴνεσιν ᾐτησάμεθα τὴν αὐτοῦ ἐκτενῶς ἀγαθότητα τῶν ἐλαχίστων ἡμῶν γενέσθαι ἐν μέσῳ καὶ διὰ πνεύ-
Rom. 447 ματος ἁγίου ἐπιλάμψαι *φῶς γνώσεως* ἐν ταῖς καρδίαις ἡμῶν καὶ κοινωφελοῦς βουλῆς χαρίσασθαι δύναμιν καὶ ἐννοίας ἀγαθὰς πρὸς περαίωσιν τῆς ἀρίστης ὑμῶν προθέσεως· ὃ δὴ καὶ ἐποίησεν ἀγαθὸς ὢν καὶ φιλάνθρωπος.

Συνείδομεν τοιγαροῦν, ἁγιώτατοι, τοῦ μιαροῦ γινώσκοντες ἔθνους τὴν ὡς ἡμᾶς ἀπέχθειαν, ἐπισχεῖν τοὺς ἀποσταλέντας καὶ κωλῦσαι προσεγγίσαι τοῖς πρὸς οὓς ἀπεστάλησαν, ἀγαγόντες αὐτοὺς μέσον ἡμῶν καὶ νουθετήσαντες πλεῖστα μὴ ἐπαγαγεῖν τάραχον, μᾶλλον δὲ εἰπεῖν ὄλεθρον οἰκειότερον, ἠρεμούσαις καὶ θεοῦ χάριτι εἰρηνευούσαις ἐκκλησίαις καὶ λαῷ ταλαιποροῦντι δουλείας ζυγῷ καὶ δυσεκτίτων

1–2 δεδωκόσι – αὐτῶν cf. Mc. 10,45 **8** ἀκαταίσχυντον ἐλπίδα cf. Rom. 5,5 **9** Phil. 2,2 **14–15** Prou. 2,11 **22** μετὰ φόβου καὶ τρόμου cf. Eph. 6,5 **22–23** Amos 5,8 **25** Os. 10,12

8–9 μίαν – σώμασιν cf. Greg. Naz. or. 43 (in Basilium) c. 20,9–10 Bernardi (cf. carm. II, I 11,229-230); Gnomol. Vatic. n. 137 Sternbach

HV T M

1 ὑπηντηκότες M **2** αὐτῶν om. V | καὶ om. T M edd., sed cf. lat. **3** καὶ ἀρχαίας om. V | ἀνατροφῆς H | ἐχάρημεν V **4** καὶ τὸν – διώκοντας om. V **5** τοὺς²] τοῖς V | θεοπρεπεῖς καὶ om. V **8** καὶ πρὸς – ἐλπίδα om. V **10** τε om. V M **11** κρύψαντες H **12** ἢ καταπιστεῦσαι om. HV | τῇ σφῶν αὐτῶν θεωρίᾳ scripsi: τῆς σφῶν αὐτῶν θεωρίας codd. | ἢ² add. ed.Rom., cf. lat. **13** διενεργῆσαι V **15** ἀγαθὴ] ὁσία *Sept.* | ἀπέθεντο sc. αὐτούς, cf. lat. **16** ὡς] πρὸς V **17** κατακρίσει] „ἴσως κατορκίσει" (sic) Morin in Vc, sed cf. lat. **21** τοσαύτης V **22** καὶ τρόμου om. V | ποιοῦντι om. V | καὶ³ om. V **23** προσηγηοχότες H προσηχεοχότες V | πρέπουσαν] δέουσαν V **24** αὐτοῦ] ἑαυτοῦ V | ἐκτενῶς post ᾐτησάμεθα V | μέσῳ] μέρει V **25** ἡμῶν] ὑμῶν H **26–27** καὶ ἐννοίας – προθέσεως om. V **26** ὑμῶν] ἡμῶν H **28** Συνίδωμεν H | τοιγαροῦν] οὖν V **29** ἀποσταλλέντας H | κωλύσει H **30** αὐτοὺς + εἰς V **31** ταραχήν V | οἰκειότερον om. HV, sed cf. lat. | ἠρεμούσαις καὶ om. V **32–250,1** καὶ δυσεκτίτων – ἐπαγωγῇ om. V

nostris, uiris sanctis, qui dederunt animas suas pro ecclesiarum correctione, et recogniti ex ueteri et antiqua conuersatione ualde gauisi sunt, et maxime repperientes ambos in uno loco degentes et modum deo placitum persequentes. et sese reuelantes ostenderunt eis horthodoxiae uestrae deo decentes et dignos admiratione libellos, referentes per ordinem deo placitae sanctitatis tuae mentis et pium deo conseruatorum dominorum nostrorum consilium et communis omnium salutis expectationem et circa deum sine confusione spem. at illi quasi unam animam in duobus corporibus habentes et *unum* secundum apostolum *sapientes* et a diuino agitati spiritu, secreto pariter et intelligenter fratres contegentes et occultantes propter formidinem inimicorum crucis, quae hinc inde disposita fuerat, non ausi sunt, cum essent sapientes, uel credere uisionem ipsorum uel causae operari decursum, praesertim cum in timore res haberetur et quam maxime crebrescens consilium et diligens circumspiciendi tractatus exigeretur. *consilium* enim *bonum custodiet*, inquit, *te, cogitatio uero bona seruabit te*. et ecce dum laterent eos qui se sub tuitione custodiae Ha. 139
posuerant, cucurrerunt usque ad nos, et in idipsum congegrati silenter humilitatem nostram primo quidem adiuramento horribili uincientes nos seruare secreto ac sine Ma. 1132
propalatione quae ab eis erant dicenda et in hunc modum quicquid ad cautelam pertinet exaggerantes, reuelauerunt nobis omnem rei quae sibi acciderat circumstantiam. stupefacti autem et compuncti corde lacrimisque perfusi feruentibus super huiuscemodi narrationis miraculo et gloria tantae rerum mutationis, stetimus ad orationem ueluti peccatores cum timore ac tremore, et ei *qui facit omnia et transfert* ad id quod melius est decentem laudem referentes petiuimus obnixe benignitatem eius, quo in minimis nobis fieret medius et per spiritum sanctum illucesceret *lux scientiae* in cordibus nostris atque communis utilitatis consilii donaret uirtutem Rom. 447
cogitationesque bonas ad determinationem optimi uestri propositi. quod et fecit, cum esset benignus atque misericors.

Considerauimus igitur, sanctissimi, contaminatae nationis cognoscentes contra nos infestationem, retinere hos qui missi sunt et prohibere appropiare his ad quos destinati sunt, ducentes eos in medium nostrum et admonentes plurimum ne inducerent turbationem, immo, ut specialius dicamus, exitium quiescentibus et dei gratia pacificatis ecclesiis uel populo miserabiliter iugo seruitutis afflicto et importabilium illa- PL 129,260

P VE

3 releuantes VE *(corr. ed. Rom.)* 4 eis E^2: ei P VE^{ac} 5 referentes + et P | tuae] uestrae *ed. Rom.*, sed cf. gr.* 5–6 pium ... consilium ~ εὐβουλίαν 5–6 conseruatorum F^2: conseruatorem P $V^{pc}E$ conser V^{ac} (uatorem *add.* V^{1-2} *in fine lineae*) 7 sine confusione ~ ἀκαταίσχυντον, *cf. Rom. 5,5* (οὐ καταισχύνει ~ non confundit *Vulg.*) 10 formidinem P: fortitudinem VE *(corr. ed. Rom. ex gr.)* 11 operari F^2: operarii P VE | decursum E *(cf. e.g. p. 3,9–10)*: decursu P V 12 in timore res haberetur ~ δεδεημένης? 14 laterent *scripsi coll. gr.*: lateret *codd.* | qui – custodiae] quos in suae tuitionis custodiam *ed. Rom.*^{mg} 15 congregantes *ed. Rom.** 16 adiuramento ~ κατακρίσει, *cf. p. 185,15 et Act. IV 70 A 4* | horribili *om.* V *edd. („g. addit.* maxime horribili" *ed. Rom.*^{mg}*)* 17 quicquit V quidquid *ed. Rom.** 18 rei] regi P 20 huiusmodi *ed. Rom.** | gloria ~ τῷ παραδόξῳ *(cf. Act. IV 95 B 15 – C 1 et CGL VII p. 605)*, inopinato *ed. Rom.*^{mg} 22 dicentem VE (*corr.* F^2) 28 abpropiare P 29 eos P V^{pc}: nos V^{ac} (n *in* e *mut.* V^x) os E hos F^2 *edd.*

φόρων πιεζομένῳ ἐπαγωγῇ. οἱ δὲ δυσανασχετοῦντες ἔλεγον ὡς „εἰς τοῦτο ἀπεστάλημεν, παραδοῦναι τὰς ἑαυτῶν εἰς θάνατον ψυχὰς ὑπὲρ τῆς ἐκκλησίας καὶ τὴν πρόθεσιν τοῦ ἁγιωτάτου πατριάρχου καὶ τῶν εὐσεβῶν βασιλέων εἰς πέρας ἀγαγεῖν." „ἀλλ' εἰ μὲν εἰς τὰς ὑμετέρας καὶ μόνον ψυχάς", ἔφημεν πρὸς αὐτούς, „συν-
La.-Co. 173 ηντλεῖτο ὁ κίνδυνος, εἶχεν ἂν ὁ λόγος ὑμῶν τὸ βέβαιον· ἐπεὶ δὲ κατὰ κοινοῦ τοῦ τῆς ἐκκλησίας προέρχεται σώματος, ποία ἔσται ὄνησις; μᾶλλον δὲ ποῖον οὐκ ἔσται βλάβος κτίσαι οἰκοδομὴν ἐπὶ σαθροῦ καὶ στερροῦ θεμελίου χηρεύουσαν;" „καὶ πῶς", ἔλεγον, „ἢ ποίῳ προσώπῳ πρὸς τοὺς ἀπεσταλκότας ἡμᾶς ἐπανήξομεν, ἐπιφερόμενοι μηδὲν τῶν κατὰ γνώμην αὐτοῖς ἐλπιζομένων;" πρὸς ταῦτα ἠπορηκότες ἡμεῖς γινώσκοντές τε τοὺς θεοφιλεῖς ἀδελφοὺς ἡμῶν Ἰωάννην καὶ Θωμᾶν ζήλῳ θείῳ τῆς ὀρθοδόξου κεκοσμημένους πίστεως, δύο δὲ ἁγίων καὶ μεγάλων πατριαρχῶν ὁμοψύχους συγκέλλους γενομένους, οὐ μὴν ἀλλὰ καὶ τῆς ἁγιοποιοῦ ἡσυχίας ὄντας ἐραστάς, ἔφημεν πρὸς αὐτούς· *„ἴδε καιρός,* ἀδελφοί, πρόσφορος *σωτηρίας* καὶ ἡσυχίας μᾶλλον ὑψηλότερος. πορεύεσθε σὺν τοῖς ἀνδράσι τούτοις καὶ τὴν ὑπὲρ αὐτῶν ἀπολογίαν ἀναδέξασθε· καὶ διηγήσασθε ζώσῃ φωνῇ ἃ διὰ γραμμάτων γνωρίσαι τοῖς δεσπόταις ἡμῶν παρέλκον ἡγούμεθα. οἴδατε γάρ, ὅπως διὰ βραχυτάτης κατηγορίας ἐξόριστος γέγονεν ἀπὸ δισχιλίων σημείων ὁ τὸν θρόνον λαχὼν διέπειν τοῦ ἀδελφοθέου Ἰακώβου. ὁπηνίκα δὲ τὸ τοῦ θεοῦ ἔργον πληρώσητε καὶ τὴν κρατοῦσαν ἀποστολικὴν παράδοσιν ἐν ταῖς ἐκκλησίαις τοῦ θεοῦ ταῖς κατ' Αἴγυπτον
Ma. 1134 καὶ Συρίαν τοῖς δεσπόταις ἡμῶν γνωρίσητε, τηνικαῦτα τὸ ποθούμενον ὑμῖν ἀσπάσεσθε." „καὶ πῶς ἡμεῖς", ἀπεκρίναντο, „ἰδιῶται καὶ ἀγνῶτες ὄντες καὶ πρὸς τὴν ὑπόθεσιν ἀσθενῶς καὶ ἀμαθῶς ἔχοντες κατατολμήσομεν χρήματος τὴν ἡμετέραν ὑπερβάλλοντος δύναμιν;" „ἀλλ' ὁ δι' εὐτελῶν καὶ ἰδιωτῶν", ἀντέφημεν, „ἐνεργήσας, τῶν ἁγίων ἀποστόλων φημί, καὶ δι' αὐτῶν ζωγρήσας τὴν οἰκουμένην πρὸς ὑπακοὴν τοῦ λόγου τῆς αὐτοῦ οἰκονομίας Χριστὸς ὁ θεὸς ἡμῶν δυνατός ἐστι δοῦναι ὑμῖν λόγον *ἐν ἀνοίξει τοῦ στόματος* ὑμῶν πρὸς τὸ ἀναπληρῶσαι τὸν σκοπὸν καὶ τὸ φρόνημα τῶν μήτε γράμματα δυναμένων δέξασθαι μηδ' αὖ τολμώντων γράψαι ἢ γρύξαι τι περὶ τῶν τοιούτων." οἱ δὲ θεοφιλεῖς ὄντες καὶ *ὑπακοῆς* υἱοὶ πεφηνότες
Rom. 448 ἐπείσθησαν τῷ λόγῳ ἡμῶν καὶ εἶξαν τῇ παρακλήσει. οὓς μετ' ἐκτενοῦς προπεπομ-

---

13 cf. 2 Cor. 6,2 23 ὁ δι' εὐτελῶν – ἐνεργήσας cf. Act. 4,13 25–26 δοῦναι – στόματος cf. Eph. 6,19 28 ὑπακοῆς υἱοὶ cf. 1 Petr. 1,14

17–18 i. e. Elias II patr. Hier.; cf. Auzépy, L'hagiographie p. 215–218; PmbZ #1486

HV T M

---

1 φόρτων M | πιεζομένων T | δυσανασχετοῦντες om. V 2 ψυχὰς post ἑαυτῶν M 3 ἁγιωτάτου om. V 4 ἡμετέρας V | πρὸς αὐτούς om. V 4–5 συνήντλητο M 5 ἐπεί] ἐπειδὴ M 6 ποῖα M | ὄνησις ἔσται V 6–7 μᾶλλον δὲ – χηρεύουσαν om. V 7 ἐπὶ σαθροῦ M: ἐπίσαθρον T ἐπὶ σαθρὰν H 8 ἡμᾶς ἀπεσταλκότας V 10 ἡμεῖς + μηδὲν ἔχοντες H | ἡμῶν ἀδελφοὺς V | ζήλῳ θείῳ] ζηλωτὰς V | θείῳ + τῷ M 11 κεκοσμημένους om. V 11–12 δύο – γενομένους om. V 11 δὲ om. T edd. 12 συγγέλους H 13 αὐτούς] exspectaueris τούτους | ἴδοὺ *N.T.*, fort. etiam hic scribendum 14 τούτοις om. V 16 ἡγούμεθα + μᾶλλον δὲ ὑφορώμεθα M | οἴδατε] οἶδε (sic) T | γάρ om. V T edd. 17 σημείων] μιλίων V ed.Rom.^{mg}, sed cf. lat. 18 τὸ ἔργον τοῦ θεοῦ V | πληρώσητε T: πληρώσοιτε HV ἀποπληρώσητε M 20 γνωρίσοιτε HV 20–21 ἀσπάσεσθε scripsi coll. lat.: ἀσπάσασθε H M edd. ἀσπάσοισθε V ἀσπάσησθε T 21 καὶ ἀγνῶτες om. V 22 ἀσθενῶς – ἔχοντες] ἀμαθεῖς V | κατατολμήσαιμεν H 22–23 χρήματος – δύναμιν] τοῦ τὴν ἡμετέραν δύναμιν ὑπερβάλλοντος ἔργου V 23–24 ἐνεργήσας – αὐτῶν om. V 24 τῷ ἁγίῳ ἀποστόλῳ H | οἰκουμένην + πᾶσαν V edd. 26 λόγον ὑμῖν V | τοῦ om. M 29 καὶ – παρακλήσει om. V | μετ'] μὲν H 29–252,1 προπεπονφότες H προσπεπομφότες ed.Rom.*

tione tributorum oppresso. at illi hoc moleste ferentes dicebant quia „in hoc destinati sumus ut tradamus nostras in mortem animas pro ecclesia et propositum sanctissimi patriarchae ac piissimorum imperatorum perducamus in finem." „sed si in uestras tantummodo animas", diximus ad eos, „cohauriretur periculum, haberet La.-Co. 174 forte sermo uester aliquam firmitatem. at uero quia contra commune corpus procedit ecclesiae, qualis erit profectus? immo qualis non erit laesio aedificium construere super putredinem et firmo fundamento priuatum?" „et quomodo", inquiunt, „uel qua facie ad eos qui nos miserunt redibimus, nihil eorum quae secundum uotum suum sperabant omnino ferentes?" ad haec deficientes nos scientesque deo amabiles fratres nostros, Iohannem scilicet et Thomam, zelo diuino horthodoxae fidei adornatos atque duorum sanctorum et magnorum patriarcharum syncellos, quin et sanctifici silentii amatores, diximus ad eos: *„ecce tempus*, fratres, acceptum *salutis* et silentio excellentius. ite cum uiris istis et pro eis apologiam assumite. et enarrate uiua uoce quae per litteras intimare dominis nostris supra uires esse conicimus. nostis enim, qualiter per pusillam accusationem exul factus sit a duobus milibus signorum ille qui ad regendum thronum fratris domini sortitus est Iacobi. cum autem opus dei adimpleueritis et apostolicam traditionem, quae tenetur in ecclesiis per Aegyptum et Syriam, dominis nostris cognitam feceritis, tunc quod a uobis desideratur amplectemini." „et quomodo nos", responderunt, „idiotae cum simus et inexpertes et ad tantam causam infirmi et indocti, praesumemus arripere negotium quod uirtutem Ma. 1133 nostram exuperat?" „sed Christus deus noster, qui per uilissimos et idiotas", euestigio diximus, „cooperatus est sanctis apostolis et per eos orbem terrarum captauit ad oboedientiam uerbi dispensationis suae, potens est dare uobis sermonem *in apertione oris* uestri ad supplendum intentionem et sensum eorum qui neque litteras quiuerunt suscipere neque ausi sunt scribere uel super talibus quolibet modo muttire." qui cum dei essent amatores, *oboedientiae filii* apparentes, oboedierunt uerbo nostro et acquieuerunt exhortationi. quos cum prolixa praemittentes oratione et gaudium non Rom. 448

P VE

1 hoc¹] hac E haec F² *edd.* 4 cohauriretur] quo hauriretur P^{pc} (c *in* q *mut.*, u *add.* P^{c} *s.l.*) coauriretur E coorieretur *coni. Hard.*^{mg} 6 erit¹] erat VE | lesio VE 7 priuatum *ed. Rom.*: priuatam *codd.* 8 faciae P | rediuimus V^{pc} (u V$^{1-2}$ *s.l.*) E | nichil VE | quae] qui P^{ac} (i *in* e *mut.* P^{c}) 10 Thoman P 11 magnarum VE | sincellos VE 11–12 sanctifici *ed. Rom.*^{mg} *(cf. Mansi 16, 27 B)*: sanctificandos *codd.* 12 dixit VE (*corr.* F²) 14 supra uires ~ παρέλκον 15 duobus P: uobis VE bis *ed. Rom.*^{corr*} | millibus *ed. Rom.** 18–19 amplectimini P^{ac} (i *in* e *mut.* P^{c}) *ed. Rom.** (*ex* F) 19 nos *om.* P | ydiotae VE | inexpertes] „*g.* ignoti" *ed. Rom.*^{mg} 21 ydiotas VE 23 obedientiam VE 25 muttire P^{pc} V: mittere P^{ac} (u *supra* i, i *supra* e P^{c}) mutire E *edd.* 26 *post* amatores *fort.* et *supplendum, cf. gr.* | obedientiae VE | obędierunt V obedierunt E 27 exortationi VE hortationi *ed. Rom.** | promittentes *ed. Rom.**

Ha. 141 φότες εὐχῆς καὶ χαρὰν οὐ τὴν τυχοῦσαν τοῖς ἀποσταλεῖσι προεξενηκότες, οὕτω διεσπάσθημεν ἀπ' ἀλλήλων μετὰ πολλῆς δακρύων χύσεως.

Ἀλλ', ὦ ἁγιώτατοι καὶ μακαριώτατοι, ὡς πρέπον ἐστὶ τῇ πατρικῇ δεσποτείᾳ ὑμῶν, ἀσμένως τοὺς ἀδελφοὺς ἡμῶν ὑποδέξασθε καὶ τοῖς δεσπόταις τῆς οἰκουμένης ἄτερ συστολῆς καὶ ἀνθρωπίνου φόβου παραστήσατε. ἕξετε γὰρ αὐτοὺς ἐπισταμένους ἀκριβῶς τῶν τριῶν ἀποστολικῶν θρόνων τὴν ὁμονοητικήν τε καὶ σύμφωνον ὀρθοδοξίαν· οἵ τινες τὰς ἁγίας καὶ οἰκουμενικὰς ἓξ συνόδους ὁμοφώνως κηρύττουσιν, ἑτέραν πρὸς ταύταις, ἣν καὶ ἑβδόμην τινὲς θρυλλοῦσιν, οὐ προσιέμενοι, μᾶλλον δὲ πάμπαν ἀποβαλλόμενοι ὡς ἐπὶ καθαιρέσει τῶν ἀποστολικῶν τε καὶ διδασκαλικῶν παραδόσεων ἀθροισθεῖσαν καὶ τῶν θείων καὶ σεπτῶν εἰκόνων ἀναιρέσει καὶ ἐξαλείψει. ὑμεῖς δέ, ἁγιώτατοι, πεπυρσευμένοι θείῳ ζήλῳ ὑπάρχοντες σύμφρονάς τε τοὺς δικαίᾳ ψήφῳ θεοῦ βασιλεύειν ἡμῶν προκριθέντας θεοφυλάκτους δεσπότας ἔχοντες, ἅμα δὲ καὶ τὴν θεοσκεπῆ καὶ θεοτείχιστον σύγκλητον, ἰσχύσατε καὶ *ἀνδρίζεσθε, καὶ κραταιούσθω ἡ καρδία ὑμῶν, πᾶσαν παρακοὴν* ἀποστολικῶς *διεκδικοῦντες*
La.-Co. 176 καὶ εἰς τὴν τοῦ Χριστοῦ ὑπακοὴν μεθαρμόζοντες. ἐκεῖνο δὲ ὑπομιμνήσκομεν ὡς ἀναγκαῖον τὴν ἱεραρχικὴν ὑμῶν κορυφήν, εἴγε εὐδοκίᾳ τοῦ παμβασιλέως Χριστοῦ τοῦ θεοῦ ἡμῶν καὶ τῶν αὐτῷ συμβασιλεύειν ἠξιωμένων θεοσεβεστάτων καὶ τροπαιούχων δεσποτῶν ἡμῶν βουληθείητε συγκροτῆσαι σύνοδον, μὴ ἐπαχθὲς ὑμῖν φανείη τῶν τριῶν ἀποστολικῶν θρόνων τῶν ἁγιωτάτων πατριαρχῶν καὶ τῶν ὑπ' αὐτοὺς ὁσιωτάτων ἐπισκόπων ἡ ἀπόλειψις, οὐκ ἐξ οἰκείας αὐτῶν συμβαίνουσα προθέσεως, ἀλλὰ τῆς τῶν κρατούντων καὶ κυριευόντων αὐτῶν φρικωδεστάτης ἐπαπειλήσεως καὶ θανατηφόρου ἐπιτιμήσεως. τοῦτο δέ ἐστιν ἀκριβέστερον συνιδεῖν καὶ ἀπὸ τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου, ἐν ᾗ οὐδεὶς τῶν κατὰ τὸν καιρὸν ἐκεῖνον ἐν τούτοις ἐπισκοπούντων τοῖς μέρεσι συναχθεὶς εὕρηται διὰ τὴν τῶν μιαρῶν ἐπικράτειαν. ἀλλ' οὐδὲν ἐκ τούτου τῇ ἁγίᾳ συνόδῳ πρόκριμα συνεπλάκη, οὐδ' αὖ παρωμάρτησε κώλυσίς τις συστήσασθαι καὶ κατάδηλα πᾶσι ποιῆσαι τὰ ὀρθὰ τῆς εὐσεβείας δόγματα, μάλιστα τοῦ ἁγιωτάτου καὶ ἀποστολικοῦ πάπα Ῥώμης συμφω-
Ma. 1135 νήσαντος αὐτῇ καὶ συνευρεθέντος διὰ τῶν οἰκείων ἀποκρισιαρίων. καὶ ἀρτίως, ἁγιώτατοι, τοῦτο γέγηται σὺν θεῷ. καὶ τηνικαῦτα ὃν τρόπον ἐκείνης ἡ πίστις εἰς τὰ τῆς οἰκουμένης *ἐξήχηται* πέρατα, οὕτω καὶ τῆς νυνὶ ἀθροισθησομένης Χριστοῦ χάριτι συνόδου διὰ τῆς μεσιτείας ὑμῶν καὶ τοῦ τὸν ἀποστολικὸν θρόνον τοῦ

13–14 Ps. 30,25 14 cf. 2 Cor. 10,6 30 1 Thess. 1,8

HV T M

---

1 προξενηκότες H 3 ὑμῶν] ἡμῶν M 5–6 ἀκριβῶς ἐπανισταμένους H 6 σύμφωνον] σύνθρονον H 7 ς' H | συμφώνως M 8 μᾶλλον δὲ] ἀλλὰ V edd. 9 τε καὶ διδασκαλικῶν om. V 10 συναθροισθεῖσαν Vc edd. | σεπτῶν] ἁγίων V 10–11 ἀναίρεσιν καὶ ἐξάλειψιν HV 11 πεπυροσμένοι V prob. | θείῳ ζήλῳ + θείῳ (sic) V 12 θεοῦ ψήφῳ H | ἡμῶν] ὑμῶν ed.Rom.*, sed cf. l. 18 etc. | θεοφυλάκτους om. V | ἔχοντας V 13 ἅμα] πρὸς V | θεοσκεπῆ καὶ om. V | ἰσχύσατε καὶ om. V 14 ἀποστολικῶς om. V 15 τοῦ om. V 17 συμβασιλεύειν] συμβουλεύειν T 17–18 θεοσεβεστάτων – τροπαιούχων om. V 17–18 τροπαιούχων] θεοστέπτων H 18 ἐπαχθὴς ed.Rom.*, sed cf. lat. | ὑμῖν V T M^{ec}: ὑμῶν H 20 οὐκ] οὐ γὰρ T edd. | συμβαίνουσα H M (cf. lat.): συμβαινούσης V τὸ ἐμποδὼν T edd. 21 καὶ κυριευόντων αὐτῶν om. V | ἐπαπειλήσεως om. V, uide infra 22 ἐπιτιμήσεως] ἐπαπειλήσεως V | ἀκριβέστατον H 23 τὸν om. V 25 οὐδὲν] οὐδὲ V edd. | τῇ ἁγίᾳ συνόδῳ om. HV 26 κατάδηλον V | πᾶσι om. HV 27 καὶ ἀποστολικοῦ om. V | Ῥώμης om. V 27–28 συμφρονήσαντος M 28 αὐτῇ καὶ] fort. καὶ ⟨ἐν⟩ αὐτῇ, cf. lat. | καὶ συνευρεθέντος om. V 29 ἁγιώτατοι + ἂν H | γέγηται H M (uide supra p. 242,12): γέγοιτο T edd. γεγένηται V | καὶ om. H | τηνικαῦτα om. H T, post τρόπον transp. ed.Rom.* | ἐκείνης (sc. συνόδου)] ἐκείνου La.-Co.^{mg} 30 ἐξήχηται] ἐξέρχεται V | καὶ + τὰ T^{1} s.l. 31 τῆς om. T edd. 31–254,1 τὸν ἀποστολικὸν – διέποντος] Ῥώμης πάπα V; locus suspectus, exspectaueris τὸν τοῦ κορυφαίου τῶν ἀποστόλων θρόνον διέποντος, cf. lat. et ACO III p. 147,11–12

qualecumque his qui missi sunt conciliantes, taliter diuulsi sumus ab inuicem cum Ha. 142
multa lacrimarum effusione.

Verum, o sanctissimi et beatissimi, ut decet paternam dominationem uestram, benigne fratres nostros suscipite ac dominis orbis absque subtractione uel timore hominum praesentate. habebitis enim eos scientes liquido trium apostolicarum sedium concinentem et concordantem horthodoxiam. qui sanctas et uniuersales sex synodos uoce consona praedicant, aliam ad has, quam et septimam quidam susurrando nuncupant, nullatenus admittentes, immo modis omnibus respuentes, nimirum ut du- PL 129,261
dum in apostolicarum et magisteralium traditionum depositionem atque sacrarum ac uenerabilium imaginum interemptionem et abolitionem collectam. uos autem, sanctissimi, diuino illustrati zelo consentaneosque habentes diuinitus conseruandos dominos, qui iusto decreto dei in uobis imperare praeordinati sunt, simul etiam et a deo protegendum et muniendum senatum, praeualete et *uiriliter agite, et confortetur cor uestrum, omnem inoboedientiam* apostolice *ulciscentes* et ad Christi oboedien- La.-Co. 175
tiam coaptantes. illud autem tanquam necessarium penes pontificalem apicem uestrum commonendum ducimus ut, si beneplacito cunctorum regis, Christi uidelicet dei nostri, et eorum qui cum eo regnare meruerunt, dei scilicet cultorum ac triumphatorum dominorum nostrorum, uolueritis celebrare synodum, ne molestia uobis appareat trium apostolicarum sedium almorum patriarcharum et sanctissimorum episcoporum qui sub ipsis degunt absentia, non ex proprio eorum accidens proposito, sed ex tenentium et dominantium illis terribilibus minis et mortiferis poenis. hoc autem subtilius est considerandum etiam ab ipsa sacra et uniuersali sexta synodo, in qua nullus eorum qui per idem tempus in his partibus episcopi erant conuenisse repertus est propter obscenorum optinentiam. sed nullum ex hoc sanctae adhaesit synodo praeiudicium, neque uires habuit prohibitio aliqua statuendi et manifesta faciendi recta dogmata pietatis, praecipue cum sanctissimus et apostolicus papa Romanus concordauerit et in ea inuentus sit per apocrisiarios suos. et nunc, sanctissimi, hoc cum dei auxilio similiter fiet. nam sicut tunc illius fides in orbis terrae *personuit* Ma. 1136
fines, ita et synodi quae nunc per gratiam dei congreganda est per interuentionem uestram et eius qui moderatur apostolorum principis sedem praedicabitur in omni

P VE

3 ut] et P^{ac} (u P^{c} *s.l.*) 4 ac] et *ed. Rom.** | substractione P 6 huniuersales P 8 ut VE: et P 8–9 dudum] *nihil respondet in gr.* 11 consentaneosque *scripsi coll. gr.*: consentaneos quique P VE consentaneos quoque F^{2} *edd.* 12 *exspectaueris* nobis, *sed Anast. fort. legit* ὑμῶν 14 cor uestrum *om.* V^{ac} *(add.* V^{1-2} *s.l.)* E | inobedientiam VE 14–15 obedientiam VE 15 coaptentes P 17 cultorum *scripsi coll. gr. et p. 247,27*: cunctorum P VE amicorum F^{2} *edd.* | ac] et *ed. Rom.** 18 caelebrare P | molesta F^{2} *edd., sed cf. gr.* 21 et^{1} P V^{pc} *(cf. gr.)*: set V^{ac} (s *del.*) sed E seu F^{2} *edd.* | penis VE 25 sinodo V^{ec}E | praeiuditium P 26 praecipue P^{pc} (*ras. unius litt. inter* u *et* e): precipue VE 27 in ea inuentus E: in eam uentus P V | apocrisarios E *edd.* 28 auxilio dei *ed. Rom.** | fiat *ed. Rom.**, *sed cf. supra p. 243,12* 29 fines] fides P^{ac} (d *exp. et* n *superscr.* P^{c}) 30 praedicabitur] *sc.* fides, *ut adnot.* F^{2mg}

κορυφαίου διέποντος κηρυχθήσεται ἐν ὅλῃ τῇ ὑφηλίῳ, δηλαδὴ τὰ τυραννικῶς καταστραφέντα ἀνορθοῦσα καὶ εἰς τὸ ἀρχαῖον ἀποκαθιστῶσα τῆς ἀποστολικῆς παραδόσεως.

Πρὸς δὲ ὀχύρωσιν τῶν μετρίων ἡμῶν γραμμάτων πληροφορίαν τε τῆς ὑμετέρας δεσποτικῆς μακαριότητος καὶ τῶν νικητῶν καὶ τροπαιούχων ἡμῶν βασιλέων συν-
Rom. 449 είδομεν καὶ τὸ ἴσον τῶν συνοδικῶν Θεοδώρου τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ πατριάρχου Ἱεροσολύμων ὑποτάξαι τοῖς ὑφ' ἡμῶν γραφεῖσι. τοῦτον δὲ τὸν λίβελλον κατὰ τὸν συνήθη θεσμὸν τῆς ἐκκλησίας ὁ αὐτὸς ἐν ἁγίᾳ τῇ λήξει γεγράφηκε τοῖς μακαρίοις καὶ ἐν ὁσίᾳ τῇ λήξει ἁγιωτάτοις πατριάρχαις, Κοσμᾷ φαμεν τῷ Ἀλεξανδρείας καὶ Θεωδώρῳ τῷ Ἀντιοχείας Θεουπόλεως· ὃς καὶ τὰ ἀντισυνοδικὰ αὐτῶν ἔτι ζῶν ἐδέξατο.

Ἐρρωμένους ὑμᾶς καὶ ἡμῖν εὐχομένους ὁ κύριος διαφυλάξειεν, ἁγιώτατοι καὶ θεοτίμητοι.

Ἴσον συνοδικῶν Θεοδώρου τοῦ ἁγιωτάτου πατριάρχου Ἱεροσολύμων

Πιστεύομεν τοίνυν, μακαριώτατοι, καθάπερ ἄνωθέν τε καὶ ἐξ ἀρχῆς πεπιστεύκαμεν,
εἰς ἕνα θεὸν πατέρα παντοκράτορα, ἄναρχον πάντελῶς καὶ ἀΐδιον, πάντων ὁρατῶν καὶ ἀοράτων ποιητήν· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ τὸν
Ha. 144 μονογενῆ, τὸν ἀϊδίως καὶ ἀπαθῶς ἐξ αὐτοῦ γεννηθέντα τοῦ θεοῦ καὶ πατρὸς καὶ οὐκ ἄλλην ἀρχὴν ἢ τὸν πατέρα γινώσκοντα καὶ ἐξ αὐτοῦ τὴν ὑπόστασιν ἔχοντα, φῶς ἐκ φωτός, θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ· καὶ εἰς ἓν πνεῦμα ἅγιον τὸ ἀϊδίως ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, τὸ φῶς καὶ θεὸν καὶ αὐτὸ γνωριζόμενον καὶ ὃν ἀληθῶς πατρὶ καὶ υἱῷ συναΐδιον, ὁμοούσιόν τε καὶ ὁμόφυλον καὶ τῆς αὐτῆς οὐσίας καὶ φύσεως, ὡσαύτως δὲ καὶ θεότητος, τριάδα ὁμοούσιον καὶ ὁμότιμον καὶ ὁμό-
La.-Co. 177 θρονον, εἰς μίαν συγκεφαλαιουμένην θεότητα καὶ εἰς μίαν συναγομένην καὶ κοινὴν κυριότητα ἄνευ προσωπικῆς τε καὶ ὑποστατικῆς ἀναχύσεώς τε καὶ συναιρέσεως.

9–10 De patriarchis Cosma et Theodoro cf. Auzépy, L'hagiographie p. 221–223; PmbZ #4094 et #7573

14–268,7 epistula synodica (excerptum uidelicet) Theodori patriarchae Hierosolymorum (a. 767?). negauerim hanc epistulam eandem esse quam a. 767 Romam missam esse testatur epistula papae Constantini II. ad regem Pippinum (JE 2375; Cod. Carol. n. 99) p. 652,35–653,5 Gundlach; cf. Hadr. p. 11,12-19 (uersionem latinam in synodo Lateranensi a. 769 relectam esse tradit Hadr. p. 11,19-23 et p. 23,25, ex qua excerpta sunt testimonia Hadr. p. 11,23-28 et p. 23,27-34). nam synodica, quae hic sequuntur, ad eosdem patriarchas Cosmam et Theodorum directa esse dicuntur (cf. supra l. 7–11) qui illam epistulam subscripsisse traduntur. de excerptis quae in LC et Hadr. ex Actis Nicaenis adferuntur uide app. testim. lat. 15–256,2 Πιστεύομεν – θεότητος ~ Sophr. Hier. epist. synod., ACO ser. II, II 1 p. 418,6–18

HV T M 15–256,2 ~ *Sophr.*

---

1 ὑφ' ἡλίῳ ed.Rom.* | τὰ τυραννικῶς] τυραννικῶς τὰ M 2 ἀνορθούσης T edd., sed cf. lat. | ἀποκαθιστώσης T edd. 2–3 τῆς ἀποστολικῆς παραδόσεως H M: κατὰ τὴν ἀποστολικὴν παράδοσιν T edd., om. V 5–6 συνίδωμεν H 6 τοῖς συνοδικοῖς T^{pc} τοῦ συνοδικοῖς T^{ac} (οῖς supra οῦ T^{1}) τῆς συνοδικῆς ed. Rom.* | Θεοδώρου + τε V 8 ὁ] ὃν V | τῇ om. V | γεγράφηκας V 9 καὶ ἐν ὁσίᾳ τῇ λήξει om. V 10 Θεουπόλεως om. V | τὰ om. H 12–13 καὶ θεοτίμητοι om. V 14 συνοδικὸν V συνοδικοῦ ed. Rom.* | τοῦ om. HV 15 καθάπερ] ὥσπερ V 19 ἔχοντα post αὐτοῦ V 21 καὶ^{2} om. V 22 ὁμόφυλλον V 23 φύσεως] πίστεως V^{ac} (exp. et φύσεως V^{2mg}) | θεότητα H | ὁμοούσιον + τε V T edd. 25 ὑποστατικῆς ἀναχύσεώς τε] ἀναχυτικῆς συγχύσεώς τε HV

loco qui sub sole est, uidelicet quae tyrannice distructa sunt erigens et in antiquam ac apostolicam reformans traditionem.

Porro ad munitionem humilium litterarum nostrarum satisfactionemque beatitudinis dominicae uestrae atque uictorum et triumphatorum imperatorum nostrorum Rom. 449
conspeximus etiam exemplar synodicorum Theodori sanctae memoriae patris nostri et patriarchae Hierosolymarum subiciendum his quae scripta sunt a nobis. hunc autem libellum secundum solitum ecclesiae ritum idem sanctae recordationis scripsit beatis et †almi termini atque† sanctissimis patriarchis, Cosmae scilicet Alexandriae ac Theodoro Antiochiae Theupoleos. qui et reciproca synodica eorum, dum adhuc uiueret, recepisse dinoscitur.
Incolomes uos et nobis orantes dominus conseruet, sanctissimi et diuinitus honorati.

Exemplar synodicorum Theodori sanctissimi patriarchae Hierosolymarum

Credimus igitur, beatissimi, quemadmodum credidimus desursum et ab initio, in unum deum patrem omnipotentem, sine principio penitus et sempiternum, omnium PL 129,262
uisibilium ac inuisibilium factorem, et in unum dominum nostrum Iesum Christum filium dei unigenitum, ex ipso deo et patre sempiterne ac impassibiliter natum nec Ha. 143
aliud principium quam patrem scientem et ex ipso substantiam habentem, lumen ex lumine, deum uerum ex deo uero, et in spiritum sanctum ex patre procedentem, lumen et deum per se cognitum et existentem ueraciter patri et filio coeternum, homousion et contribulem et eiusdem essentiae ac naturae, similiter autem et deitatis, trinitatem homousion ac unius honoris et throni, quae in unam recapitulatur et La.-Co. 178
colligitur deitatem et communem dominationem sine personali et subsistentiali refusione uel diuisione. trinitatem enim in unitate credimus et unitatem in trinitate

---

14–17 *cf. LC III 4 p. 354,1–7 (= III Capit. p. 331,10–15; cf. p. 354,18–22) = *Hadr. p. 11,7–11* (In eadem actione. Capitulo II): Utrum Theodorus, episcopus (archiepiscopus *Hadr.*) Hierosolymorum, recte sentiat, qui, cum „Patrem sine principio penitus et sempiternum" se credere dixerit (dixit *Hadr.*), Filium nescio sub qua ambage verborum „non aliud principium quam Patrem agnoscentem et ex ipso subsistentiam (substantiam *Hadr.*) habentem" professus sit? 19–20 *cf. LC III 5 p. 358,11–14 (= III Capit. p. 331,16–19) = *Hadr. p. 13,12–15* (In sexta [*sic*] actione. Capitulo III): Quod Tarasius (idem *LC ante corr.*, idem T(h)arasius *Capit. Hadr.*) non recte Spiritum sanctum „contribulum Patri (*om. Hadr.*) et Filio" dixerit, cum sufficeret dicere ‚coaeternum, consubstantialem (consubstantiale *Hadr.*) eiusdemque essentiae et naturae'. *cf. Freeman p. 358 adn. 3.*

P VE 14 ~ *LC *Hadr.* 16–17 ~ *LC *Hadr.* 19–20 ~ *LC *Hadr.*

1 destructa P^{ec} F^{2} *edd.* | ac] et *ed. Rom.* ex* F 3 ad munitionem *ed. Rom.*: admonitionem *uel* ad monitionem *codd.* 4 dominicae *scripsi coll.gr.*: dominationis *codd.* 5 conspeximus] *exspectaueris* considerauimus, *cf. e.g. p. 249,27 et Act. IV 110 A 5–6;* conspeximus (conspicio ~ συνορῶ *habent Gloss.*) *fort. ex priore uersione iteratum* | etiam] atque *ed. Rom. (corr. ed. Reg.)* 6 Hierosolimarum VE Hierosolymorum *ed. Rom.** | his quae] hasque E (*corr.* F^{2}) 7 idem E: id est P V 8 almi termini atque] *locus suspectus, fort. Anast. uersionem priorem mendosam corrigere oblitus est* | atque *om. ed. Rom.** 9 Theopoleos VE *edd.* 10 dignoscitur E *edd.* 11 Incolumes *ed. Rom.* ex* F | et^{1} P: pro VE *edd., sed cf. gr.* 12 Hierosolymarum *scripsi*: Hierosolimarum *codd.* Hierosolymorum *ed. Rom.** 13 credidimus *ed. Rom.*: credimus *codd.* | et *om. ed. Rom.** 14 omnipotentem *om.* E *edd.* | paenitus P 15 ac] et *ed. Rom.* ex* F | nostrum *om.* E *edd. fort. recte, cf. gr.* 16 inpassibiliter VE 18 in spiritum – procedentem] *exspectaueris* in <unum> spiritum sanctum ex patre <sempiterne> procedentem, *cf. gr.* 19 per se] et ipsum per se *ed. Rom.*^{mg} *non male, fort.* [per se] <et ipsum> *scribendum, nisi forte illud* per se *ipsi Anastasio tribuendum* 20 omousion *codd.* 21 omousion *codd.* | in *om.* V^{ac} *(add.* V^{1-2} *s.l.)* E 22 substantiali P E, *sed cf. p. 2,18–24; p. 237,19 etc.* 23 diuisione] „*gr.* contractione" *ed. Rom.*^{mg} (*cf. Lampe s.u.* συναίρεσις), *sed* diuisione *potius est mendum interpretis, cf. etiam ACO ser. II, I p. 419,16 et 847,13*

τριάδα γὰρ ἐν μονάδι πιστεύομεν καὶ μονάδα ἐν τριάδι δοξάζομεν, τριάδα μὲν ταῖς τρισὶν ὑποστάσεσι, μονάδα δὲ τῷ μοναδικῷ τῆς θεότητος, οὔτε τὸ ἐνιαῖον συγκεχυμένον ἔχουσαν οὐδ' αὖ τὸ τρισσὸν διαμπὰξ διαιρούμενον, ἐν θατέρῳ δὲ μᾶλλον συντηρούμενον θάτερον. διαιρουμένη γὰρ ταῖς ἀριθμηταῖς ὑποστάσεσι καὶ ἀριθμουμένη ταῖς προσωπικαῖς ἑτερότησι τῷ ταυτῷ τῆς οὐσίας καὶ τῆς φύσεως ἥνωται καὶ παντελῆ μερισμὸν οὐ προσίεται. εἷς γὰρ θεός ἐστιν, ὅτι καὶ θεότης μία διαπρυσίως κηρύττεται καὶ ἐν τριάδι προσώπων γινώσκεται· καὶ οὔτε καθὸ εἷς θεὸς ὁ θεὸς καὶ μία θεότης, ἐστὶ διαιρούμενος καὶ εἰς τρεῖς θεοὺς μεριζόμενος – Ἀρειανῶν τὸ δυσσέβημα – οὔτε καθὸ τρεῖς ὁ εἷς θεός ἐστι καὶ γνωρίζεται καὶ ὑποστάσεις τρεῖς καταγγέλλεται, καὶ πατὴρ καὶ υἱὸς καὶ πνεῦμα πανάγιον, λέγεται συστελλόμενος ἢ
Ma. 1138 συντιθέμενος καὶ εἰς μίαν ἑαυτὸν συναλείφων ὑπόστασιν – Σαβελλιανῶν τὸ ἀνόμημα –, καὶ διὰ τοῦτο καλῶς τοῖς θεολόγοις τεθέσπισται μονάδα μὲν ἡμᾶς φρονεῖν ἐν μιᾷ καὶ ἐνιαίᾳ θεότητι, τριάδα δὲ ταῖς ἀσυγχύτοις τρισὶν ὑποστάσεσιν. οὐκ
Rom. 450 ἄλλον δὲ τὸν ἕνα θεὸν παρὰ τὰ τρία γινώσκομεν πρόσωπα οὔτε τὰ τρία τῆς τριάδος ὁμοούσια πρόσωπα, ἅπερ ἐστὶν ὁ πατήρ, ὁ υἱός, τὸ πνεῦμα τὸ ἅγιον, ἕτερα παρὰ τὸν ἕνα θεὸν ἐπιστάμεθα, καὶ διὰ τοῦτο ἓν τὰ τρία τὰ ἐν οἷς ἡ θεότης κηρύττομεν καὶ τὰ τρία ἓν ὧν ἡ θεότης ἐστὶν ἐξαγγέλλομεν ἤ, τό γε ἀληθέστερον εἰπεῖν, ἃ ἡ θεότης ἐστὶ καὶ γινώσκεται.

Πιστεύομεν δὲ καὶ εἰς τὸν ἕνα τῆς αὐτῆς ἁγίας καὶ ὁμοουσίου τριάδος κύριον ἡμῶν Ἰησοῦν Χριστόν· *ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο*, ὡς φησιν ὁ ἀπόστολος, *τὸ εἶναι ἴσα θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών*· τῷ πατρὶ γὰρ ὢν ὁμοούσιός τε καὶ σύνθρονος ἐπ' ἐσχάτων τῶν χρόνων οὐκ ἀπηξίωσε τεχθῆναι ἐκ τῆς ἁγίας καὶ παναχράντου δεσποίνης ἡμῶν θεοτόκου, σάρκα λαβὼν ἐξ αὐτῆς ἐψυχωμένην ψυχῇ λογικῇ τε καὶ νοερᾷ, *ἀπαρχὴν* τοῦ ἡμετέρου *φυράματος*, οὐ σπερματικῶς, ἀλλὰ δημιουργικῶς διὰ τοῦ ἁγίου πνεύματος. οὕτω προελθὼν εἷς ἐκ δύο τῶν ἐναντίων ὁ θεὸς λόγος τέλειος φύσει θεὸς ὢν γέγονε φύσει τέλειος ἄνθρωπος ὁ αὐτός, οὐ τραπεὶς τὴν φύσιν οὐδὲ φαντάσας τὴν οἰκονομίαν,

---

20–21 Phil. 2,6–7 **24–25** Num. 15,20–21; cf. Rom. 11,16

2–4 οὔτε – θάτερον ~ Ioh. Dam. laud. Chrys. c. 3,5–7 Kotter V **4–18** διαιρουμένη – γινώσκεται ~ Sophr. Hier. epist. synod., ACO ser. II, II 1 p. 418,21–420,14. 422,3–5. 422,11–15 (partim abbreuiatum) **23–25** σάρκα – πνεύματος ~ Ioh. Dam. exp. fid. c. 46,22–24 Kotter II **25–26** οὕτω – λόγος cf. Greg. Naz. or. 38 (in theophania) c. 13,25–26 Moreschini; laudatur apud Iustin. epist. c. tria cap. p. 58,26 Schwartz; cf. etiam Ioh. Dam. dial. c. Manich. c. 16,2–3 et 22,22–23 Kotter IV **26–258,4** τέλειος – θεότητος ~ Ioh. Dam. exp. fid. c. 46,34–40 Kotter II

HV T M **2–4** ~ *Ioh. Dam.* **4–18** ~ *Sophr.* **23–25** ~ *Ioh. Dam.* **26–258,4** ~ *Ioh. Dam.*

---

1 ταῖς] ἐν V **2** οὔτε + γὰρ T edd., sed cf. lat. | ἐνιαῖον M (coni. ed.Rom.^{mg}, cf. *Ioh. Dam.*; cf. etiam Sophr. Hier. epist. synod., ACO ser. II, II 1 p. 420,2): ἓν ἴδιον (quod legit etiam Anast.) HV T **3** ἔχουσαν H M: ἔχει V T edd. | οὐδ' αὖ] οὔτε *Ioh. Dam.* | μᾶλλον om. *Ioh. Dam.* **4** ἀριθμηταῖς ed.Rom.* (cf. *Sophr.*): ἀριθμητικαῖς codd. **5** καὶ^2 + τὸν *Sophr.* **6** ὅτι om. V **7** γινώσκεται] γνωρίζεται V edd., sed cf. *Sophr.* | ὁ θεὸς om. HV, sed cf. *Sophr.* **8** μία θεότης ἐστί, διαιρεῖται T edd., sed cf. lat. et *Sophr.* | μερίζεται T edd. | Ἀρειανῶν + γὰρ T edd. **9** τρεῖς^1] τριὰς *Sophr.* | τρεῖς ὁ om. H **10** πανάγιον πνεῦμα V πνεῦμα ἅγιον *Sophr.* **11** ὑπόστασιν + ὅτι T edd. **11–12** ἀνόμημα] δυσσέβημα H **13** ἐν om. *Sophr.* | ἐνιαῖα H **13–14** οὐκ ἄλλον] οὐκάλον (sic) H **15** υἱὸς + καὶ HV | τὸ πνεῦμα τὸ ἅγιον] πνεῦμα ἅγιον H **20** ὡς φησιν H (cf. lat.): φησὶν T edd. ἤ φησιν M, de V uide infra **21** ἴσα ed.Rom.* | θεῷ + καθά φησιν ὁ ἀπόστολος V **22** ὢν post σύνθρονος H **23** ἐκ τῆς παναχράντου καὶ παναγίας V | ἡμῶν + τῆς T M | θεοτόκου + καὶ ἀειπαρθένου Μαρίας V **24** ἐξ αὐτῆς ante σάρκα H | ἐμψυχωμένην HV | ἀπαρχὴ H **25** πνεύματος + καὶ T edd. **25–26** προῆλθεν T edd., sed cf. lat. **26** τέλειος θεὸς ὢν φύσει V **26–27** γέγονε φύσει τέλειος] τέλειος φύσει γέγονεν M **26** φύσει^2 om. V

glorificamus, trinitatem quidem tribus subsistentiis, unitatem uero singularitate deitatis, quae neque unum quod proprium possidet confusum habet neque ipsum trinum per totum diuisum, sed potius in utroque conseruatum utrumque. diuisa est enim numeratis subsistentiis et numerata personarum diuersitatibus, identitate autem substantiae ac naturae unita est et omnino partitionem non recipit. unus enim deus est, quia deitas una famosissime praedicatur et in trinitate personarum cognoscitur, et neque est, secundum quod unus deus et una deitas est, diuidendus et in tres deos dispertiendus – Arrianorum enim est ista impietas – neque secundum quod tres unus deus est et cognoscitur et subsistentiae tres praedicantur, et pater et filius et spiritus sanctissimus, dicitur contractus uel compactus et in unam sese commiscens sub- Ma. 1137
sistentiam – Sabellianorum enim est ista nequitia –, et ideo bene a deiloquis sancitum est monadem quidem nos debere sapere in una et singulari deitate, triadem uero in inconfusis tribus subsistentiis. non autem alium unum deum praeter tres personas agnoscimus neque tres trinitatis unius substantiae personas, quae sunt pater et filius Rom. 450
et spiritus sanctus, alias praeter unum deum scimus, et propter ea unum tria, in quibus deitas est, praedicamus et tria unum quorum deitas est annuntiamus, immo ut uerius dicatur, quae tria deitas et est et agnoscitur.

Credimus autem et in unum eiusdem sanctae et consubstantialis trinitatis dominum nostrum Iesum Christum, *qui cum in forma dei esset, non rapinam arbitratus est*, ut ait apostolus, *esse se aequalem deo, sed semetipsum exinaniuit formam serui accipiens*. patri enim cum sit consubstantialis atque consessor, in nouissimis temporibus non est dedignatus nasci ex sancta et intemerata domina nostra dei genitrice, carnem ex ea sumens animatam anima rationabili et intelligibili, *primitias massae* nostrae, non seminatam, sed conditam per spiritum sanctum. ita procedens unus ex duobus PL 129,263
contrariis deus uerbum, cum perfectus natura deus existeret, factus est natura perfectus homo idem ipse, non mutans naturam neque simulans dispensationem, sed carni

P VE

2 unum quod proprium possidet] *Anast. legit* τὸ ἓν ἴδιον (*cf. gr.* HV T), „*f.* quae neque unum confusum habet, *etc.*" *ed. Rom.*^{mg} 3 „*gr.* sed potius in altero alterum" *ed. Rom.*^{mg} 5 ac] et *ed. Rom.** | est et] est *om.* E est et *om. ed. Rom.** 7 est^{1} *del. ed. Rom.*^{corr*}, *sed cf. gr.* | secundum *om.* V^{ac} *(add.* V$^{1-2}$ *s.l.)* E 8 quod *om.* P^{ac} *(add.* P^{c} *s.l.)* 9 et^{2} *scripsi coll. gr.*: etiam *codd.* 10 unum P^{ac} (u *in* a *mut.* P^{c}) 11 sanccitum *(sic)* P 12 unam P | et + in E *edd.* | in^{2} *om.* VE (*corr.* F^{2}) 13 alium *post* deum V alium + et E 17 tria *ab Anastasio fort. explicationis causa additum* 18 et^{2} *om. ed. Rom.** 23 intellegibili P 25 contrariis] „contrarias uocat, quia uisibilis (una *add. ed. Rom.*^{corr}) et mortalis est, altera inuisibilis et immortalis, ut ipse paulo infra explicat" *ed. Rom.*^{mg} *nescio unde sumpta (fort. ex codice deperdito Antonii Augustini)* | est *om.* V *edd.* 26 carni *ed. Rom. (cf. gr.)*: carne *codd.*

ἀλλὰ τῇ ἐκ τῆς ἁγίας παρθένου ληφθείσῃ λογικῶς τε καὶ νοερῶς ἐψυχωμένῃ σαρκὶ καὶ ἐν αὐτῷ τὸ εἶναι λαχούσῃ ἑνωθεὶς καθ' ὑπόστασιν ἀσυγχύτως, ἀδιαιρέτως, μὴ μεταβαλὼν τὴν τῆς θεότητος αὐτοῦ φύσιν εἰς τὴν τῆς σαρκὸς οὐσίαν μήτε μὴν τὴν οὐσίαν τῆς σαρκὸς αὐτοῦ εἰς τὴν φύσιν τῆς αὐτοῦ θεότητος. δύο τοιγαροῦν φύσεις ἀτρέπτως ἀλλήλαις ἑνωθεῖσαι ἐν μιᾷ τῇ τοῦ θεοῦ λόγου ὑποστάσει ἕνα υἱὸν καὶ κύριον ἡμῖν ἐγνώρισαν, ὁρατὸν καὶ ἀόρατον, θνητὸν καὶ ἀθάνατον, περιγραπτὸν τὸν αὐτὸν καὶ ἀπερίγραπτον, θεὸν τέλειον καὶ ἄνθρωπον τέλειον, ἐν δύο φύσεσι γνωριζόμενον καὶ ἐν δυσὶν αὐτεξουσίοις ἐνεργείαις προσκυνούμενον καὶ θελήσεσιν. οὐ γὰρ ἂν ἐνήργησε θεϊκῶς οὐκ ὢν φύσει θεός, οὐδ' αὖ πάλιν ἀνθρωπίνως, εἰ μὴ
La.-Co. 180 φύσει γέγονεν ἄνθρωπος. τοῦτον ὁμολογοῦμεν τὸν ὄντως ὄντα θεόν τε καὶ ἄνθρωπον διὰ τὴν ἡμετέραν σωτηρίαν σταυρωθῆναι καὶ θανάτου γεύσασθαι σαρκὶ ταφήν τε τριήμερον καταδεξάμενον καὶ ἀναστάντα ἐκ νεκρῶν, τῆς οἰκείας δυνάμει θεότητος
Ha. 145 τὸν ᾅδην σκυλεύσαντα καὶ τοὺς ἀπ' αἰῶνος δεσμίους ἐλευθερώσαντα εἰς οὐρανούς τε ἀναληφθέντα καὶ ἐν δεξιᾷ κεκαθικότα τοῦ πατρὸς καὶ ἥξοντα κατὰ τὴν φωνὴν τῶν ἀσωμάτων πρὸς τοὺς ἀποστόλους ἐν τῇ δευτέρᾳ αὐτοῦ παρουσίᾳ κρῖναι ζῶντας καὶ νεκρούς. ὁμολογοῦμεν δὲ καὶ τὴν τῶν νεκρῶν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ διὰ φωνῆς ἀρχαγγελικῆς σάλπιγγος ἐξανάστασιν καὶ τὴν τῶν βεβιωμένων ἡμῖν εὖ ἢ ἑτέρως ἐχόντων κρίσει δικαίᾳ Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἀνταπόδοσιν καὶ τοῦ μέλλοντος αἰώνιον ζωὴν καὶ τέλος οὐκ ἔχουσαν.

Δεχόμεθα δὲ καὶ στέργομεν καὶ ἐκθύμως ἀσπαζόμεθα τὰς ἁγίας καὶ οἰκουμενικὰς ἓξ συνόδους τὰς διὰ πνεύματος ἁγίου κατὰ πάσης συναθροισθείσας αἱρέσεως ἐν διαMa. 1139 φόροις τόποις καὶ χρόνοις· ἃς καὶ αἱ καθ' ὅλης τῆς ὑφηλίου τῶν ὀρθοδόξων ἐκκλησίαι διαπρυσίως κηρύττουσαι τοῖς ὀρθοῖς καὶ θεοπνεύστοις αὐτῶν ἐπιστηρίζονται δόγμασι, δεχόμεναι οὓς ἀποδέχονται καὶ ἀποβαλλόμεναι οὓς ἀποβάλλονται. καὶ πρώτη μὲν ἡ ἐν Νικαίᾳ συναγερθεῖσα τῶν τιη' ἁγίων πατέρων σύνοδος ἐπὶ καθαιρέσει Ἀρείου τοῦ τῆς μανίας ἐπωνύμου καὶ τῶν αὐτοῦ ψυχοφθόρων βλασφημιῶν. ὃν ὡς διαιρέτην καὶ τῆς μιᾶς καὶ ἀσυγχύτου κατατομέα θεότητος καὶ τὸν υἱὸν τοῦ πατρὸς κτίσμα βαττολογοῦντα τὸν δι' οὗ τὰ πάντα ἔκτισται καὶ ἐκ μὴ ὄντων εἰς τὸ εἶναι παρήχθη ἀνεθεμάτισε καὶ πάντας τοὺς αὐτοῦ ὁμόφρονας καὶ πόρρω τῶν θείων ἀνακτόρων ἀπεσφενδόνησε, θεσπίσασα τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν πρὸ πάντων τῶν αἰώνων ἐκ τῆς τοῦ πατρὸς οὐσίας καὶ ὑποστάσεως ἀχρόνως, ἀρρεύστως γεννηθέντα καὶ ὁμοούσιον τῷ πατρὶ πεφηνότα καὶ τῷ ἁγίῳ πνεύματι, καὶ διὰ συμβόλου ἤτοι πίστεως ὀρθῆς ὁμολογίας πᾶν τὸ τῆς κατὰ Χριστὸν οἰκονομίας

---

11 θανάτου γεύσασθαι cf. Hebr. 2,9 14–15 κατὰ τὴν φωνὴν – ἀποστόλους cf. Act. 1,10–11 16–17 διὰ – σάλπιγγος cf. 1 Thess. 4,16 28 δι' οὗ τὰ πάντα ἔκτισται cf. Col. 1,16

4–6 cf. Ioh. Dam. exp. fid. c. 47,2–5 Kotter II 6–8 cf. e.g. Ioh. Dam. in dorm. B.M.V. hom. I c. 3,38–41 Kotter V (ubi plura adferuntur) 11–13 cf. Cyr. epist. tert. ad Nest. (epist. 17), ACO I 1,1 p. 37,16–17

HV T M

---

1 ἐμψυχωμένη HV 4 τοιγαροῦν] οὖν V 6 ὁρατόν + τε H | θνητόν + τε H 7 δύο] δυσὶ H 9 ἐνήργει V | οὐδ' αὖ] οὐδὲ V 10 ὄντως om. La.-Co.* | τε om. V 12 καταδέξασθαι T edd. | ἀναστῆναι T edd. 13 ἐλευθερώσαντα + καὶ T edd. 14 τε om. ed.Rom.* | ἀναληφθῆναι T edd. | κεκαθικέναι T edd. 18 ἑτέρως] πονηρῶς M | ἐχόντων] ἔχοντα H 19 αἰώνιον H M (cf. lat.): αἰῶνος V T edd. | καὶ om. T edd. 20 καὶ στέργομεν – ἀσπαζόμεθα om. V | εὐθύμως H | ἓξ] ς' H 22 ἃς om. V | καθ' ὅλης – ὀρθοδόξων om. V | καθόλης H 23 ὀρθοῖς καὶ θεοπνεύστοις om. V | ἐπιστηρίζουσαι V 25 πρώτη] πρῶτα H πρῶτον V | συναθροισθεῖσα V συνεγερθεῖσα T | τιη'] τριακοσίων δέκα καὶ ὀκτὼ M τιη' post σύνοδος V 26 καὶ – βλασφημιῶν om. V 28 κτήσμα V | βατολογοῦντα V | ἐκ μὴ ὄντων om. V 29 πάντας om. T edd. | αὐτῷ T edd. 30 ἀπεσφενδόνισε H 31–32 ἀρεύστως H 33–260,1 οἰκονομίας τρανῶς om. V

rationabiliter et intelligibiliter <animatae> ex sancta uirgine sumptae et in ipso ut esset sortitae unitus est per subsistentiam inconfuse ac indiuise, non transferens deitatis suae naturam in carnis substantiam, sed neque substantiam carnis suae in naturam suae deitatis. duae igitur naturae inconuertibiliter inuicem adunatae in una dei uerbi subsistentia unum filium et dominum nobis demonstrauerunt, uisibilem et inuisibilem, mortalem et immortalem, circumscriptum eundem et incircumscriptum, deum perfectum et hominem perfectum, in duabus naturis agnoscendum et in duabus liberis operationibus et uoluntatibus adorandum. nam non utique operaretur diuine, nisi esset natura deus, neque rursus humane, nisi natura fieret homo. hunc confitemur, qui uere est deus et homo, propter salutem nostram crucifixum fuisse et La.-Co. 179
carne mortem gustasse sepulturamque trium suscepisse dierum et resurrexisse a mortuis propriae potentia deitatis, infernum dispoliasse et eos qui a saeculo uincti Ha. 146
fuerant libertati donasse in caelosque ascendisse et in dextera patris sedisse et uenturum secundum uocem incorporalium * ad apostolos delatam in secundo suo aduentu iudicare uiuos ac mortuos. confitemur autem et mortuorum in nouissima die per uocem archangelicae tubae resurrectionem et operum a nobis bene uel aliter gestorum iuste Christo deo nostro iudicante retributionem et in futuro aeternam uitam et terminum non habentem.

Suscipimus autem et firmamus et alacriter amplectimur sanctas et uniuersales sex synodos, quae per spiritum sanctum contra omnem congregatae sunt heresim in diuersis locis atque temporibus. quas uniuersae sub sole horthodoxorum ecclesiae magna uoce praedicantes rectis ac diuinitus inspiratis earum dogmatibus fulciuntur, Ma. 1140
recipientes quos illae recipiunt et abicientes quos ipsae abiciunt. et prima quidem Rom. 451
apud Nicaeam celebrata trecentorum decem et octo sanctorum patrum synodus in depositionem Arrii a furia cognominati et ipsius animas corrumpentium blasphemiarum. quem ut diuisorem insanum et inconfusae incisorem deitatis et filium patris creaturam garrula uerbositate fatentem, per quem profecto cuncta creata et ex non existentibus ut essent producta sunt, anathematizauit cum omnibus consentaneis eius et procul a diuinis sacrariis pepulit, praedicans dominum nostrum Iesum Christum ante omnia saecula de patris substantia et subsistentia sine tempore ac sine fluxu natum <et> consubstantialem patri et sancto spiritui existentem, et per symbolum, id

P VE

1 intellegibiliter P | „g. animatae" *ed. Rom.*^{mg}, *suppleui, cf. supra p. 257,23* | sumptae *ed. Rom.*: sumpta P E sumta V 2 sortitae *ed. Rom.*: sortita *codd.* | substantiam P 4 adunate P 8 uoluptatibus P^{ac} (p *exp.*, n *superscr.* P^{c}) 9 diuine F: diuinę P VE | humane F: humanę P VE 13 caelosque] caelos *ed. Rom.** | dextera patris] dexteram dei P^{ac} (m *et* dei *exp.*, patris *superscr.* P^{c}) 14 incorporalium] id est angelorum *(glossema Anastasii ut uidetur) add.* P *i.t.* V^{1mg} E^{1} *s.l.* 15 ac] et VE *edd.* 23 illae F^{2}: illi P VE | ipsae F^{2}: ipse P ipsi VE 24 Niceam *codd.* | tricentorum P^{ac} (i *in* e *mut.* P^{c}) 26 ut] et VE | insanum et] *non respondet gr.* καὶ τῆς μιᾶς καὶ 27 et *om.* VE 29 predicans P E | Christum *om.* VE 31 et^{1} *suppleui coll. gr.*

τρανῶς ἐκδιδάξασα μυστήριον. δευτέρα δὲ ἡ ἐν Κωνσταντινουπόλει συναχθεῖσα τῶν ρν' ⟨ἁγίων⟩ πατέρων σύνοδος κατὰ τοῦ πνευματομάχου Μακεδονίου καὶ τῶν ἀμφ' αὐτὸν θεοστυγῶν Ἡμιαρείων. ἥτις ἁγία σύνοδος αὐτὸ τὸ πνεῦμα τὸ ἅγιον ὁδηγὸν καὶ διδάσκαλον ἔχουσα ἐκ τοῦ πατρὸς ἀχρόνως καὶ ἀϊδίως τὴν ἐκπόρευσιν ἐδογμάτισεν ἔχειν καὶ ὁμοούσιον τῷ πατρὶ καὶ τῷ υἱῷ συμπροσκυνούμενόν τε καὶ συνδοξαζόμενον, τοὺς δὲ βλασφημήσαντας ἀσυγχώρητα εἰς αὐτὸν τὸν παράκλητον ἀναθέμασιν ἀσιγήτοις καθυπέβαλε μετὰ καὶ τοῦ παράφρονος Ἀπολιναρίου, ὃς τὸν κατὰ τὸν σωτῆρα ἄνθρωπον ἄνουν ὁ ἄνους ἐφληνάφησε. καὶ τρίτη ἡ ἐν Ἐφέσῳ τὸ πρότερον τῶν διακοσίων ἁγίων πατέρων διαλάμψασα σύνοδος ἐπὶ καταλύσει καὶ ἀποβολῇ τοῦ ἀνθρωπολάτρου Νεστορίου καὶ τῶν ὁμοφρόνων αὐτοῦ, ὃς ἐκ τῶν οἰκείων ἐβδελυγμένων ἐνθυμίων πλανώμενος ἄλλον τὸν προαιώνιον θεὸν λόγον καὶ ἄλλον τὸν ἐκ παρθένου διὰ σωτηρίαν ἡμῶν σαρκωθέντα πεφλυάρηκε, τέταρτον καὶ μὴ βουλόμενος ὁ ἀνόσιος πρόσωπον τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ συνεπεισάγων τριάδι, οὐ μόνον διαιρῶν τὰς ἡνωμένας δύο τοῦ Χριστοῦ φύσεις εἰς δύο ὑποστάσεις, ἀλλὰ καὶ τὴν ‚θεοτόκος' φωνὴν ὁ κατάρατος ἐξομνύμενος καὶ χριστοτόκον καλεῖσθαι νομο-
La.-Co. 181 θετῶν ὁ παράνομος τὴν ὄντως θεομήτορα καὶ πρὸ τοῦ τόκου καὶ μετὰ τόκον παρθένον καὶ πάσης νοητῆς τε καὶ αἰσθητῆς ὑπερτέραν δόξῃ τε καὶ λαμπρότητι δεδημιουργημένην φύσεως. τοῦτον τοίνυν ἡ αὐτὴ ἁγία τῶν διακοσίων πατέρων ἀνεθεμάτισε σύνοδος καὶ τὰ ψυχοβλαβῆ αὐτοῦ ληρήματα, ἕνα υἱὸν τὸν ἐκ πατρὸς πρὸ αἰώνων ἐκλάμψαντα καὶ τὸν αὐτὸν ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐκ τῆς ἀχράντου γεννηθέντα παρθένου καὶ θεοτόκου Μαρίας τὴν ἡμετέραν φύσιν ἀμφιασάμενον διδάξασα καὶ θεὸν τέλειον καὶ ἄνθρωπον τέλειον τὸν αὐτὸν υἱὸν τοῦ θεοῦ καταγγείλασα, τουτέστιν ἕνα υἱὸν καὶ Χριστὸν καὶ κύριον καὶ ἁπλῶς μίαν φύσιν τοῦ θεοῦ λόγου σεσαρκωμένην, ὅπερ σημαίνει τὴν τῶν δύο φύσεων καθ' ὑπόστασιν ἕνωσιν· θεοτό-
Rom. 452 κον δὲ κυρίως καὶ κατ' ἀλήθειαν τὴν ἁγίαν Μαρίαν νενομοθέτηκεν ὀνομάζεσθαι.
Ha. 148 εὐκαιρότατα δὲ καὶ ἡ ἐν Καλχηδόνι θεοσύλλεκτος ἀνατέταλκε σύνοδος τῶν χλ' ἁγίων πατέρων ἐπὶ καθαιρέσει τῆς συγχυτικῆς τῶν τοῦ Χριστοῦ φύσεων πεπλανη-
Ma. 1142 μένης αἱρέσεως. ἣν πρῶτος ὁ παράφρων Εὐτυχὴς ἐξ ἀφροσύνης συνεστήσατο, τὰς ἐν τῷ ἑνὶ Χριστῷ δύο φύσεις ἀτρέπτως ἡνωμένας ἀπαρνούμενος καὶ μίαν φύσιν ἐκ τῶν δύο γεγενῆσθαι τερατευόμενος σύνθετον. ὃς καὶ Διόσκορον τὸν ἀλιτήριον συνασπιστὴν καὶ διέκδικον ἔχων τῶν ὀρθῶν δογμάτων κατήγορος καὶ τῆς ἀληθείας ἀντίπαλος εὑρηται. ἀλλὰ τούτους ἄμφω ἡ ἁγία καταλελύκει σύνοδος καὶ τὰς λή-

---

7–8 τὸν κατὰ τὸν σωτῆρα ἄνθρωπον cf. Greg. Naz. or. 30 (theol. IV) c. 12,5 Gallay/Jourjon; cf. Conc. Const. III, ACO ser. II, II 2 p. 774,33 (definitio fidei) et p. 844,21–22 (edictum Const. IV.) 8 ἄνουν ὁ ἄνους cf. (Ps.-) Anast. Sinait. floril. adu. monothel. c. 2,63 Uthemann 19–22 ἕνα υἱὸν – καταγγείλασα cf. Ioh. Antioch. epist. ad Cyr. de pace (= Cyr. epist. 38), ACO I 1,4 p. 8,27–9,5 23–24 μίαν φύσιν – σεσαρκωμένην cf. e.g. Cyr. epist. tert. ad Nest. (epist. 17), ACO I 1,1 p. 38,22; Sophr. Hier. epist. synod., ACO ser. II, II 1 p. 436,16–17

HV T M

---

1 ἡ ante δευτέρα add. Vc edd. 2 ρν'] ἑκατὸν πεντήκοντα M | ἁγίων add. Dubielzig coll. p. 258,25 al. 3 αὐτὸ τό] τὸ αὐτὸ T edd., cf. lat. 4 ἐκ τοῦ – ἐκπόρευσιν om. HV 5 ἔχειν M: ἔχον T edd. om. HV 6 ἀσυγχώρητα post παράκλητον M 7 καθυπέβαλλε V | Ἀπολλιναρίου V T edd. 7–8 ὃς τὸν κατὰ τὸν] ὃς τὸν κατὰ V ὃς καὶ τὸν M 8 σωτῆρα] Χριστὸν H | ἄννουν H | ἄννους H | ἐφληνάφησε] ἐβλασφήμησε H | καὶ om. H 9 διακοσίων] σ' HV 10 αὐτῶ V T edd. 11 ἐβδελλυγμένων V | ἐνθυμιῶν HV T edd. 13 ὁ ἀνόσιος om. V | ἐπεισάγων H 16 τοῦ om. M | μετὰ + τὸν H 18 διακοσίων] σ' HV 19 καὶ τὰ – ληρήματα om. V 23 ἕνα + καὶ M 25 κατ'] κατὰ H M 26 Καλχηδόνι V T M^{ac}: Χαλκηδόνι H Χαλχηδόνι (sic) M^{pc} (K in X mut. M^{2}) | θεοσύλλεκτος om. V | χλ' V T: χ' H ἑξακοσίων τριάκοντα M 27 τοῦ om. T edd. 30 γεγεννῆσθαι V | τὸν ἀλιτήριον om. V 31 καὶ διέκδικον om. V | κατήγορος καὶ τῆς ἀληθείας om. V 32 ἄμφω om. V | καταλέλυκε Vc^{pc} edd. 32–262,1 τὰς λήρους – αὐστηροῖς om. V

est fidei rectae confessionem, omne Christi dispensationis edocuit expresse misterium. secunda uero collecta est Constantinopoli centum quinquaginta patrum synodus contra spiritus impugnatorem Macedonium et deo exosos Semiarrianos socios eius. quae sancta synodus eundem spiritum sanctum ducem ac magistrum habens ex patre sine tempore ac sempiterne processionem dogmatizauit habere et homousion patri et filio fore coadorandum et conglorificandum, eos autem qui blasphemauerunt sine remissione in eundem paraclitum anathematismis summisit inenarrabilibus, una cum desipiente Apolinario, qui saluatoris nostri hominem sine intellectu, cum esset amens, uerbose perhibuit. et tertia prior Ephesi ducentorum sanctorum patrum refulgens synodus in distructionem et deiectionem hominem colentis Nestorii et consentaneorum eius, qui ex propriis execrabilibus cogitationibus deceptus alium esse deum uerbum qui ante saecula est et alium eum qui ex uirgine propter salutem nostram incarnatus est garrula uoce profatus est, quartam sceleratus etiam nolens personam in sanctam et consubstantialem trinitatem inducens, non solum separans unitas duas Christi naturas in duas subsistentias, uerum etiam uocem qua dei genitrix appellatur maledictus abiurans christotocon hanc uocari nequissime sanxit, quae uere dei mater est et ante partum et post partum uirgo atque omnis intelligibilis ac sensibilis gloria et claritate naturae creata sublimior. hunc igitur eadem sancta ducentorum patrum synodus anathematizauit una cum animam laedentibus deleramentis eius, unum filium ex patre ante saecula illuxisse et eundem in nouissimis diebus de intemerata uirgine ac dei genitrice Maria natum fuisse naturam nostram indutum edocens et deum perfectum et hominem perfectum eundem filium dei denuntians, id est unum filium et Christum et dominum et absolute unam naturam dei uerbi incarnatam, quod significat duarum naturarum unitionem quae per subsistentiam facta est. Dei uero genitricem proprie ac per ueritatem sanctam Mariam nominari legitime statuit. oportunissime autem Chalcedone diuinitus collecta orta est synodus sexcentorum triginta sanctorum patrum in depositionem deceptae hereseos confusas Christi naturas perhibentis. quam primus insensatus Eutyches ex insipientia sua instituit, in uno Christo duas naturas inconuertibiliter unitas abnegans et unam naturam ex duabus factam et compositam prodigiose coniciens. qui et Dioscorum noxium fautorem et defensorem habens horthodoxorum dogmatum calumniator et ueritatis hostis inuentus est. sed hos ambos synodus sancta destruxit et deleras uocum

PL 129,264 La.-Co. 182 Rom. 452 Ha. 147 Ma. 1141

P VE

2 Constantinopolim VE | quinquaginta] L VE 4 eundem ~ τὸ αὐτὸ, *cf. gr.* T 4–5 ex patre habens VE 5 sempiternae V sine tempore *(sic)* P | omousion P E homo usyon *(sic)* V 6 conglorificandum E: cumglorificandum P^{pc} (et cumglorificandum *om.* P^{ac}, *add.* P^{c} *marg. sup.*) glorificandum V | blasphęmauerunt P 7 sine remissione *post* paraclitum *ed. Rom.* ex* F, *sed cf. gr.* | submisit VE *edd.* | inenarrabilibus P: in errabilibus VE (*corr.* F) 8 Apollinario P^{pc} (l *add.* P^{c} *s.l.*) | saluatoris nostri hominem sine intellectu ~ τὸν κατὰ τὸν σωτῆρα ἄνθρωπον ἄνουν *minus apte;* hominem qui est secundum saluatorem *Hard.*^{mg} 10 destructionem P^{pc} (i *in* e *mut.* P^{c}) *edd.* 12 est] s(un)t P^{ac} *prob.* (e *add. s.l.* P^{c}) 16 christotocon] christo con P | sancxit VE 17–18 atque – sublimior *Anast. uerbum e uerbo uertit* 18 gloriae P^{pc} *prob.* (a *in* ae *mut.* P^{c}) | naturae *post* sensibilis *transp.* F^{2} *edd., sed cf. gr.* 19 ledentibus *codd.* | deliramentis V^{pc} (i V^{1-2} *s.l.*) F^{2} *edd., sed uide infra l. 32* 21 intemerate P^{ac} (e *exp.*, a *superscr.* P^{c}) 22 eundemque P *fort. retinendum, cf. Stotz IV, X § 21.4* 22–23 id est P^{pc} F^{2}: idem P^{ac} (m *exp.*, *abbr. add.* P^{c}) VE 23 absolute (absalute P) ~ ἁπλῶς, *cf. Act. IV 58 C 10 et Act. VI 271 E 5* 24 unitionem quae] unitionemque P^{ac} (uae *add.* P^{c} *s.l.*) | subsistentiam *ed. Rom. (cf. Anastasii praef. p. 2,18–24)*: substantiam *codd.* 26 Chaldonię P 27 triginta] XXX VE 28 Eutiches VE 30 et^{1} *suo Marte add. Anast.* 31 kalumniator P 32 deleras P V^{ac}E: deliras V^{pc} (i V^{1-2} *s.l.*) *edd., uide supra ad l. 19*

ρους καινοφωνίας αὐτῶν αὐστηροῖς ἀναθέμασι σὺν αὐτοῖς καθυπέβαλε, κηρύξασα τὰς τοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν δύο φύσεις ἀσυγχύτως, ἀτρέπτως, ἀμεταβλήτως ἑνωθείσας ἐν τῇ μιᾷ αὐτοῦ ὑποστάσει τέλειόν τε τὸν αὐτὸν ἐν θεότητι ὑπάρχειν καὶ ἀνθρωπότητι, ἐκ δύο τε καὶ ἐν δυσὶ γνωριζόμενον φύσεσι. πρὸς τούτοις δὲ καὶ τὴν τοῦ μυσαροῦ Νεστορίου διαίρεσιν καὶ αὐτὸν ἐκεῖνον σὺν τοῖς αὐτοῦ σύμφροσιν ἀπεκήρυξε. καθεξῆς δὲ καὶ ἡ πέμπτη συγκεκρότηται σύνοδος ἐν τῇ δεσποζούσῃ τῶν πόλεων ρξδ' ἁγίων πατέρων ἀριθμὸν ἀποσῴζουσα· ἥτις ὑπὸ τοῦ αὐτοῦ ἁγίου πνεύματος ποδηγουμένη τὰς πρὸ αὐτῆς ἀγηγερμένας ἁγίας τέσσαρας συνόδους ἐπεκύρωσε καὶ τούτων τοῖς ὀρθοῖς ἐπηκολούθησε δόγμασιν, ἀναθεματίσασα Νεστόριον, Εὐτυχέα, Θεόδωρον τὸν Μοψουεστίας σὺν ταῖς βλασφημίαις αὐτῶν, ἔτι τε Ὠριγένην καὶ Εὐάγριον, Δίδυμον καὶ πάσας τὰς μυθώδεις καὶ ἑλληνικὰς αὐτῶν τερατολογίας τήν τε λεγομένην Ἴβα ἐπιστολὴν πρὸς Μάριν τὸν Πέρσην καὶ τὰ συγγράμματα Θεοδωρίτου, ἃ κατὰ τῶν ὀρθῶν δώδεκα κεφαλαίων τοῦ ἐν ἁγίοις Κυρίλλου συνεγράψατο. μεθ' ἣν ἡ ἁγία ἕκτη σύνοδος ὥσπερ ἄλλος ἐξήστραψεν ἥλιος τῶν σπθ' ἁγίων πατέρων τὴν βασιλίδα πόλιν λαχοῦσα κατάπαυσιν· ἐν ᾗ κροτηθεῖσα τοὺς τὰς δύο αὐτεξουσίους θελήσεις καὶ ἐνεργείας ἐπὶ τῆς ἐνσάρκου οἰκονομίας Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἀπαρνουμένους καὶ μίαν θέλησιν καὶ μίαν τερατευομένους ἐνέργειαν τῆς τοῦ σωτῆρος ἡμῶν Χριστοῦ θεότητός τε καὶ ἀνθρωπότητος ἀνεθεμάτισε, τουτέστι Σέργιον, Πύρρον, Πέτρον, Κύρον, Ὀνώριον, Θεόδωρον τὸν τῆς Φαρὰν καὶ Πολυχρόνιον τὸν ληρήσαντα γέροντα καὶ πάντας τοὺς θεματίσαντας ἢ θεματίζοντας ἢ θεματίζειν τολμῶντας μίαν θέλησιν καὶ ἐνέργειαν ἐπὶ τῶν δύο Χριστοῦ φύσεων. „εἰ γάρ", ὥς πού τις ἔφη σοφός, „ἀθέλητόν τε καὶ ἀνενέργητον τὴν ἀνθρωπίνην τοῦ κυρίου φύσιν παρήσομεν, ποῦ τὸ ‚τέλειον ἐν ἀνθρωπότητι' σέσωσται;" δύο τοίνυν θελήσεις καὶ δύο ἐνεργείας καταλλήλους ταῖς δύο Χριστοῦ φύσεσιν ὡς φυσικὰ αὐτῶν προσαρμόσαντες ἰδιώματα, οὕτω τὸ μέγα τῆς σωτηρίου οἰκονομίας μυστήριον σαφέστατα διετράνωσαν καὶ τὴν ὀρθόδοξον πίστιν πασῶν τῶν ἐκκλησιῶν τοῦ θεοῦ ἀνεπηρέαστόν τε καὶ ἀναμφίβολον διεσώσαντο τοῖς ὀρθόφροσι. ταύτας τὰς ἁγίας ἓξ συνόδους καὶ μόνας οὔσας οἰκουμενικὰς ἐπιστάμεθα, ἄλλην μετὰ ταύτας οὐ προσιέμενοι σύνοδον. οὐδὲ γὰρ ὑπολέλειπταί τι τῶν ἀποστολικῶν παραδόσεων ἢ πατρικῶν ἐννόμων ἐκδόσεων δεό-

La.-Co. 184

Rom. 453

1–4 κηρύξασα – φύσεσι cf. Conc. Chalc. (def. fidei), ACO II 1,2 p. 129,23–31 16–22 τοὺς τὰς – φύσεων cf. Conc. Const. III (sermo prosph.), ACO ser. II, II 2 p. 814,16–816,10 22–24 = Conc. Const. III (sermo prosph.), ACO ser. II, II 2 p. 814,8–9 25 φυσικὰ – ἰδιώματα cf. Conc. Later., ACO ser. II, I p. 406,10; Conc. Const. III, ACO ser. II, II 2 p. 812,22–814,3 (sermo prosph.) et p. 846,13–16 (edictum Const. IV.); Ioh. Dam. uolunt. c. 42 Kotter II etc.

HV T M 22–24 = *Conc. Const. III (sermo prosph.)*

---

1 κενοφωνίας V T M, sed cf. lat. | σὺν αὐτοῖς] αὐτοὺς V | καθυπέβαλλε V 2 τοῦ ἀληθινοῦ om. HV | ἡμῶν θεοῦ T edd., θεοῦ om. V 5 τὴν τοῦ Νεστορίου τοῦ μυσαροῦ M | μυσαροῦ om. V 6 αὐτοῦ] αὐτῷ T edd. | ὁμόφροσιν V | πέμπτη] ε' H | συνεκροτήθη V 7 ρξδ'] ἑκατὸν ἑξήκοντα τεσσάρων M 8 αὐτοῦ om. V | ὁδηγουμένη (sic) V | ἐγηγερμένας H om. V, exspectaueris συναγηγερμένας 8–9 τέσσαρας] δ' H 11 αὐτῶν] αὐτοῦ T M edd. | καὶ¹ om. V 11–12 καὶ ἑλληνικὰς om. V 12 Ἴβαν H | Μάρην ed.Rom.* 13 δώδεκα] ιβ' HV 14 ἕκτη HV 15 σπθ'] διακοσίων ὀγδοηκονταεννέα M 16 τὰς om. ed.Rom.* | δύο] β' H 18 ἡμῶν + Ἰησοῦ V edd. 19 Κῦρον ed.Rom.*, sed uide supra ad p. 240,10 | Ὀνώριον om. V, Ὀνώριον ed.Rom.* 20 τὸν τῆς Φαρὰν om. V | Φαρᾶν H M 22 τῶν δύο φύσεων τοῦ Χριστοῦ H | δύο + τοῦ ed.Rom.* 22–23 κἀνενέργητον V 23 παρήσομεν φύσιν V | φύσιν + λέγειν *Conc. Const. III*, fort. hic supplendum 24 καταλλήλως M 24–25 ταῖς δύο φύσεσι τοῦ Χριστοῦ H 24–25 ταῖς δύο] ταῖς δυσὶ T edd. 25 προσαρμόσαντα V | οὕτω] τοῦτο V 26 σωτηρίου οἰκονομίας] σωτηρίας V | οἰκονομίας + τὸ H 28 ἓξ] ς' H 29 ἄλλην + μὴ V | ταῦτα T

nouitates eorum seueris cum illis anathematibus subdidit, praedicans Christi ueri dei nostri duas naturas inconfuse, inconuertibiliter et incommutabiliter unitas in una subsistentia sua perfectumque in deitate simul eundem et in humanitate consistere, PL 129,265 ex duabus et in duabus naturis noscendum. praeterea et nequam Nestorii diuisionem et ipsum quoque cum sibi consentientibus abdicauit. deinceps autem et quinta conuenit synodus in dominante ciuitatibus centum sexaginta quattuor sanctorum patrum numerum saluans. quae ab ipso sancto spiritu acta ante se celebratas sanctas quattuor synodos roborauit et harum recta dogmata sequens anathematizauit Nestorium, Eutychea, Theodorum Mopsuestiae cum blasphemiis suis, adhuc etiam et Origenem et Euagrium, Didymum quoque ac omnia fabulosa et pagana atque prodigiosa ipsorum eloquia necnon et epistolam quae dicitur Hibae ad Marim Persam et conscriptiones Theodoreti quas contra recta duodecim capitula sanctae memoriae Cyrilli conscripsit. post quam sancta sexta synodus quemadmodum alius sol emicuit ducentorum octuaginta nouem sanctorum patrum regiam urbem sortita pro requie. in qua celebrata eos qui duas proprias uoluntates et operationes in dispensatione carnis Christi dei nostri denegant et unam uoluntatem et unam portentuose asserunt operationem saluatoris nostri deitatis pariter et humanitatis, anathematizauit, id est Sergium, Pyrrhum, Petrum, Cyrum, Honorium, Theodorum Pharanitanum et Polychronium delerum senem atque omnes qui diffinierunt uel diffiniunt aut diffinire praesumunt unam uoluntatem et operationem in duabus Christi naturis. „si enim", ut quodam in loco quidam sapiens ait, „sine uoluntate et sine operatione La.-Co. 183 humanam domini naturam dimiserimus, ubi ‚perfectio in humanitate' salua seruabitur?" duas igitur uoluntates et duas operationes congruentes duabus Christi naturis ut naturalia earum coaptantes idiomata sic magnum salutaris dispensationis mysterium luculenter explanauerunt et horthodoxam fidem omnium ecclesiarum dei sine calumnia sineque dubitatione recte sapientibus seruauerunt. has sanctas sex synodos solas esse uniuersales nouimus, aliam post has non admittentes synodum. ne- Rom. 453 que enim derelictum est quid ex apostolicis traditionibus uel paternis seu legitimis editionibus egens correctionis uel cuiuslibet ornamenti quoquomodo. omnes itaque male sentientes hereticos tanquam satoris zizaniorum satanae discipulos et animas

P VE

1 cum illis ~ σὺν αὐτοῖς, *expectaueris* seueris anathematibus una cum illis 6 centum sexaginta quattuor P: c lx iiii VE 8 quattuor] iiii VE | synodus P^{ac} (u *in* o *mut.* P^{c}) E | earum *ed. Rom.** 9 Eutychea P: Euticheа VE Eutychem F^{2} *edd.* | blasphaemiis P 10 Didimum VE | ac] et *ed. Rom.** | omnia P^{pc} F^{2}: omnes P^{ac} (omnes *subterlin.*, omnia *superscr.* P^{c}) VE 11 Hibae *scripsi*: Hibe P Hybe VE Ibae *ed. Rom.** | ad Marim Persam P: admari inpersam V mari in persam E (*corr.* F^{2}) 14 octoaginta P 18 Pyrrhum *ed. Rom.*: Pyrrum P V Pirrum E 18–19 Pharanitarum P Pharanicanum E 19 delirum *ed. Rom.** *ex* F | diffiniunt V^{pc} *(cf.gr.)*: diffinient P V^{ac} (e^{2} *in* u *mut.* V^{x}) E definient *ed. Rom.** 22 perfectionem F^{2} *edd., sed cf. gr.* 22–23 salua seruabitur *scripsi coll. gr.*: salua seruabimur P^{ac} salua seruabimus P^{pc} (r *exp.*, s *s.l.* P^{c}) VE saluabimus F^{2} *edd.* 24 ydiomata VE 24–25 misterium VE 26 kalumnia P calumpnia V 27 huniuersales P 28 ex] ab *ed. Rom.** 30 tamquam P V^{ac} | zyzaniorum V zazaniorum E

μενον διορθώσεως ἢ τῆς οἱασοῦν ἐπικοσμήσεως οἱοσδήποτε τρόπος. πάντας τοιγαροῦν τοὺς κακόφρονας αἱρετικοὺς ὡς τοῦ σπορέως τῶν ζιζανίων σατὰν φοιτητὰς καὶ ψυχοφθόρους μύστας ἀπὸ τῆς τούτων κακῆς κορυφῆς, Σίμωνός φημι τοῦ μάγου,
Ma. 1143 μέχρι τῆς βδελυρωτάτης αὐτῶν οὐρᾶς συλλήβδην καθεξῆς ἐξ ὅλης ἀναθεματίζομεν ψυχῆς καὶ διανοίας, καὶ μάλιστα ὅσους αἱ προτεταγμέναι ἅγιαι καὶ οἰκουμενικαὶ ἓξ σύνοδοι ἀνεθεμάτισαν· μεθ' ὧν καὶ Σεβῆρον τὸν τῶν Ἀκεφάλων [μονοφυσιτῶν] ἔξαρχον σὺν αὐτοῖς ἐκείνοις, ἔτι τε καὶ Πέτρον ἀποκηρύττω τὸν Κναφέα τὸν ἐν τῷ τρισαγίῳ ὕμνῳ τὴν προσθήκην ἐνθεῖναι τολμήσαντα καὶ πάθος τῇ ἀπαθεῖ θεότητι προστρίψαι θρασυνθέντα καὶ πάντας τοὺς παρεπομένους τῇ βλασφημίᾳ αὐτοῦ. οὐκ ἀποτρεπόμεθα δέ, ἀλλὰ μάλα στέργομεν καὶ ἀποδεχόμεθα καὶ τὰς τοπικὰς
Ha. 149 ἁγίας συνόδους καὶ τὰ θείᾳ ἐπιπνοίᾳ ἐκφωνηθέντα αὐτοῖς κανονικὰ κατορθώματα καὶ ψυχωφελῆ νομοθετήματα. τὰς δὲ ἀποστολικὰς τῆς ἐκκλησίας παραδόσεις, δι' ὧν τιμᾶν καὶ προσκυνεῖν τοὺς ἁγίους καὶ ἀσπάζεσθαι δεδιδάγμεθα, ἀποδεχόμεθά τε καὶ περιπτυσσόμεθα, τιμῶντες ὡς θεράποντας καὶ φίλους καὶ υἱοὺς θεοῦ χρηματίσαντας· „ἡ γὰρ πρὸς τοὺς εὐγνώμονας τῶν ὁμοδούλων τιμὴ ἀπόδειξιν ἔχει τῆς εἰς τὸν κοινὸν δεσπότην εὐνοίας". οὗτοι γὰρ αὐτοὶ ταμεῖα θεοῦ καὶ καθαρὰ καταγώγια γεγόνασι καὶ τοῦ ἁγίου πνεύματος *ἀκηλίδωτα ἔσοπτρα*, ἀλλὰ καὶ αἱ *ψυχαὶ αὐτῶν ἐν χειρὶ θεοῦ* πεφήνασι, καθὼς γέγραπται. ζωὴ γὰρ ὢν ὁ θεὸς καὶ φῶς, καὶ οἱ *ἐν χειρὶ θεοῦ* ὄντες ἅγιοι ἐν ζωῇ καὶ φωτὶ ὑπάρχουσι· καὶ διὰ τοῦτο *τίμιος ἐναντίον κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ*, οὗτοι ζῶντες ἐν παρρησίᾳ τῷ θεῷ παρεστήκασι. πηγὰς σωτηρίους ὁ δεσπότης Χριστὸς τὰ τῶν ἁγίων ἡμῖν παρέσχετο λείψανα, πολυτρόπως τὰς εὐεργεσίας τοῖς ἀσθενοῦσι πηγάζοντα, μύρον εὐωδίας βρύοντα καὶ δαίμονας ἀπελαύνοντα, καὶ ὥς φησιν ὁ μέγας διδάσκαλος καὶ τῆς ἀθανασίας ἐπώνυμος· „τὰ τῶν μαρτύρων ὀστᾶ νόσους φυγαδεύουσιν, ἀσθενεῖς θεραπεύουσι, τυφλοῖς τὸ βλέπειν χαρίζονται, λεπροὺς καθαίρουσι, πειρασμοὺς καὶ ἀνίας διαλύουσι, καὶ ταῦτα διὰ Χριστοῦ τοῦ ἐν αὐτοῖς ἐνοικήσαντος". καὶ καλῶς ὁ ψαλμῳδὸς ἐκελάδησε· *θαυμαστὸς ὁ θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ*, καὶ αὖθις· *τοῖς*

---

2 τοῦ – σατὰν cf. Mt. 13,25 **17** ἀκηλίδωτα ἔσοπτρα cf. Sap. 7,26 **18** ψυχαὶ – θεοῦ cf. Sap. 3,1 **18–19** ζωὴ – φῶς cf. Ioh. 8,12; 11,25; 14,6 **20** Ps. 115,6 **27** Ps. 67,36 **27–266,2** Ps. 15,3

7–9 Πέτρον – θρασυνθέντα cf. (Ps.-)Felix III. epist. damn. ad Petr. Full., ACO III p. 13,20–21 et p. 230,8–9; Sophr. Hier. epist. synod., ACO ser. II, II 1 p. 480,3–4 **14–23** τιμῶντες – βρύοντα ~ Ioh. Dam. exp. fid. c. 88,19–27.34–37 Kotter II **15–16** Bas. in quadr. mart. (hom. 19), PG 31, 508 B 2–4 **23–26** δαίμονας – διαλύουσι cf. Ioh. Dam. exp. fid. c. 88,46–48 Kotter II **24–26** locum non inueni; similia leguntur apud Ioh. Dam. l.l., ubi tamen Athanasius non laudatur

---

HV T M **14–23** ~ *Ioh. Dam.* **15–16** = *Bas.*

---

1 τῆς fort. delendum | οἱωδήποτε τρόπω H fort. recte, cf. lat. **2** σατᾶν V **3** κακῆς om. H **4** βδελλυρωτάτης T M^{pc} (λ M^{1} subter lineam) **5** ὅσα V | ἅγιαι om. V **6** μονοφυσιτῶν, quod deest apud Anastasium, ut glossema deleui; cf. Act. I p. 100,21; Act. V 181 D 12–13 **7** ἀποκηρύττομαι V edd. **8** ὕμνῳ om. V | ἐκθεῖναι H **9** θρασυνθέντα] συνθέντα M **9–10** παρεπομένους – στέργομεν καὶ] σὺν αὐτῷ V **10** μᾶλλον M | ἐκδεχόμεθα H | ἀποδεχόμεθα + δὲ V **11** θεῖα H **12** ψυχοφελῆ V ψυχοφαῆ T **12–14** τὰς δὲ – τιμῶντες] προσκυνοῦμεν δὲ καὶ ἀσπαζόμεθα τὰς τιμίας καὶ σεπτὰς εἰκόνας, ὡς ἀποστολικῶς ἐδιδάχθημεν, καὶ τιμῶμεν τοὺς ἁγίους V **14** fort. αὐτοὺς post τιμῶντες supplendum, cf. lat. **15** εὐγνώμονας T *Ioh. Dam.*: ὁμογνώμονας V M ἀγνώμονας H ἀγαθοὺς *Bas.* **16** εἰς etiam cod. *G* apud *Ioh. Dam.*: πρὸς *Bas.* | ταμεῖα etiam codd. *E L* apud *Ioh. Dam.*: ταμιεῖα rell. codd. apud *Ioh. Dam.* | καὶ om. H **18** καθὼς] ὡς V edd. | γὰρ ὢν] γάρ ἐστιν *Ioh. Dam.* **19** ἅγιοι deest apud *Ioh. Dam.*, sed cf. lat. **22** πολυτρόπως om. V πολυτρόπους ed. Rom.* | πηγάζοντα] παρέχοντα V | μύρων V μῦρον M **23** ἀπελαύνοντα] διώκοντα V **23–24** καὶ τῆς ἀθανασίας ἐπώνυμος om. V **24** ὁστὰ H **26** οἰκήσαντος V | καὶ καλῶς H T M (cf. lat.): ἐφ' ᾧ δὴ καὶ V edd. **27** ἐκελάδησε] φησί V | αὖθις om. V

corrumpentes ministros ab horum malo uertice, Simone uidelicet mago, usque ad eorum detestabilem caudam et, ut complexiue dicamus, ceteros omnes ex tota prorsus anathematizamus anima simul et mente, maximeque illos quos praelatae sanctae ac uniuersales sex synodi anathematizauerunt, una cum Seuero Acephalorum auctore {id est eorum qui Christum unius esse naturae fatentur}. quin et Petrum respuo cognomento Gnaphea, * qui in trisagio hymno augmentum apponere ausus est et passionem impassibili applicare deitati praesumpsit, et omnes qui blasphemiam eius sectantur. non autem refutamus, sed oppido confirmamus et admittimus etiam locales sanctas synodos et correctiones canonicas, quae diuina sunt ab eis inspiratione depromptae, atque legislationes earum animas illustrantes. apostolicas autem ecclesiae traditiones per quas honorare ac adorare sanctos et salutare docemur, suscipimus et amplectimur, uenerantes eos ut famulos et amicos atque filios dei. „honor enim conseruorum qui circa deuotos agitur probationem habet bonae uoluntatis erga communem exhibitae dominum." isti enim ipsi cellaria dei et habitacula munda sanctique spiritus *purissima specula* facti sunt, sed et ipsorum *animae in manu dei* sunt, sicut scriptum est. cum enim uita sit deus et lux, et sancti quoque, qui *in manu dei* sunt, in uita et luce profecto consistunt. et ideo *pretiosa in conspectu domini mors sanctorum eius.* isti uiuentes fiducialiter deo astiterunt. fontes salutares dominus Christus sanctorum nobis reliquias praebuit, multimode beneficia infirmantibus rigantes, ungentum suauitatis emanantes et daemones abigentes, et sicut dicit magnus magister et ab immortalitate {id est Athanasius, immortalis enim grece athanatos dicitur} cognominatus, „martyrum ossa languores fugant, infirmos curant, caecis uidere donant, leprosos mundant, temptationes et merores dissoluunt, et haec per Christum qui habitauit in illis." et bene Psalmista cecinit: *mirabilis deus in sanctis suis.* et rursus: *sanctis qui sunt in terra eius mirificauit omnes uoluntates eius inter illos.* cum his autem et sanc-

Ma. 1144 PL 129,266 Ha. 150

24–25 *cf. LC III 10 p. 374,4b–9 (= III Capit. p. 332,13–17) = *Hadr. p. 16,7–11* (In actione tertia. Capitulo VI): Ridiculose et pueriliter dictum in sententia fidei Theodori episcopi (archiepiscopi *Hadr.*): „Mirabilis Deus in sanctis suis", et continuo: „Sanctis qui in terra sunt eius, mirificavit omnes voluntates meas inter illos", tamquam hic versiculus illum priorem subsequatur (subsequentem *Hadr.*). *cf. Freeman p. 374 adn. 1.*

P VE **24–25** ~ *LC *Hadr.*

1 uidelicet Symone F uidelicet Simone *ed. Rom.** **3** maximeque] maxime *ed. Rom.** **4** ac] et *ed. Rom.** | una cum ~ μεθ' ὧν καὶ, *Anast. uerborum constructionem mutauit* | auctore] duce *ed. Rom.*^{mg} *(melius* principe, *cf. p. 101,20 etc.), sed* auctor *inuenitur etiam p. 229,21 et 229,24* **5** id est – fatentur *glossema Anastasii esse statuit et uncis inclusit La.-Co.* | naturae esse *ed. Rom.** **6** Gnaphaea P Cnaphea *ed. Rom.*^{corr}* *(sed cf. p. 87,6)*, Fullonem *(fort. adnotatio Anastasii; cf. ad p. 87,6) add.* V^{1mg} E^{1} *s.l.* | augmentum] augmento P^{ac} (um P^{c} *s.l.*) augumentum *ed. Rom.* argumentum *ed. Reg.* (*corr. La.-Co.*^{mg} *ex* P) **7** praesumsit P V | blasphaemiam P **9** quae] que P | aspiratione P inaspiratione *(sic)* V, *cf. p. 245,16* | depromptae ~ ἐκφωνηθέντα, *exspectaueris* promulgatae, *sed cf. p. 241,15* **10** earum *ed. Rom.*^{corr}: eorum *codd.* **11** ac] et *ed. Rom.** **12** conseruorum *post* deuotos *ed. Rom.** **13–14** exhibetae P^{ac} (e *exp.*, i *superscr.* P^{c}) **15** sicut *om.* E ut *ed. Rom.* ex* F **16–17** et sancti – luce *iter.* P, *sublin.* P^{x} **17** lux P^{ac} (x *exp.*, ce *superscr.* P^{c}) | consistunt *ed. Rom.*: consistant *codd.* **19** unguentum VE *edd. (cf. Stotz III, VII § 110.2)* **20** et demones abigentes *om.* P^{ac} *(add.* P^{c} *in marg. inf.)* | demones *codd.* **21** id est – dicitur P *i.t.* V^{1mg} E *i.t. ed. Rom.*^{mg} *(glossema Anastasii)* | Atanasius P | atanatos P | dicitur athanatos *ed. Rom.* ex* F **22** cecis VE **23** temtationes V tentationes E *edd.* **25** in terra sunt P | eius^{2}] meas *LC Hadr., cf. Psalt.Rom.* **25–267,1** sanctos P

ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ κύριος *πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς*. σὺν τούτοις δὲ καὶ τὰς ἁγίας καὶ σεπτὰς εἰκόνας προσκυνοῦντες περιπτυσσόμεθα, τουτέστι τοῦ δι' ἡμᾶς ἐνανθρωπήσαντος θεοῦ λόγου, κυρίου δὲ ἡμῶν καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ, καὶ *μορφὴν δούλου λαβόντος*· οὗ ἡ εἰκὼν καὶ τὸ ἐκτύπωμα οὐ τῆς θεότητος τῆς ἀδιασπάστως ἑνωθείσης τῇ ἀχράντῳ αὐτοῦ σαρκὶ φέρει τὸν χαρακτῆρα – ἀόρατος γὰρ καὶ ἀπερίγραπτος ἡ θεία φύσις καὶ ἀσχημάτιστος· *θεὸν γὰρ οὐδεὶς ἑώρακε πώποτε*, αὐτὸς *ὁ μονογενὴς ἐξηγήσατο* –, ἀλλὰ τῆς ἀνθρωπότητος αὐτοῦ χρωματουργοῦντες τὴν εἰκόνα προσκυνοῦμεν. ἐφάνη γὰρ θεὸς ὢν καὶ ἀόρατος *ἐπὶ τῆς γῆς* καὶ ὡράθη *καὶ τοῖς ἀνθρώποις συναναστράφη* καὶ ἐκοπίασε καὶ ἐπείνησε καὶ ἐδίψησε *νόμῳ* τῆς ἡμετέρας ἧς ἠμπέσχετο φύσεως. προσκυνοῦμεν Χριστοῦ τὴν εἰκόνα, τουτέστι τοῦ ὁραθέντος τοῖς ἀνθρώποις προσώπου οὐ κεχωρισμένου τῆς ἀοράτου αὐτοῦ θεότητος, ἄπαγε, ἀλλ' ἡνωμένου ταύτῃ ἐξ ἄκρας συλλήψεως. εἰ γὰρ καὶ λέγει τοῖς Ἰουδαίοις· τί θέλετέ *με ἀποκτεῖναι ἄνθρωπον ὃς τὴν ἀλήθειαν λελάληκα ὑμῖν;*, οὐκ ἦν ἄνθρωπος μόνον, ἀλλὰ καὶ θεός. καὶ λέγων· *ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν*, οὐκ ἀπαρνεῖται τὴν ἡμετέραν φύσιν· τῷ γὰρ ἀνθρωπίνῳ στόματι καὶ τῇ ὀργανικῇ ταῦτα διαλέγεται γλώττῃ. τιμῶμεν δὲ καὶ προσκυνοῦμεν καὶ τὴν τῆς αὐτὸν ἀφράστως γεννησάσης ἀχράντου αὐτοῦ μητρὸς τῆς ἁγίας θεοτόκου καὶ παναμώμου δεσποίνης ἡμῶν εἰκόνα. τιμητέον δὲ καὶ τῶν ἁγίων ἀποστόλων, προφητῶν τε καὶ καλλινίκων μαρτύρων ὁσίων τε καὶ δικαίων ὡς φίλων θεοῦ τὰς εἰκόνας, οὐ τῇ ὕλῃ καὶ τοῖς χρώμασι τὸ σέβας προσάγοντες, ἀλλὰ διὰ ταύτης νοεροῖς ὄμμασι πρὸς τὸ πρωτότυπον ποδηγούμενοι ἐκείνῳ τὴν τιμὴν ἀπονέμοντες [προσφέρομεν], εἰδότες κατὰ τὸν μέγαν Βασίλειον, ὡς „ἡ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον διαβαίνει". πρὸς δὲ τοὺς ἐριστικῶς ἀντεξαγομένους καὶ λέγοντας, ὡς οὐ δεῖ τῶν ἁγίων προσκυνεῖν τὰς εἰκόνας χειροποιήτους οὔσας, εἴδωλά τε ἀνοήτως, μᾶλλον δὲ δυσσεβῶς ἀποκαλοῦντας αὐτάς, ἴστωσαν οἱ τοιοῦτοι, ὡς τὰ χερουβὶμ καὶ τὸ ἱλαστήριον, ἡ κιβωτός καὶ ἡ τράπεζα, ἃ Μωσῆς ὁ θεσπέσιος κατεσκεύασε θείῳ προστάγματι, χειροποίητα ἦσαν καὶ προσεκυνοῦντο. κατηγορεῖ δὲ ἡ θεία γραφὴ *τῶν προσκυνούντων τοῖς γλυπτοῖς*, ἀλλὰ καὶ τῶν θυόντων τοῖς δαίμοσι· καὶ ἀπόβλητος μὲν ἡ τῶν ἑλλήνων θυσία ἦν, ἡ δὲ

La.-Co. 185
Rom. 454
Ma. 1146

---

4 Phil. 2,7 7 Ioh. 1,18 9 cf. Bar. 3,38 10 καὶ ἐκοπίασε καὶ ἐπείνησε καὶ ἐδίψησε cf. Ioh. 4,6; Mt. 4,2; Ioh. 19,28 13–14 Ioh. 8,40 15 Ioh. 10,30 28 Ps. 96,7 29 τῶν θυόντων τοῖς δαίμοσι cf. Deut. 32,17; Ps. 105,37; 1 Cor. 10,20

2–23 σὺν τούτοις – διαβαίνει cf. Ioh. Dam. exp. fid. c. 89,24–48 Kotter II 10 καὶ ἐκοπίασε – ἐδίψησε cf. Greg. Naz. or. 38 (in theophania) c. 15,2–3 Moreschini; or. 45 (in s. pascha), PG 36, 660 C 2–3; cf. Florilegium Leonis, ACO II 1,1 p. 22,6; Anast. Sinait. uiae dux X 2,5,51–52 Uthemann (ubi plura adferuntur) 23 Bas. spir. c. 18, 45,19–20 Pruche 23–28 πρὸς δὲ – προσεκυνοῦντο cf. Ioh. Dam. exp. fid. c. 89,2–15 Kotter II 28–268,1 κατηγορεῖ – εὐπρόσδεκτος ~ Ioh. Dam. exp. fid. c. 89,16–20 Kotter II

HV T M 28–268,1 ~ *Ioh. Dam.*

1 αὐτοῦ[1] om. V | ὁ κύριος om. M *Sept.*, deest etiam apud Anast. 2–3 τὰς – τουτέστι] τὴν εἰκόνα V, uide supra ad p. 264,12–14 2–3 περιπτυσσόμεθα προσκυνοῦντες M 4 καὶ σωτῆρος post Χριστοῦ H | καὶ[2] om. M | λαβόντος + προσκυνοῦμεν καὶ περιπτυσσόμεθα V 8 χρωματουργοῦντες om. V 9 ὡράθη καὶ om. M | καὶ[3] om. Vc edd. | συναναστραφεὶς $V^{c pc}$ edd. 10 ἣν ed.Rom.* | ἠμπείχετο H ἀμπέσχετο T 12 κεχωρισμέν(ης) H | ἄπαγε om. V | ἡνωμένης H 13 τί] ὅτι M 16 γλώσση M 17 αὐτοῦ T | ἀφράστως] ἀχράντως M | ἀχράντου] ἀφράστως πανάγνου M 18 τῆς om. H | ἡμῶν + τὴν HV T edd. 19 τῶν] τοὺς V^{ac} (abbr. mut. V^{x}) 21 ταύτης sc. τῆς εἰκόνος | ταύτης + τοῖς V edd. (τοῖς νοεροῖς ὄμμασι T^{2mg}) 22 προσφέρομεν deleui coll. lat. 25 ἀνοήτως – δυσσεβῶς om. V | αὐτάς om. V αὐτὰς + λέγομεν T edd., sed cf. lat. 25–26 ἴστωσαν οἱ τοιοῦτοι] ἱστέον ὦ οὗτοι T 26 ἱλαστήριον + καὶ ed.Rom.* 28 δὲ + καὶ V 29 ἑλλήνων] εἰδώλων T

tas et uenerabiles iconas adorantes amplectimur, id est uerbi dei domini uidelicet et saluatoris nostri Iesu Christi, qui pro nobis incarnatus est et *formam serui suscepit.* cuius imago uel figuratio non deitatis quae inconuulse intemeratae carni eius unita est La.-Co. 186 praefert characterem – inuisibilis enim est et incircumscripta et informis diuina natura. *deum* quippe *nemo uidit unquam*, ipse *unigenitus enarrauit* –, sed humani- Rom. 454 tatis eius coloribus facientes iconam adoramus. apparuit enim deus *super terram*, etiam cum esset inuisibilis, et *uisus est et cum hominibus conuersatus est* et fatigatus est et esuriuit et sitiuit lege nostrae quam suscepit naturae. adoramus Christi iconam, id est personae quae hominibus uisa est non diuisae ab inuisibili eius diuinitate – absit –, sed unitae huic ex summa conceptione. nam etsi dicit Iudaeis: quid uultis *me occidere hominem qui ueritatem locutus sum uobis?*, non erat homo tantum, sed et deus. et dicens: *ego et pater unum sumus*, non denegat naturam nostram. humano quippe ore ac organica haec asserit lingua. honoramus autem et adoramus etiam Ma. 1145 imaginem intemeratae matris eius sanctae dei genitricis et immaculatae dominae nostrae, quae illum ineffabiliter genuit. honoramus quoque sanctorum apostolorum, prophetarum, bene uincentium martyrum, confessorum et iustorum tanquam dei PL 129,267 amicorum imagines, non materiae uel coloribus cultum afferentes, sed per haec intelligibilibus uisibus ad principale adducti honorem illi debitum impendentes, scientes secundum magnum Basilium quod „imaginis honor ad principale transeat". porro quia nonnulli contentiosius agunt et dicunt non oportere sanctorum imagines adorare, cum sint manu factae, simulacra stolide has, immo impie nuncupantes, nouerint qui eiusmodi sunt quia cherubim et propitiatorium, arca et mensa, quae Moyses sacratissimus diuino praecepto construxit, manu facta erant et adorabantur. accusat autem diuina scriptura eos *qui adorant sculptilia*, sed et illos qui daemonibus immolant. et quidem abiectum erat paganorum sacrificium, sed iustorum acceptum

19 *cf. LC III 16 p. 407,17–18 (= III Capit. p. 333,8–9) = *Hadr. p. 17,6–8* (In actione tertia. Capitulo VIII): Contra eos, qui dicunt, „quod imaginis honor in primam formam (prima forma *Hadr.*) transit".

P VE 19 ~ *LC *Hadr.*

1 iconas P: imagines VE *edd.* 3 figuratio] figura *ed. Rom.** | intemeratae *ed. Rom.*: intemerate *codd.* 6 apparuit – super terram] *exspectaueris* apparuit enim, etiam cum deus esset et inuisibilis, super terram 8 qua VE 9 diuisa VE | ab + hac F^2 *edd.* 10 Iudeis VE 12 et^2 *om.* VE 14 imaginem *post* eius VE *edd.* | matris *om. ed. Rom.** 16 prophaetarum P 17 per haec ~ διὰ ταύτης? 18 principalem V *ed. Rom. (corr. La.-Co.^{mg} ex* P) | debitum] *nihil respondet in gr.* | imperidentes P^{ac} (ri *exp.*, n P^{c} *s.l.*) inpendentes V 19 Basilium magnum *ed. Rom.** | principalem VE *edd.* 21 manufacta *ed. Rom. (corr. La.-Co.)* | impiae P 22 quia] quod *ed. Rom.^{corr}** 23 Moses P | sacratissimis P^{ac} (u P^{c} *s.l.*) 24 demonibus *codd.* 25 sacrifitium P

τῶν δικαίων εὐπρόσδεκτος. παχυτέρας οὖν γραφῆς οὐσῶν τῶν σεπτῶν εἰκόνων δεῖ τιμᾶν αὐτὰς διὰ τὰ πρωτότυπα.

Τούτοις οὖν τοῖς συνοδικοῖς ἡμῶν εὐμενῶς ἐντυγχάνοντες, ἁγιώτατοι, εἴ τι εὑρεθῇ
Ha. 152 ἐν αὐτοῖς δεόμενον ἐπιδιορθώσεως, μετάδοτε ἀφθόνως ἡμῖν τῆς ἐνθέου διδαχῆς ὑμῶν καὶ ἀντεπιστεῖλαι παρακλήθητε, ἵνα συμφώνως ἐκ τούτου πιστῶν εὑρεθέντων ἀμφοτέρων ὑμῶν τε καὶ ἡμῶν δοξάζηται ὁ πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Καὶ μετὰ τὴν ἀνάγνωσιν Πέτρος καὶ Πέτρος οἱ θεοφιλέστατοι πρεσβύτεροι καὶ τὸν τόπον ἐπέχοντες Ἀδριανοῦ τοῦ ἁγιωτάτου πάπα τῆς πρεσβυτέρας Ῥώμης εἶπον· Πειθόμεθα, ὅτι κατὰ τὴν ὀρθῶς ὁμολογηθεῖσαν πίστιν παρὰ Ταρασίου τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου πατριάρχου Κωνσταντινουπόλεως καὶ ὁ καθ' ἡμᾶς ἀποστολικὸς πάπας Ἀδριανὸς δεξάμενος καὶ ἅπασα ἡ κατ' αὐτὸν ἁγία σύνοδος ἐστοίχησε καὶ τῶν ὑπ' αὐτοῦ ὁμολογηθέντων τὴν κοινωνίαν ἠσπάσατο. καὶ εὐλογητὸς ὁ θεός, ὅτι καὶ οἱ τῆς ἀνατολῆς ἁγιώτατοι ἀρχιερεῖς σύμφωνοι ἐν τῇ ὀρθοδόξῳ πίστει
Rom. 455 καὶ τῇ προσκυνήσει τῶν σεπτῶν εἰκόνων τοῖς ἁγιωτάτοις Ἀδριανῷ πάπᾳ Ῥώμης
La.-Co. 188 καὶ Ταρασίῳ πατριάρχῃ τῆς νέας Ῥώμης εὑρέθησαν, καὶ τοῖς μὴ οὕτως ὁμολογοῦσιν ἀνάθεμα ἔστω ἀπὸ τῶν ἁγίων τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων πατέρων τῶν ἐνταῦθα προαθροισθέντων.

Ἡ ἁγία σύνοδος εἶπε· Γένοιτο, γένοιτο, γένοιτο.

1. Ἀγάπιος ὁ ὁσιώτατος ἐπίσκοπος Καισαρείας εἶπε· Τοῖς σταλεῖσι παρὰ τῶν τῆς ἀνατολῆς ὁσιωτάτων ἀρχιερέων πανιέροις γράμμασι πρὸς Ταράσιον τὸν ἁγιώτατον καὶ οἰκουμενικὸν πατριάρχην ὡς στήλην ὀρθοδοξίας ἀποδεξάμενος κατὰ πάντα τρόπον στοιχῶ καὶ τὴν κοινωνίαν ἀποδέχομαι, καὶ τοὺς μὴ οὕτως φρονοῦντας τῷ ἀναθέματι καθυποβάλλω.

---

1 εὐπρόσδεκτος cf. 1 Petr. 2,5

1–2 παχυτέρας – πρωτότυπα cf. Ioh. Dam. imag. III c. 24–25 Kotter III 22 στήλην ὀρθοδοξίας cf. Conc. Chalc. (def. fidei), ACO II 1,2 p. 129,15; Libell. episc. sec. Syriae, ACO III p. 30,29–30 etc.

HV T M

La.-Co. 253 τὸ προσκυνεῖν τὸν κύριον καὶ θεὸν ἡμῶν Ἰησοῦν Χριστὸν μετὰ τῆς ἰδίας αὐτοῦ μητρὸς ἐν εἰκόνι." στηρίξας οὖν αὐτὸν καὶ ἐνδυναμώσας πλείοσι λόγοις ἀπῆλθεν εἰς τὸν ἴδιον αὐτοῦ τόπον. φαίνεται οὖν πάλιν ὁ δαίμων τῷ ἐγκλείστῳ καὶ λέγει αὐτῷ· „τί ἔνι, κακόγηρε; οὐκ ὤμοσάς μοι, ὅτι οὐδενὶ λέγεις; καὶ πῶς πάντα ἐξεῖπες τῷ ἐλθόντι πρὸς σέ; λέγω σοι, κακόγηρε, ὡς ἐπίορκος ἔχεις κριθῆναι ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως." ἀπεκρίθη αὐτῷ ὁ ἔγκλειστος λέγων· „ὅ τι μὲν ὤμοσα, ὤμοσα· καὶ ὅτι ἐπιώρκησα οἶδα· πλὴν τὸν ἐμὸν δεσπότην καὶ ποιητὴν ἐπιώρκησα, σοῦ δὲ οὐκ ἀκούω."

Rom. 492 Κωνσταντῖνος ὁ ὁσιώτατος ἐπίσκοπος Κωνσταντείας τῆς Κύπρου εἶπεν· Ὥσπερ ὁρμίσκοι χρυσοῖ, οὕτως εἰσὶν οἱ θεοφόροι ἡμῶν πατέρες, συμφωνοῦντες εἰς τὴν προσκύνησιν τῶν ἱερῶν εἰκόνων.

Ἰωάννης ὁ εὐλαβέστατος μοναχὸς πρεσβύτερος καὶ τοποτηρητὴς τῶν ἀνατολικῶν ἀρχιερέων εἶπε· Καὶ ἕτερον σημαίνει ὁ λόγος τοῦ πατρὸς ἡμῶν Σωφρονίου, ὅτι συμφέρει ὀμόσαντα ἐπιορκῆσαι ἢ ὅλως φυλάξαι ὅρκον ἐπὶ τῇ καταλύσει τῶν σεπτῶν εἰκόνων. τοῦτο δὲ λέγομεν, ἐπειδή τινες σήμερον ἐπαφορμίζονται ὅρκῳ.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· Ἐπειδὴ ἐγίνωσκε τὴν ἀγαθότητα τοῦ θεοῦ, ὅτι μετανοοῦντας προσδέχεται, τούτου ἕνεκεν διετάξατο παραβῆναι τὸν ἀσεβῆ ὅρκον. καὶ τὰ νῦν οἱ ἐν τῇ αἱρέσει ταύτῃ ὁμωμοκότες, εἰ μὲν ἄλλην ἁμαρτίαν οὐ πεποιήκασιν, εὔλογος αὐτοῖς ἡ πρόφασις καὶ ἔχουσί τι λέγειν. ἐπεὶ δὲ καὶ ἄλλαις ἁμαρτίαις περιπίπτουσιν, ὤφειλον τὸν θεὸν ἐξιλεώσασθαι καὶ ἐκδυσωπῆσαι περὶ τῆς ἀφέσεως τοῦ ἀθεμίτου ὅρκου.

---

15 ὁρμίσκοι cf. Cant. 1,10 et 7,2

HV T M **11–13** ἀπεκρίθη – ἀκούω ~ Am f. 169^{r} **17–20** Am f. 169$^{r–v}$

---

1 ἡμῶν + καὶ θεὸν Act. V | σκέψωμαι *Mo* ed.Rom.* **2** ἀββᾷ] μοναχῶ V | τότε om. *Mo* | τῇ om. H **3** Φαράν *Ioh.Dam.II (F) PG*: Φαρᾶν M Φάρων H Φαρών V T *Ioh.Dam.I (A[?]D) Ioh.Dam.II (D)* Φαρῶν *Mo* ed.Rom.* | καὶ ἦλθε καὶ] καὶ ἐλθόντι αὐτῷ *PG* | καὶ ἦλθε om. *Mo* Act. V | διηγήσατο + αὐτῶ M διηγεῖται *Mo Ioh.Dam.* διηγεῖται + αὐτῷ Act. V | ἐγκλείστῳ + ὅτι M **4** ἐξειπών + μοι *Mo* **5** ἐᾶσαι] καταλιπεῖν V edd. | ἐν τῇ πόλει ταύτῃ Act. V | εἰσέλθῃς T edd. *Ioh.Dam.II (F)* **6** τὸ προσκυνεῖν] προσκυνῶν *Mo* | ἡμῶν καὶ θεὸν Vc edd. (cf. Act. V) | καὶ θεὸν post Χριστὸν *Mo*, om. H M *PG* **7** ἐν εἰκόνι om. *Mo* | στηρίξας – ἐνδυναμώσας] ἐνδυναμώσας οὖν αὐτὸν V | αὐτὸν om. *Mo* | δυναμώσας *Mo* | λόγοις + τὸν ἀδελφὸν *Mo* **7–8** εἰς – τόπον] εἰς τὰ ἴδια V **8** αὐτοῦ om. *Mo* | οὖν] δὲ *Mo*, om. Act. V | τῷ ἐγκλείστῳ om. *Mo* **9** ἔνι om. H ἐν *Mo* | κακόγερε T edd. **10** ἐξεῖπας Act. V | λέγω] πλὴν λέγω *Mo* | κακόγερε Vc edd. | ὡς] ὅτι ὡς *Mo* **11** λέγων om. Act. V **11–12** ὤμοσα^{2} – οἶδα] σοι οἶδα *Mo* **12** ἐπιώρκησα^{1}] ἐπιόρκησα V *PG* | ἐπιώρκησα^{2}] ἐπιόρκησα V *Mo PG*, ὃς καὶ συγχωρήσει μοι add. *Mo* **12–13** σοῦ δὲ τοῦ λοιποῦ οὐ μὴ ἀκούσω *Mo* σοῦ δὲ οὐ μὴ ἀκούσω Act. V *PG* **13** οὐκ ἀκούω] οὐδαμῶς ἀκούω + τοιαῦτα μοι συμβουλεύοντος Am **14–16** Κωνσταντῖνος – εἰκόνων om. V **14** Κωνσταντίας H **15** εἰς om. M **17** ὁ εὐλαβέστατος om. V | μοναχὸς + καὶ V | καὶ τοποτηρητὴς om. V | ἀνατολῆς V **18** Καὶ – ὅτι] Οὐδὲν … ἢ ὅτι Am **19** τῇ om. V Am **20** ἐπαφορμίζονται ὅρκῳ] ὡς εὔλογον ἀφορμὴν τὸν ὅρκον προβάλλονται Am **21** Ταράσιος – εἶπεν] Ὁ πατριάρχης ἔφη V **21–22** τοῦ θεοῦ τὴν ἀγαθότητα H **23** ἀσεβῆ om. V | τὰ νῦν] τανῦν M ed.Rom.* **24** ἡ om. HV | καὶ^{1} + οὐκ T edd., sed cf. lat.

Brought to you by | University of Wisconsin - Madison Libraries (University of Wisconsin - Madison Libraries)
Authenticated | 172.16.1.226
Download Date | 6/28/12 6:36 PM

abbati Theodoro Aeliotae qui tunc habitabat in laura Pharorum; et uenit. cui omnia indicauit. at uero senex dicit inclauso: „sic, abba, illusus es, ut daemoni iurares? uerumtamen bene fecisti hoc dicens. expedit autem tibi potius ut non dimittas in ciuitate ista lupanar in quod non introeas, quam ut recuses adorare dominum et deum nostrum Iesum Christum cum propria matre sua in imagine." confirmato La.-Co. 254
ergo eo et confortato multis sermonibus abiit in proprium locum suum. apparet PL 129,302
itaque rursus daemon inclauso et dicit ei: „quid est, male senex? non iurasti mihi quod nemini diceres? et quomodo cuncta edixisti ei qui uenit ad te? dico tibi, maligne senex, ut peiurus habes iudicari in die iudicii." respondit ei inclausus dicens: „quia iuraui quidem, iuraui; et quia peieraui scio; uerumtamen meum dominum et factorem peieraui, te autem non audio."

Constantinus sanctissimus episcopus Constantiae Cypri dixit: Quemadmodum Rom. 492
aurea monilia, ita sunt deiferi patres nostri, concordantes in adoratione sacrarum imaginum.

Iohannes reuerentissimus monachus presbyter ac uicarius orientalium pontificum dixit: Et aliud significat sermo patris nostri Sophronii, quia expedit ei qui iurauit magis peierare quam omnino seruare iusiurandum in distructionem uenerabilium imaginum. hoc autem dicimus, quoniam quidam hodie excusant se propter iuramentum.

Tarasius sanctissimus patriarcha dixit: Quoniam sciebat bonitatem dei, quia poenitentes suscipit, ideo disposuit transgredi impium iuramentum. et nunc qui in heresi ista iurauerunt, si quidem aliud peccatum non fecerunt, rationabilis eis est excusatio et habent quod dicant; nam si <in> alia peccata incidunt, debent deum placare ac obsecrare de remissione illiciti iuramenti.

15–21 ~ *Iuo decr. XII 15, PL 161, 784 A–B (= Iuo trip. A 2,12,2; Iuo pan. VIII 98–99, PL 161, 1329 C; Grat. c. 22 q. 4 c. 18, col. 879,15–22)*: (Ex actione quarta septimae synodi) Iohannes apocrisiarius (apocrisarius *Grat.*) orientalium sedium dixit: Significat sermo patris nostri Sophronii, quod melius sit iurantem periurare, quam conservare (servare *Grat.*) sacramentum in confractione (fractione *Grat.*) sanctarum imaginum. Hoc autem dicimus, quia quidam se sacramento (sacramento quidam se *Grat.*) excusant. Tharasius patriarcha dixit: Quia pater Sophronius noverat bonitatem Dei, propterea transgredi voluit impium iuramentum.

P VE **15–21** ~ *Iuo decr., Iuo trip., Iuo pan., Grat.*

1 Theodori P | Helioti *codd. (uide supra p. 381,11), corr. ed. Rom.* | et – cui] *Anast. uerborum constructionem mutauit* **2** incluso F^2 *edd.* | sic] *Anast. legit* οὕτως (uere *Act. V)* | demoni *codd.* **3** dicere *ed. Rom.* ex* F **7** demon *codd.* | incluso F^2 *edd.* | dixit *ed. Rom.* ex* F **8** dixisti E *edd.* **9** periurus E *edd., sed cf. ThLL X 1, 985,13 sqq. et 1508,55 sq.* | iudicare VE (*corr.* F) | inclusus F^2 *edd.* **10** quia[1]] „*g.* quod" *ed. Rom.*^{mg}*; Anast. male uertit* ὅ τι *(idem mendum in Act. V)* | peieraui P: peiuraui V periuraui E *edd.* **10–11** scio – peieraui *om.* P **10** meum *ed. Rom.*^{mg} *(cf. gr. et Act. V p. 587,9)*: minime *codd.* **11** peieraui *scripsi (cf. supra)*: pieuraui V periuraui E *edd.* **13** adorationem P **15** ac] et *ed. Rom.* ex* F | pontificium P^{ac} (i^3 *exp.*) **17** peiurare V periurare E *edd.* | distructionem P *(cf. Act. I p. 109,3 al.)*: districtione VE destructionem *ed. Rom.** **20** sciebam E **21** penitentes VE | disposui VE **23** et + non *ed. Rom.** (*ex gr.* T) | nam si ~ ἐπεὶ δὲ *?* | in *add. ed. Rom.** **24** ac] et *ed. Rom.** | inliciti VE

Brought to you by | University of Wisconsin - Madison Libraries (University of Wisconsin - Madison Libraries)
Authenticated | 172.16.1.226
Download Date | 6/28/12 6:36 PM

Θεόδωρος ὁ ὁσιώτατος ἐπίσκοπος Σουβρίτων εἶπεν· Ὁ κορυφαῖος τῶν ἀποστόλων Πέτρος ἠρνήσατο, ἀλλὰ μετανοήσας ἐδέχθη.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· Ὁ Ἡρώδης εὐώρκησεν, ἀλλ᾽ ἀπώλετο.
Ha. 209 ὁ δὲ Πέτρος ἀρνησάμενος μεθ᾽ ὅρκου, εἶτα ἐξελθὼν καὶ δακρύσας ἐσώθη. πᾶσαν γὰρ ἁμαρτίαν ὁ ἀγαθὸς θεὸς συγχωρεῖ, ἐάν τις ἐξ ὅλης ψυχῆς μετανοήσῃ.

Ἡ ἁγία σύνοδος εἶπε· Ναί, δέσποτα, οὕτως ἡμᾶς ἡ ἁγία γραφὴ διδάσκει.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· Ὁ πρώταρχος τῆς θεολογίας ὁ ἅγιος Ἰωάννης ἔφη· ἡμεῖς, τεκνία, *ἐὰν λέγωμεν, ὅτι ἁμαρτίαν οὐκ ἔχομεν*, ψευσταί ἐσμεν. ἐὰν οὖν παρακαλῶμεν τὸν θεὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, ἵλεως ἡμῖν γίνεται καὶ παροράᾳ τὰ πλημμελήματα ἡμῶν.

Νικηφόρος ὁ ὁσιώτατος ἐπίσκοπος τοῦ Δυρραχίου εἶπε· Δέει πολλῷ συνεχόμεθα, δέσποτα, ὅτι πλεῖστα κακὰ διεπράξαμεν καὶ συντόνου μετανοίας καὶ ἐξαγορεύσεως δεόμεθα.

Ma. 64 Λέων ὁ ὁσιώτατος ἐπίσκοπος Φωκίας εἶπε· Γέγραπται ὅτι *καὶ ὅρκον ψευδῆ μὴ ἀγαπήσητε*· καὶ τούτου χάριν ὁ ψευδὴς ἡμῶν ὅρκος παρασταλήσεται ὡς μηδεμίαν ἰσχὺν ἔχων.

Ἰωάννης ὁ θεοφιλέστατος πρεσβύτερος καὶ τοποτηρητὴς τῶν ἀνατολικῶν ἀρχιερέων εἶπεν· Εἰ κελεύετε, τὰ νῦν τὰ ὑπὲρ τοῦ ὅρκου ζητείσθω.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· Ἤδη τὰ περὶ αὐτοῦ ἐρρήθη. εἴ τι δὲ πλέον, ἐν ἑτέρᾳ ἐξετάσει ζητείσθω. νῦν δὲ ἐχώμεθα τῶν προκειμένων.

La.-Co. 256 Θεοδόσιος ὁ θεοφιλέστατος διάκονος μοναχὸς καὶ νοτάριος ἀνέγνω·

1–2 cf. Mt. 26,69–75 etc. **3** Ὁ – ἀπώλετο cf. Mt. 14,7 et 9; Mc. 6,23 et 26 **4** cf. Mt. 26,69–75 etc. **4–5** cf. Lc. 17,3–4 **8** ἡμεῖς – ἐσμεν cf. 1 Ioh. 1,8 **14–15** Zach. 8,17

HV T M **3–6** Am f. 169^{v} **11–16** Am f. 169^{v}

---

1 ὁ ὁσιώτατος om. V | Σουβρίτων (cf. p. 508,21 = D 185)] Σουμίτων H (prob.) Σουμιτῶν V ed.Rom.^{mg} **3** Ταράσιος – εἶπεν] Ὁ πατριάρχης ἔφη V | ἁγιώτατος om. Am | εὐώρκησεν ἀλλ᾽] εὐορκήσας H **5** ἀγαθὸς om. Vc edd. | ὅλης + τῆς Vc edd. **6** ἁγία^{1} om. V | ἡμᾶς om. V | διδάσκει ἡ ἁγία γραφή V **7** Ταράσιος – εἶπεν] Ὁ πατριάρχης ἔφη V | ὁ ἅγιος om. Vc edd., ὁ om. V **8** ἐὰν – ἐσμεν om. H **9** ἐὰν οὖν] ἐὰν H εἰ δὲ V | παρακαλῶμεν – θεὸν om. H | παρακαλῶμεν] παρακαλοῦμεν + ἀεὶ V (ἀεὶ recepit ed.Rom.*) | ὑπὲρ] περὶ H | ἵλεως – καὶ om. V | γίνεται] γένηται + πάντως H (prob.) **9–10** καὶ παροράᾳ] παροραᾶ γὰρ H **11** ὁσιώτατος – τοῦ om. Am | ὁσιώτατος ἐπίσκοπος om. V | τοῦ om. M | Δέει – συνεχόμεθα] Φοβούμεθα V **12** ὅτι om. V (an eras.?) | κακὰ πλεῖστα V | συντόνου H M: συντόμου T Am (Am post ἐξαγορεύσεως) edd. (cf. lat.) πολλῆς V ed.Rom.^{mg} **14** Λέων – ἐπίσκοπος] Ὁ V | Φωκίας ed.Rom. (cf. Act. I p. 204,24 al.; Bischofslisten p. 55): Φωκαίας HV Am Φωκ᾽ sine abbr. T Φωκείας M | καὶ om. T edd. **15** ἀγαπᾶτε *Sept.* | παρασταλήσεται] παρασταλῆναι χρεὼν Am **16** ἔχων ἰσχύν (ἰσχῦν Am) V Am **17–18** Ἰωάννης – ζητείσθω om. V **17** θεοφιλέστατος] εὐλαβέστατος + μοναχὸς M | ἀρχιερέων] θρόνων M **18** τὰ νῦν] τανῦν T M edd. | ὑπὲρ] περὶ ed.Rom.* **19** Ταράσιος – εἶπεν] Ὁ πατριάρχης ἔφη V **19–20** Ἤδη – ζητείσθω] Τὰ περὶ τῶν ὅρκων ἀρκεῖ. ἐν ἑτέρα δὲ ἐξετάσει ζητήσωμεν V **19** ἐρρήθη] ἐκρίθη H | εἴ τι] ἔτι H M **20** πλέον] περὶ (sic) H (πλέον post ζητείσθω) | ἐχόμεθα HV **21** Θεοδόσιος – ἀνέγνω] Καὶ ἀνέγνω Θεόδωρος διάκονος καὶ νοτάριος V | Θεόδωρος V edd. (Θεοδόσιος ed. Rom.^{mg}) | ὁ θεοφιλέστατος om. M | καὶ om. M | νοτάριος + καὶ σκευοφύλαξ M

Brought to you by | University of Wisconsin - Madison Libraries (University of Wisconsin - Madison Libraries)
Authenticated | 172.16.1.226
Download Date | 6/28/12 6:36 PM

Theodorus sanctissimus episcopus Subritensium dixit: Princeps apostolorum Petrus negauit, sed acta poenitentia receptus est.

Tarasius sanctissimus patriarcha dixit: Herodes non peierauit, sed periit. at uero Petrus negauit cum iuramento, deinde foras egressus et lacrimatus saluus factus est. Ha. 210
omne quippe peccatum benignus deus ignoscit, si ex tota anima quis poenitentiam gesserit.

Sancta synodus dixit: Etiam, domine, sic nos sancta scriptura docet.

Tarasius sanctissimus patriarcha dixit: Primus theologiae princeps, sanctus uidelicet Iohannes, ait: nos, filioli, *si dixerimus* quia *peccatum non habemus*, mendaces sumus. si ergo rogauerimus deum pro peccatis nostris, propitius nobis fit et dispicit delicta nostra.

Nicephorus sanctissimus episcopus Dyrrachii dixit: Pauore multo detinemur, domine, quia plurima mala egimus, et compendiosam poenitentiam et confessionem precamur.

Leo sanctissimus episcopus Phociae dixit: Scriptum est quia *et iuramentum* Ma. 63
mendax ne diligatis; et huius rei gratia mendax iuramentum nostrum paruipenditur tanquam nullam fortitudinem habens.

Iohannes deo amabilis presbyter et uicarius orientalium pontificum dixit: Si iubetis, nunc quaerantur illa quae de iuramento sunt.

Tarasius sanctissimus patriarcha dixit: Iam quae ad id pertinent dicta sunt. si quid PL 129,303
autem amplius est, in alia examinatione requiratur. nunc autem proposita exsequamur.

Theodosius deo amabilis diaconus et notarius legit: La.-Co. 255

3–7 ~ *Iuo decr. XII 15, PL 161, 784 B (= Iuo trip. A 2,12,2; Iuo pan. VIII 100, PL 161, 1329 C–D; Grat. c. 22 q. 4 c. 18, col. 879,22–27)*: (Item) Tharasius patriarcha dixit: Herodes observavit iuramentum (sacramentum *codd., Iuo pan., Iuo trip.*), et periit, Petrus vero negavit cum iuramento, et conversus flevit et salvatus est. Omne enim peccatum bonus Deus indulget, si quis ex toto corde poeniteat. Sancta synodus dixit: Sic docet nos (*om. Iuo trip., Grat.*) sancta scriptura. **15–17** ~ *Iuo decr. XII 15, PL 161, 784 B (= Iuo trip. A 2,12,2; Iuo pan. VIII 100, PL 161, 1329 D; Grat. c. 22 q. 4 c. 18, col. 879,27–30)*: (Item) Leontius Phociae episcopus (Photie episcopus *codd.*, episcopus Photie *Iuo trip.*, episcopus Fociae *Grat.*) dixit (dicit *Grat.*): Scriptum est: ‚Iuramentum mendax ne diligatis.' Qua de causa nostrum iuramentum (iuramentum nostrum *Grat.*) mendax dissolvatur (dissolvitur *codd., Iuo trip., Iuo pan.*), quasi nullam habens virtutem.

P VE **3–7** ~ *Iuo decr., Iuo trip., Iuo pan., Grat.* **15–17** ~ *Iuo decr., Iuo trip., Iuo pan., Grat.*

---

2 penitentia VE **3** peierauit *scripsi (cf. supra p. 383,10 et p. 383,17)*: peiurauit P VE periurauit F *edd.* **5** paenitentiam P *(praeter consuetudinem)* penitentiam VE **8** primus princeps ~ πρώταρχος *(cf. Act. I p. 49,3–4)* **10** dispicit] dimittit *ed. Rom.** **12** Dirrachii P Durachii E Dyrrhachii *ed. Rom.** **13** compendiosam] *Anast. legit* συντόμου (*cf. gr.* T) | pęnitentiam V penitentiam E **14** precamur ~ δεόμεθα? **15** et *om. ed. Rom.** **19** querantur *codd.* **20** Iamq(ue) P Tamq(ue) E **23** diaconus] *Anast.* μοναχὸς *praetermisit* (*cf. gr.* V), *melius p. 443,5*

Brought to you by | University of Wisconsin - Madison Libraries (University of Wisconsin - Madison Libraries)
Authenticated | 172.16.1.226
Download Date | 6/28/12 6:36 PM

Ἐκ τῶν θαυμάτων τῶν ἁγίων Κοσμᾶ καὶ Δαμιανοῦ

Ἕτερός τις ἀνὴρ ἐπιεικὴς σφόδρα, σύριγγα ἐσχηκὼς ἐν τῇ κοτύλῃ καὶ πολλαῖς
Rom. 493 χρησάμενος θεραπείαις, ὑποβαλὼν δὲ ἑαυτὸν καὶ τοῖς ξίφεσι τῶν ἰατρῶν ἐπὶ ἐνιαυτούς τε δεκαπέντε ταλαιπωρήσας ἐν τῷ πάθει καὶ νικηθεὶς ὑπ᾽ αὐτοῦ, πλέον ἠὔξησε τὸ νόσημα, τετραστόμου τούτου γενομένου καὶ ἀφιέντος τὸ ἐναποκείμενον ῥεῦμα, πολλάκις δὲ καὶ τοῦ παραπεμπομένου τῷ σώματι ποτοῦ ἐκεῖθεν ἀπορρέοντος. τῶν τε ἰατρῶν εἰρηκότων κεκυριεῦσθαι αὐτὸν ὑπ᾽ αὐτοῦ καὶ μὴ εὑρίσκεσθαι ἀνθρώπου χεῖρα δυναμένην βοηθῆσαι τῷ πάθει, ἀπέγνω λοιπὸν ἑαυτοῦ ὁ ἀνήρ, καὶ συνεβουλεύθη παρὰ πολλῶν καταλαβεῖν τὸν τῶν ἁγίων τοῦ θεοῦ θεραπόντων Κοσμᾶ καὶ Δαμιανοῦ ἡγιασμένον οἶκον. καὶ τοῦτο ποιῆσαι βουλόμενος — πολύβουλον γὰρ ἡ ἀνάγκη — θεωρεῖ τοὺς ἁγίους καθ᾽ ὕπνον λέγοντας αὐτῷ· „δεῦρο πρὸς ἡμᾶς, καὶ ἰαθήσῃ." θαρσήσας τοίνυν τῇ προτροπῇ τῶν ἁγίων καταλαμβάνει τὸν ἔνδοξον αὐτῶν οἶκον· καὶ καθ᾽ ἑκάστην δυσωπῶν αὐτοὺς οὐκ ἐνεδίδου ἀπαλλαγῆναι τοῦ πάθους. ὡς δὲ ἐπέμενε χρόνον καὶ οὐδεμιᾶς ἐτύγχανεν ἐπισκέψεως, τέλος ἐξελθὼν ἐν τῷ ὑπερθύρῳ τῷ παρακειμένῳ τῷ οἴκῳ τῶν ἁγίων καὶ βλέψας εἰς τὴν εἰκόνα τοῦ σωτῆρος τὴν ἀνακειμένην ἐν τῇ κατὰ τὸ δεξιὸν στοᾷ — γέγραπται δὲ ἐν αὐτῇ ἥ τε ἁγία Μαρία ἡ θεοτόκος καὶ οἱ ἅγιοι θεράποντες τοῦ Χριστοῦ Κοσμᾶς καὶ Δαμιανὸς καί τις τῶν μεγάλων ἀνδρῶν Λεόντιος τοὔνομα —, δεήσεις ἐκτενεῖς ποιούμενος καὶ κλαύσας πικρῶς ἐπὶ ὥρας πολλὰς καὶ δυσωπήσας τοὺς ἁγίους ἀπῆλθεν ἐν τῷ τόπῳ τῆς κοίτης αὐτοῦ. καὶ θεωρεῖ διὰ τῆς νυκτὸς ἐρχομένους πρὸς αὐτὸν τοὺς θεράποντας τοῦ Χριστοῦ Κοσμᾶν καὶ Δαμιανόν, μέσην ἔχοντας τὴν *κεχαριτωμένην* παρθένον καὶ λέγουσαν αὐτοῖς· „ἴδε, οὗτός ἐστι, βοηθήσατε αὐτῷ διὰ τάχους."

Ἔτι ὁ αὐτὸς ἀνέγνω·

---

22 cf. Lc. 1,28

1–23 Mir. Cosm. et Dam. (BHG^{a} 385–392), mir. 30,1–26 Deubner (= BHG^{a} 389h)

HV T M **1–23** = *Mir. (= P^{5} v C^{2}), Pa* f. 271$^{r–v}$

---

1 Δαμιανοῦ + τῶν ἀναργύρων *Pa* **2** ἐπιεικὴς σφόδρα om. V | σήριγγα T **3** θεραπείαις + τῶν ἰατρῶν ed.Rom.* ex V (uide infra) | ὑποβαλὼν — ξίφεσι om. V | ὑποβάλλον δὲ αὐτὸν *Pa* **3–4** ἐνιαυτῶν V **4** τε om. V M *Mir. (C^{2})* | ιε΄ H πεντεκαίδεκα V | ταλαιπωρήσας — αὐτοῦ om. V **6–7** πολλάκις — ἀπορρέοντος om. V **7** τε] δὲ M | εἰρηκότων (cf. lat.) V T M *Pa*: ἀπειρηκότων H *Mir.* | κεκυριεῦσθαι — καὶ om. V | κεκυριεῦσθαι] καὶ κυριεύεσθαι *Pa Mir.* **8** χείρα (sic) ἀνθρώπου V | βοηθῆσαι δυναμένην M | ὁ ἀνὴρ ἑαυτοῦ H **9–10** τὸν — οἶκον] τὸν ναὸν τῶν ἁγίων Κοσμᾶ καὶ Δαμιανοῦ V τὸν τῶν ἁγίων ναόν *Mir. (C^{2})* **9** τὸν om. H **10** βουλόμενος H *Pa Mir.* (cf. lat.): βουλευόμενος V T edd. βουλευομένου M **10–11** πολύβουλος V T edd. **11** ὕπνους V *Mir. (P^{5} C^{2})* **12** θαρσήσας τοίνυν] θαρσήσας οὖν V ὅθεν θαρσήσας *Mir. (P^{5} v)* **12–13** τῇ — οἶκον] καταλαμβάνει τὸν οἶκον αὐτῶν V **12** τὸν + πάνσεπτον καὶ *Mir. (P^{5} v)* **13** οἶκον αὐτῶν *Pa* **13–14** οὐκ — καὶ om. V **14** χρόνον] χρονιῶν *Pa* χρόνον + ἱκανὸν *Mir. (P^{5} v)* **15** ὑπερθύρῳ] ὑπαίθρῳ *Mir.* | τῷ^{2} — οἴκῳ om. V | παρακειμένῳ H M *Mir. (C^{2})*: προσπαρακειμένῳ T edd. *Pa Mir. (P^{5} v)* | οἴκῳ post ἁγίων H (prob.) | καὶ — τὴν] ὁρᾷ τὴν V **16** τὴν ἀνακειμένην om. V | τὸ δεξιὸν] τῇ δεξιᾷ *Mir. (P^{5} v)* τὴν δεξιὰν *Deubner* **16–18** γέγραπται — Λεόντιος] τὴν ἁγίαν θεοτόκον· Κοσμᾶν καὶ Δαμιανὸν καί τινα τῶν μεγάλων ἀνδρῶν Λεόντιον V **16** ἐγέγραπτο *Pa* (cf. lat.?) ἐγγέγραπται *Mir. (C^{2})* **17** ἁγία — θεοτόκος] ἁγία εἰκὼν τῆς θεοτόκου H **19** ποιούμενον V ποιησάμενος ed.Rom.* | πολλὰς ὥρας V **20** εἰς τὴν κοίτην αὐτοῦ V **21** μέσον H *Mir.* **22** αὐτοῖς] αὐτῷ H | ἐστιν + ὁ νοσῶν *Mir. (P^{5} v)* **24** Ἔτι — ἀνέγνω om. V | post ἀνέγνω non interp. H T M

Brought to you by | University of Wisconsin - Madison Libraries (University of Wisconsin - Madison Libraries)
Authenticated | 172.16.1.226
Download Date | 6/28/12 6:36 PM

Ex miraculis sanctorum Cosmae ac Damiani

Alius quidam uir clemens ualde, fistulam habens in femore et multis usus medicamentis, ita ut sese etiam gladiis medicorum traderet, per annos circiter quindecim Rom. 493
miseriis afflictus est in passione; a qua superato amplius creuit languor quadrati oris †effectus et superiacente reumate fatigatus†, frequenter etiam immisso corpori potu exinde profluente. medicisque dicentibus quod languor ita dominaretur ei, ut non posset manus hominis inueniri quae passioni auxiliaretur, postposuit ergo se uir, et accepit a multis consilium, ut ad sanctorum dei famulorum Cosmae ac Damiani sanctificatam pergeret domum. et cum hoc facere uoluisset – multas enim uoluntates habet necessitas –, uidet sanctos in somnis dicentes sibi: „ueni ad nos, et sanaberis." fiducia ergo accepta per exhortationem sanctorum peruenit ad gloriosam eorum domum et per singulos dies non cessabat obsecrare ut liberaretur a passione. porro cum permansisset anno et nullam uisitationem fuisset adeptus, in finem egressus liminare quod appositum erat domui sanctorum et intuens in imaginem saluatoris quae superposita erat in dexteriori porticu – picta uero erat in ea tam sancta Maria dei genitrix quam sancti famuli Christi Cosmas et Damianus et quidam ex magnis uiris Leontius nomine –, deprecationibus factis prolixis fleuit per multas horas amare atque obsecratis sanctis abiit in locum cubiculi sui. et aspicit per noctem uenientes ad se famulos Christi Cosmam et Damianum, mediam habentes gratia plenam uirginem et dicentem sibi: „ecce, iste est, adiuuate illum uelociter."

Item ipse legit:

P VE

---

1 ac] et VE *edd.* **4** qua *ed. Rom.*: quo *codd.* | superato *(sc.* illi, *ut notauit Dubielzig)*] superatus *ed. Rom.** **4–5** amplius – fatigatus] „*g.* amp. auxit languorem q. o. effectum, et rheuma, quod inerat emittentem" *ed. Rom.*^{mg} *(uide infra)* **5** effectus – fatigatus] *locus obscurus, fort.* effectu et superiacentis reumatis fatigatu *scribendum (cf. gr.)* | affectus P | rheumate *ed. Rom.** **6** exinde] inde *ed. Rom.** **7** postposuit] „*g.* desperauit" *ed. Rom.*^{mg} **8** ac] et *ed. Rom.** **9** multas – uoluntates] „*g.* multa consilia" *ed. Rom.*^{mg} **9–10** habet uoluntates *ed. Rom.* ex F **11** fidutia P | exortationem P V **12** cessabit E cessauit *ed. Rom.* ex F **13** fine *ed. Rom.*, *sed cf. e. g. p. 421,17* | aggressus VE *ed. Rom. (corr. ed. Reg.)* **15** superposita] posita *ed. Rom.** **18** cubiculis P^{ac} (s *exp.*) **20** sibi] „*gr.* ipsis" *ed. Rom.*^{mg}, *Anast. legit fort.* αὐτῷ (*cf. gr.* H) | adiuuante P^{ac} (n *eras.*) | illum] eum *ed. Rom.**

Brought to you by | University of Wisconsin - Madison Libraries (University of Wisconsin - Madison Libraries)
Authenticated | 172.16.1.226
Download Date | 6/28/12 6:36 PM

Ἐκ τῶν αὐτῶν θαυμάτων περὶ τῆς γυναικὸς Κωνσταντίνου τοῦ ἐν Λαοδικείᾳ

Συνέβη τινὰ ἄνδρα ἐν στρατείᾳ ἐξεταζόμενον ὀνόματι Κωνσταντῖνον, πιστότατον καὶ μὴ ἀπολιμπανόμενον τῆς τῶν ἐνδόξων ἁγίων Κοσμᾶ καὶ Δαμιανοῦ προσεδρείας,
Ha. 212 ἐκδεδημηκέναι ταύτης τῆς φιλοχρίστου καὶ βασιλίδος πόλεως τῆς προσούσης αὐτῷ στρατείας χάριν. ὅστις ἐν ἑκάστῃ αὐτοῦ ξενιτείᾳ κατὰ πίστιν ἐπεφέρετο ἐκτύπωμα
Ma. 65 τῶν ἁγίων ἐν εἰκονιδίῳ πρὸς ἀσφάλειαν ἰδίαν. ἐπιστὰς δὲ τῇ Λαοδικέων πόλει, ἥτις ἐπωνομάσθη ἡ Τριμιταρία, ἐν αὐτῇ τε διατρίψας προφάσει τοῦ ἐγκεχειρισμένου αὐτῷ προστάγματος φανερὸν χρόνον γάμῳ νομίμῳ προσωμίλησεν. ὀλίγων δὲ ἡμερῶν διαγενομένων ἡ συναφθεῖσα τούτῳ πρὸς γάμον γυνὴ ἠσθένησεν, ἐν τῇ σιαγόνι αὐτῆς τῇ ἐξ εὐωνύμων ἀπόστημα ἐκβαλοῦσα, καὶ ὑπὸ τῶν ἀλγηδόνων δεινῶς φερομένη τῷ ἀνδρὶ οὐ μετρίους κόπους ἐνεποίει. ὅστις παραμυθούμενος τὴν ἰδίαν γυναῖκα καὶ πολλὴν πεῖραν τῶν ἁγίων ἔχων, ἐπιλαθόμενος δὲ ὅτι κατὰ τὸ εἰωθὸς αὐτῷ τούτους ἐπεφέρετο, ἔλεγεν αὐτῇ· „τί σοι ποιήσω; ἐπὶ ξένης εἰμί· εἰ γὰρ ἦμην ἐν τῇ πόλει μου, ἐλάμβανον τῆς κηροτῆς τῶν δεσποτῶν μου τῶν ἁγίων
Rom. 494 Κοσμᾶ καὶ Δαμιανοῦ, καὶ εὐθὺς τοὺς πόνους σου ἔπαυον καὶ τὸ νόσημα ἐθερά-
La.-Co. 257 πευον." ἡ δὲ πιστὴ ὑπάρχουσα καὶ θαυμάσασα πρὸς τὸ σύντομον τῆς τῶν ἁγίων ἰάσεως καὶ εὐξαμένη ἀξιωθῆναι μετὰ τὴν ἐπάνοδον αὐτῶν τῆς ἐν τῷ ἐνδόξῳ καὶ περιβοήτῳ τούτων οἴκῳ προσκυνήσεως καὶ τρωθεῖσα ἐκ μόνης τῆς ἀκοῆς τῷ πρὸς τοὺς ἁγίους πόθῳ ἡσύχασε. καὶ ὕπνῳ κατενεχθεῖσα τῇ ἐπιούσῃ νυκτὶ ὁρᾷ τοὺς μεγάλους τούτους καὶ φοβεροὺς ἰατροὺς καὶ θεράποντας τοῦ Χριστοῦ Κοσμᾶν καὶ Δαμιανὸν ἐν ᾧ ἐκτυποῦνται σχήματι ἑστῶτας πρὸς τῇ κλίνῃ αὐτῆς καὶ λέγοντας αὐτῇ· „τί ἔχεις; τί ἀγωνιᾷς; τί θλίψεις προσάγεις τῷ ἀνδρί σου; ὧδέ ἐσμεν μεθ' ὑμῶν, μηδὲν φροντίσῃς." ταῦτα εἰπόντες αὐτῇ ἀπέστησαν. ἡ δὲ διυπνισθεῖσα ἠρώτα τὸν ἴδιον ὁμόζυγον, πυθέσθαι παρ' αὐτοῦ βουλομένη τὰ σχήματα τῶν

1–390,8 Mir. Cosm. et Dam. (BHG^{a} 385–392), mir. 13,1–38 Deubner (= BHG 387, exc.; cf. BHG^{n} 387i I)

HV T M **1–390,8** = *Mir. (= $V^{1}M^{1}C^{2}$)*, *Pa* f. 271^{v}–272^{r}

---

1 Ἐκ – θαυμάτων] Ἄλλο θαῦμα V | θαυμάτων + τῶν ἁγίων Κοσμᾶ καὶ Δαμιανοῦ M **2** τινὰ ἄνδρα] τὸν ἄνδρα H τὸν ἄνδρα + τινὸς γυναικὸς V **2–4** ὀνόματι – ταύτης] εἰς συνάφειαν ἐλθεῖν ὀνόματι Κωνσταντῖνον· τοῦτον τὸν Κωνσταντῖνον ἐκδεδημηκέναι ποτὲ φασὶ ταύτης V **3** τῇ τῶν ἁγίων ἐνδόξων … προσεδρεία *Pa* | ἐνδόξων om. *Mir. (V^{1} M^{1})* | Κοσμᾶ καὶ Δαμιανοῦ om. *Mir. (V^{1} M^{1})* **5** χάριν στρατείας V | αὐτοῦ om. V **5–8** ἐπεφέρετο – γάμῳ] ἐπεφέρετο τῶν εἰκόνων τῶν ἁγίων πρὸς ἀσφάλειαν αὐτοῦ, ἐπιστὰς δὲ τῇ Τριμητανίᾳ τῇ Λαοδικέων πόλει πολὺν χρόνον διατρίψας γάμῳ V **5** ἐπεφέρετο ἐκτύπωμα H M (de V uide supra): ἐπέφερε τὸ ἐκτύπωμα T edd. *Pa* ἐπεφέρετο τὸ ἐκτύπωμα *Mir.* (ἐπεφέρετο τὰ ἐκτυπώματα *C^{2})* **6** εἰκονιδίῳ T M *Pa* (cf. lat.): εἰκόνι H *Mir.* (de V uide supra) **7** ἐπωνόμασται *Mir.* | Τριμιταρία T *Pa Mir. (V^{1})*: Τριμητταρία H *Mir. (M^{1} C^{2})* Τριμητανία V ed.Rom.^{mg} Τριμισταρία M | ἐν] καὶ ἐν *Mir. ($V^{1}M^{1}$)* | τε] δὲ M *Pa Mir. (C^{2})*, om. *Mir. (V^{1} M^{1}*, uide supra*)* **8** προστάγματος] πράγματος *Mir.* | γάμου νομίμου *Pa* **9** τοῦτο V | πρὸς γάμον om. V | ἐν om. V **9–10** τῇ ἐξ εὐωνύμων αὐτῆς σιαγόνι ἀπόστημα V **10** τῇ] τῆς T ed.Rom. (corr. ed.Reg.) | ἐξευωνύμων H *Pa* ἐξευωνύμω *Mir. (C^{2})* εὐωνύμω *Mir. (M^{1})* **11** φερομένη] ἀνιωμένη V edd. | οὐ μετρίους] πολλοὺς V **12** ἰδίαν om. V | καὶ – ἔχων om. V **12–13** ὅτι – ἐπεφέρετο] ὅτι φέρει τὴν τῶν ἁγίων εἰκόνα V **13** αὐτοῦ ed.Rom.* | τούτους om. H, τούτους + ἐν γραφῇ *Mir.* | ποιήσω + γύναι HV **14** δεσποτῶν] αὐθεντῶν V **15** εὐθέως *Mir. (V^{1} M^{1})* | ἔπαυον τοὺς πόνους σου V | τοὺς] καὶ τοὺς *Mir.* | σου om. *Mir. (V^{1} M^{1})* | ἔπαιον *Pa* ἔπαιον (sic) *Mir. (C^{2})* ἔπαυεν *Mir. (V^{1} M^{1})* **15–16** ἐθεράπευεν *Mir. (V^{1} M^{1})* **16–17** καὶ – ἰάσεως om. V **17** εὐχομένη V | μετὰ – αὐτῶν om. V **17–18** τῆς – καὶ] τῆς τῶν ἁγίων προσκυνήσεως V **17** τῷ] τῇ *Pa* | ἐνδόξῳ + αὐτῶν T edd. *Pa* ἐνδοξοτάτῳ + αὐτῶν H **18** τούτων οἴκῳ] ναῷ τούτων T edd. αὐτῶν οἴκῳ *Mir.* | καὶ] ὡς καὶ *Pa* **18–19** τῷ – πόθῳ] τῆς … πόθου *Pa* τοῦ … πόθου *Mir.* τῶ τούτων πόθω V **19** τῇ – νυκτὶ om. V **20** μεγάλους] ἁγίους H | καὶ φοβεροὺς om. V **20–21** Κοσμᾶν καὶ Δαμιανὸν om. V **21** ἐν τῶ ἐκτυποῦντι σχήματι *Pa* | πρὸς τὴν κλίνην H πρὸ τῆς κλίνης *Pa* **22** τί ἀγωνιᾶς; τί ἔχεις; V | προσάγεις] παρέχεις V **23** μηδενὸς T edd. | αὐτῇ] αὐτοῦ *Pa*, om. V **24** ἴδιον om. V **24–390,1** πυθέσθαι – ἱστοροῦνται] ὁποῖα εἶναι (sic) τὰ τῶν ἁγίων σχήματα Κοσμᾶ καὶ Δαμιανοῦ ἢ πῶς ἱστοροῦνται V **24** πείθεσθαι *Pa* **24–390,1** τὰ – ἐν om. H

Brought to you by | University of Wisconsin - Madison Libraries (University of Wisconsin - Madison Libraries)
Authenticated | 172.16.1.226
Download Date | 6/28/12 6:36 PM

Ex eisdem miraculis de uxore Constantini Laodicensis

Contigit quendam uirum fidelissimum qui in militia exercebatur, nomine Constantinum, qui gloriosorum sanctorum Cosmae ac Damiani patrocinium sedulus implorabat, profectum fuisse ab hac amabili Christo regia ciuitate causa iniunctae Ha. 211
sibi militiae. qui in unaquaque peregrinatione sua in fide deferebat effigiem sanctorum in parua imagine ad proprium munimentum. cum autem peruenisset ad Ma. 66
Laodicensium ciuitatem quae cognominata est Trimetaria ibique moratus esset occasione commissi sibi praecepti aliquo tempore, nuptias legitimas assecutus est. paucis uero diebus transactis uxor quae huic fuerat nupta, infirmata in maxilla sua
sinistra et apostema faciens ac a doloribus acriter agitata, non mediocres uiro PL 129,304
ingerebat labores. qui consolatus est mulierem suam, multum habens sanctorum experimentum. porro oblitus quod secundum consuetudinem suam hos secum deferret, dicebat ei: „quid tibi faciam? hospes sum. si enim essem in ciuitate mea, sumerem ceroten dominorum meorum Cosmae ac Damiani, et statim dolores tui La.-Co. 258
quiescerent et infirmitas curaretur." quae cum esset fidelis, ad sanctorum celerem Rom. 494
sanitatem admirata orauit, quo digna fieret post reuersionem suam in gloriosa eorum et famosa domo adoratione ipsorum; nam et ex solo auditu compuncta prae amore quem circa sanctos habebat conticuit. somnoque detenta postera nocte aspicit magnos hos et terribiles medicos et famulos Christi Cosmam et Damianum schemate
quo erant depicti stantes ad stratum suum et dicentes sibi: „quid habes? quid certas? quid tribulationes infers uiro tuo? hic sumus uobiscum, nihil tibi curae sit." quibus ad eam dictis recesserunt. illa uero euigilans interrogabat coniugem suum, sciscitari

P VE

2 malitia P **3** ac] et VE *edd.* **5** unaquęque P **6** monimentum P **7** Trimetaria (*cf. gr.* H)] Trimetria *ed. Rom.** („*g.* Trimitaria seu Trimetania" *ed. Rom.*^{mg}, Trimetaria *La.-Co.*^{mg} *ex* P) **8** p(er)cepti P **12** quod] quia *ed. Rom.** | hos secum P^{pc} V^{pc}: hos secundum P^{ac} (secum *superscr.* P^{c}) his secum V^{ac} (o *superscr.* V$^{1-2}$) esse cum E esset cum F^{2} eos cum *ed. Rom.** **13** sum *ed. Rom.*: mea *codd.* | essem *post* mea E *edd.* **14** ceroten V^{pc} E: caeroten P cereoten V^{ac} (e *del.*, ceroten *iter.* V^{1mg}) cerotem *ed. Rom.** | ac] et *ed. Rom.* ex* F **16** sanitatem ~ ἰάσεως *(cf. Act. I p. 59,2 al.)* sanationem *ed. Rom.*^{mg} **17** adorationem VE *edd., sed cf. gr.* | ipsorum + adire VE *edd.* | ex *om.* P^{ac} (*superscr.* P^{c}) **18** detenta] contecta P **19** scemate *codd., corr. ed. Rom. (cf. p. 445,17 al.)* **22** illi P^{ac} (i^{2} *exp. et* a *superscr.* P^{c})

Brought to you by | University of Wisconsin - Madison Libraries (University of Wisconsin - Madison Libraries)
Authenticated | 172.16.1.226
Download Date | 6/28/12 6:36 PM

ἐνδόξων ἁγίων Κοσμᾶ καὶ Δαμιανοῦ ἢ τὸ πῶς ἱστοροῦνται καὶ ἐν ποίᾳ τάξει ἡ αὐτῶν πρὸς τοὺς ἀσθενεῖς γίνεται παράστασις. τοῦ δὲ ἀνδρὸς ἀπαγγείλαντος μὲν αὐτῇ τὸ σχῆμα, διηγησαμένου δὲ καὶ τὰ αὐτῶν χαρίσματα, συνετίθετο μὲν τῷ συμβίῳ πρὸς τὰ σχήματα, ἔλεγε δὲ αὐτῷ καὶ τὰ λοιπὰ τὰ ῥηθέντα αὐτῇ ἐν ὀπτασίᾳ ὑπὸ τῶν ἁγίων. λοιπὸν καὶ ὁ ἀνὴρ εἰς ἀνάμνησιν ἐλθὼν ἐκ τοῦ διηγήματος, ὅτι εἶχεν ἐν τῷ ὑπομασχάλῳ αὐτοῦ τὸ τῶν ἁγίων ἐν εἰκονιδίῳ ἐκτύπωμα, ἐκβαλὼν τοῦτο παρ᾽ εὐθὺ ἔδειξε τῇ γυναικί. ἡ δὲ θεασαμένη προσεκύνησε καὶ ἔγνω ὅτι ὄντως σὺν αὐτοῖς ἐκεῖσε διῆγον οἱ ἅγιοι κατὰ τὴν αὐτῶν φωνήν.

᾽Ιωάννης ὁ εὐλαβέστατος πρεσβύτερος μοναχὸς καὶ τοποτηρητὴς τῶν ἀνατολικῶν ἀρχιερέων εἶπεν· Ἀπεδείχθη σαφῶς ἡμῖν, ὅτι καὶ διὰ τῶν εἰκόνων φαίνονται οἱ ἅγιοι θαυματουργοῦντες. διὰ γὰρ τῆς εἰκόνος ἐφανερώθησαν τῇ γυναικὶ ἰώμενοι αὐτήν.

Μάνζων ὁ ὁσιώτατος ἐπίσκοπος Πρακάνων εἶπε· Μετὰ τὸ ἀναχωρῆσαί με πέρυσιν ἐκ τῆς βασιλευούσης πόλεως καὶ ἀπελθεῖν εἰς τὴν κατ᾽ ἐμὲ δουλικὴν ὑμῶν πόλιν ἀσθενείᾳ περιέπεσα χαλεπωτάτῃ, ὥστε με καὶ τοὺς ἰδίους μου περισυνάξαι πρὸς τὸ ποιῆσαι διαθήκην. καὶ ἐν τούτοις τῆς νόσου κατεχούσης ἤνεγκα τὴν σεβασμίαν εἰκόνα τοῦ σωτῆρος ἡμῶν ᾽Ιησοῦ Χριστοῦ καὶ εἶπον ὅτι *„κύριε* ὁ δοὺς τὴν χάριν τοῖς ἁγίοις σου, *ἐπίσκεψαί με"*. καὶ ἅμα τῷ ἐπιθεῖναί με τὴν αὐτὴν σεβασμίαν εἰκόνα εἰς τὸ πάσχον μέλος παραυτὰ ἀπηλάθη τὸ νόσημα, καὶ ὑγιὴς κατέστην.

Καὶ ἀναστὰς Θεόδωρος ὁ ὁσιώτατος ἐπίσκοπος Σελευκείας εἶπε· Καὶ ἡμῖν διεγνώσθη τοῦτο· πλησίον γὰρ ἡμῶν ἐστιν.

Ma. 68 Ἔτι Θεοδόσιος διάκονος μοναχὸς καὶ σκευοφύλαξ τῶν εὐαγῶν πατριαρχικῶν εὐκτηρίων ἀνέγνω·

17–18 κύριε – με[1] cf. Ier. 15,15

HV T M

---

1 ἁγίων ἐνδόξων *Mir. (V^1)* | ἐνδόξων om. *Pa* | ἢ τὸ πῶς M *Pa* (cf. supra V et lat.): ὅπως T edd. πῶς *Mir.* (καὶ πῶς C^2) | καὶ[2]] ἢ *Mir. (V^1 C^2)* **2** ἀσθενοῦντας *Mir. (V^1 M^1)* **2–3** ἀπαγγείλαντος – χαρίσματα] ἀπαγγειλαμένου αὐτῇ τὸ σχῆμα καὶ τὰ χαρίσματα V **3** αὐτῇ om. *Mir. (V^1 M^1)* | μὲν + αὐτὴ M (cf. lat.?) **3–4** τῷ συμβίῳ] τῶ νυμφίω H τούτω V **4** καὶ om. ed.Rom.* | τὰ λοιπὰ om. V **4–5** ἐν – ἁγίων] τί ἔχεις, τί ἀγωνιᾶς H (uide supra p. 388,22) **4** ἐν + τῇ *Mir. (V^1 M^1)* **5** λοιπὸν] εἶτα V **6** ἔχει V | τῷ om. H | αὐτοῦ om. V | τὰ … ἐκτυπώματα *Mir. (V^1 M^1)* | ἐν[2] – ἐκτύπωμα] τὸ τῶν ἁγίων εἰκονίδιον V | ἐν εἰκόνι *Mir.* (om. C^2) **7** παρευθὺς *Mir. (C^2)* ed.Rom.* | ἔγνω] ἐνόησεν H **8** ὄντως] οὕτως *Pa* | σὺν αὐτοῖς om. V (post διῆγον tradit *Mir.* [C^2]) | ἐκεῖ V | φωνήν + καὶ εὐθέως ἀπηλλάγη ἡ γυνὴ τοῦ νοσήματος V edd. **9** ὁ εὐλαβέστατος om. V | μοναχὸς πρεσβύτερος V M, sed cf. lat. | καὶ τοποτηρητὴς om. V **9–10** τῶν – ἀρχιερέων] τῆς ἀνατολῆς HV **11–12** διὰ – αὐτήν] καὶ ἰῶνται τοὺς ἀσθενεῖς V **12** ταύτην H **13** Μανζὼν M | ὁ ὁσιώτατος om. V | με om. T edd. **14** πέρυσι HV edd. | ἐκ om. V | ὑμῶν] cf. app. crit. lat. **15** περιέπεσον T edd. | χαλεπῆ V **15–16** με – διαθήκην] καὶ διαθήκην ποιῆσαι V **15** μου om. ed.Rom.* **16** ἐν – κατεχούσης om. V **18** ἅμα – με[2]] ἐπιθεὶς V | αὐτὴν om. V **19** σεβασμίαν] ἁγίαν V | μέρος V | παραυτὰ] παραυτίκα H ed.Rom.* τηνικαῦτα V **21–22** Καὶ[1] – ἐστιν om. V **21–22** ἀνεγνώσθη M **22** πλησίον γὰρ] καὶ πλησίον H | ἐστιν] ἐγένετο H **23** Ἔτι om. V | μοναχὸς om. V (prob.) **23–24** τῶν – εὐκτηρίων om. V

Brought to you by | University of Wisconsin - Madison Libraries (University of Wisconsin - Madison Libraries)
Authenticated | 172.16.1.226
Download Date | 6/28/12 6:36 PM

ab eo uolens habitus gloriosissimorum sanctorum Cosmae ac Damiani uel qualiter pingerentur et in quo ordine ipsorum ad infirmantes fieret exhibitio. cumque maritus ei habitum indicasset et eorum charismata enarrasset, illa eidem coniugi suo eorum formis expositis et cetera quoque sibi a sanctis in uisu dicta narrauit. ceterum et uir in recordationem ex narratione ueniens quod haberet sub ascella sua sanctorum in imagine parua effigiem, hanc eductam protinus uxori monstrauit. at illa cum uidisset eam adorauit et cognouit quod uere secum ibidem degerent sancti secundum uocem ipsorum.

Iohannes reuerentissimus presbyter monachus et uicarius orientalium pontificum dixit: Ostensum plane nobis est quia et per imagines apparent sancti miracula facientes. per imaginem enim manifesti facti sunt mulieri sanantes eam.

Manzo sanctissimus episcopus Pracanensium dixit: Postquam recessi anno praeterito a regia urbe et ueni ad seruilem ciuitatem uestram in qua dego, infirmitatem incurri saeuissimam, ita ut propinquos meos colligerem ad faciendum testamentum. et in his languore comprimente attuli augustissimam imaginem saluatoris nostri Iesu Christi et dixi: „*domine*, qui das gratiam sanctis tuis, *uisita me*." et mox ut posui eandem colendam imaginem in membrum quod patiebatur, confestim expulsus est languor et restitutus sum sanus.

Et surgens Theodorus sanctissimus episcopus Seleuciae dixit: Et nobis innotuit hoc; iuxta nos enim est.

Item Theodosius diaconus monachus uasorum custos uenerabilium patriarchalium oratoriorum legit: Ma. 67

P VE

1 ac] et *ed. Rom.** **2** firmantes V infirmitates *ed. Rom.** **3** charismata P *ed. Rom.*^{mg}: scemata VE schemata *ed. Rom.* i. t. **3–4** eidem – expositis] *locus suspectus; incertum quid legerit interpres in gr.* **4** dicta E: indicta V, *om.* P **5** ascela P^{pc} (*ras. post* e) axilla *ed. Rom.** **6** parua *ed. Rom. (cf. gr.)*: paruam *codd.* | hanc *om.* VE *edd.* | eductam + que VE **9** presbyter + et *ed. Rom.** *ex* F | et] ac *ed. Rom.** *ex* F **13** seruilem ciuitatem uestram ~ δουλικὴν ὑμῶν πόλιν? (ὑμῶν *spectat ad* δουλικὴν, *cf. Conc. Const. III, ACO ser. II, II 1 p. 22,2 et 54,19*) **14** ut + non P **15** augustissimam F: angustissimam P E augustimam V **19** Et surgens P *(cf. gr.)*: Exurgens autem VE *edd.* | Seleucie V Seleutiae P E **21** Theodorus P^{ac} (r *exp.*, si *superscr.* P^{c}) F *edd. (corr. ed. Reg.*^{mg}*)* | diaconus + et *ed. Rom.**

Brought to you by | University of Wisconsin - Madison Libraries (University of Wisconsin - Madison Libraries)
Authenticated | 172.16.1.226
Download Date | 6/28/12 6:36 PM

Ἐκ τῶν αὐτῶν θαυμάτων περὶ τῆς γυναικὸς τῆς ἐχούσης τοὺς στρόφους

Καλῶς ὁ σοφώτατος Παῦλος ὁ στύλος καὶ διδάσκαλος τῆς ἐκκλησίας βοᾷ ὅτι *ἡ ἐλπὶς οὐ καταισχύνει τῆς ἀγάπης τοῦ θεοῦ ἐκκεχυμένης ἐν ταῖς καρδίαις ἡμῶν*. ταύτην
Ha. 213 τὴν ἐλπίδα κεκτημένη μία πιστὴ γυνὴ καὶ ἐκ χαλεπῶν ἀσθενειῶν ῥυσθεῖσα διαφό-
Rom. 495 ρως διὰ τῶν ἐνδόξων ἁγίων Κοσμᾶ καὶ Δαμιανοῦ ἀνεπίληστον τὴν μνήμην τῆς
La.-Co. 260 πρὸς αὐτοὺς εὐχαριστίας ἐποιεῖτο, συχνότερον ἐν τῷ θαυμαστῷ αὐτῶν τούτῳ οἴκῳ παραγινομένη καὶ τὸ χρέος τῆς τιμῆς αὐτοῖς ἀποτινυύουσα· καὶ ἁπλῶς καθ᾽ ἑκάστην τοὺς μεγάλους καὶ θαυμαστοὺς ἁγίους Κοσμᾶν καὶ Δαμιανὸν ἔχουσα ἐν τῇ διανοίᾳ οὐκ ἐκορέννυτο, ἀλλὰ καὶ εἰς πάντα τὸν τοῖχον τοῦ οἴκου αὐτῆς τούτους ἀνέγραψεν, ἀκόρεστος ἐκ τῆς θέας αὐτῶν ὑπάρχουσα. ὅθεν ἐκ τοῦ ὑπερβάλλοντος αὐτῆς πόθου τοῦτο πέπραχε. καὶ μηδεὶς ὑπολάβοι τοῦτο, πιστοί· ἀκατηγόρητον γὰρ ἐπ᾽ ὠφελείᾳ ψυχῆς πανταχοῦ τὸ ἄπιστον κρίνεται. ταύτην συνέβη ὑπὸ τῶν ἔσωθεν ἀσθενήσασαν πόνοις ἀνενδότοις ἐν τῷ ἰδίῳ οἴκῳ συνέχεσθαι κυλιομένην τε ἐν τῷ κραββάτῳ ἄπαυστον ἔχειν τὴν ὀδύνην, καὶ οὐδεμία ἀνοχὴ τῶν ἀλγηδόνων ἦν ἐν αὐτῇ· οὕτως δὲ συμβάντος μόνην ἔλαχε ταύτην πρὸς ὀλίγον εὑρεθῆναι. ὡς δὲ εἶδεν ἑαυτὴν κινδυνεύουσα, συρομένη κατῆλθεν ἐκ τῆς κλίνης, καὶ φθάσασα τὸν τόπον, ἐν ᾧ ἐν τῷ τοίχῳ ἦσαν γεγραμμένοι οἱ πάνσοφοι οὗτοι ἅγιοι, τῇ πίστει αὐτῆς ἀντὶ βακτηρίας χρησαμένη καὶ ἀνορθώσασα ἑαυτὴν τοῖς ὄνυξί τε αὐτῆς τῶν χειρῶν καταξέσασα τοῦ χρίσματος καὶ βαλοῦσα ἐν ὕδατι ἔπιεν εὔκρατον, καὶ παρευθὺ ὑγιὴς γέγονε, τῶν ὄντων ἐν αὐτῇ ἀλγηδόνων παυσαμένων τῇ τῶν ἁγίων ἐπιφοιτήσει· ἥτις μετὰ τὸ ὑγιᾶναι ἦλθεν ἐν τῷ μεγάλῳ τούτῳ οἴκῳ, εὐχαριστοῦσα τῷ δεσπότῃ θεῷ τῷ δεδωκότι τοσαῦτα χαρίσματα τοῖς ἁγίοις αὐτοῦ. καὶ διηγήσατο πᾶσι τὴν διὰ τῶν ἁγίων προσγενομένην αὐτῇ ἐν τῷ τοιούτῳ σχήματι θεραπείαν.

Συμεὼν ὁ εὐλαβέστατος μοναχὸς πρεσβύτερος καὶ ἡγούμενος τῆς Χώρας ἐπέδωκε βίβλον. ἣν δεξάμενος Νικήτας ὁ θεοφιλέστατος διάκονος καὶ νοτάριος τοῦ εὐαγοῦς πατριαρχικοῦ σεκρέτου ἀνέγνω·

2–3 cf. Rom. 5,5

1–23 Mir. Cosm. et Dam. (BHG^{a} 385–392), mir. 15,1–27 Deubner (= BHG 387, exc.; cf. BHG^{n} 387i II)

HV T M **1–23** = *Mir.* (=$V^{1.2.7.(8)}C^{2}$), *Pa* f. 272^{r}

---

1 αὐτῶν om. V | θαυμάτων om. *Pa*, θαυμάτων + τῶν ἁγίων Κοσμᾶ καὶ Δαμιανοῦ V | τὸν στρόφον *Pa* **2–4** Καλῶς – κεκτημένη om. V **2** βοᾷ post Παῦλος H **3** ἐγκεχυμένης *Pa* **4** τὴν] μὲν La.-Co.* | μία – ἀσθενειῶν] Γυνή τις πιστὴ ἐκ διαφόρων καὶ χαλεπῶν ἀρωστιῶν (sic) V | ἐκ om. Vc edd. **4–5** διαφόρως om. V **5** ἁγίων ἐνδόξων H | Δαμιανοῦ + καὶ V | τὴν om. V **5–7** μνήμην – παραγινομένη] μνήμην αὐτῶν βουλομένη ἔχειν V **6** τούτῳ om. H M *Mir.* (C^{2}), sed cf. lat. **7** παραγενομένη *Pa* | χρέως *Mir.* | ἀποτινυύουσα] ἀποδιδόναι V (uide supra) **7–9** καὶ^{2} – καὶ om. V **8** θαυματουργοὺς M **9** τὸν om. V **10** ἀκορέστως H | ἐκ^{1} om. T edd. **11–12** καὶ – κρίνεται om. V **11** ἐπιλάβοιτο *Mir.* (ἐπηλάβοι V^{2}) | τοῦτο πιστοί H M *Pa* (cf. lat.) *Mir.* (V^{7}): τοῦτο ἄπιστον T edd. τούτου πιστοί *Mir.* (τούτω πιστοί C^{2} τὸ τῶν πιστῶν V^{2}) **11–12** ἀκατηγόρητον γὰρ] οὐδὲ γὰρ ἀκατηγόρητον T edd. **12** πιστὸν *Pa* ἄπληστον *Mir.* (ἄπιστον V^{2}) **13** ἐν – οἴκῳ om. V | κυλιομένη HV *Mir.*, sed cf. lat. | τε] δὲ V **14** εἶχε HV εἶχεν *Mir.* **15** ἦν ἐν αὐτῇ] αὐτῆ ἦν V | οὕτως – εὑρεθῆναι om. V **16** αὐτὴν H **16–17** τὸν – ἦσαν] ὧ ἦσαν τόπω ἐν τῷ τοίχω V τὸν τόπον ἐν τῷ τοίχω ἐν ὧ ἦσαν M **17** οὗτοι + οἱ *Pa* **19** χρώματος *Pa* **20** τῶν^{1} – παυσαμένων om. V | ὄντων om. M, οὐσῶν ed.Rom.* (sed cf. Act. I p. 44,3 al.) **21** μετὰ τοῦ *Pa* | ὑγιάναι M | τούτων *Pa* **21–22** τῷ δεσπότῃ θεῷ] Χριστῶ τῶ δεσπότη ἡμῶν M τῶ θεῶ V *Mir.* (V^{1}) τῷ δεσπότῃ Χριστῷ *Mir.* (*rell.*) **24–394,8** Συμεὼν – αἰδεῖται om. V, quia excerptum quod sequitur iam post p. 316,2 ex *Ioh.Dam.*^{III} insertum est (de H uide infra) **24** ἡγούμενος + μονῆς M **25** εὐλαβέστατος T edd.

Brought to you by | University of Wisconsin - Madison Libraries (University of Wisconsin - Madison Libraries)
Authenticated | 172.16.1.226
Download Date | 6/28/12 6:36 PM

Ex eisdem miraculis de muliere tortiones habente

Bene sapientissimus Paulus columna et magister ecclesiae clamat quia *spes non confundit, quia caritas dei diffusa est in cordibus nostris*. hanc spem possidens una fidelis mulier et a saeuis infirmitatibus eruta diuerso modo per gloriosos sanctos Cosmam et Damianum, sine obliuione gratiarum actionum faciebat erga illos memoriam, crebrius ad hanc mirabilem eorum domum accedens et debitum honoris eis persoluens et, ut compendio dicam, per singulos dies magnos et admirabiles sanctos Cosmam et Damianum habens in mente non satiabatur, sed in omni pariete domus suae hos depingebat, insatiabilis ex uisione ipsorum existens. unde ex eminente amore suo hoc agebat. et nemo suspicetur hoc, o fideles; sine accusatione quippe super utilitate animae ubique quod non creditur iudicatur. hanc contigit interioribus doloribus ac incessabilibus infirmatam in propria domo comprimi uolutarique in lecto indesinentem habere dolorem, et nec una dilatio cruciatus erat in ea; taliter autem accidente solam contigit hanc ad modicum inueniri. cum autem uidisset se periclitantem, tracta descendit de strato, et appropinquans loco in quo in pariete erant depicti sapientissimi sancti isti, fide sua pro baculo utens et erigens semetipsam ungulisque manuum suarum radens ex unctione ac mittens in aquam bibit temperatum, et continuo sana facta est, doloribus qui erant in illa cessantibus sanctorum aduentu. quae postquam sana facta est, uenit in hanc magnam domum, gratias agens domino deo qui dedit tanta charismata sanctis suis. et narrauit omnibus curationem quae sibi facta fuerat per sanctos in huiuscemodi habitu. PL 129,305 Ha. 214 Rom. 495 La.-Co. 259

Symeon reuerentissimus monachus presbyter et egumenus regionis tradidit librum. quem suscipiens Niceta deo amabilis diaconus et notarius uenerabilis patriarchalis secreti legit:

P VE

---

1 portione E portionem F tortionem *ed. Rom.** **3** confundit + et VE *edd.* | karitas P | uestris P^{ac} *prob.* (u *in* n *mut.* P^{c}) **5** obliuione + cum F^{2} *edd., sed cf. gr.* | actione VEF *edd.* **9** eorum VE *edd.* | unde + et VE *edd.* **10** agebat] *„gr.* egit" *ed. Rom.^{mg}* **12** uoluntariquae P^{ac} (n *et* a^{2} *exp.*) **13** habere (*cf. gr.*): habentem *ed. Rom.* non male, sed fort.* habere *est mendum interpretis (an supra* uolutantemque *scribendum? cf. gr.;* lecto <et> *coni. Dubielzig)* | cruciatuum *ed. Rom.** **14** eccidente P^{ac} (e^{1} *in* a *mut.* P^{c}) **17** unctione ~ χρίσματος *(cf. Gloss.), „i.* linimento" *ed. Rom.^{mg}* **21** huiusmodi *ed. Rom.** **22** presbyter *om.* VE *edd.* | regionis] *debuit* Chorae, *cf. p. 521,22* **23** patriarchici F *edd. non male (cf. Act. I p. 77,24 al.)*

Brought to you by | University of Wisconsin - Madison Libraries (University of Wisconsin - Madison Libraries)
Authenticated | 172.16.1.226
Download Date | 6/28/12 6:36 PM

Τοῦ ἁγίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου εἰς τὸν νιπτῆρα

Πάντα ἐγένοντο διὰ δόξαν θεοῦ, χρῆσιν δὲ ἡμετέραν, νεφέλη εἰς τὴν τῶν ὄμβρων διακονίαν, γῆ εἰς τὴν τῶν καρπῶν εὐθυνίαν, θάλαττα εἰς τὴν τῶν ἐμπόρων ἀφθονίαν· πάντα σοι λειτουργεῖ τῷ θεῷ, μᾶλλον δὲ τῇ εἰκόνι τοῦ δεσπότου. οὐδὲ γὰρ ὅτε βασιλικοὶ χαρακτῆρες καὶ εἰκόνες εἰς πόλιν εἰσφέρονται καὶ ὑπαντῶσιν ἄρχοντες καὶ δῆμοι μετ᾽ εὐφημίας, οὐ σανίδα τιμῶντες οὐδὲ τὴν κηρόχυτον γραφήν, ἀλλὰ τὸν χαρακτῆρα τοῦ βασιλέως. οὕτω καὶ ἡ κτίσις οὐ τὸ γήϊον σχῆμα, ἀλλὰ τὸν οὐράνιον χαρακτῆρα αἰδεῖται.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· Αἱ βίβλοι αἱ ἀναγνωσθεῖσαι ἐκ τοῦ
Ma. 69 ναοῦ τοῦ ὄντος ἐν τῇ θεοφυλάκτῳ καὶ βασιλίδι πόλει τῶν ἁγίων ἀναργύρων εἰσίν, οἱ δὲ κληρικοὶ τῶν ἐκεῖσε ὄντων ἐκόμισαν αὐτὰς πρὸς ἡμᾶς καὶ κατέκριναν, ἵνα ἀναγνῶμεν αὐτὰς ἐν τῇ ἁγίᾳ συνόδῳ.

1–8 (Ps.-)Chrys. hom. in quinta feria paschae = <Seuer. Gabal. hom. de lotione pedum> (CPG 4216) p. 226 Wenger, p. 96 Wallach; cf. Uthemann, Severian von Gabala p. 35–45. testimonium inuenitur ex lat. retrouersum Act. II p. 144,1–8; cf. etiam Act. I p. 58,12–14

4–8 οὐδὲ – αἰδεῖται = Theod. Stud. epist. 528,69–74 **4–7** οὐδὲ – κτίσις = Ioh. Dam. imag. III 122 **4–7** οὐδὲ – βασιλέως = (Ps.-)Ioh. Dam. adu. Const. Cabal. (CPG 8114; BHG 1387e), PG 95, 317 A 8–12 (rec. breu. = Ioh. Hier. [BHG^{a} 1387f–g], *Pa* f. 240^{v}–241^{r}); cf. Νουθεσία γέροντος l. 920–922 Mitsides, p. XXXIII Melioranskij

HV T M **1–8** = *Seu. (= PABCD)*, *Pa* f. 252^{r}, *Mo* f. 235^{v} **4–8** = *Theod. Stud.* **4–7** = *Ioh. Dam.^{III}* **4–7** = *Ioh. Hier. Ioh. Dam.^{Cab}*

1–8 excerptum exstat etiam in V f. 40^{v} i.t. (ideo hic omissum, uide supra) et in H f. 133^{r} in marg. (ex *Ioh. Dam.^{III}* desumptum) **1** Τοῦ – νιπτῆρα] Τοῦ αὐτοῦ ἐκ τοῦ λόγου τοῦ εἰς τὸν νιπτῆρα *Pa Mo* | ἁγίου] ἐν ἁγίοις H | νιπτῆρα + οὗ ἡ ἀρχή M **2** Πάντα – θεοῦ] Τὰ πάντα γὰρ (μὲν *C* μὲν γὰρ *D*) ἐγένετο διὰ δόξαν μὲν αὐτοῦ *Seu.* | Πάντα + οὖν *Mo* | διὰ] εἰς H | ἡμετέραν + ἥλιος ἵνα ἀνθρώπους (ἀνθρώποις *CD*) μὲν (om. *BCD*) καταλάμπῃ *Seu.* | νεφέλαι (+ δὲ *PA*) *Seu.* | τὴν om. ed. Rom. (corr. ed. Reg.) **3** θάλασσαι *Mo* θάλασσα *Seu. (P)* θάλλαται La.-Co.* **4** σοι – θεῷ] locus difficilis, fort. in ipsis Actis ex mendoso exemplari transcriptus (melius lat. in Act. II p. 145,3–4, ubi etiam Hadr. LC LS^{b} Vall. conferenda sunt), exspectaueris συλλειτουργεῖ τῷ ἀνθρώπῳ (uide infra *Mo* et *Seu.*) | σοι λειτουργεῖ H T M *Pa Seu. (AM)* (cf. lat.): συλλειτουργεῖ *Mo Seu. (PB)* συνλειτουργεῖ *Seu. (C)* συνλειτουργῆ *Seu. (D)* λειτουργεῖ Wallach (nescio unde sumptum) | θεῷ H M *Pa* (cf. lat.): ἀνθρώπῳ T (ex coni.?) edd. *Mo Seu.* (cf. Act. II p. 144,4 et 145,4) | δεσπότου] θεοῦ *Seu. (PB)* **4–7** οὐδὲ – βασιλέως] sententia iam in exemplari quo notarii usi sunt defectiua fuisse uidetur; cf. LC LS^{b} Vall. in Act. II, app. testim. ad p. 145,1–7 **4–5** οὐδὲ γὰρ ὅτε H T M *Pa Seu. (B)* (cf. Act. II p. 144,4–5 et 145,4): οὐδὲ γὰρ ὅταν *Mo Seu. (PAC) Ioh. Hier.* οὐδὲ ὅταν *Seu. (D)* ὥσπερ γὰρ ὅταν *Ioh. Dam.^{III}* ὅταν *Ioh. Dam.^{Cab} Theod. Stud.* ὥσπερ γὰρ ὅτε ed. Rom.* ex Vc^{mg} (Probatares ex V f. 40^{v} [ubi testimonum adfertur ex *Ioh. Dam.^{III}*], ut uidetur); cf. Uthemann l.l. p. 39–40 **5** βασιλικοὶ – εἰσφέρονται] εἰκόνες βασιλικαὶ εἰσέρχονται εἰς πόλιν *Ioh. Hier.* | πόλεις H πόλιν + καταπέμπωνται καὶ *Ioh. Dam.^{III}* | φέρονται H *Seu. (D)* ἐμφέρονται *Pa* εἰσφέρωνται *Seu. (P) Ioh. Dam.^{III} Ioh. Dam.^{Cab} Theod. Stud. (S)* φέρωνται *Theod. Stud. (VMNH)* | καὶ^{2} T (ex coni.?) *Mo Seu. Ioh. Hier. Ioh. Dam.^{Cab}* (cf. Act. II p. 144,5 et 145,5): om. H M *Pa Ioh. Dam.^{III} Theod. Stud.* (cf. lat.) | ὑπαντῶσιν + αὐταῖς T edd. *Ioh. Hier. Ioh. Dam.^{Cab}* **6** καὶ] ἢ *Ioh. Hier.*, οἱ post καὶ add. *Pa^{1}* s.l. | μετὰ M *Pa Seu. (D)* | εὐφημίας + καὶ φόβου *Seu. Ioh. Dam.^{III} Ioh. Dam.^{Cab}* εὐφημίας + καὶ τιμῆς *Ioh. Hier.* | τιμῶντες] τιμῶσιν *Ioh. Hier.* ed. Rom.* (coll. Act. II p. 144,6, ut uidetur) | οὐδὲ τὴν] ἢ τὴν *Seu. (PAB)* οὐ τὴν *Mo Seu. (CD) Ioh. Dam.^{III} Ioh. Hier. Ioh. Dam.^{Cab}* | γραφὴν + τοῦτο ποιοῦσι *Seu. (PA)* **7** τοῦ + ἐπιγείου *Ioh. Hier. Ioh. Dam.$^{Cab.}$* | βασιλέως + τιμῶντες *Seu. (BCD)* | καὶ om. *Theod. Stud.* | σχῆμα (σκεῦος *Seu.* [*PAB*]) + τιμᾶ T (ex coni.?) edd. *Mo Seu. Theod. Stud.* (cf. Act. II p. 144,8 et 145,7), sed cf. lat. | ἀλλὰ + αὐτὸν *Mo* **7–8** ἐπουράνιον *Seu.* **9–396,2** Ταράσιος – παρήχθησαν fort. aptiorem locum habent post p. 392,23 **9** αἱ ἀναγνωσθεῖσαι βίβλοι V **9–11** ἐκ – ἡμᾶς] ἐκ τοῦ ναοῦ τῶν ἁγίων ἀναργύρων πάνυ ἔδειξαν ἡμῖν τὴν δύναμιν τῶν ἁγίων εἰκόνων, βίβλους δὲ ἐκόμισαν ἡμῖν τινες τῶν κληρικῶν V **10** τῶν – εἰσίν post ναοῦ transpos. ed. Rom.* (coll. lat., ut uidetur)

Brought to you by | University of Wisconsin - Madison Libraries (University of Wisconsin - Madison Libraries)
Authenticated | 172.16.1.226
Download Date | 6/28/12 6:36 PM

Sancti patris nostri Iohannis Chrysostomi sermo in lauationem quintae feriae

Omnia facta sunt propter gloriam dei et usum nostrum, nubes ad imbrium ministerium, terra ad fructum abundantiam, mare ad mercatorum copiam. omnia tibi ministrant deo, immo autem imagini domini. nam quando imperiales characteres et imagines in ciuitates introducuntur, obuiam ueniunt principes et uulgi cum laudatione, non tabulam honorantes neque perfusam cera picturam, sed characterem imperatoris. sic creatura non terrenum habitum, sed caelestem figuram ueretur.

Tarasius sanctissimus patriarcha dixit: Libri qui lecti sunt de templo sanctorum * Anargyron sunt quod est in diuinitus conseruanda regia urbe; porro clerici qui Ma. 70 inde sunt detulerunt eos ad nos et adiurauerunt nos, ut legeremus illos in sancta synodo.

P VE

1 Chrisostomi *codd.* 3 fructum (= fructuum, *cf. Act. II p. 145,3*) P: fructuum VE *edd.* | habundantiam P V^{pc} (h V$^{1-2}$ *s.l.*) *fort. retinendum (cf. Act. II p. 145,3)* 4 ministrant deo] ministrando V, deo *om. ed. Rom.*; exspectaueris* ministrant homini *(cf. Act. II p. 145,4), sed Anastasium in gr.* τῶ θεῶ (*cf. gr.* H M) *legisse manifestum est* | domini] dei E *edd.* 4–7 nam – imperatoris] *Anast., cum* καὶ *post* εἰσφέρονται *ignoraret (cf. app. crit. gr.), constructionem uerborum mutauit* 5 ciuitates (*cf. gr.* H *et Act. II p. 145,5*) P: ciuitate VE ciuitatem *ed. Rom.** | uulgus *ed. Rom.*, sed cf. gr.* 7 sic] *fort.* sic <et> *(cf. gr. et Act. II p. 145,6)* | celestem *codd.* | ueretur (*cf. gr. et Act. II p. 145,7* reueretur): ueneratur *ed. Rom.** 8 sanctorum + id est sine pecunia. nam sancti Cosmas et Damianus iure anargyri (angyri P^{ac}, ar *add.* P^{c} *s.l.*) dicuntur quia absque argento siue pecunia medicabantur (-buntur E) P E (*adnotatio Anastasii quae ad* Anargyron *pertinet in textum recepta; signum adnotationem indicans seruatur in* V)

Brought to you by | University of Wisconsin - Madison Libraries (University of Wisconsin - Madison Libraries)
Authenticated | 172.16.1.226
Download Date | 6/28/12 6:36 PM

Rom. 496 Ἡ ἁγία σύνοδος εἶπε· Καὶ δέον ἦν, δέσποτα, ἀναγνωσθῆναι αὐτάς· εἰς γὰρ ὠφέλειαν πάντων ἡμῶν παρήχθησαν.

La.-Co. 261 Πέτρος ὁ εὐλαβέστατος ἀναγνώστης καὶ νοτάριος τοῦ εὐαγοῦς πατριαρχείου ἀνέγνω·

Τοῦ ἁγίου Ἀθανασίου ἐκ τοῦ κατὰ Ἀρειανῶν λόγου τετάρτου

οὗ ἡ ἀρχή· Οἱ Ἀρειομανῖται, ὡς ἔοικε, κρίναντες ἅπαξ ἀποστάται γενέσθαι. καὶ μεθ᾽ ἕτερα·

Τοῦτο καὶ ἀπὸ τοῦ παραδείγματος τῆς εἰκόνος τοῦ βασιλέως προσεχέστερόν τις κατανοεῖν δυνήσεται. ἐν γὰρ τῇ εἰκόνι τοῦ βασιλέως τὸ εἶδος καὶ ἡ μορφή ἐστι, καὶ ἐν τῷ βασιλεῖ δὲ τὸ ἐν τῇ εἰκόνι εἶδός ἐστιν. ἀπαράλλακτος δέ ἐστιν ἡ ἐν τῇ εἰκόνι τοῦ βασιλέως ὁμοιότης, ὥστε τὸν ἐνορῶντα τὴν εἰκόνα ὁρᾶν ἐν αὐτῇ τὸν
Ha. 216 βασιλέα καὶ πάλιν τὸν ὁρῶντα τὸν βασιλέα ἐπιγινώσκειν ὅτι οὗτός ἐστιν ὁ ἐν τῇ εἰκόνι. ἐκ δὲ τοῦ μὴ διαλλάττειν τὴν ὁμοιότητα τῷ θέλοντι μετὰ τὴν εἰκόνα θεωρῆσαι τὸν βασιλέα εἴποι ἂν ἡ εἰκών· „ἐγὼ καὶ ὁ βασιλεὺς ἕν ἐσμεν· ἐγὼ γὰρ ἐν ἐκείνῳ εἰμὶ κἀκεῖνος ἐν ἐμοί, καὶ ὃ ὁρᾷς ἐν ἐμοί, τοῦτο ἐν ἐκείνῳ βλέπεις, καὶ ὃ ἑώρακας ἐν ἐκείνῳ, τοῦτο βλέπεις ἐν ἐμοί.″ ὁ γοῦν προσκυνῶν τὴν εἰκόνα ἐν αὐτῇ προσκυνεῖ τὸν βασιλέα· ἡ γὰρ ἐκείνου μορφὴ καὶ τὸ εἶδός ἐστιν ἡ εἰκών.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· Αὐτὴ ἡ φύσις τῶν πραγμάτων διδάσκει ὅτι ἡ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον διαβαίνει, ὡσαύτως δὲ καὶ ἡ ἀτιμία. ὁ δὲ πατὴρ νῦν ἐπὶ ὑποδείγματος ἔλαβε τὰ ἀναγνωσθέντα.

Ἐπιφάνιος ὁ θεοφιλέστατος διάκονος τῆς ἐκκλησίας Κατάνης καὶ τὸν τόπον ἐπέχων

---

14 ἐγὼ[1] – ἐσμεν cf. Ioh. 10,30

5–17 Ath. c. Ar. (CPG 2093) or. 3 c. 1,1 et c. 5,13–22 Metzler/Savvidis **19** ὅτι – διαβαίνει = Bas. spir. c. 18, 45,19–20 Pruche (cf. infra p. 398,9–10 et Act. III p. 266,23 al.)

25–609,6 quomodo – eorum = *Deusd. I 46 p. 55,16–24* **25–609,5** quomodo – existunt ~ *Iuo decr. V 41, PL 161, 337 A–B (laudatur secundum editionem M. Brett)*: (Actione sexta tomo primo, contra falsam septimam sinodum) Quomodo magna et universalis est sinodus, quam nec receperunt, neque consonaverunt ceterarum ecclesiarum antistites, sed et anathemati tradiderunt? Non habuit cooperatorem Romanum pontificem, aut sacerdotes qui cum eo sunt, neque per canonicam epistolam sicut lex est in sinodis; sed neque consentientes habuit orientales patriarchas, id est Alexandrinum, Antiochenum, Hierosolimitanum et archiepiscopos qui cum eis sunt.

P VE **25–609,6** = *Deusd.* **25–609,5** ~ *Iuo decr.*

---

1 conculcatio *ed. Rom.* (ex gr.)* **2–3** retributio – ei] *Anast. ex gr.* **6** propositam uiam continuantes *ed. Rom.*, sed cf. infra p. 649,9; 677,12* **8** cum dei aspiratione ~ μετὰ τῆς τοῦ κρείττονος ἐπιφροσύνης? *cf. app. crit. gr.* **9–10** unam – quae] „*gr.* unam nobis acquirentes caut. ut uidelicet nihil a nobis innouetur ex his quae" *ed. Rom.mg; Anast. sententiam male intellexit* **11** oboediant] oboediamus *ed. Rom.mg (uide supra)* **13** conperientes P | obiectiones Pac (*in* e2 *scr.* i Px) | laureas *scripsi coll. gr.*: uictorias (*glossema Anastasii in textum receptum*) et (*om.* Pac, *add.* Px *s. l.*) laudes P *La.-Co.mg* laures V *i. t.* (uictorias V1mg *ed. Rom.mg*) E lauream *ed. Rom.** **19** rebellium E *edd.* | nouitatem] *Anast. legit uel intellexit* καινοφωνίας **20** calumpniatores VE **21** quae nec quia est VE (*mendum interpretis, cf.* quia ~ ὅ τι): qui nec quia est P quę nec quicquid F2 (-cquid *in ras.*) *non male (sed* est *retinendum)* quae nec quid est *ed. Rom.** **22** *fort.* polluta <et> *scribendum, cf. gr.* | execranda] *exspectaueris* execrata (*cf. p. 711,15* falsati)*; debuit* false inscriptam *uel sim. (Dubielzig)* **23** distincxerunt P V **24** distinxerunt] discernerunt *(sic)* V *ed. Rom.* discreuerunt *ed. Reg.** **26** neque concordauerunt *om. Deusd.*

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:19 AM

οὔτε ἐδέξαντο οὔτε συνεφώνησαν οἱ τῶν λοιπῶν ἐκκλησιῶν πρόεδροι, ἀλλὰ ἀναθέματι ταύτην παρέπεμψαν; οὐκ ἔσχε συνεργὸν τὸν τηνικαῦτα τῆς Ῥωμαίων πάπαν ἢ τοὺς περὶ αὐτὸν ἱερεῖς οὔτε διὰ τοποτηρητῶν αὐτοῦ οὔτε δι᾽ ἐγκυκλίου
Ma. 209 ἐπιστολῆς, καθὼς νόμος ἐστὶ ταῖς συνόδοις, ἀλλ᾽ οὔτε συμφρονοῦντας αὐτῇ τοὺς πατριάρχας τῆς ἕω, Ἀλεξανδρείας, Ἀντιοχείας καὶ τῆς ἁγίας πόλεως ἢ τοὺς σὺν
Ha. 329 αὐτοῖς μύστας καὶ ἀρχιερεῖς. ὄντως καπνὸς ἀχλύος πλήρης, *σκοτίζων ὀφθαλμοὺς*
Rom. 571 ἀφρόνων ὁ λόγος αὐτῶν καὶ οὐχὶ *λύχνος τεθεὶς ἐπὶ τὴν λυχνίαν* τοῦ φωτίζειν *τοὺς ἐν τῇ οἰκίᾳ*, διότι τοπικῶς ὡς ἐν παραβύστῳ τὰ αὐτῶν ἐλαλήθη καὶ οὐκ ἐπάνω τοῦ τῆς ὀρθοδοξίας ὅρους. οὐδὲ *εἰς πᾶσαν τὴν γῆν* ἀποστολικῶς *ἐξῆλθεν ὁ φθόγγος αὐτῶν* ἢ *εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν* ὥσπερ τῶν ἓξ ἁγίων οἰκουμενικῶν συνόδων. ‚ἑβδόμη᾽ δὲ πάλιν πῶς ἡ μὴ συμφωνήσασα ταῖς πρὸ αὐτῆς ἓξ ἁγίαις καὶ οἰκουμενικαῖς συνόδοις; πᾶν γὰρ ἕβδομον ταττόμενον τῶν πρὸ αὐτοῦ ἀριθμήσει προκειμένων πραγμάτων ἀκόλουθον ὀφείλει εἶναι· ἐπεὶ τὸ μηδὲν τῶν συναριθμουμένων μετέχον οὐδὲ συναριθμεῖται. ὡς γὰρ εἴ τις ἓξ χρυσίνους στοιχηδὸν καταθῇ, εἶτα τούτοις παραθῇ χαλκοῦν *νοῦμμον*, ἕβδομον οὐκ ἂν τοῦτον προσαγορεύσειε διὰ τὸ τῆς ὕλης ἑτεροούσιον — ὁ γὰρ χρυσὸς πολυτελὴς καὶ τίμιος, ὁ δὲ χαλκὸς εὐτελὴς καὶ ἄτιμος —, οὕτως καὶ αὕτη χρυσοῦν μηδὲν ἢ τίμιον ἐν δόγμασιν
La.-Co. 397 ἔχουσα, ἀλλὰ πάντῃ ὑπόχαλκος οὖσα καὶ κίβδηλος, ἰοῦ θανατηφόρου γέμουσα, ταῖς ἓξ πανιέροις συνόδοις καὶ χρυσέοις τοῦ πνεύματος ἔπεσιν ἐκλαμπούσαις συναριθμεῖσθαι οὐκ ἠξίωται. ἔχουσα δὲ τὴν ἔπαρσιν τοῦ εἰπόντος· *θήσω τὸν θρόνον μου ἐπάνω τῶν νεφελῶν*, ἐξηχεῖ τοιάδε·

(Γρηγόριος ἐπίσκοπος ἀνέγνω·)

«Ἡ ἁγία μεγάλη καὶ οἰκουμενικὴ σύνοδος ἡ κατὰ θεοῦ χάριν καὶ πανευσεβὲς θέσπισμα τῶν θεοστέπτων καὶ ὀρθοδόξων ἡμῶν βασιλέων Κωνσταντίνου καὶ Λέοντος συναχθεῖσα ἐν ταύτῃ τῇ θεοφυλάκτῳ καὶ βασιλίδι πόλει ἐν τῷ σεβασμίῳ

6–7 σκοτίζων — αὐτῶν cf. Ps. 68,24 = Rom. 11,10 **7–8** λύχνος — οἰκίᾳ cf. Mt. 5,15 **9–10** εἰς — αὐτῶν² cf. Rom. 10,18 (= Ps. 18,5) **20–21** cf. Is. 14,13–14

6–7 ὄντως — αὐτῶν ~ Vita Theodorae imp. (BHG[a] 1731) c. 5,26–27 Markopulos **11–13** ἑβδόμη — εἶναι cf. Steph. Diac. uita Steph. Iun. (BHG[a] 1666) § 44 p. 145,7–8

(H)V T M **2–21** οὐκ — τοιάδε praetermisit H **6–7** ~ *Vit. Theod.*

1 οὔτε συνεφώνησαν οὔτε ἐδέξαντο M | ἀλλ᾽ ed.Rom.* **4** τ(ῆς) συνόδ(ου) V **6** αὐτοὺς (sic) V **7** λυχνείαν T οἰκίαν V **9** ὁ φθόγγος om. V **10** ἑξῆ M, ἓξ post οἰκουμ. V | ἁγίων + καὶ V **12** ἑξῆ M | ταττόμενον + τῇ M **14** συναριθμουμένων + πραγμάτων V | ἑξῆ M **15** χαλκὸν V | νοῦμον M **15–16** προσαγορεύση M **17** μηδὲν χρυσοῦν M **17–18** ἔχουσα ἐν δόγμασιν M **19** ἑξῆ M **21** ἐξηχοῖ V **23** μεγάλη om. ed.Rom.* | καὶ¹ om. H **25** σεβασμίῳ om. H

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:19 AM

ecclesiarum, sed anathemati hanc transmiserunt? non enim habuit adiutorem illius temporis Romanorum papam uel eos qui circa ipsum sunt sacerdotes nec etiam per uicarios eius neque per encycliam epistolam, quemadmodum lex dictat conciliorum, Ma. 210 sed nec consentientes sibi patriarchas orientis, Alexandriae scilicet, Antiochiae ac sanctae ciuitatis, uel comministros et summos sacerdotes qui cum ipsis existunt. uere fumus caligine plenus obtenebrans oculos stolidorum est sermo eorum et non *lucerna posita super candelabrum, ut* illuminet *qui in domo sunt*, pro eo quod localiter in Ha. 330 Rom. 571 abdito et non super horthodoxiae montem dicta fuerint uerba ipsorum. neque *in omnem terram* more apostolorum *exiuit sonus eorum* aut *in fines orbis terrae uerba eorum*, quemadmodum sex sanctarum et uniuersalium synodorum. porro ‚septima' quomodo quae non concordauit cum praecedentibus se sex sanctis ac uniuersalibus synodis? omne quippe septimum quod fuerit ordinatum, in supputatione praecedentium rerum subsequens debet esse. nam quod eorum quae sibi connumerantur nil participatur, profecto nec connumeratur. sicut enim quisquis sex aureos more PL 129, 378 uersus ordinet, dein apponat aeneum nummum, septimum hunc propter alterius materiae substantiam nullatenus appellauerit, si quidem aurum multi et pretiosi metallum est commodi, aes uero uile et inhonorabile, ita et haec, cum aurum uel pretiosum in dogmatibus nihil habeat, sed omnimodis aerea sit et reproba uenenoque La.-Co. 398 mortifero plena, sacratissimis sex synodibus et aureis carminibus spiritus refulgentibus connumerari non meruit. habens autem elationem eius qui dixit: ponam thronum meum supra nubes, personat huiuscemodi:

(Gregorius episcopus legit:)

«Sancta magna et uniuersalis synodus quae per gratiam dei et piissimam sanctionem deo redimitorum et horthodoxorum imperatorum nostrorum Constantini et Leonis congregata est in hac deo conseruanda regia urbe in colendo templo sanctae ac

---

20–21 ponam – nubes *cf. Vet. Lat. (Beuron) Is. 14,13–14 (E)*

10–14 porro – connumeratur ~ *Iuo decr. IV 121 (PL 161, 294 A; laudatur secundum editionem M. Brett); Iuo trip. A 2, 10A,5*: (Actio 6, tomo I, contra falsam septimam sinodum) Septima sinodus, quomodo dicitur que non concordat precedentibus sex universalibus sinodis? Omne quod septimum ponitur consequens debet habere cum rebus prenumeratis. Si vero in nullo rebus prenumeratis participat, nec eis connumerari potest. *Continuatur infra p. 621,8.* **14–17** sicut – inhonorabile *cf. LC IV 13 p. 521,11–15*: Cupientes ergo illam, quae ab eorum praedecessoribus incaute et enormiter gesta est, abolere et suam, quę inepte et stolide nihilominus gesta est, statuere, paradigma cuiusdam retulere, qui sex aureis nummis septimum volens adsociare, dum admittere nisus est aureum, aereum loco aurei dicitur admisisse; quo isti expulso aureum aureis se gloriantur adsociasse. *cf. Freeman p. 521 adn. 196*

P VE **10–14** ~ *Iuo decr., Iuo trip.*

---

1 habuit enim F *edd.* **3** encycliam P^{pc} *Deusd. (cf. Act. V p. 595,2 al.)*: encyclam P^{ac} (i *add.* P^{c} *s.l.*) enciliam *(sic)* V entidiam *(sic)* E encyclicam *ed. Rom.** **4** sibi *om.* V *Deusd.* | scilicet + ac *Deusd.* | ac] et *Deusd.* **5** conministros VE (*abbr.* P) **7** illuminet + omnibus F *edd. (ex* luceat omnibus *Vulg.), sed cf. gr.* **8** fuerunt F *edd.* | neque + enim E *edd., sed cf. gr.* **9** aut] *Anast. ex gr.* **10** sydonorum P^{ac} (do *exp.,* no *superscr.,* d *in* n *scr.* P^{c}) **11** se *om. ed. Rom.*, sed cf. gr. et p. 643,4* | uniuersalibus] uenerabilibus *ed. Rom.** **13** nihil *ed. Rom.** **14** participat F^{2} *(ras.) edd.* | nec] non *ed. Rom.** | quisquis] si quis *ed. Rom.*, sed cf. e.g. Aug. op. monach. c. 27,35 p. 583,24 Zycha* **15** deinde F *edd.* **18** nichil VE | omnimodis] in omnibus *ed. Rom.*, sed cf. gr.* | aerea] subaerata *La.-Co.*^{mg} **18–19** uenenoque mortifero] rubigine mortifera *ed. Rom.*^{mg}*, sed cf. Gloss.* **19** et *om. ed. Rom.** | carminibus ~ ἔπεσιν*?* **21** huiusmodi P^{ac} (ce *add.* P^{c} *s.l.*) **22** episcopus + Neocaesariae V *edd., sed cf. gr.* **24** redimitiuorum P^{ac} (iu *subterlin.* P^{x}) | orthodoxorum P *(praeter consuetudinem)* E **25** ac] hac P

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:19 AM

ναῷ τῆς ἁγίας ἀχράντου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας τῷ ἐπονομαζομένῳ Βλαχέρναις ὥρισε τὰ ὑποτεταγμένα. »

(Ἰωάννης διάκονος ἀνέγνω·)

Εἰ κατὰ θείαν χάριν ἡ ἄθροισις αὐτῶν γέγονε, τοῖς τῇ χάριτι τοῦ θεοῦ λαληθεῖσι ῥήμασιν ἐκεκόσμητο ἂν καὶ ἀληθείᾳ ἐφαιδρύνετο, ἐπειδὴ ἡ χάρις ταύτῃ συνέζευκται καὶ σύζυγα δύο καὶ ὁμοδίαιτα ταῦτα, καὶ μάρτυς Ἰωάννης ὁ τῆς θεολογίας πρώταρχος λέγων· *ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ ἐγένετο*. αὐτοὶ οὖν τὴν ἀλήθειαν ἀφέντες, ἐν ᾗ ὁ παροιμιαστὴς αὐχεῖ λέγων· *ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου*, καὶ τὸ ψεῦδος ἐπισπασάμενοι δηλονότι τῆς χάριτος ἐκπεπτώκασιν. ὅθεν οὐδὲ *ὁ λόγος* αὐτῶν θείῳ *ἅλατι* ἐστὶν *ἠρτυμένος, ἵνα δῷ χάριν τοῖς ἀκούουσι*. τὸ δὲ ἐν τῷ πανσέπτῳ ναῷ τῆς δεσποίνης ἡμῶν θεοτόκου συναγηγέρθαι αὐτοὺς οὐδὲν θαυμαστόν· ἐν τούτῳ γὰρ οὐκ ἐγκαλλωπισθήσονται, ὡς οὐδὲ Ἄνναν καὶ Καϊάφαν καὶ τὸ αὐτῶν
Ma. 212 Ἰουδαϊκὸν συνέδριον τὸ κατὰ τοῦ Χριστοῦ βουλευόμενον ὤνησεν ἡ ἐν τῷ ἱερῷ
Rom. 572 κατὰ Χριστοῦ γενομένη ἄθεσμος βουλή. διὰ τοῦτο γὰρ μᾶλλον κατάκριτοι ἐδείκνυντο, ὅτι ἐν τοῖς ἁγίοις τόποις τὰ ἐναγῆ καὶ ἐχθρὰ θεῷ συνθήματα συνεσκεύασαν. εἶθε δὲ ὡς πατρικῇ φωνῇ προοιμιασάμενοι Διονυσίου τοῦ θεοφάντορος καὶ τὰς παραδόσεις αὐτοῦ τε καὶ πάντων τῶν ἁγίων πατέρων ἡμῶν ἀρραγεῖς διεφύλαξαν. ἀλλ᾽ οὐκ ἔστιν, οὐκ ἔστι τοῦτο ἐν αὐτοῖς, ὡς τὰ ἑξῆς διὰ πάσης τῆς ἐκθέσεως αὐτῶν δηλώσει, εἰ καὶ ἀκαταλλήλως, οἷα λύκοι κωδίῳ προκαλυπτόμενοι, ἐκ θεολογίας προοιμιάζονται οὑτωσὶ φάσκοντες·

(Γρηγόριος ἐπίσκοπος ἀνέγνω·)

« Ἡ πάντων αἰτία καὶ τελεσιουργὸς θεότης ἡ τὰ ὅλα τῇ ἑαυτῆς ἀγαθότητι ἐκ μὴ ὄντων εἰς τὸ εἶναι ὑποστησαμένη ταῦτα κοσμίως τε καὶ εὐτάκτως φέρεσθαι ὡρίσατο, ὅπως τῆς κατὰ χάριν δεδωρημένης αὐτοῖς εὐεξίας ἐχόμενα ἀκλινῆ τὴν διαμονὴν καὶ ἀρρεπῆ τὴν πρὸς ἑκάτερα νεῦσιν τῆς ἀληθοῦς στάσεως διασῴζοιεν. »

(Ἐπιφάνιος διάκονος ἀνέγνω·)

Ἡ μὲν ἅπασα κτίσις παρὰ θεοῦ δημιουργηθεῖσα καὶ λαβοῦσα τὴν ἐκ τοῦ μὴ ὄντος
Ha. 332 εἰς τὸ εἶναι ὑποστατικὴν δύναμιν νῦν τῷ αὐτοῦ προστάγματι κινουμένη τε καὶ
La.-Co. 400 διευθυνομένη γινώσκει τὴν τοῦ κτίσαντος φυλάττειν πρόσταξιν, ὡς παρ᾽ αὐτοῦ καὶ προνοουμένη, κἂν ἄψυχός τις ᾖ κἂν ἐψυχωμένη. αὐτοὶ δὲ τὴν δοθεῖσαν ἡμῖν παρὰ

---

7 Ioh. 1,17 **8** Prou. 8,7 **9–10** ὁ – ἠρτυμένος cf. Col. 4,6 **10** ἵνα – ἀκούουσι Eph. 4,29 **19** λύκοι – προκαλυπτόμενοι cf. Mt. 7,15; Act. 20,29 **22–23** ἐκ – εἶναι cf. Rom. 4,17

22–25 dubium, an haec (Ps.-) Dion. Ar. attribuenda sint (cf. supra l. 16); locus apud (Ps.-) Dion. Ar. non inuenitur (cf. Krannich/Schubert/Sode p. 70 adn. 5) **22–23** ἡ – ὑποστησαμένη cf. (Ps.-)Ioh. Chrys. lit. (CPG 4686) p. 369,27–29 Brightman

(H)V T M **8–9** ἐν – δηλονότι praetermisit H **26–616,3** Ἐπιφάνιος – ἐπιφέρουσιν praetermisit H

1 ἁγίας ἀχράντου] ἀχράντου καὶ ἁγίας M **2** Βλαχέρναι T **3** Ἰωάννης + ὁ θεοφιλέστατος T M edd., sed cf. lat. et supra p. 606,18 **4** ἡ om. V | τοῦ om. H **5** κεκόσμητο M **7** λέγων] φάσκων V **8** φάρυγξ *Sept.*, sed cf. e.g. Greg. Naz. or. 32 (de moder. in disput.) c. 20,6 Moreschini/Gallay **10** ἠρτυμένος ἐστίν M **13** τοῦ om. M **14** κατὰ + τοῦ V **16** ὦ πατρικὴ φωνὴ V **18** οὐκ ἔστιν om. ed. Rom.* **19** ἀκαταλλήλως T M: ἀκαταλείπτως V | λύκοι … προκαλυπτόμενοι V: λύκος … προκαλυπτόμενος T M **20** φάσκοντες T M: λέγοντες V **21** ἐπίσκοπος + Νεοκαισαρείας T M, sed cf. lat. **24** αὐτοῖς δεδωρημένης M **25** διασώζοιεν T: διασώζειεν M διασώζειν V **26** διάκονος + καὶ κουβουκλείσιος T M edd., sed cf. lat. **29** διευθυνομένη V ed. Rom. (corr. ed. Reg.) διευθηνουμένη T | καὶ om. V **30** ἐμψυχωμένη M

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:19 AM

intemeratae dominae nostrae dei genitricis semperque uirginis Mariae quod appellatur Blachernae diffiniuit subter annexa.»

(Iohannes diaconus legit:)

Si per diuinam gratiam eorum congregatio facta esset, uerbis quae per dei gratiam dicta sunt adornaretur et ueritate utique refulgeret, quoniam gratia huic coniuncta est et compares sibi atque contubernales existunt, testante Iohanne qui in theologia praeminet ac dicente: *gratia et ueritas per Iesum Christum facta est*. ipsi ergo ueritatem deserentes, in qua Salomon gloriatur dicens: *ueritatem meditabitur guttur meum*, et mendacium amplectentes a gratia procul dubio exciderunt. unde nec *sermo* eorum diuino est *sale conditus*, *ut det gratiam audientibus*. illud autem quod dicitur in uenerabili templo congregatos eos fuisse non est mirum; in hoc enim nullo fuco meliorabuntur, quemadmodum nec Annam et Caipham uel Iudaicum eorum concilium quod factum est in Christum iuuauit quod in templo aduersus eum initum est Ma. 211
sine lege consilium. nam ideo magis damnabiles ostendebantur, quia in sanctis locis Rom. 572
non sancta et inimica deo foedera pepigerunt. sed utinam ex paterna uoce prooemium sumerent, Dionysii uidelicet deiloqui, traditionesque ipsius atque omnium sanctorum patrum nostrorum incorruptas seruarent! sed non est, non est hoc in illis, sicuti cetera per totam expositionem eorum manifestabunt, licet inconuenienter hi qui falsa ouium pelle cooperiuntur de theologia praefationem faciant, ita fatentes:

(Gregorius episcopus legit:)

«Cunctorum causa et consummatio deitas, quae omnia bonitate sua ex non existentibus ut essent exhibuit, haec ornate ac ordinate agitari diffiniuit, quatinus incolomitati per gratiam donatae coniuncta indeclinabilem perpetuitatem et inflexibilem ad utraque nutum ueri status salua custodiant.» PL 129, 379

(Epiphanius diaconus legit:)

Si uniuersa creatura a deo condita accepit ex non extante subsistendi uirtutem, nunc eius utique praecepto mota et directa nouit creatoris custodire mandatum, tamquam Ha. 331
ab ipso quoque prouisionem adepta, siue inanimata siue sit animata. ipsi autem La.-Co. 399
traditionem quae a Christo nobis in sancta ecclesia sua ad recordationem salutiferae

P VE

1 semperque – Mariae *om.* E | semperque] semper *ed. Rom., corr. ed. Reg.* **1–2** appellabatur *ed. Rom., corr. ed. Reg.* **2** diffiniunt P^{ac} (n^2 *exp.,* i *superscr.* P^c) **4** Si per] Super P **7** praeeminet *ed. Rom.* ex* F **12** Cahipham P^{pc} Cahiham P^{ac} (p *ins.* P^c *s. l.*) Caypham VE, *corr. ed. Rom.* **13–14** quod^2 – consilium ~ ἡ … ἄθεσμος βουλή **13** initium P **14** ideo] deo E *edd.* | locis sanctis F *edd.* **15** et] sed VE *edd.* | fędera V federa E **15–16** sed – ipsius] „*g.* sed utinam ut ex p. u. pr. sumpserunt Dion. d. traditiones quoqu. ipsius“ *ed. Rom.*^{mg} **15–16** prooemium] prooeminum P^{ac} [n *exp.*] proemium V prohemium E **16** Dionisyi P Dionisii VE, *corr. ed. Reg.* **17** non est^2 V: est E, *om.* P F *edd.* **19** falsa ouium pelle] *Anast.* λύκοι κωδίῳ *liberius uertit* **21** consumatio P VE, *corr.* F **22** ac] et E *edd.* **22–23** incolumitati F *edd.* **25** diaconus] et cubuclesius *add. La.-Co.*^{mg} *(ex gr., ubi uide app. crit.)* **26** Si] *Anast. legit* εἰ *ideoque constructionem mutauit* **28** sit siue F *edd.* **29** nobis a Christo E *edd.*

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:19 AM

τοῦ Χριστοῦ ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ αὐτοῦ πρὸς ἀνάμνησιν τῆς σωτηριώδους οἰκονομίας αὐτοῦ παράδοσιν ἀναθεματίσαι τετολμήκασιν, ἀγνοοῦντες ὡς οὐδὲν τῶν ἐν αὐτῇ χωρὶς αὐτοῦ γέγονε. καὶ ἀποδείκνυνται τῶν ἀψύχων ἀναισθητότεροι καὶ τῶν ἀλόγων ἀλογώτεροι. καὶ οὐ μόνον τοῦτο, ἀλλ᾽ εὐδρομεῖν οἰόμενοι τὴν γλῶτταν ἐν τοῖς ἀτόποις λόγοις καὶ δόγμασι ψευδηγοροῦσι τὴν ἁγίαν τοῦ θεοῦ ἐκκλησίαν εἰδώλοις ἐγκαλλωπίζεσθαι. καὶ *θέμενοι ψεῦδος τὴν ἐλπίδα* αὐτῶν πρὸς αὐτὴν ἀποφθέγγονται· *ὁδούς σου εἰδέναι οὐ βουλόμεθα* οὐδὲ τῇ ἀρχῆθεν παραδόσει κατακολουθεῖν προαιρούμεθα. μενοῦνγε ἀκούσονται παρὰ τοῦ αὐτὴν θεμελιώσαντος Χριστοῦ· *οὐκ οἶδα ὑμᾶς*. σχηματίζονται δὲ τὸν διάβολον θριαμβεύειν, λέγοντες οὕτως·

(Γρηγόριος ἐπίσκοπος ἀνέγνω·)

«᾽Επεὶ δὲ ὁ διὰ τὴν πρὶν λαμπρότητα ἑωσφόρος τὴν οἰκείαν τάξιν περὶ θεὸν ἱδρυμένην ἔχων καὶ πρὸς ὕψος κατὰ τοῦ πεποιηκότος τὸ ἑαυτοῦ ἀνατείνας φρόνημα σκότος ἐντεῦθεν μετὰ τῆς ἀποστατικῆς αὐτοῦ δυνάμεως γέγονεν ἔκ ‹τε› τῆς ὑπερενδόξου φωτοποιοῦ τε καὶ ὑπερφώτου θεαρχίας αὐθαιρέτως ἐκπεπτωκὼς
Rom. 573 πάσης κακίας αὐτουργός, εὑρετὴς καὶ διδάσκαλος ἀποδειχθεὶς ἡμαυρώθη, μὴ φέρων εἰς ἣν κατετέτακτο δόξαν ἀντεισαχθέντα τὸν ὑπὸ θεοῦ κτισθέντα ἄνθρωπον ὁρᾶν,
Ma. 213 πᾶσαν κατ᾽ αὐτοῦ τὴν ἑαυτοῦ κακίαν ἐκένωσε καὶ δι᾽ ἀπάτης αὐτὸν τῆς τοῦ θεοῦ δόξης τε καὶ λαμπρότητος ἠλλοτρίωσε, *τῇ κτίσει παρὰ τὸν κτίσαντα* προσκυνεῖν ὑποθέμενος. »

(᾽Επιφάνιος διάκονος ἀνέγνω·)

Εἰ μὲν κατὰ τῆς ἀπηγορευμένης καὶ ἐβδελυγμένης παρά τε τῶν *ἐνδυσαμένων δύναμιν ἐξ ὕψους* ἁγίων ἀποστόλων καὶ τῶν ἐμπνεύσει τοῦ ἁγίου πνεύματος προαναφωνησάντων θείων προφητῶν εἶτά τε καὶ τῶν αὐτοῖς ἀκολούθων θεσπεσίων πατέρων ἡμῶν εἰδωλολατρίας καὶ κτισματολατρίας ἦν ὁ λόγος αὐτῶν, πάντες ἂν οἱ τῆς ἐκκλησίας τρόφιμοι συνετίθεντο καὶ εὔκαιρον ἦν αὐτοῖς ταῦτα γραφῇ παραδοῦναι. ἀλλ᾽ ἐπειδὴ ταύτην ἀφέντες τοῦ ψεύδους ὑπερασπίζονται καὶ τὸν πατέρα τούτου διάβολον θριαμβεύειν ὑποκρινόμενοι κατὰ τῆς ἀμωμήτου ἐκκλησίας τὴν γλῶσσαν ἐκθήγουσι καὶ καπήλων δίκην τὸν οἶνον μίσγουσιν ὕδατι καὶ *ἀνατροπὴν θολερὰν τὸν πλησίον ποτίζειν* οὐκ εὐλαβήθησαν, ἐνδίκως ἀκούουσι θείας φωνῆς ὡς πρὸς αὐτοὺς ἀποτεινομένης παρὰ τοῦ θεοφάντορος Δαβὶδ ψάλλοντος· *ἵνα τί ἐκδιηγεῖσθε τὰ δικαιώματά μου καὶ ἀναλαμβάνετε τὴν διαθήκην μου διὰ στόματος ὑμῶν; ὑμεῖς δὲ ἐμισήσατε παιδείαν καὶ ἐξεβάλετε τοὺς λόγους μου εἰς τὰ ὀπίσω, τὴν μερίδα ὑμῶν τεθεικότες μετὰ* τῶν παραχαραξάντων τὰ δόγματα τῆς ἀληθείας. ἔνθεν ὑποκρινόμενοι τὴν ἀλήθειάν φασιν·

---

6 θέμενοι – αὐτῶν cf. Is. 28,15 **7** ὁδούς – βουλόμεθα Iob 21,14 **9** Mt. 25,12; Lc. 13,25 **19** Rom. 1,25 **22–23** cf. Lc. 24,49 **29–30** ἀνατροπὴν – ποτίζειν cf. Hab. 2,15 **31–34** ἵνα – μετὰ cf. Ps. 49,16–18

16–18 πάσης – ἐκένωσε cf. Steph. Diac. uita Steph. Iun. (BHG^{a} 1666) § 23 p. 119,1–3

(H)V T M

11 ἐπίσκοπος + Νεοκαισαρείας M **12** πρὶν T (cf. lat.): om. V M **14** τε add. ed. Rom. (cf. lat.) **17** κατετέτακτο T: κατατέτακτο M κατέτακτο (sic) V **17–18** κτισθέντα – τὴν om. T (suppl. Morin Vc^{mg} ex V) **18** διὰ M **21** διάκονος + καὶ κουβουκλείσιος T M edd., sed cf. lat. **23** ἐμπνεύσει] ἐν πνεύσει T **25** εἰδωλολατρείας ed. Rom.* | καὶ] τε καὶ M | κτισματολατρείας T edd. | αὐτῶν] αὐτοῖς M **26** ταῦτα] πάντα V **27** ἀλλ᾽ ἐπειδὴ] ἐπεὶ δὲ M **28** γλῶτταν V **29** καὶ^{1} om. V **30** ἀκούουσι + τῆς V **31** ἱνατί T **33** ἐξεβάλλετε M

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:19 AM

dispensationis suae data est anathematizare praesumpserunt, ignorantes quod nihil eorum quae in illa sunt sine ipso fuerit factum. et ostenduntur inanimatis insensibiliores et irrationabilibus irrationabiliores; et non solum hoc, sed et bene se currere arbitrantes linguam in prauis sermonibus et dogmatibus suis fallacem demonstrant sanctamque dei ecclesiam idolis adornari perhibentes. atque *mendacium spem* suam *ponentes* ad eam profantur: *uias tuas* scire *nolumus* neque antiquam traditionem sequi proponimus. et quidem audient a Christo qui eam fundauit: *nescio uos*. fingunt autem se diabolum triumphare, dicentes ita:

(Gregorius episcopus legit:)

«Quia uero is qui ob priorem claritatem lucifer dictus est proprium ordinem circa deum collocatum habens et in excelsum contra factorem sensum suum extendens tenebrae hinc cum apostatica uirtute sua factus est et ex gloriosissima lucem faciente ac super lucem existente dei principalitate sponte cadens omnis malitiae ultroneus actor, inuentor et magister apparuit et offuscatus est, non ferens aspicere hominem a deo creatum pro eo in gloriam intromissum in qua ipse fuerat constitutus, omnem aduersus eum malitiam suam euacuauit et per deceptionem illum a diuina gloria et claritate reddidit alienum, *creaturam potius quam creatorem* adorare cohortans.» Rom. 573 Ma. 214

(Epiphanius diaconus legit:)

Si quidem contra idolorum seruitutem uel creaturarum seruitutem quam sancti apostoli qui *induti sunt uirtutem ex alto* ac diuini prophetae qui ante uaticinati sunt sicque demum egregii patres nostri qui illos secuti sunt interdixerunt et execrati sunt sermo eorum esset, omnes utique alumni ecclesiae componerent et haec tradere scripturae illis oportunum existeret. sed quia hanc deserentes mendacium protegunt et patrem huius, diabolum uidelicet, publicare simulantes contra ea quae sunt immaculatae ecclesiae linguam exacuunt et cauponum more uinum miscunt aquae et subuersione turbulenta proximum potare non sunt reueriti, iuste audiunt diuinam ad se uocem per deiloquum Dauid et psalmistam prolatam: *quare enarratis iustitias meas et assumitis testamentum meum per os uestrum? uos autem odistis disciplinam et proiecistis sermones meos retrorsum*, *portionem uestram ponentes cum* his qui adulterant dogmata ueritatis. unde simulantes ueritatem aiunt: PL 129, 380

P VE

3 hoc] haec *ed. Rom.** **5** sanctamque] sanctam *ed. Rom.*, sed* que *ad participia* arbitrantes *et* perhibentes *iungenda insertum esse uidetur* **6** profantur P *(cf. gr.)*: proferantur VE proferant F^2 (ur *eras.*) **8** triumphare (*i. e.* deuincere) ~ θριαμβεύειν **9** episcopus + Neocaesariae F *edd.* **10** is *scripsi coll. gr.*: his P V hiis E hic *ed. Rom.** **11** suum sensum E *edd.* **12** lucem] luce VE **13** ac] et *ed. Rom.** **14** actor + et E *edd.* | et^2 P^{pc} *(prob.)* V: *om.* P^{ac} (*add.* P^{c} *s. l.?*) E **15** in^1 *om.* P **18** diaconus] et cubuclesius *add. La.-Co.*^{mg} *(ex gr., ubi uide app. crit.)* **19** uel – seruitutem^2 *om.* E | uel + contra *ed. Rom.** **20** *uerba* ἐμπνεύσει τοῦ ἁγίου πνεύματος *ipse Anast. neglexisse uidetur* **22** componerent] assentirentur *ed. Rom.*^{mg}*; Anast. fort. legit uel intellexit* συνετίθεσαν, *cf. Gloss.* **23** opportunum *ed. Rom.** **24** publicare ~ θριαμβεύειν *(aliter supra l. 8), cf. Act. V p. 535,9 al.* **25** miscuerunt F^2 *edd.*

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:19 AM

(Γρηγόριος ἐπίσκοπος ἀνέγνω·)

«Ὅθεν τὸ τῆς οἰκείας χειρὸς ἔργον ὁ πλάστης θεὸς βλέπειν τέλεον εἰς ἀπώλειαν
La.-Co. 401 χωροῦν μὴ ἀνεχόμενος, μετὰ τὴν διὰ νόμου καὶ προφητῶν ἐπὶ σωτηρίᾳ τούτου γενομένην ἐπιμέλειαν καὶ μήπω δυνηθέντος εἰς τὴν προτέραν ἐπανελθεῖν εὐγένειαν κατηξίωσε τὸν ἑαυτοῦ υἱὸν καὶ λόγον ἐν ἐσχάτοις καὶ προωρισμένοις καιροῖς ἐπὶ τῆς γῆς ἀποστεῖλαι. ὃς εὐδοκίᾳ πατρικῇ καὶ συνεργίᾳ τοῦ ὁμοδυνάμου καὶ ζωαρχικοῦ πνεύματος ἐν μήτρᾳ οἰκήσας παρθενικῇ καὶ ἐκ τῆς ἁγίας καὶ ἀμώμου σαρκὸς αὐτῆς ἐν τῇ ἰδίᾳ ὑπάρξει ἤγουν ὑποστάσει σάρκα λαβὼν τὴν ἡμῖν ὁμοούσιον καὶ ταύτην διὰ μέσης ψυχῆς λογικῆς τε καὶ νοερᾶς συμπήξας τε καὶ διαμορφώσας γεννηθείς τε ἐξ αὐτῆς ὑπὲρ λόγον καὶ παντὸς νοὸς διανόησιν σταυρόν τε ὑπομείνας ἑκούσιον καὶ θάνατον ἑλόμενος καὶ τριήμερος ἐκ νεκρῶν ἀναστὰς καὶ πᾶσαν τὴν σωστικὴν αὐτοῦ οἰκονομίαν πληρώσας»

Rom. 574 Ha. 333 (Ἐπιφάνιος διάκονος ἀνέγνω·)

Φησὶν ἡ γραφὴ ἐν τῇ κοσμοποιΐᾳ τὸν θεὸν εἰρηκέναι· *ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν*. μέγα οὖν τὸ μέγεθος τῆς ἀξίας, ὅτιπερ γηγενὴς εἰκόνι θεοῦ τετίμηται. ἀλλὰ τούτου ἐκπτωθέντος τῇ ἀπάτῃ καὶ μὴ φυλάξαντος τὸ
Ma. 216 τῆς πρώτης πλάσεως ἀξίωμα, τὸ ἀνθρώπινον γένος εἰς εἰδωλολατρίαν κατωλίσθησε. τοῦτον ὁ θεὸς καὶ λόγος τοῦ πατρὸς γενόμενος τέλειος ἄνθρωπος μὴ τραπεὶς τὴν φύσιν ἀνεκαλέσατο τῆς ἐκπτώσεως, καὶ ἀποστήσας αὐτὸν τῆς πλάνης τῶν εἰδώλων ἀναπλάττει εἰς ἀθανασίαν, παρασχόμενος αὐτῷ δωρεὰν ἀμεταμέλητον. αὕτη τοῦ προτέρου θεοειδεστέρα, καὶ κρείττων τῆς πλάσεως γίνεται ἡ ἀνάπλασις, καὶ τὸ χάρισμα αἰώνιον. τὰ οὖν μεγέθη ταῦτα τῶν δωρημάτων ἀμαυρῶσαι θέλοντες ἑτέραν εἰδωλολατρίαν θρασυστομοῦσιν ἐπεισελθεῖν τὴν τῶν εἰκόνων ποίησιν καὶ ἀπολύτρωσιν καινὴν ἀλαζονικῶς ἐγκαυχᾶσθαι δι᾽ ἑαυτῶν πεποιηκέναι. καὶ ποικίλοις ῥήμασι τὴν ἑαυτῶν γνώμην συρραψῳδήσαντες, τὴν ἐκκλησίαν τοῦ θεοῦ ὡς ἐσφαλμένην κρίνουσιν, *ἀπαλύνοντες τοὺς λόγους αὐτῶν ὑπὲρ*

3–6 μετὰ – ἀποστεῖλαι cf. Hebr. 1,1–2; 1 Ioh. 4,9 **5** ἐν – καιροῖς cf. Hebr. 1,2 **14–15** Gen. 1,26 **26–616,1** ἀπαλύνοντες – ἔλαιον cf. Ps. 54,22

5–10 κατηξίωσε – διανόησιν ~ Conc. Const. III (edictum Const. IV [CPG 9438]), ACO ser. II, II 2 p. 838,12–18

(H)V T M **5–10** ~ *Conc. Const. III*

---

1 ἐπίσκοπος + Νεοκαισαρείας M **2** τὸ om. M **4** καὶ om. M **5** καὶ² om. M **6–7** ὁμοδυνάμου – ζωαρχικοῦ] ἁγίου nec plura V **7** ἀμωμήτου T edd., sed cf. *Conc. Const. III* **8** ἤγουν] ἤτοι ed. Rom.* ex Vc (Probatares in marg.) **11** ἀνελόμενος V **12** sententia continuatur infra p. 616,5 **13** διάκονος + καὶ κουβουκλείσιος T M edd., sed cf. lat. **14** ἡ + θεία ed. Rom.* **16** ἐκπτωθέντος] exspectaueris ἐκπεσόντος, ut notauit Dubielzig **17** εἰδωλολατρείαν ed. Rom.* **21** τοῦ προτέρου] sc. ἀξιώματος **23** εἰδωλολατρείαν ed. Rom.* **24** fort. ἐγκαυχῶνται scribendum; cf. lat. | αὐτῶν uel αὑτῶν V **26** ἀπαλλύνοντες V ἀπολύοντες T ἀπαλύνοντες M ed. Rom. ex Vc (Morin in marg.), corr. ed. Reg.

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:19 AM

(Gregorius episcopus legit:)

«Vnde propriae manus opus fictor deus cum uidisset modis omnibus in perditionem dimersum, nequaquam sustinuit, sed post diligentiam quae per legem atque prophe- La.-Co. 402
tas pro huius est effecta salute nondumque illo in priorem redire ualente nobilitatem dignatus est filium suum et uerbum in nouissimis et praedestinatis temporibus mittere ad terram. qui uoluntate paterna et cooperatione uiuifici et aequalis sibi potentia spiritus in utero habitans uirginali et ex sancta et immaculata carne eius in propria substantia uel subsistentia carnem sumens nobis consubstantialem hanc mediante anima rationabili et intelligibili compaginauit atque formauit et natus est ex ipsa super omnem rationem et omnem intellectus cogitationem crucemque pertulit ultroneam et mortem elegit atque tertia die resurgens ex mortuis omnem salutarem dispensationem impleuit.»

(Epiphanius diaconus legit:) Rom. 574 Ha. 334

Ait scriptura in mundi factura deum dixisse: *faciamus hominem ad imaginem et similitudinem nostram*. ingens ergo est magnitudo dignitatis, quia terrigena imagine dei honoratus est. sed seductione cadente ac non conseruante primae plasmationis dignitatem, humanum genus in idololatriam lapsum est. hunc deus et uerbum patris Ma. 215
factus homo non mutata natura perfectus reuocauit a casu, atque remouens eum ab errore idolorum denuo in immortalitatem fingit, praebens ei donum sine poenitentia. haec iterata fictio dei magis inspectrix efficitur et priori fictione praestantior ac donum aeternum. has ergo donorum magnitudines obtenebrare uolentes aliam idololatriam per facturam imaginum ore aspero perhibent introduci et redemptionem nouam iactanter factam asseuerant. et uariis uerbis suam sententiam consuentes ecclesiam dei tamquam errantem iudicant, *mollientes sermones suos super oleum*,

---

2 Vnde – omnibus ~ *Hadr. p. 25,7–9 (spectat ad LC I 7, uide infra)*: Tharasius namque patriarcha, dum concilio hereticorum rennueret et exprobraret, quod in eorum obscuritate contra sacrorum (*leg.* sacrarum) imaginum stabilitate dici ausi sunt: „quatenus proprie manus <opus> (*suppl. Hampe*) plasmator Deus videns perfecte" etc. *Continuatur loco infra ad l. 15–16 laudato.* **14–15** Ait – nostram *cf. LC I 7 p. 138,1–3 (= I Capit. p. 103,18–19) = *Hadr. p. 25,1–3* (In actione sexta. In tomo primo. Capitulo XXI): Quod non ad (*om. Hadr., corr. Hampe*) adorandas imagines pertineat, quod scriptum est: ‚Creavit Deus hominem ad imaginem (ad imaginem hominem *Capit.*) et similitudinem suam.' **15–16** quia – est ~ *Hadr. p. 25,9–10 (uide supra)*: idcirco hoc dixit sensum: „quoniam quidem terrigenus imaginem Dei onoratur". *Continuatur loco infra laudato.* **22–24** per – iudicant ~ *Hadr. p. 25,10–12 (uide supra)*: et post pauca: „Imaginum facture, et deliberatione vacua sevissime gloriari per eos facere, et variis sermonibus eorum mente consuentes, ecclesiam Dei ut errantem iudicant" etc.

P VE **2** ~ *Hadr.* **15–16** ~ *Hadr.* **22–24** ~ *Hadr.*

---

1 episcopus + Neocaesariae F *edd.* **2–3** cum – post] „*gr.* uidere m. o. in p. labens non passus, post" *ed. Rom.*^{mg}, *Anast. uerborum constructionem mutauit* **3** demersum F *edd.* **4** in – nobilitatem] redire ualente in priorem nobilitatem *ed. Rom.** **7** uirginali habitans E *edd.* **8** substantia] „*gr.* existentia" *ed. Rom.*^{mg} **9** ex] ab *ed. Rom.*, sed cf. gr.* **10** omnem^{1}] *nihil respondet in gr.* | intellectum E intellectum + et F^{2} *edd., exspectaueris* omnis intellectus **13** legit] et cubuclesius *add. La.-Co.*^{mg} *(ex gr., ubi uide app. crit.)* **16** cadente] *sc.* homine (*Anast. praetermisit* τούτου) | prime *codd.* **17** lapsus VE translapsum *ed. Rom.* ex* F (*ubi* ydola translapsum [m F^{2} *in alia litt.*] *legitur*) **18** mutata] inmuta P^{ac} (in *del.*, ta *add. s. l.* P^{2}) | reuocans E *edd.* **19** pęnitentia V penit- E **20–21** haec – donum] „*gr.* Hęc priore deiformior et prestantior formatione sit reformatio, ac d." *ed. Rom.*^{mg}*; Anast. liberius uertit* **20** magis inspectrix ~ θεοειδεστέρα*? cf. supra* deiformior *ed. Rom.*^{mg} **22** idolatriam VE | ore aspero perhibent ~ θρασυστομοῦσιν*?* Anastasium τραχυστομοῦσι legisse coni. Dubielzig **22–23** redemptionem – asseuerant] *Anast. locum male intellegens liberius uertit* **23** factam] „*g.* per se factam" *ed. Rom.*^{mg} *uix recte (cf. gr.)*

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:19 AM

ἔλαιον, γραφικά τινα φθεγγόμενοι. ἀλλὰ *δόλια τὰ ῥήματα αὐτῶν* καὶ *βολὶς τιτρώσκουσα ἡ γλῶσσα αὐτῶν*. *λαλοῦσι* γὰρ *εἰρηνικά*, *ἐν ἑαυτοῖς* δὲ *ἔχουσι τὴν ἔχθραν*. διὸ καὶ ἐπιφέρουσιν·

(Γρηγόριος ἐπίσκοπος ἀνέγνω·)

«ἀπέστησεν ἡμᾶς ἐκ τῆς φθοροποιοῦ τῶν δαιμόνων διδασκαλίας ἤγουν τῆς τῶν εἰδώλων πλάνης τε καὶ λατρείας καὶ τὴν *ἐν πνεύματι καὶ ἀληθείᾳ* προσκύνησιν παραδέδωκεν. »

(Ἐπιφάνιος διάκονος ἀνέγνω·)

Ἄκοντες, ὦ βέλτιστοι, πρὸς τὴν ἀλήθειαν ἔλκεσθε. πᾶσα γὰρ ἡ τῶν ἀποστόλων θεία ὁμήγυρις καὶ ἡ ἁγία πληθὺς τῶν πατέρων ἡμῶν εἰς ἀνθρώπους ἐλθόντα τὸν τοῦ θεοῦ πατρὸς υἱὸν καὶ λόγον κηρύττει ἀποστῆσαι ἡμᾶς τῆς πλάνης τῶν εἰδώλων. ἀλλὰ καὶ προκαταγγελθείσας φωνὰς ἔχομεν διὰ τῶν προφητῶν οὕτω βοώσας· *ἰδοὺ* γάρ φησιν *ἡμέραι ἔρχονται, λέγει κύριος*, καὶ *ἐξαλείψω τὰ ὀνόματα τῶν*
La.-Co. 404 *εἰδώλων ἀπὸ τῆς γῆς, καὶ οὐκ ἔτι ἔσται αὐτῶν μνεία*, ὥστε καὶ ὑμεῖς ὁμολογεῖν ἠναγκάσθητε ἀποστῆσαι ἡμᾶς τῆς πλάνης τῶν εἰδώλων Χριστὸν τὸν θεὸν ἡμῶν. καὶ εἰ ἀπέστησε, πῶς πάλιν εἰδωλολάτρησαν οἱ εἰς αὐτὸν πιστεύσαντες; ἄπαγε τῆς ληρώδους ὑμῶν φλυαρίας. θεὸς λυτροῦται σαρκωθείς, καὶ πάλιν αἰχμαλωτιζόμεθα
Rom. 575 καὶ ὑπὸ τοῦ τυραννήσαντος ἡμᾶς πάλιν νυνὶ χειρούμεθα; ἀκούσατε τῆς θείας γραφῆς λεγούσης· *ἡ βασιλεία αὐτοῦ βασιλεία αἰώνιος, καὶ ἡ ἐξουσία αὐτοῦ εἰς γενεὰς γενεῶν*, καί· *βασιλεύσει κύριος εἰς τὸν αἰῶνα, ὁ θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν*. οὐδαμῶς, καθὼς οἱ ἐπὶ γῆς βασιλεῖς ποτὲ μὲν νικῶσι καὶ αὖθις ἡττῶνται, οὕτως καὶ ὁ θεός, ἀλλ᾽ ἡ νίκη εἰς τὸν αἰῶνα μένει. οὐδὲ γὰρ *ὡς ἄνθρωπος ὁ θεὸς διαρτηθῆναι, οὐδὲ ὡς υἱὸς ἀνθρώπου ἀπειληθῆναι*, ὡς γέγραπται. τούτοις δὲ καὶ ὁ ἀπόστολος συμφωνεῖ· *ἀμεταμέλητα γάρ*, φησί, *τὰ χαρίσματα καὶ ἡ κλῆσις τοῦ θεοῦ*. τὰ αὐτὰ δὲ φθέγγονται ἑαυτοὺς σεμνύνειν δοκοῦντες. ἐπιφέρουσι γὰρ ἑαυτοῖς μαχόμενοι·

Ma. 217 (Γρηγόριος ἐπίσκοπος ἀνέγνω·)

«Καὶ εἶθ᾽ οὕτως μετὰ τοῦ προσλήμματος εἰς οὐρανοὺς ἀνελήφθη, τοὺς ἁγίους αὐτοῦ μαθητὰς καὶ ἀποστόλους διδασκάλους τῆς τοιαύτης σωτηριώδους πίστεως καταλελοιπώς. οἳ τὴν ἡμῶν ἐκκλησίαν ὡς νύμφην αὐτοῦ τοῖς τῆς εὐσεβείας ποικίλοις καὶ φωτοφαέσι δόγμασιν ὡραΐσαντες πάγκαλον καὶ ὑπέρλαμπρον ὡς οἷα *κροσσωτοῖς χρυσοῖς περιβεβλημένην πεποικιλμένην* ἀνέδειξαν. ἧς τὴν ὡραιότητα παραλαβόντες οἱ

1–2 δόλια – ἔχθραν cf. Ier. 9,7 **6** Ioh. 4,23 et 24 **13** ἰδοὺ – κύριος Zach. 14,1 al.; Hebr. 8,8 **13–14** ἐξαλείψω – μνεία Zach. 13,2; cf. Deut. 9,14 **19–20** ἡ[1] – γενεῶν Dan. (Theod.) 4,3 **20** βασιλεύσει – γενεάν Ps. 145,10 **22–23** Num. 23,19 **24** Rom. 11,29 **30–31** cf. Ps. 44,14

27 μετὰ τοῦ προσλήμματος cf. e.g. Greg. Naz. epist. 101 (= epist. 1 ad Cled. = theol. 1) (CPG 3032) § 25,3 Gallay/Jourjon

6–7 cf. Niceph. refut. c. 7,4–5 (ex synodi a. 815 habitae definitione) **12–14** ἀλλὰ – μνεία cf. Niceph. adu. Epiph. p. 346,21–24

(H)V T M **26–618,2** Γρηγόριος – διεφύλαξαν praetermisit H

5 ἀπέστησεν] cf. supra p. 614,12 | φθοροποιοῦ post δαιμόνων M | ἤγουν] ἤτοι ed.Rom.* ex Vc (Probatares in marg.) **8** διάκονος + καὶ κουβουκλείσιος T M edd., sed cf. lat. **9** ἔλκεσθαι V **14** ἔτι om. ed.Rom.* **18** χειροσόμεθα sic V **21** ἐπὶ + τῆς T edd. **22** νίκη + αὐτοῦ ed.Rom.* (ex lat.) | διαρτισθῆναι M (cf. lat.) **25** σεμνύνειν ἑαυτοὺς V **29** τοῖς om. ed.Rom.* **31** περιβεβλημένην + καὶ ed.Rom.* (ex lat.), sed cf. *Sept.*

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:19 AM

scripta quaedam pronuntiantes. sed „dolosa uerba eorum et iaculum saucians est lingua ipsorum. loquuntur enim pacifica, in se autem habent inimicitiam.“ propter quod et inferunt:

(Gregorius episcopus legit:)

«Remouit nos a corruptionem faciente daemonum magisterio, id est ab idolorum errore pariter et cultura, et tradidit adorationem quae est *in spiritu et ueritate*.» PL 129, 381

(Epiphanius diaconus legit:)

Inuiti, o praestantissimi, ad ueritatem trahimini. totus enim sacer apostolorum coetus et sancta patrum nostrorum caterua ad homines uenisse dei patris uerbum et filium praedicat, ut erueret nos ab idolorum errore. sed et praenuntiatas uoces habemus per prophetas ita clamantes: *ecce* enim ait *dies uenient, dicit dominus*, et delebo *nomina idolorum* a *terra, et non* erit *ultra* memoria eorum, ita ut et uos confiteri coacti sitis quod nos ab idolorum errore Christus deus noster eruerit. et si eruit, La.-Co. 403 quomodo rursus idolis seruierunt qui in illum crediderunt? cesset maledica uestra garrulitas. deus redemit incarnatus, et rursus captiuamur et ab eo qui tyrannidem in nos exercuit nunc iterum superamur? audite diuinam scripturam dicentem: *regnum* Rom. 575 *eius regnum* aeternum, *et potestas eius in generationes* generationum, et: *regnabit dominus in aeternum, deus tuus, Sion, in generationem et generationem*. nequaquam, ut imperatores terreni modo superant modo superantur, ita et deus, sed uictoria eius in aeternum manet. neque enim ut *homo est deus ut* formetur, *neque ut filius hominis ut* comminetur ei, sicut scriptum est. his autem et apostolus consonat dicens: *sine poenitentia enim sunt*, inquit, *dona et uocatio dei*. porro eadem effantur semet adornare putantes. subinferunt enim sese inpugnantes:

(Gregorius episcopus legit:) Ma. 218

«Et ita demum cum assumptione in caelos ascendit, sanctos discipulos et apostolos suos magistros huius salutiferae fidei derelinquens. qui ecclesiam nostram tamquam sponsam eius uariis pietatis atque lucifluis dogmatibus speciosam reddentes optimam et clarissimam utpote quibusdam *fimbriis aureis* ostenderunt *circumamictam* et

---

1–2 dolosa – inimicitiam *Anast. ex gr.* **16–17** regnum – generationum *cf. Vulg. Dan. 3,100 (Anast. ex gr.)*

P VE

---

1 scripta ~ γραφικά (*i. e.* locos sacrae scripturae) *minus apte* **1–2** et – ipsorum *om.* P^{ac} (*add.* P^{c} *in marg.*) **2** enim *om.* E *edd.* **6** et^{2} *om.* P^{ac} *(add.* P^{c} *s.l.)* | est *post* spiritu E *edd.* **8** prestantissimi *codd.* **9** cętus P cetus VE, *corr. ed. Rom.* **10** praenuntiatas *ed. Rom.*: pronontiatas P pronunt- VE **11** prophetas + inclinatas uoces habemus prophetas P^{ac} (*subterlin.* P^{x}) | ueniunt V *edd., sed cf. Vulg. Hebr. 8,8 (uar. lect. in* Φ, *cf. Vulg. Clem.)* **12** ut *om.* P^{ac} (*add.* P^{c} *s.l.*) V | et^{2} *om.* E *edd.* **14** uestra maledica E *edd.* **15** tirannidem P E **17** regnum *om. ed. Rom.** **17–18** eternum *(bis) codd.* **18** aeternum] saecula *Ps. iuxta LXX, sed cf. Psalt. Rom.* **20** formetur ~ διαρτισθῆναι *(cf. gr.* M *et ed. Rom.*^{mg}*)* **22** inquit *om.* P, *sed cf. gr.* (docens … inquit *est mendum interpretis, ut uidetur*) | eidem P^{ac} (i *exp.*, a *add. s.l.* P^{c}) **23** impugnantes F *edd.* **25** cum + in F^{2} *ed. Rom. (corr. ed. Reg.)* | assumptione ~ προσλήμματος *(cf. p. 759,24; cf. etiam ThLL s.u.)* | caelos P *(cf. gr.)*: cęlum V celo E **26** salutifere *codd.* **27** optimam] formosissimam *ed. Rom.*^{mg} **28–619,1** et uariatam] uarietate P^{pc} (et *et* m *exp., postea eras.*)

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:19 AM

κλεινοὶ ἡμῶν πατέρες καὶ διδάσκαλοι καὶ αἱ ἓξ ἅγιαι καὶ οἰκουμενικαὶ σύνοδοι ἀμείωτον διεφύλαξαν. »

(Ἐπιφάνιος διάκονος ἀνέγνω·)

Ἀμαθὲς καὶ ἀπαίδευτον φρόνημα ἔχοντες, οὐδὲ ᾐσθοντο οἱ τῆς νεωτεροποιοῦ
Ha. 336 κενοφωνίας θρυλλολέκται τῆς ἑαυτῶν παρεγγράπτου οἰήσεως· καὶ παραπετάσματι πανούργῳ ἐπισκιάσαι θέλοντες τὸ ἑαυτῶν φρόνημα, γελοιότατόν τι ἐξ ἀπροσεξίας πάσχουσιν, ἐπαινοῦντες πολλὰ καὶ μεγάλα τὴν ἐκκλησιαστικὴν θεσμοθεσίαν, καὶ ταύτην ἀμείωτον φυλάττειν τὰς ἁγίας ἓξ οἰκουμενικὰς συνόδους, κἂν μὴ θέλωσι, συντίθενται· καὶ ῥήμασι μὲν σχηματίζονται τὴν εὐσέβειαν, περὶ δὲ τὸν νοῦν κακουργοῦσι· καὶ τοῖς χείλεσι μὲν ταύτην τιμῶσι, τῇ δὲ καρδίᾳ πόρρω ἀπέχουσιν ἀπ᾽ αὐτῆς, μὴ προσιέμενοι δέχεσθαι τὴν ἐν παντὶ τῷ παρελθόντι χρόνῳ ὑπὸ τοσούτων ἁγίων κεκρατηκυῖαν παράδοσιν. ὄφελον ᾐσχύνοντο τὸ πλῆθος τῶν τε νῦν χριστιανῶν καὶ τῶν ὅσοι γεγόνασιν ἀφ᾽ οὗ κατηγγέλη τὸ εὐαγγέλιον, ἀποβαλλόμενοι καὶ ἐξουθενοῦντες τὴν τούτου διὰ στηλογραφίας διήγησιν. μετὰ γὰρ τὸ γενέσθαι τὴν ἁγίαν οἰκουμενικὴν ἕκτην σύνοδον ἕως ἂν αὐτοὶ συνηθροίσθησαν κατὰ τῶν σεπτῶν εἰκόνων, οὐ πλείονα ἢ ἑβδομήκοντα ἔτη παρεληλύθεισαν. καὶ ὡς οὐδαμῶς ἐν τούτοις τοῖς ἔτεσιν αἱ τῶν εἰκόνων ἀναζωγραφήσεις παρεδόθησαν, πᾶσι κατάδηλόν ἐστιν, ἀλλ᾽ ἐν τοῖς ἐπέκεινα χρόνοις τῆς ἕκτης συνόδου, εἰπεῖν δὲ τἀληθὲς ἀπὸ τῆς
Rom. 576 τῶν ἀποστόλων κηρύξεως γεγόνασι, καθὼς ἐν παντὶ τόπῳ ἐξ αὐτῆς τῆς ὄψεως
La.-Co. 405 τῶν ἁγίων ναῶν διδασκόμεθα καὶ πατέρες ἅγιοι μεμαρτυρήκασι καὶ ἱστοριῶν εἰσηγηταὶ διαγορεύουσι, καὶ σῴζονται ἄχρι τοῦ νῦν τὰ αὐτῶν συγγράμματα. ἐν γὰρ τῷ πρώτῳ καὶ πεντακισχιλιοστῷ πεντακοσιοστῷ ἔτει Χριστὸς ὁ θεὸς ἡμῶν εἰς ἀνθρώπους ἐλθὼν καὶ τριάκοντα τρία ἔτη ἐπὶ μησὶ παρὰ μικρὸν πέντε βιοτεύσας μεθ᾽ ἡμῶν καὶ τὸ μέγα καὶ σωτήριον μυστήριον τῆς ἡμῶν ἀπολυτρώσεως ἐργασάμενος τὴν εἰς οὐρανοὺς πορείαν ἐποιήσατο, ἀνελθὼν δῆλον ὅθεν κατῆλθεν, ἐντειλάμενος τοῖς ἀποστόλοις διδάσκειν πάντα τὰ παρ᾽ αὐτοῦ αὐτοῖς διδαχθέντα. ἀπὸ οὖν τῶν χρόνων τούτων ἕως Κωνσταντίνου τοῦ βασιλέως τοῦ πρώτου χριστιανῶν βασιλεύσαντος διῆλθον ἔτη ὡσεὶ τριακόσια, τὸ πρὶν Ἑλλήνων τυραννούντων, ὅτε λοιπὸν οἱ πλείους τῶν χριστιανῶν τὸν καλὸν ἀγῶνα ἀγωνισάμενοι μαρτυρικῶς τὸν βίον τοῦτον κατελίμπανον κατὰ τῶν εἰδώλων ἀντανιστάμενοι. ἡ
Ma. 220 δὲ τῶν χριστιανῶν πληθὺς ἐνθέῳ ζήλῳ κινούμενοι ναοὺς ἀναδειμάμενοι, τινὲς μὲν εἰς ὄνομα Χριστοῦ, ἕτεροι δὲ εἰς τιμὴν ἁγίων, οἱ μὲν τὰ τῆς ἐνανθρωπήσεως Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἐν αὐτοῖς ἀνεζωγράφουν, οἱ δὲ τὰς ἀθλητικὰς τῶν μαρτύρων ἐξηγήσεις, ἄλλοι ἐν σανίσιν ἀεὶ τὴν μνήμην φέρειν θέλοντες ἐν ἑαυτοῖς τοῦ ποθουμένου μάρτυρος τὴν εἰκόνα ἐστηλογράφουν ἢ καὶ αὐτοῦ τοῦ Χριστοῦ. ἀλλὰ καὶ ἐν

---

26 ἐντειλάμενος – διδαχθέντα cf. Mt. 28,20

12–13 ᾐσχύνοντο – εὐαγγέλιον cf. Bas. c. Eun. (CPG 2837) I 3,9–10 Sesboüé/de Durand/Doutreleau

---

(H)V T M

---

1 ἑξὶ M **3** διάκονος + καὶ κουβουκλείσιος T M edd., sed cf. lat. **4** Ἀμαθὲς καὶ om. V **5** θρυλλολέκται M ed.Rom.: θρυλολέκται V T (incertum in H) **8** ἑξὶ M **10** μὲν M (cf. lat.): om. HV T | ἀπ᾽ om. V **12** ὄφελον V (sed cf. Blass/Debrunner/Rehkopf § 359,1) | τὸ πλῆθος V: τοῦ πλήθους T M **13** κατηγγέλη M: κατηγγέλει V κατηγγέλλη T **14** ἐξουδενοῦντες M **15** ἂν] οὗ ed.Rom.*, sed cf. e.g. Niceph. refut. c. 24,4–5 **16** παρεληλύθασιν V | ὡς M ed.Rom. (cf. lat.): om. V T **18–19** ἀπὸ τῆς τῶν om. ed.Rom.* **20** ναῶν om. V **22** γὰρ post πρώτῳ M | πεντακισχιλιοστῷ πεντακοσιοστῷ] ˏεφ΄ V **23** τριακονταπρία M λγ΄ V | ε΄ V **25** δῆλον] δηλονότι M **26** διαταχθέντα T edd. **30** τούτων V **32** Χριστοῦ² om. Vc edd. **34** φέρειν θέλοντες] φέροντες V

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:19 AM

uariatam. cuius speciem accipientes inclyti patres nostri atque magistri necnon et sanctae ac uniuersales sex synodi sine diminutione conseruauerunt.»

(Epiphanius diaconus legit:)

Indoctum et ineruditum sensum habentes, nec senserunt tyrannicae suae ipsius uocum nouitatis abiciendam opinionem isti qui tumultuari susurrando conantur; et Ha. 335
uersuto uolentes uelamento suum ipsius sensum obumbrare, ridiculum quoddam ex desidia patiuntur, laudantes multum ac magnifice ecclesiasticam legislationem, et hanc inmutilatam seruare sanctas sex et uniuersales synodos, licet nolentes, promittunt; et uerbis quidem simulant pietatem, mente autem operantur iniquitatem; et labiis eam honorant, corde autem longe distant ab illa, minime consentientes admittere traditionem quae in omni praeterito tempore a tot sanctis retenta est. utinam multitudinem saltem reueriti essent christianorum tam qui inpraesentiarum quam PL 129, 382
qui fuerunt ex quo annuntiatum est euangelium, exprobrando et abiciendo huius narrationem quae per titulorum picturam effecta est! nam postquam sancta et uniuersalis sexta synodus facta est, usque dum ipsi congregati sunt contra uenerabiles iconas, non plus quam septuaginta praeterierunt anni. unde omnibus liquet quod nequaquam in his annis imaginum picturae sint traditae, sed in temporibus sextam synodum praecedentibus et reuera ab apostolorum fuerunt praedicatione, quemadmodum in omni loco ex ipsa uisione sanctorum templorum ediscimus et patres Rom. 576
sancti testati sunt atque historiarum perhibent relatores saluanturque hactenus La.-Co. 406
conscriptiones eorum. in primo enim et quingentesimo post expleta quinque annorum milia Christus deus noster ad homines ueniens et per triginta tres annos et menses pene quinque nobiscum conuersans magnum et salutare mysterium nostrae redemptionis operatus est, sicque ad caelos iter effecit, ascendens procul dubio unde descendit, praecipiens apostolis docere omnia quae illos ipse docuerat. a temporibus ergo istis usque ad Constantinum imperatorem, qui primus ex christianis regnauit, transierunt anni quasi trecenti, cum prius pagani tyrannidem exercerent, quando scilicet plurimi christianorum bonum certamen certantes martyrio saeculum hoc derelinquebant aduersus idola insurgentes. christianorum uero copia diuino zelo Ma. 219
commota templisque constructis, quidam in nomine quidem Christi, quidam uero in honore sanctorum, alii humanitatis in eis Christi dei nostri acta, alii autem certaminis martyrum narrationes coloribus exarabant, alii in tabulis semper memoriam ferre uolentes in eis desiderati martyris imaginem depingebant uel etiam ipsius Christi.

P VE

---

1 speciem ~ ὡραιότητα *(cf. Vulg. Ps. 67,13 [iuxta LXX])* **2** uniuersales] uenerabiles *ed. Rom.** **4–5** tyrannicae – conantur] *Anast. constructionem uerborum mutauit* **4** tyrannicae ~ νεωτεροποιοῦ*?* (*cf. p. 607,19* rebellem uocum nouitatem) | suae ipsius ~ ἑαυτῶν *(cf. infra l. 6 et p. 783,11 al.)* **5** nouitatis] *Anast. intellexit* καινοφωνίας | opinionem + fastumque et arrogantiam suam *ed. Rom.* nescio unde sumptum* | isti – conantur ~ οἱ θρυλλολέκται **6** ipsius] *cf. supra ad l. 4* **8** immutilatam *ed. Rom.** **8–9** promittunt] assentiuntur *ed. Rom.*^{mg} **9** iniquitatem operantur E *edd.* **11** quae V: quem P que E | in *om.* P **12** tam qui] tamquam qui V qui tam *ed. Rom.** **13** annontiatum P | huius] eius F *edd.* **14** titulorum picturam ~ στηλογραφίας*, cf. e.g. p. 679,17* **17** sunt V *edd.* **19** uisionem VE (*corr.* F) **20** hactenus E: ac tenus P actenus V **22** millia *ed. Rom.** **23** pęne V *edd.* **24** iter] inter P^{ac} (n *eras.*) **27** tyrannidem pagani F *edd.* **28** seculorum P^{ac} (*supra* o *add.* u, ru *subterlin.* P^{c}) **30** templaque construentes *ed. Rom.** | quidam^{1}] quaedam F *edd.* | quidem *om.* E *edd.* | quidam^{2}] quaedam F *edd.* **32** alii + autem E *edd., sed cf. gr.* **33** in eis] „*g.* in se ipsis“ *ed. Rom.*^{mg} *(sed mendum est interpretis)*

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:19 AM

ἱεραῖς ἐσθήσεσι καὶ ἐν κειμηλίοις αἱ εἰκόνες παρά τε τῶν ἁγίων πατέρων ἡμῶν καὶ εὐσεβῶν ἀνδρῶν ἀνεζωγράφηνται, καὶ ἐν αὐτοῖς τὰς ἀναιμάκτους θυσίας ἐτέλουν. καὶ ἕως ἡμῶν ταῦτα πάντα ἐμφανῶς ἀναδείκνυνται καὶ μένουσιν εἰς τὸν αἰῶνα. καὶ μέντοι καὶ αἱρέσεων ἐκφυεισῶν *χολῆς καὶ πικρίας* πεπληρωμένων κατὰ τῆς ἐκκλησίας καὶ τῶν ἓξ συνόδων τῶν οἰκουμενικῶν θεοῦ ἐπινεύσει κατὰ διαφόρους χρόνους συναθροισθεισῶν ἐπὶ τῇ τούτων καταστροφῇ, πάντα τὰ παραδοθέντα ἐν τῇ καθολικῇ ἐκκλησίᾳ καὶ ἐγγράφως καὶ ἀγράφως ἐκ τῶν ἀρχῆθεν χρόνων αὗται καὶ ἐβεβαίωσαν καὶ ἐστήριξαν, μεθ᾽ ὧν καὶ τὴν τῶν σεπτῶν εἰκόνων ἀνάδειξιν. ἡ δὲ ἁγία ἕκτη καὶ οἰκουμενικὴ σύνοδος μετὰ τὸ ἐκφωνῆσαι τὸν ἑαυτῆς ὅρον κατὰ τῶν τὸ ἓν θέλημα πρεσβευόντων ἐπὶ Χριστοῦ τοῦ θεοῦ ἡμῶν, Κωνσταντίνου τοῦ τότε βασιλεύοντος καὶ τῇ αὐτοῦ προστάξει εὐδοκίᾳ θεοῦ ταύτην συναθροίσαντος μετ᾽ οὐ πολὺ τὸν βίον ἀπολιπόντος καὶ Ἰουστινιανοῦ τοῦ αὐτοῦ υἱοῦ τὸ βασίλειον εἰσποιησαμένου, αὐτοὶ ἐκεῖνοι οἱ ἐν αὐτῇ συναθροισθέντες πάλιν θείᾳ ἐπινεύσει ὁμοθυμαδὸν συνελθόντες μετὰ τέσσαρας ἢ πέντε χρόνους κανόνας ἐξέδωκαν ἐπὶ κατορθώσει τῶν ἐκκλησιαστικῶν πραγμάτων ἕως τῶν δύο καὶ ἑκατόν· ἐν οἷς κανόσι καὶ περὶ τῶν εἰκόνων ἐν τῷ ὀγδοηκοστῷ δευτέρῳ κανόνι ἐξέθεντο οὕτως·

„Ἔν τισι τῶν σεπτῶν εἰκόνων γραφαῖς ἀμνὸς δακτύλῳ τοῦ Προδρόμου δεικνύμενος
Ha. 337 ἐγχαράττεται, ὃς εἰς τύπον παρελήφθη τῆς χάριτος, τὸν ἀληθινὸν ἡμῖν διὰ νόμου προϋποφαίνων ἀμνὸν Χριστὸν τὸν θεὸν ἡμῶν. τοὺς οὖν παλαιοὺς τύπους καὶ τὰς σκιὰς ὡς τῆς ἀληθείας σύμβολά τε καὶ προχαράγματα τῇ ἐκκλησίᾳ παραδεδομένους
Rom. 577 κατασπαζόμενοι τὴν χάριν προτιμῶμεν καὶ τὴν ἀλήθειαν, ὡς πλήρωμα νόμου ταύτην ὑποδεξάμενοι. ὡς ἂν οὖν τὸ τέλειον κἀν ταῖς χρωματουργίαις ἐν ταῖς ἁπάντων ὄψεσιν ὑπογράφηται, τὸν *τοῦ αἴροντος τοῦ κόσμου τὴν ἁμαρτίαν ἀμνοῦ*

---

4 cf. Deut. 29,17; Act. 8,23 **23–622,1** cf. Ioh. 1,29

8–16 ἡ – ἐξέθεντο cf. Act. IV p. 346,19–348,3; cf. Ohme, „In tempore“ p. 32–34 **17–622,5** Conc. Trull. (CPG 9444) can. 82, ACO ser. II, II 4 p. 54,2–13; laudatur etiam Act. II p. 176,10–178,4; Act. III p. 240,15–26; Act. IV p. 344,6–346,2 (ubi plura adferuntur)

13–622,2 αὐτοὶ – ὁρίζομεν cf. Niceph. refut. c. 13,15–24

(H)V T M **17–622,5** = *Conc. Trull.*, Act. II, III, IV

---

1 ἐσθῆσι ed. Rom.*, sed cf. e.g. Act. 1,10 **4** μέν τοι T edd. **5** ἑξὶ M **11** πότε T **12** αὐτοῦ υἱοῦ V **13** εἰσπεποιημένου ed. Rom.* ex Vc (Morin in marg.) **14** δ΄ H | ε΄ HV **15** πραγμάτων om. V | β΄ καὶ ρ΄ H **16** ὀγδοηκοστῷ] εἰκοστῶ V **18–19** ὑποφαίνων διὰ νόμου V **19** ἀμνὸν om. V **20** παραδεδομένας M **23** τὴν ἁμαρτίαν τοῦ κόσμου *Conc. Trull.* (cf. *N. T.*) et Act. II, III, IV; fort. etiam hic scribendum

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:19 AM

sed et in sacris uestibus et cimiliis imagines tam a sanctis patribus nostris quam a piis uiris depingebantur, et in ipsis incruenta sacrificia celebrabant. et usque ad nos haec omnia liquido demonstrata sunt et permanent in aeternum. et certe etiam heresibus exortis *felle* ac *amaritudine* plenis aduersus ecclesiam, sed et sex synodibus uniuersalibus dei nutu per diuersa tempora in earum euersionem congregatis, omnia quae tradita sunt in ecclesia catholica siue scripto siue non scripto ab antiquis temporibus una cum sanctarum quoque imaginum demonstratione corroborata sunt et stabilita. sancta uero sexta et uniuersalis synodus cum promulgasset diffinitionem suam contra eos qui unam uoluntatem praedicant in Christo deo nostro et Constantinus, qui tunc imperabat et praeceptione sua per beneplacitum dei hanc congregauerat, uitam post modicum excessisset Iustinianusque filius eius imperium optinuisset, idem ipsi qui in ea fuerant congregati rursus nutu diuino unanimiter conuenientes post quattuor uel quinque annos regulas ediderunt pro correctione ecclesiasticorum negotiorum usque ad duas et centum. in quibus kanonibus etiam de imaginibus in octuagesima secunda regula exposuerunt ita: PL 129, 383

„In quibusdam uenerabilium imaginum picturis agnus digito Praecursoris exaratur ostensus, qui in figuram praecessit gratiae, uerum nobis per legem praemonstrans Ha. 338 agnum, Christum uidelicet deum nostrum. ueteres ergo figuras et umbras utpote ueritatis indicia et praecedentes characteres ecclesiae traditos salutantes, gratiam honore praeferimus et ueritatem, hanc ut legis plenitudinem admittentes. ut ergo Rom. 577 perfectio etiam per colorum operationes in omnium uultibus depingatur, characte-

16–623,5 *Anast. iterat interpretationem ex Act. III p. 241,16–26*

1 exiuit sonus E *edd.* **2** proemio P proęmio V prohemio E, *corr. ed. Rom.* **3** putantur] sibi uidentur *ed. Rom.*^{mg} **5** diuinitatis E *edd.* **7** pater – sanctus] patris aio et filii et spiritus sancti *ed. Rom.*, sed ipse interpres casum mutauit* | et filius *om.* P **9** diffinita ~ ὁριζομένης *(cf. ThLL s. u.)* | diuinitatis E *edd.* | inopia iudicemur *ed. Rom.** (damnemur *ed. Rom.*^{mg}*), sed mendum est interpreti tribuendum* **11** Israeliticus E *edd.* **13** demonica *codd.* **14** demonum *codd.* | consimilem F *edd.* simile *coni. Dubielzig* **15–16** Moysem *ed. Rom.** **16** Samuhel V *LC*: Samuel P E *edd.* **17–18** quanquam – dicens *om.* P **17** quamquam V *edd.* **18** in] *Anast. ex gr. (uide app. crit. gr.)* **20** sacrificarunt F^2 *edd.* immolauerunt *Vulg.* **21** demoniis *codd.* | malum] *Anast. legit* κακὸν *(cf. gr.)* **23** idolothium P idolotitum V idolothitum E, *corr. ed. Rom.* | nisi quae P E *(cf. gr.)*: nisi qui V quae enim F^2 nisi quod *ed. Rom.** **27** omnis P | obloquens *ed. Rom.** **29** migrauerunt *ed. Rom. (corr. ed. Reg.)* **30** numquamque] nunquam E numquam F *edd.*

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:19 AM

(Ἐπιφάνιος διάκονος ἀνέγνω·)

Ἐπὶ τοῖς παρ᾽ αὐτῶν νυνὶ λεχθεῖσι ξένους καὶ ἀλλοτρίους ἑαυτοὺς τῆς τοῦ θεοῦ εἰρήνης ἀποδεικνύουσιν, ἣν ὁ κύριος ἡμῶν τοῖς γνησίως καὶ ἀδόλως εἰς αὐτὸν πιστεύσασιν ἀφῆκεν εἰπών· *εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν· εἰρήνην* τὴν ἐμὴν *ἀφίημι ὑμῖν*. πῶς γὰρ εἰρήνη, ἐὰν κατὰ τῆς αὐτῶν γνώμης καὶ ψήφου ἡ καθολικὴ ἐκκλησία
Ma. 277 διανίσταται, κρατοῦσα καὶ βεβαιουμένη ταῖς παραδόσεσιν αὐτῆς; οἱ γὰρ θείῳ ζήλῳ κινούμενοι πάντοτε τοῖς πατράσι συμφωνοῦσι καὶ τῇ παραδόσει τῶν ἐκκλησιαστικῶν θεσμῶν, τῶν δὲ ἐναντίως ἐχόντων ὡς ἐχθρῶν ἀποφεύγουσι. τούτους οὖν ὡς ἐξ ὅλου τοῦ σώματος τῆς ἐκκλησίας ἑαυτοὺς ἀποτεμόντας οὐ παύονται *οἱ* ἀληθεῖς *προσκυνηταί*, οἱ *ἐν πνεύματι καὶ ἀληθείᾳ* τῷ θεῷ λατρεύοντες καὶ τὰς εἰκονικὰς ἀναζωγραφήσεις εἰς ἐξήγησιν καὶ ἀνάμνησιν μόνον ἔχοντες καὶ ταύτας περιπτυσ-
Ha. 380 σόμενοι καὶ ἀσπαζόμενοι, κατὰ τῆς ἀδέκτου αὐτῶν παρὰ τῷ θεῷ γνώμης τε καὶ ψήφου *τὸν θώρακα τῆς* ἀληθείας *ἐνδεδυμένοι* τῷ σειρομάστῃ τοῦ πνεύματος ἐκκεντᾶν. οἱ γὰρ ἀπ᾽ αἰῶνος εὐαρεστήσαντες τῷ θεῷ ἅγιοι πρὸς ἡμετέραν ὠφέλειάν τε καὶ σωτηρίαν τοὺς βίους αὐτῶν ἀναγεγραμμένους ἡμῖν καταλιπόντες καὶ τὰ παρ᾽ αὐτῶν πραχθέντα διὰ ζωγραφικῆς ἐξηγήσεως ἐν τῇ καθολικῇ ἐκκλησίᾳ παραδεδώκασιν εἰς ὑπόμνησιν τοῦ ἡμετέρου νοὸς καὶ πρὸς ἀναγωγὴν τῆς αὐτῶν πολιτείας. καὶ γὰρ ὁ ἅγιος Βασίλειος ἐν τῷ ἐγκωμιαστικῷ τῶν ἁγίων τεσσαράκοντα μαρτύρων λόγῳ αὐτοῦ οὕτως φησί·

„Δεῦρο δὴ οὖν, εἰς μέσον αὐτοὺς ἀγαγόντες διὰ τῆς ὑπομνήσεως κοινὴν τὴν παρ᾽ αὐτῶν ὠφέλειαν τοῖς παροῦσι καταστησώμεθα, προδείξαντες πᾶσιν ὥσπερ ἐν γραφῇ τὰς τῶν ἀνδρῶν ἀριστείας· ἐπεὶ καὶ πολέμων ἀνδραγαθήματα καὶ λογογράφοι πολλάκις καὶ ζωγράφοι διασημαίνουσιν, οἱ μὲν τῷ λόγῳ κοσμοῦντες, οἱ δὲ τοῖς
La.-Co. 461 πίναξιν ἐγχαράττοντες, καὶ πολλοὺς διήγειραν εἰς ἀνδρείαν ἑκάτεροι. ἃ γὰρ ὁ

---

4 cf. Ioh. 14,27 **9–10** cf. Ioh. 4,23 **13** cf. Eph. 6,14 **13–14** σειρομάστῃ – ἐκκεντᾶν cf. Num. 25,7–8

20–690,2 Bas. in quadr. mart. (hom. 19) (CPG 2863; BHG[a] 1205), PG 31, 508 C 11 – 509 A 6; cf. Act. II p. 141,1–5 (Hadr. epist. ad imp.); Act. IV p. 462,2–4 (Germ. epist. ad Thom.); infra p. 716,3–4; cf. Crimi, Le „chreseis“ p. 83–84 adn. 54

2–3 Ἐπὶ – ἀποδεικνύουσιν cf. Steph. Diac. uita Steph. Iun. (BHG[a] 1666) § 29 p. 128,11–13 **20–690,2** = Doctr. Patr. 45,XIII; Ioh. Dam. imag. I 44+46 / II 40+42, III 106; Sophr. Alex. de imag. in cod. Harl. 5665 f. 21[r–v] (cf. praef. part. I p. IX–X) **22–690,2** ἐπεὶ – δείκνυσι = Ioh. Dam. imag. III 47; Niceph. refut. c. 108,4–9 **22–24** ἐπεὶ – ἐγχαράττοντες = Theod. Stud. epist. 532,199–201 **24–690,2** ἃ – δείκνυσι = Theod. Stud. epist. 380,138–139 et epist. 499,28–29

(H)V T M **8–690,3** τούτους – φασί pratermisit H **20–690,2** = *Bas. (= PG)*, *Pa* f. 247[v], *Ma* f. 9[r], *Doctr. Patr.*, *Ioh. Dam.*[I.II.III 106], *Sophr.* **22–690,2** = *Mo* f. 240[r], *Ioh. Dam.*[III 47], *Niceph.*[ref] **22–24** = *Theod. Stud.*[ep. 352] **24–690,2** = *Theod. Stud.*[ep. 380. 499]

---

1 Ἐπιφάνιος – ἀνέγνω om. T **2** νυνὶ H T M: νῦν V **6** διαβεβαιουμένη V **8** τῶν – ἐχθρῶν] de genetiuo cf. 2 Petr. 1,4 **9** ἀληθινοὶ *N. T.* **11** μόνην M **14** τῷ θεῷ εὐαρεστήσαντες M **16** καθολικῇ ἐκκλησίᾳ] ἐκκλησιαστικῇ ἐξουσία V **18** γὰρ + καὶ T edd. | ἐγκωμιαστικῷ M ed. Rom.[mg]: ἐγκωμίῳ V T edd. | τεσσαράκοντα] μ΄ V T **20** δὴ om. *Pa Ma* **20–21** παρ᾽ αὐτῶν] ἁπάντων *Sophr.* **20** παρ᾽] ἀπ᾽ *Pa Ma Doctr. Patr. Ioh. Dam.*[I.II.III] *PG* **22** ἀνδρῶν + τούτων *Pa Ma* | ἐπεὶ καὶ] ἐοικὼς *Pa* ἐοικὸς *Ma* (*non interp. post* ἀριστείας) | πολέμων + γὰρ *Pa Ma* **23** κατασημαίνουσιν *Pa Ma* | διακοσμοῦντες *PG* **24** διήγειραν (etiam *Mo Niceph.*[ref])] ἐξήγειραν *Pa* ἐπήγειραν *Ma Doctr. Patr. Ioh. Dam.*[I.II.III] *Sophr. PG* **24–690,1** εἰς – ἱστορίας om. *Mo* **24** εἰς] πρὸς V *Pa Ma Doctr. Patr. Ioh. Dam.*[II(D)] *Ioh. Dam.*[III 47] *Sophr. PG* ἐπὶ *Ioh. Dam.*[III 106] | ἀνδρίαν Vc edd. *PG*

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:19 AM

(Epiphanius diaconus et cubuclesius legit:)

In his quae ab eis nunc dicta sunt extraneos et alienos se a dei pace demonstrant, quam uidelicet dominus noster his qui germane ac sine dolo in illum credunt dimisit dicens: *pacem meam do uobis, pacem* meam *relinquo uobis*. quomodo enim pax, si contra eorum consilium et sententiam catholica ecclesia erigitur, confortata et certificata traditionibus suis? qui enim diuino zelo mouentur, semper patribus et traditioni Ma. 278
ecclesiasticarum legum concordant, eum uero qui contrarie se habet ut inimicum effugiunt. hos ergo, tamquam eos qui ex toto corpore ecclesiae sese reciderunt, non cessant ueri adoratores, qui *in spiritu et ueritate* deo seruiunt et imaginales picturas in relationem et commemorationem tantum habent et has amplectuntur atque salutant, contra reprobum diuinitus consilium eorum atque sententiam thorace Ha. 379
ueritatis *induti* pugione spiritus pungere. sancti enim [patres] qui a saeculo deo placuerunt ad nostram utilitatem atque salutem uitas suas conscriptas nobis dimittentes etiam quae a se acta sunt per picturae narrationem in catholica ecclesia tradiderunt in commemorationem animi nostri et ad erectionem conuersationis suae. etenim sanctus Basilius in sermone suo super laude sanctorum quadraginta martyrum sic ait:

„Age itaque, in medium eos per commemorationem adducentes communem utilitatem ipsorum his qui praesentes sunt constituamus, praemonstrantes omnibus uelut in pictura uirorum fortia facta. nam et bellorum praeconia et uerborum scriptores multotiens et pictores designant, alii quidem sermone adornantes, alii uero tabulis

P VE

1 et cubuclesius *deest in gr. (om.* F *fort. recte)* **9** deo seruiunt V F: deseruiunt P deo deseruiunt E **12** patres *seclusi coll. gr. et Act. I p. 61,7 (uix ab interprete additum)* | seculo P E (*abbr.* V) **13** salutem atque utilitatem E *edd.* **14** etiam + ea *ed. Rom.** **21** alii[1] – tabulis] „*gr.* illi quidem s. ad. hi uero t.“ *ed. Rom.*[mg] | sermonem *codd., corr. ed. Rom.*

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:19 AM

λόγος τῆς ἱστορίας δι᾽ ἀκοῆς παρίστησι, ταῦτα γραφὴ σιωπῶσα διὰ μιμήσεως δείκνυσι."

Συμμίξαντες δὲ ἐγκώμια ἑαυτῶν τῇ πανουργίᾳ τάδε φασί·

Rom. 608 (Γρηγόριος ἐπίσκοπος ἀνέγνω·)

«Πῶς δὲ καὶ τὴν πανύμνητον μητέρα τοῦ θεοῦ, ἐν ᾗ *ἐπεσκίασε τὸ πλήρωμα τῆς θεότητος*, δι᾽ ἧς ἡμῖν ἔλαμψε τὸ *φῶς* τὸ *ἀπρόσιτον*, τὴν ὑψηλοτέραν τῶν οὐρανῶν καὶ ἁγιωτέραν τῶν χερουβίμ, ἐν τῇ χυδαίᾳ τοῦ Ἕλληνος τέχνῃ γράφειν κατατολμῶσιν; ἢ πάλιν τοὺς μέλλοντας *συμβασιλεύειν* τῷ Χριστῷ συγκαθέδρους τε γίνεσθαι καὶ κρίνειν τὴν οἰκουμένην καὶ *συμμόρφους τῆς δόξης αὐτοῦ* ἔσεσθαι, *ὧν*, ὡς τὰ λόγιά φησιν, *οὐκ ἦν ἄξιος ὁ κόσμος*, οὐκ ἐντρέπονται τῇ τοῦ Ἕλληνος ἀναγράψασθαι τέχνῃ; οὐ θεμιτὸν γὰρ τοῖς ἐλπίδα ἀναστάσεως κεκτημένοις χριστιανοῖς δαιμονολατρῶν ἐθνῶν ἔθεσι χρᾶσθαι καὶ τοὺς τοιαύτῃ καὶ τοσαύτῃ μέλλοντας δόξῃ φαιδρύνεσθαι ἁγίους ἐν ἀδόξῳ καὶ *νεκρᾷ* ὕλῃ καθυβρίζειν. ἡμεῖς γὰρ παρὰ τῶν ἀλλοτρίων οὐ δεχόμεθα τὰς ἀποδείξεις τῆς καθ᾽ ἡμᾶς πίστεως. καὶ γὰρ τῶν δαιμόνων θεολογούντων τὸν Ἰησοῦν *ἐπετίμα αὐτοῖς*, ἀπαξιῶν ὑπὸ δαιμόνων μαρτυρεῖσθαι.»

(Ἐπιφάνιος διάκονος ἀνέγνω·)

Ἐξ ἐγκωμίων ἀρξάμενοι βούλονται τοὺς ἁπλουστέρους συναρπάσαι πρὸς τὴν ἑαυτῶν ματαιοφροσύνην. ἀλλ᾽ οἱ τὸ φρόνημα τοῦ ὄφεως ἔχοντες — καὶ οὐχὶ τὸ
Ma. 280 πανοῦργον — καὶ τὸ ἀκέραιον τῆς περιστερᾶς ἴσασι καὶ λόγοις καὶ ἐγκωμίοις τὴν πανάχραντον καὶ πανάμωμον καὶ ἀληθῶς καὶ κυρίως θεοτόκον καὶ τοὺς ἁγίους τιμᾶν καὶ τὰς τούτων ἀρετὰς διὰ ἱστορικῶν βίβλων ἐν μνήμῃ φέρειν καὶ αὖθις διὰ εἰκονικῆς στηλογραφίας ἀναγνωρίζειν τούς τε ἄθλους καὶ τὰς ἀνδρείας αὐτῶν καὶ τούτους μεγαλύνειν ταῖς ἀνωτάτω τιμαῖς καὶ γινώσκειν αὐτοὺς κατὰ τὸν θεῖον ἀπόστολον *ἀναλύσαντας καὶ σὺν Χριστῷ ὄντας* καὶ πρεσβεύειν ὑπὲρ ἡμῶν καὶ τὴν εἰλικρινῆ καὶ ἀκραιφνῆ πίστιν καὶ λατρείαν *ἐν πνεύματι καὶ ἀληθείᾳ* τῷ θεῷ μόνῳ προσφέρειν καὶ μὴ τοῖς ὑπὸ τὸν οὐρανὸν οἱοισδήποτε κτίσμασι. τί δὲ τὴν ὕλην

---

5 ἐπεσκίασε cf. Lc. 1,35 **5–6** τὸ — θεότητος Col. 2,9 **6** τὸ[1] — ἀπρόσιτον cf. 1 Tim. 6,16 **8** τοὺς — γίνεσθαι cf. Mt. 19,28 | συμβασιλεύειν cf. 2 Tim. 2,12 **9** κρίνειν τὴν οἰκουμένην cf. 1 Cor. 6,2 | συμμόρφους — αὐτοῦ cf. Phil. 3,21 **9–10** ὧν — κόσμος Hebr. 11,38 **14–16** καὶ — μαρτυρεῖσθαι cf. Mc. 1,24–25 et 3,11–12; Lc. 4,41 **19–20** ἀλλ᾽ — περιστερᾶς cf. Mt. 10,16 **25** cf. Phil. 1,23 **26** Ioh. 4,23 et 24

13–14 ἡμεῖς — ἀποδείξεις ~ Ioh. Chrys. (?) or. in Abraham apud Niceph. refut. c. 146,13–14 (ex synodi a. 815 habitae florilegio)

5–13 Πῶς — καθυβρίζειν cf. Niceph. refut. c. 34,2–10 (ex synodi a. 815 habitae definitione) **13–14** ἡμεῖς — ἀποδείξεις ~ Niceph. refut. c. 146,13–14; cf. app. font.

(H)V T M **11–18** γὰρ — Ἐξ omnia fere euanida in H (sine dubio quaedam praetermissa sunt) **13–14** ~ *Niceph.ref* **23–692,19** καὶ[2] — λέγουσι praetermisit H

1 ταῖς ἱστορίαις ed.Rom.* ex Vc (Probatares in marg.) τοῖς λογογράφοις *Pa Ma*, om. *Ioh.Dam.III47* | δι᾽ ἀκοῆς παρίστησι] ὑπέγραψεν *Niceph.ref* | δι᾽] διὰ τῆς *Pa Ma Mo Ioh.Dam.I.II Ioh.Dam.III47 PG* | γραφὴ (etiam *Niceph.ref*)] γραφικὴ *Ma Mo Doctr.Patr. Ioh.Dam.I.II.III* (γραφὴ καὶ *Ioh.Dam.II42* [F]) *Theod.Stud.ep.380.499 Sophr. PG* γραφικῆ *Pa* | σιωπῆ *Pa Ma* σιωπὼς sic *Mo* | διὰ + τῆς *Pa Ma* **2** ἐνδείκνυσι V T **3** Συμμείξαντες M **4** Γρηγόριος — ἀνέγνω om. T **5** ἐν ᾗ HV T: ἣν M | ἐπισκίασε T **8** τε om. V **10** φασιν T edd. **11** τοῖς — χριστιανοῖς] τοὺς … κεκτημένους χριστιανοὺς V **12** χρῆσθαι ed.Rom.* | καὶ τοσαύτῃ om. T edd. **13–14** τῶν ἀλλοτρίων] τῶν ἔξωθεν *Niceph.ref* **15–16** μαρτύρεσθαι M **17** Ἐπιφάνιος — ἀνέγνω om. T **18** ἀρξάμενοι ed.Rom. (ex lat.): χρησάμενοι codd. **21** πανάμωμον καὶ πανάχραντον M **22** διὰ[1]] δι᾽ M | διὰ[2]] δι᾽ M **23** ἀνδρίας ed.Rom.* **27** ὑπὸ τὸν] ὑπ᾽ M

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:19 AM

exarantes, multosque ad uirilitatem erexerunt utrique. quae namque sermo historiae La.-Co. 462
per auditionem exhibet, haec pictura tacens per imitationem ostendit."
Commiscentes autem praeconia sua uersutiae talia fantur:

(Gregorius episcopus legit:) Rom. 608

«Quomodo autem et superlaudabilem matrem dei in qua *obumbrauit plenitudo* PL 129, 411
diuinitatis, per quam nobis inluxit *lux inaccessibilis*, excelsiorem caelis et sanctiorem cherubim, in uili gentilis arte pingere audent? aut iterum eos qui *corregnaturi sunt* Christo consessoresque fieri ac iudicare orbem terrarum atque conformes fore gloriae ipsius, *quibus*, ut sacra dicunt eloquia, *dignus non erat mundus*, non erubescunt gentilis arte depingere? nefas est enim christianis qui spem resurrectionis habent daemonum cultricum gentium moribus uti et sanctos qui tali et tanta gratia resplendebunt in ingloria et mortua materia iniuriis cumulare. nos enim ab alienis non suscipimus approbationes fidei nostrae. etenim daemoniis deum praedicantibus Iesum increpabat eos, dedignatus a daemonibus testimonium habere.»

(Epiphanius diaconus legit:)

A laudibus inchoantes uolunt simpliciores subripere ad uanum sensum suum. sed qui prudentiam serpentis habent – et non uersutiam – simplicitatemque columbae norunt et sermonibus et laudibus intemeratam et immaculatam uere ac proprie dei Ma. 279
genetricem et sanctos honorare et horum uirtutes per historicos libros ad memoriam ducere et rursus per imaginales titulationes nota facere certamina et fortitudines eorum atque hos magnificare superioribus honoribus et scire illos secundum sacrum apostolum *dissolutos cum Christo esse* et intercedere pro nobis et sinceram et summam fidem et seruitutem *in spiritu et ueritate* deo soli offerre et non quibuscumque creaturis quae sub caelo sunt. quid autem materiam sumentes ut turpem contumeliis

P VE

3 uersutia E *edd.* (uersutiae *La.-Co.*^{mg} *ex* P) **5** domini E *edd.* **6** illuxit VE *edd.* | excelsiorem] et celsiorem P **7** conregnaturi E *edd.* **8** fieri – iudicare] futuri, ac iudicaturi *ed. Rom.*^{mg}, *sed Anast. neglegentius uertit* | fore] futuri *ed. Rom.*^{mg} *(uide supra)* **10** gentili V F^{2} *edd., sed cf. gr. et supra l. 7* | pingere *ed. Rom.** | enim est F *edd.* **11** demonum *codd.* | culti cum *(sic)* VE (*corr.* F^{2}) **13** probationes *ed. Rom.** **14** demonibus P E **16** surripere *ed. Rom.** **19** genitricem VE *edd.* **20** reducere *ed. Rom.** **21** superioribus] supremis *ed. Rom.** | sacrum ~ θεῖον? (*exspectaueris* diuinum) **23** soli deo F *edd.*

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:19 AM

λαβόντες ὡς αἰσχρὰν κακίζειν ἐθέλουσι τὴν ἀλήθειαν; ἔδει αὐτοὺς μᾶλλον φυγεῖν τὸ χεῖρον καὶ τὸ κρεῖττον ἑλέσθαι καὶ ἀναμνησθῆναι τῶν πάλαι παρὰ τῆς γραφῆς ἐπαινουμένων ἁγίων θυσιῶν· ὁτὲ τῷ θεῷ προσήγοντο, ὁτὲ δὲ τοῖς δαιμονίοις, καίτοι γε ἡ αὐτὴ ὕλη τυγχάνουσα παντὸς μιασμοῦ ὑπῆρχεν ἔμπλεως. καὶ εἰς τὸ ὑποκείμενον μόνον ἀποβλέποντες κατηγοροῦσι τῆς ἐκκλησίας ἑλληνικῶν ἀναπλασμάτων ἔχειν σύμβολα. ἀλλ᾽ οὐκ, ἐπειδὴ ⟨ἡ⟩ ὕλη εἰς διαφόρους ἐναντιότητας πραγμάτων χρησιμεύουσα κακίζεται ἢ αἰσχρὰ δείκνυται, παρορατέον αὐτῆς τὸ χρήσιμον. εἰ γὰρ μέλλοιεν οὕτω νοεῖν τε καὶ ἐκλαμβάνεσθαι, οἰχήσεται πάντα κατ᾽ αὐτοὺς τὰ τῷ θεῷ καθιερωμένα, λέγομεν δὴ ἱεραὶ ἐσθῆτες καὶ σκεύη ἱερά. καὶ γὰρ
Rom. 609 οἱ τὰ Ἑλλήνων φρονοῦντες ἐκ χρυσοῦ καὶ ἀργύρου εἴδωλα κατεσκεύασαν καὶ σπονδὰς ἐξ οἴνου ἔσπενδον, καὶ ἐξ ἀλεύρου *χαύωνας τῇ στρατιᾷ τοῦ οὐρανοῦ* οἱ
Ha. 381 τῶν Ἑβραίων εἰδωλολατρήσαντες προσέφερον. λείπεται οὖν αὐτοῖς ἐγκαλεῖν τῇ καθολικῇ ἐκκλησίᾳ, ὅτι οἱ Ἕλληνες διὰ ἱστορικῶν βίβλων τοὺς ἑαυτῶν θεούς τε καὶ
La.-Co. 464 δαίμονας ἐγκωμιάζουσι. καὶ ἡμεῖς μὴ ἐγκωμιάσωμεν, καθὼς οἱ Ἕλληνες, μήτε *τὸν ἐπὶ πάντων θεὸν* μήτε τοὺς ἁγίους αὐτοῦ διὰ ἱστορικῶν βίβλων, ὅτι ἐξ ἀλλοτρίων δεχόμεθα τὰς ἀποδείξεις; καὶ ὧ τῆς παρατροπῆς καὶ τῆς παρανοίας. δηλαδὴ γὰρ ἄνθρωποι ὄντες αἰσθητικοὶ αἰσθητοῖς πράγμασι χρώμεθα πρὸς ἡμετέραν ἀναγνώρισιν καὶ ὑπόμνησιν πάσης θείας καὶ εὐσεβοῦς παραδόσεως. εἶτα ὡς παραχαράκται τῆς ἀληθείας διαστρέφοντες καὶ τὰς ὁδοὺς καὶ τὰς ἐννοίας τοῦ κυρίου λέγουσι·

(Γρηγόριος ἐπίσκοπος ἀνέγνω·)

«Πρὸς τούτῳ οὖν τῷ διεξεταστικῷ καὶ διεσκεμμένῳ ἡμῶν δόγματι παρέξομεν καὶ ἐκ τῆς θεοπνεύστου γραφῆς καὶ τῶν ἐγκρίτων ἡμῶν πατέρων ἐναργεῖς τὰς μαρτυρίας, συμπνεούσας ἡμῖν καὶ ἐπικυρούσας τὸν τοιοῦτον ἡμῶν εὐσεβῆ σκοπόν. αἷς μὴ ἀντερείτω ὁ ἐν πείρᾳ τούτων ὑπάρχων, ὁ δὲ ἀγνοῶν μανθανέτω καὶ κατεχέτω αὐτὰς ὡς τοῦ θεοῦ οὔσας. καὶ κατὰ μὲν πρῶτον λόγον ἐκ τῆς κυριολέκτου φωνῆς λεγούσης· *πνεῦμα ὁ θεός, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν*, καὶ πάλιν· *θεὸν οὐδεὶς ἑώρακε πώποτε*, καί· *οὔτε φωνὴν αὐτοῦ ἀκηκόατε οὔτε εἶδος αὐτοῦ ἑωράκατε*, καὶ μακαριζούσης *τοὺς μὴ ἰδόντας* αὐτὸν *καὶ πιστεύσαντας*,»

Ma. 281 (Ἐπιφάνιος διάκονος ἀνέγνω·)

Ὅταν τινὲς τὰ ὀρθὰ διαστρέφειν ἐπιχειρῶσι δόγματα κατὰ τὸ αὐτοῖς δοκοῦν, θαυμαζέτω μηδείς, εἰ γραφικοῖς λόγοις κέχρηνται, ἐπεὶ καὶ πάντες αἱρεσιάρχαι ἐκ

---

11 cf. Ier. 7,18 et 51,19 **14–15** cf. Rom. 9,5 **26–27** Ioh. 4,24 **27** Ioh. 1,18 **27–28** Ioh. 5,37 **28–29** cf. Ioh. 20,29

(H)V T M **23–29** τὸν – πιστεύσαντας praetermisit H

3 ὁτὲ δὲ] καὶ ὅτε M **4** ὑπῆρχεν] τυγχάνουσα sic V **5–6** ἀναπλασμάτων ἑλληνικῶν M **6** ἡ add. ed.Rom. **7** ἢ] εἰ M | παρορατέον] παρορᾶται οὖν M **11** χαύωνας M (χαυῶνας *Sept.*): χύνοντας V χαυόνας T edd. („χαυῆνας ἄλ. χύνοντας L. λάγανα“ ed.Rom.^{mg}) **14** δαίμονας] Ἕλληνας T^{ac} (δαίμονας T^{1} s.l.) | καθὼς οἱ Ἕλληνες suspectum (fort. adnotatio marginalis in textum recepta) **16** καὶ^{1} om. ed.Rom.* (ex lat., ut uidetur), sed cf. e.g. Theod.Stud. epist. 6,22 al. | τῆς^{2} om. M | γὰρ om. V **20** Γρηγόριος – ἀνέγνω om. T **22** ἐκκρίτων M **24** ἀντερείτω M: ἀντερήτω V ἀντεροῖτ(ο) T ἀντερεῖ ed.Rom.* **27** καί om. V **28–29** πιστεύσαντας] sententia continuatur infra p. 696,16 **30** Ἐπιφάνιος – ἀνέγνω om. T **31** δόγματα + καὶ V

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:19 AM

uolunt afficere ueritatem? quos oportebat potius quod peius est fugere et quod melius est sectari et priscorum recordari sanctorum sacrificiorum quae a scriptura laudantur, cum modo deo, modo uero daemonibus offerrentur, quanquam eadem existens materia omni esset contagio plena. et in subiectum tantum aspicientes calumniantur ecclesiam gentilium figmentorum habere indicia. sed non, quia materia, <quia> in diuersis contrarietatibus rerum est utilis, exprobratur uel turpis ostenditur, despicienda est eius utilitas. si enim studuerint taliter intellegere et excipere, pellentur omnia secundum ipsos quae sunt deo dicata, sacrata scilicet uestimenta et uascula sacra. etenim qui quae paganorum sunt sapiebant ex auro et argento idola construebant atque libamina ex uino libabant, et ex farina lagana militiae caeli offere- Rom. 609
bant hi qui ex Hebraeis idololatrae fiebant. restat ergo eis incusare catholicam eccle- Ha. 382
siam, quia pagani per historicos libros deos suos et daemones collaudabant. et nos La.-Co. 463
non collaudemus, sicut pagani, neque *deum qui super omnia est* neque sanctos eius per historicos libros, quia ex alienis recipimus approbationes? o subuersionem et amentiam! cum enim homines procul dubio simus [more] sensibiles, <sensibilibus> PL 129, 412
rebus utimur ad recognitionem et commemorationem omnis diuinae ac piae traditionis. deinde ut adulteratores ueritatis subuertentes uias simul et intellegentias domini dicunt:

(Gregorius episcopus legit:)

«Super hoc ergo examinato et pertractato edicto nostro praebeamus et ex diuinitus inspirata scriptura et ex probabilibus patribus nostris manifesta testimonia, conspirantia nobis et roborantia huiusmodi piam intentionem nostram. quibus non contradicat qui horum habet experimentum, qui autem ignorat discat et retineat illa ut dei. et secundum primam quidem rationem ex eius uoce diuinitus dicta quae ait: *spiritus est deus, et qui adorant eum in spiritu et ueritate oportet adorare*, et iterum: *deum nemo uidit umquam*, <et>: *neque uocem eius audistis neque speciem eius uidistis*, et beatificante eos *qui non uiderunt et crediderunt*,»

(Epiphanius diaconus et cubuclesius legit:) Ma. 282

Cum aliqui recta secundum quod sibi uidetur dogmata conantur peruertere, nemo miretur si scripturae uerbis utuntur. nam et omnes heresiarchae de diuinitus inspi-

---

P VE

3–4 cum – omni] „*gr.* quando deo offerebantur, quando uero dęmonibus, quamquam eadem existens materia, omni“ *ed. Rom.*^{mg} **3** cum modo] quomodo E *edd.* | offerrentur *ed. Reg.**: offerruntur *(sic)* P offerentur VE *ed. Rom.* | eadem *om. ed. Rom.** **4** esset] erat *ed. Rom.** | in *om.* VE *edd., sed cf. gr.* **6** quia *add. Dubielzig* (*uel* <quae>) | est (uel F) *om. ed. Rom.** **7** intelligere E *edd.* | accipere *La.-Co.** **8** pellentur P: pollentur V polluentur E *edd.* („*gr.* abibunt“ *ed. Rom.*^{mg}) | deo sunt *ed. Rom.** (deo *om.* F) | sacrata] sacra *ed. Rom.** **9** qui – sapiebant ~ οἱ τὰ Ἑλλήνων φρονοῦντες *minus apte* | qui quae P *ed. Rom.*: quique VE | sunt *eras.* F^2, *om. ed. Rom. (corr. ed. Reg.)* **10** atque] at E ac F^2 *edd.* **11** Hębreis P Hebreis VE | idololatrae *ed. Rom. (cf. p. 603,21 al.)*: idolatri P^{pc} idolatrie P^{ac} (e *exp.*) ydolatrae V idolatrę E **12** et^1 *om.* E *edd.* | demones *codd.* (demonas E) | collaudabunt P^{ac} (*in* u^2 *scr.* a P^x) conlaudabant E **15** more *om. ed. Rom.**, *seclusi* | sensibilibus *addidi coll. gr. (post* rebus *add. ed. Rom.**) **16** cognitionem *ed. Rom.** **17** adultores *ed. Rom. (corr. ed. Reg.)* | intellegentias (~ ἐννοίας, *cf. Act. IV p. 473,2*)] intelligentias E *edd.* **20** edicto ~ δόγματι *(ex Vulg. Lc. 2,1, ut uidetur), „gr.* dogmate“ *ed. Rom.*^{mg} (*exspectaueris* decreto) **25** et^1 + eos *Vulg.* **25–26** nemo deum F *edd.* **26** et^1 *add. ed. Rom.** (*cf. gr.* T M) | eius^1 *om.* E *edd.* (eius umquam *Vulg., sed cf. gr.*) **27** uiderunt + eum *ed. Rom.** *(ex gr.), sed cf. Vulg.* **28** et cubuclesius *deest in gr. (om.* F *fort. recte)* | cubucleus *(sic)* P cybudesiys *(sic)* E

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:19 AM

τῆς θεοπνεύστου γραφῆς τὰς τῆς ἑαυτῶν πλάνης συλλέγουσιν ἀφορμάς, τὰ διὰ τοῦ ἁγίου πνεύματος ὀρθῶς εἰρημένα ταῖς ἑαυτῶν κακονοίαις παραχαράττοντες. καὶ τοῦτο προανεφώνησε Πέτρος ἡ κορυφαία τῶν ἀποστόλων σάλπιγξ λέγων· *ἃ οἱ ἀμαθεῖς καὶ ἀστήρικτοι στρεβλοῦσι κατὰ τὰς ἰδίας ἐπιθυμίας.* ἴδιον γάρ ἐστι τοῖς αἱρεσιώταις *κατὰ τὰς ἰδίας ἐπιθυμίας* στρεβλοῦν τὴν τῶν θείων καὶ ἀληθινῶν δογμάτων γνῶσιν. καθόλου γὰρ τῶν ἁγίων πατέρων τὸ *‚κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ'* ἐπὶ τῆς κατὰ σάρκα οἰκονομίας τοῦ Χριστοῦ ἐκλαβόντων, Ἄρειος καὶ Εὐνόμιος καὶ οἱ περὶ αὐτοὺς ἐπὶ τῆς ἄνω θείας γεννήσεως ἐξελάβοντο, καὶ ἐκ τούτου τῆς ὀρθῆς γνώσεως παρετράπησαν. πάλιν δὲ καὶ Ἀπολινάριος εὐαγγελικὴν φωνὴν κακῶς ἐννοήσας τὸ *‚οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ υἱὸς τοῦ ἀνθρώπου'* εἰς ἀτοπίαν ἐκτέτραπται λέγων μετὰ
Rom. 610 σαρκὸς καταβεβηκέναι τὸν θεὸν λόγον ἐκείνης ἣν ἐν τοῖς οὐρανοῖς ἔχων ἐτύγχανε προαιώνιόν τινα καὶ συνουσιωμένην αὐτῷ, καὶ ἀποστολικήν τινα ῥῆσιν προβαλλόμενος λέγουσαν *‚ὁ δεύτερος ἄνθρωπος ὁ κύριος ἐξ οὐρανοῦ'* ἠπατᾶτο κατὰ τὸ αὐτῷ δοκοῦν. καὶ θαυμαστὸν οὐδὲν εἰ καὶ οἱ τῆς καινῆς ταύτης φαυλότητος αἱρεσιῶται ἐκ τῆς θείας γραφῆς ἡμῖν προφέρονται τὰς ὑπολήψεις· ἐκ γὰρ τῶν ἑαυτῶν διδασκάλων ἔλαβον τὰς ἀφορμάς. τὰς γὰρ ἐπὶ τῆς ἀοράτου καὶ ἀκαταλήπτου θεότητος φωνὰς εἰρημένας εἰς τὴν κατὰ σάρκα οἰκονομίαν ἀντηλλάξαντο τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἑνὸς τῆς ἁγίας τριάδος. τίς γὰρ τῶν εὖ φρονούντων οὐ
La.-Co. 465 γινώσκει ὅτι τὸ *‚θεὸν οὐδεὶς ἑώρακε πώποτε'* ἐπὶ τῆς θείας φύσεώς ἐστι γεγραμμένον καὶ τὸ *‚οὔτε φωνὴν αὐτοῦ ἀκηκόατε οὔτε εἶδος αὐτοῦ ἑωράκατε'* εἰ ἐννοήσειέ τις ἐπὶ τῆς ἀνθρωπότητος, ὅλον τὸ εὐαγγέλιον ἀνατρέπει; ποῦ γὰρ θήσομεν τὸ ‚εἶπεν ὁ κύριος τοῖς ἑαυτοῦ μαθηταῖς' καὶ ‚εἶπεν ὁ κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους' καὶ ‚εἶπεν ὁ κύριος· *οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι'*, ἢ πάλιν πῶς ἐννοήσομεν ‹τὸ› *‚ἀνοίξας τὸ στόμα αὐτοῦ ἐδίδασκεν αὐτούς'*; δῆλον ταῦτα ἐπὶ τῆς ἀνθρωπότητος, τὸ δὲ *‚οὔτε φωνὴν αὐτοῦ ἀκηκόατε οὔτε εἶδος αὐτοῦ ἑωράκατε'* ἐπὶ τῆς θείας οὐσίας. καθὸ γὰρ ἄνθρωπος τέλειος ἐγένετο ὁ θεὸς λόγος, ὡς φθάσαντες εἴπομεν, καὶ φωνὴν αὐτοῦ ἀκηκόαμεν καὶ εἶδος αὐτοῦ ἑωράκαμεν, ἀλλὰ
Ha. 384 καὶ μετὰ τὴν ἀνάστασιν· ἐψηλαφήθη γάρ, καὶ *ὀπτανόμενος* τοῖς μαθηταῖς *ἔλεγεν* αὐτοῖς *τὰ περὶ τῆς βασιλείας.*

Εἶτά τε καὶ τὴν θείαν λατρείαν καὶ προσκύνησιν, ἣν οἱ χριστιανοὶ ‹κατ᾽› ἀληθινὴν καὶ εἰλικρινῆ πίστιν ἐν ἑαυτοῖς ἔχουσι, τῇ σχετικῇ καὶ τιμητικῇ προσκυνήσει καθωμοίωσαν. ἐν τούτοις γὰρ τοῖς δυσὶ πράγμασίν ἐστι τὸ παρ᾽ αὐτοῖς διεστραμμένον. τοὔνεκεν καὶ χριστιανοκατήγοροί εἰσί τε καὶ προσαγορεύονται. λέγουσι γὰρ
Ma. 284 ὅτι τὴν πρέπουσαν τῷ θεῷ προσκύνησιν καὶ λατρείαν ταῖς σεπταῖς εἰκόσι προσφέ-

3–4 2 Petr. 3,16 et 3,3 **6–7** Prou. 8,22 **10–11** Ioh. 3,13 **14** 1 Cor. 15,47 **20** Ioh. 1,18 **21** οὔτε[1] – ἑωράκατε′ Ioh. 5,37 **22–23** εἶπεν – μαθηταῖς′ cf. e.g. Mt. 16,24 **23–24** εἶπεν – Ἰουδαίους′ cf. e.g. Ioh. 8,31 **24** εἶπεν – Φαρισαῖοι′ cf. Mt. 23,13.15 **25** Mt. 5,2 **26** οὔτε[1] – ἑωράκατε′ Ioh. 5,37 **29** ἐψηλαφήθη cf. Lc. 24,39 **29–30** cf. Act. 1,3

(H)V T M **2–696,19** καὶ – φωνὴν praetermisit H **3–6** Πέτρος – γνῶσιν Am f. 151r in marg.

2 σπαράττοντες M **4** ἐστι om. Am **7** αὐτοῦ om. ed.Rom. (corr. ed.Reg.) | ἐκλαμβανόντων V **9** ὀρθῆς om. ed.Rom.* | Ἀπολλινάριος T edd. **10** νοήσας T edd. **14** οὐρανοῦ + καὶ M | ἠπατᾶτο] εἰπάτω T (cf. lat.) | αὐτὸ V **15** καινῆς M (cf. lat.): κενῆς V T edd. **16–17** διδασκαλιῶν V **20** τὸ] τὸν V | ἐστι om. V **22–23** εἶπεν – καὶ om. T **24** Φαρισαῖοι V Φαρισαῖοι + ὑποκριταί M (ex *N. T.*) **25** τὸ[1] addidi **28** ἀλλὰ om. ed.Rom.* (ex lat.) **31** κατ᾽ suppl. Dubielzig coll. p. 696,8–9 („ἴσ. ἀληθινῇ καὶ εἰλικρινεῖ πίστει" ed.Rom.[mg])

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:19 AM

rata scriptura erroris sui colligunt occasiones, quae per spiritum sanctum recte dicta sunt maligni sensibus suis adulterantes. et hoc summa praenuntiauit apostolorum tuba, Petrus uidelicet, dicens: *quae indocti et instabiles* peruertunt secundum *sua desideria*. proprium enim est hereticis secundum *sua desideria* peruertere diuinorum et uerorum scientiam dogmatum. generaliter enim sanctis patribus nostris ‚*dominus* creauit *me initium uiarum suarum* in opera sua‘ in dispensationem Christi secundum carnem factam assumentibus, Arrius et Nestorius et qui iuxta ipsos sunt in supernam et diuinam generationem acceperunt ac per hoc a recta scientia retro redierunt. rursus autem Apolinarius euangelicam uocem male intellegens ‚*nemo ascendit in caelum nisi qui de caelo descendit, filius hominis*‘ ad prauitatem conuersus est dicens cum carne illa descendisse deum uerbum quam habens in caelis erat aeternam quandam et consubstantialem sibi, et apostolicum quoddam dictum obiciens quod perhibet ‚*secundus homo* dominus *de caelo*‘, dicat secundum quod sibi uisum fuerit. nullique mirandum: et nouae huius prauitatis sectatores ex diuina scriptura nobis proferunt opiniones; ex magistris enim suis acceperunt occasiones. uoces enim quae super inuisibili et incomprehensibili deitate dictae sunt in carnis dispensationem domini nostri Iesu Christi qui est unus ex sancta trinitate commutauerunt. quis enim eorum qui bene sentiunt nescit quod illud quo dicitur ‚*deum nemo uidit umquam*‘ super diuina natura sit scriptum, et illud ‚*neque uocem eius audistis neque speciem eius uidistis*‘ si intellexerit quis super humanitate, totum euangelium subuertet? ubi enim ponemus illud quo fatemur ‚dixit dominus discipulis suis‘ et ‚dixit dominus ad Iudaeos qui ad se uenerant‘ et ‚dixit dominus: *uae uobis, scribae et Pharisaei*‘, uel rursus quomodo intellegemus ‚*aperiens os suum docebat eos*‘, significans haec super humanitate, illud autem ‚*neque uocem eius audistis neque speciem eius uidistis*‘ super diuina substantia? secundum id enim quod homo perfectus factus est deus uerbum, ut praediximus, et uocem eius audiuimus et speciem eius uidimus, etiam post resurrectionem; palpatus est enim, et *apparens* discipulis dicebat eis *de regno*.

Rom. 610 La.-Co. 466 PL 129, 413 Ha. 383

Deinde et diuinam seruitutem et adorationem christiani atque ueram et sinceram fidem in se habentes affectuosae ac honoranti adorationi similem praedicant. in his quippe duabus rebus est illud quod apud eos peruersum est. qua de re et christianorum calumniatores sunt et appellantur. dicunt enim quia decentem deo adorationem et seruitutem imaginibus offerunt christiani et quia incomprehensibilem diuinam

Ma. 283

P VE

---

2 hoc] hęc P **4** est enim E *edd.* **7** Nestorius] Eunomius *ed. Rom.* (ex gr.) fort. recte (incertum quid Anast. legerit in gr.)* **9** Apolenarius *(sic) codd.* (Apollinarius F *edd.), correxi* | male] melle P^{ac} mele *(sic)* P^{pc} (l^{1} *punctis del.*) | intelligens E *edd.* **11** ille *ed. Rom. (corr. ed. Reg.), om. Mansi* **13** dominus *Anast. ex gr.* | dicat (*cf. gr.* T)] „*gr.* decipiebatur“ *ed. Rom.*^{mg} | fuerat *ed. Rom.** **14** nullique] *Anast. uertit* οὐδενὶ *(Dubielzig)* | marandum P^{ac} (i *in* a^{1} *scr.* P^{c}) | et + si *ed. Rom.*, sed cf. supra* nullique **16** inconprehensibili P | diuinitate E *edd.* **18** quo] quod E *edd.* **20** humanitatem P **20–21** subuerteret F *edd.* **21** quo] quod V *edd.* **22** Iudeos P E | dominus dixit *ed. Rom.** (dominus *om.* E) **23** intellegemus *scripsi* (intelligemus *ed. Rom.**): intellegimus P V intelligimus E **23–24** significans (sc. dominus*; Anast. liberius uertit*)] significanter *ed. Rom.** **25–26** factus est perfectus E *edd.* **26** eius^{1} *om. ed. Rom.** **27** etiam] *Anast. neglexit* ἀλλὰ **29–30** christiani – habentes] *interpretatio mendosa (Anast. cum pro* κατ᾽ *legisset* καὶ*, uerborum constructionem mutauit)* **29** christiani atque] quam christiani *ed. Rom.* (ex gr.)* **29–30** ueram – habentes] „*f.* uera et sincera fide in se habent“ *ed. Rom.*^{mg} **30** affectuosae (affectuose *codd.*) ~ σχετικῇ *(sic codd. etiam in Act. II p. 189,3; exspectaueris* affectuali*, cf. infra p. 729,9 et 767,6)* | consimilem *ed. Rom.** **31** qua de re P E: qua V *ed. Rom.* quare *ed. Reg.** **32** dicentem P | deo *scripsi*: deum *codd.* **33** inconprehensibilem P V

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:19 AM

ρουσιν οἱ χριστιανοὶ καὶ ὅτι τὴν ἀκατάληπτον θείαν φύσιν περιγράφουσιν. ὦ τῆς παρεκτροπῆς καὶ ἠλιθιότητος καὶ εἴ τι τούτοις ἕτερον ἔπεται· οὐκ ἔχει γὰρ χώραν ὁ λόγος, ἀλλὰ λοιδορίας καὶ συκοφαντίας μεστός. οἱ γὰρ χριστιανοὶ οὔτε *τὴν ἐν πνεύματι καὶ ἀληθείᾳ* προσκύνησιν ταῖς εἰκόσιν ἀπένειμαν οὔτε τῷ θείῳ τύπῳ τοῦ σταυροῦ οὔτε τῆς ἀοράτου καὶ ἀκαταλήπτου φύσεως εἰκόνα ποτὲ πεποιήκασιν, ἀλλὰ καθὸ *ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν*, τὰ τῆς ἀνθρωπίνης οἰκονομίας αὐτοῦ ἀναγράφουσι καὶ εἰκονίζουσι, γινώσκοντές ‹τε› ὅτι *πνεῦμα ὁ θεὸς καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν* τὴν κατὰ πίστιν προσκύνησιν καὶ λατρείαν αὐτῷ μόνῳ *τῷ ἐπὶ πάντων θεῷ* ἐν τριάδι ἀνυμνουμένῳ προσάγουσιν. ἐπεὶ τὸν θεῖον τύπον τοῦ σταυροῦ καὶ τὰς σεπτὰς εἰκόνας πόθῳ καὶ στοργῇ κινούμενοι πρὸς τὴν τῶν πρωτοτύπων ἀναγωγὴν ἀσπαζόμεθα καὶ τιμητικῶς προσκυνοῦμεν. μάταιοι οὖν καὶ ὑπόκενοι καὶ σαθραὶ παντάπασιν αἱ
Rom. 611 κουφολογίαι αὐτῶν παρὰ τῆς ἀληθείας ἀποδείκνυνται. ὡς καὶ τὰ ἑξῆς ἀλλοτρίως τῆς εὐσεβείας ἐννοήσαντές φασι·

(Γρηγόριος ἐπίσκοπος ἀνέγνω·)

«καὶ ἐν τῇ παλαιᾷ φησάσης πρὸς Μωσέα καὶ τὸν λαόν· *οὐ ποιήσεις σεαυτῷ εἴδωλον, οὐδὲ παντὸς ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ ἄνω καὶ ὅσα ἐν τῇ γῇ κάτω*. διότι *ἐν τῷ ὄρει ἐκ μέσου τοῦ πυρὸς φωνὴν ῥημάτων ὑμεῖς ἠκούσατε, καὶ ὁμοίωμα οὐκ εἴδετε ἀλλ᾽ ἢ φωνήν*.»

(Ἐπιφάνιος διάκονος ἀνέγνω·)

Ἐντεῦθεν τὴν ἀφορμὴν τῆς ἀσεβείας ἐφέλκονται, ὥσπερ παῖδας τοὺς χριστιανοὺς μορμολύττοντες τοῖς ἑαυτῶν σοφίσμασιν, ὅτι γε ‚εἰ διὰ εἰκονικῆς ἀναζωγραφήσεως ἔχεις εἰς ὑπόμνησιν τὸν Χριστὸν ἢ τοὺς ἁγίους αὐτοῦ, εἰς εἰδωλολατρίαν κατολι-
La.-Co. 468 σθαίνεις'. καὶ πᾶσαν ἀδικίαν μελετήσαντες ἐν τοῖς προλελεγμένοις παρ᾽ αὐτῶν οἱ γεννάδαι πρὸς τὴν τοῦ ‚*οὐ ποιήσεις πᾶν ὁμοίωμα*' καταφεύγουσι λέξιν· καὶ *τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατέχοντες, τὴν ἰδίαν δικαιοσύνην ζητοῦντες στῆσαι* παιδοτριβοῦσιν ἑαυτοὺς πρὸς ἀσέβειαν καὶ τῇ ἀνυπαρξίᾳ τοῦ ψεύδους ἐναβρυνόμενοι τῆς ἀληθείας ἠλλοτρίωνται. τὰς γὰρ πάλαι νενομοθετημένας τῷ λαῷ τοῦ Ἰσραὴλ φωνάς, τῶν τῷ μόσχῳ λατρευσάντων καὶ τῶν Αἰγυπτιακῶν βδελυγμάτων πεῖραν ἐχόντων, μεταρρυθμίζοντες εἰς τὴν τῶν χριστιανῶν θείαν ὁμήγυριν ἑαυτούς τε θεατρίζοντες

3–4 cf. Ioh. 4,23 et 24 **6** Ioh. 1,14 **7–8** Ioh. 4,24 **9** cf. Rom. 9,5 **16–17** Ex. 20,4; Deut. 5,8 (cf. Gero, Constantine V p. 80 adn. 94) **17–19** ἐν[3] – φωνήν cf. Deut. 4,12.15 **25** Ex. 20,4; Deut. 5,8 **25–26** τὴν[2] – κατέχοντες cf. Rom. 1,18 **26** τὴν – στῆσαι cf. Rom. 10,3

27–28 τῇ – ἠλλοτρίωνται cf. Bas. c. Eun. (CPG 2837) II 19,24–27 Sesboüé/de Durand/Doutreleau

1–2 ὦ – χώραν ~ Vita Theodorae imp. (BHG[a] 1731) c. 5,19–21 Markopulos **27–28** τῇ – ἠλλοτρίωνται ~ Vita Theodorae imp. (BHG[a] 1731) c. 5,27–28 Markopulos

(H)V T M **1–2** ~ *Vit. Theod.* **28–698,17** τὰς – τοιάνδε praetermisit H

1 θείαν om. ed.Rom.* **2** καὶ[1] + τῆς V **7** τε addidi coll. lat., καὶ ante γινώσκοντες add. ed.Rom.* **11** καιόμενοι suspic. Dubielzig coll. lat. et Lc. 24,32 | τῶν πρωτοτύπων] πρωτότυπον M **15** Γρηγόριος – ἀνέγνω om. T **16** φησάσης scripsi („ἴσ. φησάσης" ed.Rom.[mg], cf. p. 692,28): φήσας codd., cf. lat. | Μωυσέα V **20** Ἐπιφάνιος – ἀνέγνω om. T | διάκονος + καὶ κουβουκλείσιος M **23** εἰς[1] deperditum in T | τὸν om. Vc edd. | εἰδωλολατρείαν ed.Rom.* **23–24** κατολισθανεῖς V **24** παρ᾽] ὑπ᾽ V **25** τοῦ M: τὸ HV T edd. | πᾶν] cf. app. crit. ad Act. IV p. 288,21 **25–27** καὶ – ἀσέβειαν om. H **28** τοῦ om. M **28–29** τῶν – ἐχόντων] fort. est adnotatio marginalis in textum recepta **29** σχόντων ed.Rom.* **30** μεταρυθμίζοντες V | τε om. V

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:19 AM

naturam circumscribunt. o abnegationem et stoliditatem et quicquid his aliud attinet! non enim habet locum sermo, sed maledicto plenus est et calumniis. christiani quippe adorationem quae *in spiritu et ueritate* est neque imaginibus neque diuinae figurae crucis impertiti sunt, sed neque inuisibilis et incomprehensibilis naturae imaginem umquam fecerunt, sed secundum quod *uerbum caro factum est et habitauit in nobis*, ea quae humanae dispensationis eius sunt pingunt et imaginantur, scientesque quia *spiritus est deus et eos qui adorant eum in spiritu et ueritate oportet adorare* adorationem et seruitutem quae per fidem est ipsi soli deo qui *super omnes* in trinitate laudatur offerunt. nam diuinum typum crucis et uenerabiles imagines desiderio et affectu flagrantes secundum principalium relationem salutamus et honorabiliter adoramus. uana itaque et inania seu clandestina omnimodis atque leuia eorum eloquia esse monstrantur a ueritate. quemadmodum et cetera aliene a pietate intel- Rom. 611
ligentes aiunt:

(Gregorius episcopus legit:)

«et in ueteri testamento dicens ad Moysen et ad populum: *non facies* tibimet idolum *neque omnem similitudinem* quaecumque *in caelo* sursum *et* quaecumque *in terra deorsum*, eo quod *in* monte *de medio ignis uocem uerborum* uos *audistis*, *et* similitudinem *non uidistis*, sed uocem.»

(Epiphanius diaconus legit:)

Hinc occasionem impietatis attrahunt, quasi pueros christianos sophismatibus suis portentuosa rabie inficere nitentes, quia igitur, ‚si per imaginalem inscriptionem habes in commemorationem Christum uel sanctos eius, in idololatriam dilaberis'. omnemque fortes iniustitiam meditantes in praelocutionibus suis ad dictionem qua La.-Co. 467
praecipitur ‚*non facies omnem similitudinem*' fugiunt; et *ueritatem in iniustitia* possi- PL 129, 414
dentes et *suam iustitiam quaerentes statuere* exercent se ad impietatem et in insubsistentia mendacii gloriantes a ueritate alienantur. uoces enim quae olim in lege datae sunt populo Israhel, qui uitulo seruiuit et Aegyptiacarum abominationum experimentum habuit, christianorum sacratae cateruae coaptantes se publicant et portentuose loquuntur, †adusti labiis oris sui. utinam intellexissent quia deus inducturus

P VE

2 locum habet F *edd.* **4** imperiti E impartiti *ed. Rom.** | sed *fort. delendum (cf. gr.)* **5** unquam VE **6** imaginantur] imaginibus exprimunt *ed. Rom.*^{mg}*, sed cf. Gloss.* **8** super omnes] *Anast. liberius uertit* τῷ ἐπὶ πάντων θεῷ **10** flagrantes ~ κινούμενοι*? cf. app. crit. gr.* **11** clandestina ~ σαθραῖ*? (*„*gr.* infirma" *ed. Rom.*^{mg}*); Anast. fort. legit uel intellexit* λαθραῖαι **12** alienę P E **15** dicente *ed. Rom.* non male, sed Anast. legit* φήσας *(cf. app. crit. gr.)* | Moysem *ed. Rom.** **17** audiuistis E *edd.* **19** diaconus + et cubucleus *(sic)* P + et cubuclesius V (*cf. gr.* M) + et cubudesius E, *om.* F *edd.* **20–21** suis – per] „*gr.* suis ueluti larua territantes, quod si per" *ed. Rom.*^{mg} **21** quia igitur ~ ὅτι γε*?* | imaginalem inscriptionem] imaginem scriptionem E imaginum scriptionem F^{2} *edd.* **21–22** habens *ed. Rom. (corr. ed. Reg.)* **22** idolatriam VE **23** fortes (~ οἱ γεννάδαι)] hi fortes *ed. Rom.*; exspectaueris* fortes isti *(cf. supra p. 631,29)* | praelocutionibus ~ προλελεγμένοις *(cf. ThLL s. u.)* **24** figiunt *(sic)* P | in *om. ed. Rom. (corr. ed. Reg.)* **25** quaerentes] uolentes E *edd.* **27** Israel E *edd.* | seruiunt E seruiit *ed. Rom.** | Aegyptiarum (Eg- P) P^{ac} (ca *add.* P^{1} *s. l.*) *edd.* | abhominationum VE **27–28** experimentum ~ πεῖραν *(cf. Gloss.)* **29** adusti] „*gr.* et capiuntur" *ed. Rom.*^{mg} *(cf. p. 673,20); Anastasium in exemplari graeco corrupto* καίονται *pro* καὶ ἁλίσκονται *legisse suspic. Dubielzig; an* abducti *scribendum?* (*cf. Ambros. de Abr. II 11,82 p. 633,26 Schenkl*: et abducitur a labiis sui oris) | deus] dominus E *edd.*

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:19 AM

τερατολογοῦσι καὶ *ἁλίσκονται χείλεσιν ἰδίου στόματος*. ὄφελον ἐνενοήθησαν ὅτι μέλλων ὁ θεὸς εἰς τὴν γῆν τῆς ἐπαγγελίας εἰσάγειν αὐτοὺς διὰ τὸ κατοικεῖν ἐκεῖ ἔθνη εἰδωλολατροῦντα καὶ προσκυνοῦντα δαιμονίοις, ἡλίῳ τε καὶ σελήνῃ καὶ ἄστρασι καὶ ἑτέροις κτίσμασιν, ἀλλὰ καὶ *πετεινοῖς καὶ τετραπόδοις καὶ ἑρπετοῖς* καὶ οὐ θεῷ ζῶντι καὶ ἀληθινῷ, ἐνενομοθέτητο· *οὐ ποιήσεις σεαυτῷ εἴδωλον οὐδὲ παντὸς*
Ma. 285 *ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ ἄνω καὶ ὅσα ἐν τῇ γῇ κάτω*, ἐπειδήπερ ἐπιφέρει ἀπάγων αὐτοὺς τῆς εἰδωλολατρίας· *οὐ προσκυνήσεις αὐτοῖς οὐδ᾽ οὐ μὴ λατρεύσεις αὐτοῖς*. ἡνίκα δὲ τὴν σκηνὴν τοῦ μαρτυρίου κατὰ τὴν τοῦ θεοῦ διαταγὴν ἐποίει ὁ πιστὸς θεράπων αὐτοῦ Μωσῆς, *τὰ σύμπαντα* δεικνὺς *δοῦλα* αὐτῷ, αἰσθητὰ χερουβὶμ ἀνθρωπόμορφα ἀντίτυπα τῶν νοητῶν ἐκ χρυσίου κατεσκεύασε κατασκιάζοντα τὸ ἱλαστήριον, ἱλαστήριον τὸν Χριστὸν προτυποῦν. *αὐτός γάρ ἐστιν ἱλασμὸς τῶν ἁμαρτιῶν ἡμῶν*, ὥς φησιν ὁ θεῖος ἀπόστολος. οὐκοῦν διὰ δύο πραγμάτων αὐτοὺς
Ha. 385 εἰσήγαγεν εἰς θεογνωσίαν, τοῦτο μὲν λέγων· *κύριον τὸν θεόν σου προσκυνήσεις καὶ αὐτῷ μόνῳ λατρεύσεις*, τοῦτο δὲ ποιήσας χρυσᾶ χωνευτὰ χερουβὶμ κατασκιάζοντα τὸ ἱλαστήριον ἤτοι προσκυνοῦντα αὐτῷ. καὶ διὰ τῆς ὁράσεως καὶ τῆς ἀκοῆς
Rom. 612 ἀνῆγεν αὐτοὺς κυρίῳ τῷ θεῷ προσκυνεῖν καὶ αὐτῷ μόνῳ λατρεύειν. ἀλλ᾽ οὗτοι διαστροφῆς μεστὸν ἔχοντες φρόνημα καὶ ἀποστολικὴν ῥῆσιν προβάλλονται τοιάνδε·

(Γρηγόριος ἐπίσκοπος ἀνέγνω·)

«*Καὶ ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου· καὶ ἐσεβάσθησαν καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα*. καὶ αὖθις· *εἰ δὲ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστόν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν. διὰ πίστεως γὰρ περιπατοῦμεν, οὐ διὰ εἴδους*. καὶ τοῦ αὐτοῦ ἀποδεικτικῶς εἰρηκότος· *ἄρα ἡ πίστις ἐξ ἀκοῆς, ἡ δὲ ἀκοὴ διὰ ῥήματος θεοῦ*.»

(Ἐπιφάνιος διάκονος ἀνέγνω·)

Διαρρήδην ἔστιν εἰπεῖν ὅτι αὐτοὶ παρεοίκασι τοῖς ἔθνεσι τοῖς *ἀλλάξασι τὴν δόξαν τοῦ θεοῦ καὶ λατρεύσασι τῇ κτίσει παρὰ τὸν κτίσαντα*, ἀλλάξαντες καὶ διαστρέψαντες τὰς ἐννοίας τὰς ἀποστολικὰς *κατὰ τὰς ἰδίας ἐπιθυμίας*. ἐπεὶ πᾶσιν εὔδηλόν ἐστιν ὅτι Ἕλληνας κωμῳδῶν ὁ ἀπόστολος φαίνεται ἐν τῷ λέγειν *‚ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου′*· ἐπιφέρει γὰρ *‚καὶ πετεινῶν*
La.-Co. 469 *καὶ τετραπόδων καὶ ἑρπετῶν′*, κἂν ὑπούλως ἔχοντες αὐτοὶ ἐξέτεμον τὴν ὁλόκληρον φράσιν, ἵνα ὡς ἐκ τούτου τοὺς ἁπλουστέρους δελεάσωσιν, ὅτι περὶ τῶν τῆς ἐκκλησίας εἰκονικῶν ἀναζωγραφήσεων ὁ ἀπόστολος ἀποτείνεται· καίτοι γε τὰ ἐπιφερόμενα φανερὰν ἔχει τὴν διασάφησιν· πετεινῶν γὰρ καὶ τετραπόδων καὶ ἑρπετῶν μνήμην πεποίηται καὶ ὅτι *ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα*. ἴσασιν οὖν οἱ ἱστορικῶν βίβλων ἐμπειρότατοι ὅτι Αἰγύπτιοι πάλαι βόας ἐσέβοντο καὶ

---

1 cf. Prou. 6,2 **4** cf. Rom. 1,23 **5–6** οὐ^{2} – κάτω Ex. 20,4; Deut. 5,8 **7–8** Ex. 20,5; Deut. 5,9 **9** cf. Ps. 118,91 **9–11** cf. Ex. 25,17–21 **11–12** cf. 1 Ioh. 2,2 **13–14** Mt. 4,10; Lc. 4,8; cf. Deut. 6,13 et 10,20 **19** Rom. 1,23 **20** Rom. 1,25 **20–21** 2 Cor. 5,16 **21–22** 2 Cor. 5,7 **22–23** Rom. 10,17 **25–26** cf. Rom. 1,23.25 **27** 2 Tim. 4,3; 2 Petr. 3,3 **29–30** Rom. 1,23 **34** Rom. 1,25

(H)V T M **29–700,19** ἐπιφέρει – δόξαν praetermisit H

1 ὄφελον V (sed cf. Blass/Debrunner/Rehkopf § 359,1) | ἐνενόησαν ed.Rom.* **4** ἄστροις M **5** ἐνενομοθέτητο T M: *νενομοθέτητο* V ἐνομοθέτει τὸ ed.Rom.* **7** εἰδωλολατρείας ed.Rom.* | οὐδ᾽ οὐ μὴ (οὐδὲ μὴ *Sept.*)] cf. Act. V p. 576,22 **11** ἱλαστήριον^{2} + τὸ ed.Rom.* ex Vc | προτυποῦν ed.Rom.: προτυπῶν codd. | ἱλασμὸς + περὶ *N. T.*, sed cf. lat. et Bas. lit., PG 31, 1649 C 1 **12** αὐτὸς M **14** χρυσᾶ V **15** καὶ^{2} + διὰ V **16** ἀνήγαγεν V **18** Γρηγόριος – ἀνέγνω om. T **19** ἀφθάρτου om. V **20–26** καὶ^{3} – κτίσαντα om. H **24** Ἐπιφάνιος – ἀνέγνω om. T

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:19 AM

eos in terram repromissionis, eo quod habitarent in ea gentes colentes idola et adorantes daemonia, solem quoque ac lunam stellasque et alias creaturas, sed et *uolucres et quadrupedia* atque repentia et non deum uiuum et uerum, legem dabat: *ne facias tibi* idolum *neque omnem similitudinem* quaecumque *in caelo* sursum *et* quaecumque *in terra deorsum,* quandoquidem subinfert abstrahens eos ab idololatria: *non* Ma. 286
adorabis ea neque seruies illis. cum autem tabernaculum testimonii secundum domini dispositionem faceret fidelis famulus eius Moyses, uniuersa ostendens seruire illi, sensibiles cherubim humanae formae instar intelligibilium ex auro patrauit obumbrantes propitiatorium Christum praefigurans. *ipse* enim *est propitiatio peccatorum nostrorum*, ut ait diuinus apostolus. ergo per duas res eos introduxit ad dei cognitio- Ha. 386
nem, illud quidem dicendo: *dominum deum tuum adorabis et* ipsi *soli seruies*, hoc uero faciendo aureos et conflatiles cherubim obumbrantes propitiatorium, id est adorantes illud. et per uisionem et auditum subleuabat eos ad dominum deum adoran- Rom. 612
dum et illi soli seruiendum. sed isti peruersitate plenum habentes sensum etiam apostolicum dictum proponunt huiusmodi:

(Gregorius episcopus legit:)

«*Et commutauerunt gloriam incorruptibilis dei in similitudinem imaginis corruptibilis hominis*, *et coluerunt et seruierunt creaturae potius quam creatori*. et rursus: *et si* noueramus *secundum carnem Christum, sed iam nunc non nouimus* eum. *per fidem enim ambulamus, non per speciem*. et eodem approbanter dicente: *ergo fides ex auditu, auditus autem per uerbum* dei.»

(Epiphanius diaconus legit:)

Palam dicendum est quia ipsi comparati sunt gentibus quae *commutauerunt gloriam dei et seruierunt creaturae potius quam creatori*, commutantes et peruertentes sensus apostolicos *secundum sua desideria*. nam omnibus certum est quia paganos irridere uidetur apostolus dicendo ‚commutauerunt *gloriam incorruptibilis dei in similitudinem imaginis corruptibilis hominis*‘; infert enim ‚*et uolucrum et quadrupedum et serpentium*‘, licet ipsi fraudulenter integram reciderint disputationem, ut quasi ex La.-Co. 470
hoc simpliciores decipiant et quasi de ecclesiae imaginalibus descriptionibus aposto- PL 129, 415
lus hoc praetendat, praesertim cum illa quae subinferuntur manifestam habeant explanationem; uolucrum enim et quadrupedum et serpentium mentionem fecit et quia *seruierunt creaturae potius quam creatori*. nouerunt ergo historicorum librorum

P VE

3 ne] neque F *ed. Rom.* **8** intellegibilium P intelligentium *ed. Rom.** (typos intelligibilium *ed. Rom.*^{mg}) **9** est enim E *edd.* **11** illud – dicendo] tum dic. *ed. Rom.*^{mg} | ipsi] illi *Vulg. (Anast. ex gr.; melius* illi *infra l. 14)* **11–12** hoc – faciendo] tum fac. *ed. Rom.*^{mg} *(uide supra)* **14** soli illi F *edd.* **18** creatore P^{ac} (*in* e^{2} *scr.* i P^{x}) **19** nunc iam E *edd. Vulg., fort. etiam hic scribendum (cf. infra p. 701,28)* | non *om.* P **20** approbanter (~ ἀποδεικτικῶς, *cf. Act. II p. 187,25 et Act. IV p. 475,8–9*) V: approbantur P E **23** comparati sunt (*i. e.* similes facti sunt) ~ παρεοίκασι **26–27** similitudine P **29** et *om. ed. Rom.*, sed Anast. constructionem uerborum mutauit* **30** praesertim cum] *exspectaueris* licet *uel sim. (Dubielzig), sed* praesertim cum *inuenitur etiam supra p. 649,26* **32** ergo *om.* E *edd.*

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:19 AM

ἕτερα τετράποδα καὶ πετεινὰ διάφορα καὶ μυίας καὶ σφηκίας καὶ εὐτελέστερα τούτων κνώδαλα, Πέρσαι δὲ τὸν ἥλιον καὶ τὸ πῦρ, Ἕλληνες δὲ πρὸς τούτοις καὶ πάσῃ κτίσει ἐλάτρευσαν, ἀλλὰ καὶ τῶν Ἑβραίων τινές, καθὼς ἱστορεῖ ἡ τῶν Βασιλειῶν βίβλος καὶ τῶν προφητῶν αἱ διηγήσεις. ἐπεὶ εἰπάτωσαν πότε *ἐματαιώθη* τὰ ἔθνη *καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία*· πρὸ τοῦ πιστεῦσαι εἰς Χριστὸν ἢ μετὰ
Ma. 288 τὸ πιστεῦσαι; πάντως πρὸ τοῦ πιστεῦσαι. πρόδηλον γὰρ τοῦτο. εἰ γάρ φασι μετὰ τὸ πιστεῦσαι εἰς Χριστὸν τὰ ἔθνη τῇ κτίσει καὶ τοῖς εἰδώλοις λατρεῦσαι, τῆς οἰκονομίας λέγω Χριστοῦ τοῦ θεοῦ ἡμῶν, ψευδεῖς αἱ προαναρρήσεις κατ᾽ αὐτοὺς αἱ διὰ τῶν προφητῶν προκαταγγελθεῖσαι περὶ τῆς ἐκκλησίας· *ἔσται Ἱερουσαλὴμ ἁγία, καὶ ἀλλογενεῖς οὐ διελεύσονται δι᾽ αὐτῆς οὐκέτι*, καί· *τὸ ἔλεός μου οὐ μὴ διασκεδάσω ἀπ᾽ αὐτῶν, οὐδ᾽ οὐ μὴ βεβηλώσω τὴν διαθήκην μου· καὶ τὰ ἐκπορευόμενα διὰ τῶν χειλέων μου οὐ μὴ ἀθετήσω*. εἰ δὲ τῆς *ἐπιγνώσεως* τοῦ θεοῦ ἑαυτοὺς ἐξορίσαντες
Rom. 613 καὶ πρὸ τῆς τοῦ Χριστοῦ ἐπιδημίας *παρεδόθησαν εἰς ἀδόκιμον νοῦν* τῷ διαβόλῳ λατρεύσαντες, ματαία ἡ ἔγκλησις ἡ κατὰ τῶν χριστιανῶν νυνὶ παρ᾽ αὐτῶν γεγενημένη· καὶ παρρησιάσεται πρὸς αὐτοὺς Ἡσαΐας βοῶν· *οὐαὶ οἱ γράφοντες πονηρίαν· γράφοντες γὰρ πονηρίαν γράφουσι*. τοιγαροῦν πονηρῶς καὶ κακούργως τὰς ἀποστολικὰς καὶ γραφικὰς φωνὰς ἐκλαμβάνοντες σπεύδουσι τὸ μέγα τῆς σωτηρίας μυστήριον τῆς οἰκονομίας Χριστοῦ τοῦ θεοῦ ἡμῶν, δι᾽ οὗ ἐλυτρώθημεν τῆς πλάνης τῶν εἰδώλων, ἀνατρέψαι καὶ εἰς ἑαυτοὺς ἀπενέγκαι τὴν δόξαν. ἀλλ᾽ οὐδεὶς τῶν χριστιανῶν αὐτοῖς πιστοῦται. ὁμολογοῦμεν γὰρ ἅπαντες ἀποστῆσαι ἡμᾶς τῆς πλάνης τῶν εἰδώλων καὶ πάσης ἑλληνικῆς θρησκείας Χριστὸν τὸν ἀληθινὸν θεὸν ἡμῶν ἐν τῇ κατὰ σάρκα πρὸς ἡμᾶς ἐπιδημίᾳ αὐτοῦ. εἰ δὲ αὐτοὶ τοῦτο οὐχ ὁμολογοῦσι γενέσθαι, οὐδὲ τὴν κλῆσιν αὐτοῦ ἔχουσι. καὶ πρὸς αὐτούς φησιν ὁ ἀπόστολος· *τί γὰρ ἔχεις ὃ οὐκ ἔλαβες; εἰ δὲ καὶ ἔλαβον*, ἐκείνην ὁμολογεῖν ὤφειλον τὴν
Ha. 388 ἀπολύτρωσιν καὶ τὰς εἰκόνας δέξασθαι, ἐκκλησιαστικὰς εὐπρεπείας ἐν τῇ τῶν ὀφθαλμῶν ὁράσει ἡμῖν γεγενημένας καὶ διηγήσεις εὐαγγελικὰς δι᾽ αὐτῶν εἰς τοὺς νόας ἡμῶν ἀναλαμβανομένας πρὸς ἀνάμνησιν καὶ ἐξήγησιν τῆς εὐαγγελικῆς ἱστορίας, ὡς πολλαχῶς εἴρηται.

Καὶ ἐπειδήπερ καὶ ἑτέρας ἀποστολικὰς φωνὰς προβάλλονται λέγοντες· *εἰ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστόν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν· διὰ πίστεως γὰρ περιπατοῦμεν* καὶ *οὐ διὰ εἴδους*, εἰς μέσον ἀγάγωμεν τοὺς τούτων ἑρμηνευτὰς μεγαλοφώνους διδασκάλους.

Ἰωάννης οὖν, ὁ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον διδασκαλίαν κεκτημένος, ἑρμηνεύων τὴν αὐτὴν τοῦ ἀποστόλου ῥῆσιν τὴν λέγουσαν· *ὥστε ἡμεῖς ἀπὸ τοῦ νῦν οὐδένα οἴδαμεν κατὰ σάρκα· εἰ δὲ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστόν, ἀλλὰ νῦν οὐκέτι*

3–4 καθὼς – βίβλος cf. 3 Reg. 11,1–8 etc. **4–5** cf. Rom. 1,21 **9–10** Ioel 4,17 **10–12** Ps. 88,34–35 **12–13** εἰ – νοῦν cf. Rom. 1,28 **15–16** Is. 10,1 **24** cf. 1 Cor. 4,7 **29–30** 2 Cor. 5,16 **30–31** 2 Cor. 5,7 **34–702,1** 2 Cor. 5,16

(H)V T M **26–702,19** καὶ – αὐτοῦ praetermisit H

---

1 μύας T M | σφικίας T σφῆκας M **3** ἡ om. V **4** εἰπάτωσαν + πῶς ἢ V edd., sed cf. lat. | ἐματαιώθη τὰ] ἐματαιώθησαν V **6** πάντως – πιστεῦσαι² om. T **7–8** τῆς οἰκονομίας (quod etiam Anast. legit, neglecto tamen λέγω)] ἴσ. μετὰ τὴν οἰκονομίαν ed. Rom.^{mg} fort. recte **8** ἀναρρήσεις V | αὐτοῦ M **11** αὐτῶν (cf. lat.)] αὐτοῦ *Sept.* (uar. lect. αὐτῶν) | οὐδ᾽ οὐ μὴ M (cf. supra p. 698,7): οὐδὲ μὴ V T edd. *Sept.* (uar. lect.) **13** καὶ suspectum, sed fort. τῷ διαβόλῳ λατρεύσαντες post καὶ transponendum | τοῦ om. ed. Rom.* **14** τῶν om. M **15** οἱ γράφοντες (cf. lat.)] τοῖς γράφουσιν *Sept.* (sed cf. Is. 5,20 al.) **19** ἀναστρέψαι ed. Rom.* **23** κλῆσιν] ἐκκλησίαν M **30** ἀλλὰ] ἀλλ᾽ οὐ M **30–702,1** διὰ – φησίν om. V **34** τὴν² om. ed. Rom.*

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:19 AM

Rom. 637 τὴν τῶν ἁγίων εἰκόνων θέαν ἐνδιαβάλλουσιν, ἄκοντες δὲ καὶ ὑπὸ τῆς ἀληθείας
Ha. 421 ἐλεγχόμενοι ἱερὰ ταῦτα καὶ ἀναθήματα τῷ θεῷ ἀναγκάζονται ὁμολογεῖν καὶ ταῖς πάγαις τῶν ἰδίων ἐρεσχελιῶν περιπίπτουσιν. ὅθεν φενακίζοντες τοὺς αὐτοῖς ἑπομένους προσφθέγγονται·

(Γρηγόριος ἐπίσκοπος ἀνέγνω·)

«εἰ δέ τις λαβὼν παρὰ θεοῦ δύναμιν θελήσειε μεταποιῆσαι τὰ αὐτὰ σκεύη ἢ καὶ ἐνδυτάς, μὴ τολμᾶν αὐτὸν ἄνευ γνώμης καὶ εἰδήσεως τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου οἰκουμενικοῦ πατριάρχου καὶ ἐπιτροπῆς τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων βασιλέων ἡμῶν τοῦτο πρᾶξαι, ἵνα μὴ τῇ προφάσει ταύτῃ ὁ διάβολος τὰς ἐκκλησίας

---

2 cf. Col. 3,22 **3** τῷ[1] – νοῦν cf. Ps. 118,120 **7–8** τῶν[2] – κοιλίας cf. Is. 8,19 **19** διαβολικῆς μεθοδείας cf. Eph. 6,11 **20–21** ἐκεῖνος – ὡμολόγει cf. Ioh. 11,51–52 **22** διαβολικῆς μεθοδείας cf. Eph. 6,11

22 διαβολικῆς – εὕρημα cf. supra p. 728,20

(H)V T M **7–10** ὄντως – ἐπιφέρουσι praetermisit H **28–758,3** εἰ – ἀνέγνω praetermisit H

1 Ἐπιφάνιος – ἀνέγνω om. T **2** Ταῦτα + τὰ M **3** ἀνατιθέμενα M **5** πω] που M ed.Rom.* | τοῦ μεγάλου καὶ σωτηριώδους μυστηρίου M | μέγα + τοῦτο H **7** εὐσεβέσι] εὐσεβεῖν ἐθέλουσι M **9–10** παραπλῆγας] παρὰ πληγὰς T **10** φρενητιῶντας ed.Rom.* | καὶ[2] om. ed.Rom.* **11** Γρηγόριος – ἀνέγνω om. T **12** βήλα H **13** διὰ om. M | sententia continuatur infra l. 28 **14** Ἐπιφάνιος – ἀνέγνω om. T **15** δέχεσθαι ed.Rom.* **16** ταῦτα V **18** καθιερωμένα – θεῷ[2] om. T | καὶ εἰ] εἰ δὲ ed.Rom.* (ex Vc) **19** εὕρημα V **20** ἐκεῖνος + μὲν V M **21** ὡμολόγησεν M | αὐτοὶ] οὗτοι M, sed cf. lat. **22** εὕρεμα T εὑρήματα V **23** καὶ om. V | τῆς om. Vc edd. **24** ἱερὰς ταύτας M, sed cf. lat. **25** φενακίζοντες] ἀπατῶντες V **27** Γρηγόριος – ἀνέγνω om. T **29** ἑαυτὸν V **29–30** μακαριωτάτου καὶ ἁγιωτάτου M **31** τῇ om. M

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:19 AM

(Epiphanius diaconus legit:)

Haec ora <non> timentium dominum eructarunt. quis enim eorum qui habent diuino timori confixam mentem ea quae deo sunt deputata praesumeret idolorum uocabulo nuncupare, licet nimium sit indoctus ac indisciplinatus? nisi forte oblitus fuerit magni et salutaris mysterii quod deus uerbum carne adueniens in nobis operatus est, eruens nos ab idolorum errore. nam simulacra uocare dei cultoribus moris est gentilium idola. uere haec eorum sunt qui ex terra garrulitates prouocant et de uentre horum pronuntiationes eliciunt; qui saturitatibus stercoralibus conceptis putidas euaporationes menti emittens uesanos et phrenesi captos effecit. unde et inferunt: Ma. 331 PL 129, 437

(Gregorius episcopus legit:)

«sed nec in uestes aut alia uela uel aliud quid consecratum in sacrum ministerium, ne inutilitas in illa efficiatur,»

(Epiphanius diaconus legit:)

Detrahentes et deliberantes quod male recipiat imaginales picturas ecclesia sancta, turpia et idola et simulacra has appellantes nunc ac si obliti suae scelestae sententiae haec manenda in ecclesia tanquam deo consecrata iudicant. et si deo consecrantur, quomodo turpia sunt et diabolicae artis adinuentiones? sed certum est quod Caiphae sit sententia. ille enim malitia quidem Christum occidit, ignorantia uero uera dicens hunc saluatorem humani generis confitetur. ita et ipsi similes ei facti malitia quidem errorem et simulacra et turpia et diabolici argumenti adinuentionem imaginum effigiem dicunt, nolentes autem et a ueritate conuicti sacra haec et deo dicata confiteri coguntur <et> in laqueos propriarum contentionum incidunt. unde eos qui sequuntur illos deridentes alloquuntur: Rom. 637 Ha. 422

(Gregorius episcopus legit:)

«si uero quis a deo accepta uirtute uoluerit transferre eadem uasa uel pallas, non audere eum absque consilio et notitia sanctissimi et beatissimi uniuersalis patriarchae ac praeceptione piissimorum et amicorum Christi imperatorum nostrorum hoc agere, ne hac occasione diabolus ecclesias dei humiliet; sed nec quenquam principum

P VE

2 ora *ed. Rom.*: ore *codd.* | non *add. ed. Rom.** | habet *codd., corr. ed. Rom.* **3** timore *ed. Rom.** **4** licet] *Anast. constructionem uerborum mutauit* **6** dei cultoribus] *Anast. fort. legit* θεοσεβέσι **8** eorum E *edd., sed cf. gr.* | qui] *sc.* uenter **9** putridas F *edd.* | mentis F^2 *edd.* | emittentes F^2 **15** deliberantes] *exspectaueris* diffinientes | sanctorum *ed. Rom.*; exspectaueris* sancta dei ecclesia, *cf. gr.* **16** turpia] pictura P | sue P **18** diabolice P | Cahiphe P Cayphę VE, *corr. ed. Rom.* **20** confitebatur *ed. Rom.*, sed Anast.* ὁμολογεῖ *legisse uel intellexisse uidetur* **22** effigiem ~ θέαν*? idem mendum supra p. 713,5, ubi uide app. crit.* | dicata P *ed. Rom.*: dedicata VE **23** et *suppl. ed. Rom.** **24** secuntur P **26** uirtute ~ δύναμιν *(ut saepe)* **29** quemquam F *edd.* | principium P

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:19 AM

τοῦ θεοῦ ταπεινώσῃ· μήτε δέ τινα τῶν ἀρχόντων ἢ τῶν ὑπ᾽ αὐτοὺς ἤγουν τοῦ λαϊκοῦ τάγματος τῇ αὐτῇ προφάσει ἐπιβάλλειν τὴν χεῖρα ἐπὶ τοὺς θείους ναοὺς καὶ τούτους αἰχμαλωτίζειν, καθὼς τοιαῦτα ὑπό τινων ἀτάκτως φερομένων προγέγονε.»

La.-Co. 513 (Ἐπιφάνιος διάκονος ἀνέγνω·)

Ma. 333 Τίς οὐ γελάσειεν ἐπὶ ταύτῃ τῇ νομοθεσίᾳ, μᾶλλον δὲ θρηνήσειε; διὰ τούτων γὰρ τῶν διακένων ῥημάτων πολλοὶ κατετόλμησαν τὰς Βριάρεω χεῖρας ἐπιβαλεῖν τοῖς ἱερατικοῖς σκεύεσι, παρ᾽ αὐτῶν δηλονότι λαβόντες τὰς προφάσεις — εὐόλισθον γὰρ ἡ κακία —· αὐτοὺς γὰρ προϊδόντες τοὺς μακαριωτάτους ὡς αὐτοί φασιν, ὡς δὲ ἡ ἀλήθειά φησιν ἀλλοτριεπισκόπους σφετεριζομένους τὸν χρυσὸν καὶ τὸν ἄργυρον τῶν ἱερῶν ἀναθημάτων καὶ τὰς ἐν μουσείοις ἀναζωγραφήσεις, καὶ αὐτοὶ οὕτως εἰργάσαντο εἰς κοινοὺς οἴκους καὶ λουτρὰ καὶ θέατρα ταῦτα μεταποιήσαντες. καὶ τά ποτε ἅγια τῇ τούτων κρίσει ἐβεβηλώθησαν. καὶ ἐγκαυχώμενοι φασί·

(Γρηγόριος ἐπίσκοπος ἀνέγνω·)

«Τούτων δὴ καλῶς ἐχόντων καὶ παγιωθέντων τῇ τοῦ θεοῦ χάριτι δίκαιον ἐκρίναμεν τῷδε ἡμῶν τῷ καθολικῷ καὶ θεαρέστῳ συγγράμματι ὅρους κεφαλαιώδεις ἐκθέσθαι, ἐπειδὴ καὶ ἡμεῖς δοκοῦμεν ἀποστολικῶς εἰπεῖν, ἀλλὰ μὴν καὶ πιστεύομεν *πνεῦμα Χριστοῦ ἔχειν*. καὶ καθάπερ οἱ πρὸ ἡμῶν εἰς αὐτὸ πιστεύσαντες τὰ συνοδικῶς ὑπ᾽ αὐτῶν ὁρισθέντα λελαλήκασι, *καὶ ἡμεῖς πιστεύομεν* εἰς αὐτό, *διὸ καὶ λαλοῦμεν*, μετά τινας προταχθησομένους πατρικοὺς ὅρους ἀκολούθως καὶ συμφώνως τὰ δόξαντα ἡμῖν ὁρίζοντες.»

(Ἐπιφάνιος διάκονος ἀνέγνω·)

Πολλά τε καὶ παντοδαπὰ ἀνωτέρω ληρωδήσαντες καὶ τὴν ἰδίαν φαυλότητα τρανῶς
Rom. 638 ἀποφηνάμενοι καὶ εἰς πολλὰ ταύτην διελόντες, ἑαυτοὺς παρεισφέρουσι τοῖς διδασκάλοις τῆς ἐκκλησίας ἐξισοῦσθαι καὶ ταῖς ἱεραῖς αὐτῶν ἐμφάσεσι τοὺς ἐναγεῖς αὐτῶν ὅρους συναριθμεῖσθαι ἀλαζονεύονται, τὸ ψεῦδος τῇ ἀληθείᾳ συγκαταμίξαι βουλόμενοι, οἷα δηλητήρια ἀνακιρνῶντες μέλιτι· ἀλλ᾽ οἱ τῷ θείῳ πνεύματι ὁδηγούμενοι διακρίνουσι τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος, καὶ ὅσα μὲν εὐσεβῶς ὡς παρὰ ἁγίων πατέρων προορισθέντα ἀποδέχονται, ὅσα δὲ διεστραμμένως ὡς παρ᾽ αὐτῶν λαληθέντα ἀποκρούονται. αὐτοὶ γὰρ οἱ ψευδορήμονες ὁμολογοῦσι μὲν εἰδέναι θεόν, τῆς δὲ ἀπαγούσης τρίβου πρὸς τὴν βασιλικὴν ὁδὸν ἐκτρέπονται, τὰ τῆς ἡμετέρας εἰλικρινοῦς πίστεως ῥήματα πονηρίας ἰῷ χρώσαντες, ἀπαιδευσίας ὁμόρους ἔχοντες τοὺς πάλαι αἱρεσιάρχας. καὶ αὐτοὶ γὰρ τῇ καθολικῇ ἐκκλησίᾳ τὰ πλεῖστα συμπε-

---

17 cf. 1 Cor. 7,40; Rom. 8,9 **18–19** cf. 2 Cor. 4,13

---

6 τὰς — χεῖρας cf. e.g. Greg. Naz. or. 18 (funebris in patrem) (CPG 3010,18; BHG[a] 714) c. 6, PG 35, 992 C 8

(H)V T M

---

1 ἤγουν] ἤως T ἤτοι ed.Rom.* ex Vc (Probatares in marg.) **4** Ἐπιφάνιος — ἀνέγνω om. T **6** ἐπιβάλλειν V | τοῖς M (cf. *Greg.*): ἐν τοῖς V T edd. **7** ἱεροῖς V **8** παριδόντες Vc edd. | μακαριωτάτους — φασιν] mihi quidem non constat quo haec spectent **9** fort. coll. lat. σφετεριουμένους *uel* σφετερισομένους scribendum **12** ποτε om. ed.Rom.* (ex Vc [del. Vc[x]]), sed cf. lat. **13** Γρηγόριος — ἀνέγνω om. T **14** δὴ] δὲ M (cf. lat.) **21** Ἐπιφάνιος — ἀνέγνω om. T **22** τὴν om. T edd. **23** παραφέρουσι V **26** δηλητήριον ed.Rom.* ex Vc (Probatares in marg.; δηλητ᾽ Vc[ac] δηλῆται sic Ml, partim euanidum in T) **27** ὡς om. V **29** ψευδορρήμονες M ed.Rom.* **30** τῆς[1] — ὁδὸν] locus suspectus; ἀγούσης uel προσαγούσης suspic. coll. lat. Dubielzig **31** ἀπαιδευσίας ὁμόρους scripsi coll. lat.: ἀπαιδευσίαν ὅμορον codd. **32** τῶν πάλαι αἱρεσιαρχῶν M τοῖς πάλαι αἱρεσιάρχαις ed.Rom.*

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:19 AM

uel eorum qui sub ipsis sunt, id est laicalis ordinis, huiusmodi occasione immittere manum in diuina templa et haec captiuare, quemadmodum a quibusdam qui inordinate ambulabant ante iam talia facta sunt.»

(Epiphanius diaconus legit:) La.-Co. 514

Quis non derideat, immo lamentetur super hac legislatione? propter haec enim uaniloqua uerba multi temere praesumpserunt graues manus mittere in sacrata uasa, ab ipsis uidelicet sumentes excusationes – facile namque malitia labitur –; illos enim praeuidentes beatissimos, ut ipsi dicunt, sed, ut ueritas se habet, alienos episcopos defraudaturos aurum et argentum sacrorum monumentorum atque factas in musiuis picturas, et ipsi sic operati sunt in communes domos et balnea atque theatra haec transmutantes. et quondam sancta horum iudicio polluerunt. et gloriantes aiunt: Ma. 334 PL 129, 438

(Gregorius episcopus legit:)

«His autem bene habitis atque gratia diuina firmatis iustum iudicauimus hoc catholico ac deo placente scripto nostro diffinitiones capitulares exponere, quoniam et nos putamus apostolice dicere, sed et credimus *nos spiritum Christi habere*. et sicut antecessores nostri qui in ipsum crediderunt quaedam synodice diffinientes locuti sunt, *et nos credimus* in ipsum per quem *loquimur*, post quasdam quae praeceptae sunt patrias diffinitiones consequenter et concorditer quae nobis uidentur diffinientes.»

(Epiphanius diaconus legit:)

Multis et uariis superius deleratis prauitatem suam expresse pronuntiantes et in multa hanc dispertientes, semetipsos magistris ecclesiae coaequare nituntur et cum sacris eorum affatibus scelestas diffinitiones suas arroganter annumerant, mendacium ueritati commiscere uolentes et quodammodo melle haustus pestiferos temperantes. sed qui spiritu dei aguntur quod melius est a peiore discernunt et quaecumque pie tanquam a sanctis patribus ante sunt diffinita recipiunt, quaecumque uero peruerse ab ipsis dicta sunt offensi retundunt. ipsi enim falsiloqui confitentur quidem se nosse deum, sed a semita quae ducit ad regiam uiam exorbitant, sincerae fidei nostrae uerba malitiae ueneno inficientes et suae inscitiae affines heresiarchas habentes. nam et ipsi plura ecclesiae catholicae consona sapuerunt, uerum in uno uel duobus Rom. 638

P VE

1 horum P^{ac} (h *exp.*, e *superscr.* P^{c}) | sub ipsis sunt P: ipsis sunt V ipsi sunt E ipsis subsunt *ed. Rom.** **6** graues] „*gr.* Briarei“ *ed. Rom.^{mg}; Anast. fort. legit uel intellexit* βαρείας | immittere *ed. Rom.*, sed cf. supra p. 753,28* **7** ipsas P^{ac} (*in* a *scr.* i P^{c}) **8** preuidentes *codd.* prouidentes *ed. Rom.*, sed cf. gr. („gr.* parum curantes“ *ed. Rom.^{mg} ex gr.* Vc*)* | ipsis VE (*corr.* F^{2}) | ueritates P^{ac} (*corr.* P^{x}) | alienos episcopos] *Anast.* ἀλλοτριεπισκόπους *male intellexit (cf. supra p. 753,3)* **9** defraudaturos] *Anast. uertit* σφετεριουμένους *uel* σφετερισομένους **10** ipsi *om. ed. Rom.* („gr.* ipsi quoque sic“ *ed. Rom.^{mg}*), et ipsi *om. ed. Reg.** **11** polluerunt] polluta sunt *ed. Reg.* non male (cf. gr.), sed mendum potius interpreti tribuendum* **13** autem] *cf. gr.* M **15** apostolicæ P V **17** per quem] propter quod etiam loq. *ed. Rom.^{mg}* (*ex Vulg., ubi* propter quod et loq.); *Anast. fort. legit* δι᾽ οὗ *uel* δι᾽ ὃ **17–18** praeceptae sunt] „*gr.* praemittentur pat.“ *ed. Rom.^{mg}; Anast. fort. legit uel intellexit* προσταχθέντας *(cf. Act. IV p. 409,20)* **17** preceptae P E (*abbr.* V) **18** patrias] *exspectaueris* paternas *(sed* patrios terminos *traditur etiam Conc. Const. IV Anast. interpr. praef. l. 397, cf. etiam supra p. 625,21 al.)* **21** deliratis F *edd.* | pronuntiantes P (prob.) *ed. Rom. (cf. gr.)*: pronuntiant VE **22** dispartientes E *ed. Rom. (corr. ed. Reg.)* **23** scelestes P **24** melle – temperantes] *Anast. uerborum constructionen mutauit* **26** quecunque E (*abbr.* P) **27** ipsis] his E *edd.* **29** suae – habentes] *cf. app. crit. gr.* | inscientiae E *edd.*

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:19 AM

φωνήκασιν, ἐν ἑνὶ δὲ ἢ δύο παρεκβεβηκότες τὸ ἀνάθεμα ἐκληρώσαντο. μεθ' ὧν τὴν μερίδα ἔτυχον, κἂν τοιάδε ἀποφαίνωνται·

(Γρηγόριος ἐπίσκοπος ἀνέγνω·)

«Εἴ τις οὐχ ὁμολογεῖ κατὰ τὰς ἀποστολικὰς καὶ πατρικὰς παραδόσεις ἐπὶ πατρὸς
Ma. 336 καὶ υἱοῦ καὶ ἁγίου πνεύματος μίαν καὶ τὴν αὐτὴν θεότητα, φύσιν τε καὶ οὐσίαν, θέλησίν τε καὶ ἐνέργειαν, δύναμίν τε καὶ κυριότητα, βασιλείαν καὶ ἐξουσίαν ἐν τρισὶν ὑποστάσεσιν ἤγουν προσώποις δοξαζομένην, ἀνάθεμα. Εἴ τις οὐχ ὁμολο-
La.-Co. 516 γεῖ τὸν ἕνα τῆς αὐτῆς ἁγίας τριάδος, ἤγουν τὸν υἱὸν καὶ λόγον τοῦ θεοῦ καὶ πατρός, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, πρὸ αἰώνων μὲν ἐκ τοῦ πατρὸς κατὰ
Ha. 424 τὴν θεότητα, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν τὸν αὐτὸν διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς ἀειπαρθένου καὶ ἐξ αὐτῆς γεννηθέντα ὑπὲρ πᾶσαν νοὸς ἀνθρώπων κατάληψιν, ἀνάθεμα. Εἴ τις οὐχ ὁμολογεῖ θεὸν εἶναι κατὰ ἀλήθειαν τὸν Ἐμμανουὴλ καὶ διὰ τοῦτο θεοτόκον τὴν ἁγίαν παρθένον – γεγέννηκε γὰρ σαρκικῶς σάρκα γεγονότα τὸν ἐκ θεοῦ λόγον –, ἀνάθεμα. Εἴ τις οὐχ ὁμολογεῖ σαρκὶ καθ' ὑπόστασιν ἡνῶσθαι τὸν ἐκ θεοῦ πατρὸς λόγον ἕνα τε εἶναι Χριστὸν μετὰ τῆς ἰδίας σαρκός, τὸν αὐτὸν δηλονότι θεόν τε ὁμοῦ καὶ ἄνθρωπον, ἀνάθεμα. Εἴ τις οὐχ ὁμολογεῖ τὴν τοῦ κυρίου σάρκα ζωοποιὸν εἶναι καὶ ἰδίαν αὐτοῦ τοῦ ἐκ θεοῦ πατρὸς λόγου, ἀλλ' ὡς ἑτέρου τινὸς παρ' αὐτὸν συνημμένου μὲν αὐτῷ κατὰ τὴν ἀξίαν ἤγουν ὡς μόνην θείαν ἐνοίκησιν ἐσχηκότος, καὶ οὐχὶ δὴ μᾶλλον ζωοποιόν, ὡς ἔφημεν, ὅτι γέγονεν ἰδία τοῦ λόγου τοῦ τὰ πάντα ζωογονεῖν ἰσχύοντος, ἀνάθεμα. Εἴ τις οὐχ ὁμολογεῖ ἐπὶ τοῦ ἑνὸς Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν δύο φύσεις καὶ δύο φυσικὰ θελήματα καὶ δύο φυσικὰς ἐνεργείας κοινωνικῶς τε καὶ ἀδιαιρέτως, ἀτρέπτως, ἀμερίστως, ἀσυγχύτως κατὰ τὴν τῶν ἁγίων πατέρων διδασκαλίαν, ἀνάθεμα. Εἴ τις οὐχ ὁμολογεῖ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν μετὰ τοῦ προσλήμματος ἤγουν τῆς
Rom. 639 ἐψυχωμένης ψυχῇ λογικῇ τε καὶ νοερᾷ σαρκὸς αὐτοῦ συνεφεδρεύειν τῷ θεῷ καὶ πατρὶ οὕτω τε πάλιν ἥξειν μετὰ τῆς πατρικῆς αὐτοῦ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὐκέτι μὲν σάρκα, οὐκ ἀσώματον δέ, οἷς αὐτὸς οἶδε λόγοις θεοειδεστέρου

---

6 δύναμίν – ἐξουσίαν cf. Eph. 1,21 **14–15** σάρκα – λόγον cf. Ioh. 1,14

4–7 cf. Conc. Const. II can. 1, ACO IV 1 p. 240,3–5; Conc. Later., ACO ser. II, I p. 368,6–17 **7–13** cf. Conc. Const. II can. 2, ACO IV 1 p. 240,8–11; Conc. Const. III (Cyri Alex. satisf. [CPG 7613]), ACO ser. II, II 2 p. 596, 6–9; cf. ACO ser. II, I p. 226,1–4 **13–17** Conc. Ephes. (Cyr. Alex. epist. tert. ad Nest. [epist. 17; CPG 5317], anathema 1–2), ACO I 1,1 p. 40,22–27 **17–21** ibid. p. 41,28–42,2 (anathema 11) **21–24** ~ Conc. Const. III (def. fidei), ACO ser. II, II 2 p. 774,20–21 **24–27** Εἴ – πατρὶ cf. Conc. Const. II can. 4, ACO IV 1 p. 241,5–6 al. **25** μετὰ τοῦ προσλήμματος cf. supra p. 616,27 **27–760,1** πάλιν – παχύτητος ~ Greg. Naz. or. 40 (in s. baptisma) (CPG 3010,40; BHG[a] 1947) c. 45,33–36 Moreschini/Gallay; cf. Krannich/Schubert/Sode p. 86 adn. 148

28–760,1 οὐκέτι – σώματος = Niceph. refut. c. 129,5–6; cf. Theod. Stud. epist. 380,58–59

(H)V T M **13–15** = *Conc. Ephes.* **15–760,7** Εἴ – ἐξεμοῦσιν praetermisit H **15–17** = *Conc. Ephes.* **17–21** = *Conc. Ephes.* **21–24** ~ *Conc. Const. III* **27–760,1** ~ *Greg. Naz.* **28–760,1** = *Niceph.*[ref]

---

2 ἔτυχον] ἔσχον ed. Rom.* | κἂν V | ἀποφαίνονται V **3** Γρηγόριος – ἀνέγνω om. T **4–774,26** Εἴ – συνόδων] anathemata numerat α' – ιθ' M[1mg] **5** καὶ[1] om. H, καὶ τοῦ V **6** τε[2] om. H **7** ἤγουν] ἤως H T ἤτοι Vc[mg] (Probatares) edd. | δοξαζομένην V M: δοξαζομένοις T edd. (cf. lat.), incertum in H **8** αὐτῆς om. Vc edd. | ἤγουν] ἤως H T ἤτοι Vc[mg] (Probatares) edd. **12** ἀειπαρθένου HV T (ἀει T[1] s.l.): παρθένου M Vc edd. | νοὸς (νοὸν Vc) om. ed. Rom.*, sed cf. lat. **14** γεγένηκε M **16** τῆς om. V **19** ἤγουν] ἤως T ἤτοι Vc[mg] (Probatares) edd. **21** ζωοποιεῖν M **22** ἐπὶ τοῦ om. Vc edd. **25** ἤγουν] ἤως H T ἤτοι Vc[mg] (Probatares) edd. **26–27** ἐψυχωμένης – αὐτοῦ] ἐψυχωμένης σαρκὸς λογικῆς τε καὶ νοερᾶς nec plura M **26** ἐμψυχωμένης V | ψυχῆς T | συνεδρεύειν ed. Rom.* **28** αὐτὸς om. *Niceph.*[ref]

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:19 AM

praeuaricantes anathematis poenam sortiti sunt. cum quibus portionem consecuti sunt hi qui talia fantur:

(Gregorius episcopus legit:)

«Si quis non confitetur secundum apostolicas et paternas traditiones in patre et filio et spiritu sancto unam deitatem, naturam atque substantiam, uoluntatem et operationem, uirtutem et dominationem, regnum et potestatem in tribus subsistentiis, id est personis, glorificatis, anathema. Si quis non confitetur unum de sancta trinitate, id est filium et uerbum dei et patris, dominum uidelicet nostrum Iesum Christum, ante saecula quidem genitum secundum diuinitatem, in nouissimis autem diebus eundem propter salutem nostram descendisse de caelis et incarnatum ex spiritu sancto et Maria semper uirgine et ex ea natum super omnem sensus humani capacitatem, anathema. Si quis non confitetur deum esse secundum ueritatem Hemmanuhel et idcirco dei genitricem sanctam uirginem esse – genuit enim carnaliter carnem factum dei uerbum –, anathema. Si quis non confitetur carni secundum subsistentiam unitum esse uerbum quod est ex deo patre atque unum esse Christum cum carne sua, eundem scilicet ipsum deum simul et hominem, anathema. Si quis non confitetur domini carnem uiuificam esse et propriam eiusdem uerbi quod est ex deo patre, sed ut alterius cuiusdam praeter se sibi quidem sociati per dignitatem, id est ut solam diuinam habitationem habentis, et non potius etiam uiuificantem, ut diximus, quia facta est propria uerbi omnia uiuificare ualentis, anathema. Si quis non confitetur in uno Christo uero deo nostro duas naturas et duas naturales uoluntates et duas naturales operationes communicabiliter, inseparabiliter, inconuertibiliter, indiuise et inconfuse secundum sanctorum patrum magisterium, anathema. Si quis non confitetur dominum nostrum Iesum Christum cum assumptione, id est animata carne sua anima rationabili atque intellectuabili, deo et patri consedere sicque demum uenturum cum paterna claritate sua iudicare uiuos et mortuos, non quidem iam carnem, sed nec incorporeum, quibus ipse nouit rationibus * deo specificato corpore, quo et

Ma. 335 La.-Co. 515 Ha. 423 PL 129, 439 Rom. 639

P VE

1 pęnam V penam E **2** hi qui ~ κἂν? *Anast. sententiam male intellexit* **4–775,24** anathemata numerant I–XIX P^{1mg} V^{1mg} **5** unam] *exspectaueris* unam et eandem, *cf. gr.* **6** in *om.* P^{ac} *(add.* P^{c} *s.l.)* **7** glorificatis] *cf. gr.* T **8** et^{1} *om.* E *edd.* **12** Hemmanuel E Emmanuel *ed. Rom.** **13** enim] eum P **14** dei – anathema ~ τὸν ἐκ θεοῦ λόγον? *uide infra l. 15* | carni *scripsi coll. gr.*: carne P carnem VE *edd.* **14–15** unitam F *edd.* **15** uerbo F^{2} *edd.* | patrem P^{ac} (m *exp.*) **17** eiusdem] *debuit* ipsius *(Dubielzig)* | deo *om.* F *edd.* **20** facta est] factae P **21–22** uoluntates – naturales *om.* P **25** intellectuali *ed. Rom.*, *sed cf. Act. V p. 577,2* | demum ~ πάλιν? **26** iudicare] iudicatu ire *(sic)* P **27** deo – corpore] diuinam speciem uel similitudinem non habet P^{1} *in marg. sup. (adnotatio Anastasii);* deo + diuinam speciem uel similitudinem habentem *(sic)* E *i. t.* (*crucem posuit* F^{2mg}) „*gr.* deiformi corpori“ *ed. Rom.*^{mg}

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:19 AM

σώματος, ἵνα καὶ ὀφθῇ ὑπὸ τῶν ἐκκεντησάντων καὶ μείνῃ θεὸς ἔξω παχύτητος, ἀνάθεμα. »

(Ἐπιφάνιος διάκονος ἀνέγνω·)

Μέχρι τούτων εὐγνωμονοῦσι συνᾴδοντες ταῖς τῶν ἁγίων πατέρων ἐκδόσεσι, μᾶλλον δὲ τὰ αὐτῶν σφετερισάμενοι δόγματα δόξαν ἑαυτοῖς περιτίθενται. ἐν δὲ τοῖς ἑξῆς τὰ πικρὰ τῆς ἰοβόλου αὐτῶν γλώττης καὶ ἐχιδνώδη δόγματα *ἰοῦ θανατηφόρου* μεμεστωμένα ἐξεμοῦσιν·

(Γρηγόριος ἐπίσκοπος ἀνέγνω·)

«Εἴ τις τὸν θεῖον τοῦ θεοῦ λόγου χαρακτῆρα κατὰ τὴν σάρκωσιν δι᾽ ὑλικῶν χρωμάτων ἐπιτηδεύοι κατανοῆσαι καὶ μὴ ἐξ ὅλης καρδίας προσκυνεῖν αὐτὸν ὄμμασι νοεροῖς, ὑπὲρ τὴν λαμπρότητα τοῦ ἡλίου *ἐκ δεξιῶν τοῦ θεοῦ* ἐν ὑψίστοις *ἐπὶ θρόνου δόξης καθήμενον*, ἀνάθεμα. »

Ma. 337 (Ἐπιφάνιος διάκονος ἀνέγνω·)

Παράδοξοί τινες ἀλληγορισταὶ ἀποδείκνυνται ἐπὶ ταύτῃ αὐτῶν τῇ φασματώδει ἀποφάσει. *χαρακτῆρα* γὰρ τοῦ θεοῦ καὶ πατρὸς τὸν υἱὸν τοῦ ἀποστόλου κηρύξαντος διὰ τὸ ἀπαράλλακτον τῆς οὐσίας, αὐτοὶ ἐναλλὰξ ποιησάμενοι εἰς τὴν προσληφθεῖσαν σάρκα παρὰ τοῦ θεοῦ λόγου σκολιῶς ἐννοήσαντες, ἐξ ἀφρένων φρενῶν ἐρεύγονται καινήν τινα ἀπόφασιν λέγοντες „εἴ τις τὸν θεῖον τοῦ θεοῦ λόγου χαρα-
La.-Co. 517 κτῆρα κατὰ τὴν σάρκωσιν δι᾽ ὑλικῶν χρωμάτων ἐπιτηδεύοι κατανοῆσαι". ὅτι μὲν ἑτεροούσιος τῆς τοῦ θεοῦ λόγου φύσεως ἡ σὰρξ ἣν προσέλαβε, πάντες ἴσμεν ἔκ τε τῆς ἀληθείας καὶ τῶν πρωτάρχων τῆς ἐκκλησίας ἁγίων ἀποστόλων καὶ θεσπεσίων πατέρων ἡμῶν παιδευθέντες· καὶ γὰρ ὁ τῶν ἀπορρήτων θεατὴς Παῦλος ὁ θεῖος ἀπόστολος, καθὰ εἴρηται, τὸ ὁμοούσιον θέλων κηρύξαι πρὸς τὸν θεὸν καὶ πατέρα τοῦ υἱοῦ καὶ θεοῦ λόγου, οὐδὲν ἕτερον ᾠκειωμένον καὶ συνᾷδον ἐφεῦρεν ἢ τὸ ἐκβοῆσαι *χαρακτῆρα τῆς ὑποστάσεως* τοῦ πατρὸς τὸν υἱόν, οὗτοι δὲ τὴν ἀλήθειαν εἰς ψεῦδος μετατρέπειν πειρώμενοι ἀντεισάγουσι διαψόφους καὶ σαθρὰς φωνάς, προσπηγνύμενοι τῷ τῶν σεπτῶν εἰκόνων μίσει. ἔνθεν καὶ παρεμπίπτουσιν εἰς ἐννοίας συνιστῶσας τὸ βλάσφημον, καὶ *παραδοθέντες εἰς ἀδόκιμον νοῦν* ἔτι φασίν·

6–7 ἰοῦ – μεμεστωμένα cf. Iac. 3,8 **11** ἐκ – θεοῦ Mc. 16,19; Act. 7,55 **11–12** ἐπὶ – καθήμενον cf. Mt. 19,28 et 25,31 **15–16** cf. Hebr. 1,3 **22** ὁ[1] – θεατὴς cf. 2 Cor. 12,1–4 **25** cf. Hebr. 1,3 **28** cf. Rom. 1,28

9–10 Εἴ – κατανοῆσαι Epiph. epist. dogm. (CPG 3752) fr. 34 Holl (p. 363) = fr. 3 Ostrogorsky (p. 68) (ex Niceph. adu. Epiph., uide app. testim.); cf. Thümmel, BSl 47, 1986, 184; id., Frühgeschichte n. 36; fort. etiam quae usque ad ἀνάθεμα sequuntur Epiphanio tribuenda (cf. Holl l.l.)

9–10 Εἴ – κατανοῆσαι = Niceph. adu. Epiph. p. 303,18–20

(H)V T M **9–10** = *Niceph.*^{Epi} **14–764,7** Παράδοξοί – ἀνέγνω praetermisit H

3 Ἐπιφάνιος – ἀνέγνω om. T **8–18** Γρηγόριος – λέγοντες adscripsit V^{1} in marg. (Γρηγόριος – l. 10 κατανοῆσαι exstant etiam i.t.) **8** Γρηγόριος – ἀνέγνω om. T **9** δι᾽] ἐξ *Niceph.*^{Epi} **10** ἐπιτηδεύει V i.t. *Niceph.*^{Epi} **10–18** καὶ – λέγοντες om. V^{ac} (add. V^{1} in marg. [partim euanida]; uide supra) **10** μὴ H T M: μήτε V^{mg} (prob.) | προσκυνεῖν scripsi coll. lat.: προσκυνεῖ codd. (incertum in H) προσκυνῇ Vc edd. **11** δεξιῶν H M **12** δόξης H T M: om. V **13** Ἐπιφάνιος – ἀνέγνω om. T **14** φαντασιώδει Morin Vc^{mg} (sed del. et superscr. φασματώδει) edd. (corr. ed.Rom.^{mg}) **18** κενήν V | λέγοντες + Γρηγόριος ἐπίσκοπος ἀνέγνω V **18–19** εἴ – κατανοῆσαι om. M **21** τῆς ἀληθείας] i.e. Ἰησοῦ (cf. Ioh. 14,6) | καὶ[2] + τῶν M **23** καθὸ V (prob.) | κηρῦξαι T edd. **24** εὗρεν sic V **26** μετατρέπειν εἰς ψεῦδος M | διαψόφους (cf. ἔμψοφος et sim.)] διαψόγους coni. Hase (cf. app. crit. lat.) **28** φάσκουσιν V

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:19 AM

appareat [ab] his qui eum pupugerunt et maneat deus absque crassitudine, anathema.»

(Epiphanius diaconus et cubuclesius legit:)

Vsque ad haec bene sentiunt cum sanctorum patrum editionibus concinentes; immo uero dogmata eorum usurpantes, sibi gloriam conferunt. porro in ceteris amara uirulentae linguae suae et uiperea *ueneno mortifero plena* dogmata euomunt:

(Gregorius episcopus legit:)

«Si quis diuinum dei uerbi characterem secundum incarnationem per materiales colores considerare studuerit et non ex toto eum corde adorare oculis intelligibilibus, super claritatem solis *a dextris dei* in excelsis *super* thronum *sedentem*, anathema.»

(Epiphanius diaconus legit:) Ma. 338

Inopinati quidam allegoristae super hac phantastica sua sententia demonstrantur. characterem enim dei et patris filium apostolo praedicante propter indissimilitudinem et inmutabilitatem substantiae, ipsi alterum facientes characterem in assumpta a dei uerbo carne praue intellegunt et ex sensibus insensatis eructant inanem quandam sententiam perhibentes [Gregorius episcopus legit] „si quis diuinum dei uerbi characterem secundum incarnationem per materiales colores considerare studuerit". [Epiphanius diaconus legit] quia alterius quidem substantiae est caro quam assumpsit La.-Co. 518 et dei uerbi natura, cuncti nouimus tam ex ueritate quam ex principibus ecclesiae, sanctis uidelicet apostolis et egregiis patribus nostris edocti; etenim archanorum inspector Paulus diuinus apostolus, secundum quod dicitur, homousion uolens praedicare ad deum et patrem filii et dei uerbi, nihil aliud proprium et conueniens adinuenit, quam ut exclamaret characterem *substantiae* patris filium, isti autem ueritatem in PL 129, 440 mendacium conuertere temptantes introducunt uituperationes atque quassatas uoces, has uenerabilium imaginum odio configentes. unde et incidunt in intellectus blasphemiam commendantes, atque *in reprobum sensum traditi* adhuc inquiunt:

P VE

1 ab *eras.* F², *om. ed. Rom.** (*sed fort. ex gr.* ὑπὸ *per neglegentiam translatum*) **8** caracterem VE **10** thronum + gloriae *ed. Rom.* fort. recte* (*cf. gr.* H T M) **12** Inopinati ~ παράδοξοι *(cf. ThLL VII 1, 1749,53)* **13** et *om.* P^{ac} (*add.* P^{c} *s. l.*) **13–14** indissimilitudinem et] *nihil respondet in gr.* **14** incommutabilitatem F *edd.* | alterum – characterem] *Anast. constructionem uerborum mutauit* **14–15** a dei] absque *(sic)* E a deo *ed. Rom.* fort. recte* **15** intelligunt E *edd.* | inanem] *Anast. legit uel intellexit* κενὴν (*cf. gr.* V) **16** Gregorius – legit *om. ed. Rom.*, seclusi dubitanter* (*haec fort. iam in Anastasii exemplari graeco inserta erant; cf. gr.* V) | uerbi dei E *edd.* **18** Epiphanius – legit *om. ed. Rom.*, seclusi (uide supra)* **20** arcanorum V *edd.* **21** dicitur] „*gr.* dictum est" *ed. Rom.*^{mg} | omousion P **24** tentantes E *edd.* | uituperationes] *Anastasium* διαψόγους *legisse suspic. C. B. Hase (Steph. TGL³ II, 1407 A); cf. etiam app. crit. gr.* | quassatas ~ σαθρὰς *(cf. Gloss.)* **25** has] *debuit* se *(Dubielzig)* | configentes] affixi *ed. Rom.*^{mg} (*sed Anast. uerborum constructionem mutauit; cf. supra* has) | et *om.* E *edd.* | intellectus ~ ἐννοίας*; cf. supra p. 675,23*

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:19 AM

Rom. 640 (Γρηγόριος ἐπίσκοπος ἀνέγνω·)

«Εἴ τις τὴν ἀπερίγραφον τοῦ θεοῦ λόγου οὐσίαν τε καὶ ὑπόστασιν διὰ τὸ σεσαρ-
Ha. 425 κῶσθαι ἐπιτηδεύοι δι᾽ ὑλικῶν χρωμάτων ἐν εἰκόσιν ἀνθρωπομόρφως περιγράφειν καὶ οὐχὶ δὴ μᾶλλον θεολογεῖ αὐτὸν οὐδὲν ἧττον καὶ μετὰ τὴν σάρκωσιν ἀπερίγραφον ὄντα, ἀνάθεμα.»

(Ἐπιφάνιος διάκονος ἀνέγνω·)

Ὡς περὶ τὰ καίρια τῶν ἐκκλησιαστικῶν παραδόσεων ἀνιάτως νοσήσαντες καὶ τὴν λοιμώδη νόσον ἀνιμησάμενοι τὸν νοῦν διαφθαρέντες ταῦτα φράζουσι καὶ τὸ αἶσχος τῆς ἀπάτης προστρίβουσι τῷ ὀρθῷ λόγῳ καὶ ἐξαπατῶνται τὸν νοῦν, εἰς τὴν ἀπερίγραφον φύσιν τοῦ θείου λόγου τὴν περιγεγραμμένην καὶ παρ᾽ αὐτοῦ ληφθεῖσαν σάρκα συγχέοντες. τοῦτο γὰρ τρανῶς δηλοῖ τὸ παρ᾽ αὐτῶν εἰρημένον „οὐδὲν ἧττον καὶ μετὰ τὴν σάρκωσιν ἀπερίγραφον ὄντα". ποῦ ποτε ταύτην τὴν κουφολογίαν ἐφεῦρον οἱ σοφοὶ περὶ τὰ μάταια; βλασφημίας γὰρ πλήρους τὸ ἀπερίγραφον μετὰ τὴν σάρκωσιν διαγορεῦσαι τὸν ἐπὶ πάντων κύριον Ἰησοῦν Χριστὸν τὸν ἀληθινὸν θεὸν ἡμῶν, καὶ μάλιστα αὐτοῦ διαγορεύσαντος τοῖς μαθηταῖς ὅτι *Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται, καὶ χαίρω δι᾽ ὑμᾶς, ὅτι οὐκ ἤμην ἐκεῖ*. ἆρα τὸ *οὐκ ἤμην ἐκεῖ* οὐ περιγραφῆς ἴδιον; ναί, καὶ πάνυ γε. καὶ ἵνα τὰ πρὸ τοῦ πάθους περὶ τούτου εὐαγγελικῶς λεχθέντα ἐάσωμεν, τὰ μετὰ τὴν ἀνάστασιν εἴποιμεν· ταῖς
Ma. 340 γυναιξὶν ἐμφανίσας ἀπερίγραφος ἦν οὐδαμῶς· τὸ ἑαυτὸν φανερῶσαι δυσὶ μαθηταῖς περιγραφῆς ἐστιν ἴδιον· τὸ *τῶν θυρῶν κεκλεισμένων* εἰσελθεῖν καὶ ὑπὸ Θωμᾶ ψηλαφηθῆναι τί ἕτερον ἢ περιγραφή; καὶ τὸ *πορευθῆναι τοὺς μαθητὰς εἰς τὴν Γαλιλαίαν* κἀκεῖ αὐτὸν ὑπ᾽ αὐτῶν *ὀφθῆναι* καὶ *προσκυνηθῆναι* αὐτὸ τοῦτό ἐστι· τὸ δὲ βλεπόντων τῶν μαθητῶν ἀναληφθῆναι εἰς τὸν οὐρανὸν καὶ τοῦ ἀγγέλου αὐτοῖς ἐπιστάντος καὶ εἰπόντος· *ἄνδρες, τί ἑστήκατε ἀτενίζοντες εἰς τὸν οὐρανόν; οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ᾽ ὑμῶν εἰς τὸν οὐρανὸν οὕτως ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν*, ἆρα οὐκ ἔστι περιγραφῆς ταῦτα; καὶ πάνυ γε. οὕτως γὰρ καὶ πάντες οἱ θεοφόροι πατέρες ἡμῶν ἐκδιδάσκουσι· καὶ πρόδηλόν ἐστι τοῖς εὖ φρονοῦσιν ὅτι, καθὸ μὲν θεὸς καὶ λόγος τοῦ θεοῦ καὶ πατρός ἐστιν, ἀόρατος, ἀπερί-
La.-Co. 520 γραπτος, ἀκατάληπτος καὶ ἐν παντὶ τόπῳ ἐστὶ τῆς δεσποτείας αὐτοῦ· καθὸ δὲ ἀνθρώπου φύσιν ἀνελάβετο, καὶ ὁρατὸς καὶ περιγραπτός, καθὼς αὐτὸς τοῖς μαθηταῖς διηγόρευσε μὴ εἶναι ἐκεῖ, καὶ καταληπτός, ὡς ὁ Θωμᾶς ἡμᾶς ἐπιστώσατο. εἰς πολλὰς οὖν κακίας διὰ τῆς μιᾶς αὐτῶν βλασφημίας συμπίπτουσιν οἱ τῆς ἀπατηλῆς τῶν χριστιανοκατηγόρων φρενοβλαβείας εἰσηγηταί. αὖθις γὰρ συκοφαντοῦντες φθέγγονται·

---

14 τὸν – κύριον cf. Rom. 9,5 **16** cf. Ioh. 11,11.14–15 **18–19** ταῖς – ἐμφανίσας cf. Mt. 28,9–10 **19** τὸ – μαθηταῖς cf. Lc. 24,13–31 **20–21** τὸ – ψηλαφηθῆναι cf. Ioh. 20,26–29 **21–22** τὸ – προσκυνηθῆναι cf. Mt. 28,16–17 **24–26** Act. 1,10–11 **30–31** καθὼς – ἐκεῖ cf. Ioh. 11,14–15 (cf. supra l. 16)

(H)V T M

---

1 Γρηγόριος – ἀνέγνω om. T **2** τε om. ed. Rom.* **4** δὴ om. Vc edd. **6** Ἐπιφάνιος – ἀνέγνω om. T **7** ἐκκλησιαστικῶν] ἀποστολικῶν M **8** ταῦτα om. M **11** συγχέοντες] συνέχοντες M **12** αὐτὴν M **13** πλήρους (sc. νοός ἐστι)] πλῆρες ed. Rom.*, sed cf. lat. **14** πάντα T edd. **16** ἄρα V **18** τὰ om. V | εἴποιμεν V T (prob.): εἴποιμι M ed. Rom.* (ex Vc), cf. lat. **19** ἐμφανίσας + ἑαυτὸν ed. Rom.* (sed cf. LBG s.u.) | signum interrogationis post ἦν in V | ἑαυτῶν V | φανερῶσαι + τοῖς M **21** περιγράφειν M **22** αὐτὸν T | προσκυνεῖσθαι ed. Rom.* ex Vc **25** ἡμῶν T ed. Rom. (corr. ed. Reg.) **28** καθὰ M **33** φρενοβλαβίας V

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:19 AM

(Gregorius episcopus legit:) Rom. 640

«Si quis incircumscriptam dei uerbi essentiam atque subsistentiam, pro eo quod incarnatum sit, studuerit per materiales colores in imaginibus humana forma circumscribere et non potius deum praedicat illud nihilominus etiam post incarnationem Ha. 426
incircumscriptum esse, anathema.»

(Epiphanius diaconus legit:)

Tanquam circa oportunas ecclesiasticas traditiones insanabiliter infirmati et pestilenti languore sensum corruptum habentes haec asserunt et contagium deceptionis recto sermoni applicant et decipiuntur mente, <in> incircumscriptam naturam diuini uerbi circumscriptam et ab ipso assumptam carnem confundentes. hoc enim expresse indicat quod ab ipsis est dictum „nihilominus etiam post incarnationem incircumscriptum esse“. ubi aliquando hanc leuem assertionem adinuenerunt sapientes circa inania? nam pleni blasphemia sensus est incircumscriptum post incarnationem asserere super omnia dominum Iesum Christum uerum deum nostrum, et maxime ipso discipulis perhibente: *Lazarus amicus noster dormit, et gaudeo propter uos*, quia *non eram ibi*. ergo ‚*non eram ibi*‘ circumscriptionis est proprium; etiam, et oppido etiam. sed ut ea quae ante passionem de hoc euangelice dicta sunt omittamus, quae post resurrectionem acta sunt dicam: mulieribus apparens incircumscriptus nullatenus Ma. 339
erat; semetipsum manifestare duobus discipulis circumscriptionis est proprium; *ianuis clausis* intrare et a Thoma palpari quid aliud quam circumscriptio est? et *discipulis in Galilaeam* euntibus illic ab eis *uideri* et *adorari*, hoc ipsum est. uidentibusque discipulis ascendere in caelum et angelo super ipsos astante atque dicente: *uiri, quid statis intuentes in caelum? <hic Iesus qui assumptus est a uobis in caelum> sic ueniet, quemadmodum uidistis eum euntem in caelum,* putas non sunt haec circumscriptionis? etiam ualde. sic enim et omnes deiferi patres nostri docent; et manifestum est his qui bene sapiunt quod, secundum id quidem quod deus et uerbum dei et patris est, inuisibilis, incircumscriptus, incomprehensibilis et in omni loco sit La.-Co. 519
dominationis suae; secundum id autem quod humanam naturam suscepit, et uisibilis et circumscriptus, iuxta quod ipse discipulis ait non illic se fuisse, et comprehensibilis est, ut Thomas certos nos reddidit. in multas ergo malitias per unam blasphemiam suam concidunt deceptoriae christianos accusantium uesaniae praeceptores. rursus PL 129, 441
enim calumniantes pronuntiant:

P VE

---

2 subsistentiam *ed. Rom. (cf. Anast. praef. p. 2,23)*: substantiam *codd.* **4** deum … praedicat ~ θεολογεῖ *(cf. supra p. 691,13) hic minus apte* | deum *eras.* F² (deum *ed. Rom.* ex* V) | illud] *sc.* uerbum | nihilhominus P nichilominus V **5** esse] est *ed. Rom.* (interp. supra ante* deum*), sed cf. infra l. 12* **7** opportunas *ed. Rom.** **9** in *suppleui coll. gr.* | uerbi + et *ed. Rom.*, sed cf. gr.* **11** nihilhominus P nichilominus V **13** plenus F² *edd., sed cf. gr.* | blasphemiae *ed. Rom.*, sed cf. e.g. Conc. Const. IV Anast. interpr. Act. I l. 23 al.* **15** gaudio P gaudẹo V **16** ergo] ego F² *edd.* (*Anast. legit uel intellexit* ἄρα) **17** euangelicæ P **18** dicam] *Anast. legit* εἴποιμι, *cf. gr.* M **19** erat] habet P **21** Galileam *codd., corr. ed. Rom.* **22** ipsos] illos *ed. Rom.* (ex Vulg.)* **23** hic – caelum² *add. ed. Reg.* tacite ex Vulg.; cf. gr.* **25** patris P **26** quod²] quo P V **28** quod] quo P V **29** conprehensibilis P (*abbr.* V) **30** nos certos *ed. Rom.** (nos *om.* F) **31** concinunt *ed. Rom.* (error typogr., ut uidetur)* **32** kalumpniantes P calumpniantes V

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:19 AM

Rom. 641 (Γρηγόριος ἐπίσκοπος ἀνέγνω·)

«Εἴ τις τῆς τοῦ θεοῦ λόγου φύσεως καὶ τῆς σαρκὸς τὴν ἀδιαίρετον καθ' ὑπόστασιν ἕνωσιν ἤγουν τὸ ἐξ ἀμφοῖν ἓν ἀσύγχυτόν τε καὶ ἀμέριστον ἀποτέλεσμα γεγονὸς ἐν εἰκόνι πειρᾶται γράφειν ὀνομάζων αὐτὴν Χριστόν – τὸ δὲ ‚Χριστὸς' ὄνομα θεὸν καὶ ἄνθρωπον δηλοῖ – ὡς ἐκ τούτου σύγχυσιν τῶν δύο φύσεων τερατευόμενος, ἀνάθεμα.»

(Ἐπιφάνιος διάκονος ἀνέγνω·)

Οἶδε τὸ αἶσχος τῆς ἀπάτης προστρίβεσθαι τῷ ὀρθῷ λόγῳ. καὶ γὰρ οὗτοι τῇ ἐπὶ Χριστοῦ ἀδιαιρέτῳ καὶ ἀσυγχύτῳ καθ' ὑπόστασιν ἑνώσει τὴν τῶν εἰκόνων ποίησιν ἐναντιουμένην ὡς σύγχυσιν τῶν δύο φύσεων ψευδῶς καὶ κακῶς ἐκλαμβάνουσιν. *ἀλλ'* ἡ ἀλήθεια *τοῦ θεοῦ οὐ δέδεται*. τὸ γὰρ ‚Χριστὸς' ὄνομα δύο φύσεών ἐστι γνωριστικόν, τῆς μὲν ὁρατῆς, τῆς δὲ ἀοράτου. αὐτὸς δὲ ὁ Χριστὸς ὁρώμενος τοῖς ἀνθρώποις διὰ *τοῦ καταπετάσματος*, τουτέστι τῆς σαρκὸς αὐτοῦ, κἂν ἡ θεία φύσις ἐνεκρύπτετο, διὰ τῶν σημείων ταύτην ἐφανέρου. ἡ γοῦν ἁγία τοῦ θεοῦ ἐκκλησία, ὡς παρέλαβε παρὰ τῶν ἁγίων ἀποστόλων καὶ πατέρων, αὐτὸ τὸ εἶδος τὸ ὁραθὲν τοῖς ἀνθρώποις ἀναζωγραφεῖ καὶ οὐ διαιρεῖ τὸν Χριστὸν κατὰ τὴν αὐτῶν ληρώδη
Ha. 428 κατηγορίαν· ἡ γὰρ εἰκὼν κατὰ τὸ ὄνομα μόνον καὶ οὐ κατὰ τὸν ὅρον κοινωνεῖ τῷ πρωτοτύπῳ, ὡς πολλάκις εἰρήκαμεν, ἐπειδὴ καὶ ψυχῆς ἐστέρηται, ἣν ἀδύνατον περιγράφειν, ὅτι ἀόρατος. καὶ εἰ τὴν ψυχὴν καίπερ κτιστὴν οὖσαν ἀναζωγραφεῖν ἀδύνατον, πόσῳ γε μᾶλλον τὴν ἀκατάληπτον καὶ ἀνεξιχνίαστον τοῦ μονογενοῦς
Ma. 341 υἱοῦ θεότητα ἐννοήσειέ τις αἰσθητῶς εἰκονίζεσθαι, κἂν εἰ λίαν ἔξω φρενῶν ὑπάρχῃ; *ἐπέστρεψεν* οὖν *ὁ πόνος αὐτῶν* ἐπὶ τὰς *κεφαλὰς αὐτῶν*. τὸ γὰρ ἀνάθεμα ὃ αὐτοὶ ἐληρώδησαν ἐν αὐτοῖς μένει εἰς τὸν αἰῶνα. αὖθις δέ φασιν·

(Γρηγόριος ἐπίσκοπος ἀνέγνω·)

«Εἴ τις διαιρεῖ τὴν ἑνωθεῖσαν σάρκα τῇ τοῦ θεοῦ λόγου ὑποστάσει ἐν ἐπινοίᾳ ψιλὴν αὐτὴν ἔχων καὶ ὡς ἐκ τούτου γράφειν αὐτὴν ἐν εἰκόνι ἐπιτηδεύων, ἀνάθεμα.»

(Ἐπιφάνιος διάκονος ἀνέγνω·)

Ὁ ἅγιος Γρηγόριος ὁ τῆς θεολογίας ἐπώνυμος οὕτω φησίν· „Ἡνίκα αἱ φύσεις διΐστανται ταῖς ἐπινοίαις, συνδιαιρεῖται καὶ τὰ ὀνόματα." ἀλλὰ καὶ πλεῖστοι τῶν
Rom. 642 πατέρων ταύτῃ τῇ ἐννοίᾳ ἐχρήσαντο· καὶ γὰρ τῇ ἀληθείᾳ οὕτως δοκεῖ. αὐτοὶ δὲ
La.-Co. 521 ἐκστάντες καὶ αὐτῆς καὶ τῶν πατρικῶν παραδόσεων λέγουσιν „εἴ τις διαιρεῖ τὴν ἑνωθεῖσαν σάρκα τῇ τοῦ θεοῦ λόγου ὑποστάσει ἐν ἐπινοίᾳ". εὑρίσκονται οὖν μηδὲ

---

11 cf. 2 Tim. 2,9 **13** cf. Hebr. 6,19 **22** cf. Ps. 7,17

29–30 Greg. Naz. or. 30 (theol. IV) (CPG 3010,30) c. 8,9–10 Gallay/Jourjon **32–33** εἴ – ἐπινοίᾳ cf. Sahas p. 158 adn. 36

(H)V T M **14–23** ἡ – φασιν praetermisit H **29–30** = *Greg. Naz.*

---

1 Γρηγόριος – ἀνέγνω om. T **3** ἤγουν] ἤως T ἤτοι Vc^{mg} (Probatares) edd. | τε om. V | γεγονὼς V **7** Ἐπιφάνιος – ἀνέγνω om. T **10** φύσεων + εἰσάγουσαν ed.Rom.* (ex lat., ut uidetur, sed Anast. liberius uertit) **11** ἐστι + Χριστοῦ H **17** ἡ] εἰ T | τὸ om. Vc edd. **20** ἀδύνατον] οὐ δυνατόν M | ἀνεξιχνίαστον καὶ ἀκατάληπτον M **21** ὑπάρχῃ M (prob.): ὑπάρχ V T sine abbr. ὑπάρχων Vc edd. **23** ἐν om. V | αὐτοῖς T: ἑαυτοῖς V τούτοις M **24** Γρηγόριος – ἀνέγνω om. T **26** ψιλὴν] ψιλῇ ed.Rom.* ex Vc (ῆ superscr. Vc^{x}, ψιλῇ iter. Bonafides in marg.), sed cf. lat. **28** Ἐπιφάνιος – ἀνέγνω om. T **29** Ἡνίκα + ἂν H **31** ἐπινοίᾳ HV **32** αὐτῆς] αὐτοὶ V **33** μηδ' ed.Rom.*

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:19 AM

(Gregorius episcopus legit:) Rom. 641

«Si quis dei uerbi naturae et carnis inseparabilem per subsistentiam factam unitionem, id est patrationem quae ex utroque inconfusa et inseparabilis est effecta, in imagine pingere temptat nominans eam Christum – Christi autem nomen deum et hominem significat – ac per hoc confusionem duarum naturarum portentuose fingens, anathema.»

(Epiphanius diaconus legit:)

Nouit execramentum erroris recto uerbo adhaerere. etenim isti inseparabili et inconfusae unitioni quae in Christo per subsistentiam est imaginum facturam aduersam et confusionem duarum naturarum afferentem mendaciter et nequiter autumant. *sed* ueritas *dei non est alligata*. nam Christus nomen est duarum naturarum, uisibilis scilicet et inuisibilis, index. ipse uero Christus uisus hominibus per uelum, id est carnem suam, licet diuina natura occultaretur, per signa hanc manifestabat. si ergo sancta dei ecclesia, ut accepit a sanctis apostolis et patribus, ipsam speciem quae uisa est hominibus describit, et non diuidit Christum secundum eorum deleram accusationem; imago enim secundum nomen tantum et non secundum diffinitionem com- Ha. 427
municat primitiuo, ut saepe iam diximus, quia et anima caret, quam inpossibile est circumscribi, quia inuisibilis est. et si animam, praesertim cum sit creata, inpossibile est depingere, quanto magis incomprehensibilem et inuestigabilem unigeniti filii deitatem imaginari quis sensibiliter excogitarit, licet nimis extra sensus existat? *con-* Ma. 342
uersus ergo *est dolor* eorum *in capita* ipsorum; anathema enim quod ipsi sortiti sunt in ipsis manet in saeculum. porro iterum aiunt:

(Gregorius episcopus legit:)

«Si quis diuidit unitam dei uerbi subsistentiae carnem in sensu puram eam habens et ut ex hoc pingere illam in imagine studens, anathema.»

(Epiphanius diaconus legit:)

Sanctus Gregorius cognomento theologus ita dicit: „Quando naturae distant in sensu, separantur simul et nomina." sed et multi ex patribus hoc usi sunt sensu; etenim ueritati ita uidetur. ipsi autem et ea priuati et paternis diffinitionibus dicunt Rom. 642
„si quis diuidit unitam dei uerbi subsistentiae carnem in sensu". repperiuntur ergo La.-Co. 522

P VE

---

2 substantiam P **3** effecta] facta F *edd.* **4** tentat *ed. Rom.** **5** signat P **8** adherere P E **8–9** inconfuse P E **9** substantiam VE | est *post* Christo E *edd.* **12** uelum] uelamen *Vulg. l. l. (sed* uelum *Vulg. Mt. 27,51 al.)* **13** si] *Anast. pro* ἡ *uertit* εἰ *(Dubielzig)* | ergo] uero F *edd.* **15** et] *coniunctione* si *l. 13 introducta* et *ab interprete omitti debuit* | deliram F *edd.* **17** sepe P E | quam F^2: quæ P V que E | impossibile E *edd.* **18** circumscribi] describi *ed. Rom.*^{mg}, *sed cf. gr.* | animam] anima VE (*corr.* F^2) | praesertim cum ~ καίπερ *?* | presertim P (*abbr.* V) | impossibile E *edd.* **20** diuinitatem E *edd.* | excogitaret F^2 *edd.* **21** est ergo E *edd.* | sortiti] „*gr.* nugati" *ed. Rom.*^{mg} *(Anast. fort. legit* ἐκληρώθησαν, *cf. infra p. 767,27)* **24** subsistentiae *ed. Rom. (cf. Anast. praef. p. 2,23)*: substantiae *codd. (quod mendum saepius occurrit)* | sensu ~ ἐπινοίᾳ *? uide infra ad l. 28* **25** ut *om.* E *edd., sed cf. gr.* **28** sensu^1 ~ ἐπινοίαις *?* *melius* intellectibus *supra p. 655,1, ubi Anast. uerba Gregorii aliter intellexit* | sensu^2 (~ ἐννοίᾳ*; cf. Act. I p. 109,16; Act. III p. 271,7 al.*) *om. ed. Rom.** **30** subsistentiae *ed. Rom.*: substantiae *codd. (uide supra)* | reperiuntur *ed. Rom.**

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:19 AM

ἐν τούτῳ συμφωνοῦντες τῇ τῶν ἁγίων πατέρων ἐκδόσει, ἀλλὰ τῇ ἀληθείᾳ φανότατα διαμάχονται, ‹τὰ› αὐτὰ περὶ τῶν αὐτῶν φθεγγόμενοι, καὶ Νεστορίῳ τὴν καθολικὴν ἐκκλησίαν ἴσα δοξάζειν κατηγοροῦσιν. ἑαυτοῖς δὲ ἀκόλουθα λέγοντες ἐπιφέρουσιν·

(Γρηγόριος ἐπίσκοπος ἀνέγνω·)

«Εἴ τις τὸν ἕνα Χριστὸν διαιρεῖ εἰς ὑποστάσεις δύο, ἀνὰ μέρος τιθεὶς τὸν τοῦ θεοῦ υἱὸν καὶ ἀνὰ μέρος τὸν τῆς παρθένου Μαρίας καὶ οὐχὶ ἕνα καὶ τὸν αὐτόν, ἀλλὰ σχετικὴν αὐτοῖς τὴν ἕνωσιν γεγενῆσθαι ὁμολογῶν, καὶ ἔνθεν ἐν εἰκόνι ὡς ἰδιοϋπόστατον τὸν ἐκ τῆς παρθένου διαγράφοι, ἀνάθεμα.»

(Ἐπιφάνιος διάκονος ἀνέγνω·)

Τοσαῦτα τὰ περὶ τῶν αὐτῶν ἀνακυκλούμενοι φθέγγονται, ὡς παρὰ βραχὺ μηδὲ ἀριθμῷ ὑποπίπτειν τὰ παρ᾽ αὐτῶν θρυλλούμενα· ἐφευρόντες γὰρ τὴν τοῦ Νεστορίου δυσσεβῆ δόξαν, τῇ τῶν εἰκόνων ἀνατυπώσει ταύτην προστρίβουσι, παράδοξά τινα καὶ ἀλλόκοτα καττύοντες λογύδρια. ὧν πολλαχῶς τὴν ἀνατροπὴν ποιησάμενοι νυνὶ τῇ σιωπῇ παραδοῦναι ἀναγκαῖον ἐκρίναμεν. ἐρεύγονται δὲ αὖθις τοιάδε·

(Γρηγόριος ἐπίσκοπος ἀνέγνω·)

«Εἴ τις τὴν ἐκ τῆς πρὸς τὸν θεῖον λόγον ἑνώσεως θεωθεῖσαν σάρκα ἐν εἰκόνι γράφοι, ὡς διαιρῶν αὐτὴν ἐκ τῆς προσλαβούσης καὶ θεωσάσης ‹αὐτὴν› θεότητος καὶ ἀθέωτον αὐτὴν ἐκ τούτου κατασκευάζων, ἀνάθεμα.»

Ma. 344 (Ἐπιφάνιος διάκονος ἀνέγνω·)

Ἡ καθολικὴ ἐκκλησία, εἰ καὶ ἀναζωγραφεῖ τὸν Χριστὸν τῇ ἀνθρωπίνῃ μορφῇ, ἀλλ᾽ οὐ διαιρεῖ ταύτην ἐκ τῆς ἑνωθείσης αὐτῇ θεότητος, θεωθεῖσαν δὲ μᾶλλον πιστεύει καὶ ὁμόθεον ταύτην ὁμολογεῖ κατὰ τὸν μέγαν Γρηγόριον τὸν θεολόγον καὶ τὴν ἀλήθειαν καὶ οὐχ, ὡς αὐτοὶ ἀμαθῶς καὶ ἀπαιδεύτως βαρβαρίζοντες ἔφησαν, ἀθέωτον τὴν σάρκα τοῦ κυρίου ἐκ τούτου κατασκευάζεσθαι. ὥσπερ γάρ τις ἄνθρωπον ἀναζωγραφῶν οὐκ ἄψυχον ποιεῖ τὸν ἄνθρωπον, ἀλλ᾽ ἐκεῖνος ἐψυχωμένος μένει καὶ ἡ εἰκὼν εἰκὼν αὐτοῦ λέγεται παρὰ τὸ ἐοικέναι, οὕτως καὶ τὴν εἰκόνα τοῦ κυρίου ποιοῦντες τεθεωμένην τὴν σάρκα τοῦ κυρίου ὁμολογοῦμεν, καὶ τὴν εἰκόνα οὐδὲν
Rom. 643 ἕτερον ἴσμεν ἢ εἰκόνα δηλοῦσαν τὴν τοῦ πρωτοτύπου μίμησιν. ἔνθεν καὶ τὸ ὄνομα αὐτοῦ κεκλήρωται καὶ κατ᾽ αὐτὸ κοινωνεῖ μόνον. καὶ διὰ τοῦτο σεπτὴ καὶ ἁγία, εἰ δὲ ἐναγοῦς ἀνδρὸς καὶ δαίμονός ἐστιν εἰκών, βέβηλος καὶ μεμιασμένη, ὅτι καὶ τὸ

24 ὁμόθεον cf. Greg. Naz. or. 45 (in s. pascha) (CPG 3010,45) c. 13, PG 36, 641 A 3; cf. Demoen p. 7 adn. 32

(H)V T M **1–768,25** ἀλλὰ – λέγοντες praetermisit H **22–31** Ἡ – τοῦτο Am f. 151r in marg.

1–2 φανώτατα V **2** τὰ add. ed. Rom.* (ex lat., ut uidetur) | τῶν om. V **3** ἴσα ed. Rom.* | αὐτοῖς V **5** Γρηγόριος – ἀνέγνω om. T **7** οὐχ V **10** Ἐπιφάνιος – ἀνέγνω om. T **11** τὰ T: αὐτὰ V αὐτοὶ M, om. ed. Rom.* | ὡς παρὰ βραχὺ T: ὥσπερ βάτραχοι sic V ὡς παραβραχὺ M **14** καὶ ἀλλόκοτα post λογύδρια M | λογίδρια ed. Rom.* | πολλάκις M **17** Γρηγόριος – ἀνέγνω om. T **19** αὐτὴν² suppl. Dubielzig coll. lat. **20** ἀθέατον V **21** Ἐπιφάνιος – ἀνέγνω om. T **24** κατὰ – θεολόγον] κατὰ τὸν θεολόγον Γρηγόριον Am **26** κατασκευάζεσθαι] sc. πιστεύει (cf. lat.) **27** ἐμψυχωμένος V **28** τοῦ om. V **32** μεμιασμένη M ed. Rom. (ex Vc): μεμιαμένη V T

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:19 AM

nec in isto consonantes cum patrum expositione sanctorum, sed ueritatem euidenter impugnant, eadem de se ipsis affati, et catholicam ecclesiam similia Nestorio praedicare calumniantur. porro sibi congrua dicentes inferunt:

(Gregorius episcopus legit:)

«Si quis unum Christum diuidit in subsistentias duas, separatim ponens dei filium et separatim uirginis Mariae, et non unum ac eundem, sed affectualem eis unitionem PL 129, 442
factam fuisse fatetur et hinc eum in imagine, quasi priuatae subsistentiae sit ex uirgine, pingit, anathema.»

(Epiphanius diaconus legit:)

Tanta eademque de semetipsis in circuitu ambulantes pronuntiant, ut pene nec numero subiciantur quae ab eis rumore improbo asseruntur. adinuenientes enim impiam Nestorii opinionem, imaginum formationi hanc applicant, inopina quaedam et absurda resarcinantes. huiuscemodi ergo ratiuncularum crebro facta destructione nunc silentio has tradere necessarium iudicauimus. eructant autem rursus haec:

(Gregorius episcopus legit:)

«Si quis carnem quae deificata est ex unitione sua quae ad diuinum uerbum effecta est in imagine pixerit, ueluti separans eam ex assumente atque deificante illam deitate et sine deo hanc per hoc conficiens, anathema.»

(Epiphanius diaconus legit:) Ma. 343

Catholica ecclesia, etsi pingit Christum in humana forma, sed non separat hanc ex unita sibi deitate, deificatam autem potius credit et unam cum deo hanc confitetur secundum magnum Gregorium theologum et ueritatem et non, sicut ipsi indocte ac inerudite barbarizantes dixerunt, sine deo ex hoc carnem domini confici. sicut enim quis hominem pingens sine anima facit hominem, sed ille cum anima permanet et imago imago eius dicitur, eo quod similis ei appareat, ita et nos imaginem domini facientes deificatam carnem domini confitemur, et imaginem nihil aliud scimus quam imaginem indicantem principalis imitationem. hinc et nomen eius sortita est et Rom. 643
secundum id tantum ei communicat. et ideo uenerabilis est et sancta, si uero scelesti uiri uel daemonis est imago, polluta et contaminata est, quia et principale eius profa-

P VE

1 expositionem P (prob.) **2** eadem – affati] *Anast.* τὰ αὐτὰ περὶ ἑαυτῶν *legisse uidetur* | de – ipsis] de eisdem *ed. Rom.*^{mg} | se *om.* VE *edd.* **3** kalumniantur P kalumpniantur V **6** unitionem eis *ed. Rom.** **7** priuate P | subsistentiae *ed. Rom.*: substantiae *codd.* **10** Tanta – pronuntiant] Tam multa de eisdem eadem inculcando pron. *ed. Rom.*^{mg} *(Anast. fort. legit* Τοσαῦτα τά τε αὐτὰ περὶ ἑαυτῶν*, uide supra l. 2)* | paene V *edd.* **12** Nestorii impiam *ed. Rom.** (Nestorii *om.* E) | inopina] *fort. coll. p. 761,12* inopinata *scribendum* **13** huiusmodi *ed. Rom.** **17** pinxerit VE *edd.* | diuinitate E *edd.* **18** et sine deo ~ καὶ ἀθέωτον (et minime deificatam *ed. Rom.*^{mg}) **21** diuinitate E *edd.* **22** theologum *om. ed. Rom.** | et^2 *om. ed. Rom.** **23** confici (*sc.* credit*; cf. gr.*) V: confitetur P conficit E **24** depingens *ed. Rom.** | anima^1 + non *ed. Rom.*, sed mendum potius interpreti tribuendum* **26** nihil imaginem E *edd.* **29** demonis *codd.* **29–769,1** eius – existit] *cf. app. crit. gr.* **29–769,1** profane P

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:19 AM

πρωτότυπον ‹...›. οὐκοῦν *κοπιάσαντες εἰς κενὰ συνάγουσι χερσὶν ἀκαρπίαν* καὶ δέχονται παρὰ τῆς ἀληθείας τὸ ἀνάθεμα. οὗ οὐκ ἐκστήσονται λέγοντες τοιάδε·

Ha. 429 (Γρηγόριος ἐπίσκοπος ἀνέγνω·)

«Εἴ τις τὸν *ἐν μορφῇ θεοῦ ὑπάρχοντα* θεὸν λόγον τὴν τοῦ *δούλου μορφὴν* ἐν τῇ ἰδίᾳ
La.-Co. 524 ὑποστάσει ἀναλαβόντα καὶ *κατὰ πάντα* ὅμοιον ἡμῖν γενόμενον *χωρὶς ἁμαρτίας* πειρᾶται δι' ὑλικῶν χρωμάτων ἀναμορφοῦν ὡς δῆθεν ψιλὸν ἄνθρωπον ὄντα καὶ χωρίζειν αὐτὸν τῆς ἀχωρίστου καὶ ἀμεταβλήτου θεότητος, ὡς ἐκ τούτου τετράδα εἰσάγων ἐπὶ τῆς ἁγίας καὶ ζωαρχικῆς τριάδος, ἀνάθεμα.»

(Ἐπιφάνιος διάκονος ἀνέγνω·)

Ὦ τῆς αὐτῶν ἀνοίας καὶ ἀπονοίας. οὐκ αἰσχύνονται γὰρ συνάγειν τὸ ἀνάθεμα, ἀλλ' ὥσπερ σκώληκες ἐν βορβόρῳ κυλινδούμενοι τρέφονται, οὕτως καὶ οὗτοι ταύτῃ τῇ φωνῇ ἐνειλούμενοι κόρον λαβεῖν οὐκ ἀνέχονται, τὴν ἡγιασμένην τοῦ θεοῦ ἐκκλησίαν ἀρᾶσθαι πειρώμενοι, αὐτοὶ ὄντες ἀρᾶς ἄξιοι. *οἱ* γὰρ *εὐλογοῦντες* αὐτήν, ὥς φησιν ἡ θεία γραφή, *εὐλόγηνται καὶ οἱ καταρώμενοι* αὐτὴν *κεκατήρανται*. τὸ δὲ ψιλὸν ἄνθρωπον ὑπονοεῖν τὸν σωτῆρα Χριστὸν καὶ χωρίζειν αὐτὸν τῆς θεότητος εἶτά τε καὶ τετράδα εἰσάγειν διὰ τῆς ἀναζωγραφήσεως, τίς ἂν οὐ γέλωτα πλατὺν τῆς αὐτῶν ἀφροσύνης καταχέοιτο, μᾶλλον δὲ θρηνήσοι τὸ βλάσφημον; οὐ γάρ, καθὸ εἰκονίζεται Χριστὸς τῇ ἀνθρωπίνῃ μορφῇ, τετράδα πιστεύει ὁ τοῦτο ποιῶν, ἀλλ' ὁμολογεῖ τὸν θεὸν λόγον ἐνανθρωπῆσαι ἀληθείᾳ καὶ οὐ κατὰ φαντασίαν. ὁ δὲ φρενολαβὴς Νεστόριος δύο ὑποστάσεις ὡς δύο φύσεις βλασφήμως δοξάζων ἐπὶ τοῦ Χριστοῦ, ἐκεῖνος εἰσάγειν τετράδα κεκήρυκται. ἡ δὲ τοῦ θεοῦ ἁγία ἐκκλησία μίαν ὑπόστασιν τοῦ Χριστοῦ ἐν δυσὶ ταῖς φύσεσιν ὀρθῶς ὁμολογοῦσα πρὸς ἀνάμνησιν
Ma. 345 τῆς σωτηριώδους αὐτοῦ οἰκονομίας εἰκονικῶς ἀνατυποῦν αὐτὸν ἐνθέως ἐκπεπαίδευται. θέλοντες δὲ ἑαυτοὺς δοκίμους δεῖξαι, καὶ ἀληθές τι φράζουσιν οὕτω λέγοντες·

(Γρηγόριος ἐπίσκοπος ἀνέγνω·)

«Εἴ τις οὐχ ὁμολογεῖ τὴν ἁγίαν ἀειπάρθενον Μαρίαν κυρίως καὶ ἀληθῶς θεοτόκον
Rom. 644 ὑπερτέραν τε εἶναι πάσης ὁρατῆς καὶ ἀοράτου κτίσεως καὶ μετὰ εἰλικρινοῦς πίστεως τὰς αὐτῆς οὐκ ἐξαιτεῖται πρεσβείας ὡς παρρησίαν ἐχούσης πρὸς τὸν ἐξ αὐτῆς τεχθέντα θεὸν ἡμῶν, ἀνάθεμα.»

(Ἐπιφάνιος διάκονος ἀνέγνω·)

Ἐν τούτοις ἱδρυμένη καὶ βεβαιουμένη ἡ καθολικὴ ἐκκλησία παρὰ τῶν ἑτέρως φρονούντων τῇ αὐτῆς ἐνθέῳ παραδόσει οὐ δέεταί τι ἐνωτίζεσθαι. καὶ γὰρ ὁ

---

1 κοπιάσαντες – κενὰ cf. Iob 20,18 | συνάγουσι – ἀκαρπίαν cf. Prou. 9,12c **4** ἐν[1] – μορφὴν cf. Phil. 2,6–7 **5** κατὰ – ἁμαρτίας cf. Hebr. 4,15 **13–14** cf. Num. 24,9 **33–770,1** ὁ – ἐξήλαυνε cf. Mc. 5,7–8; Lc. 8,28–29

5 κατὰ – ἁμαρτίας cf. Conc. Chalc. (def. fidei), ACO II 1,2 p. 129,27 al.

(H)V T M **31–770,7** Ἐπιφάνιος – ἀνέγνω praetermisit H

τες ἅπαντες, σύμφωνον ἡμῖν ἔχοντες τὴν παράδοσιν τῆς καθολικῆς ἐκκλησίας, ταῖς ὑποτυπωθείσαις συμφωνήσεσι παρὰ τῶν ἁγίων ἓξ οἰκουμενικῶν συνόδων συμπεφωνήκαμεν, ἀναθεματίσαντες τὴν Ἀρείου μανίαν, τὴν Μακεδονίου λύτταν, Ἀπολιναρίου τὴν ἀνόητον φρένα, Νεστορίου τὴν ἀνθρωπολατρίαν, Εὐτυχοῦς καὶ Διοσκόρου
Rom. 674 τὴν συγχυτικὴν ματαιότητα καὶ τὴν σὺν αὐτοῖς πολυκέφαλον ὕδραν, Ὠριγένους,
La.-Co. 581 Διδύμου καὶ Εὐαγρίου τὰ ληρώδη μυθεύματα, Σεργίου καὶ Ὀνωρίου καὶ Κύρου καὶ Πύρρου καὶ τῶν σὺν αὐτοῖς ⟨τὴν⟩ μονοθέλητον, μᾶλλον δὲ κακοθέλητον βούλησιν· καὶ τὸ καινούργημα τὸ τούτοις ἐφάμιλλον, τὸ μετὰ ταύτας κενῶς φλυαρηθὲν κατὰ τῶν σεπτῶν εἰκόνων, συμφώνως καὶ συμψύχως παρὰ τοῦ πνεύματος λαβόντες λόγον καὶ παρ᾽ αὐτοῦ ἀρυσάμενοι καθαρὸν ὕδωρ τῷ σπόγγῳ τῶν θείων δογμάτων τοῦτο ἐξηλείψαμεν καὶ τοὺς ἐφευρετὰς τῆς νεωτεροποιοῦ κενοφωνίας πόρρω
Ha. 476 που τῶν ἐκκλησιαστικῶν περιβόλων ἐβάλομεν. καὶ ὥσπερ *χεῖρες καὶ πόδες συμφώνως τοῖς τῆς ψυχῆς ἀφηγήμασι κινοῦνται, οὕτως* παρὰ τοῦ πνεύματος λαβόντες χάριν καὶ ἰσχύν, σύνδρομον ἔχοντες τοῦ κράτους ὑμῶν τὴν συμμαχίαν τε καὶ εὐσέβειαν, συμπεφωνήκαμεν καὶ τὴν ἀλήθειαν ἐκηρύξαμεν, ὥστε κατὰ πάντα ἀποδέχεσθαι τὰς σεπτὰς εἰκόνας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καθὸ τέλειος ἄνθρωπος γέγονε καὶ ὅσα ἱστορικῶς κατὰ τὴν εὐαγγελικὴν διήγησιν διαγράφονται, τῆς τε ἀχράντου δεσποίνης ἡμῶν τῆς ἁγίας θεοτόκου ἁγίων τε ἀγγέλων – ὡς ἄνθρωποι γὰρ ἐνεφανίσθησαν τοῖς ἀξίοις γενομένοις τῆς αὐτῶν ἐμφανείας – καὶ πάντων τῶν ἁγίων [καὶ τοὺς ἀγωνιστικοὺς αὐτῶν ἄθλους] ἔν τε σανίσι καὶ ἐν τοίχοις ἱεροῖς τε σκεύεσι καὶ ἐσθήσεσι, καθὼς ἐκ τῶν ἀνέκαθεν χρόνων ἡ ἁγία τοῦ θεοῦ καθολικὴ ἐκκλησία παρέλαβε καὶ ἐθεσμοθετήθη παρά τε τῶν ἁγίων πρωτάρχων τῆς ἡμῶν διδασκαλίας καὶ τῶν αὐτῶν διαδόχων θεσπεσίων πατέρων ἡμῶν, καὶ ταύτας προσκυνεῖν ἤγουν ἀσπάζεσθαι.

Ταυτὸν γὰρ ἀμφότερα· ,κυνεῖν᾽ γὰρ τῇ ἑλλαδικῇ ἀρχαίᾳ διαλέκτῳ τὸ ἀσπάζεσθαι καὶ τὸ φιλεῖν σημαίνει, καὶ τὸ τῆς ,πρὸς᾽ προθέσεως ἐπίτασίν τινα δηλοῖ τοῦ πόθου· ὥσπερ ,φέρω᾽ καὶ ,προσφέρω᾽, ,κυρῶ᾽ καὶ ,προσκυρῶ᾽, ,κυνῶ᾽ καὶ ,προσκυνῶ᾽, ὃ ἐμφαίνει τὸν ἀσπασμὸν καὶ τὴν κατ᾽ ἐπέκτασιν φιλίαν· ὁ γάρ τις φιλεῖ, καὶ προσκυνεῖ, καὶ ὁ προσκυνεῖ, πάντως καὶ φιλεῖ, ὡς μαρτυρεῖ ἡ ἀνθρωπίνη σχέσις ἡ παρ᾽

11 ἐφευρετὰς cf. Rom. 1,30 **12–13** cf. 4 Mac. 14,6

15–24 ὥστε – ἀσπάζεσθαι cf. Act. VII (def. fid.) p. 826,4–16 et infra p. 866,9–12

3–7 ἀναθεματίσαντες – βούλησιν cf. (Ps.-) Decretum synodi a. 843 habitae l. 76–83 Gouillard **4–5** Εὐτυχοῦς – ὕδραν cf. Steph. Diac. uita Steph. Iun. (BHG[a] 1666) § 22 p. 118,18 **15–23** ὥστε – ἡμῶν ~ (Ps.-) Decretum synodi a. 843 habitae l. 53–61 Gouillard (continuatur infra p. 866,9)

V T M **15–23** ~ *Decr. (= B M)*

1 ἔχοντες ἡμῖν V **2** ἑξὶ M **3–4** Ἀπολλιναρίου T edd. **4** ἀνθρωπολατρείαν T (abbr. V) **6–7** Πύρρου καὶ Κύρου V **7** τῶν coni. ed.Reg.[mg]: τὴν codd. | τὴν suppleui **9** συμψύχως] συμψήφως M, sed cf. lat. et Conc. Const. III, ACO ser. II, II 2 p. 818,23 **10** ἀρρυσάμενοι V T (corr. Vc[x], inde *edd.*) **11** τοῦτο suspectum, cf. lat. **12** ἐβάλλομεν T edd. **14** τε καὶ scripsi coll. lat.: τὴν codd. **19–20** καὶ[2] – ἄθλους seclusi, quia haec neque constructione neque sensu reliquis congruunt (cf. infra p. 866,9–12); fort. adnotatio marginalis in textum recepta **21** ἐσθῆσι M ed.Rom.*, sed cf. p. 826,7 al. **22** ἐθεσμοθέτησε V **23** αὐτοῦ V | διαδόχων om. V | ἤγουν] ἤως T ἤτοι ed.Rom.* ex Vc (Probatares in marg.) **25** Ταῦτα V | κυνεῖν – ἑλλαδικῇ] κοινὸν γάρ τι ἑλλάδι M (cf. etiam LC) **26** δηλοῖ τινὰ λόγου; καὶ πόθον sic V **27** καὶ[2] om. ed.Rom. (ex Vc) (corr. ed.Reg.) | exspectaueris ⟨οὕτω⟩ ,κυνῶ᾽ (Dubielzig), sed mendum ipsis Actorum librariis tribuendum esse uidetur (cf. lat. et LC) **28** ἐμφαίνω V, fort. coll. lat. ἐμφαίνει ⟨καὶ⟩ scribendum | κατ᾽ ἐπέκτασιν] κατεπίτασιν sic V **28–29** καὶ[2] – φιλεῖ om. T (suppl. Morin in Vc ex V)

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 9:29 AM

tem nobis habentes traditionem ecclesiae catholicae, consonantiis quae formatae sunt a sanctis sex uniuersalibus conciliis concordes effecti sumus, anathematizantes Arrii uesaniam, Macedonii rabiem, Apolinarii insensatum sensum, Nestorii humanam culturam, Eutychetis et Dioscori confusibilem uanitatem et cum illis polycephalon Rom. 674
hydram, Origenis, Didymi et Euagrii desipientes fabulationes, Sergii et Honorii et La.-Co. 582
Cyri et Pyrrhi et eorum <qui cum ipsis erant> unius, immo nequam moris uoluntatem; necnon et his similem nouitatem, quae post has uane garriuit contra uenerabiles imagines, consonanter et unanimiter ab spiritu sumentes uerbum et ab eo haurientes mundam aquam sphongia dogmatum diuinorum deleuimus et inuentores tergiuersatoriae uocum nouitatis ab ecclesiasticis uestibulis procul emisimus. et sicut manus et pedes concorditer animae motibus agitantur, ita ab spiritu accepta gratia et fortitudine uestrique imperii concursu, pietate pariter et auxilio, habito simul acclamauimus ueritatemque praedicauimus, omnimodis uidelicet recipiendas uenerabiles imagines domini nostri Iesu Christi, secundum quod perfectus homo factus est et quaecumque historice secundum euangelicam narrationem scribuntur, atque intemeratae dominae nostrae sanctae dei genitricis sanctorumque angelorum – ut enim homines apparuerunt his qui digni facti sunt apparitione ipsorum – una cum omnibus sanctis; necnon et certaminum eorum agones figurandos decreuimus tam in tabulis et parietibus quam in sanctis uasis et uestibus, quemadmodum a priscis temporibus sancta dei catholica ecclesia recepit et in legem accepit tam a sanctis primisque doctrinae nostrae magistris quam ab eorum successoribus egregiisque patribus nostris, et has adorandas, id est salutandas. Ha. 475

Idipsum enim est utrumque: ΚΥΝΕΙΝ quippe antiqua greca lingua et salutare et osculari significat, et ΠΡΟΣ praepositio augmentum quoddam signat amoris: quemadmodum ΦΕΡΩ et ΠΡΟΣΦΕΡΩ, ΚΥΡΩ et ΠΡΟΣΚΥΡΩ, ΚΥΝΩ et ΠΡΟΣΚΥΝΩ, quod et salutationem indicat et secundum protensionem amicitiam; quod enim quis osculatur et

20–865,1 a – osculatur ~ *LC IV 23 p. 544,14–21 (= IV Capit. p. 488,20–26; iteratur ad uerbum p. 546,34–39 et 547, 22–23; deest in *Hadr.)*: Inutilis et inerudita interpraetatio eorum, qui, dum adorare et osculari unum esse adfirmare vellent, dixerunt: „Quique sanctorum principum (principium *Capit. et p. 544,15*) nostrae doctrinae et eorum successores aegregium patrum nostrorum et has adorari videlicet osculari; idipsum enim utrumque; communem vero Grecae antique loquutionis osculari et amplectere designatur (designat *Capit. et p. 546,37*), et voluntatis extensione aliqua significat amoris, sicuti fero et offero, firmo et confirmo, participo et adoro, quod demonstrat osculum et extensionis amicitiae. Quod enim quis diligit (diligit quis *p. 547,22*) et adorat, et quod adorat omnino et diligit.“ *notandum est interpretem* κοινὸν *pro* κυνεῖν et κοινῶ pro κυνῶ *legisse; cf. etiam Freeman p. 547 adn. 298*

P VE **20–865,1** ~ *LC*

1 consonantius V consonantis E, *corr. ed. Rom.* | sunt *om.* P **3** Apollenari VE Apollinarii F *edd.* **3–4** humanam culturam ~ ἀνθρωπολατρίαν*? exspectaueris* hominis culturam *(cf. Act. III p. 239,27;* culturam hominis *ed. Rom.*^{mg}*)* **4** Eutychetis F *(cf. Act. I p. 55,2 al.)*: Eutychis P Eutichis VE | et^{2} – illis ~ τὴν σὺν αὐτοῖς*? Anast. neglexit* τὴν | policephalon VE **5** dydram *(sic)* P hidram E | Eoagri *(sic)* P **6** Pyrri P Pirrhi VE, *corr. ed. Rom.* | qui – erant *suppleui coll. gr. et Act. VI p. 641,11 al.;* asseclarum *add. ed. Rom.* ante* eorum **7** uanitatem E *edd.* **9** sphongia V *(cf. e. g. Chron. trip. p. 137,10)*: sphogia P spongia E *edd.* **9–10** tergiuersatoriae – nouitatis] nouatricis uanitatis *ed. Rom.*^{mg}*, sed Anast. legit* καινοφωνίας (tergiuersatoriae ~ νεωτεροποιοῦ) **12** concursus *codd., corr. Dubielzig coll. gr.* **14** est *post* perfectus E *edd.* **14–15** quecumque V quæcunque E *ed. Rom.* **15** historiæ P^{ac} historicæ P^{pc} (c *ins.* P^{c} *s. l.*) hystorice V **18** figurandos decreuimus *Anast. de suo addidit, ut constructionem magis perspicuam redderet (perperam id quidem); cf. app. crit. gr.* **21–22** adoranda (adhoranda V) … salutanda P VE, *corr.* F^{2} **24** ΠΡΟΣ + ad V *i. t.,* P^{1} *s. l.* | significat *ed. Rom.** **25** ΦΕΡΩ] fero *add.* P^{1} V^{1}E^{1} *s. l.* | ΠΡΟΣΦΕΡΩ] af *et* fero *add.* P^{1} V^{1}E^{1} *s. l.* | ΚΥΡΩ] firmo *add.* P^{1} V^{1}E^{1} *s. l.* | ΠΡΟΣΚΥΡΩ] af *et* firmo *add.* P^{1} V^{1} *s. l.* | ΚΥΝΩ] cyno *add.* P^{1} V^{1}E^{1} *s. l.* | ΠΡΟΣΚΥΝΩ] pros *et* cyno *add.* P^{1} V^{1} *s. l.* pro *et* scino *(sic) add.* E^{1} *s. l.* | et^{4} *om. ed. Rom.**

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 9:29 AM

ἡμῶν πρὸς τοὺς φίλους γινομένη καὶ ἔντευξις τὰ δύο ἀποτελοῦσα. οὐ μόνον δὲ
Ma. 405 τοῦτο παρ᾽ ἡμῖν, ἀλλὰ καὶ παρὰ τοῖς παλαιοῖς ἐν τῇ θείᾳ γραφῇ ἐγγεγραμμένον
PG 98, 1433 εὑρίσκομεν. ἐν γὰρ ταῖς ἱστορίαις τῶν Βασιλειῶν γέγραπται· *καὶ Δαβὶδ ἀνέστη καὶ ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ καὶ προσεκύνησε τρὶς* τὸν Ἰωνάθαν *καὶ κατεφίλησεν* αὐτόν. τί δὲ πάλιν ὁ κύριος περὶ τῶν Φαρισαίων εὐαγγελικῶς φησιν· ἀγαπῶσι *τὰς πρωτοκλισίας ἐν τοῖς δείπνοις καὶ τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς*; δῆλον ἐνταῦθα ἀσπασμὸν τὴν προσκύνησιν λέγει· οἱ γὰρ Φαρισαῖοι ἀλαζονικὸν φρόνημα ἔχοντες καὶ ἑαυτοὺς δικαίους εἶναι οἰόμενοι προσκυνεῖσθαι ὑπὸ πάντων ἔσπευδον, οὐχὶ στόμα πρὸς στόμα φιλεῖσθαι· τοῦτο γὰρ ταπεινοφροσύνης μᾶλλον σύμβολον καὶ οὐ φαρισαϊκῆς οἰήσεως. πάλιν δὲ καὶ Παῦλος ὁ θεῖος ἀπόστολος, καθὼς ἱστορεῖ Λου-
Rom. 675 κᾶς ἐν ταῖς Πράξεσιν, ὅτι *γενομένων ἡμῶν εἰς Ἱεροσόλυμα ἀσμένως ἀπεδέξαντο ἡμᾶς οἱ ἀδελφοί. τῇ δὲ ἐπιούσῃ εἰσήει ὁ Παῦλος σὺν ἡμῖν πρὸς Ἰάκωβον, πάντες τε παρεγένοντο οἱ πρεσβύτεροι. καὶ ἀσπασάμενος αὐτοὺς ἐξηγεῖτο καθ᾽ ἓν ἕκαστον ὧν ἐποίησεν ὁ θεὸς ἐν τοῖς ἔθνεσι διὰ τῆς διακονίας αὐτοῦ*. οὐκοῦν κἀνταῦθα τὸν ἀσπασμὸν τὴν πρὸς ἀλλήλους τιμητικὴν προσκύνησιν ὁ ἀποστολικὸς νοῦς διαγράφει, καθάπερ καὶ
La.-Co. 584 περὶ τοῦ Ἰακώβ φησι· *προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ*. σύμφωνα δὲ τούτοις καὶ ὁ τῆς θεολογίας ἐπώνυμος Γρηγόριος λέγει· „τὴν Βηθλεὲμ σεβάσθητι καὶ τὴν φάτνην προσκύνησον." τίς ἄρα γε τῶν ὀρθῶς καὶ εἰλικρινῶς νοούντων τὰ γεγραμμένα τῆς θείας γραφῆς ἐννοήσειεν ὅτι ταῦτα περὶ τῆς ἐν πνεύματι λατρείας διαγορεύονται, εἰ μή πω τῶν ἀνοηταινόντων καὶ ἀμοίρων ὄντων πάσης γραφικῆς γνώσεως καὶ πατρικῆς διδασκαλίας εἴη; μὴ γὰρ τῷ ἄκρῳ τῆς ῥάβδου ἐλάτρευσεν Ἰακώβ, ἢ τῇ φάτνῃ προστάσσει ὁ θεολόγος Γρηγόριος λατρεύειν;

Πάλιν τε καὶ ἡμεῖς τὸν ζωοποιὸν σταυρὸν ἀσπαζόμενοι πάντες συμφώνως ᾄδομεν· „τὸν σταυρόν σου προσκυνοῦμεν, δέσποτα" καὶ „προσκυνοῦμεν τὴν λόγχην τὴν νύξασαν τὴν ζωοποιὸν πλευρὰν τῆς σῆς ἀγαθότητος." ὅπερ προδήλως ἀσπασμός ἐστί τε καὶ λέγεται, ὡς δηλοῖ τὸ προσψαύειν αὐτοῖς τοῖς οἰκείοις ἡμῶν χείλεσιν. εἰ δὲ καὶ πολλάκις εὕρηται ἡ προσκύνησις ἐν τῇ θείᾳ γραφῇ καὶ τοῖς ἀστειολόγοις ἁγίοις πατράσιν ἡμῶν, ἐπὶ τῆς ἐν πνεύματι λατρείας ὡς πολύσημος οὖσα ἡ φωνὴ μίαν τῶν αὐτῆς σημαινομένων ἐμφαίνει, τὴν κατὰ λατρείαν προσκύνησιν. ἔστι γὰρ προσκύνησις καὶ ἡ κατὰ τιμὴν καὶ πόθον καὶ φόβον, ὡς προσκυνοῦμεν ἡμεῖς τὴν
Ha. 477 καλλίνικον καὶ ἡμερωτάτην ὑμῶν βασιλείαν· ἔστιν ἑτέρα κατὰ φόβον μόνον, ὡς

3–5 cf. 1 Reg. 20,41 **5–6** cf. Mt. 23,6–7; Lc. 20,46 **11–14** Act. 21,17–19 **16** Hebr. 11,21; cf. Gen. 47,31

17–18 Greg. Naz. or. 38 (in theophania) (CPG 3010,38; BHG[a] 1921) c. 17,6–7 Moreschini/Gallay **24** τὸν – δέσποτα cf. Follieri, Initia hymnorum t. IV p. 233 **24–25** προσκυνοῦμεν[2] – ἀγαθότητος = J. Mateos, Le Typicon de la Grande Église, Tome II: Le cycle des fêtes mobiles (Orient. Christ. Anal. 166), Rome 1963, p. 72,10–12 **31–866,4** ὡς – Φαραώ cf. Act. IV p. 356,3–9 (Leont. Neap. c. Iud.)

V T M

1 ἔντευξιν V | ἀποκαλοῦσα V **2** τοῦτο] τὸ M **7–8** ἔχοντες om. V **9** σύμβολον μᾶλλον V **10** Παῦλος post ἀπόστολος V | ἀπόστολος sc. φησί **11** ὑπεδέξαντο M **12** ὁ om. M **14** τῆς] τὰς V | αὐτοῦ ed.Rom. (cf. *N.T.* et lat.): αὐτῶν codd. **17** καὶ[2] om. V **18** ἄρα – νοούντων] γὰρ εἴ γε τῶν … νοούντων εἴη M | ἄρα V T, corr. ed.Reg. (de M uide supra) | καὶ M (cf. lat.): ἢ T edd., om. V | νοούντων] δοκούντων V **19** τῆς θείας γραφῆς] ἐν τῇ θείᾳ γραφῇ M | ἐννοήσειεν] οὐ νοήσειεν M **20** πω] που ed.Rom.* | ἀνοηταινόντων] ἀνοήτων ed.Rom.* ex Vc (Bonafides in marg.) **21** εἴη om. V T edd. **22** προστάσσει post θεολόγος T edd. | λατρεύειν + οὐδαμῶς T M edd., sed cf. lat. **23** τε] δὲ M | ὑμεῖς V **26** ὡς] ὃς M | αὐτοῖς M: αὐτοὺς V αὐτὰ T edd. **26–27** εἰ δὲ om. V **27** καὶ[2] + ἐν M **30** ἡ om. V

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 9:29 AM

adorat, et quod adorat profecto et osculatur, sicut testatur humana affectio quae a nobis ad amicos habetur et lectio haec ambo perficiens. hoc autem non solum apud Ma. 406
nos, sed et apud ueteres in diuina scriptura scriptum repperimus. in historiis namque Regnorum scriptum est: et *Dauid surrexit* et cecidit in faciem suam et adorauit
5 tertio Ionathan et deosculatus est eum. quid autem rursus dominus de Pharisaeis PL 129, 473
euangelice ait: *amant primos recubitus in cenis et salutationes in foro*? certum est quod hic salutationem adorationem appellet. Pharisaei quippe iactantem sensum habentes seseque iustos opinantes adorari ab omnibus festinabant, non ore ad os osculari; hoc enim est potius humilitatis et non pharisaici tumoris indicium. iterum
10 autem Paulus diuinus apostolus, sicut Lucas in Actibus apostolorum describit, quia *cum uenissemus Hierosolymam, libenter exceperunt nos fratres. sequenti autem die introibat Paulus nobiscum ad Iacobum omnesque collecti sunt seniores. quos cum* Rom. 675
salutasset, narrabat per singula quae fecisset deus in gentibus per ministerium ipsius. ergo et hic salutationem honoratoriam adorationem quam inuicem exhibemus apos-
15 tolicus sensus describit, quemadmodum et de Iacob ait: *adorauit fastigium uirgae eius*. consona uero istis et Gregorius cognomento deiloquus dicit: „Bethlehem cole La.-Co. 583
et praesepe adora." quis putas eorum, qui recte et sincere intellegunt quae in diuina scriptura proferuntur, intellegat quod haec de adoratione quae in spiritu fit pronuntientur, nisi forte de insensatis sit uel ex his qui totius scripturalis scientiae ac pater-
20 nae doctrinae inexpertes existunt? numquidnam fastigio uirgae seruiuit Iacob, aut praesepi praecipit theologus Gregorius deseruire?

Et rursus nos quoque uiuificam crucem salutantes omnes consone canimus: „crucem tuam adoramus, domine" et „adoramus lanceam quae aperuit uiuificum latus tuae bonitatis." quod certissime salutatio et est et dicitur, sicut indicat illud quod haec
25 propriis labiis nostris contingimus. nam etsi multotiens inuenitur adoratio in diuina scriptura et urbane loquentibus patribus nostris, pro seruitute quae est in spiritu, cum uox multa significet, secundam unam tamen significationem eius tantummodo repperitur, quae scilicet solam manifestat adorationem quae est secundum latrian. adhuc autem adoratio est et ea quae per honorem et per amorem ac timorem fit, sic-

---

29–867,6 adhuc – seruies *cf. LS*^{b} *p. 518,43–519,6 (Pr f. 75*$^{r–v}$*)*: In actione septima de significatione adorationis: „Adoratio multis modis intelligitur. Est enim adoratio secundum honorem et amorem et timorem, sicuti adorantur principes et illorum potestas. Est alia adoratio timoris proprie, sicut Iacob adoravit Esau. Est iterum adoratio secundum gratiam, sicut Abraham propter agrum quem accepit a filiis Eth (*ras. post* Eth *in Pr;* Seth *PL 98*) in sepulturam Sarae mulieris eius, et adoravit eos. Est iterum adoratio, cum creditur aliqua protectio adipisci a supereminentibus, sicut Iacob Pharaonem. Est vera et certissima adoratio, quae soli debetur omnipotenti et divinae maiestati, sicut dicit scriptura: ‚Dominum Deum tuum adorabis et illi soli servies.' Hanc autem adorationem ad nullam creaturam licet transferre nec in manufactis inmutare" et cetera.

P VE

2 lectio ~ ἔντευξις *(cf. LSJ s.u.) hic minus apte („gr.* obuiorum congressus" *ed.Rom.*^{mg}*); exspectaueris* conuentus *uel sim. (cf. Gloss. et ThLL s.u.* conuentus*)* | haec] hec VE ad P | proficiens P **3** et *om.* F *edd.* | reperimus *ed.Rom.** **5** Ionatham P F *edd.* | rursus *post* Pharisaeis F *edd.* **6** cænis P cęnis V **8** omnibus] hominibus P *(fort. ex Mt. 23,7)* **11** Hierosolimam VE **15** uirge *codd.* **16** deilocus P | Betleem V^{ec} Bethleem E *edd.* **17** presepe V presępe E (*abbr.* P) | intelligunt E *edd.* | in *om.* VE *edd.* **18** intelligat E *edd.* **21** praecipit V *(cf. gr.)*: praecepit P E *edd.* **22** quoque nos F *edd.* | omnes *om.* E *edd.* **24** bonitatis] bonę uoluntatis P^{ac} (*subterlin. et* bonitatis *superscr.* P^{c}) | et est et V *(cf. gr.)*: et est P est et E *edd.* | quod^{2}] quo P V **27** secundam – significationem] una tamen significatione *ed.Rom.** (unum ex significatis eius est adoratio secundum latriam *ed.Rom.*^{mg}*; sed Anast. rem uberius explicans uerba* μίαν – προσκύνησιν *liberius uertit*) **28** reperitur *ed.Rom.** | solam *scripsi coll. gr.*: sola *codd.* | latriam E *edd.*

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 9:29 AM

Ἰακὼβ προσεκύνησε τὸν Ἠσαῦ· ἔστι καὶ κατὰ χάριν, ὡς Ἀβραὰμ ὑπὲρ τοῦ ἀγροῦ, οὗ ἔλαβε παρὰ τῶν υἱῶν Χὲτ εἰς ταφὴν Σάρρας τῆς γυναικὸς αὐτοῦ, προσεκύνησεν αὐτούς· πάλιν δὲ προσδοκῶντές τινες ἀντιλήψεως τυχεῖν παρὰ τῶν ὑπερεχόντων προσκυνοῦσιν αὐτούς, ὡς Ἰακὼβ τὸν Φαραώ. ἔνθεν καὶ ἡ θεία γραφὴ διδάσκουσα
PG 98, 1436 ἡμᾶς· *κύριον τὸν θεόν σου προσκυνήσεις καὶ αὐτῷ μόνῳ λατρεύσεις*, τὴν προσκύνησιν ἀπολύτως καὶ οὐ ‚μόνῳ' εἴρηκεν, ὡς διάφορα σημαινόμενα ἔχουσαν καὶ ὁμώνυμον οὖσαν τὴν φωνήν. τὸ δὲ *‚λατρεύσεις αὐτῷ μόνῳ'* εἴρηκε· καὶ γὰρ μόνῳ θεῷ τὴν λατρείαν ἡμῶν ἀναφέρομεν.

Ma. 408 Τούτων οὕτως ἀποδειχθέντων ὁμολογουμένως καὶ ἀναμφισβητήτως *ἀποδεκτὸν καὶ εὐάρεστόν ἐστιν ἐνώπιον τοῦ θεοῦ* τὰς εἰκονικὰς ἀνατυπώσεις τῆς τε οἰκονομίας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῆς ἀχράντου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας τῶν τε τιμίων ἀγγέλων καὶ πάντων τῶν ἁγίων προσκυνεῖν καὶ ἀσπάζεσθαι. καὶ εἴ τις μὴ οὕτως ἔχοι, ἀλλ᾽ ἀμφισβητοίη καὶ *νοσοῖ* περὶ τὴν τῶν σεπτῶν εἰκόνων προσκύνησιν, τοῦτον ἀναθεματίζει ἡ ἁγία καὶ οἰκουμενικὴ ἡμῶν σύνοδος, ὀχυρωθεῖσα τῇ τοῦ θείου πνεύματος ἐνεργείᾳ καὶ ταῖς πατρικαῖς καὶ ἐκκλησιαστικαῖς παραδόσεσι. καὶ τὸ ἀνάθεμα οὐδὲν ἕτερόν ἐστιν ἢ χωρισμὸς ἀπὸ τοῦ θεοῦ. εἰ γάρ τινές εἰσι
Rom. 676 ζυγομαχοῦντες πρὸς τὰ ὁρισθέντα μὴ πειθόμενοι, εἰς *κέντρα λακτίζουσι* καὶ τὰς ἑαυτῶν ἀδικοῦσι ψυχὰς Χριστῷ προσκρούοντες, καὶ ταῖς κατὰ τῆς ἐκκλησίας αὐτοῦ συκοφαντίαις ἡδόμενοι εὑρίσκονται πολεμοῦντες ἐκμανῶς τὴν εὐσέβειαν, ὡς τῶν πάλαι αἱρετικῶν ὄντες κοινωνοὶ καὶ σύστοιχοι καὶ ὁμόφυλοι κατὰ τὴν ἀσέβειαν.

Τοὺς δὲ ἀδελφοὺς καὶ συλλειτουργοὺς ἡμῶν θεοφιλεῖς ἐπισκόπους ἀπεστείλαμεν σὺν ἡγουμένοις καὶ κληρικοῖς, ἵνα πάντων τῶν ἐν ἡμῖν πεπραγμένων τὴν δήλωσιν ἀναγγείλωσιν εἰς τὰς θεοηχεῖς ὑμῶν ἀκοάς. πρὸς δὲ ἐπισφράγισιν καὶ ἐπικύρωσιν τῶν παρ᾽ ἡμῶν ὁρισθέντων καὶ μέντοι καὶ πληροφορίαν τοῦ ὑμετέρου πανευσεβοῦς
La.-Co. 585 κράτους ὑπετάξαμεν πατρικὰς χρήσεις ἐκ πολλῶν ὀλίγας συναγαγόντες τῇ λαμπρότητι τῆς ἀληθείας καταυγαζούσας τὸ βέβαιον.

Ὁ δὲ *πάντων* ἡμῶν *σωτὴρ* καὶ συμβασιλεύων ὑμῖν, ὁ ταῖς ἐκκλησίαις δι᾽ ὑμῶν τὴν εἰρήνην αὐτοῦ βραβεῦσαι εὐδοκήσας, ἐν πολλοῖς ἔτεσι φυλάξαι τὸ βασίλειον ὑμῶν σὺν τῇ συγκλήτῳ καὶ ἄρχουσι καὶ τῷ πιστοτάτῳ ὑμῶν στρατῷ καὶ παντὶ τῷ

---

1 Ἰακὼβ – Ἠσαῦ cf. Gen. 33,3 **1–3** Ἀβραὰμ – αὐτούς cf. Gen. 23,7 **4** ὡς – Φαραώ cf. Gen. 47,7 et 10 **5** Mt. 4,10; Lc. 4,8; cf. Deut. 6,13 et 10,20 **9–10** ἀποδεκτὸν – θεοῦ cf. 1 Tim. 2,3 et 5,4; Hebr. 13,21 **17** εἰς κέντρα λακτίζουσι cf. Act. 26,14 **27** cf. 1 Tim. 4,10

21–26 cf. Bischofslisten p. 29–30 adn. 100 et praef. partis I p. LIV adn. 250 **27** συμβασιλεύων ὑμῖν cf. Conc. Const. III (epist. Agath. papae et syn. Rom. ad Const. IV imp. [CPG 9423,2]), ACO ser. II, II 1 p. 138,10 al.

9–16 ὁμολογουμένως – θεοῦ ~ (Ps.-) Decretum synodi a. 843 habitae l. 62–65. 68–72 Gouillard **27–868,1** Ὁ – πολιτεύματι ~ (Ps.-) Decretum synodi a. 843 habitae l. 132–136 Gouillard

V T M **9–16** ~ *Decr. (= B M*, accedit partim *C)* **27–868,1** ~ *Decr. (= B M C)*

1 τοῦ om. T edd. **3** τινες om. V **5** τὴν + μὲν T edd. **6–7** ὁμώνυμον οὖσαν] ὁμωνυμοῦσαν M **8** ἡμεῖς ed. Rom.* ex Vc^{mg} (Bonafides), corr. ed. Rom.^{mg} **9** ἀπόδεκτον V *(cf. N. T.)* εὐαπόδεκτον *Decr.* **10** ἐστιν *Decr. (cf. N. T.)*: εἶναι codd. („ex l. add. εἶναι πρόδηλον ἐνώπ." ed. Rom.^{mg}) **11** καὶ^{2} om. M **12** τιμίων] ἁγίων *Decr.* **13** ἔχει *M* | ἀλλὰ M | ἀμφισβητείη *M* ἀμφισβητῆ *B* | νοσοῖ ed. Rom.: νοσεῖ V T M *M C* νοσῆ *B* | σεπτῶν] ἁγίων V **14** σύνοδος ἡμῶν *Decr.* **15** θείου om. V **17** εἰς] πρὸς *N. T.*, sed cf. e. g. Ath. decr. Nic. syn. c. 1,7 Opitz **19** εὑρίσκονται + τε M | ἐμμανῶς ed. Rom.*, sed cf. e. g. Conc. Const. III, ACO ser. II, II 1 p. 482,16 **22–23** ἀπαγγείλωσιν M **23** δὲ + καὶ V **25** πατρικὰς] γραφικὰς V | ὀλίγα V **27** βασιλεύων T δεσπότης *Decr.* | ὑμῖν om. *Decr.* **28** φυλάξει V φυλάττ sine abbr. T φυλάττοι Vc^{mg} (Bonafides) edd. **29** στρατῶ ὑμῶν V

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 9:29 AM

uti nos adoramus uictoriosissimum et mansuetissimum imperium uestrum; est et alia Ha. 478
per timorem tantum, sicut Iacob adorauit Esau; est et per gratiam, sicut Abraham adorauit filios Chet pro agro quem accepit ab eis in sepulturam Sarrae uxoris suae; iterum autem expectantes quidam a sublimioribus beneficium consequi adorant eos, sicut Iacob Pharaonem. hinc et diuina scriptura docens nos: *dominum deum tuum adorabis et illi soli seruies*, ‚adorationem' sine prohibitione dixit tanquam diuersas quidem significationes, sed omonymam uocem habentem, et non ‚soli' addidit. porro ‚*seruies illi soli*' dixit; etenim soli deo seruitutem nostram referimus.

His ergo sic comprobatis ueraciter et incunctanter esse *coram deo acceptum* et beneplacitum constat imaginales formationes dispensationis domini nostri Iesu Christi et Ma. 407
intemeratae dei genitricis semper uirginis Mariae ac honorabilium angelorum et om- PL 129, 474
nium sanctorum adorare ac osculari. et quisquis sic se non habuerit, sed disceptauerit uel etiam elanguerit erga uenerabilium imaginum adorationem, hunc anathematizat sancta nostra et uniuersalis synodus, quae munita est diuini spiritus operatione ac paternis et ecclesiasticis traditionibus. porro anathema nihil aliud est quam separatio a deo. si enim quidam fuerint altercantes et contra ea quae diffinita sunt non oboedientes, in stimulos calcitrant et suas ipsius animas laedunt, Christum offendentes et ecclesiae ipsius calumniis delectati inpugnantes uesane pietatem, utpote priscorum hereticorum communicatores et consentanei et contribules per impietatem. Rom. 676

Fratres autem et comministros nostros deo amabiles episcopos misimus cum abbatibus et clericis, ut omnium quae in nobis gesta sunt manifestationem denuntient deisonis auribus uestris. porro ad signaculum et robur eorum quae a nobis diffinita sunt, quin etiam ad satisfactionem piissimi imperii uestri subiecimus paterna testimonia ex multis pauca collecta et claritate ueritatis certitudinem illustrantia. La.-Co. 586

Ceterum *omnium* nostrum *saluator*, qui uobis coimperat quique per uos ecclesiis pacem suam concedere uoluit, per multos annos custodiat regnum uestrum cum se-

P VE

1 adoramus + et E *edd.* | uictoriosissimum] gloriosissimum E *edd.* **2** Hesau P^{pc} (H *add.* P^{c} *s. l.*) | est et] et est *ed. Rom.** **3** Het VE *edd.* | Sarre V Sarra E **5** et] enim E *edd.* | deum *om. ed. Rom. (corr. ed. Reg.)* **6–7** sine – porro] *incondita interpretatio* (absolute ponit, et non adicit, soli: ut significata multa habentem, et uocem æquiuocam. porro *ed. Rom.*^{mg}) **6** sine prohibitione] *Anast. uertit* ἀκωλύτως *(Dubielzig)* | tamquam V (*abbr.* P) **7** omonimam VE homonymam *ed. Rom.** | soli] *Anast. ex gr.* **9** esse] *Anast. ex gr. (cf. app. crit. gr.), inde* constat *addidit* **12** ac] et *ed. Rom.** | osculare *ed. Rom. (corr. ed. Reg.)* **15** est *om.* P **16** contraęquæ *(sic)* P **16–17** obędientes V obedientes E **18** impugnantes E *edd.; Anast. neglexit* εὑρίσκονται, *inde uerborum constructionem mutauit (an* inueniuntur *ante* inpugnantes *supplendum?)* | uesanie P^{ac} (i *exp.*) uesanę V **22** difinita P

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 9:29 AM

πολιτεύματι καὶ δωρήσαιτο ὑμῖν τὸ νικᾶν. αὐτὸς γὰρ εἶπε· *ζῶ ἐγώ, λέγει κύριος, ὅτι τοὺς δοξάζοντάς με δοξάσω*. αὐτός ἐστιν *ὁ περιζωννύων* ὑμᾶς *δύναμιν*· καὶ κόψεται πᾶν τὸ πολέμιον, χαρήσεται δὲ τὸ ὑπήκοον. χαῖρε οὖν καὶ αὐτή, πόλις, *εὐφραίνου*, ἡ νέα *Σιών*, τῆς οἰκουμένης περιωπή· κἀκεῖ γὰρ *Δαβὶδ ἐβασίλευσε*, καὶ ὧδε δαυϊτικῶς αὐτοί σε πρυτανεύουσι. *κύριος ἐν μέσῳ σου*, καὶ *εἴη τὸ ὄνομα* αὐτοῦ *εὐλογημένον* εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

1 ζῶ – ὅτι Rom. 14,11; Is. 49,18 **2** τοὺς – δοξάσω 1 Reg. 2,30 | ὁ – δύναμιν cf. Ps. 17,33 **3–4** cf. Zach. 2,14 **4** cf. 2 Reg. 8,15 al. **5** κύριος – σου Soph. 3,15 **5–6** εἴη – εὐλογημένον cf. Ps. 112,2 al.

1–2 ζῶ – δοξάσω ~ Conc. Ephes., ACO I 1,4 p. 16,6 = Conc. Chalc., ACO II 1,1 p. 108,1–2 (Cyr. Alex. epist. ad Ioh. Antioch. [CPG 5339 = 8848]) **2–3** αὐτός – ὑπήκοον cf. Conc. Const. III (sermo prosph. [CPG 9437,2]), ACO ser. II, II 2 p. 820,14–17 **3–4** χαῖρε – περιωπή cf. Conc. Const. III l.l. p. 820,10–11

V T M

1 δωρήσεται V **2** αὐτὸς + γάρ V **3** χαρίσεται V^{pc} (fort. ex lat.) edd. i.t. (corr. ed. Rom.^{mg}) | αὐτή + ἡ M **4** Σιών + ἡ T edd., sed cf. Conc. Const. III l.l. | γὰρ om. V **5** αὐτοί σε πρυτανεύουσι V (cf. lat.): οἱ εὐσεβεῖς βασιλεῖς πρυτανεύουσι T (ex coni., ut uidetur) edd. αὐτοῖς ἐπρυτάνευσε M

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 9:29 AM

natu et principibus et fidelissimo exercitu uestro atque uniuersa republica donetque uobis uictoriam. ipse quippe ait: *uiuo ego, dicit dominus*, quia glorificantes *me glorificabo*. ipse est qui *praecingit* uos *uirtute* et tundet cunctos hostes et donabit omnes uobis oboedientes. gaude ergo et tu, ciuitas, *laetare*, noua *Sion*, orbis terrae speculatio. nam et ibi Dauid regnauit, et hic dauitice te ipsi custodiunt. *dominus in medio tui*, et *sit nomen* eius *benedictum* in saecula saeculorum. amen.

4 *cf. Vulg. Zach. 2,10*

P VE

3 praecinxit F *edd. (cf. Vulg. Clem.), sed cf. gr.* **3–4** et[1] – oboedientes] *Anast. sententiam male intellexit* (et plangent hostes, et gaudebunt subditi *ed. Rom.*[mg]) **3** donabit] *Anast. legit* χαρίσεται **3–4** uobis omnes E *edd.* **4** obędientes V obedientes E | et tu *om.* E *edd. („gr.* et tu ciu.“ *ed. Rom.*[mg]) **4–5** speculatio] specula *ed. Rom.*[mg]*, sed cf. e. g. Hier. in Ier. 6,13,4 p. 381,14 Reiter (CSEL 59)* **5** dauidice *ed. Rom.*, sed cf. gr. et ThLL O. III p. 62,21–23*

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 9:29 AM

Τοῖς θεοφιλεστάτοις ἱερεῦσί τε καὶ κληρικοῖς τῆς τε ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας καὶ πασῶν τῶν ἐκκλησιῶν τῆς θεοφυλάκτου καὶ βασιλίδος πόλεως ἡ ἁγία σύνοδος ἡ ἐν Νικαίᾳ συναθροισθεῖσα τὸ δεύτερον

Χριστὸς ὁ θεὸς ἡμῶν ἡ ὄντως ἀλήθεια, τὸ πατρικὸν φῶς καὶ ἀπαύγασμα, *ὁ ἐκ σκότους* ἡμᾶς *καλέσας εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς* καὶ τῆς εἰδωλικῆς μανίας ἡμᾶς ῥυσάμενος, ὁ *ἐξαλείψας τὰ ὀνόματα τῶν εἰδώλων ἀπὸ τῆς γῆς* καὶ ἐπαγγειλάμενος *μηκέτι αὐτῶν εἶναι μνείαν*, εὐδόκησεν ἐπινεῦσαι τοὺς εὐσεβεῖς καὶ κατὰ πάντα ὀρθοδόξους πιστοὺς βασιλεῖς ἡμῶν συναθροισθῆναι ἡμᾶς ἐν τῇ Νικαέων λαμπρᾷ μητροπόλει, καθὼς γινώσκετε, ἵνα τῶν διεστώτων τὴν διαφωνίαν εἰς συμφωνίαν μεταγάγωμεν καὶ *τὸ μεσότοιχον* ἀρθῇ *τῆς ἔχθρας* καὶ ἡ ἀρχῆθεν θεσμοθεσία τῆς καθολικῆς ἐκκλησίας τὸ κῦρος ἀπολάβοι. καὶ δὴ συνελθόντων ἡμῶν ἐπὶ τὸ αὐτὸ τοῦ ἁγίου
Ma. 409 πνεύματος ἐπιπνοίᾳ καὶ ἐνεργείᾳ πάντες συμπεφωνήκαμεν· καὶ ἀνατολή, ἄρκτος,
Ha. 480 δύσις καὶ μεσημβρία εἰς μίαν ἑνότητα συνήλθομεν· καὶ ἐβραβεύθη τῶν ἁγίων ἐκκλησιῶν εἰρηναία κατάστασις διὰ τῆς πρὸς ἀλλήλους ὁμοδοξίας καὶ πίστεως ἣ *κατ-*
Rom. 677 *εύθυνε τὴν τρίβον τῶν ποδῶν ἡμῶν*· καὶ τῆς βλαστησάσης ἐκ τῶν ζιζανίων τοῦ ἀρχεκάκου ἐχθροῦ αἱρέσεως ἐξερριζώθη τὸ στέλεχος.

Καὶ *ἰδοὺ εὐαγγελιζόμεθα ὑμῖν ἐπ᾽ ὄρους ὑψηλοῦ* ἑστῶτες *χαρὰν* τῆς ἐκκλησιαστικῆς εἰρήνης καὶ πάνδημον ἑορτήν. τί γὰρ τούτου χαριέστερον τοῦ παρρησιαστοῦ Ἡσαΐου ἄνωθεν προειπόντος· *ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην, τῶν εὐαγγελιζομένων τὰ ἀγαθά*; καὶ ἄξιον ἦν καὶ ἐπέραστον καὶ τῆς ὑμετέρας ἱεροπρεποῦς θεοφιλείας ἐγκαλλώπισμά τε καὶ ἀγαλλίαμα τοῦ πᾶσαν τὴν θεόλεκτον ὑμῶν ὁμήγυριν συνευρεθῆναι καὶ θεωροὺς γενέσθαι τῶν κατὰ θεοῦ χάριν πεπραγμένων καὶ τῶν λαλουμένων τὴν δύναμιν ἀναθεωρεῖν, ἐπί τε τῇ κατορθώσει τῶν ἐνθέσμων παραδόσεων τῆς καθολικῆς ἐκκλησίας καὶ καταλύσει καὶ καταστροφῇ τῶν φρυαξαμένων κατὰ τῆς ἀληθείας καὶ τὰς ἀποστολικὰς καὶ πατρικὰς τῆς καθολικῆς ἐκκλησίας παραδόσεις ἀλλοιωσάντων καὶ τό γε κατὰ τὸ δοκοῦν αὐτοῖς εἰς ἀφανισμὸν ποιησάντων. ἀλλ᾽ ἐπειδὴ ὑγρὰ κέλευθός ἐστι διὰ μέσου, πάλιν δὲ καὶ χερσαία τρίβος, δύο χρεία πραγμάτων ἦν, πλοίων τε πρὸς τὸ διαπλεῦσαι καὶ κτηνῶν ὀφει-
La.-Co. 588 λόντων ὑμᾶς μετακομίσαι. ἀμφοτέρων οὖν ἀποροῦσα ἡ ἱερωτάτη ὑμῶν ὁμήγυρις

---

4 πατρικὸν – ἀπαύγασμα cf. Sap. 7,26; Hebr. 1,3 **4–5** cf. 1 Petr. 2,9 **6–7** cf. Zach. 13,2; Deut. 9,14 **10** cf. Eph. 2,14 **14–15** cf. Lc. 1,79 (= Od. 9,79); Is. 3,12 **17** cf. Lc. 2,10; Is. 40,9 **19–20** Rom. 10,15

1–876,10 epistula non commemoratur apud Grumel/Darrouzès, Reg. **4–6** Χριστὸς – ῥυσάμενος cf. Act. VII (def. fidei) supra p. 820,17–18 **4** τὸ – ἀπαύγασμα cf. Conc. Ephes. (Cyr. Alex. c. eos qui theotocon nolunt confiteri [CPG 5226]), ACO I 1,7 p. 21,19 **9–10** ἵνα – μεταγάγωμεν cf. epist. ad imp. supra p. 858,16–17 **10–13** τὸ – συνήλθομεν cf. Act. III p. 280,12–14 **17–18** εὐαγγελιζόμεθα – ἑορτήν ~ Conc. Const. III (edictum Const. IV [CPG 9438]), ACO ser. II, II 2 p. 854,15–16 **20–872,6** καὶ[1] – βλεπόμενα cf. Brubaker/Haldon 2011 p. 275 adn. 114

V T M **1–876,10** praetermisit H, accedit *Can (= Ms Pe)*

1–3 ante superscriptionem add. κεφάλαιον τέταρτον T **2** καὶ[1] – ἐκκλησιῶν post πόλεως *Pe* | βασιλίδος καὶ θεοφυλάκτου V | καὶ[2] om. *Pe* **4** πατρικὸν] πνευματικὸν *Pe* **5** ἡμᾶς μανίας *Ms* **8** ἐν + ταύτῃ *Can* fort. recte, cf. supra p. 858,4 et 860,24 **10** ἀρχῆθεν] ἀρχῆ θεοῦ sic *Pe* **11** κύρος *Can* **12** ἐνεργείᾳ] συνεργίᾳ M (cf. lat.), sed cf. supra p. 866,15 | καὶ[2] om. *Pe* **13–14** ἐκκλησιῶν + ἡ *Pe* **14** ἣ ed.Rom. (ex lat.): καὶ codd. *Can* **14–15** κατευθύναι sic T (ex Lc. 1,79?) **15** βλαστησάσης + τῆς T[1] s.l. **16** ἐξεριζώθη V *Can* **18** εἰρήνης] ἑορτῆς V | καὶ] μετὰ ed.Rom.* **20** τὰ ἀγαθά om. V **21** θεοφιλίας *Ms* (abbr. V) ed.Rom.* (ex Vc) | καὶ + ἀγλάϊσμα καὶ *Can* | τοῦ] τὸ M | θεόλεκτον] θεοφύλακτον *Ms* **22** θεωροῖς *Pe* | γενέσθαι + καὶ ed.Rom.* (add. Morin in Vc s.l.) **24** exspectaueris καὶ ‹ἐπὶ τῇ› καταλύσει **26** παραδόσεις post πατρικὰς M **28** ἦν om. V **29** ἡμᾶς M | ἱερατικὴ T edd. | ἡμῶν V Ml (incertum in T)

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:13 AM

Deo amabilibus sacerdotibus et clericis tam sanctissimae dei magnae ecclesiae quam omnium ecclesiarum deo conseruatae regiae ciuitatis sancta synodus apud Nicaeam secundo collecta

Christus deus noster, qui uere est ueritas paternumque lumen et splendor, *qui de tenebris* nos *uocauit in admirabile lumen suum* et ab idolica uesania nos eruit, qui *deleuit nomina idolorum* a *terra* et repromisit non eorum ulterius esse memoriam, uoluit annuere piis et per cuncta horthodoxis ac fidelibus imperatoribus nostris ad congregandum nos in Nicaena clara metropoli, sicut nostis, ut distantium dissonantiam in consonantiam perduceremus et *medius paries* tolleretur *inimicitiae* et antiqua legispositio catholicae ecclesiae firmitatem resumeret. igitur nobis in idipsum sancti spiritus inspiratione et cooperatione conuenientibus omnes consonuimus; et oriens, arctus, occidens et mesembria in unam unitionem concurrimus; et triumphauit sanctarum ecclesiarum pacifica ordinatio per alternae opinionis unitatem et fidem quae *direxit* semitam *pedum nostrorum*; ac per hoc stirps quae ex antiqui hostis zizaniorum heresi germinauit eradicata est. Ma. 410 Ha. 479 PL 129, 475 Rom. 677

Et *ecce euangelizamus uobis super montem excelsum* stantes ecclesiasticae pacis *gaudium* et publicam festiuitatem. quid enim hoc gratius Esaia fiducialiter agente et caelitus praedicente: *quam speciosi pedes euangelizantium pacem, euangelizantium bona*? et dignum erat et ualde placitum atque uestrae decentis sacraeque deo amabilitatis specimen et exultatio, ut omnis deo electa contio uestra simul inueniretur et contemplaretur uirtutem eorum quae per dei gratiam dicta et gesta sunt, tam scilicet super legitimarum correctione traditionum ecclesiae catholicae quam in distructionem et subuersionem eorum qui fremuerunt aduersus ueritatem necnon et apostolicas et paternas ecclesiae catholicae commutauerunt traditiones uel etiam iuxta quod sibi uisum est in exterminium redegerunt. sed quoniam humidum iter in medio est rursusque terrena uia, duabus rebus opus erat, nauibus uidelicet ad nauigandum et iumentis congruis ad uehendum. utrisque carens sacratissima uestra caterua mutua La.-Co. 587

14 semitam – nostrorum *cf. Vet. Lat. (Beuron) Is. 3,12*

P VE

1–3 *litt. maiusc. codd.* **2** Niceam P E **5** suum lumen E *edd.* **7** pios et per cuncta orthodoxos ac fideles imperatores nostros *ed. Rom.** **8** Nicea P V^{ac} Nicena V^{pc} [n^{2} *add.* V^{1} *s. l.*] E, *corr. ed. Rom.* **10** legispositio] *exspectaueris* legislatio, *cf. e. g. p. 853,23* **11** cooperatione] *Anast. fort. legit* συνεργίᾳ, *cf. gr.* M **12** triumphauit] constituta est *ed. Rom.*^{mg}, *sed cf. e. g. ACO I 5 p. 364,2* **14** ac] atque E *edd.* **17** Æsaia P Isaia *ed. Rom.** **18** celitus P E antiquitus *ed. Rom.*^{mg} **19** dicentis VE (*corr.* F) **22** correctione ~ κατορθώσει *(cf. Gloss.) minus apte* (comprobatione *ed. Rom.*^{mg}) **22–23** destructionem F *edd.* **23** et^{2} *om.* E *edd.* **25** exterminum P **26** scilicet F *edd.*

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:13 AM

τῆς μεθ᾽ ἡμῶν συνελεύσεως ἐστέρηται. πνευματικῶς δὲ καὶ νοερῶς συμπαρῆτε ἡμῖν, τὸ αὐτὸ φρονοῦντες ὅπερ *τῆς* καθολικῆς *ἐκκλησίας τὸ πλήρωμα*. καὶ ἐπειδὴ *ἀλλήλων μέλη ἐσμὲν Χριστοῦ* τοῦ θεοῦ *κεφαλῆς* ἡμῶν *ὄντος*, τῶν θειωδῶς πεπραγμένων παρ᾽ ἡμῖν τὴν διήγησιν ἀναγκαῖον ἡγούμεθα διὰ βραχέων ὑμῖν ἐπιστεῖλαι. λαλοῦσι γὰρ καὶ διὰ γραμμάτων αἱ γλῶσσαι τὰ πράγματα καὶ παριστῶσιν ὡς βλεπόμενα.

Ἤδη γὰρ συνελήλυθότων ἡμῶν ἐνταῦθα ἐκ τῆς διδασκαλίας τῶν πατρικῶν ἀμαρυγμάτων εἰς ἓν ἐστηρίχθημεν, τὸ ἓν πεφρονήκαμεν, ᾠδὴν ἣν Μωσῆς ἐδίδαξε μὴ ἐπιλαθόμενοι τὴν λέγουσαν· *ἐπερώτησον τὸν πατέρα σου, καὶ ἀναγγελεῖ σοι, τοὺς πρεσβυτέρους σου, καὶ ἐροῦσί σοι*. οὕτως τῇ παραδόσει τῆς καθολικῆς ἐκκλησίας ἐξηκολουθήσαμεν· καὶ οὔτε ὕφεσιν οὔτε πλεονασμὸν ἐποιησάμεθα, ἀλλ᾽ ἀποστολικῶς *διδαχθέντες κρατοῦμεν τὰς παραδόσεις ἃς παρελάβομεν*, πάντα ἀποδεχόμενοι καὶ ἀσπαζόμενοι ὅσαπερ ἡ ἁγία καθολικὴ ἐκκλησία ἀρχῆθεν τῶν χρόνων ἀγράφως καὶ ἐγγράφως παρέλαβεν· ἐξ ὧν εἰσι καὶ αἱ ὑποτυπώσεις τῶν εἰκονικῶν ἀναζωγραφήσεων. καὶ ὅσα τοὔμπαλιν ἀπεβάλοντο οἱ θεσπέσιοι πατέρες ἡμῶν, καὐτοὶ ἡμεῖς ἀπεβαλόμεθα καὶ τῆς ἐκκλησίας ἡγούμεθα πολέμια· μεθ᾽ ὧν συναριθμεῖται καὶ ἡ προσεχὴς καινοφωνία τῶν χριστιανοκατηγόρων, *ὡς γάγγραινα νομὴν* λαβοῦσα ἐν ταῖς ἐκκλησίαις ἡμῶν. ἀλλ᾽ *οὐχ ὑπερεῖδε κύριος* ὁ θεὸς εἰς τέλος· τῆς γὰρ ἀληθείας ἀνακαλυφθείσης πᾶσιν ἡ ὀρθοδοξία ἐξέλαμψε, καὶ τὸ ψεῦδος μετὰ τοῦ συμφυοῦς αὐτοῦ σκότους ὑποδέδυκεν. εἰ γάρ, ὡς αὐτοὶ πεφληναφήκασιν, εἰδώλοις παρέοικεν ἡ τῶν εἰκόνων στηλογραφία, τῆς ἡμετέρας ἀπολυτρώσεως τὸ μυστήριον ματαιοῦται, ὅπερ ὁ τοῦ θεοῦ υἱὸς τῇ αὐτοῦ παρουσίᾳ ἦν δι᾽ ἡμᾶς σαρκὶ ἐπολιτεύσατο *χωρὶς ἁμαρτίας* ἐπραγματεύσατο, καὶ οἴχονται καὶ αἱ ἐπαγγελίαι αἱ προφητικαί, ἡ μὲν λέγουσα *λατρεύειν αὐτῷ ἐν ὁσιότητι καὶ δικαιοσύνῃ πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν*, ἡ δέ· *ἐξηγέρθη ὡς ὁ ὑπνῶν κύριος, ὡς δυνατὸς κεκραιπαληκὼς ἐξ οἴνου, καὶ ἐπάταξε τοὺς ἐχθρούς αὐτοῦ εἰς τὰ ὀπίσω, ὄνειδος αἰώνιον ἔδωκεν αὐτοῖς*. εἰ ὄνειδος αἰώνιον ἐδόθη τοῖς ἐχθροῖς ἡμῶν ἤγουν ταῖς πονηραῖς δυνάμεσι διὰ τῆς αὐτοῦ ἀναστάσεως, πῶς πάλιν οἱ χριστιανοὶ εἰδώλοις ἐλάτρευσαν; φεῦ καὶ τῆς ἀμαθίας καὶ τῆς ἀσεβείας αὐτῶν. εἶθε ἐνενόησαν ὅτι τὸ *σκανδαλίσαι ἕνα τῶν μικρῶν τῶν πιστευσάντων εἰς* Χριστὸν ἀφόρητον ἔχει τὴν ἀγανάκτησιν — πόσῳ γε μᾶλλον *οἰκουμένην ἀναστατῶσαι*. ἀλλ᾽ *ἐξουδένωσαν τὸ ῥῆμα κυρίου* ἀθετήσαντες τὰς ἐκκλησιαστικὰς παραδόσεις· διὰ τοῦτο *ἐξουδένωσεν* αὐτοὺς *κύριος* καὶ μετὰ Ἀρείου, Εὐνομίου, Μακε-

Ma. 412
Rom. 678

2–3 τῆς — ὄντος cf. Eph. 1,22–23; Rom. 12,5; 1 Cor. 11,3 et Eph. 4,15 **9–10** Deut. 32,7 = Od. 2,7 **12** cf. 2 Thess. 2,15 et 3,6 **17** 2 Tim. 2,17 **18** cf. Sap. 19,22 **23** Hebr. 4,15 **24–25** Lc. 1,74–75 (= Od. 9,75) **25–26** Ps. 77,65–66 **29–30** cf. Mt. 18,6 **30–31** cf. Act. 17,6 **31–32** cf. 1 Reg. 15,23 et 26

12–15 πάντα — ἀναζωγραφήσεων cf. Act. VII (def. fidei) supra p. 824,25

V T M *Can (= Ms Pe)*

1 συμπαρῆτε V *Ms*: συμπαρείτε *Pe* συμπάρητε T συμπάρεστε M (cf. lat.) **3** ὄντως *Pe* **4** ἡμῖν] ἡμῶν *Can* **7** πατρικῶν] πνευματικῶν V **8** Μωϋσῆς M **12** ὑποδεχόμενοι *Can* **13** ἁγία + καὶ V, ἁγία om. M **13–14** ἐγγράφως καὶ ἀγράφως *Pe* **14** τυπώσεις V **15** τὸ ἔμπαλιν Vc edd. | ἀπεβάλλοντο V **16** ἀπεβαλόμεθα M (incertum in T) *Can*: ἀπεβαλλόμεθα V Ml ἀποβαλλόμεθα Vc edd. fort. recte (cf. lat.) **17** καινοφωνία T (cf. lat.): κενοφωνία V M *Can* | ψευδοχριστιανοκατηγόρων V | γάγγραιναν V **18** ταῖς + ἁγίαις *Pe* | οὐχὶ T | ὑπερίδεν *Can* **19** καὶ om. Vc edd. **20–21** παρέοικεν — στηλογραφία M ed.Rom. (ex lat.): παρεοικέναι τὴν τῶν εἰκόνων στηλογραφίαν V T *Can* **23** καὶ² om. T edd., sed cf. lat. **24** ἡμέρας post ἡμῶν T edd. **25** δυνατὸν V | κεκραιπαληκὼς] καὶ κεκραιπαληκὼς V M^{pc} καὶ κραιπαληκὼς M^{ac} (κε add. M^{1} s.l.) *Can* (κρεπαληκὼς *Pe*^{ac}, αι *Pe*^{2} s.l.) **27** ἤγουν] ἤως T **29** εἴθε (εἰ δὲ *Pe*) + καὶ V T edd., sed cf. lat. **30** γε om. *Pe* | μᾶλλον + τὴν ed.Rom.* (fort. ex *N. T.*) **32** τοῦτο + δὲ M | αὐτοὺς + ὁ V M edd., sed cf. *Sept.*

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:13 AM

nostra conuentione priuata est. uerum spiritaliter et intelligibiliter praesto estis nobiscum id sentientes quod et catholicae *ecclesiae plenitudo*. et quia inuicem *membra sumus Christi* dei *capitis* nostri, eorum quae apud nos deo donante acta sunt necessarium ducimus uobis breuiter narrationem mittendam. loquuntur enim etiam per litteras linguae causas et repraesentant quasi uidendas.

Cum enim hic conuenissemus, ex paternarum magisterio normarum in unum confirmauimus quod et sapuimus, cantici quod Moyses docuit non obliti quod dicit: *interroga patrem tuum, et annuntiabit tibi,* seniores *tuos, et dicent tibi*. sic traditionem catholicae ecclesiae sectati sumus et neque minus neque plus quippiam fecimus, sed ab apostolo edocti *tenemus traditiones quas accepimus*, omnia recipientes et amplectentes quaecumque sancta catholica ecclesia antiquitus scripta et non scripta recepit; ex quibus sunt etiam figurationes picturarum imaginalium. et e contra quaecumque abiecerunt egregii patres nostri, et nos quoque proicimus et ecclesiae arbitramur aduersa. cum quibus connumeratur intenta uocum nouitas christianos accusantium, ueluti cancer pascua in ecclesiis nostris accipiens. sed *non despexit dominus* deus in finem. nam ueritate reuelata horthodoxia cunctis illuxit, et mendacium cum secum nascentibus tenebris abolitum est. si enim, ut ipsi uane garrierunt, idolis comparatur imaginum titulatio, nostrae redemptionis mysterium euanescit, quod dei filius operatus est praesentia sua qua pro nobis carne conuersatus est *absque peccato*, et subsequuntur etiam repromissiones propheticae dicentes: *seruiamus illi in sanctitate et* Rom. 678
iustitia omnibus diebus uitae nostrae, et rursus: *excitatus est tanquam dormiens* PL 129, 476
dominus, tanquam potens crapulatus a uino, et percussit inimicos suos in posteriora, Ma. 411
obprobrium sempiternum dedit eis. si obprobrium sempiternum datum est inimicis nostris, malis uidelicet uirtutibus, per resurrectionem eius, quomodo iterum christiani idolis seruierunt? o et inscitiam et impietatem ipsorum! utinam intellexissent quod *scandalizare unum* ex minimis *qui crediderunt in* Christum inportabilem habeat indignationem – quanto magis orbem sollicitum simultatibus reddere! sed ad nihilum uerbum domini redegerunt reprobantes ecclesiasticas traditiones; propter ea

P VE

1 intellibiliter *(sic)* P | presto P V (*abbr.* E) | estis] eratis *ed. Rom.*^{mg}, *sed Anast. legit* συμπάρεστε (*cf. gr.* M) **2** id] *exspectaueris* idipsum, *cf. gr.* **2–3** sumus membra E *edd.* **3** Christo Deo capite nostro *ed. Rom.*^{mg} **4** locuntur P **6** hic *om.* F *edd.* | normarum ~ ἀμαρυγμάτων*?* **6–7** confirmauimus – sapuimus] confirmati sumus, unum sensimus *ed. Rom.*^{mg}*; Anast. fort. legit* ὃ καὶ *pro* τὸ ἓν **12** pictarum P | imaginalium *scripsi coll. p. 825,25 al.*: imaginum *codd.* **13** egregii *post* nostri E *edd.* | et^{1} *om. ed. Rom.** | proicimus] *Anast.* ἀποβαλλόμεθα *legisse uidetur (cf. app. crit. gr.)* **14** intenta ~ προσεχὴς*?* nupera *ed. Rom.*^{mg} (*praetulerim* recens)*; Anast. fort. legit* πρόσοχος *(cf. Gloss. et Lampe s.u.; cf. etiam Act. IV p. 283,26)* **19–20** subsequuntur (subsecuntur P) ~ οἴχονται*?* uanae sunt *ed. Rom.*^{mg} (*Anastasium* ἔχονται *uertisse suspic. Dubielzig*) **21** tanquam] tamquam V (*abbr.* P E) **22** tamquam V (*abbr.* P) **23** eis] illis E edd. *(ex Vulg.)* **25** inscientiam E *edd.* **26** importabilem VE *edd.* **27** reddere simultatibus E *edd.* | simultantibus P

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:13 AM

Ha. 481 δονίου, Ἀπολιναρίου, Νεστορίου, Εὐτυχοῦς καὶ Διοσκόρου, Σεργίου καὶ Ὀνωρίου καὶ πάσης αὐτῶν τῆς κακοδοξίας συνηρίθμησε τὴν τῆς συμμορίας αὐτῶν ὀχλαγωγίαν· τὴν γὰρ μωρίαν τούτων ἀπομαξάμενοι μωρὰ λελαλήκασι, καὶ τῇ σφενδόνῃ τῆς ἀληθοῦς ὁμολογίας σὺν αὐτοῖς λελιθοβόληνται, καὶ διαλέλυται ἡ παράταξις αὐτῶν. *οὐδὲ γὰρ ἀφῆκε κύριος* εἰς *τὸν αἰῶνα τὴν ῥάβδον* αὐτῶν *ἐπὶ τὸν κλῆρον* τῆς ἐκκλησίας. ὅτι Ἰουδαϊκῶς ἐμελέτησαν κενὰ καὶ τὰ δευτερεῖα τοῦ συνεδρίου ἐκείνου ἐκληρώσαντο, τοῦτο τὸ συνέδριον Καϊαφαϊκὸν βουλευτήριον γέγονεν· ἐκεῖνο κατὰ
La.-Co. 589 τοῦ κυρίου κενὰ ἐμελέτησε, τοῦτο δὲ κατὰ τῆς εἰκόνος αὐτοῦ ἐφρυάξατο. τοῦτο τὸ συνέδριον τὴν διὰ Χριστοῦ γενομένην ἡμῶν ἀπολύτρωσιν ἑαυτοῖς καὶ ἄλλοις ἐπεγράψατο. τοῦτο τὸ συνέδριον *βαθεῖαν βουλὴν ἐβουλεύσατο καὶ οὐ διὰ κυρίου, καὶ συνθήκας πεποίηκε καὶ οὐ διὰ τοῦ πνεύματος* αὐτοῦ, ὅτιπερ τὴν εὐκοσμίαν τῶν σεπτῶν ναῶν ἐξηφάνισεν. ἐν τούτῳ τῷ συνεδρίῳ οὐδεὶς τῶν κατ' εἰκόνα θεοῦ ἀνθρώπων εὕρηται, ὅτι τὴν εἰκόνα τοῦ κυρίου καὶ τῶν ἁγίων αὐτοῦ ἀτιμάσαντες καὶ συντρίψαντες τῷ πυρὶ παραδεδώκασι. τοῦτο τὸ συνέδριον μανίᾳ καὶ ἀπονοίᾳ κατάπλεων σατανικῶν φωνῶν τὴν ἀπόφασιν ἐποιήσατο. τοῦτο τὸ συνέδριον τὴν προσηγορίαν μόνον ἔχει ἱερατικήν, φαύλην δὲ καὶ ἀνίερον τὴν γνῶσιν. τοῦτο τὸ συνέδριον ἀκόλαστον ἔχει τὸ στόμα, τὸ δὲ πνεῦμα *ψευδόχριστον*· τὴν μὲν ἀλήθειαν ὑπεκρίθη, τῷ δὲ ψεύδει ἐπαρρησιάσθη. τοῦτο τὸ συνέδριον ἡ καθολικὴ ἐκκλησία ἅτε *ζιζάνια* τῆς δεσποτικῆς *ἄλωνος*, λέγομεν δὴ τῆς καθολικῆς ἐκκλησίας, ἐξελίκμησε καὶ *τῷ πτύῳ* τῆς θείας κρίσεως ἀπεβάλετο. ἀφῄρηται οὖν ἐκ τῆς καθολικῆς ἐκκλησίας καὶ διηλέγχθη αὐτοῦ τὰ πλαστουργήματα· ἡ γὰρ ἀληθινὴ τῆς ἐκκλησίας καὶ εὐθυτάτη κρίσις καινουργεῖσθαι ἐν αὐτῇ συγχωρεῖ οὐδὲν οὔτε ἀφαίρεσιν ποιεῖσθαι.
Ἡμεῖς τοιγαροῦν πατρῴοις νόμοις ἑπόμενοι παρὰ τοῦ ἑνὸς πνεύματος λαβόντες χάριν ἀκαινοτομήτως καὶ ἀμειώτως πάντα τὰ τῆς ἐκκλησίας ἐφυλάξαμεν, καθὼς αἱ ἅγιαι ἓξ οἰκουμενικαὶ σύνοδοι παραδεδώκασι, καὶ ὅσα εἴασαν τιμᾶσθαι ἐν τῇ καθ-
Rom. 679 ολικῇ ἐκκλησίᾳ ἀποδεχόμεθα δίχα πάσης ἀμφιβολίας. ἐξ ὧν ἐστιν, ὡς εἴρηται, καὶ ἡ τῶν εἰκόνων ποίησις. καὶ ταύτας τιμητικῶς προσκυνοῦμεν καὶ ἀσπαζόμεθα –

---

5 cf. Ps. 124,2–3 **10–11** βαθεῖαν – αὐτοῦ cf. Is. 29,15; 30,1; 31,6 **17** ψευδόχριστον cf. Mt. 24,24; Mc. 13,22 **19–20** ζιζάνια – ἀπεβάλετο cf. Mt. 3,12 et 13,36–40 **22** καινουργεῖσθαι – ποιεῖσθαι cf. Apoc. 22,18–19

2–3 συνηρίθμησε – λελαλήκασι cf. Conc. Const. III (edictum Const. IV [CPG 9438]), ACO ser. II, II 2 p. 846, 10–11 **6–7** ὅτι – γέγονεν cf. epist. ad imp. supra p. 858,25–26 **18–20** ἡ – ἀπεβάλετο ~ Conc. Const. III (epist. Leonis II papae [CPG 9441]), ACO ser. II, II 2 p. 876,21–23 **20–21** ἀφῄρηται – πλαστουργήματα cf. Conc. Const. III (sacra ad syn. Romae [CPG 9440]), ACO ser. II, II 2 p. 864,13–14

V T M *Can (= Ms Pe)* **18–20** ~ *Conc. Const. III*

---

1 Ἀπολλιναρίου T edd. **2** συνηρίθμησαν V **3** μωρὰ + καὶ V | σφενδόνι *Ms* σφενδόνης *Pe* **5** αὐτῶν²] τῶν ἁμαρτωλῶν T edd. (ex *Sept.*) αὐτοῦ *Ms* | κλῆρον + τῶν δικαίων (ex *Sept.*) ἤτοι M | τῆς + αὐτοῦ *Pe* **6** δευτέρια *Ms* | ἐκείνου] sc. τοῦ Ἰουδαϊκοῦ **7** τοῦτο] τούτων *Pe*; fort. γὰρ addendum (cf. lat.) **9** ἡμῖν V edd., sed cf. lat. et infra p. 878,5 | ἑαυτοῖς] ἐν αὐτοῖς T **9–10** ἐπεγράψαντο *Pe* **10** βουλὴν βαθείαν (sic) M **11** τοῦ om. *Pe* **12** ἐξηφάνισαν *Pe* **13** ηὕρηται *Ms* | τῶν ἁγίων καὶ τοῦ κυρίου V | αὐτοῦ om. *Can* **15** κατάπλεων Dubielzig (cf. lat.; „L. πλήρη σατ." iam ed.Rom.^{mg}): καὶ codd. κατὰ Vc^{ac} (καὶ Morin in marg. ex V) edd. | φωνῶν] φόνων *Pe* **15–16** τοῦτο – γνῶσιν om. T *Ms* **16** μόνον M *Pe*: μόνην V edd. | φαῦλον V **17** πνεῦμα + αὐτοῦ Vc edd. | ψευδόχριστον + ὅτι V^{1} s.l. edd. **18** ἡ καθολικὴ ἐκκλησία] „L. ἡ ἁγία ἡμῶν σύνοδος" ed.Rom.^{mg}, sed cf. Conc. Const. III l.l. **19** ζιζάνια + ὄντα *Can* **20** ἀπεβάλλετο V (abbr. T) | ἀφῄρηνται *Pe* | ἐκ om. M *Pe* **21** διηλέγχθη αὐτοῦ] διηλέχθη αὐτῶν *Pe* **22** εὐθυτάτη] πανευθυτάτη V^{pc} (παν add. V^{2} s.l.), καὶ πανευθυτάτη αὐτῆς V^{2mg} | καινουργεῖσθαι + τι *Can* | συγχωρεῖ οὐδέν] οὐ συγχωρεῖ *Can* | οὔτε] οὐδὲ M **23** τοιγαροῦν + τοῖς V | νόμοις πατρώοις M **24–25** αἱ – οἰκουμενικαὶ] καὶ αἱ ἅγιαι καὶ οἰκουμενικαὶ ἓξ *Pe* **25** ἑξῆ M **26** δίχα – ἀμφιβολίας om. *Ms*

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:13 AM

ad nihilum redegit eos dominus et cum Arrio, Eunomio, Macedonio, Apolinario, Nestorio, Eutyche ac Dioscoro, Sergio et Honorio atque cum omni eorum pessima Ha. 482
secta connumerauit turbulentum factionis eorum concilium. stultitiam namque horum imitantes stulta locuti sunt, et funda uerae confessionis cum ipsis lapidati sunt, atque soluta est acies ipsorum. *neque* enim *reliquit dominus* in perpetuum *uirgam* eorum *super sortem* ecclesiae. quoniam Iudaice meditati sunt inania et secunda illius concilii hereditauerunt, hoc nempe concilium Caiphaicum conciliabulum factum est: illud aduersus dominum inania meditatum est, hoc aduersus ipsius imaginem fremuit. hoc enim concilium redemptionem nostram, quae per Christum effecta est, La.-Co. 590
sibi et aliis ascripsit. hoc concilium profundum *consilium* consiliatum est *et non per* dominum, et foedera fecit *et non per spiritum* eius, quoniam ornatum uenerabilium templorum demolitum est. in hoc concilio nullus hominum inuenitur ad imaginem dei factus, quia imaginem domini ac sanctorum eius dehonestantes et confringentes igni tradiderunt. hoc concilium furia et uecordia plenam satanicarum uocum sententiam fecit. hoc concilium solam nuncupationem habet sacerdotalem, scientiam autem prauam atque profanam. hoc concilium contumax habet os et spiritum mendacio delibutum; nam ueritatem quidem finxit, in fallacia uero praesumpsit. hoc concilium sancta nostra synodus utpote *zizania* dominicae *areae*, id est ecclesiae catholicae, uentilauit et *uentilabro* diuini iudicii proiecit. ablata ergo sunt a catholica ecclesia et redarguta figmenta eius; uerum enim et rectissimum ecclesiae iudicium nec nouum fieri nec adimi in ea quicquam indulget.

Nos igitur paternas leges sequentes ab uno spiritu accepta gratia immutilate ac indiminute omnia quae ecclesiae sunt custodiuimus, quemadmodum sanctae sex uniuersales synodi tradiderunt, et quaecumque dimiserunt honoranda in catholica ecclesia absque omni cunctatione recipimus. ex quibus, ut dictum est, etiam imaginum factio Rom. 679

P VE

1 ad] a P | Apolenario VE Apollinario F *edd.* **2** Eutychete F *edd.* | et *om.* E *edd.* **4** imitantes ~ ἀπομαξάμενοι *(cf. LSJ s. u. III),* exprimentes *ed. Rom.*^{mg} | ipsis *ed. Rom. (cf. gr.)*: ipso *codd.* **6** eorum] peccatorum E *edd. (ex Vulg.); cf. app. crit. gr.* **9** enim] *nihil respondet in gr., fort. delendum* **10** scripsit P | consilium] concilium VE *(corr. ed. Rom.)* | conciliatum VE *(corr. ed. Rom.)* **11** fędera V federa E **15** solam] *Anast. fort. legit* μόνην (*cf. gr.* V) **16–17** mendacio delibutum ~ ψευδόχριστον *(Anast. ad uerbum uertere conatus est)* **17** in – praesumpsit] falsitatem uero libere docuit *ed. Rom.*^{mg}*, sed potius* ueritatem *subaudiendum* | uero *om.* E *edd.* **18** sancta nostra synodus] *cf. app. crit. gr.* **18–19** catholicae ecclesiae E *edd.* **22** immutilate ~ ἀκαινοτομήτως (illibate *p. 825,24;* sine ulla innouatione *ed. Rom.*^{mg}) | ac] et *ed. Rom.** **23** sex sanctae E *edd.* **24** quaecunque F (*abbr.* P E) *ed. Rom.* **25** recipimus P^{ac} (i *in* e *scr.* P^{c})

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:13 AM

Ma. 413 ταυτὸν γὰρ ἀμφότερα —, καὶ εἴ τις ταύτης τῆς ὁμολογίας ἔχεται, τῆς καθολικῆς ἐκκλησίας ἐστὶ γνήσιος υἱός τε καὶ μέτοχος. οὐκοῦν πάντα τὰ σκάνδαλα οἴχεται, πάντα ἠφάνισται· ἡ ἀλήθεια πολιτεύεται, τὸ ψεῦδος ἐξώρισται· ὁ σπορεὺς *τῶν ζιζανίων* τελείως ἐξέλιπεν, *ὁ* δὲ *σῖτος*, ὁ λαὸς ὁ φιλόχριστος, *εἰς* μίαν *ἀποθήκην* τῆς ἐκκλησίας Χριστοῦ συγκεκόμισται· τὸ τῆς ὀρθοδοξίας φῶς ἀνατέταλκε, τὸ τῆς πλάνης σκότος καθυποδέδυκεν· ἡ κατήφεια εἰς χαρὰν μετημφίασται, τὸ πένθος εἰς εὐφροσύνην μεταβέβληται, *ἐστράφη ὁ κοπετὸς εἰς χαρὰν* ἡμῖν· πάντα πρὸς τὸ κρεῖττον μεταπεφοίτηκε. διὸ καὶ ἡμεῖς ἀποστολικῶς ὑμῖν προσφθεγγόμεθα· *χαίρετε ἐν κυρίῳ, χαίρετε*, καὶ *πάλιν χαίρετε*· τριαδικὴν γὰρ χαρὰν ἡ τριὰς ἡμῖν ἐχαρίσατο. ᾗ πρέπει πᾶσα δόξα, τιμὴ καὶ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

3–5 ὁ — συγκεκόμισται cf. Mt. 13,24–30 et 36–40 **7** cf. Ps. 29,12 **8–9** cf. Phil. 3,1 et 4,4

1 ταυτὸν — ἀμφότερα cf. epist. ad imp. supra p. 862,25 **3–9** ἡ — ἐχαρίσατο ~ Conc. Const. III (sacra ad syn. Romae [CPG 9440]), ACO ser. II, II 2 p. 864,16–866,4

V T M *Can (= Ms Pe)* **3–9** *~ Conc. Const. III*

1 εἴ τις M *Can*: ὅστις T edd., om. V | ὁμολογήσεως Vc edd. | ἔχεται + καὶ V **2** υἱός om. M **4** τελέως V T *Ms* | σῖτος + ἤγουν *Pe* | φιλόχριστος] χριστώνυμος V ed.Rom.^{mg} **5** εἰσκεκόμισται *Conc. Const. III* **6** εἰς χαρὰν om. *Conc. Const. III* **7** μεταβέβληται om. *Conc. Const. III* | κρεῖττον + ἡμῖν *Ms* **8** ὑμῖν] ἡμῖν M *Pe* ὑμᾶς *Conc. Const. III* **9** καὶ πάλιν χαίρετε Vc (incertum in T, l. 8–9 ἡμεῖς — πάλιν om. Ml): καὶ πάλιν ἐρῶ χαίρετε *Can* (cf. *N. T.* et *Conc. Const. III*), om. V M | γὰρ χαρὰν] χαρὰν γὰρ *Pe* | γὰρ om. V **10** πᾶσα δόξα V M *Pe*: δόξα πᾶσα T *Ms* (nihil respondet in lat.) | καὶ om. V

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:13 AM

est. quas honoranter honoramus et salutamus – idipsum est enim utrumque –, et quisquis huic professioni haeserit, catholicae est ecclesiae germanus et particeps fi- PL 129, 477
lius. ergo omnia scandala recesserunt, omnia exterminata sunt; ueritas uiget, mendacium foras emissum est; sator *zizaniorum* prorsus defecit, frumentum autem, popu-
5 lus uidelicet Christi amicus, *in* unum *horreum* ecclesiae Christi allatum est; hortho- Ma. 414
doxiae lux orta est, erroris tenebrae sublatae sunt; mestitia in gaudium commutata est, luctus in laetitiam transductus est, *conuersus est planctus in gaudium* nobis; om- PL 129, 478
nia in melius transuecta sunt. propter quod et nos apostolice uobis pronuntiamus: *gaudete in domino*, gaudete <et *iterum gaudete*>; trinum enim gaudium trinitas no-
10 bis donauit. quam decet honor et imperium in saecula saeculorum. amen.

P VE

1 honoramus ~ προσκυνοῦμεν *(praeter consuetudinem* [*cf. e.g.* adorandas *supra p. 863,21*]*; fort. neglegentia interpretis); „gr.* adoramus“ *ed. Rom.*^{mg} | est enim] etenim *ed. Rom.*, sed cf. supra p. 863,23* **2** heserit VE **6** sublate *codd.* | maestitia *ed. Rom.** **7** traductus E *edd.* | conuersum est planctum P^{pc} (s *exp., abbr.* m *add. s.l.* P^{x} *bis*) V *(fort. ex Vulg.* conuertisti planctum meum *ortum)* **9** et iterum gaudete *add. ed. Rom. ex gr., recepi dubitanter* (καὶ πάλιν χαίρετε *fort. deerat in Anastasii exemplari graeco, cf. gr.* V M*;* iterum dico gaudete *Vulg. Phil. 4,4; cf. app. crit. gr.*) **10** et *om.* P | secula seculorum E (*abbr.* P V)

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 10:13 AM

Ma. 442 Λόγος ἐγκωμιαστικὸς τῇ ἁγίᾳ προσφωνηθεὶς συνόδῳ παρὰ Ἐπιφανίου διακόνου
PG 98, 1313 Κατάνης τῆς Σικελῶν ἐπαρχίας καὶ τοποτηρητοῦ Θωμᾶ ἀρχιεπισκόπου τῆς Σαρδῴων νήσου

Ὁ μακάριος προφήτης Ἡσαΐας θείῳ καταλαμπόμενος πνεύματι τὴν διὰ Χριστοῦ γεγενημένην τῶν ἐθνῶν ἀπολύτρωσιν εὖ μάλα προαναθεωρήσας καὶ τῶν δι᾽ αὐτοῦ σεσωσμένων τὴν πληθὺν οὐκ ἠγνοηκὼς προσπεφώνηκέ που ὡς ἐκ προσώπου τοῦ θεοῦ τοῖς κατὰ καιροὺς τῶν ἱερῶν λαχοῦσι ποιμνίων ἐπιστατεῖν τοιάδε· *πορεύεσθε διὰ τῶν πυλῶν μου καὶ ὁδοποιήσατε τῷ λαῷ μου καὶ τοὺς λίθους ἐκ τῆς ὁδοῦ διαρρίψατε*. τίνες δ᾽ ἂν νοοῖντο αἱ πύλαι ἢ τῆς θεοπνεύστου γραφῆς καὶ τῶν ἁγίων προφητῶν οἱ λόγοι; οὓς ὥσπερ τινὰς νοητὰς ἀναπτύσσοντες πύλας τῇ ἑρμηνείᾳ οἱ τῶν λογικῶν θρεμμάτων ποιμένες οὕτως αὐτὰ ἐπὶ τὴν εὐρεῖάν τε καὶ ἀληθινὴν ἀποφέρουσι θύραν, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τὸν ὄντως πρὸς τὸν πατέρα γινόμενον ἡμῖν θύραν, καθὼς αὐτός που φησίν· *ἐγώ εἰμι ἡ θύρα*. λίθοι δὲ πάλιν οἱ ἐν τῇ ὁδῷ προσριπτούμενοι τὰ ἐξ αἱρετικῆς τυχὸν συμμορίας ἂν εἶεν σκάνδαλα, ἃ καθάπερ τινὲς λίθοι τῇ ἡμετέρᾳ τῆς πίστεως παρατιθέμενα τρίβῳ τοὺς πρὸς τὴν ὄντως οὖσαν ὁδὸν ἰέναι θέλοντας δυσσεβῶς προσκόπτειν παρασκευάζει, τὸ ὅσον ἐφ᾽ ἑαυτοῖς τὴν ὁδὸν αὐτοῖς ἀποκλείειν σπουδάζοντες. ὁδὸς δὲ πάλιν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ταύτῃ ἂν νοοῖτο, καθὼς φησιν αὐτὸς ὅτι *ἐγώ εἰμι ἡ ζωὴ καὶ ἡ ὁδός*. οὕστινας δὴ αἱρετικοὺς λίθους οἱ τῶν ἱερέων ἐπιστήμονες προσφυῶς τε καὶ μάλα εὐτέχνως σὺν ὁδηγίᾳ τοῦ πνεύματος τῆς ἡμετέρας ὁδοῦ ἤτοι τοῦ τῆς πίστεως ἀποκαθαίροντες λόγου πέμπουσι μὲν αὐτοὺς πρὸς τὰς τῶν ῥιψάντων κεφαλάς, εὔκολον δὲ οὕτω καὶ τετριμμένην τοῖς ὑπὸ χεῖρα λαοῖς τὴν εἰς τὴν ὁδὸν ἰοῦσαν τρίβον ἀπεργάζονται, ὡς δύνασθαι φρονεῖν τε καὶ λέγειν· *ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐρρύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων· ἡ παγὶς συνετρίβη, καὶ ἡμεῖς ἐρρύσθημεν. ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι κυρίου*.

Ἰδοὺ τοιγαροῦν ἡ θεία τῶν ἱερέων ὁμήγυρις ἀκόλουθα ταῖς θείαις ἐντολαῖς παρ-
PG 98, 1316 άγουσα ἐνταῦθα συνέδραμε τὸ σεπτὸν τῆς οἰκονομίας Χριστοῦ ταῖς πατρικαῖς διδασκαλίαις ⟨διατάξαι καὶ⟩ διατρανῶσαι μυστήριον, οὐχ ὡς ἐν πρώτοις αὐτὸ τοῦτο τοῖς λαοῖς κηρυττόντων, ὅπου γε πρὸ ὀκτακοσίων ἐτῶν ἐγγύς που τῇ οἰκουμένῃ πάσῃ κεκήρυκται, τὸν δι᾽ αὐτοῦ δὲ μόνον σωτήριον σκοπὸν τελεσθέντα ταῖς γραφικαῖς ἑρμηνείαις τηλαυγεστάτως τοῖς λαοῖς ἀναπτυσσόντων καὶ τοὺς προσριφέντας αὐτῷ αἱρετικοὺς τῷ πνεύματι ἀποσκυβαλιζόντων λίθους — καὶ μάλα γε εἰκότως· ἴσασι γὰρ τὴν προφητικὴν φωνὴν αὐτοῖς ὡς ἐκ προσώπου τοῦ θεοῦ καὶ ἐν τούτῳ βοῶσαν· οἱ *ἱερεῖς, ἀκούσατε καὶ ἐπιμαρτύρασθε τῷ οἴκῳ Ἰσραήλ*, δῆλον δὲ ὅτι τῷ πνευματικῷ. οἷς δὴ καὶ ἡμεῖς συνδεδραμηκότες, ὡς καὶ αὐτοῖς συμφρονοῦντες, τῇ

7–9 Is. 62,10 **10–11** οἱ[2] — ποιμένες cf. Ioh. 10,27 (ad uerbum laudatur in eiusdem Epiphanii subscriptione Act. IV p. 492,1) **13** Ioh. 10,9 **18–19** cf. Ioh. 14,6 **23–25** Ps. 123,7–8 **34** Am. 3,13

1–896,26 de Epiphanii sermone laudatorio cf. praef. p. VIII–XI **10–11** οἱ[2] — ποιμένες cf. Epiphanii subscriptionem Act. IV p. 490,26

M **1–896,26** codd. HV T pro Epiphanii sermone laudatorio concilii actionem octauam quae dicitur substituerunt; quam posteriore aetate confectam esse arbitratus in appendice graeca (p. 967–969) edidi; cf. praef. p. VIII–XI

2 τῆς[2] om. Mansi **18** ἡ ζωὴ καὶ fort. posteriore aetate ex *N. T.* insertum; cf. lat. **26** τῶν θείων ἐντολῶν Mansi **28** διατάξαι καὶ suppl. Dubielzig coll. lat. **34** Ἰσραήλ est uar. lect. pro Ἰακώβ in *Sept.*[G]

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 9:51 AM

Sermo laudatorius sanctae pronuntiatus synodo ab Epiphanio diacono ecclesiae Katanae Siculorum prouinciae ac loci seruatore Thomae archiepiscopi Sardorum insulae

Rom. 691 Ha. 501 Ma. 441 La.-Co. 617

Beatus propheta Esaias, diuino accepto spiritu factam gentium per Christum redemptionem ualde bene praeuidens et eorum qui per ipsum saluandi erant multitudinem non ignorans, ut ex persona dei alicubi pronuntiauit his qui per singula tempora sacrorum sortiuntur praeposituram ouilium haec: ambulate *per portas* meas et ducite populum meum et *lapides* a uia proicite. quaenam intelliguntur portae nisi diuinitus inspiratae scripturae sanctorumque prophetarum uerba? quae nimirum quasi quasdam intellectuales portas rationabilium pastores pecudum interpretando aperientes sic eas ad latum et uerum adducunt ostium, dominum uidelicet nostrum Iesum Christum, qui uere ad patrem nobis factus est ostium, quemadmodum ipse ait quia *ego sum ostium*. porro lapides qui in uia proiecti sunt scandala forte sunt hereticae factionis, quae ueluti quidam lapides fidei nostrae semitae apposita eos qui ad Christum, qui uere est uia, properare uolunt impie impedire procurant, quantum in se est, iter eis salutis claudere festinantes. rursusque uia haec dominus utique noster Iesus Christus conicitur, sicut ipse ait quia *ego sum uia*. hereticorum ergo scandalis acsi quibusdam lapidibus sacerdotum peritissimi ingeniose satis et artificiose ductore spiritu a uia nostra, id est fidei ratione, purgatis non solum hos contra capita eorum qui illos iecerant mittunt, uerum etiam hoc modo semitam quae ducit ad uiam subiectis plebibus facilem et tritam efficiunt, ita ut possint sapere ac dicere: *anima nostra sicut passer erepta est de laqueo uenantium. laqueus contritus est, et nos liberati sumus. adiutorium nostrum in nomine domini.*

PL 129, 489

En igitur diuinus sacerdotum conuentus dominicorum mandatorum sequax huc ad uenerabile dispensationis Christi mysterium paternis doctrinis ordinandum et enucleandum concurrit, non quasi hoc ipsum primum plebibus praedicauerint, cum ante octingentos ferme annos in orbe toto fuerit praedicatum, sed quod tantum salutare consilium quod per eum consummatum est scripturae diuinae interpretationibus lucidissime populis adaperuerint et hereticos ab ipso petris allisos spiritu ceu stercora ualde congrue reputauerint; nouerunt enim propheticam uocem sibi quasi ex persona dei etiam in hoc clamantem: sacerdotes, *audite et contestamini* domui Israhel, haud dubium quin spiritali. quibus et nos quoque concurrentes, utpote quod in ipsis est pariter sentientes, splendido huic choro congratulamur, et prae desiderio mentis pen-

Rom. 692

P VE

2 Catane E Catanae *ed. Rom.** | seruatore] sere *(sic)* P | Thome *codd.* **4** Isaias P *(praeter consuetudinem) ed. Rom.** **11** uidelicet dominum *ed. Rom.** **12** hostium V^{ac} (h *exp.*) E **14–15** ad – uia] *Anast. eadem aliter uertit infra l. 20)* **15** uera *ed. Rom.*, sed cf. gr.* | se ~ ἑαυτοῖς **16** haec] *Anast.* αὕτη *pro* ταύτῃ *legisse uidetur* **16–17** utique … conicitur ~ ἄν νοοῖτο *(cf. e.g. Act. VI p. 735,10)* **17** ego sum] esum *(sic)* P **19** hos] os P^{ac} (h *add.* P^{c} *s.l.*) | contra] purgata P^{ac} *(subterlin.,* contra *add.* P^{c} *s.l.)* **24** conuentus] uentus *(sic)* VE (*corr.* F^{2}) **25** dispositionis P^{ac} (i^{2} *exp.,* nsa *superscr.* P^{c} [*sic*]) **26** primum *ed. Rom.*: prius *codd.* **27** octogintos P^{ac} (in *et* e *superscr.* P^{c}) **28** diuinae scripturae *ed. Rom.** **29** adaperuerunt *ed. Rom.** | hereticos – allisos] *Anast. uerba* τοὺς προσριφέντας … λίθους *male intellexit (exspectaueris* hereticas ipsi illatas petras *uel sim.)* | spiritus seu *ed. Rom.** (*corr. La.-Co.*^{mg} *ex* P) **29–30** stercora … reputauerint ~ ἀποσκυβαλιζόντων, ualde congrue ~ καὶ μάλα γε εἰκότως **30** congruere VE *edd.* (*corr. La.-Co.*^{mg} *ex* P) | putauerint V *edd.* **31** Israel F *edd.* **33–881,1** pennam] poenam *ed. Rom. (corr. ed. Reg.)*

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 9:51 AM

φαιδρᾷ ταύτῃ γαννύμεθα χορείᾳ, καὶ ὑφ᾽ ἡδονῆς τὸ τῆς διανοίας πτερὸν ἀνακινού-
Ma. 443 μενοι τὰ κατὰ δύναμιν αὐτῇ συνεισβάλλειν προθυμούμεθα καὶ τοῖς τῷ καιρῷ πρέ-
πουσι λόγοις τὸ παρὸν τοῦτο συγκροτῆσαι θέατρον καὶ τοῖς τῶν ἐγκωμίων ἄνθε-
σιν αὐτὸ στεφανῶσαι. οὐδὲν γὰρ κωλύει, εἰ καὶ τοῦ λίαν ὑπερτελοῦς διὰ πενίαν
ἴσως καὶ νοὸς ἀσθένειαν οὐκ ἐφικνούμεθα, τὰ δέ γε ἡμῖν ἐφικτὰ συνεισηνέγκαι· πολ- 5
λάκις γὰρ καὶ μικρὰ ψηφὶς μεγάλοις ὑποβληθεῖσα λίθοις τὸ ὅσον ἐπ᾽ αὐτῇ τὸ ἀσά-
λευτον τούτοις προσεποιήσατο. τίς τοίνυν ἐστὶν ὁ ἡμέτερος λόγος, ἐν μέσῳ προ-
ΐτω τοῖς θείοις ὑμῖν τραπεζίταις σὺν εὐμενείᾳ πολλῇ δοκιμαζόμενος.

Σκοπὸς τῇ θεοπνεύστῳ γραφῇ, ὦ ἱερώτατον σύστημα, ἄνω τε καὶ κάτω τὸν κατ᾽
εἰκόνα θεοῦ γεγενημένον ἄνθρωπον εἰς τὸ εὐθὲς ἀντισώσασθαι καὶ τὴν εἰς τὸ ἀρχέ- 10
γονον κάλλος ἀναφοίτησιν, ὃ διὰ ἀπροσεξίας ἀφῄρηται, πάλιν δι᾽ ἐπιμελείας αὐτῷ
πραγματεύσασθαι. τοῦτο αἵ τε παραφυλακαὶ τῶν νομικῶν ἐνταλμάτων αἵ τε ὡς ἐν
ἱστορίας τρόπῳ τῶν εὖ ἢ ἑτέρως τῷ βίῳ ἐμπολιτευσαμένων ἀνθρώπων ὑφηγήσεις
αἵ τε ψαλμικαὶ ἱερολογίαι αἵ τε παροιμιώδεις διδασκαλίαι τὴν ἠθικὴν ἡμῖν ἐπεξ-
ηγούμεναι φιλοσοφίαν διὰ πολλῆς φροντίδος τεθείκασιν. ἀλλ᾽ οὐχ οἵα τε γέγονεν 15
αὐτὴ ἑαυτὴν ἡ εὐόλισθος ἡμῶν καὶ τῇ ἁμαρτίᾳ ὑπελθοῦσα φύσις εἰς τὸ ἐξ οὗπερ
πέπτωκεν ἐν Ἀδὰμ ἀρχικώτατον ἀνακομίσασθαι ἀξίωμα, δεδέηται δὲ μᾶλλον ἄλλης
τινὸς εὐσθενοῦς τε καὶ ἀκαταμαχήτου κρείττονος δυνάμεως, ἥτις αὐτὴν τῶν ἐξ
ἀσθενοῦς προαιρέσεως ἐμφυεισῶν αὐτῇ κηλίδων ἐξιάσοιτο καὶ πρὸς τὸ ῥωμαλεώ-
τερον μετά τινος φιλοτίμου προσθήκης ἀνθυπονοστήσει. 20

Τοῦτο τοιγαροῦν εἰδυῖα ἡ θεία τε καὶ πνευματοκίνητος τῶν προφητῶν χορεία —
ἄλλος ἄλλοθί που — τῶν τοιούτων αὐτῇ ἀγαθῶν τὰς ἀγγελίας φέρουσα — ἐν τοῖς
ἑαυτῶν ἕκαστος καιροῖς — διηγόρευε τὸν συναΐδιον καὶ ὁμοούσιον τοῦ θεοῦ καὶ πα-
τρὸς υἱὸν καὶ λόγον περιουσίᾳ ἀγαθότητος εἰς τὴν ἡμετέραν ἐσχατιὰν ἀφιχθέντα
τὴν ἡμῶν τελείως ἀμφιάσασθαι φύσιν καὶ ταύτην τῷ ἀΰλῳ καὶ ἀοράτῳ πυρὶ τῆς 25
αὐτοῦ θεότητος εἰς τὸ ἀρχαῖον ἀναχαλκεῦσαι, ἄλλος μὲν τὴν ἀνύμφευτον σύλληψιν
καὶ τὸν ἀμώμητον καὶ παρθενικὸν τοκετὸν ἀνακηρύττων, ἕτερος τὴν τῆς ἐπικρα-
PG 98, 1317 τησάσης *ἀπὸ τῆς ἐν Ἀδὰμ παραβάσεως* καὶ *μέχρι* τοῦ *νόμου* σατανικῆς πλημμελείας
ἀδυναμίαν παντελῆ ὀλόθρευσίν τε καὶ ἐκμείωσιν, ἄλλος τὴν αὐτοῦ τοῦ σατανᾶ με-
τὰ καὶ τῶν συναποστατησάντων αὐτῷ δαιμόνων ὀλεθρίαν ὑπόπτωσιν ἀπὸ προσ- 30
ώπου τοῦ φανησομένου θεοῦ καὶ τὴν τῶν λελυτρωμένων ἡμῶν ὑπὲρ τῶν εἰς ἡμᾶς
πραχθησομένων δαψιλεστάτων ἀγαθῶν ἀναφαίρετον εὐχαριστίαν τῷ λυτρωσαμένῳ
κομισθησομένην, ἕτερος τὸ ἑκούσιον τοῦ σαρκωθέντος θεοῦ πάθος καὶ τὴν εἰς ᾅδου
κάθοδον καὶ αὖθις τὴν ἐξ ᾅδου εὐσθενῆ ἀνακομιδὴν μετὰ τῶν τοῖς ἀφύκτοις ἐκείνου

9–10 τὸν — ἄνθρωπον cf. Gen. 1,26–27 **26–27** τὴν — τοκετὸν cf. Is. 7,14 **27–29** τὴν — ἐκμείωσιν cf. Rom. 5,13–15 **29–31** τὴν — θεοῦ cf. Lc. 10,18

8 τραπεζίταις cf. Lampe s.u. **10–11** τὴν — ἀναφοίτησιν cf. Greg. Nyss. anim. et res. (CPG 3149) p. 121,2–3 Spira/Mühlenberg **14** ψαλμικαὶ ἱερολογίαι cf. (Ps.-) Dion. Ar. eccl. hier. (CPG 6601) III p. 80,11 Heil/Ritter al.

M

1 τὸ om. Mansi **2** αὐτῇ (sc. χορείᾳ)] αὐτῷ Mansi **4–5** πενίας … ἀσθενείας Mansi **6** καὶ] δὲ Mansi **8** ὑμῖν Dubielzig (cf. lat.): ἡμῖν M | εὐμενία M, corr. Mansi **9** Σκοπὸς] κοπὸς M (σ relinquens rubricatori), corr. Mansi **11** αὐτῷ scripsi coll. lat.: αὐτὸ M **13** συμπολιτευσαμένων Mansi **18** τε om. Mansi **22–23** ἄλλος — καιροῖς] locus difficilis, fort. corruptus (cf. lat.) **22** αὐτῇ] sc. τῇ ἡμετέρᾳ φύσει **23** ἑαυτῶν] fort. ἑαυτοῦ scribendum **25** τελείαν Mansi **26** ἀναχαλκῶσαι Mansi **27** τὸν] τὴν Mansi ex ed. Rom. (uide app. crit. lat.) | παρθενικὴν Mansi (corr. PG) **28** τῆς] τὴν Mansi (corr. PG) **29** ἐκμείωσιν scripsi coll. p. 882,35 al.: μείωσιν M

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 9:51 AM

nam mouentes quod possibile est ei conferre satagimus, et uerbis tempus decentibus praesens celebrare ac praeconiorum hoc floribus coronare studemus spectaculum. nihil enim prohibet, licet ad id perfecte prae inopia fortassis et infirmitate sensus pertingere nequeamus; quae tamen nobis sunt possibilia conferre maturamus; saepe namque paruus calculus magnis commissus lapidibus, quantum in se fuit, his immobilitatem se contulisse simulauit. quis autem noster sit sermo, in medium proferatur a diuinis uobis trapezitis benignitate multa discutiendus et diuinitus inspirata scriptura probandus. Ma. 444 PL 129, 490 Ha. 502 La.-Co. 618

O sacratissima statio, sursum atque deorsum hominem ad imaginem dei factum ad rectitudinem iterato saluate et reditum ad originalem pulchritudinem, quae per incuriam sublata est, rursus per curam ei mercamini. hoc enim siue obseruationes legalium mandatorum siue relationes hominum, qui more historiae bene aliterue in saeculo conuersati sunt, siue sacra psalmorum eloquia siue prouerbiales doctrinae moralem nobis narrantes philosophiam per multam sollicitudinem exposuerunt. sed inpossibile erat facile lapsam peccatoque summissam naturam nostram in se antiquissimam, ex qua cecidit in Adam, recipere dignitatem; quae uidelicet potius eguit alia quadam robusta et inexpugnabili meliori uirtute, quae illam ex infirmo ulcerum sibi turgentium proposito sanaret et ad robustiorem ualetudinem cum quodam liberali augmento reduceret.

Hoc igitur cum sciret diuino spiritu motus prophetarum chorus, alibi aliterque talium ei bonorum nuntia protulit, in suo tempore unus quisque praedicans consempiternum et consubstantialem dei patris filium et uerbum diuitiis bonitatis suae ad nostram extremitatem profectum nostram perfecte induisse naturam et hanc inuisibili et qui sine materia est igne diuinitatis suae in antiquitatem reformasse, alius quidem innuptam conceptionem et inmaculatum ac uirginalem partum praedicans, alius uero potentatus omnimodum exterminium et imminutionem *praeuaricationis*, quae optinuit *ab Adam* et in Adam facta est *usque ad legem*, atque diabolici simul *delicti*, alius autem eiusdem satanae ac daemonum qui cum eo apostatae facti sunt exitialem ruinam a facie apparentis dei atque incomparabilem gratiarum actionem redemptori offerendam a nobis, qui redempti sumus, super largissimis bonis quae in nobis patrata sunt, ast alius uoluntariam incarnati dei passionem et in infernum descensionem et rursus ex inferno ualidum reditum cum animabus quae ineuitabilibus illius uincu-

P VE

1 est *om.* P **1–2** uerbis – spectaculum] *Anast. liberius uertit* **3** sensus ~ νοὸς *(ut saepe, cf. etiam Vulg. Rom. 1,28 al.)* **4** maturamus *Anast. constructione uerborum male perspecta de suo addidit* **6** se contulisse simulauit ~ προσεποιήσατο*?* | autem ~ τοίνυν*?* **7–9** discutiendus – statio] *incertum quid Anast. legerit uel intellexerit in gr.* (σκεπτέος *pro* σκοπὸς *eum legisse suspic. Dubielzig*) **7** discutientibus P **10–11** iterato – mercamini] *Anast. uertit* ἀντισώσασθε (*uel* αὖτις σώσασθε) … πραγματεύσασθε **11** mereamini *ed. Rom.** (mercamini *La.-Co.*^{mg} *ex* P) **15** impossibile VE *edd.* **17** uirtute ~ δυνάμεως *(ut saepe)* **18** liberali (~ φιλοτίμου*, cf. Gloss.*) VE: liberari P **20** alibi aliterque] *Anast. uertit* ἄλλως *pro* ἄλλος *uerborumque ordinem mutauit* **21** unius P^{ac} (i *exp.*) | praedicens *codd., corr. Dubielzig (cf. infra l. 25 et p. 889,29)* **22** diuitiis] diuinitus P^{ac} (nitus *subterlin.*, tiis *superscr.* P^{c}) **24** in antiquitatem ~ εἰς τὸ ἀρχαῖον *(sic etiam infra p. 885,1)* **25** immaculatam *ed. Rom.** **26–27** potentatus – delicti] *incertum quid Anast. legerit uel intellexerit in gr.* (δυναστείαν *pro* ἀδυναμίαν *eum uertisse suspic. Dubielzig*) **26** potentatus *scripsi dubitanter* („*f.* potentatuum“ *ed. Reg.*^{mg}): potentatum *codd.* **27** obtinuit P *(praeter consuetudinem)* E *edd.* | est *fort. delendum; cf. gr.* **28** demonum P E | apostate P E **29** apparentis ~ φανησομένου*?* | incomparabilem ~ ἀναφαίρετον*? melius infra p. 883,13* non auferendorum *(Dubielzig)* **30** auferendam E afferendam F^{2} *edd.* **32** illius *scripsi coll. gr.*: illis *codd.* „*forte* illic“ *Hard.*^{mg}

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 9:51 AM

δεσμοῖς κατεχομένων ψυχῶν, ἄλλος τὴν ἀφ᾽ ἡμῶν πρὸς τὸν ἐν οὐρανοῖς αὐτοῦ πατέρα ἔνδοξον ἀναφοίτησιν καὶ τὴν ἀμφὶ τὰ δεξιὰ τοῦ πατρὸς ἵδρυσιν, ἕτερος τὴν ἐξ οὐρανοῦ καταπτᾶσαν ἡμῖν τοῖς εἰς αὐτὸν πιστεύσασιν ἄφθονον τοῦ πνεύματος ἐπιφοίτησιν καὶ τὴν εἰς πάντα τὰ ἔθνη τοῦ εὐαγγελικοῦ κηρύγματος ταχυτάτην περίοδον καὶ τὴν ἐντεῦθεν γεγενημένην τῶν ἀνὰ τὴν οἰκουμένην εἰδώλων παντελῆ ὀλό-
Ma. 446 θρευσιν διὰ τῆς πρὸς τὸν ἕνα καὶ μόνον ἀληθινὸν θεὸν ἡμῶν καθαρᾶς ἀνανεύσεως καὶ τῆς ἀνενδότου καὶ διηνεκοῦς πρὸς ὅλων ἀναστησομένης αὐτῷ κατὰ πάσης τῆς γῆς νοερᾶς τε καὶ πνευματικῆς λατρείας. ἅτινα πάντα τοῖς ἑαυτῶν καιροῖς τῇ ἀληθείᾳ συνεπεράνθησαν καὶ τέλος εὐκλεέστατον ἐδέξαντο.

Ἄκουσον τοιγαροῦν τοῦ Παύλου μεγαλοφώνως ἐμβοῶντος καὶ τὴν ἀλήθειαν τούτοις ἐπισφραγίζοντος· *θεὸς ἐφανερώθη ἐν σαρκί, ἐδικαιώθη ἐν πνεύματι, ὤφθη ἀγγέλοις, ἐκηρύχθη ἐν ἔθνεσιν, ἐπιστεύθη ἐν κόσμῳ, ἀνελήφθη ἐν δόξῃ*. ὢ τῆς τοῦ διδασκάλου μεγαληγορίας. *θεός*, φησίν, *ἐφανερώθη ἐν σαρκί*, τὸ πάντων τῶν ἀγαθῶν αἴτιον, ἡ ἀνέκλειπτος δωρεά, ὁ διαρκέστατος πλοῦτος, ἡ ἀένναος τῶν ἀναφαιρέτων χαρισμάτων πηγή, ἡ ἀκόρεστος τῶν πεινώντων τροφή, *ὁ ἐξ οὐρανοῦ* ζωοποιὸς *ἄρτος*, τὸ ἀένναον τῶν διψώντων ῥεῖθρον, ἐξ οὗ *ὁ πίνων οὐ μὴ διψήσῃ εἰς τὸν αἰῶνα*. οὗτος *ἐφανερώθη ἐν σαρκί*, ἀλλὰ καὶ τῷ *κόσμῳ*, φησίν, *ἐπιστεύθη*. πῶς *ἐπιστεύθη ἐν κόσμῳ*; εἰπέ, ὦ μακαριώτατε Παῦλε, μύησον καὶ ἡμᾶς ἐκ τῶν *ἀρρήτων* ἐκείνων φωνῶν, ὧν ἐν τοῖς ἀδύτοις *τοῦ παραδείσου* ἐμυήθης· πρόστηθι καὶ νῦν τοῦ κηρύγματος οὗ ἐπιστεύθης εἰς πάντα τὰ ἔθνη κηρύξαι καὶ ἀπόστολος γενέσθαι· πήγασον τῇ παρούσῃ ἐκκλησίᾳ *τὸν τῆς ἀληθείας λόγον* καὶ σβέσον τὰς νοητὰς τῶν αἱρετιζόντων ὄψεις, ὥς ποτε *Ἐλύμα τοῦ μάγου*· τράνωσον μετὰ παρρησίας τὸ τῆς οἰκονομίας μυστήριον. λαλεῖς γὰρ καὶ μετὰ θάνατον φωνῆς ὑψηλότερον καὶ ἐνεργεῖς τῷ πνεύματι ὅσα καὶ βούλει. *,ναί'*, φησὶν ὁ διδάσκαλος, *,ἐμοὶ τῷ ἐλαχιστοτέρῳ πάντων ἁγίων ἐδόθη ἡ χάρις αὕτη, ἐν τοῖς ἔθνεσιν εὐαγγελίσασθαι τὸν ἀνεξιχνίαστον πλοῦτον τοῦ Χριστοῦ καὶ φωτίσαι πάντας τίς ἡ οἰκονομία τοῦ μυστηρίου τοῦ ἀποκεκρυμμένου ἀπὸ τῶν αἰώνων*
PG 98, 1320 *ἐν τῷ θεῷ τῷ τὰ πάντα κτίσαντι*. τοιγάρτοι ἀκούσατε· *ἐπιστεύθη*, εἶπον, *ἐν κόσμῳ, ἀποκαταλλάξας τὰ πάντα εἰς* ἑαυτὸν καὶ *εἰρηνοποιήσας διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ εἴτε τὰ ἐπὶ τῆς γῆς εἴτε τὰ ἐν τοῖς οὐρανοῖς.'* ὢ τοῦ ὑψηλοῦ τούτου κηρύγματος. ὢ τῆς ἀνεκδιηγήτου ταύτης φιλανθρωπίας. ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ *τὰ πάντα εἰς* ἑαυτὸν *ἀποκαταλλάξας εἰρηνοποίησε διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ*. καὶ πῶς τινες μετὰ τὴν τοσαύτην ἀνέκφραστον καταλλαγὴν ὑπὸ χεῖρα τῶν πάλαι στασιαστῶν ἐχθρῶν ἡμᾶς γενέσθαι διϊσχυρίζονται; πῶς μετὰ τὴν εἰς τὸν ἕνα καὶ μόνον ἀληθινὸν θεὸν ἐπίγνωσιν εἰδώλοις τοὺς χριστιανοὺς προσκυνῆσαι εἰπεῖν τετολμήκασι, καίτοι τοῦ προφήτου τὴν παντελῆ τούτων ἐκμείωσιν ὥσπερ ἀναβοῶντος καὶ λέγοντος· ἐν τῇ ἡμέρᾳ ἐκείνῃ *ἐπιφανήσεται κύριος καὶ ἐξολοθρεύσει τοὺς θεοὺς τῶν ἐθνῶν τῆς γῆς, καὶ προσκυνήσουσιν αὐτῷ, ἕκαστος ἐκ τοῦ τόπου αὐτοῦ, πᾶσαι αἱ νῆσοι τῶν ἐθνῶν*; ἀκούεις τὴν ἡλίκην τῶν πολλῶν θεῶν καταστροφὴν καὶ

---

8 νοερᾶς – λατρείας cf. Rom. 12,1 et Phil. 3,3 **11–12** 1 Tim. 3,16 **15** cf. Ioh. 6,33–35 **16** cf. Ioh. 4,14 **18–19** ἐκ – ἐμυήθης cf. 2 Cor. 12,4 **21** cf. Eph. 1,13; 2 Tim. 2,15 | σβέσον – ὄψεις cf. 2 Cor. 4,4 **21–22** ὥς – μάγου cf. Act. 13,8 **23** λαλεῖς – ὑψηλότερον cf. Hebr. 11,4 et 12,24 **23–24** ἐνεργεῖς – βούλει cf. 1 Cor. 12,11 **24–27** ἐμοὶ – κτίσαντι Eph. 3,8–9 **27** ἐπιστεύθη – κόσμῳ 1 Tim. 3,16 (uide supra) **28–29** ἀποκαταλλάξας – οὐρανοῖς cf. Col. 1,20 **36–38** Soph. 2,11

M

6 πρὸς τὸν] πρῶτον Mansi **7** ὅλων suspectum (cf. lat. *nobis*) **14** διαργέστατος Mansi διαυγέστατος PG **19** ἀδύτοις] ἀφύκτοις Mansi male (fort. ex p. 880,34) **24** ναί] καὶ M, corr. Dubielzig coll. lat. et Act. 22,27 **28** ἑαυτὸν] αὐτὸν *N. T.*, sed cf. infra l. 31 **36** ἐξολοθρεύσει + πάντας *Sept.*

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 9:51 AM

lis tenebantur, alius uero gloriosum a nobis ad patrem, qui in caelis est, regressum et ad patris dexteram sessionem, alius autem descendentem de caelo nobis collatum, qui in illum credidimus, sine inuidia spiritus aduentum et in omnes gentes euangelicae praedicationis circuitum uelocissimum et, quod hinc factum est, per orbem terrarum idolorum omnimodum exterminium per mundam reuersionem ad unum et solum uerum deum nostrum effectam atque inpraetermissam et iugem latrian quae illi a nobis per uniuersam terram intelligibiliter et spiritaliter exhibetur. quae omnia ueritate temporibus suis terminata sunt et finem gloriosissimum susceperunt. Ha. 503 PL 129, 491

Audi igitur Paulum magna uoce clamantem et ueritatem istis corroborantem: deus *manifestatus est in carne, iustificatus est in spiritu, apparuit angelis, praedicatus est gentibus, creditus est in mundo, assumptus est in gloria*. o magnum doctoris affatum! deus, inquit, *manifestatus est in carne*, quod est omnium bonorum causa, indeficiens donatio, sufficientissimae diuitiae, perennis non auferendorum charismatum fons, insatiabilis esurientium esca, uiuificus de caelo panis, iugis sitientum riuus, ex quo qui biberit non sitiet in aeternum. hic *manifestatus est in carne*, sed et *mundo*, ait, *creditus est*. quomodo *creditus est in mundo*? dic, beatissime Paule, imbue et nos ex arcanis illis uocibus quibus in adytis paradisi imbutus es; incumbe etiam nunc praedicationi cuius creditus es in omnes gentes praedicator et apostolus fieri; infunde praesenti ecclesiae *ueritatis uerbum* et extingue spiritales hereticorum uisus, ut quondam Helymae magi; exprime cum fiducia dispensationis mysterium. loqueris enim etiam post mortem uoce excellentius et operaris spiritu quaecumque uis. ‚etiam', inquit doctor, *‚mihi minimo omnium sanctorum data est gratia haec, in gentibus* euangelizandi scilicet *inuestigabiles diuitias Christi et* illuminandi *omnes* ac docendi *quae sit dispensatio* mysterii *absconditi a saeculis in deo qui omnia creauit*. quapropter audite: *creditus est*, dixi, *in mundo*, *reconcilians omnia in* semetipso et *pacificans per sanguinem crucis* suae *siue quae in terra siue quae in caelis sunt*.' o sublimem hanc praedicationem! o inenarrabilem istam misericordiam! unigenitus filius dei *omnia in* se ipso *reconcilians pacificauit per sanguinem crucis* suae. et quomodo quidam post tantam ineffabilem reconciliationem nos fieri priorum seditiosorum inimicorum affirmant? quomodo post unius et solius ueri dei agnitionem adorare idola christianos dicere ausi sunt? praesertim cum propheta omnimodam horum comminutionem quodammodo clamet et dicat: in die illa apparebit *dominus* et exterminabit *deos* gentium *terrae*, *et adorabit eum* unusquisque *de loco suo, omnes insulae gentium*. ecce subuersionem idolorum et deo celebrandam adorationem ab unoquoque de loco suo audiuimus. quomodo igitur nos qui hoc agimus idololatrian exercere accusamur? Ma. 445 La.-Co. 619 Rom. 693

P VE

1 qui] quæ P V **2** collatum ~ καταπτᾶσαν? **3** credidimus (~ πιστεύσασιν)] credimus *ed. Rom.** | sine inuidia ~ ἄφθονον **6** latriam E *edd.* **6–7** nobis] *Anast. uertit* ἡμῶν **9** istam F^2 *edd., sed cf. gr.* **11** magnum *scripsi coll. gr.*: magni *codd.* | affatum P *(inde La.-Co.^{mg})*: affectum VE *edd.* **12** inquid P V **13** diuitiae] diuine P^{ac} (ne *subterlin.*, tiæ *superscr.* P^{c}) | perhennis VE **15** hic] his *ed. Rom.** **16** est²] sit P | beate V *edd.* **17** archanis VE | aditis V abditis E *edd.* | paradysi P | imbututus P^{ac} (tu¹ *del.* P^{x}) | incumbe] imbue *ed. Rom.** *(cf. Crimi, Per un'edizione p. 380)* **17–18** praedicatione *ed. Rom.** **19** praesente P^{ac} (*in* e³ *scr.* i P^{x}) | et *om. ed. Rom.** **20** Helimę E Elymae *ed. Rom.** **21** uoce *scripsi coll. gr.*: uoces *codd.* | operaris + in F *edd., sed cf. gr.* | etiam² ~ ναί *(cf. gr. et Vulg. Act. 22,27)* **22** michi VE **23** uidelicet *ed. Rom.** | inuestigabiles *(uar. lect. in Vulg.)*] inuestigales *(sic)* P **24** in deo] a domino E *edd.* **26** celis *codd.* | sublimen P V *(fort. retinendum, cf. Stotz III, VII § 249.2)* **33–35** ecce – audiuimus] *incertum quid Anast. legerit in gr.* **35** ydolatriam V idololatriam *ed. Rom.**

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 9:51 AM

τὴν ἐξ ἁπάσης τῆς γῆς, ἕκαστον ἐκ τοῦ τόπου αὐτοῦ τῷ θεῷ ἀποτελοῦντα, προσκύνησιν. πῶς τοίνυν ⟨ἡμεῖς⟩ οἱ τοῦτο πράττοντες εἰδωλολατρεῖν αἰτιώμεθα; τίς δὲ ὅλως καὶ ἴσχυσεν εἰς τὸ ἀρχαῖον τὴν τῶν εἰδώλων πλάνην ἐπὶ γῆς ἐπανακαινίσαι; εἰ μὲν γὰρ οἱ διὰ τούτων θεραπευόμενοι πονηρότατοι δαίμονες τοῦτο ποιῆσαι δεδύνηνται, πῶς οὐκ ἀνατραπήσεται ὅλον τὸ τῆς οἰκονομίας μυστήριον, τῆς ἁγίας διαρρήδην βοώσης γραφῆς ὅτι *ἐπάταξε τοὺς ἐχθροὺς αὐτοῦ εἰς τὰ ὀπίσω* [δῆλον δὲ ὅτι Χριστὸς] καὶ *ὄνειδος αἰώνιον ἔδωκεν αὐτοῖς*; πάντως γὰρ ⟨δῆλον⟩ ὅτι ὁ δυνάμενός τι ἐνεργεῖν οὐκ ἐν τοῖς τεθνεῶσιν, ἀλλ᾽ ἐν τοῖς ζῶσιν ἔτι κατατέτακται. πῶς δὲ καὶ αὐτὸς τοὺς ἰδίους ἐπιθαρρύνων μαθητὰς καὶ πρὸς πᾶν ὁτιοῦν τῶν δυσχερῶν ἀνδρικῶς ἰέναι παρακελευόμενος ἐπαληθεύσει λέγων· *θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον*; εἰ γὰρ οὓς νικῆσαι ἐκεῖνος ἐπήγγελται τοῦτο ἐκεῖνοι ἴσχυσαν διὰ τῆς ὧν ἀφῃρέθησαν ἀνταναρρύσεως, οὐδ᾽ ἂν τὸ τοιοῦτον ὀνομασθήσεται νίκη οὐδ᾽ ἂν ταῖς εἰς ἀνδρείαν ἀριστείαις κατατετάξεται. πῶς γὰρ νίκη ἡ τοὺς λυτρωθέντας εἰς τέλος μὴ ἀποκερδήσασα, ἀλλὰ τοῖς ὁμοίοις ὑπὸ τῶν προτέρως ἡττημένων ὑποβληθεῖσα παλαίσμασι; καίτοι γε οὐδὲ τοῖς ὁμοίοις, πολλοῦ γε καὶ δεῖ· τὸ γὰρ κτήσασθαί τι καὶ ἀπολέσαι πλέον ἔμοι γε τοῦ τὸ ἀφῃρημένον ἀντικατασχεῖν εἰς ἀνανδρείας κατηγορηθήσεται λόγον.

Ma. 447

Ποῦ δὲ καὶ ἄρα τὰς τῶν εἰδώλων στάσεις οἱ τοῦτο λέγοντες τεθεᾶσθαί φασιν; εἰ μὲν ἐν τοῖς ἀρχαίοις τῶν δαιμονικῶν τεμενῶν ἱδρύμασιν, οὔ πω τοῦτο τοῖς χριστιανοῖς εἰς λόγον ἐγκλήματος προστριβήσεται· ὁρῶμεν γὰρ λείψανά που ἐνιαχοῦ τῶν πάλαι εἰδωλικῶν τεμενῶν παρὰ τῶν παλαιῶν ἐγκαταλελειμμένα πρὸς θρίαμβον, οἶμαί που, τῶν ἐν τούτοις ἐπιθυσάντων καὶ μέντοι καὶ πρὸς μνήμην ἡμῶν τῶν λελυτρωμένων εἰς εὐχαριστίαν ἡμᾶς ἐνάγουσαν διὰ τῶν ὁρωμένων ἐξιτήλων μορφωμάτων· ἐκ ποίων τὸ χριστιανῶν γένος βδελυκτῶν σεβασμάτων διὰ Χριστοῦ ἐκλελύτρωται. εἰ δὲ δὴ ἐν ταῖς χριστιανικωτάταις ἡμῶν ἐκκλησίαις ταῦτά φασιν εὑρηκέναι — ὢ τῆς ἐντεῦθεν ἀτοπίας, ὢ τῆς παγκάκου βλασφημίας· πῶς γάρ, ἔνθα *Χριστὸς κεφαλὴ* καὶ *θεμέλιός* ἐστι κατὰ τὸν σοφώτατον Παῦλον, τοῦτο γενέσθαι δεδύνηται; ἐψεύσθημεν ὄντως χριστιανοὶ τῆς ἐλπίδος. πεφενακίσμεθα δὲ καὶ ταῖς τῶν κηρύκων φωναῖς, οἵ γε θεὸν ἡμῖν τῆς τῶν δαιμόνων πλεονεξίας ἡμᾶς ἀπαλλάττοντα ἐπιδεδημηκέναι τῷ βίῳ κεκηρύχασι. πῶς δὲ ὅλως τοῦτο καὶ ἴσχυσαν; ἆρα γάρ, ἐροίμην ἂν τοὺς οὕτως φρονοῦντας, ὡς τοῦτο τῆς *κεφαλῆς* ἡμῶν παραχωρούσης γεγένηται ἢ τυχὸν θελούσης μὲν μὴ γίνεσθαι, μὴ δυναμένης δὲ ἐπαμῦναι; καὶ πῶς οὐκ ἐπέκεινα τοῦτό γε πάσης βλασφημίας; εἰ γάρ ἐστιν ἀληθὴς ὁ ἱερώτατος Παῦλος *Χριστὸν θεοῦ δύναμιν καὶ θεοῦ σοφίαν* ὀνομάζων τὸν υἱόν, πῶς ἄρα καὶ ἴσχυσε τὴν τοῦ πατρὸς ἀκαταμάχητον δύναμίν τε καὶ σοφίαν τὴν πᾶσι τὸ εἶναι διδοῦσαν τῶν ὄντων κατευμεγεθῆσαί τι; δῆλον γὰρ ὅτι, εἰ τοῦτο ταύτῃ συμβέβηκεν, οὐδὲ τὸν οὗ ἐστι ταῦτα τῶν τοιούτων κατηγορημάτων ἐξωθήσουσι. πῶς γὰρ

PG 98, 1321

6–7 Ps. 77,66 **10–11** Ioh. 16,33 **27** cf. Eph. 4,15 et 5,23; 1 Cor. 3,11 **34** 1 Cor. 1,24

M

1 coll. lat. exspectaueris ὑφ᾽ ἑκάστου … ἀποτελουμένην **2** ἡμεῖς suppleui dubitanter coll. lat.; uide etiam infra ad l. 28 et p. 894,11 **5** δέδυνται Mansi (error typogr.) **6** τὰ] τὸ Mansi, sed cf. *Sept.* et supra p. 872,26 **6–7** δῆλον — Χριστὸς seclusi (adnotatio marginalis in textum recepta) **7** δῆλον suppleui (cf. lat. *procul dubio*) **11** οὗς] fort. coll. lat. ὃ scribendum **12** ἀνταναρρήσεως Mansi **13** κατατετάξαται M, corr. PG **14** πρότερον Mansi **16** ἀφῃρημένων Mansi | ἀνανδρείας Mansi: ἀνανδρίας M **24–25** ἐκ — ἐκλελύτρωται] sententia exclamatiuva, ut uidetur (cf. Act. V p. 554,18) **28** exspectaueris ⟨ἡμεῖς οἱ⟩ χριστιανοὶ (cf. lat. et supra l. 2; uide etiam infra ad p. 894,11) **29–30** exspectaueris ἀπαλλάξοντα, cf. lat. **34** ἆρα Mansi **35** ἴσχυσε] sc. ἡ τῶν δαιμόνων δύναμις (cf. Crimi, Il discorso p. 114 adn. 105)

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 9:51 AM

quis autem et omnino posset in antiquitatem idolorum errorem renouare super terram? si enim nequissimi daemones qui per haec placantur hoc facere possunt, quomodo non destruetur totum dispensationis mysterium, sancta manifeste clamante scriptura quia *percussit inimicos suos in posteriora*? in quo innuitur quia Christus etiam *obprobrium sempiternum dedit eis.* qui enim potest aliquid operari, non inter mortuos, sed inter uiuentes adhuc procul dubio constituitur. quomodo autem et ipse proprios confortans discipulos et ad omnes uel qualescumque difficultates uiriliter subeundas adhortans ueritatem dicet, cum asserat: *confidite, ego uici mundum*? si enim quod hic uicisse se repromittit hoc illi ualuerunt rursus per rebellionem auferre, non utique tale quid uictoria nominabitur nec inter fortia facta connumerabitur. nam quomodo uictoria erit, si liberatos in finem minime lucrifaciat, sed similibus ab his qui prius superati fuerant luctaminibus redigatur? uerum nec similibus, sed fortioribus; nam possidere quid et perdere plus mihi quam non acquisitum non possidere in rationem imbecillitatis reputabitur. PL 129, 492 Ma. 448

Porro ubi putas idolorum status qui hoc dicentes posuistis aiunt? et si in antiquis daemonicorum templorum sedibus, nondum hoc christianis in causam criminis irrogabitur. uidemus enim reliquias in quibusdam locis priscorum daemonicorum templorum a ueteribus derelictas ad pompam, ut reor, eorum qui in his immolauerunt uel etiam ad memoriam nos, qui redempti sumus, [et] in gratiarum actiones ducentem per uisibiles infirmasque formationes: ex quibus christianorum abhominabiles factae sunt culturae. a quibus per Christum erepti sumus, nisi in christianissimis haec, inquiunt, ecclesiis nostris inuenirentur. o prauitatem quae hinc efficitur, o pessimam blasphemiam! quomodo enim, ubi *Christus caput* et *fundamentum* est secundum sapientissimum Paulum, hoc fieri poterit? fraudati uere sumus spe nos christiani. decepti sumus etiam praedicatorum uocibus, qui etiam deum nobis a daemoniorum superstitione nos liberaturum in mundum uenisse praedicauerunt. quomodo etiam hoc penitus dicere potuerunt? nam interrogauerim eos qui sic sapiunt utrum hoc *capite* nostro permittente factum sit an forte uolente quidem ne fieret, non ualente tamen auxiliari. et quomodo subsequenter hoc non sit totius blasphemiae? si enim uerax est sacratissimus Paulus, dum *Christum* filium *dei uirtutem et dei sapientiam* nominat, quomodo, quaeso, ualuit patris inexpugnabilem uirtutem et sapientiam, quae omnibus esse tribuit, quicquam eorum quae sunt exsuperare? perspicuum Ha. 504 La.-Co. 620

P VE

2 demones *codd.* **5** opprobrium *ed. Rom.** **9** quod] *Anast. pro* οὗς *uertit* ὃ *(Dubielzig), cf. app. crit. gr.* **9–10** rursus – auferre] *Anast. liberius uertit* **11** liberator *ed. Rom.** (liberatos *La.-Co.*^{mg} *ex* P) **12** redigantur *La.-Co.*^{mg} **13–14** non^{1} – possidere ~ τὸ ἀφῃρημένον ἀντικατασχεῖν*?* **15** ubi – posuistis] *Anast. sententiam male intellexit, quia* ἄρα *pro* ἄρα *et* τέθεισθε *pro* τεθεᾶσθαι *legit* | stratus P **16** nondum ~ οὔ πω *minus apte* (*cf. LSJ s.u.* οὔπω) **18** pompam ~ θρίαμβον (*cf.* publicatio(nem) *Act. IV p. 469,26 et Act. V p. 535,9); cf. etiam Crimi, Il discorso p. 113 adn. 100* **19** nos qui P V: nos E quod nos F^{2} *edd.* | et *seclusi coll. gr.* **20–22** ex – inuenirentur] *Anast. uerba graeca male intellexit uel alia legit atque in gr.* M *traduntur* (*uide etiam infra ad* nisi) **21** nisi] *Anast. uertit* εἰ μὴ *pro* εἰ δὲ δὴ **25** etiam^{2} ~ γε*? Anast. fort. legit* καὶ *pro* γε **26** superstitione ~ πλεονεξίας*; cf. Col. 3,5 (Dubielzig)* **27** dicere] *supplementum Anastasii (sed potius* daemones facere *subintellegendum)* | interrogauerim *scripsi coll. gr.*: interrogauerunt *codd.* („*f.* interrogemus“ *ed. Rom.*^{mg}) **29** subsequenter ~ ἐπέκεινα*?*

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 9:51 AM

θεὸς παντοκράτωρ δυνατός τε καὶ ἰσχυρὸς ὁ πατὴρ ἔτι λέγοιτο τῆς ἰδίας ὥσπερ ἀφῃρημένος δυνάμεως καὶ ὑπὸ χεῖρα τῶν σφῶν ἐχθρῶν γεγενημένος; πῶς δὲ καὶ ὅλως παρακεχώρηκε *τὴν τῷ ἰδίῳ* αὐτοῦ *αἵματι* ἁρμοσθεῖσαν αὐτῷ *ἐκκλησίαν* τοῖς ἁγίοις οὕτω καὶ ἀφιλοικτίρμοσι καταδουλωθῆναι πάλιν πνεύμασι, καίτοι τοῦ ὑμνογράφου λέγοντος *ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς ἐκραταίωσε κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν*; εἰ γὰρ ἐπὶ τοῦτο σεσάρκωται, ὥστε τῆς
Ma. 450 τούτων ἡμᾶς ἀπαλλάξαι χειρὸς κατὰ τὰς προφητικὰς προαναρρήσεις, ἀπηλλάγμεθα δέ, ὥς φασι, πρὸς βραχύ, τίς ὄνησις τῆς πρὸς βραχύ, οὐκ οὔσης μέν, δοκούσης δὲ ἐλευθερίας; οὐ γάρ τοι χαρᾶς, ἀλλὰ πλείονος καὶ δυσχερεστέρας δουλείας πρόξενος ἡμῖν γέγονε, τοσοῦτον τοὺς καθ᾽ ἡμῶν ἐχθροὺς ἀγριωτέρους παρασκευάσασα, ὅσον ἐκείνοις ἡμεῖς ἀπαλλαγέντες, ᾠόμεθα, κατεκαγχάζομεν. ποῦ δὴ οὖν *τὸ* διηνεκὲς *αὐτοῦ ἔλεος* ἔτι σῴζοιτο ἄν, ὅπερ *κατὰ τὸ ἀπὸ τῆς γῆς* πρὸς *τὸ* οὐράνιον *ὕψος* διάμετρον *κραταιῶσαι* ἐφ᾽ ἡμᾶς ἐπηγγείλατο, ὃ δηλοῖ τὸ ἀπεριόριστον; πῶς δὲ καὶ *τὰς ἀνομίας ἡμῶν* κατὰ τὸ τῆς *ἀνατολῆς* ἐπὶ τὸ δυτικὸ κλῖμα διάστημα *ἀφ᾽ ἡμῶν μακρῦναι* λέγεται, ὅπερ τὴν παντελῆ ἀπολύτρωσιν σημαίνει, εἰ ἔτι τοσαύταις ἐνεχόμεθα πλάναις; καὶ γοῦν ὁρῶμεν τοὺς τῶν ἰατρῶν ἐπιστήμονας, οἵ, ἐπειδάν τινα τῶν ἀσθενῶς τὸ σῶμα διακειμένων τοῖς ἐκ τῆς τέχνης ἀκριβασμοῖς ἐπαμύναντες εἰς ὑγείαν ἐπανάξωσι, οὐχ ὅπως μὲν αὐτὸν τοῦ παρόντος ἀπαλλάξωσι πάθους τὴν ἑαυτῶν εἰσφέρουσι τεχνικὴν ἐμπειρίαν, ἀλλά γε καὶ τὴν ἐξῆς τοῦ βίου περίοδον ἀσφαλεστέραν αὐτῷ διά τινων προφυλακτικῶν βοηθημάτων πραγματεύονται, ὡς ἂν μὴ τοῖς αὐτοῖς τυχὸν ἐξ ἀπειρίας ὀχληροῖς πάλιν συνενεχθείη.

Εἰ δὲ δὴ πάλιν ἀληθές ἐστιν, ὥσπερ οὖν καὶ δέδεικται, ὅτι τὴν ἡμετέραν ὁ μονογενὴς τοῦ θεοῦ καὶ πατρὸς υἱὸς πεφόρηκε φύσιν, δῆλον ὅτι τῶν οἰκείων αὐτὴν πεπλούτηκεν ἀγαθῶν καὶ τῶν τοῦ πνεύματος ἐξαιρέτων ἐνέπλησε θησαυρῶν, ὡς
PG 98, 1324 μηκέτι ταύτην εἰς τὸ ἐξῆς δευτέρας ἐπιδέεσθαί τινος βοηθείας ἅπαξ τὸ εὐσθενὲς παρὰ τοῦ ταύτην ἀνειληφότος λαβοῦσαν. τοῦτο γάρ, οἶμαι, καὶ ὁ μακάριος εὐαγγελιστὴς αἰνίττεται, ἐν τῷ καιρῷ τοῦ βαπτίσματος τοῦ *πάντων* ἡμῶν *σωτῆρος* Χριστοῦ ἰδεῖν *λέγων τὸ πνεῦμα* τὸ ἅγιον *ἐξ οὐρανῶν καταβὰν καὶ μένον ἐπ᾽ αὐτόν*, ὅπερ τοῦ ἀναπόβλητον αὐτὸ τὴν φύσιν εἰς τὸ ἐξῆς καταπλουτεῖν ἔμφασιν ἔχει. καὶ γάρ τοι οὐκ ἐδέετο ὁ κατὰ πάντα τῷ πατρὶ ἰσοστάσιος τῆς τοῦ πνεύματος ἐξ οὐρανῶν ἐπιφοιτήσεως, ὅσον γε εἰς τὸν τῆς ἰδίας φύσεως λόγον. τί γὰρ ἂν αὐτῷ προσθήκην ἁγιότητος ἐμποιήσαι τῷ τοὺς πατρικοὺς ἐν ἑαυτῷ φέροντι χαρακτῆρας καὶ τῇ τοῦ πνεύματος ὁμοουσιότητι μηδαμῶς παραλλάττοντι; ἀλλὰ τὴν ἡμετέραν ἐν ἑαυτῷ

3 cf. Act. 20,28 **5–6** Ps. 102,11 **6–7** εἰ – προαναρρήσεις cf. Lc. 1,69–71 **11–15** τὸ – μακρῦναι cf. Ps. 102,11–12 **27–28** τοῦ[2] – Χριστοῦ cf. 1 Tim. 4,10 **28** cf. Ioh. 1,32; Mt. 3,16; Mc. 1,10; Lc. 3,22

22–888,5 cf. Uphus p. 95 adn. 26

M

1 λέγοιτο ‹ἄν› coni. Dubielzig coll. l. 12 **4** πάλιν om. Mansi **11** exspectaueris ἐκείνων, cf. LBG s.u. κατακαγχάζω **15** μακρύναι M **32** ἐμποιήση M, correxi

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 9:51 AM

enim est quia, si istud huic accidit, nec id quod non est haec a talibus accusationibus pellent. quomodo enim deus omnitenens potens et fortis pater adhuc dicatur quasi a sua sublatus uirtute subdita inimicis suis effecta? uel quo pacto filius indulsit [in] *ecclesiam, quam* proprio *sanguine suo* sibi disponsauit, inmanibus taliter et inmiseri-
5 cordibus rursus deseruire spiritibus, praesertim cum hymnographus dicat *quia secundum altitudinem caeli a terra confirmauit dominus misericordiam suam super timentes eum*? si enim in hoc incarnatus est, ut de horum nos manu liberaret secundum propheticas praelocutiones, liberati autem sumus, ut aiunt, ad modicum, qui profectus libertatis est quae ad modicum non fuit, sed putata est? non enim gaudii,
10 sed abundantioris et difficilioris seruitutis nobis factus est causa, tanto inimicos nostros ferociores construens, quanto illos nos liberati, ut opinamur, irrisimus. ubi PL 129, 493
autem continua *misericordia* conseruatur, quam *secundum* caelestem *altitudinem a terra* immensam super nos confirmasse se repromisit, quod indicat infinitum? uel quomodo *iniquitates nostras* elongasse *a nobis* dicitur, *quantum distat* ab oriente
15 usque ad occidentalem plagam, quod omnimodam redemptionem signat, si adhuc eisdem implicamur erroribus? et certe uidemus medicorum peritissimos, cum ali- Ma. 449
quem infirmo corpore iacentem artis suae diligentiis adiuuerint et ad sanitatem reduxerint, non, <cum> eum mox a praesenti liberauerint passione, suae subtrahere artis experientiam, sed ceterae uitae circuitum cautiorem ei per quaedam auxilia prae-
20 munire ualentia sollicitos operari, quatinus non eisdem forte per imperitiam iterum molestiis opprimatur.

Ast rursus si uerum est, quemadmodum et comprobatum est, quia nostram unigenitus dei et patris filius induit naturam, manifestum est quod propriis eam bonis ditauerit et praecipuis spiritus donis repleuerit, ne de cetero secundi cuiusquam egeret
25 auxilii, semel ab eo robore qui hanc assumpsit accepto. hoc enim, reor, et beatus euangelista insinuat, cum tempore baptismatis *omnium* nostrum *saluatoris* Christi se uidisse *dicit spiritum* sanctum *de caelis descendentem et manentem super eum*, significans eum naturam de cetero sine abiectione ditasse. etenim non egebat ille, qui per Ha. 505
omnia spiritui est coaequalis, spiritus de caelis aduentu, quantum ad propriae naturae
30 pertinet rationem. numquidnam in se augmentum sanctitatis acquireret qui paternos La.-Co. 621
fert in semetipso characteres et spiritus consubstantialitate nullatenus commutatur?

5–7 *cf. Psalt. Rom. Ps. 102,11*

P VE

---

1 id – haec ~ τὸν οὗ ἐστι ταῦτα? *Anast. fort. legit* ὃ οὐκ ἔστι ταῦτα | accusationibus ~ κατηγορημάτων *(debuit* attributionibus *uel sim.) minus apte (cf. Crimi, Il discorso p. 114 adn. 106)* **2** omnipotens *ed. Rom.** **2–3** quasi – effecta] si quae sua sublata (a^2 F^2 *in ras.*) sunt (*add.* F^2) uirtute subdita inimicis sunt (*sic etiam* E) effecta F^{pc} (*sed uerba* si quae *fort. erasa in* F) *edd.* **3** subdita – effecta] *Anast.*γεγενημένης *lecto* καὶ *praetermisit; cf. Crimi, Per un'edizione p. 380–381* | in *seclusi* **4** desponsauit F^2 *edd.* | in manibus E immanibus F *edd.* **4–5** immisericordibus F^2 *edd.* **5** ymnographus V himnographus E **7** horum] eorum *ed. Rom.** **8** prolocutiones F *edd.* **8–9** qui – modicum *om.* VE *edd.* **9** libertatis est quae *scripsi coll. gr.*: liberatus est qui P | gaudii] gladii VE *edd. i. t. (corr. ed. Rom.^{mg})* **11** opinamur] *Anast.* οἰόμεθα *legisse uidetur* **12** *exspectaueris* continua <eius>, *cf. gr.* | altitudinem caelestem E *edd.* **13** inmensam V immensa *ed. Rom.* i. t. (corr. ed. Reg.^{mg})* **18** cum eum *scripsi* : eum *codd.* cum *ed. Rom.** **19** ceterae] certe *ed. Rom.** **20** sollicitum *ed. Rom.* solicitum *ed. Reg.** **21** opprimamur P **24** secundi] seculi E *edd.* (*corr. La.-Co.^{mg} ex* P) **25** auxilio V^{pc} (*in* i *scr.* o V^{x}) *edd.* | ab – assumpsit] *exspectaueris* robore ab eo qui hanc assumpsit **26** baptismatis] beatissimis P^{ac} (*subterlin. et* baptismatis *superscr.* P^{c}) **28** sine abiectione ~ ἀναπόβλητον | adiectione *ed. Rom.** (*corr. La.-Co.^{mg} ex* P) **29** spiritui] *debuit* patri*; cf. gr.* | coequalis P E | celo P^{ac} celis P^{pc} (o *exp.*, is *superscr.* P^{c}) **30** adquireret P **31** in semetipso fert *ed. Rom.**

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 9:51 AM

προδιεζωγράφει χάριν, ὅτι τε ὃ ἐν Ἀδὰμ ἀφῃρήμεθα *δι᾽ αὐτοῦ* τε *καὶ ἐν αὐτῷ* πάλιν πεπλουτήκαμεν, καὶ τῇ φύσει τὸ ἀρχαῖον ἐπανῆλθεν ἀξίωμα. εἰ τοίνυν ἡ τοῦ πνεύματος χάρις ἐπ᾽ αὐτὸν καταπτᾶσα μεμενηκέναι λέγεται, τοῦτο δὲ τὸ ἀναπόβλητον ἀεὶ τὴν φύσιν εἰς τὸ ἑξῆς διασῴζειν ὁ λόγος ἀποδέδειχε, δῆλον ὅτι ἡ τοιαύτη χάρις εἰς ὅλον διαβαίνει τὸ γένος.

Πῶς οὖν φασιν ἡμᾶς ἀγνοίᾳ τἀληθοῦς ἡμαρτηκέναι καὶ προφάσει δῆθεν τῆς εἰς θεὸν τιμῆς εἰδώλοις πάλιν προσκεκυνηκέναι; εἰ μὲν γὰρ οὔπω διὰ Χριστοῦ τὴν τοιαύτην πεπλουτήκαμεν χάριν, ἔστι τοῦτο λέγειν τοῖς τὰ πάντα τολμῶσιν· εἰ δὲ δὴ ὁμολογήσουσι τούτων μὲν ἡμᾶς τῶν ὑπὲρ λόγων ἀγαθῶν ἠξιῶσθαι διὰ Χριστοῦ, μετὰ τοῦτο δὲ ἡμᾶς ταῖς προτέραις ἀνθυπενεχθῆναι πλάναις, ἠσθένησε λοιπὸν κατ᾽ αὐτοὺς ἡ δοθεῖσα ‹διὰ› τοῦ πνεύματος χάρις τοῦ μὴ διαρκῶς μέχρι τέλους τοῖς
Ma. 451 ἅπαξ αὐτῆς μεταλελογχόσι παραμεῖναι. καὶ τί τοῦ οὕτως φρονεῖν δυσσεβέστερον ἢ ἀθλιώτερον; πῶς γὰρ τὸ *διὰ πάντων διῆκον* καὶ πᾶσι *τὴν* ζωογόνον παρέχον *δύναμιν*, τὸ *παντεπίσκοπον* καὶ *παντοδύναμον* τοῦ πατρὸς *πνεῦμα*, τῆς ἰδίας ἐκσταίη φύσεως καὶ τοῖς τῆς ἀσθενείας ὑποκείσεται μέτροις; πῶς δὲ καὶ τὸ *ἔσεσθαι μεθ᾽ ἡμῶν πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος* ἡ σωτήριος ἐπαληθεύσει φωνή, εἰ τὸ τῶν ἰδίων ὑποσχέσεων χρῆμα δι᾽ ἔργων εἰς πέρας ἐκβεβηκὸς οὐχ ὁρᾶται; καὶ γάρ τοι οὐ τοῖς τότε αὐτῷ συνοῦσιν ἁγίοις ἀποστόλοις τὴν τοιαύτην ἐπαγγελίαν δεδώρηται. πῶς γὰρ *ἕως τῆς συντελείας* οὗτοι σαρκὶ μεμενήκασιν, οἵ γε μικρὸν μετὰ τὴν εἰς οὐρανοὺς αὐτοῦ ἀναφοίτησιν τῷ βίῳ παραμείναντες τῷ κοινῷ τῆς φύσεως ἐλειτούργησαν *νόμῳ* ζωὴν τῷ θανάθῳ ἀπολιπόντες; ἀλλά γε εἰς ἡμᾶς ἡ τοιαύτη τῶν ἐπαγγελιῶν δωρεὰ διαβαίνει τοὺς τὸ αὐτῶν ὑπελθόντας κήρυγμα καὶ τὸν μετ᾽ αὐτῶν ἀναστραφέντα Χριστὸν συνόντα ἡμῖν ἐν πνεύματι διὰ παντὸς τοῦ βίου ἔχοντας. ἔξεστι τοιγαροῦν ἐν τούτοις τὴν τῶν οὕτω πεφρονηκότων αἱρετικῶν ἀποδακρῦσαι πλάνην, ὅτι τοῖς οὕτως ἐναργέσι διαμάχονται δόγμασι καὶ τὰς οὕτω θεοπρεπεῖς ἀθετοῦσιν ἐπαγγελίας, τῆς καθολικῆς ἐκκλησίας δυσσεβῶς καταγορεύοντες. οὐδαμῶς γὰρ αὕτη ἐκ τῆς παραδοθείσης αὐτῇ μετακεκίνηται πίστεως, μεμένηκε δὲ ὥσπερ *παρθένος ἁγνή* κατὰ τὸ γεγραμμένον τοῦ ἑαυτῆς νυμφίου Χριστοῦ *τὸν*
PG 98, 1325 *ἀρραβῶνα* ἄσυλον διασώσασα ἤτοι τὴν δοθεῖσαν ἐπ᾽ αὐτὴν *τοῦ πνεύματος* χάριν. τοιγάρτοι καὶ ὁ θεῖος Δαβὶδ πολλαῖς πρότερον γενεαῖς τὸ πρὸς τὴν πίστιν αὐτῆς ἑδραῖον ἀνακηρύττων ἔλεγεν· *ὁ θεὸς ἐν μέσῳ αὐτῆς, καὶ οὐ σαλευθήσεται*, καὶ πάλιν· *ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται*, ταῖς σατανικαῖς δηλονότι πολιορ-

---

1 δι᾽ – αὐτῷ cf. Rom. 11,36 **13–14** τὸ – πνεῦμα cf. Sap. 7,22–25 **15–16** cf. Mt. 28,20 **28** παρθένος – Χριστοῦ cf. 2 Cor. 11,2 **28–29** τὸν – χάριν cf. 2 Cor. 1,22 et 5,5 **31** ὁ – σαλευθήσεται Ps. 45,6 **32** ἐστερέωσε – σαλευθήσεται Ps. 92,1

15–24 πῶς – ἔχοντας cf. Act. VII (def. fidei) supra p. 820,20–22

M

7 οὔπω + οὕτω Mansi **11** διὰ suppl. Dubielzig coll. lat. **12** αὐτῆς scripsi (cf. lat.): αὐτοῖς M | μεταλελοχόσι M, corr. PG **15** ὑμῶν *N. T.* (cf. lat. [ex *Vulg.*, ut uidetur]) **16** ἐπαληθεύσῃ Mansi **22** εὐαγγελιῶν (sic) Mansi (ex lat., ut uidetur), sed cf. supra l. 18 **25** ἀποδακρύσαι M **28** Χριστοῦ om. Mansi

Brought to you by | Cambridge University Library
Authenticated
Download Date | 10/28/16 9:51 AM

sed nostram in se praefigurabat gratiam, quoniam eo quo in Adam sumus priuati *per ipsum et in ipso* sumus iterum locupletati et naturae antiqua dignitas rediit. si igitur spiritus gratia super eum descendens mansisse legitur et hoc quod non est ei reiciendum, naturam scilicet, deinceps conseruasse uerbum, apparuit quia profecto huiuscemodi gratia in omne genus pertransit.

Quomodo ergo perhibent nos ueraciter ignorantia peccasse et quasi honorem qui erga deum est exercendus idolis exhibuisse? nam si huiusmodi quidem per Christum Rom. 694
gratia sumus ditati, his dicendum est qui omnia praesumunt; porro si confessi fuerint haec nos quae super uerbum sunt bona per Christum meruisse, sed post hoc prioribus denuo summissos erroribus, infirmata est ergo secundum ipsos gratia quae per spiritum data est, ne sufficienter usque in finem cum his qui semel hanc sortiti sunt permaneret. et quid <quam> ita sapere magis est impium uel infelicius? uel quomodo is qui per omnia iustus est et cunctis uiuificam praebet uirtutem, omnium uidelicet inspector atque omnipotens patris spiritus, natura sua deficiet et mensuris infirmitatis succumbet? aut quomodo illud quod dicitur: *uobiscum sum omnibus diebus usque* PL 129, 494
ad consummationem saeculi uerum salutaris fatebitur uox, si repromissionum eius res per opera in finem processisse non cernitur? etenim talibus tunc secum existentibus sanctis apostolis talem repromissionem donauit. quomodo enim *usque ad consummationem* hi in carne permanserunt, qui etiam modicum post regressum eius ad caelos in uita manentes communi naturae functi sunt lege uitam morti deserentes? uerum et in nos huiusmodi euangeliorum munus pertransit, qui uidelicet eorum praedicationi summissi sumus et Christum qui cum eis conuersatus est nobiscum existentem in spiritu per totam uitam habemus. expedit igitur in his plorare hereticorum errorem qui haec taliter contempserunt, quia tam manifestis dogmatibus obiur- Ma. 452
gantur et tam deo decibiles irritas promissiones ecclesiae catholicae faciunt, his impie derogantes. nullatenus enim haec a tradita sibi commota est fide, mansit autem sicut *uirgo casta*, secundum quod scriptum est, Christi sponsi sui arram inuiolabilem seruans, id est datam in se spiritus gratiam. cuius rei gratia et diuinus Dauid multis prius generationibus immobilitatem fidei ab illa exhibitae praedicans asserebat: *deus in medio eius non commouebitur*, et iterum: *firmauit orbem terrae qui non commouebitur*,

P VE

